Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: xpw-ad

*Εὐστάθιος ὁ Θεσσαλονίκης* · Eustathius of Thessalonica

# Commentary on Homer's Iliad

*Ὑπόμνημα εἰς τὴν Ἰλιάδα*

**Period:** *Βυζαντινή* Byzantine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πραγματεία* Treatise

1.1.(t1) 〈ΕΥΣΤΑΘΙΟΥ ΠΑΡΕΚΒΟΛΑΙ ΕΙΣ ΤΗΝ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ〉 Τῶν Ὁμήρου Σειρήνων καλὸν μὲν ἴσως εἴ τις ἀπόσχοιτο τὴν ἀρχὴν ἢ κηρῷ τὰς ἀκοὰς ἀλειψάμενος ἢ ἀλλ᾽ ἑτέραν τραπόμενος, ὡς ἂν ἀποφύγῃ τὸ θέλγητρον. μὴ ἀποσχόμενος δέ, ἀλλὰ διὰ τῆς ᾠδῆς ἐκείνης ἐλθών, οὐκ ἄν, οἶμαι, οὔτε παρέλθῃ ῥᾳδίως, εἰ καὶ πολλὰ δεσμὰ κατέχοι, οὔτε παρελθὼν εἴη ἂν εὔχαρις. εἰ γάρ που, ὥσπερ θεάματά τινα, ὁποῖα τὰ θρυλλούμενα ἑπτὰ ἐν λόγοις κεῖνται, ἀριθμήσει τις καὶ ἀκούσματά τινα ἐπιστροφῆς ἄξια, εἴη ἂν ἐν αὐτοῖς μάλιστα καὶ ἡ Ὁμηρικὴ ποίησις, ἧς οὐκ οἶμαι εἴ τις τῶν πάλαι σοφῶν οὐκ ἐγεύσατο καὶ μάλιστα τῶν ὅσοι τῆς ἔξω σοφίας ἠρύσαντο. ἐξ Ὠκεανοῦ μὲν γὰρ ποταμοὶ πάντες, πηγαὶ πᾶσαι, φρέατα πάντα κατὰ τὸν πάλαι λόγον· ἐξ Ὁμήρου δέ, εἰ καὶ μὴ πᾶσα, πολλὴ γοῦν παρεισέρρευσε τοῖς σοφοῖς λόγου ἐπιρροή. οὐδεὶς γοῦν οὔτε τῶν τὰ ἄνω περιεργαζομένων οὔτε τῶν περὶ φύσιν οὔτε τῶν περὶ ἦθος οὐθ᾽ ἁπλῶς τῶν περὶ λόγους ἐξωτερικούς, ὁποίους ἂν εἰπῇ τις, παρῆλθε τὴν Ὁμηρικὴν σκηνὴν ἀξεναγώγητος, ἀλλὰ πάντες παρ᾽ αὐτῷ κατέλυσαν, οἱ μὲν ὡς καὶ διάγειν παρ᾽ αὐτῷ μέχρι τέλους καὶ τῶν αὐτοῦ συσσιτίων ἀποτρέφεσθαι, οἱ δὲ ὥστε χρείαν ἀποπλῆσαί τινα καὶ συνεισενεγκεῖν ἐξ αὐτοῦ τῷ λόγῳ τι χρήσιμον. ἐν οἷς καὶ ἡ Πυθία, πολλοὺς τῶν χρησμῶν πρὸς Ὁμηρικὴν μέθοδον ἀποξέουσα. φιλόσοφοι περὶ αὐτόν, εἰ καὶ Ἵππαρχος φθονεῖ, ὡς μετ᾽ ὀλίγα ἱστορηθήσεται. ῥήτορες περὶ αὐτόν. γραμματικοὶ δὲ οὐκ ἄλλως εἰς τέλος, εἰ μὴ δι᾽ αὐτοῦ. ὅσοι δὲ μετ᾽ αὐτὸν ποιηταί, οὐκ ἔστιν ὃς ἔξω τι τῶν αὐτοῦ μεθόδων τεχνάζεται, μιμούμενος, παραποιῶν, πάντα ποιῶν δι᾽ ὧν ὁμηρίζειν δυνήσεται. ἄγουσιν αὐτὸν καὶ γεωγράφοι διὰ ζήλου πολλοῦ καὶ θαύματος. ὁ περὶ τὴν Ἀσκληπιαδῶν δίαιταν καὶ τὰ τραύματα ἐρανίζεται καὶ αὐτὸς ἐκεῖθεν ἀγαθά. ἐφέλκεται τὸ πρᾶγμα καὶ βασιλεῖς· καὶ μαρτυρεῖ ὁ μέγας Ἀλέξανδρος, κειμήλιον εἴτε καὶ ἐφόδιον καὶ ἐν αὐταῖς μάχαις τὴν Ὁμηρικὴν βίβλον ἐπαγόμενος καὶ τὴν κεφαλήν, ὅτε ὑπνοῦν δέοι, ἐπαναπαύων αὐτῇ, ἵνα τάχα μηδὲ ἐν ὕπνοις αὐτοῦ ἀπέχοιτο, ἀλλὰ καὶ φανταζόμενος εἴη εὐόνειρος.

1.2 καὶ ἔστιν ἀληθῶς βασιλικὸν πρᾶγμα ἡ Ὁμήρου ποίησις καὶ μάλιστα ἡ Ἰλιάς. καὶ παροιμία μέν τις κακῶν Ἰλιάδα φησίν· αὐτὴ δὲ καλοῦ παντός ἐστιν Ἰλιάς· δραματικώτερον μὲν σχηματιζομένη διὰ τῆς μονοειδοῦς μέν, πολυπροσώπου δὲ ἀφηγήσεως, γέμουσα δὲ μυρίων ὧν ἄν τις εἴποι καλῶν, φιλοσοφίας, ῥητορείας, στρατηγικῆς εὐτεχνίας, διδασκαλίας τῆς περὶ ἠθικῶν ἀρετῶν, τεχνῶν ὅλως παντοίων καὶ ἐπιστημῶν. ἔχει τις καὶ δόλους ἐπαινετοὺς ἐκεῖθεν μαθεῖν καὶ ψευδῶν κερδαλέων συνθέσεις καὶ σκωμμάτων δριμύτητας καὶ ἐγκωμίων μεθόδους. φρόνησιν δὲ οὐκ ἔστιν εἰπεῖν ὅσην περιποιεῖται τῷ προσέχειν ἐθέλοντι. καὶ ὅσα δὲ τῇ ἱστορίᾳ

ἐπιθεωροῦνται σεμνά, οὐκ ἂν οὐδὲ τὴν Ὁμήρου τέχνην τῶν τοιούτων ἀποστερήσῃ τις, τῆς πολυπειρίας, τοῦ τὰς ἀκοὰς ἡδύνειν, τοῦ τὰς ψυχὰς παιδεύειν, τοῦ εἰς ἀρετὴν ἐπαίρειν, τῶν ἄλλων οἷς ὁ ἱστορῶν ἐνευδοκιμεῖ. εἰ δ', ὅτι μύθων γέμει, ἐκπίπτειν αὐτὸν κίνδυνός ἐστι τοῦ θαυμάζεσθαι, ἀλλὰ πρῶτον μὲν οὐ πρὸς γέλωτα οἱ Ὁμηρικοὶ μῦθοι ἀλλὰ ἐννοιῶν εὐγενῶν σκιαί εἰσιν ἢ παραπετάσματα, οἱ μὲν ὑπ' αὐτοῦ πλαττόμενοι πρὸς τὰ ὑποκείμενα, οἳ καὶ πρὸς αὐτὰ οἰκείως ἀλληγοροῦνται, πολλοὶ δὲ καὶ ὑπὸ τῶν παλαιῶν μὲν τεθειμένοι, ἑλκόμενοι δὲ χρησίμως καὶ εἰς τὴν τούτου ποίησιν, ὧν ἡ ἀλληγορία οὐ πάντῃ πάντως πρὸς τὰ Τρωϊκά, ἀλλὰ ὅπως ἂν ἐξ ἀρχῆς ᾐνίξαντο οἱ αὐτοὺς πλασάμενοι. ἔπειτα οὐδὲ ἔχαιρεν αὐτόθεν μύθοις ὁ τῆς σοφίας τρόφιμος. (ἡ σοφία τε γὰρ θεωρία ἐστὶν ἀληθευτική· καὶ ὁ σοφὸς δὲ τοιοῦτος· οὐκοῦν καὶ ὁ Ὅμηρος;) ἀλλὰ διὰ τὸ τῶν πολλῶν ἐπαγωγὸν αὐτοὺς τῇ ποιήσει παρεμπλέκων τεχνάζεται, ἵνα δελεάσας καὶ θέλξας τῷ προφαινομένῳ δικτύων, ὅ φασιν, ἔσω λάβῃ τοὺς ὀκνοῦντας τὸ τῆς φιλοσοφίας γλαφυρόν, εἶτα καὶ γεύσας τῆς ἐν ἀληθείᾳ γλυκύτητος ἀφήσει σοφοὺς πορεύεσθαι καὶ θηρᾶσθαι αὐτὴν καὶ ἄλλοθεν. ἔτι δὲ γίνεται καὶ μεθοδευτὴς οὕτω τῆς τῶν μύθων πιθανῆς πλάσεως, ἵνα καὶ τούτου τοῖς φιλομαθέσιν, ὡς καὶ τῶν λοιπῶν εἰδῶν τοῦ λόγου, καθηγήσηται. ἐκεῖνο δὲ καὶ μάλιστα θαυμαστὸν ἐν τούτοις Ὅμηρος ἔχει, ὅτι καὶ μύθοις μεμεστωμένος ὅμως οὐ φεύγεται, ἀλλὰ στέργεται, καὶ οἱ μισεῖν αὐτὸν προϊσχόμενοι οὐκ ὀκνοῦσιν αὐτοῦ ἄλλως ἅπτεσθαι, καὶ ἀποδιοπομποῦντες αὖθις προσίενται, ὅμοιοι τῷ παροιμιακῷ Σκύθῃ, ὃς θεωμένων μὲν Ἑλλήνων ἀπέσχετο ἵππου εὐγενοῦς ἐκπεπνευκότος, ἀνακάμψας δὲ καθ' ἡσυχίαν τὸ σύνηθες ἔπραττεν, ἀπολαύων οὗ ἤθελεν. εἰ δὲ καὶ οἱ χρώμενοι δηλοῦσι τὸ χρηστὸν πρᾶγμα, οὐκ ἔχει ἀντιλογίαν πολύχρηστον εἶναι χρῆμα τὴν Ὁμηρικὴν ποίησιν. ἀλλ' ὅτι μὲν εὔχρηστος ὁ ποιητής, οὕτως ἀμυδρῶς δηλοῦντες ὑπεκρουσάμεθα, ὅτι μηδὲ πρόθεσις ἡμῖν Ὁμήρου ὑπερλαλεῖν. ὡς εἴγε τις ἐν σκοπῷ θήσει τὸ πρᾶγμα, οὐ πολλῶν δεήσεται λόγων, ἀλλὰ προβαλεῖται τὰς βίβλους ἐκ προχείρου, ὧν αἱ μὲν εἰς αὐτόν, αἱ δὲ ἐξ αὐτοῦ συνεκροτήθησαν, καὶ ἀνύσει ῥᾳδίως τὸ προτεθέν. Λείπεται δὴ ἡμῖν, ἐπεὶ ἀποπέφανται μὴ γελοῖος εἶναι πάντῃ ὁ πονησάμενος περὶ τὴν Ὁμήρου ποίησιν, γενέσθαι οὗ ἐσκοπήσαμεν καὶ μὴ ἐπὶ πλέον συνιστᾶν τὸν ποιητήν, ἀλλὰ ποιεῖν ὅπερ εἰς αὐτὸν οὐ πρὸς μεγιστάνων τινῶν ἐπετάχθημεν, ὁποῖά τινα πλάττονται οἱ κομψοί, ἀλλὰ πρὸς φίλων ὁμιλητῶν, οἷς ὑπολήψεώς τι χρηστῆς περὶ ἡμῶν ὕπεστιν.

1.3 ἦν δὲ τὸ φιλικὸν θέλημα διὰ τῆς Ἰλιάδος ἐλθεῖν καὶ ἐκπορίσασθαι τὰ χρήσιμα τῷ διεξοδεύοντι, οὐ λέγω ἀνδρὶ λογίῳ, ἐκεῖνον γὰρ οὐδὲν ἂν τῶν τοιούτων εἰκὸς λανθάνειν, ἀλλὰ νέῳ ἄρτι μανθάνοντι· τυχὸν δὲ καὶ μαθόντι μέν, δεομένῳ δὲ ἀναμνήσεως. καὶ δὴ γίνεται τοῦτο· καὶ τὰ χρήσιμα κατὰ ἀκολουθίαν εὐσυνθέτως ἐκλέγονται, οὐχ' ὥστε μέντοι τὰ πάντων ἐνταῦθα εἶναι τῶν πονησαμένων εἰς τὸν ποιητήν, (τοῦτο γὰρ καὶ μόχθος μάταιος καὶ περιττὸς καὶ οὐδὲ ῥᾷον ἀνύσιμος,) ἀλλ' ὥστε τὸν γινώσκειν ἐθέλοντα εὑρίσκειν κατὰ τόπον εὐτάκτως τὰ μὴ παρέλκοντα, οἷον· ἐννοίας εὐχρήστους τῷ καταλογάδην γράφοντι καὶ βουλομένῳ ῥητορικὰς ποιεῖν εὐκαίρως παραπλοκάς· μεθόδους, ἐξ ὧν καὶ ὠφελεῖταί τις μιμεῖσθαι θέλων καὶ τῆς εὐτεχνίας θαυμάζει τὸν ποιητήν· λέξεις, τὰς πλείους μὲν ὡς πεζῷ λόγῳ προσηκούσας, πολλάκις δὲ καὶ σκληρὰς καὶ τραχείας καὶ ποιητικάς, ἃς εἰ μὴ ἀναπτύξει τις ἐτυμολογικώτερον, οὐκ εὔγνωστον ἔσται τὸ χωρίον, ὃ παρεκβέβληται· γνώμας, αἷς καὶ αὐταῖς πολλαχοῦ ἡ Ὁμηρικὴ σεμνύνεται ποίησις· ἱστορίας, οὐ μόνον αἷς ὁ ποιητὴς χρᾶται κατὰ κανόνα οἰκεῖον, ἀλλ' ἔστιν ὅπου καὶ πλατύτερον, ὡς ἐξ ὧν ἱστόρησαν ἕτεροι· ἔτι δὲ μύθους, τοὺς μὲν ἀκράτους καὶ ἀθεραπεύτους καὶ κατὰ μόνον θεωρουμένους τὸ προφερόμενον, τοὺς δὲ καὶ μετὰ θεραπείας ἀλληγορικῆς εἴτε καὶ ἀναγωγικῆς· καὶ ἕτερα μυρία καλὰ εἰς βίον χρήσιμα· καὶ ταῦτα οὐ μόνον συντόμως, ἀλλὰ καὶ ποικίλως. ὥστε εἴ τις ἀφθονήτως τὸ πᾶν περιελθὼν τοῦτο πόνημα εἴποι ἐπιεικέστερον, ὡς οὐκ ἀνωφελὲς πάντῃ ἐστὶ τὸ ἐγχείρημα, οἶμαι, οὐ

ψεύσεται. νέων γὰρ ἀγωγὴ καὶ διατριβὴ ἀναγνώσεως συντελοῦσα εἰς τὴν Ὁμηρικὴν Ἰλιάδα, καλὴ ἂν καὶ αὕτη γένοιτο, εἴτε κατὰ μόνας τις ἀπολαβὼν τὸ παρὸν ἔργον αὐτὸ καθ' αὑτὸ θεωροίη εἴτε καὶ τὴν Ἰλιάδα χειριζόμενος σκέπτεσθαι τὴν ἐργασίαν ταύτην βούλεται, εἴ τί που ἐν χρῷ ἐκείνης παράπτεται. πρὸς δὲ τοῖς ἄλλοις οὐδὲ ἐκτέταται τὸ προκείμενον ἔργον εἰς ἓν ὕφος καὶ σῶμα κατὰ συνέχειαν ἀδιάστατον, ἵνα τῷ ἀδιακόπῳ ἀποκναίῃ τὸν ἐντυγχάνοντα καὶ δυσεύρετον ἔχῃ τὸ κατάλυμα, ἀλλ' ἕκαστον τῶν χρησίμων καθ' αὑτὸ ἰδίᾳ κεῖται καὶ περατωθέντος αὐτοῦ μετάβασις ὡς ἐξ ὑπαρχῆς ἐπὶ ἕτερον γίνεται. καὶ οὕτως ὁ διὰ τοῦ συγγράμματος τούτου ἐρχόμενος συχνὰ οἷον καταλύων ἀναπαύεται. ὁποῖόν τι καὶ ἐν τοῖς εἰς τὸν Περιηγητὴν ἡμῖν γέγονε καὶ εἰς τὴν Ὀδύσσειαν δέ. καὶ ἐκεῖ γὰρ ὁμοίως τὸ ἔργον μεθώδευται παρεκβαλοῦσι τὰ εὔχρηστα ὡς ἐν ἐκλογῇ κατὰ ἀκολουθίαν εὐσύνθετον, οὐ μὴν πλατεῖαν ποιησαμένοις αὐτὸ τοῦτο ἐξήγησιν, ἵνα μή τις ἐκφλυαρίζων τὸ πρᾶγμα μυκτηρίσῃ μηδὲν ἡμᾶς καινότερον πραγματεύσασθαι.

1.4 ὅπου γε καὶ νῦν ὁ μὴ πάνυ εὐγνώμων τοιοῦτος ἴσως ἔσται καὶ θαρρῶν τὰ παρ' ἄλλοις ἀριζήλως εἰρημένα ἐξευρίσκειν καὶ ἐνταῦθα κείμενα οὐδὲν ἱερὸν εἶναι κατὰ τὴν παροιμίαν τὸ παρὸν ἔργον ἐρεῖ. ἀλλ' ὁ τοιοῦτος ἴστω κακῶς κρίνων, ἵνα μή τι πλεῖον ἐροῦμεν, συνιστῶντες ἑαυτοὺς κατὰ τὸν παροιμιακὸν Ἀστυδάμαντα. εἰ δὲ καὶ τυχὸν ὁ οὕτω δοξάζων ὀρθῶς ἔκρινεν, ἀλλ' ἡμεῖς καὶ οὕτως ἐπιβαλοῦμεν τῷ ἔργῳ, ἵνα, εἰ μὴ ἑτέροις, ἀλλὰ τοῖς γοῦν ἀγγαρεύσασιν ἀρέσωμεν, ἀγογγύστως τὸ ἐπιτεθὲν φορτίον ἄραντες. ὅσα μὲν οὖν ἐκ προθύρων οἱ σοφοὶ τῆς Ἰλιάδος προγράφουσιν, ἐξ ἐκείνων ἀναλεκτέον, ὅτι μηδὲ πρόκειται ἡμῖν ἀμαυρῶσαι τὰ τῶν ἄλλων καὶ κενὴν δόξαν θηράσασθαι καὶ σκῶμμα τοῦ πάντῃ τὰ ἀλλότρια μεταγράφειν ἐφελκύσασθαι. Ἐκεῖνα δὲ καὶ μόνα πάνυ συντόμως προγραπτέον ἐνταῦθα, ὅτι τὴν Ὁμήρου ποίησιν οἱ μὲν εἰς τὸ παντελὲς ἐσκίασαν καὶ ὡς οἷον αἰσχυνόμενοι, ἐὰν ὁ ποιητὴς ἀνθρωπίνως λαλῇ, ἀνήγαγον πάντα καὶ εἰς ἀλληγορίαν μετέθεντο, καὶ οὐ μόνον εἴ τί που μυθικόν, ἀλλὰ καὶ τὰ ὁμολογουμένως ἱστορούμενα, τὸν Ἀγαμέμνονα, τὸν Ἀχιλλέα, τὸν Νέστορα, τὸν Ὀδυσσέα, τοὺς λοιποὺς ἥρωας, ὡς δοκεῖν τὸν ποιητὴν ἐν ὀνείροις ἡμῖν ὁμιλεῖν. ἕτεροι δὲ ἀπεναντίας πάντῃ ἐκείνοις ἐλθόντες ἐξέσπασαν τὰ Ὁμηρικὰ πτερὰ καὶ οὐκ ἀφῆκαν αὐτὸν πτερύσσεσθαι ὅλως μετέωρον, ἀλλὰ τοῦ φαινομένου γενόμενοι μόνου καὶ κατασπάσαντες τοῦ ἀναγωγικοῦ ὕψους τὸν ποιητὴν οὐδὲν οὐδ' ὅλως ἀφῆκαν ἀλληγορεῖσθαι παρ' αὐτῷ, ἀλλὰ καὶ τὰς ἱστορίας ἀφῆκαν οὕτως ἔχειν, καλῶς γε τοῦτο ποιοῦντες, καὶ τοὺς μύθους δὲ ἀπαραποιήτους εἰς ἀλληγορίαν εἶναι προσέταξαν. ἐν οἷς, ὡς καὶ ἐν τοῖς ἑξῆς δηλωθήσεται, καὶ ὁ Ἀρίσταρχος, οὐ πάνυ καλῶς τοῦτο νομοθετήσας. οἱ δὲ ἀκριβέστεροι, ὥσπερ τὰς ἱστορίας ἐφ' ἑαυτῶν μένειν ἀφῆκαν, οὕτω καὶ τοὺς μύθους τὰ πρῶτα μὲν τίθενται οὕτως ἔχειν ὡς λέγονται, καὶ ἐπισκέπτονται τὴν πλάσιν αὐτῶν καὶ τὴν ἐν αὐτῇ πιθανότητα, δι' ἧς ἐν μύθοις ἀλήθειά τις εἰκονίζεται. εἶτα διὰ τὸ ἐν αὐτοῖς φύσει ψευδὲς ἀφέντες τὸ σωματικὸν εἰκόνισμα ἀνατρέχουσιν εἰς τὴν ἐξ ἀλληγορίας θεραπείαν τοῦ μύθου ἢ φυσικῶς ἐξετάζοντες, ὡς ἄλλοι δηλοῦσι πλατύτερον, ἢ κατὰ ἦθος· πολλαχοῦ δὲ καὶ ἱστορικῶς. οὐκ ὀλίγοι γὰρ μῦθοι καὶ πρὸς ἱστορίαν ἐκθεραπεύονται, ὡς ἀληθῶς μὲν γενομένου τοῦδέ τινος πράγματος ἐν τῷ καθ' ἡμᾶς βίῳ, τοῦ δὲ μύθου τὸ ἀληθὲς ἐκβιαζομένου πρὸς τὸ τερατωδέστερον. ταύτης τῆς ὁδοῦ ἐχομένη καὶ ἡ παροῦσα πραγματεία οὐδὲ τοὺς μύθους ἀνεπισκέπτους εἰς τὸ πᾶν ἀφήσει, ἀλλὰ περιεργάσεταί που αὐτοὺς ἀκολούθως τοῖς παλαιοῖς. οὐ χρὴ δὲ ἀναπεσεῖν οὐδὲ νῦν τὸν ἀκούσαντα τοῖς παλαιοῖς ἡμᾶς καὶ ἐν τούτοις ἀκολουθεῖν, ὡς δυνατὸν ὂν καὶ αὐτὸν ἐκεῖθεν τὰ τοιαῦτα ἐρανίσασθαι.

1.5 πρῶτον μὲν γάρ, καθάπερ τοῖς μαγειρεύουσι χάρις, οὐχ' ὅτι τὰ μὴ ὄντα δαιτρεύουσιν, ἀλλ' ὅτι τὰ ἐπιπόνως ἔχοντα τοῦ συναγαγεῖν αὐτοὶ ἀγείραντες εἰς ἓν παρέθεντο, οὕτω καὶ ἡμῖν ἔσται τι χάριτος, ὅτι πόνου δίχα οἱ περιτυχόντες ἔχουσι πολλαχόθεν ἐπισυναχθὲν τὸ ζητούμενον. εἶτα,

εἰ καὶ ἀγέρωχόν τι καὶ γαῦρον ὁ λόγος ἔχει, οὐκ οἶδα, εἰ μή τινες τῶν ὑπονώθρων μόλις περιτύχοιεν ἐκείνοις, ἐξ ὧν πολλὰ τῶν ἐνταῦθα ἠράνισται. εἰ δέ τι ἐν διαφόροις καὶ προσεπινενόηται, αὐτό, φασί, δείξει. Ἐπεὶ δὲ ποιητὴν μέγαν περιεργαζόμεθα, σκοπητέον τὸ τοιοῦτον ὄνομα καὶ σημειωτέον, ὅτι, καθάπερ ἔπος ἁπλῶς μὲν ὁ λόγος, ὡς τὸ «ἔπεα πτερόεντα», ἰδίως δὲ ἔπος ὁ ἔμμετρος λόγος, οὕτω καὶ ποιεῖν ὅλως μὲν τὸ πράττειν· καὶ ἔστιν ἡ χρῆσις καὶ παρὰ τῷ ποιητῇ πολλαχοῦ, ἰδιάζεται δὲ ἡ λέξις καὶ ἐπὶ τῶν ῥαψῳδούντων κατά τι ἐξαίρετον διὰ τὸ τῆς ἐν αὐτοῖς πράξεως ταύτης [ἐξέχον ὡς] θεῖον καὶ ἔλλογον. ὅθεν καὶ συνθέμενοί τινες τὸ ἔμμετρον ἔπος καὶ τὸ ῥαψῳδικῶς ποιεῖν ὠνόμασαν συνθέτως ἐποποιοὺς τοὺς ἐν ἁπλότητι λεγομένους καὶ ποιητάς, μάλιστα δὲ τοὺς ἐν ἑξαμέτρῳ τόνῳ ἡρωΐζοντας. ὧν κατάρξαι λέγεταί τις Φημονόη, γυνὴ προφῆτις Ἀπόλλωνος, ἐφευροῦσα, φασίν, αὐτὴ πρώτη τὸ ἔπος, κληθὲν οὕτω κατὰ τοὺς παλαιοὺς οὐ μόνον καθ' ὑπεροχήν, δι' ἣν τὸ ἑξάμετρον ἰδιώσατο τὴν κοινὴν προσηγορίαν τοῦ λόγου, ἀλλὰ καὶ διότι ἕπονται, φασί, τὰ πράγματα τοῖς χρησμοῖς. εἰ δὲ ἡ τοιαύτη ἐτυμολογία δασύνεσθαι ἀπαιτεῖ τὸ ἔπος, ἀλλ' ἔστι συνηγορῆσαι καὶ τῇ ψιλώσει τούτου πιθανῶς, εἴ τις βουληθείη. τίς δὲ ἡ ἐποποιΐα καὶ ὅτι ποιήσεως εἶδος καὶ αὐτὴ ὡς καὶ ἡ τραγῳδία καὶ ἡ κωμῳδία καὶ ἡ τῶν Κυκλίων ποιημάτων καὶ ἡ λυρικὴ καὶ ἕτεραι, ζητητέον ἐν ἄλλοις. καὶ οὕτω μὲν κατέστη τὸ ποιεῖν, ἐξ οὗ καὶ ὁ ποιητὴς καὶ ἡ ποίησις. καὶ δῆλον ὅτι ποιεῖν παρὰ τοῖς παλαιοῖς, ὡς καὶ ὁ Κωμικὸς ἐμφαίνει, τὸ ποιητικῶς ἤγουν ἐμμέτρως ἀείδειν καὶ γράφειν, ὡς τὸ «ἐποίησάς ποτε ὦ Εὐριπίδη» ἀντὶ τοῦ «ἔγραψας ἐν τῇ ποιήσει σου». καὶ τοίνυν καὶ ποιητὴς ὁ οὕτω γράφων, ὁποῖος ἂν καὶ εἴη εἴτε κωμικὸς εἴτε ὁστισοῦν ἕτερος, ἐξόχως δὲ Ὅμηρος. ὡς γάρ, εἴ τις εἴπῃ ὁ ῥήτωρ, ὁ Δημοσθένης εὐθὺς ὑπερεχόντως ἐνοήθη, κἂν τὸν λυρικὸν ἀκούσωμεν, εἰς τὸν Πίνδαρον ἀναγόμεθα, οὕτω καὶ τὸν ποιητὴν ἀκούσας τις μετὰ τοῦ ἄρθρου τὸν Ὅμηρον ἐνόησε. διὰ τί; ὅτι ἐν αὐτῷ ἀρετὴ πᾶσα ποιήσεως καὶ διότι σπερματικῶς ἀρχὴ καὶ καθηγητὴς αὐτὸς πᾶσι γέγονε ποιηταῖς τοῦ εἶναι, ὅπερ λέγονται.

1.6 καὶ ταῦτα μὲν οὕτως, ἵνα μὴ ἐπὶ πλέον πόρρω τοῦ σκοποῦ πλαζώμεθα. Ὁμήρου δὲ γένος οὐδ' αὐτὸ περιεργασόμεθα. εἴρηται γὰρ πολλοῖς ἑτέροις, ὡς οὐκ ἂν ἡμεῖς κρειττόνως εἴπωμεν· εἰ μὴ ἄρα τοῦτο καὶ μόνον ῥητέον κατὰ τὸ ἐπιτρέχον, ὅτι ἐπικρύψας ἑαυτὸν ὁ ποιητὴς καὶ σιγήσας, ὅστις ποτὲ καὶ ὅθεν ἦν, περιμάχητος μᾶλλον ἐγένετο καὶ πολύπατρις. ἔστι γὰρ κατὰ τὴν τῶν ποθούντων ἔφεσιν καὶ Ἰήτης καὶ Σμυρναῖος καὶ Ἀθηναῖος καὶ Αἰγύπτιος, ἤδη δὲ καὶ Ἰταλός. ἀμφισβητοῦσι δ' αὐτοῦ καὶ Χῖοι, μαρτύριον προχειριζόμενοι τοὺς καλουμένους Ὁμηρίδας, ὧν καὶ Πίνδαρος μέμνηται. καὶ ἕτεροι δὲ πολλοὶ Ὁμήρου μεταποιοῦνται σφετεριζόμενοι καὶ ἁβρυνόμενοι αὐτὸν ἔχειν πολίτην ἢ ἑτέροις ἀγαθοῖς σεμνύνεσθαι. Ὅτι δὲ καὶ ἕτεροι πρὸ αὐτοῦ ἦσαν ποιηταί, ὧν καὶ Μουσαῖος ἀκέσεις νόσων συγγραψάμενος, καὶ ὅτι, ὡς καὶ Αἰλιανὸς ἱστορεῖ, μετὰ Ὀρφέα καὶ Μουσαῖον Σύαγρος γέγονε ποιητής, ὃς πρῶτος τὸν Τρωϊκὸν ἦσε πόλεμον, καὶ τοῦτο ἐς τοσοῦτον εἰρήσθω. καὶ ὅτι ἔπνεε τὰ ἔπη Ὅμηρος καὶ οὕτως εἶχε τῆς περιέργου καὶ ἐμμελοῦς Μούσης, ὡς οὐδὲ τοῦ ἐν ἁπλότητι πεζολογεῖν ἕτεροι, καθὰ καὶ Ἡρόδοτος ἱστορεῖ ἐν οἷς ἔγραψεν εἰς τὸν Ὅμηρον. ὡς δὲ καὶ πολλοὶ Ὅμηροι, καὶ αὐτὸ ἱστόρησαν ἕτεροι, καὶ ὅτι δὲ ὁ νῦν προκείμενος ἢ ἀπὸ τοῦ μὴ ὁρᾶν ὠνόμασται, ὡς οἱονεὶ μήορος καὶ κατὰ μετάθεσιν Ὅμηρος, ἢ ὡς αὐτὸ τοῦτο γενόμενος Ὅμηρος, ὁποίους τοὺς ἐπὶ εἰρήνῃ διδομένους εἰς ἐνέχυρον οἴδαμεν, καὶ τοῦτο εἰς πλάτος κεῖται παρ' ἄλλοις. οἳ καί φασι τὰ ἐπὶ εἰρήνῃ ὅμηρα οὕτω λέγεσθαι παρὰ τὸ ὁμοῦ καὶ τὸ ἀρῶ τὸ ἁρμόζω· εἰς ὁμόνοιαν γὰρ ἁρμόττονται διὰ τῶν ὁμήρων οἱ διεστῶτες ἀλλήλων καὶ στασιάζοντες. [χρῆσις δὲ τοιαύτης λέξεως παρὰ πολλοῖς τε ἄλλοις καὶ παρ' Εὐριπίδῃ ἐν τῷ «συλλάβετε ὅμηρον τήνδε».] Εἰ δὲ καὶ ἕτερα ποιήματά εἰσιν Ὁμήρου, οἷον καὶ ὁ Μαργίτης καὶ ἡ τῶν μυῶν καὶ βατράχων Μάχη, ἄλλοι καὶ αὐτὸ ἐξήτασαν πρὸς ἀκρίβειαν, καὶ ἐὰν ἡ Ἰλιὰς τῆς Ὀδυσσείας προπεποίηται ἢ καὶ ἀνάπαλιν. Εἰ δὲ καὶ ἤρισεν Ὅμηρος Ἡσιόδῳ τῷ Ἀσκραίῳ καὶ ἡττήθη, ὅπερ ὄκνος τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁμηρίδαις καὶ λέγειν, ζητητέον ἐν τοῖς εἰς τοῦτο γράψασιν, ἐν οἷς ἔκκεινται καὶ τὰ ῥητὰ τῆς ἔριδος.

1.7 ὡσαύτως καὶ ἐὰν ἐπὶ τῶν Τρωϊκῶν ἔτυχεν ὢν ἢ μᾶλλον μετὰ τὰ Τρωϊκά. ταῦτα γὰρ πάντα εἰ ἐπιμελῶς φυλοκρινήσει τις, βίβλος ἱστορικὴ πολύλογος συντεθήσεται. ἡμῖν δὲ οὐ τοῦτο σκοπός, ἐκεῖνο δὲ μᾶλλον ὃ καὶ προεξεθέμεθα. Ἔτι κἀκεῖνο προλαβεῖν χρὴ ἐχόμενον ἤδη καὶ προκλητικὸν τοῦ παρεκβολικοῦ σκοποῦ, ὅτι ἀνδρώδης μὲν ἡ Ἰλιὰς καὶ σεμνοτέρα καὶ ὕψος ἔχουσα, ἐπεὶ καὶ ἡρωϊκωτέρα· ἠθικὴ δὲ ἡ Ὀδύσσεια, ὡς ἐκεῖ σαφέστερον γέγραπται· καὶ ὅτι τὴν Ὁμηρικὴν ἰσχὺν οὐ τοσοῦτον ἐν τῇ Ἰλιάδι ἔστι καταμαθεῖν, ὅσον ἐν τῇ Ὀδυσσείᾳ. ἐνταῦθα μὲν γὰρ πολλαὶ ἀφορμαὶ εἰς ῥητορείας δαψίλειαν, ἐκεῖ δὲ γλισχρότατος καὶ πάντῃ ὀλιγόϋλος ὁ τοῦ βιβλίου σκοπός. καὶ ὅμως ἐξήρκεσεν ὁ ποιητὴς βίβλον καὶ ἐκείνην τηλικήνδε καὶ τοιαύτην διασκευάσασθαι παραδεικνύων, ὅτι παμπλούσιός ἐστι καὶ πάνυ φιλότιμος ἔν τε πολυαφόρμοις καὶ ἐν μὴ τοιαύταις γραφαῖς. ὅθεν ἐκεῖνο μὲν τὸ βιβλίον ἀπὸ ἑνὸς προσώπου τοῦ Ὀδυσσέως ὠνόμασεν ὑποδηλῶν τὸ ὀλίγον τῆς τοῦ γράφειν ὕλης, ὡς μόνα δῆθεν λέξων τὰ κατὰ τὸν Ὀδυσσέα, εἰ καὶ ἄλλως κατὰ μέθοδον οἰκείαν καὶ ἕτερα πολλὰ παρενέπλεξε. ταύτην δὲ τὴν βίβλον συλληπτικώτερον Ἰλιάδα ἐκάλεσε καὶ οὔτε ἀπὸ ἑνός τινος ὡς ἐὰν Ἀχίλλεια ἤ τι τοιοῦτον ἐκαλεῖτο, οὔτε διὰ τοὺς Ἰλιεῖς, ὡς δηλαδὴ τὰ τῶν Ἰλιέων μόνων περιέχουσαν κακά, ἀλλ' ὅτι περιέχει τὰ κατὰ τὴν Ἴλιον συμπεσόντα ἤτοι τὰ Τρωϊκά, εἰ δέ τινες ἐπαγωνίζονται δεῖξαι, ὅτι ὡς οἷον ἀπὸ προσώπου παθόντος, τοῦ τῶν Ἰλιέων δηλαδὴ λαοῦ, ἡ ποίησις αὕτη ὠνόμασται Ἰλιάς, ὅθεν κερδήσαντες καὶ οἱ μετὰ τὸν Ὅμηρον τραγικοὶ καὶ ἕτεροι ἐκ προσώπων παθόντων οἰκεῖα πολλάκις ἐπιγράφουσι δράματα, οἱ τοιοῦτοι αὐτόθεν ἐλέγχονται ἄλλως τε καὶ ὅτι οὐχ' ἁπλῶς ἐνταῦθα ὁ ποιητὴς περὶ τῶν Ἰλιέων λέγει τί ἔπαθον, ἀλλὰ καὶ τοῦτο μέν, σκοπὸς δὲ αὐτῷ τοῦ βιβλίου, ὡς καὶ αὐτὸς ἐν προοιμίῳ ἐκτίθεται, εἰπεῖν ὅσα κακὰ ἐν τῷ καιρῷ τῆς τοῦ Ἀχιλλέως μήνιδος καὶ οἱ Τρῶες καὶ οἱ Ἕλληνες ἔπαθον καὶ μάλιστα οἱ Ἕλληνες. διὸ καὶ «οὐλομένην» εἰπὼν τὴν τοῦ Ἀχιλλέως μῆνιν ἐπάγει «ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε» μονονουχὶ λέγων ὀλεθρίαν γενέσθαι τὴν τοιαύτην μῆνιν, διότι κακὰ ἐξ αὐτῆς οἱ Ἀχαιοὶ ἔπαθον κατά τινα εἱμαρμένην, ὡς ἐν τοῖς ἑξῆς δηλωθήσεται. καὶ διὰ ταῦτα μὲν τὸ βιβλίον τοῦτο καλεῖται Ἰλιάς. Δοκεῖ δὲ ἡ τοιαύτη λέξις κτητικὴ εἶναι καὶ ἐλλειπτικῶς ἔχειν. ὥσπερ γὰρ λόγχη καὶ γῆ καὶ Τροία καὶ μάχη καὶ σκοπιὰ Ἰλιὰς παρὰ τοῖς τραγικοῖς ἀντὶ τοῦ Ἰλιακή, ὅ ἐστι Τρωϊκή, οὕτω καὶ ἐνταῦθα Ἰλιάς, βίβλος δηλαδή, ἢ Ἰλιὰς ποίησις ἢ ἱστορία Ἰλιάς.

1.8 ὥσπερ καὶ τὸ Ἰάς. καὶ τοῦτο γὰρ ἐλλέλειπται δηλοῦν ὅτι Ἰωνικὴ διάλεκτος. Σημείωσαι δὲ ἐνταῦθα καὶ ὅτι τὸ μὲν εἰπεῖν Ὁμήρου Ἰλιάς ταὐτόν ἐστι τῷ Ὁμήρου Τρωϊκά, τὸ δὲ Ἰλιὰς μάχη τραγικῶς ἴσον δύναται τῷ Τρωϊκὸς πόλεμος. ἀλλὰ γὰρ ἤδη τῷ σκοπῷ ἐγχειρητέον, ἵνα μή ποθεν ἀκούσωμεν περιττὰ ἐν οὐ δέοντι σοφίζεσθαι. ΕΚ ΤΩΝ ΤΗΣ ΑΛΦΑ ΡΑΨΩΙΔΙΑΣ Ὅτι ἓν μέν τι σῶμα συνεχὲς διόλου καὶ εὐάρμοστον ἡ τῆς Ἰλιάδος ποίησις, οἱ δὲ συνθέμενοι ταύτην κατ' ἐπιταγήν, ὥς φασι, Πεισιστράτου τοῦ τῶν Ἀθηναίων τυράννου γραμματικοὶ καὶ διορθωσάμενοι κατὰ τὸ ἐκείνοις ἀρέσκον, ὧν κορυφαῖος ὁ Ἀρίσταρχος καὶ μετ' ἐκεῖνον Ζηνόδοτος, διὰ τὸ ἐπίμηκες καὶ δυσεξίτητον καὶ διὰ τοῦτο προσκορὲς κατέτεμον αὐτὸ εἰς πολλά.

1.9.(t) καὶ τὰ τοιαῦτα τμήματα οὐκ ἠθέλησαν ὀνομάσαι πρῶτον τυχὸν λόγον καὶ δεύτερον καὶ τρίτον καὶ τὰ ἑξῆς, καθάπερ ἐποίησε Κόϊντος ἐν τοῖς μετὰ τὸν Ὅμηρον, ἀλλ' ἐπειδήπερ ἡ βίβλος ἐξήρκει πρὸς πλείω τμήματα, ἔκριναν σεμνὸν ὀνομάσαι τὰς τομὰς τοῖς ὀνόμασι τῶν εἰκοσιτεσσάρων στοιχείων τῆς ἀνθρωπίνης ἐναρμονίου φωνῆς. ὅθεν καὶ τὸ μὲν προκατάρχον τμῆμα ἄλφα ὠνόμασαν, τὸ δὲ μετ' αὐτὸ βῆτα καὶ γάμμα τὸ ἐφεξῆς καὶ τὰ ἐχόμενα ὁμοίως κατὰ εὔτακτον λόγον ἕως τοῦ μεγάλου ω , τιμῶντες οὕτω τὴν Ὁμηρικὴν ποίησιν τῷ πρεσβείῳ τῶν στοιχειωδῶν γραμμάτων καὶ μηδὲ πράγματα ἔχοντες τῇ εὑρεσιλογίᾳ τῶν ἐπιγραφῶν καὶ

φιλοσόφων δὲ ἔργον ποιοῦντες, οἳ πολλαχοῦ τὰ οἰκεῖα συγγράμματα οὕτως ἐπιγράφουσι σεμνότερον. διὸ καὶ τὰ εἰκοσιτέσσαρα τμήματα τῆς Ὁμηρικῆς ποιήσεως, τῆς τε κατὰ τὴν Ἰλιάδα καὶ τῆς ἐν τῇ Ὀδυσσείᾳ, οὐ μόνον ἄλφα καὶ βῆτα καὶ γάμμα ὀνομάζονται καὶ τὰ ἑξῆς, ἀλλὰ καὶ γράμματα καλοῦνται, καθὰ καὶ τὰ ῥηθέντα στοιχεῖα τῆς φωνῆς, οὐ μὴν δράματα, ὡς τὰ παρὰ τοῖς τραγικοῖς· αὐτὰ γὰρ ἀπὸ τοῦ μιμηλῶς ἐν θεάτροις δρᾶσθαι δράματα λέγονται, οὐ μὴν γράμματα. εἰ δὲ καὶ τὴν Ὁμηρικὴν ποίησιν οἱ ὕστερον ὑπεκρίνοντο δραματικώτερον, τὴν μὲν Ὀδύσσειαν ἐν ἁλουργοῖς ἐσθήμασι, τὴν δὲ Ἰλιάδα ἐν ἐρυθροβαφέσιν, ἐκεῖνο μὲν κατὰ τοὺς παλαιοὺς διὰ τὴν ἐν θαλάσσῃ πλάνην τοῦ Ὀδυσσέως, τοῦτο δὲ διὰ τοὺς ἐν Τροίᾳ φόνους καὶ τὰ ἐντεῦθεν αἵματα, ἀλλὰ τοῦτο μὲν σύμβαμα καὶ καινότερον ἐπινόημα τῶν ἐσύστερον. ὁ δὲ ποιητὴς εἰ καὶ δραματικῶς ἔγραψεν, ἀλλ’ οὐκ ἐδραματούργησε σκηνικῶς. διὸ οὐδὲ δράματα τὰ τῆς ἐκείνου ποιήσεως τμήματα. οὐ μόνον δὲ γράμματα τὰ τοιαῦτα, ἀλλὰ καὶ ῥαψῳδίαι καλοῦνται διὰ τὸ κατὰ συνθήκην τεχνικὴν ῥάπτεσθαι οἷον τὴν ᾠδήν. καὶ φέρεται εἰς τὴν τοιαύτην ἔννοιαν Ἡσιόδου χρῆσις αὕτη ἐν μέτρῳ ἡρῴῳ· Ἐν Δήλῳ τότε πρῶτον ἐγὼ καὶ Ὅμηρος ἀοιδοὶ μέλπομεν, ἐν νεαροῖς ὕμνοις ῥάψαντες ἀοιδήν.

1.10 Ὅτι δὲ καὶ παρὰ τὴν ῥάβδον ἡ ῥαψῳδία εἴρηται, οἱονεὶ ῥαβδῳδία τις οὖσα, φασὶ καὶ τοῦτο οἱ παλαιοί, ἀκολουθοῦντες Καλλιμάχῳ εἰπόντι «τὸν ἐπὶ ῥάβδῳ μῦθον ὑφαινόμενον». δαφνίνη δὲ ἦν ἡ ῥάβδος, ἣν κατέχοντες ἐποιοῦντο τὰς τοιαύτας ᾠδάς. καὶ τὴν αἰτίαν οἱ τῆς γραμματικῆς ἐξηγηταὶ λέγουσι. καὶ οὕτω μὲν τὰ Ὁμηρικὰ εἰκοσιτέσσαρα γράμματα καὶ ῥαψῳδίαι ἐλέγοντο, μερικαί τινες οὖσαι περιπέτειαι, ὥς φασιν οἱ παλαιοί, καὶ μικραὶ ὑποθέσεις. αἱ δὲ αὐταὶ ῥαψῳδίαι καὶ ποιήματα ἐκαλοῦντο ὡς μέρη. ποίησις μὲν γὰρ ἡ ὅλη βίβλος· ποίημα δὲ τόδε τὸ γράμμα ἤγουν ἥδε ἡ ῥαψῳδία, τὸ ἄλφα, τὸ βῆτα καὶ τὰ λοιπά. οἱ δὲ πλείους τῶν παλαιῶν τήν τε ὅλην Ὁμηρικὴν ποίησιν ῥαψῳδίαν λέγουσι καὶ ῥαψῳδοὺς τοὺς αὐτὴν ᾄδοντας· ἔτι δὲ καὶ ῥαβδῳδοὺς διὰ τὴν ἄνω ῥηθεῖσαν δαφνίνην ῥάβδον· διὰ δὲ τὴν αὐτὴν καὶ στιχῳδούς· στίχοι γάρ, φασίν, ὑπό τινων αἱ ῥάβδοι ἐλέγοντο. ἀλλὰ καὶ ἀρνῳδούς, ἐπειδὴ οἱ ἀγωνιζόμενοι ἐν ᾠδῇ Ὁμηρικῇ καὶ νικῶντες ἄρνα ἐλάμβανον ἔπαθλον. Πινδάρῳ δὲ ἀρέσκει οὐκ ἀπὸ ῥάβδου ἀλλ’ ἐκ τοῦ ῥάπτειν τοὺς ῥαψῳδοὺς λέγεσθαι. περιφράζων γὰρ τοὺς ῥαψῳδούς «ῥαπτῶν ἐπέων ἀοιδούς» αὐτοὺς λέγει. ῥάπτειν δὲ ἢ ἁπλῶς, ὡς εἴρηται, τὸ συντιθέναι ἢ τὸ κατὰ εἱρμόν τινα ῥαφῇ ὁμοίως εἰς ἓν ἄγειν τὰ διεστῶτα. σποράδην γάρ, φασί, κειμένης καὶ κατὰ μέρος διῃρημένης τῆς Ὁμηρικῆς ποιήσεως, οἱ ᾄδοντες αὐτὴν συνέρραπτον οἷον τὰ εἰς ἓν ὕφος ᾀδόμενα. ἢ καὶ ἄλλως, διότι κατὰ μέρος, φασί, τῆς ποιήσεως διαδεδομένης τὴν σύμπασαν ποίησιν ἐπιόντες οἱ ᾄδοντες καὶ τὰ ἐξ ἑκατέρας Ὁμηρικῆς βίβλου συρράπτοντες, ὡς ἐβούλοντο, ῥαψῳδοὶ ἐντεῦθεν προσηγορεύθησαν. τῆς δὲ τοιαύτης ῥάψεως παράδειγμα σαφὲς καὶ οἱ κέντρωνες, τουτέστι τὰ λεγόμενα Ὁμηρόκεντρα. κέντρωνές τε γὰρ κυρίως λέγονται τὰ ἐκ διαφόρων χροιῶν συνερραμμένα εἰς ἕν, οἷς ὡμοίωνταί πως τὰ Ὁμηρόκεντρα. καὶ ῥαψῳδία δὲ ἡ ἐξ ἑκατέρων τῶν Ὁμηρικῶν ποιήσεων συρραφεῖσα ᾠδὴ ἀναλόγως τῷ ὑποκειμένῳ πράγματι, γάμῳ τυχὸν ἢ ἑορτῇ. Τοῦ δὲ ἀπαγγέλλειν τὴν Ὁμήρου ποίησιν σκεδασθεῖσαν ἀρχὴν ἐποιήσατο Κύναιθος ὁ Χῖος. ἐλυμήναντο δέ, φασίν, αὐτῇ πάμπολλα οἱ περὶ τὸν Κύναιθον καὶ πολλὰ τῶν ἐπῶν αὐτοὶ ποιήσαντες παρενέβαλον.

1.11 διὸ καὶ διωρθώθησαν αἱ Ὁμηρικαὶ βίβλοι, ὡς ἀνωτέρω εἴρηται. τοῦτο δὲ οὐ μόνον οἱ περὶ Πεισίστρατον γραμματικοὶ ἐποίησαν, ἀλλὰ καὶ ἕτεραι Ὁμηρικαὶ διορθώσεις μνημονεύονται, οἷον καὶ ἡ ἱστορουμένη ἀπὸ νάρθηκος καὶ Μασσαλιωτικὴ δέ τις καὶ Σινωπική. καὶ ταῦτα μὲν ἱκανῶς ἕως ὧδε. Τὸ δὲ πᾶν τοῦ παρόντος λόγου εἰπεῖν ἐν βραχεῖ, ἐπιγραφὴ τοῦ παρόντος γράμματος τριπλῆ· Ἰλιάδος Ἄλφα καὶ Ῥαψῳδία καὶ Γράμμα. καὶ δηλοῦται ἐν τούτοις τοῖς τρισὶ κατὰ πολυωνυμίαν ἓν νόημα. φέρονται δὲ καὶ ἕτεραι ἑκάστου γράμματος ἐπιγραφαὶ ἀνὰ δύο· μία μὲν ἐν πεζαῖς λέξεσιν, ἑτέρα δὲ ἐν στίχῳ ἡρωϊκῷ. καὶ αἱ μὲν ἄλλαι ῥηθήσονται κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καιρόν. τῆς δὲ παρούσης ῥαψῳδίας ἡ μὲν πεζὴ ἐπιγραφὴ αὕτη· Λοιμὸς καὶ Μῆνις. ἡ δὲ ἔμμετρος ἥδε· Ἄλφα, λιτὰς Χρύσου, λοιμὸν στρατοῦ, ἔχθος ἀνάκτων. λείπεται δὲ πάντως αὕτη ῥήματος, ἵνα λέγῃ ὅτι ἡ ἄλφα ῥαψῳδία περιέχει ἢ ἱστορεῖ τὰ καὶ τά. Ὅτι δέκα ἐτῶν περιπλομένων τοῖς Ἕλλησι περὶ τὸν Τρωϊκὸν πόλεμον Ὅμηρος τὴν Ἰλιάδα ἐκ τῶν τελευταίων ἤγουν ἐκ τοῦ δεκάτου ἔτους ἐποίησεν καὶ οὐδὲ ἐξ αὐτοῦ ὅλου, ἀλλ' ἐκ μέρους τινός, τουτέστι τῆς ἐν αὐτῷ συμπεσούσης μήνιδος τοῦ Ἀχιλλέως. ἐμεθώδευσε δὲ ὁ ποιητὴς τοῦτο ἅμα μὲν διὰ τὸ καινοπρεπὲς καὶ τῷ ἀνελπίστῳ ξενίζον, τὸ γὰρ κατὰ φύσιν ἀπὸ τῶν πρώτων ἄρξασθαι οὔτε καινόν τι ἔχει καὶ ὁ ἀκροατὴς δὲ ὡς ἐπὶ πολὺ οὕτως ἐλπίζει γενέσθαι, ἅμα δὲ καὶ διὰ τὸ δεινότερον, τουτέστιν οἰκονομικώτερον. οὐδὲ γὰρ εἶχεν ἄλλως ἀξιόλογον ὕλην γραφῆς, διότι τὰ μὲν προηγησάμενα ἐννέα ἔτη ἀνειμένως εἶχον τῆς μάχης, πολεμαρχοῦντος τοῦ ἀνδρειοτάτου Ἀχιλλέως καὶ τοὺς Τρῶας ὡς τὰ πολλὰ τῇ πόλει διὰ δέος ἐγκατακλείοντος. ὅτε δὲ αὐτὸς ἐμήνισε, συνετάθη ὁ πόλεμος ἀναθαρρησάντων τῶν Τρώων. καὶ τεχνικὴν εὐπορίαν ἐνταῦθα εὗρε τοῦ γράφειν ὁ ποιητής, ὃν καὶ οἱ μετ' αὐτὸν μιμησάμενοι τραγικοί τε καὶ κωμικοὶ καθ' ὁμοιότητά τινα καὶ αὐτοὶ μετεχειρίζοντο τὰ οἰκεῖα ποιήματα. ἡ αὐτὴ δὲ τῷ Ὁμήρῳ μέθοδος καὶ ἐν Ὀδυσσείᾳ διεχειρίσθη. ἐὰν δέ τις λίχνος τὴν ἀκοὴν καὶ ζητητικὸς τὰ εἰς μάθησιν δυσκόλως ἔχῃ περὶ τὴν μέθοδον βαρυνόμενος, ὅτι τὸ τέλος μαθὼν ἀνήκουστος ἔσται τῶν πρὸ τοῦ τέλους, πραϋνέσθω οἷς οὐδὲ τὰ ἐν ἀρχῇ παραλείπουσιν οἱ ὄντως ἐκ τῶν τελευταίων ἀρχόμενοι, ἀλλ' εὐμεθόδως καὶ αὐτὰ τῇ τοῦ βιβλίου ὁλότητι παρενσπείρουσιν. οἷον μετὰ τὴν τοῦ Πάριδος κρίσιν ἐπὶ ταῖς θεαῖς ἀρχὴ τοῦ Τρωϊκοῦ πολέμου, Ἑλένης ἁρπαγή, καὶ μετὰ ταύτην, συνελόντα φάναι, ἀνάπλους Ἑλλήνων εἰς Τροίαν διὰ ἄμυναν ὑπὸ καθηγητῇ τῷ Κάλχαντι. εἶτα μερισμὸς Ἑλλήνων εἴς τε τοὺς πολιορκοῦντας καὶ εἰς τοὺς ὑπ' Ἀχιλλεῖ πολεμάρχῳ ληϊζομένους, ὅπου τε νῆσοι καὶ ὅπου χερσαῖαι πόλεις.

1.12 μετὰ δὲ μυρία τὰ ἐν μέσῳ ἅλωσις καὶ τῶν ὑποπλακίων Θηβῶν καὶ αἰχμαλωσία Χρυσηΐδος, ἐφ' ᾗ πρεσβεία Χρύσου καὶ παρόρασις, ἣν ἔπαθε, καὶ χόλος Φοίβου καὶ λοιμὸς καὶ μῆνις Ἀχιλλέως. ὁ δὲ ποιητὴς τὰ φθάσαντα παραδραμὼν ἐκ ταύτης ἤρξατο. καὶ διῆλθε μὲν καὶ αὐτὴν καὶ τὰ κατ' αὐτήν, οὐκ ἀφῆκε δὲ ὅμως οὐδὲ τὰ πρὸ ταύτης, ἀλλὰ καὶ ἐκεῖνα καὶ ἄλλα μυρία τῶν παλαιοτέρων παρενέθετο ἐνσπείρας ὧδε καὶ ἐκεῖ, ὅπῃ παρήκοι, ὡς αὐτὸς ἐνόει καλὸν εἶναι. καὶ οὐ ταῦτα μόνον, ἀλλὰ πολλὰ καὶ τῶν ἐφεξῆς τῆς μήνιδος τῇ Ἰλιάδι ἐπελευστικώτερον παρενέβαλεν, οἷον τὸν τοῦ Ἀχιλλέως θάνατον, τὴν τῆς Τροίας ἅλωσιν, ὅτι ὁ Αἰνείας ἄρξει ποτὲ τῶν Τρώων καὶ ἄλλα τοιαῦτα. ὥστε εἴ τις εἴποι, τὸν Ὅμηρον μὴ αὐτὸ τοῦτο ἐκ τῶν τελευταίων ἄρξασθαι, ἀλλὰ μᾶλλον ἐκ τῆς τῶν ἔργων ἀκμῆς, παρεισκυκλῆσαι δὲ καὶ τὰ τοῦ φθάσαντος χρόνου δεξιώτατα καὶ τὰ τοῦ μέλλοντος, ὑγιῶς ἂν εἴποι εἴς τε τὴν Ἰλιάδα καὶ εἰς τὴν Ὀδύσσειαν ἀπιδών, ἐν αἷς καὶ ἀμφοτέραις τῇ αὐτῇ μεθόδῳ ἐχρήσατο. τοῦτο δὲ καὶ ἄλλοι μέν, ὡς εἴρηται, τῶν παλαιῶν ἀπονάμενοι Ὁμήρου ἐμιμήσαντο, μάλιστα δὲ Εὐριπίδης, ὃς καὶ αὐτὸς φανερῶς ἐκ τοῦ μέσου τῶν δραματικῶν ἀρχόμενος ὑποθέσεων, εἶτα καὶ τὰ φθάσαντα παρεισάγει καὶ τὰ μέλλοντα δὲ ὕστερον εὐφυέστατα παρενείρει τῷ λόγῳ, στοχαστικῶς ἐκεῖνα ἐκ τοῦ εἰκότος ἢ καὶ μαντικῶς σχηματίζων, ὅπερ καὶ ἐν ταῖς ἠθοποιΐαις γίνεται, ἵνα μηδενὸς μέρους τῆς προκειμένης ἱστορίας ἢ ἁπλῶς ὑποθέσεως ἀνήκοος εἴη ὁ θεατής τε καὶ ἀκροατής. Ὅτι δὲ οἶδεν ὁ ποιητὴς καὶ τὴν κατὰ φύσιν ἀφήγησιν ἤτοι τὴν ἀπὸ τῶν πρώτων ἀρχομένην διὰ σαφήνειαν καὶ προϊοῦσαν ἐπὶ τὰ ἐφεξῆς δειχθήσεται πολλαχοῦ. ἐνταῦθα δὲ ἰστέον καὶ ὅτι σχῆμα εὐκρινείας καὶ σαφηνείας παρὰ τοῖς παλαιοῖς ἡ προέκθεσις, προδιδάσκουσα κεφαλαιωδῶς καὶ προεκτιθεμένη τὸν τοῦ ἐφεξῆς λόγου σκοπόν. ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ Ὅμηρος λέγων, ὅτι ἐκ τῆς τοῦ Ἀχιλλέως ἀρξάμενος μήνιδος ἀφηγήσεται τὰ ἐν αὐτῇ συμβεβηκότα κακὰ οὐ μόνον τοῖς Ἀχαιοῖς, εἰ καὶ τούτοις ἐπὶ πλέον, ἀλλ' ὡς εἰκὸς καὶ τοῖς Τρωσίν. οὐ γὰρ ἦν αὐτοὺς καθ' Ἑλλήνων εὐδοκιμοῦντας μὴ καὶ ἀντιπάσχειν τὰ κατὰ νόμον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολέμου. Διὰ τί δὲ ἀπὸ τῆς τοῦ Ἀχιλλέως ἤρξατο μήνιδος, εἴρηται. Ὁ δὲ σχηματισμὸς τῆς προεκθέσεως ταύτης κατὰ τοιαύτην προάγεται μέθοδον. προκαλεῖται ὁ ποιητὴς Μοῦσαν, ὡς καὶ μετ’ ὀλίγα ῥηθήσεται σαφέστερον καὶ πλατύτερον, ὥστε εἰπεῖν τήν τε τοῦ Ἀχιλλέως μῆνιν τὴν ὀλεθρίαν, τὴν πολλοὺς καὶ ἀλγύνασαν καὶ θανατώσασαν καὶ τὴν αἰτίαν δὲ καὶ τὸν καιρὸν τῆς τοιαύτης μήνιδος.

1.13 εἶτα οἱονεὶ τὴν Μοῦσαν εὑρὼν ὑπακούουσαν εἰς ἀφήγησιν τοῦ ζητηθέντος αὐτὸς μὲν τοῦ λοιποῦ δῆθεν σιωπᾷ στήσας τὸν ἑαυτοῦ λόγον ἢ εἰς τὸ «Ἀτρείδης ἄναξ ἀνδρῶν», ὥς τινες εἶπον, ἢ μάλιστα εἰς τὸ «τίς δὴ αὐτοὺς θεὸς ἔριδι ξυνέηκε μάχεσθαι;» τὸ δὲ ἐντεῦθεν ἡ Μοῦσα διαδεξαμένη τὸν λόγον περαίνει τὴν ὅλην ποίησιν, ἐρωτωμένη που πάλιν κατά τινα ποσὰ διαστήματα ἢ καὶ ἄλλως ἀφήγησιν ζητουμένη ὑπὸ τοῦ ποιητοῦ καὶ αὖθις λαλοῦσα, ὡς φανήσεται. Ἰστέον δὲ ὅτι, ὥσπερ ἡ Ἰλιὰς ἀπὸ προεκθέσεως ἄρχεται, οὕτω καὶ ἡ Ὀδύσσεια, ὡς δῆλόν ἐστι τοῖς μετιοῦσιν αὐτήν. (v. 1) Ὅτι μῆνις κατὰ τοὺς παλαιοὺς ἡ ἐπιμένουσα ὀργή, ἐκ τοῦ μένειν, οὐ μὴν ἐκ τοῦ μαίνεσθαι· ἀπὸ τούτου γὰρ ἡ μανία γίνεται, οὐκέτι μῆνις αὐτὴ οὖσα οὐδὲ ἄλλο τι εἶδος ὀργῆς, ἀλλὰ φρενῶν ἔκστασις. τινὲς δὲ μῆνίν φασι παρὰ τὸ μὴ ἕν· στερεῖ γὰρ τῆς ἑνότητος διϊστῶσα τοὺς ἐρίζοντας. δεῖ δὲ εἰδέναι ὅτι ἐπὶ τῶν παροξυνομένων ἀνθρώπων τέσσαρα ταῦτα λέγονται ὀνόματα παρὰ τῷ ποιητῇ· θυμός, χόλος, μῆνις, κότος. ὧν θυμὸς μὲν καὶ χόλος ταὐτά ἐστιν, ὥσπερ καὶ ἡ κοινότερον μεθ’ Ὅμηρον λεγομένη ὀργή· καί εἰσι τὰ τρία ταῦτα, ὁ θυμός, ὁ χόλος καὶ ἡ ὀργή, συνώνυμα κατὰ τοὺς γραμματικούς. κατὰ δὲ ἄλλους πολυώνυμα, καθὰ καὶ τὸ βροτός, μέροψ, ἄνθρωπος καὶ τὸ ξίφος, ἄορ, σπάθη, φάσγανον. παρῆκται δὲ ὁ μὲν θυμὸς παρὰ τὸ θύειν, ὃ δηλοῖ τὸ ὁρμᾶν, καὶ τὸ αἷμα, οἱονεὶ θύαιμός τις ὤν· κίνησις γὰρ αἵματος ἐν καρδίᾳ ἐστὶν ὁ θυμός. ὁ δὲ χόλος παρὰ τὴν χολήν. ἡ δὲ ὀργὴ παρὰ τὸ ὀρέγω. καὶ γὰρ ἀντιλυπήσεώς ἐστιν ὄρεξις ὁ θυμός. καὶ οὕτω μὲν χόλος καὶ ὀργὴ καὶ θυμὸς πολυωνυμοῦσιν ἐν ταὐτότητι σημασίας καί εἰσιν ἔτι ἐν καταρχῇ τινι καὶ κινήσει καὶ πάθους θυμικοῦ ἀρχομένου εἰσὶν ὀνόματα. ὃ δὴ πάθος, εἰ παραμείνῃ, μῆνις λέγεται· ἐγκαθίσαν δὲ τῇ ψυχῇ ἐπὶ πλέον εἰς κότον ἀποκαθίσταται, ὃς οὕτω λέγεται ἀπὸ τοῦ κεῖται ῥήματος. καὶ ἡ μὲν κυριολεξία τῶν ῥηθέντων ὀνομάτων τοιαύτη· παρὰ δὲ τῷ ποιητῇ ποτε καὶ συγχέονται, ὡς τήν τε μῆνιν χόλον λέγεσθαι, οἷον «μὴ ἐμὲ γοῦν τοιοῦτος χόλος λάβοι», ὡς ἐν τῇ π′ ῥαψῳδίᾳ, καὶ ἀνάπαλιν, οἷον «Ἀτρείδης δ’ ἑτέρωθεν ἐμήνιεν» ἀντὶ τοῦ ἐχολοῦτο, ἀδιαφορεῖν δέ ποτε καὶ τὸν χόλον καὶ τὸν κότον, ὡς δηλοῖ τὸ «οὐδ’ ὄθομαι κοτέοντος» ἤγουν χολουμένου, καὶ ἁπλῶς ἀντὶ ἀλλήλων κεῖσθαι, ὡς εἴπερ ἅπαντα ἓν ἦσαν.

1.14 Ἰστέον δὲ ὅτι τινὲς οὐχ’, ὡς εἴρηται, ταὐτίζουσι θυμὸν καὶ ὀργήν, ἀλλὰ διαφορὰς αὐτῶν οἴδασι καὶ ἑτέρας μὲν καὶ ταύτην δέ, ὡς ὁ μὲν θυμὸς ὀξεῖαν τοῦ πάθους ἔχει κίνησιν, λεγόμενος, φασίν, οὕτω διὰ τὸ ἐξ ἀναθυμιάσεως χυμῶν γίνεσθαι· ἡ δὲ ὀργὴ μονιμωτέραν καὶ παρατεταμένην, φασίν, ἐμφαίνει τὴν ἐπὶ τῇ λύπῃ ἐκπλήρωσιν. Ὅτι τὸ μῆνιν Ἀττικόν ἐστι καὶ Ἰωνικόν· μήνιδα δὲ τὸ κοινὸν οὐκ οἶμαι εἴ τις ἐν χρήσει εὑρήσει, ὥσπερ ἐν τῇ γ′ ῥαψῳδίᾳ τὸ ἔριδα. δῆλον δὲ ὅτι ἐν πολλοῖς ἐπικοινωνοῦσιν αἱ δύο αὗται διάλεκτοι διὰ τὸ καὶ ἀποίκους Ἀθηναίων εἶναι τοὺς Ἴωνας, Ἰώνων καλουμένων ποτὲ καὶ αὐτῶν ἀπὸ ἄρχοντος Ἴωνος. ὅμοιον δέ τι καὶ περὶ τῆς Αἰολίδος καὶ Δωρίδος διαλέκτου λέγεται, ὡς καὶ αὐτῶν ὁμοιότητά τινα ἐχουσῶν. Δωριεὺς δὲ τὴν παρὰ Ἀττικοῖς μῆνιν μᾶνιν εἴποι ἄν. κανὼν δὲ τοῦ βραχυκαταληκτεῖν τὴν μῆνιν κατὰ Ἡρωδιανὸν τοιοῦτος· τὰ εἰς ν λήγοντα ἐν τῇ αἰτιατικῇ πάντα βραχέα ἐστίν· οἷον, Εὔπολιν, Ἄλεξιν, ἔχιν, Θέτιν. οὕτω γοῦν καὶ μῆνιν. διό, φησί, τὴν κνημῖδα καὶ σφραγῖδα οἱ Αἰολεῖς κναμὶν καὶ σφραγὶν λέγοντες μετὰ ὀλιγότητος συλλαβῶν συστέλλουσιν. Ὅτι τὸ ἀείδειν, ὃ πρωτότυπόν ἐστι καὶ ἐντελέστερον τοῦ ᾄδειν, κυρίως ἐπὶ ποιημάτων διὰ τὸ ἐμμελὲς τῆς ποιήσεως. καὶ οὐκ ἔστι καιριωτέραν τούτου λέξιν ἐνταῦθα εἰπεῖν, οὔτε τὸ φάσθαι οὔτε τὸ μυθεῖσθαι οὔτε ἄλλο τι τοιοῦτον, ὁποῖον καὶ τὸ λέγειν· ὅπου γε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἡ ἁρμονικὴ σοφία διαφορὰν οἶδε τοῦ ᾄδειν καὶ τοῦ λέγειν, τὸ μὲν ᾄδειν ἀπονέμουσα τῇ ἐμμελείᾳ, τὸ δὲ λέγειν τῷ ἀμελεῖ λόγῳ διδοῦσα. ἀείδεσθαι γοῦν φαμεν τὰ ποιήματα, ἀείδειν δέ ἐστι τὸ ἐμμελῶς λέγειν, καὶ ᾠδὴ ὁ μεμελισμένος λόγος, ὃς καὶ ἔξαρμα ἔχει ἤγουν ὕψος, ὄγκον, μέγεθος, καί πως διὰ τὸ ὑπερηρμένον ἔποχος ὁ τοιοῦτος λόγος εἶναι δοκεῖ. διόπερ ὁ μὴ τοιοῦτος πεζὸς λέγεται διὰ τὸ ταπεινὸν καὶ τὸ ὡς ἀπὸ ὕψους τινὸς καὶ ὀχήματος καταβῆναι εἰς τοὔδαφος. οἱ γὰρ περὶ Φερεκύδην καὶ Ἑκαταῖον λύσαντες μὲν τὸ μέτρον, ἄλλα δὲ φυλάξαντες τὰ ποιητικὰ συνέγραψαν. εἶτα οἱ ὕστερον ἀφαιροῦντες ἀεί τι τῶν τοιούτων εἰς τὸ νῦν εἶδος κατήγαγον, ὡς ἀπὸ ὕψους τινός. ταῦτα ὁ Γεωγράφος. ἔοικε δὲ καὶ Ἡρόδοτος τῷ Φερεκύδῃ καὶ Ἑκαταίῳ εἶναι ὅμοιος τοῖς καταβαλοῦσι τὸ τῆς ποιήσεως εὐδόκιμον, ὅπερ εἶχεν ὅτε πρῶτον εἰς μέσον παρῆλθε. δοκεῖ δὲ καὶ τὸ ἐνέπειν ἰσοδυναμεῖν τῷ ᾄδειν, ὡς δηλοῖ τὸ «ἄνδρα μοι ἔννεπε Μοῦσα» [καὶ παρ’ Ἡσιόδῳ «Μοῦσαι, ἐννέπετε».

1.15 ] ἐξ οὗ καὶ ἔπη τὰ ποιήματα λέγονται. οἰκειότερον δὲ τῇ ἐμμελείᾳ τὸ ᾄδειν· ὅθεν καὶ ἐπὶ μουσικῶν ὀρνίθων ᾄδειν λέγομεν, οὐ μὴν ἐννέπειν, ὥσπερ οὐδὲ λέγειν. περὶ ἀλεκτρυόνων γὰρ ᾠδάς φαμεν καὶ ὄρνις ᾠδικούς τινας λέγομεν· καὶ ἡ ἀηδὼν δὲ ἐκ τοῦ ἀείδειν παρετυμολογεῖται [τροπῇ, φασίν, Αἰολικῇ τῆς ει διφθόγγου εἰς η .] διὸ καὶ τὰς Σειρῆνας [ὡς καλὸν ἀειδούσας] ἀηδόνας ὁ Λυκόφρων ἐκάλεσε. γίνεται δὲ τὸ ἀείδειν ἐκ τῆς α ἐπιτάσεως καὶ τοῦ εἴδω τὸ γινώσκω. πάνυ γὰρ εἰδότες καὶ ἐπιστήμονες, ὡς φιλόσοφοι, ἐδόκουν οἱ ποιηταί. ὅθεν καὶ τὸν ἐν Ὀδυσσείᾳ ἀοιδόν, τὸν τῆς Κλυταιμνήστρας φύλακα, φιλόσοφόν τινες ἡρμηνεύκασιν, ὡς εὖ εἰδότα τὰ πάντα ἐκ Μουσῶν. καὶ μαντικοὶ δὲ διὰ σοφίαν οἱ ἀοιδοὶ ἐνομίζοντο, καθὰ καὶ ἀλλαχοῦ φανήσεται. οὗ σύμβολον καὶ ἡ ἐκ δάφνης ῥάβδος, ἡ τοῦ Ἀπόλλωνος, ἥν, ὡς προερρέθη, κατεῖχον ᾄδοντες οἱ ῥαψῳδοί. τὴν τοιαύτην πρόγνωσιν ὑπεμφαίνει καὶ Πίνδαρος εἰπών, ὡς κατωτέρω ῥηθήσεται, «μαντεύεο Μοῦσα». [Ἰστέον δὲ ὅτι τε παρὰ τῇ κοινῇ διαλέκτῳ ἀργεῖ τὸ ἀείδειν καὶ ἡ ἐκεῖθεν ἀοιδή, ἐνεργεῖται δὲ τὸ ᾄδειν καὶ ἡ ᾠδή, τὰ παθόντα κρᾶσιν καὶ συναίρεσιν, ὥσπερ καὶ ἀντὶ τοῦ πατέρος καὶ μητέρος, τῶν κοινῶς ἀπαθῶν, τὰ κατὰ πάθος φασὶ πατρὸς καὶ μητρός. καὶ ὅτι ἐπὶ τοῦ ἑτέρου ἀχρήστου ἀείδειν ἤγουν μὴ βλέπειν ἑτεροία ἡ κρᾶσις, ὡς ἐκφωνοῦσα τὸ ι ἐν τῷ αἴδω καὶ αἰδῶς, ὁμοίως τῷ ἀεικίζω αἰκίζω, ἀείρω αἴρω, φαείνω φαίνω. καὶ ὅτι διὰ τὸ ἐνέπειν ἰσοδυναμεῖ τῷ ᾄδειν καὶ τὸ εἰπεῖν, οἷον «εἰπὲ θεὰ Κρονίδαο διάκτορον αἴθοπος εὐνῆς».] Ὅτι ἐν τῷ «ἄειδε θεά» θεὰν ὁ ποιητὴς τὴν ἐν τῇ ἑαυτοῦ ψυχῇ γνῶσιν λέγει, τερατωδέστερον τὸν λόγον ὑψώσας. θεῖον μὲν γάρ τι ἡ γνῶσις, ὥσπερ καὶ ἡ ψυχή, οὐ μὴν θεά. ὅλως δὲ ἡ ποίησις πᾶν τὸ παρηλλαγμένον καὶ ξενίζον καὶ ἐξαίρετον καὶ τεράστιον ἢ καὶ τερατῶδες εἴς τε θεῖον γένος καὶ εἰς θεὸν ἀποκαθιστᾷ. ταὐτὸν δέ ἐστιν ἐνταῦθα θεὰν εἰπεῖν καὶ Μοῦσαν· τὸ μὲν παρὰ τὸ θέειν καὶ τὸ τάχος τῆς γνώσεως, τὸ δὲ παρὰ τὸ μῶ, τὸ ζητῶ. καὶ γὰρ καὶ ζητεῖ ἡ γνῶσις καὶ ἐκ ζητήσεως δὲ περιγίνεται, εἴπερ εὐπορίας γνωστικῆς μήτηρ ἡ ζητητικὴ ἀπορία κατὰ τοὺς σοφούς.

1.16 ταύτῃ τῇ θεᾷ, τῇ Μούσῃ, τῇ οἰκείᾳ ἐπιστήμῃ, ἐγκελεύεται ὁ ποιητὴς τὴν Ἀχιλλέως μῆνιν ἀείδειν, ἀνεγείρων οἷον τὴν οἰκουροῦσαν τέχνην ἢ τὸ φίλον ἦτορ κατὰ Πίνδαρον καὶ ἀναρριπίζων τὸ ἐν αὐτῷ τῆς φιλοσοφίας ζώπυρον. οὗ ἀνάπαλιν Πίνδαρος ποιεῖ ἐν τῷ «Μοῦσα ἀνένηκέ με» ἤγουν ἀνέπεισεν· οὐ γὰρ αὐτὸς Μοῦσαν, ἐκείνη δὲ αὐτὸν ἀνέπεισεν. Ὁμηρικῶς δέ πως καὶ ἡ λυρικὴ Σαπφὼ σχηματίζουσα τῇ κιθάρᾳ ἐγκελεύεται «ἄγε μοι, δῖα χέλυ, φωνάεσσα γένοιο». λέγει δέ που καὶ ὁ Κωμικός «ὦ θυμέ, βωμολόχον τι ἔξευρε». τῷ δὲ Ὁμηρικῷ τούτῳ σχήματι πολλοὶ καὶ ἄλλοι ἐνηγλαΐσαντο. οὐ μόνον γὰρ Ἡσίοδος ἐκ τῆς τῶν Μουσῶν ἐπικλήσεως ἄρχεται, ἀλλὰ καὶ Ἀντίμαχος Ὁμηρικῷ ζήλῳ φησίν «ἐννέπετε, Κρονίδαο Διὸς μεγάλοιο θύγατρες». καὶ Πίνδαρος ὁ κατὰ τὸ ἐπ’ αὐτῷ πρόγραμμα μουσοποιὸς λέγει «μαντεύεο, Μοῦσα· προφατεύσω δ’ ἐγώ». ἀλλὰ καὶ Στησίχορος ἐν τῷ «δεῦρ’ ἄγε, Καλλιόπεια λίγεια». πάντως δὲ καὶ ὁ ποιητὴς τὴν Καλλιόπην θέλων ἐπικαλέσασθαι οὐκ ἐκφωνεῖ αὐτήν, ἀλλὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σεμνότερον ὀνόματι γενικῷ τῷ θεά χρῆται καὶ ἀφίησι ζητεῖν τὸν συνετὸν ἀκροατήν, τίς ἂν εἴη αὕτη, ἐμφήνας μόνον, ὅτι Μοῦσαν καλεῖ· Μούσης γὰρ τὸ ἀείδειν. ὥσπερ δὲ ὁ Ὅμηρος γενικῷ μὲν ὀνόματι ζῷον λογικόν ἐστιν, εἰδικῷ δὲ ἄνθρωπος, οὕτω καὶ ἡ Καλλιόπη γενικῶς μὲν θεὰ λέγεται, εἰδικῶς δὲ Μοῦσα, ὡς ἐν Ὀδυσσείᾳ. Στησίχορος δὲ τὸ κύριον ἐκφωνεῖ ἐν τῷ «Καλλιόπεια λίγεια». οὐ μόνον δὲ ὁ θεὰν ἢ Μοῦσαν ἀείδειν ἐπικαλεσάμενος πᾶσαν Μοῦσαν ἐκάλεσε διὰ τὸ καθολικὸν τῶν τοιούτων λέξεων, ἀλλὰ τρόπον τινὰ οὕτω ποιεῖ καὶ ὁ τὴν Καλλιόπην ἐπικαλούμενος, εἴπερ, ὡς ὁ ποιητής πού φησι «πᾶσαι τὸν Ἀπόλλωνα ἀμείβονται ὀπὶ καλῇ». ὅθεν ἡ Καλλιόπη σύγκειται, τὴν κλῆσιν σύνθετον σχοῦσα ἐκ τῆς ἐνεργείας πασῶν τῶν Μουσῶν ἤγουν τῆς καλῆς ὀπός. [οὕτω δέ πως προκαλοῦνται καὶ οἱ ἐκ Διὸς εἰπόντες ἄρχεσθαι, εἴγε Ζεὺς μὲν ὁ νοῦς, Μοῦσαι δὲ ἡ κατὰ νοῦν γνῶσις.] Ὅτι δὲ ἐννέα αἱ Μοῦσαι καὶ διὰ τί καὶ ὅτι Μνημοσύνης καὶ Διὸς θυγατέρες καὶ ὅσα ἄλλα περὶ τούτων λέγονται, πολλοῖς καὶ πολλαχοῦ εἴρηται. διὸ περίεργον διαληφθῆναι νῦν ταῦτα. εἴ που δὲ παρεμπέσῃ τόπος, οὐ σιγηθήσεται τὸ καίριον. Σημείωσαι δὲ ὅτι καλῶς ὁ ποιητὴς καὶ νῦν καὶ ἐν τοῖς ἑξῆς δὲ πολλαχοῦ ἐπίστροφον ἑαυτοῦ τὴν Μοῦσαν ποιεῖ, ἵνα ἐμμούσως λαλεῖν δείξῃ καὶ ἐμμελῶς καὶ ἐλλόγως κατὰ τὸν ὄντως ἄνθρωπον.

1.17 κατὰ γὰρ τὸν εἰπόντα σοφόν «οὓς οὐ προσορῶσιν αἱ Μοῦσαι, τούτους ποτῷ δηλήσατο Κίρκη» τουτέστι τούτους ἡ θηριώδης ἀλογία ἔβλαψεν. Ἔτι σημείωσαι καὶ ὅτι ὁ μὲν δραστήριος λόγος ὁ κατὰ τὴν πρακτικὴν τὴν ἐμβριθῆ καὶ οἷον εἰπεῖν ἀνδρώδη θεωρούμενος Ἑρμῆς λέγεται κατὰ προφορὰν ἀρρενικήν, [ἵνα ὥσπερ ἰαχὴ πόντου μεγάλη τροπικῶς ἀρρενοῦται, λεγομένη «κτύπος ἄρσην πόντου», οὕτω καὶ λόγος γενναῖος, ταὐτὸν δ’ εἰπεῖν εὐγενὴς φιλοσοφία φεύγουσα τὸ θηλύφωνον, ἑρμαΐζηται τῇ προφορᾷ.] ᾧ δὴ Ἑρμῇ καὶ χρᾶται ἀγγέλῳ Ζεὺς ὁ νοῦς καὶ ὥσπερ ὑποδρηστῆρι. ὅσον μέντοι τοῦ λόγου μὴ τοιοῦτον, ἀλλ’ οἷον θηλύστολον, τῷ στοχάζεσθαι ὡραϊσμοῦ τὰ πλείω καὶ ἡδονῆς καὶ φαιδρότητος καὶ κάλλους, Καλλιόπη Μοῦσα ἢ ὅλως Μοῦσαι τὸ τοιοῦτον εἶδος, θηλυγενῶς ἐκφωνούμεναι καὶ Διὸς μὲν οὖσαι καὶ αὐταί, τῷ φιλῳδῷ δὲ Ἀπόλλωνι μάλιστα μέλουσαι, ὃν καὶ ἀμείβονται ὀπὶ καλῇ [κατὰ τὸ «Φοῖβος ἁγήτωρ μελέων», ὃς διὰ τοῦτο καὶ Μουσηγέτης λέγεται.] καὶ οὕτως αὐταῖς ὑπεμφαίνουσαι τὸ πρὸς τὸν Ἑρμῆν διάφορον, [οὗ τὸ συγγενὲς πρὸς τὰς Μούσας καὶ ἡ μήτηρ αὐτοῦ Μαῖα δηλοῖ. Μοῦσά τε γὰρ ἐκ τοῦ μῶ, τὸ ζητῶ, γίνεται καὶ Μαῖα ὡσαύτως.] Ἰστέον δὲ καὶ ὅτι τὸ ἄειδε καὶ ὅλως τὰ προστακτικὰ οὐκ ἐξ ἀνάγκης ὑπεροχὴν δηλοῦσι τοῦ προφέροντος αὐτὰ προσώπου πρὸς τὸ προστασσόμενον, εἰ μή που κατά τι σύμβαμα καί ποτε. ὑποκινοῦσι γὰρ μόνον τὰ προστακτικὰ καὶ ἐρεθίζουσι πρὸς ἔργον, οὐ μὴν καὶ αὐθεντίαν πάντως δεσποτικὴν ἐνδείκνυνται. καὶ γέμει παραδειγμάτων ὁ βίος ἅπας. δηλοῖ δὲ καὶ ἡ λέξις τὴν φύσιν τοῦ πράγματος· τὸ γὰρ προστάσσειν [σύγκειται ἀπὸ τῆς προς προθέσεως τῆς δηλούσης τὸ ἐγγύς καὶ ἀπὸ τοῦ τάσσειν καὶ δηλοῖ τὸ ἐγγὺς τάσσειν] τινὰ καὶ πλησίον τῆσδε τῆς ἐνεργείας, ἧς πρὶν ἐχωρίζετο. τοῦτο δὲ οὐ μόνον δεσπότης ἢ πατὴρ ποιεῖ πρὸς δοῦλον καὶ υἱόν, ἀλλὰ καὶ ἀνάπαλιν γίνεται. δεῖ γὰρ εἰδέναι ὅτι ἀπανούργως καὶ φυσικῶς πᾶσα παρακίνησις καὶ διέγερσις καὶ ἅπας εἰς ἔργον ἐρεθισμὸς διὰ προστακτικοῦ ῥήματος γίνεται. εἰ δέ ποτε δυσωπία τις ὕπεστιν ἢ φόβος ἢ αἰδὼς ἢ ἔφεσις ἢ ἄλλη τις ἔνδειξις φυσικῆς θερμότητος ἐνδιάθετος, τότε ἀντὶ προστακτικοῦ εὐκτικῶς ὁ λόγος σχηματίζεται. καὶ τοῦτό ἐστιν, ὅπερ ἐφεῦρε τὰ εὐκτικὰ ῥήματα. καὶ ἐνταῦθα οὖν ὁ ποιητὴς ἁπλούστερον ἐλάλησε τὸ «ἄειδε» πρὸς μυθικὴν θεάν. εἰ δὲ ἐνεδοίαζεν ὡς οὐχ’ ὑπακουσθήσεται, ἐσχημάτισεν ἂν τὸ «ἄειδε» εὐκτικώτερον. Ὅτι δὲ τὸ θεός ὄνομα ἐπί τε ἄστρων λέγεται παρὰ τὸ θέειν καὶ ἐπὶ στοιχείων παρὰ τὴν εὔτακτον θέσιν αὐτῶν καὶ ἐπὶ τοῦ τὰ πάντα εὖ διατιθεμένου νοὸς καὶ ἐπὶ σοφῶν δὲ ἀνδρῶν, οἳ πρὸς τὸν πρῶτον νοῦν ἑαυτοὺς ἀνάγουσι διὰ δυνατῆς ἐξομοιώσεως, καὶ αὐτὸ εἰς πλάτος ἔστιν εὑρεῖν παρὰ τοῖς παλαιοῖς.

1.18

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὸ εἰς τοσοῦτον ἄρτι εἰρήσθω καὶ περὶ αὐτοῦ. Κἀκεῖνο δὲ ἰστέον, ὅτι μυθικώτερον θεὰν ἤτοι Μοῦσαν ἐπικαλεῖται ὁ ποιητὴς διά τε προσοχὴν τῶν ἀκροωμένων, ἵνα ὡς Μούσης λαλούσης προσέχοιεν τοῖς λεγομένοις τὰς ἀκοὰς καὶ ἵνα καὶ ἑαυτὸν σεμνύνῃ ὡς θεοφιλῆ καὶ ἐν ψυχῇ ἔχοντα ἢ μίαν ἢ πάσας τὰς Μούσας καὶ διὰ τοῦτο ἔνθεον, μάλιστα δὲ διὰ τὸ πιθανὸν τῶν πλασμάτων, ὁπηνίκα μυθικά τινα λέγει, οἷον θεῶν βουλὰς καὶ πολέμους ἐκείνων καὶ ἐπιβουλὰς καὶ ἔρωτας καὶ ἀποδημίας καὶ ὅλως πράξεις παντοίας. μαθὼν γὰρ ὁ ἀκροατής, ὅτι Μοῦσα προκληθεῖσα λαλεῖ, οὐκ ἂν ἀπορήσῃ, πόθεν τὰ τοιαῦτα οἶδεν ὁ ποιητής, εἰδὼς τὸν μὲν ποιητὴν καθάπαξ μουσόληπτον, τὴν δὲ Μοῦσαν πάντα εἰδυῖαν ὡς θεάν. Ταὐτὸν δὲ Μοῦσαν καὶ θεὰν εἰπεῖν καὶ Μούσας πληθυντικῶς καὶ θεάς, ὥσπερ καὶ Εἰλείθυια ἑνικῶς καὶ Εἰλείθυιαι πληθυντικῶς παρὰ τῷ ποιητῇ εὕρηνται. διὸ καὶ ἐν τῇ βῆτα ῥαψῳδίᾳ ἐρεῖ, ὅτι αἱ Μοῦσαι, θεαὶ οὖσαι, πάρεισί τε ἴσασί τε πάντα. ἔνθα καὶ δῆλον ἔσται ὅτι κάτοχός ἐστιν ἁπάσαις ταῖς Μούσαις· ὥστε καὶ νῦν θεὰν εἰπὼν καὶ ἐν Ὀδυσσείᾳ Μοῦσαν καὶ μὴ ὀνομάσας ταύτην ἢ ἐκείνην ὅμως ἐμφαίνει, ὅτι ἁπάσας καλεῖ, τουτέστι τὰς ἐννέα. καὶ ἀληθῶς οὕτω χρὴ νοεῖν, ὅτι καὶ πασῶν δέεται, εἴπερ ἐκείνων μὲν ἑκάστη μερίζονται τὰς λογικὰς τέχνας καὶ ἐπιστήμας ἐπιστατοῦσαι ἄλλη ἄλλης ἰδίᾳ, ἡ δὲ Ὁμηρικὴ ποίησις ἁπάσης σοφίας θεωρεῖται ἔμπλεως. [ὡς δὲ καὶ ταὐτόν ποτέ ἐστι Μοῦσαν εἰπεῖν καὶ ᾠδήν, δηλοῖ καὶ ἡ μουσουργὸς γυνὴ καὶ παρὰ Σοφοκλεῖ τὸ «φιλαύλους Μούσας».] Ὅτι τὸ «Πηληϊάδεω Ἀχιλῆος» οὐ φυσικῶς ἔχει τοῦ ἡρωϊκοῦ μέτρου τοῦ ἐκ δακτύλων καὶ σπονδείων συγκειμένου, ἀλλὰ πάθος ἴσχει, ὃ λέγεται συνίζησις. αἱ γὰρ τέσσαρες συλλαβαί, αἱ μετὰ τοὺς τέσσαρας πόδας ἤγουν τὸ δε καὶ τὸ ω καὶ τὸ α καὶ τὸ χι εἰς δάκτυλον καταλογίζονται, τοῦ δε καὶ τοῦ ω λαμβανομένων ἀντὶ μιᾶς μακρᾶς. κατὰ δέ τινας ἡ μετὰ τοὺς πρώτους τρεῖς πόδας τετρασυλλαβία, τὸ ληϊάδε, δακτυλικῶς ποδίζεται, ὡς τοῦ ι καὶ τοῦ α καταλογιζομένων ἀντὶ βραχείας μιᾶς. λέγεται δὲ τὸ πάθος συνίζησις, [καθά που καὶ ἡ συναίρεσις παρὰ Ἡρωδιανῷ,] κατὰ μίμησιν τῶν συνιζανόντων καὶ συμπιπτόντων σωμάτων καὶ πυκνουμένων ἐξ ἀραιότητος καὶ ἐκ πλείονος κατεχόντων ὀλιγώτερον τόπον κατὰ συμπίλησίν τινα, ὃ δὴ καὶ ἐπὶ σεισμῶν ποτε γίνεται.

1.19 καὶ γὰρ καὶ ἐνταῦθα ὁ καταλογισμὸς τῶν δύο συλλαβῶν εἰς μίαν συλλαβὴν δοκεῖ ποιῆσαι αὐτὰς συνιζῆσαι καὶ οἷον κατασμικρυνθῆναι καὶ στενοχωρηθῆναι ἐκ πλατυσμοῦ εἰς στενότητα. τὸ δὲ αὐτὸ καὶ συνεκφώνησις λέγεται, διότι τὰ τῶν δύο λέξεων φωνήεντα ἐν τῷ μετρεῖσθαι νοοῦνται οὐκέτι ὡς δύο, ἀλλ’ ὥσπερ ἐὰν τῇ φωνῇ τοῦ ἑνὸς συνανεκράθη καὶ ἡ τοῦ ἑτέρου καὶ ὡς ἕν τι ἄμφω συνεξεφωνήθησαν. καὶ πάσχουσι τοῦτο φυσικῶς αἱ χασμῳδίαι ἤγουν αἱ τῶν φωνηέντων ἐπαλληλίαι καὶ συμπτώσεις. τάχιον γὰρ αὐτὰ καθ’ ἑαυτὰ λεγόμενα ἐκφωνοῦνται ἤπερ μετὰ συμφώνων· καὶ δηλοῦσι τοῦτο φανερῶς καὶ οἱ δημοτικοὶ στίχοι οἱ τὸ παλαιὸν μὲν τροχαϊκῶς ποδιζόμενοι, καθὰ καὶ Αἰσχύλος ἐν Πέρσαις δηλοῖ, ἄρτι δὲ πολιτικοὶ ὀνομαζόμενοι. μέτρον μὲν γὰρ αὐτοῖς πεντεκαίδεκα συλλαβαί· οἱ δὲ πολλοὶ καὶ εἰς ἑπτακαίδεκα ἢ καὶ πλείονας αὐτούς ποτε παρεκτείνουσι συλλαβάς, αἵτινες, αἱ πλείονες δηλαδὴ τῶν πεντεκαίδεκα, εἰ μὲν μετὰ συμφώνων λαλοῦνται, γελῶνται ὡς ἄρρυθμοι καὶ σκώπτονται ὡς πολύποδες· εἰ δὲ μόνοις ἐκφωνοῦνται καθαροῖς φωνήεσι, λανθάνον τὸ πολύπουν ἔχουσι τῇ ταχείᾳ συνεκφωνήσει τῶν φωνηέντων καὶ σῴζεται ὁ τροχαϊκὸς ῥυθμός. Ἐνταῦθα δὲ σημείωσαι καὶ ὅτι ἐπίτηδες ὁ ποιητὴς ἐχασμῴδησε διὰ εὐρυστομίαν καὶ σεμνὸν ὄγκον φωνῆς, ὃς γίνεται μὲν καὶ ἄλλως, μάλιστα δὲ διὰ τῆς συνδρομῆς τοῦ ω καὶ α , ὡς δηλοῦσιν οἱ τεχνικοί. ἄλλως γάρ, εἰ μὴ τοῦτο ἐπραγματεύσατο, ἴσχυε τῆς χάσμης ἀπαλλαγεὶς ἀπαθῆ τὴν συνθήκην τοῦ στίχου τέλεον ποιῆσαι, εἰπών «Πηλείδου» ἤ «Πηληϊάδου Ἀχιλῆος». ἀλλ’ οὐκ ἤθελε· πλεονάσας δὲ καθαροῖς φωνήεσιν ἐσέμνυνε καὶ τῇ χασμῳδίᾳ τὸ τοῦ νοήματος ὕψος ἤγουν τῷ ἐντεῦθεν ὄγκῳ τῆς φωνῆς. [ὡς δὲ καὶ ἀνειμένου εἴδους τὰ τοιαῦτά εἰσι, δηλοῖ ὁ γράψας τεχνικός, ὅτι χαίρει ἡ ἀνειμένη φράσις τῇ ἀλλεπαλληλίᾳ τῶν φωνηέντων, ὁποία τις ἐνταῦθα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἡ τῶν τεσσάρων ἄλφα μετὰ τῶν σὺν αὐτοῖς χάσμησις, στομφαστικὸν ὄγκον ἔχουσα, οὐ μὴν λειότατον, κατὰ τὴν τῶν πέντε ἄλφα ἐν τῷ «Ἀτρείδης τε ἄναξ ἀνδρῶν καὶ δῖος Ἀχιλλεύς». ἐκεῖνα γὰρ οὐ σεμνῶς βαίνουσιν, ἀλλὰ τροχάζουσιν. Ἀθηναῖοι δὲ προελόμενοι τοῦ «ὦ Δήμητερ» κοινοῦ ὄντος καὶ Ἀττικοῦ τὸ «ὦ Δάματερ» Δωρικόν, ὅτε τι θαυμαστικῶς λέγουσι, μαρτυροῦσι καὶ αὐτοὶ σεμνὰ τῇ φωνῇ τοῦ ἄλφα. εἰ δέ τινες τὴν χασμῳδίαν ἤτοι κεχηνυῖαν στίχου σύνδεσιν, μίαν εἶπον τῶν πέντε ἢ ἓξ κακιῶν τοῦ ἔπους, αἳ ἀλλαχόθι δηλοῦνται, οἷον «ἐκ μέν μ’ ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσε» λεγέτωσαν ἐκεῖνοι τὸ αἴτιον.] Ὅτι δὲ συνεκφώνησις ἤτοι συνίζησίς ἐστιν, ὅταν δύο συλλαβαὶ σύμφωνον μεταξὺ μὴ ἔχουσαι ἀντὶ μιᾶς παραληφθῶσι. [διὸ καὶ εὖ εἴρηται ὅτι τὸ συνεκφωνούμενον τὰς δύο συλλαβὰς μίαν ἐν τῷ μέτρῳ ποιεῖ.

1.20 ] καὶ ὅτι πολλαχῶς ἡ συνίζησις ἤγουν συνεκφώνησις γίνεται, διέλαβον οἱ τῆς γραμματικῆς ἐξηγηταί. ἢ γὰρ δύο φωνήεντα χρόνου ὁμοίου ἀντὶ ἑνὸς παραλαμβάνονται, οἷον δύο μακρὰ ἀντὶ μιᾶς μακρᾶς συλλαβῆς καὶ δύο βραχέα πάλιν ἀντὶ μιᾶς μακρᾶς ἢ καὶ ἀντὶ μιᾶς βραχείας, ἢ δύο ἀνόμοια, οἷον μακρὸν καὶ βραχὺ ἀντὶ ἑνός· καὶ κοινὴ δέ ποτε συλλαβή, ἵνα μὴ πλείω λέγωμεν, μετὰ ἑτέρου φωνήεντος συνίζησιν ποιεῖ, ὡς καὶ ἐνταῦθα ἐν τῷ Πηληϊάδεω τὸ ω οὔτε μακρὸν ἀναντιρρήτως ἐστίν, ἀλλ’ οὐδὲ μὲν βραχύ. κοινὴν δὲ συλλαβὴν αὐτό φασιν οἱ γραμματικοί, ὅπερ συνεκφωνηθὲν καὶ συνιζῆσαν τῷ πρὸ αὐτοῦ βραχεῖ φωνήεντι ἐλογίσθη σὺν ἐκείνῳ ἀντὶ μιᾶς μακρᾶς. παραδείγματα δὲ τῶν εἰρημένων τρόπων τῆς συνιζήσεως μυρία χορηγοῦσιν οἱ ποιηταί, μόνου δὲ τοῦ τὰς δύο βραχείας ἀντὶ μιᾶς νοεῖσθαι ὀλίγα εἰσὶ τὰ παραδείγματα. προφέρεται γοῦν ἓν μὲν τοῦ Σωτάδα ἐν τῷ «σείων μελίην Πηλιάδα δεξιὸν κατ’ ὦμον», ὃ καὶ παρὰ τῷ Ἑρμογένει κεῖται. τὸ γὰρ λι καὶ τὸ α ὡς μία λογίζονται βραχεῖα συλλαβὴ πρὸς ἀπαρτισμὸν ποδὸς τοῦ ἀπὸ μείζονος Ἰωνικοῦ. ἕτερον δὲ παράδειγμα ὅμοιον ἐκ Πραξίλλης ἐν τῷ «ἀλλὰ τεὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθεν». τὸ γὰρ τε καὶ τὸ ον δύο αὗται βραχεῖαι συλλαβαὶ ἀντὶ μιᾶς βραχείας ἐλήφθησαν. εἰ δὲ καλῶς ἐπόδισάν τινες καὶ τὸ ληϊάδε, ὡς προείρηται, ἰδοὺ καὶ τοῦτο τέως τρίτον παράδειγμα. [τοιαῦτα δὲ παρ’ Ὁμήρῳ καὶ τὸ «ἀστέρι ὀπωρινῷ ἐναλίγκιος» καὶ τὸ «χαῖρε δὲ τῷ ὄρνιθι Ὀδυσσεύς».] δῆλον δὲ καὶ ὅτι ἡ κατὰ κοινὴν συλλαβὴν συνίζησις ἢ μακρά ἐστιν, ὡς ἐν τῷ « δεω Ἀχιλῆος», ἢ συνέσταλται, ὡς ἐν τῷ «χρυσέῳ ἀνὰ σκήπτρῳ» καὶ «δενδρέῳ ἐφεζόμενοι». [περὶ δὲ συνιζήσεως καὶ μετ’ ὀλίγα εἰρήσεται. Ἰστέον δὲ ὡς τριῶν ὄντων στιχηρῶν ἐκ πλεονασμοῦ παθῶν, τοῦ μακροκεφάλου εἴτ’ οὖν προκεφάλου, τοῦ προκοιλίου, καὶ τοῦ μακροσκελοῦς ἤτοι δολιχούρου, ὁ τῆς Ἰλιάδος πρῶτος στίχος πάθους ἐστὶ προκοιλίου, ῥηθέντος οὕτω ἐκ μεταφορᾶς προγαστόρων ζῴων, οἷα πλεοναζούσης ἐν μέσῳ τῶν τοιούτων στίχων μιᾶς συλλαβῆς ἐξογκούσης τρόπον τινὰ κοιλίας δίκην τὴν τοῦ ἔπους μεσότητα.] Ὅτι τὸ Πηληϊάδεω λέξις ἐστὶν Ἰωνική. τὸ μὲν γὰρ κοινὸν ἔχει οὕτως· Πηλεὺς Πηλέος, ὅθεν Πηλεΐδης πατρωνυμικῶς ὁ τοῦ Πηλέως υἱὸς καὶ κλίνεται Πηλεΐδου. τὸ δὲ Ἰωνικὸν παράγεται οὕτως· Πηλεύς Πηλῆος, ὥσπερ Ἀχιλλεύς Ἀχιλλῆος, Ὀδυσσεύς Ὀδυσσῆος, βασιλεύς βασιλῆος, καὶ ἄλλα μυρία.

1.21 Ὅτι δὲ καὶ διὰ τῆς ει διφθόγγου καὶ διὰ τοῦ ι δὲ μόνου τὰ τοιαῦτα ἐγράφοντό ποτε, καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ σαφέστερον εἴρηται. καὶ οὕτω μὲν τὸ Ἰωνικόν, Πηλεύς Πηλῆος· τούτου δὲ τὸ πατρωνυμικὸν Πηληΐδης καὶ πλεονασμῷ τοῦ α Πηληϊάδης, οὗ ἡ γενικὴ κατὰ Ἴωνας Πηληϊάδεω. ἔστι γὰρ παρατήρησις παλαιὰ τοιαύτη· τὰ εἰς ας καὶ εἰς ης ὀνόματα ἰσοσυλλάβως κλινόμενα κοινῶς μὲν καὶ Ἀττικῶς εἰς ου ἔχει τὴν γενικήν· οἷον, Αἰνείας Αἰνείου, Πηλείδης Πηλείδου, Ἀτρείδης Ἀτρείδου· Δωρικῶς δὲ εἰς α μακρὸν περαίνει τὴν γενικήν· οἷον, τοῦ Αἰνεία, τοῦ Πηλείδα, τοῦ Ἀτρείδα· Ἰωνικῶς δὲ διὰ τοῦ εω · Αἰνείεω, Πηλείδεω, Ἀτρείδεω· Βοιωτικῶς δὲ διὰ τοῦ αο · οἷον Αἰνείαο, Πηλείδαο, Ἀτρείδαο, μακρᾶς ἐξ ἅπαντος οὔσης τῆς παραληγούσης. Ἰστέον γὰρ ὅτι αἱ οὕτω χασμώμεναι, ὡς ἐν διαλύσει, γενικαὶ οὐδέποτε τὴν παραλήγουσαν

ἰσόχρονον ἔχουσι τῇ ληγούσῃ, ἀλλὰ ἀνομοίαν ἀεί. καὶ ἐὰν μὲν ἡ λήγουσα μακρὰ εἴη, βραχεῖά ἐστιν ἡ παραλήγουσα, ὡς ἐπὶ τοῦ Αἰνείεω, Πηλείδεω, Ἑρμείεω. ἐὰν δὲ τὸ λῆγον βραχύνηται, μακρὸν ἔσται τὸ παραλῆγον, ὡς ἐν τῷ Αἰνείαο, Ἑρμείαο, Πηλείδαο. οὕτω καὶ τὸ Πριάμοιο, δένδροιο καὶ τὰ τοιαῦτα Θετταλικὰ ὄντα κατά τινας ἀνομοιόχρονον ἔχει τῇ παραληγούσῃ τὴν λήγουσαν. διὸ καὶ τὸ ἐμέο καὶ σέο καὶ ἕο ἀναλογώτερον ἔχει προσλαβόντα τὸ ι ἐν τῇ παραληγούσῃ καὶ γενόμενα ἐμεῖο καὶ σεῖο καὶ εἷο καὶ ἀνομοίαν ποιήσαντα τῇ ληγούσῃ τὴν παραλήγουσαν. Ἰστέον δὲ καὶ ὅτι οὐκ ἀεὶ τὸ α ποιητικῶς πλεονάζει ἐν τοῖς διὰ τοῦ ιδης πατρωνυμικοῖς, ἀλλὰ μόνον ἐξ ἀνάγκης, ὅτε πρὸ τοῦ ι μακρά ἐστι συλλαβή· οἷον Τελαμωνίδης Τελαμωνιάδης, Νηλΐδης Νηληϊάδης. οὕτως οὖν καὶ Πηλΐδης Πηληϊάδης. εἰ γὰρ μὴ πλεονάσει ἐν τοῖς τοιούτοις τὸ α καὶ οὕτως ἀπαρτισθῇ δάκτυλος, οὐ συντελοῦσιν εἰς μέτρον ἡρωϊκὸν διὰ τὸ καταπεραιοῦν εἰς πόδα ἀμφίμακρον. ἀμέλει ἐν τῷ Ἀτρείδης καὶ Πηλείδης οὐ πλεονάζει τὸ α · οὐ χρεία γάρ. καὶ οὕτω μὲν ἐν τούτοις φανερῶς πλεονάζει τὸ α . δῆλος δέ ἐστι κατὰ τοὺς παλαιοὺς ὁ πλεονασμὸς ἀπὸ τοῦ μέτρου τῶν συλλαβῶν. Τὰ γὰρ εἰς δης ἀπαθῆ πατρωνυμικά, μήτε συγκοπὴν παθόντα ἢ συναίρεσιν μήτε πλεονασμόν, μιᾷ συλλαβῇ πλεονάζει τῆς γεννήτορος πρωτοτύπου γενικῆς, ἀφ’ ἧς ἡ πατρωνυμία γίνεται· οἷον ἡ Πριάμου γενικὴ ἐν τρισὶ συλλαβαῖς ἐστι, Πριαμίδης ἐν τέτρασιν. ὁμοίως καὶ Νέστορος Νεστορίδης, Λητόος Λητοΐδης, Ἕκτορος Ἑκτορίδης, Ἀτρέος Ἀτρεΐδης παρὰ Πινδάρῳ. τὸ δ’ αὐτὸ καὶ ἐπὶ πάντων τῶν ἀπαθῶν πατρωνυμικῶν. οὕτως οὖν καὶ Πηλεύς Πηλῆος Πηληΐδης, Μηκιστεύς Μηκιστῆος Μηκιστηΐδης. εἴπομεν μὴ συγκοπὴν παθόντα ἢ συναίρεσιν διά τε τὸ Ἀνθεμίωνος Ἀνθεμίδης, Δευκαλίωνος Δευκαλίδης.

1.22 ταῦτα γὰρ ἐπειδὴ συνεκόπη ἐκ τοῦ Ἀνθεμιωνίδης, Δευκαλιωνίδης, οὐ πλεονάζει, ἀλλὰ ἐλλείπει μιᾷ συλλαβῇ τῆς τοῦ πρωτοτύπου γενικῆς. καὶ διὰ τὸ Ἀτρείδης, Πηλείδης καὶ τὰ τοιαῦτα. ταῦτα γὰρ στενοχωρηθέντα τῇ συναιρέσει Ἀτρείδης, Πηλείδης, ἰσοσυλλαβεῖ τῇ πρωτοτύπῳ τρισυλλάβῳ γενικῇ. εἴπομεν μήτε παθόντα πλεονασμὸν διὰ τὸ Τελαμωνιάδης [καὶ τὰ κατ’ αὐτό, ἐν οἷς καὶ ὁ Χαλκωδοντιάδης καὶ ὁ Λαομεδοντιάδης καὶ ὁ Φηρητιάδης.] ταῦτα γὰρ ἐξ ἐμπτώσεως πλεονάσαντος τοῦ α δυσὶ συλλαβαῖς ὑπερέχει τῆς τοῦ Τελαμῶνος γενικῆς. οὐκοῦν οὕτω καὶ τὸ Πηληϊάδης καὶ Μηκιστηϊάδης οὐκ ἀναγκαίως ἔχει τὸ α , ἀλλ’ ἐκ πλεονασμοῦ αὐτὸ προσεφύη εἰς δακτύλου ἀναπλήρωσιν. εἰσὶ δέ τινα εἰς δης πατρωνυμικὰ φύσει τὸ α ἔχοντα ἐν τῇ παραληγούσῃ, οἷον τὰ ἐκ τῶν διὰ τοῦ ιος κυρίων ὀνομάτων· [Ταλθύβιος Ταλθυβιάδης· οὗ παρώνυμοι οἱ παρ’ Ἡροδότῳ Ταλθυβιάδαι· Ἀτύμνιος Ἀτυμνιάδης ὁ ἐν τῇ ε′ ῥαψῳδίᾳ· Ἥλιος Ἡλιάδης, Κλύτιος Κλυτιάδης, Μενοίτιος Μενοιτιάδης], Λαέρτιος Λαερτίου Λαερτιάδης· διφορεῖται γὰρ τοῦτο, καὶ οὐ μόνον Λαέρτης λέγεται, ἀλλὰ καὶ Λαέρτιος, ὡς δηλοῖ καὶ Σοφοκλῆς· Θέστιος Θεστίου Θεστιάδης, Ἀλέξιος Ἀλεξίου Ἀλεξιάδης, Δέξιος Δεξίου Δεξιάδης, Φήμιος Φημιάδης, Ὀΐλιος κατὰ τὸν τεχνικὸν Γεώργιον Ὀϊλιάδης· [οὐ γάρ ἐστι, φησίν, ἀπὸ τοῦ Ὀϊλεύς· ἦν γὰρ ἂν Ὀϊλείδης διὰ διφθόγγου·] Ἀσκληπιὸς Ἀσκληπίου Ἀσκληπιάδης καὶ τὰ ὅμοια. ἐν τούτοις γὰρ ἡ καθαρὰ λήγουσα τῆς γενικῆς οὐ τρέπεται εἰς ι ὡς ἐν τῷ Ὁμήρου Ὁμηρίδης, Πριάμου Πριαμίδης, ἀλλὰ εἰς α καθαρόν. ὁμοίως διὰ τοῦ αδης πατρωνυμοῦνται καὶ τὰ εἰς ης κύρια, εἰς ου ἔχοντα τὴν γενικήν· οἷον, Ἱππότης Ἱππότου Ἱπποτάδης, [Βούτης Βούτου Βουτάδης, ἐξ οὗ γένος οὐκ ἀνώνυμον οἱ Ἐτεοβουτάδαι, ὧν ἡ σύνθεσις κατὰ τοὺς Ἐτεόκρητας· ἦν δέ, φασί, Βούτης υἱὸς Ποσειδῶνος, ὡς Ἡσίοδος ἐν Καταλόγῳ.] ὡσαύτως καὶ τὰ εἰς ας ἰσοσυλλάβως κλινόμενα, οἷον, Ὕ ρρας κύριον Αἰολικόν· διὸ καὶ ψιλοῦται· ἀφ’ οὗ πατρωνυμικὸν Ὑ ρράδης, ὅπερ οἱ Αἰολεῖς Ὑ ρράδιος λέγουσι. Πελίας Πελιάδης, [Ἀλεύας Ἀλευάδης, ἀφ’ οὗ εὐγενὲς φῦλον οἱ Ἀλευάδαι· Κέας Κεάδης, ὁ ἐν τῇ Ὁμηρικῇ Βοιωτίᾳ· Αἰνείας Αἰνειάδης, ὁ καὶ Αἰνέας Αἰνεάδης· Βορέας Βορεάδης, Γρᾶς Γρᾶ Γράδης,] Χαιρέας Χαιρεάδης, Δημέας Δημεάδης καὶ ἐν συναιρέσει Δημάδης· θετέον γὰρ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοιούτοις καὶ τοῦτο, εἰ καὶ μὴ πατρωνυμικόν ἐστιν, ἀλλὰ ὡς πατρωνυμικόν, καθάπερ καὶ τὸ Καρνεάδης, Σωτάδης καὶ ἕτερα.

1.23 [Ἰστέον δὲ καὶ ὅτι οὐ μόνον πλεονάζει τὸ α ἐν τοῖς εἰς δης , ὡς ἀνωτέρω κεῖται, ἀλλὰ καὶ ἀποβάλλεται. ὁ γοῦν Ἐριχθονιάδης, ὡς ἀπὸ τοῦ Ἐριχθόνιος, εὕρηται καὶ δίχα τοῦ α Ἐριχθονίδης, ὥς φασιν οἱ τεχνικοί. ὅτι δὲ καὶ ἄλλως τὸ Πηληϊάδης ἔστι παράγειν, ἐν τῇ δέλτα φανεῖται.] Ὅτι ὥσπερ Ὀδυσσεύς ποτὲ μὲν διὰ δύο σς παρὰ τῷ ποιητῇ, ποτὲ δὲ δι' ἑνός, ὡς μετὰ ταῦτα φανήσεται, οὕτω καὶ Ἀχιλλεύς ἐνταῦθα μὲν ἐν τῷ «Πηληϊάδεω Ἀχιλῆος» καὶ ἀλλαχοῦ δὲ δι' ἑνὸς ἐκφωνεῖται λ , ἐν πλείοσι δὲ τόποις τὰ δύο λ ἔχει. ἐπαγωνίζονται δὲ ἄλλοι μὲν τῇ τοῦ ἑνός, ἕτεροι δὲ τῇ τῶν δύο λ γραφῇ, τὰ μὲν δύο τιθέντες ἢ ἀπὸ τοῦ ἄχος ἰάλλειν ἤγουν λύπην ἐμβάλλειν, λυπεῖν γὰρ φερωνύμως ἔμελλε τοὺς καταπολεμουμένους, ὡς καὶ ὁ Ἀπόλλων δοκεῖ τισιν ἐκ τοῦ ἀπόλλειν διὰ τὸ φοβερώτερον ὀνομάζεσθαι, ἢ κατὰ πλεονασμὸν τοῦ ἑτέρου λ διὰ τὸ εὐφωνότερον, ὡς καὶ ἐπὶ τοῦ ἀλλα συνδέσμου γίνεται καὶ ἐπὶ ἑτέρων πολλῶν, τῷ δὲ ἑνὶ λ συνηγοροῦντες πρῶτον μὲν ἐκ τῆς ἀναλογίας, ἵνα ᾖ ὅμοιον τῷ Ὀϊλεύς, βασιλεύς· εἶτα ἐξ ἐτυμολογίας, ὡς ἀπὸ τοῦ ἄχος τοῖς Ἰλιεῦσιν, ἤγουν λύπην τοῖς Τρωσίν, αὐτὸν κατὰ φερωνυμίας καὶ τοῦτο λόγον [καὶ θείᾳ προνοίᾳ, καθά τις ἔφη,] γενέσθαι· ἢ ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ χιλός, ὅ ἐστιν ἡ ἐκ τῶν σπορίμων τροφή. οὐ γὰρ χιλῷ, φασίν, ἤτοι Δημητρειακῷ καρπῷ ἐτράφη ὁ ἥρως, ἀλλὰ ζῴων μυελοῖς βρεφόθεν· ἴσως δὲ καὶ δημῷ προβάτων, κατὰ τὸν Ὁμηρικὸν Ἑκτορίδην Ἀστυάνακτα· εἶτα κρέασι, τοῖς ἐκ τοῦ κυνηγετεῖν, ὅτε ὁ Χείρων ἐπαιδαγώγει αὐτόν. ὃς καὶ ἐξεθρέψατο καὶ εἰς ἐπιστήμην τῶν τακτικῶν ἀγαγὼν ἄριστον πολεμιστὴν εἰς Τροίαν ἔστειλε «πρώτως ὑπηνήτην ὄντα» κατὰ τὴν ἱστορίαν. οὐ γὰρ πειστέον τοῖς μύθοις, καθά που καὶ Ἱμέριος γράφει, οἳ τῆς γυναικωνίτιδος αὐτὸν ἐξαγαγόντες εἰς τὴν Τροίαν στέλλουσιν. Ὅτι δὲ φιλοαχιλλεὺς ὁ ποιητής, μυριαχοῦ φανήσεται, ὃς τάχα, ὥσπερ ἐξ Ὀδυσσέως τὴν Ὀδύσσειαν, οὕτω καὶ τὴν Ἰλιάδα ἐξ Ἀχιλλέως Ἀχίλλειαν ἐπέγραψεν ἄν, εἰ μὴ τὸ πρεσβεῖον τῆς Ἑλλάδος οὕτως ἤμελλε καταβαλεῖν καὶ ταπεινῶσαι τῇ ἐξ ἑνός τινος ἐπιγραφῇ.

1.24 διὸ οὔτε ἀπό τινος ἑτέρου προσώπου ὅλως αὐτὴν παρονομάζει, ἐπεὶ μὴ ἐκ τοῦ Ἀχιλλέως δύναται, ἀλλὰ ἐκ τῆς Ἰλίου, ὡς προελέχθη. καὶ τὸν Ἀχιλλέα δὲ ἐξαίρει καὶ σεμνύνει ἄλλως τε πολυειδῶς καὶ οἷς δὲ ἀπὸ τῆς αὐτοῦ μήνιδος ἀρξάμενος, πρὶν ἢ μὲν παύσασθαι τοῦ μηνίειν, κατασπείρει πολλαχοῦ τῆς ποιήσεως τὴν αὐτοῦ μνήμην, ἵνα μηδεὶς αὐτοῦ λανθάνηται· ἐπὰν δὲ ἀποθέμενον τὴν μῆνιν ἐκφήνῃ αὐτὸν εἰς τὴν μάχην, τὸ ὅλον τῆς ποιήσεως εἰς αὐτὸν δαπανᾷ, καὶ ἀντεπεξαγαγὼν αὐτῷ ἀξιόλογον ἀντίμαχον, τὸν Τρωϊκὸν Ἕκτορα, ὃς τὸν μὲν ἄλλον χρόνον οὐδὲ προκύπτειν τοῦ τείχους ἤθελεν, Ἀχιλλέως δὲ μηνίσαντος μεγάλα κατὰ Ἑλλήνων κατώρθωσε. καὶ ῥίψας αὐτὸν ὑπὸ τῷ Ἀχιλλεῖ συγκατέλυσεν ἐκείνῳ τὴν ποίησιν, οὐ μόνον ὅτι συναπέσβη τῷ Ἕκτορι καὶ ἡ τῶν πολεμικῶν ἔργων θερμότης καὶ οὐκ εἶχεν ὁ ποιητὴς τοῦ λοιποῦ ἐπεξαγαγεῖν ἀντίπαλον τοιοῦτον ἕτερον τῷ Ἀχιλλεῖ, ἀλλὰ καὶ ὅτι ὤκνησεν ἐπὶ πλέον μηκῦναι τὸν λόγον, ἵνα μὴ ἀναγκαίως καὶ εἰς τὸν τοῦ φιλουμένου Ἀχιλλέως θάνατον ἀπενεχθεὶς ἀφηγήσηται, ὅπως ἀγεννῶς οὕτω καὶ ἀναξίως ὁ τηλικοῦτος ἥρως ἔπεσεν. εἰ δέ που παρελάλησέ τι περὶ θανάτου τοῦ Ἀχιλλέως, ἀλλ' οὐ κατὰ ἀφήγησιν καὶ εἰς πλάτος κατὰ σκοπὸν καὶ εἱρμόν, ἀλλ' ὡς ἐκ παρόδου καὶ πεφεισμένως καὶ οἷον εἰπεῖν ἄκροις χείλεσι, καθάπερ καὶ ἄλλα τῶν ὕστερον ἐπισυμβάντων, ὡς καὶ πρὸ ὀλίγου ἐρρέθη. ἔφθημεν γὰρ εἰπόντες, ὅτι ἀπὸ τῶν τελευταίων μὲν ὁ ποιητὴς ἤρξατο, οὐ κατὰ φύσιν οὐδὲ σαφές τι ποιῶν οὐδὲ καθ' εἱρμὸν προβαίνων καὶ συνείρων τοῖς πρώτοις τὰ ἐφεξῆς, ἀλλὰ μετατιθεὶς τὰ πράγματα καὶ ἐκ τῶν μετὰ τὰ πρῶτα ποιούμενος τὴν ἀρχήν· εὐμεθόδως δὲ ὅμως καὶ τὰ παλαιά, ναὶ μὴν καὶ τὰ μετὰ τὴν Ἰλιάδα συστρέφων καὶ στρεβλῶν καὶ περιάγων καὶ παρενείρων τῷ λόγῳ καὶ οὕτω πάντων δραττόμενος καὶ ἀντὶ σαφοῦς μεθόδου εἰς τὴν ἐμπερίβολον μεταχωρῶν καὶ δι' ἧς λόγος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑψηλὸς γίνεται. ὡς μὴ ἔξω χάριτος εἶναι, εἴ τις τὴν Ὁμηρικὴν ταύτην μεταχείρισιν παρεικάσει τῇ τοῦ γυμνοσοφιστοῦ ἐκείνου, ὃς αἰνιττόμενός τι πρὸς βασιλικὴν ἐρώτησιν βύρσαν νεόδαρτον ἐπιζητήσας καὶ λαβὼν μέσῃ ταύτῃ τὴν χεῖρα ἐπέβαλεν, εἶτα τῇ δρακὶ σφίγγων καὶ πιέζων καὶ περιάγων τὰ κύκλῳ συνήγαγεν εἰς ἓν τὴν ἅπασαν βύρσαν καὶ συνέκλεισεν ἐν βραχεῖ καὶ οὐδὲν αὐτῆς ἔξω ἀφῆκε τῆς ἁφῆς, ἀλλὰ εὐφυῶς τὸ διαπεπταμένον ἐστενοχώρησε. Ὅτι δὲ ἐκ τοῦ χιλός παρονομάζεται ὁ Ἀχιλλεύς, προφέρεται εἰς μαρτυρίαν καὶ ὁ Εὐφορίων, λέγων «ἐς Φθίην χιλοῦ κατήϊε πάμπαν ἄγευστος. τοὔνεκα Μυρμιδόνες μιν Ἀχιλλέα φημίξαντο». τοῦ δὲ χιλός ἡ χρῆσις καὶ παρὰ Ξενοφῶντι, ὡς ἔνθα φησί «στρατιώτας ἀπελθεῖν που ἐκ τοῦ στρατοπέδου διὰ χιλόν». δῆλον δὲ ὅτι σεμνότερον καὶ μετ᾽ εὐφωνίας εὐγενέστερον τὸ Ἀχιλλεύς διὰ δύο λ· διαρκέστερον γὰρ οὕτως ἐνδιατρίβομεν τῷ τοῦ ἥρωος ὀνόματι καὶ γλυκύτερον καὶ ὀγκηρότερον μετὰ καὶ ἀναλόγου λειότητος. (v. 2) Ὅτι τὸ «οὐλομένην» Πορφύριος μὲν ὄνομα λέγει σύνθετον ἐκ τοῦ ὀλοόν καὶ τοῦ μένος, οἱονεὶ τὴν ἔχουσαν οὖλον ἤτοι ὀλέθριον μένος.

1.25 ἕτεροι δὲ μετοχὴν μέσου ἀορίστου δευτέρου, ἵνα λέγῃ παθητικῶς οὐλομένην Ἰωνικῇ ἐπενθέσει τοῦ υ τὴν ὀλομένην καὶ ἀξίαν ὀλέσθαι, ὅπερ καὶ ὀλουμένη καὶ ἀπολουμένη λέγεται κατὰ χρόνον μέσου δευτέρου μέλλοντος. κατὰ δέ τινας οὐκ ἔστιν ἡ λέξις κυρίως παθητικὴ ἐνταῦθα κατὰ τὸ ὀλόμενος καὶ ὀλούμενος, ἀλλὰ ἐν μόνῃ φαίνεται φωνῇ· οἵ καὶ καλῶς λέγουσιν. ὅτι γὰρ ἐνέργειαν σημαίνει, δηλοῖ ὁ ποιητὴς ἐπαγαγὼν τὸ «ἣ μυρί᾽ Ἀχαιοῖς ἄλγε᾽ ἔθηκε» μονονουχὶ λέγων κατὰ λόγον ἐπεξηγήσεως, ὅτι οὐλομένην τὴν μῆνίν φημι, οὐχ᾽ ὅτι αὐτὴ ἔπαθέ τι, ἀλλ᾽ ὅτι μάλιστα ἐνήργησεν· ἔθηκε γὰρ ἄλγεα μυρία τοῖς Ἀχαιοῖς. Τὸ δὲ ἔθηκεν οὐ μόνον ἀντὶ τοῦ ἐποίησε νοεῖται καὶ ἐπέθηκεν, ἀλλὰ καὶ ἄλλως γλαφυρώτερον. ἐπεὶ γὰρ ἐναντία τὸ φύσει καὶ τὸ θέσει, δοκεῖ λέγειν ὅτι οὐ φύσει ἤλγησαν οἱ Ἕλληνες οὐδὲ κατά τινα νοσερὰν ἀκολουθίαν, ἀλλὰ θέσει διὰ τὴν οὐλομένην μῆνιν, ἧς μὴ γενομένης ἡ φύσις οὐκ ἂν ἄρτι τοὺς Ἀχαιοὺς ἔβλαψεν. ὃ παραδηλοῦταί πως κατωτέρω καὶ ἐν τῷ προΐαψεν, εἴ τις ἐκεῖ τὴν πρόθεσιν νοήσει χρόνου δηλωτικήν. Τὸ δέ «μῆνιν οὐλομένην» μετακλιθὲν εἰς τὸ «ἣ μυρί᾽ Ἀχαιοῖς ἄλγε᾽ ἔθηκε» σχῆμα ἐποίησεν, ὃ κλίσις ἢ μετάκλισις λέγεται, ὡς μετ᾽ ὀλίγα σαφέστερον ῥηθήσεται. Μυρία δὲ ἢ ἀορίστως τὰ πολλὰ λέγει καὶ παροξύνεται ἡ λέξις πρὸς διαστολὴν ὡρισμένου ἀριθμοῦ τοῦ μύρια, ἢ κατά τινας τὰ θρήνων ἄξια ὡς ἀπὸ τοῦ μύρεσθαι, ὃ δηλοῖ ποιὸν ἦχον γοερόν, ἐξ οὗ καὶ τὸ μορμύρειν ἐπὶ ὑδάτων γίνεται καὶ ὁ κλαυθμυρισμός. Ἰστέον δὲ ὅτι τῶν πλειόνων παροξυνόντων μὲν τὸ ἀόριστον τὰ μυρία, προπαροξυνόντων δὲ τὸ ὡρισμένον ἤγουν τὰς δέκα χιλιάδας, Ἡρωδιανὸς ἑκάτερα ὀφείλειν φησὶν ὀξυτονεῖσθαι κατὰ τὴν τρίτην ἀπὸ τέλους, ὅ ἐστι κατὰ τὴν προπαραλήγουσαν· καὶ λέγει καὶ κανόνα τινὰ εἰς τοῦτο ἐκεῖνος, [ἐν ᾧ καὶ τὸ ἀρσενικὸν ὁ μύριος προπαροξύνεται κατὰ τὸ Λύδιος, ὡς ἐπὶ μὲν παρατελευτώσης διὰ τοῦ ι συνεσταλμένου λεγόμενον, κατὰ δὲ τὴν τρίτην ἀπὸ τέλους μακρὸν ὄν. καὶ τὸ μύριον δὲ ὁμοίως, ἐπεὶ τὰ παρεσχηματισμένα οὐδέτερα ἀρσενικοῖς ὁμότονα αὐτοῖς ἐστιν.] Ὅρα δὲ ὅτι ἔχων ὁ ποιητὴς εἰπεῖν «μυρί᾽ Ἀχαιοῖς ἄχε᾽ ἔθηκεν», οὐκ ἠθέλησε παῖξαι μέθοδον διδοὺς τοῦ μὴ λαρεῖν τινας τὰ παραπίπτοντα. καὶ γὰρ ἤρκεσαν αὐτῷ ἱλαρῦναι τὸ τῶν ἐννοιῶν σκυθρωπὸν τὰ τρία πάρισα, τὸ ἔθηκε, τὸ προΐαψε καὶ τὸ τεῦχε. καὶ οὐκ ἠθέλησεν εἰς πλέον καλλωπίσαι· ὃς καὶ τὸ τεῦχεν οὐκ ἐν τέλει στίχου ἔθετο, ἐπέκρυψε δέ πως, ἵνα μὴ ἐπιβούλως δοκῇ πρὸς ἐμφανὲς κάλλος γράφειν ἔξω καιροῦ. Σημείωσαι δὲ καὶ ὅτι ἐν μὲν Ὀδυσσείᾳ εἰπών «ἄνδρα πολύτροπον» καὶ «πολλὰ ἐπλάγχθη» καὶ «πολλῶν ἀνθρώπων ἴδεν ἄστεα» ἐπιμονὴν ἐποίησε λέξεως ἐκ τοῦ πολύτροπος καὶ πολλῶν καὶ πολλά· ἐνταῦθα δὲ δυνατὸν ὂν οὕτω ποιῆσαι ὅμως οὐκ ἠθέλησεν, ἀλλὰ ἀντὶ τοῦ «πολλὰ ἄλγεα ἔθηκε, πολλὰς δὲ ψυχὰς Ἄϊδι προΐαψεν ἡρώων» τὸ πολλὰ ἄλγεα μυρία εἶπε, διδάσκων ὡς ποτὲ μὲν ἐν ἐπιμονῇ ταῖς αὐταῖς χρηστέον λέξεσι, ποτὲ δὲ μεταληπτέον τὰς ἰσοδυνάμους.

1.26

καὶ ἔστι καὶ τοῦτο εἶδός τι ἐπιμονῆς. Ἰστέον δὲ ὅτι τὸ μέν «ἄλγεα ἔθηκε» φαίνεται ῥηθῆναι διὰ τοὺς τραυματισθέντας μέν, μὴ θανόντας δέ· ἢ καὶ διὰ τοὺς ἄλλως λυπηθέντας· (v. 3) τὸ δέ «πολλὰς ψυχὰς Ἄϊδι προΐαψεν ἡρώων» διὰ τοὺς τεθνεῶτας, ἵνα λέγῃ ὅτι μυρίους μὲν πολυτρόπως ἄλλως ἤλγυνεν ἡ τοῦ Ἀχιλλέως μῆνις, πολλοὺς δὲ καὶ ἐθανάτωσε. ταῦτα δὲ προοικονομίαι εἰσὶ τοῦ πλατυσμοῦ τῆς Ἰλιάδος· τὰ γὰρ μυρία ἄλγεα καὶ οἱ πολλοὶ θάνατοι πολλὴν πάντως γραφῆς ὕλην δώσουσι τῷ ποιητῇ. Ἰστέον δὲ ὅτι πολλοῖς ἔθνεσιν ἀπὸ τῶν παρ' αὐτοῖς ἐνδόξως βασιλευσάντων αἱ κλήσεις ἔκειντο· Ἕλληνες οὖν ἀπὸ Ἕλληνος, Ἀργεῖοι διὰ τὸν Ἄργον, Ἴωνες ἐκ τοῦ Ἴωνος, Περσεὺς παρονομάζει τοὺς Πέρσας, καθὰ καὶ τοὺς Μήδους ὁ Μῆδος· οὕτω δὲ καὶ Ἀχαιοὺς ὁ Ἀχαιός. Τὸ δέ «ἴφθιμος ψυχή» γίνεται ἐκ τοῦ ἶφι τὸ ἰσχυρῶς, πλεονασμῷ τοῦ θ , [ἵνα ᾖ, ὥσπερ ὄψι ὄψιμος ἢ καὶ ἄλλως, ὡς ἄνθος ἄνθιμος, οὕτως ἶφι ἴφιμος, καὶ πλεονασμῷ ἴφθιμος ὑπερβιβασθέντος τοῦ χρόνου καὶ τῆς μὲν ἀρχῆς γενομένης θέσει μακρᾶς, τῆς δὲ παραληγούσης φύσει ἐκταθείσης.] τὸ δὲ εἰπεῖν γενέσθαι αὐτὸ ἐκ τοῦ ἶφι καὶ τοῦ θυμός, ἡ ψυχή, οὐ λίαν ἀρέσκει τοῖς παλαιοῖς, καὶ τὴν αἰτίαν ἐκεῖνοι λέγουσιν. Ἀττικὸν δὲ τὸ ἰφθίμους ψυχάς. καὶ ἠδύνατο μὲν καὶ ἰφθίμας εἰπεῖν κοινῶς, ὡς δηλοῖ τὸ «ἰφθίμην ἄλοχον», [ἐξέφυγε δὲ τὸ ἐν τρισὶ παρίσοις ἄκαιρον κάλλος. Ψυχὴ δὲ κατὰ τοὺς παλαιοὺς οὐχ' οὕτως ἐκ τοῦ ψύχω, ὅσον ἐκ τοῦ φύσις καὶ τοῦ ἔχω, ἵνα ᾖ φυσιοχὴ καὶ τροπῇ συνήθει τοῦ φ εἰς π καὶ τοῦ π καὶ ς εἰς ψ καὶ συγκοπῇ τοῦ ι καὶ τοῦ ο ψυχή.] Τὸ δὲ Ἄϊδι μεταπλασμὸν κατά τινας ἔπαθε τῆς ληγούσης ἀπὸ τῆς Ἀΐδῃ δοτικῆς, ἧς εὐθεῖα ὁ Ἀΐδης. κατὰ δὲ ἑτέρους ἐπλαγιάσθη ἀπὸ τοῦ Ἄϊς, οὗ καὶ γενικὴ εὑρίσκεται Ἄϊδος, εἰ μή τις ἐρεῖ καὶ τοῦτο ἀπὸ τοῦ Ἀΐδου μεταπλασθῆναι. τί δέ ἐστιν ὁ μεταπλασμός, ἐν τοῖς ἑξῆς εἰρήσεται. τὸ δὲ Ἄϊς γίνεται παρὰ τὸ α στερητικὸν καὶ τὸ εἴδω εἴσω, τὸ βλέπω, καθάπερ καὶ ἐκ τοῦ νη στερητικοῦ καὶ τοῦ εἴδω εἴσω, τὸ γινώσκω, νῆϊς ὁ ἄπειρος καὶ ἀνεπιστήμων.

1.27 ἔστι γὰρ Ἄϊς τόπος σκοτεινὸς ὑπὸ γῆν, ἀφανής, ἀφωρισμένος ψυχαῖς. διὸ καὶ Ἀΐδης λέγεται ὁ αὐτὸς καὶ Ἀϊδωνεύς· ὡς δέ τινές φασι καὶ Ἅιδης κατὰ συναίρεσιν τοῦ Ἀΐδης. εἰς τοῦτο δὲ ἐναντιοῦται τὸ πνεῦμα· ὤφειλε γάρ, εἰ ἀπὸ τοῦ Ἀΐδης ὁ Ἅιδης γέγονε συναιρεθείς, ψιλοῦσθαι καὶ αὐτός, καθὰ ὁ Ἀΐδης. ἀλλὰ τοῦτο μὲν οἱ ἀποδεχόμενοι τὴν ἀπὸ τοῦ Ἀΐδης συναίρεσιν δασυνθῆναί φασιν Ἀττικῶς, τάχα διὰ τὴν ἐν αὐτῷ ἄθροισιν τῶν ψυχῶν. εἰώθασι γὰρ Ἀττικοὶ καὶ ἕτερα πολλὰ τοιούτῳ τινὶ λόγῳ δασύνειν, ὡς καὶ τὴν ἅλα καὶ τὸ ἅπας καὶ τὸ ἅλις ἀντὶ τοῦ ἀρκούντως, λέγοντες ὅτι τὸ ἀθροιστικὸν α δασύνεται. οἱ δὲ ἄλλως ἀσυναιρέτως τὸν Ἅιδην παράγοντες οὔτε τὸ ι ἐν τῇ ἀρχούσῃ προσγράφουσιν, ἀλλὰ καὶ ἀπὸ τοῦ ἥδω φασὶ παραχθῆναι τὸν Ἅδην κατὰ ἀντίφρασιν, ᾧ ἥδεται καὶ χαίρει οὐδείς· καθ' ὃ καὶ Χάρων μυθολογεῖται πορθμεὺς ἐν Ἅιδου, ὡς ἀπὸ τοῦ χαίρειν, καίτοι χαρτὸν οὐδὲν ποιῶν, εἴπερ εἰς Κωκυτὸν πορθμεύει καὶ Ἀχέροντα καὶ Πυριφλεγέθοντα. Τὸ δὲ προΐαψέ τινες ἁπλούστερον ἀντὶ τοῦ προέπεμψε νοοῦσιν· ἔχει δὲ οὐχ' ἁπλῶς οὕτως. οὐ γὰρ πομπήν τινα ἢ προπομπήν, ἀλλ', ὡς καὶ τῷ Γεωγράφῳ δοκεῖ, φθορὰν καὶ βλάβην τινὰ ἡ λέξις δηλοῖ, ὡς ἀπὸ τοῦ ἴπτω, ἐξ οὗ, φησί, καὶ Ἄργος πολυδίψιον τὸ πολυΐψιον ἤτοι πολύφθορον. ἀλλὰ περὶ τούτου μὲν ἐν οἰκείῳ τόπῳ ῥηθήσεται. ἐκ δὲ τοῦ ἴπτω ἴψω τὸ βλάπτω οὐ μόνον τὸ ἰάπτω γίνεται, ἀλλὰ καὶ ἶπος ἡ παγὶς τῶν μυῶν καὶ ἰποῦν ῥῆμα τὸ βλάπτειν [παρά τε Αἰσχύλῳ καὶ παρὰ τῷ Κωμικῷ ἐν τῷ «ἰπούμενοι ταῖς εἰσφοραῖς»] καὶ ὁ ἶπνος βαρυτόνως ἢ ἰπνὸς ὀξυτόνως, δι' οὗ δηλοῦται ἡ ἑστία ἢ ὁ κλίβανος. ἐκ δὲ τοῦ τοιούτου ἴπτω καὶ ἶψ ἰπὸς εἶδος σκώληκος [ἐμφυομένου τοῖς κέρασι κατὰ τὸ «μὴ κέρα ἶπες ἔδοιεν».] καὶ αἰπὺς ὁ ὑψηλὸς καὶ χαλεπός· τὸ γὰρ ἰπῶ, τουτέστι τὸ βλάπτω, μετὰ τοῦ α ἐπιτατικοῦ κατὰ συναίρεσιν ποιεῖ τὸ αἰπύς. ἰάπτω τοίνυν τὸ μετὰ βλάβης τι ποιῶ, πλεονάσαντος τοῦ α μέσον τοῦ ἴπτω.

1.28 τάχα δὲ καὶ ἀπὸ τοῦ α ἐπιτατικοῦ ἐπιρρηματικοῦ μορίου καὶ τοῦ ἴπτω γίνεται ἀΐπτω τὸ ἄγαν βλάπτω καὶ κατὰ μετάθεσιν δι' εὐφωνίαν ἰάπτω. ὅθεν [καὶ ὁ Ἰαπετὸς καὶ] τὸ προΐαψεν, ἤγουν

μετὰ βλάβης εἰς Ἅιδην πρὸ τοῦ δέοντος ἔπεμψεν, ὡς τῆς προ προθέσεως καιρικόν τι δηλούσης· ἢ ἁπλῶς ἔπεμψεν, ὡς πλεοναζούσης τῆς προθέσεως, καθὰ καὶ ἐν τῷ «νῆας προπάσας» καὶ ἐν ἄλλοις πολλοῖς. εἰ δὲ προσεκτέον τῷ Σοφοκλεῖ ἔνθα λέγει «λόγοις ἰάπτων» οὐδὲ τὸ μετὰ βλάβης παρέπεμψεν ὀρθῶς ἂν ἔχοι ἐπὶ τοῦ προΐαψεν, ἀλλὰ ἀσυνθέτως καὶ κατὰ μόνας αὐτὸ δὴ τὸ βλάπτειν ἡ λέξις δηλοῖ, λέγοντος οἷον τοῦ ποιητοῦ, ὅτι οὐ νόσῳ, οὐ τραύμασι μόνοις, οὐκ ἄλγεσιν ἡ μῆνις ἴαψεν ἤτοι ἔβλαψε τὰς τῶν ἡρώων ψυχάς, ἀλλὰ ἐσχάτῳ πάντων κακῷ, τῷ Ἄϊδι. ἐντεῦθεν δὲ οἱ μεθ’ Ὅμηρον ἀπονάμενοι ζημιοῦσθαί τινά φασι θανάτῳ ἢ δικαιοῦσθαι καὶ ποινηλατεῖσθαι πληγαῖς ἢ ἀτιμίαις ἢ εἱρκτῇ ἢ οὕτω πως. [Ἄλλως μέντοι τὸ «ἰάψης ὀρχήματα» ἑτέραν ἔννοιαν ὑποβάλλει τοῦ ἰάπτειν παρὰ τῷ αὐτῷ Τραγικῷ. ἔστι γὰρ ἰάψειν ὄρχησιν ἢ τὸ εἰπεῖν καὶ διδάξαι παρὰ τὸ ἔπω ἴπτω πλεονασμῷ τοῦ α κατὰ τὸ ἐνέπω ἐνίπτω, ἢ τὸ ἐπιπέμψειν ἀπὸ τοῦ ἱῶ, ἐξ οὗ τὸ ἀφίημι· ὡς γὰρ θῶ θάπτω, ῥῶ ῥάπτω, οὕτως ἱῶ ἰάπτω τὸ ἵημι, ὅ ἐστι πέμπω· ὅθεν καὶ ἰός.] Ἰστέον δὲ καὶ ὅτι τὸ ὅλον τοῦτο χωρίον τὸ «πολλὰς δ’ ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν» ἐπαινεῖται πρὸς τῶν παλαιῶν ὡς καιρίως ἐμπερίβολον. ἔγκειται γὰρ αὐτῷ, φασί, ταῦτα· τὸ ψυχάς, οὐσία· ποσὸν τὸ πολλάς· ποιὸν τὸ ἰφθίμους· τόπος τὸ Ἄϊδι· χρόνος τὸ προΐαψεν, ὅ ἐστι πρὸ τοῦ μοιριδίου, φασίν, ἔπεμψεν. (v. 4) Ἥρωας δὲ ἡ παλαιὰ σοφία γένος τι θεῖον εἶναι δοξάζει μέσον θεῶν καὶ ἀνθρώπων. καὶ τὸ μὲν θεῖον φῦλον εἰς θεοὺς διαιρεῖ καὶ δαίμονας, ὧν καὶ διαφορὰν λέγει, ὁποία φανήσεται ἀλλαχοῦ· τοὺς δὲ ἀνθρώπους εἴς τε ἥρωας καὶ εἰς αὐτὸ τοῦτο ἀνθρώπους. καὶ ὑποβεβηκέναι μέν φησι θεοῖς δαίμονας, ἀνθρώπους δὲ ἥρωσιν, οὓς καὶ ἐκ θείου καὶ ἀνθρωπίνου σώματος φῦναι λέγουσι. διὸ καὶ Ἡσίοδος ἡμιθέους αὐτοὺς λέγει ἢ ἐκ θεᾶς ὄντας καὶ θνητοῦ ἀνδρός, ὁποῖος καὶ Ἀχιλλεὺς ὁ ἐκ Θέτιδος καὶ Πηλέως· ἢ ἀνάπαλιν, ὁποῖον ὁ Λυκόφρων τὸν Ἕκτορα παραδίδωσι, πατρὸς μὲν Ἀπόλλωνος, θνητῆς δὲ μητρός. καὶ οὕτω μέν τινες. ἕτεροι δὲ συντομώτερον φράζοντές φασιν· ἄκρα μὲν θεοὶ καὶ ἄνθρωποι· μέσον δὲ γένος ἀμφοῖν τὸ ἡρωϊκόν, θεοῖς μὲν ὑποβεβηκός, ἀνθρώπων δὲ ὑπερκείμενον διὰ μετουσίαν ἀρετῆς, ἀφ’ ἧς καὶ δοκοῦσι παρονομάζεσθαι.

1.29 καὶ δῆλον, ὡς οἱ τοιοῦτοι ἀπὸ τῆς ἀρετῆς βούλονται καλεῖσθαι τοὺς ἥρωας, ἀνθρώπους μὲν ὄντας, διὰ δὲ τὸ θεῖον τῆς ἀρετῆς ἡμιθέους νομισθέντας. ἄλλοι δὲ ἀπὸ τοῦ ἔρωτος τροπῇ τοῦ ε εἰς η παράγουσι τοὺς ἥρωας, καὶ τούτου ἢ ἐπαινετοῦ καὶ εἰς κάλλος θεῖον ὁρῶντος καὶ ἀνατεινομένου εἰς τὸ ἄκρον ἐφετὸν καὶ τῶν κάτω μὲν ἀπάγοντος τὸν ἄνθρωπον, ταῖς δὲ ἀνωτάτω θέαις προσενοῦντος, ὡς οὕτω κληροῦσθαι ἡμιθέου κλῆσιν αὐτόν· ἢ καὶ ἄλλως, ἐκ μυθικοῦ ἔρωτος καὶ ἐμπαθοῦς. ἔρως γὰρ κάλλους ἀμυθήτου πολὺς μυθικῶς ἐκκαυθεὶς τὰ ἀνομοίως ἔχοντα γένη συντήξας οἷον πρὸς γάμον ἔμιξεν. ἄλλοι δὲ ἀπὸ τῆς ἔρας τοὺς ἥρωας εἶπον καλεῖσθαι· γῆθεν γὰρ ἦσαν, εἰ καὶ δι’ ἀρετὴν ὥσπερ οὐρανώθησαν. οἱ δὲ ἀπὸ τοῦ ἀέρος, ὡς δηλοῦται καὶ ἔν τινι τῶν παρὰ Πορφυρίῳ ἐπιγραμμάτων, ἐν ᾧ κεῖται τὸ «σῆμα μὲν ἐν πόντῳ κεῖται· πνεῦμα δ’ ἀὴρ ὅδ’ ἔχει». φησὶ δὲ καὶ Ἡσίοδος «ἠέρα ἑσσάμενοι, πάντῃ φοιτῶντες ἐπ’ αἶαν» ἤγουν ἐνδυθέντες ἀέρα, ὡς μετὰ τὸ ἀπολυθῆναι τοῦ σώματος μὴ κάτω ἀπιόντες ἀλλ’ ἐν ἀέρι ὄντες καὶ γέρας ἔχοντες τὸ πανταχοῦ γῆς φοιτᾶν καὶ τὰ κατ’ ἀνθρώπους ἐπισκέπτεσθαι. Σημείωσαι δὲ ὅτι καὶ ἐνταῦθα Ὅμηρος τήν τε ἑαυτοῦ ποίησιν σεμνύνει καὶ τὸν ἀκροατὴν δὲ πάλιν παραμυθεῖται, ὡς, εἰ καὶ ἀπὸ τοῦ ἐσχάτου ἤρξατο ἔτους, ὅμως καὶ μεγάλα καὶ πολλά τινα ἐρεῖ καὶ οὐ μικροπρεπὴς αὐτῷ ἔσται ἡ ποίησις. καὶ ὑποβάλλει ἐλπίδας ὡς οὐδὲ περὶ τυχόντων ἐρεῖ προσώπων, ἀλλὰ ἡρώων, καὶ τούτων πολλῶν, μεμνήσεται, ὥστε καὶ πράξεων ἡρωϊκῶν τῶν ἐν Τρωσί τε καὶ Ἕλλησι. διὰ τοῦτο γὰρ καὶ προανεφώνησεν, ὡς εἴρηται, ὅτι μυρία τοῖς Ἀχαιοῖς ἡ τοῦ Ἀχιλλέως μῆνις ἄλγεα ἔθηκεν, ἐκ τῶν Τρώων δηλαδὴ ἡρωϊκῶν καὶ αὐτῶν ὄντων καὶ οἵων δαψιλῆ χορηγίαν ἱστορίας, ναὶ δὴ καὶ πλάσεως δραματικωτέρας, ὑποβαλεῖν τῷ ποιητῇ, ὡς εἶναι τὸ Ὁμηρικὸν ὅλον προοίμιον, καθὰ καὶ ἐρρέθη, προκατασκευήν τινα, ἣν οἱ μὲν φιλόσοφοι σκοπὸν λόγου καλοῦσιν, οἱ δὲ ῥήτορες καὶ προέκθεσιν καὶ ὑπόσχεσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπισχνουμένου τοῦ ποιητοῦ ἐκ τῆς τοῦ Ἀχιλλέως ἄρξασθαι μήνιδος καὶ μυρία ἱστορήσειν ἄλγη καὶ πολλὰς πράξεις ἡρωϊκάς. ἐν τούτοις δὲ καὶ ψόγος μήνιδος εὐφυῶς ὑποφαίνεται· ὡς πάνυ γὰρ αὕτη χειρίστη, εἴπερ διὰ μὲν ὁμόνοιαν σωτηρία πολυετὴς ἦν τοῖς Ἀχαιοῖς, διὰ δὲ τὴν ὀλιγοήμερον Ἀχιλλέως μῆνιν τοσαῦτα ἐπιγεγόνασι κακά. φευκτέον ἄρα τὴν μῆνιν, ἧς τὴν φαυλότητα τοῖς προθύροις ἐπέγραψε τῆς Ἰλιάδος ὁ ποιητής. εἰ δὲ μὴ μόνον ἥρωες Ἄϊδι παρεπέμφθησαν διὰ τὴν τοῦ Ἀχιλλέως μῆνιν, ὅμως ἐκ μέρους τοῦ τῶν ἰφθίμων ψυχῶν τῶν ἡρώων καὶ τοὺς κοινοὺς νοητέον ἀνθρώπους.

1.30 τάχα δὲ καὶ ἅπαντας τοὺς Ἀχαιοὺς συλλαβὼν ἐπαίνου νόμῳ ἥρωας λέγει, ἀποσεμνύνων τοὺς θανόντας ἐν τῇ μάχῃ καὶ παραθαρρύνων παιδευτικῶς καὶ ἑτέρους εἰς ὅμοια, ὡς θεῖον ὂν καὶ μακαριστὸν τὸ οὕτω θνῄσκειν καὶ ἡρωϊκόν. οὕτω καὶ Ἀγαμέμνων ἐν τοῖς ἑξῆς θεραπεύων τὸ Πανελλήνιον ἥρωας αὐτοὺς καλεῖ ὁμοῦ πάντας καὶ οὐ μόνον, ἀλλὰ καὶ φίλους καὶ θεράποντας Ἄρεος. Κἀκεῖνο δὲ ἰστέον ὅτι σοφώτερόν τινες ἐμβαθύναντες τὸ ἐξ ἀνδρὸς καὶ θεᾶς ἢ ἐκ θεοῦ καὶ γυναικὸς θνητῆς τοὺς ἥρωας γενέσθαι οὕτως ἀνήγαγον φάμενοι τῶν ἀρετῶν τὰς μὲν ἀρρενωποὺς καὶ ἀνδρώδεις, οἷον τὴν ἀνδρίαν, τὸ τῆς δικαιοσύνης ἐπεξελευστικὸν κατὰ τῶν ἀδικούντων, τὸ τῆς φρονήσεως δραστικόν, καὶ τὰ τοιαῦτα· τὰς δὲ οἷον θηλυτέρας διὰ τὸ μαλθακώτερον, οἷον τὴν ἐπείκειαν, τὴν φιλίαν, τὸ πρᾷον, τὸ ἐλεεῖν καὶ ὅσα τοιάδε. οἱ μὲν οὖν ἀνδρώδους ἀρετῆς μέτοχοι ἄνθρωποι θεοῦ πατρὸς ἐλέγοντο· οἱ δὲ τῆς θηλυτέρας, ἀλλ’ οὗτοι μητρὸς θεᾶς ἐφημίζοντο. καὶ τοιοῦτον μὲν καὶ τοῦτο. Ἡ δὲ ἱστορικὴ κατάστασις ἡ περὶ τοῦ τῶν ἡμιθέων μύθου τοιάδε· ἀγὼν τοῖς παλαιοῖς ἦν πολύς, ὡς εἰκός, ἀποσεμνύνειν τοὺς ἄρχοντας ἢ καὶ ἄλλως ὑπερέχοντας· καὶ ἕκαστοι τῶν ἐξ ἔθνους ἡμιλλῶντο τοῖς οἰκείοις βασιλεῦσιν ἐπινοήσασθαι πλείω τῶν λοιπῶν σεμνώματα. διὸ καὶ τοὺς κοινοὺς ἐγκωμιαστικοὺς ὑπεραναβάντες τόπους διὰ τὸ ὑψηλὸν καὶ θειότερον τῆς βασιλείας οὐκέτι ἐκ πατέρων ἢ προγόνων τῶν ἁπλῶς ἤθελον κατάγειν τοὺς ἡγουμένους, ἀλλ’ ἔνθεόν τι γένος τὸ βασιλικὸν ὑπολαβόντες θεοὺς αὐτοῖς πατέρας ἐπέστησαν καὶ τοῦτο κατὰ μέθοδον πολυσχιδῆ καὶ πολύτροπον καὶ ὡς ἑκάστῳ τῶν ἀρχόντων ἦν προσφυέστερον, ἵνα καὶ πιθανὸν εἴη τὸ θεόθεν γενεαλόγημα. καὶ τοίνυν οἷς μὲν τὸ εὐγενὲς καὶ βασιλικὸν ἄκρως ἐπέπρεπεν, ἐκ Διὸς τούτους ἐποίουν κατάγειν τὸ γένος· οἷς δὲ λόγος ἐνέλαμπεν, Ἑρμῆς τούτοις ἐξελαλεῖτο πατήρ· ὁ μουσικὸς ἄρχων εἴτε καὶ μαντικὸς καὶ ἰατρικὸς Ἀπόλλωνι παῖς ἐπεγράφετο· ὁ στρατιωτικὸς καὶ ἀνδρεῖος ὑπὸ πατρὶ ἐτάττετο Ἄρεϊ· τοὺς ᾠδικοὺς ἤτοι ποιητικοὺς Καλλιόπη ἢ Τερψιχόρη παιδοποιησαμένη ἦγεν εἰς φράτορας· τοὺς δὲ τοιούτους καὶ Ἀπόλλων ᾠκειοῦτο εἰς παῖδας, ὅτι καὶ συνάδειν Μούσαις λέγεται· ὁ περὶ ποίμνια οὐ νομίου Πανὸς μόνον ἐλέγετο, ἀλλὰ καὶ αὐτοῦ Ἑρμοῦ, ἤδη δὲ καὶ Ἀπόλλωνος, ὅτι καὶ νομίω ἐστὸν ἄμφω Ἀπόλλων τε καὶ Ἑρμῆς· ὁ ποδήνεμος Ζήτης τυχὸν ἢ Κάλαϊς ἐκ Βορέου καταβαίνει πρὸς γένεσιν. καὶ ἄλλως δὲ εἰπεῖν, ὁ ποδώκης καὶ θέειν ὑγρὸς ἢ καὶ τὰ εἰς ναυτιλίαν δεινὸς ἢ καὶ θαλαττοκρατεῖν εὐτυχῶς ἐπιβαλὼν Ποσειδῶνος ἢ Τρίτωνος ἢ Νηρέως ἢ Νηρηΐδος ἢ ὅλως θαλαττίου καὶ ἐνύγρου τινὸς δαίμονος τὸ γένος ἕλκειν ἐλέγετο. εἰ δὲ καὶ λουτροῖς προσπαθῶς εἶχε, πηγή τις μάλιστα ἢ ποταμός, τοῦτον τεκεῖν ἐμυθεύετο.

1.31 οἱ κυνηγετεῖν εἰδότες καὶ ἀσχόλως τοῦ θηρᾶν ἔχοντες ὀρεινόμοις νύμφαις ὅσα καὶ μητράσιν ἐμέλοντο. τὸν ἐκ γῆς πλουτοῦντα οἷα καὶ μήτηρ ἡ Δημήτηρ ἀμφεῖπεν. αὐτόχρημα δὲ γῇ ἐλέγετο γείνασθαι, εἴ τίς που ἄρχων βουγάϊος ἦν, ὁποῖος ὁ Ἀνταῖος φαίνεται καὶ ὁ Τιτυός. ὅλως δὲ εἰπεῖν, τερατωδέστερον μὲν διὰ σεμνότητα οἱ παλαιοὶ τοὺς βασιλεῖς ἐκ θείου γένους ἐγενεαλόγουν καὶ ἡμιθέους ἔλεγον, τὴν δὲ τοῦ λόγου αὐτόνομον ἀτοπίαν ἀλληγορία ἐθεράπευεν ἢ ἀναγωγικὴ ἢ καὶ ἱστορική· ἀλληγορία γάρ τις καὶ ἡ διὰ ἱστοριῶν θεραπεία τῶν μύθων εἶναι δοκεῖ τοῖς παλαιοῖς. εἰ δὲ καθ’ Ἡρόδοτον οἱ θεοὶ οὕτω καλοῦνται διότι κόσμῳ ἔθεντο τὰ πάντα πρήγματα, εὐλόγως καὶ τοὺς βασιλεῖς ἐθεοποίουν οἱ παλαιοὶ ὡς «λαῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κοσμήτορας» κατὰ τὴν ποίησιν καὶ τούτῳ τῷ λόγῳ ἀπεκλήρουν αὐτοῖς τὸ ἡρωϊκὸν ὡς οἷα καταγομένοις θεόθεν. οὐ μόνον δὲ θεοὺς ἀνθρώποις ἐφιστᾷ προγόνους ἡ κατά τι ἀγαθότης καὶ ἀρετὴ ὡς λέγεσθαι ἥρωας, ἀλλὰ καὶ εἰς θεοῦ ἀνάγει ὄνομα. πολλοὶ γοῦν ἢ τέχνας ἐκφήναντες ἢ τεχνῶν ὄργανα ἐξευρηκότες ἢ εὐηργετηκότες θεῖον ὄνομα ἐκληρώσαντο. καὶ τοῦτ’ ἦν τὸ τὴν Ῥωμαϊκὴν πεῖσαν βουλὴν θεοὺς ψηφίζεσθαι τοὺς ἐκείνοις εὐαρεστοῦντας ἀνθρώπους, ὧν ἦν καὶ Καῖσαρ ὁ πρῶτος παρ’ αὐτοῖς ἐπικληθεὶς ἐν ἀνθρώποις θεός, οὗ υἱὸς ὁ Σεβαστὸς πρῶτος καὶ αὐτὸς θείαν ταύτην κλῆσιν λαχών. Ὅτι τὸ «αὐτός» ἐνταῦθα Ὅμηρος ἐπὶ νεκροῦ τίθησιν εἰπὼν ὅτι «τὰς μὲν ψυχὰς τῶν ἡρώων Ἄϊδι προΐαψεν, αὐτοὺς δὲ ἑλώρια ἔτευχε κύνεσσί τε καὶ οἰωνοῖς». αὐτοὺς γὰρ λέγει τὰ μετὰ τὴν ψυχὴν ἐνταῦθα μείναντα τῶν ἡρώων σώματα. αἴτιον δὲ οὐχ’ ὅτι κατά τινας θνητὴν οἰόμενος Ὅμηρος τὴν ψυχὴν τὸ πᾶν τοῦ ἀνθρώπου ἐν σώματι τίθησιν, ἀλλ’ ὅτι φύσει οὕτως ἔχει τὸ πρᾶγμα. εἰ γάρ τινος ἐν σωρείᾳ νεκρῶν ἐρωτήσαντος, τίς ἂν εἴη ἐξ αὐτῶν Πάτροκλος, ὑποδείξας τις δακτύλῳ τὸν κείμενον ἐρεῖ ὅτι αὐτός ἐστι, πάντως τὸ αὐτός ἐπὶ νεκροῦ σώματος ἀψόγως εἴρηκε. καὶ νῦν μὲν τὸ αὐτός ἐπὶ σώματος κεῖται, δακτύλῳ δείκνυσθαι δυναμένου, ὡς καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «αὐτὸν ὥστε σῶμα τυμβεῦσαι τάφῳ». ὅτε μέντοι ἐπὶ μόνης κεῖται ψυχῆς, τότε κατ’ ἐξοχήν τινα κεῖται τὸ αὐτός, ὡς κυρίως αὐτοῦ, τουτέστιν ἀνθρώπου, τῆς ψυχῆς οὔσης, δι’ ἧς τὸ εἶναι τῷ σώματι. Ἰστέον γὰρ ὅτι τὸ αὐτός ποτὲ μὲν ἐπὶ μόνου σώματος, ὡς προείρηται, ποτὲ δὲ ἐπὶ μόνης ψυχῆς, ὡς ὅτε φησὶν ἐν Ὀδυσσείᾳ περὶ Ἡρακλέος, ὅτι «αὐτὸς δὲ μετ’ ἀθανάτοισι θεοῖσι τερπόμενος ἔχει καλλίσφυρον Ἥβην», ποτὲ δὲ ἐπὶ τοῦ συναμφοτέρου ἤτοι τοῦ συνθέτου ἀνθρώπου. ὅτι δὲ καὶ ἄλλως πολλαχῶς λέγεται τὸ αὐτός, ἱκανῶς εἴρηται τοῖς παλαιοῖς.

1.32 Ὅρα δὲ ὅπως ἐπὶ μὲν ψυχῶν ἀπελεύσεως τὸ προΐαψεν εἶπε τὸ ταχὺ τοῦ θανάτου ἐμφαίνων, ἐπὶ δὲ τοῦ σπαραγμοῦ τῶν κειμένων τεῦχεν εἶπεν, ὡς τοῦ πράγματος παράτασίν τινα πλείονα ἔχοντος. Ἰωνικὸν δὲ τὸ τεῦχεν, ὥσπερ καὶ τὸ «ὀλέκοντο δὲ λαοί» καὶ «βῆ δ’ ἀκέων» καὶ ὅσα ὅμοια ἤτοι ἀναύξητα. καὶ εἰρήσεται μετ’ ὀλίγα περὶ τούτων. Ὁ δὲ κύων ἀπὸ τοῦ κύω τὸ φιλῶ παράγεται. ὀφείλων δὲ τρισυλλάβως κλίνεσθαι κύωνος, ἔχει τὴν γενικὴν δισύλλαβον κατὰ πάθος διὰ δύο κανόνων ἐναντιότητα. εἷς μὲν γὰρ κανὼν συστέλλεσθαι θέλει τὸ ω τῆς εὐθείας ἐν τῇ γενικῇ διὰ τὴν τοῦ γένους κοινότητα· ὁ κύων γὰρ καὶ ἡ κύων φαμέν· ἕτερος δέ τις κανὼν φυλάττεσθαι θέλει αὐτὸ διὰ τὸ βραχὺ εἶναι τὸ δίχρονον τῆς παραληγούσης, ὁποῖόν τι καὶ τὸ Ἀμφιτρύων Ἀμφιτρύωνος καὶ τὰ ὅμοια. ἡ γοῦν τῶν δύο κανόνων μάχη περὶ τὴν τοῦ κύωνος παραλήγουσαν διέφθειρεν οἷον καὶ ἐξώθησε τὸ ὑποκείμενον καὶ τὴν τρισυλλαβίαν εἰς δισυλλαβίαν περιέστησεν. Ἰστέον δὲ ὅτι τὸ «αὐτοὺς δ’ ἑλώρια» οὕτω μὲν κατὰ συναλιφὴν ἀναγνωσθὲν ἐκτεταμένην ἔχει τὴν ἄρχουσαν τοῦ ἑλώρια λόγῳ σπονδείου κατὰ κοινὴν συλλαβήν· ἐκτείνεται γὰρ οὐ μόνον διὰ τὴν ἐπικειμένην δασεῖαν, ἀλλὰ καὶ διὰ τὴν ἐπαγομένην ὀξεῖαν, ἔτι δὲ καὶ τὴν πρὸ αὐτῆς. εἰ δὲ ἀσυναλείπτως γράφει τις «αὐτοὺς δὲ ἑλώρια τεῦχεν», ἁπλοϊκῶς ὁ τόπος ποδίζεται κατὰ δάκτυλον. δεδιπλῶσθαι δὲ τὸ λ τοῦ ἑλώρια ὀκνητέον εἰπεῖν, εἰ καὶ ἄλλοις τετόλμηται. [Ὥσπερ δὲ τοῦ πελώριον προϋπόκειται τὸ πέλωρ, οὕτω καὶ τοῦ ἑλώριον τὸ ἕλωρ, γενόμενον ἢ ἐκ τοῦ ἕλκω ἢ ἐκ τοῦ ἕλω τὸ φονεύω. (v. 6) Ὅτι ἐν τῷ «οἰωνοῖσί τε πᾶσι» διχῶς ἡ στιγμή. ἢ γὰρ ἐν τῷ «πᾶσι» στικτέον τελείαν, ἵνα λέγῃ, ὡς πολλοὶ προὔκειντο ἕλωρ πᾶσι τοῖς ἐπιχωριάζουσι σαρκοφάγοις ὀρνέοις ἢ εἰς τὸ «οἰωνοῖσί τε», ἵνα τὸ πᾶσιν ἐπάγηται τοῖς ἑξῆς καὶ λέγῃ, ὅτι ἐν πᾶσιν ἡ τοῦ Διὸς ἐτελεῖτο βουλή. εἰ δὲ Ζηνόδοτος ἀντὶ τοῦ πᾶσι γράφει δαῖτα, σφάλλεται, φασί· δαῖτα γὰρ ἐπὶ μόνων ἀνθρώπων Ὅμηρος τίθησιν. Ὅτι δὲ πολυώνυμον ὁ οἰωνὸς καὶ πόθεν γίνεται καὶ ὡς Ἰωνικῆς διαλέκτου ἐστὶν ἡ τοῦ ι προσθήκη ἐν τῷ οἰωνοῖσι καθὰ καὶ ἐν τῷ κύνεσσι καὶ τοῖς ὁμοίοις, ἀλλαχοῦ ῥηθήσεται.

1.33 φανεῖται δ’ ἐν τοῖς ἑξῆς καὶ ὅθεν ὁ οἰωνὸς καὶ ὡς Αἰολέων ὁ τῶν συμφώνων διπλασιασμὸς καθὰ ἐν τῷ κύνεσσιν, οὕτω καὶ ἐν τῷ ὅττι καὶ ὅππως καὶ ἐν ἄλλοις μυρίοις.] Ὅτι ἔφθασε μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὅμηρος μεγεθῦναι τὴν ἑαυτοῦ ποίησιν διὰ τοῦ ὑποσχέσθαι καὶ μυρία τινὰ εἰπεῖν καὶ ἡρωϊκά, ἐνταῦθα δὲ κορωνίδα τινὰ ἐπιτιθεὶς αὐξήσεως ἐπάγει «Διὸς δ’ ἐτελείετο βουλή», ὡς μὴ ἂν τῆς τοῦ Ἀχιλλέως μήνιδος τοιαῦτα δυνησομένης, εἰ μὴ θεία τις ἦν βουλή. ἐὰν δὲ τοῦτο ἦν, ἄρα μεγάλα τινὰ γενήσονται καὶ Διὸς βουλῇ πρέποντα. ἐνταῦθα δὲ καὶ τοῦ Ἀχιλλέως ὑπεραπολογεῖται, οἱονεὶ λέγων μὴ δι’ ἐκεῖνον ἀλλὰ διὰ τὸ εἱμαρμένον ἐξ ἀνάγκης ταῦτα γενέσθαι. βουλὴν γὰρ Διὸς τὴν εἱμαρμένην φασίν, ὡς τῆς εἱμαρμένης Διὸς λεγομένης, καθὰ καὶ τοῖς Στωϊκοῖς ἔδοξεν. ὅθεν καὶ περιέσπων τινὲς τὸ «βουλῆ», ἐν οἷς καὶ Νικάνωρ ὁ Στιγματίας ἐπικληθείς, διότι ἐπολυλόγησε περὶ στιγμῶν, λέγοντες ὅτι γεγόνασι ταῦτα τῇ βουλῇ τοῦ Διός. τινὲς δὲ βουλὴν Διὸς εἶπον τὸ τὴν γῆν, ὡς καὶ ὁ Εὐριπίδης ἐν Ὀρέστῃ μυθολογεῖ, κουφίσαι βαρουμένην τῷ τῶν λαῶν φόρτῳ κατὰ τὴν αὐτῆς αἴτησιν. οὗ χάριν, φασί, τόν τε Θηβαϊκὸν τὰ πρῶτα συνεστήσατο πόλεμον καὶ μετ’ ἐκεῖνον συνήγαγεν ἐπὶ φθορᾷ Τρῶας καὶ Ἕλληνας, Μώμου, φασί, συμβουλευσαμένου, μὴ κεραυνοῖς ἢ κατακλυσμοῖς πάντα διαφθεῖραι, ἀλλ’ εὐμεθόδως ἄλλως, καὶ ὑποθεμένου τήν τε τῆς Θέτιδος θνητογαμίαν, ἀφ’ ἧς ὁ Ἀχιλλεύς, καὶ θυγατρὸς καλῆς γέννησιν, τῆς Ἑλένης δηλαδή, δι’ ἣν τὰ κατὰ Τροίαν ἐγένοντο, πεσόντων πολλῶν, καὶ δι’ Ἀχιλλέα τὰ μὲν πολεμοῦντα, τὰ δὲ μηνίοντα. τινὲς μέντοι Διὸς βουλὴν τὴν τοῦ Ἀχιλλέως ἐννοοῦσι τιμήν, ὡς μετὰ ταῦτα φανήσεται. Ὅτι δὲ τὸ Ζεύς Διός ἑτερόκλιτόν ἐστιν, ἐν τοῖς ἑξῆς ῥηθήσεται. [ὡς δὲ Ζεὺς οὐ μόνον ὁ κατὰ μῦθον πατὴρ ἀνδρῶν τε θεῶν τε, οὐδὲ μόνον ὁ καθ’ ἱστορίαν Κρητικὸς βασιλεύς, ἀλλὰ καὶ ὁ κατὰ ἀναγωγὴν ἀὴρ καὶ αἰθὴρ καὶ ἥλιος καὶ οὐρανὸς καὶ εἱμαρμένη καὶ ἡ ψυχὴ τοῦ παντὸς ἡ καὶ πρόνοια καὶ ὁ νοῦς δὲ ὁ κατὰ ἄνθρωπον, καθωμίληται τοῖς παλαιοῖς.

1.34 Τοῦ δὲ ἐτελείετο ἡ παραγωγὴ ἢ ἐκ τοῦ τελῶ τελείω, ὡς χρῶ χρείω, θῶ θείω, ἢ ἐκ τοῦ τελέω τελείω, ὡς σέω σείω.] (v. 6 s.) Ὅτι θέλων ἐνδείξασθαι ὁ ποιητὴς ὡς οὐ μόνον δεῖ ἀπὸ τῶν τελευταίων ἀρχόμενόν τινα ἐπὶ τὰ πρεσβύτερα τῶν πραγμάτων ἀνατρέχειν, ὅπερ αὐτὸς ἐπὶ τῆς τοῦ Ἀχιλλέως ἐποίησε μήνιδος, ὡς προείρηται, ἀλλ’ ἔστιν ὅτε δέον ἐστὶ καὶ κατὰ φύσιν χρῆσθαι τοῖς πράγμασιν ἤγουν ἀπὸ τῶν πρώτων ἄρχεσθαι καὶ οὕτω προβαίνειν τοῖς ἐφεξῆς διὰ σαφήνειαν, φησὶ κἀνταῦθα προεκθετικῷ σχήματι πρὸς τὴν ἐν αὐτῷ Μοῦσαν, ὅτι τὴν τοῦ Ἀχιλλέως μῆνιν ἄειδέ μοι, οὐχὶ ἄλλοθεν, ἀλλὰ ἐξ οὗ δὴ καιροῦ τὰ πρῶτα διέστησαν Ἀτρείδης τε ἄναξ ἀνδρῶν καὶ δῖος Ἀχιλλεύς, τουτέστι μὴ ὥσπερ τὰ Τρωϊκά, οὕτω καὶ τὴν τοῦ Ἀχιλλέως μῆνιν ἐκ τῶν ἐσχάτων θελήσῃς ἀείδειν, ἀλλ’ αὐτὴν ἀρχῆθεν κατὰ φύσιν διεξόδευσον ἀρξαμένη ἐξ αὐτοῦ τοῦ καιροῦ τῆς τῶν βασιλέων διαστάσεως καὶ εἰποῦσα καὶ αὐτὸν τὸν τῇ ἔριδι ξυμβαλόντα ἐκείνους ἤτοι τὸν δαίμονα τὸν τῆς στάσεως αἴτιον. ὃ δὴ καὶ ποιεῖ καὶ ἀρξάμενος ἀπὸ τῆς τοῦ Χρύσου πρεσβείας περαίνει τὴν ἱστορίαν κατὰ ἀκολουθίαν μέχρι τέλους. [Τινὲς δὲ οὐ χρονικὸν εἶπον τὸ «ἐξ οὗ δὴ τὰ πρῶτα» πρὸς ὁμοιότητα τοῦ ἀφ’ οὗ καὶ ἐξ ὅτου καὶ ἀφ’ ὅτου, καιροῦ δηλαδή, ἀλλὰ αἰτιολογικόν, οἷον ἐξ οὗ αἰτίου τὰ πρῶτα ἡ ἔρις γέγονεν. οἳ καὶ ἱστῶντες τὴν Ὁμηρικὴν ἐρώτησιν εἰς τὸ «διαστήτην ἐρίσαντε» ἐπιφέρουσιν ὡς ἀόριστον ὄνομα τὸ «τίς τ’ ἄρ σφωε» καὶ ἑξῆς, ὅ ἐστι, τῶν τις, ὡς ἔοικε, δὴ θεῶν αὐτοὺς ἐρίσαι ἀνέπεισε. κρεῖσσον μέντοι ἐρωτηματικὸν εἶναι τὸ «τίς», ἵνα μετὰ τὸ τοιοῦτον πύσμα ἡ Μοῦσα λαλήσῃ. δῆλον δὲ ὡς οὐ μόνον γράφεται «τίς τ’ ἄρ σφῶε», ἀλλὰ καὶ μάλιστα ἐγκλιτικῶς «τίς τ’ ἄρ σφωε» ἤγουν αὐτούς.] Σκόπει δέ, εἰ ἐνδοξότερον τοῦ δῖος Ἀχιλλεύς τὸ ἄναξ ἀνδρῶν, ὅπερ καὶ ὁ ῥήτωρ Νέστωρ γνωματεύσει, ὅπου φέρτερον Ἀχιλλέως τὸν Ἀτρείδην ἐρεῖ ὡς πλεόνεσσιν ἀνάσσοντα. ὅτι δὲ τοὺς δίους καὶ Διῒ φίλους λέγει, [ὅθεν παρὰ τοῖς ὕστερον καὶ ὁ Δίφιλος τὸ κύριον κέκραται,] πολλαχοῦ φανήσεται. Ἀτρείδην δὲ τὸν Ἀγαμέμνονα οὐ πάντες ἱστοροῦσιν. Ἡσίοδος γὰρ καὶ ἕτεροι Πλεισθένους αὐτὸν γενεαλογοῦσιν. [ὡς δὲ τὸ Ἀτρεΐδης Πινδαρικῶς κατὰ διάστασιν Δωρικόν ἐστι, δηλοῦσιν οἱ παλαιοί.] Σημείωσαι δὲ ὅτι ἄνακτας ἐκάλουν τοὺς βασιλεῖς οἱ παλαιοὶ διὰ τὸ ἀνακῶς ἤγουν ἐπιμελῶς ἔχειν τῶν ὑποτεταγμένων λέγοντες, ὡς καὶ

Πλούταρχος, ὅτι πρῶτον οἱ Διόσκουροι οὕτως ἐπεκλήθησαν, ὡς τῶν πλεόντων ἐπιμελούμενοι. δῆλον οὖν ὅτι θεία τις λέξις τὸ ἄναξ. διὸ καὶ ἐπὶ ὑπεροχῆς κεῖται, οἷον ἐπὶ βασιλέων καὶ ἐπὶ οἰκοδεσποτῶν, ὡς καὶ τοῦτο οἱ παλαιοὶ λέγουσι. δηλοῖ δὲ καὶ Εὐριπίδης τὴν τῆς λέξεως θειότητα εἰπών «ἄναξ· θεοὺς γὰρ δεσπότας καλεῖν χρεών».

1.35 [καὶ ἡ τοῦ Αἴαντος δὲ εἰρωνεία παρὰ τῷ Σοφοκλεῖ τὸ «μαθησόμεθα δ' Ἀτρείδας σέβειν». θεία γὰρ λέξις καὶ τὸ σέβειν.] ἡ δὲ χρῆσις τοῦ ἀνακῶς καὶ παρὰ τῷ Ἡροδότῳ. ἐν δὲ τῇ τῶν Ἐθνικῶν καταγραφῇ καὶ κύριον ὄνομα φέρεται Ἄναξ, υἱὸς Γῆς καὶ Οὐρανοῦ, ἀφ' οὗ καὶ ἡ Μίλητος Ἀνακτορία ἐκλήθη ποτέ. ὥσπερ δὲ τὸ ἄναξ, οὕτω καὶ τὸ δῖος, ὅ ἐστιν ἔνδοξος, ἐπὶ ἀνθρώπων ὑπερεχόντων λέγεται καθ' ὁμοιότητα τοῦ Διός, ἐξ οὗ δΐϊος καὶ κράσει δῖος, ὡς Χίος νῆσος καὶ ἀπ' αὐτῆς Χΐϊος καὶ Χῖος ἀνήρ. φέρουσι δὲ κατὰ τοὺς παλαιοὺς οἱ δῖοι τὰς ὑπεροχὰς οὕτως· οἷον Ἀχιλλεὺς δῖος χάριν ἀνδρείας, Ὀδυσσεὺς χάριν συνέσεως, Ἀλέξανδρος καὶ Κλυταιμνήστρα δῖοι διὰ κάλλος, Εὔμαιος δι' εὔνοιαν, θάλασσα καὶ Χάρυβδις διὰ μέγεθος· τὸν δὲ Ἀχιλλέα καὶ διογενῆ λέγει, ὥστε πολλοὶ δῖοι καὶ δι' εὐγένειαν. ἐν τούτοις δ' ἔστιν ἰδεῖν καὶ ὡς φιλέλλην ὁ ποιητὴς ὢν θεοῖς ἐπικαλεῖ τὴν στάσιν τῶν Ἑλληνικῶν ἀριστέων, Ἀπόλλωνι δηλαδὴ καὶ Διΐ, ὡς οὐκ ἂν ἀθεεὶ τῶν τοιούτων ἡξόντων πρὸς ἅμιλλαν στασιώδη. ἅμα δὲ καὶ μεγεθύνει τὸ πρᾶγμα ὡς οὐ μικρὸν ἐσόμενον, εἴ γε θεοκίνητόν ἐστιν. Ὅτι διάστασις ἡ μέν ἐστι φιλούντων, ὡς ὅτε ἀλλήλοις συνταξάμενοι ἄλλην ἄλλος τράπωνται, ἡ δὲ ἐπὶ ἔχθρᾳ, ὡς ὅτε τὸν τῆς φιλίας ζυγόν τινες ἀποφορτισάμενοι καὶ τὸν σύνδεσμον λύσαντες διαστῶσιν. οὕτω δὲ καὶ συμπλοκὴ ἡ μέν τίς ἐστιν ἐπὶ φιλίᾳ καὶ ἑνώσει, ὅπερ καὶ εἰρήνη λέγεται παρὰ τὸ εἰς ἓν εἴρεσθαι, ἡ δὲ ἐπὶ ἐχθραινόντων, ὅπερ καὶ ἐρίζειν ἐστί. καὶ σημείωσαι ὅπως ἐκ τοῦ εἴρειν καὶ τὸ ἐρίζειν καὶ ἡ εἰρήνη λέγεται, ὥσπερ καὶ τὸ συμβάλλειν ποτὲ μὲν ποιεῖ τὴν ἐπὶ κακῷ συμβολήν, ποτὲ δὲ τὸ ἀνάπαλιν. ταῦτα εἰδὼς ὁ ποιητής φησι διαστῆναι τοὺς βασιλεῖς ἐρίσαντας, πρὸς διαστολὴν εἰπὼν τοῦτο τῆς φιλικῆς διαστάσεως. καὶ πάλιν, ὅτι θεὸς αὐτοὺς ἔριδι ξυνέηκε μάχεσθαι ἤτοι συνέβαλε, συνέπλεξε πρὸς ἔριν, ἵνα διαστείλῃ τὴν τοιαύτην συμπλοκὴν τῆς φιλικῆς. Ἰστέον δὲ ὡς τὸ διαστήτην καὶ ἐπὶ ζυγιτῶν ἵππων ταραχθέντων ἐν τῇ π' ῥαψῳδίᾳ κεῖται καὶ ὅτι περιέργως τινὲς ἐπιβαλόντες Θεοκρίτου στήτην τὴν γυναῖκα εἰπόντος γράφουσιν ἐνταῦθα «διὰ στήτην ἐρίσαντο», ἵνα λέγῃ ὁ ποιητής, ὡς διὰ γυναῖκα ἤρισαν. ὁ δὲ τούτοις προσέχων εἴη ἂν φιλόκαινος. (v. 8) Ὅρα δὲ καὶ ὅτι Ὅμηρος μὲν τὸ συνέηκεν ἀντὶ τοῦ συνέβαλεν ἔφη ἐνταῦθα καὶ σύνεσιν δέ που ποταμῶν λέγει τὴν συμβολήν· οἱ δὲ μετὰ τὸν Ὅμηρον ἐπὶ φρονήσεως καὶ τὸ συνῆκε τιθέασι καὶ τὴν σύνεσιν, λαβόντες ἐξ Ὁμήρου τὴν ἀφορμήν, ὃς τὴν λέξιν τοῦ ξυνῆκεν ἐν πολλοῖς καὶ ἐπὶ τοῦ νοεῖν τίθησιν, ὡς τὸ «ξυνέηκε θεᾶς ὄπα φωνησάσης» καὶ «νῦν δ' ἐμέθεν ξύνες» καὶ «μέν μευ βουλέων ξύνιον».

1.36 ὁμώνυμον οὖν τὸ ξυνέηκεν, [ὃ παρὰ τοῖς ὕστερον καὶ ἐπὶ τοῦ ἐν ἀνθρώπῳ συνειδότος τέθειται, καθὰ δηλοῖ καὶ τὸ «ἡ ξύνεσις, ὅτι σύνοιδα δείν' εἰργασμένος».] Οὐκ ἄδηλον δὲ ὅτι Ἀττικῶν ἴδιον τὸ τὴν συν πρόθεσιν ξυν λέγειν, προστιθέναι δὲ πολλάκις καὶ τὸ ε τοῖς παρῳχημένοις. οὕτω γοῦν τὸ συνώρων ξυνεώρων φασίν. ἐντεῦθεν καὶ τὸ συνῆκεν, ἀντὶ τοῦ ἀνέπεισε καὶ συνέβαλε, ξυνέηκέ φησιν ὁ ποιητής. εὕρηται δὲ καὶ ἡ συ συλλαβὴ μεταβάλλουσα τὸ ς εἰς ξ ἐν τῷ ἀναξυρίς, ὃ τὸ παρὰ Ῥωμαίοις βρακίον δηλοῖ. ἀναξυρὶς γὰρ τὸ τοιοῦτον ἐκ τοῦ ἀνασύρεσθαι κατὰ τοὺς παλαιοὺς λέγεται. πολλάκις δὲ καὶ τὸ χ εἰς ξ τρέπεται. διξὰ γοῦν φασι καὶ τριξὰ καὶ πενταξά. ἐκ τούτου δὲ ἰδιωτικώτερον καὶ ἡ μοναξία ἔοικε λέγεσθαι. Τὸ δὲ μάχεσθαι ἑρμηνεία νῦν ἐστι τῆς βασιλικῆς ἔριδος δηλοῦν πολλὴν οὕτως αὐτὴν εἶναι, ὡς καὶ μαχεῖσθαι ἂν αὐτοὺς κατὰ τὸ «ὃ δ' Ἀτρείδην ἐξεναρίζοι». [Λείπει δὲ τὸ ὥστε ἐν τῷ μάχεσθαι, ἵνα ᾖ «ἔριδι ξυνέηκεν ὥστε μάχεσθαι» ἢ καὶ ἄλλως λείπει ἄρθρον, ἵνα λέγῃ «ἔριδι τῇ τοῦ μάχεσθαι», ἢ καὶ ἑτέρως, καθ' ἑρμηνείαν, ἔριδι ἤγουν αὐτόχρημα μάχῃ. οὐ γὰρ ἁπλῶς διαστήτην τόπῳ μακρῷ ἢ ἐξ ἀγορᾶς λυθείσης ἢ ἀπὸ συμπλοκῆς μαχίμου, ἀλλὰ κατὰ ἔριν μάχιμον.] Ὅτι τὸ μὲν προσεχὲς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἴτιον τῆς τοῦ Ἀχιλλέως μήνιδος ἡ τῆς Βρισηΐδος ἐστὶν ἀφαίρεσις, τὸ δὲ πρὸ τούτου αἴτιον ἡ τοῦ βασιλέως διαμάχη, τὸ δὲ ἔτι πορρώτερον ὁ λοιμός, ὑπὲρ οὗ λαλήσας ὁ Ἀχιλλεὺς ἠτίμωται· τὸ δὲ ἐπέκεινα ὁ ἥλιος, ὃν λοιμωδῶν νοσημάτων φασὶν αἴτιον. Σημείωσαι οὖν ὅτι εἰπὼν ὁ ποιητής, (v. 9) ὡς ὁ Ἀπόλλων ὁ τῆς Λητοῦς καὶ τοῦ Διὸς υἱὸς συνέβαλεν εἰς φιλονεικίαν τοὺς βασιλεῖς, ὅμοιον λέγει ὡς ἐὰν εἶπεν, ὅτι ὁ ἥλιος αὐτοὺς εἰς φιλονεικίαν συνέμιξε. καὶ ἔστι πολλὰ τοιαῦτα πόρρω αἴτια παρὰ τοῖς παλαιοῖς, ὧν ἓν καὶ τὸ τοῦ Ἀναχάρσιδος, ὃς ἐρωτηθείς «διὰ τί παρὰ Σκύθαις οὔκ εἰσιν αὐληταί;» εἶπε «διότι οὐδὲ ἄμπελοι». μακρὰν γὰρ καὶ ἐκεῖνος ἀνέβη· τὸ μὲν γὰρ ἐγγὺς ἦν εἰπεῖν, ὅτι οὐδὲ μέθη παρὰ Σκύθαις ἐστὶν οὐδὲ οἶνος· ὁ δὲ ἀνέδραμεν ἐπὶ τὸ πορρώτερον αἴτιον, τὰς ἀμπέλους. Ἰστέον δὲ ὅτι καὶ τοῦ Ἀπόλλωνος ἤγουν τοῦ ἡλίου πορρωτέρω αἴτιόν ἐστιν ἡ τοῦ Διὸς βουλὴ ἡ ἀνωτέρω ῥηθεῖσα, ἵνα πλακείη ὁ λόγος οὕτως· ἡ τοῦ Διὸς βουλὴ κινήσασα τὸν Ἀπόλλωνα πεποίηκε λοιμόν· οὗ ζητηθέντος ἀφαιρεθεὶς ὁ Ἀχιλλεὺς τὴν Βρισηΐδα ἐμήνισε.

1.37 Λητοῦς δὲ υἱὸς ὁ Ἀπόλλων λέγεται, τουτέστι νυκτός. δοκεῖ γὰρ ἐξ αὐτῆς οἷα μητρὸς ὁ ἥλιος γεννᾶσθαι, ὡς καὶ Σοφοκλῆς ἐν Τραχινίαις λέγει. καὶ ζητητέον τὴν ἐκείνου ἀλληγορίαν, ἔνθα φησίν, ὅτι «ἡ νὺξ ἐναριζομένη τίκτει κατευνάζει τε τὸν ἥλιον». [Παρέοικε δὲ πάντως τῇ τοιαύτῃ τοῦ Σοφοκλέους ἐννοίᾳ καὶ Αἰσχύλου ἐν Ἀγαμέμνονι τὸ «εὐάγγελος ἠὼς γένοιτο μητρὸς εὐφρόνης πάρα». ὡς γὰρ ἐκ νυκτὸς ἥλιος, οὕτω καὶ ἠὼς ἐξ εὐφρόνης.] Λητὼ δὲ ἡ νὺξ διὰ τὴν παρ’ Εὐριπίδῃ «σοφὴν καὶ πότνιαν λήθην». Ὑπνοῦντες γὰρ νυκτὸς πάντων λανθανόμεθα. δεῖ δὲ εἰδέναι καὶ ὅτι ὁ Ἀπόλλων μέρος τι τῆς εἱμαρμένης λαμβάνεται μυριαχοῦ τῷ ποιητῇ καί, ὡς ἄν τις εἴπῃ, μερικὸς φαίνεται Ζεὺς καὶ οἷον μικρόν τι χρεών, τουτέστι μικρά τις εἱμαρμένη. διὸ καὶ Διὸς υἱὸς λέγεται οὐ μόνον ὡς περὶ ἀέρα καὶ οὐρανὸν φερόμενος, ὧν ἑκάτερον Ζεὺς λέγεται, ἀλλὰ καὶ ὡς εἱμαρμένη τις [εἴτ’ οὖν μοιρίδιον]. καὶ τὰ μὲν μόνος αὐτός, τὰ δὲ σὺν τῷ Διῒ καταπράττεται. Ἥλιος γάρ ἐστιν αἰτίαν ἔχων τῶν γινομένων κατὰ τὴν Ἑλληνικὴν δόξαν, καθὰ καὶ ὁ Ζεύς. διὸ καὶ ἐνταῦθα τὰ κατὰ τὴν μῆνιν τοῦ Ἀχιλλέως βουλῇ τε Διὸς καὶ χόλῳ Ἀπόλλωνος πράττεται. Χόλος δὲ Ἀπόλλωνος ὁ λοιμός, οὗπερ ὁ Ἀπόλλων αἴτιος, ὡς καὶ ἐν τοῖς ἑξῆς ῥηθήσεται. [Περὶ δὲ τοῦ υἱός φασιν οἱ τεχνικοὶ ὡς οἱ Ἀττικοὶ δίχα τοῦ ι ἐν μόνῳ τῷ υ γράφουσιν αὐτό· καὶ ἴσως πρὸς διαστολὴν τοῦ ὗς ὑός, ὁ χοῖρος, ἡ κοινὴ διάλεκτος τὸ ι συνεξεφώνησε. φύσει γὰρ διὰ μόνου τοῦ υ ὤφειλεν εἶναι, εἴτε ἀπὸ τοῦ φύω εἴτε ἀπὸ τοῦ ὕω, τὸ βρέχω, γίνεται.] Ὅτι τὰ προτακτικὰ ἄρθρα στερηθέντα τῶν ὑποτεταγμένων αὐτοῖς ὀνομάτων σφοδρότερόν τε ἐκφωνοῦνται κατὰ τοὺς τόνους καὶ εἰς ἀντωνυμίας μετάγονται, οἷον ἐν τῷ «ὁ γὰρ Ἀπόλλων βασιλῆϊ χολωθείς», ἐὰν λείψῃ τὸ Ἀπόλλων, τὸ ὁ τὸ ἄρθρον ἀντωνυμία γίνεται καὶ ἐξακουστότερον ἐκφωνεῖται εἰπόντος τοῦ ποιητοῦ «ὃ γὰρ βασιλεῖ χολωθείς» ἀντὶ τοῦ οὗτος. τοιοῦτον καὶ τὸ ὁ μὲν καὶ ὁ δέ. καὶ αὐτὰ γὰρ ὀξυφωνούμενα ἀντὶ ἀντωνυμιῶν κεῖνται. τὸ δ’ αὐτὸ νοητέον καὶ ἐπὶ τῶν ἄλλων ἄρθρων. οὕτω γὰρ καὶ τοῦ ἀντὶ τοῦ τούτου φαμὲν καὶ τὸν ἀντὶ τοῦ τοῦτον καὶ τοὺς ἤγουν τούτους λειπόντων δηλαδὴ τῶν συντασσομένων τούτοις ὀνομάτων καὶ ἀπὸ κοινοῦ λαμβανομένων διὰ τὸ γνώριμον. (v. 10) Ὅτι ἡ κοινὴ μὲν διάλεκτος βαρύνει τοὺς ἐνεργητικοὺς πρώτους μέλλοντας, περισπᾷ δὲ μόνους τοὺς τῆς πέμπτης τῶν βαρυτόνων· σπείρω γὰρ σπερῶ φησι, κείρω κερῶ, φθείρω φθερῶ, καὶ τὰ ἄλλα ὡσαύτως.

1.38 Δωριεῖς δὲ καὶ ἑτέρους δίχα τῆς πέμπτης περισπῶσι μέλλοντας· πεσῶ γάρ φασι καὶ κλαυσῶ καὶ ἐσῶ· ἐξ ὧν καὶ τὸ πεσεῖται καὶ κλαυσεῖται καὶ ἐσεῖται καὶ ἕτερα τοιαῦτα. Αἰολεῖς δὲ καὶ τοὺς τῆς πέμπτης περισπωμένους μέλλοντας βαρύνουσι καὶ διὰ τοῦ ς ἐκφέρουσι· σπέρσω γάρ φασι καὶ κέρσω καὶ φθέρσω. οὕτω δὲ καὶ ὄρω ὄρσω, τὸ διεγερῶ, ἐξ οὗ καὶ τὸ «νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν». οὕτω δὲ καὶ τοῦ ἔρρω, τὸ φθείρω, ὁ μέλλων ἔρσω Αἰολικῶς, ἐξ οὗ καὶ τὸ «ἀπόερσεν» ἐν τοῖς ἑξῆς ἀντὶ τοῦ ἀπέφθειρε. ποιοῦσι δὲ τοῦτο οἱ Αἰολεῖς πρὸς ἀναλογίαν τῶν λοιπῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μελλόντων, οἳ δυνάμει ἢ ἐνεργείᾳ τῷ ς παραληγόμενοι βαρύνονται. Σημείωσαι δὲ ὅτι, ὥσπερ κακία λέγεται ἡ ἐναντία τῇ ἀρετῇ καὶ κακὸς ὁ ἐναντίος τῷ ἔχοντι ἀρετήν, οὕτω καὶ νοῦσον κακὴν ὁ ποιητὴς λέγει τὴν ἐναντίαν τῇ ἀρετῇ τοῦ σώματος, τῇ ὑγείᾳ, ἢ καὶ ἄλλως τὴν φευκτὴν ἐκ τοῦ χάζω, τὸ ὑποχωρῶ, ἣν δηλαδὴ ὡς ὀλεθρίαν φεύγομεν. διὸ καὶ ὁ ποιητὴς ἑρμηνεύων ἐπάγει «ὀλέκοντο δὲ λαοί». οὕτω καὶ τοῦ «κακῶς ἀφίει» ἑρμηνευτικὸν τὸ «κρατερὸν ἐπὶ μῦθον ἔτελλεν». ὥσπερ δὲ νόσον ἐνταῦθα ἔφη κακήν, οὕτω καὶ ἐν τοῖς ἑξῆς ἔριν κακὴν ἐρεῖ καὶ πόλεμον κακόν, [ἐξ ὧν ἄν τις χάζοιτο. ταῦτα δ’ ἀνάπαλιν ἔχει πρὸς τὸ κακός, ὃ σημαίνει τὸν δειλόν, ὃς δηλαδὴ χάζεται τῆς μάχης ἀναχωρῶν καὶ φεύγων εἴτε καὶ ἀναδυόμενος. οὗ καὶ αὐτοῦ χρῆσις παρὰ τῷ ποιητῇ. δύναται δὲ κακὴ νόσος καὶ ἔρις εἶναι καὶ ὡς κακωτική.] Τὸ δὲ νοῦσος Ἰωνικὴν ἐπένθεσιν ἔχει τοῦ υ · ὡς γὰρ ὁδὸς οὐδὸς καὶ βότας «βούτας» παρ’ Εὐριπίδῃ καὶ κόρος κοῦρος, ὁ νέος, καὶ ὀλομένη οὐλομένη καὶ ὅρος οὗρος, ὁ περιορισμός, καὶ γονὸς γουνός, ὁ γόνιμος τόπος, οὕτω καὶ νόσος νοῦσος κατὰ τοὺς Ἴωνας [μηκύνοντας τὸ ο τῇ προσλήψει τοῦ υ . οὗπερ ἀνάπαλιν οἱ Βοιωτοὶ ποιοῦσι κατὰ τὴν Ἡρακλείδου παράδοσιν προστιθέντες αὐτοὶ τῷ υ διχρόνῳ τὸ μικρὸν ο καὶ βραχυνομένου μέν, φησί, βραχύνοντες, μηκυνομένου δὲ μηκύνοντες, τὸ ὕλη οὔλη λέγοντες καὶ τὸ ὕδωρ οὕδωρ.] Ὅτι λαοὶ παρὰ τὸ λα ἐπιτατικὸν μόριον καὶ τὸ αὔω, τὸ φωνῶ· ἐξ ὧν λααυὸς καὶ κατὰ κρᾶσιν λαὸς ἐκπεσόντος τοῦ υ δι’ εὐφωνίαν· πολύφωνος γὰρ ὁ λαὸς καὶ ἀλαλητοῦ, ὅ ἐστι θορύβου, αἴτιος. καὶ οὕτω μὲν ἡ κοινὴ ἐτυμολογία. ἡ δὲ ἱστορία ἐκ τῶν λάων, ὅ ἐστι λίθων, παράγει τοὺς λαοὺς λέγουσα, ὅτι Κέκροψ πολυανθρωποῦσαν ἰδὼν τὴν Ἀττικὴν συγκαλεῖται τὸν ὄχλον καὶ παρασημαίνεται τὸν ἀριθμὸν λάεσσιν ἤτοι λίθοις ἑκάστου ἕνα ῥίψαντος κἀντεῦθεν ἐκεῖνοι λαοὶ ἐκλήθησαν καὶ ἀπ’ ἐκείνων μένει τὸ ὄνομα. ὁ δὲ μῦθος μετὰ τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμὸν καὶ τὴν ἐκεῖθεν λειπανθρωπίαν κελευσθῆναί φησι τὸν Δευκαλίωνα θῦσαι μὲν Διῒ Φυξίῳ περί που τὰ κατὰ τὸν Παρνασὸν μέρη, εἰς ἀέρα δὲ λᾶας ἤγουν λίθους ἀφιέναι ὑπὲρ κεφαλῆς, τοὺς μὲν αὐτόν, τοὺς δὲ τὴν γυναῖκα Πύρραν καὶ τὴν θυγατέρα Πανδώραν, ἣν Ἡσίοδος πρώτην γυναῖκά φησι· καὶ πάντας τούτους τοὺς λίθους εἰς ἀνθρώπους μεταπεσεῖν ζῳωθέντας καὶ διὰ τοῦτο κληθῆναι λαούς.

1.39 τοῦτο δὲ καὶ παρὰ Πινδάρῳ κεῖται εἰπόντι «ἄτερ εὐνᾶς ἐκτήσαντο λίθινον γόνον, λαοὶ δ’ ὀνόμασθεν». ὁ δὲ τοιοῦτος μῦθος ἀπὸ θαύματος πεπλάσθαι δοκεῖ. θαυμάζοντες γάρ, ὡς εἰκός, οἱ τότε τὴν πάλιν μετὰ τὸν κατακλυσμὸν πολυανθρωπίαν τοῦτο ἐπλάσαντο, οἱονεὶ λέγοντες ὅτι ὁ κατακλυσμὸς πάντα παρέσυρε πλὴν εἰ μὴ ἄρα λίθους, ἐξ ὧν ἡ τῶν ἀνθρώπων γέγονε πολυπλήθεια. καὶ συγχωρητέον τῷ μύθῳ, ὥσπερ ἀπολιθοῦντι διὰ τῆς Γοργόνος τοὺς ἀνθρώπους, οὕτω καὶ ἐκ λίθων ἀνθρώπους ποιοῦντι, ὃς καὶ τοὺς ἐξ ἀρχῆς ἀνθρώπους ἐκ δρυῶν καὶ πετρῶν ἐγέννα καὶ ἐκ γῆς δὲ αὐτοὺς ἀνεβλάστανεν ὡς τοὺς Σπαρτοὺς καὶ ἐκ μυρμήκων δὲ μετέβαλλεν. ὁ δ’ αὐτὸς μῦθος ὁ ἐκ λίθων ἀνθρώπους ποιήσας ληφθήσεταί ποτε καὶ εἰς σκῶμμα σκληρῶν ἀνθρώπων, ὡς ἐοικέναι τοῖς τοιούτοις τὸν μῦθον τοῦτον ἐπαληθεύεσθαι. ὅτι δὲ ἡ σκληρότης εἰς λιθωδίαν λαμβάνεται, δηλώσει καὶ ὁ ποιητής, ὅτε εἴπῃ «λαοὺς δὲ λίθους ποίησε Κρονίων», τουτέστι σκληρούς, ἀτέγκτους, ἀσυμπαθεῖς. (v. 9—11) Ὅτι τρεῖς ἐνταῦθα ὁ ποιητὴς αἰτίας ἐξηρτημένας ἀλλήλων τίθησιν, ὡς δηλοῦσι καὶ οἱ αἰτιολογικοὶ σύνδεσμοι. φησὶ γὰρ ὅτι τοὺς βασιλεῖς ὁ Ἀπόλλων τῇ ἔριδι ξυνέβαλε. διὰ ποίαν αἰτίαν; «ὃ γὰρ βασιλῆϊ χολωθείς» νόσον ἐπήγειρε τοῖς Ἕλλησι. τίνος ἕνεκεν; «οὕνεκα τὸν Χρύσην ἠτίμησεν ὁ βασιλεύς». διὰ τί δέ; «ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν» καὶ τὰ ἑξῆς. καὶ ἔστι τὸ σχῆμα ἐμπερίβολον. τοιοῦτον δέ τι ποιήσει καὶ ἀλλαχοῦ πολλαχοῦ καὶ ἐν τῷ λόγῳ δὲ τοῦ βασιλέως τῷ περὶ Χρυσηΐδος. Ὅρα δὲ ὅτι οὐ λέγει κατὰ τοὺς ὕστερον ἀτιμῶ ἀτιμώσω ἐν τρίτῃ συζυγίᾳ, ἀλλὰ ἀτιμήσω κατὰ δευτέραν συζυγίαν, ὡς καὶ ἀλλαχοῦ φανήσεται. Τὸ δὲ οὕνεκα σύνδεσμός ἐστιν αἰτιολογικός. γέγονε δὲ ἀπὸ τοῦ οὗ ἕνεκα. διὸ καὶ δασύνεται παθὸν ἔκθλιψιν τοῦ μετὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν καταρχὴν δευτέρου φωνήεντος, ὡς καὶ τὸ ὦ ἐτάν, ὦ ’τάν, καὶ μὴ ἔστι, μή ’στι, καὶ ἄλλα πολλά. [(v. 12) Τὸ δέ «ὃ γὰρ ἦλθεν» ἐπαναφορὰν ποιεῖ μετὰ τοῦ «ὃ γὰρ βασιλῆϊ χολωθείς», ποιητικὴν μέντοι καὶ οὐ πεζῷ λόγῳ πρέπουσαν. Θοαὶ δὲ νῆες ἢ ταχεῖαι ἤ, ὥσπερ θοὸν βέλος τὸ ὀξύ, οὕτω θοαὶ καὶ αὐταί, ὡς ὀξεῖαι τὰ περὶ πρῷραν, ἵνα ταχὺ οὕτω πλέοιεν τέμνουσαι ῥᾷον τὸ ὕδωρ.] (v. 13) Ὅτι ἐπὶ αἰχμαλώτων ἐξωνήσεως οἰκεῖον τὸ λύεσθαι. ὅθεν καὶ λύτρα τὰ δῶρα λέγονται τὰ εἰς τοῦτο διδόμενα. τὰ δ’ αὐτὰ καὶ ἄποινα, ὡς ἄν τις εἴποι ἄφοινα, δι’ ὧν τις φόνου λύεται.

1.40 ὁ μέντοι μὴ ἐξωνησάμενος, ἀλλὰ τρόπον ἄλλον ἐκ τῶν πολεμίων τινὰ ἐξαγαγών, ῥύεσθαι λέγει, οὐ μὴν λύεσθαι, καὶ τὰ ὑπὲρ τούτου διδόμενα οὐ λύτρα, ἀλλὰ σῶστρα, ποτὲ δὲ καὶ ζῳάγρια. τὸ γὰρ λύεσθαι καὶ τὸ λύτρον κυρίως ἐπὶ ἐξωνήσεως αἰχμαλώτου ἢ ζῶντος ἢ καὶ τεθνεῶτος, ὁποῖος ὁ Ἕκτωρ ἐν τῇ ω′ ῥαψῳδίᾳ. διὸ καὶ Ὅμηρος ἐπιμένει τῇ λέξει ταύτῃ διὰ τὸ καίριον καὶ ὧδε καὶ ἐκεῖ. λέγεται δὲ καὶ παθητικῶς καὶ κατ’ ἐνέργειαν, ὡς δῆλον ἐκ τοῦ ποιητοῦ, ποτὲ μὲν λέγοντος «λυσόμενός τε θύγατρα» ποτὲ δέ «παῖδα δέ μοι λύσατε φίλην» καὶ «τὴν δ’ ἐγὼ οὐ λύσω» καὶ «οὐδ’ ἀπέλυσε θύγατρα». Ὅτι συνετὸς ὁ Χρύσης, ὃς ὑπὲρ τῆς θυγατρὸς ἐλθὼν εἰς τὸ Ἑλληνικὸν ναύσταθμον ἄποινά τε φέρων λαμβάνει μεθ’ ἑαυτοῦ καὶ οὐχ’ ἁπλῶς ἄποινα, ἀλλὰ καὶ ἀπερείσια ἤτοι λαμπρὰ καί, ὡς ὁ Ὅμηρος ἐρεῖ, ἀγλαά, πρὸς ἅπερ ἀπερείσειεν ἄν τις τὸν λογισμόν· ἢ καὶ ἄλλως, ἀπερείσια ἤγουν κατὰ μετάθεσιν εἰπεῖν ἀπειρέσια. (v. 14) καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ τοῦ Ἀπόλλωνος αἴρει στέμμα, ἔτι δὲ καὶ τὸ σκῆπτρον, ἵνα ἢ δοκῇ καὶ αὐτὸς ὁ Ἀπόλλων συμπαρεῖναι αὐτῷ ἢ πρέσβυς οὗτος ἥκειν ἐκ τοῦ Ἀπόλλωνος, ὡς ἂν κατὰ τοὺς παλαιούς, εἰ μὲν εἴη φιλοχρήματος ὁ Ἀγαμέμνων, δῶρα λαβὼν λύσηται τὴν παῖδα, εἰ δὲ φιλόθεος, αἰδέσηται τὰ τοῦ Ἀπόλλωνος παράσημα. διὸ καὶ ἡ δημηγορία τοῦ Χρύσου λέγει, ὡς ἂν τὰ δῶρα λάβῃ ἁζόμενος τὸν Ἀπόλλωνα, οἷα μηδὲ λογισομένου δῆθεν τοῦ Χρύσου δῶρα δοῦναι, ἀλλ’ ἐπιγράψοντος τὸ πᾶν τῇ τιμῇ τοῦ Ἀπόλλωνος. εἰ τοίνυν ὁ βασιλεὺς οὐ πεισθήσεται, ἀλλὰ καὶ ἀπειλήσεται τῷ γέροντι, καί τι καὶ κατὰ τοῦ στέμματος ἐρεῖ καὶ τοῦ σκήπτρου, πιθανῶς ἂν ὁ Ἀπόλλων θυμωθείη καὶ ποιήσῃ τὰ μυθευόμενα, ὡς ἐν τοῖς μετὰ ταῦτα εἰρήσεται. Ἰστέον δὲ ὅτι τε τὸ «φέρων ἄποινα» ἤτοι λύτρα ἀντὶ τοῦ βαστάζων λέγεται, ὃ τί διαφέρει τοῦ ἄγειν, πολλαχοῦ φανήσεται. καὶ ὅτι ἐπὶ βάρους ἀχθεινοῦ κυρίως τὸ φέρειν· διὸ τὸ στέμμα οὐ φέρει ὁ Χρύσης, ἀλλ’ ἐν χερσὶν ἔχει ὡς ἐλαφρόν· καὶ ὅτι [κατ’ ἔρωτα τῆς μυθολογουμένης Δάφνης] δάφνινον ἦν τὸ στέμμα τὸ τοῦ Ἀπόλλωνος. καὶ ὅτι αὐτῷ ἀνάκειται τὸ τῆς δάφνης φυτὸν [λεγόμενον οὕτω παρὰ τὸ δα ἐπιτατικὸν καὶ τὸ φωνεῖν· τοιοῦτον γάρ ἐστι καιόμενον, καθὰ καὶ ὁ πρῖνος]. καὶ ὅτι μαντικῆς αὐτό ἐστι σύμβολον, καθάπερ ἄλλοις πλατύτερον καὶ σοφώτερον εἴρηται. (v. 15) Τὸ δὲ σκῆπτρον χρυσοῦν ἐνταῦθα πλάττει ὁ ποιητὴς τῷ Ἀπόλλωνι, τουτέστι τῷ Ἡλίῳ, διὰ τὸ καὶ τὸ μέταλλον τοῦ χρυσοῦ Ἡλίῳ παρὰ τῶν παλαιῶν ἀνατίθεσθαι, ὡς τῇ Σελήνῃ τὸν ἄργυρον καὶ ἑτέρῳ τῶν πλανήτων ἄλλο τι, καθάπερ ἐν τοῖς τοῦ Πινδάρου φέρεται. σημεῖον δὲ βασιλείας καὶ λόγων καὶ δίκης κατὰ τοὺς παλαιοὺς τὸ σκῆπτρον ἦν. Ἀγαμέμνων τε γὰρ ὁ εὐρυκρείων ἵσταται σκῆπτρον ἔχων καὶ Τηλεμάχῳ δημηγοροῦντι δίδωσί τις σκῆπτρον· ὡσαύτως καὶ Ἀχιλλεὺς δημηγορῶν σκῆπτρον ἔχει.

1.41 ὁ δ’ αὐτὸς ἀδικηθεὶς κατ’ αὐτοῦ ὄμνυσιν ὡς συμβόλου τῆς δίκης. ἔστι δὲ ὅτε καὶ ἐπὶ βακτηρίας εὐτελοῦς τὸ σκῆπτρον λαμβάνεται, ὡς ἐν Ὀδυσσείᾳ φαίνεται. γίνεται δὲ πλεονασμῷ τοῦ ρ ἀπὸ τοῦ σκήπτω, τὸ ἐπερείδομαι, ὡς προϋπάρχοντος τοῦ σκήπτου, ἀφ’ οὗ ὁ σκηπτοῦχος. ὅθεν ὁ Πίνδαρος σκᾶπτον αὐτὸ Δωρικῶς καλεῖ. ὅμοιος δὲ πλεονασμὸς τοῦ ρ γέγονε καὶ ἐν τῷ ἔνοπτρον καὶ λέκτρον καὶ δέρτρον καὶ βάκτρον καὶ ῥόπτρον καὶ ἄροτρον καὶ τέρετρον. Ὅτι δὲ καὶ διαφέρει σκῆπτρον σκίπωνος, δηλοῖ ὁ Γεωγράφος εἰπὼν βασιλεῖς τινας σκίπωνα ἔχειν ἀντὶ σκήπτρου. Ὅτι ἡ ἀνα πρόθεσις ἰσοδυναμοῦσα μὲν τῇ κατα αἰτιατικῇ συντάσσεται παρὰ τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιητῇ, οἷον «ἀνὰ οὐλαμὸν ἀνδρῶν» καὶ «νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν» καὶ «ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο». ἑαυτῆς δὲ οὖσα καὶ τὴν ἄνω σχέσιν δηλοῦσα ποτὲ μὲν δοτικῇ συντάσσεται, ὡς τὸ «ἐτίθει ἅρματα ἀνὰ βωμοῖς» καὶ «ἀνὰ Γαργάρῳ ἄκρῳ» καὶ ἐν Ὀδυσσείᾳ «ἀνὰ φαιδίμῳ ὤμῳ». οὕτω δὲ καὶ Πίνδαρος «χρυσέαις ἀν᾽ ἵπποις». ποτὲ δὲ μετὰ αἰτιατικῆς, ὡς τὸ «ἀνά τ᾽ ἔντεα καὶ μέλαν αἷμα». ἐνταῦθα δὲ ἐν τῷ «χρυσέῳ ἀνὰ σκήπτρῳ» τὴν ἀνὰ πρόθεσιν οἱ μὲν ἀντὶ τῆς σὺν ἔλαβον, ἵνα λέγῃ ὅτι σὺν τῷ χρυσῷ σκήπτρῳ, οἱ δὲ ἀντὶ τοῦ ἄνω, ἵνα νοῆται τὸ στέμμα ἐξαρτᾶσθαι τοῦ σκήπτρου. τὸ δὲ πάθος τοῦ στίχου τούτου συνίζησις κατὰ τοὺς γραμματικούς, τοῦ ω φωνήεντος καὶ τῆς παραληγούσης τῆς ἀνὰ προθέσεως λαμβανομένης ἀντὶ βραχείας μιᾶς, ὡς καὶ προείρηται, [ἢ καὶ ἄλλως τοῦ αὐτοῦ ω μετὰ τῆς πρὸ αὐτοῦ συλλαβῆς λογιζομένων εἰς μίαν βραχεῖαν κατὰ συνίζησιν. ἡ γὰρ χασμῳδία κοινώσασα τὸ φύσει μακρὸν ω ἐταπείνωσεν, ὡς εἰ καὶ βραχὺ ὂν ἐλήφθη μετὰ ἑτέρου βραχέος εἰς μίαν βραχεῖαν συλλαβὴν πρὸς δακτύλου ἀπαρτισμόν. δῆλον δὲ ὡς προκέφαλος κατὰ τὴν προρρηθεῖσαν στιχηρὰν μέθοδον εἴτ᾽ οὖν μακροκέφαλος ὁ παρὼν στίχος ἐστίν.] Ἰστέον δὲ ὅτι ὁμώνυμός ἐστι καὶ ἡ παρὰ τοῖς γραμματικοῖς συνίζησις. οὐ μόνον γὰρ ἡ μετρική, ὁποία σὺν μυρίαις ἄλλαις καὶ ἡ ἐν τῷ πρώτῳ στίχῳ τῆς Ἰλιάδος καὶ ἡ ἐνταῦθα κειμένη, ἀλλὰ καὶ ἡ κατὰ κρᾶσιν, ὡς εἰκὸς δὲ καὶ ἡ κατὰ συναίρεσιν. Ἡρωδιανὸς οὖν τὴν ἐν τῷ σιδήρεος σιδηροῦς καὶ φοινίκεος φοινικοῦς κρᾶσιν συνίζησιν λέγει. διὸ καὶ ἔστιν εἰπεῖν ὡς ἡ μὲν μετρικὴ συνίζησις κλέπτει διανοητῶς τὴν κλῆσιν ταύτην ὡς δυνάμει συνιζάνουσα διὰ τὸ ταχὺ καὶ οἷον συναλειπτικὸν καὶ ἐπίτροχον καὶ οὕτω στενολόγον τῆς συνεκφωνήσεως. ἡ δὲ κατὰ κρᾶσιν ἔτι δὲ καὶ συναίρεσιν ἐνεργείᾳ ἐστὶ συνίζησις.

1.42 ἤδη γὰρ ἐν αὐτῇ ἐνήργηται διὰ τῆς ὀλιγοσυλλαβίας ἡ συνίζησις, [καθὰ καὶ ἐν τῇ συνόδῳ τῆς ὀξείας καὶ τῆς βαρείας εἰς περίκλασιν περισπωμένου τόνου. καὶ αὐτὸ γοῦν συνίζησιν ὁ αὐτὸς καλεῖ, ἐν οἷς περὶ τοῦ ἀχρήϊος καὶ ἀχρεῖος διαλαμβάνων φησὶν ὅτι «ἡ γὰρ ὀξεῖα καὶ βαρεῖα συνίζουσαι περισπωμένην ποιοῦσιν». ἐκεῖ δὲ καὶ συναίρεσιν τὴν τοιαύτην συνίζησιν ὁ αὐτὸς εἰπεῖν δοκεῖ.] Ὅτι ἔοικεν ἡ τῶν Ἑλλήνων ἐν τῇ Τροίᾳ κατάστασις ἐκ δημοκρατίας συγκεῖσθαι καὶ βασιλείας, ὅπερ, οἷα εἰκός, καὶ ὁ Χρύσης εἰδὼς τούς τε Ἀχαιοὺς πάντας ἐλίσσετο καὶ τοὺς βασιλεῖς δὲ μάλιστα. ἦν γὰρ τοῦ δήμου μὲν παντὸς εἰπεῖν, βασιλέως δὲ τὸ «ὑστάτην» κατ᾽ Εὐριπίδην ἀφεῖναι «ὄπα» καὶ κυρῶσαι τὸ δοκοῦν, ὡς πολλαχοῦ δηλοῖ ὁ ποιητής, ὃς ἐνταῦθα μὲν τοῦ δήμου λαλήσαντος τὰ ὑπὲρ Χρύσου φησὶν ὡς οὐχὶ τῷ βασιλεῖ ταῦτα ἤρεσεν· ἐν δὲ τῇ ἦτα ῥαψῳδίᾳ ποιεῖ τὸν αὐτὸν βασιλέα τοῖς τοῦ δήμου ἀρεσκόμενον καὶ λέγοντα, ὡς οἱ μὲν Ἀχαιοὶ ταῦτα «ὑποκρίνονται, ἐμοὶ δ᾽ ἐπιανδάνει οὕτω». [Ἰστέον δὲ ὅτι τε κοινότερον τοῦ λίτω ἐνεστῶτος δι᾽ ἑνὸς ταῦ γραφομένου τὸ λίσσομαι καὶ τὰ ἐξ αὐτοῦ ἀναγκαίως διὰ δύο ς γράφονται καὶ ὅτι τὸ ἐλίσσετο ἐβιάσαντό τινες δασῦναι, ἵνα ᾖ, ὡς ἐστρέφετο εἰς πάντας δυσωπητικῶς.] (v. 16) Ὅτι ἐν τῷ «Ἀτρεΐδα δύω κοσμήτορε λαῶν» δοκεῖ παρέλκειν τὸ δύω. πάντως γὰρ ὁ ἀκούσας «Ἀτρεΐδα κοσμήτορε λαῶν» δύο νοεῖ, εἰ καὶ μὴ ῥητῶς τὸ δύο πρόσκειται. τοιοῦτον καὶ τὸ «δύο δοῦρε» καὶ ἕτερα. καλοῦσι δὲ καὶ τοῦτο ἀδολεσχίαν οἱ σοφοί, ὅτε δηλαδὴ τὸ ἀπό τινος νοούμενον λέξεως προστεθείη ἐκ περισσοῦ ἐκφωνηθὲν καὶ οὕτω διττολογηθῇ. τοιοῦτον καὶ τὸ «Πριαμίδην νόθον υἱόν». καὶ γὰρ καὶ ἐνταῦθα, ἐπειδὴ τὸ εἰπεῖν Πριαμίδην τὸν υἱὸν δηλοῖ τοῦ Πριάμου, παρελκόντως κεῖται τὸ «νόθον υἱόν» καὶ ἀδολεσχία τις εἶναι καὶ αὐτὸ δοκεῖ· λέγει γὰρ Πριάμου υἱὸν νόθον υἱόν. ὅμοιον καὶ παρὰ τῷ Κωμικῷ τὸ «διὰ μικρὸν ἀργυρίδιον». καὶ δίχα γὰρ τοῦ μικρόν ἀργύρου σμικρότητα δηλοῖ τὸ ἀργυρίδιον. ἔχουσι δὲ ἀπολογίαν τὰ τοιαῦτα, οὐ μόνον τὸν συνήθη τῇ ποιήσει πλεονασμόν, ἀλλὰ καὶ τὴν ἀπὸ τῆς τοιαύτης προσθήκης σαφήνειαν. καθόλου γὰρ οὐδεμίαν προσθήκην κενῶς ἀπορριπτεῖ ὁ ποιητής, ὡς καὶ ἀλλαχοῦ φανεῖται σαφέστερον. [περὶ δὲ τοῦ τοιούτου σχήματος ῥηθήσεταί τι καὶ ἐν τῇ ε′ ῥαψῳδίᾳ. οὐκ ἄδηλον δὲ οὐδ᾽ ὅτι τὸ «δύω» τινὲς εἰς τὸ «κοσμήτορε» συνέταξαν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἵνα ᾖ τοὺς δύο βασιλεῖς.] Κοσμήτορας δὲ πολλαχοῦ τοὺς ἡγεμόνας λέγει, ὡς κοσμοῦντας ἤτοι εὐτακτοῦντας τὸν λαόν.

1.43 κόσμος γὰρ ἡ τάξις ἐκ τοῦ κομῶ, τὸ ἐπιμελοῦμαι, ἀφ' οὗ καὶ ὁ πάντων περιεκτικὸς κόσμος, ὃν εὐτάκτως ἡ πρόνοια ἔταξεν. [ἀγαθὴ δὲ καὶ ἄλλως εἰς ἔπαινον ἡ λέξις. ἀπ' αὐτῆς γὰρ κόσμιος ἀνὴρ καὶ πρᾶγμα κατὰ κόσμον πραχθὲν τὸ εὔκοσμον, οὗ τὸ ἀνάπαλιν ἄκοσμον καὶ «μάψ, ἀτὰρ οὐ κατὰ κόσμον» γινόμενον.] Τὸ δὲ δύω δύναται μὲν καὶ διὰ τοῦ ο μικροῦ σῴζειν τὸ μέτρον, ἡ πλείων δὲ γραφὴ ἐκτείνει αὐτὸ κατὰ ἀναλογίαν τῶν εἰς ω ληγόντων δυϊκῶν ὀνομάτων. εἰ δέ τις μέμφεται τοῦτο, μεμφέσθω καὶ τὸ δυοῖν καθ' ὁμοίαν ἀναλογίαν ἐκφωνηθὲν καὶ τὸ τρεῖς καὶ τὸ τριῶν καὶ τὸ τρισίν, ὧν κλίσις μὲν διόλου οὐκ ἔστιν, αὐτὰ δὲ ὅμως πρὸς ὁμοιότητα πτώσεων ὀνομάτων ἐκπεφώνηται. [μαρτυρεῖ δὲ τῇ τοῦ δύω διὰ τοῦ ω μεγάλου γραφῇ καὶ τὸ κοινῶς γραφόμενον δυώδεκα, ἐξ οὗ τὸ δώδεκα.] (v. 17) Ὅτι ὥσπερ θώραξ ὅπλον σκέπον τὸν τοῦ ἡμετέρου σώματος θώρακα, οὕτω καὶ κνημὶς τὸ σκέπον τὰς κνήμας τῶν στρατιωτῶν. ἀφ' οὗ εὐκνήμιδες Ἀχαιοὶ ἀπὸ μέρους οἱ εὔοπλοι, ὡς καὶ ἐν τοῖς ἑξῆς ῥηθήσεται πλατύτερον. ἀρετὴ γὰρ στρατιώτου καὶ ἡ τῶν ὅπλων διευθέτησις. ὅτι δὲ καὶ ἐπὶ ὀρεινῶν τινων μερῶν, [ὥσπερ οἱ κνημοί, οὕτω καὶ] αἱ κνημῖδες λέγονται, ἀλλαχόθι γνωσόμεθα. ἐκτείνει δὲ τὴν λήγουσαν Ἀττικῶς καὶ ἡ κνημὶς καὶ τὸ εὐκνήμις. βαρύνεται δὲ τὸ εὐκνήμις κανόνι τοιούτῳ· τὰ εἰς ις θηλυκὰ ὀξύτονα εἰ μὲν ἐν τῇ συνθέσει φυλάσσει τὸ θηλυκὸν μόνον γένος καὶ τὸν αὐτὸν τόνον φυλάσσει, οἷον· σκελίς, περισκελίς. εἰ δὲ μεταληπτικὰ γίνονται καὶ ἀρσενικοῦ γένους, μεθίστανται εἰς βαρεῖαν τάσιν, οἷον· ἐλπίς, δύσελπις. τοῦτο γὰρ κοινόν ἐστι τῷ γένει. ταύτῃ τοι καὶ τὸ καταιγίς μὲν ὀξύνεται ὡς μονογενές, τὸ δὲ μελάναιγις βαρύνεται. οὕτω δὲ καὶ τὸ κληΐς εὐκλήϊς, κνημίς εὐκνήμις. ὁμοίως καὶ ψηφίς πολυψήφις, ὡς τὸ «πολυψήφιδα παρ' ὅρμον φεύγειν». καὶ οὕτω μὲν τὸ εὐκνήμις βαρύνεται, μακροκαταληκτεῖ δέ, καθὰ καὶ ἀλλαχοῦ δηλοῦται, καθότι, ὡς καὶ τῷ Ἡρωδιανῷ δοκεῖ, τὰ μὲν βαρύτονα τῶν εἰς ις ληγόντων συστέλλεται, τὰ δὲ ὀξύτονα ἐκτείνεται. τοῦ προτέρου, φησί, γένους ἐστὶ τὸ Ἄλεξις, Πρύτανις. οὕτω δὲ καὶ ὄφις, ἔχις, Θέτις. τοῦ δὲ δευτέρου, ἀκτίς, δελφίς, κρηπίς, ψηφίς, κνημίς καὶ τὰ τούτων σύνθετα. καὶ ἡ ἁψὶς δὲ οὕτως ἐκτείνει τὸ κατ' αὐτὴν τέλος, ὡς δηλοῖ τὸ «μή πως ὡς ἁψῖσι λίνου ἁλόντε». [Ἀλλαχοῦ δὲ ὁ αὐτὸς κανονίζων πιθανῶς τὸν τόνον τῆς ταχυτῆτος καὶ τῆς δηϊοτῆτος λέγει, ὅτι τὰ εἰς ς λήγοντα μετὰ μακρᾶς, ἡνίκα ὀξύνονται, τὴν παραλήγουσαν ἔχει ἐκτεινομένην· κνημίς· ψηφίς· γλωχίς· αἰδώς· ἠώς.

1.44 διὸ καὶ ἡ ἕως βαρυτονηθεῖσα συνέστειλε τὴν παραλήγουσαν. οὐκοῦν καὶ ἡ ταχυτής, φησί, καὶ ἡ δηϊοτής, εἰ ὠξύνοντο, βραχυπαραληκτεῖν εἶχον ἄν.] (v. 18) Ὅτι ὁ Χρύσης ἢ κολακεύων τοὺς Ἕλληνας εὔχεται κατὰ τῶν ὁμοεθνῶν Τρώων ἢ καὶ ἐνδιαθέτως, ὡς δι' ἐκείνους ἀποστερηθεὶς τῆς παιδός. εἰ γὰρ μὴ Ἀλέξανδρος ἥρπασεν, οὐκ ἂν ἡ παῖς ᾐχμαλώτιστο. διὸ οὐ μόνον ἐκπορθῆσαι αὐτοὺς εὔχεται τὴν τοῦ Πριάμου πόλιν, ἀλλὰ προσεπεύχεται καὶ εὖ οἴκαδε ἱκέσθαι αὐτούς, οἷα μαντικῶς εἰδὼς ὡς κακὰ ἐν τῷ νόστῳ πείσονται. σύντομος δὲ τῷ Χρύσῃ ἡ δημηγορία μόνων γινομένῳ τῶν καιρίων. οὐ γὰρ ἐπέτρεπεν αὐτῷ ἡ συστολὴ πλείω δημηγορεῖν, ὅσγε καὶ ἀπειλῆς ἀκούσας ἔδεισε καὶ οὐκέτι οὐδὲν οὐδ' ὅλως ἐλάλησε. πόλιν δὲ Πριάμου τὴν Τροίαν λέγει, ἐπεὶ καὶ κατὰ τὴν τραγῳδίαν «τοῦ κρατοῦντος ἡ πόλις νομίζεται». Ὅτι δὲ ὁ Πρίαμος παρὰ τὸ πρίασθαι λέγεται, ἱστορεῖ καὶ Λυκόφρων. ὅτε γάρ ποτε ἡ Τροία ἑάλω ὑφ' Ἡρακλέος, πριαμένη αὐτὸν Ἡσιόνη ἡ ἀδελφὴ καλύπτρας γυναικείας, αὐτὴ μὲν ἀπῆλθεν αἰχμάλωτος ὑπὸ Τελαμῶνι οὖσα, τὸν δὲ ἀδελφὸν ἀφῆκε ζώπυρον γένους ἐκεῖ ἔχοντα ἐπ' ὀνόματος τὸ τοῦ πρίασθαι ὄνειδος, ἐξ οὗ καὶ μετωνομάσθη Πρίαμος Ποδάρκης πρώην καλούμενος. [Ἰστέον δὲ ὅτι ἡ ἀρχὴ τῆς τοῦ Χρύσου δημηγορίας τὸ «ὑμῖν μὲν θεοὶ δοῖεν» συνίζησιν ἔχει τοῦ ε καὶ οι ἐν τῷ «θεοί» καὶ λογίζεται ποὺς εἷς μακρὸς ἐκ βραχείας συλλαβῆς καὶ μακρᾶς εἰς μίαν μακρὰν πρὸς ἀπαρτισμὸν σπονδείου ποδός. οὗ ἀνάπαλιν γίνεται ἐν τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«οἶδ’ ἀρετὴν οἷός ἐσσι». ἐκεῖ γὰρ μακρὰ συλλαβὴ καὶ βραχεῖα τὸ οι καὶ τὸ ος ἀντὶ μιᾶς εἰσι μακρᾶς. λέγονται δὲ καὶ οὗτοι οἱ στίχοι προκοίλιοι. τοῦ δὲ δοῖεν πρῶτον πρόσωπον τὸ δοίημεν, οὗ συγκοπέντος καὶ ἀπελθόντος τοῦ μ τὸ δοῖεν γίνεται.] Ὅτι Ὄλυμπος παρὰ τῷ ποιητῇ ὄρος Μακεδονίας ἢ καθ’ Ἡρόδοτον Θετταλίας ὑψηλότατον, θεῶν οἰκητήριον, κατὰ μύθου ἄδειαν θελήσαντος ὡς ἀνθρωποπαθέσιν αὐτοῖς καὶ τόπον τινὰ ἐξαίρετον δοῦναι εἰς ἀνθρωπικωτέραν διαγωγήν. ὅθεν καὶ Ὀλύμπιοι λέγονται. ἡ δὲ ἀλληγορία Ὄλυμπον τὸν οὐρανὸν λέγει ὡς οἷον ὁλόλαμπον. καὶ τάχα διὰ τοῦτο ὁ μῦθος οὐκ ἄλλο τι ὄρος αὐτοῖς ἔδωκεν, ἀλλὰ τὸν Ὄλυμπον διὰ τὸ ἔχειν δηλαδὴ συμβιβάζεσθαι εἰς τὸν λαμπρὸν οὐρανὸν τῇ ἀναπτύξει τοῦ ὀνόματος. ἔοικε δὲ ἐκ τοῦ ὁλόλαμπος συγκοπῆναι μὲν ἡ λα συλλαβή, τραπῆναι δὲ τὸ δεύτερον ο εἰς υ Αἰολικῶς, ὡς τὸ ὄνομα ὄνυμα, ἐξ οὗ καὶ τὸ ὀνυμαίνω καὶ τὸ νώνυμος καὶ τὰ τοιαῦτα.

1.45 διὸ καὶ ψιλοῦται τὸ Ὄλυμπος· ψιλωτικοὶ γὰρ οἱ Αἰολεῖς. εἰσὶ δὲ καὶ ἕτεροι Ὄλυμποι· ἔν τε γὰρ Πελοποννήσῳ, ὡς καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ ἐγράφη, καὶ ἐν Κύπρῳ δὲ ὄρος μαστοειδὲς μεταξὺ Κιτίου καὶ Ἀμαθοῦντος Ὄλυμπος λέγεται. καὶ ἄλλη δέ τις ἀκρώρεια Κύπρου ἐκαλεῖτο οὕτως, ἐν ᾗ ναὸς Ἀκραίας Ἀφροδίτης, ἄδυτος γυναιξί. καὶ περὶ τὰς ἀκρωρείας δὲ τοῦ Ταύρου Ὄλυμπος ὄρος καὶ φρούριον, ἀφ’ οὗ κατοπτεύεται πᾶσα Λυκία καὶ Παμφυλία καὶ Πισιδία κατὰ τὸν Γεωγράφον· καὶ λόφοι δέ, φησί, τῆς Ἴδης τέσσαρές τινες Ὄλυμποι ἐκαλοῦντο. ἔστι δὲ καὶ Βεβρύκων ὄρος Ὄλυμπος, οὗ ἐθνικὸν οἱ Ὀλυμπηνοί. ἦν δὲ καὶ αὐλητὴς ὀνομαζόμενος Ὄλυμπος, οὗ μέμνηται ὁ Κωμικός. [Ὅρα δὲ ὅτι Ὁμήρου Ὀλύμπια θεῶν δώματα εἰπόντος, ἐκεῖθέν πως ὁρμηθέντες οἱ ὕστερον Ὀλύμπια ὠνόμασαν τὸν ἐν Ἤλιδι μέγαν ἀγῶνα, οὐ τῷ Ὀλύμπῳ ἀλλὰ Ὀλυμπίῳ Διῒ παρονομάσαντες αὐτόν.] (v. 20) Ὅτι τὸ «παῖδα δέ μοι λύσατε φίλην, τὰ δ’ ἄποινα δέχεσθε, ἁζόμενοι Διὸς υἱόν» Ἀπίων καὶ Ἡρόδωρος, ὧν βιβλίον εἰς τὰ τοῦ Ὁμήρου φέρεται, διδόασι καὶ ἀπαρεμφάτως γράφεσθαι· «παῖδα δέ μοι λῦσαί τε φίλην, τὰ δ’ ἄποινα δέχεσθαι» λαμβανομένου, φασίν, ἀπὸ κοινοῦ τοῦ δοῖεν, ἵνα λέγῃ, ὅτι δοῖεν θεοὶ τήν τε παῖδα λῦσαι καὶ τὰ δῶρα λαβεῖν. τὸ δὲ ἁζόμενοι καθ’ ὑπερβατόν φασιν· Ἀτρεῖδαι καὶ Ἀχαιοί, ἁζόμενοι Διὸς υἱόν. Ὅτι ἄζω μὲν τὸ ξηραίνω ψιλοῦται παρὰ τὸ α στερητικὸν καὶ τὸ ζῆν· οὐ ζῶσι γὰρ τὰ ξηρά· καὶ ἀπ’ αὐτοῦ ἄζη ἐν Ὀδυσσείᾳ ἡ ξηρασία, καὶ Ἀζανία τόπος ἐν Πελοποννήσῳ οὐ πάνυ πολύϋδρος· ἅζεσθαι δὲ τὸ σέβεσθαι δασύνεται ἀπὸ τοῦ χάζω, τὸ ὑποχωρῶ. ἰστέον γὰρ ὅτι τοῖς μὲν τρισὶ ψιλοῖς συμφώνοις ψιλὸν πνεῦμα ἐπετίθετο, τοῖς δὲ τρισὶ δασέσι πνεῦμα δασύ. τοῦ τοίνυν χάζω κατὰ τὸν λόγον τοῦτον δασυνομένου, τὸ δασὺ πνεῦμα ἐναπέμεινε τῷ α μετὰ τὴν τοῦ δασέος χ ἀναχώρησιν. τοιοῦτον δέ τι, φασίν, αἴτιον καὶ τοῦ δασύνεσθαι τοῦ ἑταῖρος τὴν ἄρχουσαν ὡς ἀπὸ τοῦ ἔθους. ἑταῖρος γὰρ ὁ ἐν ἔθει τυγχάνων ἡμῖν. ἀνεπόδισεν οὖν, φασίν, ἡ τοῦ θ δασεῖα μετὰ τὴν εἰς ψιλὸν μεταβολὴν καὶ ἀναβέβηκεν εἰς τὴν ἄρχουσαν. [Ὅτι φύσει μὲν ἑκαβόλος ἐστὶν Ἀπόλλων ὡς ἑκὰς βάλλων· πρόνοια δὲ μετρικὴ δακτυλικὴ ἔτρεψεν αὐτὸν εἰς ἑκηβόλον. οὕτω δὲ σὺν μυρίοις ἄλλοις καὶ ἡ ἐλαφοβόλος Ἄρτεμις ἐλαφηβόλος ἐστίν.] (v. 22) Ὅτι εὐφημεῖν παρὰ τῷ ποιητῇ, ὡς καὶ ἀλλαχοῦ φανεῖται, οὐκ αὐτόχρημα τὸ ἐπαινεῖν, ἀλλὰ τὸ ἐνθεαστικῶς ἀγαθὰ λέγειν. διὸ ἐνταῦθα εἰπών «ἐπευφήμησαν πάντες Ἀχαιοί» ἐπάγει τί ἦν τὸ ἐπευφήμησαν «αἰδεῖσθαί τε ἱερέα καὶ ἄποινα δέχεσθαι».

1.46 ἰστέον δὲ ὅτι Εὐριπίδης ἐντεῦθεν λαβὼν ἔφη τὸ «λαοὶ δ’ ἐπερρόθησαν». Ὅρα δὲ τὸ πάντες. πάντως γὰρ τοῖς πᾶσι καὶ Ὀδυσσεὺς καὶ Νέστωρ συνεισάγονται καὶ οἱ λοιποὶ ἀριστεῖς. εἰ τοίνυν οὐ πεισθείη ὁ βασιλεύς, ὑπὲρ πάντας ἐθέλει φρονεῖν μόνος, ὅπερ ἐπισφαλές, εἴ γε «εἷς ἀνὴρ οὐδεὶς ἀνήρ». οἱ δὲ τοιοῦτοι πάντες ἐπαινετέοι μὲν τῆς εὐπειθείας· οὐ γὰρ ἀντιλέγουσι τῷ βασιλεῖ· θρηνητέοι δὲ τῆς ἀθλιότητος, εἴ γε πανωλεθρίαν πείσονται διὰ τὴν τοῦ ἄρχοντος πεισμονήν. εἴτε δὲ αἱρετὸς βασιλεὺς ὁ Ἀγαμέμνων τοῖς Ἀχαιοῖς εἴτε φυσικός, οὐ καλὸν ἦν αὐτοὺς ἀντιπίπτειν αὐτῷ. διὸ καὶ οὕτω ποιοῦσι δεικνύντος τοῦ ποιητοῦ οἵους εἶναι δεῖ τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρχομένους τῷ ἄρχοντι. σημείωσαι δὲ ὅτι τὸ παρ’ Ἡροδότῳ ἐπιφημίζεσθαι οὐ ταὐτόν ἐστι τῷ ἐπευφημεῖν, ἀλλὰ μαντικὴ λέξις ἐστὶ δηλοῦσα προφοράν τινα μαντείας δι’ ἀναμνήσεως ἐνυπνίου. [Ἰστέον δὲ ὅτι τὸ Ἀχαιός δίχα τοῦ κατὰ τὴν δίφθογγον ι προφέρουσιν οἱ Αἰολεῖς κατὰ τοὺς τεχνικούς, οἳ λέγουσιν ὡς διάλεκτοί τινες ἀποβάλλουσι τὸ ι τῆς αι διφθόγγου, οἷον Ἀθηναῖοι μὲν τὸ κλαίει κλάει λέγουσιν· οὕτω δὲ καὶ καίει κάει, αἰεὶ ἀεί, αἰετὸς ἀετός. Αἰολεῖς δὲ τὸ παλαιός καὶ Ἀχαιός καὶ ἑταῖρος πάλαος καὶ Ἄχαος καὶ ἕταρος. Ἴωνες δὲ σὺν Ἀττικοῖς τὸ χρύσειος, ἀργύρειος, χάλκειος καὶ τὰ ὅμοια, χρύσεός φασι καὶ ἀργύρεος καὶ χάλκεος. ὡς δὲ οἱ Αἰολεῖς πολλάκις ἐν ταῖς διφθόγγοις οὐκ ἀποβάλλουσιν, ἀλλ’ ἀρκοῦνται μόνῃ διαστάσει, ὡς ἐν τῷ Ἀτρεΐδης, Αἰγεΐδης, Ἀργέϊος, ἐξ ὧν τὸ Ἀτρείδης, Αἰγείδης, Ἀργεῖος, δηλοῦσι καὶ αὐτὸ οἱ παλαιοί. (v. 23) Ὅτι τὰ παρὰ τῷ Χρύσῃ ἀπερείσια ἄποινα ἀγλαὰ ἱστορεῖ Ὅμηρος, ὅ ἐστιν αἰγλήεντα ἢ ἀγαλλιᾶν ἔχοντα.] (v. 24) Ὅτι οὐ λέγει ὁ ποιητὴς ὡς οὐκ Ἀτρείδαις ἥνδανεν ὁ τοῦ Χρύσου λόγος, ἀλλὰ τῷ Ἀτρείδῃ, τῷ Ἀγαμέμνονι δηλαδή. αὐτὸς γὰρ καὶ τοῦ ἀδελφοῦ, ὡς εἰκός, προεῖχεν οἷα πρεσβύτερος. ὡς γὰρ καὶ Ἡρόδοτός φησι «νομιζόμενα ἤγουν νομιζόμενον ἔστι παρὰ πάντων ἀνθρώπων τὸν πρεσβύτερον ἄρχειν». τὸ δὲ ἥνδανε, [περὶ οὗ δηλοῦταί τι καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν], δασύνεται, ὡς δηλοῖ καὶ ἐν τῇ τραγῳδίᾳ τὸ ἀφανδάνοντα. γίνεται δὲ ἐκ τοῦ ἥδω κατὰ παραγωγὴν ἡδάνω καὶ τροπῇ τοῦ η εἰς α καὶ πλεονασμῷ τοῦ ν ἁνδάνω. τὸν ὅμοιον δὲ τρόπον γίνεται καὶ ἐκ τοῦ λήθω τὸ λανθάνω καὶ μήθω μανθάνω καὶ λήχω λαγχάνω καὶ δήκω δαγκάνω, ἐξ οὗ Ἡρακλείδης συγκεκόφθαι φησὶ τὸ δάκνω κατά τινας, οἳ ἔθος φασὶν Αἰολικὸν ἔτι δὲ καὶ Ἀττικὸν βαρύτονα ῥήματα συγκόπτειν, οἷον ἀγείρω ἄγρω «ἀγρόμενος πᾶς δῆμος», ἐγείρω ἔγρω «ἔγρετο δὲ Ζεύς», ὀφείλω ὄφλω· ἵνα εἴῃ οὕτω καὶ δαγκάνω δάκνω.

1.47 αὐτὸς μέντοι ἐκ τοῦ δήκω πεποιῆσθαί φησι τοῦτο δυσὶ διαλέκτοις, Δωρίδι καὶ Ἰάδι. οἵ τε γὰρ Δωριεῖς προστιθέασι, φησί, τὸ νῦ, οἵ τε Ἴωνες βραχύνουσι τὸ η διὰ τοῦ α , ὡς καὶ ἡ μεσημβρία δηλοῖ καὶ ἡ πάρη ἤγουν ἡ πήρη καὶ τὸ λελακυῖα καὶ μεμακυῖα. καὶ τοιοῦτον μὲν τοῦτο. εἰ δὲ τὰ προρρηθέντα ἐξ ὑποτακτικῶν κατά τινας γίνονται τοῦ ἅδω, λάθω, μάθω, λάχω, δάκω, εἴη ἂν αὐτοῖς ὅμοια καὶ τὸ φύγω φυγγάνω, τύχω τυγχάνω, θίγω θιγγάνω, ἐρύγω ἐρυγγάνω, πάθω πανθάνω. Ὅτι δύο εἴδη τοῦ ὑπερβατοῦ σχήματος. τὸ μὲν γάρ ἐστιν ἐννοίας διακοπὴ οἷον· ὁ Ἀγαμέμνων, βασιλεὺς δὲ ἦν Ἑλλήνων, ἐραστὴς γέγονε Χρυσηΐδος. τὸ δὲ ἕτερον, [ὃ οὐδὲ κυρίως ὑπερβατόν ἐστιν, ὡς ἐν τοῖς ἑξῆς που τεχνολογηθήσεται], ἐν διακοπῇ λέξεως θεωρεῖται, οἷον «λέων κατὰ ταῦρον ἐδηδώς», ἤγουν λέων καταφαγὼν ταῦρον, καὶ «διὰ τάφρον ἔβησαν», ἤγουν διέβησαν τὴν τάφρον, καὶ ἐνταῦθα (v. 25) τὸ «κρατερὸν δ’ ἐπὶ μῦθον ἔτελλεν» ἤγουν ἐπέτελλε λόγον κρατερόν. ἐπιτέλλειν δέ φησι τὸ προστάσσειν καὶ ἐντέλλεσθαι, ὅπερ καὶ παθητικῶς λέγεται ἐν τῷ «μή μοι ταῦτ’ ἐπιτέλλεο». ἐξ αὐτοῦ δὲ προσθέσει τοῦ ς παρ’ Αἰσχύλῳ ἐπιστολὴ ἡ ἐντολή. Ὅτι δὲ τὸ ἐπιτέλλειν καὶ τὸ ἐπιτέλλεσθαι καὶ ἐπὶ ἀστέρων λέγεται καὶ ἐπιτολὴ ἡ τούτων πρὸ τοῦ ἡλίου ἀνατολή, δηλοῦσιν οἱ παλαιοί. Κρατερὸν δὲ μῦθον τὸν μετὰ ἀπειλῆς λέγει λόγον. ἀλλαχοῦ δὲ τὸν αὐτὸν ἀπηνέα τέ φησι κρατερόν τε. οἱ δὲ μεθ’ Ὅμηρον καὶ Κρατερὸν ἱστοροῦσι κύριον ὄνομα. Ἀρριανὸς δὲ ἐπὶ νικητοῦ τὴν λέξιν τίθησιν, οἷον «ὁ δεῖνα κρατερὸς τοῦ δεῖνος γέγονεν». [Ἰστέον δὲ ὡς δοκεῖ ταὐτὸν εἶναι κρατερός εἰπεῖν καθ’ Ὅμηρον καὶ αὖ πάλιν κραταιός· ὅθεν καὶ ἡ ἐν Ὀδυσσείᾳ μυθικὴ Κράταιϊς. γίνεται δὲ ὁ μὲν κρατερὸς παρὰ τὸ κράτος, καθὰ ὁ καρτερὸς ἐκ τοῦ κάρτος. ὁ δὲ κραταιὸς ἢ παρὰ τὸ κρᾶτα, ὃ δηλοῖ τὴν κεφαλήν, κραταὸς καὶ πλεονασμῷ τοῦ ι κραταιός, ὁ ἐν ἑαυτῷ κεφαλαιῶν τὸ πᾶν· ἢ παρὰ τὸ κρατύς, οἷον «κρατὺς Ἀργεϊφόντης», οὗ γενικὴ κρατέος, καὶ παράγωγον ὁ κρατειὸς καὶ ὡς εἴθε αἴθε, οὕτω κρατειὸς κραταιός.] Σημείωσαι δὲ ὅτι μῦθον αἰεὶ ὁ ποιητὴς ἁπλῶς τὸν λόγον φησί· τὸ δὲ ἐπὶ ψευδοῦς λόγου τεθῆναι αὐτὸν τῶν ὑστέρων ἐστί. παραμένει δὲ καὶ μέχρι νῦν ἡ Ὁμηρικὴ χρῆσις ἔν τε ταῖς παραμυθίαις καὶ τοῖς παραμυθητικοῖς λόγοις. ὁ μέντοι λόγος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἦν ὅτε τὴν τῆς παρ' ἡμῖν ψευδομυθίας τάξιν εἶχεν, ὡς ὅτε τὸν Αἴσωπον λογοποιὸν ἀκούομεν ἀντὶ τοῦ μυθογράφον.

1.48 παρὰ δὲ τοῖς ὕστερον ὁ μὲν μῦθος εἰς ψευδολογίαν ἔρριπται, ὁ δὲ λόγος ἐπὶ τῆς ὁσημέραι ἀνθρωπίνης ὁμιλίας τίθεται. οὕτω καὶ τὸ εὐφημεῖν ἄλλως νῦν ἤπερ ἐπὶ Ὁμήρου λέγεται· καὶ ἄλλα δὲ μυρία τῆς ἀρχαίας ἐνήλλακται χρήσεως. πανтουργὸς γὰρ πάλαι μὲν ὁ πανοῦργος, ὡς καὶ παρὰ Σοφοκλεῖ, νῦν δὲ θεία ἐστὶν ἡ λέξις. καὶ ἡ συμφορὰ δὲ μέση οὖσα λέξις καὶ τιθεμένη ποτὲ καὶ ἐπὶ συμφέροντος, νῦν κακὸν μόνον δηλοῖ. ὁ τύραννος, τὸ βασιλικόν ποτε ὄνομα, βλασφημεῖται νῦν. ἐλέγετο ἐξαίσιον καὶ ἔκδικον τὸ ἔξω τοῦ αἰσίου καὶ δικαίου· νῦν δὲ ἀγαθολογοῦνται. χυδαῖοι οἱ πεπληθυσμένοι, νῦν δὲ οἱ οὐδαμινοί. πολλοστός οὐχ', ὡς πάλαι, ὁ πολὺς καὶ ἔνδοξος, ἀλλὰ ὁ τὸ μηδέν. ὠμός οὐχ' ὁ στερρὸς καὶ ἀνένδοτος, ἀλλ' ἐπὶ φαυλότητος νῦν. ὁ ἀνόσιος νῦν μὲν οἴδαμεν τί λέγει· πάλαι δέ ποτε ἐδήλου τὸν ἄταφον. οὕτω καὶ καθωσιωμένος ἀρχῆθεν μὲν ὁ ὅσιος, οἱ δὲ ὕστερον ἄλλως φασίν. ['Ιστέον δὲ ὡς τὸ «ἀλλ' οὐκ Ἀτρείδῃ ἥνδανε θυμῷ», ἤγουν ἀντιπτωτικῶς τῇ τοῦ Ἀτρείδου ψυχῇ, καὶ τὸ «κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε» διὰ τοῦ ἀναγραμματισμοῦ τοῦ ἐμφαινομένου ἐν τῷ θυμός καὶ μῦθος ὡς ψευδοπαρήχησιν ποιοῦσι, ὁποία σημειωθήσεται ἐν τοῖς ἑξῆς.] (v. 29) Ὅτι ὁ περί τινος μέλλοντος λέγων ἢ γράφων ποτὲ μὲν καιρόν τινα τίθησι, μεθ' ὃν ἐλπὶς ἔσται τελεσθῆναι τὸ πρᾶγμα, ποτὲ δὲ τοιοῦτον μέλλοντα καιρὸν ὑποτίθεται, μεθ' ὃν οὐκέτι ὅλως ἔσται τὸ πρᾶγμα. [ὃ καὶ ἔστιν εἰπεῖν ὑπόσχεσιν ἀπαρνητικὴν ἢ κατάθεσιν ἀτελεσφόρητον], οἷον· ὁ μὲν εἰπών, ὅτι οὐ παύσομαι ὀχλῶν, ἕως ἂν ἀνύσω τὸ σπουδαζόμενον, καιρὸν ἔθετό τινα ἐν τῷ μέλλοντι, καθ' ὃν παύσεται τοῦ ὀχλεῖν. ὁ δὲ εἰπών «οὐκ ἂν ἀποκριθείην σοι, ἄχρις ἂν ἐκτεμεῖς μου τὴν γλῶσσαν» τοιοῦτον καιρὸν ὑπέθετο μέλλοντος, οὗ ἐλθόντος οὐδ' οὕτως ἔσται τὸ πρᾶγμα. πῶς γὰρ ἂν ὁ τὴν γλῶσσαν ἐκτμηθεὶς ἔχοι λαλεῖν; ὁ τοίνυν οὕτω καιροσκοπῶν οὐδέποτε τὸ πρᾶγμα ἐπιτελέσαι βούλεται. πολλὰ τοιαῦτα σχήματα παρὰ τῷ ποιητῇ ἐν τοῖς ἑξῆς. πρὸ δὲ ἐκείνων ἐνταῦθα τοιοῦτόν ἐστι. λέγει τῷ Χρύσῃ ὁ βασιλεύς, ὅτι «οὐ λύσω τὴν Χρυσηΐδα πρίν μιν καὶ γῆρας ἔπεισιν ἐν Ἑλλάδι» τουτέστιν οὐδέποτε λύσω αὐτήν. εἰ γὰρ μὴ νῦν, ὅτε καὶ νεάζει καὶ τῆς πατρίδος ἐστὶν ἐγγύς, ὅτε περιὼν ὁ πατὴρ αὐτὴν ἐξαιτεῖται, ὅτε δῶρα δίδοται, πολλῷ πλέον οὐ λύσει αὐτὴν ὅτε μηδὲν τούτων γίνεται. καιρὸν οὖν ὑποτιθεὶς ὁ βασιλεύς, ἐν ᾧ ἔσται τὸ ὑπεσχημένον, ἀνάνευσιν τελείαν ποιεῖται τῆς πράξεως. ὅρα δέ, οἷος ἔσται ὁ βασιλεύς, ἐὰν μετὰ μικρὸν ἐξ ἀνάγκης ψεύσηται, καὶ οὔτε δῶρα λαβών, ἀλλὰ καὶ ἑκατόμβην προσεπιθεὶς τὴν παιδίσκην ἀποπέμψῃ τῷ πατρί.

1.49 καὶ τοῦτο μὲν τοιοῦτον. ἐν δὲ τῷ «καὶ γῆρας ἔπεισι» δοκεῖ ἐκ περισσοῦ κεῖσθαι καὶ πρὸς οὐδὲν ἀναγκαῖον ὁ και σύνδεσμος. Τὸ δὲ ἔπεισιν ἀντὶ μέλλοντός ἐστι τοῦ ἐπελεύσεται. πολλαχοῦ γὰρ οἱ παλαιοὶ χρόνους ἀντὶ χρόνων λαμβάνουσι. καὶ οὕτω μὲν ὁ ποιητὴς αἰτιατικῇ συντάσσει τὸ «ἔπεισι» λαβὼν αὐτὸ ἀντὶ τοῦ καταλήψεται. οἱ δὲ μεθ' Ὅμηρον δοτικῇ συντάσσουσιν, οἷον «ἔπεισί μοι ποιεῖν τάδε». τοιοῦτον δὲ καὶ τὸ «τοῖς μύρμηξι πονεῖν ἐπῄει». (v. 30) Ὅτι Ἄργος ἐνταῦθα, ὡς καὶ ἐν τοῖς ἑξῆς πολλαχοῦ, τὴν Πελοπόννησον λέγει εἰπών «ἡμετέρῳ ἐνὶ οἴκῳ, ἐν Ἄργεϊ». οὐ γὰρ τὸ ἰδίως οὕτω λεγόμενον Ἄργος, ἡ πόλις, οἶκος ἦν Ἀγαμέμνονος, ἀλλ' αὐτὸ μὲν ὑπὸ τὸν Διομήδην ἦν, ὁ δὲ Ἀγαμέμνων τῶν Μυκηνῶν ἦν βασιλεύς. ὅτι δὲ ἀπό τινος Ἄργου τὸ Ἄργος λέγεται καὶ εἴ τι ἄλλο εἰς τοῦτο ῥηθῆναι δεῖ, κατ' ἐπιτομὴν ζητητέον εἰς τὰ τοῦ Περιηγητοῦ. [Ὅρα δὲ ὡς ἐν ἑνὶ τόπῳ τὴν εν πρόθεσιν καὶ κοινῶς προήγαγε καὶ ποιητικῶς. τοιοῦτον γὰρ ἡ ἐνὶ κατ' ἐπέκτασιν, ἥτις ἐπέκτασις ὑπερτεθεῖσα ποιεῖ ἐκ δισυλλάβου τῆς ἐνι προθέσεως τὴν εἰν πρόθεσιν, οἷον «εἰν Ἀΐδαο δόμοισιν».] (v. 31) Ὅτι ἡ τοῦ βασιλέως πρὸς τὸν Χρύσην δημηγορία μίγμα ἔχει λυπηρῶν τε καὶ ἡδέων· λυπηρὸν μὲν τὸ μὴ λαβεῖν τὴν θυγατέρα καὶ τὸ μετὰ ἀπειλῆς ἀποπεμφθῆναι, ἡδὺ δέ πως ἡ περὶ τῆς παιδὸς ἀγαθὴ ὑπόσχεσις. οὐ γὰρ σιτοποιὸν αὐτὴν ἕξειν φησὶν ὁ βασιλεὺς οὐδὲ ὑδροφόρον, ἀλλὰ ἱστὸν ἐποιχομένην. ὃ δὴ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἑλένη ἐν Τροίᾳ ποιεῖ καὶ Πηνελόπη ἐν Ἰθάκῃ καὶ Καλυψὼ δὲ καὶ Κίρκη. Ἔτι δέ φησι «καὶ ἐμὸν λέχος ἀντιόωσαν», ὅπερ ταὐτὸν εἶναι δοκεῖ τῷ «λέχος πορσαίνουσαν» ἢ «πορσύνουσαν», ὃ ἐν τῇ γ' ῥαψῳδίᾳ κεῖται. τοῦτο δὲ εἴρηται μὲν σεμνῶς· ἔχει δέ πως μέσως κατὰ τὴν ἔννοιαν, ἵνα ὁ μὲν γέρων ἔχῃ νοεῖν ἀντὶ τοῦ μετέχουσαν καὶ κοινωνοῦσάν μοι κοίτης, ὁ δὲ λοιπὸς ἀκροατὴς ἀντὶ τοῦ ἀντῶσαν τῷ ἐμῷ λέχει τρόπον θαλαμηπόλου [σχολαζούσης παρὰ κοιτῶνα]. ἰστέον δὲ ὅτι Ὅμηρος μὲν οὕτω σεμνῶς ἔφρασε φειδοῖ τοῦ τε βασιλέως καὶ τῶν ἀκροατῶν. Θεόκριτος δὲ μιμησάμενος ἐν τῷ «αὐτή μοι στορέσει καλὰ δέμνια» σαφέστερον μὲν εἶπε, καθεῖλε δὲ τὴν ἡρωϊκὴν ἔμφασιν καὶ σεμνότητα.

1.50 τοιοῦτον δὲ καὶ παρ' Εὐριπίδῃ ἐν Ἑλένῃ τὸ «λέχος ὑποστρῶσαι». Σημείωσαι δὲ ὅτι ἐνταῦθα μὲν τὸ ἀντιόωσαν αἰτιατικῇ συνέταξεν· ἐν μέντοι τῷ «ἀντιόων ταύρων καὶ αἰγῶν ἑκατόμβης» γενικῇ τὸ ἀντιόων συντέτακται, διότι καὶ ἄλλο ἐκεῖνο τὸ ἀντιᾶν. τοῦτο μὲν γὰρ ἐπὶ ἁπλῶς ἐγγύτητος, ἐκεῖνο δὲ ἐπὶ γευστικῆς ἀπολαύσεως. Ἰστέον δὲ καὶ ὅτι ἐνταῦθα μὲν τὸ ο τὸ μικρὸν ἐπλεόνασεν, ὡς καὶ ἐν τῷ ὁρόωντες. ἀλλαχοῦ δὲ ἀντ' αὐτοῦ τὸ α εὕρηται, ὡς ἐν τῷ ἀντιάαν. οὕτω δὲ καὶ ἐν τῷ ὁράαν καὶ τοῖς ὁμοίοις. καὶ ὅτι τὸ ἀντιόων φύσει μὲν δευτέρας συζυγίας ἐστίν· ἀντιάω γὰρ ἀντιῶ· πλεονασμῷ δὲ τοῦ ο μικροῦ βαρυτονεῖται. καὶ ὅτι τὸ μικρὸν ο πλεονάζει ἐνταῦθα διὰ τὴν πρὸ αὐτοῦ βραχεῖαν παράληξιν εἰς δακτύλου ἀναγκαῖον ἀπαρτισμόν. τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ ὁρόω· καὶ ἐκεῖ γὰρ διὰ τὴν αὐτὴν αἰτίαν ὁμοία γέγονεν ἡ παρένθεσις καὶ ἐπὶ τοῦ «πυρὶ λαμπετόωντι». ὡσαύτως καὶ ἐπὶ τοῦ «φυσιόωντες». τὸ δ' ὅμοιον καὶ ἐπὶ τοῦ «ὀκριόωντο» ἀντὶ τοῦ ἐτραχύνοντο. οὕτω δὲ καὶ ἐπὶ τοῦ τηλεθόωντες, μητιόωντες, κελευτιόωντες, γοόωντες, βοόωντες καὶ τῶν ὁμοίων. εἰ δέ γε τοῦ πλεονάζοντος μακρὰ πρόκειται συλλαβή, οὐκέτι τὸ μικρὸν ο , ἀλλὰ τὸ μέγα ἐκεῖ παρεντίθεται, ἵνα ἐξ ἀνάγκης σπονδεῖος ποὺς ἀποτελεσθῇ, οἷον ἡβῶντες, ἡβώωντες. οὕτω δὲ καὶ τὸ ἱδρώωντες καὶ τὸ ὁρμώω, μαιμώω, αὐδώω καὶ ὅσα τοιαῦτα. καὶ ταῦτα μὲν οὕτως, [ἤγουν τὰ περὶ τοῦ οω βαρύτονα ὑπὲρ δύο συλλαβάς. περὶ δὲ τοῦ γνώω, ζώω, πλώω, ῥώω ἕτερος λόγος, ὡς καὶ περὶ τοῦ μνώω καὶ χώω.] Τὸ δέ «ἱστὸν ἐποιχομένην» περιφραστικῶς ἀντὶ τοῦ ὑφαίνουσαν. ἑστῶσαι γὰρ καὶ ἐπιπορευόμεναι ὕφαινον αἱ ποιούμεναι τὴν ἱστουργίαν διὰ τὴν τῶν ὑφαινομένων, ὡς εἰκός, πλατύτητα. πρώτη δέ τις Αἰγυπτία γυνὴ καθεζομένη ὕφανεν, ἀφ' ἧς καὶ Αἰγύπτιοι Ἀθηνᾶς ἄγαλμα καθημένης ἱδρύσαντο. καὶ ἄλλως δέ «ἱστὸν ἐποιχομένην» ἀντὶ τοῦ ἐπιστατοῦσαν ταῖς ὑφαινούσαις καὶ περιϊοῦσαν καὶ ἐπισκεπτομένην αὐτάς [τε καὶ ὅσα ἔργα χρήσιμα ταῖς ἱστουργούσαις. γυναικεῖον δὲ τὸ ἱστουργεῖν παρ' Ὁμήρῳ καὶ οὐκ ἂν παρ' αὐτῷ ὑφάνῃ ἀνήρ, εἰ μὴ ἄρα βουλάς· εἰ καὶ τοῖς ὕστερον μοχθηρῶς παρατολμᾶται κατά τι Αἰγύπτιον ἔθος, ὃ καὶ Σοφοκλῆς παρεσημήνατο ἐν Οἰδίποδι τῷ ἐπὶ Κολωνῷ. τοῦ δὲ ἀντιᾶν ἀρχή ἐστιν ἡ ἀντί μόνη πρόθεσις, ἀφ' ἧς καὶ ὄνομα ὁ ἀντίος, καὶ τὸ ἐξ αὐτοῦ ἐναντίον. Σημείωσαι δὲ ὡς ἐν τῷ τόπῳ τούτῳ σφοδρὰς ἐννοίας ἐπιεικῶς ὁ βασιλεὺς μεθώδευσεν· ἀντὶ γὰρ τοῦ εἰπεῖν «μή σε οὐδὲ ὁ θεὸς ὠφελήσῃ» καὶ «μή σε βλάψω δεινῶς» ἄλλα εἶπεν, ὡς δηλοῖ ἡ ποιητικὴ φραστική.

1.51 ] (v. 32) Ὅτι ὁ μὴ ἀνεχόμενος ἀκούειν τινὸς λαλοῦντος, ἃ κινήσῃ ἄν τινα εἰς θυμόν, καλῶς ἂν εἴπῃ τὸ «ἀλλ' ἴθι, μή μ' ἐρέθιζε». πρὸς δὲ γέροντα ὑποπτήξαντα ἐπὶ ἀπειλαῖς καὶ πεισθέντα εὖ ἔχει ῥηθῆναι τὸ «ἔδδεισε δ' ὁ γέρων καὶ ἐπείθετο μύθῳ». Σημείωσαι δὲ ὅτι Ὅμηρος οὐ μάτην ἐνταῦθα προσέθηκε τὸ γέρων, ἀλλ' ἢ φιλοσοφῶν ἑτοίμους φυσικῶς εἰς δέος τοὺς γέροντας εἶναι· τὸ γὰρ θαρρεῖν αὐτοὺς ἐπιλέλοιπεν· ἢ καὶ οἰκτιζόμενος τὸν Χρύσην ὡς παθόντα οὐκ ἄξια τῆς πολιᾶς καὶ οὐ δεόντως ἀπ' ἐλπίδος γενόμενον. Ἰστέον δὲ [ὅτι τε τοῦ ἔδδεισεν, ὅ ἐστιν ἐδειλίασε, πρωτότυπον τὸ δείω καὶ πλεονασμῷ τοῦ δ δείδω· καὶ ὅτι τὸ ἴθι λείπεται προθέσεως· δηλοῖ γὰρ τὸ ἄπιθι. καὶ] ὅτι ἀπὸ τοῦ εἴρω, τὸ εἰς μάχην συμπλέκω, γίνεται ἀποβολῇ τοῦ ι ἔρω· ἐξ οὗ ἐρέθω, ὡς φλέγω φλεγέθω, νέμω νεμέθω· ἀφ' οὗ τὸ ἐρεθίζω. τοῦ δὲ ἐρέθω ἡ χρῆσις ἐν τοῖς ἑξῆς, οἷον «ὅτ' ἄν με ἐρέθῃ», ἤγουν ἐρεθίζῃ, καὶ «μή μ' ἔρεθε ὀνειδείοις ἐπέεσσιν». [Ἰστέον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ καὶ ὅτι τεσσάρων τούτων ὄντων, τοῦ σάος, ὁ ὑγιής, τοῦ σῶς κατὰ συναίρεσιν, τοῦ σόος διὰ τοῦ ο μικροῦ Ὁμηρικῶς, καὶ τοῦ σῶος διὰ παραλήγοντος τοῦ ω μεγάλου, χρῆσις ἐνταῦθα κεῖται τοῦ σάος ἐν τῷ «σαώτερος ὥς κε νέηαι» ἤγουν ὅπως ἀνακρωτηρίαστος ἀπονοστήσῃς, ὃ μεγάλην ἀπειλὴν ἔχει κατὰ τοῦ γέροντος Χρύσου, εἰ καὶ εὐφήμως ἐσχημάτισται. παραλαλεῖ γὰρ ὡς ἀκρωτηριασθήσεται, εἰ μὴ ταχὺ μνήσεται νόστου, ὃς ἐκ τοῦ νέω παράγεται, οὗ ὑποτακτικὸν παθητικὸν Ἰωνικόν ἑνικόν, ἐξ ἐνδείας τοῦ τ , τὸ νέηαι, ἤγουν ἀπέλθῃς.] (v. 34) Ὅτι φλοῖσβος κατὰ ὀνοματοποιΐαν ἦχος ὕδατος θαλασσίου ἐν τῇ ἐκκυμάνσει γινόμενος πρὸς τοῖς αἰγιαλοῖς παλιννοστοῦντος τοῦ κύματος. διὸ καὶ πολύφλοισβος λέγεται θάλασσα. ἔστι δὲ ὅτε καὶ ἁπλῶς ἐπὶ θορύβου κεῖται, οἷον ἐπὶ πολεμικοῦ, ὡς ἐν τοῖς μετὰ ταῦτα φανήσεται. καὶ ἔστι μὲν καὶ ῥῆμα ὀνοματοπεποιημένον τὸ φλύω, οἷον «ἀνὰ δ’ ἔφλυε καλὰ ῥέεθρα». Οὐκ ἐκ τούτου δὲ γίνεται ὁ φλοῖσβος, ἀλλ’ ἴσως μάλιστα ἐκ τοῦ φλέω. διὸ καὶ ἔχει τὸ ο ἀντιπαρακείμενον. ἡ δὲ ὀνοματοποιΐα τρόπος ἐστὶ ποιητικὸς καὶ αὐτὴ μιμουμένη τοὺς τῶν σωμάτων ἤχους, καὶ γέμει ταύτης ἡ ποίησις, ὡς πολλαχοῦ δειχθήσεται.

1.52 ἐπενοήθη δὲ παρὰ τῶν παλαιῶν ἐπὶ πραγμάτων, ἃ οὐκ ὠνοματοθέτησαν οἱ πρὸ αὐτῶν, ὡς ἐν τοῖς ἑξῆς καὶ αὐτὸ ῥηθήσεται. (v. 35). Ὅτι τὰ εἰς θεν ἐπιρρήματα παρὰ τοῖς παλαιοῖς φωνήεντος μὲν ἐπιφερομένου ἐφείλκοντο χάριν εὐφωνίας τὸ νῦ οἷον «ἀπάνευθεν ἔρχεται». εἰ δὲ σύμφωνον ἐπεφέρετο, δίχα τοῦ ν ἐξεφωνοῦντο, οἷον «ἀπάνευθε κιών». [περιττὴ δὲ ἡ πρόθεσις ἐν τῷ ἀπάνευθε. μυρία δὲ τοιαῦτα φανεῖται καὶ ἐν τοῖς ἑξῆς. ἐκ δὲ τοῦ κιών ἐξέδραμεν ὄνομα ὁ κίων, ἀναγκαίως αὐτὸς βαρυτονηθείς.] Ὅτι τὸ γεραιός ἢ φύσει ἔχει τὸ ε , ὡς ἀπὸ τοῦ γέρας· γεραροὶ γὰρ καὶ τίμιοι οἱ γέροντες· ἢ ἀπὸ τοῦ γηραιός συνέσταλται, ὥς που καὶ ὁ μὴν σύνδεσμος μὲν λέγεται κατὰ συστολὴν καὶ τὸ ξηρὸν ξερὸν ἐν Ὀδυσσείᾳ. τὸ μέντοι μήν καὶ διὰ τοῦ α λέγεται μάν, καθὰ καὶ ἀπὸ τοῦ φρήν γίνεται καὶ τὸ φρεσί κοινῶς καὶ τὸ φρασί Δωρικῶς παρὰ Πινδάρῳ· [οὕτω δὲ κατὰ τὸ μήν καὶ μέν καὶ μάν τριφορεῖται καὶ ὁ Πρίαπος δέ· οὐ γὰρ μόνον διὰ τοῦ α προφέρεται ἀλλὰ καὶ Πρίεπος καὶ Πρίηπος λέγεται.] (v. 36) Ὅτι παρὰ τῷ ποιητῇ ἐπαμφοτερίζει ἡ ἄρχουσα τοῦ Ἀπόλλωνος καὶ ἐν μὲν τῷ «Ἀπόλλωνι ἄνακτι» [καὶ πρὸ τούτων ἐν τῷ «ἑκηβόλου Ἀπόλλωνος»] καὶ ἀλλαχοῦ δὲ ἐκτείνεται Ἀττικῶς καίτοι τῆς ἐν τῇ παραληγούσῃ τῶν προθέσεων ἀναλογίας συστέλλεσθαι ἀπαιτούσης αὐτό. ἐν δὲ τῷ «ἐχώσατο Φοῖβος Ἀπόλλων» καὶ ἐν ἄλλοις μυρίοις τόποις συστέλλεται. οὕτω δὲ καὶ τὸ Κρονίων διφορεῖται παρὰ τῷ ποιητῇ καὶ ἄλλα οὐκ ὀλίγα, εἰ καὶ οἱ νῦν στρυφνοὶ λογισταὶ τῶν στιχουργούντων μονόχρονα τὰ τοιαῦτα εἶναι θέλουσιν. Ἀπόλλων δὲ παρὰ τοῖς παλαιοῖς οὐκ εὐφήμως μέν, ὅμως δὲ φοβερώτερον ὁ ἥλιος, εἰς ὃν ἀναφέρεται τὰ λοιμώδη νοσήματα. ὥσπερ γὰρ Ποσειδῶν πῇ μὲν σεισίχθων τὸ φοβερόν, πῇ δὲ ἀσφάλιος τὸ εὔφημον, οὕτω καὶ ἥλιος πῇ μὲν ἀπόλλων, πῇ δὲ ἀλεξίκακος. εὐκράτως μὲν γὰρ ἔχουσαι διὰ τοῦ ἡλίου αἱ ὧραι ὑγείας εἰσὶν αἴτιαι, δυσκράτως δὲ διακείμεναι ἀπόλλουσιν.

1.53 οὕτω δὲ καὶ φωσφόρος ὢν ὁ αὐτὸς ἥλιος ὅμως νυκτὶ ἐοικέναι μετ’ ὀλίγα λεχθήσεται διὰ τὴν νοσερὰν ἢ νοτίαν τοῦ ἀέρος κατάστασιν. ὅτι δέ τινες ἐπελέγοντο τὰ φοβερὰ ἐπίθετα, δηλοῦσι καὶ οἱ ἐν ταῖς ἱστορίαις βασιλεῖς, ὁ Πολιορκητὴς καὶ ὁ Κεραυνός· καὶ ὁ Ἄρης δὲ ἀπὸ τοῦ βλάπτειν ὀνομασθῆναι δοκεῖ, ἐπεὶ καὶ βροτολοιγὸς ὁ αὐτός. τινὲς μέντοι ἐκ τοῦ ἀπολύειν παράγουσι τὸ Ἀπόλλων, ἵνα ᾖ μᾶλλον εὐφημότερον ἀπολύων τοὺς ἐν κατοχῇ κακώσεων. διὸ Μιλήσιοι κατὰ τὸν Γεωγράφον καὶ Δήλιοι Οὔλιον τιμῶσιν Ἀπόλλωνα ἤγουν ὑγιαστικόν· οὔλειν γὰρ τὸ ὑγιαίνειν· ὡς καὶ Ἄρτεμις, φησίν, ἀπὸ τοῦ ἀρτεμέας ποιεῖν, ὅ ἐστιν ὑγιεῖς. οὐκ ἔστι δὲ ὁ Ἀπόλλων μετοχικόν· ἐκλίνετο γὰρ ἂν Ἀπόλλοντος ὡς λέοντος· ἀλλὰ μάλιστα ῥηματικὸν ὡς τὸ Ἀγάλλωνος καὶ εἴ τι τοιοῦτον. φυλάσσει δὲ τὸ ω ἐν τῇ γενικῇ ὡς καὶ πάντα τὰ εἰς λων ὀνόματα λήγοντα. [Ὅτι δὲ ἐν τῷ ἄναξ ἄνακτος ἄνακτι ἐκ πλεονασμοῦ κεῖται τὸ τ , ὡς καὶ ἀλλαχοῦ φαίνεται, Ἡρακλείδης δηλοῖ εἰπὼν ὅτι Κύπριοι καὶ Ἀττικοὶ παρεντιθέασι ῥήμασι καὶ ὀνόμασι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ ταῦ, τὴν πόλιν πτόλιν λέγοντες καὶ τὸν πόλεμον πτόλεμον. τὸ δ’ αὐτὸ καὶ ἐν τῷ ἄνακτος καὶ νυκτός καὶ ἐν τῷ ἀνύω ἀνύτω, ὅθεν ὁ Ἄνυτος κύριον, καὶ ἐν τῷ ἀρύω ἀρύτω, ὅθεν ἡ ἀρύταινα, πλεονασμῷ τοῦ σίγμα, καὶ ὁ ἀρύστιχος.] (v. 37) Ὅτι τὸ ἐμοῦ καὶ σοῦ καὶ οὗ πενταχῶς κινεῖται. τὰ μὲν γὰρ πρωτότυπα ἐμοῦ σοῦ οὗ· ἡ δὲ διάλυσις ποιεῖ αὐτὰ ἐμέο σέο ἕο. ταῦτα δὲ συναίρεσις μὲν ποιητικὴ συναλείφει εἰς τὸ ἐμεῦ σεῦ εὗ· ἐπένθεσις δὲ τοῦ ι μετάγει εἰς τὸ ἐμεῖο σεῖο εἷο· παραγωγὴ δὲ μετασύρει αὐτὰ εἰς τὸ ἐμέθεν σέθεν ἕθεν. καί εἰσι τούτων πάντων αἱ χρήσεις παρὰ τῷ ποιητῇ. τὸ δὲ ἐμεῦ ἀποβαλὸν τὴν ἄρχουσαν ἐγκλίνεται ἤγουν τὸν οἰκεῖον τόνον ἀναπέμπει τῇ ὄπισθεν συλλαβῇ, οἷον «κλῦθί μευ, ἀργυρότοξε» τουτέστι λαμπρότοξε. οὐ γάρ ἐστι πλάσαι τόξον ὅλον ἀργύρεον. εἰ δὲ καὶ ἀνάκειται, ὥσπερ τῷ ἡλίῳ ὁ χρυσός, οὕτω τῇ σελήνῃ ὁ ἄργυρος, ὅμως οἰκειοῦται ὁ Ἀπόλλων ἥλιος καὶ τὸ τῆς σελήνης, ἐπεὶ καὶ ἐξ αὐτοῦ ἐκείνη ἔχει τὸ φῶς. [δῆλον δ’ ὅτι καὶ χρυσότοξος ὁ αὐτός.

1.54 διὸ καὶ Σοφοκλῆς «ἀγκύλα χρυσόστροφα» τὰ τοῦ Φοίβου τόξα λέγει.] Τὸ δὲ κλῦθι μεταπέπλασται ἀπὸ τοῦ κλῦε, ὡς καὶ ἑξῆς εἰρήσεται, καθὰ καὶ τὸ ἄνωχθι ἐκ τοῦ ἄνωγε. θέμα γὰρ εἶναι τοῦ κλῦθι τὸ κλῦμι οὐκ ἀρέσκει τοῖς παλαιοῖς. καὶ τὸ ἴθι δὲ ἀπὸ τοῦ ἴε μετεπλάσθη ἀορίστου δευτέρου, οὗ ἐνεστὼς εἴω, τὸ πορεύομαι. Ἰστέον δὲ καὶ ὅτι, καθάπερ ἀργυρότοξος ὁ κατὰ λαμπρότητα τοιοῦτος, οὕτω καὶ βιὸς ἀργύρεος μετ’ ὀλίγα ὁ λαμπρός. (v. 37 s.) Ὅτι ἀμφιβαίνειν παρὰ τῷ ποιητῇ ὡς ἐπὶ πολὺ τὸ σκέπειν καὶ περιέπειν, ὡς ὅτε λέων ἀμφιβαίνειν τοῖς σκύμνοις λέγεται ἢ κύων τοῖς σκυλακίοις. οὕτω δὲ καὶ ἐν μάχῃ νεκρῷ τις ἀμφιβαίνει ὑπερμαχῶν ἐκείνου. καὶ Ἀπόλλων οὖν ἀμφιβεβηκέναι λέγεται τὴν Χρύσην πόλιν καὶ τὴν Κίλλαν, οἷα σκέπων καὶ βαίνων ἀμφὶ αὐτάς. τάχα γὰρ ἄσυλον διέμεινε τό τε Κιλλαῖον ἱερὸν τοῦ Ἀπόλλωνος καὶ τὸ ἐν τῇ Χρύσῃ. διὸ καὶ περιουσιαζόμενος δῶρα εἶχε διδόναι ὁ Χρύσης εἰς λύτρα τῆς θυγατρός· [καὶ οὐχ’ ἁπλῶς, ἀλλὰ καὶ ἀπερείσια καὶ οἷα μὴ πρὸς αὐτοῦ τοῦ γέροντος φέρεσθαι, ἀλλὰ παρ’ ἑτέρων βαστάζεσθαι, ὡς εἰκός· εἰ καὶ Ὅμηρος αὐτὸ σιωπᾷ καθὰ καὶ τὸ κατ’ εἶδος τῶν δώρων, εἰωθὼς οὕτω ποιεῖν μυριαχοῦ, ἔνθα χρὴ καὶ σιωπᾶν τὰ μὴ ἀναγκαῖα λέγεσθαι. εἰ δὲ ἐν ταῖς Λιταῖς καὶ ἐν τοῖς κατὰ τὸν Ἕκτορα δώρων πολλῶν μνησθεὶς ἐξέθετο ἐκεῖ καὶ τὸ πλῆθος καὶ τοὺς φέροντας, ἀλλ’ ἐκεῖ πάνυ ἀναγκαῖον ἦν οὕτω ποιῆσαι τὸν Ὅμηρον. διὸ ἐξεγράψατο καὶ αὐτά. δῆλον δὲ ὅτι ὡς ἐπὶ πολὺ] περιεποιοῦντο τὰ ἱερὰ ἐν ταῖς ἁλώσεσι τῶν πόλεων. ὅθεν καὶ Ὀδυσσεὺς τῷ Μάρωνι ὡς Ἀπόλλωνος ἱερεῖ τὰ προσόντα ἐχαρίσατο. καὶ τῆς Τενέδου δὲ ἴσως διὰ τοῦτο ἶφι ἀνάσσειν φησὶ τὸν Ἀπόλλωνα, οὐ διότι οὐχ’ εἷλον αὐτὴν οἱ Ἕλληνες, ἀλλ’ ὅτι, ὡς εἰκός, διὰ τὸν Ἀπόλλωνα φιλανθρωπότερον τοῖς ἐκεῖ προσηνέχθησαν. ἔστι δὲ ἡ μὲν Τένεδος νῆσος Αἰολικὴ ποτὲ μὲν Λεύκοφρυς καλουμένη διὰ τὸ λευκὰς ἔχειν ὀφρῦς ἤγουν ἐξοχὰς περὶ τοὺς αἰγιαλούς· διὰ δὲ τὸν Τρωϊκὸν Τένην, οὗπερ ἕδος ἤτοι κατοικητήριον γέγονε, μετακληθεῖσα Τένεδος· ὅντινα Τένην διαβολὴ μὲν μητρυιᾶς Φυλονόμης ἢ Πολυβοίας συγκατέρριψε διὰ τοῦ πατρὸς Κύκνου εἰς θάλασσαν τῇ ἀδελφῇ Λευκοθέᾳ ἐγκλείσασα λάρνακι· ἡ δὲ Δίκη περισωσαμένη τῆς νήσου βασιλέα κατέστησεν. ἦν δὲ ἡ τῆς μητρυιᾶς διαβολὴ πρὸς τὸν Κύκνον ἐρωτική, ὁποία καὶ ἡ τῆς Ἱπποδαμείας πρὸς Πέλοπα καὶ ἡ τῆς Ἀντείας πρὸς τὸν Προῖτον, ὅτι δηλαδὴ ὁ Τένης ἐβιάζετο αὐτήν, καίτοι αὐτὴ οὕτως εἰς τὸν Τένην ἐποίησεν. εἴρηται δέ τι πλέον περὶ τῆς νήσου ταύτης καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ.

1.55 Ἡ δὲ Κίλλα πολίχνιον μὲν ἦν Τρωϊκὸν κείμενον περί που τὴν Ἀτραμυττηνὴν χώραν, ἠφάνισται δέ. τὸ δὲ ὄνομα ἔσχεν ἀπό τινος ἡνιοχοῦντος τῷ Πέλοπι, ὃς Κίλλας μὲν ἐκαλεῖτο· αὐτόθι δὲ τεθνεὼς καὶ ταφεὶς ἐτιμήθη πρὸς τοῦ Πέλοπος κτίσματι πόλεως, ἥτις δι’ ἐκεῖνον Κίλλα ἐκλήθη. καὶ ἀπ’ αὐτοῦ Κιλλαῖος Ἀπόλλων αὐτόθι καὶ ποταμός. ἔοικε δὲ ὁ Κίλλας διὰ τοῦ ντ κλίνεσθαι ὡς τὸ Πάλλας Πάλλαντος. διὸ καὶ οἱ κατὰ τὴν Κίλλαν ταύτην Κίλλαντες ἐκαλοῦντο. ἐν δὲ τοῖς τοῦ Πορφυρίου φέρεται, ὅτι ἡ Κίλλα εἶχεν ἱερόν, ὃ διέστηκε θαλάσσης πλέθρα τέσσαρα, πρόσχωμα ποιοῦντος μεταξὺ αὐτοῦ καὶ Χρύσης ποταμοῦ, ᾧ ὄνομα Κίλλαιος·

καὶ ὅτι δοκεῖ Πέλοπος εἶναι ἡνίοχος ὁ Κίλλας καὶ αὐτὸς ποιῆσαι τὸ ῥηθὲν ἱερόν, πρὸς ᾧ καὶ μνῆμα Κίλλου· ἀφ’ οὗ καὶ Κίλικες, φησίν, οἱ τὸ Θήβης πεδίον οἰκοῦντες. οὐ γὰρ Θηβαίους αὐτοὺς Ὅμηρος, ἀλλὰ Κίλικάς φησιν, ἑτερωνύμως δηλαδή, ὡς καὶ ἐπὶ ἄλλων ἐθνικῶν ὀνομάτων δειχθήσεται γινόμενον. φασὶ δὲ οἱ παλαιοὶ καὶ ἄλλην τινά που Κίλλαν εἶναι κατὰ τὴν Ἰουδαίαν, ἧς οἱ πολῖται Κιλλῆται καὶ Κιλλανοὶ ἐλέγοντο. πολλὰ δὲ τῶν ἀντιγράφων τὸ Κίλλας Κίλλος γράφουσιν ὡς Ὕλλος. συντομώτατον δὲ τοῦ Γεωγράφου ἐκεῖνο· Κίλλου μνῆμα ἐν τῷ ἱερῷ τοῦ Κιλλαίου Ἀπόλλωνος χῶμα μέγα. ἡνίοχος δὲ ἦν Πέλοπος ἡγησάμενος τῶν τόπων· ἀφ’ οὗ ἴσως, φησί, καὶ ἡ ἐκεῖ Κιλικία ἢ ἀνάπαλιν. ἀλλαχοῦ δὲ γράφει, ὅτι ἐν τῇ Ἀδραμυττηνῇ χώρᾳ καὶ ἡ Χρύση καὶ ἡ Κίλλα. ἦν δὲ καί τις τόπος ἄλλος Κίλλα πλησίον Θήβης, ἐν ᾧ Κιλλαίου Ἀπόλλωνος ἱερόν, ὅπου ποταμὸς ἐξ Ἴδης φέρεται ὁ Κίλλος. ἦν δέ, φησί, καὶ ἐν Λέσβῳ Κίλλαιον καὶ περί που τὰ Γάργαρα Κίλλαιον ὄρος. ἡ δὲ Χρύση πόλις μὲν ἦν καὶ αὐτὴ ὁμοίως Ἀδραμυττηνὴ πλησίον Θήβης τῆς μετὰ ταῦτα ῥηθησομένης. οὐκ ἔστι δὲ ἄρτι οὐδ’ αὐτὴ πάλαι ἀφανισθεῖσα, ὡς ἡ ἱστορία φησίν. ὅτι δὲ κοινῶς μὲν Χρῦσα, Ἰωνικῶς δὲ Χρύση· καὶ ὅτι πολλαὶ Χρῦσαι λέγονται, δηλοῦσιν οἱ παλαιοί. ἐγγύς τε γὰρ Λήμνου πόλιν Χρύσην ἱστοροῦσι καὶ περὶ Σκῦρον καὶ ἐν Ἑλλησπόντῳ οὐ μακρὰν Ἀβύδου. ἐλέγετο δέ, φασί, Χρύση καὶ ἀκρωτήριον περὶ τὴν Ἡφαιστίαν τῆς Λήμνου βλέπον πρὸς Τένεδον. ὅτι δὲ ἡ Ὁμηρικὴ Χρύση τῶν ἀνωτέρω ῥηθέντων Κιλίκων ἦν, ἐν τοῖς ἑξῆς μετ’ ὀλίγα δηλωθήσεται. παραλία δὲ ἦν, ὡς δηλοῖ καὶ τὸ «Χρῦσα πολίχνιον ἦν ἐπὶ θαλάσσῃ, ἔχον λιμένα». (v. 39) Ὅτι Σμινθεὺς Ἀπόλλωνος ἐπίθετον. καὶ οἱ μέν φασιν ἀπὸ Σμίνθης πόλεως περὶ Τροίαν, ὡς καὶ ὁ τὰ Ἐθνικὰ ἐπιτέμνων φησίν· ἧσπερ ὁ πολίτης καὶ Σμινθαῖος λέγεται καὶ Σμινθεύς, [ὡς εἶναι οὕτω Σμινθέα τὸν ἐν τῇ πόλει Σμίνθῃ τιμώμενον.

1.56 ] οἱ δὲ ἀπὸ τῶν σμίνθων, ὃ δηλοῖ τοὺς μύας, αὐτὸν οὕτω καλεῖσθαί φασι. δοκεῖ γάρ ποτε ἀναιρέτης γενέσθαι σμίνθων βλαπτόντων τοὺς ἐκεῖ, ὡς διὰ τοῦτο ναόν τε αὐτοῦ ἱδρυθῆναι καὶ αὐτὸν Σμινθέα κληθῆναι διὰ τοὺς ἀποσοβηθέντας μύας, οὓς οἱ ἐγχώριοι σμίνθους ἐκάλουν. φησὶ γὰρ ἡ ἱστορία, ὅτι ἐν τῇ Χρύσῃ Σμινθέως ἐστὶν ἱερὸν καὶ μῦς ὑπόκειται τῷ ποδὶ τοῦ ξοάνου, Σκόπα ἔργον τοῦ Παρίου, τὸ σύμβολον τὸ τὴν ἐτυμότητα σῷζον τοῦ ὀνόματος, ἤγουν ἐν ᾧ κεῖται ἡ τοῦ Σμινθέως ἐτυμολογία. ἡ δὲ τοῦτο λέγουσα ἱστορία καὶ τοξευθῆναι ὑπ’ Ἀπόλλωνος τοὺς μύας λέγει καὶ τὸ λήϊον ἐκτίθεται τὸ ὑπ’ ἐκείνων βλαπτόμενον λέγουσα ὅτι Κρίνιδος ἦν τινος, ὃς ἱερᾶτο Ἀπόλλωνι. [πρὸς ὃν Κρίνιδα ἔχει πως οἰκείως ὁ Χρύσης. ἐκεῖνός τε γὰρ εὖ ἔπαθεν ὑπὸ τοῦ Φοίβου ἐφ’ οἷς μύες τὰ ἐκείνου σινόμενοι λήϊα κατετοξεύθησαν. διὸ καὶ Σμινθέως ταὐτὸν δ’ εἰπεῖν μυοκτόνου Ἀπόλλωνος ἱδρύσατο ἱερόν. καὶ οὗτος ὁ Χρύσης, εἰ καὶ μὴ ἐφ’ ὁμοίων, ἀλλ’ ὅμως ἄλλως, ὡς ἐθέλει, προκαλεῖται τὸν Ἀπόλλω εἰς ἄμυναν, ὃ καὶ ὁ συνιερεὺς Κρῖνις πεποίηκεν.] Ὅτι δὲ καὶ μικρῶν τινων ἕνεκεν μεγάλας ἤθελον χάριτας ὀφλειν οἱ παλαιοὶ τοῖς ἐκδικηταῖς καὶ ὅτι ἐξ αὐτῶν ἐκείνους παρωνόμαζον, δηλοῦσιν αἱ ἱστορίαι. οἱ γὰρ περὶ Τραχῖνα Οἰταῖοι Κορνοπίωνα λέγονται τιμᾶν Ἡρακλέα χάριν ἀκρίδων ἀπαλλαγῆς ἤτοι παρνόπων, οὓς ἐκεῖνοι κόρνοπας λέγουσιν. Ἐρυθραῖοι δὲ Ἡρακλῆν Ἰποκτόνον σεβάζονται ὡς φθείροντα τοὺς ἀμπελοφάγους ἶπας, Ῥόδιοι δὲ Ἀπόλλωνα Ἐρυθίβιον, τὴν ἐρυσίβην ἐρυθίβην καλοῦντες. οὕτως οὖν ἀπὸ μικρῶν ἡ κλῆσις καὶ τῷ Σμινθεῖ Ἀπόλλωνι· ἀπὸ σμίνθων γάρ, οἵπερ μύες εἰσίν. οὕτω δὲ ἄξιος λόγου τοῖς παλαιοῖς ἐδόκει ὁ περὶ τοῦ Σμινθέως Ἀπόλλωνος μῦθος, ὥστε καὶ λόγοι Σμινθιακοὶ ἐγράφοντο καὶ μέθοδος ἦν εἰς τούτους ῥητορική. οἱ δέ τινες ἄλλην ἱστορίαν ἐκτίθενται περὶ τοῦ Σμινθέως λέγοντες ὅτι Τεῦκροι, Κρῆτες ἄνδρες, εἰς ἀποικίαν στελλόμενοι χρῶνται Ἀπόλλωνι. ὁ δὲ ἀποφοιβάζει ἐκεῖσε καταμενεῖν αὐτοὺς καὶ στῆσαι τὴν εἰς ἀποικίαν ὁδοιπορίαν, ἔνθα γηγενεῖς αὐτοῖς ἀντιπέσωσι. στέλλονται οὖν καὶ διαπεραιωσάμενοι προσβαίνουσι τοῖς Τρωϊκοῖς τόποις. καὶ οἱ μὲν ἐναγωνίως εἶχον, γηγενεῖς τινας καραδοκοῦντες ἄνδρας καὶ μεγάλην ἐκεῖθεν ἀντίταξιν. ὡς δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὕπνος εἶχεν αὐτούς, ἐξέρπουσι γῆθεν μύες, οὓς αὐτοὶ σμίνθους ἐκάλουν κατὰ γλῶσσαν ἐγχώριον, καὶ κατατρώξαντες τοὺς τῶν ὅπλων ἀναφορεῖς ἤτοι τελαμῶνας καὶ πᾶν δέ, εἴ τι αὐτοῖς ἦν ἐκ ζῴων ἀποδαρέντων, εἰς ἀχρηστίαν ὅπλων αὐτοὺς περιέστησαν.

1.57 ὡς οὖν ἀφυπνίσθησαν καὶ οὔτε ὅπλοις εἶχον χρᾶσθαι καὶ πολλὰ δὲ τῶν σκευῶν αὐτοῖς ἀπηχρείωτο μέγα τε διενοοῦντο κακὸν παθεῖν καὶ τοὺς μύας εἰς πολεμίους ἐνεγράφοντο. κἀντεῦθεν τὸν χρησμὸν ὀψέ ποτε συνεβάλοντο καὶ τοῦτο νοεῖν ἐκεῖνον σοφίζονται. καὶ αὐτόθι τε μένουσι καὶ πόλιν τοῖς σμίνθοις παρώνυμον κτίζουσι καὶ Σμινθέα τιμῶσιν Ἀπόλλωνα ἤγουν, ὡς ἂν εἴπῃ τις, διὰ σμίνθων χρήσαντα. ὃν καὶ ἱδρύουσι μυὸς ἐπιβεβηκότα, ὡσανεὶ πατάξαντα τὸ θηρίον, καθὰ προεκτέθειται. καὶ αὕτη μὲν ἱστορία Τρωϊκὴ περὶ ὁπλοφάγων μυῶν. Ἡρόδοτος δὲ καὶ Αἰγυπτιακὴν ἐκτίθεται ταύτην. ὅτι Ἀραβίων καὶ Ἀσσυρίων ἀφικομένων εἰς Αἴγυπτον ἐπιχυθέντες μύες ἀρουραῖοι κατέφαγον μὲν τοὺς φαρετρεῶνας καὶ τὰ τόξα, πρὸς δέ γε τῶν ἀσπίδων τὰ ὄχανα, ὥστε τῇ ὑστεραίᾳ φευγόντων αὐτῶν γυμνῶν ὅπλων πεσεῖν πολλούς. καὶ ἕστηκεν ὁ τῆς Αἰγύπτου τότε βασιλεὺς ἔχων ἐπὶ τῆς χειρὸς μῦν. ὁ δὲ Γεωγράφος λέγει καὶ ὅτι Ἴδη, τὸ Τρωϊκὸν ὄρος, ἀπὸ τῆς ἐν Κρήτῃ παρωνόμασται ὑπὸ τῶν ἐκ Κρήτης ἀφιγμένων Τεύκρων, οἷς ἐπέθεντο οἱ ἀρουραῖοι μύες. Ἡρακλέων δ’ ὁ Ποντικὸς πληθύοντάς φησι τοὺς παρὰ τὸ ἱερὸν μύας νομισθῆναι ἱεροὺς καὶ τὸ ξόανον οὕτω κατασκευασθῆναι βεβηκὸς ἐπὶ τῷ μυΐ. διάφοροι δέ, φησί, τόποι, ἐν οἷς τὸ τοῦ Σμινθέως ὄνομα. [Ἰστέον δὲ ὅτι ἔοικεν ὁ Σμινθεὺς καὶ Σμίνθιος λέγεσθαι, ὡς δῆλον ἐκ τῶν Σμινθιακῶν λόγων. ὡς γὰρ ἐκ τοῦ Σάμιος καὶ Ῥόδιος τὰ Σαμιακὰ καὶ τὰ Ῥοδιακά, οὕτω φαίνεται καὶ ἐκ τοῦ Σμίνθιος εἶναι τὰ Σμινθιακά. Τοῖς δὲ ῥηθεῖσι προσεπιθετέον καὶ ὅτι δεινόν τι τὸ τῶν μυῶν ἔθνος ἐπεισφρῆσαν κατὰ θεομηνίαν καὶ δυσαπάλλακτον, εἰ μὴ θεόθεν ἀπαχθείη. καὶ ἃ μὲν βραχὺς οὗτος χρόνος καὶ διέθετο τὴν τῶν Μακεδόνων ὄκνος καὶ εἰπεῖν. πρεσβύτερος δέ τις χρόνος ἔδειξε νέφος μυῶν περί που τὸν Μαρωνείτην ὄρειον ζυγόν, ἀνερειφθὲν εἰς ἀέρα καὶ τοίχοις οἰκημάτων βίᾳ προσαραχθὲν καὶ οὕτως ἐξολωλός. οὐ μόνον δὲ κάτωθεν ἀναλαμβανόμενοι, ἀλλὰ καὶ ἄνωθεν ἱστόρηνται μύες καταβρεχόμενοι. ὡς δὲ καὶ ἰχθύσιν ὗσεν ὁ θεὸς πολλαχοῦ, Ἀθήναιος ἱστορεῖ. Φαινίας γοῦν ἐν Χερροννήσῳ φησὶν ἐπὶ τρεῖς ἡμέρας ὗσαι τὸν θεὸν ἰχθύας. οὕτω δέ φασι καὶ βατράχους περὶ Παιονίαν καὶ Δαρδανίαν, ὧν καὶ τοσοῦτον ἦν πλῆθος, ὡς τὰς οἰκίας καὶ τὰς ὁδοὺς πληρῶσαι. ὡς δὲ κτείνοντες καὶ συγκλείοντες τὰς οἰκίας οὐδὲν ἤνυον, ἀλλὰ καὶ τὰ σκεύη ἐπληροῦντο καὶ μετὰ τῶν ἐδεσμάτων ἦσαν οἱ βάτραχοι συνεψόμενοι καὶ οὐδὲ τοῖς ὕδασιν ἦν χρῆσθαι οὐδὲ τοὺς πόδας ἐπὶ γῆν θεῖναι, οἷα συσσεσωρευμένων αὐτῶν—ὠχλοῦντο δὲ καὶ ὑπὸ τῆς τῶν τετελευτηκότων ὀσμῆς—ἔφυγον, φασί, τὴν χώραν. τί ἂν οὖν θαυμάσῃ τις, εἴπερ ἢ θῆρες ἐξερημοῦσι τόπους πλεονάσαντες ἢ στοιχειακός τις ὄλεθρος, οἷος καὶ ὁ διὰ ποταμῶν, εἴ γε καὶ ζῷα φαυλότατα δεινὰ ποιοῦσι κατὰ τόπων οἰκουμένων. λέγεται γοῦν ὡς καὶ τῇ Ἀνάφῃ νήσῳ Ἀστυπαλαιέως τινὸς δύο πέρδικας ἐπαφέντος οὕτως εὐφόρησε περδίκων ὁ τόπος, ὡς κινδυνεῦσαι ἀναστάτους γενέσθαι τοὺς νησιώτας.

1.58 Ἀστυπάλαια δέ, φασίν, αὖθις Ἀναφαίου τινὸς δύο λαγῳοὺς αὐτῇ ἐμβαλόντος οὕτω κακῶς ἔσχεν ὑπὸ πλήθους λαγῶν, ὡς τοὺς Ἀστυπαλαιεῖς περὶ αὐτῶν μαντεύσασθαι καὶ τὴν Πυθίαν εἰπεῖν κύνας τρέφειν καὶ κυνηγούς· ἁλῶναί τέ φασιν ἐν ἐνιαυτῷ πλείους τῶν ἑξακισχιλίων. τούτοις δὲ ὅμοια παθεῖν καὶ τοὺς περὶ Κάρπαθον οἶδε παροιμία ἡ λέγουσα ὁ Καρπάθιος τὸν λαγῳόν, περὶ ἧς καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ κεῖται. εἰ δὲ καὶ ἀκρίδες ἢ ὄφεις ἢ λαγιδεῖς τόπους τινὰς ἠρήμωσαν, ἔστιν ἐξ ἱστοριῶν ἀναλέγεσθαι.] Ὅτι ἐν οἷς Ὅμηρος ποιεῖ τὸν Χρύσην ἀναμιμνῄσκοντα, ὡς τόν τε ναὸν ἤρεψέ ποτε τῷ Ἀπόλλωνι καὶ πίονα μηρία ταύρων καὶ αἰγῶν ἔκηε, καὶ αὐτὸν μὲν ἀντὶ τούτων ζητοῦντα χάριν, τὸν δὲ Ἀπόλλωνα ὑπακούοντα καὶ χαριζόμενον καὶ τιμωρίαν ἐκ τῶν Ἑλλήνων ὑπὲρ αὐτοῦ λαμβάνοντα, παιδεύει τοὺς ἀκροατὰς

μεμνῆσθαι χαρίτων, εἴ γε καὶ ὁ Ἀπόλλων εὖ παθὼν ἀντευποιεῖ. οὕτω καὶ ἐν τοῖς μυθώδεσι παιδευτικὸς Ὅμηρος καὶ διὰ τοῦτο φιλοσοφία τις πρώτη ἐδόκει τοῖς πάλαι ἡ ποίησις εἰσάγουσα, φασίν, εἰς τὸν βίον ἐκ νέων καὶ διδάσκουσα ἤθη καὶ πάθη καὶ πράξεις μεθ' ἡδονῆς. καὶ διὰ τοῦτο τοὺς παῖδας διὰ ποιητικῆς ἐπαίδευον σωφρονιστὰς τοὺς ἀοιδοὺς οἰόμενοι, ὡς καὶ τὸν τῆς Κλυταιμνήστρας φύλακα, καὶ τὸν Ἵππαρχον παρατρέχοντες, ὃς ᾐτιᾶτο τοὺς φιλοτιμουμένους Ὁμήρῳ περιποιεῖν πᾶν μάθημα καὶ πᾶσαν τέχνην ὡς ἐὰν καί τις κατηγοροίη, φησί, τῆς Ἀττικῆς εἰρεσιώνης καὶ ἃ μὴ δύναται φέρειν μῆλα καὶ ὄγχνας, ποιητὴν ἔλεγον εἶναι τὸν σοφόν. τοῦτο δὲ πάντως διὰ τὸ τῇ ποιήσει πᾶν μάθημα καὶ τέχνην ἅπασαν ἐμφαντάζεσθαι. Σημείωσαι δὲ ὅτι τὸ τοιοῦτον τοῦ Ὁμήρου πλάσμα πιθανὰ καὶ τὰ κατὰ τὸν Ἀχιλλέα ποιεῖ. εἰ γὰρ ἐνταῦθα ὁ Χρύσης διὰ τὴν θυγατέρα λιταζόμενος τὸν Ἀπόλλωνα ἀνύει τὴν τῶν Ἑλλήνων κάκωσιν, πολλῷ πλέον ἐν τοῖς ἑξῆς ἡ Θέτις, μείζων οὖσα τοῦ Χρύσου καὶ μείζονα τὸν Δία ἱκετεύουσα ὑπὲρ τοῦ υἱοῦ, πλέον τι ποιήσει κακόν. (v. 39 s.) Ἰστέον δὲ καὶ ὅτι τὸ ἔρεψα σημαίνει μὲν τὸ ὠρόφωσα, παράγει δὲ ὄνομα ῥηματικὸν τὸν ὄροφον, ἐξ οὗ καὶ ὄροφος ὁμωνύμως δόναξ ποτάμιος, ἐπιτήδειος εἰς τὸ ἐρέφειν. πίονα δὲ μηρία καίειν λέγει τῷ Ἀπόλλωνι, διότι αὐτὰ ὡλοκαυτοῦντο μόνα ἐν ταῖς θυσίαις, τῶν δὲ λοιπῶν τοῦ ζῴου μελῶν ἐξῆν μετέχειν τοῖς θύουσιν, ὡς ἐν τοῖς ἐπιοῦσι φανήσεται. πίονα δὲ τὰ μηρία ἢ διὰ τὸ εὔλιπῆ ζῷα θύεσθαι ἢ διὰ τὸ λίπος τῆς κνίσσης, ὑφ' ἧς ἐκαλύπτοντο οἱ μηροί, καθάπερ μετ' ὀλίγα φησὶν ὁ ποιητής. [τοῦ δὲ ἔκηα ἐνεστὼς οὐ τὸ καίω κοινῶς, ἀλλὰ τὸ κάω Ἀττικῶς. ἰστέον γὰρ ὡς τριῶν τούτων, τοῦ καίω διὰ διφθόγγου καὶ τοῦ κάω καὶ τοῦ κέω διὰ τοῦ ε ψιλοῦ, ὃ πολλαχοῦ φανεῖται, ἀπὸ μὲν τοῦ καίω τὸ καύσω γίνεται τροπῇ συνήθει τοῦ ι εἰς υ κατὰ τὸ κλαίω κλαύσω, ἀπὸ δὲ τοῦ κάω τὸ ἔκηα, ἐκ δὲ τοῦ ψιλογραφομένου κέω τὸ «πυρὰ πολλὰ κειάμενοι» καὶ ἕτερα τοιαῦτα.

1.59 εἰ δὲ δόξει καὶ ἀπὸ τοῦ κάω εἶναι ὁ καύσω μέλλων, οὐδέν τι καινοπραγεῖται. κάω γάρ, καὶ πλεονασμῷ τοῦ υ καύω, ὡς λάω λαύω καὶ ἀπολαύω. ὡς οὖν ἀπολαύω ἀπολαύσω, οὕτω καύω καύσω καί, ὡς εἰκός, κλαύω κλαύσω. τοῦ γάρ τοι καίω ὁ μέλλων ἦν ἂν καίσω κατὰ τὸ παλαίω παλαίσω, παίω παίσω, ἐξ οὗ καὶ ποὺς ἀνάπαιστος καὶ πόλις Παισὸς καὶ συμπαίστωρ, ἔτι δὲ καὶ κατὰ τὸ πταίω πταίσω.] (v. 41) Ταύρους δὲ καὶ αἶγας ὁ Χρύσης τῷ Ἡλίῳ Ἀπόλλωνι θύει· τοὺς μὲν ἤτοι τοὺς ταύρους ὡς ἐργατικοὺς τῆς γῆς καὶ Ἡλίῳ συμπράττοντας εἰς τὸ ζῳογόνον καὶ ἀναδοτικὸν τῶν καρπῶν, αἶγας δὲ διά τε τὸ ὁρμητικὸν τοῦ ζῴου καὶ εἰς ὕψος ἁλτικόν, ὅγε καὶ ἀπὸ τοῦ ἀΐσσειν ὀνομάζεται, ἀλλὰ καὶ διὰ τὸ τὰ ἐξ αἰγῶν κέρατα εὔθετα εἶναι εἰς τόξου ποίησιν. τοξότης δὲ καὶ ὁ Ἀπόλλων, ὡς προϊὼν ἐρεῖ ὁ ποιητής. ὅθεν καὶ οἱ μνηστῆρες ἐν Ὀδυσσείᾳ τοῦ τόξου πειρώμενοι αἶγας ἐβουλεύσαντο θῦσαι τῷ κλυτοτόξῳ Ἀπόλλωνι. ὅτι δὲ ἄθυρμα οἱ βόες τῷ Ἀπόλλωνι, δηλοῦσι καὶ αἱ Σικελικαὶ ἀγέλαι τῶν βοῶν, ὧν οἱ φίλοι τοῦ Ὀδυσσέως ἔφαγον. ὅτι δὲ καὶ ἄρνες αὐτῷ ἐθύοντο, δηλώσει Ἀχιλλεὺς οἰόμενος ἀρνῶν καὶ αἰγῶν κνίσση θεραπευθήσεσθαι τὸν Ἀπόλλωνα. καὶ Πάνδαρος δὲ ἄρνας πρωτογόνους θύσειν αὐτῷ εὔχεται, καὶ ἐν ταῖς σπονδαῖς δὲ ἄρνα λευκὸν Τρῶες Ἡλίῳ ἱερεύουσιν. ὅτι δὲ καὶ προβάτων χαίρει ποιμνίοις, ἐν τῇ Ὀδυσσείᾳ λέγεται. ταῖς γὰρ ἀγέλαις ἐκεῖ τῶν τοῦ Ἡλίου βοῶν καὶ πώεα προβάτων συννέμονται. οὐκ ἀποστέργει δὲ οὐδὲ ὄνους. Ὑπερβόρεοι οὖν, ὡς ὁ Πίνδαρος ἱστορεῖ, τοιαῦτα ἐκείνῳ κνώδαλα ἔθυον. κατὰ δὲ Ἡρόδοτον καὶ Πέρσαι ἵππον αὐτῷ ἱέρευον ὡς ταχυτάτῳ τὸ ἐν τοῖς πεζοῖς ταχύτατον. καὶ ὅλως εἰπεῖν, νόμιον ἔχοντες οἱ Ἕλληνες τὸν Ἀπόλλωνα καὶ ζῳοτρόφον πάντων ἐκείνῳ τῶν τοιούτων ἀπήρχοντο. Ὅτι τὸ «τόδε μοι κρήηνον ἐέλδωρ» ἱκετεύων ἄν τις εἴπῃ καὶ εἰσακουσθῆναι ζητῶν. δηλοῖ δὲ ὅτι «τόδε μοι τέλεσον τὸ ἐπιθύμημα». (v. 42) Τὸ δέ «τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσιν» ἱκέτου λόγος δίκας λαβεῖν αἰτοῦντος ἐκ τῶν πολλὰ λυπησάντων. γίνεται μὲν τὸ μὲν κρήηνον ἀπὸ ῥήματος τοῦ κραιαίνω, ὥσπερ τὸ κρῆναι, ὅ ἐστι τελειῶσαι, ἀπὸ δισυλλάβου τοῦ κραίνω καὶ τὸ μιῆναι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ τοῦ μιαίνω. οὕτω δὲ καθ᾽ Ἡρωδιανὸν καὶ τὸ κυδῆναι ἐκ τοῦ κυδαίνω, εἰ καὶ κυδᾶναι, φησί, καθ᾽ ἡμᾶς λέγεται ὡς καὶ κερδᾶναι. ἐέλδωρ δὲ τὸ ἐπιθύμημά ἐστιν, ἀπὸ τοῦ ἔλδω γινόμενον ῥήματος πλεονασμῷ καὶ ἑτέρου ε .

1.60 φησὶ γοῦν που Ὅμηρος «ἧς ἔλδεαι ἤματα πάντα». εἰ δὲ καὶ τρισυλλάβως ἐέλδω εὕρηται, εἴη ἂν καὶ ἐκεῖθεν τὸ ἐέλδωρ. προϋπάρχει δὲ αὐτῶν τὸ ἔλω. δῆλον γὰρ ὡς ἔλοιτ᾽ ἄν τις τὸ ἐπιθυμητόν, ὥσπερ καὶ ἀνάπαλιν ἐπιθυμήσοι ἂν τοῦ αἱρετοῦ. εἰ δὲ δασύνεται μὲν τὸ ἑλεῖν καὶ ἑλέσθαι, ψιλοῦται δὲ τὸ ἔλδεσθαι, αἴτιον ἡ τοῦ δ ἐπένθεσις. καὶ τοιοῦτον μὲν τοῦτο. Τὸ δὲ τίσειαν εὐκτικὸν μέν ἐστιν Αἰολικόν· ἔπεσε δὲ καὶ εἰς χρῆσιν κοινήν. κανονίζεται δὲ καὶ αὐτὸ καὶ τὰ ὅμοια ῥήματα ἐκ πρώτων ἀορίστων ἐνεργητικῶν ληγόντων εἰς α ἐπεντεθείσης τῆς ει διφθόγγου πρὸ τοῦ α καὶ τῆς ἀρχούσης ἀποβληθείσης οἷον ἔλεξα λέξεια, ἔτυψα τύψεια, ἔγραψα γράψεια. οὕτω γοῦν καὶ ἔτισα τίσεια. εὔχεται δὲ τὰ τοιαῦτα ῥήματα κατὰ τοὺς παλαιοὺς σύντομον πράγματος ἄνυσιν καὶ τοῦτο μόνον διαφέρουσι τῶν κοινῶν εὐκτικῶν. οἷον τὸ μὲν τύψαις ἢ λέξαις ἢ γράψαις ἀόριστον ἔχει τὸν ἐπιθυμητὸν καιρὸν τοῦ εὐκταίου πράγματος, ὁ δὲ εἰπὼν τύψειας ἢ λέξειας ἢ γράψειας εὔχεται τάχιον ἀνυσθῆναι, ὃ εὔχεται· διό, φασίν, οὐ δεῖ λέγειν ἡμᾶς πρός τινα τὸ «ζήσειας εὐτυχῶς» ἤ τι τοιοῦτον, ἵνα μὴ δοκῶμεν εὔχεσθαι τάχιον αὐτὸν ἐλθεῖν εἰς τέλος τοῦ καλῶς ζῆν. τὸ δέ «τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσι» δοκεῖ μὲν ἀλόγως λεχθῆναι. διὰ τί γὰρ οἱ Δαναοί, οἳ ἐπευφήμησαν αἰδεῖσθαι αὐτόν, πείσονται κακὰ καὶ μὴ ὁ Ἀγαμέμνων; λύεται δὲ ὅτι Ἀγαμέμνονος μὲν θανόντος ὁ στρατὸς ἐλύετο καὶ ἡ Χρυσηῒς ἀπήγετο, αὐτῶν δὲ πιπτόντων καὶ τῆς αἰτίας ζητουμένης ἀπελάμβανε τὴν παῖδα. εἰ δὲ καὶ τῶν ὁμοεθνῶν Τρώων, ὡς δεδήλωται, οὐκ ἐφείσατο διὰ τὸ οἰκεῖον καλόν, πολλῷ πλέον τῶν Ἑλλήνων. ἔχει δὲ τὸ «τίσειαν» τριπλῆν ἔννοιαν ὡς πρὸς τὰ τρία τοῦ τίω σημαινόμενα· ἤγουν πρὸς τὸ τίω, τὸ τιμῶ, καὶ πρὸς τὸ τίω, τὸ ἀνταποδίδωμι, καὶ πρὸς τὸ τίω, τὸ τιμωρίαν δίδωμι, ἵνα λέγῃ ὁ γέρων ὅτι «τιμήσειαν οἱ Δαναοὶ τὰ ἐμὰ δάκρυα, κακωθέντες ὑπὸ σοῦ» ἤ «ἀνταποδοῖεν τὰ ἐμὰ δάκρυα καὶ ἀντικλαύσειαν»· ἢ [κατὰ νοῦν παθητικόν] «τιμωρίαν δοῖεν ἤγουν τιμωρηθεῖεν τοῖς σοῖς βέλεσι διὰ τὰ ἐμὰ δάκρυα» [καὶ ἀντιπτωτικῶς δὲ εἰπεῖν ἀντὶ τῶν ἐμῶν δακρύων.] καὶ ὅρα ὅτι καὶ ἐδάκρυσεν ἀποπεμφθεὶς ὁ γέρων, εἰ καὶ Ὅμηρος οὐκ ἐπεσημήνατο αὐτὸ ἀνωτέρω. καὶ σημείωσαι ὅτι πολλὰ τοιαῦτα εὑρήσεις παρὰ τῷ ποιητῇ τὰ λεγόμενα κατὰ τὸ σιωπώμενον, ὅπερ ἐστὶ σχῆμα λόγου καὶ αὐτό. ἐπειγόμενος γὰρ εἰς τὰ ἀναγκαῖα σιγᾷ τὰ μὴ πάνυ τοιαῦτα καὶ ἀφίησι τῷ ἀκροατῇ ἐπινοεῖν αὐτά. Ἰστέον δὲ ὅτι Δαναοὶ ἀπὸ Δαναοῦ οἱ Ἕλληνες, ἀδελφοῦ Αἰγύπτου. δίδυμοι δὲ οὗτοι παῖδες Βήλῳ τῷ Λιβύης, πολύπαιδες ἐκ διαφόρων γυναικῶν, Αἴγυπτος μὲν υἱοῖς πεντήκοντα, Δαναὸς δὲ θυγατράσι τοσαύταις. τούτων Δαναὸς μὲν θανάτῳ τοῦ πατρὸς ἦρξε Λιβύης, Αἴγυπτος δὲ Ἀραβίας. ἔνθα καὶ καταστρεψάμενος τὴν τῶν Μελαμπόδων, φασί, χώραν ἀφ᾽ ἑαυτοῦ ὠνόμασεν Αἴγυπτον. ἐπεὶ δὲ χρησμὸς ὑπέπτησσε τὸν Δαναὸν ἐπὶ τοῖς τοῦ Αἰγύπτου παισί, φεύγει ἐκεῖθεν, πρῶτος ναῦν κατασκευάσας Ἀθηνᾶς ὑποθήκῃ κληθεῖσαν πεντηκόντορον κατὰ τὸν ἀριθμὸν τῶν αὐτοῦ θυγατέρων, ἃς καὶ ἐνθέμενος τῇ νηῒ ἔφυγε καὶ εἰς Ἄργος ἐλθὼν βασιλεύει· καὶ ἀπ᾽ αὐτοῦ οἱ Ἕλληνες Δαναοί.

1.61 οἷα δὲ ὕστερον ἔπαθεν ὁ Αἴγυπτος, ἐλθὼν καὶ αὐτὸς εἰς Ἄργος, καὶ ὡς αἱ Δαναΐδες πᾶσαι πάντας τοὺς ἐκείνου κατέσφαξαν ἀφυλάκτως ὡς ἐν γάμῳ νυμφίους συσχοῦσαι δίχα μιᾶς ἢ δύο τινῶν, αἱ ἱστορίαι δηλοῦσιν. Ἰστέον δὲ ὅτι οὐχ᾽ ἁπλῶς οὕτω Δαναὸς ἐλθὼν κατέσχε τοῦ Ἄργους ἀπόνως ὑποχωρήσαντος αὐτῷ τοῦ τότε κρατοῦντος Ἑλλάνορος, ἀλλὰ διότι μετῆν αὐτῷ τοῦ Ἄργους ἀνέκαθεν διὰ τὴν τοῦ Ἰνάχου θυγατέρα Ἰώ, ἧς «πέμπτη γέννα πεντηκοντόπαις» κατὰ τὸν Αἰσχύλον ἦν ὁ Δαναός, καθὰ καὶ ὁ Αἴγυπτος. [Δάκρυα δὲ γίνεται παρὰ τὸ δάκνω. δακνομένης γὰρ οἷον ψυχῆς πρόεισι δάκρυον· (v. 43) Ὅτι ὥσπερ χρηστὸν εἰς φράσιν καὶ τὸ ἀπεῖπε καὶ τὸ ἀπείπατο, οὕτω καὶ τὸ ἔφη καὶ τὸ ἔφατο, καθὰ καὶ τὸ φάς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φάμενος. ὅθεν καὶ τοῖς Πυθαγορείοις ἐπεχωρίαζεν ἐπὶ τῶν διδασκαλικῶν ἀποφάσεων τὸ «αὐτὸς ἔφατο». Ὅτι Φοῖβος Ἀπόλλων ἢ ὡς οἷον φαόβιος, ἐπεὶ καὶ ἀργυρότοξος, ἢ καὶ παρωνύμως ἀπὸ τῆς μάμμης Φοίβης ἢ καὶ παρὰ τὴν φόβην, τὴν τρίχα, ὡς ἀκειρεκόμης. ἐξ αὐτοῦ δὲ ἐρρέθη τραγικῶς κατ’ ἀλληγορίαν τὸ «ἡλίου φοίβῃ φλογί».] Ὅτι τοὺς ποιητικοὺς δαίμονας καὶ θεοὺς τὰ μὲν ἄλλα σεμνύνει ἡ ποίησις, αἰὲν ἐόντας ἀποκαλοῦσα καὶ αἰειγενέτας καὶ ἀφθίτους καὶ ἀθανάτους καὶ πάντα δυναμένους δίχα τοῦ τὴν εἱμαρμένην ἀναλύειν καὶ μηδὲ ὁρωμένους, εἰ μὴ ἄρα ἐν μεταμορφώσει διὰ ἐνάργειαν, τὰ δ’ ἄλλα σωματώδεις αὐτοὺς πλάττει καὶ ἀνθρωποπαθεῖς, εἴγε καὶ τιτρώσκονται, ὡς Ἀφροδίτη καὶ Ἄρης καὶ Ἅιδης, καὶ κεραυνῷ βληθέντες οὐδὲ εἰς δεκάτους ἐνιαυτοὺς τὰ ἕλκη θεραπεύονται, βάλλονται δὲ καὶ ὑπὸ ἔρωτος Ἀθηνᾶς δίχα καὶ Ἀρτέμιδος· αὐταὶ γὰρ παρθένοι πλάττονται· καὶ δέος πάσχουσιν, ὡς οἱ δείσαντες ὑπὸ τῷ Βριάρεῳ, καὶ τρόμον ἐπὶ τῷ δέει, ὡς ἡ Ἀφροδίτη, καὶ φθονοῦσιν, ὡς ἡ Καλυψὼ αὐτοὺς αἰτιωμένη λέγει, καὶ ἐσθίουσι καὶ πίνουσι καὶ ὑπνοῦσι καὶ ὅλως πάντα πάσχουσιν ὅσαπερ ἄνθρωποι. οὕτω γοῦν καὶ ἐνταῦθα ὁ Ἀπόλλων ἥλιος ὑπακούει τῷ ἱερεῖ Χρύσῃ προκαλουμένῳ αὐτὸν εἰς ἄμυναν καὶ ἀναλαμβάνει θυμὸν καὶ ποιεῖ κακὰ εἰς τοὺς Ἕλληνας. τοῦτο δὲ οὕτω πλάττει ὁ ποιητὴς ἢ διότι ἐμψύχους οἱ ἀρχαῖοι σοφοὶ τοὺς ἀστέρας ἐνόμιζον καὶ μεγάλα ἐνεργεῖν δυναμένους καὶ μάλιστα τὸν ἥλιον, ὡς καὶ ὁ Παραβάτης δηλοῖ ἐν τῷ εἰς αὐτὸν ἐγκωμίῳ, ἢ διότι δαίμονας ἐφίστασθαι τοῖς ἄστροις ἐδόξαζον διατιθεμένους τὰ ἐν κόσμῳ οὐ μόνον καθ’ ἑαυτοὺς ἀλλὰ καὶ δι’ ἐπικλήσεων, ὅθεν καὶ τὰ κατὰ τὸν λοιμὸν ἐκ μαγικωτέρας μεθόδου οἴονταί τινες ὑπὸ τοῦ Χρύσου τεχνασθῆναι· ἢ καὶ διότι τὸ κατὰ τύχην φυσικῶς γενόμενον εἰς ἠθικὴν αἰτίαν ἀνάγει παιδευτικῶς ὁ ποιητής.

1.62 συνέβη μὲν γὰρ λοιμὸς κατὰ φύσιν. Ὅμηρος δὲ κατά τι θεῖον αὐτὸν γενέσθαι φησίν, ἵνα ὁ Ἀγαμέμνων δίκας δώσει, ἐφ’ οἷς τὸν Ἀπόλλωνα περιφρονήσας τὸν Χρύσην ἠτίμησε. καθόλου γὰρ ὁ ποιητὴς οὐδεμίαν εὔλογον εὐχὴν ἄπρακτον πίπτειν ἱστορεῖ, ἀλλ’ ἐάν τις δίκαια εὔξηται παρ’ αὐτῷ ἢ ἐχθροὶ πίπτουσιν ἢ σύμβολα δίδονται ἢ φίλοι ἐπανήκουσιν ἢ ἔργα εὐοδοῦνται ἢ ἁπλῶς ἀγαθὰ ἕτερα γίνονται. οὕτω παιδευτικὸς καὶ βιωφελὴς ὁ ποιητὴς καὶ ἐν μύθοις καὶ πλάσμασιν. ἰστέον δὲ καὶ ὅτι οὐ πάντας οἱ παλαιοὶ τοὺς παρ’ αὐτοῖς θεοὺς ἀνθρωποπαθεῖς ἐνόμιζον, ἀλλά φασιν ὡς τοῦ δαιμονίου φύλου τὸ μὲν ἐμπαθὲς οἶδεν ἡ ποίησις, ὡς προείρηται, τὸ δὲ οὐ τοιοῦτον, ὡς ὅτε λέγει «θεοὶ ῥεῖα ζώοντες» τουτέστι μετὰ ῥᾳστώνης καὶ ἀπαθείας. (v. 44) Ὅτι τὸ εἰπεῖν Ὀλύμπια κάρηνα οἰκειότερον ἐπὶ ὄρους νοεῖν ἤπερ ἐπὶ τοῦ οὐρανοῦ. Ὄλυμπος μὲν γὰρ τὸ ὄρος ἔχει κάρηνα ἤτοι ἐξοχάς. ὁ μέντοι οὐρανὸς σφαῖρα ὢν οὐκ ἂν κυρίως λέγοιτο κάρηνα ἔχειν. ὅλως γὰρ ὁ Ὅμηρος περὶ Ὀλύμπου ὡς μὲν ὄρους λέγειν ἔργον ἔχει καθὰ ποιητής, ὡς δὲ περὶ οὐρανοῦ ἀλληγορικῶς, πάρεργον. Τὸ δὲ κάρηνα ἐκ μεταφορᾶς εἴληπται τῆς τῶν ζῴων κεφαλῆς. οὕτω δὲ καὶ ἀπὸ ἄλλων μερῶν τοῦ σώματος ἄλλα κατὰ μεταφορὰν μέρη τοῦ ὄρους λέγεται, ὡς προϊοῦσι φανήσεται, οἷον ὀφρῦς ὄρους διὰ τὰς τῶν ζῴων ὀφρῦς, καὶ πόδες διὰ τοὺς πόδας, καὶ ἄλλα δι’ ἄλλα, [ὡς ἀκριβέστερον ἐν τῇ Βοιωτίᾳ φανεῖται. Ὅτι δὲ Ἰωνικὸν καὶ τὸ Οὔλυμπος κατὰ τὴν ἐπένθεσιν τοῦ υ , καθὰ καὶ τὸ οὐλομένην καὶ ὡς παρὰ τὸ ὁλολαμπὲς Ὄλυμπος ἐκλήθη ὁ οὐρανὸς καὶ ὡς Αἰολικὴν τροπὴν ἔχει τοῦ ο εἰς υ καὶ ὡς οὐκ ἀλόγως ψιλοῦται κατὰ τὴν ἄρχουσαν καὶ ὅτι τὸ κάρηνον καὶ ἑτεροίως ὀνομάζεται κοινῶς τε καὶ ποιητικῶς, δηλωθήσεται ἐν ἰδίοις τόποις.] (v. 45) Ὅτι ἔθος Ὁμήρῳ ἐν πολλοῖς πληθύνειν τὰ ἑνικά, ὡς ὅτε τὸ ἅρμα λέγει ἅρματα καὶ τὸ τοῦ Αἴαντος πρόσωπον πρόσωπα. οὕτω καὶ τὸ τοῦ Ἀπόλλωνος τόξον τόξα ἐνταῦθά φησι διὰ σεμνότητα, [εἰπών «τόξ’ ὤμοισιν ἔχων». ὅτι δὲ τόξα καὶ ἡ πᾶσα τοξικὴ σκευὴ ἐλέγετο, φανήσεται πολλαχοῦ ἐν τοῖς μετέπειτα. Ἰστέον δὲ ὅτι ἐκ τοῦ ἔω ὦ, τὸ ὑπάρχω, ὀξυτόνως μὲν κατὰ πρόσληψιν συλλαβῆς ὠμὸς καρπὸς ὁ μὴ μεταβληθεὶς εἰς πέψιν καὶ ὠμὴ τροφὴ ἡ μὴ ἑψηθεῖσα καὶ ὠμὸς ἄνθρωπος ὁ σκληρός.

1.63

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαρυτόνως δὲ ὦμος μέρος σώματος τὸ στερρῶς ὑπομένον τὰ ἄχθη.] Ὅτι ἐοίκασιν οὐ μικραὶ τοῖς παλαιοῖς αἱ φαρέτραι εἶναι οὐδὲ τοὺς ὀϊστοὺς ἔξω προκύπτοντας ἔχειν, ἀλλὰ ὅλους αὐτοὺς ἔσω στέγειν. καὶ δῆλον ἐκ τοῦ ἀμφηρεφέα φαρέτραν εἰπεῖν τὴν κύκλῳ ἐρεφομένην. ἔνθα ὅρα οὐ μόνον ὡς τὸ ἐρέφειν ἐπὶ φαρέτρας τέθεικε, μετενεγκὼν ἀπὸ τῆς τῶν οἰκοδομημάτων στέγης, ἐφ' ὧν κυρίως τὸ ἐρέφειν καὶ ὁ ὄροφος λέγεται, ἀλλὰ καὶ ὅτι οὐκ εἴθισται τὸ ἀμφηρεφὲς ἐπὶ οἴκου λέγεσθαι, εἰ καὶ ἀπὸ τοῦ ἐρέφειν γίνεται, ἀλλ' ἀποκεκλήρωται ἡ λέξις μόνῃ τῇ θήκῃ τῶν ὀϊστῶν διὰ τὸ φέρειν τὰ τρῶσαι δυνάμενα, ὥσπερ ὁ γωρυτὸς τῷ τόξῳ διὰ τὸ χωρεῖν τὸ ῥυτόν, ὅ ἐστι τὸ βίᾳ ἑλκυστόν. (v. 46) Ὅτι ὀνοματοποιΐα ἐστὶ μίμησις λεκτικὴ ποιότητος ἤχου. καλεῖται δὲ οὕτω διὰ τὸ ποιεῖσθαι δι' αὐτῆς ὄνομα ἤτοι λέξιν, ἥτις ὠνοματοπεποιημένη λέγεται. συνηρίθμηται δὲ τοῖς ποιητικοῖς τρόποις καὶ πλεονάζει μάλιστα παρὰ τῇ ποιήσει ἐπινοηθεῖσα ἐξ αἰτίας τοιαύτης. οἱ παλαίτατοι ἐν σοφοῖς ὀνοματοθέται, μήπω φθάσαντες ἅπασι σώμασί τε καὶ πράγμασι θέσθαι ὀνόματα, ὅτι μηδὲ ἦν εἰς γνῶσιν αὐτοῖς ἀθρόα ἐλθεῖν ἅπαντα, ἤλλαξαν τὸ χρεὼν ἀφέντες τὰ πλείω ἀνώνυμα. οἱ δὴ μετ' ἐκείνους ἀνεπλήρουν ὡς ἐκ διαδοχῆς, ἅπερ ἐλλέλειπτο. καὶ οἱ μέν τινες ἐτύγχανον οὗπερ ἤθελον καὶ ἐτίθεντο προσφυῶς ταῖς οὐσίαις ἑκάστων τὰ σφίσι δοκοῦντα ὀνόματα νομοθετοῦντες καὶ ἑτέροις οὕτω ποιεῖν, εἴποτε πρᾶγμά τι σκεπτόμενοι μὴ ἔχοιεν ὄνομα εἰς αὐτό. καὶ γέμουσι τοιούτων καινοφανῶν λέξεων αἵ τε τῶν σοφιστῶν αἱρέσεις καὶ αἱ φιλόσοφοι διατριβαί. οἱ δέ τινες ὄνομα παλαιὸν ἔχοντες εἶτά που ὅμοιόν τι εὑρηκότες ἀνώνυμον πρᾶγμα ὑπῆγον καὶ αὐτὸ τῇ παλαιᾷ κλήσει διὰ τὴν ἐμφαινομένην ὁμοιότητα. βοῦς γὰρ ὁ ἐργατικὸς τὸ πρῶτον ἐκλήθη καὶ κύων δὲ ὁ χερσαῖος, ὁ δὲ δυσώνυμος θαλάσσιος βοῦς καὶ ὁ ἔνυγρος κύων ὕστερον ἐξ ὁμοιότητός τινος τὰς τοιαύτας ἔλαχον κλήσεις. τὸ δ' αὐτὸ καὶ ἐπὶ ἑτέρων μυρίων ὁμωνύμως γέγονε. καὶ τοῦτό ἐστιν, ὃ τὴν ἐν ὁμωνυμίᾳ σύνοδον ἢ σύγχυσιν ἤθροισεν. ὡς γάρ τις ξενίζων μὲν πλείστους, οἰκίας δὲ μὴ τοσαύτας ἔχων, ὑφ' ἑνὶ σταθμῷ πλείους καταλύειν ἀφίησιν, οὕτω καὶ περὶ ὀνοματοθεσίαν ἠσχολημένος τις πολλάκις ὀνόματι ἑνὶ πρωτοθέτῳ πολλὰ ὑπήγαγεν ἕτερα λαλοῦντα καθ' ὁμωνυμίαν εἰς ἕν. ἡ τοιαύτη τῶν ὀνομάτων ἔνδεια καὶ τὰς πλείους τῶν ἀντωνυμιῶν ἐξεῦρε. πολλαχοῦ γὰρ τοῖς πάντῃ ἀγνώστοις αὐτὰς ἐπιλέγομεν ἀντὶ ὀνομάτων γνωστῶν ἀντονομασίαις ἀρκούμενοι. ἡ αὐτὴ στενοχωρία καὶ παραγωγὰς ὀνομάτων εἵλκυσε καὶ ἁπλότητας λέξεων εἰς συνθέσεις ἐκίνησεν. ἐντεῦθεν καὶ τὰ τροπικὰ περιείργασται μεταφέροντα ἐξ ἑτέρων εἰς ἕτερα καὶ τὴν πρώτην θέσιν τῶν ὀνομάτων καινοτομοῦντα πολυσχιδῶς. ὁ δ' αὐτὸς λόγος καὶ τὸ τῆς ὀνοματοποιΐας μιμηλὸν ἐτεχνάσατο. ἔνθα γὰρ οὐκ ἦν οὐσιώδη κλῆσιν εὑρέσθαι ἢ φθάσασαν τεθῆναι ἢ ῥᾶον δυναμένην ἄλλως γενέσθαι, ὀνοματοποιΐα ἐν τούτοις ἐπαρρησιάζετο ἐκ τοῦ κατά τινα κίνησιν ποιοῦ ἤχου δηλοῦσα τὸ ὑποκείμενον.

1.64 καὶ «πλείη μὲν πᾶσα γαῖα ταύτης, πλείη δὲ θάλασσα» καὶ οὐδὲ ἀὴρ αὐτῆς ἀπήλλακται. καὶ δηλοῦσιν αἱ βρονταί, αἱ βροχαί, αἱ βοαί, οἱ βόμβοι, οἱ φλοῖσβοι, οἱ ἦχοι, οἱ βρόμοι, τὰ λοιπά, ὅσα κατ' ἄμμον οὐδ' αὐτὰ ποσοῦνται. τοιούτου τρόπου ἐνταῦθα παρ' Ὁμήρῳ τὸ «ἔκλαγξαν ὀϊστοί». ὀνοματοποιΐα γάρ ἐστι καὶ αὐτὸ καὶ ποιότης ἤχου, ὃν ἐν συντόνῳ κινήσει ἀποτελοῦσιν ἔσω τῆς φαρέτρας οἱ ὀϊστοί. σημείωσαι δὲ ὅτι οἱ μὲν παλαιοὶ οὐ βούλονται, ὥσπερ τῶν ἄλλων ῥημάτων, οὕτω δὴ καὶ τὰς τῶν ὀνοματοπεποιημένων κινήσεις ἀεὶ ἀκριβολογεῖν, ἵνα μὴ τὴν ἰδιότητα τοῦ ἤχου τούτῳ τῷ τρόπῳ ἐν πολλοῖς ἐξαφανίζωσιν. εἰ δέ τις ἐνταῦθα περιεργάζεται τὸν τοῦ ἔκλαγξαν ἐνεστῶτα, ἢ κλάγγω ἐστὶν ὡς τὸ σφίγγω ἢ κλάζω ὡς τὸ πλάζω. τὸ δὲ ἐξ αὐτοῦ ἔχει πλεονασμὸν τοῦ ν δι' εὐρυφωνίαν, ὡς τὸ ἐπλάγχθη καὶ τὸ παλιμπλαγχθέντες ἀπὸ τοῦ πλάζω καὶ αὐτὰ γενόμενα. καιρία δὲ λέξις τὸ ἔκλαγξαν. διὸ καὶ ἐπιμένει αὐτῇ ὁ ποιητὴς ὄνομα παραγαγὼν ἐξ αὐτοῦ τὴν κλαγγὴν καὶ εἰπών «δεινὴ δὲ κλαγγὴ γένετ' ἀργυρέοιο βιοῖο». λειότερον δὲ ἡ κλαγγὴ τῆς κραυγῆς, ὡς καὶ τὸ κλάζειν καὶ κλώζειν τοῦ κράζειν καὶ κρώζειν

προσηνέστερα. διὸ κορώνη μὲν ἢ κόραξ κράζειν ἢ κρώζειν λεχθήσονται διὰ τὸ τραχὺ τῆς τοῦ ζῴου φωνῆς· γέρανος δὲ κλάζειν καὶ αὐτή, οὐ μὴν κράζειν λεχθήσεται. οὐ γὰρ ἡ φωνὴ τῆς γεράνου κατὰ τὴν τοῦ ρ ἐκφωνεῖται τραχύτητα, ἀλλὰ κατὰ τὴν τοῦ λ λειότητα. ὅτι δὲ τὸ κλάζειν καὶ ἡ κλαγγὴ οὐκ ἐπὶ μόνων ὀϊστῶν καὶ τόξου καὶ γεράνου, ἀλλὰ καὶ ἐπ' ἄλλων λέγεται, οἷον καὶ ἐπὶ συῶν, δειχθήσεται ἀλλαχοῦ. ὅτι δὲ καὶ ἡ ἀμφασία καὶ ἡ ἀμβροσία καὶ τὸ ἄμβροτον καὶ τὸ χρίμπτειν καὶ τὸ ῥίμφα καὶ ὁ κόμπος καὶ ὁ κομψὸς καὶ τὸ πίμπλασθαι καὶ τὸ καταπιμπρᾶν καὶ ἄλλα πλεονασμὸν ἔπαθον τοῦ ν διὰ σεμνότητα φωνῆς, ὡς καὶ τὸ ἔκλαγξαν καὶ τὸ «λίγξε δὲ βιός» καὶ τὸ λέλογχε καὶ ἄγγελος καὶ τὸ καγχαλᾶν, φανήσεται ἐν ἰδίοις τόποις. [εἰ δὲ ἡ κλαγγὴ τῶν τοῦ Ἀπόλλωνος ὀϊστῶν ὡς ἡλίου ἦχον δηλοῖ τινα ἐμμελῆ ἀποτελούμενον ὑπὸ τῆς ἡλιακῆς σφαίρας ἐν τῷ κινεῖσθαι, ὃ Πυθαγόρας μὲν ἤθελε ληρεῖν, ἄλλοι δὲ ἀνέτρεψαν, ζητητέον καὶ ἐν τοῖς Ἡρακλείτου εἰς τὸν Ὅμηρον.

1.65 ὡς δὲ μόνος παρ' Ὁμήρῳ τοξότης ἐν θεοῖς Ἀπόλλων, καθὰ καὶ ἡ ἀδελφὴ Ἄρτεμις, ὁ Ὁμηρικὸς μῦθος οἶδε βοηθούμενος καὶ ὑπὸ ἀλληγορίας εἰς ὅσον ἐγχωρεῖ.] Ἰστέον δὲ καὶ ὅτι ὁ μῦθος οὐδεμίαν τῶν τεχνῶν ἀδέσποτον ἀφίησιν, ἀλλὰ πάσαις δαιμόνιά τινα ἐφιστᾷ, οἷον ταῖς χειρωνακτικαῖς τὴν Ἀθηνᾶν, ταῖς μαχίμοις τὸν Ἄρην, τὸν Ποσειδῶνα τῇ ναυτιλίᾳ. καὶ ἡ ἀλληγορία θεραπεύει τὰ τοιαῦτα, καθάπερ αὐτῇ δοκεῖ. καὶ αὐτὰ δὲ τὰ στοιχεῖα οὕτω πως ὁ μῦθος ἀπομερίζει, μέλεσθαι μὲν τὴν γῆν λέγων νύμφαις καὶ Δήμητρι, θάλασσαν δὲ ἀνιεὶς Ποσειδῶνι καὶ Τρίτωνι καὶ τοῖς ἀμφὶ τὸν Νηρέα, ὑπὸ τῷ Διῒ δὲ ποιῶν ὅσον ἀνώτερον. καὶ τί δεῖ τὰ τοῦ μύθου λέγειν, ὅπου γε τὸ τῆς ἀποτελεσματικῆς σοφίας περίεργον οὐδὲν ἀφῆκε τῶν περὶ γῆν, ὃ μὴ τέθεικεν ὑπὸ τῇ τῶν πλανήτων ἐπικρατείᾳ, οὐ μόνον περὶ τὰ μεγάλα φιλοτιμούμενον, ὧν ἓν καὶ τὰ μέταλλα, ἀλλὰ καὶ μέχρι αὐτῶν κρομύων καὶ σκορόδων σμικρολογούμενον. ὁ τοίνυν μῦθος οὕτω τὰ πάντα διανέμων προϊστᾷ καὶ τῆς τοξευτικῆς τέχνης τὸν Ἀπόλλωνα κοινωνὸν αὐτῷ διδοὺς καὶ τὴν Ἄρτεμιν. καὶ ἡ μὲν ἀλληγορία ταῦτα νοεῖ λέγεσθαι ἢ διὰ τὸ ἐν ἀκτινοβολίαις ἐκηβόλον τῶν τοιούτων ἀστέρων ἤγουν Ἀπόλλωνος ἡλίου καὶ Ἀρτέμιδος σελήνης ἢ καὶ ὅτι δοκοῦσιν οὗτοι συνεπαρήγειν τι τοῖς τοξεύουσιν. ὁ δὲ μῦθος οὐδὲν τοιοῦτον περιεργαζόμενος λέγει σωματικώτερον, ὅτι τε φαρέτραν ὁ Ἀπόλλων ἐνάπτεται καὶ τόξον χειρίζεται καὶ ὀϊστὸν ἀφίησι καὶ βάλλει καὶ οἱ βαλλόμενοι πίπτουσι καὶ πυκναὶ πυραὶ αὐτῶν καίονται. ἃ δὴ καὶ ἀποδέχεται Ἀρίσταρχος, ὥς φασιν οἱ παλαιοί. ἐκεῖνος γάρ, ὡς καὶ προείρηται, οὐδέν τι τῶν παρ' Ὁμήρῳ ἀλληγορεῖν ἤθελεν, οἷον τὸν Δία εἰς οὐρανὸν ἀνάγειν ἢ ἥλιον ἢ ἀέρα ἢ νοῦν, Ἀθηνᾶν δὲ εἰς φρόνησιν ἢ γῆν ἢ αἰθέρα, Ἥραν δὲ εἰς ἀέρα ἢ βασιλείαν, Ἄρην δὲ εἰς θυμὸν ἢ πόλεμον καὶ Ἥφαιστον εἰς πῦρ καὶ ἄλλους εἰς ἄλλα· ἀλλὰ πάντα κατὰ τὸ προφερόμενον καὶ προφαινόμενον τοῦ μύθου ἐνόει. εἰ δὲ καὶ τρόπος ποιητικὸς ἡ ἀλληγορία, ἀλλ' ἐκεῖνος ἀλληγορίαν ῥητορικὴν ἐνόει, τουτέστι σχῆμά τι ῥητορικὸν ἀλληγορίαν οὕτω καλούμενον, περὶ οὗ ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. (v. 47) Ὅτι τὸ «ὃ δ' ἤϊε νυκτὶ ἐοικώς» ἡ μὲν ἀλληγορία ἐπὶ Ἀπόλλωνος ἤγουν ἡλίου λέγει, ὡς ἐν τῷ καιρῷ τοῦ λοιμοῦ μὴ καθαρῶς ἀκτινοβολοῦντος μηδὲ φοίβου ὄντος ταῖς ἀκτῖσι κατὰ τὸ «ἡλίου φοίβῃ φλογί», ὅ δή φησιν Αἰσχύλος, ἀλλὰ διὰ τὴν παχύτητα τοῦ ἀέρος ἀμυδρὰν καὶ ἀμαυρὰν καὶ ζοφώδη κατάστασιν ἔχοντος.

1.66 ὅτι γὰρ λοιμώδης νόσος ἦν ἡ τοῦ Ἀπόλλωνος τοξεία κατὰ τῶν Ἀχαιῶν καὶ ὅτι τοῦ τοιούτου κακοῦ αὐτὸς αἴτιος, πάντες οἱ παλαιοί φασι. καὶ οὕτω μὲν ἡ ἀλληγορία. ἡ δὲ ῥητορικὴ ἐπιβολὴ νυκτὶ ἐοικέναι λέγει τὸν βλοσυρὸν καὶ ἄγριον τὴν ἰδέαν, ὥσπερ αὖ ἥμερον τὸν μὴ τοιοῦτον, τὸ μὲν ἀπὸ τῆς ἡμέρας—πραΰ γάρ τι καὶ εὐπρόσωπον ἡ ἡμέρα—ἐκεῖνο δὲ ἀπὸ τῆς νυκτὸς δυσπροσόπτου οὔσης καὶ διὰ τοῦτο φοβερᾶς. ὅθεν καὶ δειδία λέγεται παρὰ τὸ δεδιέναι. διὰ τοῦτο καὶ τὸν Ἕκτορά που νυκτὶ ἐοικέναι τὰ ὑπώπια λέγει διὰ τὸ δεινὸν καὶ δυσαντίβλεπτον. [Τοῦ δὲ ἤϊε τὸ θέμα εἴω, ἐξ οὗ συνῃρημένον τὸ εἶω, περὶ οὗ ῥηθήσεται καὶ ἐν τοῖς ἑξῆς. ἰστέον

δὲ ὅτι τὸ «νυκτὶ ἐοικώς» παραβολικόν τί ἐστιν, ὡς ἐν τοῖς ἑξῆς ῥηθήσεται, ὅπου κεῖται τὸ «ἠΰτ' ὀμίχλη». δῆλον δὲ τοῦτο ἐκ τοῦ ἐοικώς, ᾧ σύστοιχον ἡ εἰκὼν ἡ καὶ παραβολή.] (v. 49) Ὅτι πολλάκις αἱ διάφοροι σημασίαι ἀλλαγὴν ποιοῦνται τοῦ τόνου, ὥσπερ ἐπί τε ἄλλων ἔστιν ἰδεῖν καὶ ἐπὶ τοῦ βιός καὶ βίος. βίος μὲν γὰρ βαρυτόνως ἐπὶ τῆς ἀνθρωπίνης διαγωγῆς ἢ ζωῆς· βιός δὲ ὀξυτόνως τὸ τόξον, ὅπερ ἢ ἀπὸ τῆς βίας γίνεται κατὰ τοὺς παλαιούς, ὅ ἐστι δυνάμεως—βίας γὰρ χρεία εἰς τὴν τόξου τάσιν—ἢ παρὰ τὸν βίον. δι' αὐτοῦ γὰρ δοκοῦσιν οἱ παλαιοὶ πορίζεσθαι τὰ εἰς τὸ ζῆν. διὸ καὶ ἀστείως ὁ σκοτεινὸς Ἡράκλειτος ἔφη, ὡς ἄρα τοῦ βιοῦ ἤτοι τοῦ τόξου τὸ μὲν ὄνομα βιός, τὸ δὲ ἔργον θάνατος. παρωνόμασται μὲν γὰρ ἐκ τοῦ βίου, ὡς τοῦ ζῆν αἴτιος, θανατοῖ δὲ τοὺς βληθέντας καὶ στερίσκει τοῦ ζῆν. [Ἰστέον δὲ ὅτι ἐνταῦθα τὸ «δεινὴ δὲ κλαγγὴ γένετ' ἀργυρέοιο βιοῖο» ἀνόμοιόν ἐστι πρὸς τὸ «νευρὴ καλὸν ἄεισε χελιδόνι ἰκέλη ἄντην». ἐκεῖ γὰρ ἱλαρὰ ἡ κλαγγή. τὸ δέ «ἀργυρέοιο βιοῖο» συντελεῖ εἰς τὸ Φοῖβον εἶναι τὸν ὡσανεὶ φαόβιον. πάντως γὰρ τοιοῦτος ὁ ἀργυρόβιος ἤτοι λαμπρότοξος.] (v. 48) Ὅτι τὸ ἀπάνευθε τῶν νεῶν καθεσθῆναι τὸν Ἀπόλλωνα καὶ ἐγχειρῆσαι τῇ τοξείᾳ καὶ πρῶτα μὲν οὐρῆας καὶ κύνας βαλεῖν, εἶτα δὲ καὶ τοῖς Δαναοῖς βέλος ἐχεπευκὲς ἐπαφεῖναι, κατὰ μὲν τὴν πιθανότητα τοῦ μυθικοῦ πλάσματος ἔργον τοξότου δηλοῖ, ὡς μὴ δυναμένου τὸ οἰκεῖον ἀνύειν, εἰ μὴ ἀπάνευθε γενόμενος ἀφήσει βέλη. οὐ γὰρ ἀγχέμαχος ὁ τοξότης, ἀλλὰ διαστήματος μακροτέρου δέεται τοπικοῦ. ἡ μέντοι ἀλληγορία τοιαῦτά τινα ἐπὶ τούτοις βούλεται λέγουσα, ὅτι τοῦ περὶ Ἕλληνας λοιμοῦ ἡ μὲν ἱστορία φυσικὸν αἴτιον ὑλικὸν δίδωσι, τήν, ὡς εἰκός, φθοροποιὸν μεταβολὴν τοῦ περιέχοντος ἐξ ἀναθυμιωμένων σηπεδόνων, ἃς ὁ περὶ τὴν Ἴδην τόπος ἀνεδίδου ὑπὸ ἀνάγοντι τῷ Ἀπόλλωνι τουτέστι τῷ ἡλίῳ οὐ μόνον πολυπῖδαξ ὤν, ἀλλὰ καὶ πολυπόταμος κατὰ τὴν παλαιὰν ἱστορίαν τήν τε ἄλλην καὶ τὴν Ὁμηρικήν.

1.67 ὃς δὴ λοιμὸς ἀπάνευθε νεῶν ἐκ τῶν ἐνδοτέρω πεδιάδων ἀρξάμενος πρῶτα μὲν πάσης νομαδιαίας ἐκεῖ ἀγέλης ἥψατο διὰ τὸ ἐγγυτέρω εἶναι τοῦ πρωτοπαθοῦς ἀέρος καὶ εὐθὺς μεταλαμβάνειν αὐτοῦ τῇ κάτω πρὸς τὴν γῆν νεύσει, πλέον δὲ τοὺς ὀρέας ἔβλαψεν, οἳ καὶ αὐτοὶ κάτω κεκυφότες, ἀδιαφορήτου σήψεως μετέχοντες, ἔτι καὶ διὰ τὸ ἐξ ἀνομοειδῶν καὶ διαφερόντων τῇ φύσει σύνθετοι εἶναι, εὐπαθέστερον εἶχον πρὸς τὸ λοιμῶδες πάθος καὶ ἄλλως αὐχμηρῶς καὶ ξηρῶς τῆς κράσεως ἔχοντες, καθὰ καὶ οἱ κύνες, ὥς φασιν οἱ παλαιοί, ὡς μὴ ἀντέχειν τῇ τοῦ ἀέρος θερμότητι, ναὶ μὴν καὶ ὀσφρήσεως εὖ ἔχοντες καὶ δι' αὐτὸ ῥᾷον φθειρόμενοι. φασὶ γὰρ τὰς ἡμιόνους ἀπολειφθείσας τινῶν ἀνευρίσκειν δι' ὀσφρήσεως τὴν ὁδόν. ὅθεν καὶ αὐταὶ μὲν ῥᾷον ὑπὸ τοῦ λοιμοῦ ἔπασχον, μάλιστα δὲ οἱ καθαροῦ ἀέρος δεόμενοι κύνες ᾔσθοντο τοῦ κακοῦ διὰ τὴν ὀξύτητα καὶ αὐτοὶ τῆς ὀσφρήσεως ὀξὺ μετειληφότες τῆς κακώσεως καὶ μάλιστα ἐὰν καὶ ἀργοὶ καθ' Ὅμηρον ἦσαν, ὅ ἐστι λευκοί, ὡς τῶν λευκῶν, φασί, σωμάτων διὰ τὸ ἀραιότερον εὐπαθεστέρων ὄντων ἤπερ τὰ μέλανα. πρωτοπαθῶς μὲν οὖν ὀρέες καὶ κύνες ἐκακώθησαν, δευτέρως δὲ καὶ ἄλλα ζῷα, εἰ καὶ Ὅμηρος ἐκεῖνα σιγᾷ τρόπῳ ποιητικῷ ἐκ μέρους δηλώσας τὸ πᾶν. εἶτα καὶ ἀνθρώποις ἐπεδήμησε τὸ κακὸν ὀψέ ποτε ταῖς ναυσὶν ἐπιχωριάσαν διά τε τὸ ἀνωφορεῖσθαι αὐτοῖς τὸ τῆς ὀσφρήσεως αἰσθητήριον καὶ διὰ τὸ ἀφεστάναι τῶν τόπων, ἐν οἷς οἱ φαῦλοι αὐχμοὶ τὸν ἀέρα ἔχραναν καὶ διὰ τὸ τῆς τροφῆς ἴσως καθάρειον καὶ τὸ τοῦ σώματος ἐκ γυμνασίων ἀπέριττον. καὶ οὕτω μὲν ἡ ἱστορία θεωρεῖ τὰ τοῦ λοιμοῦ [ἐφιστῶσα καὶ ὡς, εἰ μὴ πρωτοπαθῶς γῆθεν εἰσφρεῖται τὸ λοιμῶδες, ὡς τοῖς χερσαίοις προσπίπτειν, ἀλλ' ἐκ διεφθορότος τοῦ ὑψοῦ ἀέρος ἐστὶ τὸ κακόν, πτηνὰ προπειρῶνται τοῦ πάθους καὶ οἱ ἀκροβολισμοὶ τοῦ ὀλέθρου κατ' αὐτῶν γίνονται.] ὁ δὲ μῦθος τὰ οἰκεῖα τερατευόμενος ἄλλως αὐτὸν αἰτιολογεῖ θεομηνίαν αἰτιώμενος τοῦ πανδήμου τούτου πάθους καὶ ὕβριν τὴν εἰς τὸν μυθικὸν Ἀπόλλωνα, ἣν ὁ βασιλεὺς μέν, ὡς προερρέθη, ἐξελάλησεν, ὁ δὲ δῆμος ἀκούσας οὐκ ἐδυσχέρανεν, ὡς δέον ὂν γραφῆναι ἀσεβείας τὸν Ἀγαμέμνονα, εἴγε διὰ τὴν Χρυσηΐδα καὶ Ἀπόλλωνα ὕβρισε καὶ Δία δὲ ἱκέσιον καὶ τὰς αὐτοῦ θυγατέρας Λιτὰς παρεῖδε,

περὶ ὧν ἐν τοῖς μετὰ ταῦτα φιλοσοφεῖ ὁ ποιητὴς λέγων μὴ χρῆναι παραβλέπειν αὐτάς. δῆλον δὲ ὅτι πολλὰ τοιαῦτα οἱ μῦθοι τερατεύονται, ὡς δι' ἑνὸς ἀνθρώπου ἀτασθαλίαν καί, καθὰ Εὐριπίδης φησίν, ἐξ ἰδίας ἀνοίας κοινὰ κακὰ θεόθεν γίνεσθαι. οὕτω γὰρ δι' ἕνα τινὰ τὸν Οἰνέα ὁ Καλυδώνιος σῦς πᾶσαν τὴν τῶν Αἰτωλῶν λέγεται σίνασθαι Ἀρτέμιδος χόλῳ· ἀπήλαυσε δὲ καὶ τῶν τοῦ Οἰδίποδος κακῶν ἡ τῶν Θηβαίων πᾶσα γῆ.

1.68 ὁ δὲ Λοκρὸς Αἴας ἐν τῷ ἐκ Τροίας ἀπόπλῳ τὴν Ἀθηνᾶν ἐρεθίσας εἰς πάντας Ἀχαιοὺς ἐσκέδασε τὸ κακόν. ἐνταῦθα δὲ σημείωσαι καὶ τὸν ἀνισασμὸν τὸν κατά τινα οἷον ἀντίδοσιν καὶ ἀντιπάθειαν. οὐ γὰρ μόνον ἡ γῆ τῶν Φρυγῶν διὰ Ἑλληνίδα γυναῖκα τὴν Ἑλένην πάσχει κακῶς, ἀλλὰ καὶ Ἕλληνες διὰ γυναῖκας Φρυγίας, τὴν Χρυσηΐδα καὶ τὴν Βρισηΐδα, παραπολοῦνται λοιμῷ. (v. 50) Ὅτι οὐρῆας τοὺς ἡμιόνους λέγει ἢ παρὰ τὸ ὄρος ὀρέας καὶ Ἰωνικῶς οὐρῆας· ἐπεὶ τὰ ἐν ὄρεσιν ἔργα, ὡς καὶ ἐν τῇ τοῦ Πατρόκλου ταφῇ δηλωθήσεται, διὰ τῶν τοιούτων ζῴων ἐξετελοῦντο διαφερόντως, φασίν, ἰσχυόντων ἐκεῖ, ὡς ταλαεργῶν ὄντων καὶ ἀχθοφόρων· ἢ παρὰ τὸν οὖρον, ὃ δηλοῖ τὸν ἄνεμον· τοῦτο δὲ διὰ τὸ ἄγονον τῶν τοιούτων ζῴων καὶ τὸ τοῦ σπερματικοῦ πνεύματος ἄκαρπον καὶ ὥσπερ ἀνεμιαῖον. διὸ καὶ τὰ ἐν τοῖς ᾠοῖς ἄκαρπα διὰ τὴν τοιαύτην αἰτίαν οὔρια ἡ κοινὴ λέγει συνήθεια. [ὡς δὲ οὐρῆες καθ' ὁμωνυμίαν καὶ οἱ φύλακές ποτε λέγονται, φανεῖταί που ἐν τοῖς ἑξῆς. ὅρα δὲ ὅτι πρὸ τούτων πληθυντικῶς εἰπὼν τὰ πρῶτα, ἑνικῶς ἐνταῦθα λέγει πρῶτον Ἀττικῷ σχήματι. τὸ δέ «οὐρῆας ἐπῴχετο» χρήσιμον ἐν τοῖς ἑξῆς εἰς τὸ «ἱστὸν ἐποιχομένην». Ἰστέον δὲ ὅτι ἐν τῷ «οὐρῆας καὶ κύνας ἀργούς» οἱ μὲν ἀργούς φασι κατ' ἀντίφρασιν τοὺς ταχεῖς θέειν, ἕτεροι δὲ τοὺς ἀληθῶς ἀργούς, ὁποίους τραπεζῆας ἀγλαΐης ἕνεκεν κομέουσιν ἄνακτες, ἄλλοι δὲ τούς, ὡς προεγράφη, λευκοὺς καὶ ὡς εἰπεῖν ἀργεννούς, ἐξ ὧν τὸ Ἀθήνησι Κυνόσαργες σύγκειται, ὡς ἑτέρωθι φανεῖται.] (v. 52) Ὅτι βάλλειν παρὰ τῷ ποιητῇ ὡς ἐπὶ πολὺ τὸ μηκόθεν ἀφιέντα βέλος τυγχάνειν τοῦ σκοποῦ. ἄλλως μέντοι ἀφιείς τις καὶ μὴ ἐπιτυγχάνων οὐκ ἄν ποτε κυρίως βάλλειν λεχθείη. βάλλειν γὰρ ἁπλῶς τὸ ἐπιτυγχάνειν. ὅθεν καὶ ἐπήβολος ὁ ἐπιτυχὴς λογισμοῦ καὶ βουλή, ὡσανεὶ βολή, ἡ ἐπιτυχὴς σκέψις· καὶ τὸ «ναῦς δὲ ἐπέβαλεν εἰς Φηράς» ἀντὶ τοῦ ἐπιτυχῶς ἀπῆλθε. φησὶν οὖν καὶ ὧδε Ὅμηρος, ὅτι βέλος ἐχεπευκὲς ἐφιεὶς ὁ Ἀπόλλων ἔβαλλεν ἤτοι ἐπετύγχανεν. [Ἔστι δὲ τρόπου ἐτυμολογικοῦ τὸ βέλος βάλλε. διφορεῖσθαι δὲ δοκεῖ τὸ βάλλειν, οὗ τὸ μὲν κοινῶς ῥητὸν διὰ τοῦ α , τὸ δὲ σιγηλῶς νοητὸν βέλλειν, ἀφ' οὗ καὶ τὸ βέλεμνον καὶ τὸ βέλος καὶ ἡ βολή. ὡς δὲ τριχῶς τὸ βάλλειν, ὡμολόγηται. σημαίνει γὰρ τὸ ἐπιτυγχάνειν, τὸ ῥίπτειν, τὸ τιθέναι.] (v. 51) Ἐχεπευκὲς δὲ τὸ οἷον ἔχον τι πεύκης, πικρίαν δηλαδή.

1.69 καὶ γὰρ πικρὸν καὶ τῆς πεύκης τὸ δάκρυον. ὅθεν ἴσως καὶ τὸ πικρὸν πευκέδανον παρωνόμασται προπαροξυτόνως πρὸς ὁμοιότητα τοῦ ἐρυθρόδανον. ἀφ' οὗ βέλος ὀξυτόνως πευκεδανὸν τὸ καὶ ἐχεπευκὲς ἤγουν ἐχέπικρον. τινὲς δὲ ἐχεπευκὲς εἶπον τὸ θανάσιμον καὶ ἐκτέμνον τοῦ βίου τὸν βληθέντα δίκην πεύκης, ἥτις ἐκτμηθεῖσα οὐκέτι ἀναβλαστάνει. ἐνταῦθα δὲ σκοπητέον τὸ τοῦ Ἡροδότου εἰπόντος, ὅτι πίτυς ἐκκοπεῖσα οὐκ ἀναφύει μόνη πάντων δένδρων, ἀλλὰ πανώλεθρος ἐξαπόλλυται. ὅθεν καὶ παροιμία τὸ «ἐκτριβῆναι πίτυος δίκην». εἰ γὰρ καὶ πεύκη καὶ κυπάρισσος καὶ ἕτερα ἐκκοπέντα οὐκέτι ζῇ, πῶς Ἡρόδοτος ἔφη, ὡς πίτυς μόνη πάντων δένδρων ἐκκοπεῖσα οὐκ ἀναφύει; ἢ τάχα εἴς τι πιτυῶδες καὶ τὰ τοιαῦτα θετέον διά τινα ἐν αὐτοῖς ὁμοίαν ποιότητα, διὸ καὶ ὁμοίου πάθους τῇ πίτυϊ μετέχουσιν. ἡ δὲ σύνθεσις τοῦ ἐχεπευκές ὁμοία ἐστὶ τῇ ἐχέμυθος, ἐχέκολλα, ἐχενηΐς, ἐχέφρων, ἔτι δὲ καὶ τῇ τοῦ φέρω φερέπονος, φερέοικος, ἄρχω Ἀρχέστρατος, καὶ τῶν ὁμοίων. [ἐν οἷς καὶ ἐχεχειρία καὶ τροπῇ ἐκεχειρία, ἡ ἄδεια εἴτ' οὖν ἐποχὴ χειρῶν, καὶ ἐχέτλη, ἧς ἔχεταί τις τλημόνως, καὶ ἀρχέκακος καὶ Ἡγέλοχος. ὅρα δὲ ἐν τῷ «βέλος ἐχεπευκὲς ἐφιείς», ὅτι τε τὸ βέλος ἐκτείνει τὴν λήγουσαν λόγῳ στιγμῆς κατὰ κοινὴν συλλαβὴν καὶ ὅτι τὸ ἐφιεὶς μακρὸν ἔχει τὸ παραλῆγον δίχρονον. εἰ δὲ μάλιστα ἐχρῆν ἐκτετάσθαι αὐτὸ ἐν τῷ «ἀλλὰ κακῶς ἀφίει» δι' αὔξησιν, ἀλλ' ἐκεῖ Ἰωνική

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐστιν ἡ δι’ ἀναυξησίαν συστολὴ τοῦ ἐν τῷ παρατατικῷ διχρόνου.] (v. 52) Ὅτι ἔθος ἦν Ἕλλησι καίειν τοὺς νεκρούς, ὃ δὴ καὶ εἰσέτι παραμένει τισὶ τῶν Βορείων βαρβάρων. ἐποίουν δὲ τοῦτο ἐκεῖνοι πρὸς ἔνδειξιν τοῦ τὸ μὲν θεῖον τοῦ ἀνθρώπου ἀνωφορηθὲν ὥσπερ ἐν ὀχήματι τῷ πυρὶ προσμῖξαι τοῖς οὐρανίοις, τὸ δὲ γηΐνον κάτω μεῖναι, τὸ μὲν πυρὶ δαπανηθέν, τὸ δὲ ἐναπομεῖναν λειψάνοις ὀστῶν. οἱ δέ φασιν, ὅτι τὸ μὲν νεκρὸν οὐ καθαρὸν ἐδόκει, ἁγνισμὸς δέ τις ἦν ἡ διὰ πυρὸς δαπάνη τοῦ νεκρωθέντος, ὅτι καὶ τὸ πῦρ ἁγνιστικόν· διὸ καὶ οἱ καθαρμοὶ διὰ πυρὸς ἐγίνοντο. καὶ Εὐριπίδης δὲ τοιοῦτόν τι ἐμφαίνει, ὅπου φησίν, ὅτι τὸ τῆς Κλυταιμνήστρας δέμας πυρὶ καθήγνισται. ὁ δὲ Λυκόφρων τῇ προτέρᾳ ἐννοίᾳ συντρέχει, ἐν οἷς τὴν Σκύλλαν καυθεῖσαν δομηθῆναί φησιν ἤγουν ἀνακτισθῆναι, ἀναζῳωθῆναι καὶ γενέσθαι κατὰ τὸν ποιητήν «κακὸν ἀθάνατον». διὸ καὶ οἱ γυμνοσοφισταὶ πυρίκαυστοι γινόμενοι ἀπετίθεντο τὴν ζωήν, ὡς καὶ ὁ τοῦ Ἀλεξάνδρου Κάλανος. ἔδοξε δέ τισιν, οὐ μὴν ἀληθῶς, τὸν Ἡρακλέα κατάρξαι τοῦ ἔθους τῆς τῶν νεκρῶν καύσεως.

1.70 παῖδα γάρ, φασί, φίλου τινὸς Λικυμνίου τὸν Ἀργεῖον ἐξαιτησάμενος ἐπὶ συμμαχίᾳ τῇ κατὰ τοῦ Λαομέδοντος καὶ ὁρκωμοτήσας «ἦ μὴν ἐπανασώσασθαι τῷ πατρὶ τὸν υἱόν» διεξέπεσε τῆς εὐορκίας, οἷα τοῦ Ἀργείου πεσόντος ἐν τῷ πολέμῳ. ἀφοσιοῦται δὴ τὴν ἀνακομιδὴν ὁ Ἡρακλῆς καύσας τὸν Ἀργεῖον καὶ τὰ ὀστᾶ κομίσας τῷ πατρὶ καὶ σοφίζεται αὐτὸν ὡς ἤδη ἔχοντα τὸν υἱόν. καὶ τὸ ἔθος, φασί, παραμεῖναν ἔκτοτε γέγονε κοινὸν τοῖς Ἕλλησιν. ἔφθη δὲ καὶ ἕτερον, φασί, παῖδα τοῦ Λικυμνίου τὸν Οἰωνὸν πολέμῳ ἀποβαλεῖν Ἡρακλῆς. διὸ καὶ ὀκνῶν ὁ πατὴρ ἐπὶ τῷ Ἀργείῳ τὸν ὅρκον ἐδέξατο. ἀλλ’ οὕτω μὲν Ἕλληνες τοὺς νεκροὺς ἔκαιον τὰ ὀστᾶ μόνα κατέχοντες καὶ θάπτοντες εἰς μνήμην τῶν καιομένων. Αἰγύπτιοι δὲ τοὺς νεκροὺς ἐταρίχευον, ἵνα ὅλον τὸ σῶμα τοῦ ποτε ζῶντος ἔχωσιν εἰς μνήμης ζώπυρον. πῶς δὲ ἐταρίχευον ἱστορεῖ Ἡρόδοτος. δῆλον δὲ ὅτι οὐ πᾶσιν ἤρεσκεν ἡ τῶν νεκρῶν καῦσις. τῶν τις οὖν παλαιῶν ἀχθόμενος, ὡς μιαινομένου τοῦ πυρός, οἷς ὡμίλει νεκροῖς σώμασιν, ἐπικαλεῖται τὸν τοῦ πυρὸς κλοπέα Προμηθέα λέγων «ἐπάρηξον, βοήθησον, κλέψον, εἰ δυνατόν, καὶ πάλιν τὸ πῦρ». Ὅτι ἐν τῷ «αἰεὶ δὲ πυραὶ νεκύων καίοντο θαμειαί» πυραὶ λέγονται αἱ μεγάλαι πυρκαϊαί. καὶ ἴσως παρ’ Ὁμήρῳ ἡ πυρὰ μὲν καὶ αἱ πυραὶ ἐπὶ νεκρῶν καύσεως, τὸ πῦρ δὲ καὶ τὰ πυρὰ ἐπὶ τοῦ ἄλλως ἁπλῶς ἀναπτομένου πυρός. καίεσθαι δέ φησιν ἄρτι νεκροὺς τοὺς τῶν λοιμωξάντων. οἱ γὰρ μετὰ ταῦτα πολέμου νόμῳ πεσόντες ἐν τῇ τοῦ Ἀχιλλέως μήνιδι «ἑλώρια ἐγίνοντο κύνεσί τε καὶ οἰωνοῖς», ὡς ἔφθασεν εἰπεῖν ὁ ποιητής, ὃς μεθοδεύσει κατὰ τὸ δυνατὸν καὶ τὴν τούτων ταφήν, ὡς ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. τὸ δὲ αἰεί καὶ τὸ θαμειαί τὸ πολυπληθὲς δηλοῦσι τῶν καιομένων. σημείωσαι δὲ ὅτι καίονται οὐ μόνον σώματα, ἀλλὰ καὶ πυραί. τοῦτο δὲ ἀντὶ τοῦ ἐξάπτονται. θαμειαὶ δὲ αἱ ἀλλεπάλληλοι καὶ πυκναὶ παρὰ τὸ θαμά τὸ πυκνῶς, ὅπερ ἐκ τοῦ ἅμα γέγονε. προϋπόκειται δὲ τοῦ θαμειαί ἀρσενικὸν ὄνομα θαμὸς ὁ πυκνός, ὃ πλεονασμῷ τῆς ει διφθόγγου γέγονε θαμειός, ὥσπερ φατὸς φατειός, ἀφνὸς ἀφνειός, σπερχὸς Σπερχειός, ἀδελφὸς ἀδελφειός, ἀρνὸς ἀρνειός. ὁ δὲ πλεονασμὸς τοῦ θ διὰ τὴν δασεῖαν τοῦ ἅμα, ὁποῖόν τι καὶ ἐπὶ τοῦ θειλοπεδεύειν φασὶν οἱ παλαιοί. εἱλόπεδον γὰρ πέδον εἵλῃ βαλλόμενον τουτέστιν ἡλίου θερμασίᾳ καὶ πλεονασμῷ τοῦ θ θειλόπεδον καὶ ῥῆμα θειλοπεδεύω. ἰστέον δὲ ὅτι οὐ μόνον ἐν τῷ θαμειός καὶ τοῖς ὁμοίοις ἡ ει δίφθογγος πλεονάζει, ἀλλὰ καὶ ἐν ἄλλοις, ὥσπερ καὶ ἐν τῷ ἑξῆς ἑξείης. καὶ πολλοὶ δὲ ἐνεστῶτες καὶ μέλλοντες ἐνεργητικοὶ τοῦτο πάσχουσιν, οἷον βρώσω βρωσείω, πολεμήσω πολεμησείω, θῶ θείω, κίχω κιχείω, ἔρω ἐρείω, τὸ ἐρωτῶ, ὡς τὸ «μάντιν ἐρείομεν».

1.71 [διασαφητικὸν δέ ἐστιν ἐν τοῖς ῥηθεῖσι τοῦ αἰεὶ τὸ θαμειαί.] (v. 53) Ὅτι ἐπιρρηματικὸν ὄνομα τὸ ἐννῆμαρ καὶ δηλοῖ τὸ ἐννέα ἤματα ἤγουν ἡμέρας. οὕτω δὲ καὶ τὸ αὐτῆμαρ ἀντὶ τοῦ αὐθημερόν, τῷ αὐτῷ ἤματι, [ἐξ οὗ ἤγουν τοῦ αὐθημερὸν καὶ σοφὸς αὐθημερινὸς ὁ ὡς εἰπεῖν αὐτοσχέδιος. ὅμοιον δὲ πρὸς τὸ ἐννῆμαρ καὶ αὐτῆμαρ καὶ τὸ «ποσσῆμαρ μέμονας» ἤγουν ἐπὶ πόσας ἡμέρας,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὃ ἐν τῇ ω′ ῥαψῳδίᾳ κεῖται.] καὶ ἄλλα δέ εἰσι τοιαῦτα. Ὅρα δὲ ὅτι εἰπὼν ὁ ποιητής «ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο», ἐπήγαγε «τῇ δεκάτῃ δὲ ἀγορήνδε καλέσσατο λαὸν Ἀχιλλεύς». ἠδύνατο μὲν γὰρ εἰπεῖν «τῷ δεκάτῳ δέ» δηλαδὴ ἤματι συνεκάλεσε τὸν λαόν. οὐκ ἠθέλησε δὲ οὕτως εἰπεῖν οὐδὲ ἔλαβε τὸ ἐννῆμαρ ἀντὶ τοῦ ἐννέα ἤματα, ἀλλ’ ἀντὶ τοῦ ἐννέα ἡμέρας διὰ τὸ ταὐτὸν εἶναι ἦμαρ καὶ ἡμέραν. καὶ ἐσχημάτισε καινοπρεπέστερον καὶ ἀπὸ τοῦ ἤματος οὐδετέρου ὀνόματος ἀνέπαυσε τὴν σύνταξιν εἰς θηλυκὸν ἰσοδύναμον εἰπών «τῇ δεκάτῃ δὲ ἡμέρᾳ». τοιοῦτόν τι σχηματίσει καὶ ἐν τοῖς ἑξῆς, ὅτε εἴπῃ «ἔθνεα πολλὰ ὀρνίθων ἀγαλλόμεναι πτερύγεσιν». οὐδέτερον μὲν γὰρ τὸ ἔθνεα καὶ δηλοῖ τὰς ἀγέλας, θηλυκὸν δὲ τὸ ἀγαλλόμεναι, οὐκ ἀποδοθὲν πρὸς τὸ ἔθνεα, ἀλλὰ πρὸς τὸ νοούμενον δι’ αὐτοῦ, ὅπερ εἰσὶν ἀγέλαι. [εἰπεῖν δὲ κατὰ τοὺς παλαιούς, συνταχθὲν οὐ πρὸς τὸ ῥητόν, ἀλλὰ πρὸς τὸ νοητόν. Ἰστέον δὲ ὅτι τὸ «ᾤχετο κῆλα θεοῖο» πάνυ καιρίως ἔχει τοῦ ῥήματος. οὐκ ἔστι γὰρ ἐν αὐτῷ λέξιν εὑρέσθαι καιριωτέραν τοῦ ᾤχετο. τοιοῦτον καὶ τὸ «οὐρῆας ἐπῴχετο» καὶ πρὸ αὐτοῦ τὸ «ἱστὸν ἐποιχομένην». τὸ δὲ καλέσσατο οὐ κοινόν, ὡς τὸ ἐκάλεσεν, ἀλλὰ Ἀττικόν, ὡς καὶ τὸ «καλοῦμαι Στρεψιάδην» παρὰ τῷ Κωμικῷ.] (v. 54) Ὅτι πολλάκις ἄλλα μέρη λόγου ἀντὶ ἄλλων λαμβάνονται διὰ τὴν πρὸς ἄλληλα συγγένειαν, οἷον ἀπαρέμφατα ἀντὶ ὀνομάτων, ὡς ἐν τῷ «περίεστε μὲν τῇ βουλῇ, περὶ δ’ ἐστὲ μάχεσθαι» ἤγουν περίεστε δὲ καὶ ὑπερέχετε καὶ ἐν τῇ μάχῃ. λαμβάνονται δὲ καὶ μετοχαὶ ἀντὶ ὀνομάτων, ὡς ὅτε τὴν τοῦ δεῖνός φαμεν ἐρωμένην ἀντὶ τοῦ γυναῖκα καὶ νόσον οὐλομένην τὴν ὀλεθρίαν. καὶ ὀνόματα ἀντὶ ἐπιρρημάτων, ὡς τὸ πλατὺ χαίνειν ἀντὶ τοῦ πλατέως καὶ ὠκὺ βαδίζειν ἀντὶ τοῦ ταχέως. καὶ ἀντωνυμίαι δὲ ἀντὶ ἐπιρρημάτων, ὡς τὸ ἄλλῃ ἀντὶ τοῦ ἀλλαχοῦ καὶ ταύτῃ ἀντὶ τοῦ οὕτω. καὶ σύνδεσμος δὲ ἀντὶ προθέσεως λαμβάνεται, οἷον ὁ δε ἀντὶ τῆς εις ἐν τῷ [Πυθῶδε ἤγουν εἰς Πυθὼ] καὶ ἀγορήνδε καὶ φύγαδε καὶ οἴκαδε ἀντὶ τοῦ εἰς ἀγορὰν καὶ εἰς φυγὴν καὶ εἰς οἶκον.

1.72 ἔστι δὲ ἐξ ἀντιστρόφου καὶ πρόθεσιν εὑρεῖν ποτε λαμβανομένην ἀντὶ συνδέσμου, ὡς ὅτε τις εἴπῃ, ὅτι ἐκ τῶνδε τάδε γενήσεται τουτέστιν ἕνεκεν τούτων τάδε συμβήσεται. ἐνταῦθα γὰρ ἡ ἐκ πρόθεσις ἰσοδυναμεῖ συνδέσμῳ τῷ ἕνεκεν. οὕτω δὲ πολλάκις νοεῖται καὶ τὸ ἐπὶ τούτοις ἀντὶ τοῦ διὰ ταῦτα καὶ ἕνεκεν τούτων. καὶ ὁ εἰπὼν δὲ ὅτι ὁ μῦθος κοινός ἐστι τῶν ῥητόρων ἐκ παραινέσεως ἀντὶ συνδέσμου τοῦ ἕνεκεν τὴν ἐκ πρόθεσιν ἔλαβε. καὶ ταῦτα μὲν οὕτως. [Ἰστέον δὲ ὅτι, ὡς ἐν τῷ τοιόσδε, τοσόσδε, τηλικόσδε, ὅδε, ἥδε καὶ τοῖς ὁμοίοις, οὕτω καὶ ἐν τῷ πόλεμόνδε, Πυθῶδε, φύγαδε, οἴκαδε, Ἄϊδόσδε καὶ τοῖς τοιούτοις, δυνατὸν ἐπέκτασιν μὲν εἶναι τὴν δε συλλαβήν, λαμβάνεσθαι δ’ ἔξωθεν πρόθεσιν χάριν συντάξεως ἐντελοῦς, ὁποῖόν τι γίνεται καὶ ἐν τῷ «τόδ’ ἱκάνεις», ἤγουν εἰς τόδε τὸ χωρίον, καὶ ἐν τῷ τῇδε, ὅ ἐστιν ἐν ταύτῃ τῇ ὁδῷ τυχὸν ἢ τῇ κώμῃ. ὅτι δὲ ἐπέκτασιν ποιεῖ οὐ μόνον τὸ ι ἐν τῷ οὑτοσί καὶ νυνί καὶ ἐνταυθί κατὰ τὸν τεχνικὸν Γεώργιον καὶ ὄψι, ὅθεν καὶ ὀψιμαθής, καὶ νυνμενί, φησί, καὶ νυνγαρί ἀντὶ τοῦ νῦν, ἀλλὰ καὶ τὸ η ἐν τῷ ὁτιή καὶ τίη ἀντὶ τοῦ τί βαρυτόνως ἢ κατά τινας τιή ὀξυτόνως καὶ ἐπειή ἀντὶ τοῦ ἐπειδή. ἔτι δὲ καὶ ἡ θα συλλαβὴ ἐν τῷ ἦσθα καὶ ἔφησθα καὶ τοῖς ὁμοίοις, ὁμοίως δὲ καὶ τὸ δ μετὰ τοῦ ι , οἷον ὁδὶ καὶ νυνδὶ ἀντὶ τοῦ νῦν καὶ ἐνθαδί, τὰ πλείω δὲ μᾶλλον ἡ δε συλλαβή, δῆλόν ἐστι. ταύτῃ δὲ τῇ ἐπεκτάσει χαίρει μάλιστα ἡ ποίησις, ὡς δηλοῖ καὶ τὸ ἄστυδε, ἅλαδε, πόλινδε, Τροίηνδε. οὕτω δὲ καὶ τὸ κλισίηνδε, περὶ ἧς κλισίης ἑτέρωθι ῥηθήσεται.] Ἀγορὰ δὲ ὁ τόπος τε τῆς συνάξεως καὶ τὸ πλῆθος δὲ τὸ συναγόμενον καὶ αὐτὴ ἡ δημηγορία. παρὰ δὲ Ἡροδότῳ κεῖται καὶ πόλις Θρᾳκία καλουμένη Ἀγορά. ὅτι δὲ ἡ βουλευτικὴ ἀγορὰ τίμιόν τι καὶ θεῖον πρᾶγμα, δηλοῖ καὶ τὸ Διὸς Ἀγοραίου βωμὸν ἱδρῦσθαι ἀλλαχοῦ τε καὶ κατὰ Ἡρόδοτον περὶ Σικελίαν. Ὅτι πιθανὸς ἀεὶ ἐν τοῖς πλάσμασιν ὢν ὁ ποιητὴς τοιοῦτος καὶ ἐνταῦθά ἐστι περὶ τὰς ἡμέρας τοῦ λοιμοῦ. εἰ μὲν γὰρ περὶ πρώτην εὐθὺς ἡμέραν ἢ δευτέραν ἢ τρίτην τὸ τῆς νόσου ἐζητεῖτο αἴτιον, ἀπίθανος καὶ οὐκ εὔπλαστος ὁ λόγος ἦν.

1.73

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τί γὰρ ἰδὼν βαρὺ ὁ Ἀχιλλεὺς ζητήσει τὴν αἰτίαν; πόθεν δὲ καὶ στοχάσεται, ὅτι μηνίει Ἀπόλλων ὁ τῷ λοιμῷ ἐπιστατῶν, μηδενὸς παραδόξου συμβάντος; ἐπεὶ δὲ παρῆλθον ἤδη ἐννέα ἡμέραι τόσον χωσαμένου Ἀπόλλωνος καὶ τὸ κακὸν δέον ὂν κατὰ τοὺς παλαιοὺς ἐν τοσαύταις ἡμέραις ὑπολωφῆσαι, εἰ μὴ θεόθεν ἦν, τὸ δὲ ἐπὶ πλέον προάγεται, τότε δὴ ζητεῖται τὸ αἴτιον. Ἀχιλλεὺς δὲ ζητεῖ τὴν αἰτίαν καὶ οὐκ ἄλλος τις τῶν Ἑλλήνων, ὡς μὲν Ὅμηρος λέγει, ἐπεὶ αὐτῷ ἐν φρεσὶν ἔθετο Ἥρα κηδομένη τῶν Δαναῶν διά τε τὸ ὑβρισθῆναι ὑπ' Ἀλεξάνδρου τοῦ Τρωὸς καὶ θέλειν τὴν τῶν Ἑλλήνων σωτηρίαν ἐπὶ βλάβῃ τῶν Τρώων καὶ ὅτι καὶ τὸ τῶν Ἀργείων πρωτόθετον Ἄργος αὐτῆς ἦν, ὅθεν Ἀργεία ἐλέγετο, ὅ ἐστι Πελοποννησία. ὡς δὲ ἡ ἀλληγορία φησίν—Ὅμηρος γὰρ πολλαχοῦ ἐπικρύπτει ποιητικώτερον τὰς ἀληθεῖς αἰτίας—ὁ Ἀχιλλεὺς τὴν τοῦ λοιμοῦ αἰτίαν ζητεῖ διὰ τὸ ἰατρικὸς εἶναι, οἷα κατὰ τὴν ποίησιν μαθητευθεὶς ἰατρῷ τῷ Χείρωνι, ὡς καὶ μετ' ὀλίγα ῥηθήσεται. ὁρῶν οὖν ὅτι νυκτὶ ὁ Ἀπόλλων, ὡς προείρηται, ἔοικε διὰ τὴν τοῦ ἀέρος πάχυνσιν καὶ ζόφωσιν καὶ ὅτι ὁ ἀὴρ οὐκ εἰλικρινῶς ἔχει, ἀλλὰ πάνυ νοσοποιός ἐστι, θεομηνίαν εἶναι τὸ πάθος συμβάλλεται πρῶτος τῆς τοῦ κακοῦ αἰτίας αἰσθόμενος ὡς ἰατρός. τοῦτο γὰρ ὁ μῦθος, φασίν, αἰνίσσεται διὰ τοῦ εἰπεῖν, ὅτι ἡ Ἥρα τῷ Ἀχιλλεῖ ἐν φρεσὶν ἔθετο. Ἥρα μὲν γὰρ ὁ ἀήρ. Ἀχιλλεὺς δὲ ἐξ ἀέρος τὴν τοῦ κακοῦ αἰτίαν νοεῖ. καὶ ἄλλως δέ γε τὸν Ἀχιλλέα ποιεῖ Ὅμηρος νοοῦντά τε τὸ κακὸν καὶ ἀγορὰν συνάγοντα, ἵνα πιθανὸν δόξῃ τὸ κατ' αὐτοῦ μόνου ὀργισθῆναι τὸν Ἀγαμέμνονα, ὡς καὶ πρώτου καὶ μόνου ζητήσαντος καὶ λαλήσαντος καὶ διὰ τοῦτο τῆς Χρυσηΐδος αὐτὸν στερήσαντος. ἄνθρωπος γὰρ θυμούμενος οὐ προσλογίζεται τὸ δίκαιον, ἀλλ' εἴτε δικαίως εἴτε ἀδίκως τὸν αἴτιον τοῦ ζημιωθῆναι κολάζει. Σημείωσαι δὲ καὶ ἐνταῦθα τὸ τῶν Ἑλλήνων δημοκρατικόν· Ἀχιλλεὺς γὰρ δίχα βασιλέως ἀγείρει τὸν λαόν. ὡς δὲ ὁ ποιητὴς καὶ εὐεπίφορός ἐστιν εἰς τὸν ἐννέα ἀριθμὸν καὶ διὰ τοῦτο δοκεῖ τισι κἀνταῦθα μὴ ἄλλον ἀριθμόν τινα θεῖναι, ἀλλὰ ἐννῆμαρ εἰπεῖν, πολλαχοῦ ἐν τοῖς ἑξῆς φανήσεται. [Τὴν δὲ κατὰ τὸν Ἀχιλλέα ἰατρικὴν δηλοῖ καὶ ἡ ἐπ' αὐτῷ παροιμία φαμένη χρησμῳδικῶς ὡς «ὁ τρώσας καὶ ἰάσεται», ἣν ἔφηνε Τήλεφος ὁ Μυσὸς ὑπ' Ἀχιλλέως καὶ πληγεὶς καιρίαν καὶ ἰαθείς. ὅθεν καὶ Τηλέφεια τραύματα κακοήθη, ὁποῖα θεραπεύσοι ἂν Ἀχιλλεύς, ὡς καὶ τὸ Τηλέφου· καθὰ καὶ Χειρώνεια, ὅσα δυσαλθῆ ὄντα δέοιντ' ἂν ἰατροῦ τοῦ Χείρωνος. (v.

1.74 56) Ἰστέον δὲ ὡς εἰπὼν ὁ ποιητής «κήδετο γὰρ Δαναῶν, ὅτι ῥα θνήσκοντας ὁρᾶτο» ἐπιτηδευτὴν παρίσωσιν ἐποίησε διὰ τοῦ κήδετο καὶ τοῦ ὁρᾶτο τῶν Ἰωνικῶν. ἄλλως γὰρ εἶχεν εἰπεῖν Ἀττικῶς, ὅτι ῥα θνῄσκοντας ἑώρα.] (v. 55) Ὅτι δὲ Ἥρα ὁ ἀήρ, δηλοῦται, φασί, καὶ ἐκ τοῦ ἀναγραμματισμοῦ. ἐξ ὧν γὰρ ἡ Ἥρα γραμμάτων, ἐκ τούτων λαλεῖται καὶ ὁ ἀήρ. τοῦτο δὲ ὁμοιότητα τῶν ταὐτογραφουμένων δηλοῖ. τοιαῦτά τινα καὶ τὸ χόλος ὄχλος καὶ τὸ ἀρετή ἐρατή καὶ τὸ φλύαρος φλαῦρος παρ' Ἀττικοῖς. καὶ ἐν τούτοις γὰρ συγγένειά τις, ὥσπερ ἐν γράμμασιν, οὕτω καὶ ἐν νοήμασιν. οὕτω τις τῶν ἐπιτρίπτων κολάκων τὸ Ἀρσινόη «Ἥρας ἴον» ἀνεγραμμάτιζεν αἰκάλλων θωπευτικῶς τὴν βασίλισσαν Ἀρσινόην, ὡς πρέπουσαν εἶναι Ἥρας ὀσφράδιον. τοῦ δὲ αὐτοῦ τύπου καὶ τὸ λιαρός ἱλαρός· ἤδη δέ που καὶ τὸ λόχος ὄχλος καὶ τὸ ὀλίγος λοιγὸς καὶ τὸ ὄλισθος λοῖσθος καὶ τὸ χλόη χολὴ καὶ τὸ ῥα ἄρ, δι' ὧν δηλοῦται τὸ δή· καὶ τὸ ἀγρυπνία ἀργυπνία καὶ τὸ Ἄτλας τάλας καὶ τὸ παραχύτης σαπρὰ τύχη καὶ ἕτερα, [ἐν οἷς καὶ τὸ κάρα καὶ ἄκρα ταὐτιζόμενα ἐν τῷ κατ' ἄκρης· ἤδη δὲ καὶ τὸ καρίς ἀκρίς. μάλιστα δὲ προσφυὲς εἰς τὸ κατὰ τὴν Ἥραν ἀναγραμματιζόμενον τὸ Ῥέα κύριον εἰς τὸ ἔρα, ὅ ἐστι γῆ, εἰς ἣν δηλαδὴ ἀλληγορεῖται ἡ τοῦ Κρόνου γυνὴ Ῥέα κατὰ τὸ «ὀρεστέρα παμβῶτι γᾶ, μᾶτερ αὐτοῦ Διός», ὃ κεῖται παρὰ Σοφοκλεῖ. Ἰστέον δὲ ὅτι τὰς γυναῖκας εἰωθὼς ὁ ποιητὴς ἐπιθετικῶς ἐπαινεῖν ἐκ μὲν τῶν κατὰ ψυχὴν δαΐφρονας καλεῖ καὶ ἰφθίμας καὶ κέρδεα εἰδυίας καὶ ὅσα ἄλλα ἐθέλει, ἀπὸ δὲ τῶν ἐκτὸς εὐπατερείας, εὐειδέας, καλλιπαρῄους, ἑλικώπιδας, ῥοδοδακτύλους, βοώπιδας, ἀργυροπέζας καὶ ἕτερα. ἐνταῦθα δὲ λευκώλενον Ἥρην φησίν, ὃ κατ' ἀλληγορίαν τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διαφανὲς τοῦ ἀέρος αἰνίττεται. Ἰωνικὸν δὲ τὸ Ἥρη ὡς γὰρ θήρα θήρη, πήρα πήρη, οὕτω καὶ Ἥρα Ἥρη· ὡς δὲ ἡ ὠλένη, ἀφ’ ἧς ἡ λευκώλενος, ἐκ τοῦ ὀλῶ, τὸ πράττω, γίνεται ἐπενθέσει τοῦ υ κατὰ Ἴωνας, ἵνα ᾖ οὐλένη καὶ Δωρικῶς ὠλένη, καὶ ἀλλαχοῦ εἰρήσεται.] (v. 57) Ὅτι τὸ «ἤγερθεν» σημαίνει μὲν ἐνταῦθα τὸ ἠθροίσθησαν ἀπὸ θέματος τοῦ ἀγείρω. ἔστι δὲ Αἰολικόν· κανονίζεται δὲ ἀπὸ τῆς ἀγερθέντος μετοχῆς ἀποβολῇ τῆς τος . πλατύτερον δὲ περὶ τούτου καὶ τῶν ὁμοίων ῥημάτων λεχθήσεται μετ’ ὀλίγα, ὅτε λέγει περὶ Ἀθηνᾶς ἐν τῷ «δεινὼ δέ οἱ ὄσσε φάανθεν». Ἰστέον δὲ ὅτι τὸ ἤγερθεν σημαίνει ποτὲ καὶ τὸ ἀνέστησαν ἀπὸ τοῦ ἐγείρω. διὸ ἐνταῦθα διασαφῶν ἑαυτὸν Ὅμηρος ἐπάγει μετὰ τὸ «οἳ δ’ ἐπεὶ οὖν ἤγερθεν» τὸ «ὁμηγερέες τ’ ἐγένοντο» περιφράζων τὸ ἤγερθεν καὶ οἱονεὶ λέγων ὅτι ταὐτόν ἐστιν ἤγερθεν εἰπεῖν ἐν μιᾷ λέξει καὶ ὁμηγερέες, ἤγουν ὁμοῦ ἀγηγερμένοι ἐγένοντο.

1.75 (v. 58) Ὅτι ἀναστὰς ὁ Ἀχιλλεὺς δημηγορεῖ. οὕτω δὲ ἦν ἔθος τοῖς παλαιοῖς κἂν βασιλεῖς ἦσαν, ὡς ἂν ἔχοιεν τοὺς κύκλῳ ἐπιστρέφειν καὶ ὑπὸ πάντων ἐπίσης ἀκούεσθαι. εἰ δέ ποτέ τις καθήμενος ἐδημηγόρησε, καινὸν τὸ πρᾶγμα ἐδόκει καὶ ὁ τοῦτο ποιῶν παραιτήσεως ἐδέετο, καθά που ὁ Ἀγαμέμνων ποιήσει, ὅτε διὰ τὸ τετραυματίσθαι αὐτόθεν ἐξ ἕδρης διαλέγεται. καὶ ἐνταῦθα δὲ σημείωσαι, ὅτι σχῆμά ἐστι τὸ λεγόμενον κατὰ τὸ σιωπώμενον. νοητέον γὰρ ὅτι καὶ σκῆπτρον κατέχει ὁ Ἀχιλλεύς, οἷα ἔθους ὄντος καὶ τούτου. διὸ προϊὼν ἐν τῷ δημηγορεῖν καὶ εἰς τὸ σκῆπτρον ὄμνυσιν εἰπών «ναὶ μὰ τόδε σκῆπτρον» καὶ ὕστερον εἰς γῆν ῥίπτει αὐτό. (v. 59) Ὅτι ἐξ αὐτοῦ τοῦ καιροῦ προοίμιον ὁ Ἀχιλλεὺς πορισάμενός φησι «νῦν ἡμᾶς οἴομαι παλιμπλαγχθέντας ἀπονοστήσειν, ἐὰν τὸν θάνατόν γε φευξούμεθα, ἐπειδὴ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς». ἀεὶ δὲ σχεδὸν ἔθος Ὁμήρῳ οὕτω ποιεῖν καὶ ἐκ τῶν ἐγγὺς καὶ ὅ φασι παρὰ πόδας προοιμιάζεσθαι. τὸ δέ «παλιμπλαγχθέντας» οἱ μὲν ἀντὶ τοῦ ἐκ δευτέρου πλανηθέντας φασὶ χρώμενοι τῇ τῶν νεωτέρων ἱστορίᾳ τῇ λεγούσῃ, ὅτι τὰ πρῶτα ἐπιστρατεύσαντες τῇ Τροίᾳ οἱ Ἕλληνες ἥμαρτον τῆς ὁδοῦ καὶ τὴν μηδὲν αὐτοῖς εἰς τιμωρίαν προσήκουσαν γῆν ἐληΐζοντο. ἡ δὲ ἦν ἡ ὑπὸ τῷ Τηλέφῳ Μυσία. ὁ δὴ Τήλεφος ἀντικαταστὰς ἐποίησέ τι κακὸν καὶ ἔπαθε. πέπονθε μὲν τραῦμα δεινὸν ὑπὸ Ἀχιλλέως ἀμπέλου ἕλικι συμποδισθέντος αὐτῷ τοῦ ἵππου κατὰ Διονύσου πρόνοιαν καὶ πεσόντος εἰς γῆν· ἐποίησε δὲ τὸ ἀπράκτους ὑποχωρῆσαι τοὺς Ἕλληνας. ὡς δὲ τὸ τραῦμα εἶχεν ἀθεράπευτον, χρᾶται καὶ ὁ χρησμὸς ἀνεῖπε τὸ θρυλλούμενον, ὡς ἄρα ὁ τρώσας ἰάσεται. πλέει γοῦν τὴν ταχίστην ἐπ’ Ἀχιλλέα καὶ συμβαίνει τὸν μὲν ἰάσασθαι τὴν ὠτειλήν, τὸν δὲ δοῦναι μισθὸν τῆς ὑγείας τὴν εἰς Τροίαν ὁδηγίαν. ὡς οὖν ἅπαξ ποτὲ τὴν ἀρχὴν ἐπλανήθησαν, οὕτω, φασί, δέδιε καὶ νῦν ὁ Ἀχιλλεύς, μὴ πάλιν πλαγχθῶσιν ἤτοι τὸ δεύτερον. καὶ οὕτω μέν τινες ἀκολουθοῦντες καὶ τῷ Γεωγράφῳ εἰπόντι, ὅτι ὁ τοῦ Ἀγαμέμνονος στόλος Μυσίαν ὡς Τρῳάδα πορθῶν ἐπαλινδρόμησεν αἰσχρῶς. ἄλλοι δὲ οὐκ ἀρεσκόμενοί φασιν, ὅτι οὔτε τὸ πάλιν ὅλως ἐπὶ τοῦ ἐκ δευτέρου κεῖταί που παρὰ τῷ ποιητῇ καὶ οὐδὲ φαίνεται ὁ ποιητὴς Τηλέφῳ ἢ ἑτέρῳ τινὶ ἀνατιθεὶς τὴν ὁδηγίαν τὴν εἰς τὸ Ἴλιον, ἀλλ’ ἢ τῷ μάντει Κάλχαντι· ἐρεῖ γὰρ ὅτι ὁ Κάλχας διὰ τὴν ἑαυτοῦ μαντοσύνην ἡγήσατο ταῖς τῶν Ἀχαιῶν ναυσὶν εἰς τὴν Ἴλιον· τάχα δὲ καὶ τῷ Ἀπόλλωνι, εἴπερ ὁ Φοῖβος Ἀπόλλων τουτέστιν ὁ ἥλιος τὴν μαντοσύνην τῷ Κάλχαντι δέδωκε. φασὶ δὲ καὶ ἄλογον εἶναι δευτέραν ταύτην πλάνην παθεῖν τοὺς Ἕλληνας.

1.76 τὸ μὲν γὰρ πρῶτον ἐκεῖνο ἀληθῶς ἦν πλάνη· οὐ γὰρ εἶχον εἰδέναι, ὅποι πλέουσι. τοῦτο δὲ οὐκ ἂν ἔχοι τις πλάνην εἰπεῖν. τά τε γὰρ κατὰ τὴν Τροίαν οἴδασι καὶ οὐδὲ οἴκαδε πλανηθῆναι ἄν, ἀλλὰ νοστήσειν λεχθήσονται. ταῦτα καὶ ἄλλα εἰπόντες φασὶ κάλλιον εἶναι νοῆσαι τὸ παλιμπλαγχθέντας ἀντὶ τοῦ ὀπίσω μάτην ἀπονοστήσαντας, ὡς ἐκ μεταφορᾶς βέλους τινὸς ἐμπελάσαντος στερεῷ τινι σώματι καὶ ὀπίσω στραφέντος. ὃ δὴ συνηθές ἐστι τῷ ποιητῇ λέγειν πάλιν πλάζεσθαι, ὡς ἐν τοῖς μετὰ ταῦτα φανήσεται. Ἰστέον δὲ ὅτι ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου εἰς τὸν Ὅμηρον ὑπομνήμασι γενναῖος ἀγὼν κεῖται τὸ ἐκ δευτέρου τοὺς Ἕλληνας

ἐπὶ Τροίαν στρατεῦσαι τῇ Μυσίᾳ τὰ πρῶτα προσβαλόντας καὶ ἀπωσθέντας ὑπὸ Τηλέφου. τόποι δὲ τῆς τοιαύτης κατασκευῆς ἄλλοι τε καὶ οὗτοι. Ἀχιλλεύς, φασί, τὴν Σκῦρον ἑλὼν καὶ ληϊσάμενος γυναῖκας ἐκεῖθεν τὴν Ἶφιν μὲν τῷ Πατρόκλῳ δίδωσιν, αὐτὸς δὲ τῇ τοῦ Λυκομήδους Δηϊδαμείᾳ συγγίνεται, ἀφ’ ἧς Νεοπτόλεμος, ὁ ὕστερον συμμαχήσας τοῖς Ἕλλησι. δῆλον οὖν, φασίν, ὡς ἐν τῇ πρώτῃ μάχῃ τὴν Σκῦρον ὁ Ἀχιλλεὺς ἐπόρθησεν. εἰ γὰρ ἐν τοῖς ὕστερον δέκα ἔτεσιν εἷλε τὴν Σκῦρον, οὐκ ἂν οὐδὲ δεκαέτης που τοῖς Ἕλλησι συνεμάχησεν ὁ Νεοπτόλεμος. ἔτι δὲ ὑπονοεῖται, φασί, τῷ Φιλομηλείδῃ τῷ Λεσβίῳ πεπαλαικέναι Ὀδυσσεύς, ὡς ἐν Ὀδυσσείᾳ λέγεται, κατὰ τὸν πρῶτον πλοῦν, ἡνίκα ἐπεξενοῦντο Λεσβίοις οἱ Ἕλληνες, οὐχ’ ὅτε Ἀχιλλεὺς ἐπολιόρκει αὐτοὺς ὡς πολέμαρχος. καὶ ὅτε δέ, φασίν, ἡ Πηνελόπη ἐρεῖ, ὅτι «ἤδη μοι τόδε εἰκοστὸν ἔτος ἐστίν, ἐξ οὗ Ὀδυσσεὺς εἰς Τροίαν ἔβη», ἔστιν ὑπονοεῖν, ὅτι τὴν πρώτην δεκαετίαν ὧδε κἀκεῖ πλανώμενοι ἀνάλωσαν Ἕλληνες. ἀλλὰ ταῦτα μὲν οὕτως, ἔχοντα πολλὰς ἀντιλογίας· ἡ δὲ Ὁμήρου γνώμη δήλη ἐστὶν ἀποφηναμένου τὸν Κάλχαντα τοῖς Ἕλλησι τοῦ εἰς τὴν Τροίαν πλόου ἀφηγήσασθαι. [Ἰστέον δὲ ὅτι ἔθος Ὁμήρῳ ἀδιαφορεῖν ἐν τοῖς δυϊκοῖς καὶ τοῖς πληθυντικοῖς καὶ ποτὲ μὲν πληθύνειν τὰ δυϊκά, ποτὲ δὲ δυάζειν τὸ πλῆθος, ὡς μυριαχοῦ φανήσεται. διὸ καὶ ἡ τοῦ Ἀχιλλέως δημηγορία οὕτως ἄρχεται «νῦν ἄμμε» ἤγουν ἡμᾶς «παλιμπλαγχθέντας ὀΐω ἂψ ἀπονοστήσειν». ἔστι δὲ Αἰολικὸν τὸ ἄμμε, ὡς δῆλον ἐκ τῆς βαρυτονήσεως καὶ τῆς ψιλώσεως καὶ τῆς τῶν ἀμεταβόλων διπλώσεως. (v. 60) Περὶ δὲ τοῦ ὀΐω καὶ τοῦ ἄψ, ὅ ἐστιν ὀπίσω, καὶ τοῦ δαμᾷ καὶ τοῦ λοιμός ἐν τοῖς ἑξῆς ῥηθήσεται.] (v. 62 s.) Ὅτι ἐν τῷ εἰπεῖν «ἀλλ’ ἄγε δή τινα μάντιν ἐρείομεν» ἤγουν ἐρωτήσωμεν «ἢ ἱερῆα ἢ ὀνειροπόλον», ὀνειροπόλον μὲν λέγει τὸν περὶ ὀνείρους στρεφόμενον κἀκεῖθεν τὸ μέλλον προειδότα διὰ τοῦ κρίνειν ὀνείρους, ἱερέα δὲ τὸν τὴν θυτικὴν εἴτ’ οὖν ἱερατικὴν μετιόντα καὶ δι’ ἐντόμων μαντευόμενον [ἤγουν ἱερείων σφαγίων], ὁποῖον Σοφοκλῆς τὸν Τειρεσίαν ἱστορεῖ.

1.77 μάντιν δὲ οἱ μὲν γενικῶς καὶ ἀδιορίστως εἶπον τὸν ἁπλῶς εἰδότα τὸ μέλλον καθ’ οἱονοῦν τρόπον μαντικῆς, ἕτεροι δὲ κατ’ ἐξοχὴν μάντιν ἐνταῦθα τὸν οἰωνοσκόπον ἐνόησαν. διὸ καὶ τοιοῦτος ἀνίσταται ὁ Κάλχας οὐχ’ ἱερεὺς [ταὐτὸν δ’ εἰπεῖν θυηπόλος,] οὐδὲ ὀνειροπόλος, ἀλλὰ οἰωνοπόλων, ὅ ἐστι τῶν περὶ τοὺς αἰσίους οἰωνοὺς πολουμένων ἤτοι ἀναστρεφομένων ὁ ἄριστος. ἔδει γὰρ ἕνα τῶν ὀνομασθέντων τριῶν ἀναστῆναι ἢ μάντιν ἢ ἱερέα ἢ ὀνειροπόλον—οὐκ ἦν δὲ οὔτε ἱερεὺς οὔτε ὀνειροπόλος ὁ ἀναστάς—μάντις ἄρα ἤτοι οἰωνοπόλος κατὰ τὸν ποιητήν. [Σοφοκλῆς δ’ ἂν εἴποι οἰωνοθέτης.] ἀλλὰ τοῦτο μὲν πιθανόν ἐστιν, Ὅμηρος δὲ ἐν ἄλλοις ἕτερον ὁμολογουμένως ἔχει τὸν μάντιν παρὰ τὸν οἰωνοπόλον λέγων «οὔτε τι μάντις ἐὼν οὔτ’ οἰωνῶν σάφα εἰδώς». καὶ ἔοικε τάχα εἶναί τι μέρος ἢ εἶδος μαντικῆς καὶ τὸ τοιοῦτον ὄνομα τὸ μάντις ἐξιδιασθέντος ἐν αὐτῷ τοῦ γενικοῦ ὀνόματος. καὶ ἴσως τοιοῦτός ἐστιν ὁ ἐνθουσιαστὴς ἤτοι ἔνθεος, οἱονεὶ μαινόμενος καὶ ἐξεστηκὼς ἐν τῷ προλέγειν τὰ μέλλοντα. ὅθεν καὶ μάντις παρὰ τὸ μαίνεσθαι εἴρηται. μανίαν γάρ τινα ἔνθεον ἐκστατικῶς οἱ μάντεις ἐν τῷ προλέγειν ἔπασχον· ὥστε γένος μὲν ὁ μάντις, εἴδη δὲ αὐτοῦ ὁ ἐνταῦθα μάντις ἤγουν ὁ ἐνθουσιαστὴς καὶ ὁ ἱερεὺς καὶ ὁ ὀνειροπόλος. ἰστέον δὲ ὅτι οὐκ ἔξω λόγου καὶ τὸ γενικῶς μέν, ὡς καὶ προερρέθη, νοῆσαι τὸν μάντιν, εἴδη δὲ αὐτοῦ εἰπεῖν τὸν ἱερέα καὶ τὸν ὀνειροκρίτην, ἵνα λέγῃ ὅτι ἐρωτηθήτω τις μάντις οἷον ἱερεὺς ἢ ὀνειροπόλος. οὕτω καὶ ἐν Ὀδυσσείᾳ γένος εἰπὼν τὸ φυτὸν ἐπάγει τὰ εἴδη ἐν τῷ «οὐ φυτόν, οὐ συκῆ, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη» καὶ ἑξῆς. τοιοῦτον καὶ παρ’ Εὐριπίδῃ τὸ «οὔτε ὅπλα οὔτ’ ἔγχος». γένος μὲν γὰρ τὰ ὅπλα, εἶδος δὲ τὸ ἔγχος. εἰ δὲ δύο τούτων μάντεων ὀνομασθέντων, ἱερέως καὶ ὀνειροπόλου, τρίτος ἀνίσταται ὁ ἐξ ἑτέρου εἴδους οἰωνοπόλος Κάλχας, καινὸν οὐδέν, ἀλλὰ καὶ μᾶλλον ἀνύποπτον τὸν Ἀχιλλέα ποιεῖ. αὐτοῦ γὰρ ἄλλους ἐρωτηθῆναι θελήσαντος ἕτερος ἀνέστη, ὃν οὐ προεκαλέσατο Ἀχιλλεύς. ἔστι δὲ νοῆσαι καὶ ὅτι ὁ αὐτὸς Κάλχας καὶ ἱερεὺς ὢν καὶ ὀνειροπόλος περὶ οἰωνοὺς μάλιστα εὐδοκίμει. διὸ καὶ ὡς παντοῖος ἀνίσταται ἤγουν ὡς τέλειος μάντις καὶ οὕτω ἀμύμων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ τὸν ποιητήν. (v. 63) Ὀνειροπόλος δὲ διχῶς ἢ ὁ βλέπων αὐτὸς ὀνείρους καὶ κατ’ αὐτοὺς προλέγων, ὡς ὁ Ἀγαμέμνων ἐν τῇ βῆτα ῥαψῳδίᾳ, ἢ ὁ τοὺς ὑπ’ ἄλλων βλεπομένους διευκρινῶν, ὡς τοὺς τῆς Πηνελόπης ὁ Ὀδυσσεύς.

1.78 καί εἰσιν ἔγγραφοί τινες τέχναι ὀνειροκριτικαί, ὥσπερ ἦσαν καὶ οἰωνιστικαὶ καὶ θυτικαὶ καὶ ἕτεραι. ὅτι δὲ τὸν οἰωνοπόλον ἐξέχειν οἶδεν ὁ ποιητής, δῆλον ἐκ τοῦ ὡς ἐπὶ πολὺ δι’ οἰωνοσκοπίας παρ’ αὐτῷ σημαίνεσθαι τὰ μέλλοντα. φανερὸν δὲ καὶ ὅτι οἶδεν ὁ ποιητὴς καὶ ἄλλους τρόπους μαντικῆς, τήν τε διὰ σημείων καὶ τεράτων καὶ τὴν διὰ τῆς φήμης δέ, ὡς ἐν Ὀδυσσείᾳ φαίνεται. πολλαὶ δὲ καὶ ἄλλαι παρὰ τοῖς παλαιοῖς τερθρεῖαι μαντικαί. φύλλων τε γὰρ ψόφοις τοῖς ἐν τῷ καίεσθαι προειδέναι τὸ μέλλον ᾤοντο καὶ λαχμοῖς τισι καὶ ἐνοδίοις συμβόλοις, ὁποῖον καὶ τὸ τοῦ Ἱπποκράτους λεγόμενον φέρεται, καὶ ἑτέροις μυρίοις, ὧν οὐδένα λόγον Ὅμηρος τίθεται, ὅσγε καὶ τὸν ὀνειροπόλον φαίνεται ὑποβιβάζειν τοῖς ἄλλοις διὰ τὸ περὶ πταιστὸν ὑποκείμενον καταγίνεσθαι, οἷα μὴ πάντων τῶν ὀνείρων ἀληθευόντων, ὡς καὶ ἐν τῇ Ὀδυσσείᾳ δείκνυσιν, ἀλλὰ μὴν καὶ ἐν τῷ εἰπεῖν «καὶ γάρ τ’ ὄναρ ἐκ Διός ἐστι». τοῦτο γὰρ εἰς λύσιν ἀπορίας ἐπήγαγεν, ὥς τινος ἐρωτήσοντος «τί οὖν καὶ ὀνειροπόλον ἐρωτήσομεν τὸν περὶ ψευδῆ καταγινόμενον» καὶ καθ’ Ἡρόδοτον εἰπεῖν «πεπλανημένα εἰς ἀνθρώπους ἐνύπνια περιεργαζόμενον»; τοῦτο δὴ λύων φησίν, ὅτι οὐ πάντες ὄνειροι ψευδεῖς, ἀλλά τινες ἂν γένοιντο καὶ ἐκ Διός, οὓς καὶ διοπέμπτους ἐκάλουν. οἱ δὲ τοιοῦτοι κυρίως εἶχον τὴν τοῦ ὀνείρου κλῆσιν, ὡς τὸ ὂν ἤτοι τὸ ἀληθὲς εἴροντες καὶ λέγοντες. διὸ καὶ ὀμφὴ ὁ τοιοῦτος ὄνειρος ἐλέγετο διὰ τὸ τὸ ὂν φαίνειν. ἰστέον δὲ ὅτι, κἄν τε εἴπῃ τις «καὶ γάρ τι ὄναρ», ἐμερίκευσε τὸν ἁπλῶς ὄνειρον, κἄν τε εἴπῃ «καὶ γάρ τε ὄναρ», ὁμοίως μερικῶς εἶπε διὰ τὸ ἀπροσδιορίστως καὶ δίχα ἄρθρου εἰπεῖν. ὁ δὲ εἰπών· «καὶ γὰρ τὸ ὄναρ ἢ τοὖναρ ἢ πᾶν ὄναρ» ἐκεῖνος ἁπλῶς εἶπε καὶ οὐ πρὸς μέρος ἀλλὰ καθόλου. καὶ ταῦτα μὲν ἐν τούτοις. οἱ δὲ παλαιοὶ ἐν τῷ «ἀλλ’ ἄγε δή τινα μάντιν ἐρείομεν» φασὶ καὶ ὅτι κοινή πώς ἐστι τέχνη ἰατρικὴ καὶ μαντική, Μελάμπους οὖν καὶ Πολύειδος ἀμφότεροι ἐπ’ ἀμφοῖν ἔνδοξοι ἐγένοντο. καὶ Αἰσχύλος δέ που, φασί, τὸν ἰατρὸν μάντιν ὀνομάζει. καὶ Ἀχιλλεὺς δὲ ἰατρικῶς νοήσας τὰ κατὰ τὸν λοιμὸν μαντικῆς δέεται. (v. 62—4) [Ἰστέον δὲ ὅτι τε ἐν τῷ «ἀλλ’ ἄγε δή» τὸ ἄγε οὐκ ἔστι καθαρῶς ῥῆμα προστακτικόν, ἀλλ’ ὡς ἐπίρρημα παρακελευσματικὸν κατὰ τὸ «φέρε, εἶα, ἄγρει, δεῦρο» καὶ τὰ τοιαῦτα. ὧν ἴδιον τὸ καὶ ἑνικοῖς καὶ πληθυντικοῖς ῥήμασι συντάσσεσθαι. καὶ ὅτι τὸ ἐρείομεν πλεονασμὸν ἔχει καὶ αὐτὸ τῆς ει διφθόγγου. καὶ ὅτι ταὐτόν ἐστιν ἱερέα εἰπεῖν καὶ ἐμπύρων γευόμενον καὶ ἐμπύροις χρώμενον κατὰ τὸ «ἐμπύρων ἐγευόμην» καὶ «ὃς ἐμπύρῳ χρῆται τέχνῃ». καὶ ὅτι τὸ ὀνειροπόλος ὁμοίως τῷ οἰωνοπόλος σύγκειται.

1.79 καὶ ὅτι τὸ «καὶ γάρ τ’ ὄναρ ἐκ Διός ἐστιν» ἐπεμβολή ἐστι συστατική, ὡς εἴρηται, τοῦ ὀνειροπόλου. διὸ καὶ αὐτοῦ δίχα εὐοδοῦται ἡ σύνταξις οὕτω· «ἀλλ’ ἄγε δὴ ἐρείομεν τὸν δεῖνα ἢ τὸν δεῖνα, ὅς εἴποι ἂν διὰ τί τόσσον ἐχώσατο Ἀπόλλων», ὅ ἐστι συνεχέθη τῷ θυμῷ. ἔστι δὲ τοῦ χώσατο θέμα τὸ χῶ, ὡς καὶ τοῦ ἐρρώσαντο τὸ ῥῶ. τὸ γὰρ χώω καὶ ῥώω καὶ ζώω καὶ τὰ τοιαῦτα οὐ κινοῦνται εἰς μέλλοντα.] (v. 65) Ὅτι ἑκατόμβη ἡ θυσία οὐχ’ ἁπλῶς, ἀλλ’ ἡ πολυτελής, ἡ ἐξ ἑκατὸν δηλονότι κυρίως βοῶν. [ἣν δὴ καὶ «βούταν φόνον» κατὰ τὴν τραγῳδίαν ὀρθῶς εἴποι τις ἄν], ὁποίαν καὶ ὁ παρὰ Ἡροδότῳ θύσας Κλεισθένης εὐώχει τοὺς τῆς θυγατρὸς μνηστῆρας καὶ τοὺς πολίτας· καθὰ καὶ χιλιόμβη ἡ ἀπὸ χιλίων. καταχρηστικῶς μέντοι καὶ ἡ ἐξ ἑκατὸν ζῴων ἤ, καιριώτερον εἰπεῖν, βοσκημάτων τοῦ τῶν βοῶν μέρους συνεισάγοντος καὶ τὰ λοιπά. διὸ καὶ ὁ ποιητὴς εἰπών «εἴπερ εὐχωλῆς ἐπιμέμφεται καὶ ἑκατόμβης», ἐπάγει «εἴ πως βούλεται ἡμῖν τὸν λοιγὸν ἀμῦναι ἀρνῶν κνίσσης αἰγῶν τε τελείων μετασχών», ὡς τῇ ἑκατόμβῃ πάντως καὶ ἀρνῶν συνεισαγομένων καὶ αἰγῶν. οὕτω δὲ καὶ Σοφοκλῆς οἶδε. φησὶ γοῦν ἐν Τραχινίαις «τὰ πάνθ’ ὁμοῦ ἑκατὸν συμμιγῆ βοσκήματα». συνᾴδει δὲ τῷ λόγῳ τούτῳ καὶ ὁ εἰπών «ποιοῦσιν ἑκατόμβας ἑκάστου γένους Ἑλληνικῶς», ὡς καὶ Πίνδαρός φησι «πάντα θύειν ἑκατόν». τινὲς δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑκατόμβην εἶπον τὴν ἐξ ἑκατὸν βάσεων ἤτοι ποδῶν, ὡς εἶναι τούτῳ τῷ λόγῳ ἑκατόμβην καὶ τὴν ἐκ ζῴων συντελουμένην τετραπόδων πέντε πρὸς τοῖς εἴκοσι. καὶ οἱ μὲν ταῦτα εἰπόντες ὡρισμένον τι δεδηλώκασιν. ἄλλοι δὲ εἰς ἀοριστίαν τὸν λόγον ἐξαγαγόντες καὶ τὸ ἑκατὸν ἀντὶ τοῦ πολλά νοήσαντες ἀορίστως ἑκατόμβην φασὶ τὴν ἐκ πολλῶν ἁπλῶς ζῴων, οἷα τὸν ἑκατὸν ἀριθμὸν πολλάκις καὶ ἐπὶ τοιούτου σημαινομένου εὑρίσκοντες κείμενον, ὡς καὶ ἐν τῷ «ἑκατόνζυγος ναῦς» ἡ πολύζυγος [καὶ «ἑκατὸν δέ τε δούραθ' ἀμάξης» καὶ «ἑκατόγχειρ Αἰγαίων» καὶ «ἑκατόμπολις Κρήτη». οὐ μὴν τοιοῦτον καὶ αἱ Ἑκατόννησοι. ἐκεῖναι γὰρ ὡς Ἑκάτου ἤγουν Ἀπόλλωνος νῆσοι οὕτω λέγονται.] Σημείωσαι δὲ ὅπως ἐκ τοῦ αὐτοῦ μὲν παράγεται καὶ ἡ ἑκατόμβη, ὅθεν καὶ τὸ ἑκατόμβοιον, ἡ δὲ σημασία αὐτῶν πλεῖστον ἔχει τὸ διάφορον, ὡς ἐν οἰκείῳ τόπῳ φανήσεται. καὶ ὅτι, εἰ καὶ πολλὰ ζῷα ἐν τῇ ἑκατόμβῃ, νικᾷ ὅμως τὸ τοῦ βοὸς ὄνομα διὰ τὸ τίμιον, ὃς καὶ ὀψέ ποτε κατήρχθη σφάζεσθαι τυπούμενος καὶ ἐν νομίσμασιν.

1.80 Ἰστέον δὲ ὅτι ἐν τῷ «εὐχωλῆς ἐπιμέμφεται» λείπει τὸ ἕνεκεν, ἵνα λέγῃ, ὅτι ἐπιμέμφεται ἡμῖν ἕνεκεν εὐχῆς. καὶ τοῦτο δηλοῖ ὁ ποιητὴς καὶ ἐν τοῖς ἑξῆς εἰπών· «οὔτε εὐχῆς οὔτε ἑκατόμβης ἐπιμέμφεται, ἀλλ' ἕνεκ' ἀρητῆρος» ἐπιμέμφεται δηλαδή. [ἰστέον δὲ ὅτι τὸ «ἑκατόμβης ἐπιμέμψασθαι» «ἱρῶν μηνίσαι» φησὶν ἐν τοῖς ἑξῆς.] (v. 66) Τὸ δὲ ἀρνῶν κατὰ τοὺς παλαιοὺς οὐκ ἀπὸ μονοσυλλάβου εὐθείας κλίνεται—ἄρρητος γὰρ ἡ τοιαύτη—ἀλλ' ἔστιν εὐθεῖα δισύλλαβος ἀρήν ἀρῆνος καὶ ἐξ αὐτοῦ κατὰ συγκοπὴν τὸ ἀρνός ἀρνί καὶ ἡ λοιπὴ κλίσις. ἐτυμολογεῖται δὲ ἡ λέξις παρὰ τὴν ἀράν, ὅ ἐστι τὴν εὐχήν, ὅτι τε ἐν εὐχαῖς παρελαμβάνετο τὸ ζῷον θυόμενον καὶ ὅτι καὶ ἄλλως εὐκταῖον ἦν ἡ τῶν τετραπόδων κτῆσις τοῖς παλαιοῖς. κνίσσα δὲ λέγεται μὲν καὶ ἐπὶ λίπους καὶ ἄλλων τινῶν, ἐνταῦθα δὲ ἡ λέξις τὴν ἀπὸ κρεάτων ὀπτωμένων ἀνάδοσιν δηλοῖ τοῦ καπνοῦ. ὅτι δὲ ἡ κνίσσα καὶ δι' ἑνὸς ς γράφεται καὶ ἐκτείνει τὴν παραλήγουσαν καὶ ἐκ τοῦ κνῶ κνίζω γίνεται κατὰ τὸν Ἡρωδιανόν, δηλοῦται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. τὸ δὲ τελείων οὐ μάτην ὁ ποιητὴς προσέθετο—οὐδεμίαν γὰρ λέξιν εἰκῇ παραρρίπτειν οἶδεν αὐτός—ἀλλ' ὅτι τοῖς θείοις ὡς τελείοις προσάγειν χρὴ τέλεια. ἢ καὶ πρὸς ἀντιδιαστολὴν εἶπε τοῦτο τῶν ἀρνῶν οὐ τελείων ὄντων. ἀτελεῖς γὰρ οἱ ἄρνες ἔτι. ὁ μέντοι ἀρνειὸς τέλειός ἐστιν, ὡς καὶ ἐν Ὀδυσσείᾳ δηλοῖ ὁ ποιητής. (v. 67) [Λοιγὸς δὲ ὁ ὄλεθρος ἢ ἀπὸ τοῦ λείπω κατὰ τοὺς παλαιούς, ὅθεν καὶ ὁ λοιμός, φασίν, ὁ κατά τε νόσον καὶ ὁ φθορεύς. ἢ μᾶλλον παρὰ τὸ λέγω ὁ λέγων, ὅ ἐστι κοιμίζων εἰς θάνατον. μάλιστα δὲ παρὰ τὸ ὀλίγος μεταθέσει τοῦ ο , ὁ ὀλιγῶν τοὺς ζῶντας. εἰσὶ δὲ καὶ ἕτεραι μεταθέσεις τοιαῦται, ἐν αἷς φανεῖται εἶναι καὶ ὁ λοῖσθος. ἐκ δὲ τοῦ λοιγός καὶ ὁ βροτολοιγὸς καὶ ὁ ἀθηρηλοιγὸς καὶ τὸ λοίγιον.] ἀμῦναι δὲ λέγει τὸ ἀπροφασίστως βοηθῆσαι δίχα μύνης, ὅ ἐστι προφάσεως. μύνην γὰρ ἐν Ὀδυσσείᾳ ὁ ποιητὴς λέγει τὴν πρόφασιν. (v. 68) Ὅτι ὁ ἤτοι καὶ ὁ μεν ἄλλως ἀδιάφοροι ὄντες ὅμως διαφέρουσι, καθότι ὁ μὲν ἤτοι ἐν καταρχῇ ἀεὶ λόγου τίθεται, οἷον «ἤτοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ ἕζετο». ὁ δὲ μεν σύνδεσμος οὐ πίπτει ποτὲ ἐν λόγου ἀρχῇ, οἷον «ἀλλὰ σὺ μὲν ταύτην θεῷ πρόες». καὶ ὁ μὲν ἤτοι ποιητικός ἐστιν, ὁ δὲ μεν τῆς κοινῆς φράσεως.

1.81 τοιοῦτον δέ τι καὶ περὶ τοῦ ἀταρ καὶ αὐταρ καὶ δε ῥηθήσεται. [Ἰστέον δὲ ὡς οἱ μεθ' Ὅμηρον τὸ ἤτοι χυδαϊστὶ μὲν ἑρμηνευτικὸν οἴονται σύνδεσμον, καθὰ καὶ τὸ ἤγουν καὶ εἴτ' οὖν, ἀκριβῶς δὲ νοήματα διαζευγνύουσιν ἐν αὐτῷ, οἷον «ἤτοι τέθνηκεν ἢ ζῇ» καὶ «ἤτοι ἄνθρωπος ἦν ἢ ἕτερον ζῷον». (v. 69) Ὅτι τὸν Θεστορίδην Θεστόρειον κτητικῶς λέγει ὁ Σοφοκλῆς.] (v. 70) Ὅτι τὸ ᾔδη ἀντὶ τοῦ ἠπίστατο διὰ τῶν δύο η παρὰ τῷ ποιητῇ γράφεται δι' αἰτίαν τοιαύτην. ἔθος τοῖς Ἀττικοῖς πολλάκις τὴν διὰ τοῦ ε καὶ ι δίφθογγον διὰ τοῦ η καὶ ι προάγειν καὶ οὐ μόνον ἐν τῷ ἱερῆς καὶ βασιλῆς καὶ ἱππῆς, ἀλλὰ καὶ ἐπὶ ῥημάτων, ὡς ὅτε τοῦ ᾔκαζον τὴν ἄρχουσαν διὰ τοῦ η προάγουσιν· ὁμοίως δὲ καὶ τοῦ ᾔειν, ὃ δηλοῖ τὸ ἦλθον. ὥσπερ γὰρ ἀπὸ τοῦ εἰκάζω τὸ ᾔκαζον, οὕτω καὶ ἀπὸ τοῦ εἴω, τὸ πορεύομαι, τὸ ᾔειν προάγεται, τῶν μὲν ἐνεστώτων ἐχόντων τὴν διὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ε καὶ ι γραφὴν, τῶν δὲ ἀπ' αὐτῶν παρῳχημένων διὰ τοῦ η καὶ ι τὴν τῆς ἀρχούσης ἀπαρτιζόντων δίφθογγον. κατὰ τὸν ὅμοιον δὴ τρόπον καὶ τὸ ᾔδειν, ὃ δηλοῖ τὸ ἠπιστάμην, ἀπὸ τοῦ εἴδω, τὸ ἐπίσταμαι, γεγονός, ὅμως ἐν τῇ παραληγούσῃ κατὰ τὴν παλαιὰν καὶ αὐτὸ Ἀτθίδα τὸ η μετὰ τοῦ ι ἔχει. καὶ οὕτω μὲν καθίσταται ἡ παραλήγουσα. ἡ δὲ λοιπὴ σκευωρία τοῦ ῥήματος τοιαύτη ἐστίν. ἔθος Ἰωνικὸν ἐκράτησε τοὺς ἐνεργητικοὺς ὑπερσυντελίκους διὰ τοῦ ε καὶ α προάγειν κατὰ τὴν λήγουσαν τοῦ πρώτου προσώπου τῶν ἑνικῶν. τὸ γοῦν ἐπεποιήκειν πεποιήκεά φασιν Ἴωνες καὶ τὸ ἐτετύφειν τετύφεα καὶ τὸ ᾔειν ἤϊα, οἷον «ἤϊα πολλὰ γουνούμενος». ὡσαύτως καὶ τὰ λοιπά. οὕτω γοῦν καὶ τὸ ᾔδειν διαλύοντες ᾔδεα λέγουσιν, ὡς τὸ «εἰ γὰρ ἐγὼ τάδε ᾔδεα». τούτου δὲ κερασθέντος γίνεται ᾔδη ἐν πρώτῳ προσώπῳ καὶ δηλοῖ τὸ ἠπιστάμην, οἷον «ᾔδη ἐγώ» τουτέστιν ἐγίνωσκον. καὶ εἰσὶ τούτου χρήσεις παρά τε ἄλλοις καὶ Σοφοκλεῖ. τοῦ τοίνυν πρώτου προσώπου τοῦ ᾔδεα τὸ ε καὶ τὸ α εἰς η κεράσαντος ἐκβαίνει καὶ τὸ τρίτον ὁμόφωνον καὶ διὰ τοῦτο καὶ τὴν αὐτὴν ἔχει γραφήν. εἰ δὲ ἀδύνατον κατὰ τὴν αὐτὴν διάλεκτον καὶ τὸν αὐτὸν ἀριθμὸν ὁμοφωνεῖν τὸ τρίτον τῷ πρώτῳ, ἀλλ' ὁ τοιοῦτος κανὼν ἐπὶ τῶν ἀσυναιρέτων ῥημάτων εἴρηται.

1.82 τὰ δὲ συναιρεθέντα, ἐπεὶ πάσχουσι καὶ οὕτω τῆς πρωτοτυπίας κατ' ἀνάγκην ἐκπίπτουσιν, οὐδὲ τὴν τοῦ κανόνος φυλάττουσι παρατήρησιν. Ἐνταῦθα δὲ ἰστέον καὶ ὡς ἔθος πολλάκις τῷ ποιητῇ, ὁπηνίκα τὴν ἀρχὴν προσώπου μνησθείη τινὸς ἢ ἐπιφανοῦς ἢ ἄλλως αὐτῷ χρησίμου, λαλεῖν τι περὶ αὐτοῦ ἐγκωμιαστικὸν καὶ οὕτως αὐτὸ ἐγγράφειν καὶ οἷον ἐγκαθίζειν εἰς μνήμην ταῖς τῶν ἀκροωμένων ψυχαῖς. καὶ τοῦτο πολλαχοῦ μὲν ποιήσει, ἄρχεται δὲ τῆς τοιαύτης μεθόδου ἐνταῦθα πρῶτον ἀπὸ τοῦ Κάλχαντος. γένος τε γὰρ αὐτοῦ ἐκτίθεται Θεστορίδην λέγων αὐτόν, καὶ τέχνην, ὅτι δηλαδὴ μάντις ἄριστος. [«ᾔδη γάρ», φησί, «τά τ' ἐόντα» καὶ ἑξῆς.] καὶ γὰρ ἐκ Μελάμποδος ἱστορεῖται κατάγεσθαι τοῦ ἐξοχωτάτου ἐν μάντεσιν, ὡς ἐν Ὀδυσσείᾳ ἱστόρηται. ἡ δὲ τοιαύτη τῷ ποιητῇ μέθοδος ἀφορμὴ γίνεται τοῦ πολλὰ ἱστορεῖν. ἐν γὰρ τοιούτοις τόποις καὶ γενεαλογεῖ καὶ τοπογραφεῖ καὶ πράξεις ἀρχαίας ἐκτίθεται καὶ ἄλλα καλὰ μυρία ποιεῖ. περίπυστος δὲ τὰ εἰς μαντικὴν ὁ Κάλχας, εἰ καὶ τὰ εἰς τελευτὴν ἐδυστύχησεν· ὃς Μόψῳ, τῷ ἐγγόνῳ Τειρεσίου, περιτυχὼν περί που Κολοφῶνα κατὰ τὸν Γεωγράφον—ἄλλοι γὰρ ἄλλως ἱστόρησαν—καὶ ἡττηθεὶς ἐπὶ μαντικῇ διὰ λύπην ἀπέθανε σφαλεὶς μὲν τοῦ ἀριθμοῦ τῶν ὀλόνθων τοῦ ἐρινεοῦ, ὡς καὶ Λυκόφρων ἱστορεῖ, οἳ τὸν ἀριθμὸν ἦσαν μύριοι κατὰ τὴν ἱστορίαν τοῦ Γεωγράφου, μέτρῳ δὲ μέδιμνος ἑνὸς ὀλόνθου περιττεύοντος· ἀστοχήσας δέ, φησί, καὶ τοῦ προβλήματος τῆς ὑός, ἥτις τρεῖς εἶχε χοίρους, ὧν ἡ μία θῆλυς. ὅτι δέ τινές φασιν ἐν τῇ τοῦ Κάλχαντος Ὁμηρικῇ γενεαλογίᾳ στίχους ἐκλελοιπέναι, ὁ Πορφύριος ἱστορεῖ ἐκτιθέμενος καὶ στίχους δύο, ἐν οἷς Εὐβοεύς τε φαίνεται εἶναι καὶ Ἄβαντος ἀπόγονος. [Ὅτι δὲ κάλχη ἡ πορφύρα καὶ ἀπ' αὐτῆς Κάλχας, ὁ ἢ πορφύρων, ὅ ἐστιν ἐν βάθει βυσσοδομεύων μαντικὰ ἢ ἀλλοῖά τινα, ἢ ὁ κατὰ χρόαν οἷον κάλχεος ἤγουν πορφύρεος καθ' ὁμοιότητα τοῦ Ὁμηρικοῦ Φοίνικος· καὶ ὅτι καλχαίνειν ἔπος ἢ τὸ πορφύρειν κατὰ νοῦν βύθιον ὡς ἐκ τῆς κάλχης ἢ τὸ μαντεύεσθαι ὡς ἐκ τοῦ Κάλχαντος, δῆλον ἀπὸ τῶν παλαιῶν. ὅτι δὲ ὁ οἰωνοπόλος καὶ οἰωνόμαντις λέγεται καὶ οἰωνοθέτης καὶ οἰωνιστής, δηλοῦσιν οἱ παλαιοί, παρ' οἷς καὶ ἡ ὀνειροκριτικὴ περιφραζομένη μαντεία λέγεται «βροτῶν δεινοῖς ἐν ὀνείροις».] Ὅτι ἀρετὴ μάντεως εὐδοκίμου, εἰδέναι τὰ κατὰ τὴν χρονικὴν τριμέρειαν. διὸ καὶ ὁ ποιητὴς ἐπαινῶν τὸν Κάλχαντα ὡς εὖ εἰδότα τῆς μαντικῆς φησιν· «ὃς ᾔδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα» ἤτοι τά τε ἐνεστῶτα τά τε μέλλοντα καὶ τὰ προγενόμενα.

1.83 ὅρα δὲ ὅπως ἀπὸ τοῦ ἐνεστῶτος ἀρξάμενος πρεσβεῖόν τι τῷ τοιούτῳ χρόνῳ χαρίζεται καὶ οὕτως ἐντρέπει τοὺς ἐξοστρακίζοντας τὸν ἐνεστῶτα καὶ μόνον παρῳχημένον χρόνον καὶ μέλλοντα δοξάζοντας. Ἰστέον δὲ ὅτι παρὰ μὲν τοῖς ὕστερον ὢν λέγεται καὶ ὄντα καὶ τὰ ὅμοια, παρὰ δὲ τῷ ποιητῇ ἀναλόγως μάλιστα μετὰ τοῦ ε ἀεὶ τὰ τοιαῦτα προφέρονται· ἐὼν γὰρ λέγει

καὶ ἐόντα καὶ αἰὲν ἐόντες καὶ ἀγέραστος ἔω καὶ τὰ ἄλλα ὁμοίως. καὶ ἔχει οὕτως ἡ ἀκολουθία τῶν λέξεων. ἔστι γὰρ ἔω ῥῆμα, οὗ ὁ μέλλων ἔσω, δεύτερος ἀόριστος ἦον, ἡ μετοχὴ ἐών, ἐξ οὗ τὸ ἐόντος καὶ ἐόντα καὶ ἐοῦσα καὶ τὰ λοιπά. (v. 71) Ὅτι τὸ ἡγεῖσθαι ἐπὶ μὲν ἀρχῆς τινος λαμβανόμενον καὶ ἐξουσίας γενικῇ φαίνεται συντάσσεσθαι, οἷον ὁ Ἀγαμέμνων ἡγεῖται τῶν Ἑλλήνων. [ἐπὶ δὲ προοδεύσεως καὶ ὁδηγίας δοτικῇ μάλιστα συντάσσεται, ὡς τὸ «Κάλχας ἡγήσατο ταῖς ναυσί» τῶν Ἑλλήνων] εἰς Τροίαν. τοῦτο δὲ καὶ ἀφηγεῖσθαι παρὰ τοῖς ὕστερον λέγεται. ταὐτὸν γὰρ παρ’ αὐτοῖς τὸ ἡγεῖσθαι καὶ προηγεῖσθαι καὶ ἀφηγεῖσθαι, [ναὶ μὴν καὶ τὸ ἐξηγεῖσθαι.] Σημείωσαι δὲ ὅτι τὸ τοιοῦτον ἐλλειπτικῶς ἐρρέθη, ὡς ἐάν γε κατὰ τὸ πλῆρες λεχθείη καὶ αὐτὸ γενικῇ συντάσσεται. ἔστι γὰρ τὸ ὅλον τοιοῦτον. Κάλχας ἡγήσατο ταῖς ναυσὶ τοῦ πρὸς τὴν Τροίαν πλοῦ. ὁμοίως δὲ συμβιβάζεται καὶ τὸ «Ποσειδῶν ἡγεῖται τοῖς πλέουσι» καὶ ὅσα τοιαῦτα. περὶ δὲ τῆς τοιαύτης συντάξεως καὶ τῆς τοῦ ἀνάσσειν καὶ τοῦ ἄρχειν καὶ ἐν τοῖς ἑξῆς ῥηθήσεται. [ἰστέον δὲ ὡς οἱ μεθ’ Ὅμηρον ἔστιν ὅτε καὶ ἀντὶ τοῦ οἴεσθαι τὸ ἡγεῖσθαι τιθέασιν.] Ὅτι οὐ μόνον διὰ τοῦ ι αἱ ἐπεκτάσεις εἰσίν, ὡς ἐν τῷ οὑτωσί καὶ ταυτί καὶ νυνί, [ἔτι δὲ καὶ διὰ τῆς δε συλλαβῆς, ὡς προείρηται,] καὶ διὰ τῆς θα δὲ ὁμοίως, ὡς δηλοῖ τὸ ἔφησθα, ἦσθα, ἐθέλῃσθα καὶ τὰ τοιάδε, ἀλλ’ οἵ γε παλαιοὶ καὶ τὸ ω τὸ μέγα ἔν τε ἄλλοις καὶ ἐν τῷ «Ἴλιον εἴσω» ἐπέκτασιν εἶναί φασι νοοῦντες τὸ εἴσω ἀντὶ αὐτῆς ἐκείνης τῆς εἰς προθέσεως. τοῦτο δὲ οὐδὲν καινόν, ἐὰν καὶ ἀντὶ ἐπιρρήματός τις νοήσῃ διφορουμένου κατὰ τὴν σύνταξιν. ὥσπερ γὰρ ἀπὸ τῆς ἐξ προθέσεως ἀεὶ γενικῇ συντασσομένης τὸ ἔξω ἐπίρρημα γενόμενον ἀεὶ καὶ αὐτὸ τὴν γενικὴν ἔχει σύνταξιν, οὕτως οὐδὲν παράλογον, εἰ καὶ τὸ εἴσω γενόμενον ἀπὸ τῆς εἰς προθέσεως διφορουμένης ἐν τῇ συντάξει διφορεῖται καὶ αὐτὸ καθ’ ὁμοίωσιν ἐκείνης. καὶ ἐπείπερ ἡ εἰς πρόθεσις καὶ αἰτιατικῇ κοινῶς οἶδε συντάσσεσθαι, ναὶ μὴν ἀλλὰ καὶ γενικῇ Ἀττικῶς, ὡς τὸ εἰς Ἅιδου, διὰ τοῦτο καὶ τὸ εἴσω ποτὲ μὲν οὕτω συνταχθήσεται «Ἴλιον εἴσω», ποτὲ δὲ ἄλλως, οἷον «εἴσω τοῦ οἴκου». (v. 72) [Ὅτι πρὸς ὁμοιότητα τοῦ τοξοσύνη, βριθοσύνη καὶ ἑτέρων ὁμοίων, ἃ ἐν τοῖς ἑξῆς φανεῖται, λέγει Ὅμηρος ἐνταῦθα μαντοσύνην τὴν μαντικὴν τέχνην, εἰπών, ὡς ἡγήσατο Κάλχας νηυσὶν Ἀχαιῶν εἰς Ἴλιον, οὐ πειραθεὶς ἄλλως τοῦ τόπου, ἀλλά «ἣν διὰ μαντοσύνην, τήν οἱ πόρεν Ἀπόλλων», ὡς ἐπιστατῶν καὶ μαντικῆς, καθὰ πολλαχοῦ φαίνεται, οἷα ἥλιος.

1.84 τὸ δέ «ἣν διὰ μαντοσύνην» ἀντὶ τοῦ διὰ ἰδίαν μαντικήν. καὶ ἔστιν ἡ σύνταξις τρόπου ποιητικοῦ, ὃς λέγεται μὲν ἀναστροφή, κεῖται δὲ μυριαχοῦ τῆς ποιήσεως. τοιοῦτον δὲ καὶ πρὸ τούτων τὸ «βῆ δὲ κατ’ Οὐλύμποιο» ἀντὶ τοῦ κατέβη. καὶ ἀλλαχοῦ «βῆ δὲ κατ’ Ἰδαίων ὀρέων» καὶ παρ’ Ἡσιόδῳ τὸ «ὅν τε διά» ἤγουν δι’ ὅν. (v. 74) Ὅτι ὁ τοῖς ῥηθεῖσιν ἐπενηνεγμένος στίχος τρίβραχυν ἔχων πόδα ἐν τῷ «Διῒ φίλε», λαγαρός ἐστι. θεραπεύεται δὲ τὸ πάθος ἀπ’ ἐναντίας τῷ προκοιλίῳ. ἐκεῖνο μὲν γὰρ ἡ συνίζησις ἰᾶται, τοῦτο δὲ ἡ ἔκτασις τῆς ληγούσης τοῦ «Διΐ» ἐκ τοῦ σφηκώδους τῆς ἐν τῷ διχρόνῳ βραχύτητος διαφυσᾷ οἷον πρὸς ὄγκον σπονδειακόν.] (v. 75) Ὅτι οὐχ’ ὁμοίως τῷ ποιητῇ σεμνοί εἰσιν ἐν τοῖς μύθοις οἱ μετ’ αὐτὸν ποιηταί. ποῦ γὰρ σεμνὸν Ὁμήρου ἑκατηβελέτην εἰπόντος τὸν Ἀπόλλωνα μυθεύεσθαι τὸν Σιμωνίδην, ὡς ἑκατὸν βέλεσιν ἀνεῖλεν ὁ Ἀπόλλων τὸν ἐν Πυθοῖ δράκοντα, δέον ὂν μιᾷ βολῇ νεκρῶσαι τὸ θηρίον· οὐ γὰρ ἀρετὴ τοξότου τὸ πολλὰ βαλόντα βλάψαι. οὔκουν ἑκατηβελέτης ὁ τοιοῦτος, ἀλλ’ ὁ ἕκαθεν βάλλων. τοῦτο γὰρ ἰδιότης τοξεύοντος. διὸ καὶ ἑκάεργος ὁ αὐτός, ὡς ἕκαθεν εἴργων. δύο οὖν ὄντων ἐπιρρημάτων τοῦ ἑκάς καὶ ἕκαθεν ἀπὸ μὲν τοῦ ἑκάς ἑκηβόλος λέγεται, ἀπὸ δὲ τοῦ ἕκαθεν ἑκατηβελέτης. εἰ δέ τις ἑκατηβελέτην Ἀπόλλωνα εἰπεῖν θέλει ὡς ἀπὸ ἑκατὸν βελῶν, κάλλιον οὕτως εἰπεῖν αὐτόν, ὡς ἑκατὸν ἤγουν πολλὰ ἔχοντα βέλη. διὸ καὶ Πίνδαρος εὐρυφαρέτραν αὐτὸν λέγει. (v. 76) Ὅτι τὸ ἐγώ συμφώνου μὲν ἐπιφερομένου ἀπρόσληπτόν ἐστι τοῦ νῦ, φωνήεντος δὲ ἐπαγομένου ἐφέλκεται ν παρὰ τῷ ποιητῇ, οἷον «τοιγὰρ ἐγὼν ἐρέω». ἔστι δὲ τὸ τοιγάρ ἀντὶ τοῦ τοιγαροῦν, ὅπερ καὶ τοίνυν καὶ τοιγάρτοι λέγεται. οὕτω καὶ τὸ νυ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παραπληρωματικὸν ἀντὶ τοῦ δη σπανιώτατα μέν, γίνεται δ᾽ ὅμως ἐφελκυστικόν ποτε τοῦ ν καὶ αὐτὸ καὶ οὐ μόνον ἐν τῷ τοίνυν, ἀλλὰ καὶ παρ᾽ Εὐριπίδῃ ἐν τῷ «σῶσόν νυν αὐτὸν μήδ᾽ ἔρα τοῦ πλησίον». ἐπὶ δὲ τοῦ κε παραπληρωματικοῦ καὶ τῶν εἰς θεν ἐπιρρημάτων ἐκδηλότερος ὁ τοιοῦτος ἐφελκυσμός. (v. 77—83) Ὅτι ὁ Κάλχας οἷα μάντις εἰδὼς τὸ τῆς δημηγορίας ἀποτέλεσμα καὶ ὅτι μεγάλα λυπήσει τὸν βασιλέα, ἐφ᾽ οἷς ἐρεῖ, οὐκ εὐθὺς ἅμα τῷ τοῦ Ἀχιλλέως λόγῳ τὴν τοῦ λοιμοῦ αἰτίαν ἐκτίθεται, ἀλλὰ πρῶτα μὲν οἷον ἀπολογεῖται ὡς οὐχ᾽ ἑκὼν λαλῶν, ἀλλὰ διὰ τὸ τὸν Ἀχιλλέα κελεύειν τὸν Διῒ φίλον.

1.85 εἶτα καὶ τὸ δέος ἐνδεικνύμενος τὸ πρὸς τὸν βασιλέα, θεραπεύων δὲ καὶ τὸ πλῆθος, ὡς φόβῳ τοῦ ἄρχοντος μὴ φθάσας προειπεῖν τὰ κακά, ἑπτὰ ταῦτα ἐκ τοῦ Ἀχιλλέως ἀπαιτεῖ προασφαλιζόμενος ἑαυτόν· συνθήκην ἐπὶ βοηθείᾳ, εἴ τινα λυπήσει ἐφ᾽ οἷς εἴπῃ. «σύνθεο γάρ», φησί. καὶ συνθήκην οὐχ᾽ ἁπλῶς, ἀλλὰ ἔνορκον. φησὶ γάρ «καί μοι ὄμοσον». καὶ βοήθειαν οὐ τὴν τυχοῦσαν ζητεῖ, ἀλλὰ ψυχῇ ὅλῃ καὶ μὴ ἄχρι μόνον ἀφοσιώσεως. «ὄμοσον γάρ», φησί, «πρόφρων μοι ἀρήξειν». καὶ οὐδὲ ἀτελῶς βοηθηθῆναι θέλει, οἷον λόγοις ψιλοῖς ἢ ἔργοις μόνοις, ἀλλὰ καὶ ἐν ἔπεσιν, εἴπερ παρά τινος ὑβρίζοιτο, καὶ ἐν χερσίν, εἴ τις τύπτειν ἐθέλει αὐτόν· εἶτα δὴ τὴν κορυφαίαν ἀξίωσιν ἐπιτιθεὶς ἀπαιτεῖ καὶ κατὰ παντὸς προσώπου βοηθῆσαι αὐτῷ, κἂν μέγιστον ἐκεῖνο εἴη. «ὀΐομαι γάρ», φησίν, «ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων Ἀργείων κρατέει καί οἱ πείθονται Ἀχαιοί». προσαπαιτεῖ δὲ καὶ μὴ τὴν σήμερον, ἀλλὰ καὶ εἰς τὸ μέλλον ἐπάρηξιν. τοῦτο γὰρ δηλοῖ τὸ «εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ, ἀλλά γε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ, ἐν στήθεσσιν ἑοῖς». μονονουχὶ γὰρ λέγει, ὡς οὔ μοι χρεία τῆς πρὸς τὸ παρὸν βοηθείας, ἀλλὰ τῆς εἰς τὸ μέλλον μάλιστα, εἴγε τοιοῦτον ἄνδρα μέλλω λυπήσειν, ὃς ἀμύνασθαί με καὶ μετὰ ταῦτα δύναται. εἶτα ἐπὶ πᾶσιν, ὡς ἀπαιτήσας μεγάλα, ἐπάγει «σὺ δὲ φράσαι, εἴ με σαώσεις», τουτέστιν, εἰ δυνηθείης οὕτω μεγάλῳ πράγματι ἀντικαταστῆναι καὶ προσώπῳ, ἐξ οὗ κίνδυνός μοι καραδοκεῖται. ἑπτὰ οὖν, ὡς ἔφαμεν, ὁ Κάλχας ἐξ Ἀχιλλέως ἀπήτησε· συνθήκην, ὅ ἐστι συμφωνίαν, καὶ ταύτην ἐνώμοτον, ναὶ μὴν καὶ ὁλόψυχον. ἔτι δὲ καὶ ἐν λόγοις, ἀλλὰ δῆτα καὶ ἐν ἔργοις, καὶ ἐπὶ παντὶ δὲ προσώπῳ καὶ οὐδ᾽ ἐπ᾽ ὀλίγον ἀλλ᾽ ἐπὶ μακρόν. καὶ οὕτω μὲν ὁ Κάλχας. (v. 86—91) Ὁ δὲ Ἀχιλλεὺς συντομώτατα ποιῶν τὸ ἀπαιτηθὲν τὰ μὲν πρῶτα ὄμνυσι καὶ οὕτω συνθήκην πληροῖ καὶ ταύτην ἐνώμοτον ἐν τῷ «οὐ μὰ γὰρ Ἀπόλλωνα Διῒ φίλον». καὶ τὸ πρόφρων ἀρήξειν βεβαιοῖ. οὐ γὰρ ἂν ὤμνυεν, εἰ μὴ βοηθεῖν ἤθελεν. ἐν δὲ τῷ «οὔτις ἐμεῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο σοὶ κοίλαις παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει συμπάντων Δαναῶν, οὐδ᾽ ἢν Ἀγαμέμνονα εἴπῃς, ὃς νῦν πολλὸν ἄριστος ἐνὶ στρατῷ εὔχεται εἶναι» τὰ λοιπὰ τέσσαρα βεβαιοῖ. τὸ ἐν ἔπεσιν ἀρήξειν καὶ τὸ ἐν χερσὶ καὶ τὸ εἰς πᾶν πρόσωπον καὶ τὸ μὴ μόνον πρὸς τὸ παρὸν ἀλλὰ καὶ εἰς τὸ μέλλον. ἐν μὲν γὰρ τῷ «οὔτις σοι παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει» καὶ τὸ ἔργοις βοηθῆσαι παραδηλοῖ, πολλῷ δὲ πλέον καὶ τὸ ἐν λόγοις. ὁ γὰρ ἐν τῷ μείζονι βοηθῆσαι ὑποστάς, ἐν τῇ τῶν χειρῶν δηλαδὴ βίᾳ, πολλῷ πλέον ὑποστήσεται τὸ ἔλαττον ἤγουν τὸ ἀμῦναι ὑβριζομένῳ τῷ Κάλχαντι. ἐν δὲ τῷ «οὔ τις συμπάντων Δαναῶν, οὐδ᾽ αὐτὸς Ἀγαμέμνων» τὸ ἐπὶ παντὶ προσώπῳ ἀρήξειν ἐδήλωσε. τὸ δέ «ἐμοῦ ζῶντος» καὶ ἑξῆς τὴν εἰς τὸ μέλλον ἐμφαίνει συγκρότησιν. καὶ ταῦτα μὲν οὕτως. Ὅρα δὲ ὅπως ὁ Ἀχιλλεὺς συνετώτατα τὴν δημηγορίαν μεταχειριζόμενος ποιεῖ μὲν ὅσα ὁ Κάλχας ἀπήτησε, προσδιορίζεται δέ τι ὅμως ἄξιον λόγου συνθέμενος μὲν ὁρκωμοτικῶς πρόφρων ἔπεσι καὶ χερσὶν ἀρήξειν κατὰ παντὸς ἀνθρώπου καὶ εἰς τὸ μέλλον, κολάσας μέντοι τὴν εἰς τὸ μέλλον βοήθειαν ἀπό τινος χρονικοῦ καὶ τοπικοῦ ἐπιρρήματος, χρονικοῦ μὲν ἐν τῷ «οὔ τις ἐμοῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο», ὅ ἐστι φαινομένου· οἱονεὶ γὰρ λέγει, ὅτι οὐκ εἰσαεὶ κατὰ τὸ μέλλον βοηθήσω σοι, ἀλλ᾽ ἕως ἂν ζῶν περίβλεπτος ὦ καὶ ἐπιφανῶς ἔχω.

1.86 τοπικοῦ δὲ ἐν τῷ «κοίλαις παρὰ νηυσί» μονονουχὶ λέγων, ὅτι καὶ ζῶν καὶ φαινόμενος οὐδ᾽ οὕτω διόλου ἐπαρήξω σοι, ἀλλ᾽ ἕως ἐνταῦθα ἐν τῇ Τροίᾳ ἐσμέν. οὐ γὰρ δήπου καὶ εἰς τὴν Φθίαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπονοστήσας ὀφειλέτης σοι τῆς ἀρωγῆς ἔσομαι. ἐπεὶ δὲ οὗτος ὁ λόγος ἀπέκναιε τὸν Κάλχαντα, ἐπάγει εὐθὺς ὁ Ἀχιλλεὺς καὶ θεραπείαν εἰπών· «ὃς νῦν ἄριστος ἐν στρατῷ εὔχεται εἶναι», οἱονεὶ λέγων, ὅτι ἐὰν ἐνταῦθα βοηθήσω σοι, ἔχεις τὸ πᾶν. καὶ γὰρ ἐν ταῖς ναυσὶν ἔστι σοι χρεία τῆς ἀρωγῆς καὶ οὐχ' ὕστερον μετὰ τὴν τοῦ πολέμου λύσιν. νῦν γὰρ ἄριστος ὁ Ἀγαμέμνων, ὡς αἱρετὸς εὐρυκρείων τυγχάνων, ὕστερον δὲ Μυκήνης μόνης ἐσόμενος βασιλεύς. καὶ ὅρα, ὅπως ἔχῃ τι οὐκ ὀλίγον αὐστηρότητος ὁ τοῦ Ἀχιλλέως οὗτος λόγος. οὔτε γὰρ εἶπεν ἀπολύτως, ὅτι ὁ Ἀγαμέμνων ἄριστος, ἀλλὰ νῦν ἄριστος. καὶ οὐδὲ ὅτι ἄριστός ἐστιν, ἀλλὰ εὔχεται εἶναι τουτέστιν ᾄδεται, λέγεται· καὶ οὐδὲ ἄριστος ἁπλῶς, οἷον καὶ γένει καὶ ἀνδρίᾳ καὶ παρὰ ὅλοις Ἕλλησιν, ἀλλὰ ἐν τῷ στρατῷ. ἑαυτὸν δὲ προϊὼν ἐρεῖ τοιοῦτον ἐν τῷ «ἄριστον Ἀχαιῶν οὐδὲν ἐτίμησας» τουτέστιν ἐμὲ τὸν καὶ βασιλέα καὶ ἀνδρειότατον καὶ εὐγενέστατον. διὸ καὶ ὁ Ἀγαμέμνων συνάγει χόλον τινὰ καὶ ἐν τούτοις. πικρὰ γὰρ τά τε ἄλλα καὶ τὸ «οὐδ' ἢν Ἀγαμέμνονα εἴπῃς», εἰ καὶ παράκειται οἷον γλυκύ τι «τὸ ἄριστος ἐν στρατῷ», ὃ καὶ αὐτὸ ἔχει τι πικρίας, ὡς εἴρηται. (v. 88 s.) Σημείωσαι δὲ ὅτι καὶ τὸ «οὔτις σοι βαρείας χεῖρας ἐποίσει» εὐστόχως συνεφωνήθη παρὰ τοῦ Ἀχιλλέως. μονονουχὶ γὰρ λέγει ὡς οὐ μέχρι καὶ τῶν σμικροτάτων καταγενήσεται τῶν ἐχθραινόντων τῷ Κάλχαντι. τοῦτο γὰρ ἀγεννὲς καὶ ψοφοδεές, οἷον εἴ τις ἀπειλεῖται ἢ δακτύλων δείξεσιν ἐρεθίζει ἢ χεῖρας ἐπισείει. ἀλλὰ κατὰ βαρείας χειρῶν ἐπαγωγῆς ἐνστήσεται. διὸ οὐδὲ τὸ ἔπεσι βοηθῆσαι ῥητῶς ἐξεφώνησεν, ἀλλὰ νοηθῆναι αὐτὸ ἀφῆκεν. οὐ γὰρ ἐχρῆν ὀμόσαι τὸν Ἀχιλλέα γλώσσαις ἀντεπεξελθεῖν λοιδόροις καὶ «ἔπος ἐρείδειν πρὸς ἔπος», ὃ καὶ γυναῖκες ἂν ποιήσαιεν. ὅρα δὲ καὶ ὅτι ἐν οἷς ἄνω εἶπεν ὁ Κάλχας, ὡς ὁ Ἀγαμέμνων «πάντων Ἀργείων κρατέει καί οἱ πείθονται Ἀχαιοί», εὐρυκρείων τε ὁ Ἀγαμέμνων δείκνυται καὶ ἀγαθὸς βασιλεύς, ὅπερ καὶ ἀλλαχοῦ μαρτυρεῖται· εὐρυκρείων μὲν ὡς πάντων κρατῶν, ἀγαθὸς δὲ ὅτι πειθοῖ ἄγει καὶ οὐ βίᾳ τὸν λαόν. καὶ ὅτι ὁ μὲν Κάλχας ᾐδέσθη ἄντικρυς καὶ ὀνομαστὶ εἰπεῖν, ὅτι λυπήσει τὸν Ἀγαμέμνονα, [οἷα καὶ αὐτὸς εἰπεῖν ἔχων τὸ «ὀνομάζειν αἰδέομαι», ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται.] συμβολικῶς δὲ εἶπεν ὅτι χολώσει τὸν μέγα δυνάμενον. ὁ δέ γε Ἀχιλλεὺς καὶ ἐξ ὀνόματος εἶπεν αὐτὸν πολὺ τὸ θάρσος ἔχων, ὃ καὶ αὐτὸ τὸν βασιλέα πάντως ἐλύπησεν. (v. 81) Ὅρα δὲ καὶ ὅτι πάνυ κυριολεκτεῖ ἐν τῷ «εἰ γὰρ τὸν χόλον καὶ αὐτῆμαρ» ἤγουν αὐθημερόν «καταπέψῃ, ἀλλὰ καὶ μετόπισθεν ἔχει κότον». χόλος γὰρ καταπεφθεὶς κότος γίνεται. τοῦτο δὲ καὶ ὁρισμὸς μνησικακίας ἐστίν, ὥσπερ καὶ τὸ «ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ». ὀρθῶς γὰρ ἔχει φάναι, ὅτι μνησικακῆσαί ἐστι τὸ χόλον αὐτῆμαρ καταπέψαι, μετόπισθεν δὲ ἔχειν κότον, ὄφρα τελέσσει.

1.87 τὸ δέ «καταπέψῃ» μετηνέχθη ἀπὸ τῶν σιτίων τῶν μετὰ βρῶσιν ἱκανῶς κατασχεθέντων ἔσω ἄχρι καὶ πέψεως. οὕτω γὰρ καὶ ὁ κρυψίχολος πέττειν δοκεῖ τὸν θυμόν, ὃ δὴ κότος ἐστίν. ὁ δὲ μὴ κρύπτειν εἰδὼς τὸν θυμόν, ἐκεῖνος οὐ πέττει, ἀλλὰ τρόπον τινὰ ἐξεμεῖ. [Ὅτι δὲ τὸ πέσσειν καὶ ἀντὶ τοῦ θεραπεύειν κεῖταί ποτε, φανεῖται ἐν τοῖς ἑξῆς.] οὐκ ἀπὸ τοῦ πέττω δὲ γίνεται τὸ πέψῃ, ἀλλὰ ἀπὸ τοῦ πέπτω σεσιγημένου ἐνεστῶτος. διφορεῖται γὰρ καὶ αὐτός, ὡς καὶ τὸ καλύπτω, ὅπερ ἔοικε καὶ καλύσσω εἶναι, ἀφ' οὗ ὁ κάλυξ γίνεται. οὕτω δὲ καὶ τὸ βλάπτω ἑτεροίως διφορεῖται βλάβω λεγόμενον, ὡς ἀλλαχοῦ φανεῖται, [ἀπὸ τοῦ βέβλαφα παρακειμένου ἀνηγμένου εἰς ἐνεστῶτα καὶ τρέψαντος τὸ φ συνήθως εἰς β . ὃ γίνεται καὶ ἐπὶ τοῦ βλεμεαίνειν, ὅπερ ἐστὶν ἀναρρώνυσθαι καὶ προθυμεῖσθαι, ὡς ἀπὸ φλεβός, φασίν. ὅθεν καὶ ἀβλεμὲς τὸ νωθρόν, ὡς οἷον ἀφλεβές τι ὄν, καθὰ καὶ βλεμεαίνειν τὸ ὡσανεὶ φλεβεαίνειν, περὶ οὗ καὶ ἀλλαχοῦ δηλωθήσεται.] Ὅτι δὲ τοῦ πέττειν προϋπάρχει τὸ πέπτειν καὶ ὅτι Αἰολικόν ἐστιν, Ἡρακλείδης δηλοῖ φάμενος οὕτω· «Αἰολεῖς τὰ εἰς πτω λήγοντα βαρυτονοῦντες μετατιθέασιν εἰς δύο σς , ὡς καὶ ἡ Ὀδύσσεια δηλοῖ· οἷον, πέπτω πέσσω, ὄπτω ὄσσω «ὀσσόμενος πατέρ' ἐσθλόν». Ἡρόδοτος δὲ τὸ χόλον καταπέψαι «χόλον πιέσαι» φησίν. Ἐν δὲ τῷ «οὐ μὰ γὰρ Ἀπόλλωνα Διῒ φίλον» σκοπητέον, ὅτι καὶ τὴν ἄρχουσαν τοῦ Ἀπόλλωνος ἐκτείνει ὁ ποιητὴς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν λήγουσαν τῆς Διῒ δοτικῆς, ὅπερ καὶ ἐν ἀμφοτέροις παρὰ τὴν κοινὴν ἀναλογίαν ἐστί. τὸ δὲ μα ἐπίρρημά ἐστιν ἀπωμοτικόν, περὶ οὗ ῥηθήσεται μετ' ὀλίγα ἐν τῷ «ναὶ μὰ τόδε σκῆπτρον». Τὸ δέ «οὐ μὰ γὰρ Ἀπόλλωνα οὔτις ἐμεῦ ζῶντος βαρείας σοι χεῖρας ἐποίσει» Ἀττικὸν σχῆμά ἐστι τῶν δύο ἀποφάσεων λαμβανομένων ἀντὶ μιᾶς. Βαρεῖαι δὲ χεῖρες αἱ κακοποιοί, ὡς καὶ προϊὼν ἐρεῖ ὁ ποιητὴς ἐπὶ Ἀπόλλωνος. [Σημείωσαι δὲ ὅτι βαρείας χεῖρας ἔχειν οὐ ταὐτόν ἐστι τῷ χερσὶ βρίθειν ἀεί, ἀλλὰ ποτὲ μὲν πλουσιότητα δηλοῖ τὸ τοιοῦτον· δύναται δὲ ποτὲ καὶ Ὁμηρικῶς νοεῖσθαι, ὡς καὶ ἐν τῷ «εἴ τινος πλέον ἢ χειρὶ βρίθεις» ἀντὶ τοῦ δυνατὸς εἶ. (v. 77) Τὸ δὲ πρόφρων ταὐτόν ἐστι τῷ ὑπέρφρων. αὐτὸ δὲ διχῶς· ὑπέρφρων γὰρ οὐ μόνον ὁ ὑπέρ τινος φρονῶν, ὡς ἐν τοῖς ῥηθεῖσι νοεῖται, ἀλλὰ καὶ ὁ περιφρονῶν τινα, καθὰ κεῖται ἀλλαχοῦ. (v. 78) Τὸ δὲ ὀΐομαι ὅτι ἐκ τοῦ οἴομαι διαλέλυται καὶ ὅτι καὶ ὀΐω λέγεται τὸ αὐτὸ ἐνεργητικῶς, ἐκδηλότατόν ἐστιν.

1.88 ] Ἐν δὲ τῷ χολωσέμεν ἰστέον, ὡς τὰ εἰς ειν ἀπαρέμφατα εἰς εν ποιοῦσιν οἱ Δωριεῖς ἀποβολῇ τοῦ ι , ὡς καὶ μετ' ὀλίγα ῥηθήσεται. ἀντὶ γὰρ τοῦ λέγειν καὶ γράφειν λέγεν φασὶ καὶ γράφεν. ταῦτα δὲ προσλήψει τῆς με συλλαβῆς λεγέμεν γίνεται καὶ γραφέμεν. οὕτω γοῦν καὶ τὸ χολωσέμεν παράγεται χολώσειν χολώσεν χολωσέμεν. [Σημείωσαι δὲ ὅτι ἐν τοῖς ῥηθεῖσιν ὑπὸ τοῦ Κάλχαντος ἔπαινος βασιλέως ὑψηλοῦ τε καὶ ἀγαθοῦ δηλοῦται εἶναι τὸ πολλῶν τε κρατεῖν καὶ εὐπειθῶν, ὁποῖοι καὶ οἱ Ἀχαιοὶ τῷ Ἀγαμέμνονι ἐφάνησαν ἐν τοῖς κατὰ τὸν Χρύσην. ἔφη γοῦν ὁ Κάλχας τὸν Ἀτρείδην πάντων μέγα κρατέειν ὡς εὐρυκρείοντα εἴτ' οὖν εὐρυμέδοντα καί οἱ τοὺς τοιούτους πείθεσθαι. Καὶ ὅρα τὸ μέγα, ὄνομα ὂν ἐπιρρηματικὸν ἢ καὶ ἄλλως εἰπεῖν ἐπίρρημα ὀνοματικόν, ὁποῖον καὶ τὸ «πρόφρων ἀρήξειν» καὶ πρὸ αὐτῶν τὸ «ὄχ' ἄριστος» ἤγουν ἐξόχως, ἐν ᾧ λείπει πρόθεσις πάντως ἡ ἐξ καθὰ καὶ ἐν τῷ Ὄχη· ὅρος δὲ ἡ Ὄχη Καρύστιον ἐξέχον ἐν τοῖς ἐκεῖ.] (v. 80) Ὅτι τὸ «κρείσσων γὰρ βασιλεύς, ὅτε χώσεται ἀνδρὶ χέρηϊ» πρῶτόν ἐστιν ὧδε γνωμικὸν παρὰ τῷ ποιητῇ [καὶ κατὰ τὸν εἰπόντα ὑφεστηκυῖα γνώμη σοφὴ] ἤγουν γνωμάτευμα καθολικὸν περὶ βιωτικοῦ τινος πράγματος διδάσκον οἷός ποτε ὁ ἄρχων κατὰ ἐλάττονος θυμωθείς. λέγει δὲ ὅτι, ὅτε βασιλεὺς ἄνδρα ταπεινὸν κυρώσει ἀμύνασθαι, ἀήττητός ἐστι. καὶ γὰρ καὶ τὸ χώεσθαι πολλάκις ὀργὴν δηλοῖ ἔμπρακτον, ὡς τὸ «ὅτι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων». καὶ τὸ κρείσσων ἐπὶ νικῶντος καὶ ἐπικρατεστέρου τίθεται, ὡς τὸ «ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται» καὶ παρ' Εὐριπίδῃ «ἀνάγκαι κρείσσονες» αἱ ὑπερτεροῦσαι καὶ κραταιαὶ καὶ ὡς εἰπεῖν δυνατώταται· καὶ πάλιν «ἐπεὶ δὲ κρεῖσσον τὸ κακόν ἐστι τοῦ ἀγαθοῦ» καὶ «ναυτικὴ ἀναρχία κρείσσων πυρός». [ὁ δὲ τοιοῦτος κρείσσων, οὗ καὶ ῥῆμα τὸ κρεισσῶ παραδιδόασιν οἱ παλαιοί, λέγοιτ' ἂν μάλα καιρίως καὶ ἀρείων παρὰ τὸ Ἄρης κατὰ τὸ «τί λέληκας; ἔχει νύ σε πολλὸν ἀρείων».] εἶτα τὸν τοιοῦτον λόγον πιστούμενος ἐπάγει «εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ» καὶ ἑξῆς, ὡς προγέγραπται. ὁ μὲν γὰρ χοώμενος ἀνδρὶ μὴ χερείονι ἁρπαγιμαῖον ἔχει τὸν καιρὸν τῆς ἀμύνης, ὃν τυχὸν μὲν εὑρηκὼς γενήσεται κρείττων τοῦ ἐχθροῦ, τυχὸν δὲ οὔ. ὁ δὲ τῷ χείρονι χωόμενος ἀεὶ καιρὸν ἔχων ἀήττητός ἐστι. Τὸ δέ «χέρηϊ» συγκοπὴν ἔχει ἐκ τοῦ χερείων ὁ χείρων, χερείονος, χερείονι καὶ ἐν συγκοπῇ χέρει καὶ τροπῇ τοῦ ε τῆς ει διφθόγγου εἰς η χέρηϊ, οὗ ἡ αἰτιατικὴ χέρηα [καὶ πληθυντικὴ εὐθεῖα οἱ χέρηες.

1.89 ] Ἰστέον δὲ ὅτι εἰς τὸ νοηθῆναι τὴν ῥηθεῖσαν Ὁμηρικὴν γνώμην συντελεῖ καὶ τοῦ Σοφοκλέος τὸ «οὐκ ἐκπέλει φρονεῖν μέγα, ὃς δοῦλός ἐστι τῶν πέλας». καὶ Εὐριπίδης δὲ φανερῶς αὐτὴν παραφράζει ἐν τῷ «καί πως ὀλίγ' ἀρχόμενοι, πολλὰ κρατοῦντες χαλεπῶς ὀργὴν μεταβάλλουσιν» ἤγουν οἱ βασιλεῖς διὰ μικρὰν ἀρχὴν λύπης δυσκατάλλακτοί εἰσιν ὡς πολλὰ κρατοῦντες ἤτοι ὡς κρείσσονες. ταὐτὸν γὰρ ὁ πολλὰ κρατῶν καὶ ὁ κρείσσων, οἷς ἐναντίον ὁ ἥσσων. ἑρμηνεύει δέ πως παραφραστικῶς τὴν αὐτὴν γνώμην καὶ ῥήτωρ ὁ ἐν ὀγδόῳ αὐτοῦ Λόγῳ οὕτως εἰπών· «πρὸς ταῦτα ῥητόρευε καὶ δίκαια καὶ πρέποντα καὶ συμφέροντα, μάτην

ὁριζόμενος, ὡς οὐδενὸς προσδεῖται ὁ κρατῶν τὸ βούλημα τὸ ἴδιον τούτων ἕκαστα ποιούμενος». μονονουχὶ γὰρ ὁ τοιοῦτος ῥήτωρ τὸν χωόμενον βασιλέα κρείσσω εἶναι λέγει, ὡς τὸ οἰκεῖον βούλημα κρατύνοντα καὶ μηδενὸς ὑπακούοντα. (v. 84) Ὅτι ἀμείβεσθαί ἐστιν οὐ μόνον ἔργοις ἀλλὰ καὶ λόγοις. οὕτω γοῦν ὁ ποιητὴς τὸ ἀνταπολογεῖσθαι καὶ ὅλως λαλεῖν τι πρὸς τὰ προλαληθέντα ἀμείβεσθαι λέγει. ἐντεῦθεν δὲ καὶ λόγοι ἀμοιβαῖοι παρὰ τοῖς ποιηταῖς, ἐν οἷς τὰ πρόσωπα στιχηρῶς ἢ καὶ ἄλλως συντομώτερον πρὸς ἄλληλα φθέγγονται, ὅπερ καὶ ἀλληλογραφία λέγεται. Σημείωσαι δὲ ὅτι νῦν μὲν οὐ σαφῶς εἶπεν, ἀλλαχοῦ δὲ σαφηνίζει τὴν λέξιν ἐν τῷ «ἀμείβετο φώνησέν τε» καὶ ἐν τῷ «Ἑλένη μύθοις ἀμείβετο». (v. 85) Ὅτι θεοπρόπος ὁ μάντις ὁ θεοῖς πρέπων ἢ τὰ θεοῖς πρέποντα λέγων καὶ θεοπρόπιον τὸ αὐτοῦ λόγιον ἤτοι μάντευμα καὶ θεοπροπία ἡ μαντεία καὶ τὸ ῥῆμα θεοπροπέω, ὅθεν καὶ μετοχὴ τὸ «ἐν Δαναοῖς θεοπροπέων ἀγορεύεις». ἦν δὲ καὶ τάγμα τι θεῖον ἐν Δελφοῖς, οἱ θεοπρόποι, οἳ καθ' Ἡρόδοτον ἐσιτοῦντο μετὰ τῶν βασιλέων τὰ δημόσια. [Συγκέκοπται δὲ τὸ πρέπειν ἐκ τοῦ περιέπειν, ἐπειδὴ τὰ ἐκπρεπῆ καὶ εὐπρεπῆ καὶ ἀριπρεπῆ καὶ ἀληθῶς πρέποντα καὶ ἐπιπρέποντα περιέπομεν. (v. 87) Ὅτι ἐν τῷ «Δαναοῖσι θεοπροπίας ἀναφαίνεις» οὐκ ἔστι καιριώτερον φάναι τοῦ «ἀναφαίνεις»· οἱ δὲ μεθ' Ὅμηρον ἐντεῦθεν ὁρμώμενοι εἶπον τὸ «ἀνεῖλεν ὁ Φοῖβος» καὶ ὅσα τοιαῦτα.] (v. 92) Ὅτι αὐδᾶν λέγεται τὸ ἀνθρωπίνως λαλεῖν. αὐδὴ γὰρ οὐχ' ἁπλῶς ἡ τυχοῦσα φωνή, ἀλλ' ἡ ἀνθρωπίνη. ὅθεν καὶ αὐδήεσσα ἡ χρωμένη φωνῇ ἀνθρωπίνῃ καὶ αὐδήεις ὁμοίως.

1.90 γίνεται δὲ παρὰ τὸ αὔω τὸ φωνῶ καὶ τὸ δέω τὸ δεσμῶ αὐδὴ ἡ συνδεδεμένη καὶ ἐναρμόνιος φωνή. (v. 94) [Ὅτι ὁ ἀρητήρ, καθὰ καὶ ἀλλαχοῦ δηλοῦται, ἐκτείνει τὴν ἄρχουσαν, οἷον «ἠτίμης' ἀρητῆρα» καὶ «ἀλλ' ἕνεκ' ἀρητῆρος». καὶ ἴσως, ὥσπερ ἐκ τοῦ ἴσχω γενόμενος ὁ ἰχὼρ ἐνθέσει μακρᾶς τῆς τοῦ ἴσχω φύσει μακρὸν αὐτὸς ἔσχε τὸ κατάρχον δίχρονον, οὕτω καὶ ὁ ἀρητὴρ ἔπαθεν ἐκ τῶν ἀρνῶν γενόμενος ἀπελεύσει τοῦ νῦ. (v. 97) Ὅτι τὸ «οὐδ' ὅ γε λοιμοῖο χεῖρας ἀφέξει» διχῶς νοεῖται· ἢ γὰρ ὅτι οὐκ ἂν ὁ Φοῖβος τοῦ καθ' ἡμῶν λοιμοῦ τὰς ἑαυτοῦ χεῖρας ἀπόσχῃ ἢ ὅτι οὐκ ἂν τὰς τοῦ ἀποτροπαίου θεοῦ Λοιμοῦ χεῖρας ἀποκωλύσῃ ἡμῶν. γίνεται δὲ ὁ λοιμὸς ἐκ τοῦ λέλειμμαι, δι' οὗ δηλαδὴ λείπουσι τὰ ζῶντα. ἐκεῖθεν δὲ καὶ ὁ διὰ τοῦ ἰῶτα λιμός, ὡς ἀλλαχοῦ φανεῖται.] Ὅτι ὁπηνίκα τὸ πρὶν δὶς ἐν λόγῳ ποιητικῷ παραλαμβάνεται, τὸ μὲν ἓν νοεῖται ἀντὶ τοῦ πρότερον καὶ οὐδὲ ἔχει ὡρισμένην τὴν σύνταξιν, τὸ δὲ ἕτερον μετὰ ἀπαρεμφάτου ῥήματος συντάσσεται ταὐτὸν ὂν τῷ πρὸ τοῦ γενέσθαι τόδε τι· οἷον «οὐ πρὶν Ἀπόλλων λοιμοῦ χεῖρας ἀφέξει πρὶν ἀποδοῦναι» ἤγουν πρὸ τοῦ ἀποδοῦναι τῷ Χρύσῃ τὴν παῖδα· καὶ «ἄνυσις οὐκ ἔσεται, πρὶν Ἄργοσδε ἰέναι πρὶν γνῶναι τὴν Διὸς βουλήν». καὶ «μή τις πρὶν οἶκόνδε ἐπειγέσθω πρὶν πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναι». (v. 98 s.) Ἰστέον δὲ ὅτι δοῦναι μὲν ἐπὶ ἁπλῶς ἑκουσίου δόσεως, ὅθεν καὶ τὸ δῶρον, ἀποδοῦναι δὲ ἐπὶ τῶν χρεωστικῶς διδομένων, ὡς καὶ ὁ Δημοσθένης οἶδε, καθὰ εἰρήσεται. καὶ οὕτως ἀποδόμεναι ὁ βασιλεὺς λέγεται τὴν ἑλικώπιδα κόρην, οὐχ' ἑκὼν δηλαδή, ἀπριάτην, ἀνάποινον. ἐπιδιδόναι δέ ἐστι τὸ ἐπέκεινα τῶν προϋπαρχόντων δοῦναί τι. τὸ δὲ ἀπριάτην, ἀνάποινον, ἐπιρρήματά φασιν οἱ παλαιοὶ ἀντὶ τοῦ ἀπριάδην καὶ ἀναποίνως ἤγουν δίχα τοῦ πρίασθαι καὶ δίχα ἀποίνων. Τὸ δὲ ἀποδόμεναι δηλοῖ μὲν τὸ ἀποδοῦναι καὶ γίνεται ἐπενθέσει τῆς με συλλαβῆς. πῶς δὲ διασκευάζεται, ῥηθήσεται ἐν τοῖς ἑξῆς. Ὅτι ἑλίκωπες μὲν Ἀχαιοὶ οἱ τὰς κώπας ἑλίσσοντες ἤγουν ναυτικοί· ἤ, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, οἱ πρὸς τὴν Ἑλίκην, τὸ ἄστρον, τὴν καὶ μεγάλην ἄρκτον λεγομένην, τοὺς ὦπας ἔχοντες καὶ ἀφορῶντες καὶ πρὸς ἐκείνην πλέοντες· ἢ οἱ ἀξιοθέατοι καὶ ἑλίσσοντες τοὺς ὦπας τῶν βλεπόντων εἰς ἑαυτούς. κούρη δὲ ἑλικῶπις καὶ διὰ τοῦτο μὲν τὸ ὕστερον ἡ ἀξιοθέατος δηλαδὴ καὶ τοὺς ἐραστὰς ἐφελκομένη· οὐ μὴν δὲ ἀλλὰ καὶ ἡ αἰδήμων καί, ὥς φασιν οἱ παλαιοί, ἡ οὐκ ἀτενὴς τὴν θέαν ἀλλὰ εἰς ἑαυτὴν ἑλίσσουσα· ἢ καὶ ἡ μελανόφθαλμος καὶ οὕτως εὐπρεπὴς διὰ τὸ ἑλικούς, ὅ ἐστι μέλανας, ἔχειν τοὺς ὦπας.

1.91

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ δὲ τοιαύτη καὶ ἑλικοβλέφαρος λέγεται. ὅτι δὲ τὸ μέλαν ἑλικὸν λέγεται, δηλοῖ καὶ ὁ εἰπὼν τὸν Αἴσηπον ποταμόν «ἑλικώτατον ὕδωρ». Ἰστέον δὲ ὅτι τε κόρην τὴν Χρυσηΐδα λέγει οὐχ' ὡς παρθένον—ψευδὲς γὰρ νῦν τοῦτο—ἀλλ' ὡς ἁπλῶς νεάνιδα. τοῦτο δὲ καὶ ἐν τοῖς ἑξῆς εὑρεθήσεται παρὰ τῷ ποιητῇ. καὶ ὅτι Λιταῖς ἀπειθήσας ὁ βασιλεύς, αἳ δίχα τῶν ἄλλων σεμνῶν καὶ δώροις ἐδεξιοῦντο αὐτόν, ὕστερον οὐ μόνον ἀπριάτην ἀποδώσει τὴν ζητηθεῖσαν, ὡς εἴρηται, ἀλλὰ καὶ ἑκατόμβην προσεπιθήσει· ἐν δὲ τοῖς ἑξῆς καὶ Ἄτη ἐπελεύσεται αὐτῷ, ὡς μὴ αἰδεσαμένῳ τὰς τοῦ Διὸς θυγατέρας Λιτάς. τοιαύτη γὰρ ἡ τῶν Λιτῶν φύσις, ὡς ἐν τῇ ἰῶτα ῥαψῳδίᾳ ῥηθήσεται. καὶ Ἀχιλλεὺς δὲ τὰς τοῦ βασιλέως μετὰ ταῦτα λιτὰς παρωσάμενος βλαβήσεται. (v. 99) Ἐνταῦθα δὲ τοῦ ἄγειν ἐπὶ ἐμψύχων ῥηθέντος ἐν τῷ «ἄγειν θ' ἱερὴν ἑκατόμβην» ἰστέον ὅτι διαφορά ἐστι τοῦ ἄγειν καὶ τοῦ φέρειν, ὡς φανερὸν ἔσται καὶ ὅπου λέγει τις παρὰ τῷ ποιητῇ μηδὲν ἔχειν ἐν Τροίᾳ, ὅπερ ἂν ἄγοιεν ἢ φέροιεν οἱ ἐχθροί, τοῦτο δὲ δηλοῦται καὶ ἐν τῷ «ἄγομαι, φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι». καί φασί τινες τὸ μὲν ἄγειν ἐπὶ ἐμψύχων λέγεσθαι καὶ τὸ ἄγεσθαι, τὸ δὲ φέρεσθαι καὶ φέρειν ἐπὶ ἀψύχων· ὅθεν καὶ φορεῖον καὶ φοράδην ἐπίρρημα καὶ φέρτρον ἡ νεκροφόρος κλίνη καὶ φορεῖν σκῆπτρον ἤτοι φέρειν, ὃ καὶ φοραίνειν ὁ ποιητὴς λέγεσθαι οἶδεν, ὡς ἐκ τοῦ φορῆναι φαίνεται. ἕτεροι δὲ ὁρῶντες τοῦτο πολλαχοῦ ἀληθῶς διαφωνοῦν φασιν, ὅτι ἄγειν λέγεται τὸ ἐπὶ νηὸς ἢ ἅρματος. οἳ τί ἂν εἴποιεν πρὸς τὸ «βοῦν ἀγέτην κεράων» καὶ πρὸς τὰ ὅμοια; κάλλιον οὖν λέγουσιν οἱ πρῶτοι πλὴν ἐκ τοῦ πλεονάζοντος καὶ αὐτοί. εἰ γὰρ καὶ φανερῶς διαφέρει τὰ ῥηθέντα, καθὰ δηλοῖ καὶ τὸ «τὰ μὲν ἦγον, τὰ δὲ ἔφερον», ὡς δοκεῖν ἄγεσθαι μὲν τὰ αὐτοκίνητα, φέρεσθαι δὲ τὰ βασταζόμενα, ὅμως ἔστιν ὅτε ἀδιαφοροῦσιν, ὡς ἀντὶ ἀλλήλων λαμβάνεσθαι καὶ ἐπὶ ἑτέρων δέ τινων σημαινομένων τίθεσθαι, ὡς πολλαχοῦ φανήσεται, [καὶ μάλιστα παρὰ τοῖς ὕστερον, οἳ καὶ τὸ προσφέρειν καὶ τὸ προσάγειν ἀδιαφορεῖν οἴδασιν.

1.92 ] (v. 102) Ὅτι οἱ μὲν ἄλλοι τῶν ἐν τῇ Τροίᾳ ἡγεμόνων βασιλεῖς λέγονται καὶ κρείοντες, Ἀγαμέμνων δὲ καὶ εὐρυκρείων [συνθέτως ἢ εὐρὺ κρείων ἐν παραθέσει, περὶ οὗ κανών τις ἐν τοῖς ἑξῆς ῥηθήσεται. προϋπάρχει δὲ τούτων ὁ κρέων, οὗ θηλυκὸν ἡ κρέουσα. κατὰ δὲ τὸ εὐρυκρείων σύγκειται καὶ ἁλικρείων ὁ τῆς ἁλὸς ἄρχων. ἔστι δὲ εὐρυκρείων] ὁ εὐρὺ βασιλεύων καὶ ὡς εἰπεῖν μέγας βασιλεὺς ἢ βασιλεὺς βασιλέων, εἴτε φύσει τοῦτο εἶχεν εἴτε ὡς αἱρετὸς ἁπάντων ἦν τῶν συμμάχων βασιλεύς, ἵνα μὴ τῇ πολυαρχίᾳ διασπᾶται τὸ συμμαχικόν· ὅτι δὲ τοῖς Ἀχαιοῖς ἐξ αἱρέσεως ἦν βασιλεὺς ὁ Ἀγαμέμνων, Εὐριπίδης ἐν Ἰφιγενείᾳ δηλοῖ σαφέστατα. (v. 103) Ὅτι πολλῶν ῥημάτων τὸ θέμα λήγει τὸ πρῶτον εἰς ω · εἶτα προσλαμβάνει τὸ νῦ ὄπισθεν τοῦ ω · μεθὸ γίνεται διὰ τοῦ υω παραγωγή· ἔπειτα μεταπίπτει αὐτὸ εἰς τετάρτην συζυγίαν τῶν εἰς μι · οἷον ἄχω τὸ λυποῦμαι καὶ προσλήψει τοῦ ν ἄχνω καὶ παραγώγως ἀχνύω καὶ ἐξ αὐτοῦ τὸ ἄχνυμι. τοιοῦτον καὶ τὸ ἄγω τὸ κλῶ, ἄγνω, ἀγνύω, ἄγνυμι· θόρω τὸ πηδῶ, θόρνω, θορνύω, θόρνυμι· ὄρω τὸ διεγείρω, ὄρνω, ὀρνύω, ὄρνυμι· σβέω, σβένω, σβεννύω, σβέννυμι· ἕω τὸ ἐνδύομαι καὶ ἐξ αὐτοῦ ὁμοίως ἕννυμι καὶ ἀμφιέννυμι· κορέω καὶ ὡσαύτως κορέννυμι· στορέω καὶ ὁμοίως στορέννυμι· οἴγω, οἴγνυμι· ζεύγω, ζεύγνυμι καὶ ἄλλα μυρία. ἡ τοιαύτη δὲ ἀκολουθία παράγει καὶ τὸ ῥωνύω καὶ ζωνύω ἐκ τοῦ ῥώω καὶ ζώω καὶ τὸ πτάρνυσθαι ἀπὸ τοῦ πταίρω καὶ τὸ ἄρνυσθαι ἤτοι ἁπλῶς λαμβάνειν ἀπὸ τοῦ αἴρω, ὡς καὶ ἐν Ὀδυσσείᾳ εἴρηται, καὶ τὸ ὀμόργνυσθαι ὡς ἀπὸ τοῦ ὀμόργω καὶ ἀπὸ σεσιγημένου τοῦ πήγω τὸ πήγνυσθαι καὶ φράγω φράγνυσθαι. οὕτω δὲ καὶ τὸ ῥήγνυσθαι καὶ δείκνυσθαι καὶ δαίνυσθαι καὶ διόμνυσθαι. (v. 103) Ὅτι φρένες οὐ μόνον ἀσωμάτως καὶ νοητῶς ἐπὶ λογισμοῦ, ἀλλὰ καὶ μέρος τι τῶν σπλάγχνων, ὃ καὶ διάφραγμα λέγεται. ἔστι δὲ ὑμὴν ἀποχωρίζων τὸ ἧπαρ μετὰ τοῦ σπληνὸς τοῦ τε πνεύμονος καὶ τῆς καρδίας· ἢ καὶ ἄλλως κατὰ τοὺς παλαιοὺς φρένες εἰσὶν αἱ διεζωκυῖαι τὸν ὑπὸ τῷ πνεύμονι καὶ τῇ καρδίᾳ τόπον, ὃ καλεῖται καὶ διάφραγμα. συντελεῖ δὲ εἰς τὸ φρονεῖν, ὅθεν καὶ φρενήρης ὁ φρόνιμος. ἐν δὲ τῷ φλεγμαίνειν παραφροσύνας ποιεῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀριστοτέλης δέ φησιν, ὅτι ὑπὸ τὸν πλεύμονα τὸ διάζωμα τὸ τοῦ θώρακος αἱ καλούμεναι φρένες πρὸς τὰ πλευρὰ καὶ τὰ ὑποχόνδρια καὶ τὴν ῥάχιν συνηρτημένον. ῥηθήσεται δὲ περὶ αὐτῶν καὶ ἐν τοῖς ἑξῆς. μελαίνας δὲ φρένας ἔφη ὁ ποιητὴς διὰ τὸ ἐντὸς αὐτὰς ἐν βάθει κεῖσθαι καὶ μὴ ὁρᾶσθαι· ἢ καὶ ἄλλως μελαίνας τὰς τοῦ θυμουμένου καὶ μὴ ἔχοντος ἡμέρως, ἀλλ' οἷον σκοτεινοῦ καὶ νυκτὶ ἐοικότος, ὅπερ ἐπὶ θυμουμένου Ἀπόλλωνος εἶπεν ὁ ποιητὴς καὶ ἐπὶ Ἕκτορος δὲ ὁμοίως ἐρεῖ.

1.93 ἕτεροι δὲ τολμηρότερον ἐξηγούμενοί φασιν, ὅτι, ἐπεὶ τοὺς ὀφθαλμοὺς τοῦ θυμουμένου πυρὶ λαμπετόωντι ἐοικέναι λέγει, διὰ τοῦτο καὶ τὰς φρένας τοῦ τοιούτου μελαίνας φησὶ λέγων· «μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι πίμπλαντο», ἵνα εἶεν ἀμφιμέλαιναι φρένες αἱ δίκην καπνοῦ τῷ θυμῷ μελαινόμεναι, ὡς οἷα καπνοῦ τούτου συνόντος τῷ κατὰ τὴν τραγῳδίαν «ἀνηφαίστῳ πυρί» τοῦ θυμοῦ. (v. 104) Πυρὶ δὲ λάμποντι τοὺς ὀφθαλμοὺς εἰκάζει τοῦ θυμουμένου διὰ τὸ ὑπέρυθρον καὶ ὡσανεὶ πυρωπὸν καὶ πυροειδές, ὃ γίνεται διὰ λεπτοῦ αἵματος ἀνάδοσιν ἐν τῇ τοῦ θυμοῦ ζέσει, οὗ αἵματος ἀναδιδομένου διὰ λεπτῶν φλεβίων φλογωπὸς τρόπον τινὰ ὁ θυμούμενος διαδείκνυται. Ἰστέον δὲ ὅτι νῦν μὲν οὐκ εἶπε καιομένῳ πυρὶ τοὺς τοιούτους ἐοικέναι ὀφθαλμούς, ἀλλὰ μόνον λάμποντι διὰ χρόας ἔμφασιν· ἀλλαχοῦ δὲ τοὺς Ἕκτορος ὀφθαλμοὺς πυρί φησι δαίεσθαι ἤγουν καίεσθαι διὰ τὸ μάχιμον ἢ βαρβαρικὸν τοῦ θυμοῦ. ἐρεῖ δέ που καὶ περὶ συὸς τὸ αὐτὸ ἐν τῷ «πῦρ ὀφθαλμοῖς δεδορκώς». τὸ δὲ πίμπλαντο τὸ πολὺ δηλοῖ τοῦ θυμοῦ. οὐ γὰρ ἁπλῶς ἔχει μένος, ἀλλὰ πίμπλαται μένεος ἐκ μεταφορᾶς τῶν ὑδροδόχων ἀγγείων, ἃ πίμπλαται ὑγροῦ. ['Ιστέον δὲ ὅτι τε τὸ «μέγα» ἐν τοῖς ῥηθεῖσιν ἐπιρρηματικῶς κεῖται, ὁποῖα πολλὰ καὶ ἄλλα εἰσί, καὶ ὅτι πρὸς πιθανότητα κεῖται τοῦ λάμπεσθαι πυρὶ ὀφθαλμούς. οὐ γὰρ ἁπλῶς αὐτοὶ πρὸς λαμπηδόνα πυρὸς χρῴζονται, ἀλλ' ὅτε τινὶ μέγας ὁ θυμός. τοῦ δέ «πίμπλαντο» τὸ θέμα πλῆμι ἐκ τοῦ πλῶ καὶ ἀναδιπλασιασμῷ καὶ πλεονασμῷ τοῦ νῦ δι' ὄγκον φωνῆς πίμπλημι. οὕτω δὲ καὶ πρῶ, πιπρῶ, πίμπρημι τὸ καίω.] (v. 104) Ὅτι τὸ ὄσσε δυϊκόν—δηλοῖ δὲ τοὺς ὀφθαλμούς—γίνεται μὲν ἀπὸ τοῦ ὄσσω τὸ βλέπω, ἐξ οὗ καὶ τὸ «κακοσσόμενος» ἀντὶ τοῦ κακῶς περιβλεπόμενος. κλίνεται δὲ κατὰ μέν τινας ἀπὸ τοῦ ὄσσος οὐδετέρου ὀνόματος, ὡς βέλος, οὗ δοτικὴ ἑνικὴ εὕρηται ἐν χρήσει τῷ ὄσσει ὡς τῷ βέλει, καὶ ἀκολούθως εὐθεῖα δυϊκῶν ὄσσεε καὶ κατὰ ἀποκοπὴν ἢ συγκοπὴν ὄσσε. ἕτεροι δέ φασιν οὕτως· ἀπὸ τοῦ ὄσσος ἀρσενικοῦ, ὡς πλόος, εὐθεῖα δυϊκῶν ὄσσω, ὡς πλόω, καὶ κατὰ μεταπλασμὸν ὄσσε, ἤγουν κατὰ μεταποίησιν τοῦ ω τελικοῦ τῆς εὐθείας τῶν δυϊκῶν εἰς τὸ ε , ὅπερ καὶ αὐτὸ τελικόν ἐστι τῆς τῶν δυϊκῶν εὐθείας.

1.94 ἔστι γὰρ μεταπλασμὸς μετάθεσις καὶ μετασχηματισμὸς λήξεως λέξεως εἰς ἕτερον συγγενὲς τελικόν, ὡς εὐθὺς δειχθήσεται. γίνεται δὲ ὁ τοιοῦτος μεταπλασμὸς καὶ ἐν ὀνόμασιν, οἷον τῇ ὑσμίνῃ καὶ τῇ Δωδώνῃ, κοινῶς μὲν διὰ τοῦ η τὸ τελικόν, ποιητικῶς δὲ διὰ τοῦ ι κατὰ μετάπλασιν. τὸ δὲ ὅμοιον καὶ ἐπὶ τοῦ ἀλκῇ· τὸ γάρ «λέων ἀλκὶ πεποιθώς» διὰ τοῦ ἰῶτα γραφὲν μεταπέπλασται. καινότερον δὲ τούτων τὸ «τῇ κλαδί» παρ' Αἰλιανῷ ἐν τῷ Περὶ ζῴων ἰδιότητος. εὑρεθήσονται δὲ καὶ ἄλλοι ἐν τοῖς ἑξῆς πολλοὶ μεταπλασμοὶ ἐν ὀνόμασι. γίνεται δὲ τὸ τοιοῦτον πάθος καὶ ἐν ῥήμασιν, οἷον τὸ περιπατοίην ἐκ τοῦ περιπατοῖμι μετεπλάσθη ἀπὸ τελικοῦ δηλαδὴ εἰς τελικόν, ὡς καὶ ἀπὸ τοῦ γνοῖμι τὸ γνοίην καὶ ἀπὸ τοῦ δοῖμι τὸ δοίην καὶ ἀπὸ τοῦ εἴδοιμι τὸ εἰδείην [καὶ τὸ καινότερον ἐκ τοῦ ἐκπεφεύγοιμι τὸ ἐκπεφευγοίην παρὰ Σοφοκλεῖ.] τελικὸν γὰρ ἐν εὐκτικοῖς καὶ τὸ μι , οἷον τύπτοιμι, καὶ τὸ ην , οἷον τυφθείην, ὅμοιον δέ τι ἔπαθε καὶ τὸ κλῦε τουτέστιν ἄκουε. καὶ αὐτὸ γὰρ μεταπλασθὲν εἰς ἕτερον προστακτικὸν τελικὸν κλῦθι γέγονεν, ὡς ἀρέσκει τοῖς παλαιοῖς. ὁμοίῳ δέ τινι τρόπῳ καὶ τὸ ἄνωγε, ἀντὶ τοῦ κέλευε, ἄνωχθι γέγονεν. εὕρηται δὲ πάθος ὅμοιον καὶ ἐν ἐπιρρήμασιν, ὡς ὅτε τὸ διχῆ δίχα φαμὲν καὶ τριχῆ τρίχα καὶ τὰ ἑξῆς καὶ τὸ σαφῆ σάφα. καὶ ἐν τούτοις γὰρ τελικῶν γέγονεν ἐναλλαγή. τελικὰ γὰρ ἐπιρρημάτων ὥσπερ τὸ η , οὕτω καὶ τὸ α , οἷον ἅμα, κάρτα ἀντὶ τοῦ λίαν, μάλα, εἶτα, σφόδρα,

ὑπόδρα ἀντὶ τοῦ ὑποβλεπτικῶς, ἄντα ἀντὶ τοῦ ἐξ ἐναντίας. περὶ δὲ τοῦ ὄσσε δεδήλωται ἄλλως καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. (v. 106) Ὅτι εἰ καὶ τῶν μάντεων ἐν ἐλπίδι κακῶν χρῄζομεν, ἀλλ' ὅμως ἐν τῷ «ὦ μάντι κακῶν», ἵνα μή τις τοιοῦτόν τι νοήσῃ—τοῦτο γὰρ ἔπαινος μάντεως—ἐπάγει ἐφερμηνεύων «οὐ πώ ποτέ μοι τὸ κρήγυον ἔειπες», ὅ ἐστι τὸ ἀγαθόν, ὡς ὁ Πορφύριος λέγει, ἵνα μάντιν κακῶν νοήσωμεν ἐνταῦθα οὐ τὸν ἐν κακοῖς χρήσιμον, ἀλλὰ τὸν δύσφημον καὶ κακὰ μαντευόμενον καί, καθά τις ἔφη, κακόμαντιν, ὅπερ ἀνωτέρω ἀσαφέστερον ἐδήλωσεν ἐν τῷ [καθά τινες γράφειν ἐθέλουσι,] «κακοσσόμενος» ἤγουν ἀποκαλέσας κακὸν κατὰ τὴν ὄσσαν ἤτοι κατὰ τὴν μαντείαν. Ἐπεὶ δὲ ἀσαφὴς ἦν καὶ ἔτι ὁ λόγος, ἐπάγει σαφέστερον, (v. 107 s.) ὅτι «αἰεί τοι» ἤγουν σοι «τὰ κακά ἐστι φίλα φρεσὶ μαντεύεσθαι, ἐσθλὸν δὲ οὔτε τί πω εἶπας ἔπος οὐδ' ἐτέλεσας». ὁ δὲ λόγος οὗτος οἰκεῖός ἐστι λέγεσθαι πρὸς πάντα τὸν ἀεὶ τὰ δυσχερῆ τισιν ἀπαγγέλλοντα.

1.95 Καὶ σημείωσαι ὅπως ἐνταῦθα πλεοναχῶς τὸ αὐτὸ εἶπεν ὁ ποιητής, πρῶτα μὲν κακοσσόμενος εἰπὼν ἀσαφῶς, ὡς ἀνωτέρω εἴρηται, εἶτα σαφέστερον «μάντιν κακῶν» καὶ ἔτι ἐπὶ πλέον σαφῶς «ἀεί σοι φίλα ἐστὶ τὰ κακὰ μαντεύεσθαι». καὶ ἔστι τὸ φίλα Ἀττικῶς ἀντὶ ἑνικοῦ τοῦ φίλον, ὡς καὶ παρὰ Σοφοκλεῖ «οὕτως ἀμυντέα ἐστὶ τοῖς κοσμουμένοις» ἀντὶ τοῦ ἀμυντέον· καὶ [«σχέτλια γὰρ ἐμέ γε τάδε πάσχειν» ἀντὶ τοῦ σχέτλιόν ἐστι] καὶ παρ' Ἡροδότῳ «νομιζόμενα» ἀντὶ τοῦ νομιζόμενον· καὶ παρὰ τῷ Κωμικῷ «συνεκποτέα ἐστί σοι καὶ τὴν τρύγα». ἢ καὶ ἄλλως «ἀεί σοι τὰ κακὰ φίλα ἐστίν», οὐχ' ὥστε καὶ ποιεῖν αὐτά—[οὐδὲ γὰρ δύνασαι,] —ἀλλ' ὥστε μαντεύεσθαι. ὅτι δὲ τὸ κακοσσόμενός τινές φασιν ἀντὶ τοῦ κακῶς καὶ ἀγρίως περιβλεψάμενος, προερρέθη. νοῆσαι γὰρ τὸ κακοσσόμενος ἀντὶ τοῦ κακολογήσας οὐκ ἀρέσκονται οἱ παλαιοὶ λέγοντες μηδέποτε τὴν ὄσσαν ἐπὶ κακῆς ἀλλ' ἐπὶ θείας τινὸς φήμης λέγεσθαι. διὸ καὶ ἐπὶ μαντείας ἔστιν ὅτε τίθεται. [Ὅτι δὲ τὸ κακοσσόμενος καὶ ἐν δυσὶ λέξεσιν εὑρίσκεται κάκ' ὀσσόμενος, ἐν ἀντιγράφοις δηλοῦται παλαιοῖς. δῆλον δὲ ὡς καὶ ἀναπόλησιν φαντασιώδη σημαίνει ἔστιν ὅτε τὸ ὀσσόμενος, οἷον «ὀσσόμενος πατέρ' ἐσθλόν».] (v. 106) Σημείωσαι δὲ καὶ ὅτι ἐν τῷ πλεοναχῶς, ὡς εἴρηται, τὴν αὐτὴν ἔννοιαν φράσαι ταὐτολογεῖ ὁ ποιητὴς ἐπίτηδες πλεονάκις τὸ αὐτὸ στρέψας νόημα ἐν τῷ «μάντι κακῶν» καὶ «οὔ ποτέ μοι τὸ κρήγυον ἔειπας» καὶ «αἰεὶ τὰ κακὰ μαντεύῃ» καὶ «ἐσθλὸν οὔτε τί πω εἶπας». καὶ μιμεῖται τὸ τῶν ὀργιζομένων ἐν κατηγορίᾳ δυσκατάπαυστον, οἳ τὰ αὐτὰ πολλάκις ἀναπολοῦσιν ὡς μή πω κατ' ἀξίαν εἰπόντες. μάντιν δὲ κακῶν τὸν Κάλχαντα οὐκ ἀμαρτύρως λέγει, ὡς οἱ παλαιοὶ ἐπισημαίνονται, ἀλλὰ διότι καὶ τὸ ἔσεσθαι δεκαετῆ τὸν πόλεμον αὐτὸς ἐν τῇ Αὐλίδι ἐμαντεύσατο καὶ τὴν τῆς ᾀδομένης δὲ ἀπνοίας τῶν ἀνέμων αἰτίαν αὐτὸς ἐξεῦρεν, ὅτε ἦσαν οἱ Ἕλληνες ἐκεῖ, καὶ τὴν ἐκεῖθεν δὲ εὔπλοιαν αὐτὸς ἐξιάσατο τῇ σφαγῇ τῆς Ἰφιγενείας τῆς θυγατρὸς τοῦ βασιλέως. ταῦτα δέ, εἰ καὶ κακὰ ἦσαν τῷ Ἀγαμέμνονι, ἀλλὰ γοῦν ἀληθῆ καὶ ἄριστον μάντιν παριστῶσι τὸν Κάλχαντα. ὅρα γοῦν οἷον ἡ ὀργὴ ἐφ' ὕβρει προφέρουσα τὰ ἐφ' οἷς ἄν τις ἐγκωμιάζοιτο, καθάπερ καὶ εἴ τις ἰατρὸν ψέγει νόσους προλέγοντα καὶ τὰς ἐκείνων θεραπείας ἐπάγοντα. ἦν δὲ ἂν ψεκτέος ὁ Κάλχας, ἐὰν κακὰ προέλεγε μὴ ἀποβαίνοντα. νῦν δὲ οὐ διότι ἔλεγε, διὰ τοῦτο ἀπέβαινον τὰ κακά, ἀλλὰ διότι ἀποβήσεσθαι ἔμελλον, διὰ τοῦτο προὔλεγεν. (v. 108) Ἰστέον δὲ καὶ ὅτι τοῦ ἀγαθοῦ ἀνδρὸς ἐν δυσὶ τούτοις χαρακτηριζομένου, τῷ ἀγαθὰ λέγειν καὶ τῷ ἀγαθὰ τελεῖν, ἀμφοτέρων τούτων ὁ βασιλεὺς στερίσκει τὸν Κάλχαντα, τῇ γλώσσῃ διὰ θυμὸν χαριζόμενος, εἰπών, ὅτι ἐσθλὸν οὔτε τί πω εἶπας ἔπος οὔτε ἐτέλεσσας. λείπει δὲ κατὰ ἐοικυῖαν ἔννοιαν τὸ ἔργον, ἵνα λέγῃ ὅτι οὔτε ἔπος εἶπας οὔτε ἔργον ἐτέλεσας. [Ὅρα δὲ τὸ «οὔτε τί πω εἶπας ἔπος» Ἀττικῶς ῥηθέν.

1.96 ὡς γὰρ ἔλεξας λόγον καὶ ὕπνωσας ὕπνον καὶ ἄλλα τοιαῦτα μυρία, οὕτω καὶ εἶπας ἔπος. τὸ δέ «οὔτέ τι πω», καθὰ καὶ μετ' ὀλίγα τὸ «οὐδέ τι πω», βαρύνοντα τὸν πω παραπληρωματικὸν σύνδεσμον διὰ συνέπειαν πάντως ἀφυπνίζει τὴν αὐτοῦ κοιμωμένην ὀξυτόνησιν ἐν τῷ «οὐ πώ

ποτέ μοι», ὃ ταὐτόν ἐστι τῷ «οὔπω ποτέ», ὡς καὶ ἀλλαχοῦ φανεῖται. οὕτω δὲ καὶ ἐν τῷ «θεός που σοι τό γ’ ἔδωκεν», εἰ τονωθείη τό που, ὀξύνοιτο ἂν εὐλόγως.] τὸ δέ «ἐτέλεσσας» ἀφορμή ἐστι τῆς τῶν ἀποτελεσματικῶν κλήσεως. ὅτι δὲ ἀγαθὰ νῦν ὁ Κάλχας λαλεῖ, δῆλον αὐτόθεν· ἀλλὰ καὶ ὅτι ἀγαθὸς ἦν ἀποτελεῖν, δῆλον καὶ αὐτό, εἴγε ταῖς ναυσὶν εἰς τὴν Τροίαν αὐτὸς καθηγήσατο. σημείωσαι δὲ καὶ ὅτι οὐ μάτην ὁ Κάλχας ἐδεδίει τὸν βασιλέα. ἰδοὺ γὰρ πολὺς αὐτῷ ἐπίκειται μαντευσαμένῳ τὸ ἀληθές. οὕτως ἀφόρητον ἐξουσία ἐγκοπτομένη τῆς ἐπιθυμίας. εἰ δὲ πρὸς Κάλχαντα τοιοῦτος ὁ βασιλεύς, οἷος ἔσται τῷ Ἀχιλλεῖ τῷ καὶ κινήσαντι τὸν Κάλχαντα καί τι καὶ ὑβρίσαντι, ὡς προείρηται; καὶ ὅρα τὴν ἐν τοῖς πλάσμασιν Ὁμηρικὴν πιθανότητα. μεγάλα γὰρ λυπηθεὶς ἐπὶ τῷ Ἀχιλλεῖ ὁ βασιλεὺς μέγα τι καὶ ἀντιδράσει, ὡς εἰκός, κακὸν καὶ στερηθεὶς τῆς ἑαυτοῦ Χρυσηΐδος εἰκότως τὴν ἐκείνου ἀφαιρήσεται θυμομαχῶν. (v. 106) Τὸ δέ «κρήγυον», εἰ μὲν ἀντὶ ἐσθλοῦ ληφθήσεται, ἀκολούθως κεῖται μετὰ τῶν κακῶν. ἐναντία γὰρ ἐσθλὸν καὶ κακόν· καί εἰσιν ἐνταῦθα δύο χωρία ταὐτοδύναμα κατὰ ἄρσιν καὶ θέσιν, οἷον «ἀεὶ μάντις εἶ τῶν κακῶν» καὶ «οὐ πώ ποτέ μοι τὸ κρήγυον» ἤτοι ἀγαθόν «εἶπας». καὶ πάλιν εὐθύς «αἰεὶ κακὰ φιλεῖς μαντεύεσθαι, ἐσθλὸν δὲ οὔ πω εἶπας ἢ ἐτέλεσας». εἰ δέ, ὡς τοῖς πλείοισι δοκεῖ, κρήγυον ληφθείη τὸ ἡδὺ καί, ὡς ἡ ἐτυμολογία λέγει, τὸ ἡδῦνον τὸ κῆρ ἤγουν τὴν ψυχήν, κεῖται καὶ οὕτω τὸ ἀντιζυγοῦν πρὸς τὰ κακὰ ἤγουν τὸ ἐσθλόν, ἵνα ὦσιν ἄλλως αἱ δύο συζυγίαι, λυπηρὸν καὶ ἡδὺ καὶ ἀγαθὸν καὶ κακόν, οὕτω· «μάντι κακῶν» ἤτοι λυπηρῶν «οὔ ποτέ μοι τὸ κρήγυον» ἤγουν ἡδύ «ἔειπας, αἰεὶ κακὰ μαντεύῃ, ἐσθλὸν δὲ οὐδέν». [Ὅρα δὲ ἐν τῷ κρήγυον, εἴπερ ἀπὸ τοῦ κῆρ ἥδειν ἤγουν ψυχὴν εὐφραίνειν γίνεται, ὡς ἐκ τῆς αὐτῆς ἐτυμολογίας καὶ τὸ κέρδος γενόμενον, ἐπεὶ τὸ κέαρ ἡδύνει, ὅμως διαφορὰν πρὸς τὸ κρήγυον ἔχει πολλήν.] (v. 109 ss.) Ὅτι δεινῶς καὶ πρὸς τὸ συμφέρον ἑαυτῷ τὴν δημηγορίαν διοικονομεῖται ὁ βασιλεύς.

1.97 Κάλχας μὲν γὰρ τρία ταῦτα τοῦ βασιλέως ὡς ἐν προβολῇ ἐμέμψατο, ὅτι τὸν ἱερέα ἠτίμησεν, ὅτι τὴν θυγατέρα οὐκ ἀπέλυσε καὶ ὅτι οὐκ ἀπεδέξατο ἄποινα. ὁ δέ, οἷα ῥήτωρ δεινός, τὸ μὲν βαρύτερον σιωπᾷ, ὅτι δηλαδὴ τὸν ἀρητῆρα ἠτίμησεν, ἐπὶ δὲ τοῖς λοιποῖς δυσὶν ἐξελέγχειν τὸν Κάλχαντα βούλεται ὡς ἀλόγιστα λέγοντα. καὶ πρῶτα πρὸς τὸ περὶ τῶν ἀποίνων κεφάλαιον ἀποτεινόμενος κατειρωνεύεται βαρυνόμενος, ὅτι θεοπροπέων ἀγορεύει τοῦδε ἕνεκα τοὺς Ἕλληνας ἀλγεῖν, ὅτι τὰ τῆς Χρυσηΐδος οὐκ ἐδέξατο ἄποινα, τρόπον τινὰ λέγων πρὸς τὸ τρίτον κεφάλαιον τὸ «οὐκ ἀπεδέξατο ἄποινα», ὅτι τίς ἂν φρονῶν εἴποι τὸν Ἀπόλλωνα τοιαῦτα κακὰ κοινὰ ποιεῖν ἡμῖν, ὅτι μὴ δῶρα παρὰ αἰχμαλώτου τοῦ Χρύσου ἐγὼ ἔλαβον δέον ὂν καὶ χάριτάς μοι ὁμολογεῖν· εἶτα καὶ πρὸς τὸ δεύτερον ἀπολογούμενος τὸ «οὐδ’ ἀπέλυσε θύγατρα» φησίν, ὅτι οὐκ ἐποίησα τοῦτο, ἐπεὶ πολὺ αὐτὴν βούλομαι οἴκοι ἔχειν προκρίνων αὐτὴν καὶ Κλυταιμνήστρας τῆς κουριδίης ἀλόχου. καὶ ὅρα ὅλον τὸ «ἐπεὶ πολὺ βούλομαι αὐτὴν οἴκοι ἔχειν». δεινοποιῶν γὰρ τὴν ἀπολογίαν φησίν, ὅτι οὐχὶ ὧδε θέλω ἀλλὰ μάλιστα οἴκοι ἔχειν αὐτήν, ὥστε οὐχ’ ὡς παλλακήν· καὶ οὐχ’ ἁπλῶς θέλω ἀλλὰ βούλομαι, ὅπερ ἐπίτασις τοῦ θέλειν ἐστί· καὶ οὐ τυχόντως βούλομαι, ἀλλὰ κατὰ πολύ. ἔχει δὲ ἔμφασιν καὶ τὸ ἔχειν ὡς περὶ γυναικὸς καὶ οὐ δούλης. ἔχεται γὰρ ἡ γυνὴ τῷ ἀνδρί. εἶτα καὶ αἰτίαν προστίθησιν, ὅτι «οὐ γάρ ἐστιν αὕτη τῆς Κλυταιμνήστρας χερείων, οὐ δέμας οὐδὲ φυήν» καὶ τὸ ἑξῆς. ταῦτα δὲ λέγει ὁ βασιλεὺς οὐχ’ οὕτω φρονῶν, ἀλλὰ τὸν μάντιν ἐλέγχων, ὡς μὴ δέον ὂν χολοῦσθαι τὸν Ἀπόλλωνα, ὥσπερ οὐ διὰ τὸ μὴ δέξασθαι τὰ ἄποινα, οὕτως οὐδὲ διὰ τὴν αἰχμάλωτον, ἣν καὶ τῆς κουριδίης γυναικὸς ὁ ἥρως βασιλεὺς προβέβουλε. τάχα δὲ καὶ ῥητορικῶς αὐξάνων τὸ πρᾶγμα μεγάλα τὴν αἰχμάλωτον φιλεῖν λέγει ἐπίτηδες, ἵνα τὴν χάριν αὐξήσῃ καί τι μέγα τοῖς Ἕλλησι φανείη χαρίζεσθαι, εἰ δι’ αὐτοὺς τὴν οὕτω φιλουμένην δίδωσι, μήτε λαβὼν ἄποινα, ἀλλὰ καὶ ἑκατόμβην ἐπιδούς. ἰστέον δὲ ὅτι οἱ τοιοῦτοι λόγοι τοῦ Ἀγαμέμνονος παρὰ τοῖς πλασματογράφοις τῶν ῥητόρων διδόασιν ἀφορμὰς κατηγορίας τῇ Κλυταιμνήστρᾳ, ἥτις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μοιχείας ἐγκαλουμένη καλῶς ἂν ἐπιμέμφοιτο τῷ βασιλεῖ, ὡς αὐτῆς οὕτω προτιθέντι τὴν αἰχμάλωτον. (v. 113) Τὸ δέ «προβέβουλα» ἐστὶ μὲν μέσος παρακείμενος, ὡς τὸ μέμηλα· δηλοῖ δὲ τὸ προκρίνω καὶ πρὸ τῆς Κλυταιμνήστρας βεβούλημαι. οἱ δὲ λέγοντες ὅτι προβέβουλα ἀντὶ τοῦ ὑπὲρ τῆς Κλυταιμνήστρας καὶ δι’ ἐκείνην βούλομαι αὐτήν, σεμνύνουσι μὲν τὸν βασιλέα ὡς μὴ προκρίνοντα τὴν δούλην τῆς γυναικός, περιποιούμενον δὲ τάχα αὐτὴν εἰς θαλαμηπόλον τῇ Κλυταιμνήστρᾳ, [καθὰ καὶ πρὸ μικροῦ ἐδήλωσεν ἐν τῷ «ἐμὸν λέχος ἀντιόωσαν» ἤγουν ἐπιμελομένην τοῦ βασιλικοῦ κοιτῶνος], τὴν δὲ Ὁμηρικὴν ἀφανίζουσι δεινότητα. καὶ οὐδὲ εὐοδοῦται ὁ τοιοῦτος νοῦς διὰ τὸν ἐπαγόμενον πολὺν τῆς Χρυσηΐδος ἔπαινον.

1.98 ὥσπερ δὲ μέλω μελήσω μεμέληκα καὶ μέσος παρακείμενος μέμηλα, καὶ ὤλεκα ὦλα, τεθάληκα τέθηλα, οὕτω βεβούληκα βέβουλα. τοιοῦτόν τι καὶ τὸ λέληκα. «δαιμονίη, τί λέληκας»; καὶ τὸ δεδούπηκα, δέδουπα, κατὰ Ἡρωδιανόν—«δεδουπότος Οἰδιπόδαο»—καὶ ἕτερα οὐκ ὀλίγα, ἐν οἷς καὶ τὸ ἐκτύπηκα, ἔκτυπα. εἰσὶ γὰρ καὶ περισπώμενοι τοιοῦτοι μέσοι παρακείμενοι, ὡς πολλαχοῦ φανεῖται· οἳ καὶ αὐτοὶ κατὰ τὰ προρρηθέντα μιᾷ συλλαβῇ ἐνδέουσι τοῦ ἐνεργητικοῦ, ὅπερ ἐν τοῖς βαρυνομένοις οὐκ ἔστι ῥήμασιν. ἐν ἐκείνοις γὰρ ἰσοσυλλαβεῖ καθόλου ὁ μέσος τῷ ἐνεργητικῷ. (v. 114) [Κουριδίη δὲ ἄλοχος, ἥν τις κόρην ἔτι οὖσαν ἠγάγετο, οὐ μὴν ἢ ἑτέρῳ προσυζευχθεῖσαν εἰς γάμον ἢ καὶ ἄλλως γραῦν. Τὸ δέ «οὐ ἕθεν» ἤγουν οὐκ αὐτῆς «ἐστὶ χερείων» τὰ τῶν ἀντιγράφων ἀκριβέστερα «οὔ ἑθεν» προπαροξυτόνως ἔχουσιν, ὡς τῆς ἕθεν ἀντωνυμίας ἐγκλινάσης τὴν οἰκείαν ὀξεῖαν τῇ ὄπισθεν συλλαβῇ.] (v. 115) Ἐν δὲ τῷ «οὐ δέμας οὐδὲ φυὴν οὔτε φρένας οὔτε τι ἔργα» ἐπαινεῖται ὁ ποιητὴς ὡς ἑνὶ στίχῳ πᾶσαν γυναικὸς ἀρετὴν ἐμπεριλαβών, τὴν τοῦ σώματος εὐσυνθεσίαν, τὸ εὐφυές, τὸ συνετόν, τὸ ἐργατικόν. εὐφυὲς δέ φαμεν τὸ δεξιὸν τοῦ ἤθους καὶ ἐπαγωγόν, οὗ στερόμενον τὸ κάλλος «δέλεάρ ἐστι» κατὰ τοὺς παλαιούς «ἄτερ ἀγκίστρου νηχόμενον». Θεόκριτος δὲ παραξέσας τοῦ Ὁμηρικοῦ τούτου ἔπους φησί που τὸ «οὔτε φυὴς ἐπιδευέες οὔτε νόοιο». Ἰστέον δὲ ὅτι σημειοῦνται οἱ παλαιοὶ τὸ δέμας τὸν μὲν ποιητὴν ἐπὶ ἐμψύχου ἀεὶ τιθέναι σώματος ὡς συνδεδεμένου τῇ ψυχῇ καὶ δι’ αὐτῆς συνεστῶτος, τὸ δέ γε σῶμα ἐπὶ ἀψύχου τουτέστιν ἐστερημένου ψυχῆς διὰ τὸ σῆμα καί, ὡς ἄν τις εἴποι, μνῆμα γενέσθαι τοῦ ζῶντός ποτε. τοὺς δὲ μετὰ τὸν ποιητήν, ἐν οἷς καὶ ὁ Εὐριπίδης, ἀδιαφόρως χρᾶσθαι τῇ λέξει φασί. δεῖ δὲ εἰδέναι, ὅτι καὶ αὐτὸς ὁ ποιητὴς τὸ δέμας ἐπὶ ἀψύχου ποτὲ τίθησιν, ὡς ἐν τῷ «δέμας πυρός». καὶ τὸ σῶμα δὲ ἐν τῇ γάμμα ῥαψῳδίᾳ, ὡς λεχθήσεται, δοκεῖ ἐπὶ ἐμψύχου τεθῆναι. [ἐκ δὲ τῆς ῥηθείσης φυῆς καὶ «πρόσωπον εὐφυές» παρὰ τῇ τραγῳδίᾳ. ἡ δὲ ἐν τοῖς ἑξῆς «εὐφυὴς πτελέα» γλυκέως ὡς ἐν κυριολεξίᾳ εἴρηται. ἑτέρως δέ γε οἱ μεθ’ Ὅμηρον εὐφυΐαν φασὶ τὴν εἰς μάθησιν δεξιότητα· Ὁμηρικῆς δὲ βουλῆς καὶ τὸ «μηροὶ εὐφυεῖς».] Φρένας δὲ νῦν οὐ μέρος σώματος εἶπεν, ὡς πρὸ ὀλίγου, ἀλλὰ τὴν φρόνησιν.

1.99 (v. 116) Ὅτι ἐν τῷ «ἀλλὰ καὶ ὧς ἐθέλω δόμεναι πάλιν», περισπᾶται παρὰ τοῖς παλαιοῖς τὸ «ὧς». φέρεται γὰρ ἐν τοῖς Ἡροδώρου καὶ Ἀπίωνος, ὅτι τὸ ὧς, ὅτε δηλοῖ τὸ ὅμως, περισπᾶται. ὅρα δὲ τὸ τοῦ βασιλέως σεμνόν. εἰ γὰρ καὶ ὁ Κάλχας δεῖν ἔφη ἀποδοῦναι τῷ πατρὶ τὴν κόρην, ἀλλ’ ὁ βασιλεὺς δώσειν αὐτήν φησιν, ἑκουσίως δηλαδή, οὐ μὴν ἀποδώσειν, δηλονότι ἀκουσίως. οὕτω γὰρ πρὸ ὀλίγου ἐρρέθη διαφέρειν τὸ διδόναι καὶ ἀποδιδόναι. καὶ Δημοσθένης οὖν λέγει που περὶ Φιλίππου, ὡς εἰ μὲν ἀποδίδωσι τὸν δεῖνα τόπον, ὡς ἡμέτερον ληψόμεθα· εἰ δὲ δίδωσι, ὡς χαριζόμενος ἑκουσίως οἰκεῖόν τι, οὐ ληψόμεθα. καὶ δίδωσι μὲν ὁ τοιοῦτος λόγος ἀφορμὰς παιγνίων τοῖς κωμικοῖς· ὅμως δὲ τοιαύτην ἔχουσιν αἱ λέξεις αὗται διαφοράν. Τὸ δὲ πάλιν ἀντὶ τοῦ ἔμπαλιν καὶ ὀπίσω καὶ ἐξ ἀρχῆς νοεῖται ἐκφανέστατα. οὐ γὰρ λέγει ὁ βασιλεὺς ἐκ δευτέρου δώσειν τὴν Χρυσηΐδα, ἀλλὰ πάντως εἰς τὰ ὀπίσω πέμψειν τῷ πατρί. (v. 117) Ὅτι τὸ «βούλομ’ ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι» οὐ σεμνῶς, ἀλλ’, ὡς οἱ παλαιοί φασιν, εὐήθως ἤγουν ἁπλοϊκῶς καὶ ἀφελῶς εἶπεν ὁ Ἀγαμέμνων. ὃ καὶ Πρίαμος ἂν εἴποι ὁ τοῖς Ἕλλησιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔχθιστος. κἀκεῖνος γὰρ διὰ τὸ φύσει καλὸν ἕλοιτ' ἂν σόον εἶναι τὸν Ἕλληνα στρατόν, εἰ μόνον ἀπόσχοιντο τοῦ πολιορκεῖν. οὐκ ἔχει οὖν ὑψηλόν τι καὶ σεμνὸν ὁ λόγος, ἀλλὰ καὶ τοῦτο, καθὰ καὶ ἄλλα τινὰ πρὸ τούτου, ἠθικῶς ὁ βασιλεὺς καὶ οὕτως ἁπλῶς ἐπελθὸν αὐτῷ εἴρηκεν ὡς ἐν ἀγωνίᾳ καὶ θυμομαχίᾳ. τινὲς δὲ οὕτω θεραπεύουσι τὸ νόημα· βούλομαι σόον εἶναι τὸν λαόν· ἤ, εἰ μὴ τοῦτο γένηται, ἀπολέσθαι ἂν βουλοίμην αὐτός. ἐνταῦθα δέ φασιν οἱ παλαιοί ὡς, εἰ μὲν νοηθείη τὸ «ἢ ἀπολέσθαι» ἀντὶ τοῦ ἤπερ, διασαφητικός ἐστιν ὁ ἢ σύνδεσμος· ἐὰν δὲ ἀντὶ τοῦ «καὶ ἀπολέσθαι ἐμέ», παραδιαζευκτικὸς κατὰ τὸν Πορφύριον. [Ἰστέον δὲ καὶ ὅτι ἐκ τῆς Ὁμηρικῆς ἐννοίας τοῦ «βούλομ' ἐγώ» καὶ ἑξῆς, ὠφελημένος ὁ περιᾳδόμενος Φωκίων ἐν τῷ μέμφεσθαι τοῖς Ἀθηναίοις ἀγνωμονοῦσιν ἔφη ἐπ' ἐκκλησίας τὸ «βούλομαι μᾶλλόν τι ὑφ' ὑμῶν παθεῖν αὐτὸς ἢ κακόν τι δρᾶσαι αὐτὸς εἰς ὑμᾶς». ἔνθα ὅρα καὶ τὸ μᾶλλόν τι ὅμοιον ὂν τῷ ὁμοῦ τι καὶ μή τι καὶ οὔ τι καὶ οὕτω τι καὶ τοῖς ὁμοίοις. ἔτι δὲ ὅρα καὶ αὐτὸ τὸ μᾶλλον χαρακτηριστικὸν ὂν τοῦ, ὡς ἐρρέθη, διασαφητικοῦ τοῦ «ἢ ἀπολέσθαι». ἔστι γάρ, φασί, διασαφητικὸς τοιοῦτος σύνδεσμος ὁ μεταξὺ δύο λόγων τιθέμενος καὶ ἐκλεγόμενος τὸ ἕτερον, εἰς ἐπίτασιν δέ ποτε προσλαμβάνων τὸ μᾶλλον ἐπίρρημα, κατὰ τὸ ῥηθὲν τοῦ Φωκίωνος νόημα, ἢ τὸν περ σύνδεσμον, ὡς ἀνωτέρω γέγραπται.

1.100 παραδιαζευκτικὸς μέντοι ὁ μὴ τῶν δύο λέξεων τὸ ἓν δεχόμενος οἷον· ἢ Ἀχαιοὶ ἢ Πελοποννήσιοι. τοῦτο γὰρ διαζευκτικοῦ τοῦ ἢ συνδέσμου ἴδιον· ἀλλά πως καὶ τοὺς δύο, οἷον «χιτῶνά μοι χρῆσον ἢ καὶ ἱμάτιον». αἰτεῖ μὲν γὰρ τὸ ἕτερον, οὐ λυπεῖ δὲ καὶ τὰ δύο δοθέντα. ὅτι δὲ δίχα τῶν εἰρημένων καὶ ἄλλα σημαινόμενά εἰσι τοῦ ἤ συνδέσμου, δηλοῖ ὁ γράψας, ὅτι ἐστὶ καὶ διαπορητικός· οἷον «ἢ ὅγε φάσγανον ὀξὺ ἐρυσάμενος» καὶ «ἠὲ χόλον παύσειε» καὶ «ἢ δολιχὴ νοῦσος ἢ Ἄρτεμις ἰοχέαιρα». ἔστι δὲ καὶ ἰσοδύναμος τῷ ει · οἷον «ἢ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσι» καὶ «ἢ τοιόσδε ἐών» ἐν τῇ γάμμα ῥαψῳδίᾳ. ἔστι καὶ παρέλκον ὑποτασσόμενον πύσματι· οἷον «ἀλλὰ τί ἤ μοι ταῦτα διελέξατο θυμός;» ἔστι καὶ ἐρωτηματικὸν διαλαμβανόμενόν ποτε καὶ δὶς καὶ τρὶς ἐν διαζευκτικαῖς διανοίαις ἐντελέσιν· οἷον «ἠέ τι Μυρμιδόνεσιν ἢ ἐμοὶ αὐτῷ» καὶ ἑξῆς. ἔστι καὶ βεβαιωτικὸν οἷον «ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός». ἔστι καὶ συγκριτικὸν οἷον «τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ' ἧττον ἢ τοῦ παρασχόντος τὰ σπέρματα». ὅτι δὲ καὶ ἄλλα τινὰ ὀλίγα σημαίνει ὁ ἢ σύνδεσμος, ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δηλοῦται, ὅπου ἡ Νεκυία.] Ἔτι ἰστέον καὶ ὅτι παρὰ μὲν τοῖς ὕστερον μονόφθογγα καὶ βραχέα φωνήεντα ἐκθλίβονται ἤγουν κουφίζονται, παρὰ δὲ τοῖς παλαιοῖς ἅπαντα· ὅθεν καὶ νῦν ἐν τῷ «βούλομ' ἐγώ» ἡ αι δίφθογγος ἐξεθλίβη. Τὸ δὲ σόος παρὰ τῷ ποιητῇ ἀεὶ συστέλλει τὴν παραλήγουσαν, ὡς ἀπὸ τοῦ σέω, τὸ ὁρμῶ, ὃ προσλήψει τοῦ υ γίνεται σεύω. καὶ ἔστι σόος οἱονεὶ ὁ τὰς φυσικὰς ὁρμὰς ἔχων. ἀκολούθως δὲ καὶ τὸ «λαοσσόος Ἀθηνᾶ» καὶ αὐτὸ συστολὴν ἔχει τῆς παραληγούσης. οὕτω δὲ καὶ παρὰ Θεοκρίτῳ τὸ «δορυσσόος Κάστωρ» καὶ «δύσσοα θρέμματα». ἔτι ἰστέον καὶ ὅτι καὶ ῥῆμά ἐστι σόω διὰ τοῦ ο μικροῦ, οὗ τὸ προστακτικὸν σούσθω παρὰ Σοφοκλεῖ ἐκ τοῦ σοέσθω συναιρεθέν.

1.101 ἐντεῦθεν δὲ καὶ τὸ ἀπέσσουα Δωρικόν, ὡς δηλοῖ τὸ «ἔρρει τὰ κᾶλα, Μίνδαρος ἀπέσσουα» ἤγουν ἀφώρμησεν, ἀπῆλθε, τέθνηκεν. ἀπὸ δὲ τοῦ σόος [τούτου βοηθεῖται καὶ ὁ Τεχνικὸς εἰς τὴν παρ' αὐτῷ ἐτυμολογίαν τοῦ σολοικισμοῦ, εἰπὼν σολοικισμὸν εἶναι σόου λόγου αἰκισμόν. ἐκ δὲ τοῦ αὐτοῦ σόος] κράσεως γενομένης τῶν δύο ο εἰς ω μέγα, ὡς ἐν τῷ προόρα πρώρα, ἀποτελεῖται τὸ σῶς· οἷον «νῦν τοι σῶς αἰπὺς ὄλεθρος». ἢ καὶ ἀπὸ τοῦ σάος, ἐξ οὗ τὸ σαώτερος, γίνεται κατὰ κρᾶσιν σῶς, ᾧ προστεθέντος τοῦ ο μικροῦ ἐν τῇ ληγούσῃ γράφεται παρὰ τοῖς ὕστερον τὸ σῶος μετὰ παραληγούσης μακρᾶς, οὐ μὴν καὶ παρὰ τῷ ποιητῇ. [τὸ μέντοι σῶς εὕρηται παρ' αὐτῷ ἐν χρήσει. ὡς δὲ καὶ δύο ῥημάτων ὄντων, σώω διὰ παραληγούσης μακρᾶς καὶ σόω διὰ βραχείας, ἐκ τούτου μὲν ὁ παρ' Ὁμήρῳ σόος γίνεται, ἐκεῖθεν δὲ ὁ παρὰ τοῖς ὕστερον σῶος, καὶ ἀλλαχοῦ δηλωθήσεται.] (v. 118) Ὅτι στερούμενος τῆς Χρυσηΐδος ὁ

Ἀγαμέμνων, ἣν εἰς γέρας εἶχε, γέρας αὐτίκα ζητεῖ αὐτῷ ἑτοιμάσαι τοὺς Ἕλληνας, «ἵνα μὴ μόνος», φησίν, «ἀγέραστος ἔω» ἤγουν ὦ καὶ ὑπάρχω, περὶ οὗ προείρηται. «ἐπεὶ οὐδὲ ἔοικε», φησίν, ἀγέραστον δηλαδὴ εἶναι τὸν ἐν πᾶσιν, ὡς μετὰ ταῦτα δειχθήσεται, γεραρώτατον. καὶ οὕτω μὲν ὁ βασιλεύς. Ἀχιλλεὺς δὲ ἀντικαθιστάμενος πρὸς μὲν τὸ «ἵνα μὴ ἀγέραστος ὦ» ἐπιφέρει «Ἀτρείδη κύδιστε» οἱονεὶ λέγων, ὅτι πῶς ἀγέραστος ὁ κύδιστος; εἶτα ὡς τὸν βασιλέα ἐλέγξας εἰς τοῦτο ψευδόμενον ἐπάγει τὸ «φιλοκτεανώτατε» ὀνειδίζων, ὡς οὐ θέλοντα γέρας, ἀλλ' ἁπλῶς κτέανον ἤτοι κτῆμα, ὥστε εἶναι αὐτὸν φιλοχρήματον. πρὸς δὲ τὸ «αὐτίκα», ὅπερ ἐστὶν ἐνεστῶτος, τὸν μέλλοντα χρόνον ἀντιτίθησι λέγων ὡς, εἴ ποτε πόλιν Τροίην ἕλωμεν, οὐχ' ἁπλῶς δώσομεν καὶ χαριούμεθα, ἀλλ' ὡς ὄφλημα ἀποτίσομεν, καὶ οὐχ' ἁπλῇ, ἀλλὰ τριπλῇ καὶ τετραπλῇ, οὐ χάριν, ὥς φασιν οἱ παλαιοί, ἀλλ' ὡς κακῷ δανειστῇ. πρὸς δὲ τὸ ἑτοιμάσατε πληθυντικῶς ῥηθὲν ὑπὲρ πάντων ἀπολογούμενός φησι· «πῶς ἄν σοι δώσουσι γέρας Ἀχαιοί;», οὓς καὶ κολακεύων μεγαθύμους λέγει, καταδημαγωγῶν αὐτοὺς καὶ ἐρεθίζων κατὰ τοῦ βασιλέως. ὅθεν ὁ βασιλεὺς εὐλαβηθείς, μή ποτε τοῖς λόγοις τοῦ Ἀχιλλέως ἀνασεισθῇ ὁ λαός, ἀφίησι τὸ ἑτοιμάσατε καὶ ὑποθωπεύει βραχύ τι τοὺς Ἀχαιοὺς μεγαθύμους καὶ αὐτὸς προσειπὼν καὶ αὐτοῖς ἀναθεὶς τὸ δοῦναί τι αὐτίκα γέρας εἴτε καὶ μή. καὶ οὕτω τοῦ δήμου ἀποστὰς τῶν ἀρίστων εὐμεθόδως ἅπτεται, ἀπειλούμενος ἢ τὸ τοῦ Αἴαντος ἢ τὸ τοῦ Ὀδυσσέως ἢ τὸ τοῦ Ἀχιλλέως γέρας ἀφελέσθαι.

1.102 ἰδὼν δὲ τοὺς Ἕλληνας ἡσύχως φέροντας τὴν τῶν ἀριστέων ὕβριν καὶ γαληνῶς ἔχοντας, εἰδὼς δὲ καὶ ὅτι ἀλογίστως ἀπειλεῖται τῷ Ὀδυσσεῖ καὶ τῷ Αἴαντι τοῖς ἀναιτίοις, αὐτῶν μὲν ἀπέχεται ὡς οἷα κατὰ δευτέραν φροντίδα μεταβουλευσάμενος, ἀπειλεῖται δὲ ἀγαγέσθαι τὴν Βρισηΐδα αὐτὸς ἰὼν εἰς τὴν τοῦ Ἀχιλλέως σκηνήν, μεγαλοπρεπῶς ἑαυτὸν διορθωσάμενος καὶ εὐτάκτως τῷ λόγῳ προβὰς ἀπὸ τῶν ὅλων Ἑλλήνων εἰς ὀλίγους, τοὺς διαληφθέντας τρεῖς ἀριστεῖς, καὶ ἀπὸ τῶν ὀλίγων εἰς ἕνα τὸν Ἀχιλλέα. (v. 118—20) Ὅτι καὶ ἐνταῦθα, ὡς καὶ ἐν τῇ ἀρχῇ τοῦ βιβλίου, τρεῖς αἰτίας ἀλλήλων ἐξαρτᾷ χρησάμενος ποικίλοις αἰτιολογικοῖς συνδέσμοις, τῷ ὄφρα, τῷ ἐπεί καὶ τῷ γάρ. φησὶ γάρ «ἐμοὶ δὲ γέρας αὐτίκα ἑτοιμάσατε, ὄφρα μὴ οἶος ἀγέραστος ἔω, ἐπεὶ οὐδὲ ἔοικε. λεύσσετε γάρ, ὅ μοι γέρας ἔρχεται ἄλλῃ» ἤγουν ἀπέρχεται ἀλλαχοῦ. καὶ μικρὸν δὲ ἀνωτέρω τέσσαρας αἰτίας συνῆψεν εἰπών· οὕνεκα Χρυσηΐδος ἄποινα οὐκ ἤθελον δέξασθαι· ἐπεὶ πολὺ βούλομαι αὐτὴν οἴκοι ἔχειν. καὶ γὰρ Κλυταιμνήστρας προβέβουλα· ἐπεὶ οὐ χείρων ἐκείνης ἐστί. τὸ γὰρ οὕνεκα καὶ τὸ γάρ καὶ τὸ ἐπεί σύνδεσμοι αἰτιολογικοί· ὡσαύτως καὶ μετ' ὀλίγα φησιν «οὐ γὰρ ἐγὼ Τρώων ἕνεκα ἦλθον, ἐπεὶ οὔ τί μοι αἴτιοί εἰσιν. οὐ γὰρ πώ ποτ' ἐμὰς βοῦς ἤλασαν, ἐπεὶ πολλὰ μεταξὺ οὔρεα». [Ὅτι λεύω μὲν λεύσω τὸ λιθάσω δι' ἑνὸς γράφεται ς νόμῳ μέλλοντος, λεύσσω δὲ τὸ βλέπω ἐν δυσὶ προφέρεται σς καὶ πρὸς διαστολὴν ἐκείνου καὶ ὡς ἐνεστώς, εἰ καὶ ἄλλως οὐδέποτε πρὸ τῶν δύο σς εὑρίσκεται δίφθογγος πλὴν τούτου καὶ πλὴν τοῦ κρείσσων καὶ τοῦ ἐξ αὐτοῦ ῥήματος, τοῦ κρεισσῶ. χρῆσις δὲ αὐτοῦ κἀνταῦθα ἐν τῷ «λεύσσετε γὰρ τό γε πάντες». εἰ δὲ καὶ μέλλων τοῦδε τοῦ λεύσσω ἐστὶ τὸ λεύξω, τίς οἶδεν;] (v. 121) Ὅτι ἐξαίρετον τῶν ἄλλων Ἑλλήνων ἔοικεν ἔχειν τὸ τῶν ποδῶν τάχος ὁ Ἀχιλλεύς, ναὶ δὲ καὶ τὸ κάλλος, ὡς ἐν τῇ Βοιωτίᾳ φανήσεται· ἀφ' οὗ καὶ θεοείκελος λέγεται, ὡς καὶ ὁ Πάρις Ἀλέξανδρος θεοειδής. καὶ γένει μὲν καὶ ἄλλοι προεῖχον, ἐν ἀνδρίᾳ δὲ ὁ Αἴας οὐκ εἶχε τὰ δευτερεῖα αὐτοῦ. ἐρεῖ γάρ που ὁ ποιητής, ὅτι ἐν αὐτοσταδίᾳ μάχῃ οὐκ ἂν Αἴας ὁ μέγας εἴξῃ οὐδ' αὐτῷ Ἀχιλλεῖ. ποδωκείᾳ μέντοι πάντων ὁ Ἀχιλλεὺς προεῖχε καὶ ποσὶν οὐκ ἦν ἐρίσαι αὐτῷ, ὡς ἀλλαχοῦ ὁ ποιητὴς λέγει. διὸ συχνὰ ποδώκη τε αὐτὸν καλεῖ καὶ διαλελυμένως πόδας ὠκύν, ἀλλὰ καὶ ποδάρκη, ὅ ἐστιν ἐπαρκοῦντα ἢ ἐξαρκοῦντα τοῖς ποσὶ καὶ ἐπὶ πολὺ θέειν δυνάμενον, ὅπερ ἐπίτασίς ἐστι ποδωκείας, ὡς ἄλλο ὂν τὸ ποδώκη τινὰ εἶναι ἢ ποδάρκη.

1.103 οὐ γὰρ πᾶς ποδώκης ἤδη καὶ ποδάρκης, εἰ μὴ καὶ τοῖς ποσὶν ἐπαρκῶν ἀντέχει καὶ θέει ἀκάματα. (v. 122) Ὅτι τὸ «Ἀτρείδη κύδιστε, φιλοκτεανώτατε πάντων» ἐπιπλοκή ἐστιν ἐπαίνου καὶ ψόγου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιτιμητικὴ ἐπ' αἰσχύνῃ τοῦ βασιλέως, οἱονεὶ λέγοντος τοῦ Ἀχιλλέως, ὡς οὐκ ἔδει τὸν κύδιστον φιλοκτέανον εἶναι τῷ κρείττονι πλουτοῦντα τουτέστι τῇ δόξῃ. πολλάκις γὰρ τὸ κῦδος αἱρετώτερον πλούτου, εἴγε πλούτου μὲν καὶ τοῖς φαύλοις μέτεστι, δόξης δὲ μόνοις τοῖς ἀγαθοῖς. τὸ δὲ λέγειν κύδιστε ἀντὶ τοῦ ἐφύβριστε, διότι κῦδος ἀρσενικῶς ἡ λοιδορία, ἐξ οὗ καὶ παρὰ Σοφοκλεῖ κατά τινας τὸ κυδάζεσθαι, ὅ ἐστι λοιδορεῖσθαι, ἀντιλέγεται. Ὁμήρῳ γὰρ ὁ ῥηθεὶς κῦδος οὐκ ἔγνωσται, ἀλλὰ τὸ κῦδος οἶδεν οὐδετέρως τὴν δόξαν. [Ὑπερβολικὸν δὲ τὸ πάντων εἶναι φιλοκτεανώτατον τὸν Ἀτρείδην, οὐ μὴν ἐμμαρτύρως ἀληθές. ἔστι δὲ φιλοκτέανος ὁ φιλοκτήμων· ἐπεὶ καὶ ταὐτὸν κτῆμα καὶ κτέαρ καὶ κτέανον εἰπεῖν.] (v. 123) Ὅτι πᾶσαν ἐρώτησιν τὴν ἐν ἀντιλογίαις στερεὰν εἶναι δεῖ καὶ οἵαν ἄλυτον. ἐρωτᾷ γοῦν Ἀχιλλεὺς τὸν βασιλέα, ὅτι «πῶς σοι δώσουσιν αὐτίκα γέρας οἱ Ἀχαιοί;» πρὸς τοῦτο δὲ οὐκ ἔστιν ἀψόγως ἐκεῖνον ἀπολογήσασθαί τι. εἰς τρία γὰρ διῃρημένου τοῦ χρόνου, νῦν μὲν αὐτίκα οὐκ ἔστι γέρας δοῦναι. (v. 124) οὐδὲ γὰρ ἔχουσιν ἄδαστα ξυνήϊα κείμενα πολλὰ ὡς οἷον κειμήλια [χρήσιμα εἰς βίον, ὃν δή τις ἔφη κοινίτην,] καὶ διὰ τοῦτο ἄλλως μὲν εἰπεῖν ἔτι ἄδαστα· δριμέως δὲ κατά τινα παλαιὸν ἄληκτα ἤγουν μήπω εἰς λάχος ἐλθόντα, ὥστε λαχεῖν τισιν εἰς κλῆρον. (v. 126) Λείπεται οὖν ἢ τὰ προδεδασμένα ἐπαγείρειν παλίλλογα ἤγουν πάλιν ὡς ἐξ ὑπαρχῆς συναγόμενα, ὅπερ οὐκ ἐπέοικεν· οὐδὲ γὰρ χρὴ γενέσθαι ἀναδασμὸν ἤγουν δεύτερον μερισμὸν τῶν προμερισθέντων, ὅπερ ἄμπαλον ὁ Πίνδαρος ἔφη τουτέστι δεύτερον πάλον καὶ κλῆρον ἐπὶ μερισμῷ· ἢ ἀλλὰ χρὴ ἀναμένειν τὸν μέλλοντα χρόνον, εἴ πού τινα θεὸς δῷσι πόλιν Τροΐην εὐτείχεον ἐξαλαπάξαι, [ὅτε τριπλῇ, τετραπλῇ τ' ἀποτίσομεν τὸ ὑπὲρ τῆς Χρυσηΐδος δηλαδὴ ἀντισηκοῦν, καθά, ὡς εἰκός, ἦν ἔθος ἐν τοιούτοις γίνεσθαι.] ὁ δὲ λόγος οὗτος δίκαιος μέν ἐστιν, οὐκ ἀρέσκει δὲ τῷ βασιλεῖ θυμουμένῳ, ὡς ἂν ἡ τοῦ Διὸς βουλὴ πληρωθῇ (v. 124) [Ἰστέον δὲ ὡς ξυνήϊα δηλοῖ μὲν τὸ κοινά· γίνεται δὲ ἢ ἀπὸ τοῦ ξυνός, ὁ κοινός· οἷον «ξυνὸς Ἐνυάλιος». οὗ κτητικὸν ξύνειος, ὡς ἡμετέρειος, καὶ διαλύσει καὶ ἐκτάσει οὐδέτερον αὐτοῦ τὸ ξυνήϊον· ἢ καὶ ἄλλως, ὡς ὁ ξεῖνος, ξείνιον καὶ πλεονασμῷ ξεινήϊον, οὕτω ξυνός, ξύνιον καὶ ξυνήϊον.
1.104 (v. 126) ἐν δὲ τῷ «παλίλλογα» τροπὴ γέγονε τοῦ ν εἰς λ , ὁποία καὶ ἐν τῷ «πάλλευκον κάρα» καὶ τοῖς ὁμοίοις.] (v. 129) Πόλιν δὲ Τροΐην οἱ μέν φασι Τρωϊκὴν ἁπλῶς τινα, ὁποίας πολλὰς ἐπόρθησεν Ἀχιλλεύς. διὸ καὶ μετ' ὀλίγα ἐρεῖ «ὁππότε Ἀχαιοὶ Τρώων ἐκπέρσωσι πτολίεθρον». ἔστι γὰρ ταὐτὸν πόλιν Τροΐην εἰπεῖν καὶ Τρώων πτολίεθρον. ἄλλοι δὲ πόλιν Τροΐην νοοῦσι τὴν Τροίαν αὐτήν, οὕτω λεχθεῖσαν κατὰ διάλυσιν. καὶ μὴν πολλοῖς ἑτέροις τῶν παλαιῶν τοῦτο οὐκ ἤρεσεν, οἳ λέγουσι μηδὲ λεχθῆναί που ἀλλαχοῦ τὴν Τροίαν τρισυλλάβως παρὰ τῷ ποιητῇ, ἀλλὰ δισυλλάβως· οἷον «ἀμφὶ πόλιν Τροίην φραζοίμεθα βουλήν» καὶ «ἀμφὶ πόλιν Τροίην μαρνοίμεθα Ἀχαιοί». τινὲς δέ γε τῶν παλαιῶν συγχέοντες τὸ πᾶν καὶ ταῦτα διέλυσαν, ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται. Τὸ δὲ Τροΐην ἔχει ἀπορίαν ἐπὶ τῇ διὰ τοῦ ο μικροῦ γραφῇ, ἐὰν αὐτὴ μὲν τὴν Τρωϊκὴν δηλοῖ, τὸ δὲ Τρωϊκὸν ὄνομα κατὰ πᾶσαν τὴν αὐτοῦ κίνησιν διὰ τοῦ ω μεγάλου γράφηται. εἰ δὲ καὶ ἐκ τοῦ Τροία διελύθη, οὐδὲν ἧττον ἡ αὐτὴ ἀπορία κρατεῖ. εἰ γὰρ ἀπὸ τοῦ Τρωός ἡ Τροία, διὰ τί τῇ οι διφθόγγῳ παραλήγεται καὶ μὴ τῇ διὰ τοῦ ω , ἵνα εἴη Τρῴα, ὡς Μινῴα; τάχα δὲ ἂν ἔχοι τοῦτο ἀπολογίαν τὴν τοῦ ω μεγάλου ἀλλοίωσιν εἰς τὴν οι δίφθογγον. ὡς γὰρ ἀγκώνη, ἀγκοίνη, οὕτω καὶ Τρῴα, Τροία. ἐκεῖνο δὲ πάλιν μένει δυσαπολόγητον. εἰ γὰρ Τρωΐους ἵππους τοὺς Τρωϊκοὺς διὰ τοῦ ω μεγάλου γράφομεν, δυσχερές ἐστιν ἀπολογήσασθαι, διὰ τί πόλις Τροΐη ἡ Τρωϊκὴ διὰ τοῦ ο μικροῦ ἔχει τὴν ἄρχουσαν. ἐπιτείνει δὲ μάλιστα τὴν ἀπορίαν ὁ Πίνδαρος, ὃς αὐτὴν τὴν Τροίαν Τρωίαν ἐν Ἰσθμιονίκαις εἰπὼν διὰ τοῦ ω μεγάλου γράφει τὴν παραλήγουσαν. εἰ γὰρ οὕτως ἐκεῖνο, πολλῷ πλέον τὴν Τροΐην ἤτοι τὴν Τρωϊκὴν διὰ τοῦ ω μεγάλου ἐχρῆν γράφεσθαι. καὶ ταῦτα μὲν οὕτω. [Τὸ δέ «εὐτείχεον» Ἰωνικῶς κεκίνηται ἀπὸ τοῦ τεῖχος, τείχεος, εὐτείχεος. ἄλλως μέντοι τὸ κοινὸν εὐτειχέα ἦν ἄν. ὡς γὰρ σθένος εὐσθενής, βέλος ὀξυβελής, οὕτω καὶ τεῖχος εὐτειχής, οὗ

αἰτιατικὴ εὐτειχέα.] Ἀλαπάξαι δὲ κυρίως τὸ ἐκκενῶσαι, ὅθεν καὶ λαπάρα ἡ κενὴ ὀστῶν καὶ λαφύσσω. γίνεται δὲ ἐκ τοῦ λαπάζω πλεονασμῷ τοῦ α . παρὰ γοῦν τῷ Αἰσχύλῳ εὕρηται τὸ ῥῆμα χωρὶς τοῦ α . καταχρηστικῶς δὲ καὶ τὸ πορθεῖν ἀλαπάζειν λέγεται ὡς ἐν ταῖς ἁλώσεσιν ἐκκενουμένων τῶν πόλεων.

1.105 κεῖται δέ που ἐν τῇ Ὀδυσσείᾳ φανερῶς τὸ ἀλαπάζειν οὐκ ἐπὶ ἁλώσεως ἢ πορθήσεως πόλεως, ἀλλὰ ἁπλῶς ἐπὶ ἐκκενώσεως. γίνεται δὲ τὸ λαπάζειν ἐκ τοῦ λάπτειν, ἀφ’ οὗ καὶ τὸ λάφυρον. ἔστι δὲ λάπτειν κυρίως τὸ ῥοφεῖν ὀνοματοποιηθὲν καὶ κυριολεκτηθὲν ἐπί τε κυνῶν καὶ λύκων καὶ τοιούτων ζῴων καρχάρων. [Ἰστέον δὲ καὶ ὅτι τὸ «Ζεὺς δῷσι» κατὰ Ἴωνας ἢ ἐκ τοῦ δῶ γίνεται προσλήψει τῆς σι συλλαβῆς ἢ ἐκ τοῦ δῷς, ὃ καὶ κάλλιον· ἵνα ᾖ, ὡς λάβῃς λάβῃσι, λάχῃς λάχῃσι καὶ ὅσα τοιαῦτα, πρὸς ὁμοιότητα τοῦ τίθης τίθησιν· οὕτω καὶ ἐὰν δῷς, ἐὰν δῷσι.] (v. 132) Ὅτι κλέπτειν τὸ μέν ἐστι ταῖς χερσί, τὸ δὲ τῷ λογισμῷ. φησὶ γοῦν ὁ ποιητής· «μὴ δ’ οὕτως ἀγαθός περ ἐὼν [κλέπτε νόῳ» ἀντὶ τοῦ παραλογίζου καὶ θέλε ἀπατᾶν. ἔστι δὲ καὶ οὗτος ὁ λόγος κρᾶμα ἐπαίνου καὶ ψόγου. ἔπαινος μὲν γὰρ τὸ «ἀγαθός περ ἐών», καθὰ καὶ τὸ «θεοείκελ’ Ἀχιλλεῦ».] τὸ δέ «μὴ κλέπτε νόῳ» ἔχει τι σφοδρότητος. Ἰστέον δὲ ὡς τρεῖς εἰσι τρόποι, καθ’ οὓς ἐξίσταταί τις τοῦ οἰκείου βουλήματος· ἢ γὰρ πειθόμενος ἢ ἀπατώμενος, ὅπερ ὁ ποιητὴς παρελεύσεσθαι λέγει, ἢ ἄκων ἐν τῷ κελεύεσθαι· ἅπερ ὁ Ἀγαμέμνων οὐκ ἂν ἐνταῦθα παθεῖν ὑπὸ τοῦ Ἀχιλλέως διανίσταται. «οὔτε γὰρ νόῳ κλέπτων», φησί, «παρελεύσεαί με» ἤγουν παραδράμῃς «οὔτε πείσεις οὔτε κελεύσεις ἀποδοῦναι τὴν Χρυσηΐδα». Τὸ δέ «παρελεύσεαι» ἔχει τι λεληθότως καὶ σκωπτικόν. οἱονεὶ γὰρ λέγει ὅτι, εἰ καὶ τῇ ποδωκείᾳ παρελθεῖν με δύνασαι, ἀλλὰ ἀπατῶν καὶ δολιευόμενος οὐκ ἄν με νικήσας παρέλθῃς. [Ἰστέον δὲ ὅτι τε ἐν τῷ «μὴ δ’ οὕτως ἀγαθός περ ἐών» ἀργὸς κεῖται ὁ δε σύνδεσμος ληφθεὶς ἀντὶ τοῦ δη . καὶ ὅτι οὐ χειρὶ μόνον καὶ νόῳ, ἀλλὰ καὶ ποσὶ κλέπτεταί τι κατὰ τὸ «ποδοῖν κλοπὰν ἀρέσθαι» ἤγουν λάθρα φυγεῖν.] (v. 133) Ὅτι τὸ ἐθέλειν καὶ τὰ ὅμοια προαιρετικὰ ῥήματα, οἷον τὸ αἱρεῖσθαι, τὸ βούλεσθαι, τὸ γλίχεσθαι, τὸ ἐφίεσθαι καὶ τὰ ὅμοια, δύο συντάξεις ἔχουσι· μίαν μετὰ ἀπαρεμφάτου ῥήματος, οἷον· αἱροῦμαι λέγειν, ἐθέλω γράφειν, βούλομαι λαλεῖν καὶ τὰ ἐφεξῆς ὁμοίως· ἑτέραν δὲ μετὰ ἐγκλίσεως ὑποτακτικῆς, οἷον· ἐθέλω, ἵνα γράφω, βούλομαι, ἵνα λαλῶ καὶ τὰ ἄλλα ὡσαύτως. ταύτας τὰς δύο συντάξεις ὁ ποιητὴς ἐν μιᾷ ἐννοίᾳ ἐνταῦθα τιθείς φησιν «ἦ ἐθέλεις, ὄφρ’ αὐτὸς μὲν ἔχῃς γέρας, ἐμὲ δὲ ἧσθαι δευόμενον;» (v. 135—7) Ὅτι σχῆμα ἐλλειπτικὸν ἐνταῦθα τὸ «ἀλλ’ εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοὶ ἄρσαντες κατὰ θυμόν, ὅπως ἀντάξιον ἔσται.

1.106 εἰ δὲ μὴ δώσουσιν, ἐγὼ ποιήσω τάδε». χωλεύει γὰρ ἡ σύνταξις καὶ μένουσα ἐκκρεμὴς οὐκ ἀπήρτισται. λείπει γὰρ τὸ ἐφησυχάσω ἢ παύσομαι ἢ τοιοῦτόν τι, ἵνα λέγῃ, ὅτι ἐὰν δώσουσιν, ἡσυχάσω· ἐλλέλειπται δὲ ἀρχαϊκῶς διὰ τὸ πάνυ δῆλον καὶ αὐτόθεν φανερόν. τίς γὰρ οὐκ οἶδεν ὅτι, ἐὰν δώσουσι γέρας οἱ Ἀχαιοί, ὡς ἔσται ἀντάξιον, πάντως ἂν ἐφησυχάσῃ ὁ βασιλεύς. εἰσὶ δὲ καὶ ἄλλα τοιαῦτα σχήματα ἐλλείψεως παρὰ τοῖς παλαιοῖς, ὡς παρὰ τῷ Κωμικῷ «ἐὰν μὲν ἀποφήνω πάντων αἰτίαν ἐμέ, εἰ δὲ μή, ποιεῖτε ὅπερ ἂν δοκῇ ὑμῖν». καὶ Μένανδρος ὁ κωμικός «εἰ μὲν δή τινα πόρον ἔχεις, εἰ δὲ μή, νενόηκ’ ἐγώ». καὶ Πλάτων ὁ κωμικός «εἰ μέν σοι τὴν θάλασσαν ἀποδώσει ἑκών, εἰ δὲ μή, ταῦτα πάντα συντριαινῶν ἀπολέσω». καὶ Σοφοκλῆς «εἰ μέν τις οὖν ἔξεισιν, εἰ δὲ μή, λέγε». κεῖται δὲ ὅμοιον σχῆμα καὶ ἐν τῷ τέλει τῆς ῥαψῳδίας ταύτης ἐν τοῖς τοῦ Ἡφαίστου λόγοις. οἱ μέντοι καθιστῶντες τὸ σχῆμα εἰς τὸ ἔσται καὶ οὕτω ποιοῦντες αὐτὸ ἀνελλιπές, εὐσύντακτον μὲν ποιοῦσι τὴν ἑρμηνείαν, ἀχρειοῦσι δὲ τὴν Ὁμηρικὴν ἀρετὴν καὶ τὴν τοῦ θυμουμένου ἀπαλείφουσιν ἔμφασιν καὶ οὐδὲ σπουδαῖόν τι λέγουσι. φασὶ γὰρ ὅτι ἀλλ’ εἰ μὲν δώσουσί μοι γέρας οἱ Ἀχαιοί, ὥς ἐστιν ἀντάξιον, ἔσται τουτέστιν εὖ ἕξει τὸ πρᾶγμα· καὶ οὐδὲ οἴδασιν ὅτι διὰ ἐλλείψεως πάλιν καὶ ταύτης ψυχρᾶς ἰῶνται τὴν ἔλλειψιν. πάντως γὰρ καὶ ἐν τῷ ἔσται λείπει τὸ ἀγαθόν ἢ δίκαιον ἤ τι τοιοῦτον, ἵνα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγῃ, ὅτι ἔσται δίκαιον ἢ ἀγαθόν. καλλίων δὲ δή που τοῦ τοιούτου ἐλλειπτικοῦ σχήματος ἡ Ὁμηρικὴ ἔλλειψις. (v. 136) Τηρητέον δὲ ὅτι τὸ ἀντάξιον οὐ μάτην ὁ βασιλεὺς προσέθετο. ἀλλ' εἰς ἀφορμὴν πάλιν ἔριδος, ἵνα κἂν τυχὸν γέρας αὐτῷ θέλωσιν οἱ Ἕλληνες δοῦναι, ἔχῃ αὐτὸς πάλιν καὶ οὕτω κατὰ τοῦ Ἀχιλλέως θυμοῦσθαι προβαλλόμενος μὴ εἶναι τὸ γέρας ἀντάξιον. ὅμοιον δέ τι ὁ αὐτὸς βασιλεὺς καὶ ἐν τῇ γάμμα ῥαψῳδίᾳ ποιήσει, ὅπου τιμὴν ἀποδοῦναι τοὺς Τρῶας θέλει, ἥντινα ἔοικεν, ὡς ἂν καὶ ἐκεῖ ἔχῃ πολέμου λαβὰς καὶ ἐς ὕστερον. Τὸ δέ «ἄρσαντες κατὰ θυμόν» ἀρχή ἐστι καὶ ἀφορμὴ τῆς τοῦ θυμήρους συνθέσεως. πάντως γάρ, ὅπερ τις ἄρσει κατὰ θυμόν, ὅ ἐστιν ἁρμόσει ἢ ἀρέσει, θυμῆρες ἐκεῖνό ἐστι. φασὶ δὲ οἱ παλαιοί, ὅτι Ἀρίσταρχος μὲν δασύνει τὸ ἄρσαντες, λέγων ἐξ αὐτοῦ γενέσθαι τὸ ἅρμα, Ἡρωδιανὸς δὲ ψιλοῖ, ὡς ἀπὸ τοῦ ἄρω, ἄρσω Αἰολικοῦ. [Σημείωσαι δὲ ὡς πολλαχοῦ καινοῖς χαίρων σχήμασιν ὁ ποιητὴς οὐ μόνον προσεχῶς, ὡς ἐρρέθη, ἐκαινοφώνησεν, ἀλλὰ καὶ πρὸ τούτων ἐν τῷ «μὴ νύ τοι οὐ χραίσμῃ σκῆπτρον» καὶ ἑξῆς. λείπει γὰρ ἐκεῖ τὸ δέδοικα ἢ ὅρα, μή σοι οὐ χρησιμεύσῃ τὰ τοῦ θεοῦ. (v. 137) Ὅτι τὸ «εἰ δέ κε μὴ δώωσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι» εἴποι ἂν ὁ αὐτάρκης ὢν ἑαυτῷ, κἂν μὴ ἔχοι τοὺς ὑπακούοντας.] Ὅτι καὶ ἡ παροιμία φησίν, ὡς «αἱ δεύτεραί πως φροντίδες σοφώτεραι» καὶ ὁ ποιητὴς δὲ πολλαχοῦ τοῦτο αὐτοῖς ἔργοις ὑποδηλοῖ, ἐν οἷς τὰς δευτέρας συμβουλὰς κρεῖττον ἤπερ τὰς προϋπαρξάσας μελετᾷ πραγματικῶς. οὕτω γοῦν ἐνταῦθα καὶ ὁ βασιλεὺς τὰ μὲν πρῶτα οὐ μόνον τῷ Ἀχιλλεῖ, ἀλλὰ καὶ τοῖς μηδὲν αἰτίοις συναπειλεῖται, ὡς προείρηται, τῷ τε Ὀδυσσεῖ καὶ τῷ Αἴαντι, ἑνὸς τῶν τριῶν γέρας εἰπὼν ἀφαιρήσεσθαι· εἶτα μεταγνοὺς ὡς οὐ καλῶς ἀπειλησάμενος ταῦτα μὲν μεταφράσεσθαι λέγει καὶ ὕστερον, τελευτῶν δὲ εἰς μόνον ἀποτείνει τὸν Ἀχιλλέα τὰ τῆς ἀπειλῆς.

1.107 καὶ Ἀχιλλεὺς δὲ ἐν τοῖς ἑξῆς «δευτέρων ἀμεινόνων ἔτυχε» κατὰ τὴν παροιμίαν. βουλευσάμενος γὰρ ἀναστῆναι καὶ φονεῦσαι ὕστερον παύεται καὶ ὀνειδίσαι μόνον σκέπτεται καὶ οὐκέτι λέγει ὡς ἰδίαις ὑπεροπλίαις ἑαυτὸν ὁ βασιλεὺς ὀλέσει, ὅπερ οὐ γέγονεν, ἀλλ' ὅτι τοῦ Ἀχιλλέως ποθὴ ἔσται τοῖς Ἕλλησιν, ὅπερ ἀληθῶς γέγονεν ὕστερον. Ἰστέον δὲ καὶ ὅτι διὰ λύπην Ἀχιλλέως ὁ Ἀγαμέμνων τὴν ῥηθεῖσαν ἐνεστήσατο ἀπειλὴν κατά τε Ὀδυσσέως καὶ Αἴαντος. λυπεῖ γὰρ πάντως τὸν ἥρωα τὸ συνατιμᾶσθαι αὐτῷ τοὺς φιλτάτους. ὅτι δὲ φίλτατοι αὐτῷ Ἑλλήνων Αἴας τε καὶ Ὀδυσσεύς, ἐν τῇ ἰῶτα ῥαψῳδίᾳ φανήσεται καὶ ἐν τῇ βῆτα δέ, εἴπερ ὁ Θερσίτης ἔχθιστος ἦν Ἀχιλλῆϊ μάλιστα καὶ Ὀδυσσεῖ. φαίνεται γὰρ ὅτι Ὀδυσσεὺς καὶ Ἀχιλλεὺς φίλοι ὄντες ἀλλήλοις τὸν αὐτὸν ἐμίσουν ἐχθρόν. Ὅρα δὲ ὅτι ἡμεῖς μὲν τῇ μεταφράσει ἐπὶ ἄλλου σημαινομένου χρώμεθα, Ὅμηρος δὲ μεταφράζεσθαί φησι τὸ μεταβουλεύεσθαι. (v. 139 s.) [Ἰστέον δὲ ὅτι τε τὸ «ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖτις» ὑστεροβουλίας ἐστὶ σκοπός, ὃ δὴ καὶ ἐπιφράζεσθαι καὶ ἐπιμηθεύεσθαι λέγεται. καὶ ὅτι ἀνωτέρω τούτου στίχος εἷς κεῖται δοκῶν κατὰ τὸν Λογγῖνον εἶναι παρένθετος. ἔστι δὲ ἐκεῖνος τὸ «ἄξω ἑλών». ἀρκεῖ τε γάρ, φησίν, εἰς τελείαν ἔννοιαν τὸ ἄνω αὐτοῦ κείμενον ἔπος καὶ τὸ ἐφεξῆς δὲ τοῦ «ἄξω ἑλών» «ὃ δὲ κεχολώσεται, ὃν ἂν ἵκωμαι» εἰς οὐδὲν δέον ἐκ περισσοῦ τέθειται. τίς γὰρ οὐκ οἶδεν ὡς λυπήσεται ὁ ἀδικηθείς;] (v. 141—3) Ὅτι τὸ «νῆα μέλαιναν ἐρύσομεν, ἐς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν, ἐς δ' ἑκατόμβην θείομεν» ὁμοιοκατάληκτα μὲν οἱ γραμματικοὶ διὰ τὰς μὲν συλλαβὰς λέγουσι τὰς ἐν τῷ τέλει, πάρισα δὲ οἱ ῥήτορες, [ὥσπερ αὖ πάλιν ἐπαναφορικὰ τὸ «ἐς δ' ἐρέτας, ἐς δ' ἑκατόμβην».] καὶ κάλλος αὐτὰ ποιεῖν λόγου φασίν. (v. 142) Ἰστέον δὲ καὶ ὅτι ἐπίτηδες μὲν προπαροξυτόνως φαμὲν τὸ ἐν ἔργῳ καὶ ἐπιτηδευτῶς καὶ ἐξ ἐπιτηδεύσεως οἷόν τινος· τὸ δὲ ἐπιτηδὲς τὸ ἐνταῦθα ὀξυτονούμενον ὄνομα οἱ παλαιοί φασιν εἶναι πληθυντικόν, οὗπερ εὐθεῖά ἐστιν ὁ ἐπιτηδής.

1.108 ὥσπερ δέ που τὸ ἀκλεεῖς πληθυντικὸν παρ' Ὁμήρῳ ἀκλεὲς λέγεται ἐκβληθέντος τοῦ ι , οὕτω γέγονε καὶ τὸ ἐπιτηδές ἐκ τοῦ ἐπιτηδεῖς ἐκδραμόντος τοῦ ι διὰ χρείαν μετρικήν. [Ἔτι ἰστέον ὡς τὸ ἐρύσομεν, ἀγείρομεν, θείομεν, βήσομεν, εἰ καὶ συμβουλευτικά εἰσιν, ὅμως οὐ μεγεθύνουσι

τὴν παραλήγουσαν. Ἴωνες γὰρ ἀδιαφοροῦσι περὶ τὰ τοιαῦτα, ὡς μυριαχοῦ φανήσεται.] (v. 143) Ὅτι τὴν παρειὰν παρηΐην ἐθέλει λέγειν ὁ ποιητὴς κατὰ διάλυσιν τῆς ει διφθόγγου καὶ παρήϊον τὸ τῶν ἵππων παραγναθίδιον. καὶ τὴν καλλιπάρῃον διὰ τοῦ η γράφει, τὸ μὲν ε τῆς διφθόγγου τρέψας εἰς η , τὸ δὲ ι προσγεγράφθαι ἀφείς. [λέγει δ’ ἐνταῦθα καλλιπάρῃον τὴν Χρυσηΐδα ὁ βασιλεὺς ἐχόμενος οἷον αὐτῆς τῷ λογισμῷ καὶ δεικνὺς ὡς, εἰ καὶ στερεῖται αὐτῆς, ὅμως ἀναμιμνῄσκει οἷον ἀπόλλυσι καλόν.] (v. 144) Ὅτι βουληφόροι παρὰ τῷ ποιητῇ, οὓς νῦν τῆς συγκλήτου φαμέν. ἰστέον γὰρ ὅτι ἡ μὲν ἀγορὰ παντὸς ἦν τοῦ δήμου κοινὴ καὶ κηρύγματι ἐξακούστῳ ἠθροίζοντο, ἡ δὲ βουλὴ τῶν ἐκκρίτων μόνων συγκαλουμένων ἰδίᾳ καὶ οὐ μετὰ τοῦ πλήθους. [Ὅτι Ὁμήρου ἀρχὸν εἰπόντος ἐπὶ νηός, οἱ μεθ’ Ὅμηρον συνθέντες ναύαρχον τὸν τοιοῦτόν φασιν. εἴη δ’ ἂν τοιοῦτος ὁ καὶ κόμης παρὰ τοῖς ὕστερον. εἰ δὲ καὶ βουληφόρος ἐστὶν ὁ αὐτός, μεῖζον τὸ ἀξίωμα καὶ οἷον πάνυ κοσμεῖν τὸν ἐπὶ πρεσβείᾳ στελλόμενον.] Ὅτι ἐν μὲν τῇ ἀπειλῇ πρῶτον ἔταξε τὸν Ἀχιλλέα ὁ βασιλεὺς εἰπών «ἢ τὸ σὸν ἀφέλωμαι γέρας ἢ Αἴαντος ἢ Ὀδυσσέως», ἐν δὲ τῷ τῆς τιμῆς λόγῳ ὕστερον τάττει τὸν Ἀχιλλέα μετὰ καί τινος σκώμματος εἰπὼν ὅτι «ἀρχὸς ἔστω τῆς εἰς τὸν Ἀπόλλωνα νηὸς βουληφόρος, ἢ Αἴας ἢ Ἰδομενεὺς ἢ δῖος Ὀδυσσεὺς ἠὲ σύ, Πηλεΐδη, πάντων ἐκπαγλότατ’ ἀνδρῶν». (v. 145) Ἰστέον δὲ ὅτι ἐν τῷ εἰπεῖν «δῖος Ὀδυσσεύς» καὶ τιμῆσαι τὸν ἄνδρα τῷ ἐπιθέτῳ ἐνέφηνεν, ὅτι ὁ Ὀδυσσεὺς ἔσται ναύαρχος· καὶ ὅτι, ὥσπερ τὸ Ἀχιλλεύς ποτὲ μέν, ὡς προείρηται, διπλασιάζει τὸ τῆς ληγούσης κατάρχον σύμφωνον ἤγουν τὸ λ , ποτὲ δὲ μονάζον ἔχει αὐτό, οὕτω καὶ τὸ Ὀδυσσεύς ἀνωτέρω μὲν ἐν τῷ «ἢ Ὀδυσῆος» δι’ ἑνὸς ς ἐξήνεκται, ἐνταῦθα δὲ διὰ δύο ς . καὶ δοκεῖ τὸ μὲν ἓν ς εἶναι ἀπὸ μέλλοντος τοῦ ὀδύσω, ὃ δηλοῖ τὸ ὀργίσομαι, τὰ δὲ δύο ἀπὸ ἐνεστῶτος τοῦ ὀδύσσω, τὸ ὀργίζομαι. Ὅτι δὲ τὸ Ὀδυσσεύς παρά τισι μὲν δασύνεται παρὰ τὴν ὁδόν, ὑπό τινων δὲ ψιλοῦται, ὅπερ καὶ μάλιστα Ὁμηρικόν ἐστιν, ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν γέγραπται, ὅπου καὶ τὸν Ὀδυσσέα ὁ ποιητὴς ἐτυμολογεῖ. (v. 146) Τὸ δ’ ἐκπαγλότατε ἐκ τοῦ ἐξεπλάγη δευτέρου ἀορίστου γενόμενον ὤφειλεν ἐκπλαγώτατε εἶναι διὰ τοῦ ω μεγάλου. ἐπεὶ δὲ ἡ τοιαύτη γραφὴ ἀσυντελὴς ἦν δακτυλικῷ μέτρῳ, γέγονε μετάθεσις τοῦ λ ἐπὶ τὰ ἔμπροσθεν, ὡς ἂν οὕτω σμικρυνθέντος τοῦ ο διὰ τὴν πρὸ αὐτοῦ μακρὰν συλλαβὴν γένηται ἡ λέξις εἰς δάκτυλον χρήσιμος.

1.109 Σημείωσαι δὲ ὅτι τὸ ἐκπαγλότατε δόξειε μὲν ἂν μέτριόν τι σκῶμμα εἶναι καί πως ὅμοιον ὡς ἐν εἰρωνείᾳ τῷ θαυμάσιε, ὃν δηλαδὴ ἐκπλαγείς τις θαυμάσεται, ἔχει δὲ πολύ τι βαρύτητος. διὸ καὶ εἰς θυμὸν ἐκμαίνει τὸν Ἀχιλλέα. γίνεται γὰρ ἡ λέξις ἐκ τοῦ πλήσσω, ἀφ’ οὗ καὶ ὁ ἔμπληκτος καὶ ὁ παραπλὴξ καὶ τὸ ἐμπλήγδην ἐπίρρημα ἐν Ὀδυσσείᾳ καὶ ὁ ἀπόπληκτος. ἔχει δέ τι σφοδρότητος καὶ τὸ σχῆμα, ἡ ἀποστροφή. ἀπὸ γὰρ εὐθειῶν τοῦ Αἴας ἢ Ἰδομενεύς ἢ Ὀδυσσεύς τραχέως ἀπέστρεψε τὸν λόγον ἐν τῷ «ἢ σύ, Πηλεΐδη ἐκπαγλότατε», ἵνα μὴ καὶ λάθῃ ἡ ὕβρις. (v. 147) [Ὅτι εὐχῆς ὁ σκοπὸς ἱλασμός ἐστιν, ὡς δηλοῖ καὶ τὸ «ὄφρα ἱλάσσεαι ἱερὰ ῥέξας».] (v. 148) Ὅτι τὸ «ὑπόδρα ἰδών» ἀντὶ τοῦ δραστικόν καὶ δριμύ, ὡς ἀπὸ τοῦ δρῶ, τὸ πράττω· μάλιστα δέ, ὡς ὀρθῶς δοκεῖ τοῖς παλαιοῖς, ἀντὶ τοῦ ὑποβλεπτικῶς παρὰ τὴν ὑπο πρόθεσιν καὶ τὸ δρῶ, τὸ βλέπω, καὶ οἱονεὶ διορῶ, ἐξ οὗ φασι καὶ τὸ δέρκω παράγωγον· ὅθεν καὶ τὸ δραθάνειν, ὅ ἐστι κοιμᾶσθαι, οἱονεὶ ἡ τοῦ βλέπειν ἀπόθεσις· καὶ δραπέτης ὁ οἷον ἐκπετασθεὶς τοῦ ὁρᾶν καὶ μὴ βλεπόμενος διὰ τὸ φυγεῖν. ἐκ τοίνυν τοῦ τοιούτου δρῶ ῥήματος τὸ ὑπόδρα, ὡς τῆς ὄψεως μὴ κατὰ φύσιν ἐχούσης τοῖς ὀργιζομένοις, ἀλλά πως παρατιθεμένης καὶ ὑποβαλλομένης· ὅθεν καὶ βλοσυρὸς λέγεται ὁ τὸ βλέμμα ὑποσύρων, ὁποῖόν τι καὶ οἱ φύσει τὰς ὄψεις διεστραμμένοι πάσχουσι· πλὴν οὗτοι μὲν ὑποβλέπειν λέγονται καὶ ὑπόδρα βλέπειν· ἐκεῖνοι δὲ παραβλέπειν, ὅθεν καὶ παραβλῶπες ὀνομάζονται. Ἰστέον δὲ ὅτι δοκεῖ ἀπὸ τοῦ ῥηθέντος δρῶ γίνεσθαι καὶ τὸ ἀθρῶ, ἵνα ᾖ ἀδρῶ τὸ ἄγαν ὁρῶ καὶ κατὰ συγγένειαν τοῦ δ πρὸς τὸ θ ἀθρῶ, καθὰ καὶ ἐκ τοῦ μήδω γίνεται ὁ προμηθὴς καὶ ἐκ τοῦ οὐδενός τὸ ἐξουθενῶ καὶ ἄλλα δέ τινα ὁμοίως, ὡς ἀλλαχοῦ ῥηθήσεται. (v. 149) Ὅτι εἰς ἀναίδειαν ὁ Ἀχιλλεὺς ἐπισκώπτων τὸν Ἀγαμέμνονα λέγει·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«ὤ μοι ἀναιδείην ἐπιειμένε». τοῦτο δὲ λέγει διὰ τὸ τὸν Ἀγαμέμνονα ἐν ἐπηκόῳ πάντων δόξαι ἀσχημονῆσαι ὑπερτιθέντα τῆς κουριδίης γυναικὸς τὴν αἰχμάλωτον Χρυσηΐδα καὶ διὰ τὸ τολμῆσαι καὶ αὐτοῦ καταναιδεύσασθαι δι' ἀπειλῆς. τὸ δέ «ἀναιδείην ἐπιειμένε» ἀντὶ τοῦ προφανῆ ἔχων ἀναίδειαν καθά τι περίβλημα ἢ ἐνδεδυμένε αὐτὴν οἷά τι ὅπλον κατὰ τὸ «ὅπλα εἱμένοι» καὶ «ἐπιειμένος ἀλκήν». καλεῖ δὲ αὐτὸν καὶ κερδαλεόφρονα, ὥσπερ καὶ φθάσας φιλοκτεανώτατον ἔσκωψεν αὐτόν. δοκεῖ δὲ τοῖς παλαιοῖς φύσει ὁ φιλοχρήματος καὶ ἀναιδὴς εἶναι. [Δῆλον δὲ ὡς κερδαλεόφρων ἐστὶ καὶ ὁ ὕπουλος δίκην κερδοῦς, ὅ ἐστιν ἀλώπεκος τῆς δολίας, ἢ ὁ τὰ πρὸς κέρδος ἤτοι δόλον φρονῶν.

1.110 ] (v. 151) Ὅτι δύο οἶδεν ἐνταῦθα τρόπους πολέμου ὁ ποιητὴς ἢ ὁδὸν ἐλθεῖν ἢ ἀνδράσιν ἶφι μάχεσθαι. ἔστι δὲ ὁδὸν μὲν ἐλθεῖν τὸ τοὺς ἀριστεῖς εἰς λόχον ἀπελθεῖν, ὡς δοκεῖ τοῖς παλαιοῖς, οἳ καὶ ἀπὸ Δημοσθένους φέρουσι χρῆσιν εἰπόντος ἐν τῷ κατὰ Ἀριστοκράτους τὸ «ἐν ὁδῷ καθελών» ἀντὶ τοῦ ἐν λόχῳ. Ἶφι δὲ μάχεσθαι τὸ κοινῶς μετὰ τοῦ λαοῦ ἐξ ἀντιπαρατάξεως φανερᾶς, ὅπερ καὶ ἔστι κυρίως ἶφι πολεμεῖν, ὡς τοῦ λόχου δόλῳ καὶ οὐ τοσοῦτον ἰσχύϊ εὐοδουμένου. διὸ καὶ ἐν τοῖς ἑξῆς ὁ αὐτὸς ὀνειδίζων σαφέστερον λέγει τῷ βασιλεῖ, ὅτι «οὔτε ποτ' ἐς πόλεμον ἅμα λαῷ θωρηχθῆναι, οὔτε εἰς λόχον ἐλθεῖν σὺν ἀριστήεσσιν Ἀχαιῶν τέτληκας θυμῷ», ὡς οἷα τλησικάρδιος. δύναται δὲ καὶ ἄλλως ὁδὸς πλατικώτερον λέγεσθαι πρὸς διαστολὴν ἀντιπροσώπου παρατάξεως καὶ τὸ ἐπὶ λείᾳ ἀπελθεῖν που καὶ τὸ ἐπὶ κατασκοπεύσει λαοῦ ἢ τείχους ἀναμετρήσει. εἰ δὲ καὶ αὐτὰ τρόπον τινὰ λόχος ἐστίν, ἀλλὰ τὸ εἰς ὁδὸν ἐλθεῖν ἤγουν πρεσβείαν οὐκέτι λόχος ἐστίν. ἔοικε δὲ εἰς πάντα ὁ Ἀχιλλεὺς εὐδοκιμεῖν· ἐν μὲν ὁδῷ οἷα πολέμαρχος καὶ πολλὰς μὲν πόλεις, πολλὰς δὲ νήσους παραστησάμενος· ἐν δὲ τῷ ἶφι μάχεσθαι οἷα τὴν Τροίαν γενναίως πολιορκῶν. Τὸ δὲ ἐλθεῖν ἐλθὲν λεγόμενον Δωρικῶς, ἐὰν προσλάβῃ πρὸ τοῦ νῦ τὴν με συλλαβήν, ὡς προείρηται, ἐλθέμεν λέγεται, ὡς καὶ χολωσέμεν καὶ λεγέμεν καὶ ὅσα τοιαῦτα, προστεθείσης δὲ ἐν τῷ τέλει τῆς αι διφθόγγου ἐλθέμεναι γίνεται καὶ λεγέμεναι. καί εἰσι καὶ ἄλλα τοιαῦτα παρὰ πολλοῖς ποιητικὰ ῥήματα πάμπολλα. οὐ μόνον δὲ ἐν τοῖς τοιούτοις πλεονάζει ἡ με συλλαβή, ἀλλὰ καὶ ἐν τοῖς εἰς ναι λήγουσιν ἀπαρεμφάτοις πρὸ τῆς ληγούσης τίθεται· οἷον ποιηθῆναι ποιηθήμεναι, θωρηχθῆναι θωρηχθήμεναι καὶ ἕτερα μυρία τοιαῦτα. τὸ μέντοι θεῖναι καὶ δοῦναι καὶ εἶναι οὐχ' ἁπλῶς πρὸ τῆς ληγούσης δέχονται τὴν με συλλαβήν, ἀλλὰ ἀποβολῇ τῶν ὑποτακτικῶν φωνηέντων ἤγουν τοῦ υ καὶ τοῦ ι · θέμεναι γὰρ καὶ ἔμμεναι λέγομεν, ἀλλὰ καὶ δόμεναι, ὡς καὶ ὁ ποιητὴς πρὸ μικροῦ εἶπεν «ἀποδόμεναι ἑλικώπιδα κούρην». ταῦτα δὲ καὶ τὴν τελευταίαν δίφθογγον ἀποβάλλουσι καὶ γίνονται θέμεν καὶ ἔμεν καὶ δόμεν. (v. 152) Ὅτι αἰχμηταὶ μὲν ἁπλῶς οἱ στρατιῶται· καὶ καλοῦνται οὕτως ἀπὸ ἑνὸς μέρους τῶν ὅπλων ἤτοι τῆς αἰχμῆς, ὥσπερ καὶ ἀπὸ κνημίδων εὐκνήμιδες οἱ [καθόλου εἰπεῖν εὔοπλοι] καὶ ἀπὸ θώρακος θωρηκταὶ καὶ ἀπὸ ἀσπίδων ἀσπιδιῶται καὶ ἀσπισταὶ καὶ ἀπὸ κόρυθος ἤγουν περικεφαλαίας κορυθαΐκες καὶ κορυθαιόλοι καὶ κορυσταί, προστεθέντων δὲ καὶ τῶν ἵππων ἱπποκορυσταί, καὶ ἀπὸ δοράτων δορίκλυτοι. ὁπλῖται μέντοι μεθ' Ὅμηρον ἀπὸ γενικοῦ ὀνόματος τῶν ὅπλων ἐκλήθησαν, ὥσπερ καὶ ὁπλότεροι οἱ νέοι καὶ ὑπέροπλοι οἱ αὐθάδεις.

1.111 [Κεῖται δ' ἐνταῦθα καὶ τὸ ἤλυθον ἐντελές, οἷον «οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ' ἤλυθον», οὗ συγκεκομμένον τὸ ἦλθον κατὰ τὸ «ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας». οὕτω καὶ ἁπλοῦν μὲν τὸ ἀλεγεινόν, συγκέκοπται δὲ τὸ ἀλγεινόν, ὡς καὶ τὸ ἄλγος.] (v. 153) Ὅτι αἴτιος παρ' Ὁμήρῳ λέγεται ὁ αἰτιατέος καὶ ὑπὸ μέμψιν καὶ αἰτίασιν κείμενος καὶ ἀπολύτως λαμβάνεται, οἷον «οὔ τί μοι αἴτιοί εἰσιν οἱ Τρῶες» καὶ «οὔ τί μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν». οἱ δὲ μεθ' Ὅμηρον ἄλλως χρῶνται τῇ λέξει. (v. 153 s.) Ἰστέον δὲ ὡς ὁ μὴ βλαβῆναι λέγων ὑπό τινων καλῶς ἂν ἐρεῖ, ὅτι «οὔ τί μοι αἴτιοί εἰσιν· οὐ γάρ πώ ποτ' ἐμὰς βοῦς ἤλασαν οὐδὲ μὲν ἵππους». ἐνταῦθα δὲ δηλοῖ ὁ ποιητής, ὅτι πολέμου ἀφορμὴ τοῖς παλαιοῖς ὡς ἐπὶ πολὺ τὸ βοῦς ἢ ἵππους

ἀπελάσαι ποθὲν ἢ καρπὸν γῆς ἐπιδραμόντας δηλήσασθαι ἤγουν βλάψαι, οὗ χρῆσίς ἐστι καὶ παρὰ Ἡροδότῳ· δηλέοντο γάρ φησιν ἀντὶ τοῦ ἔβλαπτον. ἐκεῖθεν δὲ καὶ τὸ δηλητήριον. Σημείωσαι δὲ ὅτι ἡ διάφορος σημασία τῶν ῥημάτων διαφόρους πολλάκις συζυγίας ποιεῖ. δηλῶ μὲν γὰρ δηλώσω τὸ φανερὸν ποιήσω· δηλῶ δὲ δηλήσω τὸ βλάψω. οὕτω καὶ νοῶ νοήσω τὸ εἰς νοῦν λήψομαι· νοώσω δὲ τὸ ἐμβαλῶ νοῦν. καὶ πολεμήσω μὲν τὸ μαχήσομαι· πολεμώσω δὲ τὸ κινήσω ἕτερον εἰς μάχην. καὶ σταθμῆσαι μὲν τὸ ζυγοστατῆσαι· σταθμώσασθαι δὲ παρὰ Ἡροδότῳ τὸ στοχάσασθαι. καὶ κηλήσω μὲν τὸ θέλξω, ἐξ οὗ ὁ ἐν Ὀδυσσείᾳ κηληθμός· κηλώσω δὲ ῥῆμα οὐ σεμνόν, ἐξ οὗ κηλωστὰ τὰ πορνεῖα παρὰ Λυκόφρονι. καὶ βοήσω μὲν τὸ τρανῶς φωνήσω· βοώσω δὲ τὸ μεταμορφώσω εἰς βοῦν. [καὶ τὸ σκηνῶ δὲ σκηνώσω, ἐξ οὗ σκήνωμα, καὶ τὸ σκηνῶ σκηνήσω, ἀφ' οὗ οἱ Σκηνῆται, διαφορὰν ἔχουσι φανεράν. ὁμοίως καὶ τὸ ζηλῶ ζηλώσω τὸ πρωτότυπον τοῦ ζηλωτοῦ καὶ τὸ ζηλῶ ζηλήσω τὸ τοῦ ζηλήμονος, ὃ ἐν Ὀδυσσείᾳ κεῖται. καὶ τὸ κυκλῶ κυκλώσω καὶ κυκλήσω. καὶ ῥῶ ῥήσω, ὅθεν τὸ ῥῆμα· καὶ ῥῶ ῥώσω, ἀφ' οὗ ἡ ῥῶσις. εἰ δὲ καὶ τὸ φηλῶ φηλήσω καὶ φηλώσω, ὡς τὸ «φηλώσας πρόμον» παρὰ Λυκόφρονι, οἴδασι διαφοράν, χρὴ ζητῆσαι. γίνεται δὲ τὸ δηλῶ ἤγουν βλάπτω, ὅθεν καὶ ὁ δαλός. ὡς γὰρ ἐκ τοῦ πρήθω, τὸ καίω, μεταθέσει τοῦ ρ καὶ τροπῇ τοῦ η εἰς ε γίνεται πέρθω διὰ τοὺς ἑπομένους ἐμπρησμοὺς ταῖς πορθήσεσι· καὶ ὡς παρὰ τὸ δαίω, τὸ καίω, δῆρις ἡ μάχη, ἔτι δὲ καὶ δηΐς· οὕτω παρὰ τὸ αὐτὸ δαίω δηλεῖσθαι τὸ καυστικῶς βλάπτειν ὡσεὶ καὶ διὰ δαλοῦ καίοντος.

1.112 ] καὶ τοιαῦτα μὲν ταῦτα. (v. 154) Τὰς βοῦς δὲ θηλυκῶς Ἴωνές φασι, καθὰ καὶ ἀλλαχοῦ ῥηθήσεται, ἤδη δὲ καὶ Ἀττικοί, ὥσπερ καὶ τὰς ὄϊς καὶ τὰς ἵππους καὶ τὰς ἡμιόνους καὶ τὰς κύνας. Σημείωσαι δὲ ὅτι ἐνταῦθα μὲν ἐλάσαι τὸ πολέμου νόμῳ ἀπελάσαι· λέγεται δὲ καὶ ἐπὶ σιδήρου ἐλάσεως καὶ ἐπὶ κτίσεως τείχους καὶ ὀρύξεως τάφρου καὶ ἱππηλασίας. εὕρηται δὲ καὶ κατελάσαι κωμικώτερον ἐπὶ ἀσέμνου σημασίας. τὸ δὲ ὅρκους ἐπήλασαν παρ' Ἡροδότῳ ἀντὶ τοῦ ἐπήγαγον, ἀπεναντίας ῥηθὲν πρὸς τὸ ἀπήλασαν, τὸν ἐπακτὸν ὅρκον ὀνομασθῆναι πεποίηκε παρὰ τοῖς ὕστερον. ['Ιστέον δὲ ὅτι ἐν τῷ «οὐ γὰρ πώ ποτ' ἐμὰς βοῦς ἤλασαν» ὁ πω παραπληρωματικὸς σύνδεσμος ἐκ βαρυτονήσεως ἐνεκλίθη· οἷον «οὔπω γάρ ποτε». διὸ καὶ προπαροξύνεται, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. δηλοῖ δὲ τὴν τοῦ συνδέσμου βαρεῖαν τάσιν καὶ τὸ «οὐδέ τί πω ἴδμεν» καὶ ἑξῆς.] (v. 155) Ὅτι τὴν Φθίαν ἤγουν τὰ νῦν κατά τινας λεγόμενα Φάρσαλα τὴν τοῦ Ἀχιλλέως πατρίδα ἐριβώλακα λέγει ἤγουν μεγαλόβωλον, ἔτι δὲ καὶ βωτιάνειραν ἤτοι θρεπτικὴν ἀνδρῶν. ἐν δὲ τοῖς ἑξῆς καὶ «μητέρα μήλων» ἤγουν προβάτων καὶ θρεμμάτων αὐτὴν ὀνομάσει διὰ τὸ πίονα εἶναι τὴν ἐκεῖσε γῆν. ὁ δὲ πολίτης αὐτῆς Φθιώτης λέγεται. εἰσὶ δέ τινες καὶ Φθῖοι παρὰ τῷ ποιητῇ, ἕτεροι παρὰ τοὺς Φθιώτας, ὡς ἐν τοῖς ἑξῆς, ὅτε δέον ἐστί, ῥηθήσεται. ὁ δὲ τὰ Ἐθνικὰ γράψας ἀπὸ Φθίας γυναικὸς ἢ Φθίου υἱοῦ Ποσειδῶνος καὶ Λαρίσσης κληθῆναι τὴν Φθίαν φησὶ λέγων καί, ὅτι πόλις καὶ μοῖρα Θετταλίας ἡ Φθία, καί, ὅτι τὸ τοπικὸν καὶ Φθιώτης καὶ Φθῖος λέγεται. καὶ Αἰλιανὸς δὲ μέμνηταί τινος Φθίας παρθένου, ἧς, φησίν, ἐρασθεὶς Ζεὺς μετέβαλε τὴν μορφὴν εἰς περιστεράν. ['Ιστέον δὲ ὡς τοῦ βωτιάνειρα προϋπόκειται ὁ βότης καὶ Ἰωνικῶς βούτης, ὡς ὑποδηλοῖ καὶ ὁ παρ' Ἡσιόδῳ ἀβούτης ἀνήρ. Δωριεῖς δὲ τὸ βούτης εἰς ω μέγα τρέψαντες κατὰ τὸ Μοῦσα Μῶσα βώτης εἴποιεν ἄν, οὗ θηλυκὸν ἡ βῶτις, τῆς βώτιδος· ὅθεν γῆ τε βωτιάνειρα ἡ θρεπτικὴ ἀνδρῶν παρὰ τὸ βῶ βώσω βότης καὶ τὸ ἀνὴρ ἀνέρος· καὶ «παμβῶτις» παρὰ Σοφοκλεῖ ἡ πάντων τροφός.

1.113 καὶ ἔστι τοῦτο καθολικώτερον. ἡ γάρ τοι βωτιάνειρα πρὸς εἶδος ἓν λαλεῖται τὸ τῶν ἀνθρώπων, ὥσπερ πρὸς ἑτεροῖα ζωϊκὰ εἴδη τὸ ἱππόβοτον πεδίον, τὸ αἰγίβοτον, τὸ μηλόβοτον, τὸ βούβοτον.] (v. 157) Ὅτι ἐπὶ τόπων πολὺ διεστώτων, ἐν οἷς καὶ θάλασσα μεσολαβεῖ, εἴποι τις ἂν τὸ «μάλα πολλὰ μεταξὺ οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα». Ἰστέον δὲ ὅτι σκιόεντα μὲν ἀπὸ τοῦ παρακολουθοῦντος λέγει τὰ δασέα καὶ σκιᾶς ἀποτελεστικὰ διὰ τὸ τῆς ὕλης λάσιον· ἠχήεσσα δέ, περὶ ἣν πολὺς ἦχος γίνεται. ὁ δὲ ἦχος ὠνοματοπεποίηται, ὥσπερ καὶ ἡ ἰαχή. δῆλον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ ὅτι τὸ σκιόεντα καὶ ἐπὶ δωμάτων λέγεται, ὡς τὸ «μέγαρα σκιόεντα». (v. 158 s.) Ὅτι τὸ «ἀναιδείην ἐπιειμένε» ἤγουν ἐνδεδυμένε, τὸ πρὸ ὀλίγου ῥηθέν, ἐνταῦθα ἐπὶ πλέον αὐξάνων φησίν· «ὦ μέγα ἀναιδές» καὶ «κυνῶπα» ἀπὸ εὐθείας ὁ κυνώπης· οὗ θηλυκὸν ἡ κυνῶπις, ὡς δηλοῦσι καὶ αἱ τῆς τραγῳδίας «κυνώπιδες». παρακατιὼν δὲ διαλύει τὸ σύνθετον καὶ κυνὸς ὄμματα ἔχειν αὐτὸν λέγει. καὶ ὅρα ὅτι καὶ ὁ Ἀχιλλεὺς ταὐτολογεῖ διὰ θυμόν, καθὰ καὶ ὁ βασιλεὺς ἀνωτέρω, καὶ οὐ θέλει μεταβῆναι τῆς ἐπὶ ἀναιδείᾳ κατηγορίας. Σημείωσαι δὲ καὶ ὅπως εἰς πολὺν ἐξελαθεὶς θυμὸν ὁ βασιλεὺς ὅμως οὐδὲν τραχὺ προσεῖπε τὸν Ἀχιλλέα, ἀλλὰ πολλὰ καὶ δεινὰ παρ’ ἐκείνου ἀκούσας αὐτὸς ἐκπαγλότατον μόνον ἐκεῖνον ἠρκέσθη προσειπεῖν συνεννοησάμενός που καὶ αὐτὸς τὸ τοῦ τραγικοῦ, ὡς «αἰσχρὸν λόγοις κολάζειν τὸν δυνάμενον ἔργοις ἀμύνασθαι», μάλιστα δὲ παιδεύων μὴ ἐφιέναι ἄγαν τῇ γλώσσῃ τὸν θυμούμενον. Ὅτι τὸ ἄρνυσθαι παρὰ τοῖς παλαιοῖς κυρίως ἐπὶ τοῦ ἀντικαταλλάσσεσθαι ἔκειτο καὶ εἴρηται περὶ αὐτοῦ ἐντελέστερον ἐν τῷ ἄλφα τῆς Ὀδυσσείας. νῦν δὲ ἐν τῷ «τιμὴν ἀρνύμενοι σοί τε καὶ τῷ Μενελάῳ πρὸς Τρώων» τιμὴν τὴν τιμωρίαν φασὶν οἱ παλαιοὶ φιλοσοφώτερον. ὡς γὰρ ὁ ἀδικηθεὶς χρήματα πολλάκις πρὸς τοῦ ἀδικήσαντος ἄρνυται καὶ ζημίαν οὕτω τῆς εἰς αὐτὸν ἀδικίας ἀντικαταλλάσσεται ἢ τυχὸν καὶ κόλασιν ἀντιλαμβάνει τῆς ὕβρεως ἐκ τοῦ ὑβρίσαντος, οὕτω καὶ οἱ Ἕλληνες πολιορκοῦντες τὴν Τροίαν τιμωρίαν ταύτην τοῖς βασιλεῦσιν ἀντικαταλάσσονται τῆς ὑπὸ Τρώων πεπλημμελημένης εἰς τὴν Ἑλένην ἁρπαγῆς. Τὸ δὲ εἰπεῖν ὅτι «τιμήν» ἤγουν ἀγαθὸν κλέος «ἐκ Τρώων ἀρνύμενοι σοί τε καὶ τῷ Μενελάῳ», φαῦλον μέντοι προφανὲς οὐκ ἔχει, —ἔφη γὰρ καὶ ὅτι πολεμοῦμεν, ὄφρα σὺ χαίρῃς—οὐκ ἀρέσκει δὲ τοῖς παλαιοῖς. βούλονται γὰρ τοὺς Ἕλληνας πρὸς Τρώων τιμωρίαν καὶ δίκην ἤγουν ἐκδίκησιν εἰσπράττεσθαι καί, ὡς Ὅμηρος ἐρεῖ, ποινὴν οὐ μὴν δόξαν.

1.114 τοῦτο γὰρ παρέλκον δοκεῖ ὡς οἷα παρακολούθημα τῆς ποινῆς. καίτοι οὐ κακῶς ἔχει καὶ ἐπὶ κλέους ἐνδόξου νοηθῆναι τὴν τιμήν, ὡς ἐν τοῖς ἑξῆς φαίνεται. καὶ γὰρ ὁ βασιλεὺς ἐρεῖ μετ’ ὀλίγα, ὅτι «πάρεισι καὶ ἄλλοι, οἵ κέ με τιμήσουσιν», ὥστε οὐδὲν φαῦλον νοῆσαι, ὅτι Ἀχιλλεὺς μὲν τοιαύτην εἶπε τιμὴν τῷ βασιλεῖ ἄρνυσθαι, αὐτὸς δὲ ἄλλως λέγει ἔχειν τὸ τιμᾶσθαι καὶ ἄλλοθεν. Σκοπητέον δὲ εἴπερ τὸ τιμωρεῖν ἤτοι βοηθεῖν ἐκ τοῦ «τιμὴν ἀρνύμενοι» ἐπινενόηται συντεθῆναι. ἔστι γὰρ τιμωρεῖν τὸ τιμὴν αἴρειν ποθὲν ὑπέρ τινος ἢ ἀείρειν, ὅθεν καὶ ὁ τιμάορος, ὅ ἐστι τιμωρός. ἐκ δὲ τοῦ ἄρνυσθαι καὶ τὸ μισθαρνεῖν, τὸ μισθὸν δηλαδὴ ἄρνυσθαι. [Ὅτι Ὅμηρος μὲν εἰπών «Μενελάῳ σοί τε, κυνῶπα», εὐθεῖαν οἶδε τὴν ὁ κυνώπης, ὡς καὶ προείρηται. ὁ μέντοι εἰπὼν τραγικός «κελαινῶπα θυμόν» τὴν βαθεῖαν ψυχὴν ἑτεροίαν οἶδεν εὐθεῖαν καὶ οὐδὲ βαρύτονον κατὰ τὸ Κύκλωψ, ἀλλὰ ὀξύτονον. (v. 160) Ὅτι ὅπερ ἐν Ὀδυσσείᾳ εἶπεν ἐντρέπεσθαι ἤγουν ἐπιστρέφεσθαι, τοῦτο ἐνταῦθα μετατρέπεσθαι λέγει, οὗ ἑρμηνεία ποιητικὴ τὸ ἀλεγίζειν, οἷον «τῶν» ἤγουν ὧν «οὔ τι μετατρέπῃ οὐδ’ ἀλεγίζεις», ὅ ἐστι λόγον ἔχεις. παράγωγον δὲ τὸ ἀλεγίζειν ἐκ τοῦ ἀλέγειν.] Ὅτι πολύνους καὶ πυκνὴ καὶ γοργὴ ἡ τοῦ Ἀχιλλέως ἐνταῦθα δημηγορία, ἔχει δέ τι καὶ καταφορικόν. δυσχεραίνει μὲν γὰρ ἐπὶ τῇ βασιλικῇ ἀπειλῇ, λέγει δὲ καὶ χάριτας αὐτῷ ἐποφείλεσθαι, εἴγε μὴ διὰ τοὺς Τρῶας ὡς βλάψαντας, ἀλλὰ διὰ τοὺς Ἀτρείδας ὡς ἀδικηθέντας ὑπὸ Τρώων ἦλθεν εἰς Τροίαν. βαρὺ δὲ ἡγεῖται καὶ ὅτι ἀφαιρεῖται ἀπ’ αὐτοῦ ὁ βασιλεύς, ὃ μὴ δέδωκεν αὐτὸς ἀλλ’ οἱ Ἀχαιοί. φησὶ δὲ καὶ ὅτι οὔτε μὴ πονοῦντι αὐτῷ ἐδόθη τὸ γέρας, καθὰ καὶ τῷ Ἀγαμέμνονι, ἀλλὰ πολλὰ μογήσαντι καὶ ὅτι οὐδέποτε ἶσον αὐτῷ ἔχει γέρας. «ἀλλὰ τὸ μὲν πλεῖον», φησί, «τοῦ πολέμου χεῖρες ἐμαὶ διέπουσιν· ἢν δέ ποτε δασμὸς ἵκηται, σοὶ τὸ γέρας πολὺ μεῖζον, ἐγὼ δ’ ὀλίγον τε φίλον τε ἔρχομ’ ἔχων». οἰκεῖα δὲ ταῦτα λέγεσθαι παρὰ τῶν φιλοπονούντων μὲν ἐν αὐταρκείᾳ δὲ ζώντων πρὸς τοὺς πλεονεκτεῖν θέλοντας. Ἰστέον δὲ ὅτι λείας ἐπισυναχθείσης πολλῆς ἐμερίζοντο ἐπίσης τὰ λάφυρα διά τινος λαχμοῦ· ἐδίδοντο δὲ ἰδίᾳ τοῖς βασιλεῦσι καὶ ἀριστεῦσι κατ’ ἐξαίρετον ἀπόμοιραί τινες, αἳ δὴ καὶ γέρας ἐλέγοντο. λέγει οὖν Ἡρόδοτος καὶ ἐν Σπάρτῃ τοῖς βασιλεῦσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶναι γέρα ἕτερά τέ τινα καὶ τὸ διπλήσια νέμειν αὐτοῖς τὰ πάντα. τῷ μέντοι βασιλεῖ ἐκ τῆς λείας καί τι πλέον ἢ τὸ γέρας προσεπεδίδοτο, καθὰ τινές φασι τῶν παλαιῶν, ἵνα ἔχοι δαπανᾶν αὐτὸ καὶ μὴ τρύχεσθαι ἀναλῶν τὰ οἰκεῖα εἰς τὰ κατὰ καιρὸν τῶν ἀριστέων συμπόσια εἰωθότα γίνεσθαι, ὡς ἐν πολλοῖς τῶν Ὁμήρου φαίνεται. καὶ ταῦτά εἰσιν, ἐφ' οἷς πλεονεξίαν καὶ κερδαλεότητα τοῦ βασιλέως ὁ Ἀχιλλεὺς κατηγορεῖ, ὡς δῆθεν νοσφιζομένου πολλὰ ἐξ ἐκείνων καὶ ὡς εἰπεῖν δημοβόρου, ὅπερ μετ' ὀλίγα ἐρεῖ. [ἐν τούτοις δὲ πρὸς ὁμοιότητα τοῦ τριχάϊξ τριχάϊκος κεῖται τὸ «πολυάϊκος πολέμοιο» διὰ τὰς ἐν αὐτῷ πολλὰς ὁρμὰς καὶ μετατροπάς, ὧν ἕνεκα καὶ Ἄρης ἀλλοπρόσαλλος ῥηθήσεται ἐν τοῖς ἑξῆς.

1.115 ] (v. 166) Ὅτι ὁ ἀταρ καὶ ὁ αὐταρ οἱ σύνδεσμοι ἀδιάφοροι πάντη εἰσὶ πρός τε ἀλλήλους καὶ πρὸς τὸν δε σύνδεσμον. διαφέρουσι δὲ ἀμφότεροι τοῦ δε συνδέσμου, ὅτι αὐτοὶ μὲν ποιητικώτεροί εἰσιν, ἐκεῖνος δὲ κοινός· καὶ αὐτοὶ μὲν ἀεὶ προτάσσονται τῶν τοῦ λόγου συντάξεων, ἐκεῖνος δὲ ἀεὶ ὑποτάσσεται. τὸ δ' ὅμοιον προείρηται καὶ περὶ τοῦ ἠτοι καὶ μεν . δῆλον δὲ ὅτι καὶ ὁ και σύνδεσμος καὶ ὁ τε , εἰ μὴ παραπληρωματικῶς ἁπλῶς οὕτω τίθενται, ἰσοδυνάμως ἔχουσι. διαφέρουσι δὲ ὅτι ὁ καί μὲν προκατάρχει τῶν λέξεων, οἷον «καὶ ἐγώ, καὶ σύ», ὥσπερ καὶ «αὐτὰρ ἐγώ, ἀτὰρ σύ». ὁ δὲ τέ ὑποπίπτει, οἷον «ἐγώ τε, σύ τε», ὡς καὶ τὸ «ἐγὼ δέ, σὺ δέ». τὸν δὲ τόνον τοῦ ἀτάρ καὶ αὐτάρ παρασημειοῦνται οἱ παλαιοὶ ὡς μὴ ἀναλόγως ἔχοντα, λέγοντες ὅτι αἱ εἰς ρ λήγουσαι βραχυκατάληκτοι λέξεις βαρύνονται, κἂν ἄλλοθέν ποθεν εἰς ὀξὺν τόνον βιάζωνται· οἷον, πάτερ, μῆτερ, σῶτερ, θύγατερ, ἦμαρ, ὕπαρ, ἧπαρ, φρέαρ, χωρὶς τῆς ὑπερ προθέσεως διὰ τὸ τὰς προθέσεις φιλοξυτόνους εἶναι καὶ χωρὶς τοῦ ἀτάρ καὶ αὐτάρ· ἐπεὶ καὶ οἱ συμπλεκτικοὶ σύνδεσμοι φιλοῦσιν ὀξύνεσθαι. προϋπάρχων δὲ ὁ ἀτάρ γεννᾷ τὸν αὐτάρ Αἰολικῇ ἐπενθέσει τοῦ υ . [Δῆλον δὲ ὅτι τῷ ἀτάρ καὶ αὐτάρ καὶ δέ ἰσοδυναμεῖ ἐν πολλοῖς καὶ ὁ μέν σύνδεσμος, οἷον «ἐγὼ μὲν εἶπον, σὺ μέντοι οὐκ ἤκουσας». ὁμοίως δὲ καὶ ὁ ἀλλά· ὁποῖα ἦν πρὸ ὀλίγων τὸ «ἀλλ' οὐκ Ἀτρείδῃ ἥνδανεν, ἀλλὰ κακῶς ἀφίει». ἐκεῖ γὰρ οἱ ἀλλά σύνδεσμοι ἀντὶ τοῦ δέ κεῖνται, ποιοῦντες καὶ σχῆμα ἐπαναφορικὸν διὰ τὸ κεῖσθαι ἐν στίχων ἀρχαῖς.] (v. 168) Ὅτι οἱ Ἴωνες τὰς μὲν χρονικὰς αὐξήσεις τῶν παρῳχημένων κατασπῶσι συνάρχεσθαι τοῖς ἐνεστῶσι ποιοῦντες αὐτούς, ὡς προείρηται. οἷον ἀγαπῶ ἀγάπων, ὀρύσσω ὄρυσσον. ὡσαύτως καὶ τὰς διὰ τοῦ ε αὐξήσεις καθελόντες τὴν αὐτὴν ἀρχὴν περιποιοῦνται τοῖς ἐνεστῶσι καὶ τοῖς παρῳχημένοις, τοῦ τύπτω τὸν παρατατικὸν τύπτον λέγοντες καὶ τὸν ἀόριστον τύψα. αὔξησιν μέντοι διὰ διπλασιασμοῦ γενομένην οὐδέποτε καταβάλλουσιν. οὐ γὰρ ἂν τὸ τέτυφα τύφα ἐροῦσιν οὐδὲ τὸ πεποίηκα ποίηκα. χαίρουσι γὰρ τοῖς ἀναδιπλασιασμοῖς ὅτι μάλιστα καὶ διὰ τοῦτο οὐ μόνον ἐν ταῖς αὐξήσεσιν ἐῶσι κατὰ χώραν μένειν αὐτούς, ἀλλὰ καὶ ῥήμασί τισι καὶ μετοχαῖς προστιθέασιν, ὡς δοκεῖν ἐν αὐξήσει τὰ τοιαῦτα εἶναι· ὁποῖά εἰσιν ἄλλα τε καὶ τὸ λελαχών καὶ τὸ λελαβών· ἀλλὰ καὶ τὸ «τετύκοντο δαῖτα» καὶ «ἐκλελάθοιντο γάμοιο», ἐν οἷς ἀπέρριψαν μὲν τὸ ε τῆς αὐξήσεως τοῦ ἐτύκοντο καὶ ἐλάθοντο, προσέθεντο δὲ τὸν τοῦ τε καὶ λε διπλασιασμόν.

1.116 τοιοῦτόν φασι καὶ ἐνταῦθά τινες εἶναι τὸ «ἐπὴν κεκάμω πολεμίζων». ὥστε καὶ ἐν τῷ «δέχθαι ἄποινα» οὐ νοητέον, ὅτι ἀφαίρεσις γέγονε τῆς τοῦ δεδέχθαι αὐξήσεως Ἰωνικῶς, ἀλλὰ μᾶλλον Αἰολικὴ συγκοπή. [Ἰστέον δὲ ὅτι οὐ πάντες ἀρέσκονται γράφειν κεκάμω, ἀλλ' οἱ πλείους τὸ κε συνδετικὸν ἔχοντές φασιν «ἐπήν κε» ἤγουν ἐπειδάν «κάμω». Τοῦ δὲ πολεμίζειν πρωτότυπον τὸ πολεμεῖν, ὡς καὶ ἀλλαχοῦ ῥηθήσεται.] (v. 169) Ὅτι φέρτερον πρᾶγμα λέγει ὁ ποιητὴς τὸ παρ' ἡμῖν προφερέστερον καὶ κρεῖττον καὶ διαφέρον ἢ ὑπερφέρον τῶν ἄλλων, οἷον «ἐπειῆ πολὺ φέρτερον», φέρτατον δὲ τὸ ὑπερφερέστατον. οὕτω δὲ καὶ τὸ πολὺ φέρτερον διὰ τὴν προσθήκην τοῦ πολὺ ταὐτόν ἐστι τῷ φέρτατον. ἐνταῦθα δὲ περισπῶντες οἱ παλαιοὶ τὸ «ἐπειῆ» φασίν, ὅτι τὸ η ὑποτασσόμενον τῷ ἐπει περισπᾶται, μετὰ δὲ τοῦ τι ἐγκλίνεται· οἷον «τίη δὲ σύ;» (v. 170) Ὅτι ἀπὸ τοῦ ζῴου τῆς κορώνης εὐλύγιστον ἐχούσης τὸν τράχηλον ἡ τῶν θυρῶν κορώνη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μετήνεκται, ὥσπερ καὶ ἀπὸ τοῦ κόρακος ὁ κόραξ δηλαδὴ τὸ κοράκιον. ἀπὸ δὲ τῆς τῶν θυρῶν ταύτης κορώνης διὰ τὸ ἐπικαμπὲς τοῦ ὀργάνου, ἴσως δὲ καὶ ἀπὸ τοῦ ζῴου, καὶ κορωνίδες λέγονται νῆες, οὐ μόνον ὡς κατὰ τὴν κορώνην μέλαιναι, ἀλλὰ καὶ ὡς τὰ ἄφλαστα τὰ κατὰ πρῷραν καὶ πρύμναν, οἷα ἐν λυγισμῷ, ἐπικαμπτόμενα ἔχουσαι. αἱ δὲ τοιαῦται κορῶναι καὶ τὴν κορώνην παρήγαγον, εἰς ἣν ἐντίθεται ἡ νευρά, ἄκραν οὖσαν τοῦ τόξου. ὅθεν καὶ τὸ ἀγαθὸν τέλος τῶν πράξεων «χρυσῆν κορώνην» ἡ παροιμία καλεῖ, ὡς ὅτε τις εἴπῃ «χρυσέαν ἐπιτεθῆναι κορωνίδα ταῖς πράξεσιν ἢ τοῖς λόγοις» ἤτοι συμπέρασμα καὶ τέλος ἀπὸ τῆς τοιαύτης τοῦ τόξου κορώνης τὴν μεταφορὰν λαβοῦσαν ἢ τυχὸν καὶ ἀπὸ τῆς τῶν νηῶν κορωνίδος ἢ καὶ ἀπὸ τῆς τὰς θύρας συγκλειούσης κορώνης, [Ἰστέον δὲ ὡς, εἴπερ νῆες κορωνίδες αἱ μέλαιναι λέγονται, πρὸς διαστολὴν οὕτω καλοῦνται τῶν μιλτοπαρήων, ἃς ἡ Βοιωτία δηλοῖ. κοῖλαι μέντοι οὐ διασταλτικῶς ὀνομάζονται.] (v. 171) Ὅτι κατὰ τοὺς παλαιοὺς ἄφενος μὲν ὁ δι' ὀλίγου συναγόμενος, πλοῦτος δὲ ὁ διὰ πολλῶν ἐτῶν οἱονεὶ πολλοέτός τις ὤν.

1.117 γίνεται δὲ ἄφενος, ὡς τοῖς πλείοσι δοκεῖ, ἀπὸ τοῦ ἕνου, ὅ ἐστι χρόνου, ὅς, εἰ καὶ παρ' ἡμῖν ψιλοῦται, ἀλλὰ παρὰ τοῖς παλαιοῖς Ἀττικῶς δασύνεσθαι λέγεται. [Τοῦτο δὲ ἢ παρὰ τὸ ἕω, τὸ πληρῶ ἤτοι τελειῶ, ἐξ οὗ καὶ ὁ ὅλος· τελεσφόρος γὰρ κατὰ τοὺς παλαιοὺς ὁ ἐνιαυτός· ἢ παρὰ τὴν ἕνωσιν τῶν τεσσάρων ὡρῶν καὶ τῶν κατ' αὐτὰς ἔργων· ἢ καὶ ἄλλως παρὰ τὸ εἷς ἑνός, ἵνα κατὰ τὴν ἕνην καὶ αὐτὸς εἴη βοῦς μόσχος μονόκερως· βοῦς μὲν διὰ τὸ κατὰ βόας ἐργατικὸν τῆς γενέσεως· μόσχος δὲ διὰ τὸ ἀεὶ νεάζειν ἐφ' οἷς ποιεῖ· μονόκερως δὲ διὰ τὸ μοναδικὸν καὶ ἀνεπικοινώνητον κατ' ἐνέργειαν τοῖς μερικοῖς καιροῖς. ἔτι ἰστέον καὶ ὡς] διφορεῖται ἄφενος κατὰ τὸ γένος. καὶ Ὅμηρος μὲν οὐδετέρως προάγει αὐτὸ λέγων «ἄφενος καὶ πλοῦτον ἀφύξειν». εὕρηται δὲ παρά τισι καὶ ἀρσενικῶς ὁ ἄφενος. οὕτω καὶ ὄσσος ἐπὶ ὀφθαλμοῦ διφόρησιν ἔχει, ὡς προδεδήλωται. κατὰ δὲ Ἡρωδιανὸν καὶ τάριχος ἑκατέρως λέγεται. τὸ τάριχος γὰρ καὶ ὁ τάριχος. φέρει δ' ἐκεῖνος καὶ χρήσεις ἀμφοῖν. Μένανδρος «ἐπέπασα ἐπὶ τὸ τάριχος ἅλας». [Φιλιππίδης «τυροῦ καὶ ταρίχους».] Ἀριστοφάνης «ἐπὶ τῷ ταρίχει τὸν γέλωτα κατέδομαι». ὁ αὐτός «τάριχον τοῦτον πλύνω». δῆλον δὲ ὡς οὕτω καὶ ὁ σκότος φέρεται καὶ τὸ σκότος [καὶ τὸ ὄνειδος καὶ ὁ ὄνειδος καὶ τὸ χρεῖος ἤγουν χρέος καὶ ὁ χρεῖος παρὰ Φίλωνι, ὅθεν ὁ ἀχρεῖος σύγκειται.] Πολλὴ δὲ καὶ ἐν ἄλλοις ἡ διφόρησις, ὡς καὶ ἡ νείκη δηλοῖ καὶ τὸ νεῖκος καὶ ἡ δίψα καὶ τὸ δίψος καὶ ἡ βλάβη καὶ τὸ βλάβος· ἔτι δὲ καὶ ἡ τρίβος καὶ ὁ τρίβος, ὡς Εὐριπίδης γράφει. Ἀφύσσειν δὲ τὸ ἀντλεῖν ἐνταῦθα καὶ δηλοῖ τὴν τοῦ πλουτεῖν δαψίλειαν. ἐν δὲ τοῖς ἑξῆς που ἐπὶ ἐντέρων τὴν λέξιν τίθησιν ὁ ποιητὴς ἐκπεπτωκότων τῆς κοιλίας διὰ πληγήν, οἷον «ἔντερα ἤφυσεν ὁ χαλκός».

1.118 καί φασιν οἱ παλαιοὶ γίνεσθαι αὐτὸ ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ φύω φύσσω ἀφύσσω τὸ τῆς συμφυΐας ἀποστερῶ. [Ἰστέον δὲ ὅτι τε κἀνταῦθα φιλοκτεανώτατον τὸν βασιλέα εἶναι ὁ Ἀχιλλεὺς ὑποδηλοῖ. τοιοῦτον γὰρ τὸ ἐθέλειν οὐχ' ἁπλῶς κτᾶσθαι, ἀλλὰ οἷον ἀντλεῖν πλοῦτον· καὶ ὅτι ἀπελθεῖν οἴκαδε ὁ ἥρως ἐθέλει ὡς ἐνθάδε, φησίν, ἄτιμος ἐών. φιλοτιμότατος ἄρα ἐστί· καὶ ὅτι ταὐτὸν τὸ ἄτιμος τῷ ἀγέραστος, ὅπερ εἶπεν ὁ βασιλεύς· καὶ ὅτι τὸν ἄτιμον ἀτίμητόν που ἐρεῖ.] (v. 173) Ὅτι Ἀχιλλέως εἰπόντος «ἄπειμι Φθίηνδε», ὁ Ἀγαμέμνων ἀστείως ἀντιλέγων φησί· «φεῦγε μάλα, εἴ τοι θυμὸς ἐπέσσυται, οὐδέ ς' ἔγωγε λίσσομαι εἵνεκ' ἐμεῖο μένειν», μυκτηρίζων τε ὡς οὐδὲν χρήσιμον ὄντα καὶ τὴν παρ' ἐκείνου λεγομένην ἀπέλευσιν φυγὴν οἷον εὐσχήμονα ὀνομάζων ὡς δειλανδρήσαντος. τὸν δὲ τοιοῦτον λόγον τοῦ Ὁμήρου οἰκεῖόν ἐστι πρὸς πάντα εἰπεῖν τὸν ἐκφοβεῖν θέλοντά τινας ὡς κακόν τι πεισομένους διὰ τῆς αὐτοῦ ὑποχωρήσεως. Τὸ δέ «εἵνεκα ἐμεῖο» οὐκ ἀργῶς κεῖται, ἀλλ' ἐπεὶ φθάσας ὁ Ἀχιλλεὺς εἶπεν, ὡς οὐ διὰ τοὺς Τρῶας ἦλθε πολεμήσων, ἀλλὰ διὰ τοὺς Ἀτρεΐδας. ἐπειδὴ δὲ ὁ αὐτὸς καὶ ἀπεσέμνυνε τοὺς Ἕλληνας ἔν τε τῷ «ἔδοσαν δέ μοι υἷες Ἀχαιῶν» καὶ ἐν τῷ «ὁππότε Ἀχαιοὶ Τρώων ἐκπέρσωσι πτολίεθρον», ἀντιδημαγωγεῖ καὶ ὁ βασιλεὺς ἐνταῦθα τὸν ὄχλον λέγων «πάρ' ἔμοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γε καὶ ἄλλοι, οἵ με τιμήσουσιν». εἶτα, ἐπεὶ οὐ πάνυ ἔνδοξον τὸ τὸν βασιλέα τῷ δήμῳ χαρίζεσθαι, ἐπήγαγεν ἐνδοξότερον τὸ «μάλιστα δὲ μητίετα Ζεύς». Ὅτι δὲ καὶ τὸ ἑαυτοῦ φιλοπόλεμον ὁ Ἀχιλλεὺς ηὔξησεν ὡς φιλίαν διὰ τοῦτο ἀπαιτεῖν, καταρριπτεῖ καὶ τοῦτο ὁ βασιλεὺς μισεῖν αὐτὸν μάλιστα εἰπὼν ὡς φίλεριν καὶ φιλοπόλεμον, καθὰ καὶ κατωτέρω ῥηθήσεται. καὶ οὕτω πρὸς τὴν τοῦ Ἀχιλλέως δημηγορίαν ὁ βασιλεὺς ἀντειπεῖν προθέμενος, ὅμως πρὸς τὸ ἀνδρεῖον ἐκεῖνον εἶναι καὶ αὐτὸν μὲν τὸ πλεῖον τοῦ πολέμου χερσὶ διέπειν, ἀρκεῖσθαι δὲ ὀλίγα λαμβάνοντα, οὐκ ἀντεῖπε διδάσκοντος τοῦ ποιητοῦ καὶ ἐνταῦθα μὴ δεῖν ἀπαναισχυντεῖν πρὸς φανερὰν ἀλήθειαν. (v. 174) Ὅτι ὥσπερ ἡ ἐπι πρόθεσις ἔστιν ὅτε μόνη αὐτὴ καθ’ αὑτὴν τίθεται ἀντὶ ῥήματος τοῦ ἔπεστιν, οἷον «οὔ τοι ἔπι δέος» ἀντὶ τοῦ οὐκ ἔπεστί σοι φόβος, ὡσαύτως καὶ ἡ μετα πρόθεσις τὸν τόνον ἀναβιβάσασα λέγεται ἀντὶ τοῦ μέτεστιν, ὡς καὶ Εὐριπίδης δηλοῖ· οὕτω καὶ τὸ πάρα. τοῦτο δὲ καὶ ἀντὶ ἑνικοῦ λαμβάνεται ῥήματος τοῦ πάρεστι καὶ ἀντὶ πληθυντικοῦ, οἷον «πάρ’ ἔμοι γε καὶ ἄλλοι». ὁμοίως καὶ τὸ ἔνι, ὅπερ ἐστὶν ἡ ἐν πρόθεσις μετὰ ἐπεκτάσεως. καὶ αὐτὸ γὰρ ποτὲ μὲν ἀντὶ τοῦ ἔνεστιν ἤγουν ἐνυπάρχει νοεῖται, ποτὲ δὲ ἀντὶ τοῦ ἔνεισιν, ὡς τὸ «ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ’ ἠβαιαί».

1.119 τοῦτο δὲ τὸ σχῆμα οἱ παλαιοὶ μετατύπωσιν καλοῦσι λέγοντες ὅτι ἐκ συνθήκης ἁπλοῦν γέγονεν ἤγουν μετετυπώθη ἀπὸ συνθέτου λέξεως εἰς ἁπλῆν. καὶ καινὸν οὐδέν, ἐὰν αἱ προθέσεις αὗται ὑπαρκτικοῦ ῥήματος λείποντος λαμβάνωνται ἀντ’ αὐτοῦ. ἐν πολλοῖς γὰρ ἡ τῶν ὑπαρκτικῶν ῥημάτων ἐλλέλειπται σύνταξις. ἐκεῖνο δὲ καινότερον, ἐὰν ἡ ἀνὰ πρόθεσις ἀναβιβασθέντος τοῦ τόνου λαμβάνηται ἀντὶ ῥήματος τοῦ ἀνάστηθι, ὡς τὸ «ἀλλ’ ἄνα ἐξ ἑδράνων». ἔτι δὲ καινὸν καὶ ἐὰν ἡ ἀντὶ πρόθεσις αὐτὴ καθ’ ἑαυτὴν ποιῇ καὶ ῥῆμα τὸ ἀντιάαν ἤγουν ἀντικρὺ γίνεσθαι, ὥσπερ καὶ τὸ ἀντιόων, [ὅτι δὲ καὶ ὄνομα τὸ ἀντίος, ὅθεν καὶ ὁ ἐναντίος καὶ τὸ ἐναντιῶ ῥῆμα. οὕτω δὲ καὶ ἐκ τῆς περὶ προθέσεως ὁ Πέριμος, κύριον, φανεῖται γενόμενος καὶ ἐκ τῆς ἀμφὶ ὁ Ἄμφιος καὶ τῆς ὑπὸ Ὕπιος, ποταμὸς Παφλαγονικός. οὐ μὴν ἀναντιρρήτως καὶ ἐκ τῆς ἀνὰ ὁ Ἄνιος. ἐκεῖνος γὰρ ἐκ τῆς ἀνίας παρῆκται κατά τινας.] Σημειοῦνται δὲ οἱ παλαιοί, ὅτι, ὥσπερ προθέσεις τινὲς ἀντὶ ῥημάτων λειπόντων λαμβάνονται, οὕτω κατά τινα ἀνταπόδοσιν καὶ ῥήματα δεόμενα προθέσεων ἐκφωνοῦνται μὲν δίχα ἐκείνων, ἑρμηνεύονται δὲ σὺν ἐκείνοις, ὡς τὸ «εἶμι Φθίηνδε» ἀντὶ τοῦ «ἄπειμι εἰς τὴν Φθίαν» καὶ «ἴθι, μή μ’ ἐρέθιζε» ἀντὶ τοῦ «ἄπιθι». τὸ δὲ ἀνάπαλιν λέξεις μετὰ προθέσεων οὖσαι περισσὰς ἔχουσιν αὐτάς· ὡς τὸ «ἀπ’ οὐρανόθεν» καὶ ἕτερα φανησόμενα πολλαχοῦ. (v. 175) Ὅτι καινός τίς ἐστι μεταπλασμὸς ὁ τῶν εὐθειῶν τῶν εἰς ης ἀρσενικῶν ὀνομάτων, ὅτε εἰς α μεταπλασθῶσι κατὰ τὴν λήγουσαν, οἷον ὅτε ὁ τοξότης τοξότα λέγεται καὶ ὁ ἱππότης ἱππότα καὶ ὁ αἰχμητὴς αἰχμητὰ καὶ ὁ κυανοχαίτης «κυανοχαῖτα Ποσειδάων» διὰ συνεσταλμένου τοῦ ἄλφα. καὶ ὁ ἠπύτης «ἠπύτα κῆρυξ» ἤγουν φωνητικὸς παρὰ τὸ ἠπύω, τὸ φωνῶ. οἱ μὲν γὰρ μεταπλασμοί, ὡς προεγράφη, ἀπὸ τελικοῦ γίνονται εἰς ὁμοιόπτωτον τελικόν, οἷον τὸ ἀλκῇ ἀπὸ τοῦ η εἰς ι μετεπλάσθη ἐν τῷ «ἀλκὶ πεποιθώς», ἅπερ εἰσὶ καὶ ἀμφότερα τελικὰ δοτικῆς. ὡσαύτως καὶ τὸ ὄσσω δυϊκόν, ὃ δηλοῖ τοὺς ὀφθαλμούς, μεταπλασθὲν ἐν τῷ ὄσσε εἰς συγγενὲς μετέπεσε τελικόν. καὶ γὰρ καὶ τὸ μεταπλασθὲν ω καὶ τὸ ε , εἰς ὃ μεταπέπλασται, τελικά εἰσι τῶν δυϊκῶν. ὁμοίως ἔπαθε καὶ τὸ ἐρυσάρματοι ἵπποι ἐν τῷ ἐρυσάρματες. καὶ ἡ οι γὰρ δίφθογγος καὶ ἡ ες δὲ συλλαβὴ εὐθείας πληθυντικῆς εἰσι τελικά. τὸ μέντοι ἱππότης ἱππότα καὶ τὰ ὅμοια ἀπὸ τῶν εἰς ης εὐθειῶν εἰς α μεταπεσόντα μεταπλασμὸν παράδοξον ἔπαθον.

1.120 καὶ ἴσως οὐδὲ μεταπλασμὸν τὸ τοιοῦτον κλητέον. τὸ γὰρ α τοῦτο οὐκ εὐθείας ἑνικῆς ἀρσενικῆς ἐστι τελικὸν παρ’ ἡμῖν, ἀλλὰ κλητικῆς τῆς ὦ ἱππότα καὶ ὦ τοξότα. ἔστι δὲ κατὰ τοὺς παλαιοὺς Βοιωτῶν καὶ Αἰολέων ὁ τοιοῦτος τύπος τοῦ σχηματισμοῦ. διὸ καί τινα ἐκ τῶν τοιούτων προπαροξύνονται, ὡς ἐνταῦθα τὸ «μητίετα Ζεύς» ἐκ τοῦ μητιέτης γενόμενον, ὃ δηλοῖ τὸν βουλευτικόν· μῆτις γὰρ ἡ βουλή· καὶ ἐκ τοῦ ἀκακήτης τὸ ἀκάκητα, ὁ εἰρηνικὸς καὶ μὴ

κακοποιῶν. προπαροξυντικοὶ γάρ εἰσιν οἱ Αἰολεῖς ἐν πολλοῖς, ὡς δηλοῖ καὶ τὸ δύνατος παρ' αὐτοῖς προπαροξυνόμενον καὶ ἄλλα μυρία. σημείωσαι δὲ ὅτι ὁ μητίετα Ζεὺς καὶ μητιόεις λέγεται, ὃν ἑρμηνεύει Θεόκριτος ἐν τῷ «Διὸς μέγα βουλεύοντος». (v. 176) Ὅτι ἔχθιστον διοτρεφέων βασιλέων ἑαυτῷ τὸν Ἀχιλλέα ὁ Ἀγαμέμνων λέγει ῥητορικώτατα περιτρέπων τὸ τοῦ Ἀχιλλέως ἐγκώμιον εἰς ψόγον αὐτοῦ. ὁ μὲν γὰρ ὡς πολεμικὸν ἀνωτέρω συνέστησεν ἑαυτόν, ὁ δὲ ἔχθιστον αὐτὸν καλεῖ ἐξ αὐτοῦ τούτου ὁρμηθείς· «αἰεὶ γάρ τοι», φησίν, «ἔρις τε φίλη πόλεμοί τε μάχαι τε», οὐ ψέγων πάντως ὡς πολεμικόν—χρὴ γὰρ τοιοῦτον εἶναι—ἀλλ' ὡς φιλοπόλεμον καὶ ὡς φίλεριν καὶ μὴ καιρὸν εἰδότα μάχης, αἰεὶ δὲ τοιούτοις χαίροντα. ἢ καὶ ὡς ἐπὶ Κάλχαντος, οὕτω δὲ καὶ ἐνταῦθα τὸ τοῦ Ἀχιλλέως πλεονέκτημα εἰς ὄνειδος μεθιστῶν. οὕτω γὰρ δεινὸς περιτρέπειν ὁ ποιητὴς τὰ νοήματα. Διοτρεφεῖς δὲ τοὺς βασιλεῖς λέγει ὃν τρόπον καὶ διογενεῖς, ὡς τοῦ ἀστρολογουμένου Διὸς συμβαλλομένου τι εἰς αὐτοὺς κατὰ τοὺς ταῦτα δοξάζειν στέργοντας. διὸ καὶ Ἡσίοδος λέγει ὡς «ἐκ μὲν Μουσῶν καὶ Ἀπόλλωνος ἀοιδοὶ καὶ κιθαρισταί, ἐκ δὲ Διὸς βασιλῆες». ἰστέον δὲ ὅτι τὸ μὲν διοτρεφής συστέλλει τὴν ἄρχουσαν ὡς ἀπὸ τῆς Διὸς γενικῆς, τὸ δὲ διογενής ἐκτείνει αὐτὴν ἀπὸ τοῦ δῖος ὁ ἔνδοξος. διογενὴς μὲν γὰρ ὁ δῖος τὸ γένος, διοτρεφὴς δὲ ὁ τραφεὶς ὑπὸ τοῦ Διός. [Δῆλον δὲ ὡς οὐ μόνον ἐκ τῆς Διὸς γενικῆς αἱ συνθέσεις γίνονται, ἀλλὰ καὶ ἀπὸ δοτικῆς, οἷον διϊπετὴς ποταμός· Διΐφιλος, ἐξ οὗ κατὰ κρᾶσιν Δίφιλος κύριον ὄνομα· Διϊτρέφης κύριον· διϊπετὲς Παλλάδιον.] (v. 177) Τὸ δέ «πόλεμοί τε μάχαι τε» ἢ ἐκ παραλλήλου δηλοῖ τὸ αὐτὸ ἢ καὶ διαφορά τις ἔστι ταῖς λέξεσιν, εἴγε μάχεται μέν τις καὶ λόγοις, ὡς καὶ ἡ λογομαχία δηλοῖ· καὶ αὐτὸς δὲ ὁ ποιητὴς μετ' ὀλίγα φησί «μαχεσαμένω ἐπέεσσι», πολεμεῖν δὲ λόγοις οὐ λέγεται. καὶ ἄλλως δὲ μάχη μὲν αὐτὴ ἡ τῶν ἀνδρῶν συνεισβολὴ παρὰ τὸ αἷμα χέειν, ὁ δὲ πόλεμος καὶ ἐπὶ παρατάξεων καὶ μαχίμου καιροῦ λέγεται. χρήσιμον δὲ ὧδε καὶ τὸ «πολεμίζειν ἠδὲ μάχεσθαι».

1.121 (v. 176) Ἰστέον δὲ καὶ ὅτι τὸ «ἔχθιστος» ἐνταῦθα οὐκ ἔστι κυρίως ὑπερθετικόν, ἀλλὰ ἁπλῶς εἴληπται ἀντὶ τοῦ ἐχθρός, ἵνα μὴ ἀναγκασθείη τις νοῆσαι, ὅτι πάντες μὲν ἐχθροὶ ἦσαν τῷ Ἀγαμέμνονι, ἔχθιστος δὲ ὁ Ἀχιλλεύς. ἄλλως μέντοι εἰπεῖν καὶ ψεύδεται νῦν θυμούμενος ὁ βασιλεύς, ὥσπερ καὶ μετ' ὀλίγα εἰς τὸ αὐτὸς ἐλθεῖν εἰς τὴν σκηνὴν τοῦ Ἀχιλλέως καὶ εἰς τὸ λαβεῖν τὸ τοῦ Αἴαντος ἢ τὸ τοῦ Ὀδυσσέως γέρας. οὕτω δέ πως καὶ Ἀχιλλεὺς ἐψεύδετο κολακεύων τὸν λαόν, ἐν οἷς ἔφη ὅτι «ἔδοσαν δέ μοι γέρας οἱ Ἀχαιοί» καὶ «νῦν δὲ ἄπειμι Φθίηνδε». [Ὡς δὲ πολλὰ ὑπερθετικά, ὥσπερ δὴ καὶ συγκριτικά, εἰς ἁπλότητα λαμβάνονται, μυριαχοῦ φανεῖται· ὧν καὶ τὸ «θεῶν ὀλοώτατος» ἀντὶ τοῦ «ὀλοὸς ἐν θεοῖς» καὶ τὸ «σαώτερος ὥς κε νέηαι» ἤγουν «σῷος ὅπως ἀπέλθῃς».] (v. 178) Ὅτι καταβλητικὸν ὀφρύος μεγαλαύχου τὸ «εἰ μάλα καρτερός ἐσσι, θεός που σοὶ τό γ' ἔδωκεν». εἰ γὰρ οὐδὲ ἐπὶ τοῖς ἐφ' ἡμῖν ἀλαζονεύεσθαι χρή, πολλῷ πλέον ἐπὶ τοῖς μὴ ἐφ' ἡμῖν. Τὸ δέ «ἐσσί» ποιητικὸν μέν ἐστι καὶ εἰς λογογραφίαν οὐ χρήσιμον· παράγεται δὲ οὕτως. ἔστι ῥῆμα ἔω δηλοῦν ὕπαρξιν, ἐξ οὗ κατὰ παραγωγὴν τροπῇ τοῦ τέλους εἰς μι γίνεται ἐμί, τὸ ὑπάρχω, ὃ προσλαβὸν τὸ ι γίνεται εἰμί. ἐκ τούτου τοῦ ἐμί τροπῇ τοῦ μι εἰς ς τῷ λόγῳ τῶν εἰς μι ἐνεστώτων γίνεται τὸ δεύτερον ἔς. καὶ ἐπεὶ οὐδέποτε ῥῆμα μονοσύλλαβον συστέλλεται χωρὶς τοῦ θές, δός, ἕς, ἀνάγκη ἐκταθῆναι τὸ ἔς, ὃ δηλοῖ τὸ ὑπάρχεις, καὶ γενέσθαι μακρὸν φύσει ἢ θέσει. ἀλλὰ φύσει μακρὸν οὐκ ἔστι γενέσθαι. ἢ γὰρ τὸ ε εἰς η τραπήσεται [καὶ συνεμπίπτει τῷ] ἧς ἀντὶ τοῦ ἔφης ἢ τὸ ι προσλήψεται καὶ γενήσεται εἶς. ἀλλὰ τοῦτο προκατελήφθη δεύτερον πρόσωπον εἶναι τοῦ εἰμί καὶ τοῦ εἶμι, ὃ δηλοῖ τὸ ἔρχομαι, ὡς τὸ «τίς πόθεν εἶς ἀνδρῶν». ἀνάγκη οὖν, ἐπεὶ οὐ δύναται φύσει ἐκταθῆναι, γενέσθαι κἂν γοῦν θέσει μακρόν. καὶ τοίνυν διπλασιαζομένου τοῦ ς γίνεται ἔσς. ἐπεὶ δὲ οὐδέποτε λέξις Ἑλληνικὴ εἰς δύο σύμφωνα τὰ αὐτὰ καταλήγει διὰ τὸ δυσεκφώνητον, πλεονάζει τὸ ἰῶτα καὶ γίνεται ἐσσί. καὶ οὕτως ἀναπληροῦται τὸ λεῖπον διὰ τῆς τοῦ ι ἐπεκτάσεως. ἔστι δὲ μονῆρες τὸ ῥῆμα. οὐδὲν γὰρ τῶν δευτέρων προσώπων εἰς ι λήγει. διὸ οὐδὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐφελκυστικόν ποτε τοῦ ν γίνεται ὡς τὸ τίθησι καὶ δίδωσι καὶ τὰ ὅμοια. (v. 180) Ὅτι οἱ κατὰ κλῆσιν ἐθνικὴν Μυρμιδόνες κεκλημένοι, οἱ τῷ Ἀχιλλεῖ ὑποτεταγμένοι, Φθιῶται ἐλέγοντο, περὶ ὧν καὶ ἑξῆς ἐν τῇ Βοιωτίᾳ δηλωθήσεται. κληθῆναι δέ φασι τὴν ἀρχὴν Μυρμιδόνας πρώτους τοὺς περὶ Αἴγιναν—νῆσος δὲ αὕτη πρὸ τῆς Ἀττικῆς—προσαναπλάττοντες μῦθον τοιοῦτον· ὡς ἄρα εἶχε μὲν Αἰακὸς τὴν νῆσον τὴν Αἴγιναν, σπάνις δὲ ἦν τῶν ἀρχομένων δι' ὀλιγανθρωπίαν.

1.122 μικροβασιλείας δὲ οὔσης αὐτῷ τῆς ἀρχῆς δέεται τοῦ πατρὸς Διὸς κἀκεῖνος τοὺς ἐκεῖ μύρμηκας εἰς ἀνθρώπους μεταποιεῖ κἀκεῖθεν εἰς πλῆθος οἱ ἀρχόμενοι ἐπιδεδώκασι τῷ Αἰακῷ καὶ οἱ τοιοῦτοι ἐκ τῆς αὐτῶν πρωτογόνου φύτλης Μυρμιδόνες παρωνομάσθησαν. καὶ τοιαῦτα μὲν οἱ μυθογραφοῦντες, ἐν οἷς καὶ ὁ Λυκόφρων «στρατὸν μύρμων ἑξάπεζον» τοὺς Μυρμιδόνας εἰπών. οἱ δὲ τὸν μῦθον ἱστορικῶς θεραπεύοντες γεωρύχους τοὺς Αἰγινήτας εἶναί φασι κοιλαίνοντας τὴν γῆν δίκην σπηλαίων καὶ ὑπὸ μὲν τὰς καταδύσεις οἰκοῦντας, τὸ δὲ ἀναβαλλόμενον χῶμα εἰς εὔχρηστον καρποῖς γῆν διαπεταννύοντας διὰ τὸ τὴν νῆσον τὰ μὲν ἄνω τραχεῖαν εἶναι, ἀγαθὴν δὲ τὰ ἔνερθεν. διὰ τοῦτο τοίνυν τοὺς ταῦτα ποιοῦντας μύρμηξιν εἰκάζοντες οἱ ἰδόντες διὰ τὸ τῆς διαίτης, ὡς εἰπεῖν, μυρμηκόβιον Μυρμιδόνας ἐπεκάλουν αὐτούς. ἐκεῖθεν δὲ ὕστερον τῷ Αἰακῷ συμμετοικισθέντες τινὲς εἰς Φθίαν συναπήγαγον ἑαυτοῖς καὶ τὴν κλῆσιν καὶ τοὺς μὲν πατριώτας νησιώτας Αἰγινήτας ἀφῆκαν καλεῖσθαι, τοὺς δὲ Φθιώτας ἐξ ἑαυτῶν εἰς Μυρμιδόνας μετέθεντο. καὶ οὕτω μὲν ταῦτα. ἕτεροι δὲ ἀγαθὸν εἶναι τὸν Αἰακὸν ἱστοροῦντες τὰ εἰς τὸ ἄρχειν φασὶν ἀπὸ πολλῆς ὅτι μάλιστα λειπανδρίας τὴν ὑπ' αὐτῷ γῆν εἰς πολυανθρωπίαν ἐπαυξηθῆναι κἀντεῦθεν διαδοθῆναι τὸν μῦθον ὡς ὅτιπερ οἱ κατὰ χώραν μύρμηκες ἄνδρες τῷ Αἰακῷ ἐγένοντο κατ' εὐχήν. εἴωθε δὲ ἡ παροιμία καὶ ἐν ἄλλοις τὸ πολὺ τῆς εὐτυχίας ἀπὸ μυρμήκων λαλεῖν, ὡς καὶ ὅτε μυρμηκιάν φησιν ἀγαθῶν. συντελεῖ δέ τι ἐνταῦθα καὶ Θεόκριτος εἰπών· «μύρμηκες ἀνάριθμοι» ἐπὶ πολυπληθείας λαοῦ. Ὅτι τὸ ἀνάσσειν ὥσπερ καὶ τὸ ἡγεῖσθαι καὶ τὸ ἄρχειν ποτὲ μὲν γενικῇ, ποτὲ δὲ δοτικῇ συντάσσεται, οἷον «Μυρμιδόνεσσιν ἄνασσε» ἀντὶ τοῦ Μυρμιδόνων ἄνασσε. ἐν δὲ τῇ πῖ ῥαψῳδίᾳ «ἄρχε δὲ Μυρμιδόνεσσι» λέγει. οὕτω καὶ Τρώων ἡγεῖταί τις καὶ Τρώεσσιν ἡγεῖται διφορουμένης τῆς τῶν ῥημάτων συντάξεως, ὡς καὶ πρὸ τούτου γέγραπται. (v. 181) Ὅτι κοτέοντα ἐνταῦθα λέγει τὸν νῦν πρώτως θυμοῦσθαι ἀρξάμενον Ἀχιλλέα παραχρώμενος πάντως τῇ λέξει. τὸ γὰρ τοιοῦτον χολοῦσθαι μᾶλλόν ἐστιν. ὁ γὰρ κότος, ὡς προεγράφη, χόλος ἐστὶν ἀποκείμενος. μετ' ὀλίγα μέντοι κυριολεκτῶν «χόλον παύσειε» φησίν. [Ἰστέον δὲ ὅτι τὸ «σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω οὐδ' ὄθομαι κοτέοντος, ἀπειλήσω δέ τοι ὧδε» ἄρχων ἢ ἀρχικὸς ἀνὴρ εἴποι ἂν πρός τινα ταπεινότερον θυμούμενον. ὁ βασιλεὺς δὲ τοῦτό φησι πρὸς Ἀχιλλέα οἱονεὶ λέγων ὡς, εἰ καὶ σὺ ἔφης οὔ τι μετατρέπεσθαί με τῶν Ἀχαιῶν οὐδ' ἀλεγίζειν, ἀλλ' ἐγώ σε περιφρονῶ καὶ εἰς τοσοῦτον, ὥστε καὶ ἀπειλοῦμαι, ὡς ἐμὲ μὲν ἀφαιρεῖται Χρυσηΐδα Φοῖβος, ἐγὼ δὲ ἄγω τὸ σὸν γέρας. τοῦτο δὲ οὐκ ἔνδικον. οὐ γὰρ ἐχρῆν τὸν Ἀχιλλέα ῥυσιάζεσθαι διὰ τὸν Φοῖβον. Ἰστέον δὲ ὅτι τὸ μὲν ὄθομαι, ὅ ἐστιν ἐπιστρέφομαι, μετακινοῦμαι, πρωτότυπόν ἐστι τῆς τε ὀθόνης καὶ τοῦ ἐννοσιγαίου καὶ τοῦ εἰνοσίχθονος καὶ τοῦ εἰνοσιφύλλου ὄρους.

1.123 (v. 184) Τὸ δέ «ἐγὼ ἄγω» ἀντὶ τοῦ ἄξω. ἐκ τούτου δὲ καὶ ἀπαγωγὴ ἡ αἰχμαλωσία καὶ ἀγελεία ἡ ἀπάγουσα λαφυραγωγίαν. περὶ δὲ τούτου καὶ τῆς βασιλικῆς ἀδικίας καὶ μετ' ὀλίγα εἰρήσεται.] Ὅτι τὸ Χρυσηΐς, ὥσπερ καὶ τὸ Βρισηΐς πατρωνυμικῶς ἐρρέθησαν ἀπὸ πατέρων τοῦ τε Χρύσου καὶ τοῦ Βρισέως. φησὶ γοῦν προϊών· «κούρη Βρισῆος». φασὶ γὰρ ὅτι ἐν ἀρχαίαις χωρογραφίαις φέρεται, ὡς Χρύσης καὶ Βρίσης ἀδελφοὶ ἦσαν, παῖδες Ἄρδυος, ὁ μὲν οἰκῶν ἐν Πηδάσῳ ἐπὶ τῷ Σατνιόεντι ποταμῷ, ὁ δὲ Χρύσης ἐν τῇ Χρύσῃ διεχούσῃ τῆς Πηδάσου ἡμέρας ὁδόν. ἦν δέ, φασί, τῷ Χρύσῃ μὲν θυγάτηρ Ἀστυνόμη, τῷ Βρίσῃ δὲ Ἱπποδάμεια. τὰ δὲ Ὁμηρικὰ ὀνόματα ταύταις ἀπὸ πατέρων μετὰ τὴν αἰχμαλωσίαν τεθέντα, ὥς τινες καὶ τοῦτο εἶπον. (v. 185) Ὅτι νῦν μὲν ὁ Ἀγαμέμνων αὐτὸς ἐλθεῖν εἰς τὴν τοῦ Ἀχιλλέως κλισίαν ἐπαπειλεῖται, προϊὼν δέ, ἐπείπερ πρὸ

μικροῦ ἐρρέθη ὅτι αἱ δεύτεραί πως φροντίδες σοφώτεραι, πτοεῖται τὸ τῆς ἐγχειρήσεως ἐπικίνδυνον καὶ μάλιστα, ἐπεὶ καὶ Ἀχιλλέως ἀκούει δεινὰ ἐπαπειλησαμένου καὶ μεταφράζεται καὶ οὐκέτι αὐτὸς ἔρχεται, ἀλλὰ στέλλει κήρυκας, ὡς ῥηθήσεται. Κλισία δὲ ἡ αὐτοσχέδιος καὶ οὐ πολυτελὴς οἴκησις καὶ καιρική, ἥτις οὔτε θάλαμος οὔτε οἶκος οὔτε δόμος οὔτε μέγαρον οὔτ' ἄν τι τῶν τοιούτων κυρίως ῥηθείη. ταῦτα γὰρ καὶ οἰκοδομητὰ καὶ παραμόνιμα. Σκηνὴ δὲ μάλιστα ἡ τοιαύτη λέγεται οἴκησις, καὶ οὐκ ἔστι καιριωτέραν ἄλλην ἑρμηνείαν εὑρεῖν. ταὐτὸν γὰρ κλισία τε καὶ σκηνή, πλὴν ὅσον ἡ μὲν κλισία μιμεῖταί πως οἰκίαν πύλας τε ἔχουσά τινας καὶ μοχλὸν ἐπὶ ταῖς πύλαις, ὁποία καὶ ἡ τοῦ Ἀχιλλέως κλισία φανήσεται. ἡ δὲ σκηνὴ οὐκ ἀπὸ ξύλου ἐξ ἀνάγκης μόνον, ἀλλὰ καὶ ἀπὸ σινδόνων ἢ πίλων ποτὲ συνίσταται, ὅθεν καὶ οἱ Σκηνῆται τὸ ἔθνος παρονομάζονται. δῆλον δὲ ὅτι ἡ κλισία καὶ κλισιὰς λέγεται. φησὶ γοῦν Ἡρόδοτος ὅτι μεγάλαι κλισιάδες ἀναπέπτανται τῷ Πέρσῃ. ἔοικε δὲ ἡ κλισία ἀπὸ τοῦ κλίσιον οὐδετέρου παρανομάζεσθαι. ἔστι δὲ τὸ κλίσιον, ὡς μὲν ὁ ποιητὴς ἐν Ὀδυσσείᾳ βούλεται, δουλικὸν εὐτελὲς οἴκημα· ὡς δὲ τῷ Δίωνι δοκεῖ, τὸ τῶν προβάτων σκεπαστικὸν καὶ φυλακτικὸν οἰκίδιον εὐτελὲς πάντως ὂν καὶ αὐτὸ οὐχ' ἧττον ἢ τὸ παρὰ τῷ ποιητῇ κλίσιον. Ἰστέον δὲ ὅτι φανερῶς ἄδικος εἰς τὸν Ἀχιλλέα, [ὡς καὶ πρὸ ὀλίγου ἐγράφη,] ὁ βασιλεύς. οὐ γὰρ δίκαιον εἰπεῖν, ὅτι ἐμὲ ἀφαιρεῖται Ἀπόλλων τὴν Χρυσηΐδα, ἐγὼ δὲ ἄγω τὸ σὸν γέρας τὴν Βρισηΐδα, τουτέστιν ὡς αἰχμάλωτον ἀπαγάγω κατὰ τὸ «δακρυόεσσαν ἄγηται ἐλεύθερον ἦμαρ ἀπούρας». δῆλον οὖν ὅτι χαρτὰ τῷ μυθικῷ Ἀπόλλωνι ταῦτα, τῷ τῶν Τρώων ἐπικούρῳ, ἐκπολεμώσαντι ἀλλήλοις τοὺς ἀριστεῖς τῶν Ἀχαιῶν.

1.124 (v. 185—7) Ὅτι ὁ ἀπειλησάμενός τινι μέγα τι μέγας ὢν καὶ αὐτὸς εὐλόγως ἂν ἐπαγάγοι τὸ «ὄφρ' εὖ εἰδῇς, ὅσον φέρτερός εἰμι σέθεν, στυγέῃ δὲ καὶ ἄλλος ἶσον ἐμοὶ φάσθαι καὶ ὁμοιωθῆναι ἄντην» τουτέστιν ἄντικρυς ἢ ἀντικρύ. Ἰστέον δὲ ὅτι τὸ στυγεῖν οὐ μόνον ἐπὶ τοῦ μισεῖν τάττεται, ἀλλὰ καὶ ἐπὶ τοῦ φρίσσειν, ὡς καὶ ἐνταῦθα. μετήνεκται δὲ ἡ λέξις ἀπὸ τῆς Στυγός, ἣν ὁ μῦθος πηγὴν ἐν Ἅιδου ἀναστομοῖ, περὶ ἧς καὶ ἐν Ὀδυσσείᾳ γέγραπται. (v. 187) Τὸ δέ «ἶσον ἐμοὶ φάσθαι» ἀφορμὴ γέγονε τοῖς μετὰ ταῦτα τοῦ συνθεῖναι τὸ τῆς ἰσηγορίας ὄνομα. ἶσον γὰρ φάσθαι καὶ ἶσον ἀγορεῦσαι καὶ ἰσηγορία τῆς αὐτῆς δυνάμεώς εἰσι [ψεκτὰ ὄντα καὶ ἄμφω, εἰ πρὸς βασιλέα γίνονται.] ἐκ δὲ τούτου καὶ ἡ ἀντιλογία συνετέθη ἰσολογία τις οὖσα καὶ αὐτή. Σημείωσαι δὲ ὅτι ταὐτολογεῖ καὶ ἐνταῦθα ὁ ποιητής. τὸ γὰρ ἶσον φάσθαι καὶ τὸ ὁμοιωθῆναι ἄντην τὴν αὐτὴν δηλοῦσί πως ἔννοιαν. τὸ δὲ ἶσον φάσθαι σεμνῶς ῥηθὲν ὅμοιόν ἐστι τῷ ἐναντίον εἰπεῖν, ὡς δηλοῖ τὸ «ὅς τις σέθεν ἀντίον εἴπῃ» τουτέστιν ἀντιφήσει καὶ ἐναντιολογήσει σοι. [Τὸ δὲ ὁμοιωθῆναι ἄντην πρὸς ἀκρίβειαν κεῖται. ὁμοιωθήσεται μὲν γάρ τίς ποτε μεγάλῳ ἄρχοντι, οὐ μὴν οὕτω ἄντην καί, ὡς εἰπεῖν, κατενώπιον, ἰδίᾳ δέ που καὶ κρύφα καθ' ἑαυτὸν γλώσσῃ χαριζόμενος. Τὸ δέ «εἰδῇς» νοεῖται μὲν ἀντὶ τοῦ γνώσῃ, μάθῃς, ἔστι δὲ ἐνεστὼς ἀντὶ μέλλοντος. εἰδῶ γὰρ τὸ θέμα, οὗ ὁ μέλλων εἰδήσω, ὅθεν καὶ εἴδησις ἡ γνῶσις καὶ εἰδηκέναι καὶ εἰδηκώς, ἐξ ὧν κατὰ συγκοπὴν τὸ εἰδέναι καὶ ὁ εἰδώς.] (v. 189) Ὅτι στήθη λάσια τὰ τοῦ Ἀχιλλέως φησὶν ἢ τοιαῦτα, ὡς εἰκός, ὄντα πυκνὰ ταῖς θριξίν, ὁποῖοι πολλοὶ τῶν θερμοτέρων, οἷς ὦπται καὶ ὑπὲρ σπιθαμὴν καθειμένον τοιοῦτον τὸ λάσιον, ἢ τὰ συνετὰ κατὰ μετάληψιν λέξεως. λάσιον μὲν γὰρ τὸ πυκινὸν ἤτοι πυκνόν. πυκινὸν δὲ καὶ πυκνὸν τὸ φρόνιμον ἐν πολλοῖς, ὥστε εἴη ἂν στῆθος λάσιον, ὅθεν τὸ ἦτορ ἀναδίδωσι βουλεύματα λάσια ἤτοι πυκινὰ καὶ τὸ τοῦ Αἰσχύλου εἰπεῖν· «ἐξ οὗ τὰ κεδνὰ βλαστάνει βουλεύματα». διὸ καὶ ἐν τοῖς ἑξῆς «Πατροκλῆος» ἐρεῖ καὶ «Πυλαιμένεος δὲ λάσιον κῆρ» κατὰ τοιοῦτον σημαινόμενον. οὐ γὰρ δή που τετρίχωται τὸ κῆρ ἐξ ἀνάγκης, εἰ καί τινες καρδίαι ἐξ ἀνατομῆς τοιαῦται ἐφάνησαν κατὰ τὴν παλαιὰν ἱστορίαν, ὡς καὶ ἡ τοῦ Λυσάνδρου καὶ ἡ τοῦ κυνὸς τοῦ Ἀλεξάνδρου. εἶναι δὲ τὰ τῶν πανούργων καὶ συνετῶν στήθη λάσια δηλοῦσιν οἱ Φυσιογνώμονες. λάσιον δέ ἐστι μὲν τὸ δασύ· γίνεται δὲ ὥσπερ τὸ δασὺ ἀπὸ τοῦ δα ἐπιτατικοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μορίου καὶ τοῦ σύω ἢ σεύω τὸ ὁρμῶ, ἔνθα δηλαδὴ πολλὰ ὁρμῶσι καὶ ἀναδίδονται κάτωθεν τὰ τὸ δάσος ποιοῦντα, οὕτω καὶ τὸ λάσιον ἐκ τοῦ λα ἐπιτατικοῦ καὶ τοῦ σῶ τὸ ὁρμῶ, οὐ μὴν ἀπὸ τοῦ σεύω, ἵνα μὴ ἀναγκασθῇ διὰ διφθόγγου γράφεσθαι, ὡς ἐκ τοῦ καθαρεύω τὸ καθάρειον.

1.125 [ἐνταῦθα δὲ δίχα τῶν τοῦ Ἰαμβλίχου, ἃ κείσονταί που ἐν τοῖς ἑξῆς, σημείωσαι καὶ Πλάτωνος τὸ «ἔχων τὰς ἀνδραποδώδεις ἐπὶ τῆς ψυχῆς τρίχας», ὅπερ ἦν σκῶμμα ἐπὶ ἀνοησίᾳ ληφθὲν ἀπὸ τῆς τῶν ἀνδραπόδων κουρᾶς, ἥν, φασίν, οἱ ἐλευθερωθέντες ἤλλασσον Ἀθήνῃσιν, ἥτις καὶ ἐλέγετο θρὶξ ἀνδραποδώδης οὐ κοσμοῦσα τοὺς οὕτω κομήτας, ὡς εἶναι καὶ αὐτοὺς ἡρωϊκῶς καρηκομόωντας.] Τὸ δὲ ἀνωτέρω ῥηθὲν σχῆμα ἡ μετάληψις ἄλλο ἐστὶ παρὰ τὴν ἐν τοῖς πολιτικοῖς ῥήτορσι μετάληψιν. ἐκείνη μὲν γὰρ τοῖς ποιητικευομένοις δυσχερὴς φαίνεται, τὸ δὲ παρὸν σχῆμα τοιοῦτόν ἐστιν. ὅταν τις πρώτη λέξις ἑρμηνεύηται διά τινος δευτέρας ταὐτοσήμου καὶ ἰσοδυνάμου, αὐτὴ δὲ ἡ δευτέρα ὡς ὁμώνυμος δηλοῖ καί τι ἑτεροῖον, οἰκειώσηται δὲ ἡ πρώτη ἐκείνη λέξις τὴν τρίτην τὴν ἑτερόφυλον ὡς οἷον ἐκλαθομένη τῆς συγγενοῦς δευτέρας λέξεως, τὸ τοιοῦτον λέγεται μετάληψις ἤτοι μεταλλαγὴ ἐκ τῆς δευτέρας τῆς ἰσοδυνάμου εἰς τὴν τρίτην τὴν ἑτεροίαν. λέγεται γὰρ μεταλαμβάνειν καὶ τὸ ἀλλάσσειν, οἷον· ἔχων τις δόρυ μετέλαβε σπάθην. οὕτως οὖν καὶ μετάληψις τὸ σχῆμα, ὅτε ἡ πρώτη ἀπὸ τῆς καθ' ἑρμηνείαν ἰσοδυνάμου ἑαυτῇ δευτέρας λέξεως μεταβῇ εἰς τὴν τρίτην τὴν ὁμοίαν πως τῇ δευτέρᾳ. οἷον βροτὸς λέγεται ὁ ἀνήρ, ἀλλὰ καὶ φὼς ὁ αὐτὸς ὀξυτόνως. λέγεται δὲ καὶ φῶς φωτός τὸ οὐδέτερον περισπωμένως ἐκ τοῦ φάος. ἐὰν οὖν τις τὸ ἀβρότην ἤγουν νύκτα, ἥτις σύγκειται ἐκ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ βροτοῦ ἤτοι τοῦ φωτός, νοήσῃ ἀντὶ τοῦ ἀφώτιστον κατὰ τοὺς παλαιοὺς ὡς τοῦ βροτοῦ λαμβανομένου καὶ ἀντὶ φωτός, τοῦ δὲ φωτὸς λεγομένου καὶ ἐπὶ φωτισμοῦ, μετάληψιν ἐποίησε μεταλαβὼν τὸν βροτὸν εἰς φῶτα, πλὴν οὐχὶ ἄνδρα τὸν συγγενῆ τῷ βροτῷ, ἀλλὰ εἰς τὸ ἐπὶ τοῦ φωτίζειν. ὁμοίως καὶ γλήνη ἡ κόρη τοῦ ὀφθαλμοῦ, κόρη δὲ ἁπλῶς καὶ ἡ παρθένος. ἐν γοῦν τῷ «ἔρρε, κακὴ γλήνη» ὁ εἰπὼν τὸ γλήνη ἀντὶ τοῦ κόρη ἤγουν παρθένος τουτέστιν «ἔρρε ὦ δειλὸν κοράσιον» καὶ μεταβὰς ἀπὸ πρώτης λέξεως εἰς τρίτην οὐκ ἰσοδύναμον τῇ πρώτῃ ἀλλὰ τῇ δευτέρᾳ μεταληπτικῶς ἐσχημάτισε καὶ αὐτός. τοιοῦτον ἀνωτέρω καὶ τὸ λάσιον τὸ πυκνόν· πυκνὸν δὲ τὸ συνετόν· λάσιον ἄρα τὸ συνετόν. οὕτω καθίσταται εἰς σαφὲς καὶ τὸ «οὐκ ἔσθ' ὅπως», οἷον «οὐκ ἔσθ' ὅπως ἀληθῆ λέγεις» ἤγουν «οὐκ ἔστιν ὅτι ἀληθεύεις».

1.126 ὅπως μὲν γὰρ ἔστιν ὅτε ἀντὶ τοῦ ὡς, αὐτὸ δὲ πάλιν ταὐτὸν πολλάκις τῷ ὅτι. μεταληπτικῶς οὖν τὸ ὅπως ἀντὶ τοῦ ὅτι. ὅμοιον καὶ τὸ ὅπως ἀντὶ τοῦ καθά, ὡς τὸ «φελλοὶ δ' ὅπως» παρ' Αἰσχύλῳ. ὅπως μὲν γάρ ποτε τὸ ὥς, αὐτὸ δὲ ἔστιν οὗ παραβολικῶς ἀντὶ τοῦ καθάπερ, ὅθεν μεταλήψεως λόγῳ τὸ ὅπως ἀντὶ τοῦ καθά. οὕτω δὲ ἐφοδεύεται καὶ τὸ ὅτι ἀντὶ τοῦ λίαν, οἷον «ὅτι μάλα». τὸ μὲν γὰρ ὅτι ταὐτὸν δύναταί ποτε τῷ ὥς· τὸ δὲ ὡς ἔστιν ὅτε ἀντὶ τοῦ λίαν· τὸ τοίνυν ὅτι σημαίνοι ἂν τὸ λίαν, ὥσπερ ποτὲ καὶ τὸ ὥς. [τοιούτῳ τρόπῳ καὶ ἐν Οἰδίποδι τῷ Τυράννῳ Σοφοκλῆς ἔφη τὸ «ὅπως τάχιστα» ἀντὶ τοῦ λίαν ταχέως, μεταλαβὼν τὸ ὅπως εἰς τὸ ὥς, αὐτὸ δὲ εἰς τὸ λίαν.] πολλὰ δὲ καὶ ἕτερα τοιαῦτα παρὰ τοῖς παλαιοῖς καὶ μάλιστα παρὰ τῷ Θεοκρίτῳ. τοιούτου δὲ τρόπου καὶ τὸ ποντικοὶ ἰδιωτικῶς λεγόμενον ἐπὶ νεύρων. εἰσὶ μὲν γὰρ ἀληθῶς μύες τινὲς παρὰ Ἀριστοτέλει ποντικοί. τὸ δὲ ποντικοὺς τοὺς μυῶνας εἰπεῖν καὶ εἰς τοῦτο μεταλαβεῖν τὴν λέξιν ἐκείνην μεταλήψει ἔοικε τῇ παρὰ τοῖς γραμματικοῖς. μυῶνες μὲν γὰρ μύες τινές· μύες δὲ ποντικοί· μυῶνες ἄρα ποντικοί. [καὶ τοιαύτη μὲν ἡ ῥηθεῖσα μετάληψις ἐζηλωμένη καὶ τοῖς ἄρτι παικτικώτερον. ὅτι δὲ μετάληψις καὶ ἡ ἀλληγορία λέγεται παρὰ τοῖς σοφοῖς καὶ ἡ τῶν λέξεων ἑρμηνεία, ὅθεν καὶ λέξεις ἀμετάληπτοι αἱ ἀνερμήνευτοι, οὐκ ἔστιν ἀμφιβαλεῖν.] Ἦτορ δὲ κατὰ τοὺς παλαιοὺς ἡ ψυχὴ παρὰ τὸ ἄω τὸ πνέω· πνεῦμα γὰρ νοερὸν ἡ ψυχή. Ὅτι τὸ διχῇ, ὁπηνίκα συσταλῇ κατὰ τὴν λήγουσαν, μετατίθησι καὶ τὸν τόνον καὶ βαρυτόνως λέγεται δίχα, ἐξ οὗ καὶ τὸ διάνδιχα. οὕτω καὶ τὸ τριχῇ τρίχα λέγεται καὶ ὁμοίως

τέτραχα καὶ πένταχα. τὸ δὲ δίχα ἀντὶ τοῦ χωρίς καὶ ἄνευ τῆς ὑστέρας χρήσεώς ἐστι. παρὰ γὰρ τοῖς ἀρχαίοις τὸ δίχα ἀντὶ τοῦ διχῇ ἐλαμβάνετο, ἐξ οὗ καὶ τὸ παρὰ τοῖς ὕστερον δίχα μετήνεκται. ὅτι δὲ τὰ τοιαῦτα κατὰ μεταπλασμόν τινα ἔτρεψαν τὸ η εἰς α , προείρηται. [Γίνεται δὲ τὸ διάνδιχα ἐκ τῆς διά καὶ ἀνά προθέσεως, ὧν ἡ μέν «διά» δυασμόν τινα σημαίνει, ὡς δῆλον ἐκ τοῦ διαιρεῖσθαι καὶ διαφωνεῖν καὶ διΐστασθαι καὶ ἐκ τοῦ διαζυγίου καὶ τῆς διαφορᾶς, ἡ δὲ ἀνὰ πρόθεσις δευτέρωμά τι δηλοῖ, ὡς ἐν τῷ ἀναβαπτίζειν φαίνεται καὶ ἀνακρίνειν καὶ ἐπανερωτᾶν καὶ τοῖς ὁμοίοις, ἵνα ᾖ διάνδιχα βουλεύεσθαι τὸ δυάζειν βουλὴν οὕτω καὶ οὕτω καὶ ἀναβουλεύεσθαι ἄλλως καὶ ἄλλως.] (v. 191) Ὅτι ἐν τῷ «μερμήριξεν Ἀχιλλεύς» ἤγουν ἐβουλεύσατο, εἰ «τοὺς μὲν Ἕλληνας ἀναστήσειεν, ὃ δ’ Ἀτρείδην ἐξεναρίζοι», τὸ ἀναστήσειν οἱ μὲν κοινότερον ἐνόησαν ἀντὶ τοῦ ταράξας ἐξεγερεῖ, οἱ δὲ ἀντὶ τοῦ ἄνω κάτω ποιήσει, ἀναστατώσει, ἀναστάτους ποιήσει.

1.127 καὶ εὕρηται ἡ λέξις παρὰ τοῖς παλαιοῖς, οἳ πόλιν ἀναστήσειν πολλάκις τὸ ἀναστατώσειν φασί. καὶ εἰ τοῦθ’ οὕτως ἔχει, ἔστι καὶ αὐτὸ πρωθύστερον ἤγουν σχῆμα ὑστερολογίας, ἵνα ᾖ τὸ ἀκόλουθον οὕτω· «Ἀτρείδην ἐξεναρίζοι, τοὺς δὲ ἀναστήσει», ὅ ἐστιν ἀναστάτους καὶ ἀβασιλεύτους ποιήσει. (v. 189) Μερμηρίζειν δὲ τὸ μερίζεσθαι εἰς διαφόρους βουλάς, ἐξ οὗ καὶ ἡ μέριμνα γίνεται· ἐτράπη δὲ τὸ ε εἰς η , ἵνα χρησιμεύσῃ εἰς μέτρον σπονδειακόν. καὶ ὁ μηρὸς δὲ ἀπὸ τοῦ μερίζω γίνεται τροπῇ τοῦ ε εἰς η . ἡ δὲ ἄρχουσα τοῦ μερμηρίζειν ἐξ ἀναδιπλασιασμοῦ ἐστι καὶ προσθήκης τοῦ ρ . τοῦτο δὲ καὶ ἐπὶ ἄλλων γίνεται. καὶ ἐν τῷ μαρμαίρω γὰρ καὶ ἐν τῷ δαρδάπτω καὶ ἐν τῷ καρκαίρω διπλασιασμός ἐστι καὶ πλεονασμὸς τοῦ ρ . ἐκ δὲ τοῦ μερμηρίζειν καὶ μέρμηραι παρὰ τοῖς παλαιοῖς αἱ βουλαί, ὡς τὸ «ἄμπαυμά τε μερμηράων». (v. 191) Ἐναρίζειν δὲ καὶ ἐναίρειν τὸ σκυλεύειν δηλοῖ, ὅθεν καὶ ἔναρα τὰ σκῦλα ἤτοι τὰ λάφυρα. λέγεται δέ ποτε ἐναίρειν καὶ ἐναρίζειν καὶ τὸ φονεύειν, οὗ παρακολούθημά ἐστι τὸ σκυλεύειν. (v. 192) [Ὅτι ταὐτολογεῖ Ὅμηρος καὶ ἐν τῷ «ἠὲ χόλον παύσειεν ἐρητύσειέ τε θυμόν». ταὐτὸν γὰρ χόλον παῦσαι καὶ ἐρητῦσαι ἤγουν κωλῦσαι θυμόν. τοῦτο δέ ἐστι μὲν φρονήσεως ἄκρας ἤγουν τὸ ἐν ἀκμῇ θυμοῦ βουλεύεσθαι τὰ εἰς φιλίαν. τῶν τισι δὲ παλαιῶν μεμπτόν τι δοκεῖ τὸ οὕτως ἐν ὑπερβολῇ χόλου ἡρωϊκοῦ πλάσαι τὸν Ὅμηρον, ὡς ταχὺ ὁ Ἀχιλλεὺς κατεκλάσθη τοῦ κατὰ θυμὸν ἀτενοῦς. εἰ δὲ καὶ αὐτοὶ οὕτω φρονοῦσιν, ἀλλ’ ὁ ποιητὴς πολλαχῶς ἐκκλίνει τὴν αἰτίασιν. Τὸ δὲ ἐρητύειν ἀπὸ τῆς εἱρκτῆς παράγουσιν οἱ παλαιοί, ἵνα ἐξ αὐτῆς εἴη ἑρκτύειν τὸ οἱονεὶ καθείργειν καὶ ἐγκλείειν καὶ οὕτω κωλύειν καὶ ἀποβολῇ τοῦ κ καὶ ἐνθέσει τοῦ η ἐρητύειν.] (v. 193) Ὅτι τὸ «ἕως ὃ ταῦθ’ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν» ἀστείως ἐσχημάτισται καὶ πρὸς κάλλος. τὸν γὰρ προσεχῶς ἀνωτέρω στίχον συμπληρώσας εἰς θυμόν—ἔφη γάρ «ἐρητύσειέ τε θυμόν»—εἰς τὴν αὐτὴν λέξιν τελειοῖ καὶ τὸν παρόντα στίχον εἰπών «κατὰ φρένα κατὰ θυμόν». καὶ ἔστι μὲν τοῦτο ἀντιστροφὴ ῥητορικὴ ὅμοιον τῷ «ταξιάρχους παρ’ ὑμῶν, ἱππάρχους παρ’ ὑμῶν». οὐκ ἔστι δὲ καθαρῶς ἀντιστροφή. οὐ γὰρ ἡ τελευταία λέξις ἐν τοῖς δυσὶ στίχοις τὴν αὐτὴν σημασίαν καὶ ἔννοιαν ἔχει, ἀλλὰ ἄνω μὲν ὁ θυμὸς τὸν χόλον ἐδήλου, κάτω δὲ τὴν ψυχήν. ἔστιν οὖν κατὰ ὁμωνυμίαν ἀντιστροφὴ σπανίως εὑρισκομένη παρὰ τοῖς παλαιοῖς, [εἰ μὴ ἄρα τις καὶ ἐν τῷ «ἐρητύσειέ τε θυμόν» βιάσεται θυμὸν νοεῖσθαι τὴν ψυχήν.] Σημείωσαι δὲ ὅτι τὸ ἕως ἔστιν ὅτε καὶ ἀντὶ τοῦ τέως λαμβάνεται, ὃ σημαίνει τὸ πρὸς τὸ παρόν· ὡς δηλοῖ καὶ παρ’ Ἡροδότῳ τὸ «ἕως μὲν σιγὴν ἔχει».

1.128 κεῖται δέ που ἡ λέξις οὕτω καὶ παρὰ τῷ ποιητῇ ἐν τοῖς ἑξῆς. τὸ δέ «ἕως ὃ ταῦθ’ ὥρμαινε» πάθος ἔχει περὶ τὴν τοῦ στίχου καταρχὴν προκεφάλου εἴτ’ οὖν μακροκεφάλου ὄντος. τὸν γὰρ πρῶτον τόπον ποὺς ἐπέχει ἀμφίβραχυς «ἕως ὅ». ὁ δὲ ἀμφίβραχυς ἀνοίκειος μέτρῳ δακτυλικῷ, εἰ μὴ θεραπεύοιτο, καθάπερ καὶ ἐνταῦθα θεραπεία τις τῷ πάθει τῆς τοῦ στίχου κεφαλῆς ἐφεύρηται. τὸ μὲν γάρ «ἕως» κατὰ λόγον συνιζήσεως εἰς μίαν καταλογίζεται μακρὰν συλλαβήν. τὸ δὲ ο κατὰ τέσσαρας τρόπους κοινῆς συλλαβῆς ἐκ τοῦ ταπεινώματος τῆς βραχείας ἀνίσταται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μηκυνόμενον. καὶ γὰρ καὶ δασύνεται καὶ τόνον ἔχει ὀξύν, κἂν ἡ συνέπεια βαρύνῃ αὐτόν, καὶ εἰς μέρος δὲ λόγου καταπεραιοῖ καὶ διὰ τοῦτο δύναται στίζεσθαι· ἔχει δὲ καὶ τὸ τ ἐπαγόμενον. ὅτι δὲ καὶ τὸ δασὺ πνεῦμα καὶ τὸ τῆς τάσεως ὀξὺ καὶ ἡ τῆς λέξεως εἰς τέλειον καταπεραίωσις καὶ ἡ τῶν ψιλῶν συμφώνων ἐπιφορὰ βοηθεῖν εἰς μηκυσμὸν δύνανται τῷ βραχεῖ φωνήεντι, οὐ τοῦ νῦν καιροῦ ἐστι λέγειν τε καὶ αἰτιολογεῖν. Ὁρμαίνειν δὲ ἀεὶ λέγει ὁ ποιητὴς τὸ ἔτι ἐν κινήσει καὶ ἀρχῇ τυγχάνειν βουλεύματος. εἰ δὲ καὶ τὰ βουλευόμενα διαφόρως ἔχοιεν πρὸς ἄλληλα, μερμηρίζειν τὸ τοιοῦτον καλεῖ διὰ τὴν διχόνοιαν καὶ τὸν τοῦ θελήματος μερισμὸν τραπέντος τοῦ ε τοῦ μερισμοῦ εἰς η , ὡς προγέγραπται. (v. 194) Ὅτι ὥσπερ τὸ ὁρᾶτο παθητικῶς εἴρηται ἀντὶ τοῦ ὥρα καὶ ἔβλεπεν ἐν τῷ «θνῄσκοντας ὁρᾶτο», οὕτω καὶ ἐν τῷ «ἕλκετο ἐκ κουλεοῖο μέγα ξίφος» ἀντὶ ἐνεργητικοῦ τοῦ εἷλκεν ἔφη τὸ ἕλκετο. Τὸ δὲ μέγα ξίφος μεγάλην τὴν τοῦ ἥρωος χεῖρα δηλοῖ συλλογιστικῶς, τὴν αὐτοῦ ἁπτομένην καὶ βριαρὰν καὶ οἵαν κούφως ἔχειν τὸ τοιοῦτον ξίφος ἕλκειν καί, ὡς αὐτὸς ὁ ποιητὴς λέγει, βαρεῖαν. φησὶ γάρ· «ἐπ᾽ ἀργυρέῃ κώπῃ σχέθε χεῖρα βαρεῖαν». τινὲς δὲ ἐνταῦθα χεῖρα βαρεῖαν τὴν ἀριστερὰν ἐνόησαν, ὑφ᾽ ἧς κατέχεται ἡ τοῦ ξίφους λαβή. [Σημείωσαι δὲ ὅτι παρὰ τοῖς ὕστερον τὸ ἕλκειν σταθμητικὴ λέξις γέγονεν ὁμοίως τῷ ῥέπειν, ὡς καὶ ἡ ὁλκὴ δηλοῖ καὶ τὸ καθέλκειν, ὅ ἐστι κάτω διὰ βάρος ῥέπειν.] Ὅτι ἔθος Ὁμήρῳ πολλάκις τὸν δε σύνδεσμον ἐν διαφόροις ἐννοίαις ἐφεξῆς τιθέναι, ὧν εἷς, ὁπότερος τύχῃ, λαμβάνεται ἐξ ἀνάγκης ἀντὶ τοῦ δη , ὥσπερ καὶ ὁ μὲν σύνδεσμος ἀντὶ τοῦ μήν. φησὶ γοῦν ὧδε· «ἕως ταῦτα ὥρμαινεν Ἀχιλλεύς, ἕλκετο δ᾽ ἐκ κουλεοῦ τὸ ξίφος, ἦλθε δ᾽ Ἀθήνη». ἢ γὰρ ἐν τῷ «ἕλκετο δέ» ἢ ἐν τῷ «ἦλθε δέ» ἀναγκαίως ὁ δε ἀντὶ τοῦ δη ληφθήσεται. πολλάκις δὲ τοῦτο καὶ ἐν τῇ κοινῇ ὁμιλίᾳ γίνεται, οἷον «ἐμοῦ δὲ παραινοῦντος ὁ δὲ ἀντέβαινε». [καὶ ἄλλως δὲ πολλάκις ὁ δε σύνδεσμος ἀντὶ τοῦ δη κεῖται, ὡς καὶ ἐν τῷ «μὴ δ᾽ οὕτως ἀγαθός περ ἐὼν κλέπτε νόῳ». εἷς γὰρ ὢν εἴληπται ἀντὶ τοῦ δη .] (v. 194 s.) Ὅτι Ἀχιλλεὺς θυμῷ νικώμενος παράβολόν τι φρονεῖ, ξίφος ὀξὺ παρὰ μηροῦ ἐρύσασθαι μελετῶν κατὰ τοῦ βασιλέως. Ἀθηνᾶ δὲ οὐρανόθεν ἐλθοῦσα κωλύει τουτέστιν ἡ παρ᾽ αὐτῷ ἀγχίνοια. οὐρανὸν δὲ ἐνταῦθα οἱ παλαιοὶ νοοῦσι τὴν κεφαλήν, ἔνθα ἐνιδρυμένη ἡ τῆς ἀλληγορίας Ἀθηνᾶ μεταποιεῖ τὸ θρασὺ τοῦ Ἀχιλλέως βούλευμα κατελθοῦσα τουτέστι τῷ λόγῳ καταβεβηκυῖα εἰς τὸν μέλλοντα χρόνον καὶ ὑποδείξασα ὡς οὐ μόνον τυχὸν οὐδὲν ἀνύσει, ἀλλὰ καὶ δεινόν τι πείσεται διὰ τὸ τοῦ βασιλέως μεγαλεῖον, καὶ διδάξασα οὐ μόνον τῷ Ἀγαμέμνονι πρὸς καλοῦ εἶναι τὸ παύσασθαι τὸν Ἀχιλλέα τῆς τοιαύτης ὀργῆς, ἀλλὰ καὶ αὐτῷ τῷ Ἀχιλλεῖ.

1.129 τοῦτο γὰρ δηλοῖ τὸ «ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε». ἄδηλον γάρ, εἰ ἀνύσει τι κατὰ τοῦ εὐρυκρείοντος καὶ μὴ βλαβήσεται μικροβασιλεὺς αὐτὸς ὤν. εἰ δὲ καὶ ἀνύσει, οὐδ᾽ οὕτως ἔνδοξον τὸ ἀποτέλεσμα τῷ Ἀχιλλεῖ βασιλεῖ ὄντι καὶ αὐτῷ καὶ παράβολον οὕτω πρᾶγμα τετολμηκότι. καὶ ἴσως τοῦτο δηλοῦται διὰ τοῦ τὴν Ἀθηνᾶν ὑπὸ Ἥρας πεμφθῆναι, δηλαδὴ τὸ τὸν Ἀχιλλέα ὑπὸ τῆς βασιλικῆς καταστάσεως συμπεισθέντα ἀφεῖναι τὸ πολὺ τοῦ θυμοῦ. Ἥρα γὰρ καὶ ἡ βασιλεία καὶ Ἡραία ζωὴ ἡ βασιλική. ὑπὸ τοιαύτης οὖν Ἥρας πείθεται φρονεῖν λογισάμενος μὴ δεῖν εἶναι αὐτὸν ἄνδρα μέγαν καὶ ἡγεμονικὸν οὕτω θυμωθῆναι ὡς μεγάλῳ βασιλεῖ ἐπεξελθεῖν. ἢ γὰρ οὐκ ἀνύσει καὶ οὐκ εὖ αὐτῷ γέγονεν ἢ ἀνύσει τὸν τοῦ βασιλέως φόνον καὶ γενήσεται κακὰ μέγιστα, ὧν τὸ κεφάλαιον αὐτῷ μὲν δύσκλεια, τοῖς δὲ Ἕλλησιν ἀναστάτωσις. [καὶ ἄλλως δέ πως ὑπὸ Ἥρας, ὡς οἷον ἀέρος, ἡ φρόνησις Ἀθηνᾶ πέμπεται διὰ τὸ ἀερίαν καὶ σκοτεινὴν καὶ ἐξ ἀφανοῦς οἷα ἀνέλπιστον ἐλθεῖν αὐτῷ τὴν ἐκ μετανοίας ἐπιμήθειαν. διὸ καὶ αὐτὸς ἐκεῖνος θαυμάζει τὸ πρᾶγμα.] (v. 197) Καὶ τὸ «ἔστη δὲ ὄπισθεν» τοῦτο δηλοῖ κατὰ τοὺς παλαιοὺς ὅτι τοῦ μέλλοντος αὐτὸν εἰς ἔννοιαν ἤγαγεν ἡ Ἀθηνᾶ. ἔμπροσθεν μὲν γὰρ τὰ οἰχόμενα καὶ ἤδη γενόμενα καὶ εἰς θέαν ἢ πεῖραν ἐλθόντα, ὀπίσω δὲ καὶ ὄπισθεν τὰ ἔσεσθαι μέλλοντα, ἐπειδὴ ἀπροόρατον τὸ μέλλον, καθάπερ ἀόρατα καὶ τὰ κατόπιν ἡμῖν ὄντα. Τὸ δέ «οὐρανόθεν» τοῦτο τὸ παρ᾽ Ὁμήρῳ τὸ νῦν ἀλληγορηθὲν ἀφορμὴ γέγονε τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πλατωνικοῖς τῆς κεφαλικῆς οὐρανώσεως, οἵπερ μυθεύονται τὴν ψυχὴν ἐκπεσοῦσαν τῶν ἄνω καὶ σώματι ἐγκλεισθεῖσαν ἐνοικισθῆναι τῇ κεφαλῇ πλασθείσῃ πρὸς τύπον οὐρανίου σφαιρώματος, ὡς ἂν μὴ πάντῃ ἀλλοφύλῳ τόπῳ ἐμπέσοι, ἀλλὰ τῷ μικρῷ τούτῳ οὐρανίσκῳ ἐγκατοικοῦσα ἔχοι μεμνῆσθαι ὅθεν ἦν. Ξανθῆς δὲ κόμης ἑλεῖν τὸν Ἀχιλλέα ἡ Ἀθηνᾶ λέγεται συμβολικῶς καὶ τοῦτο διὰ τὸ ἐν τῇ κεφαλῇ, ὡς εἴρηται, ἱδρῦσθαι τὸ ἡγεμονικόν. (v. 198) Μόνῳ δὲ αὐτῷ λέγεται φαίνεσθαι, διότι οὐδεὶς εἶχε συνορᾶν, ἃ ἔνδον Ἀχιλλεὺς καθ' ἑαυτὸν ἐβουλεύετο. οἱ δὲ παλαιοί φασι μόνους τούτους, τὸν Ὁμηρικὸν Ἀχιλλέα καὶ τὸν Ἀθηναῖον Σωκράτην, ἐν συντυχίαις τῷ οἰκείῳ κεχρῆσθαι δαίμονι. Ἀχιλλεύς τε γὰρ ἐνταῦθα λαλεῖ καὶ ἀκούει τὰ μυθευόμενα καὶ Σωκράτης δὲ ἔλεγεν, ὡς εἶπέ μοι τὸ δαιμόνιον. [εἶχον δὲ ἂν οἱ παλαιοὶ ἐν τοῖς Ὁμηρικοῖς προσώποις προσθεῖναι, ὡς τοιοῦτόν τινα καὶ τὸν Ὀδυσσέα, καθὰ καὶ ἑτέρους τινάς.] (v. 199) Θαμβεῖται δὲ Ἀχιλλεύς, εἰ οὕτω θυμὸς πολὺς ἐξεκαύθη αὐτῷ καὶ μετατρέπεται ταχὺ μεταβουλευσάμενος δι' ἀγχίνοιαν, ὅσγε καὶ ἀνωτέρω ἐβουλεύετο ἢ τόδε τι κακὸν ποιήσει ἢ τὸν χόλον παύσει ὡς ἑτοίμως ἔχων εἰς καταλλαγήν. εἰ γὰρ καὶ ἡ ὕβρις ἀνεζωπύρει ἐξάπτουσα τὸν θυμόν, ἀλλ' ἡ φρόνησις κατεσβέννυε, κἂν οἱ παλαιοὶ αἰτιῶνται, ὡς ἐρρέθη, τὸν τοιοῦτον τόπον, ὡς τοῦ ποιητοῦ ἀχρόνως οὕτω τὸν τηλικοῦτον τοῦ Ἀχιλλέως θυμὸν ἀπαμβλύνοντος.

1.130 τὴν δὲ τοῦ Ἀχιλλέως ἀγχίνοιαν, ἤγουν τὴν ἐν ἀκαρεῖ χρόνῳ καὶ ὀλίγῳ καί, ὡς εἰπεῖν, ἐκ τοῦ ἄγχιστα νόησιν καὶ πρόγνωσιν τοῦ μέλλοντος ὑπαινίττεται ὁ ποιητὴς καὶ ἐν τῷ «αὐτίκα δ' ἔγνω θάμβησέν τε». ἀγχίνοια γὰρ καὶ ἀγχινοεῖν καὶ αὐτίκα ἔγνω τῆς αὐτῆς σημασίας εἰσί. Τὸ δὲ θαμβεῖν καὶ θαυμάζειν ἐπὶ θέας καὶ τῆς ἐντεῦθεν ἐκπλήξεως εἴωθε λέγεσθαι, ὡς ὅγε μὴ βλέπων οὐδέν τι τούτων πάσχειν λέγεται. τὸ δέ «ἐθάμβησεν» ἐνεργητικὸν ἡ νεωτέρα χρῆσις οὐκ ἔχει. θαμβούμενοι γὰρ καὶ ἐθαμβήθη καὶ τεθάμβημαί φασιν οἱ μεθ' Ὅμηρον. (v. 197) Ἡ δὲ ξανθὴ κόμη—τοιαύτη γὰρ ἱστορεῖται τὸν Ἀχιλλέα κοσμεῖν—τὸ θερμὸν παραδηλοῖ καὶ ὀργίλον τοῦ ἥρωος. τοιοῦτοι γάρ, φασίν, οἱ ξανθόχολοι. ξανθὸς δὲ ἱστόρηται καὶ ὁ Μενέλαος. ἀλλ' ἐκεῖνος οὐκ ἦν ἀκράχολος, ἀλλὰ ἐνηής. διὸ καὶ μαλθακὸς ἐδόκει πολεμιστής. τὸ δέ «ξανθῆς κόμης ἕλε Πηλείωνα» ἢ ἀντίπτωσίς ἐστιν ἀντὶ τοῦ εἷλε τὴν ξανθὴν κόμην τοῦ Πηλείωνος ἢ ἔλλειψιν ἔχει προθέσεως· εἷλε γὰρ τὸν Ἀχιλλέα ἐκ τῆς ξανθῆς κόμης. ὁ δὲ ξανθὸς ὅτι ἐκ τοῦ ἄνθος γίνεται πλεονασμῷ τοῦ ξ , δηλοῦται τοῖς παλαιοῖς, ἵνα ᾖ ξανθὴ κόμη ἡ ἀνθηρά. δύναται δὲ καὶ ἀπὸ τοῦ ἐξανθεῖν εἶναι ἀπελεύσει τοῦ κατ' ἀρχὴν ε , ὃ δὴ καὶ ἐν τῷ Ἑξάδιος γέγονεν, ὅν τινες τρισυλλάβως Ξάδιον γράφουσιν, ὡς ἐν τοῖς ἑξῆς εἰρήσεται. οὕτω δὲ καὶ τῆς ες προθέσεως καὶ τῆς εν ἔστιν οὗ ἀφαιρεῖται τὸ κατάρχον ε , ὡς δῆλον ἐν τῷ ἔνερθεν νέρθεν, ἐνέρτερος νέρτερος καὶ ἐν τῷ σκορακίζειν καὶ σκαρδαμύττειν καὶ σκερβόλλειν, ὅ ἐστιν ἐς κέαρ βάλλειν [καὶ προνώπιον παρ' Εὐριπίδῃ ἤτοι προενώπιον, πρόσχημα, οἷον «γῆς Πελοπίας προνώπιον». καὶ κτεὶς κτενὸς ὡς οἱονεὶ ἐκτεὶς παρὰ τὸ ἐκτείνειν τὰς κτενιζομένας τρίχας· ἴσως δὲ καὶ τὸ κλέπτειν ὡς ἀπὸ τοῦ ἐκλέπειν τοὺς ὑποκλεπτομένους ἀφῃρέθη τὸ ε .] Ὅτι δὲ καὶ ἀπὸ τοῦ ξαίνειν, ἀφ' οὗ καὶ ξάνιον τὸ κτένιον, γίνεται ὁ ξανθὸς ὡς οἷον ξαντὸς διὰ τὸ ἀξίαν εἶναι τὴν τοιαύτην μάλιστα κτενίζεσθαι τρίχα ὑποδηλοῦσιν οἱ παλαιοί. [τακτέον δὲ εἰς τοιαύτην ἀντιστοιχίαν ψιλοῦ εἰς δασὺ καὶ τὸ Τιθωνός ἐκ τοῦ τιταίνω καὶ τὸ αὐθέντης ὁ αὐτόχειρ, ὡς δηλοῖ ψιλούμενον τὸ «ἀνά τ' ἔντεα καὶ μέλαν αἷμα».

1.131 ὅμοιον καὶ τὸ ἐλεφαίρω ἐκ τοῦ ἔλπω τὸ ἐλπίζω καὶ τὸ σφεδανόν ἐκ τοῦ σπεύδω καὶ ἡ τερθρεία ἐκ τοῦ τερατεία. ὁμοίας δὲ ἀγωγῆς καὶ τὸ ἄρθρον καὶ τὸ ῥεῖθρον καὶ ὁ ἐπὶ ζῴων λόφος ἐκ τοῦ λέπω τὸ λεπίζω καὶ ἡ φιάλη ἐκ τοῦ πιεῖν καὶ ἐκ τοῦ κάπτω ὁ κεκαφηὼς καὶ τὸ «μυελὸς σφονδυλίων ἔκπαλτο» καὶ μοιχὸς παρὰ τὸ μὴ οἰκὸς ἤγουν καθ' Ἡρόδοτον «ἐοικός», δι' ὃν οὐκ ἔοικε τὰ γένη. ἀνάπαλιν δὲ ἀντιστοιχεῖ ψιλὰ πρὸς δασέα ἐν τῷ ἀμπεχόνῃ ἐκ τῆς ἀμφὶ προθέσεως καὶ ἐκεχειρία τὸ ἐπέχειν χεῖρας καὶ τὸ πέφραδα καὶ οἱ ὅμοιοι ἀναδιπλασιασμοί. σὺν

ἄλλοις δὲ μυρίοις καὶ ὁ παρὰ Σοφοκλεῖ «λεύκιππος Αἰνιάν» καὶ ὁ ἀπηλιώτης καὶ οἱ ἀντήλιοι. Ὅτι δὲ κόμη ξανθὴ ἐκόσμει καὶ τὸν Μενέλαον, ἐν τοῖς ἑξῆς ἱστορήσει ὁ ποιητής. δῆλον δὲ ὡς ἡ ξανθὴ κόμη, ἀφ' ἧς καὶ Ξάνθος ὄνομα ἵππου ξανθοῦ, ὡς εἰκὸς καὶ πυρρὰ λέγοιτ' ἄν, ἧς παρώνυμον πύρριχος, ἔτι δὲ καὶ πυρσὴ συγγενῶς ἔχουσα πυρσῷ τῷ καὶ φανῷ. ἡ δ' αὐτὴ κόμη ῥηθείη ἂν καὶ αἰθὴ ὡς ἐκ τοῦ αἰθός, οὗ χρῆσις ἐν τῷ «αἰθὸς γεγένημαι». ἡ δὲ τοιαύτη αἰθὴ κόμη τὴν παρὰ Λυκόφρονι Κομαιθὼ παρήγαγεν, ὅπερ ἴσον ἐστὶ τῷ πυρρότριχα. καὶ ἡ Ἀγαμεμνονέη δὲ Αἴθη πυρρὰ εἴη ἂν κατὰ τὴν εἰρημένην αἰθὴν καὶ ἄλλως δὲ φοινικῆ, ἐπεὶ καὶ φοῖνιξ ἵππος ὁ ὁμόχρους φοίνικι τῇ ὀπώρᾳ. εἰ δ' ἄλλως διαφορά ἐστι ξανθοῦ τοῦ ἡλιώδους ἔτι δὲ καὶ πυρροῦ τοῦ οἱονεὶ φλογέου καὶ φοινικοῦ τοῦ καθ' αἷμα, μεριστέον πρὸς τὰ τοιαῦτα τρία τὰς εἰρημένας λέξεις, ὡς δῆλόν ἐστιν.] (v. 190) Ὅρα δὲ ἐν τοῖς κατὰ τὸν Ἀχιλλέα, ὅτι τε ὅπλα ἐφόρουν οἱ παλαιοὶ καὶ ἐν ταῖς ἀγοραῖς καὶ ὅτι οὐκ ἀγαθὸν ἦν ἐνόπλους ὄντας βουλεύεσθαι. μικροῦ γὰρ ἂν μέγα συνέβη κακὸν τοῦ Ἀχιλλέως χρησαμένου τῷ ξίφει. διὸ καὶ ἐκωλύθη παρὰ τοῖς ὕστερον ἡ ἁπλῶς ὅπῃ τύχῃ ὁπλοφορία διὰ τὰ ἐξ αὐτῆς κακά. εἰ γὰρ κατὰ τὸν ποιητήν «αὐτὸς ἐφέλκεται ἄνδρα σίδηρος» καὶ ἰδίᾳ που κείμενος, τί οὐκ ἂν ποιήσῃ φορούμενος; καὶ δηλοῦσι τοῦτο καὶ ὅσοι τῶν βαρβάρων ὁπλοφορεῖν διὰ βίου μεμελετήκασι, παρ' οἷς οὐδέποτε φόνοι ἐπιλείπουσι. φέρεται δὲ καὶ περὶ Ζαλεύκου τοῦ Λοκροῦ ἱστορία, ὡς νομοθετήσοι μὲν ὁ ἀνὴρ μηδένα φορεῖν ὅπλα ἐν βουλευτηρίῳ. ἐπεὶ δέ ποτε πολέμου ἐπικειμένου ἔνοπλος ὢν εἰσῆλθε, κατ' ἀνάγκην οὕτως ἔχων, εἰς τὴν βουλήν, ὑπέκρουσε μέν τις ὡς ἤδη τὸν νόμον ὁ Ζάλευκος λέλυκεν.

1.132 ὁ δὲ οὐ λύσειν ἔφη ἀλλὰ κυρώσειν καὶ ἅμα τῷ ξίφει δοὺς ἑαυτὸν ἀπέρρηξε τὸ ζῆν, ὅπερ ἦν ποινὴ τῷ παραβάντι τὸν νόμον. [Ἰστέον δὲ ὅτι ἀναλληγόρητον νοούμενον τὸ «μετετράπετο» ἀντὶ τοῦ ἐστράφη κεῖται· τρέψας δηλαδὴ ὀπίσω τὰς ὄψεις, ἵνα ἴδῃ, τίς ὁ τῆς κόμης αὐτὸν ἑλών, ὅτε καὶ ἰδὼν καὶ γνοὺς θαμβεῖται καὶ ὠφελεῖται.] (v. 200) Ἀθήνη δὲ μυθικῶς μὲν Διὸς θυγάτηρ, οἱονεὶ ἀθήλη τις οὖσα ὡς μὴ θηλάσασα. ὤδινε μὲν γάρ, φασίν, ἡ κεφαλὴ τοῦ Διός. ἐφίσταται δὲ προσκληθεὶς Ἥφαιστος καὶ πλήττει πελέκει τὴν κεφαλὴν καὶ τὸ ἐγκυμονούμενον ἐξέθορε τελεία κόρη ἔνοπλος. καὶ αὐτὴ ἐκ τοῦ μὴ θηλάσαι τὴν κλῆσιν ἔλαχε. θῶ γὰρ θήσω τὸ θηλάζω, ὡς τὸ «ἐπηετανὸν γάλα θῆσθαι». ἐξ οὗ καὶ ἀρνίον γαλαθηνὸν καὶ τιθηνὸς ἡ τροφὸς [ἡ καὶ θηλαμὼν παρὰ Λυκόφρονι, ἔτι δὲ καὶ ἡ θηλὴ καὶ τὸ θηλάζειν καὶ ἡ τήθη ὡς οἷον ἐπιτάσσουσα τῷ βρέφει «τῆ» τουτέστι λάβε, θήλασον, κατὰ τοὺς παλαιούς.] Ἀλληγορικῶς δέ, ὡς ἐν ὀλίγῳ πολλὰ συνελεῖν, Ἀθήνη ἡ φρόνησις ἢ κατὰ στέρησιν καὶ αὐτὴ τῆς θηλῆς διὰ τὸ τέλειον ἢ παρὰ τὸ ἀθρεῖν τὸ βλέπειν ἀθρήνη τις οὖσα ὡς τῶν μελλόντων καὶ δεόντων προβλεπτική. ἐκ Διὸς δέ, διότι ἐκ τοῦ νοός. Ζεὺς γὰρ καὶ ὁ νοῦς· ἐκ κεφαλῆς δὲ διὰ τὸ ἐκεῖ λογιστικόν, οὗ προβολὴ ἡ φρόνησις. Ἥφαιστος δὲ αὐτὴν ἐκφαίνει, διότι αὐτὸς μὲν εἰς πῦρ ἀλληγορεῖται τὸ καὶ φωσφοροῦν καὶ ἐκκαῖον καὶ ἀνωφορούμενον. καὶ ἡ φρόνησις δὲ φωσφόρος τέ ἐστι καὶ τὸ δραστήριον πρηστήριον οἷον ἔχει καὶ οὐδὲν ταπεινὸν φρονεῖ, ἀλλὰ ὑπερῆρται καὶ ἄνω φέρεται. συγκροτεῖται δὲ καὶ ἐκ τῶν ἐπιθέτων ἡ Ἀθηνᾶ εἰς τὸ νοεῖσθαι φρόνησις, ὡς ἐν οἰκείοις τόποις ἕκαστον φανήσεται. εἰ δέ ποτε καὶ στοιχειακῶς ἡ Ἀθηνᾶ εἰς γῆν ἀλληγορεῖται καὶ εἰς αἰθέρα ἐκλαμβάνεται, καὶ αὐτὸ λεχθήσεται κατὰ καιρόν. ὁ δὲ Παραβάτης, ἐν οἷς Δία νοεῖ τὸν ἥλιον, ἐξ αὐτοῦ γενέσθαι λέγει τὴν Ἀθηνᾶν ἤτοι τὴν πρόνοιαν. διό, φησί, καὶ θείᾳ μοίρᾳ Ὅμηρος ἀπεμαντεύσατο τὸ «τιοίμην, ὡς τίεται Ἀθηναίη καὶ Ἀπόλλων». γεννᾷ δέ, φησίν, οὐκ ἐξ ἀκροτάτου μέρους, ἀλλὰ ὅλην ἐξ ὅλου. ὅτι δὲ Ἀθηνᾶ πρόνοια λέγεται, φέρει ἐκεῖνος καὶ χρῆσιν τοιαύτην· «ἵκετο δ' ἐς Πυθὼ καὶ ἐς γλαυκῶπα προνοίην». Τέσσαρες δὲ εὐθεῖαί εἰσι τῆς Ἀθηνᾶς· πρωτότυπος μὲν ἡ Ἀθήνη οἷον ἀθήλη, ὡς εἴρηται· ἀνδρομήκης γὰρ τῆς τοῦ Διὸς ἐξέθορε κεφαλῆς· ἐκ δὲ τούτου κατὰ συστολὴν Ἀθάνα γέγονε, καθὰ παρά τε Σοφοκλεῖ κεῖται καὶ ἑτέροις· ὥσπερ δὲ τὴν ἅμαξαν κατὰ παραγωγὴν ἁμαξαίαν φασὶ καὶ τὴν αὐλὴν αὐλαίαν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν προνομὴν προνομαίαν, ὡς ἐπὶ ἐλέφαντος, καὶ τὴν προτέρην προτεραίαν καὶ τὴν ὑστέραν ὑστεραίαν καὶ τὴν ἀλκὴν ἀλκαίαν, ὡς ἐπὶ λέοντος, [καὶ τὴν πέρην περαίαν] καὶ τὴν ἀκτὴν ἀκταίην, ὡς ἐπὶ Ἀττικῆς παρὰ Καλλιμάχῳ, καὶ τὴν γαλήνην γαληναίην, ὡς τὸ «γαληναίη τε γένηται» καὶ τὴν ἀνάγκην ἀναγκαίαν, οἷον· «ἀναγκαίη γὰρ ἐπείγει» καὶ τὴν σελήνην σεληναίαν, οἷον· «ἐπειδὴ φῶς σεληναίης καλόν», οὕτω καὶ τὴν Ἀθήνην Ἀθηναίαν φασὶν ἄλλοι τε καὶ ὁ ποιητής.

1.133 οἱ μέντοι ὕστερον ἀποβάλλοντες τὸ ι τῆς αι διφθόγγου καὶ Ἀθηνάαν ποιοῦντες, ὥσπερ τὴν ἐλαίαν ἐλάαν Ἀττικῶς, οἷον· «τίς τῆς ἐλάας παρέτραγεν;» Ἀθηνάαν μὲν οὔ φασι, τὰ δὲ δύο α κιρνῶντες λέγουσιν Ἀθηνᾶν. διὸ καὶ ἐκτείνεται ἡ ταύτης εὐθεῖα καὶ ἀεὶ περισπᾶται διὰ τὴν τῶν δύο α κρᾶσιν. Ἰστέον δὲ ὅτι παρασημειοῦνται οἱ παλαιοὶ μὴ λέγεσθαί ποτε Ἀθηναίαν γυναῖκα διὰ τὴν τοιαύτην Ὁμηρικὴν Ἀθηναίαν ἤτοι Ἀθηνᾶν. ἀνὴρ μὲν γάρ, φασίν, Ἀθηναῖός ἐστιν, ὥσπερ καὶ Θηβαῖος, οὐ μήν, ὥσπερ Θηβαία, οὕτω καὶ Ἀθηναία γυνή, ἀλλὰ ἑτερωνύμως γυνὴ Ἀττική. τὸ γὰρ Ἀθηναία ἤδη προκατείληπται. ὅθεν ὡς θεῖόν τι τυγχάνον ὄνομα καὶ ὑπερηρμένον οὐ θέμις ὑποκαταβῆναι καὶ θνητοῖς προσώποις ἐγκαθεσθῆναι καὶ ὡς οἷον ἱεροσυληθῆναι θείαν κλῆσιν. Παυσανίας δὲ καὶ Αἴλιος Διονύσιος ἐν τοῖς οἰκείοις Λεξικοῖς φασιν, ὅτι Μετακλείδης αἰτίαν φησὶ τοῦ μὴ λέγεσθαι Ἀθηναίας τὰς Ἀττικὰς γυναῖκας, ἵνα μὴ τὴν ἄγαμον αἱ γαμούμεναι τῇ προσηγορίᾳ καταισχύνωσιν. ὅτε δὲ ἤρξαντο αἱ ἀσταὶ ἤτοι Ἀττικαὶ γυναῖκες Ἀθηναῖαι λέγεσθαι, τότε δὴ ἐπενοήθη καὶ τὸ τὴν θεὸν μηκέτι Ἀθηναίην καλεῖσθαι, ἀλλὰ κατὰ συναίρεσιν Ἀθηνᾶν. ἕτεροι δὲ τῶν παλαιῶν οὕτω συντόμως εἶπον· «ἀνάττικον Ἀθηναίαν γυναῖκα εἰπεῖν· ἀστὰς δὲ τὰς Ἀττικὰς γυναῖκας ἔλεγον ὡς καὶ τοὺς ἄνδρας ἀστούς». Σημείωσαι δὲ ὅτι [τε καθ᾽ ὁμοιότητά τινα τῶν προρρηθέντων ὀνομάτων οὐδὲ ἀνδρείαν γυναῖκα βούλονται λέγεσθαι, ἀλλ᾽ ἀνδρικήν, οἷα τὸ τῆς ἀνδρίας ὄνομα τῇ ἀρετῇ ἀποκληρώσαντες· καὶ ὅτι] ἐνταῦθα μὲν ὀνόματι ἀρσενικῷ οὐκ ἐπηκολούθησε παρασχηματισμὸς θηλυκοῦ. Ἀθηναῖος μὲν γὰρ ἀνήρ, οὐκέτι δὲ καὶ Ἀθηναία γυνή, ἀλλά, ὡς εἴρηται, ἀστὴ καὶ Ἀττική. παρὰ μέντοι τοῖς φιλοσόφοις γίνεταί τι ἀνάπαλιν. αὐτοὶ γὰρ ἀρετὴν μὲν λέγουσιν· ἐξ αὐτῆς δὲ παρωνυμούμενον ἀρσενικὸν ὀκνοῦσιν εἰπεῖν τὸν ἐνάρετον· ἀντὶ δὲ αὐτοῦ ἑτερωνύμως σπουδαῖόν φασι τὸν τῆς ἀρετῆς μετέχοντα. οὕτω καὶ ἑταίρα μὲν ἡ πόρνη λέγεται, ἀρσενικὸν δὲ αὐτῆς οὐχ᾽ εὕρηται.

1.134 τάχα γάρ, ἵνα τις ἀστείως εἴποι, οὐκ ἦν εἰκὸς ἄνδρα παρωνυμεῖσθαι τῇ μὴ ἐχούσῃ ἕνα τινά. διὰ μετοχῆς μέντοι ὁ τοιοῦτος ἀναπληροῦται· ἡταιρηκὼς γὰρ λέγεται. πάλιν δὲ αὖ ἑταῖρος μὲν ὁ φίλος λέγεται, ἑταίρα δὲ ἡ φίλη οὐκ ἂν ἀψόγως εὑρεθείη ἄν. ἐτέθη γὰρ ἡ λέξις ἐπὶ πόρνης εὐφημότερον. (v. 197) Ὅτι φύσει μὲν ὄπισθεν μετὰ τοῦ ς γραπτέον· συγκέκοπται γὰρ ἀπὸ τοῦ ὀπίσωθεν· τὸ δέ «στῆ δ᾽ ὄπιθεν» ἀποβολὴν τοῦ ς πέπονθε. [τοῦτο δὲ καὶ ἐν ἄλλοις εὑρεθήσεται.] (v. 200) Ὅτι Παλλάδα τὴν Ἀθηνᾶν λέγει κατὰ ἀλληγορίαν διὰ τὸ τῆς προνοίας ἢ φρονήσεως, εἰς ἣν ἡ Ἀθηνᾶ ἐκλαμβάνεται, ὀξυκίνητον, ὡς ἀπὸ τοῦ πάλλω τοῦ δηλοῦντος τὸ κινῶ· ἐξ οὗ καὶ πάλος ὁ κλῆρος λέγεται [καὶ κραιπάλη ὁ ἐκ μέθης παλμός, ὅ ἐστι κίνησις καὶ δίνησις τοῦ κάρα ἤγουν τῆς κεφαλῆς.] ἡ δὲ ἱστορία εἰς ταὐτὸν ἄγει τῇ νεάνιδι τὴν Παλλάδα οὕτω παρὰ τοῖς παλαιοῖς τὰς μείρακας ὀνομάζεσθαι λέγουσα· ὅθεν καὶ ἡ παλλακὶς παρωνόμασται καὶ πάλλαντες δὲ παρὰ τοῖς ἀρχαίοις οἱ νέοι, ὥς φησι Φιλιστίδης ἐν Συγγενικοῖς. τὸ δὲ λέγειν οὕτω καλεῖσθαι αὐτήν, ἐπειδὴ ἐν τῇ Γιγαντομαχίᾳ Πάλλαντά τινα πεφόνευκε Γίγαντα, ἢ ὅτι ἐκ τῆς τοῦ Διὸς ἀνέπαλτο κεφαλῆς ἢ ὅτι κεραυνῷ τῆς Σεμέλης βληθείσης καὶ τοῦ Διονύσου διεκπεσόντος ἐμβρύου παλλομένην τὴν τοῦ ἀμβλώματος καρδίαν ἤνεγκε τῷ Διῒ ἢ εἴ τι τοιοῦτον ἄλλο λέγεται, μύθου ἐστὶ παραλήρημα. καὶ ἐκεῖνο μέντοι ἰστέον, ὅτι τὰ τῆς Παλλάδος εἴδωλα Παλλάδια τοῖς παλαιοῖς ὀνομάζονται καὶ ὅτι φρόνησις ἠθικῶς ἐστιν ἡ Ἀθηνᾶ, ὡς ἐρρέθη. διὸ καὶ Διὸς καὶ Μήτιδος εἶναι λέγεται ἤτοι νοὸς καὶ βουλῆς. φησὶ

γὰρ ὁ μῦθος, ὅτι ἔγκυος οὖσα τὴν Ἀθηνᾶν ἡ Μῆτις κατεπόθη ὑπὸ τοῦ Διός, ἐν δὲ τῷ ὡρισμένῳ ταῖς κυούσαις καιρῷ ἐξέθορεν, ὡς πρὸ μικροῦ εἴρηται, τῆς τοῦ Διὸς κεφαλῆς ἡ Ἀθηνᾶ. Ὅτι τὸ «δεινὼ δέ οἱ ὄσσε φάανθεν» ἀντὶ τοῦ δυσαντίβλεπτοι τῷ Ἀχιλλεῖ ἐφάνησαν οἱ τῆς Ἀθηνᾶς ὀφθαλμοί, εἴτε μυθικῶς διὰ τὸ φοβερὸν εἴτε καὶ μάλιστα πρὸς ἀλληγορίαν. οὐ γὰρ ἔσχεν οἷον ἀντωπῆσαι καὶ ἐναντίος ἐλθεῖν τῷ ὀρθῷ λογισμῷ, οἷα μή τινα ἔχοντι ἀντιλογίαν, ἀλλὰ εὐθύς, φησί, μετετράπετο, ὅπερ μυθικῶς μὲν δηλοῖ, ὡς εἴρηται, τὸ ἐστράφη, ὡς ἂν ἴδῃ τίς ὁ τῆς κόμης ἁψάμενος, ἀλληγορικῶς δὲ τὸ μετεβλήθη τοῦ θυμοῦ ἢ ἐπεστράφη τοῦ φρονῆσαι κατὰ τὸ «οὔ τι μετατρέπῃ οὐδ' ἀλεγίζεις». τινὲς δὲ τὸ «δεινὼ δέ οἱ ὄσσε φάανθεν» ἀντὶ τοῦ φαεινοὶ αὐτῷ ἐγένοντο καὶ ἐφωτίσθησαν οἱ ὀφθαλμοί. διὸ αὐτίκα ἔγνω ἐκείνην οἷα ἀγχίνους, ὡς πρὸ μικροῦ εἴρηται, καὶ οὐκ ἔλαθεν αὐτὸν τοῦ λοιποῦ οὔτε ὅτι κακῶς μελετᾷ καὶ ὅτι δεῖ κρεῖττόν τι ἐπιλογίσασθαι, οὔθ' ὅτι φρόνησις αὕτη ἐπῆλθεν αὐτῷ.

1.135 Τὸ δέ «φάανθεν» σκευωρεῖται οὕτως. τὰ εἰς μεν πληθυντικὰ τῶν εἰς ην ληγόντων παθητικῶν ἀορίστων τῷ η παραληγόμενα ἀποβολῇ τοῦ η καὶ μ τὸ τρίτον τῶν πληθυντικῶν ποιοῦσιν, οἷον ἐτύφθην πρῶτος ἀόριστος παθητικός· τούτου τὸ πληθυντικὸν ἐτύφθημεν καὶ ἐξ αὐτοῦ ἀποβολῇ τοῦ η καὶ μ τὸ τρίτον τῶν πληθυντικῶν κατὰ τοὺς Αἰολεῖς ἔτυφθεν ἀντὶ τοῦ ἐτύφθησαν. οὕτω καὶ ἠγέρθημεν ἤγερθεν, ἐκοσμήθημεν ἐκόσμηθεν, ἐτμάγημεν ἀντὶ τοῦ διεκόπημεν ἔτμαγεν· «ὣς τὼ βουλεύσαντε διέτμαγεν», ἐφαάνθημεν ἐφάανθεν· «δεινὼ δέ οἱ ὄσσε φάανθεν» ἀντὶ τοῦ ἐφάνησαν. ὁμοίως καὶ ὅσα ἄλλα τοιαῦτα, ἐν οἷς καὶ τὸ «ἐρήτυθεν καθέδρας» ἤγουν κατέσχον ἢ ἡσύχασαν κατὰ τὰς καθέδρας. οἱ δὲ παλαιοὶ οὕτω καθολικώτερον κανονίζουσι τὰ τοιαῦτα Αἰολικὰ πλατύτερον παραδιδόντες κανόνα. φασὶ γὰρ ὅτι πολλοὶ παρῳχημένοι τὰ τῶν οἰκείων πληθυντικῶν τρίτα ποιοῦσιν ἐκ τῆς γενικῆς τῶν ἰδίων μετοχῶν, κλινομένης μὲν διὰ τοῦ ντ , ἀποβαλλούσης δὲ τὴν τελευταίαν συλλαβήν· οἷον λέγων λέγοντος ἡ μετοχή. ταύτης τῆς γενικῆς ἀφαιρεθεῖσα ἡ λήγουσα ποιεῖ τοῦ ἔλεγον παρῳχημένου τὸ τρίτον πληθυντικὸν ἔλεγον. οὕτω καὶ γράφων γράφοντος, ἐγράφομεν ἔγραφον. ὁμοίως καὶ τυφθεὶς τυφθέντος, ἐτύφθημεν ἔτυφθεν, κοσμηθέντος ἐκόσμηθεν, φαανθέντος φάανθεν. ὡσαύτως καὶ δύς δύντος, ἔδυμεν ἔδυν· φάς φάντος, ἔφαμεν ἔφαν· κτάς, ὁ φονεύσας, κτάντος, ἔκταμεν ἔκταν· στάς στάντος, ἔσταμεν ἔσταν καὶ ἄλλα πολλά. πλατύτερος δὲ ὁ τοιοῦτος ἐρρέθη κανών, διότι οὐ μόνον Αἰολικὰ τάσσει ῥήματα, ἀλλὰ καὶ κοινά, ὧν τῆς αὐξήσεως ἀφαιρεθείσης τὰ αὐτὰ καὶ Ἰωνικὰ γίνονται ἀντὶ κοινῶν, οἷον τὸ ἐλέγομεν ἔλεγον λέγον καὶ τὰ ὅμοια. (v. 201) [Ὅτι Ὅμηρος μὲν αἰτιατικῇ συντάσσει τὸ φωνῶ, οἷον· «καί μιν φωνήσας», πρὸς ὁμοιότητα τοῦ προσειπεῖν. οἱ δὲ μεθ' Ὅμηρον μετὰ δοτικῆς φασιν, οἷον· «φωνῶ σοι», ὁμοίως τῷ λέγω καὶ λαλῶ.] Ὅτι πτερόεντες οἱ λόγοι διὰ τὸ ταχὺ καὶ διὰ τὴν ἐν αὐτοῖς ἁρμονίαν καὶ εὐσυνθεσίαν, καὶ ὅτι τέμνουσι τὸν ἀέρα καθὰ τὸ πτερόν, ἴσως δὲ καὶ ὅτι τοὺς λογίους ὑψοῦντες ἐξαίρουσιν, [ὅθεν παρέξεσται καὶ τὸ «νῦν τοι λέγων πτερῶ σε».] ὁ δὲ μῦθος ἀγῶνα καθίζει τῇ τε τῶν Σειρήνων ᾠδικῇ τέχνῃ καὶ τῇ τῶν Μουσῶν καὶ ὑποβιβάζει τὰς Σειρῆνας ταῖς Μούσαις· αἱ δέ, καθὰ συνέδοξεν, ἀνασπῶσι πτερὰ τῶν Σειρήνων—ἦσαν γὰρ ὀρνιθοφυεῖς αἱ Σειρῆνες—καὶ μηρίνθῳ συνδέουσι καὶ στεφάνων συμμετρήσαντες κύκλοις περιτίθενται στέφανον ἑκάστη πτέρινον. καὶ οὐ τοῦτο μόνον ποιοῦσιν ἐπὶ τῇ τῶν Σειρήνων αἰσχύνῃ, ἀλλὰ καὶ τοὺς λόγους καλοῦσι πτερόεντας στεφανοῦντες οἷον καὶ αὐτοὺς ὡς νικητὰς τῷ τῶν πτερῶν ἐπιθέτῳ, καθὰ καὶ τὰς σφῶν κεφαλὰς αὐτοῖς τοῖς πτεροῖς. [Ἔθος οὖν ἐντεῦθεν Ὁμήρῳ ἔπεα λέγειν πτερόεντα. τῶν τινες δὲ παλαιῶν σοφῷ μεθοδικῷ ἐκλαθομένῳ τῆς κατ' αὐτὸν τέχνης τέλεον ἐπέσκωψαν εὐφυῶς, ὡς γεγόνασιν αὐτῷ οἱ λόγοι πτερόεντες ὡς οἷα πτερυξάμενοι ἐξ αὐτοῦ.

1.136 (v. 202) Ὅτι σύνηθες Ὁμήρῳ συγκόπτειν τὸ ποτέ, οἷον «τίπτε» ἀντὶ τοῦ διὰ τί ποτε. ἔστι δ' οὗ καὶ τοῦ ε ἐκθλιβέντος ἐν τῷ ἐπάγεσθαι φωνῆεν δασυνόμενον τρέπει τὰ ψιλὰ εἰς δασέα, οἷον «τίφθ' οὕτως ἔστητε;»] Ὅτι αἰγίοχος Ζεὺς κατὰ μὲν μῦθον ὁ μετὰ γέννησιν τὴν ἐν Κρήτῃ ὑπὸ

αἰγὸς εὑρηκὼς τὴν ὀχὴν δηλαδὴ τὴν τροφήν, ὁπηνίκα τὸν παιδοβρῶτα πατέρα Κρόνον ἐκρύπτετο, ἧς αἰγὸς τὸ κέρας τῇ Ἀμαλθείᾳ δοθῆναι λέγεται, ὡς ἐν τοῖς εἰς τὸν Περιηγητὴν γέγραπται· ἢ καὶ ἄλλως αἰγίοχος Ζεὺς ὁ ἔχων τὴν αἰγίδα τουτέστι τὸ δέρμα τῆς ῥηθείσης αἰγός, ἣν ἐθήλασεν. ἔφερε γάρ, φασίν, αὐτὴν ἐναπτόμενος εἰς μνήμην. καὶ ἔστιν αἰγίοχος, ὡς ἄν τις εἴπῃ, αἰγίδοχος ἐκπεσόντος τοῦ δ διὰ ὄγκον χασμώδη σεμνότητι πρέποντα. ἡ δὲ ἀλληγορία Δία μὲν τὸν ἀέρα νοεῖ, αἰγίδα δὲ τὰ περὶ αὐτὸν δείματα, δι' ὧν ἐπαιγίζων τοὺς κάτω ἐκδειματοῖ. καὶ ῥηθήσεται περὶ τούτου κάλλιον ἔνθα τῆς αἰγίδος Ὅμηρος μνήμην ποιήσεται. (v. 203) [Ὅτι τὸ ἴδω ἴδῃς ἴδῃ παθητικῶς λέγει ὁ ποιητής· ἴδωμαι γάρ φησιν ἀντὶ τοῦ θεάσωμαι καὶ ἴδηαι καὶ κατὰ κρᾶσιν ἴδῃ, ὅ ἐστι θεάσῃ, οἷον· «ἦ ἵνα ὕβριν ἴδῃ Ἀγαμέμνονος;» εὑρίσκεται δὲ καὶ τὸ τρίτον τούτων ἴδηται. τούτοις δὲ ἀκόλουθα παρ' Ἀττικοῖς καὶ τὸ ὑπιδόμενος καὶ ἰδέσθαι καὶ τὰ τοιαῦτα.] (v. 204) Ὅτι ὁ μὲν ἀμφιβάλλων περὶ πράγματος καλῶς ἂν εἴποι τὸ «ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τετελέσθαι ὀΐω». ὁ μέντοι εὖ εἰδὼς ἐρεῖ ἄν· «ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται». (v. 205) Ὅτι ὥσπερ ἀγήνωρ ἔστιν οὗ κατὰ ψόγον ὁ ἄγαν τῇ ἠνορέῃ χρώμενος, οὕτω καὶ ὑπέροπλος ὁ διὰ θρασύτητα ὑπὲρ τὸ δέον ὅπλοις χρώμενος καὶ ὑπεροπλία ἡ τοιαύτη κακία· οἷον «ᾗς», ὅ ἐστιν ἰδίαις, «ὑπεροπλίαις τάχ' ἄν ποτε θυμὸν ὀλέσσῃ». Σημείωσαι δὲ ὅτι ὁπλότατον μὲν καὶ ὁπλότερον ὁ ποιητὴς λέγει τὸν νέον καὶ ὅπλα αἴρειν δυνάμενον οὐκ ἐπὶ ψόγῳ τὴν λέξιν τιθείς· τὸ δὲ ὑπέροπλος καὶ τὰ ἐξ αὐτοῦ ἐπὶ σκώμματι λαμβάνεται. Τὸ δὲ τάχα ἀντὶ τοῦ ταχέως ἐκ τοῦ ταχέα κατὰ συγκοπὴν ὡς τὸ σαφέα σάφα, λιγέα λίγα, ὠκέα ὦκα. βούλονται γὰρ οἱ παλαιοὶ τὸ τάχα μὴ εἶναι διστακτικόν ποτε παρὰ τῷ ποιητῇ. Στοχαστικῶς δὲ εἴρηται τῷ Ἀχιλλεῖ ὁ τοῦ βασιλέως ὄλεθρος μονονουχὶ λέγοντι, ὅτι ὁ οὕτω θρασὺς καὶ οἰόμενος κρείσσων εἶναι τῶν, οἷς θυμοῦται, ταχὺ ἄν ποτε ὀλεῖται περιτυχὼν ἑτέρῳ μὴ ὑπενδιδόντι κατ' ἐμέ.

1.137 (v. 206) Ὅτι γλαυκῶπις Ἀθηνᾶ οὐ μόνον γραφικῶς ὡς ἁπλῶς γλαυκοὺς ἔχουσα τοὺς ὀφθαλμούς, ἀλλὰ καί, ὡς ἂν εἴποι τις, δεινὴ τὴν ὄψιν καὶ ἐκπληκτικὴ κατὰ τὰ γλαυκωπὰ τῶν θηρίων. γλαυκοὶ γὰρ καὶ οἱ λέοντες οἱ βασιλικοὶ καὶ ἰδεῖν δεινοί. καὶ δράκοντας δέ τις τῶν ποιητῶν γλαυκῶπας καλεῖ. γλαυκῶπις οὖν καὶ ἡ φοβερὰ κατὰ τὸ πρὸ μικροῦ ῥηθὲν τὸ «δεινὼ δέ οἱ ὄσσε φάανθεν». τάχα δὲ καὶ ἄλλως ὁ μῦθος ἐπίτηδες τὸ γλαυκὸν τοῖς τῆς Ἀθηνᾶς ἀφώρισεν ὀφθαλμοῖς διὰ τὸ πρὸς αὐτὴν συγγενὲς τῆς λέξεως καὶ τὴν ἐξ ἀναπτύξεως ἐτυμολογικῆς ταὐτότητα. Ἀθήνη τε γὰρ ἀλληγορικῶς ἀπὸ τοῦ ἀθρεῖν εἰρῆσθαι δοκεῖ ὡς προαθροῦσα τὰ οἷον ἐν σκότει καὶ μέλλοντα. καὶ τὸ γλαυκὸν δὲ ἀπὸ τοῦ γλαύσσω παρῆκται, τὸ θεωρῶ, καὶ δηλοῖ τὸ ὑπόλευκον καὶ εὐόρατον. εἰ τοίνυν ταὐτὰ τὸ γλαύσσειν καὶ τὸ ἀθρεῖν, ἔχει πως συγγενῶς κατ' αὐτὰ καὶ τὰ ἐξ αὐτῶν παραγόμενα. διὸ τὸ γλαυκωπὸν ᾠκείωται τῇ Ἀθηνᾷ ὡς ἀθρητικῇ βλεπτικόν. διὰ τοῦτο δὲ καὶ ἡ γλαὺξ οἰκεία τῇ Ἀθηνᾷ οὐ μόνον ὡς νυκτὸς ὁρῶσα, ὥσπερ καὶ ἡ σύνεσις κατὰ τὸν εἰπόντα «ὀρθῇ κελεύθῳ ἐν ταῖς βουλαῖς τὰ ἐν σκότει ποδηγετεῖ», ἀλλὰ καὶ διὰ τὴν ἀπὸ τοῦ γλαύσσω παραγωγήν, ὅπερ ἐστὶ ταὐτὸν τῷ ἀθρῶ. οὕτω καὶ ἄλλα τῶν ὀρνέων ᾠκείωνται ἄλλοις θεοῖς διὰ τὴν πρὸς ἐκείνους συγγένειαν ἢ κατὰ τὸν τῆς κλήσεως τύπον ἢ κατὰ ἐνεργείας ταὐτότητα, οἷον ἡ νῆσσα τῷ Ποσειδῶνι· ὑγρὰ μὲν γὰρ οὐσία ὁ Ποσειδῶν καὶ ἡ νῆσσα δὲ παρὰ τὸ νῶ νήσω τὸ κολυμβῶ ἠτυμολόγηται, ἐξ οὗ καὶ τὸ νήχω καὶ ἡ ναῦς καὶ ὁ Νηρεύς· ἱέραξ δὲ ἱέρωται Ἡλίῳ Ἀπόλλωνι διά τε τὸ ὀξὺ τῆς κινήσεως· ὠκυπέτης γὰρ ὁ ἱέραξ καὶ ὁ ἥλιος δὲ ὀξυκίνητος· καὶ διὰ τὴν ἐξ ἐτυμολογίας συγγένειαν. καὶ γὰρ ἵεται ῥᾷον ὁ ἥλιος. ἐντεῦθεν δὲ καὶ ὁ ἱέραξ ὠνόμασται. ὅθεν καὶ Ἰαπετὸς παρὰ τὸ ἵεσθαι καὶ πέτεσθαι ἡ οὐρανία σφαῖρα λέγεται. οὕτω καὶ ἡ φαληρὶς τῇ Ἀφροδίτῃ συνῳκείωται οὐ μόνον κωμικώτερον διὰ τοὺς ἰθυφάλλους καὶ τοὺς φαλλοὺς [καί, ὡς γοργότερον ἔφη τις, διὰ συνέμφασιν τοῦ φαλλοῦ,] ἀλλὰ καὶ διὰ λευκότητα τὴν ἐν σπέρματι ζωϊκῷ, οὗπερ ὁμοιότης ἔγκειται τῷ τῆς φαληρίδος ὀνόματι. φάλιον γὰρ τὸ λευκόν, ἐξ οὗ καὶ τὰ φάλαρα. καὶ κύκνος δὲ

τῷ Ἀπόλλωνι οὐ μόνον διὰ τὸ ᾠδικὸν καὶ μαντικὸν ἀφιέρωται, ἀλλὰ καὶ διὰ τὸ λευκόν, ὅπερ ἐκ τοῦ λεύσσειν ἤτοι βλέπειν παράγεται, οὗπερ Ἀπόλλων ἐστὶ παραίτιος· ὅθεν καὶ Δήλιος ἐπιθετικῶς ὀνομάζεται ὡς δῆλα καὶ εὐόρατα πάντα ποιῶν.

1.138 καὶ ἀετὸς δὲ τῷ Διΐ, ἤτοι τῷ αἰθερίῳ ἀέρι, ἀνιέρωται οὐ μόνον ὡς τελείῳ τέλειος καὶ ὡς οὐρανίῳ ὑψιπέτης, ἀλλὰ καὶ διὰ τὴν κατὰ τοὔνομα κοινωνίαν. ἀετός τε γὰρ καὶ ἀὴρ ἄμφω παρὰ τὸ ἄω τὸ πνέω δοκοῦσι παράγεσθαι. οἰκεῖος δέ πως καὶ λάρος Ἑρμῇ οὐ μόνον ὡς Ἀργεϊφόντῃ λευκός, ἀλλὰ καὶ κατὰ τὸ παρωνυμεῖν τρόπον τινὰ τῇ τοῦ λόγου γλυκύτητι. ὅ τε γὰρ λόγος πρᾶγμα λαρὸν ἤγουν ἡδὺ καὶ ὁ λάρος δὲ παρὰ τόνον ἐκπέφευγε τὴν πρὸς τὸ λαρόν συνέμπτωσιν καί, ἵνα μὴ πολλοῖς ὁμοίοις ἐπεξιόντες περιττὰ σοφιζώμεθα, οὕτω καὶ γλαὺξ οἰκεῖον τῇ ἀθρητικῇ Ἀθηνᾷ διὰ τὴν πρὸς τὸ ἀθρεῖν τοῦ γλαύσσειν ταὐτότητα. ἵνα δὲ τῶν ὀρνίθων ἀφέμενοι καὶ ὑποκαταβάντες γενώμεθα καὶ τῶν περὶ γῆν, οὕτω καὶ ἄλλα τινά τισιν ἀνάκεινται διὰ ὁμοίας αἰτίας, οἷον Διονύσῳ κισσός· κισσητὸς γὰρ ὁ οἶνος, οὗ δοτὴρ ὁ Διόνυσος. νάρκισσος Ἐριννύσι στεφάνωμα· νάρκισσός τε γὰρ ἐκ τοῦ ναρκᾶν παρηχεῖται καὶ τοῦ ναρκᾶν Ἐριννύες τοῖς κακούργοις παραίτιοι. πεύκης φυτὸν Ἡφαίστῳ ἀνεῖται οὐ μόνον ὅτι εὐέξαπτον, ἀλλὰ καὶ διὰ τὴν δᾷδα, ἥτις ἀπὸ τοῦ δαίω τὸ καίω παράγεται, καθὰ καὶ ἐκ τοῦ αἴθειν ὁ Ἥφαιστος. ἡ τρίγλα κατὰ τοὺς παλαιοὺς Ἀρτέμιδος ἄγαλμα, παρόσον ἡ τρίγλα μὲν κατὰ τὸν Κίλικα ποιητὴν τριγόνοις γοναῖς ἐπωνόμασται τρὶς γεννῶσα τοῦ ἔτους· καὶ Ἄρτεμις, ταὐτὸν δὲ εἰπεῖν σελήνη, τριταία μετὰ γέννησιν σαφῶς διεκφαίνεται. [τῇ δ’ αὐτῇ Ἀρτέμιδι, ταὐτὸν δ’ εἰπεῖν Ἑκάτῃ, καὶ μαινίδα θύεσθαί φασι διὰ τὸ δοκεῖν μανιῶν αἰτίαν εἶναί τισιν, ὡς οἷον εἰπεῖν τοῖς σεληνιαζομένοις. καὶ ἄλλοι δὲ ἰχθύες ἀνεῖνταί τισι κατὰ οἰκειότητα, οἷον Ἀπόλλωνι μὲν κίθαρος ἤτοι κιθάρα, ἐπεὶ κιθαριστὴς ἐκεῖνος περιᾴδεται· Ἑρμῇ δὲ βόαξ ὡς κήρυκι διὰ τὴν βοήν, παρ’ ἣν καὶ Βοώτης, κήρυκος ὄνομα· Ἀφροδίτῃ δὲ ἀφύη ἡ καὶ ἀφρῖτις διὰ τὸ ἄμφω ἐξ ἀφροῦ φῦναι τήν τε ἀφύην δηλαδὴ φυσικῶς καὶ τὴν δαίμονα μυθικῶς.] οὕτω καὶ λύκος Ἀπόλλωνος ἄθυρμα διὰ τὴν ἀμφιλύκην νύκτα, μεθ’ ἣν ἐκφαίνεται ἥλιος. καὶ λαγὸς ἐρώτων ἀνάθημα διὰ τὸ ταὐτὸν τῆς κατὰ κλῆσιν γενέσεως. λαγός τε γὰρ ἀπὸ τοῦ λάειν καὶ Ἔρως ἐκ τοῦ ὁρᾶν, ἅπερ τὸ βλέπειν μηνύουσι. καὶ Ἀθηνᾷ δὲ δράκων ἱέρωται, ἵνα, ὅθεν τὰ τῆς ἀρχῆς, ἐκεῖ καταλήξῃ ὁ λόγος ἡμῖν, διὰ τὸν αὐτὸν λόγον.

1.139 δράκοντος μὲν γὰρ πρόκειται τὸ δέρκω ἤτοι βλέπω, Ἀθηνᾶς δὲ τὸ ἀθρεῖν· ἀθρεῖν δὲ ταὐτόν ἐστι τῷ δέρκεσθαι. Σημείωσαι δὲ ὅτι περὶ τῆς γλαυκός φασιν οἱ παλαιοί, ὡς ἐνεργὸς διὰ σκότους οὖσα, ἤγουν ἐν σκότει καὶ νυκτί, μεθ’ ἡμέραν ἤτοι κατ’ αὐτὴν τὴν ἡμέραν ἀποτυφλοῦται ξηρότητι καὶ λεπτότητι τῆς περὶ τὸν ὀφθαλμὸν ὑγρότητος μὴ φερούσης τὴν πρὸς τὸ φῶς σύγκρασιν. ἡ δὲ περὶ γλαυκὸς παροιμία ἡ λέγουσα «γλαὺξ εἰς Ἀθήνας» ἐμφαίνει μὲν καθ’ ἱστορίαν καὶ αὐτὴ φίλον εἶναι πτηνὸν Ἀθηνᾷ τὴν γλαῦκα· λαμβάνεται δὲ ἢ ἐπὶ τῶν συμβαλλόντων, ἔνθα μὴ χρεία συμβολῆς, ἢ ἐπὶ τῶν θαμιζόντων, ἔνθα πολὺ τοιοῦτον πλῆθος. οἱ δὲ παλαιοί φασι καί, ὅτι τὸ «γλαῦκα Ἀθήναζε» ἁρμόττει ἐπὶ τῶν ἄλλοθεν μάτην ὡς σπάνιά τινα ἐμπορευομένων, ὃ καὶ εἶναι ὅμοιον τῷ «πύξον ἐς Κύτωρον ἤγαγες» ἤ «ἰχθὺν εἰς Ἑλλήσποντον». Ὅτι δὲ ἡ γλαὺξ οὐ μόνον ὀξύνεται κοινότερον, ἀλλὰ καὶ περισπᾶται Ἀττικῶς, δηλοῦται ἀλλαχοῦ. (v. 207) Ὅτι ἐν τῷ «ἦλθον ἐγὼ παύσουσα τεὸν μένος, αἴ κε πίθηαι» δηλοῖ φιλοσόφως ὁ ποιητὴς τὸ ἐφ’ ἡμῖν εἶναι παύεσθαι θυμοῦ εἴτε καὶ μὴ καὶ ὅλως τὸ μὴ βίᾳ εἶναι, ἀλλ’ ἑκούσιον τὸ καλόν. (v. 211) Ὅτι ὀνειδίζειν οὐ μόνον τὸ εὐεργεσίας ἀναφέρειν τοῖς εὐηργετημένοις, ὅπερ πρὸ μικροῦ Ἀχιλλεὺς ἐποίησε προσονειδίσας τῷ βασιλεῖ, ὡς τὸ μὲν πλεῖον τοῦ πολέμου αὐτὸς ἔχει, ἐκεῖνος δὲ τὸ πλέον τοῦ δασμοῦ, ἀλλὰ καὶ τὸ ἁπλῶς ὀνοστά τινα καὶ ἐπίμομφα λέγειν. Ἀχιλλεὺς οὖν ἐνταῦθα ὑπὸ τῆς Ἀθηνᾶς ἐπιτραπείς «ἔπεσσιν ὀνειδίσαι, ὡς ἔσσεταί περ» εὐεργεσίας μὲν οὐ προφέρει τῷ βασιλεῖ, οὐδὲ ἀχάριστον εἶναι λέγει, ὅπερ ἦν κυρίως ὄνειδος· ἄλλως δὲ ὑβριστικῶς ὀνειδίζει «οἰνοβαρῆ» τε προσειπὼν καὶ ἕτερα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅσα εἰρήσεται. εἰ μὴ ἄρα ἐρεῖ τις, ὅτι ἐξελάθετο καὶ δέον ὂν ὀνειδίσαι καὶ εὐεργεσιῶν ὑπομνῆσαι καὶ ἀχαριστίας τὸν Ἀγαμέμνονα γράψασθαι, ὁ δὲ ὑβρίζει ἐκεῖνον ἡττηθεὶς αὖθις τῷ θυμῷ καὶ οὗ παρηγγέλθη ἐκλαθόμενος. [ὅτι δὲ οὐκ ἀεὶ τὸ ὄνειδος βαρεῖα λέξις ἐστὶ καὶ ἀηδής, δηλοῖ οὐ μόνον ὁ γράψας ὡς «καλὸν ὄνειδος σπαργάνων ἀνειλόμην», ἀλλὰ σὺν ἄλλοις καὶ ὁ εἰπών «κάλλιστον ὄνειδος». εἴη δὲ ἂν τοιοῦτον ὄνειδος ὁ λόγος ὁ προφέρων πάθος τι δεινὸν μέν, ἐπίσημον δὲ ἄλλως ἐν ἀνθρώποις καὶ θαυμαζόμενον, ὁποῖον καὶ τὸ τοῦ Οἰδίποδος διήγημα, οὗ μέρος καὶ ἡ τῶν σφυρῶν αὐτοῦ τρῆσις καὶ οἴδησις, ὅθεν Οἰδίπους ἐκλήθη, καὶ ἡ κατὰ Θηβῶν ἐπίθεσις τῆς Σφιγγὸς καὶ ὅσα τοιαῦτα.

1.140 ] Ὅρα δὲ ὅπως ἡ Ἀθηνᾶ τὸ ὀλίγον συγχωρεῖ τῷ Ἀχιλλεῖ ἤτοι τὸν βασιλικὸν ὄνειδον, ἵνα τοῦ μείζονος ἀποτρέψῃ κακοῦ ἤτοι τῆς φονικῆς ἐγχειρήσεως. οὕτω καὶ ἰατρός ποτε τῷ πυρέττοντι ἀπαγορεύων οἶνον, ὕδωρ δίδωσιν. οὐ γὰρ δεῖ τοῖς κρατοῦσι πάθεσιν αὐστηρῶς ἀντιβαίνειν, ἀλλὰ μετρίως εἴκειν· καθὰ καὶ Ἡσίοδος τῷ ἀδελφῷ παραχωρεῖ «πλούτου κορεσσάμενον, τότε δὴ νείκεα ὀφέλλειν» ἤτοι φιλονεικεῖν. (v. 213 s.) Ὅτι φανερῶς ἐνταῦθα ὁ ποιητὴς τὴν Ἀθηνᾶν οὐ θεὰν ἀφίησι νοεῖν, ἀλλὰ φρόνησιν στοχαστικὴν τοῦ μέλλοντος ἐν τῷ «καί ποτέ τοι τρὶς τόσσα παρέσσεται ἀγλαὰ δῶρα [ὕβριος εἵνεκα τῆσδε· σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν», ἃ δὴ πραϋντικά ἐστι μεγάλου θυμοῦ, καθὰ καὶ πρὸ αὐτῶν τὸ «ἀλλ' ἄγε λῆγ' ἔριδος, μηδὲ ξίφος ἕλκεο χειρί. ἀλλ' ἤτοι ἔπεσι μέν» καὶ ἑξῆς, ὡς προείρηται.] οὐκ ἐξ Ἀθηνᾶς γὰρ τῆς μυθικῆς ἀκούων, ἀλλ' οἴκοθεν ἐννοεῖται τοιαῦτα στοχαστικῶς ὁ Ἀχιλλεύς. διὸ καὶ ψεύδεται, διεκπεσὼν τῆς ἀληθείας ἐπὶ τὸ ἔλαττον. τοιοῦτον γάρ ποτε ἡ στοχαστικὴ νόησις. ὅτι δὲ ψεύδεται, δῆλον ἐκεῖθεν. ἐν γὰρ ταῖς Λιταῖς ὁ βασιλεὺς οὐ τρὶς τόσα, ἀλλ' ἀπειροπλασίονα δῶρα ὑπισχνεῖται τῷ Ἀχιλλεῖ. καὶ ὅρα οἷον τὸ δωρεῖσθαι, εἴπερ τὰ ὕστερον δῶρα καραδοκήσας ὁ Ἀχιλλεὺς καθυφίησι τοῦ τοσούτου ἄρτι θυμοῦ. εἰ δὲ τοῖς πρέσβεσιν ὕστερον ἀπαριθμουμένοις τὰ δῶρα οὐχ' ὑπείκειν θέλει, συνετοῦ καὶ τοῦτο ἀνδρὸς μὴ προαρπάζειν τὴν συμμαχίαν ἀλλ' ἀναβάλλεσθαι τοῖς ἐχθροῖς καὶ παρατείνειν τὴν χάριν καὶ οὕτως αὔξειν τὰ τῆς τιμῆς. ἔοικε δὲ Ἀχιλλεὺς ἀρέσκεσθαι ἐν τοῖς ἀδικήμασι τῇ εἰς τὸ τριπλάσιον ποινῇ. τῷ μὲν γὰρ Ἀγαμέμνονι κατ' ἄλλον λόγον τριπλῇ καὶ τετραπλῇ τοὺς Ἕλληνας ἀποτῖσαι τὸ γέρας ὑπέσχετο, ἑαυτῷ δὲ ἀδικηθέντι τρὶς τόσσα φησὶ παρέσσεσθαι. καὶ ὅρα ὅτι ποικίλως φράζων ὁ ποιητὴς τὸ τριπλᾶ τρὶς τόσσα φησίν. [Εἰκὸς δὲ καὶ ἀντὶ τοῦ πολλάκις εἰρῆσθαι τὸ τρίς· ἐπεὶ καὶ οἱ τρισμάκαρες καὶ ὁ τρισευδαίμων καὶ τὰ τοιαῦτα κατὰ τοιοῦτον σημαινόμενον σύγκειται ἀπὸ τοῦ τρίς ἐπιρρήματος, εἰ καὶ τὸ τρισάθλιος ὁ Πινδαρικὸς μῦθος ἄλλως νοεῖ. οὕτω καὶ τρίαινα ποτὲ μὲν ἡ τριγλώχιν, ποτὲ δὲ ἡ πολυτοιαύτη.] (v. 216) Ὅτι ὁ ἐν θυμοῦ καιρῷ πεισθεὶς τῷ πραΰνοντι καλῶς ἂν εἴπῃ τὸ «χρὴ τὸ σὸν ἔπος φυλάξασθαι καὶ μάλα περ θυμῷ κεχολωμένον· ὧς γὰρ ἄμεινον». λέγει δὲ Ὅμηρος τὸ φυλάξασθαι εἰρύσασθαι κατ' ἐπένθεσιν τοῦ ι . τὸ μέντοι ἁπλοῦν ἐρύσασθαί ἐστιν. Ἰστέον δὲ ὅτι τὸ «χρή» ὀξυνόμενον μὲν ἐπίρρημα δηλοῖ κατὰ τοὺς παλαιούς, τὸ δέον ἐστί· περισπώμενον δὲ ῥηματικόν ἐστιν ἀπὸ τοῦ χρῶμαι, οἷον «τί χρῇ τούτῳ;» ἔστι δὲ καὶ ἐπὶ μαντείας, οἷον «χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος». [ἀκριβέστερον δὲ περὶ τούτου ἐν τοῖς ἑξῆς ῥηθήσεται.

1.141 (v. 218) Ἰστέον δὲ καὶ ὅτι ἐνταῦθα Ὁμήρου γνωμικὸν εἰπόντος τὸ «ὅς κε θεοῖς ἐπιπείθηται» καὶ ἑξῆς, ὀρθὸν ἔσται παρῳδηθὲν οὕτω κατὰ πτῶσιν ἑνικήν· «ὅς κε θεῷ ἐπιπείθηται, μάλα τ' ἔκλυεν αὐτοῦ» ἤγουν θεὸς ἀκουσθεὶς ἀντακούει ἐπὶ πλέον. ἔχει δέ τι καινοπρεπές· τὸ γὰρ κοινὸν καὶ σύνηθες ἦν ἄν· «ὃς θεοῖς πείθεται, κλύεται». οὐκ ἔσχε δὲ οὕτω φράσαι διότι τοῦ κλύω οὐκ εἰσὶ παθητικά.] (v. 219) Ὅτι κώπη ἡ τοῦ ξίφους λαβή, μέρους ὄνομα, ὅθεν καὶ ὅτε κώπην τις εἴπῃ τὴν ναυτικήν, κώπη καὶ ἐκείνης κυρίως ἡ λαβή, ἀφ' ἧς καὶ τὸ ὅλον ὠνόμασται. [Αὐτὴ μέντοι ἔχει τὸ καὶ ἐλάτη λέγεσθαι καὶ πλάτη δὲ διὰ τὸ ἐλαύνεσθαι κατὰ τὸ κάτω πλατύ. ἡ δὲ Ὁμηρικὴ ἀργυρέη ἐρρέθη πρὸς διαστολὴν ἐκείνης, οἷον «ἐπ' ἀργυρέῃ κώπῃ σχέθε χεῖρα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαρεῖαν». δι’ ἣν ἀργυρέην κώπην καὶ ξίφος λαλεῖται ἀργυρόηλον.] (v. 220) Ὅτι τὸ ἀπιθεῖν ἀεὶ παρ’ Ὁμήρῳ διὰ τοῦ ι γράφεται ὡς ἀπὸ τοῦ πιθῶ δευτέρου μέλλοντος γενόμενον. παρ’ ἡμῖν δὲ διὰ διφθόγγου γράφεται ἐκ τοῦ ἀπειθής ὀνόματος, καθὰ καὶ τὸ ἀφειδῶ ἐκ τοῦ ἀφειδής. (v. 223) Ὅτι οὐ μόνον ἐν ἔργοις ἡ ἄτη, ἀλλὰ καὶ ἐν λόγοις, ὁποῖοι καὶ οἱ κατὰ χόλον ὑβριστικοί. διὸ εἰπὼν ὁ ποιητής, ὡς ἀταρτηροῖς ἐπέεσσιν Ἀτρείδην προσέειπεν Ἀχιλλεύς, ἐπάγει· «καὶ οὔ πω λῆγε χόλοιο», δηλῶν ὅτι ἀτηρὸς λόγος ἐστὶ καὶ ὁ χολωτός. [πλεονασμὸς δέ ἐστι φανερὸς τῆς ταρ συλλαβῆς ἐν τῷ ἀταρτηροῖς.] (v. 225) Ὅτι ἐν στίχῳ ἑνὶ τρεῖς ὕβρεις ὁ Ἀχιλλεὺς ἐπιρρίπτει τῷ βασιλεῖ λέγων κομματικῶς· «οἰνοβαρές, κυνὸς ὄμματ’ ἔχων, κραδίην δ’ ἐλάφοιο». παρακατιὼν δὲ καὶ δημοβόρον λέγει αὐτὸν ἀπολύτως οὕτως εἰπὼν καὶ ἀσυνδέτως «δημοβόρος βασιλεύς». οἰνοβαρὴς μὲν οὖν ὁ Ἀγαμέμνων ὑπονοεῖται, διότι εὐεπιφόρως που ἔχων εἰς τὰ κατὰ οἶνον εὑρίσκεται τοῖς τε ἀριστεῦσιν ἐπονειδίζων, ὅτι μὴ γενναίως μάχονται καὶ ταῦτα παρ’ αὐτῷ πίνοντες, ὥσπερ αὐτός, καὶ λόγους δέ τινας λαλῶν συμποσιακούς, ὡς ἐν τοῖς ἑξῆς φανήσεται. καὶ αἱ κλισίαι δὲ αὐτοῦ, ὥς τις ἐρεῖ ἐν τοῖς ἑξῆς, οἴνου πλεῖαί εἰσιν· ἀναιδὴς δὲ διὰ τὰ πρὸ μικροῦ εἰς τὸν Ἀχιλλέα φορτικά· δειλὸς δὲ διὰ τὸ πολλαχοῦ λέγειν τὸ «φεύγωμεν», καθάπερ δηλωθήσεται. ἔοικε δὲ καὶ πρὸ τούτου τοῦ χρόνου τοιαῦτά τινα ὁ Ἀγαμέμνων ποιεῖν, ἐξ ὧν ἄρτι ὁ Ἀχιλλεὺς οὕτω σφοδρῶς ὑβρίζει αὐτόν. οὐ γὰρ ἂν ἁπλῶς οὕτω καὶ ψευδῶς τοὺς λόγους παρέρριψε. Τὸ δέ «κυνὸς ὄμματ’ ἔχων» φθάσας καὶ ἄλλως ἔφρασεν, ὅτε ἀναιδείην τε ἐπιειμένον ἔλεγε τὸν Ἀγαμέμνονα καὶ κυνῶπα συνθέτῳ ὀνόματι ἐκάλει αὐτόν. ἀντίκειται δὲ τὸ «κυνὸς ὄμματα ἔχων» πρὸς τὸ «κραδίην ἐλάφοιο» καὶ ἔστιν ἀντίθετον σχῆμα ῥητορικόν, ἵνα λέγῃ αὐτὸν θρασὺν μὲν ὡς κύνα, δειλὸν δὲ ὡς ἔλαφον.

1.142 τοιαύτη γὰρ ἡ ἔλαφος. διὸ καὶ φυζακινὴν αὐτὴν ἡ ποίησις καλεῖ. Ἐνταῦθα δέ φασιν οἱ παλαιοί, ὅτι τρία ταῦτα Ἰσοκράτης ἀγαθὰ μαρτυρεῖ Κόνωνι, τῷ τῶν Ἀθηναίων στρατηγῷ ἐπιμέλειαν, πίστιν, ἐμπειρίαν πολέμων, συναγαγὼν τὸ ἐγκώμιον ἀπὸ τῶν ἐναντίως ἐνταῦθα προσμαρτυρουμένων τῷ Ἀγαμέμνονι. ἐξ οἰνοποσίας μὲν γὰρ ἀμέλεια· ἐξ ἀναιδείας δὲ ἀπιστία ἡ πρὸς τὸ κοινόν· ἡ δὲ δειλία τὴν τῶν πολεμικῶν ἀπειρίαν ἐργάζεται. εἰ τοίνυν κακὸν ἀμέλεια καὶ ἀπιστία καὶ ἀπειρία πολέμων, ἃ δὴ πρόσεστι τῷ Ἀγαμέμνονι, ἀγαθὸν ἄρα ἐξ ἐναντίου ἐπιμέλεια καὶ πίστις καὶ πεῖρα πολεμικῶν. ἐντεῦθεν οὖν Ἰσοκράτης τὸ τοῦ Κόνωνος ἐγκώμιον ἠρανίσατο. Σημειωτέον δὲ ὡς ὁ Ἀγαμέμνων πολλὰ ὑβρίσαντα τὸν Ἀχιλλέα καὶ πρὸ τούτου καὶ νῦν οὐκ ἀνθύβρισεν, ἀλλὰ καὶ ἀγαθόν που καὶ θεοείκελον ἔφη αὐτὸν αἰδούμενος τὴν ἀρετὴν τοῦ ἀνδρός, ἴσως δὲ καὶ ὀκνῶν λόγοις κολάζειν, ὃν ἔργοις ἀμυνεῖται. οὕτω δὲ ἦν ἡ τοῦ Ἀχιλλέως ἀρετὴ ὁμολογουμένη, ὥστε καὶ αὐτὸς ὁ βασιλεὺς μάλα μέν φησι καρτερὸν αὐτὸν εἶναι, ἐκ θεοῦ δὲ τοῦτο λαβεῖν. [Ἰστέον δὲ ὅτι ὁ οἰνοβαρὴς ἔχει καὶ ῥῆμα βαρύτονον τὸ οἰνοβαρείω, οὗ τῆς μετοχῆς χρῆσις ἐν Ὀδυσσείᾳ. (v. 226 ss.) Ὅτι ψόγος στρατηγοῦ τὸ «οὔτε ποτ’ ἐς πόλεμον ἅμα λαῷ θωρηχθῆναι οὔτε λόχονδ’ ἰέναι σὺν ἀριστήεσσιν Ἀχαιῶν τέτληκας θυμῷ· τὸ δέ τοι κὴρ εἴδεται εἶναι». τουτέστι θανάτῳ εἰκάζεται ὑπὸ σοῦ ἡ κινδυνώδης μάχη καὶ οὐ χαίρεις ἐπ’ αὐτῇ ὡς χάρμῃ. Ἀχιλλεὺς δὲ κατὰ τοῦ βασιλέως ταῦτα σκώπτει ἐπάγων καί, ὅτι «πολὺ λώϊόν ἐστι κατὰ στρατὸν δῶρ’ ἀφαιρεῖσθαι, ὅς τις σέθεν ἀντίον εἴπῃ» ἤγουν αἱρετώτερόν σοι ζημιοῦν τοὺς ἀντιλέγοντας ἤπερ ἐκ πολέμου ζῆν.] (v. 226 s.) Ἰστέον δὲ ὅτι τὸ μὲν ἅμα λαῷ θωρηχθῆναι τὴν φανερὰν δηλοῖ καὶ ἀντιμέτωπον παράταξιν, τὸ δὲ λόχονδ’ ἰέναι σὺν ἀριστεῦσι τὴν ἐξ ἐπικρύψεως ἐπίθεσιν σημαίνει. Ὅτι δὲ ἀριστέων μάλιστα ὁ λόχος δέεται, ἐν τῇ νῦ ῥαψῳδίᾳ ῥηθήσεται, ὅπου καὶ λόχος ῥηθῆναι φαίνεται παρὰ τὸ λέγω τὸ ἐπιλέγω, ἐν ᾧ εἰσιν ἐπίλεκτοι καί, ὡς νῦν φησιν ὁ ποιητής, ἀριστεῖς. Σημείωσαι δὲ ὅπως ἐνταῦθα ὁ ποιητὴς παρέφρασεν ἢ ἡρμήνευσε τὸ πρὸ ὀλίγου ῥηθὲν τὸ «ἢ ὁδὸν ἐλθεῖν ἢ ἀνδράσιν ἶφι μάχεσθαι». τὸ μὲν γὰρ εἰς πόλεμον ἅμα λαῷ θωρηχθῆναι τοῦτό ἐστιν ἀνδράσιν ἶφι μάχεσθαι, τὸ δὲ λόχονδε ἰέναι ταὐτόν ἐστι τῷ ὁδὸν ἐλθεῖν. (v. 230) Ὅρα δὲ καὶ ὅτι ἐν τῷ «δῶρα ἀποαιρεῖσθαι» δῶρα ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιητὴς λέγει οὐ τὰ κυρίως, ἀλλὰ ἁπλῶς τὰ κατὰ λάχος προσόντα τοῖς Ἕλλησι. καὶ ἔοικε σκωπτικῶς τοῦτο ῥηθῆναι παρ' ὑπόνοιαν. δέον γὰρ ἢ τὸν βασιλέα δῶρα διδόναι, ὁ δὲ δῶρα ἀφαιρεῖται· ἢ καὶ ἄλλως δῶρα τὰ γέρα. τὸ γὰρ γέρας δῶρον πάντως τοῖς ἀριστεῦσιν οὐ κλήρῳ λαγχάνον, ἀλλὰ πρὸς χάριν διδόμενον. ὁ γοῦν τὸ ἀλλότριον ἀφαιρούμενος γέρας δῶρον ἀφαιρεῖται, ὃ δὴ ἐπὶ τῆς Βρισηΐδος ἠπείληται καὶ γεγένηται εἰς Ἀχιλλέα. εἰ δὲ μὴ εὕρηται καὶ ἕτερος τοῦτο πεπονθώς, ἀλλὰ τυχὸν μὲν κατὰ τὸ σιωπώμενον γεγόνασι καὶ ἐπ' ἄλλοις τὰ ὅμοια· τέως γε μὴν παρὰ τῷ ποιητῇ καὶ ἐκ μιᾶς πείρας καθολικόν τι πολλάκις συνάγεται κατὰ πιθανότητα.

1.143 Ἀλέξανδρος οὖν διὰ μίαν γυναῖκα τὴν Ἑλένην, ἧς αὐτὸς πεπείραται, καλλιγύναικα τὴν Ἑλλάδα καλεῖ. καὶ Μενέλαος δὲ τοὺς Πριαμίδας ὑπερφιάλους καὶ ἀπίστους λέγει ἑνὸς τοιούτου πεπειραμένος τοῦ Πάριδος. καὶ Ὀδυσσέα δὲ ὁ ποιητὴς διὰ μιᾶς πόλεως ἅλωσιν πτολίπορθον πολλαχοῦ λέγει ἅπαξ που τὸν ὄντως πολιορκητὴν Ἀχιλλέα τοιούτου καταξιώσας ὀνόματος. [Ἐνθυμητέον δὲ ὡς ἔχουσί τι συγγενὲς οἵ τε παρ' Ἡσιόδῳ δωροφάγοι βασιλεῖς καὶ ὃς δὲ καθ' Ὅμηρον δῶρ' ἀποαιρεῖται, καὶ ὅτι ἡ σύνθεσις τοῦ ἀποαιρεῖται ὁμοία τῇ τοῦ «ἀποαίρεο κούρην».] (v. 231) Ὅτι Ἀχιλλεὺς οὐκ ἂν ὡς εἰς μόνον ἑαυτὸν ἀδίκου πειραθεὶς τοῦ βασιλέως οἷα δαπανήσαντός τι τῶν αὐτοῦ, δημοβόρον αὐτὸν καλεῖ. οὐ γὰρ ἂν εὖ τοῦτο λέγοι, μὴ καὶ θυμῷ φερόμενος λάθοι ἂν σκῶμμα καθ' ἑαυτοῦ συντιθείς. εἰ γὰρ δι' αὐτὸν δημοβόρος ὁ βασιλεύς, ἄρα τοῦ δήμου αὐτὸς καὶ ὁ τυχὼν στρατιώτης καὶ ὡς εἰπεῖν τῆς ἀγέλης ἄνθρωπος καὶ οὐκέτι ἄριστος Ἀχαιῶν, ὁποῖον ἑαυτὸν αὐτὸς ἐρεῖ. εἰ δὲ δημότης ἐστίν, ὀφείλει ἄρα σιγᾶν. δῆμον γὰρ ἄνδρα οὐ δεῖ ἀντιλέγειν βασιλεῖ «παρὲξ ἀγορεύοντα», ὥς που ὁ Τρωϊκὸς ῥήτωρ Πολυδάμας φησίν. ἀλλὰ τοῦτο μὲν ἀστείως εἴρηται. δημοβόρον δὲ ἄλλως τὸν Ἀγαμέμνονα λέγει Ἀχιλλεὺς ὡς αὐτὸν ἑαυτῷ τὰ κοινὰ δαπανῶντα, οἷα εἰκός, πολλάκις, ὡς πρὸ μικροῦ εἴρηται. ἐνταῦθα δὲ ἀσυνδέτως εἰπὼν «δημοβόρος βασιλεύς» ἐλλειπτικῶς εἶπε διὰ θυμόν. λείπει γὰρ τὸ εἶ. ὁμοίως δὲ καὶ μετ' ὀλίγα ἐρεῖ· «ἦ γὰρ ἂν Ἀτρείδη νῦν ὕστατα λωβήσαιο». ἐλλείπει γὰρ ἐνταῦθα ὡς λαμβανόμενον ἀπὸ κοινοῦ τὸ «εἰ μὴ οὐτιδανοῖς ἤνασσες». σφόδρα δὲ κινητικὸν τοῦ δήμου τὸ δημοβόρος βασιλεύς καὶ ἐρεθιστικὸν εἰς θυμόν. ὥσπερ δὲ παρ' Ἡσιόδῳ τὸ δωροφάγοι ἐπιτείνει τὸ κακὸν τοῦ δωροληπτεῖν, οὕτω κἀνταῦθα τὴν ἀδικίαν τὸ δημοβόρον, ὃ ἠρέμα ὑπελαλήθη καὶ ἐν τῷ «δῶρ' ἀποαιρεῖσθαι». ὅρα δὲ καὶ ὅτι οὐ μόνον οἰνοβαρὴς ὁ Ἀγαμέμνων σκώπτεται ἀλλὰ καὶ βορός. [ἐν τούτοις δὲ ὁ Ἀχιλλεὺς καὶ τῶν Ἀχαιῶν καταφέρεται οὐκ εὐλόγως εἰπών· «ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις», ἐθέλων ἐκείνους θυμομαχοῦντι αὐτῷ συνδιατίθεσθαι, ὡς καὶ ἐπαναστῆναι τῷ βασιλεῖ. Τὸ δέ «σέθεν ἀντίον εἴπῃ» ὅμοιόν ἐστι πρὸς τὸ «ἶσον ἐμοὶ φάσθαι» καὶ πρὸς τὸ «ἀντείπῃ».] (v. 229) Ὅτι στρατὸν εὐρὺν εἰπὼν Ἀχαιῶν ὁ ποιητὴς ἔδειξεν, ὡς καλῶς εὐρυκρείοντα τὸν Ἀγαμέμνονα λέγει, ὅνπερ ἄλλοι καὶ εὐρυμέδοντά φασιν. (v. 232) Ὅτι Ἀττικοὶ πολλάκις εὐκτικὰ λαλοῦσιν ἀντὶ παρῳχημένων, οἷον «ἐπεὶ ἔλθοι ὁ δεῖνα» ἤτοι ἦλθε· καὶ «ὡς δὲ λαλήσοι» ἀντὶ τοῦ ἐλάλησε· καὶ ἄλλα τοιαῦτα.

1.144 οὕτω καὶ ὧδε τὸ «ἦ γὰρ ἂν νῦν ὕστατα λωβήσαιο» ἀντὶ τοῦ τὰ ὕστερα ἂν ἐλωβήσω ἤγουν ὕβρισας. λώβη γὰρ ἡ εἰς τὸ φανερὸν ὕβρις καὶ ὡς εἰπεῖν ἐν μέσῳ λαοῦ βαίνουσα εἴς τινα, οἱονεὶ λαόβη καὶ κατὰ κρᾶσιν λώβη. [τινὲς μέντοι παρὰ τὸ λώπιον ἐτυμολογοῦσι τὴν λώβην, ὅπερ ἐστὶν ἱμάτιον, ἀφ' οὗ καὶ λωποδύτης καὶ ῥῆμα λωποδυτῶ, ἵνα ᾖ λώβη ἡ ἐν ἀπεκδύσει λωπίου ὕβρις ἐπαγομένη διὰ μάστιγος. Σημείωσαι δὲ ὅτι ἐν τῷ «ἦ γὰρ ἂν ὕστατα λωβήσαιο» λείπει θυμικῷ λόγῳ τὸ «εἰ μὴ οὐτιδανοῖσιν ἄνασσες», ἵνα λέγῃ ὅτι τὰ ὕστατα ὕβρισας ἂν ἐμὲ τὸν τηλικοῦτον, εἰ μὴ οὐτιδανοὶ ἦσαν οἱ Ἀχαιοὶ καὶ ἀφιλότιμοι οἱ παρὰ σοῦ βασιλευόμενοι.] (v. 234—7) Ὅτι θυμῷ ἐλαυνόμενος ὁ Ἀχιλλεὺς καὶ εἰς ὅρκον συνελάσας ἑαυτὸν οὐ Δία ἢ τοιοῦτόν τι ἐπόμνυται, ἀλλ', ὥσπερ κατὰ τὸν παλαιὸν λόγον τὸ παρατυχὸν ὄργανον ὅπλον ἐστὶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀχορηγήτου θυμοῦ, οὕτω καὶ νῦν Ἀχιλλεὺς ἐκ τοῦ παρατυχόντος πράγματος τὸν ὅρκον πορίζεται διὰ τὸν τοῦτο ἀπαιτοῦντα θυμὸν καὶ ὀμνύει εἰς τὸ ἀνὰ χεῖρα σκῆπτρον καὶ τούτου τὴν αἰτίαν ἐπάγει αὐτὸς διχόθεν εὔλογον εἶναι τὸ πρᾶγμα τιθείς. εἴτε γὰρ ἁπλῶς ξύλον θετέον τὸ σκῆπτρον τοῦτο τὸ ἀνὰ χεῖρας, καλόν ἐστιν εἰς ὅρκον συμβολικώτερον τε καὶ ἀφελέστερον. ὡς γὰρ αὐτὸ οἷα ξύλον τὴν τομὴν ἐν ὄρεσι λελοιπὸς οὔποτε τοῦ λοιποῦ φύλλα καὶ ὄζους φύσει οὐδ' ἀναθηλήσει· περιέλεψε γὰρ αὐτὸ ὁ χαλκὸς φύλλα τε καὶ φλοιόν· οὕτως οὐδὲ ἡμεῖς ἅπαξ ἐνταῦθα ἐν τῇ ἀγορᾷ τομὴν λελοιπότες καὶ ἀλλήλων ὥσπερ ἀποτμαγέντες τῇ διαστατικῇ ἔριδι τὸ τῆς φιλίας ἐνδειξόμεθα θάλος ἐς ὕστερον καὶ συμβησόμεθα. καὶ οὕτω μὲν εὔθετον εἰς ὅρκον ὡς ξύλον ἁπλῶς θεωρούμενον τὸ σκῆπτρον τόδε. εἰ δὲ καὶ οὐχ' ὡς ἁπλῶς ξύλον, ἀλλ' ὡς θεῖόν τι καὶ τίμιον καί, ὡς προείρηται, βασιλείας ὑπουργὸν καὶ δίκης σύμβολον θεωρήσει τις αὐτό—εἰς τόδε γὰρ τὸ βασιλικὸν ὀμνύει καὶ οὐχ' ἁπλῶς εἰς ἅπαν σκῆπτρον· —μάλιστα ἂν εἰς ὅρκον παραληπτέον αὐτό, οὐ δι' ἑαυτό, ἀλλὰ διότι μιν ἐν παλάμαις φορέουσι δικασπόλοι, οἵ θέμιστας πρὸς Διὸς φυλάσσουσι. διὸ εἰς τόδε τὸ σκῆπτρον ὀμνύων ὡς εἰς αὐτὴν τὴν Διὸς ἀρχὴν ἢ εἰς τὴν δίκην ἢ εἰς τὴν θέμιν φησί· «ναὶ μὰ τόδε σκῆπτρον» καὶ τὰ ἑξῆς· καὶ ἐπάγει ἐν τῷ τέλει, ὅτι «ὅδε μέγας ἔσσεται ὅρκος». πῶς δὲ μέγας; διὰ τὰ ῥηθέντα. (v. 240—3) Ἔστι δὲ τὸ πᾶν τοῦ ὅρκου τοιοῦτόν τι· «μὰ τόδε σκῆπτρον, ὄντως Ἀχιλλέως ποθὴ ἵξεται υἷας Ἀχαιῶν σύμπαντας, ὅτε πολλοὶ ὑπὸ Ἕκτορος ἀνδροφόνοιο θνήσκοντες πίπτωσιν». εἰ δέ τῳ μὴ ἀρέσκει ὁ εἰς τὸ σκῆπτρον ὅρκος διὰ τὸ ἀφελές τε καὶ εὐτελές, ἐνθυμείσθω τὸ [«ἴστω σίδηρος ὅρκιον δέ μοι ξίφος», ἔτι δὲ καὶ] τοὺς ὀμνύοντας τὴν πλάτανον ἢ τὸν χῆνα ἢ τὰ τοιαῦτα.
1.145 πολλῷ γὰρ δή που τοῦτο ἐκείνων σεμνότερον, εἰ καὶ ἐν καιρῷ θυμοῦ σχεδιάζεται. θεὸν γὰρ ὀκνεῖ, φασίν, ἐπομόσασθαι δεδιὼς τὸ τοῦ ὅρκου δυσέκβατον. (v. 234) Ἰστέον δὲ ὅτι δύο τούτων ὄντων ἐπιρρημάτων ὁρκωμοτικῶν, τοῦ μά καὶ τοῦ νή, ἀπωμοτικὸν μὲν ἤτοι ἀποφατικόν ἐστι τὸ μά· οἷον «μὰ τὴν δίκην οὐ ποιήσω τό». κατωμοτικὸν δὲ τὸ νή· οἷον «νὴ τοὺς λόγους ποιήσω τό». ὁ μέντοι ποιητὴς ἐνταῦθα καὶ κατωμοτικὸν ἔχων ὅρκον καὶ ἀπωμοτικὸν, τὴν δὲ τοῦ νη χρῆσιν μὴ ἔχων τότε ἐγνωσμένην τῷ ναί ἀντ' αὐτοῦ ἐχρήσατο ἐπιρρήματι καὶ δίδωσιν ἀφορμὴν ἡμῖν ὑπονοεῖν, ὡς ἐντεῦθεν ὕστερον τὸ νή ἐπίρρημα γέγονεν, εἰπών· «ναὶ μὰ τόδε σκῆπτρον» καὶ ἐμφήνας ὅτι καὶ καταφατικῶς ὀμόσει καὶ κατὰ ἀπόφασιν ἤγουν κατωμοτικῶς καὶ ἀπωμοτικῶς· διὰ μὲν τὸ ναὶ κατωμοτικῶς, ἀπωμοτικῶς δὲ διὰ τὸ μά. καὶ ἔστιν ὅρκος ἐνταῦθα ἐν καταφάσει μὲν τὸ «ὄντως Ἀχιλλῆος ποθὴ ἵξεται Ἀχαιούς», ἐν δὲ ἀποφάσει τὸ «σὺ δὲ οὐ δυνήσεαι ἀχνύμενός περ χραισμεῖν». Ἰστέον δὲ ὅτι παρὰ τοῖς Δωριεῦσιν εὕρηται ἐξ ὀρθοῦ ὁρκωμοτικὸν ἐπίρρημα τὸ ναί, οἷον «ναὶ τὼ σιώ» ἤγουν νὴ τοὺς θεούς. καὶ τάχα ἐκ τούτου μάλιστα τὸ νὴ ὁρκωμοτικὸν ἐπίρρημα γέγονε. τὸ μέντοι Ὁμηρικὸν τοῦτο ναὶ βεβαιωτικόν ἐστιν ἐπίρρημα. Σκῆπτρον δὲ νῦν μὲν βασιλικὸν ἄλλως τε σεμνὸν καὶ χρυσείοις δὲ ἥλοις πεπαρμένον. ἐν δὲ Ὀδυσσείᾳ, ὡς καὶ προερρέθη, καὶ πτωχικὸν σκῆπτρον εὕρηται ἤτοι βάκτρον καὶ ῥάβδος, ὅπερ οὐκ ἂν γένοιτό τινι ὅρκος διὰ τὴν εὐτέλειαν. εἰ γὰρ καὶ ἐκεῖνο τομὴν ἐν ὄρεσι λέλοιπε περιφραστικῶς ἀντὶ τοῦ ἐξετμήθη τοῦ ὄρους, ἔτι δὲ καὶ ἐξελεπίσθη, ἀλλ' οὐ δικασπόλοι φέρουσιν αὐτό. διὸ οὐδὲ μέγα ἐκεῖνο εἰς ὅρκον. τοῦτο μέντοι μέγα τὸ παρὰ τῷ Ἀχιλλεῖ διὰ τὴν δίκην καὶ τὴν τοῦ Διὸς θέμιν, ὧν ἐστι σύμβολον. διὸ καὶ δὶς ἐπεσημήνατο τὸ αὐτοῦ μεγαλεῖον ὁ ποιητὴς πρό τε τοῦ ὅρκου εἰπών· «μέγαν ὅρκον ὀμοῦμαι»· καὶ μετὰ τὸν ὅρκον· «ὃ δέ τοι μέγας ἔσσεται ὅρκος» τοῖς τε νῦν δηλαδὴ καὶ τοῖς μετὰ ταῦτα μανθάνουσιν. (v. 239) Ἐνταῦθα δὲ ὅρα καὶ ὅτι τὸ «ὅδε τοι μέγας ἔσσεται ὅρκος» εἶχε μὲν καὶ ἄλλως εἰπεῖν «τόδε τοι μέγας ἔσσεται ὅρκος» ἤγουν τὸ βασιλικὸν σκῆπτρον· ὅμως δὲ ὁ ποιητὴς καινότερον σχηματίζει ἀποδεδωκὼς πρὸς τὸ «ὅρκος», ὁποῖά τινα ποιήσει καὶ ἀλλαχοῦ. ἔστι δὲ τὸ σχῆμα ὅμοιον, ὡς καὶ εἴ τις εἴποι, ὅτι τάδε καὶ τάδε γίνονται· ὃ δέ τοι τρόπος οἰκονομίας βασιλικῆς· ἢ τὸ καὶ τὸ γενήσεται, ὅσπερ δὴ νόμος προνοίας θεοῦ καὶ ὅσα τοιαῦτα. (v. 238) Δικασπόλοι δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγονται οἱ περὶ δίκας πολοῦντες, ὡς οἰωνοπόλοι καὶ ὀνειροπόλοι οἱ περὶ οἰωνοὺς καὶ ὀνείρους. Δίκη δὲ καὶ θέμις ταὐτόν ἐστι. διὸ καὶ ὁ ποιητὴς ἐφερμηνεύων φησί· «δικασπόλοι, οἵ θέμιστας πρὸς Διὸς φυλάσσουσι».

1.146 θεσμοφύλακες οὖν οἱ δικασπόλοι. ἄμφω δὲ ταῦτα ἦσαν οἱ βασιλεῖς, οἷς καὶ τὸ σκῆπτρον σύμβολον ἦν δίκης, ὥσπερ ἀνδρίας τὸ δόρυ. Σκοπητέον δὲ ὡς τὸ μὲν δικασπόλος καὶ τὰ κατ' αὐτὸ παροξύνεται, ἀμφίπολος δὲ καὶ πρόπολος τὰ μετὰ προθέσεων προπαροξύνονται. Τὸ δὲ θέμιστας Δωρικόν. ὡς γὰρ χάρις χάριδος χάριτος, οὕτω θέμις θέμιδος καὶ θέμιτος, ἐξ οὗ τὸ θεμιτὸν καὶ ἀθέμιτον, πλεονασμῷ δὲ τοῦ ς θέμιστος, ὅθεν καὶ Θεμίστιος κύριον καὶ ἀθεμίστια ἐν Ὀδυσσείᾳ τὰ ἄδικα. ὅτι δὲ ἡ παρ' Ὁμήρῳ διὰ τοῦ στ κλινομένη Θέμις μυθικὴν θεὰν δηλοῖ, ἀλλαχοῦ φανήσεται. (v. 234) Φύλλα δὲ διὰ δύο λ εὐλόγως. δοκοῦσι γὰρ οὕτω λέγεσθαι διὰ τὸ ἐν τῷ φυσᾶσθαι λαλαγεῖν ἢ πρὸς διαστολὴν τοῦ φύλου, ὃ δηλοῖ τὴν φυλήν. (v. 235) Τομὴν δὲ λέγει τὸ ἐν τῷ ὄρει λελειμμένον σύρριζον, οὗ τὸ σκῆπτρον ἀποτέτμηται. (v. 236 s.) Τὸ δέ «οὐκ ἀναθηλήσει· περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε φύλλα τε καὶ φλοιόν» πάνυ παρατετηρημένως εἴρηται. ἰτέα γὰρ καὶ ἄλλα τῶν φυτῶν, εἰ καὶ τομὴν ἐν ὄρεσι λέλοιπεν, ἀλλὰ καὶ οὕτω προΐενταί τι θάλους κείμενα ἢ φυτευόμενα· ἐκλεπισθέντα δὲ οὐκέτι ἀναθηλήσουσιν οὐδ' αὐτά. Χαλκὸν δὲ τὸν σίδηρον λέγει διὰ τὴν πάλαι ποτὲ χρῆσιν τοῦ χαλκοῦ, ὁπηνίκα εἰς σιδήρου χρείαν ἐβάπτετο, ὅτε καὶ «χαλκῷ» κατὰ τὸν Ἡσίοδον «εἰργάζοντο» ἄνθρωποι «μέλας δ' οὐκ ἔσκε σίδηρος». Τὸ δέ « ἑ » δηλοῖ μὲν αὐτὸ ἤγουν τὸ σκῆπτρον, ἐγκλίνεται δὲ καὶ ἀντωνυμία ἐστὶ τριγενής, ὥσπερ καὶ τὸ νιν καὶ τὸ μιν . Ἔστι δέ πως ἀκατάλληλον ἐνταῦθα κατὰ σύνταξιν ὑγιῆ τὸ «περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε φύλλα τε καὶ φλοιόν». οὐ γὰρ πάνυ εὐοδοῦται εἰς σύνταξιν ὁ εἰπών, ὅτι περιέλεψεν ὁ χαλκὸς αὐτὸ φύλλα τε καὶ φλοιόν. ἀλλὰ κατὰ γενικὴν εἰπεῖν ἔδει περὶ τοῦ σκήπτρου, ὅτι ὁ χαλκὸς περιελέπισεν αὐτοῦ τὰ φύλλα καὶ τὸν φλοιόν. ἔχει δὲ ἡ καινότης τῆς τοιαύτης συντάξεως θεραπείας τρεῖς· μίαν μὲν τὴν ἀντίπτωσιν, ὡς τοῦ ἕ ἀντὶ πτώσεως ἄλλης κειμένου ἤγουν ἀντὶ γενικῆς, ἥτις ἐστὶ τὸ αὐτοῦ· ἑτέραν δὲ ἔχει θεραπείαν πρόσληψιν προθέσεως ἔξωθεν, ἵνα λέγῃ, ὅτι περιέλεψεν αὐτὸ ὁ χαλκὸς κατὰ τὰ φύλλα καὶ τὸν φλοιόν· τρίτην δὲ καὶ τελευταίαν θεραπείαν ἡ τοιαύτη σύνταξις ἔχει τὴν στιγμὴν καὶ τὴν ἐκ τοῦ ἐπιφερομένου σαφήνειαν. ἡ γὰρ στιγμὴ ἀναπαύουσα τὸ ἕ ἐπάγει ὕστερον τὸ φύλλα τε καὶ φλοιόν, ἵνα λέγῃ ὅτι περιέλεψεν αὐτὸ ὁ χαλκός. ποῖον αὐτό;

1.147 τὰ φύλλα δηλαδὴ καὶ τὸν φλοιόν. καὶ ἔστι τὸ μέν «ἕ» ἤγουν αὐτὸ ὁλότης τοῦ ξύλου, τὸ δέ «φύλλα καὶ φλοιόν» δήλωσις μέρους τοῦ ἐκπίπτοντος ἐν τῷ λεπίζεσθαι. τοιαῦτα δὲ καὶ ἄλλα μυρία παρὰ τῷ ποιητῇ ἔχοντα τὴν ὁλότητα κατὰ αἰτιατικὴν πτῶσιν, εἶτα ἑρμηνείαν αὐτῆς ἐκ τῶν μερῶν ὁμοιόπτωτον, ὡς ἐκθεραπεύεσθαι ὁμοίως τριχῶς καὶ αὐτά· οἷον «ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;» ἢ γὰρ τὸ σέ ἀντὶ πτώσεως ἑτέρας ἐλήφθη· σοῦ γὰρ ὤφειλεν εἰπεῖν· καὶ ἔστι τοῦτο ἀντίπτωσις· ἢ πρόθεσιν προσληπτέον ἔξωθεν, οἷον «ποῖόν σε ἔπος ἐξέφυγε κατὰ τὸ ἕρκος τῶν ὀδόντων;» τοῦτο δὲ μάλιστα ἐκδηλότατον ἀπὸ τοῦ ἐντελῶς ἐν Ὀδυσσείᾳ ῥηθέντος «εὖτ' ἄν μιν κάματος κατὰ γυῖα λάβῃσιν», ὅπερ εἰ δίχα προθέσεως ἐρρέθη «εὖτ' ἄν μιν κάματος γυῖα λάβῃσιν», ὅμοιον ἦν τῇ ἐνταῦθα καινοπρεπείᾳ τοῦ σχήματος, ἤγουν, ὡς εἴρηται, νοητέον ὅτι ἔφυγε κατὰ τοὺς ὀδόντας· ἢ στικτέον εἰς τὸ «ἔφυγε» καὶ τὸ μέν « σε » νοητέον δηλοῦν τὸν ὅλον ἄνθρωπον, τὸ δέ «ἕρκος ὀδόντων» ἐπηνέχθαι εἰς δήλωσιν τοῦ μέρους, ὅθεν ὁ λόγος φυγὰς ἐδραπέτευσεν, ὅπερ εἰσὶ τὰ χείλη, αἱ θύραι τοῦ στόματος. τοιοῦτον καὶ τὸ «τί δέ σε φρένας ἵκετο πένθος;» ἢ γὰρ τὸ σέ ἀντὶ τοῦ σοῦ εἴληπται· ἢ τί δέ σε κατὰ τὰς φρένας ἵκετο πένθος; ἢ τί ποτέ σε πένθος ἵκετο; τὰς σὰς φρένας δηλαδή. ὅμοιον καὶ τὸ «ἐπεί μιν ἄχος κραδίην καὶ θυμὸν ἵκανεν» ἤγουν ἐπειδὴ αὐτοῦ τὴν καρδίαν λύπη κατέλαβεν· ἢ αὐτὸν κατὰ τὴν καρδίαν λύπη κατέλαβεν· ἢ αὐτὸν λύπη κατέλαβεν ἤγουν τὴν καρδίαν αὐτοῦ. τοιοῦτον δὲ καὶ τὸ «Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας» καὶ τὸ «ἄδός τέ μιν ἵκετο θυμόν» καὶ «κρατερόν

ῥά ἑ πένθος ὀφθαλμοὺς κάλυψε» καὶ «τοὺς δ' ἄρα πάντας ὑπὸ τρόμος ἔλλαβε γυῖα» καὶ «Τρῶας δ' ἄχος ἔλλαβε θυμόν» καὶ ἄλλα μυρία. Ἰστέον δὲ ὅτι καί, ὅτε που εἴπῃ ὁ ποιητής «πρύμνῃ ἐνὶ νηΐ», τοιαύτην ἔχει τινὰ μέθοδον καὶ τοῦτο τὸ σχῆμα τῶν δύο δοτικῶν· ὅλον μὲν γὰρ ἡ ναῦς, μέρος δὲ ἡ πρύμνα. λέγει οὖν ὅτι ἐν τῇ νηῒ ἤγουν ἐν μέρει αὐτῆς τῇ πρύμνῃ ἢ κατὰ ἀντίπτωσιν ἐν τῇ πρύμνῃ τῆς νηός. ὅμοιον καὶ τὸ «ἀλλ' οὐκ Ἀτρείδῃ ἥνδανε θυμῷ». ὅλον μὲν γάρ τοι ὁ Ἀτρείδης, μέρος δὲ ὁ θυμός· ἢ τοίνυν τῷ Ἀτρείδῃ οὐκ ἤρεσκεν ἐν τῷ θυμῷ ἢ ἀντιπτωτικῶς τῷ τοῦ Ἀτρείδου θυμῷ. (v. 237) Ὁ δὲ φλοιὸς γίνεται μὲν ἐκ τοῦ φλέω, ὀξύνεται δὲ ὡς τὸ κολοιός· ἀποβαλὼν δὲ τὸ ι βαρύνεται ὡς τὸ χνόος, ῥόος· ἔκτοτε δὲ καὶ συναιρεθὲν γίνεται φλοῦς. ὥσπερ δὲ τὸ φλοιός ἐκπεσὸν τοῦ ι βαρύνεται, οὕτω καὶ ἐπὶ ἄλλων ὀνομάτων συμβαίνει. ἐκ τοῦ χροιά γὰρ ἡ χρόα γίνεται καὶ ἐκ τοῦ ῥοιά ῥόα καὶ ἐκ τοῦ δειρή ὁ τράχηλος δέρη. (v. 238) [Ὅτι τὸ «ἐν παλάμαις φορέουσι» τὸ σκῆπτρον δηλαδὴ οἱ δικασπόλοι ἀντὶ τοῦ φέρουσι κεῖται καὶ ἔστι πάνυ συνήθης ἡ λέξις τοῖς ποιηταῖς.

1.148 ] (v. 240) Ὅτι πολλάκις ὁ ποιητὴς ἐν βραχεῖ προεκτίθεται τὰ ἐς ὕστερον ὑπ' αὐτοῦ εἰς πλάτος λεχθησόμενα ψυχαγωγῶν οὕτω τοὺς ἀκροατὰς γλιχομένους ἐκεῖνα προμαθεῖν. καὶ καλεῖται τὸ τοιοῦτον σχῆμα προαναφώνησις. οὕτω γοῦν καὶ ἐνταῦθα προαναφωνεῖ λέγων «ἔσται ποτὲ ποθὴ τοῖς Ἕλλησι τοῦ Ἀχιλλέως, εὖτ' ἂν πολλοὶ ὑφ' Ἕκτορος ἀνδροφόνου πίπτωσι θνήσκοντες. σὺ δὲ ὁ Ἀγαμέμνων οὐ δυνήσῃ χραισμεῖν, ἀλλ' ἔνδοθι θυμὸν ἀμύξεις χωόμενος». ὁμοίως δὲ προαναφώνησις ἦν καί, ὃ εἶπεν ἡ Ἀθηνᾶ πρὸς Ἀχιλλέα τὸ «καί ποτέ σοι τρὶς τόσσα δῶρα παρέσεται», παραμυθουμένη τὸν ἀκροατὴν ὑβριοπαθοῦντα ἐπὶ τῷ Ἀχιλλεῖ. ποθὴ δέ ἐστιν ὁ πόθος καὶ ἀπ' αὐτοῦ παρήχθη ὡς χόλος χολή. ὀξύνεται δὲ τὸ ποθή κανόνι τοιούτῳ· τὰ εἰς ος δισύλλαβα τῷ ο παραληγόμενα βαρύτονα ἀπαρασχημάτιστα οὐδετέροις, ἐὰν ποιῶσι θηλυκόν, ὀξύτονον αὐτὸ ποιοῦσι· στρόφος στροφή, νόμος νομή, ῥόος ῥοή, πλόκος πλοκή. οὕτω καὶ ποθή. σεσημείωται τὸ κόρη ἐκ τοῦ κόρος ὁ νέος. ἐντάσσεται δὲ τῷ τοιούτῳ κανόνι καὶ ἡ βιοτὴ ἐκ τοῦ βίοτος, εἰ καὶ τρισυλλαβεῖ. (v. 243) Ἀμύσσειν δὲ κυρίως τὸ ξέειν, ὡς καὶ αἷμα ῥυΐσκεσθαι, οἱονεὶ αἱμύσσειν μετὰ δασείας καὶ ἀποβολῇ τοῦ ι ἀμύσσειν μετὰ ψιλῆς. ἀμύσσειν γοῦν τις λέγεται παρειάν, ἐξ οὗ καὶ ἀμυχαὶ σαρκῶν καὶ ἀμυχαὶ ξεσμάτων τῶν ὁπουδήποτε, οἷον καὶ ἐν βιβλίοις ἢ ξύλοις. τὸ δὲ τὴν ψυχὴν ἀμύσσειν μεταφορικόν ἐστιν ἀπὸ σώματος. (v. 244) Χωόμενος δὲ ἐνταῦθα οὐκ ἐπὶ ὀργῆς, ἀλλὰ ὁ συγκεχυμένος τὴν ψυχὴν τῇ λύπῃ, [ὅπερ ἀχνύμενος ἔφη ἀνωτέρω. Ἰστέον δὲ ὡς ἡ ῥηθεῖσα προαναφώνησις ἔπεισε τὸν ἥρωα εἶξαι τοῖς κήρυξι. τί γὰρ ἔδει θυμομαχεῖν αὐτόν, οὗ μικρὸν ὅσον σύμπαντες υἷες Ἀχαιῶν δεήσονται ὡς μόνου δυναμένου χραισμεῖν, ὅ ἐστι βοηθεῖν, χρησιμεύειν, ὅθεν καὶ γίνεται τὸ τοιοῦτον ῥῆμα. χρησιμῶ γὰρ καὶ τροπῇ τοῦ η εἰς α καὶ μεταθέσει τοῦ διχρόνου χραισμῶ, οὗ σημειώδης δεύτερος ἀόριστος ἔχραισμον, ὅθεν ὑποτακτικὸν χραίσμω, οὗ τρίτον χραίσμῃ τὸ προρρηθέν. (v. 242) Τὸ δέ «εὖτ' ἄν» ἐπίρρημά ἐστι χρονικὸν ἴσον τῷ ὅτε.] (v. 244) Ὅτι περιαυτολογῶν ὁ Ἀχιλλεὺς ἄριστον Ἀχαιῶν ἑαυτὸν ἀποκαλεῖ φιλοτίμως καὶ μεγαλοπρεπῶς. εἰ δὲ φθάσας αὐτὸς ἄριστον ἐν στρατῷ εἶναι τὸν Ἀγαμέμνονα εἶπε, ζητητέον τὰ ῥηθέντα ἐκεῖ. [Δῆλον δὲ ὡς οὐκ ἀεὶ ψεκτὸν τὸ περιαυτολογεῖν κατὰ τὸν παροιμιαζόμενον Ἀστυδάμαντα. ἔστι δέ ποτε καὶ φιλοτίμου καὶ μεγαλοψύχου ἤθους ὁ τοιοῦτος ἔπαινος, καθὰ δηλοῖ καὶ ὁ παρὰ Σοφοκλεῖ μαστιγοφόρος Αἴας καὶ ὁ Φιλοκτήτης δὲ καὶ ὁ ἐν Τραχινίαις Ἡρακλῆς καὶ ἕτεροι μυρίοι. φράζει δὲ ὁ Ἀχιλλεὺς οὕτω «πείσεται τάδε ὁ βασιλεύς, ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν».] (v. 245) Ὅτι δημηγορήσας ὁ Ἀχιλλεὺς ἔβαλε πρὸς τῇ γῇ τὸ σκῆπτρον ἤγουν ἔρριψε. καὶ ὅρα οἷον ὁ θυμός. ὅπερ γὰρ ὕψωσε τῇ ὁρκωμοσίᾳ ῥίψας εἰς γῆν ἐξουδένωσεν. (v.

1.149 246) [Οὐ ψιλὸν δὲ κόσμου τὸ ῥηθὲν σκῆπτρον, ἀλλὰ χρυσέοις ἥλοισι πεπαρμένον κατὰ τὸν ποιητήν, ὃ περίφρασίς ἐστι τοῦ «χρυσόηλον» εἰπεῖν πρὸς ὁμοιότητα τοῦ ἀργυρόηλον. τὰ μέντοι κοινὰ καὶ ἰδιωτικὰ σκῆπτρα οὐκ ἂν εἴη τοιαῦτα.] (v. 247) Ὅτι ἐν τῷ «Ἀτρείδης ἑτέρωθεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐμήνιε» παραχρησάμενος εἶπε τὸ μηνίειν ὁ ποιητής. οὔπω γὰρ μηνίει ὁ βασιλεύς, ἀλλὰ χολοῦται, ὡς προείρηται. [Ἰστέον δὲ ὡς ὁ μὲν ποιητὴς μηνίειν οἶδε βαρυτόνως. οὕτω δὲ καὶ ἡ κοινὴ χρῆσις. τῶν τινες δὲ ὕστερον Ἀττικιστῶν μηνιᾶν εἶπον ὡς βοᾶν καὶ μηνιῶντες ὡς βοῶντες. τοιοῦτοι δέ τινες καὶ τὸ συνιέναι εἰς τὸ συνιεῖν ἐκαινοτόμησαν ἐκ τοῦ συνιῶ.] Ὅτι ὁπηνίκα τὰς τῶν πραγμάτων περιπετείας αὐξήσει πλασματικῶς ὁ ποιητὴς καὶ ἀλύτως ἔχειν ποιήσει αὐτὰς ἢ πάνυ δυσλύτως, ὥστε τὸν ἀκροατὴν ἐπαπορεῖν καὶ λέγειν, ὡς οὐκέτι λυθήσεται ἡ τοῦ πράγματος δυσχέρεια, τότε δὴ μηχανᾶται λύσεις καὶ ἄλλας μέν, μάλιστα δὲ ταύτας ὡς ἐπὶ πολὺ τὰς πέντε ἢ πάσας ὁμοῦ ἤ τινας· παρουσίαν θεοῦ, ξυναλλαγὴν γερόντων ἀνδρῶν, ἀπειλήν, πληγὴν καὶ γέλωτα. οἷον ἐν μὲν τῇ βῆτα ῥαψῳδίᾳ, ἐπειδὴ παντὸς κινηθέντος τοῦ στρατοῦ εἰς φυγὴν καὶ ἀνάπλουν δυσχερέστατον ἦν ἐκείνους κατασχεῖν, θεά τε οὐρανόθεν πάρεστιν ἡ Ἀθηνᾶ καὶ οἱ δύο γέροντες μεταπείθουσιν, Ὀδυσσεὺς δὲ καὶ ἀπειλαῖς ἐπέχει καὶ πληγαῖς. ἐπὶ δὲ πᾶσιν ὁ διὰ τὸν Θερσίτην γέλως ἀπάγει τῆς σκυθρωπότητος τοὺς Ἀχαιοὺς καὶ ἱλαρύνων ποιεῖ γλυκύτερον ἡγεῖσθαι τοῦ νόστου τὸν πόλεμον. καὶ οὕτω μὲν ἐκεῖ. ἀλλαχοῦ μέντοι, ἔνθα μὴ πάνυ μέγιστα τὰ τῆς ἀνάγκης, οὐ πάσαις χρᾶται λύσεσιν ἀλλά τισιν, ὥσπερ δὴ καὶ ἐν τούτοις τὸν τοῦ Ἀχιλλέως θυμὸν Ἀθηνᾶ τε ἔπαυσε καὶ νῦν ἡ δημηγορία τοῦ γέροντος Νέστορος. ἐν δὲ τῷ τέλει τῆς ῥαψῳδίας ταύτης ὁ τῆς Ἥρας θυμὸς καὶ ὁ τοῦ Διὸς χόλος γέλωτι τῷ διὰ τὸν Ἥφαιστον ἱλαρύνονται, ἡ δὲ Ἥρα καὶ ἀπειλῇ τινι σωφρονίζεται. τὸν μέντοι τοῦ Ἀγαμέμνονος χόλον οὔτε Νέστωρ συμβουλεύων ἰσχύσει σβέσαι οὔτε Ἀχιλλεὺς ἀπειλούμενος, ἀλλ’ ἀφαιρήσεται τὴν Βρισηΐδα κατὰ τὴν ἱστορικὴν ἀλήθειαν. διὸ καὶ πάσχει κακῶς ὕστερον ὡς μηδενὶ τῶν πάντων ὑπείκων, οἷς ὑπάγονται ἄνθρωποι. (v. 247—252) Ὅτι ὥσπερ ἐν τοῖς προλαβοῦσιν ἐγενεαλόγησεν ἐπὶ συστάσει προσώπου τὸν Κάλχαντα οἷα πρόσωπον ἀξιόλογον καὶ πολλαχοῦ τῆς ποιήσεως παραληφθησόμενον, οὕτω καὶ νῦν εἰς τὸ Νέστορα δαπανᾷ στίχους τινὰς ὀλίγους, ὡς ἂν ἔχοιμεν καὶ ἐν τοῖς ἑξῆς μεμνῆσθαι αὐτοῦ. Καί φησιν, ὅτι «ἡδυεπὴς ἦν λιγὺς Πυλίων ἀγορητής, οὗ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή· τῷ δ’ ἤδη δύο μὲν γενεαί» καὶ τὰ ἑξῆς. καὶ ἐν Ὀδυσσείᾳ δὲ δούλους τήν τε Εὐρύκλειαν καὶ τὸν Εὔμαιον γενεαλογίας ἀξιοῖ διὰ τὸ πάνυ μέλλειν ἐκεῖ χρησιμεύσειν αὐτῷ τὰ τοιαῦτα πρόσωπα, ὡς καὶ ἐν τῇ Ἰλιάδι χρησιμεύσει ὁ Νέστωρ. εἰ δὲ μὴ καὶ ἐπ’ Ἀχιλλέως ἢ Ἕκτορος ἢ Αἴαντος ἢ τῶν ὁμοίων τοιοῦτόν τι πεποίηκεν Ὅμηρος, φανερὸν ὅτι διὰ τὸ πάντη ἐπιδοξότατον τῶν προσώπων οὐκ ἐδεήθη τοιαύτης συστάσεως. Κάλχαντα μὲν γάρ τις ἀκούσας ἢ Εὐρύκλειαν ἢ Εὔμαιον, ἤδη δὲ καὶ Νέστορα τὸν διὰ τὸ γῆρας ἀπόλεμον καὶ ἀνεντρεχῆ καὶ ἀνεπίδεικτον τά γε εἰς μάχην καὶ ἀδόκιμον, οὐ πάνυ ἂν εἰδέναι αὐτοὺς ἔχοι· Ἀχιλλέα δέ τις ἀκούσας ἢ Ἕκτορα ἢ ὅσοι τοιοῦτοι ἀρκεῖται μόνῃ τῇ κλήσει αὐτόθεν εἰς συστατικὸν γνώρισμα καὶ οὐ δέονται περιάπτου σεμνώματος, ὡς ἂν οὕτω ταῖς ψυχαῖς τῶν ἀκροατῶν ἐγκαθίσωσιν.

1.150 εἰ δὲ καὶ εἰς τὸν Θερσίτην ἐλάλησέ τι τοιοῦτον ὁ ποιητής, ἀλλ’ ἐκεῖνο οὐκ ἦν προσωπικὴ σύστασις, ἀλλὰ σκώμματα καταβλητικὰ ἐκείνου καὶ ἀφανιστικὰ τῆς περὶ αὐτοῦ μνήμης. διὸ καὶ προανεφωνήθη, ὅτι οὐκέτι λαλήσει ὁ Θερσίτης, ὥστε οὐδὲ μεμνήσεταί τις αὐτοῦ. (v. 248) Ἰστέον δὲ ὅτι τὸ «ἡδυεπής» λόγου δηλοῖ ἀρετὴν καὶ τὴν αὐτῷ ἐγκεκραμένην γλυκύτητα. (v. 249) τοῦτο γὰρ ἐφερμηνεύων ὁ ποιητὴς εἶπεν, ὅτι μέλιτος γλυκίων αὐδὴ ἔρρεε τῷ γέροντι. γλυκὺς μὲν οὖν καὶ ἡδὺς ταὐτὰ τρόπον τινά· ὁ δὲ καὶ μέλιτος γλυκίω ἔρρεεν αὐδήν. [εἰ δὲ ἔπεσιν ἡδὺς καὶ μελίρρυτος τὴν αὐδὴν ὁ γέρων, οὐκ ἂν εἴη πάντη ἀπᾷδον καὶ μελιηδέα συνθέτως εἰπεῖν αὐτόν.] Τὸ δὲ λιγύς οὐ λόγου ἁπλῶς ἀλλὰ φωνῆς ἐστι ποιότης, ὡς τὸ «λίγα κλάζοντες», ἢ κάλλιον εἰπεῖν ἀρετή. οὕτω γὰρ καὶ οἱ κήρυκες λιγαίνειν λέγονται καὶ λιγύφθογγοι καλοῦνται, ὡς καὶ ἡ ἀηδών. λέγεται δὲ καὶ μάστιγξ λιγυρὰ καὶ ἠχὴ λιγύθροος καὶ ἄνεμοι λιγέες. ὀξυνομένου δὲ τοῦ λιγύς ἐπὶ τοῦ ὀξέος τὸ Λίγυς κύριον καὶ τὸ ἀπ’ αὐτοῦ ἐθνικὸν βαρύνεται πρὸς διαστολὴν τούτου. ἰστέον δὲ καὶ ὅτι, εἰ καὶ ἰσοδυναμεῖ τὸ λιγύς τῷ ὀξύς, ἀλλὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ μὲν λιγύς μόνης ἐστὶν ἐπίθετον φωνῆς, τὸ δὲ ὀξύ καὶ ἐπὶ βελῶν καὶ οἴνου καὶ ἑτέρων πολλῶν λέγεται. Καὶ ὅτι, ὥσπερ ζητῶ καὶ ζητεύω, ὡς τὸ «ζητεύει βίοτον», οὕτω καὶ ἀγορῶ, ἐξ οὗ ἀγορήσατο καὶ ἀγορητὴς καὶ ἀγορεύω, ἐξ οὗ τὸ «μή τι φόβονδ' ἀγόρευε». (v. 249) Γλῶσσα δὲ νῦν μὲν τὸ τῆς φωνῆς ὄργανον· δηλοῖ δέ ποτε καὶ ἀπεξενωμένην διάλεκτον, ὡς τὸ «γλῶσς' ἐμέμικτο» καὶ ὡς ὅτε εἴπωμεν, ὅτι τὸ μὲν λοιμοῖο καὶ δένδροιο καὶ ἵπποιο Θετταλῶν γλώσσης ἐστί· Συρακουσίων δὲ γλῶσσα λέγει τὸ πίσυνος· Κρητῶν δὲ γλώσσης τὸ θεράπων· [Αἳ δὴ γλῶσσαι, καθὰ καὶ αἱ ἀπ' αὐτῶν συγκροτούμεναι διάλεκτοι, κατασκευάζονται παρὰ τοῖς παλαιοῖς μὴ ἀπὸ φύσεως εἶναι διὰ τὸ μηδὲ κοιναὶ πᾶσι τυγχάνειν τοῖς ὁμοειδέσιν. ὅτι δὲ τῆς ζωϊκῆς γλώττης παρώνυμον ἐπὶ φιλήματός τινος τὸ καταγλώττισμα καὶ ἡ ἐν αὐλοῖς γλωσσὶς ἀναγκαία οὖσα τοῖς μελικοῖς, δῆλόν ἐστι. τῆς μέντοι χωρικῆς γλώττης τῆς τὰς διαλέκτους συγκροτούσης παρώνυμον τετόλμηται παρὰ τοῖς παλαιοῖς τὸ γλωσσηματικόν.

1.151 ] Τὸ δέ «ἔρρεεν αὐδή» τὴν τοῦ λόγου δηλοῖ δαψίλειαν ὡς ῥύδην καὶ ἀπαραποδίστως προϊόντος καὶ κατὰ ῥεῦμα προχεομένου καὶ ῥέοντος. ὅτι δὲ τοιοῦτος ὁ Νέστωρ, αὐτὰ δηλώσει τὰ πράγματα. εἰ δὲ τοιοῦτος αὐτός, πολλῷ πρότερον κατὰ σχῆμα συλλογισμοῦ θαυμαστέος Ὅμηρος ὁ τὰ κατ' αὐτὸν μιμούμενος καὶ πλάττων. Νέστορα οὖν, φασίν, ἐπαινῶν ἑαυτὸν δοκεῖ ἐπαινεῖν, καθὰ πρὸ μικροῦ καὶ Ἀχιλλεὺς ἐποίησε φανερῶς ἄριστον ὀνομάσας ἑαυτόν. μήποτε δὲ διὰ τοῦτο καὶ Μέλητος ποταμοῦ υἱὸν τὸν ποιητὴν ἐπλάσαντο οἱ παλαιοί· Μέλητος μὲν κατά τινα ἐν τοῖς ἑξῆς φανησομένην παρῳδίαν ἢ καινοτέραν παρήχησιν διὰ τὴν μελιτόεσσαν ἡδυέπειαν· ποταμοῦ δὲ διὰ τὸ πολύρρουν τῆς φράσεως καὶ διὰ τὸ οἷον ποταμηδὸν προβάλλειν τὰς τοῦ λόγου ῥοάς. διὸ καί τις τῶν παλαιῶν καλῶς ἠρώτησε «τίς ἀμείνων Ὁμήρου φράσαι;» πρὸς [ὃν ἀποτείναιτ' ἄν τις θαρρούντως, ὅτι οὐδείς. δύο δὲ ὄντων Ὁμηρικῶν ῥητόρων, Ὀδυσσέως τε καὶ Νέστορος, οὐ δημηγορεῖ νῦν], Ὀδυσσεὺς ὡς ὑπὸ τοῦ βασιλέως ἀπειληθείς, ἵνα μὴ δόξῃ θωπεύειν αὐτόν, ὡς ἂν μὴ τὸ γέρας ἀφαιρεθῇ. [Τὸ δέ «οὗ ἀπὸ γλώσσης», ὡς οἷα καί τινος Μουσῶν σίμβλου, «γλυκίων ῥέεν αὐδή», οὐ μόνον ταῖς ἐννοίαις ἡδὺν εἶναι δηλοῖ τὸν Νέστορα, ἀλλὰ καὶ τῇ φράσει κομμωτικόν. διό, εἰ καὶ καταφορικῶς ἔφραζέ ποτε, οὐκ ἂν ἦν ἀγλευκὴς οἷα τὴν τραχύτητα τῆς δημηγορίας λεαίνων οὐ μόνον μεθόδοις ἀλλὰ καὶ κάλλει φράσεως. οὔκουν ὁ ποιητὴς ποτὲ μὲν γλυκὺν εἶναι ῥήτορα τὸν Νέστορά φησι, ποτὲ δὲ οὔ, ἀλλὰ ἁπλῶς τοιοῦτον εἰσαεὶ δηλαδή.] Τὸ δέ «ἔρρεεν αὐδή» τὸ ῥῆμά ἐστιν, ἐξ οὗ ὁ ῥήτωρ παράγεται. Ὅτι δύο ταῦτα τῷ Νέστορι προσμαρτύρεται ὁ ποιητὴς λογιότητά τε ῥητορικὴν καὶ φρόνησιν. ὅθεν, οἶμαι, καὶ ὁ παρὰ τῷ Γεωγράφῳ εἴληπται ὁρισμὸς τῆς ῥητορικῆς λέγων ὡς ῥητορική ἐστι φρόνησις περὶ λόγους. καὶ ὅτε μὲν ἡδυεπῆ ἔφη ἐκεῖνον ἀνωτέρω καὶ τὰ ἑξῆς, ὡς ῥήτορα συνέστησε τὸν γέροντα. ἔστι γὰρ ὁ Νέστωρ Ὁμηρικὸς ῥήτωρ, οὗ τὰ δευτερεῖα φέρει Ὀδυσσεύς. (v. 250—2) Ὅτε δὲ εἴπῃ «τῷ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων ἐφθίατο, οἵ οἱ πρόσθεν ἅμα τράφεν ἠδ' ἐγένοντο ἐν Πύλῳ, μετὰ δὲ τριτάτοισιν ἄνασσε» σύνεσιν αὐτῷ ἐπιμαρτύρεται τὴν ἐξ ἐμπειρίας πολυχρονίου. μήτηρ γὰρ φρονήσεως ἐμπειρία. τοῦτο δὲ πλατέως ἐνταῦθα λεχθὲν ἐν Ὀδυσσείᾳ ὁ ποιητὴς ἀπεστένωσεν οὕτω φράσας· «τρὶς γὰρ δή μίν φασιν ἀνάξασθαι γένε' ἀνδρῶν». ἔστι δέ, ὅπερ ἐνταῦθα λέγει, τοιοῦτον· ὅτι κατὰ τὴν ἱστορίαν Ἡρακλῆς ἔτι νεωτάτου ὄντος τοῦ Νέστορος τὴν Πύλον πολιορκήσας, ὅτε καὶ Ποσειδῶν αὐτῷ καὶ Ἀπόλλων ἀντέστησαν κατὰ Πίνδαρον, τούς τε γέροντας ἀνεῖλε μίαν ἐκείνην γενεὰν καὶ δευτέραν γενεὰν τοὺς ἀκμάζοντας πρὸ τοῦ Νέστορος ἄμφω καὶ γενομένους καὶ τραφέντας ἐν τῇ Πύλῳ.

1.152 καὶ ἐκείνους μὲν ἀνεῖλεν ἤγουν τοὺς γέροντας, ὡς λόγοις βλάψαντας· ἐκώλυσαν γὰρ τὸν τῆς Πύλου βασιλέα Νηλέα ὑποδέξασθαι καὶ καθᾶραι φόνου τὸν Ἡρακλέα· τούτους δὲ ἤτοι τοὺς ἀκμαίους ὡς καὶ ἔργοις λυπήσαντας· μαχόμενοι γὰρ ἀντέστησαν· τὴν δὲ τρίτην περιεποιήσατο γενεὰν τὴν τῶν παίδων ὡς ἀμεμφῆ καὶ μηδὲν αὐτὸν βλάψασαν, ἧς καὶ ἦρξεν ὕστερον ὁ Νέστωρ τῆς τρίτης δηλαδή. ἰστέον δὲ ὅτι ὁ λόγος οὗτος ἱστορεῖ μέν τι τῶν κατὰ τὸν Νέστορα,

οὐ μὴν καὶ πολυχρονιότητα φανερῶς προσμαρτυρεῖ αὐτῷ. ἕτεροι δὲ οὕτω φασίν· ὅτι γενεὰ κατὰ τοὺς παλαιοὺς οἱ τριάκοντα χρόνοι, μεθ' οὓς τελειοῦται ἄνθρωπος, ὡς δοκεῖ καὶ Ἡσιόδῳ ἐν τῷ «μήτε τριηκόντων ἐτέων μάλ' ἀπολείπων». τῷ τοίνυν Νέστορι δύο γενεαὶ ἀνθρώπων ἐφθίατο τουτέστι παρῆλθον· ἤνασσε δὲ τῆς τρίτης γενεᾶς καὶ τῶν ἐν αὐτῇ ὄντων τουτέστιν ὑπερέβη τὰ ἑξήκοντα ἔτη. ἔχει δὲ καὶ ὁ λόγος οὗτος πρόσκομμά τι· πρῶτα μὲν διὰ τὴν ἀοριστίαν—οὐ γὰρ φανερῶς ὥρισται, οἵου ἔτους ἦν ὁ Νέστωρ, ἀλλὰ δηλοῦται μόνον ὅτι ὑπὲρ τὰ ἑξήκοντα ἦν ἔτη—εἶτα καὶ διότι τὸ «οἵ οἱ πρόσθεν ἅμα τράφεν ἠδ' ἐγένοντο ἐν Πύλῳ» οὐκ εὐκόλως πρὸς τὴν τοιαύτην ἔννοιαν συμβιβάζεται. λέγεται οὖν τις καὶ τρίτη ἔννοια τοιαύτη· ὅτι δύο γένη ἀνθρώπων ὅλα παρῆλθον, αὐτὸς δὲ ἄρτι τῶν τρίτων ἤνασσεν. Οἷον ἐβασίλευσεν ἔτι παντελῶς νεάζων ἀκμαίων καὶ ἤδη τελείων στρατιωτῶν. ἀπέκαμον ἐκεῖνοι καὶ τῷ χρόνῳ ἔφθιντο καὶ παρεθέντες γεγόνασιν ἀπόμαχοι. καὶ ἰδοὺ ἔφθιτο τῷ Νέστορι μία γενεά. ἦρξεν αὖθις ἑτέρων ὁ Νέστωρ τῇ ἀκμῇ τεθηλότων. ἀπερρύη δὲ τῷ χρόνῳ καὶ αὐτοῖς τὸ νεοτήσιον ἄνθος καὶ ἀπέσβη τὸ πρὸς τὰ ἔργα θερμόν. καὶ ἰδοὺ δευτέρα γενεὰ οὗτοι, οἳ ἐπίσης τοῖς πρὸ αὐτῶν ὑπὸ αὐτῷ ἤτοι τῷ Νέστορι ὄντες ἅμα τράφεν καὶ ἐγένοντο. φθαρέντων δὲ καὶ αὐτῶν ὁ Νέστωρ ἔτι ἐξήρκεσε. νῦν δέ γε τρίτης ἀνάσσει γενεᾶς ἀκμαίας δηλαδὴ καὶ ἀντιπάλου τοῖς Τρωσίν. ὡς εἴγε μὴ τοιαύτης ἄρχει τρίτης γενεᾶς, ἀλλ' ἐκείνης τῆς παιδικῆς τῆς περισωθείσης ἐν τῇ τῆς Πύλου ἁλώσει. ἢ καὶ ἄλλως· ἀνδρῶν τῶν ὑπὲρ τὰ ἑξήκοντα ἔτη πεμπέλων ἄρχει καὶ ὁμοίων ἑαυτῷ, ἐξ ὧν οὐδεμία τοῖς Ἀχαιοῖς εἰς μάχην ἐστὶ λυσιτέλεια, ὥστε μᾶλλον οὕτω λέγοιτ' ἂν τρίτης ἄρχειν ὁ Νέστωρ γενεᾶς· ὧν αἱ μὲν δύο πρόσθεν γεγονυῖαι οὐκέτι εἰσί· τῆς δὲ τρίτης ἄρτι ἄρχει αὐτὸς ἐξαρκέσας καὶ εἰς γενεὰν τρίτην. ὅτι δὲ τὸ γενεά πολυσήμαντόν ἐστι, δηλοῦσιν οἱ παλαιοί. ἰστέον δὲ ὅτι τὴν ῥηθεῖσαν τριακονταετῆ γενεὰν Ἡρόδοτος βραχύ τι παρεκτείνων φησίν, ὡς γενεαὶ τρεῖς ἀνδρῶν ἑκατὸν ἔτεά εἰσι.

1.153 (v. 250) Μέροπες δὲ οἱ ἄνθρωποι παρὰ τὸ φύσει μεμερισμένην ἔχειν τὴν ὄπα εἴς τε λέξεις καὶ εἰς συλλαβὰς καὶ εἰς στοιχεῖα, ὃ μηδεμία τις ἄλλη ἔχει φωνὴ παρὰ τὴν τῶν ἀνθρώπων αὐδήν. αἱ γὰρ ἄλλαι οὔτε ὄπες λέγονται, ὥσπερ οὐδὲ αὐδή, καὶ οὐδὲ ἐπιμερίζονται. οἱ μέντοι τῆς ἡμετέρας θείας αὐλῆς μέροπας τοὺς ἀνθρώπους ἐπικληθῆναί φασιν ἀπὸ τοῦ μερισμοῦ ἤτοι διαμερισμοῦ τῆς ὀπός, ὃν ἔπαθον μετὰ τὸν τῆς Χαλάνης πύργον διαμερισθέντες ἁπανταχοῦ τῆς γῆς. δῆλον δὲ ὅτι καὶ ὄρνιθές τινες λέγονται μέροπες, ὧν τάχα πρὸς διαστολὴν ἐνταῦθα πρόσκειται τὸ ἀνθρώπων. φησὶ γάρ «δύο γενεαὶ μερόπων ἀνθρώπων». εὕρηνται δὲ καὶ οἱ Κῷοι, τουτέστιν οἱ τῆς Κῶ τῆς νήσου ἔποικοι, Μέροπες ἰδίως καλούμενοι ὀνόματι ἐθνικῷ καὶ ἡ νῆσος αὐτῶν Κῶς Μεροπηΐς. εὑρεθήσεται δέ που καὶ κύριον ὄνομα ὁ Μέροψ ἐν τοῖς ἑξῆς. [Ἰστέον δὲ ὅτι τὸ μέν «μερόπων ἀνθρώπων» ἐντελῶς πέφρασται, καθὰ καὶ τὸ «βροτοὶ ἄνδρες», ὁ δὲ ἄλλως τοὺς ἀνθρώπους φράσας κατὰ μόνας βροτοὺς ἢ μέροπας ἐλλείπει.] (v. 251) Τὸ δὲ ἐφθίατο Ἰωνικόν ἐστιν, ὡς ἀλλαχοῦ σαφῶς ῥηθήσεται. Τὸ δὲ ἐτράφησαν καὶ ἐγένοντο σχῆμά ἐστι κατὰ μέν τινας ὑστερολογία, κατὰ δὲ ἄλλους πρωθύστερον· ἐπεὶ τὸ πρῶτον ὕστερον τίθεται καὶ τὸ ὕστερον πρῶτον. τὸ γὰρ ἐγένοντο πρῶτον τοῦ ἐτράφησαν· ὕστερον γάρ τις τρέφεται γεννηθῆναι φθάσας. πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα παρὰ τῷ ποιητῇ, οἷον τὸ «ἀνδρῶν ἀγορὰς ἠμὲν λύει ἠδὲ καθίζει». πρῶτον γὰρ τὸ καθίζειν ἀγορὰν τοῦ λύειν· καὶ τὸ «εἰσῆλθε καὶ ὑπέρβη λάϊνον οὐδόν». πρῶτον γὰρ ὑπερβαίνει τις οὐδόν, εἶτα εἰσέρχεται. τοιοῦτον καὶ τὸ «ἀνέβη μέγαν οὐρανὸν Οὔλυμπόν τε», ὡς φανήσεται ἐν τοῖς ἑξῆς. ὅμοιον καὶ τὸ «τοὺς μὲν ἀνστήσειεν, ὁ δ' Ἀτρείδην ἐξεναρίζοι», ὡς καὶ πρὸ ὀλίγου ἐρρέθη. (v. 252) Τὴν δὲ Πύλον παρὰ μὲν Ὁμήρῳ οὐκ ἔστιν ἀναντιρρήτως εὑρεῖν λεγομένην κατὰ γένος ἀρσενικόν· ὁ μέντοι Γεωγράφος καὶ ἄλλοι τὸν Πύλον φασίν. ὅτι δὲ τρεῖς Πύλοι καὶ ὅτι οἱ μὲν τῆσδε τῆς Πύλου, οἱ δὲ ἐκείνης φασὶν ἄρχειν τὸν Νέστορα, οἱ δὲ καὶ τῶν τριῶν, γραφήσεται καὶ ἐν τοῖς ἑξῆς. περὶ δὲ Πύλου διείληπται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. [λέγει δ' ἐνταῦθα τὴν Πύλον ἠγαθέην οὐ

τόσον ἐκ τοῦ ἄγαν θείαν—ἧ γὰρ ἂν ἐφύλασσε τὸ νῦ τοῦ ἄγαν ὁμοίως τῷ ἀγάννιφος Ὄλυμπος —, ὅσον ἐκ τοῦ ἀγῶ ἀγάζω, ὅθεν ἀγαστός, ἀφ’ οὗ ἀγαθός.

1.154 οὕτω δὲ καὶ ἠγαθέη ἡ ἀγαστή.] (v. 253) Ὅτι ἐν τῷ «ἀγορήσατο καὶ μετέειπε» παρατηροῦσιν οἱ παλαιοὶ ὡς ἀγορήσασθαι μὲν ὁ ποιητὴς λέγει τὸ ἁπλῶς δημηγορῆσαι, μετειπεῖν δὲ τὸ μετὰ ταῦτα παραινετικῶς ὑποθέσθαι τὸ ποιητέον. οἷον [ἐν τοῖς πρὸ τούτων ὁ Κάλχας πρῶτα μὲν ἀγορήσατο ἑαυτὸν ἀσφαλισάμενος καὶ ἄλλ’ ἄττα εἰπών, εἶτα καὶ μετέειπεν, ὅπερ ἐχρῆν γενέσθαι. οὕτω δὴ καὶ] ἐνταῦθα ἀγορήσατο μὲν ὁ Νέστωρ ἀπὸ τοῦ «ὢ πόποι» ἕως τοῦ «ἀλλὰ πίθεσθε καὶ ὔμμες», μετεῖπε δὲ ἐν τῷ «μήτε σὺ ποίει τόδε, μήτε σὺ ὦ βασιλεῦ καὶ ὦ Ἀχιλλεῦ». (v. 254) Ὅτι τὸ «ὢ πόποι» σχετλιασμὸν δηλοῖ καὶ πάθος ψυχῆς ἐπὶ δεινοῖς τισι γινομένοις, ἐφ’ οἷς ἢ θρηνήσει τις ἢ ἐκθαμβηθήσεται ἢ ἄλλο τι τοιοῦτον πείσεται, ὡς καὶ ἐνταῦθα ὁ Νέστωρ ἐμφαίνει ὅλην ἐλεεῖν τὴν Ἑλλάδα. ἐκ παραλλήλου δὲ καὶ τὸ ὢ καὶ τὸ πόποι δηλοῦσι τὸ αὐτό, ὡς ἐάν τις εἴποι «φεῦ παπαί». καὶ γὰρ καὶ τὸ «φεῦ παπαί» παράλληλα κείμενα τὴν αὐτὴν σημασίαν ἔχουσιν. ἔστι δὲ σχῆμα ἐκ παραλλήλου, ὅτε δύο λέξεις ὁμοῦ κεῖνται παράλληλοι προφορᾷ μόνῃ διαφέρουσαι, σημαίνουσαι δὲ τὸ αὐτό· οἷον «θάνατόν τε μόρον τε». ταὐτὸν γὰρ αἱ λέξεις ἄμφω δηλοῦσι· καὶ «βάσκ’ ἴθι» ἀντὶ τοῦ πορεύθητι, ἄπελθε· καὶ «ποθέεσκε δ’ ἀϋτήν τε πόλεμόν τε». καὶ «ῥινοῦ τε βοῶν τ’ εὐποιητάων». ῥινὸς γὰρ ἐνταῦθα καὶ βόες ταὐτὸν νοοῦσιν. ὅμοιον καὶ τὸ «πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι» καὶ τὸ λίαν πάνυ καὶ τὸ τυχὸν ἴσως καὶ ὅσα τοιαῦτα. ἐπίρρημα δέ ἐστι τὸ πόποι πρωτόθετον καὶ ἴσως ὠνοματοπεποιημένον, ὥσπερ καὶ τὸ ποποῖ καὶ τοττοῖ καὶ ὀτοττοῖ καὶ παπαὶ καὶ φεῦ καὶ ἄλλα πολλά. φασὶ δὲ οἱ παλαιοὶ ἐν τῷ «ὢ πόποι», ὅτι τὸ ὢ καὶ δασεῖαν εἶχε καὶ περιεσπᾶτο ὡς ἐνθουσιαστικόν τι ἐπίρρημα· παρὰ δὲ τοῖς ὕστερον οὐδέτερον τούτων πάσχει. οὔτε γὰρ δασεῖαν οὔτε περισπωμένην ἔχει, ἵνα μὴ συνεμπέσῃ τῷ ὦ ῥήματι, ὃ δηλοῖ τὸ πέμψω, ὅπερ μετὰ συνθέσεως ἐφῶ γίνεται καὶ ἀφῶ.

1.155 τοῖς δὲ βιαζομένοις τὸν Ὅμηρον καὶ μετάγουσι πρὸς ἑτέρους ποιητὰς τὰ ἐκείνου ἀρέσκει λέγειν τὸ «ὦ πόποι» ἀντὶ τοῦ «ὦ θεοί», ἐπειδὴ εὕρηνται ἐν τοῖς μεθ’ Ὅμηρον οἱ θεοὶ πόποι λεγόμενοι οἱονεὶ ἔποποι κατὰ τοὺς παλαιούς, ὡς τὰ πάντα διοπτεύοντες, ὁποῖον δή τι καὶ ὁ δίοπος δηλοῖ, λέξις παρ’ Αἰσχύλῳ ἡγεμονική. Ὅτι μέγα κακὸν ὁ ποιητὴς κρίνει, ἐφ’ ᾧ πενθήσουσι μὲν οἱ φίλοι, χαρήσονται δὲ οἱ ἐχθροί. καὶ δηλοῖ τοῦτο ἐν οἷς θέλων δεῖξαι φαύλην τὴν τῶν βασιλέων ἔριν φησίν «ὦ πόποι ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει· γηθήσαι δὲ Πρίαμος ἄλλοι τε Τρῶες, ἐὰν τάδε πύθοιντο». σημείωσαι δὲ ὅτι [τὸ μὲν πένθος ἐκ τοῦ πάθος μετηλλάγη, καθὰ καὶ τὸ βάθος ἐκ τοῦ βένθος, οἷον «ἡμένη ἐν βένθεσιν ἁλός», τὸ δὲ Ἀχαιΐδα ἐντελῶς ἔχει, καθὰ καὶ τὸ Ἀχαιϊκός. τὸ δέ γε Ἀχαΐδα καὶ Ἀχαϊκόν, ὥσπερ καὶ τὸ Ἀχαΐα, παρὰ τοῖς ὕστερον ἀπέλευσιν ἔπαθε τοῦ ι κατὰ ἀκολουθίαν Αἰολέων, οἵ, ὡς καὶ προεδηλώθη, ἀποβάλλουσιν αὐτὸ καὶ ἐν τῷ Ἀχαιός, ὡς καὶ ἐν τῷ παλαιός.] Τὸ δὲ ἱκάνω ἀεὶ παρὰ τῷ ποιητῇ ἐκτείνει τὴν παραλήγουσαν. Τὸ δέ γε ἱκανώτατος ἀπὸ τοῦ ἱκάνω γενόμενον ἀμφιβόλως ἔσχεν, εἴτε διὰ τοῦ ω μεγάλου γραφήσεται, ὅπερ καὶ μάλιστα τοῖς πλείοσιν ἔδοξεν, εἴτε καὶ διὰ τοῦ ο μικροῦ. ἐζυγομάχησαν γὰρ καὶ εἰς τοῦτό τινες. Ὅρα δὲ τὸ «ἦ μέγα πένθος» τὴν ἁπλότητα τοῦ συνθέτου Μεγαπένθους, ὃς τῷ Μενελάῳ υἱὸς ἐτέχθη μετὰ τὴν Ἑλένης ἁρπαγὴν ἐξ ἑτέρας ἐν καιρῷ μεγάλου πένθους, οὐ τοῦ νῦν μέντοι λεγομένου ὑπὸ Νέστορος, ἀλλὰ τοῦ κοινοῦ. τὸ δέ «ἦ μέγα πένθος» παραφράζων ἑτέρωθί φησιν «ἦ κε μέγ’ οἰμώξειε γέρων» καὶ ἑξῆς. (v. 258) Ὅτι τελείων ἀνθρώπων ἔπαινος τὸ «οἳ περὶ μὲν βουλῇ Δαναῶν, περὶ δ’ ἐστὲ μάχεσθαι». αὐξάνων δέ τις που τὸ ἐγκώμιον ἀντὶ τοῦ Δαναῶν πάντων ἐρεῖ ἢ ἄλλο τι τοιοῦτον· παραφράσας δὲ αὐτό, εἰ βούλεται, μεταγάγῃ ἐκ τῆς ποιητικῆς στρυφνότητος εἰς τοιαύτην τινὰ σαφήνειαν· οἳ περίεστε μὲν πάντων τῇ βουλῇ περίεστε δὲ καὶ τῇ κατὰ πόλεμον δεξιότητι. οἰκεῖος δὲ ὁ λόγος ἐπὶ ἀνδρῶν ἀνδρείων τε καὶ συνετῶν· ἁρμόσει δέ ποτε καὶ ἐπὶ ἑνὸς διὰ παραφράσεως, οἷον, ὡς βουλῇ τε καὶ μάχῃ πάντων περίεστιν. ὧν μάλιστα χρεία τοῖς ἐν πολέμῳ. διὸ καὶ ἐν τοῖς ἑξῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄρην καὶ Ἀθηνᾶν ὁ ποιητὴς ἐρεῖ τῇ μάχῃ ἐνδημεῖν, ὧν Ἄρης μὲν μάχης, Ἀθηνᾶ δὲ βουλῆς ἐπιστατεῖ. Ἰστέον δὲ ὅτι τὸ περιεῖναι ποτὲ μὲν τὸ ὑπερέχειν δηλοῖ καὶ περιττότερον εἶναι, ὡς ὅτε τις εἴποι, ὅτι ὁ δεῖνα περίεστι τοῦ δεῖνος· —ὥσπερ καὶ ἐνταῦθα ὁ Ἀχιλλεὺς καὶ ὁ Ἀγαμέμνων περιεῖναι λέγονται πάντων ἔν τε βουλῇ καὶ μάχῃ—ποτὲ δὲ τὸ περιεῖναι λέγεται ἐπὶ περιουσιασμοῦ τοῦ ἐν τῷ βίῳ, ὡς ὅτε τις εἴποι, ὡς πολλὰ μὲν κεκοπίακα, οὐδὲν δέ μοι περίεστιν ἀντὶ τοῦ ἐκ περισσοῦ κεῖται, ἐξ οὗ καὶ ἡ περιουσία λαμβάνεται.

1.156 δηλοῖ δὲ τὸ περιεῖναι πολλάκις καὶ τὸ ἁπλῶς ζῆν. οὕτω γὰρ περιεῖναί τις τῷ βίῳ λέγεται. Ἰστέον δὲ ὅτι διδάσκει ὁ ποιητὴς καὶ ἐνταῦθα, ὡς ψεύσεταί ποτε κατὰ καιρὸν ὁ σπουδαῖος, καθάπερ ὁ Νέστωρ ἐνταῦθα. οὐ γὰρ ἀληθεύει λέγων, ὅτι ἔν τε βουλῇ καὶ μάχῃ περίεισιν οἱ ῥηθέντες βασιλεῖς. Ἀχιλλεὺς μὲν γὰρ πάντων τῇ μάχῃ περίεστιν, οὐ μὴν δὲ καὶ ὁ Ἀγαμέμνων. τῇ μέντοι βουλῇ ἀμφότεροι ἐλαττοῦνται τοῦ τε Νέστορος τούτου καὶ τοῦ Ὀδυσσέως. ἐψεύσατο οὖν καιρίως ὁ γέρων κολακικώτερον ἐν δέοντι λαλῶν καὶ μαλθάσσων οὕτω τὴν τῶν ἡρώων σκληρότητα. Ὅρα δὲ καὶ ὅτι ἐν τῷ «περὶ δ’ ἐστὲ μάχεσθαι» συγκροτεῖν ὁ ποιητὴς δοκεῖ τοὺς λέγοντας τὰ ἀπαρέμφατα ῥημάτων εἶναι ὀνόματα. τὸ γὰρ μάχεσθαι δίχα ἄρθρου ληφθὲν ταὐτόν ἐστι τῇ μάχῃ. λέγει γὰρ ὅτι περίεστε βουλῇ καὶ μάχεσθαι ἤγουν τῇ μάχῃ. καὶ ἐν τοῖς ἑξῆς δὲ ὁμοίως, ὅτε εἴπῃ «προθέουσιν ὀνείδεα μυθήσασθαι» ἤγουν προτρέχουσιν αἱ ὕβρεις τοῦ εἰπεῖν ἤτοι τοῦ λόγου. (v. 259 ss.) Ὅτι γέρων πολλάκις τισὶ λόγου ἀξίοις ὁμιλήσας καὶ δι’ αἰδοῦς ἀγόμενος, εἶτα δύο τινὰς νεωτέρους ἀλλήλοις καταλλάττων στασιάζοντας εἴποι ἂν τὸ «ἀλλὰ πίθεσθε· ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμεῖο». ἀνεπίφθονον γάρ φασι γέροντος ἀκούειν νεωτέρους γηρᾶν προσδοκῶντας. εἰ δὲ πλείους εἶεν οἱ εἰρηνευόμενοι, ἀφελὼν τὸ ἄμφω ἐρεῖ «ἀλλὰ πίθεσθε· νεώτεροι γὰρ μοῦ ἐστε». εἶτα ἐπισυνάψει τὰ ἐφεξῆς «ἤδη γάρ ποτ’ ἐγὼ καὶ ἀρείοσιν ἠέπερ ἡμῖν ἀνδράσιν ὡμίλησα καὶ οὔ ποτέ μ’ οἵ γ’ ἀθέριζον. οὐ γάρ πω τοίους ἴδον ἀνέρας οὐδὲ ἴδωμαι» οἷον τυχὸν τὸν δεῖνα ἢ τὸν δεῖνα. «κάρτιστοι δὴ κεῖνοι ἐπιχθονίων τράφεν ἀνδρῶν. κείνοισι δ’ ἂν οὔ τις ἐρίζοι, τῶν οἳ νῦν βροτοί εἰσιν ἐπιχθόνιοι. καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον· καλέσαντο γὰρ αὐτοί· καὶ μέν μευ βουλέων ξύνιον πίθοντό τε μύθῳ. ἀλλὰ πίθεσθε καὶ ὔμμες· ἐπεὶ πείθεσθαι ἄμεινον». (v. 273) Καὶ ὅρα τὸ ξύνιον γενικῇ συνταχθέν. δηλοῖ δὲ τὸ ξυνίεσαν καὶ ᾐσθάνοντο [καί, ὡς ὁ ποιητὴς εὐθὺς ἑρμηνεύει, ἐπείθοντο μύθῳ. ἐνεστὼς δὲ τοῦ ξύνιον ἄχρηστος τὸ ξυνίω, οὗ παράγωγον τὸ ξυνίημι.] (v. 260) Τὸ δὲ ἤδη κατὰ τοὺς παλαιοὺς τοῖς τρισὶ χρόνοις συνεπιμερίζεται, τῷ παρῳχημένῳ, ὡς ἐνταῦθα ἐν τῷ «ἤδη γάρ ποτ’ ἐγώ» καὶ «τῷ δ’ ἤδη δύο γενεαὶ ἔφθιντο». τῷ ἐνεστῶτι, ὡς τὸ «ἤδη γάρ μοι εἰκοστὸν ἔτος ἐστί». καὶ τῷ μέλλοντι, εἰ καὶ δοκεῖ ὁ Λουκιανὸς εἰς τοῦτο ἀπαρέσκεσθαι, ὡς τὸ «ἤδη λοίγια ἔργα τάδ’ ἔσεται». εἰ δέ τινες τοῦτο ἄλλως γράφουσιν «ἦ δὴ λοίγια ἔργα ἔσται» ἀντὶ τοῦ ὄντως δή, εὑρεθήσονται εἰς τοῦτο χρήσεις ἐν τοῖς ἑξῆς ἕτεραι.

1.157 Τὸ δέ «ἠέπερ ἡμῖν» κάλλιον τοῦ «ἠέπερ ὑμῖν». τοῦτο μὲν γὰρ πάνυ βαρύ, ὡς μόνων τῶν δύο ἀριστέων τραχέως καταφερόμενον· τὸ δὲ ἡμῖν πάντως λεῖον καὶ ἀνεπαχθέστερον διὰ τὸ κοινότερον. ἔστι γάρ πως τὸ ἡμῖν ὅμοιον τῷ «οἳ νῦν βροτοί ἐσμεν». (v. 261) Τὸ δὲ ἀθερίζειν δηλοῖ μὲν τὸ ἀπορριπτεῖν καὶ ἐξουθενοῦν καὶ μετήνεκται ἀπὸ τῶν ἀθέρων—ἡ δὲ χρῆσις τοῦ ἀθέρος παρὰ Αἰλιανῷ ἐν τῷ Περὶ προνοίας— ἄχρηστοι δὲ οἱ ἀθέρες εἰς καρπὸν συγκομιζόμενοι. εἰσὶ δὲ στάχυες ἀγεννεῖς, ἐφ’ οἷς αἱ σταχυηλόγοι πονοῦνται, οὓς οὐκ ἀξιοῖ θερίζειν ὁ γεωργός. ὅτε δὲ ὁ ποιητὴς ἐν τοῖς ἑξῆς ἀνθερίκων μνησθῇ, φυτόν τί ἐστιν ὁ ἀνθέριξ, ὃς καὶ ἀνθέρικος λέγεται, οὗ ὁ τύπος κατὰ τὸ ὁ κῆρυξ καὶ ὁ κήρυκος. Ἰστέον δὲ ὅτι ἐκ τοῦ ἀθερίζειν καὶ ἰχθὺς ἡ ἀθερῖνα ἔοικε λέγεσθαι. ἀθερίζεται γάρ πως καὶ αὐτὴ διὰ τὸ εὐτελές. διὸ καὶ «ἀτυχὲς ἰχθύδιον» ἐν τοῖς τοῦ Ἀθηναίου εὕρηται λεγομένη. (v. 262) Σημείωσαι δὲ καὶ ὅτι ἐν μὲν τῷ «οὐ γάρ πω τοίους ἄνδρας ἴδον» τὸν παρῳχημένον χρόνον λέγει· ἐν δὲ τῷ «οὐδὲ ἴδωμαι» τὸν μέλλοντα. τὸν δὲ ἐνεστῶτα τὸ «οὐδὲ νῦν ὁρῶ» τέως μὲν σιωπᾷ, ἵνα μὴ πάνυ λυπήσῃ τοὺς ἀκροατάς·

προϊὼν δὲ σαφέστατα λέγει πως καὶ αὐτὸν ἐν τῷ «οὔ τις ἐκείνοις μαχέοιτο τῶν νῦν ἀνθρώπων». Τὸ δέ «κείνοις οὔ τις ἂν ἐρίζοι τῶν νῦν» ἀναμφήριστον ὑπεροχὴν δηλοῖ. ὅμοιον τούτῳ καὶ τὸ «ἐκείνοις οὐδ' ἂν ἔργα ἀραχνάων ἐρίσειαν». ἀνόμοιον δὲ πρὸς ταῦτα ἐν τοῖς ἑξῆς τὸ «Νέστωρ οἷος ἔριζεν». (v. 259) [Ἰστέον δὲ ὅτι τὸ ἐστόν ἤγουν ὑπάρχετον δεύτερον δυϊκὸν ὀξύνεται μὲν ἀκολούθως τῷ εἰμί ἐσσί καὶ τοῖς ἑξῆς ἕως τοῦ τρίτου τῶν πληθυντικῶν. ἔχει δὲ τὸ σίγμα ἐν τῇ παραληγούσῃ ποιητικῶς τε καὶ ἄλλως Ἀττικῶς ἐξ ἀφορμῆς τοῦ ἐσσί καὶ ἐστί καὶ ἐσμέν καὶ ἑξῆς. καὶ καινὸν οὐδέν, εἴγε καὶ τὸ ἤτην ἤγουν ὑπηρχέτην μετὰ τοῦ σίγμα ἐστὶν ἐν τῷ «ἀδελφὼ ἤστην» ἤγουν ἀδελφοὶ ὑπῆρχον.] (v. 262—5) Ὅτι βουλομένῳ τῷ ποιητῇ μὴ μόνοις ἐμμένειν τοῖς Τρωϊκοῖς, ἀλλά που καὶ ἑτέραις προγενεστέραις ἱστορίαις παραρτύειν τὴν ποίησιν, χρησιμεύει καὶ ὁ Νέστωρ εἰς τοῦτο χορηγὸς παλαιῶν ἱστοριῶν ἐν πολλοῖς γινόμενος. ἡ δὲ μέθοδος ὡς ἐπὶ πολὺ τῆς τῶν ἱστοριῶν παρενθέσεως τοιαύτη. ὁ γέρων οὗτος οὐκ ἔχων ἔργοις διεκφαίνεσθαι κατὰ τὸν Τρωϊκὸν πόλεμον διὰ τὸ βαθὺ γῆρας συνιστᾷ ἑαυτὸν ἄλλως, οἷς πάλαι ποτὲ ἠνδραγαθήσατο καὶ μέμνηται πράξεων ἑαυτοῦ, ἃς ἐν νεότητι κατειργάσατο, ὡς ἂν ὁ νῦν ἀχρεῖον αὐτὸν βλέπων εἰς πόλεμον καὶ μηδέν τι μέγα περὶ αὐτοῦ λογιζόμενος ἐπιστρέφηται τοῖς διηγήμασι καὶ τῷ καταλόγῳ τῶν ἀριστέων ἐντάττῃ καὶ τὸν πάλαι ποτὲ τοιοῦτον γενόμενον.

1.158 τοιοῦτος οὖν ὁ Νέστωρ ὢν πολλαχοῦ περιαυτολογεῖ καὶ κατατείνων ἑαυτοῦ ἐγκώμια καὶ ἀριστείας μέμνηται καὶ προσώπων ἀξίων λόγου καὶ οὕτω τοῖς Τρωϊκοῖς παρεμπλέκει πολλὰ τῶν ἐν τῇ Ἑλλάδι ἱστορουμένων γενέσθαι, οἷς αὐτὸς ὁ γέρων παρεῖναί ποτέ φησιν, ὥσπερ δὴ καὶ ἐνταῦθα τόν τε Πειρίθοον καὶ τὸν Ἐξάδιον παρεισοδιάζει καὶ τὸν Καινέα καί τινα Πολύφημον ὁμώνυμον τῷ ἐν Ὀδυσσείᾳ Πολυφήμῳ Κύκλωπι καὶ ἄλλους αὐτούς τε ἱστορῶν κρατίστους γενομένους ἐπιχθονίων ἀνδρῶν καὶ κρατίστοις μαχομένους τοῖς Κενταύροις δηλαδή. Λαπίθαι δὲ ἦσαν οὗτοι, ὅ τε Πειρίθοος καὶ οἱ περὶ αὐτόν, γένος Θετταλικὸν εὐγενείᾳ τε καὶ ἀνδρίᾳ ἐπίσημον, οἳ τοῖς Ἱπποκενταύροις, ἀγρίῳ τινὶ φύλῳ κατὰ τὸν Γεωγράφον μάχην συγκροτήσαντες κατεπολέμησαν. ἕτεροι δέ φασιν, ὅτι ὁ Πειρίθους Ἀθηναῖος μὲν ἦν ἀνήρ, Ἰξίονος υἱὸς ἐν Θετταλίᾳ βασιλεύσαντος· ἀπὸ δὲ τοῦ περιθέειν οὕτως ὠνόμασται οἱονεὶ ὁ περιττὸς εἰς τὸ θέειν. ὁ δὲ μῦθός φησι τὸν Δία ὁμοιωθέντα ἵππῳ περιθέειν τὴν αὐτοῦ μητέρα πειρῶντα κἀντεῦθεν αὐτὸν κληθῆναι Περίθοον καὶ πλεονασμῷ τοῦ ι Πειρίθοον. [Ὅτι δὲ Δῖα ἐκαλεῖτο ἡ τοῦ Πειριθόου μήτηρ καὶ ὅτι, ὡς Πάνθοος Πάνθους, οὕτω Πειρίθοος Πειρίθους, καὶ ὅτι ἐν τῷ Περίθοος ἡμάρτηται ἡ περὶ πρόθεσις προσλαβοῦσα τὸ ι καὶ ποιήσασα τὸ Πειρίθοος ἐκ πλεονασμοῦ ἀσυνήθους καὶ ὡς οἱ Δωριεῖς τρέποντες τὴν ει δίφθογγον εἰς τὸ η καὶ ὥσπερ πλείων πλήων καὶ μείων μήων, οὕτω καὶ τὸ διὰ διφθόγγου Πειρίθοος διὰ τοῦ ἦτα γράφοντες Πηρίθοος πταίουσι, δηλοῦσιν οἱ παλαιοὶ λέγοντες ὡς οὐδέποτε τὴν ει δίφθογγον τὴν ἔχουσαν ἐκ πλεονασμοῦ τὸ ι εἰς η τρέπουσι. τὸ γάρ τοι ξένος ξεῖνος οὐ γράφουσι ξῆνος διὰ τοῦ η . καὶ οὕτω μὲν ταῦτα.] (v. 264) Τὸν δὲ Καινέα λόγος κάλλος τε περιττὸν ἔχειν καὶ ἀνδρεῖον εἶναι καὶ ἄτρωτον διαμεῖναι μέχρι πέρατος τοῦ ζῆν, καθὰ καὶ ὁ Τελαμώνιος Αἴας παρ' Ὁμήρῳ φαίνεται. ὁ δὲ μῦθος φύσει ἄτρωτον αὐτὸν εἶναί φησι πλάττων καί, ὅτι παρθένος εὐπρεπής ποτε γεγόνοι καὶ Ποσειδῶνος αὐτῇ μιγέντος αἰτησαμένη ἀνὴρ γενέσθαι καὶ ἄτρωτος μεῖναι, ὧν ἤθελεν, ἔτυχε. λέγεται δὲ καὶ ὑπερφρονῆσαι. ἀκόντιον γάρ, φασίν, ἐν ἀγορᾷ μέσῃ πήξας εἰς ὀρθὸν θεὸν τοῦτο προσέταξεν ἀριθμεῖν. ὅθεν ἡ Δίκη ποινὴν αὐτὸν ἀσεβείας εἰσπραττομένη πεποίηκεν ὑπὸ τοῖς Κενταύροις, οἳ δρυσί τε καὶ ἐλάταις αὐτὸν εἰς γῆν ἤρεισαν ἄρρηκτον καὶ ἄκαμπτον δύντα ὑπὸ γῆν «θεινόμενον στιβαραῖς καταΐγδην ἐλάταις», ὥς φησιν Ἀπολλώνιος. [εἴη δ' ἂν ταὐτὸν Καινέα εἰπεῖν καὶ νικητὴν κατὰ τὸ «καίνυτο φῦλ' ἀνθρώπων» ἤγουν ἐνίκα τοὺς τότε ἀνθρώπους.] Ὅτι ὡς τὸ Ὀϊλεύς Ἰλεὺς εὕρηται παρά τε Ἡσιόδῳ καὶ ἄλλοις ἀφαιρέσει τῆς ἀρχούσης, οὕτω καὶ ὁ παρ' Ὁμήρῳ Ἐξάδιος παρά τισι τῶν νεωτέρων Ξάδιος εὕρηται δίχα τοῦ

κατάρχοντος ε κατὰ τοὺς παλαιούς, οἵ φασι καὶ ὅτι ὤφειλε δασύνεσθαι ἡ ἄρχουσα, εἰ καὶ ἡ Ὁμηρικὴ συναλιφὴ ψιλοῦσθαι δηλοῖ αὐτό.

1.159 (v. 266 s.) Ὅτι ἐπαναλήψει πρώτῃ ἐνταῦθα χρᾶται ὁ ποιητὴς εἰπών· «Κάρτιστοι δὴ κεῖνοι» καὶ ἐπαγαγών· «κάρτιστοι μὲν ἔσαν». ἐνταῦθα δὲ καὶ ἐπιμονὴν ἐποίησε διὰ τὸ ἔνδοξον τῶν προσώπων. τῇ γὰρ λέξει τοῦ κράτιστοι ἐπέμεινε τρὶς αὐτὸ εἰπὼν ἐν δυσὶ στίχοις διὰ τὸ μὴ ἔχειν καιριωτέραν λέξιν εἰπεῖν. ὥστε οὐκ ἄν τις θαυμάσοι, ἐὰν ταὐτοσημάντους λέξεις ἐκ παραλλήλου λέγῃ, ὅσγε καὶ τὴν αὐτὴν ἀπαραποιήτως λέξιν πολλάκις τίθησι ταὐτολογεῖν οὐκ ὀκνῶν. ἔφη γάρ· «κάρτιστοι ἐκεῖνοι ἐπιχθονίων ἀνδρῶν. κάρτιστοι μὲν ἔσαν καὶ καρτίστοις ἐμάχοντο»· οὐ μὴν ἀνδράσι κατ’ αὐτοὺς ἀλλὰ θηρσίν, ὡς ῥηθήσεται αὐτίκα. κάρτιστοι δὲ ἢ παρὰ τὸ κάρτα, ὃ δηλοῖ τὸ λίαν, ἢ μάλιστα ἐκ τοῦ κράτος κατὰ μετάθεσιν ὡς «βράδιστοι ἵπποι», βάρδιστοι. κράτιστοι δὲ οἱ ἀνδρειότατοι καὶ νικηταί. τοιοῦτον δέ τι καὶ ὁ καρτερός, ὡς δηλοῖ παρὰ Ἀρριανῷ τὸ «Θηβαίων ἐγένετο καρτερός» ἤγουν περιεγένετο τῶν Θηβαίων καὶ αὐτόχρημα εἰπεῖν ἐκράτησεν. (v. 268) Ὅτι φῆρας ὀρεσκῴους τοὺς Κενταύρους φησὶ τουτέστι θῆρας ὀρειφοίτας. Αἰολικὴ δὲ λέξις κατὰ τοὺς παλαιοὺς τὸ φῆρες ἀντὶ τοῦ θῆρες ὡς τῶν Αἰολέων οὕτω λεγόντων. ἰστέον δὲ ὅτι ἡ τοῦ θ μετάληψις εἰς τὸ φ καὶ Ἀττικῆς ποτε διαλέκτου ἐστίν. ἐκεῖνοι γὰρ τὸ θλᾶν φλᾶν λέγουσι. τὸ μέντοι φλίψεται τὸ ἐν Ὀδυσσείᾳ καὶ τὸ παρὰ Θεοκρίτῳ ἐν Ἀδωνιαζούσαις Αἰολικὸν καὶ αὐτό. τινὲς δὲ τοὺς Κενταύρους φῆράς φασι κατὰ λέξιν σύνθετον ἐπιθετικῶς οἱονεὶ φυῆρας, τοὺς ἐκ δύο φυῶν ἡρμοσμένους, ὅ ἐστι διφυεῖς, τὸ μὲν κάτω ἵππους ὄντας ἄχρι καὶ εἰς αὐχένα, τὸ δὲ ἐντεῦθεν ἀνθρώπους καὶ τὸ ὅλον εἰπεῖν ἵππους τε ὄντας ἀκεφάλους καὶ ἀνθρώπους ἄποδας. ὅθεν καὶ τὸ ἀστεῖον ἐκεῖνο εἴρηται, ὅτι δηλαδὴ ἐν τῇ τῶν Ἱπποκενταύρων φύσει «ἵππος μὲν ἀπερεύγεται ἄνδρα, βροτὸς δ’ ἀποπέρδεται ἵππον». ὅτι δὲ ἐγένοντο οἱ Ἱπποκένταυροι καὶ γενναῖοι καὶ δεξιοὶ κελητίζειν καὶ ὅτι λῃστρικῶς ἔζων, καὶ ἡ τοῦ Παλαιφάτου ἱστορία φησί. δῆλον δὲ ὅτι Κένταυροι μὲν ἐκλήθησαν, διότι ταύρους ἀγριανθέντας καὶ πολλὰ περὶ Θετταλίαν βλάπτοντας κατεκέντησαν· ἐνομίσθησαν δὲ σύνθετοι ἐξ ἵππων καὶ ἀνδρῶν, διότι ἁρματηλατεῖν ἀφέντες κελητίζειν ἐπετηδεύσαντο ἤγουν ἀζεύκτοις ἵπποις ἐποχεῖσθαι καὶ ἁρπάζοντες εἶτα φεύγοντες καὶ κατὰ νώτου βλεπόμενοι ἐφάνταζον τοὺς πολλοὺς ὡς ἐξ ἡμισείας εἰσὶν ἄνθρωποι ἐγκεκεντρισμένοι ἵπποις.

1.160 καὶ ἡ φαντασία τὸν μῦθον ἀστείως ἀνέπλασε. λέγονται δὲ περὶ τὸ Πήλιον ὄρος καὶ τὴν Οἴτην οἰκεῖν, ἔνθα καὶ ἡ τῶν Εὐρωπαίων Μαγνήτων χώρα ἐστίν. ὁ δὲ μῦθος Ἰξίονος αὐτοὺς γενεαλογεῖ καὶ Νεφέλης, ἀφ’ ὧν γενέσθαι τινὰ Κένταυρον, ἄνδρα θηριώδη καὶ ἀνθρώποις ἀνεπίμικτον, ὃν μιγνύμενον ταῖς Μαγνήτισιν ἵπποις τὸ τῶν Ἱπποκενταύρων ἀποτελέσαι φῦλον, σύνθετον ἔκ τε μητρὸς ἵππου καὶ πατρὸς ἐκείνου δὴ τοῦ Κενταύρου κληθέντος, φασίν, οὕτω, διότι ὁ Ἰξίων κεντήσας αὖραν ἤτοι ἀερίαν νεφέλην ἐγέννησεν αὐτὸν ἐξ ἐκείνης, ὡς ὁ μῦθος ἐλήρησεν. ἔοικε δὲ ὁ ῥηθεὶς Ἰξίων, ὁ καὶ πρῶτος παρὰ τοῖς Ἕλλησιν ἱστορούμενος γενέσθαι φονεύς, φαντασιοκόπος τις εἶναι καὶ πραγμάτων ἐφιέμενος ὑπὲρ αὐτὸν ὄντων, ὁποίους πολλοὺς ὁ μακρὸς χρόνος ἤνεγκε. διόπερ ὁ μῦθος ἐρᾶν αὐτὸν λέγει τῆς Ἥρας, ὕψους τινὸς δηλαδὴ ἡγεμονικοῦ. καὶ γὰρ οἱ παλαιοὶ καὶ εἰς τοιοῦτόν τι, ὡς εἴρηται, τὴν Ἥραν ἐκλαμβάνονται ζωὴν Ἡραίαν λέγοντες τὴν βασιλικήν· ἧς διεκπεσὼν ὁ Ἰξίων ἐμίγη, φασί, νεφέλῃ, σκιᾷ τινι δηλαδὴ καὶ φαντάσματι τῆς φιλουμένης ὑψηλῆς ζωῆς καὶ εἰδώλῳ τοῦ ποθουμένου, καὶ ἀπέτεκε Κενταύρους ἀνυποστάτους δηλονότι ἐννοίας καὶ ἃς οὐκ οἶδε φύσις τελεσφορεῖν. οὐδὲν γάρ ἐστιν ὁ Ἱπποκένταυρος, ὥσπερ οὐδ’ ὁ τραγέλαφος. Περὶ δὲ τοῦ «ὀρεσκῴοισι» γέγραπται εἰς τὴν Ὀδύσσειαν ἐν τῷ «Λακεδαίμονα κητώεσσαν». ἐνταῦθα δὲ τοῦτο μόνον ῥητέον, ὅτι ἀπὸ τοῦ κείω τὸ κεῖμαι γίνεται κοῖος καὶ ἐκτάσει κῷος, ὡς πατροῖος πατρῷος· ὅθεν καὶ ὀρεσκῷοι θῆρες οἱ ἐν ὄρεσι κείοντες, ὅ ἐστι κείμενοι καὶ διάγοντες· ἢ ἀπὸ

τοῦ κῶ τὸ κεῖμαι κατὰ πρόσληψιν συλλαβῆς κῶος καὶ ὀρεσκῶος, ὥσπερ καὶ κώμη ἀπὸ τοῦ κῶ γίνεται προσλαβόντος τὴν μη συλλαβὴν ὁμοίως τῷ ῥῶ ῥώμη, βρῶ βρώμη, τρῶ τρώμη ἡ τρῶσις, γνῶ γνώμη. [Ἀρέσκει δὲ τοῖς παλαιοῖς ἡ πρώτη ἐτυμολογία, δι᾽ ἧς καὶ ἡ προσγραφὴ τοῦ ι βοηθεῖται ἐν τῷ ὀρεσκῴος, οὗ τὸ ἀνάλογον κατὰ τὸ Ἀχελῷος καὶ ἀθῷος. Ὅτι οὐκ ἀρκετὸν μάχεσθαί τινα, εἰ μὴ καὶ νικήσει· οὕτω γὰρ κράτιστος ὁ τοιοῦτος. διὸ εἰπὼν ἐπαινετικῶς Ὅμηρος, ὡς κάρτιστοι καρτίστοις ἐμάχοντο, ἐπάγει «καὶ ἐκπάγλως ἀπώλεσαν». Ἔστι δὲ ἐκπάγλως τὸ ὡς ἂν ἐκπλαγείη τις, οὗ πρὸς ὁμοιότητα ἑρμηνεύεται καὶ ὁ ἐκπαγλότατος.

1.161 (v. 269) Ὅτι ὃ φθάσας εἶπεν ὡμίλησα ἐν τῷ «καὶ ἀρείοσιν ἠέπερ ἡμῖν ὡμίλησα» τοῦτο ἄλλως φράζει ἐν τῷ «τοῖσιν ἐγὼ μεθομίλεον».] (v. 270) Ὅτι ἀπίαν γῆν ἐνταῦθα νοητέον ἢ τὴν ἀλλοδαπὴν καὶ μακρὰν ἐκ τοῦ ἄπο ἤ, ὡς καὶ Σοφοκλῆς λέγει, τὴν Πελοποννησίαν ἀπὸ Ἄπιδος, περὶ οὗ ἐν τοῖς εἰς τὸν Περιηγητὴν εἴρηται, ὅπου Ἀπιδανεῖς ἐκεῖνος τοὺς Ἀρκάδας καλεῖ. δῆλον δὲ ὅτι Πελοποννήσιος ὁ Νέστωρ ὡς Πύλιος· ἐντὸς γὰρ Πελοποννήσου ἡ Πύλος. εὑρεθήσεται δέ που παρ᾽ Ὁμήρῳ ἀπία γῆ μὴ δυναμένη εἰς Πελοποννησίαν λαμβάνεσθαι. (v. 267—70) Ὅτι δύο ἄδηλα ἐνταῦθα δι᾽ ἑνὸς δήλου ἔδειξεν ὁ ῥήτωρ Νέστωρ πιστούμενος τὸ μὲν αὐτὸν ἄριστον εἶναι τῇ συνέσει διὰ τῶν κρατίστων Λαπιθῶν, οἳ αὐτῷ ἐπείθοντο συμβουλεύοντι, τὸ δὲ αὐτοὺς κρατίστους εἶναι διὰ τῶν Κενταύρων, οὓς ἀριδήλως κρατίστους ὄντας οἱ Λαπίθαι κατηγωνίσαντο. ἐν τούτοις δὲ καὶ ἀπὸ τοῦ μείζονος ὁ Νέστωρ ἐπιχειρεῖ αὐξάνων καὶ συνιστῶν ἑαυτόν. κράτιστοι μὲν γὰρ οἱ Λαπίθαι τῶν ἄρτι ἀνθρώπων. αὐτὸς δὲ μετεκλήθη, φησίν, ὑπ᾽ ἐκείνων ἔτι νέος ὢν καὶ οὐκ αὐτὸς ἐπὶ μισθῷ ἦλθεν, ἀλλ᾽ αὐτοὶ ἐκαλέσαντο· καὶ βουλευόμενος εἶχε καταπειθεῖς ἐκείνους. συνάγει γοῦν διὰ τούτων, ὅτι τοὺς νῦν Ἕλληνας μάλιστα τούτῳ πειστέον, εἴπερ αὐτοὶ μὲν οὐ κράτιστοι κατ᾽ ἐκείνους, αὐτὸς δὲ οὐκέτι νέος ὡς τότε· ἀλλ᾽ ὅσον αὐτοὶ τοὺς Λαπίθας ἀνδρίᾳ ὑποβεβήκασι, τοσοῦτον αὐτὸς ἑαυτὸν τῇ ἐκ νέου συνέσει διὰ τὴν ἐκ τοῦ γήρως ἐμπειρίαν ὑπεραναβέβηκε. καὶ ἔστιν ὁ αὐτὸς Νέστωρ ἐκεῖ μὲν ἀτελὴς κρατίστοις ἀνδράσι συνών, ἐνταῦθα δὲ τέλειος οὐχ᾽ οὕτω κρατίστοις συστρατευόμενος. (v. 271—3) Ἵνα δὲ μὴ ἐλέγχοιτο ὡς τοῖς οὕτω κρατίστοις παρεξετάζων ἑαυτὸν καὶ φαίνοιτο ἀπίθανα λέγων ἢ καὶ ψευδόμενος ἄντικρυς, —οὐ γὰρ οὕτω μάλα ἐν νεότητι ἀνδρεῖος ὁ Νέστωρ εἶναι ἱστόρηται— ὁμολογεῖ, ὅτι οὐ κατ᾽ ἀνδρίαν ἀλλὰ διὰ σύνεσιν ἐκείνοις τοῖς κρατίστοις χρήσιμος ἦν. «ἐμαχόμην γάρ», φησί, «κατ᾽ ἔμ᾽ αὐτόν· ἐκείνοις δὲ οὐκ ἄν τις μάχοιτο». τῇ βουλῇ δὲ κρείττων ἦν ἐκείνων. διὸ καὶ ἐπείθοντο. Καὶ σημείωσαι ὅπως καὶ ἐνταῦθα μίαν ἔννοιαν διαφόρως ἔφρασεν ὁ ποιητής. τὸ γάρ «οὔπω τοίους ἀνέρας ἴδον οὐδὲ ἴδωμαι» καὶ τὸ «κράτιστοι ἐκεῖνοι ἐπιχθονίων ἦσαν ἀνδρῶν» καὶ τὸ «ἐκείνοις οὔ τις τῶν νῦν ἀνθρώπων μάχοιτο» τῆς αὐτῆς ἐννοίας εἰσίν. (v. 272) Ἔστι δὲ τὸ μάχοιτο ἀντὶ τοῦ ἐρίσοι καὶ ἐξισωθείη τὰ εἰς μάχην. καὶ σημείωσαι τὴν λέξιν. ὅρα δὲ καὶ τὸ πιθανὸν τοῦ ῥήτορος. ὁμολογεῖ γὰρ μὴ πάνυ ἀνδρεῖος γενέσθαι, ἵνα πιστὸν ποιήσῃ τὸ τῆς συνέσεως. ἰστέον δὲ ὅτι ἐν γάμου πανηγύρει ὁ τῶν Κενταύρων ἤρχθη πόλεμος μηνίσαντος Ἄρεος, διότι μὴ γέγονε μνήμη τις καὶ αὐτοῦ, ὡς Ἀριστείδης ἐν τῷ εἰς τὴν Ῥώμην αὐτοῦ λόγῳ φησί, καὶ διὰ τοῦτο τὸν γάμον ταράξαντος. (v. 271) Ἰστέον δὲ καὶ ὅτι οὐκ ἔστι παρὰ τῷ ποιητῇ συντεθειμένη ἀντωνυμία, ἀλλ᾽ ὁπηνίκα συνθέτως ἀντονομάσαι βούλεται, δύο ταὐτοσήμους ἐκ παραλλήλου ἀντωνυμίας τίθησιν.

1.162 οἷον βουλόμενος εἰπεῖν ἑαυτὸν λέγει «ἑὲ δ᾽ αὐτὸν ἐποτρύνει μάχεσθαι». ἢ καὶ ἄλλως «αὐτόν μιν πληγῇσι δαμάσας». οὕτως οὖν καὶ ἐνταῦθα τὸ «κατ᾽ ἐμαυτόν» «κατ᾽ ἔμ᾽ αὐτόν» εἶπεν. οὐ θέλουσι γὰρ οἱ παλαιοὶ συνθέτως γράψαι κατ᾽ ἐμαυτόν. τοιοῦτον καὶ παρ᾽ Ἀττικοῖς τὸ σφίσιν αὐτοῖς καὶ σφῶν αὐτῶν καὶ ἡμῶν αὐτῶν καὶ ὅσα κατὰ ταῦτα. (v. 271 s.) Ὅτι τὸ «οὔ τις τῶν, οἳ νῦν βροτοί εἰσιν ἐπιχθόνιοι» σχῆμά ἐστι κατὰ τοὺς παλαιοὺς κλίσις ἢ μετάληψις. ἔστι δὲ κλίσις ἢ μετάληψις, ὅταν ἡ προτεθεῖσα πτῶσις οὐ φυλάξῃ τὴν ἑαυτῆς ἀκολουθίαν, ἀλλ᾽ εἰς ἑτέραν πτῶσιν μετακλιθείη ἢ μεταληφθείη, οἷον καὶ τὸ «τούς, ὅσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον» καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«τοίην ἀοιδὴν ἐπικλείουσιν ἄνθρωποι, ἥ κεν ἀκουόντεσσι νεωτάτη ἐστί». τοιοῦτον, ὡς προερρέθη, καὶ τὸ «μῆνιν ἄειδε οὐλομένην, ἣ μυρία ἔθηκεν ἄλγεα». ἐν τούτοις γὰρ αἱ αἰτιατικαὶ εἰς εὐθείας μετεκλίθησαν ἢ μετελήφθησαν. ὅμοιον καὶ τὸ «ἄνδρα μοι ἔννεπε, ὃς πολλὰ ἐπλανήθη». καὶ ὅρα ἑτέραν ταύτην μετάληψιν παρὰ τὴν πρὸ μικροῦ ῥηθεῖσαν. Ὅτι ἡ τοῦ Νέστορος ἐνταῦθα δημηγορία τὴν προσωπικὴν αὐτοῦ σύστασιν πλείονα ἔχει τῆς ἀξιώσεως καὶ τὸ πάρεργον πλεῖον αὐτοῦ τοῦ ἐργώδους πράγματος καὶ τὸ προοίμιον ὑπὲρ τὸν ἀγῶνα καί, ὡς ἄν τις εἴποι, τὴν κεφαλὴν τοῦ λόγου μείζω τοῦ λοιποῦ σώματος. τὸ μὲν γὰρ πρᾶγμα ἐν μόνοις δέκα ἔπεσι διείληπται, ὁ δὲ τοῦ Νέστορος ἔπαινος καὶ ἡ ἱστορικὴ παρεμπλοκὴ ἐν τρισκαίδεκα στίχοις ἐκτέθειται. αἴτιον δὲ τούτου, ὅτι τὸ μὲν πρᾶγμα αὐτόθεν ἔχει τὸ δυνατὸν καί, ὡς δίκαιον, «οὐ ποικίλων ἑρμηνευμάτων δέεται», τῷ δὲ προσώπῳ χρεία ἦν μακροτέρας συστάσεως, ὡς ἂν ἀξιωματικῶς καταιδέσῃ καὶ μὴ ἀχρειώσῃ τὴν τοῦ πράγματος ἰσχὺν τὸ δοκοῦν εὐτελὲς τοῦ προσώπου. (v. 275—84) Γενναία δὲ ἡ τοῦ Νέστορος ἀξίωσις αὐτοῖς ἐπεξιοῦσα καὶ μόνοις τοῖς ἀναγκαιοτάτοις διὰ τὸ κατεπεῖγον καὶ μηδὲν τοῦ καιρίου καὶ ἀληθοῦς πλέον λέγουσα καί πως ἀμφοῖν τοῖν ἀριστέοιν χαριζομένη δίχα πανουργίας. καὶ γὰρ ἀξιοῖ μήτε τὴν Βρισηΐδα ὑπὸ τοῦ βασιλέως ἀφαιρεθῆναι, ἥν, ὡς καὶ Ἀχιλλεὺς ἔφη, οὐκ αὐτὸς ἀλλ' οἱ Ἀχαιοὶ γέρας ἔδοσαν τῷ Ἀχιλλεῖ, μήτε μὴν τὸν Ἀχιλλέα ἐρίζειν τῷ βασιλεῖ. διὰ τί; «οὐ γάρ ποτε», φησίν, «ὁμοίας ἔτυχε τιμῆς σκηπτοῦχος βασιλεὺς καὶ ᾧπερ ἁπλῶς κῦδος δέδωκε θεός» δι' ἀνδρίαν τυχόν, ὃ δηλοῖ τὸ «καρτερός ἐσσι», ἢ καὶ δι' εὐγένειαν, ὃ δηλοῖ ἐν τῷ «θεὰ δέ σε γείνατο μήτηρ». Ἐν τούτοις δὲ καὶ ἑρμηνεύει ἐπεξεργαστικώτερον, τί σημαίνει τὸ δοθῆναι πρὸς Διὸς κῦδος τῷ Ἀχιλλεῖ. δηλοῖ δὲ καὶ ὡς οὐ μόνῳ αὐτῷ κῦδος δέδοται, εἴγε καὶ ὁ Ἀγαμέμνων, ὡς καὶ ὁ Ἀχιλλεὺς φθάσας ἔφη, κύδιστός ἐστι.

1.163 φησὶ γάρ· «εἰ δὲ σὺ καρτερός ἐσσι θεὰ δέ σε γείνατο μήτηρ, ἀλλ' ὅδε φέρτερός ἐστιν, ἐπεὶ πλεόνεσσιν ἀνάσσει». ὥστε καὶ κύδιστός ἐστι φύσει ὁ Ἀγαμέμνων ὡς εὐρυκρείων καὶ πλειόνων ἀνάσσων καὶ οὐχ' ἁπλῶς κύδιμος, ὦ Ἀχιλλεῦ, κατὰ σὲ τὸν ἐκ τοῦ Διὸς μὲν κῦδος ἔχοντα, μικροβασιλέα δέ. καὶ ὅρα ὅπως οὔτε γενναιότητα οὔτε εὐγένειαν ὑπερτίθησι τῆς βασιλείας. θείας γὰρ λήξεως κατὰ τοὺς παλαιοὺς δοκοῦσιν εἶναι οἱ βασιλεῖς. ἐνταῦθα δὲ ὅρα καὶ ὅπως πραγματικῶς ὁ Νέστωρ ἀπὸ βασιλέως ἀρξάμενος εἰς αὐτὸν κατέληξεν, ὅπερ αὐτὸς ἀλλαχοῦ ἐπισημαίνεται ὡς ἐπίτηδες οὕτω τοὺς λόγους μεθοδεύων. ἐρεῖ γάρ που πρὸς τὸν βασιλέα, ὅτι ἀπὸ σοῦ μὲν ἄρξομαι, εἰς σὲ δὲ λήξω. ἤρξατο δὲ ἐνταῦθα ἐκ τοῦ βασιλέως προκαταστέλλων τὸν θυμὸν αὐτοῦ ἐν τῷ «μήτε σὺ ἀγαθός περ ὢν ποίει τάδε». εἶτα πρὸς τὸν Ἀχιλλέα λαλήσας ἀνακάμπτει εἰς τὸν βασιλέα καί φησιν· «Ἀτρεΐδη, σὺ δὲ παῦε τεὸν μένος». (v. 275 s.) [Ἰστέον δὲ ἐν τοῖς ῥηθεῖσιν, ὅτι τε τὸ «μήτε σὺ τόνδε ἀφαιροῦ τὸ οἰκεῖον γέρας» ἀποαίρεο λέγει φυσικῶς—ἐκ ταύτης γὰρ τῆς πρωτοτύπου διαλύσεως κέκραται τὸ «ἀφαιροῦ» προστακτικόν—καὶ ὅτι κἀνταῦθα κεῖται τὸ πρῶτα πληθυντικῶς ἀντὶ ἑνικοῦ τοῦ πρῶτον· (v. 278) καὶ ὅτι τὸ ἔτυχεν «ἔμμορε» λέγει κατὰ χρόνον μέσον παρακείμενον. μείρω γὰρ μερῶ, μέμορα καὶ μεταθέσει ἔμμορα τὸ εἰς μοῖραν ἔλαχον.] (v. 279) Τὸ δὲ σκηπτοῦχος, ὡς μὲν πρὸς τὸ σκῆπτρον, ἔλλειψιν δοκεῖ ἔχειν τοῦ ρ διὰ καλλιφωνίαν. εἰ δέ, ὡς προεγράφη, ἀπὸ τοῦ σκάπτου γίνεται, ἀνελλιπῶς ἔχει. σκᾶπτον γὰρ καὶ Πίνδαρος Δωρικῶς τὸ σκῆπτρόν φησιν. ἰστέον δὲ ὅτι, ὥσπερ διαφέρει ὁ δᾷδας ἔχων ἁπλῶς καὶ ὁ ἐν τοῖς κατ' Ἐλευσῖνα μυστηρίοις δᾳδοῦχος καὶ ὁ ῥάβδον ἁπλῶς ἔχων καὶ ὁ ταξεωτικὸς ῥαβδοῦχος, οὕτω καὶ ὁ σκῆπτρον ἁπλῶς ἔχων κατὰ τὸν ἐν Ὀδυσσείᾳ πτωχὸν Ὀδυσσέα καί, εἴ τις ἄλλος τοιοῦτος, καὶ ὁ σκηπτοῦχος, ὃς βασιλεὺς εἶναι ἰδιάζεται. (v. 281) Τὸ δέ «φέρτερος» λείπουσαν ζητεῖ πρόθεσιν τὴν προ ἢ ὑπερ . δηλοῖ γὰρ προφερέστερον ἢ ὑπερφερέστερον. (v. 275) Ὅτι καὶ τὴν Βρισηΐδα, ὥσπερ καὶ πρὸ τούτου τὴν Χρυσηΐδα, κούρην καλεῖ, ὡς ἁπλῶς νέαν· οὐ γὰρ δή που παρθένοι εἰσὶν οὔτε ἐκείνη οὔτε αὕτη. πολλαχοῦ δὲ τῆς ποιήσεως ἐπὶ τοιούτου σημαινομένου ἡ κόρη κεῖται. (v. 277) Ὅτι ἐν τῷ «μήτε σὺ Πηλείδη θέλε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐρίζειν βασιλεῦσιν» οἱ παλαιοὶ εἰς τὸ «δή» ὀξεῖαν τιθέασι μετὰ ἀποστρόφου συναλείφοντες, ὡς ἂν εἴη «μήτε σὺ Πηλείδῄθελε» ἤγουν μήτε σύ, ὦ Πηλείδη, ἔθελε. φασὶ γὰρ μὴ εἶναι παρὰ τῷ ποιητῇ τὸ θέλειν δισυλλάβως, ἀλλὰ ἐθέλειν μετὰ τοῦ ε . (v. 284) Ὅτι τὸν Ἀχιλλέα φησὶν ὁ Νέστωρ ἕρκος εἶναι πολέμοιο κακοῖο τοῖς Ἀχαιοῖς καὶ οὐχ' ἁπλῶς, ἀλλὰ καὶ «μέγα ἕρκος» καὶ «πᾶσιν Ἀχαιοῖς».

1.164 καὶ ὅρα ὅπως οὐδὲν μὲν ὁ Νέστωρ ἐπέκρυψε τῶν ἀγαθῶν, ὧν ἔχουσιν ὁ βασιλεὺς καὶ ὁ Ἀχιλλεύς· ἐθέλει δὲ ὅμως, μᾶλλον δὲ λίσσεται διὰ τὸ σεμνότερον, ὅ ἐστι λιτανεύει τὸν βασιλέα, παύσασθαι τοῦ χόλου τῷ Ἀχιλλεῖ. κρίνει γὰρ ἀδικεῖσθαι αὐτόν. (v. 286—9) Ὁ δὲ βασιλεὺς ὁμολογεῖ μὲν εὖ εἰπεῖν τὸν γέροντα ῥήτορα, οὐ ποιεῖ δὲ τὸ συμβουλευθέν, ἀλλ' αἰτιᾶται τὸν Ἀχιλλέα ὡς πάντων ἐθέλοντα περιεῖναι, οὐδὲν λέγων ἀληθές, μάτην δὲ οὕτω τὴν αἰτίαν τῆς ἔριδος ὑπὸ φιλονεικίας ἀνατιθεὶς τῷ Ἀχιλλεῖ. διὸ καὶ βλαβήσεται ὕστερον ὡς καὶ λιτὰς τοῦ γέροντος παριδὼν καὶ ὡς ἀγαθῷ συμβούλῳ μὴ πεισθείς. εἰ γάρ «ἀγαθὴ παραίφασίς ἐστιν ἑταίρου», τί ἂν πάθοι χρηστὸν ὁ ταύτῃ μὴ ἐθέλων πείθεσθαι; (v. 284) Ἰστέον δὲ ὅτι ταὐτὸν ἐνταῦθα ἕρκος καὶ τεῖχος εἰπεῖν, ἵνα νοῆται ὁ Ἀχιλλεὺς οἷά τι κατὰ τῶν πολεμίων πυργοειδὲς ἔρυμα ἵστασθαι, [ὁποῖος καὶ ὁ Αἴας ἐν τοῖς ἑξῆς που ῥηθήσεται. Δῆλον δὲ ὡς τὸ «πολέμου ἕρκος» διαστολὴν ἔχει πρὸς τὸ αὐλῆς ἕρκος καὶ ἀλωῆς ἕρκος καὶ τὰ τοιαῦτα. (v. 282) Τὸ δέ «παύσασθαι χόλου» διχῶς φράζει Ὅμηρος «Ἀτρείδη σὺ δὲ παῦε τεὸν μένος». καὶ πάλιν «λίσσομαι μεθέμεν χόλον». καὶ ἔστι κἀνταῦθα διττολογία πρὸς διόρθωσιν λόγου. δυσωπητικώτερον γὰρ τοῦ «παῦε μένος» τὸ «λίσσομαι μεθέμεν χόλον». ταὐτὸν δὲ μεθέμεν εἰπεῖν καὶ μεθεῖναι καὶ ἀφεῖναι, ὡς πολλαχοῦ φανεῖται.] (v. 286 ss.) Ὅτι ἀγαθῷ συμβούλῳ οἰκεῖον προσφωνηθῆναι τὸ «ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπες». ὁ δὲ περισσὰ πράττων καὶ πάντων ὑπερφέρεσθαι θέλων εἰκότως ἂν ἀκούσοι τὸ «ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει πάντων περιέμμεναι ἄλλων. πάντων μὲν κρατέειν ἐθέλει, πάντεσσι δ' ἀνάσσειν, πᾶσι δὲ σημαίνειν». καὶ ὅρα καὶ τὴν τοιαύτην ταὐτολογίαν τοῦ Ἀγαμέμνονος μὲν οὖσαν, πρέπουσαν δὲ ἀνδρὶ θυμουμένῳ. καὶ γὰρ ὁ θυμὸς οὐκ ἐπιτρέπει τῷ λαλοῦντι συλλέγειν νοήματα, ἀλλὰ μίαν ἔννοιαν ἐμπερικλείσας τῷ στόματι ἀφίησι μασᾶσθαι αὐτήν. οὐδέποτε γὰρ οἴονται οἱ θυμούμενοι ἱκανῶς εἰρηκέναι, ὥς φασιν οἱ σοφοί, ἀλλὰ πολλάκις ἐπανακυκλοῦσι τὰ αὐτά. ὁ γοῦν Ἀγαμέμνων ἐνταῦθα τὴν μίαν ἔννοιαν τετράκις ἔστρεψε. τὸ γὰρ πάντων περιεῖναι καὶ πάντων κρατεῖν καὶ πᾶσιν ἀνάσσειν καὶ πᾶσι σημαίνειν τῆς αὐτῆς δυνάμεώς εἰσιν. [ἐν οἷς καὶ πολύπτωτός ἐστι σχηματισμὸς τὸ πάντων καὶ πάντεσσι καὶ πᾶσι. ταὐτολογήσει δὲ μετ' ὀλίγα καὶ ὁ Ἀχιλλεύς.] (v. 290 s.) Ὅτι ὁμολογεῖ μὲν καὶ Ἀγαμέμνων ἀνδρεῖον εἶναι τὸν Ἀχιλλέα, αἰτιᾶται δὲ ὡς ὑβριστὴν λέγων· «εἰ δέ μιν αἰχμητὴν ἔθηκε θεός, τοὔνεκά οἱ προτρέχουσιν ὀνείδεα μυθήσασθαι». τουτέστιν «εἰ δὲ ἀνδρεῖός ἐστι, διὰ τοῦτο αἱ ὕβρεις αὐτῷ τοῦ λέγειν προτρέχουσι». [Καὶ ὅρα τὸ μυθήσασθαι ψιλὸν αὐτὸ μόνον ἴσον ὂν τῷ τοῦ λόγου, ἵνα ᾖ· προτρέχουσι τοῦ ἁπλῶς λόγου οἱ κατὰ ὄνειδος.

1.165 ] (v. 292) Ὅτι ὥσπερ ἀπὸ τοῦ παραβάλλειν, ὅ ἐστι συγκρίνειν, γίνεται παραβλήδην τὸ συγκριτικῶς, οὕτω καὶ ἀπὸ τοῦ ὑποβάλλειν τὸ ὑποβλήδην, ὅ ἐστιν ὑποβλητικῶς καὶ ὡς ἐν περικοπῇ διεξοδικοῦ λόγου. ὑποβάλλειν δέ ἐστι τὸ ἄλλου λέγοντος μὴ ἀνασχέσθαι ἀπαρτισθῆναι τοὺς λόγους, ἀλλ' ὑποβαλεῖν τοὺς ἑαυτοῦ, [ὡς δῆλον καὶ ἐκ τοῦ «ὑπολαβὼν δὲ ὁ δεῖνα ἔφη»,] ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ ὁ Ἀχιλλεύς. οὐ γὰρ ἀνασχόμενος διεξοδεῦσαι τὴν κατηγορίαν τὸν βασιλέα ὑποβλήδην ἀμείβεται. Ἰστέον δὲ ὅτι ὑποβάλλειν οὐ τοῦτο μόνον λέγεται, ἀλλὰ καὶ τὸ νόθα ταῖς ὠδινούσαις ὑποτιθέναι βρέφη, ἃ καὶ ὑποβολιμαῖα διὰ τοῦτο λέγονται. ὅθεν καὶ ὁ Σοφοκλῆς ὑποβολιμαίους εἶπε λόγους τοὺς μὴ γνησίους τῆς σώφρονος διανοίας, ἀλλὰ νόθους. καὶ δύναται καὶ ἐνταῦθα ἴσως τὸ ὑποβλήδην τοιοῦτόν τι λέγειν. ἃ γὰρ νῦν λέγει ὁ Ἀχιλλεύς, θυμοῦ ὑποβάλλοντος λέγει. οἱ δὲ γνήσιοι τῆς αὐτοῦ διανοίας τόκοι ἐν

τοῖς ὕστερον τὴν Ἄτην μέμψονται μεταμελομένου ἐπὶ τῇ μήνιδι. κρείττων δὲ ἡ πρώτη ἑρμηνεία. Ὅτι δὲ ὑποβάλλειν λέγεται καὶ τὸ διερμηνεύειν τὰ τῶν λαλούντων, ἢ πρὸς τὸ κατὰ γλῶτταν σαφές, ὅθεν καὶ ὑποβολεῖς οἱ διερμηνευταί, ἢ πρὸς εὐδιάρθρωτον διὰ τὸ τοῦ λόγου δυσήκοον, ὃ καὶ ὑββάλλειν συγκόψας λέγει ὁ ποιητής, ἐν τοῖς ἑξῆς που ἔσται δῆλον. ἔστι δὲ ὑποβαλεῖν κοινότερον καὶ τὸ ἐρεθιστικῶς ὑποθέσθαι τὰ πρὸς ἔριν, [ἐξ οὗ καὶ ὁ διάβολος ἄνθρωπος καὶ ὁ διαβολεύς. τὸ δὲ τοιοῦτον καὶ ἐνδιαβάλλειν συνθέτως λέγεται. ἀκριβέστερον μέντοι φάναι, ὑποβαλεῖν μὲν κοινότερον τὸ οἱονεὶ κρύφα βαλεῖν ἐξ ἐρεθισμοῦ· βαλεῖν δὲ καὶ ἐνδιαβαλεῖν τὸ διαμπὰξ βαλεῖν συκοφαντικῶς.] τὸ δέ γε εἰπεῖν, ὡς τάδε τὰ ῥήματα τοιόνδε νοῦν ὑποβάλλει, ταὐτόν ἐστι τῷ ὑποτίθησιν. (v. 293 s.) Ὅτι τὸ «δειλὸς ἂν καὶ οὐτιδανὸς καλεοίμην, εἰ δή σοι πᾶν ἔργον ὑπείξομαι, ὅττι κεν εἴπῃς», εἴποι ἄν τις πρὸς τὸν δεσποτικῶς πολλὰ ἐπιτάττοντα. Ἀχιλλεὺς δὲ ταῦτά φησι πρὸς Ἀγαμέμνονα οὐκ ἀπαγορεύων ὡς οὐδ’ ὅλως ὑπείξεται, ἀλλὰ ὡς οὐκ ἐπὶ παντὶ ὑπείξει. Ἰστέον δὲ ὅτι ἐν τῷ «οὐτιδανός» πλεονασμός ἐστι τοῦ δ , ὥσπερ καὶ ἐν τῷ ἐχθοδοπός καὶ ἐν τῷ «πολυδίψιον Ἄργος». ἐχθοδοπὸς μὲν γὰρ ἐκ τοῦ ἔχθω καὶ τοῦ ὄπτω ἢ τοῦ ὄψ ὀπός, ἵνα ᾖ ἐχθοοπός, ὃν μισοῦμεν καὶ βλέποντες ἢ προσφωνοῦντες. Ἄργος δὲ πολυδίψιον οἷον πολυΐψιον, ὡς ἐν καιρῷ ῥηθήσεται.

1.166 οὕτω δὲ καὶ τὸ κνώδαλον, εἴτε ὑπὸ κυνῶν ἁλίσκεται εἴτε κνώσσει ἐν τῇ ἁλί, πλεονασμὸν ἔχει τοῦ δ , ὡς καὶ ἡ ἄχερδος, ἧς οὐκ ἔστι χειρὶ ἅψασθαι διὰ τὸ ἀκανθῶδες, καὶ τὸ ἀπὸ τοῦ ὕω γινόμενον ὕδωρ καὶ τὸ ἀνέρος ἀνδρός καὶ ἕτερα, ἐν οἷς καὶ τὸ ἀμαλδῦναι, ὡς ἐν τοῖς ἑξῆς φανήσεται, καὶ ἡ πῖδαξ ἀπὸ τοῦ πιεῖν γινομένη. [ἴσως δὲ καὶ ὅλη ἡ δα συλλαβὴ πλεονάζει ἐν τῷ οὐτιδανός.] (v. 295) Ὅτι καὶ Ἀχιλλεὺς ταὐτολογεῖ διὰ τὸν θυμὸν ὁμοίως τῷ Ἀγαμέμνονι. φησὶ γάρ· «ἄλλοισι δὴ ταῦτ’ ἐπιτέλλεο· μὴ γὰρ ἔμοιγε σήμαινε». ταὐτὸν γὰρ τὸ μὴ ἐπιτέλλου καὶ τὸ μὴ σήμαινε. πλείων δὲ ἡ ταὐτολογία ἐκεῖ, ὡς ἐρρέθη. οἰκεῖος δὲ οὗτος ὁ λόγος μεγάλῳ τινὶ πρὸς τὸν ἀπειλητικῶς ἐπιτάσσοντα. τινὲς δὲ ἀρέσκονται, ὡς καὶ Λογγῖνος δηλοῖ, νόθον εἶναι τὸν δεύτερον στίχον, οὗ κατάρχει τὸ σήμαινε, στίζοντες εἰς τὸ «μὴ γὰρ ἔμοιγε» τελείαν καὶ λαμβάνοντες ἐκ κοινοῦ τὸ ἐπιτέλλεο, ἵνα λέγῃ, ὅτι «ἄλλοις ἐπιτέλλεο· μὴ γὰρ ἔμοιγε ἐπιτέλλεο». (v. 298) Ὅτι κατὰ τοὺς παλαιοὺς ἡ Μασσαλιωτικὴ καὶ Σινωπικὴ ἔκδοσις τῆς Ἰλιάδος τὸ «μαχήσομαι» διὰ τοῦ η ἔχει. Ἡρακλέων δέ, φασίν, ὁ γραμματικὸς τὰ μὲν ῥήματα διὰ τοῦ ε προφέρει «μάχεσθαι, μαχέσασθαι» καὶ τὸ «μαχεσάμενον». τὰ δὲ ὀνόματα διὰ τοῦ η , οἷον μαχητής, μαχήμων. τοιοῦτον δὲ καὶ ἐν τοῖς ἑξῆς τὸ κορέσασθαι· αὐτὸ μὲν γὰρ διὰ τοῦ ε , τὸ δὲ ἀκόρητος ὄνομα διὰ τοῦ η . ἡ δὲ πλείων χρῆσις διφορεῖ καὶ μαχήσω καὶ μαχέσω λέγουσα, ὥσπερ καὶ αἰνέσω καὶ αἰνήσω, [ποθήσω καὶ ποθέσω, ἐξ οὗ ἐν Ὀδυσσείᾳ «κύων ἀπόθεστος», καλέσω καὶ καλήσω, ὅθεν κύρια Καλήτωρ καὶ Καλήσιος· οἰκήσω καὶ οἰκέσω, ὅθεν κατοικεσία καὶ συνοικέσιον·] αἰδέσω καὶ αἰδήσω, ἐξ οὗ καὶ ὁ αἰδήμων· νεικέσω νεικήσω, ὀζέσω καὶ ὀζήσω, ὡς Ἀριστοφάνης ἐν Σφηξίν· ἡγῶ ἡγήσω καὶ ἡγέσω, ἐξ οὗ ἡγεμὼν καὶ ἡγεσία· γαμῶ γαμήσω καὶ γαμέσω, ἐξ οὗ καὶ γαμετὴ ἡ γυνὴ καὶ γαμέτης ὁ ἀνήρ· κηδῶ κηδήσω καὶ κηδέσω, ὧν τοῦ μὲν τὸ κεκαδησόμεθα, τοῦ δὲ ὁ κηδεμών. (298 ss.) Ὅτι ὁ ἀφαιρούμενος, ἅπερ ὡς ἐν χάριτι παρά τινων ἔλαβε, τῶν δὲ οἰκείων μὴ ὑπεξιστάμενος, καιρίως ἂν εἴπῃ τὸ «χερσὶ μὲν οὔτι ἔγωγε μαχήσομαι οὔτε σοὶ οὔτε τῳ ἄλλῳ, ἐπεί μ’ ἀφέλεσθέ γε δόντες. τῶν δ’ ἄλλων, ἅ μοί ἐστι, τῶν οὐκ ἄν τι φέροις ἀνελὼν ἀέκοντος ἐμοῦ».

1.167 καὶ ὅρα τὸ ἀνελών οὐκ ἀντὶ τοῦ φονεύσας, ἀλλὰ λαβών. οὕτω δὲ ἀεί φησιν ὁ ποιητής. [κυριολεκτεῖται δὲ ἡ λέξις ἐπὶ σωμάτων τῶν κάτωθεν ἐκ γῆς ἀναλαμβανομένων. διὸ καὶ τὸ ἀνελεῖν, ὅ ἐστι φονεῦσαι, τοιαύτην ἔννοιάν τινα ὑποβάλλει. δοκεῖ γὰρ δηλοῦν τὸ ἄνω εἰς ὕψος ἑλεῖν τὸν θανόντα ἄνθρωπον· ἐπεὶ τῶν τις σοφῶν καὶ θανεῖν εἶναι λέγει τὸ θέειν ἄνω, οὗ ἀνάπαλιν γένεσιν τὴν εἰς γῆν νεῦσιν.] (v. 299) Τὸ δέ «ἀφέλεσθε» βαρέως εἶπεν Ἀχιλλεύς. οὐ γὰρ ἔτι τὸν βασιλέα αἰτιᾶται ὡς αὐτὸν ἀφελόμενον, ἀλλὰ τοὺς πάντας Ἀχαιοὺς ὡς μηδὲν ὑπὲρ

αὐτοῦ λαλήσαντας. διὸ καὶ παρακατιὼν λέγει· «ἵνα γνώωσι καὶ οἵδε», οἵτινες δηλαδὴ διὰ τὸ σὸν δέος ἐφησυχάζουσι. πρὸς τοὺς Ἕλληνας δὲ ἀποτείνεται καὶ τὸ «οὔτε τῳ ἄλλῳ», ἵνα ἐνδείξηται μηδένα διὰ λόγου ἔχειν. διὸ καὶ τὸ «αἶψα αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί» ἀορίστως εἶπεν ἐπίτηδες, ἵνα ἐμφήνῃ ὅτι αἵματος ἐρωὴ ἔσται, κἂν ὁ βασιλεύς, κἂν ἄλλοι τινὲς αὐτῷ ἐπέλθωσι. [Ἰστέον δὲ ὅτι, ὥσπερ τὸ «ἀφέλεσθε» παθητικῶς φησιν Ὅμηρος, οὕτω καὶ τὸ ἀνελὼν παρὰ τοῖς ὕστερον λέγεται. ἀνείλετο γάρ φασι καὶ ἀνελόμενος.] (v. 302) Ὅτι τὸ «εἰ δ’ ἄγε μὴν πείρησαι, ἵνα γνώωσι καὶ οἵδε» τινὲς μὲν σχῆμα νοοῦσιν ἐλλείψεως, οἷον «εἰ δὲ βούλει, ἄγε πειράθητι». ἕτεροι δὲ καὶ τοῦτο σχῆμα ἐκ παραλλήλου φασὶ δύο ἐνταῦθα ἰσοδυνάμων κειμένων λέξεων, τοῦ τε εἶ παρακελευσματικοῦ ἐπιρρήματος καὶ τοῦ ἄγε, ἀντὶ τοῦ εἶα ἄγε, ὡς ἐάν τις εἴποι «ἄγε δὴ φέρε», ὡς τοῦ δε ἀντὶ τοῦ δὴ λαμβανομένου, ἵνα λέγῃ ὅτι «εἶα δὴ ἄγε πείρησαι». φασὶ δὲ καὶ ὅτι τοῦτο τὸ εἰ προσλήψει τοῦ α γίνεται εἶα, ὃ δηλοῖ τὸ ἄγε, φέρε, καὶ ἀρέσκει οὕτω τῷ Νικάνορι καὶ δοκεῖ κρειττόνως οὕτως ἔχειν. ἐν γὰρ τοῖς ἑξῆς εὑρεθήσονται τοιαῦτα σχήματα, ἐν οἷς τὸ μὲν εἰπεῖν «εἰ δὲ βούλει, ἄγε, ποίησον τόδε» οὐκ ἔσται εὔοδον· τὸ δὲ εἰπεῖν «εἶα δὲ ἄγε, ποίησον» πάνυ εὐοδωθήσεται. ἰστέον δὲ ὅτι ἐκ τοῦ «εἰ δ’ ἄγε μὴν πείρησαι» παρέξεσται τὸ «ἔστω μηδὲν ἀπείρητον» παρὰ Ἡροδότῳ. δοκεῖ δὲ τὸ ῥηθὲν εἶα παροξύνεσθαι, ὡς κατ’ ἐπέκτασιν ἔχον τὸ α , ὁποῖόν τι καὶ ἐν τῷ ναίχι γίνεται. [Ὅτι δὲ τὸ εἶα συνεσταλμένην ἔχει τὴν λήγουσαν, ἡ τραγῳδία δηλοῖ ἐν τῷ «ἀλλ’ εἶα, τέκνον»· καὶ «ἀλλ’ εἶα, χώρει»· καὶ «ἀλλ’ εἶα, φείδου μηδέν». ἐξ ἰαμβικῶν δὲ στίχων ταῦτά εἰσι. σημείωσαι δὲ ὅτι κατὰ τὴν τέχνην τοῦ Γεωργίου προπερισπᾶται τὸ ῥηθὲν «εἶα» εἰπόντος, ὅτι τε παρακελευσματικὸν ἐπίρρημά ἐστι καὶ ὅτι, ὡς ῥέω ῥέα καὶ πλεονασμῷ τοῦ ι ῥεῖα, οὕτως ἔω, τὸ ἐκπέμπω, ἔα καὶ πλεονασμῷ εἶα. φέρει δὲ καὶ χρῆσιν τῆς λέξεως κειμένην, φησί, παρ’ Εὐριπίδῃ ἐν Σολεῖ ταύτην «εἶα δή, φίλον ξύλον, ἔκτεινέ μοι σεαυτὸ καὶ γίνου θρασύ».

1.168 ] (v. 304) Ὅτι τὸ «ὣς τώ γε ἀντιβίοισι μαχεσσαμένω ἐπέεσσιν ἀνστήτην» σχῆμα ὂν καταστατικὸν ἐννοίας οἱ γραμματικοὶ παραγραφὴν καλοῦσι συγκαταριθμοῦντες αὐτὸ τοῖς ποιητικοῖς τρόποις. χρώμεθα δὲ τούτῳ τῷ σχήματι, ὅτε συμπληρώσαντες τὰ φθάσαντα ἐπὶ ἑτέραν διήγησιν μεταβαίνομεν. τοιοῦτον καὶ μετ’ ὀλίγα τὸ «ὣς οἱ μὲν τὰ πένοντο κατὰ στρατόν» καὶ ἄλλα μυρία. ἀντίβια δὲ ἔπη τὰ ἐναντιοδύναμα. (v. 305) Ὅτι τὸ τὴν σύναξιν σκεδάννυσθαι λύεσθαι λέγεται. φησὶ γάρ· «λῦσαν δ’ ἀγορήν» καὶ «λῦτο δ’ ἀγών» καὶ «ἀνδρῶν ἀγορὰς ἠμὲν λύει ἠδὲ καθίζει». σημείωσαι οὖν ὅτι, εἰ τὸ σκεδάζεσθαι λύσις ἐστί, δεσμός τις ἄρα τὸ συνάγεσθαι, ὥστε ἐκ τούτου ὁ δῆμος ἐτυμολογεῖται, συνδεδεμένος οἷον τυγχάνων ὄχλος κατὰ τοὺς παλαιούς, [ἐκ πάντων δὲ κατὰ εἰρήνην δεδεμένος. τὸ γὰρ τούτου ἀνάπαλιν παράγει τὴν λύην, ὃ σημαίνει τὴν στάσιν, ὅ ἐστι διάστασιν, παρὰ τοῖς ἀρχαίοις, τὴν διαλυτικὴν τῆς συνδετικῆς ὁμονοίας. ὅθεν καὶ Διόνυσος Λυαῖος, οὐ μόνον ὡς ἐκλύων μέλη, ἀλλὰ καὶ διὰ τὸ αἴτιος εἶναι λύης τοιαύτης ἐν τῷ ἀμέτρως πίνεσθαι. (v. 306) Ὅτι οὐ μόνον «δαῖτα ἐΐσην» λέγει ὁ ποιητής, ἀλλὰ καὶ «νῆας ἐΐσας» ἤγουν ἴσας, ὥστε μὴ ἀεὶ τοιχίζειν, καὶ πλεονασμῷ τοῦ ε ἐΐσας ἢ πορευτικὰς καὶ ταχέας παρὰ τὸ ἰέναι.] (v. 309) Ὅτι κρίνειν οὐ μόνον ἐπὶ τοῦ δικάζειν, ἀλλὰ καὶ ἐπὶ τοῦ ἁπλῶς χωρίζειν καὶ ἐπιλέγεσθαι. ἐρέτας γοῦν ἐνταῦθα ὁ Ἀγαμέμνων ἔκρινεν ἤτοι ἐπελέγετο, οἳ καὶ ἔκκριτοι ἂν διὰ τοῦτο λεχθεῖεν. [ἔστι δὲ ταὐτὸν ἐρέτας κρίνειν καὶ ἐρέτας ἐπίτηδες ἀγείρειν.] (v. 312) Ὅτι τὸ ἀναπλεῦσαι ἀναβῆναι λέγεται, οἷον «οἳ μὲν ἔπειτ’ ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα». πρόσκειται δὲ τὸ ὑγρά, ἐπεὶ καὶ διὰ ξηρᾶς ἔστι κέλευθος. Τὸ δὲ κέλευθα μεταπλασμὸν γένους φασὶν οἱ παλαιοὶ μεταπλασθέντος τοῦ ἡ κέλευθος εἰς τὸ κέλευθον. γίνονται δὲ τοιαῦτα πολλά. οὕτω γὰρ καὶ τοὺς μηροὺς μηρὰ λέγει ἡ ποίησις καὶ τοὺς ῥύπους ῥύπα, ὡς καὶ Θεόκριτος «ἅπαν ῥύπον». καὶ τὰ ζυγὰ δὲ τοῦ τοιούτου εἴδους εἰσίν. ὡσαύτως καὶ τὰ δεσμὰ καὶ τὸ «γυμνάζει τὰ τράχηλα» παρὰ Καλλιμάχῳ. οὕτω δὲ καὶ τοὺς λύχνους καὶ τοὺς δίφρους λύχνα καὶ δίφρα φασὶν οἱ παλαιοί. μεταβολὴ δὲ γένους καὶ ἡ ἰσθμὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἡ τάρταρος παρὰ Πινδάρῳ καὶ παρὰ Ἡσιόδῳ οὐδετέρως «Τάρταρά τε ἠερόεντα». ὅμοιόν τι καὶ τὸ ἡμέρα καὶ ἦμαρ· ἐναλλαγὴν γὰρ γένους ἔπαθε καὶ αὐτό.

1.169 (v. 313) Ὅτι λύματα ἐλέγοντο τὰ καθάρματα, οἱονεὶ λούματά τινα ὄντα, ἅπερ ἐν τῷ λούεσθαι ἀπεβάλλοντο, καὶ τὸ καθαίρεσθαι ἀπολυμαίνεσθαι. καὶ ἦν παρὰ τοῖς παλαιοῖς αὕτη καιριωτάτη λέξις ἐν ταῖς ἐπὶ θυσίᾳ καθάρσεσι. διὸ καὶ ὁ ποιητὴς ἐπιμένων οὕτω φησί· «λαοὺς δ’ Ἀτρείδης ἀπολυμαίνεσθαι ἄνωγεν. οἳ δ’ ἀπελυμαίνοντο καὶ εἰς ἅλα λύματ’ ἔβαλλον». διὰ τί δὲ εἰς τὴν ἅλα; ἢ πάντως διὰ τὸ φύσει ῥυπτικὸν εἶναι τὸ τῆς θαλάσσης ὕδωρ. εἰς τὴν ἀπέριττον οὖν φασι τὰ περιττώματα ἔβαλλον. διὸ καὶ παροιμία φησί· «θάλασσα κλύζει πάντα τἀνθρώπων κακά», ἣ παρ’ Εὐριπίδῃ κεῖται. ἀπὸ δὲ τῶν τοιούτων λυμάτων καὶ παρὰ τοῖς ὕστερον ἡ λύμη ἐπὶ βλάβης λέγεται, ἣν ἄξιόν ἐστιν ἀπολούσασθαι· καὶ ὁ λυμεὼν ἐντεῦθεν, ὃν κάθαρμά τις ἂν εἴποι καὶ πίνον αὐτόχρημα, ὥσπερ καὶ ὁ παρὰ Σοφοκλεῖ Αἴας «κακοπινέστατον ἄλημα» ἤγουν πλάνημα «στρατοῦ» τὸν Ὀδυσσέα καλεῖ. καὶ τὸ λυμαίνεσθαι δὲ ἐπὶ βλάβης ἐκ τοῦ Ὁμηρικοῦ τοῖς ὕστερον εἴληπται, πλὴν ὅσον ἡ μὲν Ὁμηρικὴ λέξις τὸ λυμαίνεσθαι σεμνὴ καὶ οὐδέν τι ἐπισυρομένη ψόγου ῥύπασμα, ἡ δὲ παρὰ τοῖς ὕστερον λύμη καὶ τὸ λυμαίνεσθαι καὶ ὁ λυμεὼν ἐπὶ ψόγου λαμβάνονται. ὥσπερ δὲ τὸ βρῶμα βρώμη λέγεται παρὰ τῷ ποιητῇ καὶ παρ’ ἑτέροις τὸ τρῶμα τρώμη, οὕτω καὶ τὸ Ὁμηρικὸν λῦμα τὸ λύμη παρήγαγεν. [Εἴη δ’ ἂν καινὸν οὐδὲν τὸ λῦμα φορτικὴν λέξιν εἶναι γενόμενον ἐκ τοῦ λούω, εἴγε καὶ τὸ κάθαρμα μισεῖται ἀπὸ τοῦ καθαίρω παραχθὲν καὶ ἐκ τοῦ ἅζω, τὸ σέβομαι, ἅγος, δι’ οὗ δηλοῦται τὸ μίασμα.] (v. 315) Ὅτι δηλοῖ καὶ ἐνταῦθα ὁ ποιητὴς τέλεια δεῖν εἶναι τὰ θυόμενα. φησὶ γάρ· «ἔρδον Ἀπόλλωνι τεληέσσας ἑκατόμβας». ταῦροι δὲ καὶ αἶγες ἦσαν τὰ θυόμενα. [ἔστι δὲ ἔρδειν τὸ θύειν, ὡς ἀλλαχοῦ ῥηθήσεται.

1.170 ὥσπερ δὲ φθόγγος φθογγήεις, οὕτω τέλος τελήεις, οὗ θηλυκὸν ἡ τελήεσσα.] (v. 315 s.) Ὅτι ἀτρύγετος θάλασσα ἢ ἡ βαθεῖα, ἧς οὐκ ἔστιν εὑρεῖν τρύγα, ἢ οἷον ἀτρύετος ἤγουν ἀκαταπόνητος διὰ τὴν τοῦ στοιχείου δύναμιν πλεονασμῷ τοῦ γ ἢ ἀφ’ ἧς οὐδὲν τρυγῶμεν. τὸ γὰρ τρυγᾶν ἐπὶ γῆς κυριολεκτεῖται. ὅτι δὲ καὶ ἀὴρ καὶ αἰθὴρ ἀτρύγετοι, ἀλλαχοῦ φανήσεται. [Ὅρα δ’ ἐνταῦθα, ὅτι τε οὐχ’ ἑκατόμβην ἀλλ’ ἑκατόμβας ἀναγκαίως ὁ βασιλεὺς θύει τῷ Φοίβῳ καὶ ὅτι καλῶς διὰ τὸν γενησόμενον ἀνάπλουν «παρὰ θῖν’ ἁλὸς ἀτρυγέτοιο» θύουσιν. ὡς δέ, καθὰ ῥηγμὶν ἐκ τοῦ ῥήσσειν, οὕτω καὶ θὶν θινὸς θηλυκῶς τὰ πολλὰ ὁ αἰγιαλὸς λέγεται, περὶ ὃν ῥήσσονται καὶ θείνουσιν, ὅ ἐστι τύπτουσι τὰ κύματα πλήττοντα—διὸ καὶ «παραπλῆγες ἀκταί» λέγονται—καὶ ὅτι τὸ θίν θινός ὡς δικατάληκτον ἔχει ἀντὶ διφθόγγου μόνον τὸ δίχρονον, ἀγραμματίκευτός ἐστιν ὁ μὴ εἰδώς.] (v. 317) Ὅτι τὸ «κνίσση δ’ οὐρανὸν ἶκεν ἑλισσομένη περὶ καπνῷ» ἐμφαντικόν ἐστι τῆς τῶν τυθέντων ζῴων πιότητος. ἔχει δέ τι καὶ ἀστεῖον ὁ λόγος κατὰ τοὺς παλαιοὺς δεικνύων φανταστικῶς τὴν λευκὴν πιμελὴν συναναμιγνυμένην τῇ μελανίᾳ τοῦ καπνοῦ. κνίσσα δὲ καὶ νῦν ἡ τῆς πιμελῆς ἀνάδοσις· οὐρανὸς δὲ ὁ ἀήρ. Τὸ δὲ ἶκεν ἀντὶ τοῦ κατελάμβανεν ἀεὶ διὰ τοῦ ι παρὰ τῷ ποιητῇ γραφόμενον ἀπὸ τοῦ ἵκω, ἐξ οὗ καὶ τὸ ἱκάνω καὶ ἱκνῶ. δῆλον δὲ ὡς προῆν τὸ ἐν τῷ ι γραφόμενον ἵκω τοῦ παρὰ τοῖς ὕστερον διὰ τοῦ η , ἐφ’ οἷς γέγονε σύμβασις τοῖς κριτικοῖς, ἵνα μὴ ἀμφιμάχοιντο, γράφεσθαι τοῦ ἵκω τὰ μὲν ἐνεργητικὰ διὰ τοῦ η , τὰ δὲ παθητικὰ διὰ τοῦ ι . καὶ οὕτω φυλάσσονται παρὰ τοῖς μεθ’ Ὅμηρον ἄμφω αἱ γραφαί. δύναται δὲ καὶ ἄλλως τὸ «οὐρανὸν ἶκε» νοηθῆναι κατὰ προθέσεως ἔλλειψιν ἀντὶ τοῦ «εἰς οὐρανὸν ἤρχετο». Τὸ δέ «περὶ καπνῷ» καινότερον συντέτακται· τὸ γὰρ κοινόν «περὶ καπνόν». καὶ ἢ ἀττικισμός ἐστιν ἢ κατὰ ἀναστροφὴν κεῖται ἡ πρόθεσις, ἵνα ᾖ περιελισσομένη καπνῷ. ὅτι δὲ καὶ ἡ περι καὶ ἡ ἀμφι καὶ ἡ ὑπο πρόθεσις μυριαχοῦ δοτικῇ συντάσσονται καὶ μάλιστα ἡ ὑπο καὶ ἡ ἀμφι , τὰ ἐφεξῆς δείξει.

1.171 (v. 323 et 326) Ὅτι ἐπικρίνει καὶ ὁ ποιητὴς οὐκ εὖ διαπράξασθαι τὸν βασιλέα τὰ ἐπὶ τῷ Ἀχιλλεῖ. φησὶ γὰρ ὅτι προσέταξε τοῖς κήρυξι χειρὸς λαβόντας ἤτοι ἁψαμένους ἢ ἀπὸ χειρὸς λαβόντας

ἄγειν τὴν Βρισηΐδα. εἶτα οἷον μεμφόμενος ἐπάγει· «κρατερὸν δ’ ἐπὶ μῦθον ἔτελλεν» ἤγουν ἀπηνῆ, ὥσπερ ποτὲ καὶ ἐπὶ τοῦ ἱερέως Χρύσου. διὸ κατωτέρω καὶ ἀπηνέα ἐρεῖ τὸν βασιλέα. τοῦτο δὲ συγγενὲς πρὸς τὸ κρατερόν, ὡς δηλοῖ τὸ «ἀπηνέα τε κρατερόν τε». Ἰστέον δὲ ὡς τὸ καρτερός ὀξύνεται ὡς ἔχον τὴν παραγωγὴν διὰ τοῦ ερος ἐκ τοῦ κάρτος, ὡς βλάβος βλαβερός. τὰ μέντοι διὰ τοῦ τερος ἔχοντα τὴν παραγωγὴν βαρύνονται, ὡς τὸ σφέτερος, πρότερος, κύντερος. τὸ Ἀμφοτερός κύριον πρὸς διαστολὴν ὀξύνεται. (v. 320) Ὅτι ὥσπερ καὶ ἕτερα πολλὰ τῶν κυρίων ὀνομάτων οἰκείως ταῖς προσωπικαῖς ἐνεργείαις ὠνομασμένα κατὰ τὴν λεγομένην φερωνυμίαν κεῖνται παρὰ τῷ ποιητῇ, οὕτω καὶ ἐπὶ τῶν βασιλικῶν ἐνταῦθα κηρύκων γέγονε. Ταλθύβιον γάρ τινα καὶ Εὐρυβάτην κήρυκας τοῦ βασιλέως φησὶ καὶ ὀτρηροὺς θεράποντας, ὅ ἐστι σπουδαίους, παρὰ τὸ ὀτρύνω ἢ ἀπὸ τοῦ τρῶ, τὸ δειλιῶ καὶ συστέλλομαι, πλεονασμῷ τοῦ ο . παρῆκται δὲ Ταλθύβιος μὲν ἀπὸ τοῦ θάλλειν κατὰ τὴν βοήν, οἱονεὶ θαλθύβιος· Εὐρυβάτης δὲ παρὰ τὸ εὐρὺ βάζειν. καὶ ἐν Ὀδυσσείᾳ δὲ κῆρυξ ὁμοίως Εὐρυβάτης Ἰθακήσιος. καὶ Τρωϊκὸς δέ τις κῆρυξ Περίφας λέγεται ὡς περιττῶς φωνῶν. ὁ δ’ αὐτὸς καὶ Ἠπύτου υἱὸς παρὰ τὸ ἠπύειν καὶ αὐτοῦ κληθέντος ὡς κήρυκος. ἠπύειν γὰρ τὸ φωνεῖν. καὶ αὐτὸ δὲ τὸ κῆρυξ ἐκ τοῦ γηρύω τὸ φωνῶ παράγεται. (v. 321) Τὸ δὲ θεράπων κατὰ Κρῆτας δηλοῖ, φασί, δοῦλον ὁπλοφόρον, ὅπερ οὐκ οἶδεν Ὅμηρος. γέγραπται δέ τι περὶ αὐτοῦ καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. Ἰστέον δὲ ὅτι καὶ ἡ παροιμία Εὐρυβάτην πονηρὸν οἶδεν ἄνδρα, ὃν οἱ πλείους Εὐρύβατον λέγουσιν, ἀφ’ οὗ εὐρυβατεύεσθαι τὸ πονηρεύεσθαι. Ἡρόδοτος δὲ ἱστορεῖ στρατηγὸν Εὐρυβάτην Ἀργεῖον πένταθλον ἐπασκήσαντα καὶ μονομαχεῖν ἄριστον. ὁ δ’ αὐτὸς καὶ Ταλθυβίου ἱερὸν ἱδρῦσθαί φησιν ἐν Σπάρτῃ καὶ ὅτι ἀπόγονοι ἐκεῖσε Ταλθυβιάδαι καλούμενοι. Ἰστέον δὲ ὅτι ἄσυλοι ἐς τὸ παντελὲς ἦσαν οἱ κήρυκες οἷα θεῖον γένος νομιζόμενοι. ἐδόκουν γὰρ κατάγεσθαι ἀπὸ Κήρυκος υἱοῦ Ἑρμοῦ, ὃς ἐκ Πανδρόσου ἐγεννήθη αὐτῷ θυγατρὸς Κέκροπος. διὸ καὶ ἐν Ὀδυσσείᾳ στέλλων ὁ Ὀδυσσεὺς κατασκόπους εἰς ἀλλοδαπὰς χώρας καὶ κήρυκα ἐδίδου ἕπεσθαι διὰ τὸ ἄσυλον. καὶ ἦσαν μέσοι θείου τε γένους καὶ ἀνθρωπίνου καὶ οὐκ ἦν θεμιτὸν κακοῦσθαι αὐτούς, εἰ μὴ ἄρα Λαιστρυγόνες μάρψειάν τινα ἢ Κύκλωψ ἢ ἕτερός τις, ὃς οὐκ οἶδε θέμιστας.

1.172 διὸ καὶ ὁ βασιλεὺς κήρυκας εἰς τὴν τοῦ Ἀχιλλέως στέλλει σκηνήν, πρὸς οὓς οὐκ ἂν ἐνδείξηται ὁ Ἀχιλλεὺς τὴν ἀπειλήν, ἣν ἔφη πρὸ μικροῦ εἰπών· «αἶψά τοι αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί». λογίζεται γὰρ ὁ βασιλεύς, ὡς ἢ ἀνύσουσιν οἱ κήρυκες καὶ ἔχει αὐτός, ὃ θέλει, ἢ ἀλλ’ ὑποστρέψουσιν ἀβλαβεῖς καὶ τὸ ἐντεῦθεν αὐτὸς τὸ ποιητέον βουλεύσεται. Ἀχιλλεὺς δὲ ἰδὼν αὐτοὺς καὶ τὸ καθῆκον τηρῶν αἰδεῖται καὶ «χαίρετε» προσφωνεῖ «κήρυκες Διὸς ἄγγελοι καὶ ἀνδρῶν». καὶ ἕρμαιον ἡγεῖται τὸ πρᾶγμα, εἰ τοιοῦτοι ἄνδρες ἦλθον ἀφαιρησόμενοι τὴν Βρισηΐδα, οὓς μάρτυρας ὕστερον ἕξει τῆς τοῦ ἀπηνέος βασιλέως ἀδικίας παρά τε θεοῖς καὶ ἀνθρώποις. κάλλιον ἄρα ὁ Ἀχιλλεὺς καὶ εὐλογώτερον σεμνύνει τοὺς θείους κήρυκας ἤπερ τὸ σκῆπτρον ἐκεῖνο, ὃ καὶ εἰς ὅρκον ἔθετο. Ἰστέον δὲ ὅτι τὸ πρεσβεῖον τῶν κηρύκων δηλοῖ καὶ Ἡρόδοτος, ἐν οἷς λέγει ὅτι Ταλθυβίου μῆνις κατέσκηψεν εἰς Λακεδαίμονα, διότι τοὺς τοῦ Ξέρξου κήρυκας αὐτοὶ ἀνεῖλον, ὅτε γῆν καὶ ὕδωρ ἐζήτουν· καὶ ὅτι συνέχεον Λακεδαιμόνιοι τὰ πάντων ἀνθρώπων νόμιμα ἀποκτείναντες κήρυκας. (v. 323) Ὅτι καὶ παρ’ Ὁμήρῳ, καθὰ καὶ Ἡσιόδῳ καὶ ἄλλοις, ἀντὶ προστακτικῶν λαμβάνονται τὰ ἀπαρέμφατα, οἷον ἐνταῦθα τὸ «χειρὸς ἑλόντε ἀγέμεν Βρισηΐδα» ἤγουν ἄγετε. ἔοικε δὲ καὶ τοῦτο τὸ σχῆμα κατ’ ἔλλειψιν γίνεσθαι ὡς ῥήματος προαιρετικοῦ τινος λείποντος, οἷον τοῦ θελήσατε ἀγέμεν ἢ σπεύσατε ἢ τοιούτου τινός. [Μονῆρες δὲ ἐν θηλυκοῖς ἡ χείρ, ἣ κλίνεται διχῶς, ποτὲ μὲν διὰ τοῦ ε , ὅθεν καὶ τὰ χέρνιβα, ποτὲ δὲ διὰ τῆς ει διφθόγγου, ποτὲ δὲ κατὰ Ἡρωδιανὸν καὶ μετατεθείσης αὐτῆς εἰς η . ᾧ μαρτυρεῖ, φησίν, Ἀλκμᾶν ἐν τῷ «ἐπ’ ἀριστερὰ χηρὸς ἔχων». Αἰολεῖς δὲ χερρός λέγοντες μαρτυροῦσι τούτοις καὶ αὐτοί. οὐ γὰρ πρότερον διπλασιάζουσι σύμφωνον, εἰ μὴ μικρὰ εἴη προηγουμένη· εἰμί ἐμμί· ἡμεῖς ἄμμες.] Σημείωσαι δὲ ὅτι ἐν τῷ τόπῳ τούτῳ πεντάκις ἐχρήσατο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῖς ἀπὸ τοῦ ἄγω ῥήμασι διὰ τὸ καίριον τῆς λέξεως. ἄγονται γὰρ ὡς ἐπὶ πολὺ τὰ ἔμψυχα, καθὰ προερρέθη. ἐκ δὲ τοῦ τοιούτου ἄγειν καὶ ἐπὶ αἰχμαλωσίας εἴρηται ἀπαγωγή· καὶ τὸ ἀγείρειν δὲ ἐντεῦθεν παράγεται. ἄγουσι δέ που καὶ τὸν Ἕκτορα Τρῶες ἄλλον τρόπον εἰς τὸ ἄστυ, ὡς ἐν τῇ ἦτα ῥαψῳδίᾳ φανεῖται. στρατηγοὶ δὲ αὖθις ἄλλως ἄγουσι τὸν λαόν· καὶ ἑτέρως κατάγειν τις θρίαμβον λέγεται καὶ παῖδας ἀνάγειν, καὶ ὅλως πολυσήμαντον τὸ ἄγειν ἐστὶν ἔν τε συνθέσει καὶ ἐν ἁπλότητι. [Κεῖται δὲ ἐν τούτοις καὶ τὸ «κλισίην» κατ’ ἔλλειψιν καὶ τῆς εις προθέσεως καὶ τῆς δε ἐπεκτάσεως δηλοῦντος τοῦ ποιητοῦ ὡς ταὐτόν ἐστιν εἰπεῖν ἔρχεσθον κλισίην καὶ ἔρχεσθον εἰς κλισίην καὶ ἔρχεσθον κλισίηνδε.

1.173 οὕτω καὶ πρὸ ὀλίγων εἰπών «ἅλαδε», ὑποκαταβὰς εἰς ἅλα ἔφη σαφέστερον. ἰστέον δὲ ὡς ἐν τῷ «ἔρχεσθον κλισίην» δύναται καὶ ἡ ἐπι πρόθεσις λείπειν, ὡς δηλοῖ κατωτέρω τὸ «ἐπὶ κλισίας ἱκέσθην».] (v. 324 s.) Ὅτι ἐν τῷ «εἰ δέ κε μὴ δώῃσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι ἐλθὼν σὺν πλεόνεσσι, τό οἱ καὶ ῥίγιον ἔσται» οὐδετέρου γένους ἐστὶ τὸ «πλεόνεσσιν», ἵνα λέγῃ, ὅτι ἐλθὼν ἀφαιρήσομαι τὴν Βρισηΐδα σὺν ἄλλοις πολλοῖς τοῦ Ἀχιλλέως κτήμασι. καὶ συμφωνεῖ τοῦτο καὶ εἰς τὸ τοῦ βασιλέως φιλοκτέανον. Τὸ δὲ εἰπεῖν ὅτι ἐλθὼν σὺν πλεόνεσσιν ἀνδράσιν ἀφέλωμαι τὴν Βρισηΐδα, ἀγεννές φασί τινες καὶ βασιλικῆς φωνῆς οὐκ ἄξιον. δειλίαν γὰρ κατηγορεῖ τοῦ στείλαντος καί, ὡς ὠνειδίσθη, καρδίαν αὐτὸν ἔχειν ἐμφαίνει ἐλάφου. δύναται μέντοι ἄλλως ἀψόγως καὶ τοῦτο νοηθῆναι ὡς οἷα καταδημαγωγοῦντος τοῦ βασιλέως τοὺς Ἕλληνας ὡς δυναμένους τῷ Ἀχιλλεῖ ἀντεπεξάγεσθαι, περὶ ὧν καὶ φθάσας εἶπεν, ὅτι «πάρεισί μοι καὶ ἄλλοι, οἵ κέ με τιμήσουσιν», ἄλλως τε καὶ ἐπεὶ ὁ Ἀχιλλεὺς καθήψατό πως τῶν Ἑλλήνων ἐν τῷ «οὔτε σοὶ μαχήσομαι οὔτε τῳ ἄλλῳ», ὡς καὶ τῶν ἄλλων Ἀχαιῶν ἀδικησάντων, καὶ ἐν τῷ «ἐπεί με ἀφέλεσθέ γε δόντες» καὶ ἐν τῷ «αἶψα αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί», θαρρεῖ ὁ βασιλεὺς ὡς ἤδη καὶ οἱ ἄλλοι ἐκπολεμωθέντες τῷ Ἀχιλλεῖ ἀκέλευστοι ἕψονται αὐτῷ κατ’ ἐκείνου. διὸ καί φησιν ἐλθεῖν σὺν πλεόνεσσι καὶ ἐπάγει «τό οἱ καὶ ῥίγιον ἔσται», ὡς φρικαλέου ἐσομένου τῷ Ἀχιλλεῖ τοῦ ἐπελθεῖν αὐτῷ καὶ τοὺς Ἀχαιούς. [Ῥίγιον δὲ τὸ φρικτὸν διὰ τὸ καὶ ῥῖγος ἐν τοιούτοις πολλάκις γίνεσθαι τῇ συστολῇ τοῦ ἐμφύτου θερμοῦ. (v. 326) Ὅτι καθάπερ ἐν τῷ «ἀλλὰ κακῶς ἀφίει», οὕτω καὶ ὧδε ἐν τῷ «ὣς εἰπὼν προΐει» συνέστειλεν Ἰωνικῶς τὸ δίχρονον τοῦ ἵει μακρὸν ἄλλως φύσει ὂν δι’ αὔξησιν κατὰ τὸ «κνίσση δ’ οὐρανὸν ἷκε» καὶ τὰ ὅμοια. (v. 330) Ὅτι μυριαχοῦ φίλον τοῖς ῥήτορσιν ἀντὶ καταφάσεων εὐειδεῖ χρᾶσθαι σχήματι τῷ κατὰ ἀπόφασιν, ὡς καὶ ὅτε εἴπῃ τὸ «οὐ γάρ μιν ἀφαυρότατος βάλεν», ἀλλὰ δηλαδὴ ὁ ἰσχυρότατος. οὕτω καὶ ὧδέ φησιν, ὡς οὐ γήθησεν Ἀχιλλεὺς ἰδὼν τοὺς ἐκ βασιλέως κήρυκας, ἀλλ’ ὑπερελυπήθη δηλονότι. τοιοῦτον καὶ τῶν ὕστερον, Ἐπικούρου μὲν τὸ «οὐ παραγένησις» ἤτοι ἀποδημία, καὶ Θουκυδίδου τὸ «διὰ τὴν οὐ περιτείχισιν» ἤγουν τὸ ἀτείχιστον.] (v. 331) Ὅτι φόβος τε ὑπῆν τοῖς κήρυξι καὶ αἰδώς, ὁπηνίκα τὸν Ἀχιλλέα εἶδον· φόβος μὲν διὰ τὴν φθάσασαν λαληθῆναι ἀπειλὴν ὑπ’ αὐτοῦ· αἰδὼς δὲ διὰ τὴν τοῦ ἥρωος ἀρετήν.

1.174 διό φησι· «τὼ μὲν ταρβήσαντε καὶ αἰδομένω βασιλῆα στήτην». ἔφη δὲ καὶ ὅτι ἀέκοντες ἔβαινον· ᾔδεισαν γὰρ οὐκ ἐπὶ δικαίοις βαίνοντες, ἐπείθοντο δὲ ὅμως τῷ βασιλεῖ. οὕτω που καὶ ἐν τοῖς ἑξῆς ἡ Ἑλένη δεινὸν ἑαυτῇ καὶ αἰδοῖον λέγει τὸν Πρίαμον. καὶ ἐπαινεῖται πανταχοῦ ἡ συζυγία τοῦ φόβου καὶ τῆς αἰδοῦς, ὁπηνίκα τοῖς ἐλάττοσι πρὸς τοὺς μείζονας ἔνεστι. διὸ καὶ τραγικός τίς φησι· «δέος γὰρ ᾧ πρόσεστιν, αἰσχύνη θ’ ὁμοῦ, σωτηρίαν ἔχοντα τόνδ’ ἐπίστασο». τοὺς ἀγαθοὺς δὲ πάντως τῶν ὑπερεχόντων καὶ αἰδέσεταί τις καὶ φοβηθήσεται. τοὺς γὰρ μὴ τοιούτους μισήσας εἰς μοῖραν ἀπορρίψας τυραννικὴν φοβηθήσεται μέν, οὐκ αἰδεσθείη δὲ ἄν. Τὸ δὲ ταρβῆσαι κατὰ μέν τινας ὠνοματοπεποίηται. ἕτεροι δὲ σύνθετον αὐτὸ λέξιν φασὶν ἀπὸ τοῦ ταράσσω καὶ τοῦ βοή· ἐπιταράσσονται γὰρ τὴν βοὴν οἱ φοβούμενοι [καὶ οὐκ αἴρεται αὐτοῖς βοὴ οὐδέ εἰσι βοᾶν ἀγαθοί, ἀλλ’ ὡς τὰ πολλὰ καὶ ἄφωνοι καθίστανται.] Τὸ δέ «αἰδομένω» διφορεῖται· νῦν μὲν γὰρ ἀπὸ βαρυτόνου γίνεται ῥήματος τοῦ αἴδω, ὡς καὶ τὸ «αἰδομένων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνδρῶν». εὑρίσκεται δὲ καὶ περισπώμενον τὸ αἰδῶ, ἐξ οὗ καὶ τὸ αἰδεῖται καὶ ὁ αἰδούμενος. τοιοῦτον καὶ τὸ ἐπιμελόμενος ἐπιμελούμενος, στερόμενος στερούμενος καὶ ἕτερα· ὡς καὶ τὸ ἐγήθησε καὶ γηθόμενος. Σημείωσαι δὲ ὅτι, εἰ καὶ οἱ κήρυκες ἐτάρβησαν —οὐδὲ γὰρ εἶχον τῆς χειρὸς ἑλεῖν τὴν Βρισηΐδα, ὡς ὁ βασιλεὺς ἐπέταξεν—, ἀλλ' ὁ Ἀχιλλεὺς ἑκὼν δώσει αὐτήν, ἵνα μὴ ἐμφύλιος μάχη μελετηθῇ, καὶ ἄλλως μεθοδεύοντος οὕτω τοῦ ποιητοῦ, ἵνα μὴ τῆς περιπετείας αὐξηθείσης πλέον τοῦ δέοντος ἱστορηθῇ τι παρὰ τὸ ἀληθὲς καὶ ἐκπέσῃ ὁ λόγος εἰς κακόζηλον. (v. 332) Ὅτι πολλὰ τῶν προσώπων ὁ ποιητὴς σιωπῶντα εἰσάγει, ὁπηνίκα μὴ ἔστι καίριον λόγους περιτιθέναι αὐτοῖς. καὶ ἔστιν ἀληθῶς φρονούντων ἀνθρώπων προτιμᾶσθαι σιγὴν ἔλλογον ἀκαίρου λόγου. ἐνταῦθα γοῦν οἱ κήρυκες ἐλθόντες εἰς Ἀχιλλέα τὸν τηλικοῦτον καὶ εἰδότες, ὅποι ἦλθον, οὐδέν τι προσφωνοῦσιν αὐτόν, ἀλλὰ σιωπῶντες ἵστανται. διὰ τί; θωπεύειν μὲν γὰρ οὐκ εἶχον τὸν Ἀχιλλέα βασιλικοὶ ὄντες· δουλοπρεπὲς γὰρ τοῦτό γε· παροξύνειν δὲ οὐκ ἐτόλμων. διὸ σιωπῶντες ἵστανται. καὶ ἐν τοῖς ἑξῆς δὲ σιγᾷ ὁ Χρύσης ἀπολαβὼν τὴν Χρυσηΐδα, ἐπεὶ οὔτε ἀχαριστεῖν εἶχεν· ἔχει γὰρ τὸ ποθούμενον· οὔτε μὲν εὐχάριστόν τι λαλεῖ μεμνημένος τῶν τοῦ Ἀγαμέμνονος ἀπειλῶν καὶ εἰδώς, ὅτι ἀκόντων Ἑλλήνων ἔσχε τὴν θυγατέρα. εὑρήσεις δὲ καὶ ἄλλα πρόσωπα σιωπῶντα παρὰ τῷ ποιητῇ, τὰ μὲν διὰ φόβον, τὰ δὲ διὰ πένθος ἢ διὰ θάμβος, ὡς καὶ ἡ Βρισηῒς ἐνταῦθα θαμβουμένη σιγᾷ. καὶ θαυμάσεις τὸν ποιητήν, ὥσπερ λέγοντα, οὕτω δὴ καὶ σιωπῶντα. εἶδος δὲ πάντως σιωπῆς ἐστι καὶ ἡ ἔλλειψις. διὸ καὶ παρασιώπησις λέγεται ἐν καιρῷ καὶ αὐτὴ καὶ ἐλλόγως γινομένη παρὰ τῷ ποιητῇ. διαφέρει δὲ σιγῆς, ὅτι αὐτὴ μὲν εἰς τὸ παντελὲς σιωπᾷ τὰ τοῦ πράγματος, ἡ δὲ ἔλλειψις τὸ μὲν λέγει, τὸ δ' οὔ.

1.175 (v. 334) [Ὅτι οὕτω συνετὸς καὶ εὐσταθὴς ὁ Ἀχιλλεύς, καθὰ καὶ μετ' ὀλίγα ῥηθήσεται, ὥστε τοὺς κήρυκας ἰδὼν διὰ τὴν Βρισηΐδα ἐλθόντας οὐκέτι, ὡς πρίν, ὀξύνεται εἰς θυμόν, ἀλλὰ μετριοπαθεῖ καὶ μόνον πεπονθὼς τὸ μὴ γηθῆσαι πρῶτα μὲν προσφωνεῖ τοὺς κήρυκας, ὅπερ αὐτὸς οὐκ ἔχει. «χαίρετε γάρ», φησί, «κήρυκες». εἶτα καὶ τοῦ βασιλέως, οἷα εἰκός, καθάπτεται ἀκούσων ἐξ ἐκείνου, εἴπερ αὐτὸ μάθοι, τὸ «ἀπόντα με καὶ τύπτε». ὅπως δὲ οὐκ ἐγήθησεν Ἀχιλλεύς, ὁ ἑξῆς λόγος δηλώσει.] Ὅτι τοὺς κήρυκας Διὸς ἀγγέλους ὁ Ἀχιλλεὺς λέγει καὶ ἀνδρῶν διὰ τὸ ἔν τε πάσαις θυσίαις αὐτοὺς διακονοῦντας μεσιτεύειν, ναὶ μὴν καὶ ἐν ἀνδρῶν βουλαῖς τε καὶ ἀγοραῖς· ἢ Διὸς μέν, διότι καὶ αὐτοὶ [γαρύοντες ἤτοι φωνοῦντες] ἀγγέλλουσιν, ὡς Ἑρμῆς τε καὶ Ἶρις οἱ περὶ τὸν Δία εἴροντες καὶ διότι καὶ ἐξ Ἑρμοῦ υἱοῦ Διός εἰσιν, ὡς προείρηται, καὶ εἰς ἐκεῖνον ἀναφέρονται· ἀνδρῶν δέ, διότι βασιλέων ὑπηρέται εἰσίν. [Ὅτι δὲ κήρυκες μὲν ἐκ τοῦ, ὡς εἴρηται, γαρύειν λέγονται, Ἑρμῆς δὲ καὶ Ἶρις παρὰ τὸ εἴρειν, δῆλόν ἐστιν. Ὅρα δὲ ἐν τῷ «ἠδὲ καὶ ἀνδρῶν», ὡς ἐκ παραλλήλου κεῖται ὁ «καί» καὶ ὁ «ἠδέ» κείμενοι ὡς σύνδεσμος εἷς.] (v. 335) Ὅτι τὸ ἆσσον ἐπίρρημα σημαίνει μὲν τὸ ἐγγύς, γίνεται δὲ ἀπὸ τοῦ ἐγγύς ἔγγιον, ἔσσον καὶ ἆσσον. καὶ ῥηθήσεται περὶ τούτου ἐν τοῖς μετὰ ταῦτα πλατύτερον. [εἰ δὲ ἀκριβῶς περισπᾶται αὐτὸ καὶ τὰ κατ' αὐτό, χρὴ ζητῆσαι.] (v. 337) Ὅτι τὰ πρῶτα τῶν φίλων τῷ Ἀχιλλεῖ ὁ τοῦ Μενοιτίου Πάτροκλος, ὡς ἐν τοῖς μετὰ ταῦτα δειχθήσεται. καὶ ὅτι διχῶς καὶ Πάτροκλος λέγεται ὡς Ἐτέοκλος καὶ Πατροκλῆς ὡς Ἐτεοκλῆς. διὸ καὶ ἡ κλητικὴ ἐνταῦθα ὦ Πατρόκλεις ἐστίν, ὡς τὸ ὦ Ἡράκλεις. φησὶ γάρ· «ἀλλ' ἄγε διογενὲς Πατρόκλεις ἔξαγε κούρην». Καὶ ὅρα τὸ «ἔξαγε», οὐ γὰρ εἶπεν «ἔκφερε». τὸ γὰρ ἐκφέρειν ἐπὶ ἀψύχου, ὡς καὶ τὸ φέρειν καὶ ἡ ἐκφορά. Κόρην δὲ τὴν Βρισηΐδα καὶ νῦν εἶπεν ὡς νεάνιδα. παρακατιὼν δὲ καὶ γυναῖκα ἐρεῖ αὐτήν· «ἣ δ' ἀέκουσα γυνὴ κίεν». Ἰστέον δὲ ὅτι τὸν Πάτροκλον ἡ παλαιὰ ἱστορία καὶ συγγενῆ τῷ Ἀχιλλεῖ παραδίδωσι λέγουσα, ὅτι Ἡσίοδός φησι Μενοίτιον, τὸν Πατρόκλου πατέρα, Πηλέως εἶναι ἀδελφόν, ὡς εἶναι ἀντανεψιοὺς οὕτως ἀμφοτέρους ἀλλήλοις. ἄλλοι δέ φασιν, ὅτι Διὸς Μυρμιδών, οὗ Ἄκτωρ, ὃς Αἴγιναν γήμας μετὰ τὸ τεκεῖν τὸν ἐκ Διὸς Αἰακὸν ποιεῖται Μενοίτιον, οὗ Πάτροκλος. τούτῳ τοίνυν τῷ λόγῳ Αἰγίνης παῖδες ἀμφιπάτορες Αἰακὸς καὶ Μενοίτιος. καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὕτω πάλιν γνησία συγγένεια τῷ Πατρόκλῳ καὶ τῷ Ἀχιλλεῖ. τὸ δὲ Μενοίτιος πλεονασμὸν ἔχει τοῦ ι ὡς ἐκ τοῦ μένος, [καθὰ καὶ ἐν Ὀδυσσείᾳ τὸ Φιλοίτιος ἐκ τοῦ φίλος.

1.176 ] οὕτω δὲ καὶ τὸ Θυμοίτης καὶ παρὰ Θεοκρίτῳ δὲ τὸ Δαμοίτης ἀπὸ τοῦ θυμός καὶ δῆμος. [Ὅρα δὲ καὶ τὸ «ἀλλ' ἄγε ἔξαγε», ὧν τὸ μὲν ἔξαγε καθαρῶς ἐστι προστακτικόν, τὸ δὲ ἄγε τέτριπται ὡς παρακελευσματικὸν ἐπίρρημα εἶναι, καθὰ πολλαχοῦ καὶ τὸ φέρε, ὃ δὴ καὶ πληθυντικοῖς εἴωθεν ἐπιλέγεσθαι, ὡς δηλοῖ καὶ τὸ «ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν».] (v. 340) Ὅτι μέγα εἰς ἀταραξίαν ψυχῆς τὸ προετοιμασθῆναι καὶ ἑαυτὸν προμαλάξαι τῇ καραδοκίᾳ τοῦ μέλλοντος λυπηροῦ. ἰδοὺ γὰρ ὁ Ἀχιλλεὺς ὁ φθάσας πολλὰ εἰπεῖν καὶ κυκῆσαι τὸ συνέδριον διὰ τὴν ἀπειλὴν τοῦ βασιλέως ἐν αὐτῇ τῇ ἀποβάσει τῆς ἀπειλῆς καὶ τῇ ἀφαιρέσει τῆς κόρης οὐ μικροψυχεῖ οὐδὲ φθέγγεταί τι κατὰ τοῦ βασιλέως πλέον, ἀλλ' ἢ μόνον ἀπηνέα καλεῖ αὐτὸν βασιλέα [καὶ διὰ τοῦτο ἐκ θυμοῦ ἀπροόρατον τοῦ μέλλοντος.] ἔφθασε γὰρ ἤδη ὁρίσαι τὸ πρᾶγμα παρ' ἑαυτῷ, ὅτε εἶπεν· «ἀφέλεσθέ με δόντες». διὸ οὐδὲ εἶπεν ὁ ποιητὴς ἀνωτέρω, ὅτι ἰδὼν τοὺς κήρυκας ὁ Ἀχιλλεὺς ἐλυπήθη, ἀλλὰ μέσως πως ἔφρασεν εἰπών· «οὐδ' ἄρα τώ γε ἰδὼν γήθησεν Ἀχιλλεύς», ὅπερ δηλοῖ τὸ μὴ πάνυ αὐτὸν δυσχερᾶναι. διὸ καὶ ἑτοίμως τὴν γυναῖκα δίδωσι. δύναται μέντοι τὸ «οὐκ ἐγήθησε» καὶ ἄκραν λύπην σημαίνειν, ἐάνπερ μετ' ὀλίγα καὶ δακρύῃ ὁ Ἀχιλλεύς. Σημείωσαι δὲ καὶ ὅπως δεξιῶς ὁ Ἀχιλλεὺς εἰς σκῶμμα τοῦ βασιλέως παρέρριψε τὸ ἀπηνῆ αὐτὸν προσειπεῖν ὡς μὴ δέον ὂν οὕτως εὐθὺς ἀπηνῆ τὸν βασιλέα εἶναι. Ἀπηνὴς δὲ κοινῶς μὲν ὁ σκληρὸς καὶ ἐναντίος πρὸς τὸν ἐνηῆ. Ἀττικοὶ δὲ ἀπηνὲς καὶ τὸ ἁπλῶς ἄπο αἴνου ἔλεγον ἤτοι τὸ ἀπαίδευτον, ὡς ὁ Κωμικὸς ἐν Νεφέλαις παραδηλοῖ [φράζων τι καὶ δριμὺ ἐκεῖνος διὰ τὸ καὶ ἀγρίους τοὺς τοιούτους καλεῖν.] Σημείωσαι δὲ ὡς ἐν τῷ «πρὸς τοῦ βασιλῆος ἀπηνέος» οὐ πάνυ συνήθης ἐστὶν ἡ φράσις· τὸ γὰρ κοινότερον «πρὸς τοῦ ἀπηνέος βασιλέως». αἴτιον δὲ τοῦ συγχεθῆναι τὴν φράσιν ὁ θυμὸς τοῦ λαλοῦντος, ὃ καὶ ἐν ἄλλοις φαίνεται. (v. 338) Ὅτι πολλαὶ τῶν εὐθειῶν μονάζουσι πλαγίας μὴ ἔχουσαι ἀλλ' οἷον στειρεύουσαι τῶν μετ' αὐτὰς πτώσεων. αὐτίκα τὸ γυνή οὔτε γενικὴν ἔχει οὔτε τὰς ἑξῆς πτώσεις ἄνευ τῆς αἰτιατικῆς· γυνὴν γὰρ εὑρῆσθαι λέγουσί τινες τῶν παλαιῶν. οὕτως οὐδὲ τὸ ὕδωρ πτώσεις ἔχει πλαγίας οὐδὲ ὁ μάρτυς οὐδὲ τὸ ἧδος, ὃ δηλοῖ τὴν ἡδονήν, οὐδὲ τὸ ὄφελος οὐδὲ τὸ ἦτορ οὐδὲ ἄλλα πολλά. ὥσπερ δὲ πολλαὶ τῶν εὐθειῶν, ὡς εἴρηται, πλαγίας οὐκ ἔχουσιν, οὕτω καὶ πολλαὶ τῶν πλαγίων ὀρφαναί εἰσιν ὥσπερ μητέρων τῶν εὐθειῶν.

1.177 αὐτίκα ἡ τοῦ μάρτυρος γενικὴ εὐθεῖαν οὐκ ἔχει κοινὴν ἀνάλογον λήγουσαν εἰς ρ . οὐδὲ ἡ γυναικὸς γενικὴ εὐθεῖαν ἐκφωνουμένην ἔχει τὴν γύναιξ, [ἀλλὰ καθ' Ἡρωδιανὸν εἰπεῖν ἑτερόζυγος ἡ γυναικὸς γενικὴ ἐξενήνεκται ὡς πρὸς τὴν εὐθεῖαν· γυνὴ γάρ.] συμβαίνει οὖν πολλάκις ἐν ταῖς τοιαύταις εὐθείαις, ὅπερ ἐπὶ τῶν ὑποβολιμαίων παίδων γίνεται. ὡς γὰρ ἐκεῖ αἱ μητέρες, ὅσαις οὔκ εἰσι γνήσια βρέφη, νόθα ἑαυταῖς ὑποβάλλουσιν, οὕτω καὶ ἐνταῦθα ἡ μονάζουσα εὐθεῖα καὶ ὡς εἰπεῖν στερίφη μήτηρ τὰς νόθους πλαγίους φιλιοῦται καὶ ὑποβάλλουσα ἑαυτῇ οἰκειοῦται εἰς κλίσιν· οἷον ἡ γυνὴ μὴ ἔχουσα γενικὴν οἰκείαν εἰσποιεῖται [ἄνευ ἀναλογίας κανονικῆς] τὴν γυναικός γενικὴν ἑαυτῇ καὶ τὰς ἑξῆς πλαγίας. ὡσαύτως καὶ τὸ μάρτυς μὴ ἔχον [ὅλως ἀναλόγως] εἰς οἰκείαν κλίσιν μεταπεσεῖν μεταβαίνει ἑτεροκλίτως εἰς τὴν μάρτυρος γενικήν· ἧς εὐθεῖα οὐδ' αὐτὴ ἀνάλογος ὁ μάρτυρος. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ὕδωρ ὕδατος καὶ φρέαρ φρέατος καὶ τῶν ἄλλων ὀνομάτων, ἅπερ οἱ γραμματικοὶ ἑτερόκλιτα λέγουσι. καὶ τὸ Ζεύς δὲ ἑτεροκλίτως ἔχει· ἡ γὰρ Διός γενικὴ ἀπὸ σιγωμένης εὐθείας ἐπλαγιάσθη. Δὶς γὰρ Διός, ὡς κὶς κιός, ὁ σκώληξ· [ὥστε ἡ δοκοῦσα εὐθεῖα τοῦ Διός, ὁ Ζεύς, ψεύδεται τὴν τοιαύτην δόκησιν.] ἐπεὶ δὲ τὸ μὲν Ζεύς οὐ κλίνεται, τὸ δὲ Δίς συνεμπίπτει κατὰ φωνὴν τῷ δίς ἐπιρρήματι, ἐσιγήθη μὲν ἡ προσφυὴς εὐθεῖα τοῦ Διός, πρόκειται δὲ τὸ Ζεύς ἑτερόκλιτον ἀντ' αὐτῆς [διὰ τὸ κοινότερον. συνηθέστερον γὰρ ὁ Ζεύς ἤπερ ὁ Ζάν καὶ ὁ Ζήν καὶ ὁ Δίς καὶ ὁ Δάν καὶ ὅσα ἄλλα κεῖνται παρὰ τῷ παλαιῷ τεχνικῷ.] διὰ τί δὲ οὐ κλίνεται τὸ Ζεύς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν τῷ τέλει τῆς ῥαψῳδίας ταύτης ῥηθήσεται. Ἰστέον δὲ ὅτι καὶ ἐπὶ ῥημάτων τὸ αὐτό ποτε γίνεται· οἷον ὀμβρίζω μὲν καὶ σταθμίζω εὕρηται παρὰ τοῖς παλαιοῖς, μέλλοντες δὲ αὐτῶν ἢ ὅλως αἱ ἐξ αὐτῶν κινήσεις οὐχ' εὕρηνται, ἀλλὰ καὶ τὸ ὤμβρησε καὶ τὸ ἐστάθμησε διὰ τοῦ η γράφονται ὡς ἀπὸ θεμάτων τοῦ ὀμβρῶ καὶ σταθμῶ. κἀκεῖνο δὲ ἰστέον ὡς πολλαὶ τῶν εἰς ος ληγουσῶν γενικῶν ἀναδρομὴν πάσχουσιν εἰς εὐθεῖαν, οἷον Τρὼς Τρωός, ὁ Τρῳὸς ἤγουν ὁ Τρωϊκός, ἐξ οὗ καὶ Τρῳαὶ ἵπποι αἱ Τρωϊκαί· δμὼς δμωός, ὁ δμῳός, ὁ δοῦλος, ἀφ' οὗ καὶ δμῳαὶ αἱ δουλίδες· ὁ φύλαξ τοῦ φύλακος, ὁ φύλακος· ἑκατόγχειρ ἑκατόγχειρος, ὁ ἑκατόγχειρος. οὕτως οὖν καὶ ἡ μάρτυρος γενικὴ ἀναδραμοῦσα εἰς εὐθεῖαν ἐποίησε τὸ ὁ μάρτυρος, ἐξ οὗ πληθυντικὸν οἱ μάρτυροι. τινὲς δὲ τὸ μάρτυρός φασιν εὐθεῖαν εἶναι πρωτότυπον καὶ ἐξ αὐτοῦ κατὰ συγκοπὴν γενέσθαι τὸ μάρτυς.

1.178 διό, φασίν, οὐδὲ κλίνεται, ὡς οὐδὲ ἄλλη εὐθεῖα πάθος τοιοῦτον ἔχουσα. καὶ οὕτω μέν τινες. Ἡρωδιανὸς δὲ εἰπών, ὅτι καὶ μάρτυροι καὶ μάρτυρες ἑκατέρως, ἐπάγει ὅτι τέτριπται τὸ μάρτυρες ἀπὸ τῆς μάρτυς εὐθείας, ἣν Ἠλείων ἢ Αἰολέων διάλεκτος διὰ τοῦ ρ προφέρει. ἐκεῖνοι γάρ, φησί, τὸ ς εἰς ρ μεταβάλλουσι τὸ οὗτος οὗτορ λέγοντες καὶ τὸ ἵππος ἵππορ· εἰς ὃ ζητητέον χρῆσιν καὶ ἐν τοῖς Ἰαμβλίχου εἰς τὰ κατὰ Πυθαγόραν· οὕτως οὖν, φησί, καὶ μάρτυς μάρτυρ, ἀφ' ἧς ἐκπίπτει πληθυντικὸν οἱ μάρτυρες παρά τε τοῖς κωμικοῖς καὶ Ἱππώνακτι. οἱ δέ γε μάρτυροι ἀπὸ τῆς ὁ μάρτυρος εὐθείας, οἷον «Ζεὺς δ' ἄμμ' ἐπιμάρτυρος ἔστω». (v. 338—40) Ἔτι ἰστέον ὡς τὸ «μάρτυροι ἔστων πρός τε θεῶν μακάρων πρός τε θνητῶν ἀνθρώπων καὶ πρὸς τοῦ βασιλέως» ἀντὶ τοῦ ἔμπροσθεν θεῶν καὶ ἀνθρώπων καὶ βασιλέως. παιδευτικὸς δὲ ὁ λόγος ὡς δέον ὂν ἀνατιθέναι θεῷ τὰ πολλὰ τῶν ἐν ἡμῖν. διὸ καὶ Ἀχιλλεὺς πλεῖον οὕτω τιμᾶται ἤπερ ἐὰν ἠμύνατο τὸν λυπήσαντα. Σημείωσαι δὲ καὶ ὅτι, ὁπηνίκα ὡς ἐν παρακλήσει φαμὲν «πρὸς τῆς τριάδος» ἤ «πρὸς τοῦ θεοῦ» ἤ «πρὸς τοῦ λόγου» ἤ «πρὸς τῆς φιλίας αὐτῆς» ἢ ὅσα ἄλλα τοιαῦτα, ἡ πρός πρόθεσις καὶ ἐν τοῖς τοιούτοις ἐπὶ τοιαύτης τινὸς εἴληπται σημασίας. [Ὁπηνίκα δὲ εἴπῃ τις «πρὸς καλῶν» ἤ «πρὸς κακῶν εἶναί τι», ἑτεροῖον ἐν τοῖς τοιούτοις ἐστὶ σημαινόμενον τῆς προθέσεως· ἀλλοῖον δὲ αὖ πάλιν ἐν τῷ «πρὸς σοῦ εἰμι», ὥσπερ καὶ ἐν τῷ «πρὸς ἄλλης ἱστὸν ὑφαίνοις», ὅ φησί που Ὅμηρος.] Ὅρα δὲ καὶ ὅτι ἀντιδιαιρεῖ τὸν μάκαρα καὶ τὸν θνητὸν ὡς τῶν ἀνθρώπων μὲν θνητῶν ὄντων, μακάρων δὲ τῶν θεῶν ἤτοι ἀθανάτων, ὡς μὴ ὑποπιπτόντων κηρὶ τουτέστι θανατηφόρῳ μοίρᾳ. Καὶ ὅτι κατὰ σχῆμα ἐξοχῆς ἐνταῦθα τὸν βασιλέα τῶν λοιπῶν ἀνθρώπων ἐχώρισεν, ὥσπερ καὶ πρὸ τούτου τὸν Πάτροκλον τῶν λοιπῶν ἑτάρων τοῦ Ἀχιλλέως, ὅτε εἶπε· «σύν τε Μενοιτιάδῃ καὶ οἷς ἑτάροισι». Τὸ δέ «μάρτυροι ἔστων» ἀρχαϊκῶς ἀττικίζεται κατὰ ἔθος συντάσσον οὐ μόνον πληθυντικὰ ὀνόματα πληθυντικοῖς ῥήμασιν ἀλλὰ καὶ πληθυντικὰ ἑνικοῖς καὶ ἀνάπαλιν. [Τὸ δὲ ἔστων ἢ ἐκ τοῦ ἔστωσαν συγκέκοπται ἢ ἐκ τοῦ ἔστω τρίτου ἑνικοῦ γέγονε προσλήψει τοῦ νῦ.] (v. 342) Ὅτι ἐν τῷ «ὀλοῇσι φρεσὶ θύει» τὸν θυμὸν παρετυμολογεῖ. ἐκ τοῦ θύειν γάρ, ὅ ἐστιν ὁρμᾶν, παράγεται ὁ θυμός. ἐκ δὲ τοῦ ὀλοὴ φρήν σύγκειται τὸ ὀλοόφρων. ὀλέθρια δὲ φρονεῖν λέγει τὸν βασιλέα οὐ μόνον ἑαυτῷ ἀλλὰ καὶ τοῖς ἄλλοις Ἀχαιοῖς.

1.179 Τὸ δὲ πάθος τοῦ στίχου τὸ ἐν τῷ «ὀλοῇσι» θεραπεύουσιν οἱ μετρικοί, ὡς οἴδασιν ἐκεῖνοι, [λαγαροῦ ὄντος καὶ ἐκτείνοντος μουσικῶς τὴν λο συλλαβὴν διὰ τῆς ἐφεξῆς περισπωμένης. τινὲς μέντοι ἐτόλμησαν γράψαι «ὀλοιῇσι φρεσίν», ἵνα οὕτω ἀπαθὴς εἴη ὁ στίχος. Ἰστέον δὲ ὅτι ἐκ τοῦ ῥηθέντος θύειν καὶ Θυάδες αἱ Βάκχαι. αἱ δ' αὐταὶ καὶ Θύσαι παρὰ Λυκόφρονι.] (v. 343) Ὅτι ἀνδρὸς φρονίμου καὶ ἀγχινουστάτου ἴδιον τὸ «ἅμα νοεῖν τά τε πρόσω» τουτέστι τὰ παρελθόντα καὶ «τὰ ὀπίσω» τουτέστι τὰ μέλλοντα καὶ ἐκ τῶν παρεληλυθότων στοχάζεσθαι, οἷα καὶ τὰ μέλλοντα ἔσται. διόπερ Ἀχιλλεὺς αἰτιᾶται τὸν Ἀγαμέμνονα, ἐπεί «οὐκ οἶδε νοῆσαι ἅμα πρόσω καὶ ὀπίσω» τουτέστιν ἐπεὶ οὐκ οἶδεν ὅτι, ὥσπερ τὰ πρὸ τούτου δι' ἐμοῦ πολεμαρχοῦντος ἠνύετο, οὕτω καὶ τὰ ἐς ὕστερον, καὶ οὔτε ἐκεῖνα ἐμοῦ δίχα, [δι' ὧν σόοι ἐμάχοντο,] οὔτε τὰ

μετὰ ταῦτα. οὔκουν ἐκ τῶν γενομένων ἀριστευμάτων ἅμα καταστοχάζεται καὶ οἷα ἔσται τὰ τοῦ μέλλοντος χρόνου. καὶ νῦν μὲν οὕτω ψέγει τὸν μὴ ἅμα τουτέστιν ὁμοῦ ἐν ἀμερεῖ χρόνῳ τά τε πρόσω καὶ τὰ ὀπίσω βλέποντα, ἀλλὰ ἀναμένοντα τὸν ἐπιόντα χρόνον εἰς διδασκαλίαν τῶν ἀποβησομένων. ἐν δὲ τοῖς ἑξῆς ἐπαινέσει γέροντα, ὃς ἅμα πρόσω καὶ ὀπίσω λεύσσει. Ἰστέον δὲ ὅτι ἀστεῖον τὸ νόημα καὶ ποιητικήν τινα ἔχον ὑπερβολήν. τὸν γὰρ πάνυ προσεκτικὸν καὶ ἀγχίνουν καὶ μὴ μόνα τὰ ἐν ποσὶν ὁρῶντα μηδὲ τοῖς πρὸ ὀφθαλμῶν μόνοις ἀρκούμενον, ἅπερ εἰκότως ἂν ἔμπροσθεν λέγοιντο, ἀλλά τι ἐπιστρεπτικῶς προβλέποντα καὶ τῶν ὀπίσω ἤτοι τῶν μὴ προόπτων μηδ’ ἐν ὀφθαλμοῖς κειμένων, ἐκεῖνον βλέπειν τά τε ἔμπροσθεν ἡ ποίησις λέγει καὶ τὰ ὄπισθεν, ὡς ἀγχίστροφον καὶ ζῴοις ἐοικότα, ὅσα ὑγρότερα ὄντα καὶ συχνάκις ῥᾷον ὧδε καὶ ἐκεῖ τὸν τράχηλον στρέφοντα τά τε ἔμπροσθεν ὁρῶσι καὶ τὰ ὀπίσω· ὅπερ οὐ δύναται ποιῆσαι ἄνθρωπος διὰ τὸ τῶν ὀμμάτων ἔμπροσθεν κειμένων μὴ εὐλύγιστον καὶ εὔστροφον ἔχειν τὸν τράχηλον. [(v. 348) Ὅτι τῆς Βρισηΐδος ἀπαγομένης ἔχων ὁ ποιητὴς εἰπεῖν τι πλατύτερον περὶ ἐκείνης, ὡς ἐπαθήνατο, οἷα εἰκός, ὤκνησεν ἀκαίρως διασκευάσαι· ἠρκέσθη δ’ ἐμφῆναι μόνον τὰ εἰκότα λέξει μιᾷ εἰπών· «ἡ δ’ ἀέκουσα γυνὴ κίεν». ἔνθα ὅρα τὸ «γυνή» ἔμφασιν ἔχον διαθέσεως, ἣν πάσχοι ἂν ἄλοχος ἀποσπωμένη φίλου ἀνδρός.] (v. 349) Ὅτι συμπαθεῖς οἱ ἥρωες παρὰ τῷ ποιητῇ καὶ ἑτοιμοδάκρυες. καὶ ἔστιν ἀγαθοῦ ἤθους τὸ τοιοῦτον παραστατικόν. διὸ καὶ ἡ παροιμία φησίν· «ἀγαθοὶ δ’ ἀριδάκρυες ἄνδρες». Ἀχιλλεὺς οὖν ἐνταῦθα τῆς Βρισηΐδος ἀφαιρεθεὶς δακρύει. καὶ μετ’ ὀλίγα δακρυχέων προκαλεῖται τὴν μητέρα καὶ βαρυστενάχων. καὶ ἐν τοῖς ἑξῆς δὲ ὁ Ἀγαμέμνων, οἷα κρήνη μελάνυδρος, προρρέει τὰ δάκρυα. καὶ ὁ Πάτροκλος δέ που ὡς κόρη νηπία δακρύει. καὶ ἄλλοι δὲ πολλοὶ τῶν ἡρώων ὅμοιά τινα πάσχουσι. καὶ ἄλλως δέ, ὥς φασιν οἱ παλαιοί, οὐδὲν καινόν, ἐὰν Ἀχιλλεὺς ἄρτι ἀχθόμενος δακρύῃ παθὼν λύπην.

1.180 οὐ γὰρ ἀπαθὴς ὁ σπουδαῖος ἀλλὰ μετριοπαθής. ἀρκεῖ δὲ αὐτῷ, ὅτι οὐκ ἀντελάβετο τῆς Βρισηΐδος καὶ ὅτι οὐδὲν εἶπε βαρὺ πρὸς τοὺς κήρυκας οὐδὲ ἔπραξεν. εἰ δὲ δακρύει, μέτριον τοῦτο πάθος καὶ οὐ πάνυ ἐπίμομφον. ὁ δὲ καὶ τοῦτο αἰδεῖται ποιῶν. διὸ καὶ νόσφι τῶν ἑταίρων ἑζόμενος δακρύει, ὅτι ἠτίμωται. οὐ γὰρ φιλογύνης ὁ νεανίας ἀλλὰ φιλότιμος. ὁ μέντοι παρὰ τῷ Σοφοκλεῖ Αἴας οὐδὲ ἐπὶ τοῖς μεγίστοις τῶν κακῶν ἐδάκρυσεν. ἐμβριθὴς γὰρ ἐκεῖνος καὶ μεγαλόθυμος καὶ μανίας ἐγγύς. (v. 350) Ὅτι πολλάκις ἐν ταῖς δευτέραις συζυγίαις τῶν περισπωμένων μετὰ τὴν συναίρεσιν, ὡς καὶ πρὸ τούτου ἐγράφη, πλεονάζει ποτὲ μὲν τὸ ο τὸ μικρόν, ποτὲ δὲ τὸ α τὸ βραχύ· οἷον μετὰ τὴν συναίρεσιν τοῦ ὁρῶν πλεονάσαντος τοῦ ο γίνεται ὁρόων ὁ βλέπων. ἄλλοτε δὲ ἐν τῷ ὁρᾷ πλεονάσαν τὸ βραχὺ α πρὸ τῆς ληγούσης τὸ ὁράᾳ πεποίηκεν. οὕτω καὶ «ἠιόνες βοόωσι» καὶ «κῦμα βοάᾳ ποτὶ χέρσον». Ὅτι ἔοικε τὸ παλαιὸν ὁ οἶνος μέλας εἶναι τὴν χρόαν μήπω περιεργασαμένης τῆς τρυφῆς τούς τε λευκοὺς καὶ τοὺς κιρροὺς καὶ τοὺς ἀνθοσμίας. καὶ βότρυες δὲ ὡς ἐπὶ πολὺ τοιοῦτοι· οἷον «μέλανες δ’ ἀνὰ βότρυες ἦσαν». ὅθεν καὶ πόντον οἴνοπά φησιν ὁ ποιητὴς τουτέστιν οἴνου ὄψιν ἔχοντα καθ’ ὁμοιότητα τοῦ «αἶθοψ οἶνος» ἀντὶ τοῦ μέλας, ὡς μετ’ ὀλίγα ἐρεῖ ὁ ποιητής. εἰ δὲ καὶ πολιὰν ἅλα λέγει ἀντὶ τοῦ λευκήν, ἀλλὰ τοῦτο ἢ τοῦ περὶ τὸν αἰγιαλὸν μέρους τῆς θαλάσσης κατὰ τοὺς παλαιούς ἐστιν ἐπίθετον ὡς ἀεὶ τῆς παραιγιαλίτιδος λευκοτέρας οὔσης τοῦ πόντου, ὅς ἐστι τὸ τῆς θαλάσσης βαθύ, [ἢ τὴν ἐπαφρίζουσαν δηλοῖ καὶ οὕτω λευκανθίζουσαν. διὸ καὶ Μέλανθος Ποσειδῶν παρὰ Λυκόφρονι, τὸ μὲν διὰ τὴν τοῦ πόντου μελανίαν, τὸ δὲ διὰ τὸ οἷον ἐπανθοῦν καὶ ὑποπόλιον τοῦ ἀφροῦ.] λέγονται δέ που ὁμοίως καὶ βόες οἴνοπες οἱ μέλανες. Σημείωσαι δὲ ὅτι πολλῶν ὄντων ἐπιθέτων θαλάσσης οὐ πάντα τῇ ὅλῃ προσαρμόττουσι θαλάττῃ ἀλλὰ τὰ πλείω μέρεσί τισιν αὐτῆς. γλαυκὴ γοῦν οὐ πᾶσα, μόνη δὲ ἡ καὶ ἀβαθὴς καὶ ἄμμον δὲ ὑποκειμένην ἔχουσα λευκὴν καὶ οὕτω χρῶμα γλαυκὸν παραυγάζουσα. καὶ πολιὰ δὲ θάλασσα ὁμοίως οὐ πᾶσα, ἡ πρὸς τῷ αἰγιαλῷ δέ. μέλας δέ γε πόντος ὁ ἀκράτως τοιοῦτος. τὸ μέντοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πορφύρεον καὶ τὸ κυάνεον καὶ τὸ οἰνωπὸν διαφοραὶ μελανίας, ὥσπερ καὶ τὸ δνοφερὸν ὕδωρ. ὅτε τοίνυν πόντος μέλας ἢ πορφύρεος ἤ τι τῶν τοιούτων λέγεται, ὡς ἀπὸ μερῶν εἰς τὸ πᾶν τὸ ἐπίθετον φέρεται. Ἐνταῦθα δ' ἐνθυμητέον ὡς, καθὰ Ὀδυσσεὺς ἐν Ὀδυσσείᾳ τῆς πατρίδος ἀποδημῶν ἐκάθητο παρὰ τὸν αἰγιαλὸν πενθῶν καὶ τοὺς ὀφθαλμοὺς διαπεταννύων ἐκεῖ, ὅθεν ὁ πλοῦς αὐτῷ ἔμελλεν οἴκαδε γίνεσθαι, οὕτω καὶ Ἀχιλλεὺς ἐνταῦθα ἐκάθητο παρὰ τὸν αἰγιαλὸν ὁρῶν ἐπὶ πόντον καὶ ἀποπλέων οἷον τῇ θέᾳ εἰς τὴν πατρίδα καὶ σώματι μὲν ἐν τῇ Τροίᾳ παρών, τῇ φαντασίᾳ δὲ τὴν Φθίαν ὁρῶν. ἔχει δὲ καὶ ἄδειαν οὕτω πενθεῖν ἀμέμπτως μηδενὸς ὁρῶντος· ἀπρεπὲς γὰρ ἐν ὄψει πολλῶν διὰ τὴν Βρισηΐδα δακρύειν τὸν ἥρωα.

1.181 προοικονομεῖ δὲ πιθανῶς ἐνταῦθα ὁ ποιητὴς καὶ τὸ ἐντυχεῖν εὐπλάστως κατὰ μόνας τὸν Ἀχιλλέα τῇ μητρὶ Θέτιδι ἐκ θαλάσσης ἐλθούσῃ. [Ἰστέον δὲ ὅτι πολιὰν ἅλα ὁ μῦθος λέγει τὴν γραῖαν, καθὰ καὶ τὸν Νηρέα γέροντα. ὁ δ' αὐτὸς καὶ Γραίας τινὰς πλάττει θαλασσίας δαίμονας «πολιὰς ἐκ γενετῆς», καθὰ καὶ ὁ τῆς ἱστορίας Κύκνος περιᾴδεται, ὡς ἐν ἄλλοις δεδήλωται. δῆλον δὲ ὡς ἐπὶ μὲν ἄλλων τινῶν ἐπίθετον ἡ πολιά, ἐπὶ δὲ τριχῶν ἰδιάζει· ἀρκεῖ γὰρ ἀντὶ πολιῶν τριχῶν πολιὰς μόνον εἰπεῖν.] (v. 352) Ὅτι δύο κῆρες, ὡς ἡ ἱστορία φησίν, εἰς Ἅιδου κατῆγον τὸν Ἀχιλλέα, ἡ μὲν ὀλιγοχρόνιος ἔντιμον, ἡ δὲ πολυετὴς καὶ οὐ μετὰ τιμῆς, καὶ τοῦτο καὶ ἀλλαχοῦ ῥηθήσεται. ἐνταῦθα δὲ συντομώτατα λέγων ὁ Ἀχιλλεὺς δυσχεραίνει, ὅτι μινυνθάδιος ὢν τουτέστιν ὀλίγος τῷ χρόνῳ δηλαδὴ τῆς ζωῆς, ἤγουν μίνυνθα καὶ ἐπ' ὀλίγον ζῆσαι μέλλων, ὅμως οὐδὲ τιμὴν ἔχει. ταύτην δὲ τὴν ἱστορίαν τόποις διαφόροις καταμερίσει ὁ ποιητὴς ἐνταῦθα μὲν συντόμως εἰπών, ἀλλαχοῦ δὲ τὸ αὐτὸ ἱστορήσων πλατύτερον. ὥσπερ δὲ ἀμφαδὸν ἀμφάδιος, οὕτω μίνυνθα μινυνθάδιος. [Προϋπάρχει δὲ ἀμφοῖν τὸ μινυόν, ὅ, καθὰ τὸ τυννοῦτον, οὕτω καὶ αὐτὸ δηλοῖ παρ' Ἀττικοῖς τὸ μικρόν. ἐξ οὗ καὶ μινύθω, τὸ ἐλαττῶ καὶ σμικρύνω, καὶ μινύρω καὶ μινυρίζω, τὸ ὑποκλαίω. τοῦτο δὲ καὶ κινύρεσθαι λέγεται.] εὐφήμως δὲ εἰπόντος τοῦ Ἀχιλλέως τὸ «μινυνθάδιος» ἡ μήτηρ μετ' ὀλίγα περιπαθέστερον «ὠκυμορώτατον» αὐτὸν ἐρεῖ. σημείωσαι δὲ ὅτι καὶ ἐπὶ χρόνου λέγεται τὸ μινυνθάδιος, ὡς τὸ «μινυνθάδιος δέ οἱ αἰὼν ἔπλετο» ἤγουν ὀλίγη καὶ βραχεῖα ἡ ζωή. (v. 353 s.) Ὅτι ἐπὶ ἀποτυχίᾳ ὀφειλομένης τιμῆς ἔστιν εἰπεῖν τὸ «τιμήν πέρ μοι ὄφελλεν Ὀλύμπιος ἐγγυαλίξαι, νῦν δ' οὐδέ με τυτθὸν ἔτισεν». [Ἔστι δὲ τυτθὸν τὸ μικρὸν ἐκ μεταφορᾶς, φασί, τῶν ὑποτιτθίων ἤγουν ὑπομαζίων βρεφῶν τροπῇ συνήθει τοῦ ι εἰς τὸ υ . ἐκ δὲ τοῦ τυτθόν γίνεται καὶ ὁ Τυδεὺς ὁ μικρὸς τὸ δέμας κατὰ συγγένειαν τοῦ θ καὶ τοῦ δ , ἣν δηλοῖ σὺν ἄλλοις μυρίοις καὶ τὸ Προμηθεύς καὶ Ἐπιμηθεύς γινόμενα ἐκ τοῦ μήδω, καὶ τὸ μηδείς, μηθείς, καὶ τὸ οὐδενῶ, ἐξουθενῶ.] (v. 359) Ὅτι ἐν ἄλλοις μὲν δαίμονά τινα καταδυομένην εἰς τὴν θάλασσαν μολιβδαίνῃ εἰκάσει—βάρους γὰρ χρεία τοῖς καταδυομένοις— ἐνταῦθα δὲ τὴν Θέτιν ἀναβαίνουσαν ἐκ θαλάσσης ἀναδῦναι λέγει καθὰ ὀμίχλην. καὶ γὰρ καὶ οἱ ἀναδυόμενοι κουφότητος δέονται καὶ ἡ ὀμίχλη τοιοῦτόν ἐστι. καὶ ὅρα ὅτι δύεσθαι μὲν καὶ καταδύεσθαι λέγεται τὸ εἰς βάθος ὑγρὸν κατιέναι, ὡς καὶ ὁ Ἥλιος δύεται εἰς τὸν μυθικὸν Ὠκεανόν· ὅθεν καὶ ζῷα δυτικὰ παρ' Ἀριστοτέλει τὰ καθ' ὕδατος δυόμενα.

1.182 τὸ δὲ ἐκεῖθεν ἀνιέναι ἀναδύεσθαι. λέγεται δέ ποτε ἀναδύεσθαι καὶ ἐπὶ τοῦ ὀκνεῖν ἢ καὶ ἀργεῖν ἐξ ὁμοιότητος τοῦ ῥηθέντος ἀναδύεσθαι καὶ τῆς κατ' αὐτὸ ἀργίας ἐπὶ τῶν βαρυτέρων μάλιστα σωμάτων· ῥᾷον γὰρ καταδύεσθαι δοκεῖ τὰ βάρη ἤπερ ἀναδύεσθαι. ἡ δὲ τοιαύτη ἔννοια παρήγαγέ πως καὶ τὸ ἀναβάλλεσθαι ἤτοι ὀκνεῖν καὶ ἀναδύεσθαι καὶ ἀργεῖν· βράδιον γάρ τι ἀναβάλλεται κάτωθεν ἄνω ἤπερ καταβάλλεται [καὶ μάλιστα, εἴ τις ἐπὶ νοῦν λάβοι, ὡς ὁ ὀρύσσων ἀναβάλλειν ἤγουν ἄνω ῥίπτειν λέγεται τὸν χοῦν. οὗ ἀνάπαλιν ἔχει τὸ καταβάλλειν.] Πρώτη δὲ παρὰ τῷ ποιητῇ παραβολὴ σύντομος τὸ «ἠΰτ' ὀμίχλη». περὶ δὲ παραβολῆς ἐν τῇ βῆτα ῥαψῳδίᾳ πλατύτερον ῥηθήσεται. Αἰολικῶς δὲ ψιλοῦται τὸ ὀμίχλη, ὡς δῆλον ἐκ τῆς ἐνταῦθα συναλιφῆς· φησὶ γάρ «ἠΰτ' ὀμίχλη». [Ἔτι δὲ καὶ Ἰωνικῶς ἔχει τὴν ψιλήν, κοινῶς δέ γε

δασύνεται παρὰ τὴν ὁμοῦ εἴλησιν. εἰσὶ δὲ οἳ καὶ ἄλλως ψιλοῦσιν αὐτὸ παρὰ τὸ ἀχλύειν, δι’ ἧς ἀχλύονται ὄμματα.] Ἔστι δὲ τὸ ἠΰτε παραβολικὸν ἐπίρρημα ἰσοδυναμοῦν τῷ καθά καὶ τοῖς τοιούτοις, πλὴν ὅσον ἐκεῖνα μὲν λόγου πεζοῦ καὶ κοινά, τοῦτο δὲ ποιηταῖς εὔχρηστον, ὡς καὶ τὸ εὖ, ὃ καὶ αὐτὸ παραβολῆς ἐστιν ἐπίρρημα, ὡς δηλοῖ τὸ «εὖτ’ ὄρεος κορυφαῖς» ἐν τῇ γ′ ῥαψῳδίᾳ, ἐξ οὗ καὶ γίνεται τὸ ἠΰ. εὖ γὰρ καὶ κατὰ διάλυσιν ἐϋ καὶ κατὰ ἔκτασιν ἠϋ καὶ μετὰ παραπληρώσεως ἠΰτε, ὥσπερ καὶ εὖ εὖτε, καθὰ προείρηται. [Οὐχ’ ἧττον δὲ τοῦ εὖτε καὶ ἠΰτε ποιητικὸν ἐπίρρημα παραβολικὸν τὸ ὧπερ ἀντὶ τοῦ καθά κατὰ τοὺς τεχνικοὺς καὶ τὸ ὧτε, οἷον «ὧτε χερνᾶτις γυνά» ἤγουν ὡς χερνῆτις, ὅ ἐστι ταπεινὴ κατὰ τὴν Ὁμηρικὴν ἔριθον. γίνεται δὲ κατὰ Ἡρωδιανὸν οὕτως· ὡσείτε καὶ ὡσείπερ, καὶ ἀποβολῇ τοῦ ς καὶ κράσει τοῦ ω καὶ ε εἰς τὴν ω δίφθογγον διὰ τὴν τοῦ ι συναίρεσιν ὧτε καὶ ὧπερ. περὶ δὲ τῆς διαλύσεως τοῦ εὖτε εἰς τὸ ἠΰτε ἐν τῇ ἑξῆς ῥαψῳδίᾳ ῥηθήσεται.] Ἰστέον δὲ ὅτι, καθάπερ ὁμίχλη διὰ τοῦ η , οὕτω καὶ κίχλη καὶ ζεύγλη καὶ τρίγλη, ὡς ἀρέσκον ἐστὶν Ἡρωδιανῷ. τὰ μέντοι εἰς α , φησί, τοιαῦτα ὀνόματα ὑπὲρ τὸ λ καὶ ἕτερον ἔχει λ ἤγουν διὰ δύο λ ἐκφέρονται, οἷον Σιβύλλα, Ἀνθύλλα, ἀδελφὴ Μέμνονος, ἀφ’ ἧς ἐν τῷ Νείλῳ πόλις ὁμώνυμος· ὅθεν, φησί, τὸ στρέβλα παραλόγως γραφὲν ὑπό τινων διορθωτέον· ἀναλογώτερον γὰρ τὸ στρέβλη. (v. 361) Ὅτι ἐν τῷ «χειρί τέ μιν κατέρεξεν, ἔπος τ’ ἔφατ’ ἔκ τ’ ὀνόμαζε» καταρέζειν ἐστὶ τὸ ῥέζειν ἤγουν ποιεῖν πρᾶγμα οἰκεῖον καὶ αὐτὸ τῇ χειρί· ὅπερ ἐστὶ καταψᾶν καὶ ἅπτεσθαι ἠρέμα κολακευτικῶς.

1.183 Ἰστέον δὲ ὡς τὸ μὲν πράττειν ἀσυνθέτως λέγεται ῥέζειν, ὡς τὸ «τίς νύ σε τοιάδ’ ἔρεξε;» καὶ «ὡς εἴ τι κακὸν ῥέζουσαν ἐνωπῇ». τὸ δ’ αὐτὸ καὶ ἔρζω κατὰ μετάθεσιν, ἐξ οὗ τὸ «ἔρξον ὅπως ἐθέλεις». τὸ δὲ καταψᾶν συνθέτως καταρέζειν καὶ ἐν συγκοπῇ δέ ποτε καρρέζειν· ὅθεν τὸ καρρέζουσα ἐν τοῖς ἑξῆς ἐρεῖ ὁ ποιητής. διὸ καὶ οἴονταί τινες παρὰ τὴν κατα πρόθεσιν καὶ τὸ ἕζειν σὺν τῷ ῥα συνδέσμῳ γενέσθαι καταρέζειν, τὸ οἱονεὶ συγκαθίζειν λεαντικῶς τῇ καταψήσει τὰ ἐπανιστάμενα. κοινῶς δὲ κατέρεξε δι’ ἑνὸς ρ εἴρηται, ὡς καὶ τὸ ἔρεξεν ἐν τῷ «τίς νύ σε τοιάδ’ ἔρεξεν;» Ἀττικῶς γὰρ διὰ δύο ρ τὰ τοιαῦτα προφέρονται. Τὸ δὲ ἐξονόμαζεν οἱ μὲν ἀντὶ τοῦ ἐξ ὀνόματος ἐκάλει φασίν· ὅπερ ἐν πολλοῖς οὐκ ἀληθὲς εὑρεθήσεται, ὥσπερ οὐδὲ ἐνταῦθα· οὐ γὰρ Ἀχιλλέα προσφωνεῖ τὸν υἱὸν ἡ Θέτις ἐξ ὀνόματος, ἀλλά «τέκνον», φησί, «τί κλαίεις;» οἱ δὲ ἀκριβέστεροι ἀντὶ τοῦ «ἐλάλησεν» ἁπλῶς, ὡς εἶναι ἐκ παραλλήλου ταὐτὰ τό τε ἔφατο ἔπος καὶ τὸ ἐξωνόμαζεν, ὥσπερ καὶ ἐν τῇ ς′ ῥαψῳδίᾳ φησί· «διαπέφραδε καί μοι ἔειπε»· καὶ ἐκεῖ γὰρ τὸ φράζειν καὶ τὸ εἰπεῖν τὸ αὐτὸ ἐκ παραλλήλου ἐστί. καὶ ἄλλως δὲ εἰπεῖν κατὰ τοὺς παλαιούς, ἐξονομάζειν ἐστὶ τὸ διεξοδικῶς λέγειν ἤτοι μὴ μετρίαις τισὶ λέξεσιν, ἀλλὰ λόγῳ χρᾶσθαι τῷ ἐξ ὀνομάτων πολλῶν συγκειμένῳ ἤτοι ἐκ λέξεων· ὄνομα γὰρ καὶ ῥῆμα παρὰ τοῖς ῥήτορσι πᾶσα λέξις ἐλέγετο. τὸ μέντοι ὀνομαστὶ καλεῖν ὀνομαίνειν καὶ ἐξονομαίνειν λέγεται, ὡς ἐν τοῖς ἑξῆς φανήσεται. (v. 362 s.) Ὅτι γεροντικόν τι πρόσωπον, εἰ ἀνακρίνει τινὰ νεώτερον, τί παθὼν πενθεῖ, καλῶς ἂν εἴποι τὸ «τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος; ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω». Ἰστέον δὲ ὅτι τὸ τὰ λυποῦντα ἐκτιθέναι εἰς διήγησιν κουφισμὸν ποιεῖται τῆς λύπης. διόπερ ἐνταῦθα ἡ Θέτις τὸν υἱὸν ἐρωτᾷ «τί κλαίεις» καὶ τὰ ἑξῆς, οὐχ’ ἵνα μάθῃ, ὅπερ ἠγνόει· οἶδε γάρ, ὡς καὶ ὁ Ἀχιλλεὺς ἐρεῖ· ἀλλ’ ἵνα κουφίσῃ τὴν ψυχὴν τῇ ἐκφορᾷ τοῦ βαρύνοντος. Κἀκεῖνο δὲ ἰστέον, ὡς παρ’ ἡμῖν μὲν τὸ εἴδομεν ἐπὶ ἐνεστῶτος παντελῶς ἐστιν ἄχρηστον, παρὰ δέ γε τῷ ποιητῇ πολλαχοῦ εὐχρηστεῖται.

1.184 κλίνει γὰρ αὐτὸ ὡς ἀπὸ τοῦ εἴδω εἴδεις θέματος ἀχρήστου ἡμῖν· ἡμεῖς γὰρ εἰδῶμέν φαμεν περισπωμένως, ὅπερ ταὐτόν ἐστι τῷ γνωσόμεθα. [Τὸ δέ «τί δέ σε φρένας ἵκετο πένθος;» οὐ πάνυ εὐσύντακτον ὂν ὅμοιόν ἐστι τῷ «περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε φύλλα τε καὶ φλοιόν», περὶ οὗ προγέγραπται. Τὸ δέ «ἐξαύδα» καὶ τὸ «μὴ κεῦθε νόῳ» τῆς αὐτῆς ἐννοίας εἰσί. δύναται δὲ τὸ τοιοῦτον ἐξαυδᾶν λεχθῆναι καὶ ἀνακαλύπτειν καὶ ἐκκαλύπτειν νοῦν.] (v. 365) Ὅτι ὥσπερ τὸ ἐπεί κατὰ πλεονασμὸν ἐπειῆ γέγονεν, οἷον «ἐπειῆ πολὺ φέρτερός ἐστιν», οὕτω καὶ τὸ τί τιή·

οἷον «τιή τοι ταῦτα εἰδυίῃ ἀγορεύσω;» σημείωσαι δὲ ὅτι οἱ παλαιοὶ ἐν μὲν τῷ ἐπειή, καθὰ καὶ προείρηται, περισπῶσι τὸ η τῆς ληγούσης, ἐνταῦθα δὲ βαρύνουσιν ἐγκλίνοντες, ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται. οἱ δὲ Ἀττικοὶ ὀξυτόνως λέγουσι τιή καὶ ὁτιή. [δῆλον δὲ ὡς ἐπέκτασίς τίς ἐστιν ἐν τοῖς τοιούτοις τὸ η , ἑτεροία μέντοι παρὰ τὴν ἐν τῷ νυνί καὶ τοῖς ὁμοίοις.] (v. 366 ss.) Ὅτι τὸ «ᾠχόμεθα ἐς Θήβην ἱερὴν πόλιν Ἠετίωνος» καὶ ἑξῆς, ἱστορία ἐστὶ πρὸ τοῦ χόλου πάντως πραχθεῖσα τοῦ Ἀχιλλέως. εἰ γὰρ καὶ ἤρξατο ἐκ τῆς μήνιδος ὁ Ὅμηρος, ἀλλὰ μυρίας ὅσας τῶν πρὸ αὐτῆς ἱστορίας καὶ πράξεις Τρωϊκάς τε καὶ Ἑλληνικὰς τῇ ποιήσει παρενσπερεῖ, ὡς προείπομεν, μηδέν τι παραλείπων τῶν καιριωτέρων. ἱστορεῖ τοίνυν ἐνταῦθα, ὅτιπερ ἡ Χρυσηῒς οὐκ ἐκ τῆς Χρύσης πόλεως ᾐχμαλώτιστο, ὅπερ ἄν τις ὡς εἰκὸς ὑπολάβοι, ἀλλ' ἐκ τῆς ὑποπλακίου Θήβης, ἀποσταλεῖσα ἐκεῖ, φασί, παρὰ τοῦ πατρὸς Χρύσου ὡς εἴς τι κρησφύγετον ἐρυμνόν, κατὰ δέ τινας εἰς ἑορτὴν Ἀρτέμιδος ἐκεῖ ἀπελθοῦσα· ὁ μέντοι Ἀχιλλεὺς πολεμαρχῶν καὶ τὰ περὶ Φρυγίαν ληϊζόμενος καὶ ταύτην τὴν Θήβην εἷλε καὶ τὴν Χρυσηΐδα μετὰ τῶν ἄλλων ἠνδραποδίσατο. Περὶ δὲ τῆς Θήβης ταύτης καὶ ἐν τοῖς ἑξῆς ῥηθήσεται. νῦν δὲ τοῦτο ἰστέον, ὅτι τὴν παρὰ τῷ ποιητῇ ταύτην Θήβην πληθυντικῶς ἄλλοι Θήβας φασὶ καί εἰσι καὶ ἄλλα πολλὰ τοιαῦτα διφορούμενα κατ' ἀριθμόν· Ἀθήνην γὰρ τὴν πόλιν καὶ Ἀθήνας εὑρίσκομεν καὶ Κρήτην καὶ Κρήτας καὶ ἀκρωτήριον Μάλειαν Μαλείας καὶ ἄλλα διάφορα. Ἱστοροῦσι δέ τινες, ὅτι ἐκ τῶν ὑποπλακίων Θηβῶν ἡ Χρυσηῒς ἐλήφθη οὔτε καταφυγοῦσα ἐκεῖ οὔτ' ἐπὶ θυσίαν Ἀρτέμιδος ἐλθοῦσα, ὡς ὁ τὰ Κύπρια γράψας ἔφη, ἀλλὰ πολῖτις ἤτοι συμπολῖτις Ἀνδρομάχης οὖσα. ὁ δὲ Γεωγράφος λέγει καὶ ὅτι τὸ τῆς Θήβης πεδίον δι' ἀρετὴν περιμάχητον ἦν ποτε Μυσοῖς καὶ Λυδοῖς, ὕστερον δὲ τοῖς ἐξ Αἰολίδος καὶ Λέσβου Ἕλλησι, καὶ ὅτι ὕστερον ἔρημος καὶ ἡ Θήβη καὶ ἡ Λυρνησσὸς διέχουσα Ἀδραμυττείου σταδίους, ἡ μὲν ἑξήκοντα, ἡ δὲ ὀγδοήκοντα.

1.185 Ἱερὰ δὲ οὐ μόνον ἡ ῥηθεῖσα Θήβη, ἀλλὰ καὶ πᾶσα πόλις, ὡς φυλακτικὴ τῶν ἐντός, ὅπερ θεῖον τῷ ὄντι ἐστίν. ὅθεν ἐν τοῖς ἑξῆς ὁ ποιητὴς καὶ τοὺς νύκτωρ φυλάσσοντας τὸ στρατόπεδον καὶ ὑπεραγρυπνοῦντας τῶν ἄλλων ἱερὸν τέλος φυλάκων φησί· καὶ ἱερὰ δέ που λέγει τείχεα καὶ ἐν Ὀδυσσείᾳ δὲ ἱερὸν Τροίης πτολίεθρον. [οἱ δὲ μεθ' Ὅμηρον καὶ εἰς ἱερόσυλον ἀποτάσσουσι πολίτην ἐκεῖνον, ὃς καθέλῃ χάριν οἰκείαν τεῖχος πόλεως.] Πόλιν δὲ Ἠετίωνος τὴν Θήβην λέγει, τοῦ πατρὸς Ἀνδρομάχης τῆς γυναικὸς Ἕκτορος, ὡς τοῦ Ἠετίωνος εἰ καὶ μὴ οἰκιστοῦ, ἀλλ' ὅμως βασιλέως ἐν αὐτῇ ὄντος· τοῦ γὰρ κρατοῦντος, φασίν, ἡ πόλις νομίζεται. Κίλικες δέ, ὡς καὶ προεγράφη, οἱ περὶ τὴν τοιαύτην Θήβην ἐλέγοντο, ὧν ἦρχεν Ἠετίων ἀπὸ ἀετοῦ αὐτὸς παρονομαζόμενος. τῶν δὲ ῥηθέντων Κιλίκων ἔνδοξος ἀποικία λέγεται. ἱστορεῖται γὰρ ὅτι οἱ κατὰ Παμφυλίαν Κίλικες ἀπὸ τῶν πρὸς τῇ Ἴδῃ ᾠκίσθησαν. αὐτοὶ δὲ πόθεν ἐκλήθησαν, προγέγραπται. Ὅτι δὲ Θῆβαι ἦσαν πολλαί, ἀλλαχοῦ εἴρηται. Τὸ δέ «ᾠχόμεθα ἐς Θήβην» ἁπλῶς εἴληπται ἀντὶ τοῦ ἤλθομεν. λαμβάνεται δέ ποτε ἡ λέξις καὶ ἐπὶ τῶν ἀφανῶν γενομένων, οἷον· ὁ δεῖνα ποιήσας τόδε τι ᾤχετο· ἀλλὰ καὶ ἐπὶ θανάτου, οἷον· πρὸ ὥρας ᾤχετο· ἐξ οὗ καὶ οἰχόμενος καὶ ἀποιχόμενος ὁ θανών. (v. 367) Ὅτι ἐν τῷ «τὴν δὲ διεπράθομεν καὶ ἤγομεν ἐνθάδε πάντα» κοινῶς ἄγειν λέγει ἐπί τε ἐμψύχων καὶ μὴ τοιούτων. καὶ παράγεται ἀπὸ τοῦ τοιούτου ῥήματος καὶ ἡ ἀπαγωγὴ ἐπὶ αἰχμαλωσίας. (v. 368) Κεῖται δὲ ἐνταῦθα καὶ τὸ εὖ ἐπὶ ἀρετῆς ἐν τῷ «καὶ τὰ μὲν εὖ δάσαντο» τουτέστι κατὰ δικαιοσύνην καὶ ἰσότητα διεμοιράσαντο [«μετὰ σφίσιν», ὅ ἐστιν ἐν αὐτοῖς. τοῦτο δὲ ἔν τισι τῶν ἀντιγράφων «μετά σφισιν» ἐγκλιτικῶς γράφεται.] (v. 369) Ὅτι ἐξελεῖν καὶ ἐξελέσθαι παρὰ τῷ ποιητῇ τὸ ἐπιλέξασθαι καὶ δοῦναί τι ὡς ἐξαίρετον· αἱρεῖν γὰρ καὶ ἑλεῖν ἐπὶ τῆς αὐτῆς ἐννοίας λαμβάνονται· ὅθεν καὶ συνθέτως ἐξαιρεῖν καὶ ἐξελεῖν ταὐτὰ νοοῦνται καί, εἴπερ ἦν ἐν χρήσει, ὥσπερ τὸ ἐξαίρετον, οὕτω καὶ τὸ ἐξέλετον, οὐκ ἂν ἦν ἔξω ἀναλογίας ἡ παραγωγή. νῦν δὲ τὸ μὲν ἐξέλετον ἄχρηστόν ἐστι, τὸ δὲ ἐξελεῖν ἔστι παρὰ τῷ ποιητῇ, καθ' ὃ ἐξεῖλον Ἀχαιοὶ τὴν Χρυσηΐδα τῷ βασιλεῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.186 ἐξελεῖν δέ ποτε λέγεται καὶ τὸ ἐκβαλεῖν καὶ ἀπολέσαι καὶ ὑπεξελεῖν τὸ εἰς μέρος θεῖναι. τοῦτο δὲ καὶ ἐξαιρεῖν ὀνομάζεται, ὅθεν ἐξαίρεσιν λίθου φησί που Ἡρόδοτος. (v. 370 ss.) Ὅτι ἐνταῦθα ὁ ποιητὴς σχήματι ἀνακεφαλαιώσεως χρῆται διὰ τοῦ Ἀχιλλέως ἐπαναλαμβάνων τὰ πρὸ μικροῦ ἱστορηθέντα εἰς ἀνάμνησιν τοῦ ἀκροατοῦ· ἅπερ εἰσὶν ἡ τοῦ Χρύσου ἱκετεία, ἡ τῶν δώρων προβολή, ὁ τῶν Ἀχαιῶν ἐπευφημισμός, ἡ τοῦ βασιλέως ἀπειλή, ἡ τοῦ Ἀπόλλωνος μῆνις, ἡ τοῦ Κάλχαντος μαντεία, ὁ χόλος τοῦ βασιλέως, ἡ τῆς Χρυσηΐδος ἀποστολὴ καὶ ἡ τῆς Βρισηΐδος ἀφαίρεσις. Ἰστέον δὲ ὅτι ἕως μὲν τῆς τοῦ Ἀγαμέμνονος ἀπειλῆς αὐτοὺς ἐκείνους ξηροὺς ἔθετο τοὺς στίχους ὁ ποιητὴς παλιλλογῶν, οὓς ἐν τοῖς φθάσασιν ἔγραψε, διδάσκων, ὡς καὶ ἐν ἄλλοις μυρίοις, ὅτι ἐν πολλοῖς ἔξεστι τῷ ῥητορεύοντι ἀνεπιλήπτως ταὐτολογεῖν καὶ μὴ τὰ καλῶς ῥηθέντα παρακινεῖν μηδὲ κόπους ἑαυτῷ παρέχειν ἐν κενοῖς μηδενὸς κατεπείγοντος μηδὲ μελετᾶν ἀγωνιᾶν εἰσαεί. τὰ μέντοι ἐφεξῆς ἄλλαις λέξεσι καὶ σχήμασιν ἐπιτέμνει ἐπιτροχάδην ἀνακεφαλαιούμενος καὶ διδασκαλίαν ἑτέραν ταύτην ἀνακεφαλαιώσεως ὑποτιθείς, ἐν ᾗ τὰ μακρότερον προδιηγηθέντα ἐπιτετμημένως προάγονται. καὶ τοίνυν ἐν τῇ τοιαύτῃ ἐπιτρόχῳ ἀνακεφαλαιώσει εὔξασθαι μὲν τὸν Χρύσην φησί, τὸν Ἀπόλλωνα δὲ ὑπακοῦσαι καὶ τοὺς Ἀχαιοὺς πυκνοὺς θνῄσκειν καὶ τὸν μάντιν εὖ εἰδότα θεοπροπίας εἰπεῖν καὶ τὰ ἑξῆς. οὔτε δὲ ὁποία τις ἦν ἡ εὐχὴ λέγει οὔτε τὴν τοῦ Ἀπόλλωνος μῆνιν ἐκφράζει οὔτε τοὺς τοῦ Κάλχαντος λόγους φράζει οὔτε ἄλλο διασκευάζει οὐδέν, ἀλλ' ἐπιτρέχει μόνα τῶν προϊστορηθέντων τὰ καιριώτατα. ὥστε ἔχομεν ἐνταῦθα δύο τρόπους ἀνακεφαλαιώσεων, ἕνα μὲν τὸν αὐτὰ ἐκεῖνα ξηρὰ τὰ προλεχθέντα πάντα φράζοντα, ἕτερον δὲ τὸν ἐπιδρομάδην τοῖς καιρίοις μόνοις ἐπεξιόντα. (v. 387 s.) Ὅτι Ἀχιλλεὺς ὑψῶν ῥητορικῶς τὴν εἰς αὐτὸν βασιλικὴν ἀδικίαν ἀσεβείας τὸν Ἀγαμέμνονα γράφεται, εἴγε, ὡς πρὸς τὴν μητέρα φησίν, αὐτὸς μὲν ἐκέλευε θεὸν ἱλάσκεσθαι, τὸν δὲ Ἀτρείδην διὰ τοῦτο χόλος ἔλαβεν. [ἐκέλευσε δὲ τὸ ῥηθὲν Ἀχιλλεὺς ἐν τῷ «ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῷ πρόες». (v. 388) Ὅτι σφοδρὰν ἐπεξέλευσιν φράζει τὸ «αἶψα δ' ἀναστὰς ἠπείλησε μῦθον, ὁ δὴ τετελεσμένος ἐστίν» ἤγουν ὃς δὴ τετέλεσται.] (v. 389) Ὅτι ἑλίκωπες Ἀχαιοὶ οὐ μόνον, ὡς εἴρηται, οἱ τὰς κώπας ἑλίσσοντες ἢ τοὺς τῶν ὁρώντων ὀφθαλμοὺς ἑλίσσοντες ἐπ' αὐτούς, ὡς καὶ εἶδος ἀγητοὶ ὄντες, ὅ ἐστι θαυμαστοί, ἀλλὰ καὶ οἱ τὴν ὄψιν γοργοὶ καὶ συχνὰ τοὺς ὦπας ἑλίσσοντες, ὅποι δέον ἐστί, καὶ μὴ νωθροί· ἢ οἱ πρὸς τὴν Ἑλίκην, τὴν μεγάλην ἄρκτον, ὡς καὶ τοῦτο ἐρρέθη, βλέποντες ἐν τῷ πλέειν· πρὸς ταύτην γὰρ Ἕλληνες ἐναυτίλλοντο.

1.187 τὸ δὲ πρὸς τὴν ἑτέραν ἄρκτον τὴν μικράν, τὴν Κυνόσουραν, πλέειν Φοινίκων ὕστερον εὕρημα. τὸ δὲ λέγειν ἑλίκωπας τοὺς μελανοφθάλμους οὐκ ἀρέσκει τοῖς παλαιοῖς· φασὶ γὰρ κόραις μᾶλλον πρέπειν τὸ ἐπίθετον, ὡς προείρηται. (v. 390) Ὅτι ὥσπερ τὸ στέλλειν, ἀφ' οὗ ὁ στόλος, οὕτω καὶ τὸ πέμπειν, ἐξ οὗ καὶ ὁ πομπίλος ἰχθύς, οἰκεῖον ἐπὶ θαλάσσης, οἷον· «τὴν μὲν σὺν νηῒ εἰς Χρύσην πέμπουσι». καὶ ἐν ἄλλοις δὲ μυριαχοῦ τοῦτο φανεῖται. Τὸ δέ «εἰς Χρύσην» δύναται καὶ ἀρσενικῶς νοηθῆναι εἰς τὸν πατέρα Χρύσην καὶ θηλυκῶς εἰς τὴν Χρύσην πόλιν. (v. 391) [Ὅτι κατὰ μόνας μὲν ὁ Ἀχιλλεὺς λαλῶν εἶπεν, ὡς ἑλὼν ὁ βασιλεὺς ἔχει γέρας, τὴν τοῦ Βρισέως δηλαδή, αὐτὸς ἀπούρας, ὅ ἐστιν ἀφορίσας, ἐκ τοῦ Ἀχιλλέως· ἐνταῦθα δὲ κατὰ πρόσωπον ὁμιλῶν τῇ μητρὶ αὐτὸ λέγει τὸ πραχθὲν ἤγουν, ὅτι νέον αὐτὴν κλισίηθεν ἔβαν κήρυκες ἄγοντες.] (v. 392) Ὅτι Ὁμήρου εἰπόντος κούρην Βρισῆος παρασημειοῦνται καὶ ἐντεῦθεν οἱ παλαιοὶ πατρωνυμικῶς ἐσχηματίσθαι καὶ τὴν Χρυσηΐδα καὶ τὴν Βρισηΐδα, λέγοντες κύρια εἶναι ταύταις ὀνόματα τὰ προρρηθέντα. τὸ δὲ σχῆμα καλοῦσιν ἀντονομασίαν· ἀντὶ γὰρ τοῦ εἰπεῖν τὸ κύριον ὄνομα τῆς γυναικὸς κούρην Βρισῆος εἶπεν αὐτήν. ἐνταῦθα δὲ σημείωσαι, ὅτι καθ' ὁμοιότητα τῆς ἀντωνυμίας εἶπον ἀντονομασίαν τὸ ῥηθὲν σχῆμα οἱ παλαιοί· ἀντονομάζουσι γὰρ καὶ τοῦτο καὶ ἡ ἀντωνυμία, πλὴν ἡ μὲν ἀντωνυμία ἐν μιᾷ λέξει ὡς μέρος λόγου, ἡ δὲ ἀντονομασία ἐν δύο, ποτὲ δὲ καὶ πλείοσι· σχῆμα γάρ ἐστι. (v. 393) Ὅτι ὁ ἀξιῶν τινα βοηθῆσαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸς δύναμιν εἴποι ἂν τὸ «ἀλλὰ σύ, εἰ δύνασαί γε, περίσχεο», ἤγουν βοήθησον, περισσῶς ἀντίσχου. [τούτου δὲ ὁ κοινὸς ἐνεστὼς ἀντέχου ἐστίν. Ἰστέον δὲ ὅτι ἐν τῷ «ἀντίσχεο παιδὸς ἑῆος» τὸ ἑῆος ἢ ἀπὸ τοῦ ἑός, ὁ ἴδιος, γίνεται ἑῢς καὶ ἐκτάσει τοῦ ε ἠΰς, γενικὴ ἠέος καὶ μεταθέσει ἑῆος· ἢ καὶ ἄλλως ἀπὸ τοῦ εὖ ἐΰς, ὁ ἀγαθός, καὶ τὰ λοιπὰ καθ' ὁμοίαν ἀγωγήν· ἢ καὶ παρὰ τὸ ἥδω, τὸ εὐφραίνω, ἡδὺς καὶ ἀποβολῇ τοῦ δ ἡῢς καὶ τὰ ἄλλα ὁμοίως τοῖς ἀνωτέρω· ἢ παρὰ τὸ ἕω, τὸ ἀπολαύω, ἑΰς, καὶ τροπῇ τοῦ ε κατὰ τὴν εἰρημένην ὁμοιότητα τὰ ἑξῆς· ἢ καὶ ὡς πνίγω πνιγεύς, οὕτως ἕω ἑεύς, ὅθεν Ἰωνικὴ γενικὴ ἑῆος.] (v. 394 s.) Ὅτι ἀξιοῖ ὁ ποιητὴς μεμνῆσθαι ἡμᾶς χαρίτων, εἴ ποθεν ἢ λόγῳ ἢ ἔργῳ ὄνησιν σχοίημεν ἔκ τινος.

1.188 διὸ καὶ ἡ Θέτις Ἀχιλλέως ὑποθεμένου ἀναμνήσει τὸν Δία παλαιᾶς εὐεργεσίας καὶ ἀντ' αὐτῆς αἰτήσεται τιμὴν τῷ υἱῷ, εὖ ποιήσασά ποτε τὸν Δία καὶ αὐτὴ κατὰ τὸν μῦθον καὶ ἔπει καὶ ἔργῳ· ἔπει μέν, ὅτε τὴν ἐπιβουλὴν ἐμήνυσε τῷ Διΐ· ἔργῳ δέ, ὅτε τὸν ῥηθησόμενον Βριάρεων ἀνήγαγε συμμαχήσοντα. [Τὸν δὲ Δία ἐνταῦθα περιφράζων «κραδίην Διός» λέγει, οἷον «εἴ ποτε δή τι ἢ ἔπει ὤνησας κραδίην Διὸς ἠὲ καὶ ἔργῳ».] (v. 396) Ὅτι ἦθος ὑπογράφει γυναικεῖον ὁ ποιητὴς ἐν τῇ διηγήσει τοῦ «πολλάκι γάρ σου ἤκουσα εὐχομένης ἀμῦναι τῷ κελαινεφέϊ Διΐ». ἔθος γὰρ γυναιξίν, εἴ που ἅπαξ καλόν τι ἐνδείξονται, συνεχῶς αὐχεῖν καὶ μεμνῆσθαι αὐτοῦ καὶ τῷ κατορθωθέντι ἐναγλαΐζεσθαι. ἀνὴρ μέντοι γελοῖός ἐστιν, εἰ τοῦτο πάσχοι. αἴτιον δὲ ὅτι γυναιξὶ σπάνιον τὸ κατορθοῦν. διὸ κἄν τι καταπράξωνται εἰσάπαξ μέγα, φέρουσιν ἀεὶ ἐπὶ στόματος τὸ καινὸν τοῦ πράγματος· ἀνὴρ δὲ οὐκ ἀγαπᾷ ἑνὸς ἀγαθοῦ εὐστοχήσας. διὸ καὶ ἡ κωμῳδία πολλὰ καταπαίζει Κλέωνος ἑνὶ καὶ μόνῳ βρενθυομένου τῷ κατὰ Πύλον ἀριστεύματι. καὶ ἡ παροιμία δὲ μῶκον ἔχει κατὰ τοιούτου ἀνδρὸς ἐν τῷ «σαυτὴν ἐπαινεῖς ὥσπερ Ἀστυδάμας, γύναι», ὡς τοῦ Ἀστυδάμαντος γυναικιζομένου ἐν τῷ ἀπρεπῶς περιαυτολογεῖν. ἐὰν δὲ καὶ Ὀδυσσέα μιᾶς πόλεως ἅλωσις σεμνύνῃ, ἀλλ' οὔτε προφέρει τοῦτο ἐκεῖνος καυχώμενος καὶ ἄλλως δέ, ὡς ἐν τῇ βῆτα ῥαψῳδίᾳ ὁ ποιητὴς ἐρεῖ, μυρία ἔοργεν ἀγαθὰ Ὀδυσσεὺς καὶ οὐ τῷ ἑνὶ μόνῳ τούτῳ σεμνύνεται οὐδὲ πολλάκις αὐτῷ ἐναβρύνεται. [Νέστορι δὲ οὐδ' αὐτῷ νέμεσις ἐλλαμπομένῳ ἄλλοτε ἄλλως τοῖς ὑπὲρ ἑαυτοῦ λόγοις καὶ οὕτω χορηγοῦντι ἀγαθὰς ὕλας τῷ ποιητῇ ἐς τὸ γράφειν δίχα γε τοῦ ἀδολεσχεῖν ταὐτολογικῶς.] Τὸ δὲ πολλάκι ἀποβολὴν ἔπαθε τοῦ ς , ὡς καὶ τὸ πλειστάκι καὶ τοσαυτάκι καὶ δηθάκι καὶ τὰ ὅμοια. καὶ ἔστι μεταπλασμός τις καὶ τοῦτο ἐπιρρηματικός. τελικὸν γὰρ ἐπιρρημάτων ὥσπερ τὸ ις βαρύτονον, οἷον πολλάκις, δηθάκις, οὕτω καὶ τὸ ι , οἷον αὐτόθι, κεῖθι, ὅθι· πρὸς ἃ μεταπέπλασται τὸ πολλάκι καὶ τὰ κατ' αὐτό, καθάπερ καὶ τὸ χῶρι· χωρὶς μὲν γὰρ ὀξύνεται, ὡς τὸ λικριφίς· ἐκπεσὸν δὲ τοῦ ς εἰς τὴν ἀναλογίαν τῶν ῥηθέντων εἰς ι ἐπιρρημάτων ἀπηυτομόλησε. (v. 397) Ζεὺς δὲ κελαινεφὴς παρὰ τὸ κελαινὸς φαίνεσθαι· τοιοῦτος γὰρ ὁ ἀήρ. ἐντεῦθεν δὲ καὶ αἷμά που ἐρεῖ κελαινεφές. ἢ παρὰ τὸ κελαίνεσθαι καὶ νείφειν, οἱονεὶ κελαινονεφής· ἢ παρὰ τὸ κελαίνεσθαι νέφεσι· νεφεληγερέτης γάρ. εἰ δὲ εἰς νοῦν ἀλληγορεῖται, τότε κάλλιόν ἐστιν εἰπεῖν αὐτὸν κελαινὸν μὲν διὰ τὸ βαθύ, φαεινὸν δὲ διὰ τὸ φύσει φωσφόρον. (v. 396 ss.) Ἰστέον δὲ ὅτι τῶν διηγήσεων αἱ μέν εἰσιν ὁμιλητικαὶ κατὰ τοὺς παλαιούς, ὅτε τις δηλαδὴ ἀκούσας ποτὲ ἀπό τινός τι αὐτῷ ἐκείνῳ διηγεῖται τῷ εἰπόντι τὸ προακουσθέν· αἱ δὲ ἀπαγγελτικαί, ἤγουν ὅταν τις κελευσθεὶς ἀγγείλῃ τὸ παρ' ἑτέρου ἐπιταχθέν· αἱ δὲ ὑποστατικαί, ὅταν τις οἴκοθεν ἀφηγῆταί τι παρ' ἑαυτοῦ ἢ παρ' ἑτέρου πραχθέν, ὡς πολλαχοῦ ὁ Νέστωρ ποιεῖ.

1.189 ἐνταῦθα δὲ ὁ Ἀχιλλεὺς ὁμιλητικὴν ἐκτίθεται διήγησιν ἐκεῖνα λέγων τῇ μητρί, ἅπερ ἤκουσεν ἀπ' αὐτῆς· φησὶ γὰρ «πολλάκις ἤκουσά σου ἐν μεγάροις πατρὸς λεγούσης τάδε». (v. 399 s.) Ὅτι ὥσπερ τἆλλα παρὰ τοῖς ποιηταῖς ἀνθρωποπαθὲς τὸ δαιμόνιον φῦλον, οὕτω δὴ καὶ κατὰ τὴν βασιλείαν· αὐστηρὸς γὰρ ὢν ὁ Ζεὺς ἔχει τοὺς τυραννιῶντας καὶ ἐπανισταμένους. φησὶ γοῦν ὁ μῦθος, ὅτι συνδῆσαι τὸν Δία ἤθελον Ἥρη τε καὶ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη· ἡ μὲν Ἥρα κατὰ τοὺς μυθικοὺς διὰ ζηλοτυπίαν, ἐπεὶ παρευδοκιμούμενος αὐτὴν παρηνόμει περὶ τὴν εὐνὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολλαῖς ἀναχρωνύμενος γυναιξίν· ὁ δὲ Ποσειδῶν διὰ τὸ τῆς μερίδος ἑτερόζηλον· Ζεὺς μὲν γὰρ εἶχε τὰ περὶ οὐρανόν, Ποσειδῶνι δὲ τὰ περὶ θάλασσαν ἔλαχεν· ἡ Ἀθηνᾶ δέ, διότι αὐτὴν ἀφῆκε βιασθῆναι ὑπὸ Ἡφαίστου, ὁπηνίκα τῆς κεφαλῆς αὐτοῦ γεννηθεῖσα τελεία προέκυψε. τινὰ δὲ τῶν ἀντιγράφων ἀντὶ τοῦ «καὶ Παλλὰς Ἀθήνη» γράφουσι «καὶ Φοῖβος Ἀπόλλων». ἄτοπον γάρ φασιν ἐπιθέσθαι τῷ πατρὶ Διῒ τὴν οὕτω πάνυ στεργομένην Ἀθηνᾶν· τὸν δέ γε Ἀπόλλωνα εὐλόγως τῷ Διῒ μηνίειν ὡς θητεῦσαι παραχωρήσαντι καὶ δι’ ἄλλας αἰτίας, ἃς οἱ μυθογράφοι φασίν. (v. 401—4) Οἱ σὺν Ὁμήρῳ λέγουσι καί, ὅτι Θέτις ἐλθοῦσα τότε ὑπελύσατο ἤτοι λεληθότως ἐρρύσατο τοῦ δεσμοῦ τὸν Δία καλέσασα τὸν ἑκατόγχειρον εἰς Ὄλυμπον, «ὃν Βριάρεων καλέουσι», φησί, «θεοί, ἄνδρες δέ τε πάντες Αἰγαίωνα», ὃν καί φασι τοῦ οἰκείου πατρὸς Ποσειδῶνος ἀμείνονα τῇ βίᾳ εἶναι· ὃν καὶ δείσαντες οἱ θεοὶ οὐκ ἔδησαν τὸν Δία. καὶ ταῦτα μὲν τὰ τοῦ μύθου, ᾧ χρᾶται ὁ Ὁμηρικὸς Ἀχιλλεὺς λέγων ἐπιβουλὴν μὲν τὸν Δία παθεῖν ὑπὸ Ἥρας καὶ Ποσειδῶνος καὶ Ἀθηνᾶς τῶν τοῖς Ἀχαιοῖς ἄρτι βοηθούντων, μεῖναι δὲ ὅμως αὐτὸν ἀβλαβῆ διὰ τὴν τοῦ ἑκατόγχειρος Βριάρεω συμμαχίαν συνεπιλαμβανομένης τῆς Θέτιδος. ἔνθα καὶ ὅρα τὴν τοῦ νεανίου ῥήτορος δεινότητα, ὃς ἐπίτηδες θαρρύνων τὴν Θέτιν ἐπιβούλους μὲν κατέλεξε τοῦ Διὸς Ἥραν καὶ Ποσειδῶνα καὶ Ἀθηνᾶν τοὺς βοηθοῦντας τοῖς Ἀχαιοῖς, σώτειραν δὲ Διὸς τὴν Θέτιν ἔδειξεν, ὡς δέον εἶναι τὸν Δία ταύτῃ βοηθῆσαι, εἰς ἃ θέλει, ἤπερ τοῖς ποτε ἐπιβούλοις· ὃ καὶ γίνεται. διὸ κἂν ἡ Ἥρα ἐναντιωθῇ, ἀνύσει οὐδέν. Ἡ δὲ ἀλληγορία Ἥραν μὲν καὶ ἐνταῦθα τὸν ἀέρα νοεῖ, Ποσειδῶνα δὲ τὸ στοιχεῖον τοῦ ὕδατος, Ἀθηνᾶν δὲ τὴν γῆν, ὡς ἀπὸ τοῦ ἀνθεῖν, καὶ διότι, φασίν, ἐργάνη μὲν Ἀθηνᾶ λέγεται, γῆς δὲ τὸ ἐργάζεσθαι· Δία δέ φησι τὸν ὑπερκείμενον πάντων αἰθέρα· Θέτιν δὲ τὴν τοῦ παντὸς θέσιν, ταὐτὸν ἄμφω ἡγούμενοι τήν τε Θέτιν καὶ τὴν θέσιν, ὥσπερ καὶ φάτιν καὶ φάσιν· Βριάρεων δὲ ἑκατόγχειρα τὸν ἥλιον, ὃς πολλαῖς οἷον χερσὶ κατεργάζεται τὰ ὑφ’ ἥλιον. καὶ ἔχει μὲν ὁ λόγος οὗτος ὁ περὶ Βριάρεω καὶ ἄλλως τὸ πιθανόν· βοηθεῖται δὲ καὶ ὑπὸ τῆς ῥοδοδακτύλου Ἠοῦς.

1.190 ἐὰν γὰρ διὰ τὸν ἥλιον καὶ τὰς αὐτόθεν ἀκτῖνας δάκτυλοι τῇ ἡμέρᾳ πλάττωνται, λέγοιτ’ ἂν καὶ αὐτὸς ὁ ἥλιος οὐκ ἀπιθάνως χεῖρας ἔχειν καὶ ταύτας ἑκατόν, ὅ ἐστι πολλάς. τῶν τοίνυν ῥηθέντων προσώπων οὕτω κατ’ ἀλληγορίαν ἐκλαμβανομένων ἡ τοῦ ῥηθέντος μύθου θεραπεία οὕτω πως διατίθεται, εἰπεῖν συντομώτατα, ὡς οὐδὲν ἂν ἐκώλυε τὸν αἰθέρα Δία καταστασιασθῆναι ὑπὸ τῶν λοιπῶν στοιχείων καὶ ἄνω κάτω πάντα γενέσθαι καὶ σύγχυσιν τὸ σύμπαν παθεῖν, εἰ μὴ Θέτις, τουτέστιν ἡ τοῦ παντὸς κατὰ φύσιν θέσις, μένειν αὐτὰ κατὰ χώραν ἐποίησε διὰ μέσου τοῦ ἑκατόγχειρος τουτέστι τοῦ ἡλίου, ὃς καὶ αὐτὸς θέσιν ἔχων τὴν πρέπουσαν καταλλάττειν οἶδε τὴν στάσιν καὶ τὰ μέγιστα τῇ τοῦ παντὸς διευθετήσει συμβάλλεται. Ἰστέον δὲ ὅτι ἡ τοιαύτη ἀλληγορία οὐ συμβιβάζεται πρὸς τὰ Τρωϊκά. καὶ εἰκότως. τῶν γὰρ μύθων, ὅσοι τῷ Τρωϊκῷ πολέμῳ σύγχρονοι, θεραπεύοιντο ἂν πρὸς τὰ Τρωϊκά. ὅσοι δὲ παλαιγενεῖς καὶ πρὸ αὐτοῦ Ὁμήρου τεθέντες, εἰ καὶ ἀλληγοροῖντο, ἀλλ’ οὐδὲν αὐτοῖς μετέσται τοῦ Τρωϊκοῦ πολέμου. Τινὲς δὲ καὶ οὕτω τὸν τοιοῦτον μῦθον θεραπεύουσιν Ἥραν μὲν καὶ Ποσειδῶνα τὸν ἀέρα καὶ τὸ ὕδωρ νοοῦντες, Ἀθηνᾶν δὲ τὸ αἰθέριον πῦρ διὰ τὸ τῆς χροιᾶς, φασίν, ἄνθος οὕτως ὀνομαζομένην, ὥσπερ καὶ Παλλάδα διὰ τὸ εὐκίνητον· Δία δὲ τὸν θεῖον νοῦν, τὴν ψυχὴν τοῦ παντός· Θέτιν δὲ τὴν τῶν ὅλων διάθεσίν τε καὶ διακόσμησιν. ἑκατόγχειρον δὲ καὶ Βριάρεων τὴν τῆς τοιαύτης διακοσμήσεως βριαρὰν ἀνάγκην τε καὶ ἰσχύν, ἥτις διάθεσις καὶ ὅστις Βριάρεως τὰ τοιαῦτα στοιχεῖα διὰ τὸ τῆς ὕλης ἄτακτον κατεπιχειρεῖν θέλοντα τοῦ Διὸς καὶ οἷον ἐπικρατεῖν ἔπαυσαν τοῦ ἐγχειρήματος. ἄλλοι δὲ τῇ τοῦ Ζηνοδότου γραφῇ στοιχοῦντες τῇ λεγούσῃ «Ἥρη τε καὶ Ποσειδάων καὶ Φοῖβος Ἀπόλλων» καὶ Ἥραν μὲν καὶ Ποσειδῶνα καὶ Ἀπόλλωνα συνήθως ἀέρα νοήσαντες καὶ ὕδωρ καὶ ἥλιον, εἶτα δὴ τὸν Αἰγαίωνα εἰς αἰῶνά τινα καὶ χρόνον ἀλληγοροῦντες, ἑκατόγχειρον δὲ τὴν ἐν τῷ αἰῶνι τῶν ἔργων πολυχειρίαν νοοῦντες, τὸν δὲ Δία ἤτοι Ζῆνα εἰς τὸ ζῆν ἐκλαμβάνοντες, συμβιβάζουσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὕτω τὸν μῦθον· ὅτι κίνδυνος ἦν μὴ ζῆν τοὺς περὶ γῆν, ἀλλὰ ἀπολέσθαι τὸν ζωτικὸν Δία συνδεθέντα ὥσπερ τῇ τῆς στοιχειακῆς ὕλης ἀταξίᾳ, εἰ μὴ φυσική τις θέσις ἦν τοῖς στοιχείοις καὶ αἰὼν ἤτοι χρόνος παρήχθη καὶ χειρῶν ἐργασία ἐπετηδεύθη καὶ κίνησις ἡλίου ἐκολάσθη τῇ τῆς κινήσεως ἀντιστρόφῳ φορᾷ. καὶ σημείωσαι οἷον ὁ ἑκατόγχειρ ἐνταῦθα· ἔχεις γὰρ ἐντεῦθεν ἐγκώμιον ἐργατικῆς πολυχειρίας πορίσασθαι. καὶ τοιαῦτα μέν τινα οἱ ἀλληγορηταί. ἡ δὲ ἱστορία λόφον τινὰ οἶδεν Αἰγαίωνος περὶ τὴν Ἀσίαν, ἐξ οὗ πηγαί τινες ἑκατὸν ἀναπιδύουσαι, ἤτοι πολλαὶ ἢ αὐτὸ τοῦτο ἑκατόν, καὶ τὰ ἐκεῖ πεδία λιπαίνουσαι τὴν τοῦ ἑκατόγχειρος μυθολογίαν παρήγαγον. φησὶ γὰρ ἡ τοῦ Ἀρριανοῦ ἱστορία, ὅτι Βριάρεως, γῆς καὶ οὐρανοῦ παῖς, θαλαττοκρατήσας ὁρμητηρίῳ ἐχρήσατο Εὐβοίᾳ τῇ νήσῳ κἀκεῖθεν ὁρμώμενος κατεστρέψατο τὰς Κυκλάδας, ὃς καὶ Αἰγαίων ὠνόμασται ὑπὸ τῶν ἀνθρώπων. οὗτος δὲ καὶ αἰτίαν παρασχεῖν λέγεται τῷ Αἰγαίῳ πελάγει εἰς ἐπωνυμίαν. σῆμα δὲ αὐτοῦ δείκνυσθαι κατὰ τὸν Ῥυνδακὸν ποταμὸν οὐ πόρρω θαλάσσης λόφον τινὰ καὶ τοῦτον ἐπικαλεῖσθαι Αἰγαίωνος καὶ ἀπὸ τοῦ λόφου τούτου πίδακας ἐκδιδόναι ἑκατὸν καὶ ταύτας καλεῖσθαι παλάμας Βριάρεω.

1.191 Ἰστέον δὲ ὅτι, ὥσπερ ἑκατογκέφαλον τὸν Τυφῶνα ὁ μῦθος, οὕτω καὶ τὸν Αἰγαίωνα ἑκατόγχειρον ἔπλασε. καὶ ἔστι καθ' ἱστορίαν ἐκεῖνο μὲν περινοίας ἀρχικῆς σύμβολον καὶ τοῦ πολλὰ δοκεῖν τὸν Τυφῶνα φρονεῖν, τοῦτο δὲ τοῦ πολλὰ πράττειν αἴνιγμά ἐστιν. ὅθεν καὶ ὁ πολυμήχανος Ἀρχιμήδης μιᾷ προσβολῇ πολλὰ βέλη ἀφιεὶς ἑκατόγχειρ πρὸς τῶν βαλλομένων ἐκλήθη. [καὶ ἄλλως δὲ φράσαι εἴη ἂν ἑκατόγχειρ ὁ πολύχειρ ἢ πράξεσιν ἢ πλήθει στρατοῦ ἢ μηχαναῖς. ἡ δ' ἐν τοιούτοις δραστηριότης ὀξυλάβεια ἔργων λέγεται.] τὸ δὲ ἑκατόγχειρον ἀπὸ γενικῆς ἐστι τῆς τοῦ ἑκατόγχειρος, ἥτις εἰς εὐθεῖαν ἀναδραμοῦσα παρήγαγε τὸν ἑκατόγχειρον. (v. 402 s.) Ὅρα δὲ ὅπως, ὡς ἐν ἀνθρώποις εἰσὶ πολλάκις παῖδες οὐχ' ὅμοιοι ἤγουν ὁμονοητικοὶ τῷ πατρί, οὕτως οὐδὲ ὁ μυθικὸς Βριάρεως φίλα φρονεῖ τῷ πατρὶ ἢ Κρόνῳ ὄντι κατὰ τὸν Ἀρριανὸν ἢ Ποσειδῶνι κατά τινας, ἀλλὰ καταβραβεύει αὐτόν, ὥς φασιν οἱ παλαιοί, τοῦ φυσικοῦ θεσμοῦ προθέμενος τὸ δίκαιον. οὕτω καὶ ἐν μύθοις φαντάζει ὁ ποιητὴς τά τε ὑψηλότερα καὶ τὰ ἀνθρώπινα δέ, φιλοσοφῶν ἀμφοτέρωθεν. τριώνυμος δὲ ὁ τοῦ Διὸς οὗτος ἐκδικητὴς Βριάρεώς τε καλούμενος καὶ Αἰγαίων καὶ ἑκατόγχειρ εἴτ' οὖν ἑκατόγχειρος. Ὅρα δὲ καὶ τὴν ἐμβρίθειαν καὶ σεμνότητα τοῦ λόγου· δυνάμενος γὰρ ὁ ποιητὴς ἐγγυτάτω παραθεῖναι δύο εὐθείας τὸ «κύδεϊ γαίων» καὶ τὸ «Αἰγαίων» καὶ οὕτως ἐπαναστροφὴν ἢ παρήχησιν αὐθαδεστέραν ποιῆσαι ῥητορικήν, οἷον «Αἰγαίων γαίων κύδεϊ» ἢ ἄλλως πως, ὁ δὲ οὐκ ἐποίησεν οὕτως, οἷα μὴ θέλων ἄκαρπον ἄνθος γραφῆς ἐνθεῖναι τῇ ποιήσει παρὰ καιρὸν καὶ ἀμεθόδως καλλωπίσαι τὸν λόγον. οὐ γὰρ ἔδει ποιῆσαι τοιαῦτα παίζειν πενθοῦντα τὸν Ἀχιλλέα. Ἰστέον δὲ ὅτι αἰθέρος, ὡς ἀνωτέρω ἐρρέθη, νοηθείσης τῆς Ἀθηνᾶς, προσεθεώρησάν τινες ἀκολούθως καὶ ταῦτα· κορυφῆς μὲν αὐτὴν ἐκγενέσθαι Διὸς διὰ τὸ δοκεῖν αἰθέρα τὸν ὑψηλότατον εἶναι ἀέρα, παρθένον δὲ διατελεῖν διὰ τὸ ἁγνὸν τοῦ τοιούτου ἀέρος, γλαυκῶπιν δὲ καλεῖσθαι διὰ τὸ τοῦ στοιχείου ἔγγλαυκον καὶ φωσφόρον διὰ τὸ διαφανές. Ὅτι, ὡς καὶ ἐν τοῖς ἑξῆς πολλαχοῦ φαίνεται, σκληρὸν ὁ μῦθος τὸ τῆς Ἥρας ἦθος πλάττει ἀντικαθισταμένης ἀεὶ τῷ Διΐ. ποιεῖ δὲ ὁ ποιητὴς τοῦτο λαβὼν ἀφορμὰς ἐκ τοῦ προρρηθέντος παλαιτάτου μύθου. σκοπητέον γάρ, ὡς εἰκός, οἵα κακοτροπία γυναικὸς βουλευσαμένης τυραννίδα τῷ ἀνδρί. ἔχει δὲ τὰς ἀρχὰς ὁ μῦθος ἐκ τῆς φυσικῆς ἀληθείας. τῷ ὄντι γὰρ τῇ Ἥρᾳ πρὸς τὸν Δία, ὅ ἐστι τῷ ἀέρι πρὸς τὸν αἰθέρα, οὐ μόνον στοργή τις ὕπεστι κατὰ τὴν κοινὴν ἀμφοῖν ποιότητα τῆς θερμότητος, ἀλλὰ καὶ μάχη καὶ διάστασις ἀσύμβατος κατὰ τὴν ἀεὶ ξηρότητα καὶ ὑγρότητα· ξηρὸς μὲν γὰρ ὁ αἰθήρ, ὑγρὸς δὲ ὁ ἀήρ. (v. 403 s.) Ὅτι πολλά εἰσι διώνυμα παρὰ τῷ ποιητῇ τουτέστι δυσὶν ὀνόμασι καλούμενα· καὶ τῶν τοιούτων ὀνομάτων τὸ μὲν ὁ ποιητὴς εἰς θεοὺς ἀναφέρει, τὸ δὲ ἀνθρώποις ἀπονέμει δηλῶν, ὅτι μουσοτραφὴς ὢν οἶδε καὶ τὰ θεῖα καὶ τῆς τῶν θεῶν ἐπαΐει διαλέκτου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.192 παρασημειοῦνται δὲ οἱ παλαιοί, ὅτι τὸ μὲν ὅλως κρεῖττον τῶν ὀνομάτων θεοῖς δίδωσιν ἡ ποίησις ὡς θειότερον, τὸ δὲ μὴ τοιοῦτον ἀνθρώποις· ὥσπερ ἐνταῦθα τὸ Βριάρεως εὐγενέστερον τοῦ Αἰγαίων ἐστὶ καὶ σεμνότερον, ἔτι δὲ καὶ ὀγκηρότερον εἰς φωνήν. διὸ καὶ εἰς θεοὺς ὡς θεῖόν τι ἀνάγεται. οὕτω καὶ ἐν τοῖς ἑξῆς Ξάνθον μέν τινα ποταμὸν καλοῦσι θεοί, ἄνδρες δὲ Σκάμανδρον· καὶ ὄρνιν τινὰ θεοὶ μὲν χαλκίδα κικλήσκουσιν, ἄνδρες δὲ κύμινδιν· ἐν δὲ Ὀδυσσείᾳ τὸ μῶλυ θεοὶ μόνοι οὕτω καλοῦσιν, ἀνθρώποις δὲ οὔτε ἔγνωσται οὔτε ὠνόμασται. Ὅτι δὲ τρόπον τινὰ καὶ τριώνυμος ὁ Βριάρεως, πρὸ βραχέων εἴρηται. ἐξ ἀνθρώπων δὲ τῷ μύθῳ καὶ ἡ ῥηθεῖσα πολυωνυμία παρείλκυσται, παρ' οἷς ἄλλο μὲν ὄνομα οἰκειακόν, ἄλλο δὲ ἐν τοῖς ἐκτός, ὡς καὶ ἡ Ἀλκυόνη δηλοῖ ἐν τοῖς ἑξῆς, ἡ καὶ Μάρπησσα. Ἰστέον δὲ ὡς τὸν μυθικὸν Αἰγαίωνα ὁ Στωϊκὸς Ὅμηρος Ποσειδῶνος εἶναί φησιν. ὁ δὲ ποιητής φησι καί, ὅτι τοῦ πατρὸς ἀμείνων ἦν, ὅπερ σπάνιον κατὰ τὸν Ἡσίοδον λέγοντα· «παῦροι δέ τε πατρὸς ἀρείους». φασὶ δὲ οἱ παλαιοί, ὅτι Ζηνόδοτος ὁ ἀντὶ τοῦ «Παλλὰς Ἀθήνη» μεταγράψας «Φοῖβος Ἀπόλλων» καὶ ἐνταῦθα ἀντὶ τοῦ «οὗ πατρὸς ἀμείνων» γράφει «πολὺ φέρτερος ἁπάντων, ὁπόσοι ναίουσιν ὑπὸ Τάρταρα εὐρώεντα». ἀμελεῖται δὲ ὁ Ζηνόδοτος καὶ ἐν τούτῳ· οὐ γὰρ ἐκ τῶν ἀπὸ Ταρτάρου Τιτάνων ὁ Βριάρεως, ἀλλὰ δαίμων, φασί, θαλάσσιος. [Ὅτι δὲ τὸ Βριάρεως καὶ πεντασυλλάβως λέγεται Ὀβριάρεως, ἔστιν ἀλλαχοῦ γνῶναι.] Ὅτι τὴν μὲν τοῦ Αἰγαίωνος παρήχησιν ἐξέκλινεν, ὡς εἴρηται, ὁ ποιητὴς ἐν τῷ μὴ ὁμοιοπτώτως εἰπεῖν «Αἰγαίων κύδεϊ γαίων», ἀλλ' ἐν ἀρχῇ μὲν στίχου ἑνὸς εἰπεῖν Αἰγαίωνα, ἐν δὲ τέλει τοῦ ἑτέρου Αἰγαίων, αἰτιατικὴν δηλονότι καὶ εὐθεῖαν, εἰ καὶ ἄλλως ἡ ἔκθλιψις τοῦ α τῆς αἰτιατικῆς εἰς τρισυλλαβίαν συστείλασα τὸν Αἰγαίωνα ἔμφασιν δίδωσι παρηχήσεως. καὶ οὕτω μὲν οὐ καθαρῶς παρήχησεν ὁ ποιητὴς ἐν τῷ Αἰγαίωνι. ἐφεξῆς δ' ἑτέρᾳ παρηχήσει χρᾶται εἰπών, ὅτι τὸν Αἰγαίωνα ὑπέδδεισαν μάκαρες θεοὶ οὐδέ τ' ἔδησαν. τοῦτο δὲ πάνυ καινότροπον. διὸ καὶ σπάνιοι αἱ τοιαῦται πανταχοῦ παρηχήσεις. ὡς ἐπὶ τὸ πλεῖον γὰρ αἱ παρηχήσεις ἤγουν αἱ ταὐτὸν ἠχοῦσαι λέξεις διαφορὰν ἔχουσιν οὐ μόνον κατὰ τὴν σημασίαν ἀλλὰ καὶ κατὰ τὴν προφοράν, οἷον τὸ «Εὐπείθει πείθοντο» καὶ «κατὰ πεδίον Ἀλήϊον οἶος ἀλᾶτο πάτον ἀνθρώπων ἀλεείνων». τὸ δὲ πάντῃ ταὐτοφώνους εἶναι τὰς παρηχήσεις σπάνιον καὶ μεμετρημένον παρὰ τῷ ποιητῇ οἷον καὶ τὸ «χόλος δέ μιν ἄγριος ᾕρει», «Ἥρῃ δ' οὐ κέχαδε στῆθος χόλον».

1.193 τοιοῦτόν τι καὶ τὸ πρὸ ὀλίγου ῥηθὲν τὸ «ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον». καὶ γὰρ καὶ τὸ πίθεσθε μέσου ἀορίστου δευτέρου προστακτικοῦ πληθυντικοῦ καὶ τὸ πείθεσθαι ἀπαρέμφατον ἐν διαφόρῳ γραφῇ τὸν αὐτὸν ἦχον ἔχουσι. καὶ ἐν τοῖς ἑξῆς δὲ τὴν τῆς Ἥρας κλητικὴν διὰ τῶν δύο η καὶ τὴν τῆς Ἴριδος διὰ τῶν δύο ι ἐγγὺς ἀλλήλων τίθησι κατὰ τοιαύτην παρήχησιν παντελῶς μὲν ἠχοῦσαν ταὐτόν, ἀνομοιότητα δὲ ἔχουσαν κατά τε τὴν ἔννοιαν καὶ κατὰ τὴν γραφήν. φησὶ γάρ· «Ἶρι θεά, τίς γάρ σε προέηκε;» «Ἥρη με προέηκε». τούτου τοῦ εἴδους ἐστὶ καὶ τὸ «οὐκ ὀφθήσῃ κενὸς ἐναντίον μου, ἀλλ' ἄλλον τρόπον καινός». καὶ γὰρ καὶ ἐνταῦθα κενὸς μὲν καὶ καινὸς τὰ αὐτὰ κατὰ τὸν ἦχον ἀπαραλλάκτως εἰσί, πλὴν τὸ μὲν πρῶτον διὰ τοῦ ε ψιλοῦ γράφεται, τὸ δὲ δεύτερον τὴν διὰ διφθόγγου γραφὴν ἀπηνέγκατο. τοιοῦτον καὶ παρὰ Θεοκρίτῳ τὸ «ὅρη, φίλε, ὃ μελύδριον ὥρῃ ἐξεπόνησα» [τουτέστιν «ὅρα τὸ μέλος, ὃ καθ' ὥραν ἐπονησάμην». καὶ παροιμιῶδες τὸ «ζεῖ χύτρα, ζῇ φιλία».] καὶ τοῦτο μὲν τοιοῦτον παρηχήσεως εἶδος ταὐτοφωνίαν ἔχον παντελῆ, διαφορὰν δὲ φέρον κατὰ μόνην γραφήν· ὅπερ ἐστὶ διάφορον πρὸς τὴν ῥητορικὴν παρήχησιν, ἥτις ταὐτογραφουμένη διαφορὰν ἔχει κατὰ τὴν ἐκφώνησιν. ἔστι δὲ καὶ ἄλλο ξενίζον παρηχήσεων εἶδος, ᾧ χρᾶται καὶ ὁ ποιητής. καὶ κεῖνται τούτου ἱκανὰ παραδείγματα ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. ἔστι δὲ τοιοῦτον, ὅταν καὶ παρηχῇ τις ἐν ἀνομοιότητι γραφῆς φωνηέντων ὁμοίως τοῖς πρὸ τούτου καὶ τὴν ταὐτοφωνίαν δέ πως ἀλλοιοῖ· καθὸ καὶ ἠναντίωται τοῦτο τῷ πρὸ αὐτοῦ, τῷ παντελῶς ταὐτοφώνῳ, οἷον τὸ «Σκύλλη κοίλης ἐκ νηός» καὶ «Ἐπειὸς ἐποίησε σὺν Ἀθήνῃ» καὶ «φίλησε δὲ φῦλον ἀοιδῶν» καὶ

Ἀρριανός «φῦναι Φινέα» καὶ Ἡσίοδος «Φυλέα φίλον μακάρεσσι θεοῖσι»· καὶ Εὐριπίδης «ἐλελίζει αἴλινον» καὶ ὅσα ἄλλα ὅμοια. τὰ δὲ τοιαῦτα οὐκ ἐπιτηδευτὰ ἔοικεν εἶναι, ἀλλ' ἐκ τοῦ παρατυχόντος παρήχηνται, ὡς καὶ ἐν τῇ Ὀδυσσείᾳ εἴρηται. ἔστι τι καὶ ἄλλο πανοῦργον παρηχήσεως εἶδος, ὅπερ κατὰ γραμμάτων μετάθεσιν γίνεται, ὁποῖόν τι περιειργάσατο ὁ εἰπὼν τὸ τοῦ λόγου νᾶμα μάννα δοκεῖν τοῖς ἀκροαταῖς· τὸ γὰρ νᾶμα χωρῆσαν ὡς ἐς ἀνάρρουν εἰς μάννα μετερρύη. τοιοῦτον καὶ τὸ «οὐ λίθῳ βαλών, ἀλλὰ τῇ χειρὶ λαβών» καὶ τὸ λέπας καὶ πέλας παρὰ Λυκόφρονι. καί εἰσι καὶ τούτου σπέρματα παρὰ τῷ ποιητῇ, ὃς εἰπὼν ἐν Ὀδυσσείᾳ «ἠμείψατο μύθῳ» ἐπήγαγε «θυμὸν ὤρινας», ὡς τοῦ μύθου καὶ τοῦ θυμοῦ τοῖς αὐτοῖς διοικουμένων γράμμασι. καὶ ἐν τῷ «θυμοδακὴς δὲ μῦθος» τὸ αὐτὸ ἐμφαίνεται· καὶ ἐν τῷ «οὐχ' ἥνδανε θυμῷ, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν». οὕτω δὲ περιεργασαμένων τινῶν τὴν μίαν λέξιν καὶ διαστρεψάντων αὐτὴν ἄλλοι μένειν αὐτὴν κατὰ χώραν ἀφέντες ἔπαιξαν ἄλλως, ἅπερ ἤθελον.

1.194 ἡ γοῦν κωμῳδία τοιαῦτά τινα διθυραμβώδη ἐποίει ἐν μιᾷ λέξει ἀναγκάζουσα γραφὰς διαφόρους νοεῖν· οἷον ὅτε εἴπῃ, ὅτι ὁ Ζεὺς λήροις τοὺς νικῶντας ἀναδῶν στεφανοῖ. τὸ γὰρ λήροις λέγεται μέν, ὡς τῶν νικώντων ἐν Ὀλυμπίοις φλυάρῳ καὶ κενῷ κόμπῳ θελγομένων. βούλεται δὲ λέγειν καί, ὅτι λειρίοις ἤγουν ἄνθεσι τοὺς νικῶντας ἀναδεῖ. τὸ αὐτὸ ποιεῖ ὁ Κωμικὸς καί, ὁπηνίκα κηρύλου μεμνημένος τοῦ ζῴου, ὅπερ τὴν διὰ τοῦ η ἔχει γραφήν, ἀποσκώπτει εἰς κουρέα τινὰ κηρύλον ἐκεῖνον θέλων νοεῖσθαι, ὡς ἀπὸ τοῦ κείρω, τὸ κουρεύω, ὅπερ διὰ διφθόγγου γράφεται. ὅμοιον καὶ τὸ «ἐστεφάνιξα κἀδωρησάμην». δοκεῖ μὲν γὰρ λέγειν, ὅτι «δώροις ἐδεξιωσάμην», παραλαλεῖ δὲ καὶ τὸ Δωρικῶς εἰπεῖν ὡς τοῦ ἐστεφάνιξα διαλέκτου ὄντος Δωρικῆς. ταῦτα δὲ παίγνια κωμικὰ κατά τινα δῆθεν ὁμωνυμίαν, οὐ μὴν παρηχήσεις. ἡ γὰρ παρήχησις οὐ μιᾷ μόνῃ λέξει ἐμπεριγράφεται, ἀλλ' ἐν δυσὶ τὸ ἐλάχιστον. Ἔστιν οὖν ὅλως τοιαύτη τις ἡ τῶν ῥηθεισῶν παρηχήσεων θεωρία. ἡ παρήχησις ἢ διαφορὰν μέν τινα ἔχει ἐν λέξεων προφορᾷ, ταὐτότητα δὲ ἐν γραφῇ, καὶ ταύτην διχῶς· ἢ γὰρ ὀρθῶς κειμένων τῶν παρηχουσῶν λέξεων ἢ ἀνεστραμμένως· ὀρθῶς μὲν ἐν τῷ «οὐδ' Εὐπείθει πείθοντο» καὶ τοῖς ὁμοίοις, ὃ δὴ καὶ μόνον καιριωτάτη ἐστὶ παρήχησις· ἀνεστραμμένως δέ, οἷον τὸ μῦθος καὶ θυμός καὶ βαλών καὶ λαβών καὶ τὰ τοιαῦτα· ἢ ἀνάπαλιν ταὐτότητα μὲν ἔχει περὶ λέξεων προφοράν, διαφορὰν δὲ ἐν τῇ τῶν φωνηέντων γραφῇ· οἷον τὸ «ἔδδεισαν οὐδέ τ' ἔδησαν». πολλάκις δὲ καὶ ἀμφότερα ἤγουν διαφορὰν καὶ φωνῆς καὶ γραφῆς, ὡς τὸ «Φυλέα φίλον μακάρεσσι» καὶ «εἴδωλον δ' ἑτέρωθεν ἑταίρου πόλλ' ἀγόρευε». [καὶ «ἥλῳ γὰρ ἧλος» κατὰ παροιμίαν τὴν ἐν Πολιτείαις παρὰ τῷ Ἀριστοτέλει κειμένην, ἣν οἱ μὴ εἰδότες ἄλλως γράφουσιν. ὡς γὰρ πάσσαλος πασσάλῳ ἐκκρούεται, οὕτω καὶ αὐτοί «ἧλος ἥλῳ» φασίν.] (v. 407) Ὅτι τὸ μνήσασα, ὅ ἐστιν ἀναμνήσασα, αἰτιατικῇ συντάσσει μετὰ γενικῆς· οἷον μνήσασα τὸν Δία τῶνδέ τινων. (v. 408 ss.) [Ὅτι προαναφώνησις τεχνικὴ τὸ «αἴ κέν πως ἐθέλησιν», ὁ Ζεὺς δηλαδή, «ἐπὶ Τρώεσσιν ἀρῆξαι» ἤγουν ἐπαρῆξαι τοῖς ἐν τῇ Τροίᾳ, «τοὺς δὲ κατὰ πρύμνας τε καὶ ἀμφ' ἅλα ἔλσαι», ὅ ἐστιν εἰλῆσαι ἢ ἐλάσαι, «Ἀχαιοὺς κτεινομένους» καὶ τὰ ἑξῆς. προαναφωνεῖ γὰρ τὰ γενησόμενα Ὅμηρος νῦν, δι' ὧν ὁ Ἀχιλλεὺς πρὸς τὴν μητέρα φησίν.] (v. 410—2) Ὅτι πρὸ μικροῦ ὁ Ἀχιλλεὺς τὸ πλεῖον τοῦ πολέμου αὐτὸς διέπειν εἰπὼν καὶ ἄριστον ἑαυτὸν Ἀχαιῶν ἀποκαλέσας καὶ νῦν παρὰ τῇ μητρὶ περιαυτολογῶν τοιοῦτον πάλιν ἑαυτὸν ὀνομάζει [εἰπών· «ἵνα πάντες ἐπαύρωνται βασιλῆος» ἤγουν ἐπαπολαύσωσι καὶ ἐπιχαρεῖεν τῷ βασιλεῖ· «γνῷ δὲ καὶ Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων ἣν ἄτην» ἤγουν τὴν αὐθαίρετον βλάβην, «ὅτ' ἄριστον Ἀχαιῶν», ἤγουν ἐμέ, «οὐδὲν ἔτισε».

1.195 ] Σοφοκλῆς δὲ τὸ τοιοῦτον νόημα παραφράζων ἐπὶ Αἴαντος περιφραστικώτερόν φησιν, ὅτι τοιοῦτος ἦν ὁ Αἴας, οἷον οὔ τινα ἡ Τροία εἶδε μολόντα γῆς ἀπὸ Ἑλληνίδος. ἐμφαντικῶς δὲ ἄριστον ἄρτι ἑαυτὸν ὁ Ἀχιλλεὺς λέγει. εἰ μὲν γὰρ συγκατατίθεται ἡ μήτηρ ἄριστον αὐτὸν εἶναι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἵνα τί μὴ τιμᾶται ὡς ἄριστος; εἰ δὲ μή ἐστιν ἄριστος, διὰ τί οὐκ ἔστι τοιοῦτος; ἀλλὰ μινυνθάδιος μὲν γέγονε, τιμὴν δὲ οὐκ ἔχει, ὁποίαν οἱ ἄριστοι. (v. 410) [Σημείωσαι δὲ ὅτι ἐν τῷ «πάντες ἐπαύρωνται βασιλῆος» νοηθείη ἂν βασιλεὺς καὶ ὁ κατὰ τὸν ἐν Ὀδυσσείᾳ Ἔχετον βασιλέα βροτῶν δηλήμονα, ἵνα λέγῃ σεμνῶς καὶ εὐφήμως, ὡς πάντες ἐπαύρωνται βασιλέως τούτου κακοῦ κατὰ τὸ «πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπηύρα». ἔνθα ὅρα τὸ ἀπαυρεῖν ταὐτὸν ὂν τῷ Ὁμηρικῷ ἐπαυρεῖν. διὸ καλῶς ἡ αὐτῶν ἑρμηνεία, ἤγουν τὸ ἐπαπολαύειν, τὰς ἐκείνων ἔχει προθέσεις.] (v. 414) Ὅτι μονῳδικῷ ἔοικε σχήματι τὰ τῆς Θέτιδος πρὸς Ἀχιλλέα εἰπούσης· «ὤ μοι, τέκνον ἐμόν, τί νύ ς' ἔτρεφον αἰνὰ τεκοῦσα» καὶ τὰ ἑξῆς. πενθεῖ δὲ αὐτόν, ὅτι ἅμα τε ὠκύμορός ἐστι καὶ ὀϊζυρὸς περὶ πάντων ἤτοι περισσότερον πάντων. καὶ σημείωσαι τὴν συντομίαν τοῦ «τί ς' ἔτρεφον αἰνὰ τεκοῦσα;» δύο γὰρ ἐν ὀλίγῳ συνέστρεψε νοήματα, οἱονεὶ οὕτως εἰποῦσα· οὐκ ὤφελόν σε τεκεῖν. εἰ δὲ καὶ ἔτεκον, τί δήποτε δυστυχῶς ἔτρεφόν σε; Τὸ δὲ αἰνὰ τεκοῦσα ἀντὶ τοῦ αἰνῶς, ὥσπερ καὶ ἐν τοῖς ἑξῆς ἐρεῖ, ὅτι οὐ καλὰ πόλεμόνδε συνοισόμεθα ἀντὶ τοῦ οὐ καλῶς. (v. 417) Τὸ δὲ ὀϊζυρός τοιαύτην ἔχει παραγωγήν· ὥσπερ παρὰ τὸ αἴ ἐπίρρημα γίνεται τὸ αἰάζω καὶ παρὰ τὸ ὤ ὤζω ἐν Αἰσχύλῳ, ἐξ οὗ τὸ οἰμώζω, οὕτω παρὰ τὸ οἴ οἴζω, ἐξ οὗ παράγωγον οἰζύω καὶ κατὰ διάλυσιν ὀϊζύω· ὡς τὸ «ἀλλ' ἄγε δὴ περὶ κεῖνον ὀΐζυε», ἐξ οὗ ὀϊζὺς ἡ ἀξία θρήνων κακοπάθεια καὶ ὀϊζυρὸς ὁ θρήνων ἐπάξιος. (v. 415—8) [Τῷ δὲ ῥηθέντι ὡς μονῳδικῷ πρόσκειται καὶ ταῦτα· «αἴθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι, ἐπεί νύ τοι αἶσα μίνυνθά περ, οὔ τι μάλα δήν· νῦν δ' ἅμα τ' ὠκύμορος καὶ ὀϊζυρὸς περὶ πάντων ἔπλεο, τῷ σε κακῇ αἴσῃ τέκον ἐν μεγάροισιν». ἔστι δὲ ἐναντία τὸ μίνυνθα καὶ τὸ δήν, ὧν ἐκ τοῦ μὲν γίνεται ὁ μινυνθάδιος, ὡς ἐδηλώθη, τοῦ δὲ ὁ δηναιός, ὅ ἐστι πολυχρόνιος, καὶ δηρόν τὸ ἐπὶ πολύ, τροπῇ τοῦ ν εἰς ρ , καὶ δήνεα τὰ βουλεύματα, οἷς χρόνου δεῖ.

1.196 διὸ καὶ παροιμία κεῖται «δηρὸν βουλεύειν, ἵν' ἔχῃ καὶ πολλὸν ἄμεινον», εἰς ἣν συντελεῖ καὶ Σοφοκλέους τὸ «φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς».] (v. 420) Ὅτι ἐν τῷ «Ὄλυμπον ἀγάννιφον» φανερῶς Ὄλυμπον τὸ ὄρος λέγει. ὁ γὰρ Ὄλυμπος ὁ εἰς οὐρανὸν λαμβανόμενος οὐ νίφεται, ὅτι μηδὲ νεφελοῦται, ὅπου γε κατὰ τοὺς παλαιοὺς καὶ αὐτοῦ τοῦ Ὀλύμπου τοῦ ὄρους τὰ ἄκρα ὡς ὑπερνεφῆ οὔτε νίφεται οὔτε κατομβρεῖται, ὡς καὶ ἐν Ὀδυσσείᾳ φανερῶς φησιν ὁ ποιητής. Ἰστέον δὲ ὅτι διχρόνῳ παραλήγεται τὸ «ἀγάννιφον» ἐκ τοῦ διφορουμένου νείφω. ἢ γὰρ ἐκ τοῦ ἐνεστῶτος τοῦ ἔχοντος τὸ ι ἢ ἐκ τοῦ γραφομένου ἐν διφθόγγῳ, οὗ δεύτερος ἀόριστος ἔνιφον, ὅθεν δοκεῖ ἡ νιφὰς εἶναι καὶ ὁ νιφετός. ἐκεῖθεν δὲ καὶ τὸ νέφος καὶ τὸ νένοφα, οὗ μεμνημένος ὁ Ἡρωδιανὸς ἀπορεῖ, πῶς ὁ Ἀριστοφάνης νένοφα εἶπε καὶ οὐ νένοιφα, ἵνα ἦν, ὥσπερ λείβω λέλοιβα, λείπω λέλοιπα, οὕτω καὶ νείφω νένοιφα. [Περὶ οὗ ἔστιν εἰπεῖν, ὡς οὐκ ἐκ τοῦ νείφω ἐκλίθη κατὰ τὸ πείθω πέποιθα καὶ ὅσα ἕτερα ἐπὶ ἐνεστῶτος ἔχουσι τὸ ε μετὰ τοῦ ι , ἀλλ', ὡς εἰκός, ἐκ τοῦ νέφω, ἵνα ᾖ, ὥσπερ λέγω λέλογα, οὕτω καὶ νέφω νένοφα, κατὰ τὰ ἔχοντα τὸ ε μόνον ἐν τῷ ἐνεστῶτι. τοῦ δὲ νέφω, εἰ καὶ μὴ ἔστι χρῆσις, ἀλλὰ δοκεῖ ὅμως πρωτότυπον αὐτὸ εἶναι τοῦ νείφω, ὡς ὑποδηλοῖ καὶ τὸ ἐξ αὐτοῦ νέφος καὶ ἡ νεφέλη.] Ἔτι ἰστέον καὶ ὅτι τὸ ἄγαν οὐκ ἀεὶ [ἐν ταῖς συνθέσεσι] φυλάσσει τὸ τοῦ τέλους ἀμετάβολον, ἀλλ' ἔστιν οὗ, ὡς ἔστι μαθεῖν ἐξ ἐπαγωγῆς. (v. 421) [Ὅτι ἐρεθιστικὸν τῷ Ἀχιλλεῖ πρὸς τῆς μητρὸς ῥηθὲν τὸ «ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος μήνι' Ἀχαιοῖς, πολέμου δ' ἀποπαύεο πάμπαν.] (v. 423) Ὅτι τὸ τὸν Δία εἰς Ὠκεανὸν ἔρχεσθαι ἐπὶ τοὺς ἀμύμονας Αἰθιοπῆας, θεοὺς δ' ἅμα πάντας ἕπεσθαι, δωδεκάτῃ δὲ αὖθις ἔρχεσθαι εἰς Ὄλυμπον, τινὲς μὲν ἱστορικῶς θεραπεύουσι λέγοντες, ὅτι ἐν Διοσπόλει μέγιστόν ἐστι Διὸς ἱερόν, ἀφ' οὗ λαβόντες Αἰθίοπες Διὸς ξόανον καὶ ἄλλων δαιμόνων σὺν αὐτῷ κατά τινα καιρὸν τεταγμένον περινοστοῦσι τὰ κατὰ τὴν Λιβύην καὶ πανηγυρίζουσι πολυτελῶς ἐπὶ δώδεκα ἡμέρας, ἐπεὶ καὶ τοσοῦτοι παρ' αὐτοῖς οἱ θεοί. τοῦτο γοῦν, φασίν, εἰδὼς ὁ ποιητής, οἷα καὶ τοιούτων ἐθῶν ἔμπειρος, ὅνγε καὶ Αἰγύπτιον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γενεαλογοῦσί τινες, πλάττει ἐνταῦθα δωδεκαήμερον ἀποδημίαν Διὸς ἐξ ἱστορικῆς ἀφορμῆς καὶ νῦν εἰς τὸ πλάσμα ἐλθών.

1.197 Ἕτεροι δὲ ἀλληγορίαν τινὰ καὶ εἰς τοῦτό φασι λέγοντες Δία μὲν τὸν ἥλιον, Ὠκεανὸν δέ, ὡς ὁ Γεωγράφος φησί, τὸν καθ’ ὅλον τὸ μεσημβρινὸν κλίμα τεταγμένον, ἤγουν τὰ νότια τῆς οἰκουμένης τὰ πρὸς τοῖς Αἰθίοψιν, ὅπου κατὰ τὸν χειμέριον καιρὸν ὁ τοιοῦτος ἄπεισι Ζεύς «ἐπὶ κυανέων ἀνδρῶν δῆμον» κατὰ τὴν ποίησιν ἤτοι ἐπὶ Αἰθιοπίαν. ἐπεὶ δὲ καὶ ὁ τῶν πραγμάτων τούτων καιρὸς καὶ ὁ λοιμὸς μετὰ χειμῶνα γενέσθαι φαίνεται, εἰκότως ἂν χθιζός που καὶ πρῴην ὁ τῆς ἀλληγορίας ταύτης Ζεὺς Αἰθιοπικώτερος ὢν μετά τινας οὐ πολλὰς ἡμέρας εἰς τὸ Ἑλλαδικὸν κλίμα τελέως ἀποκαταστήσεσθαι λέγοιτ’ ἂν συντελέσων τι πρὸς βοήθειαν τῷ Ἀχιλλεῖ. καὶ ταῦτα μὲν τοιαῦτα. ἐν οἷς σημείωσαι ὡς καὶ εἰς ἥλιον ἀλληγορεῖται ὁ Ζεύς· ὁ δ’ αὐτὸς καὶ εἰς οὐρανόν, ὡς καὶ ἐν Ἀράτῳ δηλοῦται καὶ ἐν Ἡροδότῳ δὲ εἰπόντι, ὅτι τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλοῦσιν οἱ Πέρσαι, ὥστε πολλὰ τῇ λέξει παρυφίσταται σημαινόμενα. ἔστι γὰρ Ζεὺς ἱστορούμενος, μυθευόμενος, ἀλληγορούμενος· τοῦτο δὲ εἰς νοῦν, εἴτ’ οὖν ψυχὴν τοῦ παντός· εἰς ἀέρα, εἰς αἰθέρα, εἰς ἥλιον, εἰς οὐρανόν. καὶ οὕτω μὲν καὶ ταῦτα. Ὁ δὲ ποιητὴς ἐπίτηδες ἄλλως οἰκονομεῖ ἀποδημεῖν τὸν Δία, ὡς ἂν ἐν τῷ μέσῳ καὶ οἱ Ἕλληνες ἀπὸ τοῦ λοιμοῦ ἑαυτοὺς ἀναλάβωσι καὶ ὁ Ἀχιλλεὺς παρ’ ἑαυτῷ ταλαντεύσας τὰ καθ’ ἑαυτὸν ἢ ἐπιμείνῃ τῇ μήνιδι ἢ ῥοπήν τινα σχοίη πρὸς καταλλαγήν· ἔτι δέ, ὃ καὶ μάλιστα πρὸς τὸ πιθανὸν συμβάλλεται, ἵνα καὶ οἱ Τρῶες μαθόντες, ὡς εἰκός, τὰ τῆς μήνιδος θαρσήσωσι τὴν μάχην καὶ οὕτω τέλος ἕξει ὁ σκοπὸς τοῦ Ὁμηρικοῦ Διός. ἐκ πρώτης γὰρ ἢ δευτέρας ἡμέρας καί τινων ὀλίγων τῶν ἐφεξῆς οὐκ ἦν εἰκὸς πληροφορίαν τοῖς Τρωσὶν ἐντελῆ γενέσθαι τῆς τοῦ Ἀχιλλέως μήνιδος, ἀλλ’ ἦν ἂν ἡ εἰς τὴν μάχην αὐτοῖς τόλμα ἀπίθανος. Περὶ δὲ Αἰθιόπων καὶ ὅτι κατὰ παραγωγὴν Αἰθιοπῆες λέγονται καὶ ἐν Ὀδυσσείᾳ ἐδηλώθη. [Πολλὰ δὲ καὶ ἄλλα ὅμοια· ἐν οἷς καὶ ἡγεμονεύς καὶ ἡνιοχεύς καὶ ὁ ἐκ τοῦ Ἀλκαῖος Ἀλκεύς, ὅθεν Ἀλκείδης Ἡρακλῆς, καὶ ὁ ἐκ τοῦ παρὰ Πινδάρῳ διάβολος κοινῶς διαβολεύς.] Ἀμύμονας δὲ αὐτοὺς λέγει, οὐχ’ ὅτι πάντες ἀγαθοὶ ἀλλ’ ὅτι τινές· πολλοὶ γὰρ ἀπ’ αὐτῶν ἀνθρωποφαγοῦσιν. ἕτεροι δὲ τοὺς μακροβίους Αἰθίοπας ἀμύμονας λέγεσθαι νοοῦσι, περὶ ὧν καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ γέγραπται. ἄλλοι δὲ γράφουσι «μετὰ Μέμνονας Αἰθιοπῆας» λέγοντες Αἰθιοπάς τινας εἶναι οὕτω καλουμένους ἀπὸ Μέμνονος υἱοῦ Τιθωνοῦ καὶ Ἡμέρας. [Ὁ δὲ Ὠκεανὸς σεσημείωται συστέλλων τὸ α . τὰ γὰρ διὰ τοῦ ανος ὀξύτονα ὑπὲρ τρεῖς συλλαβὰς ἐκτείνει τὸ α χωρὶς τῶν παρὰ τοῖς ὕστερον, οἳ τὴν παραλήγουσαν τοῦ Ἰουλιανός συστέλλουσιν.

1.198 ὁ ἑανὸς πέπλος συστέλλων τὸ α οὐκ ἀντίκειται· τρισύλλαβος γάρ ἐστιν. Ἰστέον δὲ ὅτι τὸ «Ζεὺς ἐς Ὠκεανὸν εἰς τοὺς δεῖνα χθιζὸς ἔβη μετὰ δαῖτα», ἤγουν εὐωχίαν, «θεοὶ δ’ ἅμα πάντες ἕποντο, δωδεκάτῃ δέ τοι αὖτις ἐλεύσεται Οὔλυμπόνδε», παρῳδηθήσεταί ποτε εἰς πανδαισίαν πολυτελῆ μακροήμερον.] (v. 427) Ὅτι τοῖς παλαιοῖς ἔθος ἦν, ὁπηνίκα ἱκέτευον, κεφαλῆς τε λαμβάνεσθαι τῆς τοῦ ἱκετευομένου καὶ χειρὸς δεξιᾶς ἢ καὶ γονάτων· κεφαλῆς μὲν διὰ μέσης γενειάδος κατὰ Εὐριπίδην ἢ ἀνθερεῶνος καθ’ Ὅμηρον διὰ τὸ ἡγεμονικόν· ἐν αὐτῇ γὰρ τὸ λογιστικόν, ὡς προείρηται· δεξιᾶς δὲ διὰ τὸ πρακτικόν· γονάτων δὲ διὰ τὸ κινητικὸν καὶ βαδιστικόν. καὶ ἤθελον συμβολικῶς τοὺς ἱκετευομένους παρακαλεῖν διὰ μὲν τῆς κεφαλῆς εἰς τὸ συνθέσθαι καὶ κατανεῦσαι, διὰ δὲ τῆς δεξιᾶς εἰς τὸ πρᾶξαι, διὰ δὲ γονάτων εἰς τὸ κινηθῆναι, πρὸς ἃ ζητοῦνται, ἢ καὶ ἐπικλασθῆναι τὴν ψυχὴν καὶ καμφθῆναι, οἷς ἱκετεύονται. καὶ γὰρ ἐν τοῖς γόνασι μάλιστα κλᾶται τὸ σῶμα. καὶ ἦσαν ταῦτα σύμβολά τινα καὶ οἷον οἰωνισμοὶ τοῦ τῆς ἱκετείας τέλους. σκαιᾶς μέντοι ἤτοι ἀριστερᾶς χειρὸς οὐ προσήπτοντο διὰ τὸ δυσοιώνιστον. οὐ γὰρ προσεῖχον τοῖς ἀριστεροῖς, ὅπου γε καὶ τὰ μὴ αἴσια σκαιὰ καὶ ἐπαρίστερα ἔλεγον, ὥσπερ τὰ ἀγαθὰ δεξιά, τύχην λέγοντες δεξιὰν καὶ νόημα δεξιὸν καὶ δεξιοῦσθαι τὸ φιλοφρονεῖσθαι. κεφαλῆς δὲ οὐ τῆς ὅλης ἥπτοντο ἀλλὰ τοῦ ἀνθερεῶνος καὶ τοῦ γενείου, ὡς καὶ Εὐριπίδης δηλοῖ λέγων· «ὁρῶ σε

δεξιὰν κρύπτοντα καὶ πρόσωπον ἔμπαλιν στρέφοντα, ὡς μή σου προσθίγω γενειάδος». τούτου δὲ δηλωτικὸν καὶ τὸ «μὴ πρὸς γενείου μὴ ’ξέλῃ τὰ φίλτατα» καὶ τὸ «ἀλλ’, ὦ φίλον γένειον, αἰδέσθητί με». Ἰστέον δὲ ὅτι, εἰ καὶ κεφαλῆς καὶ χειρὸς καὶ γονάτων οἱ ἱκέται ἥπτοντο, ἀλλὰ τὴν ὅλην ἱκετείαν γουνάζεσθαί φασιν ἐκ μέρους οἱ παλαιοί, διότι τοῖς ἱκετεύουσιν, εἰ καὶ μὴ κεφαλῆς ἢ χειρὸς ἔστι λαβέσθαι, τῆς μὲν ἔμπαλιν τυχὸν στρεφομένης τῆς δὲ κρυπτομένης, ἀλλὰ γόνατος γοῦν οὐ πάνυ δυσχερὲς ἅπτεσθαι. οἱ δὲ μεθ’ Ὅμηρον τὴν τοῦ γονυπετεῖν λέξιν ἐντεῦθεν ἐφεῦρον συνθέντες ἐκ τοῦ γόνυ καὶ τοῦ πέτειν, ἐξ οὗ τὸ πίπτειν παράγεται, ὡς τὸ ῥίπτειν ἀπὸ τοῦ ῥέπειν. ἀκολούθως δὲ τούτῳ καὶ ἡ γονυκλισία ὠνόμασται. Ὅτι δὲ πέτω ἐστὶ ῥῆμα βαρύτονον ἄρρητον, δηλοῖ ὁ πέσω μέλλων εὔχρηστος, ὃ Δωριεῖς καὶ Αἰολεῖς πεσῶ λέγουσιν, ὡς ἐσῶ, κλαυσῶ, ἐξ ὧν τὸ πεσεῖται, ἐσεῖται, κλαυσεῖται καὶ τὰ ὅμοια. [ἐκ δὲ τοῦ πεσῶ ἀνελθόντος εἰς ἐνεστῶτα καὶ τὸ πέσημα, ὅ ἐστι πτῶμα, κεῖται παρὰ τοῖς τραγικοῖς.] Ὅτι ὁ θαρρῶν ἱκετεῦσαι καὶ πεῖσαί τινα εἴποι ἂν καιρίως τὸ «καί μιν γουνάσομαι καί μιν πείσεσθαι ὀΐω».

1.199 καὶ ὅρα ὅτι νῦν μὲν τὸ πείσεσθαι σαφῶς ἔχει· ὅτε δὲ Ἀχιλλεὺς θυμομαχῶν εἶπεν· «ἅ τινα οὐ πείσεσθαι ὀΐω», ἀσαφῶς εἶχεν ὁ λόγος. ἢ γὰρ εἰς ἃ οὐ πείσεσθαι οἴομαί τινα ἢ εἰς ἃ ἐγὼ οὐ πεισθήσομαι, ὃ καὶ κάλλιον. ἔφη γὰρ κατωτέρω ἐκεῖ· «οὐ γὰρ ἔγω γέ τί σοι πείσεσθαι ὀΐω». Τὸ δέ «καί μιν» προτεθὲν ἐν τῷ «καί μιν γουνάσομαι καί μιν πείσω» σχῆμα καλὸν ποιεῖ τὸ κατ’ ἐπαναφοράν. (v. 429) Ὅτι συνήθη Ἀττικὴν ἔλλειψιν ἔχει τὸ «χωόμενον κατὰ θυμὸν εὐζώνοιο γυναικός». τὸ γὰρ πλῆρες· χωόμενον ὑπὲρ γυναικὸς ἢ ἕνεκεν γυναικός. Ἰστέον δὲ ὅτι τοῦ κατὰ θυμὸν χώεσθαι ἤγουν συγχέεσθαι τὸν Ἀχιλλέα τέλος τὸ μηνίειν Ἀχαιοῖσι, πολέμου δ’ ἀποπαύεσθαι πάμπαν, ὃ παρῄνεσεν ἡ μήτηρ Θέτις τῷ φίλῳ υἱῷ προαναφωνητικῶς καὶ αὐτὸ ὑπὸ τοῦ ποιητοῦ τεθέν. Εὔζωνον δὲ γυναῖκα τὴν Βρισηΐδα λέγει ἀντὶ τοῦ εὐκόσμητον, ἀπὸ μέρους τινὸς τοῦ γυναικείου κόσμου, τῆς ζώνης δηλαδή. ὡς καὶ εἴ τις εἴπῃ ἄνδρα μιτροχίτωνα καθ’ ὁμοιότητα τοῦ «ἀμιτροχίτωνας ἑταίρους». ὡς γὰρ ἀνὴρ ὁπλίζεταί ποτε μερικῶς μίτρᾳ, οὕτω καὶ γυνὴ κατὰ τῶν ἐραστῶν ὁποῖά τι ὅπλον τὸ ἑαυτῆς εὔζωνον προβάλλεται. οἱ μέντοι μεθ’ Ὅμηρον εὔζωνον ὁδίτην λέγοντες ἢ τοιοῦτόν τι ἐπὶ ἀσκεύου καὶ εὐσταλοῦς τὴν λέξιν τιθέασιν. Ὅρα δὲ ὅτι γυναῖκα οὐ μὴν κόρην ἐνταῦθα τὴν Βρισηΐδα εἶπεν, ὡς ἀλλαχοῦ. Ὅτι κρίνει καὶ ὁ ποιητὴς ἠδικῆσθαι τὸν Ἀχιλλέα λέγων βίῃ ἀέκοντος ἀφαιρεθῆναι τὴν Βρισηΐδα. πάντως δὲ τὸ βίᾳ οὐ δίκαιον. (v. 430) Ἀέκουσα δὲ καὶ ἐκείνη κατὰ τὸν ποιητὴν ἐπορεύθη. Τὸ δὲ ἀέκοντος ἑρμηνεία ἐστὶ τοῦ βίῃ, ὅπερ λέξις ἐστὶν ὁμώνυμος καὶ διὰ τοῦτο ἔχει τι ἀσαφείας, εἰ μὴ ἑρμηνεύοιτο. λέγεται γάρ ποτε βία καὶ ἡ κατὰ ῥώμην δύναμις. (v. 432) Ὅτι ὥσπερ οἶκος μὲν καὶ δόμος τὸ ὅλον λέγεται, μέρος δὲ αὐτῶν ἡ ἑστία, ἥτις καὶ ἱστία ὀνομάζεται, καὶ πάλιν ὅλον μέν τι ὁ ναός, μέρος δὲ αὐτοῦ ὁ βωμός, οὕτω καὶ ὅλον μὲν ὁ λιμήν, μέρος δὲ ὁ ῥηθησόμενος ὅρμος· αὐτὸ δὴ τὸ πρὸς τῇ γῇ, ἔνθα καὶ ὁρμεῖ ἡ ναῦς καὶ ὑπὸ τῶν ναυτῶν ὁρμίζεται. καὶ εἰς μὲν τὸν λιμένα πλησίστιοι καταβαίνουσιν οἱ πλέοντες, εἰς δὲ τὸν ὅρμον ἐρετμοῖς καθιστῶσι τὴν νῆα. διὸ ὁ μὲν ὁρμισθεὶς ἐνελιμενίσθη, οὐ μὴν ὁ ἐν λιμένι ἐξ ἀνάγκης καὶ ὥρμισται, εἰ μὴ καὶ πρὸς τῇ γῇ γένηται. ἐὰν δὲ βωμὸς ὁ ὅλος λεχθῇ που ναὸς ἢ ἑστία ὁ σύμπας οἶκος, ἀπὸ μέρους ἐλέχθη τὸ πᾶν ὁμοίως καὶ ἐὰν τὸν πάντα λιμένα ὅρμον τις εἴποι· ὁ γὰρ λιμὴν ὅρμων περιεκτικός. διὸ ἡ καθωμιλημένη γλῶσσα ὁρμισίας τὰς τοῦ λιμένος προσγείους λέγει κατατομὰς καὶ καταγωγάς. ὅτι δὲ ὅρμος κυρίως ἐστὶ τὸ τοῦ λιμένος πρὸς τῇ γῇ πέρας, δηλοῦται σαφῶς καὶ ἐν τῷ «λιμένα Ναύπλιον ἐκπληρῶν πλάτῃ ὁρμεῖ», ὡς μὴ ἂν ἄλλως ἐξὸν ὂν ὁρμισθῆναι νῆα τοιαύτην, εἰ μὴ κώπαις ἐκπληρώσασα τὸν ὅλον λιμένα πρὸς τῇ γῇ γένηται.

1.200 [δηλοῖ δὲ φανερῶς τὴν ἐν τούτοις διαφορὰν καὶ τὸ «λιμὴν εὔορμος».] Δῆλον δὲ καὶ ὅτι ἀρετὴ λιμένος τὸ πολυβενθὲς ἤγουν ἀγχιβαθές, ὡς ἂν ἔχοι τὰς τῶν ἀνέμων στέγειν ἐμβολὰς καὶ μὴ τὰς νῆας λύειν προσαρασσομένας ταῖς ἀκταῖς. εἰ δέ τις λιμὴν μὴ τοιοῦτος εἶναι τετυχηκὼς

ἄπιστός ποτε τοῖς ἐλλιμενισθεῖσιν ἀποβαίη, ἀστείως ἂν παραγραμματισθεὶς πολυπενθὴς ἀντὶ πολυβενθέος κληθήσεται. Ἰστέον δὲ [ὅτι τε ἐκ τοῦ ῥηθέντος ὅρμου ἔξορμος λέγεται ἐν τῷ ἀναπλεῦσαι ὁ ἔξω τούτου γεγονώς· καὶ ὅτι καὶ κόσμος περιτραχήλιός τις ὅρμος ποτὲ καλεῖται ὁ καὶ ὁρμίσκος καθ' ὑποκορισμόν. (v. 432—7) Ἐνταῦθα δ' ἰστέον καὶ] ὅτι ἔργον διασκευῆς τὸ ἐν τοῖς πράγμασι τὸν τρόπον λεπτολογεῖν, καθ' ὃν αὐτὰ γίνονται, κἂν μὴ πάνυ ἀναγκαῖον εἴη ἔστιν ὅτε τὸ τοιοῦτον τῷ ἀκροατῇ. καὶ πλεονάζει ὁ ποιητὴς τούτῳ τῷ σχήματι γυμνάζων τὸν ἀκροατήν, ὅπως ἔστι καὶ ἐν τοῖς εὐτελέσιν εὐπορεῖν τοῦ γράφειν. τίθησιν οὖν καὶ ἐνταῦθα διασκευήν, ἐν οἷς λέγει, τοὺς Ἕλληνας εἰς Χρύσην ἀπελθόντας τοιαῦτά τινα, ὡς εἰκός, ποιεῖν· «οἳ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο, ἱστία μὲν στείλαντο, θέσαν δ' ἐν νηῒ μελαίνῃ, ἱστὸν δ' ἱστοδόκῃ πέλασαν προτόνοισιν ὑφέντες· τὴν δ' εἰς ὅρμον προέρυσαν ἐρετμοῖς. ἐκ δ' εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσια ἔδησαν· ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ἐπὶ ῥηγμῖνι θαλάσσης» καὶ ἑξῆς. καὶ σημείωσαι ὅτι τὸν μὲν τῆς προδιειλημμένης νηὸς ἀνάπλουν τὸν ἐκ Τροίας καὶ τὸν ἐκεῖ αὖθις κατάπλουν οὐ διεσκεύασεν ὁ ποιητὴς ὡς ἀγωνιῶν καὶ σπεύδων εἰς ἔργα καὶ οὐδὲ σκυθρωποῖς πράγμασι παραμῖξαι θέλων πανηγυρικοῦ σχήματος ἱλαρότητα. τὴν δὲ εἰς Χρύσην αὐτῆς καταγωγὴν καὶ τὰ τῆς θυσίας ὡς πανηγυρικὰ τῷ συγγενεῖ φιλοτιμεῖται σχήματι, τῇ διασκευῇ, οὐ στενολεσχήσας, ἀλλὰ κατακόρως ἐπιστοιβάσας διασκευάς. τὸν δὲ τοιοῦτον πλοῦν μετρῶν ὁ Γεωγράφος φησίν, ὅτι ἀπὸ τῆς Κιλίκων Χρύσης ἐπὶ τὸν ναύσταθμον ἑπτακόσιά που στάδια πλοῦς ἡμερήσιος, ὅσον φαίνεται πλεύσας ὁ Ὀδυσσεύς. (v. 433) Ἰστέον δὲ ὅτι ἱστία μέν εἰσι τὰ ἐπὶ τοῦ κέρως λίνα, οἷς ὅσα καὶ πτεροῖς ἡ ναῦς τὸν δρόμον ταχύνει. Στείλασθαι δὲ παρὰ μὲν τοῖς ὕστερον καὶ ἐπὶ πορείας τίθεται. στέλλεται γοῦν τις ὁδόν τινα. ἐνταῦθα δὲ τὸ «στείλαντο ἱστία» ἀντὶ τοῦ συνέστειλαν εἴρηται. [Σημαίνει δέ ποτε καί τινα κοσμιότητα τὸ στέλλειν, ὡς δηλοῖ ὁ στολμός καὶ ὁ εὐσταλής. ἀπὸ δὲ τοῦ Ὁμηρικοῦ στέλλειν καὶ περιστέλλειν λέγεταί τις κακὸν ἀντὶ τοῦ περικρύπτειν, περικαλύπτειν.

1.201 τὸν δὲ ναυτικὸν στόλον ἑτεροῖόν τι στέλλειν παράγει.] (v. 434) Ἱστὸς δὲ τὸ ὀρθὸν ξύλον, οὗπερ τὸ κέρας καὶ τὰ ἱστία ἠώρηνται, κατ' ἐξοχήν τινα οὕτω λεχθείς. αὐτὸς γὰρ μάλιστα ὀρθὸς ἵσταται. Ἱστοδόκη δὲ ξύλον κατὰ πρύμναν ἐξέχον, καθ' οὗ κλίνεται ὁ ἱστός. γράφεται δὲ διὰ τοῦ κ, διότι τὰ παρὰ τὸ δέχω οὕτω προάγονται Ἰωνικῶς, οἷον ξεινοδόκος, δουροδόκη, ἱστοδόκη· ἤδη δὲ καὶ Ἀττικῶς. πανδοκεύτριαν γοῦν ὁ Κωμικός φησι καὶ ξυροδόκην, καπνοδόκην καὶ τοιαῦτά τινα. δῆλον δὲ ὅτι κοινωνία τις ἦν τῇ παλαιᾷ Ἰάδι καὶ Ἀτθίδι. Πρότονα δὲ κατά τινας μὲν σχοινία, δι' ὧν τὰ ἱστία πῇ μὲν ἀνέλκονται, πῇ δὲ χαλῶνται, μάλιστα δὲ τὰ συνδέοντα τὸ κέρας πρὸς τὸν ἱστόν, ὥς φασιν οἱ εἰδότες. φυλάσσεται γὰρ ἡ λέξις ἔτι καὶ νῦν παρὰ τοῖς Ἀνατολικοῖς. εὕρηται δὲ καὶ ἀρσενικῶς ὁ πρότονος. Τὸ δὲ ὑφέντες καιρίως εἴρηται ἀντὶ τοῦ χαλάσαντες. ἐντεῦθεν καὶ παρὰ τοῖς μεθ' Ὅμηρον καθυφιέναι τὸ ἀνίεσθαί τινος ἐνστάσεως καὶ δίκη καθυφέσεως, ὅτε τις δικηγόρος χαυνωθεὶς προδῷ τὴν ὑπόθεσιν ὑπενδοὺς καὶ οἷον καταχαλασθείς. (v. 435) Ὅρμος δὲ τί ἐστιν, ἀνωτέρω ἐγράφη. (v. 436) Εὐναὶ δὲ νῦν οὔτε αἱ κοῖται οὔτε αἱ διατριβαί, ἀλλὰ αἱ τὴν νῆα εὐνάζουσαι ἄγκυραι ἐν τῷ χαλᾶσθαι κατὰ τοῦ ὕδατος. πολλαχοῦ δὲ ἡ λέξις εὑρεθήσεται. Πρυμνήσια δὲ τὰ ἀπόγεια σχοινία τουτέστιν, οἷς ἡ ναῦς ἀποδεῖται εἰς γῆν καὶ οἷς ὥσπερ πείθεται. διὸ τὰ αὐτὰ καὶ πείσματα λέγονται. (v. 437) Ῥηγμὶν δὲ ἐνταῦθα μὲν ὁ αἰγιαλός, ᾧ τὰ κύματα προσρήσσονται, ὥς πού φησιν ὁ ποιητής· «χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει». ἐν δὲ Ὀδυσσείᾳ καὶ τὴν ἐπιφάνειαν τῆς θαλάσσης, ἣν αἱ κῶπαι ῥήσσουσι, ῥηγμῖνα καλεῖ. καὶ νῦν μὲν οὕτω διεσκεύασεν ὁ ποιητής, προϊὼν δὲ θυτικὴν διασκευὴν ἑτέραν ποιήσει ἐν τῷ «ἀνέρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν» καὶ τὰ ἑξῆς. ἀλλαχοῦ δὲ διασκευάζων τὸν ἐξ ὕπνου νυκτερινοῦ ἐγερθέντα ἐρεῖ· «μαλακὸν ἔνδυνε χιτῶνα, περὶ δὲ μέγα βάλλετο φᾶρος» καὶ τὰ ἐφεξῆς. Περὶ δὲ ὁπλίτου ἀνδρὸς ἐν ἑτέροις διασκευάσει, ὅτι κνημῖδας μὲν πρῶτα περὶ κνήμαις ἔθηκε καὶ τὰ ἑξῆς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.202 ὅλως γὰρ χαίρει διασκευαῖς ὡς περιφραζούσαις τὸ πρᾶγμα καὶ πλατυνούσαις, ναὶ μὴν καὶ γλυκαζούσαις τῇ ἀφελείᾳ, ἐχούσαις δὲ καὶ διδασκαλίαν πραγμάτων καὶ λόγου σαφήνειαν τῇ κατὰ φύσιν τῶν πραγμάτων διεξόδῳ καὶ τάξει, ὡς πολλαχοῦ δειχθήσεται. (v. 436—9) Ὅτι δέ ποτε καὶ κάλλους ἐκφανοῦς χρεία ταῖς διασκευαῖς, δηλοῦν ἐντεῦθεν· ἄρχεται ὁ ποιητὴς κεφαλαιώσας τέσσαρα ἔπη διὰ τῆς ἐκ προθέσεως κατὰ σχῆμα εὐειδὲς ἐπαναφορικὸν καὶ εἰπών· «ἐκ δ᾽ εὐνὰς ἔβαλον, ἐκ δὲ καὶ αὐτοὶ βαῖνον, ἐκ δ᾽ ἑκατόμβην βῆσαν, ἐκ δὲ Χρυσηῒς νηὸς βῆ». ὡς δὲ τὰς ῥηθείσας εὐνὰς εὐναίας που Εὐριπίδης φησίν, οἶδεν ὁ περιτυχών. (v. 440 s.) Ὅτι τὸ «τὴν μὲν Ὀδυσσεὺς πατρὶ φίλῳ ἐν χερσὶν ἐτίθει» ἁπλῶς εἶπεν ἀντὶ τοῦ ἐδίδου ἢ παρετίθει, ἄλλως γὰρ ἐνταῦθα οὐ πάνυ κυριολεκτεῖται τὸ τιθέναι. (v. 442—5) [Ὅτι Ὀδυσσεὺς ἀποδοὺς τῷ Χρύσῃ τὴν θυγατέρα ἐν τῷ ἀγαγεῖν ἐπὶ βωμόν, ἵνα οὕτως ἐμφήνῃ μὴ τῷ Χρύσῃ ἀλλὰ τῷ Φοίβῳ τὴν χάριν γενέσθαι, εἶτα χρᾶται καὶ διηγήσει ἁπλῇ αὐτὸ διεξελθὼν ψιλὸν τὸ πρᾶγμα ἐν στενῷ. «ὦ Χρύση, πρό μ᾽ ἔπεμψεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων», ὡς ναύαρχον δηλαδή, «παῖδά τέ σοι ἀγέμεν, Φοίβῳ θ᾽ ἱερὴν ἑκατόμβην ῥέξαι ὑπὲρ Δαναῶν, ὄφρ᾽ ἱλασόμεσθα ἄνακτα, ὃς νῦν Ἀργείοισι πολύστονα κήδε᾽ ἐφῆκεν». Ὅτι δὲ τοῦ «ἄναξ ἀνδρῶν» πολὺ ἐνδοξότερον τὸ εὐρυκρείων, οὐκ ἄδηλόν ἐστιν.] (v. 446) Ἐνταῦθα δὲ ἔδει μὲν εἰπεῖν τι τὸν Χρύσην αὐτίκα, ὅτε ἀπέλαβε σταλεῖσαν τὴν θυγατέρα. ὁ δὲ ποιητὴς δεξιώτατα σιγῶντα ποιεῖ αὐτόν, ὡς καὶ πρὸ μικροῦ τοὺς κήρυκας, καθὰ καὶ προείρηται. οὔτε γὰρ ἐπαινεῖν ὁ γέρων ἔχει τοὺς ἀποδιδόντας μεμνημένος, ὅσα ἠπείληται, καὶ εἰδὼς οὐχ᾽ ἑκουσίαν τὴν ἀπόδοσιν, καὶ οὐδὲ ψέγειν καλὸν ἔγνωκε τοὺς δωρησαμένους. παροξυντικόν τε γὰρ τοῦτο καὶ οὐδὲ πρέπον εὐεργετουμένῳ ἀνδρί. τάχα δὲ καὶ ἡ πολλὴ χαρὰ παραιρεῖται τοὺς λόγους τῷ γέροντι. διὸ καὶ ὁ ποιητὴς ἐπεσημήνατο εἰπών· «ὃ δ᾽ ἐδέξατο χαίρων». ἄλλως τε κατὰ τοὺς παλαιοὺς οὐδὲ τοσαύτην ἔχει κίνησιν τὰ ἡδέα, ὅσην τὰ λυπηρά. διὸ τὴν μὲν ἐπὶ τῇ θυγατρὶ λύπην ἔχων καὶ ὡδοιπόρησε καὶ ἐλάλησε, χαρᾶς δὲ οὐδὲν ποιεῖ ἐπίσημον, ἀλλ᾽ ἢ μόνον εὔχεται ἀγαθὰ τοῖς Ἕλλησιν ὕστερον, εἰς ὃ προεκλήθη ὑπὸ τοῦ Ὀδυσσέως. ὅτε καὶ λαλεῖ πρὸς ὃν ἐχρῆν, ἤγουν πρὸς τὸν Φοῖβον, οὗ χάριν ἔλαβε τὸ θυγάτριον, ὃ ἐπὶ βωμὸν ἄγων Ὀδυσσεὺς ἐν χερσὶν αὐτῷ ἔθετο. Ὅρα δὲ πεισμονῆς ἀκαίρου βασιλικῆς ἀποτέλεσμα, ὡς καὶ προεγράφη. ὁ γὰρ ἀπερείσια μὴ λαβὼν δῶρα ἀπριάτην τε ἀπέδωκε τὴν αἰχμάλωτον καὶ ἑκατόμβην προσαποδέδωκεν. (v. 446 s.) Ὅτι ὁ τιμηθεὶς μέν τινι βαθμῷ στάσεως, ὀλεθρίως μέντοι γε ἢ ἄλλως ἐπιζημίως, εἴποι ἂν εὐκαίρως, ὅτι ὡς ἐν ἑκατόμβης μοίρᾳ ἐγένετο. κἀκεῖ γάρ ἐστι μὲν κατὰ τὸν ποιητὴν τὸ τῆς στάσεως ἐφεξῆς κατὰ τὸν βωμόν. «ἑξείης γάρ», φησίν, «ἔστησαν περὶ βωμόν». τῶν δὲ ἑστώτων οὐδὲν περισῴζεται· σφάττονται γάρ. (v. 448) [Ἐΰδμητος δὲ νῦν ὁ εὐδόμητος, ᾧ ἴσον ἐν ἄλλοις ὁ ἐϋκτίμενος, οὗ θηλυκὸν ἡ ἐϋκτιμένη.] (v. 449) Ὅτι καὶ θύοντες χερνίπτονται οἱ παλαιοί ὡς ἐνταῦθα καὶ εὐχόμενοι δέ, ὡς ἐν Ὀδυσσείᾳ φαίνεται.

1.203 δεῖ γὰρ καθαροὺς τῶν θείων γίνεσθαι. φησὶ γάρ· «χερνίψαντο δ᾽ ἔπειτα καὶ οὐλοχύτας προβάλοντο» ἤγουν προέθεντο, προέρριψαν. εἰσὶ δὲ οὐλοχύται, ὡς μὲν ἓν ἀνθ᾽ ἑνὸς εἰπεῖν, τὰ προθύματα. οὐλοχύτας γὰρ πρὸ τῆς θυσίας μετεχειρίζοντο καί, ὡς ὁ ποιητής φησι, προεβάλοντο. εἰ δὲ χρὴ καὶ πλατύτερον εἰπεῖν διὰ τὸ σαφέστερον, οἱ οὐλοχύται οὐλαὶ ἦσαν τουτέστι κριθαὶ μετὰ ἁλῶν, ἃς ἐπέχεον τοῖς βωμοῖς πρὸ τῆς ἱερουργίας. ἐποίουν δὲ τοῦτο ἢ πολυπλήθειαν καρπῶν οἰωνιζόμενοι, ὧν ἀπαρχαὶ οἷον αἱ οὐλαὶ αὗται προσήγοντο, ἢ ἄλλως διὰ τὸ πρὸς θεοὺς εὐχάριστον ὑπὲρ τῆς εἰς τὸ ζῆν εὐεργεσίας, ἐπεὶ τοῦ βαλανηφαγεῖν καὶ τῆς τῶν δρυκάρπων ἀπαλλαγέντες τροφῆς εἰς ἥμερον βίον τὸν ἐκ τῶν σπορίμων μετέπεσον. διὰ τοῦτο γὰρ καὶ κριθὰς προεβάλοντο, σπέρμα ἥμερον, ἃς πρώτας κρατεῖ λόγος εἰς χρῆσιν ἐλθεῖν τοῖς πάλαι ποτὲ ἀπαλλαγεῖσι τοῦ βαλανηφαγεῖν. διὸ καὶ κριθαί, φασίν, ἐκλήθησαν, διότι αὐτῶν εὑρεθεισῶν διεκρίθησαν τῶν ἀλόγων ζῴων οἱ ἄνθρωποι. ἐντεῦθεν δὲ καὶ ὁ κρίβανος οἱονεὶ κριθῆς βαῦνος. καλοῦσι δὲ βαῦνον μέχρι καὶ ἐσάρτι Πελοποννήσιοι τὸν τοῦ πυρὸς

τόπον, ὃν καὶ παριστίαν λέγομεν ἰδιωτικῶς. ἐκεῖθεν δὲ καὶ οἱ παρὰ τῷ Κωμικῷ κριβανωτοί, ἄρτοι δηλαδὴ ὀπτηθέντες κριβάνῳ, ὃν καὶ κλίβανον διὰ τοῦ λ φασιν, ὁμοίως τῷ κεφαλαργία, κεφαλαλγία. εἰς εὐχάριστον οὖν μνήμην τῆς παλαιᾶς βρώσεως αἱ οὐλαὶ προεβάλλοντο, αἵτινες τὴν ἀρχὴν ὅλαι ἤτοι σῶαι ἠσθίοντο πρὶν ἢ γενέσθαι τὰ τοῦ ἀλετοῦ. διὸ καὶ οὐλαὶ λέγονται κατὰ πρόσληψιν τοῦ υ ὁλαὶ ἄλλως ὀφείλουσαι λέγεσθαι. ὅθεν καί, ὁπηνίκα μὴ παρῆσαν οὐλαὶ τουτέστι κριθαί, ἀντὶ κριθῶν δρυὸς φύλλα προεβάλλοντο ἀνατρέχοντες καὶ οὕτω πρὸς παλαιτάτην μνήμην διαίτης καὶ ἀναμιμνῃσκόμενοι τῆς ἐκ τῶν δρυκάρπων παλαιφάτου τροφῆς, ὡς καὶ ἐν Ὀδυσσείᾳ οἱ τοῦ Διὸς ἑταῖροι μὴ ἔχοντες κρῖ λευκὸν φύλλα δρεψάμενοι τέρενα δρυὸς ηὔχοντο. οἱ δ’ αὐτοὶ καὶ οἶνον λείβειν μὴ ἔχοντες ὕδωρ ἔσπενδον εὐπόριστα ταῦτα σπονδήν τε καὶ οἷον οὐλοχύτας ἐξευρηκότες. καὶ αὕτη μὲν αἰτία τῆς τῶν κριθῶν παραλήψεως ἐν τοῖς οὐλοχύταις. ἅλας δὲ ταῖς οὐλαῖς ἀνεμίγνυον οὐ μόνον διὰ γονιμότητα καὶ τὸ ἐν τροφαῖς νόστιμον, ἀλλὰ καὶ διότι φιλίας οἱ ἅλες σύμβολον. διὸ καὶ τοῖς ἐπιξενουμένοις παρετίθεντο πρὸ τῶν ἄλλων βρωμάτων ἢ διὰ τὸ τῆς φιλίας νόστιμον καὶ παράμονον· παραμονῆς γὰρ αἴτιος πολλοῖς τῶν σωμάτων καὶ ὁ ἅλς· ἢ καὶ εἰς σύμβολον τῆς κατὰ φιλίαν ἑνώσεως.

1.204 ὡς γὰρ ἅλς ἐξ ὑδατίων πολλῶν ῥυτῶν καὶ χυτῶν παγεὶς ἕν τι στερεὸν γέγονε σῶμα, οὕτω καὶ οἱ συνελθόντες εἰς ξενίαν ἐκ διεστώτων εἰς ἓν τῷ τε τόπῳ καὶ τῇ φιλικῇ διαθέσει συνήχθησαν. οἶνος δὲ εἰ καὶ μὴ τοῖς οὐλοχύταις συμπαρελαμβάνετο, ἀλλ’ οὖν ἐν ταῖς σπονδαῖς χρήσιμος ἦν μετὰ τοὺς οὐλοχύτας, διότι καὶ ἡ τούτου εὕρεσις, ὥσπερ καὶ ἡ τῶν κριθῶν, πολιτικοῦ βίου καὶ ἡμέρου ἐστὶ καταρχή· ὀψὲ γάρ ποτε εὕρηται. Ἰστέον δὲ ὅτι τοῦ ποιητοῦ οὐλοχύτας εἰπόντος τινὲς τῶν ὕστερον, ὧν ἐστι καὶ ὁ Ῥωμαῖος Δίων, οὐ συνθέτως οὐλοχύτας, οὐλὰς δὲ μόνον φασίν. ἔστι δὲ καὶ ἄλλως συντομώτατα φράσαι περί τε οὐλοχυτῶν καὶ τῆς δι’ οἴνου σπονδῆς, ὅτι διττῆς οὔσης ἐν ἡμῖν τροφῆς τῆς ἀναγκαιοτάτης, ξηρᾶς τε, ἥτις ἐν σπέρμασι θεωρεῖται καὶ ἄλλοις καρποῖς, ἔτι δὲ καὶ τῆς ὑγρᾶς τῆς θεωρουμένης πρώτως μὲν ἐν ὕδατι, δευτέρως δὲ καὶ ἐν οἴνῳ, ἀπαρχὰς οἱονεὶ τῆς ὅλης ζῳογόνου τροφῆς εὐχαρίστως οἱ παλαιοὶ τούς τε οὐλοχύτας ἐν ταῖς θυσίαις προεβάλλοντο ἀπὸ ξηρᾶς τινος τροφῆς, ἀλλὰ μὴν καὶ τὰς σπονδὰς ἐν ἄλλοτε ἄλλῳ ὑγρῷ γινομένας πρὸς τοὺς καιρούς. μετὰ δὲ τοὺς οὐλοχύτας αἱ θυσίαι καὶ ἡ ἐν αὐταῖς κρεωφαγία, διότι καὶ μετὰ τὴν τῶν ἀναγκαίων τροφῶν εὕρεσιν ἡ τῆς κρεωδαισίας πολυτέλεια καὶ τὸ τῆς τρυφῆς ἐπείσακτον εὕρηται. δεῖ δὲ εἰδέναι, ὅτι τινὲς παντελῶς ἑτέραν τραπόμενοι οὐ θύματα ἢ προθύματα ἢ προβολὴν θυμάτων τοὺς οὐλοχύτας φασίν, ἀλλ’ αὐτὰ τὰ κανᾶ, εἴτ’ οὖν τὰ ἀγγεῖα, δι’ ὧν αἱ οὐλαὶ χέονται, οὐλὰς νοοῦντες ἀπὸ μέρους, καθὰ καὶ ὁ Δίων ἔφρασε, τὸ μῖγμα τὸ ἐκ κριθῆς καὶ ἁλῶν. αἱ δὲ οὐλαὶ ὀξύνονται πρὸς διαστολὴν τοῦ οὖλαι τρίχες, εἰ καὶ ἄλλως συμπίπτουσι ταῖς τραυματικαῖς οὐλαῖς. (v. 450) Ὅτι χεῖρας ἀνασχών ἀντὶ τοῦ ἀνατείνας εἰς εὐχήν. λέγεται δὲ τὸ ἀνασχεῖν καὶ ἐπὶ ἀνατολῆς· ἀνίσχειν γὰρ ὁ ἥλιος καὶ ἀνασχεῖν λέγεται. Τὸ δέ «χεῖρας ἀνασχών» ἐν ἄλλοις ἀνασχόμενος εὑρεθήσεται παθητικῶς, ὅπερ ἕτερος ποιητής «ἀναπτύξας χεῖρας» φησί. Σημείωσαι δὲ ὅτι τῷ ἀνίσχειν ἀντίκειται τὸ κατίσχειν, ὡς Ἡρόδοτος δηλοῖ λέγων· «κατίσχει σέλας ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν βοῦν τὴν γεννῶσαν τὸν Ἆπιν»· καὶ ὅτι τὸ ἀνασχεῖν καὶ ἐπὶ ὑπομονῆς ποτε λέγεται. φησὶ γοῦν ὁ αὐτὸς μέγα ἢ σμικρὸν λυπηρὸν ἀνασχήσειν ἤγουν ἀνέξεσθαι. [Ἐνταῦθα δὲ τὸ «μεγάλ’ εὔχετο χεῖρας ἀνασχών» ἢ ἐξάκουστον εἶναι δηλοῖ τὴν εὐχὴν ἐκπεφωνημένην εἰς ἐπήκοον ἢ λέγει ὅτι μεγάλα τινὰ πρὸς θάρρος εὔξατο.

1.205 ] (v. 451) Ὅτι ταὐτολογεῖ τὰ τοῦ Χρύσου ἐνταῦθα ὁ ποιητὴς ἐν δυσὶ στίχοις εἰπὼν καὶ νῦν τὸ «κλῦθί μευ, ἀργυρότοξε» καὶ ἑξῆς, παραδηλῶν ὡς καὶ ἐν ἄλλοις, ὅτιπερ οὐ δεῖ τὰ ἤδη εὖ γραφέντα, ἐν οἷς οὐ δέον, παρακινεῖν. (v. 456) Ἐνταῦθα δὲ σημείωσαι καὶ τὴν τοῦ Χρύσου εὐχὴν πάνυ ἀπεστενωμένην· ἑνὶ γὰρ στίχῳ σφίγγεται τῷ «ἤδη νῦν Δαναοῖσιν ἀεικέα λοιγὸν

ἄμυνον». καὶ οὐκέτι τὰ καλὰ ἐκεῖνα εὔχεται, ἃ παρὰ τῷ Ἑλληνικῷ ναυστάθμῳ δακνόμενος ἔτι τὴν ψυχήν, ἐφ' οἷς ἔπαθε. διὸ καὶ τὸ «νῦν» προσέθετο τῇ εὐχῇ μονονουχὶ λέγων, ὡς οὐκέτι εὔχομαι αὐτοὺς εὖ οἴκαδ' ἱκέσθαι· ἀγαπητὸν γάρ, εἰ καὶ τοῦ νῦν ἀπαλλαγεῖεν κακοῦ. Ὅρα δὲ καὶ ὅπως ἄνετος ὁ ἱερεὺς τὰ οἰκεῖα νέμεται μηδὲν πρὸς τῶν πολεμίων Ἀχαιῶν βλαπτόμενος. (v. 454) Ἐν τούτοις δὲ κεῖται καὶ χρῆσις τοῦ ἰψάμην μέσου ἀορίστου ἀντὶ τοῦ ἔβλαψα. φησὶ γάρ· «μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν». [ὅθεν καὶ ἴψα καὶ πλεονασμῷ τοῦ δ δίψα, ὡς βλαπτική, καὶ πολυδίψιον κατά τινας Ἄργος, τὸ πολυβλαβές, εἰ καὶ ἕτεροι τὸ πολυπόθητόν φασιν.] (v. 458—67) Ὅτι ἔννοια διασκευῆς καὶ ἐνταῦθα ἐν τῷ «αὐτὰρ ἐπεί ῥ' εὔξαντο καὶ οὐλοχύτας προβάλοντο, αὐέρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν, μηρούς τ' ἐξέταμον κατά τε κνίσσῃ ἐκάλυψαν δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν. καῖε δ' ἐπὶ σχίζῃς ὁ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον λεῖβε. νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν. αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη καὶ σπλάγχν' ἐπάσαντο, μίστυλλόν τ' ἄρα τἆλλα καὶ ἀμφ' ὀβελοῖσιν ἔπειρον, ὤπτησάν τε περιφραδέως». διασκευάζει δὲ τὸν τρόπον τῆς θυσίας λέγων, ὅπως ἐγίνετο. ἃ δὲ ἐν τούτοις λεχθῆναι χρή, εὐθὺς εἰρήσεται· (v. 459) Ὧν πρῶτον, ὡς ἔθος Ἑλληνικόν, εἰ μὲν τοῖς ἄνω ἔθυον, ἀνακλᾶν τὸν τοῦ ἱερείου τράχηλον, ὥστε ἀφορᾶν ὡς εἰς οὐρανόν. καὶ ἐλέγετο τοῦτο αὖ ἐρύειν ἐν παραθέσει δύο λέξεων ἢ αὐερύειν ἐν συνθέσει κατὰ ὑφέν, τουτέστιν ὀπίσω ἕλκειν καὶ ἀναφέρειν ἐν τῷ ἀνακλᾶν· [ὃ δὴ ἑρμηνεύειν δοκεῖ Σοφοκλῆς ἐν τῷ «ἄνω τρέπων ἔσφαζεν».] ἐὰν μέντοι ἥρωσιν ἢ ὅλως τοῖς κατοιχομένοις ἔθυον, κάτω τὸ ἱερεῖον ἀποβλέπον ἐσφάζετο. Τοῦ δὲ σφάζειν πρωτότυπον τὸ φῶ φάζω [καὶ πλεονασμῷ τοῦ σῖγμα σφάζω κατὰ τὸ μικρόν σμικρόν καὶ μέρδω σμέρδω καὶ μῶ σμῶ, ὅθεν τὸ σμήχω.] Ἐξ αὐτοῦ δὲ ἡ διασφάξ ἐπὶ σχίσματος εἴτε πετραίου εἴτε καὶ τοῦ κατὰ σῶμα, ὁποία καὶ ἡ τῆς ῥίνης παρὰ τῷ Ὀππιανῷ καὶ ἡ τοῦ κατὰ τοὺς κωμικοὺς αἰδοίου, [ὃ καὶ κριθὴν ἐκεῖνοι καθ' ὅμοιον λόγον ἐκάλεσαν.

1.206 καὶ οὕτω μὲν οἱ παλαιοὶ αὖ ἔρυον.] (v. 460) Τοὺς δὲ μηροὺς κνίσσῃ τουτέστι πιμελῇ καλύπτοντες ἔκαιον, [ἧς δὴ κνίσσης τῆς καὶ προγραφείσης ὄνομα σῴζεται μέχρι καὶ νῦν παρὰ τοῖς κνισσάριον καλοῦσιν αὐτήν.] (v. 461) Ἔκαιον δὲ δίπτυχα ποιοῦντες ἤγουν δίπλωμα τῇ πρὸς ἀλλήλους ἐπιθέσει τῶν μηρῶν ἢ μάλιστα διπλοῦντες ἐν αὐτοῖς τὴν κνίσσαν. ἦν γὰρ σπουδὴ ὁλοκαυτωθῆναι τοὺς μηροὺς λαμπρῷ καταφλεχθέντας πυρί, ὡς, εἴγε μὴ τοῦτο ἀπέβαινεν, ἀπαίσιον ἦν τοῖς Ἕλλησι τὸ γινόμενον καὶ οὐκ ἐδόκουν καλλιερεῖν, ὁπηνίκα κατὰ τὴν τραγῳδίαν οἱ μηροί «καταρρυεῖς καλυπτῆς ἐξέκειντο πιμελῆς». καὶ οὕτω μὲν τοὺς μηροὺς ὥς τι τίμιον ὡλοκαύτουν ἐξαιροῦντες ἀπὸ τῶν ἄλλων τοῦ ζῴου μερῶν διὰ τὸ συντελεῖν τοῖς ζῴοις εἰς βάδισίν τε καὶ εἰς γένεσιν τῇ προέσει τοῦ σπέρματος. τῶν δὲ λοιπῶν τοῦ ζῴου μελῶν μικρά τινα ἐκτέμνοντες οἷόν τινας ἀπαρχὰς τοῦ ὅλου ζῴου ἐπετίθουν αὐτὰ τοῖς διπτύχοις. καὶ τοῦτο ὠμοθετεῖν ἐκάλουν τὸ τοῖς μηροῖς ὠμὰ πάντοθεν ἀκρωτηριάζοντας κρεάτων ἐπιτιθέναι τμήματα, ὡς δοκεῖν κατὰ τοὺς παλαιοὺς ὅλα οὕτω τὰ μέρη τοῦ ἱερείου καρποῦσθαι. Τινὲς μέντοι ὠμοθετεῖν ἄλλως εἶπον ὡς ἀπὸ τοῦ ὤμου. ἐν γοῦν ῥητορικῷ Λεξικῷ εὔρηται οὕτως· ὠμοθέτησαν. τὸ ἀφ' ἑκάστου μέλους τοῦ ἱερείου ἀπετέμοντο καὶ ἀπήρξαντο ἀπ' ὤμου καὶ ἐνέβαλον εἰς τὰ μηρία κατὰ τὴν θυσίαν. καὶ οὕτω μέν πως ὠμοθέτουν θύοντες. (v. 464) Κατακαυθέντων δὲ τῶν μηρῶν τότε δὴ πρὸ τοῦ φαγεῖν ἐμερίζοντο ἑαυτοῖς εἰς βρῶσιν τὰ τῷ σπληνὶ παρωνυμούμενα σπλάγχνα τουτέστι τὰ ἐντοσθίδια, σπλῆνα, καρδίαν, ἧπαρ. τοῦτο γὰρ δηλοῖ τὸ «σπλάγχνα ἐπάσαντο». δηλοῦντες ἐνδιαθέτως ἐκ ψυχῆς τελεῖν τὴν θυσίαν. Ἔστι δὲ πάσασθαι τὸ γεύσασθαι, ἀφ' οὗ καὶ «ἄπαστος ἐδητύος» ὁ ἄγευστος, [ὧν προϋπάρχει τὸ πῶ, τὸ κτῶμαι. ὅθεν καὶ τὸ πῶϋ καὶ πηός ὁ ἐξ ἀγχιστείας ἐπίκτητος συγγενὴς καὶ πολυπάμμων ὁ πολυθρέμμων, εἴτ' οὖν πολύκτητος ταὐτὸν δὲ φάναι πολυκτήμων.] (v. 465 s.) Ἐπεὶ δὲ καὶ τοῦτο ποιήσειαν, τότε δὴ τὰ μελεϊστὶ τμηθέντα μιστύλλοντες τουτέστιν εἰς μεῖστα, ὅ ἐστι σμικρότατα,

κόπτοντες ἀμφ’ ὀβελοῖσιν ἔπειρον ἢ πεμπωβόλοις, περὶ ὧν κατωτέρω εἰρήσεται, καὶ περιφραδέως ὀπτῶντες ἤσθιον. καὶ ταῦτα μὲν ἱστορεῖ περὶ Ἑλλήνων ὁ ποιητής.

1.207 Ὁ δὲ Γεωγράφος οἶδε Περσικὴν ἑτεροίαν θυσίαν γράφων οὕτω· «θύουσιν ἐν ὑψηλῷ τόπῳ Πέρσαι τὸν οὐρανὸν ἡγούμενοι Δία. τῶν δὲ ἱερείων οἱ μάγοι τὰ κρέα διελόμενοι τοῖς θεοῖς οὐδὲν ἀπένεμον λέγοντες τῆς ψυχῆς τοῦ ἱερείου δεῖσθαι τὸν θεόν, ἄλλου δὲ οὐδενός. τοῦ δὲ ἐπίπλου μικρόν τι ἐπὶ τὸ πῦρ τιθέασιν». (v. 462) Ἰστέον δὲ ὅτι τε τὰς σχίζας εἰς ἐντελείαν διασκευῆς παρέλαβεν ἁπλῶς οὕτως ὁ ποιητὴς καὶ ὅτι τὰ μηρὰ οἱ ἀνωτέρω κείμενοι μηροὶ μετέπλασαν καὶ ὅτι, [ὡς καὶ προεφάνη,] ὁ σπλὰν Δωρικῶς ἤγουν ὁ σπλὴν παράγει τὰ σπλάγχνα κατὰ τοὺς παλαιούς. καὶ ὅτι μιστύλλειν μὲν παρὰ τῷ ποιητῇ, ὡς εἴρηται, τὸ διαιρεῖν εἰς μερίδας μικράς, παρὰ δὲ τοῖς Ἀττικοῖς μιστυλᾶσθαι κατὰ δευτέραν συζυγίαν περισπωμένης τὸ διὰ μιστύλης, ὅ ἐστι διὰ κοίλου ἄρτου, ζωμὸν ἀρύεσθαι, ἴσως δὲ καὶ τὸ ἐν μικροῖς ἀρτίσκοις, ὡς δηλοῖ τὸ «μεμιστυλημένοι ἐπ’ ὀλιγίστοις ἀλφίτοις». Σημείωσαι δὲ καί, ὅτι κατὰ τοὺς παλαιοὺς τὸ μὲν μεῖστον, ὅ ἐστι τὸ σμικρότατον, διὰ διφθόγγου γράφεται ὡς ἀπὸ τοῦ μεῖον, [καθὰ καὶ ἀπὸ τοῦ πλεῖον τὸ πλεῖστον,] αὐτὸ δὲ τὸ μιστύλλειν τὸ ε τῆς διφθόγγου ἀπέβαλε. τὸ δ’ αὐτό, φασί, πέπονθε καὶ τὸ μικρὸν ἀπὸ τοῦ μεῖον γενόμενον. καὶ γὰρ τὸ μὲν μεῖον διὰ διφθόγγου, τὸ δὲ μικρὸν τὴν διὰ τοῦ ι ἔχει γραφήν, ὅπου γε καὶ τὸ μεῖστον, οὐδὲν καινόν, εἰ διὰ τοῦ ι ἐγράφη, ὡς τὸ χερείων χείριστος, ἀρείων ἄριστος. (v. 466) Κἀκεῖνο δὲ ἰστέον ὅτι, ὡς πολλαχοῦ δειχθήσεται, ὀπτητοῖς, ὅ ἐστι κατὰ συγκοπὴν ὀπτοῖς, οἱ ἥρωες ὡς ἐπὶ πολὺ χρῶνται κρέασι καὶ τούτοις ἐκ τῶν προχείρων ζῴων. ἡ δὲ τρυφὴ πάνυ μακρὰν αὐτῶν ἀπεσκήνου. ἰχθυοφαγίαν δὲ καὶ θήραν ὀρνίθων ὁ λιμὸς ἀναγκάζων ἐσχεδίαζεν, ὡς ἐν Ὀδυσσείᾳ φαίνεται. Τὸ δὲ περιφραδέως ὀπτᾶν ταὐτόν ἐστι τῷ ἐπιστημόνως. ἐμπειρίας γάρ, φασί, χρεία τοῖς ὀπτῶσι καὶ ἐποπτείας συχνοτέρας ἤπερ τοῖς ἕψουσι. διὸ καὶ τὸ ὀπτᾶν ὡς ἀπὸ τῆς τοιαύτης ἐποπτείας εἴρηται, [καθὰ καὶ τὸ ὀπταίνω ἄχρηστον, ἀφ’ οὗ τὸ ὀπτανεῖον.] Ἀττικοὶ δὲ ἀπανθρακίζειν τὸ ὀπτᾶν λέγουσιν, ὡς δηλοῖ καὶ ὁ Κωμικός. δῆλον δὲ ὅτι τοῦ περιφραδέως προϋπάρχει τὸ φραδής φραδέος ἀπὸ τοῦ φράζω, ὡς τὸ «φραδέος νόου ἔργα τέτυκται». [ὅθεν σύνθετον ὁ παρὰ Σοφοκλεῖ ἀριφραδὴς ἀνήρ καὶ ὁ πρὸς διαστολὴν αὐτοῦ βαρυνόμενος Ἀριφράδης τὸ κύριον. (v. 458) Ἰστέον δὲ ὅτι ἐν τῷ «αὐτὰρ ἐπεί ῥ’ εὔξαντο» κατὰ προσπάθειαν Ὁμηρικὴν κεῖται συναλιφεὶς ὁ ῥα σύνδεσμος. πάνυ γὰρ αὐτῷ χαίρει ὁ ποιητὴς καὶ γέμει αὐτοῦ διὰ παντὸς ἡ τούτου γραφή, ὡς οἷα τῷ τοιούτῳ ῥῶ χαίροντος κατὰ τοὺς ἐν τῇ Βοιωτίᾳ εἰρησομένους Ἐρετριεῖς.

1.208 Τὸ δέ «εὔξαντο» καὶ ὅσα τοιαῦτα, εἰσὶ μὲν Ἀττικῶς ἀναύξητα, κεκοίνωται δὲ πλέον ἤπερ τὰ μετὰ αὐξήσεως κοινά. (v. 459) Τὸ δέ «πρῶτα» πεπλήθυνται κἀνταῦθα κείμενον ἐπιρρηματικῶς ἀντὶ τοῦ πρῶτον. (v. 461) Τοῦ δέ «δίπτυχα» θέμα τὸ πτύσσω, καθὰ καὶ τοῦ πτύξ πτυχός καὶ τοῦ πολύπτυχος. πρωτότυπον δὲ τοῦ πτύσσω τὸ πτῶ, ἐξ οὗ καὶ πτήσσω τὸ κατὰ φόβον συστέλλομαι.] (v. 462) Αἶθοψ δ’ οἶνος ὁ οἷον ἐπικεκαυμένος τὴν ὄψιν ἤτοι μέλας ἢ ἐρυθρός, ὁποίαν σύνθεσιν ἔχει καὶ ὁ Αἰθίοψ τὸ ἐθνικὸν διαφέρων κατὰ μόνον τὸ τρισυλλαβεῖν, ἢ καὶ ὁ θερμὸς καὶ ἐκκαίων παρὰ τὸ αἴθω. (v. 463) [Τοῦ δὲ λείβειν οἶνον καιρὸς οὐ μόνον ὁ κατὰ θυσίας ἀλλὰ καὶ ὁ κατ’ ἀρχὴν ὁδοιπορίας καὶ ἀπόπλου καὶ ὕπνου καὶ ξενίας καὶ ὅσα τοιαῦτα.] Ἐν δὲ τῷ «νέοι δὲ παρ’ αὐτὸν ἔχον πεμπώβολα χερσί» φασὶν οἱ παλαιοί, ὡς οἱ μὲν ἄλλοι τρισὶν ἔπειρον ὀβελοῖς, οἳ λέγοιντο ἂν τριώβολα· μόνοι δὲ οἱ Κυμαῖοι—Αἰολικὸν δὲ οὗτοι ἔθνος—πεμπωβόλοις ἐχρῶντο. ἔστι δὲ ἡ τοῦ πεμπωβόλου λέξις Αἰολική, καθὰ καὶ ἡ χρῆσις. πέμπε γὰρ οἱ Αἰολεῖς τὰ πέντε φασίν· ὅθεν καὶ πεμπάζειν κυρίως τὸ κατὰ πεντάδας ἀριθμεῖν, ἐξ οὗ ἀναπεμπάζειν μεταφορικῶς τὸ ἀναμετρεῖν καὶ ἀναλογίζεσθαι. ἔοικε δὲ τὸ παρὰ τοῖς Κυμαίοις τοῦτο πεμπώβολον δακτύλοις πτύου λικμητικοῦ ἢ ὀδοῦσι τριαίνης, οἷς ἐνεπείρετο τὸ ὀπτώμενον. Ὅρα δὲ ὅπως τὸ μὲν ἁπλοῦν ὀβελός διὰ τοῦ ε παρὰ τὸ βέλος, τὸ δὲ ἐξ αὐτοῦ

σύνθετον διὰ τοῦ ο ἀπὸ τῆς βολῆς· πεμπώβολον γάρ. καὶ οὕτω μὲν τὸ πεμπώβολον λέξις Αἰολικὴ καὶ δηλοῖ ἐργαλεῖόν τι μαγειρικὸν πενταδάκτυλον καί, ὡς ἄν τις ἰδιωτευόμενος εἴπῃ, πεντάσουβλον. εἰ δέ τις εἴπῃ πεντώβολον, παρήγαγε μὲν τὴν λέξιν, ὥσπερ καὶ τὸ πεμπώβολον, οὐκέτι δὲ ἀφῆκεν αὐτὴν Αἰολικὴν εἶναι, ἀλλὰ διαλέκτου Ἀτθίδος αὐτὴν ποιεῖ. καὶ δηλοῖ τοὺς πέντε ὀβολούς, ὥσπερ τοὺς τρεῖς τὸ τριώβολον καὶ τοὺς δύο τὸ διώβολον. ἔοικε δὲ παρὰ μὲν τῷ ποιητῇ ταὐτοδύναμα εἶναι ὁ ὀβολὸς καὶ ὁ ὀβελός, σκεῦός τι μαγείρου ἐν τῷ ἄκρῳ ὀξὺ καὶ βάλλειν δυνάμενον καὶ βολὴν ὡς βέλους ποιεῖν· παρὰ μέντοι τοῖς ὕστερον μεγάλην ἔσχον διαφοράν, οἵπερ ὀβελὸν μὲν διὰ τοῦ ε τὸν αὐτὸν λέγουσι τῷ ποιητῇ, τὸν μαγειρικόν, ὀβολὸν δὲ σιδήρου τι ἔλασμα ἔλεγον σχῆμα μέν πως ἔχον ὀβελοῦ, οὐ μὴν καὶ εἰς πάντῃ ὀξὺ λῆγον. οὕτω δὲ ἁδρὸν ἦν τῇ παχύτητι ἐκεῖνο τὸ ἔλασμα τοῦ ὀβολοῦ, ὥστε ὀβολοὶ ἓξ τὴν δράκα ἐπλήρουν καὶ τοῦτο ἐλέγετο δραχμή, ὀβολῶν τοιούτων ἑξάς, ὅσων ἐπιδεδράχθαι δύναται χείρ.

1.209 οἱ δὲ τοιοῦτοι, ὡς εἰκός, ὀβολοὶ χρόνῳ τοῦ ὕψους ὑποσπώμενοι καὶ κατὰ μικρὸν ὑποκαταβαίνοντες τοὺς ὕστερον ταπεινοὺς καὶ πετηλώδεις καί, ὡς ἄν τις ἐρεῖ, ἐπιπέδους ἐποίησαν ὀβολοὺς τοὺς λεγομένους φόλλεις. Ἀπὸ δὲ τοῦ Ὁμηρικοῦ ὀβελοῦ καὶ τὸ γραφικὸν σημεῖον μετήνεκται ὁ ὀβελός, ὅς ἐστι γραμμή τις εὐθεῖα προτιθεμένη μὲν στίχων ἤτοι ὀρδίνων ἔξω, ἀπαιτοῦσα δὲ τὸν θεατὴν δοκεῖν, ὅτι ῥυεῖσα ἐπέπεσε τοῖς γράμμασιν, ὥσπερ ὀβελὸς μέλας ἀπὸ σιδήρου, καὶ ἠμαύρωσεν αὐτά. ὃ καὶ λέγεται μεταφορικῶς ὀβελίζειν. [Ἰστέον δὲ ὅτι τὴν τῶν σπλάγχνων οἰκονομίαν ἐν ἄλλοις οὕτω φράζει ὁ ποιητής· «σπλάγχνα δ’ ἆρ ἀμπείραντες ὑπείρεχον Ἡφαίστοιο».] (v. 467) Ὅτι πόνος παρὰ τῷ ποιητῇ ἡ ἐνέργεια, ὡς καὶ ἐν τῷ «αὐτὰρ ἐπεὶ ἐπαύσαντο πόνου», ὅπερ ἐφερμηνεύων φησί· «τετύκοντό τε δαῖτα». οἱονεὶ γάρ φησιν, ὅτι πόνος νῦν ἡ ἑτοιμασία τῆς δαιτός. τίθησι δέ ποτε τὴν λέξιν καὶ ἐπὶ κακοπαθείας. Τὸ δὲ τετύκοντο οὕτω γίνεται. ἔστι ῥῆμα τεύχω δηλοῦν τὸ κατασκευάζω· οὗ κινηθέντος εἰς δεύτερον ἀόριστον γίνεται τὸ ἔτυχον καὶ Ἰωνικῶς ἔτυκον—ἐξ οὗ καὶ τυκίζω τὸ κτίζω καὶ τυκίον ἐργαλεῖον οἰκοδομικόν—καὶ ἐκ τούτου μέσος ἀόριστος Ἰωνικὸς τετυκόμην, οὗ τὸ τρίτον πληθυντικὸν τετύκοντο ἀντὶ τοῦ ἐποίησαν, κατεσκεύασαν. (v. 468 s.) Ὅτι ἀνοίκειον ἐλευθέροις μέχρι κόρου ἐσθίειν καί, ὡς οἱ παλαιοί φασι, δουλοπρεπές. τὰ γοῦν σεμνὰ πρόσωπα ὁ ποιητὴς ἐσθίειν φησίν, ἕως οὐκέτι «θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης» καὶ ἕως «πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο» ἤγουν ἕως ἐξεπλήρωσαν τὴν τοῦ φαγεῖν καὶ πιεῖν ἔφεσιν.

1.210 ἐξέντο γὰρ τὸ ἐξεπλήρωσαν παρὰ τὸ ἕω τὸ πληρῶ, ἐξ οὗ καὶ τὸ ὅλος. ἀφ’ οὗ παράγωγον ἕημι, οὗ δεύτερος ἀόριστος ἧν, ὁ μέσος ἥμην, τρίτον πληθυντικὸν ἧντο καὶ Ἰωνικῶς ἕντο. ἀπὸ δὲ τοῦ τοιούτου ἕημι καὶ τὸ «ἐξ ἔρον εἶναι» παρὰ τῷ ποιητῇ ἐν τοῖς ἑξῆς ἀντὶ τοῦ ἐκπλῆσαι τὸν ἔρον δασυνομένης καὶ ἐκεῖ τῆς ἀρχούσης τοῦ εἶναι. ἐξ αὐτοῦ δὲ καὶ τὸ «ἐπεί χ’ ἑῶμεν πολέμοιο» ἀντὶ τοῦ ἐπειδὰν πληρωθῶμεν καὶ κορεσθῶμεν μάχης. Τὸ δὲ ἔρον Αἰολικόν ἐστι καὶ εὕρηται αὐτοῦ εὐθεῖα παρὰ τῷ ποιητῇ καὶ παρὰ τῷ Ἡσιόδῳ δὲ ἐν τῇ Θεογονίᾳ· κεῖται δὲ καὶ παρὰ Κοΐντῳ ἐν τῷ «πολέμου δ’ ἔρος ἔμπεσε θυμῷ». τὸ δὲ λέγειν ὅτι διαφορά τίς ἐστι τοῦ ἔρος τοῦ γραφομένου διὰ τοῦ ο μικροῦ καὶ τοῦ διὰ τοῦ ω μεγάλου, ὅτι τὸ μὲν ἐπὶ τῆς πάντων τῶν ἄλλων ἐφέσεως λέγεται, τὸ δὲ διὰ τοῦ ω μεγάλου ἐπὶ τῶν κατὰ τὴν Ἀφροδίτην ἐρώτων, οὐκ ἀποδέχονται οἱ παλαιοί, οἷα τὸν ποιητὴν εὑρίσκοντες ἐν τῷ «οὐ γάρ πώ ποτέ με θεᾶς ἔρος οὐδὲ γυναικός», σμικρύνοντα μὲν τὴν λέξιν, τιθέντα δὲ αὐτὴν ἐπὶ σωματικοῦ ἔρωτος. ἐκεῖνο οὖν μᾶλλον ῥητέον, ὅτι Αἰολικὸν μὲν τὸ διὰ τοῦ ο μικροῦ, Ἀττικὸν δὲ καὶ Ὁμήρου ὕστερον τὸ διὰ τοῦ ω μεγάλου κατὰ ἔκτασιν ἀπὸ τούτου γενόμενον, ὡς καὶ ὁ παρ’ Ὁμήρῳ κάλος ἤγουν σχοῖνος ἐκταθεὶς παρὰ Ἀττικοῖς τοὺς κάλωας ἔκλινεν. εὕρηται δὲ καὶ ὁ λαγός συστέλλων τὴν λήγουσαν, ὡς δηλοῖ καὶ ὁ Ἀθήναιος. καὶ τὸ γελοῖον δὲ τοιοῦτόν τι εἰς τὸν γέλων παραδηλοῖ· ἀπὸ γὰρ τοῦ γέλως γέλωτος γελῷον ὤφειλεν εἶναι, τὸ δὲ γελοῖον ἀπὸ συστολῆς γενέσθαι φαίνεται, ὡς τὸ ἄλλος ἀλλοῖος καὶ τὰ ὅμοια. Ἰστέον δὲ ὅτι τὴν πόσιν ἐνταῦθα τῆς ἐδητύος

προέθετο, τάχα μὲν καὶ ἐκ τοῦ παρατυχόντος, ἴσως δὲ καὶ ὅτι βιαιότερον ἡ δίψα τῆς πείνης. διὸ καὶ τὸ τοῦ ἀναγκαίου θεραπευτικὸν τὴν πόσιν τῆς ἐδητύος προέθετο. [Θέμα δὲ τῆς ἐδητύος οὐ τὸ ἐδῶ ἐδέσω, ἐξ οὗ τὸ ἐδεστόν, ἀλλὰ τὸ ἐδῶ ἐδήσω ἄχρηστον. ὅθεν ἴσως καὶ ἡ ἐδηδοκώς μετοχὴ ἐπενθέσει τῆς δο συλλαβῆς, ὡς ὑπεμφαίνει καὶ τὸ «λέων κατὰ ταῦρον ἐδηδώς». ἐκεῖνο δὲ μέσος Ἀττικός ἐστι παρακείμενος τοῦ ἔδω.

1.211 ὡς δὲ ἐΐση δαίς ἡ κατὰ ἰσότητα ἢ διὰ παντὸς ἰοῦσα τοῦ σώματος πλεονασμῷ τοῦ ε καὶ ὡς καὶ νηός ἐστιν ἡ τοιαύτη λέξις ἐπίθετον, οὐ κεῖται εἰς ἀμάρτυρον.] (v. 470) Ὅτι τὸ τοὺς κρατῆρας ἐπιστέψασθαι ποτοῖο τὸ ἐπιχειλεῖς ποιῆσαι αὐτοὺς καὶ μέχρι στεφάνης, ὅ ἐστι χείλους, πληρῶσαι δηλοῖ. ὃ καὶ παρὰ τῷ Χρυσολόγῳ εὕρηται εἰπόντι «κρατῆρας ἐστεμμένους οἴνου», ὅπερ ἡ ποίησις κρατῆρας ἐπιστεφέας οἴνου φησίν. ὥσπερ δὲ ἀνωτέρω οἱ νέοι ἔχον πεμπώβολα, οὕτω κἀνταῦθα κοῦροι κρητῆρας ἐπεστέψαντο ποτοῖο. νεωτέρων γὰρ αἱ τοιαῦται ὑπηρεσίαι. διὸ καὶ μέχρι νῦν τοὺς ἐν τοιούτοις καθυπουργοῦντας παῖδας καὶ παιδίσκας φαμέν. ὡς δὲ τὸ γένος, οὕτω καὶ ὁ τόνος διάφορος τοῦ ποτοῦ ἤτοι τοῦ πινομένου ὑγροῦ καὶ τοῦ πότου ἤγουν τοῦ συμποσίου. τὸ μὲν γὰρ ὀξύνεται, ὁ δὲ πότος βαρύνεται. (v. 471) Ὅτι ὥσπερ στρέφω καὶ ἐξ αὐτοῦ στρόφος καὶ ἀπ' αὐτοῦ τὸ στρωφῶ κατὰ ἔκτασιν καὶ δηλοῖ τὸ στρέφω, οὕτω τρέπω τρόπος τρωπῶ, τρέχω τρόχος τρωχῶ καὶ νέμω νόμος νωμῶ, τὸ παρέχω, ἐξ αὐτοῦ δὲ καὶ τὸ κινῶ. ὡσαύτως καὶ πέλω πόλος πωλῶ, τὸ ἀναστρέφομαι. καὶ αὐτὸ γὰρ καὶ τὸ πωλέσκω διὰ τὸν τοιοῦτον κανόνα μεγεθύνονται παρὰ τῷ ποιητῇ. [Περὶ δὲ τοῦ παλιντροπάασθαι καὶ τοῦ τροχάζειν καὶ τοῦ δέμω δόμος δομῶ, μένω μόνος μονῶ καὶ ἑτέρων τοιούτων εὐλόγως ἀπορουμένων ζητητέον ἐν ἄλλοις.] (v. 472—4) Ὅτι ᾠδαὶ διάφοροι παρὰ τῷ ποιητῇ· αἱ μὲν ἐπὶ θείοις, οἷον «οἳ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο καλὸν ἀείδοντες», μέλποντες, «ὃ δὲ φρένα τέρπετ' ἀκούων». οἰκεῖος δὲ ὁ λόγος ἐπὶ ἐνδελεχοῦς θείας μολπῆς. ἕτεραι δὲ ᾠδαὶ ἔν τε γάμοις καὶ εἰλαπίναις καὶ ἁπλῶς ἐν εὐωχίαις, ὁποία ἡ ἐν τῇ Ὁπλοποιΐᾳ μουσικὴ καὶ ἡ παρὰ τοῖς μνηστῆρσί τε καὶ τοῖς Φαίαξιν. Ἀχιλλεὺς δὲ προϊόντος τοῦ λόγου ἄλλον τρόπον μεταχειρίζεται τὴν ᾠδὴν ἀείδων κλέα ἀνδρῶν. εἰσὶ δὲ καὶ πενθητήριοι ᾠδαὶ καὶ ἀοιδοὶ θρήνων ἔξαρχοι παρὰ τῷ ποιητῇ. ὅλως δέ, ὡς οἱ παλαιοὶ σημειοῦνται, πέντε εἰσὶν ᾠδαὶ παρὰ τοῖς ἥρωσι· σωφρονιστική, ὁποία ἡ τοῦ τῇ Κλυταιμνήστρᾳ συνόντος ἀοιδοῦ· ἐγκωμιαστική, ὡς ἡ ῥηθεῖσα τοῦ Ἀχιλλέως· θρηνητική· ὀρχηματική, ὡς ἡ τοῦ νεανίου τοῦ ἐν τῇ Ὁπλοποιΐᾳ ᾄδοντος· καὶ παιανική, ὁποία ἐστὶν ἡ νῦν αὕτη παρὰ τῷ ποιητῇ.

1.212 φησὶ γάρ. «καλὸν ἀείδοντες παιήονα». ἔστι δὲ παιήων ὕμνος τις, φασίν, εἰς Ἀπόλλωνα οὐ μόνον ἐπὶ παύσει λοιμοῦ, ὡς ἄρτι, ᾀδόμενος, ἀλλὰ καὶ ἐπὶ παύσει πολέμου, ὡς ἐν τοῖς ὕστερον φανήσεται παρ' αὐτῷ τῷ ποιητῇ· πολλάκις δὲ καὶ προσδοκωμένου τινὸς δεινοῦ ᾀδόμενος. καὶ ὁ μὲν ποιητὴς παιήονα τοῦτον καλεῖ· οἱ δὲ μετ' αὐτὸν καὶ παιῶνα, ἐξ οὗ καὶ ῥῆμα παιωνίζειν. ἔτι δὲ καὶ παιᾶνα, ἐξ οὗ καὶ οἱ παιᾶνες καὶ τὸ τούτου ῥῆμα παιανίζειν. γίνονται δὲ αἱ τοιαῦται λέξεις ἐκ τοῦ παίω, τὸ θεραπεύω, αὐτὸ δὲ ἐκ τοῦ παύω τροπῇ τοῦ διχρόνου εἰς δίχρονον, ἐπεὶ ἐπὶ καταπαύσει κακοῦ τινος ὁ τοιοῦτος ὕμνος ἐξεύρηται. Ἔστι δὲ καὶ Παιήων ὄνομα ἰατροῦ τοῦ παρὰ θεοῖς, ὡς ἐν τοῖς ἑξῆς ῥηθήσεται. ἐτυμολογεῖται δὲ καὶ αὐτὸ ὁμοίως, ἐπεὶ θεραπευτικὸν καὶ καταπαυστικὸν κακοῦ τὸ τῶν Ἀσκληπιαδῶν φῦλον. τὸν δὲ ῥηθέντα ἰατρὸν Παιήονά τινες τὸν αὐτὸν εἶναι νομίζουσι τῷ Ἀπόλλωνι. διὸ καὶ ἐνταῦθα στίζοντες εἰς τὸ «καλὸν ἀείδοντες» ἐπάγουσι· «Παιήονα μέλποντες ἑκάεργον» ἀντὶ τοῦ ὕμνον ᾄδοντες εἰς τὸν Παιήονα Ἀπόλλωνα. οὐκ ἀρέσκει δὲ τοῦτο τοῖς ἀκριβεστέροις· ἀντιλέγεται γάρ. [Ὥσπερ δὲ παίω παιήσω ἐπὶ τοῦ τύπτω κατὰ τὸ «τοιαῖσδε σφενδόναις παιήσομεν», οὕτως ἴσως καὶ παίω παιήσω ἐπὶ θεραπείας, ἐξ οὗ ὁ Παιήων. ὅθεν κατὰ συστολὴν Παιάων, εἶτα ὥσπερ Ἀλκμάων Ἀλκμᾶν παρὰ Πινδάρῳ, οὕτω Παιάων Παιάν. ὁ δὲ Παιήων συγκοπεὶς Παιών γίνεται, ὡς τὸ «ἰὴ Παιών» καὶ «Παιῶνος εὐμενοῦς τυχών». ὅθεν καὶ παιωνία θεραπευτικὴ βοτάνη. δοκεῖ δὲ ὁ Παιὼν ἀναλογεῖν κατά τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀξυτόνησιν καὶ φυλακὴν τοῦ αι τῆς εὐθείας διόλου πρὸς τὸ αἰών καὶ Ληναιών καὶ τοὺς λοιποὺς Ἀττικοὺς μῆνας καὶ πρὸς διαστολὴν δὲ τοῦ Παίων Παίονος βαρυτόνου ἐθνικοῦ καὶ κυρίου ὀξύνεσθαι αὐτὸς καὶ τὸ ω τῆς ληγούσης ἐν ταῖς ἐφεξῆς πλαγίαις τηρεῖν. ὁ μέντοι παίων βαρύνεται καὶ συστέλλει τὸ ω κατὰ τὰς πλαγίας ὡς οἷά τι μετοχικόν. καθάπερ γὰρ ὁ Ἰάσων τὸ κύριον ἐκπέφευγε τῇ μετὰ τοῦ ν μόνου κλίσει τὴν μετοχικὴν σύγκρουσιν, οὕτω καὶ ὁ Παίων τὸ κύριον καὶ τὸ κατ' ἔθνος. παίων μὲν γὰρ παίοντος μετοχή, Παίων δὲ Παίονος ὄνομα, ἐξ οὗ καὶ Παιονία χώρα. ἐνθυμητέον δ' ἐνταῦθα καὶ τὸ «παιωνία χείρ», ὅ ἐστι θεραπευτική, καὶ τὸ «καί μοι θάνατος παιὰν ἔλθοι».

1.213 ] (v. 474) Ἰστέον δὲ καὶ ὅτι τοῦ «καλὸν ἀείδοντες Παιήονα» ἐφερμηνευτικὸν Ὅμηρος ἐπάγει εὐθὺς τὸ «μέλποντες Ἑκάεργον· ὃ δὲ φρένα τέρπετ' ἀκούων», ἵνα ᾖ τὸ μέλπειν μὲν ταὐτὸν τῷ ἀείδειν, τὸ δὲ Ἑκάεργον ἴσον τῷ Παιήονα, τὸ δὲ τέρπετ' ἀκούων διασαφητικὸν τοῦ καλὸν ἀείδειν. πάντως γὰρ τὸ καλὸν τερπνόν ἐστι καὶ τοῦ καλὸν ἀείδειν τέλος τὸ τέρπειν ἀκοήν. Ὅτι δὲ Ἑκάεργος Ἀπόλλων ὁ ἔκαθεν εἴργων ὡς τοξότης ἢ ᾧ ἐχρησίμευσεν εἰς ἐκτροφὴν γυνὴ Ἑκαέργη ἢ ὁ ἔκαθεν ἐργαζόμενος τὰ περὶ γῆν ὡς ἥλιος, καθωμίληται τοῖς παλαιοῖς. (v. 472) [Τὸ δέ «μολπῇ ἱλάσκοντο» διαστολὴν ἔχει ἑτεροίων ἱλασμῶν, ὁποῖος προεδηλώθη καὶ ὁ δι' ἑκατόμβης καὶ ἀποδόσεως τῆς Χρυσηΐδος. ὡς δὲ ὁ φρένα τερπόμενος ἐν τῷ ἀκούειν ἤδη καὶ ἱλάσκεται, δῆλόν ἐστι. καὶ ὅτι μέλπειν γίνεται παρὰ τὸ μέλει ἕπεσθαι· καὶ ὅτι τὸ μολπῇ Ἀττικὸν ἦν, εἴπερ εὐθὺς παρέκειτο τὸ μέλπεσθαι, ἵνα ἦν μολπῇ μέλποντες. (v. 475) Ὅτι καὶ ἄλλως μὲν δῆλον ὡς φωτὸς στέρησίς ἐστι τὸ σκότος—διὸ καὶ κνέφας λέγεται ὡς κενὸν φάους—Ὅμηρος δὲ σαφέστερον δηλοῖ αὐτὸ εἰπών· «ἦμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθεν». (v. 476) Ὅτι τὰ ἀπόγεια σχοινία τῆς νεὼς οὐ μόνον πείσματα λέγονται ἀλλ' ἰδοὺ καὶ πρυμνήσια. «κοιμήσαντο γάρ», φησί, «παρὰ πρυμνήσια νηός».] (v. 477) Ὅτι τὸ ἠριγένεια καὶ ῥοδοδάκτυλος ἠώς ἐπώνυμά εἰσι τῆς πρωϊνῆς ἡμερινῆς καταστάσεως. καὶ οὐκ ἔστιν ἠῶ νοῆσαι τὴν πρωΐαν σαφῶς, ἐὰν μὴ καὶ κροκόπεπλος λεχθείη ἢ ἠριγένεια ἢ ῥοδοδάκτυλος. ἐγράφη δὲ περὶ τούτου εἰς τὰ τῆς Ὀδυσσείας ἐντελῶς. ἐνταῦθα δὲ τοῦτο μόνον προσθετέον, ὅτι ῥοδοδάκτυλος ἠὼς κατὰ τοὺς παλαιοὺς διὰ τὸ πυρῶδες τοῦ ἀέρος περὶ ἀνατολὰς ἡλίου. ἀκριβέστερα δὲ τὰ ἐν τῇ Ὀδυσσείᾳ γραφέντα. (v. 478) Ὅτι ὥσπερ ἀναβαίνειν, οὕτω καὶ ἀνάγεσθαι τὸ ἐκ τοῦ λιμένος ἀναπλέειν· οὗ τὸ ἀνάπαλιν καταπλέειν τε καὶ κατάγεσθαι ὡς ἄνω γῆς κειμένου καὶ οὕτως ἀναβαινομένου τοῦ πλεομένου ὕδατος διὰ τὸ ὑψοῦ κεῖσθαι, καθὰ μετ' ὀλίγα ἐν τῷ «ὑψοῦ ἐν νοτίῳ» δηλοῖ ὁ ποιητής. [Ἰστέον δὲ ὡς τὸ «ἀνάγοντο μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν» συγκροτεῖ τὸ εἶναι τὸν Ἀγαμέμνονα εὐρυκρείοντα. πάντως γὰρ τοιοῦτός ἐστι βασιλεύς, ᾧ εὐρὺς εἴκει λαός.

1.214 ] (v. 479) Ὅτι ἐν τῷ «ἴκμενον οὖρον ἵει ἑκάεργος Ἀπόλλων» ἤγουν ἥλιος, λελύσθαι τε τὸν λοιμὸν ὁ ποιητὴς ἐμφαίνει· λοιμοῦ γὰρ στυγνότητα διασκεδάννυσιν ἄνεμος· καὶ φύσιν δὲ ἀνέμου διδάσκει, ὃς ἐξ ἰκμάδος ὑδάτων ἀτμιζομένης ὑπὸ ἡλίου γίνεται. διὸ καὶ ἐν ἄλλοις φησίν· «ἀνέμων μένος ὑγρὸν ἀέντων». ὑγρότης γὰρ ὑλικὸν ἀνέμου αἴτιον, ὅθεν καὶ ψιλοῦται τὸ ἴκμενος ἀπὸ τῆς ἰκμάδος. ὅτι δὲ καὶ δασύνεται παρὰ τὸ ἱκέσθαι ὡς οἱονεὶ ἱκόμενός τις ὢν ἤγουν ἐπιτήδειος εἰς τὸ ἱκέσθαι, λέγουσι καὶ αὐτὸ οἱ παλαιοί, [ἵνα προσφυῶς ὁμοῦ εἴη τὸ ἵκμενος καὶ τὸ οὖρος, ὁ μὲν παρὰ τὸ ἱκέσθαι ὤν, ὁ δὲ παρὰ τὸ ὀρούειν, Ἰωνικῇ ἐπενθέσει τοῦ υ . ὁ δὲ τοιοῦτος ἄνεμος εἴη ἂν Ὁμηρικῶς εἰπεῖν καὶ πλησίστιος, οὗ πρὸς ὁμοιότητα εἴρηκέ τις καὶ ἄρτον πλησίγναθον, ὥσπερ αὖ πάλιν πρὸς τοῦτο εἴρηται ὁ φυσίγναθος.] (v. 480—2) Ὅτι διασκευάζων ὁ ποιητὴς καὶ οἷον ἐκφράζων ἀνάπλου εὔπλοιάν φησιν· «οἳ δ' ἱστὸν στήσαντο ἀνά θ' ἱστία λευκὰ πέτασαν· ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον, ἀμφὶ δὲ κῦμα στείρῃ πορφύρεον μεγάλ' ἴαχε νηὸς ἰούσης· ἣ δ' ἔθεε κατὰ κῦμα διαπρήσσουσα κέλευθον». καὶ ὅρα ὅπως ἐν μὲν τῇ στάσει τοῦ ἱστοῦ καὶ τῇ ἐκπετάσει τῶν ἱστίων λεία ἐστὶν ἡ φράσις τῷ ποιητῇ, ἐν δὲ τοῖς ἑξῆς ἐτράχυνε τὴν φωνὴν τῇ τε ὀνοματοποιΐᾳ τοῦ ἴαχε καὶ τῷ συχνῷ ῥοίζῳ τοῦ ρ τὸν τραχὺν ἦχον

τοῦ πλοῦ μιμούμενος. ἔστι δὲ τὸ μέν «ἱστὸν ἐστήσαντο» τρόπος ἐτυμολογικός, ὡς καὶ ἐν Ὀδυσσείᾳ τὸ «ἱστὸν στησαμένη ὕφαινεν». ἑκάτερος γὰρ ἱστὸς ἐκ τοῦ ἵστασθαι λέγεται. τοιοῦτο δὲ καὶ τὸ «μολπῇ μέλποντες». Τὸ δὲ ἱστία παρηχεῖται πρὸς τὸν ἱστόν. Τὸ δέ «ἱστία λευκὰ πέτασαν» δηλοῖ μὲν τὸ ἀνεπέτασαν καὶ ἥπλωσαν· ἀρχὴ δὲ γέγονε τοῦ πτερὰ νηὸς καὶ τὰ ἱστία λέγεσθαι. διαπετάννυνται γὰρ καὶ ὠκύτητός εἰσιν αἴτια, ὥσπερ τὰ πτερὰ τοῖς πτηνοῖς, οὕτω καὶ αὐτὰ ταῖς ναυσί. [κατὰ τὸ παρέλκον δὲ καὶ οὐκ ἀναγκαίως κεῖται τὸ λευκά.] Τὸ δέ «ἄνεμος πρῆσεν», ὅ ἐστιν ἐφύσησε, καὶ τὸ «διαπρήσσουσα κέλευθον», ὅ ἐστι διαπερῶσα, παρήχησίς τίς ἐστι καὶ αὐτὸ οὐ πάνυ εὐχρηστουμένη. διὸ οὐδὲ ἐγγυτάτω κεῖνται αἱ λέξεις, ἀλλὰ διΐστανται ἱκανῶς, ἵνα μὴ πάνυ ἐκφανὴς ὁ τούτων ἦχος αὐτίκα γίνηται.

1.215 [θέμα δὲ τοῦ πρῆσεν ἢ τὸ πρήθω ἢ τὸ περῶ συγκοπέν, ἐξ οὗ καὶ τὸ πρήσσουσα.] (v. 482) Στεῖραν δὲ τὴν τρόπιν λέγει ἀπὸ τοῦ στερρόν πλεονασμῷ τοῦ ι · ἐντεῦθεν δὲ καὶ τὸ στεῖρα βοῦς ἢ γυνή. Σημείωσαι δὲ ὅτι τὸ δειρή μέν, ὃ δηλοῖ τὸν τράχηλον, ὀξύνεται τῇ διφθόγγῳ παραληγόμενον, ἀποβολῇ δὲ τοῦ ι βαρύνεται· δέρη γὰρ βαρυτόνως φαμέν. τὸ μέντοι στείρη ἐναντίως ἔχει· δίχα μὲν γὰρ τοῦ ι λεγόμενον τάσιν ἔχει ὀξεῖαν, εἴπερ στερρὰν καὶ στερεὰν λέγομεν· μετὰ δὲ διφθόγγου βαρύνεται. Πορφύρεον δὲ κῦμα ἀντὶ τοῦ μέλαν, ὥσπερ αἷμα πορφύρεον. ἐοίκασι γάρ πως ἄμφω τὰ χρώματα, ἐπεὶ ἐγγὺς μελανίας ἐστὶ καὶ τὸ πορφυροῦν. καὶ ἐπὶ θαλάσσης δὲ τὸ πορφύρειν λέγεται, ἐξ οὗ καὶ τὸ ἐν βάθει διανοεῖσθαι καὶ οἷον κυμαίνεσθαι λογισμοῖς πορφύρειν λέγεται, οἷον «καρδίη δέ οἱ πόρφυρε». [Τὸ δέ «μεγάλα ἴαχε» ταὐτὸν ἂν ἐλάλει καὶ εἴπερ ἑνικῶς ἦν «μέγα ἴαχε». Τὸ δέ «νηὸς ἰούσης» χρήσιμον εἰς νόησιν τῆς ἐΐσης νηός.] (v. 483) Τὸ δέ «ἔθεε κατὰ κῦμα» τὸ ῥῆμά ἐστιν, ἐξ οὗ θοὴ λέγεται ναῦς. (v. 485) [Ὅτι ὕπεστι διαφορά τις τοῦ ἐρύειν καὶ τοῦ ἐρύεσθαι, εἴγε οἱ Ἀχαιοὶ νῆα μὲν ἐπ’ ἠπείροιο ἔρυσαν, τὰ δὲ πρὸ βραχέων ὀπτηθέντα ἐρύσαντο πάντα, εἶτα δαίνυντο.] (v. 486) Ὅτι διττὸν τῇ νηῒ τὸ ὑψοῦ ἵστασθαι, ποτὲ μὲν ὑψοῦ ἐν νοτίῳ, καθὰ ἐν Ὀδυσσείᾳ λέγεται, ὅτε δηλονότι ἐν ὕδατι ὥρμισται, ποτὲ δὲ ὑψοῦ ἐν ψαμάθοις, ὅτε ἔξω ἑλκυσθῇ ἐπὶ ἠπείρου, ἔνθα καὶ τὰ μακρὰ ὑπ’ αὐτῇ τανύονται ἕρματα. Εἰσὶ δὲ νῦν ἕρματα τὰ ὑποκείμενα ταῖς ναυσὶν ἐκ ξύλων ἐρείσματα, ἐφ’ ὧν αἱ νῆες ἐρείδονται, ἃ δὴ κατὰ τεχνικήν τινα γλῶτταν καλοῦσιν οἱ πολλοὶ φαλάγγια. καὶ ὤφειλε μὲν ἡ λέξις ψιλοῦσθαι διὰ τὴν ἐκ τοῦ ἐρείσματος συγκοπήν, δασύνεται δὲ ἄλλως κανόνι τοιούτῳ. Τὰ βραχυνόμενα φωνήεντα καταλήγοντα δὲ εἰς ρ ἐπιφερομένου τοῦ μ δασύνεται· ὅρμος, ἅρμα, ὁρμαθός. οὕτω δή, φασί, καὶ τὸ ἕρμα, πλὴν τοῦ ἄρμενον τὸ ἁρμόδιον καὶ πλὴν τοῦ Ὄρμενος, κυρίου ὀνόματος. τὸ δὲ ἁρμοῖ ἐπίρρημα, ὃ δηλοῖ τὸ νεωστί, διφορεῖται μὲν κατὰ τοὺς παλαιούς, ἡ δὲ πλείων χρῆσις δασύνει αὐτὸ [Συρακουσίων ὂν κατὰ τὸν Τεχνικόν.

1.216 ἁρμὸς γάρ, φησίν, ἁρμοῦ ἁρμῷ καὶ συστολῇ ἁρμοῖ κατὰ τὸ ἔξω ἐξοῖ καὶ ἔνδον ἐνδοῖ παρὰ Θεοκρίτῳ.] Ἰστέον δὲ ὅτι ἕρμα παρὰ τῷ ποιητῇ καὶ κόσμος γυναικεῖος ἐνώτιος. φησὶ δέ που καὶ ἕρμα ὀδυνῶν τὸ ἐνέρεισμα. οἴδαμεν δὲ καί τινα πλοίου ἔνθεσιν ἕρμα λεγομένην, ὅπερ ἡ μὴ ἔχουσα ναῦς ἀνερμάτιστος λέγεται. Ὅτι δέ, καθὰ διχῶς τῆλε καὶ τηλοῦ καὶ ἄγχι καὶ ἀγχοῦ, οὕτω καὶ ὕψι καὶ ὑψοῦ λέγεται, δῆλόν ἐστιν. (v. 485—7) [Ἐν τούτοις δὲ καὶ πλοίου καταγωγὴν εἰς λιμένα ἔφρασεν Ὅμηρος οὕτω· «νῆα μὲν οἵ γε μέλαιναν ἐπ’ ἠπείροιο ἔρυσαν ὑψοῦ ἐπὶ ψαμάθοισιν· ὑπὸ δ’ ἕρματα μακρὰ τάνυσαν· αὐτοὶ δ’ ἐσκίδναντο» καὶ ἑξῆς. Ὅρα δὲ ὡς, εἰ καὶ ψάμμος ἐν δυσὶ μῦ προφέρεται, ἀλλ’ ἡ ψάμαθος, ὥσπερ καὶ ἡ ἄμαθος ἓν αὐτὸ ἔχει. (v. 486 s.) Τοῦ δὲ σκίδναντο πρωτότυπον τὸ σκεδῶ σκίδνημι, ὡς καὶ ἀλλαχοῦ φανεῖται, ὡς καὶ τοῦ πίλνατο τὸ πελῶ πίλνημι. τὸ δὲ σκεδῶ εὕρηται καὶ δίχα τοῦ ς καὶ ἀπ’ αὐτοῦ γίνεται τὸ κίδνασθαι καὶ τὸ ἀκιδνότερον. τοῦ δὲ κεδῶ οὐ μόνον τὸ κεδάζω παράγωγον, ὡς τοῦ σκεδῶ τὸ σκεδάζω καὶ τοῦ ἰσῶ τὸ ἰσάζω, ἀλλὰ καὶ τὸ κεδαίω πρὸς ὁμοιότητα τοῦ ἰσῶ ἰσαίω παρὰ Ἀράτῳ καὶ τῶν ὁμοίων. Τὸ δὲ τάνυσαν πρὸς τὸ μακρά εἴρηται· ἄλλως δὲ ἦν εἰπεῖν ἔθεντο.] (v. 488—92) Ὅτι τῷ ἐνεργεῖ καὶ ἐντρεχεῖ οὐ φορητὸν ἡ τοῦ καλοῦ ἀργία. οὐ γὰρ ἀνέχεται ἀπρακτεῖν, ἀλλ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱονεὶ φθίνειν δοκεῖ, ἐπειδάν, κατὰ τὸν ποιητὴν εἰπεῖν, μάθοι μὲν ἔμμεναι ἐσθλός, ἀεργὸς δὲ κάθηται. καὶ Ἀχιλλεὺς οὖν ἐν τῷ μηνίειν, ἐπεὶ οὔτε εἰς ἀγορὰν πωλέσκετο κυδιάνειραν οὔτε ποτ' ἐς πόλεμον, τουτέστιν ἐπεὶ οὔτε λόγοις οὔτε ἔργοις ἐνέπρεπε, φθινύθεσκε φίλον κῆρ· ἐπόθει δὲ ἀϋτήν τε πόλεμόν τε. (v. 490 s.) Ὅρα δὲ ὅτι τὸν μὲν πόλεμον δίχα ἐπιθέτου ἐξήνεγκε· τὴν δὲ ἀγορὰν ἐσέμνυνεν εἰπὼν αὐτὴν κυδιάνειραν, προτιθεὶς τὸν λόγον τῆς ἐν μάχαις εὐδοκιμήσεως. (v. 492) Ἀϋτὴ δὲ ἡ βοὴ παρὰ τὸ αὔω, τὸ φωνῶ. λαμβάνονται δὲ καὶ ἄμφω ποτὲ ἐπὶ πολέμου. ἀϋτὴ γὰρ καὶ βοὴ πολλαχοῦ ἡ μάχη ἐκ τοῦ παρακολουθοῦντος· παρακολουθεῖ γὰρ ἡ μεγάλη βοὴ τῇ μάχῃ. διὸ καὶ φύλοπις λέγεται ἐκ τῆς τῶν φύλων ὀπὸς καὶ Ἐνυὼ δὲ ἀπὸ τοῦ ἐναύω, τὸ φωνῶ. (v. 490) [Τὸ δὲ πωλέσκετο πολλαχοῦ φανεῖται, ὅτι ἐκ τοῦ πέλω πόλος πωλῶ ἤγουν ἀναστρέφομαι γίνεται κατὰ τὸ τρέπω τρόπος τρωπῶ καὶ τὰ ὅμοια.

1.217 μέλλων γὰρ τοῦ πωλῶ πωλέσω, ἐξ οὗ τὸ πωλέσκω, ὡς ἀρῶ ἀρέσω ἀρέσκω.] (v. 493) Ὅτι αἱ διὰ τοῦ οιο γενικαὶ κατὰ μὲν ἄλλους Θετταλικαί, ὡς προείρηται, εἰσίν, ἐν δὲ τοῖς Ἀπίωνος καὶ Ἡροδώρου Βοιωτῶν φέρονται γλώττης, τοῖο, οἷο, καλοῖο. Ὅτι ἐν τῷ «δωδεκάτη ἐγένετο ἠώς» ἠῶ τὸ νυχθήμερον λέγει. ποσαχῶς δὲ λέγεται ἠώς, ἐν Ὀδυσσείᾳ εἴρηται. (v. 494) [Ὅτι τὸ «ἴσαν» πληθυντικὸν τρίτον ῥῆμα ὧδε μὲν ἀντὶ τοῦ ἐπορεύθησαν, ἀλλαχοῦ δὲ ἀντὶ τοῦ ἔγνωσαν, οἷον· «τὰ δ' οὐκ ἴσαν ὡς ἐτέτυκτο». τὸ δ' ἐνταῦθα «πρὸς Ὄλυμπον ἴσαν θεοί»] (v. 496) Ὅτι τὸ μὲν ἀπὸ βάθους ἀνελθεῖν ἀναδῦναι λέγεται. Θέτις οὖν ἀνεδύσετο κῦμα θαλάσσης. τὸ δὲ ἐκεῖθεν ἀνωτέρω ἀναβῆναί φαμεν. ὥστε καὶ τὸ ἐξ οὐρανοῦ μὲν ἕως τῆς θαλαττίας ἐπιφανείας καταβῆναί ἐστι, τὸ δὲ ἐκεῖθεν καταδῦναι. (v. 497) Ὅτι οὐ μόνον τὸν πρὸς ἑσπέραν καιρὸν οἶδεν ὁ ποιητὴς λιταῖς πρέποντα, ὡς ἐν τῇ ι' ῥαψῳδίᾳ εὕρηται καὶ ἐν τῇ τοῦ Πριάμου ἱκετείᾳ καὶ ὅτε δὲ Ὀδυσσεὺς τὴν Ἀρήτην ἱκετεύει, ὁπηνίκα αἱ ψυχαὶ πρὸς ἔλεον ἀνίενται, ἀλλὰ καὶ τὸν ὄρθρον ἐπιτήδειον οἶδε τοῖς γουναζομένοις εἰς ἔντευξιν διὰ τὸ νηφάλιον τοῦ καιροῦ. Θέτις γοῦν ὄρθρου τῷ Διῒ ἐντυγχάνει. φησὶ γὰρ ὁ ποιητής· «ἠερίη δ' ἀνέβη μέγαν οὐρανὸν Οὔλυμπόν τε». τοῦτο δὲ τρόπος ὑστερολογίας ἐστί. πρῶτον γὰρ ὑπεραναβῆναι δεῖ τὰς τοῦ Ὀλύμπου κορυφάς, εἶτα τὸν ὑπὲρ τὰ νέφη τόπον καταλαβεῖν οὐρανὸν καὶ αὐτὸν λεγόμενον ὁμωνύμως τῷ στερεμνίῳ. Τὸ δέ «ἠερίη», ἐὰν ἀντὶ τοῦ ὀρθρινή, ὡς εἴρηται, λαμβάνηται, πλεονασμὸν ἔχει τοῦ ε . ἦρ γὰρ ὁ ὄρθρος καὶ κλίνεται ἦρος ἦρι, οἷον «ἦρι μάλα Ἑλλήσποντον πλεούσας». ὅθεν καὶ ἠὼς ἠριγένεια, ὡς ἀλλαχοῦ εἴρηται. ἠρίη γοῦν ἡ ὀρθρινὴ καὶ πλεονασμῷ ἠερίη, οἷον καὶ τὸ «ἠερίη γέ τοι παρέζετο καὶ λάβε γούνων». τινὲς δὲ ἠερίαν τὴν ἀερίαν νοοῦσιν· οὐ γὰρ ἔστιν εἰς οὐρανὸν κάτωθεν ἀνελθεῖν, εἰ μὴ διὰ μέσου ἠέρος ἤτοι ἀέρος. (v. 498) Ὅτι εὐρύοπα τὸν Δία λέγει ἢ ὡς μεγαλόφθαλμον διὰ τὸ προνοητικὸν ἢ ὅτι εὐρὺ βλέπομεν διὰ τοῦ ἀέρος, ὅς ἐστι Ζεύς, ἢ ὅτι εὐρεῖαν ἔχει ὄπα. Βροντητικὸς γὰρ ὁ αὐτὸς Ζεὺς καὶ ἐριβρεμέτης καὶ ἐρισμάραγος.

1.218 λέγεται δὲ καὶ διηχὴς ὑπὸ τῶν φυσικῶν. καὶ Δία μὲν οὕτως εὐρύοπα λέγει ὁ ποιητής. Ἥρα δὲ βοῶπις, ὡς μὲν ἀὴρ καὶ αὐτὴ ἔοικε τῇ βοῇ παρονομάζεσθαι διὰ τοὺς ἀερίους ἤχους· μυθικῶς δὲ ἡ λέξις ἔπαινός ἐστιν αὐτῆς ὡς γυναικὸς διὰ τὸ κατὰ βοῦν μεγαλόφθαλμον· ἐξ οὗ καὶ κύριον ὄνομα Εὐρώπη τέθειται. [Ὅρα δὲ ὡς νῦν μὲν ἀναλόγως κατὰ πτῶσιν αἰτιατικὴν ἔφη εὐρύοπα Δία· ὅτε δὲ εἴπῃ «εὐρύοπα Ζεύς», καινοσχημάτιστος ἐκείνη εὐθεῖα, ὡς προδεδήλωται, κατὰ αἰτιατικὴν καὶ κλητικὴν ἐκπεφωνημένη.] (v. 499) Ὅτι λαβὼν ὁ μῦθος ἐκ τῆς ἀληθείας τὸ τὸν Δία ἤτοι τὸν αἰθέρα ὑψηλότατον καὶ ὑπέρτατον εἶναι καθίζει ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ τὸν μυθευόμενον Δία ἐν ἀκροτάτῃ κορυφῇ πολυδειράδος Ὀλύμπου. Ἰστέον δὲ ὅτι, ὥσπερ κορυφὴ ὄρους μεταφορικῶς ἀπὸ τῆς τῶν ζῴων κορυφῆς, οὕτω καὶ δειρὴ ἡ ἐξοχὴ ἡ λήγουσα εἰς στενὸν ἀπὸ τῆς τῶν ζῴων δειρῆς. ὅθεν καὶ πολυδειρὰς Ὄλυμπος, τὸ ὄρος δηλαδὴ τὸ ἔχον πολλὰς ἐξοχάς. ὅτι δὲ καὶ πόδες ὄρους καὶ κνημοὶ καὶ ῥάχεις καὶ ἕτερα τοιαῦτα ἐκ τῶν ζωϊκῶν, ἀλλαχοῦ φανήσεται. [Ἡ δὲ κλίσις τοῦ πολυδειράδος ὡς Ἀρκάδος. προσφυῶς δὲ παράκειται κορυφή καὶ πολυδειράς διὰ τὸ καὶ ἐν ζῴοις συμπεφυκέναι τὰ τοιαῦτα.] (v. 500) Ὅτι λαβεῖν

γούνων τὸ ἅψασθαι λέγει ἢ ἔχεσθαι. διὸ καὶ παρακατιών φησι· «Θέτις δ' ὡς ἥψατο γούνων, ὣς εἴχετο ἐμπεφυυῖα». (v. 501) Ὅτι σκαιᾷ μὲν χειρί, ὅ ἐστι λαιᾷ, τῶν γονάτων ἥψατο τοῦ Διὸς ἡ Θέτις, δεξιτερῇ δὲ ὑπ' ἀνθερεῶνος ἑλοῦσα ἐλίσσετο. ἔστι δὲ ἀνθερεὼν ὁ τόπος, φασί, περὶ ὃν ἀνθεῖ τὸ γένειον. λέγεται δέ ποτε καὶ ἐπὶ γυναικὸς καταχρηστικῶς. τί δὲ οἰωνίζεται διὰ τούτων ἡ Θέτις, προγέγραπται ἐν τοῖς περὶ τοῦ γουνάζεσθαι. ἐκ δὲ τοῦ ἀνθηροῦ παρῆκται ὁ ἀνθερεὼν συστολῇ τοῦ η εἰς ε καὶ πλεονασμῷ ἑτέρου ε . ὁ δὲ τύπος ὡς τὸ ἀκανθεών, χαραδρεών, αὐγουστεών καὶ τὰ τοιαῦτα. ζητητέον δὲ μάλιστα ἐν τῇ ε' ῥαψῳδίᾳ ποῦ καθ' Ὅμηρον ὁ ἀνθερεών, πρὸ δὲ αὐτοῦ ἐν τῇ δέλτα. τὸ δέ «ὑπ' ἀνθερεῶνος ἑλοῦσα» ἢ ἀντὶ τοῦ κάτωθεν τοῦ ἀνθερεῶνος ἑλοῦσα ἢ ἀντὶ τοῦ ὑφελοῦσα καὶ ὑφαψαμένη τοῦ ἀνθερεῶνος. [Γίνεται δὲ ἡ τοιαύτη σκαιὰ χεὶρ καὶ ὁ ἀπ' αὐτῆς σκαιὸς καὶ ἐπαρίστερος ἄνθρωπος, ποτὲ δὲ καὶ ἀνόητος, ἀπὸ τοῦ σκάζειν, φασίν, ὅ ἐστι χωλεύειν, ὅθεν καὶ ὁ σκαμβός· Ἵνα ᾖ σκαιὰ χεὶρ ἡ σκάζουσα περὶ τὸ ἐνεργεῖν ὡς ἀνυστικωτέρας οὔσης τῆς δεξιᾶς. ὡς δὲ καὶ τὰ δυτικὰ σκαιὰ λέγονται καὶ ὅτι καὶ Σκαιὸς κύριον ὄνομα, ἐξ ὧν καὶ Σκαιαὶ πύλαι Τρωϊκαί, φανεῖται ἐν τοῖς ἑξῆς.] (v.
1.219 504 s.) Ὅτι λαβοῦσα ἡ Θέτις ἀρχὰς ἐπιχειρημάτων ἐκ τοῦ υἱοῦ ἀναμιμνήσκει τὸν Δία, ὡς ὠφέλησέ ποτε αὐτὸν ἔπει καὶ ἔργῳ, καθὰ προεγράφη. καὶ οὕτως ὀφειλέτην ἐκεῖνον δείξασα εἰς χάριν ἀνταπαιτεῖ τὸ «τίμησόν μοι τὸν υἱόν, ὃς ὠκυμορώτατός ἐστι τῶν ἄλλων». οὐ λέγει δὲ καὶ πῶς τὸν Δία ὠφέλησε, διότι τε οὐ χρὴ φανερῶς ἐξονειδίζειν τὸν εἰδότα καὶ ὅτι οὐδὲ θέλει ὁ ποιητὴς ἀκαίρως διττολογεῖν. φθάσας γὰρ ἤδη προϊστόρησε μελετᾶσθαι δεσμοὺς Διός ποτε, οἷς ἡ Θέτις ἐβοήθησεν ὁ δὲ Ζεὺς τὴν μὲν χάριν μὴ ἀποδοῦναι οὐκ ἔχει, κατανεῦσαι δὲ ἐπὶ βλάβῃ τῶν Ἑλλήνων δυσχερῶς ἔχει. νικᾷ μέντοι ἡ τῆς εὐεργεσίας ἀνταπόδοσις. ἀγεννὲς γὰρ τὸ μὴ ἀντιτίνειν τοῖς εὐεργέταις χάριτας. εἰ δὲ ἡ Ἥρα μὴ θέλει, ἀλλ' οὐδὲν αὐτῆς μέλον ἐστὶ τῷ Διῒ διδάσκοντος τοῦ ποιητοῦ, ὅτι καὶ τῶν οἰκειοτάτων ἐν πολλοῖς προτιμητέον τὸν εὐεργέτην. καὶ ἄλλως δὲ ἡ Ἥρα, εἰ μὴ Θέτις ἐξεβοήθησέ ποτε, κατήγαγεν ἂν τὸν Δία τῆς ἀρχῆς. βέλτιον οὖν τῇ Θέτιδι, ὡς καὶ προγέγραπται, ὑπακοῦσαι κατὰ τῶν Ἀχαιῶν, ὡς εὐεργέτιδι, καὶ μὴ πεισθῆναι τῇ Ἥρᾳ ὑπὲρ αὐτῶν, τῇ ἐπιβούλῳ. εἰ δὲ καὶ ἠράσθη ποτὲ τῆς Θέτιδος ὁ Ζεύς, ὡς μῦθος φέρεται, ἔχοι ἂν καὶ τοῦτο συλλαβέσθαι τι αὐτῇ πρὸς πειθὼ τοῦ Διός. (v. 505) Τὸ δέ «ὠκυμορώτατος ἄλλων» ψευδῶς εἴρηται διὰ λύπην· πολλοὶ γὰρ πρὸ Ἀχιλλέως ὠκύμοροι. [Ἰστέον δὲ ὅτι τὸ «εἴ ποτε δή σε ὄνησα ἢ ἔπει ἢ ἔργῳ, τόδε μοι κρήηνον ἐέλδωρ· τίμησόν μοι υἱόν, ὃς ὠκυμορώτατος ἄλλων ἔπλετο», ἤγουν πέλει, ἁρμόσει ποτὲ προσώπῳ παρακλητεύοντι εὐηργετημένον τινά. τὸ δέ «σε ὄνησα» «ὤνησας κραδίην Διός» πρὸ τούτων ἔφη ὁ Ἀχιλλεύς.] Ὅτι τὸ ἀκάματος καὶ ἀθάνατος ἀεὶ παρὰ τῷ ποιητῇ ἐκτείνει τὴν ἄρχουσαν ἤγουν τὸ ἐν ἀρχῇ στερητικὸν ἐπίρρημα, ὡς ἂν γινόμενα εἰς δάκτυλον τὸ εὔμετρον συνεργάζωνται. (v. 509 s.) Ὅτι ἐν τῷ «τόφρα ἐπὶ Τρώεσσι τίθει κράτος, ὄφρ' ἂν Ἀχαιοὶ υἱὸν ἐμὸν τίσωσιν ὀφέλλωσί τέ ἑ τιμῇ» προεκτίθεται οἷον ὁ ποιητὴς τὰ ὕστερα, μονονουχὶ λέγων πρὸς τὸν φιλέλληνα ἀκροατήν, ὅτι οὐ διὰ τέλους κρατήσουσιν οἱ Τρῶες, ἀλλ' ἕως ὁ Ἀχιλλεὺς ὑπὸ Ἀχαιῶν τιμηθῇ. τοῦτο δὲ ταχὺ γενήσεται. Ὅρα δὲ τὸ «ὀφέλλωσιν αὐτὸν τῇ τιμῇ». αὔξησις γάρ τις ἀνθρώπῳ καὶ ἡ τιμή. τινὲς δὲ γράφουσιν· «ὀφέλλωσίν τέ ἑ τιμήν», ἵνα συνήθως Ὁμήρῳ νοῇ τις οὕτω τριχῶς· αὐξήσωσιν αὐτὸν κατὰ τὴν τιμήν· ἢ αὐξήσωσιν αὐτὸν ἤγουν τὴν εἰς αὐτὸν τιμήν· ἢ αὐξήσωσιν αὐτοῦ τὴν τιμήν.
1.220 (v. 513) Ὅτι ἐμπεφυκέναι καὶ ἐμφῦναι τὸ ἐγκρατῶς καὶ δυσαποσπάστως δράξασθαι. οὕτω καὶ πολύπους ἐμφύεσθαι τῇ πέτρᾳ λέγεται καὶ Θέτις τοῖς γόνασι τοῦ Διὸς ἐμπεφυυῖα εἶναι. καὶ χερσὶ δέ τις ἐμπέφυκεν, ὅταν χειρὸς χειρὶ δράξηται· καὶ τοῖς χείλεσι δὲ ὀδὰξ ἐμφύεται, ὅταν τοῖς ὀδοῦσιν ἐνδάκῃ τὸ χεῖλος, [ὀδὰξ κατεσθίει.] Ἰστέον δὲ ὅτι μέσος παρακείμενός ἐστι τὸ ἐμπεφυυῖα κατὰ κανόνα, ὃν ἐκτίθεται καὶ Ἡρωδιανὸς λέγων καθαρεύοντι τῷ ἐνεστῶτι συγκαθαρεύειν καὶ τὸν μέσον παρακείμενον, οἷον φύω πέφυα, [ἀκούω ἀκήκοα.] ἐτυμολογία δὲ τοῦ ἐμφῦναι ὁμοία τῷ συμφῦναι. δοκεῖ γὰρ ἐμφῦναι εἶναι τὸ εἰς ἓν φῦναι καὶ μίαν οἷον φυὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τόδε τι γενέσθαι μεθ’ ἑτέρου τινὸς ἐν τῷ στερρῶς δράξασθαι, [ὡς μηδὲ δοκεῖν ἅπτεσθαι, ἀλλὰ προσπεφυκέναι ἤγουν κατὰ φύσιν ἡνῶσθαι ἢ φύσει ἐνεῖναι κατὰ τὸ «τρίχες κρανίῳ ἐμπεφύασιν».] (v. 514) Ὅτι ὁ ζητῶν ἀπό τινος ἢ κατάνευσιν ἀληθῆ ἢ ἀνάνευσιν καλῶς ἂν εἴπῃ τὸ «νημερτὲς δή μοι ὑπόσχεο καὶ κατάνευσον ἢ ἀπόειπε». [ἔστι δὲ νημερτές τὸ μὴ ἡμαρτημένον διὰ τὸ ψεύδεσθαι, ἀλλὰ ἀληθές.] (v. 517) Ὅτι ὀχθῆσαι τὸ δεινοπαθῆσαι ἢ πονῆσαι· ὅθεν καὶ Ἡσίοδος εὐοχθεῖν λέγει τὸ ἐπὶ καλοῖς κοπιᾶν· ἢ καὶ ἄλλως ὀχθῆσαι τὸ εἰς ὕψος ἐπᾶραι τὸν θυμόν, ὃ δή φησι Σοφοκλῆς ἐν τῷ «ὑψοῦ δ’ αἴρει θυμὸν Οἰδίπους» ἐν λύπαις. ὄχθος γὰρ τοπικὴ ἐπανάστασις. τὸ γοῦν «μέγ’ ὀχθήσας» ἀντὶ τοῦ ὑπερλυπηθείς· καὶ τὸ «ὤχθησαν θεοί» ἀντὶ τοῦ ἐδεινοπάθησαν, ἠχθέσθησαν ἢ ὕψωσαν τὸν θυμὸν ἢ τὸν φόβον. [ἐκ δὲ τοῦ Ὁμηρικοῦ ὀχθεῖν καὶ τὸ παρὰ τοῖς ὕστερον προσοχθίζειν παρῆκται καὶ τὸ ἐξ αὐτοῦ προσόχθισμα.] (v. 518) Ὅτι ἐν τῷ «ἦ δὴ λοίγια ἔργα ἔσεται, ὅτε με ἐχθοδοπῆσαι ἐφήσεις τῇ Ἥρᾳ» λοίγια μὲν λέγει τὰ ὀλέθρια, ἐχθοδοπῆσαι δὲ τὸ ἐχθρανθῆναι. τὸ δὲ ἐφήσεις ἀντὶ τοῦ ἀναπείσεις ἐκ τοῦ ἐφίημι τὸ ἐντέλλομαι. γίνεται δὲ τὸ μὲν λοίγια ἐκ τοῦ λοιγός, ὁ ὄλεθρος· αὐτὸ δὲ ἀπὸ τοῦ ὀλίγον κατὰ μετάθεσιν τοῦ ο , ὥς φασιν οἱ παλαιοί. ὀλιγοῖ γὰρ τὰ ζῷα, οἷς ἐμπέσῃ ὁ λοιγός. προεγράφησαν δὲ καὶ ἕτεραι ὅμοιαι μεταθέσεις ἐν τοῖς περὶ Ἥρας λόγοις. τὸ δὲ ἐχθοδοπῆσαι ἢ ἀπὸ τοῦ ἔχθω, τὸ μισῶ, γίνεται καὶ τοῦ ὄπτω, τὸ βλέπω, πλεονασμῷ τοῦ δ , ὡς καὶ προεγράφη, ἢ ἐκ τοῦ ἔχθος καὶ ὂψ ὀπός, ἡ φωνή, ἵνα ᾖ ἐχθοδοπὸς καὶ ὁ τὰ πρὸς ἔχθος φωνῶν.

1.221 [Οὐκ ἄδηλον δὲ ὅτι τὸ «ἦ δὴ λοίγια» τινὲς μὲν ἤδη ἔγραψαν παροξυτόνως, ὡς καὶ προεδηλώθη· τινὲς δὲ τὸ μὲν ἦ ἀντὶ τοῦ ὄντως φασί, τὸ δὲ δή ἄνευ τόνου προφέρουσιν, ὁμοίως τῷ ἐπιδητούτοις.] (v. 519) Ὅτι τὸ «ὅτ’ ἄν με ἐρέθῃσιν ὀνειδείοις ἐπέεσσιν» ἀρχή ἐστιν ἤγουν πρωτότυπον τοῦ ἐρεθίζω, ὡς τὸ «ἀλλ’ ἴθι, μή μ’ ἐρέθιζε». (v. 522 s.) Ὅτι ἀγαθῆς εὐλαβοῦς ὑποσχέσεως τὸ «ἀλλὰ σὺ μὲν νῦν αὖτις ἀπόστιχε, μή σε νοήσῃ ὁ δεῖνα· ἐμοὶ δέ κε ταῦτα μελήσεται, ὄφρα τελέσσω». [Ἀττικὸν δὲ τὸ μελήσεται, καθὰ εὐθὺς καὶ τὸ κεφαλῇ κατανεύσομαι. τὰ δὲ κοινὰ τούτων ἐστὶ μελήσει καὶ κατανεύσω.] (v. 524) Ὅτι τὸ «εἰ δ’ ἄγε τοι κεφαλῇ κατανεύσομαι» ὅμοιόν ἐστι τῷ «εἰ δ’ ἄγε μὴν πείρησαι», περὶ οὗ προείρηται. τὸ δὲ κατανεῦσαι τῇ κεφαλῇ τὸν Δία μέγιστον ἦν τέκμωρ ἤτοι τέλος πράξεων. (v. 526 s.) Διὸ καί φησιν ἐκεῖνος ὅτι «οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ’ ἀπατηλὸν οὐδ’ ἀτελεύτητον, ὅ τί κεν κεφαλῇ κατανεύσω». ὁ δὲ λόγος οἰκεῖος ἐνδόξῳ προσώπῳ μεγάλα ὑποσχομένῳ. εὐτελεῖ δέ τινι οὐ προσήκει ὁ λόγος ἅπας. τριῶν γὰρ ὄντων, δι’ ἅ τις οὐ ποιεῖ τὸ ὑπεσχημένον ἀπάτης, μεταμελείας, ἀδυναμίας, ἀπατηλὸς μὲν οὐκ ἐξ ἀνάγκης ἔσται τοῖς εὐτελέσιν ὁ λόγος τῆς ὑποσχέσεως, ἀλλ’ οὐδὲ παλινάγρετος, ὅ ἐστιν ἐκ μεταμέλου ἀνάπαλιν ἀγειρόμενος· ἀτελεύτητος δὲ κατ’ ἀνάγκην τινὰ ἔσται ἤγουν ἀτελής, ἐὰν μέγα ᾖ τὸ ὑπεσχημένον καὶ μὴ τελευτηθῆναι δυνάμενον. τῷ δὲ δυνατωτάτῳ εἰκὸς ταῦτα πάντα προσεῖναι. δηλοῖ δὲ ὁ λόγος δεῖν εἶναι τοὺς εὖ γεγονότας ἐμμένειν ταῖς ὑποσχέσεσιν, ἐφ’ αἷς κατανεύσουσι. τίμιον γὰρ ἡ κεφαλὴ καὶ οὔτε τὴν αὐτῆς δεῖ κατάνευσιν ἀπρακτεῖν οὔτε τοὺς λόγους ψεύδεσθαι, ἐφ’ οἷς τῷ βασιλικῷ λογισμῷ ἡ γλῶσσα καθυπουργεῖ. Παρασημειοῦνται δὲ οἱ παλαιοὶ ἐνταῦθα, ὅτι καὶ διὰ τῆς κατανεύσεως ταύτης τῆς οὕτω τιμίας φαίνεται δοξάζων ὁ ποιητὴς ἐν τῇ κεφαλῇ τὸ λογιστικὸν ἱδρῦσθαι, ὥσπερ τὸ θυμικὸν περὶ τὴν καρδίαν, ὁπηνίκα εἴπῃ ὅτι «κραδίη δέ οἱ ἔνδον ὑλάκτει» καὶ «οἰδάνεται δὲ κραδίη χόλῳ», τὸ δὲ ἐπιθυμητικὸν περὶ τὸ ἧπαρ, ἐν οἷς δι’ ἐπιθυμίαν πταίσαντι τῷ Τιτυῷ γῦπες τὸ ἧπαρ κείρουσιν. ἡ δὲ ἀλληγορία τὴν τοῦ Διὸς κατάνευσιν, ὡς καὶ ἐν τῇ βῆτα ῥαψῳδίᾳ εἰρήσεται, σημείων τινῶν οὐρανίων ἔκφανσιν βούλεται εἶναι, οἷον δι’ ἀστέρων κινήσεως ἢ ἀστραπῶν ἢ βροντῶν ἢ καὶ οἰωνῶν, δι’ ὧν ὁ ἀνωτάτω καὶ κορυφαῖος Ζεὺς δοκεῖ τοῖς κάτω τὰ μέλλοντα ὑπισχνεῖσθαι καὶ κατανεύειν οἷον ἐπὶ τῇ ἐκβάσει αὐτῶν.

1.222

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(v. 526) Ἰστέον δὲ ὅτι τὸ «οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ’ ἀπατηλὸν οὐδ’ ἀτελεύτητον» καὶ οὕτω φασὶν οἱ παλαιοί, ὅτι διὰ μὲν τοῦ «οὐ παλινάγρετον» δηλοῖ, ὡς βέβαιός ἐστι· διὰ δὲ τοῦ «οὐδ’ ἀπατηλόν» ἐμφαίνει, ὅτι καὶ φιλαλήθης ἐστί· διὰ δὲ τοῦ «οὐδ’ ἀτελεύτητον», ὅτι καὶ τελεσιουργός ἐστιν. ἐν δὲ τῷ «οὐ γὰρ ἐμόν» λείπει τὸ ἔπος ἤ τι τοιοῦτον, ὡς καὶ ἐν τῷ «κερτομίοις Δία Κρονίωνα προσεῖπε» λείπει τὸ ἔπεσιν. (v. 527) Ὅρα δὲ ὅτι, ὥσπερ ἀνωτέρω τὸ μελήσει μελήσεται εἶπεν, οὕτω καὶ τὸ κατανεύσω καὶ παθητικῶς ἔφη κατανεύσομαι. [τῷ δὲ κατανεύσω ἀκόλουθον μετ’ ὀλίγα τεθὲν καὶ τὸ νεῦσεν, οὐ μὴν νεύσατο.] (v. 528) Ὅτι πάντα ὑποτυπούμενος ἄριστα ὁ ποιητὴς παραφαίνει καὶ οἷαι ἂν ὦσιν αἱ καλαὶ ὀφρύες λέγων· «κυανέῃσιν ἐπ’ ὀφρύσι νεῦσε Κρονίων», ὁ μυθικὸς δηλαδὴ Ζεύς, ὡς τοιούτων οὐσῶν τῶν καλῶν ὀφρύων. τῷ μέντοι ἀλληγορουμένῳ Διῒ οὐ τοιαῦται ἂν εἶεν ὀφρύες. (v. 528 s.) Τὰς δὲ τῆς κεφαλῆς αὐτῷ τρίχας οὔ φησιν, οἵου χρώματος ἦσαν, ἀλλὰ ἀρκεῖται μόνον εἰπὼν αὐτὰς θείας τρίχας ἐν τῷ «ἀμβρόσιαι δ’ ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος». [Σημείωσαι δὲ ὅτι ἐκ τῶν Ὁμηρικῶν κυανέων ὀφρύων ἐκέρδησέ τις τὸ εἰπεῖν «ὀφρύων νέφωσιν» τὴν σκυθρωπότητα. ἔχοι δ’ ἂν πάντως νεφώσιας ὀφρύων ἀλληγορικῶς καὶ ὁ ἀὴρ Ζεύς, ὅτε νεφούμενος αἴσιόν τι δηλοῖ λόγῳ διοσημίας.] Ὅρα δὲ ὅτι τὸ Κρονίων ἐνταῦθα ἐξέτεινε τὴν παραλήγουσαν, ὡς καὶ ἀλλαχοῦ· ὡς ἐπὶ πολὺ μέντοι συστέλλεται. [Ἰστέον δὲ ὡς, εἰ καὶ πολυλογοῦνται αἱ σωματικαὶ ὀφρύες ἐτυμολογικῶς, ἀλλὰ νῦν ἀρκεῖ φάναι ὡς παρὰ τὸ ὄπτω γίνεται καὶ τὸ ῥύω, τὸ φυλάσσω, τροπῇ συνήθει ἐν πολλοῖς τοῦ π εἰς φ . φυλάσσουσι γὰρ τὴν ὄψιν ἔκ τε ἄλλων καὶ τοῦ μὴ κακουργεῖσθαι ὑπὸ ἱδρώτων.] (v. 529) Χαίτη δὲ οὐ μόνον ἐπὶ ἀνθρώπου κυριολεκτεῖται, ὡς καὶ ὧδε φαίνεται καὶ ἐν τῷ «κυανοχαίτης Ποσειδῶν», ἀλλὰ καὶ ἐπὶ λέοντος λέγεται· [ὅθεν καὶ χαιτήεις ἐκεῖνος. καὶ ἄρκτος δὲ χαιτήεσσα·] καὶ ἐπὶ ἵππου· ἐπ’ αὐτοῦ δὲ καὶ ἡ θρὶξ λέγεται, ὡς δηλοῖ τὸ «ἵπποι καλλίτριχες», [οἱ καὶ λασιαύχενες διὰ τὴν τοιαύτην τρίχωσιν. γίνεται δὲ χαίτη παρὰ τὸ χῶ καὶ τὸ ἀΐττω· χεῖται γὰρ ἀΐσσουσα ὧδε καὶ ἐκεῖ καὶ μάλιστα τοῖς δρομιχαίταις κατὰ τὸ «ἀμφὶ δὲ χαῖται ὤμοις ἀΐσσονται». ὥστε ἀπὸ ἐλλόγου συναιρέσεως ἡ χαίτη ἔχει τὴν δίφθογγον.] Ἐν δὲ τῷ «κυανέαις ἐπ’ ὀφρύσιν» ἡ ὅλη νοεῖται κεφαλὴ ἀπὸ μέρους συνεκδοχικῶς καὶ κατὰ σύλληψιν, ὡς οἱ Τεχνικοί φασι διὰ τὸ συνεκδέχεσθαι καὶ συλλαμβάνεσθαι ἤγουν συνεννοεῖσθαι ταῖς ὀφρύσι τὴν ὅλην κεφαλήν, ὅπερ ἐστὶν ἴδιον συνεκδοχῆς ἤτοι συλλήψεως, ὡς πολλαχοῦ φανήσεται.

1.223 διὸ καί φησιν· «ἀμβρόσιαι χαῖται ἐπερρώσαντο». οὐ γὰρ ἂν μόνων κινηθεισῶν τῶν ὀφρύων αἱ χαῖται συνεκινήθησαν. [Ὅτι δὲ ὀφρύες λέγονται τροπικῶς καὶ ποιαί τινες ἐξοχαὶ ὀρειναί, ἡ Βοιωτία καλῶς δηλώσει. τὴν δὲ ἀνωτέρω ῥηθεῖσαν συγγένειαν τοῦ φ πρὸς τὸ π δηλοῖ καὶ τὸ Φύγελλα ἰδιωτισθὲν εὐφημότερον ἐκ τοῦ Πύγελλα.] Φέρεται δὲ ἐνταῦθα ἱστορία, ὅτι Εὐφράνωρ Ἀθήνησι γράφων τοὺς δώδεκα θεοὺς καὶ ἀπορῶν πρὸς οἷον ἀρχέτυπον γράψει τὸν Δία παρῄει ἐν διδασκάλου καὶ ἀκούσας τῶν ἐπῶν τούτων «ἀμβρόσιαι δ’ ἄρα χαῖται» καὶ τὰ ἑξῆς, ἔφη ὡς ἤδη ἔχει τὸ ἀρχέτυπον καὶ ἀπιὼν ἔγραψεν. οἱ δέ φασιν, ὅτι ἀπὸ τούτων τῶν δύο στίχων ὁρμηθεὶς Φειδίας ὁ ἀγαλματοποιὸς ἐποίησε τὸν ἐν Ὀλυμπίᾳ Δία οὕτω καμπτόμενον. καὶ ὁ Γεωγράφος δέ φησιν, ὅτι πρὸς Ὁμηρικὸν παράδειγμα τὸ «ἐπ’ ὀφρύσι νεῦσεν» ὁ Φειδίας ἐποίησε τὸν ἐν Ὀλυμπίᾳ Δία ἐλεφάντινον. οὕτω δέ, φησί, μέγας ἦν, ὡς ἅπτεσθαι σχεδὸν τῆς κορυφῆς τῆς ὀροφῆς. διὸ καὶ κοσμίως εἴρηται, φησί, τὸ «Ὅμηρος ὁ τὰς τῶν θεῶν εἰκόνας ἢ μόνος ἰδὼν ἢ μόνος δείξας». Ἰστέον δὲ ὅτι τὸ ἐπερρώσαντο μετηνέχθη ἀπὸ ἀνδρῶν ἐρρωμένως εἴς τι ἔργον κινουμένων. [Ῥώονται δὲ καὶ ἵπποι, ὅτε εἰς δρόμον συντείνονται. συντόνου δὲ κινήσεως εἶναι δοκεῖ τὸ «χαίτας ἐπιρρώσασθαι κρατὸς ἀπ’ ἀθανάτοιο», ἵνα πιθανῶς οὕτω πλασθείη καὶ ἡ εὐθὺς ἐφεξῆς τοῦ Ὀλύμπου κίνησις.] (v. 530) Ὅτι κατανεύσας ὁ Ζεὺς τῇ κεφαλῇ μέγαν ἐλέλιξεν Ὄλυμπον. ἔθος δὲ τῷ ποιητῇ τοιαῦτά τινα τερατολογεῖν ἐπὶ τῶν θείων κινήσεων κατὰ ἔννοιαν σωματικωτέραν. ὡς γὰρ ἐν τοῖς κάτω μέγα σῶμα κινούμενον σαλεύσοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄν ποτε τὸ ὑποκείμενον, οὕτω δῆθεν καὶ ἐπὶ τῶν ἀνωτάτω γενήσεται. διὸ καὶ Ἥρα ἐν τοῖς ἑξῆς σεισαμένη ἐν τῷ θρόνῳ μέγαν ἐλέλιξεν Ὄλυμπον, ὡς ἐκεῖ φανήσεται. καὶ ἄλλα δὲ ὅμοια ῥηθήσεται. καὶ εὐδοκιμεῖ καὶ ἐν τοῖς τοιούτοις ὁ ποιητὴς ἀναλόγως τοῖς προσώποις πλάττων τὰ τῶν ἔργων ἀποτελέσματα. Τὸ δέ «ἐλέλιξεν» ἐπαινεῖται παρὰ τῶν παλαιῶν ὡς τῷ τάχει καὶ τῷ λείῳ καὶ ἀπροσκόπῳ τῆς ἐκφωνήσεως τῶν συλλαβῶν δηλοῦν τὸ ταχὺ τῆς Ὀλυμπίας κινήσεως, καθὰ καὶ ἀλλαχόθι φανήσεται. πολλαχοῦ γὰρ ὁ ποιητὴς ἢ τραχύνει ἢ λεαίνει τὰς λέξεις καὶ τὴν αὐτῶν συνθήκην ἐπίτηδες ἀναλόγως τοῖς φραζομένοις πράγμασιν. (v. 537) [Ὅτι ὥσπερ ἐν τῷ νοῶ νοήσω καὶ κράσει νώσω καὶ πλεονασμῷ τοῦ κ νώσκω προτίθεται κατ' ἀρχὰς τὸ γ καὶ γίνεται γνώσκω καὶ κατὰ ἀναδιπλασιασμὸν γιγνώσκω—κατὰ δὲ ὅμοιον πλεονασμὸν καὶ τὸ γίνεται ποιεῖται γίγνεται καὶ ἡ σύννοια ξύγγνοια, ὃ δηλοῖ συγγνώμην, καὶ ὁ δοῦπος γδοῦπος, ὅθεν καὶ ῥῆμα γδουπῶ γδουπήσω ἐν τοῖς ἑξῆς, ἔτι δὲ καὶ ἐρίγδουπος, ὥσπερ καὶ γνόφος παρὰ τὸ νείφω—οὕτω καὶ τὸ μὴ νοεῖν ἀγνοεῖν· αὐτὸ δὲ πλεονασμῷ τοῦ ι καὶ ἀγνοιεῖν λέγεται πρὸς εὐχρηστίαν μέτρου, οἷον «οὐδέ μιν Ἥρη ἠγνοίησεν».

1.224 ] (v. 532) Ὅτι εἰ καὶ τὸ ἅλλομαι δασύνεται, ὃ δηλοῖ τὸ πηδῶ, ἀλλὰ τὸ ἆλτο ψιλοῦται. τάχα μὲν καὶ ὡς Αἰολικόν, μάλιστα δὲ κατὰ τοὺς παλαιοὺς διὰ τὴν τοῦ τ ἐπιφοράν. τὸ γὰρ α λῆγον εἰς λ , ἐπαγομένου ἑνὸς τῶν τῆς τρίτης συζυγίας συμφώνων ἤγουν τοῦ δ ἢ θ ἢ τ ψιλοῦται· οἷον ἀλδαίνω, τὸ αὔξω, ἀλθαίνω, τὸ θεραπεύω, Ἄλτης κύριον· οὕτως οὖν καὶ τὸ ἆλτο ἀντὶ τοῦ ἐπήδησε. καὶ τὸ ἁλός δὲ ψιλωθῆναι ἄν φασι κατὰ τὸν κανόνα τοῦτον, ἐὰν ἀλτός ἐκλίθη διὰ τοῦ τ , ὑποσταλέντος δὲ αὐτοῦ ἐκληρονόμησε τοῦ οἰκείου καὶ ἐδασύνθη, καθὰ καὶ ἡ εὐθεῖα. (v. 531—3) Ἰστέον δὲ ὅτι ἐν τῷ «ἣ μὲν ἔπειτα εἰς ἅλα ἆλτο βαθεῖαν, Ζεὺς δ' ἑὸν πρὸς δῶμα», ἐξ ἀναλόγου νοητέον ἔξωθεν ῥῆμα, ἵνα ᾖ, ὡς Θέτις μὲν ἥλατο εἰς θάλασσαν, Ζεὺς δὲ πρὸς τὸ ἴδιον δῶμα ἦλθε. πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα παρὰ τῷ ποιητῇ, ὧν ἕν, ὡς ἀλλαχοῦ φανεῖται, καὶ τὸ «σῖτον καὶ οἶνον ἔδοντες». (v. 534) Ὅτι ἕδος οὐ μόνον ἔδαφος, ἀλλὰ καὶ ἡ καθέδρα ἐκ τοῦ ἕζω. ἐνταῦθα οὖν τῷ Διῒ ἀναστάντι θεοὶ ἅμα πάντες ἕποντο ἐξ ἑδέων, περὶ ἃ ἐκάθηντο. τοιοῦτον καὶ τὸ «λιπὼν ἕδος, ἔνθα θάασσε»· [καὶ τὸ «οὐχ' ἕδος ἐστὶ γεραιέ».] (v. 533—5) Ὅτι παιδευτικὸν ἤθους τὸ εἰπεῖν, ὡς τοῦ ἄρχοντος ἐπερχομένου οἱ περὶ αὐτὸν καθήμενοι ἀνέστησαν, ᾧ ἔοικε τὸ ἐπανέστησαν, ἐν τῇ βῆτα ῥαψῳδίᾳ κείμενον. τοῦτο δὲ νῦν ἄλλως φράζων φησίν· «οὐδέ τις ἔτλη μεῖναι ἐπερχόμενον» καὶ πάλιν· «ἀλλ' ἀντίοι ἔσταν ἅπαντες». παλιλλογεῖ γὰρ καὶ νῦν ἐγκαθίζων δι' ἐπιμονῆς τῇ ψυχῇ τῶν ἀκροατῶν τὴν παίδευσιν. ἐντεῦθεν τοῖς Λάκωσι νόμος ἐπανίστασθαι τοὺς νέους τοῖς πρεσβυτέροις. ὅρα δὲ τὸ ἀρχαϊκὸν τῆς λέξεως τοῦ ἐπανίστασθαι. πάλαι μὲν γάρ ποτε τὸ ἐπὶ τιμῇ ἀνίστασθαι ἐδήλου· ὕστερον δὲ μάχιμος ἡ λέξις τοῦ ἐπανίστασθαι καὶ τῆς ἐπαναστάσεως τῆς ἐπι προθέσεως τὸ κατα δηλούσης, ὡς καὶ ἐν τῷ «ἥκεις ἐφ' ἡμᾶς» παρ' Εὐριπίδῃ καὶ «Ἑπτὰ ἐπὶ Θήβας» παρ' Αἰσχύλῳ, ἤγουν κατὰ Θηβῶν· ὡς εἶναι παρὰ τοῖς ὕστερον τὸ ἐπανίστασθαι ὅμοιον τῷ κατεξανίστασθαι.

1.225 Σημείωσαι δὲ ὅτι τὸ «οὐδέ τις ἔτλη μεῖναι ἐπερχόμενον» ἀσαφὲς ὂν—δύναται γάρ ποτε ὡς ὁμώνυμος καὶ ἀμφίβολος ἔννοια λεχθῆναι καὶ ἐπὶ ἀριστέως, ὃν οὐδεὶς δύναται τλῆναι ἐπιόντα—διεσαφήθη ἀναγκαίως διὰ τοῦ «ἀλλ' ἀντίοι ἔσταν ἅπαντες». ἔστι δὲ ἄλλως καὶ αὐτὸ εἰπεῖν ποτε κατὰ καιρὸν ἐπὶ ἀνδρῶν ἀφόβων, οἳ κινδύνου ἐφεστῶτος οὐ φεύγουσιν, ἀλλ' ἀντίοι ἵστανται. αἴτιον δὲ τῆς τῶν ῥηθεισῶν δύο ἐννοιῶν ἀσαφείας καὶ τοῦ ἐντεῦθεν δυασμοῦ ὁ σχεδιασμός, καθ' ὃν πνέων τὰ ἔπη Ὅμηρος ἢ καί, ὡς εἰπεῖν, ἀπνευστὶ γράφων καὶ λαλῶν ἐξηρεύγετο πολλαχοῦ καὶ τοιαῦτα, ἐν οἷς διάφοροι ἄλλως καὶ ἄλλως ἔννοιαι παραφαίνονται. (v. 531) [Ὅτι ὃ φθάσας διϊστᾶν ἔφη Ὅμηρος ἐν τῷ «διαστήτην ἐρίσαντε» τοῦτο καὶ διατμήγειν φησίν, ὅ ἐστι διακόπτειν, διαιρεῖν. ἐνταῦθα οὖν λέγει, ὅτι Θέτις καὶ Ζεὺς ὣς βουλεύσαντε ἤγουν βουλευσάμενοι διέτμαγεν ἤτοι διεχωρίσθησαν.] (v. 538) Ὅτι ἀλληγορικῶς μὲν ἡ θαλασσία Θέτις ἀργυρόπεζα, διότι αἱ ὡσανεὶ πέζαι τῆς θαλάσσης τουτέστι τὰ ἔσχατα, ὅσα πρὸς

τῷ αἰγιαλῷ, ἀργύρεά εἰσιν ὡς διάλευκα, μελάντερα δὲ τὰ ἐνδοτέρω. διὸ καὶ ὁ ποιητὴς ἐπὶ μὲν αἰγιαλοῦ φησι· «θῖνα ἐφ’ ἁλὸς πολιῆς» ἤτοι λευκῆς· ἐπὶ δὲ τοῦ ἐσωτέρω μέλανά τε καὶ οἴνοπα πόντον λέγει· σωματικῶς δὲ κατὰ μῦθον ἀργυρόπεζα ἡ λαμπρόπους, ὁποία τίς ἐστι καὶ ἡ καλλίσφυρος καὶ ἡ παρ’ Εὐριπίδῃ «ἁβρὸν βαίνουσα παλλεύκῳ ποδί». τινὲς δὲ πέζαν ἐνταῦθα νοοῦσι κόσμον τινὰ πρὸς τῷ τοῦ ἱματίου ὄντα κάτω τέρματι, ἵνα εἴη ἀργυρόπεζα ἡ κόσμον λαμπρὸν περὶ τὰς ᾤας τοῦ ἱματίου ἔχουσα. (v. 540) Ὅτι καὶ ἐνταῦθα δηλοῖ σαφέστατα ὁ ποιητής, ὡς πολλάκις τις διά τι πάθος ψυχῆς ἐρωτᾷ καὶ περὶ οὗ ἀκριβῶς οἶδεν. ἡ Ἥρα γὰρ οὐκ ἀγνοοῦσα, ὅτι συνεφράσατο βουλὴν ἡ Θέτις τῷ Διΐ, ὅμως ἐρωτᾷ· «τίς δ’ αὖ τοι δολομῆτα συμφράσατο βουλάς», ὃ δὴ σκῶμμά ἐστι δολίου ἀνδρός. οὔκουν ἀεὶ διὰ μάθησιν ἐρωτᾷ τις, ἀλλ’ οὐδὲ διὰ μόνην παραμυθίαν τοῦ ἐρωτωμένου, ὡς ἡ Θέτις τὸν υἱὸν Ἀχιλλέα ἠρώτησεν. ἔστι δὲ ὅτε καὶ διὰ ἔλεγχον καὶ διὰ θυμόν. (v. 541—3) Ὅτι πρὸς φίλον κρυψίνουν εἴποις ἂν τὸ «αἰεί σοι φίλον ἐστὶν ἐμεῦ ἀπὸ νόσφιν ἐόντα κρυπτάδια φρονέοντα δικαζέμεν, οὐδέ τί πώ μοι πρόφρων τέτληκας εἰπεῖν ἔπος, ὅττι νοήσεις». καὶ ὅρα ἐνταῦθα ὅτι τὸ νοέοντα καὶ τὸ φρονέοντα οὐ πρὸς τὸ σοί ἀπεδόθη κατὰ πτῶσιν δοτικήν, ἀλλὰ πρὸς τὸ δικάζειν, ἵνα λέγῃ, ὅτι ἀεί σοι φίλον ἐστὶ δικάζειν σε νόσφιν ἐόντα καὶ κρυπτὰ φρονέοντα. καί εἰσι τοιαῦται πολλαὶ συντάξεις ἐπαμφοτερίζουσαι καὶ δυνάμεναι τοῖς τε προηγουμένοις καὶ τοῖς ἐφεπομένοις συντάττεσθαι, οἷον· «χαίρω τῷ λόγῳ, ᾧ λέγεις»· καὶ αὖθις· «χαίρω τῷ λόγῳ, ὃν λέγεις».

1.226 καὶ τοῦτο γὰρ ἀσόλοικον, ἐπεὶ τὸ λέγειν αἰτιατικὴν σύνταξιν δέχεται, οἷον «λόγον λέγεις». καὶ τὸ ποῶτον δὲ καλῶς ἔχει διὰ τὸ προηγούμενον. τὸ γὰρ χαίρω δοτικῇ συντάσσεται, οἷον «χαίρω, οἷς λέγεις». τοιοῦτον καὶ τὸ «ἥδομαι τοῖς ῥήμασιν, οἷς ἤκουσα» καὶ αὖ πάλιν «ἥδομαι τοῖς ῥήμασιν, ἃ ἤκουσα». μυρία δὲ καὶ ἄλλα τοιαῦτα. οὕτως οὖν καὶ τὸ Ὁμηρικὸν δυάζεται τῇ συντάξει. καλὸν γὰρ καὶ τὸ «ἀεί σοι φίλον ἐστὶ νόσφιν ἐόντι καὶ κρυπτὰ φρονοῦντι δικάζειν». ὁμοίως δὲ ὀρθὸν καὶ τὸ «φίλον σοι ἀεί ἐστι δικάζειν σε νόσφιν ἐόντα καὶ κρυπτάδια φρονέοντα». Τὸ δὲ ἀπὸ νόσφιν πλεονασμὸν ἔχει τῆς προθέσεως, ὡς καὶ ἐπὶ ἄλλων γίνεται. (v. 542) Τὸ δὲ κρυπτάδια ὁμοιότητα ἔχει πρὸς τὸ ἀμφάδια, ὃ δηλοῖ τὰ φανερά. Δικάζειν δὲ λέγει τὸ σεμνῶς καὶ βασιλικῶς οἰκονομεῖν καὶ ἐπικρίνειν. Τὸ δέ «πώ μοι» ὀξύνεται ὡς ἐγκλινόμενον, καθὰ δηλοῖ καὶ τὸ οὔπω καὶ τὸ «ἐσθλὸν δ’ οὔτέ τι πω εἶπας» καὶ τὸ «οὐ γάρ πω τοίους ἀνέρας ἴδον». τὰ γὰρ ἐγκλινόμενα, εἴ ποτε τόνου κληρονομήσουσιν, ὀξὺν αὐτὸν ἔχουσιν, οἷον· «φημί σοι», «σοί φημι» καὶ τὰ ὅμοια. διὸ καὶ τὸ πώποτε καλῶς δι’ ὀξείας ἐκφέρεται τάσεως, ὡς καὶ τὸ πώμαλα. οἱ γὰρ περισπῶντες αὐτὸ δυσαπολογήτως εἰς ἀπόδοσιν αἰτίας ἔχουσι. τὸ γὰρ ἐν ἁπλότητι μὴ περισπώμενον πῶς ἂν ἐν συνθέσει περισπασθήσεται; (v. 543) Τὸ δέ «εἰπεῖν ἔπος» ὡς καὶ τὸ «εἶπας ἔπος» τρόπος ἐτυμολογίας ἐστίν· ἐκ γὰρ τοῦ εἰπεῖν τὸ ἔπος γίνεται. (v. 544) Ὅτι Ζεὺς ἀλλαχοῦ μὲν ἁπλῶς πατὴρ ἐλέχθη διὰ τὸ τοῦ ἀέρος ζῳογόνον, ἐνταῦθα δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε, ἤτοι κηδεμὼν οὐ μόνον στοιχείων καὶ ἀστέρων καὶ ὅλως τῶν θειοτέρων, ἀλλὰ καὶ ἀνδρῶν τουτέστιν ἀνθρώπων ὡς ἀπὸ μέρους. ἀπὸ δὲ τῶν ἀνθρώπων, τοῦ τιμιωτάτου γένους, καὶ εἰς τὰ ἄλλα διαβαίνει τὸ νόημα. ὁ δὲ μῦθος πατέρα θεῶν καὶ ἀνδρῶν ἄλλως τὸν Δία φησὶ λέγων, ὅτι κατὰ τοὺς Ὁμηρικοὺς μύθους τῶν ἄλλων δαιμόνων οἱ μὲν μόνων θνητῶν πατέρες λέγονται, ὡς Ποσειδῶν Κύκλωπος καὶ Ὤτου καὶ Ἐφιάλτου, Ἀφροδίτη Αἰνείου, Θέτις Ἀχιλλέως καὶ ἄλλοι ἄλλων, οἱ δὲ μόνων ἀθανάτων, ὡς Κρόνος Διός, Ἥρας, Ἅιδου, Ποσειδῶνος, Ζεὺς δὲ μόνος καὶ ἀθανάτων πατήρ, οἷον Ἀπόλλωνος, Ἡφαίστου, Ἄρεος, καὶ θνητῶν δέ, οἷον Σαρπηδόνος, Αἰακοῦ, Μίνωος, Ἡρακλέους, Περσέως. (v. 545—50) Ὅτι περίεργον μὲν ἡ γυνὴ καὶ πάντα εἰδέναι θέλει ὅσα βούλεται ἀνήρ. ἀλλ’ ὁ συνετὸς οὐ ποιήσει οὕτως, ἕψεται δὲ τῷ ποιητῇ εἰς ἀρίστην ὑποθήκην καὶ λυσιτελεστάτην ἀνδρὶ τῷ μὴ πάντα τῇ γυναικὶ φράζειν, ἀλλ’, ὡς παραγγέλλει ἀλλαχοῦ, τὸ μέν τι ἐκκαλύπτειν αὐτῇ, τὸ δὲ κρύπτειν. διὸ καὶ Ὀδυσσεύς που οὕτω ποιεῖ οὐδὲν φράσας τῇ Πηνελόπῃ, ἐξ ὧν ἔμελλε ποιεῖν. καὶ ὁ Ζεὺς δὲ ἐνταῦθά φησι πρὸς τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἥραν, ὅτι μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους εἰδήσειν· χαλεποί τοι ἔσονται [ἀλόχῳ περ ἐούσῃ.

1.227 ] ἀλλ’ ὃν μέν κ’ ἐπιεικὲς ἀκουέμεν οὔ τις αὐτὸν πρότερος εἴσεται· ὃν δ’ ἂν ἐγὼν ἀπάνευθεν ἐθέλοιμι νοῆσαι, μή τι σὺ ταῦτα ἕκαστα διείρεο μηδὲ μετάλλα. Ἰστέον δὲ ὅτι ὁ ποιητὴς παιδευτικὸς ὢν οὐ μόνον ἐν ἱστορίαις ἀλλὰ καὶ ἐν μύθοις διδάσκει τὸ ποιητέον, ὃς τὸ μὴ πάντα φράζειν ταῖς γυναιξὶν ἱστορικῶς μὲν ἐπὶ Ὀδυσσέως ἐδίδαξε, μυθικῶς δὲ ἐνταῦθα διὰ τοῦ Διός. οὕτω καὶ ἐν τοῖς μετὰ ταῦτα τὸ μὴ δεῖν παννύχιον τὸν ἄρχοντα ὑπνοῦν πραγματικῶς τε διδάξει διὰ τοῦ Ἀγαμέμνονος καὶ μυθικῶς δὲ διὰ τοῦ Διός. Ἰστέον δὲ καὶ ὅτι τὸ «μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους εἰδήσειν» καὶ τὰ ἑξῆς, ὡς προγέγραπται, οἰκεῖά εἰσι λέγεσθαι παρά τινος πρὸς τὸν ἀκαίρως θέλοντα μαθεῖν ἐξ αὐτοῦ μυστήρια. (v. 547) Ὅρα δὲ τὸ ἐπιεικές ἀντὶ τοῦ πρέπον καὶ ἐοικός. οὕτω δὲ ἀεὶ παρὰ Ὁμήρῳ ἡ τοιαύτη λέξις λαμβάνεται· παρὰ μέντοι τοῖς νεωτέροις τὸ ἐπιεικὲς ἐπὶ πραότητος λέγεται. Τὸ μέντοι ἐπιεικῶς ἐπίρρημα ἔστιν ὅτε καὶ ἄλλο τι δηλοῖ· ἀντὶ τοῦ λίαν γὰρ λαμβάνεται ἐν τῷ ἐπιεικῶς ἄτοπον καὶ τοῖς τοιούτοις. (v. 550) [Τὸ δέ «ταῦτα ἕκαστα» καινότερον ἔχει σχηματισθέν, εἴτε πρὸς τὸν λόγον τοῦ Διὸς εἴτε πρὸς τοὺς λόγους ἀποδοθήσεται· μετέπεσε γὰρ ἀπὸ ἀρσενικοῦ γένους εἰς οὐδέτερον. Τὸ δὲ κοινότερον ἦν εἰπεῖν· «μή τι σὺ τοὺς ἐμοὺς μύθους ἢ τὸν ἐμὸν μῦθον διείρεο μηδὲ μετάλλα».] Μεταλλᾶν δὲ τὸ πολυπραγμονεῖν ἀεὶ παρ’ Ὁμήρῳ, ἀφ’ οὗ καὶ ἐπὶ τῶν ὑπὸ γῆν τὸ μεταλλεύειν εἴρηται καὶ τὰ ἐκεῖθεν ἀνορυττόμενα μέταλλα λέγονται κληθέντα, φασίν, οὕτω διὰ τὸ μετὰ τὰ ἄλλα πάντα ἐπινοηθῆναι. καὶ γὰρ ἔοικε τῶν περὶ γῆν πάντων τῶν ἄλλων εὐθετηθέντων τότε δὴ μετὰ τὰ ἄλλα ἐκεῖνα ἐπιχειρῆσαι τοὺς ἀνθρώπους καὶ ταῖς γεωρυχίαις καὶ ἀφεῖναι μὲν τὰ νῶτα τῆς γῆς, ἐπιχειρῆσαι δὲ ταῖς λαγόσιν αὐτῆς, ὡς ἂν ἔχοιέν τι κερδαίνειν καὶ ἀπ’ αὐτῶν. (v. 552) [Ὅτι ἐν τῷ «αἰνότατε Κρονίδη ποῖον τὸν μῦθον ἔειπας;», ὃ δὴ ὄνειδος φίλον τῇ Ἥρᾳ κατὰ τοῦ Διός, περιττῶς κεῖται τὸ ἄρθρον ἐν τῷ «τὸν μῦθον ἔειπας». τὸ γὰρ κοινὸν καὶ σύνηθες «ποῖον μῦθον ἔειπας;» Αἰνότατος δὲ ὁ δεινότατος ἀποβολῇ τοῦ δ καὶ τροπῇ Δωρικῇ τῆς ει διφθόγγου εἰς τὴν αι , καθὰ καὶ Ἑρμογένης ὑποδηλοῖ, ἔνθα λέγων τὰ τῆς δεινότητος σημαινόμενα προήνεγκέ που εἰς μαρτυρίαν τὸ «αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν» ἤγουν δεινῶς ἔοικε θεαῖς ἡ Ἑλένη. (v. 552) Ἰστέον δὲ ὅτι, ὡς ἐν τῷ «ποῖον τὸν μῦθον ἔειπας;», οὕτω δοκεῖ καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «ὃν σὺ τὸν νεκρὸν ἀπεῖπας» περιττὸν εἶναι τὸ τον ἄρθρον.] (v. 553—6) Ὅτι ἀπράγμονος προσώπου λόγος τὸ «καὶ λίην σε πάρος γ’ οὔτ’ εἴρομαι οὔτε μεταλλῶ, ἀλλὰ μάλ’ εὔκηλος τά» ἤγουν ταῦτα «φράζεαι, ἅσς’ ἐθέλῃσθα.

1.228 νῦν δ’ αἰνῶς δείδοικα κατὰ φρένα, μή σε παρείπῃ» ὁ δεῖνα ἤγουν παραπείσῃ, παραλογίσηται, περὶ οὗ ἐν τοῖς μετὰ ταῦτά που ἀκριβέστερον δηλωθήσεται. (v. 554) Ἰστέον δὲ ὅτι τὸ ἅσσα, ὃ δηλοῖ τὸ ἅτινα, ἐκ τοῦ ἅ γίνεται, ὅπερ ἐστὶν ἄρθρον οὐδέτερον ὑποτακτικὸν πληθυντικόν, καὶ ἀπὸ τοῦ σα , ὃ δηλοῖ τό τινά Μεγαρικῶς καὶ Δωρικῶς. διὸ καὶ δασύνεται ὁμοίως τῷ ἅτινα. φασὶ δὲ οἱ παλαιοὶ καί, ὅτι τρία σημαίνει τὸ ἅσσα, τὸ ἅτινα καὶ τὸ ὅσα καὶ τό τινά. καὶ ὅτε μὲν ἰσοδυναμεῖ τῷ ἅτινα καὶ τῷ ὅσα, δασύνεται, οἷον «τὰ φράζεαι, ἅσς’ ἐθέλῃσθα» καὶ «ἅσς’ ἂν ἐμοί περ αὐτῇ». ὅτε δὲ κεῖται ἀντὶ τοῦ τινά, ψιλοῦται. τὸ δ’ αὐτὸ ῥητέον καὶ ἐπὶ τοῦ ἄττα. ἐκ τοῦ ἅσσα γὰρ ἐκεῖνο γίνεται. φασὶ δὲ οἱ παλαιοὶ περὶ τοῦ ἅττα καί, ὅτι τρία δηλοῖ· τό τινά, ὅτε καὶ ψιλοῦται. τὸ ἅτινα, ὅτε δασύνεται. —τοῦτο Ἴωνες ἅσσα λέγουσι—καὶ τρίτον τό ποτέ ἢ τὸ ἰσοδυναμοῦν τούτῳ. Ἀριστοφάνης· «πύθου, χελιδὼν πηνίκ’ ἄττα φαίνεται». (v. 555) Τοῦ δὲ δείδοικα πρωτότυπον ὂν τὸ δέδοικα, ἐκ τοῦ δείδω τὸ δειλιῶ, ἔχει ἀπορίαν, πῶς διὰ τοῦ κ ἐκφέρεται καὶ μὴ διὰ τοῦ θεματικοῦ δ , διὰ τὸν κανόνα, δι’ οὗ ὥρισται καθολικῶς, ὅτι ἐπὶ τῶν βαρυτόνων, δι’ οὗ συμφώνου ἐκφέρεται ὁ ἐνεστώς, δι’ αὐτοῦ καὶ ὁ μέσος παρακείμενος, οἷον λείβω λέλοιβα, λέγω λέλογα, κατὰ τὸν Ἡρωδιανόν, καθ’ ὃν ἔδει ἀπὸ τοῦ δείδω δέδοιδα εἶναι τὸν μέσον παρακείμενον. λύσις δὲ τῆς ἀπορίας ταύτης τὸ μὴ χρῆναι τρία παράλληλα δέλτα

παραλαμβάνεσθαι· τὸ γὰρ τοιοῦτον ψελλισμῷ, φησίν, ὑποπίπτει. διὸ ἀντεισῆλθε τοῦ τρίτου δ τὸ κ τοῦ ἐνεργητικοῦ παρακειμένου τοῦ δείδω δείσω δέδεικα, ὃς ἐσιγήθη διὰ τὸ τοῦ μέσου παρακειμένου πολύχρηστον. [Ὅτι δ’ ἐν πολλοῖς ἡ παραλληλία φεύγεται, δηλοῖ καὶ ὁ τεμένιος, ὃς δέον ὂν διφθόγγῳ παραλήγεσθαι κατὰ τὸν κανόνα τοῦ κήτειος, κήδειος, ἐπιτήδειος καὶ τῶν ὁμοίων, ὅμως, ἵνα μὴ ἐπάλληλα εἴη τὰ τρία ε , ἐγράφη διὰ μόνου τοῦ ι . Σοφοκλῆς· «τεμενίαν τε φυλλάδα». οὕτω καὶ τὸ «Ἴριδι δίῃ» κακίζεται διὰ τὸ ἀλλεπάλληλον τῶν διχρόνων. (v. 554) Τοῦ δὲ εὔκηλος τοιαύτη τίς ἐστιν ἡ παραγωγή. ἕκηλος ὁ ἥσυχος ἢ παρὰ τὸ ἑκὰς περί τινα ἐσχατιὰν ἀλᾶσθαι—δοκεῖ γὰρ ὡς τὰ πολλὰ ἐρημάζων εἶναι ὁ ἡσυχάζων—ἢ παρὰ τὸ ἓ ἤγουν ἑαυτὸν κηλεῖν, ὅ ἐστι θέλγειν.

1.229 εἰ γὰρ καὶ μὴ πολλοῖς, ἑαυτῷ γοῦν ὅμως χρηστός ἐστι καὶ ἡδὺς ὁ προθέμενος καθ’ ἡσυχίαν ζῆν. δασυνόμενον δὲ τὸ ἕκηλος ἀπό τε τῆς ἓ ἀντωνυμίας καὶ ἀπὸ τοῦ ἑκάς ὅμως ψιλοῦται διὰ τὴν Αἰολικὴν ἢ καὶ Ἰωνικὴν τοῦ υ ἐπένθεσιν κατὰ τὸ ὅρος οὖρος καὶ τὰ ὅμοια, ἐν οἷς καὶ ὁ ἀπὸ τοῦ εἷς ἑνός γινόμενος εὖνις, ὅ ἐστι μεμονωμένος καὶ ὡς εἰπεῖν ἑνιαῖος.] (v. 557) Ὅτι κεῖται καὶ ἐνταῦθα τὸ λαβεῖν ἐπὶ γενικῆς· φησὶ γάρ· «ἠερίη γάρ σοι παρέζετο καὶ λάβε γούνων» ἀντὶ τοῦ ἥψατο. οἱ δὲ νεώτεροι λαβέσθαι τοῦτό φασι κατὰ φωνὴν παθητικήν. τί δὲ δηλοῖ τὸ «ἠερίη» προείρηται, ὅτι δηλαδὴ ἀερία ἢ ὀρθρινή. τὸ δὲ γούνων ἀπὸ τοῦ γονύων γίνεται μεταθέσει τοῦ υ , ὡς καὶ γόνυος γουνός, γόνυα γοῦνα. (v. 561—4) Ὅτι ὁ θυμούμενος κατά τινος πολυπράγμονος μέν, ἀδυνάτου δὲ βλάψαι, δύναται Ὁμηρικῶς εἰπεῖν τὸ «δαιμονίη ἀεὶ μὲν ὀΐεαι» τουτέστι νοεῖς «οὐδέ σε λήθω· πρῆξαι δ’ ἔμπης» ἤγουν ὅμως «οὔ τι δυνήσεαι, ἀλλὰ ἀπὸ θυμοῦ μᾶλλον ἐμοὶ ἔσεαι· τὸ δέ τοι ῥίγιον ἔσται. εἰ δ’ οὕτω τοῦτ’ ἔστιν, ἐμοὶ μέλλει φίλον εἶναι». λέγει δὲ ὅτι οὐδέποτε μέν σε λανθάνω κωλῦσαι δέ με οὐ δύνασαι, ἀλλὰ καὶ μῖσος ἕξεις ἐξ ἐμοῦ καὶ φρικτόν σοι ἔσται τὸ πρᾶγμα. τοῦτο γὰρ δηλοῖ τὸ ῥίγιον· φρίσσουσι γὰρ οἱ ῥιγοῦντες. (v. 562) Τὸ δὲ ἀπὸ θυμοῦ ἀντὶ τοῦ ἔξω ψυχῆς ἤτοι ἀποθύμιος, ὡς μετὰ ταῦτα ἐρεῖ ὁ ποιητής. ὅπερ οἱ νεώτεροι ἀκαταθύμιον λέγουσιν. εἰ δὲ ἀπὸ θυμοῦ τις λέγεται παρὰ τῷ ποιητῇ, ὅτε ἐν θυμῷ τινος ὢν ἤτοι ἔσω ψυχῆς, εἶτα ἐκπέσῃ ἐκεῖθεν, ἄρα ἐξ Ὁμήρου λαβόντες οἱ ὕστερόν φασιν «ἐξ ὀμμάτων» τὸν πηρωθέντα, οἷον «Δίδυμος ὁ ἐξ ὀμμάτων». ὁμοίως καί τινας ἀπὸ ἐπάρχων καὶ ἑτέρους ἀπὸ βασιλέων καὶ ἄλλα τοιαῦτα πολλά. ἰστέον δὲ καὶ ὅτι ἐναντίον τῷ ἀποθυμίῳ τὸ καταθύμιον, ἐξ οὗ γυνή τις παρ’ Ἡροδότῳ Καταθυμία κέκληται. (v. 564) Τὸ δέ «ἐμοὶ μέλλει φίλον εἶναι» ἠθικῶς εἶπεν, οἷον «ἐμοί, ὡς ἔοικε, φίλον ἐστίν» ἀντὶ τοῦ «οὕτω μοι ἀρέσκει, οὕτως ἐγὼ θέλω». (v. 565) Ὅτι τὸ «ἀλλ’ ἀκέουσα κάθησο» προστακτικὸν προπαροξύνεται. τὰ γὰρ σύνθετα προστακτικὰ βραχυκατάληκτα ὡς ἐπὶ πολὺ ἀναπέμπει τὸν τόνον, οἷον λέγε κατάλεγε, σπεῖρε κατάσπειρε· οὕτως οὖν καὶ ἧσο κάθησο.

1.230 τὸ μέντοι «ἀκέουσα καθῆστο», ἀντὶ τοῦ ἡσυχάζουσα ἐκάθητο, προπερισπᾶται, διότι τὰ τροχαϊκὰ περισπώμενα φυλάττει τὴν αὐτὴν ἐκφώνησιν ὡς ἐπὶ πλεῖστον καὶ μετὰ σύνθεσιν, οἷον ἦγε κατῆγεν, εὗρεν ἐφεῦρεν, εἶχε κατεῖχεν, εἶδε παρεῖδεν, εὗδε καθεῦδεν, οἷον «ἔνθα καθεῦδεν ἀναβάς». οὕτως οὖν καὶ ἧστο καθῆστο. ἐὰν μέντοι μεταποιηθῇ εἰς βραχὺ τοῦ τροχαίου ἡ ἄρχουσα, τότε δὴ καὶ ὁ τόνος ἐν τῇ συνθέσει ἀναβιβάζεται, ὡς δηλοῖ τὸ ἄναγεν, ἔτι δὲ καὶ τὸ κάτεσχεν, ὅσα τε ἄλλα τούτοις ὅμοια. τὸ δὲ ὡς ἐπὶ πλεῖστον πρόσκειται τῷ κανόνι διὰ τὸ οἶδα σύνοιδα, οἶσθα κάτοισθα καὶ εἴ τι τοιοῦτον. Οἱ δὲ παλαιοί φασι καὶ ὅτι τὸ καθῆστο προπερισπᾶται ὡς ἀπὸ τοῦ ἕζω ἧσμαι, ἀφ’ οὗ τὸ ἥσμην, ἧσο, ἧστο καὶ καθῆστο. οἱ γὰρ δισύλλαβοι παρακείμενοι ἔχοντες δύο σύμφωνα φυλάττουσι καὶ ἐν τῇ συνθέσει τὸν τόνον, οἷον εἶργμαι καθεῖργμαι, ἧγμαι κατῆγμαι. οὕτως οὖν καὶ ἧσμαι καθῆσμαι, ἥσμην καθήσμην, ἐξ οὗ τὸ καθῆστο. εἰ δὲ ἦν, φασίν, ἀπὸ τοῦ ἧμαι ἥμην, ἀνεδίδου ἂν τὸν τόνον ὁμοίως τῷ κάθημαι κάθητο. (v. 565—7) [Ἰστέον δὲ ὅτι τὸ «ἀλλ’ ἀκέουσα κάθησο, ἐμῷ δ’ ἐπιπείθεο μύθῳ, μή νύ τοι οὐ χραίσμωσιν, ὅσοι θεοί εἰς’ ἐν Ὀλύμπῳ, ἆσσον ἰόνθ’, ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤγουν ἐφῶ, ἐπιπέμψω, ἐπιβαλῶ, δηλοῖ μὲν συμβολικῶς καὶ τὸ τοῦ αἰθέρος δραστήριον κατὰ τῶν στοιχείων, δύναται δὲ χρησιμεύειν παραποιηθὲν ἐν καιρῷ καὶ εἰς ἀπειλὴν τὴν ἀπό τινος κρείττονος εἰς μὴ τοιοῦτον.] (v. 567) Εἰσὶ δὲ χεῖρες ἄαπτοι αἱ δειναὶ καὶ ἀπτόητοι κατὰ Ἀρίσταρχον. διὸ καὶ ἐψιλοῦτο, φασί, τὸ δεύτερον α , ἢ ἀΐαπτοι κατὰ ἔλλειψιν τοῦ ι , ἃς οὐ δύναταί τις ἰάψαι, ὅ ἐστι βλάψαι, ἢ κατὰ ἐπίτασιν αἱ πολλὰ ἰάπτειν δυνάμεναι. Ἀριστοφάνης δὲ ἐν ταῖς Γλώσσαις, ὥς φασιν οἱ παλαιοί, ἀέπτους γράφει διὰ τοῦ ε οἱονεὶ ἀρρήτους, ἃς οὐ δύναταί τις εἰπεῖν, ἢ δυσπαρακολουθήτους, αἷς οὐ δύναταί τις ἕπεσθαι. καὶ ἄλλως δὲ χεῖρες ἄαπτοι αἱ ἀπροσπέλαστοι, ὧν οὐκ ἂν ἅψαιτό τις. τούτῳ δὲ τῷ λόγῳ καὶ ἐδασύνετο τὸ δεύτερον α . ὅτι δὲ παρὰ τοῖς ἀρχαίοις οὐ μόνον τὰ ἀρκτικὰ τῶν λέξεων φωνήεντα ἐπνευματίζοντο ἀλλὰ καὶ τὰ διὰ μέσου ἐν ταῖς συλλαβαῖς, ὡμολόγηται ὑπὸ τῶν ἀντιγράφων, ὡς ῥηθήσεται καὶ ἐν τοῖς ἑξῆς, ὅπερ δηλοῖ που καὶ ὁ Ἀθήναιος. [Ἐν δὲ τῷ «θεοί εἰς' ἐν Ὀλύμπῳ» οὐκ ἐκθλίβεται τοῦ εἰσί, καθά τινες οἴονται, τὸ ι σὺν τῷ νῦ, ἀλλὰ μόνον τὸ ι , πρὶν ἢ διὰ χασμῳδίαν προσλάβῃ τὸ νῦ. τὸ δ' αὐτὸ καὶ ἐπὶ ἄλλων μυρίων τοιούτων κουφισμῶν. (v. 567) Τὸ δέ «ἇσσον ἰόντε» κατὰ τὴν συνήθη ἐν τοῖς τοιούτοις ἀδιαφορίαν δυϊκῶς ἐκφωνηθὲν ὅμως ὡς πληθυντικὸν κεῖται.

1.231 δύναται δὲ καὶ κυρίως εἶναι δυϊκὸν διὰ τὸ διγενὲς τῶν τε θεαινῶν καὶ τῶν ἐν αὐταῖς ἀρρένων. Τὸ δὲ ἐφείω πλεονασμὸν συνήθη ἔχει τῆς ει διφθόγγου.] (v. 569) Ὅτι τὸ ἐπιγνάμψασα ἤτοι κάμψασα φίλον κῆρ ἀντὶ τοῦ κλιθεῖσα, ταπεινωθεῖσα, ὑποχαλασθεῖσα τοῦ ἀτενοῦς ἤθους. ἡ δὲ μεταφορὰ ἐκ τῶν καμπτομένων σωμάτων. λέγεται δέ τις καὶ ἄλλον κάμπτειν ἤτοι πείθειν, μετάγειν, ὡς τὸ «ἐπέγναμψε γὰρ ἅπαντας». [Δοκεῖ δὲ ἢ ἐκ τοῦ γόνυ ῥῆμα εἶναι ἄρρητον γνῶ τὸ εἰς γόνυ κλίνω, ἐξ οὗ γνάπτω καὶ γνάμπτω· ἢ ἐκ τοῦ κνῶ, ἀφ' οὗ καὶ τὸ «αἴγειον κνῆ τυρόν», γενέσθαι κνάπτω τὸ παρὰ Σοφοκλεῖ καὶ κνάμπτω καὶ τροπῇ γνάμπτω. διὸ καὶ κναφεὺς ὁ αὐτὸς καὶ γναφεύς. τοῦ δὲ κνάμπτω κοινότερον τὸ κάμπτω ἐκδραμόντος τοῦ ν . ὡς δὲ ὁ γομφίος ἐκ τοῦ γνάμπτω παρῆκται τροπῇ τοῦ α εἰς ο , δι' οὗ κάμπτεται ἡ τροφή, δηλοῦσιν οἱ παλαιοί.] (v. 570) Ὅτι καὶ ἐνταῦθα ὀχθῆσαι τὸ ἀχθεσθῆναι ἢ ὑψῶσαι τὸν φόβον ἢ τὸν θυμὸν μεταφορικῶς ἀπὸ τῆς τῶν ποταμῶν ὄχθης, ὡς προείρηται. [φησὶ γάρ· «ὄχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοὶ Οὐρανίωνες». (v. 571) Ὅτι κλυτοτέχνην λέγει τὸν Ἥφαιστον διὰ τὰ περίκλυτα ἔργα, οἷς λυσιτελεῖ πρὸς ἀπαρτισμὸν ὁ εἰς πῦρ ἐκλαμβανόμενος Ἥφαιστος.] Ὅτι ὁ Ἥφαιστος ὁ καταλλάσσων ἐνταῦθα τῷ Διῒ τὴν Ἥραν τοιαύτην τινά, ὡς ἐν συντόμῳ εἰπεῖν, ὑποβάλλει ἔννοιαν. Ἥρα μὲν γὰρ ὁ ἀὴρ θερμὸς ὤν, φασί, καὶ ὑγρός, εἰ καὶ ἄλλως αὐτοῦ τὸ θερμὸν ἀντιλέγεται· αἰθὴρ δὲ ὁ Ζεύς, δραστικὸν τοῦτο στοιχεῖον ποιότησι συγκεκροτημένον τῇ τε ξηρᾷ καὶ θερμῇ. τὰ τοίνυν στοιχεῖα ταῦτα πῇ μὲν φιλίως ἀλλήλοις ἔχει, ὡς καὶ προεγράφη, καθὸ ἄμφω θερμὰ εἶναι δοκεῖ, πῇ δὲ εἰς ἔχθραν διχάζονται κατὰ τὴν τοῦ ὑγροῦ καὶ ξηροῦ ἐναντιότητα. Ὁ τοίνυν μῦθος ἑνώσας αὐτὰ κατά τινα εἰκασίαν φαντασιώδη γάμου καὶ τὸν μὲν ἀέρα ἐκθηλύνας τῷ ὀνόματι καὶ εἰς Ἥραν μεταθέμενος, τῷ δὲ Διῒ ὡς δραστηριωτέρῳ φυλάξας τὸ ἀνδρῶδες τοῦ ἄρρενος ὄνομα, ὅμως καὶ μετὰ τὴν φιλίωσιν καὶ γαμικὴν ταύτην συζυγίαν φυλάττει ἐν αὐτοῖς ἐκεῖνα τὰ πρὶν ἰδιώματα οὐ μόνον τὴν ἐν τῇ θερμότητι εὔνοιαν καὶ οἷον συνάφειαν, ἀλλὰ καὶ τὴν ἔριν καὶ διάστασιν τὴν κατὰ τὸ ξηρὸν καὶ ὑγρόν· καὶ διὰ τοῦτο ποιεῖ μὲν αὐτοὺς ἔστιν ὅτε ἀνθισταμένους ἐριστικῶς, αὖθις δὲ καταλλάσσεσθαι λέγει αὐτούς. εἴ ποτε τοίνυν μεσίτην τινὰ τῇ αὐτῶν καταλλαγῇ θελήσει πλάσασθαι, ποιεῖ μὲν καὶ ἄλλα τινά, ὅσα δοκεῖ αὐτῷ, παράγει δέ που καὶ Ἥφαιστον αὐτοὺς καταλλάσσοντα, τουτέστιν ἁπλῶς τὴν θερμότητα.

1.232 Ἥφαιστος γὰρ εἰς τὸ θερμὸν ἀλληγορικῶς ἐκλαμβάνεται δαίμων λεγόμενος ἐπιστατῶν τῇ θερμῇ οὐσίᾳ. οὕτω τοίνυν καὶ ἐνταῦθα ἔριδος παρεισπεσούσης τῇ Ἥρᾳ καὶ τῷ Διῒ αὐτὸς μέσος ἐλθὼν τὴν καταλλαγὴν πραγματεύεται. οὐ γὰρ θέλει ὁ μῦθος παντελῶς λέγειν ἀπίθανα, ὅπερ ἔπαθεν ἄν, ἐὰν ἕτερόν τινα παρεισήγαγε μεσιτεύοντα εἰς τοιαύτην ὁμόνοιαν. οὔτε γὰρ Ἀθηνᾶ

οὔτε Ἄρης οὔτε Ἄρτεμις οὔτε ἄλλος τις τῶν τοιούτων κατὰ φυσικὴν ἔννοιαν λέγοιτ᾽ ἂν λύειν τὴν ἔριν τῇ Ἥρᾳ καὶ τῷ Διῒ καὶ ἐκ διαστάσεως ἄγειν εἰς ἕνωσιν οἰκειότερον ἤπερ ὁ Ἥφαιστος, θερμή τις αὕτη φύσις. Ποσειδῶνα δὲ εἴ τις εἶπε τοῦτο ποιεῖν, οὐδὲν τὸ παράπαν ἔλεγε. Ποσειδῶν μὲν γὰρ εἰς ὑγρότητα ἐκλαμβάνεται· ὑγρότης δὲ εἰρήνην καὶ σύμβασιν ἀέρι καὶ Διῒ οὐκ οἶδε ποιεῖν, ἀλλὰ μάλιστα μάχην, ὡς ἡ φύσις τοῦ πράγματος παριστᾷ. συγχέει γὰρ μᾶλλον τὸ περιέχον καὶ συγκροτεῖ τὴν ἔριν τῷ ἀέρι τὴν τοῦ αἰθέρος ἀφανίζων ἱλαρότητα καὶ ταῖς κάτωθεν ἀναθυμιάσεσιν «ἄχος οὐράνιον» κατὰ τὴν τραγῳδίαν γίνεται. Ἥφαιστος μέντοι τουτέστι τὸ θερμόν, ἐὰν κατισχύσῃ, τόν τε ἀέρα γαληνιᾶν ποιεῖ καὶ νηνεμίαν αὐτῷ ἐμποιεῖ, ὡς καὶ τῷ αἰθέρι οὕτω σπένδεσθαι, καὶ εἰς εἰρηνικὰς ἄγει καταστάσεις τὸ πᾶν, ὁποία ἥ τε ἐαρινὴ καὶ ἡ μετ᾽ αὐτὴν καὶ εἴ τις δὲ ἄλλη παρεμπέσοι τῷ ἐνιαυτῷ. οὐκ ἔστι γὰρ τὴν Ἥραν ἀποθέσθαι τὸ σκυθρωπὸν οὐδὲ βοῶπιν φανῆναι καὶ λευκώλενον μὴ μεσολαβοῦντος Ἡφαίστου, τῆς ἁπλῶς δηλονότι θερμότητος. πιθανῶς ἄρα ὁ μῦθος τὸν Ἥφαιστον ἐνταῦθα παράγει λύοντα τὴν ἔριν τῇ τε Ἥρᾳ καὶ τῷ Διΐ. Δεῖ δὲ εἰδέναι, ὅτι οὐ πάντοτε ὁ Ἥφαιστος εἰς τὴν ἁπλῶς θερμότητα ἐκλαμβάνεται, ἀλλὰ τοῦτο μὲν σπανίως. διὸ καὶ οὐράνιος νοεῖται καὶ Διὸς ἤτοι αἰθέρος υἱὸς καὶ τοῖς θεοῖς ἄνω ἤτοι τοῖς ἄστροις, οἷς ἡ φύσις διὰ τὸ φωσφόρον ἐκ πυρὸς εἶναι δοκεῖ, αὐτὸς οἴκους τεκτήνασθαι λέγεται. ὡς ἐπὶ πλεῖστον δὲ Ἥφαιστον ἡ ἀλληγορία τὸ πῦρ αὐτὸ νοεῖ, τουτέστι τὴν καυστικὴν θερμότητα, καὶ τοῦτο ἢ τὸ διακονικὸν καὶ περὶ γῆν ἢ τὸ ἐκ πάθους ἐν τοῖς μετεώροις γινόμενον, οἷον τὸ ἐν κεραυνοῖς καὶ ἀστραπαῖς καὶ τοῖς τοιούτοις, ἅπερ οὐχ᾽ ἁπλῶς θερμότης ἐστίν, ἀλλὰ καυστικὴ καὶ οἵα αἴθειν τὴν ἁφήν, ὡς ἡ ἐτυμότης τοῦ Ἡφαίστου δηλοῖ. ὃς Ἥφαιστος καὶ χωλὸς λέγεται οἷα σκάζων, ἐὰν μή τινα ὕλην τὴν ὑπανέχουσαν ἔχῃ καὶ ἀμφοτέρους τοὺς πόδας γυιὸς ἤγουν χωλός· τοῦτο γὰρ ὁ ἀμφιγυήεις δηλοῖ. ἀμφοτέρωθεν γὰρ σκάζει μὴ ἔχων ὕλην τὴν ὑπερείδουσαν, οἷον κάτω μὲν ξύλα καὶ εἴ τι ἄλλο ἐξάπτεται γήϊνον, ἄνω δὲ τὴν ξηρὰν καὶ καπνώδη ἐκ γῆς ἀναθυμίασιν. οὐ τοίνυν ὁ τοιοῦτος Ἥφαιστος, ἡ ὑπερβολὴ τῆς θερμότητος, ὁ καυστικός, ὁ φθαρτικὸς τοῦ παραπίπτοντος, μεσολαβεῖ τὰ εἰς φιλίαν τῇ Ἥρᾳ καὶ τῷ Διΐ, ἀλλ᾽ ἐκεῖνος ὁ εὔκρατος, ἡ ζωογόνος δηλαδὴ στοιχειακὴ θερμότης, ὁ τῷ Διῒ σύστοιχός τε καὶ φίλιος. ὁ γὰρ λοιπὸς οὐράνιος Ἥφαιστος, ὁ χωλός, ὁ φλογώδης, οὐ πάνυ φιλητὸς τῷ Διΐ.

1.233 διὸ οὐδὲ πολυωρεῖ ἐν τοῖς ἄνω, ἀλλὰ κάτω ῥίπτεται ἀπὸ βηλοῦ θεσπεσίοιο, ὥς φησι μετ᾽ ὀλίγα ὁ ποιητής. οὐ γὰρ φίλος ἐκεῖνος τῷ Διΐ, ἀλλὰ μᾶλλον τῇ μητρὶ Ἥρᾳ. πάθος γὰρ Ἥρας ὁ τοιοῦτος Ἥφαιστος ἤτοι ἀέρος σύμπτωμα, ὅτε μὴ φιλίως ἔχει πρὸς τὸν αἰθέρα μηδὲ κατὰ φύσιν, ἀλλὰ ταῖς γῆθεν ἀναθυμιάσεσιν ὥσπερ φραγνυμένη πρὸς τὸν Δία ἐκπεπολέμωται. τότε γὰρ οἱ κεραυνοὶ καὶ οἱ σκηπτοὶ γίνονται καὶ εἴ τι ἄλλο τοιοῦτον τῷ αἰθέρι ἐπιπροσθοῦν. διὸ καλῶς ἂν μήτηρ τοῦ τοιούτου οὐρανίου Ἡφαίστου τοῦ, ὡς ἐρρέθη, χωλοῦ ἡ Ἥρα κατὰ μόνας λέγοιτο καὶ μόνη τεκεῖν αὐτόν, καθά τινες τῶν μυθογράφων φασίν, ὡς αὐτὴ αἰτία οὖσα τῆς τῶν τοιούτων ἐν μετεώρῳ παθῶν γενέσεως. ἀστεῖοι δὲ ὁμοίως καὶ οἱ μὴ τῆς Ἥρας μόνης υἱὸν αὐτὸν ποιοῦντες, ἀλλὰ ὁμοῦ μὲν Ἥρας καὶ Διός, πλὴν ἀπὸ κλεψιγαμίας, ὅτε «φίλους λήθοντε τοκῆας» εἰς εὐνὴν ἐφοίτων. κλέπτουσι γάρ πως τὰ τοιαῦτα πάθη τὸ γίνεσθαι καὶ οὐ παρρησιάζονται τὴν φυσικὴν ἀεὶ γένεσιν. Ἐπεὶ δὲ χωλὸς καὶ ὁ λοιπὸς τῆς ἀλληγορίας Ἥφαιστος, τὸ περὶ γῆν δηλονότι, ὡς ἐρρέθη, πῦρ, ἀστείως ἂν καὶ τούτου μήτηρ ἡ αὐτὴ ὁμοίως Ἥρα λέγοιτο. ἐξ ἀέρος γὰρ ἀληθῶς καὶ ὁ τοιοῦτος Ἥφαιστος, οὐ μόνον διότι ἡ φλὸξ ἀήρ ἐστιν ἐξαφθείς, ἀλλὰ καὶ ὅτι τὴν ἀρχὴν ἔοικεν εἰς γῆν ἄνωθέν ποθεν ἐλθεῖν ἢ κεραυνοῦ ὡς εἰκὸς κατενεχθέντος καὶ ξύλῳ ἐνσκήψαντος καὶ οὕτως ἀρχήν τινα καὶ σπέρμα πυρὸς ἐνδόντος ἀνθρώποις ἢ καὶ διά τινος μηχανῆς πυρὸς ἐξ ἀέρος κατενεχθέντος, ὁποῖα καὶ τὰ διὰ λίθων, κρυστάλλων καὶ ὑέλων ἐξαπτόμενα. καὶ τὰ πυρεῖα δὲ τῇ τοῦ μεταξὺ ἀέρος ἐκπυρώσει ἐκφαίνουσι πῦρ· καὶ ξύλον δὲ σιδήρῳ συχνὰ προστριβόμενον ἢ καὶ ξύλον ξύλῳ ἐξεπύρωσε τὸ

μεσολαβοῦν τοῦ ἀέρος καὶ πῦρ ἄφαντον ἔφηνε. καὶ οὕτως Ἥρας υἱὸς ὁ χωλὸς Ἥφαιστος ὅ τε οὐράνιος ἄνω καὶ κάτω ὁ περὶ γῆν· εἰ δὲ βούλει σὺν τῇ Ἥρᾳ καὶ Διὸς διὰ τὴν ἄνωθεν ἐκ μετεώρου κατένεξιν, ὡς εἶναι διὰ ταῦτα τὸν μὲν ὑπερβολικὸν Ἥφαιστον φίλον Ἥρᾳ μᾶλλον ἤπερ Διΐ, τὸν δὲ εὔκρατον τὸν στοιχειακὸν Διῒ μᾶλλον ἤπερ τῇ Ἥρᾳ πεφιλιῶσθαι. Ὅλως δέ, ἵνα τὰ μακρὰ τῆς ἀλληγορίας ἐπιτμηθῇ τῆς ἤδη διὰ πλειόνων ἐκτεθείσης, Ἥφαιστός ἐστιν ἢ ἡ ἁπλῶς θερμότης ἢ ἡ καθ' ὑπερβολὴν καὶ καυστική. τούτων δὲ ἡ μὲν ἁπλῶς θερμότης φιλίαν τε μεσιτεύει τῷ Διῒ καὶ τῇ Ἥρᾳ καὶ θεοῖς οἰνοχοεῖ καὶ τῶν ἄνω οὐκ ἀπολείπεται. ἡ δὲ καθ' ὑπερβολὴν καὶ καυστική, ἀλλ' αὕτη χωλή τέ ἐστιν ἀεί, ὡς προείρηται, καὶ ἄνωθεν κάτω ῥίπτεται. διὸ οὔτε μόνον οὐρανία ἐστὶν οὔτε μόνον χθονία, ἀλλὰ καὶ περὶ γῆν διὰ τὴν ἐξ ἀνθρώπων χρῆσιν αὐτοῦ καὶ διὰ τὰς πολλαχοῦ ἀναδόσεις τῶν αὐτομάτων θερμοτήτων, καὶ οὐρανία δὲ διὰ τὰς τῶν ἀστραπῶν γενέσεις καὶ τῶν κεραυνῶν καὶ τῶν τοιούτων μετεώρων παθῶν. ἔστι δ' ὅτε ἡ αὐτὴ καὶ ἄμφω κατὰ ταὐτὸν ἄνω μὲν γενομένη, κάτω δὲ ἐνεχθεῖσα καὶ τῷ ἀξιολόγῳ τῆς ὕλης ἐξαρκέσασα ἕως καὶ εἰς γῆν. (v. 572) Ὅτι ἐπίηρα παρὰ τοῖς νεωτέροις τὰ ἐπιθυμητὰ παρὰ τὸ ἐρᾶν, ὡς ἀπὸ εὐθείας τῆς τὸ ἐπίηρον. οἱ δὲ παλαιοὶ ἐπίηρά φασι τὴν μετὰ ἐπικουρίας χάριν καὶ παράγουσι τὴν λέξιν οὕτως· ὥσπερ κόπτω κόπανον καὶ ἔχω ὄχανον, τὸ τῆς ἀσπίδος κράτημα, [δρέπω δρέπανον, ἥδω καὶ ἐν συστολῇ ἕδω ἕδανον καὶ ἕδνον κατὰ συγκοπήν, φρύγω φρύγανον, πέττω ἢ πέπτω πόπανον, ξέω ξόανον], οὕτως ἐρῶ, τὸ ἐπιθυμῶ, ἔρανον καὶ ἐκτάσει ἤρανον καὶ ἐπιήρανον, οὗ πληθυντικὸν ἐπιήρανα καὶ ἀποκοπῇ ἐπίηρα.

1.234 εὕρηται δὲ καὶ ἀσυνθέτως παρὰ τῷ ποιητῇ ἦρα, οἷον «ἦρα Πριάμῳ φέρων» τουτέστι χάριν. ὁ μέντοι Ἡρωδιανὸς ἁπλούστερον παράγων φησίν· ἢρ ἡ ἐπικουρία ὀξυτόνως· γενικὴ ἦρος, αἰτιατικὴ ἦρα καὶ ἐν συνθέσει ἐπίηρα. μήποτε δὲ δυσλύτως ἀπορηθείη ἂν ἐνταῦθα ὁ τόνος. εἰ γὰρ ὀξυτόνως ἢρ ἡ ἐπικουρία, διὰ τί μὴ ὠξύνθη ἡ γενικὴ καὶ αἱ κατ' αὐτὴν πλάγιοι πρός τε ὁμοιότητα τοῦ κήρ κηρός καὶ ἵνα μὴ συνεμπέσῃ τῇ κλίσει τοῦ ἦρος, ὃ δηλοῖ ἔαρος; χρῆσις δὲ τῆς ῥηθείσης λέξεως τὸ «μητρὶ φίλῃ ἐπίηρα φέρων»· καὶ μετ' ὀλίγα τὸ «μητρὶ δ' ἐγὼ παράφημι καὶ αὐτῇ περ νοεούσῃ πατρὶ φίλῳ ἐπίηρα φέρειν». ἔνθα τὸ «μητρὶ δ' ἐγὼ παράφημι» ταὐτόν ἐστι τῷ συμβουλεύω. ἐξ ὁμοίας δὲ ἀγωγῆς καὶ τὸ πεῖσαι λόγοις παρειπεῖν ὁ ποιητὴς λέγει, ὥσπερ πρὸ ὀλίγου ἔφη· «δέδοικα, μή σε ἡ Θέτις παρείπῃ». ταὐτὸν γὰρ τὸ φάναι, ἀφ' οὗ τὸ παράφημι, καὶ τὸ εἰπεῖν, ἐξ οὗ τὸ παρειπεῖν. οὕτω δὲ λέγει ὁ ποιητὴς καὶ παραρρητοὺς τοὺς λόγοις πειθομένους, ὃ καὶ οἷον ἐτυμολογῶν φησι· «παράρρητοί τ' ἐπέεσσιν». ὁμοίως δὲ παρῆκται καὶ τὸ παραυδᾶν καὶ τὸ παραμυθεῖσθαι. εἰ δὲ καὶ τὸν αἶνον ἐπὶ τοῦ ἁπλῶς λόγου θήσει τις, ὅμοια τό τε παραινῶ καὶ τὸ παράφημι, ἐξ οὗ ἡ παραίφασις. τὸ δὲ παρηγορεῖσθαι κοινότερον μὲν καὶ αὐτὸ ἴσον δύναται τῷ παραυδᾶν καὶ παραμυθεῖσθαι. Εὐριπίδης δὲ τὸ τὴν δημηγορίαν παραποιῆσαι παρηγορῆσαί φησιν. (v. 573 s.) Ὅτι ἐπὶ μεγάλης ἔριδος οἰκεῖον λεχθῆναι πρὸς τοὺς ἐρίζοντας τὸ «ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται οὐδέ τ' ἀνεκτά, εἴπερ ὑμεῖς ἐριδαίνετε ὧδε». δηλοῖ δὲ ὅτι ὄντως δὴ ὀλέθρια τὰ γινόμενα καὶ οὐ φορητά, ἐὰν ὑμεῖς οὕτως ἐρίζητε. τινὲς δὲ τὸ «ἦ δή», ὡς Ἀπίων καὶ Ἡρόδωρός φασιν, ἐν ἑνὶ μέρει λόγου «ἤδη» φασὶ λέγοντες ὅτι, ὡς καὶ προερρέθη, ἐπὶ τριῶν χρόνων τὸ ἤδη λαμβάνεται, ἐπί τε παρῳχημένου καὶ ἐνεστῶτος, ὡς παρεδειγματίσθη ἐκεῖ, καὶ ἐπὶ μέλλοντος δέ, ὡς τὸ «ἤδη λοίγια ἔργα ἔσσεται». καὶ εἰ τοῦτο ὀρθόν, ποῦ λοιπὸν θήσομεν τὸν Λουκιάνειον σολοικισμὸν τὸν λέγοντα «ἤδη σολοικιῶ»;

1.235 [Οἱ δὲ τοιοῦτοι ὁμοίαν ἐπικρίνουσι γραφὴν καὶ ἐν οἷς φθάσας ὁ Ζεὺς ἔφη «ἦ δὴ λοίγια ἔργα ὅτε» καὶ ἑξῆς· οὐκ ἀπεικὸς γὰρ ἐκεῖ οὕτω νοῆσαι αὐτούς.] (v. 574) Τὸ δὲ ἐριδαίνω ἀπὸ τοῦ ἐρίζω παράγεται τραπέντος καὶ ἐνταῦθα τοῦ ζ εἰς δ κατὰ συγγένειαν, καθὰ καὶ ἐν τῷ ἕζω ἕδος, ῥέζω ἔρδω, σκύζω σκυδμαίνω, ὥσπερ καὶ ἐριδμαίνω· εὕρηται γὰρ ἐν χρήσει καὶ τοῦτο. ἰστέον δὲ ὅτι οὐ μόνον τὸ ζ εἰς δ μεταποιεῖται, ὡς ἐν τοῖς ῥηθεῖσι καὶ ἐν τῷ ἐρίζω ἐρίσδω καὶ τοῖς ὁμοίοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Δωρικοῖς, ἀλλὰ καὶ ἔμπαλιν τὸ δ εἰς ζ , ὡς ἐν τῷ ἀρίδηλος ἀρίζηλος ἀστήρ καὶ ἐν τοῖς εἰς ζε λήγουσιν ἐπιρρήμασιν. ὡς γάρ ἐστι τὸ οἴκαδε, οὕτω καὶ Ἀθήναδε, Θήβαδε, ἔραδε τὸ εἰς ἔραν ἤτοι γῆν· τροπῇ δὲ τοῦ δ γέγονεν Ἀθήνα ζ ε, ἔραζε. τὸ δ' αὐτὸ καὶ ἐν τοῖς ὁμοίοις. Ἰστέον δὲ ὅτι κοινῶς παραδείγματα τῆς εἰς ἄλληλα μεταχωρήσεως τοῦ δ καὶ τοῦ ζ καὶ τὸ κνίζα κνίδη, ἁρμόζω ἁρμόδιον, φράζω ἀριφραδές καὶ φράδμων, ζα ἐπιτατικὸν δα , ἴζμεν κατὰ τοὺς παλαιοὺς ἴδμεν, εἰ καὶ οἱ ὕστερον ἐπέκριναν μὴ εὑρίσκεσθαι ἐν συλλήψει πρὸ ἀμεταβόλου διπλοῦν σύμφωνον, πέδον πεζός, ὄζω, οὗ μέσος παρακείμενος ὄζωζα καὶ ὄδωδα, ὥσπερ καὶ χάζω κέχαδα, φράζω πέφραδα, ῥάζω τὸ ῥαίνω ἔρραδα, ὅθεν καὶ τὸ «τοῖχοι ἐρράδαται», ἕζεσθαι καθεδεῖσθαι, χλάζω κέχλαδα παρὰ Πινδάρῳ, πεδοῖ παρ' Αἰσχύλῳ, τὸ δ' αὐτὸ καὶ πεζῇ, δεύω τὸ βρέχω Δεύς καὶ Ζεύς ὁ ἀήρ, ὀκλάζω ὀκλαδίας δίφρος, ἕζω ἑδώλιον ἡ τῆς νηὸς κληΐς· ἐκ δὲ τοῦ αὐτοῦ καὶ ἕδρα καὶ ἱδνῶ τὸ ἐν τοῖς ἑξῆς ῥηθησόμενον καὶ ἱδρύω καὶ ἀΐδιος, ὁ μὴ ἵζων ἀλλὰ βέβαιος καὶ στάσιμος· ὄζω ὀδμή, ζήμιος δήμιος, ὁ ζημιῶν τοὺς κολαζομένους, κλύζω κλύδων, μερίζω σμερδαλέον καὶ σμερδνόν, μήδεα μέζεα τὰ αἰδοῖα, 〈ἀζηχέσ〉 ἀδιεχές ἔν τε Ὀδυσσείᾳ καὶ τῷ δ' τῆς Ἰλιάδος. οὕτω δὲ καὶ μαδὸς μαζός, ὡς ἐν τοῖς ἑξῆς φανεῖται. (v.

1.236 574) [Ἰστέον δὲ ὡς Ὁμήρου εἰπόντος ἐνταῦθα «εἰ δὴ σφώ», ἤγουν εἴπερ ὑμεῖς, «θνητῶν ἕνεκα ἐριδαίνετον», φασὶν οἱ τεχνικοί, ὅτι τε τὸ νώ καὶ σφώ ἀπὸ τοῦ νῶϊ, σφῶϊ γεγόνασιν ἀποβολῇ τοῦ ι καὶ ὅτι οὐ περισπῶνται διὰ τὴν ἀποκοπὴν κατὰ τὸ ἱδρῶτα ἱδρῶ, δῶμα δῶ, ἀλλ' ὀξύνονται ἀναλόγως ὡς δυϊκά· καὶ ὅτι ἀναγκαίως ἀπεκόπη τὸ νώ καὶ τὸ σφώ ἐκ τοῦ νῶι καὶ τοῦ σφῶι. οὐδέποτε γάρ, φασί, τὸ ω κείμενον πρὸ καθαρεύοντος τοῦ ι περισπᾶται, ἀλλ' ἢ ὀξύνεται, ὡς ἐν τῷ Τρωΐ καὶ δμωΐ, ἢ προπαροξύνεται, ὡς ἐν τῷ ἥρωϊ, Μίνωϊ. διὸ καὶ ἐν τῷ νῶϊν καὶ σφῶϊν, ἐπειδὴ τὸ ω προκείμενον τοῦ ι περισπᾶται, ἐπενοήθη συναίρεσις τοῦ νῷν καὶ σφῷν πρὸς ἀποφυγὴν παραλογίας, οἷον «οὐ γὰρ σφῷν γένος ἀπόλωλε τοκήων», τὸ ἐν Ὀδυσσείᾳ κείμενον.] (v. 575) Ὅτι κολῳὸς ὁ θόρυβος κατὰ μὲν Φιλόξενον ἀπὸ τοῦ κλῶ γίνεται ὀνοματοπεποιημένου ῥήματος κατὰ πρόσληψιν συλλαβῆς. διὸ οὐδὲ προσγέγραπται, φησί, τὸ ι . ἀπὸ δὲ τοῦ τοιούτου κλῶ καὶ τὸ κλάζω γέγονε κατὰ παραγωγήν. κατὰ δὲ ἑτέρους ἀπὸ τοῦ κολοιός γίνεται κατὰ ἔκτασιν τοῦ ο εἰς ω μείναντος δηλαδὴ τοῦ ι προσγεγραμμένου. κολῳός τε γὰρ ὁ θόρυβος καὶ ὁ κολοιὸς δὲ θορυβητικόν. διὸ καὶ εἰς παραβολὴν θορύβου χρησιμεύσει που τῷ ποιητῇ. [Τινὲς δὲ καὶ οὕτω φράζουσιν· ὥσπερ ἐκ τοῦ κλείω κλοιὸς καὶ ἐκτάσει κλῳὸς σὺν τῷ ι , οὕτω καὶ κολῳὸς ὁ θόρυβος ἐκ τοῦ κολοιός τὸ ὄρνεον. ὅθεν καὶ τὸ κολῳῶ ῥῆμα ἔχει τὸ ι ἐν προσγραφῇ.] Ἄλλοι δὲ ἀπὸ τοῦ κολούω παράγουσιν αὐτὸ τραπέντος τοῦ ου εἰς ω , ὡς καὶ ἐν τῷ Μοῦσα Μῶσα. κολούει γάρ πως ὁ θόρυβος ἤγουν κολοβοῖ καὶ ἀφαιρεῖταί τι τῶν σπουδαίων ἔργων πολὺς ἐλαυνόμενος κατὰ τὸν ποιητήν. φησὶ γάρ· «κολῳὸν ἐλαύνετον». καὶ ὅρα τὸ ἐλαύνετον ἀντὶ τοῦ ἐπιτείνετε ἀπὸ μεταφορᾶς ῥηθὲν τοῦ ἐλαυνομένου ἵππου ἢ σιδήρου. πεποίηται δέ, φασί, τὸ ἐλαύνειν διαλέκτοις τρισί. Βοιωτῶν μὲν γὰρ τὸ ἐλάω διὰ τοῦ α , Αἰολέων δὲ τὸ προστιθέναι τῷ α τὸ υ · ἐλαύω γὰρ λέγουσιν· ἡ δὲ πρόσθεσις τοῦ ν Δώριος. τὸ γὰρ δύω δύνω φασὶ Δωριεῖς καὶ τὸ θύω θύνω· «θῦνε γὰρ ἀνπεδίον». [Ἔτι ἰστέον καὶ ὅτι ἐκ τοῦ ἀνωτέρω εἰρημένου κλῶ καὶ τὸ κλάζω παρῆκται καὶ τὸ κλώζω, καθ' ὃ κλώζεσθαι λέγονται καὶ ἀποσυρίττεσθαι οἱ ἐν θεάτροις νικώμενοι καὶ κλωγμὸν πάσχειν.

1.237 καὶ ὅτι ἐκ τοῦ κολούω καὶ κόλον κέρας καὶ κόλος βοῦς ὁ κεκολουσμένος τὰ κέρατα, ἐξ οὗ συντέθειται ὁ κολοβός, καὶ κύκλοι δὲ τροπικώτερον μαθηματικοὶ κατ' οὐρανὸν καλούμενοι κόλουροι καὶ ψωμοὶ δὲ ἄκολοι οἱ ἐν Ὀδυσσείᾳ.] (v. 576) Ὅτι καὶ ἐνταῦθα σχῆμά ἐστι τὸ λεγόμενον κατὰ τὸ σιωπώμενον ἐν τῷ «οὐδέ τι δαιτὸς ἐσθλῆς ἔσσεται ἦδος» ἤγουν ἡδονή. νοητέον γάρ, κἂν σεσιώπηται, ὅτι δαινυμένοις ἕωθεν τοῖς περὶ τὸν Δία ἡ ἔρις ἐπιγέγονε. διὸ προϊὼν λέγει, ὅτι πρόπαν ἦμαρ δαίνυντο. αἰνίττεται δὲ ὁ τῆς τοιαύτης δαιτὸς λόγος, ὡς ἐξὸν μύθῳ, τὸ ἀεὶ ἐν ῥᾳστώνῃ ἔμφρονι τὰ θεῖα εἶναι. τοιοῦτον δὲ σχῆμα ἦν καὶ ἐν τοῖς προλαβοῦσιν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅπου περὶ Ἀχιλλέως ἔφη ὁ ποιητής, ὅτι οὐδέποτε εἰς ἀγορὰν πωλέσκετο, ἐπόθει δὲ ἀϋτήν τε πόλεμόν τε. νοητέον γὰρ ἐκεῖ, ὅτι διὰ μέσων τῶν δώδεκα ἡμερῶν καὶ ἀγοραί, ὡς εἰκός, ἐγίνοντο καί τινες ἐκδρομαὶ πολέμων οἷον ἐν λόχοις ἢ ἐν λείαις. Ὅμηρος μέντοι οὐ θέλει περὶ μικρά τινα τὸν λόγον ἀπασχολεῖν, ἀλλὰ ἁπλῶς οὕτω τὰ περὶ αὐτῶν παραρριπτεῖ δεικνύς, ὡς εὐπορεῖ μὲν τοῦ καὶ τοιαῦτα γράφειν, ἀπαξιοῖ δὲ αὐτά. Ἰστέον δὲ ὡς τὸ «οὐδέ τι δαιτὸς ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ», [δύναταί τις καὶ ἐπ’ ἀλλά τινα παρῳδήσας μεταγαγεῖν, οἷον «οὐδέ τι νίκης ἐσθλῆς ἢ φήμης ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ».] Εὐριπίδης [δὲ] παραφράζων [αὐτό] φησιν· «ἐπεὶ δὲ κρεῖσσον τὸ κακόν ἐστι τοῦ ἀγαθοῦ». ἔνθα ὅρα τὸ κρεῖσσον ὡς χρήσιμον καὶ αὐτὸ εἰς τὸ «κρείσσων γὰρ βασιλεὺς ὅτε χώσεται» καὶ ἑξῆς. ἐνταῦθα δὲ καὶ σχῆμα παραμέμικται ἀντίθετον ὡς τοῦ ἐσθλοῦ ἀντικειμένου πρὸς τὰ χείρονα.

1.238 ἔστι δὲ ἐσθλὴ δαὶς ἡ τῶν σοφῶν καὶ σπουδαίων προσώπων, ἐν ᾗ ἐρίζειν οὐ χρή. Ὅτι δὲ μονῆρες ἐν ὀνόμασι τὸ ἦδος, καθὰ καὶ τὸ ὄφελος, καὶ ὅτι ψιλοῦται κατὰ τὴν ἄρχουσαν ὡς τροχαϊκόν, καθὰ καὶ τὸ ἦμαρ, οὐκ ἔστι τὸν περὶ λόγους ἀμφιβαλεῖν. Ἡρωδιανὸς δὲ ἐν τῷ αὐτοῦ Συμποσίῳ δασύνεσθαι αὐτὸ λέγει πρός τινων ὡς ἀπὸ τοῦ ἥδω καὶ τῆς ἡδονῆς. ἐκρίναμεν δέ, φησίν, ὥστε μᾶλλον ψιλοῦν αὐτό. φέρεται δὲ καὶ κανὼν τοιοῦτος· τὰ εἰς ος οὐδέτερα δισύλλαβα ἀρχόμενα ἀπὸ φύσει μακρᾶς ψιλοῦσι τὸ κατ’ ἀρχὰς φωνῆεν, οἷον εὖχος, ἦδος. ὅλως δὲ πάντα τὰ τροχαϊκὰ ψιλοῦται, ὡς καὶ τὸ ἦχος, ἦμος, ἀντὶ τοῦ ἡνίκα· οὕτω δὲ καὶ τὸ ἦμαρ μετασχηματισθὲν ἀπὸ τοῦ ἡμέρα, ὡς καὶ τὸ ἦδος Αἰολικῶς ἀπὸ τῆς ἡδονῆς· ὥσπερ καὶ ἀπὸ τοῦ μηχανή μετεσχηματίσθη τὸ μῆχος, ὅπερ καὶ μῆχαρ λέγεται, ὡς ἦμαρ καὶ ὡς μῶμαρ, ὁ μῶμος παρὰ Λυκόφρονι, [προσφυέστερον δὲ εἰπεῖν, ὡς ἀλκὴ ἄλκαρ.] σεσημείωται ἐν τῷ ῥηθέντι κανόνι τῶν τροχαϊκῶν τὸ ἧλος δασυνθὲν καὶ τὸ ᾗχι ἀντὶ τοῦ ὅπου, ἐφ’ ὧν ἐστι καὶ ἀπολογία εὔλογος τοῦ δασύνεσθαι αὐτά. [Σημείωσαι δὲ ὅτι τὸ «ἐπεὶ τὰ χερείονα νικᾷ» παραφράσας τις ὕστερον ἐγνωμάτευσεν οὕτω· «τὸ μὲν παράνομον ἐπὶ τὸ χεῖρον ἀνηβᾷ, τὸ δὲ καλὸν ταχέως ἀφίπταται τῆς τῶν ἀνθρώπων πολιτείας».] (v. 579) Ὅτι ἐν τῷ «δαῖτα ταράξῃ» τὸ μὲν σχῆμα ἔοικέ πως ῥητορικῇ ἐπαναστροφῇ· τὸ γὰρ τέλος τῆς πρώτης λέξεως ἀρχὴ τῆς δευτέρας γίνεται, [ὡς καὶ ἐν τῷ «ἔνθα θάασσεν», ἤγουν ἐκάθητο, καὶ ἐν τῷ «ἦλθε θέων».] Τὸ δὲ ταράξῃ ὠνοματοπεποίηται καὶ ἔστι καιριωτάτη λέξις. διὸ καὶ ἀνερμήνευτος ἢ δυσερμήνευτός ἐστιν. ἐξ αὐτῆς δὲ παρὰ τοῖς νεωτέροις ἡ ταραχὴ καὶ ὁ τάραχος. ἐκεῖθεν δὲ καὶ ὁ τάρταρος καὶ τὸ ταρβεῖν, ὡς φανήσεταί που.

1.239 Ἰστέον δὲ ὅτι σκωπτικὸν εἰς ταραχώδη γέροντα τὸ «ὄφρα μὴ αὖτε νεικείῃσι πατήρ, σὺν δ’ ἡμῖν δαῖτα ταράξῃ». (v. 580 s.) Ὅτι καὶ ἐνταῦθα σχῆμα κεῖται καινοπρεπὲς ἐλλειπτικὸν τὸ «εἴ περ γάρ κ’ ἐθέλησιν Ὀλύμπιος ἐξ ἑδέων στυφελίξαι· ὃ γὰρ πολὺ φέρτατός ἐστι». καὶ ἔστι τοῦτο ὅμοιον τῷ «εἰ μὲν γὰρ δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί» καὶ ἑξῆς, ὡς ἐκεῖ γέγραπται, ἵνα λέγῃ νῦν, ὡς εἴπερ ὁ Ζεὺς ἐθέλοι ἐκ τῶν οὐρανίων ἑδρῶν μετακινῆσαι ἡμᾶς, ἀνύσει, ὃ θέλει· δύναται γάρ. Τὸ δὲ ἀνύσει, ὃ θέλει, λείπει ὡς φανερὸν ὄν, κἂν μὴ λέγηται· ἢ καὶ ἄλλως λείπει τὸ στυφελίξει ὡς ἀπὸ κοινοῦ λαμβανόμενον, ἵνα ᾖ ὁ λόγος, ὅτι ἐὰν θελήσῃ στυφελίξαι, πάντως ἂν στυφελίξῃ· δύναται γάρ. ἕτεροι δὲ θεραπεύοντες καὶ τοῦτο τὸ σχῆμα εἰς ἀνελλιπές φασιν, ὡς εἴπερ ἐθελήσει Ὀλύμπιος, πάντως ἂν στυφελίξαι ἐκ τῶν ἑδέων. γίνεται δὲ τὸ στυφελίζειν ἀπὸ τοῦ στύφειν καὶ ἑλίσσειν ἢ ἐλελίζειν καὶ δηλοῖ τὸ στρυφνῶς καὶ ἐστυμμένως συστρέφειν. Τὸ δὲ ἕδος ἀπὸ τοῦ ἕζω, ἐξ οὗ καὶ ἡ ἕδρα. καὶ ὅρα καὶ νῦν ὡς ἕδος οὐ μόνον τὸ ἔδαφος ἀλλὰ καὶ ἡ καθέδρα. (v. 582) Ὅτι τὸ καθάπτεσθαι λόγοις οὐκ ἀεὶ ἐπὶ αὐστηρότητος καὶ ὕβρεως, ἀλλὰ καὶ ἁπλῶς ἐπὶ τοῦ ὁμιλεῖν καὶ λόγου τινὰ ἀξιοῦν, ὡς καὶ ἐν Ὀδυσσείᾳ εἴρηται. Ὅμηρος οὖν καὶ ἐνταῦθά φησιν· «ἀλλὰ σὺ τόν γ’ ἐπέεσσι καθάπτεσθαι μαλακοῖς». καὶ ὅρα ὅτι τὸ καθάπτεσθαι καὶ ἀντὶ προστακτικοῦ τοῦ καθάπτου εἶπεν, ὅπερ ἐστὶ σχῆμα ἐλλειπτικὸν Ἰωνικὸν ἢ καὶ Ἀττικόν, ὡς προγέγραπται· καὶ πτώσει αἰτιατικῇ συνέταξεν. ὅτι δὲ καὶ γενικῇ

συντάσσεται τὸ ἅπτεσθαι λεγόμενον ἐν ἁπλότητι, δῆλον καὶ ἐκ τοῦ «ἥψατο γούνων». Σημείωσαι δὲ ὅτι καινότερον εὕρηται παρ' Ἡροδότῳ τὸ καθάπτεσθαι ἐν τῷ «Δημαράτου καὶ τῶν ἄλλων μαρτύρων καθαπτόμενος» ἤγουν μάρτυρας προφέρων τὸν Δημάρατον καὶ τοὺς λοιπούς. [Ὅτι δὲ τὸ ἅπτεσθαι μετὰ τῆς ἐπι προθέσεως δοτικῇ συντάσσεται, φανεῖται ἐν τοῖς ἑξῆς, ὅπου ἐρεῖ ὁ ποιητὴς τὸ «ἐφῆπται τοῖσδέ τισιν ὀλέθρου πείρατα».] Μαλακοὶ δὲ λόγοι οἱ κολακευτικοὶ καὶ ψυχὴν σκληρὰν μαλάσσοντες καί, ὡς εἰπεῖν, μαλακοποιοί, ὡς καὶ δέος χλωρὸν τὸ χλωροποιόν. (v. 583) Ὅτι ἀγαθῆς θεόθεν ἐλπίδος τὸ «αὐτίκ' ἔπειθ' ἵλαος Ὀλύμπιος ἔσσεται ἡμῖν». (v. 586) Ὅτι πραϋντικὸν ἀνθρώπου θυμουμένου ἐν τῷ κακῶς πάσχειν τὸ «τέτλαθι καὶ ἀνάσχεο κηδόμενός περ». (v. 587—9) Εἰ δὲ καὶ ὑπὸ μεγιστᾶνος πάσχει τις, οἰκεῖον ἐπαγαγεῖν καὶ τὸ ἐφεξῆς· «μή σε φίλον περ ἐόντα ἐν ὀφθαλμοῖσιν ἴδωμαι θεινόμενον· τότε δ' οὔ τι δυνήσομαι ἀχνύμενός περ χραισμεῖν· ἀργαλέος γὰρ ὁ δεῖνα ἀντιφέρεσθαι», ὅ ἐστιν ἐναντιοῦσθαι· γίνεται δὲ παρὰ τὸ ἀπεναντίας φέρεσθαι.

1.240 ἡ δὲ λέξις ἢ πάθος δηλοῖ, ἵνα λέγῃ, ὅτι ἀργαλέος ἐστὶ πάσχειν ἐναντίωσιν, ἢ ἐνέργειαν νοουμένη ἀντὶ τοῦ ἀργαλέος ἐστίν, ὥστε τινὰ ἀντιφέρεσθαι ἤγουν ποιεῖν ἐναντίωσιν πρὸς αὐτόν. [Πρωτότυπον δὲ τὸ ἀντιφέρεσθαι τοῦ ἀντιφερίζειν. ἄμφω δὲ οὐκ ἂν εἶεν πάνυ μακρὰν τοῦ ἰσοφαρίζειν ὡς ἰσότητα δηλούσης τῆς προθέσεως. καὶ μὴν δύνανται καὶ ἐναντιότητα δηλοῦν καθ' ὁμοιότητα τοῦ ἀντία φάσθαι. ἰστέον δὲ ὅτι τὸ τέτλαθι ἐκ τοῦ τλῆθι γέγονεν ἀναδιπλασιασμῷ καὶ συστολῇ τῆς παραληγούσης. (v. 587) Τὸ δέ «φίλην περ ἐοῦσαν» καὶ πρὸ αὐτοῦ τὸ «μητρὶ φίλῃ» καὶ πρὸ τούτων τὸ «παῖδα φίλην» σχέσεώς ἐστι συγγενικῆς ἐπίτασις, ἵνα ὥσπερ ἐπιτείνεται ἡ φιλία δι' ἑτεροίας φιλίας κατὰ τὸ «ἑταῖρος φίλος» καὶ τὸ «φίλους κἄτι μᾶλλον ἢ φίλους» τὸ Εὐριπίδειον, οὕτω αὔξοιτο καὶ τὸ συγγενικὸν στέργηθρον διὰ τοῦ φίλον καὶ τῶν τοιούτων. Τὸ δέ «ἐν ὀφθαλμοῖς ἴδωμαι» διέσταλται τοῦ κατὰ νοῦν βλέπειν καὶ ἄλλως δὲ φαντάζεσθαι. Ἴδω δὲ εἰπεῖν καὶ ἴδωμαι ταὐτόν ἐστιν, ὡς μυριαχοῦ φανεῖται.] (v. 590—4) Ὅτι πολλὰ τῶν ἱστορουμένων καὶ μυθευομένων ὁ ποιητὴς οὐκ ἐντελῶς ἐν ἑνὶ τόπῳ ἐκτίθεται, ἀλλ' εὐμεθόδως τέμνει χάριν ποικιλίας καὶ διαφόροις τόποις ἐπιμερίζει τὸ ἕν, ὥσπερ καὶ ἐνταῦθα ἐν τοῖς κατὰ τὴν Ἥραν αὐτὸ τοῦτο μόνον λέγει, ὅτι καὶ ἄλλοτέ ποτε Ζεὺς μὲν θυμὸν ἔσχε κατὰ τῆς Ἥρας, Ἥφαιστος δὲ ἀλεξῆσαι σπεύσας ἔπαθε τὰ μυθευόμενα· ἐν ἄλλοις δὲ καὶ τὴν αἰτίαν ἐρεῖ, δι' ἣν ὁ Ζεὺς ἐχολώθη τῇ Ἥρᾳ, διηγήσεται δὲ καὶ ἅπερ ἐκείνη ἔπαθεν. (v. 591) Ὅτι τὸ ποδὸς ῥιφῆναι τὸν Ἥφαιστον ἀπὸ βηλοῦ θεσπεσίοιο ὑπὸ τοῦ Διὸς οὐδὲν ἄλλο δηλοῖ, καθὰ καὶ προείρηται, ἢ ὅτι πολλάκις αἱ ἄνω ἐκπυρωθεῖσαι ἀναθυμιάσεις ἐν τοῖς μετεώροις κάτω ῥιπτοῦνται, ὥσπερ οἱ κεραυνοὶ καὶ εἴ τι ἄλλο τοιοῦτον, καὶ οὐκ ἔστιν ἐπὶ πολὺ παραμεῖναι τοῖς ἄνω τόποις τοιοῦτον Ἥφαιστον, ἀλλὰ ἢ ἄλλως ἀφανιζόμενος λύεται καὶ σκεδάζεται ἢ κάτω βάλλεται. Βηλὸς δὲ συνήθως ὁ τῆς οἰκίας βατὴρ παρὰ τὸ βαίνεσθαι, ὡς καὶ οὐδὸς παρὰ τὸ ὁδεύεσθαι, ὅθεν καὶ τόποι ἀβέβηλοι μὲν οἱ ἱεροὶ καὶ ἄβατοι, βέβηλοι δὲ οἱ βατοὶ καὶ τοῖς τυχοῦσι. διὸ καὶ Ὅμηρος οἴκους ἐν οὐρανῷ πλάττων, οὓς ὁ μυθικὸς Ἥφαιστος τεύχει ἑκάστῳ θεῷ οἶκον καὶ δῶμα περικλυτὸν σκευάζων, διὰ τοῦτο ἀκολούθως καὶ βηλὸν λέγει, θεσπέσιον μέντοι.

1.241 ὅτι δὲ οὐδὸς παρὰ τὸ ὁδεύεσθαι, ὡς εἴρηται, γίνεται, δηλοῦσι καὶ παρὰ Σοφοκλεῖ ἐν Οἰδίποδι τῷ ἐπὶ Κολωνῷ πολλὰ τῶν ἀντιγράφων ὁδόν δίχα τοῦ υ γράφοντα τὸν οὐδὸν ἐν τῷ, «καταράκτην ὁδὸν χαλκοῖσι βάθροισι γῆθεν ἐρριζωμένον». καὶ τοῦτο μὲν τοιοῦτον. Βηλὸν δέ τινες τῶν ἀρχαίων ἐνταῦθά φασι τὴν περίοδον τοῦ αἰθέρος καὶ τῶν ἄστρων, ἕτεροι δὲ τὸν ἀνωτάτω καὶ πάντα περιέχοντα ἀέρα. τινὲς δέ φασι τὸν τοιοῦτον βηλὸν κατὰ Δρύοπας μὲν Ὄλυμπον εἶναι, κατὰ δὲ Χαλδαίους οὐρανόν. Ὀξύνεται δὲ ὁ ῥηθεὶς βηλός· τὸ δὲ κύριον καὶ ποταμοῦ δὲ ὄνομα προπερισπᾶται, [ἵνα κἀνταῦθα διάφορος εἴη τόνος πρὸς τὸ τῆς σημασίας διάφορον, τὸ μυριαχοῦ φαινόμενον, ὁποῖόν τι καὶ τὸ ὀχή μὲν ὀξυτόνως ἡ τροφή, ἀφ' ἧς καὶ τὸ εὐοχθεῖν κατά τινας

παρ' Ἡσιόδῳ καὶ ἡ εὐωχία δὲ κατὰ ἔκτασιν. ὅμοιον δὲ πρὸς τὰ ῥηθέντα καὶ τὸ πλεῖον πλείονος τὸ συγκριτικὸν καὶ τὸ πλειών ὀξυτόνως κατὰ περιοχὴν ὁ ἐνιαυτὸς ὁ καιρικὰ πλείω ἐμπεριειληφώς. ἔτι δὲ Τύρος πόλις βαρυτόνως καὶ τυρὸς ὀξυτόνως ὁ ἀπὸ γάλακτος. καὶ νόμος μὲν ὁ τὸ δίκαιον διδούς, νομὸς δὲ ἐν ὀξείᾳ τάσει ὁ τῆς νομῆς τόπος καὶ ὁ κατὰ Αἰγυπτίους ἐν ἐνορίαις. καὶ καιρὸς μὲν κατὰ τόνον ὀξὺν ὁ χρονικός, καῖρος δὲ προπερισπωμένως τὸ μίτωμα, ὃ καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται. καὶ Ἄνεκτος μὲν προπαροξυτόνως κύριον, ἀνεκτὸς δὲ ὀξυτόνως ὁ φορητός. ὁμοίως καὶ Νικήτης μὲν κύριον, νικητὴς δὲ ὁ νικήσας. καὶ Κάκος μὲν ληστής, κακὸς δὲ τὸ ἐπίθετον. καὶ ἄλλα δὲ ὅμοια πολλά.] Ἰστέον δὲ ὅτι ἡ τοῦ Ἡφαίστου ῥῖψις οὐρανόθεν καὶ τοιοῦτόν τι δηλοῖ, ὡς ὁ ἄνω τόπος ὁ αἰθέριος, περὶ ὃν οἱ θεοί, οὐδὲν φθαρτικὸν καὶ ἐπιβλαβὲς καὶ ὅλως φαῦλόν τι παραμένον ἔχουσι. διὸ οὔτε ὁ μυθικὸς Βρόντης καὶ Στερόπης καὶ Ἄργος φιλοῦνται τῷ Διΐ, ἀλλὰ καὶ ἡ Ὁμηρικὴ Ἄτη ἐκεῖθεν κατηνέχθη. ὅθεν καὶ λόφος Ἄτης ἐν Τροίᾳ παρὰ Λυκόφρονι, ἔνθα ὑπὸ Διὸς ἐκείνη ἐρρίφη, ὡς καὶ ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου δηλοῦται.

1.242 οὕτως οὖν καὶ ὁ καυστικὸς Ἥφαιστος ἐκεῖθεν ὀστρακιζόμενος ῥίπτεται· οἱ δὲ Τιτᾶνες καὶ ὑποταρτάριοι γίνονται, οὓς ἡ ἀλληγορία δηλοῖ. Ἰστέον δὲ ὅτι ἐν τῷ «ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο» [τὸ μὲν ῥῖψε ποδὸς τεταγών ἤγουν τείνας ἢ λαβόμενος, ὡς εἰρήσεται, ἀστείως ἔφη, ὡς εἰ καὶ λαγὼν ἤ τι τοιοῦτον ἑλὼν ὁ Ζεὺς καὶ κουφίσας ἐκ ποδὸς ἐξέρριψε.] Θεσπέσιος [δὲ] βηλὸς εἴρηται πρὸς διαστολὴν τῶν μὴ θείων ἀλλὰ βεβήλων. Τὸ δὲ τεταγών Ἰωνική ἐστι μετοχὴ μετὰ συνήθους ἀναδιπλασιασμοῦ ἐν χρόνῳ ἀορίστῳ δευτέρῳ ἐκ τοῦ τάζω τάξω, ἐξ οὗ καὶ τὸ τόξον, ὅθεν ἀόριστος πρῶτος οὐ χρηστὸς ἔταξα, δεύτερος ἔταγον, οὗ μετοχὴ ταγὼν καὶ Ἰαστὶ τεταγών. [Οἱ δὲ τεχνικοὶ ἐθάρρησαν εἰπεῖν καὶ ὡς ἐκ τοῦ τῶ τὸ λαμβάνω γίνεται τάζω κατὰ παραγωγήν, ὡς φρῶ φράζω, ῥῶ ῥάζω τὸ ῥαίνω, καὶ ἐξ αὐτοῦ τὸ τεταγών κατὰ τὴν ῥηθεῖσαν ἐπιβολήν, ἵνα ᾖ ποδὸς τεταγὼν ἤγουν λαβὼν ἔρριψεν. ἐκ δὲ τοῦ ῥηθέντος τῶ καὶ τὸ τῆ, ὅ ἐστι λάβε, γίνεται κατὰ τὸ ζῆ προστακτικὸν τὸ καὶ παρὰ Σοφοκλεῖ.] (v. 592—4) Ὅτι φησὶν ὁ μυθικὸς Ἥφαιστος καὶ ταῦτα· «πᾶν δ' ἦμαρ» ἤ «πανδῆμαρ φερόμην», ὅτε δηλαδὴ ὁ Ζεὺς αὐτὸν ἄνωθεν ἔρριψεν, «ἅμα δ' ἠελίῳ καταδύντι κάππεσον ἐν Λήμνῳ· ὀλίγος δέ μοι θυμὸς ἐνῆεν». καὶ ὅρα ὅτι τὸ φέρεσθαι μὲν λέγεται παρὰ τῷ ποιητῇ ἐπὶ κινήσεως, ἡ δὲ φορὰ οὐχ' εὕρηται παρ' αὐτῷ. λέγει δὲ καὶ ὅτι ἐνταῦθά με πεσόντα Σίντιες ἄνδρες κομίσαντο. ταῦτα δὲ μύθου τε πιθανότητα ἔχουσιν ἀσφαλῆ ἐν τῷ πλάσματι, ὡς ἐξ ἀφορμῆς τινος ἱστορικῆς, καί που καὶ ἀλληγορικῶς θεραπεύονται. μυθικῶς μὲν γὰρ ἀκόλουθον ἦν τῇ ἄνωθεν ῥίψει τοῦ Ἡφαίστου τὸ καὶ εἰς γῆν που εἰπεῖν κατενεχθῆναι αὐτὸν καὶ περισωθῆναι ὑπό τινων περί τινα καιρόν. καὶ τοίνυν ἦν ἡ μὲν γῆ Λῆμνος, οἱ δὲ ἄνδρες Σίντιες, ὁ δὲ καιρὸς ἠέλιος καταδὺς ἤγουν ἑσπέρα, ὅθεν καὶ ἱερὰ ἡ Λῆμνος ἐνομίσθη Ἡφαίστου καὶ ἱκανῶς ἐτιμᾶτο ἐκεῖ καὶ πόλις Ἡφαιστία ἦν αὐτόθι. καὶ ὁ μὲν μῦθος οὕτω πιθανῶς πέπλασται, ἡ δὲ ἀλληγορία κατὰ τὸ δυνατὸν συμβιβαζομένη τοιαῦτά τινα νοεῖ. ὁ ῥιπτόμενος μὲν Ἥφαιστος οὐρανόθεν εἴη ἂν ἡ τῶν ἄνωθεν κατασκηπτόντων εἰς γῆν πυρωδῶν κατένεξις, ᾧτινι Ἡφαίστῳ καὶ ὀλίγος θυμὸς ἔνεστι, διότι τὰ τοιαῦτα ἐπ' ὀλίγον ἐξαρκεῖ.

1.243 τὰ μὲν γὰρ πολλὰ ἐν τῷ μέσῳ σβέννυνται, ὅσα δὲ καὶ μέχρι γῆς ἐνεχθῶσι, ταχὺ ἀφανίζονται καὶ αὐτά, εἰ μή τινος ὕλης δραξάμενα βραχύ τι παραμείνωσι. καὶ τοιαύτη μὲν ὁλικώτερον ἡ περὶ τοῦ τοιούτου Ἡφαίστου ἀλληγορία. Τὸ δὲ ἐν Λήμνῳ κατενεχθῆναι αὐτὸν τῇ μυθικῇ συμβάλλεται πιθανότητι ὡς ἀπὸ ἱστορίας, οὐχ' ὡς τῶν ἀερίων ἐκπυρωμάτων ἐν Λήμνῳ καταπιπτόντων, ἀλλ' ὅτι πῦρ καὶ ἐκεῖ γῆθεν ἀνεδίδοτό ποτε αὐτόματον. διόπερ [ἀποκληρωτικῶς] ἔδοξε τῷ μύθῳ αὐτόθι καταρρῖψαι τὸν Ἥφαιστον ὡς εἰς τόπον τινὰ συγγενῆ. προσφυὴς γὰρ πάντως τῷ πυρὶ Ἡφαίστῳ τόπος πῦρ τε ἀναβλύζων καὶ ἄλλα σημεῖα ἔχων θερμότητος, οἷον τὴν τῶν ἐκεῖ θερμῶν ὑδάτων ἀνάδοσιν, τὸ ψιλὸν τῆς γῆς, τὴν πενίαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῆς πιότητος. διὸ οὐδὲ λασία ἐστὶν ἡ νῆσος ὕλαις ὀρειναῖς. οὕτω καὶ τὸν Τυφῶνα ὁ μῦθος πνεῦμα μὲν ὄντα θερμὸν καὶ ἀπὸ τοῦ τύφω τὸ καίω παρονομαζόμενον, δαίμονα δὲ ὅμως λεγόμενον ἀντίπαλον τῷ Διΐ, ὁ μῦθος εἰς τόπον ἄγει προσφυῆ. ἀπάγει γὰρ αὐτὸν εἰς τὴν Σικελίαν καὶ ἐκεῖ καταθεὶς αὐτὸν ἐπικεῖσθαι μὲν τῷ Τυφῶνι τὴν Αἴτνην τὸ ὄρος λέγει, τὸν δὲ Τυφῶνα κάτωθεν κρατῆρας ἀναφυσᾶν πυρός. τοῦτο δὲ ποιεῖ ὁ μῦθος διὰ τὸ ἀληθῶς καὶ ἐν τῇ Αἴτνῃ πῦρ κάτω μὲν ὑποτύφεσθαι, ἄνω δὲ ἐκφυσᾶσθαι ἀναπεμπόμενον. ὥσπερ οὖν ἐκεῖ ἔδοξε τῷ μύθῳ ὑποθεῖναι τὸν Τυφῶνα τῇ Αἴτνῃ, οὕτω κἀνταῦθα ἠθέλησε τῇ πυροέσσῃ Λήμνῳ ἐπιρρῖψαι τὸν Ἥφαιστον. καὶ οὕτω μὲν ταῦτα. (v. 594) Ἡ δὲ ἱστορία καὶ ἄλλως προσοικειοῖ τῷ Ἡφαίστῳ τὴν Λῆμνον, οὐ μόνον διὰ τοὺς ἐν αὐτῇ γῆθεν ἀναβαίνοντας κρατῆρας τοῦ πυρός, ὡς εἴρηται, ἀλλὰ καὶ διότι χαλκεῖς ἄνδρας ἤνεγκέ ποτε ἡ νῆσος, οἳ πρῶτοι χαλκευσάμενοι βέλη διὰ τοῦτο Σίντιες ἐπεκλήθησαν διὰ τὸ σίνεσθαι ἤτοι βλάπτειν τῇ εὑρέσει τῶν ὅπλων. οἱ τοιοῦτοι καὶ ἄφαρ κομίσασθαι λέγονται τὸν Ἥφαιστον πεσόντα. δηλοῖ δὲ ὁ λόγος, ὡς, εἰ καὶ ἀλλαχόθι τοιαῦτά εἰσι πυρά, ὅμως οἱ Λήμνιοι ᾠκείωνται τῷ Ἡφαίστῳ μάλιστα καὶ διὰ τὴν χαλκευτικὴν τέχνην, δι' ἣν καὶ κλυτοτέχνης αὐτὸς λέγεται, ὡς οὐ μόνον πῦρ αὐτόματον ἔχοντες, ἀλλὰ καὶ ὡς ἄλλως τοῦ πυρὸς ἐπιμελόμενοι καὶ διὰ τὴν τέχνην περιποιούμενοι αὐτόν. ἔστι γὰρ κομίσασθαι τὸ ἐπιμεληθῆναι· ἐξ οὗ καὶ κομιδὴ ἡ ἐπιμέλεια καὶ κομιδῇ ἐπίρρημα ἀντὶ τοῦ λίαν καὶ ἐν πάσῃ ἐπιμελείᾳ. καὶ ἄλλως δὲ Σίντιες οἱ Λήμνιοι, καθότι πειραταὶ ἦσαν, ὡς ἡ ἱστορία φησίν· ὥστε εἶναι καὶ αὐτοὺς Λήμνια κακά, καθάπερ ὕστερον αἱ γυναῖκες, αἳ τοῖς ἀνδράσιν ἐν Λήμνῳ εἰς φόνον ἐπεβούλευσαν.

1.244 καὶ ἄλλως δὲ ὡς οἱ Λήμνιοι ἄγριοι δηλοῖ καὶ παροιμία Λημνίαν χεῖρα εἰποῦσα τὴν ἀπαραίτητον καὶ Λήμνιον βλέπειν ἀντὶ τοῦ δεινὸν καὶ πυρῶδες. ἐκεῖθεν δὲ καὶ Λήμνιον κακὸν ἢ ἀπὸ τῆς κατὰ στόμα δυσωδίας τῶν Λημνιάδων ἢ μᾶλλον ἀπὸ τῶν θρυλλουμένων φόνων. δηλοῖ δέ τι περὶ τούτου καὶ Ἡρόδοτος. ὅτι δὲ οἱ Σίντιες οὗτοι καὶ ἑτέρως ὕστερον ὠνομάσθησαν, δηλοῦται ἐν τοῖς τοῦ Περιηγητοῦ. ὅρα δὲ ὅπως ὁ μὲν βλαπτικὸς σίντης λέγεται διὰ τοῦ η , ὡς ὁ Χρύσης, τὸ δὲ ἐθνικὸν διὰ τοῦ ι καὶ ἔχει τὴν κλίσιν τοῦ ὄφεως. ὅτι δὲ πρὸς ἄλλαις κλήσεσι καὶ Σίντοι ἐλέγοντο οἱ τοιοῦτοι Σίντιες, ὁ Γεωγράφος φησίν. [Ὡς δὲ καὶ Σίνις Σίνιδος ὕστερον λῃστὴς δίχα τοῦ τ , αἱ ἱστορίαι δηλοῦσι περιᾴδουσαι καὶ αὐτόν, καθὰ καὶ τὸν Σκείρωνα καὶ τὸν Πιτυοκάμπην καὶ τὸν Κάκον καὶ τὸν Λίβυν Ἀνταῖον καὶ τοὺς τοιούτους. καί εἰσιν ἀληθῶς φερώνυμα τὸ Σίντιες οἱ παρ' Ὁμήρῳ καὶ ὁ Σίνις, ἐπὶ κακῷ μέντοι, ἵνα καὶ αὐτοὶ ὡς βλαπτικοὶ κατὰ τὴν παροιμιαζομένην Σιδηρώ, θρασεῖαν ἐκείνην γυναῖκα, φέροιεν τὸ οἰκεῖον ὄνομα. (v. 593) Τὸ δέ «ὀλίγος θυμὸς ἐνῆεν» ἔχει μὲν ἀκόλουθόν ποτε τὸ καὶ θανεῖν ἂν τὸν Ἥφαιστον ὀλιγούμενον, λύεται δὲ καὶ ἄλλως μὲν τῷ μὴ ἐξ ἀνάγκης ἀεὶ τῇ ὀλιγώσει φθορὰν ἐπακολουθεῖν, μάλιστα δὲ ἀλληγορικῶς τῷ μὴ ὀλιγούμενα τὰ ἐναέρια πάθη, ἐν οἷς ἐστι καὶ τὰ κατὰ τὸν Ἥφαιστον, ἤδη καὶ παντελῶς ἐπιλείπειν, ἀλλ' εἶναι εἰσαεὶ κατὰ τὸ γίνεσθαι πάλιν καὶ πάλιν. ὅρα δὲ ὡς κομίζω μὲν τὸ ἁπλοῦν, ἱπποκομῶ δὲ καὶ νοσοκομῶ τὰ σύνθετα.] (v. 591 s.) Ἰστέον δὲ καὶ ὅτι δύο ῥίψεις τοῦ Ἡφαίστου ὁ μῦθος λέγει, προτέραν μὲν τὴν μετὰ γένεσιν ὑπ' αὐτῆς τῆς Ἥρας, ὅτε καὶ ἐχωλάνθη· δευτέραν δὲ τὴν ὑπὸ τοῦ Διός, ὅτε τῇ μητρὶ ἀλεξῆσαι ἤθελε δεσμευθείσῃ πρὸς τοῦ Διός. Τὸ δὲ πανῆμαρ τὸν Ἥφαιστον οὐρανόθεν εἰς γῆν φέρεσθαι, εἰ καὶ θεραπεύεται τοῖς ἀλληγορηταῖς, ἀλλὰ τῷ μύθῳ μάλιστα δοτέον πρὸς ἔνδειξιν τοῦ ἐν μέσῳ πλείστου διαστήματος κατὰ τὸ «ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης». (v. 594) [Τὸ δὲ ἄφαρ, ὃ μέχρι καὶ ἐς ἄρτι περιφέρεται παρὰ τοῖς λέγουσιν ἀφαρί τὸ αὐτίκα, οὐ κολλητέον μετὰ τοῦ πεσόντα—οὐ γὰρ ἂν ἄφαρ, ἤγουν εὐθέως, πέσοι ὁ πᾶν ἦμαρ φερόμενος—ἀλλὰ μετὰ τοῦ κομίσαντο, ἵνα λέγῃ ὅτι μετὰ τὸ πεσεῖν ἐπιμέλειαν ἔσχεν εὐθὺς φιλοξενικήν, ἣν ὀκνεῖ διασκευάζειν ὡς ἄκαιρον. ὅτι δὲ τὸ ἄφαρ ἐκ τοῦ ἅπτω ἅψω ἧφα γίνεται συστολῇ Δωρικῇ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψιλώσει Αἰολικῇ καὶ ὅτι δηλοῖ τὸ αὔθωρόν καὶ συναπτῶς ὡς ἐκ τοῦ ἅπτω, δηλοῦται καὶ ἀλλαχοῦ.

1.245 ] (v. 596) Ὅτι κύπελλον ποτηρίου εἶδος ἐπὶ τὰ ἔσω κύπτον οὕτω λεγόμενον ὡς ἀπὸ τοῦ ἔκυπον δευτέρου ἀορίστου. τὸ δ’ αὐτὸ καὶ ἀμφικύπελλον λέγεται οἱονεὶ πανταχόθεν ἐπὶ τὰ ἔσω κεκυφός· πολλάκις γὰρ ἡ ἀμφί πρόθεσις τὸ κύκλῳ σημαίνει, ὡς δηλοῖ καὶ τὸ «νῆσος ἀμφίαλος» καὶ «βροντὴ ἀμφίπυρος» ἡ πάντοθεν κεραυνώσασα καὶ οὕτω πυρώσασα. ἄλλοι δὲ κύπελλον τὸ οἰνηρόν φασι ποτήριον, εἰς ὃ χύεται, τουτέστιν ἐγχέεται, πηλὸς εἴτ’ οὖν οἶνος. χρὴ δὲ εἰδέναι, ὅτι τὸ ἀμφικύπελλον, ὡς Ἀριστοτέλης ἐμφαίνει, καινήν τινα κατασκευὴν ἔχει καὶ ἀξίαν ἐν τοῖς νῦν ζητήσεως. φησὶ γὰρ ἐκεῖνος, ὅτι αἱ θυρίδες τοῦ μέλιτος ἀμφίστομοι· περὶ γὰρ μίαν βάσιν δύο θυρίδες εἰσὶν ὥσπερ τῶν ἀμφικυπέλλων, ἡ μὲν ἐκτός, ἡ δ’ ἐντός. Ἀριστοτέλης μὲν οὖν ὡς ἀπὸ δήλων τῶν ἀμφικυπέλλων ἱστόρει τὰ τοῦ μέλιτος. νῦν δὲ χρὴ τὸ μέλι κατασκέψασθαι, ἵνα νοηθῇ καλῶς ἐξ αὐτοῦ τὸ ἀμφικύπελλον. τέως γε μὴν ὡς ἐν εἰκασμῷ δοκεῖ ταὐτὸν εἶναι ἀμφικύπελλον εἰπεῖν καὶ δικύπελλον, ὡς κατὰ τὰς ἀντιθέτους θυρίδας ἤτοι σύριγγας καὶ θήκας τοῦ μέλιτος μιᾷ βάσει, τουτέστι πυθμένι, δύο κυπέλλων διοικουμένων ὡς ἐν διδυμότητι, τοῦ μὲν ἄνω, τοῦ δὲ κάτω, ἵνα καὶ ἡ βάσις ἐν τοῖς τοιούτοις εἴη, ὅτε δεήσει, πρὸς πόσιν χρήσιμος. (v. 595) Ὅτι τὴν ἔριν τὴν σφοδράν, τὴν μέσον Ἥρας καὶ Διός, ἔπαυσεν ἐνταῦθα οὐ μόνον ἀπειλὴ Διὸς καὶ φόβος, ὃν ἡ Ἥρα ἔπαθεν, ἔτι δὲ καὶ συμβουλὴ τοῦ Ἡφαίστου ἐχέφρων, ἀλλὰ καὶ ἀστεῖος τοῦ αὐτοῦ λόγος κινήσας τὴν Ἥραν εἰς μειδίαμα. σύνηθες δὲ Ὁμήρῳ, καθὰ καὶ προείρηται, ὁπηνίκα τὰς τῶν πραγμάτων δυσχερείας αὐξήσει καὶ εἰς παντελῆ δυσκολίαν ἀναγάγοι, τοιούτοις τισὶ νοήμασι χρῆσθαι εἰς λύσιν τοῦ κινδυνώδους καὶ ἀλύτου τῶν περιπετειῶν. μειδίαμα δὲ Ἥρας μυθικῶς μὲν τὸ ἐπὶ τοῖς ἀστείοις λόγοις Ἡφαίστου τοῦ παιδὸς διαχεθῆναι αὐτὴν καὶ ὑπογελάσαι· ἀνθρωποπαθὲς γὰρ παρὰ τοῖς ποιηταῖς τὸ δαιμόνιον φῦλον, ὡς καὶ προγέγραπται. διὸ καὶ θυμοῦσθαι Ζεὺς καὶ Ἥρα ἐνταῦθα λέγονται ἀλλήλοις καὶ Ἥφαιστος ἄνωθεν ῥιπτεῖσθαι κάτω καὶ σῴζεσθαι ὑπὸ ἀνθρώπων καὶ ὀλίγον ἔχειν θυμόν, ὅπερ παρὰ τοῖς ὕστερον συνθέτως ὀλιγοθυμεῖν λέγεται. καὶ οἱ θεοὶ ἄσβεστον γέλων παθεῖν λέγονται ἐπὶ τῷ Ἡφαίστῳ πονουμένῳ καὶ σπεύδοντι, ἐπειδὴ ἀνθρωπίνως γέλοιον ἀμφιγυήεις ἀνὴρ συντόνως κινούμενος καὶ τῇ χωλείᾳ κυμαινόμενος, οἷον καὶ ὧδε καὶ ἐκεῖ παραφερόμενος.

1.246 οὕτω γοῦν καὶ Ἥρα οὐκ ἄσβεστον καὶ χανδὸν γελῶσα, μειδιῶσα δὲ σεμνότερον, ὡς τοιούτῳ προσώπῳ ἔπρεπε, τὸ τοῦ παιδὸς ἐδέξατο χειρὶ κύπελλον. ἡ δὲ ἀλληγορία μειδίαμα Ἥρας τὴν ἐν τῷ ἀέρι βούλεται νοεῖν ἡσυχίαν καὶ ἱλαρότητα τὴν ἐκ τοῦ γαληνιᾶν, καθά που καὶ εἰρήνη γλυκὺ μειδιᾷ καὶ ἡμέρα διαγελᾷ καὶ ἡ χθὼν γελᾶν λέγεται παρὰ τῷ ποιητῇ, ὡς φανήσεται· καὶ αἰγιαλὸς δὲ ὁμοίως παρ’ ἑτέρῳ ποιητῇ γελᾷ κύμασιν ἐαρινοῖς ἠρέμα κλυζόμενος. φησὶ δέ που καὶ Ἱμέριος, ὅτι ἦρος ἡ γῆ μειδιᾷ ἡδύ τι καὶ χρυσαυγές. τὸ δὲ τοιοῦτον τῇ Ἥρᾳ μειδίαμα Ἥφαιστος περιποιεῖται, δηλαδὴ θερμότης κατακρατήσασα καὶ σκυθρωπότητα χειμερινὴν ἀπελάσασα, ὅτε οὐ μόνον μειδιᾶν ἡ Ἥρα λέγεται ἀλλὰ καὶ χρυσόθρονος εἶναι, καθάπερ ὁ ποιητὴς κατωτέρω φησί, διὰ τὴν ἐκ τοῦ πυρσοειδοῦς καὶ χρυσοφαοῦς ἡλίου ἐν ἀέρι λαμπρότητα. ὁ δὲ τοιοῦτος Ἥφαιστος καὶ κυπελλοφόρος γίνεται τῇ Ἥρᾳ διὰ τὴν σύμμετρον ἀναθυμίασιν, ἣν ἀνάγουσα ἡ θερμότης εἰς ἀέρα διαδίδωσι. (v. 597 s.) Λέγεται δὲ καὶ τοῖς ἄλλοις θεοῖς ἐνδέξια πᾶσιν οἰνοχοεῖν γλυκὺ νέκταρ ἀπὸ κρατῆρος ἀφύσσων, ἐπειδὴ ταῖς κάτωθεν ἀναγομέναις ὑγρότησι καὶ οἱ ἀστέρες, οἳ θεοὶ λέγονται παρὰ τὸ θέειν, ἐδόκουν τρέφεσθαι κατὰ τὴν τῶν Ἑλλήνων δόξαν. ἃς δὴ ἀναθυμιάσεις νέκταρ ὁ μῦθός φησιν ἀντλούμενον ὡς ἀπὸ κρατῆρός τινος τῶν περὶ γῆν κοιλάνσεων. ἐνδέξια δὲ οἰνοχοεῖν λέγει τὸ ἐπιδεξίως ἢ ἀρξάμενον ἐκ τῶν δεξιῶν. (v. 598) Ἰστέον δὲ ὅτι τὸ οἰνοχοεῖν οὐ κυριολεκτεῖται ἐπὶ τοῦ νέκταρος ἀλλὰ πάντως ἐπὶ τοῦ οἴνου· τέθειται δὲ κατ’ ἀνάγκην καὶ ἐπὶ νέκταρος, ὡς καὶ ἐν τῇ γάμμα ῥαψῳδίᾳ φανήσεται, διὰ τὸ μὴ εὐπορεῖν τὸν ποιητὴν σεμνοτέρας συμποσιακῆς λέξεως.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰσὶ δὲ καὶ ἕτερά τινα τοιαῦτα, οἷον καὶ τὸ «ἐχειρονόμησε τοῖς σκέλεσιν ὁ Ἱπποκλείδης ἐκεῖνος», ὃς καὶ μεμφθεὶς εἶπε τὸ θρυλλούμενον, ὡς οὐ φροντὶς Ἱπποκλείδῃ. καὶ ἐνταῦθα γὰρ τὸ χειρονομεῖν οὐκ ἔστι κυρία λέξις ἐπὶ ποδῶν. τοιοῦτον καὶ τὸ «τρισχίλιαι ἵπποι κατὰ τὸ ἕλος βουκολέοντο». οὐ γὰρ οἰκεῖον ἐπὶ ἵππων τὸ βουκολεῖν. [Ἰστέον δὲ ὅτι τε ἀστείως ὁ κωμικὸς Ἀντιφάνης ἀνάπαλιν πρὸς τὸ «ὠρχήσατο σκέλεσιν» ἔφη τὸ «οὐχ᾽ ὁρᾷς ὀρχούμενον ταῖς χερσὶ τὸν βάκηλον;» καὶ ὅτι ὅμοιον τοῖς εἰρημένοις καὶ τὸ «εἶχεν ἐπὶ χειρὸς πέδην», ὅθεν σύνθετον ἡ χειροπέδη· καὶ γὰρ πέδη κυρίως ἐπὶ ποδῶν. ἔτι] ἰστέον καὶ ὡς τὸ μὲν οἶνον οἰνοχοεῖν καὶ βουλὴν βουλεύειν καὶ τὰ τοιαῦτα σύστοιχα καὶ ὁμοειδῆ ὄντα ὀρθῶς φράζεται διὰ συνήθειαν καὶ σαφήνειαν.

1.247 καὶ γοῦν ὁ Παραβάτης ἔν τινι μύθῳ, οὗ ἀρχή «πλουσίῳ ἀνδρὶ πρόβατα ἦν πολλά» γράφει καὶ ὅτι βουκόλοι βοῶν, αἰγῶν αἰπόλοι, ἱπποφορβοὶ ἵππων καὶ πολλὰ κτήματα. καὶ τὰ μὲν τοιαῦτα συνηθέστερον ἔχει, ὡς εἴρηται. τὸ δὲ ἄλλως ἀνομοειδὲς ἔχει καινότητα, οἷον τὸ «τρισχίλιοι ἵπποι κατὰ ἕλος ἐβουκολοῦντο», ὧν τοὺς νομέας ἱπποβουκόλους ἀκολούθως Ὁμήρῳ Εὐριπίδης φησί, καὶ «ἐχειρονόμησε σκέλεσι» καὶ «νέκταρ ἐῳνοχόει». ἐπενοήθη δὲ ταῦτα διὰ συντομίαν λόγου. οἰνοχοεῖν μὲν γὰρ νέκταρ τὸ ἐγχέειν νέκταρ δίκην οἴνου, οὗ χρεία τῷ συμποσίῳ· χειρονομεῖν δὲ σκέλεσι τὸ ποιεῖν τοῖς ποσίν, ὅπερ ὁ χειρονομῶν. τρισχίλιαι δὲ ἵπποι ἐβουκολοῦντο ἤτοι ἐνέμοντο σὺν βουσὶν ἢ ἐνέμοντο ἔνθα καὶ βόες ἄν. ὅμοιον καὶ τὸ «ᾠκοδόμησε πόλιν» ἤγουν πόλιν καὶ οἴκους ἔδειμε. τὸ μέντοι «ᾠκοδόμησε θυσιαστήριον» πάνυ καινῶς εἴρηται. καὶ παρὰ Λυκόφρονι δὲ τὸ «λέοντα κείροντα ὀδόντι καὶ γνάθοις λήϊον» ἐμφαίνει γοργῶς, ὅτι ὁ Τήλεφος ὅμοιος ἦν καὶ λέοντι καὶ συῒ δέ· λέων γὰρ οὐ κείρει λήϊον. τοιούτου τύπου καὶ παρὰ τῷ Κωμικῷ τὸ «βουθυτεῖ ὗν καὶ τράγον». οὕτω δὲ καὶ Εὐριπίδης φησὶ τὴν Μήδειαν τοκάδος δίκην λεαίνης ταυρουμένην, ἤγουν ἀγριουμένην ὡς λέαιναν καὶ ὡς ταῦρον. ἰστέον δὲ καὶ ὅτι ὅμοιον τῷ χειρονομεῖν σκέλεσι τὸ καθ᾽ Ἡλιόδωρον χειραγωγὸν εἰπεῖν ἱμάντα τὸν ἐκδεδεμένον ποδός. καὶ οὕτω μὲν ταῦτα. ἐν οἷς καὶ τὰ κατὰ τὴν ἱστορίαν τοῦ Νείλου τυφλοστόματα. οὐ γὰρ ἂν λεχθείη τὸ στόμα τυφλόν, ἀλλ᾽ ἐμφαίνει γοργῶς τὸ τυφλόστομα, ὡς δυνάμεθα καὶ ὀφθαλμὸν καὶ στόμα εἰπεῖν τὴν τοῦ ποταμοῦ ἐκβολήν. Τὸ δὲ νέκταρ καὶ ἡ ἀμβροσία πέπλασται τῇ ποιήσει· καί εἰσιν ὀνόματα τροφῆς θείας, ἣν καὶ αὐτὴν οἱ ποιηταὶ οἴδασιν ὡς μουσοτραφεῖς· τὸ μὲν νέκταρ ὑγρᾶς καὶ ἀναλογούσης οἴνῳ, διὸ καὶ οἰνοχοεῖσθαι εἴρηται, ἡ δὲ ἀμβροσία ξηρᾶς. ἐτυμολογεῖται δὲ τὸ μὲν νέκταρ ἀπὸ τοῦ κτῶ τὸ κτῶμαι καὶ τοῦ νε στερητικοῦ, οἱονεὶ τὸ ἄκτητον, ὃ οὐδενὸς θνητοῦ γίνεται κτέαρ ἤτοι κτῆμα. ἡ δὲ ἀμβροσία ἢ ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ βροτός, ἣν οὐδεὶς ἔχει βροτός, πλεονάσαντος τοῦ ν πρὸ τοῦ β διὰ ὄγκον φωνῆς, ὡς ἐν πολλοῖς γίνεται· ἢ μάλιστα ἐκ τοῦ ὑπεραναβαίνειν ῥοὴν ἤγουν ὑπεράνω εἶναι φθορᾶς. ὅτι δὲ καὶ ἀνάπαλιν νέκταρ μὲν παρά τισι λέγεται ἡ ξηρὰ ἐν θεοῖς τροφή, ἀμβροσία δὲ ἡ ὑγρά, φανήσεται ἀλλαχοῦ.

1.248 περὶ δὲ τούτων ῥηθήσεται καὶ ἐν τῇ ἀρχῇ τῆς δ᾽ ῥαψῳδίας· (v. 599) [Ἰστέον δὲ ὅτι τε σεμνότερος πάντων, ὡς εἰκός, ὁ τοῦ μύθου Ζεύς, ὡς μὴ συνδιατεθεὶς ὅλως, οἷς ὁ Ἥφαιστος καὶ λαλεῖ καὶ γελοίως πονεῖται· Ἥρα δὲ μετ᾽ αὐτὸν τηρεῖ τὸ σεμνὸν μειδιάσασα· οἱ δ᾽ ἄλλοι θεοὶ τοῦ τοιούτου ὕψους ὑποκατέβησαν ἄσβεστον γέλων παθόντες. (v. 600) Καὶ ὅτι τὸ πονεῖσθαι μετὰ συνέσεως ποιπνύειν ἡ ποίησις λέγει· ὃ γίνεται ἀπὸ τοῦ πονῶ πονύω, ὡς ἀλῶ ἀλύω, κινῶ κινύω, καὶ ἐν συγκοπῇ πνύω καὶ ἀναδιπλασιασμῷ ποπνύω καὶ πλεονασμῷ τοῦ ι ποιπνύω. ὁμοίου δὲ ἀναδιπλασιασμοῦ καὶ τὸ ποιφύσσω ἤγουν φυσῶ παρὰ Λυκόφρονι καὶ ἄλλα δέ τινα. ὡς δὲ ἐκ τοῦ ῥηθέντος πνύω καὶ τὸ πεπνῦσθαι καὶ ὁ πεπνυμένος λέγεται, δῆλόν ἐστιν ἐκ τῶν παλαιῶν. Σημείωσαι δὲ ὅτι πάνυ σεμνῶς ἡ καθ᾽ Ὅμηρον ἀείδουσα θεὰ γελᾶν μὲν θεοὺς ἔφη· ὅτι δὲ διὰ τὸν κυλλοποδίονα ἐγέλων, σιγᾷ, ἵνα μὴ δοκοίη σιλλαίνειν ἀκαίρως.] τὸ δὲ ἄσβεστος γέλως δηλοῖ ἔκ τινος θερμότητος τὸν γέλωτα γίνεσθαι καὶ συμβάλλεταί πως τοῖς γραμματικοῖς, οἳ τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γέλωτα παρὰ τὴν ἕλην, ὃ δηλοῖ τὴν θερμότητα, ἐτυμολογεῖσθαί φασιν. (v. 601—4) Ὅτι τὸ «ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα δαίνυντο» λεχθείη ἂν ἐπὶ τῶν διὰ πάσης ἡμέρας ἑστιωμένων. εἰ δὲ καὶ μουσικὴ χάρις ἐπανθεῖ τῷ συμποσίῳ, προσφυὲς εἰπεῖν καὶ τὰ ἐφεξῆς, οἷον· «οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης, οὔτε μὴν φόρμιγγος περικαλλέος, ἣν ἔχεν ὁ δεῖνα», οἷον ὁ Ἀπόλλων, «Μουσάων θ’, αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ». (v. 601) Ἰστέον δὲ ὅτι τὸ «ἐς ἠέλιον καταδύντα» ἐφερμηνευτικόν ἐστι τοῦ «πρόπαν ἦμαρ», ἵνα νοῆται τὸ πρόπαν ἦμαρ ἕως δύσεως ἡλίου, ὅ ἐστιν ἑσπέρας, οὐ μὴν καὶ ἐπέκεινα. Τὸ δὲ ἠέλιος δοκεῖ ἐκ τοῦ ἥλιος γενέσθαι κατὰ ἐπένθεσιν τοῦ ε . ψιλοῦται δὲ διὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι τὸ η πρὸ φωνήεντος ὂν κατὰ διάστασιν ψιλοῦται, οἷον ἠΐθεος, ἤϊος ὁ τοξικός· οὕτως οὖν καὶ ἠέλιος. σημειοῦνται δὲ οἱ παλαιοὶ καὶ ὅτι ἀεὶ οὕτως λέγει ὁ ποιητὴς τετρασυλλάβως, ἅπαξ δέ ποτε καὶ τρισυλλάβως ἔφη ἥλιον. Ἰστέον δὲ καὶ ὅτι, ἐπειδή ἐστιν ἄω τὸ λάμπω καὶ προσθέσει τοῦ υ αὔω, ἐξ ὧν ἀώς ἡ ἡμέρα καὶ αὔως Αἰολικῶς, δύναται τὸ ἠέλιος ἐκ τοῦ ἄω ἔχειν τὴν ψιλήν, ἐξ οὗ καὶ ἐτυμολογεῖται. γίνεται γὰρ ἀπὸ τοῦ ἄω τοῦ ῥηθέντος καὶ ἐκ τοῦ ἕλη, ἡ θερμασία, ἀέλιος, ὡς τὸ «ἀκτὶς ἀελίου» παρὰ Σοφοκλεῖ· ἀμφότερα γὰρ ἔχει ὁ ἥλιος· λάμπει τε γὰρ φωτιστικῶς, ἔτι δὲ καὶ θερμαίνει· καὶ τροπῇ τῆς ἀρχούσης γίνεται ἠέλιος. (v. 602) Ἐΐσην δὲ δαῖτα λέγει ἢ τὴν ἴσην κατὰ πλεονασμὸν Ἰωνικὸν τοῦ ε —ἰσομοίρως γὰρ ἐδαίνυντο διὰ τὸ ἀφιλόνεικον—ἢ παρὰ τὸ εἴω τὸ πορεύομαι ἡ διὰ παντὸς ἱκνουμένη τοῦ σώματος ἤτοι πορευομένη καὶ ἅπαν αὐτὸ διοικοῦσα.

1.249 (v. 604) Ἀμείβεσθαι δὲ ὀπὶ καλῇ αἱ Μοῦσαι λέγονται ἢ ἑαυτὰς ἐν μέρει ἢ τὸν Ἀπόλλωνα, ὃς εἶχε τὴν φόρμιγγα. ὑπ’ ἐκείνῳ γὰρ ὡς κορυφαίῳ τῆς ᾠδῆς ᾄδειν αὐταὶ λέγονται [ἀμοιβαδὸν δηλαδή· ἐξ οὗ καὶ αἱ ῥητορικαὶ ἀλληλογραφίαι ἀμοιβαῖοι λόγοι λέγονται καὶ ἔπη ἀμοιβαῖα.] Ἐνταῦθα δὲ συλλογιστικῶς ὁ Ὅμηρος οὐ μόνον μουσόληπτον ἑαυτὸν ὑπεμφαίνει ἀλλὰ καὶ Ἀπόλλωνι κάτοχον. αὐτὸς μὲν γὰρ ὅσα λέγει, ἐκ Μουσῶν ἐμπνεόμενος ᾄδει, ὡς ἐν προοιμίοις ἐφάνη· Μοῦσαι δὲ ὑπ’ Ἀπόλλωνι ἀρχηγέτῃ τῆς ᾠδῆς ᾄδουσιν. οὐκοῦν ἡ ποίησις καὶ ὁ ποιητὴς ὑπὸ Μούσαις τε καὶ Ἀπόλλωνι καταρτίζονται, ὡς καὶ Ἡσίοδος παραδηλοῖ κατάγων γενεαλογικῶς τοὺς ἀοιδοὺς ἤτοι τοὺς ποιητὰς ἐκ Μουσῶν καὶ Ἀπόλλωνος; διόπερ οὐ μόνον λόγιον χρῆμα ὁ ποιητὴς διὰ τὰς Μούσας, ἀλλὰ καὶ μαντικὸν διὰ τὸν Ἀπόλλωνα καὶ τὴν ἐκ τοῦ ἡλίου φιλοσοφίαν. καί τινα προλέγων καὶ Ὅμηρος μαντικῶς ἐν τοῖς μετὰ ταῦτά που φανήσεται. ὅρα δὲ καὶ ὅτι τὸ «ἀμειβόμεναι ὀπὶ καλῇ» κοινὸν μέν ἐστιν ἐνέργημα τῶν Μουσῶν· ὠνόμασται δέ, ὡς καὶ προείρηται, ἡ Καλλιόπη ἐξ αὐτοῦ κατ’ ἐξαίρετον τὸ κοινὸν τῆς ἐνεργείας ἐξιδιωσαμένη τῇ κλήσει· παρὰ τὸ καλόν γὰρ ἢ τὸ κάλλος τῆς ὀπὸς ὠνόμασται ἡ Καλλιόπη, ὡς τὸ ἐν φωνῇ κάλλος ἔχουσα. ἔοικε δὲ μηδεμίαν ἔχειν ὁ ποιητὴς λέξιν ἐπὶ τῶν ἐμμούσων ᾠδῶν καιριωτέραν τοῦ καλή. διὸ οὐ μόνον ὄπα καλὴν λέγει, ἀλλὰ καὶ τὴν τοῦ Ἀπόλλωνος φόρμιγγα περικαλλῆ ὀνομάζει, ὡς ἂν τις εἴποι καλὴν λίαν· ἐντεῦθεν γὰρ ὁ τοῦ λ ἐν τῇ τοιαύτῃ λέξει διπλασιασμός. κἀκεῖθεν ἐοίκασιν ἀφορμὴν λαβόντες οἱ μεθ’ Ὅμηρον τέλος τοῦ πανηγυρικοῦ τῆς ῥητορικῆς εἴδους τὸ καλὸν εἰπεῖν· δῆλον δὲ ὅτι πανηγυρικὸν καὶ ἡ ποίησις. παρασημειοῦνται δὲ οἱ παλαιοί, ὅτι τὸ μὲν καλόν ἐκτείνει ἀεὶ παρὰ τῷ ποιητῇ τὸ δίχρονον, τὸ δὲ κακόν ἐν συστολῇ ἔχει τὴν ἄρχουσαν. ὅτι δὲ καὶ τὸ καλεῖν συστέλλεταί ποτε, ἀφ’ οὗ καὶ τὸ καλὸν παράγεται, ἐδήλωσεν ὁ ποιητὴς ἔν τε ἄλλοις καὶ ἐν τῷ «καλέσαντο γὰρ αὐτοί». [Ἰστέον δὲ ὅτι κατὰ τὸ «ἐς ἠέλιον καταδύντα» εἴρηται παρ’ Εὐριπίδῃ ἐν Ἱππολύτῳ τὸ εἰς τόδε ἀντὶ τοῦ ἕως τότε. τοιοῦτον δὲ καὶ τὸ ἐς τόδε ὥρας καὶ ἐς τόδε καιροῦ. τὸ μέντοι ἔστε ἀντὶ τοῦ ἕως μόνον αὐτὸ καθ’ αὑτὸ κείμενον, οἷον παρὰ Θεοκρίτῳ· «ἔστε κ’ ἀπείπῃς» ἤγουν μέχρις ἂν ἀπαγορεύσῃς, συγκοπὴν ἔπαθεν ἐκ τοῦ ἕως. διὸ καὶ δασύνεται.] (v. 607) Ὅτι δέδονται τόποι τινὲς τοῖς πλανήταις, οὓς οἴκους αὐτῶν καλοῦσιν οἱ νεώτεροι, ἐν οἷς αὐτοὺς ὄντας καὶ οἰκοδεσποτεῖν λέγουσιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.250 Ὁμήρου τοίνυν ἐνταῦθα εἰπόντος, ὅτι ὁ Ἥφαιστος ἑκάστῳ τῶν θεῶν δῶμα ἐποίησε, γράφουσιν οἱ παλαιοί, ὅτι πρῶτος Ὅμηρος ἔδωκε τοῖς ἀπὸ μαθημάτων ἀφορμὴν τῆς τοιαύτης δόξης εἰπὼν ἐνταῦθα ἕκαστον τῶν θεῶν ἴδιον οἶκον ἔχειν. ὅτι δὲ ἐπὶ ἀστέρων ἔστιν ὅτε τὸ τῶν θεῶν κεῖται ὄνομα, προείρηται. Ἥφαιστος δὲ λέγοιτ' ἂν τὰ τοιαῦτα ποιεῖν δώματα πιθανευομένου καὶ νῦν τοῦ μύθου τοῦτο διὰ τὴν ἄνω αἰθερίαν θερμότητα καὶ διὰ τὸ αὐτῆς δραστικόν. (v. 606) Ἐνταῦθα δὲ κεῖται καὶ τὸ κακκείοντες ἀντὶ τοῦ ἔφεσιν ἔχοντες τοῦ κατακεῖσθαι εἰς ὕπνον. οὕτω καὶ ὀψείοντες οἱ ἔχοντες ἐπιθυμίαν τοῦ ὄψεσθαι καὶ βρωσείοντες καὶ πολεμησείοντες οἱ ἐπιθυμοῦντες βρώσεως καὶ πολέμου. καὶ ἄλλα δέ εἰσι τοιαῦτα μυρία. τὸ δὲ πρῶτον κ τὸ τ ἐστι τῆς κατά προθέσεως εἰωθυίας ἐν τῇ τοῦ α ἀποκοπῇ συνεξομοιοῦσθαι τῷ ἐπαγομένῳ συμφώνῳ, ὡς καὶ ἐν τῷ «κάππεσον ἐν Λήμνῳ» δηλοῦται καὶ ἐν τῷ κάλλιπον ἀντὶ τοῦ κατέλιπον. [Ἰστέον δὲ ὅτι τοῦ κεῖσθαι καὶ τῶν ἀπ' αὐτοῦ κινήσεων προϋπάρχει τὸ κέω, οὗ μετοχὴ κέων ἐν Ὀδυσσείᾳ· «ὄρσο κέων, ὦ ξεῖνε». τοῦτο ἐνθέσει τοῦ ι γίνεται κείων, ὅθεν τὸ «κακκείοντες ἔβαν», ἤγουν κατακεισόμενοι εἰς ὕπνον. τῆς δὲ συστοιχίας τοῦ κακκείοντές ἐστι καὶ τὸ καρρέζειν ἤτοι καταψᾶν καὶ τὸ κάββαλε καὶ τὸ καδ δ' ἔπεσε καὶ τὸ κὰπ φάλαρα δὲ καὶ τὸ κάτθανεν, ὡς ἀλλαχοῦ φανεῖται σαφῶς.] (v. 608) Ὅτι πραπίδας τὰς φρένας εἰπεῖν χρήσιμον εἰς οὐδὲν τῇ λογογραφίᾳ, διὸ φυλαττέσθω ἀπόθετον τῇ ποιήσει. χρῆσις δὲ αὐτοῦ ἐν τῷ «Ἥφαιστος ποίησεν εἰδυίῃσι πραπίδεσσι». γίνεται δὲ ἴσως ἡ πραπὶς ἐκ τῆς προ καὶ ἀπο προθέσεως καὶ τοῦ ἰδεῖν ἢ εἰδέναι, ἵνα ᾖ πραπὶς ἡ προβλεπτικὴ καὶ προγνωστικὴ τοῦ μέλλοντος φρήν. ἕτεροι δέ φασι τὴν πραπίδα γίνεσθαι, ὅθεν καὶ ἡ φρὴν γίνεται, ἤγουν ἐκ τῆς προ προθέσεως καὶ τοῦ ὦ δασυνομένου ῥήματος, ἐξ οὗ τὸ ἰῶ ἵημι, εἰ καὶ ἡ μὲν φρὴν διὰ τοῦ φ προάγεται κατὰ τὸ φρουρός καὶ φροίμιον, ἡ δὲ πραπὶς ψιλοῦται Ἰωνικῶς τε καὶ Αἰολικῶς. (v. 610) Ὅτι τὸν κατὰ φύσιν ὕπνον γλυκὺν ὀνομάζει λέγων· «ἔνθα Ζεὺς ἐκάθευδεν, ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι». καὶ σημείωσαι ὅτι οὐχ' ἡμᾶς δεῖ κατακλινομένους εἰκῇ ἐπισπᾶσθαι τὸν ὕπνον, ἀλλὰ κοιμᾶσθαι ὅτε ὁ ὕπνος ἱκάνει, τουτέστι καταλαμβάνει ἡμᾶς. ὁ μέντοι σπουδαῖος οὐ μόνον οὐκ ἂν καλέσοι τὸν ὕπνον, ἀλλὰ καὶ ἀπώσεται ἥκοντα, εἴπερ οὐ χρὴ παννύχιον εὕδειν τὸν σπουδαῖον ἄνδρα. Ὅρα δὲ καὶ ἐνταῦθα ὅτι τὸ ἱκάνει, ὡς καὶ προεγράφη, ἐκτείνει τὴν παραλήγουσαν.

1.251 γίνεται δὲ ἐκ τοῦ ἵκω, ὅπερ παρ' Ὁμήρῳ μὲν ἀεὶ τὴν διὰ τοῦ ι ἔχει, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, γραφήν, παρὰ δὲ τοῖς μεθ' Ὅμηρον διφορεῖται. (v. 609) Ἰστέον δὲ ὅτι Ζεύς ἀκλίτως ἔχει διὰ κανόνων ἐναντιότητα, καθά φασιν οἱ παλαιοί. εἷς μὲν γὰρ κανὼν διὰ τοῦ εως κλίνει αὐτὸ τῷ λόγῳ τῶν εἰς ευς , ἵνα τοῦ ὑποτακτικοῦ φωνήεντος ἤγουν τοῦ υ ἐκπεσόντος κλιθείη Ζεύς Ζέως. ἕτερος δὲ φυλάσσεσθαι θέλει καὶ ἐν τῇ γενικῇ τὴν τῆς μονοσυλλάβου εὐθείας δίφθογγον, ὡς καὶ ἐν τῷ κλείς κλειδός, παῖς παιδός, δαίς δαιτός. ἡ γοῦν τοιαύτη στάσις τῶν κανόνων ἐξώθησε μὲν τὴν Δίς εὐθεῖαν διὰ τήν, ὡς προείρηται, πρὸς τὸ ἐπίρρημα συνέμπτωσιν· ἀφῆκε δὲ ταῖς πλαγίαις ἐκείνης ἐπείσακτον οἷον μητέρα τὴν Ζεύς εὐθεῖαν ἀπωρφανισμένην τῶν οἰκείων πλαγίων οἷα γνησίων παίδων τινῶν. (v. 611) Ὅτι ἐν τῷ «ἔνθα καθεῦδ' ἀναβάς, παρὰ δὲ χρυσόθρονος Ἥρη» τὸ μὲν καθεῦδε προπερισπᾶται, ὡς πρὸ τούτου ἐγράφη, τὸ δέ «παρὰ δὲ χρυσόθρονος Ἥρη» ἔλλειψιν ἔχει· ὡς γὰρ τὸ μετὰ δὲ ἀντὶ τοῦ μετὰ ταῦτα δὲ καὶ ἐπὶ δὲ καὶ πρὸς δὲ ἀντὶ τοῦ ἐπὶ τούτοις καὶ πρὸς τούτοις, οὕτω καὶ τὸ «παρὰ δὲ χρυσόθρονος Ἥρη», ἤγουν παρὰ δὲ αὐτῷ ἡ χρυσόθρονος Ἥρα. ἐν δὲ τῷ «χρυσόθρονος» φασὶν οἱ παλαιοὶ τὸν χρυσὸν ἀντὶ πυρὸς εἰλῆφθαι ἀλληγορικῶς. πυρώδη γάρ, φασί, τὰ πρὸς τῷ αἰθέρι καὶ τῷ ἡλίῳ. ΕΚ ΤΩΝ ΤΗΣ ΒΗΤΑ ΡΑΨΩΙΔΙΑΣ ΗΣ ΜΕΡΟΣ ΚΑΙ Η ΒΟΙΩΤΙΑ Ὅτι τῆς ῥαψῳδίας ταύτης ἡ μὲν ἔμμετρος ἐπιγραφὴ αὕτη· Βῆτα δ' ὄνειρον ἔχει, ἀγορὴν καὶ νῆας ἀριθμεῖ· ἡ δὲ πεζὴ τοιαύτη· ὄνειρος καὶ κατάλογος· ὥστε μέρος τῆς βῆτα καὶ ἡ Βοιωτία ἤγουν ὁ κατάλογος τῶν νεῶν.

1.252.(t1)

Ὅτι ἐνταῦθα μὲν διὰ μύθου διδάσκει ὁ ποιητὴς μὴ δεῖν εἶναι τὸν ἄρχοντα παννύχιον εὕδειν λέγων, ὅτι ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί, οἱ περὶ Τροίαν δηλονότι πολεμισταί, εὗδον παννύχιοι, Δία δ’ οὐκ ἔχε νήδυμος ὕπνος. μετ’ ὀλίγα δὲ καὶ γνώμην ἐξάγει αὐτὸ τοῦτο ἀποφαινομένην καὶ διδάσκουσαν, ὡς ῥηθήσεται, ἔνθα ὁ ὄνειρος ὀνειδίζει τὸν παννύχιον ὕπνον τῷ Ἀγαμέμνονι. ἐν μέντοι τοῖς ἑξῆς καὶ πραγματικῶς αὐτὸ παραδώσει, τοὺς μὲν ἄλλους Ἕλληνας κοιμωμένους νύκτωρ ποιῶν, τὸν βασιλέα δὲ ἀγρύπνως ἔχοντα. [(v. 1) Ἰστέον δὲ ὅτι τε χαίρει ὡς μάλιστα ὁ ποιητὴς τῷ ῥα συνδέσμῳ, καθὰ καὶ προδεδήλωται· καὶ ὅτι ἐγκλίνεται καὶ αὐτὸς ἐν δέοντι, καθὰ καὶ ἐνταῦθα ἐν τῷ, «ἄλλοι μέν ῥα». καὶ ὅτι κατὰ τοὺς τεχνικούς ἐστι καὶ ἕτερον ῥᾴ, ὃ σημαίνει μὲν τὸ εὐχερῶς, ὥς φασι, γίνεται δὲ ἀπὸ τοῦ ῥᾴδιον κατὰ ἀποκοπήν, διὸ καὶ ὀξύνεται καὶ σὺν τῷ ι γράφεται καὶ οὐδὲ ἐγκλίνεται· λέγεται δέ, φασί, καὶ σὺν τῷ β βρᾴ, ἐπεὶ καὶ τὸ ῥᾴδιον Αἰολικῶς βρᾴδιον λέγεται.] (v. 2) Καὶ ὅτι νήδυμος ὕπνος ὁ βαθὺς καὶ ἀνέκδυτος ἤτοι ὃν οὐ δύναταί τις ῥᾳδίως ἀποδύσασθαι. καὶ γίνεται παρὰ τὸ δύω δύμος καὶ μετὰ τῆς νη στερήσεως νήδυμος ἢ ἄγαν δύνων παρὰ τὸ νη ἐπιτατικὸν καὶ τὸ δύω· ἔστι γὰρ ἐπίτασις καὶ διὰ τοῦ νη , ὡς δηλοῖ τὸ «πόντος νήχυτος». ὥσπερ δὲ ἀπὸ τοῦ δύω δύμος καὶ νήδυμος, οὕτω καὶ δύμος δίδυμος· δίδυμοι γὰρ οἱ ὄντες δύο ἐν γαστρὸς καταδύσει μιᾷ. οἱ δὲ νήδυμον ὕπνον φασὶ τὸν ἡδὺν πλεονασμῷ τοῦ νῦ. —καίτοι τινὲς οὐ βούλονται φωνήεντι δασυνομένῳ τὸ ν προστίθεσθαι. —οἱ δὲ παλαιοί φασι καὶ δίχα τοῦ νῦ εὑρίσκεσθαι ἥδυμον παρὰ τοῖς μεθ’ Ὅμηρον, ὡς παρὰ Ἀντιμάχῳ καὶ Σιμωνίδῃ. τινὲς δὲ καὶ ἐπὶ Ὁμήρου τὴν λέξιν ταύτην εἰς ταὐτὸ ἐβιάσαντο ἀναγνόντες νῦν οὕτω· Δία δ’ οὐκ ἔχεν· εἶτα, ἥδυμος ὕπνος. οἱ δὲ οὕτως ἀναγινώσκοντες ἐνταῦθα μὲν εὐπόρως ἔχουσιν εἰς ὃ βούλονται διὰ τὴν τοῦ ἔχε τρίτου προσώπου συνθήκην ἐφέλκεσθαι δυναμένου τὸ νῦ.

1.253 ἐν μέντοι τοῖς ἑξῆς εὑρεθήσονται τόποι, ἐν οἷς οὐ δυνήσονται τοιοῦτόν τι ποιῆσαι, ἀλλὰ προδήλως τὸ νήδυμος ἀρχόμενον εὑρεθήσεται ἀπὸ τοῦ ν στοιχείου μὴ δυναμένου τῇ ὄπισθεν λέξει προστίθεσθαι. Σημείωσαι δὲ καὶ ὅτι ἄλλο μὲν τὸ καθεύδειν, ἄλλο δὲ τὸ ὑπνοῦν καὶ οὐκ ἀεὶ τὸ αὐτὸ ἐξ ἀνάγκης δηλοῦσι. καὶ γὰρ ἀνωτέρω μὲν ὁ Ζεὺς ἀναβὰς ἐκάθευδεν, ἐνταῦθα δὲ νήδυμος ὕπνος οὐκ εἶχεν αὐτόν. ἔστι γὰρ καθεύδειν μὲν τὸ ἁπλῶς ἀναπίπτειν ὡς ἐπὶ ὕπνῳ, ὑπνοῦν δὲ αὐτὸ δὴ τὸ ἐκλελύσθαι καὶ ἀπρακτεῖν τὰς αἰσθήσεις. καὶ τοῦτο καὶ ἐν τοῖς ἑξῆς πολλαχοῦ φανήσεται. οὕτω δὲ καὶ τὸ κοιμᾶσθαι τοῦ ὑπνοῦν διενήνοχεν ἐν πολλοῖς ὁμοίως τῷ καθεύδειν, ὡς καὶ ὅτε εἴπῃ, ὅτι «κοιμήσαντο καὶ ὕπνου δῶρον ἕλοντο». Ἰστέον δὲ ὅτι ἱπποκορυστὰς ἐνόησάν τινες τοὺς ἔχοντας ἱππείας τρίχας ἐν ταῖς κόρυσιν. ἀλλ’, εἰ τοῦτο ἦν, ὤφειλεν ἱπποκόρυθας εἰπεῖν ἢ οὕτω πως, ὁμοίως τῷ κορυθαΐκες καὶ κορυθαιόλος. ἔστιν οὖν ἱπποκορυστής ὁ καὶ ἱππιοχάρμης ἤγουν ὁ ἱππότης πολεμιστής. Ὅτι ἐνταῦθα ἔοικεν ἐφερμηνεύειν ὁ ποιητής, τίς ἐστιν ἡ βουλὴ τοῦ Διὸς ἡ ἐν τῇ α′ ῥαψῳδίᾳ. φησὶ γὰρ ὅτι Ζεὺς μερμήριζε κατὰ φρένα, ὡς Ἀχιλῆα τιμήσῃ, ὀλέσῃ δὲ πολέας ἐπὶ νηυσὶν Ἀχαιῶν. αὕτη ἄρα ἡ βουλὴ τοῦ Διός. (v. 4) Ὅρα δὲ τὸ πολέας· σχῆμα γὰρ ἀμφιβολίας ποιεῖ. ἄδηλον γὰρ εἴτε πολλοὺς τῶν Ἀχαιῶν ὀλέσει, ὧν ὀλλυμένων ἐτιμᾶτο Ἀχιλλεύς, εἴτε πολλοὺς Τρῶάς τε καὶ Ἕλληνας ἐπὶ ταῖς ναυσὶ τῶν Ἀχαιῶν, ὅπερ καὶ κάλλιον. καὶ γὰρ προϊὼν ἐρεῖ, ὅτι τεθήσονται Ἀχαιοῖς καὶ Τρωσὶν ἄλγεα καὶ στοναχαί. Ὅτι ἀποδεχόμενος ὁ ποιητὴς ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ ἑαυτὸν τῆς τοῦ ὀνείρου πλάσεως τοῦ ἀπατήσαντος τὸν Ἀγαμέμνονά φησιν, ὡς πολλὰ σκεψαμένῳ τῷ Διΐ—λέγοι δὲ ἂν Δία ὁ ποιητὴς τὸν ἑαυτοῦ νοῦν—αὕτη ἀγαθὴ ἐφαίνετο βουλή, ἐπιπέμψαι οὖλον ὄνειρον, ὃς κελεύσει τῷ βασιλεῖ θωρῆξαι καρηκομόωντας Ἀχαιοὺς καὶ ἐρεῖ αὐτῷ ὅτι νῦν ἕλοι ἂν πόλιν εὐρυάγυιαν Τρώων. ἐπαινεῖ δὲ ὁ ποιητὴς τὸ τοιοῦτον πλάσμα διά τε τὸ τοῦ ὀνείρου λοξόν, [ὃ μάλιστα ἐπιπρέπει χρησμοῖς τοῖς τε ἄλλοις καὶ τοῖς δι’ ὀνείρων δὲ οὐχ’ ἥκιστα,] καὶ διὰ τὸ πιθανὸν τοῦ τῶν Ἀχαιῶν εἰς τὸν πόλεμον θάρρους. οὐ γὰρ ἂν ἄλλως ἐθάρρησαν οὔτε ὁ βασιλεὺς οὔτε ὁ στρατὸς τὴν ἔξοδον δίχα τοῦ πολεμάρχου Ἀχιλλέως, εἰ μὴ τοιοῦτος αὐτοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἠρέθισεν ὄνειρος. καὶ οὕτω μὲν πιθανῶς ἔσχεν ἡ τῶν Ἑλλήνων τόλμα. (v. 12) Ὁ δὲ ὄνειρος εὖ πέπλασται καὶ εὐφυῶς καὶ χρησμολογικῶς διὰ τὴν λοξότητα· οὐ γὰρ αὐτὸ ἀριδήλως τὸ πρᾶγμα δηλοῖ, ἀλλὰ δι' ὁμωνυμίας ἐπικρύπτει τὴν ἀλήθειαν. τὸ γάρ «νῦν ἕλοι πόλιν Τρώων» διὰ τῆς ὁμωνυμίας τοῦ «νῦν» συνέχεε τὴν ἀλήθειαν λέγοντος μὲν τοῦ ὀνείρου, ὅτι κατὰ τὸ παρὸν δέκατον ἔτος ἁλίσκεται ἡ Τροία, νοηθέντος δὲ λέγειν ὅτι σήμερον ἕλοις ἂν τὴν Τροίαν.

1.254 ἰστέον γὰρ ὅτι τὸ «νῦν» κατὰ τοὺς παλαιοὺς τοὺς τρεῖς χρόνους δηλοῖ, τὸν ἐνεστῶτα, οἷον· «ἦ γὰρ ἄν, Ἀτρεΐδη, νῦν ὕστατα λωβήσαιο»· καὶ τὸν παρῳχημένον, ὡς τὸ «νῦν ὤλετο πᾶσα Ἴλιος κατ' ἄκρης»· καὶ τὸν μέλλοντα, οἷον· «νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει». καὶ σημείωσαι ὅτι οὐδὲ τὴν ἐν τοῖς λογίοις ἤτοι τὴν ἐν τοῖς χρησμοῖς λοξότητα ἠγνόησεν ὁ ποιητής, ὅσγε καὶ πλάττει ἄρτι τοιοῦτον λόγιον. χρησμὸς γάρ τίς ἐστι πάντως καὶ ὁ ὄνειρος ὁ ῥηθείς, ὅς, καθάπερ ἐφάνη, λελόξωται διὰ τὸ τοῦ «νῦν» πολυσήμαντον. (v. 5) Ὅτι δὲ τὸ τοιοῦτον πλάσμα πάνυ Ὅμηρος ἀπεδέξατο, δῆλον ἐκ τοῦ εἰπεῖν τὴν τοιαύτην βουλὴν οὐ πυκνήν, καθάπερ μετ' ὀλίγα ἐρεῖ τὸν Ἀγαμέμνονα πυκινὴν ἀρτύνεσθαι βουλήν, ἀλλὰ ἀρίστην ὑπερθετικῶς. φησὶ γὰρ ὅτι βουλευσαμένῳ πολλὰ τῷ Διῒ αὕτη ἀρίστη κατὰ θυμὸν ἐφαίνετο βουλή, ἡ μετὰ τὰς πολλὰς δηλαδὴ τὰς προτέρας ἐκείνας. καὶ σημείωσαι καὶ ἐνταῦθα τὴν τῆς παροιμίας ἀλήθειαν τῆς καὶ παρ' Εὐριπίδῃ λεγούσης ὅτι «αἱ δεύτεραί πως φροντίδες σοφώτεραι». τῇ γὰρ ὑστέρᾳ βουλῇ ὁ Ζεὺς ἐνταῦθα συγκατατίθεται. (v. 6 s.) Ἰστέον δὲ ὅτι ἡ τοῦ ὀνείρου ἀπάτη γίνεται εἰς τοῦτο καὶ μόνον τὸ πεῖσαι τὸν βασιλέα ἐξαγαγεῖν εἰς μάχην τὸν λαὸν δίχα τοῦ Ἀχιλλέως, ὡς ἔκτοτε τῶν Ἀχαιῶν ἐξ ἀνάγκης ἡττηθησομένων πιθανῶς. ὁ δὲ βασιλεὺς πείθεται θεῖον εἶναι μαθὼν τὸν ὄνειρον· ὑπαχθεὶς δὲ καὶ ὡς ὑπὸ δελέατός τινος τοῦ ταχὺ ἁλῶναι τὴν Τροίαν ἤτοι νῦν αὐτίκα σήμερον. Οὖλον δὲ ὄνειρον ἐνταῦθα ὁ ποιητὴς λέγει τὸν ὀλέθρου αἴτιον τοῖς Ἕλλησι διὰ τὴν ἀπάτην, ὑφ' ἧς θαρρήσαντες τὸν πόλεμον δίχα τοῦ Ἀχιλλέως κακῶς ἔπαθον. προϊὼν δὲ τὸν αὐτὸν καὶ θεῖον ὄνειρον ὀνομάζει, ὅπερ ἐστι διάφορον πρὸς τὸ «οὖλος ὄνειρος», ὥσπερ καὶ τὸν Φοῖβον ὁ μῦθος διαφόροις ὀνόμασι καλεῖ, ποτὲ μὲν Ἀπόλλωνα ὀνομάζων αὐτόν, ποτὲ δὲ ἰατρόν, ὡς προγέγραπται. οὕτω γοῦν καὶ ὁ ὄνειρος οὖλος μὲν διὰ τὸ τέλος· ὄλεθρον γὰρ ποιήσει· θεῖος δὲ ὡς θεόπεμπτος· Διὸς γάρ ἐστιν ἄγγελος· τινὲς δὲ οὖλον ὄνειρον τὸν ὑγιῆ φασιν ἀπὸ τοῦ ὅλος, ὅθεν καὶ οὖλος ἄρτος ὁ ὁλόκληρος. εἰ γὰρ καὶ ὁ βασιλεὺς οἰήσεται τὸν ὄνειρον ἀτελῆ διὰ τὴν ἄγνοιαν τοῦ νῦν, ἀλλ' αὐτὸς τέλειος ἦν. δύναται δὲ καί, ὥσπερ οὔλη θρὶξ ἡ συνεστραμμένη, παρὰ τὸ εἱλῶ, ἀφ' ἧς ὁ οὐλόθριξ, οὕτω καὶ οὖλος ὄνειρος λέγεσθαι ὁ στρεβλὸς καὶ σκολιὸς διὰ τὴν ἀσάφειαν. (v. 11) Καρηκομόωντας δὲ λέγει τοὺς Ἀχαιοὺς ἤτοι κομῶντας τὰ κάρηνα καὶ πολύτριχας, διότι ἔθος ἦν αὐτοῖς κόμην τρέφειν, οὐ μόνον εἰς κάλλος ἀλλὰ καὶ διὰ τὸ φοβερόν. οὕτω γὰρ καὶ λέων χαιτήεις φοβερώτερος τοῦ μὴ χαίτην ἔχοντος.

1.255 λέγονται δὲ τὸν μὲν ἄλλον πάντα χρόνον κομᾶν οἱ Ἕλληνες, ἐν δὲ πένθους καιρῷ κείρεσθαι. ὡσαύτως δὲ καὶ ἐν καιρῷ ἀκμῆς ἤτοι τελείας ἡλικίας. τηνικαῦτα γὰρ πλόκαμον κείραντες ἀνετίθουν Ἀπόλλωνι κουροτρόφῳ καὶ ποταμοῖς, καθάπερ ὁ Ὅμηρος ἱστορήσει ἐν τοῖς ἑξῆς. καὶ ἦν οὗτος μὲν ὁ πλόκαμος «θρεπτήριος» κατὰ τὸν Αἰσχύλον, πενθητήριος δὲ ὁ ἕτερος. λέγεται δὲ τῆς τομῆς τοῦ θρεπτηρίου πλοκάμου κατάρξαι Θησεύς· κειράμενος γάρ, φασί, τὴν ἐμπροσθίαν κόμην εἰς Δῆλον ἀνέθετο τῷ Ἀπόλλωνι. εἰ δέ τινες τῶν Ἑλλήνων οὐκ ἦσαν καρηκομόωντες, παρεσημειώσατο αὐτοὺς ἡ ἱστορία καὶ ἐκ τοῦ τοιούτου παρασήμου τοὺς ἄνδρας ὠνόμασε Κουρῆτας αὐτοὺς ὀνομάζεσθαι λέγουσα, τοὺς δὲ ἀντιθέτους αὐτοῖς Ἀκαρνᾶνας ἱστοροῦσα λέγεσθαι, ὡς καὶ ἐν τοῖς μετὰ ταῦτα λεχθήσεται. Ἰστέον δὲ [ὅτι τε φυσικαῖς θριξὶν ἔθαλλον οἱ Ὁμηρικοὶ καρηκομόωντες, οὐ μὴν ἐντριβόμενοι κατὰ τοὺς ὕστερον καὶ προκόμια περίθετα φέροντες ἐφενάκιζον γυναικικώτερον. καὶ] ὅτι τὸ καρηκομόωντας οἱ μὲν τῶν παλαιῶν ὑφ' ἓν ἀναγινώσκουσιν, οἱ δὲ ἐν δυσὶ μέρεσι λόγου «κάρη», εἶτα «κομόωντας». καὶ ὅτι ἐκ τοῦ τοιούτου κομᾶν λέγεται κομᾶν καὶ τὸ ἐπί τινι κατορθώματι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπαίρεσθαι, ὡς ἄλλοι τε δηλοῦσι καὶ Ἡρόδοτος ἐν τῷ «ἐπὶ τυραννίδι ἐκόμησε». καὶ ὅτι κατὰ τὴν Ἡροδότου ἱστορίαν ποτὲ χρόνου Ἀργεῖοι μὲν διά τι πένθος κατεκείροντο τὰς κεφαλὰς πρότερον κομῶντες· Λακεδαιμόνιοι δὲ οἱ νικήσαντες ἔθεντο νόμον μὴ κομῶντες πρώην ἀπὸ τούτου κομᾶν. [ὡς δὲ καὶ συγγενῶς ἔχει ὁ καρηκομόων καὶ ὁ ἀκειρεκόμης καὶ ὁ ἀκερσεκόμας, αἱ χρήσεις δηλοῦσιν]. (v. 8) Ὅτι τὸ «βάσκ’ ἴθι» ταὐτολογίαν ἔχει, ὡς καὶ ἐν τῇ ἄλφα ῥαψῳδίᾳ γέγραπται, κατὰ τὸ σχῆμα τὸ ἐκ παραλλήλου λεγόμενον. καί εἰσιν ἰσοδύναμοι λέξεις τό τε ἴθι καὶ τὸ βάσκε· ἢ καὶ ἄλλως, τὸ μὲν βάσκε ἀντὶ τοῦ πορεύθητι, τὸ δὲ ἴθι κατὰ τοὺς παλαιοὺς ἐπίρρημα παρακελεύσεως, ὡς καὶ παρὰ Σοφοκλεῖ· «ἴθ’ ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν». τοὺς δὲ γράφοντας ὑφ’ ἕν, «βάσκιθι», ἀνατρέπουσιν οἱ παλαιοί. καθ’ ὁμοιότητα δὲ τοῦ βάσκ’ ἴθι ῥηθήσεταί που ἐν τοῖς ἑξῆς καὶ τὸ «δεῦρ’ ἴθι», ἐπὶ προσκλήσεως μέντοι ἐκεῖνο. Ἰστέον δέ, ὡς ἀσύνδετον ὧδε σχῆμα τὸ «βάσκ’ ἴθι, οὖλε ὄνειρε, ἐλθὼν ἐς κλισίην Ἀγαμέμνονος ἀγορευέμεν ὡς ἐπιτέλλω· θωρῆξαί ἑ κέλευε Ἀχαιοὺς πανσυδίῃ». ἀσυνδέτως γὰρ εἶπε βάσκ’ ἴθι, ἀγόρευε, κέλευε. καὶ ἔστι, φασίν, ὁ λόγος ἀρχοντικὸς ἤτοι ἄρχοντι πρέπων.

1.256 Ὅρα δὲ τὸ «ἀγόρευε ὡς ἐπιτέλλω». ἀρέσκει γὰρ Ὁμήρῳ τοὺς ἀγγέλους αὐτὰ ἐκεῖνα λέξεσιν αὐταῖς ἀγγέλλειν, ὅσα παρηγγυήθησαν. διὸ καὶ ταὐτολογεῖ ἐν ταῖς ἀγγελίαις ὁ ποιητής. εἰ δέ τι καὶ πλεῖον ἐπινοησάμενος προσθήσει ὁ ἄγγελος, τοῦτο τῆς ἐκείνου συνέσεως. τὸ μὲν γὰρ ἐπιταχθὲν οὐ μετεποίησεν· ὃ δὲ ἔδει προσεπιθεῖναι, εἶπε καὶ αὐτὸ εὖ ποιήσας. «ἐσθλὸν γὰρ καὶ τοῦτο τέτυκται» κατὰ τὸν ποιητήν, «ὅτ’ ἄγγελος αἴσιμα εἰδῇ». ὁ γοῦν ὄνειρος, καίτοι μὴ παραγγελθείς, ὅμως εἰκάζεται τῷ Νέστορι, ὀνειδίζει δὲ καὶ τῷ βασιλεῖ τὸν πάννυχον ὕπνον, οὐδέν τι ποιῶν ἀπεικός. οὐ γὰρ ἔβλαπτε ταῦτα τὴν ἀγγελίαν. σημείωσαι δὲ ὅτι καθ’ Ἡρόδοτον καὶ τὸν Ξέρξην ὄνειρον ἔπεισε στρατεύσασθαι, «ἵνα τὸ χρεών», φησί, «γένηται». ἔνθα καὶ ὅρα τὸ ὄνειρον οὐδετέρως λεχθὲν καὶ τὸ χρεὼν ἤτοι πεπρωμένον, ὅπερ τὸν παρ’ Ὁμήρῳ Δία ἀλληγορεῖ τὸν εἰς εἱμαρμένην λαμβανόμενον. [ἄλλος δὲ ῥήτωρ εἰπών, ὡς ἀπῆλθεν ὁ δεῖνα εἰς τὸ χρεών, τὸν φυσικὸν οὕτω θάνατον ἔφρασεν, ὃν χρεωστοῦντες οἱ ἐν γενέσει ἀποτίνουσιν ἀναλύοντες.] (v. 11) Ἰστέον δὲ ὡς Ὅμηρος μὲν θωρήσσειν ἀεὶ ἐπὶ ὁπλισμοῦ φησιν, οἱ δὲ μετ’ αὐτὸν καὶ ἐπὶ μέθης τὴν λέξιν τιθέασιν, ὅθεν καὶ θώρηξις κατὰ τοὺς παλαιοὺς οἰνοποσία καὶ ἀκρατοποσία, ἴσως δὲ καὶ αὐτὸ διὰ τὸ μάχιμον τῶν μεθυόντων. (v. 12) Τὸ δὲ πανσυδίῃ καὶ διὰ τῶν δύο σίγμα γράφουσιν οἱ παλαιοί, ὡς τὸ σύσσιτος, σύσσωμος καὶ τὰ ὅμοια. δηλοῖ δὲ κατά τινας τὸ παμπληθεί· ἕτεροι δέ φασι πασσυδίῃ ἀντὶ τοῦ πανστρατιᾷ, μηδενὸς ἀπομάχου μένοντος· [ἄλλοι δὲ πανσυδίῃ ἀντὶ τοῦ πανορμεί·] Αἴλιος δὲ Διονύσιος ἀντὶ τοῦ παντελῶς, ὅθεν παρὰ Θουκυδίδῃ τὸ «πασσυδεὶ διεφθάρθαι». Ἰστέον δὲ ὅτι τε τὴν ῥηθεῖσαν θώρηξιν διὰ τοῦ ο μικροῦ καὶ ἰῶτα γράφουσί τινες ὡς ἀπὸ τοῦ θόρω τὸ πηδῶ διὰ τὸ θούρους εἶναι τοὺς μεθύοντας καὶ ὅτι χρῆσις αὐτῆς ἐν τῷ «λιμὸν θόριξις λύει». Ὅτι τὴν Τροίαν περιφράζων πόλιν εὐρυάγυιαν Τρώων καλεῖ. ἔστι δὲ εὐρυάγυια ἡ πλατύρρυμος· ἀγυιὰ γὰρ ἡ κοινῶς λεγομένη ῥύμη, ἀφ’ ἧς καὶ ἀγυιεὺς κίων ἱερὸς Ἀπόλλωνος πρὸ θυρῶν ἑστώς, λήγων εἰς ὀξύ. γίνεται δὲ παρὰ τὸ ἄγειν· ὅθεν καὶ ὁ ἀγὼν καὶ ἡ ἀγορά. ἐναντία δὲ ἡ εὐρυάγυια ταῖς στενωποῖς. ἔφη δέ τις καὶ «ἀγυιάτιδας θεράπνας» τοὺς πρὸ τῶν θυρῶν βωμούς, [οἳ πρὸς χάριν Ἀγυιέως Ἀπόλλωνος ἵδρυντο, τιμωμένου πρὸ πυλῶν ὡς ἀλεξικάκου.

1.257 ὅτι δὲ καὶ προπαροξύνεται ἡ ἄγυια, δηλωθήσεται ἐν τοῖς ἑξῆς.] (v. 13) Ὅτι τὸ ἀμφιβάλλειν καὶ ἀμφισβητεῖν καὶ ἀμφιλέκτως ἔχειν ἀμφὶς φράζεσθαι λέγει. [Οὕτω διχονοητικὸν καὶ τὸ «ἀμφὶς φρονέοντε». σημαίνει δέ ποτε ἡ λέξις καὶ τὸ ἐκτός, οἷον «ἀμφὶς ὁδοῦ δραμέτην»· ἔτι δὲ καὶ τὸ ἀμφότεροι, ὡς τὸ «ἀμφὶς ἀριζήλω». ἰστέον δὲ ὅτι καθάπερ ἀπὸ τῆς εἰς προθέσεως καὶ τῆς ἐξ καὶ τῆς πρός καὶ τῆς ἀνά καὶ κατά γίνεται ἐπιρρήματα τὸ εἴσω, τὸ ἔξω, τὸ πρόσω, ἀφ’ οὗ τὸ πόρρω, τὸ ἄνω, τὸ κάτω, καὶ ἐκ τῆς περί τὸ πέριξ, ὅθεν τὸ ἀπρίξ κατὰ συγκοπήν, καὶ ἐκ τῆς ἀπό τὸ ἄπο, οὕτως καὶ τὸ ἀμφίς ἐκ τῆς ἀμφί, οὐ τῆς λαμβανομένης ἀντὶ τῆς περί, οἷον· «ἀμφ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγαθὸν θεράποντα» ἢ ἀντὶ τῆς ἐν, οἷον· «ἀμφὶ πυρὶ στῆσαι τρίποδα» ἢ ἀντὶ τῆς ἐπί, οἷον· «ἣν κτεῖνεν ἀμφ’ ἐμοί»· ἀλλὰ τῆς σημαινούσης τὸ δύο ἐν τῷ ἀμφίδυμος, ἀμφίστομος.] (v. 15) Ὅτι ἐν τῇ α′ ῥαψῳδίᾳ τὸ ἅπτεσθαι συντάξας αἰτιατικῇ, ὡς ἐκεῖ ἐδηλώθη, ἐνταῦθα δοτικῇ συντάσσει. φησὶ γάρ «Τρώεσσι δὲ κήδε’ ἐφῆπται» ἤτοι τῶν Τρώων κατὰ λόγον ἀντιπτώσεως. τινὲς δὲ τὸ ἐφῆπται ἀντὶ τοῦ ἐπίκειται, ἐπικρέμαται. λέγεται δὲ καὶ ἐπὶ τοῦ κρέμασθαι τὸ ἅπτεσθαι, ὡς δηλοῖ τό «βρόχον ἥψατο». ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς ὁ ποιητής· «ὀλέθρου πείρατ’ ἐφῆπται» κατὰ ὁμοίαν ἔννοιαν. κήδεα δὲ αἱ βλάβαι ἀπὸ τοῦ κήδω τὸ βλάπτω, τοῦ ἀντιφραζομένου μὲν πρὸς τὸ ἕτερον κήδω, ἐξ οὗ καὶ ὁ κηδεμὼν καὶ ὁ κηδεστής, ἔχοντος δὲ καί τινα ὁμοιότητα· καὶ γὰρ καὶ ὁ κηδόμενος φροντίζει τῶν φιλουμένων καὶ ὁ κήδων τῶν μισουμένων, πλὴν ὁ μὲν εἰς καλόν, ὁ δὲ εἰς κακόν. (v. 19) Ὅτι ἐν μὲν τῷ τέλει τῆς ἄλφα ῥαψῳδίας γλυκὺν ἔφη τὸν ὕπνον, ἐνταῦθα δὲ μελίφρονα καὶ ἀμβρόσιον, τὴν αὐτὴν δηλῶν ἔννοιαν. γλυκὺ γὰρ καὶ ἡ ἀμβροσία, ἧς παρώνυμον ὁ ἀμβρόσιος, οἷον· «περὶ δ’ ἀμβρόσιος κέχυτο ὕπνος». προϊὼν δὲ καὶ τὴν νύκτα, καθ’ ἣν ὁ ὕπνος, ἀμβροσίαν ἐρεῖ. Τὸ δὲ ἐκέχυτο ὡς ἐπὶ ὑγροῦ ἔφη περιχεομένου ὅλῳ τῷ σώματι. τοῦτο δὲ διὰ τὴν ἐν ὕπνῳ ἀπραξίαν ὅλου τοῦ σώματος καὶ διότι ὁ ὕπνος, φασίν, ἐξ ὑγρότητος. ὁ δὲ περικεχυμένος ὕπνος εἰκότως ἂν καὶ νήδυμος λέγοιτο, ἐξ οὗ ὡς ἀπὸ ὑγροῦ τινος βαθέος οὐκ ἔστιν ἀναδῦναι τὸν ὑπνώττοντα.

1.258 ὅρα δὲ ὡς ἡ Ὁμηρικὴ ἀμβροσία καὶ ὁ ἐξ αὐτῆς ἀμβρόσιος ὕπνος, ἀλλὰ δὴ καὶ τὸ νέκταρ, ἀπέχρησε τοῖς ὕστερον καὶ εἰς κυρίων ὀνομάτων εὕρεσιν· Ἀμβρόσιος γάρ τις ἀνὴρ ἐκλήθη καί τις ἕτερος Νεκτάριος. Ὅτι Ὅμηρος εἰδώς, ὡς εἰώθαμεν ἄνθρωποι ἐν ὕπνοις ἐκείνους ὡς ἐπὶ πολὺ φαντάζεσθαι, οἷς προσπαθῶς πως ἔχομεν [κατὰ τὸ «οὗ περ ὀΐω μεμνήσεσθαι ἔν περ ὀνείρῳ»], τῷ Νέστορι πλάττει ἀπεικασθῆναι τὸν ὄνειρον. διὰ τί; διότι, φησί, μάλιστα γερόντων αὐτὸν ὁ Ἀγαμέμνων ἐτίμα, οὐ μόνον ὡς συνετὸν ἀλλὰ καὶ ὡς φιλοβασιλέα, καθὰ καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ ἐδείχη καὶ μετὰ ταῦτα δὲ φανήσεται. δῆλον δὲ ὅτι πᾶς ὄνειρος καθ’ αὑτὸν μὲν ἀθέατος, τῇ δὲ πρὸς τὰ πρόσωπα ἢ πρὸς ἕτερά τινα σώματα ἐξομοιώσει τῇ φαντασίᾳ γίνεται θεατός. (v. 20) Ἵστασθαι δὲ ὑπὲρ κεφαλῆς τῷ βασιλεῖ λέγει τὸν ὄνειρον αἰνιττόμενος ἐν τῇ κεφαλῇ τὸ λογιστικὸν εἶναι, ὅπου καὶ ὁ ἐγκέφαλος, ἐξ οὗπερ ἡ ἀρχὴ τῶν αἰσθήσεων. Ἡρόδοτος δὲ εἰς ὅμοιον ἱστορίας τρόπον ἐλθὼν ἄλλως ἔφρασεν εἰπών· «ὑπερστὰν δὲ τὸ ὄνειρον τοῦ Ἀρταβάνου εἶπε». (v. 21) Γέροντας δέ φασιν οἱ παλαιοὶ παρ’ Ὁμήρῳ τοὺς ἐντίμους λέγεσθαι, ὥσπερ δὴ καὶ ἐνταῦθα καὶ μετ’ ὀλίγον ἐν τῷ «βουλὴ μεγαθύμων γερόντων». ἐν οἷς καὶ Διομήδης ἦν καὶ οἱ Αἴαντες, οἳ χρόνῳ μὲν οὐκ ἦσαν γέροντες, ἄλλως μέντοι ὡς ἔντιμοι μετὰ τῶν γερόντων κατελέγοντο. ὅτε μέντοι ὁ ποιητὴς γέροντα ἑνικῶς εἴπῃ, τότε δὴ τὸν τῷ χρόνῳ πεπαλαιωμένον δηλοῖ. Σημείωσαι δὲ ὅτι καὶ ἐν τῷ «γέροντας ἀριστῆας Παναχαιῶν» γέροντας τοὺς ἐντίμους εὑρήσομεν δηλουμένους, ἐν οἷς οὐ μόνον γέροντες τῇ ἡλικίᾳ καί ποτε ὄντες ἀριστεῖς, ἀλλὰ καὶ νέοι ἐνεργοῦντες ἄρτι τὸ ἀριστεύειν, οἳ παραχωροῦντες τῆς κλήσεως τῶν ἀριστέων τοῖς γηραιοῖς ἀντιλαμβάνουσι τὸ λέγεσθαι καὶ αὐτοὶ γέροντες, οὐ μόνον διὰ τὸ ἄξιοι εἶναι τοιοῦτοι γενέσθαι διὰ μακροβιότητος, ἀλλὰ καὶ διὰ φρόνησιν, δι’ ἣν καὶ ὁ Τυρσηνὸς Τάρκων καὶ ὁ Τρωϊκὸς Κύκνος πολιοὶ ἐκ γενετῆς φημίζονται. τάχα δὲ καὶ ὡς οἷον ἐκ μέρους ἀριστεῖς μὲν οἱ γέροντες διὰ τοὺς ἐν τῷ τοιούτῳ συλλόγῳ ἀριστέας, γέροντες δὲ αὖ πάλιν οἱ ἀριστεῖς διὰ τοὺς συναναμεμιγμένους αὐτοῖς γέροντας κατά τινα οἷον ἐπάλλαξιν ἢ ἀντίδοσιν. (v. 24) Ὅτι «οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα, ᾧ λαοί τ’ ἐπιτετράφαται καὶ τόσσα μέμηλε». γνωματεύει δὲ ὁ λόγος ὅτι ἀνὴρ μὲν ἰδιώτης τάχα ἂν οὐκ ἐπιψόγως ὑπνώσῃ παννύχιος καὶ οὐδὲ ὁ ἁπλῶς βουληφόρος ἄγρυπνος ἔσται, ὁ μέντοι βουληφόρος βασιλεὺς οὐκ ἂν διὰ πάσης δεόντως ὑπνώσῃ νυκτός. (v. 25) Τὸ γάρ «ᾧ λαοὶ ἐπιτετράφαται καὶ τόσσα μέμηλε» τὸν βασιλέα δηλοῖ, ᾧτινι οὐ λαὸς ἐπιτέτραπται ἀλλὰ λαοί· καὶ οὐδὲ ἁπλῶς ὀλίγα μέμηλεν, ἀλλὰ τόσσα, τουτέστι πολλὰ κατὰ σχῆμα θαυμασμοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.259 δεῖ τοίνυν τὸν τοιοῦτον ἄρχοντα διδόναι τι ἐγρηγόρσεως καὶ τῇ νυκτὶ διὰ τὰς τηνικαῦτα σκέψεις τῶν βουληφόρων κατὰ τὴν παροιμίαν τὴν λέγουσαν «ἐν νυκτὶ βουλή». διὸ καὶ εὐφρόνη λέγεται ἡ νύξ, ὥς φασιν οἱ παλαιοί. ὅθεν λαβὼν Εὐριπίδης ἔφη τὸ «ἤδη πότ’ ἄλλως νυκτὸς ἐν μακρῷ χρόνῳ ἐφρόντισα» καὶ ἑξῆς, ὡς τῶν καιριωτέρων σκέψεων νυκτὸς μάλιστα φροντιζομένων. τὸ δ’ ἐπιτετράφαται ἔστι μὲν Ἰωνικὸν ὅμοιον τῷ τετύφαται, δηλοῖ δὲ ἐπίτροπον εἶναι τὸν βασιλέα λαοῦ· πάντως γὰρ ἐπίτροπος λέγοιτ’ ἂν καὶ ᾧπερ ὁ λαὸς ἐπιτέτραπται, ὥσπερ καὶ οἰκίας ἐπίτροπος ὁ οἰκονόμος. μέμηλε δὲ τὸ διὰ φροντίδος γίνεται· ἔστι δὲ μέσος παρακείμενος, καθὰ καὶ τὸ προβέβουλα, ὡς ἐν τῇ α′ ῥαψῳδίᾳ εἴρηται. [Ἰστέον δὲ ὅτι πάντως εὐρυκρείων, ᾧ λαοὶ ἐπιτετράφαται, καὶ ὅτι δοκεῖ εὐλόγως παρὰ Λάκωσι Ζεὺς Ἀγαμέμνων ἐπιθετικῶς εἶναι, ὡς ὁ Λυκόφρων λαλεῖ· Ἀγαμέμνων τε γὰρ εὐρυκρείων καὶ Ζεὺς εὐρυμέδων. εἰ δὴ ταὐτὸν εὐρυκρείων καὶ εὐρυμέδων, λέγοιτ’ ἂν διὰ τοῦτο διθυραμβικώτερον καὶ Ἀγαμέμνων Ζεύς, καθότι καὶ εὐρυκρείων. Τὸ δέ «τόσσα μέμηλε» ἤγουν πάνυ πολλὰ καὶ ὡς οἷον ἄρρητα, συντελεῖ τι εἰς τὸ μὴ χρῆναι παννύχιον εὕδειν τὸν τοιοῦτον βουληφόρον. οὐ γὰρ ἂν αὐτῷ ἀρκοίη πρὸς βουλὴν ἡ ἡμέρα, μεμήλοι δὲ ἂν πολλὰ καὶ νύκτωρ· ἀγρυπνητέον ἄρα. δῆλον δὲ καὶ ὡς τοῦ παννύχιος προϋπάρχει τὸ πάννυχος.] (v. 26) Ὅτι καὶ ἐνταῦθα τὸ ξυνίημι γενικῇ συντάσσει ὁ ποιητὴς λέγων· «νῦν δ’ ἐμέθεν ξύνες ὦκα, Διὸς δέ τοι ἄγγελός εἰμι». οὕτω δὲ καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ συνέταξεν, ὅτε ξυνιέναι εἶπεν ὁ Νέστωρ τῶν ἑαυτοῦ βουλευμάτων τοὺς Λαπίθας. Διὸς δὲ ἄγγελον εἰπὼν Ὅμηρος τὸν ὄνειρον τὸν ῥηθέντα ἐδήλωσε τὸ διοπέμπτους εἶναι τῶν ὀνείρων τινάς, ὡς καὶ ἐν τῷ «καὶ γάρ τ’ ὄναρ ἐκ Διός ἐστιν». ἔτι δὲ καὶ ἐτυμολογίαν ἐνέφηνε τῆς λέξεως· αὐτός τε γὰρ ἄγγελος εἶναί φησι Διός, οὗπερ οὐκ ἀπατηλὰ εἶναι τὰ ἔπη προείρηται, καὶ ὄνειρος δὲ λέγεται παρὰ τὸ τὸ ὂν εἴρειν, ὅ ἐστιν ἀγγέλλειν τὸ ἀληθές· ἐξ οὗ καὶ ἡ Ἶρις παράγεται ἡ τῶν θεῶν κατὰ τὸν μῦθον ἄγγελος, ὡς δηλοῖ καὶ τὸ «Ἶρις ἀγγελέουσα». (v. 27) Ὅτι τὸ «ὃς σεῦ ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ’ ἐλεαίρει» εἴποι ἄν τις περὶ τοῦ ἐν τῷ ἀποδημεῖν ἐπιστρεφομένου τινὸς τῶν ὑποδεῶν. [Ἰστέον δὲ ὅτι πρὸς σαφήνειαν ἐτέθη τὸ ἐλεαίρει μετὰ τὸ κήδεται, διότι τὸ κήδειν καὶ ἐπὶ βλάβης λέγεται.] (v. 33) Ὅτι τὸ «ἀλλὰ σὺ σαῖς ἔχε φρεσίν» ἀρχή ἐστι τοῦ ἐχέφρων συνθέτου ὀνόματος· ὁ γὰρ ἔχων ἐν φρεσὶ καὶ μὴ ἐπιλανθανόμενος ἐχέφρων ἂν λέγοιτο. καὶ γὰρ καὶ ἔχειν ἐν φρεσὶν ἐνταῦθα οὐ τὸ φυλάξασθαι καὶ μηδενὶ ἐξειπεῖν, ἀλλὰ τὸ διαμνημονεύειν. διὸ καὶ ἐφερμηνεύων φησί· μηδέ σε λήθη αἱρείτω. [(v. 34) Ὅτι ἐν τῷ «εὖτ’ ἄν σε μελίφρων ὕπνος ἀνήῃ» μελίφρων μὲν ὁ γλυκύς, ἃ δὴ καὶ οἴνου εἰσί ποτε ἐπίθετα.

1.260 Τὸ δὲ ἀνήῃ σημαίνει μὲν τὸ ἀνήσει, ἀφήσει, χαυνώσῃ· γίνεται δὲ ἢ ἀπὸ τοῦ ἀνῶ, ἀνῇς, ἀνῇ, πλεονασμῷ τοῦ η ἢ ἀπὸ τοῦ ἀνείη εὐκτικοῦ τροπῇ συνήθει τοῦ ε εἰς η , ὡς προσγεγράφθαι τὸ ι . λέγεται δέ ποτε ἀνεῖναι καὶ τὸ ἀναπεῖσαι καὶ τὸ ἐρεθίσαι δέ. οὕτω γάρ τις ἀνίησι κύνα εἰς θήραν. ἐκ τοῦ τοιούτου δὲ ῥήματος καὶ ἄνετοι βόες οἱ ἄφετοι καὶ ἀγελαῖοι καὶ ἀνειμένος ὁ ἀπόλυτος καὶ ἀνεπίτακτος, ὡς τὸ «ἀνειμένη μέν, ὡς ἔοικας, αὖ τρέφῃ»· καὶ ἀνέδην ἐπίρρημα τὸ ἀνέτως καὶ ἐλευθέρως. ἔστι δὲ τὸ «εὖτ’ ἄν σε μελίφρων ὕπνος ἀνήῃ» περίφρασις τοῦ «ὅτ’ ἂν ἀφυπνισθῇς».] (v. 36) Ὅτι ὁ ἐλπίζων τὰ μὴ γενησόμενα λέγοιτο ἂν ταῦτα φρονεῖν ἀνὰ θυμόν, ἃ οὐ τελέεσθαι ἔμελλον. (v. 38) Ὅτι ἔθος Ὁμήρῳ ἐν πολλοῖς ἀναφωνεῖν τὸ νήπιος ἐπὶ τῶν μὴ βουλευομένων ἢ μὴ νοούντων καλῶς. ὥσπερ δὴ καὶ ἐνταῦθα νήπιον αὐτὸν ὁ ποιητὴς λέγει τὸν Ἀγαμέμνονα ὡς μὴ σκεψάμενον, τί βούλεται ὁ χρησμός. ὁ μὲν γάρ, ὡς προείρηται, τὸ νῦν πλατικῶς λέγει, ὡς καὶ ὅτε Ἡσίοδός φησι· «νῦν γὰρ γένος ἐστὶ σιδήρεον». ὁ δὲ Ἀγαμέμνων ἀπραγμόνως οὕτω τὸ «νῦν ἕλοις πόλιν εὐρυάγυιαν Τρώων» ἀκαριαίως ἀντὶ τοῦ τῷ ἤματι ἐκείνῳ καὶ αὐθημερόν ἐνόησε. διὸ καὶ νήπιον αὐτὸν λέγει ὡς μὴ οἴκοθεν νοήσαντα ἤγουν ἀλλά, ὡς ἑτέρως ἐχρῆν, ἢ μάντιν ἐπερωτήσαντα ἢ ἄλλο τι πεποιηκότα εἰς διασάφησιν τῆς ὁμωνυμίας τοῦ χρησμοῦ. καὶ τοῦτό ἐστιν ὁ πᾶς ψόγος τοῦ Ἀγαμέμνονος, ὅτι οὐκ ἐπέστησε τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σημασίᾳ τοῦ νῦν. καίτοι καὶ ἄλλως ἔπταισεν, ὥς φασιν οἱ παλαιοί. πανσυδίῃ γὰρ κελευσθεὶς πολεμῆσαι, ὁ δὲ οὐχ' οὕτως ἐποίησεν, ἀλλὰ τοὺς Μυρμιδόνας ἀφεὶς καὶ τὸν Ἀχιλλέα ἐπολέμησεν. ἀλλ' ὁ ποιητὴς τοῦτο οὐ παρασημαίνεται. τάχα γὰρ τὸ πανσυδίῃ οὐ τὸ παμπληθεί δηλοῖ ἀλλὰ τὸ προθύμως καὶ πάσῃ ὁρμῇ, ἐκ τοῦ πᾶν καὶ τοῦ σύω, τὸ ὁρμῶ, ὅπερ ὁ Ἀγαμέμνων πεποίηκεν. (v. 39 s.) Ὅτι ἐν τῷ εἰπεῖν «ὡς ἔμελλεν ὁ Ζεὺς ἄλγεά τε στοναχάς τε θήσειν Τρωσὶ καὶ Δαναοῖς» παρεμφαίνει ὁ ποιητής, ὡς ἐν καταρχαῖς γέγραπται, Ἰλιάδα λέγεσθαι, ὡς περιέχουσαν μὴ μόνα τὰ τῶν Ἰλιέων ἀλλ' ἁπλῶς τὰ συμβάντα κατὰ τὴν Ἴλιον. τὸ δὲ σχῆμα προαναφώνησις. (v. 41) Ὅτι τὸν ὄνειρον καὶ ὀμφὴν λέγει· ἐκεῖνο μέν, ὡς τὸ ὂν εἴροντα, καθάπερ εἴρηται, τουτέστιν ἀγγέλλοντα· Διὸς γὰρ αὐτὸν ἔφη ἄγγελον. τοῦτο δὲ παρὰ τὸ τὸ ὂν φαίνειν. ταὐτὸν οὖν δηλοῦσιν ἐνταῦθα ὄνειρός τε καὶ ὀμφή. ὥσπερ δὲ ἐκεῖνον θεῖον ὄνειρον εἶπεν, οὕτω καὶ ταύτην θείαν ὀμφήν· φησὶ γάρ· «θείη δέ μιν ἀμφέχυτ' ὀμφή». ἀπ' αὐτῆς δὲ καὶ Ζεὺς Πανομφαῖος ἤτοι Κληδόνιος.

1.261 ὀμφὴ γὰρ αὖ πάλιν καὶ κληδὼν τὸ αὐτὸ δηλοῦσι, ναὶ μέντοι καὶ ἡ ὄσσα· οἱ δὲ νεώτεροι ἐπὶ ἁπλῶς λόγου τιθέασι καὶ τὴν ὄσσαν καὶ τὴν ὀμφήν. Τὸ δὲ ἀμφέχυτο ἐνταῦθα ἐπαινεῖται παρὰ τῶν παλαιῶν· σημαίνει μὲν γὰρ τὸ περιῆλθεν· ἐμφαίνει δέ, φασίν, ὅτι εἰς οὐδὲν αὐτῆς ὁ Ἀγαμέμνων ἐπιλέλησται. (v. 42—6) Ὅτι σχῆμά ἐστι καὶ ἐνταῦθα διασκευαστικόν, ἐν ᾧ ἐκτίθεται ὁ ποιητής, ὅτι ὁ Ἀγαμέμνων ἐγερθεὶς ἐξ ὕπνου ἕζετο ὀρθωθείς, μαλακὸν δ' ἔνδυνε χιτῶνα, καλόν, νηγάτεον, περὶ δὲ μέγα βάλλετο φᾶρος, ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα, ἀμφὶ δ' ἂρ ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον, εἵλετο δὲ σκῆπτρον πατρώϊον ἄφθιτον αἰεί. τοιαῦτα δὲ σχήματα καὶ ἐν τῇ α' ῥαψῳδίᾳ ἦσαν, ὅτε ἡ ναῦς τῷ λιμένι προσώκειλε καὶ ὅτε ἡ ἑκατόμβη ἐτύθη. πολλαχοῦ δὲ καὶ ἀλλαχοῦ τοιαῦται παρὰ τῷ ποιητῇ εὑρεθήσονται διασκευαί. εἴωθε γάρ, ὡς προείρηται, ἐπὶ διδασκαλίᾳ τῶν ἀκροωμένων ἐνασχολεῖν τὸν αὐτοῦ λόγον καὶ τοῖς λεπτοῖς, ὡς ἂν αὐτοὶ μάθοιεν ῥητορικῶς καὶ ἐν τοῖς τοιούτοις εὐδοκιμεῖν. ἰστέον δὲ ὅτι καὶ κατὰ τάξιν αὐτῷ ἐν τῇ τοιαύτῃ διασκευῇ ἔχει τὰ πράγματα· ὑπόκειται μὲν γὰρ ὁ χιτών, ἐπίκειται δὲ τὸ φᾶρος, ὧν περιβληθέντων ὑποδήσασθαι ἔδει, εἶτα ξίφος ἀμφιβαλέσθαι, μετὰ δὲ τὸ σκῆπτρον ἑλέσθαι. ὅρα δὲ καὶ ὅπως ἑκάστῳ τῶν διασκευασθέντων ἐπίθετόν τι δέδωκε, μαλακὸν μὲν τὸν χιτῶνα εἰπὼν καὶ καλόν, μέγα δὲ συλλογιστικῶς τὸ φᾶρος διὰ τὸ τοῦ φοροῦντος δηλαδὴ μέγεθος, λιπαροὺς δὲ τοὺς πόδας, καλὰ δὲ τὰ πέδιλα, τὸ ξίφος ἀργυρόηλον, τὸ σκῆπτρον ἄφθιτον. ὅρα δὲ καὶ διαφορὰν ἐνταῦθα τοῦ περιβαλέσθαι καὶ ἀμφιβαλέσθαι, εἴπερ φᾶρος μὲν περιβάλλεται, ξίφος δὲ ἀμφιβάλλεται. (v. 42) Γίνεται δὲ ὁ μὲν χιτὼν παρὰ τὸ χύω, οἱονεὶ χυτών τις ὤν, ὡς ἀμέσως αὐτίκα περικεχυμένος τῷ σώματι, ἢ καὶ ὡς μὴ στατὸς ἀλλ' οἷον χυτός τις διὰ τὸ λεπτὸν καὶ οὕτως εὐαφές. διὸ καὶ μαλακὸς λέγεται πρὸς ἀντιδιαστολὴν τοῦ φάρους. ἐκεῖνο γὰρ οὐκ ἐξ ἀνάγκης μαλακόν, ὡς καὶ τῇ ὑφῇ ἀρηρὸς καὶ διὰ τοῦτο πυκνὸν μᾶλλον ἤπερ ὁ χιτών. καὶ ὅρα ὅτι λόγος μὲν μαλακὸς ἐν τοῖς πρὸ τούτου ὁ μαλακοποιός, χιτὼν δὲ μαλακὸς ὁ αὐτὸς ὢν τοιοῦτος. σημειοῦνται δὲ οἱ παλαιοὶ ἐπὶ ἀνδρὸς τὸν χιτῶνα λέγεσθαι, καθάπερ τὸν πέπλον ἐπὶ γυναικός, ὡς καὶ αἱ βαθύπεπλοι καὶ καλλίπεπλοι δηλοῦσι καὶ ἡ κροκόπεπλος καὶ τὸ «πέπλοισιν ἐκπονεῖ» παρ' Εὐριπίδῃ. καὶ μὴν αὐτὸς καὶ ἐπὶ ἀνδρῶν τὸν πέπλον τίθησιν ἔν τε τῷ Ἱππολύτῳ καὶ ἐν οἷς δέ που μελάμπεπλον παρεισάγει τὸν Τυνδάρεων καὶ τὸν Ὀρέστην πέπλοις κεκρύφθαι φησίν. ὡς δὲ τροπικῶς καὶ πολεμικόν τι φόρημα ὁ χιτών, ἐν τοῖς ἐφεξῆς πολλαχοῦ φανεῖται. δῆλον δὲ καὶ ὅτι οὐδὲ πάντοτε χιτὼν λέγεται τὸ ἐκ λίνου μὲν ὑφανθέν, ἐπικείμενον δὲ αὐτίκα τῷ σώματι, εἴγε καὶ ἐξ οὔλων ἐρίων χιτὼν λέγεται παρὰ τοῖς παλαιοῖς.

1.262 (v. 43) Καλὸν δὲ τὸν εὐειδῆ λέγει. οὕτω καὶ ὁ χρυσὸς καλός. καλὰ δὲ καὶ τὰ ἐκ χρυσοῦ καὶ ὅσα τοιαῦτα, ἐν οἷς καὶ κρήδεμνα. ἐκεῖθεν δὲ καὶ σκῶμμά ποτε δριμὺ τὸ φιλόκαλος ἐπὶ πορνικοῦ καὶ ἡ ἐν ἐπαίνῳ ἀπειροκαλία ἤγουν ἡ λίαν εὐείδεια. τῆς δ' αὐτῆς ἐννοίας καὶ τὸ «ὁ δεῖνα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καλός» καὶ «ἡ δεῖνα καλή», ἅπερ ἐν φλοιοῖς δένδρων τὸ παλαιὸν ἐγράφοντο, καθὰ ἐν τοῖς ἑξῆς δηλωθήσεται· εὐμορφίαν γὰρ ἐνταῦθα ἐδήλουν τὰ γράμματα. οὕτω καὶ τέλος πανηγυρικοῦ λόγου τὸ καλόν, ἐπεὶ κάλλους μάλιστα ὁ πανηγυρικὸς λόγος ἐφίεται. Νηγάτεον δὲ ἢ τὸ νεωστὶ γενόμενον οἱονεὶ νεήγατον ἢ παρὰ τὸ νη στερητικὸν καὶ τὸ γατόν τὸ γεγενημένον, ἵνα δηλοῖ τὸ ἀγένητον καί, ὡς εἰπεῖν, ἀχειρότευκτον· ὥσπερ γάρ, φασίν, ἀπὸ τοῦ τείνω τατός, οὕτω καὶ ἀπὸ τοῦ γείνω γατός καὶ νηγάτεος. (v. 44) Λιπαροὺς δὲ πόδας λέγει οὐ τοὺς διὰ τρυφὴν ἀλλὰ διὰ τὸ γυμνάσιον τοιούτους. ἀπὸ μέρους δὲ νοητέον τὸ πᾶν, ὡς καὶ τοῦ ὅλου σώματος εὐσαρκοῦντος δι' εὐεξίαν τῷ βασιλεῖ. ὅτι δὲ τὸ γυμνάσιον τοιαῦτα ποιεῖ τὰ σώματα, ζητητέον καὶ εἰς τὸν Κωμικόν. [Ὅτι δὲ καὶ ἐπὶ κρηδέμνῳ τίθεται τὸ λιπαρόν, δῆλον ἐκ τῆς λιπαροκρηδέμνου, ἐν ᾗ δηλοῦνται τροπικῶς ἡ τοῦ κρηδέμνου λειότης τε καὶ στιλπνότης ἐκ λευκότητος. δοκεῖ δὲ ξενίζον εἶναι, εἰ καὶ γυναικῶν πόδες λιπαροί ποτε λέγονται. ἰστέον δὲ ὅτι τὸ «ὑπὸ λιπαροῖσί» τινες «ὑπαὶ λιπαροῖσι» γράφουσιν ὀκνοῦντες νοεῖν ὡς καὶ αὐτὴ ἡ ὑπό πρόθεσις μακρὸν ἐνταῦθα ἔχει τὸ ο διὰ τὴν ἐπιφορὰν τοῦ λ κατὰ λόγον κοινῆς συλλαβῆς.] Τὸ δὲ ὑπεδήσατο δέδωκεν ἀρχὴν τῆς τῶν ὑποδημάτων κλήσεως. ὑποδεῖσθαι γὰρ πάντως ἐπὶ ποδῶν, ὥσπερ τὸ ἀναδεῖσθαι ἐπὶ κεφαλῆς. (v. 45) Ὅρα δὲ καὶ ὅτι, ὥσπερ πρὸ τούτου ὁ Ἀχιλλεύς, οὕτω καὶ νῦν ὁ Ἀγαμέμνων ξίφος φέρει. καὶ ἦν, ὡς καὶ προεγράφη, ἔθος τοῦτο παλαιὸν ὁπλοφορεῖν ἀεὶ τοὺς ἥρωας, ὡς καὶ ὁ Τηλέμαχος ἐν Ἰθάκῃ ποιεῖ. περὶ δὲ τοὺς ὤμους τὰ ξίφη ἔφερον καὶ οὐκ ἐζώνυντο αὐτά, καθάπερ οἱ ὕστερον. (v. 46) Ἄφθιτον δὲ αἰεὶ τὸ σκῆπτρον τοῦ Ἀγαμέμνονος ἀντὶ τοῦ ἄφθαρτον, ἀδιάδοχον, ὡς αὐτὸς ἑρμηνεύσει μετὰ ταῦτα πλατύτερον. διὸ καὶ τὸ πατρῷον πρόσκειται. φησὶ γάρ· «πατρώϊον ἄφθιτον αἰεί». [ἐπίτασις δὲ τοῦ ἄφθιτον τὸ αἰεί. ὅρα δὲ καὶ ὡς ἐν μὲν τῷ «μέγα βάλλετο φᾶρος» διὰ δύο λ ἡ γραφὴ λόγῳ παρατατικοῦ· ἐν δὲ τῷ «βάλετο ξίφος ἀργυρόηλον» ἑνὶ λ διοικεῖται τὸ ῥῆμα, μέσου ὂν ἀορίστου δευτέρου ἐν συνήθει χρόνου ὑπαλλαγῇ.] (v. 48) Ὅτι θέλων εἰπεῖν, ὡς γέγονεν ἡμέρα, περιφράζει οὕτως· «Ἠὼς μέν ῥα θεὰ προσεβήσατο μακρὸν Ὄλυμπον, Ζηνὶ φόως ἐρέουσα», ἤτοι ἀπαγγελοῦσα, καὶ τὰ ἑξῆς.

1.263 προσέθετο δὲ τὸ θεά, ἵνα μυθικῶς νοηθῇ· τῆς γὰρ σωματοειδοῦς Ἠοῦς ἐστι τὸ ἀγγέλλειν φῶς τῷ τε Διῒ καὶ τοῖς ἄλλοις ἀθανάτοισιν οἱονεὶ δᾳδουχοῦσαν. ὅπερ δηλοῖ ἀλληγορικῶς τὸ ἡμέρας οὔσης τόν τε ἀέρα Ζῆνα, ἤγουν Δία, πεφωτίσθαι καὶ τὰ λοιπὰ δὲ στοιχεῖα κατὰ τὸ ἐγχωροῦν. (v. 49) Ἰστέον δὲ ὅτι Ὅμηρος μὲν φῶς ἀγγέλλειν θεοῖς ἔφη τὴν μυθικὴν Ἠῶ ἀφυπνίζουσαν οἷον ἐκείνους, Εὐριπίδης δὲ ἀλληγορικῶς θεοῦ λαμπάδα τὴν ἡμέραν φησί. τὸ δὲ φῶς ἐρεῖν ταὐτόν πώς ἐστι τῷ φωσφορεῖν. Ἐνταῦθα δὲ σημειοῦνται οἱ παλαιοὶ ὅτι δεξιώτατα ὁ ποιητὴς ἅμα τῇ τοῦ ὀνείρου θέᾳ διαφαῦσαι τὴν ἡμέραν πεποίηκεν οὐ μόνον πρὸς ἔνδειξιν τοῦ παννύχιον εὕδειν τὸν Ἀτρείδην, ἀλλὰ καὶ ἵνα δηλώσῃ, φασίν, ὅτι οἱ πρὸς τὴν ἠῶ ὄνειροι μᾶλλον ἀληθεῖς ὡς ἤδη πεττομένων τῶν σιτίων καὶ τοῦ λογιστικοῦ νήφοντος καὶ μὴ ἐπιπροσθουμένου ταῖς ἐκ τῶν βρωμάτων ἀτμίσι. Λέγουσι δὲ καὶ ὅτι τρίτη καὶ εἰκοστὴ αὕτη ἡμέρα τῆς Ἰλιάδος· δέκα μὲν γάρ, φασίν, αἱ τοῦ λοιμοῦ καὶ μέχρι τῆς μήνιδος, ἥτις ἦν ἡ δεκάτη· δώδεκα δὲ τῶν θεῶν ἐν Αἰθιοπίᾳ ὄντων, ἡ τοίνυν ἀνατολὴ αὕτη τρίτη καὶ εἰκοστή. καὶ οὕτω μὲν πιθανῶς οἱ παλαιοί. δύναται δὲ καὶ ἄλλως ἔχειν τὸ πρᾶγμα· ἐν γὰρ τῇ ῥηθείσῃ δεκάτῃ τοῦ λοιμοῦ ἡ Θέτις ἐλθοῦσα ἔφη τῷ Ἀχιλλεῖ χθιζὸν ἀπελθεῖν τὸν Δία εἰς τοὺς Αἰθίοπας τῇ δωδεκάτῃ ἐλευσόμενον. εἰ γοῦν χθιζὸς ἀπῆλθε, δευτέρα ἦν ἄρα ἡμέρα τῷ Διῒ ἡ δεκάτη τοῦ λοιμοῦ. μεθ' ἣν ἔδει ἄλλας δέκα καὶ μόνας διελθεῖν αὐτῷ ἡμέρας, αἵτινες μετὰ τῶν δέκα ἡμερῶν τοῦ λοιμοῦ εἴκοσι συνεπλήρουν ἡμέρας. ἡ τοίνυν μετὰ τὴν δωδεκάτην αὕτη οὐκ ἂν εἴη εἰκοστὴ τρίτη ἡμέρα, ἀλλ' εἰ μὲν εὐθὺς περὶ αὐτὴν ἐκείνην τὴν δωδεκάτην ἦλθεν ὁ Ζεύς, εἴη ἂν εἰκοστὴ πρώτη ἡ σήμερον ἀνατολή. εἰ δὲ τῇ μετ' αὐτὴν ἤτοι τῇ τρισκαιδεκάτῃ ἐπανῆλθεν ὁ Ζεύς, ἔστιν εἰκοστὴ δευτέρα ἡ ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ ἀνατολή. [Ἰστέον δὲ ὡς, καθάπερ θῶκος θόωκος πλεονασμῷ τοῦ ο καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ξενοφῶν Ξενοφόων καὶ Κῶς νῆσος Κόως, οὕτω καὶ φῶς φόως.] (v. 50—2). Ὅτι ἀρετὴ κήρυκος τὸ λιγύφθογγον εἶναι, ἤτοι ὀξύφωνον, καὶ ὅτι καιριωτάτη ἐπ’ αὐτοῦ λέξις τὸ κηρύσσειν. διό φησιν ἐπιμένων τῇ λέξει διὰ τὸ καίριον· «κηρύκεσσι λιγυφθόγγοισι κέλευε κηρύσσειν ἀγορήνδε καρηκομόωντας Ἀχαιούς· οἳ μὲν ἐκήρυσσον, τοὶ δ’ ἠγείροντο μάλ’ ὦκα». ὁ δὲ τρόπος ἐτυμολογία, ὡς τοῦ κήρυκος ἐκ τοῦ κηρύσσειν ἐτυμολογουμένου, καθάπερ τῆς ἀγορᾶς ἐκ τοῦ ἀγείρειν. διὸ εἶπε κηρύσσειν ἀγορήνδε· τοὶ δ’ ἠγείροντο. ὅρα δὲ καὶ τὸ κηρύσσειν Ἀχαιοὺς ἐντελῶς ῥηθέν. λέγει γὰρ κηρύσσειν ἤτοι τῇ βοῇ συγκαλεῖσθαι τοὺς Ἀχαιούς. τὸ δέ «οἳ μὲν ἐκήρυσσον» ἐλλιπῶς ἔχει τοῦ Ἀχαιούς. οἱ δὲ μεθ’ Ὅμηρον μετὰ δοτικῆς τὸ κηρύσσειν συντάσσουσιν, οἷον «κηρύσσειν Ἀχαιοῖς».

1.264 Τὸ δὲ «μάλ’ ὦκα» τῆς εὐπειθείας τῶν Ἀχαιῶν σημεῖόν ἐστι κατὰ τὸ «καί οἱ πείθονται Ἀχαιοί». (v. 53) Ὅτι ἀγορὰ μὲν ἡ κοινὴ πάντων συνέλευσις διὰ κηρύκων λιγυφθόγγων, βουλὴ δὲ ἡ μόνων τῶν γερόντων. διόπερ εἰπὼν ὅτι ἐκέλευσε κηρύσσειν εἰς ἀγοράν, ὃ καὶ ἐγίνετο, ἐπάγει· «βουλὴν δὲ πρῶτον μεγαθύμων ἷζε γερόντων» ἤγουν πρὸ τῆς ἀγορᾶς βουλὴν ἐποίει σύγκλητον. διδοὺς δὲ καὶ τοῖς ὕστερον ἀφορμὴν τοῦ εἰπεῖν σύγκλητον τὸ τοιοῦτόν φησι· «τοὺς ὅ γε συγκαλέσας», ἤτοι τοὺς γέροντας, «πυκινὴν ἠρτύνετο βουλήν», ὡς καὶ ἀλλαχοῦ· «κίκλησκε δὲ γέροντας». ὅθεν τραγικός τις «σύγκλητον λέσχην γερόντων» τὸ τοιοῦτον ὠνόμασεν. Ἡρόδοτος δέ «σύλλογον ἐπίκλητον» λέγει «Περσῶν». τινὰ δὲ τῶν ἀντιγράφων «βουλή» γράφουσι δίχα τοῦ νῦ, ἵνα λέγῃ, ὅτι βουλὴ πρῶτον ἐκαθέσθη γερόντων. καί φασιν οἱ παλαιοὶ ἀστειοτέραν καὶ Ἀριστάρχειον εἶναι τὴν τοιαύτην γραφήν. Γέροντας δὲ τοὺς ἐντίμους λέγει, ὡς καὶ πρὸ μικροῦ γέγραπται, ἤτοι τοὺς ἡγεμόνας καί, ὡς εἰπεῖν, τὴν γερουσίαν, δηλῶν, ὅτι δεῖ τοὺς τοιούτους καὶ πρὸ τῆς πρεσβυτικῆς ἡλικίας γέροντας τοῖς ἤθεσι φαίνεσθαι. εἰ δὲ σεμνὸν τῶν Λακώνων ἡ τῶν γερόντων βουλὴ καὶ οἱ δύο βασιλεῖς, φθάνει τὴν τοιαύτην πολιτείαν ὁ ποιητὴς προειδώς, οἷς τε δύο κοσμήτορας τῷ τῶν Ἀχαιῶν λαῷ τοὺς Ἀτρείδας καθιστᾷ καὶ ἐν τοῖς καιρίοις βουλὴν τῶν γερόντων καθίζει αὐτοῖς. (v. 55) Πυκινὴ δὲ βουλὴ ἡ στερρὰ ἐκ μεταφορᾶς τῶν πυκνῶν σωμάτων, ἃ δυσπαθέστερά εἰσι τῶν ἀραιῶν. Τὸ δὲ ἀρτύνεσθαι πλεονασμῷ τοῦ νῦ Δωρικῶς ἀπὸ τοῦ ἀρτύω γίνεται, ὡς ἀπὸ τοῦ θύω τὸ θύνω, τὸ ὁρμῶ, καὶ ἀπὸ τοῦ χύω τὸ ἐκχύνω. δηλοῖ δὲ τὸ ἀπηρτισμένον τι ποιεῖν. Ἰστέον δὲ ὅτι τὸ μὲν ἐκάθιζε βουλὴν ἀντὶ τοῦ συνῆγε νοεῖται καὶ συνεισάγει τὸν συνάξαντα τὴν βουλήν· τὸ δὲ ἐκάθιζε βουλή δίχα τοῦ νῦ ἀντὶ τοῦ συνήγετο καὶ οὐ παραδηλοῖ τὸν συνάξαντα. ἐκ τοῦ τέλους δὲ εἴρηται τὸ ἐκάθιζε· κληθέντες γὰρ καὶ συνελθόντες οἱ τῆς βουλῆς εἶτα ἐκάθηντο. [(v. 54) Ἰστέον δὲ ὡς ἐν τούτοις κεῖται σχῆμα καινὸν τοιοῦτον· ἀπὸ κτητικοῦ ὀνόματος ἀναλυθέντος ποιεῖται Ὅμηρος γενικὴν σύνταξιν οὕτως· «Νεστορέῃ παρὰ νηῒ Πυλοιγενέος βασιλῆος» ἤγουν παρὰ τῇ νηῒ τοῦ Νέστορος τοῦ Πυλίου βασιλέως. τοιοῦτον καὶ τὸ «τῷ Λαβδακείῳ παιδὶ Πολυδώρου τε» καὶ ἑξῆς, ἤγουν τῷ υἱῷ τοῦ Λαβδάκου καὶ τοῦ Πολυδώρου καὶ τοῦ Κάδμου καὶ τοῦ Ἀγήνορος. ὅμοιον καὶ τὸ «τοῖς Τευταρείοις βουκόλου πτερώμασιν», ἤγουν τοῖς τοῦ Τευτάρου Σκύθου ὀϊστοῖς, καὶ τὸ «ἀπαρκτίαις πρηστῆρος αἴθωνος πνοαῖς», ἤγουν ταῖς πνοαῖς τοῦ ἀπὸ τῶν ἄρκτων Βορρᾶ. εἴη δ’ ἂν τοιοῦτον καὶ τὸ οἶκος βασιλικὸς τοῦ πάντα δυναμένου ἤγουν οἶκος βασιλέως παντοδυνάμου καὶ πρᾶγμα ἐμὸν τοῦ εὐτελοῦς ἤγουν ἐμοῦ τοῦ ταπεινοῦ.

1.265 Πυλοιγενής δέ ἐστι μὲν διὰ διφθόγγου πλεονασμῷ τοῦ ι ἐκ τοῦ Πύλος. εἰ δὲ γράφεται διὰ τοῦ η Πυληγενής, τροπὴν ἔπαθεν, ὁποίαν καὶ τὸ ἐλαφηβόλος καὶ τὰ ὅμοια.] (v. 56 s.) Ὅτι νυκτερινῇ ἀληθεῖ ὀπτασίᾳ οἰκεῖον τὸ «θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος ἀμβροσίην διὰ νύκτα» ἤτοι κατὰ νύκτα, ἵνα ᾖ πρόθεσις ἀντὶ προθέσεως. ἀμβροσία δὲ ἡ γλυκεῖα, καθὰ καὶ ἀνόπιν εἴρηται. [Ὥσπερ δὲ πρὸς ἄνδρας εἴρηται τὸ «κλῦτε, φίλοι, θεῖός μοι ἐνύπνιον» καὶ ἑξῆς, οὕτω καὶ πρὸς γυναῖκας λαληθήσεται τὸ «κλῦτε, φίλαι» καὶ τὸ ἑξῆς] (v. 58). Ὅτι ὅτε λέγει ὡς Νέστορι ἄγχιστα ἐῴκει ὁ ὄνειρος εἶδός τε μέγεθός τε φυήν τε, φυήν τινες νενοήκασι τὸ ἐξ εἴδους τε καὶ ψυχῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγαθόν, ὃ φύσις ὑπ’ ἄλλων καὶ ἦθος λέγεται. εἴρηται δέ τι περὶ τῆς λέξεως ταύτης καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ. καὶ νῦν δὲ ῥητέον ὡς διττὴ ἡ φυή, ἡ μὲν κατὰ τὰ ἐκτός, ὡς τὸ «οὐ δέμας οὐδὲ φυήν», δεξιότης οὖσα σωματικὴ καὶ εἰς ταὐτὸν ἥκουσα τῷ κάλλει, ἣν καὶ φύσιν ἡ τραγῳδία καλεῖ «μέγα κακόν» οὖσαν καὶ αὖ πάλιν «σωτήριον τοῖς καλῶς χρωμένοις». ἡ δὲ τοιαύτη φυή, [ἀφ’ ἧς καὶ πρόσωπον εὐφυές, ὡς καὶ μηροὶ εὐφυεῖς] καὶ εἶδος λέγεται κατὰ τὸ «οὐκ ἄρα σοί γ’ ἐπ’ εἴδεϊ καὶ φρένες ἦσαν» καὶ «οὕνεκα εἶδος μὲν καλή, ἀτὰρ οὐκ ἐχέθυμος» καὶ «πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος». καὶ αὕτη μὲν ἡ κατὰ σῶμα φυή, καθ’ ἣν εἴρηται καὶ τὸ «φυήν γε μὲν οὐ κακός ἐστιν». ἑτέρα δὲ κατὰ νοῦν, ὅθεν καὶ εὐφυής ὁ εὖ ἔχων τοιαύτης φυῆς εἰς τὸ εἰδέναι καὶ «σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ», ὁ ἀντιδιαστελλόμενος, κατὰ τὸν αὐτομαθῆ καὶ θυμόσοφον εἰπεῖν Λυρικόν, τῷ μαθόντι. Τὸ δὲ ἄγχιστα ἀντὶ τοῦ ἐγγυτάτω, ὃ ταὐτόν ἐστι τῷ σχεδόν. (v. 60—70) Ὅτι οὐκ ᾐδέσθη ὁ ποιητὴς ἀδολεσχικῶς οἷον ταὐτολογῆσαι καὶ τρὶς εἰπεῖν αὐταῖς λέξεσι τὴν αὐτὴν καὶ ἐνταῦθα ἔννοιαν. ἃ γὰρ ὁ Ζεὺς εἶπε πρὸς τὸν ὄνειρον, αὐτὰ ἐκεῖνα ὁ μὲν ὄνειρος ἐξεῖπε τῷ βασιλεῖ, ὁ δὲ βασιλεὺς τῇ γερουσίᾳ, διδάσκοντος καὶ νῦν τοῦ ποιητοῦ, ὡς καὶ προέφαμεν, οὐδὲν εἶναι καινὸν κατὰ καιρὸν πολλάκις ταὐτολογίᾳ χρῆσθαι τὸν ῥήτορα. καίτοι Ζηνόδοτος ὑπερπαθῶν οἷον τοῦ Ὁμήρου καὶ προμηθούμενος ἰάσατο τὴν τρίτην ταὐτολογίαν ἐπιτεμὼν καὶ μεταγράψας οὕτως· «ἀνώγει σε πατὴρ ὑψίζυγος, αἰθέρι ναίων, Τρωσὶ μαχήσασθαι προτὶ Ἴλιον. ὣς ὃ μὲν εἰπὼν ᾤχετ’ ἀποπτάμενος» καὶ ἑξῆς.

1.266 φασὶ δὲ πρὸς τοῦτον οἱ παλαιοὶ ὡς 〈οὐ〉 δυσωπητέον ἐν τοῖς τοιούτοις τὴν ταὐτολογίαν. τὰ γὰρ ἀπαγγελτικὰ ἐξ ἀνάγκης δὶς καὶ τρὶς ἀναπολεῖται ταῖς αὐταῖς λέξεσιν. ἦν δέ, φασί, καὶ ἄλλως ἀναγκαῖον τοῖς συγκεκλημένοις βουλευταῖς διηγήσασθαι τὰ τοῦ ὀνείρου. (v. 70 s.). Σημείωσαι δὲ ὅτι Ὁμήρου εἰπόντος ὡς «ὁ ὄνειρος τάδε εἰπὼν ᾤχετο ἀποπτάμενος», πτερωτοὶ ἐντεῦθεν οἱ ὄνειροι ἀνεπλάσθησαν. διὸ καὶ Εὐριπίδης τὴν Γῆν «μελανοπτερύγων ὀνείρων μητέρα» καλεῖ. σημείωσαι δὲ καὶ ὅτι μνημονικώτατον Ὅμηρος ἐμφαίνει τὸν βασιλέα, ὃς τοσοῦτον οὐκ ἐξελάθετο τοῦ ὀνείρου, καθὰ καὶ παρηγγέλθη [ἐν τῷ «μηδέ σε λήθη αἱρείτω»], ὥστε καὶ αὐταῖς λέξεσι τὰ ἐκείνου λαλεῖ. Ὅτι τὸ ἀφιέναι καὶ ἀνιέναι λέγεται, οἷον «ἐμὲ δὲ γλυκὺς ὕπνος ἀνῆκε». Σοφοκλῆς δὲ λύειν τοῦτό φησιν εἰπών· «ὁ παγκρατὴς ὕπνος λύει πεδήσας, οὐδ’ ἀεὶ λαβὼν ἔχει». (v. 73—5) Ὅτι θέμις τοῖς στρατηγοῖς ἔστιν ὅτε πειρᾶσθαι τῶν στρατιωτῶν πρὸ τοῦ πολέμου, εἴτε οἰκείᾳ γνώμῃ πολεμοῦσιν εἴτε ἀνάγκῃ, τουτέστιν εἴτε προθύμως ἔχουσι πολεμεῖν εἴτε καὶ μή· ὡς ἂν προθύμους μὲν ὄντας ἐπιρρώσειαν εἰς πλέον, μὴ προθυμουμένους δὲ εἰς θάρσος ἀγάγοιεν. καὶ Ἀγαμέμνων οὖν ἐνταῦθα, ἐπεὶ Ἀχιλλέως μηνίσαντος ὑπόπτως ἔχει τοῖς Ἀχαιοῖς, «πρῶτον ἔπεσι πειρήσομαι», φησίν, «ἣ θέμις ἐστί, καὶ φεύγειν σὺν νηυσὶ πολυκλήϊσι κελεύσω· ὑμεῖς δὲ ἄλλοθεν ἄλλος κωλύετε». οἴεται γὰρ ἐθελοκακεῖν τυχὸν τοὺς Ἕλληνας διὰ τὴν τοῦ πολεμάρχου Ἀχιλλέως ἀργίαν καὶ διὰ τοῦτο θέλει σχηματίσασθαι τὸν οἴκαδε ἀπόπλουν ὡς ἤδη ἀπογνοὺς τὴν τῆς Τροίας ἅλωσιν. ἐπεὶ δὲ ὕπεστι δέος, μή ποτε ἡδέως οἱ Ἕλληνες τὸν λόγον προσηκάμενοι ὁρμήσωσιν ἀποπλεῖν, συμβουλεύει τοῖς γέρουσιν, ἵνα κωλύσωσιν ἀντιστάντες τῇ τοῦ βασιλέως δημηγορίᾳ. καὶ ἔστι μὲν ἡ βουλὴ ἀγαθὴ καὶ κατὰ τὸν Ὅμηρον πυκινὴ καὶ τῷ ὄντι στρατηγική. τὸ δὲ πρᾶγμα μικροῦ δεῖν εἰς μέγα κατέστρεψεν ἂν κακόν, οἷα τοῦ ὄχλου ἅμα τῷ λόγῳ τοῦ βασιλέως ὑποκινηθέντος εἰς ἀπόπλουν πόθῳ τῶν οἴκοι. καὶ οὐκ ἤδη διὰ τοῦτο μεμπτέον τὴν βασιλικὴν βουλήν. οὐ γὰρ ἐκ τῶν ἀποτελεσμάτων ἀεὶ κριτέον τὰ καλὰ εἴτε καὶ φαῦλα. κατὰ γὰρ τὴν Ἡροδότειον Μοῦσαν «εὖ βουλεύεσθαι κέρδος. εἰ γὰρ καὶ ἐναντιωθῇ τι, βεβούλευται μὲν οὐδὲν ἧττον εὖ, ἥττηται δὲ ὑπὸ τῆς τύχης τὸ βούλευμα. ὁ δὲ βουλευσάμενος κακῶς ἐὰν εὐτυχήσῃ, εὕρημα εὕρηκεν· οὐδὲν δὲ ἧττον κακῶς βεβούλευται». οὔκουν οὐδ’ ἐνταῦθα ἐκ τοῦ ἀποτελεσθέντος γνωματευτέον, ἐπαινετέον δὲ τὸ βούλευμα διότι, ὅπερ ἤθελεν ὁ βασιλεύς, ἤνυσται. πεπείραται γὰρ ὅπως οἱ Ἕλληνες ὀκνοῦσι τὴν μάχην· καὶ ἀναλαβὼν αὐτοὺς διὰ τῶν δύο σοφῶν Ὀδυσσέως τε καὶ

Νέστορος τὰ μὲν ἀπειλαῖς, τὰ δὲ πληγαῖς, πολλὰ δὲ καὶ λόγοις μαλθακοῖς, ἤδη δὲ καὶ ὀνειδισμοῖς, οὐ μόνον εἰς τὸ ἀρχαῖον ἀποκατέστησε τοὺς ὀκνοῦντας, ἀλλὰ καὶ τεραστίως διέθετο. ἐρεῖ γὰρ ὁ ποιητὴς ὅτι εὐθὺς αὐτοῖς γλυκίων ὁ πόλεμος ἐγένετο ἢ ὁ εἰς τὰ οἰκεῖα νόστος.

1.267 (v. 73) Ἰστέον δὲ ὅτι τὸ θέμις ἐστὶν ἀντὶ τοῦ θεσμός· θέμις γάρ ἐστιν, ὡς εἴρηται, στρατηγῷ ἀποπειρᾶσθαι πρὸ τῆς μάχης τοῦ στρατεύματος. [Σημείωσαι δὲ ὡς τὸ μὲν ᾗ ἀντὶ τοῦ ὅπου σὺν τῷ ι γράφουσιν οἱ τεχνικοί, καθὰ καὶ τὸ πῇ καὶ ὅπῃ καὶ ἄλλῃ, ὅ ἐστιν ἀλλαχοῦ· τὸ δέ «ἣ θέμις ἐστί» δίχα προσγραφῆς τοῦ ι τιθέασι, καθὰ καὶ τὸ «φὴ νέος, οὐκ ἀπάλαμνος», ἤγουν ὡς νέος οὐκ ἄναλκις, καὶ τὸ μή, οἷον· μὴ τύψῃς, καὶ τὸ νή, οἷον· νὴ τὴν Ἀθηνᾶν, καὶ τὸ ἦ τὸ σχετλιαστικὸν καὶ θαυμαστικόν, καὶ τὸ ὠή ἀνακλητικόν· οἷον· «ὠὴ τίς ἐν πύλαισι δωμάτων κυρεῖ» ἔτι δὲ καὶ τὸ ὠή σχετλιαστικὸν καὶ τὸ ἤδη χρονικόν καὶ νῦνδη ἀντὶ τοῦ ἀρτίως ἐν ἑνὶ τόνῳ, ὃ καί φασι μόνῳ παρῳχημένῳ συντάσσεσθαι.] (v. 74) Τὸ δὲ πολυκλήϊσι προπαροξυτόνως ἀναγινώσκουσιν οἱ παλαιοί. ἔστι μὲν γὰρ ὀξυτόνως κληΐς ἡ ναυτικὴ καθέδρα παρὰ τὸ κλῶ, ἔνθα κλᾶται τὸ σῶμα συγκαμφθέν· ἡ δὲ σύνθεσις βαρύνει αὐτὸ καὶ γίνεται πολυκλήϊς, πολυκλήϊδος, ὡς πολυψήφιδος, μελαγκρήπιδος. Ἰστέον δὲ ὅτι πολυκλήϊδες νῆες οὐ μόνον αἱ πολυκάθεδροι κατὰ τὴν ῥηθεῖσαν ἐτυμολογίαν, ἀλλὰ καὶ μᾶλλον αἱ πολυκλείδωτοι παρὰ τὴν κληῖδα, τουτέστι κοινῶς τὴν κλεῖδα. πολυκλείδωτοι γὰρ ἀληθῶς αἱ νῆες διὰ τὸ πολυγόμφωτον καὶ εὐάρμοστον. ταὐτὸν δὲ κατὰ τοὺς παλαιοὺς κληῒς καὶ ἑδώλιον. [γενικὴ δὲ τοῦ κληΐς κληῖδος καὶ συναιρέσει κλῇδος, ὡς Νηρῇδος· ὅθεν τὸ «κληδῶν θρόνοι» παρὰ Λυκόφρονι. δοκεῖ δὲ καὶ ὁ τῆς εἰρεσίας ζυγὸς ἑδώλιον εἶναι.] (v. 75) Τὸ δὲ ἄλλοθεν σημειῶδές ἐστι τοῖς παλαιοῖς ὡς προπαροξυνόμενον, οἳ καὶ λέγουσι κανόνα τοιοῦτον· τὰ εἰς θεν ἐπιρρήματα τῷ ο μόνῳ παραληγόμενα παροξύνονται· Κυπρόθεν, Ἰλιόθεν, Αἰνόθεν, Ἀβυδόθεν. τὸ ἄλλοθεν, πάντοθεν, οἴκοθεν, προπαροξύνονται, διότι ἀόριστά εἰσι καὶ κοινὴν τόπου σημασίαν ἀναδέχονται. ἕτεροι δέ φασιν ἁπλῶς ὡς πάντα τὰ εἰς θεν παροξύνονται χωρὶς τῶν ῥηθέντων τριῶν ὡς σεσημειωμένων. (v. 76) Ὅτι καὶ ἐνταῦθα σχῆμα κεῖται, ὃ λέγεται κατὰ τὸ σιωπώμενον. ὅτι μὲν γὰρ ὁ βασιλεὺς δημηγορήσας ἕζετο, εἶπεν ὁ ποιητής· ὅτι δὲ φθάσας ἀνέστη δημηγορῆσαι, οὐκ ἐπεσημήνατο, ἀλλ' ἐσιώπησε· καὶ ἔστι καὶ τοῦτο μέθοδος συντομίας, ὡς μὴ θέλοντος τοῦ ποιητοῦ ἐνδιατρίβειν τοῖς μὴ καιρίοις.

1.268 καὶ νῦν μὲν τὸ τέλος εἰπὼν ἀπεσιώπησε τὴν ἀρχήν, ἀλλαχοῦ δὲ ἀνάπαλιν ποιεῖ, ὡς καὶ ὅτε τραπέζας παρατίθεσθαι λέγων τὴν ὕστερον ἀφαίρεσιν αὐτῶν σιωπᾷ. (v. 77) Ὅτι τὸ «Πύλου ἠμαθόεντος» ἀντὶ τοῦ ἠμαθοέσσης, εἰ μὴ ἄρα τις ἀρσενικῶς ὀνομάσει τὸν Πύλον—ὅπερ, εἰ καὶ παρὰ ἄλλοις ἐστίν, ὡς προείρηται, ἀλλὰ παρὰ τῷ ποιητῇ οὐ φαίνεται—τοιοῦτον δὲ καὶ ἐν Ὀδυσσείᾳ τὸ «ὑλήεντι Ζακύνθῳ» ἀντὶ τοῦ ὑληέσσῃ, ὁμοφωνοῦντος τοῦ θηλυκοῦ τῷ ἀρσενικῷ, ὡς καὶ ἐπὶ ἄλλων καταλήξεων γίνεται, οἷον ἐν τῷ «κλυτὸς Ἱπποδάμεια» καὶ «ἀγγελθεῖσά μοι γενναῖος» καὶ «φωκάων ὀλοώτατος ὀδμή» καὶ «πικρὸς ὀδμή» καὶ «ἀκοὴ λίχνος» καὶ «νεκρὸν δάμαρτα» καὶ ἐν ἄλλοις μυρίοις. ἠμαθόεις δὲ Πύλος ἢ ἡ γῆν ἀμαθώδη ἔχουσα ἤτοι ὑπόξηρον—τοιοῦτον γὰρ ἡ ἄμαθος—ἢ περὶ ἣν ποταμὸς ῥέει καλούμενος Ἄμαθος, ὥς φησιν ὁ Γεωγράφος λέγων· Ἄμαθος ποταμὸς περὶ Πύλον, ἀφ' οὗ ἠμαθόεις δοκεῖ καλεῖσθαι αὐτὸς ἤγουν ὁ Πύλος. τὸ δὲ ἀμαθώδη τὴν ὅλην ἐκεῖ χώραν ἢ τὸν Πύλον εἶναι ψεῦδος ἐκεῖνος εἶναί φησι. τινὲς δὲ καὶ τριῶν Πύλων οὐσῶν περὶ ἑκάστην αὐτῶν ποταμὸν ῥέειν φασὶν Ἄμαθον. ἔσται δὲ τούτου μνεία καὶ ἐν τῇ Βοιωτίᾳ. (v. 79). Ὅτι ἡγήτορες καὶ μέδοντες οἱ βασιλεῖς. δηλοῦται δὲ διὰ μὲν τοῦ ἡγήτορες τὸ τῶν βασιλέων ἡγεμονικόν, διὰ δὲ τοῦ μέδοντες τὸ βουλευτικὸν ἀπὸ τοῦ μήδω, τὸ βουλεύομαι. οὐ γὰρ μόνον ἡγεῖσθαι τὸν ἄρχοντα χρὴ ἀλλὰ καὶ πρόβουλον εἶναι. (v. 81) Ὅτι νοσφίζεσθαι παρὰ μὲν τῷ ποιητῇ τὸ νόσφι καὶ χωρὶς γίνεσθαι καὶ ἀφίστασθαι ἢ ἐνεργητικῶς τὸ χωρίζειν καὶ νόσφι καὶ πόρρω ποιεῖν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.269 παρὰ μέντοι τοῖς ὕστερον τὸ ἰδιοποιεῖσθαι νοσφίζεσθαι λέγεται, τὸ δ’ αὐτὸ καὶ σφετερίζεσθαι. [Καὶ ἄλλως δὲ φράσαι, πάλαι μὲν νοσφίζεσθαι τινας ἦν τὸ νόσφι τινὸς ἑαυτὸν ἀπάγειν καὶ οὕτω χωρίζειν, εἴτε λόγος ἦν ἐκεῖνο εἴτε πρᾶγμα· νῦν δὲ νοσφίζεταί τις εἰς ἑαυτὸν ἐπισπώμενος τὸ ἀλλότριον καὶ νόσφι τοῦ ἔχοντος ποιῶν αὐτό. ὅτι δὲ τὸ νόσφι ἐκ τοῦ ἴς ἰνός γίνεται ἴνοσφι, καὶ ἀφαιρέσει καὶ συγκοπῇ νόσφι, δηλοῦσιν οἱ παλαιοί]. (v. 80—2) Ἰστέον δὲ ὅτι Νέστορος εἰπόντος, ὡς «εἰ μέν τις ἄλλος τῶν Ἀχαιῶν εἶπε τὸν ῥηθέντα ὄνειρον, ψεῦδος ἂν φαῖμεν», τουτέστιν ἔφημεν, «καὶ νοσφιζοίμεθα μᾶλλον», τουτέστι χωριζοίμεθα, πόρρω γενοίμεθα, ὡς προδεδήλωται, «νῦν δὲ ἴδεν ὃς μέγ’ ἄριστος ἐν στρατῷ εὔχεται εἶναι», δοξάζειν φαίνεται ὁ ποιητὴς τοὺς τῶν σπουδαίων ἀνδρῶν ὀνείρους ὡς ἐπὶ πολὺ ἀληθεῖς εἶναι, ὥσπερ δὴ καὶ ἐνταῦθα. εἰ μὲν γὰρ ὁ τυχών, φησίν, ἄνθρωπος ἔφη τὸν ὄνειρον, τάχ’ ἂν ἐνομίσθη ψεύδεσθαι· ἐπεὶ δὲ Ἀγαμέμνων ὁ διοτρεφὴς καὶ διογενὴς εἶδεν αὐτόν, οὐκ ἀπεικὸς τῷ τοιούτῳ ἀληθῆ Διὸς ἄγγελον ὄνειρον ὡς ἀγχιθέῳ καταπεμφθῆναι. καίτοι τινὲς ἄλλως εὐήθη τὸν λόγον εἶπον εἶναι τοῦ Νέστορος ἢ κολακευτικὸν λέγοντες, ὡς οὐ κατὰ διαφορὰν οἱ δυνατώτεροι τοὺς ἀληθεῖς ὀνείρους ὁρῶσιν. ἔτι δὲ καὶ ἄλλον τρόπον οἱ παλαιοί φασιν ἀληθεύειν ἂν τὸν τοῦ βασιλέως ἐπὶ τοιούτοις ὄνειρον. οἷς γάρ, φασίν, οἰκεῖον τὸ μεριμνᾶν, τούτοις ἀληθεῖς αἱ θεόθεν ἐμφάσεις. τοῖς δ’ αὐτοῖς οἰκεῖον καὶ τὸ ἀληθεύειν ἐπὶ τῇ αὐτῶν ἀφηγήσει. οἷς γὰρ ἡ ἀποτυχία κίνδυνον φέρει, οὐκ ἂν οἱ τοιοῦτοι ψεύσωνται. διόπερ οὐκ ἂν ὁ Ἀγαμέμνων, ἐφ’ οἷς ἰδεῖν λέγει, ψεύσεται. καὶ μὴν καὶ ἄλλως εἰπεῖν, οὐ ψευδεῖς τοὺς τῶν ἄλλων ὀνείρους ὁ Νέστωρ λέγει οἷα μόνων τῶν βασιλικῶν ἀληθευομένων, ἀλλ’ ἐκείνους μὲν ὑπόπτους εἶναι καὶ μᾶλλόν φησι νοσφιζομένους ἤτοι χωριζομένους πίστεως, τοὺς δὲ βασιλικοὺς οὐ τοιούτους εἶναι. τίνι γὰρ ἂν χαριζόμενος ὁ βασιλεὺς μείζονι ψεύσηται; ἔτι δὲ οὐδὲ εἶπεν ὁ γέρων ὅτι, ἐὰν ἄλλος εἶπε, ψευδὴς ἦν ὁ ὄνειρος· ἀλλ’ ἐκεῖνος ἂν ὁ εἰπὼν ἰδεῖν ἐψεύσατο τὸ ἰδεῖν. ὁ δὲ Ἀγαμέμνων οὐ ψεύδεται τὸ ἰδεῖν· οὐ γὰρ ἂν ἑαυτὸν ἀπατῴη. ὅτι δὲ καὶ ἀληθεύει ὁ ὄνειρος τοῦ βασιλέως, οὐδ’ αὐτὸ εἶπεν ὁ Νέστωρ σαφῶς, ἀλλ’ ἔστιν αὐτῷ τοιοῦτος ὁ λόγος· «εἰ μέν τις ἄλλος εἶπεν ἰδεῖν», δηλονότι τὸν ὄνειρον, «τυχὸν ἂν ἔδοξε ψεύδεσθαι, ἐπεὶ δὲ ὁ βασιλεὺς ἰδεῖν φησιν», ὁ ἐν τῷ στρατῷ μέγα ἄριστος, «ἴδεν ἄρα». οὔκουν λέγει ὅτι ἀληθὴς ὁ ὄνειρος, ἀλλ’ ὅτι ἀληθῶς ἴδεν αὐτὸν ὁ βασιλεύς. ὅρα δὲ ὅτι καὶ τὸν σοφώτατον Νέστορα ἡ λοξότης τοῦ ὀνείρου ἔλαθε καὶ τοὺς ἄλλους δὲ πάντας διὰ τὸ πεπρωμένον, ὡς ἂν εἴποι τις. ἔνθα καὶ ἔστιν εἰπεῖν, ὡς ἐὰν ὁ Ἀγαμέμνων, ὡς προεγράφη, νήπιος παρὰ τῷ ποιητῇ, ὡς μὴ ἐπιστήσας τῷ τοῦ ὀνείρου σκοπῷ, διὰ τί μὴ καὶ οἱ ἄλλοι νήπιοι οἱ συναγνοήσαντες μηδὲ βασανίσαντες; καὶ τάχα λύει τὸ τοιοῦτον ἄπορον ἡ τοῦ Ζηνοδότου γραφή· ἐκεῖνος γάρ, ὡς πρὸ ὀλίγου ἐρρέθη, οὐ γράφει τὸν βασιλέα ἐξηγησάμενον τὸν ὄνειρον, ὡς ἐκ τοῦ Διὸς ἐμηνύθη, ἀλλὰ συνέτεμε τὴν φράσιν.

1.270 διὸ οἱ βουλευταὶ ὡς μὴ ἀκούσαντες οὐδὲ ἐνόησαν· ὅθεν οὐδὲ νήπιοί εἰσιν. ἀλλὰ τοῦτο μὲν οὐκ ἔξω πιθανότητος· χαριέστερον δέ ἐστιν εἰπεῖν ὅτι φαίνεται διὰ τοῦ Ὀδυσσέως μὴ νοηθῆναι καὶ ὑπὸ τῶν γερόντων τὸν ὄνειρον ὁμοίως τῷ βασιλεῖ περὶ τοῦ αὐθημερὸν τελεσθῆναι τὸ πᾶν, ὡς δηλώσει ἐν τοῖς ἑξῆς αὐτὸς ἐκεῖνος ἐν τῷ λέγειν ἀορίστως «μείνατ’ ἐπὶ χρόνον» καὶ «νῦν δὴ πάντα τελεῖται». οὔκουν νήπιος οὔτ’ αὐτὸς οὔθ’ οἱ κατ’ αὐτόν, ὡς εἰκός. Ὅρα δὲ καὶ ὅπως φιλοβασιλεὺς ὁ Νέστωρ μέγα ἄριστον αὐτὸν λέγων. καὶ εἶπε μέν τι τοιοῦτον καὶ ὁ Ἀχιλλεύς, ὅτε πολλὸν ἄριστον αὐτὸν ἐν τῷ στρατῷ εἶπεν εἶναι· ἀλλ’ ἐκεῖνο ἀπ’ ἐναντίας τε ἦν διαθέσεως καὶ οὐκ ἐνδιάθετον [καὶ οὐδ’ εἰς ταὐτὸν ἥκει τῷ τοῦ Νέστορος. οὐ γὰρ οὕτω πάνυ σεμνὸν ἀορίστως λεχθὲν τὸ πολλὸν ἄριστος, ὡς τὸ μέγα ἄριστος]. (v. 81) Τὸ δὲ φαῖμεν ἀπὸ τοῦ φαίημεν συνεκόπη, ἐξ οὗ φαῖεν τὸ τρίτον. ὅμοια δὲ τούτῳ καὶ τὸ δοῖμεν δοῖεν καὶ τὸ σταῖεν καὶ τὸ τυφθεῖεν καὶ ὅσα τοιαῦτα, [ἐν οἷς καὶ τὸ «ξυγγνοῖμεν ἡμαρτηκότες», οὗ πάντως τὸ τρίτον ξυγγνοῖεν, ὡς καὶ τοῦ εἰδεῖμεν τὸ εἰδεῖεν. (v. 84) Ὅτι ἀρχικὸν τὸ «ὣς ἄρα φωνήσας βουλῆς ἐξῆρχε νέεσθαι» ἤγουν ἀρχὴν αὐτὸς ἐνέδωκε τοῖς βουλευταῖς προϊέναι εἰς ἀγοράν.] (v. 85) Ὅτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ ἐπανέστησαν, ὡς καὶ προείρηται, παρὰ μὲν τοῖς ὕστερον ἔριδός ἐστι δηλωτικόν, ὡς ὅτε ὁ ὄχλος ἐπαναστῆναι τῷ ἄρχοντι λέγεται. ὁ μέντοι ποιητὴς ἐπαναστῆναι καὶ νῦν λέγει τὸ καθήμενόν τινα εἶτα εἰς τιμήν τινος ἀναστῆναι, οἷον «οἳ δ' ἐπανέστησαν πείθοντό τε ποιμένι λαῶν». τινὲς μέντοι πανέστησαν γράφουσιν ἤτοι πάντες ὀρθοὶ ἔστησαν, ὡς καὶ πρὸ τούτου «πάντες ἀνέσταν» καὶ «ἀντίοι ἔσταν ἅπαντες». δῆλον δὲ ὅτι, καθὰ καὶ Ἡρόδοτος δηλοῖ, τιμὴ τοῖς ἀγαθοῖς ἦν τὸ ἐπιοῦσιν ἐκ τῆς ἕδρης τοὺς καθημένους ἀνίστασθαι (v. 87—90). Ὅτι πολλοῖς ἡδύσμασι παραρτύων ὁ ποιητὴς τὴν ἑαυτοῦ ποίησιν ἕν τι τῶν τοιούτων ἀγαθῶν ἔχει καὶ τὴν παραβολήν, δι' ἧς πολλά τινα ἐξανύει καλά. δι' αὐτῆς γὰρ πολλαχοῦ καὶ ζῴων ἰδιότητας καὶ φυσικὴν ἱστορίαν ποικίλην ἐκτίθεται, ὡς ἐν τοῖς ἑξῆς δηλωθήσεται. καὶ ὅλως οὐ μόνον φιλόσοφόν τι πρᾶγμα ἡ παραβολὴ παρὰ τῷ ποιητῇ, ἀλλὰ καὶ πραγμάτων τῶν ὁσημέραι γινομένων διδασκαλία καὶ ἐναργείας ποιητικὴ καὶ πολυπειρίας περιποιητική. ἔργον δὲ αὐτῆς καὶ τὸ διδάσκειν ἀριδήλως τὰ ὑποκείμενα πράγματα, ὧν χάριν παρείληπται. ὁ γὰρ ἀκούων ὅτι ὁ Ἕκτωρ μάλα προθύμως εἶχεν ἀντιστῆναι τῷ Ἀχιλλεῖ, εἶτα τοῦ ποιητοῦ εἰπόντος ἀκούσας, ὅτι ὥσπερ δράκων ὀρέστερος βεβρωκὼς κακὰ φάρμακα μένει ἄνδρα, ἔδυ δέ μιν χόλος αἰνός, οὕτως ὁ Ἕκτωρ ἄσβεστον ἔχων μένος οὐχ' ὑπεχώρει, ἐδιδάχθη πάντως σὺν τῇ περὶ τοῦ δράκοντος ἱστορίᾳ καὶ τὴν πολλὴν προθυμίαν τοῦ Ἕκτορος. Ἔστιν οὖν παραβολὴ νόημα πιστούμενον ἐκ τῶν καθεκάστην γινομένων τὰ λεγόμενα ἢ λόγος διδάσκων καὶ πιστούμενος τὸ ὑποκείμενον ἐκ τῶν εἰωθότων ἀεὶ γίνεσθαι.

1.271 λέγεται δὲ παραβολή, διότι τοῖς λεγομένοις παραβάλλει, τουτέστι συγκρίνει καὶ παρατίθησι πρᾶγμά τι γνώριμον εἰωθὸς ἀεὶ γίνεσθαι, ὅπερ ὀφείλει πάντως γνωριμώτερον εἶναι τοῦ δι' ὃ παρείληπται. κακία γὰρ παραβολῆς τὸ ἄγνωστον καὶ ἀσύνηθες, εἰς ὃ αἱ τοῦ Χοιρίλου κακίζονται παραβολαί, διότι οὐδὲ διδασκαλικὴ ἡ τοιαύτη ἐστὶ παραβολή. λαμβάνεται δὲ ἀπὸ πάντων, λογικῶν τε καὶ ἀλόγων, ἐμψύχων τε καὶ ἀψύχων, ὡς μυριαχοῦ δειχθήσεται. χαρακτηρίζεται δὲ ὡς ἐπὶ πολὺ διὰ τῶν παρακειμένων αὐτοῖς παραβολικῶν ἐπιρρημάτων· ὧν τὰ μέν εἰσι κοινά, οἷον τὸ ὡς, τὸ ὥσπερ, τὸ καθάπερ, τὰ δὲ ποιητικά, οἷον τὸ εὖτε, ἠΰ, ἠΰτε, ἅτινα καὶ αὐτὰ τὸ καθά δηλοῦσι. Δύναται δέ ποτε καὶ δίχα τούτων εἶναι παραβολή, οἷον ὡς εἴ τις μονομαχίαν φράζων, εἶτα θέλων παραβολὴν εἰπεῖν, ἐρεῖ οὕτως· οὕτω καὶ θῆρες μάχονται, λέων τυχὸν καὶ κάπρος τάδε καὶ τάδε ποιοῦντες· ἢ καὶ ἄλλως, ὅτι λόγος ἔχει καὶ λέοντα καὶ κάπρον ἀλλήλοις μαχομένους τὰ καὶ τὰ ποιεῖν. ἢ ὅτι εἶδον ἐγώ ποτε καὶ λέοντα καὶ κάπρον τὰ καὶ τὰ ποιοῦντα ἢ ὅτι οὐδὲ λέων οὐδὲ κάπρος τοιάνδε μάχην συστήσουσι τὰ καὶ τὰ ποιοῦντες. καὶ τοιαῦτα μέν, ὡς ἐπιτόμως εἰπεῖν, τὰ τῆς παραβολῆς, περὶ ἧς πολλαχοῦ καὶ ἐν ἄλλοις τὰ δέοντα λαληθήσεται. Ἰστέον δὲ καὶ ὅτι ὡς ἐπὶ πολὺ μὲν προηγεῖται ἡ παραβολὴ τῆς ἀνταποδόσεως, οἷον· ὡς τόδε γίνεται, οὕτω τόδε. ποτὲ δὲ καὶ ἀνάπαλιν, οἷον· οὕτω διεπράχθη τόδε τι, ὡς ὅτε τόδε τι γένηται. καὶ ὅτι τῶν παραβολῶν αἱ μέν εἰσιν ἀναπόδοτοι, ὡς ὅτε τις εἴποι, ὅτι ἐμάχοντό τινες ὡς θῆρες τοιάδε τινὰ ποιοῦντες· αἱ δὲ μετὰ ἀποδόσεως, ὡς ὅτε τις εἴποι, ὅτι, ὡς δ' ὅτε θῆρες μαχόμενοι τάδε τινὰ διαπράττονται, ὣς ἢ οὕτω καὶ οἵδε τάδε ἐποίουν. ἀποδέδοται γὰρ ἡ τοιαύτη παραβολὴ ἐν τῷ ὣς καὶ ἐν τῷ οὕτως. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. τοιαύτη τις καὶ ἐνταῦθα παραβολὴ παρὰ τῷ ποιητῇ, ἔνθα τὴν τῶν Ἀχαιῶν ὁρμὴν εἰς τὴν ἀγορὰν παραβολικῶς θέλων διδάξαι μελίσσαις εἰκάζει αὐτοὺς καὶ λέγει οὕτως· «ἠΰτε ἔθνεα εἶσι μελισσάων ἁδινάων πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων, βοτρυδὸν δὲ πέτονται ἐπ' ἄνθεσιν εἰαρινοῖσιν, αἳ μέν τ' ἔνθα ἅλις πεποτήαται», ἤγουν πέτονται Ἰωνικῶς, ὡς ῥηθήσεται μετ' ὀλίγον, «αἳ δὲ ἔνθα· ὣς τῶν ἔθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων ἐστιχόων ἰλαδὸν εἰς ἀγοράν». καὶ τοιαύτη μὲν ἡ παραβολὴ δηλοῦσα καὶ διδάσκουσα τὴν τῶν Ἑλλήνων κίνησιν ἀπὸ πράγματος γνωρίμου καὶ εἰωθότος πάντοτε γίνεσθαι. Λέγει γὰρ ὅτι, ὥσπερ αἱ μέλισσαι ἀπὸ πέτρας γλαφυρᾶς, δηλονότι σπηλαίου τινὸς ὡς εἰκὸς ὀρεινοῦ, ἐξερχόμεναι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολλαὶ ὁμοῦ καὶ πυκναὶ πέτονται βοτρυδόν, οὕτω καὶ οἱ Ἕλληνες εἰς ἀγορὰν ἤρχοντο ἰλαδόν. πρὸς τοῦτο γὰρ καὶ μόνον ἡ παραβολὴ τῷ ποιητῇ καὶ οὐ πρὸς ὅλον τὸ πρᾶγμα. οὐ γὰρ ἡ παραβολὴ ὅλη τῷ πράγματι ὅλῳ προσαρμόζειν ἐνταῦθα δύναται.

1.272 καὶ γὰρ τὰ μὲν ἔθνη τῶν μελισσῶν ἐκ μιᾶς πέτρας ἐξερχόμενα σκεδάζονται ἐν τοῖς ἄνθεσιν· οἱ δὲ Ἕλληνες τοὐναντίον ἀπὸ πολλῶν σκηνῶν καὶ νηῶν ἐξερχόμενοι εἰς ἕνα τόπον τὸν τῆς ἀγορᾶς εἶχον τὴν ὁδόν, ὥστε κατὰ τοῦτο ἐναντία ἐστὶ καὶ ἀνομοία ἡ παραβολὴ τῷ πράγματι. πρὸς ἓν γοῦν καὶ μόνον παρέλαβεν ὁ ποιητὴς ἐνταῦθα τὴν παραβολήν, ἵνα δείξῃ ὅτι, ὥσπερ αἱ μέλισσαι πολλαὶ καὶ βοτρυδόν, οὕτως οἱ Ἕλληνες πολλοὶ καὶ ἰλαδόν. ἐὰν δὲ ἐκ πέτρας αἱ μέλισσαι, ἀπὸ δὲ τῶν σκηνῶν οἱ Ἕλληνες, τοῦτο ὁ ποιητὴς οὐ προσλογίζεται. δεῖ γὰρ εἰδέναι ὅτι οὐ συχναὶ παρ᾽ αὐτῷ εὑρεθήσονται παραβολαὶ ὅλαι διόλου συμβιβαζόμεναι τοῖς ὑποκειμένοις πράγμασιν, ὡς ἐπὶ πολὺ δὲ τὸ μὲν πλεῖον μέρος τῆς παραβολικῆς διασκευῆς ἄχρηστον τῷ ποιητῇ· ἔστι δ᾽ ὅτε καὶ ἐναντίον πρὸς τὸ πρᾶγμα εὑρίσκεται, ὀλίγον δέ τι μέρος ἐκ τῆς παραβολῆς τῷ πράγματι συμβιβάζεται. ἔστι γὰρ ἡ μέθοδος τοιαύτη τις τῷ ποιητῇ ἐν ταῖς παραβολαῖς. τῶν παραβολῶν τὰς μὲν πάνυ συντομώτατα καὶ ἀπερίττως ἐξάγει, οἷον ὡς ὅτε εἴπῃ, ὅτι ἡ Θέτις ἀνέδυ τῆς θαλάττης «ἠΰτ᾽ ὀμίχλη». παραβολὴ γὰρ τὸ καθὰ ὀμίχλη. τοιοῦτον καὶ τὸ «ὄρνιθες ὥς» καὶ «οἳ δὲ λύκοι ὣς ἐπόρουσαν». τὰς δὲ εἰς πλάτος μὲν ἐνδιασκεύως ἐκφέρει ἀφηγουμένας ἀπαραλείπτως χάριν ἱστορίας ἅπαν τὸ πρᾶγμα, ὡς εἴωθεν αὐτὸ γίνεσθαι, ἀφίησι δὲ τῷ ἀκροατῇ ἐπιλέγεσθαι τῆς παραβολῆς τὰ τῷ πράγματι χρήσιμα, τὰ δὲ λοιπὰ ἐᾶν κεῖσθαι εἰς ἐντέλειαν παραβολικῆς ἀφηγήσεως. οὕτω τοίνυν καὶ ἐνταῦθα τῆς παραβολῆς ἐχούσης, ὅτι αἱ μέλισσαι ἐκ πέτρας ἔρχονται καὶ ὅτι πέτονται καὶ ὅτι ἐπὶ ἄνθεσιν ἐαρινοῖς καὶ ὅτι αἱ μὲν ἐνταῦθα, αἱ δὲ ἐνταῦθα, καὶ ὅτι βοτρυδὸν πέτονται, τοῦτο καὶ μόνον ἐκ τῆς παραβολῆς χρήσιμον πρὸς τὸ πρᾶγμα. ὡς γὰρ αὐταὶ βοτρυδόν, οὕτως οἱ Ἕλληνες ἰλαδόν, ὡς ταὐτὸν ὂν τὸ βοτρυδὸν συνῆχθαι τὰς μελίσσας καὶ ἰλαδὸν ἴεσθαι τοὺς Ἕλληνας, ὅ ἐστι φαλαγγηδὸν καὶ κατὰ ἴλας. συστροφὴν γὰρ πλήθους δηλοῖ καὶ τὸ βοτρυδόν καὶ τὸ ἰλαδόν καὶ ποιότητος ἀμφότερά εἰσιν ἐπιρρήματα. τάχα δὲ καὶ τὸ ἅλις αὐτὰς πέτεσθαι, ἤγουν ἠθροισμένως, χρήσιμον εἰς τὴν παραβολήν· τὸ γὰρ ἅλις πέτεσθαι ὅμοιόν ἐστι πρὸς τὸ βοτρυδόν καὶ ἰλαδόν. τὰ δὲ ἄλλα πάντα τῆς παραβολῆς πρὸς μὲν τὴν ἱστορίαν τῶν μελισσῶν καλῶς ἔχει καὶ ἐντελῶς, πρὸς δὲ τὸ πρᾶγμα πάντῃ ἔχει ἀργῶς. οὔτε γὰρ ἐκ πέτρας οἱ Ἕλληνες οὔτε πέτονται οὔτε ἐπὶ ἄνθη, οὔτε οἱ μὲν ὧδε, οἱ δὲ ἐκεῖ. ταύτην δὴ τὴν παρατήρησιν φυλακτέον καὶ ἐπὶ τῶν ἐφεξῆς πλατειῶν παραβολῶν. ὀλιγάκις γάρ, ὡς εἴρηται, παραβολὴ ὅλη διόλου ἐφαρμόζει τῷ πράγματι. καὶ ταῦτα μὲν οὕτω. Τὰ δὲ κατὰ μέρος τῆς ῥηθείσης παραβολῆς τοιαῦτα. [(v. 87) Τὸ μὲν ἠΰτε παραβολικὸν ἐπίρρημά ἐστιν, ὡς προδεδήλωται, οὗ προηγεῖται τὸ εὖτε, ὡς καὶ αὐτὸ εἴρηται, διαλυθὲν εἰς τὸ ἠΰτε. ἰστέον γὰρ ὡς ἡ ευ δίφθογγος πολλαχῶς ἀλλοιοῦται καὶ οὐ μόνον φυλάσσεται κινουμένη, ὡς ἐν τῷ εὔχω εὐχή, ἀλλὰ καὶ μεταμορφοῦται πολυειδῶς ἢ τοῦ υ ἐκπίπτουσα, ὡς ἐν τῷ σπεύδω σφεδανόν, τεύχω τέχνη· ἢ τὸ ε ἀποπτύουσα, ὡς ἐν τῷ φεύγω φυγή, ἐρεύγω ἐρυγή, πεύθω Πυθών· ἢ τὸ ε μόνον τρέπουσα εἰς ο , οἷον σπεύδω σπουδή, ἢ τὸ υ εἰς ι , οἷον φεύγω φευδωδός, φασί, καὶ φειδωλός ὁ φεύγων τὸ διδόναι· ἢ ἅμα μεταβάλλουσα τὸ ε εἰς ο καὶ τὸ υ εἰς ι , οἷον λευγαλέος λοίγιος, ὑφ᾽ ὧν δηλοῦται τὸ ὀλέθριον.

1.273 ἔτι δὲ ἀλλοιοῦται καὶ διαλυομένη, εἶτα τρέπουσα τὸ ε εἰς η , οἷον εὔκομος ἠΰκομος. οὕτως οὖν καὶ ἐκ τοῦ εὖτε διαλύσει καὶ ἐκτάσει γίνεται ἠΰτ᾽ ὀμίχλη καὶ ἠΰτ᾽ ἔθνεα.] Ἔθνεα [δὲ] μελισσῶν καταχρηστικῶς λέγει· κυρίως γὰρ ἐπὶ ἀνθρώπων τίθεται ἡ λέξις, ἐφ᾽ ὧν καὶ τὸ ἔθος κυριολεκτεῖται, ἀφ᾽ οὗ καὶ τὸ ἔθνος παράγεται. λέγει δὲ καὶ ἐν τοῖς ἑξῆς ὁμοίως χηνῶν καὶ γεράνων καὶ κύκνων ἔθνεα καὶ μυιάων ἔθνεα παραχρώμενος τῇ λέξει καὶ ἐκεῖ καὶ μὴ θέλων ἀγέλην εἰπεῖν. κἂν γὰρ οἱ νεώτεροι ἀγέλας ἐπὶ ὀρνέων τιθῶσι, ἀλλ᾽ Ὅμηρος τὴν τοιαύτην

λέξιν τῷ τῶν βοῶν πλήθει προσήρμοσε. βούλονται δὲ οἱ νεώτεροι ἐπὶ μελισσῶν οὐκ ἔθνος λέγειν, ἀλλὰ σμῆνος· μάλιστα δὲ ἑσμὸν μετὰ δασέος πνεύματος, ὡς δηλοῖ παρὰ Ἀριστοτέλει ὁ ἀφεσμός. τὸ γὰρ σμῆνος οὐ μόνον ἐπὶ πλήθους λέγεται μελισσῶν, ἀλλὰ καὶ τὸ σίμβλον ἤτοι τὸ ἀγγεῖον, ἐν ᾧ τὸ μέλι ἀποτιθέασιν αἱ μέλισσαι, σμῆνος καλεῖται. Τὸ δὲ μελισσάων καὶ τὸ ἀδινάων καὶ τὸ ἐρχομενάων καὶ τὸ κλισιάων σχῆμα μὲν ποιοῦσι καλὸν ἐπὶ κόσμῳ τῆς παραβολῆς, τὸ λεγόμενον ὁμοιοκατάληκτον καὶ πάρισον· εἰσὶ δὲ Αἰολικὰ πλεονασμὸν ἔχοντα τοῦ α μακροῦ· ὄγκον δὲ ποιοῦσι φωνῆς πρεπούσης μεγαλοφωνίᾳ ποιητικῇ διὰ τὴν χασμῳδίαν τὴν ἐκ τοῦ α καὶ ω . Ἀδιναὶ δὲ μέλισσαι αἱ πυκναὶ παρὰ τὸ ἄδην, ὃ δηλοῖ τὸ δαψιλῶς. διὸ καὶ δασύνεσθαι αὐτό τινες βούλονται, καθὰ ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου δηλοῦται, ὡς τοῦ ἅδην δασυνομένου παρὰ τοῖς Ἀττικοῖς. ἔνθα καὶ σημείωσαι τὴν διὰ ἑνὸς δ γραφὴν τοῦ ἄδην καὶ τὴν τοῦ α συστολήν. [Ἰστέον δὲ ὅτι κατὰ τοὺς παλαιοὺς πολλαχῶς τὸ ἀδινόν ἤγουν τὸ ἀθρόον, ὡς ἐνταῦθα, καὶ τὸ οἰκτρόν, ὡς ἐν τῷ «ἀδινὸν στοναχῆσαι», καὶ τὸ ἁδὺ ἤγουν ἡδύ, οἷον «Σειρήνων ἀδινάων», καὶ τὸ πυκνὸν καὶ ἰσχνόν, οἷον «ἀμφ’ ἀδινὸν κῆρ».

1.274 κατὰ δέ τινας καὶ τὸ ἠρέμα, οἷον «ἀδινῶς ἀνενείκατο φώνησέν τε».] (v. 88) Πέτραν δὲ γλαφυρὴν τὸ σπήλαιον λέγει, ὡς εἴρηται, ἵνα νοῶμεν ἐκ τοιαύτης πέτρας ἤτοι σπηλαιώδους τὰς ῥηθείσας ἀδινὰς μελίσσας ἐξέρχεσθαι· ἀπὸ γὰρ μικροῦ ἀγγείου ἑτέρου πολλαὶ οὕτως οὐκ ἂν ἐξέλθοιεν μέλισσαι, ἵνα ἐξ αὐτῶν ὁ ποιητὴς ποιήσῃ παραβολὴν εἰς τὸ τοσοῦτον στράτευμα τῶν Ἀχαιῶν. Ἰστέον δὲ ὅτι τὸ πέτρα γλαφυρή καὶ τὸ παρ’ Ἡσιόδῳ «γλάφυ πετρῆεν» ταὐτὸν δηλοῦσι· καὶ ὅτι ἐνταῦθα μὲν ἐπὶ αὐτοφυοῦς πράγματος ἥρμοσε τὸ γλάφειν, ἐξ οὗ τὸ γλαφυρόν, κυρίως δὲ ἐπὶ χειροκμήτων τὸ τοιοῦτον τίθεται ῥῆμα κατὰ ὀνοματοποιΐαν, ὡς καὶ τὸ γράφειν. καὶ δηλοῖ ὁ ποιητὴς τοῦτο ἐν Ὀδυσσείᾳ εἰπών· «εὐνὰς διαγλάψασα», ὅ ἐστι κοιλάνασα. οὕτω καὶ τὸ σκάπτειν ἀπροσφυὲς ὂν τῷ πλοίῳ ἐποίησεν ὅμως σκάφος αὐτὸ λέγεσθαι, ὅπερ ἐπὶ γῆς μᾶλλον ἁρμόττει, ὡς τὸ «σκάφος οὐκέτι οἰνέων». οἰκειότερον δὲ μᾶλλον ἐπὶ νηὸς τὸ γλαφυρόν, [καθὰ καὶ ἡ κοιλότης, δι’ ἣν καὶ κοῖλαι νῆες λέγονται.] Αἰεὶ δὲ νέον ἔρχεσθαι τὰς μελίσσας λέγει διὰ τὸ πολὺ πλῆθος, ἵνα λέγῃ ὅτι οὕτω πολλαὶ ἦσαν, ὥστε συνεχῶς προϊοῦσαι νεωστὶ ἐδόκουν ἐξέρχεσθαι. οἱ δὲ νέον τὸ ἔαρ νοοῦσιν, εἰ καὶ ἄλλως πολιὸν λέγεται διὰ τὰ τότε ἄνθη, καὶ λέγουσιν ὅτι κατὰ τὸ νέον ἤτοι κατὰ τὸ ἔαρ ἔρχονται· τότε γὰρ μάλιστα τῶν σίμβλων ἐκπέτονται ἐς τὰ ἄνθη. ἄλλοι δέ φασιν, ὅτι τὰ μὲν ἄλλα ζῷα τὴν πτῆσιν ἀποτεταμένην ποιοῦσιν, αἱ δὲ μέλισσαι κατὰ βραχύ. διὸ καί, οἷον εἰπεῖν, ἀεὶ νέον δοκοῦσι πέτεσθαι ὥσπερ ἄρτι ἀρχόμεναι καὶ μικρὸν ἐπικαθεσθεῖσαι τοῖς ἄνθεσιν εἶτα αἴρονται καὶ πάλιν ἐφιζάνουσαι αὖθις πέτονται. καὶ ἄλλως δέ, φασί, νέον πέτονται ἤτοι ἀκμαῖον, ὡς ἀεὶ ὁμότονον ἀπ’ ἀρχῆς ἕως τέλους τὴν πτῆσιν ποιούμεναι. (v. 89) Τὸ δὲ βοτρυδὸν πέτεσθαι τὰς μελίσσας εἴληπται μὲν ὁμοιοτελεύτως πρὸς τὸ ἰλαδὸν ἰέναι τοὺς Ἕλληνας. πάνυ δὲ ἡ λέξις ἔχει ἐμφαντικώτατα· εἴποις γὰρ ἂν ἰδὼν τὸ ἔθνος τῶν μελισσῶν, ὅταν ἐπικαθεσθῇ ἄνθεσι, βότρυϊ ἐοικέναι, ὡς ἀπὸ ῥαγῶν συγκειμένῳ ξανθῶν. ἐξήρτηνται γὰρ ἀλλήλων ὡς ῥᾶγες· καὶ πετόμεναι δὲ ἐγγὺς ἀλλήλων εἰσίν, οὐ μόνον ὅτι ὑπὸ βασιλεῖ πέτονται προάρχοντι τῆς πτήσεως, ἀλλὰ καὶ διὰ δειλίαν τὴν ἀπὸ τῶν μελισσοφάγων ὀρνίθων. συνασπίζουσι γὰρ ὥσπερ τῇ πυκνώσει, καθὰ καὶ τὰ τῶν προβάτων ποίμνια. ἤδη δὲ καὶ διὰ τὸ δύσριγον, ψυχραὶ γάρ εἰσιν, ἐγγὺς ἀλλήλων πέτονται θερμότητα ἑαυταῖς ἐντεῦθέν τινα μηχανώμεναι. ἰστέον δὲ ὅτι Ὁμήρου εἰπόντος βοτρυδὸν τὰς μελίσσας πέτεσθαι, ἐναλλάξας τὸ σχῆμα παλαιός τις σμῆνος ἔφη βοτρύων καὶ ἐπεσημήνατο ἀντιστρόφως εἰπεῖν τῷ ποιητῇ εἰπόντι τὸ βοτρυδόν ἐπὶ μελισσῶν· ὡς καὶ ἐάν τινος εἰπόντος τοὺς ἄνδρας ὡς θῆρας μάχεσθαι, ἕτερος ἀναστρέψας εἴπῃ τοὺς θῆρας ἀνδρῶν δίκην μαχεσθῆναι.

1.275 ποιεῖ δὲ τοιαῦτα καὶ Πίνδαρος. Ὁμήρου γὰρ ἐν ταῖς αὐτοῦ ποιήσεσι τὴν Μοῦσαν ἀείδειν διεγείραντος, αὐτός φησιν ὅτι ἀνέηκέ με ἡ Μοῦσα ἤγουν ἀνέπεισε· πάλιν Ὁμήρου νέφος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰπόντος πεζῶν ὁ Πίνδαρος στρατόν φησι νεφελῶν, ἀντιστρέψας καὶ οὕτω τὸ Ὁμηρικόν, ὡς καὶ ἐν τοῖς ἑξῆς ῥηθήσεται. Τὸ δέ «ἐπὶ ἄνθεσιν ἐαρινοῖς» ἀντὶ τοῦ «ἐπὶ ἄνθη ἐαρινά» ὅμοιον τῷ «ἦλθεν ἐπὶ Κρήτεσιν» ἀντὶ τοῦ «ἐπὶ τοὺς Κρῆτας». ἠρινῶν δὲ ἀνθέων μέμνηται διὰ τὸ φύσει κατὰ ἔαρ πλεονάζειν αὐτά. χειμὼν γὰρ ἄνθη οὐκ οἶδε· μετοπώρῳ δὲ εἴπερ εἰσί, τὴν παροιμίαν ξενίζουσιν «ἐν μετοπώρῳ τὰ ἄνθη» λέγουσαν. (v. 90) Τὸ δὲ ἅλις παρὰ τὸ ἁλίζω γίνεται, ὅθεν καὶ ἁλία Περσῶν παρ' Ἡροδότῳ ἡ ἄθροισις. ἴσως δὲ ἐκεῖθεν παρ' αὐτῷ καὶ τὸ ἀλέες ἀντὶ τοῦ ἠθροισμένοι ὁμοῦ, ὅπερ Ὅμηρος ἀολλέες φησί. (v. 93) Τοῦ δὲ ἰλαδόν χρῆσις καὶ παρὰ Ἡσιόδῳ. πρωτότυπον δὲ αὐτοῦ ἡ ἴλη, ὃ σημαίνει τὴν τάξιν. καὶ πάλαι μὲν καὶ ἡ ἴλη καὶ τὸ ἰλαδόν διὰ τῆς ει διφθόγγου εἶχε τὴν ἄρχουσαν, ὡς ἀπὸ τοῦ εἰλῶ, τὸ συστρέφω, ἐξ οὗ τότε καὶ τὸ πέδειλον. ὕστερον δὲ οὐχ' οὕτως, ἀλλ' ἐν τῷ ι αὐτοῖς ἡ γραφή. Σημείωσαι δὲ καὶ ὅτι διχῇ χρωμένου τοῦ ποιητοῦ ταῖς παραβολαῖς, ταῖς μὲν δι' ὀλίγου καὶ πάνυ στενῶς, ταῖς δὲ εἰς πλάτος, ὡς προείπομεν· πρώτη μὲν αὐτῷ βραχυτάτη παραβολὴ καὶ ἀναπόδοτος ἐν τῇ α' ῥαψῳδίᾳ ἐστὶ τὸ «ἠΰτ' ὀμίχλη», πλατεῖα δὲ πρώτη αὕτη ἐνταῦθα ἐκ τῶν μελισσῶν ληφθεῖσα, ζῴου συγγενοῦς τῇ ποιήσει, ὥς φασιν οἱ παλαιοί, διά τε τὸν μόχθον τὸν ἐπὶ τῇ ἐργασίᾳ καὶ διὰ τὴν τοῦ ἔργου γλυκύτητα καὶ τὸ τοῦ κηρίου εὐσύνθετον. ὧν πάντων μετέχει καὶ ἡ ποίησις πόνῳ τε προϊοῦσα—οὐδὲν γὰρ τῶν καλῶν πόνου χωρίς—ἔχουσα δὲ καὶ γλυκύτητα οὐκ ὀλίγην, ἐναγλαϊζομένη δὲ καὶ τῇ τοῦ μέτρου εὐσυνθεσίᾳ. (v. 92) [Ἐν τούτοις δὲ τὸ ἔστιχον ἐστιχόωντό φησιν Ὅμηρος ὡς ἀπὸ ἐνεστῶτος τοῦ στιχῶ. ὡς γὰρ στείβω, οὗ δεύτερος ἀόριστος ἔστιβον καὶ μέλλων δεύτερος στιβῶ, ἀφ' οὗ ἐξ ἀναδρομῆς τῆς εἰς θέμα ἐνεστὼς ὁ στιβῶ· οὕτω καὶ ἐκ τοῦ στείχω, ἔστιχον, στιχῶ, θεματικὸς ἐνεστὼς συζυγίας δευτέρας τῶν περισπωμένων στιχῶ, ἐξ οὗ τὸ ἐστιχῶντο. τὸ μέντοι στιβῶ στιβήσω οὐ φαίνεται οἵας συζυγίας ἐστίν. Ὅτι τὸ «ἠϊόνος προπάροιθε βαθείης ἐστιχόωντο» ἀγχιβαθῆ εἶναι δηλοῖ τὸν τοῦ ναυστάθμου αἰγιαλόν.

1.276 ὅτι δὲ Ἠιών δισυλλάβως καὶ τόπος ἐστὶ Στρυμόνιος καὶ Ἠϊών τρισυλλάβως πόλις ἐν Χερονήσῳ παρὰ Θουκυδίδῃ καὶ ἄλλη πρὸς τῇ Πιερίᾳ, ὧν οἱ πολῖται Ἠϊονεὺς καὶ Ἠϊονίτης, δηλοῦσιν οἱ παλαιοί.] (v. 93) Ὅτι τὴν ὄσσαν ἐνταῦθα φανερῶς ἄγγελον Διὸς λέγει, τουτέστιν ἀέρος, ἐν τῷ «μετὰ δέ σφισιν ὄσσα δεδήει ὀτρύνους' ἰέναι, Διὸς ἄγγελος», ἥτις ἐξακουομένη διὰ τοῦ ἀέρος ὀτρύνει τοὺς Ἕλληνας εἰς ἀγοράν. εἴη δ' ἂν λέγων ἀλληγορικῶς ὄσσαν ἢ τὴν τῶν βασιλέων ἄρτι κέλευσιν, οἷς πειθόμενοι συνήγοντο, ἢ τὴν πάντων τῶν Ἀχαιῶν πρὸς ἀλλήλους ἐγκέλευσιν, οἳ ἐπέκεινα τῶν ἐννέα κηρύκων ὤτρυνον καὶ αὐτοὶ ἑαυτοὺς εἰς τὴν ἀγοράν. Ὅρα δὲ τὸ «ὄσσα δεδήει» ἀντὶ τοῦ ἔλαμπε, καθ' ὁμοιότητα φρασθὲν τοῦ «ἐνοπή», ὅ ἐστι μάχη, «δεδήει», ὡς ἀπὸ τοῦ δαίω, τὸ καίω· ἴσως δὲ καὶ ἀπὸ τοῦ δαίω, τὸ μερίζω· πολλοὶ γὰρ οἱ βοῶντες· ἢ ἀπὸ τοῦ δαίω, τὸ μανθάνω, ἀφ' οὗ ὁ διδάσκαλος, ἵνα δηλοῖ τὴν διδάσκουσαν τοὺς ἀκούοντας τὸ ποιητέον. ποιηταῖς δὲ μόνοις ἡ λέξις αὕτη φιλεῖται. [ὡς δὲ θεία λέξις παρὰ ποιηταῖς ἡ ὄσσα δηλοῦσά ποτε καὶ μαντείαν, πολλαχοῦ φαίνεται.] (v. 94—6) Ὅτι ἐκφράζων ἐν ὀλίγῳ τὸν τῆς ἀγορᾶς θροῦν φησιν· «οἳ δ' ἀγέροντο· τετρήχει δ' ἀγορή, ὑπὸ δ' ἐστοναχίζετο γαῖα λαῶν ἱζόντων, ὅμαδος δ' ἦν». (v. 95) Ἔστι δὲ τετρήχει μὲν κατὰ ὀνοματοποιΐαν τὸ τετάρακτο ἢ τετράχυντο ἀπὸ τοῦ τεταράχει συγκοπῇ καὶ τροπῇ τοῦ α εἰς η . Τὸ δὲ στοναχίζεσθαι ὠνοματοπεποίηται καὶ αὐτὸ καὶ δηλοῖ ποιὰν βοήν τινα, καθὰ καὶ τὸ στένειν ἐπὶ θαλάσσης παρὰ Σοφοκλεῖ λεγόμενον· οὐ μόνον γὰρ ἐπὶ θρήνου ἡ λέξις τίθεται ἀλλὰ καὶ ἐπὶ ἁπλῶς θορύβου. (v. 96) Ὅμαδος δὲ ἡ ὁμοῦ αὐδή, ὁ κοινὸς θόρυβος, ὅπερ καὶ ἀλαλητὸς λέγεται, οἱονεὶ ὁμολαλητός. [Ὅρα δὲ ὡς ἀναλόγως τῇ ὀτρυντύϊ τῆς ὄσσης κατεσπευσμένα παρενέσπαρται κομματικὰ ποιοῦντα γλυκύτητα, τὸ «οἳ δ' ἀγέροντο» καὶ ἑξῆς ἕως τοῦ «ὅμαδος δ' ἦν». (v. 95) Τοῦ δὲ στεναχίζετο, οὗ πολλάκις ἡ ἄρχουσα καὶ διὰ τοῦ ο μικροῦ προφέρεται, διπλῆ ἡ παραγωγὴ ἐκ τοῦ στένω· στενάχω γὰρ ἐξ αὐτοῦ, εἶτα στεναχίζω.] (v. 96 s.) Ὅτι ἐννέα κήρυκες βοῶντες τοὺς Ἕλληνας κατεσίγαζον. αὔξησις δέ ἐστι καὶ τοῦτο τοῦ θορύβου τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγορᾶς, εἰ τοσοῦτοι κήρυκες μόλις ἔπειθον αὐτοὺς σχέσθαι μὲν τῆς βοῆς, ἀκοῦσαι δὲ τῶν βασιλέων. Σημείωσαι δὲ καὶ νῦν ὅτι, ὡς καὶ ἐν τοῖς ἑξῆς πολλαχοῦ φανήσεται, προσπαθῶς ἔχει ὁ ποιητὴς τῷ ἐννέα ἀριθμῷ διά τε ἄλλας αἰτίας, ἃς λέγουσιν οἱ παλαιοί, οἷον καὶ ὅτι τετράγωνός ἐστι καὶ τέλειος ἐκ τελείου τοῦ τρία γινόμενος πολυπλασιασθέντος εἰς ἑαυτόν, ἀλλὰ καὶ διὰ τὰς Μούσας, αἳ τῷ ἀριθμῷ τούτῳ περιγράφονται.

1.277 οἱ δ᾽ αὐτοὶ παλαιοὶ καὶ ὡς περισσάκις περισσὸν τὸν ἐννέα σεμνύνουσιν ἀριθμὸν εἰς τρεῖς διαιρούμενον τριάδας, ὧν ἑκάστη πάλιν τριὰς εἰς μονάδας τρεῖς. πολλαχοῦ τοίνυν ὁ ποιητὴς εὐεπίφορός ἐστιν εἰς τὸν ἐννέα ἀριθμόν, ὡς δειχθήσεται. διὸ καὶ ἐνταῦθα τοὺς κήρυκας ἐννέα εἶναί φησι καὶ ἐν τοῖς ἑξῆς δέ που ἐννέα τινὰς ἀντανιστᾷ τῷ Ἕκτορι πολεμίους. Τινὲς δὲ πειρῶνται καὶ ἱστορικῶς ἀποκαθιστᾶν τὴν τῶν κηρύκων τούτων ἐννεάδα λέγοντες, ὅτι Ταλθύβιος καὶ Εὐρυβάτης Ἀγαμέμνονος κήρυκες, Ὀδίος Αἴαντος, Εὐρυβάτης ἕτερος Ὀδυσσέως, Ἀσφαλίων καὶ Ἐτεωνεὺς Μενελάου. συγκαταριθμοῦσι δὲ αὐτοῖς καὶ Στέντορα τὸν εὐρυβόαν, οὗπερ Ὅμηρος ἐν τοῖς ἑξῆς μεμνήσεται, καὶ τὸν Θοώτην, ἤδη δὲ καὶ τὸν Κάλχαντα μεγαλόφωνον καὶ αὐτὸν τεκμηριούμενοι ἐξ ὧν εὕρηταί που ἐν τοῖς μετὰ ταῦτα ὁ Ποσειδῶν τῷ Κάλχαντι ἐξομοιούμενος καὶ τοῖς Ἕλλησιν ἐμβοώμενος καὶ κελεύων μάχεσθαι. (v. 99 s.) Ὅτι τὸ «σπουδῇ ἕζετο λαὸς παυσάμενοι κλαγγῆς» ἀντὶ τοῦ μόλις ἐκαθέσθη καὶ δυσχερῶς. διὸ καὶ ὁ Ἕκτωρ νυκτός που κατὰ τῶν Ἑλλήνων βουλευόμενός φησι «μὴ ἀσπουδεὶ φύγοιεν», ἀντὶ τοῦ μὴ δίχα σπουδῆς καὶ εὐχερῶς καὶ ἄνευ βίας. ὅτε μέντοι ἐρεῖ τις ἀπὸ σπουδῆς τι λέγειν, τότε ἡ λέξις τὸ ὁλοψύχως καὶ ἐνδιαθέτως καὶ ἐναγωνίως δηλοῖ. [Ἰστέον δὲ ὡς οἱ τεχνικοὶ τὸ σπουδῇ ἤγουν τὸ ῥηθὲν Ὁμηρικὸν ἐπίρρημα λογίζονται ὁμοίως τῷ κομιδῇ ἀντὶ τοῦ λίαν καὶ σὺν ἐπιμελείᾳ.] (v. 100) Ὅρα δὲ τὸ κλαγγή ἐνταῦθα ἐπὶ ἀνθρώπων κραυγῆς τεθέν. (v. 101—8) Ὅτι φθάσας μὲν ἄφθιτον ἔφη τὸ πατρῷον τοῦ Ἀγαμέμνονος σκῆπτρον, ὅπερ Ἥφαιστος ἔκαμε τεύχων· ἐνταῦθα δὲ ἐφερμηνεύων, πῶς ἄφθιτον ἦν, διότι δηλαδὴ ἀδιάδοχον, καθὰ προγέγραπται, ἢ καὶ ὡς θεόθεν εἰς αὐτὸν κατελθόν, καὶ ἅμα καὶ γενεαλογίαν ἐκτιθέμενος, φησίν, ὅτι Ἥφαιστος μὲν αὐτὸ «δῶκε Διῒ Κρονίωνι ἄνακτι· αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ Ἀργεϊφόντῃ· Ἑρμείας δὲ ἄναξ δῶκε Πέλοπι πληξίππῳ· αὐτὰρ ὁ αὖτε Πέλοψ δῶκ᾽ Ἀτρέϊ ποιμένι λαῶν· Ἀτρεὺς δὲ θνήσκων ἔλιπε πολύαρνι Θυέστῃ· αὐτὰρ Θυέστης Ἀγαμέμνονι λεῖπε φορῆναι πολλῇσι νήσοισι καὶ Ἄργεϊ παντὶ ἀνάσσειν».

1.278 Οὕτω τοίνυν τὸ σκῆπτρον ἄφθιτον ὡς θεόθεν τε δοθὲν τῷ γένει τῶν Ἀτρειδῶν καὶ ἐκ προγόνων εἰς τοὺς ἐπιγόνους διαβεβηκός. Ὅρα δὲ ὅτι ἐν τῷ περὶ τοῦ σκήπτρου λόγῳ δεῆσαν ἢ τῷ ἀτάρ συνδέσμῳ χρήσασθαι ἢ τῷ δέ, ἐν ἑκάστῳ στίχῳ ἕνα παρ᾽ ἕνα χάριν ποικιλίας τοὺς τοιούτους συνδέσμους ὁ ποιητὴς τίθησιν ἐκκλίνων τὸ μονοειδές. φησὶ γάρ· αὐτὰρ Ζεὺς ἔδωκεν, Ἑρμείας δὲ ἔδωκεν, αὐτὰρ Πέλοψ ἔδωκεν, Ἀτρεὺς δὲ ἔλιπεν, αὐτὰρ Θυέστης ἔλειπε. καὶ ὅρα καὶ ὅπως κατὰ σχῆμα ἐπιμονῆς τετράκις μὲν εἶπε τὸ ἔδωκε, δὶς δὲ τὸ ἔλιπεν. ἐποίησε δὲ ὁ ποιητὴς τοῦτο οἷα μὴ ἔχων λέξεις καιριωτέρας τούτων εἰπεῖν. ὅρα δὲ καὶ ὅτι τὸ μέν «Ἀτρεὺς ἔλιπε» διὰ τοῦ ι γέγραφεν· ἔστι γὰρ χρόνου ἀορίστου δευτέρου· τὸ δέ «Θυέστης Ἀγαμέμνονι λεῖπε» διὰ διφθόγγου, χρόνον ἀντὶ χρόνου λαβὼν ἤγουν ἀντὶ ἀορίστου παρατατικόν, ὁποῖόν τι καὶ ἐπὶ τοῦ εἶδον γίνεται. τὸ γὰρ εἶδον καὶ ἡ λοιπὴ κλίσις τοῦ τοιούτου ῥήματος, ὅπερ ἀντὶ τοῦ ἐθεασάμην λαμβάνεται, τὰ μὲν πλείω παρὰ τῷ ποιητῇ τὴν διὰ τοῦ ι ἔχει γραφὴν τῷ λόγῳ τοῦ δευτέρου ἀορίστου, ἐξ οὗ καὶ τὸ ἰδεῖν ἀπαρέμφατον καὶ ἡ ἰδών μετοχή· ἔστι δὲ ὅτε καὶ διὰ διφθόγγου γράφεται, ὅπερ ἐστὶ ῥῆμα χρόνου παρατατικοῦ δηλοῦντος μὲν τὸ ἔβλεπον, λαμβανομένου δὲ ἀντὶ ἀορίστου τοῦ ἐθεασάμην. τὸ δὲ σχῆμα τοῦ ῥηθέντος χωρίου κλίμακα καὶ κλιμακωτὸν λέγουσιν οἱ παλαιοί, ἕτεροι δὲ ἐποικοδόμησιν. γίνεται δὲ σχῆμα κλιμακωτόν, ὅταν τὸ λῆγον τῆς φθασάσης ἐννοίας ἀρχὴ γένηται τῆς ἐφεξῆς, οἷον ὡς εἴ τις εἴπῃ· ὁ βασιλεὺς ἀγαθός· ὁ ἀγαθὸς ἀγαθὰ ποιεῖ· ὁ ἀγαθὰ ποιῶν εὐεργετεῖ· ὁ εὐεργετῶν θεὸν μιμεῖται. τοιοῦτόν τι

κἀνταῦθα τὸ σχῆμα· Ἥφαιστος μὲν ἔδωκε Διΐ, Ζεὺς δὲ τῷ Ἑρμῇ, Ἑρμῆς δὲ Πέλοπι καὶ καθεξῆς. κάλλους δὲ σχῆμα κατὰ τοὺς παλαιοὺς τὸ κλιμακωτὸν οἰκεῖον ὂν πανηγυρικαῖς ἐννοίαις, ὁποία τις ἐνταῦθα καὶ ἡ κατὰ τὸ βασιλικὸν σκῆπτρον γενεαλογία. τῆς δ' αὐτῆς ἰδέας καὶ τὸ αὐτάρ τρὶς κείμενον ἐνταῦθα ἐπαναφορικῶς ἐν καταρχῇ στίχων ἕνα παρ' ἕνα, καὶ ἡ ῥηθεῖσα ἐπιμονὴ καὶ τὰ ποιητικὰ πάρισα, τὸ «πολλῇσι νήσοισιν ἀνάσσειν» καὶ τὸ «αὐτὰρ ὁ αὖτε» δὶς τεθὲν κατ' ἐπαναφορὰν ἐν δυσὶ στίχων ἀρχαῖς, εἰ καὶ ποιητικῶς πέφρασται. παρίσωται δὲ καλῶς καὶ τὸ «Διῒ Κρονίωνι ἄνακτι». Ὅρα δὲ καὶ ὅτι δίχα τοῦ Ἡφαίστου τὰ λοιπὰ πρόσωπα ἐνταῦθα μετὰ ἐπιθέτων ἐξάγει, τὸν Δία μὲν εἰπὼν Κρονίωνα καὶ ἄνακτα, τὸν Ἑρμῆν δὲ διάκτορον Ἀργεϊφόντην, ἔτι δὲ καὶ ἄνακτα.

1.279 θεία δὲ λέξις τὸ ἄναξ, ὡς καὶ ἐν τῇ α' ῥαψῳδίᾳ γέγραπται· διὸ καὶ ἐπὶ Ἑρμοῦ μόνου καὶ Διὸς αὐτὴν ἐνταῦθα τέθεικε. τὸν δὲ Πέλοπα πλήξιππον προσέφη· τὸν δὲ Ἀτρέα ποιμένα λαῶν, σεμνῶς ὀνομάσας αὐτόν· τάχα γὰρ κρείττων ἦν τοῦ πατρὸς τὰ εἰς βασιλείαν· τὸν δὲ Θυέστην πολύαρνα, οἱονεὶ λέγων, ὅτι Ἀτρεὺς μὲν λαῶν ἦγε ποίμνια, ὁ δὲ Θυέστης ἀρνῶν καὶ τοιούτων ζῴων· τὸν Ἀγαμέμνονα δὲ προάγει μὲν ἐπιθέτου χωρίς, περιφραστικῶς δὲ ἄνακτα καὶ αὐτὸν εἰπεῖν βούλεται λέγων αὐτὸν Ἄργεϊ παντὶ ἀνάσσειν. (v. 103) Ἔστι δὲ διάκτορος μὲν ἢ ὁ διάτορος, ὅ ἐστι σαφὴς ἐν ταῖς ἀγγελίαις· τορὸν γὰρ τὸ τρανὲς καὶ σαφές· ἢ ὁ αὐτὸ τοῦτο ἄγγελος ἀπὸ τοῦ ἄγω, ἐξ οὗ καὶ ὁ ἄγγελος. ἄγγελός τε γὰρ ἀπὸ τοῦ ἄγειν φαίνεται γίνεσθαι καὶ διάκτωρ δὲ ὁμοίως ἀπὸ τοῦ ἄγω, ὥσπερ ἀπὸ τοῦ λέγω λέκτωρ καὶ ἀλέκτωρ. τὸ δὲ ἄκτωρ κλιθὲν εἰς τὴν ἄκτορος γενικὴν πεποίηκε [τῇ εἰς ἀρχὴν ἀναδρομῇ] εὐθεῖαν τὴν ὁ διάκτορος ἤτοι ὁ ἄγγελος. καὶ αὐτὸ δὲ τὸ Ἑρμῆς ἀπὸ τοῦ εἴρω, τὸ ἀγγέλλω, ἐτυμολογοῦσί τινες, ἐξ οὗ Ἐρέας ὄνομα ὡς ὁ Αἰνέας καὶ πλεονασμῷ τοῦ μ Ἑρμέας, ἐξ οὗ ὁ καὶ ἐν τῇ Ὀδυσσείᾳ δηλούμενος Ἑρμῆς. πλεονάζειν γάρ φασι πολλαχοῦ τὸ μ , ὥσπερ καὶ ἐν τῷ μοχλός ἀπὸ τοῦ ὀχλῶ, καὶ ἀπὸ τοῦ εἴρω εἶραξ καὶ μεῖραξ, καὶ ἐκ τοῦ ἀχύρου ἀχυρμιά, καὶ ἐκ τοῦ τέκω τέκμωρ, τὸ τέλος. οὕτως οὖν καὶ Ἐρέας καὶ κατὰ πλεονασμὸν Ἑρμέας, ἐξ οὗ Ἑρμῆς ὁ τὰ τῶν θεῶν εἴρων ἤτοι ἀγγέλλων, ἵνα ἐκ τοῦ Ἑρμέας ἐπενθέσει μὲν τοῦ ι ὁ Ἑρμείας γίνηται, ὡς Αἰνέας Αἰνείας, Αὐγέας Αὐγείας, κατὰ κρᾶσιν δὲ Ἑρμῆς, ὡς Ποδέας Ποδῆς, Σωσέας Σωσῆς. Ἡ μέντοι ἀλληγορία Ἑρμῆν τὸν λόγον νοοῦσα καὶ ἐκ τοῦ ἑρμηνεύειν αὐτὸν ἐτυμολογεῖ ὡς ἑρμηνεύοντα τὰ τῆς ψυχῆς βουλήματα καὶ ἐξαγγέλλοντα, ὅθεν καὶ διάκτορον αὐτὸν καλεῖ οἷα τορῶς, ὅ ἐστι σαφῶς, ὡς προείρηται, αὐτὰ προάγοντα. τὸν δ' αὐτὸν καὶ Ἀργεϊφόντην ἐπονομάζει ὡς ἀργὸν φόνου· εἰρηνικὸν γὰρ ὁ λόγος. Ὁ δὲ μῦθος Ἀργεϊφόντην τὸν φονέα τοῦ Ἄργου καλεῖ, ὃν φύσεως τέρας ἡ ἱστορία παραδίδωσιν ὀφθαλμοὺς αὐτῷ ἀνοίξασα διὰ παντὸς τοῦ σώματος, οὓς ἄλλοτε ἄλλους ἀνοίγων καὶ τοῖς μὲν μύων, τοῖς δὲ βλέπων, ἄϋπνος ἦν διὰ βίου ἄστροις μέν τισιν ἀνατέλλουσιν ἐπανοίγων τοὺς μύοντας ὀφθαλμοὺς συνανατέλλοντας ὥσπερ καὶ αὐτούς, ἑτέροις δὲ αὖ πάλιν τῶν ἀστέρων δυομένοις ἐγκαταμύων τοὺς βλέποντας ὀφθαλμοὺς καὶ ὥσπερ συγκαταδύων τὸν ἐν αὐτοῖς ὀπτικὸν ἥλιον, ὃ καὶ Εὐριπίδης δηλοῖ ἐν οἷς φησιν Ἄργου ὄμματα «τὰ μὲν ξὺν ἄστρων ἐπιτολαῖσι βλέποντα, τὰ δὲ κρύπτοντα δυνόντων μέτα».

1.280 καὶ οὕτω μὲν ὁ μῦθος πολυωπὸν πλάττει τὸν Ἄργον. Ἡ δὲ ἱστορία τὸν Ἄργον τοῦτον, ὃς καὶ πανόπτης ἐπεκαλεῖτο, πολυπράγμονα τὰ εἰς ὄψιν εἶναι βούλεται καὶ ὀριγνώμενον πᾶσι παρεῖναι πράγμασι καὶ ἀεί ποτε καὶ ὡς οἷόν τε συνεχῶς πάντα ὁρᾶν καὶ μηδὲν τῶν ὑπὸ τὴν ἀρχὴν αὐτοῦ διαλανθάνειν αὐτόν. ἴσως δὲ καὶ ἀγχίνους ὁ ἄνθρωπος ἦν καὶ τὰ μὲν ὁρῶν, τὰ δὲ προορῶν, ὁποῖον ὁ ποιητὴς λέγει τὸν βλέποντα τά τε ἔμπροσθεν καὶ τὰ ὄπισθεν, ὡς προγέγραπται. τυχὸν δὲ καὶ ὀξὺς ἦν τὴν θέαν, ἀλλὰ καὶ ἐγρηγορὼς τὰ πολλὰ καὶ ὀλίγῳ ὕπνῳ ἑαυτὸν ἐπιτρέπων. διόπερ ὁ μῦθος πολλοὺς ὀφθαλμοὺς αὐτῷ ἐφιλοτιμήσατο. εἰκὸς δὲ καὶ εὐθυόνειρον εἶναι τὸν ἄνθρωπον καὶ ἐδόκει καὶ κατὰ τοῦτο ἄϋπνος εἶναι ὡς καὶ ἐν τῷ ὑπνοῦν ἐοικὼς καθορᾶν διὰ τὴν ἀληθῆ τῶν φαντασιῶν ἔκβασιν. Ὥσπερ δὲ τὸν Ἄργον ὁ μῦθος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰνιγματωδῶς ἐσέμνυνεν, οὕτω καὶ ἄλλον τινὰ πολλὰ πράττοντα ταῖς χερσὶν Ἑκατόγχειρα ἔπλασε καί τινι ἀκαμάτῳ τὴν πορείαν ὄντι ἀπὸ χαλκοῦ τὸ σκέλος ἐσφυρηλάτησε. καὶ ἀκουστικὸν δέ τινα ὄντα ὄνου φέρειν ὦτα εἶπε τερατολογῶν πολυτρόπως τὰς φιλοτιμίας τῆς φύσεως. Ἦν δὲ ὁ Ἄργος βασιλεὺς χώρας, ἥτις ἀπ' αὐτοῦ μὲν Ἄργος, ἀπὸ δὲ Πέλοπος ὕστερον ὠνομάσθη Πελοπόννησος. τὸν τοιοῦτον Ἄργον ἡ Ἥρα ἐπιστῆσαι λέγεται φύλακα τῆς Ἰοῦς, ἵνα ὁ Ζεὺς ὑπὸ τοιούτῳ σκοπῷ ἀΰπνῳ τηρούμενος ἀπέχοιτο τῆς τοιαύτης γυναικός. Ἑρμῆς δὲ δόλῳ τὸν Ἄργον καταγωνίζεται Διὸς ἀξιώσαντος καί, ἐπεὶ λαθραίως οὐκ εἶχεν αὐτὸν ἀνελεῖν, λίθῳ βαλὼν πεφόνευκε. κἀντεῦθεν Ἀργεϊφόντης λέγεται, οἷον Ἀργοφόντης, καὶ τροπῇ τοῦ ο εἰς ε καὶ πλεονασμῷ διχρόνου Ἀργεϊφόντης, ὥσπερ καὶ ἀνδροφόντης ἀνδρεφόντης καὶ κατὰ πλεονασμὸν ἀνδρεϊφόντης. καίτοι τὸ ἀνδρεϊφόντης τινὲς ὡς ἀπὸ τῆς ἀνδρί δοτικῆς διὰ τοῦ ι γράψαντες διφορεῖσθαι τὴν λέξιν πεποιήκασι· τὸ μέντοι Ἀργεϊφόντης ἀεὶ τὴν διὰ διφθόγγου ἔχει γραφήν. [Ἰστέον δὲ ὅτι τὸ Ἀργεφόντης, καθὰ καὶ τὸ ἀνδρεφόντης, ἐξ ὧν Ἀργεϊφόντης καὶ ἀνδρεϊφόντης, Δωρικά εἰσιν, ὡς Ἡρωδιανὸς δηλοῖ ἐν οἷς λέγει τοιαῦτα· αἱ εἰς ος ὀξύτονοι γενικαὶ συντιθέμεναι συμφώνου ἐπιφερομένου ἢ διὰ τοῦ ο λέγονται, οἷον Ζηνός Ζηνόθεος, θριπός θριπόβρωτος, ἁλός ἁλοθήκη· ἤ διὰ τοῦ ἰῶτα, οἷον Αἰγίπαν, [πυρίχαλκος], νυκτικόραξ.
1.281 οὕτως οὖν, φησί, καὶ ἁλοτρίβανος, ὡς ἁλοπώλης καὶ ἁλοθήκη. ὁ μέντοι διὰ τοῦ ε ἁλετρίβανος μήποτε Δώριόν ἐστιν; οἱ γὰρ τὸν Ἀπόλλωνα Ἀπέλλωνα εἰπόντες καὶ τὸν ἀνδροφόνον ἀνδρεφόνον, οὗτοι καὶ τὸν ἁλοτρίβανον ἁλετρίβανον εἴποιεν ἄν.] Ἔτι ἰστέον καὶ ὡς ἐν τῷ Παυσανίου Λεξικῷ φέρεται ἀργεϊφόντης ὁ ὀφιοκτόνος· ἄργην γάρ, φησίν, ἔνιοι τὸν ὄφιν καλοῦσιν. οὐ μέντοι ἱστορεῖ καὶ πῶς ὀφιοκτόνος ὁ Ἑρμῆς. (v. 104) Τὸν δὲ Πέλοπα πλήξιππον λέγει ὡς ἡνιοχικόν. τοιοῦτον γὰρ αὐτὸν ἡ ἱστορία παραδίδωσιν, ὃς Φρὺξ μὲν ἀνέκαθεν ὤν, εἰς τὴν Ἑλλάδα δὲ διαβάς, κατέχει τὴν ἀπ' αὐτοῦ ῥηθεῖσαν, ὡς εἴρηται, Πελοπόννησον, καταγωνισάμενος ἅρματι τὸν Οἰνόμαον καὶ λαβὼν ἔπαθλον τήν τε βασιλείαν ἐκείνου καὶ τὴν θυγατέρα Ἱπποδάμειαν, ἣν ἐκεῖνος ἆθλον ἐτίθει τῷ νικήσαντι αὐτὸν ἅρματι. Οἱ δὲ παλαιοὶ καὶ ἄλλως πλήξιππόν φασι κληθῆναι τὸν Πέλοπα, ὡς αὐτόν ποτε κατ' ἀνάγκην τινὰ ἑαυτῷ ἡνιοχήσαντα. τοῦτο δὲ λέγουσι διὰ τὰ ἐπὶ τῷ Μυρτίλῳ θρυλλούμενα, ὃς ἡνιόχει μὲν Οἰνομάῳ τῷ τῆς ῥηθείσης Ἱπποδαμείας πατρὶ Ἑρμοῦ παῖς λεγόμενος διὰ τὸ δόλιος εἶναι καὶ λόγιος· προὔδωκε δὲ τὸν δεσπότην πεισθεὶς τῇ παιδὶ θελούσῃ τὸ κακὸν κατὰ ἔρωτα Πέλοπος καὶ τοὺς πασσαλίσκους ἤτοι ἐμβόλους ἐξελών, οἳ ταῖς χοινικίσιν ἤτοι τῷ ἄκρῳ τοῦ ἄξονος ἐνειρόμενοι κατέχουσι τοὺς τροχούς, διεκπεσεῖν αὐτοὺς ἐν τῷ καιρῷ τῆς ἁρματηλασίας πεποίηκεν. οὐ γὰρ ἔτι τοὺς ἐμβόλους εἶχον οἱ χοίνικες διὰ τὴν τοῦ Μυρτίλου πανουργίαν. καὶ οὕτω νενίκηται μὲν ὁ δεσπότης Οἰνόμαος ἢ κατά τινας καὶ ἀνήρηται πρὸς τοῦ [πενθεροφθόρου] Πέλοπος [ὁ πρὶν γαμβροκτόνος] δεινὰ τῷ Μυρτίλῳ ἐπαρασάμενος. ἦν δὲ τὸ λοιπὸν Ἱπποδάμεια ὑπὸ τῷ Πέλοπι καὶ ὁ Μυρτίλος πρὸς τῆς δίκης ἐνηδρεύετο κατὰ τὴν ἀρὰν τοῦ Πέλοπος. ἦλθε δὴ καιρὸς καὶ ὁ Πέλοψ ὑπὸ ἡνιόχῳ τῷ αὐτῷ Μυρτίλῳ ἐφ' ἅρματος ὥδευεν ἔχων καὶ τὴν Ἱπποδάμειαν παραβαίνουσαν. διψᾷ ἡ γυνή· ἐκλαλεῖ τὸ πάθος· κάτεισιν ὁ Πέλοψ· ἄπεισιν ὑδρευσόμενος καὶ τὸν τῆς δίψης καύσωνα σβέσων τῇ γυναικί. τῇ δὲ ἄλλο πάθος ἐκκαίεται καὶ πῦρ ἔρωτος ὑπανάπτεται καὶ ἦν ὁ ἔρως ἐπὶ Μυρτίλῳ τῷ τοῦ δεσπότου προδότῃ· ὡς δὴ κατήπειγε τὸ πάθος, ἐκφαίνει αὐτὸ ἡ γυνὴ καὶ τὸν Μυρτίλον προκαλεῖται κατὰ τοῦ πυρός. ὁ δὲ ἐνταῦθα γοῦν φρένας λαβὼν οὐ πείθεται. ἐπάνεισιν ἐπὶ τούτοις ὁ Πέλοψ. καὶ ἡ γυνὴ τὸν ἔρωτα εἰς μανίαν τρέψασα—τοιοῦτον γὰρ ἔρως ἐξαμαρτάνων— φθάνει κατειπεῖν τοῦ Μυρτίλου ψευδῆ, ὡς ἄρα ὁ τοῦ πατρὸς Οἰνομάου προδότης ἐπὶ τῷ πρώτῳ δεσπότῃ ἐν οὐδενὶ τίθησι καὶ τὸν δεύτερον καὶ ἅρματι ἐπιβουλευσάμενος τότε καὶ νῦν καταδιφρεῦσαι τὸν Πέλοπα ἐν οὐ καλοῖς βεβούληται καὶ τὸν Οἰνόμαον καταρρίψας τοῦ ἅρματος διεκπεσεῖν ἄρτι τῆς εὐνῆς πειρᾶται τὸν Πέλοπα.

1.282

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταῦτά τε οὖν, ὡς εἰκός, ἐλάλησε καὶ βίαν ἐξετραγῴδησε καὶ δόλον Μυρτίλου καὶ λόγους αἱμύλους καὶ ὅσα ἄλλα ὁ δυστυχήσας ἔρως εἰς κατηγορίαν ὑπηγόρευε τῇ γυναικί. πιστεύει τοῖς λόγοις ὁ Πέλοψ καὶ πείθεται καὶ τοῦ Μυρτίλου καταδιαιτήσας ἐρήμην οὐκ ἤθελεν ἐκεῖνον ἔτι ζῆν· ἤδη γὰρ αἱ τῆς δίκης ἄρκυες τῷ Μυρτίλῳ ἐπήγνυντο. καὶ τέως μὲν ὁ Πέλοψ ἐχεμυθῶν ἔπεττε τὸν χόλον. ἐπειδὴ δὲ πρὸς κρημνῷ βαθυτάτῳ γένοιτο καὶ στενοχωρίᾳ ὁδοῦ καὶ θάλασσα μὲν ὑπέξυε τὸν κρημνόν, ὁ δὲ πυκναῖς πάγων ἐξετραχύνετο προβολαῖς, καὶ ὁ Μυρτίλος ἀφυλάκτως εἶχεν οὐδέν τι συνειδὼς ἑαυτῷ δεινόν, λαβόμενος ἀπροόπτως ὁ Πέλοψ ἐκείνου βάλλει κατωκάρα τὸν ἄνδρα. καὶ ὁ μὲν κατέβαινε θανούμενος ταύτην εὑρὼν ποινήν, οἷς τὸν δεσπότην Οἰνόμαον ἔσφηλεν, ὁ δὲ Πέλοψ ἐφ' ὁμοίοις ἑαυτῷ κηλῖδα δυσδαιμονίας ἐνέτριψεν ἐν οὐ καλοῖς τὸν εὐεργέτην Μυρτίλον ἀμυνάμενος. ἔτι γὰρ ἑαυτοῦ ὢν ὁ Μυρτίλος καὶ εἰδώς, ὡς οὐκ ἐν δίκῃ πίπτει, ἐπαρᾶται, καθά που Οἰνόμαος αὐτῷ, οὕτως αὐτὸς πανωλεθρίαν τῷ γένει τοῦ Πέλοπος. καὶ αὐτὸς μὲν οὕτως εἰπὼν οὐκέτι λαλεῖν εἶχεν, ἀλλὰ κατενεχθέντα αὐτὸν εἶχε τὸ ὑποκείμενον πέλαγος, ὃ καὶ Μυρτῷον ἐκεῖθεν ἐκλήθη· περὶ ὃ καὶ ἡ Αἴγινα νῆσος κεῖται κατά τινας καὶ ἡ Ἐλευσίν. ἡ δὲ δίκη ἐπιστρέφεται τοῦ Μυρτίλου καὶ τρέπεται κατὰ τοῦ γένους τῷ Πέλοπι καὶ εἰς τοὺς ἐπιγόνους παραπέμπει τὰς ποινάς. ἐντεῦθεν οἱ Πελοπίδαι Ἀτρεύς τε καὶ Θυέστης τῇ τραγῳδίᾳ πολλὴν ἐχορήγησαν ὕλην, ὁ μὲν ἀδικήσας εἰς λέχος τὸν Ἀτρέα καὶ τὸ χρυσόμαλλον ἀρνίον ὑποσπάσας, ὃ πρὸς Ἑρμοῦ ἐκεῖνος εἶχεν ἐν τοῖς θρέμμασιν ἐξαίρετον, ὁ δὲ τῷ Θυέστῃ παραβαλὼν εἰς τροφὴν τὰ φίλτατα, ὧν καὶ γευσάμενος ἐκεῖνος πόλιν ἐξ αὐτοῦ ἀφῆκε καλεῖσθαι τὴν Ἔμειαν, ὅπου δηλαδὴ τὰ καταβρωθέντα ἐξήμεσε. καὶ ταῦτα μὲν Ἀτρεὺς καὶ Θυέστης, ἵνα τις ἐπιτέμῃ τὰ πολλά. Ἀγαμέμνων δὲ ὁ τοῦ Ἀτρέως καὶ Αἴγισθος ὁ τοῦ Θυέστου καὶ αὖ Ὀρέστης ὁ τοῦ Ἀγαμέμνονος, ὅπως τοὺς πατρῴους οἴκους διέθεντο, αἱ ἱστορίαι θρυλλοῦσι. ῥίπτει γὰρ Ἀγαμέμνονα μὲν Αἴγισθος ἀλάστωρ γενόμενος τοῦ βασιλικοῦ λέχους τε καὶ σώματος, Αἴγισθον δὲ Ὀρέστης ἀμύνων τῷ πατρί, αὐτός τε τροχηλατούμενος κατὰ τὴν τραγῳδίαν τῷ τῆς μητρὸς αἵματι οὐκ εὐδαιμόνως ἔζησεν. οὕτως αἱ τοῦ Μυρτίλου Ἐριννύες τὸ τοῦ Πέλοπος γένος μετῆλθον, ὃς τὸν Μυρτίλον ἀνελὼν καὶ ἑαυτῷ ἡνιοχήσας πλήξιππος ὑπὸ Ὁμήρου κέκληται ὡς τὴν ἡνιοχείαν αὐτουργήσας, [ὡς εἴπερ ἦν πλήξιππος, κεντρηνεκέας ἄρα ἤλαυνεν ἵππους.] ἀλλὰ ταῦτα μὲν ἄλλοι. (v. 106 s.) Ὅμηρος δὲ τὰ μὲν κατὰ τὸν Ἀγαμέμνονα καὶ τὸν Αἴγισθον οἶδε, τὰ δὲ κατὰ τὸν Ἀτρέα καὶ τὸν Θυέστην οὐχ' ὁμοίως τοῖς λοιποῖς ἱστορεῖ, ἀλλὰ φαίνεται εἰδὼς αὐτοὺς πάνυ φίλια φρονοῦντας ἀλλήλοις.

1.283 Φησὶ γάρ, ὅτι Ἀτρεὺς θνήσκων ἔλιπε τὸ σκῆπτρον τῷ Θυέστῃ, ὡς ἐπὶ παιδὶ ἀτελεῖ τῷ Ἀγαμέμνονι θνήσκων τῷ πρεσβυτάτῳ τῶν παίδων καὶ ἀναθεὶς τῷ ἀδελφῷ Θυέστῃ ἐπιτροπεύειν τοῦ Ἀγαμέμνονος. ὁ δὲ αὖθις ἔλιπε τὸ σκῆπτρον, οὐ τῷ παιδὶ Αἰγίσθῳ περιόντι, ἀλλὰ τῷ Ἀγαμέμνονι τῷ ἐπιτροπευομένῳ δίκαια ποιῶν. Τινὲς δέ φασι τὸν ποιητὴν εἰδέναι μὲν καὶ αὐτὸν τὰ κατὰ τὸν Ἀτρέα καὶ Θυέστην κακά, σιωπῆσαι δὲ αὐτὰ διὰ τὸ τῆς ἱστορίας οὐκ εὔφημον καὶ ἵνα μὴ βλασφημήσῃ τὸ γένος· οὐ γὰρ εἴωθε κακολογεῖν Ὅμηρος. ἐμφαίνει μέντοι, φασίν, ὥσπερ διὰ τοῦ πλήξιππος τὰ κατὰ τὸν Μυρτίλον μιᾷ λέξει τὸ πολὺ παραφήνας τοῦ πράγματος διὰ τὸ μὴ εὐκαίρως ἔχειν πολυλογεῖν, οὕτω καὶ ἐνταῦθα ὁμοίως τὰ κατὰ τὸν Ἀτρέα καὶ Θυέστην διὰ τοῦ ἔλιπεν. ἐπὶ μὲν γὰρ τῶν ἄλλων προσώπων, παρ' οἷς οὐκ ἦν τις διαφορά, τὸ ἔδωκε λέγει· ἔδωκεν Ἥφαιστος, ἔδωκε Ζεύς, ἔδωκεν Ἑρμῆς, ἔδωκε Πέλοψ· ἐπὶ δὲ τῶν ἀλλήλοις διαφόρων τὸ ἔλιπεν ἔθετο, ὡς μήτε τοῦ Ἀτρέως αὐτόθεν ἑκοντὶ τὸ σκῆπτρον δόντος τῷ Θυέστῃ, μήτ' αὖ τοῦ Θυέστου τὸ οἰκεῖον δόντος τῷ Ἀγαμέμνονι· τὸ μὲν γὰρ ἔδωκε φιλίας σημεῖόν φασιν οἱ παλαιοί, τὸ δὲ καταλιπεῖν ἀνάγκης. καὶ τὸ πολύαρνα δὲ τὸν Θυέστην εἰπεῖν ἔμφασιν οἴονται διδόναι τοῦ νοσφισμοῦ τῆς χρυσέας ἀρνός· καίτοι τοῦτο ἄλλως δηλοῖ τὸν πολυθρέμμονα ὡς ἀπὸ μέρους τῶν ἀρνῶν, ἐξ ὧν καὶ τὸ ἄρνυσθαι, ὡς καὶ ἐν Ὀδυσσείᾳ εἴρηται. καὶ ταῦτα μὲν οὕτως. Ἐν δὲ τῷ χωρίῳ τούτῳ καὶ ἄλλο τι σημειοῦνται οἱ παλαιοί, ὅτι ἐξ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑκάστου τῶν προσώπων ἡ τοῦ σκήπτρου διάβασις ἀνομοίως γίνεται, κἀντεῦθεν ποικιλίαν μηχανησαμένου τοῦ ποιητοῦ τῷ γενεαλογικῷ τόπῳ τούτῳ οὐ γὰρ κατὰ τὸν αὐτὸν λόγον Ἥφαιστος Διῒ καὶ Ζεὺς Ἑρμῇ καὶ οἱ ἑξῆς τοῖς μετ' αὐτοὺς τὸ σκῆπτρον διδόασιν, ἀλλ' Ἥφαιστος μὲν τῷ Διῒ τεῦξεν ἢ ὡς τεχνίτης χειρῶναξ βασιλεῖ χαρισάμενος ἢ ὡς ἐπιτεταγμένος ὑπὸ Διός· Ζεὺς δὲ τῷ Ἑρμῇ δίδωσιν ὡς κηρύκιον. ῥάβδος δὲ τὸ κηρύκιον σύμβολον οὖσα τοῦ κήρυκα εἶναι τὸν φέροντα. Ἑρμῆς δὲ τῷ Πέλοπι τυχὸν μὲν δωρεῖται, ὃ εἶχε κηρύκιον, τυχὸν δὲ καὶ ὡς λαβὼν αὐτὸ πρὸς Διὸς καὶ κελευσθεὶς κομίσαι τῷ Πέλοπι· Πέλοψ δὲ τῷ Ἀτρεῖ ὡς υἱῷ κληρονομήσαντι τῆς ἀρχῆς· Ἀτρεὺς δὲ Θυέστῃ ὡς ἐπιτρόπῳ τοῦ παιδός, καθὰ γέγραπται· ἐτελεύτησε γὰρ ἐπὶ μικροῖς τοῖς παισί· Θυέστης δὲ τῷ Ἀγαμέμνονι ὡς πληρῶν τὸ ἐπιτραπέν. (v. 108) Τὸ δέ «πολλαῖς νήσοις καὶ Ἄργεϊ παντὶ ἀνάσσειν» δεῖγμά ἐστι τοῦ μὴ ἁπλῶς χειροτονητὸν εἶναι εἴτ' οὖν αἱρετὸν βασιλέα τὸν Ἀγαμέμνονα κατά τινας, οἷς καὶ ὁ Εὐριπίδης ἐν τῇ κατ' αὐτὸν Ἰφιγενείᾳ συνηγορεῖ· οὐ γὰρ Μυκήνης μόνον αὐτὸν βασιλέα λέγει, ἀλλὰ παντός τε τοῦ Ἄργους, ὅπερ ἐστὶν ἡ Πελοπόννησος, καὶ νήσων πολλῶν, οἷον Ῥοδίων, Αἰγινητῶν, Ἰθακησίων.

1.284 φησὶ γοῦν καὶ Ὀδυσσεὺς πρὸς Κύκλωπα· «λαοὶ δ' Ἀτρεΐδεω Ἀγαμέμνονός ἐσμεν». ἐκ πατέρων οὖν, φασί, Πελοποννήσου καὶ νήσων ἀρχὴν εἰληφὼς οὐ χειροτονητὸς ἦν. Καὶ ὅρα ὅτι νήσων μὲν πολλῶν τὸν Ἀγαμέμνονά φησιν ἄρχειν, Ἄργους δὲ παντός. οὐκ ἄρα Μυκηναίων μόνων εἶναι ἄρχων δοκεῖ. τινὲς μέντοι νήσους ἐνταῦθα κώμας τινὰς τοῦ Ἄργους ἐννέα φασί, χερσαίας μέν, καλουμένας δὲ νήσους, καὶ ὑπὸ ἐξουσίαν οὔσας τῷ Ἀγαμέμνονι. καὶ τοιαῦτα μὲν ταῦτα. Ὅρα δὲ καὶ ὡς, εἰ καὶ καλὸν ὑπομειδιᾷ ἡ ῥηθεῖσα γενεαλογία, οἷς ἐκ τοῦ ῥητορικοῦ κάλλους ἔχει, ἀλλὰ καὶ ἑτεροίως ταῖς ποιητικωτέραις τῶν λέξεων χρῴζεται. τοιαῦται δὲ μάλιστα τό τε φορῆναι ἤτοι φέρειν, οὗ θέμα φοραίνω ἢ φόρημι, ὡς καὶ ἀλλαχοῦ φανεῖται, καὶ τὸ Θυέστα ἀντὶ τοῦ Θυέστης ἐν τῷ «αὐτὰρ ὁ Θυέστ' Ἀγαμέμνονι λεῖπε», οὗ ὁ μὲν ποιητικὸς χαρακτὴρ κατὰ τὸ «ἱππότα Φοίνιξ» καὶ «ἱππηλάτα Πηλεύς», ὁ δὲ κοινὸς κατὰ τὸ πενέστης, Ὀρέστης, ἀργέστης. Ὅτι βουλευσάμενος ὁ βασιλεὺς πειράσασθαι τῶν Ἑλλήνων, καθὰ προγέγραπται, ὡς ἂν γνῷ, εἴτε θέλουσιν ἀποκινδυνεύσειν εἴτε καὶ μή, καὶ παραγγείλας τῇ τῶν γερόντων βουλῇ ἀντιπεσεῖν καὶ κωλῦσαι αὐτόν, ἐφ' οἷς δηλονότι μέλλει δημηγορῆσαι ὡς ἐπὶ φυγῇ καὶ καταλύσει τοῦ πολέμου, εἶτα καθίσας Πανελλήνων ἀγοράν, ἀνίσταται καὶ δημηγορεῖ τοιαῦτα, ἐξ ὧν φαίνεται μὲν κατασκευάζειν τὴν τοῦ λόγου ἀξίωσιν, τῇ δὲ ἀληθείᾳ τὸ ἐναντίον τῇ ἀξιώσει συνάγει. Ἀξιοῖ μὲν γὰρ κατὰ τὸ φαινόμενον φεύγειν ἀφέντας τὸν πόλεμον. καὶ τοῦτό ἐστιν αὐτῷ πέρας τῆς δημηγορίας. αἱ δὲ κατασκευαί, δι' ὧν δείκνυται δῆθεν τὸ δεῖν φεύγειν, τοὐναντίον ἅπαν συνάγουσιν, οὔτε σταθεραὶ οὖσαι ἀλλὰ καὶ λίαν εὐδιάλυτοι. καὶ οὕτω ποιεῖται δημηγορίαν τὴν λεγομένην ἐσχηματισμένην. Σχήματι γὰρ μόνῳ καὶ προσποιήσει καὶ κατὰ μόνον τὸ φαινόμενον ἐξ ἐπιπολῆς λέγει τὸ «φεύγωμεν». ἐν δὲ τῷ βάθει τῶν λεγομένων καὶ τῇ τοῦ λόγου ψυχῇ τὸ μὴ φεύγειν καὶ κατασκευάζει καὶ βούλεται, χρώμενος ἐννοίαις ἀμφιβόλοις τε καὶ διπλαῖς καὶ ὡς οἷον εἰπεῖν ἀμφιταλάντοις, δοκούσαις μὲν κατασκευάζειν τὸ δέον εἶναι φυγεῖν, ῥεπούσαις δὲ μᾶλλον εἰς τὸ ἀνάπαλιν, ὡς εἶναι δυνατὸν τῷ λέγοντι εἰπεῖν, ὡς διὰ ταῦτα μάλιστα οὐ φευκτέον, ὦ βασιλεῦ, δι' ἅτινα σὺ φεύγειν ἀξιοῖς. Οὕτω τοίνυν ὁ βασιλεὺς τὴν δημηγορίαν στρεπτὴν κατασκευάσας καὶ ἀφορμὰς ἐνδοὺς ἀντιλογιῶν τοῖς ἀριστεῦσι καραδοκεῖ μὲν ἀπ' αὐτῶν, ὡς εἰκός, ἐναντίωσιν, καθὰ καὶ παρήνεσεν, οὐ φθάνει δέ τις ἐκείνων ἀντιλαλῆσαι καὶ ὁ ὄχλος πρὸς μόνον τὸ φαινόμενον ἀπιδὼν ἅμα τε ἤκουσεν, ὅτι φεύγωμεν, καὶ εὐθὺς ἀναστὰς τῆς ἀξιώσεως ταύτης γίνεται. Εἰ γὰρ καὶ ἄλλως ἐν τοῖς κινδυνώδεσι κατὰ τὴν Ὁμηρικὴν ἱστορίαν ἐπείθοντο οἱ Ἀχαιοὶ τῷ βασιλεῖ καὶ μάλα ἦσαν εὐπειθεῖς, πολλῷ πλέον ἐνταῦθα τοιοῦτοι γένοιντο ἄν.

1.285 Καὶ ὅρα τὸ ἐν τοῖς πρακτέοις ἀβέβαιον. ὁ γὰρ βασιλεὺς ὁ πυκινὴν βουλὴν ἀρτύνας καὶ ἄριστα βουλευσάμενος τὴν τῶν Ἑλλήνων διάπειραν μικροῦ δεῖν εἰς κακὸν ἂν ἀπώνατο τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βουλεύματος. ἀλλ’ οὐκ ἤδη διὰ τοῦτο καὶ κακῶς ἐβουλεύσατο· οὐ γὰρ ἐξ ἅπαντος, ὡς καὶ προείρηται, ἐκ τῶν ἀποτελεσμάτων κριτέον τὰ πράγματα. Ἔστι γὰρ οὗ καὶ βουλῆς οὐκ ἀγαθῆς τὸ τέλος εἰς ἀγαθὸν ἀπέβη, ὁποῖα τὰ τῶν Ἀθηναίων ὁ Κωμικὸς εἶναι λέγει βουλεύματα. οὐκ ἤδη δὲ διὰ τὸ τοῦ τέλους ἀγαθὸν ἀγαθὴν ἂν εἴποι τις καὶ τὴν προηγησαμένην εἶναι βουλήν. οὕτω καὶ ἀγαθὴν συμβουλὴν τέλος πολλάκις οὐκ ἀγαθὸν διεδέξατο. καὶ οὐ δήπου τῇ τοῦ τέλους φαυλότητι συναποδοκιμαστέον καὶ τὴν πρὸ ταύτης βουλήν, ἀλλ’ αὐτὴν μὲν ἀποδεκτέον, τὸ δὲ τέλος ἐπιγραπτέον τῇ τῶν πρακτέων φύσει, ἅπερ ἐνδεχόμενα ὄντα ποτὲ μὲν οὕτω, ποτὲ δὲ ἄλλως ἐκβαίνουσι, [τοῦ τυχᾳδίου ἔστιν οὗ ἢ συνεπωθοῦντος ἢ ἀντιπράττοντος, ὡς εἶναι οὐκ ἀπροσφυὲς εἰπεῖν, ὅτι καὶ ἐν τοῖς τοιούτοις οἱ ἄνθρωποι πρὸς τὰς τύχας τὰς φρένας κέκτηνται.] Ἀγαθὴ μὲν οὖν ἡ βουλὴ τῷ βασιλεῖ καὶ στρατηγικὸν ἡ πρὸ τῆς μάχης διάπειρα τῶν στρατιωτῶν, ὡς γέγραπται. εἰ δὲ διεξέπεσε τοῦ σκοποῦ, ἀλλ’ αὐτὸς μὲν συγγνωστέος· οἱ δὲ γέροντες ἀντιστήσονται τῷ τῆς τύχης ἀστάτῳ καὶ κωλύσουσι τὸν λαὸν καὶ ἀθροίσαντες εἰσαῦθις αὐτὸν εὐοδώσουσι τῷ βασιλεῖ τὸν σκοπόν, ὡς μετὰ ταῦτα φανήσεται, καὶ δείξουσιν οἷόν τε ἡ σύνεσις ἀγαθὸν καί, ὅτι καλῶς ὁ βασιλεὺς πεποίηκε τὸ προβούλιον. εἰ γὰρ μὴ τὴν τῶν γερόντων βουλὴν καθίσας ἐδημηγόρησεν ἐκ πρώτης τὸ φεύγωμεν, οὐκ ἦν ἂν ὁ κωλύσων σκεδαννυμένην τὴν ἀγοράν, ἀλλ’ ᾤχοντο ἂν οἱ Ἕλληνες φεύγοντες. Ὅρα δὲ ὅτι ψεύσεταί ποτε ὁ σπουδαῖος, ὡς καὶ ἐνταῦθα ὁ βασιλεὺς λέγων τὸ φεύγωμεν καὶ ὅσα ἄλλα τὸ συμφέρον ὑπέβαλλεν. Ὅτι δὲ ἡ δημηγορία τῷ βασιλεῖ ἐσχημάτισται, δῆλον ἐντεῦθεν. αὐτὸς μὲν γὰρ βούλεται φεύγωμεν εἰπεῖν, τὰ δὲ εἰς τοῦτο συνωθοῦντα νοήματα, τὰ μὲν φανερῶς εἰσι κωλυτικὰ τούτου αὐτοῦ τοῦ φεύγειν, τὰ δὲ μέσως πως ἔχει καὶ ἀμφοτέρων ἐστὶ σημαντικὰ τοῦ τε φεύγειν καὶ τοῦ μή· καὶ ἀδηλίαν ἐμποιεῖ ὁπότερον βούλεται. ἔχουσι γὰρ οὕτω πως τὰ τῆς δημηγορίας. (v. 110—41) Ἐκ προοιμίου μὲν οὕτως αὐτοὺς προσφωνεῖ· «ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος». εἶτα λέγει ὅτι ὁ Ζεὺς αὐτὸν ἄτῃ ἐνέδησε βαρείῃ καὶ σχέτλιον ἐκεῖνον καλεῖ, διότι ὑποσχόμενος καὶ κατανεύσας τὴν τῆς Τροίας ἅλωσιν νῦν ἠπάτησε καὶ κελεύει δυσκλέα Ἄργος ἱκέσθαι, ἐπεὶ πολὺν ὤλεσε λαόν. εἶτα τὸν Δία σεμνολογῶν φησιν· «οὕτω που Διῒ μέλλει ὑπερμενέϊ φίλον εἶναι». λέγει δὲ καὶ ὅτι πολλὰ πόλεων κάρηνα ἐκεῖνος ἔλυσε καὶ εἰσέτι λύσει. μετὰ δὲ ταῦτα αἰσχύνων τοὺς Ἕλληνάς φησιν, ὅτι «αἰσχρὸν τόδε γ’ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι μάψ», ἤγουν μάτην, «οὕτω τοιόνδε τοσόνδε τε λαὸν Ἀχαιῶν ἄπρηκτον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι ἀνδράσι παυροτέροις, τέλος δ’ οὔ πώ τι πέφανται».

1.286 εἶτα δηλῶν, πόσον εἰσὶν οἱ Τρῶες ὀλιγώτεροι, διδάσκει δι’ ὑποθετικοῦ τινος σχήματος, ὡς μετ’ ὀλίγα εἰρήσεται, ὑπὲρ δεκαπλασίονας εἶναι τοὺς Ἕλληνας τῶν ἐφεστίων Τρώων, ἤγουν ἐγκατοίκων, οἷς καὶ μάλιστα μεμέληκε τῆς μάχης, ὡς τῶν ἐπικούρων, εἰ καὶ ἐκ πολλῶν πόλεων ἦσαν ἐγχέσπαλοι, ὅμως μὴ ὁλοψύχως μαχομένων. Ταῦτα εἰπὼν ἐπάγει καὶ ὅτι ἐννέα βεβάασι Διὸς μεγάλου ἐνιαυτοὶ καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται. καὶ ὅτι αἱ ἡμέτεραι ἄλοχοι καὶ τὰ νήπια τέκνα κάθηνται προσδεχόμεναι ἡμᾶς, ἡμῖν δὲ τὸ ἔργον αὔτως ἀκράαντον, οὗ ἕνεκα δεῦρο ἤλθομεν. καὶ ἐπὶ τούτοις ὡς ἤδη κατασκευάσας δῆθεν, ὃ ἤθελεν, ἐπάγει· «ἀλλ’ ἄγεθ’, ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες· φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν· οὐ γὰρ ἔτι Τροίαν αἱρήσομεν εὐρυάγυιαν». Οὕτω τῆς δημηγορίας ἐχούσης τῷ βασιλεῖ σκοπητέον τὰ κατ’ αὐτήν. σκοπὸς μὲν γὰρ αὐτῷ δῆθεν τὸ φεύγωμεν. τούτου δὲ προκατάρχουσι κεφάλαια ταῦτα· μέμψις Διὸς ὡς ἀπατήσαντος, ὅπερ ἀδύνατον δειχθήσεται· καὶ ὄνειδος τῶν Ἑλλήνων, διότι τοσοίδε καὶ τοιοίδε ὄντες ἐπὶ μακρὸν οὕτω πολεμοῦντες οὐκ ἤνυσαν, ὃ προέθεντο, ἀλλὰ καὶ τροπαιοῦχοι ἐλπιζόμενοι ἐπανελθεῖν τοῖς ἑαυτῶν, οἱ δὲ οὐ τοιοῦτοι ἐπανελεύσονται. καὶ ἄλλα δὲ ἐφεξῆς, ὡς φανήσεται, κεῖνται κεφάλαια, οἷς οὐκ ἂν ἐπενεχθείη τὸ φεύγωμεν δυναμένων τῶν ἀκουσάντων εἰπεῖν πρός γε τέως τὰ ῥηθέντα νῦν κεφάλαια ὡς οὔτε Ζεὺς ψεύδεται οὔτε ἡμεῖς ἀκλεῶς οὕτω καὶ ἀγεννῶς ἀναχωρήσομεν. καὶ οὕτω μὲν ταῦτα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τὰ δὲ κατὰ μέρος τῶν νοημάτων τοιαῦτα. (v. 110) Τὸ μέν «ὦ φίλοι» μέσως πως ἔχει, ὅτι τε φίλος ὢν ἐγώ, κἂν ἀκλεῶς ἀναζεῦξαι μέλλω, ὅμως δι' ὑμᾶς ἀνέξομαι. καὶ αὖ πάλιν ὅτι φίλοι ὄντες ὑμεῖς οὐκ ἂν ἀνέξοισθέ μου τῆς δυσκλείας οὐδὲ θελήσητε δυσκλέα Ἄργος ἱκέσθαι. τὸ δέ «ἥρωες, θεράποντες Ἄρηος» φανερῶς ἐπὶ κωλύσει ἔθετο, ὡς μὴ δέον ὂν τοὺς τοιούτους φεύγειν. ἐπαίρει γάρ, φασίν, ἐπίτηδες αὐτοὺς ἐγκωμίοις, ὅπως αἰδοῖντο φεύγειν. καὶ ὅρα ὅτι τοὺς ὅλους Ἕλληνας ἥρωας λέγει. θεράποντες δὲ Ἄρηος οἱ στρατιῶται, ὡς καὶ Διὸς οἱ βασιλεῖς καὶ Μουσῶν οἱ ἀοιδοί. τοῦ δὲ Ἄρηος εὐθεῖα Ὁμήρῳ ἄρρητος, ὁ Ἄρευς Αἰολική, ὡς καὶ Ἡρωδιανῷ δοκεῖ, καθὰ καὶ ἐν τοῖς ἑξῆς που σαφῶς δηλωθήσεται. (v. 111) Τὸ δέ «ἄτῃ ἐνέδησε βαρείῃ» ἀστείως τέτραπται, ὡς ἀπὸ δεσμοῦ βαρύνοντός τινα καὶ μὴ ἐῶντος προκόπτειν, ἐφ' οἷς χρή. εἰ γὰρ καὶ τῇ μυθικῇ Ἄτῃ ἁπαλοὶ οἱ πόδες, ἀλλὰ ἡ ἀληθὴς βαρύνειν οἶδε. τὸ δὲ τὸν Δία ἀπατῆσαι μετὰ τὸ κατανεῦσαι φανερῶς κωλύει τὸν ἀπόπλουν. οὐ γὰρ δυνατὸν ἐκεῖνον ψεύσασθαι μετὰ τὴν κατάνευσιν, εἴπερ οὐκ ἔστιν οὐδὲν ἔπος ἐκείνου ἀπατηλόν, ὅ τι κεφαλῇ κατανεύσει. ὅτι δὲ κατένευσεν, οἱ γέροντες ἐν τοῖς ἑξῆς δηλώσουσι. καὶ ἄλλως δὲ οὐδεὶς ἂν σπουδαῖος ἐναντία ἑαυτῷ βουλεύσηται. (v. 115) Τὸ δὲ εἰπεῖν, ὅτι δυσκλέα με κελεύει ὁ Ζεὺς ἀπελθεῖν, ἐπεὶ πολὺν ὤλεσα λαόν, οὐκ ἀφίησιν οὐδὲ αὐτὸ τὸν ἀκούοντα νοεῖν, ὅτι θέλει ἀναχωρεῖν ὁ βασιλεύς· ψυχῆς γὰρ βαρυνομένης ὁ λόγος· συγκέκοπται δὲ τὸ δυσκλέα ἐκ τοῦ δυσκλεέα, καί εἰσι καὶ πληθυντικαὶ χρήσεις τοιαίδε.

1.287 ἄλλως μέντοι συνηρῆσθαι ὤφειλεν ἡ τοιαύτη τρισυλλαβία σὺν περισπασμῷ κατὰ τὸ ὑγιέα ὑγιᾶ, εὐφυέα εὐφυᾶ. (v. 116) Τὸ δέ «οὕτω που Διῒ μέλλει φίλον εἶναι» διὰ τὸν δισταγμὸν τοῦ ποὺ ἐπιρρήματος τοῦ δηλοῦντος τὸ ἴσως οὐδὲ αὐτὸ γενναίως ἔχει πρὸς δημηγορίαν. οὐ γὰρ διστάζειν δεῖ τὸν ἐπὶ μεγίστοις οὕτω βουλευόμενον, ἀλλὰ ἀξιωματικῶς ἀποφαίνεσθαι. (v. 117) Τὸ δέ «ὃς πολλὰς πόλεις κατέλυσε καὶ ἔτι λύσει» οὐδ' αὐτὸ συμβάλλεταί τι πρὸς τὸ φεύγωμεν, ἀλλ' ἀνάμνησίς ἐστι τῶν προτέρων ἀνδραγαθιῶν, ἐν αἷς πολεμαρχοῦντος Ἀχιλλέως κγ' εἷλον πόλεις, ὅθεν οὐκ ἀδύνατον καὶ τὴν Τροίαν αἱρεθῆναι, καθὰ καὶ ἐκείνας. Ἐνταῦθα δὲ σκεπτέον, ὅπως ταὐτὸν σημαίνει τὸ καταλύειν καὶ τὸ λύειν ὡς δεσμοῦ μέν τινος ὄντος τοῦ οἰκοδομεῖν, λύσεως δὲ τῆς καταρρίψεως. (v. 119—21) Τὸ δὲ αἰσχρὸν εἶναι λαὸν τοσοῦτον τῷ πλήθει καὶ τοιόνδε τῇ ἀνδρείᾳ μὰψ οὕτω πολεμεῖν ὀλιγωτέροις ἀνδράσιν ἐπ' οὐδενὶ τέλει, ἀναντιρρήτως ἐμποδιστικὸν τοῦ φεύγειν ἐστίν, ὡς μὴ ἂν πρέπον ὂν ἐπονειδίστως φεύξεσθαι τοῖς τοιούτοις. καὶ ἄλλως δέ, φασί, ταχεῖαν ἐγγυᾶται τὴν νίκην, εἰ πλείους αὐτοὶ τῶν Τρώων καὶ ἰσχυρότεροι καὶ Δία δὲ ἔχουσι σύμμαχον, οὗ κράτος ἐστὶ μέγιστον. ὅθεν ὁ Πυθαγόρας λαβών φησι· «θεός ἐστι τὸ πάντων κρατοῦν, ὅσγε καὶ πολέμων ἐξουσίαν ἔχει. τίς ἂν οὖν εἴην ἐγώ;» (v. 120) Αἰολέων δὲ ἡ τοῦ μάψ βραχυλογία ἐκ τοῦ μάτην, ὧν καὶ τὸ ἄψ ἐκ τοῦ ὀπίσω καὶ τὸ ὅ ἐκ τοῦ ὅτι καὶ αἱ ἀποκοπαὶ δὲ τοῦ δῶμα δῶ [καὶ ῥᾴδιον ῥᾴ] καὶ κρίμνον κρῖ καὶ τῶν ὁμοίων, ἔτι δὲ καὶ αἱ συγκοπαί. τῶν δ' αὐτῶν ὡς ψιλωτικῶν καὶ τὸ αὔτως· οὐ γὰρ ἀναντιρρήτως δασύνεται, ὡς φανεῖται καὶ ἑτέρωθι. (v. 134) Τὸ δέ «ἐννέα δὴ βεβήκασιν ἐνιαυτοί» οὐδ' αὐτὸ προτρεπτικόν ἐστιν εἰς τὸ φυγεῖν. εἶχε γὰρ ἄν τις εἰπεῖν, ὅτι οὐκ ἦν ἡμῖν καιρὸς τοῦ τὴν Τροίαν ἁλῶναι ὁ ἔνατος ἐνιαυτός, ὡς ἤδη τῶν ἐννέα βεβηκότων καιρὸν εἶναι τοῦ φυγεῖν· δεκάτῳ δὲ ἐνιαυτῷ ἁλῶναι τὴν Τροίαν ἔδει, οὗ παρελθόντος καιρὸς ἦν ἀναχωρήσεως. ἐπεὶ δὲ οὔπω παρῆλθεν ὁ δέκατος, μενετέον ἀλλ' οὐ φευκτέον καὶ ἐκδεκτέον τὸ πέρας τῆς μάχης· (v.

1.288 135) Τὸ δὲ τὰ δοῦρα σαπῆναι καὶ τὰ σπάρτα λελύσθαι ἀριδηλότατα κώλυμά ἐστιν οὐ μόνον φυγῆς ἀλλὰ καὶ τῆς ἁπλῶς ἐπανόδου. διὰ τοῦτο γάρ φησι καὶ τὸ πλέον τοῦ κινδύνου τοῖς Ἕλλησιν ἐν τῷ νόστῳ γενέσθαι ναυαγίοις περιπεπτωκόσι διὰ τὴν τῶν νηῶν σαθρότητα· Ὅθεν τινὲς καὶ τοὺς περὶ Κάλχαντα καὶ Ἀμφίλοχον πεζοὺς ἀπαλλαγῆναί φασι. μαντικοὶ γὰρ ὄντες προείδοντο τὸν ἐν θαλάσσῃ κίνδυνον. τοῦτο δέ, φασί, τὸ νόημα εἶπεν ἄν τις τοῖς Ἕλλησι, κἂν ἐξ ὀρθοῦ ἀποπλέειν αὐτοὺς ἐκώλυε. πρὸς μέντοι τὸ φαινόμενον βούλεται λέγειν, ὅτι φευκτέον

πρὶν διαφθαρῶσιν ἡμῖν αἱ νῆες τέλεον. (v. 136 s.) Καὶ τὸ τὰς ἀλόχους δὲ καὶ τὰ τέκνα προσμένειν τοὺς Ἕλληνας, αὐτοὺς δὲ μηδὲν ἔτι ἀνῦσαι ἐπ' ἀμφότερα νοεῖται, ὅτι τε ἐπανιτέον τοῖς ποθοῦσιν, ἵνα, εἰ καὶ μὴ μετὰ λαφύρων ἐπανέλθωμεν, κἂν γοῦν ἡμᾶς αὐτοὺς ἐπανασωσώμεθα, καὶ ὅτι οὐκ ἐπανιτέον ἀκλεῶς ἐπὶ ἀτελέστῳ ἔργῳ, ἵνα μὴ τὰς ἐλπίδας ἐκείναις αἰσχύνωμεν. Καὶ τὸ τῶν ἐνιαυτῶν δὲ ὁμοίως διπλόην ἔχει· οὐ φευκτέον ὡς τοῦ χρόνου τῆς ἁλώσεως πληρουμένου καὶ φευκτέον διὰ τὸ ἄπρακτον τοῦ τοιούτου χρόνου. καὶ τὰ ἄλλα δὲ ὁμοίως συμβιβασθήσεται κατὰ ἐννοίας διπλᾶς. νικῶσι μέντοι αἱ τοῦ φεύγειν ἀποτρεπτικαί, διότι ἐνταῦθά ἐστι τῷ βασιλεῖ ὁ τῆς δημηγορίας σκοπός. (v. 141) Μόνον δὲ ἀπὸ πάντων τὸ «οὐ γὰρ ἔτι Τροίην αἱρήσομεν εὐρυάγυιαν» παρασημειοῦνται οἱ παλαιοὶ ὡς παντελῶς λύον τὴν ἔμφασιν καὶ μὴ νοούμενον ἐν διπλότητι κατὰ ἀκολουθίαν τοῦ φεύγωμεν. Φασὶ δὲ καὶ ὅτι ἔν τισι τῶν ἀντιγράφων οὐδὲ ἐφέρετο τὸ τοιοῦτον, ὡς ἀφανιστικὸν τοῦ σχηματισμοῦ. (v. 139) Ὅρα δὲ καὶ ἐν τῷ «ἀλλ' ἄγετε, ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες», ὅτι τὸ πάντες οὐ μάτην παρέρριψεν ὁ ποιητής, ἀλλ' ἵνα τις τῶν γερόντων ἐντεῦθεν λαβὼν ἀφορμὴν ἀπάρξηται ἀντιλέγειν, ὡς ἐν τῷ προβουλίῳ ἤδη ὥρισται, εἰ καὶ μὴ ἔφθη τις οὕτω ποιῆσαι κινηθείσης τῆς ἀγορᾶς. ἔχει δέ τι βαθὺ καὶ τὸ «πειθώμεθα». εἰπὼν γάρ «πειθώμεθα» καὶ ἑαυτὸν τοῖς πειθομένοις συντέταχεν. αὐτὸς δὲ οὐ μόνον οὐ πείσεται, ἀλλὰ καὶ τοὺς ἄλλους κωλύσει. (v. 140) Καὶ τὸ φεύγωμεν δὲ ἄριστα τέθεικεν, ἵνα τις ἀντειπεῖν ἔχῃ· διὰ τί φευξούμεθα μηδενὸς διώκοντος φανερῶς; εἰ καὶ οἱ ἀκροαταὶ μηδέν τι περινοούμενοι τῶν λεγομένων ἐγένοντο καὶ πάνυ εὐπειθεῖς ὄντες κατὰ τὸ «καί οἱ πείθονται Ἀχαιοί» εὐθὺς ἀνίστανται καὶ τοῦ νόστου γίνονται κατὰ τὸ βασιλικὸν κέλευσμα· οἱ δ' αὐτοὶ μετ' ὀλίγα καὶ τῷ Ὀδυσσεῖ κοιρανέοντι μετὰ τοῦ βασιλικοῦ σκήπτρου ῥᾷον πείθονται.

1.289 Τὸ δέ «πατρίδα γαῖαν» ἐντελῶς καὶ νῦν πέφρασται, ὡς καὶ ἐν ἄλλοις καὶ ἐν τῷ «φράζει δ' ἀπὸ πατρίδος αἴης». ἐν οἷς ὅρα ὡς τὸ μέν «πατρίδα γαῖαν» διὰ τὸ ἀχάσμητον στοιχεῖ τῷ γ ἐν τῷ γαῖαν, τὸ δέ «πατρίδος αἴης» ἀπεστράφη αὐτό, οἷα καὶ αὐτοῦ δίχα εὔφωνον ὄν. καὶ οὕτω μὲν τοῦτο. Πατρίδα δὲ μόνον εἰπεῖν ἐλλιπῶς ἔχει, ὥσπερ καὶ τὸ πατρίς, καθὰ μυριαχοῦ φαίνεται. πατρίς τε γὰρ γῆ δηλαδὴ ἡ ἐκ πατέρων καὶ ὁ πατρίδα δὲ εἰπὼν γῆν συνεισάγει. πρωτότυπον δὲ πατρίδος ἡ πάτρα, ἧς χρῆσις καὶ ἐν τῷ «εὖ δ' ἐς πάτραν πλεύσαιμεν» καὶ ἐν τῷ «ὅρκους προδοῦσα καὶ πάτραν». [Οὐχ' ὑποκοριστικὸν δὲ ἡ πατρίς, ὡς οὐδὲ ἡ μητρίς, ἀλλ' ἁπλῶς παράγωγον. Ὡς δὲ ἀπὸ τοῦ γῶ τὸ χωρῶ καὶ τίκτω γέα διὰ τοῦ ε ψιλοῦ, ὅθεν κατὰ κρᾶσιν τὸ γῆ, ἔτι δὲ καὶ γαῖα διὰ διφθόγγου, ὡς τὸ μῶ μαῖα, δηλοῦσιν οἱ παλαιοί. παρ' οἷς καὶ ὅτι Γαιζῆται παρὰ τὴν γαῖαν οἱ Γαλάται, οἳ τῆς οἰκείας ἐκπεσόντες γαῖαν ἐζήτουν, ἐφ' ἧς οἰκήσουσι· καὶ ὅτι ἐκ τῆς γαίας καὶ γαῖος ἀπόγειος ἄνεμος καὶ βοῦς γαῖος ὁ ἐργατικός· καὶ ὅτι ἐκ τοῦ γέα, ὃ γράφεται διὰ ψιλοῦ τοῦ ε , γέϊος ἢ καὶ ἄλλως γάϊος παρὰ Ἰταλιώταις καὶ Ταραντίνοις ὁ μίσθιος, ἔστι δ' ὅτε καὶ ὁ παχὺς καὶ ἀναίσθητος ἄνθρωπος. Τὸ δὲ παρῆχθαι τὴν γαῖαν ἀπὸ τῆς γῆς, ἵνα ᾖ, ὡς σελήνη σεληναία, οὕτω γῆ γαῖα, οὐκ ἀρέσκει τοῖς παλαιοῖς. καὶ καλῶς ἄρα τοῦτο· ἐχρῆν γὰρ τῷ λόγῳ τούτῳ τὴν γαῖαν μὴ προπερισπᾶσθαι ἀλλὰ παροξύνεσθαι.] (v. 112) Σχέτλιον δὲ τὸν Δία καλεῖ ὡς σχετλιοποιὸν καὶ τοῦ σχετλιάζειν πολλοῖς γινόμενον αἴτιον. ὅτι δὲ καὶ ἄλλως οὐχ' ὑβριστικὸν ἀεὶ τὸ σχέτλιος, ἐν τοῖς ἑξῆς ἀριδήλως φανήσεται· σχέτλιος γὰρ ἔοικε λέγεσθαι ὁ πλέον τοῦ δέοντος καὶ ἐφ' οἷς οὐ καιρὸς προθυμούμενος καὶ ὡς εἰπεῖν ὁρμητίας, ὃν ἔδει σχέσθαι καὶ τλῆναι καὶ μὴ ὁρμῆσαι εἰς τὰ παρόντα. ὥσπερ δὲ τὸ νήπιος παρὰ τῷ ποιητῇ λέξις ἐστὶν ἐπιφωνητικὴ ἐπὶ τοῖς μὴ κατὰ βαθεῖαν σύνεσιν γινομένοις, οὕτω καὶ τὸ σχέτλιος ἐπιφωνεῖται ὡς ἐπὶ πολὺ τραχυτέροις καὶ αὐθεκάστοις προσώποις. ἔστι δὲ ὅτε σχέτλιος καὶ ὁ πολλὰ ἀνασχόμενος καὶ τλάς. (v. 112—4) Σημείωσαι δὲ καὶ ὡς πρός τινα ὑποσχόμενον, εἶτα δὴ ἀπατήσαντα, λεχθείη ἂν τὸ «σχέτλιος, ὃς πρὶν μέν μοι ὑπέσχετο καὶ κατένευσε, νῦν δὲ κακὴν

ἀπάτην βουλεύσατο». ὅτι δέ ἐστιν οὐ μόνον κακὴ ἀπάτη ἀλλὰ καὶ ἀγαθή, Αἰσχύλος δηλοῖ εἰπών· «ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεός».

1.290 εἴη δὲ ἂν ἀπάτη ἀγαθὴ ἡ ἐν καιρῷ καὶ οὐδ’ ἐπιβλαβής. [τῇ δὲ τοιαύτῃ γνώμῃ συγγενὲς καὶ Ἡροδότου τὸ «ἔνθα χρή τι ψεῦδος λέγεσθαι, λεγέσθω». οὕτω καὶ δόλιος Ὀδυσσεὺς κατὰ ἔπαινον καὶ πᾶς δὲ ὁστισοῦν στρατηγός.] Ἀπάτη δὲ καὶ ἀπατῶ γίνεται ἐκ τοῦ α στερητικοῦ καὶ τοῦ πάτος ἡ τετριμμένη ὁδός· ἀπάτη γάρ ἐστιν ἡ τοῦ ὀρθοῦ ἔκνευσις εἰς τὸ πλάγιον καὶ δόλιον. τάχα δὲ καὶ ἐκ τοῦ ἀτῶ τὸ βλάπτω καὶ ἐκ τῆς ἄτης γίνεται ἡ ἀπάτη καὶ τὸ ἀπατᾶν, ὡς καὶ ἐκ τοῦ ἰδεῖν τὸ ἀπιδεῖν. καὶ ἐν τοῖς ἑξῆς δὲ ῥηθήσεταί τι περὶ τοῦ ἀπατᾶν. (v. 116) Τὸ δέ «οὕτω που Διῒ μέλλει» κατὰ λέξιν μίαν παρῳδηθὲν γένοιτ’ ἂν οἰκεῖον ῥηθῆναι ὑπό τινος ἀπορουμένου ἐπὶ θείαις οἰκονομίαις, οἷον· «οὕτω που θεῷ μέλλει ὑπερμενέϊ φίλον εἶναι». (v. 117 s.) Στρατηγῷ δὲ ἢ μάλιστα γενναίῳ βασιλεῖ πρέπον ἐπιλεχθῆναι τὸ «ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα ἠδ’ ἔτι καὶ λύσει· τοῦ γὰρ κράτος ἐστὶ μέγιστον». [(v. 118) Ἔστι δὲ τὸ «ἠδ’ ἔτι καὶ λύσει» ἀντὶ τοῦ «καὶ ἔτι λύσει», ὥστε περιττῶς κεῖται ὁ και σύνδεσμος.] (v. 117) Μεγαλοπρεπῶς δὲ εἴρηται τὸ κάρηνα διὰ τὰς ὑψηλὰς πόλεις καὶ ἐπιδόξους. εἰ δὲ κάρηνα πόλεων τετόλμηται εἰπεῖν τὰς ἀκροπόλεις ἢ ἁπλῶς τὰς ἐξοχὰς καὶ οἷον κορυφάς, ἀσφαλῶς ἂν προϊὼν καὶ πόλεως ἐρεῖ κρήδεμνα. κεφαλῆς γὰρ ἤτοι καρήνου κόσμος τὸ κρήδεμνον, ὃ καὶ ἐπίκρανον κεφαλῆς ἡ τραγῳδία φησίν, ἣν ζηλοῦσι καὶ οἱ κίονος ἐπίκρανον φάμενοι. εἰ δ’ οὕτω ταῦτ’ ἔστι, προσφυῶς Εὐριπίδης περὶ Τροίας φησὶ τὸ «ἀπὸ δὲ στεφάναν κέκαρσαι πύργων». ὡς γὰρ κρήδεμνον κεφαλῆς, οὕτω καὶ τὸ στεφανοῦσθαι αὐτῆς ἴδιον, ἤδη δέ ποτε καὶ τὸ κείρεσθαι. διὸ οἷα συστοίχως ἔχοντα χρηστά εἰσιν εἰς μίαν τροπήν. ὡς δὲ καὶ πίθου κρήδεμνον λέγεται, ἡ Ὀδύσσεια δηλοῖ. Ὅρα δὲ ὅτι οὐκ Ἄρεϊ οὐδὲ Ἀθηνᾷ ἢ Ἐνυοῖ τὴν τῶν πόλεων ἅλωσιν ὁ ποιητὴς ἀλλὰ τῷ Διῒ ἐπιγράφει ὡς ἐφόρῳ τῶν στρατευμάτων. διὸ κατὰ Ἡρόδοτον Κᾶρες Διῒ Στρατίῳ θυσίας ἀνάγουσι καὶ ἡ θυγάτηρ Ἀθηνᾶ Στρατία. ἴσως δὲ κάρηνα πόλεων καὶ αἱ κεφαλαὶ αὐτῶν ἤγουν οἱ βασιλεῖς. (v. 119) Ἔτι ἰστέον καὶ ὅτι ὁ δυσανασχετῶν ἐπί τινι κακῶς γινομένῳ ἐρεῖ ἄν, ὡς αἰσχρὸν τόδε γ’ ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι, [ὅτε εἰ καὶ ἐπὶ πολέμῳ ἡ αἰσχύνη, πρέπει ἐπαγαγεῖν καὶ τὸ «μὰψ οὕτω τοιόνδε τοσόνδε τε λαὸν ἄπρηκτον πόλεμον» καὶ ἑξῆς, ὡς προέκκειται· (v. 121 s.) Καὶ ὅτι ταὐτολογεῖ τὸ πολεμίζειν καὶ τὸ μάχεσθαι·] Καὶ ὅτι τὸ «τέλος οὔπω τι πέφανται» ἀντὶ τοῦ πέφηνεν ἀπὸ τοῦ φαίνω, ὥσπερ καὶ ἀπὸ τοῦ ξηραίνω ἐξήρανται, οἷον «ἐξήρανται ἡ χείρ». πολλὰ δὲ καὶ ἕτερα τοιαῦτα, ἐν οἷς καὶ τὸ «κατέξανται δέμας» παρ’ Εὐριπίδῃ καὶ «πέφανται λιμήν» καὶ παρὰ Σοφοκλεῖ «κλεινὸν ἔπος πέφανται». (v. 123—8) Ὅτι θέλων δεῖξαι ὁ ποιητὴς ὑπὲρ δεκαπλασίονας εἶναι, ὡς προείρηται, τῶν Ἑλλήνων τοὺς ἐφεστίους Τρῶας, χρᾶται τοιούτῳ σχήματι ὑποθετικῷ· «εἴπερ ἂν ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε ὅρκια πιστὰ ταμόντες ἀριθμηθήμεναι ἄμφω, Τρῶας μὲν [λέξασθαι», ἤγουν ἐπι]λέξασθαι, «ὅσοι εἰσὶν ἐφέστιοι, ἡμεῖς δ’ ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοί, Τρώων δ’ ἄνδρα ἕκαστον ἑλοίμεθα οἰνοχοεύειν, πολλαί κεν δεκάδες δευοίατο οἰνοχόοιο».

1.291 Λέγει δὲ ὅτι, ἐὰν καθ’ ὑπόθεσιν ὁρκίων ἡμῖν γενομένων καὶ πολέμου ἀνοχῆς ὁρισθείσης ἐνσπόνδου ἡμεῖς μὲν δαιτυμόνων νόμῳ ἀνακλιθῶμεν, ἑλοίμεθα δὲ οἰνοχοεῖσθαι ὑπὸ τῶν ἐφεστίων Τρώων διαιρεθέντες κατὰ δεκάδας, ἐπιστήσωμεν δὲ ἑκάστῃ δεκάδι Ἑλληνικῇ Τρωϊκὸν ἕνα οἰνοχόον, πολλαὶ ἂν δεκάδες δέοιντο καὶ οὐκ ἔχοιεν τὸν οἰνοχοήσοντα, ὡς ἐκ τούτου φαίνεσθαι πολλαπλασίους ἤγουν ὑπὲρ δεκαπλασίους εἶναι τῶν Τρώων τοὺς Ἕλληνας. διὸ καὶ λέγει θαυμαστικῶς· «τόσσον ἐγώ φημι πλέας εἶναι Ἀχαιοὺς Τρώων, οἳ ναίουσι κατὰ πτόλιν». τοῦτο δὲ ἐφερμηνευτικόν ἐστι τοῦ ἐφέστιοι (v. 125) Ἐφέστιος γὰρ ὁ κατὰ πόλιν οἰκῶν καὶ ἑστίαν ἔχων. οἱ δὲ ἐπίκουροι κατὰ τοῦτον τὸν λόγον οὐκ ἐφέστιοι. οὕτω δὲ καὶ ἀνωτέρω τὸ «ὑπερμενέϊ Διΐ» ἑρμηνεύων ἔφη· «τοῦ γὰρ κράτος ἐστὶ μέγιστον». καὶ κατωτέρω δὲ εἰπών «οἵ με μέγα πλάζουσιν», ἐπάγει διασαφῶν· «καὶ οὐκ ἐῶσιν ἐκπέρσαι Ἴλιον», οἱονεὶ λέγων, ὅτι

πλάζεσθαι λέγω τὸ μὴ ἐᾶσθαι ἑλεῖν τὴν Ἴλιον. (v. 124) Ὅρα δὲ τὸ ἄμφω τεθὲν ἐπὶ Τρώων καὶ Ἑλλήνων. οὐ γὰρ μόνον ἐπὶ δύο προσώπων ἡ λέξις τίθεται, ὡς ἐν τῷ «ἄμφω ὁμῶς θυμῷ φιλέουσα», ἀλλὰ καὶ ἐπὶ δύο λαῶν ἢ στρατευμάτων, ὡς ἐνταῦθα ἐν τῷ «ἀριθμηθῆναι ἄμφω». (v. 125 s.) Σημείωσαι δὲ καὶ τὴν καινότητα τοῦ σχήματος τοῦ «Τρῶας μὲν λέξασθαι, ἡμεῖς δ᾽ ἐς δεκάδας διακοσμηθεῖμεν». ὤφειλε μὲν γὰρ εἰπεῖν· Τρῶας μὲν λέξασθαι, ἡμᾶς δὲ διακοσμηθῆναι. ὁ δὲ καινότερον ἐσχημάτισεν οὐκ ἀκολούθως τῷ Τρῶας ἐπενεγκὼν τὸ ἡμεῖς. διὸ ἔν τισιν ἀντιγράφοις εὕρηται, φασί, «Τρῶες μέν», ἵνα ὁμοίως ἐπάγηται τὸ ἡμεῖς δέ. (v. 129) Ὅρα δὲ καὶ τὴν συγκοπὴν τοῦ πλέας ἀπὸ τοῦ πλέονας καὶ ἔστιν ὁμοία τῷ χέρηϊ καὶ τοῖς τοιούτοις. (v. 126) συγκέκοπται δὲ ὁμοίως καὶ τὸ «κοσμηθεῖμεν», οὗ τὸ δεύτερον εἴη ἂν ἀκολούθως κοσμηθεῖτε, τὸ δὲ τρίτον κοσμηθεῖεν. Κατὰ δεκάδας δὲ διαιρεῖ τοὺς δαιτυμόνας ὁ βασιλεύς· ἐπεί, φασί, ἔθος ἦν μὴ πλέονας τῶν δέκα συνεσθίειν. Ἱστορεῖ γοῦν καὶ ὁ σοφώτατος Ἰάμβλιχος τὰ Πυθαγορικὰ συσσίτια μὴ ἔχειν πλεῖον ἢ δέκα ἀνθρώπους συνευωχουμένους. Φασὶ δὲ οἱ παλαιοὶ ἐνταῦθα καί, ὅτι μεγαλοπρεπῶς καὶ ἀστείως ὁ βασιλεὺς καὶ ἐν τῷ καθ᾽ ὑπόθεσιν τούτῳ συμποσίῳ δουλείαν τοῖς Τρωσὶν οἰωνίζεται· ὑπηρετικὸν γὰρ τὸ οἰνοχοεῖν. Λέγουσι δὲ καὶ ἐπίτηδες οἰνοχοεύειν εἰπεῖν τοὺς Τρῶας ἢ μυκτηρίζοντα εἰς τὸν Γανυμήδην, ὃν λόγος ἦν οἰνοχοεύειν τῷ Διῒ Τρωϊκὸν ὄντα, ὡς δι᾽ ἐκεῖνον τοιούτους εἶναι καὶ τοὺς Τρῶας, ἢ διαπαίζοντα ἐκείνους ὡς ἐν συμποσίοις ἀλαζονευομένους.

1.292 Παρασημειοῦνται δὲ καί, ὅτι Ἴλιον μὲν ὁ ποιητὴς πολλαχοῦ τὴν Τροίαν λέγει, ἐθνικὸν δὲ οὐδαμοῦ λέγει τοὺς Ἰλιεῖς, ἀλλὰ Τρῶας ἁπανταχοῦ. οὕτω καὶ τὴν Εὔβοιαν εἰδὼς τοὺς πολίτας οὐ λέγει Εὐβοεῖς ἀλλὰ Ἄβαντας. τοῦτο δὲ καὶ ἐπὶ ἄλλων ἐν τοῖς ἑξῆς φανεῖται γινόμενον. Παραπηγνύουσι δὲ σημείωσιν καὶ περὶ τῆς τοῦ Ἀχιλλέως ὕβρεως εἰπόντος οἰνοβαρῆ τὸν Ἀγαμέμνονα. ἰδοὺ γάρ, φασίν, ἐνταῦθα τοὺς Ἕλληνας ἀριθμῶν ἀπὸ συμποσίου τὴν μέθοδον ἔλαβεν ὡς φίλοινος καὶ περὶ τοιαῦτα κεχηνώς· ἐνῆν γὰρ καὶ ἄλλως μεθοδεῦσαι τὴν αὐτῶν ἀρίθμησιν. Τὸ δὲ ὑπὲρ δεκαπλασίους εἶναι τῶν Τρώων τοὺς Ἕλληνας ὑπερβολικῶς εἰρῆσθαί φασι λέγοντες Τρώων μὲν εἶναι μυριάδας πέντε, Ἑλλήνων δὲ δώδεκα, ἢ κατὰ τὸν Ἀρίσταρχον δεκατέσσαρας καὶ δύο χιλιάδες καὶ τριακόσιοι εἴκοσι. Σημείωσαι δὲ ὅτι Ἀγαμέμνων μὲν Ἀχαιοῖς δέκα ἕνα ἐπιστήσας οἰνοχόον Τρῶα μετρίως ἔφη· ὁ δὲ παρ᾽ Ἡροδότῳ Ξέρξης ὀγκηρότατα μετρεῖ τοὺς ἑαυτοῦ εἰπὼν πρὸς Δημάρατον, ὅτι τῷ στρατῷ τῶν Λακεδαιμονίων συγκρινόμενοι πλείονες περὶ ἕνα ἕκαστον γινόμεθα ἢ χίλιοι. (v. 129) [Τὸ δέ «ἐγώ φημι» σεμνόν ἐστιν ὡς ἀξιωματικῶς λεχθέν· οὐ γὰρ ἔφη ἐγὼ οἴομαι, ἀλλ᾽ ἐγὼ ἀποφαίνομαι.] (v. 124) Τὸ δέ «ὅρκια πιστὰ ταμόντες» ἀντὶ τοῦ τελέσαντες, θύσαντες. τοῦτο γὰρ δηλοῖ τὸ ταμόντες· διὰ τομῆς γὰρ ζῴων θυομένων οἱ ἐπὶ μεγάλοις ὅρκοι ἐγίνοντο. ἀεὶ τοίνυν οὕτω λέγει ὁ ποιητὴς κατὰ διάλεκτον Ἰωνικήν, ὡς καὶ παρὰ Ἡροδότῳ ἐστὶν εὑρεῖν. (v. 130 ss.) Ἰστέον δὲ ὅτι πάνυ ὀνειδιστικῶς εἰπὼν καὶ πικρῶς τὸ ὑπὲρ δεκαπλασίους ὄντας τοὺς Ἕλληνας τῶν Τρώων, ὅμως μηδὲν ἀνῦσαι εἰς κρίσιν νίκης ἢ ἥττης παραμυθεῖται προσηνέστερον τὸ ὄνειδος ἐπαγαγών, ὅτι «ἀλλ᾽ ἐπίκουροι πολλέων ἐκ πολίων ἐγχέσπαλοι ἄνδρες εἰσίν», ἀνισάζοντες τοῖς Τρωσὶ τὸ ἐλάττωμα, «οἵ με μέγα πλάζουσι» καὶ τὰ ἑξῆς· ἐν οἷς καὶ τὸ «Διὸς μεγάλου ἐνιαυτοί» καὶ τὸ «δοῦρα σέσηπε» καὶ «σπάρτα λέλυνται» καὶ τὸ «νήπια τέκνα» καὶ τὸ «ἔργον ἀκράαντον, οὗ εἵνεκα δεῦρ᾽ ἱκόμεσθα», [ὧν ἡ περιοχὴ πρὸς ἱστορίαν «ἐννέα δὴ βεβάασι» καὶ ἑξῆς, ὡς προείρηται.] δι᾽ ὧν ὀνειδίζει τῷ ἑαυτοῦ συμμαχικῷ ὁ βασιλεύς, ὡς δέον ὂν ἀναχωρῆσαι, εἴπερ οἱ μὲν ἐπίκτητοι τῶν Τρώων οὕτω μάχονται, αὐτοὶ δὲ οὔκ εἰσιν ἀξιόμαχοι πρὸς ἐκείνους. Καὶ [ὅρα τό τε «πολλέων ἐκ πολίων» κάλλος τι ἔχον παρηχητικὸν καὶ τὸ «τοιόνδε τοσόνδε τε» καλὸν ὂν ὡς πάρισον καὶ] τὸ «πλάζουσιν» ἀντὶ τοῦ ἀποπλανῶσι τοῦ σκοποῦ.

1.293 χρησιμεύει γὰρ τοῦτο εἰς τὸ παλιμπλαγχθέντας, ὅπερ ἐν τῇ α′ ῥαψῳδίᾳ εἴρηται. [(v. 134) Τὸ δὲ βεβάασιν Ἰωνικὴν ἀπέλευσιν ἔχει τοῦ κ καὶ συστολὴν τοῦ η εἰς α καὶ γεννᾷ κατὰ κρᾶσιν τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βεβᾶσι κατὰ τὸ ἑστήκασιν, ἑστήασιν, ἑστάασιν, ἑστᾶσι.] Διὸς δὲ μεγάλου ἐνιαυτοὶ ἀντὶ τοῦ ἡλίου· μέτρον γὰρ κινήσεως ἡλιακῆς ὁ χρόνος ἐστίν. [Εἰ δέ που καὶ Κρόνος μέγας εὕρηται λεγόμενος, εὑρίσκεται δὲ οἰκεῖον καὶ ἐκεῖ τὸ μέγας διὰ τὸ τοῦ ἀστέρος πολὺ μέγεθος.] Σημείωσαι δὲ ὅτι ὁ ἐνιαυτός γίνεται μὲν ἀπὸ τοῦ ἰαύω, τὸ διατρίβω, δηλοῖ δὲ χρόνον μακρόν· ἰαύειν μὲν γὰρ τὸ διατρίβειν, διατρίβειν δὲ τὸ ἀργεῖν. Ἐνιαυτὸς γοῦν χρόνος ὁ διατριβὴν ἔχων καὶ μὴ σύντομος. διὸ καὶ ἐπίθετον τοῦ ἔτους εἴληπται παρὰ τῷ Κωμικῷ εἰπόντι ἐτῶν ἐνιαυτούς. (v. 135) Τὸ δέ «δοῦρα σέσηπεν» Ἀττικόν· Ἀθηναῖοι γὰρ πληθυντικοῖς οὐδετέροις ἑνικὰ ἐπάγουσι ῥήματα. τὸ μέντοι «σπάρτα λέλυνται» κοινόν. διὸ καί φασιν οἱ παλαιοί, ὅτι ἐνὶ στίχῳ ἔθηκε τὴν Ἀτθίδα καὶ τὴν κοινὴν χρῆσιν. [Δοῦρα δὲ νεῶν πρὸς διαστολὴν τῶν τε κατὰ τὴν μάχην καὶ τῶν ἁπλῶς ξύλων κατὰ τὸ «ἀνήλυθεν ἐκ δόρυ γαίης». παθητικὸν δὲ τὸ σέσηπε, καθὰ καὶ τὸ διέφθορεν ἐν τῷ «μαινόμενε, φρένας ἠλέ, διέφθορας». Τινὲς μέντοι αὐτὸ ἐνεργητικῶς νοοῦσιν, ἵνα λέγῃ ὅτι διέφθαρκας, ἃς εἶχες φρένας. αὐτοὶ δὲ παραφέρουσι καὶ χρῆσιν ὁμοίαν ἐκ Μενάνδρου τὸ «εἰ δ’ ἔστιν οὗτος τὴν κόρην διεφθορώς» καὶ Ἀριστοφάνους τὸ «διέφθορας τὸν ὅρκον ἡμῶν». Ὥστε διέφθορέ τις, φασίν, ἕτερον, διέφθαρται δὲ ὑφ’ ἑτέρου. προσθετέον δὲ καὶ Σοφοκλέους τὸ «τὰς οὔσας τέ μου καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορας.] Σπάρτα δὲ τὰ σχοινία ὡς ἀπὸ παλαιοῦ ἔθους· ἐοίκασι γάρ, ὃ δὴ καὶ νῦν πολλαχοῦ γίνεται, σπάρτων φυτοῖς χρᾶσθαι οἱ παλαιοὶ εἰς πλοκὴν σχοινίων. καὶ ἦν ἐν λόγῳ σπάρτος Ἰβηρικὴ παρὰ τοῖς παλαιοῖς. λέγει δέ που καὶ γῆν σπαρτοφόρον ὁ Γεωγράφος καὶ σχοινοπλοκικὴν σπάρτον. καὶ μέχρι δὲ νῦν εἶδός τι σχοινίου οἱ ἰχθυοβόλοι σπαρτίναν ὀνομάζουσι. καὶ ὁ Κωμικὸς δὲ τοῦτο παρεμφαίνει ἐν τοῖς Ὄρνισιν, ἔνθα παίζων περὶ τῆς Λακωνικῆς Σπάρτης ὡς παρωνυμουμένης ἀπὸ φυτοῦ σπάρτου φησὶ μὴ ἂν δεηθῆναι σπάρτης κειρίαν ἔχων ἤτοι μὴ δεηθῆναι σπαρτίνου πλέγματος, ἐὰν ἄλλην ἔχῃ κειρίαν ἤτοι δεσμὸν κλίνης.

1.294 ἀλλὰ τί 〈δεῖ〉 πλείω λέγειν; ὅπου καὶ σχοῖνος ἐκ τοῦ φυτοῦ τῆς σχοίνου λέγεται· ἐπεὶ τὸ παλαιὸν ἐκ φυτῶν σχοίνων ἐπλέκοντο τὰ τοιαῦτα, ὃ καὶ νῦν ἔτι πολλαχοῦ παραμένει. Ἐν γοῦν Πελοποννήσῳ πολλοὶ οὕτω ποιοῦντες ἐπιλέγουσι καὶ καιρὸν ἐπιτήδειον τῇ τοῦ τοιούτου σχοίνου τομῇ λέγοντες· «Μαΐου βροῦλον, ποντία κάνναβις». Ἴδε δὲ καὶ ὅτι ἐπὶ ξύλου μὲν ἔθηκε τὸ σήπεσθαι, ἐπὶ δὲ σχοίνου τὸ λύεσθαι, [ὅ ἐστιν ἀναλύεσθαι· καὶ ὅτι οὐκ ἀεὶ ὁ μέσος παρακείμενος καὶ ἐνέργειαν δηλοῖ, ὡς ἐν τῷ «δέδορκά σε» ἤγουν βλέπω σε· καὶ πάθος, ὡς ἐν τῷ «δεδορκὼς ἄστρον ὣς λάμψειν» ἤγουν θεαθείς. ἀλλὰ μυριαχοῦ ποτὲ μὲν μόνην ἐνέργειαν ὑποβάλλει νοεῖν, ὡς καὶ ἐν τῷ λέλοιπα καὶ λέλογχα, ποτὲ δὲ μόνον πάθος, ὡς ἐνταῦθα σέσηπε τὸ ἐσάπη. ὅμοιον δὲ καὶ τὸ τέτηκεν· ἀντὶ τοῦ ἐτάκη γάρ. Δῆλον δὲ ὡς μεταπλασμὸν γένους ἔχει τὸ σπάρτα· ὡς γὰρ ἡ κέλευθος, τὸ κέλευθον, οὕτω καὶ ἡ σπάρτος, τὸ σπάρτον.] (v. 136) Νήπια δὲ τέκνα φησὶ τὰ κατὰ τὸν καιρὸν τοῦ ἀπόπλου ἐαθέντα τοιαῦτα. νῦν γὰρ οὐκέτι ἂν εἶεν νήπια δεκαετῆ που ὄντα, ἐὰν τηνικαῦτα ἦσαν ἡλικίας βρεφικῆς. (v. 137) Σημείωσαι δὲ [ὅτι τε τὸ εἵαται, εἰ καὶ νοεῖται νῦν ἀντὶ τοῦ κάθηνται, ὅμως προσφυέστερον καὶ οὐδὲ ἔξω ἀναλογίας ἐστὶ ληφθῆναι ἀντὶ τοῦ εἰσί, καθὰ ἐν τῷ υ′ τῆς Ὀδυσσείας δηλοῦται σαφῶς, καὶ] ὅτι ἀνωτέρω εἰπών, ὡς πολεμοῦσιν ἡμῖν οὔπω τι τέλος πέφανται, παρακατιὼν τὸ αὐτὸ παρέφρασε λέγων σαφέστερον· «ἡμῖν δὲ τὸ ἔργον οὕτως ἀκράαντον, οὗ ἕνεκεν δεῦρο ἱκόμεθα», μονονουχὶ λέγων, ὅτι, κἂν πόλεις πολλὰς ἄλλας παρεστησάμεθα, ἀλλ’ ὁ σκοπὸς ἡμῖν οὐκ ἤνυσται, ἡ τῆς Τροίας ἅλωσις, ναὶ μὴν καὶ ἡ τῆς Ἑλένης ἀνακομιδή. ἐρεῖ οὖν ὁ ποιητής· «ἧς ἕνεκεν πολλοὶ Ἀχαιῶν ἐν Τροίᾳ ὤλοντο». Καὶ σημείωσαι ἐν τούτοις, ὅτι πρῶτος Ὅμηρος τέλος εἶπεν εἶναι τὸ οὗ ἕνεκεν. (v. 142 s.) Ὅτι τὸν κοινὸν λαὸν πολύν φασιν οἱ σοφοὶ διαστέλλοντες πρὸς τοὺς βουλευτὰς οὐ πολλοὺς ὄντας. εἰλήφασι δὲ καὶ τοῦτο ἐκ τοῦ ποιητοῦ πληθὺν ἐνταῦθα εἰπόντος τοὺς ἐν τῇ ἀγορᾷ ἐν τῷ «τοῖς δὲ θυμὸν ὄρινε πᾶσι μετὰ πληθύν, ὅσοι οὐ βουλῆς ἐπάκουσαν». ἐκ δὲ τῆς τοιαύτης ἀγοραίας πληθύος καὶ ἀγοραῖος ἀνὴρ ἢ ὄχλος ἐπὶ σκώμματος λέγεται. καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγοράζειν δὲ ἐντεῦθεν τὸ διατρίβειν ἐν ἀγορᾷ. (v. 144—9) Ὅτι τὴν τῶν Ἀχαιῶν κίνησιν τὴν ἀπὸ τῆς ἀγορᾶς, ὅτε οἴκαδε ἵεντο, δυσὶ παραβολαῖς διδάσκει, ὁποία τις ἦν, μιᾷ μὲν ἀπὸ θαλάσσης λέγων· «κινήθη δ' ἀγορὴ ὡς κύματα μακρὰ θαλάσσης πόντου Ἰκαρίοιο, τὰ μέν τε», ἤγουν ἅπερ, «Εὖρός τε Νότος τε ὤρορ' ἐπαΐξας πατρὸς Διὸς ἐκ νεφελάων».

1.295 ἑτέρᾳ δὲ ἠπειρωτικῇ τοιαύτῃ· «ὡς δ' ὅτε κινήσει Ζέφυρος βαθὺ λήϊον ἐπελθὼν λάβρος, ἐπαιγίζων, ἐπί τ' ἠμύει ἀσταχύεσσιν, ὣς τῶν πᾶσ' ἀγορὴ κινήθη». Ἔστι δὲ κατὰ τοὺς παλαιοὺς αὕτη μὲν ἡ παραβολὴ διὰ τὴν ὁμοθυμαδὸν ὁρμὴν ἑκάστου τῶν Ἑλλήνων· ἡ δὲ πρώτη πρὸς τὸν τάραχον. διὸ καὶ ἐπάγει ὁ ποιητής, ὅτι ἀλαλητῷ εἰς τὰς νῆας ὥρμων. Καὶ ἔχει καλῶς ὁ τοιοῦτος τῶν παλαιῶν λόγος· οὐ γὰρ τὴν ἁπλῶς κίνησιν τῶν Ἑλλήνων ἔδει κύμασι παραβαλεῖν ἀλλὰ τὴν μετὰ πολλοῦ θορύβου. τάχα δὲ καὶ ἄλλως αὐτὴ μὲν τὴν κατὰ ἴλας καὶ φῦλα κίνησιν τῶν Ἀχαιῶν δηλοῖ, ἡ δὲ τοῦ ληΐου τὴν κατὰ ἄνδρα ἕκαστον, ὅπερ Ὅμηρός φησι φῶτα ἕκαστον μετ' ὀλίγα. ἡ γὰρ ἁπλῶς ἑνὸς ἑκάστου τῶν Ἑλλήνων ὁρμὴ καλῶς ἂν εἰκάζοιτο ἀσταχύεσσιν, οἳ ἀνέμου ἐπιπνέοντος ἐπικεκυφότες κινοῦνται. (v. 144) Κύματα δὲ μακρὰ τὰ ὑψηλὰ λέγει, τουτέστι τὰ εἰς ὕψος κορυφούμενα· οὕτω γὰρ καὶ μακρὸς Ὄλυμπος ὁ ὑψηλός. ἔστι δὲ ὅτε ἡ λέξις καὶ τὸ βαθὺ σημαίνει, ὡς ὅτε φρέατα μακρὰ λέγονται, ἤγουν βαθέα, καὶ οὐχ' ἁπλῶς, ἀλλὰ πάνυ βαθέα· οὐ γὰρ πᾶν βαθὺ ἤδη καὶ μακρὸν λέγεται. ἐνταῦθα γοῦν κύματα μὲν μακρά, λήϊον δὲ βαθύ, οὐ μὴν μακρόν. (v. 145) Πόντος δὲ Ἰκάριος μέρος τι τοῦ Αἰγαίου Εὔρῳ καὶ Νότῳ μάλιστα κυμαινόμενος· ἔνθα, ὡς καὶ ὁ Περιηγητὴς ἱστορεῖ, μεγάλα ἐγείρονται κύματα· καὶ ἡ αἰτία ἐρρέθη ἐκεῖ. Ἰκάριος δὲ πόντος ἢ ἀπὸ Ἰκάρου τοῦ θρυλλουμένου υἱοῦ Δαιδάλου, ὃς αὐτόθι καταπεσὼν ἀπεπνίγη καὶ ἀφῆκε τῷ πόντῳ τὴν ἐξ αὐτοῦ κλῆσιν, ἢ ἀπὸ νησίου τινὸς αὐτόθι ὄντος, ὡς ἐρρέθη ἐν τοῖς εἰς τὸν Περιηγητήν. Κἀνταῦθα δὲ ἀρκέσει τοσοῦτον εἰπεῖν, ὅτι κατὰ τὸν Γεωγράφον παράκειται τῇ Σάμῳ νῆσος Ἰκαρία, ἀφ' ἧς τὸ Ἰκάριον πέλαγος. αὐτὴ δὲ ἐπώνυμος Ἰκάρου παιδὸς Δαιδάλου, ὃς κηρίνοις, φησί, πτεροῖς μετεωρισθεὶς πρὸς ἥλιον καὶ μὴ κρατήσας τοῦ δρόμου τακέντος τοῦ κηροῦ καὶ περιρρυέντων τῶν πτερῶν αὐτόθι κατέπεσεν. Ἰστέον δὲ ὅτι χαριέντως νοηθείη ἂν Ἴκαρος ἅπας ὁστισοῦν τῶν νῦν ἐπιτρίπτων ἀποτελεσματικῶν, οἳ κατά τινα κῆρα πτερυσσόμενοι ἄνω δι' εὕρεσιν ἀληθείας, εἶτα εἰς πόντον ψεύδους καταδύονται πίπτοντες. Ἔρημος δέ, φασίν, ἡ Ἰκαρία· νομὰς δ' ἔχει, αἷς χρῶνται Σάμιοι. ἐν τῷ Ἰκαρίῳ δὲ πελάγει, φασί, καὶ ἡ Σάμος κεῖται, ᾧ συνάπτει πρὸς Νότον τὸ Καρπάθιον. (v. 146) Τὸ δὲ ὤρορε γίνεται μὲν ἐκ τοῦ ὦρα παρακειμένου, Ἀττικῶς ὄρωρε, καὶ δηλοῖ τὸ διήγειρεν. ἔπαθε δὲ ὑπέρθεσιν χρόνου μετατεθέντος τοῦ ω μεγάλου εἰς τὴν ἄρχουσαν. καὶ τοῦτο καὶ ἐν τοῖς ἑξῆς πολλαχοῦ εὑρεθήσεται. Οὕτω ποτὲ καὶ ἡ τοῦ Κρονίωνος συστέλλεται παραλήγουσα χρόνου μεταθέσει. ὁ γὰρ Κρονίων, εἰ μὲν βραχύνει τὸ παραλῆγον δίχρονον, φυλάττει τὸ ω ἐν τῇ γενικῇ· εἰ δὲ ἐκτείνει αὐτό, ἀλλάσσει τὸ μακρὸν ω ἐν τῇ γενικῇ.

1.296 οὕτω καὶ τὸ ἠνάλωτο ἐκ τοῦ ἀνήλωτο μετηλλάγη τῷ χρόνῳ καὶ τὸ ἠναντιοῦτο ἀπὸ τοῦ ἐνηντιοῦτο. Ὅρα δὲ καὶ τὸ πατρός, ὅτι νῦν μὲν ἀπολύτως εἴρηκεν ἐπὶ Διός, ἀλλαχοῦ δὲ προστίθησιν, ὡς καὶ προείρηται, καὶ ὅτι πατήρ ἐστιν ἀνδρῶν τε θεῶν τε. Διὸς δὲ νεφέλας ἀντὶ τοῦ ἀερίας νεφέλας· ἐντεῦθεν γὰρ νεφεληγερέτης ὁ Ζεύς, ὃς οὐδ' ἂν εἴη εὔδιος ἢ εὐδίαν ποιῶν, ὅτε νεφέλας ἀγείρει. (v. 147) Ὁ δὲ Ζέφυρος Βορρᾶς τίς ἐστι καὶ αὐτὸς συμπληρῶν τοὺς ἀστάχυας κἀντεῦθεν οὕτω καλούμενος ὡς τὸ ζῆν φέρων ἡμῖν ἤτοι ζωοφόρος. καὶ Βορρᾶς δὲ κατὰ τοὺς παλαιοὺς παρὰ τὴν βοράν, ὅ ἐστι τὴν τροφήν, ὡς ἐν τῇ μεστώσει τῶν σταχύων τροφὴν διδούς. διὸ καὶ ἐπὶ τοῦ Ἰκαρίου πόντου Εὖρον εἰπὼν καὶ Νότον τοὺς μάλιστα ἐκεῖνον κυμαίνοντας, ἐνταῦθα οὐκ ἐκείνων ἀλλὰ Ζεφύρου ἐμνήσθη, οὗ μάλιστα χρεία τῷ ληΐῳ. οὐδὲ γὰρ εἰκῇ οὐδὲ τὰ τοιαῦτα λαλεῖ ὁ ποιητής. Καίτοι τινὲς ἑσπέριον, ὅ ἐστιν ἀπὸ δύσεως, ἄνεμον εἶναι τὸν Ζέφυρον λέγοντες ζοφουρόν τινα ἐτυμολογοῦσιν αὐτὸν ἤτοι οὖρον ἀπὸ ζόφου ἀντὶ τοῦ ἄνεμον δυτικόν, [οὗ καταπνέοντος καὶ ἁδρύνεται τὸ λήϊον καὶ ὡς οἷον κυμαίνεται. οὐδὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ οὐδὲ ἡ δευτέρα παραβολὴ ἀπέχεται τοῦτό γε τῆς πρώτης, εἴ τις βαλὼν ὄψεις εἰς λήϊον Ζεφύρῳ κινούμενον εἰκασμόν τινα κυμάτων κινήσεως ἐν αὐτῷ φαντάσεται. εἰπεῖν γὰρ κατὰ τὸν ποιητήν· «πρὸ μέν τ' ἄλλοι στάχυες, αὐτὰρ ἔπ' ἄλλοι» ἐπικύπτοντες τῇ καταπνοῇ καὶ αὖ ἐξανιστάμενοι κυμάτων ὑποφρίκας διαφαίνουσι.] Βαθὺ δὲ λήϊον ἐν τῇ παραβολῇ κεῖται, ἵνα φαντάσῃ ἐναργῶς τὴν τῶν Ἑλλήνων κίνησιν· οὐ γὰρ οὕτω τὰ ψιλά τῶν ληΐων, οὐδὲ οἱ μικροὶ στάχυες ὑποκινοῦνται Ζεφύρῳ, καθὰ τὸ βαθὺ λήϊον. Τὸ δὲ λήϊον ἀπὸ τοῦ γῆ ἐτυμολογοῦσιν οἱ παλαιοὶ οἷον γήϊον τραπέντος τοῦ γ εἰς λ , ὁποῖόν τι καὶ ἐν τῷ μόγις καὶ μόλις γίνεται. τὸ δ' αὐτὸ καὶ λάϊον Δωρικῶς λέγεται. διὸ συνελὼν ὁ Θεόκριτος λαῖον αὐτὸ λέγει, [ὥσπερ αὖθις τὰ λήϊα λῇα ποιεῖ ἡ συναίρεσις, καθὰ καὶ τὸ ληΐδιον λῄδιον καὶ τὸν ληϊστὴν λῃστὴν καὶ τὸ λεληΐσθαι λελῇσθαι ἀπὸ τοῦ ληΐζω.] (v. 148) Λάβρος δὲ ὁ λίαν βαρύς· ὁ γὰρ ἠρεμαῖος Ζέφυρος οὐχ' οὕτω σαλεύει τὸ βαθὺ λήϊον. Ἐπαιγίζειν δὲ τὸ ἐφορμᾶν δηλοῖ καὶ ἄνωθεν ἐπιπνέειν· ὅθεν καὶ αἰγίδες καὶ καταιγίδες. τὸ δ' αὐτὸ καὶ καταιγίζειν λέγεται· δηλοῖ δὲ οὐ πάνυ βιαίαν πνοὴν ἀλλὰ σύντονον. γίνεται δὲ ἀπὸ τοῦ ἀΐσσειν, ὥσπερ καὶ ἡ αἰγίς, ἥτις ἐκ μέσου παρακειμένου προάγεται τοῦ ἤϊγα.

1.297 διὸ καὶ ἀνωτέρω ἔφη· «Εὖρός τε Νότος τε ἐπαΐξας ἐκ νεφελῶν». Τὸ δὲ ἀΐξαι ἀπὸ τῶν νεφελῶν τοῦτό ἐστι τὸ ἐπαιγίζειν. Τὸ δέ «ἐπί τε ἠμύει ἀσταχύεσιν» ἀντὶ τοῦ ἐπικλίνεται τὸ λήϊον τοῖς ἀσταχύεσιν ἤγουν διὰ τῶν ἀσταχύων. διττὸν γὰρ τὸ λήϊον· αὐτό τε γὰρ τὸ ὑποκείμενον ἔδαφος λήϊον λέγεται καὶ οἱ ἀστάχυες δὲ λήϊον λέγονται καὶ αὐτοί. Ἐπικλίνεται γοῦν τὸ λήϊον οὐ κινούμενον αὐτῷ δὴ τῷ ἐδάφει ἀλλὰ τοῖς ἀσταχύεσιν. ἡ γῆ μὲν γὰρ ἀκινητίζει, οἱ δὲ στάχυες ἐπικλίνονται, [ἵνα, ὥσπερ ἡ μάχη φρίσσει ἐγχείῃσιν, οὕτω τὸ λήϊον ἀνάπαλιν ἐπικλίνηται ἀσταχύεσσι.] Γίνεται δὲ τὸ ἠμύει ἀπὸ τοῦ μύω πλεονασμῷ τοῦ η · μύει γὰρ καὶ συστέλλεται τὸ ἐξ ὀρθῆς στάσεως ἐπικλιθέν. οὕτω καὶ τὸ τεῖχος τῆς Τροίας ἠμύσειν λέγει που ὁ ποιητής, τουτέστι κάτω κλιθῆναι. Ὁ δὲ ἄσταχυς πλεονασμὸν ἔχει τοῦ α · στάχυς γὰρ τὸ πρωτότυπον οἱονεὶ σίταχυς παρὰ τὸ σῖτον ἔχειν. ὅτι δὲ καὶ μέρος σώματος ὁ στάχυς, ἐν τῇ γάμμα ῥαψῳδίᾳ ῥηθήσεται. (v. 149) Ὅρα δὲ [ὡς ἀρξάμενος ἐκ τοῦ «κινήθη δ' ἀγορή» ἐπέρανεν ὡς οἷον κυκλικῶς τὰς παραβολὰς εἰς τὸ «ἀγορὴ κινήθη». ἤρεσε δὲ νῦν αὐτῷ ἡ τοῦ κινεῖσθαι λέξις ἐν τῷ «κινήθη ἀγορή» καὶ «κινήσῃ Ζέφυρος» καὶ «ἀγορὴ κινήθη». Ἔστι δὲ καὶ τὸ ὤρορε ταὐτὸν τῷ κινήσῃ, ὥσπερ καὶ τὸ ἐπαΐξας τῷ ἐπαιγίζων.] (v. 149—54) Ὅτι σπουδῆς ναυτικῆς ἐπὶ ἀπόπλῳ συντονίαν φράζει Ὅμηρος ἐν τῷ «πᾶς' ἀγορὴ κινήθη, τοὶ δ' ἀλαλητῷ νῆας ἐπεσσεύοντο, ποδῶν δ' ὑπένερθε κονίη ἵστατ' ἀειρομένη· τοὶ δ' ἀλλήλοισι κέλευον ἅπτεσθαι νηῶν ἠδ' ἑλκέμεν εἰς ἅλα δῖαν, οὐρούς τ' ἐξεκάθαιρον· ἀϋτὴ δ' οὐρανὸν ἷκεν οἴκαδε ἱεμένων, ὑπὸ δ' ᾕρεον ἕρματα νηῶν». καὶ οὕτω μὲν ἡ διασκευή. (v. 150 s.) Ὅρα δὲ τὸ «κονίη ἀειρομένη», ἐξ οὗ ἐπενοήθη τοῖς ὕστερον ἡ τοῦ κονιορτοῦ σύνθεσις. δῆλον γὰρ ὡς ταὐτὸν κονιορτός καὶ κόνις ἀειρομένη, [οὐ μὴν κειμένη κάτω, ὅτε οὐδὲ κοινιορτός συνθέτως λέγεται, ἀλλὰ κόνις καὶ κονίη ἐν ἁπλότητι.] (v. 152) Ἔτι ὅρα καὶ ὡς ἐνταῦθα μὲν τὸ ἅπτεσθαι γενικῇ συντάσσει εἰπών· «ἀλλήλοις ἐκέλευον ἅπτεσθαι νηῶν» [καὶ μετ' ὀλίγα· «οὐδ' ὅ γε νηὸς ἐϋσσέλμοιο μελαίνης ἅπτετο».] ἐν μέντοι τῇ α' ῥαψῳδίᾳ αἰτιατικῇ αὐτὸ συνέταξεν, ὡς προερρέθη. Καὶ σημείωσαι ὅτι τὸ μὲν ἅπτεσθαι ἀντὶ τοῦ ἐπιλαμβάνεσθαι γενικῇ συντέτακται· εἰ δὲ ἐπὶ φιλοφροσύνης ἢ ἁπλῶς ὁμιλίας ἡ λέξις λαμβάνεται, τότε δὴ αἰτιατικῇ συντάσσεται. (v. 153) Ἐν δὲ τῷ «οὐροὺς ἐξεκάθαιρον» οὐροὶ λέγονται οἱ τόποι, ὅθεν ἡ ναῦς ὀρούει, τουτέστιν ὁρμᾷ, καθελκομένη εἰς θάλασσαν. τούτους δὲ οἱ Ἕλληνες ἐξεκάθαιρον τῆς ὡς εἰκὸς τῷ πολλῷ χρόνῳ αὐτόθι συμπεφυρμένης ὕλης. Σημειώδης δέ, φασίν, ἡ λέξις, ὀξυνομένη πρὸς ἀποφυγὴν τοῦ οὔρου τοῦ δηλοῦντος τὸν ἄνεμον.

1.298 ἄλλως γὰρ τὰ εἰς ρος δισύλλαβα ἁπλᾶ ἔχοντα τὴν ου δίφθογγον βαρύνονται, κοῦρος ὁ νέος, θοῦρος ὁ ὁρμητικός, οὖρος ὁ ἄνεμος. δῆλον δὲ ὅτι, ὡς ἐν τῷ μοῦνος Θερσίτης καὶ νοῦσος κακή

καὶ λάϊνος οὐδός καὶ ἴκμενος οὖρος, οὕτω καὶ ἐν τῷ οὐρός ὁ πλεονασμὸς τοῦ υ σχῆμα ποιεῖ, ὅ φασιν οἱ γραμματικοὶ ἐπένθεσιν, ἥτις καὶ ψιλοῖ τὰ δασέα, ὡς ὁ οὐδὸς δηλοῖ καὶ ὁ περιορισμός, οὖρος, καὶ ὁ εὔκηλος. (v. 154) Νηῶν δὲ καὶ νῦν ἕρματα τὰ ὑποκείμενα ταῖς ναυσὶ λέγει ξύλα ἔξω περὶ τὴν ἄμμον, ἐφ' ὧν ὀχούμεναι αἱ νῆες ἑδράζονται καὶ ἐρείδονται. τὸ δὲ ταῦτα ὑφέλκειν ἐν τῷ μέλλειν ἀποπλέειν τὴν νῆα ὑφαιρεῖν λέγει ὁ ποιητής. οἱ δὲ μεθ' Ὅμηρον ἐπὶ τοῦ κλέπτειν τιθέασι τὴν λέξιν, ὡς καὶ τὸ ὑφελέσθαι, ἀφ' οὗ καὶ τὸν φιλήτην παράγουσί τινες τῶν παλαιῶν σχολιαστῶν Ἡσιόδου, ἵνα ᾖ φιλήτης, ὁ παρ' Ἡσιόδῳ, μὴ ἀπὸ τοῦ φηλῶ φηλήσω, τὸ ἀπατῶ—αὐτὸ γὰρ τρίτης ἐστὶ συζυγίας, ὡς δηλοῖ παρὰ Λυκόφρονι τὸ «φηλώσας πρόμον»—ἀλλὰ ὁ κλέπτης παρὰ τὸ ὑφελεῖν, οἱονεὶ ὑφειλήτης διὰ διφθόγγου καὶ ἀφαιρέσει τοῦ υ καὶ ἀπελεύσει τοῦ ε φιλήτης διὰ τοῦ ι , ὡς ἂν τῷ σημαινομένῳ τοῦ ὑφειλέτου συνεξομοιωθῇ καὶ ἡ γραφὴ τῆς λέξεως ὑποκλαπεῖσά τι τῆς διφθόγγου, ὡς καὶ τοῦτο δοκεῖ τοῖς παλαιοῖς. Δῆλον δὲ ὅτι καὶ ἄλλαι τοιαῦται δίφθογγοι ἐξαιροῦνται τοῦ ε δι' αἰτίας ἀστείας, ὡς δηλοῖ ἡ ἰδέα καὶ αἱ χιράδες καὶ ὁ λιμός, ὡς ἀλλαχοῦ εἴρηται, καὶ μάλιστα ἐν τοῖς τοῦ Περιηγητοῦ· [Ὧν δὴ τριῶν λέξεων ἡ μὲν φιλόσοφος ἰδέα ὡς ἀσώματος καὶ ἀσύνθετος ἁπλουστέραν τοῦ φυσικοῦ εἴδους προσφυῶς ἔχει γραφήν, αἱ δὲ χιράδες ἤτοι ῥαγάδες τῶν χειρῶν τῇ ἀπελεύσει τοῦ ε τῆς διφθόγγου τὸ ἐκ τῶν χειρῶν δηλοῦσιν ἀπεληλυθός· ὁ δὲ ἐκ τοῦ λείπω λιμὸς τὸ τῶν λιμωττόντων, φασίν, ἐμφαίνει ἰσχνὸν τῇ διὰ τοῦ ι μόνου γραφῇ. (v. 155) Ἰστέον δὲ καὶ ὅτι ἐν τούτοις κεῖται πληθυντικὸν Ἀττικὸν τὸ ὑπέρμορα ἀντὶ τοῦ ὑπὲρ τὸ μεμοιραμένον ἤγουν ὑπὲρ τὸ μοιρίδιον, οὗ τὸ ἑνικὸν ἔν τε ἄλλοις καὶ ἐν Ὀδυσσείᾳ ὑπέρμορον, ὧν πρωτότυπον καὶ κοινότερον καὶ σαφέστερον τὸ ὑπὲρ μοῖραν, οἷον «μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος εἴσω».

1.299 ] (v. 156 ss.) Ὅτι τὴν Ἥραν ἐνταῦθα ποιῶν βουλευομένην ὁ Ὅμηρος καὶ λέγουσαν διαπορητικῶς πρὸς τὴν Ἀθηνᾶν [«ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος Ἀτρυτώνη,] οὕτω δὴ οἱ Ἕλληνες φεύξονται, λιπόντες εὐχωλήν», ἤγουν καύχημα, «τοῖς Τρωσὶ τὴν Ἑλένην» καὶ τὰ ἑξῆς, τὴν Ἡραίαν ἤγουν βασιλικὴν φρόνησιν αἰνίττεται ταῦτα διανοουμένην, ἥτις, ὡς εἰκός, ἐν πολλοῖς μὲν τῶν ἡγεμόνων ἐκινεῖτο, ἐν μόνῳ δὲ τῷ Ὀδυσσεῖ ἐνήργησεν ὀξύτερον, ὃς ἐν ἀρχαῖς ὑπὸ ἀμηχανίας καὶ ἄχους μικρόν τι στὰς διενοήθη καὶ αὐτὰ ταῦτα, ὡς εἰκός, καὶ αὐτὸς εἰς νοῦν ἔλαβεν ὑπαγορευούσης οἷον τῆς Ἀθηνᾶς. Εἶτα μηχανὴν ἀναλαβὼν καὶ ἑαυτὸν ἐρεθίσας εἰς τὸ ἀγανοῖς ἐπέεσσιν ἤγουν ἡμερωτέροις λόγοις, ὡς ῥηθήσεται, κωλύειν ἄνδρα ἕκαστον, εὐθὺς ὥρμησε κοιρανέων καὶ οὕτω διέπων στρατόν, ὡς ἐρεῖ ὁ ποιητής, ἀναστεῖλαι ὡς ἀγχίνους τὸν ὄχλον. τοῦτο γὰρ δηλοῖ τὸ ἀγχοῦ αὐτῷ στῆναι τὴν Ἀθηνᾶν καὶ εἰπεῖν, ἃ εἶπεν. Ἐνταῦθα δὲ καὶ Ἀργείαν τὴν Λακωνικὴν Ἑλένην λέγει ὡς καὶ τῆς Λακεδαίμονος Ἄργους καλουμένης, καθάπερ καὶ ὅλη ποτὲ ἡ Πελοπόννησος. Σημείωσαι δὲ ὅτι καὶ ἐνταῦθα παραδηλοῖ ὁ ποιητὴς σοφωτέρας κατὰ τὴν παροιμίαν ἐν ταῖς βουλαῖς εἶναι τὰς δευτέρας φροντίδας. Ἀθηνᾶ μὲν γὰρ [βουλαῖς Ἥρας τῆς, ὡς ἔγνωσται, εἰς βασιλείαν ἀλληγορουμένης] ὑποτίθεται τῷ Ὀδυσσεῖ ἀγανώτερον ἤγουν πραΰτερον τοὺς Ἕλληνας μετελθεῖν φεύγοντας εἰποῦσα· «σοῖς δ' ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον». ὁ δὲ ἐν τοῖς ἑξῆς φροντίσας διαιρήσει τὸ νόημα καὶ ὃν μὲν ἂν βασιλῆα καὶ ἔξοχον ἄνδρα εὑρήσει, τὸν τοιοῦτον μετέρχεται κατὰ τὴν παραγγελίαν τῆς Ἀθηνᾶς. τοὺς δὲ δημότας οὐ μόνον οὐκ ἀγανοῖς λόγοις δεξιοῦται, ἀλλὰ καὶ ἐπαπειλησάμενος ἐντρίβει καὶ πληγὰς περιττότερόν τι ποιήσας τῆς θεόθεν ὑποθήκης. τοῦτο δὲ σεμνύνει τὸν Ὀδυσσέα, ὅτι καὶ πλεῖόν τι τῆς μυθικῆς Ἀθηνᾶς ἐνενόησε. Τινὲς δὲ σφαλέντα ἐν τοσούτῳ θορύβῳ τὸν Ὀδυσσέα καὶ συνταραχθέντα ἐπιλαθέσθαι φασίν, ὧν ἡ Ἀθηνᾶ συνεβούλευσεν αὐτῷ. Ἀληθῶς μέντοι—ἀφετέον γὰρ τὰ τοῦ μύθου—τὰ μὲν πρῶτα ἡ φρόνησις οὐκ ἐντελῶς ἔλαμψε παρὰ τῷ Ὀδυσσεῖ, ἀλλὰ συγκεχυμένος ἓν μόνον ἐνενόησε τὸ ἀγανοῖς λόγοις ἐπισχεῖν τοὺς Ἀχαιούς· ὕστερον δὲ διελὼν παρ' ἑαυτῷ, ὅτι τοῖς μὲν βασιλεῦσιν ἀγαθὸν τὸ τοιοῦτον, ἄνδρες δὲ θρασεῖς κολακευόμενοι χείρους γίνονται, εἰς πλείονα θρασύτητα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπαιρόμενοι, τοὺς μὲν μεγάλους ἑτέρως καθομιλεῖ, τοὺς δὲ μὴ τοιούτους ὡς ἐκείνοις πρέπον μεταχειρίζεται, οἷος ὁ κατὰ σύνεσιν τέλειος, ὃς δηλαδὴ ἐν αὐτοῖς τοῖς καιρίοις ἔχει τὸ μάλιστα ἐνεργὸν καὶ ἐν τοῖς δεινοῖς· Ὀδυσσεὺς γὰρ τὴν μὲν ἀρχὴν οὐκ ἐντελῶς ἐνόησε, πρὸς δὲ αὐτοῖς τοῖς ἀγῶσι γενόμενος ἐντελέστατα φρονεῖ. Σημειωτέον δὲ ὅπως ὁ Ὅμηρος αὐξήσας τὴν τοῦ πράγματος περιπέτειαν καὶ εἰς ἄπορον ἀγαγών—ἀμήχανον γὰρ ἀνθρωπίνως ἐπισχεθῆναι τοὺς Ἕλληνας οὕτως, οἷον κατὰ κράτος φεύγοντας ἀκολούθως τῇ τοῦ βασιλέως δημηγορίᾳ, —θεὸν ἐπεισάγει ἀνύοντα τὸ δυσχερὲς ἀνελπίστως ἐπιφανέντα ὥσπερ ἔκ τινος μηχανῆς, τὴν Ἀθηνᾶν δηλαδή.

1.300 καί φασιν οἱ παλαιοί, ὅτι πρῶτος Ὅμηρος καὶ τοῖς τραγικοῖς ποιηταῖς μηχανὰς εἰσηγάγετο, οἳ πολλαχοῦ τῆς αὐτῶν ποιήσεως θεῖα πρόσωπα μηχανικῶς τῷ θεάτρῳ ἐπεισφέρουσιν. Ὅρα δὲ καὶ ὅτι ὁ ποιητὴς εἰς ἴσον πως ἄγει ἀρετὴν καὶ τὸν τῆς ἀρετῆς μετέχοντα. ἐνταῦθα γὰρ ἡ μὲν Ἥρα παραγγέλλει τῇ Ἀθηνᾷ κωλῦσαι τοὺς Ἕλληνας, Ἀθηνᾶ δὲ οὐκ αὐτὴ τοῦτο ποιεῖ, ἀλλ’ ἐπιτρέπει τὸ πρᾶγμα τῷ Ὀδυσσεῖ, οἷά τις ἀρχιτέκτων σοφὸς ὑπηρέτην ἐντρεχῆ ἐφευρηκώς· ὁ δὲ Ὀδυσσεύς, ἀνὴρ φρόνησιν ἔχων, ἀνύει ὅπερ αὐτὴ ἔμελλε ποιῆσαι ἡ Ἀθηνᾶ· Ὀδυσσεὺς δὲ τῷ ἔργῳ ἐπιτάσσεται ὑπὸ τῆς Ἀθηνᾶς, οὐ διότι φρονιμώτερος Νέστορος, ἀλλ’ ὅτι φρόνησιν ἔμπρακτον εἶχε. Νέστωρ μὲν γὰρ ἤδη πέμπελος ἦν, Ὀδυσσεὺς δὲ μετὰ τοῦ λόγου καὶ τὸ πρακτικὸν εἶχεν. (v. 169) Ὅτι τὸν Ὀδυσσέα δῖον ἐν ἄλλοις καὶ διογενῆ λέγων ἐνταῦθα σαφῶς παριστᾷ, ὅτι οὐ μόνον διὰ τὸ ἀρχικὸν τοιαύτας κλήσεις αὐτῷ ἐπιτίθησιν, ἀλλὰ καὶ μάλιστα διὰ τὴν σύνεσιν, εἰπὼν αὐτὸν Διῒ μῆτιν ἀτάλαντον ἤτοι ἴσον τῷ Διῒ κατὰ τὴν βουλήν. ἀλλαχοῦ δὲ θεοῖς ἐναλίγκια μήδεα ἔχοντα ἐρεῖ αὐτόν. ἔστι δὲ κατὰ ἀλληγορίαν τὸ τὸν Ὀδυσσέα ἀτάλαντον εἶναι τῷ Διῒ κατὰ τὴν βουλὴν ὅμοιον, ὡς εἴ τις εἴποι, ὅτι νοῦς ἦν αὐτόχρημα· Ζεὺς γὰρ ἐνταῦθα ὁ νοῦς, δι’ οὗ τὸ ζῆν εὖ τοῖς ἀνθρώποις ἐστίν. Ἀτάλαντος δὲ ὁ οἷον ἰσόσταθμος· τὸ α μὲν γὰρ ἐνταῦθα ἰσότητα δηλοῖ κατὰ τοὺς παλαιοὺς ἢ ὁμοιότητα, ὡς καὶ ἐν τῷ ἀδελφός· τάλαντον δέ φαμεν τὸν σταθμόν. Ἰστέον γὰρ ὅτι, ὥσπερ μέδιμνος τό τε σκεῦος τὸ μετροῦν καὶ τὸ ὑπ’ αὐτοῦ μετρούμενον, ἔτι δὲ καὶ χοῖνιξ ὁμοίως· λέγομεν γὰρ μέτρον τι χοίνικα· καὶ πῆχυς δὲ αὐτός τε ὁ μετρῶν καὶ τὸ ὑπ’ αὐτοῦ μετρούμενον· οὕτω καὶ τάλαντον οὐ μόνον ὁ σταθμός, δι’ οὗ τὰ βάρη διακρίνεται τῶν σωμάτων ἐντιθεμένων ταῖς πλάστιγξιν, ἀλλὰ καὶ αὐτὸ βάρος τὸ σταθμώμενον. ἔστιν οὖν ἀτάλαντος ὁ τὸν ἴσον ἕλκων σταθμόν, ἐὰν ταλάντῳ μέλλοι κρίνεσθαι. ὁ δὲ Πορφύριος καὶ αὐτὸς ἀτάλαντον λέγων τὸν ἴσον ἄλλως τὴν λέξιν καθίστησι δεικνύων ἄνισον μὲν εἶναι παρὰ τοῖς παλαιοῖς τὸ τάλαντον, ὡς πολλαχοῦ φαίνεται, ἀτάλαντον δὲ ἐντεῦθεν νοεῖσθαι τὸν μὴ κατὰ τὸ τάλαντον ἄνισον, ἀλλὰ τῆς ἐκείνου ἐστερημένον ἀνισότητος.

1.301 γίνεται δὲ τὸ τάλαντον, ὁ σταθμός, παρὰ τὸ τάλας, ὃ δηλοῖ τὸν καρτερικόν. τοιοῦτον δὲ ὁ σταθμός, ὡς φορτιζόμενος καὶ διὰ τὰ βάρη ἐπινοηθείς. μάλιστα δὲ παρὰ τὸ ταλάσσειν, τὸ καρτερεῖν, ἐξ οὗ καὶ ὁ Ἄτλας καὶ ὁ τάλας, τὸ ῥηθὲν τάλαντον γίνεται· Ἀχθοφορεῖ γὰρ ἀεί, ὅθεν καὶ τρυτάνη παρὰ τοῖς ὕστερον λέγεται, διότι τοῖς ὄγκοις τρύεται ἤγουν καταπονεῖται. Κυρίως δὲ μέρος τι τοῦ ζυγοῦ ἡ τρυτάνη. οὕτω δὲ καὶ πλάστιγξ λέγεται ὁ σταθμὸς ἐκ μέρους ἤτοι ἐκ τῶν πλαστίγγων, τουτέστι τῶν κάτω πλατέων, οἷς τὰ βάρη ἐπίκεινται. καὶ ζυγὸς δὲ ὁ αὐτὸς ἀπὸ μέρους, οὗ αἱ ῥηθεῖσαι πλάστιγγες ἐξήρτηνται· πρὸς ὃν [παροιμιάζεται τὸ «ζυγὸς δόλιος», ᾧ ἀντίκειται τὸ δίκαιον στάθμιον, τὸ παρώνυμον τοῦ σταθμοῦ.] Ὅτι δὲ ἄνισον, ὡς ἐρρέθη, τὸ τάλαντον καὶ ὅτι καὶ ἐπὶ μικροῦ ποσοῦ καὶ ἐπὶ μεγάλου τίθεται καὶ ὑπὲρ ἑκατὸν δραχμὰς παρὰ τοῖς παλαιοῖς κορυφοῦται καὶ εἰς κεντηνάριον δὲ περιΐσταται καὶ εἰσέτι κατωτέρω, καὶ ἐν ἑτέροις ῥηθήσεται. (v. 170) Ὅτι τοσοῦτον ἀμηχανεῖ ὁ πολυμήχανος Ὀδυσσεὺς καὶ οὕτως αὐτοῦ τὴν καρδίαν ἄχος περιῆλθεν ὥστε οὐδ’ ἥπτετο τῆς ἑαυτοῦ νηὸς καθελκομένης ὑπὸ τῶν αὐτοῦ θεραπόντων εἰς θάλασσαν. ἄλλοι δὲ τὸ «οὐδ’ ὅ γε νηὸς ἐϋσσέλμοιο μελαίνης ἥπτετο» ἄλλως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νοοῦσι λέγοντες, ὅτι κἂν οἱ ἄλλοι τῶν οἰκείων ἥπτοντο νηῶν, ἀλλ᾽ Ὀδυσσεὺς οὐκ ἐποίει οὕτω, ἀλλ᾽ ἵστατο ἔργῳ διδάσκων, ὅτι οὐ δεῖ οὕτω ποιεῖν. εἰ γὰρ ἔδει νηῶν ἅπτεσθαι, ἐποίει ἂν οὕτω καὶ αὐτός. διὰ τί δὲ τοῦτο ἐποίει; (v. 171) «Ἐπεί», φησίν, «ἄχος καρδίαν καὶ θυμὸν ἵκανε», τουτέστιν ἐμπράκτως ἐδήλου, ὅπερ ἐβούλετο, οἷα λαλεῖν οὐκ ἔχων ὑπὸ ἀμηχανίας. ἄχος γὰρ κατὰ τοὺς παλαιοὺς ἡ ἄφωνος ἀνία παρὰ τὸ α στερητικὸν μόριον καὶ τὸ χαίνειν. τινὲς δὲ ὑπερβατῶς τὸν τόπον τοῦτον νοήσαντες οὕτως εἶπον· εὗρε τὸν Ὀδυσσέα ἑστῶτα, ἐπεί μιν ἄχος καρδίαν καὶ θυμὸν ἵκανεν· οὐδὲ ἥπτετο τῆς οἰκείας νηός. (v. 170) Ναῦς δὲ εὔσελμος ἢ ἡ εὔζυγος καὶ εὐκάθεδρος, καθ᾽ ὃ εὔεδρον Ἀργὼ φησί που Θεόκριτος—σέλμα γὰρ ἡ καθέδρα, ἐξ οὗ καὶ τὸ σελλίον ἔοικε λέγεσθαι—ἢ αἱ εὔσχοινοι· φασὶ γὰρ οἱ παλαιοὶ σελμίδας λέγεσθαι τὰ σχοινία. Σημείωσαι δὲ καὶ ἐνταῦθα, ὡς οὐκ ἀεὶ ἐξ ἀνάγκης ταὐτόσημά εἰσι τὰ τὴν αὐτὴν ἐτυμολογίαν ἔχοντα. ἰδοὺ γὰρ ὥσπερ παρὰ τὸ μὴ χαίνειν γίνεται κατά τινας μηχανὴ ἡ μὴ ἐῶσα χαίνειν τινὰ ψεκτικῶς διὰ τὸ ἐπιτυχὲς καὶ ἔντεχνον αὐτῆς, οὕτω καὶ τὸ ἄχος στερεῖ τοῦ χαίνειν, ὡς εἴρηται· καὶ ὅμως πάντη διαφέρετον τὸ ἄχος καὶ ἡ μηχανή.

1.302 (v. 173) Ὅτι τὸ «διογενὲς Λαερτιάδη, πολυμήχανε Ὀδυσσεῦ», σχῆμά ἐστι κλητικὸν ὁμοιόπτωτον καλούμενον. λέγει δὲ αὐτὸ κατὰ τὸ φαινόμενον ἡ μυθικὴ Ἀθηνᾶ πρὸς τὸν Ὀδυσσέα ἐπιρρωννύουσα καὶ τοῖς ἐγκωμίοις ἐπαίρουσα πρὸς τὴν τοῦ ἔργου σπουδήν, ἵνα μὴ φυγόντες ἀγεννῶς οἱ Ἕλληνες ἀφήσουσι τοῖς Τρωσὶ τὴν Ἑλένην. ἀληθῶς δὲ ἡ παρ᾽ αὐτῷ φρόνησις τοὺς τοιούτους λόγους ὑποτείνει αὐτῷ κατὰ λόγον αἰδοῦς. αἰδεῖται γάρ, ὡς εἰκός, ἀναλογιζόμενος, ἐὰν ὁ διογενής, ὁ ἀπὸ Λαέρτου, ὃς ἐξ Ἑρμοῦ ἕλκει τὸ γένος, ὁ πολυμήχανος, οὐχ᾽ εὑρήσει τινὰ μηχανὴν ἐνταῦθα, ἀλλὰ περιόψεται τοὺς Ἀχαιοὺς οὕτω δὴ οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν φευξομένους, ἐν νήεσι πολυκλήϊσι πεσόντας, καταλίποιεν δὲ τὴν Ἑλένην καύχημα Πριάμῳ τε καὶ Τρωσίν, ἧς ἕνεκα πολλοὶ Ἀχαιῶν ἐν Τροίᾳ ὤλοντο. Τούτοις δὴ τοῖς λόγοις ἐπιρρωσθεὶς Ὀδυσσεύς, οὓς φρονῶν ἄν τις ἀνὴρ λογίσαιτο, ἔχεται τοῦ ἔργου εὐθὺς καὶ ἀνύει πολυτρόπως τὸ στῆσαι τοὺς Ἕλληνας τῆς φυγῆς. Πολυμήχανον δὲ τὸν Ὀδυσσέα καλεῖ ὡς ἀληθῶς τοιοῦτον· πολλῶν γὰρ εὕρηται τεχνῶν ἔμπειρος, ὡς καὶ ἐν τῇ Ὀδυσσείᾳ συναχθὲν εἰς πλάτος γέγραπται. Εἰ δέ ποτε ἡ μηχανὴ ἐπὶ δόλου λαμβάνεται, εἴη ἂν καὶ οὕτω πολυμήχανος Ὀδυσσεύς, ὃς παντοίοις δόλοις κεκοσμῆσθαί που λεχθήσεται. τῷ δὲ πολυμηχάνῳ ἐναντία ἡ παρ᾽ ἑτέρῳ ποιητῇ ἀμήχανος γυνή, τουτέστιν ἀφελὴς καὶ ἁπλοϊκὴ καὶ ἄδολος καὶ ἀπάνουργος, ἑτέρα οὖσα παρὰ τὴν Ὁμηρικὴν ἀμήχανον Ἥραν, ὡς φανήσεται. (v. 175) Τὸ δέ «ἐν νήεσι πεσόντες» ἄτακτον φυγὴν ὀνειδίζει· οὐ γὰρ εἶπεν «εἰς νῆας ἐμβάντες» ἀλλ᾽ «ἐμπεσόντες», ὡς εἴπερ ἐδιώκοντο. (v. 177 s.) Ἐν δὲ τῷ ἕνεκα τῆς Ἑλένης εἰπεῖν πολλοὺς τῶν Ἀχαιῶν ἐν Τροίᾳ ἀπολέσθαι σαφῶς ἡρμήνευσε, τί ἐστι τὸ τέλος τοῦ εἰς τὴν Τροίαν πλόου. εἰπὼν γὰρ ἀνωτέρω, ὅτι τέλος οὔπω τι πέφανται καὶ ὅτι ἀτελὲς ἡμῖν τὸ ἔργον, οὗ ἕνεκα δεῦρο ἱκόμεθα, νῦν σαφῶς λέγει, τί τὸ τοῦ πολέμου τέλος, ὅτι δηλαδή, ὡς καὶ προερρέθη, τὸ τὴν Ἑλένην ἐκεῖθεν λαβεῖν· ἐν οἷς, ὡς καὶ αὐτὸ προεδηλώθη, ταὐτὸν οἶδε τὸ τέλος καὶ τὸ οὗ ἕνεκα ὁ ποιητής. [(v. 179) Ὅτι ἐρωεῖν ποτὲ μὲν τὸ ὁρμᾶν καὶ προπηδᾶν, ποτὲ δὲ καὶ τὸ ἀναποδίζειν, ὅπερ ἀλλαχοῦ ἐντελῶς μετὰ τῆς ὑπό προθέσεως λέγεται, οἷον· «ἵπποι δ᾽ ὑπερώησαν». φησὶ γοῦν ἐνταῦθα· «ἀλλ᾽ ἴθι νῦν μετὰ λαὸν Ἀχαιῶν», ἤγουν εἰς τοὺς Ἀχαιούς, «μηδέ τ᾽ ἐρώει», τουτέστι μηδὲ ἀφόρμα καὶ ἐνδοιαστικῶς ἀναπόδιζε. Ὅτι χρήσιμον εἰς παραίνεσιν κατασιγαστικὴν τὸ «ἀλλ᾽ ἴθι νῦν μετὰ λαὸν Ἀχαιῶν, σοῖς δ᾽ ἀγανοῖς ἐπέεσσιν ἐρήτυε», ἤγουν κώλυε, «ἄνδρα ἕκαστον», μηδὲ ἔα ποιεῖν τόδε τι.

1.303 ] (v. 182) Ὅτι οὕτως ἐθάδα Ὅμηρος οἶδε τὴν μυθικὴν Ἀθηνᾶν εἶναι τῷ Ὀδυσσεῖ, ὥστε ἅμα τε αὐτὴν φωνῆσαι καὶ τὸν Ὀδυσσέα αἰσθέσθαι, ὅτι Ἀθηνᾶ ἦν ἡ λαλοῦσα. φησὶ γοῦν· «ὃ δὲ ξυνέηκε θεᾶς ὄπα φωνησάσης». κἀντεῦθεν ὁ φιλόμηρος Σοφοκλῆς λαβὼν ἀφορμὴν ποιεῖ τὸν Ὀδυσσέα ἐν τῷ μαστιγοφόρῳ Αἴαντι ἀπὸ λαλιᾶς ἀναγνωρίζοντα παρεῖναι τὴν Ἀθηνᾶν, ἐν οἷς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγει· «ὡς εὐμαθές σου τὸ φώνημ’ ἀκούω, κἂν ἄποπτος ᾖς». Ἰστέον δὲ ὅτι οὐ πάνυ δῆλον ἐνταῦθα τὸ ξυνέηκεν, εἴτε γενικῇ συντέτακται, εἴτε αἰτιατικῇ. οὐ γὰρ εὐδιάκριτον, εἴτε ξυνέηκε θεᾶς ἀναγνωστέον φωνησάσης ὄπα, εἴτε ξυνέηκε τὴν ὄπα τῆς θεᾶς. (v. 183) Ὅτι πολλάκις ἡ ἐν τοῖς καιριωτάτοις σπουδὴ παραιρεῖται καὶ τὴν λαλιὰν οὐ δυναμένου τοῦ σπεύδοντος λόγοις τε καὶ ἔργοις ἐπιμερίσαι τὴν ἀκμὴν τοῦ καιροῦ. Ὀδυσσεὺς γοῦν ὁ ἐν Ὀδυσσείᾳ πολλὰ διαλεγόμενος τῇ Ἀθηνᾷ ἐνταῦθα οὐδὲ τὸ τυχὸν αὐτῇ προσφθέγγεται, ἀλλὰ κελευσθεὶς κωλύειν φῶτα ἕκαστον φεύγοντα εὐθὺς ἔχεται τοῦ ἔργου· ἤπειγε γὰρ ὁ καιρός. (v. 183—6) Ὅθεν ἅμα τῇ φωνῇ τῆς Ἀθηνᾶς, ἥτις ἦν ἡ ἐν αὐτῷ λαλοῦσα σύνεσις, ἔβη θέειν, ἀπὸ δὲ χλαῖναν βάλεν, ἤτοι ἀπέβαλεν, ἔρριψε· τὴν δὲ ἐκόμισε κῆρυξ Εὐρυβάτης Ἰθακήσιος, περὶ οὗ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν πλατύτερον εἴρηται. ἕτερος οὗτος, καθὰ καὶ προγέγραπται, παρὰ τὸν ὑπουργοῦντα τῷ Ἀγαμέμνονι. Ὁ δ’ αὐτὸς Ὀδυσσεὺς καὶ τοῦ Ἀγαμέμνονος ἀντίος ἐλθὼν ἐφθέγξατο μὲν οὐδ’ ὅλως οὐδέν, ἐδέξατο δὲ αὐτοῦ τὸ σκῆπτρον, σὺν ᾧ ἔβη κατὰ νῆας Ἀχαιῶν, ποιήσων ἃ ἔμελλε ποιήσειν, μικροῦ καὶ ἀφαρπάσας τοῦ βασιλέως τὸ σκῆπτρον. διόπερ οὐδὲ ἐκεῖνος καιρὸν ἔσχε λαλῆσαί τι πρὸς αὐτόν, εἰ μή που τυχὸν κατὰ τὸ σιωπώμενον. Ἰστέον δὲ ὅτι ἀπέβαλεν Ὀδυσσεὺς τὴν χλαῖναν, ὡς οἱ παλαιοί φασιν, ἢ αὐτομάτως πεσοῦσαν κατὰ σπουδήν—ἔοικε γὰρ μανδυοειδὲς ἡ χλαῖνα εἶναι περίβλημα—ἢ ἵνα ταπεινὸς ὑπηρέτης βασιλικῶν δογμάτων εἶναι δοκῇ καὶ οὕτω γίνοιτο δι’ αἰδοῦς τοῖς Ἕλλησιν, ἢ διὰ τὸ εὐπερίσταλτον, ἵνα ἐν τῷ θέειν ῥᾷον τρέχοι, ἤδη δὲ καὶ ἵνα τῷ παραδόξῳ τῆς θέας ἐπιστρέφῃ τοὺς πολλούς, ὥσπερ ἄλλον τρόπον ὁ Ἀγαμέμνων ἀλλαχοῦ πορφύρεον μέγα φᾶρος οὐκ ἀποβάλλει, ἀλλὰ ἔχων τῇ χειρὶ καὶ διακινῶν αὐτὸ ἐπιστρέφει τοὺς Ἕλληνας εἰς ἑαυτόν. (v. 186) Σκῆπτρον δὲ ἀπὸ τοῦ βασιλέως λαμβάνει, ὡς ἄν, ἐπειδὰν κοιρανέων διέπῃ τὸν στρατόν, ἤτοι βασιλικὰ δρῶν, ἔχῃ σύμβολον αὐτὸ τοῦ ἐκ βασιλέως λέγειν τε καὶ ποιεῖν, ὡς ἐκεῖθεν τὴν κατὰ τῶν ἀκοσμούντων λαβὼν ἐξουσίαν καὶ μὴ ἀντιπράττων ἁπλῶς οἷς ὁ βασιλεὺς ἐδημηγόρησεν. οἶδε γὰρ ὅπως οἱ Ἀχαιοὶ πείθονται τῷ βασιλεῖ. (v. 188—200) Ὅτι οὐ τὸν αὐτὸν τρόπον Ὀδυσσεὺς μετέρχεται φεύγοντας τούς τε βασιλεῖς τούς τε δημότας, ἀλλ’ ἐκείνους μὲν προσηνέστερον δειλίαν τε ἀποκαλῶν τὴν τοιαύτην ἀναχώρησιν, ἀνακαλύπτων δὲ καί, ὅτι πειρᾶται τῶν Ἑλλήνων ὁ βασιλεύς, παραμιγνύων δὲ καί τι φόβου, ἐὰν οὐκ ἐθελήσωσι πεισθῆναι, καὶ τὸν βασιλέα δὲ ἐπαινῶν, τοὺς δὲ δημότας καὶ πλήττων καὶ ἀπειλούμενος καὶ ἐξευτελίζων καὶ ὑβρίζων.

1.304 Σκοπὸς δὲ αὐτῷ τῆς ἐντρεχείας τὸ ἐπιστρέψαι τοὺς Ἕλληνας καὶ καθίσαι πάλιν εἰς ἀγοράν, ἵνα μάθωσιν ἔργοις αὐτοῖς ὅτι διάπειρα ἦν ἡ τοῦ βασιλέως δημηγορία. Φησὶν οὖν τοιαῦτα ὁ ποιητὴς περὶ τοῦ Ὀδυσσέως· «ὅντινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη», ἤγουν καταλάβοι, «τὸν δ’ ἀγανοῖς ἐπέεσσιν [ἐρητύσασκεν», ἤγουν] ἐκώλυε, «παραστάς· δαιμόνι’ οὔ σε ἔοικε κακὸν ὣς δειδίσσεσθαι, ἀλλ’ αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς», τοὺς ὑπὸ σὲ δηλαδή. «οὐ γάρ πω σάφα οἶσθ’, οἷος νόος Ἀτρείδαο· νῦν μὲν πειρᾶται, τάχα δ’ ἴψεται υἷας Ἀχαιῶν», ἤγουν βλάψοι ἂν τοὺς Ἕλληνας· καὶ ὅτι «ἐν βουλῇ οὐ πάντες ἀκούσαμεν, οἷον ἔειπε, μή τι χολωσάμενος ῥέξῃ κακὸν υἷας Ἀχαιῶν. θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος βασιλῆος». καὶ ὅτι ἡ τιμὴ αὐτοῦ ἐκ θεοῦ ἐστι καὶ ὅτι φιλεῖ αὐτὸν ὁ θεός· ἐν πολλοῖς γὰρ θεοφιλεῖς δοξάζει τοὺς βασιλεῖς προκαλούμενος διὰ τούτου τοὺς ὑπηκόους εἰς τὸ δεῖν πειθαρχεῖν αὐτοὺς τῷ βασιλεῖ, ὡς καὶ θεῷ ὑποκειμένους οὕτω καὶ πειθομένους. (v. 197) Ἐνταῦθα δὲ καὶ ἐφερμηνεύει, διὰ τί διογενεῖς καὶ διοτρεφεῖς τοὺς βασιλεῖς λέγει, οὐχ’ ὅτι ἐκ Διὸς τὸ γένος ἕλκουσιν, ἀλλ’ ὅτι ἐξ ἐκείνου αὐτοῖς ἡ τιμή. φησὶ γάρ· «τιμὴ δ’ ἐκ Διός ἐστιν», ἡ τῆς βασιλείας δηλαδή. ἀφιδρύματα γὰρ ὡσανεὶ Διὸς ἐδόκουν εἶναι οἱ βασιλεῖς. καὶ οὕτω μὲν Ὀδυσσεὺς ἐξ ἀνάγκης τοὺς ἐξόχους μετεχειρίζετο. (v. 198 s.) «Ὃν δ’ αὖ δήμου τ’ ἄνδρα ἴδοι, βοόωντά τ’ ἐφεύροι, τὸν τοιοῦτον σκήπτρῳ ἐλάσασκεν ὁμοκλήσασκέ τε μύθῳ», ἤγουν σκήπτρῳ ἔπληξε καὶ λόγῳ ἠπειλήσατο. καὶ

ὅρα ἐν χωρίῳ σκυθρωπῷ ἀλαμπῆ πάρισα, τὸ ἐλάσασκε καὶ τὸ ὁμοκλήσασκε. παρισοῖ μὲν γὰρ γλυκαίνων πως τὸ τῆς ἐννοίας ὑπόπικρον, οὐ γελᾷ δὲ ἀττικίζων, ἀλλὰ δεινοῖ τὴν παρίσωσιν τῇ τῶν ποιητικῶν σκληρότητι λέξεων. ἐν τούτοις δὲ καὶ τὸ υἷας Ἀχαιῶν δὶς ἐν τέλει στίχων τεθὲν καλλωπίζει, καθὰ παρὰ τῷ Ῥήτορι τὸ «ταξιάρχους παρ’ ὑμῶν, ἱππάρχους παρ’ ὑμῶν». (v. 200—6) Ἡ δὲ ὁμοκλὴ τοῦ Ὀδυσσέως αὕτη· «δαιμόνιε, ἀτρέμας ἧσο καὶ ἄλλων μῦθον ἄκουε, οἳ σέο φέρτεροί εἰσι, σὺ δ’ ἀπτόλεμος καὶ ἄναλκις οὔτε ποτ’ ἐν πολέμῳ ἐναρίθμιος οὔτ’ ἐνὶ βουλῇ. οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ’ Ἀχαιοί» καὶ τὰ ἑξῆς, ἐν οἷς δεικνύει οὐκ ἀγαθὸν εἶναι τὴν πολυαρχίαν. Τὸ δέ «οὐ πάντες βασιλεύσομεν ἐνθάδ’ Ἀχαιοί» ἐνταῦθα καιριώτατα πρὸς τὸν δῆμον εἴρηται ἤτοι πρὸς τὸν πολὺν ὄχλον. εἰ γὰρ πρὸς τοὺς βασιλεῖς ἐρρέθη, φαύλως εἶχεν· ἐξῆψε γὰρ ἄν, φασί, τὴν στάσιν σπουδαρχιδῶν ἀνδρῶν ἐν τοσούτῳ θορύβῳ καθαπτόμενος. πάνυ δὲ αὖ θαυμασιώτερον πρόσκειται καὶ τὸ «ἐνθάδε» διὰ τοὺς βασιλεῖς. εἰ γὰρ καὶ πάντες βασιλεύσομεν τυχόν, ἀλλ’ οὐκ ἐνθάδε· οἴκοι δὲ νοστήσαντες ποιείτωσαν τοῦτο, εἰ βούλονται· ἔστι γὰρ αὐτοῖς ἐν τοῖς οἰκείοις τοῦτο ποιεῖν κατὰ τὸ «αὐτὰρ ἐγὼ οἴκου ἄναξ ἔσομαι ἡμετέρου». ἔστι γὰρ μικρὸς οἷον βασιλεὺς ὁ οἰκοδεσπότης, ὥσπερ αὖ ὁ βασιλεὺς μεγάλου οἴκου δεσπότης, τῆς πόλεως δηλαδή.

1.305 Ἀλλ’ οὕτω μὲν δυνατώτατος ἐν δημηγορίαις ὁ Ὀδυσσεύς, οὕτω καίριος, οὕτω ποικίλος, οὕτω πυκνός· καὶ πρὸ αὐτοῦ ὁ ποιητὴς ὁ τὰ τοιαῦτα μιμούμενος. Ἐν μέντοι τοῖς ἐφεξῆς οὐ θαυμαστὸς ἁπλῶς ὁ ποιητὴς ἀλλὰ καὶ ἀμίμητος φανεῖται, ἔνθα τὸν μὲν Ὀδυσσέα καλῶς δημηγοροῦντα ποιεῖ καὶ ὑψηλῶς, τὸν δὲ Νέστορα κάλλιστα καὶ ὑψηλότατα, ὡς φανήσεται. καὶ ἡ μὲν δημηγορία τοῦ Ὀδυσσέως τοιαύτη· τὰ δὲ περὶ αὐτὴν οὕτω διασαφεῖται. (v. 189) Ἀγανοὶ μὲν λόγοι οἱ προσηνεῖς παρὰ τὸ α ἐπιτατικὸν καὶ τὸ γάνυσθαι, οἷς τις ἄγαν γάνυται ἤγουν χαίρει· ὅθεν καὶ γάνος ἡ χαρά. ἐν δὲ ῥητορικῷ Λεξικῷ γράφεται ταῦτα· Ἀγανόν τὸ καλὸν καὶ ἡδὺ καὶ προσηνές· ποτὲ δὲ καὶ κατὰ ἀντίφρασιν τὸ χαλεπόν. Ἐν ἑτέρῳ δέ, ὅτι ἐστὶ καὶ ἄγανον προπαροξυτόνως καὶ δηλοῖ τὸ κατεαγός. τραγικώτερον δέ, φησί, τὸ ὄνομα. [Τοῦ δὲ ἐρητύσασκεν ἐνεστὼς μὲν ἐρητύω καὶ μέλλων ἐρητύσω, οὗπερ ὁ πρῶτος ἀόριστος παράγει ἐνεστῶτα τὸ ἐρητυσάσκω πρὸς ὁμοιότητα τοῦ κλαυσάσκω καὶ θαψάσκω. τοῦ δὲ τοιούτου ποιητικοῦ θέματος τρίτον ἑνικὸν τὸ ἐρητύσασκε, ῥῆμα καὶ αὐτὸ οὐ χρηστὸν πεζολόγοις, καθάπερ οὐδὲ τὸ ἐλάσασκεν οὐδὲ τὸ ὁμοκλήσασκε. γένεσις δέ, φασί, τοῦ ἐρητύω ἡ εἱρκτή, ἵνα ᾖ ἐκεῖθεν ἐρκτύω τὸ κλείω, κωλύω, καὶ ἀποβολῇ τοῦ κ δι’ εὐφωνίαν καὶ ἐνθέσει τοῦ η ἐρητύω.] (v. 190) Τὸ δέ «δαιμόνιε» μέση λέξις. διὸ καὶ τὸν βασιλέα δαιμόνιον καλεῖ καὶ τὸν δημότην ὁμοίως δαιμόνιον, ἐκεῖνον μὲν ὡς εὐδαίμονα, τοῦτον δὲ ὡς δυσδαίμονα. τῶν μέσων γάρ ἐστι καὶ ὁ δαίμων καὶ ἡ τύχη καὶ ἀμφιρρεπῶς ἔχουσιν αἱ λέξεις πρὸς ἔννοιαν ἀγαθήν τε καὶ μὴ τοιαύτην. ὅτε μέντοι τὸ εὖ ἢ τὸ δυς προσλάβωσι, τότε σαφῶς διακρίνονται. ἀεὶ τοίνυν παρὰ τῷ ποιητῇ ἐπαμφοτερίζει τὸ δαιμόνιος ἀναλόγως τοῖς ὑποκειμένοις προσώποις, ποτὲ μὲν οὕτως, ποτὲ δὲ ἄλλως λαμβανόμενον. [οὕτω δὲ καὶ ἡ συμφορά διχῇ νοεῖται παρὰ τοῖς παλαιοῖς, ὡς ἀλλαχοῦ δηλοῦται, καὶ ὁ οἰωνός δὲ καὶ ἕτερα πολλά.] Τὸ δέ «οὔ σε ἔοικε δειδίσσεσθαι» φυγὴν ἄντικρυς ἀποφαίνει τὴν παροῦσαν τῶν Ἑλλήνων κίνησιν ἀπὸ δειλίας γινομένην, ὅπερ ἐξόχοις ἀνδράσιν ἀνοίκειον. (v. 192) Ἐν δὲ τῷ «οὐ γάρ πω σάφα οἶσθα, οἷος ὁ τοῦ βασιλέως νοῦς», καὶ ὅτι πειρᾶται καὶ ὅτι ἐν βουλῇ οὐ πάντες ἠκούσαμεν, φανερῶς παριστᾷ, ὅτι ἐν τῷ προβουλίῳ οὐ πάντες παρῆσαν ἀπαραλείπτως οἱ βασιλεῖς, ἀλλ’ οἱ ἐπιφανέστεροι καὶ προέχοντες μόνοι· ὅπερ καὶ σημείωσαι, ὡς διὰ καιροῦ ἀνάγκην πολλάκις καὶ τῶν ἀξίων λόγου παροράσθαι δοκούντων. οὔκουν ἅπαντες οἴδασιν οἱ βασιλεῖς καὶ μέδοντες, ὅτι πειρᾶται ὁ βασιλεύς, ἀλλ’ οἱ ἑπτὰ ἴσως καὶ μόνοι, οὓς γέροντας ἀριστῆας Παναχαιῶν μετ’ ὀλίγα ἐρεῖ, τουτέστιν ἐντίμους, ἐξ ὧν καὶ ἡ παρὰ Ῥωμαίοις ὕστερον γερουσία.

1.306

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπεὶ δὲ βαρὺ τοῦτο ἐδόκει τοῖς περιορανθεῖσι βασιλεῦσιν, ἐσχημάτισεν ὁ Ὀδυσσεὺς ἐπιδεξιώτατα τὸν λόγον οὐκ εἰπών, ὅτι ἐν βουλῇ οὐ πάντες ἠκούσατε, ἀλλ᾽ ὅτι ἐν βουλῇ οὐ πάντες ἠκούσαμεν, συνεισάγων καὶ ἑαυτὸν τοῖς μὴ προακούσασιν, ἵνα μὴ καταισχύνῃ καὶ λυπήσῃ τοὺς ἄλλους τοὺς μὴ κληθέντας εἰς τὸ προβούλιον. Τινὲς μέντοι ἐρωτηματικῶς ἀναγινώσκουσιν, ἵνα λέγῃ, ὅτι ἆρά γε ἐν τῇ βουλῇ οὐ πάντες ἠκούσαμεν; πῶς οὖν ἀκούσαντες φεύγομεν; καλλίων μέντοι ἡ πρώτη τῆς ἐννοίας ἐπιβολή. Ὅρα δὲ ἐν τῇ τοιαύτῃ δημηγορίᾳ τὴν πυκνότητα τῶν τοῦ Ὀδυσσέως νοημάτων. ὀκτὼ γὰρ ὄντων τῶν ὅλων στίχων, ἐν οἷς λαλεῖ πρὸς τοὺς βασιλεῖς ὁ Ὀδυσσεύς, καὶ πάλιν ἕξ, ἐν οἷς πρὸς τοὺς δημότας δημηγορεῖ, ἑκάστῳ στίχῳ ἔννοιαν συναπαρτίζει. Τινὲς δὲ στίχοι καὶ δύο ἐννοίας ἐμπεριγράφουσι· ποιεῖ γὰρ τὸν Ὀδυσσέα οὐ μόνον οἷς ἔπραττε σπεύδοντα, ὡς προείρηται, ἀλλὰ καὶ οἷς κομματικῶς καὶ γοργῶς ἔλεγε. καὶ αὐτὸς δὲ ὁ ποιητὴς συνεπισπεύδων ὥσπερ καὶ τῷ καιρῷ συσχηματίζων τὸν ἑαυτοῦ λόγον ἐλλειπτικῷ ἐνταῦθα ἐχρήσατο σχήματι διὰ γοργότητα ἐν τῷ «δαιμόνιε». ἐχρῆν γὰρ εἰπεῖν πρότερον τὸ εἰπών ἢ φάμενος ἤ τι τοιοῦτον καὶ τότε ἐπαγαγεῖν τὸ δαιμόνιε, ἵνα ᾖν ὁ λόγος τοιοῦτος· φάμενος, ὦ δαιμόνιε, ἢ εἰπών, ὦ δαιμόνιε. ὁ δὲ γοργῶς ἐσχημάτισε κατὰ ἔλλειψιν τῆς μετοχῆς. καὶ ἐν τῷ τέλει δὲ τῆς δημηγορίας κεῖται σχῆμα ἐλλειπτικὸν κατὰ τὸ ἀπὸ κοινοῦ ἐν τῷ «εἷς βασιλεύς, ᾧ ἔδωκε Ζεύς». τί γὰρ ἔδωκεν ὁ Ζεὺς ἢ πάντως τὸ βασιλεύειν; ὅπερ ἀπὸ τοῦ βασιλεύς ἀφῆκε νοεῖσθαι λαβὼν κατὰ κοινοῦ ῥῆμα ἐξ ὀνόματος. (v. 196) Τὸ δέ «θυμὸς μέγας ἐστὶ βασιλέως» συγκρότησίν τινα δίδωσι τῷ «κρείσσων γὰρ βασιλεύς, ὅτε χώσεται ἀνδρὶ χέρηϊ». ἡ δὲ τοιαύτη γνώμη πρὸς ἐκφόβησιν παρείληπται. οὐ γὰρ τὸ μέγα τοῦ θυμοῦ βασιλέως ἐγκώμιον ἁπλῶς ἐστιν, ἀλλὰ φρικτὸν αὐτὸν παριστᾷ. Ἐντεῦθεν δὲ λαβόντες οἱ ὕστερον σοφοὶ ἀφορμὴν μεγαλοθύμους τοὺς τοιούτους ἀνθρώπους φασὶν ἄλλο τι ὄντας παρὰ τοὺς ἐν τῷ ποιητῇ μεγαθύμους. Σημείωσαι δὲ καί, ὅτι ὥσπερ καὶ ἐπὶ ἄλλων οὕτω καὶ ἐπὶ τοῦ μέγας θυμός καὶ μεγάθυμος πολλὴ ἐστι διαφορὰ τοῦ τε διαλελυμένου καὶ τοῦ συνθέτου· μέγας μὲν γὰρ θυμὸς τὸ πολὺ τοῦ χόλου, μεγάθυμος δὲ ὁ μεγαλόφρων καὶ μεγαλόψυχος. Οὕτω καὶ παρὰ Ἡσιόδῳ διαφέρει ὁ χειροδίκης καὶ ὁ ἐν χερσὶν ἔχων τὴν δίκην· χειροδίκης μὲν γὰρ συνθέτως ὁ βίαιος καὶ οὐκ ἐν τοῖς νόμοις, ἀλλ᾽ ἐν χερσὶ ταῖς ἑαυτοῦ κείμενον ἔχων τὸ δίκαιον· δίκην δὲ ἔχων ἐν χερσὶν ὁ δίκαιος καὶ ἀεὶ πρὸ χειρῶν οἷον φέρων τὸ δίκαιον.

1.307 οὕτω δὲ καὶ θερμὸν μὲν ἔργον διαλελυμένως τὸ ἀναιδὲς καὶ θρασύ, θερμουργὸς δὲ ἀνὴρ ἐν συνθέσει κατὰ λόγον ἐπαινετὸν ὁ θαρραλέος καὶ μὴ ψυχρὸς εἰς ἔργον. τὸ δ᾽ ὅμοιον φανεῖταί που καὶ ἐπὶ τοῦ σκιαμαχεῖν καὶ ὑπὸ σκιᾷ μάχεσθαι. (v. 198) Δήμου δὲ ἄνδρα τὸν ἰδιώτην λέγει. τὸν δὲ αὐτόν που καὶ δῆμον καλεῖ, ὡς ἄν τις εἴποι δημότην ἢ δημοτικὸν τῷ τοῦ ὅλου ὀνόματι ἤγουν τῷ τοῦ δήμου ὀνομάσας τὸ μέρος ἤτοι τὸν δημότην, ὡς πολλαχοῦ φαίνεται ποιῶν. ἴδε δὲ καὶ ὅτι οὐχ᾽ ἁπλῶς πάντα δημότην κολάζει, ἀλλὰ ὃν ἂν εὑρήσει βοῶντα καὶ οὕτως ἀνασείοντα τὸν ὄχλον καὶ κωλύοντα τὴν τούτου δημηγορίαν ὡς μηδὲ ἐξακούεσθαι. (v. 200) Διὸ καὶ ἀτρέμας καθῆσθαι αὐτὸν ἐθέλει καὶ μὴ λαλεῖν, ἀλλὰ ἄλλων ἀκούειν λαλούντων οὐχ᾽ ὁμοίων, ἀλλὰ κρεισσόνων αὐτοῦ. ἐπὶ μέντοι τῶν βασιλέων ἄλλως εἶπεν· «αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς», οὐ μὴν ὅτι καὶ σιώπα. Ἰστέον δὲ ὅτι τὸ ἀτρέμας ἧσο παραφράζων Ἡρόδοτός πού φησιν· «ἀτρεμίζοντά σε μακαριστὸν εἶναι». (v. 199) Τὸ δὲ σκήπτρῳ ἐλαύνειν ἀντὶ τοῦ πλήττειν εἴρηκε. δῆλον δὲ ὅτι καὶ ἵππον ἐλαύνειν τις λέγεται καὶ σίδηρον δέ, ἀλλὰ καὶ τεῖχος ἐλάσαι τῇ πόλει ἀλλαχοῦ λέγει. καὶ ἔστιν, ὡς καὶ προεγράφη, πολυσήμαντος ἡ λέξις. Ὅρα δὲ καὶ ὅτι τὸ τοῦ Ἀγαμέμνονος σκῆπτρον εἰς μὲν τοὺς βασιλεῖς ἤρκεσε τῷ Ὀδυσσεῖ πρὸς σύμβολον μόνον τοῦ ἐκ βασιλέως λαλεῖν, ἐπὶ δὲ τοὺς δημότας καὶ εἰς πλήττουσαν ῥάβδον Ὀδυσσεὺς αὐτῷ ἀπεχρήσατο, οὐ λόγοις ἀγανοῖς αὐτοὺς μετιών—τοῦτο γὰρ οὐκ ἔδει, καθὰ προγέγραπται—, ἀλλὰ δριμύττων καὶ σωφρονίζων τὸν δῆμον πληγαῖς· ὅθεν καί φασιν οἱ παλαιοί, ὅτι πῶς ἂν εἴη δημοχαριστὴς κατὰ τοὺς τραγικοὺς ὁ Ὀδυσσεὺς οὕτως ἀτίμως τὸν δῆμον διαχειριζόμενος; (v. 200) Τὸ δέ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«ἀτρέμας» ἐστὶ μὲν ἐπίρρημα καὶ δηλοῖ τὸ ἡσύχως· εὑρίσκεται δὲ καὶ δίχα τοῦ σίγμα, [ὡς δηλοῖ σὺν ἄλλοις καὶ τὸ «οὔκουν ἀτρέμ' ἕξεις» ἤγουν ἡσυχάσεις, «ἤν τι καὶ χορδῆς λάβῃς;»] λέγεται δὲ καὶ ἀτρεμεί παρὰ τοῖς μεθ' Ὅμηρον. (v. 202) Τὸ δέ «ἐν πολέμῳ ἐναρίθμιος» ἀντὶ τοῦ ἐν ἀριθμῷ καὶ λόγῳ κείμενος. ἔστι δὲ ὅτε ἀριθμός καὶ ἐπὶ οὐδαμινότητος λαμβάνεται, ὡς ὅτε ὁ Κωμικὸς λέγει, ὅτι οἱ θεαταὶ ἀριθμὸς ἄλλως εἰσίν, ἤτοι πλῆθος, μόνον καὶ αὐτὸ τοῦτο ποσότης ἐπινοουμένη, οὐ μὴν οὐσίαι τινὲς ἀριθμούμεναι. ἐν δὲ τοῖς ῥηθεῖσιν ἰστέον καὶ ὅτι ὁ παρακαλούμενος αὐτός τε παύσασθαι τοῦ ταράχου καὶ τοὺς ἄλλους δὲ ὁμοίως κατασιγάσαι ἀκούσοι ἂν τὸ «δαιμόνιε» ἢ μακάριε «αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς».

1.308 τῷ δὲ ἐπιτιμωμένῳ μὴ λαλεῖν οἰκεῖον ἐπιφωνηθῆναι τὸ «δαιμόνιε, ἀτρέμας ἧσο καὶ ἄλλων μῦθον ἄκουε, οἳ σοῦ φέρτεροί εἰσι». Τὸ δέ «σὺ δ' ἀπόλεμος καὶ ἄναλκις» καὶ τὰ ἑξῆς, ὡς πρὸ μικροῦ ἐγράφη, κατὰ ἀνθρώπου γραφήσονται ἀχρείου μὲν εἰς πᾶν, ἀτάκτου δὲ καὶ φιλάρχου. (v. 204) Ὅτι οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω, εἷς βασιλεύς, ᾧ ἔδωκε θεός. Τοῦτο δὲ τὸ γνωμάτευμα οὐδὲ τὰς ἄλλας μὲν ἀρχὰς ἀποδοκιμάζει, ἐπικρίνει δὲ μᾶλλον τὴν ἔννομον μοναρχίαν, ἥτις ἐστὶ βασιλεία. Ἰστέον γὰρ ὅτι τρεῖς ἐξουσίαι εἰσὶν ἐν ταῖς πόλεσιν, ἡ ἐκ πάντων, ἡ ἐξ ἑνὸς καὶ ἡ τούτων μέση, ἡ ἔκ τινων. τριῶν τοίνυν οὐσῶν, μία μέν ἐστιν, ἐν ᾗ ὁ δῆμος ὅλος δύναται, ἰσηγορίαν ἔχων καὶ ἰσοπολιτείαν ἔννομον· ὃ καλεῖται δημοκρατία, ἣν ὁ ποιητὴς ᾐνίξατο ἐν τῷ «οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδε Ἀχαιοί». δηλοῦται γὰρ ἐν μὲν τῷ πάντες ὁ δῆμος, ἐν δὲ τῷ βασιλεύσομεν τὸ κρατεῖν, ἐξ ὧν ἡ λέξις τῆς δημοκρατίας συντέθειται. καὶ αὕτη μὲν ἀρχὴ πολιτικὴ μία, ἡ δημοκρατία· ἑτέρα δὲ ἡ ἀριστοκρατία, ἐν ᾗ μόνοι ἐννόμως κρατοῦσιν οἱ ἄριστοι. ταύτην δὲ διὰ τῆς πολυκοιρανίας ὑποδηλοῖ ὁ ποιητής. τρίτη δὲ ἡ μοναρχία, ἐν ᾗ πάντων εἷς μόνος ἄρχει κατὰ νόμους καὶ αὐτός· ὃ δὴ βασιλεία ἐστί. Τριῶν οὖν τούτων οὐσῶν μόνων ἀρχῶν, μιᾶς τῆς δημοκρατίας, ἥτις, ἐὰν μὴ κατὰ νόμους γίνηται, εἰς ὀχλοκρατίαν ἐκπίπτει, καὶ ἑτέρας τῆς ἀριστοκρατίας, ἣν οὐ κατὰ νόμους ἰθυνομένην ὀλιγαρχία μετεκδέχεται, καὶ τρίτης τῆς βασιλείας, ἥτις ἐκπεσοῦσα τοῦ νομίμου εἰς τυραννίδα κατολισθαίνει, ὁ ποιητὴς τὴν ἔννομον μοναρχίαν ἐπαινεῖ. διὰ τοῦτο εἰπών, ὅτι οὐ πάντες βασιλεύσομεν ἐνθάδ' Ἀχαιοί—τοῦτο γὰρ δημοκρατία ἢ καὶ χεῖρον δημοκρατίας· ἐν γὰρ δημοκρατίᾳ οὐ πάντες βασιλεύσουσι· τίνων γὰρ ἄρξουσιν; —ἐπήγαγεν· «οὐκ ἀγαθὸν πολυκοιρανίη». ἐπεὶ δὲ οὐδὲ τοῦτο τὴν μοναρχίαν ἐδήλωσε—καὶ γὰρ ὥσπερ ἡ δημοκρατία, οὕτω καὶ ἡ ἀριστοκρατία πολυαρχία ἐστὶ καὶ αὐτή, κἂν μὴ τοιαύτη, ὁποία ἡ δημοκρατία—ἐπάγει σαφέστατα· «εἷς κοίρανος ἔστω, εἷς βασιλεύς», δὶς εἰπὼν ἐκ παραλλήλου τὸ αὐτὸ καὶ ἐπιμείνας ἐνδιαθέτως τῷ νοήματι διὰ τὸ ἄγαν ἐναργές. καὶ ἄλλως δὲ εἰπεῖν σαφέστερον, ἐπεὶ τριχῶς ἄρχειν ἔστι λαοῦ κατὰ νόμους, ὡς προείρηται, δημοκρατικῶς, ἀριστοκρατικῶς καὶ βασιλικῶς, ἤτοι ἢ πάντας ἢ πολλοὺς ἢ ἕνα, κομματικῶς καὶ ἀσυνδέτως τὸν λόγον διατιθεὶς ὁ ποιητής φησιν· «οὐ πάντες βασιλεύσομεν», ἤγουν οὐ δημοκρατηθησόμεθα· «οὐκ ἀγαθὸν πολυκοιρανίη», ὅ ἐστι τὸ πολλοὺς ἄρχειν. λείπεται οὖν τὸ τρίτον, τὸ ἄρχειν ἕνα. εἷς τοίνυν ἔστω βασιλεύς, ᾧ ἔδωκε θεός· θεόσδοτον γὰρ ἀγαθὸν ἡ βασιλεία. διὸ καὶ τίμιον, ὡς προείρηκεν. Ὅτι δὲ ἀγαθὸν τὸ μόναρχον, δηλοῖ καὶ ἡ κατὰ κόσμον διάθεσις ἑνὶ διοικουμένη κηδεμόνι τῷ παμβασιλεῖ. καὶ τὰ κάλλιστα δὲ τῶν ἐγκοσμίων κατὰ μονάδα παρῆκται· εἷς ἥλιος τοῖς περὶ γῆν ἐπιστατεῖν ἡμέρας βεβράβευται· μία σελήνη νυκτός ἐστιν ὀφθαλμός· ἕνα βασιλέα τῆς ἐν ἡμῖν ἀκροπόλεως, τὸν νοῦν, ὁ τῶν βασιλέων βασιλεὺς ὑπερίδρυσεν.

1.309 οὕτω τοίνυν καὶ πόλις εὖ ἔχοι ἂν ἑνὶ διευθυνομένη ἄρχοντι. Εἰ δέ «εἷς ἀνὴρ οὐδεὶς ἀνήρ», ὡς ἡ παροιμία φησίν, ἀλλ' ὁ τοιοῦτος οὐκ ἔστιν εἷς, πολλαπλοῦς δέ γε καὶ πολυσχιδὴς μυρίοις μὲν ὀφθαλμοῖς, τοσαύταις δὲ χερσίν, οὐ μετρηταῖς δὲ ἀκοαῖς καὶ τοῖς ἄλλοις τοῖς καιρίοις τῶν μορίων, εἰς ἀπειροπλήθειαν κατηρτισμένος, ἃ δὴ πάντως εἰσὶ τὸ δικαστικὸν φῦλον, τὸ δημαγωγικόν, τὸ στρατηγικόν, τἆλλα, δι' ὧν ἡ πόλις ὥσπερ τι σῶμα καλὸν ὑπὸ ὑγιαινουσῶν

αἰσθήσεων τάττεται μιᾶς ἐπιστατούσης ψυχῆς τῆς τοῦ βασιλέως. Αὕτη ἡ ἀρχή, ἡ βασιλικὴ δηλαδή, καὶ τὰς θρυλλουμένας ποτὲ μεγάλας ἀρχὰς κατέστησε, τὴν τῶν Περσῶν, τὴν τῶν Ἰνδῶν, τὴν τῶν Ῥωμαίων· καὶ οὐδεμία τις ἀρχὴ ἐπὶ τοσοῦτον ἦλθε λόγου, ὅσον ἡ βασιλική. καλῶς ἄρα ὁ ποιητικὸς Ὀδυσσεὺς τὴν μοναρχίαν ἐνέκρινεν οὐκ ἀποδοκιμάσας οὐδὲ τὰς λοιπάς, ἀλλὰ τὸ τοῦ καλοῦ κάλλιον ἐπιλεξάμενος. τὸ γάρ «οὐκ ἀγαθὸν πολυκοιρανίη» οὐκ ἤδη κακὸν τὴν ἔννομον πολυαρχίαν ἔδειξε. τὸ γὰρ οὐκ ἀγαθὸν οὐκ ἐξ ἀνάγκης κακόν ἐστιν. ὅτι δὲ οὐδὲ ἡ δημοκρατία κακὸν οὐδὲ ἡ ἀριστοκρατία, δῆλον ἀπὸ πολλῶν πόλεων, αἵτινες δημοκρατούμεναί τε καὶ ἀριστοκρατούμεναι εὖ διετέλεσαν. Κοίρανος δὲ λέγεται μὲν ὁ ἡγεμών· γίνεται δὲ κατὰ τοὺς παλαιοὺς ἀπὸ τοῦ καιρός τροπῇ τοῦ α εἰς ο , οἱονεὶ ὁ τοῦ καιροῦ κύριος, ἢ ἐκ τοῦ κόρος ὁ νέος πλεονασμῷ τοῦ ἰῶτα, καὶ ἐξ αὐτοῦ πολυκοιρανία ἡ πολυαρχία καὶ κοιρανέειν τὸ ἡγεμονεύειν καὶ τὸ βασιλικὰ ἔργα ἐπιτελεῖν, ὡς τὸ «κοιρανέων δίεπε στρατόν». (v. 207) Ἔστι δὲ διέπειν τὸ τάσσειν ἀπὸ τοῦ ἔπω τὸ λέγω ἢ καὶ ἐκ τοῦ ἕπω τὸ ἀκολουθῶ· ἀκολουθίᾳ γάρ τινι χρώμενος πρεπόντως ἐπέταττε τῷ λαῷ. ἐκ δὲ τούτου οὐ μόνον δίοποι οἱ ἄρχοντες, ὡς καὶ Αἰσχύλος δηλοῖ, ἀλλὰ καὶ ἀδίοποι οἱ μὴ ἀρχόμενοι· ἀδίοπος γάρ, φασίν, ὁ ἄναρχος καὶ ἀφύλακτος, ἐπεὶ δίοποι οἱ βασιλεῖς καὶ οἱ διέποντες. Αἴλιος δὲ Διονύσιός φησι καί, ὅτι δίοπος ὁ ναυφύλαξ ὡς ἐπισκοπῶν αὐτὴν καὶ ἐφορῶν, ὥστε αὐτὸς οὐκ ἐκ τοῦ διέπειν, ἀλλ' ἐκ τοῦ ὄπτω τὸ βλέπω δοκεῖ ἐτυμολογεῖν τὸν δίοπον. [(v. 205) Ἰστέον δὲ ὅτι Ὁμήρου εἰπόντος «εἷς βασιλεύς, ᾧ ἔδωκε» τὸ βασιλεύειν δηλαδή, «Κρόνου παῖς ἀγκυλομήτεω», θεόσδοτόν τε ἀγαθὸν εἶναι ἡ βασιλεία δηλοῦται καὶ διογενῆ τὸν βασιλεύοντα χρῆναι τυγχάνειν φαίνεται· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ σὺν τῇ εὐγενείᾳ καὶ συνέσει πλουτεῖν. Ἧς αἴνιγμα καὶ ὁ Ζεὺς εἰς νοῦν ποτε μεταλαμβανόμενος, ἔτι δὲ καὶ ὁ τοῦ Διὸς πατὴρ Κρόνος, εἰς νοῦν, οὐ τὸν ἁπλῶς, ἀλλὰ τὸν καθαρὸν ἀλληγορούμενος, ὡς οἷά τις κορὸς νοῦς, ὁ καὶ ἀγκυλομήτης διὰ τὸ κατ' αὐτὸν ἀγκύλον καὶ συνεστραμμένον.

1.310 οὐ γὰρ ἔξω πλανᾶταί που ὁ τοιοῦτος νοῦς, ἀλλ' εἰς ἑαυτὸν ἔστραπται καὶ μάλισθ' ὅτε νοεῖν ἐθέλει ἑαυτόν. Δῆλον δὲ ὅτι καὶ ὡς χρόνος ὁ Κρόνος ἀγκυλομήτης λέγεται διὰ τὰς ἑλίξεις καὶ καμπὰς τῶν ἄνω κινήσεων, ἃς εὐμεθόδως μετρεῖ, ἔτι δὲ καὶ μυθικῶς ὡς οἷα τεκνοφάγος, ὃ καὶ αὐτὸ χρόνου ἐνέργημα ἐσθίοντος τὰ ἐν γενέσει τῇ κατὰ χρόνον ἅπαντα δίχα γε τοῦ κατὰ νοῦν Διός· αὐτὸς γὰρ διαφυγγάνει τὸν κατὰ Κρόνον χρονικὸν ὄλεθρον.] (v. 209 s.) Ὅτι τῶν Ἑλλήνων ἐπαναστρεφόντων εἰς τὴν ἀγορὰν ἠχὴν γίνεσθαί φησιν, «ὡς ὅτε κῦμα πολυφλοίσβοιο θαλάσσης αἰγιαλῷ μεγάλῳ βρέμεται, σμαραγεῖ δέ τε πόντος». καὶ ὅρα ὅπως τὴν πρὸ μικροῦ ῥηθεῖσαν παραβολὴν τὴν τῶν μακρῶν κυμάτων ἐν τῷ Ἰκαρίῳ πόντῳ ἄλλως ἐνταῦθα προήνεγκεν. ἐκεῖ μὲν γὰρ ἁπλῶς ἐμνήσθη κυμάτων κινουμένων ἐν μέσῳ πελάγει, ἐνταῦθα δὲ καὶ προσρησσομένων αἰγιαλῷ μεγάλῳ καὶ διὰ τοῦτο μεῖζον βοώντων διὰ τὸ τοῦ ἤχου διπλοῦν, τό τε ἐν τῷ πόντῳ καὶ τὸ ἐν τῷ αἰγιαλῷ. Ἐπαινεῖται δὲ ἡ παραβολὴ διὰ τὰς τραχείας ὀνοματοποιΐας, τὸ ἠχῇ, τὸ πολυφλοίσβου, τὸ βρέμεται, τὸ σμαραγεῖ· δι' ὧν ἡ φράσις τῷ νοουμένῳ συνεκτραχύνεται. (v. 210) Ζητητέον δέ, ἐάν, ὥσπερ τὸ βρέμεται ἐπὶ θαλάσσης λέγεται, οὕτω καὶ ὁ βρόμος τὸ ἐκ τοῦ βρέμειν γινόμενον ὄνομα. Σκοπητέον δὲ καὶ ὅτι καλῶς ἐκ τῆς θαλάσσης καὶ νῦν καὶ πρὸ μικροῦ εἴληπται ἡ παραβολὴ δηλοῦσα, ὅτι, ὥσπερ ἀνέμοις θάλασσα δουλεύει κατὰ τὴν παροιμίαν, οὕτω καὶ ὁ δῆμος ταῖς τῶν βασιλέων ἐνταῦθα βουλαῖς. [Ἰστέον δὲ ὡς, εἰ καὶ δοκεῖ ὁ σμάραγδος λίθος ἐκ τοῦ μαίρειν εἴτ' οὖν μαρμαίρειν γίνεσθαι, ἀλλὰ μᾶλλον ἐκ τοῦ σμαραγεῖν παρῆχθαι δοκεῖ διὰ τὴν διαύγειαν, φασί, τῆς ἐν ὕδατι σμαραγῆς.] (v. 212) Ὅτι διδάσκων ὁ ποιητὴς ὡς οὐδὲν καινὸν ἐν πολλῷ πλήθει πεπαιδευμένων ἀνδρῶν καὶ ἀτάκτους εἶναί τινας καὶ ἀτασθάλους καὶ ἀσωφρονίστους, ποιεῖ ἐνταῦθα ὡς ἐν λόγῳ ἐπεισοδίου τινὰ Θερσίτην ἀκαιρολόγον ἄνδρα καὶ ἐπεσβόλον καὶ οὐκ ἐν δέοντι παρρησιαστικὸν τοῖς ἀρίστοις ἑαυτὸν ἐξισοῦν ἐθέλοντα, ὃς μόνος τῶν ἄλλων Ἑλλήνων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθεζομένων κατὰ τὴν τοῦ Ὀδυσσέως ὑποθήκην καὶ σιγώντων τολμᾷ ἔτι λαλεῖν. ἔστι δὲ Θερσίτης ὁ τοιοῦτος ἀνήρ, ὃν καὶ ἡ κλῆσις θερμὸν εἶναι παραδηλοῖ καὶ ἰταμὸν καὶ θρασύν. Θερσίτης γάρ, [καθὰ σαφέστερον ἐν τοῖς ἑξῆς φανεῖται,] παρὰ τὸ θέρσω γίνεται, ὅπερ ἐστὶ μέλλων Αἰολικὸς τοῦ θέρω ῥήματος, δι᾽ οὗ τὸ θερμαίνω δηλοῦται. Τὸν δὲ τοιοῦτον Θερσίτην οἱ μὲν ὑπονοοῦσιν ἁπλῶς οὕτω πεπλάσθαι παρὰ τοῦ ποιητοῦ διδάσκοντος, ὡς ἔφαμεν, μηδὲν εἶναι παράδοξον παραμεμῖχθαι τοῖς οὕτω πολλοῖς ἀγαθοῖς καί τινα κακὸν ἕνα καὶ τοῖς εὐπειθέσι στασιαστήν· ὃν καὶ ἀχθῆναι εἰς Τροίαν οἴονται, ὡς ἂν τὴν αὐτοῦ πατρίδα στάσεως ῥύσωνται, ἣν ἐκείνη εἶχεν, ὡς εἰκός, ἐξ αὐτοῦ.

1.311 Τινὲς δὲ καὶ γενεαλογοῦσιν αὐτὸν ἄνδρα Αἰτωλὸν ἱστοροῦντες. καὶ εὐγενῆ δέ φασιν εἶναι καὶ προσγενῆ τοῦ Διομήδους, Ἀγρίου παῖδα ἱστοροῦντες αὐτόν, ὃς ἦν ἀδελφὸς Οἰνέως, πάππου τοῦ Διομήδους, λέγοντες καὶ ἐπὶ τὸν Καλυδώνιον κάπρον στρατεῦσαι αὐτόν· ὀκνοῦντα δὲ τὴν μάχην καὶ ὑπεκκλίνοντα κατακρημνισθῆναι ὑπὸ Μελεάγρου καὶ οὕτω λωβηθῆναι τὸ σῶμα, καθάπερ ἐκφράζει ὁ ποιητής. ὅπερ οὐκ ἀρέσκει τοῖς παλαιοῖς· οὐ γὰρ ἄν, φασίν, ἔπληξεν αὐτὸν ὁ Ὀδυσσεὺς τῷ σκήπτρῳ εὐγενῆ ὄντα, ὃς δὴ μόνους τοὺς δημότας ἔτυπτεν, ἀλλὰ καὶ Διομήδης οὐκ ἂν περιεῖδεν αὐτὸν ἀτίμως πάσχοντα. Ἄλλοι μέντοι ἐπίτροπόν τινα τοῦ ποιητοῦ γενέσθαι Θερσίτην φασίν, ὃν κακῶς διαθέμενον τὴν οὐσίαν ἄλλως μὲν ὁ ποιητὴς βλάψαι οὐκ ἔσχεν οἷα δωροδοκοῦντα καὶ τὰς δικαστικὰς ψήφους ὑφελκόμενον, κέκρικε δὲ ἀμύνασθαι αὐτὸν διὰ τοῦ παραρρῖψαι τῇ ποιήσει κλῆσιν Θερσίτου, ἀχρείου καὶ αἰσχίστου ἀνδρός, καὶ διαγράψασθαι αὐτὸν καὶ οὕτως ἀφεῖναι εἰς μνήμην οὐκ εὔχρηστον τοῖς ὀψιγόνοις, οὗ τὸ ἐναντίον ἐπί τινων αὐτῷ φιλουμένων ποιεῖ. Αὖθις γὰρ ἑτέρους τινὰς φίλους αὐτῷ μετ᾽ ἐγκωμίου τινὸς παρενθεὶς τῇ ποιήσει, ὡς πολλαχοῦ φανήσεται, ἀφῆκεν αὐτοὺς φέρεσθαι εἰς μνήμην ἐπαινετὴν τοῖς μετέπειτα, ὡς τὸν Τυχίον μὲν ἐν τῇ Ἰλιάδι, ἐν δὲ Ὀδυσσείᾳ τὸν Φήμιον καὶ τὸν Μέντορα καὶ τὸν Μέντην. Οἱ δὲ παλαιοὶ παρασημειοῦνται ἐνταῦθα, ὅτι οὐ μόνον Ξενοφάνης πεποίηκε σιλλούς, ἐν οἷς εὐδοκίμηκεν, ἀλλὰ καὶ τούτου τοῦ εἴδους πρῶτος κατῆρξεν Ὅμηρος, ἐν οἷς αὐτός τε τὸν Θερσίτην σιλλαίνει καὶ ὁ Θερσίτης τοὺς βασιλεῖς. Εἰσὶ δὲ οἱ σιλλοὶ ποιήσεως εἶδος κωμικῆς καὶ οἱ ταύτην μετιόντες σιλλογράφοι ἐλέγοντο καὶ τὸ οὕτω παίζειν σιλλαίνειν ἐκαλεῖτο καὶ ἐκ τοῦ τοιούτου ῥήματος καὶ οἱ Σιληνοί, δαίμονές τινες κομψοὶ τὰ εἰς ὄρχησιν καὶ εἰς Διονύσου τελετάς. Ταῖς δὲ τοιαύταις λέξεσι σύστοιχον παρὰ Αἰλίῳ Διονυσίῳ καὶ τὸ σιλοῦν, ὅ ἐστι τοὺς ὀφθαλμοὺς ἠρέμα παραφέρειν ἐν τῷ διαφαυλίζειν καὶ διασύρειν. οὐκ ἐνταῦθα δὲ μόνον ὁ ποιητὴς τῷ τοιούτῳ εἴδει χρᾶται, ἀλλὰ καὶ ἐν τοῖς ἐφεξῆς. καὶ ἐν τῇ Ὀδυσσείᾳ δὲ πολλαχοῦ εὑρίσκεται οὕτω ποιῶν, οὐδαμοῦ μέντοι ἀστειότερον ἤπερ ἐνταῦθα. Εἰσὶ δέ, ἃ λέγει περὶ τοῦ ἐπεισοδιώδους Θερσίτου, ταῦτα· (v. 212—21) «Θερσίτης δ᾽ ἔτι μοῦνος ἀμετροεπὴς ἐκολῴα, ὅς ῥ᾽ ἔπεα φρεσὶν [ᾗσιν», ὅ ἐστιν ἰδίαις,] «ἄκοσμά τε πολλά τε ᾔδη μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐριζέμεναι βασιλεῦσιν, ἀλλ᾽ ὅ τί οἱ εἴσαιτο, γελοίϊον Ἀργείοισιν ἔμμεναι. αἴσχιστος δὲ ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε· φολκὸς ἔην, χωλὸς δ᾽ ἕτερον πόδα, τὼ δέ οἱ ὤμω κυρτὼ ἐπὶ στῆθος συνοχωκότε· αὐτὰρ ὕπερθε φοξὸς ἔην κεφαλήν, ψεδνὴ δ᾽ ἐπενήνοθε λάχνη».

1.312 Λέγει δὲ καὶ ὅτι ἔχθιστος ἦν μάλιστα τῷ Ἀχιλλεῖ καὶ τῷ Ὀδυσσεῖ. «αὐτοὺς γὰρ μάλιστα ἐνείκει». κατὰ γὰρ τὴν παροιμίαν «ζητεῖ τοι συνετὸς συνετὸν φίλον, ἄφρονα δὲ ἄφρων». τοῦτο δὲ δεῖγμα τοῦ χείριστον αὐτὸν εἶναι· ὁ γὰρ τοῖς ἀρίστοις ἔχθιστος χείριστος. ὅρα γὰρ ὅτι οὐκ εἶπεν ἐχθρός, ἀλλὰ ἔχθιστος, καὶ οὐδὲ ἁπλῶς ἔχθιστος, ἀλλὰ μάλιστα ἔχθιστος, ὅπερ ἐστὶν ἐπίτασις ἐπιτάσεως εἰς ἔνδειξιν ὑπερβολῆς. Ἐνταῦθα δὲ καὶ πιθανότητα προκαταβάλλεται ὁ ποιητὴς τῆς ἀεικοῦς πληγῆς, ἣν ὁ Θερσίτης πείσεται. εἰ γὰρ ἔχθιστός ἐστι τῷ Ὀδυσσεῖ, πιθανῶς καὶ πληγήσεται ὑπ᾽ αὐτοῦ καὶ τὸ ἴδιον μῖσος ἐπανορθώσεται τὴν εἰς τὸ κοινὸν ἁμαρτίαν τοῦ Θερσίτου κατὰ τὸν εἰπόντα, ὅτι πολλὰ τῶν κοινῶν αἱ ἴδιαι ἔχθραι ἐπανορθοῦνται. (v. 212 s.) Ἀμετροεπὴς δέ ἐστιν ὁ ἀπεραντολόγος κατὰ τοὺς παλαιοὺς καὶ μὴ μέτρον εἰδὼς λόγου. διὸ καὶ

ἄκοσμά φησιν αὐτὸν εἰδέναι καὶ πολλά· πολλὰ μὲν ὡς πολύλογον, εἴγε πάντων σιγώντων αὐτὸς λαλεῖ· ἄκοσμα δέ, διότι μάτην καὶ οὐ κατὰ κόσμον ἤριζε τοῖς βασιλεῦσι. πῶς γὰρ οὐ μάτην λαλεῖ, ὃς μήτε ὑπὲρ ἑαυτοῦ λέγει μήτε ὑπὲρ φίλου, ἀλλὰ διὰ φθόνον τὸν πρὸς τοὺς κρείττονας ἀνασείει τὸν λαόν; Τινὲς δὲ ἀμετροεπῆ λέγουσι τὸν ἐν τῷ λέγειν ἄτακτον· μέτρον γάρ, φασίν, ἡ τάξις. διὸ καὶ ἀκριτόμυθον αὐτὸν προϊὼν φησιν. εἰ δὲ ὁ παρὰ τῷ Σοφοκλεῖ Φιλοκτήτης γλώσσῃ δεινὸν καὶ σοφὸν τὸν Θερσίτην λέγει, ἀλλ’ ἐκεῖνος μισῶν τὸν Ὀδυσσέα ἐπαινεῖ τὸν Θερσίτην οἷα τῷ Ὀδυσσεῖ ἔχθιστον. Τὸ δὲ ἐκολῴα δηλοῖ μὲν τὸ ἐθορύβει, γίνεται δὲ ἐκ τοῦ κολῳός, ὁ θόρυβος, αὐτὸ δὲ ἢ ἐκ τοῦ κολούω, ἐξ οὗ καὶ κολοιός ὄρνεον θορυβητικὸν καὶ κραυγαστικόν, ἢ ἐκ τοῦ κλῶ, ὡς προεγράφη, ὅθεν καὶ τὸ κλώζειν καὶ ὁ κλωγμός. [Σημείωσαι δὲ ὅτι Ὁμήρου δευτέρας συζυγίας εἰδότος τὸ κολῳῶ, καθὰ δηλοῖ τὸ ἐκολῴα ὅμοιον ὂν τῷ ἐβόα, φασὶν οἱ παλαιοὶ καὶ πρώτης αὐτὸ εἶναι παρ’ Ἀντιμάχῳ εἰπόντι· «ὥς ῥα τότ’ Ἀργείων ἐκολῴει στρατός». ἐστὶ γὰρ τὸ ἐκολῴει ὡς τὸ ἐποίει.] (v. 213) Τὸ δὲ ἄκοσμα εἰδέναι τὸν Θερσίτην καὶ πολλὰ ὑπερβολὴν ἐνδείκνυται ἀφροσύνης· πολλὰ μὲν γὰρ οἶδε καὶ μυρία κατὰ τὸν ποιητὴν ὁ συνετὸς καὶ πολύπειρος, ἄκοσμα δὲ οἶδεν ὁ ἀφραίνων. ὁ δὲ Θερσίτης ἄκοσμά τε εἰδὼς καὶ πολλὰ πάνυ ἂν εἴη πόρρω τῆς εὐκοσμίας. διὸ καὶ τοῖς βασιλεῦσίν ἐστιν ἐχθρὸς οἷα κοσμήτορσιν ἄκοσμος αὐτὸς ὤν. Ἐφερμηνεύων δέ, τί τὸ ἄκοσμα, φησὶν οὐ κατὰ κόσμον ἐρίζειν τοῖς βασιλεῦσι, [δηλαδὴ τοῖς Ἀτρείδαις ἢ καὶ τοῖς ὅλοις. ἔνθα ὅρα ὅτι τε τὸ «οὐ κατὰ κόσμον» ἑρμηνεία ἐστὶ τοῦ μάψ καὶ ὅτι οὐχ’ ἁπλῶς ψέγεται ὁ βασιλεῦσιν ἐρίζων ἀλλὰ ὁ μάτην. ἄλλως γὰρ κατὰ τὸν Ὁμηρικὸν Διομήδην μαχήσεταί τις ἀφραδέοντι βασιλεῖ, καθὰ θέμις, ἐν ἀγορᾷ.] (v. 215) Τὸ δέ «ἀλλ’ ὅ τί οἱ εἴσαιτο γελοίϊον Ἀργείοισιν ἔμμεναι» διπλῆν ἔννοιαν ἔχει· ἢ γὰρ λέγει ὡς, ὅπερ ἂν αὐτῷ εἴσαιτο ἤγουν δόξοι, ἐκεῖνο γελοῖον ἦν τοῖς Ἀργείοις, ἤγουν τὰ τῷ Θερσίτῃ σπουδαῖα γέλως ἦσαν τοῖς Ἀχαιοῖς, ἢ ὅτι ἐκεῖνο ἀκόσμως πρὸς ἔριν ἐλάλει, ὅπερ ἂν αὐτῷ ἐδόκει γελοῖον εἶναι τοῖς Ἀχαιοῖς, ἵνα δείξῃ διὰ τούτου πάνυ γελοῖον καὶ αὐθάδη τὸν Θερσίτην, ἐὰν ἐκ προνοίας καὶ ἑκὼν καὶ ἐπίτηδες τὸ παραστὰν ἐφλυάρει, ἐκεῖνα ματαιολογῶν ἅπερ καὶ αὐτῷ ἐδόκουν ἄξια γέλωτος εἶναι τοῖς Ἕλλησιν, ὅπερ ἄκρας ἐστὶ θρασύτητος καὶ περιφρονήσεως, ἐὰν τὰ τοῖς ἄλλοις γελοῖα ὡς σπουδαῖα κρίνων αὐτὸς λέγειν τολμᾷ καταγινώσκων ἁπάντων δηλαδὴ ἄγνοιαν καὶ μετάγειν καὶ τοὺς ἄλλους πειρώμενος εἰς ὅπερ αὐτὸς νοεῖ.

1.313 Σημείωσαι δὲ ὅτι Σοφοκλῆς τὸν τοιοῦτον Ὁμηρικὸν νοῦν παραφράζων φησὶ περὶ Θερσίτου, ὅτι οὐκ ἂν εἵλετο εἰσάπαξ εἰπεῖν, ὅπου μηδεὶς ἐῴη, τουτέστιν οὕτω θρασὺς ἦν, ὥστε καὶ κωλυόμενός τι λέγειν, ὡς μὴ δέον ὂν λέγεσθαι, ὁ δὲ τὸ αὐτὸ πολλάκις ἐλάλει. (v. 216) Σημείωσαι δὲ καὶ ὡς ἐν τῇ πρώτῃ ἐννοίᾳ τοῦ «ὅ τί οἱ εἴσαιτο γελοίϊον Ἀργείοις ἔμμεναι» ἀντὶ τοῦ «ὅπερ ἂν τῷ Θερσίτῃ δοκοίη, ἐγελᾶτο τοῖς Ἀχαιοῖς», τὸ ἔμμεναι ἢ ἀντὶ τοῦ ἦν κεῖται κατὰ τοὺς παλαιούς, ἵνα λέγῃ, ὅτι γελοῖον ἦν τοῖς ἄλλοις τὸ παρ’ ἐκείνῳ σπουδαῖον, ἢ παρέλκον κεῖται καὶ ἀργόν. τοιοῦτον δὲ καὶ τὸ «ἑκὼν εἶναι οὐκ ἂν τόδε ποιήσω». καὶ ἄλλαι δὲ παρὰ πολλοῖς λέξεις κείμεναι ὁμοίως παρέλκουσιν, ὡς καὶ τὸ ἀμέλει ἐνίοτε καὶ τὸ ἔχειν ἐν τῷ «παίζεις ἔχων» καὶ τό γε νῦν ἔχον καὶ τὸ εἶτα ἐν τῷ «εἴ σοι μηδὲν μετὸν εἶτ’ ἀπεχθάνῃ» καὶ τό ποτὲ ἐν τῷ «τί δήποτε ἥκεις;» καὶ τό τὶ ἐν τῷ ὁμοῦ τι, σχεδόν τι, μᾶλλόν τι, οὔ τι, οὕτω τι, «μήτι ἐγὼ εἰμί;» καὶ τὸ ως δέ ποτε πλεονάζει, ὡς μετ’ ὀλίγα ῥηθήσεται. Τινὲς δὲ ἀπὸ τοῦ εἴσαιτο κατὰ κοινοῦ συμβιβάζοντες τὴν ἔννοιάν φασιν, ὅτι ὅπερ ἂν εἴσαιτο τῷ Θερσίτῃ, ἤγουν δόξοι, γελοῖον ἐκεῖνο τοῖς Ἀργείοις εἶναι, δηλαδὴ εἴδετο ἤγουν ἐδόκει. Τὸ δὲ γελοίϊον πλεονασμὸν ἔχει τοῦ δευτέρου ι , ὡς καὶ τὸ ὁμοίϊον ἀντὶ τοῦ ὅμοιον καὶ τὸ ποδοῖιν καὶ ἵπποιιν καὶ ὤμοιιν· «δός μοι ὤμοιιν τὰ σὰ τεύχεα θωρηχθῆναι». Τινὲς δὲ διάλυσιν τὸ σχῆμά φασι [λέγοντες καί, ὅτι οὐκ εἴωθεν Ὅμηρος τῇ γενικῇ καὶ δοτικῇ τῶν δυϊκῶν ἄλλως χρῆσθαι, εἰ μὴ κατὰ διάλυσιν, οἷον ποδοῖϊν, ἀλληλοιϊν· ὃ δὴ καὶ ἐν Ὀδυσσείᾳ δεδήλωταί που.] καὶ οὕτω μὲν ἐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλεονασμοῦ τετρασύλλαβον τὸ γελοίϊον. τοῦ δὲ τρισυλλάβου τινὲς ὀξύνουσι τὴν πρώτην συλλαβήν, ὥς φησι Διονύσιος Αἴλιος. οἱ δὲ πλεῖστοι γελοῖον μὲν προπερισπωμένως τὸν γελωτοποιὸν γέγουσιν, οἷον τὸν μῖμον, γέλοιον δὲ τὸν καταγέλαστον.

1.314 δοκεῖ δέ, φησί, τῶν παλαιῶν Ἀττικῶν εἶναι περισπᾶν τὰ τοιαῦτα, ὁμοῖον, ἑτοῖμον, γελοῖον. ὅτι δὲ δοκεῖ τὸ γελοῖον ἀπὸ συνεσταλμένης εὐθείας εἶναι τῆς γέλος ὁμοίως τῷ ἔρος, ἐν ἄλλοις εἴρηται· καὶ ὅτι δύναται καὶ ὡς ἀγκῴνη ἀγκοίνη, οὕτω καὶ γελῷον γελοῖον εἶναι. (v. 216) Αἴσχιστος δὲ ὁ δύσμορφος· ἐναντία γὰρ αἶσχος καὶ κάλλος καὶ αἴσχιστος καὶ κάλλιστος καὶ αἰσχρός καὶ καλός. διὸ καὶ δεξιῶς που εἴρηται κατὰ σχῆμα ἀντίθετον τὸ «διὰ καλῶν γὰρ ὀμμάτων αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα». Λυκόφρων δὲ εἰδοποιήσας τὸ τοῦ Θερσίτου αἶσχος πιθηκόμορφον αὐτὸν ὠνόμασεν. [Ἡ δὲ γινομένη παρίσωσις ἐν τῷ αἴσχιστος καὶ ἔχθιστος καλὴ μέν· ὡς δὲ ἐπικρύπτει τὸ κάλλος, μετ' ὀλίγα εἰρήσεται.] Πάνυ δὲ ἐναντιώτατος ὁ Θερσίτης τῷ Ἀχιλλεῖ οὐ μόνον, ὡς ἀγεννὴς ἀνδρείῳ καὶ ὡς κοσμήτορι ἄκοσμος καὶ ὡς ἄφρων φρονίμῳ, ἀλλὰ καὶ ὡς καλλίστῳ αἴσχιστος· κάλλιστον γὰρ Ἑλλήνων πάντων ἐν τοῖς ἑξῆς ὁ ποιητὴς τὸν Ἀχιλλέα ἐρεῖ. Τὸ δέ «ὑπὸ Ἴλιον ἦλθεν» ἀντὶ τοῦ εἰς τὴν Ἴλιον. ἐλήφθη γὰρ πρόθεσις ἀντὶ προθέσεως, εἰ μὴ ἄρα διὰ τῆς ὑπό προθέσεως ἡ κάτω σχέσις δηλοῦται· Ἠνεμόεσσα μὲν γὰρ ἡ Τροία καὶ ὑπέρκειται. διὸ καὶ Ἰλιάδα σκοπιὰν αὐτὴν ἡ Τραγῳδία φησίν. ὑπόκειται δὲ ἐν αἰγιαλῷ ὁ Ἑλληνικὸς ναύσταθμος. (v. 217—9) Τὸ δέ «φολκὸς ἦν» καὶ τὰ ἑξῆς ἀποδεικτικά εἰσι τοῦ αἴσχιστον εἶναι τὸν Θερσίτην. καὶ οὐκ ἄν τις αἰσχίονα τούτου διαγράψοι ἄνθρωπον. καὶ ἴδε τὴν τοῦ ποιητοῦ ἀρετὴν οὐ μόνον εἰς τὸ ἐγκωμιάζειν ἀλλὰ καὶ εἰς τό, ὡς ἐρρέθη, σιλλαίνειν καὶ ψέγειν, ἐάνπερ ἠβούλετο. (v. 217) Ἔστι δὲ φολκὸς μὲν ὁ στραβός, ὁ τὰ φάη, τουτέστι τοὺς ὀφθαλμούς, μὴ ὀρθὰ ἔχων ἀλλὰ ἐστραμμένα καὶ παρειλκυσμένα τῆς κατὰ φύσιν ὀρθότητος. Τινὲς δὲ φολκὸν εἶπον τὸν τοιοῦτον λέγεσθαι ὡς τὰ τῶν πολλῶν φάη ἕλκοντα εἰς ἑαυτόν. ἐλεεῖται γάρ, φασί, μάλιστα ὁ τυφλός. εἰ δέ τις τοῦτο παραδέξεται, σημείωσαι ὅπως ἐκ τῆς αὐτῆς ἐννοίας γενόμενοι ὁ ἑλίκωψ καὶ ὁ φολκὸς ἄκραν ἔχουσι διαφοράν. ἔστι γὰρ ἑλίκωψ ὁ ἑλίσσων τοὺς ὦπας τῶν πολλῶν εἰς ἑαυτόν· καὶ φολκὸς ὁ τὰ φάη τῶν βλεπόντων ἐφελκόμενος, ἅπερ μιᾶς μέν εἰσιν ἐννοίας, αἰτίας δὲ οὐ τῆς αὐτῆς, ἐάνπερ ἑλίκωπες μὲν Ἀχαιοὶ οἱ διὰ τὸ ἀξιοθέατον τοὺς ὦπας ἑλίσσοντες τῶν ὁρώντων εἰς ἑαυτούς, φολκὸς δὲ ὁ διὰ ἔλεον ἢ καὶ γέλων τὰ φάη τῶν βλεπόντων ἐφελκόμενος. Ἰστέον δὲ ὅτι τὰ κατὰ τὸν στραβὸν οἱ παλαιοὶ καὶ οὕτω φράζουσιν· οἱ μέν, ὅτι βλεπεδαίμων ὁ διεστραμμένος τὰς ὄψεις καὶ οἷον ὑπὸ δαίμονος πεπληγώς· Παυσανίας δὲ προστίθησι καὶ ὅτι τοὺς Σωκρατικοὺς οὕτως ἔλεγον· ἄλλοι δὲ ὅτι ἰλλός πλάγιος, διεστραμμένος, στραβός, καὶ ἰλλώπτειν τὸ στραβίζειν· τινὲς δὲ ὅτι ἔπιλλος ὁ παράστραβος καὶ ὅτι ὁ στρεβλός, ὃν οἱ παλαιοὶ στραβὸν λέγουσι, καὶ ὅτι ἰλλώπτειν καὶ ἐνιλλώπτειν τὸ ὑγροῖς, ὥς φησιν Αἴλιος Διονύσιος, καὶ ἐπιμύουσι καὶ κατακεκλασμένοις ὄμμασιν ἐμβλέπειν.

1.315 Παυσανίας δὲ ἐνίλλειν τὸ ὀφθαλμοῖς καταμωκᾶσθαι καὶ ἰλλώπτειν καὶ ἐπιλλοῦν τὸ μυκτηρίζειν καὶ κατιλλώπτειν τὸ καταμυκτηρίζειν. καὶ τοιαῦτα μὲν τὰ τοῦ φολκοῦ, ἐν οἷς ὅρα καὶ ὅτι ἐκφράζων ἄνθρωπον ὁ ποιητὴς ἀπὸ κεφαλῆς ἤρξατο κανόνι ῥητορικῷ, καὶ ταύτης ἐκ τοῦ τιμιωτάτου, τῶν ὀμμάτων δηλαδή· ὅπερ ποιήσει καὶ ἐπὶ τοῦ βασιλέως ἐν τῷ «ὄμματα καὶ κεφαλὴν ἴκελος Διΐ». ἄρχεται γάρ, φασίν, ἐν τούτοις οἷά τις ἀνδριαντοπλάστης ἀπὸ τοῦ καλλίστου. Τὸ δέ «χωλὸς ἕτερον πόδα» [οὐκ ἐξ ἀνάγκης δηλοῖ, ὡς καὶ κυλλοποδίων καθ' Ἥφαιστον ἦν ὁ Θερσίτης· ἐπὶ πλέον γάρ πως τὸ χωλὸν τοῦ κυλλοῦ. κυλλὸς μὲν γὰρ ὁ τὰ καίρια βλαβεὶς ἐκ γενετῆς, χωλὸς δὲ κοινῶς καὶ ὁ ὕστερον ἐκ πληγῆς ἢ ἄλλως πως ἐξ ἀρτιώσεως παθὼν κύλλωμα, ὁποῖόν τινα καὶ τὸν Θερσίτην ἱστοροῦσιν ἔνιοι. ἑτέρως δὲ θεωρῆσαι, τὸ «χωλὸς ἦν ἕτερον πόδα»] ἐπίτασίς ἐστι τοῦ γελοίου· ἧττον γὰρ ἄν, φασίν, ἐγελᾶτο, εἰ ἄμφω τὼ πόδε χωλὸς ἦν. ὅτι δὲ τὸ χωλόν καὶ ἐπὶ χειρὸς τίθεται, ῥητορικοῦ Λεξικοῦ ἔστι παρασημείωσις.

(v. 218) Γελοῖον δὲ καὶ τὸ ἐπὶ στῆθος αὐτῷ τοὺς ὤμους συμπεπτωκέναι. μᾶλλον γὰρ γέλωτος ποιητικὸν τὸ ἐκ τῶν ἔμπροσθεν κυρτὸν ἤπερ τὸ ὄπισθεν καὶ οὐδὲ αὐτὸν λανθάνει τὸν ἔχοντα οἷός ἐστιν· ὁρᾷ γὰρ τὸ κυρτόν. Τὸ δὲ συνοχωκότε δηλοῖ μὲν τὸ συμπεπτωκότες· γίνεται δὲ ἀπὸ τῆς ξυνοχῆς, ἥτις παρὰ τῷ ποιητῇ δηλοῖ τὴν ἀπὸ πλατέος εἰς στενὸν σύμπτωσιν, ὅπου ξυνοχὰς λέγει ὁδοῦ, ταὐτὸν δὲ εἰπεῖν κλεισούρας καὶ στενότητας. Σκοπητέον δὲ εἴ τι καὶ τὸ οἴχωκεν ἐνταῦθα συμβάλλεται, ὃ κεῖται παρ' Ἡροδότῳ, καὶ εἰ βυσσαύχην ὁ Θερσίτης ὑπογράφεται. Διονύσιος γὰρ Αἴλιός φησιν, ὅτι βυσσαύχην ὁ τοὺς ὤμους συνέλκων ἐπὶ τὸν τράχηλον. Παυσανίας μέντοι φησίν, ὅτι βυσσαύχην ὁ τὸν αὐχένα συνέχων καὶ τοὺς ὤμους ἀνέλκων. (v. 219) Φοξὸς δὲ κεφαλὴν λέγεται ὁ εἰς ὀξὺ λήγουσαν ἔχων αὐτήν, λεγόμενος οὕτω ἢ ἀπὸ τῆς ὀξύτητος ἢ κατὰ τοὺς παλαιοὺς ἐξ ὁμοιότητος τῶν πυρρραγῶν ὀστράκων, ἅπερ φοξὰ λέγεται οἱονεί τινα φλοξά. προμήκης οὖν ἡ κεφαλὴ τῷ Θερσίτῃ καὶ διὰ τοῦτο γελοία, ὅπου γε καὶ ὁ μέγας ἐκεῖνος Περικλῆς ὀνειδισμόν τινα εἶχεν, ὡς ἱστορεῖ Πλούταρχος, διὰ τὸ τῆς κεφαλῆς πρόμηκες.

1.316 [Ἰστέον δὲ ὅτι ἐν τοῖς τοῦ Ἀθηναίου φέρονται καὶ ταῦτα χρήσιμα εἰς τὸ περὶ φοξότητος· ἐπίσημοι κύλικες, Ἀργεῖαι καὶ Ἀττικαί. φοξαὶ δὲ τὸ χεῖλος αἱ Ἀργεῖαι, ὡς δηλοῖ Σιμωνίδης εἰπών· «αὐτὴ δὲ φοξίχειλος», εἰς ὀξὺ ἀνηγμένη, τουτέστιν εἰς ὀξὺ λήγουσα. τὸ γὰρ φοξόν, φησίν, ἐπὶ τούτου τάττεται, καθότι καὶ Ὅμηρος ἐπὶ Θερσίτου φησί· «φοξὸς ἔην κεφαλήν». καὶ ἔστιν οἷον φαοξὸς ὁ πρὸς τὰ φάη, φησίν, ὀξὺς ὁρώμενος. Καὶ ὅρα ὡς οὐκ ἔπαθε συναίρεσιν ἐκ τοῦ ἄλφα καὶ ο ὁ φοξός, ἀλλ' ἐκβληθέντος τοῦ ἄλφα ἔμεινε τὸ ο μετὰ τοῦ ξῖ πρὸς ἔνδειξιν σαφῆ ἐτυμολογίας.] Ἐπεὶ δὲ πολλάκις καὶ φοξότητα ἤ τι ἄλλο πάθος ἡ κεφαλὴ ἔχουσα ὅμως ἐπικαλύπτεται ταῖς θριξί—κοσμοῦσι γὰρ αὗται τὸ ἐκείνης εἰδεχθές, ὅθεν καὶ κόμαι λέγονται παρὰ τὸ κοσμεῖν—φησὶν ὁ ποιητής, ὅτι ψεδνὴ ἐπενήνοθε λάχνη τῇ τοῦ Θερσίτου κεφαλῇ, ὡς ἂν μὴ λανθάνῃ τὸ ἐκείνης φοξὸν τῇ κόμῃ ἐπικρυπτόμενον. Ἔστι δὲ ψεδνὴ μὲν ἡ λεπτὴ ἀπὸ τοῦ ψῶ, τὸ λεπτύνω, ψεδανή, ὡς μηκεδανή, καὶ ἐν συγκοπῇ ψεδνή, ὡς «αἴγειρος μακεδνή». τινὲς δὲ ἀπὸ τῆς πίσσης ἐτυμολογοῦσι τὴν λέξιν καὶ λέγουσι ψεδνὴν λάχνην τὴν λεπτὴν τρίχωσιν καὶ ἣν ἐκσπάσοι ἄν τις ἀπὸ τῆς κεφαλῆς πίσσῃ χρώμενος, ὁποῖα πολλὰ πάθη γίνεται, ἵνα εἴη λάχνη πισσεδανὴ καὶ ἐν συγκοπῇ καὶ φυσικῇ τροπῇ τοῦ π καὶ ς εἰς ψ ψεδνή, ὥσπερ ἐκ τοῦ ὀπίσω γίνεται ἂψ καὶ ἐπὶ ἄλλων ὁμοίων. Λάχνη δὲ ἡ τρίχωσις ἢ παρὰ τὸ λαχαίνω, τὸ σκάπτω, καθ' ὁμοιότητα τῆς ψιλῆς γῆς καὶ μικρά τινα ἐχούσης φυτάρια λαχαινόμενα, ἐξ οὗ παράγεται καὶ τὸ λάχανον· ἢ παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ χνοῦς, ὃ δηλοῖ βραχεῖάν τινα καὶ λεπτὴν τριχῶν ἀνάφυσιν, ὁποία καὶ ἡ τῶν βρεφῶν. [δῆλον δὲ ὡς ἀπὸ τοιαύτης λάχνης καὶ θῆρες λαχνήεντες λέγονται, καθὰ καὶ ἀπὸ χαίτης ἄρκτος χαιτήεσσα.] Τὸ δὲ ἐπενήνοθεν εἰς μὲν γραφὴν πεζὴν πάντῃ ἐστὶν ἀσυντελές, σημαίνει δὲ τὸ ἐπέθεε καὶ ἐπέτρεχεν. ὥσπερ δέ, φασίν, ἀπὸ τοῦ ἄχος ῥέειν ποταμὸς ἐν Ἅιδου Ἀχρέων καὶ κατὰ μετάθεσιν τοῦ ε Ἀχέρων, οὕτω καὶ τὸ θέω, τὸ τρέχω, ὑπερβιβασθὲν καὶ γενόμενον ἔθω πεποίηκε τὸ ἐπενήνοθεν, ὅπερ ἐστὶ χρόνου μέσου παρακειμένου.

1.317 ἔστι γὰρ ἔθω καὶ μετὰ προθέσεως ἐνέθω, οὗ μέσος παρακείμενος ἤνοθα, ἐξ οὗ τὸ ἐπενήνοθα τῆς πρώτης ἐκείνης προθέσεως τῆς ἐν τῷ ἐνεστῶτι αὐξηθείσης καὶ μὴ προσλογισθείσης εἰς πρόθεσιν διὰ τὸ καθ' ἕξιν συγκεῖσθαι, ὁποῖόν τι καὶ ἐν τῷ καμμύω γέγονε. κἀνταῦθα γὰρ ἡ κατά πρόθεσις καθ' ἕξιν σύγκειται καὶ οὐ λογίζεται παρακεῖσθαι τῷ μύω ῥήματι καὶ διὰ τοῦτο λογιζόμενον ὡς ἁπλοῦν οὐκ αὐξάνει ἔσωθεν ὡς τὰ ἐκ προθέσεως συγκείμενα ῥήματα, ἀλλὰ καὶ ἔξωθεν· οὐ γὰρ μόνον κατέμυσέ φαμεν ἀλλὰ καὶ ἐκάμμυσεν. Ἰστέον δὲ ὅτι καθ' ὁμοιότητα τοῦ ἤνοθα κανονίζεται καὶ τὸ ἔολπα καὶ ἔοργα μέσου καὶ αὐτὰ ὄντα παρακειμένου. Τινὲς δὲ ἐπενήνοθέ φασιν ἀντὶ τοῦ ἐπεκινεῖτο ἀπὸ τοῦ ὄθω, τὸ κινῶ, κατὰ κλίσιν ὁμοίαν μέσου παρακειμένου. (v. 220) Τὸ δὲ τὸν Θερσίτην ἔχθιστον εἶναι μάλιστα τῷ Ἀχιλλεῖ καὶ τῷ Ὀδυσσεῖ,

οὐ μόνον φίλους ἀλλήλοις δεικνύει τοὺς ἥρωας, ὡς εἰκὸς ὂν τοὺς τοιούτους τὸν αὐτὸν ἔχειν ἐχθρόν, ἀλλὰ καὶ πάνυ μισοπονήρους ἀποφαίνει· οὐ γὰρ ἂν ὁ Θερσίτης οὕτως ἐμίσει αὐτούς, εἰ μὴ τὰ ὅμοια ἔπασχε μισούμενος. τάχα δὲ καί, ἐπεὶ ἐν τοῖς πρώτοις τῶν ἀριστέων ἦσαν ὅ τε Ἀχιλλεὺς καὶ ὁ Ὀδυσσεύς, ἐφιλοτιμεῖτο τὴν πρὸς ἐκείνους ἔριν μάλιστα ὁ Θερσίτης ἀντεξισούμενος αὐτοῖς· διὸ καὶ ἦν ἔχθιστος. Ἡ δὲ νεωτέρα ἱστορία καὶ ἀναιρεθῆναι τὸν Θερσίτην ὑπ’ Ἀχιλλέως λέγει κονδυλισθέντα, ὁπηνίκα τὴν Ἀμαζόνα Πενθεσίλειαν ἐκεῖνος ἀνελὼν οἶκτον ἔσχεν ἐπὶ τῇ κειμένῃ. ὁ μὲν γὰρ ἐθαύμαζε τὸ κάλλος καὶ ὡς καλὴν ἅμα καὶ ἀνδρείαν ἀνδρειότατος καὶ κάλλιστος ἠλέει κειμένην τὸ ὅμοιον οἰκτιζόμενος· ὁ δέ, ὡς εἴρηται, πιθηκόμορφος ἐπὶ λαγνείᾳ σκώπτει τὸν καλὸν ἥρωα. ὁ τοίνυν Ἀχιλλεὺς γογγύλῃ χειρὶ παίσας τὸν αἴσχιστον τῇ καλῇ Πενθεσιλείᾳ συγκατακλίνει. Ὅρα δὲ καὶ ὅτι τὸ ἔχθιστος παρισοῦται μέν, [ὡς καὶ πρὸ βραχέων δεδήλωται,] πρὸς τὸ αἴσχιστος διὰ τὸ ὁμοιοτέλευτον· ἐγγὺς δὲ ὅμως οὐ κεῖται. ὤκνησε γὰρ τὸ τοιοῦτον διὰ τὸ μὴ καίριον ὁ ποιητής, [διὸ καὶ ὑπολανθάνει πως τῇ διακοπῇ τῶν μεσολαβούντων τριῶν στίχων.] (v. 222) Ὅτι οὐχ’ ἁπλῶς βοᾶν ἀλλὰ κλάζειν ὁ ποιητὴς τὸν Θερσίτην φησὶ σκώπτων εἰς ἀλογίαν· ἀλόγων γὰρ ζῴων τὸ κλάζειν.

1.318 φησὶ γάρ, ὅτι τῷ Ἀγαμέμνονι ὀξέα κεκληγὼς ἔλεγεν ὀνείδεα, [οὗ διασαφητικὸν κατωτέρω τὸ «Ἀγαμέμνονα νείκεε μύθῳ».] ὑπογράφει οὖν καὶ τὴν τοῦ Θερσίτου φωνὴν ὡς μὴ βαρεῖαν οὖσαν καὶ ἡρωϊκήν, ἀλλὰ ὀξεῖαν, ὁποία ἡ τῶν παίδων ἢ τῶν γυναικῶν. διὸ καὶ Ὀδυσσεὺς παίζων λιγὺν αὐτὸν ἐν τοῖς ἑξῆς ἐρεῖ δημηγόρον, ὡς ταὐτὸν ὂν ὀξὺν εἰπεῖν ἢ λιγύν. παρακατιὼν δέ φησιν, ὅτι μακρὰ βοῶν ἐνείκει τὸν Ἀγαμέμνονα. διὸ καὶ τύπτει καὶ αὐτὸν Ὀδυσσεὺς ὡς καὶ τοὺς ἄλλους δημότας, ὅσοι βοῶντες τὸν ὄχλον ἀνέσειον. Ὅρα δὲ ὅπως ἡ αὐτὴ λέξις καὶ ἐπὶ ἐπαίνου λαμβάνεται καὶ ἐπὶ σκώμματος. ὧδε μὲν γὰρ ὁ Θερσίτης λιγὺς ἀγορητὴς σκωπτικῶς καὶ μάλιστα κατὰ εἰρωνείαν· ἐν δὲ τῇ α′ ῥαψῳδίᾳ τοιοῦτος ὁ Νέστωρ ἐν ἐπαίνου λόγῳ εἴρηται. [Εἰκὸς δὲ καὶ ἐπ’ ἀληθείᾳ λιγύφθογγον αὐτὸν εἶναι καὶ τοῦτό γε εἰς ἀρετὴν ἔχειν. διὸ καὶ Ὀδυσσεὺς αὐτὸν οὕτω μετ’ ὀλίγα προσείπη, οὐ μὴν ἐπαινετικῶς ἀλλ’ ὡς ἐν σκώμματι· ἐπεὶ μηδὲ ἐξ ἀνάγκης ἐν τῷ μεγάλῳ κεῖται τὸ εὖ, ἀλλ’ ἀνάπαλιν τὸ μέγα ἐν τῷ εὖ.] (v. 223) Ὅτι οὕτω θαυμαστοὶ καὶ φιλοβασιλεῖς οἱ Ἕλληνες, ὥστε ἐκπάγλως κοτέονται τῷ Θερσίτῃ καὶ ὀφείλοντες λύπην τρέφειν κατὰ τοῦ βασιλέως διά τε τὴν ἀπόπειραν καὶ τὴν τοῦ νόστου κώλυσιν· οἱ δὲ ὅμως νεμεσῶσι τῷ στασιαστῇ, τουτέστι δικαίως ἐπιμέμφονται. τάχα δὲ καὶ οἰκτείρουσι τὸν Ἀγαμέμνονα σκοπούμενοι, ὅπως αἱ τῶν μεγάλων ἀτυχίαι κατὰ τοὺς παλαιοὺς ὑψοῦσι τοὺς ταπεινούς. (v. 225—8) Ὅτι τὸ ἀκαιρολόγον εἶναι τὸν Θερσίτην δεικνύουσιν οἱ παλαιοί, ἐξ ὧν ἐρωτᾷ τὸν βασιλέα οὕτω πως· «Ἀτρείδη, τέο», [ἤγουν τίνος δὴ πράγματος,] «αὖτ’ ἐπιμέμφεαι ἠδὲ χατίζεις; πλεῖαί τοι χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες ἐξαίρετοι». ταῦτα γὰρ ἔδει, φασίν, ἐπὶ τῆς προτέρας ἐκκλησίας λέγεσθαι, ὅτε ἔλεγεν Ἀγαμέμνων ἀγέραστος εἶναι δευόμενος. ὁ δὲ τότε σιγήσας φθόνῳ τῷ πρὸς Ἀχιλλέα νῦν ἀκαίρως αὐτὰ προβάλλεται. Ὅρα δὲ ὅτι ἐξ ἀρχῆς αὐτῆς ἡ τοῦ Θερσίτου θρασύτης διαφαίνεται ἀπὸ τοῦ ἐρωτηματικοῦ σχήματος· τραχύτητος γὰρ σχῆμά ἐστι τὸ τοιοῦτον καὶ σφοδρότητος. καὶ Ὀδυσσεὺς μὲν μετ’ ὀλίγα Ἀτρείδην ἄνακτα τὸν βασιλέα προσφωνεῖ καὶ Νέστωρ δὲ μετ’ αὐτὸν ἄνακτα Ἀγαμέμνονα· Θερσίτης δὲ ἀρκεῖται μόνον Ἀτρείδην αὐτὸν προσειπὼν πάνυ ἀπαίδευτος καὶ ἐξ αὐτῆς τῆς τοῦ λόγου φαινόμενος εἰσβολῆς. Ἔνια δὲ τῶν ἐνταυθοῖ νοημάτων ἐκ τῆς τοῦ Ἀχιλλέως δημηγορίας παρείλκυσται, ὡς οἷον τυχαίως καὶ κατά τινα συνέμπτωσιν ἢ καὶ κατὰ παραποίησιν. (v. 226) Τὸ μὲν γὰρ «πλεῖαί τοι χαλκοῦ κλισίαι» εἰς τὸ φιλοκτέανον ἀποτείνεται, ὅπερ ὠνείδισεν ὁ Ἀχιλλεὺς τῷ βασιλεῖ ἀορίστως αὐτὸς εἰπών, εἰ καὶ ὁ Θερσίτης ὑπερβολικῶς ναυσὶν ὅλαις τὸν βασιλικὸν πλοῦτον ηὔξησε. τὸ δὲ εἰπεῖν, ὅτι καὶ αὐτὸς ὁ Θερσίτης εὐεργετεῖ προσπορίζων χρυσὸν τῷ βασιλεῖ, ἐκ τῶν τοῦ Ἀχιλλέως παρέξεσται, ὅπου φησίν, ὡς ἐκεῖνος μὲν πονεῖ πολεμῶν, ὁ δὲ Ἀγαμέμνων πλουτεῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.319 τὸ δὲ ἀνασείειν τὸν ὄχλον εἰς ἀντιστασίαν καὶ αὐτὸ ἐκεῖθεν παραπεποίηται. ἀλλ' ὁ μὲν Ἀχιλλεὺς ἐθαυμάζετο, Θερσίτης δὲ διὰ τὸ ἄκαιρον τοῦ λόγου καὶ διὰ τὴν πήρωσιν περιφρονηθεὶς οὐκ εὖ ἀπαλλάξει, ὡς καὶ ἐνταῦθα προσαρμόσαι τὸ τραγικόν· «λόγος γὰρ ὁ αὐτὸς ἔκ τ' ἀδοξοῦντος ἐλθών», τοῦ Θερσίτου, «καὶ ἐκ δοκοῦντος», τοῦ Ἀχιλλέως, «οὐ ταὐτὰ ἐδυνήθη». ὁ δὲ γελοῖος Θερσίτης καὶ ἄλλα προσεπιτιθεὶς νοήματα οἴκοθεν εἰς λαγνείαν τε καθάπτεται τοῦ βασιλέως ἐν τῷ «πολλαὶ δέ σοι γυναῖκές εἰσιν ἐξαίρετοι» καὶ τοὺς Ἕλληνας αὐτοῦ ὑπερτίθησιν οὐ μόνον ἑαυτὸν ἀλλὰ καὶ ἐκείνους εὐεργέτας βασιλικοὺς δεικνύων ἐν τῷ λέγειν, ὅτι ἐξαιρέτους γυναῖκας ἡμεῖς οἱ Ἀχαιοὶ σοὶ πρωτίστῳ δίδομεν, ὅτ' ἂν πτολίεθρον ἕλωμεν. (v. 229) Καὶ ἐν τῷ «ἢ χρυσοῦ ἐπιδέῃ, ὅν ἄν τις οἴσει Τρώων υἱοῦ ἄποινα, ὅν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν;» (v. 234) Λέγει δὲ καὶ κακῶν αἴτιον τοῖς Ἀχαιοῖς τὸν βασιλέα, ἐν οἷς αὐτὸν λέγει κακῶν ἐπιβασκέμεν τοὺς Ἕλληνας. (v. 239 s.) Ὀνειδίζει δὲ καὶ διὰ τὴν τῆς Βρισηΐδος ἀφαίρεσιν καὶ διὰ τὴν τοῦ Ἀχιλλέως ἀτιμίαν εἰπών, ὅτι τὸν Ἀχιλλέα αὐτοῦ «μέγα ἀμείνονα φῶτα ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας» καὶ τὰ ἑξῆς. Ταῦτα εἰπόντα τὸν Θερσίτην ὁ μὲν βασιλεὺς ἀφίησι ληρεῖν, τάχα μὲν καὶ ὡς αἴτιον ἑαυτὸν εἰδὼς τῆς τε νῦν κινήσεως τῶν πραγμάτων καὶ τῆς τοῦ Ἀχιλλέως ὕβρεως καὶ διὰ τοῦτο νοῶν ταπεινὰ καὶ αἰδούμενος, ἤδη δὲ καὶ διὰ τὸ τοῦ ἤθους βασιλικόν. ὑπερφρονεῖ γὰρ τοῦ φαυλοτάτου Θερσίτου, καθὰ καὶ τὸν Ἀλεξάνδρου φασὶ κύνα τὰ μὲν μικρὰ θηρία παριέναι, ὁρμᾶν δὲ ἐπὶ τὰ κρείττω, ὅπερ ὁ Θεμίστιος ἐπὶ κυνῶν Ἰνδικῶν οὕτω φράζει· «κύων Ἰνδὸς λέοντι μὲν ἐπέξεισι καὶ παρδάλει, λύκους δὲ ὑπερορᾷ καὶ ἀλώπεκας». καὶ ὁ μὲν βασιλεὺς οὕτω παρ' οὐδὲν αὐτὸν τίθεται· Ὀδυσσεὺς δέ, ᾧ καὶ ἔχθιστος ἦν, ἐφίσταται αὐτῷ καὶ σωφρονίζει, ὡς μετ' ὀλίγα γνωσόμεθα. Σημείωσαι δὲ καὶ ὅτι ὁ οὕτω φίλερις Θερσίτης ὠνείδισε μέν, ὕβριν δὲ κατὰ τοῦ βασιλέως τραχεῖαν οὐκ ἐξελάλησεν ὁποίας ὁ Ἀχιλλεύς, οἷον τὸ «ἀναιδείην ἐπιειμένε» καὶ «οἰνοβαρές». καὶ ἔστι καὶ τοῦτο σύμβολον τοῦ μὴ ἔνδοξον εἶναι τὸν Θερσίτην. ἔστι δὲ καὶ τέχνη τοῦ ἀναλόγως μερίζειν τὰς ἐννοίας ταῖς τῶν προσώπων ποιότησιν. Ὅρα δὲ καὶ ὅτι σκοπὸν ἔχων ὁ ποιητής, ὡς προείρηται, ἱστορεῖν, ὅπῃ τύχῃ κατὰ τὸ ἐγχωροῦν, εἴ τι λόγου ἄξιον πρὸ τοῦ δεκάτου ἔτους ἐπέπρακτο, ἱστορίαν καὶ ἐνταῦθα ὡς ἐν ἐπεισοδίῳ ἔθετο εἰωθυῖαν γίνεσθαι καὶ πρὸ τούτου. (v. 230) Τὸ γὰρ τοὺς Τρῶας δώροις λύεσθαι τοὺς ἑαυτῶν αἰχμαλώτους μαθησόμεθα μὲν καὶ ἐν τοῖς ἑξῆς σαφέστερον ἐκ προσωπικῶν ἱστοριῶν, ὡς καὶ ἐπὶ τοῦ Χρύσου ἔγνωμεν· ἐνταῦθα δὲ ἀορίστως οὕτω λέγει τινὰ τῶν Τρώων, ἤγουν τοῦτον ἢ ἐκεῖνον, χρυσὸν φέρειν εἰς ἄποινα, ὅ ἐστιν εἰς λύτρον τοῦ υἱοῦ. (v. 231) Τὸ δέ «ὃν ἐγὼ δήσας ἀγάγω» πάνυ ἀστείως εἴρηται κατὰ τοὺς παλαιούς. δῆλον γάρ, φασίν, ὅτι ἐν τῷ εἰπεῖν «ἐγώ» δείκνυσιν ἑαυτὸν ἐπιτιθεὶς τὴν χεῖρα τῷ κυρτῷ στήθει καὶ οὕτω κινῶν γέλωτα.

1.320 Παρασημειοῦνται δὲ οἱ παλαιοὶ καί, ὅτι ἑαυτὸν ὁ Θερσίτης τῶν ἄλλων προέθετο εἰπών· «ὃν ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν» πρώτιστος εἶναι τῶν ὅλων οἰόμενος. διὸ τάχα καὶ ἐπεσημήνατο ἀνωτέρω τὸ πρωτίστῳ τῷ Ἀγαμέμνονι γέρας δίδοσθαι, ὡς μὴ δέον ὂν οὕτω γίνεσθαι, ἀλλὰ τούτῳ μάλιστα τὸ πρωτεῖον ἐξαιρεῖσθαι, οὗ δευτερεύουσιν οἱ πάντες Ἕλληνες. (v. 226) Ἰστέον δὲ ὅτι τε τοῦ πλεῖαι ἡ ἑνικὴ ὀρθὴ καὶ παρ' Ἡσιόδῳ κεῖται ἐν τῷ «πλείη μὲν γαῖα κακῶν» [καὶ ὅτι προάρχει αὐτῶν ἀρσενικὸν ὁ πλέος κοινῶς, ὃ ἐκταθὲν Ἀττικῶς ποιεῖ τὸ ἔμπλεως καὶ ἀνάπλεως καὶ τὰ τοιαῦτα, καὶ ὅτι ἐκ τοῦ ὁ πλεῖος καὶ ἡ πλείη παράγεται συγκριτικῶς ὁ πλείων καὶ ἡ πλείων] καὶ ὅτι ἐξαίρετοι οὐ μόνον γυναῖκες ἀλλὰ καὶ ἄρουραι παρὰ Ἡροδότῳ καὶ ἐπὶ ἄλλων δὲ πολλῶν τὸ ἐξαίρετον τίθεται. τὸ μέντοι ἐξαιρέσιμον ἄλλο τι παρὰ τὸ ἐξαίρετον· λίθος γὰρ ἐξαιρέσιμος τοίχου ὁ ἐκεῖθεν ἐκβληθείς· καὶ ὅτι τὸ ἐξαίρετον καὶ ἔξαιτον λέγεται ἢ κατὰ συγκοπὴν ἢ καὶ ἄλλως παρὰ τὸ ἐξαιτεῖσθαι, ὡς φανεῖται καὶ ἀλλαχοῦ. [(v. 225) Ὅρα δὲ ὅτι τὸ ἐπιμέμφεαι σαφῶς ἐνταῦθα ἡρμήνευσεν ἐπαγαγὼν τὸ «ἠδὲ χατίζεις», ὡς ταὐτὸν ὂν εἰπεῖν ἐπιμέμφεσθαι καὶ χρήζειν, ὅπερ ἐστὶ χατίζειν παρὰ τὴν χᾶτιν, ὃ καὶ οὐδετέρως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χᾶτος λεγόμενον δηλοῖ στέρησιν· καὶ ὅτι τὸ δίδομεν φυσικῶς λαλεῖται καὶ εὐοδοῦται ἀπ’ αὐτοῦ τὸ τρίτον πληθυντικὸν τὸ διδοῦσιν ὡς καὶ ἀπὸ τοῦ τίθεμεν τὸ τιθεῖσι. τὸ μέντοι διδόαμεν καὶ τιθέαμεν ἐπένθεσιν ἔχει τοῦ α .] (v. 230—3) Ὅτι εἰπὼν ὁ Θερσίτης πρὸς τὸν βασιλέα «ἢ χρυσοῦ ἐπιδέῃ» καὶ τὰ ἑξῆς, [ἐν οἷς κεῖται καὶ τὸ «υἷος ἄποινα», ἤγουν υἱοῦ, ὡς ἀπὸ εὐθείας τῆς υἷις, υἵϊος, καὶ κατὰ κρᾶσιν υἷος, οὗ δοτικὴ υἵϊι καὶ υἷι,] ἐπάγει· «ἠὲ γυναῖκα νέην, ἵνα μίσγεαι ἐν φιλότητι, ἥν αὐτὸς ἀπονόσφι κατίσχεαι;» ὀνειδίζων τάχα διὰ τὴν τῆς Βρισηΐδος ἀφαίρεσιν ἢ καὶ ὅτι, ὡς εἰκός, εἰώθει τοιαῦτά τινα ποιεῖν ὁ βασιλεύς, ὡς καὶ ὁ Ἀχιλλεὺς ἐν τῇ α′ ῥαψῳδίᾳ παρεδήλωσε. Τὸ δέ «ἠ γυναῖκα νέην» ἀκαταλλήλως ἔχει πρὸς τὴν συνήθη σύνταξιν· ὤφειλε γὰρ οὕτως ἔχειν· ἢ χρυσοῦ ἐπιδέῃ ἢ γυναικὸς νέης; ὁ δὲ ποιητὴς ἐπίτηδες τὸν λιγὺν τοῦτον ἀγορητὴν καὶ ἀφαμαρτοεπῆ ἐποίησε, τουτέστι σόλοικον. ἴσως δὲ καὶ ἄλλως θυμούμενον ἄνθρωπον μιμούμενος ποιεῖ τὸν Θερσίτην ἐκλαθόμενον τῆς τοῦ λόγου ἀκολουθίας καὶ διὰ τοῦτο εἰς κακοσυνταξίαν ἐκκλίναντα.

1.321 Τὸ δέ «νόσφι κατίσχεαι» δοκεῖ μὲν ἑρμηνεία τις εἶναι γυναικὸς ἐξαιρέτου. ταὐτὸν δ’ ἔστι τῷ νοσφίζῃ καὶ ἰδίᾳ κατέχεις καὶ χωρίζεις ἢ ἀποστερεῖς. (v. 233 s.) Ὅτι τὸ «οὐ μὲν ἔοικεν ἀρχὸν ἐόντα κακῶν ἐπιβασκέμεν υἷας Ἀχαιῶν» λέγει μὲν ὁ Θερσίτης πρὸς τὸν βασιλέα νοῶν, ὅτι οὐκ ἐνδέχεται αὐτὸν ἀρχηγὸν ὄντα ἐπιβιβάζειν κακῶν τοὺς Ἕλληνας, ἀλλὰ μᾶλλον ἀγαθοῖς ἐμβιβάζειν. Δύναται δὲ καὶ εἰς γνώμην καθολικὴν παρῳδηθῆναι τοιαύτην· οὐ μὴν ἔοικεν ἀρχὸν ἐόντα κακῶν ἐπιβασκέμεν τοὺς ὑπ’ αὐτόν. εἰ γὰρ ποιμὴν λαοῦ ὁ βασιλεύς, οὐκ ἂν κακοῖς ἐμβιβάσῃ τὸ ποίμνιον ἤτοι κακώσεσιν. εἰσὶ δὲ κακά, ὧν ἐπιβάσκει τοὺς Ἕλληνας ὁ βασιλεὺς Ἀγαμέμνων, ὁ λοιμὸς ὁ δι’ αὐτὸν γεγονὼς καὶ ἡ τοῦ Ἀχιλλέως ἀπόστασις. ἢ καὶ ἄλλως, οὐ χρὴ ἀρχηγὸν ἐόντα κακῶν ἐπιβιβάζειν τοὺς ὑπὸ χεῖρα, ἤγουν κακὰ διδάσκειν. εἰ γὰρ ἐξομοιωθῶσιν αὐτῷ κακῶν ἐπιβιβάζοντι, ἀνατρέπεται τὰ κοινά. οὐκοῦν τὸ «οὐκ ἔοικε κακῶν ἐπιβασκέμεν» ὁμοιοῦταί πως πρὸς τὸ ἐν Ὀδυσσείᾳ «οὐδέ τί σε χρὴ νηπιάας ὀχέειν». ὡς γὰρ ὀχοῦμαι μὲν ἐγώ, ὀχῶ δὲ ἄλλον κατὰ τὸν Κωμικὸν ἀντὶ τοῦ ἀναβιβάζω εἰς ὑποζύγιον, οὕτω καὶ ἐπιβαίνω μὲν ἐγώ, ἐπιβάσκω δὲ ἄλλους, ἤγουν ἐπιβαίνειν ποιῶ κακῶν ἢ τοιούτων τινῶν. ἐντεῦθεν καὶ μανίας ἔποχος λόγος παρ’ Εὐριπίδῃ ὁ μανικός. καὶ ἑτέρως δὲ εἰπεῖν, οὐ χρὴ τὸν βασιλέα ἐπιβαίνειν κακῶν ἤτοι ἀδίκων ἔργων τῶν εἰς τοὺς Ἀχαιούς. δεῖ γὰρ εὐεργετικὸν εἶναι τὸν ἄρχοντα οὐκ ἀδικητὴν καὶ κακοποιόν. [Ἰστέον δὲ ὅτι ἐκ τοῦ Ὁμηρικοῦ ἀρχοῦ ἢ ἐκ τοῦ ἄρχειν σύγκειται παρὰ τοῖς παλαιοῖς ῥήτορσι καὶ ἀρχολίπαρος ὁ λιπαρῶν, φασίν, ἵνα ἀρχῆς τύχῃ ἢ ὁ ἐκ τοῦ ἄρχειν λιπαινόμενος, ὁ καὶ ἀρχογλυπτάδης, ἤγουν ὡσπερεὶ γλύφων τὰς ἀρχάς. ὅτι δὲ ἀρχός καὶ κρύφιόν τι σώματος μέρος ἐκλήθη παρὰ τοῖς ὕστερον, δῆλον ἐκ τῶν γραψάντων, ἀφ’ οὗ καί τις χιλίαρχος οὐκ ἀγλαφύρως ἔσκωπται.] (v. 235—8) Ὅτι μετὰ τὸν βασιλέα στρέψας τὸν λόγον ὁ Θερσίτης πρὸς τὸν λαόν φησιν· «ὦ πέπονες, κάκ’ ἐλέγχεα, Ἀχαιΐδες, οὐκέτ’ Ἀχαιοὶ οἴκαδέ περ σὺν νηυσὶ νεώμεθα, τόνδε δ’ ἐῶμεν αὐτοῦ ἐνὶ Τροίῃ γέρα πεσσέμεν» καὶ τὰ ἑξῆς. πάνυ δὲ ἀνασειστικὰ ταῦτα τοῦ ὄχλου. διὸ καὶ Ὀδυσσεὺς δεδιώς, μήποτε, οὓς αὐτὸς πόνῳ ἤθροισε, ῥᾷον ἀνασοβήσας ὁ Θερσίτης διασκεδάσῃ, ποιεῖ κατ’ αὐτοῦ τὰ ἐφεξῆς δηλωθησόμενα. (v. 235) Εἰσὶ δὲ πέπονες μὲν οἱ ἔκλυτοι ἀπὸ μεταφορᾶς τῶν πεπόνων καρπῶν, οἳ ἔκλυτοι γίνονται πεπανθέντες, ὥσπερ αὖ πάλιν οἱ ὠμοὶ τῶν καρπῶν σκληροὶ ὄντες ἐπίθετον γεγόνασι τοῖς ἀνενδότοις ἀνθρώποις καὶ ἀνυπείκτοις, ὡς καὶ ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. [Δῆλον οὖν ὅτι πέπων κυρίως πᾶς καρπός, φασίν, ὡραῖος τοῦ φαγεῖν. Χρήσεις δὲ τοιούτων λέξεων ἐν τῷ «τρώγουσι μύρτα καὶ πέπονα μιμαίκυλα». οὕτω δὲ καὶ μῆλα καὶ μόρα πέπονα.

1.322 ἔτι δὲ καὶ ἐν τῷ «τὰ σφυρὰ ᾧδει μᾶλλον ἢ σικυὸς πέπων», ὁ καὶ σπερματίας· καὶ ἐν τῷ «μαλθακωτέρα πέπονος σικυοῦ μοι γέγονας»· καὶ ἐν τῷ «ἑώρακας πώποτε κοκκυμήλων σπυρίδα πεπόνων; τοιοῦτον ἔχει τὸ πρόσωπον». Τοιούτου δὲ στοίχου καὶ τὸ πεπαίτερον, ὅπερ ἐστὶ ὡριμώτερον. Αἰσχύλος· «ἀνὴρ δ’ ἐκεῖνος ἦν πεπαίτερος μόρων». ἔτι δὲ καὶ ἡ δρυπεπής

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποτὲ μὲν κατὰ μόνας ἁπλῶς προφερομένη, ποτὲ δὲ κατὰ παράθεσιν, οἷον δρυπεπὴς ἐλαία ἢ Ἀττικῶς ἐλάα.] Τὸ δὲ κάκα ἐλέγχεα τοὺς ἀξιεπαίνους Ἕλληνας ὑπὸ τοῦ ἐπονειδίστου καὶ μωμητοῦ Θερσίτου λέγεσθαι γέλωτός ἐστι κινητικόν. Τὸ δέ «Ἀχαιΐδες, οὐκέτ' Ἀχαιοί» δηλοῖ μὲν τὸ «γυναῖκες, οὐκέτ' ἄνδρες». λέγεται δὲ παρονομασία ὑπὸ τῶν παλαιῶν, ὅμοιον τῷ «οὐ Φίλιππος, ἀλλὰ Φιλίππιον, κεκράτηκε τῆς Ἑλλάδος». ἔχει δέ τινα ὁμοιότητα πρὸς τὸν τοῦ Θερσίτου λόγον καὶ τὸ παρ' Ἡροδότῳ ἐν τοῖς περὶ Ἀρτεμισίας, ὡς οἱ μὲν ἄνδρες γυναῖκες, αἱ δὲ γυναῖκες ἄνδρες γεγόνασι. ῥηθήσεται δέ τι περὶ τούτου καὶ ἐν τοῖς ἑξῆς. (v. 236) Τὸ δέ «οἴκαδε νεώμεθα», διόρθωσις οἷόν ἐστι τοῦ «φεύγωμεν», ὅπερ φθάσας ὁ βασιλεὺς εἶπεν, ὡς δῆθεν σεμνότερον ὂν οὕτως εἰπεῖν ἤπερ φεύγωμεν. ὅτι δὲ θαυμασίως ἐκεῖνο εἴρηται, προγέγραπται. Ἔστι δὲ τὸ νεώμεθα ἀντὶ τοῦ νοστήσωμεν· ἀπὸ γὰρ τούτου τοῦ νέω ῥήματος ὁ νόστος [γίνεται πλεονάσαντος τοῦ σίγμα πρὸς διαστολὴν τοῦ νότος ὁ ἄνεμος.] (v. 237) Πέσσειν δὲ γέρα τὸ κατέχειν καὶ ταμειουχεῖν, ὅμοιον τῷ «χόλον καταπέψῃ». τινὲς δὲ ἀντὶ τοῦ κατακυβεύσειν ἀπὸ τοῦ πεσσοῦ ὡς δῆθεν τοῦ Ἀγαμέμνονος πλεονάζοντος τῇ τοιαύτῃ παιδιᾷ. [(v. 238) Ὅτι τὸ οὐχί ἐπίρρημα τέτριπται πάνυ τοῖς παλαιοῖς μᾶλλον ἤπερ τὸ ᾗχι ἀντὶ τοῦ ὅπου. διὸ καὶ συναλείφεται τὸ ι τούτου ἐν τῷ οὐχ' οὕτως καὶ οὐχ' ἅλις καὶ τοῖς ὁμοίοις, εἰ καί τινες ἀπαρέσκονται οὐκ ἄνευ λόγου. τὸ μέντοι οὐκί, οἷον «ἢ καὶ ἡμεῖς προσαμύνομεν, ἠὲ καὶ οὐκί» οὐχ' οὕτως εἴθισται εἰς πλατυτάτην χρῆσιν· ὅθεν ἐν τῷ οὐκ ἐθέλω καὶ οὐκ αὐτός καὶ τοῖς ὁμοίοις οὐ κεῖται ἀπόστροφος ὡς ἀπὸ ἐκθλίψεως, ἀλλ' ἐκφωνουμένου μὲν τοῦ ι ἐστι τὸ οὐκὶ ἀρνητικὸν ἐπίρρημα δισύλλαβον, ἐν δὲ συνεπείᾳ μὴ κειμένου τοῦ ι μονοσύλλαβον φαίνεται εἶναι ἐπίρρημα τὸ οὐκ παρὰ πολλοῖς τῶν πεζολογούντων κείμενον.] (v. 239 s.) Ὅτι τὸν Ἀχιλλέα καὶ ἐπαινῶν ὁ Θερσίτης ὅμως οὐδὲν ἧττον καταβάλλειν ἐθέλει. οὔκουν λέγει ἁπλῶς, ὅτι ὁ βασιλεὺς τὸν Ἀχιλλέα ἠτίμησεν, ἄνδρα κράτιστον ἢ ἄριστον τῶν Ἑλλήνων, ἀλλὰ αὐτοῦ, τοῦ βασιλέως δηλαδή, μέγα ἀμείνονα φῶτα, ὡς μὴ ἁπλῶς ὄντος ὑπεξῃρημένου τοῦ Ἀχιλλέως, ἀλλὰ κρείττονος ἤπερ ὁ Ἀγαμέμνων.

1.323 τάχα γὰρ ἑαυτοῦ ὁ ἀγεννὴς ἀμείνονα οὐ κρίνει τὸν Ἀχιλλέα. (v. 241) Καὶ μετ' ὀλίγα δὲ πρᾷον θέλων τὸν Ἀχιλλέα ἐνδείξασθαι διὰ τὸ ἀτελὲς τῆς ξιφουλκίας καὶ τὸ ταχὺ παῦσαι τὸν χόλον ἐνηῆ μὲν αὐτὸν οὐ λέγει, ὅπερ ἀλλαχοῦ τις ἐπὶ Μενελάου καὶ Πατρόκλου φησίν—οἶδε γὰρ ὅτι ἐγκώμιόν ἐστιν ἤθους τὸ προσηνές—ἀλλὰ εἰπὼν ἄχολον εἶναι αὐτὸν οὐκ ἀξιοῖ καὶ τοῦ πρᾷον εἶναι, μεθήμονα δὲ ὀνομάζει εἰπὼν οὕτως· «ἀλλὰ μάλ' οὐκ Ἀχιλῆϊ χόλος φρεσίν, ἀλλὰ μεθήμων». δηλοῖ δὲ ὁ μεθήμων οὐ τὸν πρᾷον, ἀλλὰ τὸν πέπονα καὶ ἀμελητὴν καὶ ἔκλυτον, ἀπὸ τοῦ μεθιέναι, ἀφ' οὗ καὶ ἡ μέθη γίνεται. ἐνταῦθα δὲ λεληθότως καὶ τὴν ἀνδρίαν τοῦ Ἀχιλλέως καταρριπτεῖ ῥωμαλέον μὲν πάνυ αὐτὸν ὑπεμφαίνων, χαῦνον δὲ καὶ οὐ θαρσαλέον οὐδὲ ἐντρεχῆ. (v. 242) Τοῦτο γὰρ δηλοῖ ἐν τῷ «ἦ γὰρ ἂν Ἀτρείδη νῦν ὕστατα λωβήσαιο», ἤγουν ἐὰν χόλον εἶχεν ὁ Ἀχιλλεὺς καὶ οὐχ' ὑπτίαζεν, ἐφ' οἷς ἠδικήθη, οὐκέτι ἂν σὺ ἐλωβήσω τινά. Ὅτι δὲ οὗτος ὁ λόγος χαυνότητα μόνην τοῦ Ἀχιλλέως κατηγορεῖ καὶ μεθημοσύνην, ἀνδρίαν δὲ πολλὴν ὁμολογεῖ, δῆλον ἐκεῖθεν. Ἀχιλλεὺς μὲν γὰρ τοῖς Ἕλλησιν ἀνατιθεὶς τὴν ἑαυτοῦ ἐκδίκησιν ἔφη, ὡς, εἰ μὴ οὐτιδανοῖς ἤνασσες ἀνδράσιν, ὦ βασιλεῦ, ὕστατα ἂν ἐλωβήσω. Θερσίτης δὲ ἱκανὸν εἶναι δεικνὺς καὶ μόνον τὸν Ἀχιλλέα ὑπὲρ ἑαυτοῦ ἀμύνεσθαι, φησίν, ὅτι μεθήμων ὁ Ἀχιλλεύς· ὡς εἰ μὴ τοῦτο ἦν, τὰ ὕστατα νῦν ἐλωβήσω ἄν. οὕτω καὶ μὴ θέλων ὁ κακὸς ἀνδρειότατον τὸν Ἀχιλλέα παραδείκνυσι. Σημείωσαι δὲ ὅτι οὐδὲ ἐνταῦθα ἐν καιρῷ τοῦ Ἀχιλλέως ὑπερπαθεῖ ὁ ἀκαιρολόγος. ἐχρῆν γὰρ τότε αὐτὸν ὑπερλαλεῖν τοιαῦτα τοῦ Ἀχιλλέως, ὅτε ἠτιμοῦτο· ὁ δὲ τότε μὲν φθονῶν τάχα καὶ ἔχαιρε, νῦν δὲ οὐ κατὰ καιρὸν λαλεῖ. (v. 243) Ὅτι βαρυνόμενος οἷον ὁ ποιητὴς κατὰ τοῦ Θερσίτου βραχυλογίᾳ τινὶ λεληθότως τὴν ἐκείνου ἀπόνοιαν ἀμύνεται λέγων· «ὣς φάτο νεικείων Ἀγαμέμνονα ποιμένα λαῶν», οἱονεὶ λέγων, ὅτι τοιαῦτα ὁ τοιοῦτος τοῦ ἀγαθοῦ βασιλέως κατερρητόρευσε. τὸ γὰρ ποιμένα λαῶν οὐ μάτην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνταῦθα παρέρριψεν ὁ ποιητής, ἀλλὰ τρόπον τινὰ ἔφη, ὅτι πῶς ἂν ὁ τοιοῦτος τὸν εὐπειθέστατον λαὸν ἴσχυσεν ἐκταράξαι καὶ ἀπεναντίας ἀγαγεῖν τῷ ποιμένι τὸ ποίμνιον; οὐ γὰρ ἁπλῶς ἦρχεν ὁ Ἀγαμέμνων, ἀλλὰ ποιμὴν ἦν λαοῦ. Καὶ σημείωσαι ὅτι οὔτε αἰπόλος οὔτε βουκόλος ἀλλὰ ποιμὴν λέγεται ὁ βασιλεὺς λαῶν, ὅ ἐστιν ἀνθρώπων εὐπειθῶν ὡς οἷα προβάτων προϊστάμενος. οὐδὲν γὰρ τῶν ἄλλων εὐπειθὲς ὡς τὸ πῶϋ τῷ ἄγοντι. Ἔστι δὲ πῶϋ μὲν πλῆθος προβάτων, ποιμὴν δὲ ὁ κατανέμων αὐτά. διὸ καὶ ποιμαίνειν λαὸν ὁ βασιλεὺς λέγεται, οὐ μὴν αἰπολεῖν, πολλῷ δὲ πλέον οὐδὲ βουκολεῖν. τὸ γὰρ βουκολεῖν ταὐτόν ἐστι τῷ ἀπατᾶν· πολλάκις καὶ ὡς φαῦλον λαμβάνεται. τὸ δὲ ποιμὴν λαῶν ταὐτὸν ὂν τῷ «ἀνδρῶν ποιμάνωρ» συνθέτως Αἰσχύλος εἴρηκε καὶ τὸ τοιοῦτον ποίμνιον ποιμανόριον.

1.324 Σημείωσαι δὲ ὅτι ἐν τοῖς ἑξῆς παραβολικῶς καὶ αἰπόλῳ εἰκάσει τὸν βασιλικὸν ἄνδρα κρίνοντα, ἤτοι διακρίνοντα, ἐξ ἑτέρων τοὺς ὑπ’ αὐτόν, ἴσως μὲν ὅτι γενικῶς πάντα τὰ τοιαῦτα τῇ κλήσει τοῦ ποιμένος ἐμπεριέχονται, μάλιστα δὲ καί, ἵνα ἐμφήνῃ ὁ ποιητής, ὅτι ἔστι μὲν καὶ αἰπόλους εἰπεῖν τοὺς βασιλεῖς, ὀνομάζονται δὲ ὅμως ἐκ τοῦ κρείττονος. (v. 244) Ὅτι τὰ μὲν ἄλλα ληρῶν ὁ Θερσίτης φορητὸς ἦν· ὅτε δὲ τοὺς Ἕλληνας τοῦ νόστου ὑπέμνησεν, εἰς ὃν προορμήσαντες μόλις ἀπὸ τοῦ Ὀδυσσέως κατεσχέθησαν, ἐνταῦθα ὁ Ὀδυσσεύς, ὡς καὶ προείρηται, ὑποπτήξας μήποτε λύσῃ τὴν ἀγορὰν ὁ Θερσίτης, παρίσταται οὐχ’ ἁπλῶς ἀλλὰ ὦκα· ἔδει γὰρ αὐτὸν ἐπιταχῦναι τῷ πράγματι. καὶ τὸ ἐντεῦθεν ὑπόδρα ἰδὼν χαλεπῷ μύθῳ ἐπέπληξεν, ἔτι δὲ καὶ ἠπειλήσατο καὶ σκήπτρῳ ἔπληξεν, ἐξ οὗ σημειοῦνται οἱ παλαιοὶ μὴ βασιλέα εἶναι τὸν Θερσίτην, καθὰ καὶ προείρηται. οὐ γὰρ ἂν οὕτως ἀτιμότατα ὁ Ὀδυσσεὺς προσηνέχθη αὐτῷ, οὐ μόνον ὑβρίσας, ἀλλὰ καὶ ἀπειλὴν αἰσχίστην ἀπειλησάμενος, ὡς μετ’ ὀλίγα ῥηθήσεται, καὶ πληγὴν δὲ ἐντρίψας γενναίαν τε καὶ βιαίαν. Ἰστέον δὲ ὅτι τὸ Θερσίτης ἐκτείνει ἀναγκαίως τὸ παραλῆγον δίχρονον, ὡς μὴ ἄλλως εὐχρηστούμενον Ὁμήρῳ εἰς μέτρον δακτυλικόν. καὶ ὅτι Θερσίτης, φασίν, ὡς καὶ προείρηται, καλεῖται παρὰ τὸ θέρω θέρσω τὸ θερμαίνω· θερμὸς γάρ, φασίν, ἦν καὶ προπετής· καὶ μάρτυς Ὀδυσσεὺς ῥάβδῳ τοῦτον, φασί, παύσας τοῦ φρονεῖν ὑπερόρια. Κατὰ δὲ ἑτέρους παρὰ τὸ θάρσος, ὃ Αἰολεῖς θέρσος λέγουσιν, ἡ κλῆσις τῷ ἀνδρί, κατὰ ἀντίφρασιν μέντοι· οὐ γὰρ εὔτολμος φανεῖται, ἀλλὰ θρασύδειλος, ὅσγε καὶ κλαύσεται ἐν τοῖς ἑξῆς ἀγεννῶς. Ὡς δὲ ἡ θερμότης καὶ εἰς ἔπαινον συντελεῖ, καθ’ ὃν θερμουργὸς Ἀλέξανδρος ὁ πάνυ λέγεται, καὶ εἰς ψόγον δέ, καθὰ δηλοῖ καὶ ὁ Κωμικὸς διαλελυμένως εἰπών «θερμὸν ἔργον» τὸ ἀναιδές, ἔστι πολλαχόθεν συναγαγεῖν. (v. 246—51) Ὅτι τοιαύτη τις ἡ κατὰ τοῦ Θερσίτου δημηγορία τῷ Ὀδυσσεῖ· «Θερσῖτ’ ἀκριτόμυθε, λιγύς περ ἐὼν ἀγορητής, ἴσχεο μηδ’ ἔθελ’ οἶος ἐριζέμεναι βασιλεῦσιν. οὐ γὰρ ἐγὼ σέο φημὶ χερειότερον βροτὸν ἄλλον ἔμμεναι, ὅσσοι ἅμ’ Ἀτρείδῃς’ ὑπὸ Ἴλιον ἦλθον. τῷ οὐκ ἂν βασιλῆας ἀνὰ στόμα ἔχων ἀγορεύοις καί σφιν ὀνείδεά τε προφέροις νόστον τε φυλάσσοις» καὶ τὰ ἑξῆς. (v. 246) Ἔστι δὲ ἀκριτόμυθος ἢ ὁ πολύλογος, ὡς καὶ ἄκριτα φῦλα τὰ δυσδιάκριτα διὰ πληθυσμόν, ἢ ὁ ἀδιευκρίνητος ἐν τῷ λέγειν καὶ ἄκοσμος. εἰ γάρ τις τὴν αὐτοῦ δημηγορίαν σκέψεται, ἧς τέλος ἐστὶ τὸ οἴκαδε νεώμεθα, πολυλογίαν μὲν ἔχει καὶ τραχύτητα κατὰ τοῦ βασιλέως, κατασκευὴν δὲ τῆς ἀξιώσεως οὐδεμίαν τῆς ἀξιούσης οἴκαδε νέεσθαι.

1.325 Τί γὰρ συμβάλλεται τῷ Θερσίτῃ πρὸς τὸ δεῖν ὑποχωρῆσαι τοὺς Ἕλληνας, ἐὰν ὁ βασιλεὺς πολλὰ ἔχῃ χρήματα καὶ πολλὰς γυναῖκας καὶ ἐὰν τὸν Ἀχιλλέα ἠτίμησεν, ὃν αὐτὸς οὐ πάντων ἀμείνονα κρίνει, ὡς εἴρηται. τοὐναντίον μὲν οὖν καὶ ἐναντιοῦνται τὰ τοιαῦτα πρὸς τὴν ἀξίωσιν. δύνανται γὰρ οἱ Ἕλληνες εἰπεῖν, ὅτι ἐὰν ὁ βασιλεὺς πολλὰ ἔχῃ, μενετέον καὶ ἡμᾶς, ἵνα πολλὰ κτησώμεθα, καὶ ὅτι ὁ ἀτιμήσας ἕνα, ὃς οὐ πάντων, ὡς σὺ φῄς, ἐστὶν ἀμείνων, εἰς οὐδὲν μέγα ἐσφάλη. Χρήσιμον δὲ εἰς σαφήνειαν τοῦ ἀκριτομύθου καὶ τὸ ἀκριτόφυλλον ὄρος ἐν τοῖς ἑξῆς. Τὸ δέ «λιγὺς εἶναι ἀγορητής» ἢ εἰρωνικῶς εἴρηται ἢ ὡς καὶ ὀξέα κεκληγότος τοῦ Θερσίτου, καθὰ προείρηται, γυναικικώτερον ἢ καὶ ὡς ἄλλως λιγέος ἤτοι ὀξέος, ὅ ἐστι θυμικοῦ,

κατὰ τρόπον μεταλήψεως καὶ διὰ τοῦτο καὶ φιλονείκου, εἴγε νεικείων ἦν Ἀγαμέμνονα· Ἄλλως δέ γε οὐκ ἐπίψογον τὸ λιγύ, εἴγε καὶ ὁ γέρων Νέστωρ λιγὺς Πυλίων ἐρρέθη ἀγορητής. διὸ παρακατιών φησιν, ὡς μακρὰ βοῶν Ἀγαμέμνονα νείκεε φωνῇ τάχα χρώμενος μιαρᾷ, ὁποίᾳ καὶ ὁ παρὰ τῇ κωμῳδίᾳ Κλέων Κυκλοβόρου, φασίν, φωνὴν ἔχων, Ἀττικοῦ τινος δηλονότι χειμάρρου θορυβοῦντος ἐν τῷ ῥέειν. (v. 247) Τὸ δέ «μὴ ἔθελε οἷος ἐρίζειν τοῖς βασιλεῦσι» δημαγωγικόν ἐστιν. οἱονεὶ γὰρ λέγει ὅτι σὺν τῷ δήμῳ λαλῶν οὐκ ἂν τυχὸν ἐκωλύθης, μόνος δὲ οὐκ ἂν ἐρίζοις. (v. 249 s.) Εἶτα καὶ τὸ νόημα αὔξων καὶ παραδεικνὺς οἷος ὁ Θερσίτης ἐπάγει, ὅτι «οὐ γὰρ ἐγὼ σοῦ φημι χείρονα βροτὸν ἄλλον εἶναι, ὅσοι ἐς Τροίαν ἦλθον», μονονουχὶ λέγων «μὴ θέλε μόνος ἐρίζειν τοῖς βασιλεῦσι καὶ ταῦτα πάντων χείρων ὤν». εἰ γὰρ καὶ Ἀχιλλεὺς μόνος ἤρισε χθές που τῷ βασιλεῖ, ἀλλ' ἐκεῖνος ὁ πάντων ἦν ἄριστος. Καὶ σημείωσαι καὶ νῦν, ὅτι ἔχεις παρὰ τῷ ποιητῇ ἄριστον μὲν καὶ κάλλιστον τὸν Ἀχιλλέα, χείριστον δὲ καὶ αἴσχιστον τὸν Θερσίτην· καλῶς ἄρα καὶ ἔχθιστος ἦν τῷ Ἀχιλλεῖ. [Ἐνταῦθα δὲ σημείωσαι εἰς τὸ μήτινα ἐν Ἀχαιοῖς χείρονα τοῦ Θερσίτου εἶναι, ὅτι οὐ πάνυ ἀπροσφυὲς εἰπεῖν ὡρμημένον ἐκ τῶν παλαιῶν, ὡς οὔτ' ἂν δύο Λυσάνδρους ὑπήνεγκεν ἡ Σπάρτη, οὔτ' ἂν δύο Ἀλκιβιάδας αἱ Ἀθῆναι κατὰ τοὺς παλαιούς, οὕτω δὲ οὐδὲ δύο ἂν τοιούτους Θερσίτας ἴσως τὸ Πανελλήνιον.] (v. 250) Τὸ δέ «ἀνὰ στόμα ἔχων» ἀστείως εἴρηκεν ἀντὶ τοῦ οὐκ ἂν ἀγορεύοις ἀεὶ ἐν στόματι ἔχων τοὺς βασιλεῖς, ὡς εἴπερ τις βασιλικὸν σκῆπτρον ἐν χειρί. καὶ ἄλλως δὲ οὐ μόνον οὐ χρὴ ὑβρίζειν, ἀλλ' οὐδὲ ἁπλῶς ἀνὰ στόμα φέρειν τοὺς βασιλεῖς χρὴ τὸν τυχόντα. δῆλον δὲ καὶ ἐκ τούτου ὅτι πᾶσιν ἤριζε βασιλεῦσι. διὸ καὶ πᾶσι μὲν ἐχθρός, ὡς εἰκός, ἦν, ἔχθιστος δὲ μάλιστα τῷ Ἀχιλλεῖ καὶ τῷ Ὀδυσσεῖ, ὡς προείρηται.

1.326 [(v. 251) Τὸ δὲ προφέροις πρωτότυπόν ἐστι τῆς προφορᾶς, ἀφ' ἧς παρὰ τοῖς ὕστερον ὁ προφορικὸς παρῆκται λόγος. ὅτι δὲ προφέρειν καὶ τὸ νικᾶν λέγεται, ὅθεν καὶ ὁ προφερέστερος, δῆλόν ἐστιν. Ἡσίοδος δὲ ἐν τῷ «προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου» ἑτεροῖόν τι σημαινόμενον τοῦ προφέρειν ὑποκρούεται καὶ οὐκ αὐτόχρημα λαμβάνει ἀντὶ τοῦ ὑπερφέρει, ἀλλ' ἀντὶ τοῦ προάγει, προκόπτειν ποιεῖ, προκινεῖ, προβιβάζει.] Τὸ δέ «νόστον φυλάσσοις» ἀντὶ τοῦ ἐπιτηροίης καὶ παρακατέχοις εἰς ἀφορμὴν στάσεως καὶ ἀποστάσεως· ἔοικε γὰρ σκοπὸν δημηγορίας καὶ πρὸ τούτου πολλάκις ποιεῖσθαι ὁ Θερσίτης τὸ νεώμεθα οἴκαδε. Καὶ ὅρα οἷον ἡ δημοτικὴ ἰσηγορία, εἰ καὶ τῷ γελοιοτάτῳ Θερσίτῃ μέτεστιν αὐτῆς. Ἰστέον δὲ καὶ ὅτι διὰ τὸ ἡδὺ τοῦ τοιούτου νόστου καὶ νόστιμον ἔδεσμα λέγεται τὸ ἡδύ. Ὅτι δὲ καὶ θεός τις ἐπιμύλιος Εὔνοστος ἐκαλεῖτο, ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν γέγραπται. (v. 252) Ὅτι Ὁμήρου εἰπόντος, ὡς οὐκ ἴδμεν ὅπως ἔσται τάδε ἔργα, ἤγουν εἰς οἷον τέλος ἀποβήσονται, φασὶν οἱ παλαιοί, ὅτι τὸ μὲν ἔσται ἐπὶ ὑπάρχοντος λέγεται, οἷον «ἔσται γέρων οὗτος», ὁ νῦν δηλαδὴ ὑπάρχων ἐν νεότητι, τὸ δὲ γενήσεται ἐπὶ μὴ ὄντος, ὡς τὸ «γενήσεται παῖς», ὁ μήπω δηλαδὴ ὤν. [Τὸ δὲ ἴδμεν Δωρικὴν ἔχει τροπὴν τοῦ ς εἰς δ κατὰ τὸ κεκαδμένος, ὅ ἐστι κεκοσμημένος, ἔτι δὲ καὶ τὸ Κάδμος. θέμα γὰρ αὐτοῦ τὸ ἴσημι, οὗ πληθυντικὸν ἴσαμεν καὶ συγκοπῇ ἴσμεν. τινὲς δὲ τολμῶσιν ἐκ τοῦ οἴδαμεν συγκόψαι αὐτὸ ἀποβάλλοντες τὸ κατάρχον ο . Τοῦ δέ «τάδε ἔργα» διασαφητικὸν τὸ «ἢ εὖ ἢ κακῶς νοστήσομεν».] (v. 255 s.) Ὅτι Θερσίτου εἰπόντος ὡς πολλὰς γυναῖκας δίδομεν οἱ Ἀχαιοὶ τῷ βασιλεῖ καὶ οὕτω φίλα μὲν τῷ δήμῳ λέγοντος, κοινοποιουμένου δὲ τὴν εὐεργεσίαν διὰ τοῦ δίδομεν, ἔτι δὲ εἰπόντος καί, ὅτι ἐγὼ δήσας ἄγω αἰχμάλωτον, δι' οὗ χρυσὸς προσγίνεται τῷ βασιλεῖ, Ὀδυσσεὺς εἰς ὑπερβολὴν ἀντιδημαγωγῶν καὶ τὴν τοῦ Θερσίτου ὑπὲρ ἑαυτοῦ σεμνολογίαν ἐξαφανίζων μέμφεται αὐτὸν λέγων ἐν ἐρωτήσει· «Κάθησαι ὀνειδίζων τῷ βασιλεῖ, ὅτι οἱ μάλα πολλὰ διδοῦσιν ἥρωες Δαναοί, σὺ δὲ κερτομέων ἀγορεύεις;» οὐ γὰρ λέγει δίδως ἢ διδόατε τῷ βασιλεῖ, ἀλλὰ διδόασιν οἱ Δαναοί, καὶ οὐ γυναῖκας μόνον, ὡς σὺ ἔφης, ἀλλὰ πολλά, καὶ οὐ τοῦτο μόνον ἀλλὰ μάλα πολλά, καὶ οὐχ' ἁπλῶς Δαναοὶ κατὰ τὸν σὸν λόγον, ἀλλὰ ἥρωες Δαναοί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.327 σὺ δὲ δίδως μὲν πρᾶγμα οὐδέν, ἀγορεύεις δὲ κερτομῶν, ὅ ἐστι δακνηροὺς μόνον λόγους δίδως τῷ βασιλεῖ. Κέρτομος γὰρ λόγος ὁ κέαρ τέμνων, ὅ ἐστι δάκνων ψυχὴν καὶ θυμοδακής, ἐξ οὗ καὶ τὸ «κερτομίοις Δία Κρονίονα προσηύδα». Τὸ δέ «ἧσαι ὀνειδίζων» ἀντὶ τοῦ διατρίβεις, ἀργεῖς· οὐ γὰρ ἐκάθητο ἀληθῶς ὁ Θερσίτης, ἀλλὰ ἵστατο. μετὰ γοῦν τὴν πληγὴν ταρβήσας καθέζεται· εἰ μὴ ἄρα παίζει εἰς τὴν τοῦ αὐχένος καὶ τῶν ὤμων καὶ τῶν στηθέων συνίζησιν ὁ ποιητὴς διὰ τὸ δοκεῖν τὸν Θερσίτην οὕτω συνιζάνοντα καθῆσθαί πως καὶ ὅτε ἵστατο. (v. 248 s.) Ὅτι ἐν πολλοῖς τὸ φημί ἀξιωματικῶς καὶ ἀποφαντικῶς οἱ παρὰ τῷ ποιητῇ δημηγοροῦντες τιθέασιν, ὡς εὖ εἰδότες καὶ ἐφ’ οἷς λέγουσιν ἀληθεύοντες. οὕτως ὁ βασιλεὺς εἶπε· «τόσσον ἐγώ φημι πλέας εἶναι Ἀχαιούς». ἐρεῖ δὲ καὶ ὁ Νέστωρ· «φημὶ γὰρ οὖν κατανεῦσαι τὸν Δία». οὕτω καὶ Ὀδυσσεὺς ἐνταῦθά φησιν· «οὐ γὰρ ἐγὼ σέο φημὶ χερειότερον βροτὸν ἄλλον εἶναι, ὅσοι ἅμα Ἀτρείδαις ὑπὸ Ἴλιον ἦλθον». καὶ ἔστι τοῦτο κρίσις Ὁμηρικὴ καὶ ἐπίκρισις τῆς τοῦ Θερσίτου διαπλάσεως, ὡς μὴ εὐχερὲς ὂν χείρω τοῦ Θερσίτου ῥᾳδίως εὑρεθῆναι, εἴγε λωβητὸς οὕτως ἦν κατά τε σῶμα καὶ ψυχήν. Ὅρα δὲ τὸ ἀσφαλὲς τοῦ λόγου· οὐ γὰρ εἶπε χείρονα πάντων ἀνθρώπων, ἀλλὰ τῶν συστρατευσάντων τοῖς Ἀτρείδαις. ἄλλως γὰρ τί κωλύει ἐν ὅλῳ τῷ κόσμῳ εἶναί τινα τοῦ Θερσίτου χείρονα. [Τὸ δὲ μήτινα τῶν ἐν Τροίᾳ χείρω εἶναι Θερσίτου ἀμύνει τῷ Ἀχιλλεῖ, ῥηθέντι πρὸς τοῦ αἰσχίστου οὐχ’ ἁπλῶς ἀρίστου, ἀλλὰ μέγα ἀμείνονος φωτὸς ἤπερ ὁ βασιλεύς. μονονουχὶ γάρ φησιν, ὡς ὁ μὲν Ἀχιλλεύς, εἰ καὶ μὴ πάντων, ἀλλὰ ἑνός τινος γοῦν μέγ’ ἀμείνων ἐστί, τοῦ βασιλέως δηλαδή, ὡς σὺ φῄς, σὺ δὲ οὐδενὸς ἀμείνων ἀλλὰ πάντων χείρων, εἴγε μηδεὶς χείρων σου ἐνταῦθα ἥκει.] Τὸ δὲ χερειότερον οὐ ζηλωτὸν τοῖς πεζὰ ῥητορεύουσιν, ὡς οὐδὲ τὸ ῥηΐτερον οὐδὲ τὸ ῥᾳότερον οὐδὲ τὸ «πλειοτέρῃ σὺν χειρί» οὐδ’ ὅσα ἕτερα τοιαῦτα. ποιηταῖς μέντοι χρηστά εἰσιν, ὡς πολλαχοῦ φαίνεται, [παρ’ οἷς οὐ μόνον διπλῆ κατὰ παραγωγήν ἐστι σύγκρισις ἔν τε τοῖς ῥηθεῖσι καὶ ἐν τῷ λῷον λωΐτερον, ἀλλὰ καὶ ἐξ ὑπερθέσεως καταβιβασμὸς εἰς σύγκρισιν, ὡς δῆλον ἐκ τοῦ λαλίστερος, ὃ παρειλκῦσθαι δοκεῖ ἐκ τοῦ λάλιστος. ἔτι δὲ καὶ ἐπίτασις ὑπερθέσεως ἐν τῷ κλέπτιστος κλεπτίστατος, λάλιστος λαλίστατος, κύδιστος κυδίστατος παρὰ Νικάνδρῳ, οἷς συντακτέον καὶ τὸ κορυφαῖος κορυφαιότατος. διπλῆς δὲ συγκρίσεως παράδειγμα, κωμικὸν μέντοι, καὶ τὸ προτεραίτερος, ὅ ἐστι πρότερος. ὥσπερ δὲ διπλοῦται ὁ σχηματισμὸς ἐν τοῖς εἰρημένοις, οὕτω ποτὲ πάσχει καὶ ἐν κτητικοῖς.

1.328 Δημήτρειος γοῦν φαμεν καὶ Δημητρειακὸς καὶ Σάμιος καὶ Σαμιακὸς καὶ Ῥόδιος καὶ Ῥοδιακὸς καὶ ἕτερα ὁμοίως.] (v. 258) Ὅτι πολλάκις οἱ ῥήτορες τὸ «ὡς» οἷα παρέλκον τίθενται, οἷον πρᾶγμα εὖ τε καὶ ὡς ἑτέρως ἔχον ἀντὶ τοῦ καὶ ἑτέρως ἔχον. δέδωκε δὲ καὶ τούτου Ὅμηρος τὴν ἀρχὴν εἰπών· «εἴ σε ἀφραίνοντα κιχήσομαι ὥς νύ περ ὧδε», ἀντὶ τοῦ «ἐάν σε εὕρω οὕτως ἀφραίνοντα» εἰ μὴ ἄρα τὸ ὡς ἀντὶ τοῦ λίαν ἐστί. καὶ ἐπὶ ἄλλων δὲ τοῦτο γίνεται λέξεων, ὡς πρὸ ὀλίγου δεδήλωται. (v. 259 s.) Ὅτι μέλλων εἰπεῖν ὁ Ὀδυσσεύς, ὡς ἐὰν μὴ τόδε ποιήσω, μηκέτι ζῴην μήτ’ ἐγὼ μήτε ὁ υἱός μου Τηλέμαχος, οὕτω περιφράζει· «μηκέτ’ ἔπειτ’ Ὀδυσῆϊ κάρη ὤμοισιν ἐπείη, μηδέ τι Τηλεμάχοιο πατὴρ κεκλημένος εἴην». τούτων γὰρ τὸ μὲν πρῶτον ἐπαρᾶται στρατιωτικώτερον τὸν ἐκ πολέμου θάνατον, τὸ δὲ ἐφεξῆς τὸν τοῦ υἱοῦ θάνατον δηλοῖ· Τηλεμάχου γὰρ θανόντος οὐκέτι πατὴρ ὁ Ὀδυσσεύς. Κάρη δὲ ἐνταῦθα τὴν κεφαλὴν ἔφη σὺν τῷ αὐχένι· οὕτω γὰρ τοῖς ὤμοις ἐπεῖναι ἡ κεφαλὴ λεχθήσεται. (v. 261—4) Ὅτι καὶ πάλιν ὁ Θερσίτης φαίνεται μὴ βασιλεὺς εἶναι, ἀφ’ ὧν ὁ Ὀδυσσεὺς λέγει. φησὶ γάρ· «τάδε πάθοιμι», ὡς προεγράφη, «εἰ μὴ ἐγώ σε λαβὼν ἀπὸ μὲν φίλα εἵματα δύσω, χλαῖνάν τ’ ἠδὲ χιτῶνα, τά τ’ αἰδῶ ἀμφικαλύπτει, σὲ δὲ κλαίοντα θοὰς ἐπὶ νῆας ἀφήσω πεπληγώς». Δῆλον γὰρ ὅτι οὐκ ἂν οὕτως ἀπρεπῶς ἀπεκδῦσαι καὶ πλῆξαι ἔνδοξον ἄνδρα ἠπειλήσατο. (v. 262) Ἰστέον δὲ ὅτι τὸ «χλαῖνάν τε καὶ χιτῶνα» ἐφερμηνευτικόν ἐστι τοῦ εἵματα, ἅπερ φίλα λέγει, ὡς ἄν τις εἴποι οἰκεῖα. Ὡς ἐπὶ πολὺ δὲ συγγενικῆς καὶ ἑταιρικῆς οἰκειότητος ἡ λέξις δηλωτική, ὡς μυριαχοῦ φανήσεται. Αἰδῶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ ὀνομάζει, ὥς που καὶ ἐπὶ Πριάμου, τὰ παρὰ τοῖς ὕστερον αἰδοῖα. Καὶ ὅρα ὅτι ὁμώνυμος λέξις καὶ ἡ αἰδώς· οὐ γὰρ μόνον τὸ ἐπαινετὸν πάθος τῆς ψυχῆς, ὃ καὶ αἰσχύνη λέγεται κοινότερον κατὰ τὸ «αἰσχύνομαί σε προσβλέπειν ἐναντίον», ἤγουν αἰδοῦμαι, ἀλλ' ἰδοὺ καὶ σώματος μόριον. Τὸ δέ «ἅ αἰδῶ ἀμφικαλύπτει» περιφραστικῶς εἶπεν· οὐ γὰρ ἔκειτο ἴσως μία λέξις δηλωτικὴ τοῦ καλύμματος τῆς αἰδοῦς, ὅπερ οἱ Ῥωμαῖοι μὲν βράκαν φασίν, ἕτεροι δὲ ἀναξυρίδα ἐκ τοῦ ἀνασύρεσθαι. Τὸ δὲ ἀμφικαλύπτει δηλοῖ μὲν τὸ πάντοθεν καλύπτει· ἑρμηνεύεται δὲ ἢ παραφράζεται ὑπὸ Εὐριπίδου ἐν τῷ «κρύπτουσα, ἅ κρύπτειν ὄμματα χρεών», τὰ τῶν ἀρσένων, ὡς ἐκεῖνός φησιν· ὡς δέ τις ὕστερον παρῴδησε, τὰ τῶν ἀνθρώπων. Σημείωσαι δὲ ὅτι ἀπειλησάμενος Ὀδυσσεὺς πλῆξαι τὸν Θερσίτην καὶ μηδένα ἰδὼν δυσχεράναντα εὐθὺς ἐπιτίθησι καὶ πληγὴν καὶ ποιεῖ οὐχ' ὅλον αὐτὸ ἐκεῖνο τὸ ἀπειληθέν, ἀλλὰ μικρόν τι καὶ φορητότερον· οὐ γὰρ ἀπεκδύει, ὡς ἠπειλήσατο, φοροῦντα δὲ τὰ εἵματα πλήττει.

1.329 φησὶν οὖν ὁ ποιητής· (v. 265 s.) «ὣς ἄρ ἔφη· σκήπτρῳ δὲ μετάφρενον ἠδὲ καὶ ὤμω ἔπληξεν», ὡς οἷά τινα μαστιγίαν· ἐπεὶ καὶ νωτοπλῆγα οἱ παλαιοὶ ῥήτορες τὸν μαστιγίαν φασί. καὶ οὐδὲ πληγὰς πολλάς, ἀλλὰ μίαν ἐπιτίθησιν. εἶτα διασκευάζων τὸν λόγον πρὸς τὸ γελοιῶδες καὶ κωμικώτερον, οὕτω διαγράφει τὰ κατὰ τὸν Θερσίτην· (v. 266—70) «ὃ δ' ἰδνώθη, θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ». μεθὸ εἰπών, ὅτι «σμῶδιγξ δ' αἱματόεσσα μεταφρένου ἐξυπανέστη σκήπτρου ὑπὸ χρυσέου», θρασύδειλον χαρακτηρίζει τὸν Θερσίτην ἐπαγαγών· «ὃ δ' ἂρ ἕζετο τάρβησέν τε». εἶτα πάλιν τὸ γελοῖον ἐπάγων φησίν· «ἀλγήσας δέ, ἀχρεῖον ἰδών, ἀπεμόρξατο δάκρυ», ὅπερ ἰδόντες Ἕλληνες διεχέθησαν γελάσαντες ἐφ' οἷς ἐκεῖνος ἐδάκρυε. λέγει οὖν· «Οἳ δὲ καὶ ἀχνύμενοί περ ἐπ' αὐτῷ ἡδὺ γέλασαν». κατὰ γὰρ τοὺς παλαιοὺς καλὸν μὲν πρόσωπον οὐκ ἀχρειοῦται δάκρυσι, τὸ δὲ μὴ καλὸν αἴσχιον ἐν τῷ δακρύειν γίνεται. διόπερ ὁ Θερσίτης παναισχὴς ὢν καὶ αὐτόθεν γέλωτα προκαλούμενος ἔτι μᾶλλον γελοῖος ἐν τῷ δακρύειν ἄρτι γίνεται καὶ ὥσπερ τὰ παρ' αὐτῷ σπουδαῖα γελοῖα ἦσαν τοῖς Ἀχαιοῖς, οὕτω καὶ τὸ δάκρυον αὐτοῦ προκαλεῖται τοῖς Ἕλλησι γέλωτα. καὶ αὐτὸς μὲν ἐμβλέπει τοῖς Ἕλλησιν, ἵνα τε γνοίη, πῶς ἐπ' αὐτῷ διάκεινται, καὶ ἅμα καὶ βοήθειαν προκαλέσηται. οἱ δὲ τοσοῦτον ἀπέχουσιν, ὧν ἐκεῖνος ἐθέλει, ὥστε ἐπεγγελῶσιν. οὔτε δὲ ἂν ἐπλήγη οὔτε κατεγελάσθη, ἐὰν μὴ τῶν τυχόντων ἦν, ὡς προείρηται. Σημείωσαι δὲ καὶ ὅτι, εἰ μὴ ἐνέβλεψε τρανές, ἀλλ' ὑπέκρυπτε τὸ πρόσωπον, οὐκ ἂν ἐγελάσθη. νῦν δὲ ἀφ' οὗ ἐσπούδασεν, ἐξ ἐκείνου γελοῖος ἔδοξε. Σκοπητέον δὲ ἐξ οἵων εἰς οἷα τὰ τῆς περιπετείας κατήντησαν. οἱ γὰρ διὰ τὴν τοῦ νόστου ἔφεσιν πρὸ μικροῦ σκυθρωπάζοντες οὐ μόνον παύονται τῆς λύπης ἄρτι καὶ τοῦ νόστου λανθάνονται, ἀλλὰ καὶ γελῶσι, καὶ οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ ἡδὺ γελῶσιν. Ὅρα δὲ καὶ ὅπως ἐν μεγάλῳ κινδύνῳ καὶ στάσει σφοδρᾷ καὶ δυσμεταχειρίστῳ πολλαῖς ὁ ποιητὴς ἐχρήσατο λύσεσιν, Ἀθηνᾶς παρουσίᾳ, δημηγορίαις ἀνδρὸς λογίου, ἀπειλαῖς, πληγαῖς, ἤδη δὲ καὶ γέλωτι. γέλωτος δὲ μεσολαβοῦντος οὐδαμοῦ σκυθρωπότης, εἰ μή τις γελῴη σαρδάνιον, ὡς ἐν Ὀδυσσείᾳ εὕρηται, οὗ πρὸς ἀντιδιαστολὴν ἐνταῦθα κεῖται τὸ «ἡδὺ ἐγέλασαν». (v. 265) Μετάφρενον δὲ λέγεται τὸ ἀπὸ αὐχένος ἕως ὀσφύος, μᾶλλον δὲ τὸ ἀντικρὺ ὄπισθεν τῶν φρενῶν, ὡς ἀλλαχοῦ φανήσεται. (v. 266) Ἰδνωθῆναι δέ ἐστι τὸ συγκαμφθῆναι καὶ γίνεται ἀπὸ τοῦ τὸ ἰνίον δονηθῆναι μετατεθέντος τοῦ δ ὀπίσω τοῦ ν . ἔστι δὲ ἰνίον τὸ ὀπίσω τῆς κεφαλῆς, οὗ συμπίπτοντος ἐπὶ τὸ κάτω καὶ συσπωμένου πρὸς τοῖς ὤμοις ἰδνοῦσθαι λέγεται ὁ τοῦτο πάσχων.

1.330 Τινὲς δὲ ἰδνωθῆναι τὸ ἀνακλασθῆναι νοοῦσιν ἀπὸ τῆς αὐτῆς ἐτυμολογίας, ἵνα πλέον, φασί, προκύψῃ τὸ τοῦ στήθους κυρτὸν καὶ συμπράξῃ τι πρὸς γέλωτα. καὶ ἄλλως δὲ τὸ ἰδνώθη ἀντὶ τοῦ οἷον συνίζησίν τινα ἔπαθεν, ἀπὸ τοῦ ἵζω τραπέντος τοῦ ζ εἰς δ κατὰ τὴν ἤδη προρρηθεῖσαν συγγένειαν τῶν τοιούτων στοιχείων καὶ πλεονάσαντος καὶ τοῦ νῦ, ὡς ἐπὶ τοῦ οἰχνῶ καὶ ἰκνῶ καὶ τῶν ὁμοίων. τὸ δὲ ἰδνώθη εὑρεθήσεται καὶ ἐν τοῖς ἑξῆς, ὅτε που δράκοντα ἐρεῖ ἰδνωθέντα δακεῖν τὸν ἀετόν. Τὸ δέ «ἔκπεσε δάκρυ» δαψίλειαν δηλοῖ τοῦ ὑγροῦ. τινὲς δὲ γράφουσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«ἔκφυγε δάκρυ», ἤτοι ταχέως ἐξέδραμε. Θαλερὸν δὲ δάκρυον ἢ τὸ ἀκμαῖον ἢ τὸ ἔνικμον ἐκ μεταφορᾶς τῶν θαλλόντων φυτῶν. Ἰστέον δὲ ὅτι, ἐπεὶ τὰ κυρίως θάλλοντα καὶ ἁπαλά εἰσι, διὰ τοῦτο καὶ τέρεν δάκρυόν που λέγεται τὸ ἁπαλόν. ἐπεὶ δὲ καὶ χλωρά εἰσι τὰ θάλλοντα καὶ ὑγρότητα ἔχει πλείω, διὰ τοῦτο καὶ ὑγρὸν δάκρυον καὶ χλωρὸν ὁ Εὐριπίδης φησί. Σοφοκλῆς δὲ ἐν Τραχινίαις χλωρὰν ἄχνην δακρύων ἔφη. [Ἰστέον δὲ ὅτι τὸ δάκρυ ἀποκοπὴν παθὸν ἐκ τοῦ δάκρυον οὐκέτι κινεῖται εἰς κλίσιν, ὡς οὐδὲ τὸ δῶ ἤτοι δῶμα, οὐδὲ τὸ κρῖ, ὅ ἐστι κρίμνον, οὐδὲ τὸ ἧλ, ὅπερ ἐστὶν ἧλος, οὐδ’ ὅσα ἕτερα τοιαῦτα. ὡς γὰρ οὐκ ἂν ὑπόπουν ζῷον βαδίζοι τῶν ποδῶν αὐτῷ ἀποκοπέντων, οὕτω πως οὐδὲ λέξις ἀποβαλοῦσα τὴν λήγουσαν ἔχοι ἂν κινεῖσθαι εἰς κλίσιν. δῆλον δὲ ὡς ἐκ τοῦ δάκνειν γίνεται τὸ δάκρυον.] (v. 267) Σμῶδιγξ δὲ ὁ ὕφαιμος μώλωψ. ὑποτρέχοντος γάρ, φασίν, αἵματος κατ’ ὀλίγον ἐξῴδηκεν, ὅπερ διὰ τοῦ ἐξυπανέστη δηλοῦται, ὡς μετ’ ὀλίγα εἰρήσεται. καὶ γίνεται ἀπὸ τοῦ σμῶξαι, ὥς φασιν οἱ παλαιοί, ὅπερ κατὰ διάλεκτον τὸ πλῆξαι δηλοῖ, ἢ ἀπὸ τοῦ μῶλος, ἡ κακοπάθεια, τροπῇ τοῦ λ εἰς δ , ἢ οἱονεὶ αἱμῶδιγξ ἤγουν ὕφαιμος οἴδησις, ὃ τάχα καὶ ὁ ποιητὴς ὑπεμφαίνει ἐν τῷ «αἱματόεσσα ἐξυπανέστη», ὅ ἐστιν οἴδησε. δύναται δὲ καὶ ἀπὸ τοῦ σιμοῦ γενέσθαι καὶ τῆς οἰδήσεως συγκοπῇ καὶ ἐκτάσει τοῦ ο τῆς διφθόγγου, ἵνα εἴη σιμῶδιγξ, ἤγουν σιμοῦ καὶ κοίλου τινὸς σωματικοῦ μέρους καὶ ταπεινοῦ οἴδησις, ὅ ἐστιν ὄγκωσις. φησὶ γοῦν· «σμῶδιγξ ἐξυπανέστη», ἤγουν κάτωθεν εἰς εὐθὺ ὑψώθη. δηλοῖ γάρ, φασίν, ἐνταῦθα ἡ μὲν ὑπό πρόθεσις τὸ κάτωθεν, ἡ δὲ ἔξ τὸ εἰς εὐθύ, ἡ δὲ ἀνά τὸ ὕψος, ὡς καὶ ἐν τῷ ὑπεξαναδὺς καὶ τοῖς ὁμοίοις.

1.331 Ἰστέον γὰρ ὅτι οὐδαμοῦ στοιβὴν προθέσεων μάτην οὕτω τίθησιν ὁ ποιητής, ἀλλ’ ἑκάστη τῶν συγκειμένων προθέσεων σημαίνει τι, ὡς καὶ ὅτε εἴπῃ ἡμιόνους ὑπεκπρολυθῆναι ἀπήνης. καὶ ἐκεῖ γὰρ ἡ μὲν ὑπό πρόθεσις τὴν κάτω σχέσιν δηλοῖ, ἡ δὲ ἔξ τὴν ἐκτός, ἡ δὲ πρό τὴν ἐπὶ τὰ ἔμπροσθεν, ἵνα λέγῃ ὅτι κάτωθεν τοῦ ζυγοῦ ὄντας ἔξω ποιήσαντες ζυγοῦ προελθεῖν εἰς νομὴν ἐποίησαν. ὡς δὲ τὸ σιμόν καὶ ἐπὶ ταπεινότητος τίθεται τῆς κατὰ κοιλότητα, δηλωθήσεται, ὅπου νῆες πρόκροσσαι λέγονται. ὅτι δὲ τὸ σμῶδιγξ, καθὰ καὶ τὸ σμερδαλέον καὶ τὸ σμικρόν, διὰ τοῦ ζ εἶχον τὴν προφορικὴν ἀρχὴν πάλαι ποτὲ διὰ τὸ παρεοικὸς τοῦ ἤχου, δηλοῦσιν οἱ παλαιοί, ὧν ἐν ῥητορικοῖς Λεξικοῖς τοῖς κατὰ στοιχεῖον κεῖται καὶ ταῦτα ἐν τῷ ζ στοιχείῳ· ζμινύη ὁτὲ τὸ σκαφεῖον, ὁτὲ ἀξινάριον· οἱ δὲ δίκελλαν. καὶ ζβέσαι τὸ παῦσαι, λῆξαι, κοιμίσαι. καὶ ζβεννυμενάων αἰγῶν, ληγουσῶν. καὶ ζμῶσαι τὸ πατάξαι. Αἴλιος δὲ Διονύσιός φησιν, ὅτι ζμικρὸν καὶ μικρὸν οἱ Ἀττικοί, μικκὸν δὲ Ἴωνες. οὕτω δὲ γράφουσι καὶ τὸ ζμῆγμα καὶ τὴν ζμινύην, ἣν καὶ αὐτὸς ἀξινάριον λέγει φέρων καὶ χρῆσιν Ἀριστοφάνους ταύτην· «ἀλλ’ ἱμάντα μοι δὸς καὶ σμινύην, ἐγὼ γὰρ εἶμ’ ἐπὶ ξύλα». Εἰς δὲ τὴν τοῦ Θερσίτου πληγὴν καὶ τοιοῦτόν τι γράφουσιν οἱ παλαιοί· ὅτι ὁ μὲν εὐφυὴς νουθεσίαις ῥυθμίζεται· ὁ δὲ ἄκοσμος μέν, εὖ δὲ ἔχων τὰ εἰς σῶμα, βασάνοις κολάζεται καὶ χρημάτων εἰσφοραῖς· ὁ δὲ λελωβημένος, οἷος ὁ Θερσίτης, βραχείᾳ πληγῇ καὶ μεθ’ ὅρκων ἀπειλῇ σωφρονίζεται. (v. 269) Τὸ δέ «ἀχρεῖον ἰδών» οὐχ’ ὅμοιον τῷ τὴν Πηνελόπην ἀχρεῖον γελάσαι, ἀλλ’ ἐκεῖ μὲν ἀχρεῖον τὸ ἐπίπλαστον καὶ ὑποκεκριμένον, ἐνταῦθα δὲ ἀχρεῖον ἰδεῖν τὸ ἀκαίρως ὑποβλέψαι καὶ ἐπ’ οὐδεμιᾷ χρείᾳ, ἢ ἀντὶ τοῦ μιμοειδὲς καὶ ἀχρειοποιόν, ὡς ἀμορφωθέντος τοῦ προσώπου τοῖς δάκρυσι. Τὸ δὲ ἀχρεῖόν φασιν οἱ παλαιοὶ παρὰ μὲν τοῖς Ἀττικοῖς προπαροξύνεσθαι ἀναβιβασμῷ τόνου ὡς σύνθετον, παρὰ δὲ τῷ ποιητῇ προπερισπᾶσθαι κανόνι τοιούτῳ. Τὰ ἔχοντα τὸ α ἐν τῇ πρώτῃ συλλαβῇ ἐπιφερομένων δύο συμφώνων μετὰ διφθόγγου προπερισπᾶται, οἷον ἀνδρεῖος, Ἀργεῖος, ἀχρεῖος. [Τοὺς δέ γε ἄλλως προπερισπῶντας τὸ ἀχρεῖος, ἐπεὶ ἀχρήϊος λέγεται παρ’ Ἡσιόδῳ—ἡ δὲ ὀξεῖα, φασί, καὶ ἡ περισπωμένη συνίζουσαι περισπωμένην ποιοῦσιν—αἰτιᾶται Ἡρωδιανὸς λέγων, ὡς οὐκ ἀεὶ τοῦτο, καθὰ δῆλον ἐκ τοῦ Ἀρήϊος Ἄρειος, βασιλήϊος βασίλειος, αὐλιζομενάων αὐλιζομένων.

1.332 διό, φησί, τὸ ἀχρεῖος εἴτε παρὰ τὴν χρείαν εἴτε παρὰ τὸ χρέος προπαροξύνεσθαι ὀφείλει. ὃ δηλαδὴ καὶ ἐποίουν οἱ Ἀττικοί, ὡς καὶ ἐν τῷ ἐρῆμον καὶ ἑτοῖμον, τοῖς Ὁμηρικοῖς· καὶ αὐτὰ γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱ νεώτεροι Ἀττικοὶ ἀναλόγως παρώξυναν, ὥς φησιν Ἡρωδιανός. ὅτι δὲ οὐδὲ τὸ αἰζήϊος συντελεῖ τι εἰς τὸ προπερισπᾶσθαι τὸ αἰζηός, ὀξύνεται γὰρ πρὸς ἀναλογίαν τοῦ νηός καὶ πηός καὶ τῶν ὁμοίων, δηλοῦται ἀλλαχοῦ. εἰ δὲ καὶ Ζεὺς Ἄθῳος προπαροξυτόνως ὁ ἐν τῷ Ἄθῳ τιμώμενος μετὰ προσγραφῆς τοῦ ἰῶτα πρὸς διαστολὴν τοῦ ἀθῷος ὁ ἀζήμιος, οὐδὲ ἐκεῖ ἄρα ἡ διάλυσις τοῦ ἀθώϊος συνετέλεσεν εἰς προπερισπασμόν, ὁποῖος γίνεται ἐν τῷ πατρώϊος πατρῷος, Μινώϊος Μινῷος καὶ τοῖς ὁμοίοις.] Σημείωσαι δὲ ὅτι τοῦ ἀχρεῖος τὸ ἁπλοῦν εὕρηται παρὰ τῷ εἰπόντι τὸ «ἀνὴρ εἰς οὐδὲν χρεῖος», ἤτοι χρειώδης εἰς οὐδέν. εἰ γοῦν χρεῖος ὁ χρειώδης, δῆλον ὡς ἀχρεῖος ὁ μὴ χρειώδης. Τὸ δὲ ἀπομόρξατο ἐκ τοῦ μόργω γίνεται ῥήματος, ὅπερ κατὰ ὁμοιότητα τοῦ ἄχνυμαι προσλήψει τοῦ ν γίνεται μόργνω, ἐξ οὗ μοργνύω, ἀφ' οὗ μόργνυμι· ἐξ οὗ τὸ ἀπομόργνυται καὶ τὰ ὅμοια. ἐκ δὲ τοῦ μόργω γίνεται σύνθετον τὸ ἀπομόργω, ἐξ οὗ τὸ ἀπόμοργμα. τὸ δὲ μόργω ἐκ τοῦ ἀμέργω, τὸ ἐκπιέζω, κατὰ τοὺς παλαιούς, ἐξ οὗ καὶ ἀμόργη, ἡ τοῦ ἐλαίου ὑποστάθμη, καὶ τὸ ἀμέλγω κατὰ ἐναλλαγὴν ἀμεταβόλου τοῦ ρ εἰς ἀμετάβολον τὸ λ , ὡς ποδαργία ποδαλγία, κεφαλαργία κεφαλαλγία. εἴη ἂν οὖν ἀπομόργεσθαι καὶ ἀπομόργνυσθαι κυρίως τὸ ἐκπιέζειν, ὅθεν ἀπεμόρξατο δάκρυον ἀντὶ τοῦ ἐξέθλιψε καὶ οἷον ἐκπιέσας ἀπήγαγε τοῦ ὀφθαλμοῦ. τοῦ δὲ μόργω καὶ μόργνυμι κοινότερον ἐκ πλεονασμοῦ τοῦ ο παρὰ τοῖς μεθ' Ὅμηρον τὸ ὀμόργω καὶ ὀμόργνυμι. Ὡς δὲ πλεονάζει τὸ ο ἐν πολλοῖς, οὐκ ἄδηλον. οὕτω γὰρ ἐκ τοῦ νύσσω νύξω ὁ ὄνυξ, καὶ ἐκ τοῦ τλῶ ὄτλος, ἡ κακοπάθεια, καὶ ὀδύνη παρὰ τὸ δύνω. εὑρίσκεται δὲ καὶ τὸ ὀδύρεσθαι δύρεσθαι. [Εὕρηται δὲ καὶ ὁ Ὀβριάρεως καθ' ὅμοιον πλεονασμόν. δοκεῖ δέ τισι τοιοῦτον εἶναι καὶ τὸ Ἰλεύς, Ὀϊλεύς, καὶ τὸ ὀδάξ, ὅ ἐστι δηκτικῶς.

1.333 εἰ δέ τῳ δόξειε ταὐτὸν εἶναι εἰπεῖν ὀμόργειν καὶ ἀμέργειν, ἔχεται λόγου καὶ αὐτό· οὕτω γὰρ τὰς ἀσταφίδας καὶ ὀσταφίδας φαμὲν καὶ τὸν ἀστακὸν ὀστακόν.] (v. 270) Τὸ δέ «οἳ δὲ καὶ ἀχνύμενοί περ ἐπ' αὐτῷ ἡδὺ γέλασαν» σχῆμά ἐστιν ἀμφιβολίας. οἱ μὲν γάρ φασιν, ὅτι ἀχνύμενοί περ ἐπ' αὐτῷ ὡς πληγέντι, ὅμως διὰ τὸ ἀχρεῖον τοῦ βλέμματος γαληνιάσαντες ἡδὺ ἐγέλασαν, ὅπερ οὐκ ἂν εὖ ἔχοι. πῶς γὰρ ἄχθονται δι' αὐτόν, οἳ αὐτῷ ἐκπάγλως κοτεόντο καὶ ἐνεμέσων, ὡς εἶπεν ὁ ποιητής. Ἕτεροι δέ φασι κάλλιον, ὅτι καίτοι ἀχνύμενοι ἐπὶ τῇ ἀναβολῇ τῆς ἀνακομιδῆς, ἤγουν ἐπὶ τῇ ἀργίᾳ τοῦ νόστου, ὅμως ἐπ' αὐτῷ ἡδὺ ἐγέλασαν· ἐπ' αὐτῷ δέ, ἢ τῷ Θερσίτῃ ἢ τῷ ἀχρείῳ τοῦ βλέμματος. [(v. 271) Ὅτι καθὰ ἐξ ἀφορμῆς ἀορίστου τοῦ ἔθρεξα καὶ ὁμόκλησα καὶ τῶν ὁμοίων γίνεται τὸ θρέξασκε καὶ ὁμοκλήσασκε καὶ ἄλλα ὅμοια, οὕτω καὶ ἀπὸ τρίτων ἑνικῶν τοῦ εἶπεν, ἔρεζεν, ἧρδεν, ὅ ἐστιν ἔθυε, παράγεται τὸ εἴπεσκε, ῥέζεσκεν, ἔρδεσκε καὶ ἕτερα τοιαῦτα, ὧν αἱ θεματικαὶ παραγωγαὶ διὰ τοῦ εσκω εἰσιν] (v. 271—3) Ὅτι ἔθος ἔχει ὁ ποιητὴς καὶ ἠθοποιΐας παρενσπείρειν τῇ ποιήσει καὶ αὐτὰς πῇ μὲν ἀπό τινος ὡρισμένου προσώπου γυμνάζων, ποίους ἂν εἴποι λόγους τόδε ἢ ἐκεῖνο τὸ πρόσωπον, πῇ δὲ ἐπὶ πλήθους ἀορίστως, ὅτε καὶ εἴωθεν οὔτε πολυλογεῖν καὶ τὴν εἰσβολὴν δὲ οὕτω ποιεῖν· «ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων» ἤ «ὧδε δέ τις εἴπεσκεν Ἀχαιῶν τε Τρώων τε» ἤ «ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον», ὥσπερ δὴ καὶ ἐνταῦθα ἐπὶ τῶν Ἑλλήνων εἰπὼν ἐπάγει κατὰ λόγον συντομίας ἐκεῖνα εἰπεῖν τοὺς Ἕλληνας· «ὢ πόποι, ἦ δὴ μυρία Ὀδυσσεὺς ἐσθλὰ ἔοργε βουλάς τ' ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων». Τοῦτο δὲ πρέποι ἂν εἰς ἐγκώμιον παντὸς ἀνδρὸς φρονίμου τε καὶ ἀνδρείου. καὶ σημείωσαι καὶ νῦν ὅτι τοῦτο ἦν, ᾧ διέφερεν Ὀδυσσεὺς τοῦ Νέστορος, βουλευτὴς μὲν γὰρ ἀγαθὸς καὶ ὁ Νέστωρ, οὐ μὴν ἄρτι καὶ πολεμιστής. (v. 274 s.) Εἶτά φασιν οἱ Ἀχαιοὶ καὶ ὅτι «νῦν δὲ τόδε μέγ' ἄριστον ἐν Ἀργείοισιν ἔρεξεν, ὃς τὸν λωβητῆρα ἐπεσβόλον ἔσχεν ἀγοράων». καὶ ὅρα ὅπως μισοῦσι μὲν τὸν Θερσίτην οἱ Ἕλληνες, φιλοῦσι δὲ τὸν Ὀδυσσέα, καὶ ὅπως φιλαλήθεις εἰσίν, οἳ καὶ ἀχνύμενοι ὅμως οὐκ ἀποκρύπτουσι τὸν τοῦ Ὀδυσσέως ἔπαινον. λέγουσι δὲ καὶ ὅτι οὐκ ἂν εἰσαῦθις τὸν Θερσίτην ἀναπείσῃ θυμὸς ἀγήνωρ νεικεῖν τοὺς βασιλεῖς. τοῦτο δὲ λέγει ὁ ποιητὴς ἀναφωνῶν, ὡς οὐκέτι οὐδαμοῦ μεμνήσεται τοῦ Θερσίτου,

ἀχρείου ἀνθρώπου καὶ οὐδὲν τῇ αὐτοῦ ποιήσει προσήκοντος, ἐπεὶ μηδὲ παίζειν ἐθέλει καὶ συχνὰ γελωτοποιεῖν.

1.334 οὐ γὰρ κόσμου χάριν οὐδὲ ὕψους τοῦ ἐν λόγῳ τὸ τοῦ Θερσίτου παρενέθετο ἐπεισόδιον ὁ ποιητής, ὁποῖα πολλὰ ποιεῖ, ἀλλὰ χάριν ἱστορικῆς τινος μεθόδου, ἣν ἀνύσας οὐκέτι δεύτερον αὐτῇ χρήσεται. καὶ ἴσως διὰ τοῦτο ἐποίησε τὸν Ὀδυσσέα πληγὴν ἐπεντρίψαντα τῷ Θερσίτῃ αὐτίκα νῦν. εἰ γὰρ καὶ ὑπέσχετο ἄλλοτε τοῦτο ποιήσειν, ἀλλ' ὁ Θερσίτης οὐκέτι λαλήσει· οὐκοῦν οὐδὲ πληγήσεται. πληκτέον ἄρα τὸν ἀδόλεσχον πρὸς τὸ παρόν, ἵνα μηδέν τι ἀτιμίας ἐλλείπῃ αὐτῷ μήτε τῆς ἐν λόγοις μήτε τῆς ἐν ἔργοις. (v. 272) Τὸ δέ «ὢ πόποι» φανερῶς ἐνταῦθα ἐπὶ θαύματος κεῖται· θαυμάζοντες γὰρ Ἕλληνες τὸν Ὀδυσσέα τὸ «ὢ πόποι» φασί. Τὸ δέ «ἔοργε», καθὰ καὶ προεγράφη, μέσος παρακείμενός ἐστιν ἀπὸ τοῦ ἔργω βαρυτόνου ῥήματος ἢ ἐργῶ περισπωμένου, ὡς ἀπὸ τοῦ ἔλπω τὸ ἔολπεν. [Εἰ δέ ἐστιν ὑποδύσκολον ἐκ τοῦ ἔργω δισυλλάβου γίνεσθαι τὸ ἔοργα, ἐξ οὗ τὸ ἔοργε, νοητέον ὡς πλεονασμῷ τοῦ ε γενόμενον ἐκεῖνο ἐέργω ἀπετέλεσε μέσον παρακείμενον ἤοργα καὶ Ἰωνικῶς ἔοργα.] Ζητητέον δέ, εἴπερ ἡ ἐόργη, τουτέστιν ἡ τορύνη, καὶ τὸ ἐοργίζεται, ἤγουν τορυνᾶται, τὰ παρὰ Αἰλίῳ Διονυσίῳ καὶ Παυσανίᾳ, ἐκ τοιούτου ἔοργα γίνεται. ἴσως δὲ καλὸν εἰπεῖν, ὅτι οὐχί, ἀλλ' ἐκ τοῦ ὀργάζω, οὗ κεῖται ἡ χρῆσις παρὰ τῷ Κωμικῷ. ὡς γὰρ ὀργάζεταί τις πηλὸν κυκῶν καὶ ἀναταράττων, οὕτω τρόπον τινὰ καὶ ἐοργίζεται, ὅ ἐστι τορυνᾶται. (v. 273) Τὸ δέ «βουλὰς ἐξάρχων ἀγαθάς» ἔλλειψιν ἔχει προθέσεως, ἵνα ᾖ «εἰς βουλὰς ἐξάρχων ἀγαθάς». ἄλλως γὰρ τὸ ἐξάρχειν γενικῇ συντάσσεται· ἔφη γοῦν πρὸ μικροῦ «βουλῆς ἐξῆρχε νέεσθαι». ὁμοίως δὲ ἐλλιπὲς καὶ τὸ «κορύσσων πόλεμον». οὐ γὰρ κυρίως ἂν λέγοι τις κορύσσειν μάχην, ἀλλὰ κορύσσειν τινὰς εἰς μάχην, εἰ μή τις σωματοειδῶς νοεῖ τὸν πόλεμον· τότε γὰρ κορύσσει Ὀδυσσεὺς αὐτὸν δὴ τὸν πόλεμον. [Κατὰ δὲ τὸ «βουλὰς ἐξάρχων» ἐλλέλειπται καὶ τὸ «στρόμβῳ τὸν αἱματηρὸν ἐξάρχων νόμον». τὸ δ' αὐτὸ γίνεται καὶ ἐπὶ τοῦ κατάρχειν ἐν τῇ τραγῳδίᾳ. ἴσως δὲ καὶ τὸ «ψαύων τὸν θεόν» παρὰ Σοφοκλεῖ.] (v. 275) Λωβητῆρα δὲ τὸν Θερσίτην λέγει οὐκ ἔργοις, ἀλλὰ λόγοις. τί γὰρ εἶχε βλάπτειν ἔργοις ὁ οὐτιδανός; διὸ ἐφερμηνεύων ἐπεσβόλον αὐτὸν λέγει, τουτέστιν, ὡς ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν κάλλιον κεῖται, ἔπεσιν ὡς βέλεσι βάλλοντα, ὃ ταὐτόν ἐστι τῷ βλάσφημον· βλάσφημος γὰρ ὁ βάλλων ταῖς φήμαις λέγεται. Ὅρα δὲ καὶ ὅτι διεξοδικῶς τὸν Θερσίτην ὁ ποιητὴς πρὸ μικροῦ κακολογήσας, ἐνταῦθα διὰ βραχέων αὐτὰ λέγει λωβητῆρα εἰπὼν καὶ ἐπεσβόλον καὶ ἔχοντα θυμὸν ἀγήνορα ἤγουν θρασύν· καὶ δείκνυσι καὶ ἐνταῦθα, ὅπως καὶ ἐπὶ τοῖς αὐτοῖς καὶ εὐρυλογεῖν δύναται καὶ στενολεσχεῖν, δι' ὧν καὶ τοὺς ἀκροατὰς παιδεύει οὕτω ποιεῖν.

1.335 (v. 276) Τὸ δὲ ἀγήνωρ, εἰ καὶ νῦν ἐπὶ ψόγῳ εἴληπται, ἀλλὰ τὸν ἀνδρεῖον ἐν ἄλλοις δηλοῖ, ὡς ἐν καιρῷ δειχθήσεται· (v. 278) Ὅτι τὰ συλληπτικὰ ὀνόματα, οἷον τὸ δῆμος, ὄχλος, πλῆθος, χορός, ὡς μὲν ἑνικὰ ἑνικοῖς συντάσσεται ῥήμασιν, ὡς δὲ πλῆθος δηλοῦντα δύνανται καὶ πληθύνεσθαι τῷ ῥήματι, οἷον ὁ δῆμος ἐστασίασαν, ὁ ὄχλος ἐξεβόησαν, τὸ πλῆθος ἠλάλαξαν, ὁ χορὸς ἔμελψαν. οὕτω καὶ ἐνταῦθα ἐσχημάτισται τὸ «ὣς φάσαν ἡ πληθύς». καὶ ἔστιν Ἀττικὸν τὸ σχῆμα· καίτοι εἶχεν ὁ ποιητὴς εἰπεῖν «ὣς ἔφαθ' ἡ πληθύς», ἀλλ' οὐκ ἠθέλησεν. Ὅτι τὸν Ὀδυσσέα μὲν καὶ ἐνταῦθα καὶ ἀλλαχοῦ, ὡς καὶ προερρέθη, πτολίπορθον λέγει ὁ ποιητὴς διὰ μίαν πόλιν τὴν Τροίαν, τὸ τοῦ πολέμου κεφάλαιον. φησὶ γάρ που· «σῇ δ' ἥλω βουλῇ Πριάμοιο πόλις». Ἀχιλλέα δὲ τὸν πολλὰς πόλεις παραστησάμενον Ἕλλησιν ἅπαξ που πτολίπορθον ὀνομάσαι ἠξίωσεν, ὡς δειχθήσεται. [Ὡς δὲ ὁ πτολίπορθος καὶ πτολιπόρθιος λέγεται πεντασυλλάβως, ἑτέρωθι φανεῖται παρὰ τῷ ποιητῇ. οὕτω δὲ καὶ οἱ Δάρδανοι Δαρδάνιοί που λέγονται παρ' αὐτῷ, ἔνθα σημειωτέον ὡς Δαρδάνιος μὲν τὸ τοπικὸν διὰ τοῦ ι γράφεται, Δαρδάνειος δὲ ποταμὸς ἐν διφθόγγῳ.] (v. 280 s.) Ὅτι ἔργον κηρύκων οὐ μόνον κηρύσσειν ἐλθεῖν εἰς ἀγορὰν τὸν λαόν, ἀλλὰ καὶ κελεύειν ἐν ἀγορᾷ τὸν λαὸν σιωπᾶν, ὃ δὴ ἐνταῦθα ἡ

Ἀθηνᾶ ποιεῖ ὁμοιωθεῖσα κήρυκι διὰ τὸν Ὀδυσσέα καὶ κελεύουσα σιωπᾶν, ὡς ἂν ἅμα οἱ πρῶτοί τε καὶ ὕστατοι μῦθον ἀκούσειαν καὶ ἐπιφρασαίατο βουλήν. Δῆλον δὲ ὅτι Ἀθηνᾶ νῦν ἡ τοῦ Ὀδυσσέως ἐστὶ σύνεσις, δι’ ἣν σιωπῶσιν οἱ Ἕλληνες καραδοκοῦντες τὴν ἐκείνου, ὡς εἰκός, δημηγορίαν, ὅτε μετὰ τὴν τοῦ Θερσίτου πληγὴν καθεσθεὶς εἶτα ἀνέστη. καὶ ἤρκει αὐτῷ ἀντὶ κήρυκος ἡ φρόνησις, δι’ ἣν σιωπῶσιν οἱ Ἀχαιοὶ ἐκκρεμάμενοι τῆς ἐκείνου γλώσσης καὶ τοιούτου ἀκούειν ἐφιέμενοι ῥήτορος. Σχῆμα δέ ἐστι κἀνταῦθα τὸ κατὰ τὸ σιωπώμενον. ὅτι μὲν γὰρ πλήξας Ὀδυσσεὺς τὸν Θερσίτην ἐκαθέσθη, ἐσιώπησεν Ὅμηρος· ἀναστῆναι δὲ νῦν λέγων αὐτὸν δηλοῖ, ὅτι προσεχῶς ἐκάθητο. (v. 281) Τὸ δέ «ὡς ἂν ἅμα οἱ πρῶτοι καὶ ὕστατοι ἀκούσειαν» εὐρύφωνον ἐμφαίνει τὸν Ὀδυσσέα εἶναι καὶ βοὴν ἀγαθόν, ὃ καὶ ἀλλαχοῦ δηλοῦται, ὅτε ὄπα μεγάλην αὐτὸς ἐκ στήθεος ἵησι. διὸ καὶ πρὸ τοῦ Νέστορος δημηγορεῖ ἔτι τεταραγμένου τοῦ δήμου, ὅτε καὶ γεγωνοτέρας ἔδει βοῆς τῷ δημηγορήσοντι. ὁ δέ, ὡς εἰκός, τρομαλεόφωνος γέρων Νέστωρ μετὰ τὸν Ὀδυσσέα δημηγορήσει ἀγόντων ἡσυχίαν τῶν Ἀχαιῶν. (v. 284 ss.) Ὅτι ποικίλη μὲν ἡ τοῦ Ὀδυσσέως δημηγορία καὶ πολυειδὴς τοῖς ἤθεσιν, ἁπαλωτέρα δέ.

1.336 πῇ μὲν γὰρ ἀποτείνεται πρὸς τὸν βασιλέα, πῇ δὲ στρέφεται πρὸς τὸν λαόν. καὶ νῦν μὲν ὀνειδίζει τοῖς Ἕλλησι τὸ μὴ θέλειν τὴν τοῦ βασιλέως τιμήν, ἀλλὰ σπεύδειν φυγεῖν ἀγεννῶς· νῦν δὲ παραμυθεῖται καὶ οἷον ὑπεραπολογεῖται αὐτῶν ὡς μὴ φύσει ἀγεννῶς ἐχόντων, ἀλλὰ κεκμηκότων τῷ πολυετεῖ τοῦ πολέμου. καὶ οὕτω ταλαντεύσας ἐν ἰσότητι τὰ νοήματα καὶ οἱονεὶ δείξας τοὺς Ἀχαιοὺς οὔτε ἐπαινετοὺς οὔτ’ αὖ πάλιν ψεκτούς, εἴπερ νόστου μέμνηνται, ὕστερον ἐπάγει παράκλησιν καὶ ἀξιοῖ μένειν, ὡς ἤδη παρὰ βραχὺ ἐλθόντας τοῦ Τροίαν ἑλεῖν κατὰ τοὺς παλαιοὺς χρησμούς, οἷς οὐδ’ αὐτοὶ ἔχουσιν ἀντειπεῖν. καὶ οὕτω μὲν Ὀδυσσεὺς δημοχαριστικώτερον. Ὁ δὲ Νέστωρ καταφορικῶς τὸν λόγον ἐν τοῖς ἑξῆς μεταχειριζόμενος καὶ ὑψηλότερον τήν τε τοῦ Ὀδυσσέως δημηγορίαν μέμφεται καὶ πολλὰ τῶν ἐκείνου νοημάτων ἐπανορθοῖ, ὡς δειχθήσεται, καὶ τοὺς Ἕλληνας κολακεύειν οὐκ ἀνέχεται, ἀλλὰ καὶ ἀσεβείας αὐτοὺς γράφεται, ὡς ἐπιόρκους καὶ παρασπόνδους, καὶ ἀναγκαίως αὐτοὺς ἀπαιτεῖ πολεμεῖν καὶ τὸν βασιλέα θυμὸν δίκαιον κατ’ αὐτῶν ἀναλαβέσθαι κελεύει, ἐὰν μὴ πείθοιντο, καὶ θάνατον ἀπειλεῖται τῷ λειποτακτοῦντι, καὶ ὅπως δεῖ ἐκτάξαι τὸν πόλεμον, ὑποτίθεται. καὶ ὅλως ἡ μὲν τοῦ Ὀδυσσέως δημηγορία φιλόδημος μᾶλλόν ἐστι καὶ δημοτικωτέρα καὶ πραϋντικὴ τοῦ πλήθους, ὅθεν καὶ δημοχαριστὴς εἶναι δοκεῖ Ὀδυσσεύς· ἡ δὲ τοῦ Νέστορος ἀρχικὴ καὶ παρρησιαστικὴ τὸ πᾶν ἐπιτρέπουσα τῷ βασιλεῖ. διὸ καὶ τὸν μὲν Ὀδυσσέα οἱ Ἀχαιοὶ ἐπαινοῦσιν ὡς αὐτοῖς τὰ πολλὰ χαρισάμενον, ὁ δὲ βασιλεὺς ὡς φιλοβασιλέα τὸν Νέστορα. Ἔνθα καὶ θαυμάσῃ ἄν τις εἰκότως τὸν ποιητήν, ὅπως τῶν ἐπὶ τῇ ὑποθέσει ταύτῃ νοημάτων, ὅσα μὲν ἱλαρὰ τῷ δήμῳ καὶ ἠρέμα σεμνά, τῷ Ὀδυσσεῖ ἀνατέθεικεν ὡς ὑφειμένῳ πρὸς τὸν Νέστορα· ὅσα δὲ ὑψηλότατα καὶ βασιλεῖ μὲν ἡδέα, τῷ δὲ δήμῳ σφοδρά, τὰ τοιαῦτα τῷ μεγάλῳ ῥήτορι ᾠκείωσε τῷ Νέστορι· ὥστε δύο τούτων ὄντων ῥητόρων τοῖς Ἕλλησι, τὸν μὲν Ὀδυσσέα καλὸν εἶναι, ἄριστον δὲ τὸν Νέστορα, ὅσγε καὶ πολλὰ τῶν τοῦ Ὀδυσσέως νοημάτων, ὡς εἴρηται, διορθώσεται ἐπισκευάζων καὶ ἐκ ταπεινοῦ ἀνάγων εἰς τὸ σεμνότερον, καθὰ δειχθήσεται, Ὁμήρου κἀνταῦθα φιλοτίμως δεικνύντος, ὡς τὸ αὐτὸ νόημα οὕτω μὲν ῥηθὲν οὐ πάνυ καλὸν ἔσται, οὕτω δὲ λεχθὲν ἔσται ἄριστον. Ἰστέον δὲ καὶ ὅτι τὸ συμβουλευτικὸν τῆς ῥητορικῆς εἶδος τὸ ἐκ προτροπῆς καὶ ἀποτροπῆς, ὡς καὶ ἐν τῇ α′, οὕτω καὶ ἐνταῦθα ἐκφανέστατα ὁ ποιητὴς ἐνδείκνυται ἐν οἷς ὁ Ὀδυσσεὺς καὶ ὁ Νέστωρ συμβουλεύουσι. δείκνυσι δὲ καὶ τὸ δικανικὸν εἰδέναι τὸ ἐκ κατηγορίας καὶ ἀπολογίας, ἐν οἷς λέγει ὅτι δύο ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς, περὶ φόνου δικαζόμενοι. τοῦ δὲ πανηγυρικοῦ, ὅπερ ἐξ ἐγκωμίου καὶ ψόγου σύγκειται, μυρία καὶ αὐτοῦ μάλιστα παρὰ τῷ ποιητῇ κεῖνται παραδείγματα, [ὅσγε, καθὸ

ποιητής, τῷ πανηγυρικῷ ὑποκρέκει τῆς ῥητορικῆς εἴδει καὶ κατ’ αὐτὸ εὐδοκιμεῖ μάλιστα, εἰ καὶ ἄλλως τοῖς ὅλοις ῥητορικοῖς ἡδύσμασιν ἐξαρτύεται κατ’ ἐπιστήμην ἄκραν.

1.337 ] Ἰστέον δὲ καὶ ὅτι ἐξ ἀρχῆς μὲν ὁ Ὀδυσσεύς οὐ προσφθέγγεται τοὺς Ἕλληνας, ἀλλὰ τὸν βασιλέα λέγων· «Ἀτρείδη, νῦν δή σε, ἄναξ, ἐθέλουσιν Ἀχαιοὶ πᾶσιν ἐλέγχιστον θέμεναι [μερόπεσσι] βροτοῖσιν, οὐδέ τοι ἐκτελέουσιν ὑπόσχεσιν, ἥν περ ὑπέσταν ἐνθάδ’ ἔτι στείχοντες ἀπ’ Ἄργεος ἱπποβότοιο», ὅπερ ἐστὶ τὸ τὴν Ἴλιον ἐκπέρσαντα ἀπονέεσθαι. εἶτα λέγει καί, ὅτι «ὡς ἢ παῖδες νεαροὶ χῆραί τε γυναῖκες ἀλλήλοισιν ὀδύρονται οἶκόνδε νέεσθαι». Ποιεῖ δὲ ὁ Ὀδυσσεὺς τοῦτο καὶ οὐ πρὸς τοὺς Ἕλληνας τοιαῦτα λαλεῖ λεαίνων τεχνικῶς τὸν λόγον καὶ τὸ πάνυ πικρὸν ἀφαιρῶν· ἐλύπει γὰρ τοὺς Ἕλληνας, εἰ πρὸς ἐκείνους αὐτοὺς ἀπέτεινεν, ὅτι θέλετε τὸν βασιλέα ἐλέγχιστον θεῖναι. ἐκωμῴδει δὲ καὶ ὅτι ὡς γυναῖκες ὀδύρεσθε. νῦν δὲ πρὸς τὸν βασιλέα ταῦτα λέγων αὐτόν τε θεραπεύει, ὡς οἷον συναχθόμενος τῷ βασιλεῖ ἐπὶ τῇ τῶν Ἑλλήνων φυγῇ, καὶ οὐδὲ τοὺς Ἕλληνας τοσαῦτα λυπεῖ, ἅμα δὲ καὶ ἐμφαίνει, ὅτι θέλοντος τοῦ βασιλέως κατέσχεν αὐτοὺς μὴ ἀποπλεῦσαι. εἶτα τὴν ἐπιτίμησιν ταύτην τὴν κατὰ τῶν Ἑλλήνων λεάνας τῇ συγγνώμῃ ἐν τῷ εἰπεῖν μηδὲν καινὸν αὐτοὺς πάσχειν, εἰ μετὰ πολυετῆ πόνον νόστου ἐφίενται, τότε δὴ στρέφει τὸν λόγον καὶ πρὸς αὐτοὺς καὶ «τλῆτε φίλοι» λέγει καὶ τὰ ἑξῆς· λεῖον καὶ οὕτω ποιῶν τὸν λόγον καὶ τὸ ἁπαλὸν συναναμιγνὺς τῷ σκληρῷ ἐν τῷ λέγειν αὐτοὺς φίλους καὶ παρακαλεῖν τλῆναι. (v. 284) Ἰστέον δὲ ὅτι τὸ «ἐθέλουσιν Ἀχαιοί» ψόγον τινὰ ἔχει τῶν Ἑλλήνων, ὡς ἁπλῶς οὕτω θελόντων ἐλέγχιστον θεῖναι τὸν βασιλέα, οὐ μὴν εὐλόγως καὶ μετὰ προαιρέσεως ἀγαθῆς. καὶ ἄλλως δὲ καὶ ὡς ἐναντιουμένων τῷ βασιλεῖ, εἴπερ θέλουσιν, ὅπερ οὐ θέλει ὁ βασιλεύς. (v. 285) Τὸ δέ «πᾶσι βροτοῖς» αὔξησίς ἐστι τοῦ κακοῦ. οὐ γὰρ τοῖς Ἕλλησιν ἐλέγχιστον θήσουσι τὸν βασιλέα οὐδὲ τοῖς Τρωσὶ μόνοις, ἀλλὰ πᾶσι βροτοῖς, τοῖς τε νῦν δηλαδὴ καὶ τοῖς ἐπιγόνοις. ἐνταῦθα δὲ φανερῶς διαδείκνυσι τὴν ἀπόπειραν· πῶς γὰρ ἂν φεύγειν ἐκείνους προτρέποι ὁ βασιλεύς, ὁ διὰ τοῦτο πᾶσιν ἐσόμενος ἐλέγχιστος; [Ὡς δὲ Αἰολικὸν ὁ βροτός, δηλοῦσιν οἱ παλαιοὶ φάμενοι, ὅτι προστιθέασιν οἱ Αἰολεῖς τὸ βῆτα τῷ ῥῶ, ἡνίκα ἡ ἐφεξῆς συλλαβὴ ἔχει ἢ τὸ κ , οἷον ῥάκος βράκος, ἢ τὸ δ , οἷον ῥόδον βρόδον, ἢ τὸ ζ , οἷον ῥίζα βρίζα, ἢ τὸ τ , οἷον ῥυτήρ βρυτήρ, ὁ χαλινός. οὕτως οὖν καὶ ῥοτός βροτός, ὁ ῥευστὸς ἄνθρωπος. ἔχει δ’ ἂν ἴσως ὅμοιον πλεονασμὸν τοῦ β καὶ ὁ αἱματηρὸς βρότος, ὅ ἐστι μολυσμός.] (v. 286) Τὸ δέ «οὔ σοι ἐκτελέουσιν ὑπόσχεσιν» ψεῦδος κατηγορεῖ τῶν Ἑλλήνων, ὅπερ οὐκ ἂν αὐτοὶ ἕλοιντο. Τὸ δέ «ὑπέσταν», ἤγουν ὑπέστησαν, ἀντὶ τοῦ ὑπέσχοντο, ὑπέμειναν. Ἡ δὲ λέξις μετήνεκται ἀπὸ τῶν κιόνων, οἷς βάρη ἐπίκεινται· ὡς γὰρ οὗτοι τοῖς ἐπικειμένοις ὑφίστανται, οὕτω καὶ ὁ ὑποσχόμενος βάρει τινὶ ἑαυτὸν ὑπέθετο. Ἰωνικὴ δὲ καὶ αὕτη λέξις κειμένη καὶ παρ’ ἄλλοις, ἐν οἷς καὶ Ἡρόδοτος, ὅς πού φησι· «τίς ἄν μοι ὑποστὰς τελέσειεν;

1.338 » εἰρήσεται δὲ περὶ τῆς τοιαύτης λέξεως καὶ μετ’ ὀλίγα, ὅπου περὶ ὑποσχέσεως. ῥῆμα δὲ ἁπλοῦν πρωτότυπον θέμα τοῦ ὑποστῆναι τὸ στέω, ἐξ οὗ, ὡς ἐν τοῖς ἑξῆς που φανήσεται, τὸ στεῦται ἀντὶ τοῦ ὑπισχνεῖται. ὅτι δὲ καὶ ταὐτὸν παρὰ τῷ ποιητῇ ὑπόσχεσις καὶ ὑποστῆναι, εἰρήσεται ὁμοίως καὶ αὐτό· [Ὑποδηλοῖ δὲ τοῦτο κἀνταῦθα ὁ ποιητὴς ἐν τῷ «ὑπόσχεσιν ἥν περ ὑπέσταν». πάντως γὰρ ταὐτὸν ἀκολούθως εἰπεῖν ὑπόσχεσιν ἣν ὑπέστησαν καὶ ὑπόσχεσιν ἣν ὑπέσχοντο.] (v. 287) Ἱππόβοτον δὲ Ἄργος τὴν Πελοπόννησον λέγει. Ἄργος μὲν ἀπὸ τοῦ πανόπτου Ἄργου, ὡς προγέγραπται· ἱππόβοτον δέ, διότι εὐφόρησέ ποτε ἵππων πολλῶν τε καὶ ἀγαθῶν, ὡς αἱ ἱστορίαι δηλοῦσι. [Πρὸς δὲ τὸ ἱππόβοτον σύγκειται καὶ ὁ βούβοτος λειμών.] κατ’ αὐτὰ δέ πως καὶ τὸ θερείβοτον συντέθειται, ὃ δηλοῖ τόπον κατὰ τοὺς παλαιοὺς ἔχοντα καὶ ἐν θέρει νομάς. γενικώτερον δὲ τὸ εὔβοτος. (v. 288) Τὸ δὲ ἀπονέεσθαι ταὐτόν ἐστι τῷ ἀπονοστῆσαι. ἀπὸ γὰρ τοῦ νέω τούτου ῥήματος ὁ νόστος γίνεται. οὕτω δὲ καιρία ἡ λέξις ὡς ἐν ποιήσει, ὥστε ἐν τῷ χωρίῳ τούτῳ τετράκις ὁ ποιητὴς αὐτῇ ἐχρήσατο θεὶς αὐτὴν ἀπαρεμφάτως ἐν τέλει στίχων, ὧν οἱ δύο καὶ κάλλος ποιοῦσι συνεχεῖς κείμενοι. φησὶ γάρ· «ἀλλήλοισιν ὀδύρονται οἶκόνδε νέεσθαι». «ἦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὴν καὶ πόνος ἐστὶν ἀνιηθέντα νέεσθαι». τούτου δὲ τοῦ στίχου ὁ νοῦς μετ’ ὀλίγα εἰρήσεται. (v. 289) Παισὶ δὲ καὶ χήραις ἀπεικάζει τοὺς Ἕλληνας ὀνειδίζων αὐτοὺς καὶ κωμῳδῶν διὰ μὲν τῶν γυναικῶν εἰς μικροψυχίαν, διὰ δὲ τῶν παίδων εἰς ἀφερεπονίαν καὶ εἰς μαλακότητα· γυναιξὶ μέν, ἐὰν οὕτω τῶν οἴκοι φροντίζωσι, καθὰ καί τινες οἰκουροὶ γυναῖκες· παισὶ δέ, ἐὰν κάμνειν οὐ βούλωνται· καὶ οὐχ’ ἁπλῶς παισίν, ἀλλὰ νεαροῖς, οἳ μικρόν τι τοῦ οἴκου ἀπολειφθέντες νόστου μέμνηνται· καὶ οὐδὲ γυναιξὶν ἁπλῶς, ἀλλὰ χήραις, αἵτινες κηδεμόνα τοῦ οἴκου μὴ ἔχουσαι τάχιον ἐπαναλύειν θέλουσιν, ἐπειδὰν βραχύ τι ἀποδημήσωσι. καὶ ἔστι τοῦτο οἷον παράφρασις τοῦ «Ἀχαιΐδες οὐκέτ’ Ἀχαιοί». δῆλον δὲ ὅτι σεμνότερον τοῦτο πάνυ ἐκείνου. ποῦ γὰρ ταὐτὸν γυναῖκας εἰπεῖν τοὺς ἥρωας Ἀχαιούς, ὃ δὴ Θερσίτης ἔσκωψε, καὶ κατὰ γυναῖκας χήρας δακρύειν αὐτούς, τὸ τοῦ Ὀδυσσέως ἀστέϊσμα. (v. 291) Ὅτι πικράνας τοὺς Ἕλληνας ὁ Ὀδυσσεὺς ὀνειδισμοῖς, ὡς προείρηται, ἀνίησιν ὕστερον τὴν ἐπιτίμησιν τῇ συγγνώμῃ καὶ ὑπεραπολογεῖται λέγων ἐπίπονον εἶναι τὸν τοσαετῆ πόλεμον, ὥστε εὐλόγως ἄν τινα ἀνιαθέντα καὶ ἀκηδιάσαντα ἐφίεσθαι τοῦ νόστου. [Ὅτι δὲ ἐκ τοῦ πένω, τοῦ σπουδαίως ἐνεργῶ, καθὰ ὁ πένης, οὕτω καὶ πόνος διχῶς, ἥ τε καματηρὰ ἐνέργεια καὶ ἡ ἁπλῶς, ὅθεν καὶ τὸ πονεῖσθαι καὶ γηπόνος καὶ γεωπείνης, οἱ περὶ γῆν πονούμενοι, πρόδηλόν ἐστι.

1.339 καὶ τοῦτο μὲν τοιοῦτον.] (v. 292—7) Ὀδυσσεὺς δὲ χρᾶται καὶ νοήματι κατασκευαστικῷ τούτου τοιούτῳ, λεγομένῳ πλαστῷ· «καὶ γάρ τίς θ’ ἕνα μῆνα μένων ἄπο ἧς ἀλόχου ἀσχαλάᾳ σὺν νηῒ πολυζύγῳ, ὅν περ ἄελλαι χειμέριαι εἰλέωσιν ὀρινομένη τε θάλασσα. ἡμῖν δ’ εἴνατός ἐστι περιτροπέων ἐνιαυτὸς ἐνθάδε μιμνόντεσσι. τῷ», ἤγουν διό, «οὐ νεμεσίζομαι Ἀχαιοὺς ἀσχαλάαν». ἔστι δὲ τὸ νόημα ἀπὸ χρόνου μέν, ὡς ἐπιχείρημα· ὡς δὲ ἐργασία, ἐκ τοῦ ὁμοίου καὶ τοῦ μικροτέρου· ἐκ τοῦ μικροτέρου μέν, κατὰ τὸν μῆνα· μικρότερον γάρ τι ὁ μὴν ὁ εἷς τῶν ἐννέα ἐνιαυτῶν· ἐκ τοῦ ὁμοίου δέ, κατὰ τὴν νῆα· σὺν ναυσὶ γὰρ καὶ οἱ Ἕλληνες μένουσιν ἐν τῇ Τροίᾳ. εἶτα πάλιν ἐπανατρέχων εἰς τὸ ἐξ ἀρχῆς καὶ κωλύων τὸν νόστον φησίν· (v. 297 s.) «ἀλλὰ καὶ ἔμπης αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι», οἱονεὶ λέγων ὅτι, εἴπερ ἔδει φυγεῖν, πρὸ τοῦ δεκάτου ἔτους ἔδει τοῦτο ποιῆσαι, ὡς νῦν γε αἴσχους περιποιητικὸν τοῦτο τοῖς Ἀχαιοῖς. (v. 293) Ναῦς δὲ πολύζυγος ἢ ἡ πολύεδρος, ἣν καὶ πολυκλήϊδα λέγει ἀλλαχοῦ, ὡς ζυγοῦ τῆς καθέδρας λεγομένου, ἢ ἡ πολύδεσμος, ὡς ζυγῶν λεγομένων τῶν μεγάλων ξύλων τῶν τοὺς τοίχους δεσμούντων καὶ συναγόντων δίκην ζυγοῦ· τῶν δ’ αὐτῶν καὶ κληΐδων λεγομένων, ὡς δίκην κλειδὸς τὰ ἑκατέρωθεν συνεχόντων, ὡς εἶναι οὕτω ταὐτὸν τὴν πολύζυγον νῆα καὶ τὴν πολυκλήϊδα. τὴν δὲ πολύζυγον νῆα ἐν ἄλλοις ἑκατόνζυγον λέγει καὶ χρησιμεύει ἡ λέξις εἰς τὴν ἑκατόμβην ἐν τῇ α′ ῥαψῳδίᾳ. τὸ μέντοι εὔζυγον ἅρματός ἐστιν ἐπίθετον. [Ἰστέον δὲ ὅτι, καθὰ ἐν τῷ ἑκατόνζυγος καὶ πολύζυγος μετελήφθη ὁ ὡρισμένος ἀριθμὸς εἰς ἀόριστον, οὕτω γίνεται καὶ ἐν τῷ τὸν ὀκτάποδα πολύπουν καλεῖν καὶ τὴν τρίαιναν «πολυγλώχινα σίδηρον».] (v. 294) Τὸ δέ «ἄελλαι εἰλέωσι» τρόπος ἐστὶν ἐτυμολογίας· παρὰ τὸ εἰλεῖν γὰρ ἐτυμολογεῖται ἡ ἄελλα. [Ὀρινομένη δὲ θάλασσα ἡ ταρασσομένη, ὥστε καὶ τὸ θυμὸς ὀρίνεται ἢ ἦτορ κύμανσίν τινα δηλοῖ ταραχώδη.] (v. 295) Τὸ δὲ εἴνατος ἀπὸ τοῦ ἔνατός ἐστι προσλήψει τοῦ ι , ἵνα μὴ ὁ ποὺς εἴη τρίβραχυς· καίτοι δυνατὸν ἦν καὶ ἄλλως ἐκτεῖναι τὴν ἄρχουσαν διπλώσαντα τὸ ἀμετάβολον. ἀλλ’ ἔοικε μὴ ποιῆσαι οὕτω, ἵνα μὴ δόξῃ τὸ ἔννατος φύσει ἔχειν τὰ δύο νῦ ὡς ἀπὸ τοῦ ἐννέα, ὅπερ οὐκ ἀρέσκειν δοκεῖ πολλοῖς τῶν παλαιῶν. ὡς γὰρ ἀπὸ τοῦ τέτταρα τέταρτος δι’ ἑνὸς ταῦ, οὕτω καὶ ἀπὸ τοῦ ἐννέα ἔνατος δι’ ἑνὸς νῦ. καὶ ὁ ποιητὴς οὖν παρακατιὼν ἐν τῷ «ἀτὰρ μήτηρ ἐνάτη ἦν» δι’ ἑνὸς νῦ γράφει αὐτό.

1.340 διό τινες καὶ ἀπὸ τοῦ νέατος κατὰ μετάθεσιν ἐτυμολογοῦσιν αὐτό· σχεδὸν γὰρ νέατός ἐστιν, ἤγουν ἔσχατος, ὁ ἔνατος ὡς οἷα παρὰ μονάδα δέκατος ὤν. ἐπεὶ τοίνυν ἀρέσκει τισὶ δι’ ἑνὸς ν ἐκφέρεσθαι τὸ ἔνατος, κἂν ἀπὸ τοῦ ἐννέα γίνεται, διὰ τοῦτο δεῆσαν μηκυνθῆναι τὴν ἄρχουσαν φύσει μακρὰν ἐποίησεν αὐτὴν δι’ ἐπενθέσεως τοῦ ι καὶ οὐκ ἐδίπλασε τὸ ν , ἵνα μὴ δοκοίη ἐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρωτοτυπίας ἔχειν τὴν ἔκτασιν. καὶ οὕτω μὲν ταῦτα κατά τινας. δύναται δὲ καὶ ἄλλως τὸ εἴνατος γενέσθαι ἀπὸ τοῦ ἐννέα ἔννατος τροπῇ τοῦ ν εἰς ι γλώσσῃ Σικελῶν, κατὰ τὸ ἐννεάνυχες εἰνάνυχες, περὶ οὗ ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. [Ἰστέον δὲ ὅτι, καθὰ τὸ τέτταρα καὶ τὸ ἐννέα κινηθέντα ἥπλωσε τὴν διπλόην τοῦ ταῦ καὶ τοῦ νῦ, οὕτω καὶ τὸ μᾶλλον ἐξέβαλε τὸ ἓν λάμβδα ἐν τῷ μάλιστα.] Ἐνιαυτὸς δὲ περιτροπέων ὁ ἤδη ταῖς τροπαῖς ταῖς κατ᾽ αὐτὸν συμπληρούμενος καί, ὡς εἰπεῖν, μέλλων τελειοῦσθαι. [Ὅρα δὲ ὡς τὸ μὲν ἁπλοῦν τρωπῶ μεγεθύνεται, τὸ δὲ περιτροπέω συστέλλει τὴν τρο συλλαβὴν ὡς σύνθετον, καθὰ καὶ τὸ παλιντροπάασθαι.] (v. 296) Τὸ δὲ μιμνόντεσσιν ὀνειδισμὸν ἔχει ἀργίας καὶ δηλοῖ τὸ ἀπράκτους καθῆσθαι· ἄλλως γὰρ ἠδύνατο εἰπεῖν μαρναμένοισιν, ὥς φασιν οἱ παλαιοί. [Ὅρα δὲ κἀνταῦθα ὡς πρὸς βίαν μέτρου στρέφει διαλέκτοις τὴν γλῶτταν ὁ ποιητής· ἀνωτέρω μὲν γὰρ ἕνα μῆνα μένων ἔφη κοινῶς, ἐνταῦθα δὲ μιμνόντεσσιν εἶπεν Ἰωνικῶς ἀντὶ τοῦ μένουσι.] Τὸ δὲ νεμεσίζομαι δηλοῖ μὲν τὸ δικαίως μέμφομαι· εὕρηται δὲ ἐν τοῖς ἑξῆς καὶ νεμεσῶμαι, ὥστε διφορεῖται καὶ αὐτό, καθὰ καὶ τὸ προκαλῶ, προκαλίζω, καὶ [ἕτερα μυρία, ἐν οἷς καὶ τὸ σέβω, σεβίζω.] (v. 298) Τὸ δέ «κενεόν τε νέεσθαι» πολλὰς ὑποβάλλει ἐννοίας. λέγει γὰρ ὅτι αἰσχρόν ἐστι κενόν τινα ὑποχωρῆσαι, ἤγουν μὴ πράξαντα τὸ τέλος, οὗ ἕνεκα ἦλθε, μηδὲ ἐκτετελεκότα, ὅπερ ὑπέσχετο, μηδὲ ἔχοντα λάφυρα, ἵνα ὁ μὲν φιλότιμος αἰσχρὸν ἡγήσηται ἄπρακτος ὑποχωρῆσαι, ὁ δὲ ἀληθὴς αἰδέσηται μὴ ἐκτελέσαι ὑπόσχεσιν ἥνπερ ὑπέστη, ὁ δὲ φιλοχρήματος καὶ φιλοκερδὴς αἰσχυνθείη λαφύρων δίχα ἐπανελθεῖν, ἅπερ εἰς δέλεαρ τῷ κερδαλέῳ ὑποβέβληται. Πλεονασμὸς δέ ἐστι τοῦ ε ἐν τῷ κενεός· ὡς γὰρ κουλός κουλεός, οὕτω κενός κενεός. καὶ τὸ ἀσχαλάᾳ δὲ πλεονασμὸν ἔχει τοῦ α , ὡς καὶ τὸ ὁράᾳ. δῆλον δὲ ὅτι ἐν τοῖς τοιούτοις καὶ τὸ ο ἔστιν οὗ πλεονάζει· εὕρηται γὰρ καὶ ὁρόων ὁ βλέπων καὶ ἀσχαλόων ὁ λυπούμενος.

1.341 καὶ εἴρηται περὶ τῶν τοιούτων ἐν τῇ α′ ῥαψῳδίᾳ. [Δῆλον δὲ ὅτι τε τοῦ ἀσχαλάαν προϋπάρχει ῥῆμα βαρύτονον τὸ ἀσχάλλειν, ὅ ἐστιν ἄχους ἅλις ἔχειν, καθὰ καὶ τοῦ μηνιᾶν τὸ μηνίειν καὶ τοῦ πιεζεῖν τὸ πιέζειν, καὶ ὅτι ἐκ τοῦ κενεός γίνεται ὁ κενεὼν καὶ ὅτι κατὰ τὸ κενός κενεός, οὕτω καὶ θός θεός καὶ ἕτερα πολλά.] (v. 299—332) Ὅτι μετὰ τὸν βασιλέα στρέφων, ὡς προείρηται, τοὺς λόγους εἰς τὸν δῆμον ὁ Ὀδυσσεὺς καὶ δυσωπῶν οἷον αὐτοὺς καὶ καταμαλάττων λόγοις ἐπὶ πλέον καὶ ἐλπίδα ὑποτείνων τοῦ ἁλώσεσθαι ἂν τὴν Τροίαν «τλῆτε φίλοι», φησί, «καὶ μείνατ᾽ ἐπὶ χρόνον, ὄφρα δαῶμεν, εἰ ἐτεὸν Κάλχας μαντεύεται, ἠὲ καὶ οὐκί». ποῖος Κάλχας; ὃν δηλαδὴ οὐκ ἔστι ψεύσασθαι. εἶτα ἀναμιμνήσκει καὶ ὅπως χθὲς καὶ πρωϊζά, ὅτε ἐς Αὐλίδα αἱ νῆες τῶν Ἀχαιῶν ἠγερέθοντο κακὰ Πριάμῳ καὶ Τρωσὶ φέρουσαι, «ἡμεῖς», φησίν, «ἀμφὶ περὶ κρήνην ἱεροὺς κατὰ βωμοὺς ἔρδομεν», ἤγουν ἐθύομεν, «τεληέσσας ἑκατόμβας καλῇ ὑπὸ πλατανίστῳ, ὅθεν», ἢ ὅθι, «ῥέεν ἀγλαὸν ὕδωρ. ἔνθ᾽ ἐφάνη μέγα σῆμα, δράκων ἐπὶ νῶτα δαφοινός, σμερδαλέος, ὅς βωμοῦ ὑπαΐξας πρός ῥα πλατάνιστον ὄρουσεν. ἔνθα δ᾽ ἔσαν στρουθοῖο νεοσσοί, νήπια τέκνα, ὄζῳ ἐπ᾽ ἀκροτάτῳ πετάλοις ὑποπεπτηῶτες ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα· ἔνθ᾽ ὅ γε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας· μήτηρ δ᾽ ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα· τὴν δ᾽ ἐλελιξάμενος πτερύγος λάβεν ἀμφιαχυῖαν. αὐτὰρ ἐπεὶ κατὰ τέκν᾽ ἔφαγε στρουθοῖο καὶ αὐτήν, τὸν μὲν ἀρίζηλον ἔθηκε θεός, ὅσπερ ἔφηνε. λᾶαν γάρ μιν ἔθηκε Κρόνου παῖς. ἡμεῖς δ᾽ ἑσταότες θαυμάζομεν, οἷα ἐτύχθη δεινὰ πέλωρα. Κάλχας δὲ θεοπροπέων ἀγόρευεν», ὅτι «ἡμῖν τόδ᾽ ἔφηνε τέρας μέγα θεός, ὄψιμον, ὀψιτέλεστον, ὅου κλέος οὔ ποτ᾽ ὀλεῖται. ὡς οὗτος κατὰ τέκν᾽ ἔφαγε στρουθοῖο καὶ αὐτήν, ὀκτώ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, [ἣ τέκε τέκνα,] ὣς ἡμεῖς τοσαῦτ᾽ ἔτεα πτολεμίξομεν αὖθι. τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν εὐρυάγυιαν». εἶτα ἐνθυμήσας ὅτι ἐκεῖνος μὲν οὕτως ἀγόρευε, τὰ δὴ νῦν πάντα τελεῖται, ἐπάγει ἐναντίως τῷ φεύγωμεν τὴν τοῦ λόγου ἀξίωσιν, ἥτις ἐστὶ τὸ «ἀλλ᾽ ἄγε, μίμνετε αὐτοῦ, εἰς ὅ κεν ἄστυ μέγα Πριάμοιο ἕλωμεν». [Καὶ συνετελέσθη τῷ ποιητῇ ἐν μὲν στίχοις πολλοῖς τὸ

ἀγορήσασθαι τὸν Ὀδυσσέα ἤγουν δημηγορῆσαι ἀφηγηματικῶς τὰ συντείνοντα εἰς ὅπερ ἔμελλεν ἀξιοῦν· ἐν δὲ δυσὶ καὶ μόνοις ἔπεσιν ἡ ἀξίωσις ἤγουν τὸ μετειπεῖν, ὡς καὶ προσεσημείωται καὶ πανταχοῦ δὲ φαίνεται κατὰ τὸν Πορφύριον. καὶ γίνεται ὡς ἐπὶ πολὺ οὕτως, ἤγουν πλατύνεται μὲν τὸ ἀγορήσασθαι, βραχυλογεῖται δὲ τὸ μετειπεῖν.

1.342 ] Καὶ ὅρα ὅπως ἐπιδεξίως ὁ ποιητὴς ἐνταῦθα τὴν τοῦ δράκοντος καὶ τῶν νεοσσῶν ἱστορίαν παρενέβαλεν, ἥτις ἐν ἀρχῇ μὲν τοῦ ἀπόπλου συμβέβηκεν, ἀξία δὲ οὖσα ἱστορηθῆναι παρέρριπται ἐνταυθοῖ. ἔφαμεν γὰρ ἤδη ὅτι, κἂν ἐκ τῆς Ἀχιλλέως μήνιδος ἤρξατο, ἀλλ' οὐδέν τι οὐδὲ τῶν πρὸ τούτου πραχθέντων ἄξιον λόγου παραλείψει, παρενσπερεῖ δὲ αὐτὰ εὐμεθόδως πολλαχοῦ τῆς ποιήσεως. (v. 299) Ἰστέον δὲ ὅτι τὸ «μείνατε ἐπὶ χρόνον» [ἐστὶ μὲν διασαφητικὸν τοῦ τλῆτε,] ἀμφιβόλως δὲ ὑπὸ τοῦ Ὀδυσσέως εἴρηται καὶ ἀορίστως. ἄδηλον γὰρ εἴτε τὸν πολὺν εἴτε τὸν ὀλίγον χρόνον ἐνταῦθά φησιν· ἀορισταίνει γὰρ ἡ λέξις τοῦ χρόνου. καὶ ἔοικε τοῦ βασιλέως νοῆσαί τι σοφώτερον. ὁ μὲν γὰρ τὸ «νῦν γάρ κεν ἕλοις πόλιν» ἐπὶ τῆς αὐτίκα σήμερον ἡμέρας ἐνόησεν. ὁ δὲ Ὀδυσσεὺς χρόνον ἐνταῦθα θεὶς τὸν ἀόριστον μέσως χωρεῖ. χρόνος γὰρ καὶ ἡ σήμερον ἡμέρα καὶ αἱ μετ' αὐτήν. ὅπερ οὖν ὁ ὄνειρος εἶπε, τοῦτο καὶ Ὀδυσσεύς. τὸ γὰρ νῦν ἑλεῖν τὴν Τροίαν καὶ τὸ μεῖναι χρόνον, ἕως ἄστυ Πριάμου ἕλωμεν, τὸ αὐτὸ βούλεται. [Τὸ δὲ δαῶμεν ταὐτὸν τῷ γνῶμεν, μάθωμεν, μετακλιθὲν ἐκ τοῦ ἐδάην πρὸς ὁμοιότητα τοῦ ἐτύφθην, τυφθῶμεν καὶ τῶν ὁμοίων.] (v. 300) Τοῦ δὲ Κάλχαντος αὐτοὺς ἀναμιμνήσκει ψυχαγωγῶν τε τῇ διοσημίᾳ καὶ ἀπὸ τοῦ ἔναγχος εὐδοκιμήσαντος εἰς τὰ κατὰ τὸν λοιμὸν καὶ πιστοῦ εἰς ἀλήθειαν τὸν ὄχλον παραμυθούμενος. [Τὸ δὲ μαντεύεται ἀντὶ παρῳχημένου κεῖται τοῦ ἐμαντεύετο, ὡς δηλοῖ μετ' ὀλίγα καὶ τὸ «θεοπροπέων ἀγόρευε» καὶ «κεῖνός θ' ὣς ἀγόρευε». Τὸ δέ «ἠὲ καὶ οὐκί» ταὐτόν ἐστι τῷ εἴτε καὶ μή.] (v. 303) Τὸ δέ «χθιζά τε καὶ πρωϊζά» ἀντὶ τοῦ χθὲς καὶ πρωΐ καί, ὡς εἰπεῖν, ἔναγχος. συντέμνει δέ, φασί, τοὺς τοσούτους χρόνους εἰς βραχὺ κομιδῇ, ὅπως τὸν προσδοκώμενον μηδὲν εἶναι νομίσωσι, καὶ ἅμα ἐξευτελίζων τὸ καύχημα τῶν Ἑλλήνων, ὡς εἰς μάτην τοὺς τοσούτους χρόνους ἀνυσάντων. Φθάσας μέντοι ἔφη καὶ αὐτὸ τὸ ἀληθές, τὸ πολὺν δηλαδὴ χρόνον ἐνταῦθα πολεμῆσαι αὐτούς, ἐν τῷ «αἰσχρόν τοι δηρόν τε μένειν», ὅπερ καὶ ὁ Νέστωρ ἐρεῖ ἐν τῷ «πολὺν χρόνον ἐνθάδ' ἐόντες». καὶ ἄλλως δέ, ἐν μὲν τῷ ὀνειδισμῷ δηρὸν μένειν αὐτοὺς εἶπεν, ἐν δὲ τῇ παραμυθίᾳ χθιζὰ καὶ πρωϊζὰ φανῆναι τὸ σημεῖόν φησιν ἐπιτέμνων παραμυθητικῶς τὸν καιρόν. [Ἰστέον δὲ ὅτι τε ταὐτὸν τὸ Ὁμηρικῶς χθιζὰ καὶ πρωϊζὰ καὶ ἑνικῶς εἰπεῖν χθιζὸν καὶ πρωϊζόν· καὶ ὅτι καὶ πρῳζὸν δισυλλάβως οἴδασιν οἱ παλαιοὶ ἐν προσγραφῇ τοῦ ι κατὰ συναίρεσιν καὶ ὅτι ἐκ τοῦ πρωΐ παρῆκται καὶ ἡ παρὰ Σελεύκῳ ἱστορουμένη πρῳτερικὴ συκῆ, ἣ φέρει πρώϊον καρπόν· καὶ ὅτι χθιζὸν κατὰ τοὺς παλαιοὺς τὸ χθεσινὸν καὶ τὸ ὑπόγυον.] Ἡ δὲ Αὐλὶς τόπος ἐστὶν ἐκ πλαγίου τῆς Εὐβοίας συνάπτων τῷ Ἑλικῶνι ὄρει, οὕτω λεγόμενος παρὰ τὸ αὐτόθι συναχθείσας ἁλισθῆναι ἢ αὐλισθῆναι πρὸ τοῦ εἰς Τροίαν ἀπόπλου τὰς νῆας τῶν Ἀχαιῶν.

1.343 [(v. 304) Τὸ δέ «κακὰ φέρουσαι» ἀλλοῖόν ἐστι πρὸς τὰς τοῦ Πάριδος νῆας. αὗται μὲν γάρ, ὡς οἷον εἰπεῖν, φερέκακοι· ἐκεῖναι δὲ ἀληθῶς ἀρχέκακοι κατὰ τὸν ποιητήν.] (v. 305) Ἐν δὲ τῷ «ἀμφὶ περὶ κρήνην» αἱ δύο προθέσεις τὴν περὶ τὸν αὐτὸν τόπον συναγωγὴν ὁμοῦ δηλοῦσι παντὸς τοῦ στρατοῦ. [Οἱ δὲ ἱεροὶ βωμοὶ πρὸς διαστολὴν εἴρηνται ἑτεροίων, ὁποῖοι καὶ οἱ τῆς ἁρματοθεσίας καὶ οἱ ἐν Ὀδυσσείᾳ φωτοφανεῖς.] (v. 306) Τοῦ δὲ ἔρδειν προϋπάρχει τὸ ῥέζειν· «ἄλλος δ' ἄλλῳ ἔρεζεν», ἐξ οὗ μεταθέσει καὶ τροπῇ συνήθει τοῦ ζ εἰς δ τὸ ἔρδειν γίνεται. Δωριεῖς δὲ ῥέδδειν τὸ τοιοῦτόν φασιν. (v. 307) Τὴν δὲ πλάτανον, ἤτοι κατὰ παραγωγὴν πλατάνιστον, καλὴν λέγει, ὡς ἂν εἴπῃ τις εὐειδῆ. τοιοῦτον γὰρ τὸ φυτόν, ἄκαρπον μέν, καλὸν δὲ τοῖς σκιατραφουμένοις. διὸ καὶ τὸν Ξέρξην πλάτανος ἔσχεν ἐραστήν, ἣν καὶ κοσμήσας νυμφικῶς ἐνηγλαΐζετο, ὑπὸ ταύτῃ σκιατραφούμενος ὅτε ἦγεν ἐκεχειρίαν, ὅσγε καὶ ἀντίμιμον πλάτανον τῆς ἐρωμένης πλατάνου ἐχρυσοχόησεν, ἵνα συνοδεύουσαν ἔχων ἀναπολῇ τὴν

φιλτάτην ἐκείνην, καὶ ὅτε μὴ τὸ στερέμνιον ἔχει, ἀρκοῖτο βλέπων σκιάν. Χαίρει δὲ ὕδασι τὸ φυτὸν καί, ὥς φασιν οἱ παλαιοί, διυδατίζεσθαι θέλει. [διὸ καὶ μεγεθυνομένη διὰ τὸ πλατὺ καὶ ἀνώφορον αὐτῆς πλάτανος λέγεται.] Ἔστι δὲ καὶ ἐπιτηδεία πρὸς γένεσιν στρουθῶν· ἃ δὴ καὶ ὁ ποιητὴς εἰδώς, ὅπου τε ἀγλαὸν ὕδωρ ἔρρεε, φυτεύει αὐτὴν καὶ στρουθοὺς αὐτῇ τοὺς αὐτῷ χρησίμους ἐννεοττεύειν ποιεῖ. [(v. 308) Τοῦ δὲ ἐφάνη οὐκ ἔστι καιριωτέραν λέξιν εὑρέσθαι· κεκρυμμένος γὰρ ὁ δράκων ὑπὸ τῷ βωμῷ, εἶτα ἐκεῖθεν ἀΐξας καὶ εἰς τὴν πλάτανον ὀρούσας ἐξεφαάνθη. Δῆλον δὲ ὡς ὁ ῥηθεὶς βωμὸς αἴθριος ἦν αὐτὸς καθ’ αὑτὸν καὶ οὐκ ἔσω ναοῦ, ὁποίους πολλοὺς ἐσχεδίαζον τοῖς παροδεύουσιν οἱ παλαιοί. Τὸ δὲ μέγα σῆμα προϊὼν δεινὰ πέλωρα λέγει θεῶν πληθύνας τὸ πρᾶγμα σεμνότερον. Τοῦ δὲ ῥηθέντος «ἐφάνη» διασαφητικὰ καὶ τὸ «ὃν αὐτὸς Ὀλύμπιος ἧκε φόωσδε» καὶ τὸ «ἡμῖν τόδ’ ἔφηνε τέρας Ζεύς».] (v. 308—20) Τὰ δὲ κατὰ τὸν δράκοντα καὶ τοὺς στρουθοὺς καὶ τὴν πλάτανον ὁ μὲν ποιητὴς οὐκ ἰσχνολογεῖ. ἔθος γὰρ αὐτῷ ἐν ταῖς τῶν σημείων λύσεσι τὰ καιριώτερα μόνα ἐπιλέγεσθαι, τὰ δὲ πολλὰ παρεᾶν, ὥσπερ δὴ καὶ ἐνταῦθα ἓν σχεδὸν μόνον σημειοῦται ὁ Κάλχας διὰ τοῦ φανέντος, τὸ ὄψιμον τοῦ πολέμου ἤγουν τὸ μετὰ ἐννέα ἔτη τὰ δαπανηθέντα τῷ δράκοντι, ὅ ἐστι τὰ παροιχόμενα τοῖς Ἕλλησι, τὴν Τροίαν ἁλῶναι, τοῦ λοιποῦ δὲ ἀπρακτῆσαι καὶ ἀκινητίσαι τοὺς Ἕλληνας, ὡς καὶ ὁ δράκων ἤργησε τὰ ἐννέα τέκνα φαγών.

1.344 Κατὰ δὲ τοὺς παλαιοὺς ὁ δράκων, οὗπερ ἐνταῦθα μέμνηται ὁ ποιητής, ἔτι δὲ καὶ ἡ στρουθὸς καὶ οἱ νεοσσοὶ ταύτης καὶ ἡ τούτων ἀπώλεια καὶ ἡ τοῦ δράκοντος ἀπολίθωσις τοιαύτην τινὰ ἔχουσι διάθεσιν. ὁ μὲν δράκων Ἀθηνᾶς, φασίν, ἱερός, ὡς ἐν τῇ ἄλφα ῥαψῳδίᾳ εἴρηται. διὸ καὶ εἰς τοὺς Ἕλληνας ἐκλαμβάνεται, οἷς ἐπίκουρός ἐστιν ἡ Ἀθηνᾶ. ὅθεν καὶ ὁ Ζεὺς αὐτὸν εἰς φῶς προάγει σύμβολον ὁ ξένιος, εἰς ὃν ὁ Πάρις ἠδίκησεν ἐξ Ἑλλάδος ἁρπάσας τὴν Ἑλένην. καὶ ὁ Κάλχας δέ φησιν· «ὡς ὁ δράκων ἐποίησε τάδε, οὕτω καὶ ἡμεῖς πολεμήσομεν», ὡς εἶναι τὸν δράκοντα ὅπερ οἱ Ἕλληνες. Νοεῖται δὲ καὶ ἄλλως χρησμῳδικῶς ὁ τοιοῦτος δράκων εἰς αὐτὸν τὸν πλοῦν τὸν Ἑλληνικόν· ἕρπουσι γάρ, ὥσπερ ὁ δράκων, οὕτω δὲ καὶ αἱ νῆες. Ἡ δὲ στρουθὸς ἀνάκειται μὲν τῇ Ἀφροδίτῃ διὰ τὸ πολύγονον, [ἔτι δὲ καὶ θερμὸν εἰς μίξιν· ᾧ δὴ λόγῳ καὶ ἡ περιστερὰ οἰκειοῦται τῇ τοῦ μύθου Ἀφροδίτῃ.] Τίθεται δὲ εἰς τοὺς Τρῶας, οἷς ἡ Ἀφροδίτη ἐπεκούρει, μᾶλλον μὲν οὖν εἰς αὐτὴν τὴν Τροίαν, ὥσπερ καὶ οἱ στρουθοὶ αὐτῆς εἰς τὰς περιοικίδας πόλεις. μάλιστα δὲ χρόνου δηλωτικοὶ νοοῦνται αὐτοί τε οἱ ὀκτὼ νεοσσοὶ καὶ ἡ μήτηρ ἐνάτη οὖσα. πτηνὸν γὰρ ὁ χρόνος καὶ διὰ τοῦτο καὶ τὰ πτηνὰ εἰς σημεῖον χρόνου λαμβάνονται. ἐνιαυτοῦ δὲ σύμβολά εἰσι καὶ οὐκ ἀλλοίου τινός, εὐλόγως ὡς ἐπ’ ἀκροτάτῳ ὄζῳ ὄντες. εἰ μὲν γὰρ πρὸς τῇ ἀρχῇ τοῦ ὄζου ἦσαν, τυχὸν ἂν ἡμέρας ἐδήλουν· εἰ δὲ πρὸς τῷ μέσῳ, μῆνας· πρὸς δὲ ἀκροτάτῳ ὄζῳ ὄντες ἐνιαυτῶν εἰσι δηλωτικοί, τοῦ μείζονος μέτρου. Φασὶ γὰρ οἱ παλαιοί, ὅτι τρεῖς εἰσι χρόνοι, δι’ ὧν ὁ πᾶς αἰὼν ἀριθμεῖται· ἡμέρα, μήν, ἐνιαυτός. ὧν ἡμέρα μὲν οὐρανοῦ ἐστιν ἀποκατάστασις, ὁ δὲ μὴν σελήνης, ὁ δὲ ἐνιαυτὸς ἡλίου. εἰ μὲν οὖν ἦσαν οἱ νεοσσοὶ ἐν ἀρχῇ τοῦ στελέχους, ἡμέρας ἂν ἐσημειώσατο ὁ μάντις· εἰ δὲ ἐν μέσῳ, μῆνας ἂν εἶπεν. ἐπεὶ δὲ πρὸς τῷ τέλει, ἐνιαυτοὺς λέγει, τὸ τρίτον καὶ μεῖζον καὶ τέλειον. καὶ αὐτὴν δὲ τὴν φωλεὰν ἐν ὑψηλῷ κειμένην σύμβολον εἶναι τῆς Τροίας φασίν, ἣν διὰ τὸ ἐφ’ ὕψους ἱδρῦσθαι ἠνεμόεσσαν καλεῖ ὁ ποιητής.

1.345 καὶ τὸ τοὺς στρουθοὺς δὲ πετάλοις ὑποκεῖσθαι ἐπ’ ἀκροτάτῳ ὄζῳ τὸ βραχύβιον καὶ ὀλιγοχρόνιον τῶν Τρώων δηλοῖ. ὡς γὰρ ὁ ὑπὸ τοῖς τοιούτοις φύλλοις φωλεὸς οὐκ ἐπὶ πολὺ ἐξαρκέσει, ἀλλὰ συγκαταπεσεῖται τοῖς πετάλοις, οὕτω καὶ ἡ Τροία μετ’ οὐ πολὺ κατενεχθήσεται, μετὰ τοὺς ἐννέα δηλαδὴ χρόνους, ὧν εἰσιν, ὡς ἐρρέθη, δηλωτικοὶ οἱ ὀκτὼ νεοσσοὶ σὺν τῇ μητρί. ὁ τοίνυν δράκων ὁ τοῖς Ἕλλησιν οἰκειούμενος διὰ τῆς πλατανίστου ἀνελθὼν τήν τε στρουθὸν καὶ τὰ τέκνα κατέφαγεν, ὅπερ ἐδήλου, ὅτι οἱ Ἀχαιοὶ τῆς τε ἠνεμοέσσης Τροίας καὶ τῶν περὶ αὐτήν, ὧν αὐτὴ μήτηρ οἷά τις ἦν, διὰ ἐνναετοῦς χρόνου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιγενήσονται. τὰ γὰρ πτηνά, ὡς ἐρρέθη, οὐ μόνον ἐνιαυτῶν, ἀλλὰ καὶ πόλεων καὶ περιοίκων εἰσὶ δηλωτικά, καθὰ δηλοῖ τὸ κατεσθίεσθαι αὐτὰ καὶ τὸ ἐλεεινὰ τετριγέναι καὶ τὸ τὴν μητέρα ἀμφιπέτεσθαι ὀδυρομένην καὶ τὸ τὸν δράκοντα ἐλελιξάμενον, ἤτοι στραφέντα, λαβέσθαι αὐτῆς. οὐ γὰρ ἐκ τοῦ εὐθέος, φασίν, ἑάλω ἡ Τροία νόμῳ πολέμου, ἀλλ' ἐμπρήσαντες ἐν ὑστέρῳ τὰς νῆας οἱ Ἕλληνες καὶ πλασάμενοι ἀναχώρησιν, εἶτα δὴ ἐξ ἀναστροφῆς καταχθέντες νυκτὸς εἶλον τὴν Τροίαν. καὶ τούτου σημεῖον ἦν τὸ τὸν δράκοντα ἐλελιχθέντα λαβέσθαι τοῦ στρουθοῦ, ἤτοι τῆς Τροίας, ἥτις οἷα μήτηρ νεοσσῶν πολλῶν ἄλλων πόλεων προεαλωκυιῶν αὐτὴ ἔτι περιῆν. Σῆμα δὲ καὶ τέρας λέγει τὸ κατὰ τὸν δράκοντα, τὸ μὲν ὡς μὴ πάνυ παράδοξον, τὸ δὲ ὡς παρὰ φύσιν. τὸ μὲν γὰρ βωμοῦ ὑπαΐξαι καὶ πάντων βλεπόντων ἀνερπύσαι εἰς τὴν πλατάνιστον καὶ ποιῆσαι, ἃ πεποίηκε, ταῦτα σῆμα ἤτοι σημεῖον ἦν. τὸ δὲ κατελθόντα ὕστερον ἀπολιθωθῆναι, τοῦτο ἦν τεράστιον. οὕτω δέ, φασί, καὶ τὸ μὲν ἐπ' ἀκροτάτῳ ὄζῳ ὑπὸ τοῖς φύλλοις εἶναι τὴν νεοττιὰν σημεῖον ἦν ὡς παρὰ τὸ σύνηθες γεγονός, τέρας δὲ τὸ ὀκτὼ τετοκέναι. ἑπτὰ γάρ φασι τίκτειν τὴν στρουθόν, ὧν τὸ ἓν οὔριον εἶναι. Ἔστι δὲ κατὰ τοὺς παλαιοὺς σημεῖον μὲν τὸ παρὰ τόπον ἢ παρὰ τὸ ὡς ἐπὶ πολὺ γινόμενον, οἷον τὸ σιμβλοποιήσασθαι μελίσσας ἐν οἴκῳ ἢ ἐν χείλεσι βρέφους, οἷον Πινδάρου, ἢ πτηνοὺς μύρμηκας ἐν οἰκίᾳ γενέσθαι ἢ νεοττεῦσαι χελιδόνα πρὸς τῇ κλίνῃ ἢ ἀστράψαι ἢ βροντῆσαι τοιῶσδε οἷον παρὰ καιρόν. ταῦτα γὰρ σπάνια καὶ οὐ συνήθη. τέρας δὲ τὸ παντελῶς παρὰ φύσιν, ὁποία καὶ ἡ τοῦ δράκοντος ἀπολίθωσις, ἥτις ἐδήλου τὸ δυσδιεξόδευτον τοῦ ἀγῶνος καὶ οὐ ταχὺ τελεσθησόμενον, ἀλλὰ κατὰ τὸν λόγον τοῦ Κάλχαντος ὀψιτέλεστον, ἢ καὶ τὴν τοῦ πολέμου σκληρότητα ἢ τὴν μετὰ ταῦτα ἀπραξίαν καὶ ἀργίαν τοῦ ἐκ Τρώων πολέμου εἰς ἄμυναν· ἀβοήθητοι γὰρ μεμενήκασιν οἱ Τρῶες καὶ οὐδεμία τις αὐτοῖς, ἐφ' οἷς ἔπαθον, γέγονεν ἄμυνα· ἢ καὶ τὸ ἔνδοξον καὶ ἀειφανὲς τοῦ πολέμου ἐσήμαινε καὶ τὸ τῆς εὐκλείας ἀμετακίνητον καὶ μόνιμον καὶ πρόοπτον—διὸ καὶ ὁ Κάλχας ἔφη· «οὗ κλέος οὔ ποτε ὀλεῖται»—ἢ τὴν ἁπλῶς μετὰ ἐννέα ἔτη ἅλωσιν τῆς Ἰλίου καὶ ἡσυχίαν καὶ κατάπαυσιν τοῦ πολέμου· ἐννέα γάρ, φησίν, ἔτη πολεμήσομεν, τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν· ἢ καὶ ὅτι ἀκερδὲς τοῖς Ἕλλησι τὸ τοῦ πολέμου τέλος ἔσται· αὐτοὶ γὰρ ἦσαν ὁ δράκων· δηλοῦσι γὰρ αἱ ἱστορίαι παντελῶς ἀκερδὲς γενέσθαι τὸ τοῦ πολέμου πέρας τοῖς Ἕλλησιν, ὅθεν καὶ διὰ τὸ πένεσθαι εἰς ληστείαν αὐτοὺς τραπῆναι κατὰ τὴν ἐπάνοδον καὶ πλανᾶσθαι ἄλλους ἀλλαχοῦ πειρατεύοντας καὶ πολλαχοῦ διασπαρῆναι καὶ καταμεῖναι μέχρι τέλους, πολλοὺς δὲ καὶ ἀπολέσθαι.

1.346 ἔοικε δὲ καὶ δράκοντα, ὡς εἰκός, τηνικαῦτα ἐκ λίθου ὑπὸ τῶν Ἑλλήνων γλυφῆναι ἢ τῶν μετ' αὐτοὺς εἰς μνήμην τοῦ τότε συμβεβηκότος καὶ ἐκκεῖσθαι πᾶσιν εἰς θέαν καὶ λόγον περιφέρεσθαι τοῦτον ἐκεῖνον εἶναι τὸν καταφαγόντα ποτὲ τοὺς στρουθοὺς καὶ τὴν μητέρα, οὗ δὴ καὶ τὸν Κάλχαντα πεποίηκε μεμνημένον ἐνταῦθα ὁ ποιητὴς οἷα τῇ παραδόσει τοῦ μύθου ἀκολουθῶν. [Καινὸν δὲ οὐδὲν καὶ τοιοῦτον ἀνατεθεῖσθαι λίθον ἐν τοῖς ἐκεῖ· Ἐπεί τοι καὶ Παλαμήδους ἐπινοησαμένου κυβείαν καὶ πεττείαν ἐν Ἰλίῳ εἰς παραμύθιον λιμοῦ κατασχόντος τὴν στρατιὰν λίθος ἐκεῖ ἐδείκνυτο, καθὰ Πολέμων ἱστορεῖ, ἐφ' οὗ ἐπέσσευον. τῆς δὲ τοιαύτης ἐπινοίας τοῦ Παλαμήδους καὶ τῆς εὑρέσεως δὲ τοῦ χρόνου, ἣν καὶ αὐτὴν ἐκεῖνος ἐσοφίσατο, μάρτυρα παράγουσι Σοφοκλῆν, ὃς ἐν δράματι ὁμωνύμῳ τῷ εὑρετῇ Παλαμήδῃ φησίν· «οὐ λιμὸν οὗτος τόνδ' ἀπῶσε, σὺν θεῷ εἰπεῖν, χρόνου τε διατριβὰς σοφωτάτας ἐφεῦρε φλοίσβου μετὰ κοπὴν καθημένοις, πεσσοὺς κύβους τε τερπνὸν ἀργίας ἄκος;» ἐμαρτύρουν δὲ καὶ Ἀργεῖοι, παρ' οἷς ἦν, φασίν, ὁ λεγόμενος Παλαμήδους πεσσός. Ὅτι δὲ τὴν αὐτῶν εὕρεσιν Αἰγυπτίοις ἀνατιθέασιν ἕτεροι καὶ ὅτι οὐ παικτικὴ ἀλλὰ φιλόσοφος ἡ Αἰγυπτιακὴ πεττεία λέγεται, ἐν ἄλλοις δηλοῦται. καὶ οὕτω μὲν εἰρημένα ἔστω οὐκ ἀλυσιτελῶς καὶ ταῦτα.] Σημείωσαι δὲ ὅτι οὐδεμίαν πρέπουσαν τῷ πράγματι λέξιν ἀφῆκεν ὁ ποιητής. σῆμά τε γὰρ εἶπε τὸ κατὰ τὸν δράκοντα, οἷον· «ἔνθα ἐφάνη μέγα σῆμα, δράκων ἐπὶ νῶτα δαφοινός, σμερδαλέος». μετὰ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς στρουθοὺς καὶ τὴν ἀπολίθωσιν τὸ αὐτὸ καὶ δεινὰ πέλωρα εἶπε καὶ τέρας δὲ ὕστερον ἐπωνόμασεν ἐν τῷ «ἡμῖν τόδ’ ἔφηνε τέρας». Ὅρα δὲ καὶ ὅτι οὐκ ᾐδέσθη ὁ ποιητὴς τρὶς ἐνταῦθα τὸ ἔνθα εἰπεῖν· «ἔνθα ἐφάνη δράκων» καὶ μετὰ δύο στίχους «ἔνθα ἦσαν στρουθοῖο νεοσσοί». καὶ αὖ μεθ’ ἑτέρους δύο «ἔνθ’ ὅ γε τοὺς κατήσθιε». Τὸ δέ «ἐφάνη» κυριωτάτη λέξις· ὑπὸ γὰρ τῷ βωμῷ, καθὰ ἐρρέθη, κρυπτόμενος εἰς φῶς ἐπέμφθη, ὃ ταὐτόν ἐστι τῷ ἐφάνη.

1.347 διὸ καὶ παρακατιὼν λέγει· «θεός, ὅς περ ἔφηνε» καὶ «ἡμῖν τόδ’ ἔφηνε τέρας» ἐπιμένων τῇ λέξει διὰ τὸ καίριον, ὡς καὶ τῷ ἔθηκεν, ἔνθα φησίν· «ἀρίζηλον ἔθηκε θεός» καὶ «λᾶαν γάρ μιν ἔθηκε». Δαφοινὸς δὲ νῶτα ὁ μέλας παρὰ τὸ δα ἐπιτατικὸν καὶ τὸν φόνον, ὃ δηλοῖ τὸ αἷμα· μέλαν δὲ τὸ αἷμα. (v. 309) Σμερδαλέος δὲ νῦν μὲν ἐπὶ δράκοντος καὶ δηλοῖ τὸν τῇ ὄψει καταπληκτικὸν ἀπὸ τοῦ μέρδω τὸ βλέπω, καθά φασιν οἱ παλαιοί, ὅτι γε καὶ ὁ δράκων αὐτὸς ὁμοίως ἀπὸ τοῦ δέρκω λέγεται. λέγεται δέ ποτε καὶ ἐπὶ τοῦ ἁπλῶς καταπληκτικοῦ ἡ λέξις, οἷον ὅτε εἴπῃ· «σμερδαλέον κονάβησαν» καὶ «σμερδαλέον δ’ ἐβόησε». τὸ δὲ σμερδαλέον καὶ σμερδνόν λέγεται· καθίσταται δὲ ἡ λέξις οὕτω. μερίζω καὶ συγκοπὲν μέρζω καὶ Δορικῶς μέρδω, τὸ πανταχοῦ μερίζω καὶ διαπεταννύω τὴν ὄψιν, καὶ μετὰ τοῦ ζα ἐπιτατικοῦ κατὰ συγκοπὴν ζμέρδω κατὰ τοὺς παλαιοὺς γραμματικούς, ἐφ’ ὧν καὶ τὸ Ζμύρνα καὶ τὸ ζμικρός διὰ τοῦ ζ κατήρχετο καταργηθέντος παρὰ τῶν ὕστερον, ὡς καὶ προγέγραπται, τῇ ἀντιθέσει τοῦ ς . σμέρδω τοίνυν καὶ ἐξ αὐτοῦ τὸ σμερδνόν καὶ τὸ σμερδαλέον. (v. 311) Ἡ δὲ στρουθὸς εἶδος μικροῦ ὀρνέου ἀνειμένου τῇ Ἀφροδίτῃ διά τε τὸ ὡς ἐν μεγέθει οὐ μεγάλῳ πολύγονον, ὡς ἐρρέθη, καὶ διὰ τὸ χαίρειν τῇ μίξει, ὅθεν καὶ στρουθὸς λέγεται παρὰ τὸ μετὰ οἴστρου θέειν. διὸ καὶ ὀξύνεται ἡ λέξις κατὰ κανόνα τοιοῦτον. Τὰ εἰς θος δισύλλαβα φύσει μακρᾷ παραληγόμενα, ἔχοντα τὸ θέειν ἐγκείμενον, ὀξύνονται, οἷον βοηθός, ἀγαθός· οὕτω καὶ στρουθός. τὰ δὲ μὴ τοιαῦτα βαρύνονται, Ξοῦθος κύριον, Ζῆθος, μῦθος. Ἀφ’ ὧν δὲ Ἀριστοτέλης ἐν τῷ Περὶ ζῴων ἱστορίας διαζωγραφεῖ τὴν στρουθόν, ἔοικεν εἶναι αὕτη ὁ λεγόμενος ἰδιωτικώτερον τρωγλίτης. ἰστέον δὲ ὅτι ἡ μὲν τοιαύτη στρουθὸς εἰδικῶς οὕτω λέγεται, ἔστι δὲ ἄλλως καὶ γενικὴ λέξις. Αἴλιος γοῦν Διονύσιος ὁ Ἁλικαρνασσεύς, ἐν οἷς γράφει πρὸς Σκύμνον, φησίν· «ἄγριαι στρουθοὶ αἱ στρουθοκάμηλοι». δῆλον δὲ ὅτι καὶ Λιβυκαὶ στρουθοὶ αἱ αὐταὶ λέγονται. [ὅτι δὲ ἀπὸ τῆς στρουθοῦ καὶ στρουθίζειν τὸ εὐτελῶς πως ᾄδειν, δηλοῖ καὶ ὁ Κωμικός.] Τὸ δὲ νεοσσοί τὰ νεογνὰ δηλοῖ, [ὡς ἀπὸ τοῦ νέον ἤγουν νεωστὶ ὄσσεσθαι, ὅ ἐστι βλέπειν ἢ βλέπεσθαι.], ἢ παρὰ τὸ νέον σεύεσθαι ἤτοι κινεῖσθαι τραπέντος τοῦ νῦ εἰς σίγμα, ὡς καὶ ἐν τῷ σύσσιτος καὶ ἐν τῷ πασσυδίῃ καὶ σύσσωμος καὶ τοῖς ὁμοίοις.

1.348 διὸ καὶ ἑρμηνεύων ἐπήγαγε «νήπια τέκνα». ἰστέον δὲ ὅτι Αἴλιος Διονύσιος ὁμωνυμίαν εἰσάγει τοῦ νεοσσοῦ, ἔνθα φησίν, ὅτι νεοττὸς λέκιθος ᾠοῦ. [ὡς δὲ καὶ συγκόπτει τὸ οἰκεῖον ε ἡ τοιαύτη λέξις κατὰ τὸ νεηγάτεον, νηγάτεον, δηλοῦσιν αἱ παρὰ τῷ Ἀθηναίῳ νοσσάδες ὄρνις. (v. 312) Τὰ δὲ πέταλα, ὅ ἐστι τὰ ἀναπεπταμένα καὶ πλατέα φύλλα, ὅτι καὶ πέτηλα λέγεται, δῆλόν ἐστιν. οἱ γοῦν περὶ Λυκίαν πετήλια μέχρι καὶ ἔσαρτι καιροῦ τὰ τοιαῦτά φασιν. ἐκ δὲ τῶν Ὁμηρικῶν πετάλων καὶ ποτήρια ἐκπέταλα τὰ πλατέα, ὁποῖα τὰ ἰδιωτικῶς λεγόμενα πατέλλια, ἐξ ὧν ὁ καλὸς Ἀλκίφρων τὸν Πατελλοχάρωνα συνέθετο.] Τὸ δέ «πετάλοις ὑποπεπτηῶτες» ἢ τοὺς ὑποπεπτωκότας δηλοῖ ἀποβολῇ τοῦ κ καὶ τροπῇ τοῦ ω εἰς η , ἢ τοὺς ὑποπετομένους ἐκ τοῦ πτῶ πτήσω· ἐφύλαξε δὲ τὸ ω τῆς εὐθείας. Ἰστέον γὰρ ὅτι αἱ εἰς ως μετοχαὶ τὰ πολλὰ μὲν τρέπουσι τὸ ω τῆς εὐθείας ἐν τῇ γενικῇ, πολλάκις δὲ φυλάσσουσι τὸ ω καὶ ἐν ταῖς πλαγίαις καθ’ ὁμοιότητα τῶν εἰς ως ὀξυτόνων ὀνομάτων, ὅσα διὰ τοῦ τ κλίνονται. οὕτω καὶ κατωτέρω τὸ τετριγῶτας ἐκτείνει τὴν παραλήγουσαν ἐν τῷ «κατήσθιε τετριγῶτας». ὁμοίως καὶ τὸ «ἀλεξέμεναι μεμαῶτας» καὶ ἄλλα πολλά. [Φαίνεται δὲ ἐκ τοῦ πεπτηώς πεπτηῶτος συγκοπῆναι τὸ πεπτώς πεπτῶτος· οἷον «πεπτῶτ’ ἀδελφόν» παρὰ Σοφοκλεῖ· εἰ μὴ ἄρα ἐκ τοῦ πεπτωκότα συγκέκοπται κατὰ τὸ «βεβρῶτες», ἤγουν βεβρωκότες, «αἵματος λίπος». (v. 313) Τὸ δέ «ἢ τέκε

τέκνα» εἰς οὐδὲν μὲν ἀναγκαῖον, ἀλλὰ κατὰ τὸ παρέλκον ἐρρέθη. ἔστι δὲ καὶ τρόπου ἐτυμολογικοῦ—ἐκ τοῦ τεκεῖν γὰρ τὸ τέκνον—καὶ Ἀττικὸν δέ.] (v. 314) Τὸ δὲ κατήσθιε τὸν μετὰ σφοδρότητος ὁλοτελῆ δηλοῖ ἀφανισμὸν τῶν νεοττῶν καὶ διαφέρει τοῦ ἁπλῶς ἐσθίειν, ὡς καὶ τὸ καταφαγεῖν τοῦ ἁπλῶς φαγεῖν. καιρίως δὲ καὶ αὕτη ἔχει ἡ λέξις, ὅθεν καὶ κατωτέρω δὶς αὐτὴν λέγει διαλύσας ἐν τῷ «κατὰ τέκνα ἔφαγεν». Τὸ δὲ τετριγῶτας μίμησίς ἐστι φωνῆς τῶν νεοττῶν, ἥτις ἁπαλωτέρα τοῦ τρύζειν ἐστίν, ἀφ’ οὗ γίνεται ἡ τρυγών. τελειότερον δέ, φασί, τοῦ τετριγέναι τὸ ἰαχεῖν, ὅθεν τὰ μὲν νήπια τετριγῶτα, ἡ δὲ μήτηρ ἀμφιαχυῖα, καθὰ καὶ μετ’ ὀλίγα Ἀργεῖοι μέγα ἴαχον.

1.349 Ζηνόδοτος μέντοι, φασίν, ἀντὶ τοῦ τετριγῶτας τιτίζοντας γράφει, οἷα κρίνας αὐτὸ τοῦ τετριγέναι καιριώτερον. καίτοι φασὶν οἱ παλαιοί, ὅτι ἁπλῶς μὲν τιτίζουσιν οἱ νεοσσοί, κατεσθιόμενοι δὲ τρίζουσιν. ἔστι δὲ τρίζειν τὸ λεπτὸν ἠχεῖν κατὰ τὰς νυκτερίδας, αἳ καὶ αὐταὶ τρίζειν λέγονται, ὡς ὁ ποιητὴς ἐν τῷ τέλει τῆς Ὀδυσσείας φησί. τὸ μέντοι τρύζειν, ἀφ’ οὗ ἡ τρυγών, τραχυφωνότερόν ἐστι. Σημείωσαι δὲ ὅτι ἐκ τοῦ τιτίζειν τίτις κατὰ Αἴλιον Διονύσιον, βραχὺ ὀρνίθιον, ἢ καὶ πᾶν, φησί, μικρὸν ὀρνίθιον ὑπὸ τῶν παλαιῶν οὕτω καλεῖται. Ἕτερος δέ τίς φησι καί, ὅτι κατὰ μίμησιν ἤτοι ὀνοματοποιΐαν, ὅθεν ἴσως καὶ τιτιγόνιον, ζωΰφιον παρὰ τῷ αὐτῷ ὅμοιον τέττιγι. δῆλον δὲ καὶ ὅτι τραχύτερον τοῦ τιτίζειν τὸ τιτυβίζειν, ὃ ἐπί τινων περδίκων ἱστορεῖται λέγεσθαι, [καθὰ ἐπὶ ἑτέρων τὸ κικκαβάζειν, ὅθεν παρὰ τῷ Κωμικῷ ἐπίρρημα τὸ κικκαβαῦ. (v. 315) Τὸ δὲ ἀμφεποτᾶτο ἔχει τι ἄπορον ἐπὶ τῇ γραφῇ τῆς προπαραληγούσης. εἰ γὰρ πέτω ἐστὶ τὸ πέτομαι καὶ ἐξ αὐτοῦ ποτός ὁ πετόμενος, ὡς δῆλον ἐκ τοῦ ποτή θηλυκοῦ ἐν Ὀδυσσείᾳ, διὰ τί μὴ τὸ ποτῶ ῥῆμα καὶ τὰ ἐξ αὐτοῦ μεγεθύνουσι τὴν πο συλλαβὴν κατὰ τὸ τρέχω, τρόχος, τρωχῶ, καὶ τὰ ὅμοια; αἴτιον δὲ κἀνταῦθα ἡ σύνθεσις. τὸ γὰρ ἁπλοῦν πωτῶ ἐκτείνει ἔστιν ὅτε τὴν 〈παρα〉 λήγουσαν, ὡς δῆλον ἐκ τοῦ «λίθοι πωτῶντο θαμειαί».] (v. 316) Τὸ δέ «ἐλελιξάμενος» τὸ ὑγρὸν δηλοῖ τοῦ δράκοντος καὶ εὐλύγιστον καὶ εὐπερίστροφον καί, ὡς εἰπεῖν, οὐ δυσέλικτον ἀλλὰ εὐέλικτον. διὸ καὶ δεδιπλασίακε τὸν ἑλιγμόν, ὃ γίνεται καὶ ἐπὶ τοῦ «μέγαν δ’ ἐλέλιξεν Ὄλυμπον». Τὸ δέ «πτερύγος λάβεν» ἀρέσκει τοῖς παλαιοῖς κατὰ τὴν Ἀριστάρχειον ἀνάγνωσιν, ὡς δ’ ἄλλοι φασὶ κατὰ παράδοσιν, παροξύνειν ἀπὸ εὐθείας ὀξυτόνου τῆς ἡ πτερύξ, ὃ δηλοῖ οὐ τὰ πτερὰ μόνα, τὸ μόριον δὲ μετὰ τῶν περικειμένων πτερῶν, καθὰ δηλοῖ καὶ Ἡρωδιανὸς εἰπών, ὅτι τὰ εἰς υξ θηλυκά, μονοσύλλαβα μὲν ὄντα, ὀξύνεται· Στύξ, νύξ, τρύξ· ὑπὲρ μίαν δὲ ὄντα συλλαβὴν βαρύνεται· κάλυξ, ἄντυξ, πομφόλυξ. τὸ πτερύξ σεσημείωται ὑπὸ Ἀριστάρχου ὀξυνθὲν διὰ τὸ ἐννοίας περιεκτικῆς εἶναι. οὕτω γάρ, φησίν, ἀνέγνωμεν ἐν τῇ βῆτα ῥαψῳδίᾳ. (v. 318) Τὸ δέ «ἀρίζηλον» φανερῶς ἐνταῦθα τὸν ἀρίδηλον δηλοῖ τραπέντος τοῦ δ εἰς ζ κατὰ συγγένειαν τὴν καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ γεγραμμένην.

1.350 οὕτω δὲ καὶ ἐν τῷ «ἀστὴρ ἀρίζηλος». οὐ γὰρ ἔστιν ἐνταῦθα εἰπεῖν τὸν ἄγαν ζηλωτόν. [(v. 319) Τὸ δέ «λᾶαν», ὅ ἐστι λίθον, ἐκτείνει μὲν τὴν παραλήγουσαν καὶ κλίνεται περιττοσυλλάβως λάαος· κραθὲν δὲ γίνεται λᾶς· ὅθεν Λᾶ, πόλις τραχεῖα, ὡς τὸ «Λᾶν περήσεις» παρὰ Λυκόφρονι· καὶ Λαπέρσαι Διόσκουροι οἱ τὴν τοιαύτην Λᾶν πέρσαντες· καὶ λαξεύειν τὸ λίθους ξέειν καὶ λατύπος, ὁ καὶ λατόμος, τὸ μὲν ἀπὸ τοῦ τύπτειν, τὸ δὲ ἀπὸ τοῦ τέμνειν· καὶ λατύπη θηλυκῶς τὰ τῶν λίθων ἀποξέσματα.] (v. 325) Τὸ δέ «ὄψιμον ὀψιτέλεστον» ἐκ παραλλήλου κείμενα, τῆς αὐτῆς εἰσιν ἐννοίας δηλωτικὰ διὰ σαφήνειαν. [Τὸ δέ «ὅου» ἀντὶ τοῦ οὗτινος πλεονασμὸν ἔχει τοῦ ο , ἵνα ᾖ, ὥσπερ τοῦ ὅτου καὶ τῷ ὅτῳ, οὕτω καὶ οὗ ὅου, ἀναδραμούσης τῆς δασείας εἰς τὴν παραλήγουσαν. τύπου δὲ τοιούτου καὶ τὸ ὁτέοισι καὶ τὸ ὅτεῳ, ἀντὶ τοῦ ᾧτινι.] (v. 328) Ἡ δὲ τῶν ἐννέα ἐτῶν ἀνάμνησις ὀνειδισμόν τινα ἔχει κατὰ τοὺς παλαιούς, ἐὰν τότε μὲν οἱ Ἕλληνες χρόνου μῆκος ἀκούσαντες οὐκ ὤκνησαν, νῦν δὲ πρὸς τῷ τέλει ἐκλέλυνται, ὅτε ἡ ἐνναετηρὶς βέβηκε. πολέμου δὲ καιρὸς τὰ ἐννέα ἔτη, ὧν συντελεσθέντων ἀνάγκη νοεῖν τὸ εὐθὺς δέκατον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ ἀργὸν καὶ ἀπόλεμον, οὗ σύμβολον νοοῦσί τινες τὸν δράκοντα συγκαταριθμοῦντες εἰς χρόνου δήλωσιν καὶ αὐτόν. (v. 330) Τὸ δέ «νῦν πάντα τελεῖται», ὡς καὶ οἱ παλαιοὶ παρασημειοῦνται, πρὸς τὸν ὄνειρον ἀφορᾷ τὸν βασιλικόν, τὸν εἰπόντα· «νῦν γάρ κεν ἕλοις πόλιν». καὶ οὐ λέγει ὅτι τῷδε τῷ ἤματι πάντα τελεῖται, ὡς ὁ Ἀγαμέμνων ἐνόησε τὸ «νῦν ἕλοις τὴν Ἴλιον». ἴσως γὰρ οἶδεν, ὅτι ψεύσεται τοῦτο εἰπών. ἀορίστως δέ φησι «νῦν πάντα τελεῖται», ὡς καὶ ἀνωτέρω τὸ «μείνατ' ἐπὶ χρόνον», ἵνα μήτε βασιλικὸν ἀναφήνῃ μυστήριον, ὅπερ ἐν τῷ προβουλίῳ ἤκουσε, μήτε ἐξελέγχοιτο ὕστερον, ἐὰν μή, ὡς ὁ βασιλεὺς ἐνόησεν, αὐθημερὸν συντελεσθείη ὁ πόλεμος. [(v. 331 s.) Τὸ δέ «μίμνετε αὐτοῦ», ἤγουν ὧδε, ἐπ' αὐτοῦ τοῦδε τοῦ τόπου, ἔστι μὲν ἀντωνυμία ἐπιρρηματική, παράγει δέ, ὥσπερ τὸ αὐτόφι, οὕτω καὶ τὸ αὐτόθι, ὅθεν συγκέκοπται τὸ αὖθι, οἷον· «πτολεμίξομεν αὖθι». Περὶ δὲ τοῦ «εἰσόκεν», ἤγουν εἰς ὃ ἂν καὶ ἕως οὗ, πολλαχοῦ δηλοῦται.] (v. 301) Ὅτι πληροφορίαν φράζει πράγματος τὸ «εὖ γὰρ δὴ τόδε ἴδμεν ἐνὶ φρεσίν, ἐστὲ δὲ πάντες μάρτυροι, οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι». [Καὶ ὅρα τὸ «ἐστὲ μάρτυροι». οὐ γὰρ ἀκολούθως τῷ ἴδμεν εἶπεν, ὅτι ἐσμέν, ἵνα μὴ καὶ ἑαυτὸν συντάξῃ τοῖς μαρτυροῦσι. (v. 302) Τὸ δέ «κῆρες ἔβαν φέρουσαι» τοὺς ἐν τοῖς ἑξῆς που δηλωθησομένους κηρεσσιφορήτους συντίθησι. (v. 320) Τὸ δέ «ἡμεῖς δ' ἑσταότες θαυμάζομεν οἷον ἐτύχθη» ἐκπληττομένοις πρόσφορον.

1.351 (v. 323) Κεῖται δ' ἐν τοῖς ῥηθεῖσι καὶ τὸ ἄνεῳ, ἤγουν ἄφωνοι, οἷον· «τίπτ' ἄνεῳ ἐγένεσθε», ἤγουν ἄναυδοι, ἀχανεῖς· περὶ οὗ, ὡς κλίνεται κατὰ τὸν Μενέλεων, ἀλλαχοῦ φανεῖται.] (v. 333—5) Ὅτι σχῆμα ὑπερβατὸν ἐν τῷ «Ἀργεῖοι δὲ μέγα ἴαχον, ἀμφὶ δὲ νῆες σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν, μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο». ἔστι γὰρ τὸ ἀκόλουθον οὕτως· Ἀργεῖοι μέγα ἴαχον ἐπαινήσαντες τὸν Ὀδυσσέως μῦθον. ἦν δὲ ὑπερβατὸν καὶ ἐν τῇ α' τῆς Ἰλιάδος, ἐν τῷ «νῦν δ' εἶμι Φθίηνδε», οὗ ἐφεξῆς τὸ «ἐνθάδ' ἄτιμος ἐών». Καὶ ἰστέον ὡς ἐν τῇ α' ῥαψῳδίᾳ ἐλέχθη, ὅτι τὰ τοιαῦτά εἰσι κυρίως ὑπερβατὰ κατὰ τοὺς ῥήτορας, οὐ μὴν ὁμοίως καὶ τὸ «λέων κατὰ ταῦρον ἐδηδώς»· καὶ τὸ «διὰ τάφρον ἔβησαν»· καὶ τὸ «κατὰ τέκνα ἔφαγε στρουθοῖο», περὶ ὧν καὶ ἐν τοῖς μετὰ ταῦτα εἰρήσεται τὰ δοκοῦντα τοῖς παλαιοῖς. Ἐνταῦθα δὲ οἱ παλαιοὶ παρασημειοῦνται τὸ τοῦ ὄχλου παλίμβολον, ὅπως οἱ αὐτοὶ καὶ φεύγειν ἦσαν ἑτοιμότατοι καὶ μένειν αὖτις ῥᾷον ἀνεπείσθησαν. ἐπιφωνοῦσι δὲ καὶ τὸ τοῦ Εὐπόλιδος· «οἷόν γέ πού'στὶ γλῶσσ' ἀνθρώπου», εἴπερ ὁ μὲν λέγων «φεύγωμεν» ἀναπτεροῖ, ὁ δὲ αὖθις πείθει λέγων «μίμνωμεν». (v. 333) Τὸ δέ «μέγα ἴαχον» αὐξητικῶς εἴρηται· ἁπλῶς μὲν γὰρ πρὸ ὀλίγου ἴαχεν ἡ μήτηρ στρουθός, οἱ δὲ Ἀργεῖοι μέγα ἴαχον. (v. 334) Ὁ δὲ κόναβος καὶ τὸ κοναβίζειν καὶ κοναβεῖν—διφορεῖται γὰρ καὶ αὐτό—ἦχός ἐστι ξύλων ξηρῶν πεπληγότων ἢ μᾶλλον, κοινότερον εἰπεῖν, ἦχος σωμάτων ξηρῶν. ἐρεῖ γὰρ μετ' ὀλίγα· «χθὼν κονάβιζε». [(v. 335) Τοῦ δὲ ἐπαινῶ ἐπαινήσω, οὗ κοινότερον τὸ ἐπαινέσω, χρῆσις καὶ παρ' Ἡσιόδῳ καὶ ἄλλοις.] (v. 336) Ὅτι γερήνιος Νέστωρ ἢ ὁ ἔντιμος παρὰ τὸ γέρας ἢ ὅτι, ὁπηνίκα ἡ Πύλος ὑφ' Ἡρακλέος ἑάλω, καθάπερ ἐν τῇ α' ῥαψῳδίᾳ εἴρηται, αὐτὸς ἐν Γερήνοις ἢ ἔτυχε τρέφεσθαι ἢ ἤχθη φυγάς. Γέρηνα δέ, ὡς καὶ ἐν τῷ Καταλόγῳ ῥηθήσεται, τόπος περὶ τὴν Πελοπόννησον ἤτοι πόλις Μεσσηνιακή, ἡ λεγομένη καὶ Γερηνία, καθὰ καὶ ὁ Γεωγράφος φησί. λέγεται δὲ ἡ πόλις αὕτη καὶ ἑνικῶς Γέρηνον, ὡς Ἡσίοδος· «Νέστωρ οἶος ἄλυξεν ἐν ἀνθεμόεντι Γερήνῳ», καὶ πληθυντικῶς, ὡς ὁ αὐτός· «κτεῖνε δὲ Νηλῆος ταλασίφρονος υἱέας ἐσθλοὺς ἕνδεκα· δωδέκατος δὲ Γερήνιος ἱππότα Νέστωρ ξεῖνος ἐὼν ἐτύχησε παρ' ἱπποδάμοισι Γερήνοις», ἀπὸ εὐθείας τῆς Γέρηνος Γερήνου. ὁ δὲ Γεωγράφος λέγει καί, ὅτι δεικνύουσι παρ' αὐτοῖς οἱ τῆς κοίλης Ἤλιδος Γέρηνον τόπον καὶ Γέροντα ποταμὸν καὶ ἄλλον Γερήνιον· τοῦτο δὲ καὶ Μεσσήνιοι ποιοῦσι καὶ μᾶλλον γνώριμά φασιν εἶναι τὰ παρ' ἐκείνοις Γέρηνα.

1.352 Ἐν τοῖς Αἰλίου Διονυσίου φέρεται καί, ὅτι γέρην ἡ θήλεια γέρανος. (v. 337) Ὅτι ἐνδεικνύμενος κἀνταῦθα ὁ ποιητής, ὅπως εὐπόρως ἔχει τοῦ ῥητορεύειν καὶ ὅτι τὸ καλῶς ῥηθὲν δύναται καὶ

κάλλιον εἰπεῖν, τὴν τοῦ Ὀδυσσέως ῥητορείαν μεταχειρισάμενος ὑπὸ κρείττονι ῥήτορι τῷ Νέστορι—οὗτοι γὰρ οἱ δύο τῶν λοιπῶν ἐν ῥητορείᾳ ὑπερφέρουσι—νικᾷ, ὡς καὶ προερρέθη, τοῖς δευτέροις νοήμασι πολλῷ πάνυ τῷ μέσῳ τὰ πρότερα καί, ὡς εἴπερ ἀνὴρ νικήσειε παῖδα δημηγοροῦντα, καθάπερ αὐτὸς ἐπισημαίνεται ἐν τῷ εἰπεῖν· «ὢ πόποι, ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε νηπιάχοις», [ὃ δοκεῖ πρὸς ἔριν ἢ μίμησιν εἰρῆσθαι Ὀδυσσέως εἰκάσαντος πρὸ ὀλίγων τοὺς Ἀχαιοὺς παισὶ νεαροῖς.] Πολλὰ μὲν οὖν ὁ Νέστωρ οὐ φιλοτιμεῖται εἰπεῖν νοήματα, ὑψηλὰ δέ. διὸ οὐδὲ ὑπερπαίει πάνυ τὸν Ὀδυσσέα πλήθει ἐπιχειρημάτων ἀλλὰ μᾶλλον ποιότητι. ἐπιλέγεται γὰρ τὰ ἐκείνου καὶ μεταγαγὼν αὐτὰ εἰς τὸ ὑψηλότερον καὶ ἐπεξεργασάμενος, οὕτω περαίνει τὴν δημηγορίαν, προσεπιθείς τι καὶ αὐτός, ὡς εἰρήσεται, καὶ ποιήσας τὸ καλὸν κάλλιον. Ἐν πρώτοις οὖν σχετλιάσας διὰ τοῦ «ὢ πόποι», εἶτα οὐ πρὸς τὸν βασιλέα τὸν λόγον εὐθὺς ἀποτείνει, ὡς Ὀδυσσεὺς ἐποίησε, καίτοι ἀλλαχοῦ ποιεῖν αὐτὸ εἰωθώς, ἀλλὰ σφοδρῶς καὶ παρρησιαστικῶς τὸν λόγον μεταχειριζόμενος πρὸς μόνον μὲν αὐτὸν τὸν Ὀδυσσέα οὐ στρέφει τὸν λόγον—ἦν γὰρ καὶ τοῦτο πάνυ καταφορικὸν καὶ ἀκράχολον—λεαίνει δὲ τῷ κοινῷ πληθυσμῷ τὴν σφοδρότητα λέγων· (v. 337 s.) «ἦ δὴ παισὶν ἐοικότες ἀγοράασθε» καὶ παισὶν οὐ τοῖς τυχοῦσιν, ἀλλὰ νηπιάχοις. τοῦτο δὲ λέγει οὐχ' ὅτι νήπιόν τι ὁ Ὀδυσσεὺς ἐφθέγξατο, ἀλλ' ὅτι μηδὲν εἶπε στρατηγικῶς περὶ πολεμικῆς ἐκτάξεως, ὅπερ αὐτὸς μετ' ὀλίγα ποιήσει, ἐν οἷς ἐρεῖ, ὅτι «κρῖν' ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας Ἀγάμεμνον» καὶ τὰ ἑξῆς. Διὰ τοῦτο οὖν δημηγορίᾳ νηπιάχων εἰκάζει τὰ φθάσαντα λαληθῆναι, διότι δηλαδὴ τακτικὴ παραγγελία οὐκ ἔγκειται αὐτοῖς. διὰ τοῦτο εἰπὼν «νηπιάχοις ἐοικότες» φησίν· «οἷς οὔ τι μέλει πολεμήϊα ἔργα». τάχα δὲ οὐ διὰ μόνον τὸν Ὀδυσσέα εἴρηται ταῦτα, ἀλλὰ καὶ διὰ τὸ «φεύγωμεν» τὸ τοῦ Ἀγαμέμνονος· Ἔξεστι γὰρ τῷ γέροντι καθάπτεσθαι λόγοις τοῦ βασιλέως, ὡς ἐν τῷ προβουλίῳ ὥριστο. καὶ τοιοῦτον μὲν τὸ προοίμιον τοῦ γέροντος ὑπισχνούμενον ἀνδρώδεις ἐννοίας. εἰ γὰρ οἱ πρὸ αὐτοῦ νηπιάχοις ἐοικότες ἠγόρευσαν, αὐτὸς ἄρα οὐ τοιοῦτος ἔσεσθαι πραγματεύσεται. (v. 339) Εἶτα πρὸς τὰ τοῦ Ὀδυσσέως ἀφορῶν νοήματα διορθοῦται οἷον καὶ ὑψηλότερον αὐτὸς ἐκεῖνα διαχειρίζεται. εἰπόντος οὖν ἐκείνου Ἀχαιῶν ὑπόσχεσιν καί, ὅτι οὐκ ἐκτελοῦσί σοι τὴν ὑπόσχεσιν, ὁ Νέστωρ φησὶν ἀχθόμενος, ὅτι «πῇ δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμῖν;» [(v. 340 s.) Εἶτα καὶ τὴν ἐρώτησιν τοῦ «πῇ δὴ τὰ εἰρημένα βήσεται» λύων καὶ πλατύνων τὸ «συνθεσίαι τε καὶ ὅρκια» καὶ βαρέως δὲ λαλῶν ἐν σχήματι κατευχῆς φησιν,] ὅτι «ἐν πυρὶ δὴ βουλαί τε γενοίατο μήδεά τ' ἀνδρῶν σπονδαί τ' ἄκρητοι καὶ δεξιαί, ᾗς ἐπέπιθμεν», ἤγουν αἷς ἐπεποίθειμεν.

1.353 Ἐν τούτοις γὰρ τοῖς νοήμασιν ὁ μὲν Ὀδυσσεὺς ψεῦδος κατηγορεῖ τῶν Ἑλλήνων, ὡς μὴ ἐκτελούντων τῷ βασιλεῖ τὴν ὑπόσχεσιν, ἥτις ἦν τὸ τὴν Ἴλιον ἐκπέρσαντα ἀπονέεσθαι, ὁ δὲ Νέστωρ γυμνότερον καὶ ὑψηλότερον ἀσεβείας αὐτοὺς ἢ ἐπιορκίας γράφεται, ὡς οὐχ' ἁπλῶς ὑποσχεθέντας, ἀλλὰ καὶ συνθεμένους καὶ ὀμόσαντας μετὰ καὶ σπονδῶν καὶ δεξιώσεων· ἅμα δέ, φασί, καὶ ὡς ἐνεδρεύσαντας ἀπελέγχει. οὐκ ἂν γὰρ ὁ βασιλεὺς ἐστράτευσε μὴ συνθεμένων αὐτῶν. (v. 342 s.) Πάλιν τοῦ Ὀδυσσέως τὰ ἐννέα ἔτη συντεμόντος καὶ εἰπόντος, ὅτι ἐν τῇ Αὐλίδι χθιζὰ καὶ πρωϊζά, ἤγουν χθὲς καὶ πρωΐ, σημεῖον τοιόνδε εἴδομεν, ποιήσαντος δὲ τοῦτο οἰκονομικῶς, ἵνα μὴ δόξῃ ὀνειδίζειν ἀνανδρίαν τοῖς Ἕλλησι καὶ ἀποκναίσῃ ἐκείνους εἰς τὸν ἐφεξῆς πόλεμον, ὁ Νέστωρ ἀπεναντίας ἐρχόμενος ἐξονειδίζει οὕτως· [«Αὔτως γάρ ῥ' ἐπέεσσ' ἐριδαίνομεν,] οὐδέ τι μῆχος εὑρεῖν δυνάμεθα, καίτοι ἀληθῶς πολὺν χρόνον ἐνθάδ' ἐόντες». τοῦτο δὲ καὶ Ὀδυσσεὺς εἶπεν ἐν τῷ «αἰσχρόν τοι δηρόν τε μένειν κενεόν τε νέεσθαι». ἀλλ' ἐκεῖνο μὲν γοργόν, τοῦτο δὲ εἰς πλάτος ὁ Νέστωρ παρέτεινε μεταποιήσας τεχνικῶς τὸ νόημα. ἔτι ὁ μὲν Ὀδυσσεὺς ἀπὸ τοῦ βασιλέως ἀρξάμενος, ὡς ἐλεγχίστου γινομένου διὰ τοὺς Ἕλληνας, εἶτα τὸν δῆμον προσφθέγγεται· «τλῆτε, φίλοι» λέγων καὶ τὰ ἑξῆς· δίδωσι δὲ αὐτοῖς καὶ συγγνώμην οὐ νεμεσιζόμενος αὐτούς. ὁ δὲ Νέστωρ ἀπὸ τοῦ πλήθους εἰς τὸν βασιλέα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μετελήλυθε τῷ μὲν λαῷ προσενεχθεὶς ὀνειδιστικώτερον καὶ βαρύτερον, ὡς προείρηται, τῷ δὲ βασιλεῖ συμβουλεύων φυλάττειν τὴν ἀρχικὴν ἐμβρίθειαν καὶ μὴ ποιεῖν ἑαυτὸν ὑπὸ τοῖς Ἕλλησι καὶ οὕτω καταπλήττων τὸ πλῆθος, ὡς δέον ὂν ἄρχεσθαι καὶ μὴ θέλειν ἄρχειν τοῦ βασιλέως. (v. 344—7) Φησὶ γάρ· «Ἀτρείδη, σὺ δέ θ' ὡς πρὶν ἔχων ἀστεμφέα βουλὴν ἄρχευ Ἀργείοισι κατὰ κρατερὰς ὑσμίνας», ἤγουν μὴ ἐκείνοις ἀνατίθει τὸ πᾶν, ἀλλὰ σὺ προηγούμενος ἔχε ἑπομένους ἐκείνους «τούσδε δ' ἔα φθινύθειν, ἕνα καὶ δύο, οἵ Ἀχαιῶν νόσφι βουλεύουσιν· ἄνυσις δ' οὐκ ἔσσεται αὐτῶν», οἱονεὶ λέγων, ὅτι οὐ χρὴ εἰπεῖν, ὅτι τλῆτε, φίλοι, ἀλλὰ ὡς ἀρχομένους ποιεῖν ὑπὸ τῇ βασιλικῇ βουλῇ τοὺς Ἀχαιοὺς καὶ ἄκοντας. Ἔτι Ὀδυσσεὺς μὲν εἰς τὸ τοῦ δράκοντος ἀνατρέχει σύμβολον δημοχαριστικῶς, ὥς φασιν οἱ παλαιοί, προβαλλόμενος τὰς μαντείας τοῦ Κάλχαντος, ὃς ἐλύπει τὸν βασιλέα, ὡς ἐν τῇ α' ῥαψῳδίᾳ δεδήλωται. ὁ δὲ Νέστωρ ὑψηλότερον καὶ σεμνότερον τὸν λόγον μεταχειριζόμενος οὐκ ἐκ τῶν κάτω καὶ περὶ γῆν οὐδ' ἔκ τινος τῶν θνητῶν τὰ σημεῖα λαμβάνει, ἀλλ' ἀπ' αὐτοῦ τοῦ Διός. (v. 348—55) Φησὶ γὰρ ὅτι οὐκ ἔστι «πρὶν Ἄργοσδε ἰέναι, πρὶν ἂν γνῶναι εἴτε ψεῦδος» [καὶ, κοινότερον εἰπεῖν, ψευδὴς] ἡ τοῦ «Διὸς ὑπόσχεσις εἴτε καὶ μή.

1.354 φημὶ γὰρ οὖν κατανεῦσαι τὸν Δία, ὅτε νηυσὶν ἐπ' ὠκυπόροις ἔβαινον Ἀργεῖοι Τρώεσσι φόνον καὶ κῆρα φέροντες, ἀστράπτων ἐπιδέξια, ἐναίσιμα σήματα φαίνων». Πάνυ οὖν σεμνότερον τὸ τοῦ Νέστορος, εἴγε τὴν στρουθὸν καὶ τοὺς νεοσσοὺς ἀφεὶς ἐπὶ τὸν ὕπατον Δία φέρεται. (v. 349) καὶ ὅρα τὸ «Διὸς ὑπόσχεσις». ἐπὶ μὲν γὰρ Ἑλλήνων οὐκ ἠθέλησεν αὐτὸ εἰπεῖν ὁ Νέστωρ, ἀλλὰ συνθεσίας εἶπε καὶ ὅρκους· ἐπὶ δὲ Διὸς τὴν ὑπόσχεσιν τίθησιν, ὃς οὐδὲν ὑπισχνεῖται ἀπατηλόν, ὡς προείρηται. καὶ ὁ μὲν Ὀδυσσεὺς αἰσχρόν φησι κενοὺς νέεσθαι τοὺς Ἕλληνας, ὁ δὲ Νέστωρ ἀπαγορεύει μηδένα τολμῆσαι οἴκαδε νέεσθαι, πρίν τινα παρὰ Τρώων ἀλόχῳ κατακοιμηθῆναι, δριμύτερον τὸν λόγον μεταχειρισάμενος, ὡς ῥηθήσεται. Ἔτι ὁ μὲν Ὀδυσσεὺς θέλειν εἶπε τοὺς Ἕλληνας ἐλέγχιστον θεῖναι τὸν βασιλέα, ὡς παρ' αὐτοῖς ὂν τοῦτο ποιῆσαι, ὁ δὲ Νέστωρ ἀποστερῶν αὐτοὺς τοῦ ἐθέλειν φησίν· (v. 357—9) «Εἰ δέ τις ἐκπάγλως ἐθέλει οἶκόνδε νέεσθαι, ἁπτέσθω ἧς», ἤγουν ἰδίας, «νηὸς εὐσέλμοιο μελαίνης, ὄφρα πρόσθ' ἄλλων θάνατον καὶ πότμον ἐπίσπῃ», πάνυ αὐστηρῶς καὶ βασιλικῶς τοῦτο εἰπὼν καὶ θάνατον ὁρίσας ἐπιτίμιον τῷ λειποτακτήσοντι. Βαρύτερον δὲ πάνυ τοῦτο καὶ φοβερώτερον τοῦ παρὰ τῷ Ὀδυσσεῖ. ἐκεῖνος μὲν γάρ, ὅτε τὸν λαὸν ἐπέστρεφεν εἰς τὴν ἀγοράν, πρὸς ἕκαστον βασιλέα καὶ ἔξοχον ἔλεγεν, ὅτι οὐκ οἶσθα τὸν νοῦν τοῦ βασιλέως καὶ ὅτι τάχα ἴψεται υἷας Ἀχαιῶν καὶ «μή τι χολωσάμενος ῥέξῃ κακὸν υἷας Ἀχαιῶν». ὁ δὲ Νέστωρ ἐνταῦθα σεμνότερον καὶ φοβερώτερον θάνατον ἀποφαίνεται τῷ εἰς φυγὴν ὁρμήσοντι, οὐχ' ὡς Νέστωρ λαλῶν, ἀλλ' ὡς αὐτὸς ὁ Ἀγαμέμνων. οὕτω ῥητορικῶς ὁ Νέστωρ πολλὰ τῶν τοῦ Ὀδυσσέως νοημάτων ἐπικοσμήσας ἢ διορθωσάμενος καὶ ὑπερφωνήσας ἐκεῖνον ἐν πᾶσι προστίθησι καί τινα ὀλίγα, ὧν ἐκεῖνος οὐδ' ὅλως ἐμνήσθη, καὶ τῆς τε Ἑλένης μέμνηται, ἥτις ἐστὶ τέλος τοῦ πολέμου τοῖς Ἕλλησιν. (v. 354—6) Εἰπὼν γάρ· «μή τις ἐπειγέσθω πρὶν οἶκόνδε νέεσθαι, πρίν τινα πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναι», ἐπάγει· «τίσασθαι δ' Ἑλένης ὁρμήματά τε στοναχάς τε». ἔτι δὲ καὶ συμβουλὴν ἐκτίθεται τακτικήν, ὡς κατωτέρω εἰρήσεται. Καὶ τοιαύτη μέν, ὡς ἐν ὀλίγῳ εἰπεῖν, ἡ τοῦ Νέστορος δημηγορία ἐκ τῶν αὐτῶν μὲν ὁρμηθεῖσα τῷ Ὀδυσσεῖ, ἑτέρως δὲ διασκευάσασα τὰ ἐκείνου νοήματα, ἔχουσα δέ τι καὶ ὧν παρέδραμεν ὁ Ὀδυσσεύς. [(v. 338) Τὸ δὲ πολεμήϊα δῆλον, ὡς πλεονασμὸν ἔχει τοῦ η ἐκ τοῦ πολέμια, καὶ οὐκ ἀμφισβητεῖται, ὡς ἐπὶ τοῦ ξυνήϊα. ἐκεῖνο γὰρ δοκεῖ τισιν εἶναι ἀπὸ τοῦ ξυνός ξύνειος, ὡς ἡμέτερος ἡμετέρειος, ὁ τοῦ ἡμετέρου δηλαδὴ κατὰ τοὺς παλαιούς.] (v. 339) Τὸ δέ «συνθεσίαι τε καὶ ὅρκια», ὅμοιόν ἐστι τῷ ἐν τῇ α' ῥαψῳδίᾳ τῷ «σύνθεο καί μοι ὄμοσσον». Σημείωσαι δὲ ὅτι αἱ συνθεσίαι διακείμενα παρὰ Ἡροδότῳ λέγεται διὰ τὸ ταὐτὸν τοῦ κεῖσθαι καὶ τίθεσθαι· ὅθεν ταὐτὸν τὸ ἐπὶ διακειμένοις μάχεσθαι καὶ τὸ ἐπὶ συνθεσίαις ἤτοι ὡρισμέναις συμφωνίαις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.355 Εὐριπίδης δὲ ἐπὶ ῥητοῖς εἵλετο τοῦτο εἰπεῖν, ὃ ταὐτόν ἐστι τῇ ἀλλαχοῦ κειμένῃ ποιητικῇ ῥήτρῃ. Οὐχ' ὑποκοριστικὸν δὲ παρ' Ὁμήρῳ οὐδὲ τὸ ὅρκιον, καθὰ οὐδὲ τὸ ἴχνιον. Ὥσπερ δὲ τὰ ὅρκια παρωνόμασται ἐκ τοῦ ὅρκου, οὕτω καὶ ἐκ τοῦ λόγου τὰ λόγια ἤγουν οἱ χρησμοί. [Γίνεται δὲ ὁ ὅρκος ὅθεν καὶ τὸ ἕρκος· ἐκ τοῦ εἴργω γάρ, τὸ ἐγκλείω· καθείργνυται γάρ πως ὁ ὀμνύων, οἷς ὁμολογεῖ· Κατὰ δὲ τοὺς παλαιοὺς παρὰ τὸ ὅρος ἀρσενικόν. ὁρίζονται γάρ τι ὁμολογητικῶς οἱ ὀμνύοντες. συντελεῖ δὲ εἰς τὴν πρώτην ἐτυμολογίαν καὶ ἡ ὁρκάνη ἕρκος τι οὖσα, ὡς ἀκανθῶδες περίφραγμα. Προπαροξύνεται δὲ τὸ ὅρκιον ὡς οἷα κτητικὸν ταὐτόσημον, κατὰ τὸ κάπριος, αἰζήϊος καὶ τὰ ὅμοια· ἄλλως μέντοι ὤφειλε παροξύνεσθαι κανόνι, φασί, τοιούτῳ. Τὰ διὰ τοῦ ιον τρισύλλαβα προσηγορικά, ἔχοντα πρὸ τοῦ ι δύο σύμφωνα παροξύνονται, οἷον· κυμβίον, ἱστίον, ἰσχίον, ἑρκίον, εἰ μὴ ἄρα πρὸ τοῦ ι κεῖται ἀμετάβολον, ὁποῖον τὸ ἴχνιον καὶ ἴκριον.] Τὸ δέ «πῇ συνθεσίαι τε καὶ ὅρκια βήσεται» μυκτηριστικόν πώς ἐστι τοῦ «ἐννέα δὴ βεβάασιν ἐνιαυτοί». λέγει γὰρ οἱονεί, ὡς, εἰ καὶ οἱ ἐνιαυτοὶ βεβήκασιν, ἀλλ' αἱ συνθεσίαι καὶ οἱ ὅρκοι οὐκ οἴχονται βεβηκυῖαι, ἀλλὰ μένουσι. [Τῆς δὲ συνθεσίης, ἣν συνθήκην φασὶν οἱ μεθ' Ὅμηρον, ἡ ἀναλογία κατὰ τὴν ἐξεσίην, ἧς χρῆσις καὶ ἐν τῇ τελευταίᾳ τῆς Ἰλιάδος ῥαψῳδίᾳ.] (v. 340) Τὸ δέ «ἐν πυρὶ βουλαὶ γενοίατο» πάνυ βαρυνομένης ψυχῆς ἐστιν· οἱονεὶ γάρ φησιν, ὅτι καυθεῖεν αἱ βουλαὶ καὶ τὰ καὶ τά. ἢ μάλιστα κατὰ τοὺς παλαιοὺς τὸ γενοίατο ἀντὶ τοῦ ἐγένοντο. καὶ ἔστιν ὁ λόγος βαρὺς ἅμα καὶ εἰρωνικός, ἵνα λέγῃ, ὅτι ἐοίκασιν αἱ βουλαὶ ἡμῶν καὶ αἱ σπονδαὶ καὶ τὰ τοιαῦτα συγκατακαυθῆναι τότε ταῖς τῶν ὅρκων θυσίαις καὶ ἀπολέσθαι. Σημείωσαι δὲ ὅτι τὸ γενοίατο, ὡς καὶ ἐν τῇ α' ῥαψῳδίᾳ τὸ ἐφθίατο ἀντὶ τοῦ γένοιντο καὶ ἔφθιντο, Ἰωνικά ἐστι, πλεονασμὸν ἔχοντα τοῦ α μετὰ τὴν τοῦ ν ἀπέλευσιν. μυρία δὲ καὶ ἕτερα τοιαῦτά εἰσιν. ὅλως γὰρ τὰ διὰ τοῦ αται καὶ ατο τρίτα παθητικὰ πληθυντικὰ Ἰωνικοῦ εἰσι σχηματισμοῦ, ὁποῖον καὶ τὸ λελέχαται καὶ τετύφαται καὶ ἐσπάραται καὶ παρ' Ἡροδότῳ τὸ ἐσεσάχατο ἀντὶ τοῦ ὡπλισμένοι ἦσαν καὶ τὰς κνήμας ῥάκεσι κατειλίχατο καὶ τὰς κεφαλὰς εἰλίχατο μίτραις.

1.356 ὡσαύτως καὶ τὰ κατὰ πλεονασμὸν τῆς δα συλλαβῆς, οἷον τὸ ὠνομάδαται καὶ ἐρηρέδαται καὶ ἐσταλάδατο κατὰ Ἡρόδοτον καὶ τὰ κατὰ ἀποβολὴν τοῦ ν καὶ διάλυσιν τοῦ παραλήγοντος η εἰς ε καὶ α . οὕτω γοῦν Ἡρόδοτος δίχα πολλῶν ἑτέρων καὶ ἀποκαθέαταί φησι καὶ εἰρέαται ἀντὶ τοῦ εἴρηνται καὶ ὑμνέαται καὶ ἐκτέατο ἀντὶ τοῦ ἐκέκτηντο καὶ ἐτιμέατο· οἷς ὅμοια καὶ ἐν ὀνόμασι παρ' αὐτῷ τὸ Ἀρισταγόρην Ἀρισταγόρεα καὶ Καμβύσεα καὶ Μιλτιάδεα. καὶ ἐν τούτοις γὰρ τὸ η μὲν διαλύεται, ἀπέρχεται δὲ τὸ ἐπαγόμενον νῦ. καὶ τὸ «πεποτήαται δὲ μέλισσαι», ἀντὶ τοῦ πέτονται, Ἰωνικόν ἐστιν. Ἡρόδοτος δὲ καὶ στρατεύεσθαι ὁρμέαταί φησι καὶ ἀγωνίδαται καὶ παρεσκευάδατο. [Ὅρα δὲ ὅτι τῷ δή ἀργῷ ἐπιρρήματι τρὶς ἐχρήσατο συναπτῶς ἐν στίχοις τέσσαρσιν εἰπών· «ἦ δὴ παισὶν ἐοικότες». καὶ «πῇ δὴ συνθεσίαι;» καὶ «ἐν πυρὶ δὴ βουλαί».] Τὸ δέ «μήδεά τε ἀνδρῶν» βούλεται μὲν εἰπεῖν ἀντὶ τοῦ ἡμῶν αἱ βουλαὶ ἢ ὑμῶν· ἵνα δὲ μὴ πάντῃ σφοδρὸς διὰ πάντων ἥκων ὁ λόγος εἴη, γενικῶς εἶπε καὶ ἀορίστως «ἀνδρῶν», ἵνα λεάνῃ τὴν δημηγορίαν. διὰ τοῦτο γὰρ οὐδενός τινος ὡρισμένως καθήψατο, ἀλλὰ διὰ τριῶν προσώπων πληθυντικῶς καὶ ἀορίστως ἦλθεν, ἐν δευτέρῳ μὲν προσώπῳ εἰπὼν τὸ «παισὶν ἐοικότες ἀγοράασθε», ἐν πρώτῳ δὲ τὸ «πῇ δὴ συνθεσίαι τε καὶ ὅρκια βήσεται ἡμῖν», ἐμοί τε δηλαδὴ καὶ τοῖς ἄλλοις σὺν ἐμοί, ἐν τρίτῳ δὲ τὸ «ἐν πυρὶ δὴ βουλαὶ καὶ μήδε' ἀνδρῶν». [Ἰστέον δὲ ὅτι μήδεα παρὰ τοῖς παλαιοῖς καὶ οἱ ὄρχεις παρὰ τὸ μέδειν, ὅ ἐστιν ἄρχειν. ἀρχὴ γάρ τις ἐν ζῴοις καὶ αὐτοί, ὡς δηλοῦσιν οἱ παλαιοὶ διατρανοῦντες αὐτὸ ἐκ τῆς πολλῆς ἐναλλαγῆς τῶν Γάλλων ἤτοι ἀποκόπων, σαφέστερον δὲ εἰπεῖν, εὐνούχων. Ἡσίοδος δέ φησιν αὐτοὺς μήδεα ἐν Θεογονίᾳ, ἑτέρωθι δὲ μέζεα, φυλάξας μὲν τὸ ε τοῦ μέδειν, τρέψας δὲ δ εἰς ζ κατὰ ἀκολουθίαν τὴν πολλαχοῦ δηλουμένην, καθ' ἣν καὶ τὸ ἐριδαίνομεν ἀπὸ τοῦ ἐρίζειν.] (v. 341) Ἀκράτους δὲ τὰς σπονδὰς λέγει, διότι ἀκράτῳ οἴνῳ ἔσπενδον αἰνιττόμενοι τὸ τῆς γνώμης ἀμιγὲς ψεύδει καὶ

ἄδολον. ἐὰν δὲ ἐν τοῖς μετὰ ταῦτα λεχθείη που, ὅτι κρητῆρι οἶνον ἔμισγον, οὐχ' ὕδατος καὶ οἴνου μίξιν ἐκεῖ λέγει, ἀλλὰ δύο οἴνων εἰς ἕνα κρατῆρα συναγωγήν.

1.357 [Πρωτότυπον δὲ τοῦ κρητῆρος, καθὰ καὶ τοῦ κρατῆρος, τὸ κερῶ, ἐξ οὗ τὸ κρῶ, ἀφ' οὗ καὶ ὁ κρητὴρ καὶ ὁ κρατήρ. ἐκ δὲ τοῦ κρῶ κατὰ ἀναδιπλασιασμὸν τὸ κικρῶ, οὗ χρῆσις τὸ «ἐγκίκρα ὡς εἴω», ἤγουν κίρνα ὡς ὁδεύω.] Δεξιαῖς δὲ πεποιθέναι λέγει, ἐπειδὴ ἐν τοῖς ὅρκοις οὐδὲν ἔλαττον εἰς πίστιν ἐλογίζετο καὶ τὸ τῶν δεξιῶν χειρῶν ἅπτεσθαι. ἦν γὰρ ἡ δεξίωσις αὕτη καὶ τὸ δεξιοῦσθαι, ὡς ἐν Ὀδυσσείᾳ μάλιστα φαίνεται, σημεῖον φιλίας καὶ εἰς ἓν ἀποκαταστάσεως καὶ οἷον ἑνώσεως. [Πρωτότυπον δὲ τῆς τοιαύτης ἐννοίας τὸ δέχω, ἐξ οὗ καὶ τὸ δέχθαι καὶ τὸ δειδέχθαι καὶ τὸ δειδέχατο, ἔτι δὲ καὶ τὰ τῆς δεξιώσεως. δέχω γάρ· οὗ μέλλων δέξω· ὅθεν δέξα, ὡς δόξα, καὶ πλεονασμῷ τοῦ ι δεξιά, ὡς ἀχυρμιά καὶ πυρκαϊά· καὶ ἀπ' αὐτοῦ ῥῆμα δεξιῶ καὶ τὰ ἐκεῖθεν.] Τὸ δὲ ἐπέπιθμεν οὐκ ἂν μὲν ὅλως εὐχρηστοῖτο εἰς λόγον πεζόν. γέγονε δὲ κατὰ συγκοπὴν Αἰολικὴν καὶ διπλασιασμὸν Ἰωνικὸν ἐκ τοῦ ἐπίθομεν δευτέρου ἀορίστου, ἵνα λέγῃ ἐν πυρὶ γενέσθαι τὰς δεξιάς, αἷς οἱ Ἀχαιοὶ ἔπιθον ἑαυτοὺς ἤγουν ἔπεισαν. [(v. 342) Ἐν δὲ τῷ «αὔτως γὰρ ἐπέεσσι» διπλάζεται τὸ ρ παρὰ τοῖς ἀγαθοῖς ἀντιγράφοις καὶ παρεισκρίνεται ὁ ῥα σύνδεσμος, ὁ τῷ ποιητῇ φίλος, ἐν συναλιφῇ συνήθει. Τὸ δὲ αὔτως, εἰ καί τινες διφοροῦσι πνευματικῶς, ἀλλὰ φανεῖται ψιλούμενον Αἰολικῶς.] Τὸ δέ «οὐδέ τι μῆχος» τὴν ἀμηχανίαν ὑπολαλεῖ. ὥσπερ δὲ ἡδονὴ ἦδος Αἰολικῶς, οὕτω καὶ μηχανὴ μῆχος. [τὸ δ' αὐτὸ καὶ μῆχαρ κατὰ τὸ δέλος δέλεαρ. ἄκλιτον δὲ καὶ τὸ μῆχος, καθὰ καὶ τὸ ἦδος καὶ τὸ ὄφελος.] (v. 344) Ἀστεμφὴς δὲ βουλὴ ἡ ἀμετακίνητος κατὰ στέρησιν, φασί, τοῦ στέμβειν, ὃ δηλοῖ οὐ μόνον τὸ ὑβρίζειν, ἀλλὰ καὶ τὸ συνεχῶς κινεῖν· ὅθεν καὶ ἀστέμβακτα παρὰ Λυκόφρονι. λέγει δὲ καὶ Εὐφορίων κλέος ἀστέμβακτον. Τινὲς δὲ ἀστεμφές τὸ οἷον ἀστρεφές· ὅθεν καὶ ἐπίρρημα ἀστεμφέως.

1.358 δύναται δὲ καὶ ἀπὸ τοῦ στέφειν εἶναι, ὡς ἀλλαχοῦ φανεῖται. (v. 345) Τὸ δέ «ἄρχευ Ἀργείοις» δοτικῇ μὲν συνετάγη ὡς διφορούμενον. διαδείκνυσι δὲ ὅτι διχῶς ἔστι λέγειν καὶ ἄρχε καὶ ἄρχεο, τουτέστι βασίλευε. ὅτι δὲ ἀληθῶς διαφορά ἐστί ποτε τοῦ ἄρχειν πρὸς τὸ βασιλεύειν, ὡς μείζονος ὄντος τοῦ βασιλεύειν, δηλοῖ Λευτυχίδης, ὃς Δημάρατον ἐκπεσόντα τῆς βασιλείας, εἶτα εἰς ἀρχὴν αἱρεθέντα, ἠρώτα, φασί, γελῶν, ὁποῖόν τι εἴη τὸ ἄρχειν μετὰ τὸ βασιλεύειν. [Τὸ δέ «κατὰ κρατερὰς ὑσμίνας» πρὸς διαστολὴν κεῖται τοῦ ἑτέρως ἄρχειν, ὁποῖόν τι καὶ τὸ τριηραρχεῖν καὶ ναυαρχεῖν καὶ συμποσιαρχεῖν.] (v. 346) Τὸ δέ «ἔα φθινύθειν ἕνα καὶ δύο», οἳ νόσφιν Ἀχαιῶν βουλεύουσι, τὸ εὐπειθὲς τῶν Ἑλλήνων δηλοῖ τῷ ἐλαχίστῳ τοῦ ἀριθμοῦ, ὡς πάνυ ὀλίγων τινῶν ἀπειθούντων· οὓς καὶ ἐξευτελίζει διά τε τῆς ὀλιγότητος καὶ μηδὲ ὀνομάζων αὐτούς. ἔστι δὲ εἷς μὲν ὁ Θερσίτης, δεύτερος δὲ ἢ οὐδείς, ἀλλὰ ἁπλῶς παρέρριπται δύο, εἴ πού τις εἴη τυχὸν δεύτερος· ἤ, ὡς εἰκός, καὶ ἕτερός τις ἦν, ὃν ὁ ποιητὴς ἐσιώπησε. τὸ γὰρ τὸν Ἀχιλλέα νοῆσαι τοιοῦτον πάνυ ἀπεμφαῖνόν ἐστι δι' ἄλλα τε καὶ ὅτι οὐδὲ ἐβουλεύσατό τι ἐκεῖνος νόσφιν Ἀχαιῶν. καὶ μήν τινες περὶ τοῦ Ἀχιλλέως νοοῦσι τὸ καὶ δύο, οἷα τοῦ Νέστορος ὡς φιλοβασιλέως μισοῦντος, φασί, τὴν ἔριν, ἐν ᾗ τὸν δῆμον κατὰ τοῦ βασιλέως ἐγείρειν ἤθελεν ἐκεῖνος. διὸ καὶ ἀνωτέρω πληθυντικῶς ἔφη, ὅτι μάτην ἐπέεσσιν ἐριδαίνομεν, λεαίνων τὴν τραχύτητα πληθυντικῷ καὶ κοινῷ σχήματι διὰ τὸν Ἀχιλλέα τὸν ἄριστον, ὡς μὴ μόνον τοῦ Θερσίτου ἄρτι ἐρίσαντος λόγοις, ἀλλὰ καὶ τοῦ Ἀχιλλέως πρὸ μικροῦ, ὡς καὶ ὁ βασιλεὺς μετ' ὀλίγα ἐπισημαίνεται λέγων εἰς ἀπράκτους ἔριδας ἐμβάλλεσθαι. «καὶ γάρ», φησίν, «ἐγὼν Ἀχιλλεύς τε μαχεσσάμεθα» καὶ τὰ ἑξῆς. διὰ τοῦτό φασι καὶ ἐν ταῖς Λιταῖς μὴ πρεσβεῦσαι τὸν Νέστορα, οἷα βασιλικὸν ῥήτορα, μὴ ἀνεχόμενον ἐπὶ ὑποπτώσει τοῦ βασιλέως εἰς Ἀχιλλέα πρεσβεῦσαι. [Ὅρα δὲ τὸ «ἕνα καὶ δύο», δι' οὗπερ οὐ δηλοῦνται τρεῖς, ὡς ἡ κοινὴ φράσις βούλεται, ἀλλὰ μόνοι δύο, ἵνα ὁ μὲν εἷς νοοῖτο καθ' ἑαυτόν, ὁ δὲ ἕτερος δυάζοιτο σὺν ἐκείνῳ κατὰ ἐννοίας ἀναδρομήν. καί πώς ἐστι τὸ «καὶ δύο» τὸ πρωτότυπον ἀντὶ παραγώγου τοῦ «καὶ δεύτερος» οἷον· «ἔα φθινύθειν ἕνα καὶ δεύτερον». τοιοῦτον καὶ παρὰ Πλάτωνι τὸ «εἷς, δύο,

τρεῖς», ἤγουν εἷς, δεύτερος, τρίτος. διὸ ἐπάγει· «ὁ δὲ δὴ τέταρτος ποῦ;»] (v. 349) Ἡ δὲ ὑπόσχεσις τοῦ Διὸς καὶ ἡ κατάνευσις φανερῶς ἐνταῦθα δηλοῖ τὴν ἐκ τῶν μετεώρων ἐπισημασίαν τοῦ μέλλοντος, ὡς καὶ ἐν τῇ ἄλφα ῥαψῳδίᾳ εἴρηται. (v.

1.359 353) Φησὶν οὖν ἐφερμηνεύων, πῶς κατένευσεν ὁ Ζεύς, ὅτι ἀστράπτων ἐπιδέξια, ἐναίσιμα σήματα φαίνων, μονονουχὶ λέγων, ὅτι τοῦτό ἐστι [νῦν] κατάνευσις καὶ ὑπόσχεσις Διός, τὸ ἀστράπτειν ἐκ δεξιῶν τὸν Δία, ἤτοι τὸν ἀέρα, καὶ δηλοῦν σῆμά τι αἴσιον, ὃ καὶ διοσημία διὰ τοῦτο ὠνόμασται. Καὶ ὅρα ὅτι καὶ ἐν ταῖς ἀστραπαῖς τὰ ἐκ δεξιῶν ἦσαν αἴσια, ὡς τῶν εὐωνύμων οὐ τοιούτων κἀνταῦθα νομιζομένων. [Σημείωσαι δὲ ὅτι ἐπιδέξια παρὰ τοῖς ὕστερον Ἀττικοῖς καὶ τὰ καίρια καὶ ἐπιτήδεια τοῦ σώματος. πληγῆναι γοῦν τις λέγει τὰ ἐπιδέξια. ἴσως δὲ καὶ τὸ ἐνδέξια ταὐτόν ἐστι τῷ ἐπιδέξια· τοιοῦτον γάρ τι τὸ ἐνδέξια πᾶσιν οἰνοχοεῖν.] Ὡς δὲ καὶ δι' ἀστραπῶν ἐσημαίνετό τι μέλλον, δηλώσει μὲν καὶ ἐν τοῖς ἑξῆς ὁ ποιητής· δηλοῖ δὲ δίχα τῶν ἄλλων ἱστοριῶν καὶ παροιμία ἡ λέγουσα «ὅτ' ἂν ἀστράψῃ δι' Ἅρματος». πόλις δὲ Βοιωτίας ἦν τὸ τοιοῦτον Ἅρμα, ὅπῃ γινομένης ἀστραπῆς ἦν τι σημεῖον, ὡς καὶ ἐν τῷ Καταλόγῳ ῥηθήσεται. (v. 349) Ἡ δὲ λέξις τῆς ὑποσχέσεως σαφὴς μὲν νοηθῆναι, ὑποδύσκολος δὲ ἐτυμολογηθῆναι. ἔστι γὰρ ὑπόσχεσις τὸ ὑπό τινος οἷον σχεθῆναι· ἁλίσκει γάρ πως καὶ κατέχει τὸν ὑποσχόμενον ὁ τὴν ἐπαγγελίαν δεξάμενος. διὸ καὶ ὑπίσχεσθαι καὶ ὑπισχνεῖσθαι τὸ ῥῆμα οἱονεὶ τὸ ὑπό τινος ἔχεσθαι. καὶ ἄλλως δὲ ὑπόσχεσις ἡ ὑπό τι προηγησάμενον σχέσις. πρῶτον μὲν γὰρ τὸ «εὐεργέτησόν με τυχόν», ὑπ' αὐτὸ δέ τις δευτέρα σχέσις καὶ ἀντοχὴ τοῦ προηγησαμένου προσώπου ἢ λόγου τὸ «εὐεργετήσω σε». ἔτι, ὥσπερ τὸ ὑπέσχε χεῖρα ἢ κεφαλὴν ἢ ἀκοήν, ἀντὶ τοῦ ὑπέθετο, οὕτω καὶ ὑπόσχεσις τὸ ἑαυτὸν ὑποθεῖναί τινα τῇ ἐκπληρώσει τῆς οἰκείας ἐπαγγελίας· ὅθεν κρειττόνως ἔστιν εἰπεῖν, ὡς ἀντιληπτικὴ λέξις ἐστὶν ἡ ὑπόσχεσις· σχεῖν γὰρ τὸ λαβεῖν. διὸ ὑπόσχεσις ἡ ὑπόληψις ἤγουν τὸ χερσὶν ὑπολαβεῖν· ὅθεν τὸ «ὑπέλαβές με καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου»· καὶ τὸ «τὴν ὑπόληψιν τῶν ἀξιωμάτων μου». εἰ γοῦν οἱ ζητοῦντες προσπίπτειν λέγονται, ὑπίσχονται ἄρα καὶ ὑπολαμβάνουσιν αὐτοὺς χερσὶν οἷον ἀντιληπτικαῖς οἱ κατανεύοντες ὑποσχετικῶς. Ἔτι ὥσπερ ὑποστῆναι τὸ ὑπό τινα στῆναι ὑπερειστικῶς, οὕτως ὑποσχεθῆναι τὸ ὑπό τινα σχεῖν ἑαυτὸν ὁμοίως δι' ἀντίληψιν. διὸ καὶ ταὐτὸν παρὰ τῷ ποιητῇ ἔγνωσται τὸ ὑποστῆναι καὶ ὑποσχεθῆναι· ὅθεν ὁ ποιητὴς ὡς ἐν ἐτυμολογίας τρόπῳ συνεδύασεν αὐτὰ πρὸ ὀλίγου εἰπών «ὑπόσχεσιν ἥν περ ὑπέσταν». (v. 353) Σημείωσαι δὲ ὅτι τὸ «ἀστράπτων ἐπιδέξια» σολοικοφανές ἐστι καὶ ἀκαταλλήλως ἔχει πρὸς σύνταξιν. τὸ γὰρ ἀκόλουθον οὕτως ἂν εἶχε· «φημὶ κατανεῦσαι τὸν Δία ἀστράπτοντ' ἐπιδέξια». ὁ δὲ ποιητὴς οὐχ' οὕτως ἐποίησεν, ἀλλὰ τελείαν στιγμὴν θέμενος ἐν τῷ «Τρώεσσι φόνον καὶ κῆρα φέροντες», εἶτα ὡς ἀπ' ἄλλης ἀρχῆς ἀσυνδέτως ἀρχόμενός φησιν· «ἀστράπτων ἐπιδέξια» λείποντος τοῦ ἦν ὑπαρκτικοῦ ῥήματος, ἵνα λέγῃ, ὅτι ἀστράπτων ἦν ὁ Ζεὺς ἐπιδέξια.

1.360 καὶ ὅρα ὅπως τὸ σολοικοφανὲς ἤτοι καινοπρεπὲς τοῦτο σχῆμα εἰς δέον τέθεικεν ὁ ποιητής, ἢ ἵνα, ὥσπερ τὸ νόημα, οὕτω καὶ τὸ σχῆμα ξενίσῃ τὸν ἀκροατήν, ἢ καὶ ἀρχαΐζων ἢ καὶ μιμούμενος ῥήτορα ἐναγώνιον νοήμασιν ἑαυτὸν ἀπασχολοῦντα καὶ τοῦ καταλλήλου τῆς συντάξεως μὴ διόλου φροντίσαντα καὶ διὰ τοῦτο κινδυνεύσαντα εἰπεῖν τι καὶ σολοικοφανέστερον, οὐ μὴν σολοικίσαντα, ὅτι μηδὲ ἄκων περιπέπτωκε τῇ καινότητι τῆς συντάξεως, ἀλλ' ἐπίτηδες ἐτεχνάσατο. Παράγουσι δὲ ἐνταῦθα οἱ παλαιοὶ σχήματά τινα πρὸς ὁμοιότητα τοῦ ποιητικοῦ, οὐ πάντῃ μὲν ὅμοια, ὅμως δὲ σολοικοφανῆ, οἷον τοῦ Εὐριπίδου τὸ «πάλαι δέ ς' ἐξερωτῆσαι θέλων, σχολή μ' ἀπεῖργε». τοῦτο δὲ παντελῶς ἀθεράπευτα σολοικίζει. τὸ δὲ Ὁμηρικόν, ὡς ἐρρέθη, διὰ στιγμῆς θεραπεύεται. ὅμοιον δὲ καὶ τὸ «ἐξὸν καθεύδειν τὴν ἐρωμένην ἔχων», ἀντὶ τοῦ ἔχοντα. οὐκ ἔχει δὲ οὐδὲ τοῦτο θεραπείαν τινά. ὅτι δὲ πολλὰ καὶ παρ' ἄλλοις τῶν παλαιῶν ἀγαθῶν ῥητόρων σολοικοφανῆ καὶ οὕτω καινοπρεπῆ, δηλοῦται σαφῶς καὶ ἐν τοῖς τοῦ Φιλοστράτου. οὐκ ἀπήλλακται δὲ τοιούτων οὐδὲ ἡ τραγῳδία, ὡς δηλοῖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν Εὐριπίδου καὶ τὸ «ἦν δ᾽ ἔρις στρατηλάταις· οἱ μὲν πατάξαι τόνδε, οἱ δὲ τόνδε». καὶ τὸ «μέλλων δὲ πέμπειν μ᾽ Οἰδίπου κλεινὸς γόνος, ἐν τῷδ᾽ ἐπεστράτευσαν Ἀργεῖοι πόλει»· καὶ τὸ «πολλὰ δὲ πάλαι προκόψασα, οὐ πόνου πολλοῦ με δεῖ». [Καὶ Σοφοκλέους τὸ «ἀλλ᾽, εἰ δοκεῖ, χωρῶμεν, ἔνδοθεν λαβών, ὅτου σε πόθος ἔχει». Ἐναίσιμα δὲ τὰ μὴ ἁπλῶς σημαντικά τινος φυσικῶς, οἷον ὑετοῦ ἢ ἀνέμου ἢ χιόνος, ἀλλὰ αἴσης τῆς ἐν πρακτέοις ἀνθρωπίνοις, ἐφ᾽ οἷς χρεία μαντείας.] (v. 355) Τὸ δέ «πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναί τινα», ὡς καὶ πρὸ ὀλίγου γέγραπται, εἰς δέλεαρ τοῖς Ἕλλησι τοῦ ἔτι ἐν Τροίᾳ μένειν ὁ Νέστωρ προβάλλεται, δριμύτερόν τι τοῦ Ὀδυσσέως εἰπών. ὁ μὲν γὰρ Ὀδυσσεὺς αἰσχρὸν εἶπε κενεοὺς ἀπονοστῆσαι τοὺς Ἕλληνας, τουτέστι μὴ ἔχοντας ἁπλῶς λάφυρα, οἷς δήπου καὶ αἱ τῶν Τρώων ἄλοχοι συμπεριλαμβάνονται. ὁ δὲ Νέστωρ μόνων ἐμνήσθη τῶν γυναικῶν δριμέως, οὐ μόνον θυμῷ τῷ κατὰ τῶν Τρώων, οἷς μέγα πάντως εἰς κόλασιν τὸ τὰς γυναῖκας αὐτοῖς ὑπὸ τοῖς πολεμίοις γενέσθαι, ἀλλὰ καὶ ἐρεθίζων τὸ πλῆθος, ὅπερ ὡς ἐπὶ πολὺ τῶν τοιούτων ἡττᾶται καὶ μάλιστα, ὅταν εὐλογητὸς ᾖ ἡ ἡδονή, ὥς φασιν οἱ παλαιοί. καὶ νῦν μὲν οὕτω χαρίζεται τοῖς Ἕλλησιν ὁ Νέστωρ καὶ τοιοῦτον ἔπαθλον ὑπισχνεῖται τῷ μείναντι, παρακατιὼν δὲ θάνατον, ὡς ἐλέχθη, ἀπειλεῖται τῷ ἁψομένῳ πρὸ τῶν ἄλλων τῆς νηός.

1.361 ἀρετὴ γάρ, φασί, ῥήτορος τὰ μὲν χαρίζεσθαι τοῖς τοιούτοις τῷ δήμῳ, τὰ δὲ καταπλήττειν ἀπειλῇ κολάσεων ἢ καὶ ἄλλως ἐκφοβεῖν· ὅπερ Ὀδυσσεὺς οὐκ ἐποίησε κεχαρισμένα μᾶλλον δημηγορήσας τοῖς Ἕλλησι. Φασὶ δὲ ἐνταῦθα οἱ παλαιοὶ καὶ ὅτι τὸ «πρίν τινα παρὰ Τρώων ἀλόχῳ κατακοιμηθῆναι» δηλοῖ μὲν τὸ ἕκαστον τῶν Ἀχαιῶν Τρωϊκὴν σχεῖν παλλακήν. Ὀδυσσεῖ δὲ οὐκ ἔπρεπε ῥηθῆναι. διὸ καὶ παρῆκε μὲν αὐτὸ ἐκεῖνος. ἔδοξε γὰρ ἂν προσπαθῶς αὐτὸς ἔχειν τὰ ἐς Ἀφροδίτην, ἐὰν κατακοιμήσεως Τρωϊκῶν ἀλόχων ἐμέμνητο. ὁ μέντοι Νέστωρ ἤδη ἀφυβρίσας διὰ τὸ βαθὺ γῆρας καὶ τῶν τοιούτων παυσάμενος οὐ διὰ πάθος οἰκεῖον, ἀλλὰ διὰ τὸ ὑπερπαθεῖν τῶν Ἑλλήνων τοιαῦτα λέγειν δοκεῖ, ἀξιῶν δίκην τοῖς Ἀχαιοῖς δοῦναι τοὺς Τρῶας, ἐξ ὧν εἰς τὸν Μενέλαον αὐτοὶ ἐπλημμέλησαν ἐμπαροινήσαντες τῇ Ἑλένῃ. Ὅτι δὲ τὸ τινά καὶ ὅλως τὸ τίς ἔστιν ὅτε τῇ κατ᾽ αὐτὸ ἀοριστίᾳ ἰσοδυναμεῖ πρὸς τὸ ἕκαστος, δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ «ὥρα τιν᾽ ἤδη κρᾶτα καλύμματι κρυψάμενον» καὶ ἑξῆς. δηλοῖ γὰρ ὡς καιρός ἐστιν ἕκαστον τῶν Σαλαμινίων λαθόντα φυγεῖν. [Ἰστέον δὲ καὶ ὅτι σεμνῶς τε καὶ πρὸς ἀκρίβειαν ἐρρέθη τὸ «πρίν τινα» καὶ ἑξῆς. οὐ γὰρ εἶχεν εἰπεῖν πρὶν ἡμᾶς ἢ πρὶν πάντας πὰρ Τρώων ἀλόχοις κατακοιμηθῆναι, τά τε ἄλλα καὶ διότι οὔτε ὁ Νέστωρ εὔκοσμος εἰπὼν τοῦτο περὶ ἑαυτοῦ καὶ οὐδ᾽ ἂν σὺν ἅπασι καὶ ὁ Μενέλαος ἐθέλοι ἂν τοῦτο, καθὰ ἐν τοῖς ἑξῆς που σημειωθήσεται. Ὅρα δὲ καὶ τὸ κατακοιμηθῆναι δοκοῦν ἔμφασιν ἔχειν καταφορικὴν ἐξ ἀμύνης διὰ τῆς «κατά» ἐναντιωματικῆς προθέσεως. τὸ δὲ τοιοῦτον οἱ σεμνῶς παίξαντες κατελάσαι εἶπον. ὅτι δὲ τὸ τίς ἀόριστον καὶ εἰς καθολικὴν σημασίαν πληθύνεται διὰ τὸ ἀορισταίνειν, δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ «ὅστις γὰρ ἢ φρονεῖν μόνος δοκεῖ ἢ γλῶσσαν ἔχειν ὁμοίως ἢ ψυχήν, οὗτοι διαπτυχθέντες ὤφθησαν κενοί». τὸ γὰρ ὅστις ταὐτόν ἐστι τῷ ὅσοι, ἵνα λέγῃ, ὅτι ὅσοι φρονεῖν μόνοι δοκοῦσιν.] (v. 356) Ἐν δὲ τῷ «Ἑλένης ὁρμήματα στοναχάς τε» ὁρμήματα μὲν λέγει τὴν ἐξ ἀρχῆς ἑκουσίαν ἐξ ἁρπαγῆς ἔλευσιν αὐτῆς εἰς Τροίαν, στοναχὰς δὲ τὸν ἐπὶ τούτοις μετάμελον. Φιλέλλην γὰρ ὢν ὁ ποιητὴς καὶ διὰ τοῦτο τῆς Ἑλένης ὑπερπαθῶν ἀπελθεῖν μὲν αὐτὴν εἰς τὴν Τροίαν ἱστορεῖ οὐ δυνάμενος ἀντικαταστῆναι τῇ ἀληθείᾳ· μεταμέλεσθαι δὲ αὐτὴν πολλαχοῦ λέγει, ὡς ἐν τοῖς μετὰ ταῦτα φανήσεται· ὅπερ καὶ μόνον ἐστὶν ἁμαρτίας ἴαμα.

1.362 [σεμνῶς δὲ τὴν τῆς ἡρωΐδος ἑκούσιον συνακολούθησιν ἐς Τροίαν ὁρμήματα ὠνόμασεν οὐκ ἀνασχόμενος σκῶψαι τὴν βασιλίδα ἔξω καιροῦ.] (v. 359) Τὸ δέ «θάνατον καὶ πότμον ἐπίσπῃ» ἐκ παραλλήλου ἔχει ἐν ὁμοιότητι ἐννοίας κείμενα τὸν θάνατον καὶ τὸν πότμον. ταὐτὸν γὰρ ἐνταῦθα, ὡς καὶ ἀλλαχοῦ, ὁ πότμος τε καὶ ὁ θάνατος, [ὃ δὴ θεωρεῖται καὶ ἐν τῷ «θάνατόν τε μόρον τε».] Ὥσπερ δὲ ἐπισπών ὁ ἀκολουθήσας καὶ ἐπισπεῖν καὶ ἐπισπέσθαι τὸ ἀκολουθῆσαι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὕτω δὴ καὶ τὸ ἐπίσπῃ χρόνου δευτέρου ἀορίστου ἐστί. δηλοῖ δὲ τὸ καταδιῶξαι ἤτοι καταλαβεῖν, ὡς μὴ τοῦ θανάτου εἰς αὐτὸν ἐλθόντος, ἀλλ' αὐτοῦ καταδιώξαντος καὶ εὑρόντος αὐτόν. (v. 360) Ὅτι Ἡσιόδῳ μὲν δοκεῖ ἐκεῖνον πανάριστον εἶναι, ὃς ἑαυτῷ πάντα νοεῖ, πρὸς ἰδιώτην λαλοῦντι· δευτερεύειν δὲ τόν, ὃς ἂν ἑτέρῳ εὖ εἰπόντι πίθηται· εἰ καί τις ὕστερον μετέγραψεν, ὡς ἐκεῖνος μὲν πανάριστος, ὃς εὖ εἰπόντι πίθηται, ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς αὐτῷ πάντα νοήσει. Ὅμηρος δὲ βασιλεῦσι νόμον τιθεὶς εἰς δύο μερίζει τὴν εὐβουλίαν αὐτοῖς, τήν τε ἰδίᾳ καθ' ἑαυτούς, ναὶ μὴν καὶ τὴν σὺν τοῖς βουλευταῖς. φησὶ γοῦν διὰ τοῦ Νέστορος· «ἀλλ', ἄναξ, αὐτός τ' εὖ μήδεο πείθεό τε ἄλλῳ», εὖ δηλονότι μηδομένῳ· τοῦτο γὰρ ἀπὸ κοινοῦ. ἐντεῦθεν δὲ καὶ Ἡρόδοτος λαβὼν ἔφη τὸ «ἴσον, ὦ βασιλεῦ, κέκριται φρονέειν τε εὖ καὶ τῷ λέγοντι χρηστὰ ἐθέλειν πείθεσθαι». Ὅρα δὲ ὅτι ὁ Νέστωρ οὐκ εἶπεν, ὡς ἐμοὶ πείθου, ἀλλὰ ἄλλῳ, ὅστις ἂν εἴη ἐκεῖνος ὁ ἄλλος. (v. 362 s.) Καὶ εὐθὺς ἐπάγει τὴν συμβουλήν, ᾗτινι δέον ἐστὶ πεισθῆναι τὸν βασιλέα, καί φησι· «κρῖνε ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας, Ἀγάμεμνον». εἶτα τίθησιν αἰτίαν τῆς ἀξιώσεως εἰπών· «ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοις», τουτέστι μὴ συγκεχυμένως ἔα τοὺς Ἕλληνας μάχεσθαι, ἀλλὰ πρῶτον μὲν κατὰ φῦλα τούτους δίελε, ὅ ἐστι κατὰ ἔθνη, οἷον τοὺς Κρῆτας ἰδίᾳ, ἐν μέρει τοὺς Ἀθηναίους, ἑτέρωθι τοὺς Σαλαμινίους καὶ τοὺς ἄλλους ὁμοίως. εἶτα δὴ αὖθις αὐτὰ τὰ φῦλα κρῖνε, τουτέστι διαχώριζε κατὰ φρήτρας, ἤγουν κατά τινα τμήματα φυλετικὰ καὶ συγγενικά. φρήτρη γάρ, φασίν, ἐστὶν ἡ τριττὺς ἤγουν τὸ τρίτον τῆς φυλῆς, ἵνα μὴ μόνον τὰ ἑτερόφυλα φῦλα ἀλλήλοις ἀρήγῃ, ὡς ὑφ' ἑνὶ εὐρυκρείοντι τῷ Ἀγαμέμνονι ὄντα, ἀλλὰ καὶ ἕκασται φρῆτραι ἀλλήλαις διὰ τὸ σύμφυλον. ὡς βούλεσθαι τὸν Νέστορα ἕκαστον μὲν φῦλον ἰδίᾳ τάττεσθαι, μὴ εἶναι δὲ τὸ ὅλον φῦλον ὑπὸ ἑνὶ μόνῳ στρατηγῷ, ἀλλὰ κατὰ φρήτρας διαιρούμενον ἔχειν καὶ ὑποστρατήγους τινάς· εἷς γὰρ οὐκ ἂν ἐντελῶς δύναιτο πάντα ποιεῖν τὰ δέοντα.

1.363 Σημείωσαι δὲ ἐκ τούτων, ὅτι ἔοικεν ἢ μὴ γενέσθαι μέχρι τοῦ νῦν συστάδην μάχην Ἀχαιοῖς τε καὶ Τρωσὶν ἀλλὰ μόνον ἐκδρομάς τινας διὰ τὴν τοῦ Ἀχιλλέως πολεμαρχίαν καὶ τὸν ἐξ ἐκείνου φόβον—οὐ γὰρ ἂν ὁ Νέστωρ ἄρτι τοιαῦτα συνεβούλευεν, ἀλλ' ἦσαν ἂν ἐθάδες οἱ Ἕλληνες τῆς τοιαύτης διατάξεως—ἤ, εἰ καὶ ἐγένοντο μεγάλαι μάχαι, ἀλλ' οὐ κατὰ τὴν τάξιν ταύτην τοῦ γέροντος, οἷα τοῦ Ἀχιλλέως ἐξαρκοῦντος εἰς νίκην καὶ μόνου, κἂν ἄλλος ἔταττε τὰ στρατεύματα. Τὸ δὲ χρήσιμον τοῦ κατὰ φῦλα καὶ φρήτρας διακριθῆναι τοὺς Ἕλληνας οὐ μόνον, ὅτι πάντως ἂν εὐδοξεῖν σπουδάζοιεν παρὰ τοῖς εἰδόσιν ὁμοεθνέσι μαχόμενοι καὶ οὐκ ἂν οὐδὲ ὀκνηρῶς ἔχοιεν, ἵνα μὴ ἐλέγχοιντο, ἀλλὰ καὶ ὅτι καὶ οἱ κινδυνεύοντες βοηθοῖντο ἂν ὑπὸ τῶν συμφυλετῶν. οὐ γὰρ περιορῷεν ἂν οἱ τοῦ αὐτοῦ φύλου τοὺς οἰκείους κακῶς πάσχοντας, ὅπερ ὁ ποιητὴς καὶ νῦν ἐδήλωσεν ἐν τῷ «ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοις». ἐξηγήσατο δὲ καὶ ἐν τῷ «μεμαῶτες ἀλεξέμεν ἀλλήλοις». (v. 364—8) Ὁ δὲ Νέστωρ καὶ ἄλλως ἐπαινῶν ὡς ἀρίστην τὴν τοιαύτην τάξιν φησὶν ὅτι, ἐὰν οὕτω ποιήσῃς, καί τοι πείθωνται Ἀχαιοί, γνώσῃ ἄν, ὅστε τῶν ἡγεμόνων κακὸς ἢ ἐσθλός, ὅστε τῶν λαῶν ὁμοίως κακὸς ἢ ἐσθλός. κατὰ σφέας γὰρ μαχέονται, τουτέστιν, ἐπεὶ καθ' ἑαυτοὺς διακεκριμένοι μέλλουσι μάχεσθαι, φανήσονται οἵ τε ἀγαθοὶ λαοί τε καὶ ἡγεμόνες καὶ οἱ μὴ ἀγαθοί. καὶ τότε δὴ γνώσῃ, εἴτε θεσπεσίῃ πόλιν οὐκ ἀλαπάξεις ἢ ἀνδρῶν κακότητι καὶ ἀφραδίῃ πολέμοιο, τουτέστιν, ἐὰν κατὰ φῦλα καὶ φρήτρας τάξας τοὺς Ἕλληνας μηδὲν ἀνύσῃς, ἢ θεσπεσίᾳ, τουτέστι θείᾳ βουλῇ, τὴν πόλιν οὐκ ἀλαπάξεις, τῶν Ἀχαιῶν καλῶς δηλονότι πολεμησάντων, ἢ τῇ τῶν ἀνδρῶν κακότητι καὶ τῇ ἀπειρίᾳ τοῦ πολέμου, ἐὰν μὴ ὁλοψύχως δηλαδὴ ἢ καὶ ἀτέχνως μαχέσωνται· ἡ μὲν γὰρ τάξις ἀρίστη· ἢ δὲ θεὸς ἔβλαψεν ἢ ὁ λαός. [Ἐνταῦθα δὲ γράφουσιν οἱ παλαιοὶ καί, ὅτι τὸ μὲν γινώσκειν ἀλλήλους αἰσχύνεσθαι ποιεῖ, οἱ δὲ ἀγνοοῦντες ῥᾳδιουργοῦσιν ὥσπερ ἐν σκότει ὄντες. ποιεῖ δὲ ἀκριβῆ γνωριμότητα οὐ μόνον τὸ ὁμοῦ τὰ πλείω εἶναι, ὅπερ ἐπαινεῖ ὁ καλὸς Ξενοφῶν ἀξιῶν δεῖν εἶναι ξυσκηνοῦν τοὺς στρατιώτας, ἀλλὰ μάλιστα τὸ καὶ πατριώτας καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁμοφύλους ὑπάρχειν τοὺς συσκηνοῦντας, ὅπερ ὁ Ὁμηρικὸς Νέστωρ οἶδε φιλεῖν παραδιδοὺς αὐτὸ καὶ τοῖς εἰσέπειτα.] (v. 367) Ὅρα δὲ ὅπως τὴν Τροίαν δίχα τινὸς ἐπιθέτου πόλιν ὠνόμασε καὶ γέγονεν ἀρχὴ τῷ φιλομήρῳ Ἀλεξάνδρῳ τοῦ τὴν κατ' αὐτὸν Ἀλεξάνδρειαν οὕτω καλέσαι. φέρεται γὰρ ἱστορία πόλιν τὰς ἀρχὰς αὐτὸ τοῦτο δίχα προσθήκης κατ' ἐξοχὴν κληθῆναι τὴν Ἀλεξάνδρειαν.

1.364 καὶ τάχα διὰ τοῦτο καὶ Ὀδυσσεὺς παρὰ τῷ ποιητῇ πτολίπορθος, οὐχ' ὡς πολλῶν πόλεων πορθητής—τοῦτο γὰρ μᾶλλον τῷ Ἀχιλλεῖ πρέπον, ὡς προγέγραπται— ἀλλ' ὡς πορθητὴς διὰ τοῦ δουρείου ἵππου τῆς ἰδίως οὕτω λεγομένης πόλεως, ἤτοι τῆς Τροίας. (v. 360) Ἰστέον δὲ ὅτι ἐκ τοῦ «ἀλλ' ἄναξ», ὅπερ ἐνταῦθα παρὰ τῷ ποιητῇ κεῖται, ἀρχή τις ἐξοδίου κιθαρῳδικοῦ τὸ «ἀλλὰ ἀλλ' ἄναξ», ὡς ἱστορεῖ Αἴλιος Διονύσιος, ὥσπερ, φησί· κωμικοῦ μὲν ἥδε· «καλλιστέφανος», ῥαψῳδοῦ δὲ αὕτη· «νῦν δὲ θεοὶ μάκαρες τῶν ἐσθλῶν ἄφθονοί ἐστε», τραγικοῦ δέ «πολλαὶ μορφαὶ τῶν δαιμονίων». (v. 362) Ἰστέον δὲ ὅτι τὸ «κρῖνε κατὰ φῦλα» ταὐτόν ἐστι τῷ φυλοκρίνει, ὃ συνέθεντο οἱ μεθ' Ὅμηρον, καὶ ὅτι ἐξ Ὁμήρου παραφράσας Εὐριπίδης ἔφη τὸ «χωρίζουσι δ' ἀλλήλων λόχους», ὅπερ οὐδὲν ἀπέοικε κατὰ νοῦν τοῦ φῦλα κρίνουσιν ἀνδρῶν· καὶ ὅτι τὸ φρήτρη τινὲς μὲν ἀπὸ τοῦ φατρία παράγουσι κατὰ πλεονασμὸν τοῦ ρ καὶ συγκοπήν· ἄλλοι δὲ προτερεύειν φασὶ τὴν φρατρίαν μετὰ τῶν δύο ρ , καὶ ἀπ' αὐτῆς γίνεσθαι τὴν φατρίαν ἀποβολῇ τοῦ πρώτου ρ , λέγεσθαι δὲ ἐκ μὲν τῆς φρατρίας τοὺς φράτορας ἤτοι τοὺς συγγενεῖς καὶ συμφυλέτας καὶ τὴν φρήτρην τὴν αὐτὴν οὖσαν τῇ φρατρίᾳ, ἥτις ἐστὶ τρίτον φυλῆς λεγομένη καὶ τριττύς, ὡς προείρηται· ἀφ' ἧς φρήτρης καὶ ἀφρήτωρ παρὰ τῷ ποιητῇ, ὁ μεμονωμένος συγγενείας καὶ μὴ ἔχων φρήτρην, καὶ ὁ παρὰ τοῖς Ἀττικοῖς φράτωρ καὶ φράτιον τόπος, ἐν ᾧ οἱ τῆς αὐτῆς φρατρίας συνήγοντο. καὶ ταῦτα μὲν ἐκ τῆς φρατρίας. ἀπὸ δέ γε τῆς φατρίας φατριάζειν ἀττικῶς τὸ εἰς τὸ αὐτὸ συνιέναι. Αἴλιος δὲ Διονύσιος ἐν τῷ κατ' αὐτὸν ῥητορικῷ Λεξικῷ φησι· φατρία, ἣν Ἴωνες πατριάν. καὶ ὅτι φράτορες οἱ τῆς αὐτῆς φατρίας. οἱ δὲ ἀρχαῖοι φράτεράς φασι διὰ τοῦ ε , οὗ, φησίν, ἡ ὀρθὴ φράτηρ. Ἐν ἑτέρῳ δὲ ὁμοίῳ Λεξικῷ φέρεται, ὅτι φράτηρ Ἀττικοί φασιν, Ἴωνες δὲ διὰ τοῦ ω . οἱ δ' αὐτοὶ καὶ φρήτρην, ὃ καὶ φρατρία λέγεται. ὅθεν φρατρίζειν τὸ εἰς φρατρίαν συνιέναι. ἀλλαχοῦ δέ, ὅτι τεσσάρων οὐσῶν ποτε φυλῶν Ἀθήνῃσι πρὸς μίμησιν τῶν τοῦ ἐνιαυτοῦ ὡρῶν εἰς τρία ἑκάστην διεῖλον μέρη, ἤγουν εἰς φατρίας, ὅ ἐστι τριττῦς δώδεκα, καθ' ὁμοιότητα τῶν μηνῶν· ἑκάστην δὲ φατρίαν εἰς γένη τριάκοντα, καθάπερ ἡμέραι τριακόσιοι ἑξήκοντα· ὅθεν καὶ ἦν τι σύστημα κοινωνικόν, οἱ γεννῆται, ὅ ἐστιν οἱ ἐκ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φατρίας, ἤτοι τῶν ἐκ τοῦ αὐτοῦ γένους. καὶ ἦσαν οὗτοι, καθάπερ οἱ δημόται καὶ οἱ φράτορες, ἤδη δὲ καὶ οἱ πολῖται καὶ οἱ θιασῶται καὶ οἱ φυλέται καὶ οἱ λοχῖται καὶ οἱ ἐθνῖται καὶ οἱ δαιταλεῖς, νόμῳ τινὶ ἔχοντες κοινωνίαν.

1.365 ἔχει δέ, φησί, τὸ μὲν γένος ἄνδρας τριάκοντα, ἑκάστη δὲ φατρία, εἴτ' οὖν τριττύς, γένη τριάκοντα. Ἰστέον [δὲ ὅτι τε τὸ Ὁμηρικὸν κρίνειν, οἷον· «κρῖν' ἄνδρας» καὶ τὸν κριτὴν ποιεῖ, ὃς συγκεχυμένους ταραχωδῶς τοὺς ἀμφισβητοῦντας διαχωρίζει, καὶ ὅτι ἐκ τοῦ «κρῖν' ἄνδρας κατὰ φῦλα, κατὰ φρήτρας» παραβολὴν Ὅμηρος ἐν τοῖς ἑξῆς πορίζεται, καθ' ἣν εἰκάζει τὴν διὰ τῶν ἡγεμόνων διάκρισιν τῆς στρατιᾶς, ὥστε διακοσμηθῆναι εἰς μάχην πρὸς αἰπόλια διακρινόμενα ὑπὸ τῶν νομέων, ἐπειδὰν νεμόμενα γένωνται ἀναμίξ· (v. 360 s.) Καὶ ὅτι σεμνύνας ὁ ῥήτωρ ἤδη τὸν βασιλέα καὶ ἐπὶ πᾶσιν εἰπὼν τὸ «ἀλλ' ἄναξ», καὶ εὐθὺς καλλωπίσας γοργῶς ἐν τῷ «μήδεο καὶ πείθεο» καὶ θαρρήσας, οἷς ἐρρητόρευσε, συνιστᾷ εὐθὺς ἀξιωματικῶς ἑαυτὸν ἐπαγαγών, ὅπερ πᾶς] ὁ θαρρῶν εὖ λέγειν εἴπῃ ἄν, [ἤγουν] τὸ «οὔτι ἀπόβλητον ἔπος ἔσσεται, ὅττι κεν εἴπω». (v. 367) [Ἔτι ἰστέον καὶ ὅτι τὸ θεσπεσίῃ οὐ μόνον ἔλλειψιν, ὡς ἐρρέθη, ἔχει τοῦ βουλῇ ἢ γνώμῃ ἢ κελεύσει, ἀλλὰ καὶ ἄλλως ἑρμηνεύεται ἀντὶ τοῦ θεσπεσιότητι, θειότητι.] (v. 370) Ὅτι ἔστιν ἰδεῖν τὸ τοῦ βασιλέως φιλάληθες ἐν τῷ «ἦ μὴν αὖτ' ἀγορῇ νικᾷς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γέρον υἷας Ἀχαιῶν». οὐ γὰρ ἐν πᾶσι πάντων ὑπερτίθησι τὸν Νέστορα, ἀλλ’ ἐν μόνῃ τῇ ἀγορᾷ ἤτοι τῇ δημηγορίᾳ. οἶδε γὰρ ὅτι, ὡς καὶ προεγράφη, Ὀδυσσεὺς μὲν κεχαρισμένα εἶπε τῷ δήμῳ, Νέστωρ δὲ τῷ βασιλεῖ· καὶ Ὀδυσσεὺς μὲν ὅτι δεῖ μένειν καὶ μὴ φεύγειν εἰσηγήσατο, ὁ δὲ Νέστωρ καὶ τί δεῖ πράττειν μένοντας ἐδημηγόρησε τάξας τε καὶ ἀναθαρρύνας εἰς πόλεμον· καὶ Ὀδυσσεὺς μέν, καίτοι προκαταλαβὼν τὰ νοήματα, ὅμως οὐχ’ οὕτω σεμνῶς πάνυ ἐλάλησεν, ὁ δὲ Νέστωρ δεύτερος ἐλθὼν οὕτω δυνατὸς ἐφάνη, ὥστε ἀπὸ τῶν αὐτῶν τόπων ὡρμημένος οὐ μόνον ὑψηλότερον ἐδημηγόρησεν, ἀλλὰ καὶ ἄλλα ἔδοξεν εἰπεῖν. διὸ καὶ ἐκεῖνον μὲν ὁ ὄχλος ἐπῄνεσεν ὡς οἷα φιλόδημον, τὸν δέ, καθὰ ἐρρέθη, ὡς φιλοβασιλέα ὁ φιλούμενος βασιλεὺς ὑπερθεὶς αὐτὸν πάντων Ἀχαιῶν κανόνι τοιούτῳ· Ὁ Ὀδυσσεὺς Ἑλλήνων σοφώτερος, Νέστωρ δὲ καὶ αὐτοῦ Ὀδυσσέως καὶ πάντων ἄρα τῶν Ἀχαιῶν. Ὅρα δὲ τὸ «γέρον» οὐ μάτην λεχθέν, ἵνα δείξῃ τὴν αἰτίαν τοῦ πάντας νικᾶν αὐτὸν τῇ ἀγορᾷ. εἰ γὰρ γέρων καὶ πολύπειρος· Ἐμπειρία δὲ μήτηρ φρονήσεως. Σημείωσαι δὲ ὅτι σοφωτέρα μὲν ἡ δημηγορία τοῦ Νέστορος, λυσιτελεστέρα δὲ ἡ τοῦ Ὀδυσσέως ἐνέργεια τοῦ καὶ κατασχόντος τοὺς Ἕλληνας καὶ δόντος καιρὸν δημηγορίας τῷ Νέστορι. διὸ καὶ Ὅμηρος ἐθείασεν αὐτὸν ἐν τῷ εἰπεῖν «μῦθον ἐπαινήσαντες Ὀδυσσῆος θείοιο». καὶ ὅτε δὲ εἴπῃ τὸν μὲν Νέστορα δίχα ἐπιθέτου ἐν τῷ «Νέστορα μὲν πρώτιστον», τὸν δὲ Ὀδυσσέα μετὰ ἐπαίνου ἐν τῷ «ἕκτον δὲ Ὀδυσσῆα, Διῒ μῆτιν ἀτάλαντον», ἐμφαίνει ὡς ὁ μὲν Ἀγαμέμνων τὸν Νέστορα τιμᾷ, αὐτὸς δὲ ὁ ποιητὴς τὸν Ὀδυσσέα κρείττονα ἥγηται, εἰς ὃν καὶ βιβλίον ὅλον ἐποίησε, τὴν Ὀδύσσειαν.

1.366 [Ὅρα δὲ ὅτι ἐνταῦθα μὲν ἠθικῶς ὡς ἐν θαύματι κεῖται τὸ «ὦ γέρον», ἐν δὲ τῇ α′ ῥαψῳδίᾳ τὸ μέν «μή σε, γέρον, κιχείω» ἐνταῦθα βαρύτητα σκωπτικὴν εἶχε· τὸ δέ «ἔδδεισε δ’ ὁ γέρων» οἴκτῳ κέκραται.] (v. 371 s.) Ὅτι ὁ βασιλεὺς ἀποδεξάμενος τὴν τοῦ Νέστορος συμβουλὴν εὔχεται οὕτως· «εἴθε τοιοῦτοι δέκα μοι συμφράδμονες εἶεν Ἀχαιῶν». καὶ ἔστιν ὁ λόγος χρήσιμος εἰς ἐγκώμιον συμβούλου χρηστοῦ. κατηνέχθη δέ, φασίν, ἐπὶ ταύτην τὴν εὐχὴν ὁ βασιλεύς, ἵνα τῇ τοῦ ἐπαίνου ὑπερβολῇ προτρέψῃ τοὺς Ἀχαιοὺς πείθεσθαι ταῖς τοῦ γέροντος παραινέσεσι. Τὸ δέ «τοιοῦτοι συμφράδμονες» ἀντὶ τοῦ οἷς ἡ αὐτὴ ἕξις τοῦ λόγου· οὐ μὴν οἱ τὰ αὐτὰ συμβουλεύοντες. τίς γὰρ χρεία, φασί, τῶν δέκα ἢ τῶν πλειόνων, ἐὰν ἀπαραλλάκτως ἔχουσα οὐδὲν αὐτοῖς διοίσει ἡ συμβουλή. Σημειοῦνται δὲ οἱ παλαιοὶ ἐν τούτοις καί, ὅτι δῆλός ἐστιν ὁ ποιητὴς προτιμώμενος τὰ ψυχικὰ τῶν σωματικῶν. ἐνταῦθα μὲν γὰρ δέκα Νέστορες ἐπαρκέσουσι τῷ βασιλεῖ πρὸς τὴν τῆς Ἰλίου ἅλωσιν· τοὺς δὲ Αἴαντας ὀτρύνων εἰς πόλεμον οὐκ ἀριθμῷ τινι στενοχωρεῖ, ἀλλὰ εὔχεται, ἵνα τοῖος πᾶσιν Ἀχαιοῖς θυμὸς ἐνὶ στήθεσι γένοιτο· μονονουχὶ λέγων, ὅτι Νέστορες μὲν αὐτῷ ἐὰν δέκα γένοιντο, ταχὺ ἂν ἡ πόλις τοῦ Πριάμου πέσοι χερσὶν ὑφ’ ἡμετέραις ἁλοῦσα· Αἴαντες δὲ οὐ μετρητοί τινες ἐξαρκέσουσιν, ἀλλὰ χρὴ πᾶν τὸ στράτευμα κατὰ τοὺς Αἴαντας εἶναι. Ὑπερτίθησιν οὖν τῆς ἀνδρίας τὴν φρόνησιν, καθὰ καὶ Εὐριπίδης φησί· «σοφὸν ἓν βούλευμα τὰς πολλὰς χεῖρας νικᾷ». Σκοπητέον δέ, εἰ ἐξ Ὁμήρου εἴληφε τὴν ἀρχὴν ὁ κατὰ κόκκους ῥοιᾶς εὐξάμενος ἑαυτῷ εἶναι Μεγαβύζους. Ἀγαμέμνονος γὰρ δέκα εὐξαμένου ἔχειν ἄνδρας κατὰ Νέστορα, τῶν τις παρὰ Ἡροδότῳ βασιλέων ἁδρὰν ῥοιὰν ἀνασχίσας καὶ ἐρωτηθείς, τί ἂν τῶν τιμίων ἔχειν βούλοιτο, κατὰ ποσότητα τῶν τῆς ῥοιᾶς κόκκων, Μεγαβύζους εἶπε ἐθέλειν αὐτῷ τοσούτους εἶναι. μέγας δὲ ἦν καὶ λόγου πολλοῦ ἄξιος ἀνὴρ ὁ Μεγάβυζος παρ’ αὐτῷ. (v. 373 s.) [Κεῖται δ’ ἐν τούτοις καὶ ἡ ὑπο πρόθεσις μετὰ δοτικῆς λόγῳ ἀντιπτώσεως. φησὶ γάρ, ὡς οὕτως ἂν τάχ’ ἠμύσειε πόλις Πριάμοιο χερσὶν ὑφ’ ἡμετέρησιν ἁλοῦσά τε περθομένη τε, ἤγουν ὑπὸ τῶν ἡμετέρων χειρῶν. ὡς δὲ ταὐτολογεῖται τὸ «ἁλοῦσά τε περθομένη τε» καὶ ὡς ἠμύειν τὸ ἐπικλίνεσθαι καὶ καταπίπτειν ἐστί, πολλαχοῦ φανεῖται.

1.367 Τὸ δέ «τάχ’ ἠμύσειε» παλαιὸν μὲν ἄνδρα οὐκ ἂν παρήγαγεν, ὡς ἐθάδα τῶν τοιούτων· τοῦ δὲ νῦν γένους τινὲς πλανηθεῖεν ἂν δοκοῦντες ἀκούειν τάχει, εἶτα κατ’ ἰδίαν μύσειε, νόμῳ δηλαδὴ σχεδικῷ.] (v. 377 s.) Ὅτι ὁ ποιητής, ὡς ἀλλαχοῦ φαίνεται, κατὰ ποσά τινα διαστήματα μέμνηται

τοῦ Ἀχιλλέως, ἐν λόγῳ πολλῷ τὸν ἄνδρα τιθέμενος καὶ θέλων μὴ ἀπαλιφῆναι τὴν αὐτοῦ μνήμην τῆς ψυχῆς τῶν ἀκροατῶν. ποιεῖ γοῦν καὶ ἐνταῦθα τὸν βασιλέα λέγοντα, ὅτι ἐγὼν Ἀχιλλεύς τε μαχεσσάμεθα εἵνεκα κούρης. ἔνθα καὶ ὁμολογεῖ, ὅτι ἐγὼ ἦρχον χαλεπαίνων. οὐ σπεύδει μέντοι πρὸς καταλλαγὴν διά τε τὸ μὴ ἐπικεῖσθαι ἀνάγκην καὶ διότι καὶ πέποιθε τῷ ὀνείρῳ. Ὅρα δὲ ὅτι οὐκ ἄλλο τι ἑαυτὸν τῆς ἔριδος ὁ βασιλεὺς ᾐτιάσατο, ἀλλ' ὅτι μόνον αὐτὸς κατήρξατο χαλεπαίνων. τὴν γὰρ αἰτίαν τοῦ ἀπράκτως ἐρίσαι τῷ Διῒ ἀνέθετο εἰπών· [«ἀλλά μοι Ζεὺς ἄλγε' ἔθηκεν,] ὅς με μετ' ἀπρήκτους ἔριδας καὶ νείκεα βάλλει». ἐνταῦθα δὲ παρασημειοῦνται οἱ παλαιοί, ὅτι εὐεπίφοροι κατὰ θεοῦ οἱ ἀτυχεῖς. (v. 378) Ὅρα δὲ τὸ ἐξ ὁμωνυμίας τοῦ ἄρχειν ἀστεῖον νόημα ἐν τῷ «ἐγὼ δ' ἦρχον χαλεπαίνων». οἱονεὶ γὰρ λέγει, ὅτι οὐκ ἦρχον πολεμῶν ἢ παρατασσόμενος οἷα βασιλεὺς κατὰ τὸ «ἄρχευ Ἀργείοισιν», ἀλλὰ προκατῆρξα τοῦ χαλεπαίνειν. τὸ δὲ τοιοῦτον ἄρχειν καὶ κατάρχειν λέγεται παρὰ τοῖς ὕστερον καὶ ὑπάρχειν, ἐξ οὗ καὶ ἡ ὑπαρχή. καὶ Ὅμηρος μὲν μετοχῇ αὐτὸ συνέταξεν, οἱ δὲ μεθ' Ὅμηρον καὶ γενικῇ αὐτὸ συντάσσουσιν, οἷον· ἄρχω ἀπειλῆς ἢ μάχης. ἔστι δ' ὅτε παθητικῶς προφέροντες καὶ αἰτιατικὴν ποιοῦσιν ἐν αὐτῷ σύνταξιν, οἷον καὶ τὸ «κατάρχομαι νόμον Βακχεῖον». (v. 379 s.) Ὅτι φαίνεται ὁ βασιλεὺς δύσελπις ἤδη ὢν εἰς τὴν τῆς Ἰλίου ἅλωσιν διὰ τὸ μὴ πανσυδίῃ, ὡς προείρηται, εἰς μάχην ἐξιέναι κατὰ τὸν ὄνειρον ἤγουν πανστρατιᾷ. φησὶ γοῦν ὅτι, «εἴ ποτε ἔς γε μίαν βουλεύσομεν, οὐκέτ' ἔπειτα Τρωσὶν ἀνάβλησις κακοῦ ἔσεται οὐδ' ἠβαιόν». ὥστε φόβος αὐτὸν ὕπεισιν ἀναβολῆς ἄρτι, ἐπείπερ εἰς μίαν οὐ βουλεύουσι λειπόντων τῶν Μυρμιδόνων. καὶ ὅρα τὸ μίαν· ἀπὸ κοινοῦ γὰρ ἐνταῦθα ληπτέον ἐκ τοῦ βουλεύειν ῥήματος ὄνομα τὴν βουλήν, ἵνα λέγῃ ὅτι εἰς μίαν βουλὴν βουλεύσομεν. Ἀνάβλησιν δὲ λέγει τὴν ἀναβολὴν καὶ παράτασιν ἀπὸ τοῦ ἀναβάλλεσθαι, ὃ δηλοῖ τὸ ἀργεῖν. [Ἰστέον δὲ ὡς οἴδασι μὲν ἀνάβλησιν οἱ βλῆσιν λέγοντες, ἀφ' ἧς παρ' αὐτοῖς τὸ βλησείδιον. πλὴν κοινότερον ἡ ἀνάβλησις ἀναβολὴ λέγεται, ὅθεν ὁ ἀμβολιεργός.] (v. 381—4) Ὅτι ὀτρύνων στρατηγικῶς ὁ Ἀγαμέμνων εἰς μάχην τοὺς Ἕλληνας οὕτω φησίν· «ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα· εὖ μέν τις δόρυ θηξάσθω, εὖ δ' ἀσπίδα θέσθω, εὖ δέ τις ἵπποισι δεῖπνον δότω, εὖ δέ τις ἅρματος ἀμφὶς ἰδὼν πολέμοιο μεδέσθω».

1.368 καὶ αἰτίαν τῆς τοιαύτης παραγγελίας ἐπάγει τοιαύτην· (v. 385—7) «ὡς ἂν πανημέριοι στυγερῷ κρινώμεθα Ἄρηϊ», οὗπερ μὴ γενέσθαι φησὶ παῦσίν τινα, «εἰ μὴ νὺξ ἐλθοῦσα διακρινέει μένος ἀνδρῶν», ἑρμηνεύων οὕτω τὸ πανημέριοι. εἶτα διασκευάζει καὶ τὸν ἐν τῇ μάχῃ μόχθον, εἰπών· (v. 388—90) «ἱδρώσει μέν τευ τελαμὼν ἀμφὶ στήθεσσιν ἀσπίδος ἀμφιβρότης, περὶ δ' ἔγχεϊ χεῖρα καμεῖται· [ἱδρώσει δέ τευ ἵππος ἐΰξοον ἅρμα τιταίνων».] εἶτα βασιλικῶς ἐπισφραγίζων φόβῳ κολάσεως τὴν συμβουλήν φησιν· (v. 391—3) «Ὃν δ' ἂν ἐγὼν ἀπάνευθε μάχης ἐθέλοντα νοήσω μιμνάζειν παρὰ νηυσὶ κορωνίσιν, οὔ οἱ ἄρκιον ἐσεῖται φυγέειν κύνας ἠδ' οἰωνούς». καθάπερ γὰρ δίκαιον θάνατον πρὸ μικροῦ ὁ Νέστωρ τῷ λειποτάκτῃ ὥρισεν, οὕτω κἀνταῦθα ὁ βασιλεύς. λειποτάκτης γὰρ οὐ μόνον ὁ πρὸ τῶν ἄλλων φεύγων, καθάπερ ἐκεῖ, ἀλλὰ καὶ ὁ τῶν ἄλλων μαχομένων αὐτὸς μένων ἐν ταῖς σκηναῖς. Αὐστηρότερον δὲ τὸ τοῦ βασιλέως. ὁ Νέστωρ μὲν γὰρ θάνατον ἁπλῶς ἠπειλήσατο, ὁ δὲ Ἀγαμέμνων καὶ ἄταφον ῥιφῆναί φησι τὸν θανόντα καὶ μηδέν τι αὐτῷ ἄρκιον γενέσθαι, ἤγουν ἐπαρκέσαι, εἰς τὸ μὴ γενέσθαι κατάβρωμα κυνῶν τε καὶ οἰωνῶν, ὅπερ ἕλωρ κύνεσι καὶ οἰωνοῖσιν ἐν τῇ ἀρχῇ τῆς Ἰλιάδος εἶπεν ὁ ποιητής. (v. 381) Ἰστέον δὲ ὅτι καὶ ἐν ἄλλοις εὑρίσκεται ὁ ποιητὴς πρὸ τοῦ πολέμου παρεισάγων δειπνοποιουμένους τοὺς στρατιώτας. ἔστι δὲ δεῖπνον τὸ ἑωθινὸν ἄριστον, ὥς φασιν οἱ παλαιοί, ὃ κατ' ἀνάγκην πρὸ τοῦ δέοντος ποιοῦνται καιροῦ, ὡς ἂν ἐν τῷ πονεῖν στηρίζοιντο τῇ τροφῇ· ὅθεν καὶ δεῖπνον τὸ τοιοῦτον πρωϊνὸν ἔμβρωμα λέγεται ἐπί τε ἀνθρώπων, ὡς τὸ «ἔρχεσθ' ἐπὶ δεῖπνον» καὶ ἐπὶ ἀλόγων, ὡς τὸ «εὖ δέ τις ἵπποισι δεῖπνον δότω», παρὰ τὸ δεῖν πονεῖν. Δῆλον δὲ ὅτι δεῖπνον καὶ τὸ πρὸς ἑσπέραν ἐλέγετο, ὡς καὶ παρ' Εὐριπίδῃ ἐν Ἑκάβῃ· καὶ ἁπλῶς δὲ πᾶσα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τροφή. Τὸ δὲ παρ’ Αἰσχύλῳ «ἄριστα δεῖπνα δόρπα θ’ αἱρεῖσθαι τρία», [ἢ μάλιστα «τρίτα» κατὰ τοὺς παλαιούς,] κακῶς ῥηθῆναι κρίνουσιν οἱ παλαιοί. οὐδὲ μνηστῆρες γάρ, φασίν, οὐδὲ Κύκλωψ τρισὶ τροφαῖς ἐχρῶντο. περὶ δὲ τούτου ῥηθήσεται καὶ ἀλλαχοῦ, ἔνθα καὶ περὶ δόρπου καὶ ἀρίστου λεχθήσεται.

1.369 Ἰστέον δὲ καὶ ὅτι τὸ «νῦν δ’ ἔρχεσθ’ ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα» ἐπαίχθη εὐφυῶς πρός τινος τῶν παλαιῶν ἐπί τινων δαιτυμόνων εἰωθότων ἐν αὐτῷ τῷ πότῳ κινεῖν μεγάλας ἔριδας. Ἔφη γὰρ ἐκεῖνος πρὸς τοὺς τοιούτους τὸν Ὁμηρικὸν τοῦτον στίχον σκώπτων εἰς τὸ φιλόνεικον καὶ οἱονεὶ λέγων, ὅτι ἔρχεσθε ἐπὶ δεῖπνον, ὡς ἂν μάχην κινήσωμεν. [Ἐξ οὗ συντελεῖταί τι καὶ εἰς τὸ τὴν μέθην καλεῖσθαι θώρηξιν διὰ τοῦ κατ’ ἀρχὴν ω μεγάλου καὶ η παραλήγοντος, ὡς τῶν μεθυόντων ἑτοίμως ἐχόντων καὶ θώρηκας φορεῖν καὶ ὅπλα αἴρειν ἐπὶ πληγαῖς· ὧν αἴνιγμα καὶ τὸ κερασφόρον ταῦρον ἐπονομάζεσθαι τὸν Διόνυσον. Καὶ μήν τινες τὴν ῥηθεῖσαν θώρηξιν, περὶ ἧς καὶ ἀλλαχοῦ δηλοῦται, διὰ τοῦ ο μικροῦ καὶ τοῦ ι γράφουσιν, ἢ ὡς ἀπὸ τοῦ θόρω τὸ πηδῶ, οὗ παράγωγον θορίσσω, ὡς φοινίσσω, δεδίσσω—θοῦροι γὰρ καὶ ὁρμητίαι οἱ τῇ μέθῃ κάτοχοι καὶ ποιητικῶς εἰπεῖν «θοῦριν ἐπιειμένοι ἀλκήν»—ἢ καὶ ἀπὸ τοῦ θορός, τὸ ζωϊκὸν σπέρμα· φίλοιφον γὰρ τὸ μεθύον. Διὸ οὐ μόνον οἱ ὀχευτικοὶ Σιληνοὶ καὶ Σάτυροι τῷ Διονύσῳ οἴνῳ ἀνεῖντο, ἀλλὰ καὶ ὁ τὴν αἰδῶ πολὺς Πρίηπος, ὃς καὶ εἰς ἐπίθετον τῷ Διονύσῳ ἔκειτο, καθὰ γράφει Ἀθήναιος.] Τὸ δέ «συνάγειν Ἄρηα» διὰ τὰ δύο στρατεύματα τὰ ἐναντία εἴρηται, ὧν συναγομένων ἡ μάχη ἀρτύνεται. ἄλλως γὰρ ῥήγνυσθαι ὁ πόλεμος λέγεται οὐ μόνον ὑπὸ ῥηξήνορός τινος, ἀλλὰ καὶ ἐν αὐταῖς ταῖς συμβολαῖς, τῶν μὲν ἐνταῦθα, τῶν δὲ ἐκεῖ καὶ ἄλλων ἀλλαχοῦ μαχομένων· ἐρράγη γοῦν μάχη. καὶ συρρῆξαι καὶ ῥαγῆναι πόλεμόν φασιν οἱ ῥήτορες. ἐναντίον δὲ τὸ συνάγειν καὶ τὸ διακρίνειν. πρωῒ μὲν οὖν ὁ βασιλεὺς πόλεμον συνάγειν θέλει, νυκτὸς δὲ ἐλθούσης διακρινεῖ αὐτόν. (v. 382) Τὸ δέ «εὖ δόρυ θηξάσθω, εὖ ἀσπίδα θέσθω, εὖ πολέμοιο μεδέσθω» ὡράϊσται κατὰ κάλλος ῥητορικὸν συμπλακέντων ἐνταῦθα δύο σχημάτων περικαλλῶν, ἐπαναφορᾶς τε καὶ παρισώσεως. Ἔστι δὲ ἐπαναφορὰ μὲν τὸ εἰς τὴν αὐτὴν λέξιν ἐπανιέναι, οἷον ἐνταῦθα εἰς τὸ εὖ· τετράκις γὰρ ἐν ἀρχῇ στίχων κεῖται τὸ εὖ. τοιοῦτον δὲ καὶ τὸ «ἱδρώσει τελαμών, ἱδρώσει δὲ ἵππος». Πάρισον δὲ τὸ ἐν τῷ τέλει τῶν λέξεων ὁμοιοτέλευτον, οἷον τὸ θηξάσθω, θέσθω, μεδέσθω. Δόρυ δὲ νῦν μὲν τὸ πολεμικόν, ἄλλως δὲ δόρυ ἁπλῶς πᾶν ξύλον καὶ αὐτὸ τὸ ἐν δένδροις, ὡς τὸ «οὐ γάρ πω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης». γίνεται δέ, ὥσπερ ξύλον ἀπὸ τοῦ ξύω, οὕτω δόρυ ἀπὸ τοῦ δέρω, ὃ καὶ τὸ ξύω δηλοῖ· ὅθεν καὶ δρύπτεσθαι τὸ ξέεσθαι ἀπὸ τοῦ δόρυ δορύπτω καὶ συγκοπῇ δρύπτω.

1.370 ἐντεῦθεν καὶ δορίδες κατὰ Αἴλιον Διονύσιον μαγειρικαὶ τράπεζαι. [Δῆλον δὲ ἐνταῦθα ὡς δόρυ θήγεται οὐ τὸ ξύλον αὐτό, ἀλλ’ ἡ ἐν ἄκρῳ σιδηρᾶ ἐπιδορατὶς λαχοῦσα ὡς μέρος τὸ καὶ αὐτὴ καλεῖσθαι δόρυ, καλουμένη ἐν κυριολεξίᾳ καὶ αἴχμη παρὰ τὸ αἷμα χέειν τῇ ὀξύτητι. ὅθεν ἡ τραγῳδία τολμήσασα «αἰχμὴν βέλεος» εἶπε τὴν ὀξύτητα τοῦ σιδήρου, δι’ οὗ Οἰδίπους τετύφλωτο.] Τὸ δέ «εὖ δόρυ θηξάσθω, εὖ δ’ ἀσπίδα θέσθω» παροιμίαν ἐποίησε τὸ «σὺν δορὶ σὺν ἀσπίδι» ἐπὶ τῶν παντὶ τρόπῳ πρᾶξαί τι πειρωμένων. (v. 384) Τὸ δὲ ἅρμα νῦν μὲν ἑνικῶς εἶπεν ὁ ποιητής· ἐν δὲ τοῖς ἑξῆς πάνυ σπανίως εὑρεθήσεται τοῦτο ποιήσας, πληθυντικῶς μάλιστα τῷ ὀνόματι χρώμενος κατὰ ἔθος οἰκεῖον. εἴωθε γὰρ πολλὰ τῶν ἑνικῶν πληθύνειν, ὡς εἴρηται. Ὅτι δὲ ἡ τοῦ ἅρματος λέξις καὶ ἐπὶ ὅπλου λέγεται καὶ ὅτι Ῥωμαϊκὸν τοῦτο καὶ ὅτι διὰ τοῦτο οὐδὲ ὁμωνυμία ἐντεῦθεν γίνεται, δηλοῦσιν οἱ παλαιοὶ σοφοί. ἐπιμελεῖσθαι δὲ τῶν ὅπλων ὁ βασιλεὺς παραινεῖ, ὅτι τε στρατιώτου δεῖγμα καὶ τὸ τοιοῦτον καὶ ὅτι τῶν ὅπλων ἠμελημένων πολλὰ πολλάκις οἱ πολεμισταὶ βλάπτονται. Ἐκ τοῦ Νέστορος δὲ ὠφελημένος ὁ βασιλεὺς μετὰ τὴν δημηγορίαν τακτικῶς λαλεῖ, ἵνα μὴ ἀκούσῃ καὶ αὐτὸς παισὶν ἐοικότα δημηγορεῖν, οἷς οὔ τι μέλει πολεμήϊα ἔργα· διὸ μέμνηται πολεμικῶν. [Τὸ δέ «ἀμφὶς ἰδών», ἀντὶ τοῦ κύκλῳ ἤτοι πάντοθεν, ἀπὸ τῆς ἀμφί προθέσεως, οὕτω καὶ αὐτῆς δηλούσης ἐν τῷ «νῆσος ἀμφιρύτη» καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμφίαλος. τὸ μέντοι «ἀμφὶς φράζονται» σημασίαν ἑτεροίαν ἔχειν ἐφάνη πρὸ τούτων.] (v. 385) Τὸ δέ «στυγερῷ κρίνεσθαι Ἄρηϊ» ἀντὶ τοῦ συνεῖναι καὶ ὁμοῦ εἶναι τῷ Ἄρει καὶ ὡς ὑπ' αὐτῷ κριτῇ τὸ μάχιμον ἔργον μεταχειρίζεσθαι· ἢ καὶ ἄλλως τὸ κρινώμεθα ἀντὶ τοῦ συγκρινώμεθα, ἀναμισγώμεθα, συγχεώμεθα, οὗ τὸ ἀνάπαλιν διακρίνεσθαί ἐστιν, ὡς καί, ὅτε τοὺς αἰπόλους φησὶ τὰ αἰπόλια διακρίνειν καὶ ὡς ἡ νὺξ ἐλθοῦσα διακρινέει μένος ἀνδρῶν. Ἐναντίον γὰρ τὸ συγκρίνειν καὶ τὸ διακρίνειν, ἃ καὶ αὐτὰ γενικῷ ὀνόματι κρίνειν λέγονται, οἷον· «στυγερῷ κρινώμεθα Ἄρεϊ», ἀντὶ τοῦ συγκρινώμεθα· καὶ «κρῖνε ἄνδρας», ἀντὶ τοῦ διάκρινε· καὶ «ἔθυνον κρίνοντες», ἀντὶ τοῦ διακρίνοντες. (v. 388) Τὸ δέ «ἱδρώσει τελαμὼν ἀσπίδος», ἀντὶ τοῦ ὑγρανθήσεται τῷ ἐκ τῶν στηθέων πολλῷ ἱδρῶτι· οὐ γὰρ αὐτὸς ἐκεῖνος ὁ τελαμὼν ἱδροῖ, [ὡς ὁ ἵππος.

1.371 ] Τελαμὼν δὲ νῦν λῶρος πλατύς, δι' οὗ ἡ ἀσπὶς ἀνεφέρετο· διὸ καὶ ἀναφορεὺς ὁ αὐτὸς ἐλέγετο. Ἐνταῦθα δὲ σημειοῦνται οἱ παλαιοί, ὅτι οὔπω τότε πόρπακας εἶχον αἱ ἀσπίδες, ἀλλ' ὑπὸ τελαμώνων διῳκοῦντο διηκόντων ἀπ' ἄκρου εἰς ἄκρον. φανήσεται γὰρ ἐν τοῖς ἑξῆς, ὅτι ἐν τῷ μέσῳ κανόνιόν τι τὸ παλαιὸν εἶχεν ἡ ἀσπίς. οὔπω γὰρ ἐπενοήθησαν οἱ νῦν χιαστοὶ πόρπακες, οἳ καὶ ὄχανα λέγονται. λέγεται δὲ καὶ ὁ τελαμών, ὡς καὶ ὁ τάλας, ἀπὸ τοῦ ταλάσσω, τὸ καρτερῶ, οἱονεὶ ταλαμών, ὁ καρτερικὸς καὶ βαστακτικός. [Τὸ δὲ μῦ ἀπὸ πλεονασμοῦ παραγωγικοῦ ἔχει, ὡς καὶ ὁ πλαταμών. τελαμὼν δὲ ἀσπίδος πρὸς διαστολὴν ἑτέρων ἐρρέθη, ὧν εἷς καὶ ὁ τοῦ ξίφους. εἰ δέ τι καινὸν δοκεῖ τελαμῶνι τοιούτῳ ὁμωνυμεῖν τὸν ἥρωα τὸν ἐξ Αἰακοῦ, ἐνθυμητέον ὅτι καὶ ὁ Δοῦρις, ἀνὴρ ἱστορικός, εἰ καὶ μὴ ὁμωνυμεῖ, ἀλλ' οὖν παρωνόμασται δόρατι.] (v. 389) Ἀσπὶς δὲ ἀμφιβρότη ἡ ἀμφὶ τὸν βροτὸν ἄνθρωπον ἢ ἡ σκέπουσα ὅλον τὸν ἄνθρωπον. φασὶ δὲ ἐνταῦθα οἱ παλαιοί, ὅτι τὸ βροτός ἐν ταῖς συνθέσεσι προσλαμβάνει τὸ μ , οἷον τερψίμβροτος, φαεσίμβροτος, Κλεόμβροτος, ἐναρίμβροτος αἰχμή, πλειστόμβροτος ἀγορά, δίχα τοῦ ἀμφιβρότη καὶ ἀβρότη, ἡ νύξ. [(v. 390) Ἐΰξοον δὲ ἅρμα οὐ μόνον τὸ εὖ ἐξεσμένον πρὸς κάλλος, ἀλλὰ καὶ τὸ ἄλλως πρὸς τέχνης ἀρετὴν ξεσθέν, ἵνα συμμέτρως ἔχῃ πρὸς τὸ καλῶς ὑπὸ ζῴων ἕλκεσθαι. χρεία γὰρ συμμετρίας πάντως καὶ ἅρμασι, τοῖς τε πολεμιστηρίοις καὶ τοῖς ἐναγωνίοις. Τοῦ δὲ τιταίνειν ἄχρηστον θέμα τῶ, καθάπερ οὐ χρηστὸν οὐδὲ τὸ τῶ, τὸ λαμβάνω, ἐξ οὗ τὸ «Κύκλωψ τῆ πίε οἶνον». ἐκ δὴ τοῦ προτέρου τῶ παράγωγα ἓν μὲν τένω, ἐξ οὗ τὸ τείνω, ὡς κτένω κτείνω· καὶ ἔστι καὶ ὁ τένων ἐκ τοῦ τένω· ἕτερον δὲ ταίνω διὰ διφθόγγου, ὡς ῥῶ ῥαίνω, καὶ κατὰ ἀναδιπλασιασμὸν τιταίνω· ὅθεν φῦλον δαιμόνιον οἱ Τιτᾶνες.] (v. 386 s.) Ὅτι προαναφώνησις τὸ «οὐ γὰρ παυσωλὴ ἔσται οὐδ' ἠβαιόν, εἰ μὴ νὺξ ἐλθοῦσα διακρινέει μένος ἀνδρῶν».

1.372 οὕτω γὰρ μέλλει διασκευάσαι τὴν μάχην ὁ ποιητὴς ἐκ πρωΐας τελουμένην ἕως νυκτός· [Καὶ ὅρα τὸ «διακρινέει μένος». μετ' ὀλίγα μὲν γὰρ ἡγεμόνες διακρινοῦσι λαοὺς αἰπολίων δίκην. ἡ δὲ μάχη οὐχ' ἁπλῶς ἄνδρας, ἀλλὰ μένεα διακρίνει ἀνδρῶν, ἰδίᾳ μὲν ποιοῦσα τοὺς νικῶντας, ἀφιστῶσα δὲ τοὺς ἡττωμένους.] (v. 394—7) Ὅτι ὥσπερ πρὸ τούτου τὴν ἐκ τῆς ἀγορᾶς ἔγερσιν τῶν Ἑλλήνων καὶ κίνησιν κύμασι πόντου εἴκασεν, εἶτα πάλιν τὴν ἐπαναστροφὴν ὁμοίως κύματι πολυφλοίσβοιο θαλάσσης, οὕτω καὶ νῦν τῶν Ἀχαιῶν ἀναστάντων μετὰ τὰς δημηγορίας τῶν ἀριστέων μέγα ἰάχειν αὐτούς φησιν, «ὡς ὅτε κῦμα ἀκτῇ ἐφ' ὑψηλῇ, ὅτε κινήσει Νότος ἐλθών, προβλῆτι σκοπέλῳ, τὸν δ' οὔ ποτε κύματα λείπει παντοίων ἀνέμων, ὅταν ἔνθ' ἢ ἔνθα γένωνται». καὶ ὅρα ὅπως ἀπὸ τοῦ αὐτοῦ πράγματος, ἐκ τῆς θαλάσσης δηλαδή, διαφόρους εἴληφε παραβολάς. Ἦν δὲ αὐτῷ ἡ μὲν πρώτη δηλωτική, ὡς ἐρρέθη, τῆς τῶν ἐθνῶν καὶ φύλων κινήσεως, ἡ δὲ δευτέρα τῆς παλινδρομήσεως, καθ' ἣν συχνὰ πρὸς τῷ αἰγιαλῷ τὰ κύματα βρέμουσιν· ἡ δὲ τρίτη αὕτη μόνης τῆς ἰαχῆς καὶ τῆς βοῆς τοῦ λαοῦ. Πολλαχοῦ δὲ καὶ ἐν τοῖς ἐφεξῆς ἀπὸ τῆς αὐτῆς ὕλης τεχνάσεται τοιαύτας τινὰς παραβολάς, ποικίλος ὢν τοῖς φιλακροάμοσι δαιταλεὺς καὶ κατὰ τὸν θρυλλούμενον τοῦ Ἀλεξάνδρου δειπνοκλήτορα ἐξ ἑνός

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινος εἴδους πολλὰ τεχνώμενος ἐδεστά. παρέλαβε δὲ ἐν τῇ παραβολῇ ταύτῃ ἀκτὴν ὑψηλὴν καὶ Νότον εἰς ἔμφασιν τοῦ μεγέθους τῆς ἰαχῆς. κῦμα γὰρ ὁ Νότος ὠθῶν μέγα καθ' Ὅμηρον καὶ ὑψηλῇ προσρήσσων ἀκτῇ μεγάλην ἰαχὴν οἶδεν ἀποτελεῖν. (v. 396) Προβλῆτα δὲ σκόπελον λέγει λίθον προβεβλημένον τῆς θαλάσσης ὡς ἐν ἀκρωτηρίῳ, ἐξ οὗ ἔστι πολὺν τόπον κατασκοπεῖν. (v. 396 s.) Ἰστέον δὲ ὅτι ἔστι ποτὲ τὸν στερεὸν ἄνδρα καὶ κινδύνοις ἀπερικλόνητον τοιούτῳ προβλῆτι σκοπέλῳ εἰκάσαι, ὃν οὐ λείπει κύματα «παντοίων ἀνέμων, ὅτ' ἂν ἔνθα ἢ ἔνθα γένωνται». τοιούτῳ δέ πως καὶ τοὺς Ἕλληνας ὁ ποιητὴς ἀφομοιοῖ, οὓς ὡς θάλασσα δουλεύει, καθὰ προερρέθη, ἀνέμοις, οὕτω καὶ αὐτοὺς δουλεύοντας οἴδαμεν οὐ ταῖς βασιλικαῖς μόνον ἀλλὰ πολλάκις καὶ ταῖς τῶν γερόντων βουλαῖς, αἵτινες ἦσαν τὸ φεύγωμεν, τὸ μένωμεν, τὸ μαχώμεθα, τὸ ἔρχεσθ' ἐπὶ δεῖπνον καὶ τὰ λοιπά. [Ἰστέον δὲ ὡς, ἐπεὶ ἐκ τοῦ σκοπός γίνεται ὁ σκόπελος, λέγοιτ' ἂν καὶ σκοπιά, ἤδη δὲ καὶ περιωπή.] (v. 398) Ὅτι πολλαὶ τῶν λέξεων ἀπὸ συμφώνου ἀρχόμεναι, εἶτα τοῦ κατ' ἀρχὰς συμφώνου ἐκπεσοῦσαι, μένουσι πάλιν ἐπὶ τῆς αὐτῆς σημασίας, οἷον καύχημα αὔχημα, χλιαρόν λιαρόν, γαῖα αἶα, σμικρόν μικρόν, σῦς ὗς. οὕτω γοῦν καὶ σκεδάζω καὶ κεδάζω, οἷον· «κεδασθέντες ἐπὶ νῆας».

1.373 Φασὶ δὲ καὶ τὸ πήγανον οἱ παλαιοὶ τοιούτῳ λόγῳ ἤγανον λέγεσθαι. Ὅτι τὴν μὲν βασιλικὴν θυσίαν ὡς ἀξίαν λόγου διὰ τὸν βασιλέα πολυλογεῖ κατωτέρω λέγων τί τε ἔθυσεν—ὅτι βοῦν δηλαδή—καὶ τίνι—ὅτι τῷ Διΐ— διεσκεύασε δὲ καὶ τὸ ὅπως, καθὰ καὶ ἐν τῇ α' ῥαψῳδίᾳ τῷ Ἀπόλλωνι θυσία γίνεται. (v. 399 s.) Τὴν δὲ ἑκάστου τῶν Ἑλλήνων θυσίαν ἐπιτέμνων ἐν δυσὶν ἔπεσιν ἐπιτρέχει λέγων οὕτως ἐπὶ κεφαλαίου· «Κάπνισάν τε κατὰ κλισίας καὶ δεῖπνον ἕλοντο· ἄλλος δ' ἄλλῳ ἔρεζε θεῶν αἰειγενετάων». ἔστι δὲ τὸ μὲν ἐκάπνισαν ἀντὶ τοῦ πῦρ ἀνῆψαν ἐπὶ θυσίᾳ τε [καὶ ἐπὶ ἀναγκαίῳ δείπνῳ τῷ πρὸ τῆς μάχης] ἐκ τοῦ παρακολουθοῦντος ῥηθέν. ἐπακολουθεῖ γὰρ τῇ τῶν ξύλων καύσει καπνός. πέφρασται οὖν ἐκ τοῦ πορρώτερον. τὸ μέντοι ἐγγύτερον παρ' Εὐριπίδῃ ἐν τῷ «πῦρ ἀνάψουσι θεοῖς». [Δύναται δὲ εἶναι τὸ ἐκάπνισαν καὶ ἀντὶ τοῦ ἔθυσαν, ἵνα λέγῃ, ὅτι θύσαντες εἶτα ἐδείπνησαν. εὐοδοῖ δὲ τὸν τοιοῦτον νοῦν τὸ «ἄλλος δ' ἄλλῳ ἔρεζε θεῶν» καὶ τὸ «κνίσση δ' οὐρανὸν ἷκεν ἑλισσομένη περὶ καπνῷ». καὶ οὕτω νοοῖτ' ἂν τὸ ῥηθὲν ἀντὶ τοῦ κνίσσαν ἀνήγαγον περιελισσομένην καπνῷ, εἴτ' οὖν τὸν οὐρανὸν ἐκνίσσωσαν θύμασι.] Τὸ δέ «ἄλλος ἄλλῳ ἔρεζε» γέγονε μὲν ἀρχὴ παροιμίας τῆς λεγούσης «ἄλλα παρ' ἄλλοις καλά». δηλοῖ δὲ πολυκλήτους εἶναι καὶ τοὺς Ἕλληνας, καθὰ καὶ τοὺς τῶν Τρώων ἐπικούρους, καὶ θύειν ἕκαστον πατρῴοις θεοῖς· τὸ γὰρ θεῖον, φασί, φύσει μὲν ἕν, θέσει δὲ πολλά. ὠφελημένος δὲ καὶ Εὐριπίδης ἐξ Ὁμήρου εἶπεν· «ἄλλοισιν ἄλλος θεῶν τε κἀνθρώπων μέλει». [(v. 400) Τὸ δὲ ἔρεζεν ἀδίπλωτον ἔχει τὸ ρ κατὰ συνήθη κλίσιν, ἧς τὸ μέτρον ἐδεήθη, ὡς καὶ ἐπ' ἄλλων γίνεται πολλαχοῦ. Ἀττικὸς δὲ ἀνὴρ διπλασιάζει καὶ αὐτό.] Ἰστέον δὲ ὅτι Τρῶες ἐν τοῖς ἑξῆς οὔτε δειπνήσουσιν οὔτε θύσουσι διὰ τὴν δηλωθησομένην κατέπειξιν· τάχα δὲ καὶ ἐκεῖνοι κατὰ τὸ σιωπώμενον πεποιήκασιν οὕτω πρὸ τῆς ἐκτάξεως. Αἰειγενέται δὲ ἢ ὧν τὸ γένος ἀεὶ διαρκεῖ ἤ, ὡς καὶ ἀλλαχοῦ φησιν, αἰὲν ἐόντες. Λέγεται γὰρ παρὰ τῶν παλαιῶν, ὅτι οἱ Ἴωνες τὸ εἶναι γενέσθαι φασίν· ὅθεν αἰειγενέτης ὁ ἀεὶ ὤν. [Ἰστέον δὲ ὡς οὐ μόνον διὰ τὸ κατεπεῖγον ἐνταῦθα τοῦ δείπνου εὐτελῆ τὰ θυόμενα τῷ τε δήμῳ καὶ τῷ βασιλεῖ, ἀλλὰ καὶ ἄλλως, ἐπειδὴ οὐ πολυτελῶς διεχειρίζοντο τὰ τῶν εὐωχιῶν οἱ παλαιοί.
1.374 διὸ σκώπτων Ἀντιφάνης ἔφη· «τί δ' ἂν Ἕλληνες μικροτράπεζοι φιλοτρῶγες δράσειαν». οἱ δέ γε ὕστερον εἰς χάος τρυφῆς καθῆκαν ἑαυτούς. καὶ ὁ μὲν Ὁμηρικὸς εὐρυκρείων αὐταρκεῖται, καθὰ εἰρήσεται, βοῦν ἕνα κατακόψας ἑαυτῷ τε καὶ τοῖς ἀρίστοις· ἐν δὲ τοῖς ὑστερογενέσι τῷ βασιλεῖ τῶν Περσῶν χίλιά φασιν ἱερεῖα τῆς ἡμέρας κατεκόπτοντο, καθὰ καὶ ἀλλαχοῦ δηλοῦται πλατύτερον.] (v. 401) Ὅτι διάφορος καὶ ἡ εὐχὴ τῷ τε πλήθει καὶ τῷ βασιλεῖ. τῶν μὲν γὰρ ἕκαστος ἐν τῷ θύειν ἦν εὐχόμενος θάνατόν τε φυγεῖν καὶ μῶλον Ἄρηος ἀγαπητὸν ἡγούμενος μόνον τὸ ζῆν· ὁ δὲ βασιλεὺς μεγάλα εὐχόμενος, ὡς ῥηθήσεται, ἀκολούθως οἷς τὸν ὄνειρον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔκρινε, μὴ δῦναι τὸν ἥλιον εὔχεται, πρὶν αὐτὸν τήν τε Τροίαν ἑλεῖν καὶ τὸν Ἕκτορα ἀνελεῖν· οὐ γὰρ ἀρκετὸν βασιλεῖ ζῆν, εἰ μὴ καὶ εὐκλεῶς. ἔνθα οὐδὲ τοῦ στρατοῦ ὑπερεύχεται, οἷα λαθόμενος διὰ τὸ ἓν μόνον εἰς νοῦν ἔχειν, τὸ καταστρέψαι τὴν Ἴλιον. Μῶλος δὲ Ἄρεος ἡ κακοπάθεια ἐκ τοῦ μόλις ἐκταθέντος τοῦ ο ἢ παρὰ τὸ μὴ καὶ τὸ ὅλος, μήολος, ὁ μὴ τὴν ὁλότητα φυλάττων τοῦ στρατοῦ, καὶ κατὰ κρᾶσιν μῶλος, ὡς δόημα δῶμα, σιγηωπή σιωπή, βοήσομαι βώσομαι, [ὀγδοήκοντα ὀγδώκοντα, τὸ ἥμισυ τὤμισυ, μάλιστα δὲ ὡς μήορος μῶρος παρ' Ἀττικοῖς, ὁ παρὰ τοῖς ὕστερον ὀξυτόνως μωρός.] Καὶ ὅρα ὅτι ἐντελὲς μῶλος Ἄρεός ἐστι· τὸ δὲ μῶλος, ὁ πόλεμος, ἐλλιπῶς λέγεται. ὅτι δὲ τοῦ Ἄρηος προϋπάρχει εὐθεῖα ὁ Ἄρευς, ῥηθήσεται ἐν τοῖς ἑξῆς. (v. 402 s.) Ὅτι βοῦν ἱέρευσεν Ἀγαμέμνων τῷ Διῒ πίονα πενταέτηρον, ὡς βασιλεὺς βασιλεῖ ζῷον βασιλικόν, ὡς τελείῳ, φασί, τέλειον, ὡς μέγα μεγίστῳ, ὡς δυνατῷ ἀκμαῖον· ἀκμάζει γὰρ ὁ πενταέτηρος βοῦς, ὅπου γε Ἡσίοδος καὶ τοὺς ἐνναετήρους ἀρίστους εἰς ἐργασίαν γῆς λέγει καὶ ἥβης μέτρον ἔχειν φησί. καὶ Ἀριστοτέλης οὖν ἱστορήσας ἀκμάζειν μάλιστα τὸν βοῦν πέντε ἔτη ὄντα λέγει ὀρθῶς πεποιηκέναι τὸν Ὅμηρον βοῦν ἄρσενα πενταέτηρον. φησὶ δὲ καὶ τὸ «βοὸς ἐννεώροιο» ταὐτὸν δύνασθαι. [παράγωγον δὲ ἐκ τοῦ πενταετής ἢ πενταέτης ὁ πενταέτηρος, ὡς καὶ ἐκ τοῦ ἐνναετής ὁ ἐνναέτηρος·] (v.

1.375 404—8) Ὅτι ἐνταῦθα φανερῶς δηλοῖ τίνας ἐν τῷ προβουλίῳ γέροντας ἔφη ὁ ποιητής, ὅτι δηλαδὴ τοὺς ἀριστεῖς. φησὶ γάρ «κίκλησκε δὲ γέροντας» καὶ εὐθὺς ἐπάγει «ἀριστῆας Παναχαιῶν, Νέστορα μὲν πρώτιστα καὶ Ἰδομενῆα ἄνακτα, αὐτὰρ ἔπειτ' Αἴαντε δύο καὶ Τυδέος υἱόν, ἕκτον δ' αὖτ' Ὀδυσῆα Διῒ μῆτιν ἀτάλαντον· αὐτόματος δέ οἱ ἦλθε βοὴν ἀγαθὸς Μενέλαος». Ὅρα οὖν ὅτι καὶ νῦν γέροντας εἰπὼν οὐ πάντας καθ' ἡλικίαν ἀπηριθμήσατο γέροντας· οὔτε γὰρ οἱ Αἴαντες οὔτε ὁ τοῦ Τυδέως Διομήδης γέροντες· λέγει τοίνυν γέροντας ἐκ μέρους καὶ τούτους ὡς ἐντίμους, οὓς καὶ ἀριστῆας ἐπονομάζει Παναχαιῶν. καὶ ἴδε ὅτι καὶ τὸν Νέστορα τοῖς ἀριστεῦσι συγκαταλέγει, οὐχ' ὅτι νῦν τοιοῦτός ἐστιν, ἀλλ' ὅτι ποτὲ ἦν, ἢ καὶ ἐκ μέρους, καθά που καὶ πρὸ ὀλίγου εἴρηται. ὡς γὰρ οἱ Αἴαντες καὶ ὁ Διομήδης, οἱ νέοι καὶ ἀριστεῖς, γέροντες λέγονται διὰ τοὺς σὺν αὐτοῖς τοιούτους τῇ ἡλικίᾳ, οὕτω καὶ οἱ τῷ χρόνῳ γέροντες ἀριστεῖς διὰ τοὺς σὺν αὐτοῖς ἀρίστους τὴν χεῖρα καὶ ἀνδρικούς. Κικλήσκει δὲ πρώτιστα μὲν τὸν Νέστορα οἷα πρὸ βραχέος εὐδοκιμήσαντα καὶ ὑπ' αὐτοῦ ἐπαινεθέντα, ὡς ἀγορᾷ νικῶντα πάντας Ἀχαιούς. ὡς γὰρ ὁ Νέστωρ φιλοβασιλεύς, οὕτω φιλονέστωρ ὁ βασιλεύς· [καὶ ἄλλως δέ, ὡς εἰκός, κατά τι ἔθος παλαίτατον, καθ' ὃ καὶ ἐν Λακεδαίμονι ὁ πρεσβύτερος ἡγεῖτο, φασίν, ἐν τοῖς συσσιτίοις ἐπὶ τὰς κλίνας, εἰ μή τινα ἕτερον ὁ βασιλεὺς προσκαλέσαιτο·] Εἶτα τὸν Ἰδομενέα ὡς καὶ αὐτὸν καθ' ἡλικίαν πρεσβεῖον ἔχοντα καί, ὅτι καὶ συγγενὴς τῶν βασιλέων ἦν καὶ ὅτι καὶ τῶν νησιωτῶν ὁ δυνατώτατος ἦν ὀγδοήκοντα νῆας ἔχων συμμαχούσας τοῖς Ἕλλησι, καὶ ἄλλως δὲ καθ' αὑτὸν ἀνδρεῖος, ὡς ἐν τοῖς μετὰ ταῦτα δηλωθήσεται· Τρίτον δὲ τὸν μέγαν Αἴαντα, ὃς τῶν Ἑλλήνων ἄριστος ἦν, δεύτερος ἥκων εἰς ἀνδρίαν μόνου τοῦ Ἀχιλλέως, ὡς πολλαχοῦ φανήσεται· Τέταρτος ὁ μικρὸς Αἴας ὁ Λοκρὸς ἀεὶ τῷ μεγάλῳ καὶ συμπαρομαρτῶν ἐξ ἀνάγκης, ὡς λεχθήσεται κατὰ καιρόν, καὶ συνεκφωνούμενος ὑπὸ τοῦ ποιητοῦ· πάνυ γὰρ σπανίως ἀλλήλων διῃρημένοι που εὑρεθήσονται, τὰ πολλὰ δὲ συνόντες ἀλλήλοις ἱστορηθήσονται. διὸ ἐν τοῖς πολέμοις ὁμοῦ ὄντες καὶ ἀλλήλων ἀχώριστοι, οἷα θυμὸν ἴσον ἔχοντες κατὰ τὸν ποιητήν, ὁμοῦ καὶ κικλήσκονται εἰς τὸ βασιλικὸν συμπόσιον, ὡς τοῦ ἴσου θυμοῦ καὶ τῆς ὁμωνυμίας ἀδιασπάστους ποιούντων αὐτούς. Πέμπτος ὁ Διομήδης, ὃς τέταρτος ἂν ἦν, εἰ μὴ ὁ Λοκρὸς διὰ τὴν ὁμωνυμίαν συγκατελέγη τῷ μεγάλῳ Αἴαντι· ἀνδρειότατος γὰρ ὁ ἀνήρ, ἔτι δὲ καὶ ἐν δημηγορίαις ὑπερφέρει τῶν ἡλικιωτῶν, ὡς αὐτά που τὰ ἔργα δείξουσιν.

1.376 (v. 407) Ἕκτος ὁ Ὀδυσσεύς, οὐχ' ὡς πάντων τῶν προηριθμημένων ἥττων· πῶς γὰρ ὁ βουλάς τ' ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων; ἀλλ' ὅτι τοῦ Νέστορος προτεταγμένου βασιλικῇ χάριτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐ θέλει ὁ ποιητὴς ἄντικρυς δοῦναι δευτερεῖον τῷ Ὀδυσσεῖ, ὃν αὐτός, καθὰ καὶ πρὸ μικροῦ εἴρηται, οὕτω πολλοῦ λόγου ἀξιοῖ· πολλῷ δὲ πλέον οὐδὲ τρίτον αὐτὸν ἢ ἐφεξῆς ἀριθμεῖ, ἀλλὰ τοῦτο μὲν ἐπὶ τοῖς ἄλλοις ποιεῖ, αὐτὸν δὲ κατὰ βασιλικὴν γνώμην τελευταῖον τίθησιν οὐκ αἰσχύνων τῇ τάξει· τίς γὰρ ἂν ὕστατον οἰηθείη τῶν γερόντων εἶναι τὸν Ὀδυσσέα; ἀλλὰ μᾶλλον ἀμφήριστον οὕτως αὐτῷ τὸ πρωτεῖον ποιῶν. οἱ γὰρ ἔσχατοι τόποι ἔστιν οὗ τῶν ἀρίστων εἰσί, καθὰ καὶ τοῦ ναυστάθμου ἓν μὲν ἄκρον μέρος ὁ Αἴας εἶχε, θάτερον δὲ Ἀχιλλεύς, οἱ τῶν Ἑλλήνων ἄριστοι. οὕτω γοῦν κἀνταῦθα τοὺς ἀρίστους, Νέστορά τε καὶ Ὀδυσσέα, ἐσχάτους ὁ βασιλεὺς μὲν συνεκαλέσατο, ὁ δὲ ποιητὴς ἠρίθμησε. καὶ οὐκ ἦν ἄλλη τάξις σεμνοτέρα τῷ Ὀδυσσεῖ τοῦ πρωτείου δεδομένου τῷ Νέστορι. καὶ ἄλλως δὲ ὁ Ἀγαμέμνων οὐκ ἀτίμως αὐτῷ προσφέρεται κικλήσκων ὕστερον· φύσις γὰρ αὕτη ἀσχολίας καὶ σπουδῆς συμποσιακῆς πρὸ τῶν ἄλλων ἐν λόγῳ τιθέναι τοὺς μὴ πάντῃ γνησίους καὶ οἰκειακούς· τοὺς μὲν γὰρ τοιούτους ἐν δευτέρῳ καὶ παρέργῳ τιθέαμεν εἰδότας, ὅτι φύσει τὴν οἰκειότητα ἔχουσι, τοὺς δὲ ξένους ἐν πρώτοις ἄγομεν, ὡς ἂν εἰδεῖεν λόγου ἀξιούμενοι. οὕτω δὲ καὶ ὁ βασιλεὺς νῦν ὡς πάνυ οἰκειακὸν παρεῖδε τὸν Ὀδυσσέα. (v. 408 s.) Τὸν δέ γε ἀδελφὸν οὐδὲ ἐκάλεσεν, ὃς αὐτῷ πάντων πολὺ δήπουθεν φίλτατος ἦν. ἀλλὰ εἰδὼς ἐκεῖνος, ὅτι ἐπονεῖτο ὁ ἀδελφός, τουτέστιν ἐνήργει περὶ θυσίαν, αὐτόματος ἦλθεν· [«Ἤιδεε γάρ», φησί, «κατὰ θυμὸν ἀδελφεὸν ὡς ἐπονεῖτο». Ἐνταῦθα δέ φασιν οἱ παλαιοί, ὡς διδάσκει Ὅμηρος, οὓς οὐ δεῖ καλεῖν ἐν συμποσίῳ, ἀλλ' αὐτομάτους ἰέναι. δῆλον γὰρ ὡς οὔτε ἀδελφὸν οὔτε γονέας κλητέον οὔτε γυναῖκα οὔτ' εἴ τις, φασίν, ἰσοτίμους τινὰς τούτοις ἄγει· καὶ γὰρ ἂν ψυχρὸν εἴη καὶ ἄφιλον. εἶτά φησιν ὁ Ἀθήναιος, ὅτι καίτοι τινὲς στίχον προσέγραψαν τὴν αἰτίαν προστιθέντες· «ᾔδεε γὰρ ἀδελφεὸν ὡς ἐπονεῖτο», ὥσπερ δέον ὂν καὶ αἰτίαν εἰπεῖν, δι' ἣν ἀδελφὸς αὐτόματος ἂν ἥκοι πρὸς δεῖπνον.
1.377 καὶ Δημήτριος δέ, φησίν, ὁ Φαληρεύς, ἐπαρίστερον τὴν τοῦ στίχου τούτου παράληψιν οἶδε. καὶ οὕτω μὲν αὐτόματος παρέβαλεν ὁ Μενέλαος τῷ δείπνῳ.] Εἰ δὲ Ὀδυσσεύς, ὁ ἕκτος κληθείς, ἄτιμος, πολλῷ πλέον ὁ ἀδελφὸς ὁ μηδὲ κληθεὶς ὅλως. ἀλλὰ μὴν οὐδέτερον, ἤγουν οὔτε ὁ ἕκτος ἄτιμος οὔτε ὁ ἕβδομος. Ὅρα δὲ ὅτι ἕκτον τάξας ὁ ποιητὴς τὸν Ὀδυσσέα ἤτοι ἔσχατον ἐν τοῖς κληθεῖσι σεμνύνει αὐτὸν ἑτέρως καὶ ὑψοῖ τῷ ἐγκωμίῳ, εἰπὼν «Διῒ μῆτιν ἀτάλαντον» καὶ δείξας ἐντεῦθεν αὐτὸν οὐδὲν ἀπεοικότα τοῦ πρώτου Νέστορος, μηδὲ ἔσχατον, ἀλλὰ καὶ αὐτὸν ἄκρον τινά, καθὰ καὶ ὁ Νέστωρ, καὶ κατὰ μὲν τὸν βασιλέα ἕκτον τῇ κλήσει, κατὰ δὲ τὸν Ὅμηρον πρώτιστον τῇ τῆς φρονήσεως ἀρετῇ, καθ' ἣν ὡμοίωται τῷ ὑπάτῳ Διΐ. ὅρα δὲ καὶ ὅτι τὸν μὲν Ὀδυσσέα, ὡς ἐρρέθη, ἐπήνεσε, τὸν δὲ Ἰδομενέα προσεῖπεν ἄνακτα, τοὺς δὲ λοιποὺς τέσσαρας ψιλῶς οὕτω κατ' ὄνομα προήνεγκε, τὸν δὲ Μενέλαον βοὴν ἀγαθὸν εἶπεν. (v. 404) Ἐκ δὲ τοῦ Παναχαιῶν ὕστερον οἱ Πανέλληνες εἴρηνται καὶ τὸ Πανελλήνιον, ὥς που καὶ τὸ Πανιώνιον. [ὁμοίου δὲ τύπου τοῖς Πανιωνίοις καὶ τὰ Παναθήναια ἡ ἑορτή, ὡς καὶ τὰ Παμβοιώτια.] (v. 408) Αὐτόματος δὲ ὁ αὐτόκλητος καὶ ἀφ' ἑαυτοῦ μεμαὼς ἤτοι προθυμούμενος ἐλθεῖν. οἱ δὲ νεώτεροι αὐτόματα τὰ κατὰ τύχην φασὶν ἐκ τοῦ μάτην, ὡς αὐτὰ μάτην οὕτω γινόμενα καὶ ὡς ἔτυχεν, ὅπερ ἐνταῦθα οὐκ εὐσυμβίβαστον· πῶς γὰρ αὐτόματος καὶ κατὰ τύχην ἦλθεν ὁ εἰδώς, ὅτι ἐπονεῖτο ὁ ἀδελφός; [Ἡ δὲ τοιαύτη ἔννοια καὶ τὰ παρὰ τοῖς μηχανικοῖς ὠνόμασεν αὐτόματα. ἐκ δὲ τοῦ «αὐτόματος ἦλθεν» ὁ ἀδελφὸς Μενέλαος παροιμία ὕστερον ἐπενοήθη τὸ «ἀκλητὶ κωμάζουσιν ἐς φίλους», ἢ ἐς φίλων, «φίλοι». (v. 409) Ὁ δὲ ἀδελφεὸς πλεονασμὸν ἔχει τοῦ ε , ὁποῖον καὶ ὁ κενεός· ἴσως δὲ καὶ ὁ κελεός ὡς ἀπὸ τοῦ κέλω.] (v. 408) Βοὴν δὲ ἀγαθὸς ὁ πολεμιστής. βοὴ γὰρ ἐκ τοῦ παρακολουθοῦντος ἡ μάχη, ὥσπερ καὶ ἀϋτὴ ἐκ τοῦ αὔω τὸ βοῶ, καθὰ καὶ προείρηται, καὶ φύλοπις ἐκ τῆς ὀπὸς ἤτοι βοῆς τῶν φύλων· ἢ βοὴν ἀγαθὸς ὁ εὐρυβόας· ἀρετὴ γὰρ καὶ τοῦτο στρατηγοῦ καὶ χρήσιμον ἐν μάχαις τὸ μεγαλόφωνον. μήπω γάρ, φασί, σάλπιγγος εὑρεθείσης τῇ βοῇ διῴκουν οἱ παλαιοὶ τὰς τῆς μάχης ἐπιθέσεις τε καὶ ἀνακλήσεις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.378 καὶ ἱστοροῦνται πολλοὶ τῶν στρατηγῶν ἐπαινετέοι καὶ τῆς εὐρυφωνίας· ἔτι δέ, φασί, καὶ σημεῖον θάρσους τὸ βοᾶν· ἡ γὰρ δειλία θραύουσα τὸ πνεῦμα εἰς ἀφωνίαν καθιστᾷ καὶ βαμβαίνειν ποιεῖ. διὸ πολλαχοῦ τοὺς ἥρωας ὁ ποιητὴς βοῶντας παρεισάγει, οἷον «σμερδαλέον δ᾽ ἐβόησε» καὶ ἤϋσε «διαπρύσιον» καὶ βοὴν ἀγαθοὺς ἀποκαλεῖ τόν τε Ἕκτορα καὶ τὸν Αἴαντα καὶ τὸν Διομήδην καὶ ἄλλους ἀνδρείους. τὸ μέντοι δειλιᾶν ταρβεῖν λέγεται καὶ ἡ δειλία τάρβος παρὰ τὸ ταράσσεσθαι τὴν βοὴν τοῖς δειλιῶσιν. (v. 412—8) Ὅτι μεγαλοπρεπὴς ἡ [ἐν τῇ κατὰ σύγκλητον θυσίᾳ ἐκβοηθεῖσα] τοῦ βασιλέως εὐχὴ καὶ τῇ τοῦ ὀνείρου ἀγγελίᾳ συντρέχουσα. φησὶ γάρ· «Ζεῦ κύδιστε, μέγιστε, κελαινεφές, αἰθέρι ναίων, μὴ πρὶν ἐπ᾽ ἠέλιον δῦναι καὶ ἐπὶ κνέφας ἐλθεῖν, πρίν με κατὰ πρηνὲς βαλέειν Πριάμοιο μέλαθρον αἰθαλόεν, πρῆσαι δὲ πυρὸς δηΐοιο θύρετρα, Ἑκτόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξαι χαλκῷ ῥωγαλέον» καὶ τὰ ἑξῆς. τὸ δὲ σχῆμα τῆς εὐχῆς Ἀττικὸν κατὰ ἔλλειψιν· ἐν γὰρ τῷ «μὴ πρὶν τὸν ἥλιον δῦναι» λείπει τὸ δός ἢ ποίησον ἢ εὔχομαι ἤ τι τοιοῦτον. καί εἰσι τοιαῦτα καὶ ἕτερα σχήματα εὐκτικὰ παρά τε ἄλλοις καὶ παρὰ τῷ ποιητῇ. Σημείωσαι δὲ ὅτι ἐστὶ καὶ παρὰ Ἡροδότῳ σχῆμά τε ὅμοιον εὐχῆς καὶ ἱστορία τοιαύτη. Δαρεῖος εὔξατο ἄνω εἰς οὐρανὸν ἀφεὶς ὀϊστὸν καὶ τὸν ἀέρα βαλών· «ὦ Ζεῦ γενέσθαι μοι Ἀθηναίους τίσασθαι». σωφρονεστέρα δὲ πολλῷ ἡ τοῦ Ὁμηρικοῦ βασιλέως εὐχή. ὅτι δὲ λείπεται ῥήματος ἐνταῦθα ἡ βασιλικὴ εὐχή, οἷον τοῦ δός, ὡς ἐρρέθη, καὶ ἐν τῇ γ′ ῥαψῳδίᾳ δηλοῦται, ὅπου φησί· «δὸς ἀποφθίμενον δῦναι δόμον Ἄϊδος εἴσω». ἐνταῦθα γὰρ ἐντελῶς ηὖκται. [(v. 413) Τὸ δέ «ἐπὶ κνέφας ἐλθεῖν», ἤγουν ἐπελθεῖν σκότος, πεφιλοτίμηται κἀνταῦθα ῥηθῆναι οἷα σύντροχον τῷ ἐπιδῦναι ἥλιον· ἐπεὶ καὶ στέρησις ἡλιακοῦ φωτὸς ἡ νύξ.] (v. 414) Τὸ δὲ πρηνές καὶ ἐπὶ ἐμψύχων λέγεται. φησὶ γοῦν κατωτέρω, ὅτι πολλοὶ πρηνέες ὀδὰξ λαζοίατο γαῖαν. γίνεται δὲ ἀπὸ τοῦ παρανεύειν ἢ κατὰ τοὺς παλαιοὺς ἀπὸ τοῦ προνενευκέναι. δύο δὲ τούτων ἀντικειμένων πρανοῦς καὶ ὑπτίου κυρίως πρανὲς λέγεται τὸ πεσὸν ἐπὶ πρόσωπον, ὕπτιον δὲ τὸ ἀνάπαλιν· λέγεται δὲ καὶ διὰ τοῦ η πρηνές, ἐξ οὗ καὶ πρηνίξαι τὸ ἐπὶ πρόσωπον ῥῖψαι εἴτε ἄνθρωπον εἴτε καὶ πόλιν. [Παρὰ πολλοῖς δὲ τῶν ὕστερον νικᾷ πρανές λέγεσθαι διὰ τοῦ α ὡς ἀπὸ τοῦ παρανεύειν ἢ μᾶλλον παρανέειν, ὅ ἐστι κολυμβᾶν, ἐπειδὴ παρανέουσιν ἐοίκασιν οἱ πρηνεῖς κείμενοι.

1.379 λέγεται δὲ μεταφορικῶς πρανὴς καὶ ὁ κατάντης τόπος. ὅθεν καὶ παροιμία τὸ «σφαῖρα κατὰ πρανοῦς».] Ἰστέον δὲ ὅτι τὸ κατὰ πρηνὲς βαλέειν Πριάμοιο μέλαθρον ἀλλαχοῦ παραφράζων ὁ ποιητὴς ἠμῦσαι φησὶ τὴν πόλιν τοῦ Πριάμου ἤγουν κλιθεῖσαν κάτω πεσεῖν. ἀπορήσῃ δὲ ἄν τις, ἐπειδὰν καταπέσοι τεῖχος ἐκ τοῦ ὀρθοῦ, οἷον τὸ τῆς Τροίας, τί τὸ διάφορον τοῦ πρηνὲς αὐτὸ πεσεῖν ἢ ὕπτιον, εἰ μὴ ἄρα, ὅτι τὸ ὕπτιον εὐφημότερον τοῦ πρανοῦς· τὸ γὰρ ὑπτιάζειν ἐπὶ ἀναπαύσεως μᾶλλον λέγεται. μάλιστα δὲ εὐφυὲς εἰπεῖν, ὅτι εὔχεται ὁ βασιλεὺς τὴν Τροίαν καταβαλεῖν οὐκ ἐκ πολυπόνου πολιορκίας τῆς ἔξω καὶ ἀντιπροσώπου, ἀλλ᾽ ἐκ τῶν ἔσω καὶ οἷον εἰπεῖν κατὰ νώτου, κατὰ κράτος ἁλοῦσαν. πάντως δὲ πρόσωπον πόλεως τὸ ἔξω προφαινόμενον, ὃ ἐκ μὲν τῶν ἐκτὸς ἀνατραπὲν ὕπτιον πίπτει, ἐκ δὲ τῶν ἔσω ῥιφὲν πρηνὲς κεῖται, ὅπερ τάχα καὶ ἔπαθεν ἡ Τροία ῥᾳδίως καὶ ἀπονητὶ δόλῳ ἁλοῦσα, ὡς προγέγραπται. οὕτω καὶ ὅτε εὔξεταί που ἡ Ἑκάβη πρηνέα τινὰ πεσεῖν, ἐπὶ ἀτιμίᾳ ἐκείνου ἡ εὐχή, ἵνα μὴ κατὰ στέρνου πληγεὶς ἔντιμος πέσῃ μαχόμενος, ἀλλὰ φεύγων κείσεται πρηνὴς ἐκ τῶν ὀπίσω παθὼν τὴν πληγήν. (v. 414—6) Ὅρα δὲ ὅτι Ἀλεξάνδρου μὲν ἤ τινος ἑτέρου τῶν Τρώων οὐδεμία μνεία τῷ βασιλεῖ, Πριάμου δὲ μόνου καὶ Ἕκτορος, καθ᾽ ὧν μάλιστα θυμοῦται, ὡς δυναμένων μέν, μὴ λυόντων δὲ ἐν δίκῃ τὸν πόλεμον. Διὸ μηδὲ τῆς Τροίας μνησθεὶς τὸ τοῦ Πριάμου μέλαθρον καταβαλεῖν εὔχεται καὶ θύρετρα διὰ πυρὸς δηΐου ἤγουν πολεμικοῦ πρῆσαι ἐπιλεξάμενος δηλῶσαι ὡς ἀπὸ μέρους τὴν μὲν τῶν Τρώων ἀπώλειαν διὰ τοῦ Ἕκτορος, τὴν δὲ τῆς πόλεως διὰ τοῦ οἴκου τοῦ Πριάμου. Λέγεται δὲ μέλαθρον μὲν κατὰ τοὺς παλαιοὺς ἢ ὁ ὄροφος ἢ τὸ μέσον τῆς στέγης ξύλον, ὅ, φασί, καλεῖται ὑπέρτονον. καὶ γίνεται ἀπὸ τοῦ μελαίνεσθαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰθομένου πυρὸς καπνῷ· ἐκ δὲ τούτου καὶ ὁ ὅλος οἶκος μέλαθρον, ὥσπερ καὶ ἀπὸ ἑστίας τῆς τοῦ πυρὸς ὡς ἐκ μέρους ἑστία τὸ ὅλον οἴκημα. Αἰθαλόεν δὲ ἢ τὸ αἰθαλωθησόμενον, ὥς φασιν οἱ παλαιοί, ἢ τὸ διαφανὲς καὶ λαμπρόν· αἴθω γὰρ οὐ μόνον τὸ καίω, ἀλλὰ καὶ τὸ λάμπω. [Ἀκριβέστερον δὲ τὸ πρῶτον, οὗ προὔπεστιν ἡ αἰθάλη, οὐ τέφραν δηλοῦσα κατά τινας, ἀλλὰ μάλιστα εἶδός τι καπνώδους ἀναθυμιάσεως ἐκ πυρός, ὁποία καὶ ἡ ἐκ τῶν καιομένων λίθων.] Πῦρ δὲ δήϊον λέγει πρὸς διαστολὴν τοῦ θυτικοῦ, φασί, καὶ θείου καὶ τοῦ γαμηλίου καὶ τῶν τοιούτων.

1.380 [Τοῦ δὲ θύρετρα ὁ τύπος κατὰ τὸ τέρετρα, ὃ δηλοῖ τὰ τρύπανα.] (v. 417) Ῥωγαλέον δὲ ἀπὸ τοῦ ῥήσσω, οὗ μέσος παρακείμενος ἔρρηγα καὶ τροπῇ τοῦ η εἰς ω ἔρρωγα, ἐξ οὗ καὶ διερρωγὸς ἱμάτιον καὶ χιτὼν ῥωγαλέος. (v. 416) Χιτὼν δὲ ὁ πολεμικὸς θώραξ καθ' ὁμοιότητα τοῦ ἐν ἱματισμῷ, ἐπεὶ καὶ ὅπλα ἐνδύεσθαί φαμεν. [(v. 415) Πρῆσαι δὲ τὸ καῦσαι ἀπὸ τοῦ πυρῶ πυρώσω, οὗ συγκοπέντος εἰς τὸ πρῶ παράγωγον τὸ πρήθω, ἐξ οὗ καθ' ὑπέρθεσιν καὶ συστολὴν τὸ πέρθω. ἐκ δὲ τοῦ ῥηθέντος πυρῶ παράγωγον τὸ ἐμπυρίζω, ὥσπερ καὶ τοῦ πρῶ κατὰ ἀναδιπλασιασμὸν τὸ ἐμπιπρῶ καὶ τὸ ἐμπίπρημι.] (v. 418) Ὅτι ὀδὰξ λάζεσθαι τὴν γῆν, ἤγουν λαμβάνεσθαι τῆς γῆς, ἀπὸ τοῦ δάκω δάξω δάξ, [ἢ καὶ ὡς λήγω λήξω λήξ καὶ λάξ, οὕτω δήκω δήξω δήξ καὶ δάξ] καὶ κατὰ πλεονασμὸν ὀδάξ. δηλοῖ δὲ τὸ δάκνειν τὴν γῆν τοὺς πεφονευμένους ἐν τῷ σφαδάζειν. Τινὲς δὲ ὀδάξ ἀντὶ τοῦ μετὰ τῶν ὀδόντων. Λάζεσθαι δὲ οὐ μόνον αἰτιατικῇ συμβιβάζεται, οἷον· «ὀδὰξ λαζοίατο γαῖαν» καὶ «λάζετο δ' ἔγχος», ἀλλὰ καὶ γενικῇ, οἷον· «ἀλλ' ἀντιλάζου καὶ πόνων ἐν τῷ μέρει». παράγωγον δ' ἐξ αὐτοῦ τὸ λαζύω λάζυμι, ἐξ οὗ παρ' Εὐριπίδῃ τὸ «γεραιᾶς χειρὸς προσλαζύμεναι». Μετρικοῖς δὲ τὰ τοιαῦτα εὐαρεστεῖ· ἄλλως δὲ πλεονάζουσιν αἱ ἐκ τοῦ λαβεῖν κινήσεις. [Σημείωσαι δὲ ὅτι ἐνταῦθα ὤρθωσεν Ὅμηρος εἰς κοινὴν διάλεκτον τὴν Ἀττικὴν τοῦ βασιλέως εὐχήν. τὸ μὲν γάρ «ὦ Ζεῦ, μὴ πρὶν ἤλιον δῦναι», ἀττικίζεται, ὡς ἐρρέθη. τὸ δέ «πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι ὀδὰξ λαζοίατο γαῖαν» κοινῆς εὐχῆς ἐστι σχῆμα ἐχούσης καί τι κάλλους ἐν τῇ παρισώσει τοῦ πολέες καὶ πρηνέες. ὀδὰξ δὲ λάζεται γῆν ὁ ἐν τῷ πεσεῖν σφαδάζων καὶ δάκνων αὐτήν.] (v. 419 s.) Ὅτι ἐπὶ τοῦ παρακληθέντος καὶ προσηκαμένου μὲν τὴν δέησιν ἢ τὰ δῶρα, ὀψίζοντος δὲ εἰς βοήθειαν, οἰκεῖον εἰπεῖν τὸ «οὔ πω ἐπεκραίαινεν, ἀλλ' ὅ γε δέκτο μὲν ἱρά, πόνον δ' ἀμέγαρτον ὄφελλεν», ὅπερ ὁ Ὁμηρικὸς πεποίηκε Ζεὺς δεξάμενος μὲν τὰ βασιλικὰ ἱερὰ καὶ σημαίνων, φασίν, αἴσια, οὐ ταχὺ δὲ οὐδὲ ἀπονητὶ ἀνύσας τὴν εὐχήν.

1.381 ἔστι δὲ δέξασθαι θύματα τὸ ἀποδέξασθαι ἐπὶ ἀποπληρώσει τοῦ ζητουμένου, ὅπερ καὶ καλλιερεῖν λέγεται, ἀπὸ δὲ τοῦ κραιαίνειν ἀκράαντον ἔργον πρὸ μικροῦ ἔφη τὸ ἀτελές. Πόνος δὲ ἀμέγαρτος ἢ ὁ ἄφθονος ἐκ τοῦ μεγαίρω, τὸ φθονῶ, ἢ ὁ πάνυ εἰς μέγα αἰρόμενος ἢ ὁ ἀφθόνητος διὰ τὴν κάκωσιν· οὐδεὶς γὰρ φθονεῖ ἐπὶ κακοῖς. (v. 421—6) Ὅτι ὡς ἐν τῇ ἄλφα ῥαψῳδίᾳ, οὕτω καὶ ἐνταῦθα οὐλοχύτας πρὸ θυσίας μεταχειρίζονται. εἰπὼν γάρ· «βοῦν δὲ περιστήσαντο καὶ οὐλοχύτας ἀνέλοντο» ἐπάγει· «αὐτὰρ ἐπεί ῥ' εὔξαντο καὶ οὐλοχύτας προβάλοντο, αὖ ἔρυσαν μὲν πρῶτα» καὶ τὰ ἑξῆς, [ὡς ἐκεῖ, ἐν οἷς καὶ τὸ «δίπτυχα ποιήσαντες».] Τὸ δέ «ἔκαιεν ἐπὶ σχίζαις ὁ γέρων» διὰ τὸ μὴ προσαρμόζειν ἐνταῦθα ἑτέρως φράζει· «καὶ τὰ μὲν σχίζῃσιν ἀφύλλοισι κατέκαιον». σιγᾷ δὲ καὶ τὸ αἴθοπα οἶνον ἐπιλείβειν καὶ τὴν τῶν πεμπωβόλων χρῆσιν, προστίθησι δὲ ὅτι σπλάγχνα δ' ἂρ ἀμπείραντες ὑπείρεχον Ἡφαίστοιο. τὰ δὲ ἄλλα ὡσαύτως ἔχουσι τοῖς ἐκεῖ. τὸ δὲ τοὺς κρατῆρας ἐπιστέψασθαι ποτοῦ καὶ τὰ ἑξῆς, ἐπεὶ οὐ μάχης ἀλλ' ἀναπαύσεώς εἰσι καὶ ῥᾳστώνης, ἐνταῦθα καὶ αὐτὰ σεσίγηνται. (v. 422) Ἰστέον δὲ ὅτι τὸ αὖ ἐρύειν διαλελυμένως ἢ αὐερύειν συνθέτως διαφέρει τοῦ ἀναρύειν. αὐερύειν μὲν γὰρ τί σημαίνει, προδεδήλωται· τὸ δὲ ἀναρύειν ἁπλῶς ἀντὶ τοῦ θύειν εἴληπται κατὰ Παυσανίαν, ὅθεν φησὶ καὶ ἡ θυσία ἀνάρυσις. (v. 426) Τὸ δὲ τὰ σπλάγχνα ὑπερέχειν Ἡφαίστου ταὐτόν ἐστι τῷ ὑπεράνω ἔχειν τοῦ πυρός· πῦρ γὰρ ὁ Ἥφαιστος. καὶ ἔστιν ὁ τρόπος μετωνυμία, τὸ εἰπεῖν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δηλονότι ἀντὶ πυρὸς τὸν αὐτῷ ἐπιστατοῦντα Ἥφαιστον ὡς καί, ὅτε ὁ Ἄρης αὐτὸς ἐκεῖνος λέγεταί τινα ἀναιρεῖν ἢ ὁ Ποσειδῶν βυθίζειν τὴν νῆα· μετωνυμίαι γὰρ καὶ ταῦτά εἰσιν. [Ἰστέον δὲ ὅτι τε τὸ «οὐλοχύτας ἀνέλοντο» προγίνεται τοῦ οὐλοχύτας προβάλοντο· ἀνελόμενοι γὰρ κάτωθεν εἶτα ῥιπτοῦσι κατὰ βωμοῦ αὐτοὺς προθέμενοι. καὶ ὅτι κάλλους πάρισα τὸ περιστήσαντο, προβάλοντο, ἀνέλοντο, εὔξαντο· καὶ ὅτι ἄφυλλοι σχίζαι αἱ ξηραὶ πρὸς διαστολὴν τῶν φυλλοφόρων· καὶ ὅτι τὸ δίπτυχον καὶ ἐπὶ διδύμου γονῆς λέγεται, καθὰ καὶ τὸ τρίπτυχον ἐπὶ τριδύμων, ὡς δῆλον ἐκ τοῦ «διπτύχους γονάς» καὶ «τριπτύχους κόρας», ὧν ἡ παραγωγὴ ἐκ τῶν κατὰ τὴν μήτραν πτυχῶν.

1.382 Ἰστέον δὲ καὶ ὅτι τὸ ἐν τῇ τραγῳδίᾳ ἄφυλλον στόμα ἢ τὸ ξηρὸν δηλοῖ καὶ αὐχμηρὸν καὶ αὖον ἀκολούθως Ὁμήρῳ ἢ τὸ ἱκετεῦον δίχα συνήθων κλάδων, οὓς δηλοῖ καὶ Σοφοκλῆς.] (v. 435 s.) Ὅτι στρατηγικὴ παλαιὰ παραγγελία τὸ χρόνου φείδεσθαι, ὃν οὔτε ἀνακαλεῖσθαι παρελθόντα ἔστιν, οὔτε μὴ παρόντα ῥᾷον λαβεῖν· ὅθεν καὶ Ξενοφῶν πολυτελέστατον ἀνάλωμά φησι τὸν καιρόν, ὡς τοῦ δαπανήσαντος ἐν κενοῖς τὸν καιρὸν καὶ ἀναβαλομένου τὸ μέγιστον τῶν παρ' ἑαυτῷ καλῶν ἀναλώσαντος. διὸ καὶ Ἀλέξανδρος ἐρωτηθείς, πῶς μεγάλα ἤνυσεν, ἔφη· «μηδὲν ἀναβαλόμενος». ταῦτα δὴ Ὅμηρος ἐνταῦθα παραλαλῶν ποιεῖ τὸν Νέστορα στρατηγικῶς λέγοντα τῷ βασιλεῖ· «μηκέτι νῦν δηθὰ λεγώμεθα», ἤγουν καθήμεθα καὶ οἱονεὶ κείμεθα, ἐκ τοῦ λέγω· ἐξ οὗ καὶ λέκτρον ἡ κοίτη. «μήδ' ἔτι δηρὸν ἀμβαλλώμεθα ἔργον, ὃ δὴ θεὸς ἐγγυαλίξει», τουτέστιν εἰς χεῖρας δώσει. γυῖα γὰρ πολλαχοῦ αἱ χεῖρες· ὅθεν γυΐζω τὸ χειρίζω καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς γυαλίζω καὶ ἐγγυαλίζω τὸ ἐγχειρίζω. Τὸ δὲ δηρόν ἐπιρρηματικόν ἐστι κἀνταῦθα δι' ἔλλειψιν τοῦ χρόνον. τὸ δὲ ἐντελὲς παρ' Εὐριπίδῃ ἐν τῷ «δαρὸν ἐκ Τροίας χρόνον πλαγχθείς» καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «πολὺν πολύν με δαρόν τε δὴ κατείχετε χρόνον». Τὸ δέ «ἀναβαλλώμεθα ἔργον», ἀντὶ τοῦ εἰς ἄλλον καιρὸν παρατείνωμεν, τῆς ἀνά προθέσεως δευτέρωσίν τινα καὶ ἐνταῦθα δηλούσης, ὡς καὶ ἐν τῷ ἀναπαλαίειν καὶ ἀναμάχεσθαι καὶ ἀναψηφίζεσθαι, τὸ μεταψηφίζεσθαι, ἵνα εἴη ἀναβάλλεσθαι τὸ ὑπερτίθεσθαι τὸ πρᾶγμα εἰς δευτέραν βολὴν ἤτοι ἐπιτυχίαν. ἐκ δὲ τοῦ «ἀναβαλλώμεθα ἔργον» σύγκειται ὁ παρ' Ἡσιόδῳ ἀμβολιεργός, ὃς ἄταις παλαίει. [Σημείωσαι δὲ ὅτι τὸ ἔργον, ὃ δὴ θεὸς ἐγγυαλίξει, πάνυ ἀσφαλέστερόν ἐστι τοῦ «ἔργον δ' οὐδὲν ὄνειδος», ὃ δή φησιν Ἡσίοδος. ἐκεῖνο μὲν γὰρ ἀσαφῶς γραφὲν ἔβλαψε τὸν σοφὸν Σωκράτην, ὃς εἰωθὼς λέγειν συχνὰ τὸ «ἔργον δ' οὐδὲν ὄνειδος», ἤγουν οὐδέν τί ἐστιν ὄνειδος τὸ ἔργοις ἀγαθοῖς ἐμπαίεσθαι, συκοφαντίᾳ περιέπεσεν, οἷα δογματίζων, ὡς ἔργον οὐδέν, ἤγουν οὐδεμία ἐργασία, ἐάν τε φαύλη κἄν τε χρηστή, ὄνειδός ἐστι τῷ ἐργαζομένῳ, κἀντεῦθεν ἐβλάβη ὡς ἀδιαφορῶν περὶ τὰς πράξεις.

1.383 καὶ οὕτω μὲν Ἡσίοδος ἔγραψεν ἀδιάρθρωτα. Ὅμηρος δὲ διέστειλε σαφῶς, περὶ ποῖον ἔργον χρὴ σπεύδειν, ὅτι δηλαδὴ περὶ τὸ θεόσδοτον. τοιοῦτον γάρ «ὃ δὴ θεὸς ἐγγυαλίξει», ἤγουν εἰς κοίλην χεῖρα θήσει, κατὰ τὸ «ἔμβαλλε κυλλῇ». ἐξ οὗ ἐγγυαλίζειν καὶ γύαλα θώρηκος καὶ κοίλης δὲ πέτρας κατὰ τοὺς ποιητὰς τὰ κοιλώματα.] (v. 438) Ὅτι καὶ ἐνταῦθα κηρύσσειν τὸ προκαλεῖσθαι μετὰ αἰτιατικῆς· φησὶ γάρ «λαὸν κηρύσσοντες». ἐπιμένει δὲ καὶ ὧδε τῇ λέξει διὰ τὸ καίριον τρὶς αὐτὴν εἰπών. [Ὅτι δὲ οἱ μεθ' Ὅμηρον δοτικῇ συντάσσουσι τὸ κηρύσσειν, δῆλόν ἐστι]. Λέγει δὲ καὶ τὸ ἀγειρόντων ἀντὶ τοῦ ἀγειρέτωσαν ἤτοι συναθροιζέτωσαν Ἀττικῶς, ὡς τὸ τυπτόντων καὶ λεγόντων ἀντὶ τοῦ τυπτέτωσαν καὶ λεγέτωσαν, ὅπερ δοκεῖ μὲν βάρβαρον διὰ τὸ ἀσυμβίβαστον τῆς πληθυντικῆς γενικῆς τῶν μετοχῶν πρὸς τὰ πληθυντικὰ τρίτα προστακτικά, θεραπεύεται δὲ διὰ ἐλλείψεως ὑπαρκτικοῦ ῥήματος τοῦ ἔστωσαν, ἵνα λέγῃ ὅτι ἔστωσαν τῶν ἀγειρόντων, ἔστωσαν τῶν τυπτόντων, ἔστωσαν τῶν λεγόντων, ἅπερ συναλιφέντα καὶ στενωθέντα ἐλλειπτικῶς ἐγένοντο ἀγειρόντων, τυπτόντων, λεγόντων, ἀντὶ τοῦ ἀγειρέτωσαν, τυπτέτωσαν, λεγέτωσαν. Σημείωσαι δὲ ὅτι ἐκδηλοτάτη ἡ ῥηθεῖσα ἔλλειψις ἐν τῷ «μελόντων τὸ λώϊον ἐν φρεσίν», οὐ πληθυντικῶς λεχθὲν ἀλλὰ ἑνικῶς ἀντὶ τοῦ ἔστω

τῶν μελόντων ἤτοι μελέτω. (v. 439 s.) Ὅτι οὐ μόνον ἄριστος σύμβουλος ὁ Νέστωρ καὶ τακτικός, ὡς δέδεικται, ἀλλά πως καὶ πολέμαρχος, αὐτὸς ἀποπληρῶν ἄρτι τὴν τοῦ Ἀχιλλέως στρατηγίαν. παραινέσας γὰρ τῷ βασιλεῖ ἐν ἐπηκόῳ τῶν γερόντων μὴ δηρὸν ἀναβαλλώμεθα τὸ θεόθεν ἔργον, ἐπάγει· «ἡμεῖς δ' ἀθρόοι ὧδε κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν ἴομεν, ὄφρα κε θᾶσσον ἐγείρομεν ὀξὺν Ἄρηα». ἔστι δὲ τὸ ἀθρόοι ἀντὶ τοῦ ὁμοῦ, ὅπερ ἐδάσυνον οἱ Ἀττικοί, ὡς ἀλλαχοῦ ῥηθήσεται. Τὸ δὲ ἴομεν αὐθυπότακτον μέν ἐστι παρὰ τοῖς ὕστερον, παρ' οἷς καὶ συστέλλει τὴν ἄρχουσαν ἐκτεῖνον τὴν παραλήγουσαν· παρὰ δὲ τῷ ποιητῇ λαμβάνεταί ποτε καὶ ὡς ἐνεστὼς ὁμοίως τῷ τίομεν καὶ τοῖς τοιούτοις, ἢ ἀπὸ τοῦ εἴω ῥήματος ἀφαιρέσει τοῦ ε ἢ ἀπὸ τοῦ ἴω δευτέρου ἀορίστου ὑποτακτικοῦ μεταχθέντος εἰς ἐνεστῶτα καὶ παθόντος χρόνου μετάθεσιν, ὃ καὶ ἐν ἄλλοις γίνεται.

1.384 (v. 440) Ὀξὺς δὲ Ἄρης ἐγείρεται, ὡς οἷα πρὸ τούτου κοιμώμενος· καὶ ἄλλως δὲ ὄρθωσιν Ἄρεος ἤγουν ἀρεϊκῶν δοράτων καὶ ξιφῶν σημαίνει τὸ λεχθὲν κατὰ τὸ «ἔφριξε δὲ μάχη φθισίμβροτος ἐγχείῃσι». διὸ καὶ ὀξὺς ὁ τοιοῦτος Ἄρης οὐ μόνον διὰ τὸ ταχὺ θανατοῦν καὶ τὸ αἶψα συντελεῖσθαι, ὡς ἀλλαχοῦ φησιν Ὅμηρος, ἔτι δὲ καὶ διὰ τὸ θυμικόν, [εἴπερ καὶ ὀξεῖς λέγονται οἱ θυμούμενοι καὶ ὀξύνεσθαι καὶ παροξύνεσθαι τὸ χολοῦσθαι,] ἀλλὰ καὶ κατὰ τὸ ἔγχη ὀξυόεντα, ὀξέα δηλαδή, καθ' ὃ καί τις ἀνταπειλούμενος ἀλαζόνι πολεμιστῇ ἔφη ὀξεῖαν εἶναι ἐν ἄκρῳ καὶ αὐτῷ τὴν αἰχμήν. (v. 446) Ὅτι ἀκολούθως τῇ παραινέσει τοῦ Νέστορος κρίνουσιν οἱ βασιλεῖς τὸν λαὸν ἤγουν εἰς φῦλα καὶ φρήτρας διαχωρίζουσι. [φησὶ γάρ· «Οἳ δὲ ἀμφ' Ἀτρείωνα θῦνον κρίνοντες», τοὺς ἄνδρας δηλαδὴ κατὰ φῦλα καὶ φρήτρας, ὡς ὁ Νέστωρ παρῄνεσεν· ἀπὸ κοινοῦ γὰρ εἴληπται γοργῶς τὰ τοῦ Νέστορος.] (v. 447—9) Ὅτι φόρημα ὁ μῦθος τῇ Ἀθηνᾷ δίδωσι τὴν αἰγίδα, ἣν ὁ ποιητὴς ἐρίτιμον λέγει καὶ ἀγήραον ἀθανάτην τε, ἧς ἑκατὸν θύσανοι, ἤγουν κροσσοί, παγχρύσεοι ἠερέθονται, πάντες ἐϋπλεκέες, ἑκατόμβοιος δὲ ἕκαστος. τίς δὲ ἡ αἰγὶς αὕτη καὶ ὅτι καὶ Διὸς ὅπλον ἐστί, ζητητέον ἐν τοῖς ἑξῆς. (v. 447) Ἰστέον δὲ ὅτι ἡ μὲν Ὁμηρικὴ αἰγὶς συστέλλει τὴν λήγουσαν, ὡς τὸ μέτρον δηλοῖ· ὁ δὲ Γεωγράφος καὶ τόπον τινὰ ὁμώνυμον ἱστορῶν φησιν, ὅτι Αἰγὶς ὄρος καὶ ἄκρα κατὰ ἔκτασιν τῆς δευτέρας συλλαβῆς περί που τὰ κατὰ Λέσβον. προσνεύει δ' ἐπὶ τὸ Αἰγαῖον πέλαγος, ὅθεν, φησίν, ἔχει καὶ τοὔνομα. [Ἐρίτιμος δὲ ἡ ῥηθεῖσα αἰγὶς διὰ τὰ περὶ αὐτὴν παγχρύσεα· διὸ καὶ ἀγήραος, οὐ μὴν κατὰ τὸν τοῦ μύθου Τιθωνόν, ἀλλὰ καὶ ἀθανάτη. (v. 448) Οἱ δὲ ἑκατὸν θύσανοι δύνανται νοεῖσθαι καὶ ἀντὶ τοῦ πολλοί. (v. 449) Πλεκτοὶ δὲ οἱ θύσανοι, ὡς εἰκός, καὶ διὰ τὸ ἠερέθεσθαι θύοντες, ὅ ἐστι σειόμενοι.] Ἑκατόμβοιος δὲ ὁ ἑκατὸν ἤτοι πολλῶν βοῶν ἄξιος, τουτέστι ζῴων. ἐκ γὰρ τῶν βοῶν, μέρους ἑνός, πάντα δηλοῖ τὰ τετράποδα, δι' ὧν αἱ συναλλαγαὶ τοῖς παλαιοῖς· τίμιον δὲ ἐκείνοις μάλιστα ὁ βοῦς. διὸ ἐξ αὐτοῦ πολλὰ βιωτικὰ δηλοῦνται συναλλάγματα καὶ πράγματα, ὡς ἡ ἑκατόμβη, ὡς αἱ ἀλφεσίβοιαι γυναῖκες, ὡς τὸ τετράβοιον, τὸ δωδεκάβοιον, τὸ εἰκοσάβοιον· περὶ ὧν καὶ ἐρρέθη καὶ αὖθις ῥηθήσεται κατὰ καιρόν.

1.385 ἀπὸ δὲ τοῦ τοιούτου ζῴου ἐλέχθησάν ποτε βόες καὶ τὰ νομίσματα, διότι καὶ βοῦν ἐξετύπουν ἐν αὐτοῖς καὶ μάλιστα οἱ Ἀθηναῖοι τιμῶντες τὸ ζῷον. ἐντεῦθεν καὶ παροιμία τὸ «βοῦν ἐπὶ γλώττης φέρει», ἤγουν δῶρα λαβὼν σιωπᾷ. καὶ τὸ βου δὲ ἐπιτατικὸν μόριον ἐκ τοῦ τοιούτου ζῴου εἴληπται. (v. 450—2) Ἰστέον δὲ ὅτι ἔθος ἔχων ὁ ποιητὴς μύθους παραπλέκειν συχνὰ τῇ ποιήσει—ψυχὴ γάρ τις οἷον ὁ μῦθος τῷ τῆς ποιήσεως σώματι δι' ὅλου παρενεσπαρμένος αὐτοῦ—παράγει καὶ νῦν τὴν μυθικὴν Ἀθηνᾶν σὺν τῇ αἰγίδι παιφάσσουσαν καὶ ὀτρύνουσαν τὸν λαὸν εἰς μάχην καὶ σθένος ἐνιεῖσαν ἑκάστῳ κραδίῃ ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι, ὅπερ ταὐτόν ἐστι τῷ «οὐ παυσωλὴ ἔσσεται πολέμου οὐδ' ἠβαιόν». ἔστι δὲ καὶ ἄρτι ἀλληγορικῶς Ἀθηνᾶ ἡ τῶν βασιλέων σύνεσις λόγῳ ἐρεθίζουσα ὡς ἐκ θείας ἐπιπνοίας τινὸς τὸν λαὸν καὶ ῥωνύουσα. (v. 453 s.) Διὸ καὶ ἐπάγει· «τοῖσι δ' ἄφαρ πόλεμος γλυκίων γένετο ἠὲ νέεσθαι φίλην ἐς πατρίδα γαῖαν», [ὃ παράφρασίς ἐστι τοῦ ἠὲ νόστος, ἵνα λέγῃ· «τοῖς δ' εὐθὺς γλυκίων γέγονεν ὁ πόλεμος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤπερ ὁ νόστος».] Καὶ ὅρα εἰς οἷον ἀγαθὸν ἡ βασιλικὴ ἀπόπειρα ἐτελεύτησεν. οἱ γὰρ ποθοῦντες, ὡς εἰκός, νοστῆσαι καὶ ἀχνύμενοι πρὸ βραχέος ἐπὶ τῇ στερήσει τῶν πατρίδων, οὗτοι καταμαλαχθέντες καὶ ποικίλως ἀναπεισθέντες λόγοις γλυκίω τοῦ νόστου τὸν πόλεμον ἄφαρ ἤγουν εὐθέως κρίνουσιν. εἰ δὲ μηδὲν οὐδὲ τῶν πάνυ ἡδέων γλύκιον ἧς γαίης ἠδὲ πατρίδος, ἀλλ᾽ οἱ Ἀχαιοὶ δημαγωγηθέντες τῇ βασιλικῇ συνέσει γλύκιόν τι τοῦ οἴκαδε νόστου ἡγοῦνται τὸν στυγερὸν καὶ πικρὸν πόλεμον. Καὶ σημείωσαι οἷον ὁ ἐν δέοντι παραινετικὸς λόγος, ὃς ἐν τοῖς ἑξῆς που ἀμβροσία λέγεται διὰ τῆς τῶν γερόντων γλυκείας ὁμιλίας ἐνσταλαζομένη τῇ τοῦ Ἀχιλλέως καρδίᾳ. (v. 454) Ὅρα δὲ καὶ ὅτι νῦν μὲν σύγκειται τὸ «πατρίδα γαῖαν» καὶ ἔχει ἐντελῶς· ἐν δὲ τῷ «οὐδὲν γλύκιον ἧς γαίης οὐδὲ πατρίδος» κεχώρισται φανερῶς ἡ αἶα τῆς πατρίδος. εἰ δέ τις ἐν τούτοις τὸ μὲν ἧς γαίης τοῦ ἔθνους εἶναι εἴπῃ δηλωτικόν, τὸ δέ «οὐδὲ πατρίδος» αὐτῆς τῆς ἐνεγκαμένης, πάθος ἐλλείψεως ἔχει ὁ λόγος, ἵνα λέγῃ ὅτι οὐδὲ πατρίδος γῆς ἢ κώμης ἢ πόλεως ἢ κωμοπόλεως· [Οὐχ᾽ ὑποκορίζεται δὲ οὐδὲ ἡ πατρίς, ἀλλὰ καὶ μᾶλλον ἐξώγκωται σεμνότερον. τῇ μὲν ἐκ πατρὸς παραγώγῳ παρωνυμίᾳ τὸν πατέρα δεικνῦσα, τῷ δὲ θηλυπρεπεῖ σχηματισμῷ μητέρα παραφαίνουσα, ἵνα τῇ τῆς πατρίδος κλήσει ἐμφαίνοιντο οἱ γονεῖς· ὃ προελάλησέ τις παλαιός.] καὶ ταῦτα μὲν ὧδε. (v. 450) Παιφάσσειν δὲ τὸ ἐνθουσιωδῶς καὶ ἐπιφανῶς ὁρμᾶν. ὅθεν καὶ ἐκπαιφάσσειν που ἐν τοῖς ἑξῆς τὸ ἐκφανῆ ὁρμὴν ἔχειν. γίνεται δὲ ἐκ τοῦ φῶ, τὸ φαίνω, φάσσω καὶ ἐν ἀναδιπλασιασμῷ φαφάσσω καὶ τροπῇ τοῦ δασέος καὶ ἐπενθέσει τοῦ ι παιφάσσω. οὕτω σκευωρεῖται καὶ τὸ ποιφύσσειν ἀντὶ τοῦ φυσσᾶν καὶ τὸ παίπαλον καὶ τὸ μαιμᾶν, ὅ ἐστι προθυμεῖσθαι· καὶ τὸ δαίδαλος δέ, εἰ μὴ ἴσως πλεονασμὸν ἔχει τοῦ δευτέρου δ , ὁμοίως παράγεται.

1.386 οἱ δὲ παλαιοὶ παιφάσσειν λέγουσι καὶ τὸ ἄλλῃ καὶ ἄλλῃ περιάγειν τὴν ὄψιν, ὃ εἰς ταὐτὸν ἄγεται τῷ πάντῃ τὰ φάη ἀΐσσειν, ὅθεν καὶ συντέθειται. (v. 455 ss.) Ὅτι, ὡς καὶ προγέγραπται, χρώμενος παραβολαῖς ὁ ποιητὴς πολλαχοῦ οὐ μόνον ἐπὶ ἐμφανείᾳ πολυπειρίας καὶ λεκτικῆς δυνάμεως, ἀλλὰ καὶ ἐπὶ σαφηνείᾳ καὶ ἐναργείᾳ πραγμάτων—τὰ γὰρ ἅπαξ ποτὲ γενόμενα δῆλα ποιεῖ διὰ παραβολικῶν εἰκόνων γινομένων ἀεί—ὅπου μὲν οὐ πολλὰ τὰ πράγματα, οὐ πολλὰς παρεισάγει παραβολάς, ἔνθα δὲ ποικιλία πραγμάτων, ἐκεῖ πλεονάζει καὶ παραβολαῖς. ὡς καὶ ἐνταῦθα πολλῶν ὄντων τῶν Ἀχαιῶν καὶ ὅπλα δὲ περικειμένων λαμπρά, πρὸς δέ γε καὶ ταχὺ ὁρμωμένων ὧδε καὶ ἐκεῖ, ναὶ μὴν ἀλλὰ καὶ διακεκριμένων εἰς φῦλα, ἔτι δὲ καὶ θυμικῶς διακειμένων, πρὸς ἕκαστον τούτων παραβολῇ ἐχρήσατο· πρὸς μὲν τὴν λαμπρότητα τῶν ὅπλων τῇ ἀπὸ τοῦ πυρός, ἥτις ἐν κορυφαῖς ὄρους ὕλην πολλὴν ἐπιφλέγει· πρὸς δὲ τὸ ἐνταῦθα καὶ ἐκεῖ ὁρμᾶσθαι τῇ ἀπὸ χηνῶν ἢ γεράνων ἢ κύκνων, οἳ ἔνθα καὶ ἔνθα πέτονται ἀγαλλόμενοι πτερύγεσσι· πρὸς δὲ τὸ πλῆθος τῇ ἐκ τῶν φύλλων καὶ τῶν ἀνθέων, ὅσα ἔαρος γίνονται· πρὸς δὲ τὸ θυμικὸν καὶ θρασὺ τῇ ἀπὸ τῶν μυιῶν, αἳ κατὰ τὰς ποιμενικὰς ἐπαύλεις ἀθροιζόμεναι διὰ τὸ γλυκὺ γάλα καταναιδεύονται τὰ συνήθη· πρὸς δὲ τὸ εὐπειθῶς διακεκρίσθαι αὐτοὺς εἰς φῦλα παραβολῇ χρᾶται τῇ ἀπὸ τῶν αἰπολίων, ἃ κἂν μιγῶσιν ἐν τῷ νομῷ, ἀλλὰ οἱ αἰπόλοι ῥᾷον διακρίνουσιν. οὕτω δυνατὸς ὁ ποιητὴς εἰς εὐπορίαν εἰκόνων πραγματικῶν. (v. 455 s.) Ἰστέον δὲ ὡς οὐχ᾽ ἁπλῶς πυρὶ ἐξεικάζει ὁ ποιητὴς τὴν αἴγλην τοῦ χαλκοῦ τῶν Ἑλληνικῶν ὅπλων, ἀλλὰ πυρὶ ἐπιφλέγοντι ἄσπετον ὕλην ἐν κορυφαῖς ὄρεος, οὗ ἕκαθεν φαίνεται αὐγή· τοῦ γὰρ τοιούτου πυρὸς ἡ λαμπηδὼν εἰς πολὺ διαδίδοται, ἐν δέ γε κοίλαις φάραγξιν ἀσπέτου μὲν ὕλης ἴσως ἐπιδράξεται, ἤγουν πολλῆς καὶ ἀρρήτου διὰ δασύτητα, ἕκαθεν δὲ ἡ αὐγὴ οὐ φανήσεται. (v. 457 s.) Ἐν δὲ τῷ [«ὣς τῶν», ἤγουν οὕτω τούτων,] «ἐρχομένων ἀπὸ χαλκοῦ θεσπεσίου αἴγλη παμφανόωσα δι᾽ αἰθέρος οὐρανὸν ἷκε» καὶ τὸ εὐμέγεθες ἔοικε τῶν Ἑλλήνων ὑποδηλοῦν· διὸ καὶ προσαρμόσει ὅλη ὅλῳ τῷ πράγματι ἡ παραβολή· ὡς γὰρ ἐν κορυφῇ ὄρεος πῦρ, οὗ ἕκαθεν ἡ αὐγή, οὕτως ἐν αὐτοῖς χαλκός, οὗ ἡ αἴγλη ἐπάμφαινε. λαμπρὸν δὲ καὶ τὸ ἐκ γῆς αἴγλην εἰς οὐρανὸν ἀφικνεῖσθαι· ἄλλως γὰρ ἐκεῖθεν ἐπὶ γῆν φῶς καταπέμπεται, ὡς δηλοῖ καὶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«οὐρανόθεν ὑπερράγη ἄσπετος αἰθήρ». προϊὼν δὲ τὸ αὐτὸ διὰ συντόμου καὶ λαμπροτέρας εἰκονίσει παραβολῆς εἰπὼν ἰέναι τοὺς Ἕλληνας ὡς ἂν πυρὶ χθὼν πᾶσα νέμοιτο.

1.387 χαλκὸς δὲ θεσπέσιος, ὃν θεὸς ἂν εἴποι οἷος ἦν. (v. 455) Τὸ δὲ ῥηθὲν πῦρ ἀΐδηλον ἔφη ἢ ὡς πολυφανὲς παρὰ τὸ ἰδεῖν, ᾧπερ ὅμοιον εἴη ἂν καὶ τὸ ἀείδελον, ἢ ὡς ἀφανιστικὸν καθ' ὁμοιότητα τοῦ ἀΐδου ἢ ὡς εἰς πολὺ διαθέον παρὰ τὸ μὴ ἵζειν τραπέντος τοῦ ζ εἰς δ κατὰ συνήθειαν. (v. 458) [Ὅρα δὲ ἐν τῷ «δι' αἰθέρος οὐρανὸν ἷκεν», ὅτι τῷ αἰθέρι καὶ τὸν ὑποτεταγμένον αὐτῷ ἀέρα συννοεῖν χρή.] (v. 459—64) Ὅτι λειμών τις ἐν Ἀσίᾳ λεγόμενος δι' αὐτὸ τοῦτο Ἄσιος περί που τὸν Κάϋστρον ποταμόν, περὶ ὃν χῆνές τε καὶ γέρανοι καὶ κύκνοι καὶ εἴ τι τοιοῦτον ὑδροχαρὲς ὄρνεον νέμονται. διὸ καὶ ὁ ποιητὴς ἐκ παραβολῆς διδάσκων τὴν φυλαδὸν γινομένην τῶν Ἑλλήνων κίνησιν κατὰ διάκρισιν ἐθνικήν φησι· «τῶν δ' ὥς τ' ὀρνίθων πετεηνῶν ἔθνεα πολλὰ χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων Ἀσίῳ ἐν λειμῶνι, Καϋστρίου ἀμφὶ ῥέεθρα, ἔνθα καὶ ἔνθα ποτῶνται ἀγαλλόμεναι πτερύγεσσι κλαγγηδὸν προκαθιζόντων, σμαραγεῖ δέ τε λειμών, ὣς τῶν ἔθνεα πολλὰ νεῶν ἄπο καὶ κλισιάων ἐς πεδίον προχέοντο Σκαμάνδριον». (v. 461) Τινὲς δὲ τὸ Ἀσίω ἐν λειμῶνι ἀντὶ τοῦ Ἀσίου εἶπον κατὰ γενικὴν πτῶσιν καί φασιν, ὅτι ἀνδρί τινι ἐπιφανεῖ ὁ λειμὼν ἐπωνόμασται, οὗ ἡ εὐθεῖα ὁ Ἀσίας, ἡ γενικὴ Ἀσίου καὶ Ἰωνικῶς Ἀσίεω ὡς Ἑρμείεω, εὐμελίεω, καὶ ἐν συγκοπῇ Ἀσίω ὡς Ἑρμείω, εὐμελίω. καὶ ἔστι, φασί, λειμὼν Ἀσίου, περὶ ὃν χῆνες καὶ τὰ τοιαῦτα συνάγονται. ὁ δὲ Γεωγράφος οὕτω φησίν· «ἀπὸ τριάκοντα σταδίων τῆς Τραλλιανῆς Νύσσης Τμῶλον ὑπερβᾶσι καὶ τὴν Μεσογίδα πρὸς νότον τόπος τις καλεῖται Λειμών, ὃν ὀνομάζειν φασὶ τὸν ποιητήν, ὅτε εἴπῃ Ἀσίῳ ἐν λειμῶνι, δεικνύντες Καΰστρου καὶ Ἀσίου τινὸς ἡρῷον καὶ τὸν Κάϋστρον, πλησίον ἀπορρέοντα». ὁ δ' αὐτὸς καὶ πεδίον Καϋστρηνὸν λέγει, ᾧ συνεχὲς τὸ Κιλβανόν, πολὺ καὶ συνοικούμενον εὖ. ἕτεροι δὲ τῶν ῥηθέντων ἡρώων τὸν μὲν Ἀσίαν Κότυος ἱστοροῦσιν υἱόν, τὸν δὲ Κάϋστρον Πενθεσιλείας υἱόν. λέγουσι δὲ καὶ ἄρξαι Λυδίας τὸν Ἀσίαν. ἄλλοι δὲ νοοῦσιν ἄσιον λειμῶνα τὸν ἰλυώδη· ἄσις γὰρ τὸ ἐξ ὕδατος ξηρὸν παρὰ τὸ ἄξω ἤ, σαφέστερον εἰπεῖν, ἡ ἰλύς, ὥς που δηλοῖ καὶ ὁ ποιητής. πηλώδης γάρ, φασίν, ὁ Κάϋστρος ποταμὸς ἐν ταῖς προχοαῖς. (v. 460) Γίνεται δὲ ὁ μὲν χὴν παρὰ τὸ χαίνειν, διότι τε βορός ἐστι καὶ ὅτι καὶ ἰδιότης αὕτη τῷ χηνὶ χαίνοντι τὰ πολλά, ὅτε ἢ θρασύνεται ἢ δειλιᾷ. Γέρανος δὲ παρὰ τὸ τὴν γῆν ἐρευνᾶν. Κύκνος δὲ ἀπὸ τοῦ κυκᾶν πλέον τῶν ἄλλων τὴν ἰλὺν ἐπὶ ἀναψηλαφήσει τροφῆς.

1.388 Δουλιχοδείρους δὲ τούτους ὁ ποιητής φησι κατ' ἐξαίρετον· τοιοῦτοι γὰρ αὐτοὶ μάλιστα πρὸς ἀναλογίαν τοῦ σώματος τὸ δολιχὸν ἤτοι μακρὸν τοῦ τραχήλου ἀντὶ ὁρμιᾶς ἔχοντες ἐν τοῖς ὑγροῖς. [Δοκεῖ δὲ τὸ Ἰωνικῶς μὲν δουλιχόν, κοινῶς δὲ δολιχὸν γίνεσθαι παρὰ τὸ διόλου ἱκέσθαι· τοιοῦτον γάρ τι τὸ μακρὸν τραπέντος τοῦ ψιλοῦ κ εἰς τὸ ἀντίστοιχον δασὺ διὰ τὸ εὐφωνότερον. ἐκ δὲ τῆς λέξεως ταύτης καὶ δρόμος ἐναγώνιος ὁ δολιχός· καὶ νῆσος δέ τις τὸ Δουλίχιον. σύγκειται δὲ ἀπ' αὐτῆς καὶ τὸ δολιχόσκιον καὶ δολίχαυλοι αἰγανέαι, ὅ ἐστι μακροὺς αὐλοὺς ἔχουσαι, ἤγουν κοιλότητας ἐπιδορατίδων, αἷς ὁ τοῦ ξύλου καυλὸς ἐνίεται. Ὅτι δὲ ὁ κύκνος εὔτεκνος καὶ μάχιμος καὶ ὡς ἀλληλοκτονεῖ ὁ μάχιμος καὶ ὡς Ἀριστοτέλους εἰπόντος ᾠδικοὺς εἶναι τοὺς κύκνους μάλιστα περὶ τὰς τελευτὰς καὶ διαίρειν τὸ πέλαγος ᾄδοντας Ἀλέξανδρος ὁ Μύνδιός φησιν, ὅτι πολλοῖς παρακολουθήσας τελευτῶσιν οὐκ ἤκουσεν ᾀδόντων, οἱ παλαιοὶ δηλοῦσι, παρ' οἷς καὶ κύριον ὄνομα ὁ Κύκνος, ὃν ὁ μῦθός φησιν ὑπὸ Ἄρεος ὀρνιθωθῆναι. τοῦ δὲ ᾠδικοὺς εὐγενῶς αὐτοὺς εἶναι ἡ πεῖρα διδάσκαλος.] (v. 461) Λειμὼν δὲ ὁ ὑγρὸς καὶ βοτανώδης τόπος ἀπὸ τοῦ λείβω λέλειμμαι, ὃν ἡ κοινὴ γλῶσσα λιβάδιον λέγει ὡς ἀπὸ τοῦ ἔλιβον δευτέρου ἀορίστου, ἔνθα ὕδωρ συλλείβεται. Κάϋστρος δὲ ὁ ποταμὸς ὡς διὰ Κατακεκαυμένης ῥέων, περὶ ἧς ἀλλαχοῦ ῥηθήσεται. [διαλέλυται δὲ ἡ λέξις· ἄλλως γὰρ Καΰστρος ὤφειλεν οὕτως εἶναι, ὁμοίως τῷ καυστειρός καὶ τῷ καυσία, ἥτις ἦν κάλυμμα κεφαλῆς Μακεδονικὸν ἐκ πίλου, ὡς τιάρα σκέπουσά τε ἀπὸ καύσωνος καὶ ὡς εἰς

περικεφαλαίαν συντελοῦσά τι. ἄλλοις δὲ δοκεῖ ὁμώνυμος εἶναι ὁ ῥηθεὶς ποταμὸς ἥρωϊ Καΰστρῳ τῷ ἀνωτέρω εἰρημένῳ.] ὥσπερ δὲ κάπρος κάπριος κατὰ παραγωγήν, οὕτω καὶ Κάϋστρος Καΰστριος. (v. 462) [Τὸ δὲ ποτῶμαι, τουτέστι πέτομαι, ὅτι καὶ ἐκτείνει τὴν ἄρχουσαν, δηλοῖ σὺν ἄλλοις ἐν χρήσει καὶ ὁ Δειπνοσοφιστής.

1.389 ] Τὸ δέ «ἀγαλλόμεναι πτερύγεσσιν», ὡς καὶ προεγράφη, ἀκαταλλήλως εἴρηται. ἐχρῆν γὰρ ὀρθῶς εἰπεῖν ἀγαλλόμενα, ἵνα λέγῃ ἔθνεα πολλὰ ἀγαλλόμενα. εἴρηται δὲ ὅμως Ἀττικῶς καὶ οὐκ ἀπεδόθη πρὸς τὴν φωνὴν τοῦ ἔθνεα, ἀλλὰ πρὸς τὸ σημαινόμενον, ὅπερ ἐστὶν αἱ ἀγέλαι ἢ μάλιστα αἱ ὄρνιθες· ταὐτὸν γὰρ ἐνταῦθα ἔθνεα ὀρνίθων καὶ ὄρνιθας εἰπεῖν. καινοπρεπὲς οὖν σχῆμα τὸ εἰπεῖν «ἔθνεα πολλὰ ὀρνίθων ἀγαλλόμεναι πτέρυξιν», ἀντὶ τοῦ ἀγέλαι ἢ ὄρνιθες χαίρουσαι τῇ πτήσει καὶ ἐντρυφῶσαι τοῖς πτεροῖς. τοιοῦτόν που καὶ τὸ «ἐκίνηθεν φάλαγγες ἐλπόμενοι παρὰ ναῦφιν Πηλείωνα» καὶ ἑξῆς. καὶ ἐκεῖ γὰρ τὸ ἐλπόμενοι ἀκατάλληλον μέν ἐστι πρὸς τὴν φωνὴν τοῦ φάλαγγες, καταλλήλως δὲ ἔχει πρὸς τὸ σημαινόμενον. ἐπεὶ γὰρ φάλαγγες οἱ λαοί, λέγοι ἂν ὅτι ἐκινήθησαν οἱ Ἀχαιοὶ ἐλπόμενοι τόδε τι. φασὶ δέ τινες τῶν παλαιῶν Ὑπομνηματιστῶν, ὅτι Ἀρίσταρχος ἀγαλλόμενα γράφει ἀκολούθως τῷ ἔθνεα. (v. 459) Τὸ δὲ πετεηνῶν ἢ ἁπλῶς εἴρηται ὡς ὀρνίθων ἴδιον ἢ πρὸς διαστολὴν ἴσως τῶν κατοικιδίων, οἷς οὐχ' οὕτως ἄνετον τὸ πτερὸν εἰς τὸ πέτεσθαι. δῆλον δ' ὅτι ἐκ τοῦ πετεηνοῦ συγκέκοπται τὸ πτηνόν. Τὸ δὲ ἔθνεα καταχρηστικῶς καὶ νῦν λέγεται, ὡς προγέγραπται, ὥσπερ καὶ ἐπὶ μελισσῶν καὶ μυιῶν καὶ ἐπὶ ἰχθύων δὲ παρὰ τῷ Ὀππιανῷ. ἔθνος μὲν γὰρ ἀπὸ τοῦ ἔθους· ἔθος δὲ ἐπὶ ἀλόγων οὐκ εἴωθε λέγεσθαι. (v. 463) Τὸ δὲ σμαραγεῖ ὠνοματοπεποίηται πρὸς μίμησιν ἤχου, ὃν ἀποτελεῖ ὁ ὑγρὸς λειμὼν καθιπταμένων αὐτόθι ὀρνίθων. ἕτεροι δὲ τὴν λέξιν ἀντὶ τοῦ λάμπειν ἐνόησαν, ὅθεν, φασί, καὶ σμάραγδος λίθος. (v. 465) Πεδίον δὲ Σκαμάνδριον τὸ μεταξὺ τῶν δύο ποταμῶν, τοῦ τε Σιμόεντος καὶ αὐτοῦ τοῦ Σκαμάνδρου, ἔνθα ἐγίνετο ἡ μάχη, ὅπερ καὶ λειμῶνα λέγει Σκαμάνδριον ἀνθεμόεντα, ὡς ῥηθήσεται. ὁ δὲ Γεωγράφος λέγει καί, ὅτι ἰδίως Τρωϊκὸν πεδίον τὸ Σιμοείσιον καὶ τὸ Σκαμάνδριον, ἔνθα οἱ πλεῖστοι ἀγῶνες· πλατύτερον γάρ. ἐνταῦθα δὲ ὁρᾶται καὶ τὰ ἐν τοῖς ἑξῆς μνημονευθησόμενα, ὁ ἐρινεός, ὁ τάφος τοῦ Αἰσυήτου, ἡ βάτεια καὶ τὸ σῆμα τοῦ Ἴλου. Σημείωσαι δὲ ὅτι ὁ Σκάμανδρος δυσχερῶς ἐν μέτρῳ ἔχων παρεισρέειν ἡρωϊκῷ ἐκαινοτομήθη ἐξ ἀνάγκης παρὰ τοῦ ποιητοῦ. ἐπεὶ γὰρ ἡ ἄρχουσα βραχεῖα οὖσα ἐκ δύο συμφώνων ἄρχεται καὶ ἐκτείνει τὸ πρὸ αὐτῆς πῖπτον βραχὺ καὶ διὰ τοῦτο οὐ χρησιμεύει ὅλως εἰς μέτρον δακτυλικόν, λαμβάνει τὴν ἄρχουσαν ὁ ποιητὴς ἀναγκαίως ἀεὶ ἀδυνατοῦσαν ἐκτείνειν τὰ πρὸ αὐτῆς, καθαπερεὶ καὶ ἦν μονογράμματος, οἷον λόγου χάριν Κάμανδρος, καὶ οὕτω ποιεῖ αὐτὴν ἐπιτηδείαν εἰς δακτύλου ἀπαρτισμόν.

1.390 διὸ ἐν τῷ «ἐς πεδίον προχέοντο Σκαμάνδριον» τὸ προχέοντο βραχεῖαν ἔχει τὴν λήγουσαν, ἵνα ποιήσῃ δάκτυλον. ὡσαύτως καὶ ἐν τῷ «λειμῶνι Σκαμανδρίῳ» τὸ λειμῶνι ἐν συστολῇ ἔχει τὴν λήγουσαν καὶ οὕτως ὁ Σκάμανδρος ἔχει χώραν κεῖσθαι παρὰ τῷ ποιητῇ, λεγόμενός ποτε καὶ Ξάνθος, ὡς φανήσεται. ὅμοιον δέ τι καὶ ἡ Ζέλεια ἔπαθεν, ὡς κατὰ τόπον ῥηθήσεται. Τὸ δὲ προχέοντο δηλοῖ μὲν τὸ τῶν Ἀχαιῶν οἷον ὑγρὸν πρὸς εὐκινησίαν· εἴληπται δὲ δεξιῶς ἀπὸ ὑδάτων συλλειβομένων ποθὲν εἰς πεδιάδα. [Τοιοῦτον δέ τι καὶ ἐν Ὀδυσσείᾳ τὸ «ἱππόθεν ἐκχύμενοι». ἐκεῖνο δὲ καί τι πλεῖον ἔχει γλαφυρότητος διὰ τὸ ἐκ τῆς κοιλίας τοῦ δουρείου ἵππου λέγειν κεχύσθαι τοὺς ἥρωας.] Ἰστέον δὲ ὅτι πεδίον μὲν κατὰ τοὺς παλαιοὺς ὁ μακρὸς καὶ ἀναπεπταμένος τόπος, ὃς καὶ πεδιὰς λέγεται. πέδιον δὲ προπαροξυτόνως καθ' ὑποκορισμὸν ἡ μικρὰ πέδη πρὸς ὁμοιότητα τοῦ λύριον, θύριον. (v. 466) Ὅτι νῦν μὲν ἁπλῶς λέγει σμερδαλέον κοναβίζειν τὴν χθόνα ὑπὸ ποδῶν αὐτῶν τε καὶ ἵππων, προϊὼν δὲ καὶ εἰς αὐτὸ τοῦτο παραβολὴν ποιήσει στεναχίζειν εἰπὼν αὐτήν, ὡς ὅτε ὑπὸ Τυφωέος ἱμάσσεται. τί δὲ δηλοῖ καὶ ὁ κόναβος καὶ τὸ σμερδαλέον, προείρηται. (v. 467 s.) Ὅτι τὸ «ἵσταντο ἐν λειμῶνι Σκαμανδρίῳ ἀνθεμόεντι μυρίοι, ὅσσα τε φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ» καθ' ὑπερβολὴν νοητέον. πῶς γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἂν ἄλλως τοὺς μετρητοὺς Ἕλληνας φύλλοις καὶ ἄνθεσιν ἐξισωτέον τοῖς ἀπείροις καὶ πανταχοῦ γῆς γινομένοις; οὕτω δὲ καὶ ἐν τοῖς ἑξῆς φύλλοις αὐτοὺς ἢ ψαμάθοις ἐοικέναι τίς φησι. τάχα δὲ ὥσπερ μυίαις αὐτοὺς μετ' ὀλίγα εἰκάζει, οὐ ταῖς ἁπανταχοῦ τῆς γῆς, [καὶ ἐν ἀρχῇ δὲ τοῦ βιβλίου τοὺς Ἀχαιούς, ὅσοι μηνίσαντος Ἀχιλλέως ἔθανον, ἕλωρ προκεῖσθαι εἶπε κύνεσσιν οἰωνοῖσί τε πᾶσιν, οὐ τοῖς κατὰ κόσμον ὅλον δηλαδή, ἀλλὰ τοῖς ἐκεῖ περὶ Τροίαν, εἰ καὶ ὁ Ζηνόδοτος εἰς τοῦτο ἀπορήσας ἐξῶσε μὲν τὸ πᾶσιν, ἀντενέγραψε δὲ τὸ δαῖτα, ἵνα ᾖ «οἰωνοῖσί τε δαῖτα». ὥσπερ τοίνυν ἐν τοῖς εἰρημένοις μερικῶς ἐπιβλητέον τῷ περὶ μυιῶν καὶ κυνῶν λόγῳ], οὕτω φύλλα καὶ ἄνθη ἐνταῦθα νοητέον τὰ περὶ τὸ Σκαμάνδριον πεδίον, ὡς ἂν μὴ πάνυ ὁ λόγος ὑπερβάλλῃ, ἀλλ' ἵνα λέγῃ ὅτι ἵσταντο Ἕλληνες περὶ τὸν ἀνθεμόεντα τοῦτον λειμῶνα, ὅσσα φύλλα καὶ ἄνθη ἔαρος αὐτόθι γίνονται. καὶ ἔοικε τὸν παραβολικὸν λόγον τοῦτον ἀπὸ τοῦ ἀνθεμόεντος πεδίου πορίσασθαι, οἱονεὶ λέγων, ὅτι ὁ ἀνθεμόεις οὗτος λειμὼν εἶχεν ὥσπερ φύλλα καὶ ἄνθεα εἰς πλῆθος τοὺς Ἕλληνας. Ὅρα δὲ ὅπως τὸ μυρίοι ἐπὶ πάνυ πολλοῦ πλήθους εἶπεν, ὥστε τοιοῦτόν τι ἐμφαίνει καὶ τὸ «μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε» καὶ τὸ «μυρία Ὀδυσσεὺς ἐσθλὰ ἔοργεν».

1.391 Ἀνθεμόεις δὲ ὁ πολύφυτος καὶ διὰ τοῦτο ἐν καιρῷ πολλοῖς ἀνθέμοις ἤγουν ἄνθεσι βρύων. ἐντεῦθεν δὲ τροπικῶς καὶ λέβης ἀνθεμόεις ὁ οἷον ἀνθῶν τῷ κάλλει τοῦ ποικίλματος. καὶ μὴν ἐκεῖνος καὶ ὡς ἀναθηματικὸς δοκεῖ οὕτω λέγεσθαι. Ὥραν δὲ τὴν ἐαρινὴν λέγει κατ' ἐξοχὴν ἢ κατ' ἔλλειψιν. προϊὼν γοῦν φησιν· «ὥρῃ ἐν εἰαρινῇ», ἐνταῦθα μὲν ἐλλείψας, ἐκεῖ δὲ εἰπὼν ἐντελῶς, ὁποῖόν τι ποιεῖ καί, ὅτε πατρίδα λέγει ἐλλειπτικῶς καὶ πατρίδα γαῖαν ἐντελῶς. (v. 469—73) Ὅτι τὸ τῶν Ἑλλήνων θρασὺ καὶ ἐπιθυμητικὸν τοῦ αἵματος, ἔτι δὲ καὶ τὸ πλῆθος αὐτῶν ἐμφαίνων προϊὼν μὲν ἐρεῖ, ὅτι οὔπω τοιόνδε τις τοσόνδε τε λαὸν ὄπωπεν· ἐνταῦθα δὲ τοὺς Ἕλληνας μυίαις εἰκάζει πετομέναις εἰς ἀμελγόμενον γάλα λέγων, ὅτι τόσοι ἵσταντο Ἀχαιοὶ ἐν πεδίῳ οὐχ' ἁπλῶς, ἀλλὰ διαρραῖσαι μεμαῶτες, καθὰ μυιάων ἀδινάων ἔθνεα πολλά, αἵ κατὰ σταθμὸν ποιμνήϊον ἠλάσκουσιν ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει. καὶ σημείωσαι ὅτι τὸ μὲν τόσσοι πλήθους δηλοῖ ποσότητα, τὸ δὲ διαρραῖσαι μεμαῶτες θάρσους ποιότητα. καὶ ὅτι οὐ πρὸς τὴν Ἑλληνικὴν ἀνδρίαν ἡ εἰκὼν τῶν μυιῶν· οὐ γὰρ πρὸς ἰσχύος ἔνδειξιν, ἀλλὰ πρὸς μόνον θάρσος καὶ ἀναίδειαν παρείληπται ἡ παραβολὴ αὕτη, [ὥσπερ ἡ τῶν μελισσῶν πρὸ ταύτης πρὸς τὴν ἰλαδὸν κίνησιν τῶν Ἀχαιῶν ἐκ τῶν σκηνῶν εἰς τὴν ἀγοράν· οὐ μὴν πρός τι φοβερόν, εἰ καὶ ἄλλως δεινότεραι μυιῶν αἱ μέλισσαι διὰ τὸ κατ' αὐτὰς πληκτικόν·] ἵσταντο γάρ, φησί, διαρραῖσαι μεμαῶτες δίκην μυιῶν, ὃ δὴ καὶ ἀλλαχοῦ ποιῶν λέγει θάρσος μυίας ἐντεθῆναί τινι τῶν ἡρώων. (v. 469) Ἀδινὰς δὲ μυίας ὥσπερ καὶ μελίσσας δι' ἑνὸς δέλτα καὶ συστολῆς τῆς ἀρχούσης ἢ τὰς λεπτὰς λέγει ἢ τὰς πυκνὰς καὶ ἀθρόον πετομένας. [Παρῴδηται δέ πως ἐνταῦθα τὸ «ἠΰτε μυιάων ἀδινάων ἔθνεα πολλά» ἐκ τοῦ «ἠΰτ' ἔθνεα εἶσι μελισσάων ἀδινάων». τὴν δὲ τούτων συγγένειαν τῶν παραβολῶν οἴδασι καὶ οἱ γεωργικοὶ μυίας, ὅτε δόξει αὐτοῖς, καὶ τὰς μελίσσας λέγοντες.] (v. 470) Σταθμὸς δὲ νῦν μὲν ἀγροτικὴ κατοικία, ὅ ἐστιν ἔπαυλις, [ἣν ὁ Σοφοκλῆς μεταπλάσας σταθμὰ λέγει.] λέγεται δέ ποτε καὶ ἐπὶ ζυγοῦ τοῦ τὰ βάρη ταλαντεύοντος καὶ ἐπὶ παραστάτου δὲ οἰκίας. ὅτε μέντοι ἐκ τοῦδε τοῦ τόπου εἰς τόνδε σταθμοὶ τοσοίδε λέγονται, τοπικὸν ἐκεῖ διάστημα δηλοῖ ὁ σταθμός, ὡς εἴ τις εἴποι στάσιν ἢ μονὴν ἢ τὴν λεγομένην ἀλλαγήν.

1.392 [Τὸ δὲ ποιμνήϊον πλεονασμὸν ἔχει τοῦ η καθὰ καὶ τὸ πολεμήϊον καὶ τὸ οἰήϊον, ὃ δηλοῖ πλοίου οἴακα, καὶ οὐκ ἂν ἔχοι ἀμφιβολίαν ὡς τὸ ξυνήϊον.] Τὸ δὲ ἠλάσκειν γίνεται μὲν ἐκ τοῦ ἀλῶ, δηλοῖ δὲ τὸ πλανᾶσθαι· καὶ καλῶς εἴρηται ἐπὶ μυιῶν· πλανῶνται γάρ πως ἀεὶ πετόμεναι. (v. 471) Τὸ δέ «γλάγος ἄγγεα δεύει» ἐκ τοῦ παρακολουθοῦντος εἴρηται περιφραστικῶς ἀντὶ τοῦ «ὅτε γάλα ἀμέλγεται», πολύ τε καὶ πῖον καὶ γλυκύτερον καὶ μυιῶν ἐπισπαστικόν· διὸ καὶ τὴν ἐαρινὴν ὥραν παρέλαβεν, ἐν ᾗ μάλιστα τὰ τοιαῦτα γίνεται. [Γλάγος δὲ γάλα ἀγανόν, ὅ ἐστιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡδύ· γάλα μέντοι παρὰ τὸ καλόν ἢ διὰ τὸ ἐκ γυίων ἅλλεσθαι· ἀπ’ αὐτοῦ δὲ καὶ γλάξ βοτάνη γαλακτοποιὸς ταῖς ἐσθιούσαις. (v. 474—7) Ὅτι ἡ προμνημονευθεῖσα ἐκ τῶν αἰγῶν παραβολὴ οὕτω φράζεται Ὁμηρικῶς· «τοὺς δ’ ὥς τ’ αἰπόλια πλατέ’ αἰγῶν αἰπόλοι ἄνδρες ῥεῖα διακρίνουσιν, ἐπεί κε νομῷ μιγέωσιν, ὣς τοὺς ἡγεμόνες διεκόσμεον ἔνθα καὶ ἔνθα ὑσμίνηνδ’ ἰέναι».] (v. 474) Ἰστέον δὲ ὅτι αἰπόλια πλατέα αἰγῶν ἢ τὰ μεγάλα ἢ μᾶλλον παρατετηρημένως τὰ πεπλατυσμένα, ἐπείπερ αἱ αἶγες ἐσκεδασμέναι νέμονται. τὰς μέντοι ὄϊς ἀδινάς τε λέγει καὶ ἀγχηστίνας, ἤγουν ἄγχι ἑστηκυίας, πυκνάς· πυκνοῦνται γὰρ ἐν τῇ νομῇ καὶ οὐ πολὺ διΐστανται. δῆλον δὲ ὅτι αἰπόλιον μὲν λέγεται αἰγῶν, ποίμνιον δὲ προβάτων. ἔστι δ’ ὅτε γενικῶς πάντα τῷ ποιμνίῳ περιέχονται. διὸ ἀνωτέρω σταθμὸν ποιμνήϊον ἔφη ἁπλῶς τὸν ἀγροτικόν. ἐκ περισσοῦ δὲ κεῖται τὸ αἰγῶν. ἀρκεῖ γὰρ τὸ αἰπόλιον εἰς νόησιν αἰγῶν· αἰπόλιον γάρ τις ἀκούσας αἰγῶν πλῆθος ἐνόησεν. οὕτω δὲ καὶ ἐν τῷ «συῶν συβόσιον» παρέλκει τὸ συῶν. εἰσὶ δέ, ὡς προεγράφη, καὶ ἄλλα τοιαῦτα. (v. 476) Ἐν δὲ τῷ «ἡγεμόνες διεκόσμεον» διακοσμεῖν λέγει τὸ εὐκόσμως τάττειν, ὅθεν καὶ κοσμήτωρ ὁ ἡγεμών· καὶ κόσμιος δὲ ἐντεῦθεν ὁ εὔτακτος, ἄκοσμος δὲ ὁ μὴ τοιοῦτος. καὶ οὐκ ἐν κόσμῳ φεύγειν τὸ ἀτάκτως τῆς μάχης ὑποχωρεῖν. [Διήκει δὲ ἡ λέξις καὶ εἰς ἄλλα, οἷον καὶ εἰς δαῖτα, ἧς λυθείσης ἀποκοσμεῖται ἔντεα δαιτός. καὶ εὔκοσμος δὲ εἴδησις λέγοιτ’ ἄν, ἧς ἀνάπαλιν ἔχει ὁ ἄκοσμά τε πολλά τε εἰδώς. εἴη δ’ ἂν καὶ ἔρις κοσμία, ἣν ὁ μὴ ποιούμενος μὰψ ἀτὰρ οὐ κατὰ κόσμον ἐρίζει. (v. 475) Τὸ δέ «ῥεῖα διακρίνειν» αἰπόλου δηλοῖ ἀρετὴν εἰδότος οὕτω ῥᾷον ποιεῖν. Νομὸς δέ ποτε μεταφορικῶς καὶ ἐπὶ πληθυσμοῦ, ὡς δηλοῖ τὸ ἐπέων νομός.

1.393 (v. 477) Τὸ δέ «διεκόσμεον ὑσμίνηνδ’ ἰέναι» ὑπογραφή ἐστι τοῦ λαῶν κοσμήτορος. κοσμήτωρ γὰρ τοιοῦτος ὁ διακοσμῶν εἰς μάχην.] (v. 482 s.) Ὅτι παραβολικῶς διδάξας τὰ κατὰ τὸν ὄχλον μεταβαίνει καὶ εἰς βασιλικὸν εἰκασμὸν καὶ λαλήσας τεράστιά τινα καὶ διὰ τῶν εἰκόνων διαγράψας τὸν βασιλέα ἐκπρεπέα καὶ ἔξοχον πάντων ἡρώων καὶ εἰδώς, ὅτι παρ’ ἱστορίαν λαλῶν οὐκ ἂν πιστευθείη—οὐ γὰρ τοιοῦτος ὁ Ἀγαμέμνων, ἀλλὰ μάλιστα ὁ Αἴας καὶ ὁ Ἀχιλλεύς—ἐπάγει, ὅτι τὴν ἡμέραν ἐκείνην ἐφάνη τοιοῦτος· καὶ οὐδὲ λέγει, ὅτι τοιοῦτος ἦν, ἀλλὰ τοιοῦτον τὸν Ἀτρείδην ἔθηκε Ζεὺς ἤματι κείνῳ, οὐ φύσει τοιοῦτον ὄντα, θέσει δὲ γενόμενον· τοῦτο γὰρ δηλοῖ τὸ ἔθηκεν. ἔθος δὲ τῷ ποιητῇ τοὺς ἐνδόξους οὕτω φαντάζειν, ὥς που καὶ ἐν Ὀδυσσείᾳ τῷ Λαερτιάδῃ αὔξει τὰ μέλη καὶ ἀπόβλεπτον τοῖς θεωμένοις οὕτω ποιεῖ· ἀλλ’ ἐκεῖνον μὲν ἡ Ἀθηνᾶ μεταβάλλει· διὰ γὰρ τὴν φρόνησιν περιεβλέπετο καὶ σεμνότερος ἑαυτοῦ ἐδόκει· τοῦτον δὲ ὁ Ζεύς· διὰ γὰρ τὸ βασιλικὸν κατάστημα ἔδοξεν ἄρτι πολύς· (v. 478—83) Τῶν δὲ βασιλικῶν εἰκόνων τὸ μέν ἐστι σεμνὸν καὶ νοητόν· φησὶ γάρ· «ὄμματα καὶ κεφαλὴν ἴκελος Διΐ, Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι». τὸ δὲ αἰσθητὸν καὶ οὐ πάνυ μὲν σεμνόν, σαφὲς δέ· λέγει γάρ· «καθὰ βοῦς ἀγέληφι μέγα ἔξοχος ἔπλετο πάντων, ταῦρος, ὃ γάρ τε βόεσσι μεταπρέπει ἀγρομέναις, τοῖον ἄρ’ Ἀτρείδην θῆκε Ζεὺς ἤματι κείνῳ ἐκπρεπέ’ ἐν πολλοῖσι καὶ ἔξοχον ἡρώεσσι». καὶ δοκεῖ μὲν ἐξ ὑψηλοῦ ταπεινῶσαι τὸν βασιλέα ὁ ποιητής, νῦν μὲν θεοῖς εἰκάζων αὐτὸν καὶ ταῦτα τρισί, νῦν δὲ αὖθις ταύρῳ βοΐ σεμνῶς διὰ τῆς ἀγέλης βαδίζοντι. τὸ δ’ ἐστὶν οὐ τοιοῦτον, ἀλλὰ δι’ ἀμφοτέρων ὑψοῖ, πῇ μὲν εἰ βούλοιτό τις ἀλληγορεῖν θειότερον εἰκάζων αὐτόν, πῇ δὲ εἰ μὴ δύναταί τις εἰς ἀλληγορίας βάθος προκύπτειν, ἀπὸ αἰσθητῶν καὶ ἡμῖν γνωρίμων σεμνῶν χαρακτηρίζων αὐτόν· ὅτι γὰρ σεμνὸν ζῷον ὁ ταῦρος καὶ ἡγεμονικόν, οὐδεὶς ἀγνοεῖ. καὶ εἶχε μὲν εἰκάσαι αὐτὸν λέοντι, ὡς καὶ ἀλλαχοῦ· οὐκ ἦν δὲ νῦν χρήσιμον· οὐ γὰρ πρὸς ἀνδρίαν ἡ εἰκών, ἀλλὰ πρὸς ἡγεμονίας σχῆμα. ἡγεμονικώτερον δὲ ταῦρος λέοντος, ὡς καὶ ὁ χρυσοῦς Δίων μελετᾷ τὴν μὲν τοῦ λέοντος ἀρχὴν τυραννικὴν εἶναι κατασκευάζων, τὴν δὲ τοῦ ταύρου βασιλικήν. τὸν μέντοι Ὀδυσσέα ἐν τοῖς ἑξῆς ἀρνειῷ εἰκάζει, ὡς τὴν εἰκόνα τοῦ ταύρου οἷα ὑψηλοτέραν τῷ βασιλεῖ ἀναθείς. Σημειοῦνται δὲ οἱ παλαιοί, ὡς ἐκ τριῶν δαιμόνων τὸ διαπρεπὲς ἐκλεξάμενος ὁ ποιητὴς προσήρμοσε τῷ βασιλεῖ, Διὸς μὲν τὸ ἡγεμονικὸν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐποπτικὸν καὶ ὑπερανεστηκός· τοιοῦτος γὰρ ὁ Ζεὺς οὐ μόνον ὁ ἀλληγορούμενος, ἀλλ’, ὡς εἰκός, καὶ ὁ μυθικός· Ἄρεος δὲ τὸ τῆς παντευχίας κόσμιον· ὡς γὰρ ἂν ὁ Ἄρης ὁπλισθείη, ὁ αὐτοπόλεμος, οὕτω καὶ ὁ βασιλεὺς ὥπλισται· Ποσειδῶνος δὲ τὸ εὐρύστερνον καὶ εὐσθενές· ταῦτα γὰρ τῷ Ποσειδῶνι ἐμφαίνεται μυθικῶς τε καὶ ἀλληγορικῶς εἰς τὸ τοῦ ὕδατος ἀναγομένῳ στοιχεῖον.

1.394 τρία οὖν ὁ ποιητὴς φαίνεται τῷ βασιλεῖ προσμαρτυρῶν τὸ ἀξιωματικόν, τὸ πολεμικὸν καὶ τὸ γεραρόν, [ὃ καὶ αὐτὸ πρέπον ἐστὶ μάλιστα βασιλεῖ, ὡς δηλοῦται καὶ ἐν τῷ «οὐδ’ οὕτω γεραρόν· βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικε».] Τὴν δὲ βασιλικὴν θειότητα δηλοῖ καὶ τὸ «θεός, θεός», ὃ κατὰ τὸν Παυσανίαν ταῖς ἀρχαῖς οἱ παλαιοὶ ἐπέλεγον ἐπιφημιζόμενοι. Αἴλιος δὲ Διονύσιός φησιν, ὅτι καὶ ἐν ἱεροποιΐαις καὶ ἄλλαις πράξεσι τὸ «θεός, θεός» ἐπελέγετο. ἐν δὲ ἑτέρῳ ῥητορικῷ Λεξικῷ φέρεται καί, ὅτι παντὸς ἔργου ἀρχόμενοι ἔλεγον θεός, θεός. Φασὶ δὲ οἱ παλαιοὶ καί, ὅτι γραφεῖς μὲν τὸ ἀληθὲς μεταδιώκουσιν· ἀκριβοῦν γὰρ οἱ ζωγράφοι τὰ μιμήματα θέλουσι· τραγικοὶ δὲ τὸ σεμνότερον· ὑψοῦσι γὰρ τὰς τῶν πραγμάτων περιπετείας· κωμικοὶ δὲ τὸ ἔλαττον· οὐδὲν γὰρ ἡρωϊκὸν παρ’ αὐτοῖς, ἀλλὰ χάριν γέλωτος εὐτελείας ἡ κωμῳδία στοχάζεται. ταῦτα δὴ πάντα παρὰ τῷ ποιητῇ εὕρηται. κωμῳδῶν μὲν γὰρ καταρριπτεῖ τὸν Θερσίτην, νῦν δὲ τῷ βασιλεῖ μεγαλοπρεπεστέραν ὄψιν τῆς ἀληθινῆς ἀναπλάττει, ἐν οἷς δὲ διασκευάζει θυτικῶς μιμεῖται τὴν γραφικήν. (v. 479) Ζώνην δὲ ἐνταῦθα τὴν πολεμικὴν εἶπεν ὅλην ὅπλισιν ἀπὸ μέρους τῆς ζώνης, περὶ ἧς ἐν τοῖς ἑξῆς ῥηθήσεται. τοιούτῳ δέ τινι λόγῳ ἔοικε φθάσας καὶ γυναῖκα εὔζωνον εἰπεῖν τὴν εὐκόσμητον, ἀπὸ μέρους τῆς ζώνης τὸν ὅλον ἐμφήνας καλλωπισμόν. [Ἐοίκασι δὲ φιλοτίμως αἱ πάλαι γυναῖκες ἔχειν τοῦ ζώνυσθαι. Ἀντύλαν γοῦν πόλιν φασίν, ὡς ἱστορεῖ Ἀθήναιος, οὐ μακρὰν οὖσαν Ἀλεξανδρείας φορολογεῖσθαι τοῖς τότε βασιλεῦσιν Αἰγυπτίοις τε καὶ Πέρσαις εἰς ζώνας ταῖς γυναιξί.] (v. 480) Τὸ δέ «μέγ’ ἔξοχος πάντων» γενικὴν ἔσχε σύνταξιν διὰ τὴν ἐν λέξει ὑπεροχήν· ὑπέρθεσιν γὰρ δηλοῖ τὸ μέγα ἔξοχος. ποιεῖ δὲ Ὅμηρος τοῦτο καὶ ἐν τῷ «δῖος Ἀχαιῶν» καὶ «ἀριδείκετος ἀνδρῶν» καὶ «δῖα γυναικῶν». τοιοῦτον δὲ καὶ τὸ κορυφαῖος χοροῦ· ὑπέρθεσις γὰρ καὶ τούτοις ἐμφαίνεται διά τε τὸν Δία ὑπερφέροντα τῶν λοιπῶν θεῶν, διά τε τὴν κορυφὴν ὑπερκειμένην τοῦ σώματος, διά τε τὴν τοῦ ἀρί ἐπιρρηματικοῦ μορίου ἐπίτασιν. αἱ δὲ ὑπερθέσεις φιλοῦσι τὴν γενικὴν σύνταξιν. (v. 481) Τὸ δὲ ταῦρος πρὸς διαφορὰν εἴρηται, ἵνα κήλων βοῦς νοηθῇ, ὃς μεταπρέπει ταῖς βουσίν, ἤγουν ἐπῆρται καὶ ἐκπρεπής ἐστι. Τὸ δὲ μεταπρέπειν καὶ ἐκπρέπειν λέγεται, ὡς δηλοῖ τὸ ἐκπρεπέα ἐν πολλοῖς. δῆλον δὲ ὅτι ἐν τῷ «βοῦς ταῦρος» γενικὸν μὲν ὄνομα ὁ βοῦς, ὁ ταῦρος δὲ εἰδικόν. Ὅτι δὲ ταῦρος λέγεται ὡς οἷόν τις γαῦρος [ἢ ὡς τείνων τὴν οὐράν, λόγῳ ἰδιότητος, ἐξ οὗ τείνειν ταῦρος καὶ τὸ ὑπὸ τὸν ὀσχεόν, ὅθεν καὶ λάσταυρος ὁ λάσιος τὸν τοιοῦτον ταῦρον,] καὶ ὅτι καὶ κύριον ὄνομά ἐστιν ὁ Ταῦρος, ὡς καί, ᾧ ἐμοιχᾶτο ἡ Πασιφάη, καὶ ὄρος δέ, οὐ μόνον οὗ μέρος καὶ ὁ Κράγος, ἀλλὰ καὶ πρόσβορον εὐφοροῦν βαλάνοις, ὅθεν [αἱ περι]ᾀδόμεναι Ταυρικαὶ πρόσοδοι, καὶ ὅτι καὶ ἔθνος βόρειον οἱ Ταῦροι καὶ ὅτι ταυροπόλος Ἄρτεμις, οὐ μόνον ἀπὸ τοῦ ἔθνους τῶν Ταύρων, ἀλλὰ καὶ ἀπὸ τοῦ ζῴου, ἐξ οὗ καὶ ταυρηδὸν ἐμβλέπειν τὸ θυμικῶς ἐντρανίζειν καὶ ἀταυρώτη γυνή, ἡ ἄζυξ, δηλοῦσιν οἱ παλαιοί.

1.395 (v. 484—93) Ὅτι ἔστιν ὅτε ὁ ποιητὴς κατὰ ποσά τινα διαστήματα ἐγκόπτει τὸν λόγον τῇ Μούσῃ καὶ ὡς ἐξ ὑπαρχῆς αὖθις αὐτὴν ἀξιοῖ εἰπεῖν ὅπερ αὐτὸς ἐθέλει. ποιεῖ δὲ τοῦτο, ἡνίκα πραγμάτων ἐντύχῃ μεγέθει καὶ πλήθει, αὔξων καὶ οὕτως ἐκεῖνα καὶ ἐνδεικνύμενος ὡς οὐκ ἄνευ θεοῦ καὶ μουσικῆς ἐπιπνοίας ἀφηγηθήσονται· ἢ καὶ ἄλλως ποιεῖ τοῦτο, ὅτε ἡ μὲν ἀκολουθία τῶν ἑξῆς ἐθέλει ἔχεσθαι, ὁ δὲ ποιητὴς ἢ ὁ φιλομαθὴς ἀκροατὴς ἐπ’ ἄλλο γλίχεταί τι τραπῆναι τὸν λόγον, μέγα ὂν καὶ αὐτὸ καὶ ἱστορίας ἄξιον. ὡς καὶ ἐνταῦθα ἡ μὲν ἀκολουθία ἤθελε μετὰ τοὺς περὶ Ἀγαμέμνονος λόγους εὐθὺς κεῖσθαι τὸ «Τρωσὶ δ’ ἄγγελος ἦλθε ποδήνεμος ὠκέα Ἶρις» καὶ τὰ ἑξῆς τοῦ τέλους τῆς Βοιωτίας· ὁ δὲ ποιητὴς ἐπεισόδιόν τι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξευρὼν ἀξιοῖ τὰς Μούσας νεῶν ποιῆσαι κατάλογον καὶ ἡγεμόνων Ἑλληνικῶν. φησὶ γοῦν· «ἔσπετε νῦν μοι Μοῦσαι Ὀλύμπια δώματ’ ἔχουσαι, οἵ τινες ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν· πληθὺν δ’ οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ’ ὀνομήνω, οὐδ’ εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ’ εἶεν, φωνὴ δ’ ἄρρηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη, εἰ μὴ Ὀλυμπιάδες Μοῦσαι Διὸς αἰγιόχοιο θυγατέρες μνησαίαθ’, ὅσοι ὑπὸ Ἴλιον ἦλθον. ἀρχοὺς αὖ νηῶν ἐρέω, νῆάς τε προπάσας». ἔστι δὲ ὃ λέγει τοιοῦτόν τι. Ἐνθύμιόν ἐστί μοι ἀναπαύσαντι τὸν λόγον, ὦ Μοῦσαι, νεῶν τε Ἑλληνικῶν κατάλογον ποιῆσαι καὶ τοὺς Ἕλληνας δὲ ὀνομάσαι, ἐὰν ὑμεῖς ἐμπνέητέ μοι. ἀλλὰ τούτων τὸ μὲν δυναίμην ἄν, τὸ τὰς νῆας δηλαδὴ καταλέξαι καὶ ἐκφωνῆσαι ἐξ ἐπιπνοίας ὑμῶν, τὸ δὲ ἕτερον, τὸ τοὺς Ἕλληνας ὀνομάσαι, πῆ μὲν ἔχοιμι ἂν ποιῆσαι, πῆ δὲ οὔ. τοὺς μὲν γὰρ ἀρχούς, εἴτ’ οὖν ἡγεμόνας τῶν Ἑλλήνων, ἐρῶ πρὸς ὄνομα ὑποφητεύων ἐπιπνεούσαις ὑμῖν· τὴν δὲ πληθὺν ὑμεῖς μὲν ἐρεῖτε ἂν καὶ ὀνομάσητε—θεαὶ γάρ ἐστε—ἐγὼ δὲ οὐκ ἂν μυθήσομαι οὐδὲ ὀνομήνω, ἤγουν ἐξ ὀνόματος εἴπω, οὐδ’ εἰ τάδε μοι καὶ τάδε γένοιτο καὶ πολλαπλασίων, φασίν, ἐμαυτοῦ γένωμαι. φύλλων γὰρ ἢ ἀνθέων ἐαρινῶν ἢ ψάμμου, οἷς οἱ Ἕλληνες εἰκάζονται, καὶ τὸ μέτρον οὐ περιληπτὸν καὶ τὸ ἕκαστον ὀνομάζειν ὁμοίως ἀδύνατον ἀνθρώπῳ γε ὄντι μοι. ὑπισχνεῖται οὖν διὰ τούτων ὁ ποιητὴς νεῶν μὲν κατάλογον ποιῆσαι καὶ τοὺς αὐτῶν ἡγεμόνας ἱστορῆσαι πρὸς ὄνομα [δίκην ὑποβολέως,] ἐὰν αἱ Μοῦσαι συλλαμβανόμεναι προβάλλωσιν αὐτῷ ταῦτα, ἵνα ἐκεῖναι μὲν λαλῶσιν αὐτῷ, αὐτὸς δὲ τοῖς λοιποῖς· τὴν δὲ πληθὺν ἐᾶσαί φησι, διότι οὐκ ἂν ὑποφητεύειν καὶ εἰς τοῦτο ταῖς Μούσαις ἀρκέσειεν· ἥ τε γὰρ γλῶσσα μία οὖσα ναρκήσειεν ἄν, ἀποκάμοι δὲ καὶ τὸ στόμα· ῥαγήσεται δὲ καὶ ἡ φωνὴ καὶ ἡ ψυχὴ ἀνεθήσεται.

1.396 τὸ τοίνυν τὴν πληθὺν ὀνομάσαι, πάνυ ὂν μεῖζον τοῦ τοὺς ἡγεμόνας εἰπεῖν, ταῖς μὲν Μούσαις ὡς θεαῖς δυνατὸν εἶναί φησιν, ἑαυτῷ δὲ ἀδύνατον. διὸ καὶ προαναφωνεῖ μὴ ἂν ὀνομάσαι τὴν πληθύν, καθὰ τάς τε νῆας καὶ τοὺς ἡγεμόνας. Καίτοι κατὰ τὴν τῶν παλαιῶν ἐπιβολὴν εἶπε τρόπον τινὰ καὶ περὶ τοῦ πλήθους. ἐπεὶ γάρ, φασί, περὶ μὲν τοῦ Φιλοκτήτου ἐν τοῖς ἑξῆς εἶπεν ἐκ πεντήκοντα ἐρετῶν εἶναι τὰς αὐτοῦ νῆας, περὶ δὲ Βοιωτῶν, ὅτι ἐξ ἑκατὸν εἴκοσιν αὐτοῖς ἑκάστη ναῦς, δῆλός ἐστιν ἐμφῆναι βουλόμενος τὴν πληθὺν ἐκ τῆς ἀμφοῖν τούτων συνθέσεως. Ἔστι γὰρ κατὰ τὸν Θουκυδίδου κανόνα τὸ μέσον τοῦ πλείονος καὶ ἐλάττονος λαβόντα τεκμήρασθαι, πόσοι δύνανται εἶναι τῷ ἀριθμῷ οἱ τοῦ πλήθους· ὃ καὶ ποιοῦντες οἱ Ὁμηρικοὶ εὑρίσκουσιν ὑπὲρ δέκα μυριάδας συναγομένην τὴν πληθύν. ἐπεὶ γάρ, ὡς ἐν τῇ Βοιωτίᾳ δηλοῦται, αἱ νῆες ὑπὲρ χιλίας, μέσον δὲ τοῦ πεντήκοντα ἀριθμοῦ καὶ τοῦ ἑκατὸν εἴκοσιν ὁ ὀγδοηκονταπέντε, πολυπλασιασθεὶς ὁ ὀγδοηκονταπέντε ἐπὶ τὸν ἀριθμὸν τῶν νηῶν μετρεῖ τὸ τῶν ἐμπλεόντων πλῆθος ὑπὲρ μυριάδας ὂν δέκα, ὡς καὶ προείρηται. καὶ οὕτω δοκεῖ, φασί, καὶ περὶ τοῦ πλήθους λέγειν ὁ ποιητής. πρὸς οὓς ῥητέον, ὡς οὐ ταὐτόν ἐστιν ἁπλῶς περὶ πλήθους εἰπεῖν καὶ αὐτῷ τῷ πλήθει καθ’ ἕνα ἕκαστον πρὸς ὄνομα ἐπεξελθεῖν. ὁ μὲν γὰρ πλήθει ἐπεξιὼν ἕνα ἕκαστον λέγει, ὃ καὶ ἐπὶ τῶν ἡγεμόνων ποιεῖ ὁ Ὅμηρος τοῖς καθ’ ἕκαστον ἐπεξερχόμενος λεπτομερῶς· ὁ δὲ ἁπλῶς περὶ πλήθους λέγων παχύτερόν πως λέγει καὶ οὐ διευκρινεῖ. Οὕτως οὖν καὶ ἐνταῦθα ὁ ποιητὴς τοὺς μὲν ἡγεμόνας ὀνομάζων καταλέγει, τὴν δὲ πληθὺν οὐδὲ ἀριθμεῖ γοῦν φανερῶς. εἰ δὲ καὶ ἀριθμεῖν δοκεῖ κατὰ τὴν ῥηθεῖσαν Θουκυδίδειον μέθοδον, ἀλλ’ ἕτερον τὸ περὶ ἑκάστων εἰπεῖν καὶ ἕτερον τὸ ἀριθμῆσαί τινας. τὸ μὲν γὰρ δηλοῖ, τίνες, τὸ δέ, πόσοι. πολὺ δὲ διαφέρει τὸ τίνες εἰπεῖν καὶ τὸ ὁπόσοι. τὸ μὲν γὰρ τίνες διεξοδικώτερον καὶ δυσχερέστερον ἅτε καὶ γένους μεμνημένον καὶ τύχης καὶ ἐπιτηδευμάτων καὶ τοιούτων τινῶν· τὸ δὲ ὁπόσοι συνεπτυγμένον ἐστὶ καὶ εὐχερές· διὸ τοὺς μὲν ἡγεμόνας ἔχει εἰπεῖν οὐ μόνον ὁπόσοι, ἀλλὰ καὶ τίνες, ἐὰν αἱ Μοῦσαι συλλάβοιντο· τὴν δὲ πληθύν, τίνες μέν, οὐκ ἂν ἔχοι εἰπεῖν οὐδὲ σὺν αὐταῖς ταῖς Μούσαις, κἂν ὑπὲρ φύσιν αὐτὸν διάθωνται· μόνον δὲ τὸ ὁπόσοι εἰσὶν ἐρεῖν ἂν ὑπισχνεῖται, ἐὰν αἱ Ὀλυμπιάδες, ἢ κατὰ Ζηνόδοτον βαθύκολποι, Μοῦσαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μνήσωσιν, ἤτοι ἀναμνήσωσιν αὐτόν, αἱ τῆς Μνημοσύνης καὶ τοῦ Διὸς θυγατέρες. τῷ ὄντι γὰρ Μουσῶν ἔργον ἤτοι λογιωτάτης ἐφόδου καὶ γνώσεως τὸ διὰ τῆς ῥηθείσης μεθόδου τὸ τῶν Ἑλλήνων πλῆθος ἐμφῆναι.

1.397 Συνακτέον οὖν, ὅτι δύο τούτων ἄρτι προκειμένων ἐν τῷ Καταλόγῳ, τοῦ τοὺς ἡγεμόνας εἰπεῖν καὶ τοῦ τὴν πληθύν, τοὺς μὲν ἡγεμόνας φησὶν εἰπεῖν καὶ τίνες εἰσὶ καὶ πόσοι, ἐὰν αἱ Μοῦσαι συλλαλῶσι, τὴν δὲ πληθὺν ἤτοι ἑκάστους, ὡς αὐτὸς ἐν τῇ γάμμα ῥαψῳδίᾳ φησί, τίνες μέν εἰσι, μὴ ἂν εἰπεῖν, κἂν αὐταὶ λαλῶσιν αἱ Μοῦσαι, πόσοι δέ εἰσιν, ἀλλ’ αὐτὸ τοῦτο καὶ μόνον εἰπεῖν. ἐπεὶ οὐ πάντη πάντως ἀμήχανον, ἐὰν αἱ Μοῦσαι μνήσαιντο, ἤτοι ἀναμνήσωσιν, ὃ καὶ ποιεῖ διὰ τῆς προρρηθείσης μεθόδου. (v. 492) Ὅρα δὲ τὸ μνησαίατο ταὐτόν πως ὂν τῷ διδάξαιεν, ὡς δοκεῖν τοὺς εἰπόντας τὰς μαθήσεις ἀναμνήσεις ἐντεῦθεν λαβεῖν τὴν ἀρχήν. Ἰστέον δὲ ὅτι οὐ βούλεται ὁ ποιητὴς οὐδὲ ἐγχειρεῖ μυθήσασθαι καὶ ὀνομάσαι τὴν πληθὺν διά τε τὸ ἀδύνατον, ὅπερ καὶ αὐτὸς εἶπε, καὶ διότι δὲ οὐκ ἂν τοσούτων ὀνομάτων ἠδυνήθη εὐπορῆσαι πλάσεως, ἔτι δὲ καὶ διὰ τὸ τοῦ πράγματος ἄκαρπον καὶ εἰκαῖον καὶ ἀκερδὲς καὶ εὐπεριφρόνητον τοῖς ἐντυγχάνουσι διὰ τὸ ἀλυσιτελές· σοφὸς γὰρ ὢν κατεστοχάσατο τοῦ μέλλοντος. καὶ ἔγνω μὴ ἂν τοὺς ἀκροατὰς ἐθέλειν ἐγκύπτειν τῷ τοιούτῳ αὐτοῦ πονήματι διὰ τὸ μηδὲν αὐτόθεν ἔχειν κερδαίνειν, ὅπου γε καὶ τὴν Βοιωτίαν, τουτέστι τὸν Κατάλογον τῶν νεῶν, οἱ πολλοὶ περιφρονοῦσι διὰ τὰ τῶν ἡγεμόνων, φασίν, ὀνόματα καί, διότι οὐκ ἔχει κίνησίν τινα ἡρωϊκήν. καὶ μὴν ἄλλως πεποίκιλται θαυμασίως καὶ ὁ τοιοῦτος ὅλος τόπος ἱστορίαις τε καὶ τοπογραφίαις καὶ γενεαλογίαις καὶ ἑτέροις τοιούτοις, ὡς προϊοῦσι γνωσθήσεται. Ἰστέον δὲ καὶ ὅτι Ζηνοδότου βαθυκόλπους, ὡς εἴρηται, τὰς Μούσας μεταγράψαντος μὴ ἀρεσκόμενοι οἱ παλαιοί φασιν, ὅτι οὐδὲ γυναῖκας Ἑλληνίδας βαθυκόλπους εἶπεν ὁ ποιητής. (v. 491) [Ἔτι ἰστέον καὶ ὅτι τε τὸ Ὀλυμπιάδες Μοῦσαι διχῶς νοεῖται· ἢ γὰρ αἱ Ὀλύμπια, ὡς ἐρρέθη, δώματα ἔχουσαι ἢ αἱ τοῦ Ὀλυμπίου Διὸς θυγατέρες τύπῳ πατρωνυμικῷ, καθὰ καὶ Πελιάδες αἱ τοῦ Πελίου καὶ Ἡλιάδες αἱ τοῦ Ἡλίου, καὶ ὅτι Ἕρμιππος κατὰ τὴν δειπνοσοφιστικὴν ἱστορίαν παίζων παρασύρει τὸ «ἔσπετε νῦν μοι» καὶ ἑξῆς ὅλον τὸν στίχον εἰς τὰ ἑαυτοῦ. καὶ ἐρωτήσας ὁπόσα ἐν ἀνθρώποις ἀγαθά, ἐξ οὗ ναυκληρεῖ φησι Διόνυσος ἐπὶ οἴνοπα πόντον, καταλέγει ἀστείως πρὸς ἄλλοις, ὡς ἤγαγε παρὰ Περδίκκου ψεύδεα ναυσὶ πάνυ πολλαῖς καὶ ὡς αἱ Συράκουσαι σῖτον καὶ τυρὸν παρέχουσι καὶ ἕτερά τινα τοιαῦτα. ἔνθα ὅρα τὸ «ψεύδεα ναυσὶ πάνυ πολλαῖς» παραξεσθὲν ἐξ Ὁμήρου φαμένου ἐν τοῖς ἑξῆς δυνατὸν εἶναι ὀνείδεα μυθήσασθαι, ὅσα οὐδ’ ἂν ἑκατόνζυγος ναῦς ἄροιτο· καὶ ὅτι κείμενον μετὰ τὸ «ἔσπετε νῦν μοι Μοῦσαι» τὸ «ὑμεῖς γὰρ πάρεστέ τε ἴστε τε πάντα· ἡμεῖς δὲ κλέος οἶον ἀΐομεν οὐδέ τι ἴδμεν», λεχθείη ἂν ὑπὸ τῶν ἀκοῇ τι παρειληφότων πρὸς τοὺς εἰδήμονας καὶ αὐτόπτας τοῦ πράγματος.

1.398 [Ἔνθα ὅρα κάλλος ἐν τρισὶ ῥήμασι καὶ δυσὶ συνδέσμοις καίριον καὶ φυσικὸν καὶ γοργόν, οὐ μὴν περίεργον καὶ ἐπιτετηδευμένον κατὰ τὰ ὕστερον· τοιοῦτον γὰρ πάντως τὸ «θεαί ἐστε πάρεστέ τε ἴστε τε». ὁ μέντοι γράψας πρὸς ἀστεϊσμὸν τὸ «νάρκη πνικτή, πέρκη σχιστή, τευθὶς σακτή», ταὐτὸν δ’ εἰπεῖν κατὰ τοὺς ἰδιωτίζοντας παραγεμιστή, «γλαύκου προτομή, γόγγρου κεφαλή», ἔτι δὲ καὶ ὁ παρισώσας τὸ «τυρὸς ξηρός, τυρὸς κοπτός, τυρὸς ξυστός, τυρὸς τμητός» καὶ ὅσα δὲ ἄλλα τοιαῦτα—μυρία δέ εἰσιν ἐκεῖνα—καλλωπίζουσι μὲν γοργῶς καὶ εὐρύθμως, οὐ μὴν σεμνῶς καὶ φύσει καθ’ Ὅμηρον.] (v. 488—90) Τὸ δέ «οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ’ ὀνομήνω», ἢ ἁπλῶς εἴπω καὶ διηγήσωμαι, «οὐδ’ εἴ μοι δέκα μὲν γλῶσσαι», ὡς καὶ προεγράφη, «δέκα δὲ στόματα εἶεν, φωνὴ δ’ ἄρρηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη» ἐπὶ πραγμάτων μεγάλων ἁρμόζει, ἃ μόλις ἄν τις ἀφηγήσηται. (v. 490) Σημείωσαι δὲ ὅτι τὸ «φωνὴ δ’ ἄρρηκτος» εἴη, δέδωκεν ἀφορμὴν τοῖς Στωϊκοῖς τοῦ σῶμα λέγειν τὴν φωνήν· σωμάτων γὰρ εἶναι δοκεῖ τὸ ῥήγνυσθαι. εἰ γὰρ καὶ ὁ Πλάτων οὐ σῶμα λέγει αὐτὴν εἶναι, ὡς ἐν τῷ γίνεσθαι τὴν ὕπαρξιν ἔχουσαν, μετὰ δὲ τοῦτο μὴ ὑφισταμένην, ἀλλ’ οἱ τῆς Στοᾶς σῶμα ἔλεγον τὴν φωνὴν διὰ τὸ

δραστικὸν αὐτῆς καὶ παθητικόν. δρᾷ μὲν γάρ, φασίν, ἀκουομένη· πάσχει δὲ ἀνιεμένη καὶ ἐπιτεινομένη. ἔτι δέ, φασί, σῶμά ἐστιν ἡ φωνὴ καὶ διότι πίπτει ὑπὸ αἴσθησιν, τὴν ἀκοὴν δηλαδή, ἔτι δὲ καὶ διὰ τὴν ἀντιτυπίαν· ἀντιτυπεῖ γὰρ προσπίπτουσα ταῖς ἀκοαῖς. (v. 489 s.) Ὅρα δὲ καὶ ὅτι δέκα γλωσσῶν καὶ στομάτων τοσούτων μνησθείς, οἷς συμμερίζοιτο ἂν καὶ ἡ φωνή, τὸ ἦτορ ἑνικῶς εἶπεν· ἐπεὶ καὶ ὁ μῦθος μόρια μὲν σωματικὰ πολλάκις πληθύνει, ὡς δηλοῦσι καὶ οἱ Ἑκατόγχειρες καὶ τὰ πολυκέφαλα τέρατα, ἐπὶ δὲ ψυχῆς οὐδὲν τοιοῦτον ἐτερατεύσατο, ὡς πλάσασθαί τινα καὶ πολύψυχον. ἡ μέντοι τραγικὴ εὐχὴ ἡ θέλουσα φωνήεντα γενέσθαι πολλὰ τῶν μορίων τοῦ σώματος, τῆς Ὁμηρικῆς ταύτης ἀσφαλείας τε καὶ σεμνότητος πολὺ ἐκπέπτωκεν, ὁρμᾶται δέ πως ἐκ τοῦ μύθου τοῦ κατὰ τὸν Ἄργον· εὔχεται γὰρ ἡ τραγικὴ Ἑκάβη μονονουχὶ στόμασι κατατετρῆσθαι πολλοῖς, ὥς που καὶ ὁ Ἄργος τοῖς ὄμμασιν. [Ἰστέον δὲ ὅτι παρὰ τὸ δέκα μὲν στόματα καὶ ἑξῆς πέπαικταί τινι παλαιῷ ὡς ἐκ προσώπου λίχνου τὸ «ἀλλ' ἀδύνατα βούλομαι· οὔτε στόματα γὰρ οὔτε χείλη πέντ' ἔχω». γλυκύτερον δὲ τὸ τοῦ παρῳδοῦ Μάτρωνος· «πῶς ἂν ἔπειτα πλακοῦντος ἐγὼ θείου ἀπεχοίμην;

1.399 οὐδ' εἴ μοι δέκα μὲν χείλη, δέκα δὲ στόματ' εἶεν, γαστὴρ δ' ἄρρηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη». παρῴδηται δὲ τὸ «πῶς ἂν ἐγώ» καὶ ἑξῆς ἐξ Ὀδυσσείας· «πῶς ἂν ἔπειτ' Ὀδυσσῆος ἐγὼ θείοιο λαθοίμην».] (v. 493) Ἐν δὲ τῷ «νῆας προπάσας» ἢ περιττὴ ἡ προ πρόθεσις ἢ τὸ διόλου καὶ ἐνταῦθα δηλοῖ. Ἐν δὲ τῷ «ἀρχοὺς νηῶν ἐρέω νῆάς τε προπάσας» ὁ σκοπὸς τῆς Βοιωτίας κεῖται κατὰ λόγον προαναφωνήσεως ἤτοι προεκθέσεως· τέλος γὰρ αὐτῆς νηῶν τε καὶ ἀρχηγῶν κατάλογος, ὡς αὐτίκα φανήσεται. καὶ ὅρα τὸ «ἀρχοὺς αὖ νηῶν ἐρέω». διὰ γὰρ τοῦ ἐρέω ἐκφαίνει ἀριδήλως, ὅτι ὑποφητεύει ταῖς Μούσαις ὑποβολέως δίκην καὶ αὐταὶ μὲν ᾄδουσιν ἢ ἐννέπουσιν αὐτῷ, αὐτὸς δὲ τοῖς Ὁμηρίδαις ὡς οἷά τις μουσόληπτος. ὥστε ἐν τῷ «μῆνιν ἄειδε θεά» προσυπακουστέον τὸ δι' ἐμοῦ, «ὃς ἀεὶ ἐν Μούσαις εἰμί», ὃ δὴ περὶ τῶν ποιητῶν ἢ τῶν ἁπλῶς λογίων Εὐριπίδης φησί. καὶ ἐν τῷ «ἄνδρα μοι ἔννεπε Μοῦσα» συνεννοητέον τὸ «ἵνα ἐγὼ τοῖς ἄλλοις ἐρέω». ΚΑΤΑΛΟΓΟΣ ΝΕΩΝ Ὅτι Κατάλογος μὲν νεῶν ἤτοι ἐξαρίθμησις τὸ ἐφεξῆς τῆς παρούσης ῥαψῳδίας ἀπὸ τοῦ ἔργου ὠνόμασται, Βοιωτία μέντοι ἀπὸ μόνης τῆς προοιμιακῆς εἰσβολῆς ἐχούσης οὕτω· (v. 494) «Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήϊτος ἦρχον.» διὰ τί δὲ ἀπὸ τῶν Βοιωτῶν ἤρξατο, δηλοῦσιν οἱ παλαιοὶ λέγοντες ποιῆσαι οὕτω τὸν ποιητὴν διὰ τὸ χαρίζεσθαι ταῖς ἀνωτέρω παρακληθείσαις Μούσαις, ὧν ἐνδιαίτημα ἦν ὁ Βοιώτιος Ἑλικὼν φυλάσσων μέχρι καὶ νῦν τὴν κλῆσιν. οἱ δὲ τῆς Φωκίδος εἶναι τὸν Ἑλικῶνα λέγοντες ἀκούουσιν ἐκ τῶν παλαιῶν ἐνστάσεις τινάς. καὶ ἄλλως δὲ ἀπὸ τῶν Βοιωτῶν ἡ ἀρχή, διότι, φασίν, αὐτοὶ μόνοι πέντε εἶχον ἡγεμόνας· τινὲς δέ, διότι πολύπολις ἡ Βοιωτία. τοῦτο δὲ οὐχ' ὑγιές· καὶ ἡ Κρήτη γὰρ ἑκατόμπολις καὶ ἡ Λακωνικὴ δέ. τί οὖν μὴ ἐξ αὐτῶν ἤρξατο; οἱ δέ, ὅτι ἐν Αὐλίδι πόλει τῆς Βοιωτίας ὁ ναύσταθμος γέγονε τοῖς Ἀχαιοῖς· Ἕτεροι δέ, διότι ἐν μεσαιτάτῳ τῆς Ἑλλάδος κεῖται ἡ Βοιωτία· ἔστι γὰρ αὐτῇ ἐξ ἀνατολῶν μὲν Εὔριπος, ἐκ δὲ δυσμῶν Φωκίς, ἐκ βορείων Λοκρὶς καὶ ἐκ μεσημβρίας Ἀττική· κατὰ δὲ ἐνίους, διότι μέγιστον εἶχε ναυτικὸν ἡ Βοιωτία ὡς Φοινίκων ἄποικος διὰ τὸν Φοίνικα Κάδμον· καὶ διότι δέ, φασίν, Ἕλλην ὁ Δευκαλίωνος ἐν Βοιωτίᾳ ᾤκησεν ὁ τοῖς Ἕλλησι κατάρξας τῆς κλήσεως.

1.400 Ἀρίσταρχος δέ φησιν ἀπὸ Βοιωτῶν ἄρξασθαι τὸν ποιητὴν οὐκ ἔκ τινος παρατηρήσεως, ἀλλὰ κατὰ ἐπιφοράν, ἤτοι κατά τινα φορὰν καὶ τύχην καὶ κατὰ τὸ ἁπλῶς ἐπιτυχόν. εἰ δὲ καὶ ἀπὸ ἄλλου ἔθνους ἤρξατο, ἐζητοῦμεν ἄν, φησί, τὴν αἰτίαν· περὶ δὲ Βοιωτῶν ζητητέον καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. Ἰστέον δὲ ὅτι ἡ Βοιωτία καὶ Ἀονία ἐκλήθη ποτὲ ἀπὸ τῶν κατοικούντων Ἀόνων. ἔθνος δὲ Βοιώτιον οἱ Ἄονες, ὅθεν καὶ σίδηρος Ἀόνιος ὁ Βοιώτιος, ὡς ἐν τοῖς τοῦ Περιηγητοῦ δηλοῦται. οἱ δὲ παλαιοὶ λέγουσι καὶ ταῦτα ἐνταῦθα, ὡς θαυμάσιος ὁ ποιητὴς μηδ' ὁτιοῦν μὲν παραλείπων τῆς ὑποθέσεως, πάντα δ' ἐξ ἀναστροφῆς κατὰ τὸν ἐπιβάλλοντα καιρὸν διηγούμενος, οἷον θεῶν ἔριν, Ἑλένης ἁρπαγήν, Ἀχιλλέως θάνατον· ἡ γὰρ κατὰ τάξιν, φασί,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διήγησις νεωτερικὸν καὶ συγγραφικὸν καὶ ποιητικῆς ἄπο σεμνότητος. εὔκαιρον οὖν, φασίν, ἐπιθεὶς Ὅμηρος τῷ Νέστορι ῥητορείαν τὸν Κατάλογον τοῦτον ἐμνηστεύσατο, ἵνα ἐντεῦθεν γνωρισθῶσιν αἱ ἡρωϊκαὶ φρῆτραι καὶ τὰ φῦλα καὶ μὴ ἐπιταράσσοιτο ἐν τοῖς ἑξῆς ἡ ἀκοὴ παρεισκρινομένων τῶν τῆς Βοιωτίας διηγημάτων. ἔτι καὶ ταῦτα τῶν παλαιῶν. Εἰσὶ τρεῖς ἰδέαι λόγων κατὰ Πλάτωνα, ἡ μιμητικὴ καὶ δραματική, καθ' ἣν ὁ ποιητὴς συνεχῶς εὐδοκιμεῖ τοῖς ἤθεσι τῶν εἰς μίμησιν ὑποκειμένων προσώπων· δευτέρα ἰδέα ἡ ἀμίμητος, ὡς ἡ Φωκυλίδου καὶ Θεόγνιδος· καὶ τρίτη ἡ μικτή, ὡς ἡ τοῦ Ἡσιόδου. ἐν γοῦν τοῖς ἀμιμήτοις καὶ ψιλοῖς ἀνάγκη τὸν ποιητὴν ἐπαγωνίζεσθαι πολυτρόπως ἐπικαλλύνοντα τὴν φράσιν σχήμασι καὶ λοιπαῖς παντοίαις ἐξαλλαγαῖς, ὅπερ ἐνταῦθα τεχνησάμενος Ὅμηρος τοῖς τε τῶν πόλεων ἐπιθέτοις ἐγκροαίνει καὶ τούτοις ἠκριβωμένοις· οὐ γὰρ ἀνεξέλεγκτός, φασί, νῦν περὶ χωρίων Ἑλληνικῶν διεξιών· καὶ οὕτω γλυκαίνει τὴν ποίησιν· ἐξαλλάσσει δὲ καὶ τὰ τοῦ Καταλόγου σχήματα πολυειδῶς· παρενείρει δὲ καὶ ἱστορίας παλαιοτέρας τοῦ Τρωϊκοῦ πολέμου εἰς ποικιλίαν· ἔτι δὲ καὶ εἰς ψυχαγωγίαν ἀκροατοῦ καὶ λέξεων δὲ πολυωνυμίαν ἀκριβοῖ καὶ ἄλλα μυρία μεθοδεύει, ὡς ἐν τοῖς κατὰ μέρος φανήσεται, δι' ὧν τὸ τῆς ἀμιμήτου ἰδέας ὕπτιον ἐξανιστᾷ.

1.401 οὕτω δέ, φασίν, ἡδὺς καὶ μεγαλοπρεπὴς ὁ Κατάλογος, ὥστε καὶ πόλεις ἀμφισβητοῦσαι Ὁμηρικοῖς ἔπεσιν ἐχρήσαντο πρὸς λύσιν ἔριδος. Καλυδῶνα μὲν γάρ, φασίν, Αἰτωλοῖς ὁ ποιητὴς ἐχαρίσατο ἀμφισβητοῦσι πρὸς Αἰολέας μνησθεὶς αὐτῆς ἐν Αἰτωλῶν καταλόγῳ. Ἀβυδηνοὶ δὲ Σηστὸν παρ' Ἀθηναίων ἐκομίσαντο διὰ τοῦτο τὸ ἔπος· «Καὶ Σηστὸν καὶ Ἄβυδον ἔχον καὶ δῖαν Ἀρίσβην». Μιλησίοις δὲ πρὸς Πριηνεῖς ὑπὲρ Μυκάλης διαφερομένοις εἰς νίκην ἐπήρκεσε τὰ ἔπη ταῦτα· «Οἳ δὲ Μίλητον ἔχον φθειρῶν τ' ὄρος ἀκριτόφυλλον Μαιάνδρου τε ῥοὰς Μυκάλης τ' αἰπεινὰ κάρηνα». καὶ Σόλων δὲ τὴν Σαλαμῖνα, φασίν, Ἀθηναίοις ἀπένειμε προσθεὶς ἔπος, ὅπερ ἐν τοῖς ἑξῆς δηλωθήσεται, ὅπου μνήμη τοῦ μεγάλου Αἴαντος γένηται. ὅτι δὲ καὶ πολλὰ βιβλία εἰς τὴν Βοιωτίαν ταύτην φιλοτίμως ἐπραγματεύθησαν, δηλοῦσιν αἱ ἱστορίαι. Ἰστέον δὲ καὶ ὅτι νεῶν Κατάλογος ἡ περιπέτεια ἐπιγράφεται αὕτη, οὐ μὴν καὶ ἀνδρῶν, ὡς ἐκ μέρους τῶν νηῶν δηλαδή. ἄλλως γὰρ ἐκεῖνο ποιεῖ, ὃ προέθετο, οὐ μόνον τὰς νῆας ἐξαριθμούμενος ἀλλὰ καὶ τοὺς αὐτῶν ἀρχούς, οἷς τὸ σεμνὸν οἱ ἀρχαῖοι περιποιούμενοι γενεαλογοῦσιν αὐτοὺς μυθικώτερον. καὶ τὰ πολλὰ εἰς τὸν Δία τούτους ἀνάγουσιν ἐπαγωνιζόμενοι καὶ συγγένειαν αὐτοῖς ἀποδεῖξαι πρὸς τοὺς βασιλεῖς, ἤγουν πρὸς Ἀγαμέμνονα καὶ Μενέλαον, πλατύνοντες μὲν τὸν ἡρωϊκὸν κατάλογον, κάλλιον δέ τι Ὁμήρου ποιοῦντες οὐδέν, ἀλλ' ἢ μόνον ὀνομάτων ἀήθων φορυτῷ ἀηδίζοντες τοὺς ἐντυγχάνοντας. Παρασημειοῦται δὲ καὶ ὁ Πορφύριος τὸν Ὁμηρικὸν Κατάλογον πᾶσαν περιέχειν ἀλήθειαν ἔν τε χωρογραφίᾳ καὶ πόλεων ἰδιώμασιν ἱστορῶν καί, ὅτι νόμους τινὲς ἐξέθεντο ἀποστοματίζειν τοὺς παιδευομένους τὸν Ὁμήρου Κατάλογον, ὡς καὶ ὁ Κερδίας νομοθετῶν τῇ πατρίδι. λέγει δὲ καὶ ὅτι πρὸς ἄλλοις καὶ Ἀπολλόδωρος ὁ Ἀθηναῖος ἐπραγματεύσατο τὰ περὶ τοῦ Καταλόγου ἄριστα ἐν δώδεκα βιβλίοις, Μηνογένης δὲ ἐν τρισὶ καὶ εἴκοσι. μετρεῖ δὲ καὶ ἡγεμόνας Ἀχαιῶν μζ', ὧν ιδ', φησίν, ἐν Τροίᾳ ἔθανον. (v. 494—508) Ὅτι Βοιωτῶν Πηνέλεως καὶ Λήϊτος ἦρχον, Ἀρκεσίλαός τε Προθοήνωρ τε Κλονίος τε. ἐνέμοντο δέ, φησίν, Ὑρίαν καὶ Αὐλίδα, Σχοῖνόν τε Σκῶλόν τε καὶ Ἐτεωνόν, Θέσπιαν τε Γραῖάν τε καὶ Μυκαλησσὸν καὶ Ἅρμα καὶ Εἰλέσιον καὶ Ἐρυθρὰς καὶ Ἐλεῶνα καὶ Ὕλην καὶ Πετεῶνα καὶ Ὠκαλέην καὶ Μεδεῶνα, Κώπας τε Εὔτρησίν τε καὶ Θίσβην καὶ Κορώνειαν καὶ Ἁλίαρτον καὶ Πλάταιαν καὶ Γλίσσαντα καὶ Θήβας ἢ Ὑποθήβας καὶ Ὀγχηστὸν καὶ Ἄρνην καὶ Μίδειαν καὶ Νῖσαν καὶ Ἀνθηδόνα.

1.402 Ἐνταῦθα δὲ ὁ ποιητὴς χρᾶται κατακόρως καὶ σχήματι κάλλους, τῇ λεγομένῃ κατὰ κῶλον ἐπαναφορᾷ. ἀρξάμενος γὰρ ἀπὸ τοῦ «οἵ» ἄρθρου πληθυντικοῦ ἀρσενικοῦ ὑποτακτικοῦ, ἐπιμένει αὐτῷ, καὶ ἐπαναφέρων φησίν· «οἵ θ' Ὑρίην ἐνέμοντο, οἵ τ' Ἐλεῶν' εἶχον» καὶ πάλιν μετὰ δύο ἔπη «οἵ τε Κορώνειαν, οἵ τε Πλάταιαν καὶ οἳ Γλίσσαντ' ἐνέμοντο, οἵ θ' Ὑποθήβας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶχον». καὶ στοιβάσας ἐνταῦθα συνεχεῖς τέσσαρας ἐπαναφορὰς πάλιν μετὰ ἓν ἔπος λέγει «οἵ τε Ἄρνην ἔχον, οἵ τε Μίδειαν». καὶ οὕτω κομματικῶς, ὡς εἰπεῖν, καλλύνας τὸ τῆς Βοιωτίας πρόσωπον ἐπάγει· «πεντήκοντα δὲ νῆες αὐτοῖς, ἐν δὲ ἑκάστῃ κοῦροι ἑκατὸν καὶ εἴκοσι βαῖνον». εἴωθε δὲ οὕτω ποιεῖν καὶ ἐν τοῖς ἑξῆς Ὅμηρος καὶ μετὰ τοὺς στρατηγοὺς καὶ τὰς πόλεις τιθέναι τὸν ἀριθμὸν τῶν νεῶν. τούτων δὲ τῶν πόλεων τὰς μὲν πλείους δίχα ἐπιθέτων προάγει, τὴν δὲ Αὐλίδα πετρήεσσαν λέγει, τοιαύτην ἀληθῶς οὖσαν, τὴν Ἐτεωνὸν πολύκνημον, τὴν Μυκαλησσὸν εὐρύχορον, τὴν Μεδεῶνα εὐκτίμενον πτολίεθρον, ὡς καὶ τὰς Θήβας, τὴν δὲ Θίσβην πολυτρήρωνα ὡς πολλάς, καθὰ μαρτυρεῖται, περιστερὰς ἔχουσαν, τὴν Ἁλίαρτον ποιήεντα, ὡς «Πύλον ἠμαθόεντα». μέμνηται δὲ αὐτῆς καὶ Δημοσθένης· τὴν Ὀγχηστὸν ἱερὸν Ποσιδήϊον ἀγλαὸν ἄλσος, τὴν Ἄρνην πολυστάφυλον, τὴν Νῖσαν ζαθέην, τὴν δὲ Ἀνθηδόνα ἐσχατόωσαν· τοῦτο δὲ οὐ δι' ἀρετὴν τόπου, ἀλλὰ θέσιν· φυλάττει δὲ καὶ νῦν τοὔνομα ὡς καὶ ἡ Κορώνεια. ἐν τούτῳ δὲ τῷ τόπῳ τρὶς μὲν χρᾶται τῷ ἐνέμοντο τήνδε ἢ τήνδε τὴν πόλιν, τῷ δὲ εἶχον τετράκις· ἐπὶ ἑτέρων δὲ παρακατιὼν τὸ ἔναιον λέγει. καὶ ἐν τοῖς ἑξῆς δὲ διὰ τῶν τοιούτων ῥημάτων χορεύει λέγων «οἳ ἐνέμοντο» «οἳ ἀμφενέμοντο» «οἳ εἶχον» «οἳ ἔναιον». Τὰ δὲ ῥηθέντα πέντε τῶν ἀρχηγῶν ὀνόματα προληπτικῶς ἐτέθησαν, ὥς φασιν οἱ παλαιοί, παισὶν οὖσιν, ἐξ ὧν ἐπιτηδεύειν ἔμελλον. (v. 494) Καὶ Πηνέλεως μὲν στρατηγικὸν ὄνομα παρὰ τὸ πένεσθαι καὶ ἐνεργεῖν περὶ λαόν, ἵνα εἴη πένω Πενέλεως, καθάπερ καὶ μένω Μενέλεως. καὶ πάλιν ὥσπερ Μεθώνη Μηθώνη, Φέρης Φέρητος Φηρητιάδης, Ἄδμητος ἢ Εὔμηλος, οὕτω καὶ Πενέλεως Πηνέλεως Ἀττικῶς, οὗ τὸ κοινὸν ἄχρηστον ἡρωϊκῷ μέτρῳ, ἤγουν τὸ Πηνέλαος. τοιοῦτον δὲ καὶ τὸ Ἀρχέλεως ἐν Τραχινίαις. [Ἰστέον δὲ ὡς καὶ τὸ Πηνέλεως Ἀττικὸν δοκεῖ παρ' Ὁμήρῳ οἷά τι κοινὸν κεῖσθαι, σμικρῦνον τὴν λήγουσαν. καὶ ἐνταῦθα μὲν λανθάνει τοῦτο· ἐν δὲ τῷ «Πηνελέοιο ἄνακτος» ἔκδηλόν ἐστι τὸ ῥηθέν. ὡς γὰρ καλός καλοῖο, σοφός σοφοῖο, οὕτω πάντως Πηνέλεος Πηνελέοιο.] Τὸ δὲ Λήϊτος ἀριστέως ὄνομα δηλοῦν τὸν ἐκ πολέμου κτώμενον, ἀπὸ τοῦ ληΐζω, τὸ λαφυραγωγῶ, ἐξ οὗ λελῃσμένος κατὰ συναίρεσιν παρ' Εὐριπίδῃ ὁ λεληϊσμένος.

1.403 [Γράφεται δὲ διὰ μόνου τοῦ ι διχρόνου κατὰ τὴν παραλήγουσαν ὁ Λήϊτος, οὐ μόνον ὡς ἀπὸ τοῦ ληΐζω, ἀλλὰ καὶ διὰ κανόνα τὸν οὕτω γράφοντα τὰ τοιαῦτα κύρια ὀνόματα, ἐν οἷς καὶ ὁ Μόνιτος, ὃν Ἰωνικῶς μετὰ τοῦ υ προφέρει ὁ Λυκόφρων. καὶ ὁ Ἐπίκτιτος δὲ τὸ κύριον κατὰ τοὺς τεχνικοὺς καὶ ὁ Θεοδώριτος.] (v. 495) Τὸ δὲ Ἀρκεσίλαος ἀμυντικὸν ἤτοι βοηθητικόν· δηλοῖ γὰρ τὸν ἐπαρκοῦντα λαοῖς, ὥσπερ δὲ μνῶ μνήσω Μνησίλοχος, οὕτω καὶ ἀρκῶ ἀρκέσω Ἀρκεσίλαος. Τὸ δὲ Προθοήνωρ θάρσους ἔνδειξις· δηλοῦται γὰρ δι' αὐτοῦ ὁ προθέων ἐν ἠνορέῃ ἤγουν ἀνδρίᾳ ἢ ὁ προθέων τῶν ἀνδρῶν ἐν καιρῷ ἔργου. [ἡ δὲ ἀναλογία τοῦ Προθοήνωρ κατὰ τὸ Ῥηξήνωρ, Ἀγαπήνωρ, Ἀγήνωρ, Ἐλεφήνωρ καὶ τὰ τοιαῦτα.] Τὸ δὲ Κλονίος ῥωμαλεότητος, οἱονεὶ ὁ μάχιμος καὶ γενναῖος καὶ κλονῶν. παροξύνεται δὲ κατὰ τοὺς παλαιούς, καθὰ καὶ τὸ Σχεδίος, Ὀδίος, ὡς κύριον τρίβραχυ. τὰ δὲ τοιαῦτα πρὸ μιᾶς συλλαβῆς τὴν ὀξεῖαν ἔχουσι δίχα τινῶν ὀλίγων, ὡς καὶ ἐν τοῖς ἑξῆς ῥηθήσεται, ἅπερ εἰσὶν Ἅλιος, Ἄνιος, Κρόνιος, Ξένιος. Ἰστέον δὲ ὅτι ἐν τῇ ἀναπτύξει τῶν ῥηθέντων πέντε στρατιωτικῶν ὀνομάτων φασὶν οἱ Σχολιασταί, ὅτι τοῖς παλαιοῖς σφόδρα ἔμελε τῶν πολεμικῶν. καὶ ταῦτα μὲν ἐν τούτοις. (v. 496) Ἡ δὲ Ὑρία χώρα ἐστὶ πλησίον Αὐλίδος κατὰ τοὺς παλαιούς. ἦν δέ ποτε καὶ πολείδιον. ταύτην ὁ κτίσας Ὑριεὺς ἐκαλεῖτο, πολίτης δὲ αὐτῆς Ὑριάτης. Ὑρία δέ, φασί, καὶ ἡ κατὰ Ἰσαυρίαν Σελεύκεια. ἔστι δὲ Ὑρία καὶ περὶ Ἰαπυγίαν Καλαβρικὴ πόλις, Κρητῶν κτίσμα, ἡ λεγομένη καὶ Ὕριον οὐδετέρως, ὡς ἐν τοῖς τοῦ Περιηγητοῦ δηλοῦται. ὁ δὲ Στράβων λέγει, ὅτι Ὑρία τῆς Ταναγραίας πρότερον, ὕστερον δὲ Θηβαΐδος, ὅπου ὁ Ὑριεὺς καὶ ἡ τοῦ Ὠρίωνος μεμύθευται γέννησις. κεῖται δὲ ἐγγὺς Αὐλίδος, κτίσμα δέ ἐστι Νυκτέως. Συνεχῶς δέ, φασί, λέγει τοὺς τόπους ἐνταῦθα, ὡς κεῖνται, καθὰ καὶ ἐν τῷ «οἳ δ' Ἄργος εἶχον, Τίρυνθά τε» καὶ ἑξῆς ἕως τοῦ «Ἠϊόνας τε». ἀλλαχοῦ δὲ οὐχ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡσαύτως τῇ τάξει χρᾶται. Ἰστέον δὲ ὅτι τοῦ ποιητοῦ εἰπόντος «οἵ θ’ Ὑρίην ἐνέμοντο» τινὲς οὐ σύνδεσμον ἐνόησαν ἐνταῦθα τὸν τε , ἀλλὰ Θυρίην πόλιν ὑπέλαβον εἶναι. οὐκ εὖ δέ, ὥς φασιν οἱ παλαιοί· ἀπὸ γὰρ Ὑριέως γενομένη οὐκ ἂν ἔχῃ τὸ θ , ἀλλὰ τὸ συνδετικὸν ταῦ.

1.404 οἱ δ’ αὐτοὶ παράγουσι καὶ χρῆσιν Ἡσιόδου ταύτην βοηθοῦσαν τῇ δίχα τοῦ θ γραφῇ· «ἣν δίη Ὑρίη Βοιωτίης τρέφε κούρην». Ἡ δὲ Αὐλὶς ἀντιπέραν μὲν Εὐβοίας κεῖται φυλάσσουσα μέχρι καὶ νῦν τὸ ὄνομα. ἐκλήθη δὲ οὕτω παρὰ τὸ ἐκεῖ αὐλισθῆναι τὰς τῶν Ἀχαιῶν νῆας πρὸ τοῦ ἀπόπλου ἢ ἁλισθῆναι, ἤγουν ἀθροισθῆναι, ἢ ἀπὸ Αὐλίδος, φασί, θυγατρὸς Εὐωνύμου, υἱοῦ Κηφισοῦ. ἔχει δέ, φασί, λιμένας ἡ Αὐλὶς τοὺς μὲν βλέποντας ἐπὶ τὴν Ἴλιον, τοὺς δὲ καταγωγοὺς ἀπὸ πάσης Ἑλλάδος. διὸ καὶ ἀθροισθέντες οἱ Ἀχαιοὶ αὐτόθι ἀνέπλευσαν. ὁ Στράβων δέ φησιν, ὅτι Αὐλὶς πετρῶδες χωρίον, ἔνθα λιμὴν πεντήκοντα πλοίοις· ὥστε εἰκὸς τὸ ναύσταθμον τῶν Ἑλλήνων ἐν τῷ μεγάλῳ ὑπάρξαι λιμένι. πλησίον δ’ αὐτῆς Εὔριπος ὁ Χαλκιδικός, εἰς ὃν ἀπὸ Σουνίου σταδία οʹ. ὀξύνεται δὲ ἡ Αὐλὶς ἀναλόγως διὰ τὴν παρωνυμίαν, ὡς πύλη πυλίς. τὸ δὲ βαρύτονον, ἐξ οὗ καὶ ἡ ἔπαυλις, Αἰολικόν φασιν εἶναι· βαρυντικοὶ γὰρ οἱ Αἰολεῖς. [Καὶ ἄλλως δὲ ἡ μὲν Αὐλὶς ὡς ἐκ τοῦ αὐλίζω αὐλίσω ἔχοι ἂν ἴσως τὴν ὀξεῖαν τόνωσιν, ἡ δὲ αὖλις τὴν βαρεῖαν πρὸς διαστολήν· οἷον «ἀτερπέα δ’ αὖλιν ἔκυρσαν». καὶ ἔστιν ἡ τούτου ἀναλογία κατὰ τὸ Θέτιδα Θέτιν, Θέμιδα Θέμιν, Κύπριδα Κύπριν, ἃ δὴ πάντα καὶ βραχύνονται· ὧν πρὸς μίμησιν καὶ τὴν κνημῖδα καὶ σφραγῖδα βαρύναντες οἱ Αἰολεῖς κνᾶμιν καὶ σφρᾶγιν συνεσταλμένως γράφουσι.] (v. 497) Σχοῖνος δὲ ἢ ἀπό τινος ὁμωνύμου ἀνδρὸς ἢ ἀπὸ σχοίνων φυομένων αὐτόθι, καθὰ καὶ ἐν τῇ Ἀρκαδικῇ Σχοινοῦντι, διὰ τὸ ἑλῶδες τοῦ τόπου. λέγεται δὲ καὶ ἀπὸ Σχοινέως τὴν κλῆσιν σχεῖν, τοῦ πατρὸς Ἀταλάντης. ὁ δὲ Στράβων φησί· «Σχοῖνος χώρα Θηβαϊκὴ ἐν ὁδῷ τῇ ἐπὶ Ἀνθηδόνα διέχουσα Θηβῶν ὅσον πεντήκοντα στάδια. ῥεῖ δὲ ποταμὸς δι’ αὐτῆς Σχοινοῦς καλούμενος». Σκῶλος δὲ ἀρσενικῶς κώμης ὄνομα καὶ ὁ ἐξ αὐτῆς Σκώλιος καὶ Σκωλιεύς. τὸ δὲ σκῶλον τὸ οὐδέτερον τί ποτε δηλοῖ, ἐν τοῖς ἑξῆς ῥηθήσεται. οἱ δὲ παλαιοί φασι καί, ὅτι ὁ Σκῶλος κώμη τῆς Παρασωπίας χώρας ὑπὸ τῷ Κιθαιρῶνι ἢ κατά τινας ἐν τῇ τῶν Πλαταιέων τόπος τραχὺς καὶ δυσοίκητος· ὅθεν καὶ παροιμία· «εἰς Σκῶλον μήτ’ αὐτὸς εἶναι μήτ’ ἄλλῳ ἕπεσθαι».

1.405 καὶ Πενθεὺς δὲ ἐκεῖθεν, φασί, καταγόμενος διεσπάσθη ὑπὸ τῶν Βακχῶν. ἦν δὲ καὶ Ὀλυνθιακὴ Σκῶλος. [Δοκεῖ δὲ ἡ κατὰ Βοιωτίαν Σκῶλος ἐπιμεμελημένους ἄρτους ἔχειν. διὸ καὶ μεγαλάρτου φασὶν ἐκεῖ καὶ μεγαλομάζου Δήμητρος ἵδρυτο ἄγαλμα. τὸ δὲ ὅμοιον καὶ ἐν τῇ κατὰ Μεσαπίους Ἰαπυγίᾳ, παρ’ οἷς καὶ βασιλεὺς ἦν Ἄρτος καλούμενος. καὶ Ἄρτου δέ τινος μεγάλου ἐπιλεγομένου ἑορτὴ ἐπ’ αὐτῷ ἐτελεῖτο τὰ Μεγαλάρτια. ὡς δὲ καὶ ἀγελαῖοι ἐκαλοῦντό τινες ἄρτοι καὶ ὡς παρὰ Συρακουσίοις ἐτιμᾶτο Δημήτηρ Σιτὼ διὰ τήν, ὡς εἰκός, ἐπιμέλειαν καὶ εὐφορίαν ἐκεῖ τοῦ σίτου, συνιστορεῖ καὶ Ἀθήναιος.] Ἐτεωνὸς δὲ ἐκλήθη μὲν ὕστερον καὶ Σκάρφη καλουμένη ἀπό τινος Ἐτεωνοῦ, ὃς Βοιωτοῦ μὲν ἦν ἀπόγονος, πατὴρ δὲ Ἐλεῶνος. κεῖται δέ, φασίν, ἐπὶ λόφου περί που Ἀσωπὸν ῥέοντα ἐπὶ τοῦ πρὸ Θηβῶν πεδίου, καθὰ καὶ ὁ Ἰσμηνός· περὶ οὗ Ἀσωποῦ λέγει ὁ Γεωγράφος καί, ὅτι Κιθαιρὼν τελευτᾷ οὐκ ἄποθεν Θηβῶν, παρ’ αὐτὸν δὲ ῥέει ὁ Ἀσωπὸς κλύζων τὴν ὑπώρειαν αὐτοῦ. τὸ δὲ ἐθνικὸν τῆς Ἐτεωνοῦ Ἐτεώνιος. Πολύκνημον δὲ ταύτην λέγει ὡς ὀρεινήν· κνημοὶ γὰρ τὰ κάτω τοῦ ὄρους, ὡς μετὰ μικρὸν ῥηθήσεται. τινὲς δὲ ἀντὶ τοῦ πολυορίγανον· κνημὸν γὰρ Ἀργεῖοί φασι τὴν ὀρίγανον. (v. 498) Ἡ δὲ Θέσπια, ἣ πρὸς τῷ Ἑλικῶνι ἔκειτο νοτιωτέρα αὐτοῦ, ἐκτείνει ἐνταῦθα τὴν παραλήγουσαν διὰ τὸ μέτρον· ἄλλως γὰρ ἐν συστολῇ ἔχει αὐτήν. γράφεται δὲ κοινῶς διὰ τοῦ ι ἡ παραλήγουσα, ὡς τὸ Λάμια, Ἰάμνια. Ἡρωδιανὸς δὲ ἐν τῇ καθόλου Προσῳδίᾳ τὴν ει δίφθογγον χαρίζεται αὐτῇ. ὁ δὲ τὰ Ἐθνικὰ γράψας παρασημειοῦται, ὅτι θαῦμα, πῶς τὸ ἑνικὸν διὰ διφθόγγου γράφεται, ὡς ἐντεῦθεν διφορεῖσθαι μὲν τὰ ἑνικὰ τῶν Θεσπιῶν, τὰ δὲ πληθυντικὰ διὰ μόνου διχρόνου γράφεσθαι. λέγει δὲ ὁ αὐτὸς τὰ μὲν ἑνικὰ ταύτης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προπαροξύνεσθαι· ἡ Θέσπια γὰρ καὶ τὰ ἑξῆς· τὰ δὲ πληθυντικὰ ὀξύνεσθαι· Θεσπιαί γὰρ καὶ τὰ ἑξῆς ὁμοίως. ταὐτὸ δὲ πάσχει καὶ ἡ Πλάταια, ὡς μετ’ ὀλίγα ῥηθήσεται. ὅρα δὲ καὶ ὅτι ὥσπερ Ἀθήνη ἑνικῶς καὶ πληθυντικῶς καὶ Μυκήνη καὶ Κρήτη καὶ Θήβη, οὕτω καὶ ἡ πόλις αὕτη· Θέσπια γὰρ καὶ Θεσπιαὶ ἡ αὐτή.

1.406 φησὶ δὲ ὁ τῶν Ἐθνικῶν συγγραφεὺς καί, ὅτι τὸ Θέσπια καὶ ἐκτείνεται καὶ συστέλλεται παρὰ Κορίννῃ—σοφὴ δὲ τὴν ποίησιν ἡ Κόριννα—καὶ ὅτι κτίσμα ἐστὶν ἡ Θέσπια Θεσπιάδου, κατὰ δέ τινας Θεσπίου, υἱοῦ Τεύθραντος τοῦ τοῦ Πανδίονος. ἱστορεῖται δὲ Θεσπιέα εἶναι τὸν Νάρκισσον, ὃς ἦν μὲν υἱὸς Κηφισσοῦ τοῦ ποταμοῦ καὶ Λειριοέσσης νύμφης. κάλλος δὲ ἔχων ἀμύθητον ἐπικύψας πηγῇ τινι καὶ τῆς ἑαυτοῦ σκιᾶς ἐρασθεὶς ἔρριψεν ἑαυτὸν ἐκεῖ καὶ ἐναπεπνίγη τῷ ἐνόπτρῳ ὕδατι. καὶ ἡ γῆ ἀνέδωκε φυτὸν ὁμώνυμον τῷ νεανίᾳ. ἐν δὲ τοῖς Ἐθνικοῖς φέρεται καὶ Θεσσαλικὴ Θέσπια καὶ Σαρδῴα. ἐν δὲ τῇ κατὰ Βοιωτοὺς ἐπίγραμμα Φιλιάδου τοῦ Μεγαρέως τοιοῦτον ἐπὶ τοῖς ἀναιρεθεῖσιν ὑπὸ Περσῶν· «ἄνδρες θ’ οἵ ποτ’ ἔναιον ὑπὸ κροτάφοις Ἑλικῶνος, λήματι τῶν αὐχεῖ Θεσπιὰς εὐρύχορος». ἱστορεῖται δὲ καὶ ὁ Πραξιτέλους Ἔρως ἐν Θεσπιαῖς εἶναι, ὃν ἔγλυψε μὲν ἐκεῖνος, ἀνέθηκε δὲ ἡ ἑταίρα Γλυκέρα ἐκεῖθεν οὖσα, λαβοῦσα δῶρον παρὰ τοῦ τεχνίτου. πολλοὶ δὲ ἀνέβαινον ὀψόμενοι τὸν Ἔρωτα. ἐκεῖ δέ, φασί, καὶ ἡ Ἄσκρη δεξιὰ Ἑλικῶνος ἐφ’ ὑψηλοῦ καὶ τραχέος τόπου, ἀπέχουσα Θεσπιῶν ὅσον τεσσαράκοντα στάδια. καὶ ταῦτα μὲν περὶ Θεσπιῶν. Γραῖα δέ ἐστι κατά τινας ἡ καὶ Τάναγρα, ὧν οἱ πολῖται Γραῖος καὶ Ταναγραῖος· κατὰ δέ τινας οὔκ εἰσιν αἱ αὐταί, ὡς δηλοῦσιν ὅ τε γράψας, ὅτι Τάναγρα πόλις Βοιωτίας, ἣν Ὅμηρος Γραῖαν καλεῖ διὰ τὸ πλησίον εἶναι, καὶ οἱ ἱστοροῦντες, ὅτι Ταναγραῖοι οὐκ ἐστράτευσαν εἰς Τροίαν, ὡς καὶ Εὐφορίων· «οἳ πλόον ἠρνήσαντο καὶ ὅρκιον αἰγιαλοῖο». ἐκαλεῖτο δὲ ἡ Γραῖα, εἴτε καὶ ἡ Τάναγρα, καὶ Ποιμανδρία, ὡς κεῖται παρὰ Λυκόφρονι. Ἀριστοτέλης δέ, φασί, Γραῖαν λέγει τὴν νῦν Ὠρωπόν. τὸ δὲ τῆς κλήσεως αἴτιον ἀπὸ Γραίας τῆς Μελεδῶνος. Στράβων δέ φησιν, ὅτι Γραῖα τόπος πλησίον Ὠρωποῦ, ἔνθα ἱερὸν Ἀμφιαράου καὶ μνῆμα Ναρκίσσου τοῦ Ἐρετριέως, ὃ καλεῖται Σιγηλοῦ· ἐπεὶ σιγῶσιν οἱ παριόντες ἐκεῖ· τὴν δὲ αἰτίαν οὐ λέγει. τινὲς δὲ τὴν αὐτήν φασι τῇ Τανάγρᾳ τὴν Γραῖαν. καλοῦνται δέ, φησί, καὶ Γεφυραῖοι οἱ Τανάγριοι. λέγει δὲ καί, ὅτι τῷ ἐκ Θηβῶν εἰς Ἄργος ἀπιόντι ἐν ἀριστερᾷ ἡ Τάναγρα καὶ ὅτι νῦν μόνη συνέστηκε τῶν Βοιωτικῶν πόλεων Τάναγρα, τῶν δ’ ἄλλων ἐρείπια καὶ ὀνόματα λέλειπται.

1.407 Μυκαλησσὸς δὲ μεσογεία πόλις Βοιωτίας κειμένη καὶ παρὰ Θουκυδίδῃ. καλεῖται δὲ οὕτως ἢ ἀπὸ τοῦ ἐκεῖ γεγονυίας τὰς Γοργόνας μυκήσασθαι ἢ ἀπὸ τῆς βοός, ἥτις τὸν Σύριον Κάδμον καὶ τοὺς σὺν αὐτῷ ποδηγήσασα εἰς Θήβας ἐνταῦθα ἐμυκήσατο. ἔστι δὲ καὶ ἑτέρα Μυκαλησσὸς Καρική· ἔνθα Μυκαλέως Διὸς λαμπρὸν ἱερόν. καὶ ὄρος δὲ Μυκαλησσὸς ἐναντίον Σάμου. τῆς δὲ Μυκαλησσοῦ ὁ πολίτης Μυκαλήσσιος. ἡ μέντοι Μυκάλη ἑτέρα ταύτης ἐστίν, ὡς προϊοῦσι φανήσεται. ὁ δὲ Στράβων λέγει, ὅτι Μυκαλησσὸς κώμη Ταναγρικὴ κειμένη παρ’ ὁδὸν τὴν Θήβηθεν εἰς Χαλκίδα. καλοῦσι δέ, φησίν, αὐτὴν Βοιωτικῶς Μυκαληττόν. (v. 499) Ἅρμα δὲ κώμη τις πλησίον Μυκαλησσοῦ, ἀλλὰ καὶ δῆμος ἔχων φρούριον ὀχυρὸν ὅμορόν φασι τῇ Ταναγρικῇ, οὗ ὁ πολίτης Ἁρματεύς. ἐκλήθη δέ, φασίν, οὕτως ἤ, διότι ἐκεῖ κατεάγη τὸ τοῦ Ἀδράστου ἅρμα ἢ ἀπὸ τοῦ ἅρματος Ἀμφιαράου καταφυγόντος ἐκεῖ καὶ μὴ ἐκδοθέντος τοῖς διώκουσιν. ἐκαλεῖτο δὲ ἀπὸ τοῦ αὐτοῦ καὶ λουτρὰ Ἀμφιαράου. ἔστι δέ, φασί, καὶ τῆς Ἀττικῆς τόπος ἐν Πάρνηθι Ἅρμα καλούμενος, κείμενος περὶ τὴν οὕτω καλουμένην Φυλήν. τὸ δὲ παροιμιῶδες τὸ «ὁπότ’ ἂν ἀστράψῃ δι’ Ἅρματος», ἤγουν ὀψέ ποτε καὶ διὰ χρόνου ἀδήλου, τοῦ Ἀττικοῦ Ἅρματος μέμνηται ἢ μᾶλλον τοῦ Βοιωτικοῦ. φασὶ δὲ καὶ ὡς ἀστραπὴν ἐσημειοῦντο κατά τινα χρησμὸν οἱ Πυθαϊσταὶ βλέποντες ἐπὶ τὸ τοιοῦτον Ἅρμα. καὶ ὅτε ἤστραψεν, ἔπεμπον θυσίαν εἰς Δελφούς. ἐτήρουν δὲ ἐπὶ τρεῖς μῆνας καὶ καθ’ ἕκαστον μῆνα ἐπὶ τρεῖς ἡμέρας καὶ νύκτας ἀπὸ τῆς ἐσχάρας τοῦ ἀστραπαίου Διός. Περὶ δὲ Εἰλεσίου, οὗ ὁ πολίτης Εἰλεσιεύς, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περὶ Ἐλεῶνος κατωτέρω ῥηθήσεται. Ἐρυθραὶ δέ εἰσι μὲν καὶ Ἰωνίας καὶ Λιβύης καὶ Λοκρίδος, καὶ Κύπρου δέ, ἥτις ἐστί, φασίν, ἡ νῦν Πάφος, ἰδοὺ δὲ καὶ Βοιωτίας. ἱστορεῖται δέ τις Ναυκράτης Ἐρυθραίηθεν Ὅμηρον ὑπομνηματίσαι. Ἀπίων μὲν οὖν καὶ Ἡρόδωρος ὀξύνουσι τὴν λέξιν λέγοντες Ἐρυθράς ὡς καλάς. ἕτεροι δέ φασιν, ὅτι Ἐρύθραι μὲν βαρυτόνως αἱ τῆς Βοιωτίας ἀπὸ Ἐρυθροῦ, υἱοῦ Ποσειδῶνος καὶ Ἀμφιμεδούσης θυγατρὸς Δαναοῦ, κεῖνται δὲ ὑπὸ τὸν Κιθαιρῶνα· Ἐρυθραὶ δὲ ὀξυτόνως αἱ τῆς Ἰωνίας, ὧν μέμνηται ὁ Γεωγράφος εἰπών, ὅτι μεταξὺ Ἐρυθρῶν καὶ τῶν Ὑποκρήμνων Μίμας ὄρος ὑψηλὸν εὔθηρον καὶ πολύδενδρον.

1.408 λέγει δὲ ὁ αὐτὸς καί, ὅτι τῶν Ἐρυθρῶν τούτων ἄποικοι αἱ Ἰωνικαί. (v. 500) Ὕλη δὲ ἀπὸ Ὕλης, θυγατρὸς Θεσπιέως, ἢ ὅτι ὑλώδης ἐστί· φασὶ γὰρ οἱ παλαιοί, ὅτι Ὕλη καὶ Εἰλέσιον καὶ Ἐλεών, ὧν ἀνωτέρω μνεία ἦν, ὑλώδεις εἰσὶ τόποι Βοιωτῶν καὶ ἑλώδεις, ὥστε ἀπὸ τοῦ ἕλους καὶ τὸ Εἰλέσιον καὶ ὁ Ἐλεών. καὶ ὁ Γεωγράφος δέ φησιν, ὅτι Ἐλεὼν κώμη Ταναγρικὴ ἀπὸ τῶν ἑλῶν καλουμένη, καὶ ὅτι Ἕλος καὶ Ἐλεὼν καὶ Εἰλέσιον διὰ τὸ ἐπὶ ἕλεσιν ἱδρῦσθαι. νῦν δέ, φησίν, οὐχ' ὁμοίως ἔχει πάντα, ὡς ἢ ἀνοικισθέντων τῶν ἐνοικούντων ἢ τῆς λίμνης ἐπὶ πολὺ ταπεινωθείσης διὰ ἐκρύσεων. δηλοῖ γοῦν ἐν τούτοις ὁ Γεωγράφος μὴ οὕτως ἑλώδεις τοὺς ῥηθέντας εἶναι τόπους, ὡς ἦσαν τὸ παλαιόν. κατὰ δέ τινας ὁ Ἐλεὼν ἀπὸ Ἐλεῶνος ὠνόμασται, υἱοῦ Ἐτεωνοῦ τοῦ ἀνωτέρω μνημονευθέντος. Τὸ δὲ Ὕλη ἐνταῦθα μὲν ἐκτείνει τὸ υ , ἐν δὲ τοῖς ἑξῆς εὕρηται καὶ συστελλόμενον. παρασημειοῦται γοῦν ὁ Στράβων, ὅτι ἐν τῷ «ὅς ῥ' ἐν Ὕλῃ ναίεσκε» «σκυτοτόμων ὄχ' ἄριστος, Ὕλῃ ἔνι οἰκία ναίων» συστέλλεται τὸ υ . ἔνθα καὶ αἰτιᾶται τοὺς γράφοντας «Ὕδη ἔνι οἰκία ναίων». Ὕδη γὰρ πόλις Λυδίας· οὐκ ἂν δὲ ὁ Αἴας ἐκ Λυδίας τὸ σάκος μετεπέμπετο. ὁμοίως συστέλλεται τὸ Ὕλη καὶ ἐν τῷ «ὅς ῥ' ἐν Ὕλῃ ναίεσκε μέγα πλούτοιο μεμηλώς». ὅτι δὲ Ὕλη καὶ ἐνταῦθα ἡ Βοιωτική, δηλοῖ ἐπιφέρων· «λίμνῃ κεκλιμένος Κηφισσίδι». εἰ γὰρ ἡ Κηφισσὶς λίμνη Βοιωτική, Βοιώτιος ἄρα καὶ ὁ Ὑλαῖος οὗτος πλούσιος ὁ τῇ Κηφισσίδι λίμνῃ κεκλιμένος. Ἡ δὲ Πετεών —κώμη δὲ αὕτη Θηβαΐδος κατὰ τὸν Στράβωνα πρὸς τῇ ἐπ' Ἀνθηδόνα ὁδῷ κειμένη—οὐκ ἠξίωται λόγου πολλοῦ τοῖς παλαιοῖς ἢ μόνον εἰς τοσοῦτον, ὅτι ἀπὸ Πετεῶνος ἐκλήθη τινός. (v. 501) Ἡ δὲ Ὠκαλέη εὕρηται μὲν καὶ Ὠκάλεια· καλεῖται δὲ οὕτω διὰ τὸ ὦκα καὶ συντόμως ἐκεῖθεν εἰς Θήβας πορεύεσθαι ἢ ἀπὸ ποταμοῦ παραρρέοντος. ἡ δὲ γεωγραφικὴ ἱστορία λέγει καί, ὅτι Ὠκαλέη μέση Ἁλιάρτου καὶ Ἀλαλκομενίου ἔκειτο τριάκοντα σταδίους ἑκατέρου ἀπέχουσα· παραρρεῖ δ' αὐτὴν ποτάμιον ὁμώνυμον. Μεδεὼν δὲ ἀπὸ Μεδεῶνος, υἱοῦ Πυλάδου καὶ Ἠλέκτρας. ἔστι δέ, φασί, καὶ Φωκικὴ Μεδεὼν καὶ Ἠπειρωτική. ὁ δὲ Γεωγράφος φησί· «Μεδεὼν ὁ μὲν Φωκικός, ἐν τῷ Κρισσαίῳ κόλπῳ, διέχων Βοιωτίας στάδια ἑκατὸν ἑξήκοντα· ὁ δὲ Βοιωτικὸς ἀπ' ἐκείνου κέκληται». (v. 502) Αἱ δὲ Κῶπαι ἀπὸ Κωπέως ἢ Κωπεῶνος οὕτω καλοῦνται, υἱοῦ Ὀγχηστοῦ.

1.409 ταύτης ὁ πολίτης Κωπαΐτης. περὶ αὐτὴν δὲ καὶ λίμνη μεγάλη Κωπαΐς, ἐν ᾗ ἐγχέλεις ἀγαθαί. ταύτης φασὶ τῆς λίμνης κειμένης πλησίον Ἁλιάρτου περίμετρος ὀγδοήκοντα καὶ τριακόσια στάδια· ἔκρυσις δὲ αὐτῆς οὐδαμοῦ φαίνεται, ὡς ὁ Γεωγράφος φησί, πλὴν τοῦ χάσματος τοῦ δεχομένου τὸν Κηφισσόν. εἰσβάλλουσι δέ, φησίν, εἰς αὐτὴν καὶ ἕτεροι ποταμοὶ δύο ἐκ τοῦ Ἑλικῶνος. ἔκειντο δὲ αἱ Κῶπαι προσάρκτιοι τῇ Κωπαΐδι λίμνῃ. ὁ δ' αὐτὸς ἱστορῶν, ὡς ἐν τοῖς ἑξῆς ῥηθήσεται, τοὺς Πλαταιεῖς ἀπὸ τῆς διὰ τῶν πλατῶν κωπηλασίας, λέγει, ὅτι καὶ αἱ Κῶπαι τὸ αὐτὸ ἐνδείκνυνται, ἀφ' ὧν ἡ Κωπαῒς λίμνη πληρουμένη ἐκ τοῦ Κηφισσοῦ, ἧς αὐξομένης ὡς κινδυνεύειν καταποθῆναι τοὺς Κωπαεῖς, ἀνοιχθὲν χάσμα ἐδέξατο τὸν ποταμόν· εἶτα ἐξέρρηξεν αὐτὸν ἀλλαχοῦ. σκοπητέον δέ, μήποτε ἀκολούθως ταῖς Κώπαις καὶ ταῖς Πλαταίαις καὶ ἡ Ἐλάτεια ὠνόμασται ὡς ἀπὸ τοῦ ἐλᾶν, ἐξ οὗ σύνθετον τὸ κωπηλατεῖν. ἕτεροι δὲ ταῦτα σαφέστερον φράζοντές φασιν, ὅτι Κῶπαι καὶ Κωπαῒς ἐκλήθησαν διὰ τὰς κώπας, αἷς ἐχρῶντο οἱ ἐγχώριοι πρὸς ἀλλήλους πλέοντες διὰ τὸ ἀπολιμνωθῆναι, φασί, τὰ ἐκεῖ. ὅθεν καὶ ἡ ἐκεῖσέ που Πλάταια πόλις παρὰ τὴν πλάτην, ὃ δηλοῖ τὴν κώπην· ὡς γὰρ φώκη Φώκαια, νίκη Νίκαια, οὕτω

πλάτη Πλάταια. ἦν δέ ποτε καιρός, ὅτε διὰ τοὺς λιμνασμοὺς οὐκ ἦν ἀλλήλοις τοὺς αὐτόθι ἐντυγχάνειν, εἰ μὴ πλάταις ἤτοι κώπαις ἐπλωΐζοντο ἐπὶ λέμβων τινῶν. [δῆλον δέ, ὡς ὁμώνυμος λέξις αἱ κῶπαι. πόλις τε γάρ, ὡς δεδήλωται, καὶ νηῶν ὅπλα ὡσεὶ καὶ πτερὰ καὶ λαβαὶ ξιφῶν.] Ἡ δὲ Εὔτρησις ἐτίμα Εὐτρησίτην Ἀπόλλωνα, οὗ καὶ μαντεῖον ἐκεῖ ἔνδοξον. ἐκλήθη δὲ οὕτω διὰ τὸ πολλαῖς αὐτὴν ῥυμοτομίαις οἱονεὶ συντετρῆσθαι τεμνομένην εἰς ἀμφόδους συχνάς. ἔκειτο δέ, φασί, παρὰ τὴν ὁδὸν τὴν ἐκ Θεσπιῶν εἰς Πλαταιάς. ἐτείχισαν δὲ αὐτὴν Ζῆθος καὶ Ἀμφίων οἱ ἀδελφοί. ὁ δὲ Στράβων λέγει, ὅτι Εὔτρησις κώμιον Θεσπιέων, ἔνθα Ζῆθος καὶ Ἀμφίων ᾤκησαν πρὶν βασιλεῦσαι Θηβαίων. καὶ ὅρα τὸ κώμιον ὑποκοριστικῶς λεχθὲν καὶ προπαροξυτόνως, ὡς καὶ λύρα λύριον καὶ θύρα θύριον. Ἡ δὲ Θίσβη πολίτην μὲν ἔσχε τὸν περίπυστον αὐλητὴν Ἰσμηνίαν· Θισβεὺς γὰρ ἦν· ἐκλήθη δὲ ἀπὸ Θίσβης, θυγατρὸς Ἀσωποῦ. ὁ δὲ λιμὴν τῶν Θισβέων καὶ τὸ ἐπίνειον ἔχει, φασί, πλῆθος περιστερῶν, ὡς καὶ ὁ ποιητὴς ἐπεσημήνατο. ἱστορεῖ δὲ τοῦτο καὶ ὁ Γεωγράφος λέγων· «Θίσβη ἡ καὶ Θίσβαι οἰκεῖται μικρὸν ὑπὲρ θαλάσσης χωρίον ὅμορον Θεσπιεῦσιν ἐν τῇ Κορωνειακῇ ὑποπεπτωκὸς ἐκ νότου τῷ Ἑλικῶνι· ἐπίνειον αὐτῆς πετρῶδες περιστερῶν μεστόν».

1.410 ἔνθα σημειοῦται καί, ὅτι λίαν περιέργως ἐξενήνοχεν ὁ ποιητὴς τὸ «πολυτρήρωνα Θίσβην» ὡς καὶ τὸ «Ἁλίαρτον ποιήεντα» καὶ τὰ λοιπά· οὐδεμίαν γάρ, φησί, προσθήκην κενῶς ἀπορριπτεῖ. (v. 503) Ἡ δὲ Κορώνεια ἐκλήθη ἀπὸ Κορώνου, υἱοῦ Θερσάνδρου. εἰσὶ δὲ καὶ ἄλλαι Κορώνειαι, ὡς ὁ τὰ Ἐθνικὰ γράψας ἀριθμεῖ λέγων καί, ὅτι ἐν ταύτῃ οὐ φαίνεται ἀσπάλαξ πάσης τῆς Βοιωτίας ἐχούσης, κἄν τις ἔξωθεν ἐνέγκῃ, οὐ δύναται αὐτόθι ζῆν. Ἰστέον δὲ ὅτι, εἰ καὶ παράγωγόν ἐστιν ἡ Κορώνεια ἐκ τοῦ Κορώνη, ἀλλ’ οὖν ἡ τρισυλλάβως λεγομένη Κορώνη πόλις Μεσσήνης ἐστίν. ἐν δὲ τῷ Γεωγράφῳ φέρεται, ὅτι Κορώνεια ἐγγὺς Ἑλικῶνος ἐφ’ ὕψους ἱδρυμένη· παραρρέει δ’ αὐτὴν ποταμὸς Κουάριος· ἔνθα τὰ Παμβοιώτια συνετέλουν. ταύτης τῆς Κορωνείας, φησίν, οἱ πολῖται Κορώνιοι, οἱ δὲ ἐν τῇ Μεσσηνιακῇ Κορωνεῖς. ὥστε κατὰ τοῦτον οὐ μόνον Κορώνη ἐν τρισὶ συλλαβαῖς ἡ Μεσσηνιακή, ἀλλ’ ἰδοὺ καὶ Κορώνεια. Ὅρα δὲ τὸ Παμβοιώτια· Ἑορτὴ γὰρ ἦν κοινὴ πάντων Βοιωτῶν, ὥσπερ καὶ ἡ τῶν Ἰώνων πάντων Πανιώνια, ὅμοιον καὶ τὸ Παναθήναια. ἐξ Ὁμήρου δὲ τῶν τοιούτων ἡ ἀρχὴ εἰπόντος Παναχαιοί, οὗ παράφρασις τὸ Πανελλήνιον. Ἁλίαρτος δὲ ἀρσενικῶς λέγεται κατὰ τὸν τὰ Ἐθνικὰ γράψαντα, κτισθεὶς ὑπὸ Ἁλιάρτου, υἱοῦ Θερσάνδρου. γράφεται δέ, φησί, καὶ Ἀρίαρτος. ὅτι δὲ δασύνεται ἡ ἄρχουσα, δηλοῖ τὸ «ποιήενθ’ Ἁλίαρτον». ἔχει δὲ ἕλη καὶ λίμνας καὶ ὑδατόρρυτός ἐστι· διὸ καὶ ποιήεις λέγεται, ὅ ἐστι βοτανώδης ἢ πολυβότανος. ὁ δὲ Ἁλίαρτος ἀδελφὸς ἦν Κορώνου τοῦ ἀνωτέρω ῥηθέντος. Ἡ δὲ γεωγραφία λέγει καὶ πῶς ποιήεις ὁ Ἁλίαρτος. ἐγένετο γάρ, φησί, κατὰ τὸν Ὀρχομενὸν χάσμα, ὃ τὸν Μέλανα ποταμὸν ἐδέξατο τὸν ῥέοντα διὰ τῆς Ἁλιαρτίας καὶ ποιοῦντα τὸ ἐκεῖ ἕλος τὸ φύον τὸν αὐλητικὸν κάλαμον. καὶ ἠφάνισται ὁ ποταμὸς τέλεον εἴτε τοῦ χάσματος διαχέαντος, φησίν, αὐτὸν εἰς ἀδήλους πόρους εἴτε τῶν Ἁλιαρτίων ἑλῶν προσαναλισκόντων αὐτόν· ἀφ’ ὧν ποιήεντα τὸν Ἁλίαρτον ὁ ποιητὴς λέγει. λέγει δὲ ἡ αὐτὴ γεωγραφία καὶ ὅτι ἡ Ἁλίαρτος. καὶ σημείωσαι, ὅτι καὶ θηλυκῶς λέγεται ἡ Ἁλίαρτος. ἡ τοίνυν Ἁλίαρτος νῦν, φησίν, οὐκ ἔστι, κατασκαφεῖσα ἐν τῷ πρὸς Περσέα πολέμῳ. τὴν χώραν δ’ ἔχουσιν Ἀθηναῖοι δόντων Ῥωμαίων. [Σημείωσαι δέ ὡς, εἴπερ θήλεος μὲν γένους ἡ Ἁλίαρτος, εὐσυντάκτως δὲ ἔχει οὕτω τὸ «ποιήενθ’ Ἁλίαρτον», ἄρα κατὰ γένος ὅμοιον προήνεκται καὶ τὸ «Πύλον ἠμαθόεντα» καὶ «ὑλήεντα Ζάκυνθον».

1.411 ὁ δὲ τὰ Ἐθνικὰ συγγραψάμενος ἄρρενος γένους παραδίδωσι τὸν Ἁλίαρτον εἰπών· «Ἁλίαρτος πόλις Βοιωτῶν ἀρσενικῶς». τὸ δὲ μέγα Ἐτυμολογικὸν συγκροτοῦν εἰς τὴν δασεῖαν τῆς ἀρχούσης λέγει παραχθῆναι τὴν Ἁλίαρτον ἀπὸ ἁλιέων καὶ ἄρτου.] (v. 504) Ἰστέον δὲ ὅτι οὐκ ἐξ ἀνάγκης εὑρίσκεσθαι ἀναγκαστέον πόλεις ἢ κώμας, ὅσας ἱστορεῖ ὁ ποιητής· αὐτὸς μὲν γὰρ τὰ ἐφ’ ἑαυτοῦ λέγει· ὁ δὲ χρόνος πολλὰ ἠφάνισεν. Ἡ δὲ ἑνικῶς νῦν λεχθεῖσα Πλάταια, ὅτι παρὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν πλάτην, ὅ ἐστι τὴν κώπην, λέγεται, προείρηται. καὶ ὅτι ὥσπερ ἡ Θέσπια προπαροξύνεται μὲν ἐν τοῖς ἑνικοῖς, ὀξύνεται δὲ ἐν τοῖς πληθυντικοῖς, οὕτω καὶ αὕτη· ἑνικῶς μὲν γὰρ ἡ Πλάταια, πληθυντικῶς δὲ αἱ Πλαταιαί. πολὺς δὲ ὁ τῆς πόλεως ταύτης λόγος τά τε ἄλλα, καὶ ὅτι τάφους, φασί, καὶ τρόπαια εἶχεν ἀγαθῶν ἀνδρῶν τῶν τὴν Ἑλλάδα ἐλευθερωσάντων καὶ τὸ βασίλειον στράτευμα δουλωσάντων. ὁ δὲ πολίτης αὐτῆς Πλαταιεύς, οὗ αἰτιατικὴ ἑνικὴ τὸν Πλαταιᾶ ὡς τὸν Πειραιᾶ, πληθυντικὴ εὐθεῖα οἱ Πλαταιεῖς, αἰτιατικὴ τοὺς Πλαταιεῖς καὶ Πλαταιᾶς. ὁ δὲ Γεωγράφος φησὶ Πλάταια ἀπὸ τῆς πλάτης τῶν κωπῶν καὶ Πλαταιεῖς ἀπὸ κωπηλασίας ζῶντες, εἰ καὶ ὕστερον ἄποθεν τῆς λίμνης οἰκοῦντες οὐκέτι ἐτύμως προσαγορεύονται. καὶ Ἕλος δὲ καὶ Ἐλεὼν καὶ Εἰλέσιον διὰ τὸ ἐπὶ ἕλεσιν ἱδρῦσθαι, ὕστερον δέ, [καθὰ καὶ προερρέθη,] οὐχ' ὁμοίως ἔχει ταῦτα, ὡς ἢ τῶν ἀνθρώπων ἀνοικισθέντων ἢ τοῦ ὕδατος ἐπὶ πολὺ ταπεινωθέντος. ζήτει δὲ καὶ τὰ περὶ Κωπῶν πρὸ ὀλίγου ῥηθέντα. ὁ δ' αὐτὸς λέγει καί, ὅτι Ἐλάτειαν οὐκ οἶδεν Ὅμηρος μεγίστην τῶν Φωκικῶν πόλεων· οὔπω γὰρ ἔκτιστο· Καὶ ὅτι Πλαταιαὶ μεταξὺ Κιθαιρῶνος καὶ Θηβῶν ἐν ὁδῷ τῇ εἰς Ἀθήνας καὶ Μέγαρα. παραρρεῖ δ' αὐτὰς ὁ προρρηθεὶς Ἀσωπός, ἔνθα Μαρδόνιον καὶ τὰς τριάκοντα μυριάδας Περσῶν Ἕλληνες ῥίψαντες ἱδρύσαντο Ἐλευθερίου Διὸς ἱερὸν καὶ τοὺς ἐν μάχῃ τελευτήσαντας δημοσίᾳ θάψαντες ἀγῶνα γυμνικὸν στεφανίτην ἀπέδειξαν τὰ Ἐλευθέρια. ἔστι δὲ καὶ Σικυώνιος δῆμος Πλαταιαί. Γλίσσας δὲ κατοικία τίς, φασί, Θηβαϊκὴ ἐν τῷ Ὑπάτῳ ὄρει ἀπὸ Γλίσσωνος ὠνόμασται ἢ Γλίσσαντος, ὥς φησιν ὁ γράψας τὰ Ἐθνικά. τῷ δὲ τόνῳ Γλίσσας Γλίσσαντος, ὡς γίγας γίγαντος. οἱ δὲ Σχολιασταί φασιν, ὅτι ἡ μὲν συνήθεια προπερισπᾷ Γλισσᾶντα λέγουσα, ἡ δὲ ἱστορία προπαροξύνει τὸ ὄνομα.

1.412 ἰστέον δὲ ὡς τὴν δευτέραν ταύτην κλίσιν οὐκ οἶδεν ἡ ἀκρίβεια, τὴν προπερισπῶσαν τὸν Γλισσᾶντα, εἰ μὴ ἄρα ἐκ τοῦ Γλισσάεις κλίνεται καὶ συναιρεῖται ὡς τὸ «αἰγλῆντα» καὶ «χρυσὸν τιμῆντα». ὁ δὲ Χοιροβοσκὸς οὐ προπερισπωμένως Γλισσᾶντα, ἀλλὰ περισπωμένως Γλισσᾶν, ὡς Θωμᾶν καὶ Κοσμᾶν καὶ τὰ τοιαῦτα· εὐθεῖα γὰρ τούτου κατ' αὐτὸν ὁ Γλισσᾶς. οἱ δὲ περὶ τὰ ἀντίστοιχα πονησάμενοι Γλίσσαν πόλιν ἀναγράφουσιν, ἴσως μὲν Ὁμηρικήν, ἴσως δὲ ἑτέραν τινά. (v. 505) Περὶ δὲ Θηβῶν εἴρηται ἐν τοῖς τοῦ Περιηγητοῦ, εἰ τέως ἐνταῦθα Θήβας δισυλλάβως ἀναγνωστέον. Ἰστέον γὰρ ὅτι Ὁμήρου γράψαντος «οἵ θ' ὑπὸ Θήβας εἶχον ἐϋκτίμενον πτολίεθρον», οἱ πλείους οὐ νοοῦσιν ὑπὸ Θήβας ἐν δυσὶ μέρεσι λόγου, ἀλλὰ ὑφὲν Ὑποθήβας λέγοντες, ὅτι πολλοὶ τόποι καλοῦνται μετὰ προθέσεων, οἷον Ἐπικνημίδιοι, Ὑπερβόρεοι, Παραποτάμιοι, Προποντίς, Παρωκεανῖται, Ὑποχαλκίς, πόλις Αἰτωλίας. οὕτω γοῦν καὶ Ὑποθῆβαι πολισμάτιόν τι διὰ τὴν τοῦ τόπου θέσιν οὕτως ὠνομασμένον. ὡς γὰρ Ὑποχαλκίς, πόλις Αἰτωλική, διὰ τὸ ὑπὸ τὸ ὄρος φασὶ τὴν Χαλκίδα κεῖσθαι, οὕτω καὶ Ὑποθῆβαι αἱ ὑπὸ τὰς Βοιωτίας Θήβας. Φασὶ δὲ οὕτω καλεῖσθαι τὰς Ποτνίας τῆς Βοιωτίας, ἔνθα αἱ τοῦ Θρᾳκὸς Διομήδους ἵπποι ἐμάνησαν κατά τινας, μάλιστα μὲν οὖν κατὰ τὸν Γεωγράφον, ἐφ' ὧν μυθεύεται ὁ Ποτνιεὺς Γλαῦκος ὑπὸ ἵππων διασπασθῆναι, ἃς Εὐριπίδης Ποτνιάδας ἵππους φησίν. αἱ δὲ ῥηθεῖσαι Πότνιαι καὶ δισυλλάβως εὕρηνται Πόтναι λεγόμεναι. φασὶ δέ τινες καί, ὅτι παρ' ἱστορίαν ἐστὶ τὸ μνησθῆναι Θηβῶν ἐνταῦθα τὸν ποιητήν. ὡς γὰρ δηλοῖ καὶ τὰ εἰς τὸν Λυκόφρονα Ὑπομνήματα, οὐκ ἐστράτευσαν εἰς Τροίαν Θηβαῖοι νεωστὶ πορθηθέντες ὑπὸ Ἀργείων καὶ ἄρτι τὴν πόλιν συνοικίσαντες. τινὲς δὲ Ὑποθήβας φασὶ τὰς ὑποκειμένας κώμας ταῖς ἑπταπύλοις Θήβαις· ἑπτάπυλοι γὰρ αἱ Βοιώτιαι, ὥσπερ ἑκατόμπυλοι αἱ Αἰγύπτιαι· ἕτεροι δὲ Ὑποθήβας τὰς ἐλάττους Θήβας, ἃς δηλαδὴ ἠλάττωσαν οἱ Ἐπίγονοι τῶν Ἑπτὰ ἐπὶ Θήβας, ὡς μετὰ ταῦτα ἱστορήσει ὁ ποιητής.

1.413 δῆλον δὲ ὅτι αἱ Ὑποθῆβαι τῶν Θηβῶν εἰσι παρώνυμοι. αὐταὶ δὲ οὕτω καλοῦνται ἢ ἀπὸ Θήβης, θυγατρὸς Ἀσωποῦ, ἐντοπίου ποταμοῦ, ἢ διὰ τὸ θεῦσαι τὴν βοῦν ἤτοι δραμεῖν μέχρις ἐκεῖ, τὴν ὁδηγὸν τοῦ Κάδμου, ἣν ἐκεῖνος θύσας τὴν πόλιν Θήβην ἐκάλεσεν ἀπὸ τῆς θεύσεως ἤτοι τοῦ

δρόμου τῆς βοός· ἀφ’ ἧς καὶ ἡ Βοιωτία κατά τινας ὠνόμασται. ὡδήγησε δὲ ἡ τοιαύτη βοῦς τὸν Κάδμον κατὰ τὸν Πυθοῖ χρησμόν, ὅτε κατὰ ζήτησιν Εὐρώπης τῆς ἀδελφῆς αὐτὸς πλανώμενος ἧκεν εἰς Δελφοὺς ἐρησόμενος, ποῦ ποτε ἂν εὕρῃ τὴν ζητουμένην· καὶ πρὸς ὃ μὲν ἤρετο, ἤκουσεν οὐδέν· χρῆσθαι δὲ ὁδηγῷ παρηγγέλθη τῷ πρώτῳ παρατυχόντι ἢ αὐτὸ δὴ τοῦτο, βοΐ, καὶ πόλιν κτίσαι, ἔνθα ἡ βοῦς εἰς τὰ δεξιὰ πέσῃ καμοῦσα. καὶ τοίνυν εἵπετο συντυχὼν ταύτῃ πορευομένῃ. ἡ δὲ ἀνεκλίθη ἔνθα αἱ Θῆβαι αὗται. Τῷ δὲ Γεωγράφῳ ἐντυχών τις τάδε εἴσεται. Ὑποθήβας τινὲς πολείδιόν τί φασιν, οἱ δὲ τὰς Ποτνίας· τὰς γὰρ Θήβας ἐκλελεῖφθαι διὰ τὴν τῶν Ἐπιγόνων στρατείαν καὶ μὴ μετασχεῖν τοῦ Τρωϊκοῦ πολέμου· οἱ δὲ μετασχεῖν μὲν λέγουσιν, οἰκεῖν δὲ ἐν τοῖς ἐπιπέδοις χωρίοις ἀδυνατοῦντας κτίσαι τὴν Καδμείαν, ὅ ἐστιν αὐτὰς τὰς Θήβας. ὅθεν ὑπὸ Θήβας εἰπεῖν τὸν ποιητήν, ἤγουν ὑπὸ τῇ Καδμείᾳ, οἰκεῖν τοὺς τότε Θηβαίους. Καὶ ὅρα τὸ ὑπὸ Θήβας ἤγουν ὑπὸ τῇ Καδμείᾳ. διχῶς γὰρ συνέταξεν ὁ ῥήτωρ τὴν ὑπό πρόθεσιν, ἤγουν μετὰ αἰτιατικῆς καὶ δοτικῆς. πολλαχοῦ δὲ οὕτω γίνεται. καὶ σημείωσαι, ὅτι οὐ μόνον ὑφὲν ἀναγνωστέον τὰς Ὑποθήβας, ἀλλὰ καὶ ἐν δυσὶ μέρεσι λόγου, ἵνα ᾖ ὑπὸ τὰς Θήβας. (v. 506) Ὀγχηστὸς δὲ ἄλσος ἐν τῇ Ἁλιαρτίων χώρᾳ ἱδρυθὲν ὑπὸ Ὀγχηστοῦ, παιδὸς Βοιωτοῦ, ὅς, φασίν, ἐν τῷ τόπῳ πρῶτος Ποσειδῶνος ἱδρύσατο ἱερόν. ἔστι δὲ καὶ πόλις μεγάλη κατά τινας. καὶ ποταμὸς δὲ ὁμώνυμος ταύτῃ Θετταλικός, ὡς ὁ τὰ Ἐθνικὰ γράψας φησίν. ἱέρωται δὲ Ποσειδῶνι τὸ ῥηθὲν ἄλσος· διὸ καὶ «ἱερὸν Ποσιδήϊον ἀγλαὸν ἄλσος» ὁ ποιητὴς αὐτὸ καλεῖ. περὶ δὲ τῆς λέξεως τοῦ Ποσειδηΐου καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ εἴρηται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. ζητητέον δέ, εἰ τὸ ταύτης ἁπλοῦν ἢ προπαροξύνεται, ἵνα ᾖ, ὥσπερ Ἡράκλειον καὶ Ἀπολλώνειον, οὕτω καὶ Ποσείδειον, ἢ προπερισπᾶται, λεγόμενον Ποσειδεῖον κατὰ τὸ Θησεῖον καὶ Ἰσεῖον καὶ Ἀσκληπιεῖον καὶ τὰ τοιαῦτα. ὁ δὲ Στράβων φησὶ καὶ ταῦτα· «Ὀγχηστὸς ἐν ὕψει κείμενος, ψιλός, ἔχων Ποσειδῶνος ἱερόν, ψιλὸν καὶ αὐτό, οἱ δὲ ποιηταὶ κοσμοῦσιν ἄλση καλοῦντες τὰ ἱερὰ πάντα, κἂν ᾖ ψιλά». καὶ φέρει Πινδάρου χρῆσιν εἰς τοῦτο.

1.414 συνήγετο δέ, φησί, τὸ Ἀμφικτυονικὸν εἰς Ὀγχηστόν. τί δὲ τὸ Ἀμφικτυονικόν, οὐ νῦν εὔκαιρον εἰπεῖν, ἀλλ’ ἢ μόνον εἰς τοσοῦτον, ὅτι σύνταγμά τι ἦν πλήθους ἐκδικοῦν τὰ ἱερά. (v. 507) Ἡ δὲ Ἄρνη ὁμώνυμός ἐστι τῇ ἡρωΐδι. αὐτὴ δὲ ἀπὸ περιουσιασμοῦ ἀρνῶν ἔοικεν ὑπὸ τοῦ πατρὸς Ἄρνη κληθῆναι, καθὰ καὶ αὐτὴ παῖδα ὑπὸ τῷ Ποσειδῶνι τεκοῦσα Βοιωτὸν ἐκ τῶν βοῶν ἐκάλεσε. φησὶ γοῦν Εὐφορίων· «Βοιωτὸν δ’ ὀνόμηνε. τὸ γὰρ καλέσαντο νομῆες, ὅττι ῥα πατρῴησι βοῶν ἀπεθήκατο κόπροις». ὡς οὖν ὁ υἱὸς αὐτῆς ἐκλήθη Βοιωτὸς ἐκ τῶν βοῶν, οὕτω καὶ αὐτή, ὡς εἰκός, Ἄρνη ἐκ παρωνυμίας ἀρνῶν, ζῴου φιλουμένου τοῖς παλαιοῖς, ἐξ οὗ καὶ τὸ ἄρνυσθαι ἐπὶ ἀντικαταλλαγῆς καὶ ὁ πολύαρνος Θυέστης. τέσσαρες δὲ Ἄρναι ἀριθμοῦνται τοῖς παλαιοῖς, ἐν αἷς καὶ Θετταλικὴ ἄποικος τῆς Βοιωτίας, περὶ ἧς ἐχρήσθη οὕτως· «Ἄρνη χηρεύουσα μένει Βοιώτιον ἄνδρα». τὰ δὲ Σχόλια γράφουσι καί, ὅτι Ἄρνη νῦν Χαιρωνείας καὶ ὅτι ἦν καὶ Τάρνη τις πόλις Ἀχαΐας. ἡ δὲ παρ’ ἑτέροις Λεοντάρνη κώμη καὶ αὐτὴ περὶ τὸν Ἑλικῶνα ἢ κρήνη κληθεῖσα οὕτω, διότι Ἀδράστου θύοντος, φασίν, ἐκεῖ λέων τὸν ἄρνα ἥρπασε. τὴν δὲ παρ’ Ὁμήρῳ Ἄρνην ταύτην Ζηνόδοτος Ἄσκρην γράφει. οὐ δύναται δέ, φασί, πολυστάφυλος ἡ Ἄσκρη λέγεσθαι· ἀξιοπιστότερος γὰρ αὐτὸς Ἡσίοδος λέγων «Ἄσκρη χεῖμα κακή, θέρος ἀργαλέῃ, οὔποτ’ ἐσθλή», ὥστε οὐδὲ πολύκαρπος ἡ τοιαύτη λέγοιτο ἄν, περὶ ἧς, φασίν, Εὔδοξος πολὺ χείρονα Ἡσιόδου εἶπε. τοὺς δὲ γράψαντας Τάρνην ἀντὶ Ἄρνης αἰτιῶνται οἱ παλαιοί· Λυδῶν γάρ, φασίν, ἡ Τάρνη, ὅθεν ἦν Φαῖστος υἱὸς Βώρου, ὃν ἐν Ἰλιάδι ἀναιρεῖ Ἰδομενεύς. Ἡ δὲ μνημονευθεῖσα Χαιρώνεια πλησίον ἦν Ὀρχομενοῦ, περὶ οὗ ῥηθήσεται, ὅπου, φασί, Φίλιππος μεγάλῃ μάχῃ νικήσας Ἀθηναίους καὶ Βοιωτοὺς καὶ Κορινθίους κατέστη τῆς Ἑλλάδος κύριος. φασὶ δὲ καὶ τὴν Ὁμηρικὴν ταύτην Ἄρνην ὑπὸ τῆς Κωπαΐδος λίμνης καταποθῆναι καὶ τὴν Μίδειαν. Μίδεια δὲ οὐ μόνον αὕτη, ἀλλὰ καὶ Ἀργεία, ἡ καὶ πόλις Περσέως, κληθεῖσα οὕτως ἀπὸ Μιδείας, θυγατρὸς Ἀλωέως, λεγομένη καὶ Μίδεα χωρὶς τοῦ ι ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅθεν καὶ Μιδεᾶτις Ἀλκμήνη. φασὶ δέ, ὅτι ἡ μὲν Βοιωτικὴ Μίδεα λέγεται προπαροξυτόνως, ὡς πρόνοια, ἡ δὲ περὶ Τίρυνθα Μιδέα, ὡς Τεγέα.

1.415 (v. 508) Νῖσα δέ ἐστι μὲν καὶ Μεγαρική· ἡ δὲ ἐν Βοιωτοῖς Διονύσου ἱερὸν εἶχεν ἐπιφανές. ἔστι δὲ παρώνυμος Νίσῳ τινὶ ἥρωϊ. ἡ δὲ Μεγαρικὴ καὶ Νισαία ἐλέγετο τῆς Μεγαρίδος οὖσα ἐπίνειον, ἀπὸ Νίσου κληθεῖσα υἱοῦ Πανδίονος. μνήμη δὲ αὐτῆς ἔσται μετ' ὀλίγα ἐν τῷ περὶ Σαλαμῖνος λόγῳ. οἱ δὲ μεθ' Ὅμηρόν φασιν, ὅτι Νῖσα οὐδαμοῦ φαίνεται Βοιωτίας. διὸ καὶ γράφουσί τινες «Ἶσόν τε ζαθέην Ἀνθηδόνα τε», ὡς τῆς Ἴσου εὑρισκομένης· τινὲς δέ «Κρεῦσάν τε ζαθέην», τὴν νῦν Κρέουσαν, ἐπίνειον Θεσπιέων πρὸς τῷ Κρισσαίῳ κόλπῳ· ἄλλοι «Νῦσάν τε ζαθέην»—κώμη δέ ἐστιν Ἑλικῶνος ἡ τοιαύτη Νῦσα—ἕτεροι δὲ ἀντὶ τοῦ «Νῖσάν τε ζαθέην» ἔγραψαν «Φηράς τε ζαθέας» εἰπόντες, ὅτι τετρακωμία περὶ Τάναγραν· Ἐλεών, Ἅρμα, Μυκαλησσός, Φηραί, ἃς δὴ Φηρὰς ἀντὶ τῆς Νίσης ἔθεντο. ὅτι δὲ οὔτε ἐκ ταύτης οὔτε ἐκ τῆς Μεγαρίδος Νισαίας οἱ Νισαῖοι ἵπποι λέγονται, ἐν τοῖς ἑξῆς ῥηθήσεται. τῆς δὲ ῥηθείσης Ἴσου ἡ ἄρχουσα ἐκτείνεται, φασί, ποιητικῶς, συστέλλει δὲ αὐτὴν ὁ καλούμενος Ἴσος, τόπος ἐκεῖ ἱεροπρεπής. Ἡ δὲ Ἀνθηδὼν καλεῖται μὲν οὕτω διὰ τὸ αὐτῆς ἀνθηρὸν ἢ ἀπὸ Ἀνθηδόνος ἢ Ἀνθίου, ἀπογόνου Ποσειδῶνος. συνῴκισαν δὲ αὐτὴν Θρᾶκες· διὸ καὶ Λυκόφρων Θρηϊκίην Ἀνθηδόνα φησίν. ἐκ ταύτης Γλαῦκος, θαλάσσιος δαίμων κατὰ τὸν μῦθον, ὃς ἰχθὺν εἰς γῆν ἔκθετον ἰδὼν λειπόμενον τοῦ ζῆν καί τινος βοτάνης ψαύσαντα καὶ ἀναζωπυρηθέντα εἰς ὅπερ ἦν καὶ τῆς θαλάσσης αὖθις γενόμενον μιμεῖται καὶ τῆς αὐτῆς πόας ἐμφαγὼν καθάλλεται εἰς θάλασσαν καὶ εἰς κῆτος μεταβαλὼν ἀπαθανατίζεταί, φασίν. ἁλιέων δὲ ἦν ἄριστος καὶ νήξασθαι δεινότατος καὶ ἐμβραδῦναι τῷ βυθῷ καθὰ καί τινι χέρσῳ εὔπνους. καὶ ταῦτα τὸν περὶ αὐτοῦ μῦθον πλασθῆναι πιθανῶς ἐχορήγησαν· [Παρὰ δὲ τοῖς παλαιοῖς γένος τοῦ Γλαύκου τούτου ποιεῖται τοιόνδε· «Ἀνθηδών νύ τίς ἐστιν ἐπὶ πλευροῖο θαλάσσης ἀντίον Εὐβοίης. ἔνθεν ἐγὼ γένος εἰμί· πατὴρ δέ με γείνατο Κωπεύς». ναυτικὸς δέ, φασί, καὶ κολυμβητὴς ἀγαθὸς γενόμενος πόντιος ἐκαλεῖτο, Σύμης ἐραστής, ᾗ ὁμώνυμος ἡ ἐν Καρίᾳ νῆσος Σύμη. ᾄδεται δὲ καὶ τῆς Ἀργοῦς δημιουργὸς γενέσθαι καὶ κυβερνῶν αὐτήν, ὅτε Ἰάσων Τυρρηνοῖς ἐμάχετο, μόνος αὐτὸς ἄτρωτος ἐν τῇ ναυμαχίᾳ μεῖναι. τὴν δὲ βοτάνην, ἣν φαγὼν ἄτρωτος ἢ καὶ ἀθάνατος ἐλέχθη γενέσθαι, ἄγρωστιν εἶπεν ὁ γράψας τὸ «καὶ θεῶν ἄγρωστιν εὗρες, ἣν Κρόνος κατέσπειρε».

1.416 μαθεῖν δὲ αὐτὴν λέγεται κατὰ μέν τινας ὑπὸ ἰχθύος, κατὰ δὲ ἄλλους ὑπὸ λαγὼ τεθηραμένου, ὃν λειποθυμοῦντα ἐκ διώξεως ἀπαχθῆναι ὑπό τινι κρήνῃ καὶ πόᾳ παρακειμένῃ ἀπομάσσειν τὸ ζῷον ἤδη ψυχόμενον· ὡς δὲ ἀνεζωπύρησεν ὁ λαγὼς τῇ βοτάνῃ, ἐπιγνούς, φασίν, ὁ Γλαῦκος αὐτῆς τὴν δύναμιν ἐνέφαγε καὶ οὕτως ἔνθεος γενόμενος εἰς θάλασσαν ἑαυτὸν ἐξέρριψε καὶ τὸ ἐντεῦθεν λαβὰς ἐνδέδωκε τῷ μύθῳ ἀοίδιμον θέσθαι αὐτόν. καὶ τοιαῦτα μὲν καὶ ταῦτα περὶ τοῦ Ἀνθηδονίου Γλαύκου.] Ἀνηγορεύθη δέ, φασί, Νίκων παγκρατιαστὴς Ἀνθηδόνιος. καὶ Λεωνίδας δὲ ζωγράφος Ἀνθηδόνιος ἦν, μαθητὴς Εὐφράνορος. κεῖται δὲ παρὰ τὸν Εὔριπον ἡ Ἀνθηδών, περὶ ἧς καὶ οὕτω γράφεται· «Ἀνθηδὼν πόλις, λιμένα ἔχουσα, ἐσχάτη τῆς Βοιωτικῆς παραλίας τῆς πρὸς Εὐβοίᾳ». (v. 512—6) Ὅτι τριάκοντα νῆες ἦσαν «Ἀσκαλάφῳ καὶ Ἰαλμένῳ, οὓς τέκεν Ἀστυόχη δόμῳ Ἄκτορος Ἀζείδαο», ἤγουν υἱοῦ Ἀζέως, ἀνδρὸς οὕτω καλουμένου, «παρθένος αἰδοίη ὑπερώϊον εἰσαναβᾶσα, Ἄρηϊ κρατερῷ· ὃ δέ οἱ παρελέξατο λάθρῃ». καὶ σημείωσαι, ὅτι παρθένιοι ἦσαν υἱοὶ τῇ Ἀστυόχῃ Ἀσκάλαφος καὶ Ἰάλμενος. τίνες δὲ οἱ παρθένιοι, ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. (v. 515) Τὸ δέ «Ἄρηϊ κρατερῷ» ἐλλιπῶς εἴρηται. λείπει γὰρ ἡ ὑπό πρόθεσις. διὸ προϊὼν ἐντελῶς ἐπὶ τοῦ Ἀγχίσου ἐρεῖ· «ὃν ὑπ' Ἀγχίσῃ τέκεν Ἀφροδίτη». ὁμοίως καὶ ἐπὶ Πολυποίτου· «τὸν ὑπὸ Πειριθόῳ τέκεν Ἱπποδάμεια». [τὸ δέ «κρατερῷ» οὐ μόνον ἔπαινον δηλοῖ, ἀλλὰ καί τι σφοδρότητος. πολλαχοῦ γὰρ τοιαύτη ἡ λέξις αὕτη ὡς καὶ ἐν τῷ «ἀπηνέα τε κρατερόν τε».] Ἰστέον δὲ ὅτι, ἐπεὶ ὕπτιον τὸ τῆς Ὁμηρικῆς Βοιωτίας βιβλίον, ἔτι δὲ καὶ γλίσχρον, οὐ μόνος οὗτος σκοπὸς ἀρχοὺς νηῶν ἐρεῖν νῆάς τε προπάσας, παρεμπλέκει καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μύθους καὶ ἱστορίας καὶ ἐπαίνους καὶ ἕτερα ὁ ποιητής· δι’ ὧν καὶ τὸ μονοειδὲς ἐξαιρεῖ τῆς ἀφηγηματικῆς πραγματείας καὶ πλατύνει τὸ ὀλιγόϋλον καὶ τὴν ὑπτιότητα τοῦ λόγου μεταποιεῖ πρὸς γοργότητα. ἔθος δὲ αὐτῷ ἢ οὕτως ἄρχεσθαι ἐπὶ ἑκάστων, ὡς ἐξ ἀρχῆς εἶπε. «Βοιωτῶν μὲν ἦρχεν» ὁ δεῖνα καὶ δεῖνα, «οἵ», τουτέστιν οἱ Βοιωτοί, «τάσδε τὰς πόλεις ἐνέμοντο»· ἢ οὕτως· ὁ δεῖνα ἦγε τούσδε τινάς, οἳ εἶχον τὴν δεῖνα καὶ δεῖνα πόλιν· ἢ καὶ οὕτως οἱ δὲ τὰς δεῖνα πόλεις ἐνέμοντο, τούτων ἦρχεν ὁ δεῖνα. ὥσπερ καὶ ἐνταῦθα· «οἳ δ’ Ἀσπληδόν’ ἔναιον καὶ Ὀρχομενὸν Μινύειον», τούτων ἦρχον οἱ δεῖνα. (v. 514) Ὅρα δὲ ὅτι τὸ ὑπερῷον προσγεγραμμένον ἔχει τὸ ι , ὅπερ καὶ ἐνταῦθα στιχθὲν ἐκπεφώνηται, ὥσπερ καὶ λῷον καὶ λώϊον, τὸ κρεῖττον.

1.417 δηλοῖ δέ, φασίν, ὑπερῷον τὸ δίστεγον. τοιούτους δὲ θαλάμους, ὑπερῴους δηλαδή, ταῖς παρθένοις οἱ ἀρχαῖοι ἐποίουν ὑπὲρ τοῦ δυσεντεύκτους αὐτὰς εἶναι. (v. 511) Ἡ δὲ Ἀσπληδὼν γράφεται παρ’ ἑτέροις καὶ χωρὶς τοῦ α . ἐκλήθη δὲ ἀπὸ Ἀσπληδόνος, υἱοῦ Ποσειδῶνος ἢ Πρέσβωνος ἢ Ὀρχομενοῦ. Ὀρχομενοῦ γάρ, φασίν, υἱοί «Ἀσπληδών, Κλύμενός τε καὶ Ἀμφίδοκος θεοειδής». ἔστι δὲ καὶ Φωκική, φασίν, Ἀσπληδών. ἐν δὲ τοῖς τοῦ Γεωγράφου καὶ ταῦτα φέρεται· Ἀσπληδὼν καὶ δίχα τῆς πρώτης συλλαβῆς· μετωνομάσθη δὲ Εὐδείελος καὶ αὐτὴ καὶ ἡ χώρα, ἰδίωμά τι τάχα προσφερομένη ἐκ τοῦ δειλινοῦ κλίματος, οἰκεῖον τοῖς κατοικοῦσι καὶ μάλιστα τὸ εὐχείμερον. ψυχρότατα μὲν γὰρ χειμῶνος τὰ ἄκρα τῆς ἡμέρας. τούτων δὲ τὸ δειλινὸν τοῦ ἑωθινοῦ ψυχρότερον. εἰς ἐπίτασιν γὰρ ἄγει πλησιάζον τῇ νυκτί. ἴαμα δὲ ψύχους ἥλιος. τὸ οὖν ἡλιαζόμενον πλεῖστον ἐν ψυχροτάτῳ καιρῷ εὐχειμερώτατον, ὥστε κατὰ τοῦτον τὸν τοῦ σοφοῦ λόγον εὐδείελος ἡ ἐν καιρῷ χειμῶνος εὖ ἔχουσα τοῦ πρὸς δείλην καταστήματος διὰ τὸ εὐφυὲς τῆς τοῦ τόπου θέσεως. ὅτι δὲ ὁ νῦν παρ’ Ὁμήρῳ Ὀρχομενός, ἡ ῥηθεῖσα πόλις, ἀνωτέρω εὐδαίμων ἦν καὶ πλουσία, δηλώσει που ἐν τοῖς ἑξῆς διὰ τοῦ Ἀχιλλέως ὁ ποιητής, ὃς καὶ περὶ Ἀρκαδικοῦ Ὀρχομενοῦ μετ’ ὀλίγα ἐρεῖ. ἔστι δὲ καὶ Θετταλικὸς Ὀρχομενός, οὗ καὶ αὐτοῦ σῴζεται μέχρι καὶ νῦν ἡ κλῆσις. καὶ Μακεδονικὸν δέ φασιν εἶναι Ὀρχομενὸν καὶ Καρύστιον. ὁ Βοιώτιος δὲ τῷ τοῦ Διὸς Ὀρχομενῷ ἐπωνόμασται. ταύτης πολίτης Ἐργῖνος, Κλυμένου παῖς, ὃς δασμὸν Θηβαίοις ἐπέθηκεν, ὃν καὶ ἔφερον ἄχρις οὗ Ἡρακλῆς αὐτοὺς ἠλευθέρωσε φονεύσας Ἐργῖνον τὸν Ἀσκαλάφου καὶ Ἰαλμένου πρόγονον. Ἐργίνου γὰρ Ἀζεὺς ὁ προρρηθείς, οὗ Ἄκτωρ, οὗ Ἀστυόχη, ἧς καὶ Ἄρεος Ἀσκάλαφος καὶ Ἰάλμενος. Ἰστέον δὲ ὅτι ὁ Βοιώτιος Ὀρχομενὸς καὶ ὁ Ἀρκαδικὸς τοῖς ἐπιθέτοις διαστέλλονται. ὁ μὲν γὰρ Ἀρκαδικὸς πολύμηλος, ὡς μετ’ ὀλίγον εἰσόμεθα· ὁ δὲ Βοιώτιος Μινύειος, ἐπειδὴ Μινύας ποταμὸς αὐτὸν παραρρέει, ἢ ὅτι γένος λαμπρόν, οἱ Μινύαι, ἀπό τινος Μινύου βασιλέως κληθέν, ἐν αὐτῷ ποτε ἤνθησαν. ὁ Γεωγράφος δὲ οὐ μόνον πλουσίους, ἀλλὰ καὶ μάλα δυνατοὺς τοὺς Βοιωτίους Ὀρχομενίους δείκνυσι λέγων καί, ὅτι Ἐτεοκλῆς, Ὀρχομενοῦ βασιλεύς, Χαρίτων ἱερὸν πρῶτος ἱδρύσατο. καὶ ὅτι Μινύαι τινὲς Ὀρχομένιοι ἀπῴκησαν εἰς Ἰωλκόν, ὅθεν καὶ οἱ Ἀργοναῦται Μινύαι παρὰ Λυκόφρονι.

1.418 ὁ αὐτὸς δὲ ἱστορεῖ καί, ὅτι Ὀρχομενὸς πρότερον ᾠκεῖτο ἐπὶ πεδίῳ, ἐπιπολαζόντων δὲ τῶν ὑδάτων ἀνῳκίσθησαν πρὸς τὸ Ἀκόντιον ὄρος. καὶ ὅτι οἱ ἐν τῷ Πόντῳ Ἀχαιοί, οἳ καὶ παρὰ τῷ Περιηγητῇ, Ὀρχομενίων ἄποικοι πλανηθέντων ἐκεῖ σὺν Ἰαλμένῳ τῷ ἀρχηγῷ μετὰ Τροίας ἅλωσιν καὶ ὅτι πλησίον τοῦ τοιούτου Ὀρχομενοῦ ἡ προρρηθεῖσα Χαιρώνεια καὶ ὅτι χωρίζει αὐτὸν ὁ ποιητὴς τοῦ Βοιωτικοῦ ἔθνους καλέσας αὐτὸν Μινύειον ἀπὸ ἔθνους Μινυῶν τῶν ἀνωτέρω ῥηθέντων καὶ ὅτι ἐκαλοῦντο καὶ οἱ περί που Λυκίαν Σόλυμοι Μινύαι ἀπό τινος Μίνωος, ὡς ἐν τῷ τῶν Λυκίων καταλόγῳ ῥηθήσεται. [Εἰ δὲ καὶ οἱ λοιποὶ Μινύαι καὶ ὁ ποταμὸς Μινύας οὕτως ἐτυμολογοῦνται, τίς ἂν εἰδείη; δόξοι δ’ ἂν ὁ Μινύας παρὰ τὸ μινυόν, ὅ ἐστι μικρόν, λεχθῆναι, καθὰ καὶ ὁ Τυδεὺς ἀπὸ τοῦ τυτθόν. ὅτι δὲ Ἀττικὸν τὸ μινυὸν καὶ ὡς μέχρι νῦν ἐγχώριος Ἀθήνησιν ἡ λέξις, δῆλόν ἐστι. καὶ ὡς ἐξ αὐτοῦ τὸ μινυρίζειν γίνεται.] (v. 517—23) Ὅτι Ναυβόλου Ἴφιτος, οὗ Σχεδίος καὶ Ἐπίστροφος, ἄρχοντες Φωκήων, οἳ Κυπάρισσον ἔχον,

πόλιν οὕτω καλουμένην, ἢ μάλιστα κώμην ὁμώνυμον τῷ φυτῷ, Πυθῶνά τε Κρῖσάν τε καὶ Δαυλίδα καὶ Πανοπῆα καὶ Ἀνεμώρειαν καὶ Ὑάμπολιν καὶ Λίλαιαν πηγῆς ἔπι Κηφισσοῖο, περὶ οὗ καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ εἴρηται. ἦσαν δὲ τούτοις τεσσαράκοντα νῆες, ἃς καὶ ἔστησαν ἔμπλην, φησί, Βοιωτῶν ἐπ’ ἀριστερά, ὡς καὶ ὅμοροι αὐτοῖς. (v. 526) Ἔμπλην δὲ ἢ τὸ ἐμπελαδὸν ἢ τὸ χωρίς, ὡς καὶ τοῦτό φασιν οἱ παλαιοί. προάγει δὲ μετ’ ἐπιθέτων τήν τε Πυθῶνα, πετρήεσσαν εἰπὼν διὰ τὸ περὶ αὐτὴν ὄρος τὸν Παρνασσόν, καὶ τὴν Κρίσσαν, ζαθέην γὰρ αὐτὴν λέγει, ἐπεὶ Δημητρεῖον, φασί, περὶ αὐτὴν ἐπιφανές, ἢ ὡς ἀνακειμένην Ἀπόλλωνι, ἐξ ἧς καὶ πεδίον Κρισσαῖον καὶ κόλπος ἐκεῖ Κρισσαῖος, ὁ δὲ αὐτὸς καὶ Κιρραῖος διὰ τὸ καὶ τὴν Κρίσσαν διπλάζουσαν κατὰ τοὺς νεωτέρους τὸ ς Κίρραν λέγεσθαι· ὡς γὰρ πυρσός πυρρός, τροπῇ τοῦ ἑνὸς ς εἰς ρ , καὶ Τυρσηνός Τυρρηνός, οὕτω καὶ ὁ Κρισσαῖος κόλπος Κιρραῖος· ἔστι δέ, ὡς καὶ ἀλλαχοῦ εἴρηται, κόλπος κατὰ τοὺς παλαιοὺς κυρίως θάλασσα ὑπὸ ἀκρωτηρίων περιεχομένη.

1.419 οὐκ ἠγνόηται δὲ οὐδ’, ὅτι τινὲς τὴν Κρίσσαν, ὥσπερ καὶ τὴν πρὸ μικροῦ ῥηθεῖσαν Νῖσαν, δι’ ἑνὸς ς γράφουσι, περισπῶντες τὴν ἄρχουσαν. ὁ δὲ Γεωγράφος λέγει, ὅτι Κρίσσα τῆς Φωκίδος, ἐπ’ αὐτῆς ἱδρυμένη τῆς θαλάσσης, καὶ Κίρρα καὶ Ἀντίκιρρα, ὥστε κατ’ αὐτὸν ἑτέρα ἡ Κρίσσα καὶ ἑτέρα ἡ Κίρρα. λέγει δ’ ὁ αὐτὸς καί, ὅτι πόλις ἀρχαία Κίρρα ἐπὶ θαλάσσης ἱδρυμένη, ἀφ’ ἧς ἀνάβασις εἰς Δελφοὺς ὀγδοήκοντά που σταδίων ἀντικρὺ Σικυῶνος. πρόσκειται δὲ τῇ Κίρρᾳ τὸ Κρισσαῖον πεδίον εὔδαιμον, ἐφεξῆς δὲ ἄλλη πόλις Κρίσσα, ἀφ’ ἧς ὁ κόλπος Κρισσαῖος. κατεσπάσθη δὲ καὶ ἡ Κίρρα καὶ ἡ Κρίσσα. εὐτύχησαν δέ ποτε, φησίν, οἱ Κρισσαῖοι, καὶ πικρῶς ἐτελώνουν τοὺς περὶ τὸ τοῦ Ἀπόλλωνος ἱερὸν ἀφικνουμένους. Μέγα δὲ ἔθνος οἱ Φωκεῖς καὶ πολλοῦ λόγου τῷ Δημοσθένει ἀξιωθέν. καὶ μέμνηται καὶ αὐτῶν ἡ Περιήγησις. κεῖται δέ, φασίν, ἡ Φωκὶς μετὰ Βοιωτίαν καὶ Ὀρχομενὸν πρὸς ἄρκτον παραβεβλημένη τῇ Βοιωτίᾳ ὅτι δὲ οἱ Φωκεῖς ἐσύλησάν ποτε τὸ τοῦ Ἀπόλλωνος ἱερόν, ὅθεν ὁ Φωκικὸς καὶ ἱερὸς καλούμενος ἐξήφθη πόλεμος, καὶ ἐν τοῖς ἑξῆς δηλωθήσεται. Ἰστέον δὲ ὅτι τὸ Ἴφιτος ἐνταῦθα μὲν διὰ μέτρον ἐξέτεινε τὴν μέσην συλλαβὴν ἤτοι τὴν παραλήγουσαν, ἀλλαχοῦ δὲ φυλάσσει τὸν βραχὺν χρόνον, οἷον «Ἴφιτος Εὐρυτίδης». (v. 517) Τὸ δὲ Φωκήων διφορεῖται κατὰ τοὺς παλαιούς, οἵ φασιν, ὅτι ἐν τῇ Ἀριστάρχου διχῶς φέρεται Φωκείων, διὰ διφθόγγου δηλαδή, καὶ Φωκήων διὰ τοῦ η . ἔστι δὲ καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ τοιοῦτόν τι, ἐν οἷς περὶ τῶν Ὑλλέων λέγει. Σχεδίους δὲ ἀπαριθμοῦνται οἱ ἀρχαῖοι δύο, τοῦτόν τε τὸν Ἰφιτίδην καὶ τὸν τοῦ Περιμήδους. φησὶ γάρ που ὁ ποιητής «Σχεδίον Περιμήδεος υἱόν, ἀρχὸν Φωκήων», ἤγουν ὕπαρχον, ἡγεμόνα τῶν ἐπὶ μέρους. καὶ πάλιν «Σχεδίον μεγαθύμου Ἰφίτου υἱόν, Φωκήων ὄχ’ ἄριστον», οὓς καὶ ἀμφοτέρους ὁ Ἕκτωρ ἀναιρεῖ. ὁ δ’ αὐτὸς ποιητὴς καὶ δύο Εὐρυβάτας οἶδε κήρυκας, τὸν βασιλικὸν καὶ τὸν τοῦ Ὀδυσσέως τὸν ἐξ Ἰθάκης, καὶ δύο Εὐρυμέδοντας, τὸν τοῦ Ἀγαμέμνονος καὶ τὸν τοῦ Νέστορος· καὶ ἄλλαι δὲ ὁμωνυμίαι εἰσὶ παρ’ αὐτῷ, καθὰ πολλαχοῦ φαίνεται. οἱ δὲ ῥηθέντες Φωκεῖς καλοῦνται οὕτως ἀπὸ Φώκου, υἱοῦ Αἰακοῦ καὶ Ψαμάθης, μιᾶς τῶν Νηρηΐδων. (v. 519) Τὴν δὲ ῥηθεῖσαν Κυπάρισσον ἀπὸ Κυπαρίσσου φασὶ καλεῖσθαι, υἱοῦ Μινυοῦ, ἀδελφοῦ Ὀρχομενοῦ· οἱ δὲ ἀπὸ πλήθους τῶν ἐκεῖ κυπαρίσσων, [ὧν ἐτυμολογία στιχηρά, οὐ πάνυ παλαιά, τὸ «κύει παρίσους ἡ κυπάρισσος κλάδους».] ἐκάλουν δὲ αὐτὴν καὶ Κυπαρισσοῦντα καὶ Ἀπολλωνιάδα, πρότερον δέ ποτε καὶ Ἔραννον [ἐν δυσὶ νῦ πρὸς διαστολὴν τοῦ ἐν Ὀδυσσείᾳ ἐράνου, οὗ χρῆσις τὸ «ἐπεὶ οὐκ ἔρανος τάδε γ’ ἐστί», πρὸς ὃ παίζων τις παλαιὸς συνήλειψε καὶ εἶπε γ’ ἔρανον καὶ ἠπάτησε τὸν ἀκούσαντα, ὡς δῆθεν περὶ ζῴου γεράνου λαλῶν.

1.420 ] ἔκειτο δὲ ἐν Παρνασσῷ κατὰ τοὺς Δελφούς. Ἡ δὲ Πυθὼν πάλαι μέν ποτε Παρνασσία ἐκαλεῖτο νάπη ἀπὸ Παρνασσοῦ, ὄρους παρακειμένου· εἶτα Πυθὼν ἐκλήθη διὰ τὸν ἐκεῖ τοξευθέντα ὑπὸ Ἀπόλλωνος καὶ σαπέντα δράκοντα, ὡς ἐκ τοῦ πύθω τὸ σήπω, ἐξ οὗ τὸ «σοῦ δ’ ὀστᾶ πύσει ἄρουρα», ἢ διὰ τὸ δύνασθαι τοὺς ἐκεῖ χρωμένους πυθέσθαι τὰ μέλλοντα ἤτοι μαθεῖν, ὅθεν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πύθιος Ἀπόλλων ὁ ἐκεῖ τιμώμενος καὶ ἑορτὴ λαμπρὰ καὶ ἀγῶνες τὰ Πύθια καὶ προφῆτις Πυθιάς καὶ πυθιάζειν ἔτι δὲ καὶ πυθαΐζειν τὸ μαντεύεσθαι. ὕστερον μέντοι Δελφὶς ἡ Πυθὼν ἐκλήθη, ὅτι καὶ Δελφοὶ τὸ ἐκεῖ ἔθνος. ἔστι δὲ καὶ Πυθὼ ἡ πόλις δίχα τοῦ ν , ὡς Λητὼ καὶ Σαπφώ, καὶ δῆλον ἐκ τοῦ Πυθῶδε καὶ τοῦ «Πυθοῖ ἐν ἠγαθέῃ». περὶ δὲ ταύτης δηλοῦται καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. (v. 520) Κρίσσα δὲ πεδίον καὶ πόλις ἐν Λοκροῖς ἢ ἐν Δελφοῖς ἀπὸ Κρίσσου τινὸς τυράννου ἤ, ὡς Ἑκαταῖός φησι, παιδὸς Φώκου· περὶ δὲ αὐτῆς καὶ ἀνωτέρω εἴρηται. Τὸ δὲ Δαυλίς ὀξύνεται, καθὰ καὶ ἡ Αὐλίς τὸ τοπικόν. ἡ γὰρ αὖλις, ὡς προερρέθη, Αἰολικῶς βαρύνεται. δασεῖα δὲ ἡ πόλις καὶ σύμφυτος, ὅθεν καὶ τὴν κλῆσιν ἔλαχε. δαῦλον γὰρ τὸ δασὺ ἔλεγον προπερισπωμένως, ὡς δηλοῖ Παυσανίας εἰπών «δαῦλον τὸ δασύ. ἡ προτέρα περισπᾶται. Αἰσχύλος· «Δαῦλος δ᾽ ὑπήνη»». κατὰ δὲ ἑτέρους ἀπὸ Δαυλιέως τυράννου ἐκλήθη οὕτως. οἱ δὲ ὕστερον Δαύλειαν αὐτήν φασι προπαροξυτόνως καὶ διὰ διφθόγγου, ὡς ὁ τὰ Ἐθνικὰ γράψας λέγει. Παυσανίας δέ φησιν ἐν ἰῶτα· διὸ πολίτης αὐτῆς Δαυλιεὺς καὶ Δαύλιος καὶ Δαυλίδιος.

1.421 ὁ δὲ Γεωγράφος, παρ᾽ ᾧ κεῖται καί, ὅτι δαυλοὶ τὰ δάση, ἱστορεῖ ὅτι Δαυλὶς ἐν μεσογαίᾳ μετὰ Δελφοὺς ὡς πρὸς ἕω, πολίχνιον ὅπου Τηρέα τὸν Θρᾷκά φασί τινες δυναστεῦσαι. καὶ τὰ περὶ Φιλομήλαν καὶ Πρόκνην ἐκεῖ μυθεύονται γενέσθαι ἢ καὶ ἐν Μεγάροις κατὰ Θουκυδίδην. Ὁ δὲ Πανοπεὺς ἀπὸ Πανοπέως ὠνόμασται, υἱοῦ Φώκου. ἕτεροι δὲ Πανόπην μὲν γράφουσι τὴν πόλιν, Πανοπέα δὲ τὸν αὐτῆς πολίτην, ὡς ἐν τοῖς Ἐθνικοῖς γράφεται. ζήτει δὲ καὶ τὸν Σοφοκλῆν εἰπόντα «Φανοτεὺς ὁ Φωκεύς». φασὶ γὰρ οἱ παλαιοὶ ἐκεῖ τινα χρήσιμα τοῖς ἐνταῦθα. Φάμενοι δὲ οἱ ἀρχαῖοι, ὅτι ὁ Ζηνόδοτος ἐν τῷ «καὶ Δαυλίδα καὶ Πανοπῆα» γράφει καὶ Πανόπεων ὡς Μενέλεων, αἰτιῶνται τὴν γραφήν, διότι ἄμετρόν τε ποιεῖ τὸν στίχον καὶ οὐδὲ σχηματίζει καθ᾽ Ὅμηρον τὸ ὄνομα. ἔστι γὰρ Πανοπέως ὡς Ἀχιλλέως, ὡς δηλοῖ καὶ τὸ «ἐν κλυτῷ Πανοπῆϊ». Ἐν δὲ τῷ Γεωγράφῳ κεῖται, ὅτι Πανοπεύς, ὁ νῦν Φανοτεύς, ὅμορος τοῖς περὶ Λεβάδειαν τόποις καὶ ὅτι ἐνταῦθα ἡ τοῦ Ἐπειοῦ πατρὶς καὶ ὅτι ἐκεῖ μυθεύονται τὰ περὶ τὸν Τιτυόν, ἤγουν ἡ τῆς Λητοῦς βία ὑπ᾽ αὐτοῦ, δι᾽ ἣν οἱ μυθικοὶ γῦπες αὐτῷ κατὰ τοῦ ἥπατος ἐμφύονται καὶ κείρουσι τροφὴν εὑρηκότες ταύτην καλὴν καὶ διηνεκῆ καὶ ἀδάπανον, ὡς ὁ μῦθος βούλεται. (v. 521) Ἡ δὲ Ἀνεμώρεια ὠνόμασται μέν, φασίν, ἀπὸ τοῦ συμβαίνοντος πάθους· ὑπέρκειται γὰρ αὐτῆς τὸ καλούμενον Κατοπτήριον χωρίον, ἐξ οὗ δι᾽ ἡμέρας καὶ νυκτὸς καταιγίζεται πανταχόθεν. ἔστι δὲ μεθόριον Φωκίδος καὶ Δελφῶν κειμένη ἐπὶ λόφου ὑψηλοῦ. ταῦτα ἐν τοῖς Ἐθνικοῖς, ἐν οἷς καὶ ὅτι Ἀνεμώρεια ἡ νῦν Ἀνεμώλεια. τὸ μέντοι ἐν Κιλικίᾳ Ἀνεμούριον ἐξ ὁμοίου μέν τινος πάθους ὠνόμασται, οὐδετέρως μέντοι προάγεται. Ἡ δὲ τοῦ Γεωγράφου περὶ Ἀνεμωρείας ἱστορία φησὶ καὶ αὐτή, ὅτι Κατοπτήριος χῶρος ἐκεῖ καταιγίζων εἰς Ἀνεμώρειαν, κρημνός τις ἀπὸ Παρνασσοῦ διήκων, καὶ ὅτι τινὲς Ἀνεμώλειαν ταύτην εἶπον καὶ ὅτι ὅριον ἦν ὁ τόπος Δελφῶν καὶ Φωκέων. Ἡ δὲ Ὑάμπολις εἰ μὲν ἀπὸ τῶν Ὑάντων ὠνόμασται τῶν περὶ Βοιωτίαν, οὐκ ἔστιν ἀκριβῶς εἰπεῖν. οὐ πολὺν δὲ λόγον ἔσχε παρὰ τοῖς παλαιοῖς. φασὶ δὲ τοὺς ἐγχωρίους καὶ σὺν τῷ ς λέγειν αὐτὴν Ὑσάμπολιν. Ἡ δὲ γεωγραφικὴ ἀκρίβεια παραδίδωσιν, ὅτι Ἀνεμώρεια ἡ προσεχῶς ἀνωτέρω ῥηθεῖσα Ὑάμπολις μετωνομάσθη, εἰς ἣν ἐξέπεσον ἐκ Βοιωτίας Ὕαντες. ἑτέρα δὲ αὕτη τῆς ἐν Παρνασσῷ φησιν Ὑαμπόλεως. καὶ ὅρα ὅτι τρεῖς ἐντεῦθεν Ὑαμπόλεις ἀναφαίνονται, ἥ τε Ὁμηρικὴ αὕτη, ἥ τε μετονομασθεῖσα ἐξ Ἀνεμωρείας Ὑάμπολις καὶ τρίτη ἡ Παρνασσία.

1.422 ἐν ἄλλοις δέ φησιν ὁ Γεωγράφος, ὅτι Ὕαντες τῆς Φωκίδος Ὕαν πόλιν ἔκτισαν· ἴσως δὲ καὶ Ὑάμπολις ἡ τοιαύτη ἐν ἑνὶ μέρει λόγου· καὶ ὅτι Ὕαντες ἐκ Βοιωτίας ἀπελθόντες Αἰτωλοῖς συνῴκησαν. (v. 523) Ἡ δὲ Λίλαια πόλις λέγεται καὶ αὐτὴ Φωκική, ὁμώνυμος Λιλαίᾳ τῇ τοῦ Κηφισσοῦ. ἔκειτο δὲ παρὰ τὸν Παρνασσόν. εἰ δὲ καὶ ἀπὸ τοῦ λιλαίω, τὸ ἐπιθυμῶ, γίνεται, οὐκ ἔστι διαβεβαιώσασθαι τὸν μὴ ἐξ ἱστορίας συγκροτούμενον. περιρρέει δὲ ταύτην ὁ ἐνταυθοῖ παρεισρυεὶς τῷ Ὁμηρικῷ λόγῳ Κηφισσός, μᾶλλον δὲ τὰς πηγὰς αὐτόθεν ποθὲν ἔχει, ὡς

προσεχῶς δεδήλωκεν ὁ ποιητής, ᾧ συμφωνῶν καὶ Ἡσίοδος περὶ Κηφισσοῦ λέγει· «ὅς τε Λιλαίηθε προχέει καλλίρροον ὕδωρ». λέγει δὲ καὶ ὁ Γεωγράφος, ὅτι Κηφισσὸς ἐκ Λιλαίας πόλεως Φωκικῆς τὴν ἀρχὴν λαμβάνει καὶ ὅτι εἰς τὴν Κωπαΐδα ἐκδίδωσιν. ἔστι δὲ καὶ ἄλλος Κηφισσὸς διὰ Φωκέων ῥέων, φασί, καὶ ἐμβάλλων εἰς τὸν Κορινθιακὸν κόλπον. καὶ Ἀττικὸς δέ ἐστι Κηφισσὸς καὶ Σαλαμίνιος καὶ Ἀργεῖος καὶ Σικυώνιος. καὶ λίμνη δὲ Βοιωτίας ἐστὶ Κηφισσίς, ἡ λεγομένη καὶ Ὑλικὴ παρωνύμως τῇ Βοιωτικῇ Ὕλῃ. οἱ δὲ παρὰ τὸν Κηφισσὸν ποταμὸν Ἐπικηφίσσιοι λέγονται, ὑπὸ δέ τινων Παραποτάμιοι. ὁ δὲ Γεωγράφος ἑπτὰ μετρεῖ Κηφισσούς. (v. 527—9) Ὅτι Λοκρῶν ἡγεμόνευεν Ὀϊλέως ταχὺς Αἴας, μείων. εἶτα ἑρμηνεύων τὸ μείων, ἵνα μή τις νοήσῃ καὶ αὐτὸν τυτθὸν τὸ δέμας κατὰ τὸν Τυδέα, ἐπάγει· «οὔτι τόσος γε ὅσος Τελαμώνιος Αἴας». καὶ ὅρα τοὺς δύο στίχους εἰς τὸ Αἴας καταλήγοντας κατὰ σχῆμα κάλλους ὁμοιοκατάληκτον. ἐπεὶ δὲ τὸ «οὔτι τόσος» ἀοριστaίνει καὶ αὐτὸ καὶ οὐ δηλοῖ, πόσον ἦν ὁ Λοκρὸς Αἴας ἥττων τοῦ Σαλαμινίου Αἴαντος, ἐπιφέρει· «ἀλλὰ πολὺ μείων». διὸ καὶ Αἴας ἐκεῖνος ὁ μέγας ἐλέγετο, ἔτι δὲ καὶ ὁ μείζων, ὡς παρὰ Σοφοκλεῖ. εἶτα ὁ ποιητὴς παραφράζων τὸ μείων φησίν· «ὀλίγος μὲν ἔην». (v. 529 s.) Λέγει δὲ καὶ ὅτι λινοθώρηξ ἦν. φανήσεται γὰρ ὅτι πεζῶν ἦρχεν, ὅθεν οὐδὲ αὐτὸς σιδηροῦ χιτῶνος πάνυ ἐδέετο.

1.423 «ἐγχείῃ δέ», φησίν, «ἐκέκαστο Πανέλληνας καὶ Ἀχαιούς», ἤγουν ἐγχέσπαλος ἦν καὶ αἰχμητής, εἰ καὶ μὴ τοιούτων ἦρχεν ἀλλὰ σφενδονητῶν τε καὶ τοξοτῶν καὶ τοιούτων τινῶν. ὅτι δὲ τοιοῦτοι οἱ Λοκροί, δηλώσει καὶ ὁ ποιητὴς ἐν τοῖς ἑξῆς εἰπὼν μὴ σταδίαν ὑσμίνην μέλειν τοῖς Λοκροῖς, ἀλλὰ τόξα καὶ σφενδόνας. τοιοῦτοι δέ τινες καὶ οἱ Αἰτωλοί, ὡς ἐν τῷ περὶ αὐτῶν λόγῳ φανήσεται. φέρεται δὲ ἀπ' αὐτῶν παροιμία ἥδε· «Λοκρῶν σύνθημα» ἐπὶ ἀπατεώνων. δοκοῦσι γὰρ Λοκροὶ Πελοποννησίοις συνθέμενοί ποτε, εἶτα Ἡρακλείδαις βοηθῆσαι. Ἰστέον δὲ ὅτι κατὰ τὴν ἱστορίαν οἱ Ὀπούντιοι Λοκροὶ γραφὰς ἤτοι εἰκόνας γεγραμμένας τῶν δύο Αἰάντων ἔχοντες οὐ κατὰ τὸν ποιητὴν ἔγραψαν, ἀλλ' ἐτόλμησαν μείζονα τὸν ἴδιον γράψαι. (v. 531—3) Ἐνέμοντο δέ, φησίν, οἱ ὑπ' αὐτὸν πόλεις ταύτας· Κῦνον Ὀπόεντά τε, ἤτοι τὴν Ὀποῦντα, καὶ Καλλίαρον Βῆσάν τε, δι' ἑνὸς ς λεγομένην κατά τινας πρὸς διαστολὴν τῆς ὀρεινῆς βήσσης, Σκάρφην τε καὶ Αὐγειὰς ἐρατεινὰς Τάρφην τε Θρόνιόν τε Βοαγρίου ἀμφὶ ῥέεθρα, ὡς τοῦ Βοαγρίου ποταμοῦ ἐκεῖσέ που ῥέοντος. (v. 535) Εἶτα μετὰ ὀκτὼ στίχους τοὺς διὰ μέσου ἐπαναλαβών φησι· «Λοκρῶν, οἳ ναίουσι πέρην ἱερῆς Εὐβοίης». ἡ δὲ τοιαύτη ἐπανάληψις ὁμοία μέν ἐστι τῇ πρὸ ταύτης, ἐν ᾗ τοὺς Φωκέων στρατηγοὺς μετὰ ἑπτὰ στίχους ἐπανέλαβε, κατορθοῖ δὲ δύο τινά. τήν τε γὰρ ἐφεξῆς ἱστορίαν προκαλεῖται· αὐτίκα γὰρ περὶ Εὐβοίας ἐρεῖ· καὶ Λοκρῶν διαφορὰν ἐμφαίνει ὡς καὶ ἑτέρων ὄντων. οὗτοι μὲν γὰρ Ἐπικνημίδιοι κατὰ τοὺς παλαιούς. εἰσὶ δὲ καὶ Ὀζόλαι, κείμενοι μὲν περὶ τὰ δυτικὰ τῆς Φωκίδος, κληθέντες δὲ Ὀζόλαι ἢ διὰ τὴν ἐν τοῖς τοῦ Περιηγητοῦ ῥηθεῖσαν αἰτίαν ἤ, διότι, φασίν, αἰγονόμοι εἰσὶ καὶ τραγᾶς ἀβυρσεύτους καὶ δυσώδεις ἀμφιέννυνται. τραγαῖ δέ εἰσι περισπωμένως αἱ τῶν τράγων δοραί, ὡς καὶ λεονταῖ καὶ παρδαλαῖ αἱ τῶν λεόντων καὶ τῶν παρδάλεων. Στράβων δὲ περὶ Λοκρῶν καὶ ταῦτα φησίν· «Ἑσπερίων Λοκρῶν Ὅμηρος οὐ μέμνηται». εἰπὼν δέ· «οἳ ναίουσι πέρην Εὐβοίης» ἐμφαίνει μὴ μόνον τούτους εἶναι οὓς λέγει, ἀλλὰ καὶ ἑτέρους. τὸ γὰρ «οἳ ναίουσι πέραν Εὐβοίας» πρὸς διαστολήν, φησί, τῶν ἑσπερίων εἴρηκε. διαιρεῖ δὲ ὁ αὐτὸς τοὺς παρ' Ὁμήρῳ εἰς Ἐπικνημιδίους καὶ Ὀπουντίους, ὥστε καὶ δύο γένη Λοκρῶν καθ' Ὅμηρον, ἤγουν οἱ Ἐπικνημίδιοι ἅπαντες κοινῶς καὶ αὖ πάλιν κοινῶς οἱ ἕτεροι, τουτέστιν οἱ ἑσπέριοι οἱ καὶ Ὀζόλαι. καὶ τρία δέ εἰσι γένη τῶν αὐτῶν, ἐάν τις ὑποδιέλῃ κατά τινα ἐξοχὴν ἢ διαφορὰν τοὺς Ὀπουντίους ἀπὸ τῶν Ἐπικνημιδίων, περὶ ὧν καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ δηλοῦται. λέγει δὲ ὁ Στράβων καί, ὅτι ἑσπερίοις μὲν Λοκροῖς συνεχεῖς Αἰτωλοί, Ἐπικνημιδίοις δὲ Ἐνιᾶνες, καὶ ὅτι ἡ Ναύπακτος, ἣν Φίλιππος Αἰτωλοῖς προσέκρινεν, ἀπὸ ναυπηγίας Ἡρακλειδῶν ἢ Λοκρῶν ἐκλήθη στόλον ἐκεῖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ναυπηγησαμένων· καὶ ὅτι Παρνασσοῦ τὸ πρὸς δύσιν πλευρὸν Ὀζόλαι Λοκροὶ κατέχουσιν, οἱ καὶ ἑσπέριοι, τὸ δὲ νότιον οἱ Δελφοί.

1.424 καὶ οὕτω μὲν ταῦτα. Λέγει δὲ καὶ οὕτως ὁ Γεωγράφος· ἡ Λοκρὶς ὑπὸ Παρνασσοῦ διῄρηται δίχα, ἡ μὲν ἐκ τοῦ ἑσπερίου μέρους κειμένη τῷ Παρνασσῷ καὶ καθήκουσα ἐπὶ τὸν Κρισσαῖον κόλπον, ἡ δὲ ἐκ τοῦ πρὸς ἕω, τελευτῶσα δὲ ἐπὶ τὴν πρὸς Εὐβοίᾳ θάλασσαν. καλοῦνται δ’ οἱ μὲν ἑσπέριοι Λοκροὶ καὶ Ὀζόλαι, οἱ δὲ ἕτεροι οἱ μὲν Ὀπούντιοι ἀπὸ τῆς μητροπόλεως, ὅμοροι Φωκεῦσι καὶ Βοιωτοῖς, οἱ δὲ Ἐπικνημίδιοι ὑπὸ ὄρος Κνημῖδα, Οἰταίοις καὶ Μαλιεῦσι πρόσοικοι. καὶ τοιαῦτα μὲν καὶ ταῦτα. Ὁ δὲ ποιητὴς λέγει, ὅτι εἵποντο τοῖς Ὁμηρικοῖς Λοκροῖς νῆες τεσσαράκοντα. καὶ ὅρα τὸ «εἵποντο» γλυκέως τε λεχθὲν καὶ πλεονασθέν· πλέον γὰρ ἤπερ δεκάκις ἡ λέξις ἐν τῷ τῶν νεῶν Καταλόγῳ κεῖται· καὶ ὅτε δὲ εἴπῃ «τῶν δὲ τριάκοντα νῆες ἐστιχόωντο» καὶ «τῶν μὲν πεντήκοντα νῆες κίον» ἤτοι ἐπορεύοντο, γλυκέως λέγει ὡς εἴπερ ἐμψύχως ἐκινοῦντο αἱ νῆες. ἔχει δέ τι γλυκύτητος καὶ τὸ «ὁ δεῖνα τόσας ἄγε νῆας», διὰ τὸ ἄγειν ἐπὶ ἐμψύχων μὲν καὶ αὐτὸ εἰωθὸς λέγεσθαι, ὡς καὶ τὸ εἵποντο, τεθὲν δὲ ἐνταῦθα ἐπὶ νεῶν. διαφόρως δὲ ὁ πολύστροφος τὴν γλῶσσαν Ὅμηρος φράζει καὶ τὰ περὶ τὰς νῆας, οἷον «τῶν μὲν τόσαι νῆες κίον» καὶ πάλιν «τῶν δὲ τόσαι νῆες ἐστιχόωντο» καὶ «τοῖς δὲ ἅμα τόσαι νῆες ἕποντο» καὶ «τῶν ἑκατὸν νηῶν ἦρχεν» ἢ «ἡγεμόνευεν ὁ δεῖνα» καὶ «ὁ δεῖνα τόσας νῆας ἄγεν», καὶ χορεύει ἀνακυκλῶν τὰ τοιαῦτα ὁ ποιητής· πλεονάζει δέ, ὡς εἴρηται, τῷ «νῆες τόσαι ἕποντο». (v. 529) Ἰστέον δὲ ὅτι ἀθετοῦσί τινες, ἐν οἷς καὶ Ζηνόδοτος, τὸ «ἀλλὰ πολὺ μείων» καὶ τὰ ἑξῆς, οὐ μόνον διότι οὐ χρή, φασί, διλογεῖν· εἶπε γὰρ ἤδη, ὅτι μείων καὶ οὔτι τόσος γε, ἀλλὰ καὶ διὰ τὸ λινοθώρηξ. οἱ Ἕλληνες γὰρ χαλκοχίτωνες· ἀλλὰ καὶ διὰ τὸ Πανέλληνας· οὐ γὰρ λέγει, φησίν, Ἕλληνας ὁ ποιητής, ἀλλ’ Ἀργείους, Δαναούς, Ἀχαιούς· διότι οὐδὲ Ἑλλάδα, φησί, λέγει τὴν οἰκουμένην ὑπὸ Ἑλλήνων χώραν, ἀλλὰ μίαν τινὰ πόλιν Θετταλικὴν καὶ τοὺς ἐκεῖθεν Ἕλληνας, ὡς κατωτέρω δηλωθήσεται. οἱ δὲ τὸν ῥηθέντα Ζηνόδοτον μεμφόμενοι ἐφ’ οἷς, ὡς εἴρηται, ἠθέτηκε, φασὶ πρὸς ἄλλοις καὶ ἀναγκαῖον εἶναι τὸ χωρίον. ποιότητα γὰρ προσώπων δηλοῖ καὶ προσυνίστησιν, ὅτι ἥττων τοῦ Σαλαμινίου τὸ μέγεθός ἐστιν ὁ Λοκρός. (v. 527) Τὸ δὲ Ὀϊλεύς ψιλωτέον κατὰ τὴν ἄρχουσαν ὡς ἓν μέρος λόγου κατὰ τὸν Ὅμηρον. Ἡσίοδος δέ, φασί, καὶ Στησίχορος διχῶς αὐτὸ προάγει· οὐ γὰρ μόνον τρισυλλάβως Ὀϊλεύς, ἀλλὰ καὶ δισυλλάβως Ἰλεύς.

1.425 τοῦτο δὲ καὶ ἄλλοι πολλοὶ τῶν νεωτέρων, οἳ καὶ δασύνουσιν ἐνταῦθα τὸ «ὁ Ἰλῆος ταχὺς Αἴας», ὡς ἄρθρου ὄντος τοῦ ο , ἵνα λέγῃ, ὅτι ὁ τοῦ Ἰλῆος Αἴας. τοῦτο δὲ οὐχ’ Ὁμηρικόν, εἴ τις ἐπὶ νοῦν λάβοι τὸ «οὐδ’ ἂρ Οἰληϊάδῃ μεγαλήτορι Λοκροὶ ἕποντο». (v. 530) Τὸ Πανέλληνας δὲ οὐ κατὰ Ζηνόδοτον ἀλλ’ Ὁμηρικῶς ἑρμηνευτέον κατὰ τοὺς παλαιοὺς λέγοντας τὸ Πανέλληνας καὶ Ἀχαιούς ἀντὶ τοῦ Θεσσαλοὺς καὶ Ἀργείους, ἵνα ἀντιδιαιρῇ τοῖς ὅλοις Ἀργείοις τοὺς ὑπὸ τῷ Ἀχιλλεῖ, λεγομένους ἰδίως Ἕλληνας κατά τινα ἐξοχήν. καὶ ταῦτα μὲν τοιαῦτα. (v. 531) Ἡ δὲ Κῦνος ἄκρα τις τερματίζουσα τὸν Ὀπούντιον κόλπον, ἐπίνειον Ὀπόεντος πόλεως Λοκρῶν Ἐπικνημιδίων τῶν πέραν Εὐβοίας κατὰ τὸν ποιητήν, ἀφ’ ἧς ἦν καὶ ὁ τοῦ Ἀχιλλέως συγγενής τε καὶ ἑταῖρος Πάτροκλος, κληθείσης οὕτως ἀπὸ Ὀπόεντος ἄρξαντος ἐν αὐτῇ. Ἐθνικὸν τοῦ Ὀπόεις Ὀποείσιος, ὡς Σιμόεις Σιμοείσιος. ὥσπερ δὲ πλακόεις καὶ ἐν συναιρέσει πλακοῦς καὶ Σιμόεις Σιμοῦς, οὕτω καὶ Ὀπόεις Ὀποῦς καὶ κλίνεται Ὀποῦντος. καὶ τὸ ἐθνικὸν ἐξ αὐτοῦ Ὀπούντιος, ὡς ὑποδηλοῖ καὶ ὁ Κωμικός, ἔνθα Ὀπούντιόν τινα σκώπτει Ἀθηναῖον, ἄνδρα μὴ ἀκεραιούμενον τὴν συζυγίαν τοῖν ὀφθαλμοῖν. ὠνόμασται δὲ Κῦνος ἀπὸ Κύνου, Λοκροῦ ἀνδρός· Ὀποῦντος γάρ, φασί, Κῦνος, οὗ Ὁδοιδόκος, οὗ Ὀϊλεύς. οἱ δὲ παλαιοί φασι καὶ ταῦτα· Ἀμφικτυόνος καὶ Χθονοπάτρας ἀπόγονος Φύσκος, οὗ Λοκρός, ὧν ἀπὸ μὲν Φύσκου Φύσκοι πρώην, ἀπὸ δὲ Λοκροῦ Λοκροὶ οἱ αὐτοὶ ὠνομάσθησαν· Λοκροῦ δὲ Ὀποῦς, πρὸς ὃν διενεχθεὶς ὁ πατὴρ Λοκρὸς ἐᾷ μὲν ἄρχειν ἐκεῖνον, αὐτὸς δὲ οἰκεῖ τὰ πρὸς ἑσπέραν τοῦ Παρνασσοῦ ἔχων ὑφ’ ἑαυτὸν τοὺς ἐκεῖ, οἳ Ἑσπέριοί τε καὶ Ὀζόλαι ἐκαλοῦντο περὶ Αἰτωλίαν, ἐπὶ τῆς ἑτέρας, φασί,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλευρᾶς οἰκοῦντες κατὰ Κρισσαῖον πεδίον, ἀφ’ ὧν ὕστερον καὶ ἀποικία εἰς Ἰταλίαν ἐστάλη, ἔνθα Λοκροὶ οἱ Ἐπιζεφύριοι, ὧν καὶ ὁ Περιηγητὴς μέμνηται, οὓς Πίνδαρος ἐπαινεῖ ὡς εὐνομουμένους καὶ λογίους καὶ μαχίμους.

1.426 καὶ οἱ μὲν ἄλλοι ταῦτα περὶ Ὀπουντίων. ὁ δὲ Γεωγράφος καὶ μητρόπολιν Λοκρῶν τῶν Ἐπικνημιδίων τὴν Ὀποῦντα λέγει. ὑποδηλῶν δὲ αὐτὴν καὶ παραθαλασσίαν Ὀπούντιον κόλπον ἱστορεῖ, παρώνυμον αὐτῇ, καὶ Ἠλείους δέ τινας Ὀπουντίους λέγει, ὧν οὐκ ἄξιον, φησί, μεμνῆσθαι. Καλλίαρος δὲ ἀπὸ Καλλιάρου, φασίν, ὠνόμασται, υἱοῦ Ὀδοιδόκου καὶ Λαονόμης. οἱ δὲ Καλλίαρα οὐδετέρως φασὶ διὰ τὸ εὐήροτον τῆς ἐκεῖ γῆς. Ἐθνικὸν δὲ ταύτης οἱ Καλλιαρεῖς. (v. 532) Ἡ δὲ Βῆσσα ὅτι μὲν κατά τινας δι’ ἑνὸς γράφεται ς , εἴρηται πρὸ βραχέων. Ἡρωδιανὸς δὲ διὰ δύο ς γράφει. ὠνομάσθη δέ, φασίν, ἀπὸ τῆς 〈τοῦ〉 τόπου φύσεως, ναπώδους οὔσης. ἦν δὲ καὶ ἔθνος Θρᾳκικὸν οἱ Βῆσσοι. ἀρέσκει δὲ καὶ τῷ Γεωγράφῳ ἡ διὰ τῶν δύο ς γραφὴ τῆς Βήσσης· ἀπὸ γὰρ τοῦ αὐτόθι δρυμώδους, φησίν, ὠνόμασται ὁμωνύμως. ὁ δὲ ἐν τῇ Ἀττικῇ, φησί, δῆμος ἡ Βῆσα ἐν τῷ ἑνὶ ς , ἐξ οὗ οἱ δημόται Βησαιεῖς. Ἡ δὲ Σκάρφη κεῖται, φασιν, ἐγγὺς Θερμοπυλῶν· ὠνόμασται δὲ ἀπὸ Σκαρφείας ἐνδόξου τινὸς γυναικός. κατὰ δὲ τὸν Γεωγράφον ἐφ’ ὕψους ἡ Σκάρφη κεῖται χώραν εὔκαρπον καὶ εὔδενδρον ἔχουσα· καλεῖται δέ, φησί, νῦν Φαρύγαι καὶ ἔχει Φαρυγαίας Ἥρας ἱερόν. λέγει δὲ καί, ὅτι Σκάρφεια εἶτα Νίκαια καὶ αἱ Θερμοπύλαι καὶ ὅτι Σκάρφεια σταδίοις δέκα ὑπέρκειται θαλάσσης διέχουσα Θρονίου σταδίους τριάκοντα. καὶ ὅρα ὅτι καὶ Σκάρφην τὴν αὐτὴν λέγει καὶ Σκάρφειαν, ὡς δοκεῖ καὶ τῷ τὰ Ἐθνικὰ γράψαντι. φασὶ δὲ καί, ὅτι ἐκ θεμελίων ἡ πόλις αὕτη ἀνερρίφη, ὥστε καὶ σώματα καταδῦναι χιλίων ἑπτακοσίων οὐκ ἐλάττω. Αὐγειαὶ δὲ οὐ μόνον Λοκρικαί, ὧν ὁ πολίτης Αὐγεάτης, ἀλλὰ καὶ Λακωνικὴ πόλις ἐστὶν ὁμώνυμος. (v. 533) Τάρφη δὲ διὰ τὴν τῆς ὕλης πυκνότητα· ταρφέα γὰρ τὰ πυκνὰ καὶ τάρφος τὸ δάσος. Ὅμηρος «βαθείης τάρφεσιν ὕλης». Τὸ δὲ Θρόνιον τὸ κατὰ τὴν μεσογαῖαν τῆς Κνημῖδος—τῶν Ἐπικνημιδίων γάρ ἐστι Λοκρῶν—αὐτὸ μὲν οὐκ ἐγκαθημένους ἔχει τοὺς παλαιοὺς εἰς τὸν περὶ αὐτοῦ πολὺν λόγον. ὁ δὲ Βοάγριος ποταμός, ὁ παραρρέων αὐτό, ἠξίωται πλείονός τινος λόγου. φησὶ γοῦν ὁ Γεωγράφος, ὅτι Μάνην ἐπονομάζουσιν αὐτὸν καὶ ὅτι χειμάρρους ἐστίν, ὥστε ἀβρόχοις ἐμβαίνειν ποσίν, ἴσχει δέ ποτε καὶ δίπλεθρον πλάτος. καὶ ταῦτα μὲν περὶ τῶν παρ’ Ὁμήρῳ Λοκρῶν. ἡ δὲ ἱστορία ἔχει καὶ Ἐπιζεφυρίους, ὡς ἐρρέθη, Λοκρούς, ἐξ ὧν εἰς Ἕλληνας ἦλθε παροιμία τὸ «ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ» ἐπὶ τῶν ἀληθεστάτων μέν, οὐ πιστευομένων δέ.

1.427 ποταμὸς δὲ τῆς ἐκεῖ Λοκρίδος ἡ Σάγρα. καί φασι τοὺς τοιούτους Λοκροὺς πόλεμον μελετῶντας πρὸς τοὺς πλησιοχώρους Κροτωνιάτας αἰτῆσαι συμμαχίαν τοὺς Λακεδαιμονίους· ὡς δὲ ἐκεῖνοι στρατὸν μὲν οὐκ ἔχειν ἔφασαν, διδόναι δ’ αὐτοῖς τοὺς Διοσκούρους, οἰωνισάμενοι τὸ κερτομηθὲν οἱ Λοκροί, ὥς φησι Παυσανίας, τήν τε ναῦν ἀπέστρεψαν καὶ τῶν Διοσκούρων ἐδεήθησαν συμπλεῖν αὐτοῖς. ὡς δ’ ἐνίκησαν αὐθημερόν, φησί, καὶ ἡ φήμη διηγγέλθη εἰς Σπάρτην, τὸ μὲν πρῶτον ἀπιστία ἦν· ἐπεὶ δ’ εὑρέθη ἀληθῆ, ἐξέβη ἐκεῖθεν ἡ ῥηθεῖσα παροιμία. (v. 536—45) Ὅτι Ἐλεφήνωρ Χαλκωδοντιάδης, ἤτοι Χαλκώδοντος υἱός, μεγαθύμων ἀρχὸς Ἀβάντων τεσσαράκοντα νῆας εἶχεν. Ἄβαντας δὲ λέγει τοὺς ἐξ Εὐβοίας, ὡς ῥηθήσεται κατωτέρω. λέγει δὲ τὸν μὲν Ἐλεφήνορα ὄζον Ἄρηος, ὡς πολεμικὸν καὶ ἀρήϊον, τοὺς δὲ Ἄβαντας μένεα πνέοντας, ὃ καὶ ἐπὶ ἄλλων λέγει, καὶ θοοὺς δὲ καὶ αἰχμητὰς καὶ ὄπιθεν κομόωντας, ὅπερ ἴδιον ἦν κουρᾶς Εὐβοϊκῆς, ὡς καὶ περὶ τούτου μετ’ ὀλίγα εἰρήσεται. Ἦσαν δὲ ὑπὸ τῷ Ἐλεφήνορι οἱ τὴν Εὔβοιαν ἔχοντες, Χαλκίδα τε Εἰρέτριάν τε πολυστάφυλόν τε Ἱστίαιαν Κήρινθόν τε ἔφαλον Δίου τε αἰπὺ πτολίεθρον Κάρυστόν τε καὶ Στύρα. (v. 536) Ὧν Εὔβοια μὲν ἀπὸ Εὐβοίας τῆς Ἀσωποῦ τὴν κλῆσιν ἔσχε, κατὰ δέ τινας ἀπὸ τῆς Ἰοῦς ὠνομάσθη, ἣν εἰς βοῦν ἐξαλλαγῆναι μυθεύονται. οὕτω γάρ, φασί, καὶ βοὸς αὐλή, ἄντρον παράλιον, περί που τὴν τοιαύτην νῆσον, ὅπου τὴν Ἰὼ τεκεῖν φασιν Ἔπαφον, ὥστε βούλονται οἱ οὕτω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγοντες τῆς ἀποβοωθείσης Ἰοῦς παρώνυμον εἶναι ταύτην τὴν Εὔβοιαν, περὶ ἧς καὶ ταῦτα ὁ Γεωγράφος φησί· νῆσος Ἑλένη, τραχεῖα καὶ ἔρημος, παραμήκης, ὅσον στάδια ἑξήκοντα τὸ μῆκος, ἧς ὁ ποιητὴς μέμνηται ἐν τῷ «νήσῳ δ' ἐν κραναῇ μίγη». μετὰ δὲ τὴν Ἑλένην ἡ Εὔβοια πρόκειται ὁμοίως στενὴ καὶ μακρά, ἣν τρόπον τινὰ μέρος τῆς Βοιωτίας πεποίηκεν ὁ Εὔριπος, στενὸς ὢν καὶ γεφύρᾳ συνεζευγμένος πρὸς αὐτὴν διπλέθρῳ. καὶ ὅρα γέφυραν ταύτην δίπλεθρον, ἧς καὶ προϊὼν μέμνηται ὁ Γεωγράφος εἰπών, ὅτι περὶ τὴν ῥηθεῖσαν δίπλεθρον γέφυραν πύργος ἑκατέρωθεν ἐφέστηκεν, ὁ μὲν ἐκ τῆς Χαλκίδος, ὁ δ' ἐκ τῆς Βοιωτίας. ὅτι δὲ πολλαὶ Εὔβοιαι, δῆλον ἐκ τῶν παλαιῶν, οἳ καὶ τόπον ἐν Σικελίᾳ καὶ ἐν Ἄργει καὶ ἐν Μακεδονίᾳ δὲ οὕτω κληθῆναί φασι. σημειοῦνται δὲ καὶ ὅτι Εὔβοιαν εἰπὼν οὐδέποτε παρωνύμως τοὺς ἀπ' αὐτῆς Εὐβοέας εἶπεν, ἀλλὰ Ἄβαντας, οἷον· «οἳ δ' Εὔβοιαν ἔχον μένεα πνέοντες Ἄβαντες» καὶ «τῷδ' ἅμα Ἄβαντες ἕποντο». φασὶ δὲ καὶ ἐξ Ἄβας τῆς Φωκικῆς εἱλκύσθαι τὴν τῶν Ἀβάντων κλῆσιν, ὡς καὶ μετ' ὀλίγα ῥηθήσεται, ὅπου καὶ περὶ Εὐβοίας αὖθις καὶ Ἀβάντων εἰρήσεται.

1.428 Τὴν δὲ ῥηθεῖσαν Ἄβαν Ἡρόδοτος πληθυντικῶς Ἄβας λέγει· ἔνθα καὶ ἱερὸν Ἀπόλλωνος, φησί, πλούσιον. καὶ Σοφοκλῆς δὲ ὁμοίως πληθύνει· παρ' ἐκείνῳ δὲ καὶ ὀξύνονται κατά τινα τῶν ἀντιγράφων αἱ Ἄβαι. Ἡ δὲ Εὔβοια ἐκλήθη ὡς ἀπὸ μέρους, φασί, ποτὲ καὶ Ὄχη. καλεῖται δὲ οὕτω τὸ μέγιστον ἐν αὐτῇ ὄρος τὸ κατὰ Κάρυστον, [ἧς ἡ ἐτυμολογία κατὰ τὸ ὄχα, ἵνα ᾖ ὥσπερ ὄχα τὸ ἐξόχως, οὕτω καὶ Ὄχη ἡ ἔξοχος ἐν τοῖς ἐκεῖ.] ἱστοροῦνται δὲ Εὐβοΐται ποταμοὶ Κιρεὺς καὶ Νηλεύς, ὧν ἀφ' οὗ μὲν τὰ πίνοντα πρόβατα λευκὰ γίνονται, ἀφ' οὗ δέ, ὡς ὁ Γεωγράφος καὶ τοῦτό φησι, μέλανα, ὁποῖόν τι καὶ περὶ τὸν Κρᾶθιν συμβαίνει. (v. 537) Ἡ δὲ Χαλκὶς ἐλέγετο, φασί, πρότερον Εὔβοια· ἐκλήθη δὲ Χαλκὶς ἀπὸ θυγατρὸς Ἀσωποῦ Κόμβης τῆς καὶ Χαλκίδος· τινὲς δὲ διὰ τὸ χαλκεῖα πρῶτον παρὰ τοῖς ἐκεῖ ὀφθῆναι. ἐκαλεῖτο δέ, φασί, τὸ παλαιὸν καὶ Στύμφηλος, ὁμωνύμως τῇ Ἀρκαδικῇ. ὁ πολίτης αὐτῆς Χαλκιδεύς. ταύτης ἄποικοι καὶ ἕτεροι μὲν καὶ οἱ ἐν τῇ Κύμῃ δὲ τῆς Σικελίας Χαλκιδεῖς. ἦν δὲ καὶ Κορίνθου πόλις Χαλκίς· καὶ Αἰτωλικὴ δέ, ὅθεν ὁ Ἀχελῷος ῥεῖ, ἧς μέμνηται καὶ ὁ Περιηγητής. ἦσαν δὲ καὶ ἄλλαι, ὧν μία καὶ Συριακή. Ἰάμβλιχος γοῦν, ὁ μέγας φιλόσοφος, Χαλκιδεὺς ἦν ἐκ τῆς κοίλης Συρίας. νῦν δὲ καὶ Θρᾳκικὴ λέγεται Χαλκίς. περιφέρονται δὲ καὶ Χαλκιδικὰ ποτήρια, ὡς καὶ ἐν τῇ κωμῳδίᾳ. ἐκ ποίας δὲ αὐτά εἰσι Χαλκίδος, ζητητέον. ἀνδρείους δὲ τοὺς Εὐβοεῖς Χαλκιδεῖς ἡ ἱστορία οἶδεν· οἱ γοῦν τοῦ χρησμοῦ «ἄνδρες, οἳ πίνουσιν ὕδωρ ἱερῆς Ἀρεθούσης», οἱ Χαλκιδεῖς λέγονται εἶναι ὡς ἄριστοι ὄντες· ἔχει γὰρ καὶ ἡ ἐκεῖ χώρα κρήνην Ἀρέθουσαν, ὡς καὶ ἀλλαχοῦ δεδήλωται. ἐκ δὲ τῆς Ὁμηρικῆς Χαλκίδος καὶ χαλκιδίζειν παροιμιακῶς τὸ γλισχρεύεσθαι· ἐπὶ φυλαργυρίᾳ γὰρ ἐκωμῳδοῦντο οἱ κατ' Εὔβοιαν Χαλκιδεῖς.

1.429 ἡ δὲ γεωγραφικὴ εἴδησις καὶ ταῦτα περιέχει. Χαλκίς, καθ' ἣν συνάπτει τῇ ἠπείρῳ μάλιστα ἡ Εὔβοια κυρτὴ προσπίπτουσα πρὸς τοὺς κατὰ τὴν Αὐλίδα τόπους τῆς Βοιωτίας καὶ ποιοῦσα τὸν Εὔριπον. λέγει δὲ καί, ὅτι καὶ φιλοσόφους ἔσχον ἄνδρας αὕτη τε καὶ ἡ Εὔβοια, ὡς ἡ σχολὴ δηλοῖ τῶν Ἐρετρικῶν σοφῶν τῶν περὶ Μενέδημον καὶ ἡ Ἀριστοτέλους ἐν Χαλκίδι διατριβή· εἶχον δὲ καὶ διενέξεις, φησίν, ἀεὶ περὶ τοῦ Λιλαντίου. καὶ ὅτι ἀμφότεραι πρὸ τῶν Τρωϊκῶν ὑπ' Ἀθηναίων ἐκτίσθησαν καὶ ὅτι ἀποικίας ἀξιολόγους ἔστειλαν, αἳ καὶ καταλέγονται πολλαχοῦ, καὶ ὅτι μεγάλην ποτὲ δύναμιν ἔσχον καὶ πολλῶν ἐπῆρχον νήσων καὶ ὅτι τὴν ἀρχαίαν Ἐρέτριαν κατέσκαψαν Πέρσαι σαγηνεύσαντες τοὺς ἐκεῖ, ὕστερον δὲ ἐπεκτίσθη ἑτέρα. καὶ ὅτι Χαλκὶς φέρεται τὰ πρωτεῖα καὶ μητρόπολις Εὐβοέων λέγεται, δευτερεύει δὲ ἡ Ἐρέτρια, περὶ ἧς οἱ παλαιοὶ τάδε φασίν. Ἐρέτρια ἐκαλεῖτο μὲν καὶ Μελανηῒς ἀπὸ Μελανέως, πατρὸς Εὐρύτου· ἔσχε δὲ τὴν κλῆσιν ἀπὸ Ἐρετριέως, υἱοῦ Φαέθοντος, ἑνὸς τῶν Τιτάνων. ταύτης ὁ πολίτης Ἐρετριεύς, οὗ γενικὴ Ἐρετριέως καὶ συναιρέσει Ἐρετριῶς, ὡς Στειριεύς Στειριέως Στειριῶς, χοεύς χοέως χοῶς, εἶδος μέτρου, οὗ καὶ αὐτοῦ ἡ αἰτιατικὴ τὸν χοᾶ, ὡς Πειραιεύς Πειραιέως Πειραιῶς

Πειραιᾶ. ἐκωμῳδοῦντο δέ, φασίν, οἱ Ἐρετριεῖς ὡς πολλῷ τῷ ρ ἐν ταῖς ὁμιλίαις χρώμενοι. διὸ καὶ αὐτοί, καθὰ καὶ Ἠλεῖοι, βαρβαρόφωνοι ἐκαλοῦντο, ὡς ἐν ῥητορικῷ εὕρηται Λεξικῷ, διὰ τὸν πλεονασμὸν τοῦ ρ . οἱ μέντοι Κᾶρες ἄλλως βαρβαρόφωνοι, ὡς φανήσεται. [Εἰ δὲ διὰ τὴν τοῦ ῥῶ χρῆσιν μόνην ἐκληροῦντο οἱ Ἐρετριεῖς τὸ βαρβαρόφωνον, τίνες ἂν καλοῖντο οἱ Αἰτωλοὶ ἀλλόκοτα λαλοῦντες, ὡς ὁ γραμματικὸς Ἀριστοφάνης παρέπηξεν, οἷς ἔφη περὶ καινοτέρων λέξεων· Τὴν γὰρ γέρων γέροντος γενικὴν ἀναγαγόντες εἰς εὐθεῖαν γράφουσιν οὕτω· Μιλασίοις καὶ ταῖς συναρχίαις καὶ τοῖς γερόντοις, τουτέστιν ἐπιστέλλομεν οἱ Αἰτωλοὶ τοῖς Μιλησίοις καὶ τὰ ἑξῆς. τὸ δ᾽ αὐτό φησι φαίνεσθαι καὶ ἐπὶ τοῦ παθήματος, ὡς δῆλον ἐκ τοῦ «μὴ καταγελᾶτε τοῖς ἐμοῖς παθημάτοις».] Ὁ δὲ Γεωγράφος οὐ μόνον ἀπὸ Ἐρετριέως ἀποικήσαντος εἰς αὐτὴν κληθῆναί φησιν, ἀλλὰ καὶ ἀπὸ Ἐρετρίας καθ᾽ ἑτέρους τῆς Ἀθήνησιν, ἣ νῦν ἐστιν ἀγορά. ὥσπερ δὲ πολλαὶ Χαλκίδες, οὕτω καὶ Ἐρέτριαι.

1.430 ἔστι γὰρ καὶ Θετταλικὴ καὶ περὶ Φάρσαλον δέ. ἴσχυσαν δέ, φασί, ποτὲ πολλὰ οἱ Ἐρετριεῖς καὶ πόλεις δὲ πολλὰς ἡ Ἐρέτρια, ὡς καὶ ἡ Χαλκίς, συνῴκισε. κατεσκάφη δέ, ὡς εἴρηται, ἡ παλαιὰ Ἐρέτρια, ἡ ἐν Εὐβοίᾳ τῇ νήσῳ, ἡ παρ᾽ Ὁμήρῳ δηλαδή· ἐπεκτίσθη δὲ ὕστερον ἑτέρα, ἧς μεμνημένος ἐν ἄλλοις ὁ Γεωγράφος φησίν· «ἡ δὲ νῦν Ἐρέτρια κατὰ τὸν Ὠρωπόν». λέγει δὲ καί, ὅτι μετὰ Γεραιστὸν Ἐρέτρια πόλις μεγίστη τῆς Βοιωτίας μετὰ Χαλκίδα. ἔπειτα ἡ Χαλκὶς μητρόπολις τῆς νήσου τρόπον τινὰ ἐπ᾽ αὐτῷ τῷ Εὐρίπῳ ἱδρυμένη ἀντικρὺ Αὐλίδος. ἐκαλεῖτο δέ ποτε ἡ Ἐρέτρια καὶ Ἀρότρια. Ὅμηρος δὲ διὰ μέτρον Εἰρέτριαν καλεῖ ἐπενθέσει τοῦ ἰῶτα. [Ἰστέον δὲ καί, ὅτι Σώπατρος ἱστορεῖται λευκάλφιτον λέγειν τὴν Ἐρέτριαν, ἐπεὶ διάφοροι αἱ ἐκ ταύτης μάζαι, ὡς καὶ αἱ ἐκ τῆς Τέω. Ἀρχέστρατος μέντοι ἄλλως ὑπερφωνεῖ τὸν τοιοῦτον ῥήτορα ποιητικώτερον εἰπὼν τὴν κλεινὴν Λέσβον λευκότερα αἰθερίας χιόνος ἄλφιτα φέρειν, καὶ ἐπαγαγών· «θεοὶ εἴπερ ἔδουσιν ἄλφιτα, ἐκεῖθεν ἰὼν Ἑρμῆς αὐτοῖς ἀγοράζει», τὰ δ᾽ ἄλλα γίγαρτα φαίνεσθαι πρὸς ἐκείνας φάμενος. Ὅτι δὲ διαφέρει ἄρτου μάζα καὶ ὡς εὐπεπτότερον μάζης ὁ ἄρτος καὶ ὅτι ἀπεναντίας κεῖνται τοῖς καθαροῖς ἄρτοις οἱ Κιλίκιοι ῥυπαροὶ ὄντες καὶ φαιοί, ἔστιν εὑρεῖν παρὰ τοῖς παλαιοῖς.] Ἡ δὲ Ἱστίαια προπαροξυτόνως μὲν κατὰ τοὺς ἀκριβεστέρους ἀναγινώσκεται ὁμοίως τῷ Νίκαια, Φώκαια· πολυστάφυλος δὲ ὑπὸ τοῦ ποιητοῦ παρατετηρημένως εἴρηται. Παρασημειοῦνται γὰρ οἱ παλαιοὶ τὸν ποιητὴν κατὰ μηδέν τι μηδὲ τῶν τοιούτων ψεύδεσθαι ἢ ἀστοχεῖν. γράφεται δὲ καὶ διὰ τοῦ ε κατὰ τὴν ἀρχὴν καὶ διὰ τοῦ ι , ὥσπερ καὶ ἡ κατ᾽ οἴκους ἱστία καὶ ἑστία λέγεται· Ἰωνικωτέρα δέ, φασίν, ἡ διὰ τοῦ ι γραφή. ὕστερον δέ, φασίν, ἐκλήθη αὕτη Ὠρεός. ὁ πολίτης ταύτης Ἱστιαιεύς· ὁ δὲ τῆς Θεσσαλικῆς Ἱστιαίας πολίτης Ἱστιαιώτης. ἦν δὲ καὶ γυνὴ σοφὴ Ἀλεξανδρηνὴ κατὰ τὸν Γεωγράφον τὴν κλῆσιν Ἱστιαῖα ἢ Ἑστιαῖα συνεισενεγκοῦσά τι καὶ αὐτὴ εἰς τὴν Ἰλιάδα Ὁμήρου καὶ ἑτέρα δὲ ἀρχαία ἡρωΐς, θυγάτηρ Ὑριέως, ἀφ᾽ ἧς ἡ πόλις ὠνόμασται.

1.431 ὁ δὲ Γεωγράφος λέγει καί, ὅτι ὥσπερ ἀπὸ δήμου Ἀττικοῦ Ἐρετριέων ἡ Ἐρέτρια, ἤγουν ἀπὸ Ἐρετρίας τῆς Ἀθήνησιν, ὡς πρὸ ὀλίγου ἐγράφη, οὕτως ἀπὸ δήμου Ἱστιαιέων ἡ Ἱστιαία. λέγει δὲ καί, ὅτι Ἱστιαία ὕστερον Ὠρεὸς καὶ οἱ Ἱστιαιεῖς Ὠρεῖται. οἱ δὲ οὐ τοὺς αὐτοὺς ἐξ ἀρχῆς φασιν εἶναι, ἀλλὰ ἰδίᾳ ὄντας τοὺς Ὠρείτας συνοικῆσαι τοῖς Ἱστιαιεῦσι, καὶ γενηθεῖσαν μίαν πόλιν ἀμφοτέροις χρῆσθαι τοῖς ὀνόμασιν, ὡς Λακεδαίμων καὶ Σπάρτη ἡ αὐτή. κεῖται δὲ ἡ Ἱστιαία ὑπὸ ὄρει παρὰ τὸν Κάλλαντα ποταμὸν ἐπὶ πέτρας ὑψηλῆς. διὸ καὶ Ὠρεὸς ἐκλήθη ἐκτάσει δηλαδὴ τοῦ ο εἰς ω διὰ τὸ ὀρείους, φασίν, εἶναι τοὺς προοικήσαντας. δοκεῖ δέ, φασί, καὶ ὁ Ὠρίων ἐνταῦθα τραφεὶς ἀφεῖναι αὐτῇ τὸ ὄνομα, οἱ δὲ ἀνάπαλιν ὅτι καὶ ὁ Ὠρίων ἐνταῦθα τραφεὶς οὕτω λέγεται ὀνομασθῆναι. (v. 538) Ἡ δὲ Κήρινθος ἐκλήθη ποτέ, φασί, καὶ Ἐλλοπία ἀπὸ Ἔλλοπος, υἱοῦ Τιθωνοῦ· ποταμὸς δὲ περὶ αὐτὴν Βουδόρας καλούμενος ἢ Βούδορος, φασίν, ὁμώνυμος ὄρει Σαλαμινίῳ. ἔφαλον δὲ ταύτην ὁ ποιητὴς λέγει, ὡς μὴ ἁπλῶς ἀγχίαλον, ἀλλ᾽ ἐπ᾽ αὐτῆς ὡς εἰπεῖν τῆς ἁλός· κατὰ γὰρ τοὺς παλαιοὺς ταύτης τὰ θεμέλια ὑπὸ θαλάσσης ἁλμίζεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ δὲ Στράβων πολείδιον Ἱστιαιέων τὴν Κήρινθον λέγει, ἐπὶ τῇ θαλάσσῃ κείμενον. Δίου δὲ πτολίεθρον αἰπὺ τὸ Δῖον λέγει περιφραστικῶς ἐφ’ ὑψηλοῦ, ὡς εἰκός, ἱδρυμένον. κεῖται δέ, φασί, τὸ Δῖον τοῦτο περὶ τὸ Κήναιον τῆς Εὐβοίας ἀκρωτήριον. πολίτης αὐτοῦ Διηνός. ἦν δὲ καὶ Μακεδονικόν, φασί, Δῖον, ἔνθα καὶ Ὀλυμπικὸς ἀγὼν ἐτελεῖτο· καὶ ἄλλαι δὲ πόλεις τὴν τοῦ Δίου κλῆσιν εἶχον, ὡς ὁ τὰ Ἐθνικὰ γράψας δηλοῖ, ἐν αἷς καὶ ἡ κατὰ κοίλην Συρίαν, Ἀλεξάνδρου κτίσμα, ἧς τὸ ὕδωρ νοσερόν· ἐφ’ ᾧ καὶ ἐπίγραμμα· «νᾶμα τὸ Διηνόν, γλυκερὸν ποτόν, ἢν δέ γε πίῃς, παύσῃ μὲν δίψης, εὐθὺ δὲ καὶ βιότοιο». ὁ δὲ Γεωγράφος λέγει καί, ὅτι τὸ Δῖον ἐν τῷ ῥηθέντι Ὠρεῷ καὶ Ἀθῆναι Διάδες αὐτόθι, κτίσμα Ἀθηναίων. (v. 539) Ἡ δὲ Κάρυστος ὑπὸ τῇ Ὄχῃ, φασί, κεῖται, ἥτις ἐστίν, ὡς καὶ προερρέθη, ὄρος μέγιστον τῶν ἐν Εὐβοίᾳ, ἐξ οὗ καὶ ἡ Εὔβοια Ὄχη ὠνομάσθη ποτέ. ἐκλήθη δὲ Ὄχη ἢ διὰ τὸ ἐξέχειν, ἐξ οὗ, ὡς εἴρηται, καὶ τὸ ὄχα ἐπίρρημα, ἢ κατὰ τοὺς παλαιοὺς ἀπὸ τῆς ἐκεῖ ὀχείας ἤτοι μίξεως Διὸς καὶ Ἥρας, ἢ διὰ τὴν αὐτόθι τῶν προβάτων ὀχείαν, ἤδη δὲ καὶ τροφήν· Ἀχαιοὶ γὰρ τὴν τροφὴν ὀχὴν λέγουσιν [ὀξυτόνως εἰς διαστολὴν τῆς ὀρεινῆς Ὄχης.

1.432 γίνεται δὲ ἀπὸ τῆς Ἀργείας ὀχῆς καὶ ἡ εὐωχία κατὰ ἔκτασιν, ὡς εὖ συνέχουσα τὸ σῶμα. τινὲς δὲ ἄλλως τὴν εὐωχίαν γίνεσθαί φασιν ἀπὸ τοῦ εὖ ἔχειν τοὺς συνιόντας εἰς εὐφροσύνην τιμῇ τοῦ θείου καὶ εἰς ἄνεσιν ἑαυτοὺς καθιέναι.] Λέγεται δέ, φασίν, ἡ Ὄχη αὕτη καὶ ἀρσενικῶς ὁ Ὄχης. ἐκαλεῖτο δὲ ἡ Κάρυστος καὶ Αἰγαία ἀπὸ Αἰγαίωνος δυνάστου, ἀφ’ οὗ καὶ πέλαγος Αἰγαῖον. ἦν δὲ καὶ λατόμιον τὸ Μαρμάριον Καρυστίων κιόνων κατὰ τὸν Γεωγράφον περὶ αὐτήν, ἐν ᾧ ἱερὸν Ἀπόλλωνος Μαρμαρίνου· καὶ λίθος δέ, φησί, περὶ αὐτὴν ἐφύετο ἡ ξαινομένη καὶ ὑφαινομένη ὥστε χειρόμακτρα ποιεῖν, ἃ ῥυπωθέντα καὶ εἰς φλόγα βληθέντα ἀπεκαθαίροντο, φησί, τοῦ πίνου παραπλησίως τῇ πλύσει. κεῖται δέ, φασί, Κάρυστος ἀντικρὺ Χίου παρὰ τὸν περὶ τὸ Μυρτῷον πέλαγος πλοῦν. ἐκλήθη δὲ ἀπὸ Καρύστου, υἱοῦ Χείρωνος, ἐξ οὗ καὶ Χειρωνία ποτὲ ὠνομάσθη. ὁ δὲ παρὰ τῷ Ἀλκμᾶνι Καρύστιος οἶνος οὐκ ἐντεῦθεν ἦν, ἀλλὰ ἀπὸ Καρύστου Ἀρκαδικοῦ, κατὰ δὲ τὸν Γεωγράφον ἀπὸ Λακωνικῆς Καρύστου. Στύρα δὲ φυλάσσει μὲν εἰσέτι καὶ νῦν τὸ ὄνομα· κεῖται δὲ κατὰ τὸν Γεωγράφον πλησίον Καρύστου καὶ αὐτὴ καὶ τὸ ῥηθὲν Μαρμάρειον, ἐν ᾧ τὸ ῥηθὲν λατόμιον. ἐθνικὸν αὐτῶν Στυριεύς· τὸ δέ γε Στυράκιον ἄλλο τι παρὰ τὰ Στύρα ἐστὶν ὄρος Κρήτης ὄν. ὁ μέντοι στύραξ φυτόν ἐστιν, ἐξ οὗ ἀκοντίσματά φασι στυράκινα ἐοικότα τοῖς κρανεΐνοις. κατεστράφη δὲ τὰ Στύρα ὑπὸ Φαίδρου, Ἀθηναίων στρατηγοῦ. (v. 542—4) Καὶ πόλεις μὲν αὗται τῶν περὶ Ἐλεφήνορα, κοινῶς δὲ οἱ ὑπ’ αὐτὸν Ἄβαντες. φησὶ γάρ· «τῷ δ’ ἅμ’ Ἄβαντες ἕποντο θοοὶ ὄπιθεν κομόωντες, αἰχμηταί, μεμαῶτες ὀρεκτῇσι μελίῃσι θώρηκας ῥήξειν δηΐων ἀμφὶ στήθεσιν». εἴπομεν δὲ ἤδη, ὅτι σημειοῦνται ἐνταῦθα οἱ παλαιοί, ὡς Εὔβοιαν μὲν οἶδεν ὁ ποιητής, Εὐβοεῖς δὲ οὐ λέγει, ὥσπερ καὶ Ἴλιον λέγων Ἰλιεῖς οὔ φησι τοὺς ἐξ αὐτῆς· οὕτω δὲ καὶ Σικελοὺς μὲν λέγει, Σικελίαν δὲ οὔ, ἀλλὰ Σικανίαν, καὶ ὁ Γεωγράφος δέ φησιν, ὅτι οὕτω καὶ Βαβυλὼν μὲν πόλις, Βαβυλώνιοι δὲ τὸ ἐθνικὸν οὐκ ἀπ’ αὐτῆς, ἀλλ’ ἀπὸ τῆς χώρας· καὶ Πορφύριος δὲ ἐφιστᾷ, ὅτι τῶν ἐκ Ζελείας τὴν χώραν Λυκίαν ἐκάλουν συνωνύμως τῇ ἐν τῷ Ξάνθῳ, τοὺς δὲ οἰκήτορας οὐ Λυκίους, ἀλλ’ ἑτερωνύμως Τρῶας.

1.433 οὕτω δὲ καὶ τοὺς ἐξ Ἤλιδος εὑρήσομεν ἐν τῷ αὐτῶν καταλόγῳ καλουμένους Ἐπειούς. ἐρρέθη δὲ ἐν τῇ α′ ῥαψῳδίᾳ καί, ὅτι οἱ τῆς Ἀτραμυτηνῆς Θήβης οὐ Θηβαῖοι, ἀλλ’ ἑτερωνύμως ἐλέγοντο Κίλικες. Ἰστέον δὲ καὶ ὅτι Εὔβοιαν ὁ ποιητὴς οὐ τὴν ὅλην οἶδε νῆσον, ἀλλά τι μέρος αὐτῆς· ὅθεν οὐδὲ εἶχε κοινῶς Εὐβοεῖς εἰπεῖν τοὺς ὑπὸ τῷ Ἐλεφήνορι τεταγμένους, ὥσπερ οὐδὲ Ἐρετριεῖς κοινῶς ἢ Χαλκιδεῖς. (v. 542) Ὅθεν τὸ κοινὸν εἶπε τοὺς Ἄβαντας, εἰς ὃ πάντες οἱ τῆς νήσου ὑπέπιπτον, ἀφ’ ὧν καὶ Ἀβαντὶς Εὔβοια, ὡς ἀπὸ Ἄβαντος τοῦ Ἀργείου ἢ υἱοῦ Ποσειδῶνος καὶ Ἀρεθούσης, ἧς ὁμώνυμος ἡ προρρηθεῖσα πηγὴ Ἀρέθουσα· οἱ δὲ λέγουσι καί, ὅτι Θρᾷκες κατὰ Ἀριστοτέλην ὁρμηθέντες ἐξ Ἄβας τῆς Φωκικῆς ἐπῴκησαν τὴν νῆσον καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπωνόμασαν Ἄβαντας τοὺς ἐκεῖ· οἱ δὲ ἀπὸ ἥρωός φασιν Ἄβαντος κληθῆναι, καθὰ καὶ Εὔβοιαν ἀπὸ ἡρωΐνης. Σημείωσαι οὖν, ὅτι ὥσπερ ἔθνος μὲν οἱ Βοιωτοὶ καὶ οἱ Φωκεῖς καὶ οἱ Λοκροί, περὶ ὧν ἐρρέθη, πόλεις δὲ αὐτῶν αὗται καὶ ἐκεῖναι, οὕτω καὶ ἐθνικὸν μὲν ἐνταῦθα οἱ Ἄβαντες, αἱ δὲ κατ' αὐτοὺς πόλεις ἡ δεῖνα καὶ ἡ δεῖνα. Ἔστι δὲ καὶ ἱστορία γενεαλογικὴ δηλοῦσα περί τε Ἀβάντων καὶ τοῦ προρρηθέντος Δίου καὶ περὶ ἑτέρων τινῶν χρησίμων τοιαύτη. Ἐρεχθέως, υἱοῦ Πανδίονος, γίνεται Κέκροψ, Ὀρνεύς, Πάνδωρος, Μητίων· ὧν Ὀρνέως μὲν Πετεώς, οὗ Μενεσθεύς, ὁ ῥηθησόμενος τῶν Ἀθηναίων βασιλεύς. Πάνδωρος δὲ Εὔβοιαν οἰκίζει· οὗ Ἄλκων καὶ Δίας, ὧν ὁ μὲν Δῖον κτίζει, ὁ δ' Ἄλκων Ἄβαντα ἴσχει, ὃς Ἄβαντας ἐκάλεσεν, οὗ Χαλκώδων, οὗ Ἐλεφήνωρ, ὁ προρρηθεὶς τῶν Ἀβάντων βασιλεύς. ἐν δὲ τοῖς τοῦ Πορφυρίου φέρεται καὶ ταῦτα. Ἄτλαντος καὶ Πληϊόνης τῆς Ὠκεανοῦ Ἀλκυόνη· ἧς καὶ Ποσειδῶνος Ὑπέρης, οὗ Ἀρέθουσα ἡρωῒς γυνή, ἧς καὶ Ποσειδῶνος Ἄβας, οὗ Χαλκώδων, οὗ Ἐλεφήνωρ. ἡ δὲ ῥηθεῖσα γυνὴ Ἀρέθουσα κληθῆναι δέδωκεν ἐξ ἑαυτῆς τὴν Εὐβοΐδα πηγὴν Ἀρέθουσαν, ἧς ὁ χρησμὸς ἐμνήσθη, ὡς πρὸ βραχέων ἐρρέθη. ὅτι δὲ οὕτω ἐπίσημος ὁ Χαλκώδων, ὡς ἀπ' αὐτοῦ καὶ Χαλκωδοντιάδας λέγεσθαι τοὺς Εὐβοεῖς, δηλοῖ Εὐριπίδης Ἴωνι εἰπών.

1.434 «τοῖς Ἀθηναίοις τοῖς τε Χαλκωδοντιάδαις, οἳ γῆν ἔχουσιν Εὐβοΐδα». Ὄπιθεν δὲ κομῶντας τοὺς Ἄβαντας λέγει κατά τι ἔθος ἴδιον. φασὶ γὰρ οἱ παλαιοί, ὅτι Κουρῆτες ἐν Χαλκίδι ᾤκησαν. συνεχοῦς δὲ πολέμου ὄντος αὐτοῖς περὶ τοῦ Λιλαντίου πεδίου, ἐπεὶ τῆς κόμης οἱ πολέμιοι δραττόμενοι κατέσπων αὐτούς, ὀπισθόκομοι γεγόνασι, τὰ ἔμπροσθεν κειρόμενοι· διὸ καὶ Κουρῆτες ἀπὸ τῆς κουρᾶς ἐκλήθησαν καὶ ἀγάλματά εἰσι παρ' αὐτοῖς οὕτως ἔχοντα. μετοικήσαντας δὲ εἰς Αἰτωλίαν φασὶν Ἀκαρνᾶνας κληθῆναι διὰ τὸ ἀκούρους φυλάσσειν τὰς κεφαλάς. περὶ δὲ Κουρήτων καὶ Ἀκαρνάνων ἐν τοῖς μετὰ ταῦτα πλατύτερον ῥηθήσεται, ὅπου ἐρεῖ ὁ ποιητής· «Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοί». οἱ δὲ παλαιοὶ λέγουσι καί, ὅτι ἴδιον κουρᾶς Εὐβοέων τὸ βαθείας ἔχειν τὰς ὄπισθεν κόμας ἀνδρίας χάριν. Τὸ δὲ ὄπισθεν ὄπιθεν καὶ ἐνταῦθα ὁ ποιητὴς εἶπε κατ' ἔλλειψιν τοῦ ς διὰ χρείαν μετρικήν. φύσει γὰρ σὺν τῷ ς ἐστιν ὡς ἐκ τοῦ ὀπίσω συγκοπέν. (v. 543 s.) Ὅτι δὲ οἱ Ἄβαντες αἰχμηταί, δηλοῖ μὲν καὶ ἡ ἱστορία εἰποῦσα αἰσχρὸν εἶναι παρ' αὐτοῖς τὸ τοξεύειν· δηλοῖ δὲ καὶ ὁ ποιητὴς ἑφερμηνεύων τὴν λέξιν ἐν τῷ εἰπεῖν αὐτοὺς προθυμεῖσθαι θώρακας ῥήξειν δηΐων ὀρεκταῖς μελίαις· αἰχμηταὶ γὰρ πάντως οἱ τοιοῦτοι. εἰσὶ δὲ μελίαι μὲν τὰ δόρατα, διότι ἀπὸ ξύλου μελίας ἐσκευάζετο, ὀρεκταὶ δὲ αἱ ἐκτεινόμεναι κατὰ τῶν πολεμίων, ἵνα εἶεν Ἄβαντες αἰχμηταὶ οἱ μὴ ἀφιέντες τὰς αἰχμάς, ὀρέγοντες δὲ ταῖς χερσὶ καὶ οὕτω πλήσσοντες· ὀρέξαι γὰρ τὸ ἐκ χειρὸς πατάξαι, ὅθεν καὶ ὀρεκτὴ μελία. ἡ δὲ σοφωτέρα περὶ τῶν τοιούτων ὁμιλία ἡ παλαιὰ τοιαύτη. διττὴ ἡ τῶν δοράτων, φησί, χρῆσις, ἡ μὲν ἐκ χειρός, ὅτε καὶ ἀγχέμαχα καὶ ὀρεκτὰ λέγονται, ἡ δὲ ὡς ἐν παλτοῖς, καθὰ καὶ ὁ κοντὸς ἀμφοτέρας τὰς χρείας ἀποδίδωσι· συστάδην τε γὰρ καὶ κοντοβολούντων, ὅπερ καὶ ἡ σάρισσα δύναται καὶ ὁ ὑσσός. ἔνθα καὶ σημείωσαι κοινωνίαν καὶ διαφορὰν δόρατος καὶ παλτοῦ καὶ κοντοῦ καὶ σαρίσσης καὶ ὑσσοῦ. Λέγει δὲ ἡ αὐτὴ παλαιὰ γραφὴ καί, ὅτι ἀγαθοὶ οἱ Εὐβοεῖς πρὸς μάχην σταδίαν, ἣ καὶ συστάδην λέγεται καὶ ἐκ χειρός. ὁ δὲ εἰπών «δουρὶ δ' ἀκοντίζω, ὅσον οὐκ ἄλλος τις ὀϊστῷ» τῷ παλτῷ λέγει δόρατι. καὶ οἱ μονομαχοῦντες δὲ παλτοῖς χρῶνται δόρασι πρότερον, εἶτα ἐπὶ τὰ ξίφη βαδίζουσιν. ἀγχέμαχοι δὲ οὐ μόνον οἱ χρώμενοι ξίφει, ἀλλὰ καὶ δόρατι ἐκ χειρός, ὡς τὸ «οὔτησε ξυστῷ χαλκήρεϊ». ἔγνωσται οὖν ἐκ τοῦ τοιούτου λόγου σαφῶς, ὅτι ὀρεκτὰ δόρατα τὰ μὴ ἐκπετόμενα τῶν χειρῶν κατὰ τὴν ἰθυπτίωνα μελίην, ἀλλὰ ἐν τῷ κρατεῖσθαι βάλλοντα· ὅπερ ὁ Νέστωρ παρήγγελλεν ἐν τῷ «ἔγχει ὀρεξάσθω». (v. 544) Τὸ δὲ θώρηκας ῥήξειν ῥηξιθώρακας τοὺς Ἄβαντας ποιεῖ, ὥσπερ τὸ ἀνέρας ῥήξειν παράγει τὸν ῥηξήνορα.

1.435 Τὸ δὲ δηΐων ἐνταῦθα οἱ παλαιοὶ ἀξιοῦσι δήων ἀναγινώσκειν δισυλλάβως δίχα ἐκφωνήσεως τοῦ ι καὶ γίνεται οὕτω τὸ ἔπος ὁλοσπόνδειον. Σημείωσαι δὲ ὅτι νῦν μὲν ὁ ποιητὴς εἶπε τοὺς

Ἄβαντας μεμαῶτας μελίαις θώρηκας ῥήξειν πολεμίων, προϊὼν δὲ ἐπὶ τοῦ Ἕκτορος ἐρεῖ, ὅτι ἅμα τούτῳ λαοὶ θωρήσσοντο μεμαότες ἐγχείησι, πάνυ ἐλλειπτικῶς εἰπών. ἐνταῦθα μὲν γὰρ ἐπὶ τῶν Ἀβάντων ἐντελῶς ἔχει τὸ μεμαῶτες μελίαις ῥήξειν τοὺς τῶν πολεμίων θώρακας, ἐκεῖ δὲ ἐλλιπῶς ἐρρέθη τὸ μεμαότες ἐγχείῃσι· λείπει γὰρ τὸ ῥήξειν θώρακας πολεμίων ἢ εἴ τι ἄλλο τοιοῦτον. ἔνθα καὶ σημειωτέον, ὅτι τὸν Τρωϊκὸν ὅλον κατάλογον ἐπισπέρχων ὁ ποιητὴς συνέτεμε κἀνταῦθα τῇ ἐλλείψει τὴν πολυλογίαν καὶ τοῖς Τρωϊκοῖς πράγμασι τὴν φράσιν συνεξωμοίωσεν. ὅρα δὲ καὶ ὅτι τὸ μεμαότες ἐνταῦθα μὲν ἐμεγάλυνε τὴν παραλήγουσαν Ἰωνικώτερον, ἐκεῖ δὲ κοινότερον ἐσμίκρυνε· καὶ τὴν προπαραλήγουσαν δὲ ἐνταῦθα μὲν συνέστειλεν, ἐκεῖ δὲ ἐξέτεινεν. (v. 546) Ὅτι τὰς Ἀθήνας εὐκτίμενον πτολίεθρον λέγει ὡς εὖ καὶ αὐτὸ ἐκτισμένον ἢ καὶ ὡς ἀγαθοὺς ἔχων πολιστάς, οὓς κτίτας ἡ τραγῳδία φησὶ κατ’ ἔλλειψιν καὶ αὐτοὺς τοῦ ς . (v. 547 s.) Λέγει δὲ τὰς αὐτὰς Ἀθήνας καὶ δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ’ Ἀθήνη ἔθρεψε Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα. εὐγενὴς δὲ ἀνὴρ ὁ Ἐρεχθεὺς καὶ συνετός, ὡς οἷα καὶ Ἀθηνᾶς τρόφιμος], καὶ αὐτόχθων, οὐ μὴν ἔπηλυς, καθά τινες ὑπέλαβον τὸν Κέκροπα. διὸ καὶ ὡς μὲν ἀγχίνους ὑπ’ Ἀθηνᾶς λέγεται τραφῆναι, ὡς δὲ αὐτόχθων ὑπὸ γῆς γεννηθῆναι· ὥστε ἐξεῖναι λεχθῆναι αὐτὸν γηγενῆ, [ἃ δὴ καὶ γῆς γεννήμασιν ἀψύχοις γλυκέως ἐπιλέγονται, ὡς δῆλον ἐκ τοῦ «αὐτόχθονα λάχανα» καὶ τοῦ «φύονται μύκητες γηγενεῖς», οἳ καὶ μῦκαι λέγονται κατὰ κλίσιν ἰσοσύλλαβον, ὡς δηλοῖ ὁ εἰπών, ὅτι ἔνια ὕδνα ὁμοίως τοῖς μύκαις πνιγώδη εἰσί.] Τάχα δὲ καὶ κατὰ τὸν Τιτυὸν μεγάλῳ διῳκεῖτο σώματι, διόπερ ἐκεῖνος μὲν ἁπλῶς γαιήϊος, οὗτος δὲ τόκος ζειδώρου ἀρούρης. ἔνθα φασὶν οἱ παλαιοί, ὅτι κύριον ἐπὶ Ἀττικῆς τὸ ζείδωρος δοκεῖ. ἐκεῖ γὰρ πρῶτον ἀνεδόθη καρπός, οὗ μέρος καὶ ἡ ζειά· ὅθεν ἡ ζείδωρος. διό φασι νῦν πρώτως τῷ ἐπιθέτῳ τούτῳ ἐχρήσατο, [ἐξ οὗ ἀνέκυψε καὶ τὸ βιόδωρος καὶ βωτιάνειρα καὶ παμβῶτις καὶ τὰ ὅμοια.

1.436 ] (v. 549) Ὅτι δὲ καὶ ἱερὸς ἦν ἀνὴρ ὁ Ἐρεχθεύς, δηλοῖ ὁ ποιητὴς εἰπών, ὅτι ἐκάθισεν αὐτὸν ἡ Ἀθηνᾶ ἑῷ ἐνὶ πίονι νηῷ ὡς οἷά τινα ζάκορον ἢ νεωκόρον ἢ καὶ ἱερέα· ὥστε καὶ ἱερᾶτο ἐκεῖνος τῇ Ἀθηνᾷ. οὕτω δὲ ἦν περίκλυτος, ὥστε πάνυ ἔχαιρον Ἀθηναῖοι Ἐρεχθεῖδαι λεγόμενοι. οὕτω δέ φασι καὶ Κοδρίδαι καὶ Κεκροπίδαι καὶ Θησεῖδαι. καὶ ταύτας γε τὰς κλήσεις τῶν ἀπὸ τῆς πατρίδος ἐντιμοτέρας ἐνόμιζον. τινὲς δὲ τὸν αὐτὸν καὶ Ἐριχθόνιόν φασιν, ὁμώνυμον τῷ παλαιῷ Τρωϊκῷ βασιλεῖ Ἐριχθονίῳ, οὗ καὶ αὐτοῦ μέμνηται καὶ ὁ ποιητής. πλάττουσι δὲ ἕτεροι καὶ μῦθον αἰσχρόν, ἐκεῖνον τὸν περὶ τοῦ ἐρίου καὶ τῆς χθονὸς καὶ τὸν Ἡφαίστου κατὰ τῆς Ἀθηνᾶς ἔρωτα καὶ τὴν ἀτελεσφόρητον ἐν αὐτοῖς αἰσχρουργίαν, ἃ πάντα ῥιπτέον εἰς σιωπὴν καὶ δοτέον κατασαπῆναι τῇ γῇ. (v. 550 s.) Λέγει δὲ ὁ ποιητὴς καί, ὅτι οἱ τῶν Ἀθηναίων κοῦροι ἐν τῷ ῥηθέντι ναῷ ταύροισι καὶ ἀρνειοῖς ἱλάονται τὴν Ἀθηνᾶν, τουτέστιν ἱλάσκονται, περιτελλομένων ἐνιαυτῶν. ἔοικε δὲ τὰ Παναθήναια ἱστορεῖν, ὧν ἔκτοτε, ὡς εἰκός, ἀρχή τις προκαταβέβλητο, οὐ κατὰ ἐνιαυτὸν ἕκαστον τελουμένων, ἀλλὰ περιτελλομένων ἐνιαυτῶν· κατὰ πενταετηρίδα γὰρ ἤγοντο καὶ αὐτά, καθὰ καὶ Ὀλύμπια. (v. 552) καὶ θεοφιλεῖς οὖν ἐν τούτοις τοὺς Ἀθηναίους ὁ ποιητὴς ἱστορεῖ, ὧν ἡγεμόνευέ, φησίν, υἱὸς Πετεῶο Μενεσθεύς. θήλεα δέ, φασίν, ἔθυον τῇ Ἀθηνᾶ. (v. 551) Τὸ δέ «περιτελλομένων ἐνιαυτῶν» ἕτερον μέν τί ἐστι παρὰ τὸ «περιπλομένων ἐνιαυτῶν», τὸ ἐν Ὀδυσσείᾳ ῥηθέν. εἴρηται δὲ κατὰ ὁμοιότητα τοῦ ἐπιτέλλειν καὶ ἀνατέλλειν. Τὸ δὲ Πετεῶο ἢ ἀπὸ τοῦ Πετεώς Πετεώ γίνεται Ἀττικῶς, ὡς λαγώς λαγώ, ταώς ταώ, καὶ πλεονασμῷ τοῦ ο μικροῦ Πετεῶο κατὰ τὸν Ἡρωδιανόν, ἢ εὐθεῖά ἐστι κοινὴ κατὰ Ἀρίσταρχον Πετεός, ὡς καλός, οὗ γενικὴ Πετεοῖο, ὡς καλοῖο, καὶ ἐκτάσει Πετεῷο. (v. 553—5) Τὸν δὲ Μενεσθέα, οὗ μνήμη γέγονε καὶ ἐν τῷ περὶ Ἀβάντων λόγῳ, ὁ ποιητὴς ἐπαινῶν ἐνταῦθα ὡς τακτικώτατον λέγει, ὅτι τούτῳ οὔπω τις ὁμοῖος ἐπιχθόνιος γένετ’ ἀνὴρ κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας. Νέστωρ οἶος ἔριζεν· ὁ γὰρ προγενέστερος ἦεν. ὅρα δὲ ὅτι οὐκ εἶπεν, ὡς Νέστωρ μόνος ἐνίκα· ἤριζε δέ, φησίν. ἀμφήριστος ἄρα ἦν αὐτοῖς ἡ νίκη·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τοῦτο δὲ οὐ δι’ ἀφυΐαν τοῦ Μενεσθέως, ἀλλὰ διὰ τὴν ἐξ ἡλικίας πολυπειρίαν τοῦ γεραιτάτου Νέστορος. (v.

1.437 554) Ὅρα δὲ τὸ «κοσμῆσαι ἵππους καὶ ἀνέρας», ὅθεν κοσμήτορες λαῶν οἱ βασιλεῖς. Σημειοῦνται δὲ οἱ παλαιοὶ ἐνταῦθα καί, ὅτι πρῶτος Ὅμηρος κόσμον πολέμου τὴν παράταξιν ὠνόμασε καὶ ὅτι ἐγκώμιον τοιοῦτον τῷ Μενεσθεῖ ἐχαρίσατο, ἐπεὶ μὴ εὐδοκιμήσει που ἐν ταῖς μάχαις. (v. 556) Πεντήκοντα δέ, φησίν, αὐτῷ νῆες ἦσαν· καὶ αὗται μὲν μετρίως ἔχουσιν, ὑστέρῳ μέντοι χρόνῳ τοσοῦτον εὐφόρησαν οἱ Ἀθηναῖοι νεῶν, ὡς μόνοι τῶν ὑφ’ ἥλιον ἄριστοι εἶναι ναυμαχεῖν καὶ θαλαττοκρατῆσαι χρόνους ἱκανούς. [Ὅτι δὲ καὶ ἄλλως πολὺ τὸ σεμνὸν αἱ Ἀθῆναι πάλαι ποτὲ εἶχον, δηλοῖ καὶ ὁ εἰπὼν τὰς Ἀθήνας Ἑλλάδος Μουσεῖον, ἔτι δὲ καὶ Πίνδαρος Ἑλλάδος αὐτὰς ἔρεισμα καλέσας καὶ Θουκυδίδης Ἑλλάδος Ἑλλάδα καὶ ὁ Πύθιος ἑστίαν καὶ πρυτανεῖον τῶν Ἑλλήνων· ἐξ ὧν ὡρμημένος τις εἰς ἔννοιαν σεμνὴν κόσμου κόσμον ἐκάλεσε τὸν ἐν Κωνσταντινουπόλει ἀσύγκριτον νεών.] (v. 546 s.) Τὸ δέ «δῆμον Ἐρεχθῆος» πολυωνυμίας ἔχει λόγον· ταὐτὸν γὰρ Ἀθήνας εἰπεῖν καὶ δῆμον Ἐρεχθέως. ἔοικε δὲ καὶ τὸ δημοκρατικὸν ἐμφαίνειν, ᾧ μάλιστα ἔχαιρον Ἀθηναῖοι, οὕς φασιν αἱ ἱστορίαι παντοίας πειραθῆναι ἀρχῆς· καὶ γὰρ καὶ ἐβασιλεύθησαν καὶ εἰς δημοκρατίαν μετέστησαν, εἶτα καὶ ἐτυραννήθησαν καὶ ὕστερον εἰς ὀλιγαρχίαν μετῆλθον. ἐξενίκα δὲ ἡ δημοκρατία φιλουμένη αὐτοῖς πλέον τῶν ἄλλων πολιτειῶν. Σημείωσαι δὲ ὅτι Ἀθηναίων πόλεις ἢ δήμους ἢ ὅλως εἰπεῖν τόπους οὐκ ἠρίθμησεν ὁ ποιητὴς διά τε πλῆθος κατὰ τοὺς παλαιοὺς καί, ὅτι οὐκ εἶχε πάντα, φασίν, εἰς μετροποιΐαν κατατάξειν, καίτοι ἑκατὸν ἑβδομηκοντατεσσάρων, φασί, δήμων ὄντων τῆς Ἀττικῆς, ὧν πολλοὶ λαμπρὰ εἶχον διηγήματα· καθάπερ Ἀφίδνα μὲν τὴν Ἑλένης ἁρπαγὴν ὑπὸ Θησέως καὶ ὡς οἱ Διόσκουροι ἐκπορθήσαντες αὐτὴν ἐκομίσαντο τὴν ἀδελφήν· Μαραθὼν δὲ ὕστερον μὲν τὸν Περσικὸν ἀγῶνα, πρὸ δὲ Ὁμήρου τὸν Μαραθώνιον ταῦρον, ὃν ἀνεῖλε Θησεύς· Ῥαμνοῦς δὲ τὸ τῆς Νεμέσεως ξόανον μεγέθει καὶ κάλλει κατωρθωμένον καὶ τοῖς τοῦ Φειδίου ἐνάμιλλον· Δεκέλεια δὲ ὁρμητήριον Πελοποννησίοις κατὰ Ἀθηνῶν ἐχρημάτισεν ὕστερον· ὁμοίως δὲ καὶ ἡ Φυλὴ τὸν Θρασύβουλον κατὰ τῶν τυράννων ἐδέξατο· ἀξία δὲ λόγου καὶ ἡ Ἀκαδημία καὶ οἱ κῆποι τῶν φιλοσόφων καὶ ἡ ποικίλη Στοά· Ἀνάφλυστος δὲ Κωλιάδος Ἀφροδίτης εἶχεν ἱερόν· περὶ τοῦτον τὸν δῆμον ἐξεκυμάνθη τὰ Περσικὰ ναυάγια, περὶ ὧν χρησμὸς προεῖπε· «Κωλιάδες δὲ γυναῖκες φρίξουσιν ἐρετμοῖς».

1.438 ταῦτα τοῦ Γεωγράφου. περὶ δὲ Ἀθηναίων καὶ Ἀττικῆς καὶ Κέκροπος καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ κεῖται. ὁ δὲ Γεωγράφος λέγει καί, ὅτι ἐν τῷ «οἳ δ’ ἄρ’ Ἀθήνας εἶχον» δέχεσθαι δεῖ καὶ τοὺς Μεγαρέας· καὶ αὐτοὶ γὰρ μετέσχον τῆς στρατείας. ὅτι δὲ πολλαὶ Ἀθῆναι καὶ ὅτι πολλαὶ Ἀθηναίων ἐγένοντο ἀποικίαι, τεθρύληται. καὶ Ἀμισὸς γοῦν ἡ Ποντικὴ κατὰ τὸν Γεωγράφον Ἀθηναίων ἐποικησάντων Πειραιεὺς μετωνομάσθη, ὁμωνύμως τῷ Ἀττικῷ Πειραιεῖ, καὶ τὸ Ἀτραμύττιον δὲ Ἀθηναίων ἔσχεν ἀποικίαν. (v. 552) Περὶ δὲ Πετεῷο καὶ ὅλως περὶ τῆς Ἀθηναίων ταύτης ἀρχῆς καὶ τοιαῦτα ἱστορεῖται. Θησεὺς τοὺς Παλλαντίδας ἑλὼν ἐκβάλλει Πετεὼν ἅμα τῷ παιδὶ Μενεσθεῖ ὡς συναιρόμενον τοῖς Παλλαντίδαις. ἐπεὶ δὲ ὕστερον αἱ Ἀφίδναι ὑπὸ Διοσκούρων ἑάλωσαν διὰ τὴν ἀδελφὴν Ἑλένην καὶ οἱ Θησεῖδαι εἰς Εὔβοιαν ἔφυγον, ἐπιθέμενος ἦρξεν Ἀθηναίων ὁ Μενεσθεύς· περὶ δὲ τὸν ἀπόπλουν στασιάσαντες οἱ Ἀθηναῖοι προϊστῶσιν ἄρχειν σφῶν Δημοφῶντα τὸν Θησείδην, οὗ καὶ Εὐριπίδης μέμνηται ὄζους Ἀθηνῶν ὀνομάζων αὐτὸν καὶ τὸν ἀδελφὸν Ἀκάμαντα. ὅτι δὲ πρῶτοι Ἀθηναῖοι ἐχαλκούργησαν, δηλοῖ ὁ εἰπών, ὅτι Χάλκεια ἑορτὴ ἀρχαία δημοτελής. ὕστερον δὲ ὑπὸ μόνων ἤγετο τῶν τεχνιτῶν ἔνῃ καὶ νέᾳ Πυανεψιῶνος, ἐπείπερ Ἥφαιστος ἐν τῇ Ἀττικῇ χαλκὸν εἰργάσατο. [Πυανεψιὼν δὲ ὅτι μηνὸς ὄνομα παρ’ Ἀττικοῖς κυάμων ἑψήσει παρωνυμούμενος καὶ ὡς ἔνη καὶ νέα ἡ νουμηνία, καθὰ καὶ τῷ Κωμικῷ καὶ ἑτέροις ἀρέσκει, οὐ τοῦ νῦν λόγου πλατύνειν.] (v. 557) Ὅτι Αἴας ἐκ Σαλαμῖνος ἄγε δυοκαίδεκα νῆας. [ἕτεροι δὲ γράφουσιν ἐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σαλαμῖνος ἄγε τρισκαίδεκα νῆας. πρὸς ὅπερ παρῴδηται τὸ «ἐκ Σαλαμῖνος ἄγε τρισκαίδεκα νήσσας».] καὶ ὅρα, ὅπως πάνυ ἀπεστένωσεν ὁ ποιητὴς τὸν περὶ τοῦ μεγάλου Αἴαντος λόγον μονονουχὶ λέγων, ὅτι, ὃν ἐν τοῖς μετὰ ταῦτα σεμνυνοῦσιν αἱ ἀνδραγαθίαι, τί ἄν τις ἐνταῦθα περιεργάζοιτο. τυχὸν δὲ καὶ διὰ τὸ μηδέν τι ἀξιόλογον ἔχειν εἰπεῖν περὶ τῶν κατὰ τὴν Σαλαμῖνα. Τὸ δὲ μεγαλεῖον τοῦ ἥρωος δηλοῖ καὶ τὸ «ᾄδειν Τελαμῶνος» παροιμιακῶς λεχθὲν ἀπὸ σκολιοῦ μέλους, οὗ ἀρχή· «παῖ Τελαμῶνος Αἶαν αἰχμητὰ λέγουσί ς’ ἐς Τροίαν ἄριστον ἐλθεῖν Ἀχαιῶν μετ’ Ἀχιλλέα». ἦν δέ, φασί, περιμάχητος Ἀθηναίοις καὶ Μεγαρεῦσιν ἡ Σαλαμίν. Σόλων δὲ ἢ Πεισίστρατος παρενέγραψεν ἐνταῦθα μετὰ τὸν Ὁμήρου στίχον τὸ «στῆσε δ’ ἄγων, ἵν’ Ἀθηναίων ἵσταντο φάλαγγες» καὶ οὕτω μάρτυρι τῷ ποιητῇ ἐχρήσατο τοῦ τὴν νῆσον ἐξ ἀρχῆς Ἀθηναίων ὑπάρξαι, ὡς ὁ Γεωγράφος ἱστορεῖ, ὁ καὶ λέγων, ὅτι πολλὰ ἔπη ἀντιμαρτυρεῖ τῷ τοιούτῳ λόγῳ καὶ ὅτι οὐκ ἀρέσκει τοῖς Κριτικοῖς ἡ τοιαύτη τοῦ ἔπους παρένθεσις, Κριτικοὺς εἰπὼν τοὺς κατὰ τὴν γραμματικὴν παράδοσιν εἰδότας κρίνειν τὰ ποιήματα.

1.439 ὁ δ’ αὐτὸς λέγει καί, ὅτι οἱ Μεγαρεῖς αὖθις μεταποιούμενοι τῆς Σαλαμῖνος ἀντιπαρῴδησαν οὕτως· «Αἴας δ’ ἐκ Σαλαμῖνος δώδεκα ἄγεν νέας, ἔκ τ’ Αἰγειρούσσης Νισαίης τε Τρίποδός τε». χωρία δέ, φησί, ταῦτα Μεγαρικά, ὧν ἡ Νίσαια παρώνυμος Νίσῳ, οὗ ἀδελφοὶ Αἰγεὺς καὶ Πάλλας καὶ Λύκος, Πανδίονος υἱοί· περὶ δὲ Σαλαμῖνος καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ εἴρηται· ἔστι δὲ καὶ Κυπρία Σαλαμίν, ἣν Τεῦκρος οἰκίσας μετὰ Τροίας ἅλωσιν ὁμωνύμως τῇ πατρίδι καὶ αὐτὴν Σαλαμῖνα ἐκάλεσε. σημείωσαι δὲ ὅτι πλανῶνται οἱ ἀπὸ τῆς ῥηθείσης Νισαίας ἢ Νίσης Ὁμηρικῆς τινος τοὺς ᾀδομένους Νισαίους ἵππους λέγοντες. τῷ Γεωγράφῳ γὰρ οὐδὲν τοιοῦτον ἔγνωσται, ἀλλὰ τοῦτο καὶ μόνον φησίν, ὅτι Νισαῖοι ἵπποι ἄριστοι καὶ μέγιστοι, οἷς ἐχρῶντο οἱ βασιλεῖς, ἐξ Ἀρμενίας ἦσαν, οἱ δέ φασιν ἀπὸ Μηδίας. Ἰστέον δὲ καὶ ὅτι Πορφύριος εἰς Αἴαντα ἐπίγραμμα παλαιὸν προφέρει τόδε· «Ἅδ’ ἐγὼ ἁ τλάμων Ἀρετὰ παρὰ τῷδε κάθημαι Αἴαντος τύμβῳ κειραμένη πλοκάμους, θυμὸν ἄχει μεγάλῳ βεβολημένη, οὕνεκ’ Ἀχαιοῖς ἁ δολόφρων Ἀπάτα κρέσσων ἐμοῦ κέκριται». [ὃ δὴ παρῳδήσας τις κατὰ τῆς ἡδονικῆς φιλοσοφίας ἔγραψεν οὕτως· «Ἅδ’ ἐγὼ ἁ τλάμων Ἀρετὰ παρὰ τῇδε κάθημαι Ἡδονῇ αἰσχίστως κειραμένη πλοκάμους. θυμὸν ἄχει μεγάλῳ βεβολημένη, εἴπερ ἅπασιν ἁ κακόφρων Τέρψις κρείσσων ἐμοῦ κέκριται».] Ἱστορεῖ δὲ ὁ αὐτὸς Πορφύριος καί, ὅτι Ἀριστοτέλης σύγγραμμα πραγματευσάμενος, ὅπερ ἐκλήθη Πέπλος, γενεαλογίας τε ἡγεμόνων ἐξέθετο καὶ νεῶν ἑκάστων ἀριθμὸν καὶ ἐπιγράμματα εἰς αὐτούς, ἃ καὶ ἀναγράφεται ὁ Πορφύριος ἐν τοῖς εἰς τὸν Ὅμηρον, ἁπλᾶ ὄντα καὶ οὐδέν τι παχὺ καὶ φλεγμαῖνον ἔχοντα. δίστιχα δὲ τὰ ὅλα ἐκεῖνα δίχα τοῦ ῥηθέντος εἰς τὸν Αἴαντα· ἴσως γὰρ ὁ Ἐπιγραμματοποιὸς ἐφιλοτιμήσατο ἀπεναντίας ἐλθὼν τῷ ποιητῇ ἐπὶ μὲν τῷ λαμπρῷ Αἴαντι πολυλογῆσαι, τοὺς δὲ ἄλλους ἧττον σεμνῦναι. ἔτι καὶ ταῦτα τοῦ Πορφυρίου, ὅτι, εἰ καὶ Πηλεὺς καὶ Τελαμὼν ἀδελφοὶ ἐξ Αἰακοῦ, ὧν Πηλέως μὲν Ἀχιλλεύς, Αἴας δὲ Τελαμῶνος, ἀλλ’ Ὅμηρος οὔτε Αἰακίδην φησὶ τὸν Αἴαντα οὔτε αὐτανεψίους ἀλλήλοις αὐτόν τε καὶ τὸν Ἀχιλλέα· καὶ ὅτι Εὐφορίων λέγει τοῦ αἵματος τοῦ ῥυέντος ἐκ τῆς τοῦ Αἴαντος σφαγῆς ὑάκινθον ἐκφῦναι· καὶ ὅτι ὁ τὴν μικρὰν Ἰλιάδα γράψας ἱστορεῖ μηδὲ καυθῆναι συνήθως τὸν Αἴαντα, τεθῆναι δὲ οὕτως ἐν σορῷ διὰ τὴν ὀργὴν τοῦ βασιλέως. ἔτι κἀκεῖνα περὶ τῆς ῥηθείσης νήσου λέγεται.

1.440 Σαλαμὶν νῆσος πρὸς τῇ Ἀττικῇ μῆκος ἑβδομήκοντα ἢ ὀγδοήκοντα σταδίων, ἔχουσα πόλιν ὁμώνυμον. ἐκλήθη δέ ποτε καὶ Πιτυοῦσσα ἀπὸ φυτῶν. ταύτην ἔχουσιν Ἀθηναῖοι σκηψάμενοι τὴν ἀνωτέρω ῥηθεῖσαν Ὁμηρικὴν δῆθεν μαρτυρίαν. (v. 558) [Φάλαγγας δὲ οὐ μόνον στρατιωτικάς τινας παρατάξεις οἴδαμεν, ὡς πολλαχοῦ φανεῖται, ὅθεν πέπαικται καὶ τὸ «λοπάδων παρατεταγμένη φάλαγξ», ἀλλὰ καὶ ζωΰφια ὑπὸ ὀρόφοις ἀραχνώμενα, ὧν καὶ ἡ κωμῳδία μέμνηται. Ἔτι δὲ καὶ τὰ ὑποτιθέμενα ἑλκομέναις ναυσίν, ὥς που καὶ ἀλλαχοῦ παρεδηλώθη· ὧν χρῆσις καὶ παρὰ Ἀθηναίῳ ἐν τῷ «φάλαγγας ἐπικαρσίας» καὶ ἐν τῷ «ἡδράσθη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ πλοῖον ἀσφαλῶς ἐπὶ φαλάγγων».] (v. 559—68) Ὅτι «οἳ Ἄργος εἶχον Τίρυνθά τε τειχιόεσσαν, Ἑρμιόνην Ἀσίνην τε βαθὺν κατὰ κόλπον ἐχούσαν, Τροιζῆνα, Ἠϊόνας τε καὶ ἀμπελόεντ' Ἐπίδαυρον· οἵ τ' ἔχον Αἴγιναν Μάσητά τε»· τούτων Διομήδης ἡγεμόνευε καὶ Σθένελος Καπανέως υἱὸς καὶ Εὐρύαλος ὁ Μηκιστέως· συμπάντων δὲ ἡγεῖτο Διομήδης· «τοῖσι δ' ἅμ' ὀγδώκοντα μέλαιναι νῆες ἕποντο». [Ἰστέον δ' ὡς οὐκ ἀπήλλακται τῆς Ὁμηρικῆς ποικιλίας οὐδὲ τὰ ῥηθέντα, ἐν οἷς τὸν μὲν Διομήδην ἀγενεαλόγητον ἀφεὶς ἀγαθὸν μόνον δὶς προσεῖπε, τὸν δὲ Σθένελον φίλον υἱὸν Καπανέως φράσας τὸν πατέρα ἐπῄνεσεν, ἀγακλυτὸν ἐκεῖνον εἰπών· τὸν δὲ Εὐρύαλον καὶ ἐπιθέτῳ ἐσέμνυνεν ἰσόθεον φῶτα καλέσας καὶ Ταλαΐονος ἄνακτος πάππου καὶ Μηκιστέως πατρὸς ἐγενεαλόγησεν· ἔτι τὴν μὲν Ἑρμιόνην καὶ τὴν Τροιζῆνα δίχα συνδέσμων ἔγραψεν ἀποστατικῶς, τὰ δ' ἄλλα συνέδησε.] (v. 559) Τῶν δὲ ῥηθέντων τόπων περὶ μὲν Ἄργους ἀρκούντως ἐν τοῖς τοῦ Περιηγητοῦ εἴρηται· νῦν δὲ τοσοῦτον ῥητέον, ὅτι παροιμία ἐκ τούτου φέρεται τὸ «Ἀργεία φορά» παρὰ Παυσανίᾳ. ἐσκώπτοντο γάρ, φησίν, Ἀργεῖοι εἰς φιλοδόξους καὶ συκοφάντας. Τὴν δὲ Τίρυνθα τειχιόεσσαν λέγει διὰ τὸ εὖ τετειχίσθαι. δοκεῖ δέ, φασίν, ὑπὸ Κυκλώπων τειχισθῆναι τῶν κατὰ τὸ Ἄργος, οἳ καὶ ἐγχειρογάστορες ἐκαλοῦντο καὶ χειρογάστορες οἷα χειροτέχναι καὶ τοῖς ἐκ χειρῶν ἔργοις τὴν γαστέρα πληροῦντες. ἀλλὰ τοῦτο μὲν τῆς ἱστορίας· Ὁ δὲ μῦθος τερατολογεῖ τῆς γαστρὸς ἑκάστῳ αὐτῶν ἐκπεφυκέναι τὰς χεῖρας. ὑπὸ τούτων γοῦν, φασί, τῶν Κυκλώπων ἐτειχίσθη τὸ Ἄργος, οὐ μὴν ὑπὸ τῶν Σικελικῶν, οἷς οὐδὲν κοινὸν πρὸς τούτους, τρεῖς μόνους ὄντας ἢ ἑπτὰ κατά τινας, ὧν ἑκάστῳ εἷς ὀφθαλμὸς ἐνέκειτο μετώπῳ κατὰ Ἡσίοδον, οἷς καὶ σπήλαια ἐν τῇ Ἀργείᾳ χώρᾳ ἐπονομάζονται.

1.441 Καλεῖται δέ, φασί, Τίρυνς ἀπὸ Τίρυνθος, ἀδελφοῦ Ἀμφιτρύωνος. ἐκαλεῖτο δὲ πρότερον Ἁλιεῖς διὰ τὸ πολλοὺς ἁλιευομένους οἰκεῖν ἐκεῖ. κατὰ δὲ Παυσανίαν Ἁλικοὶ περὶ Τίρυνθα οἱ τὰ περὶ θάλασσαν τῆς Πελοποννήσου οἰκοῦντες. ὁ δὲ Γεωγράφος ὁρμητήριον Προίτου τὴν Τίρυνθα λέγει, τειχισθὲν διὰ Κυκλώπων, οὓς ἑπτὰ εἶναί φησι, γαστερόχειρας μὲν καλουμένους, τρεφομένους δ' ἐκ τῆς τέχνης, μεταπέμπτους ἐκ Λυκίας ἐλθόντας. πλησίον δέ που, φησί, καὶ Μιδέα παροξυτόνως, ἑτέρα τῆς Βοιωτικῆς. ἐκείνη δὲ καὶ προπαροξύνεται, φησίν, ὡς πρόνοια, καθὰ καὶ προεγράφη. διέχει δὲ Ναυπλίας περὶ δώδεκα στάδια, ᾗτινι Ναυπλίᾳ ἐφεξῆς σπήλαια, φησί, καὶ οἰκοδομητοὶ λαβύρινθοι. καλεῖται δὲ Κυκλώπεια· Ἔνθα σημείωσαι τὴν περὶ τὰ τοιαῦτα τῶν παλαιῶν σπουδήν· οὐ γὰρ μόνον ταῦτα καὶ ὁ κατὰ Κρήτην λαβύρινθος λόγον πολὺν ἔσχον, ἀλλὰ καὶ ὁ Αἰγύπτιος, περὶ οὗ φησιν Ἡρόδοτος, ὅτι λαβύρινθος περὶ Αἴγυπτον λόγου μείζων· εἰ γάρ τις τὰ ἐξ Ἑλλήνων ἔργα συλλογίσεται οἷον τείχη καὶ τὰ τοιαῦτα, ἐλάσσονος πόνου φανοῦνται τοῦ λαβυρίνθου τούτου. (v. 560) Ἡ δὲ Ἑρμιόνη καλεῖται οὕτως, ἐπειδὴ Ζεὺς καὶ Ἥρα ἐνταῦθα ὡρμίσθησαν ἀπὸ Κρήτης ἀφικόμενοι. ἀπὸ γοῦν τοῦ ὁρμίζω τροπῇ τοῦ ο εἰς ε Ἑρμιόνη. τὸ δὲ πρωτότυπον αὐτῆς Ἑρμιών, ἡ γενικὴ Ἑρμιόνος· ὥσπερ δέ, φασί, κάλυκος Καλύκη, χιτῶνος Χιτώνη, ἡγεμόνος Ἡγεμόνη, οὕτως Ἑρμιόνος Ἑρμιόνη. ἕτεροι δὲ πρωτότυπον μέν φασι τὴν Ἑρμιόνην. Ἑρμιόνα δὲ εἰπεῖν ὅμοιον, ὡς καὶ Σοφοκλῆς Δωδῶνα τὴν Δωδώνην φησίν. ἐθνικὸν ταύτης οἱ Ἑρμιονεῖς· ἱερὸν δὲ ἐν αὐτῇ παρθένου Ἥρας. ὁ δὲ Γεωγράφος λέγει, ὅτι Ἑρμιόνη οὐκ ἄσημος πόλις καὶ ὅτι τεθρύληται παρ' Ἑρμιονεῦσι τὴν εἰς Ἅιδου κατάβασιν σύντομον εἶναι· διὸ οὐκ ἐντιθέασιν ἐνταῦθα τοῖς νεκροῖς ναῦλον. [Εἰ δὲ καὶ ἐκ τοῦ Λακωνικοῦ Ταινάρου, σπηλαίου ἐκείνου μεγάλου καὶ ἀφεγγοῦς, καταβαίνειν ἦν ἐς Ἅιδην, ἕτερος μῦθος εἰπεῖν ἐτόλμησεν οὐκ ἀφυῶς.] Καὶ Σκύλλαιον δέ, φησί, τόπος ἐν αὐτῇ, ἀπὸ Σκύλλης ὀνομασθὲν τῆς Νίσου θυγατρός, περὶ ἧς ἀλλαχοῦ εἴρηται· οὐ μὴν ὅθεν καὶ τὸ περί που Σικελίαν σπήλαιον. Ἀσίνη δὲ οὐ μόνη αὕτη, ἀλλὰ καὶ ἕτεραι· ὧν μία καὶ Λακωνικὴ πόλις, ἀπὸ Ἀσίνης κληθεῖσα, θυγατρὸς Λακεδαίμονος· ὁ δὲ Γεωγράφος καὶ κόλπον Ἀσιναῖον, μάλιστα δὲ Ἀσίνην οἶδεν ὁμώνυμον ταύτῃ.

1.442

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φησὶ γοῦν· «Ἀσίνη κόλπος, ἔνθα αἱ πόλεις αἱ τῷ Ἀχιλλεῖ ὑπεσχημέναι ἐξ Ἀγαμέμνονος». λέγει δὲ καί, ὅτι Ἀσίνη καὶ Ἑρμιὼν Δρυόπων οἰκητήριον, Δρύοπος τοῦ Ἀρκάδος κατοικίσαντος αὐτοὺς ἐνταῦθα ἐκ τῶν περὶ Σπερχειὸν τόπων· λέγει δὲ καὶ κόλπον Ἑρμιονικὸν ἀρχόμενον ἀπὸ Ἀσίνης πολίχνης. (v. 561) Τροιζὴν δὲ πόλις οὐκ ἄσημος, ὑπερκειμένη θαλάσσης πεντεκαίδεκα στάδια, ἧς πρόκειται νησίδιον· καλεῖται δὲ ἀπὸ Τροιζῆνος, υἱοῦ Πέλοπος. ἡ δ' αὐτή ποτε καὶ Ἀφροδισιὰς καὶ Σαρωνία καὶ ἢ Ποσειδωνία ἢ Ποσειδωνιάς, ὡς ἱερά, φασί, Ποσειδῶνος· καὶ Ἀπολλωνιὰς δέ. ἔστι δέ, φασί, καὶ ἑτέρα ἐν Ἰταλίᾳ Μασσαλιωτική. τῆς δὲ Τροιζῆνος ταύτης λιμὴν ᾄδεται ὁ Πώγων, ὅθεν ἐπὶ τῶν ἀτρίχων τὸ γένειον καὶ ψευδομένων τὸν ἀνδρικὸν πώγωνα λέγεται παροιμιωδῶς τὸ «πλεύσειας εἰς Τροιζῆνα». [Ἱστορεῖ δὲ Ἀθήναιος Τροιζήνιον οἶνον, ὃς λέγεται, φησίν, ἀγόνους ποιεῖν τοὺς πίνοντας, λέγων καὶ περί που τὴν Ἀχαΐαν ἀμπέλου τι γένος εἶναι, ἀφ' ἧς οἶνος ἐκθλίβεται ποιῶν ἐξαμβλοῦν τὰς ἐγκύμονας γυναῖκας· κἂν τῶν βοτρύων δέ, φησί, φάγωσιν, ἐξαμβλοῦσι. Σημείωσαι δὲ ὅτι τινὰ τῶν παλαιῶν ἀντιγράφων Τροίζηνα προπαροξυτόνως ἔγραψαν, οἷς καὶ Ἡρωδιανὸς συνηγορεῖ ἐν τῷ Περὶ ταχυτῆτος καὶ δηϊοτῆτος εἰπών, ὡς ἡ Δωρὶς καὶ Αἰολὶς διάλεκτος οὐδέποτε κατὰ γενικὴν περιττοσύλλαβον τὸ ἦτα μετατιθέασιν εἰς ἄλφα, εἰ μὴ βαρύνοιτο· Ἕλλην Ἕλλαν, Τροίζην Τροίζαν· ποιμήν δὲ καὶ λιμήν οὐκ ἂν ἐροῦσι διὰ τοῦ ἄλφα, ἐπεὶ ὀξυτονεῖται· ἐπὶ μέντοι μονοσυλλάβων μετατιθέασι τὸ σφήξ καὶ μήν, σφὰξ λέγοντες καὶ μάν. σεσημείωται, φησί, τὸ ἐσθάς ὀξυνόμενον καὶ διὰ τοῦ α λεγόμενον παρὰ Πινδάρῳ ἐν Πυθιονίκαις.] Τὰς δὲ Ἠϊόνας οὐχ' εὕρομεν πάνυ περιλαλουμένας. ἑνικῶς δὲ Ἠϊὼν λέγεται πόλις Χερρονησία παρὰ Θουκυδίδῃ. ἔστι δὲ καὶ Στρυμονική. λέγεται δὲ καὶ ἑτέρα Ἠϊὼν Πιερική. ἰστέον δὲ ὅτι τὰ παλαιὰ Σχόλια καὶ τὰς Ὁμηρικὰς ταύτας Ἠϊόνας ἑνικῶς λεγομένας οἴδασιν, ὡς δηλοῖ ὁ εἰπών, ὅτι· ἡ δ' Ἠϊὼν οὐκ οἰκεῖται.

1.443 τινὲς δὲ οἴονται αὐτὴν εἶναι τὴν Καλαύριαν· φασὶ γάρ, ὅτι ἀοίκητός ἐστιν ἡ Ἠϊὼν νομιζομένη παρά τινων ἡ Καλαύρια νῆσος εἶναι, περὶ ἧς ἐν τοῖς τοῦ Περιηγητοῦ δηλοῦται. ὁ Στράβων δέ φησιν, ὅτι Ἠϊόνες κώμη τις, ἣν ἐρημώσαντες Μυκηναῖοι ἢ Ἀθηναῖοι ναύσταθμον ἐποιήσαντο. Ἐπίδαυρος δὲ θηλυκῶς μὲν λέγεται κατὰ τὸν τὰ Ἐθνικὰ γράψαντα, εἰπόντα, ὅτι τὸ «ἀμπελόεντα Ἐπίδαυρον» μετὰ ἀρσενικοῦ ἐπιθέτου θηλυκόν ἐστιν, ὡς καὶ τὸ «ψολόεντος ἐχίδνης» παρὰ Νικάνδρῳ καὶ τὸ «ἠμαθόεντος Πύλου» καὶ ὅσα τοιαῦτα. ἐκαλεῖτο δέ ποτε Λειμηρὴ διὰ διφθόγγου ὡς λειμῶνας ἔχουσα ἢ καὶ διὰ τοῦ ι ὡς πολυλίμενος κατὰ Ἀρτεμίδωρον, οἱονεὶ λιμενηρά τις οὖσα. ἔστι δέ, φασί, τοῦ Σαρωνικοῦ κόλπου. ἐκλήθη δὲ καὶ Μιλησία καὶ Αἱμηρὰ διὰ τὸ συχνὰ αἱμάσσεσθαι θύμασι τὸν ἐκεῖ βωμὸν τοῦ Ἀσκληπιοῦ, ὃς κατ' ἐξαίρετον ἐτιμᾶτο· εἶτα Ἐπίταυρος ὠνομάσθη καὶ ἐκεῖθεν Ἐπίδαυρος. κατὰ δὲ τὸν Γεωγράφον καὶ Ἐπίκαρον αὐτὴν οἴονταί τινες, ὡς Καρῶν αὐτήν ποτε κατασχόντων. Οὐκ ἄσημος δέ, φησίν, ἐστὶ πόλις δι' ἐπιφάνειαν Ἀσκληπιοῦ μάλιστα. κεῖται δ' ἐν μυχῷ τοῦ Σαρωνικοῦ κόλπου βλέπουσα πρὸς ἀνατολὰς θερινάς, ἐρυμνὴ φυσικῶς, πανταχόθεν περίπλουν ἔχουσα στάδια πεντεκαίδεκα· περικλείεται δὲ ὄρεσιν ὑψηλοῖς. τοῦ δ' αὐτοῦ φησιν εἶναι κόλπου καὶ τὴν προκειμένην Αἴγιναν. Τινὲς μέντοι τοῦ Μυρτῴου φασὶ τὴν Αἴγιναν. τὸ δὲ ἐν αὐτῇ Ἀσκληπιεῖον καμνόντων τε πλῆρες ἦν, φασί, καὶ πινακίων ἀνακειμένων, ἐν οἷς αἱ θεραπεῖαι ἀναγεγράφαται· φυλάσσει δὲ μέχρι καὶ νῦν τὸ ὄνομα καλουμένη Ἐπίδαυρος. ἑτέρα δέ ἐστιν αὕτη παρὰ τὴν Ἐπίδαμνον· ἐκείνη γὰρ ἑτερογραφουμένη πόλις ἐστὶν Ἰλλυρική, τὸ νῦν Δυρράχιον. ἀμπελόεσσαν δὲ λέγει Ἐπίδαυρον, ὡς τὴν Ἱστίαιαν εἶπε πολυστάφυλον, πλὴν ὅσον ἐκεῖ μὲν ἐκ τοῦ καρποῦ, ἐνταῦθα δὲ ἀπὸ τοῦ φυτοῦ τὸ ἐπίθετον εἴληπται. (v. 562) Αἴγινα δέ, ἧς ἐνταῦθα ἐκτείνεται ἡ παραλήγουσα διὰ τὸ μέτρον, ἀρκούντως ἠξίωται λόγου ἐν τοῖς τοῦ Περιηγητοῦ.

1.444

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεῖται δὲ πλησίον Ἐπιδαύρου πρὸ τῆς Ἀττικῆς. ἔσχε δὲ τοὔνομα ἐξ Αἰγίνης τῆς Ἀσωποῦ, Οἰνώνη πρότερον καλουμένη. καὶ τόπος δέ τις, φασί, τῆς Ἐπιδαυρίας Αἴγινα ἐκαλεῖτο. διὸ πρὸς διαστολὴν ὁμωνυμίας γράφουσί τινες παρὰ τῷ ποιητῇ ἀντὶ τοῦ «οἵ τ' ἔχον Αἴγιναν» «νῆσόν τ' Αἴγιναν», ἵνα διαστείλωσι τῆς νήσου τὴν χέρσον Αἴγιναν. Ἔνδοξος δέ ποτε ἡ νῆσος Αἴγινα. Οἰνώνη δέ, φασίν, ἐκαλεῖτο πάλαι ποτὲ ὁμωνύμως δυσὶ δήμοις Ἀττικοῖς. γέγονε δὲ λαμπρὸν ἐμπόριον διὰ λυπρότητα χώρας θαλαττουργούντων ἐμπορικῶς τῶν ἐκεῖ. ἐκόπη δὲ καὶ ἀργύριον πρῶτον ὑπὸ Φειδίου ἐνταῦθα. [καὶ ἦν, φασίν, ἐξαίρετόν τι ἐν ἀργυρίοις ὁ Αἰγιναῖος ὀβολός.] Μάσης δὲ τὸν μὲν πολίτην παράγει Μασήτιον. λέγεται δέ, φασί, καὶ τρισυλλάβως ἡ Μάσητος· ἔστι δὲ καὶ κώμη Μάσητος καὶ λίμνη, φασί, καὶ νῆσος. τὸ δὲ Μάσιον τρισυλλάβως, ὡς Πάριον, ὄρος φασὶ Μεσοποταμίας περί που τὴν ἑῴαν Νίσιβιν. (v. 568) Τὸ δὲ ὀγδώκοντα κρᾶσιν ἔπαθε τοῦ ο καὶ η , οἵαν καὶ τὸ δῶμα καὶ ἡ σιωπή καὶ τὸ ἐπιβώσομαι ἀντὶ τοῦ βοήσω καὶ τὸ βωστρεῖν ἐν Ὀδυσσείᾳ καὶ τὤμισυ παρὰ Ἡσιόδῳ καὶ παρὰ Ἡροδότῳ τὸ «ἐκ τοῦ θρόνου πηδήσας ἀνέβωσε» καὶ «βωθήσαντες εἰς τὸν Ἰσθμόν» καὶ τὸ ἐπιβωτᾶν παρὰ τῷ αὐτῷ καὶ τὸ ἐννώσαντα ἀντὶ τοῦ ἐννοήσαντα καὶ τὰ ὅμοια. (v. 566 s.) Ἰστέον δὲ ὅτι τὸν πρὸ ὀλίγου ῥηθέντα Μηκιστέα Ταλαϊονίδην ὁ ποιητὴς καλεῖ ἤγουν υἱὸν Ταλαοῦ. ἔοικε δὲ διώνυμος εἶναι ὁ Ταλαὸς οὕτω τε καλούμενος, ἐξ οὗ καὶ πατρωνυμικὸν ἔσται ὁ Ταλαΐδης, καὶ Ταλαΐων, ὅθεν ὁ Ταλαϊονίδης· εἰ δέ γε μὴ διωνυμεῖ, ἀλλὰ μοναχῶς λέγεται Ταλαός, πλεονασμὸν ἔπαθε δύο συλλαβῶν ὁ Ταλαϊονίδης ἀπὸ τοῦ Ταλαοῦ γεγονώς, ὡς καὶ οἱ παλαιοί φασιν. ἡγεῖτο δὲ συμπάντων τῶν Ἀργείων ὁ Διομήδης ὡς ἄριστος. ἄλλως γάρ, ὡς μὴ ἀκραιφνὴς Ἀργεῖος καὶ ἐκ προγόνων αὐθιγενής, οὐκ ἂν προεκρίθη ἄρχειν· τὰ γὰρ ἀνέκαθεν Αἰτωλὸς ἦν. Τυδεὺς γὰρ ἐν Αἰτωλίᾳ ἐμφυλίῳ φόνῳ χρανθεὶς καὶ φυγὼν εἰς Ἄργος καὶ γήμας Δηϊπύλην, τὴν Ἀδράστου θυγατέρα, Διομήδην ποιεῖται· εἰς ὃν περιέστη τὸ τῆς βασιλείας τοῦ Ἀδράστου μέρος, ἄπαιδος τὰ πρὸς ἀρρένων τελευτήσαντος. πλατύτερον δὲ εἰπεῖν, ὅπως ἡ ἀρχὴ περιῆλθε τῷ Διομήδει.

1.445 Ἰστέον ὅτι κατὰ τὴν ἱστορίαν ἐπὶ Ἀναξαγόρου, υἱοῦ Προίτου, βασιλέως Ἄργους, ὁ μάντις Μελάμπους καθάρας τῆς μανίας τὰς Ἀργείας, ἢ ὥς τινες μᾶλλόν φασι, τὰς Προιτίδας, ἐκοινώνησεν αὐτῷ τῆς ἀρχῆς ἅμα Βίαντι τῷ οἰκείῳ ἀδελφῷ, καθάπερ συνήρεσε. τούτων δὲ Βίαντος μὲν Ταλαός, Μελάμποδος δὲ Ἰοκλῆς, Ἀναξαγόρου δὲ Ἶφις, ὧν καταδυναστεύσας ὁ Βιαντίδης Ταλαὸς μόνος ἦρξεν. ὕστερον δὲ Ἀμφιάραος ὁ τοῦ ῥηθέντος Ἰοκλέος ἄρχει Ταλαὸν ἀνελών. Ἄδραστος δὲ ὁ Ταλαοῦ δείσας καὶ εἰς Σικυῶνα ἐλθὼν τὴν ἐκεῖ ἀρχὴν δέχεται Πολύβου τοῦ μητροπάτορος, καὶ ἅμα Ἴφιδι ἐπιστρατεύσας Ἀμφιαράῳ καὶ νικήσας πάλιν εἰς τρία κατέστησε τὴν ἀρχήν. εἶτα Ἀμφιαράου μὲν ἐν Θήβαις ἀπολωλότος, Ἴφιδος δὲ ἐν νόσῳ, Ἀδράστου δὲ ἐπὶ τῷ πένθει Αἰγιαλέως, Ἀγαμέμνων ὑφ' ἑαυτῷ ποιησάμενος τὸ Ἄργος ἐμέρισεν αὐτὸ ἐν τῷ στρατεύειν ἐπὶ Ἴλιον τοῖς ἀπογόνοις τῶν ἀρχόντων ἐκείνων, Σθενέλῳ Προιτίδῃ, Εὐρυάλῳ Ταλαϊονίδῃ καὶ Διομήδει ὁμοίως, διὰ τὴν ἐπιγαμίαν Ἀδράστου. οὐ γὰρ μόνον θυγατριδοῦς ἦν ὁ Διομήδης τῷ Ἀδράστῳ ἀπὸ Δηϊπύλης, ἀλλὰ καὶ γαμβρὸς ἐπὶ Αἰγιαλείᾳ τῇ θυγατρί· τοὺς γὰρ τοῦ Ἀμφιαράου ὑπενόει, τουτέστιν ὑπώπτευεν, ὡς φίλους Θυέστου. Τοιαῦτα τὰ τῆς ἱστορίας, ἣν οἱ ἐκθέμενοί φασι καί, ὅτι τὸ Ἄργος ἀπὸ Ἄργου ὠνομάσθη, ἀπογόνου Φορωνέως, καὶ ὅτι διὰ τὸ πρῶτον ᾠκίσθαι τὸ Ἄργος διὰ τοῦτο καὶ πρῶτον ἐτάχθη τῶν ὑπὸ τῷ Ἀγαμέμνονι ἐν τῷ ῥηθέντι Καταλόγῳ, ἐξ οὗ, φασί, καὶ πάντες Ἕλληνες Ἀργεῖοι, δι' οὓς ὦφλε δίκην ἐξ ἐρήμης ὁ ποιητὴς ἀνδρὶ φθονερῷ. κατὰ γὰρ τὴν Ἡροδότου ἱστορίαν Κλεισθένης, Σικυῶνος τύραννος, Ἀργείοις πολεμήσας ἔπαυσε τοὺς ῥαψῳδοὺς ἐν Σικυῶνι ἀγωνίζεσθαι, τῶν Ὁμήρου, φησίν, ἐπῶν ἕνεκα, διότι Ἀργεῖοι καὶ Ἄργος τὰ πολλὰ ἐν αὐτοῖς ὑμνοῦνται. δῆλον δὲ ὅτι οὐ μικροβασιλεὺς ὁ Ἀγαμέμνων, ὃς καθάπερ ἄλλοις ἑτέρους τόπους, οὕτω καὶ τοῖς περὶ Διομήδην τὴν Ἀργείαν ἀπεχαρίσατο. λέγουσι δὲ οἱ παλαιοὶ ἐν τῷ τῶν Ἀργείων τούτῳ καταλόγῳ καί, ὅτι ἀκολούθως μετὰ Σαλαμῖνα ἐπὶ Πελοπόννησον ἧκεν ὁ ποιητής. ἐπεὶ δέ, φασί,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τότε ἓξ ἦσαν ἐκεῖ δυναστεῖαι, ἐν μὲν τῷ πρὸς ἠῶ μέρει, ἤτοι τῷ ἀνατολικῷ, δύο, ἐν δὲ τῷ πρὸς ἑσπέραν τέσσαρες, πρώτας τὰς πρὸς ἠῶ καταλέγει, τὴν Ἀργολικήν, ἤτοι τὴν τῶν Ἀργείων, καὶ τὴν Μυκηνίδα, ἥτις ἦν ὑπὸ τῷ Ἀγαμέμνονι. εἶτα Λακωνικὴν καὶ Πύλιον, εἶτα Ἠλείαν καὶ Ἀρκαδικήν. ζητητέον δέ, τί δήποτε δηλοῖ τὸ «ἓξ ἦσαν δυναστεῖαι», ὡς ἀνωτέρω ἐγράφη, ἵνα μὴ διαφωνία τις ἐνταῦθα εἴη πρὸς Ἡρόδοτον εἰπόντα, ὅτι οἰκεῖ Πελοπόννησον ἔθνη ἑπτά.

1.446 (v. 569—80) Ὅτι οἳ τὰς Μυκήνας εἶχον καὶ Κόρινθον καὶ Κλεωνάς, Ὀρνειάς τε Ἀραιθυραίην τε καὶ Σικυῶνα, Ὑπερησίην τε καὶ Γονόεσσαν, Πελλήνην τε καὶ Αἴγιον, Αἰγιαλόν τ' ἀνὰ πάντα καὶ Ἑλίκην, ὑπὸ τῷ Ἀγαμέμνονι ἦσαν ἄρχοντι νηῶν ἑκατόν. ἅμα τούτῳ, φησί, πολὺ πλεῖστοι καὶ ἄριστοι λαοὶ ἕποντο. τοῦτο δὲ εἶπε διὰ τὰς ἑκατὸν νῆας, τάχα που καὶ τριήρεις οὔσας. ἐντεῦθεν δὲ καὶ εὐρυκρείων δείκνυται εἶναι. ὅτε δὲ μάθωμεν, ὅτι καὶ τοῖς Ἀρκάσιν ἑξήκοντα νῆας κενὰς ὁ αὐτὸς Ἀγαμέμνων δέδωκε, τότε πλεῖόν τι σεμνὸν ἐπ' αὐτῷ γνωσόμεθα. Ἐνταῦθα δὲ σημείωσαι, ὅτι ταὐτὸν ἡγεῖται ὁ ποιητὴς λέγειν «νῆες ἕποντο» καὶ «λαοὶ ἕποντο». εἶτα μὴ θέλων ἀπεριλάλητον ἀφεῖναι τὸν γεραρώτατον εὐρυκρείοντα ἐπάγει· «ἐν δ' αὐτὸς ἐδύσατο νώροπα χαλκὸν κυδιόων, ὅτι πᾶσι μετέπρεπεν ἡρώεσσιν, οὕνεκ' ἄριστος ἔην, πολὺ δὲ πλείστους ἄγε λαούς». Ἐγκώμια δὲ ταῦτα βασιλέως, βραχέα μὲν τῇ περιγραφῇ, πολυειδῆ δὲ τοῖς νοήμασιν. Ὅρα δὲ ὅτι τὸ «πολὺ πλείστους ἄγε λαούς» ἐκ τοῦ ἀνωτέρω ῥηθέντος παρῴδηται, ὅπερ ἦν τὸ «ἅμα τῷ γε πολὺ πλεῖστοι καὶ ἄριστοι λαοὶ ἕποντο». καὶ νῦν μὲν οὕτως ἐν στενῷ τὸν βασιλέα ἐπαινεῖ, προϊὼν δὲ πλατύτερον καὶ λαμπρότερον. εἰδέναι δὲ χρή, ὅτι ὅσα μὲν γνῶναι ἀπὸ συναναγνώσεως κοινῆς, Ἀγαμέμνων ὁ ῥηθεὶς τῶν Μυκηνῶν λέγεται βασιλεύς. οἱ δὲ παλαιοὶ εὑρεθῆναί φασιν ἐν πολλοῖς Ἀγαμέδοντα λεγόμενον, ὥσπερ καὶ τὸν Ἀχιλλέα Ἀθηλέα καὶ τὸν Κάλχαντα Χάλκαντα. καὶ ὁ Βελλεροφόντης δέ, φασίν, Ἐλλεροφόντης ἐν τοῖς Ζηνοδότου εὕρηται, καὶ ὁ Ὀδυσσεύς δέ που Ὀλυσσεύς καὶ ἡ Ὀδύσσεια Ὀλύσσεια καὶ ὁ Ἰκάριος Ἰκάδιος. καὶ τοιαῦτα μὲν ταῦτα. Ὁ δὲ ποιητὴς μετ' ἐπιθέτων προάγει τινὰς τῶν ῥηθεισῶν πόλεων, τὰς μὲν Μυκήνας εὐκτίμενον πτολίεθρον εἰπών, τὴν δὲ Κόρινθον ἀφνειόν, ὡς καὶ εἶναι ἀμφίβολον, εἴτε τὸν ἀφνειὸν Κόρινθον χρὴ εἰπεῖν ὁμωνύμως τῷ ἥρωϊ ἀφ' οὗ καλεῖται, εἴτε Ἀττικῶς καὶ Ἰωνικῶς τὴν ἀφνειὸν Κόρινθον. τὰς δὲ Κλεωνὰς εὐκτιμένας λέγει, ἐρατεινὴν δὲ τὴν Ἀραιθυρέην, αἰπεινὴν δὲ τὴν Γονόεσσαν καὶ εὐρεῖαν τὴν Ἑλίκην. (v. 569) Τούτων δὲ ἡ μὲν Μυκήνη ἀπό τινος νύμφης, φασί, Λακωνικῆς ὠνομάσθη ἢ ἀπὸ Μυκηνέως υἱοῦ Σπάρτωνος, ἀδελφοῦ Φορωνέως, ἢ ἀπὸ μύκητος τοῦ ξίφους, ὃ ἐφόρει Περσεύς, οὗ πεσόντος, φασί, κατὰ κέλευσιν Ἑρμοῦ τὴν πόλιν ἐκεῖ ἔκτισε. μύκης δὲ κατὰ τοὺς παλαιοὺς ἡ λαβὴ τοῦ ξίφους· ἡ δὲ χρῆσις καὶ παρ' Ἡροδότῳ ἐν τῷ «καὶ τοῦ κουλεοῦ τοῦ ξίφους ὁ μύκης ἀποπίπτει». Πολυσήμαντος δὲ ἡ τοῦ μύκητος λέξις, λεγομένη οὐ μόνον ἐπὶ τοῦ ἐκ γῆς φυομένου ἐδωδίμου περιττώματος, ὃ δὴ ἀμανίτην φαμὲν κοινότερον, ἀλλὰ καὶ ἐπὶ τῆς μύξης, ἥτις ἀνθρακοειδὴς τῶν ἀναπτομένων ἐλλυχνίων προβέβληται, δηλοῦσα δέ, ὡς εἴρηται, καὶ τὴν τοῦ ξίφους λαβήν, ἧς αἱ Μυκῆναι παρώνυμοι.

1.447 κατὰ δέ τινας Μυκήνη ἀπὸ τοῦ μυκήσασθαι τὴν Ἰῶ, βοῦν ἐκεῖ γενομένην. Λέγεται δὲ καὶ ἑνικῶς Μυκήνη καὶ πληθυντικῶς. ὁ δὲ πολίτης αὐτῆς οὐ μόνον Μυκηναῖος ἀλλὰ καὶ Μυκηνεὺς κατὰ τὸν τὰ Ἐθνικὰ γράψαντα. Ἐταπεινώθησαν δέ, φησί, μετὰ τὰ Τρωϊκὰ αἱ Μυκῆναι. καὶ οἱ τὸ Ἄργος ἔχοντες εἶχον καὶ Μυκήνας συντελούσας εἰς ἕν. χρόνοις δ' ὕστερον κατεσκάφησαν ὑπ' Ἀργείων, ὡς μηδ' ἴχνος εὑρίσκεσθαι τῆς Μυκηναίων πόλεως. καί πως ἔοικεν ἡ ποιητικὴ μαντικὴ τοῦτο προειπεῖν διὰ τῆς Ἥρας, ἥτις φιλτάτην, ὥς πού φησι παρ' Ὁμήρῳ, τὴν Μυκήνην ἔχουσα, ὅμως ἀφίησι πορθηθῆναι τῷ Διΐ, ὅτε ἐκεῖνος βούλοιτο. οὔκουν ζητητέον ἄρτι τὰς Μυκήνας· ὁ χρόνος γὰρ κατὰ τὸν Γεωγράφον τῶν Ὁμήρου ἠμαύρωκε τὰ πολλά, λέγοντος οὐ τὰ νῦν ἀλλὰ τὰ ἀρχαῖα. Φέρεται δὲ ἱστορία καί, ὅτι Μυκήνας Περσεὺς μὲν ἔκτισε, διεδέξατο δὲ Σθένελος, εἶτα Εὐρυσθεὺς Περσείδης καὶ αὐτὸς ὤν. ἐπεὶ δὲ συμβαλὼν

Ἀθηναίοις τελευτᾷ, προϊστῶσι κατά τι λόγιον Ἀτρέα, αὐτόθι διάγοντα μετὰ τοῦ ἀδελφοῦ Θυέστου ἐπὶ τῷ φόνῳ Χρυσίππου. εὐδαιμονήσασα δὲ τὸ παλαιὸν ὕστερον ἐδυσπράγησε. μετὰ γὰρ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν Ἀργεῖοι καὶ Κλεωναῖοι ἐπελθόντες καὶ Τεγεᾶται ἄρδην αὐτὰς καθεῖλον καὶ τὴν γῆν διενείμαντο. (v. 570) Ἡ Κόρινθος δὲ πόλις περιώνυμος καὶ πολλῶν αἰτία λόγων τοῖς πάλαι σοφοῖς, ἐν οἷς ἐστι καὶ Πίνδαρος, ἔσω τοῦ ἐν Πελοποννήσῳ ἰσθμοῦ κειμένη. ἐκαλεῖτο δέ, φασί, ποτε καὶ Ἐφύρα ἀπὸ Ἐφύρης τινὸς ἡρωΐνης· καὶ Ἡλιούπολις δέ, φασίν, ἐκλήθη διὰ τὸ ξηρὰ εἶναι· καὶ Πάγος δὲ ἡ αὐτή. εὐθήνησε δέ ποτε τῇ τῶν ἑταιρίδων εὐφορίᾳ. ὅθεν καὶ κορινθιάζεσθαι τὸ μαστροπεύειν ἢ ἑταιρεῖν ἀπὸ τῶν ἐν Κορίνθῳ ἑταιρῶν· ἦν δέ τι καὶ σχῆμα κιόνων Κορινθιουργὲς λεγόμενον. ἡ δὲ περὶ αὐτὴν Ἀκροκόρινθος ἐκαλεῖτο, φασί, καὶ Ἐπώπη, διότι Σίσυφος ἐκεῖ ἀφ᾽ ὑψηλοῦ ἐπώπτευσεν, ὅπως ὑπὸ Διὸς ἡ Αἴγινα ἥρπαστο. Ἀφνειὸν δὲ Κόρινθον ὁ ποιητής φησι διὰ τὸ ἐκεῖ ἐμπόριον, κείμενον ἐπὶ τῷ ἰσθμῷ κατὰ τὸν Γεωγράφον, ὃς καὶ δυοῖν λιμένων κύριον αὐτόν φησι, δι᾽ ὧν αἱ ἀμοιβαὶ τῶν φορτίων ῥᾴδιοι ἦσαν ἔκ τε Ἀσίας καὶ Ἰταλίας. ὑπὸ δὲ τῇ κορυφῇ τοῦ Ἀκροκορίνθου ὄρους Πειρήνη κρήνη. λαλεῖ δὲ καὶ αὐτὸς πολλὰ εἰς ταύτην τὴν Κόρινθον. ἐν οἷς καὶ ὅτι περιᾴδονται τὰ Κορινθιουργῆ χαλκώματα. σημειοῦνται δὲ οἱ παλαιοί, ὅτι τὴν Κόρινθον, ἡνίκα ἡρωϊκόν ἐστι τὸ λαλοῦν πρόσωπον, Ἐφύρην καλεῖ.

1.448 Θουκυδίδης δὲ ἐμπόριον αὐτὴν Ἑλλάδος λέγει. ὁ δὲ Γεωγράφος καὶ ταῦτα περὶ Κορίνθου φησίν· Ἀφροδίτης ἐκεῖσε ἱερὸν πλουσιώτατον. πλείους οὖν ἢ χιλίας ἱεροδούλους εἶχεν ἑταίρας καὶ διὰ ταύτας πολυωχλεῖτο ἡ πόλις καὶ ἐπλουτίζετο ἐξαναλισκομένων τῶν ναυτίλων, ὅθεν ἡ παροιμία φησίν· «οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθόν ἐσθ᾽ ὁ πλοῦς», [παρεξεσμένη πρὸς τὸ «οὐκ ἐνθάδ᾽ οἱ πλοῖ τοῖσι σώφροσι βροτῶν», ὅ δή φησι Σοφοκλῆς.] Ἔχει δὲ ὄρος ὑψηλόν, ὅπερ εἰς ὀξεῖαν μὲν τελευτᾷ κορυφήν, καλεῖται δὲ Ἀκροκόρινθος. καὶ ἡ μὲν κορυφὴ ναΐδιον ἔχει Ἀφροδίτης, ὑπὸ δὲ τῇ κορυφῇ τὴν Πειρήνην εἶναι συμβαίνει κρήνην, ἔκρυσιν μὲν οὐκ ἔχουσαν, μεστὴν δ᾽ ἀεὶ διαυγοῦς καὶ ποτίμου ὕδατος. ἐξ αὐτῆς δὲ καὶ ἐξ ἄλλων ὑπονόμων φλεβίων συνθλίβεται πρὸς τῇ ῥίζῃ τοῦ ὄρους κρήνη ἐκρέουσα εἰς τὴν πόλιν, ἀφ᾽ ἧς ἱκανῶς ὑδρεύονται. ἐνταῦθά φασι πίνοντα τὸν Πήγασον ἁλῶναι ὑπὸ τοῦ Βελλεροφόντου. ἠρημώθη δὲ ὕστερον ἡ πόλις καὶ τὴν πλείστην αὐτῆς ἔσχον οἱ Σικυώνιοι. ἀνελήφθη δ᾽ ὕστερον ὑπὸ Καίσαρος. χώραν δὲ ἔσχεν οὐκ εὔγεων σφόδρα, ἀλλὰ σκολιάν τε καὶ τραχεῖαν, ὅθεν ὀφρυόεις Κόρινθος ἐλέγετο καὶ παροιμία ἐφέρετο λέγουσα· «Κόρινθος ὀφρύεται καὶ κοιλαίνεται». Κλεωναὶ δὲ πόλισμα, φασίν, ἐπὶ τῇ ὁδῷ τῇ ἐξ Ἄργους εἰς Κόρινθον ἐπὶ λόφου περιοικουμένου πανταχόθεν καὶ τετειχισμένου καλῶς. διέχει δὲ Ἄργους μὲν στάδια εἴκοσι, Κορίνθου δὲ ὀγδοήκοντα. Ἐνταῦθα καὶ ἡ Νεμέα μεταξὺ Κλεωνῶν καὶ Φλιοῦντος καὶ τὸ ἄλσος, ἐν ᾧ τὰ Νέμεα συνετελοῦντο. καλοῦνται δὲ Κλεωναὶ ἀπὸ Κλεώνης τῆς Ἀσωποῦ, [τοῦ τοῦ Ὠκεανοῦ καὶ Μετώπης τῆς καὶ παρὰ τῷ Πινδάρῳ], κατὰ δέ τινας ἀπὸ τοῦ Νεμεαίου λέοντος, ὃν ἀνεῖλεν Ἡρακλῆς, οἱονεὶ Λεωναί καὶ πλεονασμῷ Κλεωναί. πληθυντικῶς δὲ αὕτη ἀεὶ λέγεται. ἡ μέντοι Κλεώνη νῆσος περί που τὴν ᾀδομένην Κέρνην αὐτὴ ἑνικῶς καὶ διὰ δύο ν γράφεται. Ἡρόδοτος δὲ καὶ ἔσω τοῦ Ἄθω οἶδε πόλιν Κλεωνάς. (v. 571) Ὀρνειαὶ δὲ ἢ δίχα τοῦ ι Ὀρνεαί —τοῦτο γὰρ μάλιστα ἐν κοινῇ χρήσει κεῖται—κώμη ἐστὶν Ἀργείας κατὰ τὸν Γεωγράφον.

1.449 ἔστι δὲ καὶ ἑτέρα μεταξὺ Κορίνθου καὶ Σικυῶνος. ταύτην δὲ ὁ τὰ Ἐθνικὰ γράψας πόλιν λέγει, οὐ κώμην. πληθυντικῶς δὲ καὶ αὗται λέγονται, ὡς καὶ αἱ Κλεωναί. γράφονται δὲ διὰ διφθόγγου αἱ Ὀρνειαί, ὡς καὶ Βρυσειαὶ καὶ Αὐγειαί. καλεῖται δὲ οὕτως ἢ ἀπὸ Ὀρνέως, υἱοῦ Ἐρεχθέως, ἢ ἀπὸ Ὀρνέας νύμφης, ἢ ὅτι ἐφ᾽ ὕψους κεῖνται, ἢ ὁμωνύμως Ὀρνέᾳ τῷ ποταμῷ. τοῦτο δὲ καὶ ὁ Γεωγράφος φησὶ λέγων, ὅτι Ὀρνεαὶ ἐπώνυμοι τῷ παραρρέοντι ποταμῷ. ὃς καὶ ταῦτά φησιν, ὡς νῦν μὲν ἔρημοι, πρότερον δ᾽ οἰκούμεναι καλῶς. ἐτιμᾶτο δ᾽ ἐκεῖ Πρίαπος, ὅθεν καὶ Ὀρνεάτης ἐκαλεῖτο. κεῖνται δ᾽ ὑπὲρ τοῦ πεδίου τοῦ τῶν Σικυωνίων. ἡ δὲ Ἀραιθυρέα καὶ

Φλιοῦς, φασίν, ἐκλήθη ἀπὸ Φλιοῦντος, υἱοῦ Διονύσου. φέρεται δὲ ἐν τοῖς τοῦ Ἐθνογράφου, ὅτι Ἄραντος ἥρωος υἱὸς ἐγένετο Ἄορις καὶ θυγάτηρ Ἀραιθυρέα. τούτους Φλιάσιοι θηρατάς φασι καὶ πολεμικούς. προαποθανούσης δὲ τῆς ἀδελφῆς ἀπ' αὐτῆς ἡ χώρα ἐκλήθη. τοπικὸν αὐτῆς Ἀραιθυρεεύς. ἡ δὲ τοῦ Γεωγράφου ἱστορία φησίν, ὅτι Ἀραιθυρέα, ἡ νῦν Φλιασία, πόλις Φλιοῦντος, κειμένη μέσον Σικυωνίας, Ἀργείας, Κλεωνῶν καὶ Στυμφάλων. πόλιν δ' εἶχεν ὁμώνυμον τῇ χώρᾳ πρὸς ὄρει ὀνομαζομένῳ Κηλώσσῃ· οἱ δ' ὕστερον ἀναστάντες ἐκεῖθεν πρὸ τριάκοντα σταδίων ἔκτισαν τὴν Φλιοῦντα. (v. 572) Σικυὼν δὲ κατὰ τὸν αὐτὸν Γεωγράφον Μηκώνη πρότερον ἐκαλεῖτο, πρὸ δὲ τούτου Αἰγιαλοί. μέμνηται δὲ Μηκώνης καὶ Ἡσίοδος ἐν Θεογονίᾳ. παραρρέει δὲ τὴν Σικυωνίαν Ἀσωπὸς κατὰ τὸν Γεωγράφον, ἐκ τῆς προρρηθείσης Κηλώσσης λαμβάνων τὴν ἀρχὴν καὶ ποιῶν τὴν Ἀσωπίαν χώραν. ἕτερος δέ, φησίν, οὗτος παρὰ τὸν ῥέοντα περὶ Θήβας Ἀσωπὸν καὶ Πλαταιὰς καὶ Τάναγραν καὶ τὸν ἐν Ἡρακλείᾳ τῇ Τραχινίᾳ καὶ τὸν ἐν τῇ Πάρῳ. καὶ ἰδοὺ τέσσαρες οὗτοι Ἀσωποὶ ποταμοὶ κατὰ τὴν γεωγραφικὴν ἱστορίαν. λέγεται δὲ καὶ θηλυκῶς καὶ ἀρσενικῶς ἡ Σικυών. ἐκλήθη δέ ποτε καὶ Τελχινία διὰ τὸ τοὺς ᾀδομένους Τελχῖνας καὶ αὐτόθι οἰκῆσαι. εὐδαίμων δὲ ἡ Σικυὼν καὶ δηλοῖ αὐτὸ καὶ παροιμία λέγουσα· «εἴη μοι τὰ μεταξὺ Κορίνθου καὶ Σικυῶνος». Ἄδραστος δὲ πρῶτα ἐμβασίλευε, φησίν, αὐτόθι, ἐπειδὴ ἐκπεσὼν Ἄργους, ὡς προερρέθη, ἐκεῖ κατέστη καὶ ὑπέταξεν αὐτοὺς οὐκ εἰωθότας, φασίν, ἄρχεσθαι. διὸ πρῶτα ἐμβασιλεύειν ἐρρέθη διὰ τὸ αὐτῷ πρώτῳ ἐκείνους ὑποταγῆναι. ἀνῴκισται δὲ κατὰ τὸν Γεωγράφον ἡ Σικυὼν ἀπὸ θαλάσσης ὀλίγα στάδια ἐπὶ λόφου ἐρυμνοῦ.

1.450 ταύτης ἐτυράννησεν Ἄρατος, ἀνὴρ ἐπιφανέστατος, ὁ καὶ τῶν Ἀχαιῶν ἄρξας. [Ἐνταῦθα δὲ ἰστέον, ὅτι οἱ συνθέμενοι τὸ σικυήλατον φράσαι δύνανται κατὰ τὸ δαφνών καὶ ἐλαιών—ἔνθα δηλαδὴ δάφναι καὶ ἐλαῖαι—οὕτω καὶ σικυὼν περιεκτικῷ τύπῳ, ὅπου περιέχονται σικυοί, οὓς οἱ παλαιοὶ καὶ σικύους παροξυτόνως ἔγραψαν καὶ σίκυας, ὡς νέκυας.] (v. 573) Ὑπερησία δὲ πόλις, φασίν, Ἀχαΐας ἀπὸ Ὑπέρητος ὀνομασθεῖσα, υἱοῦ Λυκάονος. οἱ δὲ καλέσαντες αὐτὴν Ὑπέρειαν κακῶς εἶπον. Ὑπέρεια γάρ, φασί, πηγὴ Μεσσηΐδος καὶ πόλις Σικελική. Γονόεσσα δὲ ἀκρωτήριον Πελλήνης, ἥτις ῥηθήσεται κατωτέρω. διὸ καὶ αἰπεινὴν αὐτὴν ὁ ποιητὴς καλεῖ διὰ τὸ τῶν ἀκρωτηρίων ὑψηλὸν ὡς ἐπὶ πολύ. Γονοῦσσα μέντοι τρισυλλάβως πόλις Περραιβίας, ὥσπερ καὶ Γόννος ἐν δυσὶ ν ὁ καὶ παρὰ Λυκόφρονι. οἱ δὲ Γοννεῖς οὐδὲ αὐτοὶ Ὁμηρικοί εἰσιν, ἀλλὰ πόλις Θρᾴκης κατὰ τοὺς παλαιούς, οἱ καὶ Ἀδριανοπολῖται. (v. 574) Πελλήνη δὲ πόλις καὶ αὐτὴ Ἀχαΐας. ταύτης ἐθνικὸν Πελληνεύς καὶ Πελλήνιος· ἡ μέντοι Παλλήνη διὰ τοῦ α πόλις ἐστὶ Θρᾴκης. καὶ χερόννησος δὲ τρίγωνος ἡ καὶ Φλέγρα λεγομένη, περὶ ἣν Ἡρακλῆς τοὺς Γίγαντας κατεπολέμησεν. ὁ δὲ Γεωγράφος φησίν, ὅτι μετὰ Σικυῶνα Πελλήνη κεῖται, εἶτα Αἴγειρα δευτέρα, τρίτη Αἰγαί, ἃς καὶ Αἰγὰν λέγουσιν ἑνικῶς, Ποσειδῶνος ἱερὸν ἔχουσα. τετάρτη Βοῦρα, μεθ' ἣν Ἑλίκη, μετὰ δὲ αὐτὴν Αἴγιον καὶ Πατρεῖς, εἶτα Ὤλενος, παρ' ᾧ ποταμὸς μέγας Μέλας, εἶτα Δύμη κληθεῖσα διὰ τὸ δυσμικωτέρα κεῖσθαι. πρότερον γάρ, φασί, Στρατὸς ἐκαλεῖτο. Λέγει δὲ καί, ὅτι Πελλήνη στάδια ἑξήκοντα τῆς θαλάσσης ὑπερκειμένη φρούριον ἐρυμνόν. ἔστι δὲ καὶ κώμη Πελλήνη, ὅθεν καὶ Πελληνικαὶ χλαῖναι, ἃς ἔπαθλα ἐτίθεσαν ἐν τοῖς ἐκεῖ ἀγῶσιν, ὡς καὶ ὁ Κωμικὸς δηλοῖ ἐν Ὄρνισιν. Αἴγιον δὲ πόλις Ἀχαΐας καὶ αὐτό, οὗ πολίτης Αἰγιεύς, ὡς ὁ χρησμός· «ὑμεῖς δ' Αἰγιέες οὔτε τρίτοι οὔτε τέταρτοι», τουτέστιν οὐ μόνον πρωτεῖον ἐν ἀνδρίᾳ οὐ πλουτεῖτε, οὔτε μὴν δευτερεῖον, ὡς ἀκοῦσαι βούλεσθε, ἀλλ' οὐδὲ τρίτοι οὐδὲ τέταρτοι τὰ εἰς ἀνδρίαν ἐστέ.

1.451 ὁ δὲ Στράβων λέγει καί, ὅτι Αἴγιον ἱκανῶς οἰκούμενον. ἱστοροῦσι δ' ἐνταῦθα τὸν Δία ὑπ' αἰγὸς τραφῆναι, ἣν Ὠλενίην Ἄρατος λέγει, διότι πλησίον ἡ Ὠλένη ἢ ὁ Ὤλενος, κτίσμα ὁμώνυμον τῷ Αἰτωλικῷ μεταξὺ Πατρῶν καὶ Δύμης. ῥεῖ δὲ αὐτόθι Σελινοῦς ποταμός. εἰσὶ δὲ καὶ ἄλλοι, φησίν, ὁμώνυμοι τούτῳ ποταμοί. (v. 575) Ὁ δὲ Αἰγιαλὸς κατὰ τὸν Γεωγράφον τῶν Ἀχαιῶν ἐστι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ αὐτός. καὶ χώρα ἐκεῖσε Αἰγιάλεια τὸ παλαιὸν καὶ οἱ ἐνοικοῦντες Αἰγιαλεῖς. ὕστερον δὲ Ἰωνία ἐκλήθη ἀπὸ Ἰώνων, καθάπερ καὶ ἡ Ἀττικὴ ἀπὸ Ἴωνος τοῦ Ξούθου. Ἀθηναῖοι δέ, φησίν, ἔστειλαν εἰς ἀποικίαν ἐκεῖ τοὺς Ἴωνας, οἳ ἀντ᾽ Αἰγιαλοῦ Ἰωνίαν τὴν χώραν ἐκάλεσαν καὶ τοὺς ἄνδρας ἀντ᾽ Αἰγιαλέων Ἴωνας. πλατὺς δέ τις ὁ Αἰγιαλὸς οὗτος ἔοικεν εἶναι καὶ εὐρύχορος καὶ διήκων ἐπὶ πολύ· διὸ καὶ ἐπεσημήνατο ὁ ποιητής· «Αἰγιαλόν τ᾽ ἀνὰ πάντα»· τὸ γὰρ πάντα πληθυσμόν τινα δηλοῖ τόπου. ἐλέγετο δέ, φασίν, Αἰγιαλὸς καὶ ἡ παραθαλασσία πλευρὰ Πελοποννήσου, ἡ παρατείνουσα ἐκ Σικυῶνος ἕως Ἤλιδος. καὶ τάχα διὰ τοῦτον τὸν Αἰγιαλὸν εἶπεν ὁ ποιητὴς τὸ «ἀνὰ πάντα», ὡς τοσούτου τόπου ὄντος ὑπὸ Ἀγαμέμνονι. Ὅρα δὲ καὶ ὅτι συνωνύμων οὐσῶν λέξεων τῆς ἠϊόνος καὶ τοῦ αἰγιαλοῦ, ὅμως οὐ ταὐτόν ἐστι τοπικῶς ἐν ἱστορίαις Ἠϊὼν καὶ Αἰγιαλός, ἀλλ᾽, ὡς ἤδη ἐφάνη, ἕτερον μὲν Ἠϊών, ἕτερον δὲ Ἠϊόνες καὶ ἕτερον Αἰγιαλός. ὅτι δὲ καὶ πολλοὶ Αἰγιαλοί, ἐν τοῖς ἑξῆς μετ᾽ ὀλίγα ῥηθήσεται. Ἑλίκη δὲ ἀπὸ Ἑλίκα, φασί, καλεῖται, υἱοῦ Λυκάονος, ἢ ἀπὸ Ἑλίκης τῆς Ἴωνος μὲν γυναικός, Σελινοῦντος δὲ θυγατρός, υἱοῦ Ποσειδῶνος. ἠφανίσθη δέ, φασίν, αὕτη ὑπὸ κύματος. ἐξαρθὲν γὰρ ὑπὸ σεισμοῦ τὸ πέλαγος κατέκλυσε καὶ αὐτὴν καὶ τὸ ἱερὸν τοῦ Ἑλικωνίου Ποσειδῶνος, ὃ ἐτίμων οἱ Ἴωνες, θύοντες ἐκεῖ τὰ Πανιώνια, περὶ ὧν φθάσαντες εἴπομεν· ἧς θυσίας ὑπονοεῖται μεμνῆσθαι καὶ ὁ ποιητὴς ἐν τῷ «βοῦς ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ ἄνακτα». τότε γάρ, φασί, νομίζουσι καλλιερεῖν περὶ τὴν θυσίαν Ἴωνες, ὅταν θυόμενος ὁ ταῦρος ἐρεύξηται μυκητικῶς. λέγεται δὲ καὶ ἄλλη Ἑλίκη Θετταλική. (v. 578) Νώροπα δὲ χαλκὸν λέγει τὸν λαμπρὸν καὶ στερίσκοντα τοῦ ὁρᾶν, οἷα δυσωπουμένης τῆς ὄψεως πρὸς τὴν λαμπρότητα· ἔστι γὰρ στερητικὸν μὲν τὸ νω , ὁρᾶν δὲ τὸ βλέπειν, ἐξ οὗ ὁ νῶροψ. (v. 579) Κυδιόων δὲ ὁ γαυριῶν καὶ ὑψαυχενῶν, ὁποῖόν τι ἔοικε ποιεῖν ὁ Ἀγαμέμνων ἐν τῇ νῦν εἰς μάχην ἐξόδῳ. (v. 581—90) Ὅτι οἱ περὶ Λακεδαίμονα Φάρην τε Σπάρτην τε Μέσσην τε καὶ Βρυσειὰς καὶ Αὐγειὰς καὶ Ἀμύκλας καὶ Ἕλος καὶ Λάαν καὶ Οἴτυλον ὑπὸ τῷ Μενελάῳ ἦσαν, ὃς νεῶν ἦρχεν ἑξήκοντα.

1.452 ἑλόμενος δὲ ὁ ποιητὴς δαπανῆσαί τι ἐπαίνου καὶ εἰς αὐτόν, καθὰ καὶ εἰς τὸν ἀδελφὸν Ἀγαμέμνονα, ᾧ καὶ συνέταξε τοῦτον ἐπίτηδες, λέγει ὅτι καὶ αὐτὸς προῄει «ᾖσι», τουτέστι ταῖς ἑαυτοῦ, «προθυμίαις πεποιθὼς ὀτρύνων πόλεμόνδε· μάλιστα δὲ ἵετο θυμὸς τίσασθαι Ἑλένης ὁρμήματά τε στοναχάς τε», ἤγουν ἐκδικῆσαι, ὡς καὶ προείρηται ὑπὸ Νέστορος, τὴν ἐξ ἀρχῆς ἁρπαγιμαίαν αὐτῆς ὁρμὴν καὶ τὸν ὕστερον μετάμελον. Πολλαχοῦ γὰρ ὁ ποιητὴς στενάζουσαν αὐτὴν ποιεῖ ἐφ᾽ οἷς ἡρπάγη καὶ μετάμελον τιθεμένην, ὃς δὴ ἀκεῖται πᾶν ἁμάρτημα. Τὸ δὲ «προθυμίαις πεποιθώς» ἐκτείνει μὲν διὰ μέτρου ἀνάγκην τὸ ἐν τῇ παραληγούσῃ δίχρονον τοῦ «προθυμίαις». οὔτε δὲ ἀνδρεῖον παραδείκνυσι τὸν Μενέλαον καὶ ἀφορμὴν δὲ δίδωσι τῇ παραβολῇ, ἐν ᾗ μυίας θάρσος αὐτὸν ἔχειν ὁ ποιητὴς ἐρεῖ. Ἱστοροῦσι δὲ οἱ παλαιοὶ περὶ τῆς Μενελάου ἀρχῆς ταῦτα. Οἴβαλος, υἱὸς Περιήρους, ἦρχε Λακεδαιμονίων, οὗ παῖδες Τυνδάρεως ἢ Τυνδάρης καὶ Ἴκαρος καὶ Ἄρνη, γνήσιοι οὗτοι, νόθος δὲ Ἱπποθόων, ὃς συμφραξάμενος Ἰκάρῳ Τυνδάρην ἀπελαύνει καὶ ἄρχει πολλοῖς πλήθων υἱοῖς. Ἡρακλῆς δὲ μετὰ τὴν ἐν τῇ Πύλῳ μάχην θύσων εἰς Ἀμύκλας ἔρχεται κατὰ χρησμόν. Οἰωνοῦ δέ, υἱοῦ Λικυμνίου, προελθόντος ἐπὶ θέαν Λακεδαίμονος—θεράπων δὲ ἦν ὁ Οἰωνὸς ἑταῖρος τῷ Ἡρακλεῖ—ἀναιροῦσιν αὐτὸν οἱ Ἱπποθοωντίδαι θανάτου κυνὸς ἕνεκα, ἐφ᾽ οἷς Ἡρακλῆς ἅμα τῷ πατρὶ κατακτείνας αὐτοὺς τὴν ἀρχὴν τῷ Τυνδάρῃ δίδωσι καὶ τοῖς παισί, Κάστορι δηλαδὴ καὶ Πολυδεύκει, ὧν μὴ στρατευσάντων Μενέλαος ἄρχει. καὶ τοῦτο μὲν τοιοῦτον. Τῶν δὲ ῥηθέντων τόπων τὴν μὲν Λακεδαίμονα κοίλην λέγει, ὡς καὶ ἐν τῇ Ὀδυσσείᾳ, δι᾽ ὃν λόγον καὶ Συρία κοίλη λέγεται· περιέχεται γὰρ ὑπὸ τοῦ Ταϋγέτου καὶ τοῦ Παρθενίου ὄρους ἡ Λακεδαίμων. τὴν δ᾽ αὐτὴν καὶ κητώεσσαν καλεῖ ὡς καὶ ἐν Ὀδυσσείᾳ· τὴν δὲ Μέσσην πολυτρήρωνα, ὡς καὶ πρὸ τούτων τὴν Θίσβην· τὰς δὲ Αὐγειὰς ἐρατεινὰς διὰ τὸ καλὸν τοῦ τόπου, ὡς ἔοικε· τὸ δὲ Ἕλος ἔφαλον πτολίεθρον, ὡς καὶ τὴν Κήρινθον πρὸ ὀλίγων ἔφαλον εἶπεν. ἡ δὲ κατὰ μέρος θεωρία τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥηθεισῶν πόλεων ὡς ἐν συνόψει τοιαύτη τίς ἐστιν. (v. 581) Ἡ μὲν Λακεδαίμων ἀπὸ Λακεδαίμονος ὠνόμασται, οὗ υἱὸς Ἀμύκλας, ἢ διότι συνθέμενοι κλήρῳ διανείμασθαι τὴν χώραν Ἡρακλεῖδαι ἐποίησαν οὕτω καὶ ὁ λαχὼν πρῶτος λαβὼν ταύτην ἐκάλεσεν ἀπὸ τοῦ πράγματος, ὅθεν Λαβεδαίμων ἢ Λαχεδαίμων, διότι ἀγαθῷ δαίμονι, τουτέστι τύχῃ, ταύτην ἔλαβεν ὁ λαβὼν ἢ ἔλαχεν ὁ λαχών, καὶ τροπῇ τοῦ βῆτα ἢ τοῦ χῖ εἰς κ Λακεδαίμων.

1.453 λέγεται δέ, φασί, Λακεδαίμων καὶ ἡ χώρα καὶ ἡ πόλις· ἡ μὲν χώρα ἐν τῷ «τά οἱ ξεῖνος Λακεδαίμονι δῶκε τυχήσας», ἡ δὲ πόλις ἐν τῷ «οἳ δ᾽ ἷξον κοίλην Λακεδαίμονα» πρὸς δώματα Μενελάου. καὶ ὅτε γοῦν τις ἀκούσει τὴν Λακεδαίμονα ἑκατόμπολιν εἶναι, τὴν χώραν νοήσει. σαφέστερον δὲ καὶ ἀκριβέστερον ὁ Γεωγράφος φησίν, ὅτι ἡ Λακωνικὴ τὸ παλαιὸν μὲν ἑκατόμπολις καὶ τὰ Ἑκατόμβαια διὰ τοῦτο ἐθύετο ἐκεῖ κατ᾽ ἔτος. νῦν δέ, φησί, πολίχναι τινές εἰσι τριάκοντα τὸν ἀριθμόν. ἐκαλεῖτο δὲ καὶ Ἀχαϊκὸν Ἄργος οὐ μόνον ἡ Πελοπόννησος ὅλη ἀλλὰ καὶ ἰδίως ἡ Λακωνική, ὡς δηλοῖ τὸ «ἢ Μενέλαος οὐκ Ἄργεος ἦεν Ἀχαϊκοῦ», ἤγουν οὐκ ἦν ἐν τῇ Λακωνικῇ. Εἰ δὲ καὶ ἀτείχιστος κατὰ παλαιὰν ἱστορίαν ᾠκεῖτο ἡ Λακεδαίμων, πῶς ἂν πόλις λέγοιτο; κώμη γὰρ μᾶλλον λέγεσθαι ὤφειλεν. οἱ δὲ περὶ Σπάρτης τοῦτό φασιν. Ἱστορεῖται δὲ ὅτι Λακεδαιμόνιοι λάμβδα ἐπὶ ταῖς ἀσπίσιν αὐτῶν εἰς παράσημον ἔγραφον ἐκ τοῦ κατάρχοντος στοιχείου χαρακτηρίζοντες ἑαυτούς, ὥσπερ οἱ Μεσσήνιοι, πλησιόχωροι ὄντες αὐτοῖς καὶ πολέμιοι τὸ μῦ. Εὔπολις· «ἐξεπλάγην γὰρ ἰδὼν στίλβοντα τὰ λάμβδα», ἤγουν τὰς Λακωνικὰς ἀσπίδας. θαυμάζουσι δὲ οἱ παλαιοί, ὅπως οὐδέν τι θαυμαστὸν περὶ Λακεδαίμονος εἶπεν ὁ ποιητής, καὶ λέγουσι πρὸς ἄλλοις καὶ τοῦτο, ὅτι οὔπω ἦσαν ὑπὸ Λυκούργου πεπαιδευμένοι οἱ Λάκωνες, ὡς ἔχειν τι πολλοῦ λόγου ἄξιον. ἔστι δὲ καὶ Κυπρία Λακεδαίμων. ἐθνικὸν Λακεδαιμόνιος καὶ συγκοπῇ Λάκων, ὡς καὶ τοῦ Κυδωνιᾶται συγκέκοπται τὸ Κύδωνες ἐν τῇ Ὀδυσσείᾳ. τοῦτο δὲ τοῖς ἀκριβεστέροις οὐκ εὐηρέστηται. τινὲς δὲ ὑποκοριστικὸν εἶπον τὸ Λάκων, οὗ θηλυκὸν Λάκαινα, κτητικὸν Λακωνική. ἔστι δὲ καὶ κλεὶς Λακωνική, καινοτέρα τις, καὶ εἶδος δὲ ὑποδήματος καὶ ὀρχήσεως εἶδος καὶ μάστιγες Λακωνικαὶ καὶ σιδήριον Λακωνικόν· τῶν γὰρ στομωμάτων, φασί, τὸ μὲν Χαλυβδικόν, τὸ δὲ Σινωπικόν, τὸ δὲ Λύδιον, τὸ δὲ Λακωνικόν. καὶ Σινωπικὸν μὲν καὶ Χαλυβδικὸν χρήσιμον εἰς τὰ τεκτονικά, Λακωνικὸν δὲ εἰς ῥίνας καὶ σιδηροτρύπανα καὶ χαρακτῆρας καὶ λιθουργικά, τὸ δὲ Λύδιον εἰς ῥίνας καὶ αὐτὸ καὶ μαχαίρας καὶ ξυρία καὶ ξυστῆρας. οὕτω Δαΐμαχος ἐν πολιορκητικοῖς Ὑπομνήμασι κατὰ τὸν 〈τὰ〉 Ἐθνικὰ γράψαντα.

1.454 Τὸ δέ «κητώεσσα» δηλοῖ μὲν τὴν μεγάλην παρὰ τὸ κῆτος, τὸ μεῖζον τῶν ἐνύγρων. γράφεται δὲ καὶ ἄλλως παρὰ τοῖς παλαιοῖς «καιετάεσσα», ἤγουν καλαμινθώδης, φασί· πολὺ δὲ ἐν Σπάρτῃ τὸ τοιοῦτον φυτόν· οἱ δὲ ὅτι εὔσειστος ἡ Λακωνική· Καιετοὶ γὰρ οἱ ἀπὸ τῶν σεισμῶν ῥωχμοί, ὅθεν Καιέτας δεσμωτήριον παρὰ Λακεδαιμονίοις, σπήλαιόν τι· τινὲς δὲ κώους τὰ τοιαῦτα κοιλώματά φασιν, ἀφ᾽ οὗ «φηρσὶν ὀρεσκῴοις» φησὶν Ὅμηρος. τῆς δὲ τοιαύτης λέξεως μνήμη τις ἔσται καὶ μετ᾽ ὀλίγα ἐν τοῖς περὶ τῆς νήσου Κῶ. ζήτει δὲ περὶ τούτου καὶ τὰ εἰς τὴν Ὀδύσσειαν, οὐκ ἀνάξια ἐντυχίας ὄντα. ζητητέον δέ, μήποτε ἡ Λακεδαίμων κητώεσσα λέγηται καὶ διὰ τὸ τὴν ζωννῦσαν τὰ ἐκεῖ θάλασσαν κητοτρόφον εἶναι καὶ οὕτω θηριώδη, καθ᾽ ὃ καὶ Ἡρόδοτος θηριωδεστάτην φησὶ θάλασσαν τὴν περὶ τὸν Ἄθω. εἰκὸς δὲ τοιαύτην ἔννοιαν ὑπεῖναι τῇ κητωέσσῃ καὶ διὰ Φώκαιαν, ἥτις διὰ κῆτος, τὰς φώκας, ὠνόμασται. Φώκαιαν δέ φαμεν τὴν Ἀσιανήν, ἥτις λέγεται εἶναι Ἰωνίας μὲν ἀρχή, Αἰολίδος δὲ πέρας. (v. 582) Τὴν δὲ Φάρην ὁ τὰ Ἐθνικὰ γράψας διὰ τοῦ ι εἰδέναι φαίνεται ὡς ἀπὸ τῆς στοιχειακῆς ἀκολουθίας· τὰ δὲ πλείω τῶν ἀντιγράφων διὰ τοῦ η γράφουσι καὶ ἔχει τοῦτο λόγον ἐκ τοῦ ἐθνικοῦ· ὡς γὰρ Σπάρτη Σπαρτιάτης, οὕτω Φάρη Φαριάτης. τὴν δὲ Σπάρτην οἱ μὲν βασίλειόν φασι λέγοντες καί, ὅτι τῶν κατὰ Πελοπόννησον πόλεις ἐνδοξότατοι «Ἄργος τε Σπάρτη τε». τινὲς δὲ ὅτι Λακεδαίμων μὲν ἡ χώρα, Σπάρτη δὲ ἡ πόλις, εἰς ταὐτὸν ἄγοντες οὗτοι τὴν Λακεδαίμονα πόλιν καὶ τὴν Σπάρτην· οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δέ τινες καὶ αὐτῆς τῆς μιᾶς πόλεως τὸ μέν τι Λακεδαίμονα, τὸ δὲ Σπάρτην καλοῦσιν. Ἡρόδοτος δὲ λέγει, ὅτι ἐν Λακεδαίμονι Σπάρτη πόλις ἀνδρῶν ὀκτακισχιλίων μάλιστα· ἕτεροι δέ φασιν, ὅτι Λακεδαίμων πόλις ἐνδοξοτάτη τῶν ἐν Πελοποννήσῳ, ἡ Σπάρτη πρότερον ἀπὸ Σπάρτου, υἱοῦ Ἀμύκλαντος, ἢ διότι Λέλεγες οἱ πρῶτοι συνοικήσαντες τὴν πόλιν διεσπαρμένοι τὸ πρίν, εἶτα ἐκεῖ συνῆλθον καὶ ᾤκησαν εἰς ταὐτό· οἱ δέ τινες χωρίον φασὶ τὴν Σπάρτην Λακωνικόν, κληθὲν ἀπὸ τῶν μετὰ Κάδμου Σπαρτῶν, οἳ ἐκπεσόντες εἰς τὴν Λακωνικὴν ἀφ' ἑαυτῶν τὴν Σπάρτην ὠνόμασαν. ἀνδρειότατοι δὲ πάλαι ποτὲ οἱ Σπαρτιᾶται.

1.455 ἔστι δέ, φασί, καὶ Σπάρτον ὄρος καὶ Σπάρτη κώμη περὶ Εὔξεινον. ὁ δὲ Κωμικὸς ἔπαιξεν εἰς τὴν Λακωνικὴν Σπάρτην ὡς ὁμωνυμοῦσαν τοῖς σπαρτοῖς, ἅπερ ἐστὶ σχοινία ἀπὸ τοῦ τῶν σπάρτων φυτοῦ. ὅρα δὲ ὅτι, εἰ καὶ εἰς ταὐτόν τινες ἤγαγον, ὡς ἐρρέθη, τὴν Λακεδαίμονα καὶ τὴν Σπάρτην, ἀλλ' ὁ ποιητὴς ἐνταῦθα ἰδίᾳ μὲν ταύτην, ἰδίᾳ δὲ ἐκείνην ἐκφωνεῖ. ὅτι δὲ βασίλειον ἡ Σπάρτη, ὡς ἀνωτέρω ἐρρέθη, δηλοῖ καὶ ὁ Γεωγράφος εἰπών, ὅτι διελόντες Ἡρακλεῖδαι τὴν Λακωνικὴν εἰς ἓξ μίαν μερίδα τὰς Ἀμύκλας ἐξαίρετον ἔδωκαν Φιλονόμῳ τῷ προδόντι αὐτοῖς τὴν Λακωνικήν, τὴν δὲ Σπάρτην βασίλειον ἀπέφηναν σφίσιν αὐτοῖς. λέγει δὲ καί, ὅτι ὑποπέπτωκε τῷ Ταϋγέτῳ Σπάρτη ἐν μεσογαίᾳ καὶ Ἀμύκλαι τὸ τοῦ Ἀπόλλωνος ἱερόν. Αἴλιος δὲ Διονύσιός φησιν οὕτω· «Λακεδαίμονα καὶ Σπάρτην διορίζουσί τινες, Λακεδαίμονα μὲν πᾶσαν καλοῦντες τὴν Λάκαιναν, Σπάρτην δὲ τὴν μίαν πόλιν, Ἀττικοὶ δὲ αὐτὴν καὶ Λακεδαίμονα. Κρατῖνος δὲ καὶ τὴν χώραν Σπάρτην οἶδεν, οὐ μόνον Λακεδαίμονα». Μέσση δὲ ἀντὶ τοῦ Μεσσήνη· ἄλλως γάρ, φασί, Μέσση οὐδαμοῦ δείκνυται. περιᾴδεται δὲ καὶ αὕτη ἐν ταῖς ἱστορίαις, ἐν αἷς φέρεται καὶ ὅτι ἡ Σικελικὴ Μεσσήνη ταύτης ἄποικος. γράφεται δὲ καὶ αὕτη καὶ ἐκείνη ἐν δυσὶ ς . παραδίδοται δέ τις καὶ ἑτέρα Μεσήνη δι' ἑνὸς ς γραφομένη. ἀποκοπὴν οὖν ἡ Ὁμηρικὴ ἔχει Μέσση ἀπὸ τοῦ Μεσσήνη. καὶ δοκεῖ μὲν τὸ πάθος καινόν· Ὁ δὲ Γεωγράφος ἐκτίθεται καινότερα ἕτερα, ἐν οἷς καὶ ὅτι ὁ ἧλος ἧλ παρά τισιν εὕρηται, ὅπερ πολλῷ τολμηρότερον τοῦ Μεσσήνη Μέσση. οὕτω δὲ καὶ ἐκ τοῦ κρίμνον τὸ κρῖ καὶ ὁ Ἀλκιμέδων Ἄλκιμος. Ἡσίοδος δέ, φησί, τὸ βριθὺ καὶ βριαρὸν βρῖ λέγει καὶ Σοφοκλῆς τὸ ῥᾴδιον ῥᾴ. λέγει δὲ καί, ὅτι ἐπὶ τῶν Τρωϊκῶν ἡ Μεσσήνη ὑπὸ Μενελάῳ ἦν, μέρος οὖσα τῆς Λακωνικῆς, ὕστερον δὲ καὶ πόλις ἐκτίσθη Μεσσήνη, ἧς ἀκρόπολις ἡ Ἰθώμη, καὶ ὅτι ἐκ τοῦ Μεσσηνιακοῦ κόλπου, ὃς καὶ Ἀσιναῖος ἀπὸ Ἀσίνης πόλεως ἐλέγετο, αἱ προρρηθεῖσαι ἦσαν ἑπτὰ βασιλικαὶ πόλεις. ὁ δ' αὐτὸς λέγει καί, ὅτι Μεσσήνη μετὰ Τριφυλίαν μέρος τῆς Λακωνικῆς ὑπὸ Μενελάῳ. ἡ δὲ νῦν, φησί, πόλις Μεσσήνη, ἧς ἐρρέθη ἀκρόπολις ἡ Ἰθώμη, οὔπω ἔκτιστο. καὶ ὅτι μετὰ Μεσσηνίαν ἡ Λακωνικὴ καὶ ἡ Ἀργεία μέχρι τοῦ ἰσθμοῦ.

1.456 (v. 583) Αἱ δὲ Βρυσειαὶ καὶ αἱ Αὐγειαὶ οὐ περιλαλοῦνται. πολίτης δὲ τῶν Αὐγειῶν Αὐγεάτης. τάχα οὖν καὶ Βρυσεάτης ὁμοίως. ἔστι δέ, φασί, καὶ Λοκρίδος πόλις Αὐγειαί. δοκεῖ δὲ πρωτότυπον εἶναι τὸ Βρυσεαί καὶ Αὐγεαί ὥσπερ Ὀρνεαί, περὶ ὧν πρὸ ὀλίγου εἴρηται. (v. 584) Ἀμύκλαι δὲ μία, φασί, τῶν ἑκατὸν τῆς Λακωνικῆς πόλεων, Ἀπόλλωνος ἱερά, ὡς εἴρηται, ἣν Ἀμύκλας, ὁ Λακεδαίμονος υἱός, ἔκτισεν, ὃς καὶ περιττοσυλλάβως κλίνεται Ἀμύκλαντος καὶ ἰσοσυλλάβως δὲ Ἀμύκλα. πολίτης ταύτης Ἀμυκλαΐτης, ἔτι δὲ καὶ Ἀμυκλαῖος, ἐξ οὗ καὶ Ἀμυκλαιεύς. ἔστι δὲ καὶ Ἀμύκλαιον πόλις ἐν Κρήτῃ καὶ ὅρμος. αἱ δὲ Ἀμυκλαΐδες εἶδος ὑποδήματος, ἐν Ἀμύκλαις ἐπινοηθέν. Ἕλος δὲ χωρίον καὶ κώμη ὁμώνυμος ὕστερον. πρότερον δὲ ἦν, φασί, πόλις καθ' Ὅμηρον, κτίσμα Ἑλίου, υἱοῦ Περσέως. τινὲς δὲ καὶ ταῦτα εἶπον· «Ἕλος πόλις Λακωνική· οἱ πολῖται Εἵλωτες καὶ Εἱλῶται καὶ Ἕλιοι καὶ Ἑλεᾶται». ἔστι δὲ καὶ Ἕλος Αἰγύπτου. ταῦτα δὲ ὁ τὰ Ἐθνικὰ γράψας εἰς τὸ ἕτερον Ἕλος λέγει, τὸ ἐν τοῖς ἐφεξῆς ὑπὸ τὸν Νέστορα. Ἕτεροι δὲ ὅτι οὐ μόνον πόλις τὸ Ἕλος, ἀλλὰ καὶ εἰς χώραν τινὰ πλατύνεται, ἀφ' ἧς καὶ μᾶλλον οἱ Εἵλωτες, οἳ συνελθόντες τοῖς Μεσσηνίοις ἦν ὅτε καὶ πράγματα παρασχόντες τοῖς Λακεδαιμονίοις, εἶτα ὑπετάγησαν ὡσεὶ καὶ δοῦλοι· καὶ ἐξ αὐτῶν τὸ ὄνομα τῶν Εἱλώτων εἰς

δουλικὴν ἁπλῶς μετελήφθη κλῆσιν καὶ τὸ τοπικὸν εἰς δουλικῆς τύχης σημασίαν μετέπεσεν. ὅτι δὲ τὸ ἕλος ὑγρόν τινα τόπον δηλοῖ καὶ σύμφυτον, δῆλον. ἐμφαίνει δὲ τοῦτο καὶ ἡ ἰδιωτικὴ παραφθορὰ ζύγραν τὸν τοιοῦτον λέγουσα τόπον, ὅπερ οὐδὲν ἀλλ' ἢ δίυγρά τίς ἐστιν. Ἰστέον δὲ ὅτι τὸ θηλυκὸν τῶν ῥηθέντων Εἱλώτων αἱ Εἱλώτιδες, ὡς ἐν ῥητορικῷ εὕρηται Λεξικῷ, ἐν ᾧ καὶ ὅτι ὥσπερ Εἵλωτες ἐν Λακεδαίμονι, οὕτω Πενέσται μὲν παρὰ Θετταλοῖς, οἱ μὴ γόνῳ δοῦλοι, ἀλλὰ πολέμῳ, Κιλλικύριοι δὲ ἐν Κρήτῃ, Μαριανδυνοὶ δὲ ἐν Ἡρακλείᾳ τῇ Ποντικῇ, καὶ Ἀρότται ἐν Συρακούσαις.

1.457 Ἰστέον δὲ ὅτι ἐν ῥητορικῷ Λεξικῷ φέρεται, ὥς ἐστιν εἶδός τι μυιῶν, αἳ λέγονται ἕλειοι. οὐ διαρθροῖ δὲ καὶ ποίου Ἕλους αὗται. ἴσως δὲ ἁπλῶς οὕτω καλεῖ τὰς ἐν τοῖς ἕλεσι. (v. 585) Λάαν δὲ Ὅμηρος μὲν δισυλλάβως προάγει· οἱ δὲ παλαιοί φασιν, ὅτι Λᾶ μονοσυλλάβως ἐλέγετο ἀρσενικῶς τε καὶ θηλυκῶς ἤγουν καὶ ἡ Λᾶ καὶ ὁ Λᾶς, ὡς καὶ ὁ Λυκόφρων δηλοῖ ἐν τῷ «καὶ Λᾶν περήσεις». ὁ δὲ ποιητὴς διέλυσε, φασί. κεῖται δ' ἐπὶ πέτρας ὑψηλῆς· διὸ Λᾶ καλεῖται ὡς ἀπὸ τοῦ λᾶς ὁ λίθος. ταύτην φασὶ τὴν Λᾶν οἱ Διόσκουροι ἐκ πολιορκίας εἷλον· διὸ ἐκλήθησαν Λαπέρσαι. οἱ δὲ οἰκοῦντες ἄδηλον, εἴτε Λαοὶ ὀξυτόνως εἴτε Λᾶοι προπερισπωμένως. ἡ δὲ ἀμφιβολία διὰ τὴν τῶν ἀντιγράφων διαφωνίαν. Οἴτυλος δὲ τρισυλλάβως, ὡς δάκτυλος, ἀπὸ Οἰτύλου ἥρωος, ὡς ὁ τὰ Ἐθνικὰ γράψας φησίν. ἕτεροι δὲ τὸ «Οἴτυλον ἀμφενέμοντο» ἐν δυσὶ μέρεσι λόγου ἀναγινώσκουσιν, ἄρθρον μὲν τιθέντες τὸ οἵ, πόλιν δὲ τὴν Τύλον, ἵνα λέγῃ ὅτι καὶ οἳ τὴν Τύλον ἀμφενέμοντο. οὐκ ἀρέσκει δὲ τοῦτο τοῖς ἀκριβέσιν, οἳ Τύλιν μὲν πόλιν Θρᾴκης οἴδασι κλινομένην Τύλεως, Τύλον δὲ οὐ πόλιν Λακωνικήν. καὶ Τυλησσὸν δὲ ὄρος ἐκεῖνοι λέγουσιν Ἰταλίας. (v. 588) Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ «ἐν δ' αὐτὸς κίεν», ἤτοι ἐπορεύετο, κατ' ἐξοχὴν εἴρηται τὸ αὐτός· λέγει γὰρ ὅτι ὁ Μενέλαος καίτοι βασιλεὺς ὢν αὐτὸς ἑαυτὸν παρατάσσει. οὕτω δὲ καὶ ἐπὶ τοῦ ἀδελφοῦ βασιλέως ἔφη· «ἐν δ' αὐτὸς ἐδύσατο χαλκόν». καὶ σημείωσαι ὅτι ἐπὶ μὲν Ἀγαμέμνονος ὡς ἀνδρείου ἔφη· «αὐτὸς ἐδύσατο χαλκόν», ἐπὶ δὲ Μενελάου μὴ τοιούτου ὄντος ἠρκέσθη εἰπών· «ἐν δ' αὐτὸς κίεν, ἰδίαις προθυμίαις πεποιθώς», ὡς ἐκείνου μὲν ἀνδρείου ὄντος, τούτου δὲ θαρραλέου. [διό που ἐν τοῖς ἑξῆς καὶ πρὸς μυῖαν διὰ παραβολῆς εἰκασθήσεται καταθρασυνομένην πολλά.] (v. 591—602) Ὅτι ὁ Νέστωρ ἐνενήκοντα νῆας ἦγε δευτερεύων τῶν τοῦ βασιλέως κατὰ τὸ πλῆθος. εἶχε δὲ ὑπ' αὐτὸν πόλεις, ἐξ ὧν τὸ ναυτικὸν συνεκρότησε, τὴν Πύλον, τὴν Ἀρήνην, ἣν καὶ ἐρατεινὴν λέγει, καὶ Θρύον Ἀλφειοῦ πόρον καὶ εὔκτιτον Αἰπὺ καὶ Κυπαρισσήεντα καὶ Ἀμφιγένειαν καὶ Πτελεὸν καὶ Ἕλος καὶ Δώριον. οἷος μὲν οὖν ὁ Νέστωρ, καὶ ἐκ τοῦ ποιητοῦ εἴσεταί τις καὶ ἐξ ἑτέρων πολλῶν. Δηλοῖ δὲ τὴν τοῦ γέροντος ἀρετὴν καὶ τὸ εἰς αὐτὸν παλαιὸν ἐπίγραμμα, ὅπερ καὶ φέρτατον ἡμερίων λέγει αὐτὸν καὶ βαθύνουν καὶ ψυχὴν ἐν σώματι θείαν ἔχοντα καὶ ἄνδρα ἀγαθόν. λέγει δὲ ἡ ἱστορία καὶ αὐτὸν προσγενῆ τοῖς βασιλεῦσιν.

1.458 Εὐρυδίκῃ γὰρ καθ' Ὅμηρον συνὼν τῇ Κλυμένου θανούσης αὐτῆς Ἀναξιβίαν ἔγημεν, ἀδελφὴν Ἀγαμέμνονος. (v. 591) Πύλοι δὲ τρεῖς κατὰ τὸν τὰ Ἐθνικὰ γράψαντα, Μεσσηνίας, Τριφυλίας, Ἀρκαδίας. ὁ δὲ Γεωγράφος, παρ' ᾧ καὶ ἀρσενικῶς ὁ Πύλος λέγεται, φησίν, ὅτι ὑπόκειται ὁ Νέστωρ τὸν Τριφυλιακὸν Πύλον οἰκῶν. καὶ ὅτι Πύλοι τρεῖς ἱστοροῦνται ἐν Πελοποννήσῳ, καθότι καὶ ἔπος εἴρηται «ἔστι Πύλος πρὸ Πύλοιο, Πύλος γε μέν ἐστι». ἕκαστοι δὲ τὸ παρὰ σφίσιν ἠμαθόεν πειρῶνται δεικνύειν ἀπὸ ποταμοῦ παραρρέοντος καὶ γνωρίσματα δεικνύουσι Γέρηνον τόπον καὶ Γέροντα ποταμὸν καὶ ἄλλον Γεράνιον, ἐξ ὧν ἐπιθέτως εἰρῆσθαι πιστοῦνται Γερήνιον Νέστορα. Λέγει δὲ καί, ὅτι παρ' ἑκάστῳ Πύλῳ ποταμὸς ἠμαθόεις· ἀλλαχοῦ δὲ ὅτι ποταμὸς πρὸς ἄρκτον Ἄμαθος, ὅθεν ἠμαθόεις Πύλος. ἀμαθώδη γὰρ τὸν ποταμὸν ἢ τὴν χώραν εἰπεῖν ψεῦδός φασιν. ὁ δ' αὐτός φησι καί, ὅτι οὐκ ἂν ἀπογνοίη τις ἠμαθόεντα Πύλον κληθῆναι καί, διότι θινώδης καὶ στενός ἐστιν ὁ τῆς ἐκεῖ θαλάσσης αἰγιαλός. κἀκεῖνο δὲ λέγει, ὅτι πατρὶς Νέστορος Πύλος ὁ λεγόμενος Τριφυλιακὸς καὶ Ἀρκαδικὸς καὶ Λεπρεατικὸς πλείους ἢ τριάκοντα σταδίους

ἀπὸ θαλάσσης, ὡς δηλοῖ καὶ ὁ πεμφθεὶς ἄγγελος ἐν Ὀδυσσείᾳ ἐπὶ τοὺς ἑταίρους Τηλεμάχου πρὸς τὸ ἐκείνου πλοῖον καλῶν αὐτοὺς ἐπὶ ξενίᾳ. οἱ δὲ ἄλλοι Πύλοι, φησίν, ἐπὶ θαλάσσης δείκνυνται. Εὐρύχορος δὲ ὁ Πύλος, εἴπερ ἑπτὰ πόλεις περὶ τὴν Πυλίαν εἰσὶ θάλασσαν, ἃς ὑπέσχετο Ἀγαμέμνων Ἀχιλλεῖ. φησὶ γάρ· «πᾶσαι δ’ ἐγγὺς ἁλὸς νέαται Πύλου ἠμαθόεντος». Ἀρήνη δέ, ἧς καὶ ἀλλαχοῦ μνησθήσεται ὁ ποιητής, τὸν μὲν πολίτην αὐτῆς Ἀρηναῖον παράγει· ἐρατεινὴ δὲ παρ’ Ὁμήρῳ λέγεται διότι ποταμὸς ἀρδεύει αὐτήν. φησὶ γὰρ ὁ Γεωγράφος, ὅτι Ἀρήνη, ὅπου ποταμὸς Ἄνιγρος καλούμενος πρότερον Μινύειος, ὡς ὁ ποιητής· «ἔστι δέ τις ποταμὸς Μινυήϊος εἰς ἅλα βάλλων ἐγγύθεν Ἀρήνης». ἀπὸ Μινυῶν δέ, φησίν, ἐκλήθη ὁ ποταμὸς Ὀρχομενίων ἐλθόντων ἐκεῖ.

1.459 δύο δέ, φασί, πόλεις Ἀρῆναι, Μεσσήνης μία καὶ Τριφυλίας ἑτέρα. (v. 592) Θρύον δὲ πόλις Ἤλιδος ἡ καὶ Θρυόεσσα. τοῦ Θρύου τὸ ἐθνικὸν Θρυΐτης· τῆς δὲ Θρυοέσσης Θρυοέντιος καὶ Θρυούντιος. ὁ δὲ τὰ Ἐθνικὰ γράψας φησί· «Θρύον πόλις Μεσσηνίας· ἐκ τῶν ἐν αὐτῇ φυομένων θρύων ὁμωνύμως τῷ φυτῷ λεγομένη»· ἔτι δὲ καὶ παρωνύμως Θρυόεις καὶ Θρυόεσσα, ὡς καὶ ἐν τοῖς ἑξῆς που φανεῖται. κεῖται δὲ περὶ τὸν Ἀλφειόν, ὃς κατὰ τὸν Γεωγράφον καλεῖται μὲν οὕτως ἀπὸ τῆς τῶν ἀλφῶν θεραπείας. ῥέει δὲ ἐξ Ἀρκαδίας εἰς τὴν Τριφυλιακὴν θάλασσαν. πολὺ δέ, φησί, γεννᾷ θρύον ἡ Τριφυλία καὶ πᾶσα ἡ περὶ τὸ Θρύον χώρα θρυώδης, μάλιστα δ’ οἱ ποταμοί. Ἀλφειοῦ δὲ πόρος τὸ Θρύον, διότι, ὡς ὁ Γεωγράφος καὶ τοῦτό φησιν, ἐνταῦθα πεζῇ περατὸς εἶναι δοκεῖ ὁ Ἀλφειός. ἦν δέ ποτε καὶ ἀνὴρ Ἀλφειός. Ἡρόδοτος οὖν οἶδε Λάκωνας ἀριστεῖς Μάρωνα καὶ Ἀλφειόν. ὅτι δὲ οὐ μόνον ἡ Θρυόεσσα παρώνυμός ἐστι φυτῷ, ἀλλὰ καὶ ἕτεροι τόποι, ἐν ἄλλοις ἱκανῶς δεδήλωται. Ἐν δὲ τῷ «εὔκτιτον Αἰπύ» οἱ μέν φασιν, ὅτι ζητεῖται πότερον ποτέρου ἐπίθετον. οἱ δὲ ἐπίθετον μέν φασι τὸ εὔκτιτον, πόλεως δὲ ὄνομα τὸ Αἰπύ· οὗ ὁ πολίτης Αἰπύτης. καλεῖται δὲ οὕτω κατὰ τὸν Γεωγράφον ἀπὸ τοῦ συμβεβηκότος, ἤγουν διότι συμβέβηκεν αὐτῷ ὑψηλῷ εἶναι. τινὲς δέ, ἐν οἷς καὶ ὁ τῶν Ἐθνικῶν γραφεύς, βαρυτόνως μὲν γράφουσιν Αἶπυ, τουτέστι προπερισπωμένως, πρὸς διαστολὴν τοῦ ἐπιθέτου, ἀπὸ τῆς ἐρυμνότητος δὲ κληθῆναί φασι λέγοντες καί, ὅτι ἐν τῷ «πόλις αἰπεῖα κολώνη» ταύτης μέμνηται ὁ ποιητής. λέγεται δὲ καὶ Ἡρωδιανῷ δοκεῖν ἀναλογωτέραν εἶναι τὴν βαρεῖαν τάσιν ἐν τῷ «καὶ εὔκτιτον Αἶπυ». ἴσως δέ, φασίν, ἀπὸ Αἰπύτου, τοῦ μετ’ ὀλίγα ῥηθησομένου, ὠνόμασται. (v. 593) Κυπαρισσήεις δὲ πόλις Μεσσηνίας. ἐθνικὸν αὐτῆς Κυπαρισσηέντιος. Κυπάρισσος μέντοι πόλις ἐν Παρνασῷ, ἧς Ὅμηρος ἐμνήσθη ἐν τῷ Φωκικῷ καταλόγῳ· ἐκείνης δὲ ὁ πολίτης Κυπαρισσεύς. ὁ δὲ Γεωγράφος καὶ ποταμὸν λέγει Κυπαρισσήεντα καί, ὅτι Κυπαρισσία ἐστὶν ἄλλη παρὰ τὸν Κυπαρισσήεντα, Μεσσηνιακὴ καὶ αὐτή. Ἡ δὲ Ἀμφιγένεια παρά τισι καὶ οὐδετέρως λέγεται τὸ Ἀμφιγένειον. πολίτης αὐτῆς Ἀμφιγενειάτης καὶ Ἀμφιγενεύς. εἶχε δὲ Λητοῦς ἱερόν, ἐπεί, φασίν, ἐκεῖ Λητὼ παραγενομένη ἔτεκεν Ἀπόλλωνα. (v. 594) Πτελεὸς δὲ ἢ Πτελεὸν οὐδετέρως ἐστὶ καὶ Ἰωνίας πόλις καὶ Τρῳάδος, ἔτι δὲ καὶ τῶν περὶ Θετταλίαν Ἀχαιῶν.

1.460 καλεῖται δέ, φασίν, οὕτως, ὅτι πολλὰς ἔχει πτελέας. ὁ πολίτης Πτελεάτης καὶ Πτελεούσιος καὶ Πτελεεύς. ἔστι δὲ καὶ Πτελέα δῆμος φυλῆς Ἀττικῆς τῆς λεγομένης Οἰνηΐδος, ἧς ὁ δημότης Πτελεάσιος. ὁ δὲ Στράβων λέγει, ὅτι τὸ Πτελεὸν κτίσμα ἐστὶ τῆς ἐκ Πτελεοῦ, τοῦ Θετταλικοῦ, ὃν ὁ ποιητὴς ἐρεῖ ἐν τοῖς ἑξῆς Πτελεὸν λεχεποίην. ἔστι δέ, φησί, δρυμῶδες χωρίον, ἀοίκητον, Πτελεάσιμον καλούμενον. Ἕλος δὲ παρὰ τὸ ἐν ἕλει εἶναι κατὰ τὸν Ἐθνικογράφον. εἴρηται δέ τι περὶ αὐτοῦ καὶ ἐν τῷ καταλόγῳ τῶν Λακώνων. ὁ δὲ Γεωγράφος φησίν, ὅτι Ἕλος οἱ μὲν χώραν τινὰ περὶ Ἀλφειόν, οἱ δὲ καὶ πόλιν, ὡς τὴν Λακωνικὴν τὴν πρὸ ὀλίγου ῥηθεῖσαν. [Ὅτι δὲ τῷ τοιούτῳ Ἕλει παρωνυμοῦνται οἱ Εἵλωτες, οὐ πρὸ πολλῶν δεδήλωται, οἳ οὐ μόνον δουλικοῦ εἰσιν ὀνόματος, ἀλλὰ καί τι ἑτεροῖον δηλοῦσιν· ἐν γοῦν τοῖς Ἡρωδιανοῦ εὕρηται, ὅτι Εἵλωτες οἱ ἐπὶ Ταινάρῳ Σάτυροι.] Δώριον δέ, οὗ ἐθνικὸν Δώριος καὶ Δωριεύς, κληθῆναι οὕτω δοκεῖ τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παλαιοῖς διὰ τὸ αὐτόθι εὑρεθῆναι τὴν Δώριον ἁρμονίαν ὑπὸ Θαμύριδος, περὶ οὗ αὐτίκα εἰρήσεται. ὁ δὲ Γεωγράφος λέγει, ὅτι τὸ Δώριον οἱ μὲν ὄρος φασίν, οἱ δὲ πεδίον. οὐδὲν δέ, φησί, νῦν δείκνυται. κατωτέρω δὲ καὶ ἄλλως εἰρήσεται περὶ τούτου. (v. 594—600) Εἶτα κολλᾷ τῷ Δωρίῳ τὸν περὶ τοῦ Θαμύριδος μῦθον ὁ ποιητὴς καὶ λέγει, ὅτι ἐνταῦθα Μοῦσαι «ἀντόμεναι Θάμυριν τὸν Θρήϊκα παῦσαν ἀοιδῆς Οἰχαλίηθεν ἰόντα παρ' Εὐρύτου Οἰχαλιῆος· στεῦτο γὰρ εὐχόμενος νικησέμεν, εἴπερ ἂν αὐταὶ Μοῦσαι ἀείδοιεν κοῦραι Διὸς αἰγιόχοιο· αἳ δὲ χολωσάμεναι πηρὸν θέσαν, αὐτὰρ ἀοιδὴν θεσπεσίην ἀφέλοντο καὶ ἐκλέλαθον κιθαριστύν». (v. 595) Φαίνεται δὲ ἀλαζὼν γενέσθαι ὁ Θρᾷξ Θάμυρις καὶ καυχήσασθαι μὴ ἂν μηδὲ τῶν Μουσῶν δευτερεῖον ᾄδων οἴσεσθαι. διὸ καὶ θεία τις νέμεσις οὐ μόνον τὰς ὄψεις αὐτῷ ἐκόλασεν, ἀλλὰ καὶ τῆς ᾠδῆς ἐστέρησεν, ἀπεναντίας ἑτέροις, οὓς ὀφθαλμῶν μὲν ἄμερσε θεὸς κατὰ τὴν ποίησιν, ἔδωκε δὲ γλυκεῖαν ἀοιδήν. Ἰστέον δὲ ὅτι καὶ Ἄμυρίς τις εὕρηται δίχα τοῦ θ ἐν ταῖς τῶν παροιμιῶν Ἀναγραφαῖς εἴτε μουσικὸς εἴτε καὶ ἑτεροῖος. διὸ καὶ ἐν τῇ παροιμίᾳ τῇ λεγούσῃ «Θάμυρις μαίνεται» τινὲς Ἄμυριν ἔγραψαν δίχα τοῦ ἐν ἀρχαῖς θῆτα. περὶ οὗ Παυσανίας ἐν τῷ κατὰ στοιχεῖον ῥητορικῷ αὐτοῦ Λεξικῷ ἱστορεῖ, ὅτι θεωρὸς ὑπὸ Συβαριτῶν πεμφθεὶς εἰς Δελφοὺς περὶ εὐδαιμονίας καὶ τοῦ θεοῦ χρήσαντος ἀπώλειαν Συβαρίταις, ὅταν ἀνθρώπους θεῶν προτιμήσωσιν, ἰδὼν δοῦλον μαστιγούμενον καὶ εἰς ἱερὸν προσφυγόντα καὶ μὴ ἀπολυόμενον, ὕστερον δὲ εἰς τὸ τοῦ μαστιγοῦντος πατρὸς μνῆμα καταφυγόντα καὶ ἀπολυθέντα, συνεὶς τὸ λόγιον καὶ ἐξαργυρισάμενος τὰ ἴδια ἀπῆλθεν εἰς Πελοπόννησον.

1.461 καὶ Συβαρῖται μέν, ὃ λογισμῷ πεποίηκεν, εἰς μανίαν ἐδέξαντο ἐπιλέγοντες· «Ἄμυρις μαίνεται». ὁ δὲ τῷ χρόνῳ διὰ τὴν προσποίητον μανίαν ἐθαυμάσθη. καὶ τοῦτο μὲν τοιοῦτον. Τῶν δὲ λέξεων τοῦ χωρίου τούτου τὸ μὲν «ἀντόμεναι» ἀπὸ βαρυτόνου ῥήματος γίνεται, τοῦ ἄντω, καὶ δηλοῖ τὸ συναντήσασαι. οἶδε δὲ Ὅμηρος καὶ περισπᾶσθαι τὸ τοιοῦτον ῥῆμα, ὡς δῆλον καὶ ἐν τῷ «οὐ γὰρ ἔγωγε ἤντησα». πολλὰ δὲ καὶ ἄλλα οὕτω διφοροῦνται, ὁποῖόν τι καὶ τὸ «αἰδομένων δ' ἀνδρῶν» καὶ «οὐδέ τί μ' αἰδέσεται» καὶ τὸ κοινῶς μὲν λεγόμενον ὀφρυᾶσθαι, ἄλλως δὲ ὀφρύεσθαι, ὡς ἐδήλωσε τὸ «Κόρινθος ὀφρύεται καὶ κοιλαίνεται». (v. 596) Ἡ δὲ Οἰχαλία πόλις ἐστίν, ἧς Ὅμηρος καὶ ἐν τοῖς ἑξῆς μεμνήσεται ἐν τῷ περὶ τῶν Ἀσκληπιαδῶν λόγῳ ἧς ποτε ἦρχεν ὁ τοξικώτατος Εὔρυτος, οὗ θυγάτηρ Ἰόλη, τὸ τοῦ Ἡρακλέος τελευταῖον, εἴτε ἆθλον εἰπεῖν τις βούλοιτο εἴτε κακόν· αὐτὴν γὰρ αἰχμαλωτίσας Ἡρακλῆς ἐξ Οἰχαλίας, εἶτα δι' αὐτὴν οὐκ εὐκλεῶς μετήλλαξε. σημείωσαι δὲ ὅτι Οἰχαλία οὐ μία κατὰ τὸν Γεωγράφον, παρ' ᾧ καὶ Ἀρκαδική τις Οἰχαλία πόλις Εὐρύτου, ὃ καὶ ἀμφιβολίαν, φησί, ποιεῖ, πόθεν ὁρμηθέντα τὸν Θάμυριν ἀοιδῆς ἔπαυσαν αἱ Μοῦσαι. ὁ δ' αὐτὸς εἰπὼν καί, ὅτι Δώριον οἱ μὲν ὄρος, οἱ δὲ πεδίον, τὴν νῦν Ὄλουριν ἢ Ὄλουραν, κειμένην ἐν τῷ αὐλῶνι τῆς Μεσσηνίας, λέγει καί, ὅτι αὐτοῦ δέ που καὶ Οἰχαλία ἡ τοῦ Εὐρύτου, πολίχνιον Ἀρκαδικόν, ὁμώνυμον τῷ Θετταλικῷ καὶ Εὐβοϊκῷ, ὅθεν φησὶν ὁ ποιητὴς ἐς τὸ Δώριον ἀφικόμενον Θάμυριν τὸν Θρᾷκα ὑπὸ Μουσῶν ἀφαιρεθῆναι τὴν μουσικήν. Ἐν ἑτέροις δέ φησιν ὁ αὐτός, ὅτι Οἰχαλία κώμη τῆς Ἐρετρικῆς, ὁμώνυμος τῇ Τραχινίᾳ καὶ τῇ περὶ Τρίκκην καὶ τῇ Ἀρκαδικῇ καὶ τῇ ἐν Αἰτωλίᾳ· ἐξ οὗ πέντε ἀναφαίνονται Οἰχαλίαι, ὧν αἱ μὲν τρεῖς ἀναμφίλεκτοι μὴ εἰδέναι τὰ κατὰ Θάμυριν, αἱ δὲ δύο, ἤγουν ἡ Ἀρκαδικὴ καὶ ἡ περὶ Τρίκκην, ἤτοι ἡ Θετταλική, μεταποιοῦνται τοῦ κατὰ Θάμυριν πάθους. νικᾷ δὲ ἡ Ἀρκαδική. κατὰ δὲ τὸν ἀναγραψάμενον τὰ Ἐθνικὰ καὶ ὑπὲρ τὰς πέντε εἰσὶν Οἰχαλίαι. λέγει γάρ, ὅτι Οἰχαλία, ἣν Ὅμηρος ἐν τῷ Πελασγικῷ Ἄργει τάσσει· οἱ δὲ νεώτεροι τεθείκασιν αὐτὴν ἐν Εὐβοίᾳ. ἔστι δέ, φησί, καὶ Μεσσήνης καὶ ἑτέρα ἐν Τραχῖνι καὶ Θεσσαλίᾳ καὶ Ἀρκαδίᾳ. πολίτης δὲ Οἰχαλίας Οἰχαλιεύς καὶ Οἰχαλιώτης καὶ Οἰχάλιος.

1.462 δῆλον δὲ ὅτι Εὔρυτον βασιλέα Οἰχαλίας οἱ μὲν τῆς Θετταλικῆς εἶπον, οἱ δὲ τῆς Ἀρκαδικῆς, αἳ καὶ τὰ κατὰ Θάμυριν μερίζονται. ἄδηλον δὲ διὰ ταῦτα καὶ ποίας ἦν ὁ Λίνος· φησὶ γὰρ ἡ ἱστορία, ὅτι ὁ ἱστορικὸς Λίνος Οἰχαλιώτης ἦν. ὅτι δὲ καὶ ἐμάνη ὁ Θάμυρις κατὰ τὴν ἀνωτέρω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μνημονευθεῖσαν παροιμίαν, δηλοῖ ὁ ταῦτα ἱστορήσας. Θάμυρις παῖς Φιλάμμωνος, τὸ γένος Θρᾷξ, κάλλει διενεγκὼν καὶ πρῶτος αἰσχρὸν ἔρωτα νοσήσας. οὗτος ἐν ἀοιδῇ καλλιστεύων ἤρισε Μούσαις συνθέμενος, εἰ μὲν νικήσει, πλησιάσαι πάσαις, εἰ δὲ ἡττηθῇ, στερήσεσθαι, οὗ ἂν ἐκεῖναι θέλωσιν. αἱ δὲ ὑπερσχοῦσαι τῶν ὀμμάτων αὐτὸν ἐστέρησαν καὶ περὶ τὴν φωνὴν ἔβλαψαν καὶ ἔκφρονα πεποιήκασιν. Ἕτερος δὲ μῦθος λέγει μὴ κατὰ πασῶν τῶν Μουσῶν ἐθελῆσαι τὸν Θάμυριν, ἀλλὰ τῆς μὲν ἥττης πρόστιμον ἑαυτῷ τὴν πήρωσιν ὁρίσαι, τῆς δὲ νίκης γάμον μιᾶς τῶν Μουσῶν. ἱστοροῦσι δὲ αὐτὸν καὶ δίκορον εἶναι, τῶν ὀφθαλμῶν τὸν μὲν γλαυκὸν ἔχοντα, τὸν δὲ μέλανα. Φασὶ δέ τινες καὶ μὴ τοὺς δύο αὐτόν, τὸν ἕτερον δὲ ἀπολέσαι τῶν ὀφθαλμῶν. μετὰ τοῦ ἄρθρου δέ, φασί, λέγει «τὸν Θρᾷκα», οὐ πρὸς διαστολὴν ἑτέρου Θαμύριδος, ἀλλ' ἀναφέρων ὡς ἐν ὑποδείξει πρὸς τὸ ἐπίσημον τοῦ ἀνδρός. Σημειοῦνται δὲ οἱ παλαιοὶ καί, ὅτι πιθανῶς ὁ Θάμυρις τῷ ὁμοιοτρόπῳ Εὐρύτῳ συνδιατρίβει. ὑψαύχην γὰρ καὶ ἐκεῖνος ἱστόρηται· διὸ καὶ ἀπώλετο. διδάσκει οὖν ὁ ποιητὴς μὴ ποιεῖσθαι πονηρὰς ὁμιλίας. Γνωμολογοῦσι δὲ καί, ὅτι οὐδὲν ἄρα ἡ τέχνη δίχα συνέσεως πρὸς ὄγκον ἄγουσα· καὶ ὅτι Θρᾷκες ἦσαν οἱ ἐπιμεληθέντες τῆς ἀρχαίας μουσικῆς, Ὀρφεύς, Μουσαῖος καὶ Θάμυρις· καὶ ὅτι ἐν τῇ ἀκτῇ τῇ περὶ τὸν Ἄθων Θάμυρις ὁ Θρᾷξ ἐβασίλευσε τῶν αὐτῶν ἐπιτηδευμάτων γενόμενος, ὧν καὶ ὁ Κίκων Ὀρφεύς, ὃς Ὀρφεὺς τὰ πρῶτα μὲν ἀγυρτεύων διέζη, εἶτα καὶ μειζόνων ἀξιῶν ἑαυτὸν καὶ ὄχλον καὶ δύναμιν περιποιούμενος διεφθάρη ἐξ ἐπισυστάσεως, ἀνὴρ γόης ἀπὸ μουσικῆς τε καὶ μαντικῆς καὶ τῶν περὶ τὰς τελετὰς ὀργιασμῶν. καὶ ταῦτα μὲν οὕτω. Τὸ δέ «παρ' Εὐρύτου» ἀντὶ τοῦ ἀπὸ τοῦ Εὐρύτου· πρόθεσις γὰρ εἴληπται ἀντὶ προθέσεως.

1.463 σαφηνισμὸς δέ ἐστι τοῦτο τοῦ Οἰχαλίηθεν· τοῦτο γὰρ οὐδέν ἐστιν ἀλλ' ἢ τὸ ἀπὸ τοῦ Οἰχαλιέως Εὐρύτου, ὃν διδάσκαλον τοῦ τοξεύειν Ἡρακλεῖ Θεόκριτος ἱστορεῖ. (v. 597) Τὸ δέ «στεῦτο» ἐν μὲν τοῖς ἑξῆς ἐπὶ ὑποσχέσεως κεῖται ἐν τῷ «στεῦται γάρ τι ἔπος ἐρέειν Ἕκτωρ». ἀντὶ γὰρ τοῦ ὑπισχνεῖσθαι δοκεῖ κεῖσθαι. ἐνταῦθα δὲ ἁπλῶς δηλοῖ τὸ ὑφίστατο ἢ ἐνίστατο καὶ ἐνστατικῶς ἔλεγε. γίνεται δὲ ἀπὸ τοῦ στέω, οἷον «στέωμεν καὶ ἀλεξώμεθα» καὶ πλεονασμῷ τοῦ υ στεύω, ἐξ οὗ στεύετο καὶ ἐν συγκοπῇ στεῦτο. (v. 598) Τὸ δέ «αὐταὶ Μοῦσαι» κατ' ἐξοχὴν εἴρηται. καὶ τοιοῦτον γάρ τι ἔστιν ὅτε σημαίνει ἡ αὐτός ἀντωνυμία, ὡς καὶ ἐπὶ Ἀγαμέμνονος πρὸ ὀλίγου εἶπεν· «ἐν δ' αὐτὸς ἐδύσατο χαλκόν» καὶ ἐπὶ Μενελάου· «ἐν δ' αὐτὸς κίεν». διὰ τί δὲ ὁ Ζεὺς αἰγίοχος λέγεται, ζητητέον ἑτέρωθι. (v. 599) Πηρὸς δὲ ὁ παθὼν τὴν ὅρασιν ὀξυτόνως· Ἀττικοὶ δέ φασι προπερισπωμένως ὁμοίως τῷ λῆρος. οὕτω δὲ αὐτοὶ καὶ τὸ μωρός μῶρός φασι. (v. 600) Θεσπεσίαν δὲ ἀοιδὴν ἔφη οὐκ ἀργῶς, ἀλλὰ οἱονεὶ λέγων, ὅτι θεοῦ δῶρον οὖσαν θεὸς αὖθις ἀφείλετο ἀπὸ τοῦ ἀλαζόνος. ἔστι δὲ νῦν θεσπεσία οὐχὶ ἡ θεόθεν πεσοῦσα, ἀλλ' ἣν θεὸς εἴποι ἄν, τουτέστιν ᾄσοι· ταὐτὸν γάρ ποτε τὸ ἐνέπειν καὶ τὸ ἀείδειν. Ἰστέον δὲ ὅτι ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται, ὅτι πηρὸν ἐνταῦθα ὁ ποιητὴς κατὰ τοὺς νεωτέρους τὸν τῆς ᾠδῆς πηρωθέντα λέγει. τί γάρ, φασί, βλαβερὸν τῷ Θαμύριδι κιθαρῳδῷ ὄντι, εἰ τῶν ὀφθαλμῶν ἐστέρητο; μᾶλλον γὰρ προσεκτικὸς ἐγίνετο τῇ φωνασκίᾳ. πρὸς δὴ ἐκείνους ῥητέον, ὅτι οὐκ ἐνοήσαν τὸ τοῦ ποιητοῦ· οὐ γὰρ τῇ πηρώσει τῆς ὄψεως ἀκολουθῆσαι εἶπε τὴν λήθην τῆς ᾠδῆς, ἀλλὰ δύο παθεῖν τὸν Θάμυριν, ὄψεως πήρωσιν καὶ ἀοιδῆς ἀφαίρεσιν. Τὸ δέ «ἐκλέλαθον κιθαριστύν» ἐφερμηνευτικόν ἐστι τοῦ «ἀοιδὴν ἀφείλοντο». ταὐτὸν γὰρ ἀοιδῆς ἀφαίρεσις καὶ λήθη κιθαριστύος ἤτοι τῆς κιθαρῳδικῆς τέχνης. καὶ ὅρα τὸ ἐκλέλαθον αἰτιατικῇ συνταχθέν. τὸ μέντοι παθητικὸν τούτου γενικῇ συντάσσει ἐν τῷ «καὶ ἐκλελάθοιντο γάμοιο». καὶ τοῦτο μὲν ἁπλοῦν οὕτω καὶ ἀπερίεργον. οἱ δὲ παλαιοὶ σημειωδῶς ἐφιστῶσιν, ὅτι ἐπὶ μὲν τοῦ φυσικοῦ ἀφέλοντο εἶπεν ὁ ποιητής, ἐπὶ δὲ τοῦ διδακτοῦ ἐκλέλαθον· ὃ γάρ τις ἔμαθεν, οὐκ ἀπόλλυσιν, ἐπιλήθεται δέ. (v. 603—11) Ὅτι ἑξήκοντα νηῶν ἦρχεν Ἀγαπήνωρ, υἱὸς Ἀγκαίου, βασιλεὺς Ἀρκάδων, οὓς ἐπαινῶν ὁ ποιητὴς λέγει «Ἀρκάδες ἄνδρες ἐπιστάμενοι πολεμίζειν» καὶ πάλιν «ἀνέρες ἀγχιμαχηταί».

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.464 λέγει δὲ καὶ τὴν Ἀρκαδίαν κεῖσθαι «ὑπὸ Κυλλήνης ὄρος αἰπὺ Αἰπύτιον παρὰ τύμβον». καὶ ὅρα τὸ «αἰπὺ Αἰπύτιον παρὰ τύμβον». ἔχει γάρ τινα ἔμφασιν κάλλους ἀμυδράν. ἐνέμοντο δέ, φησίν, οἱ Ἀρκάδες Φενεὸν καὶ Ὀρχομενὸν Ῥίπην τε Στρατίην τε καὶ Ἐνίσπην καὶ Τεγέην καὶ Μαντινέην Στύμφηλόν τε καὶ Παρρασίην. προάγει δὲ κἀνταῦθα τόπους τινὰς μετὰ ἐπιθέτων εἰπὼν Ἐνίσπην ἠνεμόεσσαν, Μαντινέην ἐρατεινὴν καὶ Ὀρχομενὸν πολύμηλον. ἓξ δὲ ὄντων ἐνταῦθα στίχων τοῦ Καταλόγου τρὶς μὲν χρᾶται ὁ ποιητὴς τῷ εἶχον, δὶς δὲ τῷ ἐνέμοντο, χαίρων, ὡς προεγράφη, ταῖς τοιαύταις λέξεσι διὰ τὸ καίριον. καὶ ὡς ἐν ὀλίγῳ μὲν εἰπεῖν, τοιοῦτος ὁ παρὼν Κατάλογος. τὰ δὲ ἐν μέρει αὐτοῦ τάδε. (v. 603) Ἀρκάδες ἀπὸ Ἀρκάδος, υἱοῦ Διός· καὶ ἡ χώρα αὐτῶν Ἀρκαδία, κληθεῖσά ποτε καὶ Πελασγία καὶ Παρρασία καὶ Λυκαονία καὶ Γιγαντίς καὶ Ἀζανία. [Ὅτι δὲ ὁ Ἀρκάς, τό τε κύριον καὶ τὸ ἐθνικόν, συστέλλει τὸ α καὶ ὀξύνεται καὶ διὰ τοῦ δος κλίνεται κατὰ τὸ φυγάς φυγάδος καὶ τὰ ὅμοια, ἐκ τῶν Ἡρωδιανοῦ δῆλον, ὃς παρατιθεὶς τὸ ἱμάς καὶ ἀνδριάς ἐκτεινόμενα ἐν τῇ ληγούσῃ κατὰ μετοχάς, μιμήσασθαί φησιν αὐτὰ καὶ τὴν τῶν μετοχῶν κλίσιν τοῦ ἱστάς ἱστάντος καὶ βιβάς βιβάντος. τὸν μέντοι παρὰ τῷ Κωμικῷ ἀλλᾶντα προπερισπᾷ ἐκεῖνος, ὀκνῶν βαρύνειν αὐτὸν κατὰ τὴν κοινὴν συνήθειαν· Λέγει γάρ, ὅτι ὁ ἀλλᾶς ὡς ἀπὸ τοῦ ἀλλάεις κέκλιται διὰ τοῦ ντ , ἵνα ᾖ ἀλλάεντος καὶ κατὰ κρᾶσιν ἀλλᾶντος. ὁ δὲ τοιοῦτος λόγος ἀπαιτεῖ καὶ τὴν ἐντελῆ εὐθεῖαν τοῦ ἀλλᾶντος περισπᾶσθαι· δῆλον γὰρ ὡς ὁ ἀλλάεις γενόμενος ἀλλᾶς περισπωμένην ἀπαιτεῖ τὴν ἀπὸ κράσεως. ὁ δὲ Ἡρωδιανὸς τοῖς εἰρημένοις παραπηγνὺς καὶ τὸν παρὰ τῷ Κωμικῷ Μαρικᾶν, τὸ βάρβαρον ὄνομα, διὰ τοῦ ντ κλιθῆναι λέγει, παραφέρων χρῆσιν ταύτην· «ἀλλ' οὖν ἔγωγέ σοι λέγω Μαρικᾶντα μὴ κολάζειν».] Δοκεῖ δέ, φασί, παλαιότατα ἔθνη Ἑλλήνων εἶναι τὰ Ἀρκαδικά· διὸ καὶ προσέληνοι ἐλέγοντο οἱ Ἀρκάδες, ὅπερ, φασίν, Ἵππυς ὁ Ῥηγῖνος πρῶτον αὐτοὺς ἐκάλεσε. τοῦτο δὲ ὁ Λυκόφρων παραφράζων πρόσθε μήνης τοὺς Ἀρκάδας βαλανηφαγεῖν εἶπεν. ὁ δὲ Κωμικὸς ἐκ τῶν προσελήνων ὁρμώμενος τὸ βεκκεσέληνος ὄνομα συνέθετο, δηλοῦν ἀρχαιότητα καὶ ἁπλότητα. τότε δέ, φασί, καὶ τὸ ἄστρον, ἡ ἅμαξα, ἐκλήθη ἄρκτος διὰ τὸ καὶ τὸν ῥηθέντα Ἀρκάδα, τὸν ἐκ Διὸς καὶ Θεμιστοῦς, τυχεῖν τῆς προσηγορίας ταύτης διὰ τὴν ἀποθηρίωσιν τῆς μητρός. ἄρκτος γὰρ ὑπὸ Ἥρας, φασίν, ἡ Θεμιστὼ ἐγένετο. ἐν μέσῳ δὲ Πελοποννήσου κατὰ τὸν Γεωγράφον ἡ Ἀρκαδία, πλείστην ὀρεινὴν ἀποτεμνομένη.

1.465 μέγιστον δέ, φησίν, ὄρος ἐν αὐτῇ Κυλλήνη. ἔστι δὲ καὶ πόλις Αἰγύπτου Ἀρκαδία καὶ χώρα δέ, ὡς καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ ἐρρέθη. (v. 609) Ἡ δὲ κατὰ τὸν εἰρημένον Ἀγαπήνορα γενεαλογία τοιαύτη. Ἀρκάδος τοῦ ῥηθέντος Ἀμφιδάμας, οὗ ἔγγονος Λυκοῦργος, οὗ Ἀγκαῖος, οὗ Ἀγαπήνωρ. (v. 603) Κυλλήνη δὲ οὐ μόνον ὄρος, ὡς εἴρηται, Ἀρκαδίας, ἀλλὰ καὶ πόλις ὁμώνυμος, ἔνθα δοκεῖ τὸν Ἑρμῆν τεκεῖν ἡ τοῦ Ἄτλαντος Μαῖα, ὅθεν καὶ Κυλλήνιος Ἑρμῆς, ἐξ οὗ καὶ Κύλλιος κατὰ συγκοπήν, ὡς ὁ τὰ Ἐθνικὰ γράψας φησίν. ἐκλήθη δὲ Κυλλήνη κατὰ τὸν αὐτὸν ἀπὸ Κυλλήνης Ναΐδος. ἐν τούτῳ φασὶ μόνῳ τῷ ὄρει τοὺς κοττύφους λευκοὺς γίνεσθαι καὶ φωνὰς ποικίλας προΐεσθαι, θηρεύεσθαι δὲ πρὸς τὴν σελήνην, τῆς δ' ἡμέρας δυσθηράτους εἶναι σφόδρα. ἔστι δέ, φασί, καὶ Κύμης Κυλλήνη. ὁ δὲ Γεωγράφος φησίν, ὅτι Κυλλήνη καὶ Ἠλείων ἐπίνειον, ἀφ' ἧς «Κυλλήνιον ἀρχὸν Ἐπειῶν» φησί που Ὅμηρος. ἔστι δὲ καὶ κώμη μετρία ἔχουσα τὸν Κολώτου Ἀσκληπιὸν ξόανον θαυμαστόν, φησίν, ἰδεῖν, ἐλεφάντινον. καὶ ὅρα ὅτι οὐχ' ὁ Διόνυσος Κολώτης κατὰ τὴν ἀσυντήρητον παράδοσιν, ἀλλὰ τεχνίτης ἀγάλματος Διονύσου ὁ Κολώτης. περὶ δὲ τὴν Κυλλήνην, φασί, ταύτην Σελλήεις ὑπὸ τοῦ ποιητοῦ λεγόμενος ποταμός, ῥέων ἐκ Φολόης, Ἀρκαδικοῦ ὄρους. ἐκεῖ καὶ πόλις Ἔφυρα, ἑτέρα τῆς Θεσπρωτικῆς καὶ Θετταλικῆς καὶ Κορινθίας, τετάρτη τις, ἐξ ἧς τὰ ἀνδροφόνα φάρμακα· εἰς ἣν Ὀδυσσεὺς ἀφῖκται διζήμενος τὰ τοιαῦτα. ἔστι δέ, φησί, καὶ περὶ Σικυῶνα Σελλήεις ποταμὸς καὶ Ἔφυρα κώμη· καὶ Αἰτωλικὴ δέ ἐστι κώμη Ἔφυρα· οἱ δ' ἀπ' αὐτῆς Ἔφυροι, ὡς καὶ οἱ Περραιβικοὶ καὶ οἱ Κραννώνιοι καὶ οἱ Θεσπρωτικοί, οἱ ἐκ Κιχύρου πόλεως τῆς πρότερον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐφύρας. (v. 604) Ὁ δὲ Αἰπύτιος τύμβος δηλοῖ μὲν τὸν τοῦ Αἰπύτου τάφον. ἀρχαῖος δὲ Ἀρκὰς ἥρως ὁ Αἴπυτος, οὗ ὁ τύμβος παρώνυμος. καὶ ὅρα ὅτι ὡς ἐπισήμων ὄντων τοῦ τε ῥηθέντος τάφου καὶ τοῦ ὄρους τῆς Κυλλήνης ἐξ αὐτῶν ὁ ποιητὴς ἐσήμανε τὴν χώραν εἰπών· «οἳ δ’ ἔχον Ἀρκαδίην ὑπὸ Κυλλήνης ὄρος αἰπὺ Αἰπύτιον παρὰ τύμβον». Ἰστέον δὲ ὅτι ὤφειλε μὲν τὸ Αἰπύτιος διὰ διφθόγγου ἔχειν τὴν παραλήγουσαν ὡς κτητικόν, ἀπέβαλε δὲ τὸ ε διὰ δακτύλου ἀπαρτισμόν, ὅπερ ἐν πολλοῖς γίνεται, ὡς καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ γέγραπται.

1.466 οὕτω δὲ καὶ τὸ «Φιλοκτήτην Ποιάντιον υἱόν» κτητικὸν μέν, οὐ παραλήγεται δὲ διφθόγγῳ κατὰ τὴν ἀναλογίαν, ἀλλὰ τὴν διὰ τοῦ ι καὶ αὐτὸ γραφὴν ἀπείληχε διὰ τὸν δάκτυλον· ὁμοίως καὶ τὸ ἱππιοχάρμης τῷ λόγῳ τούτῳ ἔχει διὰ διχρόνου τὴν ἀπ’ ἀρχῆς δευτέραν συλλαβήν· ἄλλως γάρ, ὡς ἀπὸ κτητικοῦ τοῦ ἵππειος, διὰ διφθόγγου ὤφειλε γράφεσθαι. (v. 605) Φενεὸς δέ, κατὰ τὸν ἀναγραψάμενον τὰ Ἐθνικά, πόλις Ἀζανίας. μερὶς δὲ Ἀρκαδίας οἱ Ἀζᾶνες. λέγεται δέ, φησί, καὶ ἀρσενικῶς ὁ Φενεὸς καὶ θηλυκῶς ἡ Φενεός· κεῖται δὲ ὑπὸ τὸ ὄρος τὴν Κυλλήνην. ὁ δὲ Γεωγράφος λέγει, ὅτι περὶ ταύτην Στυγὸς ὕδωρ, λιβάδιον, φησίν, ὀλεθρίου ὕδατος, νομιζόμενον ἱερόν. Ἡρόδοτος δέ φησιν, ὅτι Νώνακρις πόλις Ἀρκαδίας, ἔνθα λέγεται εἶναι τὸ τῆς Στυγὸς ὕδωρ, ὀλίγον φαινόμενον, στάζον ἐκ πέτρας εἰς ἄγκος. καὶ σημείωσαι ὅτι οὐ διαφωνοῦσιν αἱ ἱστορίαι. Ἀρκαδικὴ γὰρ μοῖρα καὶ ἡ Ἀζανία καὶ ὁ Φενεὸς καὶ ἡ Νώνακρις. ἔσται δὲ μνήμη τις Φενεοῦ καὶ μετ’ ὀλίγα ἐν τῷ περὶ Ῥίπης καὶ Στρατίης. Ὁ δὲ ῥηθεὶς Ὀρχομενὸς πολύμηλος λέγεται πρὸς διαστολὴν τῶν προρρηθέντων μετὰ τὸν Βοιώτιον κατάλογον. καὶ τοῦτό ἐστιν, ὡς καὶ προερρέθη, τὸ ἐπίσημον τοῦ Ἀρκαδικοῦ Ὀρχομενοῦ, τὸ πολύμηλον. δηλοῖ δὲ ὁ πολύμηλος τὸν πολυθρέμμονα, ὥσπερ καὶ προϊὼν τὴν Ἴτωνα μητέρα μήλων ἐρεῖ, τουτέστι θρεμμάτων. καὶ Ἴφικλον δέ τινα πολύμηλον, τουτέστι πολύζῳον, ὡς ἀπὸ μέρους ἑνὸς ἤτοι τῶν μήλων, ὃ δηλοῖ προβάτων· ἄλλως γὰρ ὁ Ἴφικλος οὐκ ἐπὶ μήλοις ἀλλ’ ἐπὶ κτήσει βοῶν ἐθαυμάζετο. (v. 606) Ῥίπη δέ, ὥσπερ καὶ ἡ μετ’ αὐτὴν Στρατίη, βαρυτόνως λέγονται πρὸς διαστολὴν τῆς ῥιπῆς, ὃ δηλοῖ τὴν ὁρμήν, καὶ τῆς στρατιᾶς τοῦ λαοῦ. τάχα δὲ καὶ πληθυντικῶς λέγεται Ῥίπαι, ἐὰν ὁ Στράβων περὶ ταύτης λέγῃ, ὅτι Ῥίπαι οὐκ οἰκοῦνται. τὴν δὲ χώραν Ῥιπίδα καλοῦσιν. ἀλλαχοῦ δὲ σαφέστατά φησιν, ὅτι Ῥίπην Στρατίην τε καὶ Ἐνίσπην εὑρεῖν τε χαλεπὸν καὶ εὑροῦσιν οὐδὲν ὄφελος διὰ τὴν ἐρημίαν. καὶ Ὀρχομενὸς δὲ καὶ Στύμφαλος καὶ Φενεός, φησίν, ἢ οὐκέτι εἰσὶν ἢ μόλις αὐτῶν ἴχνη φαίνεται καὶ σημεῖα. ἐθνικὸν ταύτης Ῥιπαῖος. τῆς δὲ Στρατίης, ἥτις ἀπὸ ἡρωΐδος οὕτω καλεῖται, Στρατιεύς ὁ πολίτης καὶ Στρατιάτης· Στράτιον μέντοι πόλις Ἀκαρνάνων, οὗ πολίτης Στρατιώτης καὶ Στράτιος. τῆς δὲ Ἐνίσπης, ἣν ἠνεμόεσσαν λέγει ὡς ἐπὶ ὀρῶν κειμένην, Ἐνισπαῖος τὸ ἐθνικόν.

1.467 (v. 607) Τῆς δὲ Τεγέας γνώρισμα ὁ Στράβων τοιοῦτόν φησι. Κεγχρεαὶ κεῖνται ἐπὶ τῇ ὁδῷ τῇ ἐκ Τεγέας εἰς Ἄργος διὰ τοῦ Παρθενίου ὄρους. λέγει δὲ καί, ὅτι ἡ Τεγέα μετρίως συμμένει. εὐδαίμων δὲ ὁ Τεγεατικὸς τόπος· διὸ καὶ παροιμία ἐντεῦθεν «εὐδαίμων ὁ Κορίνθιος, ἐγὼ δ’ εἴην Τεγεάτης». τῷ μέντοι Γεωγράφῳ ἀρέσκει Τενεάτης ἐνταῦθα γράφεσθαι ἀπὸ Τενέας κώμης, φησί, Κορινθίας, ἐν ᾗ Τενεάτου Ἀπόλλωνος ἱερόν. λέγει δὲ ὁ αὐτὸς καί, ὅτι Τεγεάταις ὅμοροι Κυπαρισσεῖς· ἄμφω δὲ τὰ χωρία ταῦτα Καύκωνες κατεῖχον· καὶ ὅτι ἐν τῇ Λεπρεάτιδι Καύκωνός ἐστι μνῆμα καὶ ὅτι ἐν τῇ Δυμαίᾳ ποταμὸς Καύκων θηλυκῶς. πολὺς δὲ ὁ περὶ Καυκώνων λόγος καὶ μέμνηται μὲν αὐτῶν καὶ ἡ Ὀδύσσεια καὶ ἐν τοῖς ἑξῆς δὲ μνήμη τις ἔσται αὐτῶν. ἔστι δέ, φασί, καὶ Κρητικὴ Τεγέα, ὑπὸ Ταλθυβίου κτισθεῖσα. μέμνηνται δὲ Τεγέας καὶ χρησμοί, ἐν οἷς καὶ οὗτος· «Ἀρκαδίην μ’ αἰτεῖς. μέγα μ’ αἰτεῖς, οὔτοι δώσω. πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασιν, οἵ ς’ ἀποκωλύσουσιν. ἐγὼ δέ τοι οὔτι μεγαίρω. δώσω τοι Τεγέην» καὶ τὸ ἑξῆς. ἡ δὲ Μαντίνεια Μαντινέη μὲν παρ’ Ὁμήρῳ Ἰωνικῶς. εὕρηται δέ, φασί, καὶ Μαντίνη κατὰ συναλιφήν, ὡς Ζέλεια Ζέλη. ὠνόμασται δὲ ἀπὸ Μαντίνου, υἱοῦ Λυκάονος. ἐρατεινὴν δὲ αὐτὴν ὁ ποιητὴς λέγει, διότι πεδιάς ἐστι καὶ πολυάμπελος. συνῴκιστο δὲ κατὰ τὸν Γεωγράφον ὑπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀργείων ἐκ πέντε δήμων, ὡς ἡ πρὸ βραχέων ῥηθεῖσα Τεγέα ἐξ ἐννέα. πεποίηκε δὲ τὴν Μαντίνειαν ἔνδοξον Ἐπαμεινώνδας νικήσας αὐτόθι τοὺς Λακεδαιμονίους μάχῃ, ἐν ᾗ καὶ αὐτὸς ἐτελεύτα. δοκεῖ δὲ παρῆχθαι ἐκ τοῦ Μαντίνα ἡ Μαντίνεια, ὡς ἐκ τοῦ Ἀπάμα ἡ Ἀπάμεια. Καὶ εὕρηται ἡ Μαντίνα ἐν χρήσει ἐπὶ ἄλλης πόλεως, ὡς δηλοῖ ὁ ἱστορήσας, ὅτι Μαντίνα πόλις Ῥωμαίων, ἐξ ἧς Βιργίλιος ὁ ποιητής.

1.468 (v. 608) Στύμφηλος δὲ καὶ διὰ τοῦ α τὰ πλείω λέγεται Στύμφαλος. προάγεται δὲ καὶ ἀρσενικῶς καὶ θηλυκῶς. ἔστι δὲ οὐ μόνον πόλις Ἀρκαδική, ἀλλὰ καὶ πεδίον ὁμώνυμον καὶ πηγή, ὧν ἐθνικὸν Στυμφάλιος, ἐξ οὗ καὶ Στυμφαλία Ἄρτεμις καὶ λίμνη καὶ γυνή. ὅθεν Στράβων μέμνηται καὶ αὐτὸς λίμνης Στυμφαλίδος λέγων καί, ὅτι ἐνταῦθα τὰς ὄρνις μυθολογοῦσι τὰς ὑπὸ Ἡρακλέους τοξεύμασι καὶ τυμπάνοις ἐξελαθείσας, ὅπερ τοῖς μεγάλοις ἄθλοις προσελογίσθη τοῦ ἥρωος. ὁ δ’ αὐτὸς ἱστορεῖ καί, ὅτι ὑπὸ συχνῶν πολέμων πολλαὶ πόλεις τῶν Ἀρκάδων ἔνδοξοι οὖσαι ἠφανίσθησαν, ὧν καὶ ἡ Μεγάλη πόλις, οὕτως ὀνομαζομένη, περὶ ἧς Κωμικός τις ἔφη, ὅτι ἐρημία μεγάλη ἐστὶν ἡ Μεγάλη πόλις. Παρρασία δὲ ἡ πόλις ἀπὸ Παρρασοῦ, ἑνὸς τῶν Λυκάονος παίδων. Νικάνωρ δέ τίς φησιν, ὡς ὁ τὰ Ἐθνικὰ γράψας λέγει, Παρβασίαν αὐτὴν κεκλῆσθαι διὰ τὴν τοῦ Λυκάονος εἰς τὸν Δία παρανομίαν καὶ κατ’ ἐναλλαγὴν τοῦ β Παρρασίαν. τὴν δὲ τοῦ Λυκάονος ἐπὶ τῷ Διῒ παραιβασίαν, εἰπεῖν καθ’ Ἡσίοδον, οἱ τοῦ Λυκόφρονος δηλοῦσιν Ὑπομνηματισταί. καὶ ταῦτα μὲν ἐν τούτοις. (v. 612—4) Ὁ δὲ ποιητὴς ἱστορεῖ καί, ὅτι αὐτὸς ὁ βασιλεὺς Ἀγαμέμνων νῆας τοῖς ἐξ Ἀρκαδίας ἔδωκε, κενὰς δηλονότι· «ἐπεὶ οὔ σφι θαλάσσια ἔργα μεμήλει», τουτέστιν οὐ φροντὶς ἦν αὐτοῖς τῶν κατὰ θάλασσαν οὐδὲ ναυτικοὶ ἦσαν, οἷα μεσήπειροι, ὡς μέσην οἰκοῦντες, καθάπερ εἴρηται, τὴν Πελοπόννησον καὶ πανταχόθεν τῆς θαλάσσης πολὺ ἀφεστῶτες. λύει δέ, φασίν, οὕτω ζήτημα ὁ ποιητὴς τὸ «πῶς μεσόγειοι ὄντες εἰς Ἴλιον ἦλθον καὶ πόθεν ἔσχον τὰς ναῦς». ὅρα δὲ ὅπως ὁ Ἀγαμέμνων πολύναυς, ἑκατὸν μὲν αὐτὸς νῆας ἔχων, ἑξήκοντα δὲ δοὺς τῇ τῶν Ἀρκάδων στρατιᾷ. Ἰστέον δὲ ὅτι ἐν τοῖς Παυσανίου φέρεται, ὅτι τε Ἀρκὰς κυνῆ ἐλέγετό τις ἤτοι Ἀρκαδικὸς πῖλος, διὰ τὸ ἔχειν ὡς εἰκός τι διάφορον πρὸς τὰ ὁμοειδῆ, καὶ ὅτι φελλός τις ἐφέρετο Ἀρκὰς καὶ ὅτι Ἐρατοσθένης παρὰ Ἀρκάσι φησὶ φελλὸν μέσον τι πρίνου καὶ δρυός, ὃ ἐνίους θηλύπρινον καλεῖν, καὶ ὅτι παροιμία ἦν τὸ «Ἀρκάδας μιμούμενος» ἐπὶ τῶν ἄλλοις ταλαιπωρούντων· μαχιμώτατοι γὰρ ὄντες αὐτοὶ μὲν οὐδέποτε ἐνίκησαν, πολλοῖς δὲ ἄλλοις αἴτιοι τοῦ νικᾶν ἦσαν, ὅθεν καὶ Πλάτων ὁ Κωμικὸς διὰ τὸ τὰς κωμῳδίας φησὶν αὐτὸς ποιῶν ἄλλοις ἐκδιδόναι διὰ πενίαν Ἀρκάδας μιμεῖσθαι ἔφη· ἕτερος δὲ ῥήτωρ ἐπιδραμὼν τὰ πολλά φησιν· Ἀρκάδας μιμούμενος, ἤγουν ἄλλοις ταλαιπωρῶν. οἱ γὰρ Ἀρκάδες ὑπὲρ ἑτέρων ἠνδραγαθίζοντο, φησίν.

1.469 ὃ δὴ καὶ Ἡρακλῆς ἔπασχεν, ἐξ οὗ καὶ παροιμία ἐπὶ τῶν ἄλλοις μοχθούντων τὸ «ἐν τετράδι γεννηθῆναι», κατὰ τὸν Ἡρακλέα δηλαδή, ὃς ἐν μηνὸς τετάρτῃ γεννηθεὶς ἄλλοις ἤθλει. (v. 615—24) Ὅτι τοῖς περὶ τὸ Βουπράσιον καὶ τὴν Ἤλιδα, ἔνθα καὶ ἡ Ὑρμίνη καὶ ἡ Μύρσινος πέτρη τ’ Ὠλενίη καὶ Ἀλείσιον, τέσσαρας ἀρχηγοὺς ὁ ποιητὴς ἐφιστᾷ, τὸν Διώρην καὶ τὸν Πολύξεινον καὶ ἀνεψιοὺς ἢ αὐτανεψίους, ὅ ἐστιν ἐξαδέλφους πρώτους, δύο, τὸν Ἀμφίμαχον καὶ τὸν Θάλπιον, ὧν γενέτας ἡ ἱστορία παραδίδωσι Κτέατον καὶ Εὔρυτον, τοὺς κατὰ μὲν τὸν ποιητὴν Ἀκτορίωνας, Μολιονίδας δὲ κατὰ τοὺς νεωτέρους. ὧν γενεαλογία τοιαύτη, συντρέχουσα τῇ ἐνταῦθα ἱστορίᾳ τοῦ ποιητοῦ. Ἀλέκτωρ, ὁ Ἐπειοῦ παῖς, νέος κομιδῇ βασιλεύων Ἤλιδος καὶ τὴν τοῦ Πέλοπος ἐπιβουλὴν δεδιὼς συλλαμβάνεται Φόρβαντα τὸν ἐξ Ὠλένου ἐπὶ ἡμισείᾳ τῆς βασιλείας. γίνεται δὲ τῷ μὲν Ἀλέκτορι ἐκ Διογενείας τῆς Φορβαντίδος υἱὸς Ἀμαρυγκεύς, οὗ μέμνηται ὁ ποιητὴς ἐνταῦθα. τῷ δὲ Φόρβαντι ἐξ Ὑρμίνης, ἀδελφῆς Ἀλέκτορος, Αὐγείας καὶ Ἄκτωρ, ὧν καὶ αὐτῶν μνεία ἐνταῦθα τῷ ποιητῇ. τούτων δὲ Ἀμαρυγκέως μὲν ὁ ῥηθεὶς ἀνωτέρω Διώρης, Αὐγείου δὲ Φυλεὺς καὶ Ἀγασθένης, ὁ ἐνταῦθα παρὰ τῷ ποιητῇ κείμενος, Ἄκτορος δὲ Κτέατος καὶ Εὔρυτος, ὧν Κτεάτου μὲν ὁ δηλωθεὶς Ἀμφίμαχος, Εὐρύτου δὲ ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θάλπιος. ἀλλὰ Κτέατος μὲν καὶ Εὔρυτος ὑφ᾽ Ἡρακλέος ὤλοντο, Φυλεὺς δὲ παρακαλεῖ τὴν ἀρχὴν τοῦ πατρὸς δοθῆναι Ἀγασθένει, οὗ παῖς ὁ Ὁμηρικὸς οὗτος Πολύξεινος. ὁ δὲ Φυλεὺς τί ἐποίησεν ἔκτοτε, μετ᾽ ὀλίγον ἐν τῷ περὶ Δουλιχιωτῶν λόγῳ δηλωθήσεται. καὶ τοιαύτη μὲν ἡ τῶν ῥηθέντων τεσσάρων ἀρχηγῶν κατὰ τοὺς παλαιοὺς γενεαλογία. ὁ δὲ ποιητὴς ἑκάστῳ τούτων ἕπεσθαι λέγει δέκα νῆας. καὶ ὅρα ὅπως καινότερον ἐσχημάτισεν· οὐ γὰρ εἶπε «τοῖς δὲ τεσσαράκοντα νῆες ἕποντο», ἀλλὰ ἐμέρισεν αὐτὰς ἐπίσης τοῖς τέσσαρσιν. (v. 619) Ἐπειοὶ δὲ κατὰ τὸν ποιητὴν οἱ ἐν ταῖς ναυσὶ ταύταις· φησὶ γάρ· «πολέες δ᾽ ἔμβαινον Ἐπειοί». καὶ σημείωσαι ὅτι τοὺς Ἠλείους καὶ Ἐπειοὺς ὀνομάζει ἑτερωνύμως τῷ τόπῳ ἐξ οὗ ἦσαν, καὶ ὥς φασιν οἱ παλαιοί, διῃρημένως πρὸς τὴν πόλιν. ἦσαν δὲ ἐκ τῆς Ἤλιδος, ᾗ παρονομασθέντες Ἠλεῖοι ἂν ἐλέχθησαν. οὕτω καὶ οἱ Ἄβαντες, ὡς προερρέθη, καὶ ἕτεροι δέ τινες ὁμοίαν ἑτερώνυμον παρωνυμίαν ἔπαθον. (v. 622) Ἰστέον δὲ ὅτι ὁ ῥηθεὶς Διώρης ἐκτείνει τὴν ἄρχουσαν. καὶ εἰ μὲν ἀπὸ τοῦ Διός γίνεται, δοτέον αὐτὸ τῇ τῶν διχρόνων ἀδιαφορίᾳ· εἰ δὲ παρὰ τὴν δια πρόθεσιν γεγονὸς κέκραται κατὰ τοὺς παλαιούς, πίπτει οὕτως ὑπὸ ἀναλογίαν. (v. 615) Τῶν δὲ ῥηθέντων τόπων τὸ Βουπράσιον ὁ Γεωγράφος χωρίον τῆς Ἠλείας φησὶ καὶ τοὺς Βουπρασιεῖς Ἐπειούς· καὶ ἀλλαχοῦ πάλιν λέγει, ὅτι κατοικία τῆς Ἠλείας τὸ Βουπράσιον [ἀξιόλογος, ἣ νῦν οὐκέτ᾽ ἐστί, καὶ ὅτι ὑπεροχὴν δοκεῖ ἔχειν τότε τὸ Βουπράσιον] παρὰ τὴν Ἦλιν καὶ οἱ Ἐπειοὶ παρὰ τοὺς Ἠλείους καὶ ὅτι ὕστερον ἀντὶ Ἐπειῶν Ἠλεῖοι ἐκλήθησαν καὶ ὅτι, εἰ καὶ μέρος Ἤλιδος τὸ Βουπράσιον, ἀλλὰ ποιητικῷ σχήματι συγκαταλέγεται τὸ μέρος τῷ ὅλῳ, ὥσπερ, φησί, καὶ ἐν τῷ «ἀν᾽ Ἑλλάδα καὶ μέσον Ἄργος».

1.470 τοῦτο δὲ τὸ σχῆμα, περὶ οὗ καὶ προερρέθη, πολλαχοῦ ἀναφανήσεται. ὁ δὲ τῶν Ἐθνικῶν γραφεὺς καὶ πόλιν Ἤλιδος λέγει καὶ ποταμὸν καὶ χωρίον καὶ κατοικίαν ἀξιόλογον τὸ Βουπράσιον, κληθὲν οὕτω ἀπὸ Βουπρασίου τινὸς ἄρξαντος ἐκεῖ. ἐθνικὸν αὐτοῦ Βουπρασιεύς καὶ Βουπράσιος καὶ Βουπρασίων δέ, ὡς Καδμείων. Ἡ δὲ Ἦλις πόλις πρὸς τῇ Ὀλυμπίᾳ κατὰ τὸν τὰ Ἐθνικὰ γράψαντα, κληθεῖσα, φησίν, ἀπὸ Ἡλίου, παιδὸς Ταντάλου, κατὰ δὲ Ἡρόδοτον Αἰτωλῶν ἡ Ἦλις. ἔστι δὲ καὶ Ἀρκαδικὴ καὶ Ἰσπανίας δέ. ὁ πολίτης, φησίν, Ἠλίδειος τύπῳ κτητικῷ καὶ ὑφέσει τοῦ δ Ἠλίειος καὶ συναιρέσει Ἠλεῖος. Τρύφων δέ φησιν Ἠλίεος καὶ κατὰ μετάθεσιν Ἠλέϊος καὶ Ἠλεῖος. ὁ δὲ Γεωγράφος λέγει, ὅτι Ἠλεῖοι καὶ Μεσσήνιοι κλύζονται τῷ Σικελικῷ κόλπῳ καὶ ὅτι Ἦλις οὔπω ἔκτιστο καθ᾽ Ὅμηρον, ἀλλ᾽ ἡ χώρα κωμηδὸν ᾠκεῖτο. ἐκαλεῖτο δὲ κοίλη Ἦλις ἀπὸ τοῦ συμβεβηκότος, καθ᾽ ὁμοιότητα δηλαδὴ τῆς κοίλης Λακεδαίμονος καὶ τῆς κοίλης Συρίας. πάνυ δὲ περιᾳδομένη γέγονεν ὕστερον ἡ Ἦλις διὰ τὰ ἐν αὐτῇ τελούμενα Ὀλύμπια· διὸ καὶ δῖαν αὐτὴν λέγει ὁ ποιητὴς εἰδώς, οἷα εἰκός, καὶ αὐτὸς τὴν πανήγυριν προκαταβληθεῖσαν ἐπὶ Ἡρακλέος, καθὰ καὶ Πίνδαρος ἱστορεῖ. ὅτι δὲ καὶ ψιλοῦται ἡ Ἦλις κανονικῶς, ἔτι δὲ καὶ δασύνεται παρὰ τὸ ἁλίζω, τὸ συναθροίζω, ἢ καὶ παρὰ τὸν ἀνωτέρω ῥηθέντα Ταναλίδην Ἥλιον δῆλον ἐκ τῶν παλαιῶν. [Ὅτι δὲ τὸ τῶν Ἠλείων ὑποβάρβαρον ἐσκώπτετο, δηλοῖ ὁ ἐν τῷ ἐρωτηθῆναι, πότερα Βοιωτοὶ βαρβαρώτεροι τυγχάνουσιν ὄντες ἢ Θετταλοί, φάμενος, ὡς Ἠλεῖοι. ὡς δὲ καὶ περὶ γυμνάσια εὐδοκίμουν, δηλοῖ ὁ αὐτὸς εἰπών· «γυμνικοὺς ἀγῶνας διατιθέτωσαν Ἠλεῖοι, Κορίνθιοι θυμελικούς, Ἀθηναῖοι σκηνικούς, εἰ δέ τις τούτων πλημμελοίη, μαστιγούσθωσαν Λακεδαιμόνιοι», αἰνιττόμενος ἐκεῖνος νόμῳ σκώμματος τὰς παρὰ Λάκωσιν ἀγομένας ἑορταστικὰς μαστιγώσεις.

1.471 περὶ δὲ Ἠλείων εἴτ᾽ οὖν Ἐπειῶν ῥηθήσεται καὶ ἐν τοῖς ἑξῆς, ἔνθα ὁ γέρων Νέστωρ λόγοις τὸν Πάτροκλον κατεργάζεται.] (v. 616 s.) Σημείωσαι δὲ ὅτι ἐμφαίνει καὶ ἐνταῦθα ὁ ποιητὴς πολλοὺς σιγηθῆναι τόπους εἰπών «ὅσσον Ὑρμίνη καὶ Μύρσινος πέτρη τ᾽ Ὠλενίη καὶ Ἀλείσιον ἐντὸς ἐέργει»· τὰ γὰρ ἔσω τῶν τεσσάρων τούτων τόπων εἰργόμενα σεσίγηνται. ἔνθα φασὶν οἱ παλαιοί, ὅτι ὁρίοις περιορίζει τὴν Ἦλιν ὁ ποιητὴς ἀπὸ τῶν ἐσχάτων αὐτῆς μερῶν, οἷα μὴ θέλων τὰ κατὰ μέρος λεπτολογεῖν. ἡ δὲ Ὑρμίνη πολίχνιον ἦν· οὐκ ἔστι δέ, φασί, νῦν, ἀλλὰ ἀκρωτήριον περὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κυλλήνην ὀρεινόν, καλούμενον Ὅρμινα ἢ Ὕρμινα. ὁ δὲ τὰ Ἐθνικὰ ἐκθέμενος Ὑρμίνας δύο εἶναί φησιν ἀπὸ Ὑρμίνης, τὰς ὕστερον διὰ τοῦ ο κληθείσας. Ἡ δὲ Μύρσινος ἐσχατόωσα μὲν εἴρηται, καθά που καὶ ἡ Ἀνθηδών. ἐκλήθη δέ, φασίν, ὕστερον Μυρτούντιον· ἐθνικὸν δὲ αὐτῆς εὕρηται Μυρτούσιος. Ἡ δὲ Ὀλενία πέτρα ὄρος, φασί, τῆς Ἠλείας ἐστί. καὶ ὁ Γεωγράφος δὲ λέγει, ὅτι πέτραν Ὠλενίαν εἰκάζουσι τὴν νῦν Σκόλλιν, ὄρος πετρῶδες, κοινὸν Δυμαίων καὶ Ἠλείων. ὁ δὲ καταγράψας τὰ Ἐθνικὰ Ὤλενον ἱστορεῖ πόλιν Ἀχαίας ἀρσενικῶς καὶ θηλυκῶς ἀπὸ Ὠλένου, υἱοῦ Διός. καὶ ἴσως Ὠλενία πέτρα τὸ ῥηθὲν ὄρος ἐκ τῆς τοιαύτης Ὠλένου, ἧς καὶ ὁ Γεωγράφος μνησθεὶς λέγει, ὅτι Ὤλενος ἔρημος, κειμένη μεταξὺ Πατρῶν καὶ Δύμης, καὶ ὅτι δείκνυται ἴχνη μεταξὺ Πατρῶν καὶ Δύμης τοῦ παλαιοῦ τῶν Ὠλενίων κτίσματος καὶ ὅτι Ὅμηρος τοῦ ἐν Ἀχαίᾳ Ὠλένου οὐ μέμνηται, ἀλλὰ τοῦ ἐν Αἰτωλίᾳ ὁμωνύμου κτίσματος. καὶ ἰδοὺ καὶ τοῦτο ἑτερωνυμίας τινὸς ὑπόδειγμα, εἴπερ τόπον μὴ εἰπὼν Ὤλενον Ὠλενίην πέτραν ὠνόμασεν ἀπὸ Ὠλένου παρωνομασμένην. Τὸ δὲ Ἀλείσιον ἐν μὲν τοῖς παλαιοῖς τῶν ἀντιγράφων διὰ διφθόγγου φέρεται, ὡς ἀπὸ τοῦ ἀλέω ἀλέσω κατὰ τὸν Ἐτυμολόγον, ὁ δὲ τῶν Ἐθνικῶν ἐκθέτης διὰ τοῦ η γράφει αὐτὸ λέγων οὕτω καλεῖσθαι ἀπὸ Ἀλησίου, υἱοῦ Σκιλλοῦντος, ἑνὸς τῶν τῆς Ἱπποδαμείας μνηστήρων. ἔστι δέ, φησί, καὶ Ἁλήσιον πεδίον Ἠπείρου, παρώνυμον τῷ ἁλί, ὡς πηγνυμένου ἐκεῖ πολλοῦ ἁλός. Στράβων δὲ ἱστορεῖ, ὅτι περὶ τὸ Ὁμηρικὸν Ἀλείσιον ἀγορὰν κατὰ μῆνα συνάγουσιν οἱ περίοικοι καὶ ὅτι τὸ Ἀλείσιον καὶ Ἀλεισίου κολώνην ὁ ποιητὴς καλεῖ εἰπών· «πέτρης τ' Ὠλενίης καὶ Ἀλεισίου ἔνθα κολώνη κέκληται». ὑπερβατῶς γάρ, φησί, δεκτέον «καὶ ἔνθα Ἀλεισίου κολώνη κέκληται». λέγει δὲ καί, ὅτι ἔνιοι καὶ ποταμὸν δεικνύουσιν Ἀλείσιον.

1.472 τὸ μέντοι Ἀλήϊον, οὗ ἀλλαχοῦ μέμνηται ὁ ποιητής, Λυκιακὸν πεδίον ἐστίν. (v. 625—30) Ὅτι πολλαχοῦ ἐνταῦθα ὁ ποιητὴς καινῷ τοιούτῳ χρᾶται σχήματι· «οἳ δὲ εἶχον τὸν δεῖνα καὶ δεῖνα τόπον, τούτων ἦρχεν ὁ δεῖνα». τὸ δέ γε ἀκόλουθον οὕτως ἦν· «οἳ δὲ εἶχον τόνδε καὶ τόνδε τὸν τόπον, ἀρχηγὸν εἶχον τόνδε τινά». ὁ δὲ ἀρχόμενος ἀπὸ εὐθείας περαίνει καινότερον τὴν τοῦ σχήματος ἀπόδοσιν εἰς γενικήν. οὕτω γοῦν καὶ ἐνταῦθα σχηματίζων φησίν· «οἳ δ' ἐκ Δουλιχίου Ἐχινάων τε ἱερῶν νήσων, οἳ ναίουσι πέρην ἁλὸς Ἤλιδος ἄντα, τούτων ἡγεμόνευε Μέγης Φυλεΐδης», Αὐγείου ἔγγονος. εἶτα οὕτω δόξαν αὐτῷ ἐφερμηνεύων τὸ «Φυλεΐδης» φησίν· «ὃν τίκτε Διῒ φίλος ἱππότα Φυλεύς». ἡρμήνευσε δὲ τὸ Φυλεΐδης οὐχ' ὡς ὑποδύσκολον, ἀλλ' ἵνα εἰς τὸ Φυλεύς ἀναλύσας αὐτὸ εὐθὺς ἀκολύτως ἐπιπλέξῃ ἱστορίαν ταύτην· «ὅς ποτε Δουλίχιόνδ' ἀπενάσσατο πατρὶ χολωθείς». οὐ γὰρ Δουλιχιεὺς ἀνέκαθεν ὁ Φυλεύς, ἀλλὰ χόλον παθὼν κατὰ τοῦ πατρὸς μετῴκησεν ἐκ τῶν κατὰ Ἤλιδα τόπων εἰς τὸ Δουλίχιον. διὸ καὶ ἱππότης νῦν εἰρῆσθαι δοκεῖ καὶ αὐτὸς ἀντὶ τοῦ φυγάς· κεῖται γάρ ποτε τὸ ἱππότης ὄνομα κατὰ τοὺς Γλωσσογράφους καὶ ἐπὶ τοιούτου σημαινομένου. περὶ δὲ τοῦ Φυλέως ἐγράφη καὶ πρὸ ὀλίγου. ἐνταῦθα δὲ ὅρα ψευδοπαρήχησιν τήν «Διῒ φίλος Φυλεύς». τοιαῦται δὲ καὶ ἕτεραι ἀνεγράφησαν καὶ μάλιστα ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. ἦγε δὲ ὁ ῥηθεὶς Μέγης νῆας τεσσαράκοντα. Ἰστέον δὲ ὅτι ὁ Πορφύριος αἰτίαν τοῦ φυγεῖν τὸν Φυλέα ἐξ Ἤλιδος εἰς τὸ Δουλίχιόν φησι τὸ μαρτυρῆσαι Ἡρακλεῖ περὶ τῆς ἀφαιρέσεως τῶν βουκολίων, ὅπερ πάντως ἐλύπει τὸν τοῦ Φυλέως πατέρα, τὸν Αὐγείαν. γέγονε δὲ τοῦτο, ἡνίκα Ἡρακλῆς τὴν Αὐγείου κόπρον ἐξεκάθηρεν. ἐνταῦθα δέ φασιν οἱ παλαιοί, ὅτι διαφορᾶς ἀνηκέστου τῶν οἰκείων κρείσσων χωρισμός, ἐπαινοῦντες τὴν τοῦ Φυλέως φυγήν, ἐπεὶ χόλον ἔσχε πολὺν τῷ πατρί. μητέρα δὲ τοῦ ῥηθέντος Μέγητός τινες Κτιμένην φασὶ τὴν τοῦ Λαέρτου, ὥστε θεῖος αὐτοῦ γίνεται Ὀδυσσεύς, οὗπερ ἀδελφὴ ἡ Κτιμένη. ἑτέρα δὲ ἱστορεῖται οἰκείωσις τοῦ Μέγητος πρὸς τοὺς βασιλεῖς. Φυλεὺς γάρ, φασί, μοιχεύσας Τιμάνδραν ἀδελφὴν Ἑλένης καὶ Κλυταιμνήστρας ἀπήγαγεν εἰς τὸ Δουλίχιον, ὥστε καὶ εὐλόγως, φασί, διὰ τὴν ἐπιγαμίαν συμμαχεῖ καὶ ὁ Μέγης. (v. 625) Ἰστέον δὲ ὅτι ἐκ τῆς Πελοποννήσου μεταβὰς ὁ ποιητὴς εὐτάκτως εἰς τὸ πλησίον αὐτῆς Δουλίχιον οὕτω καθ' ὁμοίαν

τινὰ τάξιν, διὰ τὴν ῥηθεῖσαν τοῦ Μέγητος οἰκείωσιν πρὸς τὸν Ὀδυσσέα, μετὰ τὸν παρόντα κατάλογον τὸν Κεφαλληνιακὸν τάξει, οὗ ἐξάρχει ὁ Ὀδυσσεύς. Σημείωσαι δὲ ὅτι, εἰ καὶ Ὅμηρος ἰδιάζειν δοκεῖ τὸ Δουλίχιον ἐκ τῶν Ἐχινῶν, ἀλλ' ἕτεροι τῶν Ἐχινάδων εἶναί φασι καὶ αὐτό.

1.473 καὶ ἔστιν εἰπεῖν, ὅτι ἐν πολλοῖς ὁ ποιητὴς οὕτω ποιεῖ, ὡς καὶ προείρηται, ἰδίᾳ μὲν ἐκφωνῶν τὸ ὅλον, ἰδίᾳ δὲ τὸ μέρος, οἷόν ἐστι καὶ τὸ «εἰς Κύπρον, εἰς Πάφον». ὅλον μὲν γὰρ ἡ Κύπρος, μέρος δὲ αὐτῆς ἡ Πάφος. οὕτω γοῦν καὶ ἐνταῦθα ἐν ὁλότητι μὲν αἱ Ἐχινάδες, μέρος δὲ αὐτῶν τὸ Δουλίχιον. τοιαῦτα δὲ σχήματα καὶ ὁ Γεωγράφος ἐκτιθεὶς καὶ οὐ μόνον Ὁμηρικά, ἀλλὰ καὶ ἐξ ἑτέρων ποιητῶν, φησίν, ὅτι ἐν τῷ «ἐκ Δουλιχίου Ἐχινάων τε» συγκαταλέγεται τὸ μέρος τῷ ὅλῳ ποιητικῷ σχήματι· ἐντὸς γὰρ τῶν Ἐχινάδων καὶ τὸ Δουλίχιον. οὕτω καὶ τὸ Βουπράσιον συγκαταλέγει ὁ ποιητὴς τῇ Ἤλιδι, μέρος ὂν αὐτῆς. τοιοῦτόν φησι καὶ τὸ «ἀν' Ἑλλάδα καὶ μέσον Ἄργος», περὶ οὗ προείρηται. ὁμοίου δὲ σχήματος εἶναι λέγει καὶ τὸ «Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοί». μέρος γὰρ Αἰτωλῶν οἱ Κουρῆτες. καὶ Ἱππῶναξ δὲ οὕτω σχηματίζει ἐν τῷ «Κυπρίων βέκος καὶ Ἀμαθουσίων πυρῶν». μέρος γὰρ Κυπρίων οἱ Ἀμαθούσιοι. καὶ Ἀλκμάν· «Κύπρον ἱμερτὰν λιποῖσα καὶ Πάφον περιρρύταν». καὶ Αἰσχύλος· «Κύπρου Πάφου τ' ἔχουσα πάντα κλῆρον». ἐμπεριέχεται γὰρ ἡ Πάφος τῇ Κύπρῳ ὥσπερ καὶ ἡ Χαλκὶς καὶ ἡ Ἐρέτρια τῇ Εὐβοίᾳ ἐν τῷ «οἳ δ' Εὔβοιαν ἔχον καὶ Χαλκίδα καὶ Ἐρέτριαν». ὁ δ' αὐτὸς Γεωγράφος λέγει καί, ὅτι οἱ τὰς Ἐχινάδας οἰκοῦντες Ἐπειοὶ ἐλέγοντο. οὕτω δέ, φασί, καὶ Ἀρίσταρχος ἐκδέχεται καὶ ἕτεροι. ἐν δὲ τῇ γεωγραφικῇ ἱστορίᾳ φέρεται καί, ὅτι Ζάκυνθος διέχει Κεφαλληνίας ὅσον ἑξήκοντα στάδια, ὑλώδης μέν, εὔκαρπος δέ. ταύτης πρὸς ἕω αἱ Ἐχινάδες ἵδρυνται νῆσοι, ὧν καὶ τὸ Δουλίχιον, ὃ νῦν, φησί, Δολίχαν καλοῦσι, καὶ αἱ Ὀξεῖαι καλούμεναι νῆσοι, ἃς θοὰς ἐν Ὀδυσσείᾳ εἶπεν ὁ ποιητής. κεῖται δέ, φησίν, ἡ ῥηθεῖσα Δολίχα κατὰ τὴν ἐκβολὴν τοῦ Ἀχελῴου, οὗπερ ἡ χοῦς τὰς μὲν αὐτῶν ἐξηπείρωκε, τὰς δὲ μέλλει, πολλὴ καταφερομένη. καὶ ὅρα ἐνταῦθα τὸ ἡ χοῦς· σύνηθες δὲ τῷ Γεωγράφῳ οὕτω λέγειν· παρὰ δὲ ἑτέροις σπάνιόν ἐστι θηλυκῶς τὴν λέξιν ταύτην εὑρεῖν. ὁ δὲ τὰ Ἐθνικὰ ἐκθεὶς λέγει μὲν καὶ αὐτός, ὅτι τὸ Δουλίχιον καὶ Δολίχα καλεῖται· προστίθησι δέ, ὅτι καὶ ὀξεῖα λέγεται, ἣν πληθύνας θοάς, φησίν, ὁ ποιητὴς εἶπε. καὶ ἰδοὺ καινὸν τοῦτο καὶ παρὰ τὴν τῶν πολλῶν δόξαν, εἴπερ αἱ Ὁμηρικαὶ θοαὶ νῆσοι οὐ πολλαί εἰσιν, ἀλλὰ μία κατὰ τοῦτον ἡ ῥηθεῖσα Δολίχα.

1.474 καλεῖται δὲ Δουλίχιον ἀπὸ Δολιχίου, φασίν, υἱοῦ Τριπτολέμου. ἔστι δέ, φασί, καὶ νῆσος Δολιχὴ πρὸς τῇ Λυκίᾳ, ἣν καὶ Δολιχίστην ἔλεγον. τάχα δέ, ὡς καὶ παρὰ τὸ μακρόν ἡ Μάκρις τε καὶ ἡ Μάκρη, οὕτω καὶ παρὰ τὸ δολιχόν ἡ Δολίχη. Ἰστέον δὲ ὅτι τοῦ Ἐχινάων εὐθεῖα ἡ Ἐχίνη. τοῖς δὲ μεθ' Ὅμηρον εὐθεῖα Ἐχινάς καὶ ἀπ' αὐτῆς αἱ νῆσοι Ἐχινάδες. οὐκ ἔστι δ' εἰπεῖν σταθερῶς, εἴτε παράγωγον τῆς Ἐχίνης ἡ Ἐχινάς, εἴτε ὑποκοριστικόν· [Ὅτι δὲ τόποι πολλάκις καὶ ἀπὸ τῶν παρ' αὐτοῖς πλεοναζόντων ἐκαλοῦντο, αἱ ἱστορίαι δηλοῦσιν. Ἴκαρος γοῦν ἰχθυόεσσα ἦν ὅτε ἐκαλεῖτο διὰ τοὺς ἐκεῖ πολυπληθεῖς ἰχθύας. καὶ ἡ Σηπιὰς δὲ ἄκρα διὰ τὰς αὐτόθι σηπίας. καὶ νῆσοι Λαγοῦσσαι ἀπὸ τῶν ἐν τοῖς ἐκεῖ λαγωῶν. ἔνθα καὶ ὅρα τὸ Λαγοῦσσαι, ὡς ἀπὸ τοῦ λαγός τοῦ γραφομένου διὰ τοῦ ο μικροῦ, ὅθεν Λαγόεσσαι καὶ κατὰ κρᾶσιν Λαγοῦσσαι, ὡς καὶ Λεπαδόεσσαι Λεπαδοῦσσαι ἀπὸ τῶν κατ' αὐτὰς πλεοναζόντων. οὕτω δὲ καὶ ἄλλαι νῆσοι, αἱ μὲν Φυκοῦσσαι, αἱ δὲ Πιθηκοῦσσαι, αἱ δὲ Πιτυοῦσσαι. εἰκὸς οὖν καὶ Ἐχίνας εἴτ' οὖν Ἐχινάδας νήσους ἀπὸ τῶν ἐχίνων εἶναι παρωνομασμένας, ὧν παρώνυμον καὶ ὁ ἐχινόπους· ἐξ οὗ παροιμία τὸ «τὰς ἀκάνθας συνάγων ὡς ἂν ἐχινόποδας». ὁμώνυμος δὲ λέξις ὁ ἐχῖνος. ζῴου τε γὰρ εἶδος δηλοῖ ἓν μὲν χερσαῖον, ἕτερον δὲ θαλάσσιον, καὶ κοιλίας τὸ ἔσω καὶ εἶδος δὲ πλακοῦντος, ὡς ἱστορεῖ Ἀθήναιος.] (v. 626) Ἐν δὲ τῷ «αἳ ναίουσι πέρην ἁλός», εἰ μὲν γράφεται «οἳ ναίουσιν», οὐδὲν ἔχει καινόν· τὸ δὲ εἰπεῖν «αἳ ναίουσι» σχηματισμόν τινα ἔχει οὐ πάνυ συνήθη· κεῖται γὰρ τὸ «ναίουσιν αἱ νῆσοι» ἀντὶ τοῦ ναίονται. οὕτω καὶ Σοφοκλῆς· «σὺ μέν που ναίεις ἁλίπλαγκτος», ἀντὶ τοῦ ναιομένη τυγχάνεις. καὶ μετάγεται οὕτω τὸ ἔργον τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατοικούντων εἰς τὰ κατοικούμενα· ναίουσι μὲν γὰρ ἄνθρωποι, ναίονται δὲ τόποι, ὥστε τὸ εἰπεῖν, ὅτι ναίουσιν οἱ τόποι, ἀντέστραπται τῇ φύσει τοῦ πράγματος. Τὸ δὲ πέρην δηλοῖ μὲν τὸ πέραν. ἔστι δὲ ἐπίρρημα μεταληφθὲν ἀπὸ θηλυκῆς αἰτιατικῆς. πέρα γὰρ ἡ γῆ κατὰ γλῶσσαν, ὅθεν ἡ περαία παράγεται, ἧς ἡ αἰτιατικὴ πέραν καὶ μεταβολῇ τοῦ α πέρην· ἐξ οὗ τὸ ἐπίρρημα, δηλοῦν τὸ ἀπὸ τῶν ἐνταῦθα εἰς τὴν ἐκεῖθεν ἀντικρὺ γῆν.

1.475 ὅρα δὲ ὅτι τοπογραφῶν ὁ ποιητής, ποῦ Ἐχινάδες νῆσοι κεῖνται, περὶ ὧν καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ ἐγράφη, οὐκ ἠρκέσθη τῷ «πέραν ἁλός», ἀλλὰ διὰ σαφήνειαν προσέθετο τὸ «Ἤλιδος ἄντα», τουτέστιν ἀντικρὺ τῆς Ἤλιδος, περὶ ἧς πρὸ ὀλίγου εἴρηται. (v. 631—7) Ὅτι Ὀδυσσεὺς δώδεκα μιλτοπαρῄους νῆας ἔχων ἦγε Κεφαλλῆνας μεγαθύμους, «οἵ ῥ᾽ Ἰθάκην εἶχον καὶ Νήριτον εἰνοσίφυλλον καὶ Κροκύλει᾽ ἐνέμοντο καὶ Αἰγίλιπα τρηχεῖαν, οἵ τε Ζάκυνθον ἔχον καὶ οἳ Σάμον ἀμφενέμοντο, οἵ τ᾽ ἤπειρον ἔχον καὶ ἀντιπέραι᾽ ἐνέμοντο». καὶ ὅρα ὅπως καὶ ἐνταῦθα ἐνεχόρευσεν ὁ ποιητὴς τῷ εἶχον καὶ τῷ ἐνέμοντο. (v. 631) Μέμνησο δὲ καὶ ὅτι Κεφαλλῆνας λέγει οὐ μόνον τοὺς ἐκ τῆς Κεφαλληνίας νήσου, ἀλλὰ πάντας τοὺς ἐν τοῖς ῥηθεῖσι τόποις τοῖς ὑπὸ τὸν Ὀδυσσέα, τούς τε περὶ τὴν Ἰθάκην καὶ τοὺς λοιπούς. ἐν οἷς καὶ οἱ Ἀκαρνᾶνες κατὰ τὸν Γεωγράφον οὔπω ἐπὶ Ὁμήρου ὠνομασμένοι οὕτω. τὰ γοῦν ῥηθέντα Κροκύλεια ἐν τοῖς Ἀκαρνᾶσι, φησίν, εἰσί· καὶ ἡ Λευκὰς δὲ ἦν, φησί, τὸ παλαιὸν χερόννησος τῆς τῶν Ἀκαρνάνων γῆς. καλεῖ δ᾽ ὁ ποιητὴς αὐτὴν ἀκτὴν ἠπείρου, ἤπειρον καλῶν τὴν περαίαν Ἰθάκης καὶ Κεφαλληνίας, ὡς εἶναι, φασί, ταὐτὸν ἀκτὴν ἠπείρου εἰπεῖν καὶ Ἀκαρνανίαν. τὴν δὲ ῥηθεῖσαν Λευκάδα Νήρικον ἐν Ὀδυσσείᾳ καλεῖσθαί φασι. πόθεν δὲ τὴν κλῆσιν οἱ Κεφαλλῆνες ἔλαχον καὶ διὰ τί ἐν δυσὶ λ γράφονται, ἐν Ὀδυσσείᾳ εἴρηται περί που τὰ εἰς τὴν α′ ῥαψῳδίαν. νῦν δὲ τοσοῦτον μόνον ῥητέον, ὅτι τε ἀντίκειται ταῖς Ἐχινάσιν ἡ Κεφαλληνία καὶ ὅτι Κέφαλος, οὗ οἱ Κεφαλλῆνες παρώνυμοι, πρόγονος ἦν Ὀδυσσέως· Κεφάλου γὰρ Κηλεύς, οὗ Ἀρκέσιος, οὗ Λαέρτης, οὗ Ὀδυσσεύς· καὶ ὅτι Ἀμφιτρύων φυγάδα παραλαβὼν ἐξ Ἀθηνῶν Κέφαλον τὸν Δηϊονέως κατέσχε νῆσον καὶ παρέδωκε τῷ Κεφάλῳ, οὗ καὶ γέγονεν ἐκεῖνος ἐπώνυμος. καὶ ὅτι τινὲς τῶν μεθ᾽ Ὅμηρον τὸ Δουλίχιον Κεφαλληνίαν ἐνόμισαν, ἄλλοι δὲ τὴν ἐν Ὀδυσσείᾳ Τάφον. (v. 632) Ἰθάκη δὲ ἐκλήθη ἀπὸ Ἰθάκου ἥρωος, οὗ καὶ Ὅμηρος μέμνηται. ἔστι δέ, φασί, καὶ Συρίας πόλις Ἰθάκη. τὸ ἐθνικὸν οὐ μόνον Ἰθακήσιος, ἀλλὰ καὶ Ἴθακος, ὥς φασιν, ὁμοφώνως τῷ οἰκιστῇ τῆς νήσου, ἧς ὁ κύκλος ὀγδοήκοντα στάδια. [Ὅρα δὲ τὸ «οἵ ῥ᾽ Ἰθάκην εἶχον», ὅτι ὄγκου φωνῆς χάριν ἐπεντεθειμένον ἔχει τὸν ῥα σύνδεσμον, ὅπερ μυριαχοῦ ποιεῖ Ὅμηρος.

1.476 ἄλλως γὰρ εἶχεν εἰπεῖν μετὰ χάσμης «οἳ Ἰθάκην εἶχον».] Τὸ δὲ Νήριτον ὄρος ἐστὶν ἐπιφανὲς ἐν Ἰθάκῃ, περὶ οὗ ἱκανῶς ἐρρέθη ἐν τῷ α′ τῆς Ὀδυσσείας. εἰνοσίφυλλον δὲ αὐτὸ λέγει ὁ ποιητής, τουτέστι κινούμενον τοῖς φύλλοις ὡς δασύ, οὗ δηλαδὴ διὰ τὴν πυκνότητα οὐδέν τι τῶν στερρῶν κινεῖται, ὡς μὴ διϊκνουμένου τοῦ ἀνέμου ἐντός, ἀλλὰ τὰ φύλλα μόνα, οἷς ἐπιπολάζων ἐντρέχει ὁ ἄνεμος. γίνεται δὲ ἡ λέξις ἐκ τοῦ ἐνόθω ἐνόσω, τὸ κινῶ, καὶ τοῦ φύλλον. ὅρα δὲ ὅτι, ὥσπερ πρὸ βραχέων, οὕτω καὶ ἐνταῦθα κατὰ συνήθη σχηματισμὸν τῷ ὅλῳ τὸ μέρος συγκατείλεκται, τῇ Ἰθάκῃ δηλαδὴ τὸ Νήριτον τὸ ἐντὸς αὐτῆς ὄν. Νήριτον δὲ τὸ ὄρος διὰ τοῦ τ . τὸ γὰρ διὰ τοῦ κ Νήρικον πόλις ἠπείρου, ὡς δεδήλωται. (v. 633) Τὰ Κροκύλεια δὲ καὶ ἑνικῶς εὕρηται τὸ Κροκύλειον. μέμνηται δὲ τῆς νήσου ταύτης καὶ Θουκυδίδης. ἐθνικὸν αὐτῆς Κροκυλεύς. ὁ δὲ τὰ Ἐθνικὰ ἐπελθὼν τετραμερῆ τὴν Ἰθάκην εἰπών φησιν· «ἧς τὸ μὲν πρῶτον ἐπὶ μεσημβρίαν καὶ θάλασσαν, τὸ δεύτερον Νήϊον, τὸ τρίτον Κροκύλεια» καὶ ἑξῆς· ὥστε κατὰ τοῦτον τὸν λόγον οὐ νῆσος μόνον, ἀλλὰ καὶ μέρος Ἰθάκης τὸ Κροκύλειον. Ἐν δὲ τῷ «αἰγίλιπα Τρηχεῖαν» ὄνομα μὲν τόπου ἡ Τραχεῖα, ἐπίθετον δὲ τὸ αἰγίλιπα. ἰστέον δὲ ὅτι ἅμα Τραχεῖαν εἶπέ τις καὶ εὐθὺς συνενόησε τὸ αἰγίλιπα, ἤγουν τὴν τὰς αἶγας λιπαίνουσαν κατά τινας. διὸ καὶ ἡ Ἰθάκη αἰγίβοτος λέγεται εἶναι. ἢ μάλιστα τὴν καὶ ὑπ᾽ αὐτῆς αἰγὸς λιπομένην διὰ τὸ ἄγαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τραχὺ καὶ ἀβόσκητον. ἐν δὲ ῥητορικῷ Λεξικῷ φέρεται οὕτως· «αἰγίλιψ, ἀπρόσβατος, ψιλή, ἀβόσκητος». ἰστέον δὲ ὅτι, ὥσπερ ἡ αἰγίλιψ ἐκ τῆς αἰγί σύγκειται δοτικῆς, οὕτω καὶ ἡ αἰγίπυρρος πόα, φασί, πυρρά, ἣν αἶγες νέμονται. χρὴ δὲ εἰδέναι, ὅτι καὶ ἄλλοι τόποι κατὰ τὰς ἱστορίας τὴν τῆς Τραχείας κλῆσιν ἔλαχον. καὶ μέρος γοῦν τι Κιλικίας τῆς ἔξω τοῦ Ταύρου Τραχεῖα λέγεται· οἴονται δέ τινες τὴν Ἰσαυρίαν εἶναι ταύτην. (v. 634) Ζάκυνθος δὲ λέγεται μὲν καὶ ἀρσενικῶς καὶ θηλυκῶς. δασεῖα δέ ἐστιν, ὡς δηλοῖ καὶ τὸ «ὑλήεντα Ζάκυνθον». ὠνομάσθη δέ, φασίν, ἀπὸ Ζακύνθου, υἱοῦ Δαρδάνου. Ἐνταῦθα δὲ κεῖται τὸ διπλοῦν ζ ὡς οἷά τι στοιχεῖον ἁπλοῦν· οὐ γὰρ ἐκτείνει τὸ πρὸ αὐτοῦ βραχὺ φωνῆεν.

1.477 φησὶ γάρ· «οἵ τε Ζάκυνθον εἶχον» τοῦ τε βραχυνομένου, ἵνα συναπαρτισθῇ δάκτυλος. καὶ ἡ αἰτία τοῦ πάθους κεῖται εἰς τὸ «ἱερῆς εἰς ἄστυ Ζελείης». κατὰ ὅμοιον δὲ λόγον καὶ ὁ Σκάμανδρος ἀδυνατεῖ ἐκτείνειν τὸ πρὸ αὐτοῦ βραχὺ φωνῆεν, ὡς καὶ αὐτὸ ἐρρέθη, ἔνθα ἐχρῆν. Τὴν δὲ ἐνταῦθα Σάμον, ἣν ὁ Γεωγράφος εἶναί φησι τὴν νῦν Κεφαλληνίαν, ἔστιν εὑρεῖν καὶ ἐν τῇ Ὀδυσσείᾳ. λέγεται δὲ καὶ Σάμη. ἧς ὁ πολίτης Σαμαῖος. οἱ δέ φασι καί, ὅτι ἡ μὲν νῆσος Σάμος λέγεται μόνον, ἡ δὲ πόλις καὶ Σάμος καὶ Σάμη. ἔστι δὲ καὶ Ἰωνικὴ Σάμος, ἡ παρὰ τῷ Περιηγητῇ, καὶ Θρηϊκίη Σάμος, ἡ καὶ ἐν Ἰλιάδι. περὶ δὲ τῆς Κεφαλληνικῆς φέρεται καὶ ταῦτα. τετράπολις ἡ νῆσος. μία δὲ τῶν πόλεων καὶ Σάμος, ὁμώνυμος τῇ νήσῳ. καὶ αὐτὴ μὲν οὐκέτ' ἐστίν, αἱ δ' ἄλλαι τρεῖς παρέμενον, μικραί τινες πόλεις, ἃς καὶ ὀνομάζει ὁ Γεωγράφος. (v. 635) Ἡ δὲ ὑπὸ τῷ Ὀδυσσεῖ αὕτη ἤπειρος τόπος ἐστὶν ὁμωνυμῶν τῇ ὅλῃ γῇ τῇ ἀπείρονι, αὐτὸς εὐπερίγραπτος ὤν· καὶ ὁ αὐτῆς ἐντόπιος Ἠπειρώτης. ἡ δὲ μεθ' Ὅμηρον Ἤπειρος πάνυ πεπλάτυνται μέχρι καὶ Ἰλλυρίδος. καὶ ἐβασίλευσαν αὐτῆς ἄνδρες ἡρωϊκοί, ἐν οἷς καὶ ὁ περιώνυμος Πύρρος. ἐκ δὲ τῆς τοιαύτης πλατυτάτης Ἠπείρου καὶ οἱ περιᾳδόμενοι βόες Ἠπειρωτικοί. Τὰ δὲ Ἀντιπέραια παρώνυμόν ἐστι τῆς περαίας. αὐτὴ δὲ παρῆκται ἀπὸ τῆς προρρηθείσης πέρας· ὡς γὰρ ὑστέρα ὑστεραία, οὕτω πέρα περαία. ὁ δὲ Γεωγράφος λέγει, ὅτι τὰ ἀντιπέραν τῶν νήσων βούλεται λέγειν ὁ ποιητής, Λευκάδα καὶ Ἀκαρνανίαν, ὧν προσεχῶς ἐμνήσθημεν. ἕτεροι δέ φασιν Ἀντιπέραια τὰ ἐξ ἐναντίας τῆς Ἤλιδος κείμενα χωρία. (v. 637) Μιλτοπαρῄους δὲ τὰς τοῦ Ὀδυσσέως νῆας καλεῖ ὁ ποιητής, οὐκ ἀργῶς ἀλλ' ἐπίτηδες. φασὶ γὰρ οἱ παλαιοί, ὅτι ἐξηλλαγμέναι ἦσαν αἱ τοῦ Ὀδυσσέως νῆες, ὅπως εἰ καὶ ὀλίγαι, ἀλλ' οὖν διὰ τῆς χρώσεως εἶεν ἐπίσημοι, καὶ ὅτε δέοι πλεῖν, μὴ σκορπίζοιντο. ἀμέλει καὶ μέσας αὐτὰς ἐν τῷ ναυστάθμῳ ἔταξαν Ἕλληνες καὶ τὴν κοινὴν ἀγορὰν ἐκεῖ ἐποίησαν. (v. 636) Σημείωσαι δὲ ὅτι 〈οὐ〉 σεμνύνας ὁ ποιητὴς τὸν τοσοῦτον Αἴαντα, ὡς προεσημειώθη, οὐδὲ τὸν Ὀδυσσέα σεμνολογεῖ, ἀρκεῖται δὲ εἰπὼν αὐτὸν Διῒ μῆτιν ἀτάλαντον, περὶ οὗ ἀλλαχόθι ῥηθήσεται. οὐκ ἂν δὲ εἴη περιττὸν ἐνταῦθα προσθεῖναι πλατύτερον καί, ὅτι τὰς ὑπὸ τὸν Ὀδυσσέα νήσους Τηλεβόαι πάλαι ποτὲ κατεῖχον, ἕως ὁ προρρηθεὶς Κέφαλος τῷ Ἀμφιτρύωνι ἐκ Θηβῶν συστρατευσάμενος διὰ τὴν Ἀλκμήνην κατὰ Τηλεβοῶν καὶ ὑφ' ἑαυτῷ ποιησάμενος αὐτὰς ἀφ' ἑαυτοῦ ταύτας παρωνόμασεν.

1.478 Ἀνὴρ δὲ οὗτος ὁ Κέφαλος ἦν Πρόκριδος τῆς ἐν Ὀδυσσείᾳ, ἣν ἀκουσίως ἀνελών, ὡς ἐκεῖ ἐρρέθη, καὶ ἐν Θήβαις οἰκήσας συνεμάχησεν, ὡς εἴρηται, τῷ Ἀμφιτρύωνι καὶ γέρας ἔσχε τὴν τῶν ὑπὸ Τηλεβόαις νήσων ἀρχήν. (v. 637) Ἰστέον δὲ καὶ ὅτι μίλτος χρῶμά ἐστιν ἐρυθρόν, δι' οὗ τὰ τῶν νηῶν ἔμπροσθεν βάπτονται εἰς ὡραϊσμόν, ἅπερ πρῷραι λέγονται ὡς ἐκ τοῦ προορᾶν, κραθέντων τῶν δύο ο εἰς ω μέγα. ἐντεῦθεν δὲ οἱ ποιηταὶ ὁρμώμενοι τολμῶσι καὶ παρειὰς λέγειν τὰ τοιαῦτα μέρη τῶν νηῶν καὶ πρόσωπα. Λυκόφρων δὲ εἰς πλέον ἐξαχθεὶς καὶ κόρας τὰς νῆάς φησι λαβὼν τὴν ἀρχὴν ἐκ τοῦ μιλτοπάρῃοι· κόραις γὰρ οἰκεῖον τὸ μιλτοπάρῃον. Ἵνα δὲ πλατύτερον τὸ τοιοῦτον εἶδος θεωρηθῇ, σημειωτέον, ὅτι οὐ μόνον ἡ παρειὰ ἐπιβεβούλευται εἰς μεταφοράν, ἀλλὰ καὶ τὰ λοιπὰ τῆς κεφαλῆς, ἔτι δὲ καὶ τὰ κατὰ ὅλον τὸ σῶμα, τό τε ἀνθρωπικὸν καὶ τὸ ἁπλῶς ζωϊκόν. καὶ ἡ μὲν ἀντιμέτωπος καὶ ἀντιπρόσωπος μάχη καὶ τὸ τῆς

ἀφορμῆς εὐπρόσωπον καὶ τὸ τηλαυγὲς πρόσωπον τοῦ ἔργου καὶ ὅσα τοιαῦτα, λείως μεταφέρονται. τῶν δὲ λοιπῶν τὰ πλείω τραχύνονται ποιητικώτερον. οὐκ ὀλίγα δὲ καὶ εἰς διθυραμβικὸν θράσος ἐκπίπτουσι· πολλὴ γὰρ καὶ μάλιστα παρὰ τοῖς ποιηταῖς καὶ ὡς εἰπεῖν ἀφειδὴς ἡ ἐκ τῶν ζῴων ἐπὶ τὰ ἄψυχα τροπικὴ διάθεσις. Ἵνα γὰρ εὐτάκτως ὁδῷ τινι ἐπὶ τὸν σκοπὸν εἰς τὸ πᾶν βαδίσωμεν, κορυφάς τε ὀρέων φασίν, ἐπεὶ καὶ κεφαλὰς καὶ κροτάφους δέ. ἀφ’ ὧν καὶ ποταμοὺς ἔστιν οὗ προρρέειν φασί. καὶ ὁ εἰπὼν δὲ κρόταφον κύκλου λέγει μὲν ὅπερ ἐκεῖνος βούλεται, ζῴου δὲ κατατολμᾷ καὶ αὐτός. κόμας δὲ λέγειν δένδρων τὰ φύλλα, [ὅθεν καὶ κομήτης λειμών παρὰ τῇ τραγῳδίᾳ], καὶ κομᾶν τὸ ἐν τούτοις θάλλειν, ἀλλὰ τοῦτο καὶ εἰς κοινὸν ἤδη τέτριπται. καὶ ὀφρῦς δέ που λέγονται ὀρειναί τινες ἐξοχαί, ὅθεν καὶ ἡ Τένεδος Λεύκοφρυς ἐκλήθη ποτέ, ὡς καὶ αὐτὴ κατὰ τὸν Ἀστακηνὸν Λευκάταν λευκὰς ὀφρύας ἔχουσα, ἤτοι ἐπαναστάσεις τινὰς τραχείας περὶ τὸν αἰγιαλόν, ὀφθαλμοὶ δὲ φυτῶν ἐκ τῶν κατὰ τὰ ζῷα πάντως καὶ αὐτοί, ἀφ’ ὧν καὶ τὸ ἐνοφθαλμίζειν, ἡ γεωργικὴ λέξις, καὶ τὸ ἀναμύειν, ἀντὶ τοῦ ἀναβλαστάνειν, καὶ τὸ ἐκεῖθεν δάκρυον, ὁποῖον καὶ τὸ κόμμι· καὶ πηγαὶ δὲ τυφλούμεναι ὀφθαλμούς τινας δηλαδὴ τροπικοὺς εἶχον.

1.479 στόμα δὲ τῷ πολέμῳ πόθεν ἄλλοθεν ἀνέῳγε κατὰ τὴν ποίησιν ἢ ἐκ τοῦ τῶν ζῴων καὶ μάλιστα τῶν καρχάρων. ἐκεῖθεν δὲ καὶ τοῖς ποταμοῖς τὰ στόμια. τὰ δὲ τοῦ Νείλου τυφλοστόματα στόμα καὶ ὀφθαλμὸν ἐκοινώσαντο. καὶ ὀδόντες δὲ ταῖς τριαίναις ἐντεῦθεν ἔφυσαν. ἐκεῖθεν δὲ καὶ ποταμῶν χείλη καὶ τὸ τῶν ποτηρίων ἐπιχειλές. οὕτω δὲ καὶ τὸ ὑπερχειλές. τοῦ τοιούτου δὲ τύπου καὶ αἱ ἀμφώτιδες, ποτηρίου εἶδος ἐκ τῶν ἐν ζώοις ὠτίων παρονομασθέν. καὶ βοτάνη δέ τις ὁμοίως ὦτα λέγεται μυός. καὶ Πώγων δὲ ὁ Τροιζήνιος λιμὴν τῷ ζωϊκῷ ὁμωνυμεῖται πώγωνι. καὶ τὸ τοῦ Κριοῦ δὲ μέτωπον τοιουτότροπόν ἐστι, τό τε Κρητικὸν καὶ τὸ Βορρᾶθεν προκύπτον εἰς Εὔξεινον. καὶ ἡ παρὰ τῷ Θεοκρίτῳ δὲ Βούρινα· πηγὴ δὲ αὕτη καλουμένη οὕτω διὰ τὸ προτομήν τινα εἶναι αὐτόθι ἐοικυῖαν ῥινὶ βοός. ἡ δὲ Σαλμυδησσία γνάθος, ἡ παρ’ Αἰσχύλῳ, ὁμοίου καὶ αὐτὴ τρόπου ἐστί· Μῆνιγξ δὲ ἡ Λιβυκὴ νῆσος τῇ τῶν ζῴων ὁμωνυμεῖ, ὥσπερ καὶ ὁ ἐγκέφαλος τοῦ φοίνικος, τοῦ δένδρου δηλαδή, τὸ ἀνωτάτω αὐτοῦ γλυκύτατον, ὅπερ ἐξαιροῦντες οἱ ἐγχώριοι ἡδέως ἐσθίουσιν, ὡς καὶ ὁ Ἀθήναιός φησιν. ἀλλὰ ταῦτα μὲν κεφαλῆς μέρη. Κάρηνα δὲ καὶ κρὰς ὄρους καὶ Βώκαρος δέ, ὁ Σαλαμίνιος ποταμός, ὅλῃ κεφαλῇ ἐπεβουλεύσαντο. λέγεται γὰρ Βώκαρος οἱονεὶ Βοόκαρος καὶ κατὰ κρᾶσιν Βώκαρος, ὡς ὁμοιούμενος βοὸς κάρᾳ. τοιοῦτον καὶ τὸ «ἐπὶ κρατὸς λιμένος» καὶ τὸ «Βοὸς Κεφαλαί». τόπος δὲ ἦν οὗτος ἐν ᾧ ἐπολέμησε, φασίν, ὁ Προυσίας πρὸς Ἄτταλον. [Ὅμοιον δὲ καὶ αἱ ἀσυνθέτως ὠνομασμέναι Κεφαλαί, δῆμος αὗται Ἀττικός, οὗ μέμνηται καὶ Ἀριστοφάνης ἐν Ὄρνισι.] Καὶ ἡ Βουκεφάλα δὲ τῆς τοιαύτης ἐφόδου ἐστί, πόλις Ἰνδικὴ ἐκείνη, κτισθεῖσα ὑπ’ Ἀλεξάνδρου ἐπ’ ἀμφοτέραις, φασί, ταῖς ὄχθαις τοῦ ποταμοῦ Ὑδάσπου, διότι διαβάντος Ἀλεξάνδρου ἐκεῖ καὶ μαχομένου ὁ Βουκεφάλας ἵππος ἀπέθανε. καὶ τοιοῦτος μὲν τροπολογικὸς ἑσμὸς τὴν ἐν ζῴοις κεφαλὴν ἀμφιπένεται. παρὰ δὲ τοῖς μεταφέρουσι καὶ τένων ὀρεινὸς κεῖται, ὡς δηλοῖ τὸ «κορυφῆς ὑπερτέλλοντες τένοντες». εὕρηνται δὲ καὶ δειράδες ὄρους, ὅ ἐστι τράχηλοι.

1.480 ὅθεν καὶ πολυδειρὰς Ὄλυμπος. καὶ λόφοι ὀρεινοί, ὡς ἀπὸ τοῦ τῶν βοῶν λόφου, καθὰ καὶ οἱ Ἐτυμολόγοι φασίν. ἔτι δὲ καὶ αὐχένες οἱ κατὰ τοὺς ῥηθέντας τένοντας. καὶ μὴν καὶ ῥάχεις πετρώδεις ὡς οἷα πριονώδεις τινὲς ὄρους ἐξοχαί. ἡ δὲ φάραγξ ἡ ὀρεινὴ παρωνυμία ἐστὶ τῆς ἐν ζῴοις φάρυγγος. καὶ τὸ παρ’ Ὁμήρῳ δὲ Γάργαρον ἀπὸ τοιούτου γαργαρεῶνος εἴληπται. εἰς ὅμοιον δὲ τούτοις ἄγεται καὶ τὸ ὤμους εἰπεῖν ἀμπέλου καὶ λιμένων ἀγκάλας καὶ μηνοειδεῖς ἀγκῶνας ὄρους. καὶ Ἀγκὼν δὲ πόλις τις Πικεντίνων καὶ τείχους ἀγκὼν καὶ γλυκὺς ἀγκὼν παροιμιακῶς. τούτοις δὲ ἀκόλουθα καὶ πῆχυς τόξου καὶ φυτοῦ καρπός, πρὸς ὁμοιότητα τοῦ ἐν τῇ χειρὶ καρποῦ κατὰ τοὺς Ἐτυμολόγους, καὶ βωμοῦ θέναρ, τὸ πλάτος, ὡς Πίνδαρος ποιεῖ. Ἐκ δὲ τῶν τοιούτων ὥρμηνται [καὶ οἱ Ἰδαῖοι Δάκτυλοι] καὶ τὸ «ῥοδοδάκτυλος ἡμέρα» καὶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«ὄνυξ ὄρους», [ὡς καὶ χηλή,] ὅθεν καὶ ἀκρωνυχία, ἡ ὀρεινὴ ὀξύτης. εἰς τοῦτο δὲ καὶ τὰ κέρατα τῇ τροπῇ συλλαμβάνονται, [ἀφ' ὧν «ὑψικέρατα πέτραν» ἔφη τις.] αὐτὰ μέντοι καὶ καμπὰς καὶ κλῶνας δηλοῖ ποταμῶν. ἐθαρρήθη δὲ καὶ οὖθαρ λεχθῆναι ἀρούρης, ἤτοι μαστόν, τὸ τῆς γῆς πιότατον καὶ τροφῆς ἀναδοτικὸν καὶ καρδία δένδρου τὸ ἐντός. τὴν δὲ κλῆσιν ταύτην καὶ πόλις ἔλαχε Θρᾳκική, [ᾗπερ ὁμώνυμος ὁ Θρᾴκιος κόλπος ἐν τοῖς ἄρτι, ἄλλως μὲν Καρδιανὸς λεγόμενος παρωνυμίας λόγῳ, παρὰ δὲ τοῖς ὕστερον Καρδία καὶ αὐτὸς καλούμενος. ἐχορήγησε δὲ καὶ αὕτη τῷ Κωμικῷ ἀστειότητα κατὰ Κλέωνος. καὶ οὕτω μὲν καὶ ἡ καρδία μεμέρισται.] Καὶ κοιλίαι δὲ γῆς, αἱ ὑπὸ γῆν κοιλότητες, ὧν παρώνυμος ἡ κοιλάς. καὶ στέρνα δὲ καὶ νῶτα καὶ βούστροφα γῆς μετάφρενα, ἣν καὶ χθόνα στερνοῦχον εἶπεν ὁ Σοφοκλῆς.

1.481 ἐρρέθησαν δὲ καὶ πλευρὰ τοπικά, ὡς Κύπρου πλευρὰ τὰ πλάγια. κεχάρισται δὲ ἡ πλευρὰ καὶ σχήμασι μαθηματικοῖς. λαγόνες δὲ ὄρους καθωμίληνται καὶ γῆς κενεῶνες καὶ γαστὴρ Ἅιδου. ὁ δὲ περὶ Πυθῶνα τόπος ὀμφαλὸς ἐκλήθη γῆς ἤτοι μεσότης. τὰ δὲ τῆς γῆς ἔντερα, σκωλήκια ταῦτα ὑπόγεια, τῷ τοιούτῳ καὶ αὐτὰ ἥνωνται τόπῳ, καθάπερ καὶ ἡ τῶν δένδρων ἐντεριόνη καὶ ἡ ἐπὶ νηῶν ἐντερόνεια. οὕτω δὲ καὶ φλέβες ὑδάτων, σύριγγες γῆς, ἐξ ὧν ἀναπιδύουσιν ὕδατα. καὶ αἷμα δὲ σταφυλῆς τὸν οἶνον λέγειν ἐντεῦθεν ἤρτηται. τετόλμηται δὲ καὶ γῆς ὀστᾶ τοὺς λίθους εἰπεῖν, ὡς δηλοῖ τὸ «γῆς ὀστέοισιν ἐγχριμφθεὶς πόδα», ἤτοι λίθοις προσκόψας. καὶ τοῦτο μὲν διθυραμβῶδες. Τὸ δέ γε νεῦρα πραγμάτων εἰπεῖν τὰ χρήματα οὔτε σκληρὸν ἀλλὰ καὶ εὐστοχώτατον. καλὸν δὲ καὶ τὸ «μυελὸν ἀνδρῶν» Ὁμηρικῶς λέγειν τὰ ἄλφιτα. ἡ δ' αὐτὴ μεταχείρισις καὶ οὐρὰν τῷ πολέμῳ καθὰ καὶ στόμα προσέπλασεν, ὡς οἷα θηρίῳ τινί. ὅθεν καὶ τὸ οὐραγεῖν καὶ ἡ οὐραγία καὶ ὁ οὐραγός. καὶ πυγὴν δὲ ἀγροῦ παροιμιακῶς ἐλάλησε μετενεγκοῦσα ἐκ τῆς σαρκικῆς πυγῆς, ὅ τινες μὲν ἐνόησαν ἀντὶ τοῦ τὸ πιότατον τοῦ ἀγροῦ κατὰ τὸ «οὖθαρ ἀρούρης», ἕτεροι δὲ παροιμιακῶς ἐξελάβοντο ἐπὶ τῶν μὴ μόνον ἀγρῷ ἀλλ' ἁπλῶς ᾡτινιοῦν προσκαθημένων λιπαρῶς, ἄλλοι δὲ ἐπὶ τῶν σφόδρα ἀγροίκων. [Πυγῆς δὲ παρώνυμα καὶ τὰ περὶ τὴν ἀντικρὺ Χίου πάλαι μὲν Πύγελλα, παρὰ δὲ τοῖς μετὰ ταῦτα Φύγελλα λόγῳ παραφθορᾶς.] Ὄρος δέ τι Ἰνδικὸν Μηρὸς ἐκλήθη, Διονύσῳ ἀνακείμενον, ὅθεν μηροτραφὴς μεμύθευται, φασίν, ὁ Διόνυσος. λέγεται δὲ καὶ γόνυ καλάμου καθ' ὁμοιότητα. καὶ ἀμπέλου καὶ στάχυος καὶ ὄρους δὲ τὰ μὲν κατωτάτω πόδες, τὰ δὲ ἀνωτέρω κνημοί, ἐκ μεταφορᾶς τῆς ἐν ἡμῖν κνήμης. καὶ πτέρνα δὲ πόλεως ἡ βάσις παρὰ Λυκόφρονι, [γινομένη ἐτυμολογικῶς παρὰ τὸ πατεῖν ἔραν, ἵνα ᾖ πατέρα καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ ν πτέρνα.] καὶ σφυρὸν ἀνέμου παρὰ τῷ Περιηγητῇ. Οὐ μόνον δὲ μελεϊστὶ κατατεμόντες ἢ ἀνατεμόντες οἱ παλαιοὶ καί, ἄλλως δὲ εἰπεῖν, μιστύλαντες εἰς λεπτά, μετήγαγον, ὅποι τῶν ἀψύχων ἤθελον, τὰ ζωϊκὰ μέλη καὶ μέρη, ἀλλὰ καὶ τὰς ἐν τοῖς ζῴοις ἐνεργείας καὶ τὰ πάθη ὁμοίως διέθεντο.

1.482 τὸ γοῦν φάναι νοσεῖν τὸ δένδρον ἢ ὀκλάζειν ὡς εἰς πτῶσιν ἢ πεπονηκέναι γόνυ, τυχὸν κλήματος, ἢ ἅλλεσθαι εἰς αὔξην τὰ φυτὰ καὶ ἀνατρέχειν καὶ θέλειν τόδε τι ποιεῖν καὶ οἱ καθήμενοι δὲ λειμῶνες καὶ οἱ ἀνακείμενοι τόποι, ὅθεν καὶ τὸ ἄγκος εἴρηται καὶ τὸ ὕπτιον πεδίον καὶ ὁ πρανὴς τόπος καί, εἴ τι ἄλλο τοιοῦτον, ἐκ τῶν κατὰ τὰ ζῷα λέγεται ὡς ἐν εἴδει γλυκύτητος. οὐ μὴν οὐδὲ τὰ ζωϊκὰ περιττώματα πρὸς τὸ τοιοῦτον εἶδος ἔμειναν ἀσυντελῆ. τὸ σκῶρ μὲν γὰρ τὴν τοῦ σιδήρου σκωρίαν παρήγαγεν. ἐκ δὲ τῶν ζωϊκῶν ἱδρώτων «γῆς ἱδρῶτες» αἱ πηγαί, πρὸς ἅπερ ὁμοιότητα σῴζει καὶ ἡ παρὰ τῷ Ὀππιανῷ «γλαγόεσσα μύξα». καὶ ἡ τοῦ λύχνου δέ, ἀφ' ἧς ἴσως καὶ ὁ τοῦ ἐλλυχνίου μύκης παρονομάζεται. Ἀλλὰ τὸ μὲν εἰς πλεῖον ἐν τούτοις πολυλογεῖν ἀπορραπιστέον, εἰς ὅπερ ἡμᾶς παρήγαγον αἱ Ὁμηρικαὶ μιλτοπάρῃοι. Ῥητέον δὲ ὅτι ὤφειλε μὲν τὸ μιλτοπάρῃος διὰ διφθόγγου γράφεσθαι ὡς ἀπὸ τοῦ παρειά· ἐξενίκησε δὲ ὅμως πρωτοτυπῆσαι τούτου τὸ παρῄϊον τετρασύλλαβον, ὅθεν μιλτοπαρήιος ναῦς καὶ ἐν συναιρέσει μιλτοπάρῃος, ἣν καλλίπρῳρον σκάφος ἡ τραγῳδία φησί. Σημείωσαι δὲ [ὅτι τε Ὁμήρου τὸ μιλτοπάρῃον ἐπὶ νηὸς θεμένου ὁ παρῳδὸς Μάτρων μιλτοπάρῃον τρίγλην ἔφη,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθὰ καί τις τῶν νεωτέρων παρῳδήσας τὸ «Κίλλαν τε ζαθέην» «τρίγλαν τε ζαθέην» εἶπε τὴν καὶ μεγάλην καὶ καλήν.] καὶ ὅτι ἐν ῥητορικῷ Λεξικῷ εὕρηται μίλτῳ συμμιγνύμενον τὸ κιννάβαρι. φησὶ γάρ· τιγγάβαρι τὸ κιννάβαρι Ἀττικοί. Διοκλῆς· «ἡ μίλτος οἶμαι καὶ τὸ τιγγάβαρι». καὶ πάλιν· τιγγάβαρι καὶ μίλτος ἀναμεμιγμένη, οὗ τὴν ἐργασίαν φασὶ πρῶτον εὑρεῖν Καλλίαν Ἀθηναῖον. Ἰστέον δὲ καὶ ὅτι μιλτωρυχία ἐλέγετο τόπος, ἐν ᾧ μίλτος ὀρύσσεται, καὶ ὅτι κατὰ τὸν Παυσανίαν μίλτος ἐλέγετο καὶ ἡ ἐρυσίβη. δρόσος δέ, φησίν, αὕτη καταληφθεῖσα ὑπὸ καύσωνος, ὑφ’ ἧς διαφθείρεται πᾶς σπόριμος καρπός. [Ἰστέον δὲ καὶ ὅτι τὸ μὲν μιλτοπάρηος ἐπίθετόν ἐστι νηὸς εὐπρῴρου, ῥηθὲν πρός τινα ὁμοιότητα παρθένου καλλιπαρῄου, καθότι καὶ κόραι ποιητικῶς αἱ τοιαῦται νῆες εἴρηνται, ὡς καὶ παρθένοι που τριήρεις αἱ πρωτόπλοοι. Ἔχει δ’ ὁμοίως τῇ μιλτοπαρῄῳ καὶ ἡ καλλίπρωρος διὰ τὸ ἐν ταῖς τριήρεσιν ἔστιν οὗ, ὡς οἷον εἰπεῖν, εὐπρόσωπον. διὸ καὶ εὐῶπες αἱ αὐταὶ παρὰ Λυκόφρονι.

1.483 αἱ δέ γε πελαργοχρῶτες οὐ τοιαῦται μέν, ἔχουσι δέ τι καὶ αὐταὶ κάλλους, χρῳζόμεναι διόλου κατὰ πελαργούς, ἐν οἷς τὸ μὲν πελὸν μελανίαν δηλοῖ, λευκότητα δὲ τὸ ἀργόν. ἡ δὲ παρὰ τῷ Σοφοκλεῖ «ποικιλοστόλος ναῦς» δαίδαλόν τι χρῆμά ἐστιν, ὡς πολλοῖς χρώμασι ποικιλλόμενον. Ἡ δὲ εὔπρυμνος καὶ ὀρθοκραίρα καὶ μέλαινα, εἴτ’ οὖν κελαίνη, καὶ ἡ κορωνίς καὶ ἡ κοίλη καὶ ἡ εὔσελμος καὶ εὐκλήϊς καὶ εὔζυγος ἰδίας ἐννοίας καὶ αὐτὰ ταῖς ναυσὶν οἰκειοῦσιν, ὡς πολλαχοῦ καθωμίληται, χύσιν κἀνταῦθα ἐπιθέτων φιλοτιμουμένης τῆς ποιήσεως καὶ πραγματείαν λογιότητος ἀγώγιμα τοιαῦτα ἐμπορευομένης Μουσῶν καὶ ἐπιτιθείσης ταῖς φίλαις ναυσίν, αἷς οἰκεῖον καὶ τὸ θοόν.] (v. 638—44) Ὅτι Αἰτωλῶν τεσσαράκοντα νῆες ἦσαν, ὧν Θόας ἡγεῖτο, υἱὸς Ἀνδραίμονος καὶ Γόργης, τῆς Οἰνέως θυγατρός. «οἵ», φησί, «Πλευρῶνα ἐνέμοντο καὶ Ὤλενον καὶ Πυλήνην Χαλκίδα τε ἀγχίαλον Καλυδῶνά τε πετρήεσσαν». τίθησι δὲ τοὺς Αἰτωλοὺς ὁ ποιητὴς μετὰ τοὺς ὑπὸ τὸν Ὀδυσσέα, διότι, φασὶν οἱ παλαιοί, τῇ Ἀκαρνανίᾳ, ἧς ὁ Ὀδυσσεὺς ἦρχεν, ἥνωται ἡ Αἰτωλία. καὶ οὕτως εὐτακτεῖται ὁ Κατάλογος. (v. 638) Αἰτωλία δὲ ἡ χώρα καὶ Αἰτωλοὶ τὸ ἔθνος ἀπὸ Αἰτωλοῦ καλοῦνται, υἱοῦ Ἐνδυμίωνος, ὡς καὶ ἐν τοῖς ἑξῆς ἱστορηθήσεται, ὃς ἐκπεσὼν Πίσης, τῆς ἐν Πελοποννήσῳ, ὑπὸ Σαλμωνέως συνῴκισε τὴν ἀπ’ αὐτοῦ κληθεῖσαν Αἰτωλίαν. πρότερον δέ, φασίν, Ὕαντες ἐκαλοῦντο. ἦν δέ, φασί, καὶ Πελοποννήσου πόλις Αἰτωλία. ὀξύνεται δὲ τὸ Αἰτωλός, ὡς τὸ Πακτωλός καὶ ἁμαρτωλός καὶ ὅλως τὰ ἔχοντα τὸ τ πρὸ τοῦ ω ἀρσενικά· διὸ τὸ Μαύσωλος προπαροξύνεται ὡς μὴ ἔχον τὸ τ . Ἱστορεῖται δέ, ὅτι εὐδοκίμουν οἱ Αἰτωλοὶ περὶ σφενδόνην, μακροβολωτέραν, κατὰ τὸν Γεωγράφον εἰπεῖν, οὖσαν τῆς ἐκ τόξου ἑκηβολίας. καί τις Πυραίχμης παλαιὸς Αἰτωλὸς εἰς μονομαχίαν προελθὼν μετὰ Δεγμένου Ἐπειοῦ κατέβαλε σφενδονήσας τὸν Δέγμενον. Πίνδαρος δὲ τοὺς ὑπὸ τῷ Φοίνικι Δόλοπάς φησι «θρασὺν ὅμιλον σφενδονᾶσαι», ὡς καὶ τῶν Δολόπων δεξιῶν ὄντων σφενδονητῶν. Ἰστέον δὲ καὶ ὅτι τὸ Αἰτωλός ὄνομα ἐχρησίμευσε τῇ κωμῳδικῇ παροιμίᾳ τῇ λεγούσῃ «τὼ μὲν χεῖρ’ ἐν Αἰτωλοῖς, ὁ δὲ νοῦς ἐν Κλωπιδῶν», ἤγουν ὁ δεῖνα καὶ δωροδοκεῖται καὶ ῥᾳδιουργεῖ, ταῖν χεροῖν μὲν αἰτῶν, τῷ δὲ νῷ κλέπτων· ἔοικε γὰρ ὁ Αἰτωλὸς ἀπὸ τοῦ αἰτεῖν παραχθῆναι. καὶ δηλοῖ καὶ ὁ τὰ Ἐθνικὰ γράψας εἰπών, ὅτι ἐστὶ καὶ Αἰτωλός ἐπίθετον παρὰ ῥῆμα τὸ αἰτεῖν.

1.484 (v. 639) Ἡ δὲ Πλευρὼν οἰκητήριον γέγονε, φασί, Κουρήτων, περὶ ὧν ἐν τοῖς μετὰ ταῦτα ἐρεῖ ὁ ποιητής. περὶ ἣν καὶ Κούριον ὄρος, ὅθεν οἱ Κουρῆτες ὀνομασθῆναι δοκοῦσι, Πλευρώνιοι ὄντες. ὁ πολίτης αὐτῆς οὐ μόνον Πλευρώνιος ἀλλὰ καὶ Πλευρωνεύς. Ὤλενος δὲ ἦν μὲν καὶ Ἀχαϊκή, ὡς προερρέθη, νῦν δὲ περὶ Αἰτωλικῆς ὁ λόγος προφερομένης καὶ θηλυκῶς καὶ ἀρσενικῶς. Ὤλερος μέντοι διὰ τοῦ ρ πόλις Κρητικὴ πορρωτέρω, φασί, τῆς Ἱεραπύτνης, πόλεως καὶ αὐτῆς Κρητικῆς, ἔνθα καὶ Ἀθηνᾶ Ὠλερία, ἐφ’ ᾗ ἑορτὴ τὰ Ὠλέρια. ὁ δὲ Γεωγράφος περὶ τῆς Αἰτωλικῆς Ὠλένου, ἔτι δὲ καὶ τῆς Πυλήνης, λέγει, ὅτι Ὤλενον Αἰτωλικὴν ὁμωνύμως τῇ Ἀχαϊκῇ λεγομένην Αἰολεῖς κατέσκαψαν πλησίον οὖσαν τῆς νεωτέρας Πλευρῶνος, ὡς ἴχνη μόνα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λείπεσθαι αὐτῆς ἐγγὺς Πλευρῶνος ὑπὸ τῷ Ἀρακίνθῳ, τὴν δὲ Πυλήνην μετήνεγκαν εἰς τοὺς ἀνωτέρω τόπους, ἀλλάξαντες καὶ τὸ ὄνομα. Νοητέον δὲ ἐντεῦθεν καί, ὅτι Πλευρὼν οὐ μία ἦν Αἰτωλική, ἀλλὰ ἡ μὲν ἀρχαιοτέρα, ἡ δὲ νεωτέρα, ὡς νῦν ἐρρέθη. τῆς δὲ Πυλήνης τὸ ἐθνικὸν Πυλήνιος. ἡ δέ γε Παλλήνη διὰ τοῦ α καὶ τῶν δύο λ Θρᾳκική ἐστιν, ὡς ἀλλαχοῦ δεδήλωται. (v. 640) Χαλκὶς δὲ ἦν μὲν καὶ ἐν Εὐβοίᾳ, ὡς προεδηλώθη, καὶ ἀλλαχοῦ δὲ πολλαχοῦ· ἡ δὲ παροῦσα Αἰτωλική ἐστι· ῥέει δὲ ὁ Ἀχελῷος ἐκεῖσε. Ἡ δὲ Καλυδὼν ἀπὸ Καλυδῶνος κληθῆναι λέγεται, ὃς καὶ αὐτὸς Ἐνδυμίωνος υἱὸς ἢ Αἰτωλοῦ. μνήμη δὲ αὐτῆς ἔσται καὶ προϊόντι τῷ ποιητῇ ἐν τοῖς κατὰ τὸν Καλυδώνιον σῦν. δοκεῖ δὲ ἐν Καλυδῶνι κατοικεῖν ὁ Οἰνεύς, ὡς δηλοῖ ὁ Γεωγράφος εἰπών, ὅτι τὰ περὶ Καλυδῶνα Οἰνεὺς ἔσχε. καὶ οὕτω μὲν ταῦτα. (v. 638 et 641—3) Ὁ δὲ ποιητὴς καὶ ἑτεροίαν ἱστορίαν συνήθως ἐπιπλέκων φησίν, ὅτι Θόας Αἰτωλῶν ἡγεῖτο· «οὐ γὰρ ἔτ᾽ Οἰνῆος μεγαλήτορος παῖδες ἦσαν, οὐδ᾽ ἂρ ἔτ᾽ αὐτὸς ἦν», ὁ Οἰνεὺς δηλαδή, «ἔθανε δὲ ξανθὸς Μελέαγρος». ἐκείνων δὲ ἐπιλιπόντων τῷ Θόαντι πάντα, φησίν, ἐπετέταλτο. Ποῖα πάντα; «ἀνάσσειν», φησίν, «Αἰτωλοῖς». Δῆλον γὰρ ὅτι ὁ τοῦτο ἔχων πάντ᾽ ἔχει κατὰ τὸν εἰπόντα. καὶ ἴδε ὅτι καὶ νῦν τὸ ἀνάσσειν δοτικῇ συντέτακται. ὅρα δὲ καὶ τὸ «οὐκ ἦσαν» καὶ «οὐκ ἦν» καὶ τὸ «ἔθανεν», ὅπερ ἰσοδυναμεῖ μὲν τῷ οὐκ ἦν, ἐπαχθὲν δὲ τοῖς πρὸ αὐτοῦ ἄρσιν καὶ θέσιν γοργὴν ἐσχημάτισεν. ἐκ δὲ τοῦ ἐπετέταλτο ἡ ἐπιτολὴ γίνεται καὶ πλεονασμῷ τοῦ ς ἐπιστολή, ἡ νοουμένη ἐπὶ ἐντολῆς. ὅρα δὲ καὶ ὡς ἑνὶ μόνῳ καὶ ἐνταῦθα ὁ ποιητὴς ἠρκέσθη ῥήματι, τῷ «ἐνέμοντο», ἅπαξ ῥηθέντι ἐπὶ Πλευρῶνος. ὁ δὲ περὶ τοῦ Οἰνέως λόγος πολὺς ἐν ταῖς ἱστορίαις. Περὶ δὲ Μελεάγρου καὶ αὐτοῦ ἐρεῖ ὁ ποιητὴς ἐν τοῖς ἐφεξῆς. κυνηγετικὸς δὲ ἦν ὁ ἀνὴρ πρὸς τῇ λοιπῇ ἀνδρίᾳ.

1.485 διὸ καὶ Μελέαγρος φερωνύμως ὠνόμαστο διὰ τὸ μέλειν αὐτῷ τῆς ἄγρας. ἰδίᾳ δὲ αὐτὸν ἐξεφώνησεν ὁ ποιητὴς κατ᾽ ἐξοχὴν τῶν ἑτέρων παίδων τοῦ Οἰνέως. καὶ ἔστι τὸ σχῆμα ὅμοιον τῷ «Τρῶάς τε καὶ Ἕκτορα». τὴν δὲ ἐνδοξότητα τῆς Πλευρῶνος καὶ τῆς Καλυδῶνος δηλοῖ καὶ τὸ «Καλυδὼν καὶ Πλευρών, πρόσχημά ποτε τῆς Ἑλλάδος», ὡς εἴ τις εἴπῃ «πρόσωπον τηλαυγές» κατὰ Πίνδαρον ἢ προκόσμημα. ἡ δὲ τραγῳδία εἴποι ἂν «προνώπιον», [οὗ ἐντελὲς τὸ προενώπιον, στερηθὲν τοῦ ε κατὰ τὸ σκορακίζειν, ὅπερ ἐστὶν ἐς κόρακας πέμπειν, καὶ κατὰ τὸ σκερβόλλειν, ἤγουν ἐς κέαρ βάλλειν, καὶ κατὰ τὸ νέρτερος καὶ κατὰ τὸ ξανθός καὶ κατὰ τὸ σκαρδαμύττειν, περὶ ὧν ἐν ἄλλοις ἐρρέθη.] Ὅτι δὲ καὶ παραρρέει τὴν Αἰτωλίαν ὁ Ἀχελῷος, δηλοῖ ὁ Γεωγράφος εἰπών, ὅτι Πίνδου πρὸς νότον Ἀχελῷος ῥέει μέσος Αἰτωλῶν καὶ Ἀκαρνάνων. ἔχουσι δέ, φησίν, Ἀκαρνᾶνες μὲν τὸ πρὸς ἑσπέραν μέρος αὐτοῦ, Αἰτωλοὶ δὲ τὸ πρὸς ἕω μέχρι Λοκρῶν, οἳ καλοῦνται Ὀζόλαι, καὶ τοῦ Παρνασοῦ. Λέγει δὲ καί, ὅτι Ἀκαρνάνων μὲν ὑπέρκεινται βορειότεροι Δόλοπες, Αἰτωλῶν δὲ Ἀθαμᾶνες καὶ Περραιβοὶ οἱ μετ᾽ ὀλίγα ῥηθησόμενοι. (v. 645—52) Ὅτι καὶ Κρητῶν ὀγδώκοντα νῆες ἦσαν, ὡς καὶ ἐπὶ τῶν Ἀργείων φθάσας εἶπεν, οἳ Κνωσσόν τε εἶχον Γόρτυνά τε, Λύκτον, Μίλητόν τε καὶ Λύκαστον, Φαιστόν τε Ῥύτιόν τε. λέγει δὲ τὴν μὲν Γόρτυνα τειχιόεσσαν, ὡς καὶ πρὸ μικροῦ τὴν Τίρυνθα, διὰ τὸ ἐρυμνόν· τὴν δὲ Λύκαστον ἢ τὸν Λύκαστον ἀργινόεντα, τουτέστι λευκόγειον. ἀργιλώδης γάρ που ἡ ἐκεῖσε γῆ. ταὐτὸν δὲ ἀργινόεντα εἰπεῖν καὶ ἀργιλώδη διὰ τὴν τοῦ ν καὶ τοῦ λ συγγένειαν [τὴν δηλουμένην καὶ ἐν τῷ νεογιλός, ὁ οἷον νεογινὸς καὶ ἐν συγκοπῇ νεογνός, καὶ ἐν τῷ Ἀθήνη· Ἀθήλη γάρ, φασίν, ἐκείνη, ὡς μὴ θηλάσασα.] Ὅρα δὲ ὅτι εἰπὼν ὁ ποιητής «οἳ Κνωσσὸν εἶχον», τοὺς δὲ λοιποὺς Κρητικοὺς τόπους δίχα ῥήματος προαγαγὼν κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα, ὁποῖόν τι καὶ ἀνωτέρω ἐν τῷ Αἰτωλικῷ καταλόγῳ ἐποίησεν, ὅμως ὕστερον ἐπήγαγεν· «ἄλλοι τε, οἳ Κρήτην ἑκατόμπολιν ἀμφενέμοντο». (v. 646) Ὅτι δὲ ἡ Κνωσσὸς βασίλειον ἦν ἐν τῇ Κρήτῃ καὶ περὶ Γόρτυνος δέ, ζητητέον καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. νῦν δὲ εἰπεῖν ἀρκεῖ, ὅτι κατὰ τὸν Γεωγράφον ἐν πεδίῳ ἡ τῶν Γορτυνίων, ἣν παραρρέει Ληθαῖος ποταμός, τειχιόεσσα μέν ποτε καθ᾽ Ὅμηρον, ἀποβαλοῦσα δὲ τὸ τεῖχος ἐκ θεμελίων καὶ ἀτείχιστος μείνασα. ὁ γοῦν Φιλοπάτωρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρξάμενος τειχίζειν ἐπὶ ὀγδοήκοντα σταδίους παρῆλθε μόνον. Κνωσσοῦ δὲ κύκλος ἀρχαῖος τριάκοντα στάδια.

1.486 κεῖται δὲ ἀντικρὺ Πελοποννήσου πρόσβο〈ρ〉ρος. οὕτω δὲ ἠδύναντο ἡ Κνωσσὸς καὶ ἡ Γόρτυνα, ὥστε συμπράττουσαι, φασίν, ἀλλήλαις πάντας ὑπηκόους εἶχον τοὺς ἄλλους, στασιάσασαι δὲ διΐστων τὰ κατὰ τὴν νῆσον. προσθήκη δέ, φασίν, ἡ Κυδωνία μεγίστη ὁποτέροις προσγένηται. ἦν δὲ ἡ Κυδωνία ἐπιφανεστάτη καὶ αὐτή. (v. 647) Λύκτος δέ, ἧς ἐπίνειον ἡ λεγομένη Χερόννησος, ὠνόμασται ἀπὸ Λύκτου, υἱοῦ Λυκάονος, ὡς ὁ γράψας τὰ Ἐθνικὰ ἱστορεῖ. ἔνιοι δέ, φησί, Λύττον αὐτὴν καλοῦσιν, ὡς ἐν μετεώρῳ τόπῳ κειμένην. τὸ γὰρ ἄνω καὶ ὑψηλὸν λύττον φασί. Μίλητος δέ, ἡ Κρητικὴ αὕτη, προϋπῆρχε τῆς Ἀσιανῆς Μιλήτου, ἣν ἔκτισεν ὁ παλαιὸς Σαρπηδὼν ἀγαγὼν οἰκήτορας καὶ καλέσας αὐτὴν κατὰ τὸν Γεωγράφον ἐκ τῆς Κρητικῆς Μιλήτου. ὅτι δὲ πολλαὶ Μίλητοι, καὶ ὡς πολλὰς ἀποικίας ἔστειλαν, δῆλον ἐκ τῶν ἱστοριῶν. καὶ ἡ μὲν Κρητικὴ οὐ πολὺν ἔχει παρὰ τοῖς ἱστοροῦσι πλατυσμόν, ἡ δὲ Ἰωνικὴ πλουτίζεται τοῖς κατ’ αὐτὴν σεμνώμασι, τοῖς τε ἄλλοις καὶ τῷ περὶ αὐτὴν μεγίστῳ ναῷ ποτε, ὃς διέμεινε, φασί, χωρὶς ὀροφῆς διὰ τὸ μέγεθος, καὶ τοῖς σοφοῖς δέ, ὧν εὐφόρησε, τῷ τε Θάλητι καὶ τῷ Φωκυλίδῃ καὶ τῷ παρρησιαστικῷ ῥήτορι Αἰσχίνῃ, ὃς οὐκ εἰς καλὸν τῆς παρρησίας ἀπώνατο, καὶ τῷ κιθαρῳδῷ Τιμοθέῳ, εἰς ὃν ἐπίγραμμα τοιοῦτον· «πάτρα Μίλητος τίκτει Μούσαισι ποθεινὸν Τιμόθεον, κιθάρας δεξιὸν ἡνίοχον». γέγραπται δὲ περὶ Μιλήτου καὶ ἐν τοῖς εἰς τὸν Περιηγητήν. Λύκαστος δὲ ἀπὸ Λυκάστου, φασίν, αὐτόχθονος ἢ παιδὸς τοῦ Μίνωος. ἔστι δὲ καὶ Ποντικὴ Λύκαστος κατὰ τὸν γραφέα τῶν Ἐθνικῶν, ὃς λέγει καί, ὅτι τὴν Κρητικὴν Λύκαστον ὀξύνουσιν οἱ ἐγχώριοι· οὐκ ἐπικρατεῖ δέ, φησίν, ἡ ἐθνικὴ παράδοσις, τουτέστι παρὰ τοῖς ἄλλοις οὐκ ὀξύνεται. (v. 648) Ἡ δὲ Φαιστὸς ὀξύνεται πρὸς διαστολὴν τοῦ βαρυτόνου Φαίστου τοῦ κυρίου ὀνόματος, ὃς καὶ ἔκτισεν αὐτήν, υἱὸς ὢν Ῥοπάλου, υἱοῦ Ἡρακλέος, ὡς ὁ Ἐθνογράφος λέγει, ὃς καὶ Πελοποννησίαν Φαιστὸν ἱστορεῖ. Φαίστιον δέ φασιν εἶναι σοφὸν τὸν Ἐπιμενίδην, ὃς καθαρμοὺς δι’ ἐπῶν ἐποίησε. διεῖχε δὲ κατὰ τὸν Γεωγράφον Γόρτυνος μὲν στάδια ἑξήκοντα, θαλάσσης δὲ εἴκοσι, κατεσκάφη δὲ ὑπὸ Γορτυνίων. [Εἰς δὲ τὴν διάφορον τόνωσιν τοῦ Φαιστός καὶ Φαῖστος θετέον σὺν ἄλλοις ἀλλαχοῦ δηλουμένοις καὶ τὸ Ἀθηναῖος τοπικὸν καὶ Ἀθήναιος κύριον καὶ ἐπαινετός τὸ ἐπίθετον καὶ Ἐπαίνετος κύριον καὶ νόμος τὸ κοινὸν καὶ νομός ὁ κατὰ τόπον καὶ πλησίος ὁ ἐγγίζων καὶ Πλήσιος κύριον ἀνδρὸς ἱεροῦ.

1.487 ] Τὸ δὲ Ῥύτιον τὸ ἐν Κρήτῃ προπαροξύνεται μέν, ὡς τὸ στάδιον, κατὰ τοὺς παλαιούς, διὰ διχρόνων δὲ γράφεται. τὸ μέντοι Τρῳαδικὸν Ῥοίτειον, ὅπερ καὶ ἄκρα καὶ πόλις Τρῳάδος ἐστίν, ἐξήλλακται ὥσπερ τῇ τοπικῇ διαστάσει, οὕτω καὶ ταῖς δυσὶ διφθόγγοις, ἐν αἷς γράφεται. ἐθνικὸν δὲ καὶ τούτου καὶ ἐκείνου Ῥυτιεύς. περὶ δὲ τοῦ ῥηθέντος Τρωϊκοῦ Ῥοιτείου, ὅτι τε πόλιν ὁμώνυμον ἐπὶ λόφῳ εἶχε καὶ ᾐόνα συνεχῆ, ἐφ’ ᾗ μνῆμα καὶ ἱερὸν Αἴαντος, καὶ εἴ τί που ἄξιον ἄλλο τῆς ἐν καιρῷ μνήμης, ἐν τοῖς ἑξῆς δηλωθήσεται. (v. 649) Ἑκατόμπολις δὲ ἡ Κρήτη λεγομένη ἐνταῦθα, ἐνενηκοντάπολις ἐν τῇ Ὀδυσσείᾳ ποιεῖται. καὶ οἱ μέν φασιν, ὅτι ἀληθῶς ἑκατόμπολις μὲν ἦν κατὰ τὴν ἐνταῦθα ἱστορίαν. Λεῦκος δέ, οὗ καὶ Λυκόφρων μέμνηται, δέκα πόλεις ἐπόρθησεν ἀποστατήσας καὶ ἐπαναστὰς τῷ Ἰδομενεῖ. ὅθεν ἐν τῇ Ὀδυσσείᾳ ἐνενήκοντα πόλεις ἔχειν ἡ Κρήτη λέγεται. ἄλλοι δὲ εἶπον, ὅτι ἑκατόμπολιν ὁ ποιητὴς τὴν Κρήτην εἰπὼν τὸ ἐφ’ ἑαυτοῦ εἶπεν, ἤγουν τὸ ἐπὶ τῶν ἡμερῶν, ἐν αἷς αὐτὸς περιῆν· ἐπὶ μέντοι τῶν Τρωϊκῶν ἐνενήκοντα ἦσαν. Ἀλθαιμένης δέ, φασίν, ἐκπεσὼν Ἄργους ἔκτισε τὰς δέκα ἢ καί, ἄλλως εἰπεῖν, μετὰ τὰ Τρωϊκὰ ἐπεκτίσθησαν δέκα, ὡς ἱστορεῖ Ἔφορος. ὥστε κατὰ τούτους πρὸ μὲν τοῦ Ὁμήρου ἐνενήκοντα ἦσαν, εἴτε Λεύκου πολιορκήσαντος τὰς δέκα, εἴτε καὶ ἄλλως πως, ἐπὶ δὲ τοῦ Ὁμήρου ἑκατόν. περὶ δὲ Κρήτης εἴρηται εἰς ἱκανὸν ἐν τοῖς τοῦ Περιηγητοῦ. Ἱστοροῦνται δὲ καὶ ναυκρατῆσαί ποτε οἱ Κρῆτες, ὥστε καὶ παροιμία εἰς τοὺς προσποιουμένους ἀγνοεῖν ἅπερ ἀκριβῶς οἴδασιν αὕτη· «ὁ Κρὴς τὴν θάλασσαν», ὅπερ ὁ Γεωγράφος νοεῖ κατ’ ἔλλειψιν τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγνοεῖ, ἵνα λέγῃ ἡ παροιμία, ὅτι Κρὴς ἀγνοεῖ τὴν θάλασσαν, εἰρωνικοῦ δηλαδὴ ὄντος τοῦ λόγου.

1.488 ἔπασχον δὲ καὶ κακέρωτας, οὓς καὶ ἐν νόμῳ εἶχον. ὡς δὲ καὶ πανοῦργοι οἱ Κρῆτες [καὶ χείρους ἤπερ οἱ κατὰ Ῥόδον, περὶ ἣν τοὺς Τελχῖνας ἡ ἱστορία κατοικίζει τοὺς ἀλλαχοῦ δηλουμένους,] ἑτέρα παροιμία δηλοῖ ἡ λέγουσα «πρὸς Κρῆτα κρητίζεις», ἤγουν πρὸς οὐκ ἀπάνουργον ἄνδρα τοὺς δόλους ῥάπτεις. καὶ οὕτω μὲν τὰ ἐν τούτοις. (v. 650 s.) Κρητῶν δὲ ἡγοῦντο Ἰδομενεύς, οὗ πολὺς λόγος παρὰ τῷ ποιητῇ πολλαχοῦ, καὶ Μηριόνης. ὧν Ἰδομενέα μὲν δουρὶ κλυτὸν λέγει, τουτέστι περίκλυτον ἐν τῷ δουρὶ καὶ αἰχμητήν, τὸν δὲ Μηριόνην ἀτάλαντον, ὅ ἐστιν ἴσον Ἐνυαλίῳ ἀνδρεϊφόντῃ, τουτέστι τῷ Ἄρεϊ. περὶ δὲ τῶν τριῶν τούτων λέξεων, τοῦ ἀτάλαντος καὶ Ἐνυάλιος καὶ ἀνδρεϊφόντης, τὰ μὲν εἴρηται, τὰ δ' ἐν ἑτέροις δηλωθήσεται. θεῖος δὲ Μηριόνου κατὰ τὴν ἱστορίαν ὁ Ἰδομενεύς. Διὸς γὰρ Μίνως, οὗ καὶ Πασιφάης Δευκαλίων, οὗ Μόλος καὶ Ἰδομενεύς, Μόλου δὲ Μηριόνης. (v. 653—7) Ὅτι «Τληπόλεμος Ἡρακλείδης ἠΰς τε μέγας τε ἐκ Ῥόδου ἐννέα νῆας ἦγε Ῥοδίων ἀγερώχων, οἳ Ῥόδον ἀμφενέμοντο διατρίχα κοσμηθέντες Λίνδον Ἰηλυσόν τε καὶ ἀργινόεντα Κάμιρον». εἶτα ἐπαναλαβὼν λέγει· «τούτων Τληπόλεμος δουρὶ κλυτὸς ἡγεμόνευεν». ἐπανέλαβε δὲ ὁ ποιητὴς οὐ μόνον, ἵνα εὐθὺς ἱστορίαν παραπλέξῃ σαφῶς καὶ εὐφυῶς τὴν ῥηθησομένην, ἀλλὰ καὶ ἵνα ἐφερμηνεύσῃ τὸ «Τληπόλεμος ἄγε νῆας Ῥοδίων», ὅτι ταὐτόν ἐστι τῷ «ἡγεμὼν ἦν τῶν Ῥοδίων». οὐ γὰρ ἁπλῶς πᾶς ὁ νῆάς τινων ἄγων ἤδη καὶ ἡγεμονεύει ἐκείνων ὡς βασιλεύς. οὕτω δὲ καὶ τὸ «οἳ Ῥόδον ἀμφενέμοντο» ἐφερμηνευτικόν ἐστι τοῦ «ἐκ Ῥόδου ἐννέα νῆας ἦγε Ῥοδίων», ἵνα δείξῃ σαφῶς, ὅτι οἱ ἐκ Ῥόδου νῆας Ῥοδίων ἄγοντες οὗτοι καὶ Ῥόδιοι ἦσαν. ἄλλως γὰρ οὐκ ἦν τοῦτο πάνυ σαφές, ἐπεί τοι καὶ οἱ Ἀρκάδες ἐκ Μυκήνης, τῆς ὑπὸ τὸν Ἀγαμέμνονα, νῆας Μυκηναίων ἄγοντες, ὅμως οὐκ ἦσαν Μυκηναῖοι. (v. 654) Περὶ δὲ Ῥόδου ζήτει καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ, εἰ δὲ βούλει, καὶ ἐν τοῖς τοῦ Πλουτάρχου· πάνυ γὰρ καὶ αὐτὸς τοὺς Ῥοδίους ἐξαίρει. ὁμοίως καὶ Πίνδαρος. ἦν δὲ καὶ Αἰγυπτία Ῥόδος κατὰ Ἡρόδοτον, ὥσπερ καὶ Χίος. φησὶ γοῦν ἐκεῖνος οὕτως· «εὐδαιμονῆσαι λέγεται Αἴγυπτος ἐπὶ Ἀμάσιος μάλιστα καὶ πόλεις γενέσθαι τότε πάσας δισμυρίας τὰς οἰκουμένας, ἐν αἷς καὶ Ἰώνων μὲν Χίος, Τέως, Φώκαια, Κλαζομεναί, Δωριέων δὲ Ῥόδος, Κνίδος καὶ ἄλλαι τινές».

1.489 (v. 653) Ἠΰς δὲ ὁ ἀγαθός, ἐξ οὗ κατὰ Ἡρόδωρον καὶ Ἀπίωνα καὶ ὁ ἐνηής, ἢ καὶ ἄλλως ὁ πλατύς. καὶ ῥηθήσεται ἀλλαχοῦ, ὅπως γίνεται. (v. 654) Ἀγέρωχοι δὲ οἱ ἄγαν γέρας ἔχοντες, ἵνα εἶεν ἀγεράοχοι καὶ ἐν συναιρέσει ἀγέρωχοι [κατ' ἐπίτασιν τῶν ἁπλῶς γεραρῶν. δηλοῖ δέ, φασίν, οὕτως ἡ λέξις τοὺς σεμνούς, ὡς Ἀλκμὰν βούλεται. Ἀλκαῖος δέ, φασί, καὶ Ἀρχίλοχος ἀγέρωχον τὸν ἄκοσμον καὶ ἀλαζόνα οἶδε. τοῦτο δὲ ἴσως ἐκ μεταφορᾶς τοῦ ὑπερηρμένου καὶ ὑπερφανοῦς, ἐξ οὗ πλεονασμῷ τοῦ ἦτα ὑπερήφανος, καὶ τοῦ κούφου καὶ ἐλαφροῦ, ὃς ἄγοιτο ἂν ῥᾷον ὑπὸ ὄχου ἤγουν ἅρματος. μέση οὖν λοιπὸν λέξις καὶ ὁ ἀγέρωχος. ὅτε δὲ Τρῶές που ἀγέρωχοι καὶ Λύκιοι λεχθήσονται, δύναται ἡ λέξις οὐ μόνον δηλοῦν σεμνοὺς τοὺς τοιούτους, ἀλλὰ καὶ ἡνιοχικοὺς παρὰ τὸ ἄγειν ῥᾷον καὶ ἐλαύνειν ὄχους, οἳ καὶ ὄχεα λέγονται διγενῶς, ὁμοίως τῷ ὁ σκότος καὶ τὸ σκότος καὶ τοῖς ὅσα τοιαῦτα.] (v. 655) Τὸ δέ «διατρίχα κοσμηθέντες» οὐ βούλονται οἱ παλαιοὶ προπαροξύνεσθαι διάτριχα. ὑπερβαίνουσα γὰρ ἡ πρόθεσις εἰς τὴν μετοχὴν καθιστᾷ τὴν ἀνάγνωσιν οὕτω «διακοσμηθέντες τρίχα», ἤγουν τριχῶς, τουτέστιν εἰς μέρη τρία. πῶς δὲ τρίχα; εἰς Λίνδον, εἰς Ἰηλυσὸν καὶ εἰς Κάμιρον. τὸ δέ «τρίχα διακοσμηθῆναι» παρακατιὼν ὁ ποιητὴς «τριχθὰ οἰκῆσαι» φησί. τοῦτο δὲ εὐθὺς καὶ ἄλλως διασαφῶν ἐπάγει καταφυλαδόν, ὅπερ ἀλλαχοῦ διῃρημένως εἶπεν ἐν τῷ «κρῖνε ἄνδρας κατὰ φῦλα». οὕτως ὁ ποιητὴς κἀνταῦθα διασαφητικὸς ἑαυτοῦ καὶ παραφραστικός, ἔτι δὲ καὶ πλατυντικός, ὅποι χρεών, καὶ αὖ πάλιν ἀποστενωτικός. (v. 656) Τῶν δὲ ῥηθεισῶν τριῶν πόλεων ἡ μὲν Λίνδος φυλάσσει ἔτι καὶ νῦν τὴν κλῆσιν, ἐξ ἧς Κλεόβουλος, εἷς τῶν ἑπτὰ σοφῶν, αἱ δὲ λοιπαὶ δύο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παραφωνοῦνται. ὁ δὲ Γεωγράφος κύρια ὀνόματα οἶδε τὸν Λίνδον, τὸν Ἰηλυσὸν καὶ τὸν Κάμειρον, ὧν αἱ πόλεις ὁμώνυμοι. κατὰ δέ τινας, φησί, κτίσας ὁ Τληπόλεμος τὰς πόλεις ἔθετο αὐταῖς ὀνόματα ὁμωνύμως θυγατράσι τοῦ Δαναοῦ. τὴν δὲ Λίνδον ἐπὶ ὄρους ἱδρῦσθαι λέγει, ἀνατείνουσαν πρὸς μεσημβρίαν καὶ πρὸς Ἀλεξάνδρειαν μάλιστα, ἔχουσαν ἱερὸν ἐπιφανὲς Λινδίας Ἀθηνᾶς, Δαναΐδων ἵδρυμα.

1.490 ἦν δέ, φησί, καὶ κώμη Ἰαλυσός. [Ἰστέον δὲ ὅτι Λίνδος οὐ μόνον Ῥοδία πόλις, ἀλλὰ καί τι ἀρωματικὸν εἶδος, ὡς δῆλον ἐκ τοῦ «ὀσμὴ λιβάνου, σμύρνης, καλάμου, στύρακος, λίνδου», ὥς φησιν Ἀθήναιος.] Τὴν δὲ Ῥόδον τὴν πόλιν ὕστερόν φησι κτισθῆναι κατὰ τὰ Πελοποννησιακὰ ὑπὸ ἀρχιτέκτονος, ὑφ’ οὗ καὶ ὁ Ἀττικὸς λιμήν, ὁ Πειραιεύς. ὁ δὲ τὰ Ἐθνικὰ συλλέξας καὶ Σικελικὴν πόλιν Λίνδον ἱστορεῖ, ὃς καὶ τὴν παρ’ Ὁμήρῳ Ἰηλυσὸν Ἰαλυσὸν γράφει λέγων εἶναι καὶ ἐν Σκυθίᾳ καὶ ἐν τῷ Ἀδρίᾳ δὲ κόλπῳ Ἰαλυσόν. τὴν δὲ Κάμιρον διὰ τοῦ ι καὶ αὐτὸς γράφει πρὸς διαστολὴν τοῦ κυρίου. τὸ γὰρ κύριον, ὁ Κάμειρος, διὰ διφθόγγου γράφεται. Κάμιρον δὲ ἀργινόεντα λέγει, ὡς καὶ πρὸ τούτου τὸν Λύκαστον καὶ ἐν τοῖς ἑξῆς δὲ λευκὴν Τίτανον τὴν λευκόγειον. λέγεται δὲ Καμιρέα εἶναι Πείσανδρον διασημότατον ποιητήν. τὸν δὲ προρρηθέντα Λίνδον καὶ τοὺς αὐτοῦ ἀδελφοὺς οὕτω γενεαλογοῦσιν οἱ παλαιοί· Ἡλίου καὶ Ῥόδου νύμφης υἱὸς Κέρκαφος, οὗ καὶ Λυσίππης Λίνδος, Ἰηλυσὸς καὶ Κάμειρος, ὃν καὶ ὁ Χοιροβοσκὸς κατὰ κανόνα διὰ διφθόγγου γράφει ἐν τῇ Ὀρθογραφίᾳ. ἐκ δὲ τοῦ ῥηθέντος Κερκάφου Κερκαφίδες αἱ Ῥόδιαι γυναῖκες ἐκαλοῦντο. [Τὸ δέ «ἀργινόεντα Κάμιρον» δύναται διγενὲς εἶναι, τὸ μὲν κοινῶς, τὸ δὲ Ἰωνικῶς, καθὰ καὶ τὸ «Πύλου ἠμαθόεντος». τὸ δὲ ἀργινόεις ἔχοι ἂν ἀπορίαν πῶς τῷ ι προπαραλήγεται καὶ μὴ τῇ ει διφθόγγῳ, ὡς ἀπὸ τοῦ ἀργε〈ν〉νόν, τὸ λευκόν. εἴη δὲ ἂν ἴσως καὶ αὐτὸ ἐκπεσὸν τοῦ ε τῆς ει διφθόγγου, ὁμοίως τῷ ἀλγινόεις, ἀπαιτοῦντος τοῦ μέτρου.] (v. 658—70) Ἡ δέ, ὡς εἴρηται, παραπλεκομένη ἐνταῦθα παρὰ τοῦ ποιητοῦ ἱστορία τοιαύτη τίς ἐστιν· ὅτι τὸν Τληπόλεμον ἔτεκεν Ἀστυόχεια βίῃ Ἡρακληείῃ· «τὴν ἄγετ’ ἐξ Ἐφύρης ποταμοῦ ἀπὸ Σελλήεντος πέρσας ἄστεα πολλὰ διοτρεφέων αἰζηῶν. Τληπόλεμος δ’ ἐπεὶ οὖν τράφ’ ἐνὶ μεγάρῳ εὐπήκτῳ, αὐτίκα πατρὸς ἑοῖο φίλον μήτρωα κατέκτα ἤδη γηράσκοντα Λικύμνιον, ὄζον Ἄρηος· αἶψα δὲ νῆας ἔπηξε, πολὺν δ’ ὅ γε λαὸν ἀγείρας βῆ φεύγων ἐπὶ πόντον· ἀπείλησαν γάρ οἱ ἄλλοι υἱέες υἱωνοί τε βίης Ἡρακληείης. αὐτὰρ ὅ γε», τουτέστιν ὁ Τληπόλεμος, «ἐς Ῥόδον ἶξεν ἀλώμενος ἄλγεα πάσχων. τριχθὰ δὲ ᾤκηθεν καταφυλαδόν, ἠδ’ ἐφίληθεν ἐκ Διός, ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσει. καί σφιν θεσπέσιον πλοῦτον κατέχευε Κρονίων». τοιαῦτα τὰ τῆς Ὁμηρικῆς ἱστορίας· ἧς τὸ μὲν ὅλον σαφέστερον εἰπεῖν, τοιοῦτόν ἐστιν· Ἀστυόχη, κατὰ δὲ Ὅμηρον Ἀστυόχεια, ὡς καὶ Πηνελόπη Πηνελόπεια, Φύλαντος ἦν θυγάτηρ.

1.491 ταύτην Ἡρακλῆς ἄγεται ἀνελὼν τὸν Φύλαντα, ὅτε κατὰ Ἐφυραίων Αἰτωλοῖς ἐστρατήγει. γεννᾷ δὲ ἐξ αὐτῆς Τληπόλεμον, ὃς ἐκτραφεὶς περιπέπτωκεν ἀκουσίῳ κακῷ. ἰδὼν γὰρ τὸν ἑαυτῷ μὲν πάππον, τῷ δὲ πατρὶ μήτρωα, ἤτοι τὸν πρὸς μητρὸς θεῖον τοῦ Ἡρακλέος, τουτέστι τὸν Λικύμνιον—ἀδελφὸς γὰρ ἦν Ἀλκμήνης, ὥς φασιν, ὁ Λικύμνιος—τοῦτον οὖν ἰδὼν ἀμελῶς φασιν ἐν γήρᾳ χειραγωγούμενον καὶ ἀφεὶς βακτηρίαν ἐπὶ τὸν οἰκέτην τοῦ μὲν οἰκέτου ἥμαρτεν οὐ κατευστοχήσας, τὸν δὲ γέροντα πλήξας ἔκτεινεν οὐχ’ ἑκών. διὸ καὶ ἔφυγεν εἰς Ῥόδον συναγαγὼν λαὸν καὶ στασιαζομένους τοὺς Ῥοδίους εὑρηκὼς καὶ ἑνὶ προσκεχωρηκὼς μέρει ἐκράτησε. καὶ δυνατὸς γενόμενος ἐστράτευσε κατὰ τῆς Τροίας καὶ αὐτός. καὶ οὕτω μὲν ἡ Ὁμηρικὴ ἐν ὀλίγῳ διασεσάφηται ἱστορία. τὰ δὲ κατὰ μέρος αὐτῆς τοιαῦτα. (v. 662) Μήτρως μὲν εἴρηται καθ’ ὁμοιότητα τοῦ πάτρως· ὡς γὰρ παρ’ Ἡροδότῳ πάτρως ὁ ἀπὸ πατρικοῦ ἀδελφοῦ θεῖος, οὕτω νῦν ὁ ἀπὸ μητρικοῦ μήτρως. [Οἱ δὲ μεθ’ Ὅμηρον καὶ τοὺς ἁπλῶς κατὰ πατέρα προγόνους οὕτω καλοῦσιν, ὡς δηλοῖ καὶ ὁ ἐν τῷ Περὶ συγγενικῶν ὀνομάτων ὧδέ πως διαστείλας· τήθη ἐστὶν ἡ τοῦ πατρὸς μήτηρ, ὡς ἡ Ἀερόπη τῷ Ὀρέστῃ, καὶ ἡ τῆς μητρὸς δὲ μήτηρ, ὡς τῷ αὐτῷ ἡ Λήδα. ταύτας δὲ μάμμας τινές φασι καὶ μαίας. θεῖος δὲ ὁ καὶ νέννος κατά

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινας πατρὸς ἀδελφός, ὁμοίως δὲ καὶ μητρὸς ἀδελφός. καὶ οὕτω μὲν ἡ τήθη. Τηθὶς δὲ ἀνάλογόν τι τῷ θείῳ· πατρὸς γὰρ ἀδελφὴ ἢ μητρός. τούτους δὲ οἱ μὲν πατραδέλφους καὶ μητραδέλφους, οἱ δὲ πάτρωας καλοῦσι καὶ μήτρωας· Πίνδαρος δὲ οὐκ ἀδελφοὺς ἀλλὰ γονέας μητρὸς μάτρωας ἔφη, Στησίχορος δὲ πάτρωα τὸν κατὰ πατέρα πρόγονον εἶπεν, ἔνθα παρ' αὐτῷ Ἀμφίλοχος ἔφη τὸ «πάτρωα ἐμὸν ἀντίθεον Μελάμποδα». Μελάμπους γάρ, οὗ Ἀντιφάτης, οὗ Ὀϊκλῆς, οὗ Ἀμφιάραος, ὅθεν Ἀμφίλοχος. ὅρα οὖν, οἷος ὁ Μελάμπους ἦν πάτρως τῷ Ἀμφιλόχῳ οὕτω πόρρωθεν.] (v. 658) «Βίη δὲ Ἡρακληείη» πεντασυλλάβως ταὐτὸν μέν ἐστι τῷ «βίη Ἡρακλείη» τῷ τετρασυλλάβῳ.

1.492 γίνεται δὲ ἐκ τῆς Ἡρακλῆος γενικῆς, οὗ κτητικὸν ἀρσενικὸν Ἡρακλήειος καὶ θηλυκὸν Ἡρακληείη. (v. 659) Ἔφυραν δὲ ὑποπτεύουσί τινες ἐνταῦθα τὴν Θεσπρωτικὴν λέγεσθαι, τὴν μετονομασθεῖσαν Κέρκυραν, λέγοντες καὶ Σελλήεντα ποταμὸν Θεσπρωτίας. διάφοροι δὲ Ἔφυραι, εἴπερ ὁ Γεωγράφος καὶ εἰς ἐννέα ταύτας μετρεῖ. εἴρηται δὲ περὶ αὐτῶν καὶ ἐν τῷ περὶ Κυλλήνης πρὸ τούτων λόγῳ· καὶ ἐν τοῖς ἑξῆς εἰρήσεταί που. περὶ πάσας δὲ ἢ τὰς γοῦν πλείους Ἐφύρας ἱστορεῖται Σελλήεις ῥέειν ποταμὸς συναμφιβαλλόμενος καὶ αὐτός, ὅτε που Ἔφυρα ἀμφιβάλλεται. (v. 660) Ἔοικε δὲ καὶ πολλὰς ἡ τοιαύτη Ἔφυρα πόλεις ἔχειν περὶ αὐτήν, ὡς δηλοῖ τὸ «πέρσας ἄστεα πολλά», τουτέστι πορθήσας. τοῦτο δὲ σχῆμά ἐστι καινόν, ἤγουν τὸ «βίη Ἡρακλέος πέρσας ἄστεα πολλά», καὶ ὡς εἰπεῖν σολοικοφανές. καὶ ὡμοίωται τῷ «ψυχὴ Θηβαίου Τειρεσίου χρύσεον σκῆπτρον ἔχων». ὥσπερ γὰρ ἐν τούτῳ οὐ πρὸς τὸ λεγόμενον ἤγουν πρὸς τὸ «ψυχὴ Τειρεσίου» ἀποδέδοται τὸ ἔχων, ἀλλὰ πρὸς τὸ νοούμενον—ψυχὴ γὰρ Τειρεσίου ὁ Τειρεσίας νοεῖται, ὃς καὶ ἔχων σκῆπτρον ἀσολοικίστως λεχθήσεται—οὕτω καὶ ἐνταῦθα βίη Ἡρακλέος ὁ Ἡρακλῆς ἐστιν, ὃς καὶ πέρσας λέγεται ἄστεα πολλά. [Τὸ δέ «διοτρεφέων αἰζηῶν» ταὐτόν ἐστι τῷ βασιλικῶν ἀνδρῶν, οἷς δηλαδὴ πόλεις ἀνάκεινται.] (v. 661) Εὔπηκτον δὲ μέγαρον τὸ εὐπαγὲς λέγει καὶ στερεόν. οὕτω δὲ καὶ τὸ πηκτὸν νοεῖται ἄροτρον καὶ τὸ νῆας ἔπηξεν, ἀντὶ τοῦ συνεστήσατο στερεῶς, ὅπερ παράγει καὶ τὸν ναυπηγὸν καὶ τὴν Ναύπακτον δέ, ὡς ἐν ἄλλοις εἴρηται. (v. 662) Τὸ δὲ κατέκτα συστέλλει τὴν λήγουσαν κατὰ τοὺς παλαιούς, ὡς μὴ ὂν δευτέρας συζυγίας, ἀλλὰ ἀποκοπὲν ἐκ τοῦ ἔκτανε. (v. 663) Τὸ δέ «ἤδη γηράσκοντα» ἢ ἁπλῶς οὕτω παρέρριψεν ἤ, ἵνα σεμνύνῃ τὸν Λικύμνιον. οὐκ ἂν γὰρ τάχα ὁ Τληπόλεμος Λικύμνιον τὸν τοῦ Ἄρεος ὄζον οὕτω ῥᾳδίως ἀνεῖλεν, εἰ μὴ ἐγήρασκε. (v. 664) Τὸ δὲ ταχὺ νῆας πῆξαι τὸ τάχος ἐνδείκνυται τοῦ φυγεῖν σπεύδοντος. Τὸ δέ «πολὺν λαὸν ἀγείρας» εἰς πιθανότητα κεῖται τοῦ ἁλῶναι τὴν Ῥόδον οὕτω ῥᾳδίως καὶ οἰκηθῆναι ὑπὸ τῶν περὶ τὸν Τληπόλεμον. (v. 665) Τὸ δὲ ἠπείλησαν λέγεται μέν ποτε καὶ παθητικῶς, δηλοῖ δέ, ὡς οἱ παλαιοί φασι, πολιτικὴν ἡμερότητα. Ἑλληνικὸν γάρ, φασί, τὸ μὴ φόνῳ φόνον λύειν, φυγαδεύειν δὲ τὸν ἅπαντα χρόνον, ὥστε Σόλων, φασίν, ἐντεῦθεν λαβὼν ὥρισε τοῦτο. (v. 666) Τὸ δέ «υἱοὶ καὶ υἱωνοὶ Ἡρακλέος» τὴν τῶν Ἡρακλειδῶν δηλοῖ πολυπλήθειαν.

1.493 πολλοὶ γὰρ ἀληθῶς εἶναι ἱστόρηνται. (v. 667) Τὸ δέ «ἄλγεα πάσχων», ὡς παρακολούθημα εἴρηκε τῶν πλανωμένων. εἰ γὰρ καὶ ἔπηλυς ἐλθὼν εἰς Ῥόδον ὁ Τληπόλεμος ἐκράτησεν, ἀλλὰ πολλὰ φθάσας ἔπαθεν ἀλγεινά, ὥστε εἴη ἂν καὶ ἡ ἄλη, ὅ ἐστιν ἡ πλάνη, ἄλγη τις ἐλλείψει τοῦ γ . (v. 668—70) Τὸ δέ «τριχθὰ ᾠκήθησαν» καὶ τὸ «καταφυλαδόν» τί δηλοῦσι, προγέγραπται. Τὸ δέ «ἐφιλήθησαν ἐκ Διός» πρὸς τὴν κοινήν φασι δόξαν εἴρηται. οἱ γὰρ πολλοὶ θεοφιλεῖς τοὺς πλουσίους οἴονται· τοιοῦτοι δέ ποτε περιᾴδονται οἱ Ῥόδιοι, περὶ ὧν ὁ μὲν ποιητὴς ἀνθρωπίνως καὶ ἀσφαλῶς λέγει, ὅτι θεσπέσιος πλοῦτος κατεχέθη αὐτοῖς, ὁ δὲ μῦθος, ὅτι χρυσῆν νεφέλην ὑπὲρ τῆς Ῥόδου μετεωρίσας ὁ Ζεὺς χρυσὸν τοῖς ἐκεῖ ἔβρεξεν, ἐπεί, φασί, πρῶτοι γεννωμένῃ τῇ Ἀθηνᾷ ἔθυσαν, ὡς καὶ Πινδαρικὸς παραλαλεῖ μῦθος, οὗ τάχα ὑπόμνησιν ἔχει καὶ ἐνταῦθα τὸ «πλοῦτον κατέχευε Κρονίων». τὸ γὰρ καταχέειν οὐκ ἀσυγγενὲς τῇ βροχῇ. καὶ ἄλλως δὲ ἐφιλήθησαν ἐκ Διὸς οἱ περὶ τὸν Τληπόλεμον ὡς βασιλεύσαντες ἐν τῇ Ῥόδῳ. Διῒ γὰρ φίλοι οἱ

βασιλεῖς. (v. 669) Τὸ δέ «ὃς θεοῖς καὶ ἀνθρώποισιν ἀνάσσει», [ἁπλῶς οὕτω παραρριφὲν πρὸς ἐντέλειαν ἔπους καὶ οὐ πρός τι ἀναγκαῖον,] ἐφερμηνευτικόν ἐστι τοῦ «Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε», ὡς ταὐτὸν ὂν τρόπον τινὰ βασιλέα τε καὶ πατέρα εἰπεῖν, διὰ τὸ χρῆναι τὸν ἄρχοντα πατρὸς δίκην τῶν ὑπηκόων κήδεσθαι, ὃ καὶ ἐν Ὀδυσσείᾳ φανερῶς δηλοῦται, ὅπου λέγει· «πατὴρ δ' ὣς ἤπιος ἦεν». διὸ καὶ παρ' Ἡροδότῳ Καμβύσης μὲν δεσπότης, Κῦρος δὲ πατὴρ τοῖς Πέρσαις ἦν. ὁ μὲν γὰρ ἀγρίως ἦρχεν, ὁ δὲ ἠπίως. [Λαμβάνει δ' ἐκ τῆς ἐννοίας ταύτης ἀφορμὴν καὶ ὁ «παγκρατῆ» τὸν Δία εἰπών, ὡς πάντων ἀνάσσοντα. ὃ δὴ καὶ τῷ ὕπνῳ καθ' ἕτερον λόγον ἐπιλέγεται.] Θεσπέσιος δὲ πλοῦτος ἢ ὁ πολύς, ὃν θεὸς ἂν εἴποι, ἢ μᾶλλον ὁ ἐκ θεοῦ πεσὼν ἤτοι χεθείς, ὅθεν καὶ οἱ διϊπετεῖς γίνονται ποταμοί. Τὸ δὲ Κρονίων καὶ ἐνταῦθα ἐκτείνει τὴν παραλήγουσαν. (v. 671—5) Ὅτι Νιρεὺς τρεῖς νῆας ἦγε Σύμηθεν, ἤγουν ἀπὸ τῆς νήσου Σύμης, ὃν ἐξευτελίσαι μέλλων ἱστορικῶς ὁ ποιητής, ὡς καὶ ἀλαπαδνὸν καὶ βραχύπολιν, προλαμβάνει συνιστῶν ἄλλως διὰ ἐπιμονῆς ἐπαναληπτικῶς ὡς μνήμης ἄξιον. φησὶ γάρ, εἰ καὶ ὁ γραμματικὸς Ζηνόδοτος ἀθετεῖν τὰ ἐπαγόμενα λέγεται, ὅτι «Νιρεὺς Ἀγλαΐης υἱὸς Χαρόποιό τ' ἄνακτος, Νιρεύς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλείωνα». καὶ ὅρα ὅπως τὸν καλὸν Νιρέα σχήματι κάλλους τῇ ἐπαναφορᾷ συνεξωραΐσε. φασὶ δὲ ἐνταῦθα οἱ παλαιοί, ὅτι οὐδὲν πρὸς δόξαν κάλλος ἀγεννές. τοῦτο δὲ εἶπον ἐκεῖνοι διὰ τὸ ἐπαγαγεῖν τὸν ποιητήν, ὅτι «ἀλλ' ἀλαπαδνὸς ἦν, παῦρος δέ οἱ εἵπετο», τουτέστιν ὀλίγος, «λαός».

1.494 ἔνθα θεωρητέον τὸ φιλάληθες τοῦ ποιητοῦ, ναὶ μέντοι καὶ τὴν τοῦ πιθανοῦ πραγματείαν, δι' ἥν, εἰ καὶ φιλέλλην ἐστὶν, ἀλλ' οὐκ ἐπικρύπτει τὰ τῶν Δαναῶν ἐλαττώματα, εἴ που καί εἰσι. τὸν γοῦν Νιρέα κάλλιστον μὲν εἶναι λέγει, ἄναλκιν δέ. Ἀχιλλεὺς δὲ ἀμφότερον, καὶ καλὸς καὶ ἄλκιμος, οὗ καὶ ἐνταῦθα μνήμην ὁ ποιητὴς παρέρριψε συνήθως ἀεὶ θέλων ἐπὶ γλώσσης φέρειν αὐτόν. Λέγουσι δὲ ἐνταῦθα οἱ παλαιοὶ καί, ὅτι πάντας μὲν ὁ ποιητὴς ἀξιομνήστους ποιεῖ, οὐ πάντας δὲ ἐπαινεῖ. ὅρα δὲ ὅπως καὶ οἱ γεννησάμενοι τὸν Νιρέα πρὸς ὡραϊσμὸν ὀνομάζονται. μήτηρ μὲν γὰρ Ἀγλαΐα, Χάροπος δὲ βαρυτόνως πρὸς διαστολὴν τοῦ ἐπιθέτου ὁ πατήρ. ἡ μὲν αἰγλήεσσα, ὁ δὲ χαρίεις, ὡς ἡ κλῆσις ὑπεμφαίνει. (v. 673) Τὸ δέ «ὑπὸ Ἴλιον ἦλθεν», ἀντὶ τοῦ κατὰ τὸ Ἴλιον, ἵνα καὶ νῦν ληφθείη ἀντὶ προθέσεως πρόθεσις, ἢ καὶ διότι ἠνεμόεν τὸ Ἴλιον ὡς ὑψηλόν. διὰ τοῦτο πάντες οἱ Ἀχαιοὶ ὑπὸ Ἴλιον ἐλθεῖν λέγονται ὡς μένοντες κάτω καὶ ὑπ' ἐκεῖνο. Ἀμύμονα δὲ τὸν Ἀχιλλέα νοητέον, τουτέστιν ἀμώμητον κατά τε κάλλος τὸ νῦν μαρτυρηθὲν καὶ ἀνδρίαν τὴν φανησομένην καὶ τὴν φανερὰν εὐγένειαν καὶ ἄλλας δὲ ἀρετάς. (v. 675) Ἀλαπαδνὸς δὲ ὁ ἀσθενὴς καὶ εὐπόρθητος, ἐκ τοῦ ἀλαπάζω, περὶ οὗ πολλαχοῦ γέγραπται. [Ἰστέον δὲ ὅτι συντελεῖ καὶ τοῦτο εἰς γνῶσιν συγγενείας τοῦ ζ καὶ τοῦ δ . ἀπὸ γὰρ τοῦ ἀλαπάζω γίνεται ἀλαπαδνός, ὡς παίζω παιδνός, ὀλοφύζω ὀλοφυδνός· ἔστι γὰρ καὶ ὀλοφύζειν ὡς ὀτοτύζειν, καθὰ ὁ Κωμικὸς ἐμφαίνει ἐν τῷ Ὀτοτύξιοι, οὗ πρόκειται τὸ Ὀλοφύξιοι.] (v. 671) Σύμη δὲ νῆσος, φασί, Καρικὴ καὶ πόλις ὁμώνυμος, ἀπὸ Σύμης τῆς Ἰαλυσοῦ. ἱστορεῖται δὲ καί, ὅτι Μεταποντίς τε καὶ Αἴγλη ὠνομάσθη ποτέ. λέγεται δὲ καὶ πέρδικας μαχίμους φέρειν. ἐθνικὸν αὐτῆς ὁ Συμαῖος. (v. 673) Ἰστέον δὲ ὡς ἐν μὲν τῷ «ὃς κάλλιστος ἀνήρ» φασὶν οἱ παλαιοί, ὅτι ὥσπερ τοὺς ἐν ἀνδρίᾳ καὶ μεγέθει καὶ σώματι προὔχοντας, οὕτω καὶ τοὺς κάλλει διαπρέποντας ἐν τῇ ἑαυτοῦ ποιήσει διδάσκει ὁ ποιητής.

1.495 (v. 675) Ἐν δὲ τῷ «ἀλλὰ ἀλαπαδνὸς ἦν» λέγουσιν, ὅτι ἀπήλλαξεν ἡμᾶς ὁ ποιητὴς τῆς εἰσέπειτα ζητήσεως, τουτέστιν ἐμάθομεν ἀλαπαδνὸν τὸν Νιρέα καὶ οὐκέτι ζητήσομέν που αὐτὸν ἐν τοῖς ἐφεξῆς, ὃ δὴ καὶ ἐπὶ τοῦ Θερσίτου, ἄλλως μέντοι, πεποίηκεν. (v. 676—80) Ὅτι Θεσσαλὸς υἱὸς Ἡρακλέος, οὗ παῖδες Φείδιππος καὶ Ἄντιφος, τριάκοντα νηῶν ἀρχηγοί. ὧν οἱ στρατιῶται «Νίσυρον εἶχον Κράπαθόν τε Κάσον τε καὶ Κῶν Εὐρυπύλου πόλιν νήσους τε Καλύδνας». Τούτων δὲ ἡ μὲν Κάσος οὐ περιᾴδεται τοῖς παλαιοῖς. περὶ δὲ Νισύρου καὶ τῆς Κῶ καὶ Καλυδνῶν

καὶ Καρπάθου, ἣν Κράπαθον ὁ ποιητὴς εἶπε μεταθέσει τοῦ ρ , δι’ εὐχρηστίαν μέτρου, ὁμοίως τῷ καρδία κραδία, ἐν τοῖς τοῦ Περιηγητοῦ τὰ δέοντα γέγραπται. νῦν δὲ ὡς ἐν βραχεῖ ταῦτα ῥητέον. ὅτι ἐν Νισύρῳ οἶνος ἀγαθός, ὁ ἐξ αὐτῆς Νισύριος καλούμενος, καὶ ὅτι ἐκτείνει τὴν ἄρχουσαν διὰ τὸ μέτρον καὶ ὅτι ἀπὸ τῆς Καρπάθου Καρπάθιον τὸ ἐκεῖ πέλαγος συνάπτον τῷ Ἰκαρίῳ κατὰ τὸν Γεωγράφον. ἦν δέ, φησί, τετράπολις ἡ Κάρπαθος καὶ ὄνομα εἶχεν ἀξιόλογον. μία δὲ τῶν αὐτῆς πόλεων ἐκαλεῖτο Νίσυρος ὁμωνύμως τῇ νήσῳ Νισύρῳ, ἣ μία μὲν τῶν Κυκλάδων λέγεται. Πορφυρὶς δέ ποτε ἀπὸ τῶν ἐν αὐτῇ πορφυρέων ἐκαλεῖτο. [Ἔβλαστε δὲ καὶ παροιμία ἐκ Καρπάθου ἐπὶ τῶν πραγματευσαμένων ἑαυτοῖς τὰ εἰς βλάβην τὸ «ὁ Καρπάθιος τὸν λαγῳόν», ἐπειδὴ τῆς νήσου μὴ ἐχούσης τοιαῦτα ζῷα κομίσαντες ἄλλοθεν οἱ νησιῶται εἰς κακὸν ἐκείνων ἀπήλαυσαν κειρόντων τὰ σπόριμα.] (v. 677) Τῆς δὲ Κῶ νήσου Κῷος τὸ ἐθνικόν, ὥσπερ δὴ καὶ τῆς ἐν αὐτῇ πόλεως, ἣν πόλιν Εὐρυπύλου λέγει ὁ ποιητής, υἱοῦ Ἡρακλέος καὶ Χαλκιόπης, εὐκλεῶς ἐκεῖ βασιλεύσαντος. Ἰστέον καὶ ὅτι ἡ Κῶς αὕτη Μερόπη καὶ Μεροπηῒς ἐλέγετο ἀπὸ Μερόπων, ἔθνους ἢ γένους οἰκησάντων αὐτήν, ἢ ἀπὸ Μέροπος, οὗ θυγάτηρ Κῶς, ἧς φασιν ἡ νῆσος ἐπώνυμος. καὶ ὅτι δισυλλάβως Κώως λέγεται διὰ δύο μεγάλων ω καὶ Κόως διὰ μικροῦ ο καὶ μεγάλου, ἐξ οὗ τὸ «Κόων εὖ ναιομένην» παρὰ τῷ ποιητῇ καὶ Κόος δὲ διὰ δύο ο μικρῶν, ὧν συναιρεθέντων ἔοικε γενέσθαι ἡ Κῶς.

1.496 κατὰ δέ τινας καὶ ὡς πολυπρόβατος οὕτω καλεῖται· κόον γάρ φασι κατὰ γλῶσσαν τὸ πρόβατον λέγεσθαι. εὕρηται δὲ καὶ Κέως λεγομένη ὡς ἡ Τέως. ἧς ἐθνικὸν Κέϊος καὶ ἐκτάσει Κήϊος, ὡς Τέϊος Τήϊος, καὶ ἐν συναιρέσει Κέϊος Κεῖος. τῆς δὲ Κῶ κτητικὸν εὕρηται παρὰ Πορφυρίῳ Κωακόν. Ἰστέον δὲ ὅτι κατὰ τὴν ἱστορίαν Κῶς ἐλέγετο καὶ ὄρυγμά τι ἐν Κορίνθῳ, οὗ καθείργνυον, φησί, φῶρας καὶ δραπέτας. [Ἡ δὲ τοιαύτη λέξις δοκεῖ καὶ τοῖς ὀρεσκῴοις ἐγκεῖσθαι, οἵπερ εἰσὶ θῆρες ὀρεινοῖς ὀρύγμασιν ἐνοικοῦντες, ὁποῖά τινα καὶ τὰ σπήλαια.] Ἐλέγετο δὲ καὶ κῶος. καὶ κῶες δὲ οἱ ἐν ταύτῃ ἀνατραφέντες. καὶ πάντα δέ, φησί, σπήλαια καὶ κοιλώματα γῆς κώους οἱ παλαιοὶ ἔλεγον. Ἰστέον δὲ καί, ὡς, εἰ καὶ ἐκαλεῖτο Κέως δισυλλάβως, ὡς ἐρρέθη, ἡ λεχθεῖσα Κῶς, ἀλλ’ ἑτέρα πάντως τῆς Κέω τῆς ἐγγιζούσης τῇ Ἑλένῃ, περὶ ἧς καὶ ἐν τοῖς ἑξῆς εἰρήσεται. Τὸ δέ «νήσους Καλύδνας» οὐ πρὸς διαστολὴν εἴρηται χερσαίων Καλυδνῶν, ἀλλὰ διὰ σαφήνειαν, ἵνα εἴη δῆλον, ὅτι νῆσοι αἱ Καλύδναι εἰσίν, ἃς ἕτεροι διὰ τοῦ μ γράφουσι Καλύμνας. ὅτι δὲ ἀγαθὸν μέλι τὸ Καλύδνιον, κεῖται καὶ αὐτὸ ἐν τοῖς τοῦ Περιηγητοῦ. ὁ δὲ Γεωγράφος χωρίου τινὸς μέμνηται καρτερωτάτου Καλυδνίου καλουμένου, ᾧ λῃστηρίῳ ἐχρήσατο Κλέων ὁ ἀπὸ Γόρδου κώμης, ὁ τῶν λῃστηρίων ἡγεμών, ὃς ἀποστάς, φησίν, Ἀντωνίου καὶ προσθέμενος Καίσαρι ἐτιμήθη πλέον ἢ κατ’ ἀξίαν καὶ ἀντὶ λῃστοῦ δυνάστου περιέκειτο σχῆμα· ἱερεὺς δὲ γεγονώς, ὅπου ὁ Γεωγράφος λέγει, ἐντὸς μηνιαίου χρόνου κατέστρεψε τὸν βίον ὀξείᾳ νόσῳ κατὰ μῆνιν θεοῦ. οὐ γὰρ διετέθη ὡς ἱερεὺς ἀλλὰ διαφθορεὺς τῶν ἱερῶν. λέγει δὲ ἡ γεωγραφικὴ ἱστορία καί, ὅτι αἱ Καλύδναι κατὰ τὸν ἐπὶ Λεκτὸν πλοῦν κεῖνται—ἀκρωτήριον δέ ἐστι τὸ Λεκτόν—καὶ ὅτι Καλύδναι νῆσοι κατά τινας αἱ Σποράδες, ὧν μία Καλύδνα, ἐξ ἧς αἱ παρακείμεναι καλοῦνται. οἱ δὲ μίαν νῆσον Καλύδνας φασὶ κληθῆναι πληθυντικῶς, ὡς Ἀθήνας καὶ Θήβας. (v. 681—5) Ὅτι μέχρις ὧδε ὁ ποιητὴς ἀπνευστὶ ὥσπερ ὑποφητεύσας ταῖς Μούσαις, ἀφ’ οὗ ἀπετείνατο πρὸς αὐτὰς ἐν τῷ «ἔσπετε νῦν μοι Μοῦσαι, οἵ τινες ἡγεμόνες Δαναῶν» καὶ τὰ ἑξῆς, ἐνταῦθα καταστατικῶς καί, ὡς οἱ παλαιοὶ δέ φασιν, ἠθικῶς ἐπιστρέφει τὸν λόγον ἐπὶ Ἀχιλλέα καὶ δευτέραν αὐτὸν ἀρχὴν Καταλόγου ποιεῖται εἰπών· «νῦν αὖ τούς, ὅσσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον, οἵ τ’ Ἄλον οἵ τ’ Ἀλόπην οἵ τε Τρηχῖν’ ἐνέμοντο, οἵ τ’ εἶχον Φθίην καὶ Ἑλλάδα καλλιγύναικα, Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί, τῶν αὖ πεντήκοντα νεῶν ἦν ἀρχὸς Ἀχιλλεύς».

1.497 ἔστι δὲ τὸ σχῆμα ἐλλειπτικὸν ἀπὸ μακροῦ κοινοῦ. λέγει γὰρ ὅτι «νῦν δ’ αὖ τούτους ἔσπετέ μοι, ὦ Μοῦσαι, ὅσοι τὸ Πελασγικὸν Ἄργος ἔναιον καὶ ὑπὸ τῷ Ἀχιλλεῖ ἦσαν». ποιεῖ δὲ τὴν καινὴν

ταύτην ἐξαλλαγὴν ὁ ποιητὴς διὰ τὸ μέλλειν ἐνταῦθα περὶ Ἀχιλλέως εἰπεῖν. οὐ γὰρ ἠνέσχετο μὴ τὸν ἀκροατὴν εἰς νοῦν στρέψαι καὶ εἰς τὴν γραφὴν καινοπραγῆσαι, ὅτε περὶ τοῦ αὐτῷ φίλου Ἀχιλλέως λαλεῖ. καὶ ὅρα ὅτι ὥσπερ ἀρχόμενος τοῦ Καταλόγου εἶπεν· «ἔσπετε νῦν μοι Μοῦσαι, οἳ Δαναῶν ἡγοῦντο», οὕτω καὶ ἐνταῦθά φησι· «νῦν αὖ τούτους», ἔσπετε δηλαδή, «ὅσοι ἦσαν ὑπὸ τῷ Ἀχιλλεῖ», ἐμφαίνων, ὅτι, ὥσπερ ἔργον ἔθετο τὸν Κατάλογον ἁπάντων τῶν Ἀχαιῶν, οὕτω καὶ τὸ εἰπεῖν τοὺς ὑπὸ τὸν Ἀχιλλέα. (v. 681) Πελασγικὸν δὲ Ἄργος τὸ Θετταλικὸν λέγει ἀπὸ Πελασγῶν, οἳ πολυπλάνητοι ὄντες, ὡς πολλαχοῦ δηλοῦται, ᾤκησαν καὶ ἐκεῖ. ὅτι δὲ Ἄργος οὐχ’ ἓν ἀλλὰ πολλά, ἐν τοῖς τοῦ Περιηγητοῦ δεδήλωται, αὐτό τε τοῦτο καὶ ἄλλα χρήσιμα. ὅτι δὲ Πελασγικὸν ἦν καὶ τὸ κατὰ Πελοπόννησον Ἄργος, καὶ Εὐριπίδης δηλοῖ, παρ’ ᾧ ἱστορεῖται καί, ὡς ἔφθασαν οἱ ἐκεῖ πάλαι μὲν Πελασγοί, Δαναοὶ δὲ κληθῆναι ὕστερον. (v. 682) Ἄλος δὲ οὐ μόνον ἡ Φθιῶτις αὕτη, ἀλλὰ καὶ τῆς Ἀχαίας πόλις, κτισθεῖσα δέ, φασίν, ὑπὸ τοῦ Ἀθάμαντος ὠνομάσθη ἀπὸ τῆς αὐτῷ συμβεβηκυίας ἄλης ἤτοι πλάνης, ἣν ἔπαθεν εἰς μανίαν ἐμπεσών. Τινὲς δὲ οἴονται δασύνεσθαι τὴν Ἄλον, ὡς ἀπὸ τῆς ἁλός, ὅ ἐστι τῆς θαλάσσης, ἀκολούθως τῷ Γεωγράφῳ εἰπόντι Ἅλος καὶ Ἁλιοῦς ἐν τῇ παραλίᾳ τῶν Λοκρῶν. τινὲς οὖν ἀντὶ τοῦ Ἄλον Ἁλιοῦντα γράφουσι. γράφεται δὲ δι’ ἑνὸς λ πρὸς διαστολὴν τῆς ἄλλος ἀντωνυμίας. Ἕτεροι δὲ ἱστοροῦσι θεράπαιναν Ἀθάμαντος εἶναι τὴν Ἄλον, τὴν μηνύσασαν τῇ Ἰνοῖ φρύγειν τὰ σπέρματα, ἧς εἰς τιμὴν ἡ πόλις ὠνόμασται. γυνὴ δὲ Ἀθάμαντος ἡ Ἰνώ, δι’ ἧς οἷα κατειργάσθη ἄλλα τε καὶ τὰ ἐπὶ τῷ Φρίξῳ καὶ τῇ Ἕλλῃ τεθρύληται. ἐν μέσῳ δέ ἐστι Φαρσαλίας καὶ Φθιωτῶν. Φίλιππος δὲ Φαρσαλίοις προσένειμεν ἀφελόμενος τῶν Φθιωτῶν. λέγεται δὲ καὶ ἀρσενικῶς ὁ Ἄλος καὶ θηλυκῶς ἡ Ἄλος.

1.498 ἦν δὲ καὶ ἕτερος Ἄλος ὑπὸ Πρωτεσιλάῳ κατὰ τὸν ἐνδιατρίψαντα τοῖς Ἐθνικοῖς, ὃς καὶ Μαλιακόν φησι τὸν Ἄλον τοῦτον τὸν ὑπὸ τῷ Ἀχιλλεῖ, ἤγουν περὶ τοὺς Μαλιεῖς κείμενον. κεῖνται δὲ οἱ Μαλιεῖς πρὸς τῇ Εὐβοίᾳ καὶ ταῖς Θερμοπύλαις, ὡς καὶ μετ’ ὀλίγα δηλωθήσεται. ἐθνικὸν τῆς Ἄλου Ἀλεύς καὶ Ἄλιος, κατὰ δέ τινας καὶ Ἀλούσιος. Ἡ δὲ Ἀλόπη πόλις καὶ αὕτη Θεσσαλικὴ ὁμωνυμεῖ Ἀλόπῃ, θυγατρὶ Κερκυόνος ἢ Ἄκτορος. ἔκειτο δέ, φασί, μεταξὺ Λαρίσσης τῆς κρεμαστῆς καὶ Ἐχίνου. ὁ πολίτης Ἀλοπίτης καὶ Ἀλοπεύς. εἰσὶ δὲ καὶ ἕτεραι Ἀλόπαι, ὧν μία μεταξὺ Μυσίας καὶ Καρίας καὶ Λυκίας, ἣν λέγει, φασίν, ὁ ποιητὴς ἐν τῷ «ἐλθόντ’ ἐξ Ἀλόπης». Τρηχὶν δὲ ἤτοι Τραχὶν πόλις Θετταλική, ὑπὲρ τὴν Οἴτην μὲν κτισθεῖσα ὑπὸ Ἡρακλέος, ὀνομασθεῖσα δὲ διὰ τὴν τραχύτητα. ὄνομα δὲ ὄρους ἡ Οἴτη. τοῦτο δὲ γράφεται καὶ ἄλλως οὕτως· «Ἡράκλεια, Λακεδαιμονίων κτίσμα, Τραχίν ποτε καλουμένη. διέχει δὲ τῆς ἀρχαίας Τραχῖνος περὶ ἓξ στάδια πρὸς ταῖς Θερμοπύλαις ἐντὸς τῶν στενῶν». περίπυστος δὲ ἡ Τραχὶν μάλιστα διὰ τὸν Ἡρακλέα, ὃς ἐκεῖ που ᾤχετο πυρὶ ἀεννάῳ ἐπιρρίψας ἑαυτόν. (v. 683) Φθία δὲ πόλις καὶ μοῖρα Θετταλική, ἀπὸ Φθίας γυναικὸς ἢ ἀπὸ Φθίου, υἱοῦ Ποσειδῶνος καὶ Λαρίσσης. ὁ πολίτης αὐτῆς Φθιώτης καὶ Φθῖος. ὁ δὲ Γεωγράφος φησίν, ὅτι τε Φθίαν τινὲς τὴν αὐτὴν Ἑλλάδι καὶ Ἀχαΐᾳ, Ὅμηρος δὲ οὔ. καὶ ὅτι Μαλιεῖς καὶ Φθιῶται Ἀχαιοὶ πρὸς Εὐβοίᾳ κεῖνται καὶ Θερμοπύλαις. καὶ ὅτι εἰς τέσσαρά τινες διαιροῦσι τὴν Θετταλίαν, Φθιῶτιν, Αἰῶτιν, Πελασγιῶτιν καὶ Θετταλιῶτιν. καὶ ὅτι Φθῖοι ἐλέγοντο οἱ τῷ Ἀχιλλεῖ τε ὑποκείμενοι καὶ οἱ τῷ Πρωτεσιλάῳ καὶ τῷ Φιλοκτήτῃ. εἴρηται δέ τι περὶ Φθίας καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ. Ἑλλὰς δὲ ὑπὸ Ἕλληνος ἐκτίσθη, οὐ τοῦ Δευκαλίωνος, φασίν, υἱοῦ, ἀλλὰ τοῦ παιδὸς Φθίου, ὃν ἔτεκεν Ἀχαιός. ἐθνικὸν αὐτῆς ὁ Ἕλλην ὁμωνύμως τῷ κυρίῳ. ἔστι δὲ καὶ ἑτέρα Ἑλλὰς τῆς κοίλης Συρίας. Ἑλλάδα δὲ οὐ τὴν συνήθως παρ’ ἡμῖν καλουμένην φησὶ χώραν, ἥτις ἐπισυνάπτει τῇ ἀρχῇ τῆς Πελοποννήσου, ἣν δὴ Πελοπόννησον καὶ ἀκρόπολιν οἱ παλαιοὶ τῆς τοιαύτης Ἑλλάδος φασίν, ἀλλὰ πόλις ἐστὶν αὕτη Θετταλικὴ οὕτω κληθεῖσα διὰ τὸν ἐκεῖ βασιλεύσαντα Ἕλληνα, ἐξ οὗ καὶ τοῖς ὅλοις Ἕλλησιν ὕστερον τὸ ὄνομα ἐνεκάθισεν, ὥσπερ καὶ τῇ μεγάλῃ Ἑλλάδι προσῆλθεν ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κλῆσις ἐκ τῆς κατὰ τὸν Ἕλληνα τοῦτον ταύτης πόλεως, ἣν καὶ καλλιγύναικα τῷ ποιητῇ ὁ παλαιὸς χρόνος ἐπεμαρτύρατο.

1.499 φησὶ δὲ ὁ Γεωγράφος καί, ὅτι Φαρσάλιοι δεικνύουσιν ἀπὸ ἑξήκοντα σταδίων τῆς ἑαυτῶν κατεσκαμμένην πόλιν, ἣν πεπιστεύκασιν εἶναι τὴν Ἑλλάδα, καὶ δύο κρήνας πλησίον, Μεσσηΐδα καὶ Ὑπέρειαν, οἱ δὲ πέραν τοῦ Ἐνιπέως ᾠκῆσθαί φασι τὴν Ἑλλάδα, ὃς ῥυεὶς περὶ Φάρσαλον εἰς τὸν Ἀπιδανὸν ἐμβάλλει. ὁ δ’ αὐτὸς λέγει καί, ὅτι Ἑλλάδα οἱ μὲν μίαν πόλιν φασίν, οἱ δὲ τὴν Φθιῶτιν πᾶσαν. (v. 684) Μυρμιδόνες δὲ ἢ ἀπὸ μυρμήκων κατὰ μῦθον ἐκλήθησαν, ὡς καὶ ὁ Λυκόφρων ὑπολαλεῖ, ἢ ἀπὸ Μυρμιδόνος ἥρωος, υἱοῦ Διός. λέγεται δὲ κατὰ Αἴγιναν ἡ περὶ αὐτῶν μυθολογία· ὅθεν καὶ Μυρμιδονία ἡ Αἴγινα παρὰ τοῖς παλαιοῖς. εἴρηται δὲ ἤδη καὶ ἀλλαχόθι περὶ τούτων καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ δέ. Ὁ δὲ Γεωγράφος λέγει, ὅτι Μυρμιδόνες συνηκολούθησαν ἐξ Αἰγίνης φεύγοντι τῷ Πηλεῖ. φυγεῖν δὲ τὸν Πηλέα ἐκεῖθεν λέγουσιν οἱ παλαιοὶ μετὰ τὸν τοῦ ἀδελφοῦ Φώκου φόνον, μεθ’ ὃν ὁ Πηλεὺς εἰς Φθίαν ἐλθὼν εὗρεν αὐτὴν ἀρχομένην ὑπὸ Ἄκτορος, υἱοῦ Μυρμιδόνος. ἐγάμει δὲ ὁ Ἄκτωρ Αἴγιναν τὴν ἡρωΐδα μετὰ Πολύβοιαν τὴν πρώτην γυναῖκα, ἐξ ἧς εἶχε Μενοίτιον καὶ ἑτέρους, οὓς εὑρὼν ἐπιβουλεύοντας καὶ ἐξελάσας τῷ Πηλεῖ τὴν θυγατέρα Πολυμήλαν δίδωσι καὶ τὴν βασιλείαν, ᾧ καὶ γίνεται θυγάτηρ μὲν Πολυδώρα, υἱὸς δὲ Ἀχιλλεύς, ὁ καὶ ἄρχων ἄρτι τῶν Θετταλῶν. Ἕλληνας δὲ ὁ ποιητής, ὥς φασιν οἱ παλαιοί, τοὺς ὑπὸ τῷ Ἀχιλλεῖ καλεῖ μόνους, ἐπειδὴ καὶ Ἕλλην ὁ τοῦ Διὸς περὶ τὴν ἐκεῖσε ἦρχεν Ἑλλάδα. οὕτω δὲ καὶ Ἀχαιοὶ ἐλέγοντο διά τινα τοιαύτην ὁμοιότητα, οἵγε καὶ αὐτοὶ ὁμοφώνως τῷ κυρίῳ καλοῦνται καθὰ καὶ οἱ Ἕλληνες. Φασὶ δὲ οἱ παλαιοί, ὅτι σεσημείωται τὸ Ἀχαιοί ὀξυνόμενον. οὕτω δὲ οἱ Ἀχαιοὶ περίκλυτοι, ὥστε Ἀχαία κατὰ τὸν Γεωγράφον καὶ ἐν Ἀραχώταις ἦν, ὥσπερ καὶ ἐν Ἀλεξανδρείᾳ. λέγει δὲ αὐτὸς καί, ὅτι Ἀχαιοὶ ἐκαλοῦντο οἱ Φθιῶται πάντες. Σημείωσαι δὲ τριωνυμίαν ταύτην ποιητικὴν ἐν τῷ «Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί». τρισὶ γὰρ τούτοις ὀνόμασιν ἐκαλοῦντο οἱ τῷ Ἀχιλλεῖ ὑποτεταγμένοι· Ἔνθα ὅρα καὶ ὅτι δυνάμενος ὁ ποιητὴς εἰπεῖν κοινῶς καὶ σαφέστερον «ἐκαλοῦντο», ἐπετηδεύσατο ἐκφυγεῖν χάριν ὄγκου τὸ τῆς διαλέκτου κοινόν «καλεῦντο» εἰπὼν ποιητικώτερον.

1.500 Σημειοῦνται δὲ οἱ παλαιοί, ὅτι ὁ ποιητὴς καὶ τοὺς ὑπὸ τῷ Φοίνικι ὄντας Δόλοπας, οἷς ἡ κλῆσις αὕτη ἐστὶν ἔκ τινος Δόλοπος ἥρωος, ὧν ὁ ποιητὴς ἐν τοῖς ἑξῆς που μέμνηται, συζεύγνυσι τοῖς ὑπακούουσι τῷ Ἀχιλλεῖ. Συνυπακουστέον γάρ φασι καὶ τούτους κατὰ τὸ σιωπώμενον. γελοῖον γάρ, φασί, τὸν μὲν βασιλέα Φοίνικα μετέχειν τῆς στρατείας, ὃς Δολόπεσσιν ἄνασσε, τοὺς δ’ ὑπηκόους Δόλοπας μὴ παρεῖναι. Φέρεται δὲ καὶ ἱστορία χρήσιμος εἰς τὰ προσεχῶς ῥηθέντα τοιαύτη. Ἡ Θεσσαλία πεδίον μέγα ἐστὶ καὶ κοῖλον πάντοθεν ὄρεσι καλυπτόμενον, πρὸς ἀνατολὰς μὲν τῇ Ὄσσῃ καὶ τῷ Πηλίῳ, πρὸς δυσμὰς δὲ τῷ Πίνδῳ, ἐξ οὗ ὁ Πηνειὸς ὁρμώμενος ἔξεισι πρὸς ἕω ἤτοι πρὸς ἀνατολήν, πρὸς ἄρκτους δὲ τῷ Ὀλύμπῳ, καὶ πρὸς μεσημβρίαν τῇ Ὄθρυϊ. τούτου ἦρξε τοῦ τόπου Θεσσαλός, ἀφ’ οὗ ἡ χώρα Θεσσαλία, οὗ Αἴγων, οὗ Αἵμων, ὅθεν Αἵμονες μοῖρα Θετταλική, οὗ καὶ Λαρίσσης, γυναικὸς Ἀργείας, Πελασγὸς καὶ Φθῖος καὶ Ἀχαιός. ἄρχων δὲ ὁ Πελασγὸς μοίρας τῆς χώρας Πελασγικὸν Ἄργος ὠνόμασε καὶ πόλιν Λάρισσαν. θανόντος δὲ αὐτοῦ ἄρξαντες οἱ ῥηθέντες ἀδελφοὶ μοῖραν τῆς γῆς Φθίαν καὶ Ἀχαίαν ἐκάλεσαν. οἰκεῖ δὲ αὐτόθι καὶ Δευκαλίων, οὗ υἱὸς Ἕλλην, ὃς Ἕλληνας τοὺς ἐκεῖ ἐκάλεσεν, οὗ Ξοῦθος, οὗ Ἀχαιὸς καὶ Ἕλλην, ἀφ’ οὗ πάλιν Ἀχαιοὶ ὠνομάσθησαν. (v. 685) Τὸ δέ «ἦν ἀρχὸς Ἀχιλλεύς», περίφρασίς ἐστι τοῦ «ἦρχε». ταὐτὸν γὰρ ἐστι τὸ ἦρχεν, οἷον «ἦρχε Διώρης» καὶ τὸ «ἦν ἀρχὸς Ἀχιλλεύς». (v. 686—94) Ταῦτα εἰπὼν ὁ ποιητὴς ἐπάγει, ὅτι· ἀλλ’ οὗτοι «οὐ πολέμοιο δυσηχέος ἐμέμνηντο· οὐ γὰρ ἔην ὅς τίς σφιν ἐπὶ στίχας ἡγήσαιτο· κεῖτο γὰρ ἐν νήεσσι ποδάρκης δῖος Ἀχιλλεὺς κούρης χωόμενος Βρισηΐδος, τὴν ἐκ Λυρνησσοῦ ἐξείλετο πολλὰ μογήσας, Λυρνησσὸν διαπορθήσας καὶ τείχεα Θήβης»· κατέβαλε δὲ Μύνητα καὶ Ἐπίστροφον ἐγχεσιμώρους· «τῆς ὅ γ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔκειτ’ ἀχέων, τάχα δ’ ἀνστήσεσθαι ἔμελλε». Παρασημείωσις δὲ αὕτη τοῦ ποιητοῦ εἰπόντος τρόπον τινά, ὅτι τοὺς μὲν ἄλλους κατέλεξα ὡς πολεμήσοντας νῦν αὐτίκα ὑπὸ ἡγεμόσι προάρχουσι τῆς μάχης, τοὺς δὲ Θεσσαλιώτας οὐχ’ οὕτως. οὐ γὰρ ἐμέμνηντο πολέμου, ὡς κειμένου αὐτοῖς τοῦ ἄρχοντος. (v. 686) Δυσηχέα δὲ λέγει τὸν πόλεμον, ὡς καὶ δυσηλεγέα τὸν θάνατον. οὔτε γὰρ ὁ τῆς μάχης ἦχος ἡδὺς οὔτε τὸ θανατικῶς λέγεσθαι, ἤτοι κοιμᾶσθαι, γλυκύ. (v. 687) Τὸ δέ «ἡγήσαιτο αὐτοῖς» διφορεῖται καὶ αὐτὸ καθὰ καὶ τὸ ἄρχειν. ἄμφω γὰρ καὶ δοτικῇ καὶ γενικῇ συντάσσονται.

1.501 Στίχες δὲ αἱ στρατιωτικαὶ τάξεις, ὡς καὶ ἐν τοῖς ἑξῆς φανήσεται. τούτων δὲ εὐθεῖα ἑνικὴ στίξ, γινομένη μὲν ἀπὸ τοῦ στείχω, στείξω, καὶ ὀφείλουσα τὴν ἐκεῖθεν δίφθογγον ἔχειν, προαγομένη δὲ ἄλλως διὰ διχρόνου, ἐπεὶ μηδὲν ὄνομα εἰς δίφθογγον λήγει μετὰ διπλοῦ ἀπαθῶς· διὸ καὶ ἡ τῆς γυναικὸς εὐθεῖα σεσίγηται. ἡ δέ γε προίξ καὶ ἡ αἴξ ἀπὸ συναιρέσεως ἔχουσι τὰς διφθόγγους. (v. 688) Τὸ δέ «ἔκειτο ἐν ναυσί» τὴν παντελῆ τοῦ ἥρωος ἀργίαν δηλοῖ, τρὶς ἐν τῇ Βοιωτίᾳ περὶ τοῦ Ἀχιλλέως λεχθέν. οὕτω δὲ καὶ μετ’ ὀλίγα ὁ Φιλοκτήτης ἐν Λήμνῳ κεῖσθαι λέγεται, κακῶς μέντοι ἔχων ἐκεῖνος ὑπὸ πληγῆς ὄφεως. ἄμφω δὲ καθ’ ὁμοιότητα εἴρηται τοῦ «κεῖται Πάτροκλος». εἰ δὲ κεῖται νῦν Ἀχιλλεύς, ὡς μὴ ἔχων τὸ σύνηθες πρακτικὸν καὶ πολιτικόν—ἔνθα γὰρ μή εἰσι ταῦτα, ἐκεῖ τὸ κεῖσθαι χώραν ἔχει λέγεσθαι—ἐγερθήσεται ἄρα, ὅτε τὴν μῆνιν ἀπόθηται. διὸ καὶ ἐπήγαγε· «τάχα δ’ ἀνστήσεσθαι ἔμελλεν». ἔνθα καὶ παραμυθεῖται ὁ ποιητὴς τὸν φιλέλληνα ἀκροατὴν διὰ τοῦ τάχα. ταχὺ γάρ, φησίν, ἀναστήσεται καὶ ἀντικαταστήσεται τοῖς Τρωσίν. [Ἰστέον δέ, ὡς εἴ τις ἐνθυμοῖτο τὸ «οὐδέ μιν ἀνστήσεις», τεθνεῶτα δηλαδή, εἴποι ἂν κἀνταῦθα ὡς ἐπὶ νεκροῦ τινος ἀστεϊσθῆναι τὸ «ἔκειτο μέν, τάχα δὲ ἀναστήσεσθαι ἔμελλε».] Τὸ δέ «ποδάρκης» ἔχει τι γλυκύτητος ἐνταῦθα. λέγει γὰρ ὅτι ὁ ποδωκέστατος ἔκειτο συμποδιζούσης αὐτὸν τῆς μήνιδος, ἣν ἔπασχεν ἐπὶ τῇ Βρισηΐδῃ, ἣν κόρην καὶ ἐνταῦθά φησιν οὔτε ὡς θυγατέρα τινὸς οὔτε ὡς παρθένον, ἀλλ’ ἁπλῶς ὡς νεάνιδα. [(v. 689) Τὸ δέ «κούρης χωόμενος» λείπεται τοῦ ἕνεκεν ἢ τῆς ὑπέρ προθέσεως ὁμοίως τῷ «χωόμενον κατὰ θυμὸν ἐϋζώνοιο γυναικός», ἵνα ᾖ χωόμενος ὑπὲρ τῆς δεῖνος.] (v. 691) Τὸ δέ «Λυρνησσὸν διαπορθήσας» ἑφερμηνευτικόν ἐστι τοῦ ἐξείλετο ἐκ Λυρνησσοῦ, ἵνα μὴ νοηθῇ τυχόν, ὡς ἐκ Λυρνησσοῦ τὴν Βρισηΐδα ἐξελέξατο, [λόγῳ ἐμπορίας] ἢ συμβάσεως, ἀλλὰ ὅτι πολέμου νόμῳ ταύτην ἔσχεν. ἔοικε δὲ καὶ ἐπαναλήψει τὸ τοιοῦτον· ἐπανελήφθη γὰρ ἡ Λυρνησσός, ἵνα συμπαρατεθῇ ταύτῃ καὶ ἡ τῆς, ὡς προεγράφη, Ἀτραμυτηνῆς Θήβης ἅλωσις, περὶ ὧν, εἰ καὶ προερρέθη, ἀλλὰ κἀκεῖνο εἰδέναι οὐ περιττόν, ὅτι οὐ μόνον Ἀτραμυτηνὴ Θήβη, ἀλλὰ καὶ ἐν Παμφυλίᾳ. οὕτω δὲ καὶ Λυρνησσός. Φησὶ γοῦν ὁ Γεωγράφος, ὅτι πόλις Ἀττάλεια, ἐπώνυμος τοῦ κτίσαντος Φιλαδέλφου. δείκνυται δὲ μέσον Φασήλιδος καὶ Ἀτταλείας Θήβη καὶ Λυρνησσὸς Τρωϊκῶν ἀνδρῶν ἐκεῖ ἐκπεσόντων. ἐθνικὸν τῆς Ὁμηρικῆς Λυρνησσοῦ φασιν εὑρῆσθαι παρ’ Αἰσχύλῳ «Λυρναῖος», καὶ τάχα κατὰ συγκοπήν.

1.502 μία δέ, φασί, καὶ αὕτη τῶν ἕνδεκα πόλεων, ἃς πεζὸς εἷλεν ὁ Ἀχιλλεύς, αἳ ἦσαν Λυρνησσός, Πήδασος, Θήβη, Ζέλεια, Ἀδράστεια, Πιτύα, Περκώτη, Ἀρίσβη, Ἄβυδος καὶ . Περὶ δὲ Θηβῶν ὁ Γεωγράφος καὶ Λυρνησσοῦ φησι καί, ὅτι τοῦ Θήβης πεδίου ἔχουσι νῦν Ἀδραμυτηνοὶ τὸ πλεῖον. ἐνταῦθα γὰρ ἡ Θήβη καὶ ἡ Λυρνησσός, ἐρυμνὸν χωρίον. ἔρημοι δ’ ἀμφότεραι διέχουσαι Ἀδραμυτίου σταδίους, ἡ μὲν ἑξήκοντα, ἡ δὲ ὀγδοήκοντα. ἐν δὲ τῇ Ἀδραμυτηνῇ ἐστι, φησί, καὶ ἡ Χρῦσα. ἐπεὶ δὲ καὶ Ὑποπλάκιοι ἐν τοῖς ἑξῆς που αἱ τοιαῦται λέγονται Θῆβαι, φησὶν ὁ Πορφύριος, ὅτι Ὑποπλακία ἡ ἐν τῷ Θήβης πεδίῳ πόλις, ὃ σημαίνει ὑπόπεδος καὶ λεῖος. τοῦτο γὰρ δηλοῖ, φησίν, ἡ πλάκιος. Πλὰξ γὰρ ὑπὸ πλείστων τὸ ἐπίπεδον χωρίον. ὁ δὲ εἰπὼν ὄρους τινὸς Πλακίου μνημονεύειν τὸν ποιητὴν παρακούει Ὁμήρου. (v. 692) Ὁ δὲ Ὁμηρικὸς ἐν τούτοις Μύνης ἀνὴρ ἦν τῆς Βρισηΐδος. ἐνταῦθα δέ φασιν οἱ παλαιοί, ὅτι ἀπὸ μετοχῆς εἰς ῥῆμα μετῆλθεν ὁ ποιητής, διὰ ἐξαλλαγὴν δηλαδὴ σχηματισμοῦ. ὀφείλων γὰρ εἰπεῖν, ὅτι τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Βρισηΐδα ἐξείλετο Ἀχιλλεὺς πορθήσας Λυρνησσὸν καὶ Θήβην καὶ Μύνητα καταβαλών, ὁ δὲ εἶπεν, ὅτι καὶ Μύνητα κατέβαλεν. εὑρεθήσονται δὲ ἐν τοῖς ἑξῆς καὶ ἄλλα τοιαῦτα σχήματα. Ἐπίστροφος δὲ ἰδοὺ καὶ οὗτος ἕτερος παρὰ τὸν Ἕλληνα, οὗ ἐμνήσθη ὁ ποιητὴς ἐν τῷ Φωκέων καταλόγῳ. Ἐγχεσίμωροι δὲ οἱ περὶ τὰ ἔγχεα μεμορημένοι, ὅ ἐστι κακοπαθοῦντες, ἐκταθέντος τοῦ ο εἰς ω μέγα, ὡς καὶ ἐπὶ τοῦ ἰόμωροι γίνεται. ῥηθήσεται δὲ περὶ τούτου πλέον τι ἐν τοῖς ἐφεξῆς. Ἴδε δὲ ὅπως ἐνταῦθα ὁ ποιητὴς οὐκ ἐμνήσθη Πατρόκλου, τοῦ ἑταίρου τῷ Ἀχιλλεῖ. καὶ ἡ αἰτία δήλη. Διομήδει μὲν γὰρ καὶ Ἰδομενεῖ συνεξεφώνησε τοὺς φιλτάτους ὡς συνεξιόντας εἰς μάχην, ἐνταῦθα δὲ τοῦ Ἀχιλλέως τρόπον τινὰ σιγηθέντος τά γε εἰς ἔκταξιν πολέμου ἐχρῆν συσσιγᾶσθαι καὶ τὸν Πάτροκλον, καθὰ καὶ τὸν παιδαγωγὸν Φοίνικα. [(v. 693) Ἰστέον δὲ ὅτι τοὺς εἰρημένους, τὸν Μύνητα καὶ τὸν Ἐπίστροφον, υἱέας λέγει Εὐήνου, ὁμωνύμου ποταμῷ τινι ἀλλαχοῦ κειμένῳ, Σεληπιάδαο, ἤγουν υἱοῦ Σεληπίου, ἄνακτος· δῆλον δὲ ὡς παρὰ τὸ σέλας καὶ τὸ ἤπιος σύγκειται ὁ Σελήπιος.] (v. 695—710) Ὅτι τῶν ἐχόντων «Φυλάκην καὶ Πύρασον ἀνθεμόεντα, Δήμητρος τέμενος, Ἴτωνά τε μητέρα μήλων, ἀγχίαλόν τ᾽ Ἀντρῶνα ἰδὲ Πτελεὸν λεχεποίην», Πρωτεσίλαος ἡγεμόνευέ ποτε ζωὸς ἐών, ὃν καὶ ἀρήϊον δὶς λέγει ὡς πολεμικὸν καὶ μεγάθυμον δέ, ὅπερ ἀντίκειται πρὸς τὸν μικρόψυχον.

1.503 καὶ οὕτω μὲν ζῶν ἦρχε· τότε δὲ ἤδη κατεῖχεν αὐτὸν γαῖα μέλαινα. Καὶ ὅρα ὅτι μετὰ τὸν ὡσανεὶ κείμενον, ὡς προείρηται, Ἀχιλλέα τὸν ὡς ἀληθῶς κείμενον Πρωτεσίλαον ὁ ποιητὴς παρέθετο. καὶ ἐπόθουν μέν, φησίν, ἐκεῖνοι τὸν ἀρχηγόν, οὐ μὴν οὐδ᾽ αὐτοὶ ἄναρχοι ἔσαν. καὶ σημείωσαι τὸ ἄναρχοι ἀντὶ τοῦ ἀβασίλευτοι, δίχα ἀρχοῦ. Ἐκόσμησε δέ, φησίν, αὐτοὺς Ποδάρκης, ὄζος Ἄρηος, Ἰφίκλου υἱὸς Φυλακίδου, τοῦ καὶ ἐν Ὀδυσσείᾳ κειμένου, ὃν καὶ πολύμηλον λέγει διὰ τὰ πρὸ μικροῦ λεχθέντα, αὐτοκασίγνητος Πρωτεσιλάου, «ὁπλότερος γενεῇ. ὃ δ᾽ ἄρα πρότερος καὶ ἀρείων, ἥρως Πρωτεσίλαος». διό, φασίν, οὐδ᾽ ἐξίσχυσεν ὁ Ποδάρκης ἐν τοῖς ἑξῆς ἀπώσασθαι τῆς τοῦ Πρωτεσιλάου νηὸς τὸ δήϊον πῦρ, ἀλλ᾽ ὥσπερ ὁ Πρωτεσίλαος πρῶτος τῶν ἄλλων Ἀχαιῶν ποτε πέπτωκεν ἐν Τροίᾳ, οὕτω καὶ ἡ τούτου ναῦς πρώτη τῶν ἄλλων τὸ τοῦ Ἕκτορος ἐδέξατο πῦρ. εἰ δὲ καὶ ἡμιδαὴς ἐκείνη ἔμεινεν, εἴη ἂν ὅμοιόν τι τοῦτο πρὸς τὸν τοῦ ἥρωος δόμον, ὃς χηρωθείσης τῆς γυναικὸς ἡμιτελὴς ἐλείφθη, ὡς τοῦ Πρωτεσιλάου πεσόντος, καθὰ μετ᾽ ὀλίγα δηλωθήσεται, ἢ καὶ ἀμφιδρυφὴς ἐπὶ τῷ τοῦ ἀνδρὸς θανάτῳ γέγονε. καὶ τοῦτο μὲν τοιοῦτον. Ὁ δὲ ποιητὴς ἐν τοῖς ἑξῆς διασαφῶν ἢ καὶ παραφράζων τὸ «οὐδὲ οὗτοι ἄναρχοι ἦσαν, πόθεόν γε μὲν ἀρχόν» ἐπάγει ἐπαναληπτικῶς «οὐδέ τι λαοὶ δεύοντο ἡγεμόνος, πόθεόν γε μὲν ἐσθλὸν ἐόντα» τὸν Πρωτεσίλαον· Αἱρετώτερον γὰρ πάντως τὸ τοῦ καλοῦ κάλλιον. διὸ καίτοι τὸν κοσμοῦντα ἔχοντες ἐπόθουν ὅμως καὶ ἀπόντα τὸν κρείττονα. οἶκτον δὲ κατὰ τοὺς παλαιοὺς πολὺν ὁ ποιητὴς δίεισιν, οὐ μόνον ἐν τοῖς ἐφεξῆς, ὅτε τὰ κατὰ τὴν γυναῖκα ἱστορεῖ, ἀλλὰ καὶ νῦν ἐν οἷς οὕτω ποθεινὸν τοῖς οἰκείοις λέγει τὸν ἥρωα. Ὁρίζεται δέ, φασί, καὶ τὸ πρόθυμον αὐτοῦ, εἴγε διὰ τῆς ὁρμῆς αὐτοῦ βατὴν Ἕλλησι τὴν Τροίαν ἔθετο· διὸ καὶ μεγάθυμον αὐτὸν ὠνόμασε. θρῴσκων γὰρ ἐκ νηὸς πολὺ πρώτιστος Ἀχαιῶν ἀνῃρέθη, ὡς δηλωθήσεται κατωτέρω. (v. 698) Γενεαλογία δὲ αὐτοῦ τοιαύτη τίς ἐστιν. εἷς τῶν Αἰολιδῶν Φύλακος κτίσας πόλιν Φυλάκην ὠνόμασεν, οὗ Ἴφικλος, οὗ Φύλακος, οὗ Ποίας καὶ Ἴφικλος, ὧν Ποίαντος μὲν καὶ Μεθώνης Φιλοκτήτης, Ἰφίκλου δὲ καὶ Ἀστυόχης Πρωτεσίλαος καὶ Ποδάρκης.

1.504 Ἐνταῦθα δὲ ζητητέον, ποῖος ἦν ὁ ποδωκέστατος κατὰ τὴν ἱστορίαν Ἴφικλος, περὶ οὗ δηλῶν Ἡσίοδος, ὅτι ταχυτῆτι διήνεγκεν, οὐκ ὤκνησεν ἐπ᾽ αὐτοῦ ταύτην εἰπεῖν τὴν ὑπερβολήν· «ἄκρον ἐπ᾽ ἀνθερίκων καρπὸν θέεν, οὐδὲ κατέκλα, ἀλλ᾽ ἐπὶ πυραμίνων ἀθέρων δρώμασκε πόδεσσι καὶ οὐ σινέσκετο καρπόν». [Ὁπότερος δ᾽ ἂν τοῖν δυοῖν ἦν ποδωκέστερος, ἔγκειται καὶ τῷ ὀνόματι ἐκείνου σημασία τῆς κατ᾽ αὐτὸν ποδωκείας. Ἴφικλος γάρ, φασί, κατὰ συγκοπὴν ἐκ τοῦ ἰφίκωλος, ὅ ἐστιν ἰσχυρόπους καί, καθ᾽ Ὅμηρον εἰπεῖν, ποδάρκης. ὅτι δὲ κῶλα ἰδίως καὶ ἐπὶ ποδῶν, ἡ Κωλιὰς Ἀφροδίτη δηλοῖ, κῶλα τοιαῦτα ἐκλύσασα δεσμοῦ, ὡς ἐν ἄλλοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δεδήλωται, καὶ ἐκεῖθεν οὕτω παρονομασθεῖσα.] (v. 710) Τῷ δὲ ῥηθέντι Ποδάρκει τεσσαράκοντα κατὰ τὸν ποιητὴν μέλαιναι νῆας ἕποντο. Σημείωσαι δέ, ὅτι ἐν ταῖς καθ' ἕκαστα τοῦ ἀριθμοῦ τῶν νηῶν ἀποδόσεσιν, ὁτὲ μὲν δίχα ἐπιθέτου τὰς νῆας ὁ ποιητὴς προάγει, ὁτὲ δὲ μετὰ ἐπιθέτων, τριῶν μέντοι μόνων, ὧν τὸ μέν «μιλτοπάρῃοι» ταῖς τοῦ Ὀδυσσέως ἐχαρίσατο κατά τι, ὡς προερρέθη, ἐξαίρετον. «γλαφυρὰς δὲ νῆας» τετράκις τινὰς εἶπε. δωδεκάκις δὲ ἔφη τὸ «μέλαιναι». τοσαυτάκις δὲ καὶ ἁπλῶς αὐτὰς δίχα ἐπιθέτου τινὸς ἐξεφώνησεν. οὐκ ἤρεσε δὲ αὐτῷ πλεῖόν τι περιεργάσασθαι· διὸ οὔτε κορωνίδας οὔτε κοίλας τινὰς οὔτε θοὰς εἶπε, ταῦτα δὴ τὰ συνηθέστατα. (v. 695) Τῶν δὲ ῥηθεισῶν πόλεων περὶ μὲν Φυλάκης ἐρρέθη ἀνωτέρω, ἧς ὁ πολίτης Φυλακήσιος, ὡς Ἰθακήσιος, κειμένης ἐγγὺς Θηβῶν τῶν Φθιωτίδων, αἳ καὶ αὐταί, φασίν, ὑπὸ Πρωτεσιλάῳ ἦσαν. (v. 695 s.) Πύρασος δὲ πόλις Φθίας κατὰ τὸν Ἐθνικογράφον, κληθεῖσα οὕτω διὰ τὸ τὴν χώραν εἶναι πυροφόρον ἤτοι σιτοποιόν· διὸ καὶ Δήμητρος αὐτὴν τέμενος ἐκάλεσεν ὁ ποιητής, ὡς πολύκαρπον δηλαδὴ καὶ εὔκαρπον· τοῖς γὰρ τοιούτοις ἀγαθοῖς ἡ Δημήτηρ ἐπιστατεῖν ἐλέγετο. ταῦτα δὲ ὑποδηλοῖ καὶ τὸ ἀνθεμόεντα. τόπος γὰρ ἀνθεμόεις ὁ φυτοῖς θαλερὸς καὶ ἀνθηρὸς παρὰ τὸ ἄνθεμον, ὃ σημαίνει τὸ ἄνθος. Ὁ δέ γε Ἀπίων καὶ Ἡρόδωρος οὐκ ἀρέσκονται τοῖς οὕτω νοοῦσιν, ἀλλ' ἰδιάζουσαν λέγουσι πόλιν τὸ τῆς Δημήτρος τέμενος· Δήμητρος γάρ, φασί, πόλις, οὐχ' ὁ Πύρασος, ἀλλὰ πόλις Δημήτρειον καλουμένη καθ' ἑαυτήν.

1.505 ὁ μέντοι Γεωγράφος οὐ συντρέχει τούτοις. φησὶ γάρ, ὅτι τὸ Δημήτρειον Δήμητρος τέμενος ὁ ποιητὴς εἴρηκε καὶ ἐκάλεσε Πύρασον. ἦν δέ, φησί, πόλις εὐλίμενος ἡ Πύρασος, ἔχουσα Δήμητρος ἄλσος καὶ ἱερὸν ἅγιον. τὴν δὲ Ἴτωνα προπαροξύνεσθαί φασιν οἱ παλαιοὶ ὡς Μήκωνα. τινὲς δὲ ὀξύνουσι λέγοντες, ὅτι ὠνομάζετο καὶ Σιτών διὰ τὸ σιτοφόρον. λέγεται δέ, φασί, καὶ Ἰτώνη τρισυλλάβως, ἔτι δὲ καὶ Ἴτωνος ἀπὸ Ἰτώνου ἥρωος, καὶ Ἀθηνᾶ δὲ ἐξ αὐτῆς Ἰτωνία. εἰσὶ δὲ καὶ ἕτεραι Ἰτῶναι κατὰ τοὺς Ἱστορικούς. Μητέρα δὲ μήλων εἰπὼν Ὅμηρος τὴν Ἴτωνα μονονουχὶ καὶ οὖθαρ ἀρούρης λέγει τὰ ἐκεῖ. θρεπτικὸν γὰρ καὶ μήτηρ καὶ οὖθαρ. εἰ δὲ πολύμηλος ὁ Ἴφικλος, ὡς δεδήλωται, εἴη ἂν ὀρθῶς [μήλων] μήτηρ καὶ ἡ κατ' αὐτὸν πόλις. [ἐφ' οὗ ὅρα, ὡς οὐ μόνον χώρα πολύμηλος πολλαχοῦ, ἀλλ' ἰδοὺ καὶ ἥρως τοιοῦτος ὡς πολυθρέμμων. λεχθείη δ' ἂν οὕτω καὶ ὁ Οἰδίπους διὰ τὸ «μήλων ἕνεκ' Οἰδιπόδαο». καὶ ὁ τοῦ Ἀδμήτου δὲ Εὔμηλος καὶ ἡ ἐν τοῖς ἑξῆς που Πολυμήλη τοιαύτην ὑποβάλλουσιν ἔννοιαν. ἡ μέντοι Φιλομήλα πρὸς τὸ τῆς ἀλφεσιβοίας παρεκκλίνει νόημα, ὥσπερ καὶ ἡ Πολύβοια.] (v. 697) Καὶ τὴν Ἄντρωνα δὲ τινὲς μὲν βαρύνουσιν ὡς τὴν Ἴτωνα, τινὲς δὲ Ἀντρῶνά φασιν ὡς Πυθῶνα· [Ἡρωδιανὸς δέ φησιν ὡς Πλευρῶνα·] Ὠνόμασται δὲ οὕτω διὰ τὸ τοὺς ἐκεῖ τόπους ἀντρώδεις, τουτέστι σπηλαιώδεις καὶ ὑπονόμους εἶναι. ὁ δὲ τὰ Ἐθνικὰ συλλέξας καὶ τὸν ἐν παροιμίαις Ἀντρώνιον ὄνον ἐντεῦθεν εἰρῆσθαι λέγει. εὐφυεῖς γάρ, φησί, πρὸς μύλωνας ἔχει λίθους, ὥστε κατὰ τοῦτον τὸν λόγον Ἀντρώνιος ὄνος ὁ πρὸς ἀλετὸν δεξιός. Πτελεὸν δὲ ὁ μὲν ποιητὴς ἀρσενικῶς προήγαγε. διὸ καὶ λεχεποίην αὐτὸν ἔφη, τουτέστι πολυβότανον, οὗ ἡ πόα χρήσιμος λέξασθαι, ἤτοι ἐγκαθευδῆσαι αὐτῇ. ἕτεροι δὲ οὐδετέρως φασὶ τὸ Πτελεόν, πόλιν αὐτὸ εἰπόντες Ἀχαιῶν τῶν ἐν Θετταλίᾳ. εἶναι δὲ ἱστοροῦσι καὶ Ἰωνικὴν καὶ Τρῳαδικὴν Πτελεὸν καὶ καλεῖσθαι ἀπὸ τῶν ἐκεῖ πτελεῶν. ὁ πολίτης Πτελεάτης, φασί, καὶ Πτελεούσιος καὶ Πτελεεύς. ἕτερος δὲ πάντως οὗτος Πτελεὸς παρὰ τὸν ὑπὸ τῷ Νέστορι, ὁ νῦν ἴσως γνωριζόμενος.

1.506 μέμνηται δὲ Πτελεοῦ καὶ ὁ Δημοσθένης καὶ ζήτει ποίου. (v. 700—2) Ὁ δὲ ποιητὴς ἐπιτρέχων οἰκτρῶς τὰ κατὰ τὸν Πρωτεσίλαόν φησι· «τοῦ δὲ καὶ ἀμφιδρυφὴς ἄλοχος ἐν τῇ Φυλάκῃ πόλει ἐλέλειπτο καὶ δόμος ἡμιτελής· τὸν δ' ἔκτανε Δάρδανος ἀνὴρ νηὸς ἀποθρῴσκοντα πολὺ πρώτιστον Ἀχαιῶν». παθαίνεται δὲ Ὅμηρος ἐν τούτοις ἐπὶ τῷ Πρωτεσιλάῳ, οἷα φιλέλλην οἰκτιζόμενος, ἔτι δὲ καὶ θαυμάζων τοῦ θάρσους, εἴπερ χρησμοῦ δοθέντος πρῶτον ἐν Τροίᾳ πεσεῖν τὸν προπηδήσαντα τῆς νηός, Ἀχιλλεὺς μὲν ὑπέτρεσε κατά τινας καὶ τελευταῖος εἰς γῆν ὁ

τῶν Ἑλλήνων πρώτιστος κατεπήδησε, Πρωτεσίλαος δὲ φερωνύμως πρῶτός τε τοῦ λαοῦ καθήλατο τῆς νεὼς καὶ πρῶτος τοῦ λαοῦ πέπτωκε, ἑλόμενος οὕτω παθεῖν ἤπερ κατεπτηχότας βλέπειν τοὺς Ἀχαιούς. Πρωθύστερα δέ, φασίν, ἐνταῦθα τὰ Ὁμηρικὰ νοήματα. οὐ γὰρ πρῶτον ἡ γυνὴ ἐχηρώθη καὶ ὁ δόμος ἡμιτελὴς ἔμεινεν, εἶτα ὁ Πρωτεσίλαος ἔπεσεν, ἀλλὰ τὸ ἀνάπαλιν πρῶτον ἔκτανέ τις αὐτόν, εἶτα ἡ γυνὴ καὶ ὁ δόμος ἔπαθον, ἃ ἔπαθον. (v. 700) Ἀμφιδρυφὴς δὲ ἡ ἅπαν δρυπτομένη, ὅ ἐστι ξεομένη, τὸ πρόσωπον, ὃ λύπης ὑπερβολὴν δηλοῖ. [Ἐκ τοῦ δρύπτω δὲ γίνεται τὸ ἀμφιδρυφές. δρύπτειν δὲ κυρίως τὸ ἀποδέρειν, ὅ ἐστιν ἐκδέρειν δόρυ, ἤγουν ξύλον, δένδρον, ἵνα ᾖ δορύπτω, ὡς κορύπτω, καὶ ἐν συγκοπῇ δρύπτω.] (v. 701) Τὸ δέ «ἐλέλειπτο δόμος ἡμιτελής» εἴδους ἐστὶ συμβολικοῦ. οὐ γὰρ ἔλλειψιν στέγης ἁπλῶς ἢ τοιούτου τινὸς δηλοῖ ἀλλὰ τὸν τοῦ οἰκοδεσποτοῦντος ἀφανισμόν, ὡς τῷ μὲν ἡμίσει, τῇ ἀλόχῳ δηλαδή, συνεστῶτος τοῦ δόμου, τῷ δὲ λοιπῷ μὴ ὄντος, ἤτοι τῷ Πρωτεσιλάῳ τῷ μηκέτ' ὄντι. διὸ καὶ ὁ Γεωγράφος Ἀβίους παρ' Ὁμήρῳ εἰπὼν ἀντὶ τοῦ χωρὶς γυναικῶν ἐπάγει· ἡμιτελὴς γὰρ χῆρος βίος, ὡς καὶ ὁ οἶκος ὁ τοῦ Πρωτεσιλάου διότι χῆρος. κατὰ δὲ τοὺς παλαιοὺς καί, διότι μὴ διαταξάμενος εὖ τὰ κατὰ οἶκον ἀπέπλευσεν ἢ μὴ παιδοποιησάμενος ὡς τελέως ᾠκῆσθαι τὸν αὐτοῦ δόμον, ὡς εἶναι οὕτω ἡμιτελῆ δόμον τὸν ἄτεκνον. Ἔνιοι δὲ καὶ ἁπλῶς οὕτω, διότι, φασίν, οἰκοδομῶν θάλαμον ἀπέπλευσεν. ἕτεροι δέ φασιν, ὅτι δόμος ἡμιτελὴς ὁ ἡμίγαμος, ὡς τοῦ ἑτέρου τῶν οἰκούντων ἐστερημένος. τέλος γὰρ ὁ γάμος, ὅθεν τελείους τοὺς γεγαμηκότας ἔλεγον. γυνὴ δὲ Πρωτεσιλάῳ Λαοδάμεια, ἡ Ἀκάστου, φίλανδρος πάνυ καὶ μὴ ἀνασχομένη ζῆν μετὰ τὸν τοῦ ἀνδρὸς θάνατον, περὶ ἧς λόγος φέρεται τοιοῦτος.

1.507 Πρωτεσίλαος καὶ μετὰ θάνατον ἐρῶν τῆς γυναικὸς κατὰ μῆνιν Ἀφροδίτης ᾐτήσατο τοὺς κάτω σθένοντας ἀνελθεῖν καὶ ἀνελθὼν εὗρεν ἐκείνην ἀγάλματι αὐτοῦ περικειμένην. αἰτήσαντος δέ, φασί, μὴ ὑστερεῖν αὐτοῦ ξίφει διεχρήσατο ἑαυτήν. Ἕτεροι δὲ ἄλλως φασὶ τὴν Λαοδάμειαν καὶ τεθνεῶτος τοῦ Πρωτεσιλάου ἔρωτι ἐκκαίεσθαι χόλῳ Ἀφροδίτης. ἀγγελθέντος γὰρ τοῦ πάθους οὐ μόνον χαλεπῶς ἤνεγκε, φασίν, ἀλλὰ καὶ ἀναγκαζομένη πρὸς τοῦ πατρὸς γάμῳ δευτέρῳ ζευχθῆναι οὐκ ἀπέστη τοῦ ἐρᾶν, ἀλλὰ κατεχομένη ἐνυκτέρευε μετὰ τοῦ ἀνδρός, μᾶλλον αἱρουμένη τὴν πρὸς τὸν τεθνεῶτα, φασί, συνουσίαν ἢ τὴν πρὸς τοὺς ζῶντας ὁμιλίαν, καὶ ἐξέλιπεν ὑπ' ἐπιθυμίας. μεμύθευται δὲ ταῦτα διὰ τὸ ἐκείνης φίλανδρον ἀνειδωλοποιουμένης, ὡς εἰκός, τὸν ἄνδρα καὶ συνεῖναι δοκούσης αὐτῷ καὶ θανόντι. Δῆλον οὖν, ὡς κατὰ τοὺς λόγους τούτους οἱ ἀμέτρῳ ἔρωτι κάτοχοι σκωφθήσονται, ὡς ἄρα καὶ θανόντες ἐρῷεν ἄν, κατὰ τὸν ἐπὶ Πρωτεσιλάῳ μῦθον καὶ τῇ αὐτοῦ γυναικί. (vs. 701) Δάρδανος δὲ ἀνήρ, ὡς ὁ Πορφύριος ἄριστα διασκευάζει, ἢ κατὰ γένος ὁ ἐκ τῶν Δαρδάνων, ὡς καὶ ἐπὶ Πατρόκλου, ὃν βάλε Δάρδανος ἀνήρ, ὅπερ οὕτω δόξαν τῷ ποιητῇ διασαφεῖ ἐκεῖ. ποῖος Δάρδανος; Πανθοΐδης Εὔφορβος. καί φασιν οἱ παλαιοί, ὅτι, εἴπερ ἦν τῶν ἐνδόξων ὁ ἀνήρ, ἐμνήσθη ἂν αὐτοῦ ὁ ποιητής, καὶ ὅτι παθαινόμενος οἷον ὁ ποιητὴς ἐπὶ τῷ ἥρωϊ ὀκνεῖ πρὸς ὄνομα εἰπεῖν τὸν ἀνελόντα, ἵνα μὴ ἀοίδιμος εἴη, ὥς που καὶ ὁ τὸν τῆς Ἐφεσίας ναὸν Ἀρτέμιδος ἐμπυρίσας ἐσιγήθη ἐπίτηδες κοινῷ ψηφίσματι παλαιῷ, ἵνα μὴ περιώνυμος εἴη τοῖς εἰς ἔπειτα. ἤγουν Δάρδανον ἄνδρα, ὡς ἐρρέθη, νοήσει τις ἀορίστως κατὰ ἐθνικὸν εἶδος ἢ ὀνοματικῶς, τουτέστι κατὰ κύριον ὄνομα ὁμώνυμον τῷ ἐθνικῷ, ὥσπερ καὶ Ἀχαιὸς κατὰ τὸν αὐτὸν Πορφύριον τραγῳδίας ποιητὴς Ἐρετριεύς, ὁμώνυμος τῷ ἐθνικῷ, καὶ Λίβυς ὁμοίως ὁ Λυσάνδρου ἀδελφὸς καὶ Ἐπειὸς ὁ τέκτων τοῦ δουρείου ἵππου, κατὰ ὁμωνυμίαν Ἐπειοῦ τοῦ ἐθνικοῦ, καὶ Σκύθης ὁ Ἀκαδημαϊκὸς σοφὸς κατὰ φωνὴν ἐθνικὴν καὶ Μαίων Αἱμονίδης ὁμωνυμῶν τῷ Λυδικῷ ἐθνικῷ Μαίονι.

1.508 οὕτως οὖν καὶ Δάρδανος εἴη ἂν κύριον, ὃς ἀνεῖλε Πρωτεσίλαον, ὥσπερ κύριον καὶ ὁ Δάρδανος, ὃν ἀνελεῖ ὁ Ἀχιλλεύς, ὃς καὶ Τρῶα ῥίπτει που Ἀλαστορίδην, ὁμώνυμον τῷ ἐθνικῷ Τρωΐ. εἰ δέ τι δοκεῖ ἐμποδὼν εἶναι εἰς τοῦτο προσκείμενον τὸ «ἀνήρ»—οὐδεὶς γὰρ ἄν, φασίν, εἴποι Πρίαμος ἀνήρ—ἐνθυμητέον τὸ «φῶτα Ἡρακλέα», ὅμοιον ὂν τῷ Δάρδανον ἄνδρα καὶ Δάρδανος ἀνήρ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Παλαίφατος δέ, φασίν, ἱστορεῖ, ὅτι Αἰνείας ἀνεῖλε τὸν Πρωτεσίλαον· ἕτεροι δὲ ὑπὸ Ἀχάτου αὐτὸν πεσεῖν φασιν, ἑταίρου Αἰνείου· τινὲς δὲ Δάρδανον ἄνδρα ἐνταῦθα τὸν Ἕκτορα νοοῦσιν, ὅπερ οἱ μὴ ἀποδεχόμενοί φασιν, ὅτι ἐὰν ὁ Ἕκτωρ ἔρριψε τὸν Πρωτεσίλαον, εἶχεν εἰπεῖν ὅτι τὸν ἔκτανε φαίδιμος Ἕκτωρ ἢ Δάρδανος Ἕκτωρ. (v. 702) Ὅρα δὲ τὸ «νηὸς ἀποθρῴσκοντα». οὐ γὰρ εἶπεν ἐκθορόντα, ἀλλ’ ἔτι ἀποθρῴσκοντα· τοῦτο δὲ τὸν βαλόντα σεμνύνει, ὡς οὕτω ταχὺ διαχειρισάμενον τὸν Πρωτεσίλαον. [Ἰστέον δὲ ὅτι τὸ θρῴσκειν οὕτω παράγουσιν οἱ παλαιοί. θορῶ ἢ θόρω βαρυτόνως τὸ πηδῶ, οὗ παράγωγον θορίσκω, ὡς ῥυΐσκω, τελίσκω, καὶ ὑπερθέσει θροΐσκω, καὶ ἐκτάσει καὶ προσγραφῇ ἀναγκαίᾳ τοῦ ι θρῴσκω.] Τὸ δὲ πολὺ πρώτιστόν τινα τῶν ἀντιγράφων πολυπρώτιστον ὑφὲν γράφουσι. τοῦτο δὲ καὶ φερωνυμίαν τινὰ παραλαλεῖ τῆς τοῦ Πρωτεσιλάου κλήσεως, ὡς μὴ ἁπλῶς πρώτου ἐν λαῷ τῷ Ἀχαϊκῷ, ἀλλὰ ὡς πολὺ πρωτίστου καὶ πηδήσαντος καὶ πεσόντος. ἐκ τοῦ πρωτεύσω δὲ μέλλοντος παρήχθη τὸ Πρωτεσίλαος. οἱονεὶ γὰρ Πρωτευσίλαος καὶ ἀπελεύσει τοῦ υ Πρωτεσίλαος. Τὸ δὲ πολὺ πρώτιστον πρὸς διαστολὴν εἴρηται. πολλῶν γὰρ ἐκθορόντων καὶ πεσόντων ἀεὶ πρῶτος ὁ πρό τινος πίπτων. πολὺ δὲ πρώτιστος ὁ Πρωτεσίλαος. περὶ οὗ σημείωσαι, ὅτι κοινῶς μὲν λεγόμενος πίπτει εἰς μέτρον Ὁμηρικόν, Ἀττικῶς δὲ οὔ. Πηνέλεων μὲν γὰρ ἐρεῖ τις καὶ Ἰόλεων, Πρωτεσίλεων δὲ οὐκ ἂν εἴπῃ, εἴπερ οὐδὲ Μενέλεων. οὐ γὰρ παραληπτέα τὰ τοιαῦτα εἰς μέτρον δακτυλικόν. (v. 707) Τὸ δέ «ὃ δ’ ἄρα πρότερος» ἐφερμηνευτικόν ἐστι τοῦ «ὁπλότερος γενεῇ», ἵνα μή τις ὁπλότερον νοήσῃ τὸν θρασύτερον. (v. 711—5) Ὅτι «οἳ Φερὰς ἐνέμοντο παραὶ Βοιβηΐδα λίμνην, Βοίβην καὶ Γλαφυρὰς καὶ ἐϋκτιμένην Ἰαωλκόν, τούτων ἦρχεν Εὔμηλος, Ἀδμήτου φίλος παῖς, ἕνδεκα νηῶν, ὃν ὑπ’ Ἀδμήτῳ ἔτεκε δῖα γυναικῶν Ἄλκηστις, Πελίαο θυγατρῶν εἶδος ἀρίστη».

1.509 Ὅτι δὲ φίλανδρος καὶ αὕτη ἡ Ἄλκηστις, ἡ τοῦ Πελίου, καὶ ὡς θανάτῳ παρέβαλεν ἑαυτὴν ἀντὶ τοῦ ἀνδρὸς Ἀδμήτου ἐκ ζώντων γενομένου, εἴ πως εἰς φῶς ἐκεῖνος παλινδρομήσει, δηλοῦσιν οἱ παλαιοὶ καὶ μάλιστα οἱ ποιηταί. ὁ γοῦν Εὐριπίδης καὶ δραματουργίας διασκευὴν ἐκ τῆς γυναικὸς ταύτης πορίζεται καὶ τὸ δρᾶμα ἐπιγράφει Ἄλκηστιν. περὶ δὲ ταύτης καὶ τοιαύτη μυθολογία φέρεται. Φασὶ Πελίαν προθεῖναι τὸν τῆς Ἀλκήστιδος γάμον τῷ δυναμένῳ συζεῦξαι λέοντι κάπρον, Ἀπόλλωνα δὲ τῷ Ἀδμήτῳ τοῦτο ἐκτελέσαι καὶ τὸν γάμον αὐτῷ ἐγγυῆσαι. ἀπὸ δὲ τοῦ ῥηθέντος Ἀδμήτου σκόλιόν τι ἐν Ἀθήναις ἦν ᾀδόμενον, ὡς καὶ Παυσανίας φησὶν ἐν τῷ οἰκείῳ Λεξικῷ λέγων, ὡς οἱ μὲν Ἀλκαίου φασὶν αὐτό, οἱ δὲ Σαπφοῦς, οἱ δὲ Πραξίλλης τῆς Σικυωνίας. ἀρχὴ δὲ τοῦ μέλους αὕτη «Ἀδμήτου λόγον, ὦ ’ταῖρε, μαθὼν τοὺς ἀγαθοὺς φίλει, τῶν δειλῶν δ’ ἀπέχου γνούς, ὅτι δειλῶν ὀλίγα χάρις». ἔοικε δὲ διὰ μὲν τῶν ἀγαθῶν τὴν γενναίαν καὶ φίλανδρον ὑποδηλοῦν Ἄλκηστιν, διὰ δὲ τῶν δειλῶν τὸν Ἀδμήτου πατέρα, ὃς ὤκνησε θανεῖν ὑπὲρ τοῦ παιδός. ὅτι δὲ καὶ γυναῖκες ἦσαν οὐ μόνον ἄλλως σοφαί, ἀλλὰ καὶ μελοποιοί, οὐ μόνον ἐκ τῆς ῥηθείσης Πραξίλλης δῆλον, ἀλλὰ καὶ Σαπφοῦς καὶ Κορίννης καὶ Ἠρίννης. ἦν δὲ ποιήτρια κρουμάτων καὶ Χαριξένη, ὅθεν παροιμία παρὰ τῷ Κωμικῷ ἐν Ἐκκλησιαζούσαις· «τἀπὶ Χαριξένης τάδ’ ἐστίν». [Ἰστέον δὲ ὡς ἡ ῥηθεῖσα Ἤριννα Λεσβία μὲν ἦν ἢ Ῥοδία ἢ Τεΐα ἢ Τηλία, ἐκ Τήλου νησιδίου ἐγγίζοντος τῇ Κνίδῳ. Ποιήτρια δὲ ἦν καὶ ἔγραψε ποίημα Ἠλακάτην Αἰολίδι γλώσσῃ καὶ Δωρίδι ἐν ἔπεσι τριακοσίοις. ἦν δὲ ἑταίρα Σαπφοῦς καὶ ἐτελεύτησε παρθένος. οἱ δὲ στίχοι αὐτῆς ἐκρίθησαν ἐνάμιλλοι τοῖς Ὁμήρου. ἀπῆλθε δὲ ἐννεακαιδεκέτις. Δήλωσις δὲ τῶν ῥηθέντων καὶ τὸ εἰς αὐτὴν ἐπίγραμμα τοῦτο· «Λέσβιον Ἠρίννης τόδε κηρίον, ἁδὺ τὸ μικρόν, ἀλλ’ ὅλον ἐκ Μουσέων κιρνάμενον μέλιτι. οἱ δὲ τριηκόσιοι αὐτῆς στίχοι ἶσοι Ὁμήρῳ τῆς καὶ παρθενικῆς ἐννεακαιδεκάτευς, ἣ καὶ ἐπ’ ἠλακάτῃ μητρὸς φόβῳ καὶ ἐφ’ ἱστῷ ἑστήκει Μουσῶν λάτρις ἐφαπτομένη. Σαπφὼ δ’ Ἠρίννης ὅσσον μελέεσσιν ἀμείνων, Ἤριννα Σαπφοῦς τόσσον ἐν ἑξαμέτροις». καὶ τοῦτο μὲν τοιοῦτον. Εἰ δὲ γυνὴ ἐποποιὸς τὴν Πινδάρου λυρικὴν ἀπήλεγξεν ἡττηθέντος, ἱστόρηται καὶ αὐτό.

1.510

Βοιωτία δὲ ἦν ἐκείνη τὸ ἔθνος. ὡς δὲ καὶ Θεανώ τις γυνὴ Λοκρὶς λυρικὴ ἦν, ἱστοροῦσιν οἱ παλαιοί. περιᾴδεται δὲ ὁμοίως καί τις Μοιρώ, ἡ καὶ εἰς Ποσειδῶνα γράψασα ὕμνον.] (v. 711) Φεραὶ δὲ ἀπὸ Φέρητος παρονομάζονται, υἱοῦ Κρηθέως, ἢ ἀπὸ Φερᾶς θυγατρὸς Αἰόλου. δύο δὲ ἦσαν Φεραί, ἡ μὲν ἀρχαία, ἡ δὲ νέα, διέχουσαι ἀλλήλων σταδίους ὀκτώ. εἰσὶ δέ, φασί, καὶ ἕτεραι τρεῖς Φεραί, Ἰαπυγίας, Αἰτωλίας καὶ Παρθυαίων. Φηραὶ μέντοι καὶ Φειαί, παρ' Ὁμήρῳ εὑρισκόμεναί που καὶ αὐταί, ἕτεραί εἰσι παρὰ τὰς Φεράς. Φηραὶ μὲν γὰρ πόλις Πελοποννήσου, ἔτι δὲ καὶ χώρα, ὡς δηλοῖ ὁ Γεωγράφος εἰπών, ὅτι τῆς Φηρῆς χώρας μέρος καὶ ἡ Μεσσηνία. Φειαὶ δὲ πόλις τῆς Ἤλιδος. ῥηθήσεται δέ τι περὶ τῶν Φερῶν καὶ ἑξῆς ἐν τῷ τῶν Μαγνήτων καταλόγῳ. ὁ δὲ Γεωγράφος λέγει καί, ὅτι ἐξαρθεῖσαί ποτε αἱ Φεραὶ συνεστάλησαν ὕστερον καὶ ὅτι αἱ Φεραὶ τῶν Πελασγικῶν πεδίων πέρας πρὸς τὴν Μαγνησίαν καὶ ὅτι ἐπίνειον Φερῶν Παγασαί, ἀπὸ τῆς ἐκεῖ ναυπηγίας τῆς Ἀργοῦς ἢ ἀπὸ τῶν πηγῶν, αἳ πολλαὶ ῥέουσιν ἐκεῖ. Βοιβηῒς δὲ λίμνη Θετταλικὴ κατὰ τὸν Γεωγράφον, ἐλάττων τῆς Νεσωνίδος καὶ πλησιεστέρα τῇ παραλίᾳ. λέγει δὲ ὁ αὐτὸς καί, ὅτι Βοιβηῒς λίμνη πλησιάζουσα Φεραῖς καὶ Βοίβη χωρίον ἐπὶ τῆς λίμνης κείμενον. ἀλλαχοῦ δὲ ταῖς ἑπτὰ πόλεσιν, ἃς εἰς Δημητριάδα συνῴκισεν ὁ Πολιορκητὴς Δημήτριος, καὶ τὴν Βοίβην συναριθμεῖ. ἐν ἄλλοις δὲ λέγει, ὅτι ἐπείπερ ἡ Βοίβη μία τῶν περιοικίδων Δημητριάδος, ἀνάγκη καὶ τὴν Βοιβηΐδα λίμνην πλησίον εἶναι. Σημείωσαι δὲ ὅτι, ἐπειδὴ ἐφάνη ἀνωτέρω ἡ Βοιβηῒς οὐ μακρὰν οὖσα τῆς Νεσωνίδος—λέγει δέ που ὁ Γεωγράφος, ὅτι τὴν Νεσωνίδα ὑπερκλύζων ὁ ποταμὸς ἀφῃρεῖτό τι τῆς ἀροσίμου τοὺς Λαρισσαίους—ἔστι νοῆσαι φανερῶς οὐ πόρρω Λαρίσσης τήν τε Νεσωνίδα τήν τε Βοιβηΐδα, ἥτις, ὡς εἰκός, ἀπὸ τῆς ῥηθείσης Βοίβης παράγεται. εἰ δὲ καὶ πλησίον Φερῶν ἡ Βοιβηΐς, ὡς ἐρρέθη, οὐκ ἄρα Φεραὶ κατά τινας αἱ νῦν Σέρραι. Εἴρηται δέ, φασί, Βοίβη ἀπὸ Βοίβου, υἱοῦ Γλαφύρου, τοῦ τὰς Γλαφύρας κτίσαντος, ὡς ἱστορεῖ ὁ ἀπογραψάμενος τὰ Ἐθνικά, ὃς λέγει καί, ὅτι ἐστὶ καὶ Κρητικὴ Βοίβη καὶ Μακεδονικὴ δὲ λίμνη Βοίβη καί, ὅτι ἡ ῥηθεῖσα Βοιβηῒς καὶ Βοιβία λέγεται.

1.511 (v. 712) Τὰς δὲ Γλαφυρὰς βαρύνουσιν οἱ ἀκριβέστεροι πρὸς διαστολὴν τοῦ ἐπιθέτου, κληθείσας ἀπὸ τοῦ μνημονευθέντος Γλαφύρα, ὡς ὁ αὐτὸς Ἐθνικογράφος ἱστορεῖ, παρ' ᾧ φέρεται, ὅτι καὶ κώμη Κιλικίας ἐστὶ Γλαφύραι καλουμένη, ἀπέχουσα Ταρσοῦ τριάκοντα σταδίους πρὸς δύσιν, ἐν ᾗ πηγὴ ἀπὸ ῥωγάδος καταρρέουσα καὶ συνιοῦσα τῷ εἰς Ταρσὸν εἰσβάλλοντι ποταμῷ. περὶ ἧς Παρθένιος γράφων ἄλλα τε λέγει καί, ὅτι «παρθένος Κιλίκων ἀνακτορίην ἔχουσα ἀγχίγαμος πέλε, καθαρῷ δ' ἐπεμαίνετο Κύδνῳ Κύπριδος ἐξ ἀδύτων πυρσὸν ἀναψαμένη, εἰς ὅ κέ μιν Κύπρις πηγὴν θέτο, μῖξε δ' ἔρωτι Κύδνου καὶ νύμφης ὑδατόεντα γάμον». Ἰαωλκὸς δὲ ἀπὸ Ἰαωλκοῦ, φασίν, υἱοῦ Ἀμύρου, ἀφ' οὗ Ἀμυρικὸν πεδίον ἐν Λαρίσσῃ. εὑρίσκεται δέ ποτε καὶ τρισυλλάβως Ἰωλκός. ῥηθήσεται δέ τι περὶ ταύτης καὶ περὶ τῆς Βοίβης καὶ μετ' ὀλίγα. Λέγει δὲ ὁ Γεωγράφος καί, ὅτι Δημητριάδος ἑπτὰ στάδια ὑπέρκειται θαλάσσης Ἰωλκός καὶ ὅτι Ἰωλκὸν αὐξηθεῖσάν ποτε κατέλυσαν αἱ στάσεις, οὕτω δὲ καὶ τὰς Φεράς. καὶ ὅτι κατέσκαπται ἐκ παλαιοῦ Ἰωλκὸς καὶ Βοίβη, ὕστερον δὲ κῶμαι ἦσαν Δημητριάδος. ἐκτείνεται δὲ μεγεθυνομένη ἡ παραλήγουσα, εἴτε τρισυλλάβως Ἰωλκός λέγεται, εἴτε τετρασυλλάβως Ἰαωλκός, ἴσως παρὰ τὴν ὦλκα. [Ἐϋκτιμένη δὲ οὐ μόνον πόλις ὡς ἐνταῦθα, ἀλλά που καὶ ἀλωή. καὶ εἰ μὲν ἀπὸ ἀρρήτου θέματος τοῦ κτίω γίνεται, οὐκ ἔστιν ἀπισχυρίσασθαι. εἰ δὲ ἀπὸ τοῦ κτίζω ἐκλίθη, ἔλλειψιν ἔχει τοῦ ς τοῦ καλῶς κειμένου ἐν τῷ κτίσμα. οὕτω δὲ ἔπαθε καὶ ἡ Κτιμένη τὸ κύριον καὶ οἱ κτίται δέ, ὧν ἡ χρῆσις παρ' ἄλλοις. πολλαὶ δέ εἰσι λέξεις καὶ ἄλλαι ἀπέλευσιν παθοῦσαι τοῦ σίγμα, ὡς καὶ ὁ γνωτός καὶ τὰ ἐξ αὐτοῦ.] (v. 716—28) Ὅτι Φιλοκτήτης τόξων εὖ εἰδὼς ἑπτὰ νεῶν ἦρχεν, «ἐρέται δ' ἐν ἑκάστῃ πεντήκοντα ἐμβέβασαν», ἤγουν ἐμβεβήκεισαν, «τόξων εὖ εἰδότες ἶφι μάχεσθαι».

1.512 ἦσαν δὲ περὶ αὐτόν «οἳ ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο καὶ Μελίβοιαν εἶχον καὶ Ὀλιζῶνα τρηχεῖαν». εἶτα σχηματίζων τὰ κατὰ Φιλοκτήτην τρόπον τινὰ ὡς τὰ τοῦ Ἀχιλλέως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τὰ τοῦ Πρωτεσιλάου φησίν· «ἀλλ' ὃ μὲν ἐν νήσῳ κεῖτο κρατερὰ ἄλγεα πάσχων Λήμνῳ ἐν ἠγαθέῃ, ὅθι μιν λίπον Ἀχαιοὶ ἕλκεϊ μοχθίζοντα κακῷ ὀλοόφρονος ὕδρου· ἔνθ' ὅ γε κεῖτ' ἀχέων, τάχα δὲ μνήσεσθαι ἔμελλον» αὐτοῦ Ἀργεῖοι. οὐ μὴν οὐδὲ οὗτοι ἄναρχοι ἦσαν. ἐπόθουν γε μὴν τὸν ἀρχηγόν. ἀλλὰ Μέδων ἐκόσμησεν αὐτοὺς Ὀϊλέως νόθος υἱός, ὃν ὑπ' αὐτῷ Ῥήνη ἔτεκε. καὶ τοῦτο μὲν ὅμοιον τοῖς περὶ Πρωτεσίλαον. ἔφη γὰρ καὶ ἐκεῖ «οὐδὲ μὲν οὐδ' οὗτοι ἄναρχοι ἔσαν, πόθεόν γε μὲν ἀρχόν, ἀλλ' ἐκόσμησεν αὐτοὺς ὁ δεῖνα». τὸ μέντοι «ἀλλ' ὃ μὲν ἐν νήσῳ κεῖτο» καὶ τὸ «ἔνθα ὅ γε κεῖτο ἀχέων» καὶ τὸ «τάχα δὲ μνήσεσθαι ἔμελλον» ἐοίκασι τοῖς τοῦ Ἀχιλλέως, πλὴν ὅσον ἐκεῖ μὲν εἶπε «τάχα δ' ἀνστήσεσθαι ἔμελλεν», ἐνταῦθα δέ· «τάχα δὲ μνήσεσθαι ἔμελλον». οὕτω μεθοδεύει δεξιῶς ἡμῖν ὁ ποιητὴς τὰς τῶν πραγμάτων ὁμοιότητας ἐν ὁμοιοτροπίᾳ λόγου διεξάγειν, μὴ δεδιότας ἀδολεσχίας ἢ πενίας τῆς ἐν λόγῳ κατέγκλησιν. (v. 716) Ἰστέον δὲ ὅτι ἡ Μηθώνη ἔκτασιν ἔπαθε κατὰ τοὺς παλαιοὺς τῆς ἀρχούσης ἤγουν τῆς με συλλαβῆς. Μεθώνη γὰρ ὤφειλε ῥηθῆναι. τρεῖς δέ, φασί, Μεθῶναι, ἡ ἐν Μακεδονίᾳ, ἄποικος Ἐρετριέων, καὶ ἡ ὑπὸ τῷ Φιλοκτήτῃ καὶ ἡ περὶ Τροιζῆνα. καὶ τοῦτο μὲν οἱ Σχολιασταὶ οἱ λέγοντες καί, ὅτι τοὺς τοιούτους Μεθωναίους οἱ μὲν Αἰολεῖς φασίν, οἱ δὲ Ἀχαιούς, οἱ δὲ Ἐνιᾶνας· ἕτεροι δὲ περὶ Τροιζῆνα μὲν καὶ Μακεδονίαν Μεθώνης οὐ μέμνηνται, ἄλλως δὲ ἀριθμοῦσι τρεῖς Μεθώνας λέγοντες, ὅτι Μεθώνη Φιλοκτήτου ἑτέρα τῆς Θρᾳκίας Μεθώνης, ἣν κατέσκαψε Φίλιππος, ἔνθα δηλαδὴ καὶ ὁ Ἀστὴρ στρατιώτης οὕτω καλούμενος τοξεύσας ἔβλαψε τὸν Φίλιππον εἰς ὀφθαλμόν. ἔστι δὲ καὶ ἑτέρα, φασί, Πελοποννησία. ὁ δὲ τὰ Ἐθνικὰ γράψας Θρᾳκίαν καὶ αὐτὸς ἱστορεῖ Μεθώνην, ἔτι δὲ καὶ περὶ Μακεδονίαν, κληθεῖσαν οὕτω παρὰ τὸ μέθυ. πολύοινος γάρ, φησί. καὶ Λακωνικὴ δέ, φησί, Μεθώνη ἐστίν. αὕτη δὲ μέχρι καὶ εἰσάρτι φυλάσσει τὴν κλῆσιν ταύτην. ταύτης ὁ πολίτης Μεθωναιεύς, φησίν, ὡς Κορωναιεύς. Πορφύριος δὲ Φθίους τοὺς ἐκ τῆς ὑπὸ τῷ Φιλοκτήτῃ Μεθώνης καλεῖσθαι ἱστορεῖ λέγων, ὅτι τῶν περὶ Μεθώνην, οὓς Φθίους λέγει ὁ ποιητής, ἡγεῖτο Φιλοκτήτης. ὁ Γεωγράφος δὲ οὐ τοὺς περὶ Μεθώνην μόνους Φθίους φησὶ λέγεσθαι, ἀλλά, ὡς καὶ προείρηται, κοινῶς τοὺς ὑπὸ τῷ Ἀχιλλεῖ καὶ τῷ Πρωτεσιλάῳ καὶ τῷ Φιλοκτήτῃ. [Ἰστέον δὲ ὅτι, καθὰ ἡ Θρᾳκικὴ Μεθώνη παρὰ τὸ μέθυ ἐρρέθη, οὕτω καὶ ἡ Λεσβικὴ Μήθυμνα.

1.513 Μέθυμνα γὰρ διὰ τὸν Διόνυσον καὶ ἐκτάσει τῆς ἀρχούσης Μήθυμνα, ὁμοίως τῷ Μεθώνῃ, Μηθώνη.] Τὴν δὲ Θαυμακίαν πόλιν Μαγνησίας ὁ τῶν Ἐθνικῶν συλλέκτης φησὶ λέγων καὶ ἑτέραν εἶναι Θαυμακίαν κατὰ τὸν Μηλιᾶ κόλπον καὶ νῆσον δὲ ὁμώνυμον. οἱ δὲ πολῖται τῆς Θαυμακίας Θαυμακοί. (v. 717) Τῆς δὲ Μελιβοίας τὸ ἐθνικὸν Μελιβοεύς. ὁρᾷ δέ, φασίν, αὕτη καὶ ἡ Ὀλιζὼν πρὸς τὸ Αἰγαῖον. ἐκλήθη δὲ ἡ ῥηθεῖσα πόλις Μελίβοια ὁμωνύμως ἡρωΐδι γυναικί, ὡς ἐν τῷ περὶ Μαγνήτων λόγῳ δηλωθήσεται. Ἡ δὲ Ὀλιζὼν καὶ ὀξύνεται καὶ φυλάσσει τὸ ω ἐν ὅλῃ τῇ κλίσει· φασὶν οὖν Ἀπίων καὶ Ἡρόδωρος Ὀλιζῶνα ὡς Μεδεῶνα, δηλοῦντες ὡς ἐν ὀλιγίστῳ, ὅτι ὥσπερ ἡ Μεδεών, οὕτω καὶ ἡ Ὀλιζὼν παρακατέχουσι διόλου τὸ ω . ὀξύνεται δέ, φασίν, ἡ Ὀλιζὼν πρὸς διαστολὴν τοῦ ὀλίζων ἤτοι ὀλίγος, ὡς τὸ «λαοὶ δ' ὑπ' ὀλίζονες ἦσαν». Θετταλοὶ γάρ, φασί, τὸ μικρὸν ὄλιζον καλοῦσιν· ὅθεν καὶ ἡ πόλις ἐκλήθη διὰ τὸ μικρὰ εἶναι. ὁ πολίτης ταύτης Ὀλιζώνιος. Ὅρα δέ, ὅτι ἕτεροι φανερῶς οἱ Ὀλιζώνιοι οὗτοι τῶν Ἀσιανῶν Ἁλιζώνων, περὶ ὧν ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. Αἰολικοὶ δὲ οἱ Ὀλιζώνιοι, ὡς δηλοῖ καὶ ὁ Πορφύριος ἱστορῶν, ὅτι Φιλοκτήτης ἐρώμενος Ἡρακλέος ἐκ Μεθώνης καὶ Μελιβοίας καὶ Ὀλιζῶνος Αἰολέων στρατὸν συλλέξας ἑπτὰ ναυσὶν ἀφίκετο εἰς Αὐλίδα, οὗ ἐν Λήμνῳ καταλειφθέντος Μέδων, νόθος ἀδελφὸς Αἴαντος τοῦ μικροῦ, αὐτῶν ἡγήσατο. περὶ δὲ Λήμνου γέγραπται καὶ ἐν τῇ α' ῥαψῳδίᾳ καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. (v. 718) Τὸ δέ «τόξων εὖ εἰδώς» ταὐτόν ἐστι τῷ εἰδήμων ὢν καὶ ἐπιστήμων τῶν τόξων. διὸ καὶ γενικῇ συντάσσεται πανταχοῦ. τὸ μέντοι ἐπαγόμενον τὸ «τόξων εὖ εἰδότες ἶφι μάχεσθαι» δίδωσι καὶ ἄλλως νοεῖν. εἰ γὰρ τοῦτο συμβιβασθείη οὕτω πως· «εὖ εἰδότες», ἤτοι μεμαθηκότες, «ἶφι μάχεσθαι διὰ τῶν τόξων»,

ὡς λειπούσης τῆς διά προθέσεως, δύναταί τις εἰπεῖν καὶ τὸ τόξων εὖ εἰδότες ἀντὶ τοῦ διὰ τῶν τόξων τεχνῖται ὄντες. ἵνα δὲ μὴ ἀπεναντίας ἥκῃ τις τῇ καθωμιλημένῃ ἀρεσκείᾳ τῶν παλαιῶν, θεραπευτέον καὶ τὸ τόξων εὖ εἰδότες ἶφι μάχεσθαι καὶ τὸ τόξων εὖ εἰδὼς ἐπίσης, ἵνα ὥσπερ τόξων εὖ εἰδὼς λέγεται κατὰ τοὺς παλαιοὺς ὁ τοῦ τοξεύειν ἴδρις, οὕτω καὶ τόξων εὖ εἰδότες οἱ τῆς τοξείας εἰδήμονες.

1.514 τόξα γὰρ ἐνταῦθα τὴν τοξείαν δηλοῖ. Τὸ δέ «ἶφι μάχεσθαι» κατ' ἔλλειψιν τοῦ «ὥστε», ἵνα λέγῃ, ὅτι τόξων εὖ εἰδότες, ὥστε δι' αὐτῶν ἶφι μάχεσθαι. Ἐνταῦθα δὲ ὅρα καί, ὅπως τῷ ἄρχοντι Φιλοκτήτῃ τοξικωτάτῳ ὄντι συνεξωμοίωνται καὶ οἱ περὶ αὐτόν. ὅρα δὲ καί, ὅτι ἐν ἀρχῇ τῆς Βοιωτίας μνησθεὶς ὁ ποιητής, ὅσους εἶχεν ἑκάστη τῶν κατὰ Βοιωτοὺς νηῶν ἄνδρας, οὐκέτι οὐδεμιᾶς νηὸς ἐρέτας ἠρίθμησεν, ἀλλ' ἢ μόνους ἐνταῦθα τοὺς τοῦ Φιλοκτήτου, διδοὺς ἀριθμὸν μείζονα καὶ ἐλάττονα, ὧν τὸν μέσον ἐξευρίσκοντες, ὡς μικρόν τι πρὸ τῆς Βοιωτίας εἴρηται, μετροῦσι τὰς τῶν Ἑλλήνων μυριάδας οἱ παλαιοί, ὡς αὐτοῖς εὐηρέστηται. ὅτι δὲ τοξοτῶν ἄριστος ὁ Φιλοκτήτης, μεμαρτύρηται. (v. 721) Κρατερὰ δὲ ἄλγεα οὐ τὰ κατὰ σῶμα μόνον, ἀλλὰ κατὰ τοὺς παλαιοὺς καὶ τὰ εἰς ψυχήν. (v. 722) Ἠγαθέη δὲ Λῆμνος, τουτέστιν ἀγαστή, ὡς τῷ Ἡφαίστῳ ἀνακειμένη, καθὰ καὶ προγέγραπται. (v. 723) Τὸ δὲ μοχθίζειν ὅμοιόν ἐστι τῷ πολεμίζειν καὶ τῷ νεμεσίζεσθαι καὶ τοῖς ὁμοίοις, ἐν οἷς καὶ τὸ ὀχθίζειν παρὰ τῷ Ὀππιανῷ. Τὸ δέ «ἕλκεϊ κακῷ» τὴν καρτερίαν τοῦ ἥρωος ἐνδείκνυται. Ὕδρος δὲ εἶδος ὄφεως δακόντος τὸν Φιλοκτήτην, οὔτε θανάσιμον, οὔτε μὴν ῥᾳδίως ἰάσιμον, ὅθεν κακῶς πάσχων τὸν πόδα διαβόρῳ νόσῳ κατὰ τὴν τραγῳδίαν καὶ πολλὰ βοῶν καὶ βρυχώμενος καὶ φορτικὸς λίαν πάνυ τοῖς Ἀχαιοῖς δόξας ἐξερρίφη ἐν Λήμνῳ ὑπ' αὐτῶν, εἰ καὶ ὕστερον κατὰ χρησμὸν ἀναληφθεὶς αἴτιος τοῦ ἁλῶναι τὴν Τροίαν γέγονε, καταβαλὼν τὸν ἀρχέκακον Πάριν. εἰ δὲ τοιούτου ὕδρου θηλυκὸν ὕδρα, καθ' ἣν καὶ ἡ παροιμιαζομένη Λερναία ὕδρα περιφορεῖται, ζητητέον, εἴ τίς που μαρτυρεῖ. Δηχθῆναι δὲ τὸν Φιλοκτήτην ὁ Πορφύριος λέγει κατά τινας περὶ Τένεδον ἢ Ἴμβρον, [ἐκεῖθεν δὲ] ἐκτεθῆναι εἰς Λῆμνον. τινὲς δὲ περί τινα Χρύσην νῆσον [ὁμώνυμον Χρύσῃ τινὶ νύμφῃ, ἧς μέμνηται Σοφοκλῆς, ὠμόφρονα εἰπὼν αὐτήν.] τὸν δὲ ὕδρον χέρσυδρόν φασί τινες, ὃς παρέχει σηπεδόνας καὶ ἄλγος, οὗ κατέχεσθαι τὴν σῆψιν θαλάσσης προσρανθείσης.

1.515 [Σοφοκλέους δὲ οὐ μόνον ὕδρου ἀλλὰ καὶ ἐχίδνης μνησθέντος ἐν τοῖς κατὰ τὸν Φιλοκτήτην ζητητέον, εἰ ταὐτὰ πολυωνυμίας λόγῳ ὕδρος καὶ ἔχιδνα.] (v. 724) Τὸ δέ «ἔνθ' ὅ γε κεῖτ' ἀχέων» συμπληρωτικὴ ἐπιτομή ἐστι καὶ παράφρασις τοῦ «ἀλλ' ὃ μὲν ἐν νήσῳ κεῖτο κρατερὰ ἄλγεα πάσχων». Τὸ δὲ μνήσεσθαι ἀλλαχοῦ περιφράζων μνήμην ἐγγενέσθαι λέγει. φησὶ γάρ· «μνημοσύνη πυρὸς γενέσθω», τουτέστι μνήσθητε πυρός. ἐνεπλατύνθη δὲ ὁ ποιητὴς κατὰ τοὺς παλαιοὺς τῷ περὶ Φιλοκτήτου λόγῳ διὰ τὸ μὴ ἔχειν ἀλλαχοῦ τῆς ποιήσεως μνησθῆναι αὐτοῦ. περὶ οὗ καὶ τοῦτο λέγεται. Φιλοκτήτης ἐν Λήμνῳ καθαίρων βωμὸν τῆς Χρυσῆς Ἀθηνᾶς ἐδήχθη ὑπὸ ὕδρου καὶ ἀνίατα τραυματισθεὶς εἰάθη αὐτόθι ὑπὸ τῶν Ἀχαιῶν εἰδότων, ὡς οἱ τοῦ Ἡφαίστου ἱερεῖς ἐθεράπευον τοὺς ὀφεοδήκτους. λέγει δὲ ἡ ἱστορία καί, ὅτι εἵμαρτο μὴ ἁλῶναι τὴν Ἴλιον δίχα τῶν Ἡρακλέος τόξων, ἅπερ εἶχεν ὁ Φιλοκτήτης. διὸ καὶ μνησθέντες αὐτοῦ οἱ Ἀχαιοὶ μετεκαλέσαντο. (v. 729—33) Ὅτι Ποδαλείριος καὶ Μαχάων, Ἀσκληπιοῦ παῖδε, ἰητῆρε ἀγαθώ, ἤγουν ἰατροὶ ἀγαθοί, τριάκοντα νηῶν ἦρχον καὶ ἀνδρῶν, οἳ εἶχον Τρίκκην καὶ Ἰθώμην κλωμακόεσσαν καὶ Οἰχαλίαν, πόλιν Εὐρύτου Οἰχαλιέως. Ἐνταῦθα δὲ ὅρα, ὅτι τὸ «Ἀσκληπιοῦ» ἐκτείνει διὰ μέτρον τὴν παραλήγουσαν. πολλαχοῦ δὲ τῆς ποιήσεως ἐν τοῖς ἑξῆς μνεία γίνεται τῶν τοιούτων δύο Ἀσκληπιαδῶν, οὓς τοῦ Λαπιθείου γένους φασὶ κατάγεσθαι. Στίλβης γὰρ καὶ Ἀπόλλωνος ὁ Λαπίθης, οὗ ἀπόγονος Ἀσκληπιός, υἱὸς καὶ αὐτὸς Ἀπόλλωνος καὶ νύμφης Κορωνίδος. Ἀσκληπιοῦ δὲ οἱ ῥηθέντες δύο ἰητῆρες. (v. 729) Τρίκκη δὲ πόλις Θεσσαλίας, ἀπὸ Τρίκκης θυγατρὸς μὲν Πηνειοῦ ποταμοῦ, γυναικὸς δὲ Ὑψέως. ταύτην Τρίκκαλά τινές φασιν ἄρτι καλεῖσθαι, οἱ δὲ παλαιοὶ Τρίκαλα οὐδετέρως δι' ἑνὸς κ πόλιν Σικελίας ἱστοροῦσι. περὶ δὲ

Τρίκκην κατὰ τὸν Γεωγράφον ἱερὸν Ἀσκληπιοῦ ἀρχαιότατον καὶ ἐπιφανέστατον, ὅμορον Δόλοψι καὶ τοῖς περὶ Πίνδον χωρίοις. Ἡ δὲ Ἰθώμη—Θετταλικὴ δὲ καὶ αὕτη— καλεῖται καὶ Θούμαιον κατὰ τὸν ἀναγραφέα τῶν Ἐθνικῶν, ἀποβολῇ, φησί, τοῦ ι καὶ τροπῇ τοῦ ω εἰς τὴν ου δίφθογγον. ἔστι δέ, ὡς προεδηλώθη, καὶ Μεσσηνιακὴ Ἰθώμη.

1.516 ἐθνικὸν Ἰθωμαῖος καὶ Ἰθωμήτης. τῷ δὲ Γεωγράφῳ ἐμφέρεται, ὅτι τὴν Ἰθώμην ὁμωνύμως τῇ Μεσσηνιακῇ λεγομένην οὔ φασι δεῖν οὕτως ἐκφέρειν, ἀλλὰ τὴν πρώτην συλλαβὴν ὑφαιρεῖν. νῦν δέ φησιν Θαμαί μετονομασθεῖσαν. χωρίον δέ, φησίν, ἦν ἐρυμνὸν καὶ τῷ ὄντι κλωμακόεν. τῆς δὲ Δημητροπολιτῶν, φησί, χώρας ἦν ἡ Ἰθώμη. καὶ ὅρα, ὅτι τὸ «κλωμακόεν» ἐπὶ ὀχυροῦ τέθειται τόπου, ἐν ᾧ εἰσι κλώμακες, ὁποίων καὶ ὁ Λυκόφρων μέμνηται, ὅ ἐστι τόποι ἢ λόφοι κατὰ τοὺς παλαιοὺς ὑψηλοί. τραχεῖαι δὲ αὗται καὶ πετρώδεις ἀναβάσεις εἰσὶ κατακλῶσαι τοὺς δι' αὐτῶν βαίνοντας. φυλάττεται δὲ ἡ λέξις εἰς ἔτι καὶ νῦν, εἰ καὶ μὴ ἀκραιφνής, ἀλλ' ὑποβάρβαρος, περί που τοὺς Παφλαγόνας, οἳ κρωμακωτοὺς τόπους τοὺς πετρώδεις καὶ οὐ ῥᾷον ἀναβαινομένους φασί. (v. 730) Περὶ δὲ Οἰχαλίας ἐν τῷ τῶν Πυλίων καταλόγῳ ἱκανῶς ἐρρέθη. τῆς Θεσσαλικῆς δὲ νῦν Ὅμηρος μέμνηται. εἴρηται δὲ καὶ περὶ Εὐρύτου ἐκεῖ καὶ τῆς αὐτοῦ θυγατρός, Ἰόλης, δι' ἣν ἐπόρθησεν Ἡρακλῆς τὴν Οἰχαλίαν, εἰς ἣν δοκεῖ γράψαι καὶ Ὅμηρος, ὡς δηλοῖ ὁ ἱστορήσας, ὅτι Κρεώφυλος ὁ Σάμιος ξενίᾳ ποτὲ δεξάμενος τὸν Ὅμηρον ἔλαβε δῶρον ἐξ αὐτοῦ τὴν ἐπιγραφὴν τοῦ ποιήματος, ὃ καλοῦσιν Οἰχαλίας Ἅλωσιν, τουτέστιν ἔσχεν εἰς ἀντίδοσιν ἐξ Ὁμήρου τὸ μὴ ἐπιγράψαι τὸ βιβλίον ἑαυτῷ, ἀλλὰ τῷ φίλῳ Κρεωφύλῳ, οἷον ὅτι Κρεωφύλου Σαμίου Οἰχαλίας Ἅλωσις. Τινὲς δὲ ἀνάπαλίν φασι Κρεώφυλον μὲν γράψαι, Ὁμήρῳ δὲ ἐπιγραφῆναι τὸ βιβλίον διὰ τὴν ξενίαν. διὸ καὶ Καλλίμαχος ὑποδηλῶν, ὅτι ὁ Κρεώφυλος Ὁμήρῳ ἐπονομάσας τὸ ποίημα οὐ τὸν Ὅμηρον ἀλλ' ἑαυτὸν ἐσέμνυνεν, ὡς δῆθεν ὁμηρίζοντα, γράφει ἐν ἐπιγράμματι οὕτω· «τοῦ Σαμίου πόνος εἰμὶ δόμῳ ποτὲ θεῖον Ὅμηρον δεξαμένου, Ὁμήρειον δὲ καλεῦμαι γράμμα. Κρεωφύλῳ, Ζεῦ φίλε, τοῦτο μέγα». Τινὲς δὲ καὶ διδάσκαλον Ὁμήρου τὸν Κρεώφυλον εἶπον· ἕτεροι δὲ Ἀρισταῖον τὸν Προκοννήσιον, ὡς καὶ ταῦτα ὁ Γεωγράφος ἱστορεῖ, ὃς μνησθείς που Λαρίσσης καὶ Τρίκκης καὶ Πελινναίου λέγει καί, ὅτι Οἰχαλίαν πόλιν Εὐρύτου λεγομένην ἔν τε τοῖς τόποις τούτοις ἱστοροῦσι καὶ ἐν Εὐβοίᾳ καὶ Ἀρκαδίᾳ. (v. 732) Ἐν δὲ τῷ «ἰητῆρε ἀγαθώ» φασὶν οἱ παλαιοί, ὅτι ἔθος ἦν τοῖς πάλαι βασιλεῦσι μανθάνειν τι τῶν χρησίμων, ὡς ἐν πολλοῖς φαίνεται. Ἰστέον δὲ ὅτι περὶ Θεσσαλίας, ἧς μέρος αἱ ῥηθεῖσαι πόλεις, ἐν τοῖς τοῦ Περιηγητοῦ ἐγράφη, ὅσα ἐχρῆν. ἐνταῦθα δὲ ἰστέον, ὅτι [τε καὶ οἱ Θετταλοὶ τρυφηταὶ ἦσαν, ὡς δῆλον ἐκ τοῦ «τάδ' οὐ Κόρινθος οὔτε Λαΐς, ὦ Σύρε, οὐδ' εὐτραπέζων Θετταλῶν χείρ».

1.517 ] καὶ ὅτι Θετταλικὴ ἐλέγετο ἔνθεσις μέγας ψωμός, ὡς Παυσανίας δηλοῖ, καὶ Θετταλικὰ πτερὰ διὰ τὸ πτέρυγάς φησιν ἔχειν τὰς Θετταλικὰς χλαμύδας, ἃς ἕτερος ῥήτωρ Θετταλικὰ γέρα λέγει διὰ τὸ ἔπαθλον ἐν τοῖς ἐκεῖ ἀγῶσιν αὐτὰς κεῖσθαι, ὃς λέγει καί, ὅτι Θετταλικοὶ δίφροι διάφοροι, τουτέστι διαφέροντες πρὸς τοὺς ἄλλους, καὶ ὅτι Θετταλὸν σόφισμα ἐπὶ τῶν μὴ εὐθυμαχούντων ἐν παρατάξεσι παροιμιάζεται ἀλλὰ κακουργούντων. Παυσανίας δὲ εἰς τοῦτο σαφέστερον φράζων φησί· «Θετταλὸν σόφισμα ἐπὶ μάχης καὶ ἐπὶ σχήματος καὶ ἐπὶ παρακρούσεως καὶ ἄλλων μυρίων τάττεται ἀπὸ αἰτίας τοιαύτης. Ἀράτῳ κατιόντι ὁ θεὸς ἔχρησε φυλάξασθαι, μὴ λάθωσιν αὐτὸν οἱ ἐξ ἐναντίας εὐχῇ μείζονι καὶ λαμπροτέρᾳ κατ' αὐτοῦ χρησάμενοι. ὁ δὲ ἑκατόμβην ἀνδρῶν εὔξατο θύσειν τῷ Ἀπόλλωνι, κατορθώσας δέ, ἃ ἐβούλετο, ἀνεβάλλετο ἀεὶ τὴν θυσίαν διὰ τὸ μὴ ἱεροπρεπῆ εἶναι. ὅθεν ἡ παροιμία ἐπὶ τῶν διατριβόντων τὰς ὑποσχέσεις ἢ καὶ ἄλλως παρακρουόντων». ὁ δ' αὐτὸς Παυσανίας ἱστορεῖ καί τινα Ἔμβαρον ἐπὶ εὐχῇ σοφίσασθαι. ἱδρύσατο γάρ, φησί, Μουνυχίας Ἀρτέμιδος ἱερόν. ἄρκτου δὲ γενομένης ἐν αὐτῷ καὶ ὑπὸ Ἀθηναίων ἀναιρεθείσης λοιμὸς ἐπεγένετο, οὗ ἀπαλλαγὴν ὁ θεὸς ἐχρησμῴδησεν, εἴ τις τὴν θυγατέρα θύσει τῇ Ἀρτέμιδι. Βάρος δὲ ἢ Ἔμβαρος ὑποσχόμενος οὕτω ποιήσειν ἐπὶ τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν ἱερωσύνην τὸ γένος αὐτοῦ διὰ βίου ἔχειν, διακοσμήσας τὴν θυγατέρα, αὐτὴν μὲν ἀπέκρυψεν ἐν τῷ ἀδύτῳ, αἶγα δὲ ἐσθῆτι κοσμήσας ὡς τὴν θυγατέρα ἔθυσεν. ὅθεν εἰς παροιμίαν, φησί, περιέστη «Ἔμβαρος εἶ», τουτέστι νουνεχής, φρόνιμος. τῶν τις δὲ παλαιῶν ὀκνήσας περὶ τοῦ Θετταλοῦ σοφίσματος πολυλογῆσαί φησι· «Θεσσαλὸν σόφισμα ὡς πανούργων καὶ ποικίλων μαρτυρουμένων τῶν ἐκεῖ». ὡς εἶναι κατ' αὐτὸν Θετταλὸν σόφισμα μὴ τοῦτο ἢ ἐκεῖνο, ἀλλ' ἁπλῶς τὸ πανούργημα, καθὰ ἐμφαίνει καὶ Εὐριπίδης ἐν τῇ μονομαχίᾳ τῶν παίδων τοῦ Οἰδίποδος. ὡς δὲ καὶ ἀνδραποδισταὶ οἱ Θετταλοί, λαλεῖ καὶ ὁ Κωμικὸς τοῦτο. [Σόφισμα δὲ Θετταλὸν φάναι τὸν ἐκ Θετταλίας σοφιστήν, ὡς παρὰ τῷ Ἀθηναίῳ κεῖται, μετάληψίς ἐστι νοήματος ἀστεία εἰς νόημα ἑτεροῖον παρὰ τὸ σύνηθες. καί εἰσι πολλὰ τοιαῦτα ζηλωτέα τοῖς παλαιοῖς, ὁποῖον καὶ τὸ «σὺ δέ μοι εἰπέ, ὦ Θετταλὸν πάλαισμα», ἀντὶ τοῦ «ὦ Θετταλὲ ἐλεγκτικέ», ῥηθὲν πρὸς ὁμοιότητα τοῦ Θετταλὸν πήδημα καὶ σόφισμα καὶ τῶν ὁμοίων.] (v. 734—7) Ὅτι Εὐρυπύλῳ, υἱῷ Εὐαίμονος, τεσσαράκοντα νῆες ἕποντο καὶ ἄνδρες «οἳ ἔχον Ὀρμένιον, οἵ τε κρήνην Ὑπέρειαν, οἵ τ' εἶχον Ἀστέριον Τιτάνοιό τε λευκὰ κάρηνα», ἤγουν τὸ Τίτανον ὄρος.

1.518 Ἔχει δέ τι ἀστεῖον ἐνταῦθα ἡ ῥηθεῖσα τροπή. τὸ γὰρ λευκὰ κάρηνα ὡς ἐπὶ πολιᾶς εἴρηται κεφαλῆς. (v. 734) Ὀρμένιον δὲ πόλις Θετταλικὴ μεταξύ, φασί, Φερῶν καὶ Λαρίσσης, ὅθεν ὁ Φοῖνιξ δοκεῖ τισι φυγεῖν εἰς Φθίαν, ὡς καὶ ἀλλαχοῦ ῥηθήσεται. ὠνομάσθη δὲ ἀπὸ Ὀρμένου, πατρὸς Ἀμύντορος, οὗ παῖς Φοῖνιξ, ὁ τοῦ Ἀχιλλέως τροφεύς. διὸ καὶ τὸ περὶ αὐτοῦ Ὁμηρικὸν ἔπος, ὥς που εἰρήσεται, οὕτω τινὲς ἔγραφον «οἷον ὅτε πρῶτον λίπον Ὀρμένιον πολύπυρον». ὁ δὲ Γεωγράφος φησίν, ὅτι Ὀρμένιον τὸ νῦν Ὀρμίνιον. ἔστι δὲ κώμη ὑπὸ τῷ Πηλίῳ κατὰ τὸν Παγασιτικὸν κόλπον, μία τῶν συνῳκισμένων πόλεων εἰς τὴν Δημητριάδα. καὶ πάλιν ὁ αὐτός, ὅτι τῶν περιοικίδων Δημητριάδος ἐστὶ καὶ τὸ Ὀρμένιον, ἀπέχον Δημητριάδος πεζῇ σταδίους εἰκοσιεπτά. ἣν ἔκτισε, φησί, Δημήτριος ὁ Πολιορκητὴς ἐπώνυμον ἑαυτοῦ, ἐπὶ θαλάσσης συνοικίσας εἰς αὐτὴν τὰς πλησίον πολίχνας, Παγασάς, Ὀρμένιον, Σηπιάδα, Βοίβην, Ἰωλκὸν καὶ ἑτέρας. Ἰστέον δὲ ὅτι ἐντεῦθεν εἶναι δοκεῖ ὁ Θετταλὸς Ἰάσων. Ὁ γοῦν Γεωγράφος ἱστορῶν τινας τῷ Ἰάσωνι μέχρι Κασπίας συμπλεύσαντάς φησιν, ὅτι ὅδε ἦν ἐξ Ὀρμενίου πόλεως τῶν περὶ Βοιβηΐδα λίμνην. Ὑπέρεια δὲ κρήνη ἐν μέσῃ τῇ τῶν Φεραίων πόλει. ὠνόμασται δὲ ἀπὸ Ὑπέρητος, υἱοῦ Λυκάονος. ἔστι δὲ καὶ Σικελικὴ πόλις. ἡ μέντοι Ὑπερησία πόλις Ἀχαίας. ὁ Γεωγράφος δὲ δύο κρήνας οἶδε, Μεσσηΐδα καὶ Ὑπέρειαν, πλησίον τῆς πόλεως Ἑλλάδος καὶ Φαρσάλων. (v. 735) Ἀστέριον δὲ πόλις καὶ αὕτη Θετταλικὴ ἢ ἀπὸ Ἀστερίου τινὸς ἥρωος ἢ διὰ τὸ λαμπρόν. ἐφ' ὑψηλοῦ γάρ, φασί, κειμένη τοῖς πόρρωθεν ὡς ἀστὴρ φαίνεται. ἡ δέ γε Ἀστερία οὐχ' Ἑλληνική, ἀλλὰ Συρίας πόλις ἐστίν· ἡ δὲ ἐν Ὀδυσσείᾳ Ἀστερὶς νῆσος οὐ μεγάλη «μεσσηγὺς Ἰθάκης Σάμοιό τε». ἔστι δὲ καὶ Ἀστερουσία Κρήτης, φασίν, ὄρος καὶ πόλις δὲ περὶ τὸν Ἰνδικὸν Καύκασον. Τίτανος δὲ ἀπὸ τοῦ συμβεβηκότος κατὰ τὸν Γεωγράφον. λευκόγεων γάρ, φησί, τὸ χωρίον. ἔστι δὲ καὶ ὄρος τὸ Τίτανον ὀνομασθὲν οὕτω καὶ αὐτὸ διὰ τὸ τιτανῶδες χρῶμα τῆς γῆς.

1.519 διὸ καί φησι «Τιτάνου λευκὰ κάρηνα». τίτανον δὲ κυρίως τὴν κονίαν φαμέν, τὸ ἰδιωτικῶς λεγόμενον ἄσβεστον, τὸ ἐν λίθοις κεκαυμένοις χνοῶδες λευκόν. ἐκλήθη δὲ οὕτως ἀπὸ τῶν μυθικῶν Τιτάνων, οὓς ὁ τοῦ μύθου Ζεὺς κεραυνοῖς βάλλων κατέφρυγε· δι' αὐτοὺς γὰρ καὶ τὸ ἐξ ἄγαν πολλῆς καύσεως καὶ ὡς οἷον εἰπεῖν τιτανώδους διαθρυφθὲν ἐν λίθοις λεπτὸν τίτανος ὠνομάσθη, οἷα ποινῆς τινος Τιτανικῆς γενομένης καὶ ἐν αὐτῷ. οἱ δὲ παλαιοί φασι· «τίτανος· κόνις, γύψος». Ἔχει δέ τι κάλλος ἀμυδρὸν τὸ «λευκὰ κάρηνα». εἰς ἣν γὰρ λέξιν κατέληξε τὸ λευκά, ἐκ τοιαύτης ἄρχεται τὸ κάρηνα. καὶ καλεῖται καὶ τοῦτο τὸ σχῆμα ἐπαναστροφή, ὅμοιον ὂν τῷ «ὄλισθε θέων» καὶ τοῖς ὁμοίοις. ἀνωτέρω δὲ καὶ ἄλλο σχῆμα ἦν περικαλλὲς τὸ «οἵ» τρισσάκις [γοργῶς] λεχθέν. ἔφη γάρ· «οἳ Ὀρμένιον εἶχον, οἵ τε Ὑπέρειαν, οἵ τε Ἀστέριον».

τοῦτο δὲ ὀνομάζεται τοῖς ῥήτορσιν ἐπαναφορά. Τῷ δὲ γράψαντι τὴν τῶν Ἐθνικῶν ἐπιτομὴν δυσχερὲς προσέχειν, εἰπόντι χωρίον Σικυωνίας τὸ Τίτανον. οὐ γὰρ περὶ Σικυωνίας ἐνταῦθα τῷ ποιητῇ ὁ λόγος, ἀλλὰ περὶ Θετταλίας. εἰ μὴ ἄρα ἐρεῖ τις, ὅτι καὶ ἐν Σικυῶνι χωρίον ἦν ὁμώνυμον τῷ Θετταλικῷ. (v. 738—47) Ὅτι Πολυποίτης, υἱὸς Πειριθόου, ὃν ἔτεκε Ζεὺς ἐξ Ἱπποδαμείας, νῆας μὲν ἦγε τεσσαράκοντα, ἡγεμόνευε δὲ ἀνδρῶν, «οἳ Ἄργισσαν ἔχον καὶ Γυρτώνην ἐνέμοντο, Ὄρθην Ἠλώνην τε πόλιν τε Ὀλοοσσόνα λευκήν», ἤτοι λευκόγειον, ὡς καὶ ἀνωτέρω ἔλεγε «Τιτάνου λευκὰ κάρηνα». εἶτα ὑπερβατῶς σχηματίζων φησίν· «οὐκ οἶος», ἤγουν οὐ μόνος ὁ Πολυποίτης ἦρχε τῶν ῥηθέντων, «ἅμα τῷ γε Λεοντεύς, ὄζος Ἄρηος, υἱὸς ὑπερθύμου Κορώνου Καινείδαο», ἤγουν ὃν ἔτεκεν ὁ Καινεύς. ἐφ᾽ οἷς ὁ ποιητὴς παραπλέκων συνήθως ἱστορίαν μετὰ καὶ τῶν διηγηματικῶν περιστατικῶν, ἐν οἷς καὶ ὁ καιρός, λέγει, ὅτι τὸν Πολυποίτην «ὑπὸ Πειριθόῳ τέκετο κλυτὸς Ἱπποδάμεια ἤματι τῷ, ὅτε φῆρας ἐτίσατο λαχνήεντας, τοὺς δ᾽ ἐκ Πηλίου ὦσε καὶ Αἰθίκεσσι πέλασσε». τοὺς Κενταύρους δὲ φῆρας λέγει λαχνήεντας, φῆρας μὲν διὰ τὰ ἐν τῇ α′ ῥαψῳδίᾳ λεχθέντα, λαχνήεντας δὲ ὡς τὴν τρίχα δασεῖς, ὅ ἐστι βαθύτριχας· λάχνη γὰρ ἡ τρίχωσις, ὡς ἡ ἐπὶ ἄρκτων καὶ ἀλωπέκων καὶ τῶν τοιούτων, [ἐν οἷς καὶ ἵπποι καὶ λέοντες, καὶ εἴ τις δέ που κατὰ τὸν Θερσίτην τετρίχωται], γινομένη παρὰ τὸ λαχαίνω, τὸ διαψαίρω καὶ διασκάπτω· εὕρηται δὲ καὶ ἐπὶ φυτῶν ἡ λάχνη. Ὅμηρος οὖν καὶ τὸν ὄροφον —λεπτὸς δέ ἐστι δόναξ ἤτοι καλαμίσκος, δι᾽ οὗ τὰ δώματα ἐρέφονται—λαχνήεντα λέγει διὰ τὴν ἐν ἄκρῳ τριχοειδῆ δασύτητα.

1.520 (v. 738) Ἰστέον δὲ ὅτι τὴν ῥηθεῖσαν Ἄργισσαν εὕρηνται σπάνιά τινα τῶν ἀντιγράφων Ἄργειαν ἔχοντα προπαροξυτόνως διὰ διφθόγγου· πλεονάζει μέντοι ἡ διὰ τοῦ ι καὶ τῶν δύο ς γραφή. κεῖται δέ, φασίν, ἐπὶ τῷ Πηνειῷ, κτισθεῖσα ὑπὸ τῶν παίδων Λαρίσσης. κατὰ δὲ τὸν ἀναλεξάμενον τὰ Ἐθνικὰ καὶ Ἄργουρα ὕστερον ἐκλήθη. ἦν δέ, φησί, καὶ τόπος Εὐβοίας Ἄργουρα, ὅπου δοκεῖ τὸν Πανόπτην ὁ Ἑρμῆς φονεῦσαι. Ἄργισσα δὲ ὠνομάσθη ἢ ἀπὸ Ἀργείων ἢ διὰ τὸ προσκυρεῖν τοῖς πεδίοις τῆς Θεσσαλίας, ἣν Πελασγικὸν Ἄργος Ὅμηρος εἶπεν. ἐκαλοῦντο δέ, φασίν, οἱ ἐκεῖ καὶ Λεοντῖνοι ἀπὸ Λεοντέως. Γυρτώνη δὲ παρὰ μὲν τῷ ποιητῇ τρισυλλάβως, παρὰ δὲ τῷ Γεωγράφῳ εὕρηται δισυλλάβως, ἔνθα φησὶ τοὺς Περραιβοὺς κεῖσθαι μέχρι ἐκβολῆς Πηνειοῦ καὶ Γυρτῶνος, πόλεως Περραιβίδος. καὶ ὁ τῶν Ἐθνικῶν δὲ συναγωγεύς φησι· «Γυρτὼν πόλις Θεσσαλίας καὶ Περραιβίας ἀπὸ τοῦ κτίσαντος αὐτὴν Γύρτωνος, ὃς ἦν ἀδελφὸς Φλεγύου». ὅτι δὲ τοὺς Γυρτωνίους Φλεγύας πρότερον ἐκάλουν ἀπὸ τοῦ ῥηθέντος Φλεγύου, ἀδελφοῦ Ἰξίονος, ἱστορίαι δηλοῦσι συχναί. (v. 739) Ἡ δὲ Ὄρθη βαρύνεται ὡς ἡ ἅρπη κατὰ τοὺς παλαιοὺς πρὸς διαστολὴν τοῦ ἐπιθέτου. πόλις δέ, φασί, καὶ αὕτη Περραιβίας ἢ Θεσσαλίας, καλουμένη, φασί, καὶ Κορσέα, παρὰ τὴν κόρσην ἴσως ὡς οἷα κεφαλή τις. ἀκρόπολις γὰρ ἦν Φαλανναίων κατὰ τὸν Γεωγράφον. Περραιβικὴ δὲ πόλις ἡ Φάλαννος, φησί, πρὸς τῷ Πηνειῷ. Ἠλώνη δὲ τῷ μὲν τόνῳ ὡς κορώνη, καθά φασιν οἱ παλαιοί. ἐκτίσθη δὲ ὑπὸ Ἡρακλέος ἐπὶ τῷ θανάτῳ τῶν Κενταύρων· μετέβαλε δέ, φασί, τοὔνομα εἰς Λειμώνην διὰ τὸν ἐν αὐτῇ λειμῶνα. κατεσκάφη δὲ κειμένη ποτὲ ὑπὸ τῷ Ὀλύμπῳ οὐ πολὺ ἄποθεν τοῦ Εὐρώτου κατὰ τὸν Γεωγράφον, ὃν ὁ ποιητὴς Τιταρήσιον λέγει, περὶ οὗ μετ᾽ ὀλίγα δηλωθήσεται. Περραιβικὴν δὲ πόλιν καὶ ταύτην ὁ τὰ Ἐθνικὰ γράψας φησίν. Ἡ δὲ Ὀλοοσσὼν ἡ καὶ Λευκὴ προσαγορευθεῖσα, ὡς πρὸ ὀλίγου εἴρηται, διὰ τὸ λευκάργιλος κατὰ τὸν Γεωγράφον εἶναι, Περραιβική, φησί, καὶ αὐτὴ ὡς καὶ ἡ Γόννος, ἧς καὶ Λυκόφρων μέμνηται, πρὸς τῷ Ὀλύμπῳ κειμένη, ὡς καὶ ἡ προρρηθεῖσα Ἠλώνη· ὁ δὲ τοῖς Ἐθνικοῖς ἐνδιατρίψας Μαγνησίας πόλιν λέγει αὐτήν.

1.521 δοκεῖ δὲ φυλάσσειν καὶ νῦν τὴν κλῆσιν παραφθειρομένη βαρβαρικῶς. ἴσως γὰρ αὕτη ἐστὶν ἡ ἄρτι λεγομένη Ἐλασσών. (v. 741) Πειρίθοος δέ, ὃν ἡ κοινὴ συναίρεσις Πειρίθουν λέγει, κεῖται καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ ὡς περίκλυτος. (v. 742) Τὸ δέ «κλυτὸς Ἱπποδάμεια» δυσὶ διαλέκτοις ὑπόκειται. φασὶ γὰρ οἱ παλαιοί, ὅτι Δωρικὴ καὶ Ἀττική ἐστιν ἡ τοιαύτη ἐναλλαγὴ τῶν γενῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολλὰ δὲ καὶ ἕτερα τοιαῦτα πολλαχοῦ δηλούμενα, ὧν καὶ τὸ «ἐν Πύλῳ ἐν νεκύεσσι», τουτέστιν ἐν τῇ κατὰ νεκροὺς πύλῃ, καὶ τὸ «ἀγγελθεῖσά μοι γενναῖος» καὶ «πλάνος φρενῶν», ἡ πλάνη, καὶ «φαῦλος οὖσα» καὶ «ὁδὸς λεῖος» καὶ «ἡ θυραῖος» παρὰ Σοφοκλεῖ καὶ «ἡ τηλικοῦτος» καὶ «δεινὴ θεός» καὶ «μάταιος σπουδή». (v. 743) Τὸ δέ «ἤματι τῷ», ἀντὶ τοῦ τῇ ἡμέρᾳ ταύτῃ, «ὅτε τοὺς θῆρας ὁ Πειρίθους ἐτιμωρήσατο», ἐνιαύσιον δηλοῖ, φασί, τὸν Κενταυρικὸν γενέσθαι πόλεμον. ἐν τῷ γάμῳ μὲν γὰρ ἡ τῶν Κενταύρων προέβη συμβολή, ὁ τοκετὸς δὲ ἀπελαθέντας εἶδεν αὐτούς. εὐτυχῶς οὖν τὸ βρεφύλλιον εἰς φῶς προέκυψε, νίκης οἷον ἔπαθλον ἐπιφιλοτιμηθὲν ἀριστεύσαντι τῷ πατρί. (v. 744) Τὸ δὲ Πήλιον ἀντίκειται τῇ Ὄσσῃ. ὄρη δὲ ἄμφω δυτικώτερα Ὀλύμπου, δι’ ὧν ἐκρέει ὁ Πηνειός. ἔστι δέ, φασί, καὶ πόλις Θεσσαλίας Πήλιον, ἧς ἐθνικὸν Πηλιεύς καὶ Πηλιώτης. περὶ δὲ Πηλίου καὶ Ὄσσης καὶ μετ’ ὀλίγα ῥηθήσεται. Αἴθικες δὲ Θετταλικὸν ἔθνος ὑπερκείμενον τῆς Ἠπείρου, κατὰ δέ τινας Μακεδονικόν, κατὰ δὲ ἑτέρους Περραιβικόν. περὶ τούτων δὲ καὶ ὁ Γεωγράφος φησίν, ὅτι ἐξηλάθησαν ὑπὸ Πειρίθου. ὁ δὲ τὰ Ἐθνικὰ γράψας λέγει, ὅτι ἡ μὲν χώρα Αἰθικία ὡς Κιλικία, τὸ δὲ ἔθνος Αἴθικες. ἐν Θετταλίᾳ δὲ ᾤκουν ἐν τῷ Πίνδῳ ὄρει, ἔθνος ἐπιεικῶς, φησί, παράβολόν τε καὶ βάρβαρον καὶ λῃστείαις προσκείμενον. Εἰς δὲ τὸ «Αἰθίκεσσι πέλασσεν», ἀντὶ τοῦ «πέλας τῶν Αἰθίκων τοὺς Κενταύρους ἀφώρισε», φασὶν οἱ παλαιοί, ὅτι τοῦτο μὲν ἀληθές, ἐκεῖνο δὲ μεγαλοποιῶν ὁ Νέστωρ εἶπεν, ἐν τῇ α′ δηλαδὴ ῥαψῳδίᾳ, τὸ «καὶ ἐκπάγλως ἀπώλεσαν».

1.522 ἀληθῶς γὰρ οὐκ ἀπώλοντο οἱ ῥηθέντες θῆρες, ἀλλ’ ἀπελήλαντο. (v. 738) Ἰστέον δέ, ὅτι ἐν τῷ «οἳ δ’ Ἄργισσαν» καὶ ἑξῆς ὁ Γεωγράφος εἰπὼν ἐπὶ τῷ Πηνειῷ κεῖσθαι τὴν Ἄργισσαν λέγει καί, ὅτι ταύτην τὴν χώραν πρότερον μὲν ᾤκουν Περραιβοὶ τὸ πρὸς τῇ θαλάσσῃ μέρος νεμόμενοι καὶ τῷ Πηνειῷ μέχρι τῆς ἐκβολῆς αὐτοῦ καὶ Γυρτώνης πόλεως Περραιβικῆς, ταπεινώσαντες δὲ αὐτοὺς Λαπίθαι, Ἰξίων καὶ ὁ υἱὸς Πειρίθους, κατέσχον τὰ χωρία, οἳ καὶ τὸ Πήλιον κατεκτήσαντο καὶ βιασάμενοι τοὺς ἐκεῖ Κενταύρους ἄγριόν τι φῦλον ἐκ τοῦ Πηλίου ὦσαν καὶ Αἰθίκεσσι πέλασαν, Λαπίθαις δὲ τὰ πεδία παρέδωκαν. (v. 740) Τὸ δὲ Πολυποίτης ὄνομα ἐνταῦθα φερώνυμον οἱ παλαιοὶ λέγουσι, φάμενοι οὕτως αὐτὸν ὀνομασθῆναι, διότι ὁ πατὴρ πολλοῖς ποινὴν Κενταύροις ἐπέθετο ἐγχειρήσασιν ἐνυβρίσαι τοῖς γάμοις τῆς μητρὸς αὐτοῦ. οἱονεὶ γοῦν Πολυποινίτης καὶ ἐν συγκοπῇ Πολυποίτης. καὶ ἔστι, φασίν, ὅμοιον τῷ Τισαμενός. υἱὸς δὲ οὗτος Ὀρέστου τὴν κλῆσιν εὑρὼν ἀπὸ τοῦ τὸν πατέρα Ὀρέστην τίσασθαι τοὺς φονέας τοῦ πατρός. [καὶ ἄλλως δὲ δόξοι ἂν τῷ Πολυποίτῃ ἢ ἡ πόα ἐγκεῖσθαι ἢ ὁ πότος ἢ τὸ ποιεῖν.] Ἱστοροῦσι δὲ καί, ὅτι τὸν Πολυποίτην καὶ τὸν Λεοντέα εἵλοντο ἀρχηγὸν οἱ ἐγχώριοι Πειριθόου εἰς Ἅιδην σὺν τῷ Θησεῖ κατελθόντος, ὡς ὁ μῦθος λέγει, καὶ ὅτι μετὰ τὴν ἅλωσιν τῆς Ἰλίου πεζῇ ἐλθόντες Ἄσπενδον τῆς Παμφυλίας ἔκτισαν. Ὅτι δὲ ἀνδρεῖος καὶ ὁ τοῦ Λεοντέως πάππος Καινεὺς καὶ ὅτι Λαπίθης καὶ αὐτός, δῆλόν ἐστιν. εὖ τοίνυν ὁ Πολυποίτης τὸν ὅμοιον προσεταιρίζεται. [Οὐκοῦν ἐν τῷ «Λεοντεύς, ὄζος Ἄρηος», Ἄρης νοοῖτ’ ἂν οἱ πρὸς γένους αὐτῷ ἀρεϊκοὶ ἄνδρες. Ἰστέον δέ, ὅτι σπέρμα μὲν εἰπεῖν Ἄρεος ἢ Διὸς ἐκ τῆς κατὰ γένεσίν ἐστιν ἀρχῆς, ὄζον δὲ ἐκ τῶν ὕστερον, ὡς καὶ εἴ τις ἀκρέμονα ἢ παραφυάδα ἐν τοιούτοις ἐρεῖ.] (v. 748—55) Ὅτι «Γουνεὺς ἐκ Κύφου ἦγε δύο καὶ εἴκοσι νῆας. τῷ δ’ Ἐνιῆνες ἕποντο μενεπτόλεμοί τε Περαιβοί, οἳ περὶ Δωδώνην δυσχείμερον οἰκία ἔθεντο, οἵ τ’ ἀμφ’ ἱμερτὸν Τιταρήσιον ἔργα ἐνέμοντο, ὅς ῥ’ ἐς Πηνειὸν προΐει καλλίρροον ὕδωρ, οὐδ’ ὅ γε Πηνειῷ συμμίσγεται ἀργυροδίνῃ, ἀλλά τέ μιν καθύπερθεν ἐπιρρέει ἠΰτ’ ἔλαιον· ὅρκου γὰρ δεινοῦ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ», τουτέστιν ἀπόρροια. κεῖται δὲ ἡ λέξις καὶ ἐν Ὀδυσσείᾳ, λαμβάνεται δέ ποτε καὶ ἐπὶ πετρῶν ἀπεσχισμένων ἐξ ἀλλήλων.

1.523 οὕτω γὰρ ἀπορρὼξ πέτρα πηγὴν προβάλλειν λέγεται. [Χρῆσις δὲ τοιαύτης πέτρας πολλαχοῦ, ἥτις καὶ καταρρώξ λεχθείη ἂν κατὰ τὸν Σοφοκλῆν, παρ’ ᾧ προβλῆτες μέν, ὡς καὶ παρ’ Ὁμήρῳ, οἱ καὶ πρόβολοι, καταρρῶγες δὲ αἱ διὰ τὸ μὴ ἀντέχειν κύμασιν ἀπορραγεῖσαι πέτραι εἰς

ῥωχμούς.] (v. 748) Γουνεὺς δὲ οὗτος ἕτερός ἐστι παρὰ τὸν ἐν τῷ Λυκόφρονι ἐργάτην τῆς δίκης Γουνέα ἤτοι τὸν δίκαιον. ἐκεῖνος γάρ, φασίν, Ἄραψ προσηγορίαν ἔχων τὸ δίκαιος, ὡς καὶ ὁ Ἀριστείδης παρ' Ἕλλησι. τοῦ δὲ Ὁμηρικοῦ Γουνέως βασίλειον ἡ Κύφος, πόλις, φασί, Περραιβίας, ἀπὸ Κύφου κληθεῖσα, υἱοῦ Περραιβοῦ τοῦ Παλληνέως. ἔστι δέ, φασί, καὶ Θετταλικὴ καὶ ποταμὸς δὲ ἦν Κύφος. (v. 749) Τῶν δὲ Ἐνιάνων τὴν ἄρχουσαν[, οὓς Ἐνιῆνας διὰ τοῦ η Ἰωνικῶς φησιν Ὅμηρος,] τὸ μὲν Ὁμηρικὸν μέτρον διὰ ψιλοῦ τοῦ ε παραδίδωσι λόγῳ δακτύλου, ὃς ἀπαρτίζεται ἐν τῷ «τῷ δ' Ἐνιῆνες ἕποντο». καὶ τὰ ἀντίγραφα διὰ τοιαύτης προφέρονται γραφῆς, καὶ ἐν ἄλλοις δὲ ἡ τοιαύτη στοιχεῖται παράδοσις. οἱ δὲ πλείους διὰ διφθόγγου τῆς αι γράφουσι λέγοντες καί, ὅτι Αἰνία πόλις Περραιβῶν καὶ Αἰνιᾶνες οἱ κατοικοῦντες. οἱ δ' αὐτοὶ καὶ Αἰνιεῖς, ἔτι δὲ καὶ Αἴνιοι. ὡς γὰρ Λυκία Λύκιος, οὕτως Αἰνία Αἴνιος, ἐξ οὗ τὸ Αἰνιάν, ὡς μέγιστος μεγιστάν καὶ ἄλκιμος ἀλκιμάν, ὅθεν ὁ Ἀλκμάν, καὶ νέος νεάν, ὅθεν ἡ νεᾶνις καὶ ὁ νεανίας, ὅπερ, ἤγουν τὸ Αἰνιάν, ὁμόφωνόν ἐστι, φασί, τῷ κυρίῳ. ἔστι γὰρ καὶ κύριον ὁ Αἰνιάν. ἐκαλοῦντο δέ, φασί, ποτε καὶ Μηλιεῖς. εἰ δὲ κατὰ τὴν ἀναγραφὴν τῶν Ἐθνικῶν ἦν Αἶνος Γουνέως ἀδελφὸς καὶ Αἶνος πόλις Θεσσαλίας, εἴη ἂν εἰκὸς ἐντεῦθέν ποθεν τοὺς Αἰνιᾶνας κληθῆναι τὸ ἔθνος, οὗ χρῆσις διὰ τῆς ἐν ἀρχῇ διφθόγγου καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «Λεύκιππος Αἰνιὰν γένος» καὶ «ἔπειτα δ' Αἰνιᾶνος ἀνδρὸς ἄστομοι πῶλοι», ἔνθα οἱ γράφοντες διὰ δύο διφθόγγων τὸ Αἰνειάν ἐοίκασι παρακούειν ὡς ἀπὸ τοῦ Αἰνείου τὸν Αἰνιᾶνα, ὅπερ παντελῶς ἔψευσται. Ἐνταῦθα δὲ γράφουσιν οἱ παλαιοὶ καί, ὅτι ὁ ποιητὴς ἤδη εἰς βαρβάρους ἥκων ἐθνικῶς καὶ οὐ κατὰ πόλεις αὐτοὺς ὀνομάζει καὶ ὅτι Αἰνιᾶνες ὕστερον μὲν ὅμοροι τοῖς Αἰτωλοῖς, πρώην δὲ περὶ τὴν Ὄσσαν ᾤκουν μετὰ Περραιβῶν. Περραιβοὶ δὲ οἱ καὶ πρὸ ὀλίγου μνημονευθέντες ἐκλήθησαν μὲν ἀπό τινος Περραιβοῦ, ἐνδόξου, ὡς εἰκός, ἀνδρός, Θετταλικὸν δέ τι γένος εἰσί.

1.524 Φησὶν οὖν ὁ Γεωγράφος, ὅτι Περραιβοὶ κατεῖχόν ποτε τὰ πρὸς τῷ Ὀλύμπῳ, μᾶλλον δ' ἐντελέστερον εἰπεῖν, Λαπίθαι τὰ πεδία κατεῖχον, Περραιβοὶ δὲ τὰ ὀρεινότερα πρὸς τῷ Ὀλύμπῳ καὶ τοῖς Τέμπεσι. καὶ ὅτι ἐνέμοντο τὰ πρὸς τῇ θαλάσσῃ καὶ τῷ Πηνειῷ μέχρι τῆς ἐκβολῆς αὐτοῦ καὶ ὅτι Ἄργισσα ἐπὶ τῷ Πηνειῷ κεῖται, ὑπέρκειται δ' αὐτῆς Ἄτραξ, τὴν δ' ἀνὰ μέσον ποταμίαν εἶχον Περραιβοί, οἳ καταδυναστευθέντες ὑπὸ Λαπιθῶν ἀπανέστησαν εἰς τὴν ὀρεινὴν τὴν περὶ Πίνδον καὶ Ἀθαμᾶνας καὶ Δόλοπας. τὴν δὲ χώραν καὶ τοὺς ὑπολοίπους Περραιβοὺς κατέσχον Λαρισσαῖοι πλησίον μὲν οἰκοῦντες τοῦ Πηνειοῦ, γειτνιῶντες δ' ἐκείνοις. δῆλον οὖν ὅτι Θετταλοί τινες οἱ Περραιβοὶ καὶ ὅτι καὶ περί που τὴν Λάρισσαν. Ὁ δὲ Γεωγράφος λέγει καί, ὅτι Ὅμηρος συνέζευξε Περραιβοὺς καὶ Ἀθαμᾶνας ὡς πλησίον οἰκοῦντας δηλῶν, ὅτι συνυπακούονται τοῖς Περραιβοῖς καὶ οἱ Ἀθαμᾶνες. Ἰστέον δέ, ὅτι οἱ μὲν καθ' Ὅμηρον καὶ οἱ νεώτεροι ἐν ἑνὶ ρ γράφουσι τοὺς Περαιβούς, ἕτεροι δέ τινες παλαιοὶ ἐδίπλαζον τὸ ἀμετάβολον. καὶ λέγει ὁ τὰ Ἐθνικὰ γράψας, ὅτι Αἰολεῖς ὄντες οἱ Περραιβοὶ ἐδίπλουν τὰ σύμφωνα Περραιβοὺς ἑαυτοὺς καλοῦντες καὶ πόλιν Γόννον παρ' αὐτοῖς οὖσαν καὶ γόννατα καὶ τοιαῦτά τινα. (v. 750) Δωδώνη δέ, ἀφ' ἧς ἐν τοῖς ἑξῆς που Δωδωναῖος Ζεύς, πόλις Μολοσσίδος ἐν Ἠπείρῳ, ὡς ὁ τῶν Ἐθνικῶν καταγραφεὺς δηλοῖ, ὃς οὐδὲ ἀρέσκεται τοῖς εἰποῦσιν αὐτὴν Θεσπρωτικὴν καὶ Θετταλικήν. καὶ μὴν ἕτεροι ἐν ὑπερβορέῳ τῆς Θεσπρωτίας αὐτὴν τιθέασιν, ἔνθα ἱερὸν καὶ τὸ ἐκ δρυὸς μαντεῖον τοῦ Δωδωναίου Διός, ἣν δρῦν πολύγλωσσον λέγει ὁ Σοφοκλῆς, ἤγουν πολύφωνον. ὠνομάσθη δὲ ἡ Δωδώνη ἀπὸ Δωδώνης, ἡρωΐδος ἢ Ὠκεανίδος νύμφης, ἢ ἀπὸ Δώδωνος ποταμοῦ. ἐλέγετο δὲ καὶ Δωδών δισυλλάβως. ἐξ αὐτῆς τὸ παροιμιαζόμενον Δωδωναῖον χαλκίον ἐπὶ τῶν πολυλόγων. Χαλκίον γὰρ τὸ καὶ ἀλλαχοῦ πλατύτερον δηλωθησόμενον ἤχει αὐτόθι πληττόμενον τεχνικῶς ὑπὸ μάστιγος ἢ καὶ κατὰ βίαν ἀνέμων. ὅτι δὲ καὶ δυσχείμερος ἡ Δωδώνη μεμαρτύρηται.

1.525

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεῖται δέ τινα περὶ αὐτῆς καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. [Ἐν δὲ τῷ «ἔργα ἐνέμοντο» ἔργα κοινῶς λέγει πάντα τὰ συστατικὰ πολιτειῶν ἔσω τε καὶ ἔξω. (v. 752) Τὸ δέ «προΐει» χρόνος ἐστὶν ἀντὶ χρόνου. κεῖται γὰρ ἀντὶ τοῦ προΐησιν, ὡς δηλοῖ εὐσυντάκτως ἐπαγόμενον τὸ «ἐπιμίσγεται». Τὸ δέ «καλλίρροον ὕδωρ» οὐκ ἂν εἴη μακρὰν τοῦ «Πηνειὸς ἀργυροδίνης». (v. 754) Τὸ δέ «ἀλλά μιν ἐπιρρέει», ἀντὶ τοῦ «ἐπιτρέχει ἐπιπολαστικῶς». οἱ δὲ μεθ' Ὅμηρον τὸ ἐπιρρέειν δοτικῇ συντάσσουσι.] Τὸ δὲ ἐπιπολαστικὸν τοῦ Τιταρησίου γίνεται μὲν ἢ διὰ κουφότητα ὕδατος, ὅπερ συμβαίνει καὶ τοῖς εἰς θάλασσαν ἐκβάλλουσι ποταμοῖς, ἢ καὶ διὰ γλισχρότητα μεταλλικήν. (v. 755) Ὁ δὲ ποιητὴς ἐκπλήττειν θέλων, ἤδη δέ που καὶ ῥυθμίζειν εἰς ἦθος, ἵνα τὸν ὅρκον ὑποβλεπώμεθα, φησίν· «ὅρκου γὰρ δεινοῦ Στυγὸς ὕδατός ἐστιν ἀπόρροια». τοῦτο δὲ ἤ, καθά τινες εἶπον, ἁπλοϊκῶς ἐρρέθη, διότι ὀμνύουσιν εἰς αὐτὸν οἱ ἐγχώριοι, ὥσπερ κατὰ τὴν ἱστορίαν τοῦ Ἀρριανοῦ καὶ Βιθυνίας ποταμὸς Ὅρκος ὄνομα, ὃς φρικωδέστατος ὅρκων τοῖς ἐκεῖ ἐνομίζετο πρὸς βίαν εἰς τὰς δίνας ἕλκων τὸν ἐπίορκον, εἰ μὴ δρόμῳ ἐξεπήδησεν. ἢ γοῦν οὕτω νοητέον ἁπλοϊκῶς τὸ ῥηθὲν Ὁμηρικὸν ῥητὸν ἢ μᾶλλον, ὅτι ἀπορρέει τοῦ ἐν Ἅιδου τῆς Στυγὸς ὕδατος. ἡ δὲ Στὺξ δεινὸς ὅρκος ἐστί. κατ' αὐτῆς γὰρ ὁ μῦθος ὀμνύειν φησὶ τοὺς θεούς, ὡς ἀλλαχοῦ φανήσεται, ὅπου καὶ τίς ἐστιν ἡ Στὺξ λεχθήσεται. οἱονεὶ γοῦν λέγει, ὅτι, διὰ τὸ δεινὸν τῆς Στυγός, ἀνεπίμικτον τὸ ἐξ αὐτῆς ὕδωρ μένει τῷ Πηνειῷ. δέδιε γάρ πως ὁ Πηνειὸς τὴν ἀνάκρασιν, ὡς εἴπερ ἔμψυχος ἦν. ποιητικῆς δὲ καὶ τοῦτο γλυκύτητος. ἐνταῦθα δὲ καί τι σχῆμα οἷον ἀντίθετον ἀναφαίνεται ἀντιτεθέντος τοῦ ἱμέρου τοῦ ποταμοῦ τῇ δεινότητι τῆς Στυγός. ἱμερτὸς μὲν γὰρ ὁ Τιταρήσιος, οὗ καὶ τὸ ὕδωρ καλλίρροον, δεινὸς δὲ ὅρκος ἡ Στύξ. ἔνθα καὶ ἠθικῶς ἔστιν εἰπεῖν, ὡς οὐκ ἀδύνατον δεινῆς ἀρχῆς οὔσης ἱμερτὸν εἶναι τὸ ἀπ' αὐτῆς. δεινὸς δὲ οὐ μόνον ὁ κατὰ Στύγα ὅρκος, ἀλλὰ καὶ ὁ ἁπλῶς τοῖς γε σῶα φρονοῦσι. καὶ δηλοῖ αὐτὸ σὺν ἄλλοις καὶ Σοφοκλῆς ἐν τῷ «ἀλλ' ἁλίσκεται χ' ὡ δεινὸς ὅρκος» καὶ ἀλλαχόθι δέ. ὁ δὲ Γεωγράφος Εὐρώταν οἶδε καλεῖσθαι τὸν Τιταρήσιον, δηλονότι μεθ' Ὅμηρον, ἐμφαίνων καί, ὅτι ἐκ τόπου παρωνόμασται. λέγει γάρ, ὡς ἐξ ὄρους ῥέει Τιτάρου συμφυοῦς τῷ Ὀλύμπῳ. αἰτιολογῶν δὲ καί, ὅπως ἐπιπολάζει, φησίν, ὅτι τὸ μὲν τοῦ Πηνειοῦ ὕδωρ καθαρόν ἐστι, τὸ δὲ τοῦ Τιταρησίου λιπαρὸν ἔκ τινος ὕλης, ὥστε οὐ συμμίσγεται, ἀλλὰ καθύπερθεν ἐπιτρέχει καθὰ ἔλαιον.

1.526 ἀλλαχοῦ δὲ λέγει, ὅτι εἰκός, ὥσπερ νιτρώδη καὶ στύφοντα ὑγρὰ καὶ ἀσφαλτώδη διαρρεῖ τὴν γῆν, οὕτω καὶ λιπαρὰ εὑρίσκεσθαι. τὸ δὲ σπάνιον ποιεῖ, φησί, τὴν παραδοξίαν. ἱστορεῖ γοῦν ὁ αὐτὸς καὶ Ὤχου τοῦ ποταμοῦ πλησίον ὀρύττοντάς τινας εὑρεῖν ἐλαίου πηγήν. καὶ οὕτω μὲν ὁ Γεωγράφος. [Ἑτέρα δὲ ἱστορία φησίν, ὡς ἐν τῇ τῶν Καρχηδονίων ἐπικρατείᾳ κρήνη ἐστίν, ἧ τὸ ἐφιστάμενον ἐλαίῳ ἐστὶν ὅμοιον, μελάντερον τὴν χρόαν, ὃ ἀποσφαιροῦντες χρῶνται πρὸς πρόβατα καὶ κτήνη. Ἀλέξανδρος δὲ περὶ Ἀσιάτιδος ἐπέστειλεν ἀναβλύσεως ὡς ἐλαίου κρήνην εὑρηκώς. καὶ περὶ Τράλλεις δέ, φασί, καὶ τὸν Χαρακωμήτην ποταμὸν καὶ Νύσσαν πόλιν οὕτως ἐστὶ λιπαρὰ ὕδατα ὡς μὴ δέεσθαι τοὺς ἐναπολουομένους ἐλαίου.] Οἱ δὲ παλαιοὶ λέγουσι καί, ὅτι ὡς ἀγνῶτα ἢ μὴ ὄντα περιφράζει τὸν Τιταρήσιον. Τὸ δέ «καθὰ ἔλαιον» διὰ τὸ τιμιώτερον εἶπεν. εἰσὶ γὰρ καὶ ἕτερα ὑγρὰ λιπαρὰ ἐπιπολαστικά, ὧν οὐδενὸς μνησθῆναι ἠθέλησεν. [Ἐνταῦθα δὲ παραπηκτέον καὶ τὸ δαψιλὲς γῆθεν ἔλαιον, ὃ πολλοὺς τῶν ἑῴων διοικεῖ, ὅσοι μάλιστα περὶ τὰ κατὰ τὴν Ῥωμόγυριν· οὔτι γὰρ περιττὸν τοῖς ἐνταῦθα ἐλαιώδεσι καὶ τοῦτο παραμῖξαι καθ' ἱστορίαν. Οἱ δὲ συχνὰ πρὸ βραχέων μνημονευθέντες Λαπίθαι οὐ μόνον ἐθνικὴν ἔννοιαν ὑποβάλλουσιν, ἀλλ' ἔστιν ὅτε καὶ σκωπτικήν, ἵνα ὁποῖος ὁ Πινδαρικὸς πίθων, τοιοῦτός τις εἴη καὶ ὁ Λαπίθης πείθων λαὸν κατά τινα πίθωνα προσέχειν αὐτῷ.] (v. 752) Ὁ δὲ Πηνειὸς Θετταλικὸς ποταμὸς ῥέων μεταξὺ Πηλίου καὶ Ὄσσης τῶν ὀρέων, ἃ καὶ ἀπέτεμεν αὐτὸς ῥήξας καὶ διαστήσας καὶ ἐξ ὄρους συνεχοῦς διχάσας ἐδύασεν, ὡς καὶ ἀλλαχοῦ εἴρηται. λέγει δὲ καὶ Ἡρόδοτος, ὅτι ὄρη Θετταλικὰ Ὄλυμπος καὶ Ὄσσα, μεγέθει ὑπερμήκεα, διὰ μέσων δὲ αὐτῶν

αὐλὼν στενός, δι᾽ οὗ ῥέει Πηνειός, εἷς τῶν πέντε δοκίμων Θετταλικῶν ποταμῶν, ὧν καὶ Ἀπιδανὸς καὶ Ἐνιπεύς. τούτῳ δὲ ὅμοιον καὶ τὸ «πέντε ποταμοὶ δόκιμοι Θετταλικοί, ὧν Πηνειός, Ἀπιδανὸς καὶ Ἐνιπεύς. συμμίσγουσι δὲ τὸ ὕδωρ εἰς ταὐτὸ καὶ δι᾽ ἑνὸς αὐλῶνος στενοῦ ἐκρέουσιν εἰς τὴν θάλασσαν, ἔνθα κατακρατῶν ὁ Πηνειὸς τῷ ὀνόματι ἀνωνύμους τοὺς ἄλλους ποιεῖ». Ἄρχεται δὲ κατὰ τὸν Γεωγράφον ἐκ Πίνδου ὄρους ὁ Πηνειός, περὶ ὃ οἱ Περραιβοί.

1.527 καὶ δῆλον καὶ ἐκ τούτου, ὅτι Θετταλικοὶ οἱ Περραιβοί, ἐπειδὴ καὶ τὸ Πίνδον καὶ ὁ Πηνειὸς Θετταλικά. Περὶ δὲ Πηνειοῦ καὶ ταῦτα ἐν τοῖς τοῦ Στράβωνος φέρεται. Πηνειὸς ἄρχεται ἐκ Πίνδου, ἐν ἀριστερᾷ δ᾽ ἀφεὶς Τρίκκην φέρεται περὶ Ἄτρακα καὶ Λάρισσαν καὶ τοὺς ἐν Θετταλίᾳ δεξάμενος ποταμοὺς πρόεισι διὰ τῶν Τεμπῶν. καὶ ὅτι διὰ μέσης ῥέει Θετταλίας πολλοὺς δεχόμενος ποταμοὺς καὶ ὅτι Πηνειὸς φέρεται ἐν ἀριστερᾷ μὲν ἔχων Ὄλυμπον, ἐν δεξιᾷ δὲ Ὄσσαν. Ἐπὶ δὲ ταῖς ἐκβολαῖς τοῦ Πηνειοῦ ἐν δεξιᾷ Μαγνῆτις πόλις ἡ Γυρτών, ἐν ᾗ Πειρίθους καὶ Ἰξίων ἐβασίλευσαν. ἀπέχει δ᾽ αὐτῶν οὐ πολὺ πόλις Κραννών, ἧς οἱ πολῖται Ἔφυροι ἑτερωνύμως, ὡς καὶ οἱ τῆς Γυρτῶνος Φλεγύαι. ὅρα δὲ τὴν ἀνωτέρω ῥηθεῖσαν Ἄτρακα, ἧς οἱ πολῖται Ἄτρακες παρὰ Λυκόφρονι, κἂν ἀντὶ τοῦ «Ἄτρακας λύκους», ὃ γράφει ὁ Ἐθνικολόγος, «ἅρπαγας λύκους» γράφωσι τὰ τῶν ἀντιγράφων κοινότερα. (v. 749) Μενεπτολέμους δὲ εἶπεν ὁ ποιητὴς τοὺς Περραιβούς, ὡς καὶ τὸν Πολυποίτην πρὸ ὀλίγου μενεπτόλεμον, οἱονεὶ σταδαῖον ἢ σταθερὸν πολεμιστήν. (v. 750) Τὸ δέ «οἰκία ἔθεντο» περιφραστικῶς ἀντὶ τοῦ ᾤκουν, ὥσπερ καὶ τὸ «ἔργα ἐνέμοντο» ἀντὶ τοῦ εἰργάζοντο. (v. 751) Ἱμερτὸν δὲ τὸν Τιταρήσιον ἀνθρωπίνως εἶπε καὶ ἔξω μύθου. ἄλλως γὰρ στυγητός ἐστι καὶ στυγνός, ὡς ἀπορρέων τῆς φρικτῆς Στυγός. (v. 752) Τὸ δέ «προΐει» ἀντὶ τοῦ προΐησι. παρῳχημένον γὰρ ἀντὶ ἐνεστῶτος κἀνταῦθα κεῖται. (v. 753) Τὸ δέ «συμμίσγεται» καιριωτάτη λέξις ἐστίν, ὡς δηλοῖ καὶ ἡ μισγάγκεια, περὶ ἧς ἀλλαχόθι ῥηθήσεται. Τὸ δέ «ἀργυροδίνης» οὐ Πηνειοῦ μόνον ἐπίθετον, ἀλλὰ παντὸς διαυγοῦς ποταμοῦ καὶ ἀργυρέαις δίναις, ὅ ἐστι καθαρῷ ῥεύματι, διοικουμένου. Ὅρα δὲ καί, ὅτι ἐν τῷ «καλλίρροον ὕδωρ» καὶ «Στυγὸς ὕδατος» ἐκτείνεται ἡ ἄρχουσα τοῦ ὕδατος, εὑρίσκεται δὲ πολλαχοῦ καὶ συστελλομένη. (v. 756—9) Ὅτι Μαγνήτων ἦρχε τῶν περὶ Πηνειὸν καὶ Πήλιον εἰνοσίφυλλον Πρόθοος, Τενθρηδόνος υἱός, ὃν καὶ μετὰ ἕνα στίχον ἀναλαβὼν πάλιν φησί· «τῶν μὲν Πρόθοος θοὸς ἡγεμόνευε». (v. 758) Καὶ σημείωσαι ὅτι φανερῶς ἐπετήδευσεν ἐνταῦθα κάλλος ὁ ποιητής. τί γὰρ ἄλλως ἐχρῆν μετὰ ἔπος ἕν, καὶ τοῦτο σαφέστατον, ἐπαναλαβεῖν τὸν Πρόθοον; ἢ πάντως ἵνα δυνηθῇ κατὰ σχῆμα κάλλους εἰπεῖν «Πρόθοος θοός», ἤγουν ταχύς, ὅπερ ἐν τῷ πρώτῳ στίχῳ ποιῆσαι οὐκ ἔσχεν, οἷα ἐπειγόμενος εἰς τὴν τοῦ ἀνδρὸς γενεαλογίαν καὶ τὰ ἐφεξῆς. Ἐπετηδεύσατο δὲ τὸ ῥηθέν, ὡς ἄν, ἐπεὶ μηδέν τι ἔχει περὶ Προθόου εἰπεῖν ἐφελκυστικὸν ἀκοῆς, γαργαλίσῃ αὐτὴν ἄλλως περικαλλεῖ σχήματι ἐπαναστροφῆς, ἐν ᾗ ἡ δευτέρα λέξις ἐπαναστρέφεται καὶ οἷον ἐπανακάμπτει πρὸς τὴν πρὸ αὐτῆς.

1.528 ὡς γὰρ Σαμία μία ναῦς κατά τινα στροφὴν τοῦ μία πρὸς τὸ Σαμία, οὕτω καὶ Πρόθοος θοός. τοιοῦτον δὲ καὶ τὸ «Πάτροκλον πρόφασιν», ὅ φασιν, ὅσα τε ἄλλα τοιαῦτα. οἱ δὲ ῥήτορες καὶ παρονομασίαν τὸ τοιοῦτον σχῆμα καλοῦσιν, ὡς οἱ Ὁμηρικοὶ Σχολιασταί φασι, προφέροντες εἰς ὁμοιότητα καὶ τὸ Δημοσθενικόν· «πρῶτον μὲν Ἀμφίπολιν, πόλιν ἡμετέραν». (v. 757) Περὶ δὲ Πηλίου καὶ Πηνειοῦ πρὸ βραχέων εἴρηται. εἵποντο δὲ τεσσαράκοντα νῆες τῷ Προθόῳ. (v. 756) Δῆλον δέ, ὅτι οὐ μόνον Εὐρωπαῖοι οὗτοι, ἀλλὰ καὶ ἕτεροι Ἀσιανοὶ Μάγνητές εἰσιν. Ὁ Γεωγράφος οὖν Μαγνήτων μέμνηται, τῶν πρὸς τῷ Μαιάνδρῳ, καὶ ἄλλοι συχνοὶ [φάμενοι, ὡς Μάγνητες οἱ ἐπὶ Μαιάνδρου ποταμοῦ Δελφῶν εἰσιν ἄποικοι.] καὶ Μαγνησία δὲ πόλις ἐστὶν ἐκεῖσε. Τῆς δὲ κατοικήσεως τῶν Ὁμηρικῶν Μαγνήτων σημεῖα καὶ ταῦτα παρὰ τῷ Στράβωνι δίχα τῶν πρὸ ὀλίγου ῥηθέντων περὶ Κραννῶνος καὶ Γυρτῶνος. Φεραὶ πέρας, φησί, τῶν Πελασγικῶν πεδίων πρὸς τῇ Μαγνησίᾳ, ἃ παρατείνει μέχρι Πηλίου στάδια ἑκατὸν ἑξήκοντα. λέγει δὲ καί, ὅτι πρόκεινται Μαγνήτων νῆσοι, Σκίαθος, Πεπάρηθος, Σκῦρος καὶ ἕτεραι. ὁ γοῦν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταύτας εἰδὼς εἰδείη ἂν καὶ τὴν αὐτῶν περαίαν Μαγνησίαν. ἐν δὲ τῷ τοιούτῳ τόπῳ λέγει ὁ Γεωγράφος καί, ὅτι μάλιστα δὲ ἐν ὀνόματι, τουτέστιν ὀνομαστή, ἡ Σκῦρος διὰ τὴν Λυκομήδους πρὸς Ἀχιλλέα οἰκειότητα καὶ τὴν τοῦ Νεοπτολέμου ἐκεῖ γέννησιν καὶ τροφήν. Ὁ αὐτός φησι καί, ὅτι τυφλῶς καὶ οὐ γνωρίμως διασαφεῖ ὁ ποιητὴς τοὺς Μάγνητας ἐν τῷ εἰπεῖν· «οἳ περὶ Πηνειὸν καὶ Πήλιον ναίεσκον». ὑποδηλῶν δὲ καὶ εἰς ὅσον ὁ ποιητὴς τοὺς παρ' αὐτῷ τούτους Μάγνητας ἐστενοχώρησε λέγει, ὅτι Μάγνητας τούτους νομιστέον τοὺς ἐντὸς τῶν Τεμπῶν ἀπὸ Πηνειοῦ καὶ Ὄσσης ἕως Πηλίου. ἐπεὶ δὲ καὶ συγκεχύσθαι δοκοῦσιν οἱ Μάγνητες, αἰτιᾶται τῆς συγχύσεως ταύτης μεταστάσεις αὐτῶν καὶ ἐξαλλάξεις καὶ ἐπιμίξεις πολιτειῶν λέγων καί, ὅτι πολλὰς πόλεις ὁ ποιητὴς ἀριθμήσας ἀπὸ τῆς Μαγνήτιδος οὐδένας τούτων ὠνόμασε Μάγνητας, ἀλλ' ἐστενοχώρησε τὸν Μαγνητικὸν κατάλογον εἰς τοὺς περὶ Πηνειὸν καὶ Πήλιον, ὅπερ εἰνοσίφυλλον λέγει, ὡς καὶ πρὸ τούτου τὸ ἐν Ἰθάκῃ Νήριτον.

1.529 Ἰστέον δέ, ὅτι καὶ ὁ ἐκ Νεφέλης Κένταυρος Μάγνης ἦν, ὡς ἐν τοῖς τοῦ Πινδάρου δηλοῦται, ὃς καὶ Μαγνησίαις ἵπποις συναναχρωνύμενος ἐκ τοιούτου σπέρματος τοὺς Ἱπποκενταύρους ἔφηνε, καὶ ὅτι Μάγνητες ἐκλήθησαν ἀπὸ ἀνδρὸς ἐπιφανοῦς. Μάγνης γάρ, φασίν, εἷς τῶν Αἰολιδῶν, ὑπὸ τὸ Πήλιον ὄρος κτίσας πόλιν ἀπὸ τῆς γυναικὸς Μελίβοιαν ἐκάλεσεν, ὕστερον δὲ τὴν πᾶσαν χώραν Μαγνησίαν. τούτου Ἀλέκτωρ, οὗ Αἵμων, οὗ Ὑπέροχος, οὗ ἔγγονος Τενθρηδών, ὁ τοῦ ῥηθέντος Προθόου πατήρ. Ἰστέον δὲ καί, ὅτι ἐκ τῶν προρρηθέντων Ἀσιανῶν Μαγνήτων ἡ Ἡράκλεια λίθος ἦν. Φησὶ γοῦν Αἴλιος Διονύσιος οὕτω· «Ἡράκλεια ἡ καὶ Μαγνησία. δεκαοκτὼ δὲ πόλεις Ἡράκλειαι, ἐξ ὧν μία Λυδίας, ὅθεν ὁ Ἡρακλεώτης λίθος, ὁ ὑφ' ἡμῶν λεγόμενος Μάγνης, ὁ ἐπισπώμενος τὸν σίδηρον». (v. 760) Ὅτι ἐνταῦθα περατώσας Ὅμηρος τὸν Ἑλληνικὸν Κατάλογον ἐπάγει καθιστῶν τὸν λόγον συμπληρωτικῶς· «οὗτοι ἄρ ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν», τουτέστιν ἤδη συνεπλήρωσα, ὃ ἐπηγγειλάμην, τὸ «ἀρχοὺς αὖ νηῶν ἐρέω». Σημείωσαι δέ, ὅτι τὸ «οὗτοι ἡγεμόνες Δαναῶν καὶ κοίρανοι» ἀκολούθως τῷ «οἵ τινες ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν» συμπεπλήρωται. Ἡ μὲν γὰρ ποιητικὴ πρὸ τῆς Βοιωτίας ἐρώτησις ἦν· τίνες ἡγεμόνευον Ἀχαιῶν; ἡ δὲ μουσικὴ συμπλήρωσις λέγει, ὅτι οὗτοι ἡγεμόνες Δαναῶν, οἱ ῥηθέντες δηλαδή. Συνεξακουστέον δὲ εἰς τὸ «οὗτοι ἡγεμόνες Δαναῶν ἦσαν» τὸ καὶ τοσαῦται αὐτοῖς αἱ νῆες. ἠρίθμησε γὰρ ἀρχοὺς μέν, κατὰ τοὺς παλαιοὺς εἰπεῖν, εἰκοσιέξ, νῆας δὲ χιλίας ἑκατὸν ὀγδοηκονταέξ. ὥστε ὁπηνίκα εἴποι τις, ὡς χιλιόναυς ἦν ὁ Ἑλληνικὸς οὗτος στόλος, ὥς που λέγει ὁ καλέσας τὸν Ἀγαμέμνονα «χιλίαρχον τοῦ πτολιρραίστου στρατοῦ», οὐ τὸ πᾶν λέγει, ἀλλ' ἀρκεῖται τῷ πληρεστάτῳ ἀριθμῷ, τῇ χιλιάδι. Διττῶς δὲ τὸ τοιοῦτον εἴωθε γίνεσθαι. ἢ γὰρ ἐξ ἐλάττονος ἀριθμοῦ εἰς τὸ καὶ πλεῖον καὶ πλῆρες ἀνατρέχει τις, ὡς ὅτε τὴν Κρήτην, ἐνενήκοντα τυχὸν πόλεις ἔχουσαν, ἐρεῖ ἑκατόμπολιν, ἢ τὰ ἁπλῶς πολλὰ μυρία εἴπῃ. ἢ ἄλλως, ὁπόταν ἐκ τοῦ πλείονος μέν, μὴ κορυφουμένου δὲ εἴς τι ποσὸν ἐπίσημον, ὑποκαταβαίῃ τις εἰς τὸ πληρέστερον, ὡς ἐνταῦθα, εἴ τις ἐρεῖ χιλιόναυν στρατόν, ἀφῆκε σιγᾶσθαι τὰς ἑκατὸν ὀγδοηκονταὲξ νῆας, ἀρκεσθεὶς τῷ τῶν χιλίων ἀριθμῷ, ἐλαττώσας μὲν τὸ ἐν ἀληθείᾳ ποσόν, οὐ ταπεινώσας δὲ ὅμως οὐδ' οὕτω τὸ πρᾶγμα, διὰ τὸ σεμνὸν τοῦ χίλια πλήρους ὄντος καὶ τελείου ἀριθμοῦ. Τούτῳ τῷ λόγῳ καὶ ἡ τοῦ Πέλοπος ἐπικράτεια Πελοπόννησος ἐκλήθη, καὶ ταῦτα μὴ νῆσος ἀκριβῶς, ἀλλὰ χερόννησος οὖσα. ὡς γὰρ ὁ εἰπὼν χιλιόναυν τὸν ῥηθέντα στόλον οὐκ ἐξέκλινε τὸ παρὰ βραχὺ ἀκριβώσασθαι, οὕτω καὶ ὁ τὴν Πελοπόννησον ὀνομάσας βραχύ τι πρὸς τὸ ἀκριβὲς καὶ εἰς τὸ πᾶν ἀληθὲς ἐνέλειψεν, οὐ προσλογισάμενος τῶν τεσσαράκοντα σταδίων τὸν ἰσθμόν, ἀλλὰ διὰ τὴν πέριξ πολλὴν θάλασσαν, ὡς ὅλην νησιζομένην θεωρήσας τὴν τοῦ Πέλοπος.

1.530 Τοιοῦτον δέ τι καὶ παρ' Ἡροδότῳ τὸ «χρυσοῦ στατήρων Δαρεικῶν μυριάδας τετρακοσίας ἐπιδεούσας ἑπτὰ χιλιάδων». προέκρινε γὰρ στενολογῆσαι δι' ἐντελοῦς ἀριθμοῦ καὶ βραχείας ἐπισημασίας ἤπερ τραπεζιτεῦσαι χύδην καὶ εἰπεῖν στατήρων μυριάδας τριακοσίας καὶ χιλιάδας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνενήκοντα καὶ τρεῖς. Ἰστέον δέ, ὅτι τὸ ῥηθὲν καταστατικὸν καὶ ἀνακεφαλαιωτικὸν καὶ συμπληρωτικὸν σχῆμα τὸ «οὗτοι ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν» ἀφορισμὸν οἱ παλαιοὶ ῥήτορες ὀνομάζουσι λέγοντες καί, ὅτι συνεκεφαλαιώσατο ἐνταῦθα ὁ ποιητὴς τὸν Κατάλογον, τῶν μὲν εἰρημένων μνήμην, τῶν δὲ ῥηθησομένων ἔφεσιν ἐργαζόμενος. (v. 761—70) Ὅτι τῷ Καταλόγῳ μὲν ἐγχειρῶν πάσας τὰς Μούσας ἀνεκαλέσατο, ἐνταῦθα δὲ θέλων μαθεῖν, εἶτα εἰπεῖν, τίς ὁ κρείττων ἔν τε τοῖς Δαναοῖς, ἔν τε τοῖς αὐτῶν ἵπποις, ὅπερ οὐ μέγα ἦν, μίαν ἐρωτᾷ Μοῦσαν λέγων· «τίς ἄρα τούτων ὄχα ἄριστος ἦν, σύ μοι ἔννεπε, Μοῦσα, αὐτῶν καὶ ἵππων». εἶτα δῆθεν ἡ Μοῦσα διὰ τὸ συνεχὲς τοῦ λόγου τοὺς μὲν ἄνδρας παριππεύσασα, οἳ πρῶτοι κεῖνται ἐν τῷ «αὐτῶν καὶ ἵππων» καὶ ἐν τῷ «τίς τούτων ἄριστος ἦν», τῶν δὲ ἵππων γενομένη, εἰς οὓς ἡ ἐρώτησις κατέληξε, φησίν· «ἵπποι μὲν μέγ’ ἄρισται ἦσαν Φηρητιάδαο, [τάς», ὅ ἐστιν] ἅς, «Εὔμηλος ἔλαυνε ποδώκεας ὄρνιθας ὥς, ὄτριχας, οἰέτεας, σταφύλῃ ἐπὶ νῶτον ἐΐσας, τὰς ἐν Πηρείῃ θρέψεν Ἀπόλλων ἄμφω θηλείας, φόβον Ἄρεος φορεούσας. ἀνδρῶν αὖ μέγ’ ἄριστος ἔην Τελαμώνιος Αἴας, ὄφρ’ Ἀχιλλεὺς μήνιεν· ὃ γάρ», ἤγουν οὗτος, «πολὺ φέρτερος ἦεν, ἵπποι θ’ οἳ φορέεσκον ἀμύμονα Πηλείωνα», ἤτοι τὸν αὐτὸν Ἀχιλλέα. ὤκνησε γὰρ δι’ ἀντωνυμίας δηλῶσαι αὐτόν. (v. 770) Δῆλον δὲ πάντως ἐκ τῶν εἰρημένων, ὅτι μετὰ τὸν Ἀχιλλέα καὶ τοὺς αὐτοῦ ἵππους ὁ Αἴας καὶ αἱ ἵπποι τοῦ Εὐμήλου εἰς ἀριστεῖον ἐγκρίνονται. (v. 763) Ἀξιοῖ δὲ λόγου τοὺς ἀρίστους τῶν ἵππων, φιλῶν καὶ αὐτούς, καθὰ καὶ τοὺς ἀριστεῖς, καὶ καθάπερ τὰ ἐν ὅπλοις διαφέροντα πολλαχοῦ ἐν λόγῳ τίθεται, οἷον Ἀγαμέμνονος θώρακα, σάκος Αἴαντος, ἑτέρου τινὸς κυνέην ἢ ἄλλο τι, —τὴν γὰρ Ἀχιλλέως πανοπλίαν τί χρὴ καὶ λέγειν; τὸ τῆς Ἰλιάδος δαιδάλεον ἔργον—οὕτω καὶ τοὺς κρείττους τῶν ἵππων οἷά τι καὶ αὐτοὺς ὅπλον φυλοκρινεῖ. εἰ γὰρ λόγου ἄξιος πέλεκυς τομὸς ὀφέλλων ἀνδρὸς ἐρωήν, πῶς οὐκ ἂν λόγοις μέλοιτο ἵππος στρατιωτικός, οὐ μόνον ὀχῶν τὸν ἐπιβάτην, ἀλλὰ μονονουχὶ καὶ συνεργαζόμενος τὰς ἀριστείας αὐτῷ; Καλῶς οὖν Πέρσαι κρίναντες οὐδεμίαν ὁδὸν ἤνυον πεζῇ, ἀλλ’ ἐφ’ ἵππων. οἱ δ’ αὐτοὶ καὶ ἱερὸν Ἡλίῳ τὸν ἵππον νομίσαντες ἔθυον ἵππον ἐκείνῳ, τῷ ταχυτάτῳ, φασί, τὸ ἐν ζῴοις τάχιστον. Ἡ δὲ ποίησις οὐκ ὤκνησε τὸν Ποσειδῶνα τῷ ἐκεῖθεν ἐπιθέτῳ σεμνῦναι· ἵππιος γάρ· καὶ κυριωνυμίαι δὲ μυρίαι φιλοῦσιν ἐκεῖθεν ἐλλάμπεσθαι, οἷον ἡ περιᾳδομένη Ἱπποδάμεια, ὁ Ἱπποκόων, ὁ Μακεδὼν Φίλιππος, ὁ σοφὸς Ἵππαρχός, ὁ Ἱππίας, οὗ ὁ Πεισίστρατος, καὶ λοιπαὶ στίχες ὀνομάτων σεμνῶν ἵπποις, ὡς ἂν εἴπῃ τις, ἔποχοι.

1.531 καὶ τῶν πολεμικῶν δὲ ταγμάτων τὸ ἐξέχον οἱ ἱππόται ἦσαν. καὶ ταῦτα μὲν μέχρι τοσούτου, ἵνα μὴ ὁ πλείων περὶ τῶν ἵππων λόγος τῆς ἐν σκοπῷ τροχιᾶς τὴν γραφὴν ἀπαγάγῃ. Σημείωσαι δέ, ὅτι Μούσας ἐν τῇ καταρχῇ τῆς Βοιωτίας ἐρωτήσας, ἐνταῦθα δὲ Μοῦσαν, οὐκέτι καὶ ἐν τῷ Τρωϊκῷ Καταλόγῳ τοιοῦτόν τι ποιήσει, οὐδὲ ἀξιώσει κατὰ τοὺς παλαιοὺς Μοῦσαν ἐπὶ Τρώων καλεῖν. αἴτιον δὲ ὅτι Ἕλληνες μέν, φασίν, ἐφάμιλλοι, Ἕκτωρ δὲ ἄριστος. τουτέστιν οἱ μὲν Ἕλληνες πάντες μεγάλοι καὶ [ἴσοι ἢ] ἀμφήριστοι τὴν ἀρετήν. διὸ καὶ χρεία ἦν τῆς ἐκ Μουσῶν διακρίσεως καὶ τῆς ἐκεῖθεν ἐπὶ τοῖς Ἀχαιοῖς καὶ τοῖς κατ’ αὐτοὺς ἀφηγήσεως, ἐπὶ δὲ τῶν Τρώων, ἐν οἷς μόνος Ἕκτωρ διεφαίνετο, περιττὸν ἡ τῆς Μούσης ἐπίκλησις. Ἔτι φασὶν οἱ παλαιοί, ὅτι παρὰ Μούσης τὴν ψῆφον ὁ ποιητὴς ἐπάγει, ὅπως μὴ λέγων αὐτὸς λυπεῖν τινας ἢ χαρίζεσθαι δοκοίη, καὶ ὅτι τὰς Εὐμήλου ἵππους προκρίνει διὰ τὴν παροιμίαν, ἐν ᾗ ἐπικρίνεται ἵππος Θετταλική. εἰ δὲ προὔχουσι, φασίν, αἱ τοῦ Ἀχιλλέως ὡς ἐκ θεῶν, ἀλλὰ καὶ αὐταὶ Θεσσαλὸν ἡνίοχον ἔχουσι. καὶ ὅτι σπέρματα προκαταβάλλει ἐνταῦθα τῇ ἐπὶ τῷ Πατρόκλῳ ἱπποδρομίᾳ καὶ τῇ ἀριστείᾳ τῶν τοῦ Εὐμήλου ἵππων, εἰ μὴ βλαβεῖεν· εἰ γὰρ δευτερεύουσιν αὗται τῶν τοῦ Ἀχιλλέως, εἰκότως ἐκεῖ τῶν λοιπῶν ἵππων τὸ πρωτεῖον ἐλπισθήσονται ἀποίσεσθαι. (v. 763) Φηρητιάδην δὲ ἢ μάλιστα τὸν Ἄδμητον λέγει, τὸν Φέρητος μὲν υἱόν, πατέρα δὲ Εὐμήλου, ἢ καὶ αὐτὸν ἴσως τὸν Εὔμηλον ὡς ἔγγονον Φέρητος, οὗπερ ἡ ἄρχουσα ἐξετάθη ἐν τῷ Φηρητιάδης διὰ μέτρον, ὅπερ καὶ ἐν τῷ Μηθώνῃ γέγονε. καὶ αὐτὸ γάρ, ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προείρηται, ἐκ τῆς Μεθώνης ὁμοίως ἐκτέταται. [(v. 764) Τὸ δέ «ἔλαυνεν» ἱππευτικὴ λέξις ἁρματηλάταις οἰκεία καὶ τοῖς ἄλλως ἁπλῶς ἱππεύουσι. πλὴν ἐλαύνεται τροπικῶς καὶ σίδηρος καὶ τάφρος καὶ τεῖχος πόλεως καὶ ἕτερα.] Τὸ δὲ ποδώκεας Ἀπίων καὶ Ἡρόδωρος οὐκ εὐλόγως προπαροξύνεσθαι λέγουσι. τὰ γὰρ εἰς υς ὀξυνόμενα, φυλάττοντα ἐν τῇ συνθέσει τὴν αὐτὴν κατάληξιν, ἀναδίδωσι τὸν τόνον, οἷον δριμύς ἄδριμυς, τραχύς ἄτραχυς. μὴ οὕτω δὲ ἔχοντα, ἀλλὰ τρέποντα τὸ τέλος, ἵσταται, φασίν, ἐπὶ ὀξείας, οἷον ἡδύς ἀηδής, βαρύς ἀβαρής, ἠΰς ἐνηής, βαθύς ἀβαθής. οὕτω γοῦν καὶ ὠκύς ποδωκής, ὥστε κατ' αὐτοὺς καὶ ἡ ποδωκὴς ἵππος ὀξυτόνως ὤφειλε καὶ τὸ πληθυντικὸν ποδωκέες.

1.532 Τὸ μέντοι «ποδώκης Ἀχιλλεύς» οὐ παρασαλεύουσιν οἱ ῥηθέντες, ἀλλά φασιν, ὅτι τὸ «ποδώκης Ἀχιλλεύς» εἰς ἰδιότητα τοῦ ἥρωος βεβαρυτόνηται. Τὸ δέ «ὄρνιθας ὥς» παραβολὴ μέν ἐστι σύντομος, τὸ πολὺ δὲ τοῦ τάχους παραδείκνυσιν ὥσπερ ἀλλαχοῦ τὸ ποδήνεμον. [δῆλον δὲ ὡς ὄρνιθας ἐνταῦθα λέγει οὐ τοὺς ἁπλῶς, ἀλλὰ ὠκυπέτας τινάς, κατὰ τὸ «θάσσονας ἰρήκων ἵππους εὔξεται εἶναι».] (v. 765) Τὸ δέ «ὄτριχας» συγκέκοπται μὲν ἐκ τοῦ ὁμοιότριχας, ψιλοῦται δὲ διὰ τὸ ἐπαγόμενον τ , ὡς καὶ τὸ ὀτρύνω καὶ Ὀτρεύς καὶ ὄτοβος καὶ τὰ ὅμοια. ὅτε δὲ συνέκειτο τῷ μ ἐν τῷ ὁμοιότριχες, τότε διὰ κανόνα ἕτερον ἐδασύνετο. Τὸ δέ «οἰέτεας» δηλοῖ μὲν τὸ ὁμοέτεας ἤτοι ὁμοχρόνους, συνεκόπη δὲ ὁμοίως καὶ αὐτὸ καὶ ὀφεῖλον εἶναι ὀέτεας ἐμηκύνθη πλεονασμῷ τοῦ ι διὰ μέτρου εὐχρηστίαν καὶ εὐθὺς ἐψιλώθη κανονικῶς καὶ αὐτό. Ἐνταῦθα δὲ σημείωσαι, ὅτι εἰ καὶ εὕρηται παρὰ τοῖς ὕστερον Ἀττικοῖς θηλυκὸν σύνθεμα ἐκ τοῦ ἔτους εἰς ις λῆγον καὶ διὰ τοῦ δος κλινόμενον, ὡς δηλοῦσι καὶ αἱ τριακοντούτιδες σπονδαί, ἀλλ' ὁ ποιητὴς ἵππους οἰέτιδας δυνάμενος εἰπεῖν οἰέτεας λέγει διὰ τοῦ η πάντως γράφων τὸ οἰέτης ἵππος τὸ θηλυκὸν καὶ διὰ τοῦ εος κλίνων Ἰωνικῶς. οἰέτεος γάρ, οὗ αἰτιατικὴ πληθυντικὴ οἰέτεας. Ἔτι κἀκεῖνο σημείωσαι, ὅτι, εἰ καὶ οἱ μεθ' Ὅμηρον τὰ εἰς ης ὀνόματα τὰ ἀπὸ τοῦ ἔτους ὀξύνουσι καὶ τὴν αὐτὴν κλίσιν καὶ τὸν αὐτὸν τόνον τηροῦσιν ἔν τε ἀρσενικῷ γένει ἔν τε θηλυκῷ, οἷον ὁ διετής τοῦ διετέος καὶ ἡ διετής τῆς διετέος, καὶ οὕτω κατ' αὐτοὺς ἀναλόγως οἰετής οἰετέος ὤφειλεν εἶναι καὶ τὸ πληθυντικὸν οἰετέας, ἀλλ' ὁ ποιητὴς βαρύνει τὰ τοιαῦτα, ὡς δῆλον καὶ ἐκ τοῦ ἑξέτε' ἀδμήτην. διὸ καὶ τὸ οἰέτεας ἐνταῦθα προπαροξυτόνως ἐκφέρει. ἐξηκολούθησε γὰρ κατὰ τοὺς παλαιοὺς τὸ οἰέτης τῷ εὐνέτης, γαμέτης καὶ τοῖς τοιούτοις, ἐν οἷς μόνον τὸ εὑρετής σεσημείωται. οἱ δ' αὐτοί φασι καί, ὅτι Ὁμηρικὸν τὸ ποδώκης βαρυτόνως. οἱ μέντοι πρὸ ὀλίγου ῥηθέντες Γραμματικοὶ ἀπηλεγέως κατακρίνουσι τὸ οἰέτεας ὡς παραλόγως προπαροξυνόμενον λέγοντες, ὅτι τὰ εἰς ος οὐδέτερα δισύλλαβα ποιοῦντα ἐπιθετικὰ σύνθετα εἰς ης λήγοντα, ἐν ὀξείᾳ τάσει ἔχουσιν αὐτά· γένος εὐγενής, κλέος εὐκλεής, θάλος εὐθαλής.

1.533 ἐχρῆν οὖν, φασί, καὶ περὶ τὸ ἔτος ταὐτὸ γίνεσθαι. ἀναγινώσκουσι δὲ καὶ τὸ ἑξέτε' ἀδμήτην παροξυτόνως ἑξετέα, ὡς εὐσεβέα. Αἴλιος δὲ Διονύσιος, ἐν ᾧ συνέθετο Λεξικῷ, φησί· «διέτης, τριέτης, πεντέτης καὶ πάντα τὰ ὅμοια βαρύνουσιν Ἀττικοὶ προφέροντες τῷ τόνῳ ὡς εὐεργέτης». Ἡρωδιανὸς δὲ τοῖς ἀπηλεγέως, ὡς ἐρρέθη, κατακρίνουσι συνδιαγνωμονῶν λέγει, ὅτι οἱ μὲν τὸ διετής ὀξυτόνως προηνέγκαντο, οἱ δὲ βαρυτόνως. ὁ μέντοι λόγος ἀπαιτεῖ ὀξυτόνως λέγειν, ἐπεὶ πᾶν εἰς ος οὐδέτερον δισύλλαβον, ἐπὰν τὸ κατὰ τὴν παρατέλευτον μεμελέτηται διὰ τοῦ ε εἶναι, ἡνίκα ἂν συντεθῇ, εἰς ης λήγει καὶ ὀξύνεται, οἷον σθένος ἀσθενής, βέλος πολυβελής. οὕτως οὖν καὶ ἔτος διετής καὶ τὰ ὅμοια. [Ὅτι δὲ διάφορα καὶ ἄλλα οἱ Ἀττικοὶ παρὰ τὴν ἀνάλογον συνήθειαν τονοῦσι, δῆλον καὶ ἐκ τοῦ τροπαῖον, ὃ κοινῶς τρόπαιον λέγεται, καὶ ἐκ τοῦ ἑτοῖμον καὶ ἐρῆμον καὶ ἐκ τοῦ ὁμοῖος. τὸ γὰρ κοινὸν ὅμοιος ἐν προπερισπάσει. οἱ δ' αὐτοὶ καὶ βδέλυρος λέγουσι καὶ πόνηρος καὶ μόχθηρος ἔξω ἀναλογίας. Πᾶν γὰρ εἰς ρος λῆγον παρώνυμον, παρεσχηματισμένον τοῖς γένεσιν, ὀξύτονόν ἐστι καθ' Ἡρωδιανόν. Διό, φησίν, εἰ καὶ πόνηρος μὲν καὶ μόχθηρος βαρυτόνως ἐπὶ τῶν ἐπιπόνων καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπομενετικῶν, πονηρὸς δὲ καὶ μοχθηρὸς ἐπὶ τῶν κατὰ ψυχὴν φαύλων, ἀλλὰ τοῦτο οὐκ εὖ. εἰ γὰρ πόνος καὶ μόχθος τὰ πρωτότυπα, εὐλόγως πονηρὸς καὶ μοχθηρὸς τὰ τούτοις παρακείμενα, κἂν διαφόρων ἔχηται σημασιῶν, ἵνα ᾖ ἀνάλογα τῷ κάματος καματηρός, ὄλισθος ὀλισθηρός, βλάβη βλαβερός, κράτος κρατερός. τονώσεως δὲ διαφόρου Ἀττικῆς καὶ τὸ ἰδέ καὶ λαβέ ἀντὶ τοῦ ἴδε καὶ λάβε κατὰ συνεκδρομὴν τοῦ εἰπέ, ἐλθέ, εὑρέ.] Τὸ δέ «σταφύλῃ ἐπὶ νῶτον ἐΐσας» δηλοῖ μὲν τὰς ἰσήλικας, ἔχει δὲ ἔλλειψιν τοῦ ως παραβολικοῦ ἐπιρρήματος. ὤφειλε γὰρ εἶναι «ὡς σταφύλῃ», ἵνα λέγῃ αὐτὰς οὕτως ἴσας ἀλλήλαις τὸ μῆκος ἐν τῇ κατ’ ἐπίπεδον στάσει, ὡς ἐὰν σταφύλῃ ἐξισώθησαν. Ἔστι δὲ ἡ σταφύλη βαρυτόνως, ὡς ἡ κοτύλη, πρὸς διαστολὴν τῆς ὀξυτόνου ὀπώρας, τεκτονικὸν ἐργαλεῖον, ἐξισάζον τὰ ὑποκείμενα.

1.534 καί φασιν οἱ ἀκριβέστεροι λαξοϊκόν, ἤτοι λιθοξοϊκόν, καὶ λαξευτικὸν διαβήτην εἶναι τὴν σταφύλην, ὃς ἅμα πλάτος καὶ ὕψος μετρεῖ. ὁ δὲ ἕτερος, φασί, διαβήτης μόνον πλάτος. ἦσαν οὖν, φασίν, αἱ τοῦ Εὐμήλου ἵπποι ἄμφω ἴσαι τὸν νῶτον, ὡς σταφύλῃ τοιαύτῃ μετρεῖσθαι. ῥηθήσεται δὲ περὶ ταύτης καὶ μετ’ ὀλίγα. Ἰστέον δὲ νῦν καί, ὅτι Πτολεμαῖος ὁ Ἀσκαλωνίτης ἐν τῷ Περὶ τῶν ἐν Ὀδυσσείᾳ προσῳδιῶν εἰπὼν κεῖσθαι τὴν λέξιν ταύτην ἐπὶ τῆς καθιεμένης μολύβδου παρὰ τῶν τεχνιτῶν λέγει καί, ὅτι τὸ «σταφύλῃ ἐπὶ νῶτον ἐΐσας» βαρύνεται ὡς Νιόβη. ἔστι γάρ, φησίν, οὐχ’ ὅμοιον τῷ συκῇ· τοῦτο μὲν γὰρ διαιρεῖται συκέη, ἐκεῖνο δὲ οὐ διαιρεῖται. Λέγει δὲ ὁ Πτολεμαῖος τοῦτο διὰ τὸ μηδὲ τὴν ὀπώραν, τὴν σταφυλήν, δεῖν εἶναι ὀξύνεσθαι ἀλλὰ περισπᾶσθαι, οἷα τῶν τοιούτων εἰς λη θηλυκῶν, ἃ παραλήγεται τῷ υ , περισπωμένων κατὰ Ἡρακλείδην, [φάμενον ἡμαρτῆσθαι παρὰ τοῖς ἑλληνίζουσι τὸ σταφυλή ὀξυνόμενον. ὅσα γὰρ τοιαῦτα παρατελευτῶνται τῷ υ , περισπῶνται. καὶ λέγει καὶ κανόνα τινὰ εἰς τοῦτο ἐκεῖνος.] (v. 766) Τὸ δέ «ἐν Πηρείῃ» ἀμφιβέβληται. τινὰ μὲν γὰρ ἀντίγραφα διὰ διφθόγγου τὴν ἄρχουσαν ἔχουσι, τὴν δὲ παραλήγουσαν διὰ μόνου διχρόνου. αἰτία δέ τις οὐ παραδέδοται τῆς τοιαύτης γραφῆς. ἐν δὲ ἑτέροις ἡ μὲν ἀρχὴ τὸ η ἔχει, ἐν διφθόγγῳ δὲ ἡ παράληξις γίνεται. καὶ εὕρηται οὕτω καὶ ἐν τῇ κατὰ στοιχεῖον Συλλογῇ τῶν Ἐθνικῶν, ἔνθα κεῖται, ὅτι Πήρεια χωρίον Θετταλικόν, ὅπερ τυχὸν ἑλῶδες ἦν καὶ ἀγαθὸν τρέφειν ἵππους. Ἀπόλλων δὲ τὰς Εὐμήλου ἔθρεψεν ἵππους, ὡς νομεύς, καί, ὡς θητεύσας, φασί, τῷ Ἀδμήτῳ, ἢ κατὰ ἔρωτα ἢ ἐξ ἀνάγκης τοῦ Διός, οἷα πεφονευκὼς τοὺς Κύκλωπας, οὐ τοὺς ἐν Ὀδυσσείᾳ, ἑτέρους δὲ δηλαδή, περὶ ὧν προγέγραπται. εἰ δέ, ὡς εἴρηται, ἔθρεψεν Ἀπόλλων, οὐκ ἄρα μόνον ἀπόλλυσιν, ὥσπερ καὶ προδεδήλωται, ἀλλὰ καὶ μάλιστα ζωογόνος λάμπει καὶ θάλπει, ὡς οὔλιος, ὅ ἐστιν ὑγείας ποιητικός, καθὰ καὶ αὐτὸ προείρηται.

1.535 (v. 767) Θήλειαι δὲ ἦσαν αἱ ῥηθεῖσαι ἵπποι, ὡς καὶ ἡ βασιλικὴ Αἴθη. καὶ ὅσα τις ἐρεῖ πρὸς ἔπαινον ἐκείνης, ἁρμόττει καὶ ταύταις. οὐ γὰρ σκορακιστέον τὰ θήλεα τῶν ζῴων ὡς μὴ χρηστὰ εἰς ἔργον. οἱ δὲ παλαιοὶ ἐνταῦθά φασιν, ὅτι, ἐπειδὴ ἱκανὸν πρὸς νίκην τὸ ἱππικόν, οὐ μόνον ἄρρενας ἀλλὰ καὶ θηλείας ἤγαγον εἰς Τροίαν οἱ Ἀχαιοί, οὐ μόνον ἀφθονίας τοῦ γένους χάριν, ἀλλὰ καὶ ὅπως οἱ ἄρρενες ῥυθμίζοιντο μὴ ἐξοιστρᾶσθαι (ἔστι γὰρ μάλιστα αἰσθανόμενον ὁ ἵππος) διά τε τὸ μὴ χρεμετίζειν ἐν τοῖς λόχοις. Οἱ αὐτοὶ δὲ κἀκεῖνό φασι περὶ τοῦ «ὄτριχας οἰέτεας σταφύλῃ τὸν νῶτον ἐΐσας, ἄμφω θηλείας, φόβον Ἄρεος φορεούσας», ὅτι συντόμως πᾶσαν ἵππων διαφορὰν περιέλαβε. διαφέρουσι γὰρ ἀλλήλων ἵπποι ἡλικίᾳ, χροιᾷ, μεγέθει, γένει, δυνάμει, ὧν ἡλικίαν μὲν δηλοῖ τὸ οἰέτεας, χροιὰν δὲ τὸ ὄτριχας, μέγεθος δὲ τὸ σταφύλῃ ἴσας, ὅπερ τινὲς οὐ διαβήτην τὸν ἀνωτέρω ῥηθέντα ἐνόησαν, ἀλλὰ στάθμην, ἥτις, φασίν, ἐστὶ σχοινίον λεπτὸν χριόμενον μίλτῳ ἢ μέλανι, ᾧ συνηγούμενοι ἀπορθοῦσι τὰ ξύλα. καὶ οὕτω μὲν ἡ σταφύλη ἡλικίαν δηλοῖ, γένος δὲ τὸ «ἄμφω θηλείας», δύναμιν δὲ τὸ «φόβον Ἄρεος φορεούσας». λέγει γὰρ δεινὰς αὐτὰς εἶναι πονεῖσθαι περὶ πόλεμον. Ἀλλαχοῦ μὲν γὰρ ἵππων ἀρετὴν ἐκτιθέμενος δεξιοὺς εἶπεν εἶναι διώκειν καὶ αὖθις ἐν καιρῷ φέβεσθαι ἤτοι φεύγειν, ἀταράχως δηλαδή. ἐνταῦθα δὲ τῷ τοῦ φόβου ὀνόματι, ἤτοι τῆς ἐν δέοντι φυγῆς, ἀφῆκε κατὰ

λόγον συντομίας συννοεῖσθαι καὶ τὸ διώκειν. ὁ δὲ ῥηθεὶς φόβος καὶ ταχυτῆτα ἵππων ἔοικε δηλοῦν, ὡς πολλῶν τοὺς ταχεῖς ἵππους λεγόντων φεύγειν, ὅ ἐστι συντόνως τρέχειν, οἷα τῶν φευγόντων μάλιστα τὸν δρόμον ἐπιτεινόντων, ὡς δηλοῖ καὶ παροιμία ἡ ἐπ' ἀνθρώπων λέγουσα «θέειν τὸν περὶ ψυχῆς», ὁποῖόν τι καὶ παρὰ Ἡροδότῳ δηλοῖ τὸ «περὶ τοῦ παντὸς ἤδη δρόμου θέοντες». καὶ αὐτὸ γὰρ ἐπὶ ἀνθρώπων τὸν περὶ ψυχῆς δρόμον ἐμφαίνει. Τινὲς δὲ τὸ «φόβον Ἄρεος φορεούσας» εἶπον ἀντὶ τοῦ ἀπτοήτως φευγούσας, ἕτεροι δὲ τὰς μὴ φοβουμένας. ὡς γὰρ λύπην φέρειν τὸ μὴ λυπεῖσθαι, οὕτω καὶ φόβον φέρειν τὸ μὴ φοβεῖσθαι. ἄλλοι φόβον Ἄρεος τὸν ἐκ σιδήρου καυτῆρα ἐνόησαν—Ἄρης γὰρ καὶ ὁ σίδηρος—ἵνα λέγῃ ἐγκεκαῦθαι αὐταῖς ἀπὸ σιδήρου σφραγῖδα.

1.536 ἤρεσε δέ τισι καὶ δόρυ ἐνταῦθα εἰπεῖν τὸν τοῦ Ἄρεος φόβον, ὡς δόρατος ἐγκεκαυμένου αὐταῖς εἰς ἐπίσημον. ὅρα δέ, ὅτι περὶ μὲν τὰς Εὐμήλου ἵππους πλέον ἀπησχόλησεν ἑαυτὴν ἡ Μοῦσα, τοὺς δὲ τοῦ Ἀχιλλέως ἐν ὀλιγίστῳ ἐσέμνυνε, παῦρα μὲν εἰποῦσα, μάλα δὲ λιγέως. ὡς γὰρ Ἀχιλλεὺς πολὺ φέρτερος ἀνδρῶν, οὕτως οἱ αὐτοῦ ἵπποι φέρτεροι δηλαδὴ τῶν λοιπῶν ἵππων, εἰ καὶ ὁ ποιητὴς ἐνέλειψε τοῦτο εἰπεῖν διὰ τὸ πάντῃ σαφὲς [ἢ καὶ διὰ τὸ εὐλόγως ὑπονοεῖσθαι, ὡς ὁ εἰς πᾶν ἀμύμων Ἀχιλλεὺς καὶ ὄχ' ἄριστος, ταὐτὸν δ' εἰπεῖν καὶ μέγ' ἄριστος, ἀνάλογον ἄν, ὡς εἰκός, ἐχρῆτο καὶ ἵπποις, οἳ οὐκ ἂν ᾔσχυνον αὐτῷ τὴν ἀρετήν.] Ἐνταῦθα δὲ σημείωσαι, ὅτι βραχὺς ἔπαινος ἀντισηκῶσαί ποτε δύναται πρὸς πλατὺ ἐγκώμιον. οὐ γὰρ οὕτω σεμνὰ τὰ πολλὰ τὰ ἐπὶ ταῖς Εὐμήλου ἵπποις, ὡς ὁ ἐπίτροχος οὗτος ἔπαινος τῶν Ἀχιλλέως ἵππων. παραφράσαντα γὰρ τὸ τοῦ Εὐριπίδου εἰπεῖν, οὐ ποικίλων δεῖ τὸ αὐτόθεν μέγα ἑρμηνευμάτων. καὶ ἄλλως δέ, τούτους μὲν ὁ ἐπιὼν διαδείξει καιρός, ὥστε οὐ χρὴ νῦν πολυλογεῖν ἐπ' αὐτοῖς. αἱ τοῦ Εὐμήλου δὲ οὐ πάνυ τι φανητιάσουσι, διὸ ἐδέησεν ἐπὶ πλέον ἐνταῦθα συστῆσαι αὐτάς. οὕτω καὶ τὸν Αἴαντα ἐν τῷ Καταλόγῳ πάντῃ ἀσεμνολόγητον εἴασε καὶ τὸν Ὀδυσσέα. αὐτὰ γὰρ ἐν τοῖς ἑξῆς τὰ μεγάλα ἔργα σεμνυνεῖ τοὺς ἥρωας. [ὅτι δὲ οὐ τέθριππον ἀπήρτιζον αἱ καλαὶ ἵπποι τοῦ Εὐμήλου, ἀλλὰ δύο μόναι αὐτῷ ἦσαν, δηλοῦται ἐν τῷ «ἄμφω θηλείας».] Ὅρα δὲ καί, ὅτι οὐκ εὐθὺς μετὰ τὰς ἵππους Εὐμήλου ἔθετο τοὺς τοῦ Ἀχιλλέως, ἀλλὰ μεσολαβήσας τὸν Τελαμώνιον καὶ τὸν Ἀχιλλέα, εἶτα τοὺς αὐτοῦ ἵππους ἐξεφώνησε. Τοῦτο δὲ καὶ σχῆμα καινότερον ἐποίησε καὶ εὐκρίνειαν δὲ εἰργάσατο τῇ συνεχείᾳ τοῦ λόγου. παρέθετο γὰρ τῷ περὶ Ἀχιλλέως λόγῳ τοὺς αὐτοῦ ἵππους. πεποίηκε δὲ καὶ συντομίαν τῇ ἐλλείψει, ὡς πρὸ ὀλίγου γέγραπται. Οὕτω δὲ περιώνυμος καὶ τὰ εἰς τροφὴν ἵππων ὁ Ἀχιλλεύς, ὥστε καὶ κριθαὶ Ἀχίλλειαι λέγονται, ὁποίας ἂν ἤσθιον οἱ Ἀχιλλέως ἵπποι, ὥσπερ δὴ καὶ σπόγγος Ἀχίλλειος λεπτότατος, φασί, καὶ πυκνότατος καὶ ἰσχυρότατος, ὃν ὑπὸ τὰ κράνη καὶ τὰς κνημῖδας τιθέασιν. ὃς καὶ ἧττον πληγεὶς ποιεῖ, φασί, ψόφον. σπανιώτατοι δὲ οἱ τοιοῦτοι, φασί, γίνονται. [Λέγεται δὲ καὶ ἐν Μιλήτῳ κρήνη εἶναι, ἥτις Ἀχίλλειος ἐκαλεῖτο, ἧς τὸ μὲν ῥεῦμα γλυκύτατον, τὸ δ' ἐφεστηκὸς ἁλμυρόν. ἀφ' ἧς καὶ περιρράνασθαί φασι τὸν ἥρωα οἱ Μιλήσιοι, ὅτε ἀπέκτεινε Τράμβηλον, τὸν τῶν Λελέγων βασιλέα, οὗ μνεία καὶ ἐν τοῖς κατὰ τὸν Λυκόφρονα. Ἰστέον δέ, ὡς, εἴγε τῷ γλυκεῖ ἐφέστηκεν, ὡς ἐρρέθη, προσεχῶς τὸ ἁλμυρόν, καινὸν οὐδὲν καὶ τὸν Τιταρήσιον ἐπιτρέχειν ἄμικτον τῷ Πηνειῷ διὰ τὸ ἐλαιῶδες, ὡς ἐν τοῖς εἰς τὴν Βοιωτίαν γέγραπται.

1.537 οὕτω δὲ καὶ ἐν τῇ νήσῳ Τήνῳ κρήνη λέγεται εἶναι, ἧς τῷ ὕδατι οἶνος οὐ μίσγεται.] (v. 768 s.) Τὸ δέ «μέγα ἄριστος» ταὐτὸν τῷ πρὸ μικροῦ ῥηθέντι τῷ «ὄχ' ἄριστος». [Ἴσως δὲ πλεῖόν τι τούτου ἐκεῖνο δηλοῖ. διὸ ζητήσας τὸν ὄχ' ἄριστον καὶ μαθὼν μέγ' ἄριστον εἶναι τὸν Αἴαντα, ὡς καὶ μέγ' ἀρίστας ἵππους τὰς τοῦ Εὐμήλου, οὐκ ἠξίωσε τὸν Ἀχιλλέα οὕτω καλέσαι ἀλλὰ πολὺ φέρτατον, ὡς τοῦτο ὂν τὸ ὄχ' ἄριστος. δοκοῦσι δὲ καὶ οἱ τοῦ Ἀχιλλέως ἵπποι τοῦτο ἔχειν.] ὅρα δὲ καί, ὅτι τὸ φορέεσκον, ἤτοι ἐφόρουν καὶ ἔφερον, ἐπὶ ἐμψύχου ἐνταῦθα κεῖται, τοῦ Ἀχιλλέως δηλαδή. (v. 772—9) Ὅτι ἐν μὲν τοῖς ἑξῆς ἀπομηνῖσαι τὸν Ἀχιλλέα ὁ ποιητὴς ἐρεῖ, τουτέστιν ἀποθέσθαι τὴν μῆνιν, ἐνταῦθα δὲ εἰπών, ὅτι ἐν νήεσσιν ἔκειτο ἀπομηνίσας Ἀγαμέμνονι, τὴν ἐπιμονὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δηλοῖ τῆς μήνιδος. κεῖται γὰρ ἡ ἀπο πρόθεσις ἀργή, ὡς καὶ ὅτε τις λέγει ἀπομνημονεύειν χάριτος, ἐξ οὗ καὶ τὸ ἀπομνημόνευμα. οὕτω δὲ καὶ τὸ ἀπαντᾶν ἀδιάφορον πρὸς τὸ ἀντᾶν καὶ τὸ ἄνδρ᾽ ἀπαμύνασθαι ἀντὶ τοῦ ἀμύνασθαι· ὅμοιον δὲ καὶ τὸ ἀπέχθεσθαι. περιττὴ δὲ ὁμοίως ἡ πρόθεσις καὶ ἐν τῷ ἀπ᾽ οὐρανόθεν καὶ ἀπονόσφι. [Ὅτι δ᾽ ἐνταῦθα τὸ ἀπομηνῖσαι ταὐτόν ἐστι τῷ μηνῖσαι, δῆλον ἐξ Ὁμήρου εἰπόντος ἀνωτέρω μέγ᾽ ἄριστον Αἴαντα εἶναι, ὄφρ᾽ Ἀχιλλεὺς μήνιε, καὶ ἐπαγαγόντος τὸ ἀπομηνίσας ταὐτὸν ὂν τῷ μηνίσας.] Πάνυ δὲ ἐν τῇ Βοιωτίᾳ κατεπύκνωσε τὸν λόγον τῇ τοῦ Ἀχιλλέως μνήμῃ, ὅσγε καὶ νῦν μάλιστα μνείαν ἔχει αὐτοῦ καὶ τῶν περὶ αὐτὸν λέγων, ὅτι «λαοὶ δὲ παρὰ ῥηγμῖνι θαλάσσης», ὅ ἐστιν αἰγιαλῷ, διὰ τὴν ἐκ πολέμου ἀργίαν, «δίσκοισι τέρποντο καὶ αἰγανέῃσιν ἱέντες τόξοισί τε· ἵπποι δὲ παρ᾽ ἅρμασιν [οἷσιν», ἤγουν ἰδίοις,] «ἕκαστος λωτὸν ἐρεπτόμενοι ἐλεόθρεπτόν τε σέλινον [ἕστασαν,] ἅρματα δ᾽ εὖ πεπυκασμένα κεῖτο [ἀνάκτων] ἐν κλισίῃς· οἳ δ᾽ ἀρχὸν ἀρηΐφιλον ποθέοντες φοίτων ἔνθα καὶ ἔνθα κατὰ στρατὸν οὐδ᾽ ἐμάχοντο». καὶ ὅρα τὸ «ἀρχὸν ποθέοντες», ὡς οὐ μόνον ἐπὶ τεθνεῶτος ἀρχηγοῦ λέγεται, καθὰ ἐπὶ Πρωτεσιλάου, ἀλλὰ καὶ ἐπὶ ζῶντος. οὕτω γὰρ καὶ τὸν Φιλοκτήτην ἐπόθουν οἱ αὐτοῦ καὶ τὸν Ἀχιλλέα οἱ περὶ αὐτόν. (v. 774) Δίσκοι δέ, ὡς καὶ ἐν Ὀδυσσείᾳ, λίθοι στρογγύλοι, οὓς χειριζόμενοι ἐρρίπτουν εἰς μῆκος οἱ γυμναζόμενοι. εἰ δὲ ἦν ἐκ σιδήρου, σόλος τὸ τοιοῦτον ἐλέγετο. γίνεται δὲ δίσκος ἀπὸ τοῦ δίκω, τὸ βάλλω καὶ ἀφίημι, πλεονασμῷ τοῦ ς . ἐκ τούτου δὲ καὶ δίκτυον, τὸ κατὰ ὑγροῦ ἀφιέμενον, ὡς καὶ βόλος ἀπὸ τοῦ βάλλειν.

1.538 Αἰγανέα δὲ εἶδος ἀκοντίου ἐλαφροῦ παρὰ τὸ ἄγαν ἵεσθαι, ἤτοι πέμπεσθαι, ἢ διὰ τὸ δεξιὸν εἶναι εἰς θήραν αἰγῶν κατὰ τοὺς παλαιούς, οἵ φασι καί, ὅτι αἰγανέα, ἧς ἡ ἀγκύλη ἐξ αἰγείου δορᾶς. Λέγουσι δὲ ἀγκύλην τὴν τῆς αἰγανέας λαβήν. κεῖται δὲ ὁ στίχος οὗτος καὶ ἐν Ὀδυσσείᾳ ἐπὶ τῶν μνηστήρων. διὸ καὶ λέγουσιν ἐνταῦθα οἱ παλαιοὶ ἐπαινοῦντες τὴν τοιαύτην γυμναστικήν, ὅτι χρὴ τοὺς εἰωθότας κινεῖσθαι μὴ ἀγυμναστεῖν. οὐ γὰρ ἂν λοιμώξαιεν. καὶ μετ᾽ ὀλίγα, ὅτι, εἴγε καὶ μνηστῆρες γυμνάζονται καὶ τὰ ἑξῆς. Σημείωσαι δέ, ὅτι, ὥσπερ εἶδος ἀκοντίου ἡ αἰγανέα, οὕτω καὶ σίγυμνον παρὰ Λυκόφρονι καὶ γαῖος ἢ γαῖον, δόρυ ὁλοσίδηρον, παρὰ Παυσανίᾳ, ἢ ἐμβόλειον ὁλοσίδηρον. καὶ ἡ ἀγκύλη δὲ ἀκόντιόν ἐστί τι, ὅθεν καὶ οἱ ἀκοντισταὶ ἀγκυλισταί. ἀπ᾽ αὐτῆς δὲ καί τι ἑκηβόλον μεσάγκυλον παρωνόμασται, ὡς δηλοῖ παρ᾽ Εὐριπίδῃ τὸ «πρῶτα μὲν τόξοισι καὶ μεσαγκύλοις σφενδόναις θ᾽ ἑκηβόλοις». Ἴσως δὲ πολυωνυμίας λόγῳ ταὐτόν ἐστιν ἀγκύλην εἰπεῖν καὶ μεσάγκυλον. τὸ δὲ ῥηθὲν σίγυμνον σίγυννον ἕτεροι γράφουσιν, ὡς Ἀπολλώνιος· «σιγύννους ἰθὺς ἀνασχόμενοι», καί φασιν ἀσπιδίσκια ἤγουν μικρὰ πελτάρια τὴν λέξιν ἀλλαχοῦ σημαίνειν, ἐνταῦθα δὲ δόρατα ὁλοσίδηρα, καὶ εἰς μὲν σημασίαν εὖ σφυρηλατοῦσιν αὐτὰ λέγοντες καὶ Κυπρίων γλώσσης εἶναι. βάπτουσι δὲ εἰς ἐτυμολογίαν οὐ μαλθακὴν φάμενοι συϊκαινά τινα εἶναι αὐτά, ὡς δεξιὰ εἰς τὸ σύας καίνειν. Ἔτι ἰστέον καί, ὅτι ἀγκύλη οὐ μόνον ἡ ἀνωτέρω ῥηθεῖσα, ἀλλὰ καὶ ἡ καμπὴ τοῦ ἀγκῶνος καὶ ποτηρίου γένος χρήσιμον εἰς κοτάβους παρὰ τὸ ἀγκύλον, τὸ ἐπικαμπὲς καὶ στρεβλὸν καὶ σκολιὸν καὶ ἐπικεκλασμένον. ἠγκύλουν γάρ, φασί, τὴν δεξιὰν οἱ τοὺς κοτάβους προϊέμενοι κυκλοῦντες αὐτήν, [οὓς δὴ κοττάβους ἀγκυλητοὺς Αἰσχύλος ἔφη ὁμωνύμως δόρασιν, ἅπερ ἀγκυλητὰ καὶ μεσάγκυλα ἐκάλουν ἀπὸ χειρός, φασί, δεξιᾶς.

1.539 Χρῆσις δὲ κοτύλης παρά τε Βακχιλίδῃ ἐν τῷ «εὖτε τὴν ἀπ᾽ ἀγκύλης πίνουσι» καὶ παρὰ Κρατίνῳ ἐν τῷ «πιεῖν δὲ θάνατος οἶνον ἂν ὕδωρ ἐπῇ» καὶ ἑξῆς ἕως τοῦ «πίνους᾽ ἀπ᾽ ἀγκύλης».] ἐκ δὲ τοῦ τοιούτου ἀγκύλου καὶ ὁ ἀγκυλομήτης. τίς δὲ ὁ κότταβος, δηλοῦσι σὺν ἄλλοις καὶ οἱ Σχολιασταὶ τοῦ Κωμικοῦ. [Τὸ δέ «ἱέντες» πρὸς ἀκρίβειαν ἐννοίας κεῖται. οὐ γὰρ ἁπλῶς οἱ περὶ τὸν Ἀχιλλέα δίσκοις τέρπονται καὶ αἰγανέαις καὶ τόξοις, ἀλλὰ ἱέντες ἐτέρποντο, τουτέστι πέμποντες. γενικῶς δὲ ἡ λέξις αὐτοῖς ἁρμόττει. δίσκος τε γὰρ ἐκ τοῦ δίκειν, ὅ ἐστιν ἀφιέναι καὶ βάλλειν, καὶ αἰγανέα παρὰ τὸ ἄγαν ἵεσθαι, καὶ ἰὸς δέ ποτε ὁ ἐκ τόξου ἱέμενος.] (v. 776) Λωτὸς δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νῦν οὐχ’ οἷος ἐν Ὀδυσσείᾳ ὁ γλυκὺς καὶ ἀνθρώπων ἐπαγωγός, βοτάνη δὲ λειμωνιὰς ἵπποις εὐπρόσιτος. καὶ οὗτος μὲν ὁ λωτός, καθὰ καὶ ὁ ἐν Ὀδυσσείᾳ, διὰ τοῦ ω μεγάλου ἔχει τὴν ἄρχουσαν. ὁ δέ γε διὰ τοῦ ο μικροῦ, ὁποῖος ὁ δηλούμενος ἐν τῷ «λοτοῦ κατὰ πνεύματα μέλπει», συστέλλει τὴν ἄρχουσαν παρά τισι καὶ δηλοῖ καλαμίσκον τινά, ἐξ οὗ καὶ λόταξ λόταγος ὁ περὶ τοιοῦτον λοτὸν πονούμενος. Τὸ δέ «ἐρεπτόμενοι» ἐπὶ ἀλόγων κυρίως ἢ κατὰ ὀνοματοποιΐαν τινὰ ἢ μᾶλλον ἀπὸ τῆς ἔρας ἤτοι τῆς γῆς, ἵνα ᾖ ἐρέπτεσθαι τὸ ἀπὸ τῆς ἔρας πάσασθαι καὶ φαγεῖν.

1.540 σημαίνει δέ τι καὶ ἑτεροῖον ἡ λέξις ἐν τῷ «ποταμὸς γαῖαν ὑπέρεπτε ποδοῖιν», ἤγουν ὑπέσυρεν, ὡς οἷον ὑπεσθίων τὴν ὑπὸ τοῖς ποσὶν ἰλὺν ἐπὶ συμποδισμῷ ἥρωος. Τὸ δέ «ἐλεόθρεπτον σέλινον» τρόπος ἐστὶν ἐτυμολογικός. σέλινον γὰρ σύγκειται ἀπὸ τοῦ σεύεσθαι ἐν ἕλει, ἤγουν ὁρμᾶσθαι καὶ αὔξεσθαι ἐν διύγρῳ τόπῳ. τοιοῦτον γὰρ τὸ ἕλος. εἰ γοῦν τὸ σέλινον σεύεται ἐν ἕλει, εἴη ἂν ἀληθῶς ἐλεόθρεπτον ὡς ἐπὶ ἕλους τρεφόμενον. ἔστιν οὖν ἐτυμολογία σελίνου τὸ ἐλεόθρεπτον. ἄλλο δέ, φασί, τὸ ἕλειον σέλινον τοῦτο παρὰ τὸ πετροσέλινον, στραγγουριῶσι δὲ συμβάλλεται καὶ ὠφελεῖ τοὺς ἀργοῦντας τῶν ἵππων. Ἰστέον δέ, ὅτι τὸ μὲν ἕλος δασύνεται, ἀφ’ οὗ καὶ οἱ Εἵλωτες, τὸ μέντοι ἐλεόθρεπτον ψιλοῦται διὰ κανόνα λέγοντα, ὅτι τὸ ε πρὸ τοῦ λ τῆς τρίτης συλλαβῆς καθαρευούσης ψιλοῦσθαι θέλει. (v. 777) Τὸ δέ «ἕστασαν» δασύνεται ὡς συγκοπὲν ἀπὸ τοῦ ἑστήκεσαν. Πεπυκασμένα δὲ ἅρματα τὰ ἐσκεπασμένα, ὡς καὶ ἀλλαχοῦ φανήσεται, ἵνα μὴ καπνῷ ἀεικίζωνται ἢ ἀναπιμπλῶνται κόνεως. τὸ δέ «ἵπποι ἕστασαν» καὶ «ἅρματα ἔκειτο» καὶ «λαοὶ ἐφοίτων ἔνθα καὶ ἔνθα» ἔχουσί τι ἀστειότητος καὶ αὐτά, εἴπερ ὁ μὲν ποδώκης καὶ ποδάρκης Ἀχιλλεὺς κεῖται, ὥσπερ καὶ τὰ ἅρματα, ἵπποι δὲ ἵστανται καὶ λαοὶ φοιτῶσι κατὰ στρατὸν τῇ ἐπιθυμίᾳ τοῦ πολεμεῖν περιϊόντες καὶ τὴν παράταξιν θεώμενοι. Τὸ δέ «ἀνάκτων» ἀντὶ τοῦ δεσποτῶν. οὐ γάρ ἐστιν ἐν τῷ «ἅρματα ἀνάκτων» κυριολεκτηθῆναι τὴν λέξιν ἀναμφιλέκτως ἐπὶ μόνων βασιλέων. [Τοιούτου δὲ ἄνακτος χρῆσις καὶ ἀλλαχοῦ, ὡς καὶ ἐν τῷ «αὐτὰρ ἐγὼ οἴκοιο ἄναξ ἔσομαι ἡμετέροιο». ὁ δὲ τοιοῦτος ἄναξ παράγει καὶ τὸν βαναυσώδη χειρώνακτα καὶ τὸν Ἱππώνακτα. ὅτι δὲ ἡ γενικὴ τοῦ ἄναξ πλεονάζον ἔχει τὸ ταῦ, δηλοῦσιν οἱ προγεγραμμένοι ἀνακοὶ Διόσκουροι, ὧν σημειώδης ὁ τόνος, καθὰ καὶ ἡ κλητικὴ τοῦ ἄναξ ἐν τῷ «Ζεῦ, ἄνα Δωδωναῖε». αὐτὸ δὲ ὁμοιότητα ἔχει πρὸς τὸ γύναι, ὃ καὶ αὐτὸ ἀποβολὴν δοκεῖ παθεῖν τοῦ ξ καινότερον. τὰ γὰρ εἰς διπλοῦν λήγοντα τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικήν.] (v. 780—5) Ὅτι τὸν Κατάλογον πληρώσας ὁ ποιητής, εἶτα ἱστορήσας ἀνδρῶν καὶ ἵππων τοὺς ἀρίστους ἐπὶ τὴν Ἑλληνικὴν ἔρχεται σύνταξιν καί φησιν, ὅτι ἐπορεύοντο ὡς εἴ τε πυρὶ χθὼν πᾶσα νέμοιτο, ἤγουν κατεσθίοιτο.

1.541 παθητικῶς γὰρ εἴρηται. Δηλοῖ δὲ ἡ παραβολὴ τὴν ἀπὸ τῶν ὅπλων πυριλαμπῆ στιλβηδόνα, οὐ γελῶσαν, καθά που ἐρεῖ ἐν τοῖς μετὰ ταῦτα, νεμομένην δὲ ὡς ὑπὸ πυρός. εἶτα τὸν κτύπον παραδηλῶν, ὃν οἱ κινούμενοι ἀπετέλουν, φησί· «γαῖα δ’ ὑπεστενάχιζεν», ὅπερ κατωτέρω παθητικῶς λέγει «στεναχίζετο». ἐστενάχιζε δὲ καὶ πυρὸς νομὴν ἔπασχεν οὐχ’ ἁπλῶς, ἀλλά «Διῒ ὡς τερπικεραύνῳ χωομένῳ, ὅτε τ’ ἀμφὶ Τυφωεῒ γαῖαν ἱμάσσει εἰν Ἀρίμοις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς». οὕτως ἄρα Ἑλλήνων «ὑπὸ ποσσὶ μέγα στεναχίζετο γαῖα ἐρχομένων· μάλα δ’ ὦκα» καὶ ἑξῆς. τὸ γὰρ σύντονον τῆς κινήσεως πολὺν τὸν ἦχον ἐποίει. Καὶ ὅρα, ὅπως τὸ ἰδίᾳ καὶ ἰδίᾳ λεχθέν, τὴν νομὴν τοῦ πυρὸς καὶ τὴν στοναχὴν τῆς γῆς, ἥνωσεν ἐπὶ τῆς κατὰ τὸν Τυφωέα παραβολῆς, δι’ ὃν ἡ γῆ κεραυνοῖς βαλλομένη καὶ οὕτως ἱμασσομένη καὶ καίεται καὶ στεναχίζεται. Ἡ δὲ κατὰ τὸν Τυφωέα παραβολὴ μυθικῶς μὲν ἐναντιουμένους ἔχει τὸν Δία καὶ τὸν Τυφωέα, ὃν ὁ μῦθος ἑκατογκέφαλον ἀναπλάττει, νικῶντα δὲ τὸν Δία λέγει κεραυνοῖς ἱμάσσοντα καὶ τοιαύταις πληγαῖς, ὧν συμμετέχει καὶ ἡ γῆ κατασκηπτόντων εἰς αὐτήν. Ἡ δὲ μυθικὴ ἀναίδεια καὶ ὁ κατ’ αὐτὴν λῆρος καὶ ταὐτά φησιν· ἡ Γῆ ἀγανακτοῦσα ἐπὶ τῷ φόνῳ τῶν Γιγάντων διαβάλλει τὸν Δία τῇ Ἥρᾳ, ἡ δὲ τῷ Κρόνῳ ἐξεῖπε. καὶ αὐτὸς ἔδωκεν αὐτῇ ᾠὰ δύο, τῷ

ἰδίῳ χρίσας θορῷ, καὶ κατὰ γῆς ἐκέλευσεν ἀποθέσθαι, ἀφ’ ὧν ἀναδοθήσεται δαίμων ἀποστήσων τὸν Δία τῆς ἀρχῆς. ἡ δέ, ὡς ἔσχεν ὀργῆς, ἔθετο αὐτὰ ὑπὸ Ἀρίμαιον τῆς Κιλικίας. ἀναδοθέντος δὲ τοῦ Τυφῶνος Ἥρα διαλλαγεῖσα τῷ Διῒ τὸ πᾶν ἐκφαίνει. ὁ δὲ κεραυνώσας τὸν Τυφῶνα τὴν Σικελικὴν Αἴτνην—ὄρος δὲ αὕτη πυρικαές— αὐτῷ ἐπέθηκεν. οἶδε τὰ μυθικὰ ταῦτα καὶ Πίνδαρος. καὶ τοιαῦτα μὲν τὰ τοῦ μύθου. Ἡ δὲ ἀλληγορία Δία μὲν τὸν ἀέρα νοεῖ, Τυφωέα δὲ πνεῦμα ὑπόγεων πυρόεν καὶ καυστικόν, ἐκ τοῦ τύφω, τὸ καίω, ὀνομασθέν, ὃς δὴ Τυφωεὺς τοιοῦτος ὢν ἐναντιοῦταί ποτε τῷ Διΐ, ὅτε δηλαδὴ ἑαυτὸν ἐκκαύσας καὶ τὴν γῆν ἀναρρήξας ἀναδράμῃ καὶ κυκήσας τὰ περὶ γῆν, εἶτα καὶ ἐν μετεώροις τῷ ἀέρι Διῒ ἐμπεσών «οὐράνιον ἄχος» κατὰ τὴν τραγῳδίαν γένηται. οὐ κατακρατεῖ δὲ εἰς τέλος ὅμως τοῦ Διός, ἀλλὰ μαραίνεται μὴ ἔχων εἰς τὸ πᾶν τὸν ψυχρὸν ἀέρα στέγειν.

1.542 καὶ οὕτως ἡττᾶσθαι τοῦ Διὸς λέγεται. Ὅθεν, ἡνίκα κεραυνοὶ ἐξ ἀέρος πίπτουσι καὶ μάλιστα ἔνθα τυφωνικὰ ἐπιχωριάζει πνεύματα, πόλεμος κινεῖσθαι πιθανεύεται μεταξὺ Τυφωέος καὶ Διός. (v. 783) Τοιούτοις δὲ τόποις ἐναρίθμιος καὶ τὰ Ἄριμα, ἔνθα ὁ Τυφωεὺς εὐνάζεσθαι λέγεται, τουτέστι διατρίβειν, ὡς καὶ αὐτόθι αἰκίζεσθαι. εἰ μὴ ἄρα εὐναί κατὰ τοὺς παλαιοὺς εὐφήμως ὁ τοῦ Τυφωέως τάφος λέγεται ἢ καὶ τὴν ἀργίαν ἐκείνου δηλοῦσιν αἱ εὐναί, ὥσπερ καὶ τὴν τοῦ Ἀχιλλέως τὸ κεῖσθαι. τὸν δὲ Τυφωέα τοῦτον οἱ μεθ’ Ὅμηρον Τυφῶνα καλοῦσι, παρ’ οἷς καὶ δικατάληκτόν ἐστι τὸ ὄνομα τοῦτο· Τυφῶς γὰρ μετὰ τοῦ ς καὶ Τυφῶν μετὰ τοῦ ν ἐν τόνῳ περισπωμένῳ. [Εἰ δὲ καὶ Τυφάων ὁ αὐτὸς ὀνομάζεται, καθὰ καὶ ἐν τοῖς τοῦ Πινδάρου δηλοῦται, τετραχῶς ἄρα σχηματίζεται τὸ δαιμόνιον. Τυφωεύς γὰρ καὶ Τυφάων Τυφάονος, ὅθεν τὸ «Τυφαονίων ἀλαλητῶν», καὶ κατὰ κρᾶσιν Τυφῶν, καὶ ὡς ἐν δικαταληξίᾳ Τυφῶς. τοιοῦτον δέ τι καὶ ὁ ταῶς. Ἀντιφῶν μὲν γάρ, φασίν, ὁ ῥήτωρ, δισυλλάβως κλίνει λόγον γράψας ἐπίγραμμα ἔχοντα Περὶ ταῶν. Ἀττικοὶ δὲ εἰπόντες ταῶνι ἐμφαίνουσιν ὡς ὁ ταῶν ἐστιν ἡ εὐθεῖα. πεπλεόνακε δὲ ὁ ταῶς, ὥς φησιν ὁ Ἀθήναιος, ὃς εἰπών, ὅτι περισπούδαστος ἦν ἡ τοῦδε τοῦ ζῴου θέα—«τὰς νουμηνίας γοῦν», φησίν, «ὁ βουλόμενος εἰσῄει, τὰς δ’ ἄλλας, εἴ τις ἦλθε θεασόμενος, οὐκ ἔστιν ὅστις ἔτυχε». —λέγει καί, ὅτι, ὥσπερ αὐτός, σπάνιος ὤν, ἐθαυμάζετο, νῦν δὲ πλείους εἰσὶ τῶν ὀρτύγων, οὕτω καὶ ἡ αὐτοῦ ἑνικὴ εὐθεῖα πληθύνεται, ὥστε δηλαδὴ σπάνιαι αἱ ταύτης πλάγιαι. Ἡρωδιανὸς δὲ τοῖς εἰς ων περισπωμένοις, οἷον τῷ Δημοφῶντι καὶ Ξενοφῶντι καὶ τοῖς ὁμοίοις, συντεταχὼς καὶ τὸν Τυφῶνα καὶ τὸν ταῶνα λέγει, ὡς μόνον τὸ Τυφῶν καὶ ταῶν οὐκ ἐκλίθη διὰ τοῦ ντ , ἐπειδὴ καὶ ἑτέραν ἔσχε κατάληξιν· Τυφῶς γὰρ καὶ ταῶς διὰ τοῦ σίγμα. καὶ οὕτω μὲν ταῦτα.] Δῆλον δὲ ὅτι, κἂν ὁ μῦθος ᾠκειώσατο τὸν Τυφωέα, ὅμως οὐδὲ τῇ ἱστορίᾳ ἐστὶν ἄγνωστος. ἄλλοι τε οὖν Τυφωέος μέμνηνται περιφανοῦς ἀνδρὸς καὶ Ἡρόδοτος ἐν οἷς λέγει, ὅτι Ὦρος ὁ Ἀπόλλων Αἰγυπτιστί, ὃς λέγεται καταπαύσας Τυφῶνα βασιλεῦσαι ὕστατος Αἰγύπτου.

1.543 Ἰστέον δέ, ὅτι ἐν τοῖς μετὰ ταῦτα ὁ ποιητὴς θόρυβον μέγαν πολεμικὸν παριστῶν ὑπερβαίνει τὴν ἐνταῦθα μεγαλοφωνίαν καὶ διὰ σεισμοῦ μεγίστου εἰκονίζει αὐτὸν ὡς ἐν τῇ υ′ ῥαψῳδίᾳ φανήσεται. φιλοτιμεῖται γὰρ ἐν πολλοῖς ὑπεραίρειν αὐτὸς ἑαυτόν. ὁ δὲ Γεωγράφος ἐν τοῖς ἑαυτοῦ σποράδην περὶ Τυφωέως καὶ Ἀρίμων ταῦτά φησι· Μυσοὶ μετὰ Λυδοὺς καὶ πόλις Φιλαδέλφεια σεισμῶν πλήρης, εἶτα ἡ Κατακεκαυμένη χώρα εὐεκπύρωτος μῆκος πεντακοσίων σταδίων πλάτος δὲ τετρακοσίων, εἴτε Μυσίαν κλητέον, εἴτε Μηονίαν. λέγεται γὰρ ἀμφοτέρως, οἷα ὑπὸ Μυσῶν καὶ Λυδῶν κατεχομένη. ἄδενδρος δὲ πᾶσα πλὴν ἀμπέλου, ἀφ’ ἧς ὁ Κατακεκαυμενίτης οἶνος ἐλλόγιμος ἀρετῇ. ταύτης τῆς χώρας τῶν πεδίων μὲν τεφρώδης ἡ ἐπιφάνεια, τῆς δὲ ὀρεινῆς καὶ πετρώδους μέλαινα ὡς ἂν ἐξ ἐπικαύσεως. εἰκάζουσι δέ τινες ἐκ κεραυνοβολιῶν καὶ πρηστήρων συμβῆναι ταῦτα, εὔλογον δὲ μᾶλλον ἀπὸ πυρὸς γηγενοῦς. ἐνταῦθα τὰ περὶ Τυφῶνος μυθολογεῖται καὶ Ἄριμος δέ τις αὐτόθι λέγεται βασιλεῦσαι. καλοῦ δὲ ὄντος τοῦ ἐκεῖσε οἴνου ἀστεϊζόμενοί τινες πυριγενῆ καλοῦσι τὸν Διόνυσον ὡς ἀπὸ χώρας, ἥτις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὸ τοῦτο Κατακεκαυμένη καλεῖται. Λέγει δὲ καί, ὅτι οἱ περί που τὸν Τμῶλον τόποι κεραυνόβολοι καὶ δρυμώδεις καὶ ὅτι ἐνταῦθα οἱ Ἄριμοι. οἱ δὲ ταῦτα, φησί, λέγοντες ἐπεισφέρουσιν εἰς τὸ «Τυφωέως εἶναι εὐνάς» καὶ τοῦτο τὸ ἔπος· «χώρῳ ἐνὶ δρυόεντι, Ὕδης ἐν πίονι δήμῳ» (περὶ ἧς Ὕδης ἐν τοῖς ἑξῆς ῥηθήσεται) ἐνταῦθα εἶναι τοὺς ῥηθέντας Ἀρίμους δοξάσαντες διὰ τὸ δρυμώδη, φασί, τὸν τόπον εἶναι καὶ κεραυνόβολον. Ἄλλοι δέ, φησίν, ἐν Κιλικίᾳ τὸν περὶ Τυφωέως πλάττουσι μῦθον, οἱ δὲ ἐν Συρίᾳ, οἱ δὲ ἐν ταῖς Πιθηκούσαις νήσοις, οἳ καὶ τοὺς πιθήκους φασὶ παρὰ Τυρρηνοῖς ἀρίμους καλεῖσθαι. πιθανότεροι δὲ οἱ ἐν τῇ Κατακεκαυμένῃ τῆς Μυσίας τοὺς Ἀρίμους τιθέντες. οἱ δὲ τοὺς Σύρους Ἀρίμους δέχονται, οὓς νῦν, φησίν, Ἀράμους λέγουσιν, ἄλλοι τοὺς Ἀρίμους παρ’ αὐτό φασι τὸ Κωρύκιον ἄντρον, ἀφ’ ὧν τὰ ἐγγὺς ὄρη Ἄριμα ἐκαλοῦντο. ἀλλαχοῦ δέ φησιν, ὅτι ὁ περὶ Ἀντιόχειαν ποταμὸς Ὀρόντης Τυφῶν ἐκαλεῖτό ποτε. μυθεύουσι δὲ ἐνταῦθα τὰ περὶ τὴν κεραύνωσιν Τυφῶνος καὶ τοὺς Ἀρίμους καί φασι τὸν Τυφῶνα τυπτόμενον κεραυνῷ—εἶναι δὲ δράκοντα—φεύγειν ζητοῦντα κατάδυσιν καὶ τοῖς μὲν ὁλκοῖς ἐντεμεῖν τὴν γῆν καὶ ποιῆσαι τὸ ῥεῖθρον τοῦ ποταμοῦ, καταδύντα δὲ εἰς γῆν ἀναρρῆξαι πηγήν, ὅθεν γενέσθαι τοὔνομα τῷ ποταμῷ. Ἑτέρωθι δέ φησιν, ὅτι Ἄριμοι κατὰ Ποσειδώνιον οὐ τόπος Συρίας ἢ Κιλικίας, ἀλλὰ αὐτὴ ἡ Τυρία, ἤγουν ἡ περὶ Τύρον χώρα. Ἀριμαῖοι γὰρ οἱ ἐν αὐτῇ. Συνακτέον δὲ ἐκ τῶν ῥηθέντων καί, ὅτι οἱ Ἄριμοι ἀρσενικῶς καὶ τὰ Ἄριμα οὐδετέρως λέγεται. τοπικὸν δὲ τῶν Ἀρίμων Ἀριμαῖος. τοῦ δὲ ῥηθέντος ἀνωτέρω γηγενοῦς πυρὸς ἐκλιπεῖν τὰς πηγὰς ὁ Γεωγράφος λέγει, δείκνυσθαι δὲ βόθρους τρεῖς, οὓς φύσας καλοῦσι.

1.544 [(v. 782) Τὸ δέ «ἱμάσσῃ», ὅ ἐστιν ἱμάντι πλήττῃ, μικροπρεπὲς μέν ἐστι ῥηθὲν ἐπὶ τοῦ μεγίστου κακοῦ, προσφυῶς δ’ ἔχει τῷ «γαῖα δ’ ὑπεστενάχιζε». καὶ μετῆκται ταῦτα ἐκ τῶν ἐν τῷ ἱμάσσεσθαι ὑποστεναζόντων. ἄλλως δὲ στεναχίζει γαῖα, ὡς καὶ πόντος παρὰ Σοφοκλεῖ.] (v. 783) Τὸ δέ «φασίν» εἶπε κατὰ τοὺς παλαιοὺς ὁ ποιητής, ἵνα μὴ προσκρούοιμεν ὡς Ὁμηρικῷ ὄντι διὰ τὸ μυθῶδες. (v. 786—806) Ὅτι τῶν Ἑλληνικῶν πραγμάτων ἐχόντων, ὡς εἴρηται, οἱ Τρῶες «ἀγορὰς ἀγόρευον ἐπὶ Πριάμοιο θύρῃσι, πάντες ὁμηγερέες, ἠμὲν νέοι ἠδὲ γέροντες». πρὸ τῶν βασιλείων γὰρ ἦν, φασίν, ὡς εἰκός, τὸ ἐκκλησιαστήριον. Ζεὺς δέ, φησίν, ἄγγελον ἔστειλε τοῖς Τρωσὶ τὴν Ἶριν, ἣν καὶ ποδήνεμον καὶ ὠκέαν καλεῖ καὶ πόδας ὠκέαν. ἡ δὲ ἐλθοῦσα σὺν ἀγγελίῃ ἀλεγεινῇ ἔφη τῷ Πριάμῳ· «Ὦ γέρον, αἰεί τοι μῦθοι φίλοι ἄκριτοί εἰσιν, ὥς ποτ’ ἐπ’ εἰρήνης, πόλεμος δ’ ἀλίαστος ὄρωρε», τουτέστιν ἄφυκτος. λιάζω γὰρ τὸ ἐκφεύγω. μέμφεται δ’ ἐν τούτοις τὸν γέροντα ὡς ἐν καιρῷ μάχης καὶ ἔργων λογολεσχοῦντα. εἰρήνῃ μὲν γὰρ πρέπουσι βουλαὶ καὶ δημηγορίαι, πολέμου δὲ ἀκμὴ οὐ τούτοις χαίρει. [Διό τινες τὸν Ἄρην παρὰ τὴν στέρησιν τοῦ λέγειν ἐτυμολογοῦντες τὴν εἰρήνην ἀπὸ τοῦ εἴρειν, ὅ ἐστι λέγειν, παράγουσι, κατὰ τὸ «ἐν χερσὶ τέλος πολέμοιο, ἐπέων δ’ ἐνὶ βουλῇ».] Εἶτα τὸν Ἑλληνικὸν στρατὸν ἐκπληττομένη φησίν· «ἦ μὲν δὴ μάλα πολλὰ μάχας εἰσήλυθον ἀνδρῶν, ἀλλ’ οὔπω τοιόνδε τοσόνδε τε λαὸν ὄπωπα· λίην γὰρ φύλλοισιν ἐοικότες ἢ ψαμάθοισιν ἔρχονται πεδίοιο μαχησόμενοι περὶ ἄστυ». καὶ οὕτω τὴν Τρωϊκὴν ἀγορὰν ἡ Ἶρις ἐγκόψασα προκαλεῖται εἰς ἔργον τὸν ἐντρεχέστατον Ἕκτορα καί φησιν ἀσυνδέτως οὕτως· «Ἕκτορ, σοὶ δὲ μάλιστ’ ἐπιτέλλομαι ὧδέ γε ῥέξαι· πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι, ἄλλη δ’ ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων. τοῖσι δ’ ἕκαστος ἀνὴρ σημαινέτω, οἷς ἄρχει, τῶν δ’ ἐξηγείσθω κοσμησάμενος πολιήτας», ἤτοι τοὺς ἑαυτοῦ πολίτας, πλεονασμῷ τοῦ η . [οὐ δήπου γὰρ φυσικῶς ἐνταῦθα ἔγκειται, ὡς ἐν τῷ Μασσαλία Μασσαλιήτης καὶ τοῖς τοιούτοις.] Καὶ ταῦτα μὲν τὰ τῆς μυθικῆς Ἴριδος. Φαίνεται δέ, ὅτι σκοπός τις ἐκάθητο τοῖς Τρωσὶν ἐπιτεταγμένος τὰ τῶν Ἑλλήνων σκοπεῖν, ὃς ἰδὼν ἐκείνους ἐκτεταγμένους οὕτω δραμὼν ἐξεῖπε τὰ τοῦ πράγματος κατὰ σπουδήν.

1.545

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὸ καὶ τὴν δημηγορίαν ἐπέτεμεν οἷα μὴ ἐνδαψιλευομένου πλατυτέρου καιροῦ. ἐμφαίνει δὲ ὁ ποιητὴς τοῦτο εἰπών, ὅτι ἡ Ἶρις εἶπεν, ἃ εἶπε πρὸς Πρίαμον καὶ Ἕκτορα εἰσαμένη, ἤγουν ὁμοιωθεῖσα, φθογγήν· «υἷι Πριάμου Πολίτῃ, ὃς Τρώων σκοπός», ἤτοι κατάσκοπος, «ἷζε ποδωκείῃσι πεποιθὼς τύμβῳ ἐπ' ἀκροτάτῳ Αἰσυήταο γέροντος, δέγμενος, ὁππότε ναῦφιν», ἤτοι ἀπὸ τῶν νηῶν, «ἀφορμηθεῖεν Ἀχαιοί». ὁ γοῦν Πριαμίδης Πολίτης οὗτος ἐλθὼν ἐδήλωσεν, ὡς τῶν νηῶν ἀφώρμηνται οἱ Ἕλληνες. ἐπεὶ δὲ πάνυ πολλοῦ τοῦ τάχους ἔδει καὶ ἐχρῆν ἐπτερῶσθαι οἷον ἄρτι τὸν κατάσκοπον τά τε ἄλλα καί, ἵνα μὴ θεαθεὶς ὑπὸ ἱππέων ἐπιδιωχθῇ, πέπλασται πιθανῶς ἡ Ἶρις ἀγγέλλουσα τὴν Ἑλληνικὴν κίνησιν, ἣν ὁ μῦθος καὶ πτέρυγας ἔχειν λέγει, οὐκ ἀρκούμενος τοῖς ῥηθεῖσιν Ὁμηρικοῖς [ἐπ' αὐτῇ] ἐπιθέτοις, τῷ ποδήνεμος καὶ τοῖς λοιποῖς. Τάχα δὲ καὶ προέδραμε τοῦ Πολίτου φήμη τῆς τῶν Ἑλλήνων κινήσεως, οἷα εἰκός, ἢ ἐκ τοῦ ἤχου τῶν ποδῶν ἢ ἐκ τῆς βοῆς ἢ ἄλλως ὁπωσοῦν. Καὶ τοῦτό ἐστιν ἡ Ἶρις αὕτη, περὶ ἧς, ὅτι τε Διός ἐστιν ἄγγελος καὶ διὰ τί τοῦτο λέγεται καὶ ὅτι ἀπὸ τοῦ εἴρω, τὸ ἀγγέλλω, γίνεται, ὡς καὶ ὁ ἐν Ὀδυσσείᾳ Ἶρος, καὶ εἴ τι δὲ χρεὼν ἕτερον εἰς αὐτὴν συμμέτρως ῥηθῆναι, ῥηθήσεται ἐν τοῖς ἑξῆς. Ὅρα δὲ καὶ ἐν τούτῳ τὴν Ὁμηρικὴν δεξιότητα καὶ ποικιλίαν. ἔστειλε μὲν γὰρ Ζεὺς καὶ εἰς τὸ ναύσταθμον ἄγγελον, ἔστειλε δὲ καὶ εἰς Τροίαν. ἀλλ' ἐκεῖ μὲν ὄνειρος Διὸς ἄγγελος καὶ μόνῳ τῷ βασιλεῖ κατ' ἰδίαν καὶ χρηστὰ ἐπαγγελλόμενος καὶ ἀγορὰ μετὰ τὴν ἀγγελίαν καὶ βουλή. ἐνταῦθα δὲ προηγεῖται μὲν ἀγορά, ἣν οὐκ οἴδαμεν, ὅ τι ἂν ἐποίει, ἐπ' αὐτῇ δὲ Ἶρις ἐναργὴς ἄγγελος ἥκει ἀγγελίᾳ διακονουμένη ἀλεγεινῇ. κοινὸν δὲ ἀμφοῖν τοῖν ἀγγέλοιν τὸ τοῖς βασιλεῦσιν ὀνειδίζειν, τὸν μὲν ὄνειρον ὡς παννύχιον ἐκεῖνος ὑπνοῖ, τὴν δὲ Ἶριν Πριάμῳ τὸ ἀκριτόμυθον. (v. 786) Τὸ δέ «ὠκέα Ἶρις» ἀναλόγως προῆκται, ὡς καὶ τὸ ἡ γλυκέα καὶ ἡ ἡδέα καὶ τὰ ὅμοια. ἐκ τοῦ ὠκύς γάρ, ὠκέος, τὸ θηλυκὸν ὠκέα, ὡς καὶ γλυκύς, γλυκέος, γλυκέα καὶ τὰ ἄλλα. οἱ δὲ μεθ' Ὅμηρον ἐπενθέντες τὸ ι ἐποίησαν ὠκεῖα, γλυκεῖα καὶ τὰ λοιπά. (v. 787) Ἀγγελίαν δὲ ἀλεγεινήν, ἤγουν ἀλγεινήν, ἐπίπονον, φροντίδος ἀξίαν, λέγει αὐτὸ τοῦτο τὸ εἰπεῖν τὴν Ἶριν, ὅτι ἀφώρμηνται τῶν νηῶν οἱ Ἀχαιοί, τοιόσδε καὶ τοσόσδε λαός. (v. 788) Τὸ δέ «ἀγορὰς ἀγόρευον» Ἀττικόν ἐστιν, ὡς καὶ τὸ βουλὴν βουλεύει καὶ λόγον λέγει καὶ ὅλως τὸ παρατιθέναι τοῖς ῥήμασι τὰ ἐξ αὐτῶν ὀνόματα. καλεῖται δὲ τὸ σχῆμα παρονομασία. (v. 789) Τὸ δέ «καὶ νέοι καὶ γέροντες» δημοκρατικόν ἐστιν, οὐ βουλευτικόν. δημοκρατίας γὰρ ἡ κοινὴ αὕτη ἰσηγορία.

1.546 [(v. 791) Τὸ δέ «υἷι», ὅ ἐστιν υἱῷ, προπερισπώμενον μὲν συγκέκοπται ἀπὸ τῆς υἷις, υἵιος, υἵιι καὶ οὕτως ἐκπέφευγε τὸ δύσφωνον· εἰ δ' ἴσως παροξύνεται, κρᾶσιν ἔπαθε τῶν δύο ἰῶτα εἰς ἰῶτα μακρὸν κατὰ τὸ «Θέτι καλλιπλοκάμῳ» καὶ «μήτι δ' ἡνίοχος», ἤγουν βουλῇ, «περιγίνεται ἡνιόχοιο». Ὅρα δὲ καί, ὅτι Πολίτης κύριον ἐξ ἰδιασμοῦ κοινοῦ τοπικοῦ ὀνόματος, ὁποῖα πολλὰ καὶ ἄλλα εἰσίν.] (v. 792) Ὅρα δὲ καὶ τὸ «ἷζε σκοπός», ἀντὶ τοῦ ἐκάθητο, ἐνεργητικῶς ἐκφωνηθέν. οὕτω δὲ καὶ τὸ σύνθετον αὐτοῦ τὸ καθίζειν. ἕζε μέντοι οὐκ ἄν ποτε εὑρεθείη, ἀλλὰ παθητικῶς ἀεὶ λαλεῖται. ἕζετο γάρ, ὥσπερ καὶ ἑζόμενος. ὅτι δὲ τὸ ἕζω πρωτότυπόν ἐστι τοῦ ἵζω καὶ καθίζω καὶ ὅτι Σικελῶν γλῶσσα ταῦτα παράγει, δηλωθήσεταί που ἐν τοῖς ἑξῆς. Ὡς δὲ καὶ ὀπτὴρ λέγεται ὁ τοιοῦτος σκοπός, δηλοῖ σὺν ἄλλοις καὶ Σοφοκλῆς. Τὸ δέ «ποδωκείαις πεποιθώς» παραγγελία ἐστὶ τοῦ χρῆναι τὸν σκοπὸν εἶναι καὶ ποδώκη, ὡς ἂν ἐπιταχύνῃ ἐν καιρῷ τὸν δρόμον. οἱ δὲ παλαιοί φασι καί, ὅτι κωμῳδῶν τοῦτο λέγει ὁ ποιητής, ὡς τοῦ Πολίτου ποσὶ θαρροῦντος, οὐ μὴν ἀνδρείου ὄντος. [περίφρασις δὲ τοῦ ποδώκης τὸ «ποδωκείῃσι πεποιθώς», ὡς καὶ τοῦ ἄλκιμος τὸ «ἀλκὶ πεποιθώς».] (v. 793) Ὁ δὲ Αἰσυήτης δημογέρων ἀρχαῖος, παρώνυμος ἴσως τῷ ἐν τοῖς ἑξῆς που «αἰσυητῆρι νεανίᾳ», Ἀντήνορος, φασί, πατὴρ καὶ Οὐκαλέγοντος, τεθαμμένος κάτω που περὶ τὸ πεδίον, ὥσπερ καὶ ὁ Ἶλος φανεῖται ἐν τοῖς ἑξῆς, οὗ ὁ τύμβος ἐξῆρται, ὡς καὶ χρησιμεύειν εἰς σκοπευτήριον. Μήποτε δὲ οὐκ ἀγαθὸς οἰωνὸς τοῖς πολίταις τῆς Τροίας τὸ ἐπὶ τύμβου καθῆσθαι αὐτοῖς τὸν κατάσκοπον τὸν καὶ τῇ πόλει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρώνυμον καὶ τοῦ βασιλέως Πριάμου υἱόν, ὡς εἶναι τὸ Ἡσιόδειον παρῳδήσαντά τινα εἰπεῖν ἐνταῦθα «μηδ᾽ ἐπ᾽ ἀκινήτοισι καθίζειν» ἄνδρα τοιοῦτον σκοπευτήν. Ἕτεροι δὲ ἱστοροῦσι τὸν Αἰσυήτην τοῦτον, ἔγγονον Οὐκαλέγοντος, οὐ τοῦ ἐν τῇ β′, ἀλλὰ ἀρχαιοτέρου, ὃς ἔγημε, φασίν, Ἴλιον τὴν Λαομέδοντος. καὶ ὅρα τὴν Ἴλιον ταύτην τὸ κύριον ὄνομα. οὕτω δὲ καὶ ἄλλα τοιαῦτα καινόφωνα παρὰ τοῖς παλαιοῖς κύρια ἔν τε ἑτέροις καὶ παρὰ Πορφυρίῳ, ἔνθα φησίν, ὅτι Σιπύλου καὶ Χθονίας τῆς Κρόνου Τμῶλος καὶ Ὄλυμπος, οὗ καὶ Ἴδης Πηνελόπη, ταύτης δὲ θυγάτηρ Τροία.

1.547 [(v. 795) Κεῖται δ᾽ ἐν τούτοις καὶ τὸ «ἐεισαμένη». ἀντὶ τοῦ ὁμοιώσασα, ἐκ τοῦ εἴδω, τὸ ὁμοιῶ, πλεονασμῷ τοῦ ε . ἀνωτέρω δέ γε αὐτοῦ δίχα τοῦ ε τέθειται τὸ εἴσατο, ἀντὶ τοῦ ὡμοιώθη ἢ ὡμοίωσεν· «εἴσατο γάρ», φησί, «φθογγήν».] (v. 796) Τὸ δέ «μῦθοι ἄκριτοι», ἤγουν ἀναρίθμητοι, δριμέως εἰς τὸν γέροντα βασιλέα ἔσκωπται. οὕτω γὰρ καὶ ὁ γελοῖος Θερσίτης συνθέτως ἀκριτόμυθος ὕβρισται. καὶ ἴσως διὰ τοῦτο οὐ τὸν Πολίτην αὐτὸν ἐκεῖνον ὁ ποιητὴς ἱστορεῖ ταῦτα λέγοντα, ἵνα μὴ εἰς πατέρα παροινῇ, τὴν δὲ Ἶριν ταῦτα λέγειν φησίν, ἥτις ὡς θεῖον πρόσωπον οὐκ ἔχει μέμψιν. Ὅρα δὲ ἐνταῦθα τὸ «αἰεί τοι μῦθοι φίλοι ἄκριτοι». οὐ γὰρ ἁπλῶς οἱ ἄκριτοι μῦθοι μεμπτέοι, ἀλλὰ τὸ ἀεὶ ἀκριτομυθεῖν. οὕτω καὶ Ἀχιλλεὺς οὐχ᾽ ὅτι μάχεται ἢ ἐρίζει σκώπτεται, ἀλλ᾽ ὅτι αἰεὶ αὐτῷ ἔρις τε φίλη καὶ πόλεμοι. [(v. 798) Ἐν δὲ τῷ «ἦ δὴ μάλα πολλά», τὸ πολλά πρωτότυπόν ἐστι τοῦ πολλάκις, ὡς καὶ τὸ δηθά τοῦ δηθάκις καὶ τὸ τοσαῦτα τοῦ τοσαυτάκις.] (v. 799) Ἰστέον δὲ καί, ὅτι χρεία ἦν τῆς Ἴριδος τῷ ποιητῇ οὐ μόνον εἰς τὰ ῥηθέντα, ἀλλὰ καὶ εἰς τὸ «τοιόνδε λαόν». τοσόνδε μὲν γὰρ λαὸν ἀσφαλῶς εἶχε καὶ ὁ Πολίτης γνῶναί τε καὶ εἰπεῖν, τὸ δὲ τοιόνδε θεοῦ ἦν ἔργον εἰδέναι. τοιαύτη δὲ καὶ ἡ Ἶρις πλάττεται, ὅθεν καὶ οἶδε τὴν ἐν ἀνδρείᾳ Ἑλληνικὴν ποιότητα. (v. 800) Τὸ δέ «φύλλοις ἐοικότες» παραπέφρασται ἐκ τοῦ «ὅσα φύλλα καὶ ἄνθεα», ὅπερ πρὸ τούτων προσφυῶς ἐρρέθη. ἐνταῦθα δὲ εἰς δήλωσιν πλήθους ὑπερβολικὴν προσετέθη τὸ «ψαμάθοισιν», οὐκ ἀπροσφυῶς οὐδ᾽ αὐτό. εἴληπται γὰρ ὥσπερ ἐκεῖ ἀπὸ τοῦ πεδίου τὸ φύλλα καὶ ἄνθεα, οὕτως ἐνταῦθα τὸ ψαμάθοις ἀπὸ τοῦ αἰγιαλοῦ, ᾧ συνήθεις οἱ Ἕλληνες. [(v. 801) Τὸ δέ «ἔρχονται πεδίοιο» ἀντὶ τοῦ διὰ τῆς πεδιάδος καὶ ἔστιν ὅμοιον τῷ «διέπρησσον πεδίοιο».] (v. 803) Ἐν δὲ τῷ «πολλοὶ γὰρ κατὰ ἄστυ ἐπίκουροι» ὅρα, ὅπως προτίθεται ὁ γάρ σύνδεσμος λαμβανόμενος ἀντὶ τοῦ ἐπειδή, ὃς ἐν τοῖς νοήμασι πρόκειται. τὸ μὲν οὖν κοινὸν οὕτως· ἐπεὶ πολλοὶ κατὰ ἄστυ ἐπίκουροι, ἕκαστος σημαινέτω οἷς ἄρχει. ὁ δὲ ποιητὴς λαβὼν τὸν γάρ σύνδεσμον ἐν καταρχῇ, ὡς ἰσοδύναμον ὄντα τῷ ἐπειδή, λέγει· πολλοὶ γὰρ ἐπίκουροι, ἕκαστος σημαινέτω τοῖς ἑαυτοῦ. καὶ ποιεῖ τοῦτο μυριαχοῦ διὰ τὸ καινότερον, προτιθεὶς μὲν τὴν αἰτίαν κατὰ λόγον περιβολῆς, ὑποτάσσων δὲ αὐτῇ τὸ αἰτιατὸν καὶ ἐν τούτῳ μόνῳ ξενίζων, ὅτι ἀπὸ τοῦ γάρ συνδέσμου κατάρχεται. Ἄστυ δὲ παρὰ μὲν τῷ ποιητῇ πᾶσα πόλις, Ἀθηναῖοι δὲ ὕστερον εἰς τὴν κατ᾽ αὐτοὺς ἐμόνασαν τὸ ὄνομα. ἄστυ γὰρ ἰδίως ἐκαλοῦντο αἱ Ἀθῆναι, ὥσπερ καὶ πόλις μετὰ τοῦτο ἡ Ἀλεξάνδρεια. (v. 804) Τὸ δέ «ἄλλη δ᾽ ἄλλων γλῶσσα» οὐχ᾽ ὁμοεθνεῖς εἶναι δηλοῖ τοὺς ἐν τῇ Τροίᾳ οὐδ᾽ ὁμογλώσσους.

1.548 διὸ καὶ βαρβαρικώτερον ἐν τοῖς ἑξῆς κλάζουσι. (v. 805 s.) Τὸ δέ «τοῖσιν ἕκαστος ἀνὴρ σημαινέτω, τῶν δ᾽ ἐξηγείσθω», πολύπτωτον μὲν σχῆμα λέγεται, νοῦν δὲ ἔχει τοιοῦτον· τοῖσδε ἕκαστος προστασσέτω, τῶνδε ἡγεμονευέτω. ἔοικε δὲ τῷ «κρῖν᾽ ἄνδρας κατὰ φῦλα», ὃ φθάσας εἶπεν ὁ Νέστωρ. οὐ γὰρ ἀδύνατον τὴν αὐτὴν ἔννοιαν εἰς πολλοὺς ἐλθεῖν. τὸ γάρ «ἕκαστος σημαινέτω, οἷς ἄρχει, καὶ ἐξηγείσθω τῶν οἰκείων πολιτῶν κοσμησάμενος αὐτούς» καὶ τὸ κατωτέρω δὲ κείμενον τὸ «Τρῶες διέκριθεν ἠδ᾽ ἐπίκουροι», ὡμοίωται πάντως πρὸς τὸ «κρῖν᾽ ἄνδρας φυλαδόν». ἀλλ᾽ ἐκεῖ μέν, ὅπως φῦλα φύλοις βοηθῇ, ἐνταῦθα δὲ σὺν τούτῳ καί, ὅτι οὐδὲ δύνανται οἱ μὴ ὁμόγλωσσοι ἀλλήλοις συντετάχθαι, ἵνα μὴ φύρωσι καὶ συγχέωσι τὸ πᾶν. Σημείωσαι δέ, ὅτι, ἐν οἷς τὰ τῆς Ἴριδος ταῦτα τῷ Νέστορι ὁ ποιητὴς φθάσας ἀνέθετο παραινοῦντι τὰ ὅμοια, φασὶν οἱ παλαιοί, ὅτι ἔδειξεν Ὅμηρος ὡς θεοῦ κοινὸν καὶ ἀνθρώπου ἡ

ἀρετή. ὅρα δὲ ὅτι τοσοῦτον ἀλεγεινὴ ἡ τῆς Ἴριδος ἀγγελία, ὥστε οὔτε ὁ Πρίαμος ἐλάλησέ τι πρὸς ἅπερ ἤκουσεν οὔτε ὁ Ἕκτωρ παρὼν καὶ αὐτὸς τῇ ἀγορᾷ. ἐκπλαγέντες δὲ ἐπὶ τῇ αἴφνης ἐφόδῳ τῶν Ἀχαιῶν σιωπῶσι τέλεον. οὕτω δὲ καὶ οἱ λοιποί. ἔργου δὲ ἔχονται λύσαντος Ἕκτορος ταχὺ τὴν ἀγοράν. αἶψα γάρ, φησίν, ἔλυσεν ἀγορήν, ὅπερ ἐν Ὀδυσσείᾳ ἄλλως φράζεται «λῦσε δ᾽ ἀγορὴν αἰψηρήν». διὸ ἀτάκτως ὡρμημένοι καὶ μηδέν τι προβεβουλευμένοι θορύβους ποιήσουσιν ἐν τοῖς ἐφεξῆς, ὡς ἀνωτέρω εἴρηται. (v. 807 ss.) Ὅτι τὴν μὲν τῶν Ἑλλήνων κίνησιν πολλαχῶς ἐσέμνυνεν ὁ ποιητὴς ἐν τῇ βῆτα ῥαψῳδίᾳ καὶ πλατύτερον διεξῆλθε τὰ κατ᾽ αὐτὴν καὶ τῷ Καταλόγῳ δὲ αὐτῶν ἀρκούντως ἐνεβράδυνε μετὰ καὶ συνάρσεως Μουσῶν. τὰ δὲ κατὰ τοὺς Τρῶας ἐπιτροχάδην διέξεισι συνεπισπεύδων οἷον αὐτοῖς. καὶ οὔτε Μούσας ἀξιοῖ ἐπικαλέσασθαι, οἷα μήτε χωρογραφῶν ὡς ἐκεῖ μήτε μύθους ἐκτιθέναι μέλλων καὶ ἱστορίας εἰς τοσοῦτον καὶ γενεαλογίας καὶ σχημάτων ποικιλίας, οὔτε τὸν Κατάλογον οὕτω πλατύνει. καὶ τὰ πρὸ τοῦ Καταλόγου δὲ πάνυ ἐπιτρέχει στενοχωρῶν. (v. 808—10) Φησὶ γάρ· «ἐπὶ τεύχεα ἐσσεύοντο», ἤγουν ὥρμων, διὰ τὸ τῆς Ἑλληνικῆς ἐφόδου αἰφνίδιον, «πᾶσαι δ᾽ ὠΐγνυντο πύλαι», αἱ τῆς πόλεως δηλαδὴ διὰ τὸ κατεπεῖγον, «ἐκ δ᾽ ἔσσυτο λαὸς πεζοί τε ἱππῆές τε. πολὺς δ᾽ ὀρυμαγδὸς ὀρώρει», ἤγουν ἠγείρετο· εἶτα ἐν ὀλίγοις ἔπεσι τὸν τόπον ἐκθέμενος, ὡς ῥηθήσεται μετὰ βραχύ, ἐν ᾧ διεκρίθησαν ἀλλήλων οἱ Τρῶες καὶ οἱ ἐπίκουροι, τοῦ Καταλόγου τῶν Τρωϊκῶν ἡγεμόνων ἄρχεται, ὡς καὶ αὐτὸ ἐν τοῖς ἑξῆς δηλωθήσεται. (v. 809) Ἰστέον δέ, ὅτι ἐν τῷ «πᾶσαι πύλαι» φασὶν Ἡρόδωρος καὶ Ἀπίων, ὅτι ἔμφασιν μὲν ἔχει πολλῶν πυλῶν, μία δέ ἐστι, καὶ ὅτι ἐστὶ τὸ πᾶσαι ἀντὶ τοῦ ὅλαι.

1.549 βούλονται οὖν τοῦτο λέγεσθαι ὑπὸ τοῦ ποιητοῦ, ὅτι ὁ εἷς πυλεών, ὁ τὴν Τροίαν ἀνοίγων, εἰς πλάτος διεπετάσθη κατ᾽ ἄμφω τὰς πύλας, εἰς ὅσον ἐνεχώρει, ὥστε κατ᾽ αὐτοὺς οὐ πλῆθος ἀλλὰ ποιότητα δύο θυρῶν ἀνοίγματος τὸ πᾶσαι δηλοῖ. Τὸ δὲ ὠΐγνυντο γίνεται οὕτω· οἴγω, τὸ ἀνοίγω, καὶ πλεονασμῷ οἴγνω, ἐξ οὗ παράγωγον οἰγνύω, ἀφ᾽ οὗ οἴγνυμι, οὗ παθητικὸς παρατατικὸς ὠϊγνύμην καὶ τρίτον πληθυντικὸν ὠΐγνυντο. οὕτω καὶ θόρω, τὸ πηδῶ, θόρνω, θορνύω, θόρνυμι καὶ ἄλλα μυρία, ὥς που γέγραπται. (v. 810) Τὸ δὲ ὀρυμαγδός, ὅτι καὶ ὀρυγμαδὸς λέγεται μεταθέσει τοῦ γ , πολλαχοῦ φαίνεται. δηλοῖ δὲ κυρίως μὲν τὸν ἐν ὄρει κτύπον, καταχρηστικῶς δὲ καὶ τὸν ὁπουδήποτε. ἡ δὲ τοῦ ῥηθέντος τόπου ἤτοι στρατοπέδου ἔκθεσις τοιαύτη· (v. 811—5) «Ἔστι δέ τις προπάροιθε πόληος αἰπεῖα κολώνη ἐν πεδίῳ ἀπάνευθε περίδρομος ἔνθα καὶ ἔνθα», τουτέστι κυκλοτερὴς καὶ πάντοθεν περιτρεχομένη. ταύτην «ἄνδρες μὲν Βατίειαν κικλήσκουσιν, ἀθάνατοι δὲ σῆμα πολυσκάρθμοιο Μυρίννης». ἔνθα, φησί, τότε Τρῶές τε διεκρίθησαν καὶ οἱ αὐτῶν ἐπίκουροι. Καὶ σημείωσαι, ὅτι οὐδὲ οὗτος ὁ τοῦ μνημείου τόπος τοῖς βαρβάροις ἦν ἀγαθὸς οἰωνός, ὡς οὐδὲ ὁ τοῦ Αἰσυήτου τύμβος. διὸ τάχα καὶ ὁ ποιητὴς ὤκνησε τύμβον ἢ τάφον Μυρίννης εἰπεῖν, σῆμα δὲ ἐκάλεσεν εὐφημότερον, ὡς σημεῖον τινος κειμένου ἐκεῖ. Ὅρα δὲ καί, ὅπως εὐμεθόδως κἀνταῦθα ἱστορίαν παλαιὰν παρέρριψε τὴν περὶ Μυρίννης καὶ τὴν ῥηθεῖσαν κολώνην κατὰ τὸ παρέλκον ἐτοπογράφησε ποικιλίας χάριν καὶ πολυμαθείας καὶ τοῦτο ποιήσας. τόπον δὲ ὑψηλόν, ὥσπερ ἡ ἀλλαχοῦ Καλλικολώνη, οὕτω καὶ νῦν ἡ κολώνη δηλοῖ. ὅθεν παράγωγον ἡ κολώνεια, ὡς Ἀστυόχη Ἀστυόχεια. ἔχει δέ τι ἀπορίας, πῶς οὐκ ὀξύνεται ἡ κολώνη, εἴπερ ἀπὸ τοῦ κολωνός ὀξυτόνου γίνεται, ὃ δηλοῖ μέγα ὄρος κατὰ τοὺς παλαιούς. καὶ ἴσως ἔστιν εἰπεῖν, ὅτι συνεξηκολούθησε καὶ αὐτὸ τοῖς διὰ τοῦ ωνη θηλυκοῖς ὀνόμασιν, οἷον τῷ κορώνη, Μεθώνη καὶ τοῖς τοιούτοις. οὐκ εἰς ὀξὺ δὲ παντελῶς ἡ κολώνη λήγει, ἔχει δέ τι, ὡς εἰκός, ἄνω κολόβωμα τῆς ὀξύτητος.

1.550 διὸ καὶ κολώνη λέγεται, ὡς ἀπὸ τοῦ κολούω, τὸ κολοβῶ. ταὐτὸν δὲ πάντως κολωνὸν κἀνταῦθα καὶ κολώνην εἰπεῖν. νικᾷ δὲ ὅμως τὸ Ὁμηρικόν, ᾧ καὶ Σοφοκλῆς ἀκολουθῶν κολώνην ἄκραν τάφου ἔφη, εὖ ἄλλως εἰδὼς τὴν ῥηθεῖσαν ταὐτότητα, καθότι Κολωνὸς μὲν δῆμος αὐτῷ ἐν Ἀθήναις, ὁ δὲ ἐκεῖθεν δημότης, ὁποῖος καὶ αὐτός, Κολώνηθεν ἐλέγετο φῦναι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐ Κολωνόθεν, ὡς ὅμοιον ὂν κολωνὸν καὶ κολώνην εἰπεῖν καὶ ἐκ Κολωνοῦ καὶ Κολώνηθεν. (v. 813) Ἐκαλεῖτο δὲ ἡ ῥηθεῖσα κολώνη ὁμωνύμως, φασίν, Ἀμαζόνι τινὶ ἐκεῖ τεθαμμένῃ δύο ποτέ, οἷα εἰκός, ἐχούσῃ ὀνόματα, ὧν τὸ μὲν εὐτελέστερον καί, ὡς οἱ παλαιοί φασι, δημωδέστερον ἀνθρώποις ἔγνωστο. τοιοῦτον δὲ ἡ Βάτεια καὶ ἡ Βατίεια λείως καὶ ἀφελῶς ἐκφωνούμενον. τὸ δὲ ὀγκηρότερον καὶ σεμνότερον ἢ καὶ κατὰ τοὺς παλαιοὺς ἀληθέστερον θεοῖς δέδοται, ὡς ἡ Ὁμηρικὴ Μοῦσά φησιν, ἤτοι ὁ θεόληπτος ποιητὴς καὶ ὡς οἷα μουσοτραφὴς τὴν τῶν θεῶν, φασίν, εἰδὼς διάλεκτον. οὕτω καὶ Βριάρεως καὶ Αἰγαίων, τὸ μὲν θεῖον ὄνομα κατὰ τὸν ποιητήν, τὸ δ' ἀνθρώπινον. τὸ δὲ ὅμοιον καὶ ἐπὶ ἑτέρων διωνυμιῶν. (v. 814) Ἡ δὲ Ὁμηρικὴ αὕτη Μύριννα κεῖται καὶ παρὰ Λυκόφρονι λεγομένη παρά τινων Τεύκρου θυγάτηρ, γυνὴ Δαρδάνου. ὁ δὲ Γεωγράφος μεμνημένος που ταύτης φησίν· «Ἕρμος ἀπέχει τῆς Κύμης ἑβδομήκοντα σταδίους. μεγίστη δὲ τῶν Αἰολικῶν καὶ ἀρίστη ἡ Κύμη ἀπὸ Ἀμαζόνος τὸ ὄνομα σχοῦσα, καθάπερ καὶ ἡ Μύριννα ἀπὸ τῆς ἐν τῷ Τρωϊκῷ πεδίῳ κειμένης ὑπὸ τῇ Βατιείᾳ». Ὥστε κατὰ τὴν ἱστορίαν ταύτην τοῦ Γεωγράφου οὐκ αὐτὴ ἐκείνη ἡ Ἀμαζὼν Μύριννα διώνυμος ἀλλ' ὁ τύμβος αὐτῆς, οὗ δύο ὀνόματα, ἡ Βατίεια τοπικὸν καὶ ἡ Μύριννα ἐκ τῆς κειμένης Μυρίννης ἐν τῇ Βατιείᾳ. ὅτι δὲ τόποι πολλοὶ Ἀμαζόνων εἰσὶν ἐπώνυμοι, δεδήλωται καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. δοκεῖ δὲ καὶ ἡ Θεμίσκυρα ἐπωνομάσθαι Ἀμαζόνι, οἰκητήριον καὶ αὐτὴ Ἀμαζόνων γενομένη ποτέ, παρ' ᾗ καὶ εἰσέτι νῦν τόπος τις ταῖς Ἀμαζόσιν ἐπωνόμασται. Ἱστορεῖ δὲ ὁ Γεωγράφος καί, ὅτι Βάτεια ἀπὸ Βατείας προσηγόρευται, τῆς Δαρδάνου γυναικός, ἧς καὶ Ἀρριανὸς μεμνημένος φησίν, ὅτι Δάρδανος ἐκ Σάμου τῆς Θρᾳκίας ἐλθὼν τὰς τοῦ Τεύκρων βασιλέως θυγατέρας ἔγημε, Νησὼ καὶ Βάτειαν, καὶ ἐκ μὲν τῆς Νησοῦς ἦν αὐτῷ θυγάτηρ Σίβυλλα, ἡ μάντις, ἀφ' ἧς καὶ ἄλλαι γυναῖκες, ὅσαι ἐγένοντο μαντικαί, Σίβυλλαι ἐλέγοντο, οὐχ' ὡς πρὸς αἵματος αὐτῇ οὖσαι, ἀλλὰ διὰ τὴν ὁμοίαν θεοφορίαν τυχοῦσαι τῆς ἐπικλήσεως, ἐκ Βατείας δὲ Ἐριχθόνιος καὶ Ἶλος.

1.551 μήποτε οὖν, ὥσπερ ὁ τῆς γεννησαμένης Βατείας τάφος κάτω τῆς Τροίας, οὕτω κατὰ ζῆλον καὶ ὁ τοῦ Ἴλου μέσον κὰπ πεδίον ἦν. ὅρα δὲ καί, ὅτι, ὡς δῆλον ἐκ τῶν προσεχῶς γραφέντων, πρωτότυπον ἡ Βάτεια· ὅθεν κατὰ πλεονασμὸν ἡ Βατίεια, ὁμοίως ἴσως τῷ ὑγεία ὑγίεια. Λέγει δὲ ὁ Γεωγράφος καί, ὅτι τεκμαίρονται Ἀμαζόνα ταύτην εἶναι τῷ ἐπιθέτῳ· εὔσκαρθμοι γὰρ ἵπποι, φασί, διὰ τὸ τάχος, κἀκείνη οὖν εὔσκαρθμος διὰ τὸ ἀπὸ τῆς ἡνιοχείας τάχος. ἱστορεῖ δὲ καὶ πόλιν Αἰολικὴν εἶναι τὴν ἀνωτέρω λεχθεῖσαν Μύρινναν, τὴν ὁμώνυμον τῇ ἐν τῷ Τρωϊκῷ πεδίῳ κειμένῃ Μυρίννῃ, ἥτις ἐν ἁπλότητι μὲν γράφεται τοῦ ρ , διπλόην δὲ ἔχει τοῦ νῦ, [κατὰ τὸ Ἤριννα καὶ Κόριννα], ἀπεναντίας τῇ μυρρίνῃ, τῷ δένδρῳ. αὐτὴ γὰρ μονάζει μὲν τὸ ν , διπλάζει δὲ τὸ ρ διὰ τὴν μυθικὴν Μύρραν, καί, διότι δὲ μυρσίνη λέγεται. διό, καθάπερ πυρσός πυρρός, ταρσὸς ταρρός, ὁ καλαθίσκος, οὕτω καὶ μυρσίνη μυρρίνη. Τινὲς δὲ Βάτειάν φασι πόλιν Τρωϊκὴν, παρονομαζομένην ἐκ τῶν περὶ αὐτὴν βάτων, [αἵπερ καὶ βάτειαι τρισυλλάβως λέγονται, ὡς ὁ Πίνδαρος δηλοῖ ἐν τῇ εἰς τὸν Ἀγησίαν ᾠδῇ.] Ἕτεροι δὲ ἐνδοιάζοντές φασιν οὕτω καλεῖσθαι ἴσως παρὰ τὸ βαίνεσθαι ἐν τοῖς πολέμοις. Πολύσκαρθμος δὲ ἡ, ὡς εἴρηται, ἡνιοχικὴ καὶ πολυκίνητος. Γίνεται γὰρ ἐκ τοῦ σκαίρω, τὸ πηδῶ, ὁ σκαρθμὸς πλεονάσαντος τοῦ θ , ὡς καὶ ἐν τῷ μηνιθμός καὶ κλαυθμός καὶ ὠρυθμός παρὰ Κοΐντῳ καὶ ἐν τοῖς ὁμοίοις. τινὲς δὲ τὸ πολύσκαρθμος πρὸς τὸν τόπον ἡρμήνευσαν, ὡς πολλῶν, φασίν, ἐνεργουμένων αὐτόθι ἐν τῷ πολέμῳ σκαρθμῶν, ὅ ἐστι κινήσεων ποδῶν. ἔστι δὲ κατὰ τοὺς παλαιοὺς σκαρθμὸς δρόμος, βάσις, πούς. ἕτεροι δὲ τὸ πολύσκαρθμος ἀντὶ τοῦ τραχεῖα ἐνόησαν. (v. 811) Τὸ δέ «ἔστι δέ τις αἰπεῖα κολώνη πρὸ τῆς Τροίας» σχῆμά ἐστι σαφηνείας διηγήμασι πρέπον, φίλον Ὁμήρῳ, ὡς καὶ τὸ «ἔστι πόλις Ἐφύρη» καὶ ἄλλα πολλά.

1.552 (v. 816—8) Ὅτι Τρωσὶ μὲν ἡγεμόνευε μέγας κορυθαιόλος Ἕκτωρ Πριαμίδης, ἅμα τῷ γε», ἤγουν τούτῳ, «πολὺ πλεῖστοι καὶ ἄριστοι λαοὶ θωρήσσοντο μεμαότες ἐγχείῃσιν», ἤγουν

προθυμούμενοι τοῖς ἔγχεσι. τί δὲ προθυμούμενοι; πολεμίους ἀναιρεῖν ἢ φάλαγγας ῥήσσειν ἢ καὶ θώρακας ῥήξειν πολεμίων ἀμφὶ στήθεσιν, ὅπερ ἐπὶ μὲν τῶν Ἀβάντων ἐντελῶς εἶπεν, ἐνταῦθα δὲ ἐνέλειψε συνεπιτροχάζων καὶ τοῖς σχήμασι καὶ τὸ Τρωϊκὸν ἐμφαίνων καὶ οὕτως ἐναγώνιον, ὅσγε οὐδὲ δειπνούντων μέμνηται τῶν Τρώων οὐδὲ μὴν θυόντων, ἅπερ εὐλόγως πεποιήκασιν Ἕλληνες. (v. 816) Καὶ ὅρα, ὅτι μέγαν τὸν Ἕκτορα εἶπε κατὰ πολλὰς πάντως ἐννοίας, ὧν οὐδεμίαν ἀνεκάλυψε. Κορυθαιόλος δὲ παροξύνεται μὲν ὑπὸ τῶν παλαιῶν, δηλοῖ δὲ τὸν ἔχοντα αἰόλην κόρυθα, ἤγουν ποικίλην περικεφαλαίαν—εἰκὸς γὰρ αὐτῷ παρηλλάχθαι τὸν ὁπλισμόν—ἢ τὸν εὐκίνητον ἐν πολέμοις παρὰ [τὸ αἰόλον], τὸ ταχύ, ὅπερ ἀπὸ τοῦ αἰόλλω, τὸ κινῶ, γίνεται, ἵνα εἴη κορυθαιόλος ὁ αἰόλος εἰς μάχην μετὰ ὅπλων, ὡς ἀπὸ τῆς κόρυθος τὸ πᾶν εἰπεῖν. τοιούτου δὲ σημαινομένου ἐστὶ καὶ ὁ κορυθάϊξ. Ἰστέον δέ, ὅτι ἀπὸ τοῦ ῥηθέντος αἰόλλω καὶ ἀπαιόλη γίνεται, ἡ ἀπάτη καὶ ἀποστέρησις. Αἰσχύλος· «τέθνηκεν αἰσχρῶς χρημάτων ἀπαιόλῃ». ἐκεῖθεν δὲ καὶ ἀπαιόλημα τὸ ἀποπλάνημα καὶ ἀποκάθαρμα, ὃ καθαρολογήσας ἐν σαφηνείᾳ Σοφοκλῆς ἄλημά τε ἁπλῶς τὸν δόλιον καὶ αἱμύλον Ὀδυσσέα λέγει καὶ ἄλημα στρατοῦ, ᾧ παράκειται εἰς ἑρμηνείαν καὶ τὸ αἱμυλώτατον. καὶ οὕτω μὲν ὁ Ἕκτωρ τῶν Τρώων ἡγεῖτο. (v. 819—23) Δαρδανίων δέ, φησίν, ἦρχεν Αἰνείας, ὃν ὑπὸ Ἀγχίσῃ ἔτεκεν Ἀφροδίτη «Ἴδης ἐν κνημοῖσι θεὰ βροτῷ εὐνηθεῖσα». οὐ μόνος δὲ αὐτός, ἀλλ' ἅμα τούτῳ δύο Ἀντηνορίδαι, Ἀρχέλοχος καὶ Ἀκάμας. ἴσως γάρ, φασίν, ὁ βασιλεὺς ὑποπτεύων τὸν Αἰνείαν, ὡς καὶ ἐν τοῖς μετὰ ταῦτα δηλώσει που ὁ ποιητής, φύλακας αὐτῷ συνέταξε. (v. 819) Καὶ ὅρα, ὅτι διαφορὰν οἶδε Δαρδάνων καὶ Τρώων, ὡς καὶ ἐν τοῖς ἑξῆς πολλαχοῦ φανήσεται, ἢ φυλαδὸν διῃρημένων ἢ κατὰ σειρὰν τὴν ἀπὸ Τρωὸς καὶ Δαρδάνου, ἀφ' οὗ καὶ Δαρδανία, τόπος τις, καὶ κτίσμα δὲ Δάρδανος, ἀρχαῖον μέν, φασί, εὐκαταφρόνητον δέ. Φησὶ γοῦν ὁ Γεωγράφος, ὅτι μετ' Ἄβυδον Δαρδανὶς ἄκρα καὶ πόλις Δάρδανος ἀπέχουσα ἑβδομήκοντα σταδίους τῆς Ἀβύδου, μεταξὺ δὲ ὁ Ῥόδιος ἐκπίπτει ποταμός. οὕτω δ' εὐκαταφρόνητος ἡ ῥηθεῖσα Δάρδανος ἦν, ὥστε οἱ Ῥωμαίων βασιλεῖς, οἱ μὲν μετῴκιζον αὐτὴν εἰς Ἄβυδον, οἱ δὲ εἰς τὸ ἀρχαῖον ἀνῴκιζον.
1.553 μεσόγειοι δέ, φασίν, ὑπὸ τὴν Ἴδην οἱ Δάρδανοι. ὁ δ' αὐτὸς Γεωγράφος λέγει καί, ὅτι παρώρεια Τροίας ὑπὸ τὸν Αἰνείαν, ἣν Δαρδανίαν ἐκάλουν. εἰπόντος δὲ Ὁμήρου, ὡς Τρώων μὲν ἡγεῖτο Ἕκτωρ, Δαρδανίων δὲ ἦρχεν Αἰνείας, λέγουσιν οἱ Σχολιασταί, ὅτι δι' ἐθνῶν οὐ διὰ πόλεων ὀνομάζει τοὺς βαρβάρους. εἰ δὲ προϊὼν καὶ πόλεις τινὰς βαρβάρων καταλέγει, ἀλλὰ τὰ πλείω ἐθνικῶς προάγει ὡς ἐν στενῷ. τοὺς δὲ Δαρδανίους τὰ πλείω Δαρδάνους τρισυλλάβως λεγομένους ἔστιν εὑρεῖν, ὡς δηλοῖ καὶ τὸ «Τρῶες καὶ Δάρδανοι». Ὁ δὲ Πορφύριος λέγει καί, ὅτι Τρώων καὶ τῶν τούτοις συμμάχων ἡγοῦντο ἄνδρες εἴκοσι καὶ ὀκτὼ σὺν τοῖς ὕστερον ἐλθοῦσι. τούτων δέ, φησίν, ὀκτωκαίδεκα ἐν τῷ πολέμῳ καθ' Ὅμηρον ἀπέθανον. (v. 820) Ἀφροδίτης δὲ υἱὸς ὁ Αἰνείας μυθολογεῖται ὡς ἡδὺς καὶ ἐπέραστος καί, ὡς εἰπεῖν, ἐπαφρόδιτος καὶ πολὺ τὸ ἐπαγωγὸν ἔχων. διὸ καὶ ἐφιλεῖτο ὑπὸ τῶν Τρώων. ὅθεν καὶ τῷ βασιλεῖ ὢν ὕποπτος οὐδὲν ὅμως ἐβλάβη. (v. 821) Ἡ δὲ Ἴδη ὄρος Τροίας ὑψηλόν, πολλαχοῦ τῆς ποιήσεως ἐμφερόμενον, πολλοὺς ἔχουσα πρόποδας κατὰ τοὺς παλαιούς, σκολοπενδρώδης τὸ σχῆμα. Ἔστι δὲ Ἴδη καὶ Κρήτης. καὶ πᾶν δέ, φασίν, ὄρος ὑψηλὸν ὡς ἀπὸ τούτων Ἴδη ἐλέγετο, ὥσπερ καὶ πᾶν ὕδωρ Ἀχελῷος καὶ Ὠκεανὸς δὲ κατά τε Ὅμηρον καὶ τοὺς ὁμηρίζοντας, ἐν οἷς καὶ Εὐριπίδης εἰπών, ὡς πέτρα τις Ὠκεανοῦ ὕδωρ στάζει, τουτέστι πηγήν. Ὅτι δὲ καὶ Κρητική ἐστιν Ἴδη καὶ ὅτι ἀπὸ τῆς ἐν Κρήτῃ Ἴδης ἡ Τρωϊκὴ ὠνόμασται, καὶ ἐν τῇ α' ῥαψῳδίᾳ προγέγραπται. Ὁ δὲ Γεωγράφος λέγει καί, ὅτι Ἴδη τὸ ὄρος μέχρι Λεκτοῦ καθήκει, ἔστι δὲ ἀκρωτήριον γνώριμον τὸ Λεκτόν. λέγει δὲ ὁ αὐτὸς καί, ὅτι ἐν τῇ Κρητικῇ Ἴδῃ σίδηρον εἰργάσαντο οἱ Ἰδαῖοι καλούμενοι Δάκτυλοι, διὰ τὸν ἀριθμὸν οὕτω κληθέντες. καὶ ὅτι κύκλος τοῦ τοιούτου ὄρους στάδιοι ἑξακόσιοι. (v. 821) Κνημοὶ δὲ ὄρους τὰ περὶ τοὺς πρόποδας, ὡς πρὸ ὀλίγου ἐγράφη. (v. 824—7) Ὅτι ὑπὸ πόδα νείατον Ἴδης, ὅ ἐστιν ἐν τῇ ἐσχάτῃ ὑπωρείᾳ τῆς Ἴδης, ἔναιον οἱ κατὰ Ζέλειαν «ἀφνειοὶ πίνοντες ὕδωρ μέλαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Αἰσήποιο Τρῶες», ὧν ἦρχε Λυκάονος ἀγλαὸς υἱός, «Πάνδαρος, ᾧ καὶ τόξον Ἀπόλλων αὐτὸς ἔδωκε».

1.554 Σημειοῦνται δὲ ἐνταῦθα οἱ παλαιοί, ὅτι ἡ μὲν κατὰ Πάνδαρον χώρα ὁμωνύμως τῇ ἐν τῷ Ξάνθῳ Λυκίᾳ καλεῖται, Τρῶες δὲ οἱ οἰκήτορες ἑτερωνύμως, ὅπερ καὶ ἐπὶ ἄλλων ἐδηλώθη γενέσθαι πρὸ τούτων. ὅτι δὲ τοιοῦτος Λύκιος ὁ Πάνδαρος καὶ ὅτι Λυκία ὑπ' αὐτῷ ἦν, ἐν ᾗ Ζέλεια, δηλοῖ τὸ «οὐδέ τις ἐν Λυκίῃ σοῦ εὔχεται κρείττων εἶναι». διὸ καὶ Λυκηγενεῖ Ἀπόλλωνι ἐν τοῖς ἑξῆς εὔξεται. Ῥητέον οὖν ἐν ὀλίγῳ, ὅτι οὐ μόνον Ζελειῶται οἱ τοῦ Πανδάρου, ἀλλὰ καὶ Τρῶες, ἤδη δὲ καὶ Λύκιοι· τριωνυμία οὖν ἐθνικὴ καὶ ἐνταῦθα, ὡς καὶ ἐπὶ τῶν Μυρμιδόνων προείρηται. Τὸ δὲ διπλοῦν ζ , ὡς οὐδ' ἐν τῇ δ', οὕτως οὐδ' ἐνταῦθα ἐκτείνει τὸ πρὸ αὐτοῦ βραχὺ φωνῆεν. φησὶ γὰρ κατὰ δάκτυλον «οἳ δὲ Ζέλειαν ἔναιον». [Τοιοῦτον δὲ καὶ τὸ «ὑλήεντι Ζακύνθῳ». καὶ ἐκεῖ γὰρ ἀδυναμίαν ἔχει τὸ διπλοῦν ἐκτείνειν τὸ προηγούμενον αὐτοῦ δίχρονον διὰ μέτρου ἀνάγκην, καθ' ἣν καὶ ὁ Σκάμανδρος ἀδυνατεῖ ἔκτασιν ποιεῖν φωνήεντος βραχέος, ᾧ αὐτὸς ἐπάγεται. καὶ καλεῖται τὸ τοιοῦτον ὑπερμετρία, μία οὖσα τῶν παρὰ τοῖς παλαιοῖς τεθεωρημένων πέντε ἢ ἓξ κακιῶν τοῦ ἔπους. ἧς μέρος καὶ τὸ «Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένος ἠΰ». καὶ αὐτὸ γὰρ ὑπερμετρίᾳ ὑποκεῖσθαι λέγεται διὰ τὸ πλεονάζειν χρόνῳ οὐκ ἔχοντι λόγον συνιζήσεως. ἀλλὰ τὸ μὲν τοιοῦτον πάθος ἔχοι ἂν λόγον κακίαν ἔπους εἶναι, καθὰ καὶ τὴν ὀλιγομετρίαν, ἣ θεωρεῖται ἐν στίχῳ ἐξ ὀλίγων μερῶν λόγου συγκειμένῳ, οἷον «κολλητὸν βλήτροισι δυωκαιεικοσίπηχυ». εὐτελὲς γὰρ τὸ ἐκ δύο μερῶν λόγου, ἤγουν ὀνόματος καὶ συνδέσμου, ἡρῷον ἔπος συγκεκροτῆσθαι. τὸ δὲ καὶ τὴν πολυμετρίαν τρίτην εἶναι κακίαν ἔπους, καθ' ἣν στίχος ἀπήρτισται ἐκ πολλῶν μερῶν λόγου συγκείμενος, οἷον «ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν», ἀπορίαν προβάλλεται. εἰ γὰρ τὸ ἐκ πέντε μερῶν λόγου συντεθειμένον κακία ἔπους, διὰ τί μὴ πολλῷ πλέον τὸ ἐκ πάντων, ἐκεῖνο τὸ σπουδαιότατον· «πρὸς δέ με τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον» ἢ ἐλέαιρε. ἔστι δὲ ἴσως δυσπαράδεκτος. οὐδὲν ἧττον καὶ ἡ παραδεδομένη ἕκτη κακία διὰ τήν, ὥς φασι, τρίτην ἀπὸ τέλους ὀξεῖαν ἐν τῷ «οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν».

1.555 αἱ μέντοι λοιπαὶ δύο κακίαι, ἡ τετάρτη καὶ ἡ πέμπτη, φανοῦνταί που ἐν τοῖς ἑξῆς καὶ αὐταὶ κατά τι ἔλλογοι. καὶ τοιάδε μὲν ταῦτα.] Κεῖται δέ, φασίν, ἡ Ζέλεια ἐν παρωρείᾳ τῇ ὑστάτῃ τῆς Ἴδης κατὰ τὸ Ὁμηρικὸν τὸ «ὑπὸ πόδα νείατον Ἴδης», Κυζίκου μὲν ἀπέχουσα σταδίους ἑκατὸν ἐνενήκοντα, θαλάσσης δὲ τῆς ἐγγυτάτω, καθ' ἣν ἐκδίδωσιν ὁ ποταμὸς Αἴσηπος, ὅσον σταδίους ὀγδοήκοντα. περιρρέει δ' αὐτὴν Τάρσιος ποταμός, οὗ μνήμη τις ἔσται ἐν τοῖς ἑξῆς. Ἐκλήθη δὲ ἡ τῆς Τρῳάδος αὕτη Ζέλεια κατὰ τὸν Ἐθνικολόγον ἀπὸ Ζελίου ἥρωος. ἐθνικὸν δέ, φησίν, αὐτῆς Ζελείτης καὶ Ζελειάτης. εὕρηται δὲ διὰ τοῦ ι Ζελίη. Τινὲς δὲ Ζέλην αὐτήν, φησί, καλοῦσιν. ἔστι δὲ καὶ φρούριον Κυζικηνόν. λέγονται δέ, φησί, κατά τινας οἱ τοῦ Πανδάρου Ζελεῖται καὶ Λύκιοι. Καὶ ὁ Γεωγράφος δέ φησιν, ὅτι Λύκιοι οἱ Τρωϊκοὶ καὶ ἕτεροι πρὸς τῇ Καρίᾳ, περὶ ὧν ὑπόνοια, φησίν, ἐστὶν ὡς τοὺς ἑτέρους ἀποικισάντων. ἐπεὶ δέ, φησί, Λύκιοι οἱ περὶ Ζέλειαν, διὰ τοῦτο καὶ Λυκάων ἀρχηγὸς αὐτῶν καὶ Ἀπόλλων αὐτόθι τιμᾶται Λυκηγενής. Λέγει δὲ καὶ Ἀρριανὸς οὕτω· «Ζέλεια ἡ καὶ Λυκία καὶ ὁ Ἀπόλλων ἐπὶ τῇδε τῇ Λυκίᾳ Λύκιος. διὸ καὶ Πανδάρου πατὴρ Λυκάων οὐ πόρρω τοῦ τοιούτου ἔθνους πεσόντος τοῦ ὀνόματος. καὶ Λυκηγενεῖ Ἀπόλλωνι ἐκεῖνος εὔχεται τῷ ἐγχωρίῳ». Ἰστέον δέ, ὅτι Λύκιος μὲν τὸ ῥηθὲν ἐθνικὸν διὰ διχρόνου, Λύκειος δὲ ἀγορὰ ἡ καὶ παρὰ Σοφοκλεῖ διὰ διφθόγγου, ἐν ᾗ, φασί, Λύκιος Ἀπόλλων ἵδρυτο. (v. 825) Ἀφνειοὺς δὲ λέγει οὐχ' οὕτω τοὺς πλουσίους, ὅσον τοὺς περὶ τὴν Ἀφνῖτιν λίμνην κατὰ τοὺς παλαιούς. καὶ γὰρ οὕτω, φασί, καλεῖται ἡ Δασκυλῖτις. Μέλαν δὲ ὕδωρ τὸ τοῦ Αἰσήπου φησὶν ἢ κατὰ κοινὸν ἐπίθετον, καθ' ὃ καὶ κυανώπιδα λέγει Ἀμφιτρίτην καὶ Ποσειδῶνα κυανοχαίτην καὶ ταύρους μέλανας θύεσθαι τῷ Ποσειδῶνι λέγεται, ἢ διὰ τὸ βαθύ. Καλλίμαχος δὲ παραφράσας «ἑλικώτατον ὕδωρ Αἰσήπου» φησίν. ἄλλον δὲ τρόπον καὶ

ἀργυροδίνην εἶχε τοῦτον εἰπεῖν. μετὰ τὴν Κυζικηνὴν δέ, φασί, καὶ τὸν ῥηθέντα Αἴσηπον ἡ τῆς Τρῳάδος ἀρχή. (v. 827) Πάνυ δὲ ἐξαίρει τὸν Πάνδαρον ὁ ποιητὴς λέγων ἐξ αὐτοῦ Ἀπόλλωνος λαβεῖν τὸ τόξον, ἤγουν τὴν τοξείαν, ὅ ἐστι τὴν τοξικὴν ἐπιστήμην. καὶ ἔστι, φασίν, ὁ τρόπος μετωνυμία. προοικονομεῖ δὲ ἐν τούτῳ τὰ μετὰ ταῦτα ὁ ποιητής, ἵνα θαρρῶν ὁ Πάνδαρος τῷ θείῳ δώρῳ τολμήσῃ διοϊστεῦσαι κατὰ Μενελάου καὶ οὕτω συγχεθῶσιν οἱ ὅρκοι ἐπὶ κακῷ τῶν Τρώων.

1.556 Ἔθος δὲ ποιηταῖς ἱστορεῖν τοὺς περί τινα τέχνην δεξιοὺς θεόθεν ἔχειν τὰ ὄργανα. οὕτω καὶ ἄλλος τις αὐλῶπιν ἔχει τρίπτυχον, «τήν οἱ πόρε Φοῖβος Ἀπόλλων». καὶ κίθαριν δέ τις καὶ ἕτερος λύραν καὶ ἄλλος ἀσπίδα ἤ τι ἀλλοῖον ὅπλον ἐκ θεῶν λαβεῖν μεμύθευται. Τὰς γὰρ εἰς ἄκρον φασὶν εὐεξίας θεοῖς ἀνατιθέασιν οἱ ποιηταί. [ἐν δὲ τῷ «καὶ τόξον ἔδωκεν» ἢ περιττὸς ὁ και σύνδεσμος ἢ συμπλέκει καὶ ἕτερα θεόσδοτα τῷ τόξῳ ἀγαθά, ἐν οἷς καὶ ἡ τοξικὴ δεξιότης.] (v. 828—34) Ὅτι οἱ περὶ Ἀδρήστειαν ἤτοι Ἀδράστειαν καὶ οἱ περὶ Ἀπαισὸν καὶ Πιτύειαν καὶ Τηρείης ὄρος αἰπὺ ἀρχηγοὺς εἶχον Ἄδρηστόν τε καὶ Ἄμφιον, ὃς λινοθώρηξ ἦν, καθὰ καὶ ὁ Λοκρὸς Αἴας πρὸ τούτου ἐρρέθη. ἦσαν δὲ υἱοὶ Μέροπος, ἀνδρὸς οὕτω καλουμένου καὶ ἐξιδιωσαμένου [καὶ αὐτοῦ κατὰ τὸν ἱστορούμενον Ὀλυμπιονίκην Ἄνθρωπον] τὸ προσηγορικὸν ὄνομα εἰς κυριωνυμίαν. Περκώσιος δὲ ἦν οὗτος, ἤτοι ἀπὸ Περκώτης, πόλεως Τρῳάδος. Ἤιδεε δὲ μαντοσύνας περὶ πάντων, ἤτοι ἐπέκεινα πάντων τῶν ἐκεῖ ὁμοτέχνων, οὐδὲ εἴα τοὺς παῖδας «στείχειν ἐς πόλεμον φθισήνορα· οἳ δ’ οὔ τι πίθοντο· κῆρες γὰρ ἄγον μέλανος θανάτοιο». καὶ ὅρα, οἷον τὸ μὴ πείθεσθαι πατράσιν εὖ εἰδόσιν. οἱ δὲ παλαιοὶ λέγουσιν ἐνταῦθα καί, ὅτι οὐδὲν ἄρα ἡ μαντικὴ μοίρας ἀντιταττομένης. (v. 828) Ἀδρήστειαν δὲ θέλουσι μέν τινες τρισυλλάβως Δρήστειαν γράφειν, οὐ προσέχονται δέ. ὠνόμασται γὰρ ἀπὸ Ἀδράστου, ἀνδρὸς ἡρωϊκοῦ παλαιοῦ, ᾧ συνεξέδραμεν εἰς ὁμωνυμίαν ὁ προρρηθεὶς Ὁμηρικὸς Ἄδραστος. περὶ ταύτης ὁ τῶν Ἐθνικῶν γραφεὺς λέγει, ὅτι μεταξὺ Πριάπου καὶ Παρίου τοῦ κατὰ Προποντίδα, ἐν ᾧ βωμὸς θέας ἄξιος κατὰ τὸν Γεωγράφον σταδιαίας ἔχων πλευράς, Ἀδράστεια πόλις ἀπὸ Ἀδράστου βασιλέως, ὃς πρῶτος ἱδρύσατο Νεμέσεως ἱερόν.

1.557 ἐκαλεῖτο δὲ καὶ ἡ χώρα Ἀδράστεια. Οἱ δὲ Ἀδράστειαν τὴν πόλιν κληθῆναι ἀπὸ Ἀδραστείας, μιᾶς τῶν Ὀρεστιάδων νυμφῶν. ἔστι δέ, φησί, καὶ τόπος Τρῳάδος Ἀδράστεια ἀπὸ Ἀδραστείας, θυγατρὸς Μελίσσου, υἱοῦ Ἴδης τῆς πρῶτον βασιλευσάσης ἐν Τροίᾳ. καὶ ταῦτα μὲν οὗτος συμφωνήσας τῷ Στράβωνι ἐν πολλοῖς. Ἐκεῖνος δὲ λέγει καί, ὅτι, ὥσπερ Θήβη καὶ Θήβης πεδίον, οὕτω καὶ Ἀδράστεια καὶ Ἀδραστείας πεδίον διττῶς καὶ ὅτι ἐνταῦθα μὲν οὔτε Νεμέσεως οὔτε Ἀδραστείας ἱερὸν δείκνυται, περὶ δὲ Κύζικον Ἀδραστείας ἱερόν. γράφει οὖν, φησίν, Ἀντίμαχος οὕτω· «ἔστι δέ τις Νέμεσις, μεγάλη θεός, ἣ τάδε πάντα πρὸς μακάρων ἔλαχε, βωμὸν δέ οἱ εἵσατο», ἤγουν ἵδρυσε, «πρῶτος Ἄδρηστος ποταμοῖο παρὰ ῥόον Αἰσήποιο· ἔνθα τετίμηταί τε καὶ Ἀδρήστεια καλεῖται». καὶ οὕτω μὲν καὶ ὁ Γεωγράφος. Ἕτεροι δὲ οὐκ ἰδίᾳ μὲν Ἀδρήστειάν φασιν, ἰδίᾳ δὲ Νέμεσιν, οὐδὲ Ἄδρηστον τοῦτον οἴδασιν αἴτιον τοῦ τῆς Ἀδρηστείας ταύτης ὀνόματος, ἀλλὰ Νέμεσιν Ἀδράστειαν λέγοντες Ἄδραστον αἰτιῶνται τῆς παροιμίας ταύτης, ὃν Σικυῶνι πρῶτα ἐμβασιλεύειν ὁ ποιητὴς πρὸ τούτου ἱστόρησε, καὶ τὴν μὲν Νέμεσιν ὡς εἰς κύριον τιθέασιν ὄνομα, τὴν δὲ Ἀδράστειαν ὡς εἰς ἐπίθετον, καὶ βούλονται εἶναι Ἀδράστειαν τὴν οἰκονομησαμένην παραδόξως τὰ κατὰ τὸν τοιοῦτον Ἄδραστον, οὗ μόνου τῶν ἡγεμόνων διασωθέντος ἐκ τοῦ Θηβαϊκοῦ πολέμου ἐνεμέσησε τὸ θεῖον. καὶ γοῦν ἐν τοῖς ἐπιγόνοις τῶν ἐν Θήβαις πεσόντων ἀρχηγῶν Διομήδης μὲν καὶ Σθένελος καὶ οἱ λοιποὶ περιεγένοντο, μόνος δὲ ὁ ἐξ Ἀδράστου πέπτωκε, καὶ οὕτω κατά τι δίκαιον ἀνισώθη τὸ δοκοῦν ἐκεῖ ἐλλελεῖφθαι πρὸς τῆς Νεμέσεως καὶ ἐκλήθη αὕτη ἐντεῦθεν Ἀδράστεια. Ἕτεροι δὲ τὴν Νέμεσιν ἀδράστειαν εἶπον καλεῖσθαι διὰ τὸ τῆς θείας δίκης ἀναπόδραστον ἤτοι ἄφυκτον· Παυσανίας δέ φησιν, ὅτι τὴν Ἀδράστειαν ἑτέραν τῆς Νεμέσεως ὑποτίθενταί τινες, οἱ δὲ τὴν

αὐτὴν τῇ Νεμέσει ἀπὸ Ἀδράστου, ὅτι μόνος τῶν ἑπτὰ σωθεὶς μόνος πάλιν τὸν υἱὸν ἀπέβαλεν ἐν τοῖς ἐπιγόνοις· οἱ δὲ ἀπὸ Ἀδράστου, φησί, Μυσοῦ ἱδρυσαμένου αὐτῆς ἱερόν. βέλτιον δέ, φησίν, ἀπὸ τοῦ μηδὲν αὐτὴν ἀποδιδράσκειν. καὶ τοιοῦτον μὲν καὶ τοῦτο. Ὁ δὲ Γεωγράφος λέγει πρὸς τὰ τοῦ Ὁμηρικοῦ τούτου καταλόγου καί, ὅτι ἐπὶ τῷ Αἰσήπῳ τὸ πεδίον τῆς Ἀδρηστείας καὶ Τήρεια καὶ Πιτύα ἢ Πιτύεια ἐκ πιτύων παρονομασθεῖσα καὶ καθόλου, φησίν, ἡ νῦν Κυζικηνὴ ἡ πρὸς Πριάπῳ, ὥστε φαίνεται τῆς Κυζικηνῆς καὶ τὰ ῥηθέντα εἶναι.

1.558 ἀλλαχοῦ δὲ λέγει, ὅτι ἡ Πιτύα τῆς Παριανῆς ἐστιν, ἧς ὑπέρκειται πιτυῶδες ὄρος. (v. 829) Ἰστέον δέ, ὅτι ἐκ τῶν πιτύων οὐχ' ἡ Πιτύα παρωνόμασται μόνον, ἀλλὰ καὶ νῆσοι διάφοροι Πιτυοῦσσαι λεγόμεναι, ἃς ὁ Ἀλκμὰν Πιτυώδεις καλεῖ. ἔστι δέ, φασί, Πιτύη καὶ πόλις Καρίας, ἥτις καὶ Πισύη διὰ τοῦ ς λέγεται. Ἀπαισὸς δὲ ἐνταῦθα μὲν μετὰ τοῦ ἄλφα. φησὶ γάρ· «καὶ δῆμον Ἀπαισοῦ». εὑρεθήσεται δὲ καὶ χωρὶς τοῦ α δισυλλάβως ἐν τῷ «ὅς ῥ' ἐν Παισῷ ναῖε πολυκτήμων». οὕτω δὲ καὶ παρὰ τῷ Γεωγράφῳ λέγοντι· Παισὸς πόλις καὶ ποταμὸς μεταξὺ Λαμψάκου καὶ Παρίου. κατασπασθείσης δὲ τῆς πόλεως οἱ Παισηνοὶ μετῴκησαν εἰς Λάμψακον Μιλησίων ὄντες ἄποικοι, ὡς καὶ οἱ Λαμψακηνοί. ὥσπερ δὲ διχῶς Ἀπαισός καὶ Παισός, οὕτω καὶ Ἄταρνα πόλις, ἧς ὁ πολίτης Ἀταρνεύς, ἐν ᾗ καὶ τυραννεῖον Ἑρμείου. καὶ Τάρνη δὲ δίχα τοῦ α . Ὅμηρος «ὃς ἐκ Τάρνης ἐριβώλακος». πλὴν ὅσον Ἀπαισὸς μὲν καὶ Παισὸς ἡ αὐτή, Ἄταρνα δὲ καὶ Τάρνη ἕτεραι ἀλλήλων. Τάρνη μὲν γὰρ Ἀχαίας πόλις, Ἄταρνα δὲ μεταξὺ Μυσίας καὶ Λυδίας καὶ Λέσβου, κατὰ δὲ ἑτέρους ἐπιτόμως εἰπεῖν, περί που τὴν Ἀτραμυτηνήν. (v. 829) Τήρεια δὲ ἴσως παρὰ τὸ τηρεῖν τὰ κύκλῳ, ὥσπερ καὶ Ἴδη παρὰ τὸ ἰδεῖν. αἰπὺ γὰρ ὄρος τὴν Τήρειαν λέγει ὁ ποιητής. οὕτω δὲ καὶ νῦν οὐ μακρὰν τῆς Προποντίδος ὄρος ὑψηλὸν κατοπτεῦον τὰ πέριξ τοιαύτην κλῆσιν ἔλαχε. Τειρία μέντοι διὰ διφθόγγου καὶ ι Λευκοσύρων πόλις ἐστὶ κατὰ τὸν ἀναγραφέα τῶν Ἐθνικῶν, ἧς ὁ πολίτης Τειριεύς, ὡς ὁ τοῦ Στειρίου Στειριεύς. ὁ δὲ Γεωγράφος τὴν Τήρειαν εἰς ὄρη Κυζικηνὰ τάσσει τῇ Ζελείᾳ προσεχῆ, ἐν οἷς θήρα κατεσκευάσθη βασιλική. οἱ δέ, φησί, λόφον αὐτήν φασιν ἀπὸ τεσσαράκοντα σταδίων Λαμψάκου. (v. 833) Τὸ δὲ φθισήνωρ δηλοῖ μὲν τὸν φθείροντα τοὺς ἄνδρας, ὃ δὴ σημαίνει καὶ ὁ φθισίμβροτος καὶ ὁ ἐναρίμβροτος καὶ ὁ ἀνδριφόντης καὶ ὁ βροτολοιγός. γίνεται δὲ ἀπὸ τοῦ φθίω φθίσω. ἐπεὶ δὲ τὸ φθίω διφορεῖται, ὡς καὶ ὁ Χοιροβοσκὸς ἐν τῇ Ὀρθογραφίᾳ δηλοῖ, διφορεῖται καὶ ἡ ἄρχουσα τοῦ φθισήνωρ. πολλὰ γοῦν τῶν παλαιῶν ἀντιγράφων διὰ διφθόγγου αὐτὴν ἔχουσι. [Καὶ ἔχεται λόγου ἡ τοιαύτη γραφικὴ διφόρησις. ἐκ μὲν γὰρ τοῦ φθίω φθίσω, ὡς τίω τίσω, καὶ φθίσις, ὡς τίσις, καὶ φθισήνωρ.

1.559 ἐκ δὲ τοῦ φθῶ φθείω, ὡς κῶ κείω, ἐξ οὗ τὸ κείσεται, καὶ χῶ χείω, τὸ χωρῶ, ἀφ' οὗ τὸ «οὐδὸς δ' ἀμφοτέρους ὅδε χείσεται», ἤγουν χωρήσει, γράφοιτο ἂν εὐλόγως διὰ διφθόγγου ἡ ἄρχουσα τοῦ φθεισήνωρ.] (v. 835—9) Ὅτι τῶν περὶ Περκώτην καὶ Πράκτιον καὶ Σηστὸν καὶ Ἄβυδον καὶ δῖαν Ἀρίσβην Ὑρτακίδης ἦρχεν Ἄσιος, ὄρχαμος ἀνδρῶν, ὃν καὶ ἐπαναλαμβάνων εὐθύς φησιν· «Ἄσιος Ὑρτακίδης, ὃν Ἀρίσβηθεν φέρον ἵπποι αἴθωνες μεγάλοι ποταμοῦ ἀπὸ Σελλήεντος». ἐπαναλαμβάνει δὲ τὸν Ἄσιον σημειωτικῶς, ὡς ἂν ὁ ἀκροατὴς ἐγγράψας αὐτὸν εἰς μνήμην εἰδείη, ὅτε ἀφραίνοντα ἐν τοῖς ἑξῆς μάθῃ αὐτὸν καὶ ἀκλεῶς πίπτοντα. οὐ μάτην δὲ οὐδὲ τῶν ἵππων αὐτοῦ ἐμνήσθη, ἀλλ' ὅτι αὐτοῖς πεποιθὼς ὁ Ἄσιος ἐν τοῖς ἑξῆς ὡς καλοῖς ἀφρονεύσεται καὶ πεσεῖται «ἵππων ὠκυπόδων ἐλατὴρ θρασυκάρδιος» κατὰ τὸ εἰς αὐτὸν ἐπίγραμμα. Ἰστέον δέ, ὅτι ἐν τοῖς ἑξῆς καὶ ἕτερος Ἄσιος δηλωθήσεται, μήτρως Ἕκτορος ἀπὸ Σαγγαρίου. (v. 835) Τῶν δὲ ῥηθέντων τόπων Περκώτη μὲν εἰς τοσοῦτον μόνον ἠξίωται λόγου τοῖς παλαιοῖς, εἰς ὅσον εἰπεῖν αὐτούς, ὅτι πόλις ἐστὶ Τρῳάδος καὶ ὅτι πολίτης αὐτῆς Περκώσιος καὶ ὅτι ἦν τις καὶ Παλαιπερκώτη λεγομένη καὶ ὁ ἐξ αὐτῆς Παλαιπερκώσιος. Τὸν δὲ Πράκτιον ποταμὸν δέχεσθαι ὁ Γεωγράφος βούλεται, ῥέοντα μεταξὺ Ἀβύδου καὶ Λαμψάκου—πόλις γάρ, φησίν, οὐχ' εὑρίσκεται—λέγων καί, ὅτι ὁ ποιητὴς καὶ ἐκ ποταμῶν οἰκήσεις ἐδήλωσεν, ὡς καὶ ἐν τῷ «οἳ παρὰ

Κηφισσὸν δῖον ἔναιον» καὶ «ἀμφὶ Παρθένιον ποταμὸν ἔργα ἐνέμοντο». ἀλλαχοῦ δὲ λέγει καί, ὅτι ἀφανῆ χωρία ἡ Περκώτη καὶ τὸ Πράκτιον καὶ ἡ Ἀρίσβη. (v. 836) Περὶ δὲ Σηστοῦ καὶ Ἀβύδου ἐγράφη ἐν τοῖς τοῦ Περιηγητοῦ. νῦν δὲ ἀρκεῖ εἰπεῖν, ὅτι κατὰ τὸν Γεωγράφον διέχουσιν ἀλλήλων Σηστὸς καὶ Ἄβυδος τριάκοντά που σταδίους ἀπὸ λιμένος εἰς λιμένα, καὶ ὅτι ἡ Σηστὸς βραχεῖα μέν, εὐερκὴς δέ, σκέλει διπλέθρῳ συνάπτουσα πρὸς τὸν λιμένα, [οὗ δὴ σκέλους μείζω πάντως τὰ ἐξ Ἀθηνῶν ἕως καὶ εἰς τὸν Πειραιᾶ,] καὶ ὅτι Γύγης, βασιλεὺς Λυδῶν, ὥσπερ τὴν Τρῳάδα πᾶσαν, οὕτω καὶ τὰ χωρία ταῦτα εἶχεν ὑφ' ἑαυτῷ, οὗ καὶ ἐπιτρέψαντος ἔκτισαν τὴν Ἄβυδον Μιλήσιοι. οὐ μόνον δὲ ἡ Σηστός, ἀλλὰ καὶ ὁ Σηστός ἀρσενικῶς, φασί, λέγεται. Ἰστέον δὲ καί, ὅτι τὸ Ἄβυδος ὕστερον ἐπὶ συκοφάντου ἐτέθη παροιμιακῶς διὰ τὸ δοκεῖν συκοφάντας εἶναι τοὺς Ἀβυδηνούς. ὅθεν καὶ Ἀβυδοκόμαι οἱ ἐπὶ συκοφαντίᾳ κομῶντες. τίθεται δέ, φασίν, ἡ λέξις καὶ ἐπὶ τοῦ εἰκαίου καὶ οὐδενὸς ἀξίου. κωμῳδοῦνται δέ, φασί, καὶ εἰς μαλακίαν οἱ τῆς Ἀβύδου. Παυσανίας δὲ καὶ παροιμίαν εἶναι λέγει «μὴ εἰκῆ τὸν Ἄβυδον», ᾗ ἐχρῶντο, φησίν, ἐπὶ τῶν εἰκαίων καὶ οὐδαμινῶν.

1.560 (v. 838) Ἀρίσβη δέ, εἰ καὶ ἀφανὲς ἀνωτέρω ἐρρέθη χωρίον, ἀλλ' ἦν ὅτε οὐ τοιοῦτον ἂν ἦν. ἔοικε γὰρ κατὰ τὸν Γεωγράφον βασίλειον εἶναι αὕτη Ἀσίου, διὸ καὶ δῖαν Ἀρίσβην ὁ ποιητὴς ἔφη αὐτήν. καὶ τὸ Ἀρίσβηθεν δὲ οὐκ εἰς κενὸν πρόσκειται, ἀλλ' ἵνα δηλωθῇ, ὅτι πολλῶν ἄρχων πόλεων ὁ Ἄσιος τῇ Ἀρίσβῃ, ὡς εἰκός, ἔχαιρε. ἦν δέ, φασί, καὶ ἐν Λέσβῳ Ἀρίσβα ὑπὸ Μηθυμναίοις, ἐν δὲ Θρᾴκῃ ποταμὸς Ἄρισβος ἐμβάλλων εἰς τὸν Ἕβρον. (v. 839) Αἴθωνες δὲ ἵπποι οἱ θερμοὶ ἢ μέλανες ἢ πυρροὶ ἀπὸ τοῦ αἴθω, τὸ καίω καὶ λάμπω, ἐξ οὗ καὶ ἡ Αἴθη, ἡ βασιλικὴ ἵππος, καὶ βόες δὲ αἴθωνες ὁμοίως πολλαχοῦ. λέγεται δὲ καὶ αἴθων λέων. αὐτὸς δὲ καὶ καθ' ἕτερόν τινα λόγον οὕτω καλεῖται τὸν ἑτέρωθι δηλούμενον. Ἐπίκειται δέ ποτε ἡ λέξις καὶ ἡρωϊκῷ ἀνδρί, ὡς δηλοῖ καὶ τὸ «ἀνδρὸς αἴθωνος ἀγγελίαν». Ἐνταῦθα δὲ ὅρα, ὅτι τὸ φέρειν ἐπὶ ἐμψύχου πάλιν εἴρηται ἐν τῷ «φέρον ἵπποι τὸν Ἄσιον». Σελλήεις δὲ ποταμὸς οὐ μόνον ἐν τοῖς ὑπὸ τὸν Ἄσιον, ἀλλὰ καὶ ἐν ἄλλοις τόποις, ὡς καὶ προεγράφη. ῥέει δὲ πρὸς τῇ Ἀρίσβῃ. ἀναμνηστέον δὲ καὶ τῆς οὐ πρὸ πολλῶν ῥηθείσης Ἐφύρης, ἥτις εἶχε καὶ αὐτὴ ποταμὸν Σελλήεντα. (v. 840—3) Ὅτι Ἱππόθοος καὶ Πύλαιος, υἱοὶ Λήθου Πελασγικοῦ, ἦγον φῦλα Πελασγῶν ἐγχεσιμώρων· «τῶν», ἤγουν τούτων, «οἳ Λάρισσαν ἐριβώλακα ἔναιον». (v. 840) Καὶ ὅρα τὸ «φῦλα Πελασγῶν». ἀξιόλογον γὰρ πλῆθος δηλοῖ. οὐ γὰρ φῦλον ἔφη, ἀλλὰ φῦλα πληθυντικῶς. μέγα δὲ ἔθνος οἱ Πελασγοὶ κατὰ τὸν Γεωγράφον, ὅπερ καὶ εἰς πλάτος ἀποδεικνύει αὐτός. πλανῆται δὲ ἦσαν καὶ σποράδες πανταχοῦ τῆς γῆς, ὡς καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ κεῖται. Φησὶ γοῦν ὁ αὐτὸς Γεωγράφος καί, ὅτι πλάνητες οἱ Λέλεγες, ὡς καὶ οἱ Πελασγοὶ καὶ οἱ Καύκωνες πολλαχοῦ τῆς Εὐρώπης τὸ παλαιὸν πλανώμενοι. καὶ Πελασγικὸν δὲ πεδίον ἱστορεῖ ἐν Λαρίσσῃ τῇ Θετταλικῇ. λέγει δὲ καί, ὅτι ᾠκήθη ποτὲ ὑπὸ Πελασγῶν ἡ τῶν Ἰώνων παραλία πᾶσα ἐκ Μυκάλης ἀρξαμένη. καὶ Χῖοι δὲ οἰκιστὰς ἔσχον Πελασγοὺς ἐκ Θετταλίας. Πολύπλανον γὰρ τὸ ἔθνος καὶ ἕτοιμον εἰς ἀπανάστασιν καὶ αὐξηθέν ποτε ἐπὶ πολὺ ταχὺ ἐξέλιπε.

1.561 καὶ Λῆμνον δὲ καὶ Ἴμβρον ὑπὸ Πελασγῶν Ἡρόδοτος οἰκεῖσθαί φησιν, ὅτε τὰ Περσικὰ ἐγίνοντο. καὶ Ἀργεῖοι δὲ ἦσαν Πελασγοί. Φησὶ γοῦν ὁ αὐτός, ὅτι Ἀργείων ἀκρόπολιν ᾤκισε Δαναὸς καὶ Πελασγιώτας ὠνομασμένους Δαναοὺς ἐκάλεσε. δηλοῖ δὲ ταῦτα καὶ ὁ εἰπών· «πάλαι Πελασγοί, Δαναΐδαι δεύτερον». πολλαχοῦ μὲν οὖν γῆς Πελασγοί, ὡς ἐρρέθη. κόμμα δὲ τοῦ τοιούτου ἔθνους καὶ οἱ ἐκ τῆς Λαρίσσης οὗτοι Πελασγοί, περὶ ἧς φασιν οἱ παλαιοί, ὅτι αὕτη νῦν συνῴκισται εἰς Ἀλεξάνδρειαν τὴν Τρῳάδα. (v. 841) Λάρισσαι δὲ πολλαὶ κατὰ τὸν Γεωγράφον, ἡ μὲν κατὰ τὴν Ἁμαξιτὸν ἐν ὄψει τελέως οὖσα τῷ Ἰλίῳ καὶ ἐγγὺς σφόδρα, περὶ ἧς οὐκ ἂν λέγοι ὁ ποιητής. μάλιστα δ' ἂν περὶ τὴν Κύμην ὑπολάβοι τις ὀρθῶς τὴν τοιαύτην Λάρισσαν. καὶ κατασκευάζει ὁ Γεωγράφος τὸ οὕτω τισὶν ὑποληφθὲν λέγων καί, ὅτι πόλις ἡ Κύμη ἐπιφανής

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποτε, Ἡσιόδου πατρίς, ἧς οἱ πολῖται ἐπὶ μωρίᾳ ἐκωμῳδοῦντο, καὶ ὅτι Φρικωνὶς ἡ τοιαύτη ἐκλήθη Λάρισσα καὶ ὅτι Κύμης μὲν ἀπεῖχε σταδίους ἑβδομήκοντα, Τροίας δὲ χιλίους. διό, φησί, καὶ Ἱππόθοος ἐν τῇ Πατροκλείᾳ τῆλε ἀπὸ Λαρίσσης πεσεῖν λέγεται. καὶ ὅτι Λαρισσαίοις τοῖς Φρικωναίοις καὶ τοῖς Θετταλικοῖς ἴδιόν τι συνέβη τὸ ποταμόχωστον χώραν οἰκεῖν, ὁμοίως καὶ τοῖς Καϋστρηνοῖς. ἦν δὲ καὶ τρίτη Λάρισσα κώμη τῆς Ἐφεσίας ἐν τῷ Καϋστρίῳ, φησί, πεδίῳ. Λέγει δὲ ὁ αὐτὸς ἄρχοντά τινα Πελασγῶν Πίασον ἐπιθυμῆσαι τῆς θυγατρός, ἣν Λάρισσαν ἐκάλουν. βιασάμενον δ᾽ αὐτὴν τῖσαι τῆς ὕβρεως δίκην. ἐγκύψαντα γὰρ εἰς πίθον οἴνου καταμαθοῦσα τὸν μιάστορα πατέρα ἡ Λάρισσα τῶν σκελῶν λαβομένη ἐξῆρε καὶ καθῆκεν αὐτὸν εἰς τὸν πίθον. καὶ ἔστιν ἀστείως εἰπεῖν, ὡς ποινὴν ἀθεμίτου παροινίας ὁ βίαιος ἔτισε, «τὸν λοῖσθον σκύφον» κατὰ τὸν εἰπόντα «ἐκπιών», οὐχ᾽ ὕδατος ἁλμυροῦ, ἀλλ᾽ οἴνου καταμεθύσαντος αὐτὸν εἰς θάνατον. Ἰστέον δέ, ὅτι ὁ τῶν Ἐθνικῶν ἐπιλέκτης ἕνδεκα Λαρίσσας ἐξαριθμήσας, ὧν αἱ πλείους Εὐρωπαῖαι, οὐ Κυμαίαν λέγει Λάρισσαν τὴν Ὁμηρικὴν ταύτην, ἀλλὰ τὴν Τρῳαδικήν, ἣν ὁ Γεωγράφος ἀπείπατο. καὶ ἰδοὺ εἰς τοῦτο ἀντιφέρονται οἱ σοφοὶ οὗτοι. ἀμφοῖν δὲ μάχεται τούτοιν ὁ εἰπὼν Θετταλικὴν τὴν τοιαύτην Λάρισσαν. Ἔοικε δὲ ὁ τοιοῦτος πλάνην παθεῖν τοιαύτην τινά. ἐν τῷ ἐφεξῆς Παφλαγονικῷ καταλόγῳ γράφουσιν οἱ Σχολιασταί, ὅτι ἐκ τῶν Εὐρωπαίων ἐπὶ τοὺς Ἀσιανοὺς ὁ ποιητὴς ἔρχεται.

1.562 ἐπεὶ οὖν οἱ πρὸ τῶν Παφλαγόνων καταλεγόμενοι Παίονες καὶ οἱ πρὸ ἐκείνων Κίκονες καὶ οἱ πρὸ αὐτῶν Ἑλλησπόντιοι Θρᾷκες Εὐρωπαῖοί εἰσιν, ᾠήθησαν καὶ τοὺς τῆς Λαρίσσης ταύτης τῆς Ὁμηρικῆς ἐκ τῆς Εὐρώπης εἶναι. καὶ τὰ ῥηθησόμενα δὲ τοῖς τοιούτοις ἔοικεν ὁμολογεῖν. Λάρισσαν γὰρ ἐνταῦθα εἰπόντος τοῦ ποιητοῦ φασί τινες, ὅτι ταύτην οἱ ἀπὸ τῶν Αἰολίδων μεταναστάντες ἔκτισαν· διὸ καὶ δῖοι Πελασγοί που λέγονται, ὡς ἄνωθεν Ἕλληνες, οὓς καὶ μετὰ τὸν κατακλυσμὸν σῶσαι τὰ στοιχεῖα μόνους Ἑλλήνων φασί, καὶ διὰ τοῦτο δίους αὐτοὺς καλεῖ. (v. 842) Τὸ δέ «Πύλαιος» προπαροξύνεται ὡς κύριον πρὸς διαστολὴν τοῦ «πυλαῖος Ἑρμῆς». Ἐγχεσιμώρους δὲ Πελασγοὺς ἔφη, καθὰ καὶ πρὸ ὀλίγων Μύνητα καὶ Ἐπίστροφον ἐγχεσιμώρους εἶπεν. (v. 844 s.) Ὅτι Θρήϊκας ἦγεν «Ἀκάμας καὶ Πείρως ἥρως, ὅσσους Ἑλλήσποντος ἀγάρροος ἐντὸς ἐέργει», τουτέστιν εἴργει, συγκλείει, περιέχει. τοῦτο δὲ προσέθηκε δι᾽ ἑτέρους Θρᾷκας, ὧν ἦρχεν Ἰφιδάμας, ὃς ἐτράφη ἐν Θρῄκῃ ἐριβώλακι, μητέρι μήλων, ἐλθὼν σὺν δώδεκα ναυσίν, ἃς ἔλιπεν ἐν Περκώτῃ, ἔτι δὲ καὶ διὰ τοὺς ὑπὸ τὸν Ῥῆσον Θρᾷκας. τοῖς δὲ περὶ Ἀκάμαντα καὶ Πείρων Θραξί φασι καὶ τοὺς περὶ Μαρώνειαν συνεισφέρεσθαι. Λέγουσι δὲ οἱ παλαιοὶ καί, ὅτι Ἰφιδάμας καὶ Ῥῆσος οἱ ῥηθέντες τῶν ἐπηλύδων Θρακῶν ἦρχον καὶ οὐ τῶν Ἑλλησποντίων. ὅτι δὲ πολεμισταὶ οἱ Θρᾷκες, γέγραπται μὲν καὶ ἀλλαχοῦ. πρὸς δὲ τὸ παρὸν εἰπεῖν ἀρκεῖ, ὅτι καὶ Εὐριπίδης διὰ τοῦτο τὴν Θρᾴκην Ἄρεος οἰκητήριόν φησι, λογογραφῶν τοὺς Θρᾷκας «εὔοπλον, εὔιππον Ἄρεϊ κάτοχον γένος». Λέγει δὲ καὶ Ἡρόδοτος, ὅτι περὶ Θρᾴκην ὁ Ἄρης καλός. ἔνθα καὶ Θρᾳκικά τινα ἱστορεῖ ἔθη, ὧν μνήμη τις καὶ ἐν Ὀδυσσείᾳ γενήσεται. ὁ δὲ Γεωγράφος καὶ τὸ πολὺ τῆς Θρᾳκικῆς περιοχῆς δηλῶν λέγει, ὡς ἡ Θρᾴκη σύμπασα ἐκ δύο καὶ εἴκοσι ἐθνῶν συνέστηκεν. [ὃ καὶ σημείωσαι. ἀληθῶς γὰρ ἀπείρων γῆ κατὰ τὴν ποίησιν, ἣν ζώνυσιν ὁ μέγας Αἷμος καὶ τὰ ὑπὲρ ἐκεῖνον καὶ τὰ ἐφεξῆς ἕως καὶ εἰς βαθὺ τοῦ Εὐξείνου καὶ ὁ Θρᾴκιος Βόσπορος καὶ ὁ Ἑλλήσποντος καὶ τὰ τούτου προσάρκτια μέχρι καὶ ἐς τὸν περιᾳδόμενον Ἄθων καὶ τὰ μετ᾽ αὐτόν, ἐν οἷς καὶ ἡ Τορώνη καὶ τὸ Ποσείδιον. Ὅτι δὲ Θρᾳκικὸς καὶ ὁ Ἄθως, οὗ μνεία καὶ παρὰ τῷ ποιητῇ ἐν τοῖς μετὰ ταῦτα, δηλοῖ, φασί, Σοφοκλῆς ἐν Θαμύριδι, «Θρήϊσσαν» εἰπών «σκοπιὰν Ζηνὸς Ἀθῴου».

1.563 ἔνθα ὅρα τὸ Ἀθῴου ὁμωνυμοῦν τῷ ἀθῴῳ, ὑφ᾽ οὗ δηλοῦται ὁ ἀζήμιος, ὧν διαφορά, καθά που καὶ ἑτέρωθι δηλωθήσεται, οὐ μόνον κατὰ σημασίαν, ἀλλὰ καὶ κατὰ τόνον. ἀθῷος μὲν γὰρ κατά τινας προπερισπωμένως ὁ ἀζήμιος, Ζεὺς δὲ Ἄθῳος προπαροξυτόνως ὁ ἐν τῷ Ἄθῳ τιμώμενος, ὅν, φασίν, ἔστι καὶ Ἀθώϊον κατὰ διαίρεσιν εἰπεῖν ὁμοίως τῷ ἄρειος, ἀρήϊος. κατὰ μέντοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑτέρους, ὧν ἐστι καὶ Ἡρωδιανός, ἀνάπαλιν ὁ μὲν παρὰ τὸν Ἄθων Ζεὺς Ἀθῷος προπερισπασθήσεται κατὰ τὸ ἥρως ἡρῷος, Μίνως Μινῷος, γάλως γαλῷος, τὸ δὲ ἕτερον προπαροξυνθήσεται. καὶ ἔσται θωὴ ἄθῳος, ὡς ψυχὴ εὔψυχος, βουλὴ εὔβουλος, τιμὴ ἄτιμος. καὶ τοῦτο μὲν τοιοῦτον.] Ὅτι δὲ πρωτότυπον τοῦ Θρᾷξ τὸ Θρήϊξ καὶ ἐκ τούτου κατὰ συναίρεσιν γίνεται τὸ Θρᾷξ καὶ ὅτι ὁ Ἑλλήσποντος πορθμός ἐστι διείργων τὴν Θρᾴκην καὶ τὴν Τρῳάδα, καὶ διὰ τί οὕτω καλεῖται, καὶ ὅτι ἀγάρροος, ὡς ἄν, φασί, στενός, (ῥοώδεις γὰρ οἱ πορθμοί) πολλαχοῦ δηλοῦται. καὶ εἴρηται περὶ αὐτῶν καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. Πείρως δὲ ὡς Μίνως. ὅρα δὲ τὸ Πείρως ἥρως, ὅτι καὶ αὐτὸ παρηχήσει ἔοικε. (v. 845) Τὸ δὲ ἀγάρροος ἐκ τοῦ ἄγαν γενόμενον ἔτρεψε τὸ ν εἰς ρ νόμῳ ἀμεταβόλων, ἅπερ συντεθέντα ἀμεταβόλοις συνεξομοιοῦνται αὐτοῖς. Σημείωσαι δέ, ὅτι τὸ ἀγάρροον τοῦτο κατέσυρε τὸν γλυκὺν Ἡρόδοτον ἁλμυρὸν ποταμὸν προσειπεῖν τὸν Ἑλλήσποντον, ἐπεὶ καὶ οἱ ποταμοὶ ἀγάρροοι. (v. 846 s.) Ὅτι Εὔφημος, υἱὸς Τροιζήνου Κεάδαο, Κικόνων ἦρχεν αἰχμητῶν. (v. 847) Ἔστι δὲ τοῦ Τροιζήνου εὐθεῖα προπαροξύτονος ὁ Τροίζηνος. Τὸ δὲ Κεάδαο πατρωνυμικὸν τοῦ Τροιζήνου. Κέας γὰρ αὐτῷ πατήρ. (v. 846) Κίκονες δὲ Θρᾳκικὸν ἔθνος πράγματα τῷ Ὀδυσσεῖ παρασχόν, ὡς ἡ Ὀδύσσεια δηλοῖ.

1.564 οὐ μακρὰν δὲ ἦσαν οὗτοι Μαρωνειτῶν, ὡς δηλοῖ κατὰ τὸν Ἐθνολόγον ὁ γράψας οὕτως· «Εὐάνθης δ’ ᾤκησεν ἐν Κικονίᾳ, ἵνα Μαρώνεια καλέεται». βαρύνεται δὲ τὸ Κίκων κατὰ δύο κανόνας, οὓς ἐκτίθενται οἱ παλαιοί, οἳ καὶ δύο φασὶ γενέσθαι Ὀρφέας Κίκονας, ὧν ὁ εἷς τοῦ Οἰάγρου παλαιὸς καὶ πολλῷ προγενέστερος τοῦ ὑστέρου καί, ὡς αὐτοί φασιν, ἕνδεκα γενεαῖς. Ἰστέον δέ, ὅτι εὕρηται μὲν ἐν τῇ ἐπὶ Πατρόκλῳ μάχῃ Μέντης ἡγεμὼν Κικόνων. ἦν δὲ καὶ αὐτὸς ὑπὸ τῷ ῥηθέντι Εὐφήμῳ τεταγμένος. τυχὸν δὲ καὶ ὕστερον ἦλθε, καθὰ καὶ ἐπὶ τοῦ ἀνωτέρω ῥηθέντος Ῥήσου γέγονεν, ὡς ἐν τοῖς ἑξῆς φανήσεται. Ἡρόδοτος δὲ λέγει, ὅτι περὶ Δωρίσκον καὶ Εὗρον καὶ Αἶνον τόπος Κικόνων ἦν τὸ παλαιόν. Ἰστέον δέ, ὅτι, ὥσπερ Ἀλεύας Ἀλευάδης, οὕτω Κέας Κεάδης. (v. 848—50) Ὅτι Πυραίχμης ἦγε «Παίονας ἀγκυλοτόξους τηλόθεν ἐξ Ἀμυδῶνος ἀπ’ Ἀξίου εὐρὺ ῥέοντος», ὃ δὴ πρόσκειται εἰς διαστολὴν τοῦ ἁπλῶς ἀξίου ἐπιθετικοῦ ὀνόματος. εἶτα ἐπαναλαμβάνων τὸν Ἄξιον, οἷα θαύματός τινος ἄξιον, λέγει «Ἀξίου, οὗ κάλλιστον ὕδωρ ἐπικίδναται αἶῃ». (v. 848) Παίονας δὲ λέγει ἐνταῦθα, ἐξ ὧν ἢ δι’ ὧν ῥέει ὁ Ἄξιος ποταμὸς Παιονίας. φασὶ δὲ τὰ Σχόλια ἐνταῦθα, ὅτι Παίονες ὅμοροι Θρᾳξί, καὶ δοκεῖ καλὸν οὕτω νοεῖν. ἄλλως γὰρ ἀπορίαν πλείστην ἔχει ὁ περὶ Παιόνων ἐνταῦθα λόγος, ὥσπερ καὶ ὁ περὶ Λαρίσσης, ὡς προδεδήλωται. εἰ γὰρ κατὰ τὸν Γεωγράφον Πηλίου καὶ Πηνειοῦ τῶν Θετταλικῶν πρὸς μεσογαῖαν παράκεινται Μακεδόνες μέχρι Παιονίας καὶ τῶν Ἠπειρωτικῶν ἐθνῶν, ἐκ δὲ Παιόνων συμμαχίαν ἐν Τροίᾳ εἶχον οἱ Ἕλληνες, δυσχερὲς νοῆσαι τοῖς Τρωσὶν ἐλθεῖν συμμαχίαν ἐκ τῶν ῥηθέντων πορρωτέρω Παιόνων. ὅμως μέντοι τινὲς καὶ τοῦτο γενέσθαι φασί. καὶ ἔστω εἰρημένον, ἐπεὶ βοηθεῖσθαι δοκεῖ καὶ ὑπὸ τοῦ ποιητοῦ εἰπόντος Παίονας τούτους οὐκ ἐγγύθεν ποθὲν ἐλθεῖν ἀλλὰ τηλόθεν. Ἔστι δέ τις μνεία Παιόνων καὶ ἐν τοῖς περὶ Σελλῶν. Περὶ δὲ Πυραίχμου ἐν τοῖς τοῦ Πορφυρίου φέρεται, ὅτι Πατρόκλου ἀνελόντος αὐτὸν Ἀστεροπαῖος ἦγε τοὺς Παίονας, ὃν ἔρριψεν Ἀχιλλεύς.

1.565 περὶ δὲ Παιόνων ζητητέον καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. Ἰστέον δὲ καί, ὅτι Ἡρόδοτος οἶδε Παίονας καὶ περὶ τὸν Στρυμόνα, ἐφ’ ὧν καὶ παρηχεῖ τὸ «τοῖς Περινθίοις παιονίσασιν ἐπιχειροῦσιν οἱ Παίονες». λέγει δὲ καί, ὅτι Παιονία ἐπὶ Στρυμόνι ποταμῷ πεπολισμένη, εἰσὶ δὲ Τεύκρων τῶν ἐκ Τροίας ἄποικοι. καὶ ὅτι πρὸς Βορέαν κατὰ τὸ Πάγγαιον ὄρος ὑπεροικοῦντες ἦσαν Παίονες καὶ Δόβηρες. τὸ δὲ Πάγγαιον ἔτεινε, φησί, πρὸς μεσημβρίαν εἰς τὸν Στρυμόνα καὶ ἡ περὶ αὐτὸ γῆ ἐκαλεῖτο Φυλλίς. ὁ δὲ Γεωγράφος λέγει καί, ὅτι Ἄξιος καὶ Στρυμὼν ἐκ Παιόνων ῥέουσι καὶ ὅτι οἱ μὲν Παίονας Φρυγῶν ἀποίκους, οἱ δὲ ἀρχηγέτας ἀποφαίνουσι. καὶ τὴν Παιονίαν μέχρι Πελαγονίας καὶ Πιερίας ἐκτετάσθαι φασί. λέγονται δὲ καὶ πολλὴν πάλαι τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μακεδονίας κατασχεῖν καὶ μέχρι Προποντίδος προελθεῖν καὶ Πέρινθον πολιορκῆσαι. Σημειούμενοι δὲ οἱ παλαιοὶ καί, ὅτι διττὸν τὸ τῶν Παιόνων ἔθνος, καὶ ὡς οἱ μὲν ὑπὸ τὸν Πυραίχμην Παίονες τοξόται, οἱ δὲ περὶ τὸν Ἀστεροπαῖον δολιχέγχεες, λέγουσιν, ὅτι εἰκὸς τὸν Ἀστεροπαῖον χρονίζοντος τοῦ πολέμου ὕστερον ἐλθεῖν, ὡς καὶ Ἰφιδάμαντα καὶ Ῥῆσον, τοὺς πρὸ βραχέων εἰρημένους. Ἀγκυλότοξοι δὲ οἱ χρώμενοι ἀγκύλοις, ἤγουν σκολιοῖς, τόξοις, μάλιστα δὲ κατὰ τοὺς παλαιοὺς ἀγκύλαις, ἔτι δὲ καὶ τόξοις. εἶδος δὲ ἀκοντίου, ὡς καὶ προείρηται, ἡ ἀγκύλη. (v. 849) Ἀμυδὼν δὲ ἢ κατά τινας Ἀβυδὼν πόλις Παιονίας, ἧς ὁ πολίτης Ἀμυδώνιος ὡς Καλυδώνιος. Τὸ δέ «εὐρὺ ῥέοντος» γράφουσί τινες καὶ ὑφέν «εὐρυρέοντος». (v. 850) Κάλλιστον δὲ ὕδωρ ὥσπερ νῦν τὸ τοῦ Ἀξίου, οὕτω καὶ ἀλλαχοῦ τὸ τοῦ Ἐνιπέως. φασὶ δὲ οἱ παλαιοὶ τὸ κάλλιστον ἐνταῦθα νοεῖν ἀντὶ τοῦ ἁπλῶς καλόν. ἄλλως γὰρ πῶς κάλλιστος ὁ θολερός, ὡς δεδηλώσεται. Τὸ δέ «κίδναται» νῦν μὲν δίχα τοῦ ς διὰ τὸ μέτρον, ἀλλαχοῦ δὲ σὺν τῷ ς εὕρηται. ἐπεὶ γάρ ἐστι καὶ κεδῶ καὶ σκεδῶ, τὸ σκεδάζω, ἀπὸ μὲν τοῦ κεδῶ γίνεται τὸ κίδναται, ἀπὸ δὲ τοῦ σκεδῶ τὸ σκίδναται. Ἢ δὲ πλατυσμὸν τοῦ ποταμοῦ δηλοῖ τὸ κίδναται, ὡς πλατυνομένου ἐν τῷ ῥέειν, ἢ μηκυσμόν, ὡς πόρρωθεν εἰς θάλασσαν καταρρέοντος, ἢ καὶ ἀμφότερα. ἐν δὲ τῷ «ἐπικίδναται αἴῃ» ἢ αἶαν—διττῶς γὰρ ἡ γραφή—αἶάν τινες οὐ τὴν γῆν ἐνόησαν, ἀλλά τινα πηγήν, ὡς δῆλον ἐξ ὧν ὁ Γεωγράφος φησὶ λέγων, ὅτι ἡ παρ' Ὁμήρῳ Ἀμυδὼν Ἀβυδὼν ὕστερον ἐκλήθη, κατεσκάφη δέ.

1.566 πηγὴ δὲ πλησίον Ἀμυδῶνος Αἶα καλουμένη, καθαρώτατον ὕδωρ ἐκδιδοῦσα εἰς τὸν Ἄξιον, ὃς ἐκ πολλῶν πληρούμενος ποταμῶν θολερὸς ῥέει. φαύλη οὖν, φησίν, ἡ φερομένη γραφή «Ἀξίου κάλλιστον ὕδωρ ἐπικίδναται Αἴῃ», ὡς δηλαδὴ οὐ τοῦ Ἀξίου ἐπικιδνάντος τὸ ὕδωρ τῇ πηγῇ, ἀλλ' ἀνάπαλιν. εἶτα ὑποδυσκόλως αἰτιώμενος ὁ Γεωγράφος καὶ τὸ νοῆσαι τὴν αἶαν ἐπὶ τῆς γῆς ἔοικε παντελῶς ἐθέλειν ἐκβαλεῖν τοῦ Ὁμηρικοῦ ἔπους τὴν τοιαύτην λέξιν. (v. 851—5) Ὅτι «Παφλαγόνων ἡγεῖτο Πυλαιμένεος λάσιον κῆρ», ἤγουν περιφραστικῶς ὁ Πυλαιμένης, «ἐξ Ἐνετῶν, ὅθεν ἡμιόνων γένος ἀγροτεράων, οἵ», τουτέστιν οἱ Παφλαγόνες, «Κύτωρον εἶχον καὶ Σήσαμον ἀμφενέμοντο ἀμφί τε Παρθένιον ποταμὸν κλυτὰ δώματα ἔναιον Κρῶμνάν τε Αἰγιαλόν τε καὶ ὑψηλοὺς Ἐρυθίνους». (v. 851) Παφλαγόνες μὲν οὖν ἀπὸ Παφλαγόνος, ἐνδόξου ἀρχηγοῦ, καλοῦνται. ἡ δὲ Κωμῳδία τὴν λέξιν παρέσυρεν εἰς ἀναιδῆ ῥήτορα, ὃν Παφλαγόνα ἔσκωψε παρὰ τὸ οἷον παφλάζειν ἐν δημηγορίαις. Ὁ δὲ Πυλαιμένης παράγεται κατὰ τὸν μεσαιπόλιον. ὡς γὰρ τοῦτο γίνεται ἀπὸ τοῦ μέσος μεσοπόλιος, καὶ τροπῇ τοῦ ο εἰς α μεσαπόλιος καὶ πλεονασμῷ τοῦ ι μεσαιπόλιος, οὕτω καὶ Πυλομένης Πυλαμένης Πυλαιμένης. καὶ τὸ γυναιμανής δὲ ὁμοίως παράγεται κατά τινας, ἔτι δὲ καὶ τὸ τιθαιβώσσειν, τουτέστι σιμβλοποιεῖν καὶ ἀποτιθέναι τὰς μελίσσας βόσιν, ἤγουν τροφήν, ἑαυταῖς. ἔστι γὰρ τιθοβώσσειν καὶ τροπῇ τιθαβώσσειν καὶ πλεονασμῷ τιθαιβώσσειν. τοιούτου δὲ τύπου καὶ ὁ ἀκραιφνής καὶ ἕτερα δηλωθησόμενα ἐν τοῖς ἑξῆς. Τὸ δέ «λάσιον κῆρ» ἀντὶ τοῦ πυκινὴ ψυχή, τουτέστι μεταληπτικῶς πυκνὴ καὶ συνετή, οὐ μὴν ἀραιὰ καὶ ἄφρων. καί, ἄλλως δὲ εἰπεῖν, λάσιον κῆρ ψυχὴ λασιουμένη τοῖς νοήμασι καὶ συνεχῆ καὶ ἄλλα ἐπ' ἄλλοις καί, ὡς οἷον αὖλαξ βαθεῖα, δασέα «τὰ κεδνά», τραγικῶς εἰπεῖν, «βλαστάνουσα βουλεύματα». Χρήσιμον δὲ τοῦτο εἰς τὰ τοῦ Ἀχιλλέως λάσια στήθη τὰ ἐν τῇ α' ῥαψῳδίᾳ γοργότερον ὂν τοῦ τόπου ἐκείνου καὶ δεινότερον. ἐκεῖ μὲν γὰρ ἦτορ μερμηρίζει ἐν στήθεσι λασίοις, ἐνταῦθα δὲ λάσιον ἁπλῶς λέγεται κῆρ, ἄξιον ζητεῖσθαι πῶς ἐστι λάσιον. Σημείωσαι δέ, ὅτι ὁ μὲν ποιητὴς ἐπὶ ἐπαίνου ψυχικοῦ τὸ λάσιον εἴληφεν, ὡς ἐπὶ αὔλακος βαθείας, ὡς εἴρηται, ὁ δὲ παρὰ Ἰαμβλίχῳ Πυθαγορικὸς Λύσις ἐκστρέψας εἰς ψόγον ὡς ἀπὸ γῆς ὀρεινῆς παρείλκυσε τὸ νόημα εἰπὼν γλώσσῃ Δωρικῇ νοῦν τοιοῦτον, ὅτι πυκιναὶ καὶ λάσιαι λόχμαι περὶ τὰς φρένας καὶ τὰς καρδίας πεφύκασι τῶν μὴ καθαρῶς τοῖς μαθήμασιν ὀργιασθέντων πᾶν τὸ ἥμερον καὶ πρᾶον καὶ λογιστικὸν τῆς ψυχῆς ἐπισκιάζουσαι καὶ κωλύουσαι προφανῶς αὐξηθῆναι καὶ προκύψαι τὸ νοητικόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.567 Ἔστι δὲ καὶ ἕτερα μυρία οὕτω παρεστραμμένα καὶ εὑρεῖν καὶ εἰπεῖν. καὶ γοῦν Καδμείαν νίκην οἱ μὲν ἄλλοι οὐκ ἐπαινοῦντές φασι· τὴν ἀκάρπωτον γὰρ καὶ ἀκερδῆ τά τε ἄλλα καὶ διὰ τὸ μηδὲν ἀπόνασθαι τὸν Ἐτεοκλῆν τῆς τῶν Καδμείων κατὰ τῶν Ἀργείων νίκης, μηδὲ τοὺς ἀμφ' αὐτόν. Ἀρριανὸς δὲ τὴν μεγάλην καί, ὅ φασι κατ' ἄκρας, νοεῖ διὰ τὸ ἄκρως ἡττηθῆναι τοὺς περὶ τὸν Πολυνείκην ὑπὸ τῶν Καδμείων ὡς μόνον περισωθῆναι τὸν Ἄδραστον. Ἔτι ἰστέον καί, ὅτι ἐν τούτοις μὲν τὸ λάσιον κατὰ καλοῦ κεῖται, ἐν δὲ τῷ λάσταυρος ἄλλως τέθειται παίξαντος τῶν τινος ἐπιτρίπτων Κωμικῶν [εἰς τὸ λασιόταυρος.] (v. 852) Ἐνετοὶ δὲ ἔθνος περὶ Παφλαγονίαν, ὅπου ἡμιόνων γένος, φασίν, ἐπενοήθη. ἦν δὲ κατὰ τὸν ἀναγραφέα τῶν Ἐθνικῶν καὶ ἔθνος παρὰ Τριβαλλοῖς Ἐνετοί. λέγονται δέ, φησί, καὶ Ἐνετίδες ἵπποι. ἱστορεῖ δὲ ὁ αὐτὸς καί, ὅτι αἱ θήλειαι ἵπποι τῶν Ἐνετῶν πρὸς ζευγηλασίαν ἄρισται. ἦν δὲ καὶ πόλις Ἐνετός, φησίν, ἀφ' ἧς Μύρμηξ ὁ διαλεκτικὸς φιλόσοφος. ὁ Γεωγράφος δὲ λέγει, ὅτι Ἐνετοὶ ἐν Παφλαγονίᾳ νῦν οὐ δείκνυνται. τινὲς δὲ κώμην φασὶ παραιγίαλον δέκα σχοίνους Ἀμάστρεως διέχουσαν ἤγουν σταδίους τριακοσίους, ὡς δηλοῖ ἀλλαχοῦ ὁ αὐτὸς εἰπών· «χώρα δίσχοινος, τοῦτο δ' ἔστιν ἑξήκοντα στάδια». Σημείωσαι δέ, ὅτι τὸ σχοῖνος ἀοριστaίνειν φασί τινες, ὡς καὶ τὸ παρασάγγης, ὁ Περσικός, ὃν οἱ μὲν ἑξήκοντα στάδιά φασιν, οἱ δὲ τριακόσια καὶ τεσσαράκοντα. φησὶ γοῦν καὶ ὁ Γεωγράφος, ὅτι παρ' Αἰγυπτίοις ἄστατον τὸ τῆς σχοίνου μέτρον. Ζηνόδοτος δέ, ὡς ὁ αὐτὸς Γεωγράφος λέγει, τὸ «ἐξ Ἐνετῶν» «ἐξ Ἐνετῆς» γράφει καὶ νοεῖ Ἐνετὴν ἀκολούθως τῷ Ἑκαταίῳ τὴν νῦν Ἀμισὸν Λευκοσύρων οὖσαν, ὡς δηλοῖ τὸ «Ἐνετοὶ ἐκ Λευκοσύρων ὁρμηθέντες Τρωσὶ συνεμάχησαν». καὶ ἄλλοι δὲ ἄλλα περὶ τῶν Ἐνετῶν φασι. καὶ γέγραπται περὶ τούτων καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. Μέμνηται δὲ καὶ Εὐριπίδης ἵππων Ἐνετικῶν «Ἐνέτας» ἐκείνους προενεγκών. Αἰτιῶνται δ' ἐκεῖ τῆς τῶν τοιούτων ἵππων μνείας οἱ παλαιοὶ οὐκ εὔζηλον ἀναχρονισμόν, ὡς μήπω τότε παρ' Ἕλλησιν ὄντων Ἐνετῶν ἵππων, ἀλλ' αὐτῶν μὲν ὕστερον εἰς χρῆσιν ἐλθόντων, ὅτε πρῶτος Λέων Λακεδαιμόνιος ὀγδοηκοστὴν πέμπτην Ὀλυμπιάδα νενίκηκεν Ἐνέταις ἵπποις μετ' ἐπιγράμματος, τοῦ δὲ Εὐριπίδου ἀναχρονίσαντος τὴν τοιαύτην ἱππείαν εἰς τὰ ἡρωϊκά.

1.568 Τρόποι δὲ ἀναχρονισμοῦ εὐμέθοδοι καὶ παρὰ Σοφοκλεῖ, ἔνθα τε κλήρου μέμνηται «ὃς εὐλόφου κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν», ὡς μὴ βῶλος ὑγρᾶς ἀρούρης ὢν κατὰ τὴν περιεργίαν τοῦ ὑστερογενοῦς Ἀθηναίου Κρεσφόντου. καὶ ἐν τῷ τῶν Τραχινιῶν δὲ προοιμίῳ, ἔνθα ἡ παλαιὰ Δηϊάνειρα γνωμικῷ λόγῳ χρᾶται τοῦ ὑστέρου τῷ χρόνῳ Σόλωνος. ἔτι δὲ καὶ ἐν τῷ «οὐκ ἄν ποτε δίκην ὧδ' ἐψήφισαν». ψηφίζειν γὰρ οὔπω ᾔδεισαν ἥρωες, ἀλλὰ μεταχρόνιον τὸ τῶν ψήφων εὕρημα. Ἀγροτέρας δὲ ἡμιόνους λέγει τὰς μὴ διὰ τὸ σπάνιον οἰκοτραφεῖς ἀλλὰ ἀγελαίας καὶ νομάδας διὰ τὸ πολὺ πλῆθος αὐτῶν. Τινὲς δὲ τὰς δυσδαμάστους διὰ τὸ ἄγριον, ἕτεροι δὲ τὰς ἐν ἀγροῖς ἐπιτηδείους. καὶ σημείωσαι, ὅτι οὐ μόνον ἔλαφοι ἀγρότεραι, ἃς οὕτω φασὶ καλεῖσθαι ὡς οἷον ἀγηροτέρας διὰ τὸ μακρόβιον. ἔτι δὲ καὶ Ἀγροτέρα Ἄρτεμις, ὡς καὶ ὁ Κωμικὸς δηλοῖ, ἡ καὶ Ἀγραία παρὰ Πλάτωνι κατὰ Παυσανίαν ἀπὸ χώρας πρὸς τῷ Ἰλισσῷ, ᾧ κλῆσις Ἄγραι, οὗ τὰ μικρὰ τῆς Δήμητρος ἤγετο, φησί, μυστήρια, ἃ ἐλέγετο τὰ ἐν Ἄγρας ὁμοίως τῷ ἐν Ἀσκληπιοῦ. οὐ τοίνυν μόνα ταῦτα, ἀλλ' ἰδοὺ καὶ ἡμίονοι ἀγρότεραι διὰ τὰς εἰρημένας αἰτίας. (v. 853) Ἡ δὲ Κύτωρος ἡ Ὁμηρικὴ ἄλλη ἐστὶ παρὰ τὰ Κοτύωρα. ταῦτα μὲν γὰρ κώμη τις Ποντική, ἡ δὲ Κύτωρος πόλις Παφλαγονίας ἀπὸ Κυτώρου κληθεῖσα, παιδὸς Φρίξου, ἧς ἐθνικὸν Κυτωριεύς καὶ Κυτωρίτης καὶ Κυτώριος, ὡς ὁ τὰ Ἐθνικὰ γράψας φησίν. ἔδοξε δέ τισι καὶ διὰ τοῦ δ γράφειν Κύδωρον. φυλάσσει δὲ ἡ Κύτωρος μέχρι καὶ νῦν τὸ παλαιὸν ὄνομα, ὡς καὶ ὁ Παρθένιος καὶ ἡ Κρῶμνα. Ἦν δὲ κατὰ τὸν Γεωγράφον ἐμπόριον Σινωπέων ἡ Κύτωρος, ἢ μᾶλλον κατ' αὐτὸν εἰπεῖν τὸ Κύτωρον. πλείστη δέ, φησί, καὶ ἀρίστη φύεται πύξος κατὰ τὴν Ἀμαστριανὴν καὶ μάλιστα περὶ τὸ Κύτωρον. Ἰστέον δὲ καί, ὅτι, ὥσπερ πυξοφόρος ἡ Κύτωρος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιᾴδεται, οὕτω καὶ ἄλλαι χῶραι ἄλλοις ἐνευθηνοῦνται φυτοῖς, Κερασοῦς μὲν ταῖς κεράσοις, ὅθεν καὶ παρωνόμασται, Σινώπη δὲ καὶ Φανάροια ἐλαίαις.

1.569 φησὶ γοῦν ὁ Γεωγράφος, ὅτι τὰ τῆς Σινώπης προάστεια καὶ τῆς Ἀμισοῦ καὶ τῆς Φαναροίας τὸ πλέον ἐλαιοφόρα εἶναί φασιν. ἐν δὲ τῇ Ἰνδικῇ πολύς που ὁ ἔβενος. ἀλλαχοῦ δὲ οἱ κότινοι καὶ ἑτέρωθι ἄλλα. Σήσαμος δὲ κατὰ τὸν Γεωγράφον ἀκρόπολις Ἀμάστρεως. καὶ ὅρα τὸ Ἀμάστρεως. οὐ γὰρ κλίνει Ἀμάστριδος. Ἐνταῦθα δὲ σημείωσαι καὶ τὸ «Σήσαμον ἀμφενέμοντο» ἀστείως λεχθέν, ὡς εἴπερ ἐπὶ σησάμου τοῦ σπορίμου ἐρρέθη. ὥρμηται δὲ τοῦτο ἐκ τοῦ «Σάμον ἀμφενέμοντο», τοῦ ἐπὶ τῶν Κεφαλλήνων λεχθέντος. λέγεται δὲ οἰκίσαι ταύτην ὁ τῆς παλαιᾶς ἱστορίας Φινεύς. Δίδυμος δέ, φασί, καὶ νῆσον λέγει Σήσαμον. (v. 854) Ὁ δὲ Παρθένιος ποταμὸς τρυφερώτερον ἔχει τῆς κλήσεως. φησὶ γὰρ ὁ Γεωγράφος οὕτω· «Παρθένιος, ποταμὸς Παφλαγόνων, διὰ χωρίων ἀνθηρῶν φερόμενος καὶ διὰ τοῦτο τοῦ ὀνόματος τούτου τετυχηκώς». ἕτεροι μέντοι διὰ πρᾳότητα ῥεύματος Παρθένιον κληθῆναί φασιν ἤ, ὅτι ἡ παρθένος, φασίν, Ἄρτεμις ἐν αὐτῷ ἐλούσατο. Παρθένιον δέ γε οὐδετέρως ὄρος Πελοποννήσου. [τὸ δὲ ποταμόν πρὸς διαστολὴν ὁμωνυμίας κεῖται, εἴγε καὶ παῖς παρθένιος λέγεται.] (v. 855) Κρῶμνα δὲ ἢ χωρίον Ἀμάστριδος κατὰ τὸν τὰ Ἐθνικὰ γράψαντα ἢ πόλις Παφλαγονίας, αὐτὴ ἡ νῦν Ἄμαστρις. ἐθνικὸν καὶ αὐτῆς τριχῶς, Κρωμνίτης καὶ Κρωμναῖος καὶ Κρωμνιεύς. ἔστι δὲ καὶ Πελοποννησία Κρῶμνα. Ὁ δὲ Αἰγιαλὸς κατὰ μέν τινας προπαροξύνεται πρὸς διαστολὴν τοῦ ἁπλῶς αἰγιαλοῦ, ἀπό τινος Αἰγιάλου, κυρίου ὀνόματος, ὡς δηλοῖ ὁ ἐν τοῖς Ἐθνικοῖς εἰπών, ὅτι τὸ ἐθνικὸν Αἰγιαλεύς ἀπὸ τῆς Αἰγιάλου γενικῆς, ὡς Ἀλεξάνδρου Ἀλεξανδρεύς· οἱ δὲ πλείονες ὀξύνουσι καὶ τοῦτο, οἳ λέγουσι καί, ὅτι Αἰγιαλὸς προσεχὴς τῷ Πόντῳ μετὰ τὴν Κάραμβιν ἄκραν, ὡς δηλοῖ Ἀπολλώνιος.

1.570 ἔχει δὲ καὶ κώμην ὁμώνυμον. ἦν δὲ καὶ ἕτερος Αἰγιαλὸς [πρὸ τούτων, ὁ ὑπὸ τὸν Ἀγαμέμνονα] μεταξὺ Σικυῶνος καὶ Βουπρασίου τόπος, ἀπὸ Αἰγιαλέως, υἱοῦ Ἰνάχου. ἔστι καὶ Θρᾴκης Αἰγιαλός, φασί, παρὰ τῷ Στρυμόνι, περὶ ὃν Στρυμόνα καὶ Ἠϊὼν πόλις κατὰ Λυκόφρονα ἰσοδυναμοῦσα κατὰ σημασίαν τῷ Αἰγιαλῷ. καὶ Αἰθιοπικὸς δὲ Αἰγιαλὸς κατ᾽ Αἴγυπτον μέγας καλούμενος. ὁ δὲ Γεωγράφος φησίν, ὅτι Αἰγιαλός ἐστι μὲν ἠϊὼν μακρὰ ὑπὲρ ἑκατὸν σταδίους. ἔχει δὲ καὶ κώμην ὁμώνυμον, ἧς μέμνηται ὁ ποιητής, ὅταν φῇ «Κρῶμνάν τ᾽ Αἰγιαλόν τε». καὶ σκοπητέον, μήποτε αὕτη ἐστὶν ἡ νῦν Ἠϊονόπολις. Λέγει δὲ ὁ Γεωγράφος καί, ὅτι τὸ Ὁμηρικὸν τὸ «Κρῶμνάν τ᾽ Αἰγιαλόν τε» γράφουσί τινες «Κρῶμναν Κωβίαλόν τε» καὶ ὅτι μετὰ Αἰγιαλὸν Κάραμβις. τίς δὲ ἡ Κάραμβις, δηλοῖ ὁ Περιηγητής. Ἀπολλώνιος δὲ γράφει ἐν τοῖς ἑαυτοῦ «Κρωβίαλον Κρώμναν τε καὶ ὑλήεντα Κύτωρον». λέγει δὲ ὁ τὰ Ἐθνικὰ γράψας πολίχνιον πρὸς τῇ Ποντικῇ τὴν Κρωβίαλον. Ἐρυθῖνοι δέ, πόλις Παφλαγονίας καὶ αὐτή, παρὰ τὸ ἔρευθος, ὡς λέγει ὁ γράψας τὰ Ἐθνικά. ὁ δὲ Γεωγράφος φησίν, ὅτι δύο εἰσὶ σκόπελοι οἱ νῦν Ἐρυθῖνοι. λέγεται δὲ οὕτως ἀπὸ τῆς χρόας. ἔστι δὲ καὶ ἰχθὺς ἐρυθῖνος κληθεὶς καὶ αὐτὸς οὕτω διὰ τὸ περὶ αὐτὸν ἔρευθος. Σημείωσαι δέ, ὅτι μετὰ τοὺς Παφλαγόνας εὐθύς τινες Καυκώνων κατάλογον τιθέασιν, ὃν ζητητέον ἐν τῇ υ′ ῥαψῳδίᾳ. ᾤκουν δὲ αὐτοὶ κατὰ τὸν Γεωγράφον τὴν Μαριανδυνῶν παραλίαν μέχρι ποταμοῦ Παρθενίου, ὃς ἐν αὐτῇ Παφλαγονίᾳ τὰς πηγὰς ἔχει. λέγει δ᾽ ὁ αὐτὸς καί, ὅτι Ἀρκαδικόν τε ἔθνος οἱ Καύκωνες καὶ τοῖς Τρωσὶ δὲ ἀφίκοντο σύμμαχοι δοκοῦντες εἶναι ἐκ Παφλαγονίας. ἐκεῖ γὰρ ὀνομάζουσι Καυκωνιάτας τινάς, Μαριανδυνοῖς ὁμόρους. λέγει δὲ καί, ὅτι Καυκώνων πόλις τὸ Τήϊον. (v. 856 s.) Ὅτι Ἁλιζώνων ὅ τε Ὀδίος ἦρχον καὶ ὁ Ἐπίστροφος «τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη». (v. 856) Ἐτυμολογία δὲ τῶν Ἁλιζώνων τὸ γῆν οἰκεῖν ὑπὸ θαλάσσης ἐζωσμένην. εὐθεῖα δὲ αὐτῶν ἑνικὴ ὁ Ἁλίζωνος. περὶ τούτων πλείστη παρὰ τοῖς παλαιοῖς ἀμφιβολία. διὸ καὶ ὁ Γεωγράφος δυσκολίαν πολλὴν εὑρὼν εἰς διάρθρωσιν τοῦ τοιούτου ἔθνους καὶ εἰς γνώρισμα σαφὲς λέγει,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι ἀγνώτων τινῶν μέμνηται ὁ ποιητής, ὁποῖοι οἱ Καύκωνες καὶ οἱ Σόλυμοι καὶ οἱ Κήτειοι καὶ οἱ Λέλεγες καὶ οἱ ἐκ Θήβης τῆς Τρωϊκῆς Κίλικες.

1.571 οὕτω γοῦν καὶ Ἁλίζωνοι. καὶ σημείωσαι ἐνταῦθα τὸ «Κίλικες οἱ ἐκ Θήβης». νοεῖται γὰρ ἐκ τούτου σαφέστερον, ὅπερ ἀλλαχοῦ εἶπεν ὁ Γεωγράφος, ὅτι δηλαδὴ Κίλικες οἱ ἐκ Τροίας μεταναστάντες εἰς Συρίαν ἀπετέμοντο παρὰ Σύρων τὴν νῦν Κιλικίαν. οἱ γὰρ ἐκ Τροίας Κίλικες οἱ ἐκ Θήβης τῆς ῥηθείσης εἰσί. Λέγει δὲ καὶ ἀλλαχοῦ, ὅτι διττὴ ἡ τῶν Κιλίκων, ἡ μὲν Θηβαϊκή, ἡ δὲ Λυρνησσίς, οὓς φθάσας ἐκ Τροίας εἶπε. (v. 857) Τὸ δέ «ἐξ Ἀλύβης» ἐξ Ἀλύβων τινὲς γράφουσιν, ἕτεροι δὲ ἐκ Χαλύβων, ἄλλοι ἐξ Ἀλόπης ἢ κατὰ Μενεκράτην ἐξ Ἀλόβης, ἔτι δὲ καὶ ἐκ Χαλύβης. τὰ δὲ τοιαῦτα αἰτιᾶται ὁ Γεωγράφος, ὥσπερ καὶ τοὺς εἰπόντας περὶ Πύγελλα εἶναι τοὺς Ἁλιζώνους μεταξὺ Ἐφέσου καὶ Μαγνησίας καὶ Πριήνης, λέγων καί, ὅτι μετάπτωσις ὑπονοεῖται ὀνόματος ἐξ Ἀλύβων εἰς Χάλυβας. διὸ καὶ γράφει που, ὅτι τοὺς Χάλυβας ὁ ποιητὴς Ἁλιζώνους ἐκάλεσε καὶ ὅτι ἐνεδέχετο ἐν Χάλυψιν ἀργύρια ὑπάρχειν ἄξια μνήμης ποτὲ καὶ ἔνδοξα, καθάπερ νῦν τὰ σιδήρια. Λέγει δὲ καί, ὅτι τὸ Ἁλιζώνων οὐ μόνον Ὀλιζώνων τινὲς μεταγράφουσιν ἀλλὰ καὶ Ἀλαζώνων καὶ ὅτι τοὺς Σκύθας τινὲς Ἁλιζῶνας νοοῦσιν. Ἀλαζίαν δὲ πόλιν ἐρημωθεῖσαν Ἑκαταῖος ἱστορεῖ, κώμας δὲ πολλὰς τῶν Ἀλαζώνων οἰκεῖσθαι, ἐν οἷς Ἀπόλλων τιμᾶται διαφερόντως καὶ μάλιστα κατὰ τὴν ἐφορείαν τῶν Κυζικηνῶν. Μενεκράτης δὲ ὑπερκεῖσθαι λέγει τῶν περὶ τὴν Μύρλειαν τόπων ὀρεινὴν συνεχῆ, ἣν κατῴκει τὸ τῶν Ἁλιζώνων ἔθνος. δεῖν δέ φησιν ἐκεῖνος ἐν τοῖς δύο λ γράφειν Ἁλλιζώνους, τὸν δὲ ποιητὴν ἐν τῷ ἑνὶ γράφειν διὰ τὸ μέτρον. Παλαίφατος δέ φησι τὸν Ὀδίον καὶ τὸν Ἐπίστροφον στρατεῦσαι ἐξ Ἀμαζόνων τῶν ἐν τῇ Ἀλόπῃ ᾠκημένων.

1.572 [πόλις δὲ ἡ Ἀλόπη αὕτη ὁμώνυμος ἡρωΐδι, ἣν ἐμφαίνει καὶ ὁ Κωμικὸς ἐν τῷ «τὰς Ἀλόπας καὶ τὰς Σεμέλας».] ταῦτα πάντα ἐν τῷ Γεωγράφῳ κεῖται, ὃς καὶ ἀντιλέγει γενναίως πρὸς αὐτὰ καί που ἀστεϊζόμενος, ὡς δῆθεν δέον ὂν καὶ ἄλλο τι συμπλασθῆναι ὑπὸ τῶν ψευδοϊστορούντων, λέγει, ὡς ἐχρῆν καὶ τόδε συμπλάσαι παρατριψαμένους τὸ μέτωπον τοὺς ἅπαξ ἤδη ἀποτετολμηκότας. τοῦτο δὲ εἶπε διὰ τὸ εἰωθέναι τοὺς ψευδομένους οὕτω σχηματίζεσθαι τὰ πολλά, ὡς οἷα προκαλυπτομένους αἰδημόνως. καὶ οὕτω μὲν ὁ Γεωγράφος, ὡς εἴρηται. αὐτὸς δὲ καὶ τοὺς Ἁλιζώνους φησὶν ἐκτὸς εἶναι τοῦ Ἅλυος, εἰ καὶ Ἀπολλόδωρος ὁ Ἀθηναῖος μηδεμίαν συμμαχίαν ἀφῖχθαί φησι τοῖς Τρωσὶν ἐκ τῆς περαίας τοῦ Ἅλυος. Ἰστέον δὲ καί, ὅτι, ἐπεὶ ἡ μνημονευθεῖσα Μύρλεια πλησίον Προύσης ἐστίν, Ἀπάμεια μετονομασθεῖσα ὁμωνύμως βασιλικῇ τινι γυναικί, πάντως ἂν οἱ τὰ κατὰ τοὺς Ἁλιζώνους ἱστοροῦντες παρὰ τὸν Γεωγράφον καὶ τιθέντες τὸ τοιοῦτον ἔθνος ἐγγύς που τῆς Ἀπαμέων καὶ Κυζικηνῶν χώρας, οὐκ ἂν ἀληθεύοιεν παρά γε τοῖς τῇ γεωγραφικῇ ἀκριβείᾳ προσέχουσιν, οἷς ἐναντιοῦται καὶ τὸ «τηλόθεν». οἱ γὰρ ἐκ τοιαύτης χώρας ἐπίκουροι τοῖς Τρωσὶν οὐκ ἂν τηλόθεν ἥκειν λέγοιντο. ὁ δὲ τὰ Ἐθνικὰ ἐπιλεξάμενος Ἁλιζῶνας γράφει, οὐ μὴν Ἁλιζώνους, λέγων, ὅτι Ἔφορός φησι τοὺς Ἁλιζῶνας τὴν παραλίαν οἰκῆσαι τὴν μεταξὺ Μυσίας καὶ Καρίας καὶ Λυδίας. ἴσως δέ, φησί, διὰ τὸ ὑπερήφανον τοῦ πλούτου κατ’ ἐναλλαγὴν τοῦ α εἰς ι οὕτως ὠνομάσθησαν, ὥστε οὗτος οἱονεὶ ἀλαζόνας παρὰ γράμμα τούτους οἶδε. τῷ δὲ ῥηθέντι πλούτῳ αὐτῶν συνειργάζετο ἴσως καὶ ὁ Λυδικὸς χρυσορρόας ποταμὸς ὁ Πακτωλός. Ὅμηρος δὲ οὐ χρυσοῦ ἀλλ’ ἀργύρου γενέθλην οἶδεν ἐν τοῖς παρ’ αὐτῷ Ἁλιζώνοις. διὸ καὶ τοῦτο ἐν τοῖς παλαιοῖς εὕρηται· «Ἁλιζῶνες ἔθνος τοῦ Πόντου, ὅπου ὁ κάλλιστος ἄργυρος». εἴρηται δέ τινα περὶ τούτων καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. Ἀρριανὸς δὲ τοιαῦτα περὶ Ἁλιζώνων ἱστορεῖ, οὓς Ὅμηρος ἐν νεῶν Καταλόγῳ φησὶν Ἁλιζῶνας. Βιθυνοί εἰσιν, ὧν Ὀδίος καὶ Ἐπίστροφος ἦρχον. καὶ ἡ Ἀλύβη, ἐν ᾗ λέγει ἀργύρου γενέθλην εἶναι, παραδείκνυται καὶ οὐκ ἀμαυρὰ ὑπόμνησις, ἀργυρίων ἔργα ὑπολελειμμένα, ὁρᾶται. Ἁλιζῶνες δὲ οἱ ἄνθρωποι οὗτοι, φησί, καλοῦνται, ὅτι πανταχόθεν θαλάσσῃ περιείργονται, ἀπὸ μὲν ἄρκτου καὶ ἀνατολῆς τῷ Εὐξείνῳ πόντῳ, πρὸς μεσημβρίαν δὲ

καὶ νότον τῷ Ἀστακηνῷ κόλπῳ, τῷ πρὸς Νικομήδειαν, πρὸς δὲ δύσιν καὶ Ζέφυρον τῇ Προποντίδι καὶ τῷ Βοσπόρῳ, ὡς μὴ πόρρω χεροννήσου εἶναι τὰ πολλὰ αὐτῶν καὶ δικαιότατα λέγεσθαι διεζῶσθαι θαλάσσῃ. ὁ δ’ αὐτὸς Ἀρριανὸς λέγει καὶ τὸν ῥηθέντα Ὀδίον Ῥοδοίτην ποτὲ καλεῖσθαι, εἶτα εἰς Ῥοδίον μεταπεσεῖν, εἶτα Ὀδίον κληθῆναι.

1.573 (v. 858—61) Ὅτι Μυσῶν Χρόμις ἦρχε καὶ Ἔννομος, ὃς οἰωνιστὴς μὲν ἦν, «ἀλλ’ οὐκ οἰωνοῖσι», φησίν, «ἐρύσατο κῆρα μέλαιναν, ἀλλ’ ἐδάμη ὑπὸ χερσὶν Ἀχιλλέως, ἐν ποταμῷ, ὅθι περ Τρῶας κεράϊζε καὶ ἄλλους». Ὅρα δὲ ὅτι κἀνταῦθα τῇ προαναφωνήσει καὶ ἔπαινον τοῦ Ἀχιλλέως συνέμιξεν [εὐμεθόδως, οἷα χαίρων οὕτω ποιεῖν, διὰ τὸ στέργειν τὸν ἥρωα καὶ μὴ ἐθέλειν ἀπέχεσθαι αὐτοῦ.] (v. 858) Μυσοὺς δὲ ὁ ποιητὴς ἔοικε τοὺς ἐν τῇ Ἀσίᾳ λέγειν, οἷον τοὺς Ὀλυμπηνοὺς ἢ ἑτέρους τινάς. οἱ δέ φασιν, ὅτι Μυσῶν καὶ Θρᾳκῶν Ὅμηρος ἐμνήσθη τῶν πρὸς τῷ Ἴστρῳ. ὅτι δὲ Μυσοὶ καὶ Εὐρωπαῖοί εἰσιν, οἵγε καὶ πέραν Ἴστρου ἦσαν, δηλοῦται ἀλλαχοῦ, ὥσπερ καὶ πόθεν αὐτοῖς ἡ κλῆσις. Ἰστέον δέ, ὅτι παροιμία ἐκ τοῦ τοιούτου ἔθνους φέρεται αὕτη· «ὀσφὺν κατεγώς», ἤγουν κατεαγώς, «ὥστε Μύσιος ὄνος». ἐν Μυσίᾳ γάρ φασι σπανιώτατον εὑρεῖν ὄνον ὀρθὴν ἔχοντα τὴν ὀσφύν. Τὸν δὲ ῥηθέντα Χρόμιν καὶ Χρόμιον τινὲς τρισυλλάβως καλεῖσθαί φασι. (v. 859) Τὸ δὲ ἐρύσατο ἀντὶ τοῦ ἐφυλάξατο, ἐξέφυγεν, ἀπὸ τοῦ ἐρύω, τὸ φυλάσσω ἢ κωλύω, ἐξ οὗ καὶ ἔρυμα καὶ ἐρυμνόν καὶ ῥῆμα ἐρύκω. οὐκ ἐξευτελίζει δέ, φασί, τὴν οἰωνιστικὴν ὁ ποιητής, ἐν οἷς λέγει, ὡς οὐκ ἐφυλάξατο διὰ τῶν οἰωνῶν τὴν κῆρα, ἀλλὰ τὴν ἀνάγκην τῆς πεπρωμένης δηλοῖ. οὐκ ἐφυλάξατο δέ, φασί, τὸν θάνατον ὁ Ἔννομος ἢ ὡς μὴ ἐπιστήσας ἢ ὡς μὴ προγνούς. (v. 860) Ὅρα δὲ καί, ὅτι τὴν ὑπο πρόθεσιν καὶ νῦν δοτικῇ συνέταξεν ἐν τῷ «ὑπὸ χερσὶν Ἀχιλλέως». τὸ δὲ κεράϊζεν ἀντὶ τοῦ ἔκειρε δίκην ληΐου τινός, ὅτε δηλαδὴ ἐν τῷ ποταμῷ τοὺς παραπίπτοντας ἔτυπτεν ἐπιστροφάδην, ὡς ὁ ποιητὴς ἐρεῖ ἐν καιρῷ· νῦν γὰρ προαναφωνεῖ. (v. 861) Ὅτι δὲ τὸ κεραΐζειν καὶ ἐπὶ τοῦ ἁπλῶς φθείρειν ἢ ληΐζεσθαι καὶ ὡς εἰπεῖν κείρειν λέγεται, δηλοῖ καὶ Ἡρόδοτος, ποτὲ μὲν λέγων «κεραΐσας τὰ οἰκία τοῦ ξένου».

1.574 καὶ κλέπτας κεραΐζοντας χρήματα. καὶ «τὸ πλῆθος τῶν νεῶν ἐν τῇ Σαλαμῖνι ἐκεραΐζετο», ποτὲ δέ, ὅτι πάντα ἐπέφλεγον καὶ ἔκειρον καὶ ἔκειρε τοὺς χώρους καὶ ἐκείρετο ἡ Ἀττική, ὅ ἐστιν ἐλαφυραγωγεῖτο. ἴσως δὲ ἐκ τοῦ ῥηθέντος κεραΐζειν ἀκέραιος ὁ ἁπλοῦς καὶ πραΰθυμος καὶ μήτινα κεραΐζων. [Τὸ δέ «καὶ ἄλλους» μόνους τοὺς Τρωϊκοὺς δηλοῖ ἐπικούρους· οἱ Δάρδανοι γὰρ τοῖς Τρωσὶ προσλογίζονται.] (v. 862 s.) Ὅτι Φρύγας ἦγε Φόρκυς καὶ «Ἀσκάνιος θεοειδὴς τῆλ’ ἐξ Ἀσκανίας, μέμασαν δ’ ὑσμῖνι μάχεσθαι». (v. 862) Περὶ δὲ Φρυγῶν ζητητέον καὶ εἰς τὰ τοῦ Περιηγητοῦ· εὖ γὰρ καὶ περὶ αὐτῶν ἐκεῖ εἴρηται. τῆς μικρᾶς δέ, φασί, Φρυγίας ἦσαν οὗτοι, οὐ μὴν τῆς μεγάλης τῆς παρὰ τῷ Σαγγαρίῳ, φασί, ποταμῷ κειμένης, ὅθεν ἦν Ἄσιος μήτρως Ἕκτορος ἱπποδάμοιο. φασὶ δὲ οἱ παλαιοὶ καί, ὅτι Ὅμηρος μὲν διαστέλλει Φρύγας καὶ Τρῶας, Αἰσχύλος δὲ καὶ οἱ νεώτεροι συγχέουσιν, ὅθεν ἴσως καὶ παροιμία ἡ περὶ τοῦ «δύσγνωστα τὰ Μυσῶν καὶ Φρυγῶν εἶναι ὅρια». Ὅρα δὲ τὸ Φόρκυς κύριον διὰ τοῦ ς λεχθέν, οὐ διὰ τοῦ ν , οὗπερ ἡ γενικὴ Φόρκυος ἂν εἴη. τὸ δὲ ἐν Ὀδυσσείᾳ «Φόρκυνος θυγάτηρ» ἀπὸ τοῦ Φόρκυν κλίνεται. [(v. 863) Τὸ δέ «τῆλε» ἀντὶ τοῦ τηλόθεν ἐνταῦθα κεῖται.] Ἀσκανία δὲ κατὰ μὲν τὸν Ἐθνικογράφον πόλις Τρωϊκή, οὗ πρῶτόν φασι κρόμυα γενέσθαι. ταύτην κτίσαι λέγεται ὁ Αἰνείου παῖς Ἀσκάνιος. ὁ Γεωγράφος δὲ Φρυγιακὴν ἐνταῦθα νοεῖ Ἀσκανίαν· τὸ γάρ «τῆλε ἐξ Ἀσκανίας» εἴρηται, φησίν, ὡς οὔσης ἐγγυτέρω ἄλλης Ἀσκανίας τῆς Μυσιακῆς, τῆς πρὸς τῇ νῦν Νικαίᾳ, ἧς μέμνηται ὁ ποιητὴς ὅταν εἴπῃ· «Πάλμυν Ἀσκάνιόν τε Μόρυν τε Μυσῶν ἡγήτορας, οἳ ἐξ Ἀσκανίας ἐριβώλακος ἦλθον». καὶ ὅρα ὁμωνυμίαν Ἀσκανίων τε ἀνδρῶν τούτων Ὁμηρικῶν καὶ λιμνῶν Ἀσκανιῶν δύο. Ἀσκανία δὲ λίμνη τε καὶ χώρα—ὁμωνυμοῦσι γὰρ καὶ αὗται. πολλὴ γάρ, φησίν, ὁμωνυμία παρὰ τῷ ποιητῇ—πόλις δέ, φησί, Βιθυνίας ἡ ῥηθεῖσα Νίκαια, κτίσμα πάλαι μὲν Ἀντιγόνου, ὅθεν καὶ Ἀντιγόνεια ἐκλήθη, εἶτα Λυσιμάχου, ὃς ἀπὸ τῆς γυναικὸς μετωνόμασε Νίκαιαν. Τὸ δέ «μέμασαν ὑσμῖνι μάχεσθαι» ἐντελῶς ἔχει, καθάπερ καὶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«Ἄβαντες μεμαῶτες μελίαις θώρηκας ῥήξειν». ἀνομοίως δὲ ἔχει πρὸς τὸ «θωρήσσοντο μεμαότες ἐγχείαις». ἐκεῖ γὰρ ἐνδεὴς ἡ σύνταξις.

1.575 λείπει γὰρ τὸ μάχεσθαι ἤ τι τοιοῦτον, ὡς καὶ προείρηται. τὸ δέ «ὑσμῖνι» ὤφειλε μὲν διὰ τοῦ η ἔχειν τὴν λήγουσαν. εὐθεῖα γὰρ ἡ ὑσμίνη. μετεπλάσθη δὲ ὡς καὶ τὸ «Δωδῶνι», καὶ «ἀλκὶ πεποιθώς» καὶ τὰ τοιαῦτα. ὅτι δέ τισι δοκεῖ ἐν τῷ «τῆλ' ἐξ Ἀσκανίης» ἀκύρως κεῖσθαι τὸ τῆλε, ῥηθήσεται ἀλλαχοῦ, ἔνθα καὶ ἕτερα ὅμοια κείσεται. (v. 864—6) Ὅτι Μῄοσιν ἡγησάσθην, τουτέστιν τῶν Μῃόνων ἡγοῦντο, Μέσθλης καὶ Ἄντιφος, υἱοὶ Ταλαιμένους, τώ, ἤγουν οὕς, Γυγαίη τέκε λίμνη. (v. 866) Εἶτα σαφηνίζων τὸ «Μῄοσιν ἡγησάσθην», ἅμα δὲ καὶ ἑρμηνεύων σαφῶς, ποῦ ποτε γῆς οἱ Μῄονες οὗτοι κεῖνται, φησὶν ἐπαναληπτικῶς· «οἳ καὶ Μῄονας ἦγον ὑπὸ Τμώλῳ γεγαῶτας», ἤτοι ὄντας. Εἶναι γάρ φασι τὸ γενέσθαι παρὰ τοῖς Ἴωσιν, ὅθεν καὶ θεοὶ αἰειγενέται οἱ ἀεὶ ὄντες. Καὶ ἐνταῦθα δὲ πάλιν ἡ ὑπο πρόθεσις τῇ δοτικῇ φιληδεῖ ἐν τῷ «ὑπὸ Τμώλῳ», οὗ φυλάσσεται καὶ εἰσέτι τοὔνομα βραχύ τι ὑποβαρβαριζόμενον· Τίμωλον γὰρ αὐτὸν ἡ πολλὴ γλῶσσα τῶν ἐγχώρων καλεῖ. Ὅρα δὲ καὶ τὴν ἐνταῦθα ἐπανάληψιν, ὅτι οὐχ' οὕτω διὰ σαφήνειαν ἐσχημάτισται, ἀλλὰ διὰ ἐπεισαγωγὴν ἱστορίας, ἵνα ἡ τοῦ Τμώλου μνήμη εὐκαίρως παραπλακῇ. ἄλλως γὰρ ἡ ἐπανάληψις ἀναγκαία οὐκ ἦν. (v. 864) Μῄονες δὲ λέγονται ἀπό τινος Μῄονος ἢ Μαίονος τραπέντος μὲν τοῦ α εἰς η , τοῦ δὲ ι μένοντος ἀνεκφωνήτου. λέγονται δέ ποτε καὶ τετρασυλλάβως Μηΐονες ἐκφωνηθέντος τοῦ προσγραφομένου ι . Ἡρακλείδης δέ, φασίν, ἄνευ τοῦ ι γράφει τοὺς ἀπὸ τοῦ Μαίονος κληθέντας Μήονας λέγων Βοιωτίαν εἶναι τὴν τοιαύτην μεταβολήν, ὡς τῶν Βοιωτῶν τὴν ὅλην αι δίφθογγον εἰς η κατὰ μόνας μεταβαλλόντων, ὥς που καὶ ὁ Χοιροβοσκὸς παρασημειοῦται, ἐν οἷς ἐξηγεῖται τὸν Ἡρωδιανόν, λέγων καί, ὅτι τὰς θηλυκὰς πληθυντικὰς εὐθείας τῶν παθητικῶν ἐνεστώτων, τὸ ποιούμεναι καὶ λεγόμεναι καὶ τὰ τοιαῦτα, ποιούμενη, λεγόμενη, ἐκεῖνοί φασι, οὕτω δὲ καὶ τὰ ὅμοια. Ὁ δὲ Γεωγράφος φησίν, ὅτι τοὺς Λυδοὺς Μῄονας ὁ ποιητής φησιν, οἱ δὲ ὕστερον Μαίονας, καὶ ὅτι οἴονταί τινες τὴν Μῃονίαν Ἀσίαν λέγεσθαι, καθὰ εἴρηκεν ὁ ποιητής· «Ἀσίῳ ἐν λειμῶνι». καὶ ὅτι οἱ μὲν τοὺς αὐτοὺς τοῖς Λυδοῖς, οἱ δὲ ἑτέρους ἀποφαίνονται. ἄμεινον δὲ λέγειν τοὺς αὐτούς. λέγει οὖν καὶ Ἡρόδοτος, ὅτι Μῄονες πρότερον καλούμενοι Λυδοὶ ὕστερον ἐκλήθησαν ἀπὸ Λύδου, υἱοῦ Ἄτυος.

1.576 περὶ δὲ Λυδῶν καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ εἴρηται. σημείωσαι δέ, ὅτι εἰ καί, ὡς νῦν εἴρηται, ταὐτίζει τοὺς Λυδοὺς καὶ τοὺς Μῄονας ὁ Γεωγράφος, ἀλλ' ἐν ἄλλοις φησίν, ὅτι, ὥσπερ ἔργον, ἤγουν δύσκολον, διορίσαι χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὅρια, οὕτω καὶ Λυδοὶ καὶ Μαίονες, οἱ καθ' Ὅμηρον Μῄονες, ἐν συγχύσει πώς εἰσι καὶ πρὸς τούτους καὶ πρὸς ἀλλήλους. [(v. 865) Ὁ δὲ Ταλαιμένης ἐπένθεσιν ἔχει τοῦ ἰῶτα, ὡς καὶ ὁ ταλαίπωρος.] Γυγαίη δὲ λίμνη τεκεῖν λέγεται Μέσθλην καὶ Ἄντιφον, ἢ πρὸς ἔμφασιν τοῦ ὑγροὺς καὶ ἰταμοὺς ἢ διερρυηκότας τὸν βίον αὐτοὺς εἶναι ἤ, ὅτι περὶ αὐτὴν στέργηθρόν τι, ὡς εἰκός, εἶχον, οἷα καὶ ἐπί τινι μητρὶ καὶ τροφῷ, νηχόμενοι τυχὸν ἢ καὶ ἰχθυώμενοι κατ' αὐτήν. εἰκὸς δὲ καὶ τὴν σφῶν μητέρα περὶ αὐτὴν τὴν Γυγαίαν λίμνην ἐκτεκεῖν αὐτοὺς ἢ ἐκεῖ που τὰ νυμφεῖα ἐκτελέσαι. Ἔστι δέ, ὡς ὁ Γεωγράφος φησί, κατὰ τὴν Σαρδιανὴν ἐν σταδίοις τεσσαράκοντα ἀπὸ τῆς πόλεως, ἐκλήθη δὲ ὕστερον, φησί, Κολόη, ὅπου καὶ ἱερὸν Κολοηνῆς Ἀρτέμιδος, ἁγιστείαν μεγάλην ἔχον. Φασὶ δ' ἐνταῦθα χορεύειν τοὺς καλάθους κατὰ τὰς ἑορτάς, οὐκ οἶδ' ὅπως, φησί, παραδοξολογοῦντες μᾶλλον ἢ ἀληθεύοντες. ἕτεροι δὲ καὶ Ἀθηνᾶν Γυγαίαν αὐτόθι τιμᾶσθαί φασιν. οἱ δὲ Σχολιασταὶ τὸ μὲν Γυγαίη δέχονται κατ' εὐθεῖαν πτῶσιν, τὸ δὲ λίμνῃ κατὰ δοτικὴν καὶ φάμενοι τὴν Γυγαίην θυγατέρα Γύγου συντάσσουσιν οὕτω· «οὓς ἡ Γυγαίη ἔτεκε παρὰ τῇ λίμνῃ» λέγοντες καί, ὅτι οὐκ ἐκτίθεται ὁ ποιητὴς λιμνῶν τέκνα. Λέγουσι δὲ καὶ στίχον λελοιπέναι τὸν σημαίνοντα τὸ ὄνομα τῆς μητρὸς τῶν ῥηθέντων στρατηγῶν. ληροῦσι δέ, φασίν. οὐ γὰρ εὕρηται τοιοῦτος στίχος οὐδαμοῦ. ἀρέσκει οὖν τοῖς παλαιοτέροις εὐθεῖαν εἶναι καὶ τὸ λίμνη, καθὰ καὶ τὸ Γυγαίη.

1.577 Τινὲς δὲ λέγουσι καί, ὅτι, ὥσπερ Νείλου τέκνα οἱ Αἰγύπτιοι, οὕτω καὶ λίμνης ταύτης οἱ εἰρημένοι στρατηγοί, ὁ Ἄντιφος καὶ ὁ Μέσθλης, ὅν τινες καὶ Μέστρην γράφεσθαί φασι παράγοντες εἰς ὁμοιότητα τῶν δύο τούτων λέξεων τὸ φύτρη καὶ φύτλη. γράφεται δὲ ἐν τοῖς Σχολίοις καί, ὅτι ἡ Μασσαλιωτικὴ ἔκδοσις ἀντὶ τοῦ Γυγαίη λίμνη Γυραίη εἶχεν. ἡ δὲ κατ' Εὐριπίδην μετὰ τὸν τρίτον στίχον, οὗ ἀρχὴ τὸ «οἳ καὶ Μήονας ἦγον» γράφει τέταρτον τοῦτον κατὰ σχῆμα ἐπαναλήψεως «Τμώλῳ ὑπὸ νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ», οὗ δὴ στίχου καὶ ὁ Γεωγράφος μνησθείς φησιν, ὡς οὐδεμία εὑρίσκεται Ὕδη ἐν τοῖς Λυδοῖς. καὶ μὴν ἕτεροι κατὰ τὸν αὐτὸν Γεωγράφον εἰπεῖν Ὕδην τὴν τῶν Σάρδεων ἀκρόπολίν φασιν ἢ αὐτὰς τὰς Σάρδεις, τὸ τῶν Λυδῶν βασίλειον, αἳ καὶ ὑπὸ Κιμμερίων ἑάλωσάν ποτε. Τμῶλος δέ, φησίν, ὄρος εὔδαιμον Λυδίας, ὑπερκείμενον Σάρδεων, ἔχον σκοπὴν ἐν τῇ ἀκρωρείᾳ, ἐξέδραν λευκοῦ λίθου, Περσῶν ἔργον. Σκοπὴν δὲ λέγει τὴν κοινῶς λεγομένην βίγλαν, ὅθεν κατοπτεύεται, φησί, τὰ κύκλῳ πεδία. ῥεῖ δὲ ἀπὸ τοῦ ῥηθέντος Τμώλου ὁ Πακτωλὸς καταφέρων, φησί, τὸ παλαιόν, ψῆγμα χρυσοῦ πολύ, ἀφ' οὗ ὁ Κροίσου πλοῦτος. νῦν δ' ἐκλέλοιπε τὸ ψῆγμα, ὥσπερ καὶ τὸ τῶν Ἀστύρων. Ἄστυρα γάρ, φησί, πόλις Ἀβυδηνῶν κατεσκαμμένη, χρυσία ἔχουσά ποτε, ἃ νῦν ἐξηνάλωται ὡς καὶ τὰ περὶ Πακτωλόν, ὃς καταφέρεται, φησίν, εἰς τὸν Ἕρμον τὸν ἐκδιδόντα μὲν εἰς τὴν Φωκαίαν θάλασσαν, ἀρχόμενον δὲ ἀπὸ Μυσίας ἐξ ὄρους Δινδυμήνης. οἱ δὲ προσθέμενοι τὸ προσεχῶς πρὸ βραχέων ῥηθὲν ἐπαναληπτικὸν ἔπος τὸ «Τμώλῳ ὑπὸ νιφόεντι» καὶ ἑξῆς, παρεισήγαγον τὸν αὐτὸν στίχον, ὡς καὶ αὐτὸ προεδηλώθη, καὶ μετὰ τὸ «εἰν Ἀρίμοις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς», ὡς Ἀριμαίου καὶ τοῦ τοιούτου τόπου ὄντος. Ὅτι δὲ πλουσία ἡ κατὰ Σάρδεις Ὕδη καὶ ὅλως ἡ τῶν Μηόνων ἤτοι Λυδῶν γῆ, δηλοῖ μὲν καὶ ὁ εἰπὼν τραγικὸς «κερδαίνετε τὸν πρὸς Σάρδεων ἤλεκτρον», τὸν χρυσὸν οὕτω καλέσας ποιητικώτερον ἐν τῷ λαβεῖν εἶδος ἀντὶ εἴδους.

1.578 δηλοῖ δὲ καὶ Ἡρόδοτος ἱστορήσας, ὅτι περί που τὰ κατὰ Μαίανδρον Πύθιος ὁ Ἄτυος, ἀνὴρ Λυδὸς παμπλούσιος, ἔχων ἀργυρίου μὲν τάλαντα δύο, χρυσοῦ δὲ στατήρων Δαρεικῶν μυριάδας τετρακοσίας ἐπιδεούσας ἑπτὰ χιλιάδων. Συνεπιλογιστέον δὲ δίχα πολλῶν ἄλλων καὶ τὰς τοῦ Λυδοῦ Κροίσου χρυσᾶς πλίνθους, ὧν ὤνιος ὁ ἀπατήσας ἐκεῖνον χρησμός. οὐκ ἀφεκτέον δ' ἐνταῦθα οὐδὲ τοῦ Περιηγητοῦ. (v. 867—75) Ὅτι Ναύστης, μάλιστα δὲ κατὰ τὰ πλείω καὶ ἀκριβέστερα τῶν ἀντιγράφων Νάστης δίχα τοῦ υ , «Καρῶν ἡγήσατο βαρβαροφώνων, οἳ Μίλητον ἔχον, Φθιρῶν τ' ὄρος ἀκριτόφυλλον, Μαιάνδρου τε ῥοὰς Μυκάλης τ' αἰπεινὰ κάρηνα». ἐπεὶ δὲ ἡγεμόνος ὁ ποιητὴς ἐμνήσθη ἑνός—ἦν δὲ οὐχ' οὕτω, δύο γὰρ ἦσαν Καρῶν ἡγήτορες—ἐπαναλαβὼν φησι· «τῶν μὲν Ἀμφίμαχος καὶ Νάστης ἡγησάσθην», δόξαν δὲ τῷ ποιητῇ πάλιν εὐθὺς ἐπαναλαμβάνονται ἀμφότεροι. φησὶ γάρ· «Νάστης Ἀμφίμαχός τε». τοῦτο δὲ ποιεῖ, ἵνα καὶ τοῦ Ἀμφιμάχου τούτου μεμνώμεθα, ὡς καὶ τοῦ Ἀσίου. ἄφρων γὰρ καὶ οὗτος κατὰ τὴν Ὁμήρου ἱστορίαν εἰπόντος «ὃς καὶ χρυσὸν ἔχων πόλεμόνδε ἴεν», ἤτοι εἰς πόλεμον ἐπορεύθη, «ἠΰτε κούρη νήπιος, οὐδέ τί οἱ τό γε ἐπήρκεσε λυγρὸν ὄλεθρον, ἀλλ' ἐδάμη ὑπὸ χερσὶν Ἀχιλλέως ἐν ποταμῷ, χρυσὸν δ' Ἀχιλλεὺς ἐκόμισσε», μεταλλεύσας ὥσπερ ἐν χρυσοφόρῳ ποταμῷ τὸν τοῦ Ἀμφιμάχου χρυσόν. ἀστεῖον δὲ τὸ σκῶμμα τὸ κατὰ τοῦ χρυσοστόλου τούτου στρατιώτου· ἤρχετο γάρ, φησίν, εἰς μάχην νήπιος, οὐ χαλκέῳ Ἀρέϊ μελπόμενος, ἀλλὰ χρυσὸν ἔχων, καθὰ κούρη, ἤτοι κόρη νέα, χρυσῇ ἀνειμένη Ἀφροδίτη. γυναικίας οὖν ἦν τις καὶ μαλακὸς [καί, Ὁμηρικῶς εἰπεῖν, «γυναικὸς ἄρ' ἀντιτέτυκται».] εἰ δὲ καὶ Εὔφορβος καὶ Γλαῦκος χρυσὸν εἶχον, ἀλλ' οὗτος κωμῳδεῖται, ἐπειδή, φασί, γυναικεῖα κόσμια ἔχει. ὅρα δὲ καὶ ἐνταῦθα προαναφώνησιν κοσμοῦσαν τὸν Ἀχιλλέα. οὐδαμοῦ γὰρ ἡ Ὁμηρικὴ Μοῦσα ἐθέλει τοῦ ἥρωος ἀπέχεσθαι. (v. 867) Πολεμισταὶ δὲ οἱ Κᾶρες, ὧν τὸ ἐθνικὸν ὁμώνυμον, φασί, τῷ οἰκιστῇ, τὸ δὲ θηλυκὸν αὐτῶν ἐθνικὸν κατὰ τέχνην Καῖρα καὶ ἐν διαλύσει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κάϊρα διὰ τοῦ ι . ἡ δὲ χρῆσις τὴν ει δίφθογγον ἔχει, ὡς καὶ παρ’ Ὁμήρῳ «Μηονὶς ἠὲ Κάειρα». συνεξέδραμε γάρ, φασί, τῷ σώτειρα, ὀλέτειρα καὶ τοῖς τοιούτοις.

1.579 ἦν δὲ καὶ Ἑλληνικός, φασί, Κάρ, υἱὸς Φορωνέως, ἀφ’ οὗ Καρία ἐκαλεῖτο ἡ ἐν Μεγάροις ἀκρόπολις. ἡ δὲ Καρία καὶ Καρίνη λέγεται καὶ Καρὶς δέ, φασίν, ὅθεν καὶ ἡ Κῶς Καρὶς ἐλέγετο κατὰ τὸν ἐπιλέκτην τῶν Ἐθνικῶν. δοκοῦσι δὲ καὶ εἰς ὁπλισμὸν συνεισενεγκεῖν τι οἱ Κᾶρες. τὰ γοῦν ὄχανα τῶν ἀσπίδων Καρικὰ λέγεται καὶ οἱ λόφοι. φησὶ γοῦν Ἀνακρέων «Καρικοεργέος ὀχάνου». καὶ Ἀλκαῖος «λόφον σείων Καρικόν». Ὁ δὲ Γεωγράφος παρασημειοῦται, ὅτι ἐκ τοσούτων ἐθνῶν μόνους τοὺς Κᾶρας βαρβαροφώνους ὁ ποιητὴς εἶπεν. αἰτιολογῶν δὲ αὐτὸς τὴν τοιαύτην κλῆσιν λέγει, ὡς ἐν ἐπιτόμῳ εἰπεῖν τὰ τοῦ σοφοῦ πολλά, ὅτι τὸ βάρβαρον ἐξεφωνήθη τὰς ἀρχὰς ἐπὶ τῶν δυσεκφόρως καὶ σκληρῶς καὶ τραχέως λαλούντων, ὡς καὶ τὸ βαταρίζειν καὶ τὸ τραυλίζειν. τῶν γοῦν τραχυστομούντων ἐντεῦθεν βαρβάρων λεγομένων, ἐπειδὴ καθ’ ὅλην οἱ Κᾶρες ἐπλανήθησαν τὴν Ἑλλάδα μισθοῦ στρατεύοντες καὶ ἐγνωρίσθησαν, πυκνὸν ἦν ἐπ’ αὐτῶν τὸ βαρβαρόφωνον καὶ βαρβαρίζειν ἐκεῖθεν ἐλέγετο τὸ οἷον καρίζειν. ἐντεῦθεν δέ, φησί, κατεχρησάμεθα ἐθνικῷ κοινῷ ὀνόματι, ἀντιδιαιροῦντες βαρβάρους πρὸς Ἕλληνας οὐκέτι διὰ παχυστομίαν ἢ τραχυστομίαν καὶ ἀφυΐαν φωνητικῶν ὀργάνων, ἀλλὰ κατὰ διαλέκτων ἀνομοιότητα. πρώην δὲ οὐκ ἦν τοῦτο. Θουκυδίδης οὖν φησι μὴ λέγεσθαι βαρβάρους διὰ τὸ μηδὲ Ἕλληνάς πω εἰς ἓν ἀποκεκρίσθαι ἀντίπαλον ὄνομα. ταῦτα τὰ τοῦ Γεωγράφου, ὡς ἐν ὀλιγίστῳ εἰπεῖν. ὅτι δὲ μισθοφόροι οἱ Κᾶρες, καθωμίληται. ῥηθήσεται δὲ περὶ αὐτῶν καὶ ἐν τῷ «τίω δέ μιν ἐν Καρὸς αἴσῃ». Ἕτεροι δέ φασιν, ὅτι μόνους ἐθνῶν τοὺς Κᾶρας οὕτως ἔσκωψεν ὁ ποιητὴς διὰ τὴν ἔχθραν τῶν Ἰώνων· Ἴων μὲν γὰρ Ὅμηρος, Κᾶρες δὲ Ἴωσιν ἐχθροί. ἢ διότι, φασί, Κρητῶν ἄποικοι ὄντες ἠχρήστωσαν τὴν Ἑλλάδα φωνὴν ἢ ἐπειδὴ ἀγριόφωνοι ἦσαν καὶ ὅτι τὰ ἀρρενικὰ θηλυκῶς ἔλεγον καὶ ἀνάπαλιν. τοῦτο δέ, φασίν, εἰ καὶ Ἕλλησι συνέβαινεν, ἀλλ’ οὖν σπανίοις καὶ οὐ κατ’ ἄνδρα καὶ ἐν τῷ λεληθότι, Καρσὶ δὲ συνεχῶς καὶ διαδήλως, ἤδη κατὰ πᾶσαν Ἑλλάδα μισθαρνοῦσιν. [Ἐπὶ τούτοις ἰστέον καί, ὅτι τοῦ βαρβαρίζειν καὶ τοῦ σολοικίζειν διαφερόντων παρὰ τοῖς ὕστερον, παρ’ οἷς ὁ μὲν βαρβαρισμὸς ἁμαρτία ἐστὶ προφορᾶς περὶ λέξεις ἢ τόνους γινομένη, ὁ δὲ σολοικισμὸς περὶ σύνταξιν ἐννοίας σῷον λόγον αἰκίζουσα, ὡς οἱ Ἐτυμολογοῦντές φασιν, ὅμως ἄλλως ταὐτίζοντες ἀμφότερά τινες τοὺς βαρβάρους σολοίκους ἔλεγον.

1.580 καὶ προφέρονται χρήσεις Ἱππώνακτος μὲν τὸ «καὶ τοὺς σολοίκους, ἵν’ ἐθέλουσι, περνᾶσιν». Ἀνακρέοντος δὲ τὸ «σόλοικος φθόγγος», ὅπερ ἐστὶ βαρβαρικός.] (v. 868) Μίλητος δὲ ἡ Καρικὴ αὕτη ἐμνημονεύθη μὲν πρὸ τούτου ἐν τῇ Κρητικῇ καὶ τοῖς τοῦ Περιηγητοῦ δὲ ἔγκειται, καθὰ καὶ ὁ Μαίανδρος, Καρικὸς νῦν φαινόμενος ποταμός. εἰρήσεται δέ τι περὶ αὐτῆς καὶ μετ’ ὀλίγα ἐν τῷ Λυκιακῷ καταλόγῳ. Φθιρῶν δὲ ὄρος ὀνομαστικῶς τὸ ἔχον πολλοὺς φθῖρας, περὶ οὗ φησιν ὁ Γεωγράφος, ὅτι Φθιρῶν ὄρος παράλληλον ἑτέρῳ ὄρει, τῷ Λάτμῳ. ὁ δὲ Ἐθνογράφος φησίν· «Φθίρ, ὄρος Καρίας. οἱ κατοικοῦντες Φθῖρες». οἱ δὲ Σχολιασταὶ οὕτω· «Φθιρῶν ὄρος Καρίας περὶ Μίλητον, πολλὰς ἔχον πίτυς, ὧν τὰ ἐξανθήματα οὕτω καλεῖται ὡς ὅμοια φθειρσίν». οἳ καὶ δίρκοι λέγονται, ὡς δηλοῖ Παυσανίας ἐν τῷ κατ’ αὐτὸν Λεξικῷ εἰπών· «δίρκοι οἱ φθεῖρες». ἡ δὲ γραφὴ τῆς παραληγούσης τῶν Φθιρῶν τούτων διάφορος κατὰ τὸν Χοιροβοσκόν. οἱ μὲν γὰρ πλείους διὰ διφθόγγου γράφουσιν αὐτό, ὁ δὲ τεχνικός, φησί, διὰ τοῦ ι , τεχνικὸν λέγων τὸν Ἡρωδιανόν. παρὰ τὸ Φθίρ γάρ, φησί, γέγονε κύριον, τὸ ἐπὶ τοῦ υἱοῦ τοῦ Ἐνδυμίωνος. ἡ δὲ διὰ διφθόγγου γραφὴ παρὰ τὸ φθείρ, ὃ σημαίνει τὴν πίτυν ἢ τοὺς κώνους τῆς πίτυος, οἱονεὶ τὸ ἔχον ὄρος τοιούτους φθεῖρας.

1.581 εἰσὶ δέ τινες πίτυες φθεῖρας ποιοῦσαι. Ἄλλοι δὲ παρὰ τὸ φθείρ, ὃ σημαίνει τὸν φθαρτικὸν λῃστήν, ἵνα ᾖ ὄρος λῃστῶν. ἕτεροι δὲ παρὰ τὸ φθείρ, ὅ ἐστι θήρ, ἵνα λέγῃ θηρῶν ὄρος. φθεῖρες γὰρ καὶ οἱ θῆρες παρὰ τὸ φθείρειν. καὶ τοιαῦτα μὲν καὶ ταῦτα. Εἰ δὲ ἀπὸ φθειρῶν πιτύων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὠνόμασται ὄρος, καινὸν οὐδέν· μυρίοι γὰρ τόποι ἐκ φυτῶν ὠνομάσθησαν, ὡς πολλαχοῦ φαίνεται. Ἀκριτόφυλλον δὲ ὄρος τὸ πολύφυλλον. οὕτω καὶ Θερσίτης ἀκριτόμυθος, ὡς πολύμυθος. εἰ δὲ καὶ ἀκριτόφυλλον ὄρος τὸ μὴ διακεκριμένον τὰ φύλλα, οὕτω καὶ Θερσίτης ἀκριτόμυθος ὁ συγκεχυμένα λέγων καὶ ἀδιευκρίνητα. (v. 869) Μυκάλη δὲ ὄρος Πριήνης ἀντικρὺ Σάμου. φησὶ γοῦν καὶ ὁ Γεωγράφος, ὅτι μετὰ ἐκβολὰς Μαιάνδρου ὁ κατὰ Πριήνην αἰγιαλός, ὑπὲρ αὐτοῦ δὲ ἡ Πριήνη καὶ Μυκάλη ὄρος εὔθηρον καὶ εὔδενδρον ἐπικείμενον τῇ Σαμίᾳ. ὥσπερ δὲ ἡ Βοιωτία Μυκαλησσὸς ἐκ μυκηθμοῦ, ὡς προεγράφη, οὕτω καὶ ἡ Μυκάλη αὕτη κατὰ τὸν Ἐθνολόγον, ἐπεὶ αἱ Γοργόνες ἐπὶ τοῦ ὄρους τούτου μυκώμεναι τὴν κεφαλὴν Μεδούσης ἀνεκαλοῦντο. οἱ δὲ Μυχάλην αὐτήν φασιν, ἐπεὶ ἐν μυχῷ ἁλὸς τῆς Καρικῆς κεῖται. ἔστι δὲ καὶ πόλις Καρίας Μυκάλη. Ὅμηρος μέντοι τοῦ ὄρους νῦν μέμνηται, ὡς δηλοῖ τὸ «Μυκάλης αἰπεινὰ κάρηνα». Σημείωσαι δέ, ὅτι Καρῶν πόλις ἦν καὶ ἡ Ἁλικαρνασσός, ἐξ ἧς ὥρμητο Αἴλιος Διονύσιος Ἁλικαρνασσεύς, καθὰ δηλοῖ αὐτὸς ἐν οἷς περὶ Ἀττικῶν ὀνομάτων διαλεγόμενος λέγει οὐ Κᾶρας εἶναι τοὺς Ἁλικαρνασσεῖς, ἀλλὰ Ἕλληνας Δωριεῖς τῶν ἀποικησάντων Δωριέων Καρίαν, ὃ καὶ Ἀθηναῖοι ποιήσαντες καὶ εἰς Καρίαν κατάραντες, ὧν ἦρχε Νηλεύς, πόλιν Ἑλληνίδα, φησίν, ἐν αὐτῇ Μίλητον κατεσκευάσαντο, ἐφ’ οἷς τοὺς τοιούτους Δωριεῖς σεμνύνας καὶ μίαν τῆς ἐν Ἀσίᾳ ἑξαπόλεως καὶ τὴν Ἁλικαρνασσὸν εἰπὼν εἶναι, ἐπάγει πρὸς τῷ τέλει, ὅτι οὐδὲν ἂν ἴσως κωλύῃ καὶ ἐν Καρίᾳ εἶναί τινα Ἀττικὴν φωνὴν καὶ ἐν ταῖς Ἀθήναις Καρικήν, [φωνὴν Ἀττικὴν σεμνῶς εἰπὼν τὴν ἑαυτοῦ.] Ἰστέον δὲ καί, ὅτι οὐ μόνον ἡ τῶν καρβάνων ἤτοι βαρβάρων λέξις ἐκ τῶν Καρῶν εἰλῆφθαι δοκεῖ, ἀλλὰ καὶ οἱ παρὰ τῷ Παυσανίᾳ κάρδακες, ὅ ἐστι στρατιῶται περὶ Ἀσίαν. [ὁ δὲ ῥηθεὶς] Αἴλιος Διονύσιος οὕτω φησί· «κάρδακες οὐ δίκαιόν τι γένος, ἀλλὰ οἱ μισθοῦ στρατευόμενοι βάρβαροι, παρὰ Θεοπόμπῳ». ἁπλῶς δέ, φησίν, οἱ Πέρσαι πάντα τὸν ἀνδρεῖον καὶ κλῶπα κάρδακα ἐκάλουν. Ἔτι ἰστέον, ὅτι παροιμία παρὰ Παυσανίᾳ φέρεται ἐπὶ τῶν ἐν εὐτελέσι τὰς πείρας ποιουμένων τὸ «ἐν Καρὶ τὸν κίνδυνον», ἐπεὶ Κᾶρες, φησί, πρῶτοι ἐμισθοφόρησαν. (v. 876 s.) Ὅτι Σαρπηδὼν Λυκίων ἦρχε «καὶ Γλαῦκος ἀμύμων τηλόθεν ἐκ Λυκίας, Ξάνθου ἀπὸ δινήεντος». τελευταίους δὲ τῶν ἐπικούρων τοὺς Λυκίους ἔθετο, ἵνα καὶ οὕτως εἶεν ἐπίσημοι.

1.582 οὐ γὰρ ἀεὶ τὸ τῆς μνήμης ὕστερον ὑπόπτωσιν τῶν μνημονευθέντων ποιεῖ. ἐν ὀλίγῳ δὲ καὶ τούτους ἐπιτρέχει, δι’ ἣν αἰτίαν καὶ τοὺς λοιποὺς ἐπικούρους, καθυποδεικνύς, ὡς οὐ μόνον ἐμπλατύνεσθαι γράφων πολυτρόπως δύναται, ἀλλὰ καὶ στενολεσχεῖν οὐχ’ ἥκιστα. Ὅτι δὲ πολλοῦ λόγου ἄξιος ὁ Σαρπηδὼν καὶ οἱ περὶ αὐτὸν καὶ ὡς πολὺ ἐφείλκετο συμμαχικόν, ἐν τοῖς ἑξῆς φανήσεται. Ὅτι δὲ καὶ ὑποστρατήγων χρεία τοῖς μεγάλοις ἀρχηγοῖς, ἱκανῶς ἡ τακτικὴ αὕτη Βοιωτία ἔδειξεν. ὕπαρχος οὖν καὶ τῷ Σαρπηδόνι Γλαῦκος, ἔτι γε μὴν καὶ φίλος ἑταῖρος, ὡς καὶ Ἀχιλλεῖ Πάτροκλος καὶ Μηριόνης Ἰδομενεῖ καὶ Διομήδει Σθένελος. Λυκία δὲ χώρα καὶ Λύκιοι τὸ ἔθνος ἀπὸ Λύκου, υἱοῦ Πανδίονος, ὃν ἐκπεσόντα τῆς οἰκείας ὁ ἐκ τῆς Κρήτης Σαρπηδὼν ἐδέξατο, φασίν, ἐπὶ μέρει τῆς ἀρχῆς. Σόλυμοι δέ, φασί, τὰ πρῶτα ἐλέγοντο. τοῦτο δὲ οὐχ’ ὁμολογεῖ τοῖς τοῦ Ὁμήρου, ὃς ἐν Ἰλιάδι μὲν χωρίζει Λυκίους καὶ Σολύμους, ἐν δὲ Ὀδυσσείᾳ ἐκτετοπισμένους τινὰς πλάττει Σολύμους καὶ δυσγνώστους τοῖς πλείοσι. Δῆλον δέ, ὅτι μέχρι καὶ νῦν μέρος Λυκίας ὑποπτεύονται καὶ οἱ Σόλυμοι, ἐρυμνὸν μὲν χωρίον ἔχοντες, βαρβαρικώτερον δὲ [Τζέλυμοι] ὑπὸ τῶν ἐγχωρίων καλούμενοι. (v. 876) Ἰστέον δέ, ὅτι Σαρπηδὼν μὲν οὗτος ὁ Λύκιος Διὸς υἱὸς καὶ Λαοδαμείας τῆς τοῦ Βελλεροφόντου, ὁ δὲ ἀνωτέρω ῥηθεὶς Κρητικὸς ἀδελφὸς ἦν Μίνω καὶ Ῥαδαμάνθυος, ᾧ Μίλητον συνέκτισαν κατὰ τὸν Γεωγράφον προσληφθέντες νησιῶται Κᾶρες καὶ Λέλεγες, ὁμώνυμον τῇ Κρητικῇ Μιλήτῳ, ἣν εἶχε καὶ ὁ Κρητικὸς κατάλογος. Ὁ δ’ αὐτός, φησί, Σαρπηδὼν καὶ Τερμίλλας ἐκ Κρήτης ἀγαγών—μερὶς δὲ Κρητῶν οἱ Τερμίλλαι—ὠνόμασε τοὺς ὑπ’ αὐτὸν Τερμίλλας τοὺς πρότερον καλουμένους Μινύας καὶ ἔτι πρότερον Σολύμους. ἐπελθὼν δέ, φησίν, ὁ Πανδίονος Λύκος ἀφ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑαυτοῦ Λυκίους προσηγόρευσε τοὺς ἑαυτοῦ. [Ἰστέον δέ, ὅτι, ὥσπερ οὐκ ἦν Σαρπηδὼν εἷς, ὁ Λύκιος δηλαδή, οὕτως οὐδὲ Γλαῦκος. ἔστι γὰρ σὺν ἄλλοις καὶ ὁ προδηλωθεὶς Ἀνθηδόνιος καὶ Κρὴς δὲ Γλαῦκος, ὁ καὶ Γλαύκων παρωνύμως, Μίνωος καὶ Πασιφάης υἱός. λέγεται δὲ καὶ ἰχθὺς γλαῦκος λόγου ἄξιος.] (v. 877) Τὸ δέ «τηλόθεν» πρὸς διαστολὴν εἴρηται τῶν ἐγγυτάτω τῆς Τροίας Λυκίων, ὧν ἦρχε Πάνδαρος, οἳ καὶ Τρῶες, ὡς ἐδηλώθη, ἐκαλοῦντο καὶ Ζελειῶται. Ξάνθος δὲ οὐ μόνον ποταμὸς Λυκίας, ἀλλὰ καὶ πόλις, παρ' ᾗ Ξάνθος, φασίν, ἔξεισι ποταμός. ὠνομάσθη δὲ ἀπὸ Ξάνθου Αἰγυπτίου ἢ Κρητὸς οἰκιστοῦ. ἦν δὲ Ξάνθος, φασί, καὶ πόλις Λεσβία. ὁμωνυμεῖ δὲ ὁ Ξάνθος τῷ Τρωϊκῷ Ξάνθῳ, τῷ καὶ Σκαμάνδρῳ, περὶ οὗ πολλαχοῦ ῥηθήσεται.

1.583 καὶ κλήσεως δὲ αἰτίαν ἔχουσι τὴν αὐτήν. Δινήεις δὲ οὐ μόνον ὁ Ξάνθος οὗτος, ἀλλὰ καὶ ἕτεροι, ὅσοις ἐπισυμβαίνει μὴ ὀξύνουσι τὸ ῥεῦμα δίνας πάσχειν περί τινας ἀγκάλας ἐξ ἀντικρούσεως ὑδάτων. Ἰστέον δέ, ὅτι γράφουσιν οἱ παλαιοὶ τὸν ποιητὴν ὑπὲρ ποικιλίας ἄλλῳ τόπῳ ἐᾶσαι τὸ τοῦ Σαρπηδόνος γένος, ἐνταῦθα δὲ ὥς τινος τῶν τυχόντων μνησθῆναι αὐτοῦ. οἱ δὲ αὐτοὶ καὶ ἐν τῷ «Ξάνθου ἀπὸ δινήεντος» φασίν, ὅτι κατὰ Ἀρίσταρχον πᾶσα πρόθεσις μεταξὺ κειμένη κυρίου καὶ προσηγορικοῦ τῷ κυρίῳ ἕπεται, ὥστε ἐνταῦθα οὕτως ἀναγνωστέον· «ἀπὸ Ξάνθου δινήεντος». Κατὰ δὲ Πτολεμαῖον ἡ πρόθεσις τῷ προσηγορικωτέρῳ μέρει ἕπεται. βούλεται οὖν αὐτὸς οὕτως ἀναγνῶναι, ὡς παρ' Ὁμήρῳ κεῖται. κατὰ δὲ Ἀπολλώνιον, φασί, πάντως ἀναστρέφεται ἡ πρόθεσις. λέγουσι δὲ καί, ὅτι στικτέον εἰς τὸ «δινήεντος», ἐπειδὴ εἱρμός ἐστι τῶν ἐφεξῆς, ἤτοι τῶν τῆς γ' ῥαψῳδίας. ἐπὶ μέντοι τοῦ τέλους τῶν ἄλλων ποιημάτων οὐκ ἔστι, τὸ στίζειν δηλαδή. σιωπὴ γάρ, φασίν, ἐκδέχεται. Ἰστέον δὲ καί, ὅτι Ὅμηρος μὲν οὕτω τὴν Βοιωτίαν διῳκονομήσατο γενεαλογίαις καὶ λοιπαῖς ἱστορίαις καταποικίλας αὐτήν, ἔτι δὲ καὶ παρενθέσεσι μύθων συνήθως, οὓς ἀπό τινων ἀεὶ ἐνάγει ἱστοριῶν, ὡς ὁ Στράβων φησί. Οἱ δὲ μεθ' Ὅμηρον, ὡς ἐκ βραχείας τινὸς κρόκης, τοῦ ἔργου τούτου, πολυτίμητον ὑποδείξασθαι τῆς αὐτοῦ ποιήσεως πέπλον φιλοτιμησάμενοι, τάχα δὲ καὶ πρὸς χάριν μιμήσασθαι, πολλὰ μὲν ἐπονήσαντο, οἱ μὲν οὕτως, οἱ δ' ἄλλως, οὐδεὶς δὲ κρεῖττόν τι τῆς τοιαύτης ὀλιγοστίχου Ὁμηρικῆς γραφῆς ἐπραγματεύσατο καὶ γλυκύτερον. ΕΚ ΤΩΝ ΤΗΣ ΓΑΜΜΑ ΡΑΨΩΙΔΙΑΣ (v.

1.584.(t) 1) Ὅτι ἐπιγραφὴ τῆς γάμμα ῥαψῳδίας πεζὴ μέν· ὅρκοι καὶ μονομαχία Ἀλεξάνδρου καὶ Μενελάου, ἔμμετρος δὲ αὕτη· γάμμα δ' ἄρ ἀμφ' Ἑλένης οἴοις μόθος ἐστὶν ἀκοίταις. Ἰστέον δέ, ὅτι τὸ γάμμα στοιχεῖον γέμμα φασὶν Ἴωνες καὶ μάλιστα Δημόκριτος, ὃς καὶ τὸ μῦ μῶ λέγει, ὡς ἐν ῥητορικῷ εὕρηται Λεξικῷ. Ὅτι φιλέλλην ὁ ποιητὴς ὤν, ὡς μυριαχοῦ φαίνεται, ἀνάπαλιν πρὸς τοὺς Τρῶας διατίθεται. διὸ καὶ τὰ πολλὰ οὐκ εὐλογεῖ τὰ Τρωϊκά. ἐνταῦθα τοίνυν τὴν εἰς τὸν πόλεμον αὐτῶν ἀπροβούλευτον, ὡς ἐδηλώθη, καὶ διὰ τοῦτο οὐκ εὔκοσμον πρόοδον ὑποδηλῶν μετὰ κλαγγῆς, ἤτοι ἀνάρθρου θορύβου, προϊέναι εἰς μάχην φησὶν αὐτοὺς λέγων, ὅτι, ἐπεὶ τῶν τε Τρώων τῶν τε Ἀχαιῶν κόσμηθεν ἕκαστοι, «Τρῶες μὲν κλαγγῇ ἐνοπῇ τ' ἴσαν ὄρνιθες ὥς» καὶ τὰ ἑξῆς. καὶ ἔστι συντομωτάτη παραβολὴ τὸ «ὄρνιθες ὥς». ὀρνίθων δὲ τὸ κλάζειν. λέγεται δέ ποτε καὶ ἐπὶ ἄλλων, ὡς προείρηται, διαφόρων. Ἰστέον δέ, ὅτι τῷ ὀνόματι τῶν Τρώων καὶ τοὺς αὐτῶν ἐπικούρους δηλοῖ. Ἐνοπὴ δὲ οὐχ' ἁπλῶς ἡ φωνή. ἐκείνην γὰρ ὄπα λέγει εὔκοσμον οὖσαν, ὅπου γε καὶ ἡ Καλλιόπη ἐκ τῆς τοιαύτης ὀπὸς παρωνόμασται· ἀλλ' ἔστιν ἐνοπὴ ἡ ταραχώδης βοή, ἥν ποτε καὶ φύλοπιν ἂν εἴπῃ τις. τὸ δέ «ἴσαν» πεζῷ μὲν λόγῳ οὐκ ἂν εὐχρηστηθείη, ποιηταῖς δὲ χρησιμεύει. ἔστι δὲ αὐτοῦ τὸ θέμα ἴω, οὗ τὸ πληθυντικὸν ἴομεν πολλαχοῦ εὕρηται παρὰ τῷ ποιητῇ.

1.585 τοῦτο τὸ ἴω πλεονασμῷ τοῦ ε γίνεται ἔϊω, καὶ συναιρέσει εἴω, ἐξ οὗ καὶ τὸ «ᾔομεν ἀνὰ δρυμά» ἐν Ὀδυσσείᾳ, καὶ ὑπερσυντέλικος ᾔειν καὶ «ᾔϊα γουνούμενος». εἰ δέ τις προϋπάρχειν μὲν ἐρεῖ τὸ εἴω διὰ διφθόγγου, ἀπ' αὐτοῦ δὲ γενέσθαι τὸ διὰ τοῦ ἰῶτα γραφόμενον ἴω ἀπελεύσει τοῦ ε , οὐκ ἂν λέγοι τι ἄδεκτον. [Δηλοῖ δέ ποτε τὸ ἴσαν καὶ γνῶσίν τινα ὡς ἐν τῷ «τάδ' οὐκ ἴσαν ὡς ἐτέτυκτο».] Τὸ δέ, «ἕκαστοι» ταὐτόν ἐστι τῷ οἱ καθέκαστα, οὓς φθάσας πληθὺν ἔφη ὁ ποιητὴς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄλλην οὖσαν παρὰ τοὺς ἡγεμόνας. διὸ λέγει «ἄμ' ἡγεμόνεσσιν ἕκαστοι», ἤγουν ἡ πληθὺς μετὰ τῶν ἡγεμόνων, κατ' ἐξοχὴν ἰδίᾳ ἐκφωνήσας τοὺς ἡγεμόνας. Οὐκ ἔστι δὲ ἐναντία τὸ ἐκοσμήθησαν καὶ τὸ «κλαγγῇ ἐπορεύοντο». ἡ μὲν γὰρ ἄθροισις καὶ ἡ στάσις καὶ ἡ τῶν φύλων διάκρισις καὶ τοῖς Τρωσὶν εὐκόσμως εἶχεν, ἡ δὲ κίνησις οὐκ ἀθορύβως ἐγίνετο. Ἰστέον δέ, ὅτι φιλοσόφως ἰδίᾳ μὲν τέθειται τὸ ἡγεμόνεσσι κατ' ἐξοχήν τινα, ἰδίᾳ δὲ τὸ ἕκαστοι. οἱ μὲν γὰρ ἡγεμόνες ὡς θεῖοι καὶ θεοειδεῖς τῇ μονάδι καὶ τῷ ἑνὶ ἐγγίζουσιν, ἡ δὲ πληθὺς ἑκὰς ἤτοι πόρρω τοῦ τοιούτου καλοῦ εἰσιν, ὡς καὶ ἡ ἐτυμολογία δηλοῖ. Ἀπὸ γὰρ τοῦ ῥηθέντος ἑκάς πρῶτα μέν, [ὡς καὶ προδεδήλωται σαφῶς,] γίνεται τὸ ἑκάτερος, ἐπὶ δύο τινῶν λεγόμενον, ὅπερ ὡς οἷα τολμῆσαν διάστασιν ἐκ δυασμοῦ ἕκαθεν τῆς μονάδος ἐστί.

1.586 ἐξέστη γὰρ καὶ οἷον ἀποκεχώρηκε τοῦ μοναδικοῦ τὸ δυαδικόν. καὶ οὕτω μὲν τὸ ἑκάτερος ἑκάς ἐστί πως τῆς μονάδος δυάδα δηλοῦν κατά τινα τύπον συγκριτικόν, τὸ δὲ ἕκαστος ὡς οἷά τι ὑπερθετικὸν ἐσχημάτισται, τεθὲν μὲν ἐπὶ τριάδος πυθμενικῶς, λεγόμενον δὲ καὶ ἐπὶ τῶν ἑξῆς ἁπάντων ἀριθμῶν. καὶ ἔστι τρόπον τινὰ τὸ ἕκαστος ἀντὶ τοῦ πορρώτατος, ὡς λέγεσθαι τὸ ἑκάτερος καὶ ἕκαστος πρός τινα ὁμοιότητα τοῦ ἑκαστέρω καὶ ἑκαστάτω, ἤτοι πορρωτέρω καὶ πορρωτάτω. ἕκαστοι οὖν ἡ πληθύς, ὡς εἴρηται, ἡ μακρὰν καὶ τῆς μονάδος ναὶ μὴν καὶ τῆς δυάδος, ἥτις οὐδ' αὐτή ἐστι πληθύς. (v. 2 s.) Ὅτι ἀκύρως νῦν τὴν κλαγγὴν ἐπὶ ἀνθρώπων εἰπὼν παρεμυθήσατο τὴν τόλμαν τῇ τῶν γεράνων παραβολῇ. εἰ γὰρ ἐκείναις ἐοίκασι τὴν κραυγήν, ἄρα καὶ κλάζουσι. τοῦτο δὲ καὶ ἐπὶ ἄλλων λέξεων ποιήσει ἐν τοῖς ἑξῆς, ὡς γνωσόμεθα, τουτέστι τὰς τολμηρὰς λέξεις θεραπεύσει παραβολαῖς, ὡς κατὰ τόπους δηλωθήσεται. ἢ καὶ ἑτέρως. ἐπεὶ ἡ προλαβοῦσα σύντομος παραβολή, τὸ «ὄρνιθες ὥς» ἀορίστως εἶχεν—ἄδηλον γὰρ ἦν περὶ ποίων ὀρνίθων λέγει διὰ τὸ γενικὴν λέξιν εἶναι τοὺς ὄρνις—διαρθροῖ ἐκείνην καὶ μονονουχὶ λέγει, ὅτι ὄρνιθας τὰς γεράνους εἰδικῶς ἐνταυθοῖ νοητέον. (v. 3—7) Οὕτω γὰρ οἱ Τρῶες ἐχρῶντο κραυγῇ, καθά, φησί, «κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό, αἵ τ' ἐπεὶ οὖν χειμῶνα φύγον καὶ ἀθέσφατον», ὅ ἐστι πάμπολυν, «ὄμβρον, κλαγγῇ ταί γε πέτονται ἐπ' Ὠκεανοῖο ῥοάων ἀνδράσι Πυγμαίοισι φόνον καὶ κῆρα φέρουσαι· ἠέριαι δ' ἄρα ταί γε κακὴν ἔριδα προφέρονται». καὶ ἄλλως δὲ τὴν ῥηθεῖσαν παραβολήν, τὸ «ὄρνιθες ὥς», σύντομον οὖσαν καὶ ἀσαφῆ, οὐ μόνον, ὡς εἴρηται, διὰ τὸ γενικὸν τῆς φωνῆς καὶ ἀόριστον, ἀλλὰ καὶ διὰ τὸ ἄδηλον τοῦ τόπου, περὶ ὃν ἡ κλαγγή, διασαφεῖ ὁ ποιητὴς ἐν στίχῳ ἑνὶ διὰ τοῦ ὡρισμένου εἴδους τοῦ τῶν κλαγκτικῶν γεράνων καὶ τῆς προσθήκης τοῦ τόπου, εἰπών· καθὰ κλαγγὴ γεράνων πέλει οὐρανόθι πρό. τὰ δὲ ἑξῆς ἱστορικῶς κεῖνται κατὰ ἰδίαν ἐκφώνησιν, ὅπερ ἀλλαχοῦ Ὅμηρος οὐ ῥᾳδίως εὕρηται ποιῶν. ἃ γὰρ παρενείρει ταῖς παραβολαῖς, οὐκ ἀπαρτᾷ ἰδίᾳ, παρεμπλέκει δὲ ἐκεῖνα καὶ ἐπεμβλητικῶς πρὸ τῆς ἀποδόσεως τίθησιν. ἔστι δὲ ἀναπόδοτος ἡ τῶν γεράνων παραβολὴ αὕτη. οὐ γὰρ ἐπάγει πρὸς τὸ «ἠΰτε κλαγγὴ γεράνων πέλει» τὸ οὕτω καὶ οἱ Τρῶες ἔκλαζον. τοῦτο δὲ καὶ ἀλλαχοῦ πολλαχοῦ ποιεῖ καὶ ἔστι συντομίας ἡ μέθοδος. Σημείωσαι δέ, ὅπως καὶ ἐπὶ τῆς Ἑλληνικῆς τάξεως πρὸ ταύτης τῆς ῥαψῳδίας παραβολῇ οὐ μόνον ἀπὸ γεράνων ἀλλὰ καὶ ἄλλων ὀρνίθων κλαζόντων χρησάμενος ἐπ' ἐκείνων μὲν οὐδὲν εἶπε φορτικόν, ἐπὶ δὲ Τρώων σκωπτικὰ τὰ τῆς παραβολῆς ἔθετο.

1.587 ἐπεὶ γὰρ αἱ γέρανοι καὶ ἀγεληδὸν πέτονται καὶ μετὰ κλαγγῆς καὶ ποτὲ μὲν ὑψηλαί, ποτὲ δὲ πρόσγειοι, τῷ μὲν τῆς προσγείου πτήσεως ἀγελαστικῷ τὴν τῶν Ἑλλήνων εἴκασε φθάσας πορείαν, παρέλκον ἐκεῖ θεὶς ἐπὶ τῶν ὀρνίθων τὸ κλαγγηδόν, τὴν δὲ τῶν Τρώων ἄρτι κραυγὴν εἴκασε τῇ κλαγγῇ, αὔξων τὸν θροῦν τῇ παραβολῇ, ὡς οὐκ εὐκόσμως στελλομένων εἰς πόλεμον. (v. 3) Ἰστέον δὲ καί, ὅτι Ὁμήρου εἰπόντος τὰς γεράνους πέτεσθαι οὐρανόθι πρό φασιν οἱ παλαιοὶ οὐρανὸν ἐνταῦθα λέγεσθαι τὸν ὑπὸ τὰ νέφη τόπον, ὥστε τῷ λόγῳ τούτῳ τὰς τοῦ ὄρους Ὀλύμπου κορυφὰς καὶ ἄλλων τινῶν μὴ νεφελουμένας οὐ μόνον ἐπουρανίους εἶναι, ἀλλὰ καὶ ὑπερουρανίους, ὡς πρὸς τὸν τοιοῦτον οὐρανόν. [Ἰστέον δέ, ὅτι ἐν τῷ κλαγγή

πλεονασμός ἐστι συνήθης τοῦ νῦ πρὸς ὄγκον φωνῆς, ὡς καὶ ἐπ᾽ ἄλλων προδεδήλωται. φύσει μὲν γὰρ κλαγή, ὡς ἐρυγή, ἐπενθέσει δὲ τοῦ ν κλαγγή κατὰ τὸ κλάζω, ἔκλαξα, ἔκλαγξα.] Ἔτι ἰστέον καί, ὡς κρουστικὴ τῷ τόνῳ ἡ τῆς προθέσεως φωνὴ ἐν τῷ οὐρανόθι πρό. αἴτιον δέ, ὅτι οὐ κατασπᾷ βαρύνουσα συνέπεια. τὸ δ᾽ ὅμοιον, ὡς καὶ ἀλλαχοῦ φανεῖται, καὶ ἐπὶ ἑτέρων γίνεται, οἷον «δράσω τε πρός» καὶ «μικρόν τι πρό» καὶ «Ἀρτέμιδι ξύν» καὶ «οὐδὲ κακῶν ἔξ». Σημείωσαι δὲ καί, ὅτι μὴ ἔχων ἐπὶ τῆς γεράνων φωνῆς λέξιν καιριωτέραν τῆς κλαγγῆς ἐνδιατρίβει τεχνικῶς αὐτῇ, ἐπιμείνας καὶ εἰς τρὶς τῇ λέξει χρησάμενος. δῆλον δέ, ὅτι φωνητικὴ ἡ γέρανος. τοιαῦτα γὰρ φύσει τὰ δειλότερα τῶν ζῴων φωνητικώτερα τῶν ἀνδρείων. ἔτι τε εὐαισθητότερον ἡ γέρανος ἔχει καὶ ῥᾷον τοῦ ψύχους ἀντιλαμβάνεται καὶ τὸν χειμῶνα φεύγουσα, ἤτοι τὴν χειμερινὴν κατάστασιν ἢ τὰ τῆς Θρᾴκης χειμέρια, εἴς τε ἄλλους τῶν θερμοτέρων τόπων ἐκδημεῖ καὶ εἰς Ὠκεανὸν δὲ πέτεται τὸν νότιον, περὶ ὃν μυθεύεται καὶ τοὺς Πυγμαίους εἶναι. κατὰ δὲ Ἀριστοτέλην εἰπεῖν, αἱ γέρανοι μεταβάλλουσιν ἐκ τῶν ἐσχάτων εἰς τὰ ἔσχατα, ἤγουν ἐκ τῶν Σκυθικῶν πεδίων εἰς τὰ ἕλη, ὅθεν ὁ Νεῖλος ῥέει. (v. 5) Τὸ δέ «ἐπ᾽ Ὠκεανοῖο ῥοάων» ἀντιπτωτικῶς εἴρηται ἀντὶ τοῦ «ἐπ᾽ Ὠκεανοῖο ῥοάς».

1.588 χρῶνται δὲ τῷ σχήματι τούτῳ μάλιστα καὶ οἱ συγγραφεῖς, οἷον· ἤλασεν ἐπὶ τῆς δεῖνα πόλεως ἢ ἀπῆλθεν ἢ εἴ τι τοιοῦτον. (v. 6) Ἰστέον δέ, ὅτι διὰ μὲν τῶν γεράνων τὸν Τρωϊκὸν ὁ ποιητὴς αὔξει θροῦν, ὡς προείρηται, τῷ δὲ τῶν Πυγμαίων ἐπεισοδίῳ διὰ τὸ ξένον τῆς ἱστορίας ψυχαγωγεῖ τὸν ἀκροατὴν τὸ σύνηθες ποιῶν. φιλοτιμεῖται γὰρ ἐν ταῖς παραβολαῖς πολλά, ὡς προγέγραπται, τῷ ἀκροατῇ συντείνοντα πρὸς πολυμάθειαν. Λέγεται δέ, ὅτι οἱ Πυγμαῖοι οὐδὲ πηχυαῖοι τὸ μέγεθός εἰσι. παρωνομασμένοι γάρ εἰσι πυγόνι. πυγούσιον δέ ἐστι διάστημα τὸ ἀπὸ ἀγκῶνος ἕως τοῦ μικροῦ δακτύλου ἢ καὶ τῶν δακτύλων συνεσταλμένων. Ἱστορεῖται δὲ καί, ὅτι κέρατα περιτίθενται καὶ ἐν σχήματι κριῶν, ὡς Ἑκαταῖός φησι, κρόταλα ψοφοῦσι καὶ οὕτω τὰς πυγμαιομάχους γεράνους ἀμύνονται καταφρονούσας ἄλλως τοῦ μήκους. γεωργικοὶ δέ εἰσιν, ὥς φασιν. ὅτι δὲ καὶ ἀξίνῃ ἐχρήσαντο ἐπὶ τὸν ἄσταχυν, γελοῖον μὲν καὶ οὐ πιθανόν, λέγεται δέ. ἀρέσκει δὲ καὶ Ἀριστοτέλει μὴ μῦθον εἶναι τὰ κατὰ τοὺς Πυγμαίους. Λέγει γάρ, ὅτι περί που τὰ ἕλη τὰ ἄνω τῆς Αἰγύπτου, ὅθεν ὁ Νεῖλος ῥέει, ἔστι κατὰ ἀλήθειαν γόνος τοιοῦτος, μικροὶ καὶ αὐτοὶ καὶ οἱ ἵπποι. εἰσὶ δέ, φησί, τρωγλοδύται τὸν βίον. ὁ δὲ Γεωγράφος πενтασπιθάμους καὶ τρισπιθάμους ἀνθρώπους ἱστορῶν πόλεμον πρὸς τοὺς τρισπιθάμους εἶναι ταῖς γεράνοις φησίν. Ἐν δὲ τοῖς τοῦ Ἀθηναίου κεῖται καί, ὅτι ἱστορεῖται, ὡς οἱ μικροὶ ἄνδρες οἱ ταῖς γεράνοις διαπολεμοῦντες πέρδιξιν ὀχήματι χρῶνται καὶ ὅτι οἱ Πυγμαῖοι πέρδιξι καὶ γεράνοις πολεμοῦσιν. [Εἰ δὲ μὴ καθαρῶς ἐκ τῆς πυγόνος οἱ Πυγμαῖοι παρώνυμοι ἀλλ᾽ ἐκ τῆς πυγμῆς, καινὸν οὐδέν. διὰ γὰρ τὸ σαφὲς τῆς τῶν δακτύλων συστολῆς, οἷς πρὸς πῆχυν μετροῦνται συνεσταλμένοις οὖσιν, οὐ Πυγόνιοι λέγονται ἤ τι τοιοῦτον, ἀλλὰ Πυγμαῖοι. Ὅτι δὲ καὶ βόρειοι Πυγμαῖοι περί που τὰ τῆς Θούλης ἀντιπέραια, ἔνθα τὰ Ἰγκλικά, βραχύσωμοι καὶ αὐτοὶ καὶ ὀλιγοχρόνιοι ἐς τὸ παντελές, βέλεσι χρώμενοι λεπτυνομένοις ὡς εἰς βελόνην, περιᾴδεται. καί εἰσιν οἳ βεβαιοῦνται ἀνθρωπάρια τοιαῦτα ἰδεῖν. αἱ μέντοι Πιθηκοῦσσαι νῆσοι οὐ τοιούσδε τινὰς ἔχουσιν, ἀλλ᾽ ἑτεροῖαι περιφέρονται.

1.589 ] (v. 7) Ἠέριαι δὲ τοῖς Πυγμαίοις αἱ γέρανοι ἐπιτίθενται, ὅ ἐστι πρωϊναὶ ἢ διὰ τοῦ ἀέρος πετόμεναι. ἡ δὲ λέξις κεῖται καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ. Ὅρα δὲ ἐνταῦθα καὶ τὸ φέρειν ἐνεργητικῶς τε λεχθὲν ἅμα καὶ παθητικῶς ἐν τῷ «φέρουσαι» καὶ «προφέρονται». καὶ ὅτι οὐδ᾽ ὅλως οὐδ᾽ ὑπόνοιαν βαστάγματος ἐμφαίνει ἐνταῦθα τὸ φέρειν κατὰ τοὺς τοῦ ἄγειν καὶ φέρειν παρατηρητάς, ὡς οὐδ᾽ ἐν τῷ διαφέρειν καὶ διαφέρεσθαι, ἀφ᾽ ὧν ἡ διαφορὰ καὶ ὁ τῷ πατρὶ διάφορος ἤγουν ἐναντίος, οὐδ᾽ ἐν τῷ ἐμφέρειν, ὅθεν ἐμφέρεια, ἡ ὁμοιότης, οὐδ᾽ ἐν τῷ συμφέρειν, ἐξ οὗ καὶ τὸ κοινῶς συμφέρον, τὸ καὶ συνοῖσον, καὶ ἡ ξυμφορά, ἥ τε βαρεῖα καὶ ἡ ἁπλῶς κατὰ ἀπόβασιν, οὐδ᾽ ἐν τῷ περιφέρειν καὶ ἀποφέρειν καὶ ὑποφέρειν, ὧν γεννήματα ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ κύκλον περιφέρεια καὶ ἀποφορά, ἡ ὀδμή, καὶ ὑποφορὰ καὶ ἀνθυποφορά, αἱ ῥητορικαί, οὐδ᾽ ἐν τῷ προφέρειν καὶ ἐκφέρειν, ὧν τοῦ μὲν ἡ κατὰ λόγον προφορά, τοῦ δὲ τὸ «ὅτ᾽ ἂν ἐκφέρῃ μέγα». ἡ μέντοι νεκρικὴ ἐκφορὰ καὶ ἡ ἐκφόρησις καὶ τὰ τούτων ῥήματα, δῆλον, ὅτι δηλοῦσι βάσταγμα κατὰ τούς, ὡς ἐρρέθη, παρατηρήσαντας. (v. 8 s.) Ὅτι ἐπαινῶν τὸ τῶν Ἀχαιῶν ὁ ποιητὴς ἐνταῦθα εὔκοσμόν φησιν· «οἳ δ᾽ ἄρ ἴσαν», ὅ ἐστιν ἐπορεύοντο, καθὰ πολλαχοῦ λέγεται, «μένεα πνείοντες Ἀχαιοὶ ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισι». καὶ τῷ ὄντι ἐπαινετέοι εἰσίν, οἳ τῶν Τρώων κλαζόντων αὐτοὶ σιγῇ ᾔεσαν, πλὴν οὐ κατεπτηχότες—ἐμποιεῖ γάρ ποτε καὶ τὸ δέος σιγήν—ἀλλὰ μένεα μὲν πνέοντες καὶ ἀλεξήσειν ἀλλήλοις ἐθέλοντες, σιγῶντες δέ, ὡς ἂν ἐπιταττόντων ἔχοιεν ἀκούειν τῶν ἡγεμόνων. καὶ ὅρα τὸ «μένεα πνέοντες», ἤγουν ζῶντες μένος καὶ ἀνδρία ὄντες αὐτόχρημα, ὡς οἷα σύστασιν καὶ πνοὴν τὸ μένος ἔχοντες. ἐκ τούτου δὲ καὶ τὸ θυμοῦ πνέειν εἴληπται τοῖς μεθ᾽ Ὅμηρον. ἢ καὶ ἄλλως εἰπεῖν μένεα πνέοντες καὶ οὐ κατὰ τοὺς Τρῶας ἐνοπὴν καὶ κλαγγήν, ἁπλούστερον δὲ εἰπεῖν, ταὐτά εἰσι τὸ μένεα πνέοντες καὶ τὸ θυμῷ μεμαῶτες. ἐπεὶ γὰρ μένος καὶ ἡ ψυχικὴ προθυμία, μένος οἷον πνέει ὁ τῇ ψυχῇ προθυμούμενος. (v. 10—4) Ὅτι τὸν Νότον γεννητικὸν ὁμίχλης φησὶ φυσικῶς λέγων, διαγράφει δὲ καὶ τὴν αὐτῆς πύκνωσιν λέγων τοσοῦτον διϊκνεῖσθαι τὴν ὄψιν διὰ τοῦ πάνυ ὁμιχλώδους ἀέρος, εἰς ὅσον ἂν ἀφίκοιτο λίθου βολή. καὶ ταῦτα οὕτως φύσει εἰπών, εἶτα καὶ πραγματικά τινα προστίθησι διὰ πολυπειρίαν τῶν ἀκροωμένων λέγων τὴν ὁμίχλην ποιμέσι μὲν οὐ φίλην εἶναι, τῷ κλέπτῃ δὲ ἀμείνω καὶ τῆς νυκτός, διὰ τὸ μὴ πάνυ πεφυλάχθαι ἡμέρας τὰ βοσκήματα, ἀλλ᾽ εὐεπιβούλευτα εἶναι κλέπταις διὰ τὸ σκεδάννυσθαι αὐτὰ ἐν τοιαύτῃ ὁμίχλῃ. ἢ καὶ ἀπεικάζει τὸν ἐν τῷ θέρει γῆθεν αἰρόμενον ἢ καὶ ὀρνύμενον κονίσαλον, προσφυῶς τῷ πράγματι διὰ τὴν ὁμοιότητα.

1.590 ὁμίχλη γὰρ καὶ κονιορτὸς ὅμοιά πως καὶ ὁμοίως ἐπιπροσθοῦντα τοῖς ὄμμασιν. οὕτω κριτὴς ὁμοιοτήτων ἄριστος Ὅμηρος. τάχα δέ τις ἀκινδύνως ἀντιστρέψας καὶ τὴν ὁμίχλην ποτὲ τοιούτῳ ἂν κονισάλῳ ἐν παραβολῇ ἀπεικάσειε δι᾽ ὁμοιότητα. ἔστι δ᾽ ἐν τούτοις ἡ Ὁμηρικὴ φράσις αὕτη· «εὖτ᾽ ὄρεος κορυφῇσι Νότος κατέχευεν ὁμίχλην ποιμέσιν οὔ τι φίλην, κλέπτῃ δέ τε νυκτὸς ἀμείνω, τόσσον τίς τ᾽ ἐπιλεύσσει», τουτέστι βλέπει, «ὅσον τ᾽ ἐπὶ λᾶαν ἵησιν», ἤγουν ἐφ᾽ ὅσον διάστημα λίθον ἀφίησιν, «ὣς ἄρα τῶν ὑπὸ ποσσὶ κονίσαλος ὤρνυτ᾽ ἀελλὴς ἐρχομένων». (v. 13) Γίνεται δὲ κονίσαλος ἐκ τοῦ κονίω κονίσω, ὡς ἴξω ἴξαλος, ἢ ἐκ τοῦ τὴν κόνιν σεσαλεῦσθαι. Ἰστέον δὲ καί, ὅτι ὁ κονίσαλος καὶ πάτος λέγεται, ὡς δηλοῖ ὁ εἰπών, ὅτι ὁ ἱδρὼς τῶν γυμναζομένων μιχθεὶς τῷ πάτῳ συντελεῖ πρὸς διαφόρησιν ὄγκων τῶν παρὰ φύσιν. κονίσαλον δέ, φησίν, ὀνομάζουσιν αὐτὸν ἔνιοι τῶν περιέργως ἀττικιζόντων. καὶ μέμνησο τούτου καὶ εἰς τὸ «πάτον ἀνθρώπων ἀλεείνων». [(v. 11) Ἀμείνων δὲ νυκτὸς τῷ [τῶν ποιμνίων] κλέπτῃ ἡ, ὡς ἐρρέθη, βαθυτάτη ἐν ἡμέρᾳ ὁμίχλη διὰ τὸ ἀφύλακτον. νυκτὸς μὲν γὰρ τάσσονται φυλακαί, οὐ μὴν δὲ οὕτω καὶ μεθ᾽ ἡμέραν.] (v. 13) Τὸ δέ «κονίσαλος ὤρνυτο» ἡ ἁπλότης ἐστὶ τοῦ συνθέτου κονιορτοῦ. (v. 11) Σκοπητέον δέ, εἴπερ ποιμένα ἐνταῦθα γενικῶς εἶπε καὶ τὸν αἰπόλον. ἐν γὰρ ὀμίχλῃ πάντως εὐεπιβούλευτον οὐδὲν ἧττον ποιμνίου τὸ αἰπόλιον, ᾧ καὶ μάλιστα προσφυεῖς αἱ περὶ τὰς τῶν ὀρῶν κορυφὰς νομαί. [Ὡς δὲ τὸ αἰπόλιον ῥᾷόν ἐστι τηνικαῦτα κλέπτεσθαι διὰ τὸ πλατὺ νέμεσθαι καὶ οὕτως ἐσκεδάσθαι, οὐκ ἄδηλόν ἐστιν.] (v. 13) Ἀελλὴς δὲ κονίσαλος ὁ συνεστραμμένος δίκην ἀέλλης. Ἕτερον δὲ τούτου τὸ ἀολλέες παρ᾽ Ὁμήρῳ καὶ τὸ ἀλέες παρ᾽ Ἡροδότῳ ἐν τῷ «εἰσέπεσον ἀλέες εἰς τοὺς Πέρσας». δύναται δὲ ἄλλως τὸ ἀελλής χρήσιμον εἶναι καὶ εἰς ἐτυμολογίαν τοῦ κονισάλου, ἵνα ᾖ κονίσαλος κόνις ἀελλής. [(v. 10) Ἰστέον δὲ καί, ὅτι τὸ «κατέχευεν ὁμίχλην» τὸ τῆς ὁμίχλης ὑλικὸν αἴτιον δηλοῖ. ἐξ ὑγρότητος γὰρ καί, ὡς εἰπεῖν, ἀπέπτου δρόσου ἐστὶ καὶ αὐτή, καθὰ καὶ ἡ πάχνη.] (v. 14) Ὅτι κυρίως διαπρήσσειν ἐπὶ θαλάσσης τὸ διαπερᾶν, ὡς πολλαχοῦ φαίνεται, νῦν δὲ καταχρηστικῶς φησι τὸ «διέπρησσαν πεδίοιο», ἤγουν διὰ τῆς πεδιάδος ἤρχοντο οἱ Ἀχαιοί. (v. 15—22) Ὅτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θρασύδειλον τὸν Θερσίτην φθάσας ὑπετυπώσατο, ὃς ἐξ οὕτω πολλοῦ καὶ ἀσχέτου θράσους κατὰ γυναῖκα ἐδάκρυε, καὶ τὸν Ἀλέξανδρον δὲ τοιοῦτον ὧδε καθυπογράφει φάμενος· «οἳ δ’ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ’ ἀλλήλοισιν», ἤγουν κατ’ ἀλλήλων, «ἰόντες, τοῖσιν μὲν προμάχιζεν Ἀλέξανδρος θεοειδής».

1.591 εἶτα καὶ τὸν ὁπλισμὸν αὐτοῦ φράζων Ὅμηρος ἐπάγει· «παρδαλέην ὤμοισιν ἔχων καὶ καμπύλα τόξα καὶ ξίφος· αὐτὰρ ὃ δοῦρε δύω κεκορυθμένα χαλκῷ πάλλων Ἀργείων προκαλίζετο πάντας ἀρίστους» εἰς μάχην, οἳ ἑώρων αὐτόν «ἐρχόμενον προπάροιθεν ὁμίλου μακρὰ βιβῶντα». καὶ νῦν μὲν οὕτω θρασὺς ὁ Πάρις. (v. 30—7) Νοήσας δὲ Μενέλαον ἐν προμάχοισι φανέντα «κατεπλήγη φίλον ἦτορ, ἂψ δ’ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ’ ἀλεείνων», φυγὼν ἀγεννῶς παλίνορσος, ὥσπερ τις δράκοντα ἰδὼν ἐν ὄρει καὶ εἰς ὦχρον μεταχρωσθεὶς καὶ τρόμον παθών, καθάπερ ὁ ποιητὴς ἐρεῖ προϊών. (v. 31) Ἐν τούτοις δὲ ὅρα τὸ κατεπλήγη, οὕτως εἰπεῖν ἀρέσαν τῷ ποιητῇ. ἄλλως γὰρ πληγῆναι μέν φασιν ἐπὶ σώματος, καταπλαγῆναι δὲ ἐπὶ ψυχῆς, ὥσπερ καὶ ἐκπλαγῆναι, οἷον· «ἔρωτι θυμὸν ἐκπλαγεῖσα» παρ’ Εὐριπίδῃ, ὅθεν καὶ ἔκπλαγος, ὡς προγέγραπται, καὶ κατὰ μετάθεσιν ἔκπαγλος, ὁ ἐκπλήττειν δυνάμενος. Σημείωσαι δὲ καί, ὡς θαυμασίως Ὅμηρος, ἐν οἷς δοκεῖ ἐπαινεῖν τὸν Ἀλέξανδρον, πλαγίως πως ψέγει αὐτόν. (v. 16) Τὸ γοῦν θεοειδής, ὃ πεντάκις ἐν τοῖς ἄρτι ἐπιλέγει τῷ Ἀλεξάνδρῳ, ἔστι μὲν ταὐτόν, ὡς εἴπερ εἴποι αὐτὸν θεοῖς ἐοικότα τὸ εἶδος ἤτοι περικαλλῆ. ὅτι δὲ ἐπὶ ψόγου λέγει αὐτό, δῆλον ἐν οἷς μετ’ ὀλίγα ὁ Ἕκτωρ ὀνειδίζων ἐρεῖ· «Δύσπαρι, εἶδος ἄριστε, γυναιμανές, ἠπεροπευτά». τὸ γὰρ εἶδος ἄριστε ταὐτόν πώς ἐστι τῷ θεοειδές. καὶ μετ’ ὀλίγα· «οὕνεκα καλὸν μέν σοι εἶδος, οὐκέτι δὲ βίη φρεσὶν οὐδέ τις ἀλκή». οὕτω καὶ ἐν Ὀδυσσείᾳ λέγει περὶ Ἀντινόου «οὐκ ἄρα σοί γ’ ἐπ’ εἴδει καὶ φρένες ἦσαν». καὶ τῷ ὄντι ὄνειδος εἶδος καλὸν οὐχ’ ὁμοιούμενον ψυχῇ. τινὲς δὲ τὸ θεοειδής ἀντὶ τοῦ θεοῖς εἰδόμενος, κατὰ τὸ εὐγενὲς δηλαδὴ καὶ τὸ τοῦ τοξεύειν ἐπιστημονικόν. ὅτι δὲ οὐδ’ οὕτω ἐξ ὀρθοῦ ἐπὶ ἐπαίνου καθαροῦ λαμβάνει Ὅμηρος τὸ θεοειδές, δηλοῖ εἰπών, ὡς καθ’ ὅμιλον ἔδυ Τρώων δείσας Ἀλέξανδρος θεοειδής, ὃ ταὐτόν ἐστι τῷ «ἂψ εἰς ἑτάρους ἐχάζετο». αἰσχύνει γὰρ τὸ θεοειδὲς ὁ φεύγων. εἰ δέ γε καὶ ἀληθῶς ἐπὶ ἐπαίνου εἴρηται, σημείωσαι, ὡς οὐ σκωπτικὸς ὁ ποιητής, ἀλλ’ αὐτὸς μὲν ἐπαινῶν θεοειδῆ τὸν Ἀλέξανδρον λέγει, ἀφ’ ὧν ἔχει καλῶν, τὰ δὲ ψογερά, τὸ «Δύσπαρι, εἶδος ἄριστε» καὶ τὰ ἑξῆς, οὐχ’ ὁ ποιητὴς ἀλλ’ ὁ Ἕκτωρ τοῦ ἀδελφοῦ κατέλεξεν. Ἔοικε δὲ καὶ ἀντιθετικῷ σχήματι τὸ «Δύσπαρι, εἶδος ἄριστε». οἱονεὶ γάρ φησιν, ὅτι ὁ Πάρις κακὸς μὲν ἄνθρωπός ἐστι, τὸ δὲ εἶδος ἄριστος, ἤτοι καλὸς τὸ εἶδος, ὅπερ γυναικῶν μάλιστα ἔπαινος. διόπερ ἐν τοῖς ἑξῆς εὐειδέα τὴν Ἑλένην ἐρεῖ. ἐπιτείνει δὲ τὸν ἔπαινον τοῦτον μάλιστα τῷ Πάριδι, ὅτε εἴπῃ αὐτὸν κάλλει στίλβειν. (v. 17) Παρδαλέην δὲ ὤμοις Ἀλέξανδρος ἔχει, ἐπεὶ μὴ ἦν βριθὺς ὁπλίτης.

1.592 διὸ τόξα καὶ ξίφος καὶ δύο δόρατα ἔφερεν, ὡς ἂν ἔχοι τάχα φεύγειν ἐλαφρότερον. ἐν δὲ τοῖς ἑξῆς καὶ ἄλλους ἥρωας εὑρήσομεν δορὰς ζῴων περικειμένους, τὸν μὲν λεοντῆν, τὸν δὲ λυκέην. ἔστι δὲ παρδαλέη δορὰ παρδάλεως, ὥσπερ καὶ λεοντέη ἡ τοῦ λέοντος, κατὰ ἔλλειψιν τοῦ δορά, καὶ λυκέη ἡ τοῦ λύκου καὶ τραγέη ἡ τοῦ τράγου. Ἰστέον δέ, ὅτι παρ’ Ἡροδότῳ κεῖται καὶ ἀνθρωπείη, ἡ τοῦ ἀνθρώπου δορά, ἐν τῷ «σφάξας ἀπέδειρε πᾶσαν τὴν ἀνθρωπείην». ἐντελῶς δὲ ἔφρασεν Ἡρόδοτος ἀνθρωπείην εἰπών. τοιοῦτον δὲ καὶ ἡ ταυρείη καὶ ἡ ἐν Ὀδυσσείᾳ αἰγείη κυνέη καὶ ὅσα τοιαῦτα, ἐν οἷς καὶ ἡ ἀπαθὴς παρδαλείη καὶ λεοντείη καὶ λυκείη καὶ τραγείη, ἃ ἐξωθήσαντα μὲν τὸ τῆς διφθόγγου ι παρδαλέη γίνεται καὶ λεοντέη καὶ λυκέη καὶ τραγέη καὶ τὰ ὅμοια κατὰ τὸ κυνέη καὶ κτιδέη, κραθέντα δὲ κατὰ τὸ συκέα συκῆ, γαλέα γαλῆ καὶ μυγαλῆ, νέα νῆ, σελήνη, ὡς ἐν τοῖς ἑξῆς που φανεῖται, ἀμυγδαλέα ἀμυγδαλῆ, ἀναγκαίως περισπῶνται κατὰ τὸ χαλκέα χαλκῆ, χρυσέα χρυσῆ καὶ ὅσα τοιάδε. διὸ καὶ τὰς τραγᾶς ἀναλόγως περισπῶμεν. Ἰστέον δὲ καί, ὅτι παροιμιωδῶς παρὰ τοῖς ὕστερον παρδαλέην ἐνεῖσθαι λέγεται ὁ ποικίλος τὸν τρόπον καὶ οἷον πολύστικτος τὸ ἦθος κατὰ τὴν πάρδαλιν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὥσπερ καὶ ἀλωπεκῆν ὁ κερδαλέος καὶ δόλιος κατὰ τὴν κερδὼ καὶ λυκέην ὁ ὕπουλος ἅρπαξ. φορεῖν δὲ καὶ νεβρίδα ῥηθείη ἂν Διονυσιακῶς ὁ δειλὸς καὶ μέθυσος, ἤδη δὲ καὶ ποικίλος καὶ παλίμβουλος, ἐπεὶ στικτόν τι καὶ ἡ νεβρίς. οὐ μὴν καὶ λεοντῆν προσφυῶς πάνυ λεχθείη ἐνάπτεσθαι ὁ ἀνδρεῖος κατὰ τὸν πάλαι Ἡρακλῆν ἢ κατὰ τὸν ὕστερον Ζιήλαν τὸν παρὰ τῷ Ἀρριανῷ. ἀχρειοῖ γὰρ τὸ ὄνομα τοῦτο ἡ κατὰ τὸν Αἰσώπειον ὄνον παροιμία, ὃς περιεδύσατο λεοντῆν, καθά που καὶ καλὸν κροκωτὸν ἡ ὁμοίως μυθευομένη γαλῆ. Τὸ δὲ καμπύλα τόξα τρόπῳ ποιητικῷ πληθύνεται, καθὰ καὶ τὸ ἅρματα καὶ ὄχεα, ὡς πολλαχοῦ φανήσεται. ὅθεν καὶ Εὐριπίδης λαβών φησιν ὀχήματα ἤγουν ἅρμα. Καμπύλα δὲ κοινῶς πάντα τὰ τόξα. οὕτω δὲ καὶ ἀγκύλα καὶ ῥαιβὰ δέ, ὡς παρὰ Λυκόφρονι, καὶ σκολιὰ καὶ παλίντονα δέ. τοῦτο δὲ δοκεῖ παρὰ τῷ Ἡροδότῳ σκέψιν ἔχειν. λέγων γάρ, ὅτι τόξα παλίντονα Ἀράβιοι εἶχον, δίδωσιν ὑπονοεῖν, ὡς οὐ πᾶν τόξον ἁπλῶς παλίντονόν ἐστιν, ἀλλὰ τὸ εἰς πλέον ὀπίσω τῇ ἀνέσει ῥαιβούμενον καὶ οἷον καμαρούμενον, ὁποῖα πολλὰ ἐν τοῖς ἐθνικοῖς τόξοις φαίνεται εἰσέτι καὶ νῦν.

1.593 (v. 18) Δόρυ δὲ ἁπλῶς μὲν ξύλον, ὡς τὸ «οὐ γάρ πω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης», ἤγουν φυτὸν δέρμα ἔχον καὶ πεφυκὸς ἀποδέρεσθαι. τὸ δὲ στρατιωτικὸν δόρυ λέγεται μὲν καὶ αὐτὸ οὕτω διὰ τὸ ἐκδαρῆναι τοῦ φλοιοῦ, ἀπὸ μέρους δέ, τοῦ ξύλου δηλαδή, πολεμικὸν ὅπλον δηλοῖ. ὅτε δέ τις εἴπῃ «δόρυ κεκορυθμένον χαλκῷ», τηνικαῦτα μάλιστα ἐξ ὀρθοῦ τὸ πολεμιστήριον τεῦχος δηλοῖ. ὥσπερ γὰρ ἀνὴρ κεκορυθμένος ἤτοι κορυστής, ὁ κόρυν ἔχων περὶ τὴν κεφαλήν, οὕτω καὶ δόρυ πολεμικόν, τὸ ἔχον ἄνω οἷα κόρυν χαλκῆν, τὴν ἀπὸ σιδήρου ἐπιδορατίδα καταφράσσουσαν τὸ ξύλον ἀσφαλῶς, ὡς καὶ ἡ κόρυς τὸν μαχητήν, ἥτις καὶ αἰχμὴ κυρίως λέγεται. τροπὴ δὲ τοῦ ς εἰς θ ἐστιν ἐν τῷ κεκορυθμένος, ὥσπερ καὶ ἐν τῷ μηνιθμός καὶ ἐν ἄλλοις πολλοῖς. (v. 19) Δύω δὲ δοῦρε πάλλων Ἀλέξανδρος Ἀργείων προκαλίζετο πάντας ἀρίστους, ὡς ἢ τῇ φωνῇ προκαλούμενος καὶ κλάζων καὶ αὐτὸς ἢ τῷ βλέμματι μόνῳ καὶ τῷ σχήματι, ὃ καὶ κάλλιον. μετ' ὀλίγα γοῦν φησιν, ὅτι ἔφασαν Ἕλληνες πρόμον εἶναι αὐτόν, οὕνεκα καλὸν εἶδος αὐτῷ. οὕτω καὶ σίδηρος ἐφέλκεται ἄνδρας θυμουμένους, οὐ τῇ φωνῇ, ἀλλὰ βλεπόμενος. (v. 20) Προεκαλεῖτο δέ, φησίν, ὁ Πάρις τοὺς ἀρίστους μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι, τουτέστιν ἐν τῷ διὰ χειρῶν πολέμῳ, οὐ μὴν λόγοις, καθὰ μαχέσατο Ἀχιλλεὺς καὶ Ἀγαμέμνων εἵνεκα κούρης. (v. 18) Τὸ δέ «δύο δόρατα πάλλειν» καὶ ἀμφοτεροδέξιον τὸν Ἀλέξανδρον ὑποβάλλει νοεῖν, ὁποῖός που καὶ ὁ Ἀστεροπαῖος ἱστορηθήσεται. (v. 19) Τὸ δὲ προκαλίζετο ἐκ τοῦ προκαλῶ παρῆκται, ὡς καὶ ἀνωτέρω τὸ προμάχιζεν ἐκ τοῦ προμαχῶ. πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα. (v. 20) Αἰνὴν δὲ δηϊοτῆτα λέγει οὐ μόνον πρὸς διαστολὴν τῆς, ὡς ἐρρέθη, ἐν λόγῳ μάχης, ἀλλὰ καὶ καθόλου, καθὰ καὶ κακὴν ἔριν φθάσας ἔφη τὴν μεταξὺ τῶν γεράνων καὶ τῶν Πυγμαίων. (v. 22) Τὸ δέ «μακρὰ βιβῶντα», ἤτοι βαίνοντα, ἔοικέ πως πρὸς τὸ διαβαίνειν, ὃ καὶ παρ' Ὁμήρῳ κεῖται ἐν τῷ «εὖ διαβάς», ἤγουν διαστήσας τὰ σκέλη, καὶ παρὰ τῷ Κωμικῷ ἐν τῷ «τοσόνδε δ' αὐτοῦ βῆμα διαβεβηκότος». (v. 23—26) Ὅτι ἐχάρη Μενέλαος ἰδὼν τὸν Πάριν «ὥστε λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας», ὃ ἐφερμηνεύων ἐπάγει· «εὑρὼν ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα πεινάων· μάλα γάρ τε κατεσθίει, εἴπερ ἂν αὐτὸν σεύωνται», ἤγουν διώκωσι, «ταχέες τε κύνες θαλεροί τ' αἰζηοί». καὶ νῦν μὲν οὕτω χαίροντι λέοντι τὸν Μενέλαον εἰκάζει, ἀφανισθέντος δὲ Ἀλεξάνδρου φοιτᾶν φησι τὸν αὐτὸν Μενέλαον ἀν' ὅμιλον θηρὶ ἐοικότα, δηλαδὴ λέοντι ἄγραν ἀπολωλεκότι. (v. 23) Ἀμφιβολία δὲ ἐνταῦθα τοῖς παλαιοῖς.

1.594 ἢ γὰρ ἐπὶ ἐμψύχου λαμβάνει τὸ σῶμα, καὶ ποῦ ἡ πολλὴ παρατήρησις, ἡ λέγουσα τὸ δέμας μὲν ἐπὶ ἐμψύχου τιθέναι τὸν Ὅμηρον, ἐπὶ ἀψύχου δὲ τὸ σῶμα; ἢ ἄλλως ἐπὶ ἀψύχου εἴληπται νῦν τὸ σῶμα. καὶ μὴν οὐ θέμις, ὡς λόγος, νεκροῦ σώματος ἅπτεσθαι λέοντα. καὶ τοιαύτη μὲν ἡ τοῦ διλημμάτου διχόνοια. οἱ δὲ παλαιοὶ τὸ σῶμα ἐπὶ ἀψύχου κἀνταῦθα λαμβάνοντες τὴν διαφωνίαν ἰῶνται διὰ τοῦ «πεινάων». παρανομεῖ γάρ, φασί, λέων πεινῶν καὶ νεκριμαίου

ἀήθως ἅπτεται καὶ μάλιστα τετοξευμένου ὑπό τινων, ὡς ἐνταῦθα φαίνεται. λέοντα γὰρ ἔοικε λέγειν ἐντυχεῖν τετοξευμένῳ ζῴῳ καὶ διωκομένῳ. διὸ καὶ ἐπικύρσας ἔφη, ἤγουν συγκυρήσας, καὶ κατὰ συγκυρίαν ἤτοι κατὰ τύχην εὑρὼν οἷά τι δηλαδὴ ἕρμαιον. ἄλλοι δὲ σῶμά φασι λέγειν ὧδε, ὃ αὐτὸς νεκρὸν ὁ λέων εἰργάσατο. Ὥστε πάνυ θαυμασίως ὁ μὲν Ἀλέξανδρος πτοιαλέοις εἴκασται ζῴοις φεύγειν ἑτοίμοις καὶ τούτοις νεκροῖς, Μενέλαος δὲ λέοντι, καὶ αὐτῷ πεινῶντι. χαλεπὸς γάρ, φασί, λέων πεινῶν, ὅσον ἥμερος βεβρωκώς. μήποτε δὲ οὐ μόνον διὰ τὸ δειλὸν ἐλάφῳ τὸν Ἀλέξανδρον Ὅμηρος εἴκασεν, ἀλλὰ καὶ διὰ τὸ φιλῳδὸν τοῦ ἀνδρός. τοιαῦται γὰρ καὶ αἱ ἔλαφοι, εἴπερ ἀληθὴς ἡ τοῦ Ἀριστοτέλους ἱστορία. αἳ συριττόντων, φησί, καὶ ᾀδόντων θηρεύονται κατακηλούμεναι ὑφ' ἡδονῆς. ὅτι δὲ καὶ Ἀλέξανδρος φιλῳδός, δηλοῖ καὶ ἡ κιθάρα, ἣν αὐτῷ Ἕκτωρ ὀνειδίσει μετὰ μικρόν. καὶ ἄλλως δὲ ἐλάφῳ μὲν αὐτὸν εἰκάζει ὡς δειλόν, αἰγὶ δὲ ὡς ὀχευτικόν. τοιαῦτα γὰρ τὰ ζῷα. (v. 24) Ἰστέον δὲ καί, ὅτι ἀορίστως εἰπών «μεγάλῳ σώματι ἐπικύρσας» ἐφερμηνεύει αὐτὸ διὰ τοῦ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα. ἔστι δὲ κεραὸς ἔλαφος ὁ ἤδη τέλειος καὶ μηκέτι νεβρός. Τὸ δέ «ἄγριον αἶγα» ἔστι καὶ θηλυκῶς λαβεῖν τὴν ἄγριον ἢ καί, ὡς ἑξῆς φανήσεται, ἀρσενικῶς. Ἀττικὸς γὰρ ἀνὴρ τὸν αἶγα λέγει, ὥσπερ καὶ τὸν ἀηδόνα. (v. 26) Τὸ δέ «θαλεροὶ αἰζηοί» ἀντίκειται τῷ τοῦ Ἡσιόδου αἰζηῷ. παρὰ γὰρ ἐκείνῳ τεσσαρακονταετὴς αἰζηός τις εἴρηται, ἤτοι ἁπλῶς ἀνήρ, ὃς οὐκ ἂν εἴη οὕτω θαλερός. γίνεται δὲ αἰζηός κατὰ τοὺς παλαιοὺς παρὰ τὸ αἰεὶ ζέειν, ὁ θερμὸς καὶ ὡς νεανίας ἀκμάζων τῇ ἡλικίᾳ, ἢ παρὰ τὸ α στερητικὸν καὶ τὸ ἵζειν, οἱονεὶ ὁ ἀεικίνητος καὶ μὴ εἰδὼς ἵζεσθαι, ὅ ἐστι καθῆσθαι καὶ ἀργεῖν. ὅθεν καὶ ἀκμαῖος ὁ αὐτός, ὁ ἀκάμας δηλαδή. καὶ νέος δὲ παρὰ τὸ νέω, ὁ εὐκίνητος. Ὅτι δὲ ἐπειράθησάν τινες προσγράφειν τὸ ι ἐν τῇ παραληγούσῃ τοῦ αἰζηός διὰ τὸ εὑρίσκεσθαι τετρασυλλάβως αἰζήϊος, καὶ ὅτι οὐκ ἀκριβῶς ἐδόξασαν ἐκεῖνοι διὰ τὸ χρῆναι εἶναι αἰζηός διὰ μόνου τοῦ η , ὁμοίως τῷ πηός καὶ τοῖς τοιούτοις, καὶ ὅτι ἀπορίας ἄξιον, πῶς μὴ ἐκ τοῦ αἰζήϊος συναιρέσεως γενομένης καὶ συνελεύσεως ὀξείας καὶ βαρείας προπεριεσπάσθη ὁ αἰζηός, ἐν τοῖς τοῦ Ἡρωδιανοῦ ἔστιν εὑρεῖν.

1.595 (v. 27) Ἀγαθὴ δὲ λέξις τὸ «ἐχάρη». διὸ καὶ δὶς αὐτὴν ὁ ποιητὴς εἶπε λόγῳ ἐπιμονῆς. σημείωσαι δέ, ὅτι ἐχάρη μὲν εὕρηται ἰδοὺ παθητικῶς, ἐνεστὼς δὲ αὐτοῦ παθητικὸς οὐκ ἂν εὑρεθείη παρά γε τοῖς ἑλληνίζουσι [καὶ μηδὲ παίζειν προελομένοις, ὁποῖος εἴη ἂν ὁ ἴσως ἐρῶν «ἥδομαι καὶ χαίρομαι».] (v. 28) Ὅτι τὸ «ὀφθαλμοῖσιν ἰδών», Μενέλαος δηλαδὴ τὸν Πάριν, πρὸς διαστολὴν εἴρηται τοῦ ἄλλως κατὰ νοῦν καὶ φαντασίαν ἐκεῖνον τῷ Μενελάῳ βλέπεσθαι. τὸ δὲ ὀφθαλμοῖς ἰδεῖν καὶ νοῆσαι εἶπεν ἐν τῷ «ὡς οὖν ἐνόησεν», ἐπειδὴ νοῦς ὁρᾷ, ὥσπερ καὶ ἀκούει. (v. 30 s.) Ἰστέον δὲ καί, ὅτι τὸ «τὸν δ' ὡς οὖν ἐνόησεν ὁ δεῖνα ἐν προμάχοισι φανέντα, κατεπλήγη φίλον ἦτορ» ἐπὶ παντὸς ἂν λέγοιτο ὑπεξισταμένου διὰ φόβον τῷ κρείττονι. (v. 29) Ὅτι τὸ ἆλτο, καθὰ καὶ ἐν τῇ α' ῥαψῳδίᾳ εἴρηται, κατὰ μὲν τὸν καόνα τῶν ῥημάτων δασύνεσθαι ὤφειλεν, ὃς τὰ πνεύματα τῆς ἀρχούσης τοῦ ἐνεστῶτος καὶ ἐν τοῖς ἐφεξῆς χρόνοις φυλάσσει, διὰ δὲ τὴν ἐπιφορὰν τοῦ τ ψιλοῦται κατὰ κανόνα ἕτερον τὸν ἐκεῖ ῥηθέντα. καὶ τὸ μὲν ἆλτο ἐκ τοῦ α ἀρχόμενον διὰ τὸν ῥηθέντα λόγον ψιλοῦται κατὰ τοὺς παλαιοὺς ἐκ τοῦ ἧλτο μεταβληθέν. αὐτὸ δὲ τὸ ἧλτο οὐκ ἂν ἔχοι λόγον μὴ δασύνεσθαι, εἰ μὴ ἄρα τις Αἰολεὺς ἢ καὶ Ἴων καινοτομήσει καὶ αὐτὸ ψιλωτικοὶ ὄντες. Ὅτι τὰ ἀπὸ ὀνομάτων εἰς ζε λήγοντα ἐπιρρήματα τρίτην ἀπὸ τέλους ἔχουσι τὴν ὀξεῖαν, ἔραζε, Ἀθήναζε, θύραζε. τὸ δὲ χαμᾶζε ὡς ἀπὸ ἐπιρρήματος τοῦ χαμαί οὔτε συστέλλει τὸ α , ὥς φασιν οἱ παλαιοί, κατ' ἐκεῖνα, καὶ πρὸ μιᾶς δὲ ἔχει τόνον περισπώμενον, ὡς ἀπὸ τοῦ χαμαί φύσει μακροκαταλήκτου γενόμενον. φασὶ δὲ καὶ μέταζε εἶναι χρονικὸν ἐπίρρημα ἀπὸ τῆς μετα προθέσεως. Ἰστέον δέ, ὅτι ἐν τῷ Ἀθήναζε, Θήβαζε, χαμᾶζε καὶ τοῖς ὁμοίοις ἡ τελευταία συλλαβὴ τροπὴν ἔπαθε τοῦ δ εἰς ζ κατὰ συγγένειαν, ὥς που προγέγραπται. ὡς γὰρ οἴκαδε, οὕτως ἔοικε καὶ Ἀθήναδε εἶναι καὶ Θήβαδε καὶ χαμᾶδε, ἡ δὲ τροπὴ τὸ δ εἰς ζ μετήγαγεν. (v. 32) Ὅτι τὸ «ἂψ δ' εἰς ἔθνος ἑτάρων ἐχάζετο» μικρὸν ὑποκαταβὰς παραφράζει ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ «αὖθις» ἤ «αὖτις καθ’ ὅμιλον ἔδυ Τρώων ἀγερώχων», ἵνα τὸ μὲν ἄψ ταὐτὸν εἴη τῷ αὖτις, ἤγουν ὀπίσω, τὸ δὲ ἑτάρων ταὐτὸν τῷ Τρώων.

1.596 μυριαχοῦ δὲ καὶ ἐν Ἰλιάδι καὶ ἐν Ὀδυσσείᾳ δὲ τὰ ἑαυτοῦ φιλοτιμεῖται παραφράζειν ὁ ποιητής, ὡς καὶ κατωτέρω εἰπών «παλίνορσος ἀπέστη», παρακατιὼν λέγει· «ἂψ δ’ ἀνεχώρησε». ταὐτὸν γὰρ εἰπεῖν «ἀπέστη παλίνορσος» καὶ «ἂψ ἀνεχώρησεν», ὥσπερ καὶ τὸ παλίνορσος καὶ ἄψορρος. οὕτω δὲ καὶ τὸ προμάχιζε παραφράζων, ἔτι δὲ καὶ περιφράζων, ἔφη· «προκαλίζετο πάντας ἀρίστους ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι». τὸ δ’ αὐτὸ καὶ ἔρχεσθαι προπάροιθεν ὁμίλου εἶπε μετ’ ὀλίγα, εἶτα καὶ ἐν προμάχοις φανῆναι καὶ πρόμον εἶναι. (v. 33—7) Ὅτι τό, ὡς εἴρηται, θρασύδειλον ὑπογράφων καὶ εἰσέτι τοῦ Ἀλεξάνδρου παραβολικῶς δι’ ἐνάργειαν ὁ ποιητὴς ἀνδρὶ αὐτὸν εἰκάζει, ὃς ἐν βήσσαις ὄρους βαδίζων τέως μὲν ὁδῷ πρόεισιν, αἴφνης δέ πως δράκοντα ἰδὼν ἀναχωρεῖ. φησὶ γοῦν· «ὡς δ’ ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη οὔρεος ἐν βήσσῃσιν, ὑπό τε τρόμος ἔλλαβε γυῖα· ἂψ δ’ ἀνεχώρησεν ὦχρός τέ μιν εἷλε παρειάς» καὶ ἑξῆς. ταῦτα δὲ καὶ ἐπὶ παντὸς δειλιῶντος ῥηθείη ἂν, ὅτε ὁ φόβος τινὰ εἰς τοιαύτην περιαγάγοι κατάστασιν. καλῶς δὲ ὁ ποιητὴς οὐ πεδιάδα παρέλαβεν ἐν τῇ παραβολῇ, ἀλλὰ βήσσας ὄρους. ἐν μὲν γὰρ πεδίῳ πόρρωθεν ἰδών τις δράκοντα οὐκ ἂν τόσον πάθοι φόβον, ἐν δὲ βήσσαις πάνυ ἂν πτοηθείη πρὸς αὐτῷ τῷ δράκοντι γεγονώς. οὐ γὰρ μακρόθεν ἔστι προϊδεῖν αὐτὸν ἐν ταῖς βήσσαις. (v. 33) Ἰστέον δέ, ὅτι ὁ μὲν δράκων ἐκ τοῦ δέρκω, τὸ βλέπω, οὗ δεύτερος ἀόριστος ἔδαρκον, γίνεται, κατὰ μετάθεσιν τοῦ ρ , οἷα σμερδαλέος καὶ τῇ ὄψει καταπληκτικός. Τὸ δὲ παλίνορσος, ὡς προγέγραπται, ταὐτόν ἐστι τῷ ἄψορρος. ὀρούω μὲν γὰρ τὸ ὁρμῶ, πάλιν δὲ καὶ ἂψ τὸ ὀπίσω. (v. 35) Τὸ δέ «ὦχρός τέ μιν εἷλε παρειάς» ταὐτόν ἐστι κατὰ σχῆμα τῷ «περὶ γὰρ ῥά ἑ χαλκὸς ἔλεψε φύλλα τε καὶ φλοιόν». καὶ εἴρηται ἱκανῶς ἐκεῖ περὶ τοῦ τοιούτου σχήματος. Ἀρίσταρχος δέ, φασίν, ἀντὶ τοῦ «ὦχρός τέ μιν εἷλε παρειάς» γράφει παρειά οὐδετέρως καὶ ὀξυτόνως, λέγων καὶ κανόνα τοιοῦτον· τὰ ἀπὸ ὀξυτόνου θηλυκοῦ μεταποιούμενα εἰς οὐδέτερα τοῦ αὐτοῦ σημαινομένου μένοντος τὸν αὐτὸν φυλάσσει τόνον, οἷον πλευραί πλευρά, πυραί πυρά. οὕτως οὖν, φησί, καὶ παρειαί παρειά, κατὰ μεταπλασμόν. οὐκ ἀντίκειται τὸ νευραί καὶ νεῦρα, διάφορα γὰρ αἱ τοιαῦται λέξεις σημαίνουσι. βαρύνεται δὲ ὁ ὦχρος ἢ εἰς ἀποφυγὴν τοῦ ἐπιθετικοῦ—τὸ γὰρ ἐπίθετον ὠχρός ἐστιν ὀξυτόνως— ἢ ὡς ὑπερτεθὲν καὶ συναιρεθὲν ἐκ τοῦ ἄχροος, ἢ διότι τὰ εἰς ος δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ω μὴ προσκειμένου τοῦ ι βαρύνεται· ὦρος, ὦμος, ὦνος.

1.597 τὸ ᾠδός ὀξύνεται, διότι τὸ ι προσγράφεται εἰς τὴν ἄρχουσαν. ὅτι δὲ καὶ εἶδός τι ὀσπρίου ὁ ὦχρος, δηλοῦσιν οἱ παλαιοί. (v. 36) Ὅτι ἀγερώχους λέγει τοὺς Τρῶας, ὃ ταὐτόν ἐστι τῷ ὑπερηφάνους καὶ ἀξιοῦντας ἄγαν γέρας ἔχειν, ἵνα εἴη ἀγεράοχος καὶ ἐν συναιρέσει ἀγέρωχος προπαροξυτόνως διὰ τὴν σύνθεσιν. φησὶ γοῦν· «καθ’ ὅμιλον ἔδυ Τρώων ἀγερώχων δείσας Ἀλέξανδρος θεοειδής». [(v. 37) Ὅτι δὲ ὁ θεοειδὴς καὶ θεουδής λέγεται κράσει μὲν τοῦ ε καὶ ο εἰς τὴν ου δίφθογγον, ἐξωθήσει δὲ τοῦ ι , ἐκφανεῖ που Ὅμηρος. ὁ δὲ γράψας ἐν στοιχειακῇ τάξει λέξεων λέγεσθαι θεαιδέστατον διὰ τῆς αι διφθόγγου προπαραληγούσης τὸν θεοῦ ἰδέαν ἔχοντα, καὶ παραθεὶς χρῆσιν Ἀντιφῶντος τὸ «ἄνθρωπος, ὅς φησι πάντων θηρίων θεαιδέστατος γενέσθαι» καινὸν μέν τι γράφει, πιστεύεται δὲ ὡς λόγου πολλοῦ ἄξιος.] (v. 38—51) Ὅτι σκοπὸν ἐνταῦθα θέμενος Ὅμηρος καὶ σκῶψαί τι τὸν οὐκ ἀγαθὸν Ἀλέξανδρον αὐτὸς μὲν οὐ ποιεῖ αὐτόθεν τοῦτο ἀγαθολογεῖν εἰωθώς, ὡς προείρηται, καὶ μὴ θέλων σιλλογραφεῖν καὶ ἅμα, ἵνα μὴ καὶ ὡς φιλέλλην αὐτόθεν ὑποπτεύηται, Ἕκτορι δὲ τῷ γνησίῳ ἀδελφῷ τὰ τῆς ὕβρεως ἀνατίθησιν, ὃς καὶ εἶχε παρρησιάζεσθαι κατὰ τοῦ Πάριδος. φησὶν οὖν· «τὸν δ’ Ἕκτωρ νείκεσσεν ἰδὼν αἰσχροῖς ἐπέεσσι· Δύσπαρι, εἶδος ἄριστε, γυναιμανές, ἠπεροπευτά» καὶ τὰ ἑξῆς. Ἰστέον δέ, ὅτι πολὺ τὸ γοργὸν καὶ σφοδρὸν ἐνταῦθα λαλοῦντι τῷ Ἕκτορι καὶ τῷ ὄντι ἔμψυχος αὐτῷ ἡ ὁμιλία πᾶσα κατὰ ἐνδιάθετον σφοδρότητα. πάνυ τε γάρ ἐστι πολυσχήμων καὶ συχνά, τὰ πολλὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ καὶ κατὰ κόμμα, μεταβαίνει ἀπὸ νοήματος ἄλλου εἰς ἄλλο, διά τε ὀργὴν καί, ὅτι οὐδὲ ἔχει καιρὸν ἀποτάδην λαλεῖν. (v. 40—2) Καὶ ἔξεστιν αὐτὰ ἐκ τῶν τοῦ ποιητοῦ ἀναλέγεσθαι, ἐν οἷς δύσπαριν αὐτὸν καλέσας καὶ τὰ ἑξῆς, ὡς εἴρηται, εἶτα καὶ ἐπαρᾶται εἰπών· «Αἴθ' ὄφελες ἄγονός τ' ἔμεναι ἄγαμός τ' ἀπολέσθαι», ἤγουν ἔδει μὴ γενέσθαι σε ὅλως, ἐπεὶ δὲ ἐγεννήθης, ὤφελες μὴ εἰς γάμον ἐλάσαι. ἵνα δὲ μὴ δόξῃ ἀνεύλογα τὰ τῆς ἀρᾶς, ἐπάγει «καί κε τὸ βουλοίμην καί κεν πολὺ κέρδιον ἦν». οὐ γάρ, φησίν, ἁπλῶς διά τι μῖσος ἤθελον τοῦτο, ἀλλὰ πολὺ κέρδιον ἦεν «ἤπερ οὕτω λώβην τ' ἔμεναι καὶ ὑπόψιον ἄλλων». (v. 50 s.) Προϊὼν δὲ κομματικῶς ἑρμηνεύσει αὐτὸς τὰ τῆς τοιαύτης λώβης, ἐν οἷς ἐρεῖ «πατρί τε σῷ μέγα πῆμα πόληΐ τε παντί τε δήμῳ, δυσμενέεσσι μὲν χάρμα, κατηφείην δέ σοι αὐτῷ». (v. 43—9) οἷς ἐπιφέρει στοχαστικῶς καὶ τὸ «ἦ που καγχαλόωσι καρηκομόωντες Ἀχαιοὶ φάντες ἀριστῆα πρόμον ἔμμεναι, οὕνεκα καλὸν εἶδος ἔπι», ἤγουν ἔπεστί σοι, «ἀλλ' οὐκ ἔστι βίη φρεσὶν οὐδέ τις ἀλκή».

1.598 εἶτα καὶ ἐρωτᾷ ἐλεγκτικῶς οὕτω· «ἦ», τουτέστι ἆρα, «τοιόσδε ἐὼν πόντον ἐπιπλώσας», ἤγουν ἐπιπλεύσας, «ἑτάρους ἐρίηρας ἀγείρας, μιχθεὶς ἀλλοδαποῖσι γυναῖκα εὐειδέα ἀνῆγες ἐξ ἀπίης γαίης, νυὸν ἀνδρῶν αἰχμητάων, πατρί τε σῷ μέγα πῆμα» καὶ ἑξῆς, ὡς ἀνωτέρω κεῖται. ἐπὶ δὲ τούτοις καὶ συγκρίνων τὸν ἀδελφὸν τῷ Μενελάῳ γοργῶς, διόπερ οὐδὲ ὡρισμένον τινὰ ἔπαινον ἐκφωνεῖ, λέγει κατὰ δευτέραν συντομωτέραν ἐρώτησιν· (v. 52) «οὐκ ἂν δὴ μείνειας ἀρηΐφιλον Μενέλαον;» (v. 53—5) κἀνταῦθα στήσας τὴν ἐρώτησιν διὰ τὴν ἐκ θυμοῦ ἐγκοπὴν ἐπάγει ἐλλειπτικῶς διὰ τὴν αὐτὴν αἰτίαν τάδε· «γνοίης κεν, οἵου φωτὸς ἔχεις θαλερὴν παράκοιτιν». λέγει δὲ καί, ὡς «οὐκ ἄν τοι χραίσμῃ κίθαρις τά τε δῶρ' Ἀφροδίτης ἥ τε κόμη τό τε εἶδος, ὅτε ἐν κονίῃσι μιγείης» (v. 56 s.) Καὶ ἐπὶ πᾶσιν ἐκ τῆς τῶν Τρώων ἐπιεικείας μεγεθύνων τὸ κακὸν τοῦ Πάριδος καὶ ἅμα καταδημαγωγῶν τοὺς ἀκροατὰς πολίτας φησίν· «ἀλλὰ μάλα Τρῶες δειδήμονες», ἤτοι εὐλαβεῖς τὸ ἦθος, «ἦ τέ κεν ἤδη λάϊνον ἕσσο χιτῶνα», ἤγουν λίθινον ἂν ἐνεδέδυσο ἱμάτιον, λίθοις δηλονότι χωσθείς, «κακῶν ἕνεκα», φησίν, «ὅσα ἔοργας». πάνυ οὖν αὐστηρὸς ὁ λόγος ἐνταῦθα τῷ Ἕκτορι ὕβρεις ἔχων κατὰ τοῦ ἀδελφοῦ, ἀράς, ἐλέγχους, καταφοράς. (v. 51) Τὸ δέ «δυσμενέεσσι μὲν χάρμα» ἀποδεικνύει βαρὺ εἶναι τὸ ἐφ' ᾧ χαίρουσιν οἱ ἐχθροί. τοῦτο δὲ δηλοῦται καὶ ἐν τῷ «ἦ που καγχαλόωσιν οἱ Ἕλληνες», ὡς προερρέθη, καὶ ἐν τῷ «ἦ κεν γηθήσαι Πρίαμος», ὡς ἐν τῇ α' ῥαψῳδίᾳ εἴρηται. (v. 57) Ἰστέον δέ, ὅτι συμβολικῶς καὶ ὡς ἐν αἰνίγματι εἶπε τὸ «λάϊνον ἕσσο χιτῶνα». τὸν γὰρ λιθασθέντα ὥσπερ τι ἱμάτιον ἀμπέχει ὁ τῶν λίθων σωρός. μήποτε δὲ ἄρα ἐντεῦθεν ἔλαβεν ἀφορμὴν ἀστείου λόγου καὶ ὁ εἰπὼν τὸ τεῖχος ἱμάτιον πόλεως, καὶ τὸ «ἠέρα δὲ ἕσσασθαι», ἤτοι ἐνδύσασθαι, τὸ Ἡσιόδειον, ἅπερ ὁμοιότητά τινα ἔχει πρὸς τοῦτο τὸ Ὁμηρικόν, καὶ τὸ ταφῆναι δέ τινα γῆν ἂν ἐνδύσασθαι εἴποι τις. οὕτω καὶ ὕδωρ ἀμφιέσασθαι τὸ γενέσθαι ὅλον ἐντὸς αὐτοῦ. ὁμοίως καὶ ὕδατα περιβαλέσθαι ποταμοῦ καὶ φῶς ἀναβαλέσθαι ἱματίου δίκην καὶ ἄλλα δὲ ὅμοια. Ἰστέον δέ, ὅτι ῥηθήσεταί ποτε ἀστείως λάϊνον χιτῶνα φορεῖν καὶ ὁ τὰ περιμάργαρα φορῶν καὶ λίθοις τιμίοις κατάπαστος. (v. 56) Ὅρα δὲ καί, ὡς ἐν τῷ «Τρῶες δειδήμονες» Ὅμηρος νοήματα μετεποίησεν οἰκεῖα φθάσαντα ῥηθῆναι. τὸ γὰρ οὐτιδανοῖς ἀνάσσειν τὸν Ἀτρείδην καὶ τὸ μεθήμονα καὶ ἄχολον εἶναι τὸν Ἀχιλλέα καὶ τὸ δειδήμονας εἶναι τοὺς Τρῶας μιᾶς ἐννοίας συγκροτοῦσιν ὁμοιότητα.

1.599 εἰ μὴ γὰρ οὐτιδανοὶ οἱ Ἀχαιοὶ καὶ εἰ μὴ μεθήμων ὁ Ἀχιλλεὺς καὶ εἰ μὴ δειδήμονες οἱ Τρῶες, οὐκ ἂν τάδε τινὰ κακὰ ἐγένοντο. Ὅρα δὲ καί, ὡς τοὺς μὲν Ἕλληνας, εἰ λειποτακτήσαιεν, θανάτῳ ἐτιμῶντο οἱ βασιλεῖς, Ἕκτωρ δὲ τὸν ἀδελφὸν Ἀλέξανδρον λιπόντα τὴν τάξιν σκώμμασι μόνοις ἀναγκαίως ἐδικαίωσεν. (v. 38) Ἰστέον δέ, ὅτι αἰσχρὰ ἔπη συνήθως οἱ ὀνειδιστικοί, ὅ ἐστι ψεκτικοὶ λόγοι, ὥσπερ ἀνάπαλιν καλὰ ἔπη καὶ ὡς εἰπεῖν εὐειδῆ τὰ ἐγκωμιαστικά. (v. 39) Τὸ δέ «Δύσπαρι, εἶδος ἄριστε», ὅπερ Εὐριπίδης αἰνόπαρίν φησιν, ὡς καὶ τὴν Ἑλένην δυσελένην διὰ τοῦ ἐξαγγέλου Φρυγός, ἀφορμὴν ἐνδέδωκε τῷ Ἀλκμᾶνι μίξαντι ἀμφότερα εἰπεῖν «δύσπαρις,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰνόπαρις, κακὸν Ἑλλάδι βωτιανείρῃ». [ὅθεν ἀρχῆς ἐνδοθείσης καὶ αἰνελένην ἕτερός τις ἔφη ἀντὶ τοῦ αἰνὴν Ἑλένην.] Καὶ σημείωσαι, ὅτι σύνηθες τοῖς παθαινομένοις καὶ κατὰ κυρίων ὀνομάτων χωρεῖν, κἂν μὴ εἶεν δυσώνυμα. τί γὰρ χρήσιμον εἰς ψόγον ἄλλως τὸ Δύσπαρις, εἰ μὴ ὅτι ἐπὶ κακῷ καὶ ἐγεννήθη καὶ ἐκλήθη Πάρις. οὕτω καὶ Ἑλένη τὴν Ἴλιον Κακοΐλιον καλεῖ, οὐχ' ὅτι δύσφημον ἢ δυσοιώνιστον τοὔνομα, ἀλλ' ὅτι, φησίν, ἐμοὶ οὐκ ὀνομαστέα. ἀφελεῖς δὲ καὶ γλυκεῖαι καὶ σώφρονες αἱ τοιαῦται ὕβρεις καὶ οὐ πάνυ πικραί. ὁποῖον καὶ τὸ «ἡ Σιδηρώ». γυνὴ δὲ αὕτη θρασεῖα τὸ οἰκεῖον ὄνομα φορεῖ. ἔχει δέ τι καὶ ἀντιθετικὸν τὸ Δύσπαρι μετὰ τοῦ εἶδος ἄριστε. μονονουχὶ γάρ φησιν, ὡς ἄλλως μὲν κακέ, καλὲ δὲ ἰδεῖν, οἷα καὶ θεοειδὴς ὤν. τὸ δέ «εἶδος ἄριστε» ὑφ' ἕν τινες ἀναγινώσκουσι μετὰ τοῦ γυναιμανές, ἵνα λέγῃ, ὅτι εἶδος ἄριστε ἐπὶ ἔρωτι καὶ ἀπάτῃ γυναικῶν. διὸ καὶ ἐπάγει τὸ «ἠπεροπευτά», ὅ ἐστιν ἀπατεών, ὅπερ κατὰ τοὺς παλαιοὺς γίνεται ἐκ τοῦ ἥμερος καὶ τοῦ ὄψ ὀπός, ἡ φωνή, ἵνα ᾖ ἠπεροπευτὴς οἱονεὶ ἡμεροπευτής, ὁ διὰ ἡμέρου ὀπὸς ὑπαγόμενός τινα [αἱμυλώτερον, ὃ καὶ τὴν μαστροπὸν παράγει Δωρικώτερον. δῆλον γάρ, ὅτι γυνὴ μαστροπὸς πλεονασμῷ τοῦ ἐν μέσῳ σίγμα ἡ ματέρος ὄπα σοφιζομένη ἐν τῷ αἱμύλα κωτίλλειν καθ' Ἡσίοδον, ἵνα ᾖ τὸ ἐντελὲς ματεροπός, ὅθεν μαστροπός, ἡ καὶ ματρύλλα δι' αὐτό, ἀφ' οὗ καὶ ματρυλλεῖον τὸ πορνεῖον.] Ὁ δὲ γυναιμανής ἢ ἐκ τοῦ γυναικομανής συγκέκοπται ἢ ἐκ τοῦ γυνομανής γίνεται ὁμοίως τῷ μεσαιπόλιος, περὶ οὗ ἐν τοῖς ἐφεξῆς που δηλωθήσεται.

1.600 Δῆλον δέ, ὅτι ὁ ἄκρατος ἔρως μανίᾳ ἔοικε. διὸ τὸν τοῦτο πάσχοντα γυναιμανῆ λέγει ὁμοίως τῷ ἱππομανής, χρυσομανής, ὧν πρὸς ὁμοιότητα καὶ ἡ ἐρωμανία εἴρηται. [Δῆλον δ' ὅτι ταὐτὸν γυναιμανῆ τινα καὶ θηλυδρίαν καὶ λάγνον καὶ γύννιν προσειπεῖν. καθολικώτερον δὲ τὸ γυναιμανής τοῦ παρθενοπίπης, ὃς ἐν ἄλλοις κεῖται, ὡς καὶ τοῦ πυρροπίπης ὁ παιδοφίλης, οἳ σκώπτονται σφοδρότερον, καθὰ καὶ ὑπὸ Πριάμου οἱ τῶν ἀρνῶν καὶ τῶν ἐρίφων ἁρπακτῆρες. εἴη δ' ἂν ὅμοιος τοῖς οὕτω σκωπτομένοις, ἔνθα εὔξατο ἔχειν τι παιδὸς ἐφολκὸν καὶ Καλλίμαχος. γυνὴ δὲ ἀνδράσιν ἐπιμαινομένη ἄλλως μὲν δριμέως φίλανδρος ἐκλήθη σεμνότερον, ἡ δὲ κωμῳδία τὴν τοιαύτην ἀνδρεράστριαν σκώπτει. ὡς δὲ οὐκ ἔστι τὸν γυναιμανῆ ἀπὸ τῆς γύναι κλητικῆς συντεθεῖσθαι, ὅ τινες ᾠήθησαν, καὶ ἐπὶ τοῦ Βακχέβακχος καὶ Ἀργεϊφόντης καὶ τῶν ὁμοίων ὁ Χοιροβοσκὸς δείκνυσι πρὸς ἀκρίβειαν.] (v. 40) Τὸ δέ «ὄφελες ἄγονός τε εἶναι καὶ ἄγαμος ἀπολέσθαι» οἰκεῖον μὲν ἐπιφώνημα ἀνθρώπῳ φαύλῳ καὶ ἐπὶ κακῷ κοινῷ καὶ γεννηθέντι καὶ γεγαμηκότι. εὐχὴ δέ ἐστιν ἀδυνάτως ἔχουσα τελεσθῆναι, ὁποῖα πολλὰ εὔχονται οἱ ὀργιζόμενοι. πῶς γὰρ οἷόν τε τὰ ἤδη γενόμενα μὴ γενέσθαι; οὕτω καὶ ἐν τοῖς ἑξῆς ἡ Ἑλένη θανεῖν ὀφείλειν εἶπεν, ὅτε ἡρπάγη, λέγουσα «ὡς ὄφελε θάνατός μοι ἁδεῖν» καὶ τὰ ἑξῆς. ταὐτὸν δὲ εἰπεῖν κοινῶς ὤφειλες καὶ Ἰωνικῶς ὄφελες. [Ἐκτείνεται δὲ ἡ λήγουσα τοῦ ὄφελες λόγῳ κοινῆς συλλαβῆς πρὸς θεραπείαν τῆς τοῦ στίχου λαγαρότητος, ὥσπερ καὶ ἐν τοῖς ἑξῆς τὸ ὁμηγερέες ἐν τῷ «πάντες ὁμηγηρέες» μακρὰν ἔχει κατάληξιν.] Ἄγονος δὲ κοινότερον μὲν ὁ μὴ γεννῶν, νῦν δὲ ἄλλως ὁ μὴ γεννηθείς. [ὁ δέ γε μὴ γεννῶν ἄσπερμος ἂν Ὁμηρικῶς ῥηθείη κατὰ τὸ «ἄσπερμος γενεή».] Τὸ δὲ ἔμεναι νῦν μὲν ἁπλοῦν ἔχει τὸ μ καὶ μετ' ὀλίγα ἐν τῷ «λώβην τ' ἔμεναι», κατωτέρω δὲ διπλάζει αὐτὸ ἐν τῷ «πρόμον ἔμμεναι» καὶ ἔστι πλείων ἡ χρῆσις αὕτη πανταχοῦ. Ἰστέον δὲ καί, ὅτι λέγεται Διονύσιον τὸν σκυτοβραχίονα ἱστορεῖν Δάρδανον παῖδα Ἑλένης καὶ Παρίδος, ὅς, φασί, καὶ προφέρει μετὰ τὸ «ἄγαμός τ' ἀπολέσθαι» στίχον τοῦτον· «μηδέ τι γούνασιν οἷσιν ἐφέσσασθαι φίλον υἱόν, Δάρδανον», ὡς εἶναι ἴσως οὕτως εὔλογον νοηθῆναι τὸ «ἄγονός τε εἶναι ἄγαμός τ' ἀπολέσθαι» κατὰ σχῆμα ὑστερολογίας ἤτοι πρωθύστερον, ἀντὶ τοῦ μήτε εἰς γάμον ἐλθεῖν μήτε παῖδα ἐκεῖθεν σχεῖν τόν, ὡς ἐρρέθη, Δάρδανον.

1.601 (v. 41) Τὸ δέ «καὶ βουλοίμην καὶ κέρδιον ἂν ἦν» πρὸς διαστολὴν κεῖται τῶν βουλομένων μέν τι, μὴ κερδαλέον δέ. (v. 42) Ὁ δὲ ὑπόψιος ἢ τὸν ἐπονείδιστον δηλοῖ καὶ ὕποπτον, ὅν τινες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑποβλέπονται ὑπόδρα ὁρῶντες διὰ τὸ μῖσος, ἢ τὸν τοὺς ἄλλους ὑποβλεπόμενον διὰ δειλίαν. τινὲς δὲ γράφουσιν ἐπόψιον, τὸν ἐν ὄψεσι πάντων ἀσχημόνως φυγόντα. κυρίως μέντοι ἐπόψιον ἐπὶ τόπου λέγεται ὑψηλοῦ. (v. 44) Τὸ δέ «φάντες» φίλη λέξις τοῖς ποιηταῖς. τὸ μέντοι φάμενοι καὶ κοινόν ἐστιν Ἀττικῶς. [ταύτης τῆς ἀκολουθίας καὶ τὸ ἔφη καὶ ἔφατο καὶ τὸ φῆ καὶ φάτο.] (v. 45) Ἰστέον δὲ καί, ὅτι ἐπὶ εὐειδοῦς ἄφρονος καλὸν εἰπεῖν τὸ «καλὸν εἶδος, ἀλλ' οὐκ ἔστι βίη φρεσὶν οὐδέ τις ἀλκή». βίαν δὲ φρενῶν τὴν φρόνησιν λέγει. ὅτε μέντοι συνθέτως ἐκ φρενῶν καὶ ἀλκῆς ὁ ἀλκίφρων ῥηθείη, τότε συντομίας λόγῳ ἡ λέξις τὸν καὶ ἀνδρεῖον καὶ φρόνιμον ὑποδηλοῖ. ἐνταῦθα δὲ σημειωτέον καί, ὅτι πᾶν σωματικὸν πλεονέκτημα δίχα ψυχικῆς ἀρετῆς ἀχρεῖόν ἐστι. τί οὖν ὄφελος Ἀλεξάνδρῳ, εἴπερ εἶδος ἄριστος ὢν καὶ καλὸν εἶδος ἔχων καὶ κόμην—Ἀφροδίτης δὴ ταῦτα δῶρα διὰ τὸ ἐν αὐτοῖς ἐπαφρόδιτον—ἀχρεῖος τἆλλά ἐστιν, οὔτε βίην ἔχων φρεσὶν οὔτε ἀλκήν; Βελλεροφόντῃ μέντοι, κατ' ἄμφω καλῷ ὄντι, οὐκ Ἀφροδίτη ἀλλὰ θεοὶ κάλλος καὶ ἠνορέην ἔδωκαν, ὡς ἐρεῖ ὁ ποιητὴς ἐν τοῖς ἑξῆς. (v. 54) Καὶ κίθαρις δέ, ἡ μὲν τοῦ Πάριδος μωμητή, ἡ δὲ τοῦ Ἀχιλλέως ἐπαινετὴ ἀείδουσα κλέα ἀνδρῶν, ὡς καὶ ἡ Ὁμήρου ποίησις. καὶ αὐτὴ γὰρ ἀνδρῶν ἀείδει κλέα. κίθαρις δὲ γίνεται μὲν παρὰ τὸ κινεῖν ἢ κεύθειν ἔρωτας κατὰ τοὺς παλαιούς. Κυθερείας γὰρ ὑπόκειται εἶναι δῶρον ὡς ἀφροδίσιον, παρωνόμασται δὲ ἐκ τοῦ κιθάρα, καὶ ἔστιν ἴσως Αἰολικόν. διὸ καὶ προπαροξύνεται κατὰ τὸ ἑορτή ἔροτις. τοιοῦτόν τι καὶ τὸ αὐλή αὖλις, ἔτι δὲ καὶ τὸ χαρά χάρις. [Ὅτι δὲ τὸ σπουδαίως κιθαρίζειν ἐφιλεῖτο τοῖς παλαιοῖς, δηλοῦσι μυρίοι καὶ τῶν μεθ' Ὅμηρον, μαρτυρεῖ δὲ καὶ ἡ κωμικὴ ποίησις, ἔτι δὲ καὶ ἡ τραγική, ἐν ᾗ προλάμπων Σοφοκλῆς περιᾴδεται οὐ μόνον δεινὸς εἶναι σφαιρίσαι, ὡς ἡ κατ' αὐτὸν ἐδήλωσε δραματικὴ Ναυσικάα, καθὰ καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δηλοῦται, ἀλλὰ καὶ κιθαρίζειν ἄκρος, οὕτω δὲ καὶ ὀρχεῖσθαι καὶ χορεύειν.

1.602 ] Ἰστέον δέ, ὅτι τινὲς μὴ εὑρόντες Ἀλέξανδρον παρὰ τῷ ποιητῇ κιθαρίζοντα μεταγράφουσι κίδαρις ἀντὶ τοῦ κίθαρις· ἔστι δὲ πίλου γένος ἡ κίδαρις, ἅπαξ, φασί, ῥηθεῖσα ἐνταῦθα τῷ ποιητῇ, λέγοντες καὶ ἄλλα εἶναι ἅπαξ λεγόμενα παρ' Ὁμήρῳ τε καὶ ἄλλοις. Ὀππιανὸς οὖν λατύσσεσθαι πτερυγίοις ἰχθύας φησὶ καὶ ἔλαφον πτώσσειν ἠλέματον. Αἰσχύλος δὲ ὀβρίκαλά φησι τοὺς λεοντιδεῖς καὶ βαλῆνα τὸν βασιλέα ἐν τῷ «βαλὴν ἀρχαῖος βαλήν». [γλώσσης δὲ τοῦτο, ἐξ οὗ καὶ ὄρος Βαλιναῖον, ὅ ἐστι βασιλικὸν παρὰ Πλουτάρχῳ ἐν τῷ Περὶ ποταμῶν.] Λυκόφρων δὲ σίγυμνον ἢ σίγυννον, ὡς ἐν Βοιωτίᾳ ἐρρέθη, τὸ ὁλοσίδηρόν φησιν ἀκόντιον. Εὐριπίδης δὲ ἆπος οὐδετέρως τὸν κάματον ἔφη καὶ «ἐπεζάρει Σφίγξ» ἀντὶ τοῦ ἐπεβάρει, καθ' ὁμοιότητα τοῦ βέρεθρον ζέρεθρον, καὶ κατακονάν ὀνοματικῶς τὴν διαφθορὰν Δωρικώτερον ἢ κατακονᾶν ῥηματικῶς τὸ καταθήγειν. καὶ «ῥόπτρον» δέ, φησί, «δίκης ἔπαισέ τινα», ἤγουν θεόθεν τιμωρία, ὡς ἀπὸ τοῦ ῥόπτρου, ὅπερ ἐστὶ κατὰ τοὺς παλαιοὺς πλῆγμα ἢ ῥόπαλον ἢ καὶ ἄλλως πάγη, ῥομφαία, εἶδος ξίφους ἢ ἐπίσπαστρον. διὸ Λυσίας κρίκον θύρας αὐτὸ εἶναι δηλοῖ ἐν τῷ «ἔδησε τὸν ἵππον ἐκ τοῦ ῥόπτρου τοῦ ἱεροῦ», κατὰ Ἀνδοκίδου ἐν τῷ Περὶ ἀσεβείας τοῦτο εἰπών. [λέγει δὲ καὶ Πίνδαρος ἐν Ὀλυμπιονίκαις καινῶς αἶτος τὸ ἐνδιαίτημα, οἷον «Διὸς αἴτει πανδόκῳ».] Πολλαὶ δὲ καὶ ἄλλαι μονήρεις λέξεις πολλαχοῦ σεσημείωνται, τυχὸν μὲν ἐπιτηδευόμεναι, ἴσως δὲ καὶ ἄλλως ἀναγκαίως τιθέμεναι πρὸς μέτρου χρείαν ἢ πολυμαθείας ἔνδειξιν. (v. 55) Ἰστέον δὲ καί, ὅτι πολλαχοῦ ἔστιν ἐκ τῶν αὐτῶν καὶ ἔπαινον καὶ ψόγον σοφιστικῶς πορίζεσθαι, εἴγε καὶ ἡ κόμη σεμνύνει μὲν τούς, ὡς ἐρρέθη, καρηκομόωντας Ἕλληνας, εἰς ὕβριν δὲ τῷ Ἀλεξάνδρῳ ἐπανθεῖ. κομᾶν μὲν γὰρ οὐ γυναικεῖον οὐδ' ἐξ ἀνάγκης ἐπαφρόδιτον, ὅτι μηδὲ λέων χαίτην τρέφων πρὸς μόνον κάλλος εὐθετίζεται, ἀλλὰ καὶ δι' αὐτῆς ἐπαύξει τὸ φοβερόν. κόμην δὲ ἔχειν καὶ εὔκομον εἶναι γυναικικώτερόν ἐστι. διὸ καὶ ὁ Πάρις ὀνειδίζεται ὡς κόμην ἔχων οὐ κατὰ τοὺς καρηκομόωντας Ἀχαιούς, οὐδὲ ὁποίαν ἔχοι ἂν Ἀπόλλων ἀκερσεκόμης, ἀλλὰ ἠΰκομος γυνή. (v. 46—8) Ἐν δὲ τοῖς γραφεῖσιν Ὁμηρικοῖς ὅρα τὸ ῥηθὲν καίριον ἀσύνδετον σχῆμα θυμῷ καὶ ἀγωνίᾳ πρέπον καὶ πάνυ σφοδρὸν κατά τε τὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐννοίας καὶ τὰ κομματικὰ σχήματα καὶ τὸν τῆς ἐρωτήσεως ἔλεγχον, τὸ «ἆρα τοιόσδ’ ἐὼν ἐν ποντοπόροισι νέεσσι πόντον ἐπιπλώσας, ἑτάρους ἐρίηρας ἀγείρας, μιχθεὶς ἀλλοδαποῖσι, γυναῖκα εὐειδέα ἀνῆγες;

1.603 » τέσσαρας γὰρ ἀσυνδέτους ἔφη μετοχὰς γοργῶς τὸν λόγον μεταχειρισάμενος. οὕτω καὶ πρὸ ὀλίγου ἔφη ἐν τῷ «μεγάλῳ ἐπὶ σώματι κύρσας εὑρὼν ἢ ἔλαφον ἢ αἶγα πεινάων». καὶ ἐκεῖ γὰρ τρεῖς μετοχαὶ κεῖνται γοργότερον δίχα συνδέσμου συνεπιτρέχοντος οἷον τοῦ ποιητοῦ τῇ σπουδῇ τοῦ λέοντος. Σημείωσαι δὲ καί, ὅπως ἐν τοῖς ῥηθεῖσιν εἰς ταὐτὸν ἄγει τῇ Ἑλένῃ τὸν Πάριν ὁ Ἕκτωρ. ἐκεῖνόν τε γὰρ εἶδος ἄριστον λέγει καὶ τὴν Ἑλένην δὲ εὐειδέα καὶ ἐξ Ἀφροδίτης δὲ αὐτὸν ἔφη λαβεῖν τό τε εἶδος καὶ τὴν κόμην, ὃ καὶ τῇ Ἑλένῃ ἂν πρέποι ῥηθῆναι, ἥτις δι’ αὐτὸ καὶ εὔκομος λέγοιτ’ ἄν. Ἕλληνες μέντοι οὐχ’ οὕτω καρηκομόωντες, ὡς καὶ προσεχῶς γέγραπται. (v. 48) Σημείωσαι δὲ καί, ὅτι διαφορὰν ἔχει τὸ εὐειδής καὶ τὸ θεοειδής, εἴπερ ἀνδράσι μὲν τὸ θεοειδές, γυναιξὶ δὲ τὸ εὐειδές ἐπιλέγεται. [καὶ ὅτι διαφέρετον κατὰ τοὺς παλαιοὺς εὔμορφος καὶ εὐειδής· εὔμορφος μὲν γὰρ ἡ εὐπρόσωπος, εὐειδὴς δὲ ἡ κατὰ πᾶν τὸ ἐκτὸς καλὴ καί, ὡς εἰπεῖν, εὖ ἔχουσα φυῆς, ὅπερ ἐστὶ περικαλλὴς ἐν συμμετρίᾳ μελῶν καὶ μερῶν.] Καὶ ὅτι Ὅμηρος πρῶτος εἰς ταὐτὸν ἄγει τὸ εὖ καὶ τὸ ἄριστον εἰπὼν κατὰ σχῆμα πολυωνυμίας εὐειδῆ μὲν τὴν Ἑλένην, ἄριστον δὲ εἶδος τὸν Ἀλέξανδρον. Ἰστέον δέ, ὅτι τὸ μέν «ἐν ποντοπόροις ναυσίν» ἄκυρον ἔχει προσθήκην, περὶ ἧς ἐν τῇ η′ ῥαψῳδίᾳ ῥηθήσεται. τὸ δὲ ἐπιπλώσας γίνεται μὲν ἐκ τοῦ πλώω, δισυλλάβου ῥήματος, εὕρηται δὲ ἀλλαχοῦ ἐπιπλώς κατὰ ἀποκοπήν. (v. 46) Τὸ δέ «τοιόσδε ἐών» ἀνεκφάντως καὶ οἷον μυστικῶς λεχθὲν διὰ θυμικὴν γοργότητα πολλὴν καί, ὡς εἰπεῖν, ἄρρητον ἐμφαίνει τοῦ Πάριδος οὐθένειαν, ὥσπερ τὸ «οἵου ἀνδρὸς ἔχεις παράκοιτιν» πολλὴν ἐκ τοῦ ἐναντίου ὑποδηλοῖ τοῦ Μενελάου καὶ ἀνέκφραστον περιφάνειαν. (v. 47) Ἐρίηρες δὲ ἑταῖροι οἱ ἄγαν ἀρηρότες ἢ ἐραστοί. (v. 48) Περὶ δὲ τοῦ ἀνάγειν, ὅτι ἐπὶ τῶν ἀναπλεόντων λέγεται, πολλαχοῦ φαίνεται. (v. 49) Ἀπία δὲ γῆ κἀνταῦθα, ὡς καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ, ἡ ἄπο ἀφεστῶσα καὶ ἀλλοδαπὴ καὶ, ὡς ἂν εἴποι τις Ὁμηρικός, τηλοῦ ἀπὸ Τροίας, κατὰ δὲ ἄλλους φάναι ποιητάς, ἡ τηλουρός. οἱ μέντοι νεώτεροι τὴν Πελοπόννησόν φασιν ἀπό τινος Ἄπιδος ἢ Ἄπεως, περὶ οὗ ἐν τοῖς τοῦ Περιηγητοῦ εἴρηται. Νυὸς δὲ ὄνομα συγγενικόν, ὅ ἐστι νύμφη, δηλοῦν συμβολικῶς οὕτω μαχήσασθαι προθύμως τοὺς Ἀχαιοὺς ὑπὲρ Ἑλένης, ὡς ἀδελφοὺς ὑπὲρ νύμφης, οἷα τῷ Μενελάῳ προσφερομένους ἀδελφικῶς διὰ τὸ φιλάλληλον. [Ἰστέον δέ, ὡς, εἴ τις ἐρεῖ ἀπὸ τῆς λεχθείσης νυοῦ καὶ νύμφην λέγεσθαι τὴν ἀναφανεῖσαν νυόν, οὐκ ἂν εἴποι τι ψεκτόν.

1.604 ] Τὸ δέ «ἀνδρῶν αἰχμητάων» καὶ τὰ ἑξῆς αὐξητικά εἰσι τοῦ παρόντος κακοῦ, πολυειδοῦς ὄντος, εἴγε δι’ αὐτὸ καὶ τὸν αὐτοῦ αἴτιον Πάριν μὴ μόνον αὐτὸς κατηφιᾷ τῶν δυσμενῶν χαιρόντων, ἀλλὰ καὶ ὁ πατήρ, ὃν γηρωκομεῖν ὤφειλε, πῆμα ἔχει, καὶ οὐχ’ ἁπλῶς, ἀλλὰ μέγα, σὺν αὐτῷ δὲ καὶ ἡ πᾶσα βασιλικὴ συγγένεια, ἔτι δὲ καὶ ὁ δῆμος. τούτου γὰρ δηλωτικὸν εἶναι δοκεῖ τὸ πολῆΐ τε παντί τε δήμῳ, ἵνα πανώλεθρον εἴη τὸ κακόν. (v. 52 s.) Ἐν τούτοις δὲ καὶ τὸ «τοιόσδε ἐών» ὑφερμηνεύων ὁ Ἕκτωρ ἐρωτᾷ σφοδρῶς τὸν ἀδελφόν· «οὐκ ἂν δὴ μείνειας ἀρηΐφιλον Μενέλαον», οἱονεὶ καταψηφιζόμενος αὐτοῦ ἤδη τὴν ἧτταν. διὸ καὶ ἐπάγει πρὸς πλείω σαφήνειαν ἀσυνδέτως πάλιν κατὰ θυμόν· «γνοίης ἂν οἵου φωτὸς ἔχεις θαλερὴν παράκοιτιν». Καὶ ὅρα κἀνταῦθα τὸ «οἵου» ἀσαφῶς μὲν καὶ αὐτὸ ῥηθέν, ἑρμηνευθὲν δὲ ὅμως διὰ τοῦ «ἀρηΐφιλον Μενέλαον», καὶ ἑξῆς δὲ διὰ τοῦ «οὐκ ἄν τοι χραίσμῃ κίθαρις» καὶ τὰ καὶ τά, ὡς μὴ χρεὼν ὂν τὸν τοῦ κιθαρίζειν ἀσκητὴν ἀρηϊφίλῳ μάχεσθαι. (v. 55) Τὸ δέ «ἐν κονίῃσι μιγείης» ἢ ἀντὶ τοῦ θάνῃς ἢ ἀντὶ τοῦ ὅτε ἀντικαταστῇς εἰς μάχην τῷ Μενελάῳ. Κονίεσθαι γὰρ τὸ ἀγωνίζεσθαι, ὅθεν καὶ κονίστρα [ἡ κατὰ τὴν παλαίστραν μάλιστα παρὰ τοῖς ὕστερον, παρ’ οἷς καί τις κόνις ἦν ἐξαίρετος τοῖς παλαίουσι. καὶ ἀλίζειν ἐλέγετο τὸ ἐν κόνει κυλίεσθαι, ὡς καὶ ὁ Κωμικὸς δηλοῖ. ἢ ἄλλως κόνει φύρεσθαι, ὅθεν καὶ ἀλινδήθρα παρ’ αὐτοῖς κυρίως μὲν ἡ κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάλην κονίστρα, τροπικῶς δὲ καὶ ἡ ἐν λόγοις, ὡς τὸ «ἀλινδήθρας ἐπῶν».] Ἰστέον δέ, ὡς Ὅμηρος μὲν κονίην λέγει τὴν ἁπλῶς κόνιν, οἱ δὲ μεθ’ Ὅμηρον τὴν τίτανον, ἐξ ἧς καὶ ἡ ἐλαιοκονία σύγκειται [καὶ ῥῆμα γίνεται συζυγίας δευτέρας κονιῶ κονιάσω, ἐξ οὗ καὶ τάφος καὶ τοῖχος κεκονιαμένος,] καὶ ὅτι Πίνδαρος, ζηλώσας «νίκῃ μίγνυσθαι» λέγει τὸ νικᾶν καὶ «ἔργῳ μίγνυσθαι» τὸ ἐργάζεσθαι καὶ ἕτερα τοιαῦτα. (v. 59) Ὅτι συνετοῦ ἀνδρὸς τὸ τὰς δικαίας ἐπιτιμήσεις ῥᾳδιον φέρειν. Ἀλέξανδρος οὖν ἐπιτιμηθεὶς ὑπὸ τοῦ ἀδελφοῦ φησι· «Ἕκτορ, ἐπεί με κατ’ αἶσαν ἐνείκεσας οὐδ’ ὑπὲρ αἶσαν» καὶ ἑξῆς.

1.605 τοῦτο δὲ πᾶς ἂν εἴπῃ δικαίως πρός τινος ἐπιτιμώμενος. ἰδοὺ τοίνυν εὕρηται καὶ ἑτέρα τις Ἀλεξάνδρου ἀρετή, ἡ σύνεσις, ὅτι κατ’ Εὐριπίδην «σύνοιδε δεινὰ εἰργασμένος». ἄκρως δὲ αἴσιον τὸ τοῦ ἀδελφοῦ σκῶμμα ὁ Πάρις εἶναι φιλαλήθως δηλοῖ, οὐ μὴν πῇ μὲν κατ’ αἶσαν, πῇ δὲ ὑπὲρ αἶσαν, [ἵνα ἡ λοιδορία μέσως δῆθεν ἔχῃ ὡς αἰσία καὶ μὴ αἰσία, κατὰ τὸ ἑκών ἀέκων καὶ τὰ τοιαῦτα.] διὸ καὶ καταφατικῶς αὐτὸ καὶ ἀποφατικῶς ἐπῄνεσε. τὸ δὲ ὑπὲρ αἶσαν ἐξαίσιον ἀλλαχοῦ λέγει ὁ ποιητής. [Ἰστέον δέ, ὅτι τοῦ «κατ’ αἶσαν οὐδ’ ὑπὲρ αἶσαν» μίμημα παρὰ Σοφοκλεῖ τὸ «γνωτὰ κοὐκ’ ἄγνωτά μοι»] (v. 60—3) Ὅτι τὴν Ἕκτορος καρδίαν διὰ τὸ γενναῖον καὶ ὡς εἰπεῖν ἀπότομον καὶ ἀεὶ πρὸς πόνους ἀνένδοτον καὶ ἀτάρβητον καὶ ὅτι καὶ ἄλλοις αὔξει τὴν εἰς πόλεμον ὁρμήν, ὡς πέλεκυν ἀτειρῆ τινα εἶναι λέγει παραβολικῶς ὁ Ἀλέξανδρος, δυσπαθῆ λαβὼν εἰκόνα, οὐκ ἀργὸν σίδηρον, ἀλλὰ δρῶντά τι, ἤτοι τέμνοντα ξύλον νήϊον, ὃς καὶ ὀφέλλει ἀνδρὸς ἐρωήν, ὥσπερ τοὐναντίον ὁ μὴ τμητικὸς πέλεκυς ἀμβλύνει τὴν προθυμίαν τοῦ τέμνοντος. φησὶ γοῦν· «αἰεί τοι κραδίη πέλεκυς ὥς ἐστιν ἀτειρής», ὃ καὶ πέλυξ παρὰ τοῖς ὕστερον, «ὅς τ’ εἶσι διὰ δουρός», ἤγουν ὅστις δίεισι ξύλου ὑπ’ ἀνέρος, «ὅς ῥά τε τέχνῃ νήϊον ἐκτάμνῃσιν, ὀφέλλει δ’ ἀνδρὸς ἐρωήν· ὥς τοι ἐν στήθεσσιν ἀτάρβητος νόος ἐστίν», ὡς ἐοικέναι τὸν ἀτάρβητον νοῦν πελέκει ἀτειρεῖ κατά γε τὸ ἀνένδοτον ἢ δυσένδοτον. (v. 61) Τὸ δὲ τέχνῃ πάνυ ἀσφαλῶς κεῖται. τῷ γὰρ κατὰ τέχνην τέμνοντι ὀφέλλει τὴν ἐρωὴν ὁ ἀτειρὴς χαλκός, οὐ μὴν τῷ ἀτέχνως ξυλοκοποῦντι. (v. 62) Νήϊον δὲ ὑπόκειται ξύλον τέμνεσθαι, ἤγουν ἐπιτήδειον εἰς νῆα, διὰ τὸ μάλιστα περὶ τοῦτο τὴν τέχνην φαίνεσθαι τοῦ δεξιῶς τέμνοντος, ὡς τοῦ τοιούτου δεομένου σπουδαίας μεταχειρίσεως. καὶ τοῦτο μὲν εἰς ἔπαινον Ἕκτορος ὁ Ἀλέξανδρος λέγει ὁμολογήσας, ὡς ἐρρέθη, καί, ὅτι κατ’ αἶσαν αὐτὸν ὁ ἀδελφός, οὐδ’ ὑπὲρ αἶσαν ἐνείκεσεν, ἤγουν αἰσίως καὶ δικαίως, ὅπερ ἀλλαχοῦ κατὰ μοῖράν φησιν. (v. 64—6) Ὅτε δὲ εἴπῃ «μή μοι δῶρ’ ἐρατὰ πρόφερε χρυσῆς Ἀφροδίτης, οὔ τοι ἀπόβλητά ἐστι θεῶν ἐρικυδέα δῶρα, ὅσσα κεν αὐτοὶ δῶσιν, ἑκὼν δ’ οὐκ ἄν τις ἕλοιτο» ἔμφασιν ἔχει πλαγίως ὕβρεως, διότι, ὥς φασί τινες, οὐκ εὖ εἶχεν ὄψεως ὁ Ἕκτωρ, ὥστε οὐδὲ εἶχε κάλλους δῶρον θεόθεν. καὶ μὴν ὁ Ὅμηρος καὶ τεθνεῶτα τὸν Ἕκτορα θαυμάζει τοῦ εἴδους. ὅτι δὲ καὶ τὸ κάλλος οὐκ ἀπόβλητον ἀλλὰ τίμιον ἦν, δηλοῖ οὐ μόνον τὰ τῶν ἐρώτων ἀγάλματα, οἷς ἐνέπρεπον οἱ Ἑλληνικοὶ γραφεῖς, ἀλλὰ καὶ τὰ τῶν καλῶν ἡρῷα. Φίλιππος οὖν καθ’ Ἡρόδοτον Κροτωνιάτης Ὀλυμπιονίκης, κάλλιστος ὤν, ἐτιμήθη ἐν Σικελίᾳ. ἡρῷόν τε γὰρ αὐτῷ ἵδρυτο καὶ θυσίαις αὐτὸν ἱλάσκοντο. (v. 66) Τὸ δέ «ἑκὼν δ’ οὐκ ἄν τις ἕλοιτο» ἐλλιπῶς εἶπεν ὡς ἀγωνιῶν ὁ Πάρις καὶ μηδ’ αὐτὸς ἔχων λόγοις ἐνευκαιρεῖν, τὸ δὲ πλῆρες τοιοῦτον· οὐκ ἄν τις αὐτὸς ἑκὼν λάβοι δῶρα θεῖα, μὴ θεοῦ δηλονότι διδόντος.

1.606 (v. 64) Τὸ δὲ ἐρατά δηλοῖ μὲν τὸ ἐρωτικά καὶ ἐράσμια. ἐπεὶ δὲ τὸ ἁπλῶς ἐρατὸν ἅπασι δοκεῖ ἐρατόν, λεληθότως πως ἅπτεται τοῦ ἀδελφοῦ ὡς καὶ αὐτοῦ ἐφιεμένου ἂν τοιούτου εἶναι, ἤγουν καλοῦ ὥσπερ τὰ εἰς ἀνδρείαν, οὕτω καὶ τὰ εἰς εἶδος. Χρήσιμον δὲ τὸ ἐρατά εἰς τὸ «γνωτὰ κοὐκ ἄγνωτα» καὶ εἰς τὸ ἀλλόγνωτος καὶ γνωτός, ὁ ἀδελφός, καὶ εἰς τὰ ἐκ τοῦ ἀνυστοῦ, ὁποῖον τὸ ἀνήνυτος καὶ Ἄνυτος κύριον καὶ δεσμός παρ’ Εὐριπίδῃ δυσεξήνυτος, καὶ εἰς τὸ κτίται παρὰ τῷ αὐτῷ, ὅ ἐστι κτίσται, καὶ εἰς τὸ «ἀσώτου Σισυφιδῶν γενεᾶς», τουτέστιν ἀσώστου, καὶ εἰς τὸ βλῆτρον, ὃ ἄλλως ἐξήνεκται ἤπερ τὸ ἀμφίβληστρον, καὶ εἰς τὸ «σωτήριόν τε τοῖς καλῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεκτημένοις» καὶ εἰς τὸ σωτήρ, ὧν τὴν τοῦ ς ἔλλειψιν τὰ σῶστρα δηλοῦσι. πολλὰ δὲ καὶ ἕτερα οὕτω τοῦ ς ἐστέρηνται, ὥσπερ αὖ ἐν ἄλλοις πλεονάζειν αὐτὸ οὐ πάνυ ἀναλόγως φαίνεται, ὁποῖον καὶ τὸ ὀρχῶ ὀρχήσω ὀρχηστής, οὐ κατὰ τὸ ποιητής, καὶ χηρῶ χηρώσω χηρωστής, οὐ κατὰ τὸ ἑεδνωτής. Τὸ δέ «πρόφερε» ἀρχὴν ἐνδέδωκε τῆς τοῦ προφορικοῦ λόγου κλήσεως, ὡς καὶ τὸ «ὀνείδεά τε προφέρεις». τὸ μέντοι παρ' Ἡσιόδῳ «προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου» ἑτέραν ἑρμηνείαν ἔχει. ἔστι δὲ καὶ ἕτερον προφέρειν, ἐξ οὗ ὁ προφερέστερος. Χρυσῆ δὲ Ἀφροδίτη ἡ χρυσοφόρος, ὡς καὶ χάλκεος Ἄρης διὰ τὸ φόρημα, ἢ ἡ καλὴ ἤ, ὅτι χρυσῷ καταπράττεται, ᾧ καὶ Ζεὺς τὴν Δανάην χειροῦται. [Καθὰ καὶ ἑτέρα τις γυνὴ διὰ ἵππον προὔδωκε τὸ κάλλος, ὡς ἡ τοῦ Πειριθόου μήτηρ, καί τις διὰ κύκνον, ὡς ἡ Λήδη ὑποπτεύεται, καὶ ἄλλη διὰ βοῦν, ὡς ἡ Εὐρώπη. καὶ κύων δὲ εὐγενὴς ὑπηγάγετό τινα εἰς ὅμοιον πάθος, ὁποία τις ἡ τοῦ Τρωϊκοῦ Φοινοδάμαντος, ἣν Κρημισσὸς ὁ ποταμὸς λέγεται ζεῦξαι λέκτροις «ἰνδαλθεὶς κυνί». καὶ τοιαῦτα μὲν καὶ ταῦτα.] Ἡ δὲ γραμματικὴ Ἱστιαῖα πεδίον εἶναί φησι χρυσοῦν καλούμενον, ἐν ᾧ χρυσῆς Ἀφροδίτης ἱερὸν καὶ τιμή.

1.607 Θεόκριτος δὲ μεταλαβὼν τὸ νόημα χρυσῷ παίζουσαν Ἀφροδίτην φησί. [(v. 65) Τὸ δὲ ἀπόβλητον λέγοιτ' ἂν καὶ ἔκβλητον κατὰ τὸ «νέκυες κοπρίων ἐκβλητότεροι». ἔκβλητον δέ γε καὶ τὸ θαλάσσης ἔκβρασμα παρ' Εὐριπίδῃ· καὶ βρέφος δὲ ἔκβλητον τὸ ἔκθετον, ὡς ἔξω που καὶ αὐτὸ βαλλόμενον.] (v. 60 et 63) Ἔτι ἰστέον καί, ὅτι τὸ «αἰεί τοι κραδίη πέλεκυς ὥς ἐστιν ἀτειρής» καὶ τὸ «αἰεί τοι ἐν στήθεσσιν ἀτάρβητος», ἤτοι ἄφοβος, «νόος ἐστί» πρὸς ἀνδρεῖον καὶ ὑπομενετικὸν ἄνδρα ῥηθήσεται, πρὸς ὁποῖον δή τινά φησιν αὐτὰ καὶ Ἀλέξανδρος, οἷα, ὡς ἐφάνη, ὀνειδισθεὶς εἰς μαλακότητα καὶ διὰ τοῦτο κολακεύων καὶ μονονουχὶ λέγων, ὅτι οὐδεὶς ὅμοιός σοι οὐδ' ἔστι τινὰ συγκριθῆναί σοι. οὐ γὰρ κατ' ἄνθρωπον καὶ σοὶ ἡ καρδία, ἀλλὰ πελέκει ἀεὶ ἔοικεν ἀτειρεῖ καὶ τμητικῷ. διὸ οἱ μὲν ἄλλοι ταρβοῦμεν καὶ φευγομέν ποτε, σοὶ δὲ ἀτάρβητος ὁ νοῦς. σώφρων οὖν ὁ Ἀλέξανδρος, εἴγε τὴν προρρηθεῖσαν εἰς αὐτὸν ὕβριν ἐπαίνοις ἀμείβεται. δέδιε γὰρ τὸν Ἕκτορα τραχυνόμενον, ἐπεὶ παρ' ἐκείνῳ ἦν λῦσαι τὸν πόλεμον εἴτε καὶ μή. καὶ αὐτὸς ἦν Τρώων πρόμαχος. δῆλον δέ, ὡς μαλακτικὸν ὁ ἔπαινος. διὸ καὶ Ἕκτωρ ἐπαινεθεὶς ἱλαρύνεται καὶ ὁ νῦν θάνατον τῷ ἀδελφῷ ἐπαρώμενος ὅμως ἡττώμενον οὐ προδίδωσιν, ἀλλὰ φιλάδελφος δείκνυται. Ἰστέον δέ, ὅτι καὶ ἐν τοῖς ἑξῆς που κεῖταί τις κολακεία ὁμοία τῇ κατὰ τὸν Πάριν, ἔνθα ὁ Διομήδης ἐν τῷ ἀφυλάκτως ὑπνοῦν σκωφθεὶς ὑπὸ Νέστορος ὕπεισιν ἐκεῖνον κολακευτικῶς, ἀμήχανον προσειπὼν καὶ πόνου οὔποτε λήγειν εἰδότα. Ἔτι ἰστέον καί, ὅτι τὸ «οὔ τοι ἀπόβλητά ἐστι θεοῦ ἐρικυδέα δῶρα, ὅσα κεν αὐτὸς δῷ» καὶ ἑξῆς, ὡς ἀνωτέρω κεῖται, χρήσιμόν ἐστι τῷ ὀνειδιζομένῳ ἐπὶ θεοσδότῳ τινὶ ἀγαθῷ, ὥσπερ καὶ ἐνταῦθα Ἀλέξανδρος μέμφεται τὸν Ἕκτορα ὀνειδίζοντα τοῦτον ἐπὶ δώροις, οἷς θεὸς δέδωκεν. (v. 68—70) Ὅτι ἐν τῷ «ἄλλους μὲν κάθισον Ἀχαιούς τε Τρῶάς τε, αὐτὰρ ἔμ' ἐν μέσσῳ καὶ ἀρηΐφιλον Μενέλαον συμβάλετ' ἀμφ' Ἑλένῃ καὶ κτήμασι πᾶσι μάχεσθαι» τὸ μέν «κάθισον» μεταβατικὸν κεῖται ῥῆμα κατὰ τὸ πλούτισον καὶ σωφρόνισον ἄλλον. ἔστι δὲ ὅτε καὶ ἀμετάβατόν ἐστιν, ὡς καὶ προδεδήλωται, οἷον καθίζω ἀντὶ τοῦ καθέζομαι. τὸ δέ «ἐν μέσῳ» τὸ στενὸν δηλοῖ τὸ μεταξὺ τῶν δύο στρατευμάτων. καὶ ἐπιμένει τῇ τοιαύτῃ λέξει ὁ ποιητὴς διὰ τὸ μὴ ἔχειν ὄνομα καιριώτερον. τοῦτο δὲ οἱ μεθ' Ὅμηρον μεταίχμιόν φασιν, οἱονεὶ μεσαίχμιόν τι ὄν, Ἀττικῇ τροπῇ τοῦ ς εἰς τ , ὡς καὶ μεσόριον, μεθόριον. ἀπ' αὐτοῦ δὲ καταχρηστικῶς μεταίχμιον καὶ τὸ ἁπλῶς μεταξὺ δύο τινῶν, ὡς εἴ τις εἴποι ἐν μεταιχμίῳ δύο φροντίδων εἶναι. τὸ δὲ τοιοῦτον στενόν, ἤτοι μεταίχμιον, καὶ οὕτω φράζει ὁ ποιητής· «ὀλίγη δ' ἦν ἀμφὶς ἄρουρα».

1.608 Βαρβαρικὸν δὲ εἶναί φασιν οἱ παλαιοὶ τὸ μονομαχεῖν, ὅπερ Ὅμηρος περιφράζων οἵους μάχεσθαί φησιν. [(v. 69) Ἀρηΐφιλον δὲ τὸν Μενέλαον ὁ Πάρις φησὶν ἢ κατειρωνευόμενος Ἕκτορος οὕτω καλέσαντος τὸν Μενέλαον ἢ καὶ καταθέμενος ἀληθευτικῶς τοιοῦτον ἐκεῖνον

εἶναι.] (v. 70) Συμβαλεῖν δὲ μάχεσθαι λέγει τὸ συνάψαι εἰς πόλεμον, ἐξ οὗ καὶ ἡ πολεμικὴ συμβολή. ὅτι δὲ καὶ ἐπὶ ὑδάτων ἡ λέξις τοῦ συμβάλλειν τίθεται, φανήσεταί που ἐν τοῖς ἑξῆς. ἐνταῦθα δὲ σημείωσαι καί, ὅτι τὴν ἀμφί πρόθεσιν δοτικῇ συνέταξεν εἰπών· «ἀμφ' Ἑλένῃ καὶ κτήμασιν», ὡς εἴπερ εἶπεν ἐπὶ τῇ Ἑλένῃ καὶ τοῖς κτήμασιν, ἢ ἀντιπτωτικῶς περὶ Ἑλένης καὶ κτημάτων. Ἰστέον δὲ καί, ὅτι πολεμήσουσιν Ἀλέξανδρος καὶ Μενέλαος, ἵνα ὁ μὲν λάβῃ, ἃ ἀφῄρηται, καὶ κρατήσῃ τῶν ἰδίων, Ἀλέξανδρος δὲ κτήσηται ἐν ἀσφαλείᾳ, ἃ μὴ ἀσφαλῶς ἔχει. καταπλήττει δὲ τὸ τοῦ πράγματος ξένον τοὺς Ἕλληνας καὶ ἀκὴν γίνονται σιγῇ, ὡς μετ' ὀλίγα ἐρεῖ ὁ ποιητής. ὅμοιον γὰρ κατὰ τοὺς παλαιούς, ὡς εἴ τις μοιχείας διωκόμενος προκαλεῖται τὸν ἄνδρα εἰς μάχην ὡς μετὰ τοῦ γυναίου καὶ τὴν ψυχὴν προσαφαιρησόμενος. διὸ καὶ Ἕκτωρ μετ' ὀλίγα φησί· «κέκλυτε μῦθον», οὐχ' ἁπλῶς, «ἀλλὰ Ἀλεξάνδρου». οἶδε γὰρ ὡς οὐ δίκαια ἐρεῖ. διὸ οὐχ' ἑαυτοῦ, ἀλλὰ τοῦ Ἀλεξάνδρου λόγον λέγειν φησί. (v. 71—5) Ὅτι τὴν τοῦ Πάριδος ἀρέσκειαν οὕτω φράζει ὁ ποιητὴς τὴν περί τε αὐτοῦ καὶ τοῦ Μενελάου· «ὁππότερος δέ κε νικήσῃ κρείσσων τε γένηται, κτήμαθ' ἑλὼν εὖ πάντα γυναῖκά τε οἴκαδ' ἀγέσθω, οἱ δ' ἄλλοι φιλότητα καὶ ὅρκια πιστὰ ταμόντες ναίοιτε Τροίην» καὶ τὰ ἑξῆς. καὶ τοίνυν καὶ ὁ Ἕκτωρ μετ' ὀλίγα οὕτω λαλεῖ ἐν μεταιχμίῳ τοὺς λόγους τοῦ ἀδελφοῦ, στήσας αὐτοὺς εἰς τὸ «ὅρκια πιστὰ τάμωμεν», οἷα περιττὰ λογισάμενος τὰ καθεξῆς. ὁ μέντοι βασιλεὺς Ἀγαμέμνων ἐν τοῖς μετὰ ταῦτα ἐκφωνήσει τι καὶ περὶ τιμῆς, ἤγουν ποινῆς, ἐν τῷ τῶν ὅρκων καιρῷ. (v. 71) Ὅρα δὲ καὶ ἐν τούτοις τὸ κρείσσων ἀντὶ τοῦ ἐπικρατέστερος συντελοῦν εἰς τὸ «κρείσσων γὰρ βασιλεύς, ὅτε χώσεται» καὶ ἑξῆς. περίφρασις δὲ τοῦ νικήσῃ τὸ «κρείσσων τε γένηται». [Κτήματα δὲ πάντα λέγει τὰ τῇ Ἑλένῃ συναρπαγέντα ἐξ Ἑλλάδος. εἰ δὲ μὴ ἐθέλει καὶ οἴκοθεν ἄλλ' ἐπιδοῦναι, γλισχρότητος ὁ ἀνὴρ ἁλίσκεται.] (v. 73) Τὸ δὲ ὅρκιον οὐχ' ὑποκοριστικὸν ἀλλὰ παράγωγον ὡς τὸ ἴχνιον. Τὸ δέ «φιλότητα καὶ ὅρκια ταμεῖν» ἀντὶ τοῦ φιλίαν καὶ ὅρκους ποιῆσαι διὰ ἐντόμων ἤγουν θυσιῶν. καὶ οὐκ ἐθέλει ὁ ποιητὴς ἄλλως τοῦτο φράζειν. διὸ καὶ ἀλλαχοῦ λέγει «ὄφρα ὅρκια τάμνῃ αὐτός» καὶ «ὅρκια τάμωμεν» καὶ «ὅρκια ἔταμον». Ἴωνες δὲ οὕτω λαλοῦσι. διὸ καὶ Ἡρόδοτος, ὡς προδεδήλωται, συχνὰ οὕτω λέγει. (v. 74) Ἰστέον δέ, ὅτι ἐριβώλακα μὲν τὴν Τροίαν, ἱππόβοτον δὲ τὸ Ἄργος, ὅ ἐστι τὴν Πελοπόννησον, καλλιγύναικα δὲ τὴν Ἀχαιΐδα καλεῖ ὁ παρ' Ὁμήρῳ Ἀλέξανδρος, παρὰ δὲ Ἡσιόδῳ ἔστι καὶ τὴν Τροίαν εὑρεῖν καλλιγύναικα.

1.609 [Εἴη δὲ ἂν πάντως ἡ ἐριβῶλαξ καὶ εὔπωλος, ὅπερ ἐστὶ καλλιβῶλαξ, διὰ τὸ εὐβωλοστρόφητον. τοῦτο δὲ καὶ λιπαρὰν σημαίνει γῆν καὶ εἴκουσαν ἀρότρῳ ἐν τῷ πωλεῖσθαι.] (v. 75) Φησὶ δὲ Ἑλλάνικος παῖδας τρεῖς Φορωνέως γενέσθαι, οἳ τοῦ πατρὸς θανόντος διενείμαντο τὴν Ἀργείαν. καὶ ἡ μὲν πρὸς Ἐρασίνῳ τῷ ποταμῷ Πελασγῷ ἔλαχε τῷ καὶ τὴν ἐκεῖ Λάρισσαν κτίσαντι, Ἰάσῳ δὲ τὰ πρὸς Ἦλιν, Ἀγήνωρ δὲ ἀναλωθείσης τῆς γῆς τὴν πατρικὴν εἴληφεν ἵππον, ὅθεν ἐν ταὐτῷ χρόνῳ ὠνομάσθη τὸ Ἄργος τριχῶς, Ἴασον, ὡς καὶ ἡ Ὀδύσσεια δηλοῖ, Πελασγικὸν καὶ ἱππόβοτον. τινὲς δὲ μετὰ θάνατον τῶν δύο ἀδελφῶν ἐπιστρατεῦσαί φασι τὸν Ἀγήνορα πολλὴν ἐπαγόμενον ἵππον, ἀφ' ἧς κληθῆναι τὸ Ἄργος ἱππόβοτον. τισὶ δὲ τῶν παλαιῶν ἀρέσκει Ἄργος ἱππόβοτον ἐνταῦθα τὴν Θεσσαλίαν νοεῖν, Ἀχαιΐδα δὲ πᾶσαν τὴν τῶν Ἑλλήνων χώραν. Σημείωσαι δ' ἐν τούτοις καί, ὡς ἐνεργόν τι καὶ δραστικὸν ὁ λόγος, καθὰ ἐν μυρίοις φαίνεται. ὁ γοῦν τοῦ Ἕκτορος λόγος οὕτως ἤνυσε παρὰ Ἀλεξάνδρῳ, ὥστε ὁ δειλὸς καί, ὡς ἄν τις εἴπῃ, τρεσᾶς μένει τὸν Μενέλαον κατὰ τὴν παραίνεσιν καὶ μονομαχῆσαι θέλει πρὸς αὐτὸν, ὃν πρὸ τοῦ λόγου ἔφευγε. τοιαῦτα ὁ λόγος δύναται. τοιοῦτον ἡ ἱστορία καὶ τὸν Τυρταῖον οἶδε ῥήτορα, οἷον ἐρεθίζειν προθύμως ἀποκινδυνεύειν εἰς πόλεμον, καὶ ὁ ἐντυχὼν ἔπεσιν ἐκείνου εἴσεται, ὅπως ἐνθουσιᾷ τῷ εἰς μάχην ἐγερτικῷ. (v. 76) Ὅτι οὐχ' ἁπλῶς ἀλλὰ μέγα χαίρει ὁ Ἕκτωρ ἐπὶ τῇ τοῦ ἀδελφοῦ μονομαχίᾳ· «Ἕκτωρ γὰρ ἐχάρη», φησί, «μέγα μῦθον ἀκούσας». αἴτιον δέ, ὅτι ἢ νικᾷ τὸν Μενέλαον ὁ Πάρις ἢ πίπτει καὶ ἀμφοτέρως πέρας ἔσχε τὰ τοῦ πολέμου. καὶ ἄλλως δέ, εἰ μὲν νικήσει Ἀλέξανδρος, σεμνὸν τὸ πρᾶγμα. εἰ δὲ πέσῃ, ἀκλεοῦς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ Ἕκτωρ ἀπαλλάττεται ἀδελφοῦ. καὶ Ἀχαιοὶ δὲ καὶ Τρῶες ἐχάρησαν ἐλπόμενοι παύσεσθαι πολέμου. καίριον δὲ ἐνταῦθα καὶ τοῦ Ἡροδότου τό· «ὀλίγῳ κακῷ ἔοικε μέγα νεῖκος ἀναιρεῖν». Εὐπειθεῖς δὲ οἱ Τρῶες, οἳ ἅμα εἶδον Ἕκτορα ἐν μεταιχμίῳ γενόμενον καὶ μέσου δορὸς ἑλόντα, ἤτοι ἁψάμενον, ὡς ἔθος, καὶ ἀνείργοντα αὐτοὺς καὶ εὐθὺς ἱδρύθησαν ἅπαντες καὶ Ἕλληνες δὲ μετὰ μικρὸν τῶν βασιλέων ἐθελόντων τὸ αὐτὸ ἐποίησαν καὶ πάντες τὰ τεύχεα ἐκδυσάμενοι κατέθεντο ἐπὶ γῆς πλησίον ἀλλήλων. Καὶ σημείωσαι, ὅπως παρ’ ἐλπίδα ὁ ποιητὴς ἔγραψε παρεισοδιάσας τὴν μονομαχίαν. ὁ μὲν γὰρ ἀκροατὴς μέγαν εὐθὺς ἐλπίζει συρραγῆναι πόλεμον, ὁ δὲ ἀποδύσας τοὺς Ἕλληνας γυμνοὺς ὅπλων καθίζει, τὸ μὲν μεγαλεῖον τοῦ πολέμου ἐς ὕστερον ταμιευόμενος, νῦν δὲ ἀπροσδοκήτως ἀρτύων τὸ μονομάχιον καὶ τὴν ἐπιθυμίαν ἀποπληρῶν τοῦ ἀκροατοῦ ἐφιεμένου μαθεῖν, ὡς εἰκός, ὁπότερος κρείττων, ὁ Πάρις ἢ ὁ Μενέλαος.

1.610 ὅπερ διδάσκων ὁ ποιητὴς τὴν μονομαχίαν ἄρτι πλάττει, ἐν ᾗ πολλά τε ἄλλα ποιήσας καὶ τὸν Μενέλαον δὲ δείξας κρείσσονα, ἐπὶ τὰ ἑξῆς τοῦ πολέμου μεταβαίνει ἐκ μικροῦ ἀρξάμενος, εἶτα ἐπὶ μέγα προβάς, ὁποία καὶ ἡ τῆς μάχης φύσις, ἥτις ὀλίγη μὲν τὰ πρῶτα κορύσσεται κατὰ τὸν ποιητήν, «αὐτὰρ ἔπειτα οὐρανῷ ἐστήριξε κάρη». ὅτι δὲ θαυμαστὸν τὸ πλάσμα, καὶ ὁ ποιητὴς ἐν τοῖς ἑξῆς ἐπισημαίνεται θέσκελον ἔργον λέγων τοῦτο· ποῖον δήποτε; τὸ ἀφέντας τὸν πολύδακρυν πόλεμον καθῆσθαι σιγῇ ἀσπίσι κεκλιμένους, παραπεπηγέναι δὲ τὰ μακρὰ ἔγχεα, Ἀλέξανδρον δὲ καὶ Μενέλαον μόνους μάχεσθαι. ὅτι δὲ ἄρτυμα ποιήσεως Ὁμηρικῆς καὶ τὰ τῶν μονομαχιῶν ἐπεισόδια, ἐν τοῖς ἐφεξῆς δηλωθήσεται. νῦν μὲν γὰρ οἱ τοῦ Τρωϊκοῦ πολέμου πρωταίτιοι μονομαχοῦσιν, ἐν δὲ τοῖς ἑξῆς που ἕτεροί τινες ἀριστεῖς, Γλαῦκος οὗτοι καὶ Διομήδης, οὐκ ἐκ προκλήσεως κατὰ τούτους, ἀλλὰ κατὰ τὸ παρατυχόν. εἶτα ἑτέρωθι τοιαύτης ἔσονται μάχης οἱ ἄριστοι Ἕκτωρ καὶ Αἴας ἐξ ἑτεροίου προκαλέσματος. τὸ δ’ ἐξ ἀνάγκης μονομάχημα τοῦ Ἕκτορος καὶ τοῦ πάντων ἀρίστου Ἀχιλλέως ἄλλος τόπος δηλώσει, μέγα ὂν καὶ πάνυ τι ἐναγώνιον. εἰ δὲ ὁ γέρων ῥήτωρ Νέστωρ μονομαχίαν οἰκείαν ἐκθήσεται, δοτέον καὶ αὐτὸ τῇ καθ’ Ὅμηρον γραφικῇ ποικιλίᾳ πολυειδῶς ἱστοροῦντα τὰ μονομαχικά. (v. 78) Σημείωσαι δέ, ὅτι παρ’ Ὁμήρῳ μὲν ἱδρύω τὸ κάθημαι ἀπὸ τοῦ ἕδω, παρὰ δὲ τοῖς Ἀττικοῖς ὕστερον ἱερὰ ἡ λέξις. ἱδρύεται γὰρ ναὸς καὶ ἱδρύεται ἄγαλμα ἐν ναῷ καὶ τὸ ἀφίδρυμα δὲ παρ’ ἐκείνοις ἐντεῦθεν ἐλέγετο. (v. 79 s.) Ὅτι τῷ Ἕκτορι ἐς μέσον ἐλθόντι καὶ τὴν τοῦ Πάριδος γνώμην ἐθέλοντι ἐκβοῆσαι ἐπετοξάζοντο οἱ Ἀχαιοὶ καὶ οὐ μόνον τοξεύοντες ἰοῖς ἔβαλλον τιτυσκόμενοι, ἀλλὰ καὶ λάεσσιν, ὅ ἐστι λίθοις, ἀγνοοῦντες, ὃ βούλεται, διὰ τὸ οἴεσθαι ὡς ἀντὶ τοῦ ἀδελφοῦ προΐσταται αὐτὸς τῷ Μενελάῳ μαχησόμενος. Ἰστέον δέ, ὅτι τὸ «τῷ δ’ ἐπετοξάζοντο καρηκομόωντες Ἀχαιοί» οἰκεῖον λέγεσθαι πρὸς πάντα πολεμούμενον ἢ βλασφημούμενον ἢ ὅλως ἀντιλεγόμενον πρός τινων. διὸ καὶ Πορφύριος ἐν τοῖς πρὸς Γαιδάλιον παρῳδήσας ἔγραψε «τῷ δ’ ἐπετοξάζοντο καρηκομόωντες Στωϊκοί». [(v. 80) Τοῦ δέ «τιτυσκόμενοι» πρωτότυπον τὸ τύκω, ἐξ οὗ τὸ «τετύκοντό τε δαῖτα». ὥσπερ δὲ ἀλύσκω ἐκ τοῦ ἀλύω, ὅθεν τὸ ἀλυσκάζω, οὕτω καὶ τύκω τύσκω πλεονασμῷ τοῦ ς καὶ κατὰ ἀναδίπλωσιν τιτύσκω, ἀφ’ οὗ τιτύσκομαι καὶ τιτυσκόμενοι, ὅ ἐστι τεύχοντες, τεχνώμενοι, καταστοχαζόμενοι.

1.611 Τοῦ δέ «λάεσσιν» εὐθεῖα ὁ λᾶας, γενικὴ λάαος καὶ κατὰ κρᾶσιν λᾶος, ὡς τὸ «λᾶος ὑπαὶ ῥιπῆς», ἤγουν ὑπὸ τῆς τοῦ λίθου ὁρμῆς. ἡ πληθυντικὴ εὐθεῖα λάαες λᾶες, ὅθεν τὸ λάεσσιν, ὅ ἐστι λίθοις.] (v. 82) Τὸ δέ «ἴσχεσθε Ἀργεῖοι, μὴ βάλλετε, κοῦροι Ἀχαιῶν» ἐρεῖ ἄν τις ἀταξίαν κωλύων λαοῦ. ἔστι δ’ ἐν τούτοις συναγαγεῖν ἐκ τοῦ «ἐπετοξάζοντο Ἀχαιοὶ καὶ ἰοῖσι λάεσσί τε ἔβαλλον», ὅτι καὶ τοξόταις πολλοῖς ἐχρῶντο καὶ σφενδονήταις, εἰ καὶ ὁ ποιητὴς οὐδεμίαν που ἐν αὐτοῖς ἀνδραγαθίαν ἐπισημαίνεται, ὅσγε καὶ τοξοτῶν ἀριστέων ὀλιγίστων τινῶν μέμνηται. [δοκεῖ δὲ τὸ ἴσχεσθε κατ’ ἔλλειψιν εἰρῆσθαι, ὡς δῆλον ἐκ τοῦ «οἱ δ’ ἔσχοντο μάχης». τοιαύτη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ σύνταξις ὀφείλεται καὶ εἰς τὸ «ἴσχεσθ' Ἀργεῖοι.»] Ἐν δέ γε τῷ «μακρὸν ἄϋσεν Ἀγαμέμνων» δηλοῖ ὁ ποιητὴς δεῖν καὶ εὔφωνον εἶναι τὸν ἡγεμόνα καί, ὡς αὐτὸς ἐρεῖ «βοὴν ἀγαθόν». [(v. 83) Ὅτι ἐν τῷ «στεῦται γάρ τι ἔπος ἐρέειν Ἕκτωρ» τὸ στεῦται δηλοῖ μὲν τὸ ὑπισχνεῖται, ὡς πολλαχοῦ φαίνεται, γίνεται δὲ ἀπὸ τοῦ στέω στεύω κατὰ τὸ χέω χεύω, ἀφ' οὗ παθητικὸν στεύεται καὶ ἐν συγκοπῇ στεῦται. στέω δὲ κυρίως τὸ ὑφίσταμαι, ὑπομένω ἀσφαλῶς κίονος δίκην.] (v. 84) Ὅτι φθάσας μὲν ὁ ποιητὴς τὴν Ἑλληνικὴν εὐκοσμίαν ἐνέφηνεν εἰπὼν σιγῇ αὐτοὺς ἰέναι, ἐνταῦθα δὲ τὸ εὐπειθὲς αὐτῶν ὑποδηλῶν φησιν, ὅτι τοῦ βασιλέως κελεύσαντος «ἴσχεσθε», ὡς ἐρρέθη, «μὴ βάλλετε», ὡς ἐροῦντός τι τοῦ Ἕκτορος, λέγει ὅτι μάχης τε ἔσχοντο, ἄνεῴ τ' ἐγένοντο, τουτέστιν ἄφωνοι, ὡς ἂν δηλαδὴ ἀκούσωσιν Ἕκτορος. τοῦτο γάρ ἐστιν ἐν τούτοις αἴτιον τῆς σιγῆς, ἵνα δηλονότι σιγῶντες αὐτοὶ ἑτέρων ἀκούοιεν. παρακατιὼν δὲ λέγει· «πάντες ἀκὴν ἐγένοντο σιωπῇ», τουτέστιν ἐσίγησαν. τοῦτο δὲ οὐ διὰ τὴν αὐτὴν αἰτίαν, ἀλλὰ διὰ τὸ μὴ ἐνδεδόσθαι αὐτοῖς λέγειν. εἰσὶ δὲ ὅμοια τὸ σιγῇ ἰέναι καὶ ἄνεῳ γενέσθαι καὶ ἀκὴν γενέσθαι σιωπῇ. ἔστι δὲ τὸ μὲν ἀκὴν γενέσθαι σιωπῇ τρόπου ἐτυμολογικοῦ. τὸ γὰρ σιωπᾶν καὶ τὸ ἀκὴν ἔχειν ὅμοια. γίνεται γὰρ ἀκήν ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ χαίνειν, ἀχήν, καὶ Ἰωνικῶς ἀκήν, ἵνα ᾖ ἀκὴν ἔχειν τὸ μὴ χαίνειν ὥστε λαλεῖν, ἀλλὰ σιωπᾶν. (v. 84) Τὸ δέ «ἄνεῳ» οἱ μὲν ὄνομά φασιν εἶναι ὅμοιον τῷ «οἱ Μενέλεῳ». αὔω γὰρ τὸ φωνῶ, ἐξ οὗ ἄναυος, ὁ ἄφωνος, καὶ ἀποβολῇ ἄναος καὶ Ἀττικῶς ἄνεως καὶ πληθυντικῶς ἄνεῳ. ἕτεροι δὲ ἐπίρρημα τὸ ἄνεώ φασι μηδὲ προσγράφοντες τὸ ι ἐν τῇ ληγούσῃ, ὡς εἶναι κατ' αὐτοὺς ὁμοίας συντάξεως τὸ «ἀκὴν ἐγένοντο» καὶ τὸ «ἄνεω ἐγένοντο». ποιητικὴ δὲ λέξις τὸ ἄνεῳ καὶ ἀσύμβολος εἰς λόγον πεζόν, ὥσπερ μετ' ὀλίγα καὶ τὸ πέποσθε ἐν τῷ «ἐπεὶ κακὰ πολλὰ πέποσθε», ἤτοι πεπόνησθε, κατὰ συγκοπήν.

1.612 (v. 97) Ὅτι λύπης φραστικὸν τὸ «μάλα γὰρ ἄλγος ἱκάνει θυμὸν ἐμόν». ἐντεῦθεν δὲ σύγκειται τὸ θυμαλγές, ὧν ἐναντίον ἡ θυμηδία. (v. 98 s.) Ὅτι ὑποσχετικὸν εἰρήνης τὸ «φρονέω δὲ διακρινθήμεναι ἤδη, ἐπεὶ κακὰ πολλὰ πέποσθε», ἤτοι πεπόνησθε, ὡς προείρηται. διακρινθῆναι δὲ λέγει τὸ λυθῆναι τοῦ πολέμου καὶ χωρισθῆναι. καὶ κεῖται ἡ λέξις αὕτη πολλαχοῦ παρά τε Ὁμήρῳ καὶ ἑτέροις. ἐνταῦθα οὖν φησι· «φρονέω δὲ διακριθῆναι ἤδη ἡμᾶς» καὶ μετ' ὀλίγα· «ἄλλοι δὲ διακρινθῆτε τάχιστα». ἔστι δὲ τὸ μὲν διὰ τοῦ ν ὀρθότερον, εἰ καὶ ποιητικώτερον, ὡς καὶ τὸ κλινθῆναι καὶ τὸ ἀνάκλιντρον, τὸ δὲ δίχα τοῦ ν κοινότερον καὶ Ἀττικώτερον. ἐναντίον δὲ τὸ διακρίνειν πρὸς τὸ συγκρίνειν, ὅ ἐστι συγχέειν. Σημείωσαι δέ, ὅτι τὸ διακρινθεῖτε διὰ διφθόγγου ἐν τοῖς ἀκριβεστέροις τῶν ἀντιγράφων φέρει τὴν παραλήγουσαν, οἷα συγκοπὲν ἀπὸ εὐκτικοῦ τοῦ διακρινθείημεν, ἵνα τὸ ἀκόλουθον τῆς συγκοπῆς εἴη τοιοῦτον· διακρινθεῖμεν διακρινθεῖτε διακρινθεῖεν, καὶ μυρία ταύτης τὰ παραδείγματα. (v. 100) Ὅτι τὴν μὲν ὑπὸ τοῦ Πάριδος ἁρπαγὴν τῆς Ἑλένης ἀρχὴν ὁ Μενέλαος λέγει, τοῦ πολέμου δηλαδή. τὴν δὲ αὐτοῦ ἐπεξέλευσιν ἔριν καλεῖ, εἰπών· «εἵνεκ' ἐμῆς ἔριδος καὶ Ἀλεξάνδρου ἕνεκ' ἀρχῆς», διὰ τὸ τὴν ἔριν ἀληθῶς ἐπεξελευστικὴν εἶναι πρός τι κατάρξαν. πρωθύστερον δὲ τὸ σχῆμα τοῦ λόγου, ἤγουν ὑστερολογία. πρῶτον γὰρ ἡ τοῦ Ἀλεξάνδρου ἀρχή, εἶτα ἡ τοῦ Μενελάου ἔρις. δευτερεύει γὰρ ἀεὶ, ὥσπερ ὁ παρ' Ἡσιόδῳ ζῆλος, οὕτω καὶ ἡ ἔρις γινομένη διά τι προκατάρχον. ὅρα δέ, ὡς ἐν ἑνὶ στίχῳ καὶ ἕνεκα ἔφη κοινῶς καὶ εἵνεκα ποιητικῶς, καθ' ὁμοιότητα τοῦ εἰνάνυχες καὶ εἵνατος καὶ εἰρωτῶ καὶ εἰῶ καὶ τῶν ὁμοίων. (v. 103—10) Ὅτι Τρῶες μέν, οἷς ὁ κίνδυνος περὶ γῆς ἦν καὶ τοῦ ζῆν, ἄρνε δύο φέρουσιν, ἕτερον μὲν λευκὸν, ἑτέραν δὲ μέλαιναν εἰς θυσίαν ἐν τῇ κατὰ τὴν μονομαχίαν ὁρκωμοσίᾳ, Γῇ τε καὶ Ἡλίῳ, τῷ μὲν τὸν λευκόν, τῇ δὲ τὴν μέλαιναν, οὐ μόνον κατὰ ὁμοιότητα χρώματος, ἀλλὰ καὶ ἐνεργείας· ἄρρεν μὲν γὰρ θύεται Ἡλίῳ ὡς οἷον ἀνδρί.

1.613 ἐν ἑτέρῳ γὰρ γεννᾷ, ἤγουν ἐν τῇ Γῇ, ὡς οἷα γυναικί. θῆλυ δὲ τῇ Γῇ ὡς οἷα μητρὶ τῶν ἐξ αὐτῆς καὶ Ἡλίου. Ἕλληνες δὲ τῷ Διῒ θύουσιν ἕνα τὴν χρόαν οὐ δηλοῦντος τοῦ ποιητοῦ. οὐ γὰρ οὕτως

ἐναργὲς τὸ τοῦ Διὸς χρῶμα, ὡς τὸ τοῦ Ἡλίου καὶ τῆς Γῆς. Ξενίῳ δὲ ἴσως Διῒ θύουσιν, ὡς ἂν ἐκπολεμωθῇ Ἀλεξάνδρῳ ἀδικήσαντι εἰς ξενίαν. ἐνδημεῖ δὲ καὶ ὁ Πρίαμος τοῖς ὅρκοις Ἀγαμέμνονος ἀπαιτήσαντος διὰ τὸ τῶν παίδων ὑπερφίαλον καὶ ἄπιστον. (v. 109 s.) Ἔνθα καὶ γνωματεύει ὁ βασιλεὺς οὕτως· «αἰεὶ δ’ ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται», ὅ ἐστιν ἐκκρεμεῖς ὡς ἐν ἀέρι καὶ ἐλαφραὶ καὶ εὐσάλευτοι καὶ ἀβέβαιοί εἰσιν αἱ τῶν νέων φρένες καὶ οὐκ ἔμπεδοι καὶ παγίως βέβαιοι καὶ ἀσφαλεῖς· «οἷς δέ», φησίν, «ὁ γέρων μετέῃσιν», ἤγουν σύνεστιν, «ἅμα πρόσω καὶ ὀπίσω λεύσσει», ὅ ἐστιν ὁρᾷ, «ὅπως ὄχ’ ἄριστα μετ’ ἀμφοτέροισι γένηται». (v. 109) Ἔστι δὲ πρόσω μὲν τὰ πρὸ ὀφθαλμῶν καὶ ἤδη γενόμενα καὶ τὰ παρόντα δὲ καὶ οἷον ἐν ποσίν, ὀπίσω δὲ τὰ ἐσόμενα καὶ μήπω μὲν ἐλθόντα, ὄντα δὲ ἐν τῷ μέλλειν. λέγει οὖν, ὅτι ὁ γέρων ἅμα καὶ οἷον ἀχρόνως διὰ πολυπειρίαν ὁρᾷ πάντα τά τε νῦν καὶ τὰ παρεληλυθότα καὶ τὰ μέλλοντα καὶ ἐκ τῶν παρελθόντων στοχάζεται, οἷα ἔσται καὶ τὰ μετὰ ταῦτα, καὶ κατὰ τὴν τραγῳδίαν ὡς «ἔννους τὰ καινὰ τοῖς πάλαι τεκμαιρόμενος», οὕτω φυλάσσεται. ὁ δὲ νέος μόνων γίνεται τῶν ἐν ποσίν, ὥσπερ καὶ ἐνταῦθα ὁ Πρίαμος μὲν πολλοὺς εἰδὼς ἐξ ἐπιορκίας βλαβῆναι φθάσαντας φυλάξηται ἄν, ὡς εἰκός, (v. 107) οἱ δὲ παῖδες μηδὲν προορώμενοι κακόν, οἷα τοῦ παρόντος μόνου γενόμενοι, δηλήσωνται ἂν ὑπερβασίᾳ τοὺς ὅρκους, ἤτοι βλάψωσιν, ὡς ἀπὸ τοῦ δηλῶ δηλήσω, ἐξ οὗ καὶ τὸ δηλητήριον. Δῆλον δέ, ὅτι τε δήλησις, ἤγουν βλάβη, ὅρκων οὐδὲν ἄλλο ἢ ἡ παράβασις αὐτῶν καὶ ὅτι τὸ ἅμα ὁρᾶν πρόσω καὶ ὀπίσω συμβολικῶς εἴρηται, καθὰ καὶ προγέγραπται ἐν τῇ α′ ῥαψῳδίᾳ, ὡς ἐκ μεταφορᾶς ζῴων, ἃ τοὺς τραχήλους ῥᾳδίως λυγίζουσιν, ὡς ἔχειν βλέπειν καὶ τὰ ἔμπροσθεν καὶ τὰ κατόπιν. ὁ δὲ τοιοῦτος νοῦς καὶ τὸν Ἄργον, ὡς ἑκάστῃ πείρᾳ ὀμματούμενον, πολυόμματον μυθολογεῖ, ἵνα μηδὲν αὐτὸν λανθάνῃ. καὶ τοῦτο μᾶλλόν ἐστιν, ἐξ οὗ οἱ γέροντες λέγονται ἅμα ὁρᾶν τά τε πρόσθεν καὶ τὰ ὄπισθεν, τὸ ἑκατέρωθεν δηλαδὴ τρόπον τινὰ ὠμματῶσθαι αὐτούς, ὡς διὰ τοῦτο ἅμα πάντα βλέπειν. τὰ γὰρ ὑγροτράχηλα καὶ εὐλύγιστα τὴν δειρὴν ζῷα, εἰ καὶ ἔμπροσθεν καὶ ὄπισθεν βλέπουσιν, ἀλλ’ οὐχὶ καὶ ἅμα τοῦτο ποιοῦσιν. ἐν τούτοις δὲ σημειωτέον καί, ὅτι αἱ πεῖραι ὄμμασιν ἐοίκασιν. (v. 105) Ἰστέον δέ, ὅτι κεῖται καὶ ἐνταῦθα ὅρκια τάμνειν, τὸ διὰ θυσιῶν ὀμνύειν, καὶ ὅτι ὕβρις ἐπιόρκων τὸ «ἐπεί οἱ παῖδες ὑπερφίαλοι καὶ ἄπιστοι» καὶ οἷοι ἐν ὑπερβασίᾳ θεοῦ ὅρκους δηλήσεσθαι.

1.614 (v. 103) Ὅρα δὲ καί, ὅτι ἐν τῷ περὶ τῶν δύο ἀρνῶν λόγῳ οὐκ ἤλλαξε τὸ ἕτερος, οἷα ἐπὶ δύο τινῶν εἰωθὸς λέγεσθαι. διὸ εἰπὼν ἕτερον λευκὸν, ἑτέρην δὲ μέλαιναν, ἐπὶ τοῦ τρίτου τὸ ἄλλος ἔθηκεν, [εἰς ὃ γράφει ὁ παλαιὸς οὕτω· τὸ ἄλλον ἐπὶ τοῦ τρίτου εἶπεν, ἐπὶ δὲ δυοῖν τὸ ἕτερον τῷ ἑτέρῳ ἀντιδιέσταλκεν Ἑλληνικῶς.] (v. 106) Ὑπερφιάλους δὲ λέγει παῖδας Πριάμου ἀπὸ ἑνὸς τοῦ Ἀλεξάνδρου συναγαγὼν τὸ σκῶμμα. τοιοῦτος γὰρ ἀληθῶς ἐκεῖνος. οὕτω δὲ καὶ Ἀλέξανδρος τὴν Ἀχαιΐδα καλλιγύναικά φησιν ἐκ μιᾶς τῆς Ἑλένης λαβὼν τὸν ἔπαινον. τὸ δὲ ὅμοιον καὶ ἐν πολλοῖς ἄλλοις Ὅμηρος ποιεῖ. ὑπερφίαλοι δὲ νῦν οἱ παρασπονδηταί, οἱ ὑπὲρ τὴν ἱερὰν φιάλην ποιοῦντες καὶ διὰ τοῦτο κατὰ τὸν ποιητὴν εἰπεῖν ἄπιστοι. ὅτι δὲ καὶ ἄλλο τι σημαίνει ἡ λέξις, ἀλλαχοῦ τε φανήσεται καὶ ἐν Ὀδυσσείᾳ δὲ εἴρηται. ἰστέον δέ, ὅτι οὐκ ἔστιν ἁπλῶς ὑπερφιάλους τοὺς παρασπονδοῦντας εἰπεῖν, εἰ μὴ καὶ τὸ ἄπιστοι πρόσκειται. (v. 107) Τὸ δέ «ὑπερβασίᾳ» διὰ σαφήνειαν τέθειται· ὁρκίων γὰρ βλάβη ἡ ὑπερβασία, ἣν καὶ παραιβασίαν ἕτεροί φασιν. ἔστι δὲ κυρίως ὑπερβασία τὸ ὑπερβαίνειν τοὺς τεταγμένους ὅρους τῆς γῆς καὶ οἷον ὑπὲρ τὰ ἐσκαμμένα ὅρια πηδᾶν, καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀδικίας ἡ λέξις τίθεται [καὶ ἐπὶ τῆς ἁπλῶς δὲ κακίας, ὡς δῆλον ἐκ τοῦ «ὑπερβασίας ἀλεείνων» καὶ «ὑπερβασίαι δ’ ἀλεγειναί».] (v. 108) Ὁπλότεροι δὲ ἁπλῶς μὲν οἱ νέοι καὶ ὅπλα αἴρειν δυνάμενοι. ἐκεῖθεν δὲ καὶ ἐπὶ ψόγῳ ὑπέροπλος καὶ ὑπεροπλίζεσθαι τὸ καταθρασύνεσθαι. Ἠερέθεσθαι δὲ κυρίως μὲν τὸ ἐν ἀέρι κρέμασθαι, ἐξ οὗ καὶ ἡ αἰώρα· ἐνταῦθα δὲ ἐπὶ τοῦ ἀβεβαίως ἔχειν εἴληπται. τὰ μὲν γὰρ ἐν ἀέρι κρεμάμενα εὐμετακίνητά εἰσι, τὰ δὲ ἐν γῇ καί, ὡς εἰπεῖν, ἔμπεδα σταθερὰ καὶ βεβηκότα. ὅτι δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ ῥηθεῖσα αἰώρα καὶ διὰ τοῦ ε ψιλοῦ ἔχει τὴν ἄρχουσαν, ὡς δηλοῖ οὐ μόνον τὸ «πλεκταῖς ἐώραις ἐμπεπλεγμένην», ἀλλὰ καὶ τὸ μετέωρος, ἕτεροι ἐπαγωνιζέσθωσαν. ὅτι δὲ καὶ κύριόν ἐστιν ὄνομα ἡ Αἰώρα γυναικὸς ἀπαγξαμένης καὶ διὰ τί ἀπαγξαμένης, τὸ τοῦ Παυσανίου δηλοῖ Λεξικόν. (v. 103) Ἐν δὲ τοῖς ῥηθεῖσι κειμένου καὶ τοῦ οἴσετε ῥήματος, οἷον «οἴσετε δ' ἄρνε» καὶ ἑξῆς, σημείωσαι, ὅτι οὐδὲ τοῦ φέρω μέλλων ἐστίν, ὡς παρατετήρηται τοῖς παλαιοῖς, οὐδὲ τοῦ οἴσω, ὅ ἐστι κομίσω, εὕρηται ἐνεστώς. διό φησιν «ἄρνας φέρειν» καὶ «οἴσετε ἄρνε». καὶ ὅτι ἀλλήλαις ἰσοδυναμοῦσιν αἱ λέξεις αὗται. διὸ καὶ τὸ συμφέρον καὶ τὸ συνοῖσον ἐπὶ τοῦ αὐτοῦ σημαινομένου τίθενται.

1.615 καὶ ὅτι τὸ «οἴσετε ἄρνε, λευκὸν καὶ μέλαιναν, Γῇ τε καὶ Ἠλίῳ» δοκεῖ μὲν εὐκρινές, ὡς δηλοῦν, οἷον μὲν ἄρνα οἰστέον Ἡλίῳ, οἵαν δὲ τῇ Γῇ, ἄλλως δὲ σύγχυσιν ποιεῖ καὶ συνεστραμμένον τι σχῆμά ἐστι καὶ περινενοημένον, ὡς οἷα περιοδικόν, χιαστόν, τετράκωλον. τὸ μὲν γὰρ κατὰ φύσιν καὶ σαφέστατον τοιοῦτόν ἐστιν «οἴσετε ἄρνε, λευκὸν Ἡλίῳ καὶ μέλαιναν τῇ Γῇ», ἵνα παρέκειτο τῷ Ἡλίῳ μὲν τὸ οἰκεῖον, τῇ Γῇ δὲ πάλιν τὸ ἑαυτῆς, κατά τινα γραμμικὴν εὐθυωρίαν. κατὰ δεύτερον μέντοι λόγον εἶχεν ἂν σαφήνειαν φυσικήν, εἰ μετὰ τὸν λευκὸν καὶ τὴν μέλαιναν ἔκειτο τὸ Ἡλίῳ καὶ τὸ Γῇ, οἷον· «οἴσετε ἄρνε δύο, λευκὸν καὶ μέλαιναν, Ἡλίῳ καὶ Γῇ», ἵνα ἀποδεδομένων πρὸς τὰ πρῶτα δύο εὐτάκτως τῶν δευτέρων δύο ὑπετάσσετο ὡς ἐν τετραγώνῳ καταγραφῇ τῷ λευκῷ μὲν Ἥλιος, τῇ μελαίνῃ δὲ ἡ Γῆ, οἷον οὕτως. Νῦν δὲ τὸ εἰπεῖν ἕτερον λευκόν, ἑτέρην δὲ μέλαιναν, Γῇ τε καὶ Ἡλίῳ, ἐπὶ πλέον συγχέει τὸν λόγον διὰ τὸ χιάζειν τὸν ἐκτεθέντα τετραγωνισμόν. κατὰ φύσιν γὰρ νῦν τοῦτο ζητεῖται, ἵνα τὸ μὲν λευκὸν διὰ γραμμῆς τινος προσαρμόσῃ τῷ ἐκ διαμέτρου κειμένῳ Ἡλίῳ, τὸ δὲ μέλαν ὁμοίως τῇ Γῇ, οἷον οὕτως. Καὶ οὕτω μὲν ὁ λόγος περινενόηται καὶ οἷον συνέστραπται τῷ σχηματισμῷ καὶ συγκέχυται μιμησαμένου τοῦ ποιητοῦ συγκεχυμένον ἄνθρωπον καὶ μὴ ἐνευκαιροῦντα φυσικῇ ὀνομάτων τάξει. τοιοῦτον δὲ καὶ ἐν τοῖς ἑξῆς τὸ «οἰμωγὴ καὶ εὐχωλὴ ἀνδρῶν ὀλλύντων καὶ ὀλλυμένων». δύναται δὲ ὁμοίῳ ζήλῳ μὴ κατὰ λέξεις μόνας γοργότερον, ἀλλὰ καὶ πλατύτερον κατὰ λόγους τοιαῦτά τις σχηματίσαι· οἷον Ἀχιλλεὺς μὲν ᾑρέθη πολέμαρχος, οἱ βασιλεῖς δὲ περὶ τὸν ναύσταθμον ἔμενον, ἵνα οἱ μὲν στενοχωρῶσι τοὺς Τρῶας, ὁ δὲ τὰ πέριξ ληΐζηται.

1.616 τὸ δὲ τοιοῦτον σχῆμα καὶ ἐπὶ πλειόνων συζυγιῶν νοημάτων μεθοδευθήσεται κατὰ τὴν τοῦ γράφοντος ἰσχύν. ἔστι δὲ τοῦτο καὶ περιβλητικὸν διὰ τὴν τῶν νοημάτων μετάστασιν. ἔχει δέ τι καὶ σαφηνείας τὸ τῇ μελαίνῃ εὐθὺς συντάξαι τὸ κατὰ φύσιν οἰκεῖον, ἤγουν τὴν Γῆν, ὡς καὶ τῇ εὐχωλῇ, τουτέστι τῷ καυχήματι, τοὺς ὀλλύντας, καὶ τοῖς βασιλεῦσι τὸ ἐν Τροίᾳ μένειν. κατὰ φύσιν μὲν γὰρ ἐνταῦθα καὶ εὔτακτον καὶ σαφὲς ἡ τῶν μέσων ἕνωσις, ἀνάπαλιν δὲ ἡ τῶν ἄκρων διάστασις, ὡς ἐν τοιαύτῃ καταγραφῇ, δι' ἧς τὸ προκείμενον σαφηνισθήσεται. (v. 111—5) Ὅτι ἐπαινετικὸν εἰρήνης τὸ «οἳ δ' ἐχάρησαν ἐλπόμενοι παύσεσθαι ὀϊζυροῦ πολέμοιο». ἀφοπλισμοῦ δὲ τοῦ ἐπὶ μονομαχίᾳ φραστικὸν τὸ «ἵππους μὲν ἔρυξαν ἐπὶ στίχας, τεύχεά τ' ἐξεδύοντο· τὰ μὲν κατέθεντ' ἐπὶ γαίῃ πλησίον ἀλλήλων, ὀλίγη δ' ἦν ἀμφὶς ἄρουρα», [ἥτις μεταίχμιόν ἐστιν, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. ὅρα δὲ ὅτι ἄρουραν ἔφη καὶ νῦν οὐ λόγῳ μέτρου τινὸς κατὰ τὸ ἄκαινα καὶ πλέθρον καὶ τὰ τοιαῦτα, περὶ ὧν ἑτέρωθι δεδήλωται, ἀλλὰ τὴν ἁπλῶς πεφυκυῖαν ἀροῦσθαι γῆν.] (v. 121) Ὅτι τὴν Ἶριν ὁ μὲν μῦθος δαίμονα χρυσόπτερον βούλεται εἶναι εἴρουσαν, ὅ ἐστιν ἀγγέλλουσαν τὰ τῶν θεῶν, ὡς δηλοῖ τρόπῳ ἐτυμολογίας καὶ τὸ «Ἶρις ἀγγελέουσα» καὶ τὸ «Ἶρις δ' Ἑλένῃ ἄγγελος ἦλθε». διὸ καὶ ἀπὸ τοῦ τοιούτου εἴρω παράγεται, ὡς καὶ ὁ Ἑρμῆς καὶ Ἶρος ὁ Ἰθακήσιος, ὃς οὕτω ἐκλήθη, ὥς φησιν Ὅμηρος, διὰ τὸ εἴρειν, ὅ ἐστιν ἀπαγγέλλειν, ὅπου ἄν τις ἀνώγοι. τινὲς δὲ αὐτῆς καὶ Ζεφύρου γενεαλογοῦσι τὸν Ἔρωτα. καὶ ταῦτα μὲν πρὸς μῦθον. ἡ δὲ πρὸς φύσιν ἀλληγορία εἰς τὸ κατὰ τὸν ἀέρα γινόμενον φάντασμα τοῦ λεγομένου τόξου μεταλαμβάνει τὴν Ἶριν τὴν λαμπρόχρουν καὶ αὐτήν, ὁμοίως ἀπὸ τοῦ εἴρειν· ἀγγέλλει γάρ τι μέλλον ἐν ὑετῷ, διὸ καὶ Διός, ἤτοι ἀέρος, ἐκείνη ἄγγελος λέγεται. ἡ δέ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γε κοινοτέρα τοῦ μύθου θεραπεία εἰς φήμην καὶ νῦν ἐκλαμβάνεται αὐτήν, ὡς καὶ ἐν τῷ Καταλόγῳ, ἀπὸ τῆς αὐτῆς ἐτυμολογίας, ἥτις φήμη καὶ τὴν Ἑλένην ἐνταῦθα ἐξάγει πρὸς θέαν μονομαχίας, πορθμευθεῖσα διὰ τῆς τοῦ Πριάμου θυγατρὸς Λαοδίκης, ὡς εἰκός, ἐπεισόδιον ἐσομένην Ὁμήρῳ εἰς ἱστοριῶν χορηγίαν εὔκαιρον.

1.617 πολλαὶ γοῦν ἱστορίαι διὰ τῆς Ἑλένης ἐν τοῖς ἑξῆς παρεισοδιασθήσονται κατὰ τὴν Ὁμηρικὴν μέθοδον. [Ἰστέον δέ, ὡς Ἶρις μὲν ἡ κατὰ μῦθον καὶ ἡ περὶ τὰ ἔνυδρα νέφη βαρυτονεῖται, ἰρίς δέ, μυρεψικὸν εἶδος, κατὰ παλαιὰν παράδοσιν ὀξύνεται πρὸς διαστολήν. ταύτην δὲ ἴρινον μῦρον οἱ ῥήτορες ἔγραψαν. γραφικὴ δὲ αὐτῆς ἀναλογία κατὰ τὸ κίρις, εἶδος ὀρνέου, Σίρις, πόλις Ἰταλική, ξίρις, φυτὸν ἀρωματικόν, καλάσιρις, λινοῦς χιτὼν ἱερατικός, Ὄσιρις, Αἰγυπτιστὶ ὁ Διόνυσος.] (v. 124) Ὅτι ἡ τῆς Ἑλένης γάλως Λαοδίκη Πριάμου θυγατρῶν εἶδος ἀρίστη λέγεται, τῶν ὑπὸ γάμῳ δηλαδή, ὡς τῶν γε ἔτι παρθένων ἀρίστη ἀλλαχοῦ ἡ Κασάνδρα ἱστορηθήσεται. (v. 122) Ἰστέον δέ, ὅτι τὸ συγγενικὸν θηλυκὸν τοῦ δαήρ, ὃ δηλοῖ τὸν ἀνδράδελφον, οὐ δάειρα ἀναλόγως, ἀλλὰ γάλως ἑτερωνύμως προφέρεται, ὡς ἀλλαχοῦ δηλοῦται σαφέστερον. δεῖ δὲ τὸ τοιοῦτον ὄνομα βαρύνειν, ἐπειδὴ τὰ εἰς ως θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν βραχείᾳ παραληγόμενα βαρύνεται, ἅλως, Κέως, ἕως, οὕτω καὶ γάλως, καθὰ καὶ Τρύφων φησὶν ἐν τῷ Περὶ ἀρχαίας ἀναγνώσεως. τοῦ δὲ γάλως ἡ δοτικὴ γάλῳ, καὶ πλεονασμῷ τοῦ ο γαλόῳ, οἷον «εἰδομένη γαλόῳ, Ἀντηνορίδαο δάμαρτι». τοιοῦτόν τι ἔπαθε καὶ ἡ τοῦ Ἄθω γενικὴ ἐν τῷ «ἐξ Ἀθόω δὲ ἐπὶ πόντον ἐδύσετο». ὅτι δὲ καὶ διφορεῖται ἡ τοιαύτη εὐθεῖα, γάλως τε δισυλλάβως λεγομένη καὶ γαλόως ἐν τρισὶ συλλαβαῖς, πολλοῖς εἴρηται. Ὅρα δὲ καί, ὅτι σαφῶς ἑρμηνεύων ὁ ποιητὴς γάλων τὴν ἀνδραδέλφην λέγεσθαι ἱστορεῖ, ὡς ἡ τῇ Ἑλένῃ γάλως Λαοδίκη νύμφην καλεῖ τὴν Ἑλένην τῷ λόγῳ τῶν πρός τι. ἡ γάλως τε γὰρ νύμφης ἐστὶ γάλως καὶ ἡ νύμφη γαλόῳ ἐστὶ νύμφη. κείσεται δὲ μνεία τῆς λέξεως ταύτης καὶ ἐν τοῖς ἑξῆς. Ἔστι δὲ ἡ τῆς Λαοδίκης προσφώνησις πρὸς τὴν Ἑλένην αὕτη· «δεῦρ᾽ ἴθι, νύμφα φίλη» καὶ ἑξῆς. (v. 124) Τὸ δέ «θυγατρῶν» οὐχ᾽ ἕλκεται εἰς λόγον πεζόν, ὡς οὐδὲ τὸ πατρῶν, οἷον «ἐξέτι πατρῶν». (v. 122 s.) Ἰστέον δέ, ὅτι ἐν τῷ «εἰδομένη γαλόῳ, Ἀντηνορίδαο δάμαρτι» ἐπιστομίζων τοὺς σκωπτικοὺς ὁ ποιητής, ἵνα μήτις [ἴσως περιελὼν τὴν ἀναγκαίαν στιγμὴν ἐκ τοῦ γαλόῳ καὶ κατὰ συνέχειαν ἀναγνοὺς] διαβαλεῖ τὴν συνθήκην τῆς γαλόῳ μετὰ τοῦ Ἀντηνορίδου καὶ ἐρεῖ παίζων τὴν Λαοδίκην γάλων τοῦ Ἀντηνορίδου, ἐπιφέρει «τὴν Ἀντηνορίδης εἶχε κρείων Ἑλικάων» —πόλις δὲ αἱ Ἑλίκαι—.

1.618 ἴσως δὲ καὶ ἵνα σεμνύνῃ τὸν τῆς Λαοδίκης ἄνδρα, ἐπανέλαβεν αὐτόν, ὡς πολλαχοῦ ποιεῖν εἴθισται. Ἑλίκαι δὲ αὗται πόλις Τρωϊκή, ἀλλαχοῦ δὲ Ἑλίκη πόλις Ἑλληνίς, ὡς δηλοῖ καὶ τὸ «εἰς Ἑλίκην καὶ Αἰγάς». ζητητέον δὲ καὶ τὰ ἐν τῷ Καταλόγῳ περὶ Ἑλίκης. (v. 125—8) Ὅτι εἰπόντος Ὁμήρου, ὡς τὴν Ἑλένην εὗρεν ἡ Λαοδίκη «ἐν μεγάρῳ, ἣ δὲ μέγαν ἱστὸν ὕφαινε δίπλακα μαρμαρέην, πολέας δ᾽ ἐνέπασσεν ἀέθλους» Τρώων τε καὶ Ἀχαιῶν, «οὓς ἕθεν», ἤγουν αὐτῆς, «εἵνεκ᾽ ἔπασχον ὑπ᾽ Ἄρηος παλαμάων», ἤγουν ὑπὸ πολέμου, ἀστείως ἐπεσημήναντό τινες τὸν πέπλον τοῦτον ἀξιόλογον ἀρχέτυπον εἶναι τῆς Ὁμήρου ποιήσεως. ἃ γὰρ ἐκείνη ἐνεποίκιλλεν ὁσημέραι τῷ πέπλῳ, ταῦτα δέλτῳ ἐντίθησιν Ὅμηρος καὶ ποιεῖ τὴν βίβλον ταύτην ὥσπερ Ἑλένης ἄλλον ἱστόν. διὸ καὶ φιλεῖ τὴν Ἑλένην ὁ ποιητὴς καὶ διατιθέμενος ὑπεραπολογεῖται, εἰς ὅσον ἔξεστι. Σημείωσαι δὲ καὶ ἐνταῦθα τὸ τῆς Ἑλένης φιλοπευστικὸν καὶ εὐμαθές. δῆλον γάρ, ὅτι πυνθανομένη καὶ σημειουμένη τὰς ὡς ἑκάστοτε πάθας τῶν δι᾽ αὐτὴν μαχομένων ἐζωγράφει αὐτάς, ἐν οἷς ὕφαινεν, Ἰλιάδα τινὰ τεχνωμένη χειρότευκτον. ἐπεὶ δὲ πολλοὶ οἱ ἄεθλοι, διὰ τοῦτο μέγας καὶ ὁ ἱστός. εἰκὸς δὲ καὶ πλείους ἄθλους τῶν Ὁμηρικῶν αὐτῷ ἐμπεπάσθαι. Ὅμηρος μὲν γὰρ τῇ τοῦ Ἕκτορος ταφῇ τὴν Ἰλιάδα συγκατέλυσεν, Ἑλένη δὲ οὐκ ἐξ ἀνάγκης οὕτω, ἀλλὰ καὶ ἐπὶ τὰ ἑξῆς προέβη ἄν, ὡς εἰκός, τῷ ὑφάσματι. (v. 141 s.) Ὅρα δέ, ὡς καὶ οὕτω ποικίλλειν εἰδυῖα Ἑλένη, ὅμως ἐκ θαλάμου εἰς τὸν πύργον ἐξιοῦσα διὰ σωφροσύνην

ἀργενναῖς, ἤγουν λευκαῖς, ἀφελῶς ὀθόναις καλύπτεται οὐδέν τι ποικίλον ἀμπεχομένη, ἀλλὰ καὶ ὁρμᾶται ἐκ θαλάμου «τέρεν κατὰ δάκρυ χέουσα». ἐν οἷς ἀργεννὸν μὲν τὸ λευκόν, ἐκ τοῦ ἀργός, ὁμοίως τῷ φάος φαεννόν, Ἔρεβος ἐρεβεννόν. Ὀθόνη δέ, ἧς ὀθόμεθα, τουτέστιν ἐπιστρεφόμεθα διὰ τὴν ἄγαν λεπτότητα, ἢ ἡ εὐκίνητος, παρὰ τὸ ὄθεσθαι, τὸ κινεῖσθαι. τέρεν δὲ δάκρυ τὸ ἐκ τειρομένης ψυχῆς. (v. 126) Ἰστέον δὲ καί, ὅτι ἐν τῷ «δίπλακα μαρμαρέην» λείπει τὸ ἱστουργίαν ἢ ὑφήν ἤ τι τοιοῦτον. τινὲς δὲ τὸ χλαῖναν λείπειν φασὶ νοοῦντες δίπλακα τὴν μεγάλην, ἣν ἔστι διπλῆν ἀμφιέσασθαι. καὶ μὴν οὐ ταὐτὸν χλαῖνα καὶ ἱστός, ἀλλὰ ἴσως γενικὸν μέν ἐστιν ἢ ὅλον ὁ ἱστός, εἶδος δὲ ἢ μέρος ἡ δίπλαξ, ἥν, ἰδιωτικῶς εἰπεῖν, δίμιτον νοοῦσί τινες. μᾶλλον δὲ ὁ μὲν ἱστὸς τὸ ἐργαλεῖον δηλοῖ, δίπλαξ δέ ἐστιν ἡ ἱστουργουμένη, ὡς ἐρρέθη, ὑφή, ἵνα λέγῃ, ὅτι περὶ μέγαν ἱστὸν μεγάλην δίπλακα ὕφαινε. Μαρμαρέη δὲ ἡ λάμπουσα ἐκ τοῦ μαρμαίρω, ἐξ οὗ ὁ μάρμαρος λίθος, οὗ κτητικὸν μαρμάρειος, θηλυκὸν μαρμαρεία καὶ Ἰωνικῶς καὶ Ἀττικῶς μαρμαρέη.

1.619 ἐν δὲ ταῖς Ἀριστάρχου, φασί, καὶ Ζηνοδότου καὶ Ἀριστοφάνους Ἐκδόσεσι «δίπλακα πορφυρέην» γράφεται. καὶ νύμφαι γάρ, φασί, φάρεα ὑφαίνουσιν ἁλιπόρφυρα. ἔστι δὲ καὶ θαλάσσης γαληνιώσης ἐπίθετον ἡ μαρμαρέη. ἐκ δὲ τοῦ ἐνέπασσεν ἡ γαμικὴ παστὰς γίνεται. αὐτὸ δὲ γίνεται παραγώγως ἐκ τοῦ πῶ, τὸ κτῶμαι. ἀξιόκτητα γὰρ τὰ οὕτω ποικιλτά. ἐκ δὲ τοῦ τοιούτου πάσσειν καὶ ὁ τοῖς ἄνθεσι κατάπαστος νικητής. ἔοικε δὲ ἡ λέξις καθ' ὁμοιότητα εἰρῆσθαι τοῦ ἑτέρου πάσσειν, οἷον «πάσσε δ' ἁλὸς θείοιο», ἀφ' οὗ καὶ τὸ ἁλίπαστον. Σημείωσαι δὲ καί, ὅτι παρὰ τῷ ποιητῇ οὐ μόνον πρόσωπα ἡρωϊκὰ γυναικῶν, ἀλλὰ καί τινα τῶν θειοτέρων ἱστουργεῖ, ὡς δηλοῖ καὶ ἡ Ὀδύσσεια, καὶ ὅτι τὸ πένθος οὔτε τῇ Πηνελόπῃ ἐν Ὀδυσσείᾳ οὔτε ἐνταῦθα τῇ Ἑλένῃ ᾄδειν ἐπιτρέπει ἐν τῷ ἱστουργεῖν. Κίρκη δὲ καὶ Καλυψὼ ὑφαίνουσαι ᾄδουσιν, ἀπαθεῖς αὐταὶ οὖσαι κακῶν. τὸ δέ «ἀέθλους» καὶ ἑξῆς ὑπολαλεῖ ἔπαθλον μὲν τοῦ Τρωϊκοῦ πολέμου τὴν Ἑλένην κεῖσθαι, ἀνταγωνιστὴν δέ τινα τοῖς ἀεθλεύουσιν εἶναι τὸν παλαμναῖον Ἄρην. (v. 128) τοιοῦτον γάρ τι ἐμφαίνει τὸ «ὑπ' Ἄρεος παλαμάων». (v. 130—8) Ὅτι ἐν τῷ [«δεῦρ' ἴθι, νύμφα φίλη, ἵνα θέσκελα ἔργα» καὶ ἑξῆς, τὸ μὲν νύμφα καθὰ] καὶ τὸ τόλμα καὶ τήθα Ἰωνικά τινες εἶναι βούλονται. πρὸς χρείαν δὲ μέτρου συσταλτικὴν τὸ νύμφα παρείληπται. Ὅτι θέσκελα δὲ ἔργα ἐνταῦθα τὰ τῆς μάχης, οὐχ' ὡς θεοείκελα, ἀλλὰ θεοκέλευστα, καθὰ καὶ θέσφατα, τὰ θεόφραστα. εἶεν δ' ἂν καὶ οὕτω θεῖα τὰ θέσκελα καὶ διὰ τοῦτο θαύματος ἄξια, (v. 132—5) εἴγε κατὰ τὸν ποιητήν «οἳ πρὶν ἐπ' ἀλλήλοισι φέρον πολύδακρυν Ἄρηα», νῦν κάθηνται σιγῇ, «πόλεμος δὲ πέπαυται, ἀσπίσι κεκλιμένοι, παρὰ δ' ἔγχεα μακρὰ πέπηγε». ταῦτα δὲ καὶ παράφρασίς ἐστι τοῦ «ἵππους μὲν ἔρυξαν» καὶ ἑξῆς, ὡς πρὸ ὀλίγων εἴρηται. (v. 136—8) Οὕτω δὲ καὶ τὸ «αὐτὰρ Ἀλέξανδρος καὶ ἀρηΐφιλος Μενέλαος μακρῇς ἐγχείῃσι μαχήσονται περὶ σεῖο, τῷ δέ κε νικήσαντι φίλη κεκλήσῃ ἄκοιτις» παράφρασίς ἐστι διὰ τῆς Ἴριδος, ὧν φθάσας εἶπεν ὁ Πάρις πρὸς τὸν ἀδελφὸν Ἕκτορα.

1.620 ὅτι δὲ παραφραστικὸς τῶν ἑαυτοῦ ὁ πλουσιολόγος ποιητής, πολλαχοῦ φαίνεται. (v. 139 s.) Ὅτι ὁ τῆς Ἴριδος λόγος, τουτέστιν ἡ περὶ μονομαχίας φήμη, γλυκὺν ἵμερον ἐνέβαλε τῇ Ἑλένῃ ἀνδρός τε προτέρου καὶ ἄστεος ἠδὲ τοκήων. τοιαῦτα γὰρ ὁ ποιητὴς αὐτῆς ὑπερλαλεῖ πολλαχοῦ μεταμελομένην ποιῶν. οἰκονομεῖ δὲ ὁ ποιητὴς ἐνταῦθα τὴν αὐτῆς εἰς τὸ τεῖχος ἔξοδον πολλὰ ἱστορήσων, ὡς εἴρηται, δι' αὐτῆς, τὰ μὲν Εὐρωπαῖα, τὰ δὲ ἐξ Ἀσίας, ὡς φανήσεται. ὃ μιμησάμενος Εὐριπίδης ποιεῖ ἄλλως ἐν Φοινίσσαις τὸν παρ' αὐτῷ πλαττόμενον πρεσβύτην διδάσκοντα ἐκ τοῦ τείχους πολλὰ τῶν ἔξω τὴν βασιλικὴν νεάνιδα. ὅτι δὲ καὶ ἕτεραι γυναῖκες ἀνέβησαν εἰς τὸ τεῖχος κατὰ ἀρχαῖον ἔθος, τὸ ἐν τοῖς ἑξῆς δηλωθησόμενον, νῦν μὲν σιγᾷ ὁ ποιητής, προϊὼν δὲ ἐξείπῃ, ὡς ἂν εἴη καὶ νῦν πιθανὴ καὶ ἡ τῆς Ἑλένης καὶ ἡ τῆς δοκούσης εἰροκόμου γραὸς εἰς τὸ τεῖχος ἔλευσις. (v. 144) Ὅτι ἡ ἀκολουθοῦσα ἐνταῦθα τῇ Ἑλένῃ ἀμφίπολος Αἴθρη, Πιτθῆος θυγάτηρ, ἡ Θησέως νοεῖται πρός τινων μήτηρ, συναρπαγεῖσα τῇ

Ἑλένῃ. καὶ ἔστι μὲν ἀπίθανος ὁ λόγος διὰ πολλά. διδάσκει δὲ τὸ τῆς τύχης ὅμως καινοτόμον ἡ ἱστορία, ἐὰν ἡ βασίλισσα Αἶθρα ὡς ἐκ παρόδου εἰς δουλικὴν τύχην κατέβη. κατὰ δὲ ἑτέρους ἄλλη ἐστὶν αὕτη Αἶθρα, δούλη τῷ ὄντι. καὶ ἔστι καὶ αὐτὸ παράδειγμα Ὁμηρικῆς ὁμωνυμίας. ἡ γὰρ Αἶθρα αὕτη καὶ ὁ Πιτθεὺς οὗτος ὁμώνυμοι τοῖς εὐγενέσιν Ἑλληνικοῖς. τὴν δὲ ἑτέραν δούλην, τὴν Κλυμένην, βοῶπιν καλεῖσθαί φασιν ὑφ' Ὁμήρου οὐχ' οὕτω διὰ τὸ εὐωπόν, ὅσον ὅτι τρανέστατα ἐνέβλεψε, μόνη κατανοήσασα, ὥς φασι, τὴν ἐσομένην τῆς Ἑλένης ἁρπαγήν, ὅτε Ἀλέξανδρος ἦλθεν εἰς Λακεδαίμονα (v. 143) Ὅρα δέ, ὅτι σύνηθες ταῖς εὐγενέσιν ἀμφιπόλους ἕπεσθαι, ὅ ἐστι δουλίδας, ἐν ταῖς τοιαύταις προόδοις. ὅτι δὲ ἀμφίπολοι αἱ δουλίδες, ὡς καὶ ἐν τοῖς ἑξῆς φανεῖται, δηλοῖ καὶ Ἡρόδοτος, ἔνθα φησί· «καὶ τὰς ἐλευθέρας καὶ τὰς ἀμφιπόλους». καλοῦνται δὲ οὕτω διὰ τὸ ἀμφὶ τὰς δεσπότιδας πολεῖν. ἐντεῦθεν δὲ καὶ αἱ πρόσπολοι καὶ πρόπολοι. παρὰ Σοφοκλεῖ γοῦν ὁ Κρέων τὴν Ἰσμήνην πρόσπολον Οἰδίποδος εἰπὼν προϊὼν ἐτυμολογεῖ τὴν λέξιν ἐν τῷ «τὰς κόρας τάσδε ἆσσον προσπολουμένας». οἱ δὲ παλαιοί φασι καί, ὅτι πρόπολος μὲν καὶ ἐπὶ ἀρρένων, ἀμφίπολος δὲ ἀεὶ ἐπὶ γυναικῶν. Σημείωσαι δέ, ὅτι Πίνδαρος δριμέως ἤτοι γλυκέως τύμβον ἀμφίπολον ἔφη τὸν κύκλῳ περιπολούμενον. (v. 145) Ὅτι τὸ ἱκάνω ἐκτείνει, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, Ὁμηρικῶς ἀεὶ τὸ α , ὅθεν καὶ συστέλλειν ἐθέλουσί τινες, εἰ καὶ μὴ εἰσακούονται, τὴν προπαραλήγουσαν τοῦ ἱκανώτατος, ὡς ἀπὸ τοῦ ἱκάνω· ἱκανὸς γὰρ ὁ ἐπὶ πᾶν ἀπαραποδίστως ἱκάνων ἤτοι ἀφικνούμενος.

1.621 (v. 149) Ὅτι τὰς Σκαιὰς πύλας Δαρδανίας ἐνίοτε Ὅμηρος λέγει, τὸ μὲν ἀπὸ Δαρδάνου, τὸ δὲ ἢ ἀπὸ Σκαιοῦ, οὕτω καλουμένου τεχνίτου, ἢ ὅτι δυτικαί—σκαιὰ γάρ, ἤτοι ἀριστερά, τὰ δυτικά—ἢ διότι σκαιαὶ ἤτοι ἐπαρίστεροι τοῖς Τρωσὶν ἐγένοντο δεξαμένοις κατ' αὐτὰς τὸν δούρειον ἵππον. (v. 146—8) Ὅτι ῥητόρων ἴδιον τὸ ἀντὶ τοῦ εἰπεῖν Ἀλέξανδρον ἢ Μενέλαον ἢ Ἀγαμέμνονα λέγειν οἱ ἀμφὶ Ἀλέξανδρον καὶ οἱ ἀμφὶ Μενέλαον καὶ οἱ ἀμφ' Ἀγαμέμνονα καὶ τὰ ὅμοια. οὕτως οὖν καὶ Ὅμηρος ἐνταῦθα ἀντὶ τοῦ εἰπεῖν, ὅτι ὁ Πρίαμος καὶ ὁ Πάνθοος καὶ ὁ Θυμοίτης καὶ ὁ Λάμπος καὶ ὁ Κλυτίος καὶ ὁ Ἱκετάων ἐκάθηντο ἐν τοῖς πύργοις, φησίν· «οἳ δ' ἀμφὶ Πρίαμον καὶ Πάνθοον» καὶ τὰ ἑξῆς. διὸ καὶ ἐπάγει· «Οὐκαλέγων τε καὶ Ἀντήνωρ», μονονουχὶ λέγων, ὅτι, ὥσπερ ὁ Ἀντήνωρ μόνος αὐτὸς ἦν ἐκεῖ καθήμενος καὶ ὁ Οὐκαλέγων, οὕτω καὶ ὁ Πρίαμος καὶ οἱ λοιποὶ ἐμόναζον, ὡς τῶν περὶ αὐτοὺς τῶν μὲν ἔξω περὶ τὴν μάχην στρεφομένων, τῶν δὲ οἰκουρούντων, ἢ καὶ ἄλλως μὴ σὺν αὐτοῖς ὄντων. καὶ σημείωσαι τὴν τοῦ σχήματος ἐν τούτοις ἀλλαγήν, ὅπως ἐκ τοῦ πληθυντικοῦ καὶ ἀσαφοῦς τοῦ «οἳ δ' ἀμφὶ Πρίαμον» καὶ ἑξῆς, εἰς τὸ ἑνικὸν καὶ σαφὲς μεταβέβηκεν, ἤγουν εἰς τὸ Οὐκαλέγων καὶ Ἀντήνωρ. εἰ δέ τις εἴποι, ὅτι περὶ τὸν Πρίαμον καὶ τὸν Θυμοίτην καὶ τὸν δεῖνα καὶ δεῖνα ἐκάθητο ὁ Οὐκαλέγων καὶ ὁ Ἀντήνωρ, οὐκ ἀρέσκοντα λέγει τοῖς παλαιοῖς. (v. 148) Σημείωσαι δὲ καί, ὅτι μόνους τὸν Οὐκαλέγοντα καὶ τὸν Ἀντήνορα πλέον ἐξαίρει τῶν λοιπῶν δημογερόντων, ἐσθλοὺς μὲν ἀγορητὰς πάντας εἰπών, αὐτοὺς δὲ καὶ ἐπὶ συνέσει σεμνύνας. φησὶ γάρ· «πεπνυμένω ἄμφω». καὶ τάχα διὰ τοῦτο καὶ εἰς αὐτοὺς τὸ σχῆμα μετήλλαξε συνεξαλλοιῶν αὐτοῖς καὶ τὸν τοῦ λόγου σχηματισμόν. Ὅρα δὲ καί, ὡς ἐξ ἀποφάσεως πέπλεκται κύριον ὄνομα ὁ Οὐκαλέγων, ὡς εἴ τις εἴποι ὁ μηδενὸς ἀλέγων. οὕτω δὲ καὶ Ὀδυσσεύς που ἐξ ἀποφάσεως τὸν πλαστὸν Οὖτιν παρήγαγεν. εἰ δὲ καὶ τὸ Ὅμηρος ἐκ τοῦ μὴ ὁρᾶν παρῆκται κατά τινας, τῆς αὐτῆς ἂν εἴη ἀγωγῆς καὶ αὐτό. εἰς δὲ τὸ τὴν μετοχήν, ἤτοι τὸ ἀλέγων, μετενεχθῆναι εἰς κύριον ὄνομα ἔστω παράδειγμα ὁμοιότητος καὶ τὸ Εὐέλθων κύριον παρὰ Ἡροδότῳ. ὁμοίου δέ τινος τύπου καὶ ὁ Ἀνακρέων καὶ ὁ Κρέων δέ, ἴσως δὲ καὶ ὁ Μαίων καὶ ὁ Παίων, ἐξ ὧν ἔθνη οἱ Μαίονες, ὅ ἐστι Λυδοί, καὶ οἱ Παίονες. Ἰστέον δέ, ὅτι ὁ μὲν Πρίαμος παρὰ τὸ πρίασθαι τὴν κλῆσιν ἔχει, ὡς ἐν ἄλλοις δηλοῦται. (v. 146) Ὁ δὲ Πάνθοος Πολυδάμαντος ἦν πατήρ, ἀνὴρ μαντικός, ὡς ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται, ὅθεν Πανθοΐδης ἐκεῖνος καὶ ἐν συναιρέσει Πανθοίδης κατὰ πατρωνυμίαν λέγεται, ὁμοίως τῷ Βοηθοΐδης Ἐτεωνεύς ἐν Ὀδυσσείᾳ, ὁ τοῦ Βοηθόου υἱός.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.622 ὁ δὲ Θυμοίτης, ὡς καὶ προεγράφη, πλεονασμὸν ἔχει τοῦ ι ἐκ τοῦ θυμός, ὡς ἐκ τοῦ δᾶμος, ἤτοι δῆμος, ὁ Δαμοίτης παρὰ Θεοκρίτῳ καὶ ἐκ τοῦ μένος ὁ Μενοίτιος. (v. 147) Ὁ δὲ Λάμπος γίνεται μὲν ἐκ τοῦ λάμπω, ὡς ἐκ τοῦ φαίνω ἡ Φαίδρα καὶ ἡ Αἶθρα ἐκ τοῦ αἴθω. ἔοικε δέ πως διώνυμος εἶναι. Λάμπος τε γὰρ καὶ Λάμπετος· τὸν γοῦν υἱὸν αὐτοῦ ἀλλαχοῦ Λαμπετίδην ἐρεῖ ὁ ποιητής. ἐκ δὲ τοῦ λάμπω καὶ Λαμπετία ἐν Ὀδυσσείᾳ, θυγάτηρ Ἡλίου. ὁ δὲ Κλυτίος ὡς τρίβραχυ κύριον παροξύνεται, καθὰ καὶ τὸ Τυχίος καὶ τὸ Ὁδίος καὶ τὸ Δολίος καὶ ἄλλα πολλά, ὡς δειχθήσεται καὶ ἐν τοῖς ἐφεξῆς. τὸν δὲ Ἱκετάονα ὄζον Ἄρηος λέγει Ὅμηρος, ὡς καὶ τὸν Πρίαμον εὐμελίην καὶ τὸν Νέστορα ἱππότην, οὐχ' ὅτι νῦν, ἀλλ' ὅτι πάλαι ποτὲ ἦσαν τοιοῦτοι. (v. 150—2) Ὅτι τοὺς ῥηθέντας Τρωϊκοὺς δημογέροντας, οὓς καὶ Τρώων λέγει ἡγήτορας, οἳ ἄνω τοῦ πύργου τῶν Σκαιῶν ἐκάθηντο πυλῶν, ἢ θέας χάριν ἢ διὰ ἑτοιμότητα συμβουλῆς, ἀπομάχους μέν φησι διὰ γῆρας, συμβούλους δὲ ἀγαθούς, λέγων οὕτω· δημογέροντες, «γήραϊ δὴ πολέμοιο πεπαυμένοι, ἀλλ' ἀγορηταὶ ἐσθλοί, τεττίγεσσιν ἐοικότες, οἵ τε καθ' ὕλην δενδρέῳ ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱεῖσιν», ὅ ἐστι φωνὴν πέμπουσιν ἀνθηράν. ἄνθους γὰρ εἶδος τὸ λείριον, ὅθεν καὶ Ποδαλείριος κύριον, οἱονεὶ ἀνθηρόπους. καὶ Ὅμηρος μὲν παραβολικῶς ἐκ τῶν τεττίγων οὕτω τοὺς Τρωϊκοὺς ἐτίμησε ῥήτορας, οἱ δὲ ὕστερον εὐγενεῖς Ἀθηναῖοι πραγματικῶς τέττιξιν ἐσέμνυνον ἑαυτούς, τεττιγοφόροι ὄντες. τέττιγας γὰρ ἐφόρουν χρυσοῦς, ὡς καὶ Θουκυδίδης φησίν, εἰς σύμβολον τοῦ γηγενεῖς εἶναι. Δῆλον δέ, ὅτι οἱ τέττιγες ἄναιμοι καὶ ψυχροὶ τὴν κρᾶσιν, καθὰ καὶ οἱ γέροντες, καὶ ᾠδικοὶ δέ, καθὰ καὶ οἱ ῥηθέντες ἀγορηταί, καὶ ὅτι ἀφ' ὑψηλοῦ ἠχοῦσι. τὰ γὰρ πολλὰ ἐπὶ κλάδων καὶ οὐκ ἀπὸ γῆς αὐτῆς ἐπιδείκνυνται τὰ τῆς ᾠδῆς. ἔνθα μεμνῆσθαι χρὴ καὶ συμβολικοῦ λόγου, ἐν ᾧ ἠπειλήσατό τις ποιήσειν τοὺς τέττιγας τοῖς ἐχθροῖς χαμόθεν ᾄδειν ἀντὶ τοῦ δενδροτομήσειν αὐτοῖς τὴν χώραν, ἵνα ἐξ ἀνάγκης οἱ τέττιγες ἀπὸ γῆς ᾄδωσι. φανερὸν δὲ καί, ὅτι ἄρρενες τέττιγες ᾄδουσιν, οἱ καὶ ἀχέται παρὰ Ἡσιόδῳ, ἄφωνοι δὲ τὸ τῶν θηλειῶν εἶδος, οἱ καὶ τηγονίαι.

1.623 [ὃ διδασκαλία εἴη ἂν σιγῆς κοσμούσης γυναῖκας, κατὰ τὸ «γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει». εἰς δὲ τὸ αὐτὸ συντελεῖ πρὸς ἄλλοις καὶ τὸ τῶν θηλειῶν ἀηδόνων ἀμελὲς καὶ ὁ φώς ἐκ τοῦ φῶ, τὸ λέγω.] Ὅλη δὲ διόλου παρατετηρημένως ἡ παραβολὴ ἐνταῦθα εὐάρμοστός ἐστι τῷ πράγματι. ψυχροὶ γὰρ καὶ ᾠδικοὶ τέττιγες ἀφ' ὕψους ἠχοῦντες παραβάλλονται ψυχροῖς καὶ λογίοις δημογέρουσιν ἐν ὑψηλῷ τῷ τείχει λαλοῦσι. Σημείωσαι δέ, ὅτι τὸν μὲν μέγιστον τέττιγα ἀχέταν καλοῦσιν οἱ παλαιοὶ κατὰ Παυσανίαν, κερκώπην δὲ τὸ ἐλάχιστον τεττίγιον, τὸ δ' αὐτὸ καὶ καλαμαῖον, τὸ δὲ μετὰ τοῦτο τιτιγόνιον, ἴσως παρὰ τὸ τιτίζειν, περὶ οὗ προδεδήλωται. [Σημείωσαι δέ, ὅτι ὤκνησεν Ὅμηρος πλατῦναι τὴν παραβολὴν τῶν τεττίγων διὰ τὸ μὴ πάνυ σεμνῶς αὐτὴν ἔχειν πρὸς ῥητορείαν λαμπράν. τί γὰρ ἡδὺ τέττιξ ἠχῶν; διὸ πρὸς μόνην συνέχειαν λαλιᾶς καὶ ῥοῖζον ἀδιεχῆ καὶ εὔροιαν ἤχου καὶ φωνῆς τορότητα εἴληπται ἡ ποιητικὴ παραβολή. ἡδύτης μέντοι λόγου παραβάλλεται ἐν τῷ «μέλιτος γλυκίω ῥέεν αὐδήν», ὡς εἶναι τὸν Ἑλληνικὸν ἐκεῖνον ῥήτορα, μελίρρυτον ἐν τῷ αὐδᾶν. οὕτω καὶ ὁ λέγων «ἔπεα νιφάδεσσιν ἐοικότα», δι' εὐπορίαν καὶ πυκνότητα νοημάτων, ἤδη δὲ καὶ δεινότητα καὶ σαφήνειαν, παραβέβληται πρὸς νιφάδας, οὐ μὴν διὰ τὴν ἐν λόγῳ γλυκύτητα. εἷς οὖν παρ' Ὁμήρῳ μελίγηρυς ῥήτωρ, ὁ Νέστωρ, οἱ δὲ λοιποὶ κατ' ἄλλος ἄλλον τρόπον παραβάλλονται, οἷον οἱ βαρβαρικώτερον τοροὶ τέττιξι τοῖς τραχυφώνοις, οἱ λέγειν εὔποροι καὶ δεινοὶ καὶ σαφεῖς νιφάσιν, οἱ ὑψηλοὶ καὶ σεμνοὶ θεογραφίᾳ κατὰ τὸ «τοῦ δὲ θεὸς μορφὴν ἔπεσι στέφει». ἀηδὼν δὲ θαμὰ τρωπῶσα φωνὴν μονῳδικὴν παραβάλλει ῥητορικήν. οὕτω καὶ ὁ ῥήτωρ ἀναπτυσσόμενος ἐτυμολογικῶς ὕδατος παραβάλλεταί πως ῥεύματι. ἐκ τοῦ ῥέω γάρ, ὡς ῥύδην χέων αὐδήν.

1.624 ] ὕλην δὲ τὸ ὀρεινὸν δάσος καὶ νῦν, ὡς καὶ πανταχοῦ, λέγει ὁ ποιητής. (v. 152) Τὸ δὲ δενδρέῳ πλεονασμόν τε ἔχει τοῦ ε καὶ πάθος πάσχει συνιζήσεως, ὡς τὸ «χρυσέῳ ἀνὰ σκήπτρῳ» παθὸν

οὕτω καὶ αὐτὸ διὰ πλείω χασμῳδίαν καὶ σεμνότητα φωνῆς. ἐνεχώρει γὰρ ἄλλως εἰπεῖν δένδρῳ ἐφεζόμενοι, ὥσπερ καὶ τὸ «Πηληιάδεω Ἀχιλῆος» ἦν μὲν εἰπεῖν «Πηληϊάδου Ἀχιλῆος». οὐκ ἠθέλησε δέ, ὡς καὶ ἐκεῖ ἐρρέθη, ἀλλ' ἔφρασε μᾶλλον σεμνότερον. ὅτι δὲ ὁ στίχος τὸ «δενδρέῳ ἐφεζόμενοι» προκέφαλός ἐστι, καθὰ καὶ τὸ «χρυσέῳ ἀνὰ σκήπτρῳ», ῥηθήσεται καὶ ἐν τοῖς ἑξῆς. Ἰστέον δέ, ὅτι ἐν τῷ Αἰλίου Διονυσίου Λεξικῷ φέρεται, ὅτι λέγεται οὐ μόνον δένδρον, ἀλλὰ καὶ δένδρεον καὶ δένδρος. φησὶ γοῦν, ὅτι δένδρον μᾶλλον ἢ δένδρος καὶ δένδρα μᾶλλον ἢ δένδρη, καὶ αἱ πτώσεις δένδρου καὶ δένδρῳ μᾶλλον ἢ δένδρει καὶ δένδρους. Ξενοφῶν δέ, φησίν, ἐκείνως μᾶλλον ὀνομάζει δένδρος καὶ δένδρει καὶ δένδρεσι καὶ δένδρη καὶ δένδρεα. Ὅμηρος δὲ ἔνθα μὲν δένδρεα λέγει, ἔνθα δέ «δενδρέῳ ἐφεζόμενοι». ὅτι δ' ἐκ τοῦ δένδρου καὶ δενδρυάζειν, ὡς καὶ ἐν Ὀδυσσείᾳ γέγραπται, τὸ δρυσὶ σκέπεσθαι καὶ τὸ καθ' ὕδατος δύεσθαι, τὰ ῥητορικὰ δηλοῦσι Λεξικά. ὁ δὲ ῥηθεὶς Διονύσιός φησι καί, ὅτι φωνήν τινα καλοῦσιν οἱ φωνασκοὶ δενδρυάζουσαν. (v. 153) Ἡγήτορες δὲ Τρώων οἱ δημογέροντες ἀντὶ τοῦ ἡγεμονικοὶ καὶ βασιλικοί, οὐ μὴν βασιλεῖς. ἢ καὶ ἄλλως, οἱ ποτε στρατηγοὶ ἐν νεότητι. προσέθηκε δὲ Ὅμηρος τοῦτο ὑψῶν τοὺς δημογέροντας, ἵνα μὴ δόξωσιν εὐτελεῖς διὰ τὴν ἐκ τοῦ δήμου παρωνυμίαν. ὁ γὰρ δῆμος εὐτέλειαν ἔστιν ὅτε δηλοῖ, ὡς τὸ «οὔ σε ἔοικε δῆμον ἐόντα», ἤγουν δημοτικὸν καὶ εὐτελῆ. ὁ δὲ μῦθος τῶν τεττίγων ἐγχώριος. καὶ γὰρ Τρωϊκὸς ἦν ὁ Τιθωνός, ὃν ὁ μῦθος μετέβαλεν εἰς τέττιγα. ἴσως δὲ καὶ ἐκεῖνος μυθεύεται παθεῖν οὕτως ὡς περὶ τὸ γῆρας λαλίστερος. Σημείωσαι δέ, ὅτι σεμνύνων τοὺς ᾠδικοὺς τέττιγας τὸν τερετισμὸν αὐτῶν ὡς ἔμμουσον ὄπα λειριόεσσαν ἔφη, ὥς που καὶ ταῖς Μούσαις ὄπα καλὴν εἶναί φησιν, ἀφ' ἧς καὶ ἡ Καλλιόπη σύγκειται. Ὅτι ἡ τῶν δημογερόντων, ὡς ἐρρέθη, ἐν τῷ πύργῳ καθέδρα γίνεται μὲν κατά τι ἔθος, καθά που καὶ ἀλλαχοῦ φησιν ὁ ποιητὴς τῷ τείχει ἐφεστάναι ἄνδρας, οὓς ἔχε γῆρας, ἀλλ' ἐκεῖ μὲν χάριν μόνον φυλακῆς, ἐνταῦθα δὲ τὸ πρᾶγμα τῷ ποιητῇ γίνεται χρήσιμον καὶ εἰς ἱστοριῶν ἐπεισόδιον, ὡς δειχθήσεται. γλιχομένῳ γὰρ τῷ Ὁμηρικῷ ἀκροατῇ, ὡς εἰκός, μαθεῖν, οἷοι μὲν οἱ τῶν Ἀχαιῶν βασιλεῖς, οἷοι δὲ καὶ τῶν ἀριστέων τινές, ἀποπλήσει τὴν ἐπιθυμίαν συμμέτρως ἅμα καὶ εὐμεθόδως ἐνταῦθα ὁ ποιητής. καὶ Πρίαμος μὲν πεύσεται τῆς Ἑλένης, οἷα γεγυμνωμένους ἄρτι τοὺς Ἕλληνας ὁρῶν καὶ μὴ ἔχων, καθὰ πρίν, ἐκ παρασήμων τινῶν γνωρίζειν αὐτούς, ὡς ὅπλων γυμνούς. ἡ δὲ ἀποκρινεῖται ὡς εὖ πάλαι εἰδυῖα καὶ λαλήσει πρὸς ἱστορίαν καὶ οὕτως ὁ φιλήκοος ἀκροατὴς μαθήσεται.

1.625 λαλήσει δέ τι πρὸς ἱστορίαν καὶ αὐτὸς ὁ Πρίαμος παλαιά τινα διδάσκων. καὶ ὁ Ἀντήνωρ δὲ Τρωϊκά τινα ἐρεῖ. ὁ πλείων δὲ λόγος ὡς διδασκάλῳ τῇ καλῇ Ἑλένῃ ἀνακείσεται, ἵνα μὴ μόνον ἀέθλους πολεμικοὺς ἐμπάσσῃ τῇ προρρηθείσῃ κατ' αὐτὴν μαρμαρέῃ δίπλακι, ἀλλὰ καὶ ἱστορίας ἐνθήσει τῷ καθ' Ὅμηρον τούτῳ πτυκτῷ πίνακι. (v. 154—8) Ἰστέον δέ, ὅτι καλὴν εἶναι τὴν Ἑλένην καὶ ὁ τῶν δημογερόντων ἐνταῦθα λόγος βεβαιοῖ, ὧν ὁ μὲν μανιώδης ἔρως ἀπεπτερύξατο, ἡ δὲ δι' ὀφθαλμῶν τοῦ κάλλους κρίσις παραμεμένηκεν. οἳ καὶ λέγουσιν, ὅτι «οὐ νέμεσις», ἤτοι οὐ νεμεσητὸν καὶ δικαίως μεμπτόν, «Τρῶας καὶ ἐϋκνήμιδας Ἀχαιοὺς τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν· αἰνῶς ἀθανάτῃσι θεαῖς εἰς ὦπα ἔοικεν». ἦκα δέ, τουτέστιν ἡσύχως, πρὸς ἀλλήλους ἔπεα τοιαῦτ' ἀγόρευον, διότι τε αἰσχύνην αὐτοῖς φέρει κάλλος τοιοῦτον θαυμάζειν ἐν ἡλικίᾳ ἐξώρῳ, οὓς ἔδει ἀφυβρίσαι ἤδη. καὶ ὅτι φιλαλήθης ἡ μὴ κατὰ πρόσωπον μαρτυρία. (v. 155) Δῆλον δέ, ὡς ἀπὸ τοῦ ἀκήν τὸ ἦκα γίνεται καθ' ὁμοιότητα τοῦ ἀμφαδίην ἀμφαδά, κρύβδην κρύβδα, κύβδην κύβδα. (v. 156) Σκοπητέον δέ, εἰ μὴ ψεύδεται τὸ «οὐ νέμεσις». πῶς γὰρ οὐ νέμεσις περιέπεσθαι γυναῖκα, ἧς τὸ μὲν καλὸν εὐμορφία, τὸ δὲ κακὸν πανωλεθρία; ἢ ἁπλῶς μὲν οὐ νέμεσις περὶ τοιαύτης μάχεσθαι—περιμάχητα γὰρ τὰ καλά—πῆ δὲ νέμεσις, ἣν ὁ ἐπιγνοὺς ἐρεῖ ἂν κατὰ τοὺς δημογέροντας τὸ «οἰχέσθω, μή ποτε ἡμῖν πῆμα γένοιτο», ἵνα μὴ ἐξ ἰδίας ἀνοίας, ὃ δὴ λέγεται, τῆς τοῦ Πάριδος, κοινὸν κακὸν γένηται. (v. 156—8) Τοῦτο δὲ τὸ χωρίον, τὸ «οὐ νέμεσις» καὶ τὰ ἑξῆς, τρίγωνον ἔφασαν οἱ καὶ περὶ τοιαῦτα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καταγινόμενοι. εἰ γάρ τις τρίγωνον καταγράψει πλευρὰς ποιήσας τοὺς τρεῖς τούτους στίχους, ἐξ οἵου ἂν ἀδιαφόρως ἄρξηταί τις στίχου, δυνατόν ἐστιν ἀκωλύτως καὶ τοὺς ἑξῆς δύο συνείρεσθαι καὶ τὴν αὐτὴν διάνοιαν σῴζεσθαι. καὶ ἀρχέτυπον τοῦτο γενέσθαι λέγουσι τοῦ τοιούτου ἔργου τοῖς ὕστερον Ἐπιγραμματοποιοῖς. (v. 155) Ἰστέον δέ, ὅτι τὸ ἦκα, ὅ ἐστιν ἡσύχως, φθέγγεσθαι τοὺς δημογέροντας ἀμφότερα φυλάσσει, καὶ τὸ τῆς Ἑλένης ἐγκώμιον καὶ τὸ τοῖς πρεσβυτέροις, ὡς εἴρηται, πρέπον. πταίουσιν οὖν κατὰ τοὺς παλαιοὺς οἱ μεταγράφοντες ὦκα. ἄλλως γὰρ καὶ βραδυλόγοι οἱ γέροντες. (v. 156) Κἀκεῖνο δὲ εἰδέναι οὐκ ἀχρεῖον, ὅτι τὸ «οὐ νέμεσις» εἰς παροιμίαν ἔπεσεν ἐπὶ τῶν ἐχόντων μέν τι, ὅπερ ἂν ἔχοι τις οὐκ ἐπαινεῖν, ὅμως δὲ ἄλλως φιλουμένων διά τι σεμνὸν λόγου ἄξιον. σοφὸς γοῦν τις οὐ πάνυ παλαιὸς διὰ μόνον αὐτὸ τοῦτο τὸ «οὐ νέμεσις» πολὺν πλοῦτον βασιλικὸν περιέθετο κατὰ καιρὸν λαλήσας αὐτὸ εἰς ἔπαινον βασιλίδος, ἐχούσης μέν τι μέμψεως, καλῆς δὲ ὅμως. Ἀριστοτέλης δὲ βούλεται ἡμῶν ἕκαστον ἐπιλέγειν τῇ ἡδονῇ τοιοῦτόν τι οἷον «οὐ νέμεσις ἀμφ' ἡδονῇ πολλὰ πάσχειν, ἀλλὰ καὶ τοίη περ ἐοῦσα νεέσθω», ἢ οἰχέσθω, «μὴ ὀπίσω πῆμα ἡμῖν λίποιτο».

1.626 [(v. 158) Ἰστέον δὲ καί, ὅτι τὸ αἰνῶς ἀντὶ τοῦ λίαν μεταληπτικόν τί ἐστιν. αἰνῶς μὲν γὰρ καὶ δεινῶς ταὐτόσημά εἰσιν. ἔστι δέ ποτε δεινῶς καὶ τὸ λίαν. καὶ αἰνῶς ἄρα ἀντὶ τοῦ λίαν.] Ἔτι ἰστέον καί, ὅτι τὸ «ἀθανάταις θεαῖς εἰς ὦπα ἔοικεν» ὡς ἀπὸ τῶν Ὁμηρικῶν λεγόμενον Μουσῶν ἀκουστέον. οὐ γὰρ αὐτὸς Ὅμηρος εἶδεν, οἷον ἔχουσιν εἶδος αἱ θεαί. ἢ καὶ τοιοῦτόν τι φαίνεται λέγειν, ὡς, ἐὰν θεαὶ εἰδοποιοῖντο, κατὰ τὴν Ἑλένην ἂν καὶ αὐταὶ εἶεν. καὶ τὸ μὲν Ὁμηρικὸν οὕτω σεμνὸν καὶ ὑψηλόν· σαφέστερον δὲ καὶ ἀνθρωπικώτερον τὸ τῆς Ἑλένης ἔδειξε κάλλος ὁ εἰπὼν τραγικός· «ἣν καλλίστην χρυσοφαὴς ἥλιος αὐγάζει». Ὦπα δὲ οὐ μόνους ἂν λέγοι τοὺς ὀφθαλμούς, ἀλλὰ τὴν ὅλην πρόσοψιν, ἥτις καὶ αὐτὴ ἀπὸ τῆς ὄψεως λέγεται, καθὰ καὶ τὸ μέτωπον καὶ τὸ πρόσωπον. ὅτι δὲ τὸ πᾶν τοῦ κάλλους οἱ ὀφθαλμοί εἰσι, δηλοῖ καὶ ὁ εἰπών, ὅτι διὰ καλῶν ὀμμάτων αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα. ἴσως δὲ τὸ «εἰς ὦπα» οὐδὲ μόνον τὸ πρόσωπον ἐνταῦθα δηλοῖ, ἀλλὰ τὴν ὅλην φυὴν τοῦ σώματος ἐκ τοῦ προσώπου φυσιογνωμονῶν. Σημείωσαι δέ, ὅτι διαφωνίας πολλῆς γενομένης τοῖς παλαιοῖς ἐπὶ τοῖς κατὰ τὴν Ἑλένην, Ὅμηρος μὲν καὶ οἱ συμφωνοῦντες αὐτῷ ἱστοροῦσι περὶ αὐτῆς, ὅσα οἴδαμεν, ἕτεροι δὲ οὐ τὴν Ἑλένην αὐτήν, εἴδωλον δὲ αὐτῆς εἰς Τροίαν ἀχθῆναι φάμενοι ὡς ἐν σκιαμαχίᾳ τὰ Τρωϊκὰ φαντάζονται. τούτων εἷς ὢν καὶ Ἡρόδοτος ἀρέσκεται μὴ εἶναι τὴν Ἑλένην ἐν Τροίᾳ. οὐ γὰρ οὕτω, φησί, φρενοβλαβεῖς οἱ Ἰλιεῖς ὥστε περὶ τῶν πάντων κινδυνεύοντες μὴ ἀποδοῦναι τὴν Ἑλένην ἢ ἑκόντος Ἀλεξάνδρου ἢ ἄκοντος. [ἀρέσκεται δὲ καὶ Εὐριπίδῃ οὕτως ἱστορεῖν, ὡς τὸ κατ' αὐτὸν δρᾶμα ἡ Ἑλένη δηλοῖ.] (v. 159 s.) Ὅρα δὲ καί, ὡς ἐνταῦθα δοκεῖ ἐφερμηνεύειν ὁ ποιητής, ὅπως ὁ γέρων, οἷς μέτεστιν, ἅμα πρόσω καὶ ὀπίσω βλέπει, ὅπως ἄριστα γένηται. οἱ γοῦν γέροντες ἐνταῦθα ἐπαινοῦσι μὲν τὸ πρόσω, ἤγουν τὸ παρὸν καλόν, τὴν Ἑλένην, δεδιότες δὲ περὶ τῶν ὀπίσω, ἤγουν περὶ τῷ μέλλοντι, φασίν· «ἀλλὰ καὶ ὧς τοίη περ ἐοῦσα ἐν νηυσὶ νεέσθω, μηδ' ἡμῖν τεκέεσσί τε ὀπίσσω πῆμα λίπηται». καὶ ὅρα, ὡς οἴδασι μέν, οἷα πείσονται, οὐδὲν δὲ ὅμως δρῶσι πρὸς ἐξάλυξιν.

1.627 ἐπεῖχε γὰρ αὐτοὺς οὐχ' οὕτω τὸ κάλλος τῆς Ἑλένης, ὅσον τὸ χρεών, ἤτοι τὸ μοιρίδιον. εἰ δὲ τοὺς γέροντας οὕτω τὸ κάλλος τῆς Ἑλένης διατίθεται, τί ἄρα περὶ τῶν νεωτέρων οἰητέον, οἳ φέρουσι κινδυνεύοντες δι' αὐτήν; (v. 161) Ὅτι τὸ «Πρίαμος Ἑλένην ἐκαλέσσατο φωνῇ» πρὸς διαστολὴν ὁ ποιητὴς λέγει τῆς διὰ νεύματος κλήσεως ἢ δι' ἀγγέλου ἢ χειρῶν. ὅρα δὲ τὸ ἐκαλέσσατο παθητικῶς λεχθέν, ᾧ ἀκόλουθον τὸ προσκαλεσάμενος. παρὰ δὲ τοῖς ὕστερον Ἀττικοῖς δικαστικὴ λέξις τὸ τοιοῦτον, ὡς δηλοῖ καὶ τὸ «καλοῦμαι Στρεψιάδην». (v. 162) Ὅτι πρὸς γνησίαν νεότητα οἰκεῖον λαληθῆναι ἀπὸ γέροντος τὸ «δεῦρο πάροιθ' ἐλθοῦσα», ἢ ἐλθών, «φίλον τέκος, ἵζευ ἐμεῖο». ἐνταῦθα δὲ ὅρα, ὅτι ὁ πρὸ μικροῦ εἰπών, ὡς ἐν νηυσὶ νεέσθω ἡ Ἑλένη, οὕτω συντόμως μεταβαλὼν φιλιοῦται αὐτῇ, ὥστε καὶ προσκαλεῖται καὶ φίλον τέκος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀνομάζει καὶ πάροιθεν ἑαυτοῦ καθίζει. οὕτω ἐφελκυστικάς τινας εἶχεν ἐκείνη πόθου ἴυγγας. τὸ δέ «δεῦρο» νῦν μὲν τὸ ἐλθέ δηλοῖ, ἀλλαχοῦ δέ ποτε τὸ ἐνθάδε, ὡς καὶ Αἴλιος Διονύσιός φησιν. (v. 164) Ὅτι οὐ μόνον αἴτιος παρ' Ὁμήρῳ ἁπλῶς δίχα συντάξεως ὁ αἰτιατέος ἤτοι μεμπτέος κατὰ τὸ «ἐπεὶ οὔ τί μοι αἴτιοί εἰσιν», ἀλλὰ καὶ κατὰ σύνταξιν κοινότερον ὁ πρόξενος τοῦδέ τινος, ἀγαθοῦ ἢ φαύλου. διὸ ἐνταῦθα τὸ «οὔ τί μοι αἰτίη ἐσσί, θεοί νύ μοι αἴτιοί εἰσιν», ἀμφοτέρως νοεῖται, ὅτι τε οὐ σὲ μέμφομαι ἀλλὰ τοὺς θεοὺς καὶ ὅτι οὐ σύ μοι αἰτία εἶ πολέμου, ἀλλὰ θεοὶ αἴτιοί εἰσι πολέμου. (v. 165) Ὅτι δὲ λείπει τὸ πολέμου, δηλοῖ Ὅμηρος ἐπαγαγὼν τὸ «οἵ μοι ἐπήγαγον πόλεμον». διὸ αὐτοὶ τούτου αἴτιοι. ἐνταῦθα δὲ ὅρα καί, ὅτι, ὥσπερ καθίζω αὐτοπαθῶς ἀντὶ τοῦ κάθημαι καὶ ἀλλοπαθῶς ἀντὶ τοῦ καθίζω ἄλλον, οὕτω καὶ ἐφορμῶ οὐ μόνον ἐγὼ κατά τινος, ἀλλὰ καὶ ἕτερον κατ' ἄλλου, ὡς δηλοῖ τὸ «οἵ μοι ἐφώρμησαν πόλεμον [πολύδακρυν», ὃ ταὐτόν ἐστι τῷ ἀρίδακρυν, ὅπερ ἐντεῦθεν ἡ παροιμία ὑπηγάγετο εἰποῦσα τὸ «ἀγαθοὶ δ' ἀριδάκρυες ἄνδρες». δῆλον δέ, ὡς τὸ μὲν πρᾶγμα πολύδακρυν ἔχει τὸν πολλῶν δακρύων αἴτιον, ἡ δὲ γραφικὴ τέχνη δακρυόεντα προφέρει αὐτὸν συμβολικῶς καὶ σκυθρωπόν, ὥσπερ καὶ αἵμασι πεφυρμένον καὶ ἰδεῖν ἄγριον.] (v. 163) Ὅτι πολλαχοῦ ὁ ποιητὴς ἐπὶ τῶν καθ' αἷμα συγγενῶν τὸ φίλος τιθεὶς ἐξ αὐτῶν μεταφέρει καὶ εἰς ἄλλας οἰκειότητας. καὶ ἐνταῦθα οὖν ἐν τῷ «ὄφρα ἴδῃς πρότερόν τε πόσιν, πηούς τε φίλους τε», πηοὺς μὲν δοκεῖ λέγειν τοὺς ἐξ ἀγχιστείας οἰκείους, φίλους δὲ τοὺς ἀφ' αἵματος.

1.628 [Τὸ δὲ ἴδῃς γράφεται καὶ ἴδῃ μετὰ προσγεγραμμένου τοῦ ι , ὡς ἀπὸ κράσεως τοῦ ἴδηαι, οὗ πρῶτον μὲν τὸ ἴδωμαι, δεύτερον δὲ τὸ ἴδηαι, οὗ χρήσεις πολλαί.] (v. 168—70) Ὅτι τῇ μὲν κεφαλῇ κατὰ τὸν τοῦ Πριάμου λόγον καὶ μείζονες ἄλλοι τοῦ Ἀγαμέμνονος ἦσαν, ὃν πρὸ τούτου Διῒ ἴκελον τὴν κεφαλὴν Ὅμηρος ἔλεγεν ἤτοι ἡγεμονικόν. «καλὸν δέ», φησίν, «οὕτω ἐγὼν οὔπω ἴδον ὀφθαλμοῖς οὐδ' οὕτω γεραρόν· βασιλῆϊ γὰρ ἀνδρὶ ἔοικε». καὶ σημείωσαι, ὅτι πρὸ τούτου ἐκπρεπέα τὸν Ἀγαμέμνονα εἶπεν, οὐχ' ὡς πλατύτατον ἢ ὑπερηρμένον τῷ μεγέθει, ἀλλ' ὡς γεραρόν. τῇ μὲν γὰρ κεφαλῇ καὶ ἄλλοι μείζονες, Ὀδυσσεὺς δὲ ἐν τοῖς ἑξῆς τὴν μὲν κεφαλὴν μείων αὐτοῦ, εὐρύτερος δὲ ὤμοις καὶ στέρνοις ἰδέσθαι. οὔκουν ὁ Ἀγαμέμνων πεπλάτυνται ἢ ὑπερῆρται εἰς μέγεθος, εἴγε καὶ ἄλλοι τήν τε κεφαλὴν καὶ τοὺς ὤμους καὶ τὰ στέρνα πλείονος λόγου ἔχουσιν ἄξια. γεραρὸς μέντοι ὑπὲρ τοὺς ἄλλους εἶναι δοκεῖ. οὐ γὰρ μέγεθος οὐδὲ ὤμων καὶ στέρνων εὐρύτης μόνη χαρακτηρίζει τὸν γεραρόν, ἀλλὰ καὶ ἄλλον τρόπον κατὰ τὸν τραγικόν «εἶδος ἄξιον τυραννίδος», ὅ ἐστι καλόν. (v. 166 s.) Καὶ οὕτω μὲν ὁ Πρίαμος, ὃς καὶ πελώριον ἄνδρα τὸν Ἀγαμέμνονα λέγει ἠΰν τε μέγαν τε εἰπών· «ὥς μοι καὶ τόνδ' ἄνδρα πελώριον ἐξονομήνῃς, ὅς τις ὅδ' ἐστὶν Ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε». ἃ δὴ ἔπαινός ἐστιν ἐπιφανοῦς ἀνδρὸς καὶ βασιλικοῦ κατὰ τὸν Ὁμηρικὸν χαρακτῆρα. Ἔστι δὲ ἠῢς ἢ ὁ ἀγαθὸς κατά τινας ἀπὸ τοῦ εὖ κατὰ διάλυσιν καὶ ἔκτασιν τοῦ ε , ἢ ὁ πλατύς, ὡς ἕτεροί φασιν. Ἑλένη δὲ ἄλλως αὐτὸν ἐπαινοῦσά φησιν· «ἀμφότερον βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής». βασιλικὸς δὲ τοῦτο ἔπαινος. τὸ γάρ τοι πελώριος καὶ καλός καὶ γεραρός καὶ ἑτέροις προσώποις εἰς ἐγκώμιον ἐπιπρέπουσιν. ἔστι δὲ τὸ μὲν καλός ταὐτὸν τῷ εὐειδής, γεραρός δὲ ὁ ἐκ μόνης θέας τὸ τίμιον ἔχων. μετ' ὀλίγα δὲ καὶ τῷ Ὀδυσσεῖ προσιστορεῖ τὸν τοιοῦτον ἔπαινον λέγων, ὅτι καθήμενος γεραρώτερος ἦν Μενελάου, μείζονος ὄντος ἄλλως καὶ ὑπερηρμένου ἐν τῷ ἵστασθαι.

1.629 (v. 172) Ὅτι ἐν τῷ «αἰδοῖός τέ μοί ἐσσι, φίλε ἑκυρέ, δεινός τε» αἰδῶ καὶ φόβον ἑαυτῇ πρὸς Πρίαμον ἡ Ἑλένη ἐπιμαρτύρεται, δι' ὧν ἡ τῶν ἐλαττόνων πρὸς τοὺς ὑπερέχοντας σχέσις συνέχεται. ἡ γὰρ ὑπερβάλλουσα τιμὴ ἐν αἰδοῖ κεῖται καὶ φόβῳ, καὶ ταῦτά ἐστιν, ἃ σῴζει τὴν Ἑλένην ἐν Τροίᾳ. καλῶς γὰρ ἔφη ὁ εἰπών, ὅτι «δέος ᾧ πρόσεστιν αἰσχύνη θ' ὁμοῦ, σωτηρίαν ἔχοντα τόνδ' ἐπίστασο». Ἰστέον δέ, ὅτι αἰδοῖος μὲν ὁ ἐφελκόμενος τὴν ἐξ ἑτέρων αἰδῶ καὶ ἄξιος αἰδοῦς, αἰδήμων δὲ ὁ ἄλλους αἰδούμενος, αἰδύλος μέντοι παρὰ τοῖς ὕστερον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντιφραστικῶς ὁ θρασύς. καὶ ὅτι καὶ ὁ αἰδήμων αἰδοῖος ἐν Ὀδυσσείᾳ κεῖται, ὥστε διχῶς ὁ αἰδοῖος, ὁ αἰδοῦς τε ἄξιος, ὅθεν καὶ αἰδοίη ταμίη, καὶ ὁ αἰδούμενος, ὡς τὸ «κακὸν δ' αἰδοῖος ἀλήτης». καὶ ὅτι αἰδεῖται μὲν ἡ αἰδήμων Ἑλένη ὡς μὴ τῷ κουριδίῳ ἀνδρί συνοῦσα, δέδιε δὲ ὡς ὑπὸ τῶν ἄλλων μισουμένη, καθὰ ἐν τῇ ω′ ῥαψῳδίᾳ δηλοῦται. Διπαθὴς δὲ λαγαροειδῶς ὁ ῥηθεὶς στίχος περὶ τὸ μέσον ἐν τῷ «φίλε ἑκυρέ». δυσὶ γὰρ ποσὶ σκάζει, ὧν ὁ μὲν ψευδοδάκτυλος, ὁ δὲ σπονδεῖος βίαιος. ἡ γὰρ λε συλλαβὴ ὡς μακρὰ λαμβανομένη διά τε τὴν προκειμένην ὀξεῖαν καὶ τὸ καταπεραιοῦν στιγμικῶς καὶ διὰ τὴν ἐπιφερομένην δασεῖαν δάκτυλον ἀπαρτίζει μετὰ τῶν ὑπ' αὐτὴν δύο συλλαβῶν, ἡ δὲ ἐφεξῆς ρε συλλαβὴ ὁμοίως ἐκτεινομένη τριχῇ λόγῳ κοινῆς συλλαβῆς διὰ τὸ ὀξέως τονοῦσθαι καὶ διὰ τὸ πέρας εἶναι λέξεως καὶ διὰ τὸ προκεῖσθαι τοῦ δέλτα, [δυναμένου καὶ αὐτοῦ τεχνικῶς ἐκτείνειν διὰ τὸ πεφυκέναι διπλασιάζεσθαι,] σπονδεῖον ἀποτελεῖ. καὶ οὕτως ἡ τοῦ μέτρου ποδικὴ ἐκθεραπεύεται χώλανσις. Περὶ δὲ τοῦ ἑκυρός, ὅ ἐστι πενθερός, ἑτέρωθι δηλοῦται, ὅπου καὶ περὶ ἑτέρων συγγενικῶν λέξεων. ὅτι δὲ καὶ συστέλλει τὴν παραλήγουσαν καὶ ὁ ἑκυρὸς καὶ τὸ αὐτοῦ θηλυκόν, δηλοῖ Ὅμηρος ἐν τῷ «ἢ ἑκυρή· ἑκυρὸς δὲ πατὴρ ὡς ἤπιος».

1.630 (v. 173—80) Ὅτι μεταμελομένη Ἑλένη ἐν ἐπηκόῳ Πριάμου ἐπὶ τῇ κατ' αὐτὴν ἁρπαγῇ φησιν· «ὡς ὄφελεν θάνατός μοι ἀδεῖν κακός, ὁππότε δεῦρο υἱέϊ σῷ ἑπόμην θάλαμον γνωτούς τε λιποῦσα» καὶ ἑξῆς. λυπεῖ γὰρ αὐτὴν τὸ θάλαμον λιπεῖν καὶ ἀδελφοὺς παῖδά τε, φησί, τηλυγέτην καὶ ὁμηλικίην ἐρατεινήν, ἤτοι τὴν ἡλικιῶτιν χορείαν ἢ νεολαίαν ἢ τὴν ὁμοίαν ἡλικίην. εἶτα ὡς ἤδη κατευξαμένη ἑαυτῆς ἐπιφέρει, ὅπερ καὶ ἄλλος τις ἐκπεσὼν τῆς ἐλπίδος ἐρεῖ· «ἀλλὰ τά γ' οὐκ ἐγένοντο· τὸ καὶ κλαίουσα τέτηκα». ὥστε πάνυ ἐγὼ δυστυχής, ἐὰν κλαίω, διότι ζῶ. καὶ νῦν μὲν ἡ Ἑλένη τοιαῦτα, προϊοῦσα δὲ καὶ κυνώπιδα καὶ κύνα ἑαυτὴν ἐρεῖ καὶ ἄλλα τινὰ λοίδορα, τρέψασα καθ' ἑαυτῆς τὸ κατὰ τὸν Ἀριστοτέλην ταῖς γυναιξὶ φύσει προσὸν φιλολοίδορον καὶ μεμψίμοιρον. ὅλως δὲ ἐπεὶ φιλέλλην ὁ ποιητὴς ὢν ὅμως οὐκ ἔχει ἐπικρύψαι τὸ μέγα τῆς Ἑλένης κακόν, τὴν ἑκούσιον ἁρπαγήν, μεταμελομένην πολλαχοῦ ποιεῖ αὐτὴν καὶ τοιαῦτα λέγουσαν καὶ πράττουσαν, ἀφ' ὧν ἂν τοῦ αἴσχους τὸ πολὺ ἀπαλείψειεν. (v. 173) Ἰστέον δέ, ὅτι τὸ «ὄφελε θάνατος μοι ἀδεῖν» ἀμφιβολίας ἐστὶ σχῆμα κρύπτον διττὴν ἔννοιαν· ἢ γὰρ ὅτι ὤφειλεν ἡδυνθῆναί μοι ὁ θάνατος καὶ κατὰ φύσιν ἀναλαβέσθαι καὶ ἀπαγαγεῖν με, ἢ ὅτι ὤφελεν ἀρεστὸς καὶ ἡδύς μοι δόξαι ὁ θάνατος, ὡς ἂν αὐτόχειρ ἐμαυτὴν τοῦ βίου ἐξήγαγον. [Ἰστέον δέ, ὅτι ἐκ τοῦ ἥδω, τὸ εὐφραίνω, δεύτερος μέλλων ἐνεργητικὸς ἁδῶ, οὐ Ἰωνικῶς καὶ Αἰολικῶς, ἤδη δὲ καὶ Δωρικῶς, ψιλωθέντος καὶ ἀνελθόντος εἰς ἀρχικὸν θέμα γίνεται ἀπ' αὐτοῦ τὸ ἀδεῖν. Κακὸς δὲ θάνατος ἢ ὁ τοῖς πλείοισι τοιοῦτος καὶ δι' αὐτὸ καὶ φευκτὸς ἢ καὶ πρὸς διαστολὴν καλῶν θανάτων, ὁποίους πολλαὶ ἱστορίαι οἴδασι.] (v. 174) Γνωτοὶ δὲ οἱ ἀδελφοὶ δίχα τοῦ ς καλῶς. οὕτω γὰρ καὶ ἀλλόγνωτοι λέγονταί τινες καὶ πολύγνωτοι, καθ' ὁμοιότητα δὲ καὶ τὸ «γνωτὰ κοὐκ ἄγνωτά μοι», τὸ τραγικόν. τὸ γὰρ μετὰ τοῦ ς λέγειν γνωστούς καὶ τὰ κατ' αὐτὸ οὐκ ἀπὸ τοῦ γνῶ γνώσω γίνεται ἀπαθῶς, ἀλλὰ ἐπένθεσιν ἔχει τοῦ ς , ἢ καὶ ἀπὸ ἐνεστώτων ἀρρήτων δοκεῖ γίνεσθαι, τοῦ γνώθω ἢ γνώζω, οὓς οὐδὲ ἤκουσέ τις.

1.631 ἀναλογώτερον οὖν τὸ γνωτούς καὶ τὰ κατ' αὐτὸ τοῦ γνωστούς καὶ τῶν ὁμοίων αὐτῷ. χρήσιμον δὲ ὧδε καὶ τὸ ἄσωτος καὶ τὸ θαυματά, ἤγουν θαυμαστά, παρὰ Πινδάρῳ. (v. 175) Ἰστέον δέ, ὅτι Ὁμήρῳ μὲν δοκεῖ Ἑρμιόνην μόνην εἶναι παῖδα τῇ Ἑλένῃ—τοῦτο γὰρ δηλοῖ τὸ τηλυγέτην, ὡς ἀλλαχοῦ σαφέστερον δείκνυται—, ἕτεροι δὲ καὶ υἱοὺς αὐτῇ καὶ Μενελάῳ γεννῶσι Νικόστρατον καὶ Αἰθιόλαν, οὓς καὶ παρὰ Λακεδαιμονίοις τιμᾶσθαί φασι, ἄλλοι δὲ Δίαιθον καὶ Μαράφιον, ἀφ' οὗ γένος φασὶ τὸ τῶν Μαραφίων ἐν Πέρσαις. (v. 174 s.) Σημείωσαι δέ, ὅτι θαλάμου μὲν καὶ ἀδελφῶν ἐμνήσθη καὶ θυγατρὸς καὶ ὁμηλίκων ἡ Ἑλένη, τοῦ δὲ ἀνδρὸς οὐκέτι, καὶ ταῦτα φίλανδρος οὖσα, ὡς πολλαχοῦ φαίνεται. αἴτιον δὲ νῦν τῆς τοῦ ἀνδρὸς ἀμνηστίας ὅτι δέδιεν, ὡς ἐμφαίνει καὶ ἐν τῷ δεινὸν καλέσαι τὸν Πρίαμον. διὸ καὶ οἷον κολακεύει τὸν γέροντα

σιγῶσα τὸν ἄνδρα Μενέλαον, ἵνα δόξῃ φιλεῖν τὸν Ἀλέξανδρον. ἀναπληρώσει δέ γε τὸ αὐτῆς ἔλλειμμα ὁ Ἀντήνωρ μνησθεὶς αὐτοῦ ὡς ἐκ παρόδου ἐν τοῖς ἑξῆς, ἵνα μηδὲ τὰ κατὰ τὸν Μενέλαον μείνῃ ἀνιστόρητα. [(v. 176) Ὅτι ὁ ἀποτυχών, ὧν ἤθελεν, ἐρεῖ ἂν τὸ «ἀλλὰ τά γ’ οὐκ ἐγένοντο· τό», ἤγουν διό, «καὶ κλαίουσα», ἢ κλαίων, «τέτηκα», ἤγουν ἐτάκην, οὗ χρῆσις καὶ παρὰ τῷ Κωμικῷ.] (v. 177) Ἐρωτήσεως δὲ ἀπόδοσις τὸ «τοῦτο δέ τοι ἐρέω, ὅ μ’ ἀνείρεαι ἠδὲ μεταλλᾷς». (v. 178 s.) Ὅτι Πρίαμος μὲν τὸν Ἀγαμέμνονα ἐκ τῶν σωματικῶν ἐχαρακτήρισε καὶ πλατύτερον ὡς ῥήτωρ ἐλάλησεν, Ἑλένη δὲ καὶ ἐκ ψυχῆς καὶ σώματος τὸν ἔπαινον συνείρουσά φησιν· «οὗτός γ’ Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων, ἀμφότερον βασιλεύς τ’ ἀγαθὸς κρατερός τ’ αἰχμητής». τὸ δὲ ἀμφότερον σχῆμά ἐστι φιλούμενον καὶ αὐτὸ τῷ ποιητῇ. ἐν πολλοῖς γοῦν κεῖται, οἷον καὶ τὸ «ἀμφότερον ἀγλαΐη τε καὶ ὄνειαρ», ἀντὶ τοῦ δύο ταῦτα, τόδε καὶ τόδε. τὸ δέ «κρατερὸς αἰχμητής» ἀνδρεῖον ὑπογράφει τὸν βασιλέα. οὐ γὰρ ἁπλῶς αἰχμητής, ἀλλὰ καὶ κρατερός. ἐν ἁπλότητι δὲ λεγόμενον τὸ κρατερός σφοδρότητα δηλοῖ, οἷον· «ἀπηνέα τε κρατερόν τε». τὸ δὲ βασιλεύς ἀγαθός πέλαγος ἐγκωμίων ὑπανοίγει τῷ σκεπτομένῳ καλῶς. Πρίαμος δὲ τὸ εὐρυκρείων μεταχειρισάμενος, ὃ δηλοῖ τὸ πολλῶν ἄρχων, ἔπαινον τοῦ Ἀγαμέμνονος ἐντεῦθεν πορίσεται εἰπὼν μετ’ ὀλίγα οὐ μόνον, ὡς πολλοὶ αὐτῷ δέδμηνται κοῦροι Ἀχαιῶν, ἀλλὰ καὶ ὡς πλείστους μέν ποτε εἶδεν αὐτὸς ὑπὸ τοῖς Φρυγίοις βασιλεῦσι λαοὺς διὰ τὸ καὶ ἐκείνους κρείοντας εἶναι, μὴ τόσους δέ, ὅσοι εἰσὶν ὑπὸ τῷ Ἀγαμέμνονι, ὃς καὶ εἴη ἂν διὰ τοῦτο εὐρυκρείων. οὕτω πλατὺς μὲν τὴν ῥητορείαν ὁ Πρίαμος, ἐπίτομος δὲ καὶ καιρία ἡ Λάκαινα. τὸ δὲ κρείων ἁπλοῦν εὕρηται καὶ κρέων παρ’ Εὐριπίδῃ, ὅθεν καὶ τὰ κύρια ὁ Κρέων καὶ ὁ Ἀνακρέων.

1.632 Ἰστέον δέ, ὅτι ἐκ τοῦ «δέδμηνταί σοι κοῦροι» ζευξίλεως εὕρηται παρὰ τοῖς μεθ’ Ὅμηρον ὁ βασιλεύς, ᾧ ὑπέζευκται λεώς, ταὐτὸν δ’ εἰπεῖν «δεδμήαται κοῦροι». (v. 180) Ὅτι συγγενικὴ λέξις τὸ δαήρ, δηλοῖ δὲ τὸν τοῦ ἀνδρὸς ἀδελφόν, οὗ γάλως τὸ θηλυκόν, ὡς προγέγραπται. ἐνταῦθα δὲ σημείωσαι τὸ «δαὴρ αὖτ’ ἐμὸς ἔσκε κυνώπιδος, εἴ ποτ’ ἔην γε», ἤγουν ἐμοῦ τῆς ἀναιδοῦς. καινοπρεπὴς οὖν ἡ σύνταξις ληφθείσης τῆς ἐμός κτητικῆς ἀντωνυμίας ἀντὶ πρωτοτύπου τῆς ἐμοῦ γενικῆς. Τὸ δέ «εἴ ποτ’ ἔην γε» πραΰνει τὸν ἐπὶ τῇ μνείᾳ τοῦ ἀνδρὸς λυπούμενον ἴσως κατ’ αὐτῆς, οἱονεὶ λέγουσα, ὡς οὐ νῦν ἐστιν, ἀλλά ποτε ἦν. κεῖται δὲ τοῦτο καὶ μετὰ ταῦτα ἐν τῷ «ὡς ἐόν, εἴ ποτ’ ἔην γε». ὅρα δὲ καί, ὡς, εἰ καὶ μὴ ῥητῶς ἐμνήσθη τοῦ ἀνδρὸς ἡ Ἑλένη, ὡς προείρηται, ἀλλὰ τὴν ἐπ’ ἐκείνῳ λύπην ἐμφαίνει καὶ νῦν ἄλλως, οὐ μόνον διὰ τοῦ κυνώπιδα ἑαυτὴν ὁμολογεῖν ἤτοι ἀναιδῆ, ὡς ἀναιδευσαμένην τὸ ἁρπαγῆναι, ἀλλὰ καὶ διὰ τὸ εἰπεῖν, ὅτι δαήρ μοι ἦν ὁ Ἀγαμέμνων, εἴ ποτε ἦν. τοῦτο δὲ ὡς νῦν αὐτῇ ἄλλων ὄντων δαέρων. (v. 181) Ὅτι γλυκέως ὑπὸ Πριάμου τῷ βασιλεῖ προσφωνηθὲν τὸ «ὦ μάκαρ Ἀτρείδη, μοιρηγενές, ὀλβιόδαιμον» ἐπαινεῖται διὰ τὸ τὰς ἐν αὐτῷ λέξεις κατά τινα πρόοδον εὔτακτον ἀρξαμένας ἀπὸ μονοσυλλαβίας προσαύξεσθαι συλλαβικῶς κλιμακηδὸν κατὰ προσθήκην ἀνάλογον τῇ ἀνόδῳ τοῦ φυσικοῦ χύματος τοῦ ἀριθμοῦ. μονοσύλλαβον μὲν γὰρ τὸ ὦ, δισύλλαβον δὲ τὸ μάκαρ, τριῶν δὲ συλλαβῶν τὸ Ἀτρείδη καὶ ἑξῆς ἕως πεντασυλλαβίας. ἔοικε δὲ Ὅμηρος τοιοῦτόν τι τεχνάσασθαι, εἰ καὶ κολοβόν, καὶ ἐν τῷ τοῦ Ἀλεξάνδρου σκώμματι τῷ «Δύσπαρι, γυναιμανές, ἠπεροπευτά». ἐνταῦθα γὰρ ἡ μὲν κατάρχουσα τῶν λέξεων τρισύλλαβος, ἡ δὲ μετ’ αὐτὴν τετρασύλλαβος, πεντασύλλαβος δὲ ἡ ὑστέρα. καὶ μὴν καὶ τὸ «τοξότα, κέρ’ ἀγλαέ, παρθενοπῖπα» τοιοῦτόν τί ἐστι. Σημείωσαι δέ, ὅπως εὐμεθόδως ὁ ποιητὴς διαφόροις τόποις ἐνέσπειρε τοὺς τοῦ Ἀγαμέμνονος ἐπαίνους καὶ ὡς ὁ πολέμιος βασιλεὺς ἐγκωμιάζει τὸν ἀγαθὸν Ἀγαμέμνονα οὐκ ἔχων κρύπτειν τὸ ἀληθές. ἅμα δὲ καὶ φιλοῦσιν ὡς τὰ πολλὰ οἱ χρονίαν πολιορκίαν παθόντες ἀποσεμνύνειν τοὺς ἐχθρούς, ἵνα μὴ δόξωσιν οὐδένες αὐτοὶ εἶναι ὡς ἀχρείων πολεμίων μὴ περιγινόμενοι. Εἰσὶ δὲ τὰ σποράδην βασιλικὰ ἐγκώμια τὸ ἐκπρεπέα ἐν πολλοῖς καὶ ἔξοχον ἡρώεσσι, τὸ ἄνδρα πελώριον, τὸ ἠΰς τε μέγας τε, τὸ γεραρός, τὸ βασιλεῖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνδρὶ ἐοικώς, τὸ ἀμφότερον βασιλεύς τ’ ἀγαθὸς κρατερός τ’ αἰχμητής, τὸ μάκαρ, μοιρηγενές, ὀλβιόδαιμον, τὸ πολλοὺς αὐτῷ δεδμῆσθαι κούρους Ἀχαιῶν. ὁ δὲ Πρίαμος τεχνικῶς καὶ συγκρινεῖ τὸν τοῦ Ἀγαμέμνονος λαὸν πρὸς ἕτερον στρατὸν ἐνδόξων βασιλέων ἱστορίαν παλαιὰν κατὰ τὸν Ἑλληνικὸν ῥήτορα Νέστορα παραπλέκων τοῖς λόγοις αὐτοῦ ἐνδεικνυμένου τοῦ ποιητοῦ πολυτρόπως καὶ εὐμεθόδως τήν τε ἐν λόγοις ποικιλίαν τήν τε πολυμάθειαν. (v. 181 s.) Ὅτι δὲ θαυμάσας ὁ Πρίαμος ἔφη τὸ «ὦ μάκαρ» καὶ ἑξῆς, δηλοῖ Ὅμηρος εἰπών· «τὸν δ’ ὁ γέρων ἠγάσσατο», τουτέστιν ἐξεπλάγη, «φώνησέν τε· ὦ μάκαρ» καὶ τὸ ἐφεξῆς.

1.633 (v. 182) Ὅρα δὲ καί, ὅτι νῦν μὲν τὸ μοῖρα ἐπ’ ἀγαθοῦ εἴληπται ἐν τῷ μοιρηγενές. —δηλοῖ γὰρ τὸν ἐν εὐμοιρίᾳ γεννηθέντα καί, ὡς ἐφεξῆς δηλοῖ, τὸν ὀλβιοδαίμονα—ὅτε δὲ εἴπῃ «ἡμῶν ὁπποτέρῳ θάνατος καὶ μοῖρα τέτυκται» οὐκ εὔφημόν τι ἡ μοῖρα δηλοῖ. Τὸ δὲ ὀλβιόδαιμον [παρῳδηθὲν ὕστερόν ποτε τὸν ὀλβιογάστορα καὶ τὸν κοιλιοδαίμονα προέφηνεν, ὧν τοῦ μὲν χρῆσις παρὰ τῷ Δειπνοσοφιστῇ ἐν τῷ «Εὐρύβατε κνισσολοιχέ, οὐκ ἔσθ’ ὅπως οὐκ ὀλβιογάστωρ εἶ σύ». τοῦ δὲ ἐν τῷ «γάστρων καὶ κοιλιόδαιμον, οὐδὲν ἄλλο σὺ οἶσθα, οὐ λόγους διεξοδικοὺς εἰπεῖν, οὐχ’ ἱστορίας μνησθῆναι». Ἔτι ἰστέον καί, ὅτι τὸ ὀλβιόδαιμον] προπαροξύνεται κανόνι τοιούτῳ· τὰ εἰς ων βαρύτονα μακρᾷ παραληγόμενα ἔχοντα κλητικὴν εἰς ον προπερισπῶνται ἁπλᾶ ὄντα, οἷον· ὦ Μαχᾶον, ὦ Ἀρετᾶον, ὦ Ἱκετᾶον. σύνθετα δὲ ὄντα ἀναδίδωσι τὸν τόνον, κυλλοπόδιον, Ποσείδαον, ὀλβιόδαιμον. Ὄλβιος δέ ἐστιν ὁ τὸν ὅλον βίον, ἤτοι τὸν τῆς ζωῆς πάντα χρόνον, ἐν εὐδαιμονίᾳ διάγων. τινὲς δὲ ὄλβιόν φασι κυρίως τὸν ἀπὸ γεωργίας πλούσιον, οὗ ἐν ὀλαῖς ἤτοι κριθαῖς ὁ βίος, ἃς καὶ οὐλὰς ἡ ποίησις λέγει, ἐξ ὧν ὡς ἀπὸ μέρους τὰ ἐκ γῆς δηλοῦται ἀγαθά. [αἱ δὲ ῥηθεῖσαι ὁλαὶ καὶ τὸν ὅλμον ἴσως παράγουσιν, ἐν ᾧ δηλαδὴ αἱ τοιαῦται ὁλαὶ μειοῦνται εἰς πτισσάνης σκευήν.] (v. 184) Ὅτι ἀμπελόεσσαν τὴν Φρυγίαν καλεῖ, τοιαύτην, ὡς εἰκός, οὖσαν κατὰ τὸ ἀμπέλων εὐφορεῖν. (v. 186) Καὶ ὅτι Ὀτρεὺς ὁ Δύμαντος καὶ Μυγδὼν ὁ Ἄκμονος Φρυγίας βασιλεῖς ἐπικουροῦντός ποτε Πριάμου τὸν πρὸς Ἀμαζόνας ἐξήγαγον πόλεμον στρατευσάμενοι παρὰ Σαγγαρίῳ. (v. 184—90) Φησὶ γοῦν ὁ ποιητικὸς Πρίαμος οὕτω· «ἤδη καὶ Φρυγίην εἰσήλυθον ἀμπελόεσσαν, ἔνθ’ εἶδον πλείστους Φρύγας ἀνέρας αἰολοπώλους, λαοὺς Ὀτρῆος καὶ Μυγδόνος ἀντιθέοιο, οἵ ῥα τότ’ ἐστρατόωντο παρ’ ὄχθας Σαγγαρίοιο· καὶ γὰρ ἐγὼν ἐπίκουρος ἐὼν μετὰ τοῖσιν ἐλέχθην», ἤγουν ἐν αὐτοῖς ἠριθμήθην, «ἤματι τῷ, ὅτε τ’ ἦλθον Ἀμαζόνες ἀντιάνειραι. ἀλλ’ οὐδ’ οἳ τόσοι ἦσαν ὅσοι ἑλίκωπες Ἀχαιοί», οἱ καὶ ἀλλαχοῦ οὕτω κληθέντες. [(v. 184) Ἐν τούτοις δὲ τὸ ἐσήλυθον νοεῖται μὲν καὶ κατὰ ἀναστροφήν, ἵνα ᾖ καὶ ἐς Φρυγίην ἤλυθον. δύναται δὲ εἶναι ὅμοιον καὶ πρὸς τὸ «κατέδυ Τρώων πόλιν». ὁμοιοῦνται γὰρ τὸ εἰσῆλθε χώραν καὶ κατέδυ πόλιν.] Φρυγίαν δὲ νῦν κατὰ τοὺς παλαιοὺς νοητέον τὴν μεγάλην, τὴν παρὰ τῷ ποταμῷ Σαγγαρίῳ, οὐ τὴν μικράν, περὶ ἣν καὶ ἡ Τροία ἐστίν.

1.634 εἴρηται δὲ περὶ τούτων καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. (v. 189) Αἱ δὲ Ἀμαζόνες, περὶ ὧν καὶ αὐτῶν πλατύτερον αἱ τοῦ Περιηγητοῦ δηλοῦσι Παρεκβολαί, καλοῦνται οὕτω ἢ παρὰ τὸ πηροῦν τὸν ἕτερον τῶν μαζῶν, αἱ οἱονεὶ μονόμαζοι, ὡς ἂν μὴ ἐμποδίζοιντο ἐν τῷ τοξεύειν, εἴγε κατὰ τὸν ποιητὴν ἐπὶ τῶν τοξευόντων «νευρὴ μὲν μαζῷ ἐπέλαζε, τόξῳ δὲ σίδηρος», ἢ παρὰ τὸ τὰ πολλὰ μὴ χρῆσθαι μάζαις, κρέασι δὲ καί που καὶ χελώναις, ὡς αἱ ἱστορίαι φασί, καὶ σαύραις καὶ ὄφεσιν. [Ὅτι δὲ τὸ α σημαίνει ποτὲ καὶ μόνωσιν, δῆλον καὶ ἐκ τοῦ ἁπλοῦν, ὅπερ ἐστὶ μόνον πέλον, ἤτουν ἕν, ὡς οἷον ἄπελον, ἤγουν ἓν πέλον, οὐ μὴν διπλοῦν.] Ἄρεος δὲ μυθεύονται ἀπόγονοι εἶναι καὶ Ἁρμονίας, νύμφης Ναΐδος. ἐλέγοντο δὲ καὶ ἐπὶ πυριπνόων ἵππων ὀχούμεναι ἄλλους τε τόπους καταδραμεῖν καὶ τὴν Φρυγίαν δὲ ἡγουμένων αὐταῖς τῆς στρατείας Μελανίππης καὶ ἑτέρων τινῶν. ἐπιφανεῖς δὲ ἱστοροῦνται Ἀμαζόνες ἄλλαι τε καὶ Ἱππολύτη, ἡ Θησέως ὕστερον γυνή, Ἀντιόπη, Ἄναια, Ἀνδρομάχη, Γλαύκη, Πενθεσίλεια. Ὅτι δὲ τὸν δεξιὸν μαστὸν ἐκ νηπίων πᾶσαι Ἀμαζόνες ἐπεκαίοντο, διὸ καὶ Ἀμαζόνες ἐλέγοντο, καὶ ἡ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Γεωγράφου ἱστορία δηλοῖ, παρ’ ᾧ καὶ ταῦτα κεῖται· τίς ἂν πιστεύσειεν ὡς γυναικῶν στρατὸς ἢ πόλις ἢ ἔθνος συσταίη ἂν χωρὶς ἀνδρῶν; καὶ οὐ μόνον συσταίη, ἀλλὰ καὶ ἐφόδους ποιήσεται ἐπὶ τὴν ἀλλοτρίαν καὶ κρατήσει. ὅμοιον γὰρ τοῦτο, ὡς ἂν εἴ τις λέγῃ τοὺς μὲν ἄνδρας τοὺς τότε γυναῖκας γεγονέναι, τὰς δὲ γυναῖκας ἄνδρας. φέρεται δὲ ἱστορία καὶ τοιαύτη. Ἀμαζών τις Ἀλεξάνδρῳ συμμῖξαι λέγεται ἐν Ὑρκανίᾳ καὶ συγγενέσθαι τεκνοποιΐας χάριν. δῆλον δέ, ὅτι ἀπ’ αὐτῶν καὶ παροιμία φέρεται τὸ «ἄριστα χωλὸς οἰφεῖ». ἐπήρουν μὲν γάρ, φασίν, Ἀμαζόνες ἀρρένων σκέλος ἢ δεξιὰν χεῖρα. Σκυθῶν δὲ προκαλουμένων αὐτὰς αὐτοῖς συνοικεῖν, ὡς ἀπηρώτοις οὖσι κατὰ Παυσανίαν, Ἀντιάνειραν, φασί, μίαν τῶν Ἀμαζόνων, θρασεῖαν οὖσαν καὶ ἀκόλαστον, εἰπεῖν· «ἄριστα χωλὸς οἰφεῖ», ὡς ἀρκουμένων αὐτῶν τοῖς χωλοῖς. ὅτι δὲ οὐ μόνον χωλὸς ὁ τὸν πόδα πεπηρωμένος ἐλέγετο, ἀλλὰ καὶ ὁ τὴν χεῖρα κυλλός, δῆλον ἐκ τῶν παλαιῶν.

1.635 (v. 185) Τοὺς δὲ Φρύγας αἰολοπώλους λέγει, ὡς εἴ τις εἴποι ταχυΐππους ἢ ἱππότας ὡς ἐφ’ ἵππων κινουμένους—αἰόλλω γὰρ τὸ ταχέως δίκην ἀέλλης κινῶ—. ἢ ποικίλως ἱππαζομένους. (v. 187) Τὸ δέ «παρ’ ὄχθας» ἀντὶ τοῦ κατὰ ὄχθας. οἱ δὲ μεθ’ Ὅμηρον παρ’ ὄχθαις φασίν. (v. 189) Ἀντιάνειραι δὲ Ἀμαζόνες ἀντὶ τοῦ ἐξισούμεναι [πρὸς ἀνέρας ὡς οἷον ἴσανδροι ἢ] ἐναντιούμεναι ἀνδράσι καί, ὡς ἄν τις ἀστείως ἐρεῖ, δηϊάνειραι. (v. 193—8) Ὅτι Ὀδυσσεὺς μείων μὲν κεφαλῇ τοῦ Ἀγαμέμνονος, καθά φησιν ὁ Ὁμηρικὸς Πρίαμος, «εὐρύτερος δ’ ὤμοισιν ἰδὲ στέρνοισιν ἰδέσθαι». τοῦτον λέγει καθημένων Ἀχαιῶν καὶ Τρώων ὡς φιλοβασιλέα ὄντα διευθετεῖν τὰ κατὰ τὸν ἀγῶνα τῆς μονομαχίας, περιϊόντα ἡσύχως οἷα βραβευτήν. διὸ καὶ κτίλῳ ἀρνειῷ αὐτὸν εἰκάζει, τῷ ἡμερωτάτῳ τὸν ἐνηῆ, καὶ ἀρνειῷ πηγεσσιμάλλῳ διερχομένῳ μέγα πῶϋ οἰῶν λευκῶν καὶ οὕτω περιφανεῖ ὄντι. φησὶ γάρ· «τεύχεα μέν οἱ κεῖται ἐπὶ χθονὶ πουλυβοτείρῃ, αὐτὸς δὲ κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν· ἀρνειῷ μιν ἔγωγε ἐΐσκω πηγεσιμάλλῳ, ὅς τ’ οἰῶν μέγα πῶϋ διέρχεται ἀργεννάων». (v. 196) Ἔστι δὲ κτίλος μὲν ὁ χειροήθης καὶ ἥμερος ἐκ τοῦ κίω, τὸ πορεύομαι, ὁ τῶν ἄλλων προπορευόμενος, ἐξ οὗ καὶ ἐκτιλωμένος παρὰ Παυσανίᾳ, ὁ συνήθης τινί, καὶ κτιλῶσαι ῥῆμα παρὰ Ἡροδότῳ εἰπόντι· «ἐκτιλώσαντο τὰς λοιπὰς τῶν Ἀμαζόνων», ἤγουν εἰς γυναῖκας ἔσχον πραΰναντες. Πορφύριος δὲ καὶ κύριον ὄνομα οἶδε Κτίλον τινά, ὃν Διὸς λέγει ἀπόγονον. (v. 197) Ἀρνειὸς δὲ οὐχὶ τὸ ἀρνίον, ἀλλ’ ὁ τέλειος καὶ ἤδη κριός. καὶ δῆλον ἐκ τοῦ τὸν Ὀδυσσέα σώσαντος. ἐκεῖνος γὰρ ἀρνειὸς ὢν κριὸς πέπων ὑπὸ τοῦ Κύκλωπος προσεφωνήθη. γίνεται δὲ ἀπὸ τοῦ ἀρνός ὁ ἀρνειός, ὁμοίως τῷ ἀδελφειός, ἀφνειός, Ἀλφειός, Σπερχειός καὶ τοῖς ὁμοίοις. Τὸ δὲ πηγεσιμάλλῳ ἀντὶ τοῦ μελανομάλλῳ. ὁ γὰρ τοιοῦτος ἀρνειὸς ἐν μεγάλῳ λευκῷ ποιμνίῳ διάδηλος. καὶ κῦμα γὰρ πηγὸν τὸ μέλαν.

1.636 οἱ δὲ πηγεσίμαλλον τὸν λευκόμαλλόν φασιν, ὡς καὶ τοῦ Λυκόφρονος πλόκαμον πηγὸν εἰπόντος τὴν λευκὴν πολιάν. Σκοπητέον δὲ μήπου ἐστὶ ῥῆμα πηγῶ πηγέσω, ἐξ οὗ πηγεσίμαλλος, ἢ τὸ πῆγος, ἐξ οὗ ἂν ὁ πηγεσίμαλλος γίνοιτο ὡς ἐκ τοῦ ἔγχος ἔγχεσιν ὁ ἐγχεσίμωρος. ἀπὸ γὰρ τοῦ πηγόν ὁ πηγόμαλλος ὤφειλεν εἶναι. (v. 198) Ἰστέον δὲ καί, ὅτι κατὰ τὴν παρατήρησιν τῶν παλαιῶν τὴν τοῦ οἰῶν εὐθεῖαν οὐδέποτε μονοσυλλάβως εἶπεν ὁ ποιητής «οἶς», ἀλλὰ διαλελυμένως «ὄϊς». καὶ τὰς πλαγίους δὲ διαλύει, εἰ μὴ μέτρον κωλύει, ὡς ἐν τῷ «οἰὸς ἀώτῳ». καὶ ἔστιν ἀναλογώτερον τὸ δισύλλαβον. οὐδὲ γάρ ἐστιν ἄλλο τοιοῦτον, εἰ μὴ παρὰ Ἀττικοῖς αὐτό τε καὶ τὸ φθοῖς. Σημείωσαι δὲ καί, ὅτι οὐ μικροποιὸς ἡ παραβολὴ πώεϊ τὸν τοσοῦτον λαὸν εἰκάσασα. πρὸς μόνον γὰρ τὸ τοῦ Ὀδυσσέως ἐνηὲς εἴληπται καὶ τὴν ἐκείνου ἠρεμαίαν καὶ ἀκακοήθευτον ἐν τοσούτῳ λαῷ πρὸς τὸ παρὸν κίνησιν, εἰ καὶ τρόπον ἕτερον πολυμήχανος ἦν. ἄλλως γὰρ οὐδὲν ὅμοιον ἔχει οὔτε ἀρνειῷ ὁ τηλικοῦτος Ὀδυσσεὺς οὔτε πώεϊ ὁ τοσοῦτος στρατός. Ὅρα δὲ καί, ὅτι, ὥσπερ πρὸ μικροῦ συντομωτάτῃ παραβολῇ χρησάμενος τῇ «ὄρνιθες ὥς» ἐπήγαγε πλατυτέραν ἑτέραν ἐφερμηνευτικήν, οὕτω καὶ ἐνταῦθα ποιεῖ. εἰπὼν γάρ, ὅτι Ὀδυσσεὺς κτίλος ὣς ἐπεπωλεῖτο τὸν στρατόν, ἐπήγαγεν· «ἀρνειῷ μιν ἔγωγε ἐΐσκω»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἑξῆς. τοῦτο δὲ καὶ διασαφητικόν ἐστι τοῦ κτίλος. δῆλον γάρ, ὅτι κτίλος ἐστὶν ἀρνειὸς τὸ πῶϋ πᾶν περιερχόμενος διὰ χειροήθειαν. [(v. 194) Ἰστέον δέ, ὅτι τὸ «εὐρύτερος ἰδέσθαι» διφορεῖται τῇ φράσει. ἔστι γὰρ εἰπεῖν καὶ εὐρύτερος ἰδεῖν κατὰ τὸ «καλὸς ἰδεῖν» καὶ τὰ τοιαῦτα.] (v. 201 s.) Ὅτι οὐδὲν ἐμποδὼν εἰς ἀνδρὸς ἀγαθοῦ γένεσιν φαυλότης πατρίδος. καὶ τοῦτο ἔδειξε μὲν καὶ ἡ λυπρὰ Πέλλα μέγαν βασιλέα προενεγκοῦσα τὸν Ἀλέξανδρον. καὶ Ἀνάχαρσις δὲ ὁ Σκύθης αὐτὸ πιστοῦται [καὶ ἡ τὸν σοφὸν δὲ Θεμίστιον προενεγκαμένη, ὡς ἐκεῖνός που ἱστορεῖ, μαρτυρεῖ.] δηλοῖ δὲ πρὸς ἄλλοις μυρίοις καὶ ἡ Ἰθάκη νῆσος, οὐ πολλοῦ λόγου ἀξία, ἐξ ἧς, ὡς ἡ Ἑλένη φησί, τραχείας οὔσης ἔβλαστεν ὁ πολύμητις Ὀδυσσεύς, «ὅς», φησί, «τράφη ἐν δήμῳ Ἰθάκης», τῷ καὶ ἐν Ὀδυσσείᾳ, «κραναῆς περ ἐούσης, εἰδὼς παντοίους τε δόλους καὶ μήδεα πυκνά». καὶ ὅρα, ὅτι καὶ νῦν Πρίαμος μὲν σωματικῶς ἐπήνεσε τὸν Ὀδυσσέα, Ἑλένη δὲ εἰς τὴν ψυχὴν ἐκείνου προέκυψε. (v. 202) Σημείωσαι δὲ καί, ὅτι τὸ «εἰδὼς δόλους» αἰτιατικῇ συνέταξεν, ἀλλαχοῦ δὲ γενικῇ, ὡς καὶ ἐν τῷ «τόξων εὖ εἰδώς» καὶ «εὖ εἰδὼς τεκτοσυνάων».

1.637 [καὶ ὅτι τὸ παντοίους δόλους οὐκ ἔστιν ἄκρατος ἔπαινος Ὀδυσσέως, εἴπερ οὐχ' ἁπλῶς δόλους οἶδεν ἀλλὰ παντοίους, ὧν εἷς καὶ ὁ κατὰ τοῦ καλοῦ Παλαμήδους, ψεκτέος πάντως ὤν, ὡς οὐκ ἂν ἀντείποι τις.] Τὸ δέ «μήδεα πυκνά» μετ' ὀλίγα σαφηνίζων ὁ ῥήτωρ Ἀντήνωρ νιφάσιν ἀπεικάζει τοὺς Ὀδυσσέως λόγους. Ἰστέον δὲ καί, ὅτι ἔδει μὲν τὸν Πρίαμον εἰδέναι τὴν ὄψιν τοῦ Ὀδυσσέως, εἴγε καὶ εἰς τὴν Τροίαν ἦλθεν, ὡς ῥηθήσεται, ὁ δὲ ἀγνοεῖ αὐτόν, ἴσως μὲν οὐκ ὀξὺ βλέπων διὰ τὸ βαθὺ γῆρας, τυχὸν δὲ καὶ ἐξελάθετο ἢ οὐδὲ τότε ἠκριβώσατο. ὁ μέντοι Ἀντήνωρ ἀκριβῶς τὸν τοῦ Ὀδυσσέως χαρακτῆρα ἐγγράψας πάλαι ποτὲ τῇ ψυχῇ ἀναγνωρίζει αὐτὸν ἅμα τῷ λόγῳ τῆς Ἑλένης. (v. 204) Ὅτι τὸ «ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος νημερτὲς ἔειπες» παρῳδήσας ὁ ποιητὴς ἄλλως ἐν Ὀδυσσείᾳ ἔφη· «ὦ γύναι, ἦ μάλα τοῦτο ἔπος θυμαλγὲς ἔειπες». ἔστι γὰρ καὶ τοῦ παρῳδεῖν διδάσκαλος ὁ ποιητής. (v. 205—7) Ὅτι Ἀντήνωρ ἀκολούθως, οἷς εἶπεν ἡ Ἑλένη, ἀναγνωρίσας τὸν Ὀδυσσέα ἱστορεῖ, ὡς αὐτόν τε καὶ τὸν Μενέλαον ἕνεκ' ἀγγελίης τῆς κατὰ τὴν Ἑλένην ἐλθόντας εἰς Τροίαν ἐκ Τενέδου ἐν καταρχῇ τοῦ πολέμου ἐξείνισε καὶ ἐν μεγάροισι φίλησεν ἤτοι ἐφιλοφρονήσατο καὶ ἐξένισεν, ὅπερ οἱ ὕστερον προξενῆσαι λέγουσι, μετὰ γενικῆς τὸ ῥῆμα συντάσσοντες, οἷον «πειράσομαί σου προξενεῖν», ὥσπερ καὶ τὸ ξεναγεῖν, ὅπερ ταὐτόν ἐστι τῷ προξενεῖν, γενικῇ συντάσσει ὁ Ἀρριανός. τὸν δὲ ταῦτα ποιοῦντα πρόξενον ἐκάλουν οἱ μεθ' Ὅμηρον, ὡς δηλοῖ καὶ ὁ εἰπών· «φίλης γὰρ προξένου κατήνυσαν». οἶδε δὲ σὺν ἄλλοις καὶ Ἡρόδοτος τὴν ῥηθεῖσαν ἱστορίαν λέγων, ὅτι Ἕλληνες πέμψαντες ἀγγέλους ἤθελον τήν τε Ἑλένην ἀπαιτεῖν καὶ τῆς ἁρπαγῆς δίκας αἰτεῖν. οἱ δὲ προϊσχόμενοι τὴν τῆς Μηδείας ἁρπαγὴν οὐκ ἐπείσθησαν. Σημείωσαι δέ, ὅτι οἱ ῥηθέντες πρόξενοι χειροτονητοὶ ἦσαν ἢ ὑπὸ δήμου ἢ ὑπὸ βασιλέων. Ἡρόδοτος οὖν γέρας εἶναί φησι τοῖς βασιλεῦσιν ἐν Σπάρτῃ τὸ καὶ προξένους ἀποδεικνύειν, οὓς ἂν θέλωσι τῶν ἀστῶν. Φασὶ δὲ καί, ὅτι ἐπιβουλευομένους ὥστε δολοφονηθῆναι τοὺς περὶ Ὀδυσσέα καὶ Μενέλαον ὁ Ἀντήνωρ περιεσώσατο. διὸ καὶ ἡ Ἑλένη τὸ τοῦ Ἀντήνορος, ὡς προξένου τοῦ ἀνδρός, ἔοικε γένος ἀγαπᾶν, ὡς δῆλον καὶ ἐκ τοῦ τὴν Ἶριν πρὸ μικροῦ τῇ Ἑλένῃ ὁμιλοῦσαν μὴ ἄλλῃ τινί, ἀλλὰ τῇ Ἀντήνορος γυναικὶ Λαοδίκῃ παρεικασθῆναι. Ἀγαμέμνων δέ, φασίν, ἀπομνημονεύσας τῆς εἰς Ἕλληνας ἀγαθῆς προξενίας ἐκείνου παρδαλέην ἐξάψας, ὅ ἐστιν ἀπαιωρήσας, τῆς τοῦ Ἀντήνορος οἰκίας, ὅτε ἡ Τροία ἑάλω, ἄβατον τοῖς Ἕλλησι τὴν αὐτοῦ οἰκίαν διεφυλάξατο. ἑτέρωθι δὲ ἡ τῆς ἱστορίας ταύτης διάθεσις τοιαύτη εὕρηται.

1.638 Σοφοκλῆς ἱστορεῖ ἐν ἁλώσει Ἰλίου παρδαλέην τῆς θύρας προτεθῆναι τοῦ Ἀντήνορος, σύμβολον τοῦ ἀπόρθητον ἐαθῆναι τὴν οἰκίαν. τὸν δὲ ἅμα παισὶ μετὰ τῶν περιγενομένων Ἐνετῶν εἰς Θρᾴκην περισωθῆναι, κἀκεῖθεν διεκπεσεῖν εἰς τὴν ἐν τῷ Ἀδρίᾳ Ἐνετικήν. Πιθανῶς δὲ Ἀντήνωρ ὡς ξενοδοχήσας ποτὲ καὶ ἰδὼν καὶ εὖ εἰδὼς ἐπιμαρτύρεται ἀλήθειαν τῇ Ἑλένῃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναγνωρίζων τὸν Ὀδυσσέα, ἵνα μὴ ὑποπτευθῇ ἡ Ἑλένη, ἐφ’ οἷς λέγει. περὶ δὲ τῆς ῥηθείσης, ὡς μὲν Εὐριπίδης ἂν εἴποι, Ἀδριηνῆς, κοινῶς δὲ Ἀδριατικῆς, Ἐνετικῆς ζητητέον ἐν τοῖς τοῦ Περιηγητοῦ. Ἰστέον δέ, ὅτι τεσσάρων τούτων ὄντων, προξένων, ἀστοξένων, δορυξένων καὶ ἰδιοξένων, πρόξενοι μὲν κατὰ Αἴλιον Διονύσιον οἱ ὅλης πόλεως ξένοι, παρ’ οἷς καὶ πρέσβεις κατάγονται, καὶ αὐτοὶ πρεσβείας προσάγουσι πρὸς τὸ δημόσιον. ἀστόξενοι δὲ οἱ ἐκ προγόνων μὲν ἀστῶν, αὐτοὶ δὲ ξένοι καὶ ἀνανεώσεως δεόμενοι, ὁποῖος Ἀγαμέμνων ἐν Λυδίᾳ. δορύξενοι δὲ οἱ ἐκ πολέμου ξένοι γεγονότες τισίν. ἰδιόξενοι δὲ οἱ ἰδίᾳ καθ’ ἑαυτοὺς ξένοι ὄντες. Παυσανίας δὲ περὶ ἀστοξένων οὕτω φησίν· ἀστόξενοι οἱ γένει προσήκοντες τῇ πόλει τὸ ἀνέκαθεν, οὐκ ὄντες δὲ πολῖται, ὡς ἐν Κορίνθῳ Γλαῦκος, ὁ Ἱππολόχου τοῦ Βελλεροφόντου. ἕτεροι δὲ οὕτω· ἀστόξενοι οἱ γένει μὲν ἐξ ἀρχῆς προσήκοντες, ἐπὶ δὲ ἀλλοδαπῆς γεγονότες. περὶ δὲ δορυξένου ὁ αὐτὸς Παυσανίας φησίν, ὅτι δορύξενος ὁ ἐκ πολεμίων φίλος καὶ ὁ πρεσβεύων περὶ λύτρων, εἰ ζωγρηθεῖέν τινες. Σοφοκλῆς δὲ ἐν τῷ «ὁ γάρ», ἤγουν οὗτος, «μέγιστος αὐτοῖς τυγχάνει δορυξένων» ἢ παραχρᾶται τῇ λέξει ποιητικώτερον ἢ δριμέως δορυξένους λέγει τοὺς τοῖς φονεῦσι τοῦ Ἀγαμέμνονος φιλιωθέντας, ἵνα πολεμικῶς ἐχθραίνωσι τοῖς ἐκείνου παισίν, [ὡς εἶναι οὕτω δορύξενον εἰπεῖν καὶ τὸν χάριν δουρός, ἤτοι πολέμου, συμμαχικῶς ξενισθέντα ὑπό τινων. (v. 209) Ὅτι ἐν τῷ «ἀλλ’ ὅτε δὴ Τρώεσσιν ἐν ἀγρομένοισιν ἔμιχθεν», ὁ Μενέλαος δηλαδὴ καὶ ὁ Ὀδυσσεύς, τὸ μὲν ἀγρομένοισιν ἀγορὰν Τρώων ὑπολαλεῖ, τὸ δὲ ἔμιχθεν οὐ κυριολεκτεῖται μέν, καθὰ ἐπὶ μισγαγκείας ὑδάτων, ἐφιλήθη δὲ τῷ Πινδάρῳ τε ὡς ἀγαθὴ λέξις, καθὰ ἐν τοῖς ἐκείνου δεδήλωται, καὶ τῷ εἰπόντι δέ, ὡς ἀναμὶξ ἀγκύλων ἱππόται, κατὰ τὸ «μαίνονται ἐπιμὶξ ἵπποι τε καὶ ἄνδρες».] (v. 210 s.) Ὅτι ὑπογράφων δι’ Ἀντήνορος ὁ ποιητὴς καὶ τὸ τοῦ Μενελάου εἶδος ἐκ τῆς πρὸς τὸν Ὀδυσσέα παραθέσεώς φησι· «στάντων μὲν Μενέλαος ὑπείρεχεν εὐρέας ὤμους, ἄμφω δ’ ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς». καὶ ὅρα, ὅτι τῇ κεφαλῇ μὲν μείων καὶ τοῦ Μενελάου ὁ Ὀδυσσεύς, ὡς καὶ τοῦ Ἀγαμέμνονος, ἄλλως δὲ γεραρώτερος τοῦ Μενελάου, ὥσπερ αὐτοῦ πάλιν τοῦ Ὀδυσσέως ὁ Ἀγαμέμνων.

1.639 Σημείωσαι δὲ καί, ὅτι σολοικοφανὲς ἤγουν καινοπρεπὲς σχῆμα τὸ «ἄμφω δ’ ἑζομένω γεραρώτερος ἦν Ὀδυσσεύς». ὤφειλε μὲν γὰρ καὶ ἠδύνατο εὐσυντάκτως εἰπεῖν «ἀμφοῖν δ’ ἑζομένοιν». ὁ δὲ οὕτως ἔφρασε καινότερον διὰ τὸ ἄρξασθαι μὲν ὡς ἐν σχεδιασμῷ ἀπὸ εὐθείας δυϊκῆς, εἶτα μὴ ἔχειν ἓν κοινὸν ῥῆμα περὶ Ὀδυσσέως καὶ Μενελάου εἰπεῖν. οὐδὲ γὰρ ἦσαν ὁμοίως ἄμφω γεραροί. τοιοῦτον καὶ τὸ «σύν τε δύ’ ἐρχομένω καί τε πρὸ ὃ τοῦ ἐνόησε» καὶ τὸ «οἱ δὲ δύο σκοπελοί, ὃ μὲν εἰς οὐρανὸν ἱκάνει» καὶ ἄλλα πολλά. (v. 208) Σημείωσαι δ’ ἐν τοῖς ῥηθεῖσι καί, ὅτι φθάσας εἰπεῖν ὁ ῥήτωρ Ἀντήνωρ προαναφωνητικῶς τὸ «ἀμφοτέρων δὲ φυὴν ἐδάην καὶ μήδεα πυκνά» ἡρμήνευσεν ἐν τοῖς προσεχῶς ῥηθεῖσι τὴν φυὴν ἐν τῷ «στάντων μὲν Μενέλαος ὑπείρεχε» καὶ ἑξῆς, ὡς εἴρηται, ἵνα εἴη φυὴ μὴ μόνον ἡ φύσις καὶ ἡ εὐφυΐα, καθ’ ἣν εὖ πέφυκέ τις πρὸς ἔργον, ἀλλὰ καὶ ἡ κατὰ σῶμα ὑπεροχὴ καὶ γεραρότης. καὶ οὕτω μὲν διεσάφησε τὴν φυὴν καὶ μάλιστα ἐν τῷ «οὐ τότε γε ὧδ’ Ὀδυσῆος ἀγασάμεθα εἶδος ἰδόντες», ὡς καὶ τοῦ ἀγαστοῦ εἴδους φυῆς λεγομένου. Τὸ δὲ πυκνὰ μήδεα διερμηνεύων ἐπάγει τὰ εὐθὺς ῥηθησόμενα. (v. 213—24) Ὅτι Ἀντήνωρ ἐπαινῶν ὡς ῥήτωρ τὴν κατὰ Ὀδυσσέα καὶ Μενέλαον ῥητορείαν, ὡς καὶ ὁ βασιλεὺς Πρίαμος πρὸ βραχέων τὸν ὅμοιον Ἀγαμέμνονα, ἰδέαν λόγου καθυπογράφει τῷ μὲν Μενελάῳ διὰ νεότητα ἢ καὶ ὡς Λάκωνι στενήν, ταὐτὸν δ’ εἰπεῖν γοργήν, τὰ καίρια μόνα ἐν βραχεῖ ἐπιλεγομένῳ, τὰ δὲ περιττὰ ἐπιτρέχοντι. λέγει γάρ· «ἀλλ’ ὅτε δὴ μύθους καὶ μήδεα πᾶσιν ὕφαινον, ἤτοι μὲν Μενέλαος ἐπιτροχάδην ἀγόρευε, παῦρα μέν, ἀλλὰ μάλα λιγέως, ἐπεὶ οὐ πολύμυθος οὐδ’ ἀφαμαρτοεπής, ἢ καὶ γένει ὕστερος ἦεν». Τῷ δὲ Ὀδυσσεῖ πάνυ ἁδρὸν καὶ πυκνότητι νοημάτων ἐμπλατυνόμενον ἐμφαίνει τὸν χαρακτῆρα εἰπών· «ἀλλ’ ὅτε δὴ ὄπα τε μεγάλην ἐκ στήθεος ἵει καὶ ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσιν, οὐκ ἂν ἔπειτα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀδυσσῆϊ γ’ ἐρίσειε βροτὸς ἄλλος». καίτοι πρὸ τῆς δημηγορίας ζακότῳ ἐοικὼς καὶ ἀνεπιστήμονι, ὡς δηλοῖ πρὸ τούτων εἰπὼν τὸ «ἀλλ’ ὅτε δὴ πολύμητις ἀναΐξειεν Ὀδυσσεύς, στάσκεν», ἤγουν ἵστατο, «ὑπαὶ δὲ ἴδεσκεν», ὅ ἐστιν ὑπεβλέπετο παρασύρων ἴσως τὸ βλέμμα λόγῳ βλοσυρότητος, «κατὰ χθονὸς ὄμματα πήξας, σκῆπτρον δ’ οὔτ’ ὀπίσω οὔτε προπρηνὲς ἐνώμα, ἀλλ’ ἀστεμφὲς ἔχεσκεν ἀΐδρεϊ φωτὶ ἐοικώς· φαίης κεν ζάκοτόν τέ τιν’ ἔμμεναι ἄφρονά τ’ αὔτως. ἀλλ’ ὅτε δὴ ὄπα τε μεγάλην» καὶ ἑξῆς, ὡς προσεχῶς ἐγράφη. ἐν οἷς ὅρα, ὅτι τὸ «ἀλλ’ ὅτε δή» τρὶς ἐτέθη κατ’ ἐπαναφορὰν ἐν στίχων ἀρχαῖς.

1.640 Φασὶ δ’ ἐνταῦθα οἱ παλαιοί, ὅτι τρεῖς τρόποι ῥητορείας, ὁ ἀπολελυμένος καὶ βραχὺς καὶ περὶ τὰ καίρια ἔχων, οἷος ὁ τοῦ Μενελάου, ὃς ἐπιτρέχων τὰ πολλά, ὡς εἴρηται, μόνα λέγει τὰ καίρια. δεύτερος ὁ ὑψηλὸς καὶ καταπληκτικὸς καὶ μεστὸς ἐνθυμημάτων ἀθρόως λεγομένων, ὃν καὶ Δημοσθένης ζηλοῖ. καὶ τρίτος ὁ πιθανὸς καὶ πολλῶν πλήρης δογμάτων, οἷος ὁ τοῦ Νέστορος, οὗ ζηλωτὴς Ἰσοκράτης, ὃς τὸ γνωμολογικὸν καὶ σαφὲς ἐζήλωσε. (v. 212) Τῶν δὲ Ὁμηρικῶν λέξεων τὸ μὲν μύθους καὶ μήδεα διαφορὰν ἔχει, καθότι μῦθοι μὲν οἱ ἁπλῶς οὕτω λόγοι, μήδεα δὲ οἱ κατὰ συμβουλὴν λόγοι. δῆλον δέ, ὡς ὁμώνυμος λέξις καὶ τὰ μήδεα, δηλοῦσα νῦν μὲν βουλεύματα, ἐν ἄλλοις δὲ καὶ αἰδοῖα, τὰ παρὰ Ἡσιόδῳ μέζεα, ὧν προκατάρχει τὸ μέδω, ἤγουν ἄρχω, ἐξ οὗ μέδεα, ἀρχή τις ὄντα καὶ αὐτὰ ἐν τῷ ζῴῳ, καὶ κατὰ τροπὴν συνήθη μέζεα. Τὸ δέ «βουλὰς ὑφαίνειν» ἐκ μεταφορᾶς καὶ αὐτὸ εἴρηται συνθέσεως ὑφαινομένου ἱστοῦ. ὡς γὰρ ἡ τῆς κρόκης ἐκεῖ τῷ στήμονι ἐπισύνθεσις ἀποτελεῖ ὕφασμα, οὕτω καὶ λόγον ἡ συνθήκη τῶν λέξεων. εὑρήσει δέ τις καὶ τὸν ἐν Ὀδυσσείᾳ τῆς Πηνελόπης ἱστὸν διὰ τὴν τοιαύτην ὁμοιότητα εἰς φιλοσόφους λόγους ἐκλαμβανόμενον. Τὸ δέ «πᾶσιν ὕφαινον» δημοσίᾳ δημηγορεῖν ἐν Τροίᾳ τηνικαῦτα τὸν Ὀδυσσέα δηλοῖ. [Ἰστέον δέ, ὅτι τὸ καθ’ Ὅμηρον ὑφαίνεσθαι λόγους ἠρέθισέ τινας τῶν ὑστέρων συντιθέναι στίχους ὡς ἐν τύπῳ ὑφάνσεως, οὓς καὶ ἱστοὺς ὠνόμαζον, ὧν ἕκαστος ἐν ἰσότητι γραμμάτων ἡπλωμένος κατὰ πλάτος μὲν ἄλλως ἀνεγινώσκετο, ἑτέρως δὲ κατὰ βάθος ἐν ἀνομοιότητι ἐννοιῶν. καὶ ἦν ἐν τοῖς τοιούτοις ἔπεσι τὸ μέν τι ὡσανεὶ στήμων, τὸ δὲ ὡς οἷον κρόκη.] (v. 213—5) Τὸ δὲ ἐπιτροχάδην ἀντὶ τοῦ κεφαλαιωδῶς, ταχέως, ἐσπευσμένως ἐν τῷ ἐπιτρέχειν τὰ πολλά. ὃ διασαφῶν φησι· «παῦρα», ἤγουν ὀλίγα. ἐπεὶ δὲ κακία πολλάκις λόγου καὶ ἀδυναμία τὸ βραχυλογεῖν, ἐπάγει· «ἀλλὰ μάλα λιγέως». εἰς πλέον δὲ τοῦτο ἐφερμηνεύων φησί· «ἐπεὶ οὐ πολύμυθος», ἢ διὰ Λακωνισμόν, ὡς εἴρηται, ἢ διά νεότητα. οὐκ εὔποροι γὰρ λέγειν οἱ νέοι. οὐ μὴν «οὐδ’ ἀφαμαρτοεπής», ἤτοι ἁμαρτάνων ἐν τῷ λέγειν ἢ κατὰ νοήματος πιθανότητα ἢ κατὰ λέξιν καὶ τὰ περὶ αὐτήν, «εἰ καὶ γένει ὕστερος ἦεν», ἤτοι νέος, ὡς εἴρηται. τὸ γάρ «ἢ καὶ γένει ὕστερος ἦν» οὕτω διασαφοῦσιν οἱ παλαιοί, ὡς καὶ τὸ «ἢ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμησιν», ἀντὶ τοῦ «εἰ καὶ ἐγὼ αἰχμητής εἰμι». (v. 216) Τὸ δὲ ἀναΐξειε μέγεθός τε ἡρωϊκὸν ἐμφαίνει τῷ Ὀδυσσεῖ καὶ δραστηριότητα τὴν καθ’ ὁρμήν.

1.641 (v. 217) Τὸ δέ «κατὰ χθονός» Ἀττικόν ἐστιν, ὡς καὶ τὸ «τὰ κατὰ γῆς ὁ σοφὸς οὐκ ἀγνοεῖ». χρῆσις δὲ συντάξεως τοιᾶσδε σὺν ἄλλοις καὶ παρὰ τῷ Κωμικῷ. (v. 217—20) Τὸ δὲ πῆξαι κατὰ γῆς τὰς ὄψεις ὡς οἷα μελετῶντα ἐμμερίμνως διὰ σχεδιασμὸν καὶ ἵστασθαι ὑπιδόμενον καὶ τὸ σκῆπτρον μήτε ὀπίσω μήτε προπρηνὲς κινεῖν, ἀλλὰ ἀστεμφὲς ἔχειν ἤτοι ἀστρεφές, ἀμετακίνητον, εἰ καὶ ἁπλότητος ἦν, ἀλλ’ ὅμως ἄλλως ἀγωνιῶντά τε καὶ ἐκπεπληγμένον ἐμφαίνει τὸν Ὀδυσσέα καὶ οἷον ζάκοτον ἤτοι ὀργίλον διὰ τὸ σύννουν, ὥσπερ αὖ πάλιν θαρσαλέου καὶ ἔμφρονος τὰ τούτων ἔμπαλιν. (v. 217) Τὸ δὲ πήξας, ὅ ἐστιν ἐρείσας, στηρίξας, τὸ τοῦ βλέμματος ἐμφαίνει καθεστηκός. (v. 218) Ἡ δὲ ἀκινησία τοῦ σκήπτρου διαστελλομένη πρὸς κίνησιν ἐν καιρῷ γινομένην ἐμφαίνει διαφορὰν καὶ ἐν τῇ τῶν χειρῶν κινήσει τῇ ἐν δημηγορίαις, ἣν Δημοσθένης μὲν ἐποιεῖτο, Αἰσχίνης δὲ ἀπέστεργεν, ὁ καὶ ἀκούσας ἐκ Δημοσθένους χρῆναι τοὺς ῥήτορας πρεσβεύοντας ἔσω τὰς χεῖρας ἔχειν, οὐ μὴν ἐξ ἀνάγκης δημηγοροῦντας. [(v. 218) Τὸ δὲ προπρηνές μετήνεκται μὲν ἀπὸ σωμάτων, οἷς οὐχ’ ὑπτία ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πτῶσις, δοκεῖ δὲ μηδὲ περιττὴν ἔχειν τὴν πρόθεσιν κατὰ τὸ προπάσας καὶ πρόπαντες, ἀλλὰ δηλοῦν διαφοράν τινα τοῦ ὀπίσω καὶ τοῦ προπρηνὲς νωμᾶν τὸ σκῆπτρον. εἰ γὰρ καὶ τῷ Ὀδυσσεῖ πρανὲς ἦν τὸ τοῦ σώματος ὀπίσω, ἀλλὰ τὸ σκῆπτρον ἐπὶ τὰ πρόσθε νωμώμενον πρηνὲς ἐνωμᾶτο κατακλινόμενον.] (v. 219) Τὸ δέ «ἀΐδρεϊ φωτί» διὰ διφθόγγου γράφεται, ὡς καὶ τὸ ὄφεϊ ὄφει. οὐ γάρ ἐστιν οὐδὲ τὸ ἄϊδρις παρώνυμον μακροπαράληκτον, ἵνα διὰ τοῦ δ κλίνηται, ὥστε κατὰ τοὺς παλαιοὺς ἁμαρτάνει Σαπφὼ καὶ Σοφοκλῆς καὶ Φρύνιχος διὰ τοῦ δ κλίνοντες. οὐδὲν δὲ θαυμαστόν, εἰ διὰ τοῦ ι πολλάκις τῶν τοιούτων γενικῶν τὴν παραλήγουσαν Ἴωνες προφέροντες, οἷον ἴδριος, ὄφιος, τὴν δοτικὴν διὰ τοῦ ε προάγουσιν, οὐ διὰ τοῦ ι . ἴσως γὰρ τοῦτο διὰ τὸ κακόφωνον τῶν δύο ι ποιοῦσιν. οὕτω γὰρ καὶ ὁ πόσις, ἤτοι ὁ ἀνήρ, τὴν μὲν γενικὴν διὰ τοῦ ι ἔχει, οἷον «εὐνὴν αἰδομένη πόσιος», τὴν δὲ δοτικὴν διὰ τοῦ ε· «χαριζομένη πόσεϊ ᾧ». οὕτως Ἡρόδωρος. (v. 220) Τὸ δέ «ἄφρονά τ᾽ αὔτως» ψιλοῦσθαι φανερῶς δηλοῖ τὸ αὔτως Αἰολικῶς.

1.642 (v. 221) Τὸ δέ «ὄπα μεγάλην» εὐρυβόαν ἐμφαίνει καὶ τὸν Ὀδυσσέα, ὡς καὶ ἀλλαχοῦ φανεῖται. καὶ ἔστι καὶ τοῦτο στρατηγοῦ ἀρετή. διὸ καὶ Ἀγαμέμνων πρὸ μικροῦ μακρὰν ἄϋσεν, ἀντὶ τοῦ ἐβόησεν. ἱστορεῖται δὲ καὶ ἀσκεῖσθαι τὴν μεγαλοφωνίαν τοὺς παλαιούς. Τὸ δὲ ἵει λείπεται προθέσεως, ταὐτὸν ὂν τῷ ἀφίει. (v. 222) Τὸ δέ «ἔπεα νιφάδεσσιν ἐοικότα» εἴρηται διὰ τὸ τάχος τῶν νοημάτων, διὰ τὸ πυκνόν, διὰ τὸ τῆς σαφηνείας διάλευκον, ναὶ μὴν καὶ διὰ τὸ φρίκης γέμον. ἔοικε γὰρ καὶ καταφορικῶς προάγειν τὸν λόγον ἐν τῇ Τροίᾳ ὁ Ὀδυσσεὺς καὶ νόμῳ κοινοῦ τόπου τὴν πρεσβείαν μεθοδεύειν, παραμιγνὺς τῷ λόγῳ καὶ ἀπειλάς, καὶ ὡς οἷον εἰπεῖν, θατέρᾳ μὲν δόρυ, θατέρᾳ δὲ κηρύκειον προϊσχόμενος. ὃ δὴ παροιμία ἦν, ὥς φησι Παυσανίας, ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπειλούντων. οἱ δεκατευθέντες γάρ, φησίν, εἰς Δελφοὺς ὑπ᾽ Ἀθηναίων Γεφυραῖοι λαβόντες χρησμόν, ὡς ἀνδρὶ Γεφυραίῳ οἶκος φίλος, οἶκος ἄριστος, εἶτα βουσὶν ἀκολουθοῦντες ἕως οὗ ἐκεῖνοι κοπιάσουσιν, οἱ βόες δηλαδή, ὡς ὁ θεὸς αὐτοῖς ἔχρησεν, ὅπως ἐκεῖ καταμείνωσι, πολεμουμένων Ἀθηναίων ὑπὸ Εὐμόλπου ἐπὶ Τάναγραν ὥδευσαν δόντες μὲν τῷ προηγουμένῳ κηρύκιον ὡς ἐπὶ πρεσβείᾳ καὶ εἰρήνῃ, καθοπλίσαντες δὲ κατόπιν τοὺς νέους. ὅθεν παροιμία ἐξέπεσεν ἐπὶ τῶν ὅμοιά τινα ποιούντων λέγουσα «δόρυ καὶ κηρύκιον». ἐν ἑτέρῳ δὲ ῥητορικῷ Λεξικῷ γράφει, ὡς ὑπὸ Ταναγραίων πολεμούμενοι Γεφυραῖοι προέπεμψαν κήρυκα καὶ κατόπιν καθώπλισαν ἑαυτούς, κἀντεῦθεν ἡ ῥηθεῖσα παροιμία. Ἰστέον δὲ καί, ὅτι τὸ νιφάδεσσιν ἐοικέναι τοὺς λόγους δύναταί ποτε καὶ σκωπτικῶς ψυχρῷ ἐπιλέγεσθαι ῥήτορι, ὥσπερ καὶ τὸ τεττίγεσιν ἐοικέναι τὴν ὄπα. δύναται δὲ καὶ τὸ μήδεα πυκνά τρόπον ἕτερον ὅμοιον εἶναι τῷ «ἔπεα νιφάδεσσιν ἐοικότα», εἰ μή τις ἐκεῖ τὸ πυκνά ταὐτὸν ἐρεῖ τῷ πυκινά, ὅ ἐστι συνετά. (v. 225—9) Ὅτι ἐπιβαλὼν ὁ Πρίαμος τῇ περὶ τοῦ Αἴαντος ἐρωτήσει φησί· «τίς τ᾽ ἂρ ὅδ᾽ ἄλλος Ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε, ἔξοχος Ἀργείων κεφαλὴν ἠδ᾽ εὐρέας ὤμους». ἡ δὲ τανύπεπλος Ἑλένη ἀποκριναμένη φησί· «οὗτος δ᾽ Αἴας πελώριος, ἕρκος Ἀχαιῶν». τὸν Ἀχιλλέα μέντοι μέγα που ἕρκος ἐρεῖ Ἀγαιῶν ὁ ποιητής. εἶπε δὲ πρὸ τούτου καὶ τὸν βασιλέα ἠΰν τε μέγαν τε καὶ πελώριον. Σημείωσαι δὲ ὡς, εἴπερ ἔπαινός ἐστιν ἀνδρὸς τὸ μέγας, οὐ τοιοῦτον ἄρα τὸ μικρός καὶ μάλιστα τὸ τυτθός. διὸ καὶ ὁ ποιητὴς ἐπὶ Τυδέως, ὃς ἐκ τοῦ τυτθοῦ παρωνόμασται, φησί· «μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής» παρὰ καὶ καλὸν κακῷ θέμενος καὶ οἱονεὶ λέγων, ὡς τοῦ μεγέθους μὲν εἶχε σμικροπρεπῶς, ὑψοῦτο δὲ οἷς ἠνδραγαθίζετο. (v. 227) Τὸ δὲ ἔξοχος κεφαλὴν καὶ ὤμους, καθὰ καὶ τὸ πελώριος, διασαφητικά εἰσι τοῦ μέγας. Ἰστέον δὲ καί, ὅτι ἐν τοῖς ῥηθεῖσι κατὰ σχῆμα ἐπιμονῆς ἡ Ἑλένη ἐπαναφορικῶς τῇ αὐτῇ χρᾶται πτώσει ἐν τῷ οὗτός γ᾽ Ἀτρείδης, οὗτος δ᾽ αὖ Λαερτιάδης, οὗτος δ᾽ Αἴας ἐστὶ πελώριος.

1.643 (v. 228) Καὶ ὅτι τανύπεπλον τὴν Ἑλένην λέγει οὐ μόνον ὡς τανύουσαν Ῥωμαϊκῶς καὶ ἐπισύρουσαν κάτω τὸν πέπλον, ὅς ἐστιν ἐνταῦθα γυναικεῖον ἱμάτιον, ἀλλὰ καὶ ὡς εὔσαρκον καὶ οὐκ ἰσχνήν, ἀλλὰ τείνουσαν καὶ ἐξαπλοῦσαν καὶ ἐμπιπλῶσαν τὸν πέπλον τῷ εὖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διεστηκέναι αὐτῇ τὴν φυὴν τοῦ σώματος. ὅτι δὲ κατὰ τὴν ἀνωτέρω ἑρμηνείαν τῆς τανυπέπλου πεπύκνωται καὶ Ῥωμαϊκοῖς ἔθεσιν ἡ Ὁμηρικὴ ποίησις, ἐν Ὀδυσσείᾳ δεδήλωται. (v. 230) Ὅτι καὶ ἐνταῦθα συντομωτάτη παραβολὴ ἐν τῷ «Ἰδομενεὺς δ’ ἑτέρωθεν ἔστηκε θεὸς ὥς», οὐδὲ γὰρ ἐχρῆν αὐτὴν πλατῦναι σωματικῶς. Σημείωσαι δέ, ὅτι περὶ μὲν τῶν ἄλλων ἡ Ἑλένη ἐρωτηθεῖσα εἶπε, περὶ δὲ τοῦ Ἰδομενέως οὐχ’ οὕτως, ἀλλὰ μόνη ἀφ’ ἑαυτῆς. καὶ ὅρα τὴν Ὁμηρικὴν καὶ ἐν τούτοις ποικιλίαν. περὶ γὰρ τοῦ βασιλέως Πρίαμος μὲν ἐρωτᾷ, Ἑλένη δὲ λαλεῖ, εἶτ’ αὖθις αὐτὸς ὁ Πρίαμος ἔπαινον ἐκείνου λέγει, περὶ δὲ Ὀδυσσέως πυνθάνεται μὲν ὁμοίως ὁ Πρίαμος καὶ ἡ Ἑλένη ἀποκρίνεται, ὁ δὲ Ἀντήνωρ λαλεῖ πρὸς ἔπαινον, περὶ δὲ Μενελάου μηδενὸς ἐρωτήσαντος παραρριπτεῖ ὁ Ἀντήνωρ ὡς εὖ εἰδὼς τὰ περὶ μεγέθους καὶ φυῆς καὶ λογιότητος, περὶ δὲ τοῦ Αἴαντος ἐρωτήσας καὶ μαθὼν ὁ Πρίαμος οὐδὲν οὐδ’ ὅλως λέγει δι’ αὐτόν, τὸν δ’ Ἰδομενέα δείκνυσιν ἡ Ἑλένη μηδὲν ἐρωτηθεῖσα περὶ αὐτοῦ. μικρὸν δὲ προϊοῦσα καὶ τῶν ἀδελφῶν δίχα ἐρωτήσεως μεμνήσεται τῶν ἤδη τεθνεώτων. καὶ οὕτως ὁ ἀκροατὴς πολλὰς ἱστορίας πολυτρόπως ἐνταῦθα μανθάνει οὐ μόνον περὶ ἔτι ζώντων, ἀλλὰ καὶ μηκέτ’ ὄντων, ὡς καὶ πρὸ μικροῦ περὶ Ὀτρέως καὶ Μυγδόνος καὶ Ἀμαζόνων. οὕτως εὐμηχάνως Ὅμηρος τὰς ἔξω τε τοῦ νῦν καιροῦ ἱστορίας ἐπεισοδιάζει τῇ ποιήσει καὶ ταῖς μεθόδοις αὐτὴν καταποικίλλει τῶν ἀφηγήσεων. ἕκαστον γὰρ τῶν ἐνταῦθα προσώπων ἄλλως καὶ ἄλλως μεθοδεύσας παρέθετο ἐκφεύγων, ὡς εἴωθε, τὸ μονοειδὲς καὶ ὕπτιον τοῦ ἱστορικοῦ ἀφηγηματικοῦ. μεμάθηκε γοῦν ὁ ἀκροατὴς τὰ μὲν ἐρωτήσαντος Πριάμου, τὰ δὲ καὶ ἄλλως ἐκ παρόδου πολυειδῶς. Ὅρα δὲ καί, ὅπως ἐκ βασιλέως τοῦ Ἀγαμέμνονος ὁ ποιητὴς ἤρξατο, εἶτα εἰς Ὀδυσσέα καὶ τελευταῖον εἰς Αἴαντα διέβη τῇ ἐρωτήσει, προτάξας μὲν τὴν βασιλείαν, ὑποτάξας δὲ τὴν φρόνησιν, μετὰ δὲ αὐτὴν θεὶς τὴν ἀνδρείαν, πλεῖον δέ τι μὴ περιεργασάμενος. (v. 231) Ὅτι ἀγοὺς ἐνταῦθα τοὺς ὑπὸ βασιλεῖ στρατηγοὺς λέγει. φησὶ γάρ· «ἔστηκεν Ἰδομενεύς», ὁ τῶν Κρητῶν δηλαδὴ βασιλεύς, «ἀμφὶ δέ μιν Κρητῶν ἀγοί». Ὅτι οὐ μόνον ὡς συγγενὴς τῶν βασιλέων ὁ Ἰδομενεὺς εἰς Τροίαν ἦλθεν, ἀλλὰ καὶ ξενίας χάριτας, ὡς εἰκός, ἀποτίνων.

1.644 φησὶ γὰρ Ἑλένη, ὅτι «πολλάκι μιν ξείνισεν ἀρηΐφιλος Μενέλαος οἴκῳ ἐν ἡμετέρῳ, ὁπότε Κρήτηθεν ἵκοιτο». τοῦτο δὲ καὶ διὰ πιθανότητα λόγου κεῖται. πῶς γὰρ ἂν ἡ Ἀργεία Ἑλένη τὸν οὕτως ἀπῳκισμένον νησιώτην ἄλλως ἐγίνωσκεν, εἰ μὴ θαμὰ ἐκεῖνος παρ’ αὐτοῖς ἐξενίζετο; (v. 234—6) Ὅτι τὸ «νῦν δ’ ἄλλους μὲν πάντας ὁρῶ ἑλίκωπας Ἀχαιούς, οὕς κεν ἐῢ γνοίην», ἤγουν εὖ γνοίην, «καὶ τοὔνομα μυθησαίμην, δοιὼ δ’ οὐ δύναμαι ἰδέειν», λέγει μὲν ἡ Ἑλένη, ἐμφαίνει δὲ ὡς ἐν σχήματι παραλείψεως εὐμεθόδως, ὅτι ἠδύνατο καὶ ἄλλας ἐνταῦθα πολλὰς ἱστορίας τοιαύτας παρενθεῖναι ὁ ποιητὴς καὶ μυθήσασθαι κατὰ ὁμοίαν ἐπιβολήν, εἰ μὴ ἔξω ἦν τοῦτο τοῦ ἔργου. δύναται δέ τις αὐτὸ παρῳδήσας εἰπεῖν καὶ ἐπὶ φίλων θανόντων ἢ καὶ ἄλλως ἀποδημούντων. πῶς δὲ ἑλίκωπες οἱ Ἀχαιοί, ἐν τῇ α′ ῥαψῳδίᾳ εἴρηται. (v. 235) Ὅρα δὲ καί, ὅτι τοῦ εὖ εἰδέναι γενικῇ συντασσομένου Ὁμηρικῶς ἐν τῷ «τόξων εὖ εἰδώς», ἔτι δὲ καὶ τοῦ γνῶναι, ὡς καὶ ἡ Ὀδύσσεια δηλοῖ, τὸ «οὕς κεν ἐῢ γνοίην», ἤγουν οὓς ἂν εὖ γνοίην, αἰτιατικὴν ἔσχε σύνταξιν, ὁμόστοιχον ἐκείνοις ὄν. αἴτιον δὲ τὸ ἐπαμφοτερίζειν τὴν σύνταξιν καὶ διὰ τοῦτο καὶ τοὺς ῥήτορας ὧδε καὶ ὧδε φράζειν. ὁ γοῦν τὰ Διονυσιακὰ ποιήσας ὀκνήσας ἀκολουθῆσαι Ὁμήρῳ εἰς τὴν γενικὴν σύνταξιν, κατὰ αἰτιατικὴν πτῶσιν, ὥς που καὶ προγέγραπται, ἔφη τὸ «εὖ εἰδὼς πόνον ἄλλον ἐπὶ στονόεντι κάρητι». διὸ καὶ Σοφοκλῆς ἐν στίχῳ ἑνὶ οὐκ ὤκνησε διπλόην θέσθαι συντάξεως εἰπών· «ὦ δυσθέατον ὄμμα καὶ τόλμης πικρᾶς». ἔχων γὰρ φάναι «ὦ δυσθέατον ὄμμα καὶ τόλμη πικρά», ὅμως ἐξήλλαξε τὴν φράσιν διὰ τὸ καὶ οὕτω καὶ οὕτω δύνασθαι λέγεσθαι, οἷον· «ὦ δυσθεάτου καὶ ὄψεως καὶ τολμήματος» καὶ πάλιν· «ὦ δυσθέατος ὄψις καὶ τόλμημα». τὸ δέ «τοὔνομα μυθήσεσθαι», ἤγουν εἰπεῖν, κατὰ τὸ «τίς ἂν πάντων οὐνόματ’ εἴπῃ» μετὰ προθέσεώς φασιν οἱ μεθ’ Ὅμηρον, οἷον πρὸς ὄνομα εἰπεῖν. (v. 236—42) Ὅτι τῶν Διοσκούρων μνησθεῖσα ἡ Ἑλένη, περὶ ὧν καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν εἴρηται,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτοκασιγνήτους αὐτοὺς λέγει καὶ ἡγεμόνας λαῶν καλεῖ. καὶ τὸν μὲν Κάστορα ἱππικὸν οἶδε, τὸν δὲ Πολυδεύκην ἄριστον πύκτην. καὶ αὐτὴ μὲν ἐθέλει αὐτοὺς ἰδεῖν, Ὅμηρος δὲ θανεῖν ἱστορεῖ τούτους ἐν Λακεδαίμονι, ὡς καὶ ὁ Λυκόφρων ἐκτίθεται. Φράζει δὲ τὰ ῥηθέντα Ὅμηρος οὕτω· «δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν, Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα, αὐτοκασιγνήτω», «ἢ οὐχ' ἑπέσθην Λακεδαίμονος ἐξ ἐρατεινῆς, ἢ δεῦρο μὲν ἕποντο», οὐκ ἐθέλουσι δέ «πόνον καταδύμεναι ἀνδρῶν, αἴσχεα δειδιότες καὶ ὀνείδεα πόλλ' ἅ μοί ἐστιν». Καὶ ὅρα, ὅτι ὁμολογεῖ καὶ νῦν ὡς καὶ ἐν ἄλλοις ἡ Ἑλένη αἰσχρὸν πρᾶγμα ποιῆσαι καὶ ἐπονείδιστον τὸ εἰς Τροίαν ἀκολουθῆσαι τῷ μοιχῷ Πάριδι.

1.645 Ἰστέον δὲ καί, ὡς Ἑλένη μὲν ἀμφιβάλλει, ὡς εἰκός, εἰ μὴ ἦλθον εἰς Τροίαν οἱ Διόσκουροι, Ζηνόδοτος δὲ διοικητὰς ἐν Λακεδαίμονί φησι καταλελεῖφθαι αὐτούς. Σημείωσαι δέ, ὅτι ἐν ἰατρικῷ βίβλῳ εὕρηνται αἱ παρωτίδες καλούμεναι διόσκουροι. ἐν δὲ τῷ αὐτῷ καὶ ὁ στάχυς ἐπὶ μέρους σώματος εὑρέθη κείμενος, ὃ καὶ παρὰ πολλοῖς εἰς ἔτι νῦν φέρεται, οἳ συὸς ἢ προβάτου στάχυν φασὶ τὰ περὶ τὰς ψόας. Ὅτι δὲ οἱ Διόσκουροι καὶ εἰς τὰ δύο ἡμισφαίρια τοῦ παντὸς ἐνοήθησαν καὶ εἰς τοὺς τροπικοὺς δὲ μάλιστα κύκλους, ὁ παραβάτης Ἰουλιανὸς ἔγραψεν, ὡς δηλοῦται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Ἔτι ἰστέον καί, ὅτι δυνατὸν μὲν ἦν τὴν Ἑλένην διὰ τοσούτων ἐτῶν μαθεῖν τὰ κατὰ τοὺς ἀδελφοὺς ἀπὸ αἰχμαλώτων ἢ καὶ ἄλλως πως, ἐπεκρύπτετο δὲ αὐτῇ ὁ θάνατος ἐκείνων ἐπίτηδες Ἀλεξάνδρου, οἷα εἰκός, τοῦτο μηχανωμένου, ὡς ἂν μὴ τήκοιτο δακρυχέουσα. Ὁμηρικὸν δὲ πολλαχοῦ ἔθος φανεῖται κατὰ οἰκείαν τεχνικὴν μέθοδον τὸ ἐν πράγμασι μὴ μόνον αὐτὸ τὸ ὂν λέγειν, ἀλλὰ στοχαστικῶς καὶ τὸ μὴ ὄν, ὡς καὶ ἐνταῦθα ποιεῖ πλάσας τὴν Ἑλένην μὴ μόνον τὸ ἀληθὲς εἰποῦσαν, ὡς οἴκοι μεμενήκασιν οἱ ἀδελφοί, ἀλλὰ καί, ὡς εἰς Τροίαν ἐλθόντες εὐλαβοῦνται φαίνεσθαι ὅπερ οὐκ ἔστιν. (v. 237 s.) Ὅρα δέ, [ὅτι τε δυνάμενος Ὅμηρος Πολυδεύκην εἰπεῖν κοινῶς, ὅμως εἵλετο ἰωνίσαι καὶ γράψαι Πολυδεύκεα, ἐξ οὗ πάθος γέγονε στιχηρόν, λεγόμενον ὑπέρμηκες, τὸ δ' αὐτὸ καὶ δολιχόουρον,] καὶ ὅτι τοὺς αὐτοκασιγνήτους ἑρμηνεύουσά φησι· «οὕς μοι μία γείνατο μήτηρ», πρὸς οὓς δηλαδὴ γνησιώτερον οἱ πολλοὶ διάκεινται ἤπερ πρὸς τοὺς ὁμοπατρίους μέν, ἀμφιμητρίους δέ, ὡς δηλώσει που καὶ ἐν τοῖς ἑξῆς τὸ «ἐπεὶ οὐχ' ὁμογάστριος Ἕκτορός εἰμι». αἰτία δὲ τοῦ φιλεῖσθαι μάλιστα τοὺς τοιούτους, διότι, φασί, τοὺς μὲν ὁμογαστρίους ἴσασιν ἀδελφοὺς οἱ ἄνθρωποι, τοὺς δὲ ἀμφιμητρίους οἴονται. Ὅρα δέ, ὅτι Ὁμήρου τοὺς κασιγνήτους ἑρμηνεύσαντος Σοφοκλῆς τὴν ὅμαιμον διασαφεῖ ἐν τῷ «πρὸς σῆς ὁμαίμου καὶ κασιγνήτης». ποιεῖ δὲ τοῦτο ἐκεῖνος διὰ τὸ μὴ πάντα ὅμαιμον ἤδη καὶ κασίγνητον εἶναι. ὅμαιμοι γὰρ πολλαχοῦ καὶ οἱ ἁπλῶς καθ' αἷμα καὶ προσγενεῖς, ὡς δηλοῖ καὶ Λυκόφρων, ὁ καὶ αὐθομαίμους τοὺς τοῦ αὐτοῦ γένους εἰπών. [Ἰστέον δὲ καί, ὅτι Ὁμήρου τοὺς κασιγνήτους αὐτοκασιγνήτους εἰπόντος κατά τινα ἐνδιάθετον ἐπίτασιν λαβόντες οἱ μεθ' Ὅμηρον ἀφορμὴν ἐντεῦθεν τὸ αὐτοζῷον καὶ τὸν αὐτοάνθρωπον ὑπεροχικῶς εἶπον καὶ ὅσα τοιαῦτα, καὶ ὅτι ἐκ τοῦ ὁ γνωτός δοκεῖ τροπῇ τοῦ ω εἰς η γενέσθαι ὁ κασίγνητος.

1.646 ] (v. 239) Ἐρατεινὴν δὲ Λακεδαίμονα λέγει, ὡς καὶ πρὸ ὀλίγου εἶπεν ὁμηλικίην ἐρατεινὴν καὶ φίλην πατρίδα, καὶ διότι δὲ χώρα εὐδαίμων ἡ Λακεδαίμων. (v. 241) Πόνον δὲ ἀνδρῶν τὴν ἐν πολέμῳ λέγει νῦν ἐνέργειαν ἢ κακοπάθειαν. (v. 242) Τὸ δὲ δειδιότες τὴν ἄγαν πολλὴν δηλοῖ εὐλάβειαν καὶ αἰδῶ. (v. 243) Φυσίζοος δὲ ἡ φύουσα τὰ πρὸς ζωὴν χρήσιμα. αἰτία δ' ἐνταῦθα τῆς ἐν τῇ παραληγούσῃ μικρογραφίας οὐ ποιητικὴ ἄδεια, ἀναλογία δέ τις γραμματική. τὸ γὰρ ζωή ἀπὸ τοῦ ζέω ζῶ γεγονός, διὰ τὴν τῶν ζώντων θερμότητα, οὐκ ἀλόγως ἂν διὰ τοῦ ο μικροῦ ἔχοι γράφεσθαι, ὡς ἔχον τὸ ε προεγκείμενον ῥήματι, [ἵνα ᾖ ὅμοιον τῷ ῥέω ῥοή, χέω χοή καὶ τοῖς ὁμοίοις.] Ἐπεὶ δὲ ἐν τῷ ζωή, ἁπλῷ ὀνόματι, ἐμεγέθυνε τὸ ω κανὼν ἐκνικήσας, ὁ τῆς προσλήψεως τῆς συλλαβῆς ἐν τῷ ἐνεστῶτι τῷ ζῶ, —ὡς γὰρ ῥῶ, τὸ ὁρμῶ, ῥωή καὶ ἐρωή, ἡ ὁρμή, οὕτω καὶ ζῶ ζωή. οὕτω δὲ καὶ ζῷον, ὡς λῶ λῷον. —προσήρμοσε λοιπὸν τῷ συνθέτῳ τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φυσίζοος ἡ ἑτέρα γραφὴ καὶ ἀντὶ τοῦ ε , τοῦ ἐν τῷ ζέω ζῶ θεματικῷ ῥήματι ἐγκειμένου, ἀντετέθη ἐνταῦθα τὸ ο . εἰ δὲ τὰ Ἡροδότου ἀντίγραφα ἀσφαλῶς ἔχει κατὰ τὴν διὰ τοῦ ο μικροῦ γραφὴν τῆς ζωῆς ἐν τῷ «ὁ θάνατος μοχθηρᾶς οὔσης τῆς ζοῆς αἱρετώτερος τῷ ἀνθρώπῳ γέγονεν», —εὕρηται γάρ που καὶ τοιαύτη γραφή—ἐκεῖθεν ἂν εἴη συντεθὲν τὸ φυσίζοος γῆ, ὃ ταὐτόν πώς ἐστι τῷ ζείδωρος. Ἰστέον δέ, ὅτι τινὲς φυσίζοον εἶπον τὴν ζῷα φύουσαν, ὡς ἐν ῥητορικῷ φέρεται Λεξικῷ. (v. 245) Ὅτι ὅρκια πιστὰ οὐ μόνον αὐτοὶ οἱ ἔνορκοι λόγοι, ἀλλὰ καὶ τὰ ἐν ὅρκοις χρειώδη. φησὶ γοῦν· «κήρυκες δ’ ἀνὰ ἄστυ φέρον ὅρκια πιστά, ἄρνε δύο καὶ οἶνον ἐΰφρονα, καρπὸν ἀρούρης, ἀσκῷ ἐν αἰγείῳ».

1.647 τοιοῦτον καὶ τὸ «σύναγον ὅρκια», ἤγουν συνῆγον τὰ εἰς ὅρκον χρήσιμα. (v. 252) Καὶ τὸ τάμνειν δὲ ὅρκια παρ’ Ὁμήρῳ καὶ Ἡροδότῳ τὸ θῦσαι τὰ ἐπὶ ὅρκῳ σφάγια δηλοῖ. Ἰωνικὴ δὲ λέξις τὸ τάμνειν ἐπὶ τοῦ θύειν καὶ τὸ ἔταμον καὶ τὰ ὅμοια καὶ πολλαχοῦ κεῖται καὶ ἔχει συντομίαν καὶ πολὺν νοῦν. συγκροτεῖται δὲ διά τε ἄλλων καὶ τοῦ «ἐκ κεφαλέων τάμνε τρίχας» καὶ «ἀπὸ στομάχους ἀρνῶν τάμε». Τὸ δὲ ὅρκους προβῆναι προϊὼν ὅρκια πιστὰ γενέσθαι φησίν. (v. 247) Ἔστι δὲ φέρειν μὲν τὸ βαστάζειν, ἐξ οὗ καὶ τὸ φοράδην ἐπίρρημα. διὸ καὶ τὸ «ἔφερε δὲ κρητῆρα φαεινόν» ταὐτόν ἐστι τῷ ἐβάσταζεν. (v. 246) Οἶνος δὲ εὔφρων ὁ εὐφραντικὸς καί, ὡς ἀλλαχοῦ ἐρεῖ, μελιηδής. Τὸ δέ «καρπὸν ἀρούρης» πρὸς διαστολὴν εἶπε τοῦ λοιποῦ τοῦ μὴ ἐξ ἀρούρης, ὃν αἱ ἀγριάδες γεννῶσιν. ἐκεῖνος γὰρ οὐκ ἂν εἴη οὕτως εὔφρων. Σημείωσαι δέ, ὅτι νῦν μὲν ἁπλῶς ἄρουρα ἡ ἀρουμένη γῆ, παρὰ δὲ Ἡροδότῳ καὶ ὥρισται, εἰπόντι «ἄρουρα ἑκατὸν πήχεων Αἰγυπτίων πάντη». (v. 247) Τὸ δέ «ἀσκῷ ἐν αἰγείῳ» διὰ πολυπειρίαν τοῦ ἀκροατοῦ παρέρριπται, ἵνα μὴ λανθάνῃ τὸν ἀκούοντα, ὡς ἐκ προβάτου μὲν οὐκ ἂν ἀσκὸς εὔχρηστος γένοιτο, ἐξ αἰγὸς δέ. [Οἱ δὲ ὕστερον καὶ βόειον ἀσκὸν καινοπραγήσαντες εἰς οἴνου ἀγγεῖον εἰς ἑτεροίους καιροὺς ἐξεῦρον αὐτόν. ἄλλου δὲ καιροῦ καὶ οἱ νενασμένοι οἴνου ἀμφορέες. οἱ δὲ βῖκοι οὐδὲ αὐτοὶ γνωστοὶ τῷ ποιητῇ, καθάπερ οὐδὲ αἱ πυτῖναι, ὧν παράγωγα τὰ πυτιναῖα πτερὰ παρὰ τῷ Κωμικῷ. γενικὴ δέ τις λέξις ὁ ἀσκός, εἴγε καὶ ἄνθρωπος ἀποδαρῆναί που εἰς ἀσκὸν ἱστόρηται καὶ δελφῖνος δὲ ἀσκῷ λέγεται ὁ ποιητικὸς Αἴολος ἀνέμους ἐγκλεῖσαι.] (v. 245 s.) Σημείωσαι δὲ καί, ὅτι δίχα βουλῆς τῶν βασιλέων ἡ τῶν σφαγίων ἐπιλογὴ γέγονε πρὸς τῶν κηρύκων, ὡς ἢ κατὰ τὸ σιωπώμενον τῶν βασιλέων καὶ ταῦτα κελευσάντων, ὁποῖα πολλὰ καὶ τοιαῦτα παρὰ τῷ ποιητῇ, ἢ ὅτι ἐξῆν οἴκοθεν ποιεῖν τινα τοιαῦτα καὶ τοὺς κήρυκας. οὕτω δὲ καὶ ἐν ἡρωϊκῇ μονομαχίᾳ κήρυκες ὁμοίῳ λόγῳ τοὺς μονομάχους συμβιβάσαντες παύσουσιν. (v. 252) Ὅτι ἠνεμόεσσαν ὁ ποιητὴς πολλαχοῦ τὴν Ἴλιον λέγων ὡς ἐφ’ ὑψηλοῦ ἱδρυμένην διὰ τοῦτο ἐς πεδίον ἔφιππον ἐκεῖθεν καταβῆναι τὸν Πρίαμον ἄρτι φησίν, ὅ ἐστιν εἰς τὴν πεδιάδα, ὃν τρόπον καὶ τὸ κλίσιον κλισιάδα Ἡρόδοτός φησι. πίστις δ’ ἐνταῦθα προκαταβέβληται τῆς μετὰ ταῦτα διφρείας τοῦ γέροντος, ἣν καὶ ἐν τῷ τέλει τῆς Ἰλιάδος ἀναγκαίως ποιήσεται λυσόμενος Ἕκτορα.

1.648 (v. 248—50) Ἰδαίου δὲ τοῦ κήρυκος καλέσαντος κατέβη ὁ Πρίαμος ἀκούσας τὸ «ὄρσεο καλέουσιν ἄριστοι» καὶ ἑξῆς. (v. 259) Ὅτι ῥιγῶ μὲν ῥιγώσω ἐπὶ τοῦ κατὰ σῶμα πάθους ἐκ κρύους, ῥιγῶ δὲ ῥιγήσω ἐπὶ τοῦ κατὰ ψυχὴν δέους καὶ τῆς ἐντεῦθεν φρίκης. ὁ γοῦν γέρων Πρίαμος οὕτως ἐνταῦθα ἐρρίγησεν ἀκούσας μέλλειν μονομαχήσειν τὸν υἱόν. ἔπαθε γὰρ τὴν ψυχὴν οἷα πατήρ. διφοροῦνται δέ, ὡς προεγράφη ἐν τῇ α′ ῥαψῳδίᾳ, καὶ ἕτερα ὁμοίως ῥήματα. δηλῶ γοῦν δηλώσω, τὸ δείξω, δηλῶ δὲ δηλήσω, τὸ βλάψω, κυκλῶ κυκλώσω κοινῶς, κυκλῶ δὲ κυκλήσω παρ’ Ὁμήρῳ, τὸ ἐφ’ ἁμάξης ἄξω, δινῶ δινήσω, τὸ συστρέψω, δινώσω δὲ ἀντὶ τοῦ τορεύσω, ὅθεν καὶ δινωτὸν τὸ τορευτόν, ζηλῶ ζηλώσω, τὸ μιμήσομαι, ζηλῶ δὲ ζηλήσω, τὸ φθονήσω, ἐξ οὗ οἱ παρὰ τῷ ποιητῇ ζηλήμονες θεοί καὶ ἕτερα. ἐκ δὲ τοῦ Ὁμηρικοῦ ῥιγήσω καὶ ῥιγεδανὴ Ἑλένη καὶ ῥιγηλόν τὸ φρικτόν, ᾧ ἴσον τὸ ῥίγιον. (v. 261 s.) Ὅτι ἀναβῆναι μὲν εἰς δίφρον ἐλέγετο ὁ ἡνίοχος, ὡς ἐνταῦθα ὁ Πρίαμος ἀνέβη, κατὰ δ’ ἡνία τεῖνεν ὀπίσσω.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παραβῆναι δὲ καὶ παραιβάτης, ὡς μυριαχοῦ φανήσεται, ὁ σὺν ἐκείνῳ εἴτε ὅπλα φορῶν, ὡς ἐπὶ μάχῃ, εἴτε καὶ ἄλλως διὰ συνοδίαν, ὡς ἐνταῦθα ὁ ἀγχίνους Ἀντήνωρ, καθὰ δηλοῖ τὸ «πὰρ δέ οἱ Ἀντήνωρ περικαλλέα βήσατο δίφρον», ὃν δὴ Ἀντήνορα καὶ ὡς πεπνυμένον συμπαραλαμβάνει ὁ Πρίαμος καὶ ὡς φίλον δὲ τοῖς Ἕλλησι, καθὰ προγέγραπται, ἵνα ἔχῃ δι' αὐτοῦ ἀσφάλειαν, εἴ που καὶ παραπέσοι τι κακόν, ἅμα δὲ καὶ ὡς λόγιον, ἐὰν δημηγορίας τύχοι καιρός. ὅτι δὲ Θεόκριτος τὴν παρ' αὐτῷ ἐριθακίδα ἤτοι μισθώτριαν παραιβάτιν λέγει καὶ διὰ τί, ζητητέον ἐκεῖ. (v. 262) Δίφρος δὲ τόπος τοῦ ἅρματος ὁ τοὺς ῥηθέντας φέρων, διὸ καὶ δίφρος λέγεται ὡς οἱονεὶ δύφορος καὶ τροπῇ καὶ συγκοπῇ δίφρος. ἀπ' αὐτοῦ δὲ ὡς καιριωτέρου μέρους καὶ τὸ ὅλον ἅρμα δίφρος ἐλέγετο, ὡς καὶ ἀπὸ τοῦ βωμοῦ, καθὰ προεδηλώθη, ὁ ναὸς καὶ ἀπὸ τῆς ἑστίας ὁ πᾶς οἶκος καὶ ἐκ τοῦ ὅρμου ὅλος ὁ λιμήν.

1.649 παρὰ μέντοι τοῖς ὕστερον καὶ ἐπὶ τῆς κοινότερον λεγομένης σέλλας ἡ λέξις κειμένη εὕρηται. Ὅμηρος δὲ τῷ Εὐμαίῳ δίφρον ἀεικέλιον, ἤγουν θρόνον, παρατίθησι καθεσθῆναι, καὶ ἡ Ἑλένη δὲ τῇ Ἀφροδίτῃ ἐν τῷ τέλει τοῦ γράμματος τούτου, ὥστε πολυσήμαντον καὶ ὁ δίφρος. οὐκ ἄδηλον δέ, ὅτι καὶ ἐπ' ἄλλων τροπὴ διχρόνου ὡς ἐν τῷ δίφρῳ γίνεται. τὸ γοῦν μῖσος ἐκ τοῦ μύειν παρῆκται, ἀφ' οὗ καὶ τὸ μῦσος· μύει γὰρ ἐπὶ τοῖς ἐχθροῖς ὁ μισῶν, ἤγουν ἀλλὰ ὄσσε πάλιν κλίνει μηδὲ εἰσορᾶν ἐθέλων. οὕτω καὶ τὸ στρυφνός, εἰ καὶ ὁ λόγος κατὰ Ἡρωδιανὸν διὰ τοῦ υ αὐτὸ ἀπαιτεῖ, —ὡς γὰρ τέρπω τερπνός, στέγω στεγνός, οὕτω καὶ στύφω στυφνός. καὶ καθάπερ κέντον, κέντρον, οὕτω πλεονασμῷ τοῦ ρ καὶ στυφνός στρυφνός—ὅμως εὕρηται καὶ διὰ τοῦ ι προφερόμενον. στριφνός γάρ φησιν. ὁμοίως καὶ ἐκ τοῦ Μοῦσα κοινῶς ἡ Αἰολικὴ Μοῖσα καὶ πάντα τὰ κατ' αὐτήν, ἃ καὶ παρὰ Πινδάρῳ κεῖνται. καὶ ἐκ τοῦ ὕδωρ ὁ ἱδρώς, διὸ καὶ δασύνεται. καὶ ἐκ τοῦ ἶφι καὶ θυμός ὁ ἴφθιμος, ὡς προγέγραπται· καὶ ἐκ τοῦ δύο τὸ δίς ἐπίρρημα· καὶ ἡ Ἀφροδίτη δὲ ὡς ἐξ ἀφροῦ ἀναδῦσα τροπὴν ὁμοίαν ἔχει· καὶ ὁ χιτών δὲ ὡσαύτως ἐκ τοῦ χύω γίνεται καὶ ὁ φῖτυς ἐπὶ πατρὸς καὶ ὁ φιτρός, ὅ ἐστι κορμός, ἐκ τοῦ φύω· καὶ ἐκ τοῦ δεύω δεύσω δεῖσσα, ἡ ὑγρασία, καὶ ἐκ τοῦ χεύματος ὁ χειμών. (v. 261) Ἰστέον δὲ καί, ὅτι αὐτοδιάκονοι τὰ πολλὰ οἱ Ὁμηρικοὶ βασιλεῖς. οὕτω γοῦν ἐνταῦθα Πρίαμος ἡνιοχεῖ, Ἀγαμέμνων δὲ τάμνει, ἤτοι θύει, τὰ ὅρκια καὶ Ἀχιλλεὺς δὲ ἀλλαχοῦ τάμνει κρέα. (v. 265) Ὅτι τὸ τοῦ ἅρματος καταβῆναι ἵππων ἀποβῆναί ἐστι. φησὶ γοῦν ὁ ποιητής· «ἐξ ἵππων ἀποβάντες ἐς χθόνα πουλυβότειραν ἐς μέσον ἐστιχόωντο». (v. 267 ss.) Ὅτι τὰ κατὰ τοὺς ὅρκους Ἀγαμέμνων μεταχειρίζεται καὶ Ὀδυσσεύς, ὃς καὶ πρὸ ὀλίγου ἐπεπωλεῖτο στίχας ἀνδρῶν. φησὶ γάρ· «ὤρνυτο δ' αὐτίκ' ἔπειτ' ἄναξ» καὶ ἑξῆς.

1.650 Νέστωρ δὲ ἐνταῦθα οὐδαμοῦ. ἀπρακτῶν γὰρ διὰ τὸ γῆρας δημηγορίαις ταμιεύεται. (v. 270) Ὅτι κρατῆρι οἶνον μίσγουσιν οἱ κήρυκες τὸν τῶν Ἀχαιῶν καὶ τὸν ἐκ Τροίας εἰς ἓν ἄγοντες αὐτόν, καθὰ καὶ τὰ ὅρκια σύναγον ἤτοι τὰ σφάγια. ἄλλως δέ γε οὐ μεμιγμέναι ἀλλ' ἄκρατοι ἐλείβοντο αἱ σπονδαί, ὡς καὶ προγέγραπται. (v. 269) Τὸ δὲ συνάγειν τὰ ὅρκια καὶ τὸν οἶνον μίσγειν ἕνωσιν ὑποσημαίνει στρατευμάτων τὴν ἄρτι βλεπομένην, ἣν ὁ ἀδικήσας ἐπιορκήσει πάντως. (v. 270) Σημείωσαι δέ, ὅτι σχῆμά ἐστι καὶ ἐνταῦθα τὸ κατὰ τὸ σιωπώμενον. νοητέον γάρ, ὡς καὶ ὕδωρ ἤχθη ἄρτι, κἂν ὁ ποιητὴς αὐτὸ ἀπεσιώπησε. Τοῖς γοῦν βασιλεῦσιν ὕδωρ ἐπὶ χεῖρας χέεται ὡς μέλλουσι θύειν. εἰ δὲ Πρίαμος οὐκ ἔθυσεν, Ἀγαμέμνων δὲ τὸ πᾶν ἐποίησεν, ἀλλὰ καὶ ἐκεῖνος μετεχειρίσατο τοὺς τυθέντας ἐγχωρίους ἄρνας εἰς τὸν δίφρον αὐτοὺς θείς. (v. 271 s.) Ὅτι τὴν τοῦ βασιλέως παραξιφίδα μάχαιραν καλεῖ ἐν τῷ «Ἀτρεΐδης δ' ἐρυσάμενος χείρεσσι μάχαιραν», ἣν καὶ ἐφερμηνεύων ἐπάγει· «ἥ οἱ πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄωρτο», ἤγουν ᾐώρητο καὶ ἐκρέματο, καὶ κατὰ συγκοπὴν τοῦ η καὶ συστολὴν τῆς ἀρχούσης ἄωρτο. εἰ δὲ συστέλλεται κατά τινας τὸ ο τῆς παραληγούσης, δηλοῖ μὲν καὶ οὕτως τὸ ἐκρέματο. γίνεται δέ, ὅθεν καὶ ὁ ἀορτήρ, ὃ δηλοῖ τὸν κρεμαστῆρα τοῦ ξίφους, ἀπὸ τοῦ ἀείρω, τοῦ κουφίζω, ἐξ οὗ καὶ τὸ ἠερέθω, τὸ κρεμῶ. Ἰστέον δέ, ὅτι ἡ παραξιφὶς καὶ ἐγχειρίδιον λέγεται. φησὶ γοῦν Ἡρόδοτος· «καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐγχειρίδια παρὰ τὸν δεξιὸν μηρόν». δῆλον δέ, ὅτι ἐκ τοῦ «πὰρ ξίφεος» ἡ παραξιφὶς συντέθειται [Ὁμήρου καὶ εἰς τοῦτο ἐνδόντος ἀρχήν, καθὰ καὶ εἰς τὸ ἐγχειρίδιον. καὶ αὐτὸ γὰρ δοκεῖ λεχθῆναι τοῖς ὕστερον ὡς ἀπὸ τοῦ «ἐρυσσάμενος χείρεσσι μάχαιραν». καὶ ἡ ταπεινὴ δὲ γλῶσσα ἐκ τούτων τὸ παραμάχαιρον ἐσοφίσατο.] Τὸ δέ «μέγα κουλεόν» κατὰ τὸ κέλευθον καὶ τὸ ζυγόν καὶ τὸ δεσμόν καὶ τὰ τοιαῦτα μεταπέπλασται. ὅμοιον δὲ καὶ τὰ δάκτυλα καὶ τὰ χαλινά καὶ τὰ ταρσά δέ, ὡς τὸ «βένθεϊ ταρσὰ πέπηκτο». (v. 273 s.) Ὅτι τῶν τυθησομένων ἐπὶ ὅρκοις ἀρνῶν τρίχας ἐκ κεφαλῶν τέμνων ὁ βασιλεύς—αὐτουργεῖ γάρ, ὡς εἴρηται, τὰ ὅρκια—ἔνειμε τοῖς τῶν Τρώων καὶ Ἀχαιῶν ἀρίστοις διὰ τῶν κηρύκων, ἵνα οὕτω πάντες δοκῶσι συνεφάπτεσθαι τῆς θυσίας.

1.651 σύμβολον δὲ ἦν τοῦτο τοῦ εἰς κεφαλὴν τραπήσεσθαι τὰ κακὰ τοῖς ἐπιορκήσουσι, καί πως κατὰ τὴν Σοφόκλειον Μοῦσαν εἰποῦσαν τὸ «κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονὸς γένους ἅπαντος ῥίζαν ἐξημημένος αὔτως», ἤγουν οὕτως, «ὅπωσπερ τόνδ’ ἐγὼ τέμνω πλόκον», ἔλεγε τότε καὶ ὁ Ὁμηρικὸς Ἀγαμέμνων, ὡς οὕτως ἐκθερισθεῖεν τοῦ βίου οἱ παρασπονδήσοντες, ὡς ἐγὼ τέμνω τὰς τοῦδε τοῦ ἱερείου τρίχας. ὅτι δὲ ἡ ῥηθεῖσα τῶν τριχῶν τομὴ καὶ ἀνάμνησις ἦν τῆς παλαιφάτου ἐνδύσεως, ἐν τοῖς μετὰ ταῦτα δηλωθήσεται. (v. 275) Ὅτι χεῖρας ἀνασχών, ἤτοι ἄνω σχὼν καὶ ἀνατείνας, ὁ βασιλεὺς μεγάλα εὔχετο ἄνω τε βλαβῆναι ζῶντας καὶ κάτω θανόντας τοὺς ἐπιορκήσοντας. εὔχεται δὲ μεγάλα, ἵνα πᾶσιν ἀκουστὸς ᾖ καὶ μηδεὶς ἀγνοῇ ἢ τὴν ἀρὰν ἢ τὴν συμφωνίαν. Σημείωσαι δέ, ὅτι οὐδεμία δικαία εὐχὴ παρὰ τῷ ποιητῇ ἀργὴ πίπτει, ἀλλὰ πᾶσαι ἀνύονται, ὡς πολλαχοῦ αὐτὸς ἱστορεῖ. οὕτω παιδευτικὸς ὁ ποιητὴς εἰς καλοκἀγαθίαν πανταχοῦ, (v. 278 s.) ὃς καὶ ἐνταῦθα καὶ ἐν τῇ Ὀδυσσείᾳ οἶδε τιμωρίας ἔνερθεν, ἤτοι ἐν Ἅιδου, καὶ ὑπὸ τὴν ἔραν, ἤγουν τὴν γῆν, τῶν ἐνταῦθα οὐκ εὖ βεβιωκότων. δοξάζει δὲ καί τινας δυνάμεις θείας, αἳ μάρτυρες καὶ φύλακες τῶν ὅρκων εἰσὶ καὶ τῶν ἐπίορκον ὀμνυόντων τιμωροί. (v. 277) Τὸν ἥλιον δὲ ταμίαν τῶν ὅρκων ἐνταῦθα καλεῖ ὡς πάντα ἐφορῶντα. διὸ καὶ Βιθυνοί, ὡς Ἀρριανὸς ἱστορεῖ, δίκας ἐδίκαζον καθεζόμενοι ἀντίοι τοῦ ἡλίου, ὡς ἂν ὁ θεὸς ἐποπτεύοι. τὰ μέντοι κρύφια ὑπὸ σκότῳ τε πράττεσθαι λέγεται καὶ τὸν σκότον ἔχειν ἐπιστάτην καὶ οὐκ ἂν Ἠέλιος αὐτὰ διαδράκοι καθ’ Ὅμηρον ἤ, κοινότερον εἰπεῖν, ὄψεται Ἥλιος. (v. 276) Τὸν δὲ Δία πολλῷ πρότερον, καὶ μάλιστα τὸν Ἰδαῖον, μάρτυρα καλεῖ καὶ αὐτόν, ὡς τοῦ ζῆν αἴτιον. ζωογόνος γὰρ ὁ Ζεὺς ἀήρ, οὗ στερηθῆναι θέλει τοὺς ἐπιορκήσοντας. ὅτι δὲ Ζεὺς καὶ ὁ ἀήρ, δεδήλωται πολλαχοῦ. ἐξ οὗ καὶ ἡ εὐδία, ὅ ἐστιν ἡ εὐαερία. ὡς δὲ καὶ ζωογόνος ὁ ἀλληγορικὸς Ζεύς, δηλοῖ Ἀριστοτέλης ἐν τῇ αὐτοῦ Ῥητορικῇ λέγων, ὅτι Ἀφροδίτη ὡς ἄρχουσα ἀφροσύνης καὶ Ζεὺς ὡς ζωῆς αἴτιος ὤν. (v. 278- 80) Εὔχεται δὲ ὁ βασιλεὺς ἐκπολεμωθῆναι τοῖς ἐπιορκήσουσι καὶ τοὺς ποταμοὺς καὶ τὴν γῆν, τοὺς μὲν ὡς τῆς ὑγρᾶς τροφῆς δοτῆρας, τὴν δὲ ὡς τῆς ξηρᾶς.

1.652 καὶ οὕτως αὐτοῖς ἐπανιστᾷ τὰ στοιχεῖα. πάντας οὖν ἐπικαλεῖται θεοὺς καὶ τοὺς ἁπανταχοῦ, τούς τε ἐμφανεῖς καὶ τοὺς ἀφανεῖς, ἤγουν τοὺς αἰθερίους, τοὺς ἐν ὑγροῖς, τοὺς περὶ γῆν, τοὺς ὑπὸ γῆν, καὶ οὐ μόνον Δία καὶ Γῆν καὶ Ἥλιον, οἷς οἱ ἄρνες ἐνταῦθα θύονται. καὶ τὸ πᾶν ἐπεγείρει τοῖς ἐπιόρκοις, οὓς οὐκ ἔσθ’ ὅπως οὐκ ἐκτρίβει τὸ θεῖον, οὐ μόνον ἐπὶ μεγάλοις πταίσαντας, ἀλλὰ καὶ ἐπὶ σμικροῖς. Γλαῦκος γοῦν καθ’ Ἡρόδοτον ὁ Λακεδαιμόνιος βουληθεὶς ἐπιορκῆσαι πρόρριζος ἐξετρίβη ἐκ Σπάρτης, ὅτι διενοήθη ἀποστερῆσαι παραθήκης. καὶ χρησμὸς δὲ παρ’ αὐτῷ, οὗ ἀρχή «τὸ μὲν αὐτίκα κέρδιον ὅρκῳ νικῆσαι», λέγει, ὅτι ἀλλ’ Ὅρκου παῖς ἐστιν ἀνώνυμος, οὐδ’ ἔπι χεῖρες οὐδὲ πόδες, κραιπνὸς δὲ μετέρχεται, εἰς ὅ κε πᾶσαν συμμάρψας ὀλέσῃ γενεὴν καὶ οἶκον ἅπαντα. ἔστι δὲ ἡ φράσις ἐνταῦθα τῷ ποιητῇ αὕτη· «Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε, μέγιστε, Ἠέλιός θ’, ὃς πάντ’ ἐφορᾷς καὶ πάντ’ ἐπακούεις, καὶ ποταμοὶ καὶ γαῖα καὶ οἳ ὑπένερθε καμόντας ἀνθρώπους τίνυσθον, ὅστις κ’ ἐπίορκον ὀμόσσει· ὑμεῖς μάρτυροί ἐστε, φυλάσσετε δ’ ὅρκια πιστά». (v. 277) Ἰστέον δέ, ὡς τὸ «Ἠέλιος, ὃς πάντ’ ἐφορᾷς»

Ἀττικῶς εἴρηται ἀντὶ τοῦ «ὦ Ἥλιε», [ὁποῖον σὺν ἄλλοις καὶ τὸ «τράγος γένειον ἄρα πενθήσεις σύ γε», ἀντὶ τοῦ «ὦ τράγε, πάνυ στερήσῃ γενείου, εἰ τὴν φλόγα φιλήσεις».] καὶ ὅτι σύνηθες Ὁμήρῳ σχῆμα τὸ ἐκ πληθυντικῆς καταβαίνειν εἰς ἑνικόν, οἷον καὶ τὸ ἀνθρώπους τίνυσθε, ὃς ἐπίορκον ὀμόσει. ἐκ γὰρ τοῦ ἀνθρώπους εἰς τὸ ὅστις μετέβη, διότι οὐ πάντες οἱ καμόντες ἤτοι θανόντες κολάζονται, ἀλλ᾽ ὁ κακός. τοιοῦτον σὺν ἄλλοις μυρίοις καὶ παρ᾽ Εὐριπίδῃ τὸ «δεσποτῶν ὠμῶν τύχοιμι, ὅστις μ᾽ ὠνήσεται» καὶ τὸ «δίκη γὰρ οὐκ ἔστιν ἐν ὀφθαλμοῖς βροτῶν, ὅστις, πρὶν ἀνδρὸς σπλάγχνον ἐκμάθῃ σαφῶς, στυγεῖ». καὶ παρὰ Σοφοκλεῖ τὸ «τὰ περισσὰ κἀνόνητα σώματα» πάσχει τόδε τι «ὅστις ἀνθρώπου φύσιν γεγώς, ἔπειτα μὴ κατ᾽ ἄνθρωπον φρονεῖ». τοιοῦτον δέ τι καὶ τὸ «λέξω τὰ πάντα, ἅσσα μ᾽ ἱστορεῖς» καὶ τὸ «ἔλεξα πᾶν ὅσονπερ ἐξηπιστάμην». καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ τὸ «πάντες ὅσοι θεοί εἰσιν ἐν᾽ Ὀλύμπῳ» καὶ ἐν τῇ δ′ τὸ «ταῦτα δ᾽ ἀρεσόμεθα, εἴ τι κακὸν εἴρηται». Σημείωσαι δὲ καί, ὅτι τὸ πάντ᾽ ἐφορᾶν διαφέρειν δοκεῖ ποτε τοῦ πάντα ὁρᾶν. Ἠέλιος μὲν γὰρ ἀψόγως πάντ᾽ ἐφορᾷ καί, ὡς οἱ ὕστερόν φασιν, ἐφορεύει, παρ᾽ οἷς καὶ θηλυκὸν ἡ ἐφορεία. ὁ δὲ παρὰ Σοφοκλεῖ Ὀδυσσεύς, ὡς πάντων ἀεὶ κακὸν ὄργανον, ἐπιψόγως πάνθ᾽ ὁρᾶν λέγεται, καὶ εἴη ἂν οὕτως ἀλάστωρ, ἐπείπερ οὐκ ἄν τι διαλάθοι τὸν οὕτω περιέργως πάνθ᾽ ὁρῶντα. [(v. 279) Τὸ δὲ τίνυσθον δηλοῖ μὲν τὸ τιμωρεῖτε, ἐπεκρίθη δὲ εἰς φράσιν ὡς ποιητικώτερον.

1.653 ἄλλως γὰρ τὴν αὐτὴν ἀναπληροῖ χρείαν καὶ τοῦτο καὶ τὸ τίνυσθε στιχηρᾶς λαγαρότητος ποιουμένης καὶ ἐν ἀμφοῖν.] (v. 281—7) Ὅτι Ἀλέξανδρος μὲν πρὸ ὀλίγου συνέθετο, ἐὰν τὸν Μενέλαον νικήσῃ, τὰ καὶ τὰ γενέσθαι, ἐὰν δὲ ἡττηθῇ, τάδε καὶ τάδε, καὶ ἤρεσε τότε ὁ λόγος καὶ ἐπὶ τούτοις ἀποδυσάμενοι τὰ ὅπλα ὁ στρατὸς κάθηνται. Ἀγαμέμνων δὲ ἄρτι οἷον ἐπιδιορθούμενος καὶ ἀναπληρῶν ὅπερ ἐνέλειψεν ὁ ἀδελφός, ποινήν τε προστίθησιν, ὡς μὴ δίκαιον ὂν ἐπὶ τοῖς ἴσοις ἀπαλλαγῆναι τοὺς τοῦ κακοῦ κατάρξαντας, καὶ τὰ ἄλλα δὲ οὕτω διατίθεται· «εἰ μέν κεν Μενέλαον», φησίν, «Ἀλέξανδρος καταπέφνῃ, αὐτὸς ἔπειθ᾽ Ἑλένην ἐχέτω καὶ κτήματα πάντα, ἡμεῖς δέ» νοστήσομεν, ἀνεμεσήτως, φασί, προτάξας τὸν φόνον τοῦ ἀδελφοῦ. «εἰ δέ κεν Ἀλέξανδρον κτείνῃ ξανθὸς Μενέλαος, Τρῶας ἔπειθ᾽ Ἑλένην καὶ κτήματα πάντ᾽ ἀποδοῦναι, τιμὴν δ᾽ Ἀργείοις ἀποτινέμεν» καὶ ἑξῆς. ἐνίκησε μὲν οὖν ἐν τοῖς ἐφεξῆς ὁ Μενέλαος, οὐκ ἀπέκτεινε δὲ τὸν Ἀλέξανδρον, καὶ διὰ τοῦτο ἔχουσιν ἀντιλέγειν οἱ Τρῶες καὶ οἱ Ἀχαιοί. καὶ λέγεται ἡ ὑπόθεσις κατὰ τοὺς ῥήτορας ἀντινομία ἑκατέρου μέρους προβάλλεσθαι δυναμένου τὰ ἑκατέρων ῥητὰ πρὸς δικαίωσιν, οἷον ἐρεῖ ὁ Μενέλαος· εἶπας, ὦ Ἀλέξανδρε· «εἰ νικήσω». νενίκηκα οὖν, ἀποδοτέα μοι τοίνυν ἡ Ἑλένη. ὁ δ᾽ αὖθις ἀπολογίαν πορισάμενος ἐξ Ἀγαμέμνονος εἰς παράβασιν τῶν συνθηκῶν ἀντερεῖ, ὅτι «ἐάν με κτείνῃς» ἐρρέθη παρὰ τοῦ Ἀγαμέμνονος. σὺ δέ με οὐκ ἔκτεινας, οὔκουν λήψῃ τὴν Ἑλένην. ἰσχυροτέρα δὲ κατὰ τοὺς παλαιοὺς ἡ τῶν Τρώων ἀπολογία, διότι μάλιστα δεῖ, φασίν, ὁρᾶν τὰ ἐπὶ τοῖς ὅρκοις ὁριζόμενα. ὅτι δὲ ἀληθῶς νενίκηκεν ὁ Μενέλαος, καὶ ἄλλως μὲν δῆλον, ἀποφαίνεται δὲ τοῦτο καὶ ὁ ἐν τοῖς ἑξῆς εἰπών· «νίκη μὲν δὴ φαίνεται ἀρηϊφίλου Μενελάου», ἤγουν φανερῶς δήλη ἐστίν, ὁποῖον καὶ ἐν ἄλλοις τὸ «ἀλλὰ τὰ μὲν ὑμῶν ἀεικέα ἔργα φαίνεται», ἤγουν πᾶσι δῆλά ἐστιν. (v. 288) Ὅτι τὴν ὑπὲρ τοῦ πταισθέντος ἔκτισιν ἤτοι τὸ πρόστιμον, ὅπερ Ἡρόδοτος δίκας λέγει τῆς ἁρπαγῆς, τιμὴν καὶ ποινὴν ὁ Ἀγαμέμνων καλεῖ λέγων· «εἰ δ᾽ ἂν ἐμοὶ τιμήν» οἱ περὶ Πρίαμον «τίνειν οὐκ ἐθέλωσιν Ἀλεξάνδροιο πεσόντος, αὐτὰρ ἐγὼ καὶ ἔπειτα μαχήσομαι εἵνεκα ποινῆς αὖθι μένων, εἵως κε τέλος πολέμοιο κιχείω», ἤγουν ἕως ἐκτελέσω τὸν πόλεμον. Καὶ γίνεται ἡ τιμὴ αὕτη, ὡς ποινή, ἐκ τοῦ τίω τὸ τιμωρῶ, ἢ καὶ ἀπὸ τοῦ τίω, τὸ ἀνταποδίδωμι, ὅθεν καὶ τὸ τιμὴν ἀποτινέμεν καὶ τὸ τιμὴν τίνειν ἐτυμολογικῷ τρόπῳ ἐν τοῖς ῥηθεῖσι κεῖσθαι δοκεῖ.

1.654 Πίνδαρος μέντοι πολλαχοῦ ποινὴν τὴν ὑπὲρ καλοῦ ἀμοιβὴν λέγει. Σημείωσαι δέ, ὅπως ὁ Ἀγαμέμνων τοῦ προδεδηλωμένου διοπέμπτου ἐνυπνίου ἀντέχεται. εἰπόντος γὰρ ἐκείνου τοῦ ὀνείρου τὸ πεποθημένον αὐτῷ, ὅτι δηλαδὴ νῦν ἕλοις τὴν Τροίαν, δεδιὼς ὁ βασιλεύς, μήποτε

μετὰ τὴν ἐπὶ διακειμένοις μονομαχίαν διὰ τὰς σπονδὰς ἀπόρθητος ἡ Τροία μείνῃ, ὡς τῶν ὁρκίων τυχὸν ἐκπληρωθέντων [καὶ τῶν Τρώων κατὰ τὴν σύμβασιν ἀποδόντων τὴν Ἑλένην καὶ τὰ κτήματα,] παραρρίπτει τὸ περὶ ποινῆς εἰς ἀφορμὴν πάλιν μάχης, ἵνα, εἰ καὶ μὴ νῦν, ἤγουν σήμερον, ἕλοι Τροίαν, ἀλλὰ νῦν, ἤγουν κατὰ τὸν ἐνιαυτὸν τοῦτον, διὰ τὴν ποινήν. διὸ οὐδὲ ὁρίζει αὐτήν, ἀλλὰ θέλει τοὺς Τρῶας τιμὴν Ἀργείοις ἀποτινέμεν, ἥντιν' ἔοικεν. εἰ δὲ μή, πολεμήσειν εἰσαῦθις, ἵνα τὸ τοῦ ὀνείρου λοξὸν λόγιον πληρωθῇ οὐκ εἰπόντος, ὅτι νῦν ὁ πόλεμος λυθήσεται, ἀλλ' ὅτι νῦν ἕλοις τὴν Ἴλιον. οὐ γὰρ ἀρκεῖται ὁ βασιλεὺς μόνῃ τῇ Ἑλένῃ, ἐὰν ὁ Ἀλέξανδρος πέσῃ, οὐδὲ τοῖς ἐκείνῃ συναρπαγεῖσι κτήμασιν, εἰ μή τι καὶ ἐπέκεινα λάβῃ, ἤγουν ποινήν, ἣν ἐπέοικεν. (v. 287) ὅπερ ἐφερμηνεύων φησίν· «ἣ καὶ ἐσσομένοισιν ἐν ἀνθρώποισι πέληται», οὐδ' οὕτως αὐτὴν ὁρίσας, ἵνα ὕστερον ἔχῃ μάχης εὐλόγους λαβὰς διὰ τὸ τῆς τιμῆς, ἤτοι ποινῆς, ἀόριστον. [ἣν δ' ἂν ἴσως ποινὴ ἀρέσκουσα τῷ βασιλεῖ τὸ ἄνδιχα δάσασθαι, ὅσην κτῆσιν ἡ Τροία ἐντὸς ἐέργει, ὁποῖόν τι ἔθος ἐν τοῖς ἑξῆς που ὑπολαλεῖ ὁ ποιητής.] (v. 291) Τὸ δέ «αὖθι μένων» καὶ ἑξῆς, περίφρασίς ἐστι τοῦ πολιορκεῖν. (v. 292) Ὅτι ἐν τῷ «ἀπὸ στομάχους ἀρνῶν τάμε νηλέϊ χαλκῷ» σφάζεσθαι τοὺς ἄρνας φησὶν Ὅμηρος κατὰ στομάχους, οὐ λαμβάνων τὸν στόμαχον κατὰ τὴν νῦν συνήθειαν, ἀλλὰ κατὰ τὴν τότε. στόμαχοι γάρ, φασί, τὰ κάτω μέρη τοῦ λαιμοῦ, οἱ βρόγχοι, καὶ στομάχοιο ἀλλαχοῦ θέμεθλα ἡ φάρυγξ ἢ καὶ στόμα κοιλίας. (v. 293) Τὸ δὲ σφαδάζειν καὶ σπᾶσθαι αὐτοὺς ἐν τῷ σφάζεσθαι ἀσπαίρειν λέγει, ὡς ἐκ τοῦ σπῶ σπαίρω κατὰ πλεονασμὸν τοῦ α . Ἡρόδοτος δέ που καὶ τὸ θερμότερον σπεύδειν καὶ οἷον ἀνασκιρτᾶν καὶ πάνυ προθυμεῖσθαι ἀσπαίρειν ἔφη εἰπών· «Ἀδείμαντος ἤσπαιρε μόνος ἀποπλεύσεσθαι». ἀπὸ δὲ τοῦ σπαίρειν καὶ σπαρίζειν κατὰ τὸ σκαρίζειν, ὡς ἐν ῥητορικῷ σεσημείωται Λεξικῷ. (v. 293 s.) Φράζει δ' ἐνταῦθα ὁ ποιητὴς οὕτω· «καὶ τοὺς μὲν κατέθηκεν ἐπὶ χθονὸς ἀσπαίροντας», ὃ διασαφῶν ἐπάγει «θυμοῦ δευομένους».

1.655 τοῦτο δὲ πάλιν ἐφερμηνεύων φησίν· «ἀπὸ γὰρ μένος εἵλετο χαλκός», ὁ καὶ διὰ τοῦτο ἀνηλεὴς ῥηθείς. ταῦτα δὲ ποιητικῆς διασκευῆς ἐστιν, ἄλλως δέ γε οὐκ ἀναγκαῖα φράζεσθαι. (v. 295) Ὅτι δαπάνην οἴνου δηλοῖ τὸ «οἶνον δ' ἐκ κρητῆρος ἀφυσσάμενοι δεπάεσσιν ἔκχεον». εἰ δὲ καὶ ἐπ' ἀγαθῷ τοῦτο γίνεται, οἰκεῖον ἐπαγαγεῖν καὶ τὸ «ἠδ' εὔχοντο θεῷ». καὶ ὅτι ἐκχεομένων ἐπὶ ὅρκοις τῶν σπονδῶν ἐπέλεγον οἱ ἐκεῖ· ὡς ὅδε ὁ οἶνος χέεται, οὕτω τοῖς ἐπιορκήσασιν ὁ ἐγκέφαλος χαμαὶ χεθείη. τάχα δὲ καί, ὅτε αἱ τρίχες, ὡς ἐρρέθη, τῶν κεφαλῶν τοῖς σφαγίοις ἐτέμνοντο, καὶ τοιοῦτόν τι ἐπελέγετο, ὡς εἰς κεφαλὴν τὸ κακὸν τρέποιτο τοῖς ἐπιόρκοις ἢ οὕτως ἐκτμηθεῖεν τοῦ βίου, εἰ καὶ ὁ ποιητὴς οὐ λέγει ταῦτα, οἷα νοεῖν κατὰ τὸ εἰκὸς αὐτὰ ἀφιείς, ὁποῖα καὶ τοιαῦτα πολλὰ ποιεῖ. (v. 297—301) Ἰστέον δέ, ὅτι ἔθος τῷ ποιητῇ ἐν ταῖς κατὰ πλῆθος ἠθοποιΐαις συντέμνειν τὸν λόγον τεχνικῶς, ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη. ὅτε γοῦν εἴπῃ· «ὧδε δέ τις εἴπεσκεν», ὀλίγους ἀεὶ λόγους ἐπάγει, ὡς καὶ ἐνταῦθα ποιεῖ λέγων· «ὧδε δέ τις εἴπεσκεν Ἀχαιῶν τε Τρώων τε· ὦ Ζεῦ κύδιστε, μέγιστε, ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν, ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος, αὐτῶν καὶ τεκέων, ἄλοχοι δ' ἄλλοισι δαμεῖεν», ἤ «μιγεῖεν». (v. 301) Ἔνθα ὅρα καί, ὅπως ἐν μεγάλῳ κακῷ τίθενται οἱ ὄχλοι τὸ ὑπ' ἄλλοις γενέσθαι τὰς αὐτῶν ἀλόχους ἤτοι ὁμολέκτρους ἤ, τραγικῶς εἰπεῖν, κοινολεχεῖς γυναῖκας. καλῶς ἄρα καὶ Νέστωρ ἐν τοῖς πρὸ τούτου ἐμέμνητο τῆς μετὰ Τρωϊκῶν ἀλόχων κατακοιμήσεως, ὡς τούτου μεγίστου κακοῦ ἐσομένου τοῖς Τρωσί. καὶ μετ' ὀλίγα δὲ τοιαύτη τις εὐχὴ βραχεῖα γενήσεται κατὰ τοῦ αἰτίου τῶν κακῶν. Τὸ δέ «αὐτῶν καὶ τεκέων» ἀντιπτωτικῶς ἔχει. ἄλλως γὰρ «αὐτοῖς καὶ τέκεσιν» ὤφειλεν εἶναι πρὸς ἀκολουθίαν τοῦ «ὧδέ σφιν ἐγκέφαλος χαμάδις ῥέοι». [δῆλον δ' ὅτι ἐν τοιούτοις οὐ σολοικίζει ἀντιτιθεμένη ἡ γενική.] (v. 299) Τὸ δέ «ὑπὲρ ὅρκια πημήνειαν» περίφρασίς ἐστι τοῦ ἐπιορκήσειαν. δῆλον δέ, ὅτι πήμανσις ὅρκων ἐστὶν ἡ τούτων παράβασις, ὡς ἐδήλου πρὸ τούτων καὶ τὸ «ὅρκια δηλήσαιτο». (v. 302) Ὅτι σχῆμα προαναφωνήσεως τὸ «ὣς ἔφατ', οὐδ' ἄρα πώ σφιν ἐπεκραίαινε Κρονίων», δι' οὗ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προεκτίθεται, ὡς τελεσθήσονται μὲν αἱ τοῦ βασιλέως ἀραί, οὔπω δὲ νῦν, ἀλλὰ μετὰ ταῦτα. τὸ δέ «οὐδ’ ἄρα πώ σφιν», οὐκ ἂν ἀνευλόγως ὀξυνόμενον ἔχοι τὸν πω σύνδεσμον ὡς ἐγκλινόμενον, καθὰ δηλοῖ καὶ τὸ οὔπω, εἰ δέ τις φιλονεικοίη περισπᾶν αὐτό, ἀκολουθείτω τοῖς προπερισπῶσι τὸ πώποτε.

1.656 τὸ δὲ Κρονίων ἐκτείνει κἀνταῦθα ὡς καὶ ἐν ἄλλοις τὴν παραλήγουσαν. (v. 305—7) Ὅτι κἂν μισητὸς ἦν ἅπασιν ὁ Ἀλέξανδρος, ἀλλ’ ὁ πατὴρ Πρίαμος λέγει μὴ ἂν τλήσεσθαι ὀφθαλμοῖς ἰδεῖν αὐτὸν μαχόμενον. φησὶ γάρ· «ἤτοι ἐγὼν εἶμι προτὶ Ἴλιον ἠνεμόεσσαν ἄψ, ἐπεὶ οὔπω τλήσομαι ὀφθαλμοῖσιν ὁρᾶσθαι μαρνάμενον φίλον υἱὸν ἀρηϊφίλῳ Μενελάῳ». οὕτω δὲ καὶ ὁ Ἕκτωρ συμπαθῶς διὰ φιλαδελφίαν διακείσεται, ὃς εἰ καὶ φεύγοντι, ὡς εἴρηται, ὠνείδισεν, ὅμως ἡττηθέντα τὸν ἀδελφὸν οὐ προδώσει. νοητέον δέ, οἷον ἔσται πένθος ὕστερον τῷ γέροντι ἐπὶ τῷ Ἕκτορι. εἰ γὰρ τὸν Πάριν οὐ τλήσεται ὁρᾶν μαχόμενον, πῶς οἴσει βλέπων τὸν Ἕκτορα καὶ τοῦτο ποιοῦντα καὶ πίπτοντα καὶ ὑπὸ Ἀχιλλέως ἀεικιζόμενον. δῆλον δ’ ὡς οὐδὲ ἐπὶ τῷ τείχει καθεδεῖται ὁ γέρων, ἵνα μὴ ὀφθαλμοῖς ἐκεῖθεν ὁρᾷ, φαντασίᾳ δὲ μόνῃ, ἔνδον που μένων παράβυστος. Σημείωσαι δέ, ὅτι πιθανῶς ὑποχωροῦντα ποιεῖ τὸν γέροντα Πρίαμον ὁ ποιητής, ἵνα μὴ παρὼν ἀνάγκην σχοίη τελέσαι τὰ τῶν ὅρκων καὶ οὕτω κακοήθης ἡ ποιητικὴ γένηται διασκευή. ἀποδημοῦντος γάρ, οὐ μὴν παρόντος, τοῦ συνετωτάτου Πριάμου συγχεθήσεται πιθανῶς τὰ ὅρκια. καὶ οὕτως εὐοδωτέρα ἡ τῆς ποιήσεως ἔσται περιπέτεια. (v. 308) Ἵνα δὲ μὴ δόξῃ ὁ γέρων καταψηφίζεσθαι τοῦ υἱοῦ ἧτταν διὰ τὴν ἀναχώρησιν καὶ ἀπαιτηθείη τὰ δόξαντα, φησὶ παρὰ τῷ θεῷ κεῖσθαι τὰ τοῦ τέλους· «Ζεὺς γάρ που τό γε οἶδε», φησίν, «ὁπποτέρῳ θανάτοιο τέλος πεπρωμένον ἐστίν», ἤτοι πεπερατωμένον ἐξ εἱμαρμένης, οἱονεὶ λέγων, ὅτι οὐχ’ ὡς ἡττηθησόμενον προλείπει τὸν Πάριν, εἰ καὶ ἀρηΐφιλος ὁ Μενέλαος, ἀλλὰ διότι οὐκ ἂν τλαίη βλέπων μαχόμενον τὸν φίλον υἱὸν καὶ ἀγωνιῶν. εἰ γὰρ καὶ ἅρπαξ ὁ Πάρις καὶ μισητός, ἀλλ’ αὐτῷ φίλος υἱός ἐστιν. ὅτι δὲ εἰκὸς ἦν ὑπὸ Πριάμου ἐκδοθῆναι τὴν Ἑλένην, εἰ παρῆν, ὅτε ἡττήθη Ἀλέξανδρος, ἐμφαίνει ὁ τῶν δημογερόντων λόγος, ὅτε ἐπὶ τοῦ τείχους ἦσαν, εἰπόντων, ὅτι καὶ τοιαύτη οὖσα οἰχέσθω, ἵνα μὴ κακὸν ἡμῖν γένηται. εἶχε δὲ καὶ ὁ τῶν Τρώων ὄχλος ἑτοίμως, εἰ ὁ Πρίαμος ἐπένευσεν. ἐμίσουν τε γὰρ τὸν Ἀλέξανδρον ἀπεχθόμενον ἶσον κηρὶ μελαίνῃ καὶ εὔξονται δὲ θανεῖν ἐκεῖνον, «ὃς τάδε ἔργα ἐν ἀμφοτέροισιν ἔθηκεν».

1.657 ὁ δὲ ἦν ὁ ἀρχέκακος ἐπάρατος Ἀλέξανδρος. (v. 305) Ἠνεμόεσσαν δὲ τὴν Τροίαν εἶναι πολλαχοῦ δηλοῖ ὁ ποιητὴς διὰ τὸ ἐφ’ ὑψηλοῦ κεῖσθαι. [(v. 306) Τὸ δέ «οὔπω τλήσομαι» ἀσύνηθες τοῖς ὕστερον. ἐνταῦθα μὲν γὰρ τὸ οὔπω ταὐτόν ἐστι τῇ οὐ ἀρνήσει. ἐκεῖνοι δὲ τὸ οὔπω χρονικὸν οἴδασιν, οἷον· οὔπω ἦλθεν, ἀλλὰ δηλαδὴ ἐλεύσεται· καί· οὔπω ἔγραψεν, ἀλλὰ γράψει.] Τὸ δέ «εἶμι ἄψ» ταὐτὸν τῷ ἀναχωρήσω, ἐπανελεύσομαι, νοστήσω. Σημείωσαι δὲ καί, ὅτι δύο ἄρτι ῥήτορας τοῖς βασιλεῦσιν ὁ ποιητὴς παραζευγνύς, Ἀγαμέμνονι μὲν τὸν Ὀδυσσέα, Πριάμῳ δὲ τὸν Ἀντήνορα, ὅμως λαλοῦντας οὐδὲν ἢ ποιοῦντας πλάττει αὐτούς, ἀλλὰ τὸ πᾶν τοὺς βασιλεῖς. πρῶτος οὖν Ὅμηρος, ὥς φασιν οἱ παλαιοί, καὶ τὰ σιγῶντα πρόσωπα ἐν τοῖς δραματικοῖς ἐπενόησεν. (v. 310) Ὅτι τὰ ἐπὶ ὅρκοις σφαγιαζόμενα οἱ μὲν ἐγχώριοι κατώρυττον κρύπτοντες ὑπὸ γῆν, οἱ δὲ ἐπήλυδες, εἰ καὶ Ὅμηρος νῦν τοῦτο σιγᾷ κατὰ σχῆμα σύνηθες, θαλάσσῃ ἐπέρριπτον ἢ ἄλλο τι ὅμοιον ἐποίουν, ὡς ἐκ τοῦ κάπρου δῆλον ἔσται, ὃν ἐπὶ ὅρκῳ σφάξει που ὁ βασιλεύς. γεύσασθαι δὲ αὐτῶν ὅλως ἀπώμοτον ἦν. διὸ καὶ Πρίαμος τοὺς τῶν ὁρκίων ἄρνας εἰς δίφρον αὐτὸς θέμενος ἀνεχώρησεν, ἅμα καὶ κατορύξων αὐτούς, ὡς εἴρηται, καὶ τοῖς πολίταις δὲ ἄνω δείξων διὰ τὸ τοῦ ἔργου θαυμάσιον, καὶ ἵνα καὶ οὕτω γένηται τῶν ὅρκων ταμίας. (v. 311) Ὅτι κατατείνειν ὀπίσω τὰ ἡνία λέγει τὸν ἡνίοχον. καὶ σημείωσαι τὴν φράσιν. οὐκ ἔστι γὰρ κάλλιον φράσαι. (v. 313) Ὅτι τὸ «ἄψορροι ποτὶ Ἴλιον ἀπονέοντο», περίφρασίς ἐστι τοῦ ἐπαλιννόστησαν. (v. 314—6) Ὅτι διαμετρεῖται καὶ τόπος τῇ Ἀλεξάνδρου καὶ Μενελάου μονομαχίᾳ διὰ τὸ αὐτοῖς ἐγκεῖσθαι τὸν ἐπὶ πᾶσι κίνδυνον καὶ δόξοι ἂν ἡττηθῆναί πως ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρεξελθὼν τόν, ὥς φησιν ὁ ποιητής, διαμετρητὸν χῶρον. ἐπὶ μέντοι Ἕκτορος καὶ Αἴαντος ἐν τοῖς ἑξῆς τοῦτο οὐ γίνεται. ἴδιος γάρ ἐστιν ἐκεῖ τοῦ παθόντος ὁ κίνδυνος. πάλλουσι δὲ καὶ κλήρους ἐν κυνέῃ, ὁππότερος προαφήσει τὸ ἔγχος. φράζει δὲ ὁ ποιητὴς ἐνταῦθα οὕτω· Ἕκτωρ δὲ καὶ Ὀδυσσεύς «χῶρον μὲν πρῶτα διεμέτρεον. αὐτὰρ ἔπειτα κλήρους ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες, ὁππότερος δὴ πρόσθεν ἀφείη χάλκεον ἔγχος». (v. 316) Ἔστι δὲ κλῆρος, ὡς καὶ ἐν τοῖς ἑξῆς φανήσεται, σημεῖον, ὅ τις ἐμβαλεῖ τῷ ἀγγείῳ τοῦ λαχμοῦ, ψηφὶς τυχὸν ἢ δακτύλιος ἢ βῶλος ἀρούρης κατὰ Σοφοκλῆν ἤ τι τοιοῦτον, τὸ δ᾽ αὐτὸ καὶ πάλος λέγεται.

1.658 ἀλλὰ τοῦτο μὲν παρὰ τὸ πάλλω, τὸ κινῶ, κλῆρος δὲ ἀπὸ τοῦ τέλους τῆς κινήσεως παρὰ τὸ κλῶ, τὸ καλῶ, δι᾽ οὗ ἐκπηδήσαντος καλεῖταί τις εἰς ἔργον, ἢ μᾶλλον ἀπὸ τοῦ κᾶλον, τὸ ξύλον, κατὰ Ἡρωδιανόν, ὡς ξύλων μάλιστα πάλλεσθαι διδομένων ἐν τοῖς τοιούτοις. χρῆσις δὲ τοῦ ῥηθέντος πάλλειν καὶ τοῦ κατ᾽ αὐτὸν κλήρου καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «οἱ τεταγμένοι βραβεῖς κλήροις ἔπηλαν». Ἰστέον δέ, ὅτι ὁ μὲν κλῆρος καὶ πάλος λέγεται κατὰ πολυωνυμίαν, τοῦ δὲ πάλλειν ῥήματος οὐκ ἔστι καιριωτέρα λέξις ὡς ἐν ποιήσει. παρὰ δὲ τοῖς ὕστερον ἀπὸ τοῦ κλήρου καὶ τὸ κληροῦν καὶ τὸ κληροῦσθαι λέγεται. Εὐριπίδης δὲ ἐν μὲν Φοινίσσαις καὶ μαντικάς τινας ψήφους κλήρους καλεῖ, ἅς, φασί, δέλτοις παρεσημειοῦντο ἔν τε πτήσεσιν ὀρνίθων καὶ λοιποῖς. ἐκεῖ δὲ οἱ παλαιοὶ κλήρους νοοῦσι καὶ τοὺς ὑπὲρ μαντείας μισθούς. ἐν δὲ τῷ «δέλτος κλήρους οὐ δεδεγμένη» κλήρους, φασί, λέγει ἢ τὰς μαντείας ἢ σημεῖά τινα διδόμενα τῷ μάντει, ἐξ ὧν ὁρμώμενος προεφήτευε. Δῆλον δὲ καί, ὡς ἐκ μὲν τοῦ καθ᾽ Ὅμηρον κλήρου καὶ ἡ κατὰ βίον λαχοῦσά τινι περιουσία κλῆρος λέγεται μεταφορικῶς καὶ ἡ ῥητορικὴ δὲ ἀποκλήρωσις ἐκεῖθεν εἴληπται. ἐκ δὲ τοῦ πάλου ἐρρέθη ὁ ἀντίπαλος, ὃς οὐ μόνον δηλοῖ τὸν ἐξ ἐναντίου πάλου ἐρίζοντα, ἀλλά ποτε καὶ τὸν σαφῶς οὕτω λεγόμενον ἰσοπαλῆ. (v. 318) Ὅτι τὸ «λαοὶ δ᾽ ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον» ἀμφιβολίας ἐστὶ σχῆμα εἰς μίαν ἀφορώσης ἔννοιαν. εἴτε γὰρ εἴποι τις θεοῖσι τρισυλλάβως εἴτε δισυλλάβως θεοῖς, εἶτα ἐπάγει «ἰδὲ χεῖρας ἀνέσχον», ἡ αὐτή ἐστιν ἔννοια. δῆλον δέ, ὡς καὶ προεγράφη, ὅτι οὐ μόνον ἐπὶ ἀνατάσεως χειρῶν τὸ ἀνασχεῖν, ἀλλὰ καὶ ἐπὶ ἀνατολῆς ἡλίου. τὸ μέντοι ἐξανίσχειν ἐπὶ μόνου ἡλίου λέγεται καὶ τὸ ὑπερῆρθαι δὲ εἰς ὕψος ἐντεῦθεν ἐξανέχειν φαμέν. (v. 321—3) Ὅτι ἀρὰ κατὰ ἀρχεκάκου τὸ «ὁππότερος τάδε ἔργα μετ᾽ ἀμφοτέροισιν ἔθηκε, τόν, θεέ, δὸς ἀποφθίμενον δῦναι δόμον Ἄϊδος εἴσω, ἡμῖν δ᾽ αὖ φιλότητα καὶ ὅρκια πιστὰ γενέσθαι». Τρῶες δὲ κατ᾽ Ἀλεξάνδρου ταῦτά φασιν.

1.659 ὅρα δέ, ὡς εὐπαίδευτος ὁ τοῦ λαοῦ λόγος ἐν τῷ «ὁππότερος τάδε ἔργα ἔθηκεν». εὐφήμως γὰρ ἔργα λέγει τὰ πολλὰ κακά, ὧν αἴτιος ὁ Ἀλέξανδρος, οὐ μὴν ὁ Μενέλαος. ὡς γὰρ προείρηται, ὁ μὲν Ἀλέξανδρος ἦρξεν, ὁ δὲ Μενέλαος ἔριν σχὼν ἠμύνατο. καί πώς ἐστι τὸ ῥηθὲν ὅμοιον τῷ «μυρί᾽ Ἀχαιοῖς ἄλγεα ἔθηκε». (v. 322) Τὸ δέ «ἀποφθίμενον δῦναι εἰς Ἅιδην» πρὸς διαστολὴν εἴρηται τῶν δίχα φθορᾶς μυθευομένων δῦναι εἰς Ἅιδου, ὁποῖος ὁ Πειρίθους καὶ ὁ Ὀδυσσεὺς καὶ ὁ Ἡρακλῆς. [συγκέκοπται δὲ τὸ ἀποφθίμενον Αἰολικῶς, τὸ γὰρ ἐντελὲς ἀποφθιόμενον ἐκ τοῦ φθίω.] (v. 324 s.) Ὅτι ἔπαλλε τοὺς κλήρους ὁ Ἕκτωρ ἄψ, ἤγουν ὀπίσω, ὁρῶν, ἵνα μὴ δόξῃ κακουργῆσαί τι. καὶ ὅμως εὐτυχῶς Πάριος θοῶς ἐκ κλῆρος ὄρουσεν, ἤγουν ταχὺ ἐξέθορε. καὶ τὰ μὲν τῆς τύχης ἐνταῦθα φιλοτίμως ἔχει τῷ ἅρπαγι, ὑπερτερήσει δὲ ἀρετῇ ὁ ἀγαθὸς Μενέλαος. (v. 327) Ὅτι ἐν τῷ «ἔνθα ἵπποι ἀερσίποδες καὶ ποικίλα τεύχεα ἔκειτο» ἐξ ἀναλόγου νοητέον ἐν τῷ «ἵπποι» τὸ ἵσταντο. οὐ γὰρ ἔκειντο καὶ οἱ ἵπποι. πολλὰ δὲ τοιαῦτα σχήματα παρὰ τῷ ποιητῇ, ὁποῖον σὺν ἄλλοις καὶ τὸ «σῖτον καὶ οἶνον ἔδοντες». ἐκ τοῦ ἀναλόγου γάρ, ὥσπερ σῖτον ἔδοντες, οὕτω νοητέον καὶ οἶνον πίνοντες. τινὲς δὲ φιλοσοφώτερον ἐπιβάλλοντες ἐν τῷ ἔκειντο νοοῦσι καὶ τὸ ἵσταντο. κεῖσθαι γὰρ γενικῶς καὶ τὸ ἵστασθαι. τινὲς δὲ στίξαντες εἰς τὸ «ἵπποι ἀερσίποδες», κατὰ ἔλλειψιν τοῦ ἦσαν, ἐπάγουσι «καὶ ποικίλα τεύχεα ἔκειτο». ἀερσίποδες δὲ οἱ λίαν ταχεῖς καὶ ὠκύποδες ἢ ἀελλόποδες καί, ὡς εἰπεῖν, κουφόποδες ἐκ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀείρω ἀέρσω. ἀείρεσθαι δέ ἐστι τὸ εἰς ἀέρα κουφίζεσθαι, ἀφ’ οὗ καὶ «ἀερσιπότητος ἀράχνης» παρὰ Ἡσιόδῳ. (v. 328) Ὅτι ὥσπερ δίφρον περικαλλέα ἔφη τὸν τοῦ Πριάμου, οὕτω καὶ τεύχεα καλὰ τὰ τοῦ Ἀλεξάνδρου, οὗ καὶ αἱ κνημῖδες καλαὶ ῥηθήσονται. δεῖ γὰρ καὶ πρὸς κάλλος ἠσκῆσθαι τὰ πολεμιστήρια ὄργανα, ὡς πολλαχοῦ δείκνυται. (v. 329—38) Ὅτι χαίρων ὁ ποιητὴς πραγμάτων διασκευῇ, ὡς μυριαχοῦ φαίνεται, ἤγουν τῇ κατὰ λεπτὸν ἀφηγήσει, διατυποῦται καὶ ἐνταῦθα τὴν τοῦ Πάριδος ὅπλισιν λέγων, ὅτι «δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠϋκόμοιο, κνημῖδας μὲν πρῶτον περὶ κνήμῃσιν ἔθηκε, καλὰς ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας», τοῖς καλύπτουσι δηλαδὴ τὰ σφυρά, ὁπλισάμενος πρῶτον τὰ κάτω, ἕως ἐπικύπτειν ἔχει ἐλαφροῖς τοῖς ἄνω μέρεσι.

1.660 «δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν οἷο κασιγνήτοιο Λυκάονος, ἥρμοσε δ’ αὐτῷ· ἀμφὶ δ’ ἄρ ὤμοισι βάλετο ξίφος ἀργυρόηλον, χάλκεον, αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε, κρατὶ δ’ ἐπ’ ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν, ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν· εἵλετο δ’ ἄλκιμον ἔγχος, ὅ οἱ παλάμηφιν ἀρήρει». (v. 339) Καὶ οὕτω διασκευάσας εἰς λεπτὸν τὴν τοῦ Πάριδος ὅπλισιν ἐπὶ Μενελάου πάνυ συντέμνει τὸ νόημα, ὡς ἂν μὴ ἀκαίρως τὰ αὐτὰ λεπτολογῇ, καί φησιν· «ὡς δ’ αὔτως Μενέλαος ἀρήϊος ἔντε’ ἔδυνε» προτιμηθέντος κἀνταῦθα τοῦ Πάριδος, ἵνα σὺν τῇ ἄλλῃ φιλοτιμίᾳ ἔχῃ καὶ τοῦτο. Καὶ σημείωσαι τὸ «Μενέλαος ἀρήϊος». τὸν Ἀλέξανδρον μὲν γὰρ δῖον προσεῖπεν ἁπλῶς οὕτω, τὸν δὲ Μενέλαον ὥσπερ πρὸ τούτου ἀρηΐφιλον, οὕτω νῦν ἀρήϊον, ἤτοι πολεμιστήν, νίκης ἐλπίδας ὑποτείνων τῷ ἀκροατῇ. Ἑλένης δὲ πόσιν τὸν δῖον Ἀλέξανδρον λέγει σκωπτικώτερον. οὐ γὰρ ἔδει τὸν δῖον τὴν ἀλλοτρίαν ἔχειν. συχνὰ δὲ τοῦτον καὶ ἐν τοῖς ἑξῆς, ὡς φανεῖται, πόσιν τῆς Ἑλένης φησίν. εἰ δέ τινα ἔχει διαφορὰν ὁ πόσις καὶ ὁ ἀνήρ, ὡς ἐν Τραχινίαις ἐμφαίνει Σοφοκλῆς, ἑτέρωθι φανήσεται. (v. 330) Κνημῖδες δὲ καὶ νῦν ὅπλον σκέπον τὰς κνήμας, ἀφ’ ὧν καὶ παρονομάζονται. τούτων τὰ ἄκρα ἐπισφύρια λέγεται, ὡς τοῖς τῶν ποδῶν κάτω σφυροῖς προσαρμόζοντα. διὸ καὶ ἀργύρεα ταῦτα, ὡς καὶ αἱ κνημῖδες καλαί. καὶ ἡ ἀσπὶς δὲ φαεινὴ καὶ πολυδαίδαλος, ἤγουν ποικίλη, κατὰ τὰ ἔργα τοῦ Δαιδάλου. τινὲς δὲ ἐπισφύρια τοὺς γλυμμούς φασι τῶν σφυρῶν τοῦ ποδός, ἃ καὶ ἀργυρᾶ φησι σκώπτων, ὥς που καὶ τὴν Θέτιν φησὶν ἀργυρόπεζαν, ἵνα ἐμφήνῃ γυναικίαν τὸν Ἀλέξανδρον, ὥσπερ τὰ κατὰ ψυχήν, οὕτω καὶ κατὰ σῶμα. (v. 332) Ὁ δὲ θώραξ, ὃν ἐνδύνει ὁ Πάρις, κασιγνήτου ἦν. οἰκεῖον γὰρ οὐκ εἶχε θώρακα πρόχειρον. παρδαλέη γὰρ περιέκειτο τοῖς ὤμοις αὐτοῦ, ὅτε ἐκ Τροίας κατέβη. ἵνα δὲ μὴ δόξῃ τοῦτο αἴτιον ἥττης τῷ Πάριδι ὡς ἀπροσφυοῦς ἴσως ὄντος τοῦ θώρακος, φησί· «ἥρμοσε δ’ αὐτῷ», προδεδοκιμασμένος, οἷα εἰκός, καθὰ καὶ τὸ ἔγχος ἥρμοστο αὐτοῦ τῇ παλάμῃ. τὸν δὲ τοῦ Λυκάονος φορεῖ θώρακα, ὅμοιος, φασίν, ὁμοίου.

1.661 Ἀλέξανδρός τε γὰρ μαλακὸς εἰς μάχην καὶ Λυκάων δὲ ἐν τοῖς ἑξῆς ἱστορηθήσεται εἰς πόνους εὐένδοτος. (v. 334) Τὸ ξίφος δὲ ἀμφὶ τοῖς ὤμοις βάλλεται κατὰ ἀρχαϊσμόν. οὔπω γὰρ ἦν ἔθος αὐτὸ περιζώνυσθαι. ἔνθα καὶ ὅρα καί, ὅτι θώρακα δύνειν καὶ ἔντεα δύνειν λέγει, ξίφος δὲ ἀμφιβαλέσθαι, ὥσπερ καὶ σάκος. (v. 335) Τὸ δὲ σάκος μέγα καὶ στιβαρὸν λέγει, ὡς ἂν ὁ Μενέλαος γενναῖος εἶναι δόξῃ, ὅτε τὸ δόρυ διελάσει αὐτοῦ. [(v. 336) Τὸ δέ «κρατὶ δ’ ἐπ’ ἰφθίμῳ» Ἀττικῶς δοκεῖ λεχθῆναι. κοινῶς γὰρ ἰφθίμῃ ὤφειλεν εἶναι. τοιοῦτον δὲ ἦν καὶ τὸ «ψυχὰς ἰφθίμους». δύναται δὲ καὶ τριβὴν ἔχειν λόγου, ὁποίαν ἐν Ὀδυσσείᾳ τὸ «σῷ κράατι τίσεις».] Τὸ δὲ κυνέη χρήσεως παλαιᾶς ἐστιν ὄνομα. ὡς γὰρ ἐν τῷ παρδαλέη, λεοντέη, λυκέη, ἐλλείπει τὸ δορά, οὕτω καὶ ἐν τῷ κυνέη. δηλοῖ γὰρ κυνέην δοράν, ἤγουν κυνὸς ποταμίου, σκέπουσαν τὰς κεφαλὰς τοῖς παλαιοῖς. ὕστερον δὲ ἡ μὲν τοιαύτη ὕλη τοῦ σκεπάσματος ἠμελήθη, τὸ δ’ ὄνομα οὐκ ἐκλέλοιπεν, ἀλλὰ καὶ τὸ ἐξ ἄλλης ὕλης ἔρυμα τῆς κεφαλῆς κυνέη καλεῖται διὰ τὴν παλαιὰν χρῆσιν, καθ’ ἣν καὶ ἡ τοῦ Ἄϊδος περικεφαλαία κυνέη λέγεται. κατὰ τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ ἐκ σιδήρου ὅπλα χάλκεά φαμεν διὰ τὸ ἀρχαῖον. ἦν γὰρ ὅτε χαλκὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαπτόμενος ἐστομοῦτο πρὸς ὅπλα. καὶ ὁ πίναξ δὲ ἐπὶ βιβλίου καὶ τὸ πυξίον παλαιᾶς εἰσιν ἐγκαταλείμματα χρήσεως. πάλαι γάρ ποτε πίναξιν ἤτοι σανίσι, καὶ ταύταις ἐκ πύξου μάλιστα, τὰ γράμματα ἐνεκόλαπτον. καὶ τὸ γράφειν δὲ παλαιᾶς ἐνεργείας ὄνομα. ξυσμαῖς γάρ τισιν ἐτυποῦντο τὰ στοιχεῖα, τὸ δὲ ξύειν γράφειν ἐλέγετο. καὶ τὸ σπαρτίον δὲ καὶ τὸ σχοινίον, ὡς καὶ προεγράφη, ἐκ παλαιοῦ ἔργου κρατεῖ λέγεσθαι, παρώνυμα ὄντα φυτοῖς ἐξ ὧν ἐγίνοντο, [ἤγουν τῇ φυομένῃ σχοίνῳ ἐν τόποις ὑγροῖς καὶ τῇ σπάρτῳ, ἐξ ἧς παρέφθαρται χυδαϊζόμενον τὸ πλεκτὸν σπαρτίον, ὃ σωμάτων ῥύπους ἐκτρίβει ἐν λοετροῖς.

1.662 ] καὶ ἡ νευρὰ δὲ τμῆμα μέν ἐστι δέρματος βοὸς ἄρτι ἐν τοῖς τόξοις. διότι δέ ποτε νεῦρα βόεια συνεκρότουν αὐτήν, παρέμεινε μέχρι καὶ νῦν τὸ τῆς κλήσεως. καὶ τὸ κερᾶν δὲ παλαιᾶς οἰνοχοείας τῆς διὰ κέρατος ὄνομα τοῖς ὕστερον συμποσίοις παρέμεινε. τοιοῦτόν τι, ὡς προεδηλώθη, καὶ ὁ ὀβολός, εἰς ὀξὺ λήγων παρὰ τοῖς ἀρχαίοις κατὰ τοὺς ὀβελούς, κἂν νῦν μικροῦ δεῖν ὡς εἰς ἐπίπεδόν τι κατήνεκται. ἀλλὰ καὶ ἡ δραχμή, τουτέστιν οἱ ἓξ ὀβολοί, ἐξ ἀρχαίας χρήσεως, ὡς καὶ αὐτὸ προείρηται, ἔτυχε τοιαύτης κλήσεως. τοσούτων γὰρ ὀβολῶν εἶχε τότε ἡ χεὶρ ἐπιδράττεσθαι, ὡς ἱστορεῖ καὶ Πλούταρχος. καὶ λίνον δὲ τὴν χορδὴν λέγειν ἐκ τῶν ἀνέκαθεν εἰς τοὺς ὕστερον καθήκει. πάλαι γάρ ποτε δοκεῖ λινέας εἶναι τὰς μουσικὰς χορδάς, ὡς καὶ ὁ αἴλινος ὑποδηλοῖ. [καὶ ἡ βίβλος δὲ ἀρχαιοτροπίαν δηλοῖ παλαιγόνου πράγματος. ἐγίνετο γάρ ποτε τὰ τῶν χαρταρίων σώματα ἐκ φυτοῦ, ὅ, καθὰ καὶ ἀλλαχοῦ δεδήλωται, βύβλος ἐλέγετο.] καὶ τὸ τῆς δέλτου δὲ ὄνομα ὁμοίως ἄνωθεν κατέβη ἀπὸ τῶν δελτωτῶν βιβλίων εἴτ’ οὖν ἐκ τῶν κατὰ δέλτα πτυσσομένων γραφῶν, αἳ κυρίως δέλτοι καλούμεναι ἀφῆκαν τοῖς ὕστερον βιβλίοις κληρονομῆσαι τοιαύτης κλήσεως. Τὸ δὲ εὔτυκτον γίνεται μὲν ἐκ τοῦ τεύχω, ἀπέβαλε δὲ τὸ ε διὰ εὐφωνίαν, ὥσπερ καὶ ἡ κύστις ἐκ τοῦ κεύθω οὖσα καὶ ἐκ τοῦ πεύθω ἡ πύστις, ὅ ἐστιν ἡ μάθησις. οὕτω καὶ τὸ νευστάζειν νυστάζειν φαμὲν καὶ τὸ ἐτεύχθη ἐτύχθη. καὶ ἡ τέχνη δὲ ὁμοίως καὶ ὁ τέκτων ἀπέβαλον τὸ υ ἐκ τοῦ τεύχω γενόμενα. (v. 337) Ἵππουρις δὲ ἡ ἄνω ἔχουσα περὶ τὸν λόφον τρίχας ἐξ ἵππων οὐρᾶς, ὅπερ ἐγίνετο διὰ τὸ φοβερώτερον. διό φησιν ὁ ποιητής, ὅτι «δεινὸν δὲ λόφος καθύπερθεν ἔνευε». φοβερώτερον γὰρ τὸν ὁπλίτην ἡ τοιαύτη ἐποίει, ὥς που δηλώσει καὶ τὸ τοῦ Ἕκτορος βρέφος ταρβῆσαν χαλκὸν καὶ λόφον ἱππιοχαίτην δεινὸν ἐπ’ ἀκροτάτης κόρυθος νεύοντα.

1.663 ἔνθα δῆλον ὡς ὁ λόφος ἀκροτάτη κόρυς ἐστίν, ὁμωνυμῶν τῷ τοῦ ὄρους λόφῳ, ἐξ οὗ καὶ ὁ γήλοφος καὶ λοφνίδες, αἱ ἐκεῖθεν λαμπάδες, καὶ λοφιὰ ζῴου καὶ ζῷα λόφουρα. τὴν δὲ ἵππουριν καὶ ἱπποδάσειαν ἐρεῖ, ἐπίτηδες καὶ τοῦτο πλάσας ὁ ποιητής, ὡς ἂν πιθανῶς ἐν τοῖς ἑξῆς ἔχῃ ἑλκῦσαι τὸν Πάριν δραξάμενος τῶν τριχῶν ὁ Μενέλαος. Θεόκριτος δὲ τὸ Ὁμηρικὸν περιφραστικῶς ἑρμηνεύων φησίν· «ἵππειαι κόρυν σκεπάσασαι ἔθειραι». [Δῆλον δέ, ὅτι καὶ οὐρὰ ἵππου καὶ χαίτη δὲ συνετέλουν εἰς τὸ τῆς κόρυθος ἄκρον, ὡς ἡ ἵππουρις δηλοῖ καὶ ὁ ἱππιοχαίτης λόφος.] (v. 342) Ὅτι ἀγριότητα ὑπογράφει προσώπου τὸ «δεινὸν δερκόμενοι, θάμβος δ’ ἔχεν εἰσορόωντας». (v. 344 s.) Ὅτι μονομάχων πολεμίων ἴδιον τὸ «καί ῥ’ ἐγγὺς στήτην διαμετρητῷ ἐνὶ χώρῳ σείοντ’ ἐγχείας ἀλλήλοισι κοτέοντε». τίς δὲ ὁ διαμετρητὸς χῶρος, προείρηται. ὥσπερ δὲ ἔλεγχος ἐλεγχείη, οἷον «ἐλεγχείην καταχεύῃ», οὕτω καὶ ἔγχος ἐγχείη. ἔοικε δὲ διαφορά τις εἶναι τῶν δοράτων, ἃ πρὸ μικροῦ ἔπαλλεν ὁ Ἀλέξανδρος, καὶ τούτων τῶν ἐγχειῶν. ἔγχος μὲν οὖν ἐνταῦθα καὶ ἐγχείας πολλάκις φησί, δόρυ δὲ οὐδὲ εἰσάπαξ. καὶ ἴσως αὗται μὲν ὀρεκταί, ἐκεῖνα δὲ καὶ ἀφίεντο, τυχὸν δὲ καὶ τῷ μήκει διέφερον. διὸ περὶ τῶν μονομάχων τούτων φησίν, ὅτι μακραῖς ἐγχείαις μαχήσονται. (v. 346) Ὅτι καὶ ἐν τῷ «πρόσθε δ’ Ἀλέξανδρος προΐει δολιχόσκιον ἔγχος» καὶ ἐν ἄλλοις δὲ πολλαχοῦ δολιχόσκιον ἔγχος λέγει ἢ τὸ μακρόν, οὗ δολιχὴ καὶ ἡ σκιά, ἢ τὸ εἰς δολιχὸν κιὸν ἤτοι εἰς μακρὸν πορευόμενον πλεονασμῷ τοῦ ς ἤ, ὅπερ δολιχὸν γέγονε διὰ τὸ ἐν σκιᾷ τραφῆναι, ὡς καὶ ἀλλαχοῦ ῥηθήσεται. ὁ δὲ τοῦ ς πλεονασμὸς ἐν πολλαῖς εἴθισται βραχυνομέναις λέξεσι κατ’

ἐπαλληλίαν πυκνήν, ὁποῖαι καὶ τὸ θέσκελον, θέσφατον, θεσπέσιον, θεόσδοτον, μογοστόκος Εἰλείθυια. ἦν δ' ἂν οὕτω καὶ θεοστόκος ἐν μέτρῳ δακτυλικῷ, εἰ μὴ τραπέντος τοῦ ο εἰς η θεητόκος ἐγράφη καθ' ὁμοιότητα τοῦ στεφανοφόρος, βοτρυοφόρος, σικυέλατον, ὑπέλατον, ἐνέλατον καὶ τῶν ὁμοίων.

1.664 τὸ μέντοι ὁδοδόκος καὶ ὁδόπορος ἄλλως ἐθεράπευσε τὸ πολύβραχυ τῶν συλλαβῶν, δι' ἐπενθέσεως τοῦ ι , καθὰ καὶ τὸ μεσαπόλιος μεσαιπόλιος, Πυλαμένης, Ἰθαμένης καὶ ὅσα τοιαῦτα. [δύναται δὲ δολιχόσκιον ἔγχος λέγεσθαι καὶ πρὸς διαστολὴν ξίφους, ἔγχος γὰρ καὶ τὸ ξίφος παρὰ τοῖς τραγικοῖς.] (v. 347) Ὅτι βαλεῖν, οὐ τὸ ἀφεῖναι βέλος, ἀλλὰ τὸ ἐπιτυχεῖν, ὡς ἐπὶ πλεῖστον εὑρίσκεται παρὰ τῷ ποιητῇ. δηλοῖ δέ ποτε καὶ τὸ καταρρῖψαι. οὕτω γὰρ καὶ Ἀχιλλεὺς ἔβαλε πρὸς τῇ γῇ τὸ σκῆπτρον. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ θεῖναι, ὡς τὸ «φιλότητα μετ' ἀμφοτέροισι βάλωμεν», [ἤγουν θήσομεν, καὶ «ἐν φρεσὶ βάλῃ», ἤγουν εἰς νοῦν θήσεις, ἐξ οὗ σύνθετον τὸ νουθετεῖν.] (v. 347 s.) Ὅτι τὴν ἀσπίδα τοῦ Μενελάου καὶ τὴν τοῦ Πάριδος πάντοσε ἴσας εἶναι ἱστορεῖ ὡς περιφερεῖς. δοκεῖ δὲ ἡ τοῦ Μενελάου ἀσπὶς καὶ χαλκῆν ἔχειν πτύχα ἐπιφαινομένην. διὸ εἰπών· «καὶ βάλεν Ἀτρείδαο κατ' ἀσπίδα πάντοσε ἴσην» ἐπάγει «οὐδ' ἔρρηξε χαλκόν», τὸν ἐπιπολάζοντα δηλαδή, «ἀνεγνάμφθη δέ οἱ αἰχμή», τουτέστιν, ὡς καὶ ἀλλαχοῦ κεῖται, ἀνεκάμφθη, ἠμβλύνθη. τινὲς δὲ γράφουσιν «οὐδ' ἔρρηξε χαλκός», ἤγουν οὐ διεπέρασε τῆς τοῦ Μενελάου ἀσπίδος ὁ κατὰ τὸ δόρυ τοῦ Ἀλεξάνδρου σίδηρος. (v. 348) Ἰστέον δέ, ὡς αἰχμὴ κυρίως ἡ ἐπιδορατίς, ἤγουν τὸ ξίφος τοῦ δόρατος, παρὰ τὸ αἷμα χέειν, μετατεθέντος τοῦ μ . ἀπὸ δ' αὐτοῦ ὡς χρησιμωτάτου μέρους καὶ ἅπαν τὸ δόρυ αἰχμή συνήθως καλεῖται, ὡς δηλοῖ τὸ «ἀνεγνάμφθη δέ οἱ αἰχμὴ ἀσπίδι ἐνὶ κρατερῇ». οὕτω δὲ ἀνάπαλιν καὶ δόρυ τὸ ὅλον ἀπὸ τοῦ ξύλου λέγεται, ὥστε δύο ὄντων μερῶν τῷ τοιούτῳ ὅπλῳ, ξύλου τε καὶ σιδήρου, δόρυ μὲν ἀπὸ τοῦ ξύλου λέγεται, αἰχμὴ δὲ ἀπὸ τοῦ σιδήρου.

1.665 (v. 351—4) Ὅτι Μενέλαος μὲν εὔχεται ξενίῳ Διῒ κατὰ τοῦ ἅρπαγος μοιχοῦ τίσασθαι καὶ δαμάσειν ἐκεῖνον—πέποιθε γάρ, ὡς δίκαια τὰ τῆς εὐχῆς—, Ἀλέξανδρος δὲ εἰδὼς ἄδικα εὔξεσθαι κατὰ τοῦ Μενελάου οὐ παρρησιάζεται, ἀλλὰ σιωπᾷ. τί γὰρ ἂν εἴη τέλος ἀδίκου εὐχῆς; Σημείωσαι δέ, ὅτι ἡ τοῦ Μενελάου εὐχὴ παρῳδηθεῖσα ἐκ τοῦ «Ζεῦ ἄνα» πρέποι ἂν εἰς κακοξένου ἀράν, οἷον «θεὲ ἄνα, δὸς τίσασθαι, ὅ με πρότερος κάκ' ἔοργε, καὶ ἐμῇς ὑπὸ χερσὶ δάμασσον, ὄφρα τις ἐρρίγῃσι καὶ ὀψιγόνων ἀνθρώπων ξεινοδόκον κακὰ ῥέξαι, ὅ κεν φιλότητα παράσχῃ», [ἤγουν ὃς οὔτε ἀποπέμψει οὔτε λῃστρικῶς βλάψει τὸν ξενισθέντα, φιλοφρονήσεται δέ, ὡς ἐγώ ποτε τὸν Πάριν ἐν Λακεδαίμονι.] (v. 351) Ἰστέον δέ, ὅτι ἐν τῷ «Ζεῦ ἄνα», ἤτοι ὦ Ζεῦ βασιλεῦ, τὸ ἄνα ἢ ἀπὸ τῆς ἀνα προθέσεως τῆς δηλούσης τὴν ἄνω σχέσιν εἴληπται εἰς ὄνομα ἢ ἀπὸ τοῦ ἄναξ ἀποβολῇ τοῦ διπλοῦ γέγονεν ὁμοίως τῷ γύναι. ὅτι δὲ θεία, ὡς καὶ προδεδήλωται, λέξις ἐστὶ τὸ ἄναξ, δηλοῖ καὶ ὁ γράψας οὕτω· «ἄναξ, θεοὺς γὰρ δεσπότας καλεῖν χρεών», ὡς ταὐτὸν ὂν ἄνακτα εἰπεῖν καὶ θεόν. [Τὸ δέ «ὅς με πρότερος κακὰ ἔοργε» κακοῦργόν τε συνθέτως εἰπεῖν τὸν Πάριν εἶναι δηλοῖ καὶ διασαφητικόν ἐστι τοῦ «Ἀλεξάνδρου ἕνεκ' ἀρχῆς», τοῦ καὶ ἀρχεκάκου διὰ ταῦτα.] (v. 352) Τὸ δέ «καὶ ἐμαῖς ὑπὸ χερσὶ δάμασσον» διασαφητικόν ἐστι τοῦ «δὸς τίσασθαι», ὥσπερ καὶ τοῦ ξεινοδόκου ἐφερμηνευτικόν ἐστι τὸ «ὅς ἂν φιλότητα παράσχῃ». (v. 354) Τὸ δὲ ξεινοδόκος παροξύνεται διὰ τὴν ἐν αὐτῷ νοουμένην ἐνέργειαν. τὰ γὰρ παρὰ ῥῆμα σύνθετα ὀνόματα παροξύνεται μέν, ὅτε ἐνέργειαν ὑπισχνεῖται, προπαροξύνεται δὲ ὅτε πάθος, εἰ μὴ κανόνες κωλύοιεν, οὓς παρατίθεται Ἡρωδιανός· λιθοβόλος μὲν οὖν παροξυτόνως ὁ λίθον βάλλων, προπαροξυτόνως δὲ ὁ λίθῳ βεβλημένος· καὶ πρωτοτόκος μὲν ἡ πρώτως τεκοῦσα, πρωτότοκος δὲ ὁ πρῶτος τεχθείς· οὕτω καὶ ξεινοδόκος ὁ ξένους δεχόμενος ἐνεργητικῶς. φιλικὴ δὲ λέξις ὁ ξένος παρὰ τῷ ποιητῇ, παρὰ δὲ ἄλλοις ξένος ὁ ἀλλότριος. Ἡρόδοτος δὲ λέγει καί, ὅτι ξένους οἱ Λάκωνες ἐκάλουν τοὺς βαρβάρους. γίνεται δὲ ἀπὸ μὲν τοῦ Ὁμηρικοῦ ξένου ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ξενία καὶ ὁ ξεινοδόκος καὶ τὸ ξενίζειν, ἀπὸ δὲ τοῦ λοιποῦ τὸ ἀποξενοῦσθαι. (v. 353) Τὸ δὲ ἐρρίγῃσι μέσος ἐστὶ παρακείμενος τοῦ ῥιγῶ ῥιγήσω, οὗ τὸ ἔρριγα, ἐξ οὗ τὸ ἐρρίγω.

1.666 Ὅρα δ’ ἐν τοῖς ῥηθεῖσι καί, ὅτι δῖον τὸν Ἀλέξανδρόν φησιν ὁ Μενέλαος εἰπών· «δὸς τίσασθαι δῖον Ἀλέξανδρον» παιδεύοντος Ὁμήρου δεῖν τὸν σπουδαῖον ἄνδρα εὐλογητικὸν εἶναι ὡς τὰ πολλὰ καὶ μὴ σκωπτικὸν ἐν οἷς οὐ χρή. ἔχει δέ τι καὶ βαρύτητος ὁ λόγος, ὡς μὴ δέον ὂν τὸν δῖον ἄνδρα κακὰ ἐοργέναι. (v. 355—60) Ὅτι γενναίας βολῆς δόρατος φραστικὸν τὸ «ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος» καὶ βάλε κατ’ ἀσπίδα, «διὰ μὲν ἀσπίδος ἦλθε φαεινῆς ὄβριμον ἔγχος καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο, ἀντικρὺ δὲ παραὶ λαπάρην διάμησε χιτῶνα ἔγχος», ἤτοι ῥᾷον διέκοψε καὶ οἷον ἐθέρισε. Κυρίως γὰρ ἐπὶ θέρους τὸ ἀμᾶν, ὅθεν ἀμᾶσθαι τροπικῶς καὶ τὸ δρακὶ συνάγειν, ὡς τὸ «κόνιν ἐπαμησάμενος». (v. 359) Γίνεται δὲ ἡ λαπάρα, δι’ ἧς ὁ κενεὼν δηλοῦται, παρὰ τὸ λάπτω, τὸ ἐκκενῶ, ὡς καὶ ὁ κενεὼν ἐκ τοῦ κενῶ, ὁ λαπαχθεὶς τόπος καὶ κενὸς ὀστῶν. ὅτι δὲ ἐκ τοῦ λάπτω γίνεται καὶ τὸ ἀλαπάζω, προείρηται. [ἀπ’ αὐτοῦ δὲ καὶ λάπαθος, φυτὸν εὔθετον εἰς γαστρὸς ὑπαγωγήν.] (v. 362) Ὅτι ἀνασχόμενος οὐχ’ ὁ ὑπομείνας, ὡς παρὰ τοῖς μεθ’ Ὅμηρον, ἀλλ’ ὁ ὑψοῦ τείνας τὴν χεῖρα. φησὶ γάρ· «ἐρυσάμενος ξίφος ἀργυρόηλον πλῆξεν ἀνασχόμενος κόρυθος φάλον». ἀλλαχοῦ δὲ ἐνεργητικῶς χεῖρας ἀνασχών φησιν ἐπὶ εὐχῇ καὶ χεῖρας ἀνέσχον. Φάλος δὲ κόρυθος ἀσπιδίσκιον, ὡς καὶ ἀλλαχοῦ φανεῖται, ἢ ἀστερίσκος τις προμετωπίδιος, λευκὸς καὶ λαμπρός, ἐκ τοῦ φάλιον, τὸ λευκόν. αὐτὸ δὲ παρὰ τὸ φάειν λίαν, ὅθεν καὶ φαλακρός, ὁ τὸ κάρα φάλιος ἤτοι λαμπρός, ὡς καὶ ἐν Ὀδυσσείᾳ σκώπτει τις τὸν Ὀδυσσέα. καὶ πέτρα δὲ φαληριῶσα παρὰ Λυκόφρονι, ἡ λευκὴ νῆσος.

1.667 καὶ κύματα παρ’ Ὁμήρῳ φαληριόωντα, τὰ λευκά. (v. 362 s.) Ὅτι ἐν τῷ «ἀμφὶ δ’ ἂρ αὐτῷ ξίφος τριχθά τε καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός» εἴποις ἂν σιδήρου θραυομένου ἀκούειν. τοιοῦτον γάρ τινα ἦχον ἡ τῶν λέξεων ὑπηχεῖ τραχύτης ἐπίτηδες οὕτω φράζοντος τοῦ ποιητοῦ ὀνοματοποιΐας τρόπῳ, ὥσπερ αὖ πάλιν τοὐναντίον, ὡς καὶ προεγράφη, ἐν τῷ «μέγαν ἐλέλιξεν Ὄλυμπον», ἤγουν τὸν μέγαν ἐκίνησεν οὐρανόν, ἐπλεόνασε τῇ τοῦ λ λειότητι, ἵνα τῷ ἀπαραποδίστῳ τῆς κατὰ τὸ ἀμετάβολον φράσεως τὴν ὀξυκινησίαν ἐμφήνῃ τοῦ οὐρανοῦ, ὃς λειότερον Ὄλυμπος λέγεται. (v. 363) Τὸ δέ «τριχθὰ καὶ τετραχθά» ἐκ τοῦ τρίχα καὶ τοῦ τέτραχα γίνεται πλεονασμῷ τοῦ θ διὰ τραχυφωνίαν πλείονα, [ὃ δὴ γίνεται καὶ ἐπὶ τοῦ ὄχθος καὶ ὄχθη. καὶ ἐν αὐτοῖς γὰρ ἀπὸ τοῦ ἐξέχειν γενομένοις πλεονασμὸς τοῦ θ ἐστιν, ὡς καὶ ἐν τῷ εὐοχθεῖν κατά τινας, ὃ παρ’ Ἡσιόδῳ κεῖται, καὶ ἐν τῷ χθών, χθονός.] ὀξύνεται δέ, ὡς τὸ δηθά. Τὸ δὲ διατρυφέν ἐκ τοῦ θρύπτω γίνεται, ὠνοματοπεποιημένου ῥήματος, καὶ ἔστι μετοχὴ δευτέρου παθητικοῦ ἀορίστου. ἐντεῦθεν δὲ καὶ τὸ τρύφος παρῆκται, ἔτι δὲ καὶ ἡ τρυφή, ὡς τὸν σπαταλῶντα θρύπτουσα. Ὅρα δέ, ὡς δυστυχοῦντα τὸν Μενέλαον ἐνταῦθα ποιεῖ Ὅμηρος, οὐ μόνον ὅτι τοῦ πρῶτος βαλεῖν ἀπέτυχεν, ἀλλὰ καὶ ὅτι τὸ ἔγχος ἐτώσιον ἀφῆκε, καὶ τῇ θραύσει δὲ τοῦ ξίφους καὶ τῇ φυγῇ τοῦ Πάριδος. Ἀλεξάνδρῳ δὲ τὰ πλείω εὖ ἔτυχε. κάμπτεται γὰρ αὐτῷ ἡ αἰχμὴ καὶ τοῦτό γε μόνον οὐκ εὐτυχεῖ, τὰ δ’ ἄλλα εὖ ἐκείνῳ συμπίπτει. πρῶτός τε γὰρ βάλλει ἐκ τύχης κλήρου καὶ ἡ τρυφάλεια ἑλκομένου ῥήγνυται καὶ αὐτὸς διαφεύγει τὸν φόνον. ὃ δὲ μέγιστόν ἐστι τῷ μὲν ἀδικηθέντι εὐτύχημα, δυσδαιμονία δὲ τῷ ἅρπαγι, τοῦτο ἦν, ὅτι νικᾷ μὲν ὁ Μενέλαος, ἡττᾶται δὲ ὁ Ἀλέξανδρος. διδάσκει δὲ καὶ ἐν τούτοις ὁ ποιητὴς τὸ ἐν τοῖς πρακτέοις ἀνώμαλον. (v. 365—8) Ὅτι ἕτοιμοι πρὸς βλασφημίαν οἱ δυστυχοῦντες. Μενέλαος οὖν οὐκ εὐτυχῶν ἐνταῦθά φησι· «Ζεῦ πάτερ, οὔ τις σεῖο θεῶν ὀλοώτερος ἄλλος· ἦ τ’ ἐφάμην τίσασθαι Ἀλέξανδρον κακότητος, νῦν δέ μοι ἐν χείρεσσιν ἄγη ξίφος» καὶ ἑξῆς.

1.668 οὐκ ἀπαιδεύτως δὲ ὁ βασιλεὺς λαλεῖ, ἀλλ’ εὐσεβῶς, ὡς χρεὼν ὂν δυσπραγεῖν τὸν κακόν. (v. 365) Ἰστέον δέ, ὅτι τὸ ὀλοώτερος θεῶν ἀντὶ τοῦ ὀλοὸς ἐν θεοῖς. ἐνταῦθα γὰρ ἡ σύγκρισις ἀντὶ ἁπλοῦ νοεῖται, ὡς καὶ ἀλλαχοῦ. (v. 366) Τὸ δέ «τίσασθαι Ἀλέξανδρον κακότητος», ἤγουν ἕνεκεν τῆς κακίας, Ἀττικὴν ἔχει ἔλλειψιν. πλεονάζουσι δὲ οἱ μεθ’ Ὅμηρον τῷ τοιούτῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σχήματι, ὁποῖον καὶ τὸ «θαυμάσαι δίκαιον Ἰσοκράτην τῆς τέχνης». (v. 367) Τὸ δὲ ἄγη Ἀττικοὶ ἐάγη φασίν. [Ἰστέον δέ, ὅτι τὸ «ἦ τ' ἐφάμην τίσασθαι» καὶ ἑξῆς, ἀφελοῦς ἰδέας ἐστίν· ἁπλοϊκοῦ γὰρ ἤθους μέμφεσθαι τὸ θεῖον, ὅτι μὴ γέγονεν ὅπερ τις ἔφατο.] (v. 367 s.) Ὅτι ἀποτυχίαν φράζων ἀφέσεως ἔγχους περιφραστικώτερόν φησιν· «ἐκ δέ μοι ἔγχος ἠΐχθη παλάμηφιν ἐτώσιον», εἶτα στενοχωρῶν τὴν περίφρασίν φησιν· «οὐδ' ἔβαλόν μιν». ταὐτὸν γὰρ τοῦτο πρὸς τὸ «ἐξηΐχθη παλάμης ἔγχος ἐτώσιον». (v. 369 s.) Ὅτι ἐπαΐξας ὁ Μενέλαος κόρυθος λάβεν ἱπποδασείης, εἷλκε δ' ἐπιστρέψας μετ' ἐϋκνήμιδας Ἀχαιοὺς τὸν Πάριν, λίαν ἀγχινούστατα ἐν ἀπόροις εὐπορήσας καὶ μηχανὴν εὐτυχῶς ἐξευρηκὼς κατὰ τοῦ ἐχθροῦ. Ὅρα γάρ, ὡς ἐζώγρησεν οἷον αὐτὸν ὁ Μενέλαος καὶ περιγέγονεν ἂν καὶ εἰς τέλος ἐκείνου κατὰ κράτος, εἰ μὴ τὰ τῆς ἱστορίας ἐκώλυε. νῦν δὲ ἡ διασκευὴ μέχρι τοῦ εἰκότος προχωρήσασα ἡττηθῆναι μὲν ἐκεῖνον ποιεῖ καὶ οὕτω καταισχύνει, οὐ μὴν τολμᾷ καὶ τὴν ἐκείνου ἀναίρεσιν. (v. 369) Ὅρα δὲ καί, ὅτι τὸ ἱπποδασείης κόρυθος λαβεῖν, ἤγουν ἅψασθαι, ὡς ἐπὶ τριχῶν κεφαλῆς εἴρηται, καὶ ἔστιν ἀστεῖα ἡ περιπέτεια, εἰ ἀπὸ τοιούτου ὅπλου ὁ Πάρις κινδυνεύει, καὶ ἴσως διὰ τοῦτο κρείττων ἡ ἁπλῆ περικεφαλαία τῆς τριχωτῆς. ὁποίῳ δή τινι λόγῳ καὶ οἱ Κουρῆτες ἐπετηδεύσαντο κουράν, ἵνα μὴ λαμβάνωνται τῶν τριχῶν αὐτῶν οἱ πολέμιοι. (v. 371 s.) Ὅτι ἦγχεν ἑλκόμενον τὸν Ἀλέξανδρον πολύκεστος ἱμὰς ἁπαλὴν ὑπὸ δειρήν. εἶτα ἐφερμηνεύων Ὅμηρος, εἰς τί τῷ Ἀλεξάνδρῳ ἐχρησίμευεν ὁ τοιοῦτος ἱμάς, φησίν· «ὅς οἱ ὑπ' ἀνθερεῶνος ὀχεὺς τέτατο τρυφαλείης». ἀστείως δὲ ταῦτα πλάττει ὁ ποιητὴς σκώπτων τὸν Ἀλέξανδρον. ἱμάντι τε γὰρ αὐτὸν ποιεῖ ἑλκόμενον κατὰ τοὺς αἰχμαλώτους καὶ τὴν αὐτοῦ δειρὴν ἁπαλὴν λέγει ὡς ἂν εἰ καὶ γυναικός. καὶ ἄλλως δὲ κεστῷ ἄγχεται ὡς θεράπων Ἀφροδίτης, ἧς φόρημα κεστός, ὡς ἀλλαχοῦ λεχθήσεται. Ἰστέον δέ, ὅτι, ὥσπερ κεστὸς ὁ κεντητὸς καὶ ποικίλος, οὕτω πολύκεστος ὁ πολυκέντητος καὶ πολυποίκιλτος, ὅπερ καὶ τοῦ ῥαγῆναι τὸν ἱμάντα αἴτιον γέγονεν.
1.669 εἰ γὰρ καὶ βοὸς ἦν «ἶφι κταμένοιο», ἤγουν σφαγέντος ἐν νεότητι καὶ ἰσχύϊ, ἀλλὰ διὰ τὸ πολυκέντητον καὶ οὕτω πολυδιαίρετον ἕτοιμος ἦν εἰς ῥῆξιν. διὸ ἡ φίλη τῷ Πάριδι Ἀφροδίτη ἔρρηξε τὸν ῥηθέντα ἱμάντα, «κεινὴ δὲ τρυφάλεια ἅμ' ἕσπετο χειρὶ παχείῃ». Ἔτι ἰστέον καί, ὅτι τὸ μὲν ἱμάς προσηγορικόν ἐστιν, ἐπίθετον δὲ αὐτοῦ τὸ πολύκεστος, ὥστε καί, ὅταν εἴπῃ κεστός, ἐπίθετόν ἐστιν ἱμάντος τὸ ὄνομα λείποντος τοῦ προσηγορικοῦ, καθὰ καὶ ἐπὶ ἄλλων πολλῶν γίνεται. ὥσπερ καὶ ἐνταῦθα ἡ τρυφάλεια περικεφαλαίας οὖσα ἐπίθετον ἀντὶ αὐτῆς ἐκείνης λαμβάνεται. παρὰ τὸ κέντω δέ, φασί, βαρύτονον ἢ παρὰ τὸ κεντῶ γίνεται ὁ ῥηθεὶς πολύκεστος διὰ τὸ πολυρραφὴς εἶναι, ὥσπερ καὶ παρὰ τὸ ἕω, τὸ πληρῶ, ἑστὸς καὶ μεστὸς ὁ πλήρης. τὸν δέ γε τῆς Ἀφροδίτης κεστὸν καὶ παρὰ τὸ κάζω, τὸ κοσμῶ, ἐτυμολογοῦσιν οἱ παλαιοί. [εἰ δὲ καὶ ἐκεῖνος ἐκ τοῦ κεντεῖν παρῆκται, ὅμως ἁπλῶς ἐστι κεντητός, οὐ μὴν πολύκεστος οὕτω κατὰ τὸν τοῦ Πάριδος.] (v. 372) Ὅρα δὲ καί, ὡς τὸν ἀνθερεῶνα σαφῶς ὑπέγραψεν. ὅπου γὰρ ὁ τῆς περικεφαλαίας ὑποτέταται ὀχεύς, ἐκεῖ ἐστιν ὁ ἀνθερεών. καὶ ἄλλως δὲ εἰπεῖν, ἑρμηνεύων τὴν ἁπαλὴν δειρὴν ἐπάγει τὸ «ὑπ' ἀνθερεῶνος», ὡς ταὐτὸν ὂν εἰπεῖν ἀνθερεῶνα καὶ δειρὴν ἁπαλήν. καὶ ἴσως τοῦτό ἐστιν, ὅπερ φησὶν ἀλλαχοῦ «ἁπαλοῖο δι' αὐχένος». [Ἰστέον δέ, ὅτι τὸ ὑπ' ἀνθερεῶνος, ἤγουν ὑποκάτω τοῦ ἀνθερεῶνος, ὑπ' ἀνθερεῶνα ἡ κοινὴ φράζει.] Ὀχεὺς δὲ οὐ μόνον ἐπὶ μοχλοῦ θύρας, ὡς ἀλλαχοῦ, ἀλλ' ἰδοὺ καὶ ἱμάς, ὁ συνεκτικὸς τῆς περικεφαλαίας, [ἀπὸ τοῦ ἔχειν παρηγμένος, ὅθεν καὶ τὸ τῆς ἀσπίδος ὄχανον.] Τῶν δὲ περικεφαλαιῶν αἱ μὲν ἄφαλοι, ὡς αὐτός που λέγει ὁ ποιητής, αἱ δὲ φαλωταί, ἤτοι ἔχουσαι φάλον, ὡς καὶ ἡ τοῦ Πάριδος. ἔφη γοῦν, ὅτι ἔπληξε Μενέλαος κόρυθος φάλον, τὴν δ' αὐτὴν καὶ τρυφάλειαν λέγει ἄρτι, ὡς τρεῖς φάλους ἔχουσαν. ἐρεῖ δέ πού τινα καὶ ἀμφίφαλον καὶ τετράφαλον. Σκοπητέον δὲ καί, ὅτι ἐν μὲν τῷ δίφρος τροπὴ τοῦ υ διχρόνου γέγονεν εἰς τὸ ι , ἐν δὲ τῷ τρυφάλεια ἔμπαλιν ἔχει ἡ τοῦ διχρόνου τροπή. (v. 373—81) Σημείωσαι δὲ καί, ὅτι ἔθους ὄντος τῷ ποιητῇ ταῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δυσλύτοις περιπετείαις τῶν ἱστορουμένων ἐπεισάγειν ποτὲ καὶ θεούς, ὡς οἷον ἀπὸ μηχανῆς τινος τραγικῆς, πεποίηται τοῦτο καὶ νῦν.

1.670 ἐπεὶ γὰρ ἕλκεται ὁ Πάρις καὶ κίνδυνός ἐστιν αἰχμάλωτον ἀπαχθῆναι αὐτόν, τοῦτο δὲ παρὰ τὴν τῆς ἱστορίας ἐστὶν ἀλήθειαν, λύει θεραπεύων τὸ κινδυνῶδες ὁ ποιητὴς ἐπεισοδίῳ θεοῦ· φησὶ γάρ· «καί νύ κεν εἴρυσέν τε», ὅ ἐστιν εἵλκυσεν ἂν τὸν Πάριν ὁ Μενέλαος, «καὶ ἄσπετον ἤρατο κῦδος, εἰ μὴ ἄρ ὀξὺ νόησεν» ἡ Ἀφροδίτη, «ἥ οἱ ῥῆξεν ἱμᾶντα βοὸς ἶφι», ὡς ἐρρέθη, «κταμένοιο», εἶτα καὶ «ἐξήρπαξε ῥεῖα μάλα ὥς τε θεός, ἐκάλυψε δὲ ἠέρι πολλῇ». καὶ τοῦτο μὲν τοῦ μύθου, ἡ δὲ καθ' ἱστορίαν ἀλληγορία βούλεται συνωμότας τινὰς ἑταίρους ἡλικιώτας τῷ Ἀλεξάνδρῳ συνασπίσαντας λάθρᾳ ὡς ἐν ἠέρι, ἤγουν ἀορασίᾳ, ἐκ μέσου θεῖναι αὐτὸν συνεπιλαβομένης Ἀφροδίτης, ὅ ἐστι τοῦ περὶ τὴν Ἑλένην ἐπαφροδίτου κοινοῦ φίλτρου καὶ ἱμέρου. διὸ καὶ ἔκπαγλα φιλεῖν αὐτὴν ἡ Ἀφροδίτη λέγεται, ὡς πολὺ τὸ ἐπαφρόδιτον ἔχουσαν, ᾧ καὶ οἱ δημογέροντες κηλούμενοι ἔλεγον οὐ νεμεσητὸν τοιῇδε ἀμφὶ γυναικὶ μάχεσθαι. ὡς εἰ μὴ τοῦτο ἦν, τί ἐκώλυεν ἔχθραν μέσον τεθῆναι Τρώων καὶ Ἀχαιῶν Ἀφροδίτης χόλῳ κατὰ τὴν ἐκείνης ἀπειλὴν καὶ οὕτω τὴν Ἑλένην κακόν τι παθεῖν ὀλομένην κακὸν οἶτον; ὃ καὶ αὐτὴ δεδοικυῖα τούς τε πενθεροὺς κολακεύει καὶ τὸν Πάριν καὶ τὸν Ἕκτορα καὶ ἑαυτὴν ὑβρίζει τὸ μέλλον καραδοκοῦσα καὶ ἐπισπωμένη ἔλεον. (v. 375) Ῥῆξαι δὲ τὸ βίᾳ ἑλκυσμοῦ διακόψαι τὸ συνεχές, ὡς καὶ ἐνταῦθα ῥήγνυται ὁ ἱμὰς τῆς τρυφαλείας τοῦ Ἀλεξάνδρου, οὐ μὴν λύεται ἀνακάμψει δεσμοῦ· ὀξύτητος γὰρ ἔδει τῷ πράγματι. τοιοῦτον δὲ ἡ ῥῆξις ἀχρόνως οἷον γινομένη. διὸ καὶ ὀξὺ νοήσασα ἡ Ἀφροδίτη ἔρρηξεν ὀξυχειρίᾳ χρησαμένη. (v. 376) Κενὴ δὲ τρυφάλεια ἡ μηκέτι ἐντὸς ἔχουσα τὴν τοῦ Πάριδος κεφαλήν. Τὸ δὲ ἕσπετο γλυκέως ἐρρέθη, ὡς εἴπερ ἔμψυχος ἦν ἡ τρυφάλεια. καὶ ἔστι τοῦτο ἀρχὴ τοῦ εἰπεῖν τῶν τινὰ σοφῶν γλυκέως ὕστερον, ὡς ἡ τοῦ νεκροῦ χεὶρ ἐπηκολούθησε.

1.671 Χεῖρα δὲ παχεῖαν τὴν τοῦ Μενελάου δεόντως νῦν λέγει διὰ τὸ τοιαῦτα εἶναι τοῖς ἀνδρικοῖς τὰ ἀκρωτήρια. ἐν μέντοι τῇ Ὀδυσσείᾳ παχεῖαν χεῖρα τῆς Πηνελόπης κατὰ τὸ παρέλκον φησὶ καί, ὡς οἱ παλαιοὶ λέγουσι, κατὰ ἀκυρολεξίαν, εἰ μὴ ἄρα ὡς καὶ ἐκείνης δαΐφρονος. (v. 381) Ἠέρα δὲ τὴν σκότωσιν εἴτ' οὖν τὸν ἀφώτιστον ἀέρα μυριαχοῦ κατὰ θηλυκὸν γένος φησίν. οὕτω δὲ καὶ τὴν αἰθέρα λέγει. (v. 378) Ὅτι ἔρριψεν ἐπιδινήσας τὴν Ἀλεξάνδρου περικεφαλαίαν εἰς τοὺς Ἀχαιοὺς Μενέλαος, λάφυρον οἷον ἐξ ἐκείνου ταύτην κερδάνας. κατὰ δὲ τοὺς παλαιοὺς καὶ εἴδωλόν τι Ἀλεξάνδρου τοῖς τε θεωμένοις τότε τοῖς τε ὕστερον ἀκροωμένοις καταλείπει τριχῇ περιγενόμενος αὐτοῦ δόρατί τε καὶ ξίφει καὶ τρίτον αἰχμαλωσίᾳ, τῇ διὰ τῆς περικεφαλαίας. εἴ τι γὰρ θυμουμένοις παραπέσῃ, τοῦτο, φασίν, ὅπλον ἐστὶν ἀχορηγήτου θυμοῦ. Τὸ δὲ ἐπιδινήσας ἀντὶ τοῦ δίκην δίνου, ὅ ἐστι τόρνου, ἀφεὶς φέρεσθαι. χρῆσις δὲ τοῦ δίνου καὶ παρὰ τῷ Κωμικῷ. ἐκεῖθεν δὲ καὶ θηλυκὸν ἡ δίνη. (v. 382) Ὅτι τὸν τοῦ Ἀλεξάνδρου θάλαμον ἀνδρὸς τρυφεροῦ εὐώδεα λέγει καὶ κηώεντα, ὅ ἐστι τεθυμιαμένον, παρὰ τὸ κῆαι, ἤγουν καῦσαι καὶ θυμιᾶσαι. προϊὼν δὲ καὶ δόμον αὐτοῦ περικαλλέα ἐρεῖ καὶ ὑψόροφον θάλαμον. Ἰστέον δέ, ὅτι τὸ κηώεντι δύναται καὶ λόγῳ σαφηνείας κεῖσθαι, ἵνα ᾖ τὸ «θαλάμῳ εὐώδεϊ κηώεντι» ταὐτὸν τῷ εὐωδίαν ἔχοντι, οὐκ ἐξ ἀνθέων ἢ μύρων, ἀλλ' ἐκ τῶν ἐν αὐτῷ καιομένων εὐοδμιῶν. Τὸ δὲ κηώεις, ὡς καὶ ἑτέρωθι κεῖται, ἐκτείνει τὴν παραλήγουσαν διὰ τὴν εἰς μέτρον εὐχρηστίαν ὡς τὸ εὐρώεις καὶ κητώεις καὶ ὠτώεις καὶ ὅσα ἄλλα μακρὰν ἔχει τὴν προπαραλήγουσαν. ἔνθα μέντοι αὐτὴ βραχεῖα, ἐκεῖ ὁμοία καὶ ἡ παραλήγουσα, ὡς δηλοῖ τὸ ἠερόεις, ἱμερόεις, σκιόεις, ἐρόεις, κερόεις, γλαγόεις, οὐατόεις. (v. 383 s.) Ὅτι περὶ τὸ Τρωϊκὸν τεῖχος πολλαὶ γυναῖκες ἐν τῷ τῆς μονομαχίας ἵσταντο καιρῷ κατὰ ἔθος τὸ καὶ ἐν τοῖς ἑξῆς που δηλωθησόμενον, ᾧ κατακολουθοῦσα καὶ ἡ Ἑλένη ἐξῆλθε.

1.672 φησὶ γοῦν· «τὴν δ' ἐκίχανε πύργῳ ἐφ' ὑψηλῷ, περὶ δὲ Τρῳαὶ ἅλις ἦσαν». (v. 385) Ὅτι ὁ ἑανὸς κυρίως πέπλου ἤτοι γυναικείου φορήματός ἐστιν ἐπίθετον ἀπὸ τοῦ ἕω, τὸ ἐνδύω, ἐξ οὗ καὶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶμα, ἵνα δηλοῖ τὸν ἄξιον τοῦ ἐνδύεσθαι. ὥσπερ δὲ πολλὰ καὶ ἄλλα ἐπίθετα ἀντ’ αὐτῶν ἐκείνων λαμβάνεται τῶν προσηγορικῶν, οἷς ἐπιτίθεται, ὡς καὶ ἀλλαχοῦ εἴρηται, οὕτω καὶ τοῦτο. καθάπερ γὰρ ξυστὸν κατὰ μόνας αὐτὸ τὸ ξεστὸν δόρυ, οὐ̃ ὡς ξεομένου ἐπίθετόν ἐστι τὸ ξυστόν, καὶ ἡμέρα ἰδίως αὐτὴ ἡ κατ’ ἐπίθετον ἡμέρα ἠώς, ἤγουν ἡ πραεῖα καὶ ἀντίθετος τῇ ἀπὸ τοῦ δεδιέναι γινομένῃ δειδίᾳ, ὡς ἀπὸ ἀρσενικοῦ τοῦ ἥμερος, καὶ διπλόη αὐτὴ ἡ διπλῆ χλαῖνα, καὶ βροτὸς αὐτὸς ὁ ἄνθρωπος, οὐ̃ ὡς ῥευστοῦ ἐπίθετον τὸ βροτός κατὰ τὸ βροτοὶ ἄνδρες, καὶ ἀήτης αὐτὸς ὁ ἄνεμος, ὁ ἄλλως κυρίως τῷ ἀνέμῳ συνδυαζόμενος ἐπιθετικῶς, ὡς δηλοῖ καὶ Ἡσίοδος ἀήτας λέγων ἀνέμου ἤτοι πνοάς, καὶ τέτρωρον αὐτὸ τὸ τέθριππον, οὐ̃ ἐντελὲς τὸ τέθριππον ἅρμα, ὡς δηλοῖ καὶ Εὐριπίδης τέτρωρον ὄχον εἰπών, καὶ δάκος δὲ καὶ δάκετον τὸ θηρίον, οὐ̃ τὸ πλῆρες δάκετον θηρίου, ὡς δηλοῖ ὁ αὐτὸς ἐν τῷ «ἄφθογγα δάκη θηρῶν», καὶ ἤπειρος αὐτὴ γῆ, ἧς ἐντέλεια τὸ «ἐπ’ ἀπείρου γᾶς ἔβη», τουτέστιν ὡρμίσθη, ὡς ὁ αὐτός φησι. καθὰ οὖν ταῦτα, οὕτω καὶ ἑανὸς ἰδικῶς ὁ κατὰ συνδυασμὸν ἑανὸς πέπλος.

1.673 φησὶ γοῦν· «νεκταρέου ἑανοῦ ἐτίναξε λαβοῦσα», ἤτοι τοῦ θείου πέπλου λαβομένη, διεσάλευσε τὴν Ἑλένην, ἵνα ἐπιστραφῇ. παρακατιὼν δὲ ἑανὸν ἀργῆτα φαεινὸν ἐρεῖ, ὅθεν μάλιστα δῆλον, ὅτι τὸ ἑανός, εἰ καὶ ἐπίθετόν ἐστιν, ἀλλ’ ὡς αὐτόχρημα πέπλος λαμβάνεται προσηγορικῶς. οὐδέποτε γὰρ ὁμοῦ δύο ἐπίθετα, πολλῷ δὲ πλέον οὐδὲ τρία κεῖνται χωρὶς κυρίου ἢ προσηγορικοῦ. Ἔστι δὲ νεκτάρειος νῦν τροπικῶς ὁ θεῖος ἀπὸ τοῦ πολλαχοῦ δηλουμένου νέκταρος, ὡς ἀπὸ ἀμβροσίας ὁ ἀμβρόσιος, καὶ ἀπελεύσει τοῦ ι νεκτάρεος. Ἀργὴς δὲ ἑανός, ὥσπερ καὶ κεραυνός, ὁ λευκός. ἀργὸν γὰρ τὸ λευκόν. ὅθεν καὶ ἐπάργεμον πάθος ὀφθαλμοῦ, τὸ κοινῶς λεγόμενον λεύκωμα, ὥς που καὶ Αἰσχύλος παραδηλοῖ. Φαεινὸς δὲ ὁ λεπτός, ὡς καὶ μάστιξ λέγεται φαεινή. ἴσως δὲ καὶ ἐφερμηνευτικόν ἐστιν τοῦ ἀργής, ἵνα καὶ αὐτὸ δηλοῖ τὸν λευκὸν καὶ διαφανῆ. ὅτι δὲ καὶ κασσιτέρου ἐπίθετον ὁ ἑανός, ἀλλαχοῦ φανήσεται. (v. 388) Ὅτι τὸ ἀσκεῖν ἐπὶ ἐπιμελείας τῆς διὰ χειρῶν ὁ ποιητὴς τίθησι, οἷον «ἤσκει ἔρια» καὶ «πτύξασα καὶ ἀσκήσασα χιτῶνα». καὶ νῆμα δέ που ἀσκητὸν λέγει. ταὐτὸν δὲ τὸ κομεῖν καὶ τὸ ἀσκεῖν. διὸ εἰπὼν συνθέτως γραῖάν τινα εἰροκόμον, εἶτα κατὰ διάλυσιν Ἰωνικὴν ἐφερμηνεύων αὐτήν, [ἵνα μὴ νοήσῃ τις ἴσως εἰροκόμον, τὴν εἴρουσαν κόμας ἤτοι πλέκουσαν τρίχας,] φησίν· «ἥ οἱ ἤσκειν εἴρια καλά», ὡς ταὐτὸν ὂν εἰπεῖν εἴρια κομεῖν καὶ ἀσκεῖν. Ἰστέον δέ, ὅτι τὸ «ἤσκειν εἴρια» μετὰ τοῦ ν γράφουσιν οἱ παλαιοὶ καὶ μετὰ τὴν συναίρεσιν τοῦ ἤσκεε. δοκεῖ δὲ Ἰωνικῶς οὕτω λέγεσθαι, ὡς καὶ ἑτέρωθι ἔσται δῆλον. [Μάλιστα δὲ αὐτὸ καὶ τὰ κατ’ αὐτὸ διευκρίνηται ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν, ὅπου περὶ τοῦ «ἦν» τρίτου προσώπου ἐγράφη ἐν τοῖς κατὰ τὸν μνηστῆρα Κτήσιππον.] Τὸ δὲ εἴριον Ὅμηρος μὲν προπαροξύνει ὁμοίως τῷ λείριον, οἱ δὲ ὕστερον παροξύνουσι πρὸς ἀναλογίαν ἑτέρων παροξυτόνων δακτυλικῶν λέξεων, ἵνα ᾖ, ὡς τεῖχος τειχίον, οὕτως εἶρος εἰρίον.

1.674 καλὰ δὲ ἔρια πρὸς διαστολὴν τῶν μὴ ἀξίων ἀσκήσεως. ὅτι δὲ διαφορά ἐστιν ἐρίων καὶ τριχῶν, δηλοῖ καὶ ὁ Στράβων σαφέστατα. ὡμολόγηται δὲ καὶ ἄλλως εὐγενέστερα τριχῶν εἶναι τὰ ἔρια εἰς ἐνδύσεως μεταχείρισιν, [ὡς δηλοῖ καὶ τὸ τῆς ἐρέας καλόν.] (v. 390) Ὅτι τὸ «βάσκ’ ἴθι» ἐνταῦθα «δεῦρ’ ἴθι» λέγει ὁ ποιητὴς εἰπών· «δεῦρ’ ἴθι, Ἀλέξανδρός σε καλεῖ». (v. 391 s.) Ὅτι τὸ «κεῖνος ὅ γ’ ἐν θαλάμῳ καὶ δινωτοῖσι λέχεσσι, κάλλεΐ τε στίλβων καὶ εἵμασι» νυμφίῳ ἢ ἄλλως τρυφῶντι ἀνδρὶ ἐπιλεχθήσεται. Δινωτοῖς δὲ λέγει τοῖς τορνωτοῖς. δῖνος γὰρ ὁ τόρνος, ἐξ οὗ μεταφορικῶς καὶ οὐρανοῦ δῖνος παρὰ τῷ Κωμικῷ. ὅτι δὲ διχῶς λέγεται καὶ δινῶ δινήσω καὶ δινῶ δινώσω, πρὸ ὀλίγων δεδήλωται. (v. 392—4) Τὸ δὲ ἑξῆς «οὐδ’ ἂν εἴποις ἀνδρὶ μαχεσσάμενον τόνδ’ ἐλθεῖν, ἀλλὰ χορόνδε ἔρχεσθαι, ἠὲ χοροῖο νέον λήξαντα καθίζειν» παρῳδηθήσεται μὲν καὶ αὐτὸ εἰς ἄνδρα τρυφῇ κάτοχον. κωμῳδεῖ δὲ τέως τὸν τρυφερὸν Ἀλέξανδρον, ὃς οὐ λυπεῖται ὡς ἡττημένος, ἀλλὰ ἐρᾷ ὡς χορευτής, μικρόν τι τάχα ἐνιδρώσας τῇ μάχῃ ὡς καὶ ὁ χορευτὴς τῷ χορῷ, ἔνθα πρέπον ἐστίν, ὡς εἰκός, καὶ τὸ στίλβειν κάλλεΐ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἵμασι. τοιοῦτοι δὲ καὶ οἱ λοιποὶ ῥηθήσονταί που Πριαμίδαι· «ψεῦσταί τ’ ὀρχησταί τε χοροτυπίαις ἄριστοι». ἔνθα ὅρα τὸ ψεῦσται ταὐτὸν ὂν τῷ ἠπεροπευταί, ὁποῖος πρὸ τούτου ἐρρέθη Ἀλέξανδρος. [Χορὸς δὲ νῦν οὔτε τὸ χορευτικὸν πλῆθος, οὐδὲ μὴν ὁ ὑποκείμενος τοῖς τοιούτοις τόπος κατὰ τὸ «πέπληγον δὲ χορὸν θεῖον ποσίν», ἀλλὰ μάλιστα τὸ κατὰ τοὺς τοιούτους χοροὺς ἔργον, ὅπερ ἐστὶ τὸ χορεύειν.] Σημείωσαι δὲ καὶ νῦν τὸ καθίζειν ἀντὶ τοῦ καθέζεσθαι ληφθέν, ὡς καὶ μετ’ ὀλίγα ἐν τῷ «ἔνθα κάθιζεν Ἑλένη», ἀντὶ τοῦ ἐκάθητο. ὥστε καὶ αὐτοπαθὲς ῥῆμα ἐστί ποτε, ὡς καὶ προείρηται, τὸ καθίζειν καὶ οὐκ ἀναγκαίως ἀεὶ δηλοῖ τὴν εἰς ἄλλον ἐνέργειαν, οἷον ἐκάθισεν ὁ δεῖνα ἐπὶ θρόνου βασιλικοῦ τὸν δεῖνα, καὶ ὡς ὁ ποιητὴς πρὸ μικροῦ ἔφη «ἄλλους μὲν κάθισον». [Ἰστέον δέ, ὅτι τὰ ὑπὸ τῆς μαστροποῦ Ἀφροδίτης, ὡς ἐρρέθη, λαληθέντα τῇ Ἑλένῃ οὐ μόνον εὐοδοῦσι τὴν μετ’ ὀλίγα κεισομένην φιλοτήσιον εὐνὴν τοῦ Πάριδος ὡς κάλλεϊ στίλβοντος καὶ τῆς Ἑλένης, ἀλλὰ καὶ τῇ μυθικῇ ἁρπαγῇ τοῦ Πάριδος ἐκ μέσου μονομαχίου οἰκειοῦνται. ἡ γὰρ θείως ἁρπάξασα εἶχε δῆθεν διαθέσθαι τὸν Πάριν καλὸν καὶ λαμπρόν, ὡς εἰ καὶ ἐκ πανηγύρεως ἐπανῆλθεν.] (v. 396 s.) Ὅτι τὸ «περικαλλέα δειρὴν στήθεά θ’ ἱμερόεντα καὶ ὄμματα μαρμαίροντα» περὶ Ἀφροδίτης μὲν λέγεται, ἔστι δὲ καὶ ἁπλῶς γυναικὸς καλῆς ἔπαινος.

1.675 κεκαλλώπισται δὲ τὸ ῥητὸν ἐπίτηδες παρίσοις τρισίν, ὡς πανηγυρικόν. (v. 399) Ὅτι ψεκτικὸν ἀπατητικῆς γυναικὸς τὸ «δαιμονίη, τί με ταῦτα λιλαίεαι ἠπεροπεύειν;» Ἑλένη δὲ τοῦτο πρὸς τὴν μυθικὴν Ἀφροδίτην λαλεῖ μαστροπεύουσαν αὐτῇ χάριν Ἀλεξάνδρου. ἔνθα δηλοῖ ὁ ποιητὴς καί, ὡς ἠδύνατό τις πλάσαι τὴν Ἑλένην, ὥσπερ εἰς Τροίαν, οὕτω καὶ ἀλλαχοῦ ἐκεῖθεν ἁρπαγεῖσαν ἢ ἀπαχθεῖσαν. (v. 400 s.) Ἐπάγει γὰρ ἡ Ἑλένη· «ἦ πῃ με προτέρων», ἤτοι τῶν προσωτέρω, «πολίων ἄξεις, ἢ Φρυγίης ἢ Μῃονίης ἐρατεινῆς, εἴ τίς που κἀκεῖθι» καὶ ἑξῆς. [Ἰστέον δέ, ὅτι γράφεται καὶ «ἦ πῃ με προτέρω», δίχα τοῦ νῦ, καὶ δηλοῖ τὸ πορρωτέρω που τῶν Φρυγιακῶν πόλεων.] (v. 401) Φρυγίας δὲ μέμνηται κἀνταῦθα τῆς πορρωτέρω καὶ μεγάλης, οὐ μὴν τῆς μικρᾶς, περὶ ἣν καὶ ἡ Τροία, ἡ τὴν Ἑλένην ἄρτι ἔχουσα. Μῃονίην δὲ καὶ νῦν τὴν Λυδίαν λέγει, ἡ δ’ αὐτὴ καὶ Μαιονία ἐλέγετο ἀπό τινος Μαίονος ἢ Μῄονος, ὡς καὶ ἐν τῷ Καταλόγῳ ἐρρέθη. ἐρατεινὴν δέ φησιν αὐτὴν διὰ τὸ τῆς χώρας εὔδαιμον, ὃ καὶ ὁ Περιηγητὴς ἱστορεῖ. καὶ τὴν Λακεδαίμονα δὲ μετ’ ὀλίγα ἐρατεινὴν ὁ Πάρις ἐρεῖ, οὐ μόνον διότι εὐδαίμων ἡ Λακεδαίμων, ὡς προείρηται, ἀλλὰ καὶ διότι τὴν ἀξιέραστον Ἑλένην ἤνεγκεν. (v. 402) Ὅτι φανερῶς ἐνταῦθα τὸ φίλος ὁ ποιητὴς οὐ συγγενικῶς ἀλλὰ κατὰ κοινὴν συνήθειαν λέγει ἐν τῷ «εἴ τίς τοι κἀκεῖ φίλος μερόπων ἀνθρώπων», ἤγουν ἐὰν καὶ ἐκεῖ, ὦ Ἀφροδίτη, φιλητῶς ἔχῃς τινὶ Φρυγὶ ἢ Μῄονι, ὡς ἐνταῦθα τῷ Τρωῒ Ἀλεξάνδρῳ. ἑαυτὴν δέ πως ἐν τούτοις ἡ Ἑλένη ἐπαινεῖ ὡς λαμπρὰν καὶ ἀξιέραστον, ἐὰν οὕτως αὐτὴν ἡ Ἀφροδίτη τοῖς φιλουμένοις διαπέμπηται, ὡς λόγου δηλονότι ἀξίαν δωρεάν. σεμνῶς δὲ καὶ μαστροπείαν τῆς Ἀφροδίτης καταλαλεῖ. (v. 413—7) Ἐκείνη δὲ ἀντιλαλεῖ, ὅπερ καὶ πᾶς ἂν εἴπῃ παρῳδήσας ὁ μεσιτεύσας μὲν φιλίαν, καταλῦσαι δὲ αὖθις αὐτὴν μελετῶν· «μή μ’ ἔρεθε, σχετλίη, μὴ χωσάμενος σε μεθείω, τὼς δέ σε ἀπεχθήρω, ὡς νῦν ἔκπαγλα ἐφίλησα· μέσσῳ δ’ ἀμφοτέρων μητίσομαι ἔχθεα λυγρά, σὺ δέ κεν κακὸν οἶτον ὄληαι». τῷ ὄντι γὰρ λεπτοτάτου μίτου, ὡς εἰπεῖν, τὰ κατ’ αὐτὴν ἀπῃώρητο τοῦ θεαῖς εἰς ὦπα ἐοικέναι καὶ διὰ τοῦτο ἐπαφρόδιτος εἶναι, οὗ ἐπιλιπόντος, οὐκέτ’ ἂν ἦν περιμάχητος κατὰ ζῆλον φιλόνεικον, ἄλλως τε καὶ ἐν Τροίᾳ ὀλιγίστους ἔχουσα τοὺς φιλοῦντας, καθὰ ἐν τῇ ω′ ῥαψῳδίᾳ δηλοῦται, τυχὸν δὲ ὁμοίως καὶ παρὰ Ἕλλησιν.

1.676 (v. 415) Ἰστέον δέ, ὅτι τοῦ τώς, ἤγουν οὕτως, χρῆσις καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «τὼς αὐτοσφαγεῖς ὀλοίατο». ἐκ δὲ τούτου ἀποβολῇ τοῦ τ γίνεται τὸ ὥς, ὀξυνόμενον καὶ αὐτὸ ὁμοίως τῷ καθώς. (v. 404) Ὅτι καὶ ἐνταῦθα ἑαυτῆς ἡ Ἑλένη καταλέγει στυγερὴν ἑαυτὴν ἀποκαλοῦσα, ἤγουν μισητὴν ἢ φρικτήν. ταῦτα γὰρ δηλοῖ καὶ τὸ στυγεῖν ῥῆμα, ὡς πολλαχοῦ φαίνεται. φησὶ γάρ· «οὕνεκα δὴ Μενέλαος νικήσας ἐθέλει στυγερὴν ἐμὲ οἴκαδε ἄγεσθαι». Ὅρα δέ, εἰ ταὐτὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στυγερὴν Ἑλένην εἰπεῖν καὶ ῥιγεδανήν, καὶ εἴπερ ἐκ τῆς στυγερῆς πεπόρισται ἡ ῥιγεδανή. ἐπεὶ καὶ ἡ ἱστορουμένη πηγιμαία Στὺξ ψυχροτάτη παραδίδοται καὶ οἵα ποιεῖν ῥιγοῦν τὸν εἰς αὐτὴν βάψαντα. [καὶ ἡ κατὰ τὸν μῦθον δὲ Πλουτώνειος Στὺξ τῷ Ταρτάρῳ συγκατέψυκται, ἀφ' οὗ κατὰ τοὺς παλαιοὺς καὶ τὸ ταρταρίζειν ἐπὶ τῶν ἄγαν ῥιγούντων λέγεται.] (v. 405—12) Ὅτι πιθανολογῶν ὁ ποιητὴς τὴν τῆς Ἑλένης ἄρτι ταχεῖαν ἄφιξιν εἰς τὸν Πάριν πλάττει αὐτὴν σφοδρῶς τῇ Ἀφροδίτῃ προσφερομένην κἀκείνην αὖθις χολουμένην καὶ ἀπειλοῦσαν τὰ προσεχῶς ῥηθέντα, ἐφ' οἷς ἡ Ἑλένη θροηθεῖσα πείθεται ἀπελθεῖν ἔνθα καλεῖται. φησὶ γοῦν ἡ μὲν Ἑλένη οὕτω ἐπέκεινα τῶν προρρηθέντων «τοὔνεκα δὴ νῦν δεῦρο δολοφρονέουσα παρέστης· ἧσο παρ' αὐτὸν ἰοῦσα, θεῶν δ' ἀπόειπε κελεύθους, μηδέ τι σοῖσι πόδεσσιν ὑποστρέψειας Ὄλυμπον, ἀλλ' αἰεὶ περὶ κεῖνον ὀΐζυε καί ἑ φύλασσε, εἰς ὅ κέ σε ἢ ἄλοχον ποιήσεται ἢ ὅ γε δούλην. κεῖσε δ' ἐγὼν οὐκ εἶμι, νεμεσσητὸν δέ κεν εἴη, κείνου πορσυνέουσα λέχος· Τρῳαὶ δέ μ' ὀπίσω πᾶσαι μωμήσονται· ἔχω δ' ἄχε' ἄκριτα θυμῷ». καὶ ταῦτα μὲν τὰ τῆς Ἑλένης. (v. 414—8) Ἡ δὲ Ἀφροδίτη χολωσαμένη «μή μ' ἔρεθε», φησί, «σχετλίη» καὶ ἑξῆς, ὡς προγέγραπται. καὶ ὅρα, ὡς καὶ νέμεσιν ὑφορᾶται ἡ καλὴ Ἑλένη καὶ ἄχθεσθαι πολλὰ λέγει, ἐφ' οἷς κακῶς ἔπραξε, καὶ ὅτι νέμεσιν εἶναι ὑπογράφει τὸν ἐκ πάντων δίκαιον μῶμον. Τὸ δὲ δολοφρονεῖν ταὐτὸν τῷ ἠπεροπεύειν, ὃ πρὸ βραχέων τῆς Ἀφροδίτης ἡ Ἑλένη κατηγόρησε. Τὸ δέ «ἧσο παρ' αὐτὸν ἰοῦσα» καὶ τὸ «ὀΐζυε» μεμέρισται τὸ μὲν πρὸς τὸ «ἕως ἄλοχόν σε ποιήσεται», τὸ δὲ πρὸς τὸ «ἢ ὅ γε δούλην». ἀλόχου μὲν γὰρ τὸ παρακαθῆσθαι τῷ ἀνδρί, δούλης δὲ τὸ περὶ τὸν δεσπότην ὀϊζύειν, ὅ ἐστι κακοπαθεῖν.

1.677 (v. 406) Τὸ δὲ ἀπόειπε Ὅμηρος μὲν αἰτιατικῇ συντάσσει λαβὼν τὴν λέξιν ἀντὶ τοῦ ἀπόφαθι, ὁ δὲ γράψας «τάλαιν' ἀπεῖπον ἄλγει» ἐπὶ ἑτεροίου σημαινομένου τὴν λέξιν εἴληφε. (v. 407) Τὸ δέ «μὴ πόδεσσιν ὑποστρέψειας Ὄλυμπον» διασαφητικόν ἐστι τοῦ «θεῶν ἀπόειπε κελεύθους», ὥσπερ καὶ τὸ φύλασσε τοῦ ὀΐζυε. [Ἔστι δ' ἐνταῦθα τὸ μὲν ὑποστρέψειας ἀντὶ προστακτικοῦ σχηματισθὲν ἀνομοίως τῷ ἧσο καὶ ἀπόειπε καὶ ὀΐζυε καὶ φύλασσε, διὰ ποικιλίαν φραστικήν. Τὸ δὲ Ὄλυμπον ἐλλιπὲς προθέσεως, ἵνα ᾖ εἰς Ὄλυμπον.] (v. 409) Τὸ δέ «ἢ ἄλοχον ποιήσεται ἢ ὅ γε δούλην» ἔστιν εὑρεῖν παρῳδηθὲν πρός τινος τῶν ἀρχαίων μυστῶν φαύλως καὶ ὡς οὐκ ἂν ἐκφανῶς εἴποι τις πρὸς τὸν αὐτοῦ ἀκούσαντα. (v. 410) Τὸ δέ «ἐκεῖσε οὐκ εἶμι κείνου πορσυνέουσα λέχος», ἐν τοιούτῳ δηλαδὴ καιρῷ, σεμνῶς εἴρηται. δῆλον γάρ, ὅτι πορσύνειν λέχος τὸ συγκοιτάζεσθαι, πρός τινα ῥηθὲν ὁμοιότητα τοῦ «ἐμὸν λέχος ἀντιόωσαν». γράφεται δὲ καὶ πορσανέουσα λέχος ὡς ἀπὸ τοῦ πορσαίνω ῥήματος. ποιητικὰ δὲ καὶ ἄμφω καὶ δηλοῦσι τὸ παρέχειν καὶ εὐτρεπίζειν, ὡς ἀπὸ τοῦ πόρω πόρσω. (v. 408) Οὕτω δὲ ποιητικὸν καὶ τὸ ὀΐζυε ἀπὸ τοῦ ὀϊζύω, ἐξ οὗ ὁ ὀϊζυρός, [ὡς ὁ ἰσχυρὸς ἐκ τοῦ ἰσχύω.] Σημείωσαι δὲ τὰ τῆς Ἑλένης κομματικῶς λαληθέντα διὰ θυμόν, ὃς ἐγκόπτει τὸν ἐν λόγοις τόνον ὡς τὰ πολλά. τοιαύτη δέ τις καὶ ἡ πρὸς αὐτὴν ἀπειλὴ τῆς Ἀφροδίτης. (v. 419) Ὅτι τὸ «κατασχομένη ἑανῷ ἀργῆτι φαεινῷ», περὶ ὧν προδεδήλωται, ἀνάπαλιν ἔχει πρὸς τὸ ἀνασχομένη, ὃ δηλοῖ τὸ ἀνατείνασα. εἴη δ' ἂν κατασχέσθαι ἑανῷ τὸ προκαλύψασθαι τὴν παρειὰν κατὰ τὴν ἐν Ὀδυσσείᾳ Πηνελόπην σχομένην ἄντα παρειάων κρήδεμνα, ἵνα ὥσπερ τὸ ἀνασχεῖν ἥλιον ἀντίκειται πρὸς τὸ κατασχεῖν, οὕτω καὶ τὸ ἀνασχέσθαι κρήδεμνον ἐπὶ ἀνακαλύψει καὶ οἷον ἀναλάμψει προσώπου ἀντικειμένως ἔχοι πρὸς τὸ κατασχέσθαι, ἤγουν ὡς ὑπὸ ζόφῳ κρύψαι. (v. 422) Ὅτι σπουδὴν δουλίδων δηλοῖ τὸ «ἀμφίπολοι μὲν ἔπειτα θοῶς ἐπὶ ἔργα τράποντο». (v. 426) Ὅτι καθάπερ κόρη Βρισῆος ἡ ἁπλῶς θυγάτηρ, οὕτω κἀνταῦθα Ἑλένη κούρη Διὸς αἰγιόχοιο. τοῦτο δὲ πρὸ ὀλίγων ἄλλως ἔφρασεν εἰπών· «Ἑλένη Διὸς ἐκγεγαυῖα». (v. 428 ss.

1.678 ) Ὅτι Ἑλένη μὲν πρὸς Ἀλέξανδρον «ἤλυθες», φησίν, «ἐκ πολέμου» καὶ τὰ ἑξῆς, ἠθικῶς πάνυ πάντα εἰποῦσα. ὁ δὲ οὐ μόνον ψευδῶς ἀπολογεῖται, οἷα ψεύστης καὶ αὐτὸς κατὰ τοὺς ἀδελφούς, εἰπών, ὅτι σὺν Ἀθηνᾷ ἐνίκησεν ὁ Μενέλαος, —μάλιστα γὰρ αὐτὸς σὺν Ἀφροδίτῃ

σέσωσται—ἀλλὰ καὶ ἀσέμνως ἐμβλέπει αὐτῇ, ὅτε καὶ κατακαλύπτεσθαι ἔδει. μαχλότατος γὰρ ὁ ἀνήρ, ὅσγε καὶ ἐρᾶν αὐτῆς ἄρτι λέγει, ὡς οὐδέ, ὅτε τὴν ἀρχὴν ἐκ Λακεδαίμονος αὐτὴν ἥρπασεν. αἴτιον δέ, ὅτι ὡς ἤδη νικηθεὶς καραδοκεῖ στερήσεσθαι αὐτῆς. πολὺς οὖν ὁ ἔρως αὐτῷ ὥσπερ ἐν καταρχῇ τοῦ ἔχειν, ὅτε δηλαδὴ ἦν δεδοικώς, μὴ καταληφθεὶς ἀφαιρεθῇ τὴν Ἑλένην, οὕτω καὶ ἐν τῷ μέλλειν ἄρτι, ὡς δοκεῖ, αὐτὴν ἀφαιρεῖσθαι. [Καὶ νῦν μὲν ὁ Πάρις οὕτως οὐ φιλεῖ ἀλλά, καθά τις ἔφη, ἐρωμανίαν πάσχει Ἀφροδίτης ἐρεθιζούσης τῷ κεστῷ ἴσως, ὃν μυθικῶς ἐφόρει. ἐν τοῖς ἑξῆς δέ που καὶ ὁ Ζεὺς ὁμοίῳ ἔρωτι μυωπίζεται ἐπὶ τῇ γυναικὶ Ἥρᾳ διὰ τὸν αὐτὸν κεστόν. Καιρικὰ δὲ ἄμφω ταῦτα πάθη ἐπί τε τῷ Διῒ ἐπί τε τῷ Πάριδι. ὁ δὲ παρά γε τῷ Ἡροδότῳ Κανδαύλης διὰ βίου ἤρα τῆς οἰκείας γυναικός, οὐκ εὐκραῶς φιλῶν, ἀλλ’ ἐμπιπράμενος πυρὶ ἔρωτος, ἕως ὁ ἔρως ἀπέσβη, ὡς οὐκ ἂν ἐκεῖνος ἤθελε.] Σημείωσαι δὲ καί, ὅτι πολυειδὴς ἐνταῦθα ἡ τῆς Ἑλένης ὁμιλία. καὶ γὰρ καὶ διαθρύπτεται ὄσσε πάλιν κλίνασα, ἤγουν ἔμπαλιν στρέψασα, καὶ ἐπαρᾶται τῷ ἀνδρὶ ὡς ὀφείλοντι ὀλέσθαι καὶ χαλεπῶς ὀνειδίζει καὶ σκώπτει ὡς ἀλαζονικόν, εἴ γε καυχώμενος πρὶν Μενελάου κρείττων εἶναι, εἶτα νῦν συμμίξας ἔφυγεν ἀπαλλάξας κακῶς. καὶ σεμνύνει δὲ τὸν πρότερον ἄνδρα κρατερὸν καλοῦσα καὶ ξανθὸν καὶ ἀρηΐφιλον, ὅπερ καὶ ὁ Ζεὺς μετὰ ταῦτα ὀνομάσει αὐτόν, καὶ κατὰ πάντα προφερέστερον Ἀλεξάνδρου. προσποιεῖται δὲ καὶ κήδεσθαι αὐτοῦ κολακευτικώτερον, διὰ φόβον δηλαδή, ἐν οἷς φησιν· «ἀλλά σε κέλομαι παύσεσθαι», πικρῶς λαλοῦσα, οἷς τε ὑποβιβάζει τὸν Πάριν τῷ Μενελάῳ καὶ οἷς ἀφραδέως αὐτὸν λέγει μάχεσθαι. ἔστι δ’ ἐν τούτοις ἡ ὅλη Ὁμηρικὴ φράσις τοιαύτη· (v. 428—36) «Ἤλυθες ἐκ πολέμου, ὡς ὤφελες αὐτόθ’ ὀλέσθαι ἀνδρὶ δαμεὶς κρατερῷ, ὃς ἐμὸς πρότερον πόσις ἦεν. ἦ μὲν δὴ πρίν γ’ εὔχεο ἀρηϊφίλου Μενελάου σῇ τε βίῃ καὶ χερσὶ καὶ ἔγχεϊ φέρτερος εἶναι· ἀλλ’ ἴθι νῦν προκάλεσσαι ἀρηΐφιλον Μενέλαον ἐξαῦτις μαχέσασθαι ἐναντίον. ἀλλά ς’ ἔγωγε παύεσθαι κέλομαι μηδὲ ξανθῷ Μενελάῳ ἀντίβιον πόλεμον πολεμίζειν ἠδὲ μάχεσθαι ἀφραδέως, μή πως τάχ’ ὑπ’ αὐτοῦ δουρὶ δαμείης». καὶ οὕτω μὲν ἡ Ἑλένη. (v. 437—46) Ὁ δὲ Πάρις εἰπών· «μή με γύναι χαλεποῖσιν ὀνείδεσι θυμὸν ἔνιπτε» ἐπάγει· «νῦν μὲν γὰρ Μενέλαος ἐνίκησε σὺν Ἀθήνῃ, κεῖνον δ’ αὖτις ἐγώ· πάρα γὰρ θεοί εἰσι καὶ ἡμῖν. ἀλλ’ ἄγε δὴ φιλότητι τραπείομεν εὐνηθέντες· οὐ γάρ πώ ποτέ μ’ ὧδε φρένας ἔρος ἀμφεκάλυψεν, οὐδ’ ὅτε σε πρῶτον Λακεδαίμονος ἐξ ἐρατεινῆς ἔπλεον ἁρπάξας ἐν ποντοπόροισι νέεσσι, νήσῳ δ’ ἐν Κραναῇ ἐμίγην φιλότητι καὶ εὐνῇ, ὥς σεο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ».

1.679 καὶ ὅρα, ὡς ὁ ποιητὴς εὐμεθόδως παρέρριψεν ἐνταῦθα τὴν τοῦ Τρωϊκοῦ καταρκτικὴν πολέμου αἰτίαν, ἤγουν τὴν ἐξ ἔρωτος ὑπερβολικοῦ ἁρπαγὴν τῆς Ἑλένης. (v. 427) Ἰστέον δέ, ὡς ἡ Ἑλένη κλίνει τοὺς ὀφθαλμοὺς πάλιν, ὡς εἴρηται, οὐ μόνον ἀκκιζομένη ἢ θυμουμένη, ἀλλὰ καὶ ἐκκλίνουσα τὸν ἐξ ἐκείνου ἔρωτα. οἶδε γὰρ ἐκ τοῦ ὁρᾶν τίκτεσθαι τὸ ἐρᾶν. διὸ καὶ Εὐριπίδης φησίν· «Ἔρως, ὃς κατ’ ὀμμάτων στάζεις πόθον». ὅθεν καλῶς ἂν ῥέειν λέγοιτο ἐς ψυχὴν ἐκεῖθεν καθά τις ὕστερον ῥήτωρ ἔφρασεν. Ἔστι δὲ ὄσσε πάλιν κλίνειν τὸ ἀποστρέφειν καὶ ὡς οἷον εἰπεῖν στραβίζειν. ἐπεὶ καὶ ἐκ τοῦ στρέφειν γίνεται καὶ ὁ στρεβλός καὶ ὁ στραβός κατὰ τὴν καὶ ἀλλαχοῦ κειμένην συγγένειαν τοῦ β καὶ τοῦ φ . Τὸ δὲ ὄσσε ὅτι διφορεῖται κατὰ γένος, προδεδήλωται. νικᾷ δὲ ἀρσενικοῦ εἶναι ἀπό τε τῆς πληθυντικῆς γενικῆς, ἣ καὶ παρ’ Εὐριπίδῃ κεῖται ἐν τῷ «δι’ ὄσσων ὄμμ’ ἔχω δακρυρροοῦν», ἔνθα καὶ ζήτει διαφορὰν ὄσσων καὶ ὄμματος, καὶ ἀπὸ τῆς δοτικῆς τῶν πληθυντικῶν. οὔτε γὰρ ἐκεῖνο ὀσσέων ὀσσῶν, ὡς βελέων βελῶν, οὔτε τοῦτο ὄσσεσιν ὡς βέλεσιν, ἀλλὰ ὄσσοις καὶ ὄσσοισιν, ὡς ὄζοις καὶ ὄζοισιν. οὕτω δὲ διφορεῖται σὺν ἄλλοις καὶ τὸ ὄνειδος. ἔστι γὰρ καὶ ὁ ὄνειδος. τοιοῦτον καὶ τὸ ὁ σκότος καὶ τὸ σκότος καὶ ὁ ὄχος, [ἐξ οὗ παρὰ Σοφοκλεῖ τὸ «Βαρκαίοις ὄχοις» καὶ παρ’ Ὁμήρῳ τὸ ὄχεα ἐκ τοῦ τὸ ὄχος, οὗ, φασί, καὶ δοτικὴ τῷ ὄχει. τῶν διφορουμένων δὲ καὶ ὁ ἔλεος καὶ τὸ ἔλεος, κατὰ δέ τινας καὶ ὁ θρῆνος καὶ τὸ θρῆνος.] (v. 428) Τὸ δέ «ἤλυθες ἐκ πολέμου» καλὸν μὲν καὶ εἴπερ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐρωτᾶται, κάλλιον δέ ἐστιν ἀποφαντικῶς ἀναγνωσθέν, ὡς οἷα βαρυνομένης τῆς γυναικός, εἰ σέσωσται ὁ κακός. (v. 430) [Ἡ δὲ τοῦ Πάριδος ἀλαζονεία κατὰ τὸ εἰκὸς ἐνταῦθα ἱστόρηται. οὐ γὰρ ἀπίθανον αὐχεῖν κατὰ Μενελάου τὸν Πάριν, ὡς ἂν ὑπὸ Ἑλένης φιλοῖτο.] (v. 431) Τὸ δέ «σῇ τε βίῃ» πρὸς διαστολὴν εἴρηται τῆς ἑτέρωθεν δυνάμεως. διὸ καὶ ἐν τῷ χερσὶ καὶ ἔγχεϊ προσυπακουστέον τὸ σαῖς καὶ τὸ σῇ, ὡς τοῦ Πάριδος οἰκείαις μὲν χερσὶ καὶ οἰκείῳ ἔγχεϊ μὴ φερτέρου ὄντος, εἴγε ἀντίβιον μάχεται, δι᾽ ἀλλοτρίων μέντοι ὑπερφέροντος.

1.680 (v. 434) Ξανθὸν δὲ τὸν Μενέλαον ἡ Ἑλένη λέγει παραλαλοῦσα ὡς οὐ μόνον ἀρηΐφιλός ἐστιν, ἀλλὰ καὶ καλὸς οὐδὲν ἧττον Ἀλεξάνδρου. ἔπαινος δὲ κόμης παρὰ τοῖς παλαιοῖς τὸ ξανθόν. διὸ καὶ ἡλιώδης κόμη καὶ ἡλιῶσα ἡ τοιαύτη καὶ χρυσέα δέ, καὶ ὁ ταύτην ἔχων χρυσεοκόμας. ἡ δέ γε κωμῳδία ἔστρεψεν ἄλλως τοῦτο. Πυρρίαι γοῦν ἐξ ὀρθοῦ οἱ δοῦλοι παρὰ τοῖς Κωμικοῖς, ὡς τοιοῦτοι μάλιστα ὄντες. οὕτω δὲ καὶ Ξανθίαι οἱ αὐτοί. Ποσειδῶνα δὲ κοσμεῖ τὸ τῆς χαίτης κυάνεον, καί που καὶ τὸν Δία, ᾧ καὶ τὰς τῆς κεφαλῆς τρίχας ὡς καὶ τὰ κατὰ τὴν ὀφρῦν κυανέας εἶναι εἰκός. (v. 435) Τὸ δέ «πόλεμον πολεμίζειν» Ἀττικῶς ἔχει συμπαρακείμενον τῷ ῥήματι τὸ ἐξ αὐτοῦ ὄνομα. (v. 436) Ἀφραδέως δέ, ὅ ἐστι κακοβούλως, τὸν Πάριν μάχεσθαι ἡ γυνὴ λέγει ὡς ἀντίβιον πολεμίζοντα δέον ὂν ἄλλως πολεμεῖν αὐτὸν καὶ μὴ κατ᾽ ἀντιπρόσωπον. (v. 438) Τὸ δέ «θυμὸν ἔνιπτε» παρελκόντως ἔχει τὸ θυμόν, οἷα καὶ χωρὶς αὐτοῦ ἐντελῶς ἐχούσης τῆς ἐννοίας, ὡς δηλοῖ καὶ ἀνωτέρω ῥηθὲν τὸ «πόσιν δ᾽ ἠνίπαπεν», ἤγουν ἐπέπληξε, «μύθῳ». ἔνθα πάλιν παρέλκει τὸ μύθῳ, εἴπερ αὐτόχρημα ἐνίπτειν ἐστὶ τὸ ἔπεσιν ἐπιπλήττειν. καὶ ἄλλως δὲ εἰπεῖν, τὸ «μή με θυμὸν ἔνιπτε» ὅμοιόν ἐστι τῷ «τί δέ σε θυμὸν ἵκετο πένθος» καὶ τοῖς ὁμοίοις, περὶ ὧν προείρηται. (v. 440) Ἐν δὲ τῷ «κεῖνον δ᾽ αὖτις ἐγώ» κατὰ κοινοῦ νοεῖται τὸ νικήσω, σιγηθὲν ἴσως ὑπὸ τοῦ Πάριδος, ἵνα μὴ γελοῖος τῇ ἐρωμένῃ δόξῃ, ὡς τὸ μὲν ἐνεστὼς προέμενος, εἰς δὲ τὸ μέλλον θαρρῶν, ὅπερ ἴσον ἀπραξίᾳ λέγεται. παραμυθία δὲ ὅμως τοῦ τοιούτου λόγου τὸ «παρὰ γὰρ θεοί εἰσι καὶ ἡμῖν», ὡς μὴ ἀδύνατον ὂν νικῆσαι καὶ αὐτὸν κατὰ τὸν Μενέλαον ἢ καὶ πλέον ἐκείνου, εἴγε Μενέλαος μὲν ἐνίκησε σὺν Ἀθήνῃ τῇ μιᾷ, Ἀλέξανδρος δὲ σὺν θεοῖς. καὶ μὴν ἔχει καὶ αὐτὸς ἀκοῦσαί ποθεν τό· σὺν θεοῖς μάχου καὶ αὐτὸς καὶ μὴ φεῦγε, καθ᾽ ὁμοιότητα τοῦ «σὺν Ἀθηνᾷ καὶ τὴν χεῖρα κίνει». δύναται δὲ τὸ ῥηθὲν φρασθὲν ἑνικῶς εὐσεβῶς ἔχειν, οἷον· «παρὰ γὰρ θεός ἐστι καὶ ἡμῖν». τὸ δὲ ὅλον παραμυθητικὸν ἔσται ποτὲ ἡττημένου τινός, διὰ παρῳδίας· οἷον «νῦν μὲν ὁ δεῖνα ἐνίκησε, κεῖνον δ᾽ αὖτις ἐγώ, παρὰ γὰρ θεός ἐστι καὶ ἐμοί». (v. 441) Τὸ δὲ τραπείομεν ἢ ἀντὶ τοῦ μεταβληθῶμεν, μετατραπῶμεν ἐκ μίσους τοῦ νῦν εἰς φιλίαν, ὡς ἀπὸ τοῦ τρέπω, ἢ μᾶλλον ἀπὸ τοῦ τέρπω, ἀντὶ τοῦ τερφθῶμεν, ἡδυνθῶμεν τῇ φιλότητι, ὃ διασαφῶν ἐπάγει τὸ εὐνηθέντες πρὸς διαστολὴν ἑτεροίας φιλότητος.

1.681 τὸ δ᾽ αὐτὸ καὶ μετ᾽ ὀλίγα σαφέστερον φράζει ἐν τῷ «ἐμίγην φιλότητι καὶ εὐνῇ». (v. 442) Τὸ δέ «οὐ γάρ πώ ποτέ με ὧδε ἔρως φρένας ἀμφεκάλυψε» παραφράζων ἑτέρωθι διὰ τοῦ Διὸς ὁ ποιητής φησιν· «οὐ γάρ πώ ποτέ με ὧδε ἔρως θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν». ἄδηλον δ᾽ ἐνταῦθα, εἴτε διὰ τοῦ ο μικροῦ γράφεται ὁ ἔρος Αἰολικῶς, ὡς ἐν τοῖς μετὰ ταῦτά που κεῖται παρὰ τῷ ποιητῇ, εἴτε καὶ διὰ τοῦ ω μεγάλου Ἀττικῶς, [εἴπερ γράφεται «ὧδε ἔρως φρένας ἀμφεκάλυψε». εἰ δὲ γράφεται κατά τινας «ὧδε φρένας ἔρος ἀμφεκάλυψεν», ἡ τοιαύτη γραφὴ σμικρύνει τὸ ἔρος, οὗ αἰτιατικὴ τὸν ἔρον.] Τὸ δὲ ἀμφεκάλυψεν ἢ πρὸς νέφους εἴρηται ὁμοιότητα, καθὸ καὶ ὁ ἔρως τὸν τῆς ψυχῆς ἥλιον ζοφοῖ, ἢ ἐκ δικτύων μετῆκται, ἃ καταπετασθέντα καλύπτει τὰ ἁλισκόμενα, ἢ καὶ ἄλλως ἁπλῶς μετηνέχθη ἐκ τῶν ὁπωσοῦν κρυπτόντων τὸ καλυπτόμενον ἢ καὶ ἀφανιζόντων τέλεον. (v. 444) Τὸ δέ «ἔπλεον ἁρπάξας» παράκλησίς ἐστιν εἰς φιλότητα, εἴγε δι᾽ αὐτὴν καὶ πλοῦ κίνδυνον ὑπέστη καὶ ἁρπαγὴν ἐτόλμησε. Τὸ δέ «ἐν ποντοπόροισι νέεσσιν» οὐ περιττῶς κεῖται, ἀλλὰ δοκεῖ διαστολὴν ἔχειν τοῦ μετὰ ἁλιάδων ἢ σχεδιῶν πλέειν. (v. 445) Ὅρα δὲ καί, ὅτι κατὰ τὴν Ὁμηρικὴν ἱστορίαν οὐκ ἐν Σπάρτῃ τὴν ἀρχὴν ἐμίγη Ἀλέξανδρος τῇ Ἑλένῃ σπεύδων, ἵνα μὴ καταφανὴς γένηται, ἀλλ᾽ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κραναῇ νήσῳ. ἄδηλον δέ φασιν, εἴτε κύριον τῆς νήσου τὸ ὄνομα διὰ τὸ κρανθῆναι ἤτοι τελειωθῆναι ἐπ’ αὐτῆς τὸν γάμον, εἴτε τραχεία ἐπιθετικῶς εἴρηται. τινὲς δὲ νοοῦσι τὰ Κύθηρα, νῆσον Ἀφροδίτης ἱεράν, οἱ δὲ τὴν λεγομένην νῆσον Ἑλένην, πρὸς τῇ Ἀττικῇ οὖσαν, ἐγγυτάτω τῆς Κέω κατὰ τὸν Γεωγράφον, ἀπὸ τῆς Ἑλένης ὁμωνύμως κληθεῖσαν, διότι ταύτης πρῶτον ἐπέβη ὅτε ἡρπάγη. ἔστι δὲ περιμήκης ὅσον ἑξήκοντα σταδίους. (v. 446) Τὸ δὲ ἔραμαι χρηστόν ἐστι καὶ Ἀττικοῖς, ὡς ἀπὸ τοῦ ἐράω ἐρῶ, καὶ οὐκ ἄν τις ῥᾷον δείξῃ, ὅτι κατὰ τὸ ἵσταμαι γίνεται.

1.682 Τὸ δέ «καί με γλυκὺς ἵμερος αἱρεῖ» περιφραστικόν ἐστι τοῦ ἔραμαι, ὡς καὶ ἀνωτέρω τὸ παύεσθαι περιεφράσθη διὰ τοῦ «μηδὲ ξανθῷ Μενελάῳ ἀντίβιον πόλεμον πολεμίζειν». ὁ δὲ γλυκὺς ἵμερος εἴη ἂν καὶ δριμὺς κατὰ πολυωνυμίαν ῥητόρων, παρ’ οἷς ἡ δριμύτης ἐπίτασίς ἐστι γλυκύτητος. ἴσως δὲ καὶ διαστολὴν ἡ λέξις δηλοῖ ἑτεροίου ἱμέρου μὴ γλυκέος. [πρὸς δὲ ταῦτα ἑτεροιοῦσθαι δοκεῖ παρά τινος ῥηθὲν μεγάλου σοφοῦ τὸ «τὰς κόρας ἀλγηδόνας ὀφθαλμῶν εἶναι», ὃ καὶ ὑπ’ εὐθύνην πίπτει. πῶς γὰρ ἀλγυνοῦσιν ὀφθαλμοὺς αἱ γλυκὺν ἐμποιοῦσαι ἵμερον διὰ ὁράσεως;] Τὸ δὲ αἱρεῖ λέξις θηρατική, ἀκόλουθος τῷ ἀμφεκάλυψεν, ἵνα λέγῃ, ὡς ὁ ἔρως τοῖς κατ’ αὐτὸν δικτύοις ἀμφικαλύψας εἶλε με, γλυκέως μέντοι. Ἰστέον δέ, ὅτι ὁ σχηματισμὸς τοῦ «οὐ γάρ πώ ποτέ με ὧδε ἔρως ἔσχε» κεῖταί που, ὡς εἴρηται, καὶ ἐν τοῖς ἑξῆς, ἔνθα καὶ τὸ «ὥς σεο νῦν ἔραμαι» καὶ ἑξῆς, ἀπαραποίητον ὅλον κεῖται, [καὶ ὅτι τὸ «οὐ γὰρ πώποτε» δύναταί τις φράσαι καὶ «οὐ γάρπω ποτέ» λόγῳ ἐγκλίσεως. διόπερ εὐλόγως προπαροξύνεται τὸ πώποτε, καθὰ καὶ ἀλλαχοῦ δηλοῦται.] Καὶ ὅτι τῶν ἀνωτέρω γεγραμμένων τὸ μέν «ἀλλ’ ἴθι νῦν προκάλεσσαι τὸν δεῖνα ἐξαῦτις» καὶ ἑξῆς, παρῳδηθήσεταί ποτε εἰς μαχητὴν ἀλόγιστον καὶ ἐφ’ οἷς οὐ χρὴ φίλεριν. (v. 438) Τὸ δέ «μή με χαλεποῖσιν ὀνείδεσι θυμὸν ἔνιπτε» παραίτησίς ἐστι τοῦ μὴ ὀνειδίζεσθαι. (v. 447 s.) Ὅτι σώφρονος γαμικῆς ὁμιλίας φραστικὸν τὸ «ἔφη δὴ καὶ ἄρχε λέχοσδε κιών, ἅμα δ’ εἵπετ’ ἄκοιτις· τὼ μὲν ἂρ ἐν τρητοῖσι κατεύνασθεν λεχέεσσιν». [ἃ διαστέλλει πάντως ὁ ποιητὴς τῶν χαμαὶ στειπτῶν φυλλάδων, ἃς οἶδεν ὁ Σοφοκλῆς, καὶ τῶν λοιπῶν δὲ τοιούτων στιβάδων, αἷς ἡ ἐτυμολογία ἐκ τοῦ ἔστιβον δευτέρου ἀορίστου. ἐκεῖναι γὰρ λέχη μέν εἰσιν, οὐ τρητὰ δὲ κατὰ τὰς κλίνας καὶ τοὺς κλισμούς, ταὐτὸν δ’ εἰπεῖν, κατὰ τὰ ἀνάκλιντρα.] (v. 449) Ὅτι θῆρα κατ’ ἐξοχὴν ἐνταῦθα λέγει τὸν λέοντα ἐν τῷ «ἀν’ ὅμιλον ἐφοίτα θηρὶ ἐοικώς».

1.683 συντομωτάτη δὲ ἐπίτηδες καὶ ἀνεπεξέργαστος καὶ αὕτη παραβολὴ συντροχάζοντος οἷον τοῦ ποιητικοῦ λόγου τῷ Μενελάῳ ἰχνηλατοῦντι τὸν φυγάδα Πάριν καὶ σπεύδοντι. (v. 449—54) Ἰστέον δέ, ὅτι κακοῦ τινος ἀνδρὸς κρυπτομένου καὶ ἐν τῷ ψηλαφᾶσθαι μὴ εὑρισκομένου, ὃ δὴ νῦν ἐπὶ Ἀλεξάνδρου γίνεται, καλὸν εἰπεῖν τὸ «ὁ δεῖνα ἀν’ ὅμιλον ἐφοίτα, εἴ που ἐσαθρήσειε τὸν δεῖνα, ἀλλ’ οὔτις δύνατο δεῖξαι τότε· οὐ γὰρ φιλότητί γ’ ἐκεύθανον, εἴ τις ἴδοιτο· ἶσον γάρ σφιν πᾶσιν ἀπήχθετο κηρὶ μελαίνῃ», τουτέστιν ἐμισεῖτο ἴσα καὶ θανάτῳ. ἔνθα ὅρα καινὸν πρᾶγμα. ὁ μὲν γὰρ Πάρις μισεῖται, Ἑλένη δέ, δι’ ἣν ἐκεῖνος ἐμισεῖτο, συγγνωμονεῖται. οὕτως ἦν αὐτὴ καλὴ καὶ τοῦτο ἦν τὸ ἐκπάγλως αὐτὴν ὑπ’ Ἀφροδίτης φιλεῖσθαι. ἴσως δὲ καὶ κολακικῶς αὐτὴ καθομιλοῦσα τοὺς καιροὺς ἐδημαγώγει τοὺς πολλούς. ὅρα δὲ τὸ κηρί παρισούμενον μὲν πρὸς τὸ θηρί, λανθάνον δὲ διὰ τὸ μὴ ἐγγὺς κεῖσθαι, ἀλλὰ μετὰ στίχους τέσσαρας. καὶ εἶχε μὲν ὁ ποιητὴς παραθεῖναι ἄμφω κάλλους χάριν, ὤκνησε δὲ διὰ τὸ μὴ καίριον. (v. 453) Τοῦ δὲ ἐκεύθανον ἡ ἐκ τοῦ κεύθω παραγωγὴ λόγῳ μὲν πεζῷ ἀσυντελής, δακτυλικῷ δὲ μέτρῳ χρηστή. (v. 456) Ὅτι Ὁμήρου καὶ νῦν εἰπόντος «Τρῶες καὶ Δάρδανοι» φασὶν οἱ παλαιοὶ εἰς δύο διῃρῆσθαι τὴν τῶν Τρώων ἀρχὴν ἀπὸ Ἀσσαράκου καὶ Ἴλου ἀνέκαθεν, ὕστερον δὲ κληθῆναι τὸ μέν τι μέρος ἀπὸ τοῦ Δαρδάνου, τὸ δ’ ἐκ τοῦ Τρωός. ὅτι δὲ οἱ Δάρδανοι καὶ Δαρδάνιοι τετρασυλλάβως λέγονται κατὰ τὴν κίνησιν τοῦ Αἰτωλός Αἰτώλιος, ὀρθός ὄρθιος καὶ τῶν ὁμοίων, καὶ ἐν τοῖς ἑξῆς που δηλωθήσεται. (v. 457—60) Ὅτι Ἀγαμέμνων ἀφανοῦς γενομένου, ὡς ἐρρέθη, τοῦ Πάριδος «νίκη μὲν δή», φησί, «φαίνεται ἀρηϊφίλου Μενελάου, ὑμεῖς δ’ Ἀργείην

Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ ἔκδοτε καὶ τιμήν», ὅ ἐστι ποινήν, «ἀποτινέμεν, ἥν τιν' ἐπέοικεν», ὡς τῷ Ἀλεξάνδρῳ ἤρεσε, καθὰ καὶ προγέγραπται. καὶ ἔδει μὲν ἐπὶ τούτοις τοὺς περὶ Ἀλέξανδρον ἀντιθήσειν τὰ αὐτοῦ τοῦ Ἀγαμέμνονος ῥητὰ εἰπόντος· «εἰ μέν κεν Μενέλαον Ἀλέξανδρος καταπέφνῃ» καὶ τὰ ἑξῆς, καὶ οὕτω γενέσθαι ἀντινομίας δίκην, ὡς προδεδήλωται. ἀλλ' ὁ Πάνδαρος φθάσας τοξεῦσαι τὸν Μενέλαον, ὡς μετ' ὀλίγα φανεῖται, συγχέει τὰ πράγματα οὕτω τοῦ Ὁμήρου διασκευάσαντος, ἵνα μή, ἐν οἷς οὐ δέον ἐστί, δικανικὰ παρενείρῃ καὶ ἀνειμένην τὴν ποίησιν ἀπεργάσηται καὶ χαλάσῃ τὸ σύντονον. (v. 457) [Ἔστι δὲ τὸ φαίνεται οὐ διστακτικόν, ὡς ἀντὶ τοῦ ἔοικεν, ἀλλὰ μάλιστα βεβαίωσιν δηλοῖ, εἰλημμένον ἀντὶ τοῦ φανερόν ἐστι καὶ ἐκφανές. τοιοῦτον καὶ ἐν Ὀδυσσείᾳ τὸ «τὰ ὑμέτερα ἀεικέα ἔργα φαίνεται».

1.684 ] (v. 458) Σημείωσαι δέ, ὅτι τὸν μὲν Μενέλαον πολλάκις ἀρηΐφιλον εἶπεν ὁ ποιητὴς διά τε τοῦ Ἕκτορος καὶ τοῦ Πριάμου καὶ ἄλλων, τὸν δὲ Ἀλέξανδρον οὐδαμοῦ, ἀλλὰ μόνον θεοειδῆ, τὴν δὲ Ἑλένην Ἀργείαν λέγει, ὡς εἴ τις εἴπῃ Πελοποννησίαν. Ἄργος γὰρ καὶ ἡ ὅλη Πελοπόννησος, ὡς πολλαχοῦ δεδήλωται. οὕτω δὲ καὶ τὴν Ἥραν ἐν τοῖς ἑξῆς λέγει. (v. 459) Τὸ δὲ ἔκδοτε ταὐτόν ἐστι τῷ ἀπόδοτε, ἤγουν χρεωστικῶς δότε. τοιοῦτον γὰρ κυρίως τὸ ἀποδοῦναι. ὅρα δὲ καί, ὡς τὸ ἀποτινέμεν ἐπενεχθὲν μετὰ πληθυντικόν, τὸ ἀπόδοτε, δείκνυσι φανερῶς ταὐτίζεσθαί ποτε τοῖς προστακτικοῖς τὰ ἀπαρέμφατα. τὸ γὰρ ἀποτινέμεν ταὐτόν ἐστι τῷ ἀποτίνετε. τοῦτο δὲ καὶ τρόπος ἐτυμολογίας ἐστίν, ὡς καὶ προεδηλώθη. ἀπὸ γὰρ τοῦ τίνειν ἡ ῥηθεῖσα τιμὴ γίνεται. ΕΚ ΤΩΝ ΤΗΣ ΔΕΛΤΑ ΡΑΨΩΙΔΙΑΣ Ὅτι ἔμμετρος ἐπιγραφὴ τοῦ γράμματος τούτου αὕτη· Δέλτα· θεῶν ἀγορή, ὅρκων χύσις, Ἄρεος ἀρχή.

1.685.(t) κοινὴ δὲ ἥδε· ὁρκίων σύγχυσις καὶ ἐπιπώλησις Ἀγαμέμνονος. οἱ δὲ Σχολιασταὶ πολλαχοῦ μέμνηνται καὶ χωρίς τινος προσθήκης τῆς ἐπιπωλήσεως, οἷον «ὅτι φησὶν ὁ ποιητὴς ἐν τῇ Ἐπιπωλήσει», ἤγουν ἐν τῇ δ' ῥαψῳδίᾳ. ἐκτείνουσι δὲ καὶ τὸ πω τῆς λέξεως ταύτης Ὁμηρικώτερον. ἐπιπώλησις δὲ καλεῖται ἡ δ' ῥαψῳδίᾳ, διότι ἐν αὐτῇ ἐπιπωλεῖται στίχας ἀνδρῶν ὁ βασιλεύς. (v. 1—4) Ὅτι θεῖόν τι πρᾶγμα τὴν βουλὴν καὶ τὴν δημηγορίαν ὑποδεῖξαι θέλων ὁ ποιητὴς οὐ μόνον ἀνθρώπους βουλευομένους καὶ δημηγοροῦντας ποιεῖ, ἀλλὰ καὶ θεοὺς πολλαχοῦ πολιτικώτερον, ὡς καὶ ἐνταῦθα, καί πως μῖγμά τι βασιλείας καὶ δημοκρατίας ἡ ἐν θεοῖς ἀρχὴ φαίνεται, ὡς παρὰ Ἕλλησι. Τὸ μὲν γάρ· «ἡμεῖς δὲ φραζώμεθα» καὶ τὸ «παρὰ Διῒ καθήμενοι ἠγορόωντο» δημοκρατίας ἔργα, τὸ δὲ αὐτὸν τὸν Δία ποιεῖν, ἃ βούλεται ἀπάνευθεν ἄλλων, τοῦτο οὐκέτι δημοκρατίας ἐστί. καὶ ἑτέρως δὲ εἰπεῖν, ἐπεὶ ἀνθρωποπαθεῖς οἱ τῆς ποιήσεως θεοί, πλάττει καὶ αὐτοὺς οὐδέν τι τῶν μεγάλων πράττοντας δίχα τοῦ βουλεύσασθαι, ποτὲ μὲν ἐν ἀδείᾳ, ποτὲ δὲ καὶ ἐν συμποσίῳ, κατ' ἔθος καὶ τοῦτο παλαιόν τε καὶ σοφόν. ὡς καὶ ἐνταῦθα οἱ θεοὶ «πὰρ Ζηνὶ καθήμενοι», ὅ ἐστι πάρεδροι ὄντες τῷ Διΐ, «ἠγορόωντο χρυσέῳ ἐν δαπέδῳ, μετὰ δέ σφισι πότνια Ἥβη νέκταρ ἐῳνοχόει· τοὶ δὲ χρυσέοις δεπάεσσιν ἀλλήλους δειδέχατο», βουλευόμενοι καὶ περὶ Τροίας. καὶ ἄλλως δὲ εἴωθεν ὁ ποιητὴς τὰ κατὰ πεπρωμένον τέλος γινόμενα εἰς βουλὴν Διὸς ἀνάγειν, ὅ ἐστιν εἰς τὸ τῆς εἱμαρμένης κῦρος. καὶ ἐνταῦθα οὖν τὴν τῶν ὅρκων σύγχυσιν καὶ τὴν τοῦ πολέμου αὖθις σύμμιξιν εἰς εἱμαρμένην ἀνάγων ποιεῖ τὸν Δία σὺν τοῖς θεοῖς βουλευόμενον τὰ ποιητέα. (v. 1) Ἰστέον δέ, ὅτι κατὰ τὴν ἀλληγορίαν θεοὶ καὶ ἐνταῦθα οἱ ἀστέρες, ἢ ἁπλῶς ἢ μόνοι οἱ πλάνητες, παρὰ τὸ θέειν.

1.686 (v. 2) Ἥβη δὲ αὐτοῖς οἰνοχοεῖ, ἀναθυμίασις δηλαδὴ ἀκατάπαυστος καὶ ἀεὶ νεάζουσα. πόσις γὰρ οἷον ἄστρων αὕτη κατὰ Ἕλληνας, οἳ καὶ παρεδρεύουσι τῷ Διΐ, τουτέστι τῇ εἱμαρμένῃ, ὡς εἴρηται. κατὰ γὰρ ποιάν, φασί, τῶν ἄστρων διάθεσιν τὰ τῆς εἱμαρμένης συντελεῖται ἑδραίως καὶ ἀσφαλῶς. διὸ καὶ καθῆσθαι παρὰ τῷ Διῒ λέγονται, καίτοι ἄλλως παρὰ τὸ θέειν θεοί ἐτυμολογούμενοι. ὁ τοιοῦτος δὴ Ζεὺς καὶ ὁ περὶ αὐτὸν τοιοῦτος ἀθροισμὸς καὶ τῇ Τροίᾳ τὴν ἐκ παραβάσεως ὅρκων ἐπιπλέκουσιν ἢ ἐπικλώθουσιν ἅλωσιν, ἔτι δὲ καὶ ἄλλως εἰπεῖν, διὰ τῆς μονομαχίας ὁ πόλεμος διακέκοπται καὶ οἱ μὲν λαοὶ ἀμφοτέρωθεν ἄοπλοι κάθηνται, νενίκηται

δὲ Ἀλέξανδρος καὶ ἡ νίκη τοῦ Μενελάου ἐστίν, ὡς καὶ ὁ Ζεὺς ἐπικρινεῖ, καὶ ἀνάγκη λοιπὸν ἢ ἐκδοθῆναι τὴν Ἑλένην, ὡς νενικημένου τοῦ Πάριδος, ἢ δίκην συστῆναι, ὡς μὴ καὶ πεφονευμένου αὐτοῦ. ἐπεὶ δὲ οὐ δυνατὸν πλασθῆναι γενέσθαι ταῦτα διὰ πολλοὺς λόγους, βουλεύεται ὁ ποιητής, πῶς ἂν εὐμηχάνως αὖθις συνάψῃ τὸ τῆς μάχης διασπασθὲν καὶ τοῦ εἰς νοῦν ἐκλαμβανομένου Διὸς πολλὰ ἐν τῷ ποιητῇ σκοπήσαντος, οὐδὲν αὐτῷ εὕρηται πιθανώτερον ἄλλο καὶ εὐπλαστότερον ἢ τὸ συγχεθῆναι τοὺς ὅρκους παρά τινος τῶν Τρώων. ἐπεὶ δὲ πάντες ἐμίσουν τὸν Ἀλέξανδρον ἶσα κηρὶ μελαίνῃ, ὡς προείρηται, ἐπιλέγεται εἰς τοῦτο τὸν κατάρατον Πάνδαρον. καὶ τοίνυν τοῦ Ἀγαμέμνονος ἀξιώσαντος δίκαια, οἱ μὲν ἄλλοι πάντες μέλλουσιν, ἀντειπεῖν οὐκ ἔχοντες, Πάνδαρος δὲ βάλλει λάθρᾳ τὸν Μενέλαον καὶ ἐπ' αὐτῷ προεξανίστανται τῶν Ἑλλήνων οἱ Τρῶες νομίσαντες, ὡς εἰκός, βασιλικὸν εἶναι τοῦτο βούλημα, καὶ οὕτω συνάγονται πιθανῶς εἰς πόλεμον τὰ στρατεύματα. καὶ ἐπ' ἀληθείᾳ μὲν ὁ ποιητὴς ἐν ἑαυτῷ κατὰ Δία νοῦν ἐβουλεύσατο, πῶς ἂν διασπάσας ἤδη τῇ μονομαχίᾳ τὴν μάχην αὖθις συναγάγῃ αὐτὴν καὶ πόλεμον κακὸν ἐγείρῃ καὶ φύλοπιν αἰνήν, διὰ δὲ τὸ σεμνότερον καὶ ὑψηλότερον πιθανότερόν τε καὶ εὐπλαστότερον εἰς θεοὺς ἀνάγει τὸ βούλευμα, οἱονεὶ λέγων, ὅτι οὐδὲν ἐκώλυε διὰ τῆς μονομαχίας ταύτης λυθῆναι τὴν μάχην καὶ φιλότητα ἐν ἀμφοτέροις γενέσθαι, εἰ μὴ ἄνωθεν κεκώλυτο βουλευσαμένων θεῶν, ἢ τῶν μυθικῶν ἢ τῶν τῆς ἀλληγορίας, ὡς εἴρηται. (v. 1) Ὁ δὲ Ζήν ἢ ῥηματικῶς ἔχει, ὡς ἀπὸ τοῦ ζῶ, ἢ ἐκ τοῦ Ζεύς παρωνόμασται.

1.687 ἐν οἷς ὅρα, ὅτι, ἐπεὶ μήτε ἀπὸ τοῦ Ζήν Ζηνός προῆλθε πατρωνυμικὸν Ζηνίδης, μήτε ἀπὸ τοῦ Ζεύς Ζείδης κατὰ ἀναλογίαν ὁμοίως τῷ Ἀζεύς Ἀζείδης, ὃ ἐν τῇ Βοιωτίᾳ κεῖται, ὠκνήθη καὶ ἐκ τῆς Διός γενικῆς γενέσθαι Διΐδης, τύπῳ δὲ γέγονε τοπικῷ ἐκ τοῦ Διός ὁ Δῖος, ἵνα εἴη, ὡς Χίϊος Χῖος, ὁ ἀπὸ Χίου, οὕτω καὶ Δίϊος Δῖος, ὁ ἀπὸ Διός, ὡς εἴ τις εἴποι ἀπ' αἰθέρος ἢ οὐρανοῦ. ἔχει δὲ ἄλλως καὶ πατρωνυμίας χαρακτῆρα τὸ Δίϊος Δῖος κατὰ τὸ Τελαμώνιος Αἴας. ὅτι δέ, ὥσπερ Ζεύς Διός, παρὰ τὸ ζῶ ἢ παρὰ τὸ δεύω, ἔτι δὲ καὶ Ζήν Ζηνός, ὁμοίως δὲ καὶ Ζάν Ζανός κατὰ τὸ «βροντάτω μέγας Ζάν», οὕτω καὶ Ζάς ὁ αὐτὸς κατὰ τὴν αὐτὴν ἐτυμολογίαν, δηλοῦσιν οἱ παλαιοί. ὡς δὲ καὶ ὀξύνεται ὁ Ζάς καὶ τὸ ντ ἔχει ἐν τῇ γενικῇ, δῆλον ἐκ τοῦ παραδόντος, ὅτι, καθὰ Πράς Πράντος, ὄνομα ποταμοῦ καὶ πόλεως, καὶ Φθάς Φθάντος κύριον παροξυνόμενον μετοχικῶς ἐν τῇ γενικῇ κατὰ τὸ φάς φάντος, οὕτω καὶ Ζάς Ζάντος, ὃ σημαίνει τὸν Δία. (v. 4) Τὸ δὲ δειδέχατο, ἤγουν ἐδεξιοῦντο, ῥῆμα σύνηθες Ἰωνικόν, τὴν παρὰ τοῖς ὕστερον πρόποσιν δηλοῖ. προπίνουσι γὰρ ἀλλήλοις κατὰ τὸ καὶ παρὰ Ῥωμαίοις ἔθος οἱ ἀλλήλους δεπάεσσι δεξιούμενοι. (v. 3) Σημείωσαι δέ, ὅτι σεμνύνει τὸν χρυσὸν Ὅμηρος, οἷς καὶ εἰς οὐρανὸν αὐτὸν ἀνάγει, καὶ τὸν ἐν ἄλλοις πολύχαλκον διὰ τὸ στερεὸν ὧδε πολύχρυσον πλάττει διὰ τὸ καλόν, τό τε δάπεδον τοῖς θεοῖς ἀπὸ χρυσοῦ στρωννύων καὶ χρυσέοις αὐτοὺς λέγων πίνειν δεπάεσσιν. ἀλληγορικῶς μέντοι διὰ τοῦ χρυσέου μὲν δαπέδου τὸ ἀνέφελον δηλοῦται τοῦ ἄνω τόπου, ὡς ἐν Ὀδυσσείᾳ μάλιστα φαίνεται, διὰ δὲ τῶν χρυσέων ποτηρίων ὁ ἥλιος ἐμφαίνεται, ὃς τὰς ὑγρότητας ἀνάγει, δι' ὧν τὸ ἐκεῖ συμπόσιον τοῖς ἀλληγορουμένοις θεοῖς γίνεται. δι' οὗ καὶ ὁ ἄπονος βίος δηλοῦται τῶν μυθικῶν θεῶν καὶ ἀκάματος καὶ ἄφροντις, ἃ τοῖς περὶ γῆν οὔκ εἰσι. Τὸ δὲ χρυσοῖς δεπάεσσι δεξιοῦσθαι τοὺς θεοὺς ἀλλήλους τὰς συμπαθείας τῶν ἀστέρων δηλοῖ καὶ τὴν εἰς ἓν ἔστιν ὅτε σύμπνοιαν καὶ οἷον δεξίωσιν, δι' ἧς δοκοῦσι τὰ περὶ γῆν κατεργάζεσθαι. (v. 2) Ἰστέον δέ, ὅτι καὶ ὁ παρ' Εὐριπίδῃ Ζηνὸς πολύχρυσος οἶκος ἐκ τοῦ Ὁμηρικοῦ χρυσέου δαπέδου εἴληπται.

1.688 ἔστι δὲ δάπεδον μὲν τόπος ἐγγὺς οἰκημάτων, αὐτὸς μὴ ἔχων οἰκήματα, ἢ τόπος ἐν πόλει ψιλὸς οἰκημάτων, ὡς δηλοῖ παρά τινι καὶ τὸ «περιφέρων τὴν ἀσπίδα, ἐπίχαλκον οὖσαν, προσίσχε τῷ δαπέδῳ ἐντὸς τοῦ τείχους», ἢ χωρίον ὁμαλὸν εἰς διατριβὴν ἀνεθέν, ὅπερ ἐν Ὀδυσσείᾳ καὶ τυκτὸν λέγει δάπεδον, ἐν ᾧ οἱ μνηστῆρες γυμνάζονται. δύναται δὲ κἀνταῦθα, ὥς που καὶ κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀδύσσειαν, τὸ ἐντὸς οἰκίας ἐμβαδὸν δάπεδον λέγεσθαι, ὡς μὴ μόνον αἴθριον, ἀλλὰ καὶ ὑπωρόφιον εἶναι δάπεδον. γίνεται δὲ παρὰ τὸ δᾶ, ὃ δηλοῖ Δωρικῶς τὴν γῆν, καὶ τὸ πέδον. γήπεδον μέντοι τὸ ἐν πόλει προκείμενον οἰκίας οἷον κηπίδιον. οἰκόπεδον δὲ οἰκίας καταρριφείσης ἔδαφος, ὅπερ κοινότερον καὶ ἐρείπιον οἱ ὕστερόν φασιν. Ἰστέον δέ, ὅτι, ὥσπερ ἰσοδύναμοι λέξεις τὸ δᾶ καὶ τὸ πέδον καὶ τὸ γῆ καὶ πέδον, οἷον «ὄμνυ πέδον γῆς» παρὰ Σοφοκλεῖ, ἀπετέλεσαν τὸ δάπεδον καὶ τὸ γήπεδον, οὕτω καὶ ἐπ' ἄλλων γίνεται ὁμοιοσήμων λέξεων. τὸ γοῦν ὄρω καὶ τὸ θύνω συνελθόντα τὸ ὀροθύνω συνέθηκαν, ὃ δηλοῖ τὸ διεγείρω, καὶ τὸ στρέφειν καὶ δινεῖν τὸ στρεφεδίνηθεν, καὶ τὸ καίειν καὶ πυροῦν τὸ καπυρόν, καὶ ἡ ἔρα καὶ γῆ τὸ ἔργον τὸ ἐπὶ γεωργίας, καὶ τὸ ἠλεόν καὶ μάταιον παρὰ Ὀππιανῷ τὸ ἠλέματον. ὁμοίως δὲ καὶ ἐκ τοῦ φιλεῖν καὶ τοῦ ἥδεσθαι τὸ φιληδεῖν γίνεται· καὶ ἐκ τοῦ πόπος καὶ ἄναξ, θείων λέξεων, ὡς προδεδήλωται, πόπανον τὸ θεῷ ἄνακτι καθοσιούμενον, ὡς ἐμφαίνει καὶ ὁ Κωμικός, καὶ ἐκ τοῦ κάσις καὶ γνωτός ὁ κασίγνητος τροπῇ τοῦ μακροῦ εἰς μακρόν· καὶ ἐκ τοῦ πρᾶος καὶ εὐμενής ὁ ἐν τῇ τραγῳδίᾳ πρευμενής· καὶ ἐκ τοῦ ἀπάγειν καὶ ἀπελαύνειν τὸ ψιλούμενον ἀγηλατεῖν· καὶ ἐκ τοῦ χύω καὶ χέω κατὰ τοὺς παλαιοὺς ὁ κυκεών· καὶ ἐκ τοῦ θροῦς καὶ βοή ὁ θόρυβος· καὶ ἐκ τοῦ μόρος καὶ φόνος ὁ ἐν τῇ ω′ ῥαψῳδίᾳ μόρφνος αἰετός· καὶ ἐκ τοῦ χρέος καὶ ὀφειλή ὁ χρεωφειλέτης· καὶ ἐκ τοῦ πτίσσειν καὶ αἰνεῖν, ταὐτοδυνάμων λέξεων, ὥς φησι Παυσανίας ἐν τῷ αὐτοῦ Λεξικῷ, ἡ πτισσάνη· καὶ ἐκ τοῦ ἄττειν καὶ ἅλλεσθαι κατά τινας τὸ ἀττάλλειν· καὶ ἐκ τοῦ θορεῖν καὶ ἀΐσσειν ὁ Θράϊξ· καὶ ἐκ τοῦ καίειν καὶ δαίειν Κανδάων, ὁ Ἄρης, διὰ τὴν καυστειρὰν μάχην τὴν καὶ δηΐδα· καὶ ἐκ τοῦ φονεύειν καὶ κτείνειν τὸ φονοκτονεῖν· καὶ ἐκ τοῦ δονεῖν καὶ πάλλειν τὸ δνοπαλίζειν· καὶ ἐκ τοῦ ἱκέσθαι καὶ θύειν ὁ ἰχθύς· καὶ ἐκ τοῦ ἄρχειν καὶ ἡγεῖσθαι ὁ ἀρχηγός· καὶ ἀπὸ τοῦ χέειν, ῥέειν, νάειν, ὁ χρόνος· καὶ ἐκ τοῦ νάειν καὶ ῥέειν ὁ Νηρεύς· καὶ ἐκ τοῦ σύεσθαι, ἤγουν ὁρμᾶν, καὶ τοῦ κίειν ἡ συκῆ· [ἐκ τῶν αὐτῶν δὲ κατὰ τοὺς παλαιοὺς καὶ ὁ σικυός κατὰ μετάθεσιν ἢ τροπὴν διχρόνων.

1.689 οὕτω δὲ καὶ ἐκ τοῦ θῶ, τὸ τίθημι, καὶ τοῦ θῶ, τὸ θηλάζω, τήθη ἡ ἐντιθεῖσα ἔνθεσιν, ἤγουν τροφήν, τῷ θηλάζοντι βρέφει· καὶ ἀπὸ τοῦ τείρω καὶ ἔδω τερηδών, ζωΰφιον ἐμφυόμενον ὀστοῖς καὶ ξύλοις καὶ ὅσοις τοιούτοις κραύροις ἐμφύονται σώμασι τοιαῦτα θηρίδια, ὧν εἶδος καὶ οἱ ἐν Ὀδυσσείᾳ ἶπες.] Ἔτι ὁμοίως καὶ ἐκ τοῦ ἐναίρειν καὶ κτείνειν ἐναροκτάντας ὁ θάνατος. τοιοῦτον δὲ καὶ ἡ Ὁμηρικὴ Ἁλοσύδνη καὶ ἡ τοῦ Καλλιμάχου Ὑδατοσύδνη· ὀνόματα δὲ ταῦτα Νηρηΐδων. [οὐκ ἀπέοικε δὲ τῶν τοιούτων οὐδὲ ὁ Ὡραπόλλων, ἀνὴρ λόγιος, οὗ ἡ σύνθεσις ἐκ τοῦ Ὦρος καὶ Ἀπόλλων, ἃ καὶ ἄμφω ἐπίθετά εἰσι Φοίβου. συμφωνεῖ δὲ καὶ τὸ μυθολογεύειν, ὅπερ ἐστὶ μυθεῖσθαι καὶ λέγειν· ἤδη δὲ καὶ τὸ λογολεσχεῖν, λόγος γάρ τις καὶ ἡ λέσχη ἐστι.] Τὴν δὲ τοιαύτην σύνθεσιν παρεισήγαγεν ὁ ἐκ παραλλήλου σχηματισμός, ὃς ἢ ἐννοίας ὁμοίας ἀλλήλαις ἐπιστοιβάζει, οἷον ὁ μέγας βασιλεὺς ἦλθεν, ὁ τρισμέγιστος ἄναξ παραγέγονεν, — ἄμφω γὰρ τὰ κῶλα ταῦτα ἐκ παραλλήλου τὸ αὐτὸ δηλοῦσι νόημα—ἢ λέξεις ἰσοδυνάμους παραλληλίζει, οἷον τυχὸν ἴσως οὕτω γέγονε, καὶ λίαν πάνυ ταχέως καὶ ὅσα τοιαῦτα.

1.690 ἐκ δὲ τῆς τοιαύτης τῶν λέξεων παραθέσεως ἐπενοήθη καὶ ἡ τοῦ ῥηθέντος δαπέδου καὶ τῶν ὁμοίων αὐτῷ σύνθεσις. οἱ δὲ θερμότεροι καὶ ταὐτοφώνους λέξεις οὕτω συνέθεντο. τοιοῦτον γὰρ τὸ φιλόφιλος καὶ τὸ φαυλεπίφαυλος καὶ εἴ τι ἄλλο οὕτω σύγκειται, ὡς καὶ τὸ πάμπαν ἐπίρρημα. καὶ τοῦτο μὲν οὕτως ἁπλούστερον. ἔστι δὲ καὶ ἄλλως εἰπεῖν τεχνικώτερον, ὅτι αἱ παράλληλοι λέξεις ἢ σύγκεινται ἢ παράκεινται. ἄμφω δὲ ταῦτα ἢ ἐκ ταὐτότητος γίνεται ἢ ἐξ ὁμοιότητος. οἷον ἐκ ταὐτότητος μὲν παραλληλισμὸς ἐν συνθέσει μὲν τὸ πάμπαν, ἐν παραθέσει δὲ τὸ πάνυ πάνυ καὶ πάλαι πάλαι παρὰ τῷ Κωμικῷ, καὶ ἔλακεν ἔλακε παρ' Εὐριπίδῃ καὶ ὅσα τοιαῦτα. ἐκ δὲ ὁμοιότητος λέξεων παραλληλισμὸς ἐν συνθέσει μὲν τὸ γήπεδον καί, ὅσα τοιαῦτα πρὸ βραχέων ἐρρέθη, ἐν παραθέσει δὲ τὸ λίαν πάνυ καὶ τυχὸν ἴσως καὶ τὰ ὅμοια. λέγομεν δὲ ἐν ταὐτότητι μὲν τὰ καὶ τῇ φωνῇ καὶ τῷ νοήματι τὰ αὐτά, ἐν ὁμοιότητι δὲ τὰ τῇ προφορᾷ μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνόμοια, τῇ σημασίᾳ δὲ ὅμοια, μάλιστα δὲ ταὐτοδύναμα. Σκοπητέον δὲ καί, μήποτε τὸ ἐνταῦθα δάπεδον τοῦ Διὸς ὅμοιόν ἐστι τῷ αὐλῇ, ὅπερ ἐν Ὀδυσσείᾳ φησὶν Ὅμηρος εἰπών· «Ζηνός που τοιήδε γ' Ὀλυμπίου ἔνδοθεν αὐλή». (v. 2 s.) Ἥβη δὲ οἰνοχοεῖν λέγεται νέκταρ τοῖς ἄνω οὐ κατὰ τὸν ἐπὶ Ἡφαίστῳ ἐν τῇ α' ῥαψῳδίᾳ λόγον, ἀλλὰ διὰ τὸ ἀγήρω καὶ ἀεὶ νεάζοντα εἶναι τὰ θεῖα καὶ οἷον ἡβάσκοντα. κύριον δὲ μυθικῶς ὄνομα ἐνταῦθα ἡ Ἥβη, θυγάτηρ Ἥρας Ἡρακλεῖ συνοῦσα. ἑτέρως μέντοι πρὸς ἀλήθειαν, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ἀνθρώπου ἡλικίαν ἡ λέξις δηλοῖ, ὅτε τριχοῦνται αὐτῷ τὰ ἐκ νέων ἄτριχα. διὸ καὶ ἀπότριχες ἐλέγοντο οἱ ἄνηβοι. [Ἐκ τοῦ ἥδω δέ, ὅ ἐστιν εὐφραίνω, ἡ ἥβη· χαρίεσσα γὰρ ἡ τοιαύτη ἡλικία καὶ ἡδεῖα κατὰ τὸ «οὗ περ χαριεστάτη ἥβη».

1.691 ἀφ' ἧς καὶ τὰ ἱστορούμενα ἐνηβητήρια καὶ τὸ ἡβηδὸν ἐπίρρημα καὶ τὸ ἡβῶ ἡβήσω, καὶ ἡβάσω δέ, ἐξ οὗ τὸ ἡβάσκω προσλήψει τοῦ κ , καὶ ἡ ἐν Ὀδυσσείᾳ πρωθήβη καί, ὅσα ἐκεῖ δηλοῦται, καὶ τὸ ἡβυλλιᾶν, τὸ παρὰ τῷ Κωμικῷ, καὶ τὸ ἐφήβαιον, οὗ πρόκειται ἥβη ἑτεροία, μέρος αὐτὴ δηλοῦσα σώματος.] (v. 3) Ἀττικὸν δὲ τὸ ἐῳνοχόει, ὡς καὶ τὸ ἑώρακε καὶ τὸ ἐωνημένος, ὁ ὠνησάμενος, καὶ ἄλλα μυρία. οἱ δὲ παλαιοὶ καὶ τοιαῦτά τινά φασιν, ὅτι, ὥσπερ ᾦγε καὶ ἀνέῳγεν, οἷον· «τὸν οὐ θεὸς ἄλλος ἀνῷγε» καί· «χήλου δὲ ἀπὸ πῶμα ἀνέῳγε» καὶ ἥνδανεν ἑήνδανεν, οἷον· «ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε» καί· «οὐδ' Ἀγαμέμνονι πάμπαν ἑήνδανε» καί· «ὦσα παρέξ» καὶ «ἐπὶ στόμα ἔωσεν», οὕτως ἀλλαχοῦ μὲν ᾠνοχόει υἱὸς Μενελάου, νῦν δὲ Ἥβη νέκταρ ἐῳνοχόει. οὕτως Ἡρωδιανός. Ζηνόδοτος δὲ ἐνῳνοχόει γράφει διὰ προθέσεως. ὅρα δέ, ὅπως, ὡς καὶ ἐν τῇ α' ῥαψῳδίᾳ πλατύτερον ἐρρέθη, ἐπὶ νέκταρος οὐκ εὐκαίρως εἶπε τὸ οἰνοχοεῖν, ἀλλὰ ἁπλῶς καὶ νῦν ὡς λέξιν συμποσιακήν, ὡς εἴ τις εἴποι· ἐδίδου νέκταρ πιεῖν οἷά τινα οἶνον. οὐχ' οὕτω δὲ ἄν τις εἴποι καί, ὅτι ὕδωρ ἐῳνοχόει. τοῦτο μὲν γὰρ οὐκ ἔχει βοήθειαν, τὸ δὲ Ὁμηρικὸν ἔχει πολλάς. τὸ δὲ νέκταρ πίνεται κατὰ μῦθον, ὥσπερ αὖ πάλιν ἡ ἀμβροσία ἐσθίεται. καὶ ἔστιν αὕτη μὲν ἀναβαίνουσα ῥοή, κάτωθεν δηλαδή, ἐκεῖνο δὲ μὴ καταρρέουσα ὑγρότης, ἀλλὰ δαπανωμένη ἄνω, ὑφ' ἧς οἱ ἀστέρες τρεφόμενοι διαγίνονται. ἢ καὶ ἄλλως, νέκταρ καὶ ἀμβροσία αἱ ἐκ γῆς ἀναβαίνουσαι ῥοαὶ ὑγραὶ καὶ αὖθις νέον καταρρέουσαι, ἀφ' ὧν καὶ οἱ ἀστέρες δοκοῦσι τρέφεσθαι. ὃ δὴ καὶ Ὠκεανὸς κύκλῳ ῥέων ὑπὸ τῶν παλαιῶν νενόηται καὶ ὑφ' Ὁμήρου Ὠκεανὸς θεῶν γένεσις λέγεται. Ὅτι δὲ τὸ νέκταρ ἐτυμολογεῖται καὶ παρὰ τὸ νέον ἀεὶ κτέαρ εἶναι, καὶ εἴ τι ἄλλο ἄξιον λόγου, καὶ ἀλλαχοῦ δηλοῦται, ὥσπερ καὶ τὸ θείας εἶναί τινας λέξεις τὸ νέκταρ καὶ τὴν ἀμβροσίαν.

1.692 διὸ καὶ πολλὰ τῶν καλῶν σωμάτων τε καὶ πραγμάτων ἐκεῖθεν παρωνυμοῦνται. λόγος οὖν ἀμβρόσιος καὶ νὺξ ἀμβροσία καὶ ἀμβρόσιαι χαῖται καὶ ἀμβρόσιον στόμα παρ' Εὐριπίδῃ καὶ νεκτάρεος ἑανός καὶ χιτών καὶ οἶνος δέ, κατὰ τὸ «ἀμβροσίης καὶ νέκταρός ἐστιν ἀπορρώξ». Φασὶ δὲ οἱ παλαιοὶ παρθένων ἔργον εἶναι τὸ οἰνοχοεῖν καὶ ἀνδρῶν δὲ νέων, ὧν καὶ τὸ ὑπηρετεῖν. ὅθεν καὶ παῖδες οἱ δοῦλοι καὶ παιδίσκαι διὰ τὸ τῆς παιδικῆς ἡλικίας ὑπηρετητικόν. (v. 6) Ὅτι ὥσπερ ἐκ τοῦ βάλλειν μετὰ τῆς ὑπο προθέσεως γίνεται τὸ ὑποβλήδην, ὡς ἐν τῇ α' ῥαψῳδίᾳ κεῖται, [καὶ μετὰ τῆς ἀνα προθέσεως τὸ «ἀμβλήδην γοόωσα», ὡς ἐκ τοῦ μουσικῶς ἀναβάλλεσθαι κατὰ τὸ «ἀνεβάλλετο καλὸν ἀείδειν»,] οὕτω καὶ ἐνταῦθα τὸ παραβλήδην, ὃ δηλοῖ τὸ ἐκ παραβολῆς καὶ συγκριτικῶς. φησὶ γάρ, ὅτι αὐτίκ' ἐπειρᾶτο Ζεὺς ἐρεθιζέμεν Ἥρην κερτομίοις ἐπέεσσι παραβλήδην ἀγορεύων. (v. 7—12) Ὁ δὲ λόγος τῆς παραβολῆς, ἤγουν συγκρίσεως, ἦν, ὅτι «δοιαὶ μὲν Μενελάῳ ἀρηγόνες εἰσὶ θεάων, Ἥρη τ' Ἀργείη καὶ Ἀλαλκομενηῒς Ἀθήνη· ἀλλ' ἤτοι «ταί», ἤγουν αὗται, ὑμεῖς, «νόσφι καθήμεναι εἰσορόωσαι τέρπεσθον, τῷ δ' αὖτε φιλομειδὴς Ἀφροδίτη», μία δηλαδὴ αὐτῷ ἀρηγὼν οὖσα, «αἰεὶ παρμέμβλωκε καὶ αὐτοῦ κῆρας ἀμύνει. καὶ νῦν ἐξεσάωσεν ὀϊόμενον θανέεσθαι». ἔχει δὲ τὸ κέρτομον ὁ λόγος οὐ μόνον, διότι τὰς δύο συγκρίνει τῇ μιᾷ, ἀλλὰ καί, ὅτι ἐκείνων τῶν δύο ἡ μὲν τοῖς Ἀργείοις ἐπονομάζεται· Ἀργεία γὰρ λέγεται Ἥρα, διὸ καὶ ἐπικουρεῖν ἐκείνοις ὀφείλει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀθηνᾶ δὲ ἀλκῆς καὶ μένους οὖσα ἐπώνυμος, ὅμως ἀγεννῶς ἐκθηλύνεται. Ἀφροδίτη δέ, ἡ φιλομειδής, κρεῖττόν τι ἔχει ἐκείνων. ὁ δὲ ῥηθεὶς λόγος παρῳδηθεὶς ἔσται ποτὲ χρήσιμος καὶ ἐπί τινος πλείονας μὲν ἔχοντος βοηθούς, χαύνους δέ. Ὅρα δέ, ὅτι ἡ σύγκρισις οὐκ ἀνδρειοτέραν τῶν δύο τὴν μίαν εἶναι συνάγει· πῶς γὰρ ἐὰν καὶ μόνη ἀλλαχοῦ Ἀθηνᾶ τὴν Ἀφροδίτην ἀχρείαν ἐκφαίνῃ καὶ Διομήδης δὲ συναιρομένης Ἀθηνᾶς βάλλῃ ἐκείνην; ἀλλ' ἡ ἀγωγὴ αὕτη τῆς συγκρίσεως ἐπιμελεστέραν ποιεῖ τῶν δύο τὴν μίαν, εἴπερ αὐταὶ μὲν χωρὶς κάθηνται, ἡ δὲ Ἀφροδίτη τῷ Ἀλεξάνδρῳ ἀεὶ παραμέμβλωκεν, ἤτοι παραμεμέληκε, καὶ διὰ φροντίδος γίνεται ἢ μάλιστα παραμεμόληκε καὶ ἐγγὺς μολεῖ· ἐγγύτητα γὰρ ἡ παρα πρόθεσις δηλοῖ, ὡς τὸ «οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι», ἤγουν ἐγγὺς τοῦ Διός.

1.693 καὶ ἄλλως δὲ σαφέστερον καὶ συντομώτερον εἰπεῖν, ἡ ῥηθεῖσα παραβολή, ἤτοι σύγκρισις, ἐκ τοῦ μείζονος μέν ἐστι, λέγει δὲ ὡς δύο μὲν αἱ τοῦ Μενελάου, μία δὲ ἡ τοῦ Πάριδος. καὶ αὐταὶ μὲν σεμνῶς ὀνομάζονται, ἡ δὲ ἐκ τοῦ μειδιάματος. καὶ ὅμως αὐταὶ μὲν νόσφι κάθηνται τοῦ Μενελάου, ἡ δὲ ἀεὶ παρμέμβλωκε. καὶ αἱ μὲν θέας τέρψιν ποιοῦνται τὴν μάχην, ἡ δὲ ἀμύνει τὰς κῆρας τῷ Πάριδι. (v. 11) Ἰστέον δέ, ὅτι τὸ παρμέμβλωκε τρία σημαίνει, ἓν μὲν τὸ μεμέληκε καὶ φροντίδα ἔχει, καὶ γίνεται ἐκ τοῦ μέλω μελήσω μεμέληκα, καὶ συγκοπῇ μέμληκα, καὶ πλεονασμῷ τοῦ β διὰ καλλιφωνίαν καὶ τροπῇ τοῦ η εἰς ω μέμβλωκα. ἕτερον δὲ τὸ παραμεμόληκεν, ἤγουν παρῆλθεν, ὡς εἴ τις εἴποι, ὅτι παρμέμβλωκεν ἡ ἡμέρα, ἤγουν παρῴχετο. ἡ δὲ χρῆσις ἐν Ὀδυσσείᾳ καὶ γίνεται ἐκ τοῦ μολῶ μολήσω κατὰ τὸ αὐτὸ κανόνισμα. τρίτον δὲ τὸ παραμεμόληκε, τουτέστιν ἐγγύς ἐστιν, πάρεστιν, ὡς ἐνταῦθα φαίνεται. λέγει οὖν ἀντιθετικῷ σχήματι, ὡς ὑμεῖς μὲν νόσφι κάθησθε, ἡ δὲ ἀεὶ τῷ Ἀλεξάνδρῳ παρμέμβλωκεν, ἤτοι παρακολουθεῖ, ἐγγὺς οὖσα, οὐ νόσφι καθημένη. Σημείωσαι δέ, ὅτι ὁ Ζεὺς μὲν σεμνότερον φράσας ἐνέφηνε τὴν πρὸς τὸν Πάριν σχέσιν τῆς Ἀφροδίτης, ἡ Ἑλένη δὲ πρὸ τούτου θυμωθεῖσα παραλαλεῖ οὕτω διακεῖσθαι αὐτὴν πρὸς Ἀλέξανδρον, ὡς ἢ ἄλοχον εὐνοοῦσαν ἢ δούλην εὐλαβῶς ὑπείκουσαν. (v. 7) Τὸ δὲ ἀρηγών λέγεται μὲν καὶ ἀρωγός, γίνεται δὲ ἀπὸ τοῦ Ἄρης, ὥσπερ ὁ βοηθὸς ἀπὸ τῆς βοῆς, ὃ καὶ αὐτὸ τὴν μάχην ἔστιν ὅτε δηλοῖ, καθὰ καὶ ὁ Ἄρης. (v. 8) Ἀλαλκομενηῒς δὲ ὡς γίνεται ἀπὸ τοῦ ἀλαλκεῖν ἤτοι βοηθεῖν διὰ μένος, ἢ ἀπό τινος Ἀλαλκομενέως ἥρωος, ἢ ἀπὸ Ἀλαλκομενίου ὄρους, οἱ Ἐτυμολόγοι φασί. (v. 10) Τὸ δὲ φιλομειδής, ὅπερ Ἡσίοδος ἐκ τῶν τοῦ Κρόνου μηδέων ἐτυμολογεῖ, ὡς Βοιωτικῶς διὰ τῆς ει διφθόγγου τὴν παραλήγουσαν γράφεσθαι, διπλάζει τὸ μῦ διὰ μέτρον κατά τινα τῶν ἀντιγράφων, ὡς ἂν οὕτως ἡ τοῦ στίχου λαγαρότης μεστωθῇ πρὸς μέτρον ἄρτιον. (v. 11) Τὸ δὲ αἰεί τὴν παράμονον ἐπὶ τῷ Πάριδι φροντίδα τῆς Ἀφροδίτης δηλοῖ. Τὸ δέ «καὶ αὐτοῦ κῆρας ἀμύνει» διασαφητικόν ἐστι τοῦ παρμέμβλωκεν. ἐνθυμητέον δέ, ὅτι ἐκ τοῦ κῆρας ἀμύνειν ὁ κηραμύντης ὕστερον συντέθειται, ὁ αὐτὸς ὢν τῷ ἀλεξικάκῳ, ἵνα ὡς ἐκ τοῦ ἀμύνειν ἁπλοῦ ὁ Ἀμύντας τὸ κύριον, οὕτως εἴη ἐκ τοῦ κῆρας ἀμύνειν ὁ κηραμύντης, ὃν Σοφοκλῆς ἀλεξίμορον εἴποι ἄν.

1.694 ἡ δὲ τοιαύτη ἀγωγὴ [καὶ τὴν παρ' Ἡσιόδῳ ἀλεξιάρην νειὸν καὶ τὴν χειμάμυναν χλαῖναν καὶ τὴν ἀλεξάνεμον, ἤδη δὲ καὶ] τὴν ἐκ τριχῶν μυιοσόβην συνέθετο. (v. 12) Τὸ δὲ ὀϊόμενον ἢ ἐνεργητικῶς κεῖται ἀντὶ τοῦ νομίζοντα, ἢ παθητικῶς ἀντὶ τοῦ νομιζόμενον. σημείωσαι δέ, ὅπως πάνυ δεξιῶς μεθοδεύει τὴν τῶν ὅρκων σύγχυσιν ὁ ποιητής, οὐκ ἐξ ἐπιταγῆς τοῦ ὁρκίου Διός, ὃς καὶ τῶν ὅρκων ταμίας ἐστίν, ἀλλ' ἐκ τοῦ κατὰ τὴν Ἥραν χόλου, ὃν ἐκ τοῦ ῥηθέντος κερτόμου ἐρεθισμοῦ αὐτὴ μετ' ὀλίγα πείσεται. Ἰστέον δὲ καί, ὅτι μεγάλης βοηθείας δηλωτικὸν τὸ «αἰεὶ κῆρας ἀμύνει καὶ νῦν ἐξεσάωσεν ὀϊόμενον θανέεσθαι». (v. 13) Ὅτι οὐ μόνος Ἀγαμέμνων ἐπεψηφίσατο νίκην, ὡς εἴρηται, τῷ ἀδελφῷ Μενελάῳ, ἀλλ' ἰδοὺ καὶ ὁ Ζεὺς λέγων· «ἀλλ' ἤτοι νίκη μὲν ἀρηϊφίλου Μενελάου». καὶ ὅρα, ὡς ἀρηΐφιλον ὁ ποιητής, καθὰ προγέγραπται, καὶ διὰ τοῦ Διὸς καλεῖ τὸν Μενέλαον, ὥσπερ καὶ διὰ τοῦ Πριάμου καὶ ἑτέρων. (v.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

14—6) Ὅτι βουλευτοῦ λόγος τὸ «ἡμεῖς δὲ φραζώμεθα, ὅπως ἔσται τάδε ἔργα». εἰ δὲ περὶ πολέμου καὶ εἰρήνης ἡ βουλή, οἰκεῖον καὶ τὸ ἐπαγόμενον· «ἢ αὖτις πόλεμόν τε κακὸν καὶ φύλοπιν αἰνὴν ὄρσομεν ἢ φιλότητα μετ' ἀμφοτέροισι βάλωμεν». προεκθετικῶς δὲ καὶ σκεπτικῶς ταῦτά φησιν Ὅμηρος μελετῶν τε, ὡς καὶ προερρέθη, πῶς μεταχειρίσεται τὰ ἑξῆς, καὶ ἅμα προαναφωνῶν τὴν Τρωϊκὴν ἅλωσιν. (v. 20) Ὅτι τὸ «αἳ δ' ἐπέμυξαν Ἀθηναίη τε καὶ Ἥρη» ἀντὶ τοῦ μεμυκόσι χείλεσι ποιὸν ἦχον διὰ τῆς ῥινὸς ἀπετέλεσαν δυσχεραίνουσαι. ἔστι δὲ μύζειν, ὡς καὶ ὁ Κωμικὸς δηλοῖ, τὸ τὴν φωνὴν τοῦ μῦ στοιχείου ἐκφωνεῖν. ἐκ δὲ τοῦ μύζειν καὶ ὁ μυκτὴρ λέγεται καὶ ὁ μυγμὸς καὶ τὸ μυχθίζειν παρά τε Αἰσχύλῳ καὶ ἄλλοις. οὕτω δὲ καὶ ἀπὸ τοῦ ῥῶ παρηχεῖται ὁ ῥοῖζος καὶ ἀπὸ τοῦ σίγμα ὁ σιγμός.

1.695 [Ὅτι δὲ ἡ τοῦ μύζειν κίνησις καὶ τὴν μύτιν παράγει, ἧς χρῆσις ἐν τῷ Ἀθηναίῳ, ἔτι δὲ καὶ τὴν μύξαν, καὶ ἐν ἄλλοις δηλοῦται, καθὰ καὶ ὅτι μύξα οὐ μόνον περίττωμα τὸ ζωϊκόν, ἀλλὰ καί τις ἑτεροία, ἡ παρὰ τῷ Ὀππιανῷ γλαγόεσσα, καὶ ἡ τοῦ λύχνου δέ, ἣν καὶ μύκητά φαμεν, ἀφ' ἧς καὶ λύχνος δίμυξος παρά τινι Φιλυλλίῳ, ὥς φησιν ὁ αὐτὸς Ἀθήναιος.] (v. 21) Ὅτι σύντομα ὁμοιοτέλευτα ἐν τῷ «πλησίαι ἥσθην, κακὰ δὲ Τρώεσσι μεδέσθην», ἀντὶ τοῦ πλησίαι καθεζέσθην, κακὰ δὲ τοῖς Τρωσὶν ἐβουλευέσθην. καὶ ὅρα τὸ πλησίαι· ἀπὸ ἀρσενικοῦ γὰρ τοῦ ὁ πλησίος θηλυκὸν ἡ πλησία, οὗ πληθυντικὸν αἱ πλησίαι. (v. 22) Ὅτι ἐν τῷ «ἤτοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι εἶπεν» οὐκ ἔστι τὸ ἀκέων ἐπίρρημα ἀντὶ τοῦ ἡσύχως, ὡς Ἀριστόνικος βούλεται, ὁμοίως τῷ «ἀλλ' ἀκέων δαίνυσθε», ἀλλ' ἀντὶ τοῦ ἀκέουσα εἴρηται Ἀττικῶς. Ἀπολλώνιος γὰρ ἐν τῷ Περὶ μετοχῶν ἀποδείκνυσιν ἐκ τῆς συντάξεως ἀκριβέστατα, ὅτι οὐ δύναται εἶναι ἐπίρρημα μεσότητος. καινὸν οὖν γένος οὐ μόνον ἡ ὑλήεις Ζάκυνθος καὶ ὅσα τοιαῦτα, ἀλλὰ καὶ τὸ «ἀκέων Ἀθηνᾶ». τοιοῦτον κατά τινας καὶ παρὰ τῷ φιλομήρῳ Σοφοκλεῖ τὸ «κρυπτᾷ τ' ἀχέων ἐν ἥβᾳ», ἤγουν ἐν ἀφανεῖ ἀχέουσα ἥβῃ, ἡ Ἠλέκτρα δηλαδή. περὶ δὲ τοῦ ἀκέων δεδήλωται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Ἔστι δὲ τὸ «οὐδέ τι εἶπε» διασαφητικὸν τοῦ ἀκέων ἦν, ὃ ταὐτόν ἐστι τῷ ἀκήν, τῷ δηλοῦντι μὲν τὸ ἡσύχως, γινομένῳ δὲ ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ χαίνειν. ὅμοιον δὲ πρὸς τὸ «ἀκέων ἦν οὐδέ τι εἶπε» τὸ «ἀκὴν ἐγένοντο σιωπῇ». ἐνταῦθα δὲ ὅρα καί, ὅτι ἔστι ποτὲ σιγᾶν καὶ διὰ θυμὸν πολύν. Ἀθηνᾶ γοῦν σιωπᾷ νῦν σκυζομένη Διΐ πατρί, οὗ πρὸς διασάφησιν ἐπῆκται τὸ «χόλος δέ μιν ἄγριος ᾕρει», ὃς καὶ ἐπέχει τὴν λαλιὰν τῇ Ἀθηνᾷ ἢ κατὰ ἐγκοπὴν ἢ κατὰ εὐλάβειαν. (v. 23 s.) Σημείωσαι δ' ἐν τούτοις καί τινα καινὴν παρήχησιν τὸ «χόλος δέ μιν ἄγριος ᾕρει· Ἥρῃ δ' οὐκ ἔχαδε χόλον στῆθος».

1.696 παρηχεῖται γάρ πως τὸ ῥῆμα τὸ ᾕρει πρὸς τὸ Ἥρῃ κύριον ὄνομα. καὶ ζητητέον τὴν ὁμοιότητα ἐν τῇ α' ῥαψῳδίᾳ εἰς τὸ ἔδεισαν καὶ οὐκ ἔδησαν. Περὶ δὲ τοῦ σκύζεσθαι, [ἀφ' οὗ καὶ τὸ σκυδμαίνειν καὶ τὸ ἐπισκύνιον,] ῥηθήσεταί που ἐν τοῖς ἑξῆς. Τὸ δέ «οὐκ ἔχαδε» δηλοῖ μὲν τὸ οὐκ ἐχώρησε, καὶ γίνεται ἀπὸ τοῦ χῶ, τὸ χωρῶ, ἐξ οὗ καὶ χώρα καὶ χωρίον, ὅθεν παράγωγον τὸ χάζω καθ' ὁμοιότητα τοῦ σχῶ σχάζω, ἐξ οὗ τὸ «γῆρυν ἄφθογγον σχάσας», κλῶ κλάζω, κρῶ κράζω, βῶ βάζω, φῶ φάζω, ῥῶ ῥάζω, ἐξ οὗ ἐν Ὀδυσσείᾳ τὸ «ῥάσατε δ' ὕδωρ» καὶ «ἐρράδαται τοῖχοι», βρῶ βράζω καὶ τὰ ὅμοια μονοσύλλαβα. ἢ δὲ κατὰ μέσον παρακείμενον ἀναγνωστέον κέχαδεν ἢ κατὰ δεύτερον ἀόριστον ἔχαδε. Θρασεῖα δὲ ἡ Ἥρα καὶ ἐν τοῖς παροῦσιν, εἴπερ Ἀθηνᾶ μὲν ἡσύχως ἔχει πέττουσα τὸν χόλον ζέοντα ἔσω, αὐτὴ δὲ ὑπερεκβλύζει διὰ τοῦ στόματος, οἷα τοῦ στήθους μὴ στέγοντος, περὶ ὃ ζωπυρούμενος ἀνάπτεται κατὰ καιρὸν ὁ θυμός, καθὰ καὶ ἐν τῷ «τέτλαθι κραδίη» δηλοῦται καὶ ἐν τῷ τὸν Ἀχιλλέα διάνδιχα μερμηρίζειν ἐν λασίοις στήθεσι καὶ ἐν ἑτέροις πολλοῖς. ὡς ἐπὶ ἀγγείου δέ τινος εἴρηται τὸ «οὐκ ἔχαδε στῆθος χόλον», ἵνα εἴη νοεῖν, ὡς τῇ μὲν Ἀθηνᾷ τὸ στῆθος ἔστεγε τὸν χόλον, τῇ δὲ Ἥρᾳ ὑπερεξεχεῖτο, τουτέστιν ἡ μὲν οὐδὲν εἶπεν, ὡς ὁ ποιητὴς ἔφη, ἡ δὲ Ἥρα ἐξελάλησε. (v. 24 s.) διὸ ἐπάγει· «ἀλλὰ προσηύδα· αἰνότατε Κρονίδη» καὶ ἑξῆς, ὡς καὶ ἐν τῇ α' ῥαψῳδίᾳ κεῖται. (v. 26—8) Ὅτι βαρὺ τῇ Ἥρᾳ δοκεῖ, ἐὰν ἀτέλεστον ἱδρῶτα ἱδρώσῃ, κάμοιεν δὲ μάτην αὐτῇ οἱ ἵπποι λαὸν ἀγειρούσῃ κατὰ Πριάμου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦτο δὲ μυθικῶς μὲν ἡ Ἥρα ἐποίει πονουμένη ὑπὲρ τῶν Ἀχαιῶν διὰ τὴν κατὰ τοῦ Πάριδος μῆνιν.

1.697 ἄλλως δὲ ἡ βασιλικὴ αὐτὸ ἐξουσία ἐνεργοῦσα ἣν πρεσβευτικῶς, εἰς ἣν ἀλληγορεῖται ἡ Ἥρα, ὡς πολλαχοῦ δηλοῦται. ἰστέον δέ, ὅτι τὸ Ὁμηρικὸν τοῦτο χωρίον παρῳδηθὲν λεχθείη ἂν πρός τινος ἐν κενοῖς κοπιάσαντος, οἷον «πῶς ἐθέλεις ἅλιον θεῖναι πόνον ἠδ’ ἀτέλεστον ἱδρῶθ’, ὃν ἵδρωσα μόγῳ». εἰ δὲ καὶ πολιτικὸν εἴη τὸ ἔργον, ἁρμόσει ποτὲ καὶ τὸ ἑξῆς «καμέτην δέ μοι», ἢ ἔκαμον δέ μοι, «οἱ ἵπποι λαὸν ἀγείροντι». Τὸ δέ «πῶς ἐθέλεις ἅλιον θεῖναι πόνον» καὶ ἑξῆς, μετ’ ὀλίγα ἐκ πυσματικοῦ παραινετικῶς σχηματίζων Ὅμηρός φησιν· «ἀλλὰ χρὴ καὶ ἐμὸν θέμεναι πόνον οὐκ ἀτέλεστον.» (v. 26) Ἰστέον δὲ καί, ὅτι τοῦ ἅλιον πόνον ἐφερμηνευτικόν ἐστι τὸ ἀτέλεστον ἱδρῶτα. οὐκ ἄδηλον δέ, ὡς ἐπὶ ψόγῳ τῆς ναυτιλίας ἅλιον ἐκ τῆς ἁλὸς τὸ μάταιον εἴρηται, καὶ ὡς τὸ ἀτέλεστον καὶ ἀτελεύτητον λέγεται. αὐτὸ δὲ παρὰ Σοφοκλεῖ καὶ τὸν μὴ τελευτὴν ἐπάγοντα τοῖς ζητουμένοις δηλοῖ ἐν τῷ «ἄτεγκτος κἀτελεύτητος φανῇ». [Ἰστέον δὲ καί, ὅτι βλασφημίας μόριον παλαιός τίς φησι καὶ τὸ ἅλιος, ῥηθὲν παρὰ τὴν ἅλα, ἧς τὸ ὕδωρ εἰκαῖόν τι ἐδόκει πρὶν ἢ τὰς νῆας ἐφευρεθῆναι.] (v. 27) Ἀττικὸν δὲ συνήθως τὸ «ἱδρῶτα, ὃν ἵδρωσα», ὡς καὶ τὸ «δαίνυ δαῖτα» καὶ τὰ ἄλλα, ἐν οἷς συνεκφωνεῖται τῷ ῥήματι καὶ τὸ ἐξ αὐτοῦ ὄνομα. (v. 29 et 37 s.) Ὅτι ἐφ’ οἷς τις παραχωρεῖ δυσαρεστούμενος μέν, ἄκων δὲ ὑπενδιδούς, καλῶς ἂν ἐρεῖ τὸ τῆς Ἥρας, ἤγουν τὸ «ἔρδε, ἀτὰρ οὐ πάντες ἐπαινέομεν ἄλλοι». ὁμοίως καὶ τὸ τοῦ Διός· «ἔρξον, ὅπως ἐθέλεις, μὴ τοῦτό γε νεῖκος ὀπίσσω σοὶ καὶ ἐμοὶ μέγ’ ἔρισμα μετ’ ἀμφοτέροισι γένηται». (v. 29) Ἰστέον δέ, ὅτι τὸ ἔρξον ὅπως ἐθέλεις, περιφραστικὴ ἑρμηνεία ἐστὶ τοῦ ἔρδε, ὃ ἐλλιπῶς καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ κεῖται. ταὐτὸν δὲ νεῖκος καὶ ἔρισμα, ὅ ἐστιν ἔρις. Ὅρα δὲ τὸ ἔρδε καὶ τὸ ἔρξον διαφόρως ἐξ ἑνὸς θέματος προφερόμενα. προϋποκειμένου γὰρ τοῦ ῥέζω ῥέξω, εἶτα μεταθέσεως γενομένης, τὸ ἔρζω τροπῇ μὲν συνήθει τοῦ ζ εἰς δ ἔρδω γεγονὸς μένει ἄκλιτον, καθ’ αὑτὸ δὲ ὂν διὰ τοῦ ξ ἔχει τὸν μέλλοντα Δωρικώτερον, ἐξ οὗ τὸ ἔρξον.

1.698 καὶ ἄλλως δὲ τὸ ἔρξον δύναται ἀπὸ τοῦ ἔργω εἶναι, ἀφ’ οὗ τὸ ἔοργα. [Ὅρα δέ, ὅτι πρωτοτύπου μὲν ὄντος τοῦ ῥέζω, ὅπερ ἐστὶν ἐρρωμένως πράττω, ὡς ἐκ τοῦ ῥῶ μονοσυλλάβου ῥήματος, δευτερεύοντος δὲ τοῦ ἔρδω, χρῆσις ἐνταῦθα κεῖται ἀμφοῖν, τοῦ μὲν ἐν τῷ κακὰ ῥέζουσι, τοῦ δὲ ἐν τῷ ἔρδε.] (v. 31 s.) Ὅτι ὁ ἄγαν τινὶ θυμούμενος ἀκούσοι ἄν ποτε οἰκείως τὸ «δαιμόνιε, τί νύ σε κακὸν ῥέζω, ὅτ’ ἀσπερχὲς μενεαίνεις», ἤγουν τί σε κακοποιῶ, ὅτι πάνυ ἐπισπέρχεις, ἤτοι σπεύδεις, εἰς τὸ κατ’ ἐμοῦ μένος. Ἥρα δὲ τοῦτο ἀκούει ἐκ Διὸς δαιμονίη προσρηθεῖσα. Ἔστι δὲ ἀσπερχὲς τὸ πολυσπούδαστον, ὃ περισπερχὲς λέγει ὁ Σοφοκλῆς, κατ’ ἐπίτασιν καὶ αὐτός. ἁπλοῦν δὲ αὐτοῦ ῥητὸν οὐ τὸ σπερχές, ἀλλὰ τὸ σπερχνόν, ὅμοιον ὂν τῷ τερπνόν καὶ στεγνόν. (v. 34—6) Ὅτι θυμὸν θέλων ἐνδείξασθαι τῆς Ἥρας πάνυ πολὺν ὁ Ζεὺς φησίν. «εἰ δὲ σύ γε εἰσελθοῦσα πύλας καὶ τείχεα μακρὰ ὠμὸν βεβρώθοις Πρίαμον Πριάμοιό τε παῖδας ἄλλους τε Τρῶας, τότε κεν τὸν χόλον ἐξακέσαιο». ὁ δὲ λόγος ἁρμόσει ποτὲ παρῳδηθεὶς καὶ ἄλλοις προσώποις πάνυ θυμουμένοις, ὁποῖον καὶ τὸ εὐξάμενον ἔφεσιν αὐτῷ ἐγγενέσθαι ἥπατι ἀνθρώπου ἐμφῦναι ὥστε καταφαγεῖν. Σημείωσαι δέ, ὅτι ἀνωτέρω αἰνότατος ὑπὸ Ἥρας ὁ Ζεὺς ὀνειδισθεὶς ἀντισκώπτει ἄρτι αὐτὴν εἰς ἄκραν ἀπήνειαν, δι’ ἣν ὠμὸν ἂν φάγοι τὸν Πρίαμον καὶ τοὺς περὶ αὐτόν. (v. 36) Ὅρα δὲ καὶ τὸ «χόλον ἐξακέσαιο». νόσος μὲν γὰρ οἷον τὸ χολοῦσθαι, τὸ δὲ παύσασθαι τοῦ χόλου ἀκέσασθαί ἐστι. (v. 35) Τοῦ δὲ βεβρώθοις τὸ θέμα βεβρώθω, γενόμενον κατὰ ἀναδιπλασιασμὸν ἐκ τοῦ βρῶ, καθὰ ἐκ τοῦ κλῶ τὸ κλώθω. (v. 39) Ὅτι τὸ «ἐνὶ φρεσὶ βάλλεο σῇσιν» ἀντὶ τοῦ ἐπιτυχῶς θὲς εἰς νοῦν. δῆλον δέ, ὡς διαφέρει τὸ βαλέσθαι τοῦ βαλεῖν. (v. 39—54) Ὅτι ἀντιπαραχωροῦσιν ἀλλήλοις βιωτικώτερον θελημάτων τινῶν Ζεύς τε καὶ Ἥρα, ἵνα μὴ τὴν συζυγίαν τῇ φιλονεικίᾳ διϊστῶσι. ῥητορικωτάτη δὲ ἡ σκευωρία τοῦ λόγου. ὁ μὲν γὰρ Τροίαν, ἣν μίαν, ὥς φησιν, ἔχει, χαρίζεται, ἡ δὲ ἀντὶ μιᾶς τρεῖς αὐτῷ προΐεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.699 δοκεῖ δὲ ἐνταῦθα μαντικώτερον παραλαλεῖν ὁ ποιητὴς τὴν τῆς Μυκήνης ἀπώλειαν, ἣν ἐκ τῶν ῥηθεισῶν τριῶν κακῶς παθοῦσαν καὶ Ἀριστοτέλης ἱστόρησε. Φέρεται δὲ ἱστορία καί, ὅτι Περσεὺς μὲν αὐτὰς ἔκτισεν, ἐταπεινώθησαν δὲ μετὰ τὰ Τρωϊκά, ὕστερον δὲ κατεσκάφησαν ὑπὸ Ἀργείων, ὡς μηδὲ ἴχνος, φασί, Μυκήνης εὑρίσκεσθαι. Ἔχει δ' ὁ τόπος οὗτος καὶ αὔξησιν χαρίτων. Ζεὺς μὲν γὰρ οὐχ' ἁπλῶς πόλιν προϊέσθαι λέγει, ἀλλ' ἣν ἐτίμα πασῶν μάλιστα πόλεων τῶν ὑπ' οὐρανόν, προσθεὶς καὶ αἰτίαν τὸ αὐτόθι ἐνδελεχὲς τῶν θυσιῶν. Ἥρα δέ φησι καὶ αὐτή, ὅτι οὐ τῶν τυχόντων ὑπεξίσταμαί σοι, ἀλλὰ τῶν φιλτάτων. Σημείωσαι δέ, ὅτι ψεύδεται ὁ Ζεὺς ἐνταῦθα φανερῶς, νόμῳ ῥητορικῷ αὔξων τὴν χάριν. ὅτι γὰρ οὐχ' οὕτως ἐκθύμως τὴν Τροίαν φιλεῖ, δηλοῖ ὁ Ποσειδῶν ἐν τῷ· «ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων». καὶ εἰκότως· ἐπιώρκησαν γάρ. (v. 40—9) Φράζει δ' ἐν τούτοις ὁ ποιητὴς οὕτω· «ὁππότε κεν καὶ ἐγὼ μεμαὼς πόλιν ἐξαλαπάξαι τὴν ἐθέλω, ὅθι τοι φίλοι ἀνέρες ἐγγεγάασι, μή τι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλά μ' ἐᾶσαι· καὶ γὰρ ἐγώ τοι δῶκα ἑκὼν ἀέκοντί γε θυμῷ. αἳ γὰρ ὑπ' ἠελίῳ τε καὶ οὐρανῷ ἀστερόεντι ναιετάουσι πόληες ἐπιχθονίων ἀνθρώπων, τάων μοι περὶ κῆρι», τουτέστι τούτων μοι περισσότερον ἐν τῇ ψυχῇ, «τιέσκετο Ἴλιος ἱρὴ καὶ Πρίαμος καὶ λαὸς ἐϋμελίω Πριάμοιο· οὐ γάρ μοί ποτε θυμὸς ἐδεύετο δαιτὸς ἐίσης», τῆς τῶν θυόντων δηλαδή, «λοιβῆς τε κνίσσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς». καὶ ταῦτα μὲν τὰ τοῦ μυθικοῦ Διός. (v. 50—61) Ἡ δὲ Ἥρα «ἤτοι ἐμοί», φησί, «τρεῖς μὲν πολὺ φίλταταί εἰσι πόληες, Ἄργος τε Σπάρτη τε καὶ εὐρυάγυια Μυκήνη», ὧν ἐκ τοῦ Ἄργους καὶ Ἀργεία λέγεται. «τάων οὔ τι ἐγὼ πρόσθ' ἵσταμαι οὐδὲ μεγαίρω τὰς διαπέρσαι, ὅταν τοι ἀπέχθωνται περὶ κῆρι. εἴ περ γὰρ φθονέω τε καὶ οὐκ εἰῶ διαπέρσαι, οὐκ ἀνύω φθονέουσα, ἐπειὴ πολὺ φέρτερός ἐσσι· ἀλλὰ χρὴ καὶ ἐμὸν θέμεναι πόνον οὐκ ἀτέλεστον· καὶ γὰρ ἐγὼ θεός εἰμι, γένος δέ μοι» καὶ ἑξῆς. (v. 40) Ἰστέον δέ, ὅτι ἐν τοῖς ῥηθεῖσι τὸ μεμαώς ταὐτόν ἐστι τῷ μισῶν περὶ κῆρι, οὗ παθητικὸν τὸ ἀπέχθωνται περὶ κῆρι. (v. 41) Τὸ δέ «πόλιν, ὅθι τοι φίλοι ἀνέρες ἐγγεγάασι» περίφρασίς ἐστι τοῦ πόλιν φιλουμένην σοι. (v. 42) Τὸ δέ «μή τι διατρίβειν τὸν ἐμὸν χόλον, ἀλλά μ' ἐᾶσαι» θυμούμενός τις εἴποι ἂν πρὸς τὸν οὐ κατὰ καιρὸν μεσιτεύοντα εἰς παῦσιν θυμοῦ. ἔστι δὲ διατρίβειν τὸ παρατείνειν καὶ ὑπερβιβάζειν. οὕτω καὶ ἡ Πηνελόπη διατρίβειν λέγεται τοῖς μνηστῆρσι τὸν γάμον. (v. 43) Τὸ δέ «ἐγώ τοι δῶκα» ἢ ἀπολύτως ἀντὶ τοῦ παρεχώρησα ἢ ἀντὶ τοῦ ἐδωρησάμην σοι πόλιν φίλην μοι, τὴν Τροίαν δηλαδή, ὡς προϊὼν αὐτὸς ἑρμηνεύσει. Τὸ δέ «ἑκὼν ἀέκοντί γε θυμῷ» ἔπεσε μὲν εἰς κοινὴν παροιμίαν τήν «ἑκὼν ἀέκων τόδε τι πεποίηκα», [δι' ἧς βοηθοῖτ' ἂν καὶ τὸ «ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος», ὃ δὴ πικρῶς λογιστεύει ὁ Κωμικός.

1.700 ] Πάνυ δὲ ἀκριβῶς ἔχει τὸ Ὁμηρικὸν καὶ οὐ πάσχει ἀντίφασιν, ὡς δῆθεν ἀδύνατον ὂν συνυπάρχειν τὸ ἑκών καὶ τὸ ἀέκοντι θυμῷ. δῆλον γάρ, ὡς πολλάκις μὴ προηγησαμένης προαιρέσεως γίνεταί τι, ὃ πῇ μὲν ἐθέλομεν, πῇ δὲ οὔ. οὕτω καὶ οἱ τὰ φορτία ἐν κλύδωνι ἀποβάλλοντες πὼς μὲν ἀέκοντες δρῶσι—τῷ δέει γὰρ τοῦ κινδύνου. —πὼς δὲ ἑκόντες. —ἵνα γὰρ σωθῶσι. —καὶ ἑκόντες μὲν ἀποβάλλουσιν, ἄκοντες δὲ ζημιοῦνται. Ἰστέον δέ, ὡς ὁ μὲν Ὁμηρικὸς Ζεὺς συντόμως τε καὶ ἀσαφῶς τὸ ῥηθὲν ἔφρασεν, ἡ δὲ Ἥρα διασαφεῖ τὸ νόημα εἰποῦσα περὶ τῶν ἑαυτῆς πόλεων, ὅτι τούτων ἐγὼ οὐ προΐσταμαι οὐδὲ μεγαίρω. εἴπερ γάρ, ὡς καὶ προεγράφη, φθονῶ καὶ οὐκ ἐῶ διαπέρσαι, οὐκ ἀνύω φθονέουσα, ἐπεὶ πολὺ φέρτερος εἶ. ἰδοὺ γὰρ καὶ αὐτὴ ἑκοῦσα καὶ ἄκουσα συντίθεται τῷ τοῦ Διὸς θελήματι. καθὸ μὲν γὰρ οὐ προΐσταται τῶν ἑαυτῆς πόλεων, ἑκοῦσα ἐκχωρεῖ, ἄλλως δὲ ἀέκουσα διὰ τὸ μηδὲν ἀνύειν, ἐὰν καὶ φθονῇ. τοῦτο δὲ καὶ ἄλλοι πάθοιεν ἂν καὶ εἴποιέν ποτε τοῖς αὐτῶν εἴκοντες κρείττοσιν. οἷος καὶ Τηλέμαχος, ὃς εἴκει μὲν τοῖς μνηστῆρσι, λέγει δέ· «ἦ τ' ἂν ἀμυναίμην, εἴ μοι δύναμίς γε πάρεστι». (v. 44) Τὸ δέ «ὑπὸ ἠλίῳ» ὑφ' ἥλιον ὡς ἐπὶ πολὺ γράφουσιν οἱ μεθ' Ὅμηρον. οὕτω δὲ καὶ τὸ ὑπ' οὐρανῷ ὑπ' οὐρανόν. Ἀττικὴ δὲ ἡ ῥηθεῖσα Ὁμηρικὴ φράσις, ὁμοία τῷ ὑπὸ διδασκάλῳ εἶναι καὶ ὑφ' ἡγεμόνι τάττεσθαι καὶ ὑπὸ σκότῳ πράττεσθαι. Τὸ δέ «καὶ οὐρανῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀστερόεντι» παρέλκειν δοκεῖ ἁπλοϊκῶς οὕτω παραρριφέν, ὡς ἐν βιωτικῇ ὁμιλίᾳ· ἤρκει γὰρ καὶ μόνον τὸ «αἵ ὑπὸ ἠλίῳ εἰσὶ πόλεις». πάντως γὰρ αἱ ὑπὸ ἡλίῳ καὶ ὑπὸ οὐρανῷ εἰσιν. οὕτω δὲ καὶ ἐν τῷ πόληες περιττεύει τὸ «ἐπιχθονίων ἀνθρώπων» καὶ οὐκ ἀναγκαίως κεῖται. Ἀστερόεις δὲ οὐρανὸς πρὸς διαστολὴν ὁμωνυμίας, ὡς οὐρανοῦ ποτε καὶ τοῦ ἀέρος λεγομένου. (v. 46) Ἴλιος δὲ νῦν ἱερὰ οὐ μόνον προσηγορικῶς τῷ κοινῷ λόγῳ τῶν πόλεων, ἀλλὰ καὶ διὰ τὰ ἐνταῦθα ἱστορηθέντα ἐνδελεχῆ θύματα, [ὧν δηλωτικὰ σὺν ἄλλοις καὶ τὰ Ἰλίεια, ἑορτὴ ἐγχώριος ἐπώνυμος τῇ Ἰλίῳ. Τούτων δὲ ἡ παραλήγουσα γραφομένη διὰ τῆς ει διφθόγγου, ἀνομοίως τῷ Ὀλύμπια, Πύθια, Ἴσθμια, Διάσια, Διονύσια καὶ τοῖς τοιούτοις, αἰτιολογηθήσεται μὲν καὶ ἐν τοῖς ἑξῆς, ὅπου ἀνακύψει τὸ «Ἤλιδι δίῃ». καὶ ἄρτι δὲ ῥητέον, ὅτι ἔχει ἀναλογίαν ἐξ ἀφορμῆς πρωτοτύπου ἡ διὰ τῆς ει διφθόγγου γραφὴ τοῦ Ἰλίεια.

1.701 ὡς γὰρ εὐλόγως ἐκ τοῦ Ἥρα γίνεται προσλήψει τοῦ ἰῶτα τὰ ἐξ αὐτῆς Ἥραια, ἡ ἑορτή, καὶ ἐκ τοῦ Ἀθηνᾶ τὰ Ἀθήναια καὶ ἐκ τοῦ ἑκατόμβη Δωρικῇ τροπῇ καὶ προσλήψει τοῦ ι τὰ Ἑκατόμβαια, ἔτι δὲ ἀναλογώτερον εἰπεῖν, ἐκ τοῦ Ἡρακλῆς Ἡρακλέος τὰ Ἡράκλεια καὶ μᾶλλον ἐκ τοῦ Διομεύς, Ζεύς, Διομέως τὰ Διόμεια, οὕτως ἴσως καὶ ἐκ τοῦ Ἰλιεύς Ἰλιέως τὰ Ἰλίεια. (v. 48) Ὅτι δὲ αἱ συχναὶ Ἰλιακαὶ θυσίαι ἀναγκαίως ἐπὶ κακοῖς πυκνοῖς προηγουμένοις ἐγίνοντο, δηλοῖ καὶ παροιμία λέγουσα τὸ «ἀεὶ Ἰλίῳ κακά», λεχθεῖσα μὲν ἐπί τινι κακῷ ὑστερογενεῖ, οὐκ ἀπᾴδουσα δὲ οὐδὲ πρὸς τὰ Ὁμηρικά. ἡ δὲ αὐτὴ προγενεστέρα ἐστὶ τοῦ «κακῶν Ἰλιάς», ἢ ἀνάπαλιν, αὕτη πρὸ ἐκείνης εἴρηται, ὡς τά γε ἄλλα μιᾶς ἐννοίας εἰσὶν ἀμφότεραι.] Ὅτι δὲ θηλυκῶς εἴωθεν Ὅμηρος προφέρειν τὴν Ἴλιον, ἅπαξ που αὐτὴν κατὰ οὐδέτερον γένος εἰπὼν ἐν τῷ «Ἴλιον αἰπὺ ἕλοιεν Ἀθηναίης διὰ βουλάς», δηλοῦται καὶ ἀλλαχοῦ. (v. 47) Τὸ δὲ ἐϋμελίω συνεκόπη ἀπὸ Ἰωνικοῦ τοῦ ἐϋμελίεω, ὡς καὶ τὸ «Βορέω ὑπ' ἰωγῇ» ἀπὸ τοῦ Βορέεω, καὶ τὸ Ἑρμείω ἀπὸ τοῦ Ἑρμείεω, καθάπερ εἴρηται καὶ ἐν τῷ «Ἀσίῳ ἐν λειμῶνι». (v. 49) Τὴν δὲ κνίσσαν πολλὰ τῶν ἀκριβῶν ἀντιγράφων δι' ἑνὸς ς γράφουσιν ἐκτάσει τῆς παραληγούσης καὶ ἀρέσκεται οὕτω καὶ Ἡρωδιανός, ὡς καὶ ἀλλαχοῦ δηλοῦται πλατύτερον. Τὸ δέ «τὸ γὰρ λάχομεν γέρας ἡμεῖς» σχῆμά ἐστιν Ὁμήρῳ σύνηθες, ὡς δηλοῖ σὺν ἄλλοις καὶ τὸ «τὸ γὰρ γέρας ἐστὶ γερόντων» καὶ «τὸ γὰρ γέρας ἐστὶ θανόντων». δικαιοσύνης δὲ καὶ τῆς κατ' αὐτὴν ἰσότητος δηλωτικὸν τὸ ἐλάχομεν, ὡς πολλαχοῦ φαίνεται. (v. 54) Τὸ δέ «πρόσθεν ἵσταμαι» ὅμοιόν ἐστι τῷ προΐσταμαι. δῆλον γάρ, ὡς ὁ πρόσθεν τινὸς ἱστάμενος προΐσταται ἐκείνου. (v. 55) Τὸ δὲ φθονεῖν ταὐτὸν μὲν κατὰ πολυωνυμίαν τῷ μεγαίρειν, σαφέστερον δὲ ἐκείνου. διὸ δὶς ἐνταῦθα τῇ τοιαύτῃ λέξει ὁ Ζεὺς ἐχρήσατο. ἔστι δὲ νῦν φθονεῖν τὸ μέμφεσθαι καὶ ἐμποδίζειν, ὡς καὶ ἐν Ὀδυσσείᾳ. Ὅτι δὲ καὶ ἄλλως ἡ ποίησις καὶ οἱ ποιητικώτεροι τῶν Ἱστορικῶν φθονερὸν τὸ θεῖόν φασι φῦλον, δηλοῖ καὶ Ἡρόδοτος, ὃ καὶ ἀλλαχοῦ παρασεσημείωται. Ὅρα δὲ καί, ὅτι τὸ μεγαίρειν ἑρμηνεύων ἐπήγαγεν· «εἴ περ γὰρ φθονέω» καὶ ἑξῆς. Ἰστέον δὲ καί, ὅτι ὁ μὴ δυνάμενος μὲν ἀντιστῆναί τινι δυνατῷ ἐμποδίζοντι, δυσωπῶν δὲ τυχεῖν οὗ θέλει, εὐκαίρως ἂν παρῳδήσας εἴποι τὸ «οὔ τοι ἐγὼ πρόσθεν ἵσταμαι οὐδὲ μεγαίρω· εἴπερ γὰρ φθονέω, οὐκ ἀνύω φθονέων, ἐπεὶ πολὺ φέρτερός ἐσσι· ἀλλὰ χρὴ καὶ ἐμὸν θεῖναι λόγον ἢ πόνον οὐκ ἀτέλεστον· καὶ γὰρ ἐγὼ τοιόσδε εἰμί».

1.702 (v. 58—61) Ὅτι ἀξιοῖ Ἥρα τιμᾶσθαι [οὐ μόνον, ἐπειδὴ θεός ἐστιν, ἀλλὰ καὶ] διὰ τὸ τοῦ αὐτοῦ εἶναι γένους τῷ Διΐ, λέγουσα οὕτω· «γένος δέ μοι ἔνθεν ὅθεν σοί· καί με πρεσβυτάτην», ὅ ἐστι τιμιωτάτην, «τέκετο Κρόνος ἀγκυλομήτης, ἀμφότερον γενεῇ τε καὶ οὕνεκα σὴ παράκοιτις κέκλημαι, σὺ δὲ πᾶσι μετ' ἀθανάτοισιν ἀνάσσεις», ὡς οἷον συλλογιστικῶς τὸν λόγον τοῦτον περαίνουσα. αὐτὴ γὰρ Διός, ὁ Ζεὺς δὲ τίμιος. καὶ αὐτὴ ἄρα τιμία. [Ἰστέον δέ, ὅτι τὸ «γένος δέ μοι ἔνθεν ὅθεν σοι» περίφρασίς ἐστι τοῦ ἀδελφή σοί εἰμι.] (v. 60) Τὸ δὲ ἀμφότερον ὡς ἐπίρρημα καὶ νῦν εἴληπται, καθὰ καὶ ἐν τῷ «ἀμφότερον βασιλεύς τ' ἀγαθὸς καὶ αἰχμητής», ἵνα λέγῃ, ὅτι ἀμφοτέρωθεν ἔχω τὸ πρεσβεῖον ὡς καὶ εὐγενὴς καὶ σὴ ἄλοχος. δῆλον δέ, ὡς τὴν ἄκοιτιν ἡ μὲν

ποιητικὴ πολυφωνία καὶ ἄλοχον λέγει καὶ ὁμόλεκτρον καὶ ἀνδρὸς εὔνιδα, ἡ δὲ κοινὴ λαλιὰ σύνευνον. (v. 61) Τὸ δὲ κέκλημαι οὐκ ἐνδοιασμὸν δηλοῖ, ἀλλ' ἀντὶ τοῦ εἰμί κεῖται, ἵνα λέγῃ, ὡς οὐ ψεύδομαι εἶναι σή, ἀλλ' ὑπὸ πάντων οὕτω καλοῦμαι. εἰς δέ γε ἀλληγορίαν πάνυ χρήσιμος ἡ λέξις. οὐ γάρ ἐστιν ὁ ἀὴρ αἰθέρος ἄκοιτις, ἀλλὰ καλεῖται τοῦτο ἀλληγορικῶς. (v. 62 s.) Ὅτι φιλικῆς ἐνδόξων προσώπων ἀντιπαραχωρήσεως τὸ «ἀλλ' ἤτοι μὲν ταῦθ' ὑποείξομεν ἀλλήλοισι, σοὶ μὲν ἐγώ, σὺ δ' ἐμοί· ἐπὶ δ' ἕψονται ἄλλοι». (v. 66) Ὅτι τὸ πειρᾶν ἐνεργητικῶς Ἀττικοὶ ἐπὶ τῆς εἰς γυναῖκα ἐπιχειρήσεως λέγουσιν, οἷον πειρᾷ ὁ δεῖνα τὴν δεῖνα. τὸ δὲ πειρᾶσθαι παθητικὸν ἀντὶ τοῦ ποιεῖσθαι ἀπόπειραν. Ὅμηρος μέντοι τὸ πειρᾶσθαι πειρᾶν ἐνταῦθά φησιν ἐνεργητικῶς, εἰδὼς καὶ τὴν παθητικὴν χρῆσιν ἔν τε τῷ «νῦν μὲν πειρᾶται» καὶ ἐν τῷ «εἰ δ' ἄγε μὴν πείρησαι» καὶ ἀλλαχοῦ. καὶ Θουκυδίδης δὲ τῶν τειχῶν ἡμῶν πειρᾶν λέγει καὶ «πειραθεὶς ὁ Ἁρμόδιος». χρῆσις δὲ νῦν τοῦ πειρᾶν αὕτη· «πειρᾶν δ', ὥς κεν Τρῶες ὑπερκύδαντας Ἀχαιοὺς ἄρξωσι πρότεροι ὑπὲρ ὅρκια δηλήσασθαι». προαναφωνητικὴ δὲ αὕτη ἔννοια ἐκτιθεμένη, ὅπως διασκευασθήσεται τὰ ἐφεξῆς ὑπὸ Ἀθηνᾶς, ἣν στελεῖ ὁ Ζεὺς διὰ τὴν Ἥραν ἐπὶ συγχύσει τῶν ὅρκων, τουτέστιν, ἣν ὁ Ὁμηρικὸς νοῦς φρονίμως προβαλεῖται εἰς πιθανότητα τῶν μελλόντων ἱστορηθῆναι.

1.703 καὶ τοῦτο μὲν οὕτως. Ὁ δὲ τονικὸς κανὼν τοῦ ὑπερκύδαντας τοιοῦτός ἐστι παρὰ τοῖς παλαιοῖς· τὰ εἰς δας ὑπὲρ δύο συλλαβὰς ἰσοσυλλάβως κλίνεται, οἷον Τιμαχίδας Τιμαχίδα, Σουΐδας Σουΐδα, Λεωνίδας Λεωνίδα, Χαρμίδας Χαρμίδα, χωρὶς εἰ μὴ ἀπὸ βαρυτόνων ῥημάτων γίνεται· ἐκεῖνα γὰρ διὰ τοῦ ντ περιττοσυλλαβῶς κλίνεται, οἷον οἶδα ῥῆμα, ἐξ οὗ Οἴδας Οἴδαντος, μείδω Μείδας Μείδαντος, χαρίζομαι Χαρίδας Χαρίδαντος, φείδομαι Φείδας Φείδαντος. τούτων οὕτως ἐχόντων δοκεῖ καὶ τὸ ὑπερκύδαντες, ὃ δηλοῖ τοὺς ἄγαν ἐνδόξους, ἀπὸ βαρυτόνου ῥήματος γεγονός, τοῦ κυδαίνω, συνεκδραμεῖν τῇ κλίσει τῶν κυρίων ὀνομάτων, ἢ καὶ ἄλλως, γενέσθαι ἐκ τοῦ κυδάεις κυδάεντος, κυδάεντες, κύδαντες κατὰ συγκοπήν, καὶ ἐν συνθέσει ὑπερκύδαντες. Ἡρωδιανὸς δὲ ἐν Ἐπιμερισμοῖς μετοχὴν λέγει τοῦτο ἀπὸ τοῦ κυδάναντες. ἐν δὲ τῷ Ὀνοματικῷ ὄνομα λέγει εἶναι αὐτό. ᾧ καὶ πιστευτέον, ὥς φασιν οἱ παλαιοί, ἤπερ τοῖς Ἐπιμερισμοῖς. τοῦτο μὲν γὰρ Ἡρωδιανοῦ εἶναι ὡμολόγηται, ἐκείνων δὲ εἰσὶν οἳ ψευδεπίγραφοι λέγονται. (v. 67) Δηλήσασθαι δὲ ὅρκια περιφραστικῶς τὸ ἐπιορκῆσαι, ὅπερ ἐστὶ βλάβη ὅρκων. ὡς γὰρ καρπὸν δηλεῖταί τις ἀπάγων ἐκεῖνον, ὡς ἡ α' ῥαψῳδία προεδήλωσεν, οὕτω καὶ ὅρκου δηλητήριον ὁ ἀφανισμὸς καὶ τὸ αὐτοῦ ἄπρακτον. ἔστι δ' ἐν τούτοις καὶ προθέσεως ἔλλειψις. τὸ γὰρ Ἀχαιοὺς ἄρξωσι καὶ ἑξῆς ταὐτόν ἐστι τῷ ἀρχὴν ποιήσωσιν εἰς τοὺς Ἀχαιοὺς τοῦ παραβαθῆναι τοὺς ὅρκους. τὸ δὲ ῥῆμα τοῦτο καὶ παθητικῶς εἴωθε λέγεσθαι καὶ μετὰ προθέσεως δέ ποτε, εἴτε τῆς κατά, εἴτε τῆς ὑπό. ἐπὶ μέντοι ἀρχικῆς ἐξουσίας ἀεὶ καὶ ἐνεργητικῶς προφέρεται καὶ δίχα προθέσεως. (v. 68) Ὅτι καὶ ἐνταῦθα καὶ πανταχοῦ, ὥς που καὶ προεγράφη, παρὰ τῷ ποιητῇ τὸ ἀπιθεῖν διὰ τοῦ ι γράφεται, ὡς ἀπὸ τοῦ πιθῶ περισπωμένου μέλλοντος. γράφει γοῦν δακτυλικῶς· «οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε», ἤγουν ὁ πάντων αἴτιος. ὡς γὰρ βωτιάνειρα μὲν γῆ πρὸς μέρος ἡ ἄνδρας τρέφουσα, καθόλου δὲ ἡ παμβῶτις γῆ, ὡς καὶ προδεδήλωται, οὕτω καὶ πατὴρ μὲν ἀνδρῶν καὶ θεῶν κατά τι μέρος, ὅτι μηδὲ σεμνὸν ἦν πατέρα τινῶν ἑτέρων αὐτὸν προσρηθῆναι, εἰς τὸ καθόλου δὲ ὁ πάντων ἐπιτελεστὴς κατὰ τὸ «σέο δ' ἐκ τάδε πάντα πέλονται».

1.704 (v. 75—9) Ὅτι ἐν μὲν τῇ α' ῥαψῳδίᾳ τὴν Ἀθηνᾶν εἶπε κατελθεῖν οὐκ ἐνσώματον. διὸ οὐδὲ ἔβλεπέ τις αὐτὴν ἀλλ' ἢ μόνος Ἀχιλλεύς. ἐνταῦθα δὲ ἀστέρι εἰκασθεῖσα εἰς τὸ μέσον κατέθορεν, ἤτοι εἰς τὸ μεταίχμιον. φησὶ γάρ· «οἷον δ' ἀστέρα ἧκε Κρόνου παῖς», ἤγουν ὁ Ζεὺς ἀὴρ ἔπεμψεν, «ἢ ναύτῃσι τέρας ἠὲ στρατῷ εὐρέϊ λαῶν, λαμπρόν, τοῦ δέ τε πολλοὶ ἀπὸ σπινθῆρες ἵενται, τῷ», ἤγουν τούτῳ, «εἰκυῖα ἤϊξεν ἐπὶ χθόνα Παλλὰς Ἀθήνη, κὰδ δ' ἔθορ' ἐς μέσον, θάμβος δ' ἔχεν εἰσορόωντας», Τρῶάς τε καὶ Ἀχαιούς, ὃ δὴ πάσχειν ἔθος τοὺς ὁρῶντας τέρατα. οἰκείως δὲ ἡ

φωσφόρος Ἀθηνᾶ τοιούτῳ εἴκασται [παραβολικῶς· εἰ γὰρ καὶ μὴ πρόκειται παραβολικόν τι ἐπίρρημα, οἷον τὸ ὡς ἢ τὸ ἠΰ, ἠΰτε, ἤ τι τοιοῦτον, ἀλλ᾽ ἡ κατὰ τὸν εἰρημένον ἀστέρα ἔννοια παραβολική ἐστιν ἄλλως, ὡς δηλοῖ καὶ τὸ «τῷ εἰκυῖα ἤϊξεν», ἤγουν ὁμοιουμένη λόγῳ παραβολῆς. διὸ καὶ εἶχεν εἰπεῖν ὡς ἐν παραβολῇ· ὡς δ᾽ ὅτε ἀστὴρ πίπτει ἄνωθεν τοιόσδε, ὧς ἤϊξεν Ἀθηνᾶ ἐπὶ χθόνα.] (v. 75) Ἀστέρα δὲ νῦν οὐ τὸν κυρίως λέγει, ἀλλά τι ἀστεροειδές, οἷον κομήτην ἢ σκηπτοῦ τι εἶδος ἢ ὁποῖοι οἱ διᾴττοντες, ὧν ἡ γένεσις ἀέρος στροφή. διὸ καὶ ἀνέμους ὡς ἐπὶ πολὺ δηλοῦσι διὰ ἀέρος τροπάς. τὸ δὲ τοιοῦτον ἀστεροειδὲς ἐκ παρατηρήσεως τερασκόπων τέρας λέγει εἶναι ἢ ναύταις, εἰ ἐν θαλάσσῃ δηλαδὴ πέσῃ ἢ στρατῷ, ἐὰν εἰς στρατόπεδον κατενεχθῇ, ὡς καὶ νῦν ἐγένετο. σπινθῆρες δὲ αὐτοῦ πολλοὶ ἵενται, πρὶν κάτω ἐλθόντα ὁμιλῆσαι ἀέρι ψυχρῷ. τότε γὰρ σβέννυται. (v. 81—4) Ἰστέον δέ, ὅτι οἱ θεαταὶ ἀμφιβάλλοντες, ὡς εἰκός, ἐπὶ τῷ φανέντι τέρατι, διὰ μὲν τὸ πυρόεν τοῦ δῆθεν ἀστέρος μάχην καυστειρὰν ὑφορῶνται, ὅτι δὲ ἔσβεσται, φιλότητα καραδοκοῦσι καὶ παῦσιν πολέμου. Φησὶ γάρ· «ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον», ὃ δὴ σχῆμά ἐστιν Ὁμηρικὸν ἐν ταῖς καθ᾽ ὅμιλον ἠθοποιΐαις. «ἦ ῥ᾽ αὖτις πόλεμός τε κακὸς καὶ φύλοπις αἰνὴ ἔσσεται, ἢ φιλότητα μετ᾽ ἀμφοτέροισι τίθησι Ζεύς, ὅς τ᾽ ἀνθρώπων ταμίης πολέμοιο τέτυκται;» ἤγουν ὃς λόγῳ εἱμαρμένης διοικονομεῖται τὰ κατὰ μάχην.

1.705 Σημείωσαι δὲ τὸ ταμίης ὡς χρήσιμον εἰς τοὺς ἐν τῷ τέλει τῆς Ἰλιάδος πίθους, οἳ κατάκεινται ἐν Διὸς οὔδει. ἔστι γὰρ νοῆσαι, ὡς ἐν τοῖς τοιούτοις πίθοις καὶ τὰ ἐκ πολέμου ἀγαθὰ καὶ κακὰ ταμιεύονται. Ἰωνικὸν δὲ τὸ ταμίης, καθὰ καὶ τὸ κυματίης ποταμός. (v. 75) Ἰστέον δὲ καὶ νῦν, ὅτι ἀστὴρ μὲν ἕν τί ἐστι σῶμα, ἄστρον δὲ ζῴδιόν τι ἐκ πολλῶν ἀστέρων συγκείμενον, ὡς μυριαχοῦ φαίνεται, ἵνα ᾖ, καθὰ καὶ προδεδήλωται, ὡς περιεκτικόν τι καὶ τὸ ἄστρον, καθὰ καὶ ὁ παρ᾽ Ὁμήρῳ ἀσφοδελὸς λειμών, ὁ τῶν καθέκαστα ἀσφοδέλων περιεκτικός. διὸ καὶ Εὐριπίδης τὸν ἥλιον τὴν ἐν ἄστροις οὐρανοῦ τέμνειν ἔφη ὁδόν, τὴν διὰ τῶν ζῳδίων οὕτω κίνησιν φράζων, ὧν ἕκαστον ἐκ διαφόρων ἀστέρων καὶ ἀστρίων διεζωγράφηται. [(v. 79) Ὅρα δέ, ὅτι, ὡς καὶ ἐν ἄλλοις, οὕτω κἀνταῦθα μέσον τὸ μεταίχμιον εἴρηκε, καὶ ὅτι θάμβος ἡ διὰ θέας ἐμβιβαζομένη ἔκπληξις εἰς ψυχήν. διὸ καὶ ἔφη· «θάμβος δ᾽ ἔχεν εἰσορόωντας». τὸ δ᾽ ὅμοιον νοητέον καὶ ἐπὶ τοῦ θαμβεῖν.] (v. 86 ss.) Ὅτι Ἀντηνορίδῃ Λαοδόκῳ ἡ Ἀθηνᾶ ὁμοιωθεῖσα, κρατερῷ αἰχμητῇ ἀνδρί, ὡμίλησε τῷ Πανδάρῳ. καὶ ἔοικεν οὗτος ὁ Λαοδόκος ἀναπεῖσαι νῦν τὸν Πάνδαρον ὀϊστεῦσαι κατὰ τοῦ Μενελάου ἐπὶ συγχύσει τῶν ὅρκων. καὶ καινὸν οὐδέν, εἰ παῖς πατρὸς ἀγαθοῦ νόμους ἐνταῦθα παρέβη ξενίας. «παῦροι γὰρ παῖδες ἐοίκασι πατράσιν, οἱ πλείονες κακίους» φησὶν Ἡσίοδος. ὅτι δὲ ἀγαθὸς ὁ τοῦ Λαοδόκου πατὴρ Ἀντήνωρ καὶ ὅτι προεξένησεν Ὀδυσσέως καὶ Μενελάου, ἐν τῇ γ′ ῥαψῳδίᾳ γέγραπται. (v. 87) Ἰστέον δὲ καί, ὅτι ἐκ τῆς τοῦ πατρὸς ἀρετῆς ὁ Λαοδόκος ἔοικεν ὀνομασθῆναι. λαοδόχος γὰρ ἐκεῖνος ἦν τῇ ἐνεργείᾳ, ὡς πρόξενος. Σημείωσαι δέ, ὅτι τε πιθανῶς κρατερὸς αἰχμητὴς ὑπόκειται ὁ Λαοδόκος, ἵνα ῥᾶον αὐτῷ πεισθείη ὁ Πάνδαρος, εἴγε καὶ ἀριστεὺς ἐκεῖνος ὢν εἰς ἔργον τοῦτον προκρίνει ἐπίπροσθεν ἑαυτοῦ θέμενος, καὶ οὐδὲ τόξων εὖ εἰδώς, ἀλλ᾽ αἰχμητής. ὡς εἴγε τοξότης ἦν ὁ Λαοδόκος, εἶχεν ἂν ὑπιδέσθαι τοὺς αὐτοῦ λόγους ὁ Πάνδαρος, διὰ τί τοῦτον ἐρεθίζει καὶ μὴ αὐτὸς ἐθέλει ὀϊστεύειν Μενελάου, ὃ παραφράζων Ὅμηρος ἐπιπροεῖναι Μενελάῳ φησὶ πικρὸν ὀϊστόν.

1.706 καὶ ὅτι ἡ ὁμιλοῦσα τῷ ἄφρονι Πανδάρῳ Ἀθηνᾶ, ὥστε συγχέαι τοὺς ὅρκους καὶ οὕτως ἀσεβεῖν ἀναπείθουσα, αὐτός ἐστιν ὁ τοῦ Πανδάρου νοῦς καὶ ἡ ἐν αὐτῷ δεινότης, ἡ ἀληθῶς μὲν πονηρία, δοκοῦσα δὲ ἐκείνῳ φρόνησις καὶ ἀγχίνοια, ὡς ὑπεμφαίνεται ἐν τῷ· «ἀγχοῦ δ᾽ ἱσταμένη προσηύδα» προϊσχομένη ἐλπίδας, ὡς χάριν μὲν καὶ κῦδος ἄροιτο πρὸς τοῦ λαοῦ, μάλιστα δὲ τῷ Ἀλεξάνδρῳ ἀρέσοι βαλὼν καὶ ἀνελὼν τὸν Μενέλαον. (v. 93—104) Φησὶ γοῦν· «ἦ ῥά νύ μοί τι πίθοιο, Λυκάονος υἱὲ δαΐφρον, τλαίης κεν Μενελάῳ ἐπιπροέμεν ταχὺν ἰόν, πᾶσι δέ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κε Τρώεσσι χάριν καὶ κῦδος ἄροιο, ἐκ πάντων δὲ μάλιστα Ἀλεξάνδρῳ βασιλῆϊ, τοῦ κεν δὴ πάμπρωτα πάρ’ ἀγλαὰ δῶρα φέροιο, αἴ κεν ἴδῃ Μενέλαον ἀρήϊον σῷ βέλεϊ δμηθέντα πυρῆς ἐπιβάντ’ ἀλεγεινῆς. ἀλλ’ ἄγε ὀΐστευσον Μενελάου» καὶ ἑξῆς. ἐπελέξατο δὲ τὸν Πάνδαρον ἡ Ὁμηρικὴ δεινότης καὶ ὡς ἐπίκουρον, τοῖς γάρ τοι ἐγχωρίοις Τρωσὶ πᾶσιν ἶσα κηρὶ ὁ Ἀλέξανδρος ἤχθετο, καὶ ὡς τοξότην, ἵνα νομισθῇ ὁ Ἀλέξανδρος παρεκβὰς τὸν διαμετρητὸν χῶρον, οὕτω λαθὼν τοξεῦσαι κατὰ Μενελάου. ἔτι δὲ καὶ ὡς ἄριστον ἐν τοξόταις, εἴγε καθ’ Ὅμηρον αὐτὸς ὁ Ἀπόλλων τὸ τόξον αὐτῷ ἔδωκε. καὶ ὡς φιλοχρήματον δὲ καὶ σμικρολόγον, καθὰ δηλοῖ καὶ ἡ θυσία, ἣν ἄρτι Λυκηγενέϊ κλυτοτόξῳ Ἀπόλλωνι ἐπαγγέλλεται, σμικροπρεπὴς οὖσα, καὶ ταῦτα ἐπ’ ἀναγκαίοις. ἄρνες γὰρ ἀτελεῖς καὶ οὐ κατὰ τοὺς ἀρνειοὺς τέλειοι, οὐδὲ ταῦροι καὶ αἶγες, ὁποῖα Χρύσης καλλιερεῖ ὁ τὰ τοῦ θύειν ἀπόρρητα εἰδώς. δηλοῖ δὲ τὸ αὐτὸ καὶ ὁ καιρὸς τῆς θυσίας. οὐ γὰρ νῦν ἀρνῶν πρωτογόνων ἐθέλει ῥέξειν κλειτὴν ἑκατόμβην, ἀλλὰ οἴκαδε νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης, ὡς ἐκεῖσε τὰ τοιαῦτα εὑρήσων εὐπόριστα, Ἀθηνᾶς καὶ τὸ τοιοῦτον ἐπιβλαβὲς τῷ φαύλῳ ὑποθεμένης, εἴτε τῆς μυθικῆς εἴτε τῆς κατ’ αὐτὸν δοκούσης φρονήσεως. ἔτι δηλοῖ τὸ τοῦ Πανδάρου γλίσχρον καὶ ἡ ἐπὶ Τροίαν αὐτοῦ δίχα ἵππων στρατεία, ἵνα μὴ κατατρύχωσιν αὐτόν, ὡς ἐκεῖνός φησι, τῇ δαπάνῃ τούτου. καὶ τὸ ἔθνος φύσει ἐπίορκόν τε καὶ ἄπιστον. ἐκ πατέρων γὰρ ἱστοροῦσιν αὐτὸ τοιούτων κατάγεσθαι λέγοντες, ὅτι Τριόπας Περραιβῶν τύραννος οὕτως ὠμὸς ἦν, ὥστε ὁ υἱὸς Καρνάβας κτείνας αὐτὸν τυραννοκτονίας γέρας ἔλαβε παρὰ τῶν πολιτῶν, φυγάς τε ἥκων εἰς Βρένθιν τῆς Τροίας καὶ καθαρθεὶς ὑπὸ Τρωὸς καὶ λαβὼν ἔδαφός τι κτίζει Ζέλειαν. τοίης γενεῆς τε καὶ αἵματος ἦν ὁ τοὺς ὅρκους ἄρτι συγχέας.

1.707 (v. 88—91) Ἰστέον δὲ καί, ὅτι τὸν Πάνδαρον ἀντίθεον ὁ ποιητὴς λέγει καὶ ἀμύμονά τε κρατερόν τε, ὀνομάζων αὐτὸν συνήθως ἐξ ὧν ἔχει καλῶν. τοὺς δὲ περὶ αὐτὸν κρατερὰς στίχας ἀσπιστάων λέγει «λαῶν» ἢ ἀνδρῶν, «οἵ οἱ», φησίν, «ἕποντο ἀπ’ Αἰσήποιο ῥοάων», οὗ Αἰσήπου καὶ ἡ Βοιωτία μέμνηται. Σημείωσαι δὲ καί, ὅτι ἕτερος ἦν παλαιὸς ἥρως Πάνδαρος. φησὶ γοῦν ὁ Γεωγράφος οὕτω· ὑπόκειται τῷ Κράγῳ Πίνναρα, μεγίστη πόλις Λυκίας, ἔνθα Πάνδαρος τιμᾶται, τυχὸν ὁμώνυμος τῷ Τρωϊκῷ, (ὡς καὶ «Πανδαρέου κούρη χλωρηῒς ἀηδών»), καὶ τοῦτον γὰρ ἐκ Λυκίας φασί. (v. 89) Λυκάονος δὲ υἱὸς ὁ ῥηθεὶς Πάνδαρος, ὁ καὶ ἐν τῇ Βοιωτίᾳ ἱστορηθείς, οὗ δὴ Λυκάονος ἡ κατὰ τὴν εὐθεῖαν παραλήγουσα ἐκτείνεται. διὸ καὶ συστέλλει τὸ ω ἐν τῇ γενικῇ, ὁμοίως τῷ Μαχάων Μαχάονος καὶ τοῖς τοιούτοις. φησὶ γοῦν· «εὗρε Λυκάονος υἱόν», ὅπερ ἀσυνδέτως ἐρρέθη συσχηματισθὲν γοργῶς τῇ κατεπείξει τῆς Ἀθηνᾶς. (v. 90) Ἰστέον δέ, ὅτι στρατηγῷ παρατεταγμένῳ ἁρμόττει τὸ «ἀμφὶ δέ μιν κρατεραὶ στίχες ἀσπιστάων λαῶν, οἵ οἱ ἕποντο» (v. 94) καὶ ὅτι τὸ τλαίης δυσχέρειαν ἐμφαίνει ἔργου, ὡς τοῦ Πάριδος μὴ τλησομένου ποιῆσαί τι πρὸς ἐπιορκίαν. ὁ δ’ οὕτω τλήμων, ὥστε αὐτίκα ὑπακούει. διὸ καὶ ἄφρονα λέγει αὐτὸν Ὅμηρος, εἰ καὶ ἄλλως ἐδόκει φρονεῖν. [φησὶ γὰρ ἀντιθετικῷ τρόπῳ «τῷ δὲ φρένας ἄφρονι πεῖθε».] Τὸ δὲ ἐπιπροέμεν δύναται καὶ μιᾷ προθέσει ἀρκεῖσθαι. καλὸν οὖν καὶ τὸ ἐφεῖναι καὶ τὸ προεῖναι ἰὸν τῷ Μενελάῳ. κρεῖττον μέντοι τὸ ἐπιπροεῖναι, ἵνα ἡ μὲν ἐπι πρόθεσις τὴν κατα σημαίνῃ, ὡς πολλαχοῦ τῆς Ὁμηρικῆς ποιήσεως λαμβάνεται, καθὰ καὶ ἐν τῷ· «δαιμονίη τί μοι ἐπέχεις», ἡ δὲ προ τὴν πρὸ τῶν ἄλλων δηλώσῃ βολήν. (v. 95) Χάρις δὲ κύδους διαφέρει, καθότι κῦδος μὲν ἡ εὔκλεια, χάρις δὲ ὁμολογία εὐεργεσίας ἐστί. διὸ καὶ πάμπρωτα δῶρα ἐκ Πάριδος λήψεσθαί φησι τὸν Πάνδαρον, οἷα καὶ τῶν ἄλλων ὕστερον ἐπιδωσόντων, ὡς εὐεργέτῃ. (v. 97) Τὸ δέ «δῶρα φέροιο» τὸ παρὰ τοῖς ὕστερον δωροφορεῖν συνέθετο. (v. 99) Τοῦ δὲ δμηθέντα διασαφητικὸν τὸ «πυρῆς ἐπιβάντ’ ἀλεγεινῆς», ὅπερ ἐστὶ περίφρασις τοῦ καυθέντα. ἐκεῖνο δὲ παρακολούθημά ἐστι νεκροῦ. ἀφελῶς δὲ πέφρασται τὸ «πυρῆς ἐπιβάντα» ἐπὶ νεκροῦ. κυρίως γὰρ τίθεται ὁ τοιοῦτος ἐπὶ πυρᾶς, οὐκ ἐπιβαίνει αὐτός. Περὶ δὲ πυρῆς ἀλεγεινῆς δηλοῦται ἀλλαχοῦ. (v. 100) Ἐν δὲ τῷ «ὀΐστευσον Μενελάου» λείπει πρόθεσις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1.708 τὸ γὰρ ἐντελές «κατὰ Μενελάου». (v. 101) Λυκηγενὴς δὲ Ἀπόλλων κατὰ τὸν μῦθον, οἱονεὶ Λυκιηγενής, ὡς ἐν Λυκίᾳ γεγονώς, ἢ τῇ μεγάλῃ κατά τινας ἢ τῇ μικρᾷ, ἧς Πάνδαρος ἦρχε, περὶ ἧς καὶ ἡ Βοιωτία δηλοῖ, ἀφ' ἧς καὶ ὁ πατὴρ Λυκάων παρωνόμασται, εἰς ἥν, φασί, μετὰ τὸ γεννῆσαι ἀπηλλάγη ἡ Λητὼ τὴν τῆς Ἥρας ζηλοτυπίαν ἐκκλίνουσα. καὶ ἄλλως δὲ Λυκηγενὴς λέγεται, ὅτι λύκος, φασίν, ἐπεφάνη τῇ Λητοῖ ἐν τῷ τοκετῷ ὅτε καὶ πτοηθεῖσα Πτῷόν τε τὸν ἐξ αὐτῆς Ἀπόλλωνα ἐπωνόμασε καὶ Λυκηγενῆ. διὸ καὶ Ἀπόλλωνι κατὰ μῦθον ὁ λύκος ἀνεῖτο καὶ νομίσματι ἐνεχαράττετο· καὶ Λύκειος δὲ ἀπ' αὐτοῦ ἐκαλεῖτο αὐτός τε ὁ Ἀπόλλων καὶ ἀγορὰ δέ τις ἐν τῷ Ἄργει. ἑτέρως δέ, ὥσπερ ὁ κύκνος ἱεροῦται Ἀπόλλωνι ὡς ἡλίῳ διὰ τὴν λευκότητα, καὶ ὁ κόραξ διὰ τὴν νυκτερινὴν μελανίαν, ἧς οἷα καὶ μητρός ἀπογεννᾶται, ὡς ἀλλαχοῦ γέγραπται, οὕτω καὶ λύκος ἀνάκειται αὐτῷ διὰ τὸ μέσον εἶναι ἀμφοῖν τὸ λύκειον χρῶμα. τεφρῶδες γὰρ καὶ οὔτε φαεινὸν οὔτε ἄκρως μέλαν, ἀλλ' οἷόν τι τὸ πρὸ τῆς κροκοπέπλου ὑπονύκτερον χρῶμα, ὃ καὶ λυκόφως ἡ καθωμιλημένη γλῶσσα καλεῖ. Κλυτότοξος δὲ ὁ αὐτὸς Ἀπόλλων, ὡς σὺν τῇ μαντικῇ καὶ μουσικῇ καὶ ἰατρικῇ ἐπιστατῶν καὶ τῇ τοξικῇ κατὰ τὸν μῦθον. ὡς δὲ καὶ τῷ ἀλληγορουμένῳ Ἀπόλλωνι ἐνθεωρεῖται ταῦτα, ἑτέραν ζητεῖ λόγου τριβήν. [Ὅρα δέ, ὡς ἰσοδυναμεῖν δοκούντων ἔστιν ὅτε τοῦ κλύειν καὶ τοῦ κλείειν, ὅ ἐστι κλεΐζειν καὶ δοξάζειν, ἐκ μὲν τοῦ κλύειν τὸν κλυτότοξον συνέθετο, ἐκ δὲ τοῦ κλείειν κλειτὴν κατωτέρω ἑκατόμβην φησί.] Τοὺς δὲ πρωτογόνους ἄρνας καὶ τὰ τοιαῦτα πρωτογεννήματα ἡ κοινὴ γλῶσσα λαλεῖ. [(v. 103) Ἱερὰ δὲ ἡ Ζέλεια ὡς πόλις ἁπλῶς φυλακτικὴ τῶν ἔσω οἰκούντων.

1.709 οὕτω δὲ ἱερὰ καὶ τείχη πόλεως. λέγει δέ που χρήσιμά τινα περὶ τούτων καὶ Πλούταρχος.] Ἐν δὲ τῷ «νοστήσας ἱερῆς εἰς ἄστυ Ζελείης» σημείωσαι, ὅτι τὸ διπλοῦν ζ οὐκ ἔχει συνήθως ἐκτείνειν τὸ πρὸ αὐτοῦ βραχὺ φωνῆεν, ὡς οὐδὲ κατὰ Ὀδύσσειαν ἐν τῷ «ὑλήεντι Ζακύνθῳ», ἀλλ' ἀντὶ βραχείας λαμβάνεται ἀναγκαίως ἡ τελευταία συλλαβὴ διὰ τὸ μὴ δύνασθαι ἄλλως τεθῆναι ἐν μέτρῳ. εἰ γὰρ ὑποθώμεθα ἐν τῷ Ζέλεια καὶ ἐν τῷ Ζάκυνθος δύνασθαι τὸ ζ διὰ τὴν διπλόην ποιεῖν χρονικὴν ἔκτασιν, οὐδ' ὅλως εἰς μέτρον δακτυλικὸν ἡ Ζέλειά ποτε καὶ ἡ Ζάκυνθος παραληφθήσεται. ἡ τοιαύτη δὲ ἀνάγκη βιάζεται καὶ τὴν τοῦ Σκαμάνδρου ἄρχουσαν, ὡς προερρέθη, τὸ πρὸ αὐτῆς βραχὺ ἐκτείνειν μηδέποτε. οὕτω τὸ μέτρον βίαν ἔστιν οὗ ἐπάγει παρανομεῖσθαι, ὥσπερ τὰς ἐκτάσεις, οὕτω καὶ τὰς συστολάς, καὶ ἀλόγως γίνεσθαι, ὥς φασιν οἱ παλαιοί. διὸ καὶ τὸ Αἰγυπτίη ἐν Ὀδυσσείᾳ συστέλλει τὸ υ . τινὲς μέντοι ἐκεῖ τὴν τῶν δύο ἀφώνων ἀσθένειαν τῆς τοῦ διχρόνου συστολῆς αἰτίαν φασίν. Ἡ δὲ ῥηθεῖσα Ζέλεια, ὡς καὶ προεγράφη, ὑπὸ τῇ Ἴδῃ τῷ Τρωϊκῷ ὄρει ἔκειτο. ἐκαλεῖτο δὲ καὶ Λυκία τὸ παλαιὸν καὶ Τροία μικρά. διὸ καὶ ἐν τοῖς ἑξῆς ὁ Πάνδαρος Τρώων ἡγεῖσθαι λέγεται, ὅ ἐστι τῶν Ζελειτῶν. Ἰστέον δὲ καί, ὅτι παράγωγόν ἐστι τὸ Ζέλεια ἐκ πρωτοτύπου τοῦ Ζέλη, ὡς καὶ τοῦ Πηνελόπη τὸ Πηνελόπεια. ὅμοια καὶ τὸ Ὑψιπύλη Ὑψιπύλεια, Θεσσαλονίκη Θεσσαλονίκεια, Σεβαστή Σεβάστεια, Κολώνη Κολώνεια. δοκεῖ δὲ τοιοῦτον εἶναι σὺν ἄλλοις καὶ τὸ χώνη χώνεια. εὕρηται δὲ καὶ ἐρήμεια ἐκ τοῦ ἐρήμη. ὅμοιον καὶ τὸ Ἀπάμα Ἀπάμεια, οὐ μόνον κύριον, ἀλλὰ καὶ πόλεως ὄνομα τῆς τε περὶ τὸν Κιανὸν κόλπον κειμένης, ἥτις καὶ Μύρλεα ἐκλήθη, καὶ τῆς περὶ Συρίαν. Ἰστέον δὲ καί, ὅτι, ὥσπερ διὰ τοῦ εια γίνεται παραγωγή, οὕτω καὶ διὰ τοῦ αια , ὡς δηλοῖ τὸ φώκη Φώκαια, νίκη Νίκαια. (v. 104) Ὅτι ἐπὶ τοῦ πείθοντος ἄφρονα εἴς τι κακὸν οἰκεῖον εἰπεῖν τὸ «ὣς φάτο· τῷ δὲ φρένας ἄφρονι πεῖθε». τοιοῦτος δὲ ἄφρων καὶ ὁ Πάρις, ὃς ἐπείσθη τῇ Ἀθηνᾷ βουλευσαμένῃ τὰ μὴ λῷονα.

1.710 (v. 105) Ὅτι τὸ «αὐτίκ' ἐσύλα τόξον ἐΰξοον» ὁ Πάνδαρος, καὶ αὖθις τὸ «σύλα πῶμα φαρέτρης» τὸ λάθρᾳ ὑποψηλαφᾶν σημαίνει ὥστε τοξεῦσαι. δῆλον δέ, ὅτι καὶ ἐπὶ τοῦ σκυλεύειν ἡ λέξις τίθεται πολλαχοῦ, ἐπεὶ σκῦλον τὸ λάφυρον λέγεται. ὁ μέντοι σκυλαδέψης καὶ ἕτερόν τι σημαινόμενον τοῦ σκύλου δηλοῖ, ὡς ἀλλαχοῦ δηλωθήσεται. (v. 105—11) Ὅτι ἀναπαύων ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιητὴς ἐνταῦθα τὸν ἀκροατὴν ἐπεισοδίῳ κυνηγετικῷ ἱστορικῷ γενεαλογεῖ τε τὸ ῥηθὲν τοῦ Πανδάρου τόξον καὶ ἐκφράζει αὐτὸ λέγων, ὅτι ἰξάλου αἰγὸς ἀγρίου ἦν, «ὅν ῥά ποτ' αὐτὸς ὑπὸ στέρνοιο τυχήσας πέτρης ἐκβαίνοντα δεδεγμένος ἐν προδοκῇσι βεβλήκει πρὸς στῆθος, ὃ δ' ὕπτιος ἔμπεσε πέτρῃ», λέγων καὶ νῦν, ὡς καὶ ἐν τῇ βῆτα, πέτραν τὸ σπήλαιον. εἶτα καὶ μετρεῖ τὰ τοῦ αἰγὸς τούτου κέρατα, ὡς εἰρήσεται. (v. 105) Ἴξαλον δὲ αἶγα Πορφύριος μὲν τὸν τομίαν φησὶ λέγων ὡς ἐπὶ πολὺ τῶν ἀγρίων αἰγῶν τοὺς τελείους διωκωμένους κατὰ παράτριψιν ἀποβάλλειν τὰ αἰδοῖα, ὅπερ οἱ κάστορες ἑκόντες εἰς ἑαυτοὺς κατεργάζονται, ὅτε διώκονται, ὁποῖον δή τι καὶ Ἀριστοτέλης διὰ τὸν χλούνην ἱστορεῖ, ὃ δηλοῖ ἐκτομίαν σῦν ἄγριον, ὡς ἐν τοῖς ἑξῆς που φανήσεται. καὶ εἶδον πολλοὶ καὶ τῶν καθ' ἡμᾶς τὰ τοιαῦτα πάθη ἐπί τε συῶν ἐπί τε αἰγῶν. ἕτεροι δὲ ἴξαλόν φασι τὸν ὀχευτικόν, ἤτοι τὸν κήλωνα, καὶ περὶ τὰς τῶν θηλειῶν ἰξύας ἤτοι ὀσφύας ἁλλόμενον. οἱ δὲ τὸν μετὰ χειμῶνα ἐπὶ ἅλας ἱκνούμενον ποιμενικῷ νόμῳ, ἵνα μὴ ψώραν πάθῃ. τοῦτο δὲ καὶ δασύνεσθαι ἀπαιτεῖ τὴν ἄρχουσαν, εἰ καὶ ψιλοῦται κατὰ ἔθος Αἰολικόν. καὶ ἐπὶ ἡμέρων αἰγῶν λέγοιτο ἄν, οὐ μὴν ἐπὶ ἀγρίων, ὁποῖος ἄρτι ὁ Ὁμηρικός. τοιούτους γὰρ ἁλίζει οὐδείς, εἰ μὴ ἄρα κατὰ τύχην αὐτοί που δράσουσι τοῦτο ἁλοπηγίῳ περιτυχόντες. τινὲς δὲ ἀπὸ τοῦ ἅλις ἵξεσθαι φασι. πηδητικὸς γὰρ καὶ ὁρμητίας ὁ ἄγριος αἴξ.

1.711 ἐν δὲ ῥητορικῷ τινι Λεξικῷ φέρεται καί, ὅτι ἴξαλος ὁ προπηδῶν καὶ τέλειος. ἐν δὲ ἑτέρῳ καί, ὅτι, ὥσπερ παρδαλῆ καὶ λεοντῆ, οὕτω καὶ ἰξαλῆ αἰγεία περισπωμένως, ἐπεὶ ἴξαλοι αἶγες. λέγεται δὲ καὶ ἄλλα εἰς τοῦτο παρὰ τοῖς παλαιοῖς διάφορα. (v. 106) Τὸ δὲ ὑπὸ στέρνοιο ταὐτὸν τῷ ὑπὸ τὸ στέρνον, ἵνα ᾖ πρόθεσις ἀντὶ προθέσεως. στέρνον δὲ καὶ στῆθος εἰπεῖν οὐκ ἀνομοίως ἔχει. διὸ ταὐτὸν τὸ στέρνου τυχεῖν καὶ στῆθος βαλεῖν. Τοῦ δὲ τυχήσας, ὃ καὶ τέτριπται, καθὰ καὶ τὸ τετυχηκώς, ἀρχὴ προσεχὴς μὲν τὸ τυχῶ τυχήσω, πόρρω δὲ ὁ δεύτερος μέλλων τοῦ τεύχω, καθὰ καὶ τοῦ τυπῶ τυπώσω καὶ τοῦ τυπτῶ τυπτήσω ὁ δεύτερος μέλλων τοῦ τύπτω προκατάρχει. οὕτω δὲ καὶ τῆς βλεπήσεως, ἣ κεῖται ἐν τῷ Ἐτυμολογικῷ, ἐνεστὼς μὲν ὁ βλεπῶ, αὐτοῦ δὲ προὕπεστιν ὁ δεύτερος μέλλων τοῦ βλέπω. (v. 107) Τὸ δέ «δεδεγμένος ἐν προδοκαῖς» τρόπος ἐστὶν ἐτυμολογικός. προδοκὴ γάρ ἐστι τόπος στενός, ἐν ᾧ δοκεύει τις [ὁδοιδόκου δίκην] καὶ δέδεκται τὸ θηρώμενον. (v. 106 et 108) Τὸ δὲ ἀρρενικῶς λεχθέν «ὅν ποτε βεβλήκει» οὐκ ἐᾷ ἐπίκοινον ὄνομα εἶναι τὸ αἴξ. ἰδοὺ γὰρ ὁ αἴξ, οὗ θηλυκὸν πάντως ἡ αἴξ. (v. 109) Ὅτι μετρῶν ὁ ποιητὴς τὰ τοῦ ῥηθέντος αἰγὸς κέρατά φησι· «τοῦ κέρα ἐκ κεφαλῆς ἑκκαιδεκάδωρα πεφύκει», ὡς εἶναι κατά τινας ὁμοῦ ἄμφω σπιθαμῶν πέντε καὶ δώρου ἑνός, ἀνὰ μέρος δὲ ἑκάτερον ἀνὰ δύο σπιθαμῶν καὶ μικρόν τι πρός. τρίτον γὰρ σπιθαμῆς τὸ δῶρον, ὃ λέγεται καὶ παλαιστή θηλυκῶς καὶ ὁ παλαιστής ἀρσενικῶς. ἔστι δὲ διάστημα τετραδάκτυλον. καὶ οὕτω μὲν ὁ ποιητὴς λέγει οὐδὲν ἀπίθανον ἱστορῶν, ὡς ἡ πεῖρα διαδείκνυσι πολλαχοῦ. τί γὰρ μέγα δισπίθαμον κέρας ἀγρίου αἰγός, εἴγε καὶ ἓν καθ' αὑτὸ μόνον ὦπται καὶ ὑπὲρ τέσσαρας σπιθαμὰς καὶ ἕως καὶ ὑπὲρ ἑπτά.

1.712 φασὶ δὲ καὶ ἐν Δήλῳ τῇ νήσῳ ἀνακεῖσθαι κέρατα ἐκ τῶν κατ' Ἐρυθρὰν θάλασσαν τόπων, κριοῦ μὲν δίπηχυ καὶ δακτύλων ὀκτώ, ἱστῶν μνᾶς εἰκοσιέξ, τράγου δὲ πήχεων δύο καὶ σπιθαμῆς σταθμοῦ ἴσου. Ὅρα δέ, ὅπως ἑξκαίδεκα ὀφείλων εἰπεῖν ὁμοίως τῷ ἔξκλινον καὶ τῷ Ἕξγυιον, ὃ πόλις ἐστὶ Σικελίας ἓξ ἀγυιὰς ἔχουσα κατὰ τὸν τὰ Ἐθνικὰ γράψαντα, ὁ δὲ ἑκκαίδεκα λέγει, τραπέντος τοῦ ξ εἰς κ διὰ συγγένειαν ὡς καὶ ἐπὶ τῆς ἐξ προθέσεως. οὕτω που καὶ χρόνος ἑξάμηνος ἔκμηνος λέγεται καὶ τὸ ἕκτον δὲ ἐκ τοῦ ἕξ οὕτω παρωνόμασται. Ἰστέον δέ, ὅτι εἰς κέντρωνα ἤγουν εἰς Ὁμηρόκεντρον τὸ ἐπὶ Πανὸς συνετέλεσέ τινι τὸ «τοῦ κέρα ἐκ κεφαλῆς» καὶ ἑξῆς, ὡς τοῦ Πανὸς κερασφόρου ὄντος κατὰ τὸν μῦθον. ῥηθήσεται δέ ποτε σκωπτικῶς καὶ κατὰ Πανικοῦ ἀνδρὸς κοινότερον. [Ἰστέον δὲ καί, ὅτι τοῦ πεφύκει, ὅ ἐστι βεβλαστήκει, οὐκ ἔστι καιριωτέρα λέξις ἐπὶ κεράτων, ἅπερ ὕστερον τοῖς κερασφόροις φύονται]. (v. 110 s.) Ὅτι γοργῶς διασκευάζων ὁ ποιητὴς τόξου κατασκευὴν οὕτω φησί· «καὶ τὰ μέν», λέγει δὲ τὰ κέρατα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«ἀσκήσας κεραοξόος ἤραρεν», ἤγουν ἥρμοσε, «τέκτων, πᾶν δ’ εὖ λειήνας χρυσέην ἐπέθηκε κορώνην», εἰς ἣν δηλαδὴ ἐνίεται ἡ νευρά. καὶ ὅρα, ὅτι καὶ τὸν τοῦ τόξου τεχνίτην τέκτονα γενικῶς καλεῖ, κεραοξόον μέντοι πρὸς εἰδικὴν διαστολὴν τῶν λοιπῶν τεκτόνων, [οὗ ἡ συνθετικὴ ἀναλογία κατὰ τὸ δορυξόος, λαοξόος, ἤτοι λιθοξόος, καὶ τὰ ὅμοια.] Ἀσκῆσαι δὲ καὶ νῦν τὸ ἐπιμελείας ἀξιῶσαι, [ἵνα εἴη ὥσπερ νῆμα ἀσκητόν, οὕτω καὶ ἀσκητὰ κέρατα. Τὸ δὲ ἤραρεν ἀναλόγως ἔχει. οὐ μὴν τοιοῦτον καὶ τὸ ἄραρεν, οὗ μετοχὴ ἀραρώς. ἐκεῖνο γὰρ Ἰωνικώτερον ὂν διέβη καὶ εἰς Ἀττικισμόν.] (v. 111) Λειᾶναι δὲ τὸ ξέσαι ἢ ῥινῆσαι. Ἡ δὲ Ὁμηρικὴ χρυσῆ κορώνη καὶ εἰς παροιμίαν ἔπεσε καὶ ὁ ἀγαθὸν τέλος τοῖς φθάσασιν ἐπιθεὶς χρυσέην ἐπιθεῖναι τῷ παντὶ κορώνην λέγεται.

1.713 ἡ δὲ χρυσῆ κορωνὶς ἴσως μὲν καὶ ἐκ ταύτης τῆς κορώνης ὑπεκορίσθη, ἴσως δὲ καὶ ἐκ τῆς τὰς θύρας συναπτούσης. λέγεται δὲ κορώνη τόξου τροπικῶς, καθὰ καὶ θύρας, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ἀπὸ τῆς ζωϊκῆς, ἧς πρὸς διαφορὰν δοκεῖ ἀστείως αὕτη χρυσέα κληθῆναι, ὡς μὴ κατ’ ἐκείνην οὖσα μέλαινα. (v. 112 s.) Ὅτι τὸ εἰς γῆν θεῖναι τὸ τόξον πρὸς τῇ γῇ ἀνακλῖναί φησιν. ὅτι δὲ τὸ εἰς γῆν ἀνακλῖναι ὅμοιόν ἐστι τῷ καταθεῖναι, δηλοῖ εἰπών· «καὶ τὸ μὲν εὖ κατέθηκε τανυσάμενος», [ὃ καὶ τανύσας λέγεται κατὰ τὸ «οὐ δύναμαι τανύσαι».] (v. 113) Ὅτι πρόσθε τοῦ Πανδάρου σάκεα σχέθον, ἤγουν ἔσχον, ἐσθλοὶ ἑταῖροι συγκρύπτοντες ἐκεῖνον, ἵνα λάθῃ βαλὼν τὸν Μενέλαον. οὔκουν μόνος φαῦλος ὁ Πάνδαρος, ἀλλὰ συνεξομοιοῦνται αὐτῷ καὶ οἱ ὑπ’ αὐτόν, ὅπερ ὡς τὰ πολλὰ γίνεται. (v. 117) Ὅτι τὸν ὀϊστόν, ὃν ἐξείλετο Πάνδαρος, ἤτοι ἐξήγαγεν ἢ ἐξελέξατο, εἰς τὴν κατὰ Μενελάου βολήν, ἀβλῆτα καλεῖ Ὅμηρος εἰπών· «αὐτὰρ ὃ σύλα πῶμα φαρέτρης, ἐκ δ’ ἕλετ’ ἰὸν πτερόεντα μελαινάων ἕρμ’ ὀδυνάων». Ἔστι δὲ ἀβλὴς ὁ μήπω βληθείς, ὅ ἐστι ἀφεθεὶς κατά τινος. διὸ καὶ ἀθετοῦσι τὴν λέξιν οἱ παλαιοὶ φάμενοι μὴ εἰωθέναι τὸν ποιητὴν τὸ βάλλειν ἐπὶ τοῦ ἁπλῶς ἀφιέναι τιθέναι. αἰτιῶνται δὲ καὶ τὸ ἕρμα λέγοντες, ὅτι οὐχ’ ὃ θέλει ὁ ποιητὴς λέγει. ἕρμα γὰρ Ὁμηρικῶς τὸ ἔρυμα καὶ κώλυμα. τὸ δὲ βέλος οὐ γίνεται κώλυμα ὀδυνῶν ἀλλὰ μᾶλλον ἐνέρεισμα. ἔστι δὲ λύοντα τὰ τοιαῦτα εἰπεῖν, ὅτι ἀβλῆτα μὲν ὀϊστὸν λέγει τὸν μήπω βαλόντα, ἤτοι ἐπιτυχόντα τινός, διὰ τὸ μηδὲ ἀφεθῆναι, ἕρμα δὲ ὀδυνῶν, ἐν ᾧ αἱ ὀδύναι οἷον ἐνοικοῦσι καὶ ἐνερείδονται, ὥστε ὅπου αὐτὸ εἰσέλθῃ, ἐκεῖ καὶ θανασίμους ὀδύνας συνεισέρχεσθαι. [Ἰὸν δὲ πτερόεντα κοινότερον μὲν λέγει τὸν πτεροῖς προϊόντα. καὶ ἄλλως δὲ ἢ πρὸς διαστολὴν ἴσως ἰοῦ τοῦ κατὰ τὸν ὄφιν καὶ ὅσα τοιαῦτα ἢ καὶ πρὸς διαφορὰν ὀϊστοῦ, ὃς οὐ πτεροῖς διοικεῖται, ἀλλά τισιν ἑτεροίοις, ὡς εἰκός.

1.714 ἔτι δὲ πτερόεις ἰὸς ὁ ταχὺς καὶ ἐπιπτέσθαι μενεαίνων.] (v. 118—26) Ὅτι τὸ τοῦ Πανδάρου τόξευμα οὕτω διασκευάζει ὁ ποιητής· «αἶψα δ’ ἐπὶ νευρῇ κατεκόσμει πικρὸν ὀϊστόν· ἕλκε δ’ ὁμοῦ γλυφίδας τε λαβὼν καὶ νεῦρα βόεια. νευρὴν μὲν μαζῷ πέλασε, τόξῳ δὲ σίδηρον. αὐτὰρ ἐπειδὴ κυκλοτερὲς μέγα τόξον ἔτεινε, λίγξε βιός, νευρὴ δὲ μέγ’ ἴαχεν, ἆλτο δ’ ὀϊστὸς ὀξυβελὴς καθ’ ὅμιλον ἐπιπτέσθαι μενεαίνων». (v. 123) Ἰστέον δέ, ὅτι ἀρχαϊκὸν τὸ τὴν νευρὰν πελάζειν τῷ μαζῷ, ὃ καὶ Ἀμαζόνες ἐποίουν, ὡς προείρηται. τὸ δὲ μέχρι καὶ εἰς τὸ δεξιὸν οὖς αὐτὴν ἐντανύειν νεώτερον, ὡς καὶ ὁ Προκόπιος ἐν τοῖς Λιβυκοῖς προοιμιαζόμενος ἱστορεῖ. (v. 118) Τοῦ δὲ κατακοσμεῖν νευρὰν ἐπὶ ὀϊστῷ οὐκ ἔστι καιριωτέραν λέξιν εὑρεῖν, κἂν μυρία πονήσοι τις. [Δηλοῖ δὲ τὸ εὐκόσμως κατετίθει οἷα κοσμήτωρ. Πικρὸν δὲ ὀϊστὸν λέγει τὸν πρὸ βραχέων ὀδυνηρὸν εἰς θάνατον πρὸς διαστολὴν τοῦ μὴ πολεμικοῦ ἀλλὰ γυμναστικῶς γλυκάζοντος.] (v. 122) Γλυφίδες δὲ τὸ γλύμμα τοῦ ἀτράκτου τὸ ἐντιθέμενον τῇ νευρᾷ. νεῦρα δὲ βόεια περιφραστικῶς καὶ ἐτυμολογικῶς ἡ προρρηθεῖσα νευρὰ λέγεται, ἐξ ὧν καὶ ἠρτύετό ποτε, καθὰ πρὸ ὀλίγου ἐρρέθη, ἡ νευρά, ὡς καὶ ἡ κλῆσις δηλοῖ. [Κατακρουόμενα γάρ, ὡς εἰκός, βόεια νεῦρα, εἶτα ξαινόμενα καὶ κλωθόμενα συνεστρέφοντο, καθὰ καὶ σχοῖνος. καὶ οὕτως ἐχρησίμευον εἰς ῥαίβωσιν τόξου κατὰ τοὺς ἄρτι βοείους ἱμάντας. κἀντεῦθεν ἡ τότε κυρίως νευρὰ ψευδωνυμεῖται κατὰ τῆς ὕστερον.] (v. 123) Μαζὸς δὲ καὶ ἐπὶ ἀνδρῶν ἰδοὺ κεῖται, ὥστε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐκ ἐπὶ μόνων λέγεται γυναικῶν. δοκεῖ δὲ γενέσθαι ἐκ τοῦ μαδός κατὰ φανερὰν στοιχειακὴν τοῦ δ καὶ τοῦ ζ συγγένειαν. μαδᾷ γὰρ φύσει ἀναγκαίως ἅπας μαζός, ὁ καὶ μασδὸς Δωρικῶς καὶ μαστὸς διὰ τοῦ τ καὶ μασθὸς δὲ διὰ τοῦ θ λεγόμενος. χρῆσις δὲ τοῦ μαδοῦ, ἐν οἷς Ἡρακλείδης, εἰπὼν ἐκ τοῦ ἔδω τὸ ἔσθω γίνεσθαι Δωρικῶς τροπῇ τοῦ δ εἰς θ , ὡς τὸ «ἔθων Οἰνῆος ἀλωήν», λέγει, ὅτι καὶ τὸν μαδὸν οὕτω μασθὸν λέγουσιν οἱ Δωριεῖς.

1.715 καὶ τὸ ψεῦδος δέ, φησίν, ἄραντες τὸ ε ψύθος φασί. τινὲς δὲ ἀπὸ τοῦ μῶ μάζω, τὸ ζητῶ, παράγουσι τὸν μαζόν, ὡς τοῖς βρέφεσι ζητούμενον. (v. 124) Κυκλοτερὲς δὲ τόξον λέγει οὐ τὸ φύσει τοιοῦτον, σκολιὸν γάρ ἐστι καὶ ἀγκύλον πρὸ τῆς τάσεως, ἀλλ' ὅπερ τῷ ἑλκυσμῷ τοιοῦτον γίνεται. ὅτε γὰρ ἡ νευρὰ πελάσει τῷ μαζῷ, τῷ τόξῳ δὲ ὁ τοῦ βέλους σίδηρος, ῥαιβοῦται τὸ τόξον εἰς κυκλοτέρειαν. (v. 125) Τὸ δὲ λίγξε καὶ τὸ ἴαχεν ὠνοματοπεποίηνται. τέθειται δὲ τὸ μὲν λειότερον οἰκείως ἐπὶ τοῦ τόξου, τὸ δὲ τραχύτερον ἐπὶ τῆς νευρᾶς. Τὸ δὲ ἆλτο ὅτι ψιλοῦται καὶ διὰ τί, προεγράφη. (v. 126) Τὸ δὲ ὀξυβελής φανερῶς δηλοῖ, ὅτι βέλος κυρίως τὸ τοῦ ὀϊστοῦ σιδήριον, ἀφ' οὗ καὶ τὸ ὅλον βέλος λέγεται, ὡς καὶ ἀπὸ τοῦ σιδήρου τῆς αἰχμῆς τὸ ὅλον δόρυ αἰχμήν φαμεν. Τοῦ δὲ πτέσθαι, ὅ ἐστι πετάσαι, χρῆσις καὶ παρὰ Σοφοκλεῖ ἐν Οἰδίποδι. ἔοικε δὲ τῇ κινήσει τοῦ σχέσθαι· ὡς γὰρ ἐσχόμην σχέσθαι, οὕτω καὶ ἐπτόμην πτέσθαι, οἷον· «περιχαρὴς δ' ἀνεπτόμην». [Δῆλον δέ, ὥς ἐστι καὶ ἐπτάμην πρῶτος ἀόριστος, ἐξ οὗ καὶ τό· «τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο» καὶ ἀπαρέμφατον παρά γε Εὐριπίδῃ τὸ διαπτάσθαι. σύνδρομον δὲ ἰῷ πτερόεντι τὸ ἐπιπτέσθαι.] Τὸ δὲ μενεαίνων ὡς ἐπὶ αἰσθητικοῦ εἴρηται. ἔθος γὰρ Ὁμήρῳ κατὰ λόγον γλυκύτητος προαιρετικὴν ὁρμὴν καὶ τοῖς ἀψύχοις προσπλάττειν καὶ ψυχοῦν οἷον αὐτά. οὕτω καὶ ὀϊστὸς ἐνταῦθα πέτεσθαι θέλει. καὶ ἀλλαχοῦ βέλη χροὸς ψαῦσαι φιλοτιμεῖται καὶ Ἄρης, ὅ ἐστι σίδηρος, αἵματος προθυμεῖται κορέσασθαι. φασὶ δὲ οἱ παλαιοί, ὅτι ἐν τοῖς τοιούτοις ἡ τροπὴ ἀπὸ τοῦ πάσχοντος ἐπὶ τὸ ποιοῦν γίνεται. τοῦ γὰρ στρατιώτου πάσχοντος τὸ θέλειν πέτεσθαι τὸν ὀϊστὸν καθ' ὅμιλον καὶ ψαῦσαι τὸ βέλος χροὸς καὶ τὸν σίδηρον αἵματος κορέσασθαι ἀπ' αὐτοῦ ἐπὶ τὰ ὅπλα γίνεται ἡ τροπὴ τὰ ποιοῦντα τὴν στρατιωτικὴν ἔφεσιν. ὅμοιον καὶ τὸ «γέλασε δὲ πᾶσα περὶ χθών». πάσχοντος γὰρ τοῦ θεατοῦ τὸ γελᾶν ἐπὶ τὴν ποιοῦσαν τοῦτο χθόνα τὸ τοῦ γέλωτος πάθος τέτραπται. (v.

1.716 127) Ὅτι ἐνταῦθα πρῶτον χρᾶται Ὅμηρος σχήματι ἀποστροφῆς, τῷ κατὰ κλητικὴν δηλαδὴ πτῶσιν, τὸν μὲν ἀκροατὴν ἀφείς, τρέψας δὲ τὸν λόγον πρὸς τὸν τῆς ἱστορίας Μενέλαον ἐν τῷ «οὐδὲ σέθεν, Μενέλαε, θεοὶ μάκαρες λελάθοντο». γίνονται δὲ παρ' Ὁμήρῳ αἱ ἀποστροφαὶ πρὸς ἀξιόλογα πρόσωπα, οἷον ἐν Ὀδυσσείᾳ μὲν ἅπαξ πρὸς τὸν εὐνούστατον τῷ δεσπότῃ Εὔμαιον, ἐν Ἰλιάδι δὲ διαφόρως πρός τινας οἵους ἀξίους εἶναι καλεῖσθαι προσφωνητικῶς καὶ τυγχάνειν ἐπιστροφῆς. οὐ γὰρ δήπου καὶ πρὸς τὰ τυχόντα τῶν προσώπων ἀποστρέφειν τὸν λόγον δέον ἥγηται ὁ σεμνότατος ποιητής, ὡς πολλαχοῦ φανήσεται. Τὸ δὲ λελάθοντο Ἰωνικῶς ἀναδεδιπλασίασται. (v. 128) Ὅτι ἀγελείη Ἀθηνᾶ οὐκ ἂν ἀπὸ τοῦ τὰ ἄγη ἐλαύνειν εἴη ἄν, ἵνα μὴ δασυνθῇ οὕτως ἡ ἄρχουσα. εἴρηται δὲ μᾶλλον ἢ ἀπὸ τοῦ λείαν ἄγειν—ληΐτις γάρ ἐστιν—ἢ παρὰ τὸ λεὼν ἄγειν ἤτοι λαόν, ὡς ἡγεμονική, ἀφ' ἧς ἐννοίας καὶ τὸν στρατηγὸν λαγέταν ἡ ποίησις ἔφη. ἐκεῖθεν δὲ καὶ τὰ κύρια, ὁ Ἀγησίλαος καὶ ὁ Ὁμηρικὸς Ἀγέλαος. (v. 129—31) Ὅτι ἡ Ἀθηνᾶ πρόσθε στᾶσα Μενελάου βέλος ἐχεπευκὲς ἄμυνε καὶ τόσον ἔεργεν ἀπὸ χροός, ὡς ὅτε μήτηρ παιδὸς ἐέργει μυῖαν, ὅθ' ἡδέϊ λέξεται ὕπνῳ, ἤγουν ὅτε εἰς ὕπνον ἡδὺν ἐκεῖνος κατενεχθῇ. καὶ ὅρα, ὅπως περιῆλθε τοὺς Τρῶας ἡ Ἀθηνᾶ δεξιώτατα, τὸν μὲν Πάνδαρον κατὰ Μενελάου ἐρεθίσασα ἐπὶ βλάβῃ τῶν ὅρκων, φυλάξασα δὲ τὸν Μενέλαον. κατὰ γὰρ τὴν τραγῳδίαν τὸ κακὸν δοκεῖ ποτ' ἐσθλὸν εἶναι τῷδε, ὅτῳ θεὸς φρένας ἄγει πρὸς ἄτην. ὃ καὶ Πάνδαρος ἔπαθε. διὰ δὲ τῆς κατὰ τὴν μυῖαν παραβολῆς τὸ παράμονόν τε τῆς φυλακῆς τῆς Ἀθηνᾶς ἐδήλωσεν ὁ ποιητὴς δεικνύς, ὅτι καὶ αὐτὴ τῷ Μενελάῳ παρμέμβλωκε καὶ τὴν τοῦ Πανδάρου βολὴν ἐξηυτέλισε, μυίας εἰκάσας πετάσματι τὴν τοῦ ἀβλῆτος πτερόεντος ὀϊστοῦ ἄφεσιν. ὑπνοῦντι δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παιδὶ τὸν ἥρωα Μενέλαον εἴκασε διὰ τὸ ἀφροντιστεῖν ἄρτι πεποιθότα τοῖς ὅρκοις καὶ οἷον ἀναπίπτειν καὶ ἀνακεῖσθαι. καιρία δὲ λέξις ἐν τοῖς ῥηθεῖσι τὸ εἴργειν καὶ ἀπείργειν, διὸ καὶ δὶς ἐρρέθη κατ’ ἐπιμονήν. (v. 132—9) Ὅτι πολλὰ φθάσας ὁ Μενέλαος δυστυχῆσαι τοῦθ’ ἓν μέγα, ὡς εἰκός, εὐτυχεῖ, ὅτι τὸ βέλος ἡ Ἀθηνᾶ τῶν καιρίων ἀπαγαγοῦσα τοῦ σώματος ἴθυνεν αὐτό, ὅθι ζωστῆρος ὀχῆες χρύσεοι σύνεχον καὶ διπλόος ἤντετο θώρηξ. καὶ τὸ ἐντεῦθεν γίνεται τοιαῦτα καθ’ Ὅμηρον· «ἐν δ’ ἔπεσε ζωστῆρι ἀρηρότι πικρὸς ὀϊστός, διὰ μὲν ἂρ ζωστῆρος ἐλήλατο δαιδαλέοιο καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο μίτρης θ’, ἣν ἐφόρει ἔρυμα χροός, ἕρκος ἀκόντων, ἥ οἱ πλεῖστον ἔρυτο, διαπρὸ δὲ εἴσατο καὶ τῆς», ἤγουν προῆλθεν ἐντὸς καὶ διὰ ταύτης, «ἀκρότατον δ’ ἂρ ὀϊστὸς ἐπέγραψε χρόα φωτός».

1.717 ἔστι δέ, ὃ λέγει, τοιοῦτον. (v. 133 s.) Θώραξ ἐλέγετό τις στατός, ὁ μέχρι λαγόνων ἄνωθεν καθήκων, ᾧ ἢ ἐπίκειται ἢ ὑποβέβληται ζωστήρ, ὃς κατά τινας καὶ ζῶμα ἐλέγετο, κατιὼν αὐτὸς ἀπὸ λαγόνων μέχρι γονάτων καὶ κνημῶν. ἃ δὴ ἀμφότερα, ἤγουν τὸν στατὸν θώρακα καὶ τὸν ζωστῆρα, συλληπτικῶς θώρακα ὁ ποιητὴς ἐνταῦθα λέγει, ὥστε εἶναι τὴν αὐτῶν συνοχὴν διπλόον θώρακα. (v. 137) Ἡ δὲ μίτρα ἐντὸς τούτων παρὰ τὸ ἦτρον πρὸς πλείω φυλακὴν ἔκειτο. διό φησιν· «ἥ οἱ πλεῖστον ἔρυτο», τουτέστιν ἐφύλασσεν, ὅθεν καὶ ἔρυμα χροὸς ἐτυμολογικῶς λέγεται, ἔσω μὲν ἐριώδης οὖσα, ἵνα μὴ θλίβῃ τὸ ὑποκείμενον, ἔξω δὲ χαλκῆν τινα λεπίδα, ἤγουν χαλκοῦν ἐκπέταλον ἔχουσα. διὸ καὶ προϊὼν ἐρεῖ, ὅτι χαλκῆες ἄνδρες ἔκαμον αὐτήν, ἣν δι’ αὐτὸ τοῦτο καὶ ἔρυμα χροὸς καλεῖ καὶ ἕρκος ἀκόντων. διὰ τοῦ θώρηκος οὖν τοῦ στατοῦ καὶ τοῦ μετ’ αὐτὸν ζωστῆρος καὶ τῆς μίτρας ἐλθὼν ὁ ὀϊστὸς οὐ μέγα τι ἔδρασε κατὰ τοῦ Μενελάου. οἱ δέ φασιν, ὅτι ἄνω τῆς μίτρας καὶ τῆς συνδέσεως τοῦ ῥηθέντος ζώματος καὶ τοῦ στατοῦ θώρακος ζώνη ἐπέκειτο σφίγγουσα τὰ πάντα, ἥτις ἐκαλεῖτο ζωστήρ. οὗ ζωστῆρος ἄνω ἐμπεσὼν ὁ τῷ Μενελάῳ ἐπαφεθεὶς ὀϊστὸς οὐ πολὺ τὸ ἐνεργὸν ἔσχεν, ἀλλὰ ἀκρότατον ἐπέγραψε χρόα φωτὸς ἀποκωλυσάντων τὴν εἰς βάθος πρόοδον πρῶτα μὲν τοῦ ἐξ ἐπιπολῆς ζωστῆρος, ἤτοι τῆς ζώνης χρυσῆς οὔσης, —χρύσεοι γάρ, φησίν, ὀχῆες ζωστῆρος συνεῖχον—εἶτα τοῦ διπλοῦ, ὡς εἴρηται, θώρακος, τουτέστι τοῦ στατοῦ καὶ τοῦ ὑποβεβλημένου αὐτῷ ζώματος, καὶ τετάρτης τῆς μίτρας. ὅτι δὲ ὁ ζωστὴρ ἄνω ἦν τοῦ ζώματος, δηλοῖ ὁ ποιητὴς ἐν τοῖς ἑξῆς λέγων· εἰρύσατο ζωστὴρ παναίολος καὶ ὑπένερθε ζῶμα καὶ μίτρη, πλέον αὐτὴ τὸ βέλος ἀμβλύνασα. ἄλλοι δὲ διπλοῦν θώρακα νοοῦσι τὰ πρὸς ταῖς λαγόσι καὶ ἐκ πλαγίων πτερύγια τοῦ θώρακος, ἅπερ πτυχθέντα καὶ οὕτως ἀλλήλοις ἐπιφερόμενα καὶ τῷ ζωστῆρι σφιγγόμενα διπλοῦσιν ἐκεῖ τὸν θώρακα. Σημείωσαι δέ, ὅτι μίτρα παρὰ τοῖς μεθ’ Ὅμηρον καὶ ἐπὶ τῆς περὶ κεφαλὴν ταινίας λέγεται, ἤτοι κοινότερον εἰπεῖν ἐπὶ φασκίας, ὡς δηλοῖ παρ’ Εὐριπίδῃ τὸ μίτραις ἀναδέτοις ῥυθμίζεσθαι πλόκαμον, καὶ τὸ παρ’ Ἡροδότῳ «μίτραις κατειλίχατο», καὶ οἱ περὶ κεφαλὰς μιτροφόροι.

1.718 ἐξ ὧν ὁρμώμενοί τινες ταινίαν ἡρμήνευσαν ἁπλοϊκῶς οὕτω τὸν στέφανον. Φασὶ δέ τινες καὶ αὐτὸ τοῦτο στεφάνους εἶναί ποτε τὰς μίτρας, φάμενοι, ὅτι μίτραι κυρίως οἱ ἀπὸ φασκιῶν καὶ ὡραρίων στέφανοι. γυναικεῖοι δὲ ἴσως καὶ οἱ τοιοῦτοι. παρὰ τὸν μίτον δὲ ἡ λέξις ἐτυμολογεῖται, ὡς οἷον μιτηρά τις οὖσα. (v. 132) Ὅρα δὲ καί, ὡς οὐ μόνον ὀχεὺς πυλῶν καὶ περικεφαλαίας, ἀλλ’ ἰδοὺ καὶ ζωστῆρος ὀχῆες ἀπὸ τοῦ ἔχειν λεγόμενοι καὶ αὐτοί. φησὶ γοῦν κατὰ τρόπον ἐτυμολογίας, ὅτι ζωστῆρος ὀχῆες χρύσειοι σύνεχον. (v. 137 s.) Τοιοῦτος δὲ τρόπος καὶ τὸ «ἔρυμα χροός, ἥ οἱ πλεῖστον ἔρυτο». ἀπὸ γὰρ τοῦ ἐρύω ἐτυμολογεῖται τὸ ἔρυμα. (v. 133) Τὸ δὲ ἤντετο γλυκέως εἴρηται ὡς ἐπὶ ἐμψύχου. δοκεῖ γάρ πως τὰ διπλούμενα συναντᾶν ἀλλήλοις. ἐνεστὼς δὲ αὐτοῦ συνηθέστατος Ὁμήρῳ τὸ ἄντω βαρύτονον, ἐξ οὗ τὸ ἄντομαι καὶ ἀντόμενος. οἱ μέντοι μεθ’ Ὅμηρον περισπῶσιν ὡς τὸ βοῶ. (v. 134) Οὐ πόρρω δὲ γλυκύτητος οὐδὲ τὸ ἐνέπεσεν ὀϊστός. ὁ μέντοι κοινότερον φράζων εἴποι ἂν ἐνέκρουσε. Τὸ δὲ ἀρηρότι δόξοι ἂν παράγωγον εἶναι τοῦ ζωστῆρος, ἵνα εἴη ζωστὴρ ζῶμα ἀρηρός. (v. 135) Τὸ δὲ ἐλήλατο ταὐτὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐστι τῷ διῆλθε. Σημειωτέον δὲ καί, ὅτι πάντα τὰ τοῦ χωρίου τούτου συχνοῖς ἐπιθέτοις κοσμεῖ κατὰ ἰδέαν γλυκύτητος, πικρὸν μὲν καὶ ὀξυβελῆ τὸν ὀϊστὸν εἰπὼν καὶ βέλος ἐχεπευκές, δαιδάλεον δὲ τὸν ζωστῆρα, πολυδαίδαλον δὲ τὸν θώρακα, τὴν δὲ μίτραν ἔρυμα χροός καὶ ἕρκος ἀκόντων, [ὃ δὴ ἑτεροῖόν ἐστι τοῦ ἕρκος πολέμου. ἐκεῖνο γὰρ σεμνότερον, διὸ καὶ ἡρωϊκοῖς ἀνδράσι πολεμισταῖς ἐπιλέγεται, Αἴαντι δηλονότι καὶ τοῖς τοιούτοις. (v. 137) Ὅρα δέ, ὡς ὁμώνυμος ὢν φωνὴ ὁ ἄκων, ὁ μὲν κατὰ μάχην παρὰ τὴν ἀκὴν γίνεται, ὃ δηλοῖ σιδήρου ὀξύτητα, ὁ δὲ λοιπὸς ἐκ τοῦ ἀέκων κέκραται.] Τὸ δὲ ἐφόρει δηλοῖ μὲν τὸ ἔφερε, κεῖται δὲ κοινότερον καὶ ἐπὶ ἐνδύσεως—φορεῖ γοῦν τις ἱμάτιον—καὶ ἐπὶ ὑποδέσεως, ὅθεν ἀφόρητοι βλαῦται παρὰ Ἀθηναίῳ ὑποδήματα μήπω φορηθέντα ποσί. Τὸ δέ «ἔρυμα χροός, ἕρκος ἀκόντων», ἔπαινος μέν ἐστι τῆς ῥηθείσης μίτρας, πεφιλοτίμηται δὲ κομματικῶς ἐν ὁμοιότητι νοημάτων. εἴληπται δὲ ὡς ἀπὸ τείχους, ὃ λαοῦ τέ ἐστιν ἔρυμα καὶ ἕρκος πολεμίων. διὸ καὶ ὅμοιον ἕρκος πολέμου εἰπεῖν καὶ ἕρκος ἀκόντων. Ἡ δὲ χρῆσις τοῦ χροός πάνυ συνήθης Ὁμήρῳ. δῆλον δέ, ὡς ἐκ τοῦ χροῦς Δωρικώτερον γέγονεν ὁ χρὼς συνεκδραμὼν κατὰ τὸν ὀξὺν τόνον τῷ ἱδρώς, οὐ μὴν τοῖς ἀνομοιογενέσι μονοσυλλάβοις, ὁποῖα ἡ Κῶς, ἡ Τλῶς, ἡ Κρῶς.

1.719 (v. 138) Τοῦ δὲ εἴσατο εἴω ἐστὶ τὸ θέμα, ὃ πολλαχοῦ διαφαίνεται. ταὐτὸν δὲ κατ' ἔννοιαν τὸ διελήλατο καὶ τὸ διαείσατο, πλὴν ὅσον τοῦτο μὲν ποιητικώτερον, ἐκεῖνο δὲ κοινότερον. (v. 139) Τὸ δὲ ἀκρότατον τὸ πάντῃ ἀβαθὲς δηλοῖ τῆς πληγῆς. διὸ τὸ «ἐπέγραψεν ἀκρότατον χρόα» ταὐτόν ἐστι τῷ ἐπιπολῆς ἔξεσε. γράψαι γὰρ τὸ ἐπιξέσαι, ὡς καὶ ἀλλαχοῦ λεχθήσεται. ὅτι δὲ καὶ τραχύτερον εἰς ἐκφώνησιν τὸ γράφειν τοῦ ἐν Ὀδυσσείᾳ γλάφειν, καὶ αὐτὸ ἀλλαχόθι ῥηθήσεται. (v. 140) Ὅτι πληγῆς φραστικὸν τὸ «αὐτίκα δ' ἔρρεεν αἷμα κελαινεφὲς ἐξ ὠτειλῆς». Ἰστέον δέ, ὅτι αἷμα μέν ἐστι κελαινεφὲς τὸ κελαινὸν φαινόμενον καὶ αὐτόχρημα καθ' Ὅμηρον εἰπεῖν μέλαν, ὡς μετ' ὀλίγα ἐρεῖ, καὶ κελαινὸν δέ, ὡς ἐν τῇ α' ῥαψῳδίᾳ ἔφη. Ζεὺς δὲ κελαινεφὴς καὶ αὐτὸς μὲν λέγοιτ' ἂν οὕτω διὰ τὸ μέλας εἶναι φανῆναι καὶ δυσόρατος. μέλας γὰρ ὁ ἀήρ, ὅθεν καὶ ἠερόεν τὸ σκοτεινὸν καὶ ἠέρα τὴν ἀορασίαν φησὶν ὁ ποιητής. Ἐτυμολογεῖται δὲ καὶ ἄλλως ἐκεῖνος παρὰ τὸ τὰ νέφη κελαίνειν ἤτοι μελαίνειν, ὡς καὶ ἀλλαχοῦ γέγραπται. νεφεληγερέτης γάρ. Ὠτειλὴ δὲ κυρίως μὲν τραῦμα τὸ ἐκ τοῦ οὐτάσαι, ὅ ἐστιν ἐγγύθεν τρῶσαι. Ὅμηρος δὲ ἐνταῦθα τὸ ἐκ τῆς βολῆς οὕτως ἐκάλεσε. καὶ μὴν ἄλλως διαφορὰν οἶδεν Ὅμηρος τοῦ οὐτάσαι καὶ τοῦ βαλεῖν, ὡς πολλαχοῦ φανήσεται. διαφέρει δὲ οὐλῆς ὠτειλή, ὅτι ὠτειλὴ μὲν αὐτὸ τὸ τραῦμα, οὐλὴ δὲ τύλος ἢ τύπος θεραπευθέντος τραύματος. Τοῦ δέ «ἔρρεεν αἷμα» ἑτεροῖόν ἐστι τὸ «ἀνεκήκιεν αἷμα», ὡς ἑτέρωθι φανεῖται. (v. 141—7) Ὅτι αἱ ἐκ Καρίας καὶ αἱ Λυδαὶ γυναῖκες ἀγαθαὶ ἦσαν βάπτειν ἐλεφάντων ὀστᾶ φοινικῷ χρώματι καὶ ὅτι ὁ τοιοῦτος ἐλέφας ἐν θαλάμῳ τοῖς βασιλεῦσιν ἔκειτο ἄγαλμα. οὔπω γὰρ ὁ χρυσὸς ἐτυράννει τῶν ἄλλων ὑλῶν. Καὶ σημείωσαι, ὅπως ἀνέκαθεν τὰ ἐρυθροβαφῆ βασιλέων ἦσαν παράσημα. τοιούτῳ ἐλέφαντι ἀπεικάζει Ὅμηρος τὰ κάτω τοῦ Μενελάου, ὅτε τῷ ἐκ βολῆς αἵματι περιερρέοντο, λέγων οὕτω· «ὡς δ' ὅτε τίς τ' ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ Μῃονὶς ἠὲ Κάειρα παρήϊον ἔμμεναι ἵππων, κεῖται δ' ἐν θαλάμῳ, πολέες τέ μιν ἠρήσαντο ἱππῆες φορέειν, βασιλῆϊ δὲ κεῖται ἄγαλμα, ἀμφότερον κόσμος τε ἵππῳ ἐλατῆρί τε κῦδος, τοῖοί τοι Μενέλαε μιάνθην αἵματι μηροὶ εὐφυέες κνῆμαί τε ἠδὲ σφυρὰ κάλ' ὑπένερθεν».

1.720 (v. 146 s.) Καὶ οὕτω μὲν ἡ παραβολὴ λευκὸν φύσει τὸν Μενέλαον ἱστορεῖ. εἰ δὲ καὶ θηλυπρεπὲς ἐν ἥρωσιν ἡ λευκότης, διὸ τὸν Τρωϊκὸν Κύκνον Θεόκριτος τοιοῦτον ὄντα θῆλυν ἀπὸ χροιᾶς ἔφη, ἀλλ' ἐνταῦθά φασιν οἱ παλαιοί, ὅτι κἂν ἄλλως εὐπαθὲς τὸ λευκόν, ἰσχυρότερα δὲ τὰ μελάγχροα τῶν σωμάτων, ἀλλὰ παρὰ τοῖς Λάκωσι χαρακτὴρ ἀνδρίας ἦν λευκὸς χρὼς καὶ κόμη ξανθή, ὁποῖον καὶ τὸν Ἀλέξανδρον εἶναι ἱστορεῖ ὁ ποιητής. ὅτι δὲ τὸ ἐν σώμασι λευκὸν οὐκ ἐν ἐπαίνῳ ἦν, καὶ ἐν ῥητορικοῖς δηλοῦται Λεξικοῖς, ὧν ἐν θατέρῳ μὲν κεῖται, ὅτι λευκοὶ οἱ δειλοὶ καὶ λευκώπιοι οἱ αὐτοί, ἐν δὲ ἑτέρῳ, τῷ τοῦ Αἰλίου Διονυσίου δηλαδή, τὸ «οὐδὲν λευκῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνδρῶν ὄφελος». ᾧ συμπαράκεινται καὶ ἕτεραι κεφαλαιώδεις παροιμίαι αὗται, καὶ «οὐδεὶς δυσώνης χρηστὸν ὀψωνεῖ κρέας», καὶ «οὐδὲν φρονεῖ δίκαιον ἐστυκὼς ἀνήρ». Ὅρα δέ, ὡς καὶ αὕτη ἡ παραβολὴ ἔχει τι πολυμαθίας διὰ τῶν ἐν αὐτῇ ἱστοριῶν, πολλαχοῦ καὶ τοῦτο τεχναζομένου τοῦ ποιητοῦ, ὡς προδεδήλωται. (v. 141) Ἰστέον δέ, ὅτι ἐλέφαντα μὲν λέγει τὸ ἐλεφάντινον ὀστοῦν, τῷ τοῦ ὅλου ὀνόματι ὀνομάζων τὸ μέρος. ᾧ τρόπῳ καὶ βοῦς τὸ δέρμα, ἡ βύρσα δηλαδή, καὶ παρὰ Σοφοκλεῖ «γέλωτι φαιδρὸν κάρα», ἤτοι πρόσωπον. ὅτι δέ ποτε καὶ τὸ ὅλον τῷ τοῦ μέρους καλεῖται ὀνόματι, μικρὸν ὅσον δηλωθήσεται. τινὲς δὲ ἐλεφαντά ἀναγινώσκουσιν ὀξυτόνως, ὡς τὸ καλά, ἵνα λέγῃ τὰ ἐλεφάντινα. Φοίνικα δὲ λέγει τὸ φοινικοῦν χρῶμα τὸ ἐκ καρποῦ, φασί, πρίνου, ὃ μάλιστα πολὺ λέγονται συλλέγειν Τροιζήνιοι.
1.721 ὁμωνυμεῖ δὲ τῇ ῥηθείσῃ λέξει καὶ ἡ ὀπώρα ὁ φοῖνιξ. δι’ αὐτὴν δὲ καὶ τὸ δένδρον ὁ φοῖνιξ. ἀρχὴ δὲ παραγωγικὴ αὐτῆς ὁ φόνος ἤτοι τὸ αἷμα, οὗ πρὸς ὁμοιότητα ὁ τοῦ φοίνικος καρπὸς ἐρεύθεται. ὅθεν καὶ Φοῖνιξ κύριον διὰ τὸν κατ’ αὐτόν, ὡς εἰκός, φοινίκεον χροῦν. Μιαίνειν δὲ παρὰ τῷ ποιητῇ τὸ βάπτειν, ὅπερ ἄλλοι φαρμάσσειν φασίν. ἐντεῦθεν καὶ μιαιφόνος Ἄρης οὐκ ἐπὶ ψόγῳ, ἀλλ’ ὡς αἱμοβαφής, καὶ μιαρὸς αἵματι οὐχ’ ὡς μιαραὶ ἡμέραι παρὰ τοῖς ὕστερον αἱ τῶν κατοιχομένων, ἀλλ’ ὁ αἱμοβαφὴς κατὰ τὸ «οὐδέ ποθι μιαρός», ὅπερ ἐν τῷ τέλει τῆς Ἰλιάδος κεῖται. (v. 142) Μῃονὶς δὲ γυνὴ ἡ Λυδή. Μαίονες γάρ, ὡς καὶ προδεδήλωται, καὶ Μῄονες οἱ Λυδοί, παρ’ οἷς καὶ ἀγαθαὶ λέγονται εἶναι βαφαί. Κάειρα δὲ γυνὴ ἡ Καρίνη κατὰ τοὺς παλαιοὺς ἢ Καρική, ἤτοι ἐκ Καρίας. παρὰ δὲ Ἡροδότῳ κεῖται καὶ ἐσθὴς Κάειρα. ἔστι δὲ παρά τισι τῶν παλαιῶν εὑρεῖν καί, ὅτι διὰ τοῦ ι τινες τὸ Κάϊρα γράφοντες, εἶτα καὶ δισυλλάβως Καῖρα συναιροῦντες ἔλεγον, ὡς καὶ ἐν τῇ Βοιωτίᾳ δεδήλωται. κατὰ τὸν ὅμοιον δὲ τρόπον καὶ Δάειρα κατὰ Αἴλιον Διονύσιον διὰ τοῦ ι γραφὲν πρός τινων, εἶτα συναιρεθὲν δισυλλάβως ὑπὸ Ἀττικῶν Δαῖρα ὀνομάζεται. ἦν δέ, φησί, μήτηρ Ἐλευσῖνος. περὶ δὲ τούτου καὶ ἐν τοῖς ἑξῆς που ῥηθήσεται. Παρήϊον δὲ ἵππων τὸ τοῦ χαλινοῦ παραγναθίδιον. λέγεται δέ ποτε οὕτω καὶ αὐτὴ ἡ παρειά. [Ὅρα δ’ ἐντεῦθεν καί, ὅτι παρειά καὶ ἐπὶ ἀλόγων ζῴων φαίνεται λέγεσθαι.] (v. 143) Τὸ δέ «κεῖται ἐν θαλάμῳ», καθὰ καὶ τὸ «κεῖται ἄγαλμα» κειμήλιον εἶναι δηλοῖ καὶ τὸν τοιοῦτον ἐλέφαντα, ταὐτὸν δὲ εἰπεῖν, ἀπόθετον κτῆμα, ἐπεὶ καὶ ταὐτὸν κεῖσθαι καὶ ἀποτεθεῖσθαι. Τὸ δέ «πολέες ἠρήσαντο» πολυέραστον εἶναι δηλοῖ τὸν ῥηθέντα ἐλέφαντα. (v.
1.722 144) Τὸ δὲ φορέειν ἀπὸ τοῦ ἵππου μετήνεκται εἰς τὸν ἱππότην. ἵππος γὰρ φορεῖ παρήϊον ἐξ ἐλέφαντος, οὐ μὴν ὁ ἱππεύς. Ἄγαλμα δὲ πανταχοῦ παρὰ τῷ ποιητῇ πᾶν, ἐφ’ ᾧ τις ἀγάλλεται, ὡς δηλοῖ καὶ ἡ Ὀδύσσεια, εἰ καὶ οἱ μεταγενέστεροι ἐπὶ ξοάνου τὴν λέξιν τεθείκασι. [Παλαιὸς δέ τις γράφει οὕτως· ἄγαλμα οὐ συνήθως τὸ θεῶν ἢ ἡρώων, ἀλλὰ κοινῶς, οἷον «βασιλῆϊ δὲ κεῖται ἄγαλμα» καὶ «ἄλλα δ’ ἀγάλματ’ ἀνῆψεν, ὑφάσματά τε χρυσόν τε» καὶ «ἵν’ ἄγαλμα κεχάροιτο ἰδοῦσα». Ἰστέον δὲ καί, ὅτι τὸ μὴ λαμπρὸν ἄγαλμα, εἴτ’ οὖν ἀγαλλίαμα, εἴη ἄν ποτε καὶ ἄθυρμα, ὅτε δηλαδὴ ἀφελέσι προσώποις χορηγεῖται, ὡς ἡ Ὀδύσσεια δηλοῖ ἐν τῷ «ἐδίδου ἀθύρματα».] Ἰστέον δέ, ὡς, εἰ καὶ ταὐτὰ νοεῖ τὸ χαίρειν καὶ τὸ ἀγάλλεσθαι, ἀλλὰ τὰ ἐξ αὐτῶν, τὸ ἄγαλμα καὶ τὸ χάρμα, διαφέρουσι. βαρύτητος μὲν γὰρ τὸ χάρμα, ἐπεὶ καὶ μυκτῆρα δηλοῖ καὶ κατάγελων, ὡς δηλοῖ τὸ «δυσμενέσι μὲν χάρμα» καὶ τὸ «σὸν ἅρμα χάρμα καὶ γέλως». ἑτεροίας δὲ ἡδονῆς τὸ ἄγαλμα, ὡς καὶ τὸ ἀγαλλίαμα. καὶ τὸ χαίρειν δέ γε καὶ τὸ ἀγάλλεσθαι δοκεῖ ποτε διαφορὰν ἔχειν. χαίρει μὲν γάρ τις καὶ ἐπὶ ἐχθρῷ, ἤγουν κατὰ ἐχθροῦ, ἀγάλλεται δὲ ἄλλως ἐπὶ μόνοις τοῖς φιλουμένοις, ὡς εἰ καὶ φιλόκαλος ἐπί τινι καλλωπισμῷ. (v. 145) Τὸ δὲ ἀμφότερον σχῆμα καὶ νῦν ἐπιρρηματικὸν Ὁμηρικόν, ὡς καὶ πρὸ τούτων ἐφάνη. Κόσμος δὲ κύδους διαφέρει, καθότι ὁ μὲν εἰς κάλλος τῷ ἵππῳ συμβάλλεται, τὸ δὲ κῦδος ἐκεῖθεν παρέπεται τῷ κειμηλιοῦντι τὸν ἐλέφαντα. (v. 146) Τὸ δέ «μιάνθην μηροί» δυϊκόν ἐστι ῥῆμα ἀπὸ τοῦ μιανθήτην γεγονὸς κατὰ συγκοπήν. εἰ δέ τις ὑπολάβῃ χρῆναι γράφεσθαι «μίανθεν αἵματι μηροί», τουτέστιν ἐμιάνθησαν, ἔχοι ἂν ἴσως προσιστάμενον τῇ τοιαύτῃ ἐννοίᾳ τὸν μετρικὸν

ποδισμόν. Ὅρα δὲ καὶ τὴν ἀπόδοσιν τῆς παραβολῆς. οὐ γὰρ κατέληξε συνήθως εἰς τὸ ὥς, ἀλλὰ εἰς τὸ τοῖοι διὰ ποικιλίαν ῥητορικήν. ἐξευτελίζει δὲ καὶ τὴν τοῦ Πανδάρου βολὴν ἡ παραβολή. ὡς γὰρ ἐλέφας τέχνῃ βάπτεται ὑπὸ γυναικῶν, οὕτως οἱ τοῦ Μενελάου μηροὶ ἐκ τῆς τοῦ Πανδάρου βολῆς. (v. 147) Εὐφυεῖς δὲ μηροὶ οἱ εὖ πεφυκότες καὶ τῷ ὅλῳ σύμμετροι. ὅτε μέντοι εὐφυέα που πτελέην ἐν τοῖς ἑξῆς ἐρεῖ ὁ ποιητής, τότε μάλιστα κυριολεκτεῖ. οἱ δέ γε παρὰ τοῖς ὕστερον εὐφυεῖς ψυχικῶς ἐπαινοῦνται ὡς εὖ πεφυκότες εἰς τὸ μαθεῖν, τὸ δὲ παρ' Εὐριπίδῃ «εὐφυὲς πρόσωπον» κατὰ τοὺς εὐφυεῖς ἐρρέθη μηροὺς ἐκ τῆς καθ' Ὅμηρον φυῆς.

1.723 Σφυρὰ δὲ καλὰ τῷ Μενελάῳ, πρὸς ἀναλογίαν καὶ αὐτὰ τοῦ ὅλου σώματος. Καὶ σημείωσαι, ὅτι κατὰ τοῦτον τὸν λόγον οὐδ' ἂν Ἀλεξάνδρου ψόγος εἴη τὸ ἀργύρεα ἤτοι λευκὰ καὶ καλὰ ἔχειν τὰ ἐπισφύρια. Ὅρα δὲ καί, ὅτι ἄλλο μὲν τὸ καλὰ σφυρὰ ἔχειν, ἄλλο δὲ τὸ καλλίσφυρος. τὸ μὲν γὰρ σύνθετον γυναικὸς ἐπίθετον, καλὰ δὲ σφυρὰ ἰδοὺ καὶ ἐπὶ ἥρωος εἴρηται. σφυρὰ δὲ λέγεται τὰ ἀπολήγοντα πρὸς τῷ ἀστραγάλῳ καὶ ἐκ πλαγίου ἐξέχοντα, καθ' ὁμοιότητα, ὡς οἱ παλαιοί φασι, τῶν χαλκευτικῶν σφυρῶν. Ἰστέον δὲ καί, ὅτι ἐνταῦθα σαφῶς καὶ εὐτάκτως Ὅμηρος τὴν τῶν σφυρῶν τάξιν δηλοῖ εἰπών· «μηροὶ κνῆμαί τε καὶ σφυρὰ ὑπένερθεν», οἷς ὑπόκεινται πόδες τὸ ἔσχατον, κατ' Ἀριστοτέλην εἰπεῖν, ὧν, φησί, τὸ μὲν ἐσχισμένον κατὰ τὸ ἐμπρόσθιον δάκτυλοι, τὸ δὲ σαρκῶδες κάτωθεν στῆθος. Ἰστέον οὖν, ὅτι μηρῶν ὄντων, εἶτα κνημῶν, ἐπὶ δὲ ταύταις σφυρῶν, καὶ τελευταῖον ποδῶν, ὁ εἰπὼν τὸ ὅλον πόδας ἐκ μέρους τὸ ὅλον ὀνομάζει, ὡς καὶ ἐπὶ ἄλλων πολλῶν γίνεται. (v. 151) Ὅτι ὄγκους ὁ ποιητὴς ὀνομάζει τὰς ἀκίδας, αἳ γωνιοῦσι τὸ βέλος, εἰπών· «ὡς δ' ἴδε νεῦρόν τε καὶ ὄγκους ἐκτὸς ἐόντας, ἄψορρόν οἱ θυμὸς ἐνὶ στήθεσιν ἀγέρθη». καὶ προϊὼν δὲ ὀξέες ὄγκοι φησί. καὶ ἐν Ὀδυσσείᾳ δὲ σιδηροθήκην τινὰ ἢ βελοθήκην ὄγκιον καλεῖ. οἱ δὲ παλαιοί φασι καὶ οὕτως· ὄγκοι· γωνίαι, καὶ ὄγκαιον· ἀγγεῖον, τὸ καὶ ὄγκιον, ἐν ᾧ ἀκίδες βελῶν. ἐκ δὲ τοῦ τοιούτου ὄγκου καὶ ἐπὶ ἀλαζονικοῦ ὀξύτητος ἡ μεταφορὰ γίνεται. Νεῦρον δὲ λέγει τὸ κύκλῳ σφίγγον τὴν τοῦ σιδήρου τοῦ βέλους ἐμβολήν. [Καὶ νῦν μὲν φυσικῶς ἡ λέξις ἔχει. ὅτε δέ τις ἀκολουθῶν παλαιᾷ χρήσει νεῦρα πραγμάτων ἐρεῖ τὰ χρήματα, τροπικῶς ἔφρασεν, ὥσπερ καὶ ὁ εἰπὼν ἐκνενευρίσθαι τοὺς ἀσθενῶς ἢ ἀμελῶς περὶ τὰ πρακτέα ἔχοντας. καὶ ὁ μετενεγκὼν δὲ ἀπὸ τῶν νευροσπαστουμένων ζῴων τοὺς νευροσπάστας ὁμοίως ἐποίησεν, ὧν παρώνυμος ἡ νευροσπαστικὴ τέχνη, ἐφ' ᾗ περίπυστος ἦν, φασί, Ποθεινὸς ὁ ἐξ Ἀθηνῶν. τέχνη δὲ πάντως οὐ σπουδαία ἡ νευροσπαστική, ἀλλὰ τῶν κατ' εἶδος παιδιᾶς.

1.724 δῆλον δ' ὅτι ἀλλοπαθοῦς ῥήματος ὄντος τοῦ ἐκνευρίζειν προϋπόκειται τὸ νευρῶ, τουτέστιν ἐνδυναμῶ.] (v. 152) Ἰστέον δὲ καί, ὅτι τὸ «θυμὸς ἀγέρθη», ὅ ἐστι συνήχθη, συντίθησι παρ' Ὁμήρῳ τὸ θυμηγερέειν. δῆλον δέ, ὡς ὁ συναγερθεὶς θυμὸς φθάσας ἐξέλιπε, τοῦτο δὴ τὸ παρ' Ὁμήρῳ μὲν ὀλιγηπελέειν, παρὰ δὲ τοῖς ὕστερον ὀλιγοθυμεῖν καὶ λειποψυχεῖν, ὃ καὶ ὁ βασιλεὺς παθὼν διὰ τὸν ἀδελφόν, εἶτα συνήγαγε θυμόν. ἐνέφηνε δὲ ὁ ποιητὴς τὸ ῥηθὲν λειποψύχημα διὰ τοῦ περὶ τὸν βασιλέα φόβου εἰπών· «ῥίγησε δ' ἄρ ἔπειτα ἄναξ ἀνδρῶν». (v. 153) Ὅτι πένθους δηλωτικὸν τὸ «τὸν δὲ βαρυστενάχων μετέφη ὁ δεῖνα χειρὸς ἔχων, ἐπεστενάχοντο δ' ἑταῖροι». (v. 155 s.) Ὅτι τὸ εἰς ἐπικίνδυνον μονομαχίαν ἐναγαγεῖν οἷον, ἤγουν μόνον, προστῆσαί φησιν ἐν τῷ «φίλε κασίγνητε, θάνατον νύ τοι ὅρκι' ἔταμνον οἶον προστήσας πρὸ Ἀχαιῶν Τρωσὶ μάχεσθαι». ἐκ δὲ τούτου καὶ προστατεῖν ῥῆμα τὸ πρὸ τῶν ἄλλων ἵστασθαι, εἰ καὶ μὴ εἰς μονομαχίαν, ἀλλ' οὖν εἴς τινα βοήθειαν. Ἰστέον δέ, ὅτι τὸ φίλε ἐκτείνει ἐνταῦθα τὴν παραλήγουσαν, οὐχ' ὥστε μὴν καὶ περισπασθῆναι αὐτήν, ἀλλὰ κατὰ λόγον κοινῆς συλλαβῆς διὰ τὴν ὀξεῖαν, ὡς καὶ ἐν ἄλλοις γίνεται. Τὸ δὲ ἔταμνον πρώτου προσώπου ἐστί, λέγοντος τοῦ βασιλέως, ὅτι θάνατόν σοι ἔθυσα τοὺς γενομένους ὅρκους. Καὶ ὅρα τὸ καίριον τοῦ ὅρκια τάμνειν, περὶ οὗ προείρηται· δυνάμενος γὰρ εἰπεῖν ὅρκι' ἔτευξα, ὁ δ' οὐχ' οὕτως ἔφη, ἀλλὰ τὴν τοῦ τάμνειν λέξιν προέκρινε. Τὸ δέ «οἶον μάχεσθαι» προϋπάρχει τοῦ μονομαχεῖν. Τὸ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προστήσας ἔοικεν ἀπὸ ἱερείου ἐνταῦθα ληφθῆναι, ὃ πρὸ ἑτέρων ζῴων ἵσταται ἀγόμενον ἐπὶ σφαγῇ. (v. 157) Ὅτι ὅπερ ἔφη πρὸ τούτου πημῆναι ὅρκια καὶ δηλήσασθαι, ἐνταῦθα ὅρκια πιστὰ πατῆσαί φησι, δριμύτερον δὲ τοῦτο ἐκείνων. πολλὴν γὰρ δηλοῖ καταφρόνησιν τὸ πατῆσαι, ταὐτὸν ὂν τῷ ῥῖψαι οἷον εἰς πάτον, ἤγουν εἰς τρίβον, καὶ ἐπεμβῆναι ὑβριστικῶς. (v. 158 s.) Ὅτι ἀγαθὴ ἔννοια εἰς φυλακὴν ὅρκου τὸ «οὐ μέν πως ἅλιον πέλει ὅρκιον καὶ δεξιαί, ᾗς ἐπέπιθμεν», ἤγουν αἷς ἐπείσθημεν. ἔστι δέ, ὡς καὶ προείρηται, τοῦ ἐπέπιθμεν πρῶτον ἑνικὸν πρόσωπον ὁ «ἐπέπιθον» δεύτερος Ἰωνικὸς ἀόριστος, οὗ τὸ πληθυντικὸν συγκοπὲν Αἰολικῶς πεποίηκε τὸ ἐπέπιθμεν, ὅπερ οὐκ ἂν προφέροι τις πεζολογῶν. οἷον δέ τι παρὰ τοῖς παλαιοῖς ἡ τῶν δεξιῶν ἅψις, δηλοῖ καὶ ἡ Ὀδύσσεια. Σημείωσαι δ' ἐντεῦθεν, ὅτι ἐν τοῖς ὅρκοις καὶ δεξιῶν ἥπτοντο, εἰ καὶ Ὅμηρος οἰκείῳ νόμῳ τοῦτο ἐσίγησεν ἐν τοῖς φθάσασιν, ὡς καὶ ἐπὶ ἄλλων πολλῶν ποιεῖ κατὰ σχῆμα ἀποσιωπήσεως.

1.725 ὅτι δὲ ἐκ τῶν ῥηθεισῶν δεξιῶν καὶ τὸ φιλικῶς δεξιοῦσθαι εἴρηται καὶ ἡ κατὰ φιλίαν δεξίωσις, δῆλόν ἐστιν. Οὐκ εἶναι δὲ ἅλιον τὸ ὅρκιον λέγει διὰ τὸ ὑπὸ θεοῦ ἐφορᾶσθαι καὶ τοὺς ὅρκους, ὡς καὶ πᾶσαν ἄλλην φιλοτήσιον δεξίωσιν. διὸ καθὰ ὅρκιος Ζεύς, οὕτω καὶ φίλιος ὁ αὐτὸς καὶ ἑταιρεῖος, καθ' ὅμοιον δὲ λόγον καὶ ὁμόγνιος, ὡς καὶ πατρῷος, πρὸς τούτοις δὲ καὶ ἑρκεῖος καὶ ἐφέστιος, ὁ καὶ ἐπίστιος Ἰωνικῶς, καὶ ὅσα δὲ ἄλλα τοιαῦτα κοινωνικὰ ὀνόματα, ἐν οἷς καὶ ὁ ξένιος καὶ ὁ φράτριος. (v. 160—2) Ὅτι γενναίου στρατηγοῦ ἴδιον τὸ μὴ συμπεπτωκέναι τοῖς καιροῖς, ἀλλ' ἐλπίζειν ἀεὶ τὰ χρηστότερα. οὕτως Ἀγαμέμνων, εἰ καὶ βεβλῆσθαι καιρίως οἴεται τὸν ἀδελφὸν καὶ ὡς τεθνηξόμενον πενθεῖ, ὅμως πέποιθεν, ὡς εἰ καὶ μὴ αὐτίκα τετέλεσται κακὰ τοῖς ἐχθροῖς, ἀλλ' ὀψὲ γοῦν τελεσθήσεται. λαλεῖ οὖν εὐέλπιδος ἀνδρὸς λόγους εἰπών· «εἴπερ γάρ τε καὶ αὐτίκ' Ὀλύμπιος οὐκ ἐτέλεσσεν, ἔκ τε καὶ ὀψὲ τελεῖ, σύν τε μεγάλῳ ἀπέτισαν». εἶτα ἑρμηνεύων, τί δηλοῖ τὸ «σὺν μεγάλῳ», φησί· «σὺν σφῇσι κεφαλῇσι γυναιξί τε καὶ τεκέεσσιν». [Οὐ καινὸν δὲ τὸν ἠδικημένον Μενέλαον εὔελπιν εἶναι, εἴγε καὶ ὁ ἀλάστωρ Πάρις ἡττηθείς, ὡς εἴρηται, θαρρεῖ ἐσαῦθις νικῆσαι, καθὰ προεγράφη, τὸν ἀρηΐφιλον Μενέλαον.] (v. 162) Ἰστέον δέ, ὅτι τὸ σφίσιν εἴτε θηλυκοῦ γένους εἴη εἴτε καὶ μή, ὥστε σημαίνειν τὸ αὐταῖς ἢ τὸ αὐτοῖς, διὰ τοῦ ι γράφεται παρὰ τῇ ποιητικῇ ἀκριβείᾳ, εἰ μή που, ὡς καὶ νῦν, ἀντὶ τοῦ ἰδίαις λαμβάνεται. αὐτὸ γὰρ ἀπὸ τοῦ ὁ σφός, ἡ σφή, ταῖς σφαῖς, ἔχει τὸ η ἐν τῇ παραληγούσῃ ὁμοίως τῷ ᾗσι φρεσί, καὶ σῇσι καὶ ὅσα τοιαῦτα. Τὸ δέ «ἀπέτισαν σὺν σφῇσι κεφαλαῖς» ἐν Ὀδυσσείᾳ ἐλλειπτικῶς παραφράζων φησί· «σῷ κράατι τίσεις». (v. 161) Ὅρα δὲ καί, ὅτι ἐν τῷ «ἔκ τε καὶ ὀψὲ τελεῖ» καὶ ἐν τῷ «σύν τε μεγάλῳ ἀπέτισαν» χρόνοι ἀντὶ χρόνων συνήθως λαμβάνονται, ἤγουν ἐνεστὼς καὶ παρῳχημένος ἀντὶ ἀληθοῦς μέλλοντος.

1.726 τὸ γὰρ ἐκτελεῖ ἀντὶ τοῦ πάντως ἐκτελέσει καὶ τὸ ἀπέτισαν ὁμοίως ἀντὶ τοῦ ἐξ ἅπαντος ἀποτίσουσιν. [(v. 161 s.) Ἰστέον δέ, ὅτι τὸ «σύν τε μεγάλῳ ἀπέτισαν σὺν σφῇσι κεφαλῇσι» καὶ ἑξῆς παροιμιακή τις τροπικὴ ἔννοιά ἐστι, μετενηνεγμένη ἀπὸ ἀκολουθίας χρέους, δηλοῦσα, ὅτι τὸ χρέος, ὃ λαβόντες οἱ Τρῶες ἔχουσι πολλοὺς ἤδη ἐνιαυτούς, ὅπερ ἐστὶν ἡ ἡρπασμένη Ἑλένη, ὀψέ ποτε ἀποτίσουσιν, ὡς οἷά τι ἀρχαῖον, ἤγουν κεφάλαιον, ὀφειλῆς. καὶ οὐχ' ἁπλῶς, ἀλλὰ σὺν μεγάλῳ καὶ τόκῳ καὶ ποινῇ, τουτέστι προστίμῳ. τὰ δέ εἰσιν αἱ κεφαλαὶ τῶν ἁρπασάντων καὶ ἡ τῶν αὐτοῖς φιλτάτων αἰχμαλωσία. ὁμοιοῦται δέ πως τῇ τοιαύτῃ Ὁμηρικῇ ἐννοίᾳ ἐν τοῖς μετὰ ταῦτα τὸ «μὴ τὸ χθιζὸν Ἀχαιοὶ ἀποστήσωνται χρέος».] (v. 163—5) Ὅτι παραρρίπτει καὶ ἐνταῦθα τὴν τῆς Τροίας ἅλωσιν ὁ ποιητὴς παραμυθούμενος ἀγωνιῶντα τὸν φιλέλληνα. παράγει γὰρ τὸν βασιλέα λέγοντα· «εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν· ἔσσεται ἦμαρ, ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιος ἱρὴ καὶ Πρίαμος καὶ λαὸς Πριάμοιο». σχῆμα δὲ καὶ τοῦτο προαναφωνήσεως, ὅπερ παρῳδήσει τις καὶ ἐπὶ ἑτέραις ὑποθέσεσι προμαντευόμενός τι κακόν· οἷον ὅτι εὖ οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν, ὡς ἔσσεται ἦμαρ, ὅτ' ἄν ποτε τόδε γένηται. ἰστέον δέ, ὅτι οὐ παρέργως, ἀλλὰ καὶ λίαν περιέργως εἶπεν ὁ ποιητὴς τὸ «ἔσται καιρός, ὅτε ὀλεῖται ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τροία». κατὰ γὰρ τὸν Γεωγράφον καὶ ἑτέρους οὐδὲν ἴχνος ἐστὶ τῆς ἀρχαίας πόλεως. ἐκπεπορθημένων γάρ, φησί, τῶν κύκλῳ, οὐ μὴν κατεσπασμένων τελέως, ταύτης δ' ἐκ βάθρων ἀνατραπείσης, οἱ λίθοι πάντες εἰς τὴν ἐκείνων ἀνάκτισιν μετηνέχθησαν, εἰ καὶ οἱ Ἰλιεῖς λέγουσιν οὐ τελέως ἠφανίσθαι αὐτὴν μετὰ τὴν ἅλωσιν. ὁ δ' αὐτὸς λέγει καί, ὅτι Ἰλιέων κώμη, ἔνθα ἡ παλαιὰ Ἴλιος, τριάκοντα σχεδὸν σταδίων ἀνωτέρω πρὸς τὴν ὕστερον, εἰ καὶ Ἰλιεῖς φιλοδοξοῦντες ἤθελον ταύτην εἶναι τὴν παλαιάν. ἡ δὲ τοιαύτη κώμη Ἀθηνᾶς ἔσχε, φησίν, ἱερὸν μικρὸν καὶ εὐτελές. Ἀλέξανδρος δὲ ὁ Μακεδὼν μετὰ τὴν ἐν Γρανίκῳ νίκην ἀναβὰς ἀναθήμασί τε ἐκόσμησε καὶ πόλιν ἀντὶ κώμης προσηγόρευσε καὶ ἐλευθέραν ἔκρινε καὶ ἄφορον, ὑπέσχετο δὲ καὶ πόλιν ποιῆσαι μεγάλην καὶ ἱερὸν ἐπισημότατον. λέγεται δὲ μετὰ τὴν ὑπὸ Ἑλλήνων κατασκαφὴν πλείους μεταβεβληκέναι τόπους. λέγει δὲ καί, ὅτι τὸ ὕστερον Ἴλιον οὕτω ποτὲ ὠλιγωρήθη, ὡς μηδὲ κεραμωτὰς ἔχειν στέγας.

1.727 ὕστερον δὲ ἐπανορθωθεῖσα ἑάλω, φησίν, ὑπὸ Φιμβρίου Ῥωμαίου ἑνδεκαταίᾳ τῶν Ἰλιέων μὴ δεχομένων αὐτὸν ὡς λῃστήν. ἐπεὶ δὲ ἐκαυχᾶτο, ὅτι τὴν πόλιν, ἣν Ἀγαμέμνων δέκα ἔτη μόλις εἷλε χιλιόναυν στόλον ἔχων, αὐτὸς ἕνδεκα ἡμέρας χειρώσαιτο, εἶπέ τις Ἰλιεύς· «οὐ γὰρ ἦν Ἕκτωρ ὑπερμαχῶν τῆς πόλεως». Καῖσαρ δὲ ὁ θεὸς πάνυ αὐτῆς προὐνόησε ζηλώσας Ἀλέξανδρον. ἦν γάρ, ὥσπερ Ἀλέξανδρος φιλόμηρος, οὕτω Καῖσαρ φιλαλέξανδρος. συνάγεται οὖν ἐκ τῶν τοῦ Γεωγράφου παντελῶς ἀπολωλέναι τὴν παλαιὰν Ἴλιον, ὃς καὶ ῥητῶς φησιν, ὅτι Ὅμηρος ἀφανισμὸν δηλοῖ ἔν τε ἄλλοις καὶ ἐν τῷ «ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιος ἱρή». δῆλον δέ, ὅτι καὶ ἠλαζονεύοντο Ἰλιεῖς μὴ ἀφανισθῆναι τὴν κατ' αὐτοὺς πόλιν. ὅθεν καὶ ὁ Δίων ἐπηγωνίσατο ἀνασκευάσαι τὰ Τρωϊκά. καὶ αὐτοὶ τάχ' ἂν ἔχαιρον τοῖς λεγομένοις ὑπὸ τοῦ Δίωνος. Ἑλλάνικος δέ, φασί, χαριζόμενος αὐτοῖς συνηγορεῖ τὴν αὐτὴν εἶναι πόλιν τὴν νῦν τῇ τότε. ὅτι δὲ τοῦτο οὐκ ἀληθές, καὶ ἐν τοῖς ἑξῆς που δηλωθήσεται. φησὶ δὲ καὶ Λυκοῦργος ὁ ῥήτωρ οὕτω περὶ τῆς Ἰλίου· «τίς οὐκ ἀκήκοεν, ὡς ἅπαξ ὑπὸ τῶν Ἑλλήνων κατεσκάφη». ὕστερον δέ τινες ἀνακτίσαι μὲν διενοήσαντο, οἰωνισάμενοι δὲ ἐπαύσαντο, εἴτε διὰ τὰς συμφοράς, εἴτε καταρασαμένου τοῦ Ἀγαμέμνονος κατά τι παλαιὸν ἔθος. ὥσπερ καὶ Κροῖσος ἐξελών, φασί, τὴν Σαρδιανὴν ἀρὰς ἔθετο κατὰ τῶν τειχιούντων τὸν τόπον. (v. 164) Τὸ δέ «ἔσσεται ἦμαρ, ὅτ' ἄν ποτ' ὀλώλῃ Ἴλιος» καὶ ἐν τοῖς ἑξῆς που ἐρεῖ ὁ ποιητὴς κατὰ ὁμοίαν προαναφώνησιν. προλέγει δ' ἐνταῦθα τὸ τοιοῦτον ὁ βασιλεύς, οἷα πεποιθὼς τοῖς ἐκ Διὸς τέρασι. (v. 166—8) Φησὶ γάρ· «Ζεὺς δέ σφι Κρονίδης ὑψίζυγος αἰθέρι ναίων αὐτὸς ἐπισείῃσιν ἐρεμνὴν αἰγίδα πᾶσι τῆσδ' ἀπάτης κοτέων· τὰ μὲν ἔσσεται οὐκ ἀτέλεστα». Ἰστέον δέ, ὅτι οὐκ αὐτὸς ἐλπίζει ὁ βασιλεὺς ἑλεῖν τὴν Τροίαν, ἀλλὰ διὰ τὴν ἐπιορκίαν τῶν Τρώων ἀπολωλέναι αὐτήν ποτε λέγει. περὶ γὰρ ἑαυτοῦ δυσελπιστεῖ. (v. 169 ss.) διὸ καὶ ἐπάγει· «ἀλλά μοι αἰνὸν ἄχος σέθεν ἔσσεται, ὦ Μενέλαε, αἴ κε θάνῃς καὶ μοῖραν ἀναπλήσῃς βιότοιο· καί κεν ἐλέγχιστος πολυδίψιον Ἄργος ἱκοίμην· αὐτίκα γὰρ μνήσονται Ἀχαιοὶ πατρίδος αἴης» καὶ τὰ ἑξῆς. (v. 164) Ἐν δὲ τοῖς ἐκτεθειμένοις τὸ μὲν ὀλώλῃ παρακείμενός ἐστιν ὑποτακτικὸς ἐκ τοῦ ὄλωλα, ὅμοιος τῷ ὄρωρα ὀρώρῃ.

1.728 (v. 166) Ὑψίζυγος δὲ ὁ ὑψηλὸς κυβερνήτης ἀπὸ τοῦ ὕψι ἐπιρρήματος καὶ τοῦ κυβερνητικοῦ ζυγοῦ. [Εἰπεῖν γὰρ ὁ ἐν ὕψει καθήμενος ὀκνοῦσιν οἱ παλαιοὶ φάμενοι ὀρείαυλον μέν, τὸν ἐν ὄρει διατρίβοντα, καὶ ἐγχείμαργον καὶ ὅσα τοιαῦτα, διφθόγγῳ στοιχεῖν δίχα γε τοῦ ὀρίγανον, ὃ χαίρει ὄρεσι, καὶ τῶν ὅσοις ἐπάγονται δύο σύμφωνα, οἷον ὀρίτροφος, ὀρίδρομος, ὀριβρεμέτης. τὰ δὲ παρὰ τὸ ὕψος καὶ κάλλος ἐν διχρόνῳ μόνῳ εἶναι· ὑψίκομος, καλλίδρομος. ἔτι καὶ ἄλλως ὑψίζυγος] ὁ ἄνω σταθμίζων τὰ κατ' ἀνθρώπους, ἵνα ἐν μιᾷ λέξει συντέμῃ τὸ νόημα ἐκεῖνο, ἐν ᾧ τὸν Δία ποιήσει τάλαντα μεταχειριζόμενον καὶ τὰς τῶν Ἀχαιῶν καὶ Τρώων κῆρας ὡς ἐπὶ ζυγοῦ ταλαντεύοντα καὶ ὡς εἰπεῖν ζυγοστατοῦντα. [εἰς τοῦτο δὲ ὑπεναντιοῦται ὁ εἰπών, ὅτι ζυγός παρ' Ὁμήρῳ οὐ συνήθως ἐπὶ σταθμοῦ. ζυγὸν γὰρ ἐκεῖνος οἶδεν ἅρματος καὶ ἁμάξης καὶ ζυγόδεσμον ἱμάντα τὸ ζυγὸν τῶν ζῴων ζευγνύντα.] Δύναται δὲ ὑψίζυγος εἶναι καὶ ὁ ὑψηλός,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἴτ’ οὖν ὑφίθρονος βασιλεύς, κατὰ τὸ «ἐπὶ ζυγοῖς καθέζετο ἀρχῆς», τὸ τοῦ τραγικοῦ. καὶ τοῦτο δὲ ἀπὸ τῆς κυβερνητικῆς μετήνεκται καταστάσεως. [Λέγει δὲ καὶ ὁ ῥηθεὶς προσεχῶς παλαιός· ζυγὰ καὶ καθέδραι ἐρεσσόντων, ὅθεν ὑψίζυγος ὁ ὕψι καθέδραν ἔχων.] (v. 167) Τὸ δὲ ἐπισείῃ σειστὸν Διὸς ὅπλον τὴν αἰγίδα εἶναι δηλοῖ, οὐ μὴν βλητικόν. οὐ γὰρ βάλλει, σειομένη δὲ ἐκφοβεῖ. Ἐρεμνὴν δὲ λέγει τὴν σκοτεινὴν ἀπὸ τοῦ Ἔρεβος. οὕτω δὲ καὶ ἀπὸ τοῦ σέβω γίνεται τὸ σεμνόν, τροπῇ τοῦ β εἰς μ . περὶ δὲ τῆς αἰγίδος προγέγραπται μὲν ὀλίγον τι ἐν τῇ ἄλφα ῥαψῳδίᾳ, ἑτέρωθι δὲ γραφήσεται κάλλιον. [Ἐνταῦθα δὲ τοσοῦτον καὶ μόνον ῥητέον, ὅτι τὸ ἐρεμνὸν τῆς αἰγίδος νέφος ὑπεμφαίνει αὐτὴν εἶναι πυκνὸν καὶ καταιγιδῶδες.

1.729 ] Τὸ δέ «πᾶσι» πανωλεθρίαν Τρώων τε καὶ τῶν παρ’ αὐτοῖς ἐπικούρων δηλοῖ. (v. 168) Τὸ δέ «τῆσδε ἀπάτης κοτέων» παρήχησίς ἐστι πρὸς τὸ ὅρκια πάτησαν. παρηχοῦνται γὰρ ἡ ἀπάτη καὶ τὸ ἐπάτησαν. ἐτέθη δὲ κατὰ μακρὰν ἀπόστασιν διὰ τὸ σωφρόνως ἔχειν καὶ περὶ τὰ τοιαῦτα τὸν ποιητήν. (v. 170) Τὸ δέ «μοῖραν ἀναπλήσῃς», ὅ ἐστιν ἐκπληρώσῃς, «βιότου», περίφρασίς ἐστι τοῦ θάνῃς. καὶ ἡ μοῖρα δὲ τοῦ βιότου αὐτὸν τὸν βίον δηλοῖ περιφραστικῶς. [δοκεῖ δὲ σεμνῶς ὁ ποιητὴς λέξιν κοινὴν καὶ οὕτω σαφῆ τὴν τοῦ θανεῖν περιφράσαι φιλοτιμότερον, ὡς οὐκ ἂν ἕτερός τις φράσειε.] (v. 171) Πολυδίψιον δὲ τὸ Ἄργος καλεῖ ἢ ὡς πάνυ ποθούμενον Ἕλλησιν ἤ, ὅτι μυθεύεται ἄνυδρόν ποτε εἶναι, ὕστερον μέντοι εὔυδρον γενέσθαι Ποσειδῶνος ἀναρρήξαντος τὰς ἐν Λέρνῃ πηγὰς διὰ τὸν τῆς Ἀμυμώνης ἔρωτα, ἐξ ἧς καὶ Ἀμυμώνια ἐν Ἄργει ὕδατα. ἢ καὶ ἀπὸ τῶν Δαναΐδων, αἳ παραγενόμεναι ἐξ Αἰγύπτου φρεωρυχίαν ἐδίδαξαν, ὡς Ἡσίοδος· «Ἄργος ἄνυδρον ἐὸν Δαναὸς ποίησεν ἔνυδρον». τῷ μέντοι Γεωγράφῳ ἀρέσκει πολυΐψιον αὐτὸ νοεῖν χωρὶς τοῦ δ . τοῦ δέλτα δὲ ἐγκειμένου λέγει, ὅτι τινὲς ὑπερβατῶς αὐτὸ δέχονται σὺν τῷ δ κατὰ συναλιφὴν συνδέσμου· «καί κεν ἐλέγχιστος πολὺ δ’ ἴψιον Ἄργος ἱκοίμην», ἀντὶ τοῦ εἰς Ἄργος πολυδιάφθορον πολέμοις, κατὰ τὸ «πολύφθορόν τε δῶμα Πελοπιδῶν». τὸ γὰρ προϊάψαι καὶ τὸ ἰάψαι βλάβην τινὰ δηλοῖ. ἄλλως γάρ, φησίν, ἡ χώρα τὸ Ἄργος εὐυδρεῖ, εἰ καὶ αὐτὴ ἡ πόλις ἐν ἀνύδρῳ κεῖται. λέγει δὲ καὶ αὐτός, ὡς πολύυδρον Δαναὸς τὸ Ἄργος ἐποίησε καταδείξας τὰ ὑδρεῖα. Σημείωσαι δὲ καί, ὅτι προσπαθῶς ὁ βασιλεὺς δοκεῖ ἔχειν τῇ τῶν ὑδάτων δαψιλείᾳ. διὸ οὐ μόνον οἷον οἰκτιζόμενος πολυδίψιον τὸ Ἄργος καλεῖ, ἀλλὰ καὶ φρεωρυχίᾳ φιληδεῖν ἱστόρηται. Ἀγαμεμνόνεια γοῦν ᾄδονταί τινα φρέατα, ἐπεὶ περὶ Ἀττικήν, φασί, καὶ ἐν Αὐλίδι καὶ πολλαχοῦ τῆς Ἑλλάδος ὤρυξεν ὁ Ἀγαμέμνων φρέατα. καὶ τοίνυν ὁ ὀκνῶν οἰνοβαρῆ καὶ ἔμφορτον οἴνου τὸν Ἀγαμέμνονα σκώπτειν, ὡς προϊστόρηται, ἔχοι ἂν ἐν τούτοις τὸ νηφάλιον αὐτῷ ἐπιμαρτύρασθαι διὰ τὸ φιλίως ἔχειν, ὡς εἴρηται, πρὸς τὰ ὕδατα. Ἔτι σημείωσαι καί, ὅτι πολυδίψιον εἰπεῖν καὶ λειψύδριον ταὐτά πως φαίνεται καὶ ἔοικεν ἐκεῖνο ἐκ τοῦ Ὁμηρικοῦ πολυδιψίου ληφθῆναι. ἦν δὲ Λειψύδριον χωρίον, φασίν, ὑπὲρ τῆς Σπάρτης, ὃ ἐτείχισαν οἱ φυγάδες τῶν τυράννων, ὧν οἱ Ἀλκμαιωνίδαι προειστήκεισαν.

1.730 ἐκπολιορκηθέντων δ’ αὐτῶν ὑπὸ τῶν περὶ Πεισίστρατον σκολιὸν εἰς αὐτοὺς ᾔδετο, ἤγουν μέλος τι ἐψάλλετο παροίνιον, τοιοῦτον· Αἰ̈ αἰ̈ Λειψύδριον προδοσέταιρον, οἵους ἄνδρας ἀπώλεσας μάχεσθαί τ’ ἀγαθοὺς καὶ εὐπατρίδας. ἦν δὲ καὶ παροιμιαζομένη ἡ ἐπὶ Λειψυδρίῳ μάχη. (v. 172) Τὸ δέ «πατρίδος αἴης» ἐντελῶς εἴρηται, ὡς καὶ ἐν Ὀδυσσείᾳ τὸ «πλάζει δ’ ἄπο πατρίδος αἴης» καὶ μετ’ ὀλίγα ἐν τῷ «φίλην ἐς πατρίδα γαῖαν». ὅτε δέ γε πατρίς μόνον λέγεται, ἐλλειπτικῶς λαλεῖται· λείπει γὰρ τὸ αἶα ἢ γῆ ἢ χώρα ἤ τι τοιοῦτον, ὥσπερ καί, ὅτε τις οἰκείαν τὴν πατρίδα λέγει, κατ’ ἔλλειψιν λέγει. τὸ γὰρ πλῆρές ἐστι καὶ τότε, οἰκεία γῆ ἢ πόλις ἢ πατρίς. ἔτι ἰστέον καί, ὅτι τὸ «Ζεὺς δέ σφιν ὑψίζυγος αἰθέρι ναίων» καὶ ἑξῆς, ὡς προέκκειται, παρῳδηθήσεταί ποτε εἰς θεὸν ἢ καὶ ἄνδρα ὑψηλόν, ὃς κατὰ ἀπατεώνων χολώσεται. (v. 172—81) Ὅτι τοῦ μέλλοντος ἐπιστρεφόμενος εὐγενῶς ὁ βασιλεὺς λυπεῖται καὶ χανεῖν αὐτῷ τὴν χθόνα εὐρεῖαν εὔχεται, οὐ μόνον, εἴπερ Μενελάου θανόντος οἰχήσονται Ἀχαιοὶ λιπόντες τὴν Ἑλένην εὐχωλήν, ὅ ἐστι καύχημα, Πριάμῳ καὶ Τρωσίν, ἀλλὰ καὶ εἴπερ αὐτοῦ κειμένου ἐν Τροίῃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀτελευτήτῳ ἐπὶ ἔργῳ τῶν τις Τρώων ὑπερηνορεόντων τύμβῳ ἐπιθρῴσκων Μενελάου κυδαλίμοιο ἐρεῖ· «αἴθ' οὕτως ἐπὶ πᾶσι χόλον τελέσοι Ἀγαμέμνων, ὡς καὶ νῦν ἅλιον στρατὸν ἤγαγεν ἐνθάδε Ἀχαιῶν. καὶ δὴ ἔβη οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν σὺν κεινῇσι νηυσὶ λιπὼν ἀγαθὸν Μενέλαον». τοῦτο δὲ καὶ οἷον ἐπίγραμμά τι ποιεῖ ἐπὶ τῷ τοῦ ἀδελφοῦ τύμβῳ περιπαθῶς, ἵνα μηδὲ τὰ τοιαῦτα ὁ ποιητὴς ἀφήσει ἀνεξέργαστα. πάνυ δέ, φασί, περιπαθῶς κενὰς τὰς νῆας λέγει, ἐν αἷς οὐ πλεύσει ὁ ἀδελφὸς Μενέλαος. καὶ τὸ «ἀγαθὸν δὲ Μενέλαον» καὶ τὸ «Μενελάου κυδαλίμοιο» οὕτω λέγει, ὡς εἴ τις θάψας πατέρα εἴποι, ὅτι ἀγαθὸν καὶ κύδιστον πατέρα ἀπώλεσα. οὕτω μονῳδεῖ ὡς ἐπὶ τεθνεῶτι τῷ ἀδελφῷ, ὅσγε καὶ τῆς χειρὸς πρὸ τούτων ἔχων αὐτὸν βαρυστενάχων εἶπεν, ἃ εἶπεν. (v. 185) Ἐκεῖνος μέντοι θαρσύνει αὐτὸν εἰπών, ὡς οὐκ ἐν καιρίῳ ὀξὺ ἐπάγη βέλος, ἤγουν οὐκ ἐν ἐπιτηδείῳ μέρει, ὡς δηλοῖ καὶ ὁ γράψας πληγῆναί τινα τὰ ἐπιτήδεια. [Ἰστέον δέ, ὅτι καιρία μὲν πληγή, εἰς ἣν ὁ πλήξας οὐκ ἀπώλεσε τὸν καιρὸν ἐν κενοῖς, οὐ καιρία δὲ τὸ ἀνάπαλιν. χρήσιμον δ' ἐνταῦθα καὶ τὸ «μάλιστα δὲ καίριόν ἐστι» καὶ ὁ καίριος δὲ λόγος καὶ ὁ ἄκαιρος ὅμοιόν τινα νοῦν ἔχει.

1.731 οὕτω δέ πως καὶ τὸ παρακαίρια ῥέζειν. [(v. 175) Ἰστέον δέ, ὅτι τὸ μέν «ἀτελευτήτῳ ἐπὶ ἔργῳ» ταὐτόν ἐστι τῷ ἀτελεῖ, ὅπερ ἐστὶ μὴ εἰληφότι τέλος, εἰ καὶ οἱ μεθ' Ὅμηρον ἀτελεύτητόν φασι τὸ μὴ πεφυκὸς τέλος ἔχειν, ἤγουν φθοράν, ἀλλὰ αἰώνιον.] (v. 176) Τὸ δὲ ὑπερηνορεόντων, ἐξ οὗ Εὐριπίδης μεγαλάνορα ὑπερηνορίαν ἔφη, δηλοῖ μὴ σώφρονος ἀνδρὸς εἶναι τὴν ῥηθεῖσαν Τρωϊκὴν ἠθοποιΐαν, ἀλλὰ σκωπτικοῦ τινος καὶ οὐκ εὐπαιδεύτου, καὶ μᾶλλον, εἰ καὶ ἐπιθρῴσκων τῷ τοῦ νεκροῦ τάφῳ, τουτέστιν ἐπεμπηδῶν, τὰ τοιαῦτα λαλεῖ. [Δοκεῖ γὰρ φίλον εἶναι τοῖς κακοήθεσιν ὥσπερ ἐνάλλεσθαι καὶ ἐπεμβαίνειν σώμασιν ἐχθροῖς νεκροῖς, οὕτω καὶ μνήμασιν, ἐφιεμένοις κωφὴν γαῖαν ἀεικίζειν.] (v. 178) Τὸ δέ· αἴθε οὕτως ἐπὶ πᾶσιν ὁ δεῖνα χόλον τελέσοι, ὡς καὶ νῦν ἅλιον ἐμόχθησεν ἢ ἐπόνησεν ἤ τι τοιοῦτον, προσαρμόσοι ἂν παρῳδηθὲν παντὶ πολλὰ μὲν προθεμένῳ βλάψαι τινάς, μηδὲν δὲ ἰσχύσαντι. (v. 180) Τὸ δέ «φίλην ἐς πατρίδα γαῖαν» ἐφερμηνευτικόν ἐστι τοῦ οἴκαδε. (v. 182) Τὸ δέ «ὥς ποτέ τις ἐρέει, τότε μοι χάνοι εὐρεῖα χθών», ἐξ οὗ λαβών τις ἔφη τὸ ἐθέλειν δῦναι κατὰ γῆς πολλὰς ὀργυίας, σχετλιασμός ἐστιν ἐπὶ λόγῳ φορτικῷ. (v. 184 s.) Βολῆς δὲ ἀβλαβοῦς φραστικόν, ἔτι δὲ καὶ διαβολῆς οὐδαμινῆς, τὸ «θάρσει μηδέ τί πω δειδίσσεο, οὐκ ἐν καιρίῳ ὀξὺ πάγη βέλος». ἐνθυμητέον δὲ ἐν τῇ ῥηθείσῃ βασιλικῇ φιλοτιμίᾳ καὶ τῇ τοῦ μέλλοντος ἐπιστροφῇ καὶ τὸν παρ' Εὐριπίδῃ φιλότιμον ἥρωα, ὃς ζῶν μὲν αὐτάρκως ἔχει καὶ ἐπὶ μικροῖς, θανὼν δὲ τῆς διὰ μακροῦ χάριτος ἐφίεται, δηλῶν καὶ αὐτός, ὡς οἱ ἀγαθοὶ ἄνδρες ἐπιστρέφονται τοῦ μέλλοντος. (v. 190) Ὅτι ἐν τῷ «ἕλκος δ' ἰητὴρ ἐπιμάσσεται» ἐπιμάσσεσθαι λέγει τὸ ἀποσπογγίζειν. ἀπὸ τούτου δὲ καὶ τὸ ἐκμάσσεσθαι καὶ ἐν Ὀδυσσείᾳ τὸ «ἀναμάξεις τῇ σῇ κεφαλῇ» καὶ τὸ «εἰσεμάσατο θυμόν». καὶ ἄλλως δ' ἐνταῦθα ἐπιμάσασθαι τὸ διὰ ἐπαφῆς θεραπεῦσαι. μάσσεσθαι γὰρ καὶ τὸ ἅπτεσθαι. δοκεῖ δὲ οὐ φαῦλον εἶναι εἰπεῖν τὸ ἐπιμάσσεται καὶ ἀντὶ τοῦ ἐκμυζήσει, ὃ κεῖται μετ' ὀλίγα ἐν τῷ «αἷμ' ἐκμυζήσας». Ἰστέον δέ, [ὅτι τε ἐκ τοῦ μάσσειν καὶ τὸ ἐκμαγεῖον γίνεται καὶ τὸ χειρόμακτρον καὶ ἡ μαγδαλιά, ἥτις ἦν ζύμωμά τι, ἐν ᾧ ἀποματτόμενοι τὰ ἐκ τῶν βρωμάτων λιπαρὰ ῥύπη οἱ παλαιοὶ ἐρρίπτουν κυσίν.

1.732 ὅθεν καὶ παροιμία ἐπὶ τῶν λίχνων καὶ παρασίτων τὸ «κύων ζῶν ἀπὸ μαγδαλιᾶς». καὶ ὅτι τὸ μάττειν καὶ ἐπὶ τοῦ φυρᾶν ἄρτους τίθεται, ὅθεν καὶ ἡ μάζα καὶ ἡ μαγὶς καὶ ὁ μάγος δὲ ἀπὸ τοιούτου τινὸς γίνεται ῥήματος, καὶ μάλιστα ἐκ τοῦ ἀνωτέρω ῥηθέντος, ὡς τοῖς παλαιοῖς καὶ αὐτὸ δοκεῖ. καὶ ὅτι τὸ εἰρημένον ἐκμαγεῖον ἔκμαγμα λέγει ὁ Κωμικός.] καὶ ὅτι διασαφῶν ὁ ποιητὴς τὸ «ἕλκος ἰητὴρ ἐπιμάσσεται» ἐπάγει· «ἠδ' ἐπιθήσει φάρμακα, ἅ κεν παύσῃσι μελαινάων ὀδυνάων», ὃ παραφράζων ἐν τοῖς ἑξῆς λέγει «αἷμ' ἐκμυζήσας ἐπ' ἂρ ἤπια φάρμακα πάσσε», τὰ παύοντα δηλαδὴ μελαινάων ὀδυνάων. Ἕλκος δὲ οὐ κατὰ τοὺς ὕστερον ἰδιωτικοὺς τὸ πῦον, 〈ὃ〉 οὐδὲ ὁ ποιητὴς οἶδεν, ἀλλὰ τὴν κατὰ τραῦμα λύσιν τῆς συνεχείας. ἅμα γοῦν

βάλλεταί τις ἢ τιτρώσκεται καὶ εὐθὺς ἕλκος γενέσθαι τῷ τοιούτῳ φησί, [λεγόμενον οὕτω διὰ τὸ παρειλκύσθαι τοῦ συνεχοῦς, διὸ καὶ ἄπελος αὐτὸ εἶπε Καλλίμαχος διὰ τὸ μὴ πελάζειν ἀλλήλοις τὰ παρειλκυσμένα χείλη τοῦ διαιρέματος.] (v. 191) Τὸ φάρμακον δὲ μέση λέξις ἐπί τε μὴ ἀγαθοῦ λαμβανομένη παρὰ τὸ φέρειν ἄχος καὶ ἐπὶ ἀγαθοῦ παρὰ τὸ φέρειν ἄκος. διὸ φάρμακα ἐν τοῖς ῥηθεῖσιν εἰπὼν προσέθετο χάριν σαφηνείας τὸ «ἃ παύσει ὀδυνάων» καὶ δηλονότι ἀκέσεται, καὶ τὸ «ἤπια», ὧν παρώνυμός ἐστιν, ὡς ῥηθήσεται, καὶ ὁ Ἀσκληπιός. «Μέλαιναι δὲ ὀδύναι» αἱ θανατηραί, ὡς εἰς Ἅιδην μέλανα, ταὐτὸν δὲ εἰπεῖν εἰς σκότον, κατάγουσαι. (v. 192) Ὅτι τὸν Ταλθύβιον θεῖον κήρυκα λέγει, καθότι καὶ φθάσας ἐν τῇ α′ τοὺς κήρυκας τοῦ Διὸς ἀγγέλους ἔφη. (v. 193) Ὅτι δυὸ ὄντων ἐπιφανῶν Ἕλλησιν ἰατρῶν, Ποδαλείριος μέν, οὗ ἡ ἐτυμολογία προγέγραπται, περὶ δίαιταν ἐπονεῖτο, Μαχάων δὲ περὶ τραύματα εἶχε, Τρίκκης καὶ αὐτὸς ἄρχων, πόλεως Θετταλικῆς, ἥν, ὡς καὶ ἐν Βοιωτίᾳ ἐγράφη, ἄρτι Τρίκκαλά φαμεν, καλουμένην καὶ αὐτὴν ἱππόβοτον, ὡς ὁ ποιητὴς λέγει, ἐπεὶ καὶ Ἄργος ἱππόβοτον ἔγνωμεν οὐ μόνον τὴν Πελοπόννησον, ἀλλὰ καὶ τὰ κατὰ Θετταλίαν.

1.733 ἦν δὲ στρατιωτικώτερος ὁ Μαχάων, ὡς καὶ ἡ κλῆσις ὑποδηλοῖ. (v. 194) Ἄμφω δὲ Ἀσκληπιάδαι ἦσαν, ἤτοι παῖδες Ἀσκληπιοῦ ἀμύμονος ἰητῆρος, ὥς φησιν ὁ ποιητής. Ἀσκληπιὸς δὲ Χείρωνος μαθητής, Χείρων δὲ εὑρετὴς ἰατρικῆς καὶ λυρικῆς, υἱὸς Φιλύρας καὶ Κρόνου, εἷς τῶν Κενταύρων, ἐξ οὗ Χειρώνεια ἕλκη τὰ δυσαλθῆ, ἃ δηλαδὴ Χείρων κατέδειξε θεραπεύεσθαι. ἐκλήθη δέ, φασίν, Ἀσκληπιὸς ἢ διότι Ἄσκλην τὸν Ἐπιδαύριον ὀφθαλμιῶντα ἰάσατο ἤπιος ἐκείνῳ φανείς, ἢ πλεονασμῷ τοῦ λ παρὰ τὸ ἀσκεῖν ἠπίως τοὺς νοσοῦντας, ὅ ἐστιν ἐπιμελείας ἀξιοῦν, ἢ παρὰ τὸ μὴ σκελετεύεσθαι αὐτοὺς ἐᾶν ἠπίως προσφερόμενον. ἡ δὲ ὀξυτόνησις τοῦ ὀνόματος ἀπορίαν ἔχει, εἴπερ καὶ ἄλλως αἱ συνθέσεις τοὺς τόνους ἀναβιβάζουσι. καλῶς οὖν ἐποίει Δημοσθένης, ὡς ἱστορεῖται, προπαροξύνων τὴν λέξιν καὶ ἀναγινώσκων, Ἀσκλήπιος. ἡ δ’ αὐτὴ ἀπορία καὶ ἐπὶ τοῦ ἔμπορος καὶ λογεμπόρος, ὡς δηλοῦται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν, ἴσως δὲ καὶ ἐπὶ τοῦ μύδρος καὶ ἀμυδρός καὶ ἐπὶ ἑτέρων δέ τινων. (v. 206) Ὅτι ἐν τῷ «τόξων εὖ εἰδώς» τὸ μὲν εὖ εἰδώς ἀντὶ τοῦ ἐπιστήμων ὢν λαμβάνει ὁ ποιητής, καθὰ καὶ ἐν ἄλλοις μυρίοις, εἰωθὼς καὶ ἄλλως τὸ εἰδώς μόνον αὐτὸ καθ’ αὑτὸ γενικῇ συντάσσειν. τόξα δὲ τὴν τοῦ τοξεύειν ἐπιστήμην νοεῖ, λέγων, ὅτι τὸν Μενέλαον ἔβαλέ τις Τρώων ἢ Λυκίων τόξων εὖ εἰδώς. Τὸ δὲ Λυκίων ἀπὸ μέρους πάντας δηλοῖ τοὺς ἐπικούρους τῶν Τρώων. ἄξιοι δὲ λόγου οἱ Λύκιοι ὡς πολλοὶ καὶ ζαχρηεῖς ἐν πολέμῳ ὄντες, καθά που αὐτὸς ἐρεῖ ὁ ποιητής. Λυκίους δὲ οὐ τοὺς ὑπὸ τῷ Πανδάρῳ λέγει ὁ βασιλεύς, οἳ καὶ αὐτοί, ὡς προείρηται, Τρῶες ἦσαν, ἀλλὰ τοὺς ἐκ τῆς μεγάλης Λυκίας, οἵπερ ἦσαν ὑπὸ τῷ Σαρπηδόνι. οὕτω δὲ καὶ Ἀργεῖοι καὶ Ἀχαιοὶ ἀπὸ μέρους πάντες οἱ Ἕλληνες. (v. 206 s.) Ὅτι σεμνύνει ἀριστέα βληθέντα τὸ «ὅν τις ὀϊστεύσας ἔβαλε· τῷ μὲν κλέος, ἄμμι δὲ πένθος». (v. 211 s.) Οὕτω δὲ καὶ τὸ «βλήμενος ἦν· περὶ δ’ αὐτὸν ἀγηγέραθ’ ὅσσοι ἄριστοι κυκλόσε· ὃ δ’ ἐν μέσσοισι παρίστατο ἰσόθεος φώς». τοιοῦτος δὲ παρὰ τῷ ποιητῇ ὁ Μενέλαος, ὃν οὐ καινοπραγεῖ ὀνομάσας ἰσόθεον, εἴγε καὶ τὸν Ἀλέξανδρον θεοειδέα ἐκάλεσε καὶ τὸν Πάνδαρον ἀντίθεον.

1.734 ἐγκωμιαστικὸς γὰρ τὰ πολλὰ ὁ ποιητής, ὡς προερρέθη, καὶ τοὺς ἥρωας ἀφ’ ὧν ἂν ἔχοιεν ἀγαθῶν χαρακτηρίζει, ἐπικρύπτων εἴ τί που καὶ φαῦλον ἔχουσι, καὶ οὐ βλασφημῶν εἰς οὐδὲν δέον κατὰ τὸν ἐπίτριπτον Ἀρχίλοχον ἢ τὸν ἀργαλέον Ἱππώνακτα ἢ εἴ τις ἄλλος ἐπεσβόλος ἦν κατ’ αὐτούς. (v. 218) Ὅτι τὸ ἐκπιέσαι τὸ τοῦ ῥηθέντος ἕλκους αἷμα ἐκμυζῆσαι λέγει. ἐγίνετο δέ, φασί, τοῦτο, ἵνα μὴ πυώσῃ σαπὲν καὶ βλάψῃ τὴν ἀπούλωσιν. τοῦτο δὲ ἀνωτέρω ἐπιμάσσεσθαι εἶπεν. ἀλλ’ οἷον μὲν τὸ Ὁμηρικὸν τοῦτο ἐκμυζῆσαι, ᾔδεισαν οἱ τότε τὰ τοιαῦτα ἕλκη μεταχειριζόμενοι, οἱ δὲ νῦν βλέπουσι πολλοὺς καὶ μάλιστα τῶν βαρβαρικωτέρων, ὁπηνίκα τραῦμά τινι ἐντριβῇ, τῷ στόματι ἐκμυζῶντας τὸ αἷμα τοῦ ἕλκους, θεραπείαν καὶ οὕτω τεχνωμένους τινά. μυζᾷ δέ τις οὕτω καὶ γάλα ἐκ θηλῆς, ὡς καὶ δοκεῖν ἐκ τούτου γίνεσθαι τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μαζὸν ἐτυμολογούμενον καὶ ἄλλως, ὡς ἀλλαχοῦ δηλοῦται. [Μυζᾷ δὲ καὶ μυελόν τις καὶ ἄλλα τινὰ τοιαῦτα. δῆλον δ’ ὅτι καὶ βδάλλειν τὸ τοιοῦτον λέγεται, ὡς ἐκ μεταφορᾶς φλεβῶν. εἰ δέ τι τοιοῦτο δηλοῖ καὶ τὸ βύζην ἐπίρρημα, χρὴ ζητῆσαι.] Ὠνοματοπεποίηται δὲ καὶ τὸ μυζᾶν ἐκ τοῦ μῦ στοιχείου ἄλλως ἤπερ τὸ μύζειν. Ὅτι τρεῖς φαρμάκων ἰδέαι παρ’ Ὁμήρῳ· ἐπίπαστα, ὡς νῦν ἐπὶ Μενελάου, ᾧπερ ἤπια φάρμακα εἰδὼς πάσσεν ὁ Μαχάων· καὶ χριστά, οἷον ἰοὺς χρίεσθαι, καὶ πιστὰ κατὰ τὸν Αἰσχύλον, τουτέστι ποτὰ ἢ πότιμα, ὡς ἐπὶ Ἑλένης ἐν Ὀδυσσείᾳ τῷ κρατῆρι ἀναμιγνύσης φάρμακα. ἐκ δὲ τῆς τοιαύτης λέξεως οὐ μόνον τὸ φαρμακεύειν, ἰατρικὴ λέξις, ἀλλὰ καὶ φαρμάσσειν, τὸ στομοῦν σίδηρον ἐκ βαφῆς, καὶ τὸ ἁπλῶς βάπτειν καὶ τὰ βαφεῖα, φαρμακῶνες παρὰ τοῖς παλαιοῖς. (v. 214) Οἶδε δὲ καὶ τρεῖς βελουλκίας Ὅμηρος, ἐκτομὴν ἐπὶ Εὐρυπύλου καὶ διωσμὸν ἐν τοῖς ἑξῆς ἐπὶ Διομήδους καὶ ἐξολκήν, ὡς νῦν ἐπὶ Μενελάου. φησὶ γάρ· «τοῦ δ’ ἐξελκομένοιο πάλιν ἄγεν ὀξέες ὄγκοι», οἱ προρρηθέντες δηλαδή. ἔστι δὲ τὸ πάλιν ἄγεν ἀντὶ τοῦ εἰς τὸ ἔμπαλιν ἐκλάσθησαν. τοῦτο δὲ εἴρηται πρὸς διαστολὴν τῆς πρώτης περιαγωγῆς καὶ κλάσεως, ἣν οἱ ὄγκοι πάσχουσι γλωχινούμενοι ἐν τῷ χαλκεύεσθαι. τότε μὲν γὰρ ἐπὶ τὸ ἄνω ἀφορῶντες γωνιοῦνται, νῦν δὲ θραυόμενοι ἔμπαλιν ἄγονται. ποιητικὴ δὲ λέξις καὶ τὸ ἄγεν.

1.735 καὶ ἔστιν ὥσπερ τραφείς τραφέντος τράφεν, ὅ ἐστιν ἐτράφησαν, οὕτω καὶ ἀγείς ἀγέντος ἄγεν. (v. 219) Ὅτι τὸ φιλεῖν φίλα φρονεῖν λέγει περιφραστικῶς, οἷον «τά οἵ ποτε πατρὶ φίλα φρονέων πόρε Χείρων», ὁ προρρηθείς. (v. 220) Ὅτι καιρία λέξις ἐπὶ σπουδαίας ἐνεργείας τὸ ἀμφιπένεσθαι. φησὶ γοῦν· «ὄφρα τοί», ἤγουν οὗτοι, «ἀμφεπένοντο Μενέλαον». τὸ δ’ αὐτὸ καὶ ἀμφιπονεῖσθαί ἐστιν, ὡς τοῦ πόνου καὶ τοῦ πονεῖν γινομένων ἐκ τοῦ πένεσθαι. (v. 221) Ὅτι Πάνδαρος μὲν κατὰ Μενελάου ὀϊστεύσας κατῆρξε κακοῦ, ἐπηκολούθησαν δὲ Τρώων στίχες ἀσπιστάων, οἳ πρῶτοι ἐπιδραμόντες ἐπῆλθον αὐτοὶ τοῖς Ἕλλησι διὰ τὸ ἴσως νομίσαι θελήσει τῶν Τρωϊκῶν βασιλέων παρασπονδῆσαι τὸν Πάνδαρον. πάντες οὖν ἰδοὺ τοὺς ὅρκους ἐπάτησαν. δεόντως ἄρα καὶ ἀπολοῦνται πάντες κατὰ τὸ «Ζεὺς ἐπισείει ἐρεμνὴν αἰγίδα πᾶσι». τοὺς δὲ ἀσπιστὰς ἀσπιδοφέρμονα θίασον ἡ τραγῳδία εἶπεν. (v. 222) Ὅτι τὸ ἐνδύσασθαι τὰ ὅπλα καταδῦναι τεύχεα λέγει. φησὶ γοῦν· «οἳ δὲ κατὰ τεύχε’ ἔδυν, μνήσαντο δὲ χάρμης». μετῆκται δὲ ἡ λέξις ἀπὸ τῶν εἰς βάθος δυνόντων. δύναται δὲ ταὐτὸν τῷ ἀμφιέσασθαι καὶ ἀμφιβαλέσθαι καὶ περιβαλέσθαι. λέγεται δέ τις καὶ πόλιν δύνειν καὶ πόλεμον. Ἰστέον δέ, ὅτι, ὥσπερ ἐκ τῆς γενικῆς μετοχῆς τοῦ λέγοντος ἀποκοπῇ τοῦ τέλους γίνεται τρίτον πληθυντικὸν παρῳχημένου χρόνου μετὰ αὐξήσεως «ἔλεγον ἐκεῖνοι», ὁμοίως καὶ τύπτοντος ἔτυπτον, καὶ τρέχοντος ἔτρεχον, καὶ ὅσα τοιαῦτα, οὕτω καὶ ἐκ τοῦ φύς ὀξυτόνου φύντος ἔφυν καὶ φάς φάντος ἔφαν καὶ βάς βάντος ἔβαν καὶ στάντος ἔσταν, μιχθείς μιχθέντος ἔμιχθεν καὶ δύντος ἔδυν. καθ’ ὅμοιον δὲ λόγον καὶ φαανθέντος ἐφάανθεν Αἰολικὸν καὶ πληγέντος ἔπληγεν καὶ κοσμηθέντος ἐκόσμηθεν καὶ τὰ τοιαῦτα, περὶ ὧν καὶ προγέγραπται. [Πολλαχοῦ δὲ καὶ ἀναύξητα τὰ τοιαῦτα, ὁποῖον τὸ τραφέντος τράφεν, ἀγέντος ἄγεν, ὡς ἀνωτέρω κεῖται, ἀγερθέντος ἄγερθεν, βλαβέντος βλάβεν καὶ ἄλλα.] (v. 223—5) Ὅτι σπουδὴν πολλὴν τοῦ βασιλέως ἐνδείξασθαι θέλων διὰ συνεχῶν ἥκει συντόμως καὶ ἐνταῦθα μετοχῶν κατὰ σχῆμα ἄρσεως καὶ θέσεως, πλεοναζούσης διὰ κάλλος τῆς ἄρσεως. εὐειδὲς γὰρ σχῆμα καὶ αἱ ἀποφάσεις. καί φησιν· «ἔνθ’ οὐκ ἂν βρίζοντα ἴδοις Ἀγαμέμνονα δῖον οὐδὲ καταπτώσσοντα οὐδ’ οὐκ ἐθέλοντα μάχεσθαι, ἀλλὰ μάλα σπεύδοντα μάχην ἐς κυδιάνειραν». τῶν γοῦν ἵππων καταπηδήσας ἐποίει τὰ καὶ τὰ πεζὸς περιϊών, ἵνα δηλαδὴ τῇ φιλοπονίᾳ δυσωπήσῃ τοὺς Ἕλληνας καὶ μηδὲ ἐπαχθὴς ᾖ ἀπὸ τοῦ ἅρματος διαλεγόμενος.

1.736 (v. 223) Ἔστι δὲ βρίζειν τὸ ἀπονυστάζειν, κυρίως δὲ τὸ βαρέως ἢ μετὰ τὴν βορὰν ἵζειν. ἡ δὲ λέξις καὶ ἐν Ὀδυσσείᾳ. τῶν δὲ ῥηθέντων τὸ μὲν βρίζειν τὴν παντελῆ ἀμέλειαν ἀποφάσκει τοῦ βασιλέως, τὸ δὲ πτώσσειν τὴν δειλίαν, τὸ δὲ οὐκ ἐθέλειν τὴν ὀκνηρίαν καὶ τὸ ἀπρόθυμον. [(v.

223) Ἰστέον δέ, ὅτι τὸ «οὐκ ἂν ἴδοις» ἀποστροφῆς ἐστι σχῆμα, ὡς ἢ τῆς Μούσης ἀποστρεψάσης τὸν αὐτῆς λόγον πρὸς τὸν αὐτῆς ὁμιλητὴν ποιητήν, ἢ καὶ τοῦ ποιητοῦ πρὸς τὸν ἀκροατήν. ἔστι δὲ τὸ «οὐκ ἂν ἴδοις» Ἀττικῶς ἀντὶ τοῦ «οὐκ ἂν εἶδες».] (v. 227) Ὅτι τοὺς πνευστιῶντας ἵππους φυσιόωντας λέγει εἰπών· «καὶ τοὺς μὲν θεράπων ἀπάνευθ' ἔχε φυσιόωντας», ὅπερ σημαίνοι ἂν καὶ τὸ φρυαττομένους ἢ καὶ τὸ ἀσθμαίνοντας, ὥς φασιν οἱ παλαιοί, καὶ πνεῦμα ἠρεθισμένους. ἦν δὲ ὁ τοιοῦτος θεράπων Εὐρυμέδων προσφυῶς τῷ εὐρυκρείοντι βασιλεῖ δοθεὶς εἰς ἡνίοχον. ἔστι δὲ καὶ τῷ Νέστορι Εὐρυμέδων ἕτερος. [Ἱστορεῖ δὲ τῷ βασιλικῷ Εὐρυμέδοντι πατέρα Πτολεμαῖον Πειραΐδην, τουτέστι Πειραίου υἱόν, οὗ τῆς παραληγούσης διφθόγγου ἐξεβλήθη τὸ ἰῶτα ἐν τῷ πατρωνυμικῷ ἀναγκαίως πρὸς εὐχρηστίαν μέτρου, ὁμοίως τῷ Ἀλκαῖος Ἀλκαΐδης. χρῆσις δὲ Πειραίου καὶ ἐν Ὀδυσσείᾳ.] (v. 229) Ὅτι τὸ πλησίον ἔχειν τοὺς ἵππους παρίσχειν, ὅ ἐστι παρέχειν, λέγει ἐγγύτητα καὶ νῦν δηλούσης τῆς προθέσεως. οἱ δέ γε μεθ' Ὅμηρον ἐπὶ τοῦ δοῦναι τὴν λέξιν τίθενται ἐξ ὁμοιότητος, ἐπεὶ καὶ ὁ δωρούμενος ἐγγὺς τοῦ λαμβάνοντος ἔχει τὸ διδόμενον, παρέχων, οὐ μὴν ἀπέχων. (v. 230) Ὅτι στρατηγικὸν μόχθον ἐν πολέμῳ δηλοῖ τὸ «ὁππότε μιν γυῖα λάβοι κάματος πολέας κατακοιρανέοντα». (v. 231) Ὅτι Ὁμήρου εἰπόντος ἐνταῦθα, ὡς πεζὸς ὁ βασιλεὺς ἐπεπωλεῖτο στίχας ἀνδρῶν, [καὶ μετ' ὀλίγα δέ· «κοιρανέων ἐπεπωλεῖτο στίχας ἀνδρῶν»,] Ἐπιπώλησιν ἐντεῦθεν, ὡς καὶ προερρέθη, τὴν ῥαψῳδίαν ταύτην τινὲς ὠνόμασαν. (v. 234 ss.) Ὅτι ὥσπερ ἐν τῇ βῆτα τὸν Ὀδυσσέα ποικίλον τὴν ὁμιλίαν ἐποίει ἄλλως ἄλλοις ἐντυγχάνοντα, οὕτω καὶ νῦν τὸν βασιλέα, καὶ μάλιστα ὧδε ἀναγκαίως ποικιλώτερον, ὡς καὶ ἐπεξιόντα τοῖς καθέκαστον.

1.737 καὶ τοιοῦτός ἐστιν, ὃν ἐν Ὀδυσσείᾳ λέγει πολύτροπον, τὸν μὴ καθάπερ εἰκόνα γεγραμμένην ἑστῶτα ἐπὶ σχήματος ἑνός, ἀλλ' εἰς πολλὰ τρεπόμενον καὶ πολυκίνητον τῇ διανοίᾳ καὶ ἀληθῶς πολυμήχανον. ἄλλως γάρ, ὡς καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν διείληπται, ποικιλίαν ἤθους ἔχειν οὐκ ἂν εἰς ἐγκώμιον ἥρωος θείη τις. Σημείωσαι δέ, ὅτι πρῶτον μὲν κοινῶς τὴν βασιλικὴν δημηγορίαν ὁ ποιητὴς μελετᾷ, εἶτα καὶ ἰδικῶς. οἷον πρῶτον μὲν ἀορίστως οὕτως· «οὓς μὲν σπεύδοντας ἴδοι Δαναῶν ταχυπώλων, τοὺς μάλα θαρσύνεσκε παριστάμενος ἐπέεσσιν· Ἀργεῖοι μή πώ τι μεθίετε θούριδος ἀλκῆς· οὐ γὰρ ἐπὶ ψευδέσι πατὴρ Ζεὺς ἔσσετ' ἀρωγός, ἀλλ' οἵ περ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο, τῶν», ἤτοι αὐτῶν, «τέρενα χρόα γῦπες ἔδονται, ἡμεῖς δ' αὖτ' ἀλόχους τε φίλας καὶ νήπια τέκνα ἄξομεν ἐν νήεσσιν, ἐπὴν πτολίεθρον ἕλωμεν. οὕς τινας αὖ μεθιέντας ἴδοι στυγεροῦ πολέμοιο, τοὺς μάλα νεικείεσκε χολωτοῖς ἐπέεσσιν· Ἀργεῖοι ἰόμωροι, ἐλεγχέες, οὔ νυ σέβεσθε» καὶ τὰ ἑξῆς, ἐν οἷς καὶ νεβροῖς εἰκάζει τοὺς τοιούτους ὁ βασιλεύς, ὡς μετ' ὀλίγα εἰρήσεται. καὶ οὕτω μὲν στρατηγικῶς κατὰ τὸ ἀόριστον. εἶτα καταβὰς εἰς ὡρισμένα πρόσωπα λέγει, ὅπως ἦλθεν εἰς τοὺς Κρῆτας ὁ βασιλεὺς καὶ τί εἶπε καὶ τί ἐκεῖθεν ἤκουσεν. εἶτα ἐπὶ τοὺς Αἴαντας, μεθ' οὓς εἰς τὸν Νέστορα καὶ ἑξῆς. ἔνθα συχνὴν συνήθη ποικιλίαν ὁ ποιητὴς ἐπιδείκνυται, ἄλλα περὶ ἄλλων ἱστορῶν· οἷον τοὺς μὲν περὶ Ἰδομενέα θωρήσσεσθαι λέγων, τοὺς δὲ περὶ τοὺς Αἴαντας καὶ κορύσσεσθαι καὶ κινεῖσθαι εἰς μάχην, τὸν δὲ Νέστορα ἤδη τάσσειν εἰς πόλεμον τοὺς περὶ αὐτόν, Μενεσθέα δὲ τὸν βασιλέα τῶν Ἀθηναίων καὶ τὸν Ὀδυσσέα ἑστάναι διὰ τὸ μὴ θέλειν προϋπάρξαι μάχης, Διομήδην δὲ καὶ Σθένελον ἵστασθαι μὲν καὶ αὐτούς, ἐν ἵπποις δὲ καὶ ἅρμασιν, ἤτοι ἄνω ἵππων καὶ ἁρμάτων. οὕτω πολυειδῶς σχηματίζειν οἶδε τὰ πράγματα ὁ ποιητὴς ἄλλους ἄλλως καθιστῶν ἔχοντας. καὶ αἱ τοῦ βασιλέως δὲ πρὸς ἕκαστον ὁμιλίαι πολυειδεῖς πλάττονται καὶ αὐταί. Ἰδομενέα μὲν γὰρ ἀποδεξάμενος, τὸν ὑπασπιστὴν δὲ αὐτοῦ Μηριόνην οὐδενὸς ἀξιώσας λόγου, προφέρει χάριτας οἰκείας, ἀνθ' ὧν ὁ Ἰδομενεὺς ὀφειλέτης ἐστὶν ὁλοψύχου συμμαχίας τῷ βασιλεῖ. ἐπὶ δὲ τοῖς Αἴασιν εὐκτικῶς σχηματίζει τὸν λόγον, εὐχόμενος πάντας τοιούτους γενέσθαι τοὺς Ἕλληνας. τῷ δὲ γέροντι Νέστορι εὐκτικῶς καὶ αὐτῷ προσενεχθείς, τοὺς δὲ ὑπ' αὐτὸν ἐν οὐδενὶ λόγῳ θέμενος, ἐπεύχεται κατὰ τὴν προθυμίαν αὐτοῦ γενέσθαι καὶ τὴν δύναμιν. τὸν δὲ Μενεσθέα καὶ Ὀδυσσέα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λόγοις ὀνειδιστικοῖς βάλλει καὶ μάλιστα τὸν Ὀδυσσέα, ἵνα καὶ οὕτω καινότητα καὶ ποικιλίαν τινὰ ὁ λόγος αὐτῷ ἔχῃ, καὶ ὡς ἀμνήμονας χαρίτων αὐτοὺς ἐλέγξας καὶ γνοὺς τὸν Ὀδυσσέα λυπούμενον ἐπαναλαβὼν τὸν λόγον μειλίχια προσφωνεῖ.

1.738 τὸν δὲ Διομήδην εἰς δειλίαν τε ὀνειδίζει οὐδὲν εἰπὼν πρὸς τὸν ὑπασπίζοντα Σθένελον, καὶ ἀνομοίως αὐτὸν ἔχειν τῷ πατρὶ Τυδεῖ λέγει παρεμπλέξας καὶ ἱστορίαν τοῦ Θηβαϊκοῦ πολέμου, ἔνθα ὁ Τυδεὺς εὐδοκίμησε. καὶ οὕτω μὲν ἡ πρὸς τοὺς ἥρωας δημηγορία τῷ βασιλεῖ πολυσχημάτιστος. οὐχ' ἧττον δὲ ταύτης πολυσχήμων καὶ ἡ τῶν ἡρώων πρὸς αὐτὸν ἀμοιβή. καὶ αὐτὴ γὰρ πολυειδὴς καὶ ὡς δυνατὸν ἀσυνέμπτωτος. Ἰδομενεὺς μὲν γὰρ ἀγαθὸς ἑταῖρος ἔσεσθαι ὑπισχνεῖται, ὡς τὸ πρῶτον ὑπέστη καὶ κατένευσε, κατηγορεῖ δὲ καὶ τῶν Τρώων, ὡς συγχεάντων τὰ ὅρκια. οἱ δὲ Αἴαντες οὐδέν τι ὅλως λαλοῦσι. Νέστωρ δὲ εὔχεται καὶ αὐτός, ὅσα καὶ ὁ βασιλεύς, καί τινα ἱστορίαν λαλεῖ καὶ ὑπισχνεῖται πονήσειν τὰ δυνατά. Ὀδυσσεὺς δὲ ἀντιτραχύνεται αὐτὸς ἠρέμα πρὸς τὸν βασιλέα τοῦ Ἀττικοῦ Μενεσθέως εἰς τὸ πᾶν σιωπῶντος. Διομήδους δὲ αἰδεσθέντος τὸν βασιλέα καὶ διὰ τοῦτο σιγήσαντος, ὁ μηδενὸς λόγου ἀξιωθεὶς Σθένελος ἀμείβεται μὲν αὐστηρότερον, ἐπιστομίζεται δὲ ὑπὸ τοῦ Διομήδους. οὕτω πολυδαίδαλον καλὸν ἡ Ὁμηρικὴ ποίησις καὶ ὑπὲρ τὸν ὑμνούμενον κεστόν. (v. 233) Ἰστέον δέ, ὅτι τὸ «θαρσύνεσκεν ἐπέεσσι» πρὸς διαστολὴν κεῖται τοῦ δώροις θαρσύνειν. Τὸ δέ «μήπω τι» ἀργὴν ἔχει τὴν παραπλήρωσιν. ἔστι γὰρ ἀντὶ τοῦ μή τι περιττοῦ κειμένου τοῦ πω . παρὰ δέ γε τοῖς ὕστερον χρονικὴν σημασίαν ἔχει τὸ μήπω, καθὰ καὶ τὸ οὔπω. παρέλκει δὲ ὁμοίως καὶ τὸ τι , καθὰ καὶ ἐν τῷ οὔτι. ὅλον γὰρ τὸ «μήπω τι μεθίετε» ταὐτόν ἐστι τῷ «μὴ ἀμελεῖτε». (v. 235) Τὸ δέ «οὐκ ἐπὶ ψευδέσσι πατὴρ ἔσσεται ἀρωγός» οἱ μὲν παροξύνουσιν, ἵνα λέγῃ, ὅτι οὐκ ἔσται βοηθὸς ὁ πατὴρ τοῖς ψεύσταις Τρωσίν, οἱ δὲ προπαροξύνουσι κατὰ γένος οὐδέτερον νοοῦντες, ὅτι οὐ ψεύσεται τὴν βοήθειαν. πατὴρ δὲ καὶ νῦν κατ' ἐξοχὴν ὁ Ζεύς. τὸ δὲ πληρέστερον «πατὴρ ἀνδρῶν τε θεῶν τε», ὡς καὶ τοῦτο προείρηται. (v. 237) Τέρενα δὲ χρόα τὴν ὅλην σάρκα λέγει ὡς ἐκ μέρους τοῦ προφαινομένου ἐξ ἐπιπολῆς πρὸς διαστολὴν τῶν ὀστῶν. ἐκεῖνα γὰρ οὐ τέρενα ἤτοι ἁπαλά. ὥσπερ δὲ ὁ χροῦς, οὕτω καὶ ὁ χρώς τὸ προφαινόμενον δηλοῖ τῆς κατ' ἄνθρωπον σαρκός, ἤγουν τὴν χροιάν, κατὰ τὸ «παραδραθέειν ᾗ χροιῇ». διὸ καὶ πρὸς τὸ ἐν χρῷ ὁμοιότητα ἔχει τὸ χρῴζειν, οἷον «γόνατα μὴ χρῴζειν ἐμά», ἤγουν χρωτίζειν καὶ ἐν χρῷ ἔχειν. ὅμοιον δὲ καὶ τὸ «μάτην κεχρώσμεθα», ἤγουν ἱκετεύθημεν κατὰ δεξιὰν καὶ γόνατα.

1.739 τοιοῦτον δὲ καὶ τὸ χραίνειν κατὰ παραγωγήν, οὗ πρῶτος μετέχει ὁ χροῦς, ἐξ οὗ τέτραπται τραγικῶς καὶ τὸ «ἀγορᾶς χραίνων κύκλον». συγγενὲς δὲ τοῖς τοιούτοις καὶ τὸ χρίμπτειν, ὅ ἐστιν ἐν χρῷ πελάζειν, καὶ τὸ χρίειν, ἔτι δὲ καὶ τὸ χράειν, ὅ ἐστιν ἐπιπίπτειν. ὥσπερ δὲ ὁ τέρην χροῦς ἐκ μέρους τὴν ὅλην ἐδήλωσεν ἐνταῦθα σάρκα, οὕτω καὶ τὸ «γῦπες ἔδονται» τῷ μέρει τοῖς γυψὶ καὶ λοιπὰ σαρκοβόρα συνεισάγει ὄρνεα, ὧν γένος ὁ οἰωνὸς κατὰ τὸ «οἰωνοῖσί τε πᾶσιν». (v. 238) Ἀλόχων δὲ Τρωϊκῶν ὁ βασιλεὺς ἄρτι μέμνηται, καθὰ καὶ ὁ ῥήτωρ Νέστωρ πρὸ τούτων καθ' ὁμοίαν μέθοδον, ὡς ἐξ ἐκείνου κερδάνας τὸ νόημα. (v. 241) Τὸ δέ «χολωτοῖς ἐπέεσσιν» ἐπενεχθὲν μετὰ τὸ νεικείεσκεν δοκεῖ ὁρισμὸς νείκους εἶναι, ἵνα ᾖ νεῖκος λόγος χολωτός. (v. 242) Ἰόμωροι δὲ νῦν ἀπὸ μέρους οἱ ἁπλῶς πολεμισταί, κυρίως δὲ οἱ περὶ βέλη μεμορημένοι, ὅ ἐστι κακοπαθοῦντες, ἐκ τοῦ μόρος, ὃ δηλοῖ τὴν κακοπάθειαν, ἐκταθέντος τοῦ ο . ἢ οἱ ποιούμενοι ὤραν ἤτοι φροντίδα τῶν ἰῶν πλεονασμῷ τοῦ μῦ. ἑλκυσθήσεται δὲ ὁ αὐτὸς τῆς ἐτυμολογίας τρόπος καὶ εἰς τὸ ἐγχεσίμωρος. Τὸ δὲ ἐλεγχέες τοὺς ἐφυβρίστους καὶ ἀξίους ἐλέγχου δηλοῖ. τί δέ ἐστι κυρίως ἔλεγχος, ὁ τῶν στάσεων Ἐξηγητὴς δηλοῖ. εὐθεῖα δὲ τοῦ ἐλεγχέες ὁ ἐλεγχής. καὶ κλίνεται ἐλεγχέος, ἐξ οὗ θηλυκὸν ἐλεγχείη, ὡς ἔγχος ἔγχεος ἐγχείη. παραλαλεῖ δὲ καὶ δειλίαν ὁ ἔλεγχος ἐοικὼς ἀπὸ τοῦ ἐλᾶν τὸ ἔγχος γίνεσθαι. ψόγος γὰρ ἦν ἀνδρὶ Ἕλληνι ἡ τοῦ ἔγχους μὲν ἀπέλασις ἤτοι περιφρόνησις, φροντὶς δὲ τῶν ἰῶν ἤγουν τῶν ὀϊστῶν. ὅθεν καὶ ἐφ' ὕβρει ἔθηκεν ἴσως τὸ ἰόμωροι. τοξεύειν γὰρ οὐ πάνυ ἐν πολέμῳ ἤθελον οἱ

ἥρωες. διὸ καὶ ἄμφω ἀντιπαρέθηκε τὸ ἰόμωροι καὶ τὸ ἐλεγχέες, ὡς μὴ δέον ὂν μήτε ἰομώρους εἶναι μήτε ἐλεγχέας τοὺς ἥρωας. [Εἰκὸς δὲ καὶ παρὰ τὸ ἑλεῖν ἔγχος γενέσθαι τὸν ἔλεγχον, ὡς πολλῶν ὅπλοις διακρινόντων τὰ στασιαζόμενα. εἰ δὲ ψιλοῦται ἡ ἄρχουσα, καινὸν οὐδέν. κανονικῶς γὰρ αὐτὸ γίνεται, ὡς τῆς τρίτης συλλαβῆς ἀπὸ δασέος ἀντιστοίχου ἀρχομένου τοῦ χῖ.

1.740 οὕτω δὲ καὶ τὸ ἔλαφος γεγονὸς παρὰ τὸ ἑλεῖν ὄφεις ψιλοῦται κατὰ τὴν ἀρχὴν διὰ τὸ φῖ κατάρχον τῆς τρίτης συλλαβῆς. δῆλον δέ, ὡς καὶ αὐτὴ καὶ παρὰ τὸ ἐλᾶν ὄφεις γίνεται.] Σέβεσθε δὲ ἀντὶ τοῦ αἰδεῖσθε ἢ καὶ ἐκπλήττεσθε, ἐφ' οἷς δηλαδὴ ποιεῖτε. οὔπω γὰρ ἐπὶ τιμῆς τότε ἡ λέξις ἔκειτο. ὅθεν καὶ σέβας ἡ ἔκπληξις ἔν τε ἄλλοις καὶ ἐν τῷ «σέβας μ' ἔχει εἰσορόωντα». (v. 243—6) Ὅτι τοὺς Ἕλληνας ἀργοὺς ἑστῶτας καὶ τεθηπότας σκώπτει ὁ βασιλεὺς νεβροῖς εἰκάζων αὐτούς, αἳ μακρὰ δραμοῦσαι καὶ καμοῦσαι ἵστανται ἔκθαμβοι. φησὶ γάρ· «τίφθ' οὕτως ἔστητε τεθηπότες ἠΰτε νεβροί, αἵ τ' ἐπεὶ οὖν ἔκαμον πολέος πεδίοιο θέουσαι ἑστᾶσιν, οὐδ' ἄρα τί σφιν μετὰ φρεσὶ γίνεται ἀλκή· ὣς ὑμεῖς ἔστητε τεθηπότες οὐδὲ μάχεσθε». πάνυ δὲ ἐπιτυχὴς ἡ παραβολή. τοιοῦτον γὰρ κατὰ φυσικὴν ἰδιότητα ἡ νεβρός. καὶ ὅρα, ὅπως καὶ τὴν διάθεσιν τῶν Ἑλλήνων, τὴν κατὰ τὸ σχῆμα καὶ τὸ εἶδος, διεζωγράφησεν ὁ ποιητὴς πλάσας ἵστασθαι τοὺς Ἀχαιοὺς τεθαμβημένους, ὡς εἰκός, ἐπὶ τοῖς γινομένοις, ὃ καὶ οἱ Ὁμηρικοὶ πάσχουσιν ἀκροαταὶ διὰ τὸ τῶν ἀκουσμάτων παράδοξον. (v. 243) Ἔστι δὲ [τὸ μέν «τίφθ' οὕτως» ἀντιστοιχούμενον ἐκ τοῦ τίπτε δύο ψιλῶν μεταπεσόντων εἰς δύο δασέα, ὃ γίνεται καὶ ἐπὶ τοῦ ἐρρίφθη καὶ ἐτύφθη καὶ ἐβλάφθη, ἐκ τοῦ ῥίπτω καὶ τύπτω καὶ βλάπτω, ἔτι δὲ καὶ ἐπὶ τοῦ ἐρρῆχθαι, πεφοινίχθαι, πεπλῆχθαι, ἀπὸ τοῦ ἔρρηκται, πεφοίνικται, πέπληκται, καὶ ἐπὶ ἄλλων ὁμοίων.

1.741 ] Τὸ [δὲ] τεθηπότες μέσος παρακείμενος τοῦ θάπτω, ὅπερ ἄγειν οἶδε τοὺς συμπαθεῖς εἰς ἔκπληξιν. ἀφ' οὗ καὶ θάπος καὶ Ἰωνικῇ ἐναλλαγῇ τῶν στοιχείων τάφος, ἡ ἔκπληξις, καὶ θαπών μετοχὴ ἐνεργητικοῦ δευτέρου ἀορίστου καὶ κατὰ ὅμοιον ἄλλαγμα τῶν ἀφώνων ταφών, ὁ ἐκπλαγείς. ὅτι δὲ Ἰώνων ἰδία ἡ τοιαύτη τῶν δασέων καὶ ψιλῶν ἀντιμεταχώρησις εἰς τὰ σύστοιχα, δηλοῦσι μὲν καὶ τὰ τοῦ γλυκέος Ἴωνος Ἡροδότου, τὸ ἐνθεῦτεν, τὸ κιθών, τὸ βάθρακος καὶ ἕτερα, δηλοῦσι δὲ καὶ πολλὰ τῶν κοινῶν καὶ ἰδιωτικῶν. τὰ γοῦν ἀκάνθια ἀχάντια τῶν τινές φασιν ἑῴων ἀνδρῶν, καὶ ἡ τοῦ κύσθου δὲ λεοντῆ παρὰ τῷ Κωμικῷ εἰς τοιοῦτον πίπτει Ἰωνισμόν, εἴπερ ἀπὸ τοῦ κέχυται γίνεται διὰ τὴν ἐκεῖθεν κατὰ φύσιν χύσιν. Ἰωνικῶς δὲ ἰδιώτισται καὶ τὸ ἐκ τῆς χύτρας συντεθὲν μονόκυθρον. οὐ μακρὰν δὲ τούτων οὐδὲ τὸ πάσχα ἐκ τοῦ φάσκα καλλιφωνηθέν. Νεβροὶ δὲ τὰ νεογνὰ τῆς ἐλάφου, ὡς πολλαχοῦ δηλοῦται. Ἰωνικὴ δὲ καὶ Ἀττικὴ ἡ κατὰ θηλυκὸν γένος προφορὰ τῆς νεβροῦ. (v. 244) Τὸ δέ «ἐπεὶ οὖν» ἀργοῦ κειμένου τοῦ οὖν ταὐτόν ἐστι τῷ ἐπειδή. (v. 243) Τὸ δέ «ἔστητε τεθηπότες οὐδὲ μάχεσθε» τὸν σκοπὸν συναιρεῖ τῆς ὅλης παραβολῆς. ἵστανται γὰρ οἱ Ἀχαιοὶ κατὰ τὰς νεβροὺς καὶ τεθήπασι κατ' ἐκείνας καὶ οὐ μάχονται, ὡς οὐδ' ἐκεῖναι ἀλκὴν ἐνδείκνυνται. (v. 248) Ὅτι τὴν πολιὴν θῖνα, ἧς καὶ ἐνταῦθα μέμνηται ὁ ποιητὴς ἐν τῷ «νῆες εὔπρυμνοι πολιῆς ἐπὶ θινὶ θαλάσσης» «πολιῆτιν ἀκτήν» Εὐριπίδης φησὶ παραφραστικῶς ἐν τῷ «ψάμαθοι πολιήτιδος ἀκτῆς», ἤγουν λευκῆς κατὰ τοὺς παλαιούς. καὶ ἔοικεν ἐκεῖνος πρῶτα μὲν πολῖτιν εἰπεῖν τὴν πολιάν, εἶτα Ὁμηρικῶς πλεονάσαι τῷ η . καὶ γὰρ καὶ Ὅμηρος τὸν πολίτην πολιήτην φησίν, ὅπερ Ἰωνικὸν εἶναι δοκεῖ κατὰ τὸ Μασσαλιήτης, Ἀπολλωνιήτης, οἰκιήτης, ἃ κεῖνται παρὰ τῷ Ἡρωδιανῷ.

1.742 δύναται δὲ ἐκεῖνο καὶ ἀπὸ τοῦ πολιά γενέσθαι τροπῇ τοῦ α εἰς η . (v. 249) Ὅτι τὸ «ὕμμιν ὑπέρσχῃ χεῖρα Κρονίων», ἀντὶ τοῦ ὑπεράνω θήσει, σκεπάσει ὑμᾶς. οὕτω δέ, φασί, καὶ οἱ μεθ' Ὅμηρον, οἷον «ὑπερέσχεν ὑμῶν τὴν χεῖρα θεός». Σημείωσαι δέ, ὅτι τὸ Κρονίων καὶ ἐνταῦθα ὡς καὶ ἐν ἄλλοις ἐκτείνει τὴν παραλήγουσαν καὶ ὅτι τὸ «ἦ μένετε ὄφρα εἴδητε, ἐὰν ὑμῶν χεῖρα ὑπέρσχῃ θεός» παροιμίαν γεννᾷ τὴν εἰποῦσαν «σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει». οὐ γὰρ χρὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀναμένειν, ἵνα ἁπλῶς οὕτω χεῖρα ὑπέρσχῃ θεός, ἀλλὰ συνεισάγειν καὶ τὰ οἴκοθεν. οἱ δὲ ὕστερον καὶ ἐπὶ νίκης τὸ ὑπερσχεῖν τιθέασιν, ὥσπερ καὶ τὸ ὑπερέχειν. (v. 250) Ὅτι στὶξ μὲν ἐξ ἀνδρῶν πεντακοσίων κατὰ τοὺς παλαιούς, οὐλαμὸς δὲ τάξις ἐκ τεσσαράκοντα ἀνδρῶν, φάλαγξ δὲ ἀπὸ ἑκατόν καὶ εἴκοσι, πύργος δὲ ἐκ τριακοσίων καὶ ἑξήκοντα, τάξις αὕτη τετραγωνοειδῶς πυκνουμένη. Ὅμηρος δὲ ἐν τῇ ἐπιπωλήσει ταύτῃ χρᾶται μὲν ταύταις ταῖς λέξεσι, λαμβάνει δὲ αὐτὰς ἐπὶ τῆς ἁπλῶς κατὰ πληθύν τινα τάξεως, ἐν οἷς λέγει στίχας ἀνδρῶν καὶ οὐλαμὸν ἀνδρῶν καὶ πυκινὰς φάλαγγας καὶ πύργους Ἀχαιῶν. γίνεται δέ, ὡς καὶ ἑτέρωθι δηλοῦται, ἡ μὲν στὶξ ἀπὸ τοῦ στείχω διὰ τὸ τῆς πορείας εὔτακτον, οὐλαμὸς δὲ παρὰ τὸ οὖλον, τὸ συνεστραμμένον, ὡς τὸ «οὖλον κεκλήγοντες», ἐξ οὗ καὶ οὐλόθριξ, ἵνα δηλοῖ οὐλαμὸς στρατοῦ συστροφήν. φάλαγγες δὲ παρὰ τὰ φαλάγγια, ὥς φασιν οἱ παλαιοί. οὕτω δὲ παρ' ἐκείνοις ἐκαλοῦντο τὰ ξύλα, ὅθεν αἱ στρατιωτικαὶ φάλαγγες, ἐπειδὴ ξύλοις οἱ πάλαι καὶ ῥοπάλοις καὶ κορύναις ἐμάχοντο. διό, φασί, καὶ ἡμεῖς τὰ ἐκ ξύλων οἰκοδομήματα φάλαγγας καλοῦμεν. καὶ μήποτε διὰ τοῦτο καὶ τὰ ἐν ταῖς δοκοῖς τῶν οἴκων τεχνουργοῦντα ἀράχνια φαλάγγια λέγεται, ἴσως δὲ καὶ τὰ τοῖς πλοίοις ὑποτιθέμενα ἕρματα ἐντεῦθεν οἱ πολλοὶ φαλάγγια λέγουσιν. Ἀριστοτέλης δὲ καὶ ἐπὶ δακτύλου τὴν λέξιν τίθησιν, οὗ τὸ μὲν καμπτικόν, φησί, κόνδυλος, τὸ δὲ ἄκαμπτον φάλαγξ. Ἡρόδοτος δὲ ἐβένου φάλαγγάς πού φησιν. Ὁ δέ γε πύργος καθ' ὁμοιότητα τῶν οἰκοδομουμένων λέγεται διὰ τὴν τῶν στρατιωτῶν πύκνωσιν, ἣν ἀλλαχοῦ διὰ παραβολῆς παραδηλώσει ὁ ποιητὴς πύργου εἰκάζων οἰκοδομῇ τὴν τοιαύτην τάξιν.

1.743 περὶ δὲ τοῦ λόχου μετ' ὀλίγα ἐν οἰκείῳ τόπῳ ῥηθήσεται. (v. 251) Ὅτι τὸ «ἦλθεν ἐπὶ Κρήτεσσι» κατὰ ἀντίπτωσιν εἶπεν ἀντὶ τοῦ ἐπὶ τοὺς Κρῆτας. οὕτω δὲ καὶ κατωτέρω ἐρεῖ «ἦλθεν ἐπ' Αἰάντεσσιν». (v. 253 s.) Ὅτι Ἰδομενεὺς μὲν ἐν προμάχοις ἵστατο «συῒ ἴκελος ἀλκήν». καὶ ὅρα καὶ νῦν συντομίαν παραβολῆς. Μηριόνης δὲ πυμάτας, φησίν, ὤτρυνε φάλαγγας, οὐραγὸς δηλονότι ὤν. οὐρὰ γὰρ καὶ κατὰ Ξενοφῶντα τὸ ὀπίσω τῆς φάλαγγος, ὥσπερ στόμα καθ' Ὅμηρον ὁ τόπος τῶν προμάχων. καὶ οὕτω μὲν τάξεως εἶχον οἱ ἀριστεῖς. (v. 255—64) Ὁ δὲ βασιλεὺς ἰδών, φησίν, αὐτοὺς γήθησε καὶ δὴ τὸν Ἰδομενέα προσεποτρύνει μειλιχίοις, ἔπεσι δηλαδή, ἀναμνήσας, ὡς τιμᾷ αὐτὸν ἔν τε πολέμῳ τὸ δεξιὸν τυχὸν κέρας αὐτῷ διδοὺς ἤ τι τοιοῦτον ἄλλο ποιῶν, τιμᾷ δέ «καὶ ἀλλοίῳ ἐπὶ ἔργῳ», οἷον ἐν βουλῇ καὶ θυσίαις καὶ δημηγορίᾳ, τιμᾷ δὲ καὶ ἐν δαιτί, «ὅτε πέρ τε γερούσιον αἴθοπα οἶνον Ἀργείων οἱ ἄριστοι ἐνὶ κρητῆρσι κέρωνται· εἴ περ γάρ», φησίν, «ἄλλοι γε καρηκομόωντες Ἀχαιοὶ δαιτρὸν πίνωσι, σὸν δὲ πλεῖον δέπας αἰεὶ ἕστηκεν, ὥς περ ἐμοί, πιέειν ὅτε θυμὸς ἀνώγει». ἐτίθεντο δὲ καὶ τὰ τοιαῦτα ἐν τιμῇ οἱ παλαιοί, ὡς καὶ μετ' ὀλίγα φανήσεται. καὶ ἔστι, καθὰ καὶ προσεσημείωται, ἀφορμὴ καὶ τοῦτο τοῦ οἰνοβαρῆ τὸν βασιλέα ὑπ' Ἀχιλλέως λεχθῆναι, ὥσπερ καὶ τὸ τοὺς Ἕλληνας πρὸ τούτου καὶ τοὺς Τρῶας ἐν ὑποθέσει συμποσίου μετρεῖν. (v. 259) Οἶνος δὲ καὶ νῦν γερούσιος ὁ τοῖς γέρουσιν, ἤτοι τοῖς ἐντίμοις, διδόμενος ἐν συμποσίῳ κοινῷ. Αἶθοψ δέ, ὡς καὶ προεγράφη, ὁ μέλας ἢ θερμός. ἔνθα ὅρα, πηλίκην ἔχει διαφορὰν ὁ αἶθοψ καὶ ὁ Αἰθίοψ, καὶ ταῦτα ἐξ ὁμοίας ὄντα παραγωγῆς, [ὥσπερ σὺν ἄλλοις καὶ τὸ περίττευμα καὶ περίττωμα.] (v. 260) Τὸ δέ «ἐνὶ κρητῆρσι κέρωνται» τρόπου ἐστὶν ἐτυμολογικοῦ. δῆλον γάρ, ὡς ἐκ τοῦ κερᾶν ὁ κρατήρ, ὡς οἷά τις ὢν κερατήρ. Σημειωτέον δὲ τὸ κέρωνται οὐκ ἐκ περισπωμένου ἐνεστῶτος κινηθέν, ἀλλ' ἔκ τινος βαρυτόνου, ὁποῖον οὐκ ἔστι ῥᾳδίως εὑρεῖν. (v. 262) Δαιτρὸν δὲ πίνειν ἐπιρρηματικῶς ἀντὶ τοῦ μεμερισμένως. ἡ δὲ μεταφορὰ ἐκ τοῦ τὰ κρέα μερίζοντος δαιτροῦ.

1.744 Ἐν δὲ τῷ «σὸν δὲ πλεῖον δέπας» ὁ δε σύνδεσμος ὁ αὐτός ἐστι τῷ δη ἢ τῷ ἀλλα . Τὸ δὲ πλεῖον τὸ γέμον δηλοῖ τὸ παρὰ τοῖς ὕστερον ἔμπλεων, ὃ παρ' ἐκείνοις μὲν ἐκτείνεται Ἀττικῶς, παρὰ δὲ τοῖς παλαιοῖς συστέλλεται κοινότερον. (v. 266 s.) Ὅτι ὁ τὸ ὑποσχεθὲν ἐκπληρώσειν κατατιθέμενος εἴποι ἂν τὸ τοῦ Ἰδομενέως· «μάλα τοι», ὅ ἐστί σοι, «ἐγὼν ἐρίηρος ἑταῖρος ἔσσομαι, ὡς τὸ πρῶτον ὑπέστην καὶ κατένευσα». Τὸ δὲ ὑπέστην καὶ νῦν ἀντὶ τοῦ ὑπεσχόμην,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνεδεξάμην, ἐκ μεταφορᾶς κίονος ὑποκάτω στάντος καὶ ἀνέχοντος τὰ ἐπικείμενα. δοκεῖ δὲ καὶ διασαφητικὸν τοῦ ὑπέστην εἶναι τὸ κατένευσα. [Ἰστέον δέ, ὅτι ἐρίηρος ἑταῖρος οὐ μόνον ὁ ἄγαν ἐράσμιος, ἀλλὰ καὶ μάλιστα ὁ ἄγαν ἀραρὼς καὶ ἡρμοσμένος τῷ φίλῳ καὶ μὴ δυαζόμενος.] (v. 268) Ὅτι σπευστικὸν εἰς μάχην τὸ «ἀλλ' ἄλλους ὄτρυνε, ὄφρα τάχιστα μαχώμεθα». (v. 269) Ὅτι τὸ παραβῆναι ὅρκους φθάσας εἰπεῖν δηλήσασθαι καὶ πημᾶναι καὶ καταπατῆσαι τὸ αὐτὸ καὶ συγχέαι φησὶν ἐν τῷ «ἐπεὶ σύν γε ὅρκια ἔχευαν Τρῶες». οὕτω πλούσιος καὶ λέξεσιν ὁ ποιητής. εἴληπται δὲ ἡ λέξις ἐκ μεταφορᾶς τῶν πρῴην μὲν εὐκρινῶς ἐχόντων εἶτα συνταραχθέντων, ὁποῖα καὶ τὰ χαλώμενα καὶ καταπατούμενα καὶ συμφυρόμενα καὶ πτυρόμενα. (v. 270 s.) Ἀπειλὴ κατὰ ἐπιόρκων τὸ «τοῖσι δ' αὖ θάνατος καὶ κήδε' ὀπίσσω ἔσσεται, ἐπεὶ πρότεροι ὑπὲρ ὅρκια δηλήσαντο», τουτέστιν, ὡς προσεχῶς ἐρρέθη, συνέχευαν. (v. 272) Ὅτι χαρμοσύνου ἀπελεύσεως φραστικὸν τὸ «ὣς ἔφατο, ὃ δὲ παρῴχετο γηθόσυνος κῆρ». (v. 273) Ὅτι ὁμοῦ τάσσει ὡς ἐπὶ πολὺ τοὺς δύο Αἴαντας ὁ ποιητής, ὡς καὶ ἐν τῇ βῆτα ῥαψῳδίᾳ εἴρηται, οὐ μόνον διὰ τὴν ὁμωνυμίαν, ἀλλὰ καὶ διότι ὁ μικρὸς ἐδέετο τοῦ μεγάλου, ὡς ἐν τοῖς ἑξῆς φανήσεται. σημείωσαι δὲ καί, ὅτι παρεμφαίνων ὁ ποιητὴς τὸ παροιμιῶδες, ὡς ἄρα εἷς ἀνὴρ οὐδεὶς ἀνήρ, ἑκάστῳ τῶν Ἑλληνικῶν στρατηγῶν παραζευγνύει τινὰ ἢ ὁμοεθνῆ ἢ καὶ ἑτεροῖον, οἷον τῷ ἐκ Κρήτης Ἰδομενεῖ τὸν Μηριόνην, Κρῆτα καὶ αὐτὸν ὄντα, ὡς καὶ τῷ Διομήδει τὸν Σθένελον, —Ἀργεῖοι γὰρ ἄμφω—τῷ δὲ μεγάλῳ Αἴαντι τὸν μικρόν, οὐ τῆς αὐτῆς ὄντα πατρίδος, τῷ δὲ Ἀττικῷ Μενεσθεῖ οὐχ' ὑποτάσσει, ἀλλ' ἐγγύς που συμπαρατάσσει Ὀδυσσέα τὸν Ἰθακήσιον, τῷ μέντοι γεραιτάτῳ Νέστορι οὐχ' ἕνα τινά, πολλοὺς δὲ ὑποστρατήγους δίδωσι. πέντε γὰρ ταξίαρχοι τὸν ἐκείνου ἀναπληροῦσι τόπον ἀπομάχου διὰ τὸ γῆρας ὄντος. μόλις γὰρ καὶ οἱ τοσοῦτοι τὸ τοῦ Νέστορος ἀναπληρώσουσιν ἔλλειμμα. ἃ γὰρ ἐκεῖνος ὁ εἷς ἐποίησεν ἂν τὸ τῆς νεότητος ἔχων ἄνθος, αὐτοὶ ῥᾳδίως οὐκ ἂν συντελέσωσι. Σημείωσαι δὲ καί, ὅτι μονοειδές τι ποιήσας ἐνταῦθα ἐπὶ Ἰδομενέως καὶ Διομήδους—ἀμφοτέροις γάρ, ὡς εἴρηται, ὁμοπάτριδες ὑποστράτηγοι ὁ Μηριόνης καὶ ὁ Σθένελος—οὐκ ἐγγὺς αὐτοὺς ἔθετο, ἀλλὰ διέστησεν, ἵνα λανθάνειν ἔχῃ τὸ ὁμοειδές, τοῦ μὲν ἐν πρώτοις μνησθείς, τοῦ δὲ ἐς ὕστερον.

1.745 (v. 274) Ὅτι νέφος πεζῶν εἰπὼν ὁ ποιητὴς τῶν ὑπὸ τοὺς Αἴαντας, ἤγουν πυκνότητα καί τινα μελανίαν ἐκ πυκνώσεώς τε πολλῆς καὶ ἐκ τῆς ἀπὸ σιδήρου ὁπλίσεως, καὶ τολμήσας τὴν λέξιν τοῦ νέφους ἐπὶ ἀνθρώπων εἰπεῖν κατὰ σκληρὰν τροπήν, ὅμως θεραπεύει τὴν τόλμαν εὐθὺς συνήθως διὰ παραβολῆς τῆς ἀπὸ πυκνότητος καὶ μελανίας νέφους, οἱονεὶ λέγων, ὡς, ἐὰν ἡ τοῦ νέφους ὁμοιότης προσαρμόζῃ αὐτοῖς, δοτέον μοι καὶ νέφος πεζῶν εἰπεῖν. οὕτω καὶ ἐν Ὀδυσσείᾳ τὴν τοῦ Ὀδυσσέως φάμενος καρδίαν ὑλακτεῖν παρεμυθήσατο τὸ ἀναιδὲς τῆς λέξεως τῇ ἀπὸ τοῦ κυνὸς παραβολῇ. καὶ ἄλλα δὲ τοιαῦτα ποιεῖ πολλαχοῦ. (v. 275—82) Εἰπὼν οὖν, ὅτι κορυσσέσθην, ἅμα δὲ νέφος εἵπετο πεζῶν—τοιούτων γὰρ οἱ Αἴαντες ἄρχειν ἐοίκασιν—ἐπάγει παραβολὴν τοιαύτην· «ὡς δ' ὅτ' ἀπὸ σκοπιῆς εἶδε νέφος αἰπόλος ἀνὴρ ἐρχόμενον κατὰ πόντον ὑπὸ Ζεφύροιο ἰωῆς, τῷ δέ τ' ἄνευθεν ἰόντι», ἢ ἐόντι, «μελάντερον ἠΰτε πίσσα φαίνεται ἰὸν κατὰ πόντον, ἄγει δέ τε λαίλαπα πολλήν· ῥίγησέν τε ἰδών, ὑπό τε σπέος ἤλασε μῆλα· τοῖαι ἅμ' Αἰάντεσσι διοτρεφέων αἰζηῶν δήϊον ἐς πόλεμον πυκιναὶ κίνυντο φάλαγγες κυάνεαι, σάκεσί τε καὶ ἔγχεσι πεφρικυῖαι». (v. 281) Ὅρα οὖν, ὅτι πρὸς τὸ πυκνὸν καὶ πάνυ μέλαν τῆς πεζικῆς τάξεως εἴληφε τὴν ἐκ τοῦ νέφους παραβολήν. ὡς γὰρ τὸ ἐν νέφει μέλαν πυκνόν ἐστι, οὕτω καὶ αἱ τῶν πεζῶν φάλαγγες πυκιναὶ ἐκινοῦντο κυάνεαι. διὸ καὶ νέφος πεζῶν εἰπεῖν ἐτόλμησεν, ὃ μιμητικῶς ἀντιστρέψας ὁ πολύνους Λυρικός, καθά που καὶ προδεδήλωται, στρατὸν ἔγραψέ που νεφελῶν, ὡς δῆθεν ταὐτὸν ὂν εἰπεῖν «στρατιᾶς νέφος» καὶ αὖ ἀνάπαλιν «στρατιὰν νεφελῶν». ἀφ' οὗ κερδήσαντες οἱ ναυτικοὶ στρατεύεσθαι νέφη φασίν, ὅτε πολλὰ συσταθέντα ἐπαγγέλλονται ταραχὴν ἀέρος διὰ τὴν περὶ αὐτὰ μελανίαν τὴν ἐκ πυκνώσεως. δῆλον δὲ καί, ὅτι μελαίνει ἐν ἡμέρᾳ τὸν μεταξὺ ἀέρα ἡ τοῦ πλήθους πυκνότης, ὡς καὶ τὸ νέφος ἡ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀτμίδων πύκνωσις. Σημείωσαι δὲ καί, ὡς, ἐπειδὴ ἐκ νεφῶν πολλάκις καὶ ἀστραπαὶ ἀποπάλλονται, καλῶς ἄρα ἡ τραγῳδία ἐτόλμησεν ἐκ τοῦ ῥηθέντος Ὁμηρικοῦ νέφους λαβοῦσα εἰπεῖν ὅπλων ἀστραπὴν ἐν τῷ «κατέσχον ἅπαν πεδίον ἀστραπαῖς». [(v. 274) Ἰστέον δέ, ὅτι τὸ νέφος πεζῶν ἔχει τι καὶ ἀντιθετικῆς ἀστειότητος ῥηθὲν πρὸς διαστολὴν τοῦ κυρίως νέφους. ἐκεῖνο μὲν γὰρ οὐράνιον, τοῦτο δὲ περιπέζιον.] Πεζοὶ δὲ γίνονται μὲν ἀπὸ τοῦ πέζα, ὁ πούς, καὶ δηλοῦσιν ἀνθρώπους ποσὶν ἁπλῶς βαίνοντας πεδοῖ, ὅ ἐστι περὶ τὸ πέδον.
1.746 [ἐξ οὗ τροπῇ συνήθει τοῦ δ εἰς ζ γίνεται καὶ ἡ πέζα καὶ ὁ πεζός καὶ τὰ ἐξ αὐτῶν.] Νῦν δὲ στρατιωτικὴν σημαίνουσι τάξιν διαστελλομένην πρός τε τοὺς ἐφ' ἁρμάτων καὶ τοὺς κέλητας. ἐξ αὐτῆς δὲ οἱ πεζαίτεροι, τάγμα καὶ αὐτοὶ στρατιωτικόν. ὧν ἡ γραφὴ διάφορος. οἱ μὲν γὰρ ἐν τρισὶ ψιλοῖς ε γράφονται κατὰ τοὺς παλαιούς, στρατιῶται ὄντες τὴν μὲν μίαν πέζαν ὡπλισμένοι, τὴν δὲ ἑτέραν γυμνοί. ἄλλοι δὲ τὴν παραλήγουσαν διὰ διφθόγγου ἔχουσιν, ὡς ἐν πεζοῖς ἑταῖροι ὄντες τῷ ἄρχοντι διὰ τὸ ἐν μάχῃ ἀπόλεκτον κατ' ἀνδρίαν, ὁποίων, φασί, καὶ Δημοσθένης μέμνηται ἐν Φιλιππικοῖς. [ἡ μέντοι ἀναλογία γράφει τὴν προπαραλήγουσαν καὶ διὰ διφθόγγου τῷ λόγῳ τοῦ πρωϊαίτερος καὶ τῶν ὁμοίων.] καὶ οὕτω μὲν ταῦτα. (v. 275—9) Ἔχει δὲ καὶ ἡ εἰρημένη παραβολὴ πολυμάθειάν τινα· φύσιν τε γὰρ νέφους ὑποδηλοῖ καὶ διδάσκει, ὅτι τὸ πελάγιον νέφος, τὸ οὕτω μέλαν καὶ πυκνόν, ὄμβρον ἐπάγει καὶ μάλιστα Ζεφύρῳ διωκόμενον. αὐτὸς μὲν γὰρ τὰ νέφη συνάγων χειμῶνα ποιεῖ, Εὖρος δὲ καὶ Νότος παύουσι διαλύοντες τὰ συνιστάμενα. καὶ ἱστορίας δὲ ζωϊκὰς ἡ παραβολὴ ἔχει, ὅτι δηλαδὴ ζῷον αἱ αἶγες δύσριγόν τε καὶ ὑψίνομον. κατὰ δέ τινας καὶ ὄϊς κύουσα, ἐὰν αἴθριος ἀκούσῃ βροντῆς, ἐκτιτρώσκει. Φησὶ δὲ καὶ Ἀριστοτέλης, ὅτι διδάσκουσιν οἱ ποιμένες τὰ πρόβατα συνθεῖν, ὅταν ψοφήσῃ. ἂν γὰρ βροντήσαντος ὑπολειφθῇ τις καὶ μὴ συνδράμῃ, ἐκτιτρώσκει, ἐὰν τύχῃ κύουσα. διὸ ὅταν ψοφήσῃ ἐν τῇ οἰκίᾳ, τουτέστιν ἁπλῶς κτύπον τινὰ ποιήσῃ, συνθέουσι διὰ τὸ ἔθος. τοῦτο γοῦν ὑπεμφαίνει καὶ ὁ ποιητὴς ἐν τῷ «ὑπό τε σπέος ἤλασε μῆλα», ὡς καὶ τοῦ αἰπόλου τηνικαῦτα ὑπὸ σπηλαίῳ ποιουμένου τὰ μῆλα, οὐ μόνον ἵνα μὴ καταβραχῶσιν, ἀλλὰ καὶ ἵνα μὴ τυχὸν βροντῶν καταρρηγνυμένων ἐκτρώσωσιν, ὡς εἶναι δῆλον ἐκ τούτου, ὅτι δεῖ καὶ πολύπειρον καὶ σοφὸν τὰ τοιαῦτα τὸν νομέα εἶναι. (v. 275) Ἰστέον δέ, ὅτι σκοπιὰ μὲν ἡ τοῦ ὄρους κορυφή, δι' ἧς διασκοπεῖν ἔστι τὰ πόρρω. ἡ δ' αὐτὴ καὶ περιωπὴ λέγοιτ' ἂν καὶ χῶρος περίσκεπτος, ὅθεν τὰ πέριξ βλέποι τις ἂν καὶ σκέπτοιτο. Ἐν δὲ τῷ «εἶδε νέφος» διὰ διφθόγγου γράφει ὁ ποιητὴς τὸ εἶδεν ὡς ἐκ παρατατικοῦ, εἰ καὶ ἐν διαφόροις αὐτὸ συστέλλει ὡς δεύτερον ἀόριστον. ἐπαμφοτερίζει τοίνυν παρὰ τῷ ποιητῇ καὶ ἡ τοῦ ῥήματος τούτου γραφή. Αἰπόλος δὲ ὑπόκειται νέμων ἐν τῇ ῥηθείσῃ σκοπιᾷ διὰ τὸ τὰς αἶγας μάλιστα ὑψινόμους εἶναι, ὡς εἴρηται. διὸ καὶ αἰπόλος λέγεται ὁ ἄγων αὐτάς, οὐ μόνον ὡς αἰγοπόλος, ἀλλὰ κατά τινας καὶ ὡς αἰποπόλος, ἤγουν περὶ τὰ ὕψη πολῶν, διὰ τὸ καὶ τὰς αἶγας μάλιστα τοῖς τραχέσι χαίρειν.
1.747 διὸ καὶ τῶν νήσων αἱ τραχύτεραι αἰγίβοτοί εἰσι. (v. 276) Τὸ δὲ ἐρχόμενον βούλεται μὲν εἶναι ἀντὶ τοῦ κινούμενον, εἴρηται δὲ ὡς ἐπί τινος ἐμψύχου, καθὰ καὶ τὸ «ἰὸν κατὰ πόντον». Ζεφύρου δὲ ἀνέμου μέμνηται ἢ ἁπλῶς οὕτω κατὰ τὸ ἐπελθὸν ἢ ὡς τὸν τοιοῦτον φιλῶν ἄνεμον μάλιστα ἢ καί, διότι αὐτοῦ μᾶλλον ἴδιον τὸ ἠρεμαίαν φρῖκα ὑποκινεῖν, ἧς χρεία ἐν τῇ ῥηθείσῃ παραβολῇ. Ἰωὴ δὲ ἡ τοῦ ἀνέμου πνοή, πρὸς ἀναλογίαν τοῦ ἐρωή καὶ ζωή, ἀπὸ τοῦ ἴω, καθὰ δηλοῖ τὸ «φαίνεται ἰὸν κατὰ πόντον». ἐξ αὐτῆς δὲ ἡ ἐν Ὀδυσσείᾳ ἰωγή, καθὰ δηλοῦται ἀκριβῶς ἐκεῖ. (v. 277) Τὸ δέ «μελάντερον ἠΰτε πίσσα» ἁπλῶς ἀντὶ τοῦ μέλαν κατὰ τὴν πίσσαν. οὐ γὰρ εἶχεν εἰπεῖν τι πίσσης μελάντερον. διὸ καὶ τὴν ὑπεροχικὴν σύγκρισιν εἰς ἰσότητα κατεβίβασεν, ἐν μέσῳ τῆς διεξοδικῆς παραβολῆς ἄλλην ταύτην συντομωτάτην ἐπεμβαλὼν παραβολήν. Τὸ δὲ τοῦ νέφους πάμμελαν πολλὴν ἐμφαίνει πύκνωσιν καὶ σύστασιν τῶν ἀναθυμιάσεων. ἄλλως γὰρ αἱ νεφέλαι ἀραιαὶ οὖσαι διαυγεῖς φαίνονται καὶ μᾶλλον αἱ πυρσαί. (v. 278) Τὸ δέ «ἄγει λαίλαπα» γλυκέως ἔχει, οἷα τοῦ ἐρχομένου καὶ ἰόντος πυκνοτάτου νέφους ἐπισυρομένου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λαίλαπα, ὡς εἰ καί τι ἔμψυχον ἦν. (v. 279) Τὸ δὲ σπέος παρὰ τὸ σβέω ἐτυμολογοῦσιν οἱ παλαιοί, ἵνα εἴη σβέος τι διὰ τὸ τῶν σπηλαίων ἀφώτιστον. ἐξ αὐτοῦ δὲ ἔοικε συγκεκόφθαι τὸ σπές. Μῆλα δὲ ἐνταῦθα τὰς αἶγας δοκεῖ λαλεῖν γενικῶς. ἄλλως δὲ μῆλα τὰ πρόβατα. (v.
1.748 281) Τὸ δὲ κίνυντο ἀπὸ τοῦ κινύω κίνυμι παρῆκται ῥήματος, ἐξ οὗ καὶ τὸ «οὐδέ σε λήθω κινύμενος». τοῦ δὲ κινύω αὖθις παράγωγον τὸ κινύσσω, ἐξ οὗ παρ' Αἰσχύλῳ «αἰθέριον κίνυγμα», τὸ ἀέριον εἴδωλον, ὅπερ οὐκ ἀπέοικε τοῦ αἰθύγματος, ὃ ἀπὸ τοῦ αἰθύσσω γίνεται. (v. 282) Τὸ δὲ πεφρικυῖαι ἀντὶ τοῦ ὀρθούμεναι. πᾶν δὲ τὸ φρῖσσόν τινι φρίσσει τῷ λόγῳ τῶν πρός τι κατὰ Ὁμηρικὴν συνήθειαν, τὸ λήϊον ἀσταχύεσιν, ὁ κάπρος τῇ λοφιᾷ, ὁ ἄνθρωπος ταῖς θριξίν, ἡ μάχη ταῖς ἐγχείαις, ἡ θάλασσα τοῖς κύμασιν. οὕτω γοῦν καὶ νῦν αἱ φάλαγγες φρίσσουσι σάκεσί τε καὶ ἔγχεσιν, ἤγουν ὀρθὰ ἔχουσιν ἔτι πρὸ τῆς συμβολῆς τὰ σάκεα καὶ τὰ ἔγχεα. ὅθεν λαβὼν Εὐριπίδης ἔφη τὸ «πυκναῖς ἀσπίσι πεφρικότα», παρ' ᾧ κεῖται καὶ «λέοντος δέρος χαίτῃ πεφρικός». δῆλον δέ, ὅτι, ὥσπερ τὸ κυμαίνεσθαι θαλασσία λέξις ἐστίν, ὅπως ἂν καὶ λαμβάνοιτο, οὕτω καὶ τὸ φρίσσειν κἂν ἐπὶ λοφιᾶς ἢ χαίτης ἢ ληΐου ἢ ἔγχους λέγοιτο. [καὶ ὅτι ὁμοίου τόπου καὶ ἡ φρίκη καὶ ἡ φρίξ καὶ ἐπιφρίξ καὶ τὸ φρικαλέον καὶ τὸ φρικτόν.] καὶ ὅτι καὶ φόβον δηλοῖ ἐν τῷ «αἱ τρίχες φρίσσουσιν», ἤτοι ὀρθαὶ ἵστανται. καὶ χαρὰν δέ ποτε σημαίνει καὶ οἱονεὶ ὄρθωσιν ἐκ λυπηρᾶς καταπτώσεως, ὡς τὸ «ἔφριξα ἔρωτι, περιχαρὴς δ' ἀνεπτόμην». (v. 286 s.) Ὅτι ἰδὼν Ἀγαμέμνων τοὺς ἀμφὶ τοὺς Αἴαντας εὖ παρατεταγμένους καὶ ἤδη κινουμένους εἰς μάχην φησί· «σφῶϊ μέν, οὐ γὰρ ἔοικεν, ὀτρυνέμεν οὔτι κελεύω· αὐτοὶ γὰρ μάλα» ποιεῖτε τόδε τι. τοῦτο δὲ καὶ παροιμιῶδές ἐστι καὶ οἰκεῖον λέγεσθαι πρὸς πάντας, οἳ οἴκοθεν ἐπί τι καλὸν σπεύδουσιν. εἶτα καὶ ἐπεύχεται, ὅτι τοῖος πᾶσι θυμὸς ἐνὶ στήθεσσι γένοιτο, λέγων καί, ὅτι οὕτως ἂν τάχ' ἠμύσειε πόλις Πριάμοιο ἄνακτος χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε. καὶ ὅρα, ὅπως καὶ σχήματι καὶ νοήματι τὰ αὐτὰ εὔχεται ὁ βασιλεὺς νῦν ἐπὶ τῶν ἀνδρείων τούτων Αἰάντων, ἅπερ καὶ ἐπὶ τοῦ φρονιμωτάτου Νέστορος, πλὴν ὅσον ἐκεῖ μὲν δέκα τοιούτους ἤθελε μόνους ἔχειν, ὧδε δὲ πάντας τοὺς Ἀχαιοὺς τοιοῦτον ἔχειν θυμόν. καὶ δηλοῖ τοῦτο ὑπεροχὴν τῆς συνέσεως πρὸς τὴν ἀνδρίαν, ὡς καὶ ἐν τῇ β' ῥαψῳδίᾳ εἴρηται. Ἰστέον δέ, ὅτι τὸ «σφῶϊ μέν» ὀφεῖλον γραφῆναι σφῶϊν, ἀντὶ τοῦ ὑμῖν, ἵνα ἦν «σφῶϊν οὔτι κελεύω», ὁμοίως τῷ «σφῶϊν μέν τ' ἐπέοικεν», ὃ μετ' ὀλίγα κεῖται, ὅμως διὰ μέτρου εὐχρηστίαν ἄλλως καινῶς ἀπεδόθη καθ' ἑτεροίαν σύνταξιν. ἔνθα ὅρα καὶ τὴν διακοπὴν τῆς ἐννοίας. ἐπεμβληθείσης γὰρ τῆς αἰτίας, εἶτα ὑπερβατῶς ἀνεπληρώθη τὸ ἐντελὲς κατὰ ἰδέαν περιβολῆς.
1.749 τὸ δέ γε ἁπλοῦν ἦν «ὑμῖν μὲν οὔτι κελεύω, οὐ γὰρ ἔοικεν ὀτρύνειν». (v. 290) Τὸ δὲ ἠμύσειε λέξις μέν ἐστι ποιηταῖς φιλουμένη, γίνεται δὲ ἀπὸ τοῦ μύειν πλεονασμῷ τοῦ η , ὁμοίως τῷ βαιόν ἠβαιόν καὶ τοῖς τοιούτοις. δηλοῖ δὲ τὸ κατακλιθείη, σμικρυνθείη, καθ' ὁμοιότητα τῶν μυόντων εἴτε ὀμμάτων εἴτε λοιπῶν σωμάτων. (v. 291) Τὸ δέ «χερσὶν ὑφ' ἡμετέραις ἁλοῦσα» πρὸς διαστολὴν ἑτεροίας ἐπικλίσεως ἐρρέθη· ἐπεὶ δυνατὸν καὶ ἄλλως ἠμύσαι πόλιν ἁλώσεως δίχα, σεισμῷ τυχὸν ἢ παλαιότητι. [καὶ ἄλλως δὲ διαστολὴν δηλοῖ τοῦτο τῆς ὑπὸ χερσίν, ἤγουν ὑπὸ χειρῶν ἑτέρων, ἁλώσεως. Τὸ δέ «ἁλοῦσά τε περθομένη τε» ἢ ταὐτολογεῖ συνήθως ἢ σὺν τῇ ἁλώσει καὶ ἐμπρησμὸν ὑπεμφαίνει· ἐκ τοῦ πρήθω γὰρ καθ' ὑπέρθεσιν καὶ τροπὴν τὸ πέρθω γίνεται.] (v. 293 s.) Ὅτι ἐν τῷ «ἔνθ' ὅ γε Νέστορ' ἔτετμε, λιγὺν Πυλίων ἀγορητὴν οὓς ἑτάρους στέλλοντα καὶ ὀτρύνοντα μάχεσθαι» στέλλειν μέν ἐστι τὸ ἐπιτέλλεσθαι, ὃ καὶ μετ' ὀλίγα κεῖται. Τὸ δὲ ἔτετμε ποιητικὴ λέξις ὑποδύσκολος, λαμβανομένη ἀντὶ τοῦ κατέλαβε. καὶ γίνεται ἀπὸ τοῦ τέμω ἔτεμε καὶ ἀναδιπλασιασμῷ ἐτέτεμε καὶ συγκοπῇ ἀναγκαίᾳ διὰ τὸ δύσμετρον τοῦ διτροχαίου ποδὸς ἔτετμεν, ἤτοι κατ' ἐπιτομὴν καιροῦ καὶ συντόμως ἢ ἐπιτόμως εὗρε. Δηλοῖ οὖν σπουδὴν ἡ λέξις. διὸ καὶ καιριώτερόν ἐστι τοῦ ἐν Ὀδυσσείᾳ. φησὶ γὰρ καὶ ἐκεῖ, ὅτι τὸν δεῖνα γῆρας ἔτετμε. θεραπεύονται δὲ εἰς δακτυλικὸν μέτρον τὰ τοιαῦτα πολυβράχεα ἢ διὰ προσθέσεως ἢ δι' ἐλλείψεως συμφώνου. προσθέσεως μέν, ὡς μογοτόκος μογοστόκος,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐλλείψεως δέ, ὡς ἐτέτεμεν ἔτετμεν, ἔτι δὲ διὰ τροπῆς φωνήεντος ἢ ἐπενθέσεως. τροπῆς μέν, ὡς θεοτόκος θεητόκος, ἐπενθέσεως δέ, ὡς ἐπετανός ἐπηετανός καὶ ἐπήβολος. τοιοῦτον δὲ καὶ τὸ σταχυηλόγος καὶ ἄλλα, ὅμοιον τῷ θεητόκος. (v. 295) Ὅτι Ἀλάστωρ ἐνταῦθα ὑποστράτηγός τις Νέστορος, ὡς οἱονεὶ ἄλαστος ἤγουν μὴ πάσχων λήθην.

1.750 παρὰ δὲ τοῖς ὕστερον καὶ Ζεὺς ἀλάστωρ, ὃν ἐλάνθανεν οὐδέν, ἢ ὁ τοῖς ἄλαστα πάσχουσιν ἐπαμύνων κατὰ τοὺς παλαιούς. κοινῶς μέντοι ἀλάστωρ, φασίν, ὁ ἁμαρτωλός, ἢ κατὰ Χρύσιππον ὁ φονεύς, διὰ τὸ ἄξιος εἶναι ἀλᾶσθαι ἢ ἀπελαύνεσθαι. βαρύτερον δὲ ἡ λέξις καὶ ἐπί τινων δαιμόνων κεῖται· δαίμονες γὰρ ἀλάστορες οἱ κακύνοντες. (v. 297—300) Ὅτι Νέστωρ τοὺς ἑαυτοῦ στέλλων, ὡς ἐρρέθη, καὶ ὀτρύνων μάχεσθαι, «ἱππῆας μὲν πρῶτα σὺν ἵπποισι καὶ ὄχεσφιν, πεζοὺς δ’ ἐξόπισθε στῆσε πολέας τε καὶ ἐσθλούς, ἕρκος ἔμεν πολέμοιο», ἵνα δηλονότι τοὺς ἱππεῖς ὑποχωροῦντας οἱ πεζοὶ δέχωνται οἷά τινες πύλαι τείχους, ἢ καθ’ Ὅμηρον εἰπεῖν «πολέμου γέφυραι», καὶ αὖθις οἱ αὐτοὶ πεζοὶ ἐκ διαστάσεως συναγόμενοι καὶ ἑνούμενοι ὡσεὶ πύργος καὶ οἷον ἕρκος πολέμου ὑπομένωσι τοὺς πολεμίους ἐπιόντας. κακοὺς δέ, φησίν, ἐς μέσον ἔλασε, καὶ ἱππότας δηλαδὴ καὶ πεζούς. διὰ τί; ἵνα τις, φησί, καὶ οὐκ ἐθέλων κατ’ ἀνάγκην πολεμίζῃ, τοῖς μὲν ὄπισθεν ὠθούμενος, ἑπόμενος δὲ τοῖς ἐπὶ τοῦ μετώπου. μεταξὺ γοῦν δύο καλῶν ἕνα κακὸν ἐνέβαλε καὶ τοὺς δειλοὺς Λακωνικῶς ἄνδρα παρ’ ἄνδρα ἔστησεν, ἵνα συνέλκοιντο ὑπὸ τῶν γενναίων οἱ κακοί. καὶ τοῦτό ἐστι τὸ ἐπὶ τριῶν ταχθῆναι τὴν φάλαγγα, ὃ δή φησιν Ἀρριανὸς ἐν τῇ Ἰνδικῇ, ἤγουν ἐπὶ τρεῖς ὡς εἰπεῖν στίχους ἢ ὀρδίνους. ἡ δὲ τοιαύτη ἔκταξις καὶ τοὺς τριστάτας ἔχει. ἕτεροι δὲ τὸ μὲν πρῶτα ἐπὶ τοῦ δεξιοῦ κέρατος ἤκουσαν, τὸ δὲ ὄπισθεν ἐπὶ τοῦ ἀριστεροῦ ἐνόησαν, καί φασιν ἐπὶ μετώπου τάσσεσθαι τὴν φάλαγγα καὶ οὐ κατὰ βάθος.

1.751 Ἡρόδωρος δὲ καὶ Ἀπίων φασὶ κατὰ πλινθίον γενέσθαι τὴν τοῦ Νέστορος τάξιν, τουτέστι κατὰ στίχους ἐπιμήκεις, τὸν αὐτὸν ἔχοντας ἀριθμόν, καὶ μεταξὺ τῶν δύο στίχων ὁδόν τινα εἶναι, ὅπως δι’ ἐκείνης καὶ προελθεῖν δύνωνται βουλόμενοι καὶ ὑποστρέψαι πάλιν. ταύτης δὲ τὰς μεταξὺ ὁδοὺς γεφύρας ὁ ποιητὴς καλεῖ. καὶ τοιούτου, φασί, τοῦ διαστήματος ὄντος οὐκέτι συμβαίνει οὔτε ἐπισκοτεῖσθαι τοὺς πεζοὺς ὑπὸ τῶν ἱππέων, ὡς αἰτιῶνταί τινες τὴν τοῦ Νέστορος ἔκταξιν, οὔτε συμπατεῖσθαι ὑπ’ ἐκείνων. ἀναχωροῦσι γὰρ διὰ τῶν καλουμένων γεφυρῶν. (v. 300) Ἰστέον δέ, ὅτι, ὥσπερ ἡ σελήνη σεληναίη λέγεται κατὰ παραγωγὴν καὶ εὐνή εὐναία τραγικῶς, ἡ ἄγκυρα, καὶ ἡ παρ’ Ὁμήρῳ καλάμη καλαμαία κοινότερον καὶ ἡ πέρα περαία [καὶ ἡ ἀλκή ἀλκαία ἐπὶ λέοντος, καὶ ἡ προνομή προνομαία ἐπὶ ἐλέφαντος καὶ ἡ ἀκτή Ἀκταία, ἐπὶ Ἀττικῆς παρὰ Καλλιμάχῳ,] καὶ ἡ ἀρχή ἀρχαίη καὶ ἡ Ἀθήνη Ἀθηναίη, οὕτω καὶ ἡ ἀνάγκη ἀναγκαίη ἐν τῷ «ὄφρα καὶ οὐκ ἐθέλων τις ἀναγκαίῃ πολεμίζῃ». ἔνθα ἑφερμηνευτικά εἰσιν ἀλλήλων τὸ «οὐκ ἐθέλων» καὶ τὸ «ἀναγκαίῃ». καὶ σημείωσαι ἀνάγκην ταύτην ἐπαινουμένην. στρατηγικὴ γάρ ἐστιν ἐπὶ σωτηρίᾳ τῶν ὁμοεθνῶν. εἰσὶ δέ τινες καὶ ἐν Ὀδυσσείᾳ ἀναγκαῖοι πολεμισταί, ἄλλως ἐκεῖνοι οὕτω λεγόμενοι. (v. 301—5) Ὡς δὲ τιμιώτεροι τῶν ἄλλων οἱ ἱππεῖς, δηλοῖ ἐπαγαγών· «ἱππεῦσι πρῶτ’ ἐπετέλλετο» κελεύων «σφοὺς ἵππους ἐχέμεν», ἤγουν ἐπέχειν τοὺς ἰδίους ἵππους, «μηδὲ κλονέεσθαι ὁμίλῳ», ἀτάκτως δηλαδή· «μηδέ τις», φησίν, «ἱπποσύνῃ καὶ ἠνορέῃφι πεποιθὼς οἶος πρόσθ’ ἄλλων μεμάτω Τρώεσσι μάχεσθαι, μηδ’ ἀναχωρείτω», μόνος δηλονότι πρὸ τῶν ἄλλων. διὰ τί; «ἀλαπαδνότεροι γάρ», φησίν, «ἔσεσθε». λύεται γὰρ οὕτως ἡ τάξις καὶ λειποταξίου γραφῇ ἐνέχεται ὁ πρόσθε τῶν ἄλλων ἐθέλων μάχεσθαι, ὡς καὶ ὁ πρὸ τῶν ἄλλων ἀναχωρῶν. τὸν δὲ λειποτακτοῦντα καὶ θανάτῳ ἐν τοῖς πρὸ τούτου ἐδικαίου ὁ Νέστωρ τε καὶ ὁ βασιλεύς.

1.752 Ἄσιος δέ τις ἐν τοῖς μετὰ ταῦτα ἐναγλαϊζόμενος τοῖς ἑαυτοῦ ἵπποις καὶ ἀστρατηγήτως φανητιῶν ἐπάξια τῆς ἀτασθαλίας πείσεται. [(v. 302) Ὅρα δὲ τὸ σφούς, οὗπερ εὐθεῖα, εἰ καὶ μὴ πρόχειρος εἰς χρῆσιν, ὁ σφός. ὅθεν καὶ χρηστὴ δοτικὴ «σφοῖσι», τοῖς ἰδίοις, καὶ αἰτιατική

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«σφούς» καὶ θηλυκόν, ὡς εἰκός, «σφή». ἐξ οὗ καὶ τὸ «σφῇ ἀρετῇ» καὶ «σφῇσι κεφαλαῖς», ταῖς ἰδίαις.] (v. 303) Ἱπποσύνην δὲ λέγει τὴν ἱππικὴν ἀρετήν, ἤτοι τὴν ἡνιοχικήν, ἄλλο οὖσαν παρὰ τὴν ἠνορέην ἤτοι τὴν ἀνδρίαν. τὸ δέ «μηδέ τις μεμάτω μηδ᾽ ἀναχωρείτω» ἐναλλαγὴν ἔχει σχήματος. ἄλλως γὰρ ἀπαρέμφατα καὶ ταῦτα ἐχρῆν εἶναι ἀκολούθως τῷ «ἵππους ἐχέμεν μηδὲ κλονέεσθαι», ἵνα ἔλεγε χρῆναι ἵππους ἐπέχειν μηδὲ κλονεῖσθαι καθ᾽ ὅμιλον μηδέ τινα μόνον προπηδᾶν μηδὲ ἀναχωρεῖν. (v. 305) Ἀλαπαδνότεροι δὲ ἀντὶ τοῦ εὐκαταφρόνητοι, εὐπόρθητοι, ἐκ τοῦ ἀλαπάζω, τὸ πορθῶ, κατὰ συγγένειαν τοῦ ζ πρὸς τὸ δ , ὡς καὶ ἐκ τοῦ παίζω παιδνός ἐν Ὀδυσσείᾳ καὶ ἐκ τοῦ ὀλοφύζω ὀλοφυδνός. (v. 306 s.) Ὅτι καθάπαξ ὁ γέρων Νέστωρ ἀργὰς ἔχων τὰς χεῖρας, ἀνύει ὅμως ἄλλως ἀγαθὰ ταῖς βουλαῖς πολλαχοῦ τῆς ποιήσεως. διὸ καὶ ἐνταῦθα ὁ ποιητὴς ἐν αὐτῷ καὶ μόνῳ τὴν εὐκοσμίαν τῆς κατὰ πόλεμον ἐκτάξεως θεωρεῖ τοὺς ἄλλους πάντας παραδραμών. ποιεῖ οὖν αὐτὸν παραινοῦντα τοῖς ὑπ᾽ αὐτὸν ἱππεῦσι καὶ τοιαῦτα· «ὃς δ᾽ ἂν ἀνὴρ ἀπὸ ὧν», ἤγουν ἰδίων, «ὀχέων ἕτερα ἅρματα ἵκηται, ἔγχει ὀρεξάσθω, ἐπειὴ πολὺ φέρτερον οὕτω». τουτέστιν· εἴ τις ἅρματος πολεμίου κρατήσει, μὴ ἀρκεσθήτω, ἵνα τυχὸν καὶ εἰς τὰς νῆας κατάγῃ τὸ κρατηθέν, ἀλλὰ ἔγχει πάλιν πολεμείτω, ἵνα καί τι πλέον κατορθώσῃ. ἢ καὶ ἄλλως· εἴ τις εἰς ἅρμα τοῦ πλησίον Ἕλληνος ἀναβῇ, ὡς ἢ ἐκπεσὼν τοῦ οἰκείου ἢ ἄλλως κατά τινα χρείαν, ἔγχει ὀρεξάσθω, τουτέστιν ἔγχος ἐκτεινάτω. ὀρέγω γὰρ τὸ ἐκτείνω, ἐξ οὗ καὶ ὀρεκτὰς ἔφη ἐν τῇ Βοιωτίᾳ μελίας, τὰς ἀπὸ χειρῶν πληττούσας. παραταξάσθω οὖν, φησί, καὶ ἀμυνέτω καὶ μὴ ἡνιοχείτω, ἵνα μὴ τῇ ἀγνοίᾳ τῆς τῶν ἀλλοτρίων ἵππων συνηθείας βλάπτῃ μᾶλλον τὸν βοηθούμενον. οὕτω καὶ ὁ Τρωϊκὸς Πάνδαρος ποιήσει, ὅτε εἰς τὸ τοῦ Αἰνείου ἀναβῇ ἅρμα. ἔνθα καὶ αἰτίαν ἐκεῖνος ταύτην πρὸς τὸν Αἰνείαν ἐρεῖ· «μή ποτε οἱ σοὶ ἵπποι δείσαντες οὐκ ἐθέλωσιν ἐκφέρειν πολέμοιο σὸν φθόγγον ποθέοντες».

1.753 ἄλλοι δὲ καὶ οὕτω νοοῦσι τὸ τοῦ Νέστορος παράγγελμα· εἴ τις τὸ οἰκεῖον ἀφεὶς εἰς ἑτέρου ὁμοεθνοῦς ἅρμα ἔλθοι, δόρυ ἐκεῖνος ὁ ἕτερος ἄνωθεν ὀρεξάσθω καὶ ἐκτείνας αὐτὸ ἀνακομισάτω ἐπὶ σωτηρίᾳ εἰς τὸ ἴδιον ἅρμα τὸν εἰς αὐτὸν ἐλθόντα. κατὰ δὲ ἑτέρους ἐκεῖνος ὁ ἕτερος ὁμοεθνής, ὁ τὸ ἅρμα ἔχων, ἔγχος ἐκτείνας παταξάτω τὸν τοιοῦτον, ἵνα δηλαδὴ μηδεὶς τὸ ἴδιον ἀφῇ ἅρμα φόβῳ τοῦ ὑπὸ τοῦ συμφυλέτου τρωθῆναι καὶ πεσεῖν. Καὶ σημείωσαι, ὅτι τὸ Ὁμηρικὸν τοῦτο χωρίον ἀμφιβόλως ἔχει τέσσαρας ἐννοίας προβεβλημένον, καὶ ταύτας ἁπάσας ἔσω λόγου κειμένας, ὡς δέδεικται. πολλαχοῦ δὲ Ὅμηρος καὶ οὕτω ποικίλλεται, ὡς εἶναι εἰπεῖν αὐτὸν ἐν τοῖς τοιούτοις «τετράγωνον ἄνευ ψόγου». μεταπίπτει μὲν γὰρ ταῖς ἀμφιβόλοις ἐννοίαις οὕτως ἢ οὕτως. ἐν ἁπάσαις δὲ σταθερός ἐστι καὶ ἄψογος. Ἰστέον δέ, ὅτι τὸ «ἔγχει ὀρεξάσθω», ἀντὶ τοῦ ἐκταθήτω, πρὸς ὁμοιότητα εἴρηται τοῦ «χειρὶ ὀρεξάσθω». διὸ καὶ ὥσπερ τὸ «χειρὶ ὀρεξάσθω», ἀντὶ τοῦ «ἐκτεινάτω τὴν χεῖρα», οὕτω καὶ ἔγχει ὀρεξάσθω ἀντὶ τοῦ ἔγχος τεινάτω, καθὰ εἴρηται. ὥσπερ γὰρ ὁ πόδα τείνων ἢ χεῖρα ποδὶ ὀρέγεται καὶ χειρί, οὕτω καὶ ὁ δόρυ ἐκτείνων δόρατι ὀρέγεται, τὴν τάσιν τῷ ἔγχει ποιούμενος διὰ μέσης χειρός. (v. 308 s.) Ὅτι ἀγαθὰ ὁ ποιητὴς διὰ τοῦ γέροντος βουλευσάμενος καὶ ἄριστα τάξας καί πως ἀποδεξάμενος ἑαυτὸν ἐπάγει· «ὧδε καὶ οἱ πρότεροι πόλιας καὶ τείχε᾽ ἐπόρθουν τόνδε νόον καὶ θυμὸν ἐνὶ στήθεσσιν ἔχοντες». τοῦτο δὲ καὶ πᾶς ἂν εἴπῃ ὁ παραγγέλλων εἰς παλαιὰ στρατηγήματα. Σημείωσαι δέ, ὅτι τὸ ῥηθὲν καθολικὸν καὶ ἀόριστον παράδειγμα τὸ «ὧδε καὶ οἱ πρότεροι» καὶ ἑξῆς ἐντρεπτικώτερόν ἐστι τοῦ ὡρισμένου καὶ μερικοῦ. οὐ γὰρ ὁ δεῖνα ἢ ὁ δεῖνα οὕτω πόλεις ἐπόρθει, ἀλλ᾽ οἱ παλαιοὶ πάντες. (v. 310) Ὅτι ἐν τῷ «ὣς ὁ γέρων ὤτρυνε πάλαι πολέμων εὖ εἰδώς» πολλὴν πεῖραν καὶ τὴν ἐντεῦθεν ἐπιστήμην ἐπιμαρτύρεται τῷ Νέστορι. τὸ δέ «πολέμων εὖ εἰδώς» ταὐτόν ἐστι τῷ πρὸ μικροῦ ῥηθέντι «τόξων εὖ εἰδώς». (v. 311) Ὅτι ποικιλώτατος ὢν τὴν φράσιν ὁ ποιητὴς πολλαχοῦ καὶ αὐταῖς λέξεσι ταὐτολογεῖ, ὡς καὶ ἐνταῦθα. εἰπὼν γὰρ ἐπὶ τῶν Αἰάντων «καὶ τοὺς μὲν γήθησεν ἰδὼν κρείων Ἀγαμέμνων», ὡσαύτως καὶ ἐπὶ Νέστορος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγει. ἐπὶ δέ γε τῶν Κρητῶν λέξεων τε μεταθέσει ἐχρήσατο καὶ ὑπαλλαγῇ τῶν βασιλικῶν ἐπιθέτων εἰπών· «τοὺς δὲ ἰδὼν γήθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων».

1.754 οὕτω δὲ καὶ τὸ «Ἀτρείδης δὲ παρῴχετο γηθόσυνος κῆρ» δὶς εἶπεν, ἐπί τε τῶν Κρητῶν καὶ ἐπὶ τοῦ Νέστορος. Ὅτι δὲ καὶ ἡ ταὐτολογία ἐζηλοῦτο τοῖς παλαιοῖς, οὐκ ἔστιν ἀμφιβαλεῖν, καὶ οὐ μόνον ἐν ἐπῳδοῖς καὶ ἐν κρούμασι μουσικοῖς καὶ χορεύμασι καὶ λόγοις ἀγγέλων καὶ ἐν μιμήσεσι θυμουμένων προσώπων καὶ ἐπιθυμούντων καὶ ἄλλως δὲ ἀγωνιώντων, ἀλλὰ καὶ καθ' ἑτέρους τρόπους, ὧν εἷς καὶ ὁ κατ' Εὐριπίδην, ὃς ἐπετηδεύσατο ἐν διαφόροις τῶν αὐτοῦ δραμάτων ἀποτελευτᾶν ἐκεῖνα εἴς τε τὸ γνωμολογεῖν πολλὰς μορφὰς εἶναι τῶν δαιμονίων καὶ ἑξῆς, καὶ εἰς τὸ ἐπεύχεσθαι στεφανηφόρος γίνεσθαι διὰ τοῦ νικᾶν, ἀπαραποιήτως τὰς ῥηθείσας δύο ἐννοίας ταὐτολογῶν, ἔνθα δέον εἶναι μεθώδευσεν. (v. 313—6) Ὅτι εὔχεται Ἀγαμέμνων συμβῆναι τῇ τοῦ Νέστορος προθυμίᾳ καὶ τὸ σῶμα λέγων· «ὦ γέρον, εἴθ' ὡς θυμὸς ἐνὶ στήθεσσι φίλοισιν, ὥς τοι γούναθ' ἕποιτο, βίη δέ τοι ἔμπεδος εἴη· ἀλλά σε γῆρας τείρει ὁμοΐϊον, ὡς ὄφελέν τις ἀνδρῶν ἄλλος ἔχειν, σὺ δὲ κουροτέροισι μετεῖναι», ἤγουν ἐν νέοις εἶναι. πρέπει δὲ ἡ εὐχὴ παντὶ ἀγαθῷ γέροντι. (v. 317- 25) Ὁ δὲ Νέστωρ εἰπών, ὅτι μάλα μέντοι ἐγὼν ἐθέλοιμι καὶ αὐτὸς οὕτως εἶναι, ἐπάγει γνωμικῶς τὸ «ἀλλ' οὔ πως ἅμα πάντα θεὸς ἔδωκεν ἀνθρώποισιν· εἰ τότε κοῦρος ἔα, νῦν αὖτέ με γῆρας ἱκάνει. ἀλλὰ καὶ ὣς ἱππεῦσι μετέσσομαι», ἤτοι συνέσομαι, «ἠδὲ κελεύσω» καὶ ἑξῆς. πεζὸς γὰρ οὐκ ἔχει μάχεσθαι διὰ γῆρας. (v. 314) Ἰστέον δέ, ὅτι τὸ «βίη δέ τοι ἔμπεδος εἴη» ἀκριβῶς πρόσκειται διὰ τὸ πολλοῖς γούνατα μὲν ἕπεσθαι, ὁποῖος καὶ ὁ Τρωϊκὸς ποδώκης Δόλων, βίαν δέ, ὅ ἐστιν ἀνδρίαν, μὴ προσεῖναι. ἀφ' ἧς βίας οἱ μεθ' Ὅμηρον ῥήτορες νόημα βίαιον καλοῦσι τὸ γενναῖον καὶ ἀνδρικόν. (v. 315) Γῆρας δὲ «ὁμοΐϊον» ὡς ἐπὶ ψόγῳ κεῖται, καθὰ καὶ ἀλλαχοῦ δηλοῦται. σημειοῦνται γὰρ οἱ παλαιοὶ τὸ ὁμοΐϊον τὸν ποιητὴν ἐπὶ φαύλου λαμβάνειν. Ἀπίων γοῦν καὶ Ἡρόδωρός φασιν, ὅτι οἱ Γλωσσογράφοι ὁμοΐϊον κατὰ διαίρεσίν φασι τὸ κακόν, οἷον «γῆρας τείρει ὁμοΐϊον» καὶ «νεῖκος ὁμοΐϊον ἔμβαλε μέσον» καὶ «θάνατον μὲν ὁμοΐϊον» καὶ «τέλος ὁμοΐϊον πολέμου», ἵνα εἴη ὁμοΐϊον περὶ ὃ πάντες ὁμοίως διάκεινται ὡς χαλεπόν. τὸ μέντοι εἰπεῖν γῆρας ὁμοΐϊον τὸ ὁμοίως πᾶσιν ἐπικείμενον τοῖς ἐπιτεινομένοις εἰς τὸ ζῆν εὐνόητον μέν, οὐκ ἀρέσκει δὲ τοῖς παλαιοῖς.

1.755 (v. 321) Τὸ δὲ ἔα σημαίνει μὲν κἀνταῦθα τὸ ἦν, δηλοῦται δὲ περὶ αὐτοῦ ἀκριβῶς ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. (v. 319) Ὅτι Νέστωρ Ἐρευθαλίωνα τὸν Ἱππομέδοντος ἢ Ἀφείδαντος ἀνεῖλεν, ὡς αὐτὸς λέγει, μονομαχήσας ἐκ προκλήσεως ἐν μάχῃ τῇ περὶ γῆς ὅρων προμαχῶν τῶν Πυλίων. φασὶ δὲ καί, ὡς ὑπὸ χαρᾶς ὁ Νέστωρ τότε τὸ περιορισθὲν χωρίον ἅπαν ἐξῆλθε καὶ ὅτι ἔτι σκαρίζοντος τοῦ Ἐρευθαλίωνος ἐφορμήσαντες οἱ Ἀρκάδες τοῖς Πυλίοις αἴφνης συνέβαλον καὶ ἐνίκησαν καὶ θάψαντες τοὺς νεκροὺς ἐπέγραψαν· «ἐνθάδ' Ἐρευθαλίωνα φίλους τ' ἐπὶ τύμβον ἔθηκαν Ἀρκάδες, βασιλῆος γένος ἔξοχον Ἱππομέδοντος, οἵ ποτε Νέστορα καὶ λαοὺς πολέμῳ δαμάσαντο». (v. 318 s.) Σημείωσαι δέ, ὅπως ὁ ἐν ἄλλοις πολύλογος Νέστωρ καιρίως νῦν ἐστένωσε τὸ διήγημα εἰπών· «μάλα μὲν ἐθέλοιμι οὕτως εἶναι, ὡς ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν», ἤτοι ἐφόνευσα. οὐ γὰρ ἦν πολυλογεῖν ἐν τοιούτῳ καιρῷ, μᾶλλον δὲ περιαυτολογεῖν. εἰ δὲ ὁ βασιλεὺς μετ' ὀλίγα τὴν τοῦ Τυδέως ἱστορίαν πλατυλογεῖ, ἀλλ' ἐκεῖνος εἰς χρήσιμον τῷ καιρῷ τοῦτο ποιεῖ ἐπὶ ἐλέγχῳ τοῦ Διομήδους. Σημείωσαι δέ, ὅτι πολλαχοῦ εἴωθεν ὁ ποιητὴς ἀνδραγαθοῦντα πάλαι ποτὲ τὸν Νέστορα ἱστορεῖν, ἵνα ὁ γέρων εἴη ἀριστεὺς κατὰ τὸ παρῳχημένον, ἐπειδὴ κατὰ τὸ ἐνεστὼς ἀνδραγαθεῖν οὐ δύναται. σύγκεινται οὖν τοῖς Τρωϊκοῖς νεκροῖς παρὰ τῇ ποιήσει ταύτῃ καί οἱ ποτε τοῦ Νέστορος. καὶ οὕτω καὶ αὐτὸς οὐκ ἀργὸς φαίνεται, ἀλλὰ τοῖς ἀριστεῦσι συγκαταλέγεται, τῷ Τρωϊκῷ τούτῳ πολυανδρίῳ ἐπιρρίπτοντος οἷον τοῦ ποιητοῦ καὶ τοὺς τοῦ γέροντος Νέστορος νεκρούς. ἐνταῦθα οὖν πρῶτον ὁ ποιητὴς παραρρίψας παλαιὸν νεκρὸν τοῦ Νέστορος, εἶτα τὸν υἱὸν Ἀντίλοχον παραγαγὼν ἀριστεύοντα, χωρήσει ἐπὶ τὰ ἑξῆς. (v. 319) Ὅρα δὲ καί, ὡς ἐνταῦθα μὲν ἐπ' ὀλίγον ἐμνήσθη τοῦ

Ἐρευθαλίωνος, ἐν μέντοι τοῖς ἑξῆς που πλατύτερον μεμνήσεται μερίσας καὶ τὴν τοιαύτην ἱστορίαν διαφόροις τόποις, ὡς ἔθος ἔχει ποιεῖν ἐν πολλοῖς. [Ἰστέον δέ, ὅτι οὐ πόρρω τῆς κατὰ τὸν Φοίνικα ἐννοίας ὁ Ἐρευθαλίων κεῖται. ὁ Φοῖνίξ τε γὰρ τὸ κύριον, ὥσπερ καὶ ὁ καρπός, παρὰ τὸ φοινίκεον καὶ οὕτως ἐνέρευθες τῆς χροιᾶς καλεῖται καὶ ὁ Ἐρευθαλίων δὲ ὁμοίως.] Τὸ δὲ κατέκταν ἔστι μὲν καινόσχημον, δοκεῖ δὲ καὶ αὐτὸ Αἰολικὸν εἶναι, ὡς ἀπὸ τοῦ κατακτάς κατακτάντος, ἢ μᾶλλον ἀποκοπὴν παθεῖν ἐκ τοῦ ἔκτανον πρώτου προσώπου. (v. 322—5) Ὅτι γέρων ἀπόμαχος εἴποι ἂν ἐν καιρῷ τὸ «κελεύσω βουλῇ καὶ μύθοισι, τὸ γὰρ γέρας ἐστὶ γερόντων· αἰχμὰς δ’ αἰχμάσσουσι νεώτεροι, οἵπερ ἐμοῦ ὁπλότεροι, πεποίθασί τε βίηφι».

1.756 (v. 324) Ἀττικὸν δὲ τὸ αἰχμὰς αἰχμάσσουσιν, ὡς τὸ δαίνυ δαῖτα καὶ ἱδρῶθ’, ὃν ἵδρωσα, καὶ ἁπλῶς ἡ μυριαχοῦ συμπαρακειμένη θέσις τῶν ῥημάτων καὶ τῶν ἐκεῖθεν γεννωμένων ὀνομάτων. ἴσως δὲ καὶ παρήχησις τοῦτό ἐστι, καθὰ καὶ τὸ «τὸ γὰρ γέρας ἐστὶ γερόντων». αὐτὸ δὲ καὶ εἰς ἐτυμολογίας πίπτει σχῆμα. παρὰ τὸ γέρας γὰρ οἱ γέροντες. (v. 325) Ὁπλότεροι δὲ οὐ μόνον οἱ νεώτεροι, ἀλλὰ μάλιστα οἱ μάχιμοι καὶ ὅπλα αἴρειν δυνάμενοι, ἔτι δὲ καὶ οἱ ἁπλῶς ἐργατικοὶ καὶ ἐνεργεῖς. ὅπλα γὰρ πάσης τέχνης τὰ ἐργαλεῖα καὶ ὁπλίζεσθαι τὸ εἰς ἔργον ἑτοιμάζεσθαι. διὸ καὶ παρακατιών φησι· «δαῖτα ἐφοπλίζοιμεν». (v. 322 s.) Τὸ δέ «κελεύσω βουλῇ καὶ μύθοις» ἐμφαίνει, ὅτι ἔστι καὶ ἔργοις κελεύειν, καθὰ καὶ διδάσκειν οὐ μόνον λόγοις ἀλλὰ καὶ ἔργοις ἔστιν. (v. 327) Ὅτι τὸ «εὗρ’ υἱὸν Πετεῶο» ἀσυνδέτως καὶ γοργῶς προάγει ὁ ποιητὴς συντέμνων τῇ τοῦ βασιλέως σπουδῇ καὶ τὴν φράσιν. γοργότερον γὰρ τοῦ συνδεδεμένου τὸ ἀσύνδετον. τοιοῦτον καὶ πρὸ ὀλίγου τὸ «εὗρε Λυκάονος υἱόν». προϊὼν δὲ μετὰ συνδέσμου ἐρεῖ «εὗρε δὲ Τυδέος υἱόν». Ὁ δὲ Πετεὼς Ἀττικὴν ἔχει κατά τινας κλίσιν ἰσοσύλλαβον· ἔστι γὰρ τοῦ Πετεῶ καὶ πλεονασμῷ τοῦ ο μικροῦ Πετεῶο, κατὰ ὁμοιότητα τῶν διαλελυμένων γενικῶν, ὧν, ὡς προεγράφη, ἀνόμοιοι ταῖς παραληγούσαις αἱ λήγουσαι. κεῖται δὲ ἡ λέξις καὶ ἐν τῇ Βοιωτίᾳ. [Κατὰ δέ τινας ὁ Πετεός, τοῦ Πετεοῦ ἐστι, καὶ ποιητικῶς Πετεοῖο, καὶ τροπῇ συνήθει τῆς οι διφθόγγου εἰς ω μέγα Πετεῶο, οὗπερ ἡ κλῆσις παρὰ τὸ πέτεσθαι, ὡς πτηνοῦ διὰ τὸ ὠκύπουν. ἦν δὲ ἄν, καθὰ καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται, ὡς Πετεώς Πετεώ, καὶ προσλήψει τοῦ ο Πετεῶο κατὰ τὸ ἀνωτέρω παραδεδομένον, οὕτω καὶ Ἄθως Ἄθω Ἄθωο ἐν τῷ «ἐξ Ἄθοω δ’ ἐπὶ πόντον ἐδύσατο κυμαίνοντα», κωλύοντος δὲ τοῦ μέτρου παρέληξε τὸ μικρὸν ο , ὡς καὶ ἐν τῷ φῶς φόως καὶ Κῶς Κόως.

1.757 ] (v. 328) Ὅτι τοὺς Ἀθηναίους μήστωρας ἀϋτῆς λέγει, ὅ ἐστι βουλευτικοὺς ἐν μάχῃ. καὶ δὴ τακτικώτατος ἱστορεῖται εἶναι ὁ Ἀττικὸς οὗτος βασιλεὺς Μενεσθεύς, ὡς καὶ ἡ Βοιωτία δηλοῖ. τοὺς δὲ Καδμείους προϊὼν κέντορας ἵππων ἐρεῖ ὡς εὖ πωλοδαμνοῦντας. ἄλλως γὰρ οὐκ ἔπαινος ἵππου τὸ κεντεῖσθαι, ἀλλὰ ὀκνηρίας ἔνδειξις, καθὰ δηλοῖ καὶ Πίνδαρος ἀκέντητόν τινα ἵππον ἐπαινῶν ὡς εὐπρόθυμον. (v. 330) Τὰς δὲ τῶν Κεφαλλήνων στίχας οὐκ ἀλαπαδνὰς μετ’ ὀλίγα φησίν, ἀλλὰ δηλαδὴ ἐξ ἐναντίου ἀνδρειοτάτας, ὥσπερ ἀλλαχοῦ τὸν Αἴαντα λέγει οὐκ ἀφαυρότατον Ἀχαιῶν ἀντὶ τοῦ ἀνδρειότατον. καὶ οὐκ ἐγήθησεν Ἀχιλλεύς, ἀλλὰ δηλονότι τοὐναντίον πολλὰ ἐλυπήθη. τοιοῦτον καὶ Σοφοκλέους περὶ Οἰδίποδος τὸ «πρέσβυς, οὐ πάνυ μοίρας εὐδαιμονίσαι πρώτης», ἤγουν γέρων οὐ τῆς πρώτης μοίρας τῶν εὐδαιμονιζομένων, ἀλλὰ δηλαδὴ τῆς ἐσχάτης. ὅμοιον καὶ παρ’ Ἡροδότῳ τὸ «ὁμιλήσαντα Ἑλλήνων οὐ τῷ ἀσοφωτάτῳ σοφιστῇ Πυθαγόρᾳ», ἀλλὰ δηλαδὴ ἀνάπαλιν τῷ πάνυ σοφῷ. πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα. ὅτι δὲ ταῖς τοιαύταις ἄρσεσι χρὴ συνυπακούεσθαι καὶ θέσιν, ἐδήλωσε πρὸ βραχέων Ὅμηρος ἐν τῷ «οὐ βρίζοντα οὐδὲ καταπτώσσοντα οὐδ’ οὐκ ἐθέλοντα μάχεσθαι, ἀλλὰ μάλα σπεύδοντα». Τὸ δὲ μήστωρες οὐ διὰ μέτρον ἐκτείνει τὴν παραλήγουσαν, ἀλλὰ κατὰ διάλεκτον Ἀττικήν. ὅτι δὲ Κεφαλλήνων ἄρχει ὁ Ὀδυσσεύς, καὶ ἐν τῇ Βοιωτίᾳ δηλοῦται, ὅπου, ὡς καὶ ἐν Ὀδυσσείᾳ, εἴρηται καὶ πόθεν ἕλκουσιν οἱ Κεφαλλῆνες τὸ ὄνομα. (v. 329) Ὅτι πλησίον τῶν Ἀθηναίων ὁ Ὀδυσσεὺς τάττεται χαίρων αὐτοῖς, ὡς εἰκός, διά τε τὴν τοῦ ἔθνους λογιότητα καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὰ τόν, ὡς ἐρρέθη, τακτικώτατον ἐν αὐτοῖς βασιλέα Πετεών. [(v. 331) Κεῖται δ’ ἐν τούτοις καὶ τὸ «ἠκούετο λαός» ἀντὶ τοῦ ἤκουεν, Ἀττικὸν ὂν καὶ Ἰωνικὸν καὶ αὐτό, καθὰ παρὰ Σοφοκλεῖ σὺν μυρίοις ἄλλοις καὶ τὸ «ἐσῴζετο τὴν εὐλάβειαν, ὥσπερ οὐχὶ σῴζεται», ἀντὶ τοῦ ἔσῳζε καὶ ἀντὶ τοῦ σῴζει.] (v. 333—5) Ὅτι σχῆμα κεῖται ἀμφιβολίας καὶ ἐνταῦθα δύο ἐννοίας προϊσχόμενον. φησὶ γάρ, ὡς οἱ περὶ Μενεσθέα καὶ Ὀδυσσέα «ἵσταντο μένοντες», ἤτοι ἀναμένοντες, «ὁππότε πύργος Ἀχαιῶν ἄλλος ἐπελθὼν Τρώων ὁρμήσειε καὶ ἄρξειαν πολέμοιο», τουτέστιν ἀνέμενον, πότε ἂν πύργος, ἤτοι τάξις Τρώων κατὰ τῶν Ἀχαιῶν ἐκταχθεῖσα, προεπιχειρήσῃ καὶ κατάρξῃ τῆς μάχης ἐπὶ παραβάσει τῶν συνθηκῶν συμπαρασπονδήσασα τῷ Πανδάρῳ.

1.758 ἢ καὶ ἄλλως, ἀνέμενον συντεταγμένοι, ὡς εἴρηται, οἱ Ἀθηναῖοι καὶ οἱ Κεφαλλῆνες, ὁπότε πύργος Ἀχαιῶν ἄλλος, Ἑλληνικὸς δηλαδή, κατὰ Τρώων ὁρμήσει, ὃ καὶ κάλλιον, ὡς δῆλον καὶ ἐκ τοῦ ἐφεξῆς εἰπεῖν, ὅτι ὁ βασιλεὺς ἔβη μετ’ ἄλλους, ἵνα ὥσπερ τὸ μετ’ ἄλλους, οὕτω καὶ τὸ πύργος ἄλλος νοοῖτο ἐπὶ Ἀχαιῶν. εἰ καί τινες αἰτιῶνται καὶ τοῦτο λέγοντες δεῖν συντεταγμένως αὐτοὺς πολεμεῖν. (v. 338—48) Διόπερ ὁ Ἀγαμέμνων κακοῖς δόλοις κεκασμένον καὶ τὰ ἑξῆς τὸν Ὀδυσσέα ἐρεῖ αἰτιασάμενος καὶ τὸν Μενεσθέα ἐν τῷ εἰπεῖν οὕτως· «ὦ υἱὲ Πετεῶο διοτρεφέος βασιλῆος καὶ σὺ κακοῖσι δόλοισι κεκασμένε κερδαλεόφρον, τίπτε καταπτώσσοντες ἀφέστατε, μίμνετε δ’ ἄλλους; σφῶϊν μέν τ’ ἐπέοικε μετὰ πρώτοισιν ἐόντας ἑστάμεν ἠδὲ μάχης καυστειρῆς ἀντιβολῆσαι. πρῶτοι γὰρ καὶ δαιτὸς ἀκουάζεσθον ἐμεῖο, ὁππότε δαῖτα γέρουσιν ἐφοπλίζοιμεν Ἀχαιοί· ἔνθα φίλ’ ὀπταλέα κρέα ἔδμεναι ἠδὲ κύπελλα οἴνου πινέμεναι μελιηδέος, ὄφρ’ ἐθέλητον. νῦν δὲ φίλως χ’ ὁρόῳτε», ἤγουν ἡδέως ἂν βλέποιτε, «καὶ εἰ δέκα πύργοι Ἀχαιῶν ὑμῶν προπάροιθε μάχοιντο». συνάγει δὲ ὁ λόγος, ὅτι αἰσχρὸν ἐν συμποσίῳ μὲν τοῖς πρώτοις καταλέγεσθαι ὑμᾶς, ἐν δὲ μάχῃ τοῖς δεκάτοις. καὶ οὕτω μὲν ὁ βασιλεύς. (v. 349—51) Ὀδυσσεὺς δὲ οὐκ ἐνεγκὼν τὴν ἐπίπληξίν φησιν· «Ἀτρείδη, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;» ὃ δὴ μυριαχοῦ τῆς Ὁμηρικῆς κεῖται ποιήσεως· «πῶς δὴ φῂς πολέμοιο μεθιέμεν, ὁππότ’ Ἀχαιοὶ Τρωσὶν ἐφ’ ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα;» δικαιολογούμενος ἀπὸ καιροῦ πρὸς τὸ ἀργεῖν καὶ δοκεῖν πτώσσειν καὶ ὁμολογῶν μὲν ἵστασθαι, αἴτιον δὲ τούτου λέγων τὸ μὴ εἶναι νῦν πόλεμον ὀξύν. Πρὸς ὃ μηδὲν ἔχων ὁ βασιλεὺς ἀντειπεῖν ἱλαρυνθήσεται μικρὸν ὅσον. (v. 353—5) Τέως δὲ προστίθησιν Ὀδυσσεὺς καὶ ταῦτα· «ὄψεαι, ἢν ἐθέλῃσθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ, Τηλεμάχοιο φίλον πατέρα προμάχοισι μιγέντα Τρώων· σὺ δὲ ταῦτ’ ἀνεμώλια βάζεις». Ἔνθα σημείωσαι, ὡς Ὀδυσσεὺς μὲν ἄρτι ὀργῆς γέγονεν ἀκρατὴς ἐν δέοντι, Διομήδης μέντοι φέρει ἐν τοῖς ἑξῆς τὴν ἐπίπληξιν ἀκούσας τὸ «τί πτώσσεις» καὶ τὰ ἐφεξῆς. αἴτιον δέ, ὅτι αὐτὸς μὲν νέος, Ὀδυσσεὺς δὲ πρεσβύτερος καὶ φρονιμώτερος. οἱ δὲ τοιοῦτοι τιμᾶσθαι σφᾶς αὐτοὺς δεῖν οἴονται. καὶ ἄλλως δέ, ὁ Ὀδυσσεὺς ὡς πανοῦργος ἐπιπλήσσεται καὶ δριμύτερον ἤπερ ὁ Διομήδης. αὐτῷ γὰρ ὁ τοῦ πατρὸς Τυδέως ἔπαινος μειώσει τὴν ὕβριν. ἔτι δὲ λάλος ἐπικληθεὶς ὁ Διομήδης σιωπήσει, ἵνα μὴ βεβαιώσῃ τοῖς ἔργοις τὴν ὕβριν. ἤκουσε γὰρ τοῦ πατρὸς χερείων εἶναι τῇ μάχῃ, ἀμείνων δὲ τῇ ἀγορᾷ. καὶ τοιαῦτα μὲν τὰ τοῦ Ὀδυσσέως. (v. 356—63) Ὁ δὲ βασιλεὺς γνοὺς εὐλόγως αὐτὸν ὀργιζόμενον, ἐπιμειδήσας καὶ ἀγαλλιάματι κεράσας τὸ σκυθρωπὸν συγγνώμην τε αἰτεῖ καὶ μειλίχια προσφωνεῖ.

1.759 φησὶ γὰρ περὶ αὐτοῦ ὁ ποιητὴς οὕτω· «τὸν δ’ ἐπιμειδήσας προσέφη, ὡς γνῶ χωομένοιο· πάλιν δ’ ὅ γε λάζετο μῦθον», τουτέστιν ἀνέλαβε τὸν λόγον ἀνάπαλιν εἰπών· «Διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ, οὔτε σε νεικείω περιώσιον οὔτε κελεύω· οἶδα γάρ, ὥς τοι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν ἤπια δήνεα οἶδε· τὰ γὰρ φρονέεις, ἅ τ’ ἐγώ περ. ἀλλ’ ἴθι, ταῦτα δ’ ὄπισθεν ἀρεσσόμεθα, εἴ τι κακὸν νῦν εἴρηται, τὰ δὲ πάντα θεοὶ μεταμώνια θεῖεν». τοῦτο δὲ μεταποιήσοι τις ἂν παρῳδήσας, ὅτε τινὶ μετὰ νεῖκος φιλιοῦται. θαυμασία δ’ ἐν τοῖς ῥηθεῖσιν ἡ Ὁμηρικὴ μέθοδος. πρὸ γὰρ τῶν πολεμικῶν ἔργων ψυχαγωγεῖ τὸν ἀκροατὴν ἐν τούτοις λόγων ἡδέων τε

καὶ πικρῶν κράματι. πικροὶ μὲν γὰρ οἱ ψόγοι, εὐπρόσιτοι δὲ οἱ ἔπαινοι. πρέπουσι δὲ ἄμφω προσώποις ἐνδόξοις. διὸ καὶ ταχὺ παύονται. ἄλλως γάρ, εἴπερ ἦν ἂν ὁμοιότης ἐν τούτοις, ἐποίησεν ἂν δεινὰ ἡ ἐν αὐτοῖς σκωπτικὴ τραχύτης. Ἰστέον δὲ καί, ὅτι σκώπτει τὸν Ὀδυσσέα ὁ βασιλεύς, ἐπειδὴ θαρρεῖ τά γε εἰς αὐτόν. διὸ καὶ ὡς οἰκείῳ ἀπαρατηρήτως προσφέρεται, καθὰ καὶ πρὸ τούτου τὸ βασιλικὸν συμπόσιον ἔδειξεν. οὐ πάνυ δὲ πικρὸν τὸ σκῶμμα. τί γὰρ μέγα δεινόν, εἰ κακοῖς δόλοις κεκοσμῆσθαι λέγει αὐτόν; ὃς οὐκ ἐπαισχύνεταί που τὸ παντοίοις δόλοις κοσμεῖσθαι, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις μέλεσθαι λέγει διὰ τοὺς δόλους. ὅθεν καὶ παρασημαίνεται ὁ βασιλεύς, ὡς οὐ φιλονεικεῖ αὐτὸν περιώσιον ἤτοι μέγα. δι’ οὗ διδάσκει ὁ ποιητής, ὅπως δεῖ τοῖς φίλοις προσφέρεσθαι, ὡς δέον ὃν μὴ νεικεῖν περιώσιον, ἵνα ὕστερον δυνώμεθα καὶ ἀρέσεσθαι ἤτοι συναρμοσθῆναι φιλικῶς καὶ εἰς ἀρθμόν, ὅ ἐστιν ἁρμονίαν φιλίας, ἐλθεῖν. τὸ γὰρ νεῖκος στάσις τε καὶ διάστασις. καὶ τοιάδε μὲν ταῦτα. (v. 338 s.) Ἐν δὲ τῷ «ὦ υἱὲ Πετεῶο» ἐκτείνεται ἡ λήγουσα τῆς κλητικῆς, ὡς καὶ ἑτέρωθι δηλοῦται, λόγῳ κοινῆς συλλαβῆς, διά τε τὴν προηγουμένην δασεῖαν καὶ διὰ τὴν ἐπικειμένην ὀξεῖαν καὶ διὰ τὴν τῆς λέξεως καταπεραίωσιν καὶ διὰ τὸ δύνασθαι διπλασιάζεσθαι τὸ ἐπαγόμενον ἄφωνον. Τὸ δέ «κακοῖσι δόλοισι» πρὸς διαφορὰν κεῖται δόλων ἑτέρων ἀγαθῶν, οἷς ἐπαινετῶς ἄν τις κοσμοῖτο, [καθὰ καί τις ἄλλος κλεπτοσύνῃ θ’ ὅρκῳ τε τοῖς οὐ κακοῖς, ψεγόμενος μέντοι καὶ ἐκεῖνος, ἤκουσεν ἂν κακῇ τε κλεπτοσύνῃ καὶ κακοῖς ὅρκοις κεκοσμῆσθαι. ὅτι δὲ καὶ ἀψεγέσι δόλοις ὁ πολυμήχανος Ὀδυσσεὺς ἐκοσμεῖτο, δι’ οὓς πᾶσιν ἀνθρώποις οὐκ ἐμισεῖτο ἀλλ’ ἔμελεν, ὁ ποιητὴς ἱστορεῖ.

1.760 οὕτω τις καὶ ἀπάτῃ χρώμενος εἰς δέον οὐκ ἂν ψέγοιτο, εἴγε κατὰ τὴν παροιμίαν ἀπάτης ἀγαθῆς οὐκ ἀποστατεῖ θεός. ᾗ ἀντίκειται ἡ κακή, ὁποίαν ὁ βασιλεὺς ἐκ Διὸς ἔπαθε. διὸ καί, ὡς ἐκ τοῦ ἀψόγου δόλου ὠνομάσθη, ὡς εἰκός, ὁ Δόλιος, τὸ κύριον, καὶ ὁ Δόλοψ, οὕτω ἐκ τῆς οὐ φαύλης ἀπάτης ὁ Ἐλεφήνωρ, ὡς ἐκ τοῦ ἐλεφαίρω, τὸ ἀπατῶ, καθὰ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δηλοῦται. Ὅτι δὲ Ὀδυσσεὺς ὡς καὶ δόλιος καὶ δόλων ἆτος ἐξ Ἑρμοῦ ἐλέγετο κατάγεσθαι, δῆλόν ἐστιν. ἐξ Ὁμήρου δὲ παρείλκυσε καὶ Σοφοκλῆς κίναδος ἐπίτριπτον τὸν Ὀδυσσέα σκῶψαι ὡς δόλιον κατὰ ἀλώπεκα τὴν καὶ κερδώ, ἀφ’ ἧς εἴη ἂν καὶ κερδαλεόφρων. καὶ μὴν ἄλλως ἐνταῦθα] κερδαλεόφρονα τὸν Ὀδυσσέα ὁ βασιλεὺς καλεῖ, ὡς δῆθεν πραγματευόμενον τὸ ἔξω κινδύνων ἑστάναι. (v. 340) Τὸ δέ «καταπτώσσοντες ἀφέστατε» δηλοῖ καὶ ἑτεροίαν εἶναι μάχης ἀπόστασιν μὴ ψεκτήν, ὁποίαν ὁ Ὀδυσσεὺς οἰκειοῦται, οὐκ ἂν μεθίεσθαι τοῦ πολέμου εἰπών, εἴπερ ἦν ὀξὺς Ἄρης, περὶ οὗ προδεδήλωται. συγκέκοπται δὲ τὸ ἀφέστατε ὡς ἀπὸ τοῦ ἀφεστήκατε. διὸ καὶ δασύνεται. ἐν δὲ τῷ «μίμνετε δ’ ἄλλους» τὸ ἄλλους περὶ πύργων νοητέον, ὡς δηλοῦται ἐν τῷ «καὶ εἰ δέκα πύργοι Ἀχαιῶν πρὸ ὑμῶν μάχοιντο». (v. 341) Τὸ δέ «μετὰ πρώτοισιν ἐόντας» καλὸν μὲν καὶ οὕτω γραφέν. ἦν δὲ γράψαι καὶ ἐοῦσι, κατὰ δοτικήν. ἀμφοτέρως γὰρ ἔχει τὸ ἀσόλοικον. ἡ δὲ τοιαύτη διπλόη τῆς συντάξεως πολλαχοῦ διαφαίνεται. (v. 342) Μάχη δὲ καυστειρὴ μυριαχοῦ τῆς ποιήσεως ἡ θερμὴ καὶ πυρόεσσα κατὰ τὸ «μάχοντο δέμας πυρός». διὸ καὶ δηϊοτὴς καὶ δηΐς ἡ αὐτὴ, καὶ δήϊος πόλεμος, ἀπὸ τοῦ δαίω τοῦ δηλοῦντος τὸ καίω. ἡ δὲ γραφὴ τῆς παραληγούσης Βοιώτιος, ὡς καὶ ἡ τῆς ὠτειλῆς. Ἀντιβολεῖν δὲ ἀεὶ παρ’ Ὁμήρῳ τὸ συναντᾶν καὶ ὡς εἰπεῖν ἄντην βάλλειν καὶ ἐπιτυγχάνειν, παρὰ δὲ τοῖς νεωτέροις καὶ τὸ παρακαλεῖν παρὰ τὸ ἄντην ποδῶν βάλλεσθαι ἤτοι ῥίπτεσθαι τοὺς ἱκετεύοντας.

1.761 [Διφορεῖται δὲ κατὰ σύνταξιν ἡ λέξις. ἐνταῦθα μὲν γὰρ μάχης ἀντιβολῆσαί φησίν, ἀντὶ τοῦ τυχεῖν καὶ ἄντην γενέσθαι, ἀλλαχοῦ δέ «εἴπερ μοι ἀντεβόλησαν ἐείκοσι» φησίν, ἀντὶ τοῦ συνήντησαν. τὸ μέντοι κοινότερον ἀντιβολεῖν αἰτιατικὴν πτῶσιν φιλεῖ. ἀντιβολῶ σε γάρ φαμεν.] (v. 343) Τὸ δὲ ἀκουάζεσθον παράγωγον μέν ἐστι τοῦ ἀκούω, δηλοῖ δὲ συγκλήτους εἶναι εἰς δαῖτα τοὺς οὕτως ἀκουαζομένους. δῆλον γάρ, ὡς καλοῦνται οἱ ἀκουαζόμενοι κατὰ τὸν Ὅμηρον δαιτός. (v. 344) Τὸ δέ «δαῖτα γέρουσιν» ἐφερμηνευτικόν ἐστι τοῦ οἶνον γερούσιον. ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ γέρουσιν ἐφοπλίζεται δαίς, οὕτω καὶ οἶνος. διὸ ῥηθείη ἄν, ὥσπερ οἶνος, οὕτω καὶ δαὶς γερούσιος. Ἰστέον δέ, ὅτι ἀπὸ κοινοῦ, καθὰ καὶ προδεδήλωται, ἦσαν τὰ βασιλικὰ συμπόσια, ὡς δηλοῖ καὶ τὸ «ἐφοπλίζοιμεν Ἀχαιοὶ δαῖτα». ἄλλως γὰρ οὐκ ἐνεχώρει τὸν βασιλέα οἴκοθεν δαπανᾶν ὡς τοὺς μὲν ἄλλους ἔχειν τὰ οἰκεῖα γέρα, αὐτὸν δὲ ἧσθαι δευόμενον. Δῆλον δὲ καί, ὡς γέροντας κἀνταῦθα συνήθως τοὺς ἐντίμους λέγει, οἷς μόνοις ἦν ἡ ἀπὸ κοινοῦ δαίς, ἣν τιμίαν ἔκρινον οἱ τότε ἀριστεῖς, ὡς καὶ ἡ Ὁμηρικὴ ἱστορία δηλοῖ. (v. 345) Τὰ δὲ ὀπταλέα κρέα καὶ σῖτον ὀπτὸν ῥηθείη ἂν καθ' Ἡρόδοτον καὶ ἐπὶ ἄρτου δὲ ἡ τοιαύτη λέξις τίθεται, ὡς ὁ αὐτὸς δηλοῖ ἐν οἷς λέγει, ὅτι λωτοῦ τι εἶδος πτίσαντες Αἰγύπτιοι ποιοῦνται ἐξ αὐτοῦ ἄρτους ὀπτοὺς πυρί. γίνεται δὲ τὸ μὲν ὀπταλέον πλεονασμῷ τῆς αλ συλλαβῆς ἐκ τοῦ ὀπτόν, αὐτὸ δὲ κατὰ συγκοπὴν ἐκ τοῦ ὀπτῶ ὀπτήσω ὀπτητόν. τὸ γὰρ ἀπαθὲς ὀπτὸν τὸ θεατὸν δηλοῖ, ὡς καὶ Ἀθήναιος λέγει, ἔνθα σοφίζεται εἶναι ἰχθὺν ὠμόν, ὀπτόν. ἔοικε δὲ ὁμοίως ἐκ τοῦ ἕψω ἑψήσω ἑψητόν γενέσθαι τὸ ἑφθόν, κατὰ συγκοπὴν καὶ τροπήν. τάχα δὲ καθ' ὁμοιότητα τοῦ ὀπτητόν ὀπτόν εἴρηται παρ' Ἀριστοτέλει καὶ ἑρπτόν τὸ ἑρπετόν. (v. 346) Τὸ δέ «ὄφρα ἐθέλητον» νῦν μὲν σαφῶς εἴρηται, ἀλλαχοῦ δὲ περιφράζων ποιητικώτερον πόσιος καὶ ἐδητύος ἐξ ἔρον εἶναί φησιν, ἤγουν τὴν ἐπιθυμίαν πληρῶσαι, καὶ ἐξ ἔρον ἕντο, ἤγουν τὴν ἐπιθυμίαν ἐπλήρωσαν. (v.
1.762 347) Τὸ δὲ ὁρόωτε, ὅπερ οἱ μεθ' Ὅμηρον ὁρῴητέ φασιν, ἐκ τοῦ ὁράοιτε ὁρῷτε γίνεται πλεονασμῷ Ἰωνικῷ τοῦ προπαραλήγοντος ο . πρῶτον δὲ αὐτοῦ πρόσωπον τὸ ὁρόῳμι, οὗ κοινὸν τὸ ὁράοιμι ὁρῷμι. [ἔστι δὲ τὸ «φίλως χ' ὁρόωτε» ταὐτὸν τῷ ἡδέως ἂν βλέποιτε, ὃ διαστέλλεται πρὸς τὸ σὺν φόβῳ ὁρᾶν.] Πύργος δέ, ὡς καὶ πρὸ μικροῦ ἐρρέθη, τάξις στρατιωτική, καθὰ καὶ τὸ πλινθίον. πεπύκνωτο δὲ τετραγωνοειδῶς κατὰ σχῆμα πύργου, ὡς διδάξει παραβολικῶς ἀλλαχοῦ ὁ ποιητὴς ἁρμονίᾳ λίθων τοίχου εἰκάσας τοῦτον τὸν τακτικὸν πύργον. (v. 351) Τὸ δέ «πῶς δὴ φῄς πολέμοιο μεθιέμεν» καὶ ἑξῆς τραχέως ἠρώτηται, ὡς τοῦ βασιλέως μὴ ἔχοντος ἀποκρίνασθαι. (v. 352) Ὀξὺς δὲ Ἄρης ὁ τῶν ἤδη συμβεβληκότων εἰς μάχην. ὁ γὰρ πρὸ τῆς συμβολῆς τῆς μεθ' ὅπλων οὐκ ὀξύς ἐστιν, ἀλλ' ὡς εἰπεῖν ἀμβλὺς διὰ τὸ ἀνουτάτους ἔτι καὶ ἀτρώτους μένειν τοὺς ἀντιμάχους. καὶ ἄλλως δέ, καθὰ καὶ ἀλλαχοῦ δηλοῦται, ὀξὺς Ἄρης διὰ τὸν ὀξὺν σίδηρον, ὃς καὶ αὐτὸς Ἄρης κατ' ἀλληγορίαν λέγεται, [ἵνα ᾖ ἐγείρειν ὀξὺν Ἄρην τὸ μὴ κατακοιμίζειν ὑπὸ ἡσυχίᾳ τὰ ὄργανα τῆς μάχης, ἀλλ' ἐγείρειν καὶ ἐπανιστᾶν τοῖς ἐχθροῖς.] (v. 353) Τὸ δέ «ὄψεαι ἢν ἐθέλησθα» καὶ ἑξῆς, σκῶμμά τι λεληθὸς ἔχει πρὸς τὸν βασιλέα, ὡς ἐν τῷ καιρῷ τοῦ ὀξέος πολέμου μὴ ἂν δυνησόμενον ἐπέρχεσθαι καθ' ἡσυχίαν καὶ ἐπιτηρεῖν τοὺς στρατηγούς. διὸ καὶ εἴποι ἄν τις τὸ «ἢν ἐθέλῃσθα» ταὐτὸν εἶναι τῷ «εἰ δύνασαι». πολλαχοῦ γὰρ καὶ ἐπὶ τοιούτου σημαινομένου τίθεται τὸ ἐθέλειν. τοῦ δὲ μεμήλῃ πρῶτον πρόσωπον τὸ μέμηλα ὡς καὶ τοῦ ὀλώλῃ τὸ ὄλωλα, καθὰ καὶ προδεδήλωται. (v. 354) Τὸ δέ «Τηλεμάχοιο φίλον πατέρα» ὀνειδισμόν τινα ἔχει, ὡς τοῦ Ὀδυσσέως πατρὸς μὲν ὄντος, διὰ δὲ τὸν βασιλέα παρ' οὐδὲν θεμένου τὰ φίλτατα καὶ νῦν ὑβριζομένου ἐφ' οἷς ἔδει αὐτὸν καὶ ἀμοιβὴν σχεῖν μεγάλην. [Τὸ δέ «προμάχοισι μιγέντα» ἔστι μὲν περίφρασις τοῦ προμαχόμενον, φιλεῖται δὲ Ὁμήρῳ κατὰ τὴν αὐτοῦ φραστικήν, καθὰ καὶ Πινδάρῳ, παρ' ᾧ καὶ τὸ νικῆσαι νίκῃ μιγῆναι λέγεται.] (v. 355) Τὸ δέ «ἀνεμώλια βάζεις» ταὐτόν ἐστι τῷ «ψευδῆ λέγεις».
1.763 ὁ μὲν γὰρ ἀληθὴς λόγος πράγμασιν ἐγκαθήμενος οὐκ ἂν ἀνέμοις λέγοιτο φέρεσθαι, ὁ δὲ ψευδὴς κενεμβατῶν ἀέρος μόνον ἔστι πληγὴ καὶ πλέον οὐδέν. Σημείωσαι δέ, ὅπως ὁ μὲν συνετὸς ῥήτωρ Ὀδυσσεὺς ἀνεμώλια βάζειν τὸν βασιλέα λέγει, οὐ πάνυ τραχύνων τὸ σκῶμμα, Σθένελος δὲ ἐν τοῖς ἑξῆς ἀπαιδευτότερον λαλῶν «μὴ ψεύδεο», φησίν, «ἐπιστάμενος σάφα εἰπεῖν». Ἰστέον δὲ καί, ὅτι, ὥσπερ σόος σῶς, κατὰ συναίρεσιν τῶν δύο μικρῶν ο εἰς μέγα, καὶ πρόορα πρώρα καὶ ὁμοορόφιος ὁμωρόφιος καὶ τὸ οἰκίδιον τῳκίδιον, οὕτω καὶ ἀνεμοόλια ἀνεμώλια, τὰ ἀνέμοις οἷον ὀλλύμενα καὶ ὡς εἰπεῖν ἀνεμόφθορα. (v. 356) Τὸ δὲ ἐπιμειδήσας καίριον ἐν τοῖς παροῦσιν. οὐ γὰρ ἐχρῆν τὸν βασιλέα, οὕτω θυμωθέντα ὡς καὶ ὑβρίσαι, ταχὺ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεταβληθῆναι τοῦ χόλου ὡς καὶ χανδὸν γελάσαι. ἀρκεῖ δὲ μόνον σεμνῶς γαληνιάσαι ὡς εἰς μειδίαμα καὶ οὕτω καταστορέσαι τὴν κύμανσιν τῆς ψυχῆς, ὁποῖόν τι ἐν ἄλλοις καὶ ὁ γέλως ἀνύει κατὰ Ὁμηρικὴν μέθοδον. (v. 357) Τὸ δέ «γνῶ χωομένοιο» σύστοιχόν ἐστι τῷ «πολέμων εὖ εἰδώς» καὶ «εἰδὼς πυγμαχίης». διὸ καὶ γενικῇ κατ᾽ ἐκεῖνα συντάσσεται, ἵνα ᾖ τὸ «γνῶ χωομένου» ἀντὶ τοῦ γνῶσιν καὶ εἴδησιν ἔσχεν ὀργιζομένου. τοιοῦτον δὲ καὶ ἐν Ὀδυσσείᾳ τὸ «γνώτην ἀλλήλων». (v. 358) Τὸ δὲ πολυμήχανε πάνυ δεξιῶς ἐξεφωνήθη πρὸς ἔπαινον, ὥσπερ ἀνωτέρω αὐτοῦ τὸ πολύμητις Ὀδυσσεύς. τὸ γάρ «κακοῖσι δόλοισι κεκασμένε» μεταλαβὼν ἐν τῇ δευτέρᾳ προσφωνήσει σεμνότερον ὁ βασιλεὺς πολύμητιν καὶ πολυμήχανον τὸν Ὀδυσσέα καλεῖ, ὡς οὕτω δέον αὐτὸν καλεῖσθαι, οἷα τῆς μηχανῆς εὐφημοτέρας οὔσης τοῦ δόλου, καὶ μάλιστα διὰ τὴν μετὰ τοῦ πολύ σύνθεσιν. ἄλλως γὰρ ὁ μὴ πολυμήχανος, ἀλλὰ παμμήχανος, ψέγοιτ᾽ ἄν, εἰ καὶ ἐπ᾽ ἔλαττον τοῦ παντοίοις δόλοις κεκοσμημένου, ὥσπερ ἂν ψεκτέος εἴη καὶ ὁ κατ᾽ ἔλλειψιν τοῦ φρονεῖν ἀμήχανος ὡς ἀνόητος. (v. 358) Σεμνύνει δὲ τὸν Ὀδυσσέα ὁ βασιλεὺς καὶ ἀπὸ τοῦ πατρός, καθὰ καὶ τὸν Μενεσθέα, καὶ ἀπὸ τῆς τύχης δέ, καὶ οὕτως ἐκθεραπεύει καὶ αὐτὸν εἰπών· «Διογενὲς Λαερτιάδη». ἠθικὰ δὲ ταῦτα πάντα καὶ οἷα διδάσκειν, ὅπως δεῖ καθομιλεῖν τοὺς καιρούς. (v. 359) Τὸ δὲ περιώσιον, ὡς καὶ ἑτέρωθι δηλοῦται, καθ᾽ ὁμοιότητα γίνεται τοῦ θωυμάσιον.

1.764 ὡς γὰρ ἐκεῖνο Ἰωνικῶς ἐκ τοῦ θαυμάζω θαυμάσω κεκίνηται, οὕτω καὶ τοῦτο ἐκ τοῦ περιαύω περιαύσω, τὸ φωνῶ, ἵνα ᾖ περιωύσιον, τὸ ἐξάκουστον τῇ ἐκφωνήσει, καὶ ἀπελεύσει τοῦ υ περιώσιον. (v. 360) Τὸ δέ «οἶδα, ὥς τοι θυμὸς ἐνὶ στήθεσσι» καὶ ἑξῆς φιλίας ἐστὶ παραστατικόν. (v. 361) Τὸ δέ «τὰ γὰρ φρονέεις, ἅ τ᾽ ἐγώ περ» συνετέλεσέ τι καὶ αὐτὸ τῷ πρώτως εἰπόντι, ὅτι ὁ φίλος ἄλλος ἐγώ. δεῖ γὰρ ὡς ἐν τοῖς ἄλλοις κοινόν τινα ἐν κοινοῖς κατὰ τὴν τραγῳδίαν τῷ φίλῳ ξυνεῖναι, οὕτω καὶ ὁμοφρονεῖν, ὡς αὐτὸν ἐκεῖνον εἶναι κατὰ πάντα, ὅπου γε καὶ τάφους κοινοῦνται οἱ φίλοι καὶ τὰ ὀστᾶ σφίσι μίγδ᾽ ἀλλήλοισιν ἐν ὁμῇ σορῷ τίθενται, ὅθεν πάνυ καλῶς εἴληπται καὶ τὸ «ὦ οὗτος» καὶ «ὦ αὕτη», ἀντὶ τοῦ «ὦ φίλε» καὶ «ὦ φίλη» ὡς τῶν οὕτω καλούντων δεικτικῶς τιθέντων τὸ οὗτος καὶ τὸ αὕτη καὶ ἑαυτοὺς ὑποδεικνύντων καὶ μονονουχὶ λεγόντων· «ὦ ἐγώ», ὡς ταὐτὸν ὂν ἐπὶ φίλου εἰπεῖν, ὦ σύ καὶ ὦ ἐγώ. Δήνεα δὲ τὰ βουλεύματα παρὰ τὸ δήν, ὃ σημαίνει τὸ ἐπὶ πολύ. ἀφ᾽ οὗ καὶ δηναιὸς ὁ πολυχρόνιος. χρόνου γὰρ χρεία τοῖς ὀρθὰ βουλευομένοις. κατὰ γὰρ τὴν τραγῳδίαν φρονεῖν οἱ ταχεῖς οὐκ ἀσφαλεῖς. (v. 363) Μεταμώνια δὲ τὰ μάταια καὶ μὴ ὀνοῦντα, ὅ ἐστιν ὠφελοῦντα, ἵνα ἐκ τοῦ μη στερητικοῦ καὶ τοῦ ὀνῶ ἔχῃ κρᾶσιν ἡ λέξις τοῦ ο καὶ η εἰς ω μέγα, ὡς καὶ ἐπὶ τοῦ δῶμα γίνεται καὶ τοῦ σιωπή καὶ ἑτέρων πολλῶν. εἰ δὲ καὶ μεταμώλια γράφεται, εἴη ἂν ὁ σχηματισμὸς Ἀττικός. Ἀθηναῖοι γὰρ ἀντὶ τοῦ ν ἔστιν ὅτε λ τιθέασιν, ὁποῖον καὶ τὸ νίτρον καὶ ὁ πνεύμων, ἃ ἐκεῖνοι λίτρον φασὶ καὶ πλεύμονα, ὡς δηλοῖ καὶ ὁ Κωμικὸς ἐν τῷ «ψευδολίτρου κονίας» καὶ ἐν τῷ «πλευμόνων ἀνθάψεται». ὅμοιον δὲ τούτοις καὶ τὸ νεογιλόν. κἀνταῦθα γὰρ τὸ λ τοῦ ν ἀντέγκειται. νεογιλὸν γὰρ τὸ νεωστὶ γινόμενον [καί, ὡς ἓν ἀνθ᾽ ἑνὸς κοινότερον φράσαι, νεογνόν.] τάχα δὲ καὶ τὸ γάλα οἱονεὶ γάνα ἐστὶ διὰ τὸ ἐξ αὐτοῦ γάνος. [(v. 366) Ὅτι ὥσπερ δῶμα πηκτὸν τὸ εὐπαγὲς προσυπακουμένου δηλονότι τοῦ εὖ, οὕτω καὶ ἅρματα κολλητά, ὅ ἐστιν ἅρμα κολλητόν, τὸ εὖ κεκολλημένον ἤγουν συμπεπηγμένον.

1.765 οὐ δήπου γὰρ ἀναγκαίως κόλλῃ τὸ ἅρμα συνείχετο. σφῆνες γὰρ μάλιστα καὶ ἧλοι ἁρμόττουσιν αὐτό. (v. 367) Ὅτι ἐστὶ πατρωνυμικὸς τύπος καὶ διὰ τοῦ ιος . οὕτω γὰρ Τελαμώνιος Αἴας, ὁ τοῦ Τελαμῶνος, καὶ Σθένελος Καπανήϊος υἱός, ὁ τοῦ Καπανῆος, ὡς εἰκὸς δὲ καὶ Πηλήϊος, ὁ τοῦ Πηλῆος, καὶ Νηλήϊος, ὁ τοῦ Νηλῆος, κατὰ τὸ «Νηλήϊοι ἵπποι». ὅθεν καὶ ἀναλόγως Καπανηϊάδης ἐκ τοῦ Καπανήϊος παρῆκται κατὰ τὸ Δέξιος Δεξιάδης καὶ τὰ ὅμοια. δύναται δὲ οὕτως εἶναι καὶ Πηληϊάδης καὶ Νηληϊάδης καὶ ὅσα τοιαῦτα· ἴσως δὲ καὶ ἐκ τοῦ Καπανεύς, Καπάνειος, διαλέλυται ὁ Καπανήϊος υἱὸς προστεθειμένου τοῦ υἱός πρὸς διαστολὴν κτητικοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινος, οἷον τοῦ Καπάνειος οἶκος ἢ Καπανήϊος ἵππος.] (v. 370 s.) Ὅτι ὁ ἐν πολέμῳ δειλὸς ἀκούσοι ἂν οἰκείως τὸ περὶ τοῦ βασιλέως πρὸς τὸν Διομήδην ῥηθέν· «ὤ μοι δεῖνα, τί πτώσσεις, τί δ᾽ ὀπιπτεύεις πολέμοιο γεφύρας;» τίνες δὲ αὗται, πρὸ ὀλίγου γέγραπται. Σημείωσαι δέ, ὅτι πάνυ ἀστεῖος ὁ λόγος οὗτος. ἐπεὶ γὰρ ἐφ᾽ ἅρματος ὁ Διομήδης ἵσταται, σκώπτει αὐτὸν ὁ βασιλεὺς πεζὸς περιϊὼν ὡς ἐξ ἀπόπτου τὸν πόλεμον βλέποντα καὶ τὰς αὐτοῦ διεξόδους ὡς ἀπὸ σκοπιᾶς τινος καθορῶντα τοῦ ἅρματος καί, ὡς εἰπεῖν, ἀπὸ περιωπῆς, καθὰ ὑπεμφαίνει τὸ ὀπιπτεύεις. ἀπὸ τοῦ ὄπτω γὰρ γίνεται καὶ αὐτό, καθὰ καὶ ἡ περιωπή, ἤγουν ἡ τῶν πέριξ ὀπωπή. ὄπτω γὰρ καὶ κατὰ παραγωγὴν ὀπτεύω καὶ ὀπιπτεύω κατὰ ἀναδιπλασιασμόν. ἐκ δὲ τοῦ τοιούτου ῥήματος καὶ ὁ ἀλλαχοῦ δηλούμενος παρθενοπίπης καὶ πυρροπίπης καὶ ὅσα τοιαῦτα, ἔτι δὲ καὶ ὁ Ὀππιανός. διὸ καὶ ἐν δυσὶ π γράφεται ἀπὸ συγκοπῆς. (v. 372 s.) Ὅτι τὸ «οὐ μὲν Τυδέϊ γε ὧδε πτωσκαζέμεν φίλον ἦεν, ἀλλὰ πολὺ πρὸ φίλων ἑτάρων δηΐοισι μάχεσθαι» λέγεται μὲν παρὰ τοῦ βασιλέως, ἵνα τὸν Διομήδην καταιδέσῃ ὡς μὴ τῷ πατρὶ ὅμοιον, δύναται δὲ παρῳδεῖσθαι εἰς γενναῖον πρόμαχον.

1.766 (v. 371) Ἰστέον δέ, ὅτι προϋπόκειται μὲν τὸ πτώσσω ὡς τὸ «τί πτώσσεις», ἐξ αὐτοῦ δὲ γίνεται τὸ πτώσκω, ἐκεῖθεν δὲ τὸ πτωσκάζω καθ᾽ ὁμοιότητα τοῦ ἀλύσκω ἀλυσκάζω, καὶ ὅτι πτήσσω μὲν κοινὸν καὶ Ἀττικόν, πτώσσω δὲ Ἰωνικόν. οὕτω δὲ καὶ ῥήσσω ῥώσσω, ἐξ οὗ καὶ ῥώξ ῥωγός, ὡς τὸ «ἀνὰ ῥῶγας μεγάροιο». ἐκ δὲ τοῦ πτώσσω καὶ ὁ πτώξ καὶ ὁ πολυπτὼξ τόπος, ἤγουν ὁ ἔχων πτῶκας πολλούς. (v. 373) Τὸ δέ «πρὸ φίλων μάχεσθαι» ἐντελῶς γέγραπται. ἀπ᾽ αὐτοῦ δὲ ἐλλιπῶς ἐπινενόηται τὸ προμάχεσθαι, οὗπερ ἡ σημασία τὸ πρὸ φίλων ἢ πατρίδος ἢ γονέων ἢ ἑτέρων τινῶν μάχεσθαι. (v. 374 s.) Ὅτι ὁ ἐπαινῶν ἀριστέα τινά, ὃν οὐκ εἶδεν ὀφθαλμοῖς, εἴποι ἄν, ὅτι «ὣς φάσαν, οἵ μιν ἴδοντο πονεύμενον· οὐ γὰρ ἔγωγε ἤντησα οὐδὲ ἴδον· περὶ δ᾽ ἄλλων φασὶ γενέσθαι», ἤγουν περιγενέσθαι, ταὐτὸν δὲ εἰπεῖν περιττότερον γενέσθαι τῶν ἄλλων. οὕτω δὲ καὶ περιεῖναί τινων τὸ περιττότερον ἐκείνων εἶναι, οἷον «περὶ μὲν βουλῇ Δαναῶν ἐστε». ὡς νοεῖσθαι τὴν περι πρόθεσιν ἐν τοῖς τοιούτοις ἀντὶ τοῦ περισσοτέρου, ὃς γινόμενος ἐκ τῆς περι προθέσεως καὶ τοῦ σόω, τὸ ὁρμῶ, δηλοῖ τὸν ἄγαν ταχὺν καὶ σωστικὸν καὶ ἁπλῶς εἰπεῖν μέγαν καὶ πολὺν κατά τινα ἀρετήν, ὡς δηλοῖ τὸ «περιττὸς Ἀριστείδης» καὶ τὸ «περιττὸς τὴν σοφίαν», ὅμοιον ὂν τῷ πολύς τὰ θεῖα καὶ τοῖς τοιούτοις· λέγει δέ που καὶ Εὐριπίδης ἐπὶ ἐπαίνῳ τὸ «περισσὸς ὢν ἀνήρ», ἀντὶ τοῦ μέγας, πολύς. καὶ οὕτω μὲν ὡς ἐπὶ πολύ. Λαμβάνεται δέ ποτε τὸ περιττὸν καὶ οὐκ ἐπὶ ἐπαίνου, ὡς καὶ ἐν τῷ «τὸ γὰρ περισσὰ πράττειν οὐκ ἔχει νοῦν οὐδένα». [καὶ ἐν τῷ «τὰ γὰρ περισσὰ κἀνόνητα σώματα».] καὶ εἴη ἂν πρός γε τὸ τοιοῦτον περιττὸν ἐπαινετὸν μάλιστα τὸ ἀπέριττον. (v. 376—81) Ὅτι εὐμηχάνως καὶ ἐνταῦθα παρεισοδιάζει ὁ ποιητὴς πλατεῖαν Ἑλληνικὴν ἱστορίαν περὶ τοῦ ᾀδομένου Θηβαϊκοῦ πολέμου ἐν τῷ τὸν βασιλέα κατασμικρύνειν μὲν τὸν Διομήδην, ἐξαίρειν δὲ τὸν ἐκείνου πατέρα ὡς καὶ θαρσαλέον καὶ ἀνδρεῖον, ὅπερ βαρύ ἐστι. μέγα γὰρ κακὸν υἱῷ πατρὸς ἀγαθοῦ τὸ μὴ πατρῴζειν. Φησὶ γοῦν ὁ βασιλεύς, ὅτι τε οὐκ ἦν πτοιαλέος ὁ Τυδεύς, ὡς ὁ Διομήδης, καθὰ προσεχῶς ἐγράφη, καὶ ὅτι ἄτερ μὲν πολέμου εἰσῆλθε Μυκήνας ὁ Τυδεὺς ξεῖνος ἅμ᾽ ἀντιθέῳ Πολυνείκεϊ λαὸν ἀγείρων κατὰ Ἐτεοκλέους καὶ Θηβαίων καὶ ζητῶν ἐπικούρους, ὅτε Θυέστης μέν, ὁ τότε ἐπιτροπεύων κατὰ τοὺς παλαιοὺς Ἀγαμέμνονος, ὡς καὶ ἐν τῇ β′ ῥαψῳδίᾳ γέγραπται, ἔτι δὲ καὶ οἱ Μυκηναῖοι ἤθελον δοῦναι, ὁ Ζεὺς δὲ ἐκώλυσε.

1.767 Καὶ σημείωσαι, ὅτι ἀπολογία τρόπον τινὰ ταῦτα τῷ βασιλεῖ πρὸς τὸν Διομήδην, ὃς εἴποι ἂν μὴ ἀναγκαῖος ὀφειλέτης εἶναι συμμαχίας τῷ βασιλεῖ, ὅτι μηδ᾽ αὐτὸς Τυδεῖ τῷ πατρὶ πάλαι ποτὲ δεομένῳ συνήρατο. φησὶν οὖν ὁ βασιλεὺς ὑπὲρ μὲν ἑαυτοῦ, ὅτι οὐκ οἶδεν αὐτὸς τὸν Τυδέα ὡς νεώτατος ὢν τότε, ὑπὲρ δὲ τοῦ ῥηθέντος ἐπιτρόπου καὶ τῶν συμπολιτῶν, ὅτι ἐκείνους θέλοντας συμμαχῆσαι διεκώλυσε τὸ δαιμόνιον, ᾧ πείθεσθαι δεῖ. Φησὶ γάρ, ὅτι «οἳ δ᾽ ἔθελον δοῦναι καὶ ἐπῄνεον, ὡς ἐκέλευον» καὶ ἑξῆς. ἔνθα σημείωσαι τὸ «οἳ δέ». Μυκήνας γὰρ εἰπὼν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπάγει τὸ «οἳ δέ», ὡς ταὐτὸν ὂν Μυκήνας καὶ Μυκηναίους εἰπεῖν. πόλις γὰρ οἱ πολῖταί εἰσι κατὰ τὸ «οὐδέν ἐστιν οὔτε πόλις οὔτε ναῦς ἔρημος ἀνδρῶν μὴ συνοικούντων ἔσω». διὸ καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ ἀντὶ τοῦ εἰπεῖν «ὅτε δὲ ἡ ναῦς ἐνελιμενίσθη» ἔφη· «οἳ δ' ὅτε δὴ λιμένος ἐντὸς ἵκοντο», ἤγουν οἱ περὶ τὴν νῆα, ὡς ταὐτὸν ὂν εἰπεῖν ἡ ναῦς καὶ οἱ τῆς νέως. ἴσως δὲ καὶ διὰ τὸ πάντῃ φανερὸν ἐσίγησε καὶ τοὺς Μυκηναίους καὶ τοὺς ναύτας, ὡς καὶ ἐν τῷ «τήν ῥα βίῃ ἀέκοντος ἀπηύρων». οὐ γὰρ λέγει τίνες ἀπηύρων τὴν Βρισηΐδα, ὡς δήλων καὶ αὐτῶν ὄντων. Ἰστέον δέ, ὅτι τοῦ τὸν Οἰδίποδα κατὰ τῶν ῥηθέντων αὐτοῦ δύο παίδων ἀγανακτῆσαι καὶ ἐπαράσασθαι διαλαχεῖν αἵματι καὶ σιδήρῳ τὴν βασιλείαν, ἀφ' ἧς αἰτίας ὁ Θηβαϊκὸς ἐξήφθη πόλεμος, ἄλλοι μὲν ἄλλας αἰτίας ἀποδεδώκασιν, ἐν αἷς καὶ μοῖρά τις κρεῶν παραδέδοται τὸν πατέρα λυπήσασα καὶ τὸ μὴ προστῆναι δὲ αὐτοῦ ἐξωθουμένου τῆς πατρίδος. τινὲς δὲ αἰτίαν γενέσθαι τοῦ κακοῦ λέγουσι μητρυιὰν ἐπιγενομένην αὐτοῖς. ἀποβαλὼν γάρ, φασίν, Οἰδίπους Ἰοκάστην ἔγημεν Ἀστυμέδουσαν, ἥτις διαβαλοῦσα τοὺς προγόνους τόν τε Πολυνείκην καὶ τὸν Ἐτεοκλέα ὡς πειρῶντας αὐτὴν ἐξέμηνε τὸν Οἰδίποδα εἰς θυμὸν καὶ ἀνεκύκησε τὰ ἱστορούμενα. Λέγεται δὲ καί, ὅτι Ἄδραστος βασιλεὺς Ἄργους χρησμὸν ἔχων λέοντι καὶ κάπρῳ συνοικίσαι τὰς θυγατέρας καὶ ἰδὼν ἱκετεύσαντας εἰς αὐτόν, Τυδέα μὲν συὸς ἐναπτόμενον δέρας, Πολυνείκην δὲ λέοντος δέρος χαίτῃ πεφρικός, κατὰ τὴν τραγῳδίαν εἰπεῖν, συνέβαλεν ἐπ' αὐτοῖς τὸν χρησμὸν καὶ ἔδωκε Τυδεῖ μὲν Δηϊπύλην, ἐξ ὧν Διομήδης, Ἀργείαν δὲ Πολυνείκει. Ἕτεροι δὲ παράσημα εἶναι τοῖς ἥρωσι τούτοις φασὶν ἐν ταῖς ἀσπίσι λέοντα καὶ κάπρον, ἐξ ὧν τὸν Ἄδραστον ἐναχθέντα εἰς τὸν νοῦν τοῦ χρησμοῦ συζεῦξαι τοῖς ξένοις τὰς θυγατέρας. εἰσὶ δέ, οἳ καὶ φιλονεικῆσαι αὐτοὺς οἴονται περὶ τῆς ξενίας ἐν τῷ τοῦ Ἀδράστου οἴκῳ καὶ τὴν μάχην εἰκασθῆναι τοῦ μὲν εἰς λέοντος ὀργήν, τοῦ δὲ εἰς ὁρμὴν συός. καὶ οὕτω ἐπιγαμβρεῦσαι αὐτοὺς τῷ βασιλεῖ, ἐφ' ᾧ φυγάδας ὄντας καταγαγεῖν εἰς τὰ οἰκεῖα.

1.768 (v. 377) Ἔτι ἰστέον καί, ὅτι τὸ ξεῖνος διασαφητικόν ἐστι τοῦ ἄτερ πολέμου, ἵνα μὴ νοοῖτο κατ' ἐμπορίαν ἢ ἐκ παρόδου ὁ Τυδεὺς εἰς Μυκήνας ἐλθεῖν, ἀλλὰ διὰ πρεσβείαν, ἧς χάριν ἐπεξενώθη ἐκεῖ, καὶ ὅτι μέση λέξις ὁ ξεῖνος. Λέγεται γὰρ οὕτω καὶ ὁ δεχόμενός τινα εἰς ξενίαν καὶ ὁ δεχθείς, ὥσπερ καὶ ἐν Ὀδυσσείᾳ ἱκέτης ὁ ἱκετεύσας τε καὶ ἱκετευθείς. περὶ μέντοι τῶν ἐκ τούτων συνθέτων, τί δήποτε σημαίνουσι, προδεδήλωται, ἤγουν ὅτι πρόξενος μὲν ὁ ὑπὸ πόλεως ἠξιωμένος ἐν τῇ σφετέρᾳ προΐστασθαι ξένων, οἷος ὁ Ἀντήνωρ ἐν τοῖς Τρωσὶ καὶ ὁποῖοι οἱ βασιλικοὶ διοικηταί. ἀπ' αὐτοῦ δὲ κατὰ μεταφορὰν καὶ ὁ καλοῦ τινος ἢ κακοῦ αἴτιος οὕτω λέγεται, οἷον ἀπωλείας πρόξενος ἢ φθορᾶς ἢ σωτηρίας ἢ ὑγείας, ὡς παρ' ἑαυτῷ ξενίσας οἷον τὸ πρᾶγμα, εἶτα ἑτέροις διαπεμψάμενος. ἰδιόξενος δὲ ὁ ἰδίᾳ ἢ πατρόθεν ξένος, ὡς Μενελάῳ Τηλέμαχος καὶ ὁ μυθικὸς Μέντης τῷ Τηλεμάχῳ. ἀστόξενος δὲ ὁ ἐκ προγόνων τισὶν ἐπιχώριος, ὡς Ἀτρεὺς Φρυξὶ καὶ Τεῦκρος Τρωσίν. ἀπὸ γὰρ προγόνων Φρὺξ μὲν ὁ Πελοποννήσιος Ἀτρεύς, Τρωϊκὸς δὲ Τεῦκρος ὁ Σαλαμίνιος. δορύξενος δὲ ὁ πολέμου χάριν ἢ ἐκ πολέμου φιλιωθείς, ὡς Γλαῦκος καὶ Διομήδης. (v. 380) Τὸ δὲ ἐπῄνεον ἀντὶ τοῦ συνῄνουν, συγκατετίθεντο. πολλαχοῦ δὲ παρά τε ἄλλοις καὶ παρὰ τῷ ποιητῇ ἐπὶ τοιούτου σημαινομένου τίθεται τὸ ἐπαινεῖν, [ὡς δηλοῖ καὶ τὸ «ἐπὶ δ' αἰνεῖτον βασιλῆες» ἐν Ὀδυσσείᾳ. Δῆλον δέ, ὡς ὁ μὴ οὕτως ἐπαινῶν ἀπηνὴς ἂν εἴη καὶ κρατερὸς κατὰ τὸ «ἀπηνέα τε κρατερόν τε». ἔστι δὲ καὶ ἄλλως ἀπηνὴς κατὰ τὸν Κωμικὸν ὁ ἄπο αἴνου, ὡς ἐν ταῖς Νεφέλαις φαίνεται. ὁ τοιοῦτος δὲ ἀντικεῖσθαι δοκεῖ τῷ ἐπαινετῷ. ὁ δέ γε προειρημένος ἀπηνὴς λέγοιτο ἂν καὶ ἀπηλεγής, ὃς ἀπηλεγέως ἀποείποι ἄν, ὡς μὴ ἐπαινῶν δηλαδή, τουτέστι συγκατατιθέμενος.

1.769 ] Ὅτι Τυδέως Μυκήνας εἰσελθόντος, ὡς ἐρρέθη, καὶ λαὸν ἀγείροντος «οἵ ῥα τότ' ἐστρατόωντο ἱερὰ πρὸς τείχεα Θήβης» ἐπικουρίας δεόμενοι, Μυκηναῖοι μὲν ἤθελον δοῦναι καὶ ἐπῄνεον, καθὰ καὶ αὐτὸ εἴρηται, «ἀλλὰ Ζεὺς ἔτρεψε παραίσια σήματα φαίνων». (v. 382—400) Εἶτα πλατύνων τὴν ἱστορίαν φησί· «οἳ δ' ἐπεὶ οὖν ᾤχοντο ἰδὲ πρὸ ὁδοῦ ἐγένοντο, Ἀσωπὸν δ' ἵκοντο

βαθύσχοινον, λεχεποίην, ἔνθ’ αὖτ’ ἀγγελίην ἐπὶ Τυδῆ στεῖλαν Ἀχαιοί», τουτέστιν ἐπὶ ἀγγελίαν ἔπεμψαν τὸν Τυδέα, ὃ καὶ Ἀχαιοὶ ἐν Τροίᾳ ἐποίησαν, ὡς προϊστόρηται, στείλαντες ἐκεῖ Ὀδυσσέα καὶ Μενέλαον. «αὐτὰρ ὃ βῆ, πολέας δὲ κιχήσατο Καδμείωνας δαινυμένους» κατὰ τὸ βασιλικὸν δῶμα. «ἔνθ’ οὐδὲ ξεῖνός περ ἐὼν ἱππηλάτα Τυδεὺς τάρβει μοῦνος ἐὼν πολέσιν μετὰ Καδμείωσιν· ἀλλ’ ὅ γ’ ἀεθλεύειν προκαλίζετο» ἐν τῷ τηνικαῦτα παρευρημένῳ γυμνικῷ, φασίν, ἀγῶνι, «πάντα δ’ ἐνίκα ῥηϊδίως· τοίη οἱ ἐπίρροθος ἦεν Ἀθήνη. οἳ δὲ χολωσάμενοι Καδμεῖοι, κέντορες ἵππων, ἂψ ἀνερχομένῳ», ἤγουν ἐπανιόντι εἰς τοὺς ἑαυτοῦ, «πυκινὸν λόχον εἷσαν ἄγοντες κούρους πεντήκοντα, δύο δ’ ἡγήτορες ἦσαν, Μαίων Αἱμονίδης» καὶ Λυκοφόντης υἱὸς Αὐτοφόνου. «Τυδεὺς μὲν καὶ τοῖσιν ἀεικέα πότμον ἐφῆκεν». ὃ γοργῶς ἑρμηνεύων φησί· «πάντας ἔπεφνεν, ἕνα δ’ οἶον ἵει οἴκόνδε νέεσθαι», ἄγγελον δηλαδὴ τοῦ κακοῦ. «Μαίον’ ἄρα προέηκε θεῶν τεράεσσι πιθήσας». εἶτα συμπληρῶν ὁ βασιλεὺς τὸ διήγημα ἐπὶ θαύματι τοῦ Τυδέως φησί· «τοῖος ἔην Τυδεὺς Αἰτώλιος· ἀλλὰ τὸν υἱὸν γείνατο εἷο», τουτέστιν αὐτοῦ, «χέρηα μάχῃ, ἀγορῇ δέ τ’ ἀμείνω». ὃ βαρὺ σκῶμμα ἔδοξεν ἂν τῷ Διομήδει, ὡς μὴ πρέπον ἥρωϊ τοιούτῳ. ἐχρῆν γὰρ μᾶλλον ἄλλως ἔχειν κατὰ τὸν εἰπόντα, ὡς ἐν νεότητι «γλῶσσαν μὲν ἀργήν, χεῖρα δ’ εἶχον ἐργάτιν». διὸ καὶ αἰδεσθείς, ὡς καὶ προσεσημείωται, ἄρτι μὲν σιγᾷ οὐδὲν ἀμειψάμενος, μὴ καὶ βεβαιώσῃ ἔργοις αὐτοῖς τὸ λάλος εἶναι. ἐν τοῖς ἑξῆς δὲ διαδείξας τὴν ἐν αὐτῷ ἀνδρίαν ταμιεύσεται ἀντειπεῖν τῷ βασιλεῖ κρατερῶς, ὅτε ἀγεννῶς ἴδῃ ἐκεῖνον διατιθέμενον. φιλομαθὴς δὲ καὶ μνήμων ὁ βασιλεύς, ἐν οἷς εἶπε, φαίνεται, οὕτως ἀκριβῶς μεμνημένος παλαιᾶς πράξεως, ὡς καὶ ὀνόματα ἐκτιθέναι λοχαγῶν καὶ ποσότητα τῶν ἐν τῷ λόχῳ πεσόντων, καὶ τίς ποτε ἦν ὁ ἐκεῖθεν διασωθείς· φιλοῖτο δ’ ἂν μάλιστα τῷ Διομήδει ὡς οὕτω τὴν τοῦ πατρὸς Τυδέως ἀριστείαν ἐς ψυχὴν ἐπιμελῶς μνήμης χάριν ἀπογραψάμενος, εἰ καὶ ἄλλως ἴσως ὑποδάκνει αὐτόν, ὅτι μὴ ἐχαρακτήρισεν ὁ βασιλεὺς τὸν Τυδέα καὶ ἀγορητὴν δεξιόν. ὅρα δὲ καί, ὡς εὐμεθόδως ἐν ὀλιγίστῳ πρῶτον ὑπολαλήσας τὴν τοῦ Τυδέως εἰς Μυκήνας ἔλευσιν ἐν τῷ «ἤτοι μὲν γὰρ ἄτερ πολέμου εἰσῆλθε Μυκήνας» καὶ ἑξῆς, εἶτα ποικιλίας χάριν ἐπλάτυνε τὴν ἱστορίαν σαφῶς. (v. 381) Ἰστέον δέ, ὅτι τὸ «Ζεὺς ἔτρεψεν», ἤγουν παρέτρεψεν, ἐκώλυσε, «παραίσια σήματα φαίνων» παραδηλοῖ ἐξ ἀέρος τινὰ καὶ τότε συμβῆναι σύμβολα, ὡς εἰκός, δι’ ὧν ἐκωλύθησαν οἱ Μυκηναῖοι συμμαχίαν δοῦναι τοῖς Ἀργείοις.
1.770 εἰκὸς δὲ καὶ ἔκ τινων μαντειῶν γενέσθαι τὴν ἀποτροπήν, ἐπειδὴ πάντες οἱ χρησμολογοῦντες ὑποφῆται Διὸς ἐλέγοντο, οἷα πανομφαίου. [Σημείωσαι δὲ τὸ ῥηθὲν «Ζεὺς ἔτρεψεν» εἰς τὸ «Ζεὺς τερπικέραυνος». Δοκεῖ γὰρ εἶναι τερπικέραυνος ὁ τρέπων ἐν τῷ ἀφιέναι κεραυνούς, καθὰ ἐνταῦθα ἔτρεψε σήματα φήνας.] Παραίσια δὲ τὰ παρὰ τοῖς ὕστερον ἀπαίσια. πολλάκις γὰρ ἡ παρα πρόθεσις ταὐτὸν τῇ ἀπο προθέσει δύναται. (v. 382) Τοῦ δὲ ᾤχοντο διασαφητικόν ἐστι τὸ πρὸ ὁδοῦ ἐγένοντο, ἵνα μὴ ἐπὶ θανάτου νοηθείη ἡ λέξις. οἴχεσθαι γὰρ πολλαχοῦ καὶ τὸ θνήσκειν λέγεται. καὶ ἔστι νῦν τὸ ᾤχοντο ταὐτὸν τῷ ἐπορεύθησαν, προέκοψαν εἰς ὁδόν. Τὸ δέ «πρὸ ὁδοῦ ἐγένοντο» περίφρασίς ἐστι τοῦ προώδευσαν. ἐκ δὲ τούτου τοῦ πρὸ ὁδοῦ συνετέθη τὸ φροῦδος, οἷον· «φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος» καὶ «ἐπεὶ δὲ φροῦδος Ἀργείων στρατός», ὅ ἐστιν ἐπεὶ ᾤχοντο οἱ Ἀργεῖοι. ὁμαλῶς μὲν οὖν ἐκφωνεῖται τὸ «πρὸ ὁδοῦ», τραχύφωνον δὲ τὸ φροῦδος λαμβανόμενόν ποτε καὶ ἀντὶ τοῦ ἀφανοῦς σκωπτικῶς. Σημείωσαι δέ, ὅτι πρὸ ὁδοῦ οἱ μεθ’ Ὅμηρον λέγουσιν, ὡς Παυσανίας δηλοῖ, τὸ ἀναγκαιότερον καὶ ὡς εἰπεῖν προὔργου. (v. 383) Ἀσωπὸς δὲ ὅτι Βοιώτιος ποταμός, πᾶσι δῆλόν ἐστιν. οὕτω δὲ δῆλον καί, ὡς τὰ ποτάμια ὕδατα διὰ τὸ γόνιμον πολυβοτανά εἰσι. διὸ καὶ ὁ Ἀσωπὸς βαθύσχοινος ἱστορεῖται παρὰ τῷ ποιητῇ, ἔτι δὲ καὶ λεχεποίης, ὡς πολλὴν ποίην τρέφων, ἤγουν βοτάνην, ἐν ᾗ λέξεταί τις, ἤγουν κατακοιμηθείη, διὰ τὸ δασύ. (v. 384) Τὸ δὲ Τυδῆ οὐκ ἀπὸ τοῦ Τυδέα συνῄρηται, ἀλλ’ ἀποκέκοπται ἐκ τοῦ Τυδῆα, καθάπερ ἀρέσκει τοῖς Τεχνικοῖς.

1.771

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὕτω δὲ καὶ τὸν Ὀδυσσῆα Ὀδυσσῆ ἔστιν εἰπεῖν καὶ ἕτερα δὲ ὅμοια. (v. 385) Τοῦ δὲ Καδμείωνας πρωτότυπον οἱ Καδμεῖοι, ὃ κατωτέρω κεῖται, καὶ ἔστιν ὡς πατρωνυμικὸν καθ' ὁμοιότητα τοῦ Ἀτρείων καὶ Πηλείων καὶ τῶν ὁμοίων. (v. 387) Τὸ δέ «ξεῖνός περ ἐών» θρασύτητα τοῦ Τυδέως ἐμφαίνει, ὡς μὴ δέον ὃν ξεῖνον ἐόντα ἔριδα προφέρειν τοῖς ξεινοδόκοις μήπως, Ὁμηρικῶς εἰπεῖν, ἑαυτοῦ πάντα κολούῃ. καὶ ἄλλως δὲ εἰπεῖν, συχνὸς ἐν τούτοις τῷ βασιλεῖ ὁ τοῦ καθ' Ὅμηρον ἱππηλάτου Τυδέως ἔπαινος, εἴπερ οὐδὲ ξένος καὶ ἐν πολλοῖς μόνος ὢν ἐν ἀλλοτρίᾳ ἐτάρβει, ἀλλὰ προὐκαλεῖτο ἀθλεῖν, ἔνθα ἐχρῆν αὐτὸν ἢ ὡς ξένους αἰδεῖσθαι τοὺς Καδμείους ἢ φοβεῖσθαι ὡς πολεμίους, εἰ μὴ τὸ θάρσος ἐκώλυε. καὶ οὐ προεκαλεῖτο μὲν αὐτούς, ὁ δὲ λόγος ἔργων ἦν κενός, καὶ οὐχ' ἁπλῶς ἐνίκα, ἀλλὰ πάντα ἐνίκα, καὶ οὐδὲ σὺν πόνῳ, ἀλλὰ ῥηϊδίως. καὶ τὴν Ἀθηνᾶν δὲ εἶχεν ἐπιτάρροθον, ἤτοι βοηθόν. ἦν ἄρα καὶ θεοφιλὴς καὶ μάλιστα κατ' Ἀθηνᾶν, ὅ ἐστι φρόνησιν. ἔοικε γὰρ συνετῶς μεταχειρίσασθαι τὰ ἐκεῖσε ἄεθλα ὁ Τυδεύς. (v. 389) Τὸ δέ «πάντα ἐνίκα» οὐ μόνον ἄνδρα ὑποδηλοῖ, ἀλλὰ μάλιστα πάντα τὰ ἄεθλα ληφθέντος τοῦ τοιούτου ὀνόματος κατὰ κοινοῦ ἐκ τοῦ ἀεθλεύειν ῥήματος, ὃ καὶ ἐπ' ἄλλων πολλῶν φαίνεται γίνεσθαι. (v. 390) Τὸ δὲ ἐπίρροθος, ὅτι πρωτότυπόν ἐστι τοῦ ἐπιτάρροθος, ἐν ἄλλοις δηλοῦται. (v. 391) Οἱ δὲ Καδμεῖοι ὥσπερ καὶ οἱ Καδμείωνες ἑτερωνύμως ἔχουσι πρὸς τὴν πατρίδα τὰς Θήβας, ἐξ ἧς Θηβαῖοι καλοῦνται. παρώνυμοι δέ εἰσι τῷ προγόνῳ Κάδμῳ τῷ ἐκ Φοινίκης, ὃ μυριαχοῦ καθωμίληται. παράγονται δὲ Καδμεῖοι μὲν ἀπὸ τῆς Καδμηΐδος γῆς, ἵνα ᾖ ἐκεῖθεν Καδμήϊος Καδμεῖος κατὰ τὸ ἀχρήϊος ἀχρεῖος, περὶ οὗ προδεδήλωται. (v. 385) Καδμείωνες δὲ ἀπ' αὐτοῦ δὴ τοῦ Καδμεῖοι. οὐ γὰρ ἔστιν εἰπεῖν ἀκριβῶς πατρωνυμεῖσθαι τοὺς Καδμείωνας, ἵνα ᾖ, ὥσπερ Οὐρανός Οὐρανίδης Οὐρανίων κατὰ τὸ Κρονίδης Κρονίων, οὕτω καὶ Κάδμος Καδμείων. ἐγράφετο γὰρ ἂν οὕτω διὰ τοῦ ι , καθὰ καὶ ὁ Οὐρανίων. δοκεῖ δὲ ἀπὸ τοῦ κάζω, τὸ κοσμῶ, παρῆχθαι ὁ Κάδμος καί πως δηλοῖ τὸν κόσμιον τραπέντος κἀνταῦθα τοῦ ζ εἰς δ συνήθως, ὡς καὶ ἐν τῷ ὀκλάζω, ὀκλαδίας δίφρος, καὶ χειμάζω, χειμάδιον, καὶ ἐν ἑτέροις μυρίοις τοῖς καὶ προδηλωθεῖσιν. Ἰστέον δέ, ὅτι οὐ κύριον μόνον ὁ Κάδμος, ἀλλὰ καὶ Ἑρμοῦ ἐπίθετον, οὗ παράγωγον ὁ Καδμῖλος παρὰ Λυκόφρονι, καὶ ὄρους δὲ ὄνομα.

1.772 φησὶ γοῦν ὁ Στράβων, ὅτι Κάδμος ὄρος, ἐξ οὗ Λύκος ῥέει ποταμὸς εὐμεγέθης, προσβάλλων τῷ Μαιάνδρῳ. (v. 391) Κέντορες δὲ ἵππων οὐ μόνον οἱ, ὡς ἐρρέθη, εὖ πωλοδαμνοῦντες, ἀλλὰ καὶ οἱ τεχνικῶς ἡνιοχοῦντες, ὁποῖον ἐν Ὀδυσσείᾳ τὸ «νόῳ δ' ἐπέβαλλεν ἱμάσθλην». (v. 392) Πυκινὸν δὲ λόχον ὁ ποιητὴς λέγει οὐ μόνον ὡς κατὰ σύνεσιν γινόμενον, ἀλλὰ καὶ ὡς δέον ὂν τοὺς ἐλλοχῶντας πυκνοῦν ἑαυτούς, ἵνα λανθάνωσι. διὸ καὶ λόχον εἷσάν φησιν, ὅ ἐστιν ἐκάθισαν, ὡς τῶν ἐλλοχώντων κεῖσθαι οἷον ὀφειλόντων κατὰ τὸ ὑποκαθῆσθαι, ἵνα ὑποκρύπτωνται. παρηχεῖται δέ πως πρὸς τὸ λόχον εἷσαν τὸ ἡγήτορες ἦσαν καθ' ὁμοιότητα τοῦ «ἔδεισαν θεοὶ οὐδέ τ' ἔδησαν» καὶ τῶν τοιούτων, ἃ προδεδήλωται. (v. 392 s.) Ὅρα δ' ἐν τούτοις, ὅτι τοὺς πεντήκοντα ἄνδρας λόχον εἶπε. καὶ μήν τινες λόχον φασὶ τὸν ἐξ εἰκοσιτεσσάρων ἀνδρῶν. ἴσως δὲ καὶ ὁ ποιητὴς νῦν τοῦτο ἐμφαίνει εἰπών, ὅτι κοῦροι πεντήκοντα δύο δ' ἡγήτορες ἦσαν. εἰκοσιτέσσαρες γὰρ ἄνδρες καὶ αὖ πάλιν τοσοῦτοι ἀνὰ ἕνα εἶχον ἡγήτορα, ταὐτὸν δὲ εἰπεῖν, λοχαγόν, ὡς δηλοῖ τὸ λόχον ἄγοντες. ὅτι δὲ ὁ Ξενοφῶν ἐξ ἑκατὸν συντετάχθαι τὸν λόχον βούλεται, εἴσεται ὁ ἐκείνῳ ἐντυχὼν εἰπόντι· «λόχος ἕκαστος εἰς ἑκατόν». ἡ δὲ τραγῳδία καὶ ἄλλοι λόχον φασὶ τὸ ἁπλῶς στρατιωτικὸν σύνταγμα καὶ λοχαγὸν τὸν τούτου ἄρχοντα. [Ἰστέον δέ, ὅτι κοῦρον τὸν νέον λέγειν εἰδὼς Ὅμηρος οὔ φησι διὰ διφθόγγου καὶ τὸν κόρον, ἐξ οὗ τὸ κορέννυσθαι. παρεκκλίνουσι γὰρ καὶ Ἴωνες τὴν τῶν λέξεων, ὅπη δυνατόν, ὁμωνυμίαν τὴν κατὰ συνέμπτωσιν ὁμόφωνον. οὕτω καὶ οὖρος μὲν λέγεται ὁ ὅρος Ἰαστί, οὐ μήν ποτε καὶ τὸ ὄρος τὸ οὐδέτερον. εἰ δὲ καὶ διὰ τὸν Οὖνον, τὸ ἐθνικόν, ὀκνοῦσι τὸ ζῷον τὸν ὄνον διὰ τοῦ υ λέγειν, οὐκ ἔστιν ἐνστῆναι.

1.773

πρὸς ὃ παίξας ὁ Κωμικὸς ἔφη κατὰ δούλου, ὡς «τὸ βάρος, ὃ σὺ φέρεις, οὖνος φέρει», συναλείψας τὴν εὐθεῖαν τοῦ ὄνου καὶ ἀποτελέσας γέλοιον. ὁ ὄνος γὰρ καὶ κράσει οὖνος. καὶ τοῦτο μὲν τοιοῦτον.] Εἰ δέ τι χρὴ ἐνταῦθα καὶ ἀστεΐσασθαι, σκοπητέον καὶ τὸ χολωσάμενοι καὶ τὸ λόχον εἶσαν. ἀναγραμματισθεὶς γὰρ καὶ νῦν ὁ χόλος τὸν λόχον ποιεῖ, ὥστε καὶ τῶν τοιούτων κατάρξαι δοκεῖ ὁ ποιητὴς τοῖς βουλομένοις οὕτω λέγειν, οἳ μάννα φασὶ τὸ τοῦ λόγου νᾶμα καὶ ὅσα τοιαῦτα· ἐν οἷς καὶ τὸ μῦθος καὶ θυμός, ὡς καὶ ἀλλαχοῦ ἐγράφη, καὶ τὸ ἔμεινας καὶ ἔνειμας παρ’ Εὐριπίδῃ ἐν τῷ «οὐ μάντεως ὄπα ἔμεινας, οὐ χρόνῳ μακρῷ σκέψιν ἔνειμας». καὶ τὸ παρὰ Λυκόφρονι πέλας καὶ λέπας περατοῦντα δύο στίχους συνεχεῖς, ὧν τὸ μὲν πέλας δηλοῖ τὸ ἐγγύς, τὸ δὲ λέπας ὀρεινὴν τραχύτητα, ἐξ οὗ καὶ λεπαία χθὼν τραγικῶς ἡ ὀρεινή. δοκεῖ δ’ ἐξ ὀνοματοποιΐας οὕτω τετυπῶσθαι καὶ ἡ λακέρυζα παρὰ τὸ κελαρύζειν. τοιούτου τρόπου καὶ τὸ αἵματα ἰάματα καὶ ἕτερα. ὅρα δ’ ἐν τούτοις καί, ὅτι εὕρηνται παρὰ τῷ ποιητῇ πατέρων ὀνόματα υἱοῖς ἀποχρήσαντα εἰς κλῆσιν κατὰ ὁμοίαν μετάθεσιν γραμμάτων ποιηθέντα, ἣν καὶ ἀλλαχοῦ ἔγνωμεν. ἐν γοῦν ’Οδυσσείᾳ πατὴρ μὲν Αἴσων, Ἰάσων δὲ ὁ υἱός, κατὰ διάλυσιν τῆς αι διφθόγγου καὶ μετάθεσιν τοῦ ι . (v. 394) Ἐνταῦθα δὲ Αἵμων μὲν πατήρ, Μαίων δὲ υἱός, ὃν ὁ Τυδεὺς ἀνεῖλε, τεθείσης τῆς αι διφθόγγου ἐν τῇ ἀρχῇ. Μαίων γάρ, φησίν, Αἱμονίδης. (v. 395) Ὁ δὲ Αὐτοφόνος ἀνδρείου κλῆσίς ἐστιν, ὃς οὐχ’ ἑτέροις ἐπιτάσσων ἀριστεύει, ἀλλ’ αὐτὸς φονεύων καὶ αὐτόχειρ τῆς ἀριστείας γενόμενος. δῆλον δέ, ὅτι μέτρου ποτὲ διδόντος καὶ ὁ αὐτοφόνος αὐτοφόντης ἂν ῥηθείη, καὶ ὁ λυκοφόντης λυκοφόνος. (v. 396) Ἀεικής δὲ ὁ ῥηθεὶς πότμος διὰ τὸ κατ’ αὐτὸν ἀπρεπές, ὡς μὴ δέον ὂν τοσούτους ὑφ’ ἑνὶ πεσεῖν. «πάντας γάρ», φησίν, «ἔπεφνεν». [(v. 397) Ἔστι δὲ τὸ ἔπεφνε διασαφητικὸν τοῦ «πότμον ἐφῆκεν», ἵνα πότμος μὴ ἡ τύχη νοηθείη, ἀλλ’ ὁ θάνατος.

1.774 ] (v. 398) Τὸ δὲ ἵει ἀδιάφορόν ἐστι πρὸς τὸ προέηκε. ποιητικὰ δὲ καὶ ἄμφω. ὁ δὲ ῥηθεὶς Μαίων ἢ ὡς κῆρυξ τιμηθεὶς ἀφείθη κατά τινας ἢ διά τι τέρας, ὥς φησιν ὁ ποιητής. εἰκὸς γὰρ τέρας φανῆναι τότε, ὅπερ σιγᾷ Ὅμηρος, ὡς μὴ ἀναγκαῖον ὂν ῥηθῆναι. (v. 399) Ὁ δὲ Αἰτώλιος διφορεῖται ὁμοίως τῷ Δάρδανος Δαρδάνιος, κάπρος κάπριος, Κάϋστρος Καΰστριος, ἔκτοπος ἐκτόπιος, ὁ καὶ ἄφορμος παρὰ Σοφοκλεῖ, ἔγχωρος, οὗ χρῆσις παρὰ Λυκόφρονι, ἐγχώριος. (v. 400) Τοῦ δὲ εἶο τὸ πρωτότυπον οὗ, καθάπερ καὶ τοῦ σοῦ τὸ σεῖο καὶ τοῦ ἐμοῦ τὸ ἐμεῖο. Τοῦ δὲ χέρηα ὀφείλει μὲν ἡ παραλήγουσα οἷα συγκοπεῖσα ἐκ τοῦ χερείονα γράφεσθαι κατὰ τὴν παραλήγουσαν διὰ τοῦ ε καὶ ι , νικᾷ δὲ ὅμως τὴν διὰ τοῦ η καὶ ι δίφθογγον ἔχειν κατὰ τὰ πλείω τῶν ἀντιγράφων. οὕτω δὲ καὶ τὸ χέρῃι καὶ χέρῃες, ὡς ἐν ἄλλοις φαίνεται. (v. 401 s.) Ὅτι κἂν ὁ Διομήδης ἐπιπληττόμενος σιωπᾷ τὴν τοῦ βασιλέως αἰδεσθεὶς ἐνιπήν, ἤγουν τὴν διὰ λόγων ἐπίπληξιν καὶ κακολογίαν—ἐνίπτω γὰρ τὸ κακολογῶ, ὅθεν ἡ ἐνιπὴ κατὰ τὸ τύπτω τέτυπα τυπή, ἡ τύψις—, ἀλλ’ ὁ Σθένελος καὶ τραχύτατα καὶ ῥητορικώτατα ἐπιχειρεῖ τῇ συγκρίσει καὶ οὐ τὸν Διομήδην μόνον ἀπεναντίας τῷ βασιλεῖ κρείττω τοῦ πατρὸς Τυδέως ἀποδείκνυσιν, ἀλλὰ κοινῶς τῶν ἑπτὰ ἐπὶ Θήβας κρείττονας ἀποφαίνει τοὺς ἐπιγόνους παρεισάγων καὶ αὐτὸς ἱστορίαν τῆς τῶν Θηβῶν ἁλώσεως. (v. 404) Λέγει γάρ· «Ἀτρεΐδη, μὴ ψεύδ’ ἐπιστάμενος σάφα εἰπεῖν». τοῦτο δὲ παντὶ προσαρμόσει ἑκοντὶ κρύπτοντι τὴν ἀλήθειαν. ἔνθα σκοπητέον, ὡς ὁ μὲν μὴ σάφα εἰδὼς οὐκ αἰτιατέος, εἰ ψεύσεται, ὃς δὲ σαφῶς οἶδεν, ἀπαιτεῖται μὴ ψεύδεσθαι.

1.775 (v. 410) Εἶτα ἐπάγει, ὅτι μηδὲ πατέρας ὁμοίῃ ἔνθεο τιμῇ. (v. 405—7) ἡμεῖς τοι πατέρων οὐχ’ ἁπλῶς ἀμείνονες, ἀλλὰ μέγα ἀμείνονες εὐχόμεθα, ἤτοι αὐχοῦμεν, εἶναι. πόθεν δῆλον; «ἡμεῖς καὶ Θήβης ἕδος εἵλομεν ἑπταπύλοιο», ἔνθα δηλαδὴ ἐκεῖνοι ἔπεσον. εἵλομεν δὲ αὐτήν «παυρότερον λαὸν ἀγαγόντες ὑπὸ τεῖχος Ἄρειον», τουτέστι τὸ τοῦ Ἄρεος, ἢ κρεῖττον τοῦ ἐνταῦθα κατὰ Τροίαν τείχους ἢ ὀχυρώτερον, ὡς εἰκός, ἥπερ ὅτε οἱ πρόγονοι ταῖς Θήβαις ἐπεστράτευσαν. ἐκεῖ γοῦν, φησίν, ἠνδραγαθήσαμεν καὶ ταῦτα σὺν ὀλίγῳ λαῷ καὶ κατὰ τείχους κρείττονος, ὅπου οἱ πρόγονοι πλείονες ὄντες ἐν χείρονι τειχίσματι ἐδυστύχησαν. καὶ ὅρα τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ Ὁμήρου ἀμφίγλωσσον, ὃς διὰ μὲν τοῦ βασιλέως χείρους τῶν προγόνων τοὺς ἐπιγόνους ἐνέφηνε, διὰ δὲ τοῦ Σθενέλου τὸ ἀνάπαλιν ἀπέδειξεν. [Ἐν τούτοις δὲ ὁ σχηματισμὸς τοῦ «ὑπὸ τεῖχος Ἄρειον» ὅμοιός ἐστι τῷ «ὅσοι ὑπὸ Ἴλιον ἦλθον».] Σημείωσαι δὲ καί, ὅτι ὁ Σθένελος, ἵνα μὴ δόξῃ ἀπαρακαλύπτως τῶν πατέρων ἄρτι καταφέρεσθαι, λέγει τὸ πᾶν ἐν Θήβαις ἀνύσαι τοὺς ἐπιγόνους τούς τε ἄλλους καὶ αὐτόν—ἀνεπαχθῶς γὰρ καὶ ἑαυτὸν ἐπαινεῖ—«πειθομένους τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῇ», δεικνὺς πλαγίως πως αὐτοὺς καὶ θεοφιλεῖς, ἵνα μηδὲ εἰς τοῦτο ἐλαττοῖντο τοῦ Τυδέως, ὃν ἡ Ἀθηνᾶ ἐφίλει. τοὺς μέντοι προγόνους ὀλέσθαι φησίν, οὐ δι' ἀνανδρίαν ἀλλ' ἀτασθαλίαν. φησὶ γάρ· (v. 409) «Κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο». παραλαλεῖ δὲ ἴσως τὸ τοῦ Πολυνείκους καὶ τὸ τοῦ Τυδέως ἐφάμαρτον, ἵνα καὶ κατὰ τοῦτο οἱ πατέρες ἐλαττοῖντο τῶν ἐπιγόνων, ἢ μάλιστα λέγει, ὅτι οἱ Θηβαῖοι ὡς ἀτάσθαλοι ὤλοντο διὰ τὴν εἰς τὸν Πολυνείκην ἀδικίαν. εἶτα ἐπάγει λόγον, ὃν ἐρεῖ τις ὑπερεξαίρων ἑαυτὸν τῶν προγόνων. (v. 410) Φησὶ γάρ· «τῷ μή μοι πατέρας ποθ' ὁμοίῃ ἔνθεο τιμῇ». τοῦτο δὲ δεινῶς εἶπε κωλύων τὴν ἐπ' ἔλαττον σύγκρισιν. ὁ γὰρ ἐξαθερίζων τὸ ὁμοίῃ ἐντεθῆναι τιμῇ, πῶς ἂν καταδέξοιτο τὴν ἐλάττονα, ὁποίαν προσεχῶς ὁ βασιλεὺς ὑπελάλησε κατὰ τοῦ Διομήδους, μὴ οὖσαν μὲν πάντῃ ἀπαρακάλυπτον κατὰ τὸ «ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς», ἔχουσαν δ' ὅμως καὶ αὐτὴν βαρύνειν τὸν ἥρωα. (v. 407) Ἰστέον δέ, ὅτι παυρότερον λαὸν λέγει, τουτέστιν ὀλιγώτερον, οὐ μόνον, οὗ εἶχον οἱ πρόγονοι, ἀλλὰ καὶ τοῦ τῶν Θηβαίων πλήθους. ἐννέα δέ φασιν εἶναι τὸν ἀριθμὸν τοὺς ἐπιγόνους· ἦσαν γὰρ Αἰγιαλεὺς Ἀδράστου, Θέρσανδρος Πολυνείκους, Διομήδης Τυδέως, Σθένελος Καπανέως, Ἀλκμαίων καὶ Ἀμφίλοχος Ἀμφιαράου, Στρατόλαος Παρθενοπαίου, Πολύδωρος Ἱππομέδοντος, Μέλων Ἐτεόκλου. Θηβῶν δὲ ἐβασίλευε τότε ἐν τῷ τῶν ἐπιγόνων πολέμῳ Λαοδάμας ὁ Ἐτεοκλέος, ὃς καὶ ἀνῃρέθη. Σημείωσαι δέ, ὅτι οὐ μόνον ὑπερπαθῶν τοῦ Διομήδους ὁ Σθένελος λέγει, ἃ λέγει, ἀλλὰ καὶ ὑπὲρ ἑαυτοῦ λαλῶν. τῷ γὰρ τοῦ Διομήδους ψόγῳ συναδοξῶν ἦν καὶ αὐτός, εἴγε καὶ ὁ Καπανεύς, ὁ τοῦ Σθενέλου πατήρ, ὥσπερ καὶ ὁ Τυδεύς, μέγιστα ἐν τῷ Θηβαϊκῷ πολέμῳ ἐδυστύχησεν.

1.776 εἰ γοῦν ὁ Διομήδης χείρων τοῦ πατρός, ἄρα καὶ ὁ Σθένελος τοῦ οἰκείου ἠλάττωται πατρός. τάχα δὲ καὶ τὸ «ἡμεῖς πατέρων ἀμείνονες» οὐ τοὺς ὅλους δηλοῖ ἐπιγόνους —τί γὰρ νῦν ἔδει πάντων ὑπερλαλεῖν; —ἀλλὰ μόνους τὸν Διομήδην καὶ τὸν Σθένελον. διὸ καὶ δυϊκῶς λέγει παρακατιών· «παυρότερον λαὸν ἀγαγόντε», ἡμεῖς οἱ δύο δηλαδή. Ἰστέον δέ, ὅτι ἐκ τῶν ῥηθέντων Θηβαϊκῶν πολέμων παροιμία ἐξέπεσεν ἐπὶ τῶν ἀλυσιτελῶν τὸ Καδμεία νίκη, ἐπειδή, φασί, Θηβαῖοι τὰ πρῶτα νικήσαντες ὕστερον ὑπὸ τῶν ἐπιγόνων ἡττήθησαν. Ἀρριανὸς μέντοι ἐν τοῖς Βιθυνιακοῖς, ὡς καὶ προεδηλώθη, ἐπὶ μεγίστης νίκης τὴν παροιμίαν ἐδέξατο. τινὲς δὲ αὐτὴν ἄλλως εἰλῆφθαί φασιν, ἢ ἀπὸ Οἰδίποδος, ὃς Θήβῃσι τὸ τῆς Σφιγγὸς αἴνιγμα λύσας, εἶτα ἔπαθλον τὴν μητέρα ἔγημεν, ἢ ἀπὸ Κάδμου, ὃς ἀνελών, φασί, τὸν τὴν Ἀρείαν κρήνην τηροῦντα δράκοντα ἐθήτευσεν Ἄρει ὀκτὼ ἔτη. (v. 406) Ἑπτάπυλον δὲ Θήβην ἑνικῶς λέγει τὰς Βοιωτίας Θήβας πρὸς διαστολὴν τῶν ἑκατομπύλων Αἰγυπτίων, ἃς ἀλλαχοῦ ἱστορήσει ὁ ποιητής. Ἰστέον δὲ καί, ὅτι, ὡς καὶ ἀλλαχοῦ ἐπεσημάνθη, πολλὰ εὕρηνται ὀνόματα καὶ ἑνικῶς λεγόμενα καὶ πληθυνόμενα. ὡς καὶ ὅτε Κρήτην καὶ Κρήτας τὴν αὐτὴν νῆσον λέγει Ὅμηρος. οὕτως οὖν ἐπαμφοτερίζει καὶ τὸ τῆς Θήβης ὄνομα καὶ τὸ τῆς Μυκήνης, ἣν Μυκήνας πρὸ ὀλίγων εἶπεν ὁ ποιητής, ὥς που καὶ τὴν Μάλειαν Μαλείας, «Μαλειάων ὄρος αἰπύ». τοιούτῳ δὲ τρόπῳ καὶ ὄρος τὸν Ἄτλαντα πληθυντικῶς ἔφη τις Ἄτλαντας καὶ τὸν Ἄρειον πάγον Ἀρείους πάγους. Σημείωσαι δὲ καί, ὡς πολλαί τινες αἰτίαι παρὰ τῷ ποιητῇ τοῦ σιγᾶν τὰ πρόσωπα. οὐ μόνον οὖν ἔκπληξις αἰτία σιγῆς, ἀλλὰ καὶ αἰδώς. Διομήδης οὖν ἐνταῦθα σιγᾷ, αἰδεσθεὶς βασιλέως ἐνιπὴν αἰδοίοιο. μετ' ὀλίγα δὲ ὁ λαὸς ἕπεται «σιγῇ δεδιότες σημάντορας», ἤγουν εὐλαβούμενοι τοὺς ἄρχοντας. ἐνθυμητέον δὲ καὶ τοὺς κήρυκας, οἳ σιωπῶσι ταρβήσαντες καὶ αἰδόμενοι τὸν Ἀχιλλέα. καὶ σπουδὴ δέ ποτε γίνεται σιγῆς αἰτία, καὶ ἡ τῶν ἀναντιρρήτων δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπολογιῶν ἀκρόασις. (v. 412) Ὅτι ἐν τῷ «τέττα, σιωπῇ ἧσο, ἐμῷ δ’ ἐπιπείθεο μύθῳ», ὃ λέγει Διομήδης πρὸς Σθένελον, κατασιγαστικὸν ὂν στωμυλίας τὸ ἧσο ἀντὶ τοῦ δίαγε καὶ μένε κεῖται. ἄλλως γὰρ οὐκ ἦν ἐν τοιαύτῃ μάχῃ καθέζεσθαί τινα. σπουδὴν δὲ καὶ ἁπλότητα ἡ λέξις ἐνδείκνυται, ὡς μὴ εὐκαιροῦντος τοῦ Διομήδους κυριολεκτεῖν. ζήτει δὲ καὶ ἐν τοῖς τοῦ Θερσίτου τὸ «ἧσαι ὀνειδίζων» πρὸς ὁμοιότητα τῆς νῦν ῥηθείσης λέξεως τοῦ ἧσο. Τὸ δὲ τέττα, περὶ οὗ καὶ ἐν ἄλλοις δηλοῦται, προσφώνησίς ἐστι καὶ νῦν φιλεταιρικὴ νέου πρὸς μείζονα, ἀμετάφραστος κατὰ τοὺς παλαιοὺς καὶ ἀμετάληπτος, ἤγουν μὴ ἔχουσα εἰς ἑτέραν λέξιν καιριωτέραν μεταλαμβάνεσθαι.

1.777 οἱ δέ φασιν, ὅτι ὥσπερ βάπτω βαπτίζω βάπτης, οὕτω τέττω τεττίζω τέττης, καὶ ἡ κλητικὴ τέττα. τὸ δὲ τεττίζω γράφει Ζηνόδοτος ἐν τῷ «τοὺς ἐλεεινὰ κατήσθιε τεττίζοντας». καί τοι κατά τινας τιττίζοντας ἐκεῖνος γράφει διὰ τοῦ ι , οὐ μὴν διὰ τοῦ ε . τινὲς δὲ σχετλιαστικὸν νοοῦσι τὸ τέττα, ἀποκοπὲν ἐκ τοῦ τέτλαθι. (v. 413—9) Ὅτι καὶ ὑβριζόμενος ὁ Διομήδης ὅμως οὐ νεμεσᾶν λέγει τῷ βασιλεῖ ὀτρύνοντι καί που καὶ ἐπιπλήττοντι, προσθεὶς καὶ τὴν αἰτίαν ἐν τῷ εἰπεῖν οὕτω· «οὐ γὰρ ἐγὼ νεμεσῶ Ἀγαμέμνονι, ποιμένι λαῶν, ὀτρύνοντι μάχεσθαι Ἀχαιούς. τούτῳ μὲν γὰρ κῦδος ἅμ’ ἕψεται, εἴ κεν Ἀχαιοὶ Τρῶας δηϊώσουσιν ἕλωσί τε Ἴλιον ἱρήν· τούτῳ δ’ αὖ μέγα πένθος Ἀχαιῶν δηϊωθέντων». ἤδη δέ πως ὁ ἥρως καὶ καταγινώσκει νωθρείαν ἑαυτοῦ. διὸ καὶ ἐπαγαγών· «ἀλλ’ ἄγε δὴ καὶ νῶϊ», τουτέστιν ἡμεῖς, «μεδώμεθα θούριδος ἀλκῆς», ἤγουν φροντίσωμεν τοῦ εἶναι ἄλκιμοι, καταπηδᾷ χαμᾶζε σὺν τεύχεσι καὶ σπεύδει ἐς μάχην, ὅπερ οὐκ ἐποίει πρὸ τούτου, καὶ ταῦτα τὸν βασιλέα βλέπων οὕτω πονούμενον. Ἰστέον δέ, ὡς οὐ μάτην ὁ Διομήδης προσέθηκε τὸ ποιμένι λαῶν, ἀλλὰ δηλῶν, ὅτι ἄλλου τινὸς οὕτω βαρέως μεμψαμένου οὐκ ἂν ἠνέσχετο. πλὴν εἰ καὶ οὕτως αὐτῷ ἐπιεικὴς ὁ λόγος, ἀλλ’ ἔχει τι δακνηρὸν ἄλλως ἐν τῷ «τούτῳ μὲν γὰρ κῦδος ἅμ’ ἕψεται». μονονουχὶ γὰρ τὸν βασιλέα ὑπερπονεῖν ἐθέλει, διότι ἐπὶ τοῖς τῶν ὑπ’ αὐτὸν στρατιωτῶν καὶ στρατηγῶν μόχθοις αὐτὸς κυδαίνεται. γεννᾷ δὲ ὁ ῥηθεὶς λόγος καὶ γνωμικὴν ἔννοιαν τοιαύτην, ὡς ἄρα τοῖς βασιλεῦσι καὶ κῦδος ἕπεται κατορθούντων τῶν ὑπ’ αὐτὸν καὶ αὖθις μέγα πένθος, εἰ δυστυχήσουσιν. (v. 419—21) Ὅτι ὁπλίτου ἐνδόξου πήδημα βαρὺ κατὰ τὸ Διομήδειον ἐμφαίνει τὸ «σὺν τεύχεσιν ἆλτο χαμᾶζε. Δεινὸν δ’ ἔβραχε χαλκὸς ἐπὶ στήθεσσιν ἄνακτος ὀρνυμένου». εἶτα ἑρμηνεύων τὸ δεινόν φησιν· «ὑπό κεν ταλασίφρονά περ δέος εἷλεν», ἤγουν καὶ θρασυκάρδιός τις ἔδεισεν ἂν ἀκούσας. ὠνοματοπεποίηται δὲ τὸ ἔβραχεν, ὡς καὶ τὸ βρέχω. κεῖται δὲ ἐπὶ ὅπλων κτύπου ἡ λέξις ἐν δευτέρῳ ἀορίστῳ διὰ τὴν τοῦ α εὐρυφωνίαν, οὐκέτι μέντοι καὶ ὁ ἐνεστώς, ἀλλ’ ἐκεῖνος ἐπὶ ὑετοῦ μόνου λαμβάνεται.

1.778 Τὸ δέ «ἐπὶ στήθεσσιν» ἐκ μέρους τὸ πᾶν δηλοῖ σῶμα τοῦ ἥρωος. εἰκὸς δὲ καὶ μάλιστα περὶ τὰ στήθη πλείω γενέσθαι ἦχον διὰ τὰ ἐν τοῖς ἔμπροσθεν φερόμενα ὅπλα. (v. 421) Τοῦ δὲ ταλασίφρονος προϋπόκειται τὸ ταλάσω, οὗ χρῆσις ἀλλαχοῦ παρὰ τῷ ποιητῇ, ὃ συγκοπὲν καὶ τραπὲν ποιεῖ τὸ τλήσω, ἐξ οὗ τλησικάρδιος καὶ τλησίπονος. (v. 422—8) Ὅτι μιμούμενος ὁ ποιητὴς ἐν παραβολῇ θαλασσίᾳ τραχύτητα κυμάτων ἤχου ὁμοίαις πως λέξεσι φράζει τὸ ὑποκείμενον συνεκτραχύνων δι’ ὅλου τῷ λεγομένῳ καὶ τὴν φωνήν. λέγει γάρ· «ὡς δ’ ὅτ’ ἐν αἰγιαλῷ πολυηχέϊ κῦμα θαλάσσης ὄρνυτ’ ἐπασσύτερον Ζεφύρου ὑποκινήσαντος», ἤγουν ἠρέμα τὸ πρῶτον εἰς φρῖκα διασαλεύσαντος, «πόντῳ μὲν τὰ πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα χέρσῳ ῥηγνύμενον μεγάλα βρέμει, ἀμφὶ δέ τ’ ἄκρας κυρτὸν ἐὸν κορυφοῦται· ἀποπτύει δ’ ἁλὸς ἄχνην», ἤγουν ἀφρὸν ἢ φυκίον, ἃ πτύελον ὥσπερ, ἤτοι ἀπόπτυσμα, θαλάσσης εἰσὶν ἐρευγομένης ἔξω, ὡς ἐν ἄλλοις φησίν· «ὣς τότ’ ἐπασσύτεραι Δαναῶν κίνυντο φάλαγγες νωλεμέως πόλεμόνδε». καὶ ἔστιν ἡ ῥηθεῖσα παραβολὴ πρὸς τὴν πυκνότητα τῶν κατὰ φάλαγγας κινουμένων καὶ τὸν ἐκεῖθεν πολὺν ἦχον. Αἰολικὴ δὲ λέξις ποιηταῖς φίλη τὸ ἐπασσύτερον ἐκ τοῦ ἆσσον γινομένη, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. δηλοῖ δὲ καὶ ἐνταῦθα τὸ ἐγγύς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ διὰ τοῦτο τῇ ἐπαλληλίᾳ πυκνόν. συγγενὲς δὲ καὶ τὸ νωλεμές τῇ τοιαύτῃ λέξει. ἐπεὶ καὶ ταὐτόσημα τὸ ἐγγύς καὶ τὸ πυκνῶς καὶ τὸ ἐπασσυτέρως καὶ τὸ ἀδιαλείπτως, ὅ ἐστι νωλεμές. (v. 426) Ἰστέον δέ, ὅτι ἄχνην Ὁμήρου εἰπόντος τὸ λεπτότατον τοῦ κύματος, ὅπερ ἐν ταῖς ἔξω προσρήξεσιν ἀπαφρίζεται, Σοφοκλῆς ἄλλως τὴν λέξιν ἐκλαβόμενος ἄχνην τὴν δρόσον ἔφη ἐν τῷ «θάλλει δ' οὐρανίας ὑπ' ἄχνης ὁ καλλίβοτρυς νάρκισσος», οὐδ' αὐτὸς ἀπροσφυῶς γράψας διὰ τὸ μηδὲ τὰς τοῦ ὑετοῦ σταγόνας συνεχεῖς εἶναι ἀλλὰ διεχεῖς. ὅθεν καὶ ἡ ἄχνη ὠνόμασται, ἀέχη τις οὖσα καὶ κατὰ κρᾶσιν καὶ πλεονασμῷ τοῦ νῦ ἄχνη, ὡς καὶ ἑτέρωθι δηλοῦται σαφέστερον.

1.779 Εὐριπίδης δὲ καὶ αὐτὸς μιμησάμενος τὸ «ἁλὸς ἄχνη» οἰνωπὸν ἄχνην λέγει τὴν ἐν λοιβαῖς καταχεομένην τῆς γῆς. τοῦ δὲ ἀέχνη ἄχνη ταὐτότης μὲν ἐν τῷ ἀεχήν ἀχήν, ὁ πτωχός, ὁμοιότης δέ τις ἐν τῷ ἃ ἔχω «ἄχω» παρὰ Σοφοκλεῖ. Ὅρα δὲ καί, ὅτι ἐπίτηδες ἐνταῦθα ὁ ποιητὴς συχνῇ τῇ ὀνοματοποιΐᾳ ἐχρήσατο. ὁ γὰρ ἦχος καὶ τὸ ῥήγνυσθαι καὶ τὸ βρέμειν καὶ τὸ ἀποπτύειν ὠνοματοπεποίηνται. οὕτω δὲ καὶ πολλῷ τῷ ῥῶ ἐν τοῖς ῥηθεῖσι χρᾶται καὶ μάλιστα ἐν τοῖς τελευταίοις δυσὶ στίχοις. εἰ γὰρ καὶ ἄλλως μεμπτέος ὁ τοῦ τοιούτου στοιχείου πλεονασμός, διὸ καὶ οἱ Ἐρετριεῖς ἐκωμῳδοῦντο, καθά που καὶ προεγράφη, ὡς πολλῷ τῷ ῥῶ χρώμενοι, ἀλλ' ἐν τοιούτοις τόποις, ἤγουν ἐν μιμητικῇ τραχυφωνίᾳ πραγμάτων, χρεία συχνοῦ καὶ τοῦ στοιχείου τούτου, ὡς ἐρρέθη καὶ ἐν τῷ «τριχθὰ καὶ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός». ἄλλως γὰρ ἦν καὶ τὸ χέρσῳ γαίῃ εἰπεῖν καὶ τὸ ῥηγνύμενον ἀγνύμενον καὶ τὸ ἄκρας θῖνας, οὕτω δὲ καὶ ἑτέρας λέξεις μεταλαβεῖν εἰς τὸ λεῖον καὶ ἄρροιζον. (v. 426) Ὅρα δὲ καί, ὅτι τὸ κυρτὸν καὶ ἐπὶ κυμάτων λέγεται, ὡς καὶ ἐπὶ ἄλλων ἀψύχων, γινόμενον παρὰ τὸ κύπτειν κατὰ τοὺς παλαιοὺς ἢ καὶ παρὰ τὸ κρύπτειν. (v. 422) καὶ ὅτι κῦμα θαλάσσης ἔφη πρὸς διαστολὴν οὐ μόνον λίμνης ἀλλὰ καὶ ποταμοῦ. ἐγείρει γὰρ καὶ αὐτὸς κύματα, ἐξ ὧν κυματίης ὁ τοῦτο πάσχων λέγεται. (v. 426) Καὶ ὅτι ἐφερμηνεύων καὶ ἐνταῦθα συνήθως ἑαυτὸν ὁ ποιητὴς ἐπήγαγεν εἰς δήλωσιν τοῦ κορύσσεται τὸ κορυφοῦται. οὐκ ἄρα ἐπὶ μόνων ὅπλων τὸ κορύσσεσθαι. οὕτω δὲ καὶ μετ' ὀλίγα ὕδωρ εἰπὼν συμβάλλειν εἰς μισγάγκειαν ἐπάγει ἑρμηνευτικῶς τὸ «κοίλης ἔντοσθε χαράδρης». ἔστι γὰρ ἡ μισγάγκεια κοίλη χαράδρα. (v. 425) Ὁμοίως δὲ καὶ τὸ «χέρσῳ ῥηγνύμενον» ἐφερμηνευτικόν ἐστι τοῦ «ἐν αἰγιαλῷ πολυηχέϊ ὄρνυται». καὶ ἐν τοῖς ἑξῆς δὲ εἰπών, ὡς ἔβαλέ τις δουρὶ κόρσην, ἐπάγει διασαφητικῶς «αἰχμὴ δὲ διὰ κροτάφου ἐπέρησε», καὶ οὐχ' ἁπλῶς, ἀλλὰ διὰ κροτάφου ἑτέρου, ὡς ταὐτὸν ὂν κόρσην εἰπεῖν καὶ κρόταφον. τὸ γὰρ ἕτερος ὡρισμένης καὶ ἀντιζυγούσης δυάδος δηλοῖ τὸ ἕν. εἰπὼν οὖν «ἔβαλε δουρὶ κόρσην» ὤφειλεν εἰπεῖν «αἰχμὴ δὲ δι' ἑτέρας κόρσης ἐπέρησεν». ἐπεὶ δὲ οὐκ εἶπεν οὕτως ἀλλ', ὅτι δι' ἑτέρου κροτάφου ἐπέρησε, ταὐτὸν ἄρα κόρση καὶ κρόταφος, ὃν καὶ ἐκ τῆς κόρσης ἐτυμολογοῦσί τινες, οἳ μεταθέντες τὸ ῥῶ ποιοῦσι κρόσην, εἶτα ἐξ αὐτῆς παράγουσι διὰ τοῦ α καὶ φ διεξοδικώτερον τὸν κρόταφον, ἵνα εἴη κρόσαφος καὶ Ἀττικῶς κρόταφος. Ὅτι δὲ καὶ τοιαῦται γίνονται παραγωγαί, ἤγουν διὰ τοῦ α καὶ φ , δηλοῖ καὶ τὸ χρυσάφιον ἐκ τοῦ χρυσός παραχθέν, ὥσπερ καὶ ἀπὸ τοῦ ξύλου τὸ ξυλάφιον, [καὶ ἔδος ἐδάφιον.

1.780 ] ἀπὸ δέ γε τῆς κόρσης γίνεται καὶ ἡ κόρρη τροπῇ τοῦ ς εἰς ρ , ὁμοίως τῷ πυρσός πυρρός, ταρσός ταρρός. καὶ τὸ κατὰ κόρρης δὲ τύψαι τινὰ τὸ κατὰ κόρσης ἤτοι κροτάφου ἐστί. παρὰ Ἀττικοῖς δὲ κόρρη ἡ γνάθος. Ἀριστοτέλης δὲ κρόταφόν φησι τὸ μεταξὺ ὀφθαλμοῦ ὠτὸς καὶ κορυφῆς. ὅτι δὲ καὶ ἀπὸ τοῦ κηρύσσειν τάφον ἐτυμολογεῖται, δηλοῦσιν οἱ παλαιοί. συντελεῖ δὲ εἰς τοῦτο καὶ Θεόκριτος εἰπών· «ἀπὸ κροτάφων πελόμεθα πάντες γηραλέοι καὶ ἐπισχερώ», ἤτοι κατὰ τάξιν καὶ ἐφεξῆς, «ἐς γένυν ἕρπει λευκαίνων ὁ χρόνος». [(v. 424 s.) Ἔτι ἰστέον καί, ὅτι πόντον μὲν κἀνταῦθα συνήθως ἔφη τὸ τῆς θαλάσσης πελαγίζον, (οὗ καταπνεομένου ἀνέμοις, ὅθεν καὶ πόντος λέγεται ὡς οἷά τις πνότος, κυρτοῦνται κύματα κορυσσόμενα καὶ ἔξω ἐλαύνονται,) χέρσον δὲ τὸν ἀνωτέρω αἰγιαλόν. καὶ ὅτι τὸ ῥηγνύμενον τὸν ῥηγμῖνα παράγει. δῆλον γάρ, ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥηγμὶν αἰγιαλώδης ἐστὶ περὶ ὃν κύματα ῥήγνυνται, καὶ ὅτι τὸ βρέμει προσαρμόττον καὶ πυρὶ καὶ ἀνέμοις ἰδοὺ κεῖται καὶ ἐπὶ κύματος. τροπικῶς δέ ποτε καὶ ὁ ἀλαζὼν καὶ ὁ ἀπειλητὴρ βαρὺ βρέμειν λέγονται. καὶ ὅτι ἄκρας τὰ ἀκρωτήρια λέγει, ἐν οἷς μάλιστα βρέμει τὰ κύματα.] (v. 429—31) Ὅτι πλάττων ὁ ποιητὴς ἐνταῦθα τοὺς ἡγεμόνας κελεύοντας τοῖς ἑαυτῶν—φησὶ γάρ· «κέλευε δὲ οἷσιν», ἤγουν ἰδίοις, «ἕκαστος ἡγεμόνων»—παρεμφαίνει χρῆναι καὶ εὐρυβόας εἶναι τοὺς στρατηγοὺς καί, ὡς αὐτός που λέγει, βοὴν ἀγαθοὺς καὶ μάλιστα, ὅτε συρρήγνυται πόλεμος. Εἶτα ἐπαινῶν εἰς εὐταξίαν τοὺς Ἀχαιούς, ὡς καὶ πρὸ τούτων, σιγῇ προϊέναι αὐτούς φησιν εἰς μάχην, οὐ κατεπτηχότας, ἀλλὰ δι' εὐλάβειαν. φησὶ γάρ· «οἱ δ' ἄλλοι ἀκὴν ἴσαν», ὅ ἐστιν ἐπορεύοντο, «οὐδέ κε φαίης τόσσον λαὸν ἕπεσθαι ἔχοντα ἐν στήθεσιν αὐδήν, σιγῇ δειδιότες σημάντορας». καὶ εἰκότως· εἰ γὰρ μὴ αὐτοὶ ἐσίγων, οὐκ ἂν εἶχον ἄλλως ἀκριβῶς ἀκούειν, ὧν οἱ ἡγεμόνες ἐκέλευον. καὶ σημείωσαι, ὅπως διεσάφησε τὴν σιγήν. οὕτω γὰρ σιγῶσιν, ὥστε δοκεῖν ἄφωνοι εἶναι. [(v. 429) Ἔστι δὲ τὸ μὲν ἴσαν στυγητὸν πεζῷ λογογράφῳ.

1.781 ποῦ γὰρ παρὰ τοῖς τοιούτοις τὸ ἴω, ἴσω, ἐξ ὧν ἀόριστος ἴσα, οὗ τὸ τρίτον πληθυντικὸν ἴσαν, εἰ καὶ ποιηταῖς τὸ τοιοῦτον ᾠκείωται λεξείδιον.] (v. 431) Τὸ δὲ σιγῇ ἑρμηνεία τοῦ ἀκήν. τὸ δὲ σχῆμα τῆς ἐννοίας ὑπερβατόν. λέγει γάρ, ὅτι ἀκὴν ἴσαν σιγῇ δειδιότες σημάντορας, οἳ νῦν μὲν ὡς κελεύοντες, εἴτ' οὖν σημαίνοντες, σημάντορες εἴρηνται, ὅτε δὲ καὶ τάσσουσι τὸν στρατὸν εὐκόσμως, κοσμήτορες λέγονται. (v. 429) Τὸ δέ «οὐδέ κε φαίης» οὐκ ἔστι κατὰ τὸ «οὐδέ κε φαίης ἀνδρὶ μαχεσσάμενον ἐλθεῖν», ἀλλ' ἑτεροῖον. ἐκεῖνο μὲν γὰρ Ἀφροδίτη ἔφη πρὸς τὴν Ἑλένην, τὸ δ' ἐνταῦθα ἡ ἀείδειν προκληθεῖσα Μοῦσα τῷ προκαλεσαμένῳ ποιητῇ λαλεῖ. καὶ ἄλλως δέ γε ὁ ποιητὴς ἀποστρέφει τὸν λόγον πρὸς τὸν ἀκροᾶσθαι αὐτοῦ λαχόντα. (v. 431) Ὅρα δὲ τὸ δειδιότες παιδευτικὸν ὂν τοῦ χρῆναι καὶ δέος ὑπεῖναι τοῖς ἀρχομένοις, ἵνα καὶ σῴζοιντο οὕτω κατὰ τὸν τραγικόν. [Τοῦ δὲ σιγῇ ἀναλόγως δοκεῖ ἐκτετάσθαι ἡ παραλήγουσα ὡς ἐκ τοῦ σέσιγα μέσου παρακειμένου, οὗ θέμα τὸ σίζω κείμενον ἐν Ὀδυσσείᾳ. εἰ δὲ καὶ ὁ τοῦ αὐτοῦ θέματος ἐνεργητικὸς παρακείμενος ὁ σέσιχα παράγει τὸ σιχός, ὁ ἀπόπτυστος, καὶ πλεονασμῷ τοῦ κάππα σικχός, κατὰ τὸ βάζω βέβαχα βάχος καὶ βάκχος, εἴη ἂν καὶ αὐτὸ εὔλογον. Δῆλον δ' ὅτι ἐκ τοῦ σικχός καὶ ῥῆμά ἐστι σικχάζω.] (v. 431 s.) Ὅτι ἐν ἄλλοις μὲν ἡ τῶν πολεμικῶν ὅπλων λαμπρότης πλείονος λόγου ὕλη γίνεται τῷ ποιητῇ, ἐνταῦθα δέ, οὕτω δόξαν αὐτῷ, ἀρκεῖται περὶ τῶν Ἀχαιῶν εἰπὼν μόνον τὸ «ἀμφὶ δὲ πᾶσι τεύχεα ποικίλα ἔλαμπεν». (v. 433—6) Ὅτι σεμνύνας τοὺς Ἕλληνας ἐπὶ εὐταξίᾳ διὰ τὴν ῥηθεῖσαν σιγὴν εὐθὺς ἐκ τοῦ ἐναντίου ὑπογράφει τὸν κατὰ Τρῶας πολὺν θόρυβον παραβολικῶς, οὐ κατὰ γεράνους, ὡς πρὸ τούτων, ἀλλὰ κατὰ συχνὰ ποίμνια γινόμενον, εἰπών· «Τρῶες δ' ὥς τ' ὄϊες πολυπάμμονος ἀνδρὸς ἐν αὐλῇ μυρίαι ἑστήκωσιν ἀμελγόμεναι γάλα λευκόν, ἀζηχές», ὅ ἐστι συνεχές, «μεμακυῖαι, ἀκούουσαι ὄπα ἀρνῶν», ὃ δὴ καὶ αἴτιον αὐταῖς τοῦ πολλὰ μηκᾶσθαι, «ὣς Τρώων ἀλαλητὸς ἀνὰ στρατὸν εὐρὺν ὀρώρει». ἴσως δὲ τῷ ὀνόματι τῶν οἴων καὶ τῶν ἀρνῶν καὶ τὰς αἶγας νῦν καὶ τοὺς ἐρίφους συννοητέον. Ὅρα δέ, ὅτι τε ἀγροικικὴν ἡ παραβολὴ ὡς ἐκ παρέργου περιέχει ἱστορίαν καὶ ὅτι ἀκαταλλήλως ἐν αὐτῇ ἔχει πρὸς τὴν ἀπόδοσιν ἡ σύνταξις τῆς ἀρχῆς.

1.782 ἄρχεται μὲν γὰρ κατὰ εὐθεῖαν, ἀποδίδοται δὲ κατὰ γενικήν, οἷον· Τρῶες δὲ ὡς ὄϊες μηκῶνται, οὕτω Τρώων ἀλαλητὸς ὀρώρει, ὡς δῆθεν ταὐτὸν ὂν Τρῶες εἰπεῖν καὶ Τρώων ἀλαλητός. τινὲς δὲ ἀσύντακτον μεῖναί φασι τὸ «Τρῶες δὲ ὥστ' ὄϊες». οὐ γὰρ ἔχει ἀπόδοσιν. καὶ ἔστιν οὕτω πάνυ καινοπρεπὲς τὸ σχῆμα. ἠδύνατο μὲν γὰρ ὁ ποιητὴς συνήθως ἀποδοῦναι τὴν παραβολήν, ὡς καὶ ἤρξατο, καὶ εἰπεῖν ἐν τῇ ἀποδόσει, ὅτι ὧς Τρῶες ἐποίουν τάδε τινά, ἢ καὶ ἄλλως γράψαι κατὰ τὴν ἀρχὴν «Τρώων δὲ ὥστ' ὄϊες» καὶ ἑξῆς, ἵνα ἦν ὁμοιόπτωτος τῇ ἀποδόσει καὶ ἡ ἀρχή. ὁ δὲ οὐκ ἠθέλησεν, ἀλλὰ οἷον συνεβαρβάρισε καὶ αὐτὸς τῷ Τρωϊκῷ ἀλαλητῷ. (v. 433) Πολυπάμμονα δὲ τὸν πολυκτήμονα λέγει. πάμματα γὰρ παρὰ Δωριεῦσι τὰ κτήματα καὶ πάσασθαι τὸ κτήσασθαι, ὅθεν καὶ τὸ πῶϋ καὶ πηός, ὁ κτητὸς ἐξ ἀγχιστείας συγγενής. Σκοπητέον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δέ, εἰ Δώριον τὸ πάμμα καὶ ὁ πολυπάμμων, πῶς ἐν αὐτοῖς διπλάζεται τὸ ἀμετάβολον. οὐ γὰρ Δωριέων τοῦτο, παρ’ οἷς τὸ σχῆμα καὶ βῆμα σχᾶμα καὶ βᾶμα λεγόμενα οὐ διπλάζουσι τὸ μῦ. ἴσως οὖν καὶ Αἰολέων τὰ ῥηθέντα εἰσίν, ὑφ’ ὧν διπλοῦνται τὰ σύμφωνα παρὰ τὴν πολλὴν συνήθειαν. ὅτι δὲ καὶ οἱ χωριτικώτεροι τῶν ἄρτι κτήματά φασι τὰ τετράποδα, οἴδασιν οἱ ὁμιλοῦντες αὐτοῖς. (v. 435) Τὸ δὲ ἀζηχές ἐκ τοῦ ἀδιεχές γίνεται, ὃ ἐναντίον ἐστὶ τῷ συνεχεῖ, ἀποβολῇ τοῦ ι καὶ τροπῇ συνήθει τοῦ δ εἰς ζ καὶ τοῦ ε εἰς η , ὡς δηλοῦται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Τὸ δὲ μεμακυῖαι γίνεται μὲν ἀπὸ τοῦ μηκῶ μηκήσω, δοκεῖ δὲ συγκεκόφθαι ἀπὸ τοῦ ἐκεῖθεν γινομένου δυσεκφωνήτου παρακειμένου. Ἰστέον δέ, ὡς Ὁμήρου ἐπὶ ὀΐων τιθέντος τὴν τοιαύτην λέξιν, οἱ μεθ’ Ὅμηρον ἐπὶ αἰγῶν μὲν εἵλοντο λέγειν τὸ μηκᾶσθαι, ταῖς οἰσὶ δὲ ἀπεκλήρωσαν τὸ βληχᾶσθαι. εἴποι δ’ ἄν τις καί, ὅτι φαίνεται κατὰ σχῆμα συντομίας ἐνταῦθα ῥηθῆναι τὸ μηκᾶσθαι εἰς δεῖγμα τοῦ καὶ τὰς αἶγας νῦν συνεπινοεῖσθαι καὶ τοὺς ἐξ αὐτῶν ἐρίφους διὰ τὸ δοκεῖν τὸ μηκᾶσθαι ἐπὶ αἰγῶν κυριολεκτεῖσθαι, ὡς εἴρηται, ἵνα ᾖ ὅμοιον τῷ «ἵπποι βουκολοῦνται». ὡς γὰρ ἂν τοῦτο συμβιβάζοιτο εἰς νοῦν, οὕτω καὶ τὸ «ὄϊς μηκῶνται». (v. 436) Ὁ δὲ πολλαχοῦ δηλούμενος ἀλαλητός προσεταιρίζεται καὶ τὴν τραγῳδικὴν ἀλαλήν, οἷον «ἀλαλαῖς αἰαγμάτων». ἴσως δὲ ἀπ’ αὐτῆς τὸ ἀλαλάζειν καὶ ὁ ἐκεῖθεν ἀλαλαγμός. Τὸ δέ «ἀνὰ στρατὸν εὐρύν» αἰτιολογεῖ τὸν πολὺν Τρωϊκὸν ἀλαλητόν. ὁ γὰρ πολὺς στρατὸς ἀκόσμως ἔχων καὶ πολὺν ἀπετέλει θόρυβον, οὗ τὴν αἰτίαν ἀριδηλότερον ὁ ποιητὴς ἀποδιδούς φησι· (v.
1.783 437 s.) «Οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ’ ἴα γῆρυς, ἀλλὰ γλῶσσ’ ἐμέμικτο, πολύκλητοι δ’ ἔσαν ἄνδρες», ἤγουν ἐκ πολλῶν συγκληθέντες γλωσσῶν. οἱ γὰρ Ἕλληνες ὡς ὁμόγλωσσοι, οὐ πολύκλητοι, βραχύ τι κατὰ τὰς διαλέκτους διαφέροντες καὶ οὐδὲ τοῖς τόποις πολυσπερέες καὶ πάνυ μακρὰν διεστῶτες. Τοῦ δὲ θρόος προϋπόκειται ῥῆμα τὸ θρέω, ἤγουν σὺν θορύβῳ βοῶ ἢ λαλῶ, οἷον «πάθεα θρεομένης» καὶ «θρεομένη σαυτῇ κακά». ἐκ δὲ τοῦ θρόος συνῄρηται ὁ θροῦς, ἐξ αὐτῶν δὲ ὁ ἀθρόος καὶ ὁ ἄθρους. Τὸ δέ «γλῶσσ’ ἐμέμικτο» ἢ πληθυντικῶς νοητέον ἀντὶ τοῦ γλῶσσαι πολλαὶ μεμιγμέναι ἦσαν, ὡς τῆς αι διφθόγγου ἐκθλιβείσης, ἵνα ᾖ τὸ πλῆρες, ὅτι γλῶσσαι ἐμέμικτο, ὁποῖον ἀλλαχοῦ τὸ «κνῆμαι παλάσσετο» ἑνικοῦ ῥήματος ἐπαγομένου πληθυντικῷ ὀνόματι, ᾧ δὴ σχήματι πλεονάζει μάλιστα ὁ Πίνδαρος, ἢ καὶ ἄλλως λόγῳ προσηγορίας ἑνικῶς ῥητέον «γλῶσσα ἐμέμικτο», καθὰ δηλοῖ Ὅμηρος τὸ τοιοῦτον νόημα παραφράζων ἐν τῇ Βοιωτίᾳ, ἔνθα φησὶν οὕτω· «πολλοὶ γὰρ κατὰ ἄστυ μέγα Πριάμου ἐπίκουροι, ἄλλη δ’ ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων». οἷος δὲ ὁ θροῦς τῶν διαφόρων γλωσσῶν, ἴσασιν οἱ πεπειραμένοι, παρ’ οἷς ἔγνωσται καὶ ὡς τὸ τῶν ὁμογλώσσων ἀνάρμοστον, ὅτε διαφόροις μερίζονται γνώμαις, παραβολῆς δέεται Ὁμηρικῆς παριστώσης ἐναργῶς, ἡλίκον κλάζουσιν. Ἐνταῦθα δὲ νοητέον καί, ὅτι, κἂν ὁ ποιητὴς σιωπᾷ, ὅμως τὸ πρᾶγμα νοεῖν δίδωσιν, ὡς οἱ Τρῶες ἐν τῷ δημηγορεῖν ὑποβολεῦσιν ἐχρῶντο, ὅ ἐστιν ἑρμηνεῦσιν. οὐ γὰρ αἱ, ὡς ἐρρέθη, μεμιγμέναι γλῶσσαι συνιέναι ἄλλως εἶχον τῆς τοῦ Ἕκτορος τυχὸν ἢ Ἀντήνορος ἐν κοινῷ δημηγορίας. (v. 439) Ὅτι τοὺς μὲν Ἕλληνας Ἀθηνᾶ ὀτρύνει εἰς μάχην, Ἄρης δὲ τοὺς Τρῶας, θυμὸς δηλαδὴ ἄλογος. προϊὼν δὲ λέγει, ὅτι καὶ Ἀπόλλων ἐρεθίζει τοὺς Τρῶας. πρὸς αὐτῶν γὰρ ἦν ἔτι τὸ εἱμαρμένον, οὗπέρ ἐστι δηλωτικὸς ὁ Ἀπόλλων, ὡς πολλαχοῦ φαίνεται. (v. 440 s.) Συμπαραμίγνυσι δὲ Ὅμηρος τῷ Ἄρει καὶ τῇ Ἀθηνᾷ τόν τε Δεῖμον τόν τε Φόβον, κακὰ δὴ ταῦτα πολέμῳ φίλα, ἔτι δὲ καὶ τὴν Ἔριν, ἧς ἄνευ οὐκ ἄν ποτε συσταίη πόλεμος. φησὶ γάρ· «Δεῖμός τ’ ἠδὲ Φόβος καὶ Ἔρις ἄμοτον μεμαυῖα, Ἄρεος ἀνδροφόνοιο κασιγνήτη ἑτάρη τε». [(v. 440) Ἰστέον δέ, ὅτι, καθὰ ὁ φίλος καὶ ὁ δαήρ καὶ ἄλλα διάφορα, οὕτω καὶ ὁ Ἄρης ἀλογίστῳ συστολῇ κατὰ τοὺς παλαιοὺς ὑποπίπτει, ὡς δῆλον μάλιστα ἐκ τοῦ «Ἆρες Ἄρες βροτολοιγέ», ὃ καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται.
1.784 ] καὶ ὅτι, εἰ καί τινες ἵππους Ἄρεος τὸν Δεῖμόν φασι καὶ τὸν Φόβον, ἀλλ’ ἐνταῦθα θεράποντες αὐτοὶ καὶ ὀπαδοὶ φαίνονται Ἄρεος. ἔστι δὲ δεῖμος μὲν τὸ δεδιέναι, φόβος δὲ ἡ φυγή. Ἄμοτον δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι τὸ τέλειον λέγεται καὶ πλῆρες ὡς ἐκ μεταφορᾶς τραυμάτων μηκέτι δεομένων μότου, πολλαχοῦ περιλαλεῖται. (v. 441—5) Ὅτι τὴν Ἔριν, ἣν κασιγνήτην Ἄρεος ἔφη καὶ ἑταίραν τά τε ἄλλα καί, διότι δὲ ὡς τὰ πολλὰ ἡ Ἔρις ἐπιταθεῖσα εἰς πόλεμον καταστρέφει, πλάττει καὶ ὡς δαιμόνιόν τι τεράστιον, λέγων ὡς «ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα» προσαυξανομένη «οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει». Αἰνίττεται δὲ διὰ τούτων τὸ τῆς ἔριδος ἴδιον. μικρᾶς γὰρ πολλάκις εἰς ἔριν προϋπαρξάσης αἰτίας, ἀκρίδος τυχὸν ἢ πέρδικος κατὰ τὰς ἱστορίας (γυναικὸς γὰρ εἰπεῖν ἢ τοιούτου τινὸς πλείων ὁ λόγος) μέγιστος ἐκεῖθεν ἐκκορυφοῦται αὐξόμενος πόλεμος καί, κατὰ τὸν ποιητὴν εἰπεῖν, «ὀφέλλει στόνον ἀνδρῶν», ὅτε δὴ οἱ μὲν μαχόμενοι ἐπὶ γῆς εἰσιν, ἡ βοὴ δὲ οὐρανὸν ἶκεν. ὁ γοῦν Τρωϊκὸς πόλεμος ἀφορμὴν μὲν ἔχει μικράν, τὴν Ἑλένην, αὐτὸς δὲ ἡλίκος γέγονεν, οὐδεὶς ἀγνοεῖ. (v. 441) Τὸ δέ «κασιγνήτη ἑτάρη τε» διδάσκει μὴ ἀεὶ τοὺς ἀδελφοὺς ἐξ ἀνάγκης καὶ φίλους εἶναι. ἐπίτασις γοῦν ἀδελφικῆς φιλίας καὶ ὁμονοίας τὸ ἑταῖρος. (v. 443) Τὸ δέ «οὐρανῷ ἐστήριξε κάρη» στρυφνῶς πέφρασται ἀντὶ τοῦ «ἕως εἰς οὐρανὸν ἐλθοῦσα οὐ δύναται ὑπεραναβῆναι». Ἰστέον δέ, ὅτι Ὅμηρος μὲν εἰπών, ὡς Ἔρις οὐρανῷ ἐστήριξε κάρη, ἐντελῶς ἅμα καὶ ἀσφαλῶς ἔφρασεν. Εὐριπίδης δὲ ἐν τῷ «κῦμα οὐρανῷ στηρίζον» ὑπερβολικῶς τε ἔφη κατὰ ἀφέλειαν τοῦ λαλοῦντος προσώπου καὶ οὐδὲ ἀνελλιπῶς, εἰ μή τις τὸ στηρίζον ἀντὶ τοῦ ἐγγίζον εἴπῃ καὶ στηριζόμενον. [Δῆλον δ’ ὅτι ἡ Ἔρις οὐρανῷ στηρίζει κάρη ἤ, ὅτε ἡ κατ’ αὐτὴν ἀϋτὴ οὐρανὸν ἵκει καθ’ Ὅμηρον, ἢ καὶ ἄλλως ἀλληγορικῶς οἱ ἐρίζοντες εἰς οὐρανὸν ἀφορῶσι καὶ τὰς ἐκεῖ διοσημίας ἐπισκοποῦνται καὶ τὰ ἐκ Διὸς τέρατα.

1.785 ] (v. 444) Ὅτι τὸ ἔργον τῆς εἰρημένης κατὰ πόλεμον Ἔριδος ὑποδηλῶν φησιν· «ἣ καὶ τότε νεῖκος ὁμοίϊον ἔμβαλε μέσσῳ ἐρχομένη καθ’ ὅμιλον, ὀφέλλουσα στόνον ἀνδρῶν». ὅτι δὲ τὸ ὁμοίϊον ἐπὶ κακοῦ κεῖται, προγέγραπται. (v. 446—51) Ὅτι ἐκφράζων ὁ ποιητὴς συμβολὴν πολέμου λέγει· «οἳ δ’ ὅτε δὴ ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο, σύν ῥ’ ἔβαλον ῥινούς, σὺν δ’ ἔγχεα καὶ μένε’ ἀνδρῶν χαλκεοθωρήκων, ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι ἔπληντ’ ἀλλήλῃσι, πολὺς δ’ ὀρυμαγδὸς ὀρώρει. ἔνθα δ’ ἅμ’ οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν ὀλλύντων τε καὶ ὀλλυμένων», ὃ καὶ ἀλλαχοῦ κεῖται, «ῥέε δ’ αἵματι γαῖα», ἀντὶ τοῦ ἐρρέετο, ἢ καὶ ἄλλως, ἐνεργητικῶς πρὸς ὁμοιότητα τοῦ «ἔρρεε δακρύοις ὁ ὀφθαλμός», ὅπερ ἐν τῷ Περὶ προνοίας φησὶν Αἰλιανός. ἔχει δέ τι ὅμοιον τοῦτο καὶ πρὸς τὸ λέγειν ἀνακεχωρηκότα τόπον τὸν ἔρημον καὶ ἥσυχον. ὡς γὰρ τόπος ἀναχωρεῖν λέγεται, οὕτω καὶ γῆ ῥέειν, ἄμφω δηλαδὴ οὐ καθ’ αὑτό, ἀλλὰ δι’ ἕτερον. ἔτι δὲ ὁμοιοῦταί πως καὶ πρὸς τὸ κινεῖσθαι τὸ λήϊον ἀσταχύεσι καὶ φρίσσειν τὴν μάχην δόρασι. (v. 449) Σημείωσαι δέ, ὅτι τὸ «ἀσπίδες ἔπληντο ἀλλήλαις», τουτέστιν ἐπλησίασαν, ἐφερμηνευτικόν ἐστι τοῦ συνέβαλον ῥινούς. ἐκεῖνο γὰρ ἀσαφὲς ἦν, ἐκ δὲ τούτου ἐνάγεταί τις νοεῖν, ὅτι καὶ τὸ συνέβαλον ἔγχεα καὶ μένεα ἀνδρῶν τὴν ἐγγύτητα δηλοῖ τῶν ἐγχέων καὶ τῶν ἀνδρῶν, οἳ περὶ ἕνα τόπον, συνῆλθον. (v. 447) Μένεα γὰρ ἀνδρῶν νῦν οἱ ἄνδρες κατὰ περίφρασιν. ἐκ δὲ τοῦ συνέβαλον ἡ πολεμικὴ παρῆκται συμβολή. Ῥινοὺς δὲ τὰς ἀσπίδας εἶπεν ἐκ μέρους, ἐπεὶ οὐκ ἔστιν ἀσπὶς ῥινοῦ ἄνευ, ὅ ἐστι δέρματος, εἰ μὴ ἄρα τις τὰς πλεκτὰς ἢ τὰς λινέας ἢ τὴν τοῦ Ἀχιλλέως ἐρεῖ. [Ὅρα δέ, ὅτι ἐν μὲν τῷ «σύν ῥ’ ἔβαλον ῥινούς» ἀναγκαίως κεῖται ὁ ῥα σύνδεσμος, ἵνα ἡ κεφαλὴ οὕτω μηκυνθῇ τοῦ στίχου. ἐν δὲ τῷ πρὸ αὐτοῦ «οἳ δ’ ὅτε δή ῥ’ ἐς χῶρον» περιττῶς ἔπεσε διὰ μόνον φίλον τῷ ποιητῇ ῥοῖζον.] (v. 448) Τὸ δὲ χαλκεοθωρήκων ἔοικε πρὸς διαστολὴν ἑτεροίων τινῶν εἰρῆσθαι θωράκων, ὡς δῆλον καὶ ἐκ τῶν ἐν διαφόροις ἱστορίαις λινοθωράκων. Ὀμφαλοὶ δὲ ἀσπίδος βοῦλλαί τινες εἰς κόσμον ἐπικείμεναι καὶ μάλιστα περὶ τὸ μέσον, ὅθεν καὶ εἴρηνται καθ’ ὁμοιότητά τινα τοῦ ζωϊκοῦ ὀμφαλοῦ. (v. 449) Τὸ δὲ ὀρυμαγδός καὶ νῦν ἐν τῇ παραληγούσῃ ἔχει τὸ γ διὰ μέτρον.

1.786 ὡς ἐπὶ πολὺ μέντοι διὰ δακτύλου ἀπαρτισμὸν ἐν τῇ προπαραληγούσῃ τίθεται. ὠνοματοπεποίηται δὲ καὶ αὐτό. (v. 450) Εὐχωλὴ δὲ ἢ ἐντυχία πρὸς τὸ θεῖον ἢ μάλιστα, ὡς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προεγράφη, καύχημα, ὡς τῶν μὲν ὀλλυμένων οἰμωζόντων, τῶν δὲ ὀλλύντων ἐπικαυχωμένων τοῖς πίπτουσιν. Ἐν δὲ τῷ «οἰμωγή τε καὶ εὐχωλή» καὶ ἑξῆς, ὡς καὶ προδεδήλωται, ἦν μὲν ἂν κατὰ φύσιν ἡ σύνταξις, συγκειμένων τῶν ὀλλύντων μὲν τῇ εὐχῇ, τῶν ὀλλυμένων δὲ τῇ οἰμωγῇ. Ὅμηρος δὲ ἀλληνάλλως τάξας καινότερον ἔγραψεν, ἰδίᾳ μὲν θέμενος ὁμοῦ τὰ ὀνόματα, ἰδίᾳ δὲ τὰς μετοχάς, καὶ τῷ δευτέρῳ συνεχίσας τὴν οἰκείαν μετοχήν, εἶτα καὶ τὴν τοῦ πρώτου ἀποδεδωκώς, ὁποῖα καὶ ἄλλα πολλὰ εὕρηνται, ὡς ἐν τῇ γ′ ῥαψῳδίᾳ πλατύτερον παρεσημάνθη. τοιούτου δέ τινος τύπου καὶ τὸ «πικρία καὶ γλυκύτης μέλιτός τε καὶ ἀψινθίου». ἡ γὰρ γλυκύτης τῷ μέλιτι συγκειμένη συνεχῆ πως τὸν λόγον ποιεῖ. (v. 452—6) Ὅτι ἐπαινεῖται καὶ ἡ κατὰ τὴν μισγάγκειαν ἐνταῦθα παραβολὴ ἀφορμὴν μὲν σχοῦσα τὸ ἐς χῶρον ἕνα ξυνελθεῖν τοὺς πολεμίους καὶ συμβαλεῖν, ὡς ἐρρέθη, τοιαύτη δὲ οὖσα· «ὡς δ’ ὅτε χείμαρροι ποταμοὶ κατ’ ὄρεσφι ῥέοντες ἐς μισγάγκειαν συμβάλλετον ὄβριμον ὕδωρ κρουνῶν ἐκ μεγάλων κοίλης ἔντοσθε χαράδρης, τῶν δέ τε τηλόσε δοῦπον ἐν οὔρεσιν ἔκλυε ποιμήν, ὣς τῶν μισγομένων γένετ’ ἰαχή τε φόβος τε». καί φασιν οἱ παλαιοί, ὡς ἐπεὶ ὁ τοῦ πολέμου ὅμαδος ἦχός ἐστιν ἔχων ὅπλα κτυποῦντα, ἀλαλαγμοὺς ἀνδρῶν, ἵππων φριμαγμούς, βοάς, εὐχάς, οἰμωγάς, εἰκότως καὶ ταύτην οὕτω τὴν παραβολὴν διεσκεύασεν ὁ ποιητὴς τραχύνων αὐτὴν ὀνοματοποιΐαις καὶ συναπειλῶν τῷ ῥεύματι. διὰ τοῦτο οὐδὲ ἀένναον παρείληφε ποταμόν, ἀλλὰ χείμαρρον διὰ τὸ τραχύτερον τῆς βοῆς. (v. 452) Ἰστέον δέ, ὅτι γενικὸν μὲν ὄνομα τὸ ποταμοί, εἰδικὸν δὲ τὸ χείμαρροι, καὶ ὅτι τὸ χείμαρροι, ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται, Πτολεμαῖος μὲν ὁ Ἀσκαλωνίτης παροξύνει ὡς ἀπὸ τοῦ χειμάρρους, ἵνα φέρῃ τὸν τόνον τῆς ἑνικῆς εὐθείας, Νικίας δὲ προπαροξύνει πιθανώτερον ἐκ τοῦ χειμάρροος, ἵνα ἔχῃ συγκοπὴν ἐκ τοῦ χειμάρροοι. λέγουσι δὲ ἐκεῖνοι, ὅτι Ὅμηρος τὰ τοιαῦτα ἑνικὸν ἐντελέστερον οἶδε προφερόμενα, οἷον «Ἑλλήσποντος ἀγάρροος» καὶ «στήῃ ἐπ’ ὠκυρρόῳ ποταμῷ» καὶ «ἐς ποταμὸν εἰλεῦντα βαθύρροον». σπανίως δὲ καὶ τὸ συνηλειμμένον «χειμάρρους κατ’ ὄρεσφι» καὶ «πλήθοντι ἐοικὼς χειμάρρῳ».

1.787 τὸ μέντοι ἁπλοῦν ἀεὶ ἐντελῶς· «ὦθει δ’ ἐν σάκεϊ πίπτων ῥόος». [καὶ τοιαῦτα μὲν αὐτοί. Ὁ δὲ Ἡρωδιανὸς ἑτεροῖόν τι λέγει, ἐν οἷς φησιν, ὅτι χειμάρρους ῥητέον σὺν τῷ υ , ἀλλ’ οὐχ’ ὥς τινες χείμαρρος. τὰ γὰρ εἰς ους ἁπλᾶ κατὰ τὴν σύνταξιν φυλάσσει τὸ υ , οἷον νοῦς σύννους, ὁδοὺς τριόδους, ποὺς τρίπους. οὕτω γοῦν καὶ ῥοὺς χειμάρρους. Ὅμηρος «χειμάρρους κατ’ ὄρεσφι». καὶ πάλιν· χειμάρροοι, ἀλλ’ οὐ χείμαρροι, ὡς οἱ πολλοί φασιν. ὡς γὰρ ἀπὸ τοῦ Ἀλκίνους Ἀλκίνοοι, οὕτω καὶ ἀπὸ τοῦ χειμάρρους χειμάρροοι.] Ἰστέον δὲ καί, ὅτι ἀπὸ τοῦ πλεονάζοντος λέγεται ὁ χείμαρρος. κἂν γὰρ μὴ ἐν χειμῶνι ῥέῃ, ὅμως χείμαρρος καλεῖται, ὡς τὰ πολλὰ ἐν καιρῷ χείματος ῥέων. καὶ ὅτι, ὁπηνίκα λέγομεν χείμαρρον, ἐλλιπῶς λέγομεν. τὸ γὰρ τέλειον ποταμὸς χείμαρρος. Ὅτι δὲ τὸ χειμάρρους ἐντελέστερόν ἐστι τοῦ χείμαρρος, δηλοῖ καὶ Ἡρωδιανὸς εἰπὼν τὰ προσεχῶς εἰρημένα. δῆλον δ’ ὅτι χειμάρρους ποτὲ καὶ ὁ τόπος λέγεται, κἂν ξηρὸς ᾖ, ὁ σχών ποτε τοιοῦτον ποταμόν. δύο δὲ χείμαρροι ἐνταῦθα λαμβάνονται πρὸς ὁμοιότητα τῶν δύο στρατευμάτων, ὡς δῆλον ἐκ τοῦ συμβάλλετον, δυϊκοῦ ῥήματος. Τὸ δέ «κατ’ ὄρεσφι ῥέοντες» τὸ πολὺ διασαφεῖ τῆς ἰαχῆς τῶν στρατευμάτων. πάντως γὰρ πλείων ἦχος ὁ τῶν ἐξ ὄρους καταρρεόντων χειμάρρων ἤπερ ὁ τῶν διὰ πεδιάδος τρεχόντων. οὕτω δὲ καὶ τὸ «κρουνῶν ἐκ μεγάλων» ἔνδειξιν ἔχει τῆς κατὰ τὴν ῥηθεῖσαν μισγάγκειαν πολλῆς ἰαχῆς. τοιαύτη γὰρ εἴη ἂν ἡ μὴ ἐκ μικρῶν κρουνῶν, ἀλλ’ ἀνάπαλιν, οἳ γίνονται παρὰ τὸ κρότῳ ἢ κρουσμῷ νάειν ἤγουν ῥέειν. (v. 453) Ἄγκος δὲ διὰ τοῦ κ ὁ βαθὺς καὶ φαραγγώδης καὶ κοῖλος τόπος παρὰ τὸ ἀνακεῖσθαι. τὸ γὰρ ὑψηλὸν οὐκ ἀνάκειται ὑπτιάζον, ἀλλ’ ὑπερανίσταται. ὅθεν ἑρμηνεύων ὁ ποιητὴς ἐπάγει· «κοίλης ἔντοσθε χαράδρης». ἐὰν δὲ εἰς τοιοῦτον ἄγκος πολλὰ συμβάλλωσιν ὕδατα, μισγάγκεια τὸ τοιοῦτον λέγεται.

1.788

Ὠνοματοπεποίηται δὲ οὐ μόνον τὸ ῥέειν καὶ ὁ κρουνός καὶ ὁ δοῦπος καὶ τὸ ὄβριμον [καὶ τὸ χαράσσειν, ἐξ οὗ καὶ ἡ χαράδρα, ἴσως δὲ καὶ ὁ χαραδριός,] ἀλλὰ καὶ τὸ μίσγεσθαι, ὃ λέγεται κυρίως ἐπὶ ὑδάτων. ὅθεν καὶ μισγάγκεια ἡ τούτων σύρροια, ὥσπερ ἐπὶ στρατοῦ κυριολεκτεῖται τὸ συμβάλλειν καὶ τὸ ἐξ αὐτοῦ ὄνομα ἡ συμβολή, εἰ καὶ Ὅμηρος ἐνήλλαξεν αὐτά, ἐπὶ μὲν χειμάρρων εἰπών· «ἐς μισγάγκειαν συμβάλλετον ὕδωρ», ἐπὶ δὲ ἀνδρῶν «ὣς τῶν μισγομένων», ποιήσας οὕτως, ἵνα δείξῃ τὴν τῶν παραβολῶν πολλὴν ὁμοιότητα. Ὅτι δὲ τὸ συμβάλλειν κυρία λέξις ἐστὶν ἐπὶ ὑδάτων μίξεως, δηλοῦσι μέχρι καὶ νῦν πολλοὶ τῶν πάλαι ποτὲ σοφῶν Ἑλλήνων, παρ' οἷς ἡ τῶν ὑδάτων σύρροια συμβολὴ λέγεται, βαρβαριζομένη μὲν [κατ' ἐκείνους εἰπεῖν εἰς σουβάλλαν,] παραλαλοῦσα δὲ καὶ οὕτως, ὃ βούλεται. Ὅρα δὲ καί, ὅτι τὸ ὄβριμον καὶ ἐπὶ ὕδατος τίθεται, ὡς καὶ ἐπὶ ἔγχους, καὶ ὅτι τὸ ὕδωρ καὶ ἐνταῦθα ἐκτείνει τὸ δίχρονον, ἀλλαχοῦ δὲ καὶ συστέλλεται, (v. 454) καὶ ὅτι κρουνοὶ αἱ τῶν χειμάρρων ἀρχαί, ὥσπερ πηγαὶ αἱ τῶν ἀεννάων, καὶ ὅτι χαράδρα κυρίως ἐπὶ χειμάρρου, ὃς ῥέων χαράττει δραστηρίως τὴν γῆν, ἐπὶ δὲ ἀεννάου ἴσως οὐ πάνυ κυριολεκτηθήσεται, καὶ ὅτι μυριαχοῦ ὁ ποιητὴς εἰωθὼς περιττά τινα πολυμαθίας χάριν ἐμβάλλειν ταῖς παραβολαῖς, τοῦτο καὶ ἐνταῦθα πεποίηκεν (v. 455) εἰπών, ὅτι τῶν χειμάρρων τηλόσε δοῦπον ἔκλυε ποιμήν. τοῦτο γὰρ περιττῶς οὕτω παρέρριπται εἰς οὐδὲν ἄλλο χρήσιμον ὂν τῇ παραβολῇ ἀλλ' ἢ μόνον εἰς τὸ διδάξαι, ὡς τὰ τοιαῦτα τοῖς ποιμέσι μάλιστά εἰσι γνώριμα, οὐ τοῖς ἀστικοῖς. τῷ δὲ τοῦ ποιμένος νῦν ὀνόματι ἔστι καὶ τὸν αἰπόλον συννοεῖν, εἰ μὴ ἄρα τις εἴποι, ὅτι ποιμένων μὲν τὰ κοῖλα, αἰπόλων δὲ τὰ ὑψηλά. συνεισάγεται δὲ καὶ συφορβός, εἴγε χείμαρρος καὶ αὐτόν ποτε παρασύρων φθείρει, ὡς ἀλλαχοῦ ἐρεῖ ἡ ποίησις. (v. 456) Ἐν δὲ τῷ «ἰαχή τε φόβος τε» δοκεῖ παρέλκειν ἡ προσθήκη τοῦ φόβου, ὅ ἐστι τῆς φυγῆς. ἡ γὰρ παραβολὴ πρὸς μόνην τὴν ἰαχήν, οὐ μὴν καὶ πρὸς τὴν φυγὴν τοῦ λαοῦ, εἰ μὴ ἄρα καὶ ὁ φόβος πρὸς ἔνδειξιν κεῖται τῆς κατ' αὐτὸν ἰαχῆς. (v. 457) Ὅτι Ἀντίλοχος, ὁ τοῦ τακτικωτάτου Νέστορος υἱός, εἰ καὶ νεώτατός ἐστιν, ἀλλὰ βαλὼν πρῶτος Τρώων ἕλεν ἄνδρα κορυστήν, ἀπ' ἐλάσσονος ἀρξαμένου τοῦ ποιητοῦ, ὁποῖα τὰ τῆς τύχης, ὃς καὶ τῆς μεγάλης μάχης τῆς καθ' ὁμίλους τὸ ἔλαττον, ἤγουν τὴν μονομαχίαν, προέταξε.

1.789 καὶ ἄλλως δὲ τοῦτο μάχης ἴδιον, τὸ ὀλίγην τὰ πρῶτα κορύσσεσθαι, ὡς πρὸ ὀλίγου ἐλέγετο. τάχα δὲ καὶ ζηλοῖ ὁ Ἀντίλοχος θεατὴν ἔχων πατέρα τὸν εἰπόντα, ὅτι πρῶτος ἐγὼν ἕλον ἄνδρα. παραδέδοται δὲ καὶ ὀξὺς εἶναι ἐν τοῖς καιρίοις ὁ Ἀντίλοχος, καὶ ἐν Ὀδυσσείᾳ δὲ ὁ πατὴρ αὐτὸν ἐπαινεῖ ὡς καὶ ἀγαθὸν πολεμιστὴν καὶ ὡς θέειν ταχύν. ἔστι δὲ καὶ ἑτέρως εἰπεῖν, ὅτι ὁ ποιητὴς μὴ ἔχων ποιεῖν ἀριστεύοντα τὸν Νέστορα, τὸν ἄριστα τάξαντα τὸ οἰκεῖον στράτευμα, τῷ υἱῷ αὐτοῦ δίδωσι τὸ πρῶτον ἀρίστευμα ἀντὶ τοῦ πατρός, τῇ ἀρίστῃ τακτικῇ τὸ πρωτόλειον δούς. Ὅρα δὲ καί, ὅτι πρῶτοι τῆς ἀριστείας ἄρχονται οἱ παρασπονδηθέντες Ἀχαιοί. τὸν δὲ ῥηθέντα κορυστὴν ἐσθλὸν ὁ ποιητὴς ἱστορεῖ σεμνύνων τὸν ἐπ' αὐτῷ ἀριστέα Νεστορίδην, ἐκτιθεὶς αὐτοῦ καὶ πατέρα Θαλύσιον. (v. 458) Φησὶ γάρ· «κορυστὴν ἐσθλὸν Θαλυσιάδην Ἐχέπωλον» οὗ Θαλύσιος ὁ πατήρ, παρωνύμως τοῖς ἑορταστικοῖς θαλυσίοις, ὧν ἐν τοῖς ἑξῆς μνημονεύσει ὁ ποιητής, ὃς πρὸς πλείω πιθανότητα λέγει καὶ τὸν τρόπον τοῦ ἀριστεύματος, (v. 459—61) ὅτι δηλαδὴ ἔβαλεν Ἀντίλοχος κόρυθος φάλον ἱπποδασείης, ἐν δὲ τῷ μετώπῳ πῆξεν, ἔνθα δηλαδὴ ὁ φάλος ἔκειτο· πέρησε δ' ἂρ ὀστέον εἴσω, ἤγουν εἰς τὸ ὀστέον ἢ ἔσω εἰς τὸ ὀστέον, αἰχμὴ χαλκείη, τὸν δὲ σκότος ὄσσε κάλυψεν. (v. 462) Ὅτι ἐνταῦθα διὰ συντομίαν ἀνεπεξεργάστοις χρῆται παραβολαῖς. φησὶ γάρ, ὅτι ἔπεσεν ὁ ῥηθεὶς Ἐχέπωλος «ὡς ὅτε πύργος» καὶ παρακατιών· «οἳ δὲ λύκοι ὣς ἀλλήλοις ἐπόρουσαν». Ὅτι πολυειδὴς ὢν ὁ ποιητὴς πανταχοῦ τὰ ἐς ῥητορείαν καὶ πόριμος τοιοῦτός ἐστι καὶ ἐν ταῖς τῶν ἀριστέων βολαῖς καὶ ἐν τοῖς πίπτουσιν, ἀμύθητον ἐξευρίσκων εὐπορίαν καὶ ἐν αὐτοῖς, ἐκεῖνον μὲν τοιῶσδε βεβλῆσθαι λέγων ἢ πίπτειν, τὸν δὲ τοιῶσδε καὶ ἄλλον ἄλλως. (v. 467—9) Ἐν οὖν τῷ γράμματι τούτῳ Ἀντίλοχος μὲν καὶ Ἐχέπωλος ὁ μὲν ἐποίησεν, ὁ δὲ ἔπαθε τὸ προσεχῶς ἱστορηθέν, Ἐλεφήνωρ δὲ κατακύψας ἐπὶ ἑλκυσμῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νεκροῦ οὐτάζεται ξυστῷ χαλκήρεϊ πλευρά, τὰ οἱ κύψαντι παρ’ ἀσπίδος ἐξεφαάνθη. ἔνθα ὅρα, ὡς οὐδετέρως εἶπε τὰ πλευρά, [ὡς καὶ ὁ εἰπὼν Κύπρου τὰ πλευρά]. (v. 480—2) Ὁ δὲ Τελαμώνιος Αἴας Σιμοείσιόν τινα ἔβαλε στῆθος παρὰ μαζὸν δεξιόν, ἀντικρὺ δὲ δι’ ὤμου χάλκεον ἔγχος ἦλθεν. ἄλλος δέ τις τὸν βουβῶνα βάλλεται. (v. 492) Βουβὼν δέ ἐστι τόπος σώματος, οὗ ὁμώνυμον τὸ ἐκεῖ γινόμενον πάθος, ὡς τὸ «βουβὼν ἐπήρθη». Ὀδυσσεὺς δέ τινα περὶ τὸν κρόταφον βάλλει δουρὶ φαεινῷ, ἄλλος δέ τις χερμαδίῳ βάλλεται παρὰ σφυρὸν ὀκριόεντι κνήμην δεξιτερήν, Θόας δὲ Θρᾷκά τινα βάλλει δουρὶ στέρνον ὑπὲρ μαζοῦ, πάγη δ’ ἐν πνεύμονι χαλκός.

1.790 εἶτα καὶ ἐπιδραμὼν τὸ μὲν ὄβριμον ἔγχος ἐξεσπάσατο, ξίφος δὲ ὀξὺ ἐρυσάμενος γαστέρα ἔτυψε μέσην, δυσὶν ὁπλιτικοῖς ὀργάνοις τὸν ἐχθρὸν καταγαγών. ἐνταῦθα δὲ καὶ τὸ δόρυ ποικίλως ἔφρασε δόρυ τε αὐτὸ ψιλῶς οὕτως εἰπὼν καὶ αἰχμὴν χαλκείην καὶ χαλκῆρες ξυστὸν καὶ δόρυ φαεινὸν καὶ ἔγχος ὄβριμον, ἀλλαχοῦ δὲ καὶ ὀξύ, οἷον «ἀκόντισεν ὀξέϊ δουρί». ἔνθα περισσὸν συνήθως τὸ δουρί. ἀρκεῖ γὰρ τὸ ἀκόντισεν. ἢ καὶ ἄλλως, τὸ ἀκόντισε καταχρηστικῶς ἀντὶ τοῦ ἔβαλεν. ἐπάγει γὰρ μετ’ ὀλίγα «χολωσάμενος βάλε δουρί». οὕτω δὲ καὶ τὸ «αἷμα δ’ ἀνηκόντιζε» καταχρηστικῶς εἴρηται καὶ ἐν Διονυσιακοῖς τὸ «τεύχεσιν ἀστράπτουσαν ἀνηκόντιζεν Ἀθήνην», ὁ Ζεὺς δηλαδὴ ἐκ τῆς κεφαλῆς αὐτοῦ. καὶ τοῦτο μὲν τοιοῦτον. Ἡ δέ, ὡς ἐρρέθη, ποικιλία τῆς τῶν πιπτόντων διαθέσεως τοιαύτη. ὁ μὲν γὰρ προμαχόμενος πίπτει, ὁ δὲ νεκροῦ συλῶν τεύχεα, ὁ δὲ νέκυν ἑτέρωσε ἐρύων, ἕτερος δέ τις μηδὲν ἐνεργῶν, ἄλλος δέ τις ἀπεσσύμενος, ἤτοι ἀναποδίζων, διὸ καὶ τὸ στέρνον πλήττεται. καὶ οἱ μέν τινες πίπτουσι κατὰ πρῶτον σκοπόν, τινὲς δὲ καὶ ἐξ ἁμαρτίας τοῦ βάλλοντος. Ἄντιφος γὰρ ὁ Πριαμίδης ἁμαρτών τινος, ἤτοι ἀποτυχών, Λεῦκον, Ὀδυσσέως ἐσθλὸν ἑταῖρον, βεβλήκει. ἔνθα καὶ ὅρα τὸ Λεῦκος βαρυνθὲν πρὸς ἀντιδιαστολὴν τοῦ ἐπιθέτου. ἀναιρεῖται δέ τις καὶ κατὰ τύχην ἐπαφεθέντος δόρατος εἰς πλῆθος, ὡς ὁ Πριαμίδης Δημοκόων, ὃν Ὀδυσσεὺς ἀνεῖλε χολωθεὶς μὲν κατὰ τοῦ Πριαμίδου Ἀντίφου, βαλὼν δὲ τὸν Δημοκόωντα, οὐδ’ οὕτω κακῶς, κατὰ τὴν παροιμίαν. Ἔτι ἔχει ποικιλίαν καὶ τὸ τοὺς μὲν σκυλεύεσθαι, τοὺς δὲ μὴ δύνασθαι ἀποδύειν τὰ τεύχεα, καὶ τὸ διὰ δόρατος καὶ λίθου καὶ ξίφους τούτους ἢ ἐκείνους πίπτειν. Καὶ τὰ τῶν πιπτόντων δὲ σχήματα ποικίλα, εἴπερ ὁ μέν τις πίπτει νεκρὸς ἀμφὶ νεκρῷ, ἔνθα καὶ ἀστεῖος ὁ λόγος. ἐρύων γάρ τις νεκρόν, εἶτα πληγείς, ἔπεσεν ἀμφ’ αὐτῷ, νεκρὸς δέ οἱ ἔκπεσε χειρός, ἢ καὶ ἄλλως κατά τινα τῶν ἀντιγράφων «ἔκφυγε χειρός». πρωθύστερον δὲ σχῆμα τοῦτο. ἐκπεσόντος γὰρ τοῦ ἑλκομένου νεκροῦ, εἶτα ἔπεσεν ἀμφ’ αὐτῷ ὁ ἕλκων. ἕτερος δέ τις ὕπτιος ἐν κονίῃσι πίπτει, ἄμφω χεῖρε φίλοισι πετάσας. δυνάμεως δὲ γραφικῆς ἐνδεικτικὸν καὶ τὸ λέγειν ὅτι «τὸν δὲ σκότος ὄσσε κάλυψε» καὶ «τὸν μὲν λίπε θυμός» καὶ «ἔκειτο θυμὸν ἀποπνείων», ὅπερ ἀλλαχοῦ ποιητικώτερον λέγων φησίν· «ἀπὸ δὲ ψυχὴν ἐκάπυσεν», ἤτοι ἀπέπνευσε.

1.791 καὶ τὸ ποτὲ μὲν λέγειν τινὰ πρόμαχον, ποτὲ δὲ πρῶτον ἰόντα. καὶ τοιαῦτα μέν τινα ἐν τῇδε τῇ ῥαψῳδίᾳ καὶ ἕτερα πλείω. Τὰ δὲ ἐν τοῖς ἑξῆς πέλαγός ἐστιν εὐπορίας ἀδιεξήγητον. (v. 464—70) Ὅτι ὁ Χαλκωδοντιάδης κρείων Ἐλεφήνωρ μεγαθύμων ἀρχὸς ἦν Ἀβάντων, ὧν καὶ ἡ Βοιωτία μέμνηται. τοῦτον πρῶτον συλῆσαι, ἤτοι σκυλεῦσαι, νεκρὸν ἐν ἀκμῇ πολέμου ὁρμήσαντα ἡ Ὁμηρικὴ ἀναιρεῖ Μοῦσα ὑπὸ Ἀγήνορι τῷ Τρωϊκῷ. μισεῖ γὰρ ὁ ποιητὴς τὸ ἐν τοῖς τοιούτοις παρὰ καιρὸν κερδαλέον, ὃς καὶ ἐν τοῖς ἑξῆς τὸν Νέστορα ποιεῖ τοῦτο ἀποτρεπόμενον καὶ λέγοντα, ὡς μετὰ πόλεμον ἔχει τὸ πρᾶγμα καιρόν, ὅτε καὶ καθ’ ἡσυχίαν ἔστι σκυλεύειν. (v. 464) Ὁ δὲ Χαλκώδων ἐκτείνει τὴν παραλήγουσαν, ὡς κραθεὶς ἐκ τοῦ Χαλκοόδων, ὁμοίως τῷ προόρα πρώρα καὶ τοῖς τοιούτοις. (v. 463) Ἐν δὲ τοῖς ῥηθεῖσιν ἔστι πορίσασθαι, ὅτι τε ταὐτὸν κρείων καὶ ἀρχός καὶ ὅτι πρωτότυπον τοῦ ἐν Ὀδυσσείᾳ ἐλεφαίρειν τὸ ἐλέφω, ἐξ οὗ Ἐλεφήνωρ, ἵνα ᾖ ὡς ἐλεῶ ἐλεαίρω, οὕτως ἐλέφω ἐλεφαίρω. καὶ σημαίνοι ἂν Ἐλεφήνωρ τὸν ἄνδρας ἐλεφαίροντα. οὐκ ἄδηλον δὲ οὐδ’, ὅτι ὁ ῥηθεὶς κρείων καὶ κρέων λέγεται, ὅθεν πόντου κρέων

ὁ Ποσειδῶν παρ' Εὐριπίδῃ, καὶ ὁ Κρέων δέ, τὸ κύριον, ὡς καὶ ὁ Ἀνακρέων, εὐγενῶς ἐντεῦθεν ἔχουσι τοῦ ὀνόματος. (v. 470—2) Ὅτι πολεμικὴν σύνταξιν φράζει τὸ «ἔργον ἐτύχθη ἀργαλέον, οἳ δὲ λύκοι ὣς ἀλλήλοις ἐπόρουσαν, ἀνὴρ δ' ἄνδρ' ἐδνοπάλιζεν», ὅ ἐστιν ἐδόνει καὶ ἔπαλλεν ἢ ἐδόνει ταῖς παλάμαις. ἡ δὲ λέξις αὕτη κεῖται καὶ ἐν Ὀδυσσείᾳ. (v. 474—6) Ὅτι χρώμενος καὶ ἐνταῦθα τρόπῳ ἐτυμολογίας ὁ ποιητὴς καὶ ἱστορίαν δὲ παραπλέκων τῷ λόγῳ φησὶν ὀνομάζεσθαί τινα Σιμοείσιον, διότι ποτὲ μήτηρ Ἴδηθεν κατιοῦσα παρ' ὄχθῃσι Σιμόεντος τοῦ ποταμοῦ αὐτὸν γείνατο, ἐπεί ῥα τοκεῦσιν ἅμ' ἕσπετο μῆλα ἰδέσθαι· τοὔνεκά μιν κάλεον Σιμοείσιον, ὡς καὶ ἄλλος τις καλεῖται Σκαμάνδριος διὰ τὸν Σκάμανδρον. καὶ ταῦτα μὲν παλαιᾶς ἱστορίας. Ἡ δὲ καθ' ἡμᾶς γενεὰ ἔχει συγγράψασθαί τι ὅμοιον.

1.792 γυνὴ γὰρ θρέμμα γῆς Μακεδόνων, εὖ μὲν ἔχουσα τῶν εἰς βίον, δυστυχοῦσα δέ, οὓς ἐγέννα, θανάτῳ ἀπογινομένους, ῥίπτει τὸ γεννηθὲν ὕστατον περὶ ποταμὸν ἐγχώριον, οὐκ ἔκθετον, ἀλλ' ὅπως εἰς χεῖρας ἐλθών, φησίν, εὐτυχεῖς περιγένηται τοῦ βιοῦν. παροδεύων δή τις εὗρε τὸ κείμενον καὶ ἄρας οἷά τι ἕρμαιον τίμιον εἰσποιεῖται φιλίως καὶ ἀπὸ τοῦ συγκυρήματος Ποτάμιον ὀνομάζει τὸ εὑρεθέν. καὶ οὐκ ἀπέρρευσεν ἡ κλῆσις, ἀλλὰ παρέμεινε τῷ ἀνθρώπῳ ἀνδρὶ γενομένῳ γεραρῷ καὶ ἱερῷ καὶ λογίῳ καὶ εἰδότι τὴν τοῦ ὀνόματος περιπέτειαν. καὶ τοιοῦτον μὲν καὶ τοῦτο. Ἡ δὲ τῆς παιδὸς σὺν τοῖς τοκεῦσιν ὁδὸς ἐπὶ θέᾳ μήλων, ἤτοι προβάτων, ἁπλῶς οὕτω κεῖται βιωτικώτερον εἰς πιθανότητα τοῦ διηγήματος. (v. 482—4) Τὸν δὲ Ὁμηρικὸν Σιμοείσιον ἀναιρεθέντα ὑπὸ Αἴαντος πεσεῖν λέγει ὡς αἴγειρον ἐν ἕλει τραφεῖσαν. φησὶ γάρ· «ὃ δ' ἐν κονίῃσι χαμαὶ πέσεν αἴγειρος ὥς, ἥ ῥά τ' ἐν εἱαμενῇ ἕλεος μεγάλοιο πεφύκει, λεῖα, ἀτάρ τέ οἱ ὄζοι ἐπ' ἀκροτάτῃ πεφύασιν», ἤγουν ἐκ φύσεώς εἰσι καὶ οὐκ ἐξ ἐπιμελείας τινός. ἐξηγητικὸν δὲ τοῦτό ἐστι τοῦ λεῖα. πάντως γὰρ λεῖα αἴγειρος, ἧς οἱ ὄζοι ἐπ' ἀκροτάτῳ. Ἰστέον δέ, ὡς ὁ μὲν πρὸ βραχέων πεσών, «ὡς ὅτε πύργος», ἀνδρεῖος ἔοικεν εἶναι, ὁ Σιμοείσιος δὲ κάλλος ἔχειν καὶ μέγεθος. διὸ καὶ ἀστείως τὸν παρὰ τῷ Σιμόεντι ποταμῷ γεννηθέντα ἠΐθεον θαλερὸν Σιμοείσιον εἰκάζει φυτῷ ὑδατοτρεφεῖ. (v. 474) Ἠΐθεος δὲ εἶδός ἐστιν ἀνδρώδους ἡλικίας νεωτερικῆς, κατὰ δὲ τοὺς ἀκριβεστέρους ὁ μήπω εἰς γάμον ἐλθών, ὡς καὶ τῷ Εὐριπίδῃ ἐν Φοινίσσαις δοκεῖ, ἔνθα λέγει τὸ «Αἵμονος μὲν οὖν σφαγὰς ἀπείργουσι γάμοι. οὐ γάρ ἐστιν ηΐθεος,» τουτέστιν ἄπειρος γάμου. ὅπερ δὲ ἐν ἀνδράσιν ἠΐθεος, τοῦτο παρθένος ἐν γυναιξί. διὸ καὶ συνδυάζων που αὐτοὺς ὁ ποιητὴς λέγει «παρθένος ἠΐθεός τε ὀαρίζετον ἀλλήλοις». παρασημειοῦνται δὲ οἱ παλαιοὶ σπανίως ἐπὶ παρθένου τὴν λέξιν κεῖσθαι φέροντες καὶ χρῆσιν Εὐπόλιδος τὸ «εἰ μὴ κόρη δεύσειε τὸ σταῖς ηΐθεος». γίνεται δέ, φασίν, ἢ παρὰ τὸ ἀΐτης, ὁ ἐρώμενος, ἀΐτεος καὶ τροπῇ ἠΐθεος, ὁ ἐραστός, ἢ παρὰ τὸ αἴθω αἴθεος καὶ διαλύσει καὶ τροπῇ τοῦ α εἰς η ἠΐθεος, ὁ διάπυρος τῇ νεότητι. ἴσως δὲ καὶ παρὰ τὸ ἰέναι θείως διὰ τὸ ἔτι καθαρόν, ἵνα ᾖ ἰηΐθεος καὶ κατὰ ἀφαίρεσιν ἠΐθεος, καθά που καὶ Ἀπόλλων ἤϊος ὁ ἱείς, ὡς τοξικός, ἢ ὁ ἰατικός.

1.793 ὅτι δὲ οὐκ ἄχρηστός ποτε καὶ ἡ τοιαύτη τρισυλλαβία, δηλοῖ ἐν τῇ τραγῳδίᾳ τὸ ἰήϊον μέλος καὶ ἰήϊος βοά, ἡ θρηνώδης δηλαδὴ παρὰ τὸ ἰώ. (v. 475) Ἰστέον δέ, ὅτι κατὰ Δίδυμον Ἴδη οὐ μόνον ἡ Τρωϊκή, ἀλλὰ πᾶν ὄρος, ἐξ οὗ τὰ κύκλῳ ἔστιν ἰδεῖν, ὡς καὶ Ἀχελῷος πᾶν ὕδωρ, ὁμοίως καὶ Ὠκεανός. ἔστιν οὖν καὶ Ἴδη Κρητική, ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη, σῴζουσα μέχρι καὶ νῦν τοὔνομα. Ἴδα γὰρ καλεῖται Δωρικώτερον. οὕτω δὲ καὶ τὸ φυτόν, ἡ αἴγειρος, φυλάττει τὴν κλῆσιν ἐν τοῖς περὶ Ναύπακτον καὶ τοὺς ἐκεῖ τόπους. [(v. 482) Κονία δὲ καὶ κόνις παρὰ μὲν τῷ ποιητῇ ταὐτὰ δύνανται, ὡς καὶ ὁ κονίσαλος. παρὰ δὲ τοῖς ὕστερον ἡ μὲν κονία καὶ ἄλλο τι σημαίνει, ὡς ἡ ἀπ' αὐτῆς σύνθετος ἐλαιοκονία δηλοῖ. ἡ δὲ κόνις καί τι ζωΰφιόν ἐστι μικροφυὲς κατὰ ἄτομον κόνιν, ἀφ' ἧς οἱ φθεῖρες γεννῶνται, ἧς ἡ κλίσις διὰ τοῦ δ . κόνις γὰρ κόνιδος κοινότερον παρὰ τῷ Ἀριστοτέλει πρὸς διαστολὴν τῆς ἑτέρας κόνιος, ὅ ἐστι τοῦ κονιορτοῦ.] (v. 483) Εἱαμενὴ δὲ ὑγρὸς καὶ βοτανώδης τόπος παρὰ τὸ ἕω, τὸ ἀναδίδωμι, ὅπου συχνὴ ἀναδίδοται

πόα, ἢ καὶ ἄλλως, ὁ ὑγρὸς παρὰ τὸ ῥέω, ἵνα ᾖ ῥειαμενή. Ἰστέον δὲ καί, ὅτι, ὥσπερ κατὰ μετοχικήν τινα παραγωγὴν λέγεται ὀξυτόνως ἡ δεξαμενή, οὕτω καὶ ἡ εἰαμενή. εἰσὶ δὲ καὶ ἄλλα τοιαῦτα, οἷον ὁ Τισαμενός κύριον καὶ ὁ Σῳζομενός καὶ πόλεις αἱ Κλαζομεναί καὶ τόπος Βοιώτιος αἱ Ἀλαλκομεναί.

1.794 μέγα δὲ ἕλος ὑποτίθεται, ἵνα πιθανὸς εἴη ὁ περὶ τῆς ῥηθείσης αἰγείρου λόγος. (v. 483 s.) Τοῦ δὲ πεφύκει οὐκ ἔστι καιριωτέρα ἐνταῦθα λέξις, ἐξ οὗ καὶ εὐφυέα που πτελέαν ἐρεῖ ἄλλον τρόπον ἤπερ Εὐριπίδης ἔφη εὐφυὲς πρόσωπον, ὡς καὶ προδεδήλωται. ὅρα δὲ καί, ὅτι ἐνταῦθα Ἰωνικῶς τε ἔφρασεν ὁ ποιητὴς ἐν τῷ πεφύασι καὶ κοινότερον ἐν τῷ πεφύκει. (v. 477—9) Ἐν τούτοις δὲ ἰστέον καί, ὡς ἐπί τινος πρὸ ὥρας τελευτήσαντος οἰκεῖον ῥηθῆναι τὸ «οὐδὲ τοκεῦσι θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰὼν ἔπλετο». (v. 478) Λέγει δὲ θρέπτρα τὰ τροφεῖα ἐκ τοῦ θρεπτήρια κατὰ συγκοπήν, ὡς λυτήρια λύτρα, σωτήρια σῶστρα. τοιούτου δέ τινος τύπου καὶ τὸ σκῆπτρον καὶ τὸ βάκτρον καὶ τὸ ἐπίσωτρον καὶ τὸ κάτοπτρον καὶ τὸ πλῆκτρον καὶ τὸ βλῆτρον καὶ τὸ μετὰ τοῦ ς ἀμφίβληστρον, ἤδη δὲ τὸ προδηλωθὲν ῥόπτρον, οὗ χρῆσις καὶ παρ' Εὐριπίδῃ, ὃ δηλοῖ οὐ μόνον εἶδος τι ξίφους καὶ παγῆς κατὰ τὸ «δίκης ἔπαισεν αὐτὸν ῥόπτρον», ἀλλὰ καὶ θύρας ἐπίσπαστρον, καὶ ῥόπαλον δὲ ὡς ἀπὸ τοῦ ῥέπειν, ὅθεν καὶ ἡ καλαῦροψ. Μινυνθάδιος δὲ καὶ νῦν ὁ ὀλίγος ἐκ τοῦ μίνυνθα, ὃ δηλοῖ τὸ ὀλιγάκις. Αἰὼν δὲ τὸ μέτρον τῆς ἀνθρωπίνης ζωῆς, καθ' ὃ σημαινόμενον καὶ Ἡρόδοτος τελευτῆσαι τὸν αἰῶνά φησι τὸ θανεῖν. καὶ Σοφοκλῆς δὲ ζωὴν ἀνθρώπου τὸν ἀεὶ βίοτόν φησι. τοιοῦτον δὲ παρ' αὐτῷ καὶ τὸ «τὸν εἰσαεὶ λεηλατήσει χρόνον», ἤγουν ἕως οὗ ζῇ. οὐ μόνον δὲ ἀρσενικῶς, ἀλλὰ καὶ θηλυκῶς ὁ ῥηθεὶς αἰών λέγεται τραγικώτερον, οἷον «σκοτίαν αἰῶνα». Ἰστέον δὲ καί, ὅτι τὸ «οὐδὲ τοκεῦσι θρέπτρα φίλοις ἀπέδωκεν», εἴπερ αὐτὸ καθ' αὑτὸ μόνον ἔκειτο, ἀσαφῶς ἂν εἶχε.

1.795 λέγοιτο γὰρ ἂν καὶ ὁ τοῖς γειναμένοις ἀθέμιστος μὴ ἀποδοῦναι θρέπτρα τοῖς τεκοῦσιν αὐτόν. (v. 485 s.) Ἔτι ἰστέον καί, ὡς πολυμαθῆ τὸν ἀκροατὴν ὁ Ὅμηρος ποιῶν καὶ ἐν τῇ τῆς εἰρημένης αἰγείρου παραβολῇ, οὐ μόνον τὴν αὐτῆς φύσιν ἱστόρησεν, ὅτι λεῖα καὶ ἄοζος, ὡς εἴρηται, ἀλλὰ λέγει καί, ὅτι δι' αὐτὰ ταῦτα εἰς ἅρματος περιφέρειαν χρησιμεύει. ῥᾷον γὰρ εἰς τοιαύτην ἁψῖδα κάμπτονται τὰ λεῖα καὶ ἄοζα. φησὶ γοῦν «ἣν ἁρματοπηγὸς ἀνὴρ αἴθωνι σιδήρῳ ἐξέταμεν, ὄφρα ἴτυν κάμψῃ περικαλλέϊ δίφρῳ». Ἴτυν δὲ λέγει τὴν περιφέρειαν ἀπὸ τοῦ ἰέναι, ὅ ἐστι περιϊέναι καὶ περιάγεσθαι. (v. 487) Διδάσκει δὲ ἐν τῇ παραβολῇ ταύτῃ καί, ὅτι οὐ χλωρὰν μετακομιστέον οὐδὲ τὴν τοιαύτην ὕλην, ἀλλ' ἐατέον ἀφαυανθῆναι αὐτήν. εὐμετακομιστότερον γὰρ τὸ ξηρόν. φησὶν οὖν· «ἡ μὲν ἀζομένη κεῖται ποταμοῖο παρ' ὄχθας». οὕτως ἐν παρέργῳ καὶ τὰ παρὰ Ἡσιόδῳ σεμνὰ ὁ ποιητὴς τῇ οἰκείᾳ ποιήσει ἐνσπείρει. (v. 485) Τὸ δὲ ἁρματοπηγός συντελεῖ εἰς τὸ «κολλητὸν ἅρμα καὶ εὔπηκτον», ὡς ἐν ἄλλοις λέγεται ὑπὸ τοῦ ποιητοῦ. (v. 488) Ὅτι ἐν τῷ «τοῖον ἄρ' Ἀνθεμίδην Σιμοείσιον ἐξενάριξεν Αἴας» συγκέκοπται, ὡς καὶ προερρέθη, τὸ πατρωνυμικόν. ἔδει γὰρ Ἀνθεμιωνίδην εἰπεῖν, ἐπεὶ Ἀνθεμίωνος υἱὸς ὁ Σιμοείσιος πρὸ βραχέων ἱστόρηται. εἰ δὲ τυχὸν καὶ Ἄνθεμος τρισυλλάβως ὁ πατὴρ ἐκαλεῖτο, λέγοιτ' ἂν ὀρθῶς Ἀνθεμίδης ὁ ἐξ αὐτοῦ. διὸ καὶ προσφυὲς τὸν ἐκ πατρὸς ἀνθηρωνύμου θαλερὸν ῥηθῆναι ὑπὸ τοῦ ποιητοῦ, ὡς καὶ αὐτὸ προέκκειται. (v. 497 s.) Ὅτι ἐν τῷ «Τρῶες κεκάδοντο ἀνδρὸς ἀκοντίσαντος», τοῦ Ὀδυσσέως δηλαδή, ἄνδρα τὸν ἀνδρεῖον λέγει. Τὸ δὲ ἀκοντίσαι καὶ βέλος ἀφεῖναι εἴποι τις ἄν. ἐπάγει οὖν· «ὃ δ' οὐχ' ἅλιον βέλος ἧκε». βέλος γὰρ ἐνταῦθα τὸ δόρυ ὡς μήκοθεν ἀφεθέν. Τὸ δὲ κεκάδοντο ἐκ τοῦ χάζω, τὸ ὑποχωρῶ, ἐστὶ μέσος δεύτερος ἀόριστος, οὗ τὸ μὲν κοινὸν ἐχάδοντο, τὸ δὲ Ἰωνικὸν τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ καὶ συνήθει ἀναδιπλασιασμῷ κεκάδοντο, ὁποῖόν τι, ὡς προδεδήλωται, καὶ ἐπὶ τοῦ τετύκοντο γίνεται ἀπὸ τοῦ ἐτυχόμην δευτέρου ἀορίστου. Τὸ δὲ ἅλιον ὡς δασυνόμενον ἀπὸ τοῦ ἅλς ἁλός γίνεται καὶ δηλοῖ τὸ ἀσυντελές. καὶ ἡ θάλασσα γὰρ ἀσυντελὴς τοῖς γε πιεῖν ἐθέλουσι. (v. 499) Ὅτι τετραχῶς ἡ παιδοποιΐα παρ' Ὁμήρῳ· οἱ μὲν γὰρ γνήσιοι, οἱ ἐκ νομίμων γάμων, οἱ δὲ νόθοι, οἱ ἐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παλλακῶν, οἷον «υἱὸν Πριάμοιο νόθον» καὶ «εἰν ἑνὶ δίφρῳ ἐόντε νόθον καὶ γνήσιον ἄμφω», οἱ δέ τινες σκότιοι, οἱ ἐκ λαθραίας μίξεως, οἷον «σκότιον δέ ἑ γείνατο μήτηρ», καὶ ἄλλοι παρθένιοι, οἱ ἐκ τῆς ἔτι νομιζομένης παρθένου γεννώμενοι, ὡς τὸ «παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυμήλη».

1.796 ἡ δὲ τοιαύτη λέξις διφορεῖ τὴν παραλήγουσαν. ὁ μὲν γὰρ παρθένιος υἱὸς τὸ ι ἔχει, ἡ δὲ παρθένειος ἡδονὴ ἐν Ἱππολύτῳ τὴν ει δίφθογγον φιλεῖν λέγεται. Ἰστέον δὲ καί, ὅτι ὁ μὲν σκότιος οὐκ ἂν πάνυ ἐκφύγῃ κοινότερον τὸ νόθος ῥηθῆναι κατά γε τὸ μὴ γνήσιος εἶναι, διαφέρει δὲ τοῦ ἐκ φανερᾶς παλλακῆς νόθου τῷ αὐτὸς μὴ κατὰ φῶς ἀλλ' ὡς ἐν σκότῳ προελθεῖν. ὁ δέ γε παρθένιος ἀμφοῖν διαφέρει τῷ δύνασθαί ποτε γνησίου ἐγγὺς εἶναι. εἰκὸς γὰρ τὸν γαμέτην πρὸ γάμου σπεῖραι εἰς τὴν δοκοῦσαν ἔτι παρθένον εἶναι. Ἐκ δὲ τοῦ Ὁμηρικοῦ νόθου, οὗ ἡ ἐτυμολογία ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν κεῖται, ἀφ' οὗ καὶ τὸ ὀθνεῖον κατὰ μετάθεσιν στοιχείων παρῆκται, λέγεται καὶ λόγος νόθος καὶ διανόημα τροπικῶς νόθον τὸ μὴ γνήσιον. εἰ δέ τις καὶ ἄχαρι παραπτύσει ῥῆμα ἢ νόημα, ὁ τοιοῦτος καὶ ἔκβλητόν τι ἔπος λέγεται προενεγκεῖν, πρὸς ὁμοιότητα ἐκθέτου βρέφους, καὶ ὑπόβλητον λέξαι λόγον ὁμοίως τὸν καὶ ὑποβολιμαῖον. (v. 500) Ὅτι ἐν Ἀβύδῳ Πριάμου ἦσαν ἱπποφόρβια ἢ ἱπποστάσια. νόθος οὖν τις υἱὸς Πριάμου Ἀβυδόθεν ἦλθε παρ' ἵππων ὠκειάων. καὶ ἔστιν ὑποδύσκολον ἐνταῦθα λυθῆναι ἀπορίαν, ἣν εὐλόγως ἄν τις ἀπορήσῃ ζητήσας, πῶς ὁ τοσοῦτος Ἑλληνικὸς στόλος ἀφίησιν Ἀβυθόθι σῴζεσθαι τὰ τοῦ Πριάμου ἱπποστάσια. εἰ μὴ ἴσως κατὰ κοινὴν συνθήκην ἢ διὰ τὸ τῶν ἐπικουρούντων τοῖς Τρωσὶ πολυπληθὲς ἢ καί, ἵνα μὴ ἐν τοῖς παρέργοις διὰ κενῆς τρίβωνται οἱ Ἕλληνες. [Ὅρα δὲ τὸ «παρ' ἵππων» πρόθεσιν ἔχον τὴν παρα ἀντὶ ἑτέρας προθέσεως, οἷον τῆς ἀπο ἢ τῆς ἐξ . δῆλον δ' ὅτι καὶ θηλυκῶς ἐνταῦθα αἱ ἵπποι κεῖνται.] (v. 502) Ὅτι βάλλεταί τις ἐνταῦθα αἰχμῇ τὴν κόρσην ἤγουν τὸν κρόταφον, «ἣ δ' ἑτέρου διὰ κροτάφοιο ἐπέρησε».

1.797 περὶ δὲ κόρσης καὶ κροτάφου εἴρηται πρὸ ὀλίγου ἱκανῶς. (v. 507 s.) Ὅτι Ὅμηρος μὲν μόνην τὴν τῆς Ἰλίου ἀκρόπολιν Πέργαμον ὀνομάζει θηλυκῶς, οἱ δὲ νεώτεροι πάσας τὰς ἀκροπόλεις οὕτω καλοῦσιν, οἳ καὶ οὐδετέρως τὰ πέργαμά φασιν, ὡς καὶ Αἰσχύλος Προμηθεῖ. δῆλον δέ, ὡς ἡ Πέργαμος καὶ πόλις λέγεται. διὸ εἰπὼν ὁ ποιητής, ὡς «νεμέσησεν Ἀπόλλων Περγάμου ἐκκατιδών» ἐπάγει μετ' ὀλίγα· «ὣς φάτ' ἀπὸ πτόλιος δεινὸς θεός». ἡ δ' αὐτὴ καὶ ἀκρόπολις καὶ ἄκρη πόλις κατὰ διάλυσιν. ἔθος δὲ τοῖς παλαιοῖς κτίσταις τῶν πόλεων ἀκροπόλεις ἱστᾶν ἐν τοῖς ὑψηλοῖς τῶν τόπων ἄλλης τε ἀσφαλείας χάριν καὶ φόβῳ κατακλυσμοῦ. (v. 509—11) Ὅτι ἐπισπευστικὸν εἰς μάχην τὸ «ὄρνυσθε μηδ' εἴκετε χάρμης». Τὸ δὲ ἐφεξῆς ἐπὶ φερεπόνων οἰκεῖον ῥηθῆναι, ἤγουν τὸ «ἐπεὶ οὔ τοι λίθος χρὼς οὐδὲ σίδηρος χαλκὸν ἀνασχέσθαι ταμεσίχροα βαλλομένοις», ἀντὶ τοῦ «τρωτοί εἰσι καὶ αὐτοί». (v. 511) Καὶ ὅρα, ὡς τὸ ἀνασχέσθαι αἰτιατικῇ καὶ ἐνταῦθα συνέταξε. τοῦ δὲ ταμεσίχροα προϋπάρχει ῥῆμα ποιητικόν, τὸ ταμῶ ταμέσω, ἐξ οὗ τὸ τμῶ τμήσω συγκέκοπται. Τὸ δὲ βαλλομένοις λέξις ἐστὶ γενική· νοητέον γὰρ νῦν βαλλομένους συλληπτικῶς καὶ τοὺς οὐταζομένους καὶ εἴ τι τοιοῦτον. (v. 513) Ὅτι τὸν Ἀχιλλέα ἐπὶ νηυσὶ χόλον θυμαλγέα φησὶ πέσσειν, ὅ ἐστι κατέχειν ἔσω. οὕτω δὲ καὶ γέρα πέσσειν ἀλλαχοῦ τὸ συνέχειν καὶ περιέπειν. κεῖται δὲ ἡ λέξις καὶ ἐν τῇ α' ῥαψῳδίᾳ. Ὥσπερ δὲ ὠνή καὶ ὦνος, βία βίος καὶ βιός, ὥρα ὦρος, βιοτή βίοτος, δίνη δῖνος, φθογγή φθόγγος, στροφή στρόφος παρὰ τῷ Κωμικῷ, οὕτω καὶ χολή χόλος.

1.798 ὅμοιον δὲ καὶ τὸ βολή βόλος [ἐπί τε πεττείας καὶ] ἐπὶ δικτύου, καὶ τὸ στάθμη σταθμός, ἴσως δὲ καὶ τὸ κάκη κακός. Σημείωσαι δέ, ὅτι σύνηθες Ὁμήρῳ κατὰ ποσὰ διαστήματα μεμνῆσθαι τοῦ Ἀχιλλέως, ὡς μυριαχοῦ φαίνεται, καὶ παραρτύειν οὕτω τὴν ποίησιν τῇ μνήμῃ τοῦ ἥρωος, μὴ καὶ ἐπιλάθοιτο αὐτοῦ ὁ φιλέλλην ἀκροατής. Ἰστέον δὲ καί, ὅτι τὸ πεῖσαν τοὺς Τρῶας θαρρῆσαι τὴν ἐν τῇ πεδιάδι μάχην ἡ μῆνις ἦν τοῦ Ἀχιλλέως, καθὰ καὶ προεγράφη. αὐτοῦ γὰρ μαχομένου ὁ Ἕκτωρ οὐκ εἶχε προκύπτειν τῶν τοῦ τείχους πυλῶν. (v. 512 s.) Διὸ καὶ ὁ Ἀπόλλων ἐντεῦθεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θαρσοποιῶν εἰς μάχην ἄρτι προκαλεῖται τοὺς Τρῶας, εἰπών· «οὐ μὰν οὐδ' Ἀχιλλεὺς μάρναται» καὶ τὰ ἑξῆς, τὴν παντελῆ ἐκείνου ἀργίαν δηλώσας διὰ τῶν δύο ἀρνήσεων. (v. 514) [Ὅτι ἐν τῷ «ὣς φάτ' ἀπὸ πτόλιος δεινὸς θεός»—λέγει δὲ τὸν Ἀπόλλωνα—δεινὸς νοεῖται οὐ μόνον ὁ ἐπιδέξιος λαλῆσαι καὶ εἰς μάχην ὀτρῦναι ῥητορικῇ δυνάμει, ἀλλὰ καὶ ὁ φοβερός, ἐπεὶ καὶ Ἀπόλλων ὁ αὐτὸς καὶ Δεῖμος δὲ καὶ Φόβος ὀπαδοὶ αὐτῷ εἰσιν.] (v. 508—16) Ὅτι δηλῶσαι βουλόμενος ὁ ποιητής, ὡς Τρῶες μὲν καθ' εἱμαρμένην ἐνίκων, εἰς ἣν πολλαχοῦ ὁ Ἀπόλλων ἀλληγορεῖσθαι φαίνεται, Ἀχαιοὶ δὲ διὰ τὸ περιὸν τῆς κατ' Ἀθηνᾶν φρονήσεως ἀντέχουσι πρὸς αὐτούς, λέγει, ὅτι Τρωσὶ μὲν Ἀπόλλων κέλετο ἀΰσας καὶ τὰ ἑξῆς, «αὐτὰρ Ἀχαιοὺς ὦρσε Διὸς θυγάτηρ, κυδίστη Τριτογένεια, ἐρχομένη καθ' ὅμιλον, ὅθι μεθιέντας ἴδοιτο». Ἐν τούτοις δὲ ὅρα καί, ὡς κυδίστην μὲν τὴν Ἀθηνᾶν εἶπε, δεινὸν δέ, ὡς καὶ προεγράφη, θεὸν τὸν Ἀπόλλωνα, οὐχ' ὅτι μὴ δεινὴ θεὸς καὶ ἡ Ἀθηνᾶ, ἀλλὰ διότι αὐτὸς προκατῆρξε τοῦ εἰς μάχην ἐρεθισμοῦ τοῖς Τρωσίν. (v. 515) Ὅτι δὲ δεινοποιεῖται καὶ ἡ Ἀθηνᾶ, δηλοῖ μὲν καὶ ὁ ποιητὴς ἐν τῷ «δεινὴν γὰρ ἄγεν θεόν», δηλοῖ δὲ καὶ ὁ φιλόσοφος λόγος, ὃς τὴν δεινότητα προκαθίζει τῆς φρονήσεως, εἰς ἣν ἀλληγορεῖται ἡ Ἀθηνᾶ, ἡ καὶ Τριτογένεια διὰ τὸ ἐκ δεινότητος φοβερόν, εἴγε Τριτογένεια καὶ κατὰ τὸν Κωμικὸν Τριτογενής, ἡ τὸ τρεῖν ἐγγεννῶσα τοῖς ἐχθροῖς.

1.799 καὶ μὴν οὕτω καλεῖται, ὡς καὶ ἀλλαχοῦ κεῖται, καὶ ὡς ἐκ τριτοῦς, ὅ ἐστι κεφαλῆς κατὰ Κρῆτας, τῆς τοῦ Διὸς γεγονυῖα, ἢ ὡς ἐν τρίτῃ μηνὸς γενομένη, ἢ ὡς τρία γεννῶσα καλά τινα τὰ ἐκεῖσε κατὰ τοὺς παλαιοὺς δηλούμενα. [(v. 516) Τὸ δὲ ἴδοιτο Ἀττικῶς παθαίνεται. ἄλλως γὰρ ἀγαθὸν εἰπεῖν καὶ τὸ «ὅθι μεθιέντας ἴδοι». οὕτω καὶ πρὸ βραχέων εἰπὼν παθητικῶς «οἵ μιν ἴδοντο πονεύμενον» ἐπήγαγεν εὐθὺς ἐνεργητικῶς τὸ «οὐ γὰρ ἔγωγε ἴδον», ὅπερ ἐν ἄλλοις ἰδόμην φησίν.] (v. 517) Ὅτι ὥσπερ ἐν τῷ «αἴσιμα παρειπών» ἐκτείνεται ἡ τῆς παρα προθέσεως παραλήγουσα, οὕτω καὶ ὧδε τὸ Διώρης κύριον, ὡς καὶ ἀλλαχοῦ προεφάνη, ἐκτεταμένην ἔχει τῆς δια προθέσεως τὴν ἄρχουσαν. τοῦτο δὲ καὶ ἐπὶ τοῦ Ἀπόλλωνος ἐν πολλοῖς γίνεται καὶ ἐπὶ ἄλλων πολλῶν. (v. 518) Ὅτι ἀστείως ὁ ποιητὴς ἐνταῦθα τὸ «μοῖρα ἐπέδησεν» εἶπεν ἐπί τινος χερμαδίῳ βληθέντος παρὰ σφυρόν. ὁ γὰρ οὕτω βληθεὶς καὶ ἀκινητίζων οἷον πεπέδηται. Ἰστέον δ' ἐνταῦθα, ὅτι τὸ «παρὰ σφυρόν» οὐκ εἴληπται ἀντὶ τοῦ κατὰ τὸ σφυρόν, ἀλλ' ἀντὶ τοῦ ἐγγὺς σφυροῦ περὶ τὸ τέλος τῆς κνήμης, ὡς δῆλον ἐκ τοῦ «παρὰ σφυρὸν κνήμην δεξιτερήν». (v. 520) Ὅτι καὶ Αἰνόθεν, ἤτοι ἐκ τῆς Αἴνου, ἐπίκουροι ἦσαν τοῖς Τρωσί, καθὰ καὶ ἐκ τῆς λοιπῆς Θρᾴκης. καὶ ἔστιν ἐκ τῶν ἐν τῇ Βοιωτίᾳ γραφέντων συναγαγεῖν Κικόνων μοῖράν τινα καὶ τούτους εἶναι. ἔστι δὲ τὸ Αἰνόθεν ὡς τὸ Ἀβυθόθεν, ὅπερ πρὸ ὀλίγων εἴρηται. τὸ δὲ Αἰνόθεν ἐνταῦθα μὲν τοπικὸν ἐπίρρημά ἐστιν, εὑρεθήσεται δὲ ἐν τοῖς ἑξῆς καὶ ποιότητος ἐν τῷ «αἰνόθεν αἰνῶς». (v. 521 s.) Ὅτι τὸ ἄχρις ἐνταῦθα κεῖται κατὰ τοὺς παλαιοὺς ἀντὶ τοῦ διόλου, οἷον «ἀμφοτέρα δὲ τένοντε καὶ ὀστέα λᾶας ἀναιδὴς ἄχρις ἀπηλοίησεν», ἤγουν διόλου συνηλόησεν ὁ λίθος τοὺς παρὰ τὸ ῥηθὲν σφυρὸν τένοντας καὶ τὰ ὀστᾶ.

1.800 δύναται δὲ καὶ κοινότερον νοηθῆναι, ὅτι συνηλόησεν ὁ λίθος τοὺς τένοντας ἄχρι καὶ εἰς τὰ ὀστᾶ. Τὸ δὲ ἀναιδής ἐκ τῶν λογικῶν παρῆκται εἰς τὸν λίθον, καθὰ καὶ τὸ ἀνηλεής εἰς τὸν σίδηρον. ἐκ δὲ τοῦ ἠλοίησεν, οὗ προϋπάρχει τὸ ἀλοῶ, καὶ ὁ πατραλοίας γίνεται καὶ ὁ μητραλοίας, ὁ καὶ μητρολῴας λεγόμενος κατ' ἔκτασιν ἢ καὶ τροπὴν τῆς ὅλης οι διφθόγγου εἰς ω μέγα, ὃ γίνεται σὺν ἄλλοις καὶ ἐν τῷ ἀγκώνη ἀγκοίνη, κολοιός κολῳός. (v. 523 s.) Ὅτι καταπίπτει τις χερμαδίῳ βληθεὶς ἐνταῦθα ὕπτιος ἐν κονίῃσιν ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσας, θυμὸν ἀποπνείων. τὸ δὲ πετάσαι τὰς χεῖρας δηλοῖ μὲν τὸ ἁπλῶσαι οἷα πτέρυγας. ἔστι δὲ σχῆμα ἱκέσιον, εἴ πού τις καταπίπτοντος ἀντιλάβοιτο. οὕτω καὶ ἐν τοῖς τοιούτοις ἐπιτυχὴς ὁ ποιητής. θέμα δὲ τοῦ πετάσας ἢ τὸ πετῶ κοινότερον ἢ ἐκ τοῦ πέτω παράγωγον πετάζω, οὗ καὶ ἔγνωσται ἡ χρῆσις. μετῆκται δὲ ἡ λέξις ἀπὸ πτηνῶν, ἃ πετόμενα οὕτως ἁπλοῦσι τὰς πτέρυγας. καὶ ἔστι αὐτὸ ἀκριβέστερον τοῦ «ἀναπτύξας χεῖρας», εἰς εὐχὴν δηλαδὴ κατὰ τὴν τραγῳδίαν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅπερ Ὅμηρος ἀνασχεῖν χεῖράς φησιν. (v. 525 s.) Ὅτι ἐν τῷ «οὖτα δὲ δουρὶ παρ’ ὀμφαλόν, ἐκ δ’ ἄρα πᾶσαι χύντο χαμαὶ χολάδες» χολάδας τὰ ἔντερα λέγει, ἐπεὶ εἰς αὐτὰ συρρεῖ ξανθὴ χολὴ καὶ διαθερμαίνουσα ἐρεθίζει τῇ δριμύτητι ἀποκρίνειν τὰ περιττά. ὡς εἰ μὴ τοῦτ’ ἦν, ψυχρά, φασίν, ὄντα τῇ κράσει, καθὸ νευρώδη, ἔμενον ἂν ἀργὰ πρὸς τὴν ἀπόκρισιν. Τὸ δὲ οὖτα οὐ δευτέρας ἐστὶ συζυγίας, ἀλλ’ ἐκ τοῦ οὐτάζω γίνεται, οὗ ἀόριστος οὔτασα, τὸ τρίτον οὔτασε, καὶ κατὰ ἀποκοπὴν οὖτα. διὸ καὶ συστέλλει παρὰ τῷ ποιητῇ τὸ δίχρονον καὶ προπερισπᾶται. (v. 532) Ὅτι τὸ σκυλεῦσαι νεκρὸν καὶ ἀποδῦσαι τεύχεα λέγεται, ὡς δηλοῖ τὸ «τεύχεα δ’ οὐκ ἀπέδυσε, περίστησαν γὰρ ἑταῖροι».

1.801 ἔστι δὲ τὸ περίστησαν ταὐτὸν τῷ περιέβησαν, ὅ ἐστιν ὑπερεμάχησαν, ὡς μυριαχοῦ λέγεται. (v. 533) Ὅτι τοὺς Θρᾷκας ἀκροκόμους τε καλεῖ, ὅ ἐστιν ἄκρως κομῶντας, καὶ δολιχά φησιν ἔχειν αὐτοὺς ἔγχεα. ἴσως γὰρ ταῦτα ἦσαν αὐτοῖς παράσημα. λέγει οὖν οὕτω· «Θρήϊκες ἀκρόκομοι, δολίχ’ ἔγχεα χερσὶν ἔχοντες». ὅρα δέ, ὡς οὐκ ἠξίωσεν αὐτοὺς καρηκομόωντας εἰπεῖν, ὡς ἀπονείμας τοῦτο τοῖς Ἀχαιοῖς. καίτοι ταὐτόν ἐστιν ἀκροκόμους, ὡς εἴρηται, εἰπεῖν καὶ καρηκομόωντας. Τινὲς δὲ οἴονται ἀκροκόμους λέγειν τοὺς ἐν ἄκρῳ τῆς κεφαλῆς κομῶντας, οὐ μὴν καθειμένας εἰς βάθος τὰς τρίχας ἔχοντας. Ἰστέον δὲ καί, ὅτι τοὺς δολιχὰ ἔγχεα χερσὶν ἔχοντας δυνάμενος δολιχέγχεας συνθέτως εἰπεῖν, ὡς ἐπὶ ἄλλων ἐποίησεν, ὅμως οὕτω δόξαν αὐτῷ περιέφρασεν. (v. 534 s.) Ὅτι ἐπὶ ἀνδρείου φεύγοντος ἐξ ἀνάγκης διὰ πολεμίων πλῆθος εἴποι τις ἂν τὸ «οἵ αὐτὸν μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυὸν ὦσαν», ἤτοι καὶ ἀνδρεῖον ὄντα ἐδίωξαν. ἔμφασιν δέ τινα ἔχει μεγαλείου καὶ ὕψους ἡρωϊκοῦ τὸ ὦσαν, εἴ τις ἐννοήσεται, ὡς τὸ μὲν κυλίειν ἀπὸ τῶν ἄνω ἐπὶ τὰ κατώτερα λέγεται, τὸ δὲ ὠθεῖν ἀνάπαλιν. ἔτι καὶ δυσχέρειαν ἐμφαίνει τοῦ ἡρωϊκοῦ ἀναποδισμοῦ, εἴπερ κατακυλίεται μέν τι ῥᾷον, ὠθεῖται δὲ οὐκ εὐχερῶς ἀπὸ τῶν κάτω ἐπὶ τὸ ἄνω. καλῶς δὲ τῷ μέγαν ἐπήγαγε τὸ καὶ ἴφθιμον καὶ ἀγαυόν. ὁ γὰρ ἄλλως μέγας βουγάϊός ἐστι καὶ γῆς ἐτώσιον ἄχθος. (v. 535) Ὅτι πελεμίζειν πολλαχοῦ παρὰ τῷ ποιητῇ τὸ κινεῖν ἢ μετακινεῖν. ἐνταῦθα οὖν φησίν· «ὃ δὲ χασσάμενος πελεμίχθη». καὶ ἴσως ἐντεῦθεν γίνεται καὶ ὁ πόλεμος ὡς οἱονεὶ πέλεμος, οἷα κινῶν ἢ καὶ πολλοὺς τοῦ βίου μετακινῶν. Ἰστέον δὲ καί, ὅτι ἀντιστρόφως πως ἔθηκε τὰ τοῦ λόγου μέρη, ὡς οἱ παλαιοί φασιν. ἐχρῆν γὰρ εἰπεῖν, ὅτι «ὃ δὲ πελεμιχθεὶς χάσατο», ἤγουν μετακινηθεὶς ὑπεχώρησε. καὶ ἔστι καὶ τοῦτο πρωθύστερον σχῆμα, ὃ καὶ ὑστερολογία λέγεται καὶ πολλαχοῦ εὑρίσκεται. εἴη δ’ ἂν τοιοῦτόν τι καὶ παρὰ Σοφοκλεῖ τὸ «χάριν, ἥνπερ τυγχάνων ὑπεσχόμην», ἤγουν ἔτυχον ὑποσχόμενος. κἀκεῖνο δὲ ἰστέον, ὡς, ἐπεὶ καὶ ἄμφω κινήσεις εἰσὶ καὶ τὸ πελεμιχθῆναι καὶ τὸ χάσασθαι, ἀδιάφορον ὁ ποιητὴς ἡγεῖται οὕτως ἢ ἐκείνως εἰπεῖν. (v. 536) Ὅτι παρ’ Ὁμήρῳ πρώτῳ κεῖται τὸ παρ’ ἀλλήλοις τετάσθαι ἢ κεῖσθαι ἢ εἴ τι τοιοῦτον. φησὶν οὖν· «ἐν κονίῃσι παρ’ ἀλλήλοισι τετάσθην» καὶ μετ’ ὀλίγα «παρ’ ἀλλήλοισι τέταντο», ἤγουν ἐγγὺς ἀλλήλων.

1.802 ὅθεν καὶ τὸ παραλληλίζειν ἐπὶ παραθέσεως, ἤτοι συγκρίσεως, καὶ λόγοι παράλληλοι. τὸ δέ γε «ἐν ἀλλήλοις» πλεῖόν τι δηλοῖ τοῦ ἐγγὺς ἀλλήλων, ὡς δηλοῖ καὶ ὁ εἰπὼν τὸ «οὐ παρ’ ἀλλήλοις ἀλλ’ ἐν ἀλλήλοις» καὶ ἔτι σαφέστερον δι’ ἑτεροίας φράσεως ὁ ποιήσας τὸ «οὐ παρ’ αὐτοῖς ἀλλ’ ἐν αὐτοῖσιν ὄντες κακοῖς», ἤγουν οὐκ ἐγγὺς ὄντες κακῶν ἀλλ’ ἤδη ἐντός. (v. 539—44) Ὅτι εἰδὼς ὁ ποιητὴς τὴν αὐτοῦ ἐν ῥητορείᾳ ἰσχὺν καὶ οἵαν σήμερον μάχην ἐξαρτύσει τῷ λόγῳ, καθ’ ἣν πολλοὶ πρηνέες ἐν κονίῃσι πεσοῦνται, καὶ ὡς οὐκ ἔστι κάλλιον καὶ μεγαλοπρεπέστερον καὶ ἐναγωνιώτερον συστῆναι μάχην ἢ ἀφηγηθῆναι, λέγει, ὅτι τότε «οὐκέτι ἔργον ἀνὴρ ὀνόσαιτο μετελθών, ὃς ἔτ’ ἄβλητος καὶ ἀνούτατος ὀξέϊ χαλκῷ δινεύοι κατὰ μέσσον, ἄγοι δέ ἑ Παλλὰς Ἀθήνη χειρὸς ἑλοῦσα, ἀτὰρ βελέων ἀπερύκοι ἐρωήν». τοιοῦτος δ’ ἂν εἴη θεατὴς ὁ τοῦ ποιητοῦ ἀκροατής, ὃς οὐ τῶν τοῦ πολέμου κακῶν μετέχει, ἀλλὰ τοῦ τῶν πολεμικῶν διηγήσεων κατὰ νοῦν ἀπολαύει καλοῦ θεάματος, ἀκίνδυνος τὴν μάχην περιϊὼν καὶ μηδέν τι ἔχων τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁμηρικῶν ὀνόσασθαι, ἤτοι ἐκφαυλίσαι καὶ καταμέμψασθαι, καὶ μᾶλλον, εἴπερ ἄγοι αὐτὸν ἡ Ὁμηρικὴ Παλλάς, ἡ τοῦ γράφειν δηλαδὴ μεθοδικὴ δεινότης, ἡ τοῦ φρονεῖν μήτηρ κατὰ τοὺς παλαιούς, χειρὸς ἑλοῦσα τὰς πτύχας ἀνελιττούσης τὰς τῆς Ὁμηρικῆς βίβλου καὶ οὕτω βελέων ἀπερύκουσα ἐρωήν. ὃν καὶ χειραγωγεῖ ἀκινδύνως ἡ τοιαύτη Παλλὰς εἰς τὰ καθέκαστα τῆς Ὁμηρικῆς ποιήσεως οἷα συνετὸν ἀκροατήν. (v. 540) Ὅρα δέ, ὡς καὶ ἐν τῷ «ἄβλητος καὶ ἀνούτατος» διαφορὰν σαφῶς οἶδεν, ὡς καὶ ἐν ἄλλοις, τοῦ οὐτάσαι καὶ τοῦ βαλεῖν, τοῦ μὲν ἐκ τοῦ σχεδὸν γινομένου, τοῦ δὲ βαλεῖν πόρρωθεν. Σημείωσαι δὲ καί, ὅτι ἐν τῷ «ὅστις ἔτι ἄβλητος» περιττῶς κεῖσθαι δοκεῖ τὸ ἔτι καὶ μηδέν τι σημαίνειν. τοιαῦτα δέ εἰσι καὶ ἄλλα, ὡς καὶ ἐν τῇ β′ ῥαψῳδίᾳ παρασεσημείωται. (v. 539) [Τοιοῦτον δέ τι καὶ τὸ «ἔνθα κεν οὐκέτι ἔργον», ὡς ἀνωτέρω κεῖται. περιττὸν γάρ ἐστι τὸ τι , καὶ ἔστιν ὁ νοῦς, ὡς οὔτι, τουτέστιν οὐδαμῶς, μέμψοιτο ἄν τις τὸ τῆς μάχης ἔργον.] ΕΚ ΤΩΝ ΤΗΣ ΕΨΙΛΟΥ ΡΑΨΩΙΔΙΑΣ Ὅτι τῆς ε ῥαψῳδίας ἐπιγραφὴ ἡ μὲν ἔμμετρος αὕτη· Εἶ· βάλλει Κυθέρειαν Ἀρηά τε Τυδέος υἱός.

2.1.(t) ἡ δὲ πεζὴ ἥδε· Διομήδους ἀριστεία. Ἰστέον δὲ ὅτι τὸ ε στοιχεῖον εἶ ἔλεγον οἱ παλαιοὶ προστιθέντες τὸ ι , ἵνα τῇ διὰ διφθόγγου ἐκτάσει δύνωνται περισπᾶν καὶ αὐτό, καθὰ καὶ τὰ ἄλλα στοιχεῖα. τοιοῦτον δὲ ποιοῦσι καὶ ἐπὶ τοῦ μικροῦ ο . καὶ ἐκεῖνο γὰρ διὰ τὴν αὐτὴν αἰτίαν οὖ λέγουσι. περὶ δὲ τούτων οἱ ἐξηγηταὶ τῆς γραμματικῆς γράφουσιν, ὅσα ἐνδέχεται. Ποιεῖ δὲ Ὅμηρος ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ τὸν Διομήδην ὑπὲρ πάντας Ἀχαιοὺς ἀριστεύοντα κατ᾽ ἐξαίρετον. ἀνεπτέρωται γὰρ ἤδη ἐρεθισθεὶς ὁ ἥρως τοῖς τοῦ βασιλέως λόγοις καὶ ἄλλως ὀξὺς ὢν καὶ φιλότιμος. ὅλως γάρ, ὡς ἐρρέθη, δραστικὸς παρ᾽ Ὁμήρῳ πᾶς λόγος, καὶ οὐκ ἂν εὕροις τινὰ παρὰ τῷ ποιητῇ ὀνειδισθέντα ἢ κελευσθέντα ἢ ἄλλως λόγοις ἐρεθισθέντα καὶ μὴ οὐκ ἀνύσαντά τι καλὸν καὶ ἑαυτοῦ κρείττω γενόμενον, ὅπουγε καὶ ἐν τοῖς ἑξῆς ὁ Ἀλέξανδρος ἐρεθισθεὶς τοῖς τοῦ Ἕκτορος λόγοις ἀριστεύει καὶ πρὸ αὐτοῦ Ἕκτορος. καὶ δεικνύει οὕτως ὁ λογιώτατος Ὅμηρος, οἷα ὁ λόγος δύναται. Καὶ τοιοῦτος μὲν ὁ Διομήδης καὶ οὕτως ὀξύνεται φιλοτίμως εἰς πόλεμον. Αἴας δέ, εἰ καὶ πρωτεύει τῶν Ἑλλήνων ἀνδρίᾳ, ὡς δευτερεύων μόνου τοῦ Ἀχιλλέως, ἀλλὰ δυσκίνητός ἐστι τῷ πολλῷ τοῦ μεγέθους καὶ ἀεὶ κατὰ ὁμαλὴν κίνησιν ἄριστος καὶ οὐ κατὰ τὸν Διομήδην ὀξὺς ἐν καιρῷ. Ἄλλως δὲ καὶ φυλάττει Ὅμηρος αὐτὸν μάλιστα ὕστερον ὡς σταδαῖον μαχητὴν εἰς τὸν μέγαν κίνδυνον τὸν περὶ τῶν νηῶν. φρονήσει δὲ τὰ πλείω κατορθοῖ, ὡς εἰκός, ὁ Διομήδης. διὸ καὶ ἡ Ἀθηνᾶ συναίρεται αὐτῷ δι᾽ ὅλου τοῦ γράμματος τούτου. ἔτι δὲ καὶ ἄλλως, ὀνειδισθεὶς ἐπὶ ἀνανδρίᾳ ὑπὸ τοῦ βασιλέως ὁ Διομήδης καὶ πτώσσειν ἀκούσας καὶ ὀπιπτεύειν πολέμοιο γεφύρας, νοεῖ δέον εἶναι δι᾽ ἔργων πιστώσασθαι ψεύδεσθαι τὸν βασιλέα.

2.2 Διὸ οὐ μόνον οὐκ ἐγγὺς ἵσταται τῶν τοῦ πολέμου γεφυρῶν, ὡς φευξόμενος, ἀλλὰ καὶ μέσον γίνεται, ὅπου πλεῖστοι ἐκλονοῦντο. καὶ τοῦτό ἐστιν ἡ θαρσύνουσα αὐτὸν Ἀθηνᾶ, ἤγουν ἡ τοῦ δέοντος φρόνησις. καὶ ἰδοὺ εἰς ἶσον ἥκει τῷ πατρί, εἴγε κατὰ τὸν λόγον τοῦ βασιλέως καὶ ὁ Τυδεὺς ἐπιτάρροθον εἶχε τὴν Ἀθηνᾶν. οἱ δὲ παλαιοί φασιν ἐνταῦθα καὶ ὅτι ἀρετῇ καὶ θυμῷ καὶ φιλοδοξίᾳ παρώξυνται ὁ Διομήδης, ὡς ἐκ τῶν ἐφεξῆς δειχθήσεται. (v. 1—3) Ὅτι ἡ Ἀθηνᾶ ἔδωκε τῷ Διομήδει μένος καὶ θάρσος, ἵν᾽ ἔκδηλος μετὰ πᾶσιν Ἀργείοισι γένοιτο, μένος μὲν κατὰ σῶμα, θάρσος δὲ κατὰ ψυχήν, οὐχ᾽ ὡς πρότερον μὴ ἔχοντι, ἀλλὰ τὰ ἔμφυτα ἐπαυξάνουσα· ὧν ἑκάτερον θατέρου χωρὶς ἀλυσιτελές. δύναμίς τε γὰρ θάρσους χωρὶς ἀκινητίζειν ποιεῖ καὶ θάρσος δίχα δυνάμεως εἰς κενὸν σαλεύει τὸν ἄνθρωπον, ἄμφω δὲ εἰς ἓν ἐλθόντα τὸν ὄντως ἀνδρεῖον ἀποτελεῖ. Ὅτι δὲ χρεία τῷ ἀνδρείῳ καὶ θάρσους, δηλοῖ καὶ ὁ εἰπών, ὅτι κρεῖσσον πάντα θαρσέοντα ἥμισυ τῶν δεινῶν πάσχειν μᾶλλον ἢ πᾶν χρῆμα προδειμαίνοντα μηδαμοῦ μηδὲν παθεῖν. (v. 2) Ἔστι δὲ θάρσος, ἐπίτασις θαρραλέα ἢ κατὰ Στωϊκοὺς τὸ ἀσφαλῶς πεποιθέναι καὶ εὔελπιν εἶναι, ὅτι οὐδενὶ ἂν περιπέσοι δεινῷ. καὶ οἱ ἐκ τοῦ Περιπάτου δὲ τοῖς Στωϊκοῖς ὁμοίως φασί, προστιθέντες μόνον τὸ «ὅσον ἐφ᾽ ἑαυτῷ», ἵνα εἴη ὁ θαρραλέος εὔελπις

ἐν τοῖς δεινοῖς ὅσον ἐφ’ ἑαυτῷ. Ἄλλοι δέ φασι θάρσος εἶναι τὸ ἐν δεινῶν ἐπελεύσει εὐσταθεῖν κατὰ λόγον, οἷόν τι καὶ Ὅμηρος λέγει, ὅτε φησί· «καί οἱ μυίας θάρσος ἐν στήθεσιν ἔθηκεν». ἔτι θάρσος μέν ἐστι, φασί, τὸ εὔλογον παράστημα τῆς ψυχῆς ἢ ἡ ὑπὸ θεοῦ ἄρσις ἤτοι θεῖον ἔπαρμα τῆς ψυχῆς· θράσος δὲ τὸ ἀνάπαλιν. Ἰστέον δὲ ὅτι τε μετ’ ὀλίγα ἐκ τοῦ μένος καὶ θάρσος εὑρεθήσεται συγκείμενος ὁ θρασυμέμνων, καὶ ὅτι εἰς τὸν ποιοῦντά τι διὰ τιμὴν εἴποι τις ἂν οὕτω· «ἵνα ἔκδηλος μετὰ πᾶσι γένοιτο ἰδὲ κλέος ἐσθλὸν ἄροιτο». Καὶ ὅρα τὰ καίρια σύντομα πάρισα τὸ ἄροιτο καὶ γένοιτο· καὶ ὅτι ἐφετὸν δοξάζει τὴν τιμήν, ἐὰν διὰ τοῦτο ἡ Ἀθηνᾶ βοηθῇ τῷ Διομήδει, ἵνα κλέος ἐκεῖνος ἄροιτο.

2.3 καὶ ὡς τοῦ «ἔκδηλος γένοιτο» διασαφητικόν ἐστι τὸ «καὶ κλέος ἐσθλὸν ἄροιτο». (v. 4—7) Ὅτι φωσφόρον, ὡς καὶ ἐν ἄλλοις εἴρηται, ὁ μῦθος λέγει τὴν Ἀθηνᾶν, ὡς τῆς φρονήσεως οὔσης τοιαύτης. διὸ καὶ ἐν Ὀδυσσείᾳ νύκτωρ λύχνον ἔχουσα προοδεύει τοῦ Ὀδυσσέως καὶ τοῦ Τηλεμάχου, καὶ ἐνταῦθα «δαῖέ οἱ», τουτέστιν ἀνέκαιε τῷ Διομήδει, «ἐκ κόρυθός τε καὶ ἀσπίδος ἀκάματον πῦρ», ὅ ἐστιν ἀκοπίατον, ἀκατάπαυστον, «ἀστέρ’ ὀπωρινῷ ἐναλίγκιον, ὅς τε μάλιστα λαμπρὸν παμφαίνῃσι λελουμένος Ὠκεανοῖο», ἵνα καὶ οὕτως ἔκδηλος, ὡς εἴρηται, ὁ Διομήδης ἐν ἅπασιν Ἀργείοις γένηται, ἤγουν τῶν Ἀργείων ἐκδηλότατος πάντων. τὰ γὰρ πρὸ τούτου ἐπεσκοτεῖτο οἷον ὑπὸ τῆς Ἀχιλλέως ἀρετῆς. ἢ καὶ διότι ἐν τῷ φθάσαντι χρόνῳ τὴν Θρᾴκην ἐγεώργει, ὥς τινες ἱστοροῦσι, καὶ οὐκ ἦν ἐμφιλοχωρῶν τῷ πολέμῳ, ὡς ἂν εἴη διάδηλος καὶ λαμπρὸς καὶ ἐκφανέστατος. Τὸν δὲ Ὁμηρομάστιγα Ἐφέσιον Ζωΐλον μεμφόμενον τῷ ποιητῇ τούτου τοῦ πυρός, ὃ κατέφλεξεν ἄν, ὡς αὐτὸς λέγει, τὸν ἥρωα, καταρραπιστέον, εἴγε σπουδάζων τὴν φαντασίαν εἰς ἀλήθειαν ἕλκει καὶ οὐδὲ Ὁμήρου ἀκούει, πῦρ μὲν εἰπόντος, εἶτα ἑαυτὸν ἐφερμηνεύοντος καὶ τρόπον τινὰ λέγοντος, ὅτι οὐ πυρὶ φλέγοντι ἀλλ’ ἀστέρι ἐῴκει λαμπρὸν παμφαίνοντι. Ἔτι μεμπτέον ἐκεῖνον καὶ ὅτι οὐδὲ τὴν ἐκ τῆς ἀλληγορίας θεραπείαν τῷ νοσοῦντι τοῦ μύθου προσάγειν ἐθέλει. οὐ γὰρ αὐτόχρημα πῦρ ἀνήπτετο ἐκ τῶν τοῦ Διομήδους ὅπλων, ἀλλ’ ὡσανεὶ πῦρ διὰ τὴν τῶν ὅπλων λαμπρότητα, ὑπὲρ τὰς ἄλλας, ὡς εἰκός, οὖσαν. διὸ καὶ ὁ Πάνδαρος ἐν τοῖς ἑξῆς ἀσπίδι λέγει γινώσκειν τὸν Διομήδην καὶ τρυφαλείῃ. Ἢ καὶ ἄλλως, οἷόν τι πῦρ νοεῖται ἀνάπτεσθαι ἐκ τῶν ὑψηλοτέρων ὅπλων καὶ μερῶν τοῦ ἥρωος διὰ τὸ τὸν Διομήδην σήμερον κατὰ τὸν ποιητὴν ἔκδηλον γενέσθαι πᾶσιν Ἀργείοις καὶ ἐκφανθῆναι ὑπὲρ τοὺς ἄλλους καὶ εἰς μέσον ὠσθέντα, ὅθι πλεῖστοι κλονέοντο, τῶν ἄλλων φανερῶς—εἰπεῖν δὲ ταὐτὸν φαεινῶς καὶ φανερῶς—ὑπερφαίνεσθαι καὶ δοκεῖν οἷον πυρόεντα καὶ τῇ ὑπεροχῇ προλάμπειν, πέμποντα φλογίου πυρὸς φαντασίαν δαιομένου, ἐξ οὗ καὶ τὸ δῆλος καὶ τὸ ἔκδηλος γίνεται. ἀπὸ γὰρ τοῦ δαίω καὶ ταῦτα παράγεται. οὕτω δὲ καὶ ἡ Ἀθηνᾶ ἐν τοῖς ἑξῆς εἰς ὄχεα φλόγεα βαίνει, ὅ ἐστιν, εἰς λαμπρὰ καὶ δῆλα καὶ παμφαίνοντα. καὶ οἱ τοῦ Ἀγαμέμνονος δέ που ὀφθαλμοὶ πυρὶ λάμποντι ἐῴκεσαν, οὐ μὴν αὐτὸ τοῦτο πῦρ ἦσαν.

2.4 κατὰ τοιοῦτον δέ τινα λόγον καὶ ἐν τῇ ϛ′ ῥαψῳδίᾳ φλόγα παμφανόωσαν ἐκ τοῦ Ἀχιλλέως ἀνακαίει ἡ Ἀθηνᾶ ἐκφοβοῦσα τοὺς Τρῶας. ἔνθα οὐδὲ ἀστέρι ἐκεῖνον εἰκάζει, ἀλλὰ μεγάλοις πυρσοῖς νησιωτικοῖς. καὶ ἔστιν ἐκεῖνο τούτου τοῦ πυρὸς λαμπρότερον καὶ φοβερώτερον. Πυρὶ μέντοι αὐτόχρημα ὥπλισται ὁ ἐν τοῖς ἑξῆς κατὰ τὸν μῦθον μάχιμος Ἥφαιστος. διὸ καὶ ὁ ποταμὸς Ξάνθος ἐρεῖ· οὐκ ἄν σοι μαχοίμην πυρὶ φλεγέθοντι. χρήσιμος δὲ ἐνταῦθα καὶ ἡ παρὰ τῷ Τραγικῷ ἀστραπὴ τῶν ὅπλων καὶ τὸ «τεύχεα ποικίλα ἔλαμπεν». Ὅτι δὲ ἐνδέχεται καὶ τὸ ὡς παραβολικὸν ἐπίρρημα ἐνταῦθα προσυπακούειν καὶ λέγειν ὅτι ὡς πῦρ ἀκάματον ἐκ τοῦ Διομήδους ἀνήπτετο, δηλοῖ ἐν τοῖς ἑξῆς λεχθησομένοις καὶ τὸ «ἐμάχοντο δέμας πυρός». οὐ γὰρ δήπου πῦρ ἐμάχοντο ἀλλ’ ὡς πῦρ. Σημείωσαι δὲ ὅτι καὶ ἐξ εἰκότων ὁ περὶ τοῦ πυρὸς τούτου ἐνταῦθα λόγος πέπλασται τῷ ποιητῇ, ὡς πολλάκις καὶ τοιούτων τινῶν γινομένων, καθὰ καὶ ἐπὶ τοῦ μεγάλου Ἀλεξάνδρου συνέπεσε. κινδυνεύων γὰρ ἐκεῖνός που ἐν Ἰνδίᾳ ἐτινάξατο τοῖς ὅπλοις κατὰ τὴν ἱστορίαν. οἱ δὲ βάρβαροι σέλας τι καὶ φάσμα πρὸ τοῦ σώματος ἔδοξαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φέρεσθαι. καὶ Ὅμηρος μὲν ὡς μῦθον εἰπὼν συμβιβάζεται ἀλληγορικῶς, ἡ δέ γε ἱστορία πολλὰ σώματα πυροβολῆσαι διδάσκει. Τιβερίου τε γὰρ ἵππος σπινθῆρας ἠφίει ποτὲ τοῦ στόματος καὶ τὸ τέρας ἀπέβη αἴσιον. ὑπάτευσε γὰρ ἐκεῖνος. καὶ Βαλίμερ δέ, ὁ Θευδερίχου πατήρ, ὁ κατακρατήσας Ἰταλίας, φασίν, ἁπάσης, τοῦ οἰκείου σώματος σπινθῆρας ἀπέπαλλε. καί τις δὲ σοφὸς παλαιός φησι περὶ ἑαυτοῦ, ὅτι ἐνδυομένου ποτὲ καὶ ἐκδυομένου αὐτοῦ σπινθῆρες ἀπεπήδων ἐξαίσιοι, ἔστιν ὅτε καὶ κτυποῦντες, ἐνίοτε δὲ καὶ φλόγες ὅλαι κατέλαμπον, φησί, τὸ ἱμάτιον μὴ καίουσαι. καὶ τὸ τέρας ἐκεῖνος ἀγνοεῖν λέγει εἰς ὃ τελευτήσειεν. Ἐνταῦθα δὲ μνηστέον καὶ ὅτι Κλεομένης καθ' Ἡρόδοτον καλλιερευόμενος εἶδεν ἐξ ἀγάλματος τῶν στηθέων φλόγα πυρὸς ἐκλάμψασαν. Προσενθυμητέον δὲ καὶ τόν, ὡς αὐτὸς λέγει, καιόμενον χρυσὸν ἐπὶ πρώτῳ ἀδελφῷ Σκύθῃ καὶ δευτέρῳ, ὃς ἐπὶ τῷ τρίτῳ καὶ νεωτάτῳ κατέσβη, φησίν. ὑποθετέον οὖν καὶ τὸν Διομήδην οὕτω πως πυρεκβολεῖσθαι δι' Ἀθηνᾶς. καὶ τοιοῦτον μὲν τοῦτο.

2.5 [Ἔδοξε δέ τισι καὶ κατοπτρικήν τινα ἐπίνοιαν μεμηχανῆσθαι τῷ Διομήδει ἔν τε τῇ αὐτοῦ, ὡς εἰκός, περικεφαλαίᾳ καὶ τῇ ἀσπίδι, καὶ οὕτω λίαν καταυγεῖν τὰς ὄψεις τῶν εἰς αὐτὸν βλεπόντων, ὅτε ἀντικρὺ πρὸς λάμποντα ἥλιον ἔστραπτο, καθ' ἣν δὴ ταύτην μέθοδον Ἀρχιμήδης μὲν ὁ σοφώτατος πολεμικὰς ἐνεπύρισε νῆας ὡς οἷά τις κεραυνοβόλος· Ἀνθέμιος δέ τις ὕστερον γείτονα πονηρὸν καταστράπτων καὶ οὕτως ἐκφοβῶν μακρὰν ἑαυτοῦ ἀπῴκισε. Χρήσιμα δὲ εἰς τὸ κατανοῆσαι τὸ τοῦ Διομήδους πῦρ καὶ Σαλουστίου ῥηθὲν περί τινος τὸ «πυρὶ ἄρα ἐῴκει ὁ ἄνθρωπος ἐξάπτοντι πάντα τὰ παρακείμενα». ἔτι δὲ καὶ τὸ «Ἀβροβάστης Φράγγος κατὰ ἀλκὴν σώματος καὶ θυμοῦ τραχύτητα φλογοειδὴς ἦν». ναὶ μὴν καὶ τὸ «ἀπαντήσας τοῖς βαρβάροις, πυρὶ προσφερής, ἔργα ἐπεδείκνυτο χεῖράς τε καὶ πόδας ἀνθρώπου παρατρέχοντα». Ταῦτα δὴ καὶ ὅσα τοιαῦτα τίς οὐκ ἂν εἴποι ἐκ τῶν τοῦ Ὁμήρου παραπεποιῆσθαι πυρώσαντος τὸν Διομήδην, ὡς αὐτὸς ἔφρασε; Χρησιμεύει δ' ἐνταῦθα καὶ τὸ προσενθυμηθῆναι, ὡς καυστειρά ἡ μάχη λέγεται καὶ δηΐς καὶ δηϊοτής διὰ τὸ ἔνθερμον καὶ ὡς εἰπεῖν πυρόεν τῆς κατὰ πόλεμον κινήσεως καὶ τὸν στρατιωτικὸν θυμόν. Ὅθεν καὶ θερμός λέγεται ὁ ἀναιδής καὶ οὕτω μάχιμος, καὶ θερμουργός ἐπαίνου λόγῳ ὁ ἀνδρεῖος, καὶ θερμὸν ἔργον ἄλλως τὸ θρασύ, ἐπεὶ καὶ τὸ θράσος καὶ πρὸ αὐτοῦ τὸ θάρσος ἐκ τοῦ θέρω θέρσω παρῆκται, ἀφ' οὗ καὶ ὁ θερμός. Ἔτι καλόν ἐννόημα ἐπὶ τοῖς εἰρημένοις καὶ ἡ πυρπαλάμη καὶ τὸ πυρπαλαμᾶσθαι, ὧν ἡ μὲν πανοῦργον ἄνδρα σημαίνει, τὸ δὲ ἀντὶ τοῦ κακοτεχνεῖν εἴληπται καὶ οἷον διὰ πυρὸς ἰέναι τῇ κακοτεχνίᾳ. πάντως γὰρ τροπικῶς τοῖς τοιούτοις ἅπασι τὸ πῦρ καὶ τὰ κατ' αὐτὸ ἐμφαίνεται, καθὰ καὶ ἐν τῷ «βριθὺς ὁπλιτοπάλας, δάϊος ἀντιμάχοισι» καὶ ἐν τῷ «πῦρ ὀφθαλμοῖσι δεδορκώς».

2.6 καὶ τοιαῦτα μὲν καὶ ταῦτα.] (v. 7) Ἡ δὲ τῆς ῥηθείσης παραβολῆς ἀπόδοσις εἰποῦσα· «τοῖόν οἱ πῦρ δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων» διασαφητική ἐστι τοῦ «ἐκ κόρυθός τε καὶ ἀσπίδος», ἵνα μὴ μόνα τὰ ὅπλα φαίνηται πυρὶ δαιόμενα ἐξ ἐπιπολῆς, ἀλλὰ πρὸ αὐτῶν ἡ κεφαλὴ καὶ οἱ ὦμοι τοῦ ἥρωος, ἐξ ὧν ἠκοντίζετο καὶ εἰς τὰ ἔξω τὸ πῦρ ὡσεὶ καὶ φῶς διά τινων φανῶν. ἅμα δὲ ἡ τοιαύτη ἀπόδοσις δηλοῖ καί, ὡς οὐ πᾶσα ἡ ἀσπὶς τῷ Διομήδει ἐλάμπετο πυρί, ἀλλὰ μόνον αὐτῆς τὸ πρὸς τοῖς ὤμοις ἐκείνου. Ὅρα δὲ καὶ ὅτι ἐνταῦθα μὲν ἀναλόγως τῷ μεγάλῳ ἥρωϊ ἐπλάτυνε τὴν ἐκ τοῦ ἀστέρος παραβολήν, ἐν δὲ τοῖς ἑξῆς ἐπὶ βασιλικοῦ βρέφους πάνυ συνέστειλεν, εἰπὼν ἐκεῖνον ἀλίγκιον ἀστέρι καλῷ. ἡ δὲ τραγῳδία τοῦτο παραποιήσασά φησί τινα «Ἑλλανίας φανερώτατον ἀστέρ' Ἀθάνας», ἤγουν ἀστέρα τῆς παρ' Ἕλλησιν Ἀθηνᾶς, ταὐτὸν δ' εἰπεῖν διάδηλον ἐν Ἀθήναις, αἳ παρονομάζονται τῇ Ἀθηνᾷ. ὅμοιον γὰρ διάδηλον εἰπεῖν καὶ φανερώτατον, καθότι συγγενῆ ἀλλήλοις καὶ τὸ δαίειν καὶ τὸ φαίνειν, ὧν ἐκ μὲν τοῦ δαίειν ὁ δῆλος, ἐκ δὲ τοῦ φαίνειν ὁ φανερός, ὁ καὶ καλός διὰ τὴν φαῦσιν, ὡς ταὐτίζεσθαι οὕτω τὸ καλὸν ἀστέρα καθ' Ὅμηρον καὶ φανερώτατον ἀστέρα, ὃς πάνυ ᾠκείωται τῷ ἐνταῦθα παραβολικῶς δαιομένῳ πυρί, ὡς ἀπὸ τοῦ αἴθειν παραγόμενος, ὃ ταὐτὸν τῷ δαίειν ἐστίν. αἰστὴρ

γάρ τις ἀπὸ τοῦ αἴθειν καὶ ἀπελεύσει τοῦ διχρόνου ἀστήρ. καὶ οὕτω μὲν καὶ τάδε. (v. 4) Ἰστέον δὲ καὶ ὡς τὸ «δαῖέ οἱ ἐκ κόρυθος πῦρ», χωρὶς τοῦ ν ἐν πολλοῖς ἀντιγράφοις φερόμενον, αἰτίας ἀπαιτεῖ ζήτησιν. μετ’ ὀλίγον γὰρ ἐν τῷ «πῦρ δαῖεν ἀπὸ κρατός», μετὰ τοῦ ν ἐκφέρεται, ταὐτοδύναμον ὄν. Εἰ μὲν οὖν δι’ εὐρυφωνίαν λειοτέραν καὶ οὐ πάνυ ἀηδῆ καὶ τραχεῖαν ἐνταῦθα χασμᾶται τὸ μέτρον, εὕρηται ἰδοὺ λύσις αὕτη, εἰ δὲ μή, ζητητέον ἑτέραν αἰτίαν, διὰ τί τὸ δαῖε δίχα τοῦ ν γράφεται πρὸ φωνήεντος.

2.7 Τινὲς μέντοι οὕτω γράφουσι «δαῖε δέ οἱ ἐκ κόρυθος». Ἕτεροι δὲ ἀποκοπῆναί φασιν ἐκ τοῦ δαίετο καὶ διὰ τοῦτο ἐξ ἀνάγκης γράφεσθαι δίχα τοῦ ν . Πῦρ δὲ ἀκάματον λέγεται οὐ τὸ διόλου ἀναπτόμενον, ἀλλὰ τὸ τῇ οἰκείᾳ φύσει τοιοῦτον. εἰ γὰρ καὶ κάμνει τῇ σβέσει, ἀλλ’ ὅτι πῦρ ἐστιν, ἀκάματόν ἐστι. Διὰ τί δὲ ἐκτείνεται ἡ ἄρχουσα τοῦ ἀκάματον, ὅτι δηλαδὴ πρὸς ἀναγκαῖον δακτύλου ἀπαρτισμόν, ὃ δὴ γίνεται καὶ ἐν τῷ ἀθάνατος, δηλοῦται καὶ ἀλλαχοῦ. (v. 5) Ἄστρου δὲ καὶ ἀστέρος διαφορά, ὡς καὶ ἑτέρωθι δηλοῦται, καθότι ὁ μὲν ἀστὴρ ἓν σῶμά ἐστι, τὸ δὲ ἄστρον ὡς περιεκτικόν. ἄστρον γάρ ἐστι τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον ἀστροθέτημα, μιᾷ φαντασίᾳ ὄψεως ὑποπίπτον, μετά τινος μυθολογίας ἀποδιδόμενον, ὡς ἐν τοῖς Ἀράτου φαίνεται. καὶ οὕτω μὲν κατὰ τοὺς παλαιούς. οἱ δὲ ὕστερον συνέχεαν τὰς λέξεις, ὡς εἶναι παρ’ αὐτοῖς ταὐτὸν ἄστρον καὶ ἀστέρα. Τὸ δὲ «ἀστέρ’ ὀπωρινῷ» συναληλιμμένως ἔχον διὰ δακτύλου χρείαν, γράφεται καὶ ἄλλως ἐντελῶς «ἀστέρι ὀπωρινῷ». καὶ ἔχουσι καὶ τοῦτο οἱ παλαιοὶ παράδειγμα συνιζήσεως, ἐν ᾗ δύο βραχεῖαι εἰς μίαν λογίζονται. τὸ ρι γὰρ καὶ τὸ ο εἰς μίαν συνεκφωνοῦνται βραχεῖαν συλλαβήν. Τοιοῦτον δ’ ἐν τοῖς ἑξῆς καὶ τὸ «χαῖρε δὲ τῷ ὄρνιθι Ὀδυσεύς, ἠρᾶτο δ’ Ἀθήνῃ». ἡ γὰρ τελευταία τοῦ ὄρνιθι καὶ ἡ ἄρχουσα τοῦ Ὀδυσεύς εἰς ἕνα βραχὺν πόδα συνιζάνουσι καὶ ποιοῦσι μετὰ τῆς δυ βραχείας καὶ αὐτῆς συλλαβῆς δάκτυλον. Ὀπώρα δέ, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ὥρα μεταξὺ κειμένη θέρους καὶ τοῦ μετ’ αὐτὴν μετοπώρου. (v. 6) Τὸ δὲ «λελουμένος Ὠκεανοῖο» ἐλλέλειπται προθέσεως, ἵνα ᾖ λελουμένος ἐπὶ Ὠκεανοῦ. τὸ δέ γε κοινὸν καὶ σύνηθες «λελουμένος Ὠκεανῷ». (v. 5) Λέγει δὲ ἀστέρα ὀπωρινὸν τὸν κύνα, ὃν ἡ κοινὴ λαλιὰ διὰ τὸ σαφέστερον κύναστρον λέγει, οὗ ἐπιτέλλοντος ἡλίῳ ἤτοι μικρόν τι προανατέλλοντος οἱ πολλοὶ γίνονται καύσωνες.

2.8 διὸ καὶ οὔλιον αὐτὸν ἐρεῖ ἀλλαχοῦ. Ἀστείως δὲ καὶ προσφυῶς παρέβαλεν ὁ ποιητής. ὡς γὰρ ἐπιτέλλει ὁ κύων ἡλίῳ, ὅτε ὀλέθρια γίνεται καύματα, οὕτω καὶ Διομήδης, μικρὸς οὗτος ἀστήρ, τῷ μεγάλῳ Ἀχιλλεῖ ἐπιτέλλει, ἤτοι προανατέλλει αὐτοῦ. ὃς μετὰ μικρὸν ἀναλάμψας καὶ τὸν θυμὸν ἐκκαύσας διώξει τοὺς Τρῶας, ὡς πῦρ ἀκρίδας, καθά φησιν ἀλλαχοῦ Ὅμηρος ἐν παραβολῇ. (v. 6) Ὠκεανὸς δὲ κατὰ μὲν ἀλληγορίαν ἐστὶ κύκλος, διχάζων ἐννοηματικῶς τὴν οὐρανίαν σφαῖραν κατὰ ἰσότητα τοῦ τῆς γῆς ἐπιπέδου καὶ τέμνων διχῇ κατ’ ἐπίνοιαν αὐτὴν εἴς τε τὸ ὑπὲρ γῆν καὶ εἰς τὸ ὑπὸ γῆν ἡμισφαίριον καὶ διὰ τοῦτο ὁρίζων λεγόμενος. Ἐκ τοῦ τοιούτου Ὠκεανοῦ, κύκλῳ περιειληφότος τὴν γῆν, οἱ ἀστέρες ἀνέρχονται καὶ εἰς αὐτὸν αὖθις δύονται. διὸ καὶ οὕτω καλεῖται ὡς δι’ αὐτοῦ τῶν ἀστέρων ὠκὺ ἄνω γινομένων ἢ καὶ ὠκέως ἀνυόντων τὰς ἑαυτῶν κινήσεις. Ἡ δὲ ποίησις Ὠκεανὸν βούλεται εἶναι ποταμὸν περιρρέοντα κύκλῳ τὴν γῆν. Ἡ δὲ ἀληθὴς ἱστορία τὴν ἔξω θάλασσαν Ὠκεανὸν λέγει. διὰ τούτου τοῦ Ὠκεανοῦ οἱ πολλοὶ ἀνατέλλειν τοὺς ἀστέρας δοκοῦσιν, ὡς οἷον ἐγγίζοντας ἢ καὶ ψαύοντας μυθικῶς τοῦ ὕδατος. Διὸ καὶ Ὅμηρος ποιητικώτερον λελοῦσθαι ἐπὶ Ὠκεανοῦ ἀστέρα λέγει, ὡς εἴπερ εἶχε τὴν λαμπρότητα διὰ τὸ ἐκεῖ λούσασθαι, καθ’ ὁμοιότητα τῶν λουτρῷ λαμπρυνομένων σωμάτων.

2.9 Σημείωσαι δὲ καὶ ὅτι ἐν οἷς λέγει ὁ ποιητὴς πῦρ ἐκ τοῦ Διομήδους καίεσθαι ἀστέρι ἐναλίγκιον, δοξάζειν φαίνεται πυρά τινα καὶ τοὺς ἀστέρας εἶναι. Ὅθεν καὶ ἀπὸ τοῦ αἴθειν ὁ ἀστήρ, ὡς ἐρρέθη, παράγεται. [Διὸ καὶ ὁ ζηλωτὴς Ὁμήρου Σοφοκλῆς πυρπνόα τὰ ἄστρα δοξάζει, ἔνθα τὸν Διόνυσον κατά τινα μυστικὸν λῆρον πῦρ πνεόντων χορηγὸν ἀστέρων φησίν.] (v. 8) Ὅτι

θαρσαλέου καὶ ἀνδρείου ἔργον τὸ ὁρμῆσαι κατὰ μέσον, ὅθι πλεῖστοι κλονέοντο. (v. 9) Ὅτι κατὰ τοὺς παλαιοὺς τὸ Δάρης κύριον, ἐὰν ὀξύτονον ἦν, ὥς τινες οἴονται, εἰς ους ἂν εἶχε τὴν γενικήν. τὰ γὰρ εἰς ης , φασί, δισύλλαβα ὀξύτονα, ἓν ἔχοντα πρὸ τοῦ η σύμφωνον, εἰς ους περατοῦται κατὰ τὴν γενικήν· σαφοῦς, πρηνοῦς, πρυλοῦς, φραδοῦς, οἷον «φραδέος νόου ἔργα τέτυκται». τὸ ψιλής ψιλῆτος παρ' Αἰσχύλῳ καὶ τὸ «Κουρῆτες ἐμάχοντο» παρὰ τῷ ποιητῇ καὶ τὸ κριτής ἔχουσιν ἄλλον λόγον, ὃν ζητητέον παρὰ τοῖς παλαιοῖς. (v. 9—12) Χρῆσις δὲ τοῦ Δάρητος αὕτη· «Ἦν δέ τις ἐν Τρώεσσι Δάρης, ἀφνειός, ἀμύμων, ἱρεὺς Ἡφαίστοιο. δύω δέ οἱ υἱέες ἤστην Φηγεὺς Ἰδαῖός τε μάχης εὖ εἰδότε πάσης», οἵ, φησίν, ἀποκρινθέντες ἐναντίοι τῷ Διομήδει ὡρμήθησαν. (v. 12) Λέγει δὲ ἀποκρινθῆναι τὸ χωρισθῆναι τοῦ ὁμίλου. Ἄλλως δὲ ἀποκρίνεσθαι τὸ ἀπολογεῖσθαι οὐκ οἶδεν ὁ ποιητής, ἀλλ' ὑποκρίνεσθαι λέγει αὐτό, καθὰ φανεῖται ἀλλαχοῦ. Ποιητικώτερον δὲ τὸ ἀποκρινθέντε μετὰ τοῦ ν . ἡ μὲν γὰρ κοινὴ φράσις ἀποκριθῆναι λέγει καὶ ἀποκριθέντε, ὥσπερ καὶ κλιθῆναι καὶ κλιθέντε, οἱ δὲ ποιηταὶ φυλάττουσι τὸ ν τοῦ θέματος ἐν τούτοις τῷ νόμῳ τῶν ἀμεταβόλων.

2.10 Ἰστέον δὲ ὅτι τὰ εἰρημένα ἔπη ἐπαινεῖται τῆς διηγηματικῆς ἕνεκεν ἀρετῆς, ἤγουν τῆς σαφηνείας, τῆς συντομίας, τῆς πιθανότητος, αἳ δὴ ἀρεταί εἰσι διηγήματος. ἔγκειται γὰρ τὸ ἔθνος οἱ Τρῶες, τὸ κύριον ὄνομα ὁ Δάρης, οἰκεῖον ἱερεῖ ἐκδέροντι τὰ θυόμενα, ἡ τύχη, τὸ ἀφνειός, ἡ ἀρετή, ἀμύμων γάρ, ἡ τῆς ἀρχῆς λειτουργία, ὅτι ἱερεύς, τὰ τῶν παίδων ὀνόματα καὶ ἡ περὶ πόλεμον αὐτῶν ἀρετή. Ἔστι δ' ἐν τούτοις ἰδέσθαι ὑπεμφαινόμενον καὶ ὡς δειλὸν ὁ πλοῦτος καὶ φιλόψυχον κακόν. Ὁ γὰρ τοῦ ἀφνειοῦ Δάρητος υἱὸς Ἰδαῖος, εἰ καὶ μάχης εὖ οἶδε πάσης, ἀλλὰ τὸν ἀδελφὸν ἀφεὶς ἀβοήθητον κεῖσθαι φευξεῖται μετ' ὀλίγα φιλοψυχῶν. (v. 9) Σύνηθες δὲ τῷ ποιητῇ οὕτως ἀφελῶς ἀπὸ ὑπαρκτικοῦ ῥήματος ἄρχεσθαι ἐν πολλαῖς τῶν διηγήσεων, οἷον «ἦν δέ τις ἐν Τρώεσσιν», «ἔστι πόλις Ἐφύρη», «ἔστι δέ τις αἰπεῖα» πέτρα. (v. 13—26) Σημείωσαι δὲ ὅτι ἐν τοῖς ἑξῆς μέλλων ὁ ποιητὴς διὰ τοῦ Διομήδους δύο ἀριστέας κατασπάσαι τοῦ ἅρματος, Πάνδαρον καὶ Αἰνείαν, φθάνει προγυμνάζων τὸν ἥρωα ἐν ἑτέραις ξυνωρίσιν, ἀδελφικαῖς μέντοι πάσαις. καὶ νῦν μὲν Ἰδαῖον καὶ Φηγέα καταβάλλει τοῦ ἅρματος, εἶτα φονεύει τοὺς τοῦ Εὐρυμέδοντος ὀνειροπόλου γέροντος υἱούς, εἶτα τοὺς τῷ Φαίνοπι τηλυγέτους ὄντας δύο υἱούς, ἐπὶ τούτοις δὲ δύο Πριαμίδας νόθους τοῦ δίφρου κατέρριψε καὶ τοὺς ἵππους αὐτῶν τοῖς ἑτάροις εἰς νῆας ἐλαύνειν ἔδωκεν, ἐφ' οἷς καὶ κατὰ Πανδάρου καὶ Αἰνείου τῆς ἡρωϊκῆς συζυγίας ἀνδρίζεται καὶ τὸ ἅρμα νικήσας ἀπάγει. (v. 10) Τὸ δὲ ἰρεύς ψιλοῦται, ὡς ἐν τοῖς Ἀπίωνος κεῖται καὶ Ἡροδώρου, συναλιφὲν ἐκ τοῦ ἱερεύς, ὡς τὸ πόλιες πόλις. καὶ λέγουσιν οἱ αὐτοὶ καὶ κανόνα αἰτιολογικὸν τῆς ψιλώσεως οὐ πάνυ ἀναγκαῖον. Κάλλιον οὖν λέγειν ἐψιλῶσθαι αὐτὸ ὡς Ἰωνικόν. ψιλωτικοὶ γὰρ καὶ οἱ Ἴωνες. Τὸ δὲ ἤστην δοκεῖ πλεονασμὸν ἔχειν τοῦ ς , εἴπερ ἀπὸ τοῦ ἦν πρώτου προσώπου ἑνικοῦ γίνεται. εἰ δ' ἄλλως ἐκ τοῦ ἦον γίνεται, ἔχοι ἂν σὺν τῷ ῥηθέντι πλεονασμῷ καὶ συγκοπήν. ἦον γάρ, ἦες ἦεν, δυϊκὰ ἤετον, ἠέτην, καὶ κατὰ δύο πάθη ἤστην.

2.11 (v. 11) Ἡ δὲ τοῦ Φηγέως κλῆσις ἔοικε τῇ τοῦ Ἰδαίου ἀκολουθεῖν. εἰ γὰρ ὁ Ἰδαῖος τῇ Ἴδῃ τῷ ὄρει παρωνόμασται, εἴη ἂν ὁ Φηγεὺς παρώνυμος ταῖς Ἰδαίαις φηγοῖς, ὅ ἐστι δρυσίν, αἳ καὶ χρήσιμοι πρὸς θυσίαν ἦσαν τῷ πατρὶ Δάρητι, σχίζαις κατακαίοντι τὰ ἱερευόμενα. (v. 13) Ἐν τούτοις δὲ καὶ τὸν πεζὸν ἑρμηνεύων ὁ ποιητής φησιν ὁρμηθῆναι τοὺς μὲν Δαρητιάδας ἀφ' ἵππων, τὸν δὲ Διομήδην ἀπὸ χθονὸς πεζόν. ἐξ οὗ δῆλον ὅτι πεζὸς ὁ περὶ τὸ πέδον, ἀφ' οὗ καὶ γίνεται. (v. 14) Ὅτι τὸ σχεδόν ἀεὶ παρ' Ὁμήρῳ ἀντὶ τοῦ ἐγγύς λαμβάνεται. ἀφ' οὗ καὶ σχεδία ἡ δι' ὀλίγου συμπαγεῖσα ναῦς, καὶ σχέδιον τὸ αὐθωρόν, καὶ σχέδην τὸ πλησίον. καὶ παρὰ τοῖς ὕστερον δέ, εἰ καὶ διστακτικῶς ἡ λέξις λαμβάνεται, ἀλλὰ καὶ παρ' αὐτοῖς ἐγγύτητα δηλοῖ, οἷον «σχεδὸν ἀφραίνεις», ἤγουν ἐγγὺς καὶ παρ' ὀλίγον. Κεῖται δ' ἐνταῦθα τὸ σχεδόν οὕτως· «οἳ δ' ὅτε σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες», [ἀντὶ τοῦ κατ' ἀλλήλων ἰόντες ἢ ἐπιόντες ἀλλήλοις. καὶ τοῦτο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν καινότερον καὶ χρηστὸν καὶ τοῖς ὕστερον, τὸ δὲ κοινότερον «ἐπ’ ἀλλήλους ἰόντες».] (v. 17) Ὅτι ἐν τῷ «οὐδ’ ἔβαλεν αὐτόν» φανερῶς τὸ βάλλειν ἀντὶ τοῦ ἐπιτυγχάνειν λαμβάνεται. Τὸ δὲ «οὐκ ἔβαλεν» ἀλλαχοῦ οὐκ ἔτυχε λέγεται ἐν τῷ «ἤμβροτες οὐδ’ ἔτυχες». (v. 18) Τὸ δὲ μὴ ἐπιτυχὸν βέλος ἅλιον λέγεται τῆς χειρὸς ἐκφυγεῖν, οὗ ἀναπάλιν τὸ «τοῦ δ’ οὐχ’ ἅλιον βέλος ἔκφυγε χειρός». καὶ σημείωσαι τὸ «βέλος ἔκφυγεν». Οὕτω γὰρ καὶ ἔπος φεύγειν ἕρκος ὀδόντων φησίν, ὅταν ὁ λόγος εἴη μὴ καίριος. (v. 19) Ὅτι ὥσπερ ἐκ τοῦ παρὰ ποταμὸν παραποτάμιος σύνθετον ὄνομα, οὕτω καὶ ἐκ τοῦ μετὰ μαζὸν στῆθος μεταμάζιον τὸ μεταξὺ τῶν μαζῶν, ὡς καὶ μεταίχμιον τὸ μεταξὺ τῶν αἰχμῶν. (v. 20) Ὅτι πάνυ φίλιππον τὸν Διομήδην εἰδώς ποθεν, οἷα εἰκός, ὁ ῥηθεὶς Ἰδαῖος, ἀφεὶς τοὺς ἵππους ἀπόρουσεν, ἀντιδοὺς οἷον αὐτοὺς εἰς λύτρον τῷ Διομήδει.

2.12 ὁ δὲ περὶ αὐτοὺς πονηθεὶς ἀπέσχετο τοῦ Ἰδαίου, ἵππους ἀγαθοὺς ἀγεννοῦς ἐχθροῦ ἀλλαξάμενος, ὃ τρόπον ἄλλον καὶ ὁ βασιλεὺς ἐπὶ τῆς Αἴθης φανεῖται πεποιηκὼς τῆς εὐγενοῦς καὶ δρομάδος ἵππου. Γελοῖος δὲ ὁ ἀφεὶς μὲν τὸ ἅρμα, δι’ οὗ τάχιον ἂν ἔφυγε, φεύγων δὲ πεζός. εἰ μὴ ἄρα ἵππους εἰς σωτηρίαν ἑαυτοῦ, ὡς ἐρρέθη, ἀντέδωκεν, οὓς καὶ ἐξελάσας ὁ Διομήδης ἔδωκεν ἑταίροις κατάγειν κοίλας ἐπὶ νῆας. Ὅτι δὲ φίλιππος ὁ Διομήδης, δηλοῖ καὶ τὰ κατὰ τὸν Αἰνείαν, οὗ καὶ τοὺς ἵππους ἐξ ἀκριβοῦς πολυπραγμοσύνης γενεαλογεῖ. καὶ ἐν τοῖς κατὰ Δόλωνα δὲ δηλωθήσεται περὶ τοὺς ἵππους ἐνδιακειμένως ἔχειν αὐτόν. Ἴσως δὲ καὶ ταραχθεὶς τὰς φρένας ὁ Ἰδαῖος ὑπὸ φόβου παρεπλάγχθη τοῦ συμφέροντος, ὃ καὶ Πάρις ἔπαθεν, ὁπηνίκα ἑλκόμενος τῆς κόρυθος καὶ ἀγχόμενος οὐκ ἐνόησε χρήσασθαι ξίφει κατὰ τοῦ ἕλκοντος. Ἐνταῦθα δὲ καὶ ὡς ἄφιλον τὸν δειλὸν Ἰδαῖον Ὅμηρος ὑποσκώπτειν ἔοικεν, εἴπερ ἀπόρουσεν λιπὼν περικαλλέα δίφρον, σὺν αὐτοῖς δηλαδὴ ἵπποις, οὐδ’ ἔτλη περιβῆναι ἀδελφειοῦ κταμένοιο. Ἔστι δὲ καὶ νῦν περιβῆναι τὸ ἐπάνω τοῦ νεκροῦ στάντα ὑπερμαχῆσαι, ὃ καὶ ἀμφιβῆναι λέγεται, ὡς προεγράφη. Κυριολεκτεῖται δὲ μάλιστα ἡ λέξις ἐπὶ κυνῶν καὶ λεόντων καὶ τοιούτων, ἃ τῶν σκύμνων ὑπερμάχονται ἀμφιβαίνοντα. (v. 22) Ὅτι τὸ «οὐδὲ γὰρ οὐδέ κεν αὐτὸς ὑπέκφυγε κῆρα μέλαιναν» καὶ τὸ «οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱός» καὶ ὅσα τοιαῦτα, περιττὴν ἔχουσι τὴν μίαν ἀπόφασιν κατὰ Ἀττικὴν συνήθειαν. ἔστι δὲ τῶν δύο ἀρνήσεων ἡ μὲν μία τοῦ ῥηματικοῦ πράγματος, ἡ ἑτέρα δὲ τοῦ προσώπου, ἵνα λέγῃ ὅτι οὐδὲ ὑπεξέφυγεν ἂν οὐδὲ αὐτός. καὶ ἐνδείκνυνται τὴν παντελῆ ἄρνησιν τοῦ πράγματος. (v. 23) Ὅτι τὸ θεὸς σάωσε νυκτὶ καλύψας, ἀντὶ τοῦ ἀορασίᾳ κρύψας, ὥσπερ καὶ ἐκ τοῦ ἐναντίου πῦρ ἔφη ἀνῆφθαι τῷ Διομήδει τὸ ὁρᾶσθαι καὶ φαίνεσθαι πᾶσιν, ὡς προγέγραπται. ταὐτὸν δέ ἐστιν εἰπεῖν νυκτὶ καλύψαι καὶ ἠέρι. ἄμφω γὰρ ἀορασίαν δηλοῖ. [Τοιαύτη δέ τις νὺξ δηλοῦται καὶ ἐν τῷ «ὀρώρει δ’ οὐρανόθεν νύξ».] (v. 24) Ὅτι οἶκτον ἐπὶ γέροντι λυπουμένῳ φράζει τὸ «ὡς δὴ μὴ πάγχυ γέρων ἀκαχήμενος εἴη», ἤγουν ἵνα μὴ πάντῃ λυποῖτο.

2.13 (v. 27 s.) Ὅτι καινόν τι σχῆμα τὸ «ἐπεὶ ἴδον υἱοὺς Δάρητος, τὸν μὲν ἀλευάμενον», ὅ ἐστι φυγόντα, «τὸν δὲ κτάμενον». τὸ γὰρ σύνηθες οὕτω· τῶν παίδων τοῦ Δάρητος τὸν μέν, τὸν δέ. Αἰτία δὲ αὕτη τοῦ τοιούτου σχήματος. εἰπὼν ἐξ ἀρχῆς ὁ ποιητὴς ὡς ἐν σχεδιασμῷ τοὺς υἱούς, καὶ μὴ δυνάμενος τῇ τοιαύτῃ πληθυντικῇ καταρχῇ τοῦ λόγου ἓν ῥῆμα συντάξαι διὰ τὴν τοῦ πάθους ἀμφοῖν τῶν παίδων ἀνομοιότητα—ὁ μὲν γὰρ πέφευγεν, ὁ δὲ τέθνηκε—διαιρεῖ ἐξ ἀνάγκης τὸ συνημμένον καὶ λύει τὴν πληθυντικὴν αἰτιατικὴν εἰς δύο ἑνικὰς αἰτιακάς. Σχηματίζει δὲ καὶ ἄλλα πολλὰ ὁμοίως ὁ ποιητής. Οὕτω δέ πως πρὸ τούτου ᾐτιολόγηται καὶ τὸ «ἄμφω δ’ ἑζομένω γεραρώτερος ἦεν Ὀδυσσεύς». Ὅμοια δὲ τῷ ῥηθέντι κατὰ τοὺς υἱοὺς τοῦ Δάρητος σχήματι καὶ ἕτερα μυρία οὐ μόνον παρ’ Ὁμήρῳ ἀλλὰ καὶ ἑτέροις, ἐν οἷς καὶ Σοφοκλέους τὸ «τὼ κασιγνήτω», ἤγουν τοὺς κασιγνήτους, «τὸν μὲν προτίσας, τὸν δ’ ἀτιμάσας ἔχει». Πάρισα δὲ ποιητικὰ καίρια τῷ ποιητῇ ἀγλαΐζοντι τὸν λόγον ἐπὶ τῇ τοῦ ἥρωος ἀριστείᾳ τὸ ἀλευάμενον καὶ τὸ κτάμενον, ὧν τοῦ μὲν ἀλέω τὸ θέμα, οὗ ἐκ παραγώγου μὲν τὸ ἀλεείνω

γίνεται, ἐξ ἐπενθέσεως δὲ τοῦ υ τὸ ἀλεύω. τούτου ἀόριστος ἤλευα, ὅθεν τὸ ἠλευάμην καὶ ὁ ἀλευάμενος. Τοῦ δὲ κτάμενον προϋπάρχει ῥῆμα κτῶ, ἀφ’ οὗ δύο παράγωγα· τὸ κτείνω ῥητὸν καὶ τὸ κτῆμι ἄρρητον, οὗ μετοχαὶ ὁ κτάς ὡς ἱστάς, καὶ ὁ κτάμενος ὡς ἱστάμενος. Καὶ μετ’ ὀλίγα δὲ ὁμοίως παρισοῖ ὁ ποιητὴς ἐν τῷ «χαζώμεσθα, Διὸς δ’ ἀλεώμεθα μῆνιν». (v. 29—35) Ἀθηνᾶ, ἡ φρόνησις, χειρὸς ἑλοῦσα τὸν τοῖς Τρωσὶ βοηθοῦντα θοῦρον Ἄρηα, ἤτοι τὸ ἄλογον θράσος, ἐξάγει τῆς μάχης, ὡς ἤδη τῆς ἀλογίστου θρασύτητος ἀποσβεννυμένης κατὰ βραχὺ τοῖς Τρωσί.

2.14 συναποχωρεῖ δὲ καὶ αὐτὴ ἡ Ἀθηνᾶ, διότι οὐκέτι βουλευμάτων χρεία τοῖς ἔμφροσιν Ἕλλησιν οὐδὲ θεωρίας βουλευτικῆς, ἀλλὰ πράξεων ῥωμαλέων καὶ ἀνδρικῶν. Συντομώτερον δὲ ἄλλως εἰπεῖν, διότι οὔτε οἱ Ἕλληνες νῦν βουλεύονται οὔτε οἱ Τρῶες ἀλογίστως μάχονται, καὶ ὅτι οὐδὲ μέγα τι εὐθὺς γίνεται ὡς μετὰ ταῦτα, οὐδὲ θεῶν παρουσίας δεόμενον. ἔτι δὲ καὶ ἵνα σεμνύνῃ τοὺς Ἀχαιούς, ὡς ἐν τῇ κατὰ μόνας καὶ δίχα θεῶν μάχῃ ὑπερτεροῦντας τῶν Τρώων. Ἔτι ποιεῖ Ὅμηρος τοῦτο καί, ἵνα μὴ τὰ λεγόμενα ἐνταῦθα μῦθοι δόξωσι. διὸ ἐξάγει τοὺς μυθικοὺς θεοὺς καὶ ἐκ μέσου τίθησι. (v. 30) Τὸ δὲ «χειρὸς ἑλοῦσα» ἢ πέπλου καὶ τὰ τοιαῦτα Ἀττικά, ἀντὶ τοῦ· ἐκ τῆς χειρὸς ἢ τοῦ πέπλου. ἢ καὶ τὸ ἑλεῖν ἀντὶ τοῦ ἅψασθαι καὶ νῦν εἴληπται. (v. 31) Ὅτι ἀναδιπλασιάζων ἐνταῦθα Ὅμηρος τὴν τοῦ Ἄρεος κλητικὴν ἐν τῷ «Ἆρες, Ἄρες, βροτολοιγέ, μιαιφόνε, τειχεσιπλῆτα», ὅπερ ἀπαραλλάκτως που καὶ ἐν τοῖς ἑξῆς κεῖται, ἐκτείνει ἐν τῇ πρώτῃ κλήσει τὸ δίχρονον, συστέλλει δὲ ἐν τῇ δευτέρᾳ. Καὶ ὅρα ὅπως ὁμοῦ παρέθετο τὸ αὐτὸ ὄνομα ἐν ἐκτάσει τε διχρόνου καὶ ἐν συστολῇ, ὡς ἂν ἐνδείξηται σαφέστατα τὴν διφόρησιν τῶν δισήμων διχρόνων, ἥτις πολλαχοῦ φαίνεται. [Καὶ μὴν ἐνταῦθα δόξοι ἂν λόγος κανονικὸς ὑπεῖναι τῇ διφορήσει, ἵνα τὸ μὲν δεύτερον Ἄρες συστέλλῃ τὸ δίχρονον, ὡς τοῦ Ἄρης ἐκ βραχυνομένου τοῦ στερητικοῦ α καὶ ἐκ τοῦ ῥῶ, τὸ λέγω, συγκειμένου κατά τινας. Τὸ δὲ πρῶτον Ἆρες ἐκτείνει τὴν ἄρχουσαν ὡς ἐκ τῆς ἀρᾶς καὶ τοῦ ἀρᾶσθαι. Ὡς γὰρ τοῦ ἴσχω θέσει μακρὰν ἔχοντος τὴν παραλήγουσαν διὰ τὰ ἐπαγόμενα δύο σύμφωνα ὁ ἐκεῖθεν γενόμενος ἰχώρ ἐν ἀπελεύσει τοῦ ς , οὐ θέσει ἀλλὰ φύσει, μακρὰν ἔχει τὴν παραλήγουσαν, οὕτως ἐκ τοῦ ἀρνός, ἐν ᾧ θέσει μακρὰ ἡ ἄρχουσα, γενόμενα τὸ ἀρᾶσθαι καὶ ἡ ἀρά τὸν μὲν ἄρνα θέσει μακρὸν ἀφιᾶσιν ἔχειν τὸ παραλῆγον α , ἐκεῖνα δὲ φύσει ἐκτείνουσι τὸ ἐν αὐτοῖς ἀρκτικὸν α , ὡς δῆλον καὶ ἐκ τοῦ «ἀλλ’ ἕνεκ’ ἀρητῆρος» καὶ ἐκ τοῦ «θεοὶ δ’ ἐτέλειον ἐπαράς».

2.15 Οὐκοῦν καὶ Ἄρης ὁ ἐκ τοῦ ἀρᾶσθαι ἢ τῆς ἀρᾶς γενόμενος φύσει μακρὸν ἔχει τὸ κατάρχον δίχρονον; καὶ ταῦτα μὲν οὕτως ἔχοιτο ἂν λόγου.] Τινὲς δέ φασι γενέσθαι τοῦτο οὐ μόνον κατὰ ἀδιαφορίαν διχρόνου, ἀλλὰ καὶ ὅτι φυσικώτερον ὁ ποιητὴς ἐνταῦθα, ὡς οἷόν τε ἦν, φυσικὴν ἐξαλλαγὴν Ἄρεος, ἤτοι πολέμου, μιμεῖται, ὃς ἐξ ἐπιτάσεως πολλῆς καὶ μεγίστης συντονίας ὕστερον ἄνεσιν δέχεται καὶ οἷόν τινα συστολήν, ὡς κεκμηκότων τῶν μαχομένων, ἀπ’ ἐναντίας τῇ καθ’ Ὅμηρον ἀλλαχοῦ Ἔριδι. ἐκείνη γὰρ πολέμου προάρχουσα ἐκ μικροῦ εἰς μέγα ἄνεισιν. Ἰστέον δέ, ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται, ὅτι τοῦ «Ἆρες Ἄρες», τὸ σχῆμα παλιλλογία ἐστί, καὶ ὅτι ὁ γραμματικὸς Ἰξίων τὸ δεύτερον Ἄρες ὀξύνει, γράφων ἀρές, ὅ ἐστι βλαπτικέ. Οὐδέποτε γάρ, φησί, κυρίου ὀνόματος κλητικὴ παραλλήλως κεῖται παρὰ τῷ ποιητῇ. πρόδηλον δέ, φησί, καὶ ἐκ τοῦ βροτολοιγέ καὶ τοῦ μιαιφόνε, ὅτι καὶ τὸ Ἄρες ἐπιθετικόν ἐστιν. ὁ δὲ Πτολεμαῖος καὶ ἡ παράδοσις διὰ μείζω ἔμφασιν κύριον καὶ τὸ δεύτερον Ἄρες παραλαμβάνει. Σημειωτέον δὲ ὅτι κοινὴ μὲν καὶ καθωμιλημένη κλίσις τοῦ Ἄρεος κατὰ τὸν Δημοσθένην ἐστὶ καὶ κατὰ τὰ ὅμοια ἐκείνῳ· κλίνεται δὲ καὶ ἄλλως κατὰ τοὺς παλαιούς. Ἡρῳδιανὸς οὖν φησιν, ὅτι πλείοσι κλίσεσιν ὁ Ἄρης κέχρηται. καὶ γὰρ καὶ ὡς ἰαμβικὸν μὴ ἔχον ἐπ’ εὐθείας τὸ τ περιττοσύλλαβον ἔχει τὴν γενικήν· Ἄρης Ἄρητος, ὅθεν Ἀρητιάδης παρ’ Ἡσιόδῳ πατρωνυμικὸν καὶ Ἀρητίων ὑποκοριστικόν. Κλίνεται δὲ καὶ ὡς σπονδειακόν· Ἄρης Ἄρου, ὅθεν κατὰ Ἰάδα διάλεκτον ἐπεκτείνας Ἀρχίλοχος ἔφη ἐν τοῖς τριμέτροις «παῖδα Ἄρεω μιηφόνου».

2.16

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἔστι, φησί, καὶ ἄλλη πλάγιος παρ' Ὁμήρῳ «Ἄρεος ἀνδροφόνοιο», καθ' ὁμοιότητα τῶν ὑπὲρ δύο συλλαβάς. ὡς γοῦν Σωκράτης Σωκράτεος ὦ Σώκρατες, οὕτως Ἄρης Ἄρεος Ἄρες. Ἔστι καὶ Ἄρεως γενική, ἣ οὐ χρὴ γενέσθαι ἀπὸ τοῦ Ἄρης. Ὡς γὰρ οὐκ ἂν Ἀττικοὶ ἐπεκτείναντες ἐροῦσιν ἀπὸ τοῦ Σωκράτεος Σωκράτεως διὰ τοῦ ω μεγάλου, ἀλλ' οὐδὲ Ἴωνες Σωκράτηος, οὕτως οὐδὲ ἀπὸ τοῦ Ἄρης Ἄρεος τοιοῦτόν τι γενήσεται. ἀλλὰ μὴν εὑρίσκομεν καὶ Ἄρηος καὶ Ἄρηϊ κρατερῷ καὶ Ἄρηα. Λεκτέον οὖν ὅτι Ἀττικοὶ καὶ Ἴωνες ἑτέραν κατάληξιν, φησίν, ὑποστησάμενοι, οὕτω πεποίηνται ταύτην τὴν κλίσιν. Ἔσται δὴ καὶ Ἄρευς εὐθεῖα, ἥτις παρ' Ὁμήρῳ μὲν οὐκ ἔστι, παρὰ δὲ Ἀλκαίῳ εὑρέθη, οὗ καὶ χρῆσιν προαγαγὼν λέγει καί, ὅτι βεβαρυτόνηται μόνον ἐκ πάντων τῶν εἰς ευς ὡς Αἰολικόν. Αἰολέων γὰρ ἴδιον τὸ βαρυτονεῖν. καὶ τοιαῦτα μὲν τὰ τοῦ Ἡρῳδιανοῦ. Ἰστέον δὲ καὶ ὅτι τὸ τειχεσιπλῆτά τινες διὰ τοῦ β γράφουσιν. ἀμφοτέρων δὲ μία ἔννοια. ἔστι γὰρ τειχεσιπλήτης μέν, ὡς ἄν τις εἴπῃ, πολιορκητής, ὁ τοῖς τείχεσι πλησιάζων ἐπὶ πορθήσει, τειχεσιβλήτης δὲ ὁ καταβάλλων τὰ τείχη. [Καὶ ὅτι βροτολοιγός κοινότερον μὲν ὁ ἀνδροφόνος, δύναται δέ ποτε σκωφθῆναι τοιοῦτος καὶ ὁ ἄτεχνος ἰατρός. Ὁ δὲ Κωμικός, φασί, βροτολοιγόν ἰδίως που ἔφη τὸν καὶ αἰσχρολοιχόν λεγόμενον κατὰ ἀναλογίαν τοῦ ματιολοιχοῦ διὰ τὸ τοὺς τοιούτους παραιτίους γίνεσθαι τοῦ μὴ κύειν τὰς γυναῖκας καὶ οὕτως ἐπ' ὀλέθρῳ βροτῶν εἶναι. Ἡ δὲ τὰ τοιαῦτα μεθοδεύουσα βλασφημία, ἥν, φασί, κατεδείξατο μὲν Ὅμηρος ἀρχῆθεν καὶ οἱ τῷ χρόνῳ ἐγγὺς αὐτοῦ ποιηταί, ἐπηύξησαν δὲ ὕστερον κωμικοί τε καὶ ῥήτορες, ἔστι δ' ὅποι καὶ τῶν συγγραφέων τινὲς καὶ ἄλλας λέξεις ὁμοίως ἐκαινοτόμησαν, ὡς ἑξῆς που φανεῖται.] Σημείωσαι δὲ καὶ ὅτι τὸ μιαιφόνος οὐδ' ἐνταῦθα ἐπὶ ὕβρει κεῖται. τί γὰρ ἔδει μάτην οὕτω καὶ οὐκ ἐν καιρῷ λοίδορον εἶναι τὴν Ἀθηνᾶν; δηλοῖ δὲ ἁπλῶς οὕτως ὡς ἐν μετρίῳ σκώμματι τὸν αἱμοβαφῆ. Ἔστι γὰρ μιαίνεσθαι μὲν τὸ βάπτεσθαι, ὡς καὶ προγέγραπται, [ἀφ' οὗ καὶ μιαρός που νεκρός ἐν τοῖς ἑξῆς ὁ αἱμοβαφής.

2.17 ] Φόνος δὲ τὸ αἷμα. Ἐνθυμητέον δὲ καὶ ὡς ἐν τῇ προσεχῶς ἐκτεθείσῃ χρήσει τοῦ Ἀρχιλόχου τὸν παρ' Ὁμήρῳ μιαιφόνον μιηφόνον ἐκεῖνος ἔφη. (v. 33) Ὅτι ὀρέξαι καὶ ἐνταῦθα τὸ δοῦναι. φησὶ γάρ· «ὀπποτέροισι πατὴρ Ζεὺς κῦδος ὀρέξει», ἤγουν ἐκτείνας τὴν χεῖρα δώσει. Κυρίως γὰρ ὀρέγειν τὸ ἐκτείνειν, ὅθεν καὶ ὀρεκτόν, ὡς προεδηλώθη, δόρυ. καὶ ὄργυια ἡ εἰς πλάτος ἔκτασις ἀμφοῖν ταῖν χεροῖν. τὸ μέντοι ὀρέξασθαι παθητικῶς οὐ δόσιν ἀλλὰ μόνην ἔκτασιν δηλοῖ. (v. 32—4) [Ἰστέον δὲ ὅτι τὸν ἐνταῦθα Ὁμηρικὸν τόπον ἐπὶ προσώποις εἰρηνικοῖς παρῳδήσας ἐρεῖ τις οὕτω· οὐκ ἂν δὴ τούσδε μὲν ἐάσαιμεν καὶ τούσδε μάρνασθ', ὁππποτέροισι θεὸς κῦδος ὀρέξῃ, νῶϊ δέ, τουτέστιν ἡμεῖς, χαζώμεσθα θεοῦ δ' ἀλεώμεθα μῆνιν, ὅ ἐστιν ἐκκλίνωμεν, ὡς πρὸ βραχέων εἴρηται.] (v. 35) Ὅτι μάχην ἔλλογον δηλοῖ, ὡς καὶ προεδηλώθη, τό· ἡ Ἀθηνᾶ μάχης ἐξήγαγε θοῦρον Ἄρηα. ἔνθα φανερῶς ἑτεροῖον παρὰ τὴν μάχην ὁ Ἄρης ἐστίν. (v. 36) Ἐνταῦθα δὲ καὶ τὸν Σκάμανδρον ἠϊόεντα λέγει διὰ τὰ περὶ αὐτόν, ὡς εἰκός, ὀχθώδη αἰγιαλοῦ δίκην, ἵνα εἴη συγκοπεὶς ἐκ τοῦ ἠϊονόεις. ἠϊόνες γὰρ οἱ αἰγιαλοί. Δύναται δὲ καὶ ἀπὸ ἄνθους τοῦ ἴου εἶναι πλεονασμῷ τοῦ η ἠϊόεις, οἱονεὶ ὁ ἀνθηρός, διὰ τὸν προρρηθέντα ἐκεῖσε ἀνθεμόεντα λειμῶνα. (v. 37—40) Ὅτι ὅτε Τρῶας ἔκλιναν Δαναοί, ἕλε δ' ἄνδρα ἕκαστος ἡγεμόνων, πρῶτος ὁ Ἀγαμέμνων ἐξέβαλε, τουτέστιν ἐξέρριψε, τινα τοῦ δίφρου Ὀδίον, ἀρχὸν Ἁλιζώνων «πρώτῳ γὰρ στρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξε». Καὶ σημείωσαι ὅτι πρῶτος ὁ βασιλεὺς ἀνδραγαθεῖ ἐνταῦθα καὶ ὅτι τὸν πρῶτον στρεφθέντα εἰς φυγὴν ὡς λειποτάκτην μισῶν Ὅμηρος οὐκ ἐᾷ διεκσωθῆναι. (v. 40) Ὅρα δὲ καὶ ὅπως ὁ τὰ νῶτα δείξας ἀβοήθητός ἐστιν ὡς ἤδη κείμενος. διὸ καὶ ὁ Νέστωρ τῷ Διομήδῃ κειμένῳ πού φησιν· «ἔγρεο, μή τις τοι καθεύδοντι μεταφρένῳ ἐν δόρυ πήξῃ».

2.18 Ἰστέον δὲ καὶ ὅτι τὸ μὲν ἐμπαγῆναι τὸ δόρυ τῷ στήθει καὶ διεκπεσεῖν εἰς ὤμους καὶ μετάφρενα οὐ μωμητὸν ἦν, ὡς πολλαχοῦ φαίνεται, τὸ δὲ ἀνάπαλιν ἀγεννὲς ἦν. (v. 39) Καὶ ὅτι τὸ Ὀδίος

παροξύνεται ὡς τρίβραχυ κύριον κατὰ κανόνα, ὃς ἤδη γνωσθεὶς ὅμως που καὶ μετὰ τοῦτο γραφήσεται. Ἁλιζώνους δὲ οἱ μὲν τοὺς Παφλαγόνας φασί, οἱ δὲ τοὺς περὶ τὴν ἀγκάλην τοῦ Πόντου τὴν μεταξὺ Τραπεζοῦντος καὶ Παφλαγονίας, παρὰ τὸ τῇ ἁλὶ ζώννυσθαι ἤτοι περιέχεσθαι. Ἄλλοι δὲ θέλουσι περὶ τὴν Καρικὴν αὐτοὺς κεῖσθαι θάλασσαν. τολμῶσι δέ τινες καὶ ἔθνος αὐτοὺς καλεῖν Θρᾳκικόν. Εἴρηται δὲ περὶ αὐτῶν πλατύτερον ἐν τῇ Βοιωτίᾳ καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. (v. 40) Σημείωσαι δὲ καὶ ὅτι φιλεῖ Ὅμηρος στρεφθέντα λέγειν, οὐ μὴν στραφέντα, ὡς καὶ Εὐριπίδης θρεφθῆναι εἶπεν ἀντὶ τοῦ τραφῆναι. Προτιμῶνται γὰρ οἱ σοφοὶ τὴν καίριον τραχυφωνίαν τῆς ἀκαίρου λειότητος, ὡς δηλοῖ καὶ τὸ βρεχθῆναι τὴν γῆν παρὰ Δίωνι ἀντὶ τοῦ βραχῆναι, καὶ τὸ θαφθεῖσι παρ’ Ἡροδότῳ ἀντὶ τοῦ ταφεῖσι, καὶ «χλανιδίων ἔσω κρυφθείς» παρ’ Εὐριπίδῃ, καὶ βλαφθείς παρὰ τῷ ποιητῇ ἀντὶ τοῦ βλαβείς. (v. 40 s.) Ὅτι διασαφῶν ὁ ποιητής, ποῖον λέγει μετάφρενον, ἐπάγει γνώρισμα σαφές, ὅτι τὸ μεταξὺ μὲν τῶν ὤμων, ἀντικρὺ δὲ τοῦ στήθους. φησὶ γάρ· «μεταφρένῳ ἐν δόρυ πῆξεν ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασε», καὶ πάλιν μετ’ ὀλίγα· «μετάφρενον οὔτασε δουρὶ ὤμων μεσσηγύ», καὶ ἑξῆς ὁμοίως. (v. 42) Ὅτι οὐχ’ οὕτω τραχὺν ἦχον ὁ δοῦπος ἔχει, ὡς ὁ ἄραβος, καθὰ δηλοῖ καὶ ὁ ποιητὴς εἰπών· «δούπησε δὲ πεσών, ἀράβησε δὲ τεύχεα ἐπ’ αὐτῷ», τῷ μὲν σώματι δοὺς τὸν δοῦπον, τοῖς ὅπλοις δὲ τὸν ἄραβον.

2.19 (v. 43 s.) Ὅτι Φαιστός μὲν ὀξυτόνως πόλις Κρήτης, Φαῖστος δὲ βαρυτόνως κύριον ὄνομα, ὃν Ἰδομενεὺς ἀναιρεῖ. Ἔνθα καὶ ὅρα ὅπως ἀστείως ὁ ποιητὴς τῷ τῆς Κρήτης βασιλεῖ ἄνδρα ὑποκλίνει ἐκεῖθέν πως τὸ ὄνομα ἔχοντα. ὁ γὰρ Φαῖστος οὗτος ὁ ἐκ Τάρνης, φησίν, ἐριβώλακος, τῇ Φαιστῷ παραλαλεῖται πόλει Κρητικῇ. Τάρνη δὲ Μῃόνων ἤτοι Λυδῶν πόλις, ἐπίκουρος Τρώων. Ὁ δὲ γράφων τὰ Ἐθνικὰ καὶ πόλιν Ἀχαΐας Τάρνην φησί. γέγονε δέ τις μνήμη Τάρνης καὶ ἐν Βοιωτίᾳ. (v. 46) Ὅτι τὸ κεντῆσαι ἤτοι τρῶσαι νύξαι λέγει. φησὶ γάρ· ἔγχει μακρῷ ἔνυξεν ἵππων ἐπιβησόμενον. (v. 47) Ὅτι φανερῶς καὶ ἐνταῦθα κεῖται ὁ σκότος ἀρσενικῶς ἐν τῷ «στυγερὸς δ’ ἄρα μιν σκότος εἷλε», λέγει δὲ τὸν θάνατον. διὸ παρακατιών φησι· «θάνατος δέ μιν ἀμφεκάλυψε», καὶ πάλιν· «τὸν δὲ κατ’ ὄσσε ἔλλαβε πορφύρεος θάνατος». Τὸ μέντοι ἐπὶ τοῦ ἀέρος καὶ αὐτὸ τὰ μὲν πολλὰ οἱ παλαιοὶ ἀρσενικῶς προάγουσι, ἔστι δὲ ὅτε καὶ κατὰ γένος οὐδέτερον. (v. 48) Ἐνταῦθα δὲ καὶ τὸ σκυλεύειν συλεύειν φησί, διότι καὶ τὰ σκῦλα σῦλα λέγεται. ὅθεν καὶ τὸ συλαγωγεῖν. Προσφυῶς δὲ τὸν ἐν Ἅιδου σκότον στυγερόν ἔφη παρὰ τὴν ἐκεῖσε Στύγα. (v. 49—54) Ὅτι Σκαμάνδριόν τινα λέγει ὑπὸ Μενελάου πεσεῖν θήρης αἵμονα, ἤγουν ἐπιστήμονα, ἐσθλὸν θηρητῆρα, ἑκηβολίαις κεκασμένον, ὃν ἐδίδαξεν Ἄρτεμις αὐτὴ βάλλειν ἄγρια πάντα, τά τε τρέφει οὔρεσιν ὕλη.

2.20 ἔπαινοι δὲ ταῦτα κυνηγοῦ. Ὅτι δὲ κυνηγετικὴ ἡ Ἄρτεμις, πολλαχοῦ ὁ μῦθός φησιν. Ὥσπερ δὲ τὸν ἄριστον χαλκεύειν ὁ Ἥφαιστος λέγεται διδάξαι, καὶ τῷ τοξότῃ διδάσκαλος ὁ Ἀπόλλων, καὶ ὁ δεξιὸς δὲ κλέπτειν Ἑρμοῦ πλάττεται μαθητής, Ἀθηνᾶς δὲ ὁ τέκτων, ὡς μετ’ ὀλίγα ὁ Φέρεκλος, οὕτω καὶ τὸν κυνηγετικὸν Σκαμάνδριον ἡ Ἄρτεμις ὡς θηρατικὴ διδάξαι τὴν θήραν λέγεται, [οὐ διά τινος μεθοδεύοντος ἢ ἐνεργοῦντος τὰ ἐκείνης, ἀλλ’ αὐτὴ ἐκείνη, ὃ δὴ κατ’ ἐξοχὴν ῥηθὲν τεχνικώτατον ὡς θυμόσοφον ἢ θεόσοφον εἶναι τὸν Σκαμάνδριον ὑποδηλοῖ. Οὕτω καὶ Φέρεκλος μετ’ ὀλίγιστα φιλητὸς φανεῖται τῇ Ἀθηνᾷ ὡς ἀγαθὸς ναυπηγός.] (v. 51) Ἰστέον δὲ ὅτι τὸ «ἐσθλὸν θηρητῆρα» ἐφερμηνευτικόν ἐστι τοῦ «αἵμονα θήρης», ὥσπερ καὶ τὸ Ἄρτεμις αὐτὸν ἐδίδαξεν. Ἔστι δὲ αἵμων οἱονεὶ δαίμων ἤτοι δαήμων, τουτέστι μεμαθηκώς· οὗ τὸ ἐναντίον ἀδαήμων, οἷον «μάχης ἀδαήμονι φωτί». Ἡ δὲ τραγῳδία ἔχει καὶ κύριον ὄνομα Αἵμονα. (v. 52) Τὸ δὲ «ἃ τρέφει οὔρεσιν ὕλη» φιλοσόφως πρόσκειται. ἄγρια μὲν γὰρ φύσει πάντα τὰ ἄλογα, ὧν διαστέλλεται τῷ ἡμέρῳ ὁ ἄνθρωπος. Κυνηγός δὲ οὐχ’ ὁ πᾶν ἁπλῶς ἄγριον βάλλων, ἀλλ’ ὁ τὰ ἐν ὄρεσι. τὰ κατοικίδια γὰρ ἄγρια ἢ τὰ περιειργμένα καὶ ὁ τυχὼν ἂν βάλλοι. (v. 54) Σημείωσαι δὲ καὶ ὡς τὸ μὲν ἑκηβόλος Ἀπόλλωνος ἐπίθετον εἶναι θέλει ὁ ποιητής, τὸ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θηλυκὸν παράγωγον, τὴν ἑκηβολίαν, οὐκ ὀκνεῖ καὶ ἀνδρὶ θνητῷ ἐπιλέγειν, ὥσπερ ἐνταῦθα τῷ Σκαμανδρίῳ αὐτὴν προσμαρτυρεῖ. Ἐκ τοῦ ἑκὰς δὲ βάλλειν ὁ ἑκηβόλος συντεθείς, καθὰ καὶ ἡ ἑκηβολία, ὅμως διὰ τὸ συχνὸν τῶν βραχειῶν συλλαβῶν ἔτρεψαν τὸ α τῆς δευτέρας μετὰ τὴν ἄρχουσαν συλλαβῆς εἰς μακρὸν τὸ η διὰ συντέλειαν δακτυλικήν.

2.21 Τὸ δ' αὐτὸ αἴτιον καὶ τὴν ἐλαφοβολίαν ἐλαφηβολίαν ἔφρασε καὶ τὴν σταχυολόγον σταχυηλόγον καὶ τὸν λαμπαδοφόρον λαμπαδηφόρον. (v. 53) Ὅτι τὸ «ἀλλ' οὔ οἱ τότε χραῖσμεν Ἄρτεμις» ἁπλῶς οὕτω παρέρριψεν ἀφελῶς ὁ ποιητής, οὐ σκώπτων τὴν Ἄρτεμιν, ὡς μὴ ἔχουσαν τῷ μαθητῇ κυνηγῷ Σκαμανδρίῳ βοηθεῖν, ἀλλ' αὐτὸ λέγων ἁπλοϊκῶς δίχα εἰρωνείας τὸ πρᾶγμα, ὅτι δηλαδὴ οὐδὲν ἐλυσιτέλησε τῷ Σκαμανδρίῳ ἡ τοξικὴ τέχνη. Εἰσὶ δὲ καὶ ἄλλα τοιαῦτα παρὰ τῷ ποιητῇ σχήματα, καθὰ καὶ ὅτε ξενοδόχου τινὸς πεσόντος φησίν, ὡς οὐδέν τι τότε αὐτῷ ἔχραισμεν ἡ φιλοξενία καὶ τὸ πάντας φιλεῖν «ὁδῷ ἔπι οἰκία ἔχοντα». καὶ ἐκεῖ γὰρ οὐ σκώπτει ἀπανθρώπως τὸ τῆς φιλοξενίας φιλάνθρωπον, ἀλλὰ φιλαλήθως ἱστορεῖ οἷος ἐκεῖνος ὢν οἷον ἔπαθεν. (v. 59—64) Ὅτι ἀναιρεῖται ἐνταῦθα ὑπὸ Μηριόνου Φέρεκλος, τέκτονος υἱὸς Ἁρμονίδου, ὃς ὑπὸ Ἀθηνᾶς, φησίν, ἔξοχα φιλούμενος «χερσὶν ἠπίστατο δαίδαλα πάντα τεύχειν». «ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο, οἷ τ' αὐτῷ». Ἰστέον δὲ ὡς φέρεται λόγος, ὅτι Λακεδαιμονίοις λοιμῷ πιεζομένοις ἔχρησεν Ἀπόλλων ἐξιλάσκεσθαι τοὺς τῶν Τεύκρων, ἤγουν τῶν Ἰλιέων, δαίμονας. Μενέλαος οὖν ἀφικόμενος εἰς Ἴλιον ἐποίει τὸ προσταχθέν. κἀκεῖθεν συμπλεύσαντος αὐτῷ Ἀλεξάνδρου συμπαραγέγονεν εἰς Δελφούς. καὶ αὐτὸς μὲν ἐζήτει χρησμὸν λήψεσθαι περὶ παίδων γενέσεως, Ἀλέξανδρος δὲ περὶ γυναικὸς ἐμαντεύετο. χρᾷ οὖν αὐτοῖς ἡ Πυθία· «Τίπτε δύο βασιλῆες, ὃ μὲν Τρώων, ὃ δ' Ἀχαιῶν, οὐκέθ' ὁμὰ φρονέοντες ἐμὸν δόμον εἰσανέβητε, ἤτοι ὃ μὲν πώλοιο γόνον διζήμενος εὑρεῖν, αὐτὰρ ὃ πῶλον ἑλεῖν. τί νυ μήσῃ, ὦ μεγάλε Ζεῦ»; τοὺς δὲ μὴ νοήσαντας τὸ λόγιον χωρισθῆναι. (v. 63 s.) Διὸ καὶ Ὅμηρός φησιν, ὅτι αἱ νῆες κακὸν ἐγένοντο τοῖς Τρωσὶ καὶ τῷ ναυπηγησαμένῳ, «ἐπεὶ οὔ τι θεῶν ἐκ θέσφατα ᾔδη», τὸν ῥηθέντα δηλαδὴ χρησμόν, ἢ ἃ ὤφειλεν εἰδέναι. πυθέσθαι γὰρ ἐχρῆν καὶ μαθεῖν θεόθεν, εἰ ναυπηγητέον. οἱ δέ φασιν ὅτι θέσφατα λέγει ὧδε ὁ ποιητὴς τὸν χρησμόν, ὃς δοθεὶς τοῖς Τρωσὶν ἐκέλευε ναυτιλίας μὲν ἀπέχεσθαι, γεωργίᾳ δὲ προσέχειν τὸν νοῦν, μή ποτε θαλάσσῃ χρώμενοι σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν ἀπολέσωσιν. (v. 59) Ἰστέον δὲ ὅτι τὸ «τέκτονος υἱόν» οἱ μὲν ἀκριβέστεροι ἐπίθετόν φασιν, οἷα τέκτονος λεγομένου καὶ τοῦ ναυπηγοῦ, ὡς δηλοῖ τὸ «τεκτήνατο νῆας ἐΐσας», ὥστε εἶναι ἐνταῦθα δύο πρόσωπα, υἱὸν μὲν τὸν Φέρεκλον, πατέρα δὲ τὸν Ἁρμονίδην.

2.22 Τινὲς δὲ κύριον ἐνόησαν ὄνομα καὶ τὸν Τέκτονα καὶ τρία φασὶ πρόσωπα, ἵνα ὁ μὲν Φέρεκλος εἴη Τέκτονος υἱός, ὁ δὲ Τέκτων υἱὸς τοῦ Ἅρμονος. Καὶ ὅρα ὅπως οἰκεῖα ναυπηγοῖς τὰ ὀνόματα. ὁ γὰρ νῆα τεκταινόμενος κλᾷ τε φερόμενα τὰ ξύλα καὶ εὖ δὲ συναρμόττει αὐτά. Οὕτω δὲ καὶ πρὸ ὀλίγου Δάρητά τινα ἔλεγεν ἱερέα καὶ υἱὸν αὐτοῦ ἱστορεῖ Φηγέα. ἐκδέρειν γὰρ δεῖ τὰ θυόμενα καὶ φηγοῖς καίειν, ὅ ἐστιν ξύλοις. (v. 60—2) Τὸ δὲ «ὃς ἠπίστατο δαίδαλα τεύχειν» καὶ «ὃς Ἀλεξάνδρῳ τεκτήνατο νῆας» τινὲς μὲν περὶ τοῦ Φερέκλου νοοῦσιν. ὃ καὶ κάλλιον. Οὕτω γὰρ ἱστοροῦσι πολλοί, ὧν καὶ ὁ Λυκόφρων ἐστί. Τινὲς δὲ περὶ τοῦ Ἁρμονίδου. καὶ ἔστιν ὁ τρόπος ἀμφιβολία. Ἀθηνᾶ δὲ λέγεται τῷ τέκτονι τούτῳ διδάσκαλος, ἐπεὶ αἱ κατὰ χειρωναξίαν τοιαῦται τέχναι τὴν Ἀθηνᾶν ἐπιστάτιν ἐπιγράφονται, ὡς καὶ ἐν τοῖς ἑξῆς δηλωθήσεται. (v. 63) Τὸ δὲ «αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο» τρόπος ἐτυμολογίας ἐστίν. ἵνα γὰρ μή τις νοήσῃ κοινὸν πάσης νηὸς ἐπίθετον τὸ ἀρχέκακον, διαφωτίζει τὸ ἀσαφὲς ὁ ποιητής, εἰπὼν ὅτι αὗται αἱ νῆες λέγονται νῦν ἀρχέκακοι, ὡς κακῶν κατάρξασαι τοῖς Τρωσὶ πᾶσι. Καὶ ὅρα τὸ πᾶσιν. ἐγένοντο μὲν γὰρ ἀρχὴ κακοῦ καὶ τοῖς Ἀχαιοῖς, ἀλλὰ μάλιστα τοῖς Τρωσίν. Ἑλλήνων μὲν γὰρ πολλοὶ δι' αὐτὰς ὤλοντο, οἱ Τρῶες δὲ μικροῦ δεῖν πάντες παθόντες πανωλεθρίαν. Σημείωσαι δὲ ὅτι ταὐτὸν εἰπεῖν συνθέτως ἀρχέκακον καὶ διαλελυμένως ἀρχὴν κακοῦ κατὰ Ἴωνας. Φησὶ γοῦν

Ἡρόδοτος Ἀττικάς τινας νῆας, αἳ τοῖς Ἴωσι πεμφθεῖσαι, φησίν, εἰς βοήθειαν ἀρχὴ κακῶν ἐγένοντο Ἕλλησί τε καὶ βαρβάροις.

2.23 Τοιοῦτον παρ’ αὐτῷ καὶ τὸ «αἱρεθεὶς εἰς ἀρχήν». ἀφ’ οὗ ὕστερον τὸ ἀρχαιρεσιάζειν συντέθειται, καὶ τὸ θέης ἄξιος, ἀντὶ τοῦ ἀξιοθέατος, καὶ ἕτερα. (v. 64) [Τὸ δὲ «οἷ τ’ αὐτῷ» ἀρχὴ γέγονε γνωμικοῦ, πρῶτα μὲν Ἡσιόδῳ, εἶτα καὶ Καλλιμάχῳ, τοῦ εἰπόντος, ὡς ὁ τεύχων ἑτέρῳ κακὸν ἑῷ ἥπατι τεύχει. ὃ δὴ καὶ τῷ Φερέκλῳ συνέπεσε.] Τὸ δὲ «θεῶν θέσφατα» ἔστι μὲν οἷον ἐτυμολογικὸς τρόπος, εἴρηται δὲ πρὸς διαστολὴν θεσφάτων, ἅπερ οὐκ αὐτὸς θεὸς λέγει ἀλλὰ τέχνη μαντική. (v. 61) Ἐν δὲ τοῖς ῥηθεῖσιν εἰπόντος Ὁμήρου «ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη» ὅρα τὸ ἐφίλατο, κλιθὲν φανερῶς ὡς τὸ ἵστατο. ἀφ’ οὗ κατά τινας ἐν τοῖς ἑξῆς τὸ «νῦν με φίλαι, Ἀθήνη», ἀντὶ τοῦ φίλησον, ὡς ἀπὸ τοῦ ἐφιλάμην καθ’ ὁμοιότητα τοῦ ἐτυψάμην τύψαι. Ἡ δὲ ἐΐση οὐ μόνον ἐστὶ νηῶν ἐπίθετον, ἀλλὰ καὶ δαιτός, ὡς πολλαχοῦ φαίνεται. Τὸ δὲ οἷ αὐτῷ συνθέτως ἑαυτῷ φασιν οἱ μεθ’ Ὅμηρον, ὡς καὶ τὸ αὐτόν μιν ἑαυτόν καὶ τὸ ἔμ’ αὐτὸν ἐμαυτόν. (v. 66 s.) Ὅτι γλουτός κατὰ τοὺς παλαιοὺς τὸ σφαίρωμα τῆς κοτύλης κατὰ τὸν μηρόν. Ῥοῦφος δὲ τὰ μετὰ τὴν ὀσφὺν σαρκώδη, ἐφ’ ὧν καθίζομεν, πυγὰς εἰπὼν ἐπάγει· ἄλλοι δὲ γλουτοὺς καλοῦσι. Διὸ καὶ οἱ Ἐτυμολόγοι παρὰ τὸν γλοιὸν ἐτυμολογοῦσιν αὐτοὺς διὰ τὸ ἐν αὐτοῖς τρυφερόν, φασί, καὶ ἁπαλὸν καὶ γλοιῶδες. κατὰ δέ τινας λαγόνα, φασίν, ὁ γλουτός σημαίνει. Ὅμηρος δέ, καθὰ πρὸ βραχέων διεσάφησε τὸ μετάφρενον ἐκ τοῦ ἀντικρὺ τόπου, ὅς ἐστι τὰ στήθη, οὕτω πως καὶ τὸν γλουτόν εἰπὼν «βεβλήκει γλουτὸν κατὰ δεξιόν. ἣ δὲ διαπρὸ ἀντικρὺ κατὰ κύστιν ὑπ’ ὀστέον ἤλυθ’ ἀκωκή». Δοκεῖ γὰρ λέγειν ἀντικρὺ ἑτέρωθεν τοῦ ῥηθέντος γλουτοῦ κεῖσθαι τὴν κύστιν, ἣ καὶ ἀπὸ τοῦ κεύθω γενομένη ἐξῶσε τὸ ε ὁμοίως τῷ πεύθω πύστις, ἡ μάθησις, καὶ ἑτέροις πολλοῖς δηλουμένοις ἀλλαχοῦ.

2.24 [Ἰστέον δὲ ὅτι μετ’ ὀλίγα ὁμοίᾳ μεθόδῳ ἑρμηνεύσει καὶ τὸ κατὰ κεφαλὴν ἰνίον ποῦ ἐστι τῆς κεφαλῆς.] Ὅτι πολλὰς καὶ ἐν τοῖς παροῦσι Τρωϊκὰς ἱστορίας ὁ ποιητὴς παραπλέκει. ἕκαστον γὰρ τῶν πιπτόντων ὑπὸ τοῖς Ἕλλησι Τρώων γενεαλογεῖ. τὸν τοῦ Δάρητος Φηγέα, ὃν ἀνεῖλεν ὁ Διομήδης, τὸν Ὀδίον, ὃς ἔπεσεν ὑπὸ Ἀγαμέμνονος, τὸν Φαῖστον, οὗ περιγέγονεν Ἰδομενεύς, τὸν Σκαμάνδριον, ὃς ὑπὸ Μενελάου πέπτωκε, τὸν ὑπὸ Μηριόνου πεσόντα Φέρεκλον, τὸν ῥηθησόμενον Πήδαιον, ὃν ἔπεφνε Μέγης, τὸν Ὑψήνορα, ὃν μετ’ ὀλίγα ὁ Εὐρύπυλος πρόσθεν αὐτοῦ φεύγοντα μεταδρομάδην ἤλασεν ὦμον. Ποιεῖ δὲ ταῦτα καὶ πυκναῖς ἱστορίαις ἀρτύει τὸν τόπον τοῦτον ἅμα καὶ τοὺς ἀκροατὰς ἐνάγων εἰς πολυμάθειαν, ὡς καὶ ἐν ἄλλοις τόποις, καὶ τοὺς ἀριστέας τῶν Ἀχαιῶν σεμνύνων, ὡς ἀξιολόγων Τρώων περιγινομένους, καὶ τὴν ποίησιν καταποικίλλων, καὶ τὸ ὕπτιον δὲ τῆς διηγήσεως ἀνιστῶν εἰς γοργότητα τῇ παρεμπλοκῇ τῶν ἱστοριῶν, καὶ ἑαυτὸν δὲ δεικνύων ἐν ἱστορίαις πολύϊδριν. τοῦτο δὲ καὶ ἀλλαχοῦ ποιήσει ἐν πολλοῖς τόποις διὰ τὰς αὐτὰς αἰτίας. Σημείωσαι δὲ καὶ ὅτι πολλαχῶς καὶ ἐνταῦθα σχηματίζει τὰ πράγματα. Τῶν γὰρ πιπτόντων ὁ μὲν ἐκβάλλεται τοῦ δίφρου, βάθος τι δηλαδὴ ἔχοντος, ὡς δηλοῖ μετ’ ὀλίγα καὶ τὸ «ἐξ ἵππων βῆσεν», ὁ δὲ νύττεται ἔγχεϊ, ἵππων ἐπιβησόμενος. ὁ δὲ πεζὸς φεύγων οὐτάζεται τὸ μετάφρενον. καὶ ὅλως πολλὴ διὰ πάντων ἡ τῆς πολυσχημοσύνης διάθεσις παρὰ τῷ ποιητῇ, ὃς καὶ ἑκάστῳ τῶν πιπτόντων τοιαῦτα ἐπιλέγει «δούπησε δὲ πεσών, ἀράβησε δὲ τεύχε’ ἐπ’ αὐτῷ», καὶ «ἤριπε δ’ ἐξ ὀχέων, στυγερὸς δ’ ἄρα μιν σκότος εἷλε», καὶ «ἤριπε δὲ πρηνής, ἀράβησε δὲ τεύχε’ ἐπ’ αὐτῷ», καὶ «γνὺξ δ’ ἔριπ’ οἰμώξας, θάνατος δέ μιν ἀμφεκάλυψε», καὶ «ἤριπε δ’ ἐν κονίῃ, ψυχρὸν δ’ ἕλε χαλκὸν ὀδοῦσιν». — Ἔνθα καὶ σημείωσαι τὴν τοῦ βληθέντος ὀδύνην, δι’ ἣν κατέσφιγξε τοῖς ὀδοῦσι τὸν σίδηρον.

2.25 —καὶ αὖθις «τὸν δὲ κατ’ ὄσσε ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή». οὕτω πολύφωνόν τι χρῆμα ἡ Ὁμηρικὴ γλῶσσα. Ἐν τούτοις δὲ σημείωσαι καὶ ὅπως καιρία λέξις ἐστίν, ὡς ἐν ποιήσει, τὸ ἐριπεῖν. διὸ καὶ ἐνέμεινεν αὐτῇ ὁ ποιητὴς ἐπὶ πολύ. τῷ δὲ πεσεῖν δὶς μόνον ἐνταῦθα ἐχρήσατο ἐν τῷ «δούπησε δὲ πεσών», καὶ «αἱματόεσσα χεὶρ ἐν πεδίῳ πέσεν». (v.

70 s.) Ὅτι ἔστιν ἐνταῦθα ἰδεῖν μητρυιὰν ἀγαθήν, Θεανώ, τὴν Ἀντήνορος γυναῖκα, ἥτις νόθον ὄντα τὸν Πήδαιον ἔτρεφεν ἐπιμελῶς ἶσα φίλοις τέκνοις χαριζομένη τῷ ἀνδρί. Καὶ σημείωσαι τὴν ἀγαθότητα τῆς μητρυιᾶς γενομένην οὐ διὰ τὸν πρόγονον, ἀλλὰ διὰ τὸ φίλανδρον. Φράζει δ' ἐνταῦθα ὁ ποιητὴς οὕτω «Πήδαιον Ἀντήνορος υἱόν, ὅς ῥα νόθος μὲν ἔην, πύκα δ' ἔτρεφε δῖα Θεανὼ ἶσα φίλοισι τέκεσσι, χαριζομένη πόσεϊ ᾧ». (v. 72 s.) Λέγει δὲ καὶ ὅτι τοῦτον Μέγης ἐγγύθεν ἐλθὼν βεβλήκει. Ἔνθα ὅρα τὸ βεβλήκει ῥηθὲν ἀντὶ τοῦ ἔκρουσεν, ἔτυψεν, ἔτρωσεν. Οὐ γὰρ πόρρωθεν ἀλλ' ἐγγὺς ἐλθὼν ἔβαλε κατὰ τοὺς οὐτάζοντας. (v. 73 s.) Ὅτι ἰνίον λέγεται τὸ μετὰ κορυφὴν ὄπισθεν τῆς κεφαλῆς. δόρυ γοῦν ἐκεῖ που ἐμπαγὲν διεξέδυ «ἀντικρὺ δ' ἀν' ὀδόντας ὑπὸ γλῶσσαν τάμε χαλκός». Οἱ δὲ ἰνίον φασὶ τὸ κοῖλον τοῦ τένοντος ἢ τὸ πλατὺ καὶ παχὺ νεῦρον τὸ καθῆκον ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν αὐχένα. Σημείωσαι δὲ ὡς οὐ μόνον ἐνταυθοῖ, ἀλλὰ καὶ ἑτέρωθι πεφιλοτίμηται ὁ ποιητής, καθὰ καὶ ἀλλαχοῦ δηλοῦται, μέρη τινὰ σωματικὰ ὑποδηλῶσαι διὰ τῶν ἀντικρὺ αὐτοῖς ἀντικειμένων ἑτέρωθεν. Καὶ ὅτε γοῦν εἶπεν ὅτι πληγέντος τινὸς τὴν κόρσην τὸ δόρυ διῆλθεν ἑτέρου κροτάφου, τῷ ἀντικρὺ κροτάφῳ ἐδήλωσε καὶ τὴν κόρσην, ὡς ἐκεῖ ἐρρέθη. ὅμοιον καὶ τὸ «βεβλήκει γλουτὸν κατὰ δεξιόν. ἀντικρὺ δὲ κατὰ κύστιν ὑπ' ὀστέον ἦλθεν ἀκωκή», ὡς καὶ αὐτὸ πρὸ ὀλίγων ἐδηλώθη. καὶ ὅτε δὲ τὰ μετάφρενα πληγέντος τινὸς τὸ δόρυ διὰ τοῦ στήθους εἶπεν ἐλαθῆναι, τὴν τῶν μεταφρένων θέσιν ἐδήλωσεν, ὡς καὶ τοῦτο πρὸ μικροῦ εἴρηται.

2.26 (v. 77—9) Ὅτι Δολοπίονά τινα ἱστορῶν Ὅμηρος ὡς ἀγαθὸν ἱερέα φησὶν «ὅς ῥα Σκαμάνδρου ἀρητὴρ ἐτέτυκτο, θεὸς δ' ὣς τίετο δήμῳ». ὁ δὲ τοιοῦτος θεοείκελος ἂν εἴη καὶ θεοειδής. Ὅτι οἱ ἀρχαῖοι καὶ ἐν μέσῳ λέξεων ἐπνευμάτιζον καὶ τὰ φωνήεντα καὶ τὸ ῥῶ. εὕρηται οὖν ἐν ὑπομνήμασι παλαιῶν τοιαῦτά τινα. ὅτι τοῦ Εὐαΐμων τὴν αι δίφθογγον, κἂν ἐκ τοῦ αἷμα γίνεται, ὅμως ψιλοῖ ὁ Ἀσκαλωνίτης, ἵνα κύριον γένηται ὄνομα, ὥσπερ καὶ τὸ Φίλἰππος καὶ Μελάνἰππος. καὶ ἐν αὐτοῖς γὰρ ἐψίλουν τὸ πρὸ τοῦ π δίχρονον διὰ τὸ κύρια εἶναι, κἂν ἐκ τοῦ ἵππος παράγωνται. Φασὶ δὲ καὶ ὅτι ἐν τῷ ταλαύρινος, ὃ δηλοῖ τὸν εὔτολμον καὶ ἰσχυρόν, Ἀρίσταρχος μὲν ψιλοῖ τὸ ρ , λέγων οὐ σύνθετον εἶναι σχηματισμόν, ἀλλὰ ἔννοιαν ἁπλῆν. Τρύφων δὲ ἀρέσκεται σύνθετον εἶναι τὴν λέξιν παρὰ τὸ ταλαόν καὶ τὸ ῥινός. διὸ καὶ ἐδάσυνε τὸ ρ . λέγουσι δὲ οἱ παλαιοὶ καὶ ὅτι εἴτε λεκτὸν τὸ ἐπὶ τέλους φωνῆεν εἴτε καὶ παρέλκει, φυλαττέσθω τὸ πνεῦμα. καὶ ὅτι εὕρηται τὸ Πάνὁρμος δασυνόμενον καὶ τὸ μελιἡδὴς οἶνος. καὶ ὅτι κακῶς δασύνουσί τινες τοῦ Ἐνυώ τὸ υ . ἄμεινον γάρ, φασί, ψιλοῦν, διότι οὐκ ἔστι κύριον, ἀλλὰ τὴν πολεμικὴν δηλοῖ, ἀφ' ἧς καὶ ὁ Ἐνὐάλιος. ἢ καὶ διότι ἀπὸ τοῦ ἐναύειν γίνεται κατὰ Ἀπολλόδωρον, ὅ ἐστιν ἐμφωνεῖν. ἤ, ὡς ὁ Ἡρακλέων φησίν, ἀπὸ τοῦ ἕνω, τὸ φονεύω, ὅθεν καὶ αὐτοέντης καὶ αὐθέντης ὁ αὐτοφόντης.

2.27 Εὕρηνται δὲ λέγοντες οἱ παλαιοὶ καὶ ὅτι ἡ ἁλός γενικὴ ἐπὶ μὲν κυρίων ὀνομάτων συνθέτων ψιλὸν ἀποφέρεται πνεῦμα, οἷον Εὐρύἀλος, Ἀστύἀλος, ἐπὶ δὲ ἐπιθετικῶν τὸ ἴδιον τηρεῖ πνεῦμα, οἷον «ἐν ἀμφιἅλῳ Ἰθάκῃ», ὑφἁλος πάρἁλος, καὶ ὅτι τὸ ἀέκων δασύνει τὸ ε . στέρησις γάρ ἐστι τοῦ ἑκόντος καὶ ἐξ αὐτοῦ κατὰ κρᾶσιν τὸ ἄκων. ἀπὸ γοῦν τῶν τοιούτων καὶ ἑτέρων δὲ πλειόνων σημειούμεθα, ὡς οἱ ἀρχαῖοι οὐ μόνον ἐν ταῖς ἀρχαῖς τῶν λέξεων τὸ ρ στοιχεῖον καὶ τὰ φωνήεντα ἐπνευμάτιζον, ἀλλὰ καὶ ὁπουδήποτε. Οἱ γοῦν Ἀττικοί, ὡς καὶ Ἀθήναιός φησι, τοῦ ταὧς τὴν λήγουσαν περιέσπων τε καὶ ἐδάσυνον, ὥσπερ αὖ πάλιν τοῦ λαὄς, κριὄς, ἰὄς καὶ τῶν ὁμοίων τὰ τέλη ἐψίλουν. Ἡρῳδιανὸς δὲ περὶ τοῦ, ὡς ἐρρέθη, κατὰ τὸν Φίλιππον πνευματισμοῦ νοήσας ἑτεροῖόν τι, φησίν, ὅτι Φίλιππον μὲν τὸ κύριον ἀξιοῦσιν οἱ γραμματικοὶ ψιλῶς λέγεσθαι, δασέως δὲ τὸ ἐπίθετον, ἀγνοοῦντες ὅτι καθ' ἓν ἑκάτερα δύνανται εἶναι. καὶ γὰρ λεύκιππος λέγεται παρὰ Στησιχόρῳ ἐπιθετικῶς. ἀλλὰ καὶ Λεύκιππος ὀνομάζεται ὁμοίως ὁ Φοίβης καὶ Ἑλαείρας πατήρ. Ὥστε ψιλοῖ αὐτὸς ἐν ἀμφοῖν τούτοιν τοῦ ἵππος τὴν ἄρχουσαν καὶ οὐκ ἐν μόνῳ τῷ κυρίῳ. Χρῆσις δὲ τοῦ ἐπιθετικοῦ λευκίππου καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«λεύκιππος Αἰνιὰν γένος», ὃ καθὰ ἐκ τοῦ εἷμα λευχείμων, οὕτω καὶ αὐτὸ ἐκ τοῦ ἵππος λεύχιππος ἂν ἦν κοινότερον. (v. 80) Ὅτι τὸ μὲν ἐπιτροχάδην ἐπὶ γλώσσης, ὥς που ἐπὶ Μενελάου, εἴρηται, τὸ δὲ μεταδρομάδην ἐπὶ ποδῶν, ὡς ἐνταῦθα «μεταδρομάδην ἤλασεν ὦμον». Καὶ σημείωσαι ὅπως, εἰ καὶ ὁμοίαν πως ἔχουσιν αἱ λέξεις ἄμφω παραγωγήν, ἀλλὰ τὸ σημαινόμενον αὐταῖς διάφορον. εἰ γὰρ καὶ τρόχος καὶ δρόμος ταὐτόν, ἀλλ᾽ ἰδοὺ γλώσσης μὲν τὸ ἐπιτροχάδην, ποδῶν δὲ τὸ ἐπιδρομάδην. Οὕτω καὶ τὸ πανοῦργος καὶ τὸ παντουργός, εἰ καὶ λέξις ἡ αὐτὴ ἀμφοῖν ἔγκειται, τὸ ἔργον δηλαδή, ἀλλ᾽ ἔχουσι διαφορὰν παρὰ τοῖς ὕστερον, εἰ καὶ Σοφοκλῆς ἄνδρα παντουργόν τὸν Ὀδυσσέα εἰπὼν εἰς ταὐτὸν ἄγειν δοκεῖ ἑκάτερα.

2.28 (v. 81 s.) Ὅτι ἐν τῷ «ἀπὸ δ᾽ ἔξεσε χεῖρα βαρεῖαν, αἱματόεσσα δὲ χεὶρ πεδίῳ πέσε» τὸ ἀπέξεσεν ἀντὶ τοῦ ῥᾷστα ἀπέκοψεν εἴληπται. ῥᾷον γὰρ τὸ ξέειν τοῦ κόπτειν. τοῦτο δὲ καὶ ἀπαράσσειν λέγεται. (v. 83) Ὅτι πορφύρεον Ὅμηρος θάνατον λέγει οὐ μόνον τὸν ἐξ αἵματος ἢ τὸν μέλανα, ὡς καὶ κῦμα πορφύρεον, ἀλλὰ καὶ τὸν ἐκ μιᾶς πληγῆς, ὡς καὶ ὁ Αἰλιανός φησιν, ἱστορῶν τοὺς πορφυρέας μιᾷ καταφορᾷ χειρὸς τὴν ζῶσαν πορφύραν συντρίβειν, ἵνα καλὸν οὕτω τὸ βάμμα τῆς πορφύρας γένηται. ὅθεν καὶ θάνατος πορφύρεος, ὁποῖον ἂν πάθοι πορφύρα, μιᾷ καὶ αὐτὴ θανατουμένη πληγῇ. [Γνωστὸν δὲ ἐξ ἱστορίας ἐστίν, ὅτι πορφυρεύς τις δολιευσάμενος ἐν βαφῇ καὶ ἀπαγόμενος εἰς θάνατον κατ᾽ ἔθος προὐκαλέσατό ποθεν εἰς ἀστεῖον σκῶμμα ἐκ τῶν Ὁμήρου τὸ «τὸν δ᾽ ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή».] (v. 85 s.) Ὅτι ἐμψύχου λόγου καὶ ἀληθῶς ἐνδιαθέτου καὶ θερμοῦ ἡ τοιαύτη παρ᾽ Ὁμήρῳ πρὸς τὸν ἀκροατὴν ἀποστροφὴ «Τυδείδην δ᾽ οὐκ ἂν γνοίης ποτέροισι μετείη ἢ μετὰ Τρώεσιν ὁμιλέει ἢ μετ᾽ Ἀχαιοῖς». Καὶ δείκνυσι κατὰ τοὺς παλαιοὺς τὸ βεβακχευμένον τοῦ Διομήδους ἡ τῆς ἑρμηνείας ταύτης θερμότης. Σημείωσαι δὲ καὶ νῦν, ὡς καὶ πρὸ τούτων, ἐν τῷ «οὐδ᾽ ἂν φαίης τόσσον λαόν» καὶ ἑξῆς, ὅτι ταῖς τοιαύταις ἀποστροφαῖς μυθικῶς μὲν ἡ Μοῦσα χρᾶται πρὸς τὸν ποιητήν, ἀληθῶς δὲ ὁ ποιητὴς πρὸς τὸν ἀκροατήν, καὶ ὅτι τὸ «οὐκ ἂν γνοίης τὸν Διομήδην εἴτε Τρωσὶν ὁμιλεῖ εἴτε Ἕλλησιν», ἐφερμηνευτικόν ἐστι τοῦ «ὁποτέροισι μετείη», καὶ ὅτι ὁ λόγος οὗτος ἐνθουσιᾶν τὸν στρατηγὸν δηλοῖ καὶ εἰς βάθος ἔρχεσθαι, ποτὲ μὲν τῶν Τρωϊκῶν τάξεων, ὡς δοκεῖν καὶ αὐτὸν Τρωϊκὸν εἶναι, ποτὲ δὲ τῶν Ἑλληνικῶν, ὀτρύνοντα ταύτας εἰς πόλεμον. (v. 87—94) Ὅτι ἐν παραβολῇ σεμνύνων τὸν τοῦ Διομήδους ἐνθουσιασμόν φησιν· «ἔθυνεν ἀνὰ πεδίον ποταμῷ πλήθοντι ἐοικὼς χειμάρρῳ, ὅς τ᾽ ὦκα ῥέων ἐκέδασσε γεφύρας. τὸν δ᾽ οὔτ᾽ ἄρ τε γέφυραι ἐεργμέναι ἰσχανόωσιν, οὔτ᾽ ἄρα ἕρκεα ἴσχει ἀλωάων ἐριθηλέων ἐλθόντ᾽ ἐξαπίνης, ὅτ᾽ ἐπιβρίσει Διὸς ὄμβρος. πολλὰ δ᾽ ὑπ᾽ αὐτοῦ ἔργα κατήριπε κάλ᾽ αἰζηῶν. ὣς ὑπὸ Τυδείδῃ πυκιναὶ κλονέοντο φάλαγγες Τρώων, οὐδ᾽ ἄρα μιν μίμνον πολέες περ ἐόντες».

2.29 (v. 87) Ἰστέον δὲ ὅτι τε διὰ τὴν καιρικὴν ἀνδραγαθίαν οὐκ ἀεννάῳ τὸν Διομήδην εἴκασε ποταμῷ ἀλλὰ χειμάρρῳ, καὶ ὅτι τὸ «ὅτ᾽ ἐπιβρίσει Διὸς ὄμβρος», ἤτοι ὁ ἐξ ἀέρος ὑετός, ὁ ἐξ ὕλης ὁρισμός ἐστι τοῦ χειμάρρου. τί γάρ ἐστι χείμαρρος; ἢ πάντως ὄμβρος ἐλθὼν ἐξαπίνης καὶ ῥέων ὅπῃ τύχῃ, καθ᾽ οἷον ἄν τις εἴπῃ καιρόν, εἰ καὶ ἐκ τοῦ πλεονάζειν ἐν χειμῶνι χείμαρρος ἐκλήθη, ὡς καὶ προερρέθη. Ἡσίοδος δὲ καὶ τὸν ἐν τῷ ἐδάφει τοῦ πλοίου πάτταλον χείμαρρον καλεῖ, τὸν καὶ ἴβδην λεγόμενον. ποιεῖ δὲ τοῦτο ἀστείως διὰ τὸ ἐκεῖθεν τῆς νηὸς ἀπορρέειν τὸ ὄμβριον ὕδωρ, ὡς διὰ χειμάρρου τινός. (v. 91) Τὸ δὲ «ὅτ᾽ ἐπιβρίσει» πάνυ ἀσφαλῶς εἴρηται. Ὅταν μὲν γὰρ κοῦφοι ὦσιν ὑπὸ θερμότητος οἱ ἄνω ἀτμοί, οὐχ᾽ ὕει. ἐπιλιπούσης δ᾽ αὐτῆς, πιλοῦνται καὶ βρίθοντες κάτω φέρονται. (v. 87) Τὸ δὲ πλήθειν ταὐτόν ἐστι τῷ πλημύρειν. ἐκ γὰρ τοῦ πλήθω ῥήματος ἥ τε παρὰ τῷ Γεωγράφῳ πλήμη γίνεται καὶ ἡ ἐξ αὐτῆς πλημύρα. Ὅρα δὲ καὶ ὅπως οὐ συνήθως ἐσχημάτισε τὴν παραβολήν, οἷον «ἠΰτε χείμαρρος» ἢ «ὡς δ᾽ ὅτε», ἀλλὰ δίχα τοιούτου ἐπιρρήματος ἤρξατο, εἰπών· ἔθυνε ποταμῷ ἐοικώς. Καὶ σημείωσαι καὶ νῦν τὸ ἐοικώς. ἐκ τούτου γὰρ εἰκόνα οἱ ὕστερον λέγουσι τὴν παραβολήν. (v. 88) Τὸ δὲ «ὦκα ῥέων» τὸ αἴτιόν ἐστι τοῦ τὰς γεφύρας καὶ τὰ ἕρκη σκεδάζεσθαι. τὰ γὰρ οὕτως ὠκὺ ῥέοντα ὕδατα κατασύρειν ἔχουσι τὰ

παραπίπτοντα. Τοῦ δὲ κεδάζω, ἐξ οὗ τὸ ἐκέδασε, πρωτότυπον τὸ κεδῶ, οὗ παράγωγον καὶ τὸ κεδαίω. Γίνεται δέ, φασίν, ἀπὸ τοῦ χέω. ἴσως δὲ καὶ παρὰ τὸ κεάσαι, ὡς τὸ «διά τε ξύλα πολλὰ κεάσαι».

2.30 Λέγεται δὲ καὶ σὺν τῷ ς σκεδάζω καὶ δίχα τοῦ ς κεδάζω, καθ' ὁμοιότητα τοῦ μικρός σμικρός, σῦς ὗς καὶ τῶν ἄλλων, ἃ προδεδήλωται. (v. 88 s.) Σημείωσαι δὲ καὶ ὅτι, ὥσπερ ὁ χείμαρρος τὰς πυκνὰς καὶ συνεχεῖς γεφύρας τὰς χειροκμήτους, οὕτω καὶ ὁ Διομήδης τὰς λεγομένας τοῦ πολέμου γεφύρας ἐσκέδασε καὶ συνέχεε. τίνες δέ εἰσιν αἱ τοῦ πολέμου γέφυραι, προείρηται ἀλλαχοῦ. Ὅρα δὲ καὶ ὅτι τὸ «ἐσκέδασε γεφύρας» ἐφερμηνεύων σαφέστερον ἐπάγει· «ὃν οὔτε γέφυραι ἐεργμέναι», ἤγουν κατησφαλισμέναι, ἰσχανόωσιν, ἤτοι ἐπέχουσι, κωλύουσιν. οὗ πάλιν ἐφερμηνευτικὸν τὸ «οὔτ' ἂρ ἕρκεα ἴσχει ἀλωάων». ταὐτὸν γὰρ τὸ ἴσχειν καὶ ἰσχανάαν, ὅπερ παράγεται οὕτω· ἔχω, ἀφ' οὗ ἴσχω, ἐξ οὗ ἰσχαίνω καὶ ὁ μέλλων ἰσχανῶ. τοῦτο δὲ μεταχθὲν εἰς ἐνεστῶτα συζυγίας δευτέρας ποιεῖ τὸ ἰσχανῶ. (v. 90—4) Ἕρκη δὲ ἀλωῶν τῶν ἀμπελοφύτων χωρίων τοὺς φραγμοὺς λέγει. Εἶεν δ' ἂν ἕρκη τὰ εἴργοντα καὶ ἐέργοντα, ὅθεν καὶ ἐεργμέναι γέφυραι, ἃς διὰ τὸ κατησφαλίσθαι καὶ πυκινὰς ἔστιν εἰπεῖν, ὃ κεῖται οἰκείως καὶ προσφυῶς ἐν τῇ ἀποδόσει τῆς παραβολῆς, ἥτις ἐστὶ τὸ «πυκιναὶ κλονέοντο φάλαγγες», ἧς διασαφητικὸν τὸ «οὐδ' ἄρα μιν μίμνον». ταὐτὸν γὰρ τὸ κλονεῖσθαι καὶ τὸ μὴ μένειν. τούτοις δὲ ὅμοιον καὶ τὸ σκεδάζεσθαι τὸ ἐν τῇ παραβολῇ. (v. 92 s.) Καλὰ δὲ ἔργα αἰζηῶν λέγει καὶ ἄλλα μέν τινα, οἷον οἰκοδομάς, καὶ αὐτὰ δὲ τὰ ἕρκη τῶν ἀλωῶν καὶ τὰς γεφύρας, οἷς διὰ τὸ πυκνὸν εἰκάζονται αἱ τῶν Τρώων φάλαγγες. διό φησι «πυκιναὶ κλονέοντο φάλαγγες». Αἰζηούς δὲ καὶ ἐνταῦθα ἢ τοὺς νέους λέγει, ὡς τοῦ ἐργάζεσθαι νέοις μάλιστα πρέποντος, ἢ ἁπλῶς τοὺς ἄνδρας, ὡς καὶ Ἡσίοδός πού φησι «τεσσαρακονταετὴς αἰζηός». (v. 96) Σημείωσαι δὲ καὶ ὅτι τῆς ἐπὶ τῷ Διομήδει παραβολῆς ἀρξαμένης μὲν ἀνωτέρω ἀπὸ τοῦ «θῦνε δ' ἂν πεδίον», ληξάσης δὲ εἰς τὸ «κλονέοντο φάλαγγες», ἄμφω ταῦτα συνελὼν ὁ ποιητὴς κατωτέρω φησὶ τὸν Διομήδην «θύνοντ' ἂν πεδίον πρὸ ἕθεν κλονέοντα φάλαγγας». Καὶ ὅρα τὸ «πρὸ ἕθεν κλονέοντα», ἤγουν ἔμπροσθεν αὐτοῦ. οὐ γὰρ τὸ ἁπλῶς κλονεῖν ἀνδρίας ἐστίν, ἀλλὰ τὸ ἐπιδιώκειν τινὰ τοὺς ἔμπροσθεν ὑπ' αὐτῷ κλονουμένους.

2.31 (v. 93) Τὸ δὲ «ὑπὸ Τυδείδῃ κλονέοντο» συνήθης Ὁμήρῳ σύνταξις Ἀττική, ἀντιπτωτικῶς ἡ αὐτὴ οὖσα τῷ «ὑπὸ Τυδείδου». (v. 95- 9) Ὅτι ὁ τοῦ Λυκάονος ἀγλαὸς υἱὸς Πάνδαρος ἔβαλε τὸν Διομήδην, «τυχὼν κατὰ δεξιὸν ὦμον θώρηκος γύαλον, διὰ δ' ἔπτατο πικρὸς ὀϊστός, ἀντικρὺ δὲ διέσχε, παλάσσετο δ' αἵματι θώρηξ». Καὶ σημείωσαι τὰς τοῦ πολέμου τύχας. οὐ γάρ ἐστι δρῶντά τι μὴ καὶ ἀντιπαθεῖν, ὡς καὶ Διομήδης ἀριστεύων βέβληται, εἰ καὶ μὴ μέγα τι ἐντεῦθεν βέβλαπται. Ὅρα δὲ καὶ ὅτι εὔστοχος μὲν τοξότης ὁ Πάνδαρος, δυστυχὴς δέ. ὡς γὰρ τοῦ Μενελάου ἔτυχε μέν, οὐκ ἔβλαψε δέ, οὕτω καὶ τοῦ Διομήδους. Πιθανὰ δὲ βουλόμενος ὁ ποιητὴς λαλεῖν, ὁρίζει καὶ τὸν τόπον, ἔνθα ὁ Διομήδης ἐβλήθη. κατὰ γὰρ τὸν ὦμον τὸν δεξιόν φησι. (v. 99) Θώρακος δὲ γύαλον, ἤγουν κοίλωμα, λέγει τὸ περὶ τοὺς ὤμους καὶ τὰ στήθη πρὸς ἀντιδιαστολὴν τῆς τῶν χειρίδων στενότητος. [Οὐ θώρακι δὲ μόνον ᾠκείωται τὸ γύαλον, ἀλλὰ καί τισιν ἄλλοις, ὡς δῆλον καὶ ἐκ τοῦ «ὦ κοίλης πέτρας γύαλον».] Ἀπίων δὲ καὶ Ἡρόδωρός φασι γύαλον μὲν θώρηκος προπαροξύνεσθαι, γυαλὸν δὲ λίθον ὀξυτόνως λέγεσθαι, οἷον «γυαλὸν λίθον ἀγκάσασθαι». Τὸ δὲ διέπτατο τὸ τάχος δηλοῖ τοῦ πτερόεντος ὀϊστοῦ τὸ μετὰ τὴν ἐκ τόξου ὁρμήν. ἐκεῖθεν γὰρ πτάμενος, εἶτα βαλών, οὐκέτι διέπτατο, ἀλλ' ἐνεσχέθη. διὸ Σθένελος διαμπερὲς ἐξείρυσεν αὐτόν. Καὶ ἔστι καὶ οὗτος ὁ τρόπος ὑστερολογία, ὡς καὶ μετ' ὀλίγα ῥηθήσεται. Τῆς δὲ ἀναλογίας τοῦ διέπτατο καὶ τὸ «πολιὸν αἰθέρ' ἀμπτάμενος», καὶ τὸ «διαπτάσθαι σκάφος». Ἔστι δὲ καὶ δεύτερος ἐν τούτοις μέσος ἀόριστος, οἷον «περιχαρὴς δ' ἀνεπτόμην», ἐξ οὗ καὶ τὸ πτέσθαι, ὡς τὸ «μηδέπω πτέσθαι σθένοντες». κατὰ δὲ τὸ διέπτατό ἐστι καὶ τὸ «τίς γάρ ποτ' ἀρχὴ τοῦ κακοῦ προσέπτατο».

2.32 (v. 100) Τὸ δὲ «ἀντικρὺ διέσχεν», ἀντὶ τοῦ διέσχισε καὶ διῆλθεν, ὁποῖον καὶ τὸ «διασχὼν τὴν νεφέλην». ὁ δὲ Κωμικὸς χωρὶς τῆς δια προθέσεως τὸ ἔσχον ἀντὶ τοῦ ἔσχασα καὶ διέρρηξα λέγει. Σημείωσαι δὲ ὅτι ἐνταῦθα μὲν ὁ ποιητὴς ἐξέτεινε τὸ δίχρονον τοῦ ἀντικρύ ἐπιρρήματος, ὡς καὶ ἐν τῷ «ἀντικρὺ δ' ἀπόφημι», καὶ πρὸ ὀλίγου ἐν τῷ «ἀντικρὺ δ' ἀν' ὀδόντας», μετ' ὀλίγα δὲ συστέλλει τὸ αὐτὸ δίχρονον. Οὕτω καὶ τοῦ φίλος εἰωθὼς συστέλλειν τὸ δίχρονον ὅμως πρὸ τούτου ἐν τῷ «φίλε κασίγνητε» ἀντὶ μακροῦ ἔλαβε. καὶ ἐνταῦθα δὲ μετ' ὀλίγα ἐν τῷ «νῦν αὖτέ με φίλαι Ἀθήνη» ὁμοίως ἐκτείνει τὸ φι . Γίνεται δὲ κατὰ τοὺς παλαιοὺς τὸ ἀντικρύ παρὰ τὴν ἀντι πρόθεσιν καὶ τὸ κάρα, ἵνα ᾖ κυρίως ἀντικαρύ καὶ ἐν συγκοπῇ ἀντικρύ τὸ κατέναντι, οὗ πρὸς ὁμοιότητα ἐρρέθη τὸ ἀντιπρόσωπον. Οὔσης δέ, φασίν, ἀναλογίας, ὡς οὕτως οὕτω, μέχρις μέχρι, αὖθις αὖθι, οὕτω καὶ ἄντικρυς ἀντικρύ, ὅμως ὠξυτονήθη τοῦτο ἀναλόγως κατὰ τὸ μεσηγύ καὶ μεταξύ, καὶ ἅμα διότι μὴ κατὰ τὸ οὕτως οὕτω, μέχρις μέχρι, ἐφύλαξε καὶ τὸ ἀντικρύ τὴν αὐτὴν σημασίαν τῷ ἄντικρυς. Παλάσσεσθαι δὲ λέγει τὸ μολύνεσθαι ἢ πλεονασμῷ τῆς αλ συλλαβῆς τὸ ἐπιπάσσεσθαι, ἀφ' οὗ καὶ ἡ παιπάλη, ὡς καὶ ὁ Κωμικός «καταπαττόμενος παιπάλη γενήσομαι». καὶ νῦν μὲν παλάσσεται ὁ τοῦ Διομήδους θώραξ τῷ αἵματι, ὅτε δὲ τὸ βέλος ἐξελκύσει τοῦ ὤμου, ἀκοντισθήσεται τὸ αἷμα. (v. 97) Ἰστέον δὲ ὅτι Αἴλιος Διονύσιος μέμνηται τοῦ Θουκυδίδου εἰπόντος τὸ ἐμπαλασσόμενοι ἀντὶ τοῦ ἐμπλεκόμενοι, περιπειρόμενοι δόρατι, φυρόμενοι. [Ἰστέον δὲ καὶ ὅτι ἐν τοῖς εἰρημένοις κείμενον τὸ «ἐπὶ Τυδείδῃ ἐτιταίνετο», τουτέστιν ἔτεινεν, ὁ Πάνδαρος καμπύλα τόξα, τὰ καὶ ἀγκύλα ἐν ἄλλοις, τρόπον παραλαλεῖ ἐτυμολογικόν.

2.33 Ἀπὸ γὰρ τοῦ τείνειν καὶ τὰ τόξα καὶ τὸ τιταίνειν γίνεται, ὡς ἐν ἄλλοις δηλοῦται.] (v. 101—5) Ὅτι πάνυ ἀλαζὼν ὁ Πάνδαρος, ὃς ἀχρεῖον βαλὼν εἶτα μακρὸν ἐφώνησεν, εὐχόμενος, ἤτοι καυχώμενος, ὡς εἴπερ καιρίαν ἔβαλεν. «ὄρνυσθε» γάρ, φησί, «Τρῶες μεγάθυμοι κέντορες ἵππων· βέβληται γὰρ ἄριστος Ἀχαιῶν» καὶ τὰ ἑξῆς. καὶ τοιαῦτα μὲν αὐτός. (v. 121—32) Ὁ Διομήδης δέ, εἰ καὶ τοῦ βέλους ἐξελκυσθέντος ὑπὸ Σθενέλου αἷμα ἐξ ἀρτηριώδους τινὸς ἀναθέον τόπου ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος, ὅμως οὐ θροεῖται, ἀλλὰ εὐξάμενος ὁρμᾷ κατ' ἐκείνου. (v. 121—8) Ἡ γὰρ Ἀθηνᾶ, φησί, γυῖα ἔθηκεν αὐτῷ ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν, καὶ μένος ἐνῆκε πατρώϊον ἄτρομον, καὶ ἀπ' ὀφθαλμῶν εἷλεν ἀχλύν, ὡς ἂν πρὸς τὸ παρὸν εὖ ἔχοι γινώσκειν ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα, ἤγουν αὐτοπρόσωπόν τε θεὸν καὶ τὸν εἰς ἀνδρὸς μεταπεσόντα μορφήν. καὶ πρῶτα μὲν κατὰ τῆς Ἀφροδίτης ἠρέθισε, μικρὸν δὲ ὅσον καὶ κατὰ τοῦ Ἄρεος. Εἴη δὲ ἂν ἐκεῖνο μὲν ἡ τῶν Τρώων οἷον θηλύτης καὶ ὁ κατὰ πόλεμον, ὡς ἄν τις εἴπῃ, γυναικισμὸς καὶ ἡ βλακεία, ἥν, ὡς εἰκός, μέρη τινὰ Τρωϊκὰ εἶχον. Ὁ δὲ Ἄρης νοηθείη ἂν θυμὸς ἀλόγιστος καὶ φρονήσει μὴ διοικούμενος, ὧν ὁ Διομήδης περιεγένετο, Ἀθηνᾷ τῇ καὶ νίκῃ καὶ φρονήσει συγκροτούμενος. (v. 103) Σημείωσαι δὲ ὅτι ἄριστον Ἀχαιῶν τὸν Διομήδην λέγει ὁ Πάνδαρος οὐχ' ἁπλῶς, ἀλλὰ καὶ τὸ ἑαυτοῦ σεμνολογῶν ἀρίστευμα. (v. 102) Τὸ δὲ «κέντορας ἵππων» ταὐτόν ἐστι τῷ ἐλατῆρας ἢ ἱπποδάμους, ᾧπερ ὅμοιόν τι σύνθετον τὸ ἱπποκένταυρος, [ὁ κεντῶν δηλαδὴ ταύρους κυνηγετικῶς.

2.34 ὅθεν ἡ κωμικὴ βλασφημία κενταύρους ἔπαιξε τοὺς αἰσχρῷ ἔρωτι κεντοῦντας ταῦρον, ὅπερ ἐστὶν ὄρρον, ἀφ' οὗ τὸ ὀρρωδεῖν, ἔτι δὲ καὶ λασταύρους τοὺς πάσχοντας, ὡς οἷον λασιοταύρους ἤγουν δασεῖς τὸν τοιοῦτον ταῦρον. ἡ δ' αὐτὴ καὶ παρὰ τὸν κύνα παίζει τὴν κύνειραν, περὶ ἧς ἀλλαχοῦ δηλοῦται.] (v. 126) Τὸ δὲ πατρῷον μένος διασαφῶν, ἵνα μὴ ἁπλῶς προγονικὸν νοοῖτο, ἐπάγει· «οἷον ἔχεσκε σακέσπαλος ἱππότα Τυδεύς», [ὡς δηλονότι ἐξαίρετον ὂν ἐκεῖνο, καθὰ καὶ ὁ βασιλεὺς ἐδήλωσεν, ὅτε τὸν Διομήδην ὠνείδισεν, ὡς ὀλίγον ἐοικότα τῷ Τυδέϊ.] Πλεονασμὸς δὲ ἀναγκαῖος τοῦ ς καὶ ἐν τῷ σακέσπαλος, ὡς καὶ ἐν τῷ σακεσφόρος, ὃ πρὸς ὁμοιότητα τούτου εἴρηται. (v. 103 s.) Ὅτι ἐν τῷ «οὐδέ ἑ φημὶ δηθὰ σχήσεσθαι κρατερὸν βέλος» σχήσεσθαι [λέγει τὸ ὑπομεῖναι. Εἰ δὲ γράφεται «οὐδέ ἑ φημὶ δῆθ' ἀνσχήσεσθαι», λέγοι ἂν πάντως ἀνσχήσεσθαι]

τὸ ἀνασχέσθαι, ὡς καὶ πρὸ τούτου ἐν τῷ χαλκὸν ἀνασχέσθαι. τί δὲ δηλοῖ ἡ λέξις, μετ' ὀλίγα ῥηθήσεται. (v. 106) Ὅτι κενὸν αὔχημα ἐπὶ ἀπράκτῳ βολῇ φράζει τὸ «ὣς φάτ' ἐπευχόμενος, τὸν δ' οὐ βέλος ὠκὺ δάμασσεν». (v. 108) Ὅτι ὥσπερ πατρωνυμικὸν ἀλλαχοῦ τὸ Τελαμώνιος Αἴας, οὕτω καὶ ὧδε τὸ Καπανήϊος υἱός, ὁ Σθένελος δηλαδή, ὁ καὶ Καπανηϊάδης. [Περὶ δὲ τούτου βέλτιον ἐν τοῖς φθάσασιν εἴρηται.

2.35 ] (v. 110) Ὅτι πικρὸν ὀϊστόν λέγει τὸν πικροποιόν. ἔστι δ' αὐτὸ καὶ ὀδύνης ἐπίθετον. (v. 107) Ἐν τούτοις δὲ καὶ τὸ ἀναποδίσαι ἀναχωρῆσαί φησιν, ὅπερ ἐστὶν ἀνάπαλιν τοῦ χωρεῖν καὶ προχωρεῖν. (v. 109) Τὸ δὲ καταπηδῆσαι τοῦ ἅρματος καθ' ἵππων ἁλέσθαι χαμᾶζέ φησιν. (v. 113) Ὅτι ἐν τῷ «αἷμα δ' ἀνηκόντιζε διὰ στρεπτοῖο χιτῶνος», στρεπτὸν χιτῶνα οἱ μὲν ἐπὶ ἱματίου νοοῦσι, λέγοντες στρεπτὸν τὸν κλωστόν, οἱ δὲ ἐπὶ θώρακος κρικωτοῦ ἤτοι ἁλυσειδωτοῦ. ἡ δὲ λέξις κεῖται καὶ ἐν τῇ φῖ ῥαψῳδίᾳ. [Ὅτι δὲ καὶ σώματος κόσμος τὸ στρεπτόν, δηλοῦσι σαφῶς οἱ παλαιοί.] Ἐνταῦθα δὲ ὅρα καὶ τὸ ἀνηκόντιζεν ὑπερβολικῶς λεχθὲν διὰ τὸ ἄθρουν τῆς ῥεύσεως τοῦ αἵματος καὶ τῆς ἄνω αὐτοῦ φορᾶς. πάντως γὰρ ἕτερον τοῦ κατακοντίζειν τὸ ἀνακοντίζειν. (v. 115—7) Ὅτι δηλοῖ καὶ ἐνταῦθα ὁ ποιητὴς τὸ ὠφέλιμον τῆς δικαίας εὐχῆς, ἐν οἷς τὸ μὲν τοῦ Πανδάρου βέλος ἀχρεῖον ἱστορεῖ—οὐ γὰρ ηὔξατο—τὸν δὲ Διομήδην ἀριστέα κατὰ τοῦ Πανδάρου ποιεῖ εὐξάμενον τῇ Ἀθηνᾷ. Ἔνθα καὶ τοῦ πατρὸς ἀναμιμνήσκεται ὁ Διομήδης ὡς βοηθουμένου ἐν πολέμοις ὑπὸ Ἀθηνᾶς, ὅπερ καὶ ἐρεθιστικὸν εἰς μάχην τῷ Διομήδει γίνεται· παροξύνουσι γὰρ εἰς ἀνδραγαθίαν αἱ μνῆμαι τῶν προγόνων. Διὸ καὶ κατωτέρω ἡ μυθικὴ Ἀθηνᾶ εἰς ἀνάμνησιν αὐτὸν ἄγει τοῦ πατρός, δηλοῦντος τοῦ ποιητοῦ ὅτι ὁ φρονῶν μέμνηται τῶν ἀγαθῶν προγόνων καὶ ἐξομοιοῦται αὐτοῖς. (v. 116) Ὅτι τὸ «εἴ ποτέ μοι καὶ πατρὶ φίλα φρονέουσα παρέστης», ἢ φρονέων παρέστης, παῖς ἂν εἴπῃ πρὸς πατρικὸν εὐεργέτην. [Ἐνταῦθα δ' ὁ ποιητὴς ἐπάγει τὸ «νῦν αὖτέ με φίλαι, Ἀθήνη», περὶ οὗ πρὸ βραχέων ἐρρέθη ἐν τῷ ἐφίλατο. καὶ μὴν ἐκεῖνό τινες κοινότερον φίλεε γράφουσιν ἀντὶ τοῦ φίλει, τὴν τελευταίαν συναλείψαντες.] (v. 118) Ὅτι τὸ «δὸς ἄνδρα ἑλεῖν καὶ εἰς ὁρμὴν ἔγχεος ἐλθεῖν» σχῆμά ἐστι πρωθύστερον ἤτοι ὑστερολογία.

2.36 Ἔδει γὰρ οὕτω κεῖσθαι· δὸς τὸν Πάνδαρον εἰς ὁρμήν τε ἐλθεῖν μοι ἔγχεος καὶ δός μοι καὶ φονεῦσαι αὐτόν. Ὅμηρος δὲ μιμούμενος ἄνθρωπον τεθορυβημένον ἀλληνάλλως ἔθετο. Τοιοῦτον δὲ καὶ τὸ «ἔβαλεν ἐπαΐσσοντα, διὰ δ' ἔπτατο πικρὸς ὀϊστός», πρὸ ὀλίγων ῥηθέν. καὶ ἐκεῖ γὰρ φύσει πρῶτον τὸ ἔπτατο, εἶτα τὸ ἔβαλε, διὰ δὲ τὸ σύγχρονον τῆς πράξεως ἀδιαφόρως τέθεινται. ἅμα γὰρ πταμένου τοῦ ὀϊστοῦ ὁ ἥρως βέβληται. [Εἰ δέ τις ἐνταῦθα εἴποι, ὡς ἔβαλεν ὁ ὀϊστός, διελὼν δὲ τὸ σῶμα ἐξεπετάσθη, εἴη ἂν οὕτω κατὰ φύσιν πρῶτον τὸ ἔβαλεν, εἶτα τὸ ἔπτατο.] (v. 118) Ὅρα δὲ καὶ τὰ σύντομα πάρισα, τὸ ἑλεῖν καὶ τὸ ἐλθεῖν, ἃ καὶ παρηχήσει τινὶ ἔοικε. Σημείωσαι δὲ καὶ ὅπως ὁ Διομήδης θαρρεῖ ὡς, εἰ τοῦ τόξου ὁ Πάνδαρος ἀπόσχηται, ῥᾳδίως ἂν αὐτοῦ ἐκ τοῦ σχεδὸν περιγενήσεται. ἀχρεῖος γὰρ ἅπας τοξότης ἐν τῇ συστάδην μάχῃ. διὸ οὐδὲ τὸν Σκαμάνδριον πρὸ τούτου ὤνησαν αἱ ἑκηβολίαι, ὡς τοῦ Μενελάου ἐπεισπεσόντος αὐτῷ. (v. 119 s.) Ὅτι Πάνδαρος μὲν εἶπε τὸν Διομήδην οὐκ ἐπὶ πολὺ ἀνασχήσεσθαι κρατερὸν βέλος, Διομήδης δὲ ἐφερμηνεύων τὴν τοῦ λόγου ἔννοιάν φησιν· «οὐδέ μέ φησι δηρὸν ἔτ' ὄψεσθαι λαμπρὸν φάος ἠελίοιο». (v. 104) Καὶ σημείωσαι ὅτι ἀνασχήσεσθαι εἶπε τὸ ὑπομεῖναι καὶ μὴ πληγέντα θανεῖν καὶ ὑπὸ σκότῳ γενέσθαι, ἀλλὰ ἄνω σχεῖν ἤτοι ζῆν καὶ ὑπὸ ἡλίῳ καὶ φωτὶ εἶναι. ὅθεν καὶ ἐπὶ ἡλίου ἀνατολῆς τὸ ἀνίσχειν τίθεται. Τὸ δὲ ἀνασχέσθαι καὶ αὐτὸ καθ' αὐτὸ πολλάκις λέγεται, ὡς καὶ ἐν τῷ «ἀνάσχεο κηδομένη περ». Φράζεται δὲ καὶ ἐν ἁπλότητι δίχα προθέσεως ἔν τε ἄλλοις καὶ ἐν τῷ «εἰ τὸν ἐξ ἐμῆς μητρὸς θανόντ' ἄθαπτον ἐσχόμην», ἢ καὶ ἄλλως ἠσχόμην διὰ τοῦ η κατὰ τὸ ἔμελλον ἤμελλον, διεκόνουν διηκόνουν.

2.37 (v. 122) Ὅτι ἐν τῷ «γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθε», τὸ πόδας καὶ χεῖρας, τὰ λυσιτελῆ πρὸς δρόμου τάχος, διὰ σαφήνειαν ἰδίᾳ ἐξεφώνησεν, ἑρμηνεύων τίνα εἶπε κατ'

ἐξαίρετον γυῖα ἐνταῦθα. προσληπτέον δὲ εἰς τὸ πόδας τὸ ἔνερθε κατὰ ἀκολουθίαν, ὡς ἐπὶ χειρῶν εἴρηται τὸ ὕπερθεν. [Ἰστέον δὲ ὅτι ἐνταῦθα μάλιστα τὸ ἐλαφρά καίριόν ἐστιν, ὡς ἀπὸ τῆς τῶν ἐλάφων τροπῆς, ἤπερ ἐπὶ ξύλων καὶ τῶν τοιούτων. ἔστι γὰρ οὐκ ἀπροσφυῶς λέγεσθαι πόδας ἐλαφηροὺς οἷόν τινας δι’ ὠκύτητα.] (v. 125 s.) Ὅτι πρὸς ἀνδρεῖον καὶ ἐξ ἀνδρείου πατρὸς φύντα καλὸν εἰπεῖν, ὡς προεγράφη, τὸ «ἐν γάρ τοι στήθεσσι μένος πατρώϊον ἄτρομον, οἷον ἔχεσκε σακέσπαλος ἱππότα» ὁ δεῖνα. (v. 127 s.) Ὅτι ἀνθρώπῳ, ὃν ἡ σοφία εἰς θεολογίαν καὶ εἰς φυσιολογίαν ὡδήγησε, πρέπει εἰς ἔπαινον τὸ «ἀχλὺν δ’ αὖ τοι ἀπ’ ὀφθαλμῶν εἷλεν, ὄφρ’ εὖ γινώσκῃς ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα», ὃ πρὸς Διομήδην φησὶν ἡ Ἀθηνᾶ. Ἔνθα σημείωσαι, ὅτι τε ἐν τῷ «ἠδὲ καὶ ἄνδρα» ἐκ παραλλήλου κεῖνται δύο σύνδεσμοι, ὁ ἠδέ καὶ ὁ καί, ὡς καὶ ἀλλαχοῦ ἐν πολλοῖς, καὶ ὅτι ἐν τῷ «ἀχλὺν αὖ τοι ἀπ’ ὀφθαλμῶν ἕλον» ἀπορίαν λύει ὁ ποιητὴς τὴν λέγουσαν, πῶς εἶχεν ὁ Διομήδης διακρίνειν, ὅτι αὕτη μέν ἐστιν Ἀφροδίτη, οὗτος δὲ Ἄρης. ἢ γὰρ ἀσώματοί εἰσι, καὶ πῶς αὐτοὺς ἑώρα; ἢ ἐν σώματι, καὶ πῶς αὐτοὺς θεοὺς εἶναι διέκρινε;

2.38 λύει οὖν μυθικῶς τὸ μυθικόν, ὅτι φωσφόρος οὖσα ἡ Ἀθηνᾶ ἀφεῖλε τῶν ὀφθαλμῶν αὐτοῦ τὴν ἀχλύν καὶ δέδωκε διακρίνειν θεόν τε καὶ ἄνδρα. Ἡ δὲ ἀλληγορία πάνυ σαφής. ὁ γὰρ συνετὸς στρατηγὸς ῥᾷον διακρίνει τοὺς κατὰ τὸν μανιώδη Ἄρην θρασέως μαχομένους καὶ ἀλογίστως ἢ ἄλλως χαύνως καὶ μαλακῶς, καὶ τὸ ὅλον εἰπεῖν, ἀνθρωπίνως, καὶ τοὺς ἄλλως δὲ μαχομένους θειότερον καὶ ὑπὲρ ἄνθρωπον. Τάχα δὲ καὶ σπέρμα ὁρισμοῦ φιλοσοφίας ἐνταῦθα κεῖται. Θεωρητικὸς μὲν γάρ τις ὁ Διομήδης παραλαλεῖται. ὁ δὲ τοιοῦτος οἶδε θεὸν καὶ ἄνδρα, ὅτι καὶ ἡ φιλοσοφία γνῶσις θείων καὶ ἀνθρωπίνων πραγμάτων ἐστίν. (v. 130) Ὅτι θεοπειθοῦς ἤθους τό· μή τι σὺ ἀθανάτῳ θεῷ ἀντικρὺ μάχεσθαι. ἐνταῦθα δὲ συνέσταλται τοῦ ἀντικρύ ἡ λήγουσα. ὅτι δὲ καὶ ἐκτείνεται, οὐ πρὸ πολλῶν γέγραπται. (v. 130 s.) Ὅτι ἔννοια προαναφωνητικὴ ῥητορικῶς τοῦ μέλλοντος δι’ Ἀθηνᾶς πρὸς Διομήδην τὸ «εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη ἔλθῃσιν ἐς πόλεμον, τήν γ’ οὐτάμεν ὀξέϊ χαλκῷ». μέλλει γὰρ πραχθῆναι τοῦτο ἐν τοῖς ἑξῆς. Τὴν δ’ αὐτὴν Ἀθηνᾶν μετ’ οὐ πολὺ κατά τινα δευτέραν σοφωτέραν φροντίδα ἕτερος ἀνήσει λογισμὸς ἀντικαταστῆναι τὸν Διομήδην καὶ τῷ Ἄρεϊ, ὃ νῦν οὐ λελάληται. (v. 133 s.) Ὅτι βουλευομένοις μέν τισι παρεῖναι πολλαχοῦ τὴν Ἀθηνᾶν φησιν, ἤτοι τὴν φρόνησιν, ὁ ποιητής, ἔργου δὲ ἀρξαμένων ἀποχωρεῖν λέγει αὐτήν. καὶ τοῦτο ἐνέφηνε μὲν καὶ πρὸ μικροῦ ἐν τούτῳ τῷ γράμματι, ἐνταῦθα δὲ ἔτι σαφέστατα διαδείκνυσιν ἐν τῷ «ἣ μὲν ὣς εἰποῦσα ἀπέβη γλαυκῶπις Ἀθήνη, Διομήδης δ’ ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη». Δηλοῖ δὲ ὁ λόγος, ὡς καὶ ἀλλαχοῦ φαίνεται, ὅτι ὁ ἔργοις ἐγχειρήσας τοῖς ἀπὸ προηγησαμένης σκέψεως οὐκέτι πρὸ ἔργου τίθεται τὴν βουλήν, ὅπερ ἐστὶ τὴν Ἀθηνᾶν. (v. 136) Ὅτι Ἀγαμέμνονος μὲν ὀτρύναντος ὁ Διομήδης μεγάλα εἰργάσατο, Ἀθηνᾶς δὲ θαρσεῖν ἐγκελευσαμένης καὶ ἀναμνησάσης τοῦ πατρὸς πολλαπλοῦς γίνεται, ἀντεπεξάγων ἑαυτόν, ὡς εἰκός, τῇ πατρικῇ ἀρετῇ κατά τινα ζῆλον φιλόνεικον. Φησὶ γάρ· «δὴ τότε μιν τρὶς τόσσον ἕλεν μένος ὥστε λέοντα» καὶ ἑξῆς, ὡς εὐθὺς εἰρήσεται. Καὶ ὅρα τὸ «εἷλεν μένος», ἤτοι κατέσχεν, ὅθεν λαβόντες οἱ μεθ’ Ὅμηρον κατέχεσθαί τινά φασι θυμῷ καὶ Ἄρεϊ κάτοχον εἶναι καὶ ὅσα τοιαῦτα.

2.39 Ὅρα δὲ καὶ τὸ «δὴ τότε». πολλαχοῦ γὰρ κατὰ γλῶσσαν ὁ ποιητὴς τὸ δή τίθησιν ἐν καταρχῇ ἐννοιῶν, ὃ τοῖς πεζολογοῦσιν ἀσύνηθές ἐστιν. [Ἰστέον δὲ ὅτι τὸ τρὶς τόσσον οὐκ αὐτόχρημα δηλοῖ τὸ τριπλοῦν, ἀλλ’, ὡς εἴρηται, τὸ πολλαπλοῦν. ἐπεὶ καὶ τὸ τρία καὶ ἀρχή ἐστιν ἀριθμοῦ πληθυντικοῦ καὶ πλῆθος δὲ πολλάκις δηλοῖ, ὡς καὶ ἐν τῷ τρισμακάριος καὶ τρισάθλιος.] (v. 136—43) Ὅτι τὸν Διομήδην μετὰ τὴν τοῦ Πανδάρου πληγὴν ἐπὶ πλέον θρασυνθέντα λέοντι παραβάλλει, ὃν ποιμὴν βάλλει μέν, οὐ βλάψει δέ, καὶ διὰ τοῦτο εἰς πλέονα ἐρεθίσει θυμόν. Φησὶ γοῦν ὅτι «τρὶς τόσσον αὐτὸν ἕλεν μένος ὥστε λέοντα, ὅν ῥά τε ποιμὴν ἀγρῷ ἐπ’ εἰροπόκοις ὀΐεσσι χραύσει μέν τ’ αὐλῆς ὑπεράλμενον οὐδὲ δαμάσσει. τοῦ μέν τε σθένος ὦρσεν, ἔπειτα δέ τ’ οὐ προσαμύνει, ἀλλὰ κατὰ σταθμοὺς δύεται, τὰ δ’ ἐρῆμα φοβεῖται. αἳ μέν τ’

ἀγχηστῖναι ἐπ’ ἀλλήλῃσι κέχυνται, αὐτὰρ ὃ ἐμμεμαὼς βαθέης ἐξάλλεται αὐλῆς. ὣς μεμαὼς Τρώεσσι μίγη κρατερὸς Διομήδης». Καὶ σημείωσαι ὅτι ποιμένι μὲν εἰκάζει τὸν Πάνδαρον διὰ τὸ ἀρχικόν—λαῶν γὰρ ποιμὴν καὶ αὐτός—, ὀΐεσσι δὲ εἰροπόκοις τοὺς Τρῶας διὰ τὸ ὑπὸ τοῦ Διομήδους οἷα ὑπὸ λέοντος εὐκαταπόνητον. ἐν μέντοι τῷ τέλει τῆς δ ῥαψῳδίας καὶ διὰ τὸ θορυβητικὸν ὀΐεσσιν αὐτοὺς εἴκασεν. (v. 137) Εἰροπόκους δὲ τὰς ὄϊς λέγει κατ’ ἐξαίρετον πρὸς τὰ ἄλλα ζῷα. οὐδὲν γὰρ ἄλλο ζῷον οὕτω πέκεται εἰς εἶρος ἤγουν ἔριον, ὃ καὶ αἶγες περί τινας χώρας ἔχουσιν, ἐν ἑτέραις τρίχας φέρουσαι, [οὐ μὴν ἐριοφοροῦσαι. Ὅτι δὲ διαφέρετον θρίξ καὶ ἔριον, οὐκ ἔστιν ἀμφιβαλεῖν παρά γε τοῖς προθεμένοις ὀρθολεκτεῖν.

2.40 ] Ἰστέον δὲ ὡς τὸ μὴ ἐριοφορεῖν παροιμίαν ἐξήνεγκε τὸ εἰς ὄνου πόκους ἐπὶ τῶν ἀκερδῶν καὶ ἀλυσιτελῶν, ἣν παρῳδήσας ὁ Κωμικὸς ὄνου πόκας παίζων πλάττει ὡς οἷά τι χωρίον ἐν Ἅιδου. (v. 138) Χραῦσαι δὲ λέγεται τὸ ἐπιπολῆς ξέσαι εἰς αὐτὸν τὸν χροῦν τοῦ σώματος. Καὶ γίνεται ἐπενθέσει ἤγουν πλεονασμῷ τοῦ υ ἀπὸ τοῦ χράω, ὡς τὸ «ἔχραε κήδειν», καὶ «μητέρι μοι μνηστῆρες ἐπέχραον». ὡς δὲ χράω χραύω, οὕτω καὶ λάω, οἷον «ἀσπαίροντα λάων», καὶ κατὰ πλεονασμὸν λαύω, ἐξ οὗ καὶ τὸ ἀπολαύω καὶ λαυκανία ὁ λαιμός. Οὕτω δὲ καὶ ἄω αὔω, τὸ πνέω καὶ φωνῶ, καὶ ψάω ψαύω καὶ ἐλάω ἐλαύω, ἐξ οὗ τὸ ἐλαύνω. (v. 139) Τὸ δὲ «σθένος ὦρσεν» ἐν τοῖς ἑξῆς σαφέστερον ἐρεῖ, ὅτε εἴπῃ ὁ Πάνδαρος ὅτι βαλὼν τὸν Διομήδην ἤγειρα μᾶλλον. ταὐτὸν γὰρ τὸ σθένος ὄρσαι καὶ τὸ ἐγεῖραι μᾶλλον, ὅθεν καὶ ὄρθρος λέγεται ὁ ὀρθῶν καὶ ἐγείρων ἡμᾶς. (v. 140) Σταθμοί δὲ τὰ ἐν τοῖς ἀγροῖς ζῳοστάσια, αἱ ἐπαύλεις καὶ ὅλως κατοικίαι ἀγροτικαί. πολλὴ δὲ ἡ χρῆσις παρὰ τῷ ποιητῇ. Τίθησι δέ που τὴν λέξιν καὶ ἐπὶ ζυγίου, ὡς ἀλλαχοῦ φανήσεται, καὶ μέρος δὲ θυρῶν ἐν Ὀδυσσείᾳ οἱ σταθμοί, οὓς παραστάδας ὁ Τραγικός φησιν, [Αἱ δὲ ἱστορίαι σταθμούς οἴδασι λέγειν καὶ τὰς ὡρισμένας εἴτ’ οὖν τεταγμένας ἐνοδίους ἀναπαύλας τοῖς εἴτε ἱππεῦσιν εἴτε πεζοδρόμοις, ἃς καὶ ἀλλαγάς ἔλεγόν τινες.

2.41 οὕτω γὰρ τοσοίδε σταθμοὶ ὁδευθῆναι λέγονται πρός τινων καὶ τοσούσδε σταθμοὺς εἶναι ἀπὸ τοῦδέ τινος τόπου εἰς ἄλλον φαμέν.] Τὸ δὲ «τὰ δ’ ἐρῆμα φοβεῖται» σχῆμά ἐστι καινοπρεπὲς καὶ τοῖς φθάσασιν ἀκατάλληλον. ὤφειλε μὲν γὰρ εἰπεῖν· αἱ δ’ ἐρῆμαι φοβοῦνται, τουτέστιν αἱ εἰροπόκοι ὄϊες. ὁ δὲ ἐσχημάτισεν ὡς πρὸς ποίμνια ἢ πρόβατα ἢ θρέμματα. ταὐτὸν γὰρ εἰπεῖν ὄϊας καὶ εἰπεῖν ποίμνια ἢ πρόβατα. Τὸ δ’ ἐναντίον τούτου ἐπέπεσεν ἐν τῷ τέλει τῆς β . ἐκεῖ μὲν γὰρ ἀπὸ οὐδετέρου πληθυντικοῦ εἰς θηλυκὸν μετέπεσεν, εἰπών· πτηνῶν ἔθνεα ποτῶνται, ἀγαλλόμεναι πτερύγεσσιν, ἤγουν ἀγέλαι πέτονται ἀγαλλόμεναι. ἐνταῦθα δὲ μετέβη ἀπὸ θηλυκοῦ πληθυντικοῦ εἰς οὐδέτερον. Ἔφη γάρ· εἰροπόκοις ὀΐεσσιν, ἃ ἐρῆμα φοβοῦνται, ἤγουν εἰροπόκοις ζῴοις ἢ ποιμνίοις, ἃ ἔρημα τοῦ βοηθήσοντος φεύγει. εἶτα εὐθὺς πάλιν ἐπανακάμπτει εἰς τὸ ἐξ ἀρχῆς θηλυκὸν εἰπών· αἳ μὲν ἀγχηστῖναι κέχυνται, ἤγουν αἱ ὄϊς. Τὸ δὲ ἐρῆμα προπερισπῶσιν οἱ παλαιοί. ὥσπερ γὰρ ἑτοῖμον λέγει Ὅμηρος προπερισπωμένως κατὰ ἀρχαϊσμόν, οὕτω καὶ ἐρῆμον τὸ παρ’ ἡμῖν ἔρημον. καὶ καινὸν οὐδέν, εἴγε καὶ Θουκυδίδης ἀσυνήθως τροπαῖον λέγει προπερισπῶν. Τὸ μέντοι ὁμοῖος αὐτὸ μὲν οὐκ ἔχει παραδοξίαν τινά. ἀνάλογον γάρ ἐστι τοῖς διὰ τοῦ οῖος προπερισπωμένοις, δοκοῦν προπερισπασθῆναι καὶ ἐκ τοῦ ὁμοΐїος. μᾶλλον δὲ τὸ ὅμοιος ἔχει τι καινὸν κατὰ συνήθειαν, ὥς φασιν, Ἀττικήν. Ἰστέον δὲ ὅτι καὶ τὸ παρὰ τῷ Θουκυδίδῃ τροπαῖον οὐ ξενίζει κατὰ τὸ ἑτοῖμον καὶ τὸ ἐρῆμον. Ἔχει γὰρ καὶ ἐκεῖνο ἀναλογίας ὁμοιότητα ἐκ τοῦ τροπαῖος ἀρσενικοῦ ὃ γίνεται ἀπὸ τοῦ τροπή. δῆλον γὰρ ὅτι τροπαῖος λέγεται Ζεύς. Αὐτὰ δέ γε παλαιοτροπίαν τινὰ ἔχουσι.

2.42 Διὸ Ἡρῳδιανός φησιν ὅτι τὸ παρ’ Ὁμήρῳ ἐρῆμον καὶ ἑτοῖμον οἱ νεώτεροι Ἀττικοὶ ἀναλόγως φασὶν ἔρημον καὶ ἕτοιμον. (v. 141) Τὸ δὲ ἀγχηστῖναι δηλοῖ μὲν τὸ πυκναί γίνεται δὲ παρὰ τὸ ἄγχι ἑστάναι, ὃ ποιοῦσιν αἱ ὄϊες διὰ φόβον πυκνούμεναι ὡς ἐπὶ συνασπισμῷ. Σημείωσαι δὲ ὅτι νῦν μὲν τὸ ἀγχηστῖνος σύνθετον εὕρηται, μετ’ ὀλίγα δὲ τὸ ἄγχι ἑστηκέναι διαλελυμένον εὑρήσεις. ἴσως δὲ καὶ πρὸς ἀντιδιαστολὴν τῶν αἰπολίων τὸ ἀγχηστῖναι εἴρηκεν. ἐκεῖνα γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλατέα λέγεται διὰ τὸ οὕτω τὰς αἶγας νέμεσθαι. Γράφεται δὲ διὰ τοῦ η ἡ προπαραλήγουσα τοῦ ἀγχηστῖναι, ὡς ἀπὸ τοῦ ἑστάναι, τροπῇ τοῦ ε εἰς η . ἄλλως δὲ τὰ ἀπὸ τοῦ ἄγχι ἐπιρρήματος πάντα διὰ τοῦ ι γράφεται, ἐν οἷς καὶ ὁ ἄγχιστος, ὅθεν τὸ ἀγχιστεύειν καὶ τὰ ἐξ αὐτοῦ. Τὸ δὲ κέχυνται σύντονον κίνησιν κἀνταῦθα ζῴων δηλοῖ, ὥς που καὶ ἐπὶ ἀνδρῶν φανήσεται λεχθέν. (v. 142) Τὸ δὲ βαθέης ἁπλοῦν ἐστι καὶ ἀπαθές, ὡς ἐκ τοῦ βαθύς βαθέος, κατὰ τὸ νέα, ῥέα. ὅτε δὲ τὸ ι προσλάβῃ, ἑτέρας ἀναλογίας γίνεται. τοιοῦτον καὶ τὸ «ὠκέα Ἶρις». Τὸ δὲ ἐξάλλεσθαι τῆς αὐλῆς ταὐτόν ἐστι τῷ ὑπεράλλεσθαι, ὡς ὁ ποιητὴς ἐδήλωσεν. Ἡ γὰρ ἐξ πρόθεσις οὐ μόνον τὴν ἔξω δηλοῖ σχέσιν ἀλλὰ καὶ ὕψωμα πολλάκις σημαίνει, ὡς καὶ ἐν τῷ ἐξωγκώθη καὶ ἐν τῷ ἐκνομίως ᾐσχύνετο καὶ ἐν ἄλλοις πολλοῖς. (v. 143) Τὸ δὲ «Τρώεσσι μίγη» τῆς κατὰ τὴν μισγάγκειαν καὶ αὐτὸ ἔχεται παραβολῆς. Φιλεῖται δὲ ἡ τοιαύτη λέξις τῷ ποιητῇ καὶ τῷ Πινδάρῳ δέ, ὡς καὶ προείρηται, ὃς καὶ νίκῃ μιγῆναί τινα λέγει, ἀντὶ τοῦ νικῆσαι, καὶ ἄλλα ὅμοια. (v. 144—7) Ὅτι καὶ ἐνταῦθα τὴν συνήθη ποικιλίαν φυλάσσων ὁ ποιητὴς ἀναιρεῖ μέν τινας ὑπὸ τῷ Διομήδῃ, τὰ δὲ κατ’ αὐτοὺς διαφόρως φράζει.

2.43 καὶ δύο μέν τινας ἀναιρεῖ, οὓς οὐ γενεαλογεῖ, ἀλλὰ μόνον δηλοῖ, ποῖ τοῦ σώματος ἔπαθον, λέγων ὅτι εἷλεν Ἀστύνοον καὶ Ὑπείρονα, «τὸν μὲν ὑπὲρ μαζοῖο βαλὼν χαλκήρεϊ δουρί, τὸν δ’ ἕτερον ξίφεϊ μεγάλῳ κληῗδα παρ’ ὦμον ἔπληξε». Καὶ σημείωσαι τὸ ἔπληξε καινοτέρως σχηματισθέν. ἦν γὰρ τὸ ἀκόλουθον εἰπεῖν· τὸν μὲν βαλὼν, τὸν δὲ ἕτερον πλήξας. καὶ ὅτι κἀνταῦθα τὸ κληῒς ἐκτείνει τὴν λήγουσαν, ὡς δηλοῖ τὸ «κληῗδα παρ’ ὦμον», ἔνθα ἐκτέταται τὸ δίχρονον. (v. 148—50) Μετὰ δὲ τούτους ἀναιρεῖ ὁ Διομήδης δύο τινάς, Ἄβαντα δηλαδὴ καὶ Πολύϊδον, οὓς καὶ γενεαλογεῖ ὁ ποιητὴς λέγων υἱέας αὐτοὺς Εὐρυδάμαντος «ὀνειροπόλοιο γέροντος, οἷς οὐκ ἐρχομένοις ὁ γέρων ἐκρίνατ’ ὀνείρους». (v. 152 s.) Εἶτα ἑτέρους δύο «Φαίνοπος υἷε, ἄμφω τηλυγέτω». (v. 159 s.) Μετὰ δὲ τούτους Πριαμίδας δύο, «εἰν ἑνὶ δίφρῳ ἐόντας». Καὶ ὅρα ὅπως καὶ ἐνταῦθα ἱστορίαις παραρτύει τὴν ποίησιν, καὶ ὅτι ἀδελφικάς, ὡς καὶ προεγράφη, τρεῖς ταύτας συζυγίας ὑπὸ τῷ Διομήδῃ ἀναιρεῖ καὶ οὐδὲ τόπους λέγει πληγῶν τοῖς πίπτουσι. (v. 150) Καὶ ὅτι σχῆμα ἀμφιβολίας ἐν τῷ «οἷς οὐκ ἐρχομένοις ὁ γέρων ἐκρίνατ’ ὀνείρους». Ἢ γὰρ λέγει ὅτι ἔκρινε μὲν ὁ γέρων ὀνείρους αὐτοῖς πλὴν ὡς οὐκ ἐρχομένοις, ἤτοι ὡς οὐ μέλλουσι σωθῆναι τῆς σήμερον μάχης—καὶ γάρ σφεας Διομήδης ἐξενάριξεν—ἢ οὐκ ἔφθασεν ὅλως ὀνείρους τινὰς κρῖναι αὐτοῖς ἐρχομένοις εἰς πόλεμον. Καὶ σημείωσαι ὅτι τὸ «ἐκρίνατ’ ὀνείρους», συντίθησι τὸν παρὰ τοῖς ὕστερον ὀνειροκρίτην, ὡς εἶναι ταὐτὸν τὸ ὀνειροπόλος καὶ τὸ ὀνειροκρίτης καὶ ὅτι παθητικῶς εἶπεν ἐκρίνατο ἀντὶ τοῦ ἔκρινεν, ὃ καὶ αὐτὸ διάκρισίν τινα δηλοῖ τῆς κατὰ τὸ ὄναρ συγχύσεως, διευκρινουμένης τῷ ὀνειροπόλῳ, ὃς καὶ λύειν ὄνειρον λέγεται οἷα συνδεδεμένον καὶ οὕτω καμπύλον καὶ ἀδιευκρίνητον. (v. 144) Ἐν δὲ τοῖς εἰρημένοις ἰστέον καὶ ὅτι ὁ μὲν Ὑπείρων ἐκ μόνης τῆς ὑπειρ προθέσεως παρῆκται, καθὰ καὶ ἐκ τῆς ἀντι ὁ ἀντίος, μετὰ δὲ τῆς ἐν καὶ ὁ ἐναντίος.

2.44 οὕτω δὲ καὶ ἐκ τῆς ἀνα ἴσως ὁ Ἄνιος καὶ ἐκ τῆς ἀμφι ὁ Ἄμφιος κύριον καὶ ἐκ τῆς περι ὁμοίως ὁ Πέριμος καὶ ἐκ τῆς ὑπο Ὕπιος ὁ παρὰ Ἀρριανῷ ποταμός. (v. 146) Τὸ δὲ «ξίφεϊ μεγάλῳ» ἔοικε κατά τι ἐξαίρετον εἰρῆσθαι, ὡς καὶ τὸ «ξίφεϊ Θρηϊκίῳ μεγάλῳ», διὰ τό, ὡς εἰκός, εὐμέγεθες εἶναι. (v. 146 s.) Ἡ δὲ ῥηθεῖσα κατὰ σῶμα κληῒς διασαφεῖται μέν, ποῦ ἐστιν, ἐν τῷ «κληῗδα παρ’ ὦμον πλῆξεν, ἀπὸ δ’ αὐχένος ὦμον ἐέργαθεν ἠδ’ ἀπὸ νώτου». Δοκεῖ δὲ ἀπὸ τοῦ κλείειν καὶ συνδεῖν ὦμον καὶ αὐχένα καὶ νῶτον γίνεσθαι. διὸ καὶ πληγεῖσα καιρίως ἀπεῖρξεν, ὅ ἐστι διεχώρισεν, ἐκ τοῦ αὐχένος τόν τε ὦμον καὶ τὸν νῶτον. (v. 148) Ὁ δὲ Ἄβας ὁμώνυμός ἐστι τῷ Ἑλληνικῷ, ἐξ οὗ οἱ κατ’ Εὔβοιαν Ἄβαντες. Ὁ δὲ Πολύϊδος διφορεῖται παρὰ τοῖς παλαιοῖς ἔν τε διχρόνῳ καὶ διὰ διφθόγγου δὲ ἔχων τὴν παραλήγουσαν. (v. 149) Τοῦ δὲ ὀνειροπόλου τὸ ῥῆμα οὐ κρίσιν ὀνείρων δηλοῖ παρὰ τοῖς μεθ’ Ὅμηρον, ἀλλ’ ἢ σκῶμμα ἔχει—Ὀνειροπολεῖν γὰρ τὸ ὡς ἐν φαντασίᾳ μάτην ἐλπιδοκοπεῖσθαι—ἢ τὸ βλέπειν ὄνειρον σημαίνει, ὡς τὸ «ὀνειροπολεῖ γὰρ

καὶ καθεύδων ἱππικήν». [Δῆλον δὲ ὅτι ὁ ὄνειρος καὶ οὐδετέρως τὸ ὄνειρον λέγεται, ὡς δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ «τοὐμὸν ὄνειρον φρενῶν». Ὡς δὲ τοὺς ὀνείρους καὶ ὀνείρατά φαμεν, ἐν τοῖς μετὰ ταῦτά που ῥηθήσεται. Ἀναλογία δὲ τοῦ ὀνειροπόλος κατὰ τὸ οἰωνοπόλος, ὃν καὶ οἰωνοθέτην ὁ Σοφοκλῆς εἰπὼν οὐκ ἂν ἀλόγως ἕξει καὶ τὸν ὀνειροπόλον ὀνειροθέτην εἰπεῖν.] (v. 153) Ὅρα δὲ καὶ ὡς ἐνταῦθα φανερῶς τηλυγέτους λέγει τοὺς μόνους ὄντας υἱοὺς πατρὶ γέροντι, τῆλε ὄντι τοῦ γεννᾶν. Εἰπὼν γὰρ «Φαίνοπος υἷε, ἄμφω τηλυγέτω», ἐπάγει «ὃ δ’ ἐτείρετο γήραϊ λυγρῷ, υἱὸν δ’ οὐ τέκετο ἄλλον ἐπὶ κτεάτεσσι λιπέσθαι». τὸ μὲν οὖν «ἐτείρετο γήραϊ λυγρῷ» τῆλε εἶναι τοῦ γεννᾶν δηλοῖ τὸν Φαίνοπα, ἃ συντίθησι τὸν τηλύγετον. (v. 154) Τὸ δὲ «υἱὸν οὐ τέκετο ἄλλον» μόνους αὐτοὺς εἶναι δηλοῖ τῷ πατρί. Τοῦ δὲ τέκετό ἐστι καὶ ἀπαρέμφατον τεκέσθαι καὶ μετοχή, οἷον «τεκομένα με μᾶτερ».

2.45 Τὸ δὲ κτεάτεσσι πλεονασμὸν ἔχει τῆς παραληγούσης. τὸ γὰρ κοινὸν κτέασιν ἀπὸ τοῦ κτέαρ κτέατος. καὶ ἔστιν εἶδός τι μεταπλασμοῦ πρὸς ὁμοιότητα τοῦ κύνεσσιν, ἄνδρεσσι καὶ τῶν ὁμοίων. (v. 155—8) Ὅτι ὁ Διομήδης τοὺς τοῦ ῥηθέντος Φαίνοπος υἱοὺς ἀνελὼν πατρὶ γόον καὶ κήδεα λυγρὰ ἔλειπε. Καὶ ἔστι περιπαθὴς ὁ λόγος, εἴγε τοὺς υἱοὺς ἑλὼν λύπας ἀφῆκε τῷ πατρὶ ἀντ’ αὐτῶν «ἐπεί», φησίν, «οὐ ζώοντε μάχης ἐκνοστήσαντε ἐδέξατο, χηρωσταὶ δὲ τὴν κτῆσιν αὐτοῦ ἐδάσαντο», διὰ τὸ μόνους, ὡς εἴρηται, αὐτοὺς εἶναι τῷ πατρί. (v. 158) Ἦν δὲ τάγμα ἐν ταῖς πόλεσιν οἱ χηρωσταί, διοικοῦν τοὺς ἀκληρονομήτους, ἤγουν τοὺς χηρεύοντας διαδόχων, ἢ καὶ ὧν αἱ γυναῖκες ἔμενον χῆραι καὶ τῶν ἐπιτροπευόντων δεόμεναι. οἵτινες κατὰ λόγον ἄλλον καὶ ὀρφανισταὶ ἐκαλοῦντο ὡς ὀρφανῶν ὑπεριστάμενοι, καθὰ καὶ Σοφοκλῆς δηλοῖ. Καὶ σημείωσαι ὅπως νόμον τοῦτον ἢ ἔθος παλαιὸν πολιτικὸν τῇ ἱστορίᾳ εὐμεθόδως χάριν πολυμαθείας ὁ ποιητὴς συνέπλεξε. Τὸ δὲ χωρίον χρησιμεύσει ποτὲ τῷ εἰς τοιοῦτον γράφοντι ἀκληρονόμητον γέροντα. Ὀξύνεται δὲ τὸ χηρωσταί διὰ κανόνα τοιοῦτον. τὰ εἰς της ῥηματικὰ ὑπὲρ δύο συλλαβὰς φύσει μακρᾷ παραληγόμενα ὀξύνεται· βραβευτής, ἀθλητής, ποιητής, ὀρχηστής, χρυσωτής, ἑεδνωτής, οὕτω καὶ χηρωστής. μάχεται τὸ κυβερνήτης. τὸ ἀήτης ἄλλως γέγονεν, ἀπὸ ῥήματος εἰς μι γεγονὸς τοῦ ἄημι. τὸ παρὰ Σοφοκλεῖ, φασίν, ἐν Ἀλεξάνδρᾳ· «στείχων ἀγρώστην ὄχλον» παρώνυμόν ἐστι καὶ οὐ ῥηματικόν.

2.46 Δοκεῖ δὲ ὁ χηρωστής πλεονασμὸν ἔχειν τοῦ ς πρὸ τοῦ τ , εἴπερ ἐκ τοῦ χηρῶ χηρώσω γίνεται. (v. 156) Κήδεα δὲ λυγρὰ τὰς βλάβας ἔφη πρὸς διαστολὴν ἑτέρου κήδους, τοῦ κατ’ ἀγχιστείαν δηλαδή, ὃ οὐκ ἐξ ἀνάγκης λυγρόν ἐστιν. (v. 155) [Ἐν τούτοις δὲ καὶ τὸ ἐνάριξεν ἐπὶ φόνου τεθὲν διασαφεῖται, ἵνα μὴ νοοῖτο ἀντὶ τοῦ ἐσκύλευε. Φησὶ γὰρ «ἔνθ’ ὅ γε τοὺς ἐνάριξε, φίλον δ’ ἐξαίνυτο θυμόν.» εἰ δ’ ἴσως ἐπὶ σκυλευμοῦ ληφθείη ἐνταῦθα τὸ ἐνάριξεν, εἴη ἂν σχῆμα πρωθύστερον, ἵνα λέγῃ ὅτι ἐξεῖλε ψυχήν, εἶτα ἐνάριξε. Τὸ δὲ αἴνυτο ἁπλοῦν ὂν συντάσσεται καὶ μετὰ γενικῆς, ὡς ἐν τῷ «τυρῶν αἰνύμενοι». Ἐτυμολογία δὲ τοῦ αἴνυσθαι ἢ τὸ αἴρω, καθὰ καὶ ἀλλαχοῦ δηλοῦται, ἢ τὸ ἄνω, ἐξ οὗ τὸ ἀνύω. ἀνυστικὸν γάρ τι καὶ τὸ ἐξαίνυσθαι, ὅπως ἂν καὶ λαμβάνοιτο.] (v. 163 s.) Ὅτι τὸ «υἷας Πριάμου δύο ἔλαβε» ταὐτόν ἐστι τῷ εἷλεν, ὥστε καὶ ὅτε λέγει ὁ ποιητής, ὡς ὁ δεῖνα τὸν δεῖνα εἷλεν, οὐδὲν καινόν ἐστι νοεῖν τὸ εἷλεν ἀντὶ τοῦ ἔλαβεν, ἐξ οὗ τὸ ἐφόνευσε κατά τινα παρακολούθησιν. Ἐνταῦθα δὲ σημείωσαι καὶ ὅτι εἰπών, ὡς τοὺς εἰρημένους Πριαμίδας ὁ Διομήδης ἐξ ἵππων βῆσε κακῶς ἀέκοντας, ἔπειτα δὲ τεύχεα ἐσύλα, ἐσίγησε μὲν τὸ πρᾶγμα αὐτό, τὸν φόνον δηλαδὴ τῶν Πριαμιδῶν, τοῖς δὲ πρὸ τοῦ πράγματος καὶ τοῖς μετὰ τὸ πρᾶγμα ἐδήλωσε καὶ αὐτό. ἔστι δὲ πρὸ τοῦ πράγματος μὲν τὸ «ἐξ ἵππων ἔβησε», μετὰ δὲ τὸ πρᾶγμα τὸ «τεύχεα ἐσύλα», ὧν μέσος ὁ φόνος. καταρριφέντες γὰρ τοῦ δίφρου ἐφονεύθησαν εἶτα ἐσκυλεύθησαν. τὴν δὲ τοιαύτην μέθοδον καὶ παρ’ ἄλλοις ἔστιν εὑρεῖν, ὡς καὶ ἐν Ὀδυσσείᾳ, καθὰ δηλοῦσιν οἱ παλαιοί. (v. 163) Σημείωσαι δὲ καὶ ὅτι τὸ «ἐξ ἵππων βῆσε» ταὐτόν ἐστι τῷ «ἔκβαλε δίφρου», ὅπερ εἶπεν ἀλλαχοῦ, καὶ ὅτι τὸ πρὸ μικροῦ συλεύειν συλᾶν ἐνταῦθα εἶπεν, ὅ ἐστι σκυλεύειν.

2.47 (v. 161 s.) Ἰστέον δ’ ἐν τούτοις καὶ ὅτι πρὸ ὀλίγου μὲν τὸν Διομήδην φοβοῦντα τοὺς Τρῶας λέοντι εἴκασεν ἐπιτιθεμένῳ ποιμνίοις πολλοῖς, ἐνταῦθα δέ, ὅτε τοὺς Πριαμίδας ἀναιρήσει, λέοντι παραβάλλει, ὃς ἐν βουσὶ θορὼν ἐξ αὐχένα ἄξει πόρτιος ἠὲ βοός, ξύλοχον κάτα βοσκομενάων. Ἡ δὲ παραβολὴ αὕτη οὐ μόνον ἐξευτελίζει τούτους τοὺς Πριαμίδας ἀλλὰ καὶ ἰδιότητα λέοντος ἱστορεῖ. Ἔθος γὰρ τῷ λέοντι πρῶτον καταγνύειν, ὡς πολλαχοῦ δηλοῦται, τοὺς αὐχένας τοῖς τοιούτοις ζῴοις, ἵνα μὴ τοῖς κέρασιν ἀμύνοιντο, εἶτα ἐν ἀδείᾳ ἐπικεῖσθαι αὐτοῖς. (v. 162) Ἡ δὲ πόρτις, ἀφ’ ἧς ἐν ἄλλοις ὑποκοριστικῶς ἡ πόρταξ, δηλοῖ μὲν δάμαλιν τὴν ἄρτι πορεύεσθαι δυναμένην, καθ’ ὁμοιότητά τινα τοῦ νεβροῦ. Γράφεται δέ ποτε καὶ χωρὶς τοῦ τ πόρις. ὥσπερ δὲ τὸ πόρτιος, οὕτω καὶ τὸ βοός θηλυκῶς νοητέον, ὡς δηλοῖ τὸ βοσκομενάων. Σημείωσαι δὲ καὶ ὅτι τὸ μὲν βοός καὶ νῦν γενικόν ἐστιν ὄνομα, τὸ δὲ πόρτις εἰδικόν. καὶ ὅτι πάντως μὲν βοῦς ἐστι καὶ ἡ πόρτις, ὁ δὲ Ὅμηρος τὸ μὲν γενικὸν ἐφύλαξε τῇ τελείᾳ βοΐ, τὸ εἰδικὸν δὲ ἀπεκλήρωσε τῇ ἀτελεῖ. Ξύλοχος δὲ κατ’ ἔλλειψιν τόπος ὀρεινὸς πυκνὸς ξύλοις. μυριαχοῦ δὲ ἡ τοιαύτη λέξις οὕτω κεῖται κατὰ γένος ὡς ἐπὶ πολὺ θηλυκόν, ὅτε καὶ λείπει τὸ ὕλη, ἵνα ᾖ ξύλοχος ὕλη, ἀφ’ ἧς καὶ θῆρες ὑληκοῖται. (v. 164 s.) Ὅτι κεῖται καὶ ἐνταῦθα μέθοδος προκλητικὴ τοῦ ἑξῆς νοήματος. τρεῖς γὰρ ἀδελφικὰς συζυγίας ἀνελὼν ὁ ποιητὴς ὑπὸ τῷ Διομήδει, τοὺς μὲν ἄλλους ἀφῆκεν οὕτω κεῖσθαι, τοὺς δὲ Πριαμίδας καὶ σκυλεύεσθαι γράφει καὶ τοὺς ἵππους δίδοσθαι ἱστορεῖ τοῖς ἑτάροις μετὰ νῆας ἐλαύνειν. τοῦτο δὲ ποιήσας εὐθὺς ἐπισυνάπτει καὶ τὰ περὶ Πανδάρου καὶ Αἰνείου, ἐξ ὧν λήψεται τοὺς ἀρίστους ἵππους. καὶ οὕτως εὐμεθόδως ἡ τρίτη ξυνωρὶς τῶν Πριαμιδῶν τὴν τοῦ Αἰνείου προκαλεῖται, ταχθησομένην εὐθὺς μετ’ αὐτήν, καὶ προγυμνασάμενος ὥσπερ ἐν ταύτῃ ὁ Διομήδης εἶτα κατὰ τῆς τοῦ Αἰνείου ξυνωρίδος ἐπαγωνίσεται τῆς εὐγενεστέρας καὶ ἀξίας λόγου πλείονος. (v. 166 s.) Ὅτι ἀνδρείου παραστατικὸν τὸ «ἀλαπάζοντα στίχας ἀνδρῶν» καὶ τὸ «βῆ δὲ ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων». (v. 169) Ὅτι ἀσυνδέτως καὶ ἐνταῦθά φησιν· «εὗρε Λυκάονος υἱόν», τὴν τοῦ εὑρόντος σπουδὴν παραδηλῶν τῷ ἐπιτρόχῳ τοῦ σχήματος. (v. 168 s.) Ἰστέον δὲ ὡς οὐ μόνον ἀγλαὸν τὸν Πάνδαρον ὁ ποιητὴς οἶδεν, ἀλλὰ καὶ ἀντίθεον αὐτὸν καὶ ἀμύμονά φησι καὶ κρατερόν, ἐξαίρων τὸ τοῦ Διομήδους ἐπ’ αὐτῷ ἀρίστευμα, εἴπερ αὐτὸς τὸν τοιοῦτον ἀναιρεῖ.

2.48 ἄλλως γὰρ οὐ πάνυ ἄξιος ἐπαίνου ὁ Πάνδαρος, διὰ τὸ γένος δὲ καὶ τὴν ἀνδρίαν οἱ ἔπαινοι. οὐ γὰρ ἑτέρως ἀντίθεος καὶ ἀμύμων ὁ, ὡς ἐδείχθη, ἐπίορκος, ἔτι δὲ καὶ ἀνελεύθερος, ὡς καὶ μετὰ μικρὸν δειχθήσεται. Ὡς οὖν τὰ καλὰ τῶν θυμάτων ἐχρυσοῦντο εἰς ἄγαλμα, οὕτω καὶ ὁ Πάνδαρος ἐπαίνοις καταστέφεται εἰς σέμνωμα τοῦ Διομήδους, ὑφ’ ᾧ πεσεῖται. (v. 171—3) Ὅτι ἔπαινος τοξότου τὸ «ποῦ τοι τόξον ἰδὲ πτερόεντες ὀϊστοὶ καὶ κλέος, ᾧ οὔ τίς τοι ἐρίζεται ἐνθάδε γ’ ἀνήρ», οὐδέ τις ἐν τῷ δεῖνι τόπῳ ἢ ἐν τοῖς δεῖνα σέο γ’ εὔχεται εἶναι ἀμείνων. πρὸς Πάνδαρον δὲ τὸν ἐκ Λυκίας ὁ Αἰνείας ταῦτά φησι. Καὶ σημείωσαι ὅτι τε ἑνικῶς νῦν εἶπε τὸ τόξον, εἰωθὼς ἐν ἄλλοις καὶ πληθυντικῶς προφέρειν αὐτό. μετ’ ὀλίγα οὖν ἀγκύλα τόξα ἐρεῖ. οὕτω καὶ καμπύλον ἅρμα οἴσετον ἑνικῶς, καὶ «ἔλαυνε ἅρματα» πληθυντικῶς. (v. 172) Καὶ ὅτι Ἀττικῶς τὸ ἐρίζεται ἀντὶ τοῦ ἐρίζει φησίν, ὡς καὶ ἀλλαχοῦ τὸ διώκεται ἀντὶ τοῦ διώκει καὶ ἄλλα δὲ μυρία τοιαῦτα, ἐφ’ ὧν Ἀττικωτέρα ἡ παθητικὴ λέξις. Ὅρα δὲ καὶ ὅτι τὸ ἀνήρ καὶ ἐνταῦθα ἐκτείνει τὴν ἄρχουσαν. ἐν μέντοι τῷ «ἀλλ’ ὅδ’ ἀνὴρ ἐθέλει» καὶ ἐν ἄλλοις μυρίοις συστέλλεται. (v. 173) Ἰστέον δὲ ὅτι καὶ ἐνταῦθα Λυκίας μέμνηται Ὅμηρος τῆς μικρᾶς τῆς περὶ Ζέλειαν, ἥτις ὥσπερ μικρὰ Λυκία, οὕτω καὶ μικρὰ Τροία ἐλέγετο. διὸ καὶ μετ’ ὀλίγα ἄρχειν Τρώεσσι καὶ ἡγεῖσθαι Τρώεσσι λέγεται ὁ Πάνδαρος, τοῖς Ζελειώταις δηλονότι. Οἱ μέντοι ὑπὸ τῷ Σαρπηδῶνι Λύκιοι, ὡς καὶ προείρηται, τῆς μεγάλης Λυκίας εἰσὶν ἔποικοι. (v. 175 s.) Ὅτι ἀνθρώπῳ εὐδοκιμοῦντι ἐν μάχῃ ἐπιπρέπει τὸ «ὅς τις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ἔοργεν, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ’ ἔλυσε». (v. 174—8) Ὅτι τὸ πρὸς τὸν Σπαρτιάτην Λυκοῦργον λεχθὲν ἐν δισταγμῷ σεμνῶς ὑπὸ Ἀπόλλωνος τὸ «δίζομαι, ἠὲ θεόν σε προσείπω ἢ βροτόν»

πολλῷ πρότερον Ὅμηρος ἐνόησε. Λέγει οὖν ὁ Αἰνείας πρὸς τὸν Πάνδαρον· «ἀλλ' ἄγε τῷδ' ἔφες ἀνδρί», δηλαδὴ τῷ Διομήδει, «βέλος, εἰ μή τις θεός ἐστι κοτεσσάμενος Τρώεσσιν». ἔνθα καὶ γνωμικὸν κεῖται τὸ χαλεπὴ δὲ θεοῦ ἐπιμῆνις. Ἔστι δὲ πλεονασμὸς ἐνταῦθα τῆς ἐπι προθέσεως, ὡς καὶ ἐν τῷ «βοῶν ἐπιβουκόλος ἀνήρ» καὶ ἐπίουρος.

2.49 καὶ οὕτω μὲν εἶπεν ὁ Αἰνείας ἐνδοιάζων. (v. 183- 6) Ὁ δὲ Πάνδαρος παραφράζων ἀφελέστερον λαλεῖ τὸ αὐτὸ νόημα, λέγων ὅτι σάφα οὐκ οἶδα, εἰ θεός ἐστιν. εἰ δ' ὅ γ' ἀνὴρ «Τυδέος υἱός, οὐχ' ὅ γ' ἄνευ θεοῦ τάδε μαίνεται, ἀλλά τις ἄγχι ἕστηκεν ἀθανάτων, νεφέλῃ εἰλυμένος ὤμους». Καὶ ἔστιν ὃ λέγει ὁ Πάνδαρος, ὅτι ἢ θεός ἐστιν ὁ φαινόμενος ἢ θεῖος ἀνὴρ καὶ οὐκ ἄνευ θεοῦ ἀνδραγαθῶν. Καὶ ὅρα οἵαν γνῶσιν ὁ Διομήδης ἔφθασε σχεῖν ὑπὸ Ἀθηνᾶς. αὐτὸς γὰρ οὐκ ἐνδοιαστικῶς οἶδεν ἐν τῷ γράμματι τούτῳ, ἀλλὰ κρίνει θεὸν καὶ ἄνδρα, [ἤγουν διακρίνει. Ἐν τοῖς τοιούτοις δὲ πιθανότητα πλάσεως ὁ ποιητὴς ἑαυτῷ ἐπιμαρτύρεται, μονονουχὶ λέγων ὡς οὐκ ἀπιθάνως πλάττω συνεφαπτομένους τῆς μάχης θεούς. ἰδοὺ γὰρ καὶ οἱ ῥηθέντες ἥρωες τοιαῦτα οἴονται.] (v. 185) Σημείωσαι δὲ ὅτι τὸ μαίνεται νῦν μὲν ἐπὶ ἀνθρώπου εἶπεν ἐνθουσιῶντος εἰς μάχην, ἀλλαχοῦ δὲ δόρυ μαίνεσθαι λέγει, ψυχώσας οἷον τὸ ὅπλον ἐκεῖ τρόπῳ ποιητικῷ. Ἰστέον δὲ ὅτι τοῦ μαίνομαι οὐκ ἔστιν ἐνεργητικὸς ἐνεστὼς ἀσύνθετος ἐν χρήσει, ἀλλὰ μετὰ προθέσεως. ὡς γὰρ ὀχῶ ἄλλον καὶ πορεύω ἄλλον, ὀχοῦμαι δὲ καὶ πορεύομαι ἐγώ, οὕτω καὶ ἐκμαίνω ἄλλον, οὗ μετοχὴ τὸ «τέτρωρον ἐκμαίνων ὄχον». ὁ μέντοι κατ' ἐνέργειαν παρακείμενος εὕρηται ἐν ἁπλότητι. μέμηνα γάρ. ὁ δὲ ἐνεργητικὸς ἀόριστος μετὰ προθέσεως. ἐξέμηνα γάρ. [Δῆλον δὲ καί, ὅτι ἐν πολλοῖς αἱ καθ' ὑπερβολὴν ἐπιθυμίαι κλῆσιν ἔχουσιν ἐκ τοῦ μαίνεσθαι, καὶ μάλιστα αἱ φαῦλαι. χρυσομανής γοῦν σκώπτεταί τις καὶ οἰνομανής. καὶ ἡ ἐρωμανία δὲ τοιοῦτόν τί ἐστι καὶ ὅσα τοιαῦτα, ἐν οἷς καὶ ὁ γυναιμανής. κεκλήρωται δὲ καὶ δούλοις ἐντεῦθεν κλῆσις.

2.50 Μάνης γὰρ δουλικὸν ὄνομα παρὰ τοῖς παλαιοῖς, ἐξ οὗ μετῆκται καὶ εἴς τι παικτικὸν χαλκοῦν πρόσωπον, ὃ καὶ αὐτὸ Μάνην ἐκάλουν. ἐκ τοιαύτης δὲ μανίας πέπαικται καὶ ἡ μανιόκηπος γυνή, ἤγουν ἡ περὶ μίξεις μεμηνυῖα. κῆπος γὰρ νῦν τὸ ἐπείσιον.] (v. 186) Τοῦ δὲ εἰλυμένος πρωτόθετον τὸ εἰλῶ, ἐξ οὗ εἰλύω, ἀφ' οὗ ἐν συνθέσει τὸ ἐπειλύω. οὕτω καὶ ἐκ τοῦ καλῶ καλύω, ὅθεν τὸ κλύω. (v. 185 s.) Τὸ δὲ «ἀλλά τις ἄγχι ἕστηκεν ἀθανάτων», ἤτοι θεῶν, ἀγχίθεον τὸν Διομήδην ὑποδηλοῖ. Ἐνταῦθα δὲ ὅρα καὶ ὅτι διαφέρει τὸ ἄγχι ἑστάναι διαλελυμένως καὶ τό, ὡς προεγράφη, ἀγχηστῖναι ὄϊς, συνθέτως, (v. 174) καὶ ὅτι ἐφιέναι λέγει τὸ ἐκ τόξου βέλος ἐπιπέμπειν. Καὶ ἔστι κυρία ἡ λέξις. φησὶ γοῦν «ἔφες ἀνδρὶ βέλος» καὶ «ἤδη γὰρ ἀριστήεσσιν ἐφῆκα». ἐκ τούτου δὲ μεταφορικῶς καὶ ἐφίημι τὸ ἐντέλλομαι καὶ ἐφετμὴ ἡ ἐντολή καὶ ἡ ἐπὶ ἐκκλήτου δὲ ἔφεσις καὶ ὁ ἐφέτης ἐντεῦθεν ὥρμηνται. (v. 177 s.) [Τοῦ δὲ κοτεσσάμενος αἰτίαν ἀποδιδοὺς ἐπήγαγεν «ἱρῶν μηνίσας», ἤγουν ἕνεκεν θυμάτων ὀργισθείς. οἶδε γὰρ ὁ μῦθος, ὡς καὶ προδεδήλωται, τὰ δαιμόνια καὶ εὐχωλῆς ἐπιμεμφόμενα καὶ ἑκατόμβης ἢ μηδ' ὅλως ἢ κακῶς τυθείσης. Ὅρα δὲ καὶ ὅτι τὸ παρὰ τοῖς ὕστερον ἐγκοτῆσαι κοτέσασθαι λέγει, καὶ ὅτι ἐν τῷ κοτεσσάμενος καὶ μηνίσας ταὐτὰ οἶδε κότον καὶ μῆνιν.] καὶ ὧδε μὲν ταῦτα. Ὁ δὲ Διομήδης οὕτως, ὡς ἐρρέθη, ἀμφιγνοηθεὶς γνωρίζεται ὅμως ἀπὸ τῶν ἵππων.

2.51 τάχα γὰρ ἐξαιρέτους αὐτοὺς εἶχεν, οἷα φίλιππος. ἔτι δὲ γινώσκεται καὶ ἀπὸ τῆς ἀσπίδος καὶ τῆς περικεφαλαίας. (v. 181—3) Φησὶ γοῦν ὁ Πάνδαρος, ὡς «Τυδείδῃ μιν ἔγωγε δαΐφρονι πάντα ἐΐσκω, ἀσπίδι γινώσκων αὐλώπιδί τε τρυφαλείῃ, ἵππους τε εἰσορόων». Καὶ σημείωσαι ὅτι τοῦτο ἔοικεν εἶναι, ὡς καὶ προείρηται, τὸ ἐκ τῆς κόρυθος αὐτοῦ καὶ τῆς ἀσπίδος ἀκάματον πῦρ, ἡ λαμπρότης δηλονότι τῶν ὅπλων, ἀφ' ἧς διάδηλός ἐστι. [Πάνυ γὰρ λαμπρὸν παράσημον καὶ ἡ αὐλῶπις, ὑπερανεστηκυῖα, γεγανωμένη, καὶ ἡ τρυφάλεια προλάμπουσα συχνοῖς ἀστεροειδέσι φάλοις.] Τὸ δὲ «πάντα» περιττεύει κἀνταῦθα. δῆλον γὰρ ὅτι ὁ ἐξ ἵππων καὶ ὅπλων εἰκαζόμενος πῃ γνωρίζεται καὶ οὐ κατὰ πάντα. Ὅρα δὲ καὶ ὅπως δυνάμενος εἰπεῖν ὁ ποιητὴς «ἀσπίδι

τρυφαλείῃ τε ἵπποις τε» οὐκ ἐποίησεν οὕτω, ἀλλὰ τὸ ἵπποις τε περιέφρασεν εἰς τὸ «ἵππους τε εἰσορόων», ἵνα ἐκφύγῃ τὸ τῶν συχνῶν πτώσεων ὁμοειδές. (v. 182) Ὅτι δὲ τρυφάλεια μὲν πρὸς διαστολὴν ἀφάλου, ἡ ἔχουσα τρεῖς φάλους, τοὺς πολλαχοῦ δηλουμένους, ἵνα ᾖ τρίφαλος, καὶ τροπῇ τοῦ ι εἰς υ τρύφαλος ἀνάπαλιν πρὸς τὸ δύφρος δίφρος καὶ τὰ κατ' αὐτό, περὶ ὧν καὶ προείρηται, αὐλῶπις δὲ ἡ λήγουσα εἰς ὀξὺ τῷ αὐλίσκῳ, εἰς ὃν ὁ λόφος ἐνίεται, δηλοῦται καὶ ἐν ἄλλοις. [Ἰστέον δὲ ὅτι τε τὸ γινώσκων φύσει μακρὸν ἔχει τὸ κατάρχον δίχρονον μετὰ τὴν ἀπέλευσιν τοῦ γ ἐκ τοῦ γιγνώσκων. ὃ δὴ γέγονε καὶ ἐν τῷ γίγνεται γίνεται, καὶ ἐν τῷ ἰχώρ, ὡς προεγράφη, καὶ ἐν τῷ ἀρητήρ, ἐκ τοῦ ἴσχω καὶ ἐκ τοῦ ἀρνός, καὶ ὅτι 〈ἐν τῷ〉 «αὐλώπιδι τρυφαλείῃ» δύο ἐπίθετα ἀντὶ ἑνὸς κεῖνται προσηγορικοῦ τοῦ κυνέῃ, καὶ ὅτι ἄφαλος μὲν ἐν χρήσει κεῖται, οὐ μὴν καὶ τρύφαλος. τρυφάλη δέ ἐστιν, ὡς εἰκός, ἐξ οὗ τρυφάλεια.

2.52 (v. 187) Ἐν τούτοις δὲ πρὸς ἀναλογίαν τοῦ διζήμενος κεῖται καὶ τὸ κιχήμενος, οἷον «βέλος ὠκὺ κιχήμενον», ἤγουν ἐπελθόν, ἁψάμενον.] (v. 190 s.) Ὅτι ἀδρανῆ βλάβην φράζει τὸ «καί μιν ἔγωγ' ἐφάμην Ἀϊδωνῆϊ προϊάψειν, ἔμπης δ' οὐκ ἐδάμασα». Ὁ δὲ δεινὸν ἄρχοντα ὑφορώμενος εἴποι ἂν εὐθυβόλως τὸ «θεός νύ τίς ἐστι κοτήεις». ὁ Πάνδαρος δὲ ταῦτά φησιν, ὅτε βαλὼν τὸν Διομήδην οὐκ ἔβλαψεν. (v. 193—6) Ὅτι φίλιππος κατὰ τὸν Διομήδην εἶναι δοκεῖ καὶ ὁ Πάνδαρος. διό φησιν «ἀλλά που ἐν μεγάροισι Λυκάονος ἕνδεκα δίφροι καλοί, πρωτοπαγεῖς, νεοτευχέες, ἀμφὶ δὲ πέπλοι πέπτανται, παρὰ δέ σφιν ἑκάστῳ δίζυγες ἵπποι ἑστᾶσι, κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας». Εἰ δὲ καὶ ἀμφότεροι φίλιπποι, ἀλλ' ὅρα διαφοράν. Διομήδης μὲν γὰρ εἰς χρῆμα στρατιωτικὸν δεῖται τῶν ἵππων καὶ εἰς τοῦτο φιλεῖ τὸ ζῷον. διὸ καὶ τοὺς ἀλλοτρίους καὶ ταῦτα ἐπ' ἀλλοδαπῆς περιποιεῖται, οἷον τοὺς τοῦ Δάρητος καὶ τοὺς τῶν δύο Πριαμιδῶν καὶ τοὺς τοῦ Αἰνείου καὶ τοῦ Ῥήσου, καὶ οὐ φείδεται οὐδὲ τῆς εἰς αὐτοὺς δαπάνης. Πάνδαρος δὲ ὡς κτῆμα τούτους αὐχεῖ καὶ οἴκοι ἀποθέτους φυλάττει διὰ φειδωλίαν, ὡς ἂν μὴ δαπανᾷ πολλὰ εἰς αὐτοὺς ἐν τῇ Τρωϊκῇ πολιορκίᾳ. (v. 197—203) Λέγει γοῦν αὐτός, ὅτι «μάλα πολλὰ γέρων αἰχμητὰ Λυκάων ἐρχομένῳ μοι ἐπέτελλεν ἵπποις καὶ ἅρμασιν ἐμβεβαῶτα ἀρχεύειν Τρώεσσι κατὰ κρατερὰς ὑσμίνας. ἀλλ' ἐγὼ οὐ πιθόμην, ἦ τ' ἂν πολὺ κέρδιον ἦεν, ἵππων φειδόμενος, μή μοι δευοίατο φορβῆς, ἀνδρῶν εἰλομένων, εἰωθότες ἔδμεναι ἄδην». Οὕτω παρὰ τὸ δέον ἀνελεύθερος καὶ [κατὰ παλαιὰν κωμῳδίαν εἰπεῖν φειδός, ἤγουν] φειδωλός, δαπάνης ὁ Πάνδαρος, καίτοι μυριάδων πολιορκουμένων μὲν ὁμοίως αὐτῷ, διοικονομουμένων δὲ τὴν ἱππικήν, ὡς ἐξῆν. Τάχα δὲ καὶ ψευδόμενος ἀλαζονεύεται [κατὰ Λαπίθην εἰπεῖν κωμικῶς.

2.53 Λέγεται γάρ, φασί, σκωπτικῶς Λαπίθης ὁ αὐχηματίας παρὰ τὸ τοὺς λαοὺς εἰς ὄπιν ἄγειν καὶ ἐπιστροφήν, οἷς πείθει τινὰς περιαυτολογούμενος. Ὃ δὴ φαίνεται ποιῶν καὶ ὁ Πάνδαρος.] τί γὰρ ἔδει ἅρματος καὶ ἵππων τῷ τοξότῃ; διὸ οὐδὲ εἶπεν αὐτοῦ εἶναι τοὺς ἵππους, ἀλλὰ μέσως εἶπε καὶ ἀμφιβόλως, ὡς ἐν μεγάροισι Λυκάονος τοῦ πατρὸς αὐτοῦ ἕνδεκα δίφροι. Σημείωσαι οὖν ὡς τῷ Διομήδει μὲν ἀρετή ἐστι τὸ φίλιππον, τῷ δὲ Πανδάρῳ ψόγος, εἴγε φειδόμενος δαπάνης τὴν ἑαυτοῦ ἀσφάλειαν προΐεται καί, ὡς οἱ παλαιοί φασιν, ἀναλωμάτων φειδοῖ τοῦ συμφέροντος ἀμελεῖ καὶ τοὺς δίφρους, ὡς πρὸς ἀνάθεσιν, ἀχράντους φυλάττει. (v. 194) Σημείωσαι δὲ καὶ ὅτι τὸ νεοτευχέες δίφροι διασάφησίς ἐστι τοῦ πρωτοπαγεῖς, ὃ συντελεῖ τι διὰ τῆς ἐκ τοῦ πήσσω παραγωγῆς εἴς τε τὸ πηκτὸν ἅρμα τὸ καὶ κολλητὸν καὶ εἰς τὸ πηκτὸν ἄροτρον, καὶ ὅτι πέπλος οὐ τὸ ἱμάτιον οὐδ' ἐνταῦθα, ἀλλὰ ὕφασμά τι σινδονοειδές, καταπεταννύμενον τῶν δίφρων εἰς ἀποσόβησιν καπνοῦ καὶ κόνεως καὶ τῶν τοιούτων. καὶ τάχα ἐκ τοῦ πεπτᾶσθαι πέπλοι λέγονται. (v. 195) Διὸ καὶ ὁ ποιητὴς ὡς ἐν τρόπῳ ἐτυμολογίας παρέθετο τὰς λέξεις, εἰπὼν «ἀμφὶ πέπλοι πέπτανται», ὃ δηλοῖ τὸ ἐξήπλωνται, μετενεχθὲν ἀπὸ τῶν πετομένων ζῴων, ἵνα ᾖ ἐκ τοῦ ποτῶ ποτήσω, καὶ Δωρικῶς ποτάσω, ἐξ οὗ ποτανόν τὸ πτηνόν, πεπότανται καὶ ἐν συγκοπῇ πέπτανται, ἢ καὶ ἀπὸ τοῦ πετάσω μέλλοντος πεπέτανται καὶ πέπτανται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.54 τοῦ δὲ πετάσω δοκεῖ προϋπάρχειν ὁ πετάζω ἐνεστώς, ἐξ οὗ καὶ καταπέτασμα καὶ παραπέτασμα Μηδικόν. Δίζυγες δὲ ἵπποι ἀντὶ τοῦ ἀνὰ δύο εἰς ἕκαστον ζυγόν, ὡς εἶναι τοὺς τοῦ Πανδάρου ἵππους κβʹ. (v. 196) Τὸ δὲ κρῖ ἀποκοπὴν ἔπαθεν οὐκ ἐκ τῆς κριθῆς—ἦν γὰρ ἂν θηλυκὸν καὶ αὐτό, καθὰ καὶ ἡ κριθή—, ἀλλ' ἐκ τοῦ κρίμνον οὐδέτερον. Λευκὸν δὲ αὐτὸ εἶπεν, ὡς μέν τινες οἴονται, πρὸς ἀντιδιαστολὴν μελαίνης τινὸς τὴν ἐπιφάνειαν κριθῆς, ὁποῖαι πολλαχοῦ γίνονται, μάλιστα δὲ πρὸς σύγκρισιν σίτου. ἐκεῖνος γὰρ οὐ τοιοῦτος. [Ἰστέον δὲ ὅτι οὐχ' οὕτω παρ' Ὁμήρῳ φαίνεται οὐδέτερον εἶναι τὸ κρῖ ἐκ τοῦ λευκόν, ὡς ἐκ τοῦ εὐρυφυές, ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται. Κρῖ μὲν γὰρ λευκὸν κατὰ τὸν Τεχνικόν ἐστι καὶ ἐν θηλυκῷ γένει νοῆσαι Ἀττικώτερον, οἷον κρῖ λευκήν, κατὰ τὸ ἀρχὴν «δωρητόν, οὐκ αἰτητόν», καὶ κατὰ τὸ «κλυτὸς Ἱπποδάμεια» καὶ ὅσα τοιαῦτα. κρῖ δὲ εὐρυφυὲς θηλυκῶς εἰπεῖν ἐσχηματίσθαι οὐκ ἂν ἐξερεύξεταί τις.] Αἱ δὲ ὀλύραι σπόριμον μέλαν, μικρότερον τοῦ λεγομένου βίκου καὶ τοῦ ὀρόβου. καὶ φυλάσσει μέχρι καὶ νῦν τὴν κλῆσιν παρά τισι τῶν παραθαλασσίων ἐποίκων τῆς μεγάλης Λυκίας.

2.55 Τὸ δὲ ἐρέπτεσθαι ἀλόγοις ζῴοις οἰκεῖον, ἃ ἐκ τῆς ἔρας ἐσθίουσιν. ἐπ' αὐτῶν δέ, ὡς καὶ μετ' ὀλίγα εἰρήσεται, καὶ ἡ φορβὴ λέγεται κατὰ ὀνοματοποιΐαν, ὡς ἐπὶ ἀνθρώπων κυρίως ἡ ἐδωδή καὶ ἡ ἐδητύς καὶ ἡ βρώμη. [Ὅτι δὲ τὸ ἐρέπτεσθαι καὶ ἐρέπτειν ἐνεργητικῶς λέγεται καὶ ὅτι καὶ ἑτεροίαν τινὰ σημασίαν ἔχει, φανεῖται ἐν τῷ «κόνιν δ' ὑπέρεπτε ποδοῖϊν.] (v. 203) Ἰστέον δὲ ὅτι καὶ τὸ ἔδειν ἐπὶ ἵππων λέγεται, ὡς δῆλον ἐκ τοῦ «εἰωθότες ἔδμεναι». Ἔνθα σημείωσαι καὶ ὅπως ἐπὶ ἵππων τὸ εἰωθέναι τίθησιν, ὡς καὶ ἐν τῷ «εἰωθὼς λούεσθαι ποταμοῖο». καίτοι κυρίως ἐπὶ ἀνθρώπων τὸ ἐθίζεσθαι. ὅθεν καὶ αἱ ἠθικαὶ ἀρεταὶ παρονομάζονται, ὡς οἱονεὶ ἐθικαί τινες οὖσαι. (v. 197 s.) Τὸ δὲ «γέρων Λυκάων» ἀφροσύνην κατηγορεῖ τοῦ Πανδάρου, εἰ μήτε ὡς γέροντι μήτε ὡς πατρὶ ἐπείσθη ἐκείνῳ, καὶ ταῦτα οὐχὶ ἁπλῶς παραινοῦντι ἀλλὰ μάλα πολλὰ ἐπιτέλλοντι. ὅρα οὖν οἷα πάσχει ὁ ἀγαθῷ πατρὶ ἀπειθῶν. Τὸ δὲ «αἰχμητὰ Λυκάων» ἀνόμοιον τῷ πατρὶ δείκνυσι τὸν Πάνδαρον, εἴπερ αἰχμητὴς μὲν ἐκεῖνος, αὐτὸς δὲ τοξότης. διὸ καὶ ἐκείνῳ μᾶλλον οἰκεῖοι οἱ ἵπποι ἤπερ τῷ Πανδάρῳ, τῷ ἄλλως προσήκοντι καὶ κατὰ τέχνην πατρῴζειν, ὡς ἔθος ἐπεπόλαζε καὶ τότε πολλαχοῦ, καθὰ δηλοῖ καὶ Ἡρόδοτος, ὃ καὶ ἀλλαχοῦ δηλοῦται. αὐλητέω γάρ, φησίν, αὐλητὴς ἐγίνετο καὶ ἐπὶ ἄλλων ὁμοίως. (v. 199) Τὸ δὲ ἐμβεβαῶτα ἐπὶ ἅρματος κυριολεκτεῖται, ἐφ' οὗ ἐμβέβηκέ τις τῷ δίφρῳ. ἐξ αὐτοῦ δὲ ὡς ἐκ μέρους καὶ ἐπὶ ἵππων νοηθήσεται. ἄλλως γὰρ οὐκ ἂν ἐμβαίνειν τις ἵπποις ἐρεῖ, ἀναβαίνειν δὲ ἐπὶ ἵππους ἢ ἵππων ἐπιβαίνειν. ἔχεται δὲ τοῦ τόπου τούτου καὶ τὰ πρὸ μικροῦ ῥηθέντα, τὸ «ἐξ ἵππων βῆσε», καὶ «ἔκβαλε δίφρου». (v. 200) [Τοῦ δὲ ἀρχεύειν, ὃ παράγωγόν ἐστιν ἐκ τοῦ ἄρχω, χρῆσις καὶ ἀλλαχοῦ.] (v. 201) Ἐν δὲ τῷ «πολὺ κέρδιον ἦν» ὅρα ὅπως ὁ Ἐπιμηθεὺς οὐδὲν συντελεῖ τῷ Πανδάρῳ, νοοῦντι μὲν ἄρτι ὀψέ ποτε τὸ δέον, μὴ ἔχοντι δὲ τοῦ λοιποῦ διορθώσασθαι. (v. 203) Τὸ δὲ «εἰλομένων» ταὐτόν ἐστι τῷ εἰλουμένων.

2.56 διφορεῖται γάρ, ὁποῖον καὶ τὸ στερούμενος στερόμενος, καὶ ἐπιμελούμενος ἐπιμελόμενος. Τὸ δὲ ἄδην ἀντὶ τοῦ δαψιλῶς, περὶ οὗ καὶ προγέγραπται, Νικίας μὲν ψιλοῖ, διπλασιάζων τὸ δ διὰ τὸ μέτρον, ὁμοίως τῷ «κύον ἀδδεές», Ἀρίσταρχος δὲ δι' ἑνὸς δ καὶ βραχέως καὶ δασέως. δασύνει δὲ ὁ αὐτὸς καὶ τὸ «ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων», καὶ τὸ «ἅδος τέ μιν ἵκετο θυμόν», ἀντὶ τοῦ κόρος, καὶ τὸ Ἅδωνις. καὶ τοῦτο γάρ, φησί, παρὰ τὸ ἥδω. τὸ μέντοι ἀδολέσχης ψιλοῖ. φασὶ δὲ καὶ τὸ ἁδράφαξυς δασύνεσθαι. Ἔστι δὲ εἶδος λαχάνου, τὸ κοινῶς χρυσολάχανον, ὅπερ ἡ πλείων χρῆσις διὰ τοῦ τ ἀτράφαξυν λέγει, ὡς καὶ ὁ Κωμικὸς δηλοῖ ἐν τῷ «ψευδατραφάξυος πλέα». [Σκοπητέον δ' ἐν τοῖς εἰρημένοις, εἰ καὶ τὸ ἁδεῖν, ὅ ἐστιν ἀρέσκειν, δασύνεται ἀπὸ τοῦ ἥδειν. δοκεῖ γὰρ καὶ αὐτὸ δασεῖαν ἔχειν, ὡς δηλοῖ καὶ ἡ αὐθάδεια, νοουμένη ὡς οἷον αὐτοαρέσκεια.] (v. 203) Σημείωσαι δὲ καὶ ὅτι ἐκ τοῦ ἔδμεναι ἄδην τὸ ἀδηφαγεῖν καὶ ὁ ἀδηφάγος

ἐπενοήθη παρὰ τοῖς ὕστερον, καὶ ὅτι καθὰ τὸ ἐρέπτεσθαι, ἀφ’ οὗ μεταφορικῶς παρῆκται τὸ ἐρείπτω καὶ ἀνερείπτω, οὕτω καὶ τὸ φέρβω ἐπὶ ἀλόγων, ὡς καὶ τὸ ἔδειν, καθὰ εἴρηται.

2.57 διὸ καὶ φορβάδες ἵπποι κοινότερον ἀπ’ αὐτοῦ, καὶ φορβή ἡ τούτων τροφή, [ἐπεὶ καὶ φορβὰς γῆ παρὰ τῷ Σοφοκλεῖ, καὶ φορβὰς δὲ γυνή κωμικῶς ἡ πολλοῖς ὁμιλοῦσα τροφῆς χάριν.] Προϋπάρχει δέ, ὥσπερ τοῦ φερεσβίου τὸ φέρειν βίον, κατὰ τὸ «ῥᾶστα τὸν βίον φέρει», οὕτω καὶ τοῦ φέρβειν. ζῳογόνον γὰρ ἡ φορβή, ὡς προσφερὴς καὶ αὐτὴ τῷ βίῳ, ἧς παράγωγον κατά τινας καὶ ἡ φορβειά, ἤγουν τὸ καὶ περιστόμιον καὶ στόμιον, Ῥωμαϊκῶς δὲ εἰπεῖν καπίστριον, ἵνα ᾖ, ὥσπερ ἀρή ἡ ἀπειλή καὶ ἐπενθέσει τῆς ει διφθόγγου ἀρειή, οὕτω καὶ φορβή φορβειά, ὅθεν καὶ ὁ παρὰ τῷ Κωμικῷ ἐμπεφορβειωμένος. οὐ χρὴ δὲ ἀγνοεῖν ὅτι τὴν φορβειὰν οἱ παλαιοὶ καὶ παρὰ τὸ φέρειν βίᾳ φασίν. Ὀξύνεται δὲ ἡ φορβή κανόνι τοιούτῳ· τὰ εἰς η λήγοντα θηλυκὰ μετὰ συμφώνου, τῷ ο παραληγόμενα, ὀξύνεται, ἐὰν ἀπὸ ῥήματος γίνεται τῷ ε μόνῳ παραληγομένου, οἷον στρέφω στροφή, τρέπω τροπή, τρέφω τροφή, ῥοπή, σπονδή, νομή, ὁλκή, πλοκή. οὕτω καὶ φορβή. Τὸ πόρπη παρὰ τὸ πείρω γίνεται, ὅπερ οὐ μόνῳ τῷ ε παραλήγεται. διὸ καὶ βαρύνεται. (v. 204) Ὅτι τὸν πεζὸν ἀντιδιαστέλλων τῷ ἱππότῃ φησὶν «ὣς λίπον», τοὺς ἵππους δηλαδή, «ἀτὰρ πεζὸς εἰς Ἴλιον ἦλθον». Καὶ ἀλλαχοῦ «πεζοί θ’ ἱππῆές τε». Ὅτε μέντοι εἴποι τὸν Ἀχιλλέα νηυσὶ μὲν τόσας πόλεις ἑλεῖν, πεζὸν δὲ τόσας, τότε τῷ πλέοντι ἀντιδιαστέλλει τὸν πεζόν. Ἔστι γὰρ καὶ ἡ ναῦς ἅρμα οἷον θαλάσσης, μᾶλλον δὲ ἁλὸς ἵππος, ὡς ἐν Ὀδυσσείᾳ λέγεται. (v. 205) Ὅτι ἀχρηστίαν τόξου κατηγορεῖ τὸ «τόξοισι πίσυνος, τὰ δέ μ’ οὐκ ἄρ ἔμελλεν ὀνήσειν».

2.58 Ἐκ τοῦ πείθω δὲ ὁ πίσυνος, γράφεται δὲ διὰ τοῦ ι , ὃν λόγον καὶ ὁ θίασος, ἐκ τοῦ θειάζω γεγονώς, ἔτι δὲ καὶ ὁ πιθανός, ἐκ τοῦ πείθω παραχθείς. Συρακουσίων δέ, φασί, γλώσσης ὁ πίσυνος. (v. 207) Ὅτι σύντομος παρίσωσις καὶ ἐνταῦθα τὸ «Τυδείδης τε καὶ Ἀτρείδης», ὡς καὶ πρὸ μικροῦ τὸ «ζώοντε μάχης ἐκνοστήσαντε». τοιοῦτον καὶ μετ’ ὀλίγα τὸ «οἷοι Τρώϊοι ἵπποι ἐπιστάμενοι», καὶ τὸ «φράζεο καὶ χάζεο», καὶ τὸ «ἐς δ’ ὄχεα φλόγεα». (v. 208) Ὅτι ἀτρεκὲς αἷμα τὸ ἀληθὲς καὶ μὴ ψεῦδον τὴν ὄψιν κατὰ τὰ ἐρυθροβαφῆ, ἃ φορήματα ἦσαν Λακώνων, ἐπικρύπτοντα τὴν ἐν πολέμῳ ῥύσιν τοῦ αἵματος. Χρῆσις δὲ αὐτοῦ τὸ «ἀτρεκὲς αἷμ’ ἔσσευα», ὅ ἐστιν ἐκίνησα, «βαλών, ἤγειρα δὲ μᾶλλον», ἤτοι ἠρέθισα, παρώξυνα. (v. 200 et 211) Ὅτι ὥσπερ ἀλλαχοῦ τὸ ἀνάσσειν δοτικῇ συνέταξεν, οἷον «πάντεσσι δ’ ἀνάσσειν», οὕτως ἐνταῦθα τὸ ἄρχειν καὶ τὸ ἡγεῖσθαι. Φησὶ γὰρ «ἀρχεύειν Τρώεσσι», καὶ «ἡγεόμην Τρώεσσι φέρων χάριν» καὶ ἑξῆς. Ἔνθα ὅρα ὡς ταὐτόν ἐστιν εἰπεῖν χάριν καὶ ἦρα καὶ ἐπίηρα. ὃ γοῦν ἐν ἄλλοις εἶπεν «ἦρα φέρων» καὶ «μητρὶ φίλῃ ἐπίηρα φέρων», ἐνταῦθα οὕτω φράζει «φέρων χάριν Ἕκτορι δίῳ». Ἐν δὲ τῷ «ἡγεόμην Τρώεσσι» λέγοι ἄν, ὡς καὶ προδεδήλωται, Τρῶας τοὺς ἐν τῇ μικρᾷ Λυκίᾳ. (v. 210) Κεῖται δ’ ἐνταῦθα καὶ Ἴλιος ἐρατεινή, καθά που καὶ Λακεδαίμων. Ἔστι δὲ ἐν τῷ χωρίῳ τούτῳ μαθεῖν καὶ ὅτι ἀφεὶς ὁ Πάνδαρος ἑαυτὸν μέμφεσθαι κατὰ τῶν τόξων τρέπει τὴν ὀργήν, βαρβαρικῶς θυμομαχῶν κατὰ τῶν οὐδὲν αἰτίων. (v. 209—211) Καί φησιν, ὅτι κακῇ αἴσῃ ἀπὸ πασσάλου ἀγκύλα τόξα ἤματι τῷ ἑλόμην, ὅτε εἰς Ἴλιον Τρώεσσιν ἡγεόμην. (v. 212—6) Καὶ τῷ Διῒ μὲν ἀνασχεῖν οὐδὲ νῦν ἐθέλει χεῖρας, ὡς ὁ Αἰνείας παρήνεσεν, ἀπειλεῖται δὲ τοῖς τόξοις δύο ποινάς, κλάσιν τε καὶ καῦσιν, λέγων ὡς «εἰ νοστήσω καὶ ἐσόψομαι ὀφθαλμοῖσι πατρίδ’ ἐμὴν [ἄλοχόν τε καὶ ὑψερεφὲς μέγα δῶμα], αὐτίκ’ ἔπειτ’ ἀπ’ ἐμεῖο κάρη τάμοι ἀλλότριος φώς, εἰ μὴ ἐγὼ τάδε φαεινῷ ἐν πυρὶ θείην, χερσὶ διακλάσας.

2.59 ἀνεμώλια γάρ μοι ὀπηδεῖ». (v. 209) Σημείωσαι δὲ ὅτι τὸ «ἀπὸ πασσάλου» ἐνταῦθα μὲν πραγματικῶς εἴρηται, ὡς τῶν ἡρωϊκῶν προσώπων ἁπλούστερον οὕτω πολλὰ σκεύη κρεμώντων, καθὰ καὶ τὸ τοῦ Τηλεμάχου ἱμάτιον, καί τινος δὲ ἐν Ὀδυσσείᾳ κιθάρα ἐκρέματο. Ἡ δὲ ὕστερον παροιμία ἐπὶ πραγμάτων ἄλλως τὸ νόημα ἔθετο, λέγουσα πασσάλῳ μὲν ἀνακρεμάσαι τὸ ἀμελῆσαι, ἀπὸ πασσάλου δὲ λαβεῖν τὸ ἐπιμεληθῆναι. ὁποῖον δή τι καὶ παρ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Εὐριπίδῃ τὸ «ξυστὸν δ’ ἐπὶ πασσάλῳ». ἔχει δέ τινα πρὸς ταῦτα ὁμοιότητα καὶ Ἡσιόδου τὸ ὑπὲρ καπνοῦ θεῖναι πηδάλιον. Ὡς δὲ καὶ πάσσαξ ὁ πάσσαλος λέγεται καθ’ ὑποκορισμόν, ἡ κωμῳδία οἶδε. [Ἰστέον δὲ καὶ ὅτι γλῶσσά τις φέρεται κυνδάλους λέγειν τοὺς πασσάλους καὶ κυνδαλοπλίτας τοὺς πασσαλίσκους, ὅθεν καὶ παιδιά τις διὰ πασσάλων γινομένη κυνδαλισμός ἐλέγετο. (v. 212 s.) Τὸ δέ· καὶ ἐσόψομαι πατρίδα καὶ ἄλοχον καὶ λαμπρὸν οἶκον, λόγος ἐστὶν ἤθους ἀφελοῦς. τοιοῦτον γὰρ τὸ ἐν δεινοῖς παραπλέκειν τῷ λόγῳ τὰ φίλτατα. (v. 213) Τὸ δὲ ὑψερεφές, ὅτε τὸ μέτρον ἀπαιτεῖ πρὸς ἀλλοῖον δάκτυλον, ὑψηρεφές γράφεται.] (v. 214) Ὅρα δὲ τὸ «ἀλλότριος φώς» ἀντὶ τοῦ πολέμιος, ὃ δηλοῖ μεγάλην δυστυχίαν, ἐὰν ὁ Πάνδαρος μετὰ τὴν τοῦ πολέμου λύσιν τοῦ Τρωϊκοῦ τοιοῦτον πάθῃ ἐν τῇ πατρίδι κακόν. Ὅρα δὲ καὶ ὡς ἐξέφυγεν ὁ ποιητὴς παιγνιώδη παρήχησιν ἐν τῷ «ἀλλότριος φώς», οἷα δυνάμενος μέν, εἴπερ εἵλετο, μὴ θελήσας δέ, παρηχῆσαι ἐκ φωτός ἀνδρός καὶ φωτός πυρός, ἀλλὰ μόνον φαεινὸν πῦρ εἰπών. (v. 216) Τὸ δὲ διακλάσας ὠνοματοπεποίηται, καὶ ἔστι λειότερον ἤπερ ἡ θραῦσις. Οὕτω δὲ καὶ τὸ λακεῖν καὶ τὸ λακίζειν εὐφωνότερόν ἐστι τῆς θραύσεως, [καὶ τὸ φλᾶν δὲ καὶ τὸ θλᾶν, ἀφ’ οὗ καὶ θλάσμα κατὰ τὸ κλάσμα καὶ θλαδίας βοῦς, ὥσπερ καὶ ἀπὸ τοῦ κλῶ κλάζω καὶ πλεονασμῷ ὀκλάζω δίφρος ὀκλαδίας.

2.60 ] Τὸ δὲ «ἀνεμώλια» πάνυ ἀστείως εἴρηται, ὡς τῶν πτεροέντων ὀϊστῶν ἀξίων ὄντων ἀνέμοις ὀλέσθαι διὰ τὸ ἄπρακτον καὶ ἀνενέργητον. καὶ ἔστιν ὅμοιον τρόπον τινὰ τῷ «ἅρπυιαι ἀνηρείψαντο». τὸ γὰρ ἀνέμοις ὀλλύμενον ἁρπυίαις ἀνήρειπται. καὶ τῶν τις δὲ καθ’ ἡμᾶς τῷ χρόνῳ Παφλαγὼν τὸ γένος, ῥωμαλέος τὴν φύσιν, ἀνδρεῖος τὴν τέχνην, δεινὸς μὲν σπάθην στρατιωτικῶς χειρίσασθαι, τοξεῦσαι δὲ δεινότατος, μίαν καὶ δευτέραν καὶ τρίτην βολὴν δυστυχήσας ἐν πολέμῳ, εἰς τὸν αὐτὸν τῷ Πανδάρῳ νοῦν ἐμπεσὼν κατακλᾷ θυμῷ τὰ τόξα, καὶ οὐ μόνον, ἀλλὰ καὶ παραβάλλει ἑαυτὸν εἰς σφαγήν, δυστυχίαν τοξείας αὐθαιρέτῳ θανάτῳ τετιμηκὼς καὶ θανεῖν ἑλόμενος ἤπερ ζῶν ὀνειδισθῆναι βαλεῖν ἀνεμώλια. [Ὅτι δέ, καθὰ προόρα πρώρα καὶ τὰ ὅμοια, οὕτω καὶ ἀνεμοόλια καὶ κατὰ κρᾶσιν ἀνεμώλια, πολλαχοῦ δηλοῦται. ἴσως δὲ καὶ ὡς ἀπατῶ ἀπατήσω ἀπατήλια, οὕτως ἀνεμῶ ἀνεμώσω ἀνεμώλια, τὰ οἷον ἐξανεμούμενα. Οὐ πάντῃ δὲ ταὐτὸν ἀνεμώλια εἰπεῖν καὶ ἀνεμόφθορα, εἴπερ Ὅμηρος μὲν ἔπη ἀνεμώλια οἶδε καὶ τόξα ἀνεμώλια, οἱ δὲ ὕστερον σπέρματά φασιν ἀνεμόφθορα, οἷς φθορὰ ἐξ ἀνέμων κατασεισάντων εἰς γῆν ἢ ἐκκαυσάντων εἰς ἀτελεσφόρητα.] (v. 218) Ὅτι ἀποτρεπτικὸν μεσιτείας τὸ «μήδ’ οὕτως ἀγόρευε, πάρος δ’ οὐκ ἔσσεται ἄλλως». Παρέλκει δὲ ὁ πρῶτος δε σύνδεσμος καὶ κεῖται ἀντὶ τοῦ δη . (v. 219) Ὅτι παρασημειοῦνται Ἀπίων καὶ Ἡρόδωρος τὸ νώ μονοσύλλαβον δυϊκὸν κατὰ πτῶσιν αἰτιατικὴν ἀντὶ τοῦ ἡμᾶς ἅπαξ ἐν Ἰλιάδι κεῖσθαι καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ. ὃ οὐδὲ περισπᾶται ὡς δυϊκόν, λῆγον εἰς ω . Φησὶν οὖν ὧδε ὁ ποιητὴς «πρίν γ’ ἐπὶ νὼ τῷδ’ ἀνδρί» καὶ ἑξῆς. ὅτε μέντοι σὺν τῷ ι λέγει αὐτό, ἐπ’ εὐθείας τε τάσσεται, οἷον «νῶϊ δ’ ἐγὼ Σθένελός τε», ἤγουν ἡμεῖς, καὶ ἐπὶ αἰτιατικῆς, οἷον ἐνταῦθα τὸ «οἳ καὶ νῶϊ πόλινδε σαώσετον», καὶ «νῶϊ δ’ ἐπαΐξας», καὶ ἀλλαχοῦ «οὐδ’ ἂν νῶϊ ἠέλιος διαδράκοι», ἤγουν ἡμᾶς.

2.61 (v. 222 s.) Ὅτι Τρώϊοι ἐνταῦθα ἵπποι οὐχ’ ἁπλῶς οἱ Τρωϊκοί—οὐ γὰρ ἔχουσί τι ἐξαίρετον οἱ τῆς Τροίας ἵπποι—, ἀλλὰ οἱ τοῦ Τρωός, οἳ καὶ ἀθάνατοι ἐλέγοντο, ὡς ἀλλαχοῦ ῥηθήσεται. Ἑρμηνεύων οὖν ὁ ποιητὴς τὸ Τρώϊοί φησι προϊὼν γενεᾶς αὐτοὺς εἶναι, ἧς ἔδωκεν ὁ Ζεὺς τῷ Τρωΐ. Ἰστέον δὲ [ὅτι τε ἐκ τοῦ Τρῳός, ὁ Τρωϊκός, ὀξυτόνου ὀνόματος, οὗ θηλυκὸν τὸ Τρῳαὶ γυναῖκες, διελύθη τὸ Τρώϊος ἵππος, καὶ ὅτι ἔχοι ἂν ἀπορίαν, πῶς τὸ Τρώϊος, ὁ Τρωϊκός, οὐ προπερισπᾷ τὸ Τρῳός, ἵνα ᾖ, ὥσπερ πατρώϊος πατρῷος, Μινώϊος Μινῷος, μητρώϊος μητρῷος, οὕτω καὶ Τρώϊος Τρῷος, κτητικῶς ὁ ἐκ Τροίας ἢ ὁ τοῦ Τρωός,] καὶ ὅτι ἀρετὴ ἵππων πολεμιστηρίων τὸ «ἐπιστάμενοι πεδίοιο κραιπνὰ μάλα ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι», ὃ δὴ Αἰνείου ἐνταῦθα εἰπόντος, ἀπαραποιήτως οὕτω καὶ ἐν τοῖς ἑξῆς ὁ Διομήδης ἐρεῖ. Καὶ ὅρα τὸ ἐπίστασθαι λεχθὲν ἐπὶ τῶν τοῦ Τρωὸς ἵππων κατὰ ἐξαίρετον ὡς ἐπὶ λογικῶν διὰ τὸ καὶ

ἀθανάτους αὐτοὺς μυθεύεσθαι, ὡς ῥηθήσεται. Καλῶς δὲ ἔχει καὶ τὸ πεδίοιο, ὡς τοῦ ἵππου ἐν τραχεινοῖς οὐ πάνυ εὐδοκιμοῦντος. ἐξ οὗ καὶ παροιμία τὸ «ἵππος εἰς πεδίον». Σημείωσαι δὲ ὅτι Αἰνείας μὲν οὕτως ἐν ὀλίγῳ ἐπαινεῖ τοὺς ἑαυτοῦ ἵππους ὡς πρὸς εἰδότα λέγων τὸν Πάνδαρον καὶ ἀορίστως ἀποθαυμάζει—ἀόριστος γὰρ θαυμασμὸς τὸ «οἷοι Τρώϊοι ἵπποι»—, Διομήδης δὲ ἐν τοῖς ἑξῆς καὶ ὡρισμένως καὶ ἐπιμελέστερον ἐπαινεῖ αὐτούς, ἀρίστους τε εἰπὼν καὶ γενεαλογῶν ἐκείνους πρὸς τὸν μὴ εἰδότα Σθένελον καὶ ἐρεθίζων οὕτως ἑαυτῷ τε καὶ τῷ ἑταίρῳ τὴν φίλιππον ἐπιθυμίαν. ἐπίτηδες δὲ Ὅμηρος τοῦτο ποιεῖ καὶ τὸν περὶ τῶν ἵππων λόγον διαφόροις μὲν προσώποις καὶ τόποις καταμερίζει εἰς ποικιλμὸν τῆς ποιήσεως, τὸν δὲ πλείω λόγον δίδωσι τῷ φιλίππῳ Διομήδει. Σημείωσαι δὲ ὅτι ὧδε μὲν ἐντελῶς εἴρηται τὸ «ἐπιστάμενοι ἔνθα καὶ ἔνθα τῆς πεδιάδος διώκειν καὶ φέβεσθαι», ἐν τοῖς ἑξῆς δὲ ὁ Διομήδης ἐλλιπῶς λέγων μήστωρας φόβου αὐτοὺς καλεῖ, μόνου τοῦ φεύγειν μνησθείς.

2.62 Δεῖ δὲ ἀναλόγως νοεῖν αὐτοὺς ἐκεῖ καὶ διώξεως μήστωρας, ἔνθα καὶ τὸ μήστωρας ὡς ἐπὶ λογικῶν εἴρηται. (v. 223) Τὸ δὲ κραιπνός ὀξύνεται λόγῳ τοιούτῳ. Τὰ εἰς νος μετ’ ἐπιπλοκῆς συμφώνου τριγενῆ ἁπλᾶ ὀξύνεται· κραιπνός, συχνός, πυκνός, πρυμνός. τὸ ὕμνος οὔτε τριγενὲς οὔτε ἁπλοῦν. διὸ οὐδὲ ὀξύνεται. ὡσαύτως καὶ τὸ Πράμνος καὶ εἴ τι τοιοῦτον. τὸ ἀμνός ὀξύνεται διὰ τὸ μὴ ἀντιστρέφειν τὸν κανόνα. οὐ γὰρ εἴ τι ὀξύνεται, ἤδη καὶ τριγενές ἐστι καὶ ἁπλοῦν. Κραιπνός δέ, φασίν, ὁ ταχὺς καὶ οἷον ποδήνεμος ἢ ἀνεμώκης. Ἔστι γὰρ κάπω τὸ πνέω, ἐξ οὗ κάπος τὸ πνεῦμα. ὅθεν καπνός ὁ ὡς εἰπεῖν, φασίν, ἠνεμόεις, καὶ πλεονασμῷ τοῦ ρ καὶ ι κραιπνός. [Δύναται δὲ καὶ παρὰ τὸ κάρα καὶ τὸ πνέειν ἐν συγκοπῇ καὶ πλεονασμῷ τοῦ ι εἶναι καραπνός, εἶτα κραπνός καὶ κραιπνός, καθ’ ὁμοιότητα τοῦ καραπάλη, ὅθεν ἡ κραιπάλη. ἵνα ᾖ κραιπνὸς ἄνθρωπος τυχὸν ἢ ἵππος ἢ βοῦς ὁ ἐν τῷ σπουδῇ τρέχειν πνευστιῶν καὶ πολὺ ἆσθμα πνέων ἐκ κεφαλῆς, περὶ ἣν στόμα καὶ ῥῖνες, δι’ ὧν τὸ τοιοῦτον πνεῦμα πρόεισιν.] (v. 224 s.) Ὅτι Αἰνείας μὲν δύσελπίς ἐστιν ἐπὶ τῇ κατὰ τοῦ Διομήδους ὁρμῇ. διό φησιν ὅτι οἱ ἵπποι σώσουσιν ἡμᾶς, εἴπερ ὁ Ζεὺς τῷ Διομήδει κῦδος ὀρέξει. τοῖς ἵπποις οὖν πέποιθε. διὸ καὶ ἡττᾶται. ὁ μέντοι Διομήδης, ὡς πρέπει στρατιώτῃ, τὴν ἀγαθὴν ἐλπίδα προβαλεῖται καὶ ὡς θαρρῶν τὴν νίκην ἐντελεῖται τῷ Σθενέλῳ, ἐὰν ἡ Ἀθηνᾶ κῦδος αὐτῷ ὀρέξῃ, ἐπαΐξαι τοῖς ἵπποις τοῦ Αἰνείου καὶ ἐξελάσαι αὐτοὺς ἐκ Τρώων εἰς τοὺς Ἀχαιούς. ὃ καὶ γέγονεν. (v. 227 s.) Ὅτι τὸ πεζεῦσαι τοῦ ἅρματος ἵππων ἀποβῆναι λέγει. οὕτω δέ τις ἀποβαίνει καὶ νηός. (v. 228) Ὅτι δέξασθαι οὐ μόνον τὸ λαβεῖν, οἷον μάστιγα καὶ ἡνία σιγαλόεντα δέξαι, ἀλλὰ καὶ τὸ ὑπαντῆσαι καὶ ἀντιστῆναι, οἷον «ἠὲ σὺ τόν γε δέδεξο, μελήσουσι δέ μοι ἵπποι», καὶ «τόνδ’ ἐγὼ ἐπιόντα δεδέξομαι ὀξέϊ δουρί».

2.63 (v. 226) Ἡνία δὲ σιγαλόεντα τὰ τεχνικῶς καὶ εἰς κάλλος εἰργασμένα, ἐφ’ οἷς οὐκ ἔχοι ἄν τις εἰπεῖν τι, ἀλλ’ ἑστήξεται ἄφωνος, σιγῇ ἀφοσιούμενος τὰ τοῦ θαύματος. οἱ δὲ σιγαλόεντά φασιν ἐλλείψει τοῦ τ τὰ κατεστιγμένα ποικίλμασιν, [ἢ τὰ εὐμάλακτα κατὰ τοὺς λεγομένους μάσθλητας καὶ διὰ τοῦτο σιγηλὰ καὶ μὴ θορυβοῦντα ψόφῳ ἤχου κατὰ τοὺς ἀδεψήτους ἱμάντας. Ὅθεν ἀστείως καὶ ἀμύγδαλά τις ἔφη σιγαλόεντα τὰ μὴ ψοφητικὰ ἐν τῷ κλᾶσθαι ἀλλὰ πιεσμῷ δακτύλων ἐνδιδόντα εἰς θραῦσιν.] (v. 230—8) Ὅτι τὸ ἐν ἄλλοις ὑπὸ τοῦ Νέστορος λόγῳ παραγγελθὲν ἐνταῦθα πραγματικῶς κεῖται. ὁ μὲν γὰρ εἶπεν ἐν τῇ Δ ῥαψῳδίᾳ, ὅτι ὃς ἂν ἐκ τοῦ οἰκείου ἅρματος εἰς ἕτερον ἅρμα ἔλθοι, ἔγχει ὀρεξάσθω, τουτέστι μὴ γινέσθω ἡνίοχος, ἀλλὰ ἁπτέσθω δόρατος. Ἐνταῦθα δὲ ὁ Πάνδαρος, ἀναβὰς εἰς τὸ τοῦ Αἰνείου ἅρμα, οὐ θέλει τὰ ἡνία λαβεῖν, ἀλλὰ δέχεται τὸν Διομήδην ὀξέϊ δουρί, λέγων καὶ αἰτίαν τό· μήποτε φευγόντων ἡμῶν «τὼ μέν», ἤγουν οἱ δύο ἵπποι, «δείσαντε ματήσετον τεὸν φθόγγον ποθέοντε», ὁ δὲ ἐχθρὸς ἐπαΐξας ἡμᾶς «τε κτείνῃ καὶ ἐλάσῃ μώνυχας ἵππους», καὶ ὅτι «μᾶλλον ὑφ’ ἡνιόχῳ εἰωθότι», τουτέστι συνήθει, «καμπύλον ἅρμα οἴσετον». Ἔνθα ὅρα τὴν ὑπο πρόθεσιν συνήθως φιληδοῦσαν συντάξει δοτικῇ. Εἶτα καὶ ἐπιτάσσει τῷ Αἰνείᾳ τὸ ποιητέον, εἰπὼν «ἀλλὰ σύ γ’

αὐτὸς ἔλαυνε τεὰ ἅρματα καὶ τεὼ ἵππω, τόνδε δ’ ἐγὼν ἐπιόντα δεδέξομαι». Καὶ ἔστι πιθανὸν τὸ πλάσμα τοῦτο τοῦ θάρσους, ἵνα μὴ ἡνιοχήσας ὁ ἐπίορκος καί πως ὑποδείσας τρέψῃ τοὺς ἵππους φεύγειν καὶ διαδράσῃ τὸ θανεῖν. Ἔστιν οὖν κἀνταῦθα ἰδεῖν ὡς τὸ αὐτὸ νόημα εἰς διαφόρους ἦλθε, τόν τε Νέστορα, ὡς προδεδήλωται, καὶ τὸν Πάνδαρον. Ὅρα δὲ καὶ ὅπως καὶ ὁ Πάνδαρος, οἰωνιζόμενος ἑαυτῷ κακά, οὐκ ἀγαθὰ καραδοκεῖ, ἀλλὰ τὰ πρὸς τὸ φεύγειν λαλεῖ, καθὰ καὶ ὁ Αἰνείας, ὡς εἴρηται. (v. 233) Ματᾶν δὲ νῦν ἐπὶ ἵππων λέγεται τὸ ματαιοπραγεῖν καὶ ἀργοὺς ἵστασθαι, ἐξ οὗ καὶ ματίη ἐν τοῖς ἑξῆς ἐπὶ ἀνθρώπων ἡ ματαιοπραγία. Διὸ καὶ ἑρμηνεύων ὁ ποιητὴς νῦν τὴν λέξιν οὕτω φησὶ «ματήσετον οὐδ’ ἐθέλητον ἐκφέρειν πολέμοιο», ὡς ταὐτὸν ὂν τὸ ματᾶν καὶ τὸ ἀκινητίζειν.

2.64 Ἰστέον δὲ ὅτι οὐ μόνον ματίη θηλυκὸν ὄνομα, ἀλλὰ καὶ μάτιον οὐδετέρως παρὰ τοῖς μεθ’ Ὅμηρον. εἶδος μέντοι μέτρου ἐκεῖνο. Ὅθεν καὶ ματιολοιχός ὁ ἐκ τοῦ παραμετρεῖν λείχων ἤτοι κερδαίνων. Οἱ δὲ παλαιοί φασι καὶ ὅτι μάτιον τὸ ὀλίγον κλάσμα, ἕτεροι δὲ ὅτι μάτιον τὸ ἁπλῶς μικρόν, ἔστι δὲ ὅτε καὶ ἐπὶ πολλοῦ. ὅθεν καὶ τὸν πλεῖον ἢ δεῖ λείχοντα ματιολοιχόν φασι. Τινὲς δὲ τὸν τοιοῦτον ἄλλως ἑρμηνεύοντές φασιν, ὅτι ματιολοιχὸς ὁ περὶ τὰ μικρὰ σινάμωρος καὶ πανοῦργος. Τὸ μέντοι ματᾶν οἱ παλαιοὶ καὶ ἄλλως διασαφοῦντες ματῆσαί φασι τὸ ἁμαρτεῖν, ὥστε κατὰ τούτους οὐ μόνον ἵππος ματᾷ, ὡς μάτην εἰς χρείαν ἐλθών, ἀλλὰ καὶ τοξότης, εἴπερ ἀφεὶς βέλος οὐκ εὐστοχήσει. οὕτω δὲ καὶ αἰχμητὴς καὶ ἕτεροι. Παράγωγον δὲ τοῦ τοιούτου ῥήματος τὸ ματάζειν παρὰ Σοφοκλεῖ. ποιητικὰ δὲ ἄμφω. κοινὸν δὲ τὸ ματαιάζειν, ἴσως δὲ καὶ τὸ ματαΐζειν, ὅμοιον ὂν τῷ ἑβραΐζειν καὶ τοῖς τοιούτοις. Ἰστέον δὲ ὅτι, ὥσπερ ματῶ ματάζω, καθὰ ἐρρέθη, οὕτω σὺν ἄλλοις καὶ τοπῶ τοπάζω, ἤγουν τόπους τινὰς καὶ ἀρχὰς νοημάτων ἔχω εἰς τὸ ὑπονοεῖν τόδε τι.

2.65 Ἡ δὲ κοινὴ γλῶσσα ἐκ τοῦ ἑτέρου τόπου, τοῦ φύσει περιεκτικοῦ, τοπάζειν λέγει, ὃ καὶ κοιτάζειν. τοπάζει γοῦν τις θηρία εἰς τὸ κυνηγηθῆναι. (v. 236) Τὸ δὲ ἐλάσῃ ἀντὶ τοῦ ἀπελάσῃ, ἀπαγάγῃ, ὡς καὶ τὸ «οὐ γὰρ πώποτ’ ἐμὰς βοῦς ἤλασαν», ἀντὶ τοῦ ἐξήλασαν κατὰ συνήθη προθέσεως ἔλλειψιν. Διὸ καὶ ἐν τοῖς ἑξῆς ἐρεῖ «Αἰνείαο καλλίτριχας ἵππους ἐξήλασε Τρώων». Μώνυχες δὲ ἵπποι πρὸς ἀντιδιαστολὴν ἄλλων ζῴων πολυωνύχων καὶ διχηλῶν. (v. 239 s.) Ὅτι τρεῖς καὶ ἐνταῦθα κεῖνται ἀσύνδετοι μετοχαί, ὡς ἐν ἰδέᾳ γοργότητος, ἐν τῷ «ὣς ἄρα φωνήσαντες, ἐς ἅρματα ποικίλα βάντες, ἐμμεμαῶτες ἐπὶ Τυδείδῃ εἶχον ἵππους». (v. 240) Ἔστι δὲ καὶ τὸ «ἐπὶ Τυδείδῃ εἶχον» ἀντὶ τοῦ ἤλαυνον κατὰ τοῦ Τυδείδου. καὶ σημείωσαι ὅτι καὶ ἐν Ὀδυσσείᾳ τὸ «δαιμονίη, τί μοι ἐπέχεις», τοιοῦτόν τι δηλοῖ· τί ἐπ’ ἐμοὶ ἔχεις καὶ οἱονεὶ διωκτικῶς ἐλαύνεις με; (v. 243) Ὅτι τὸ «ἐμῷ κεχαρισμένε θυμῷ» ταὐτόν ἐστι τῷ φίλτατε. (v. 246 et 248) Ὅτι ἐν τῷ «εὔχεται εἶναι» καὶ «εὔχεται ἐκγεγάμεν» εἰς ταὐτὸν ὁ ποιητὴς ἄγει τὸ εἶναι καὶ τὸ γενέσθαι. διὸ καὶ ταὐτόν ἐστι καὶ τὸ θεοὶ αἰειγενέται, καὶ «θεοὶ αἰὲν ἐόντες». (v. 243—8) Ὅτι καὶ ἐνταῦθα ἐπὶ Διομήδους καὶ Σθενέλου δείκνυσιν ὁ ποιητὴς τὸ τῆς φιλίας χρήσιμον καὶ ὡς κατὰ τὴν παροιμίαν «εἷς ἀνὴρ οὐδεὶς ἀνήρ». Διομήδης μὲν γὰρ ὅλος ἔργου γίνεται, πεζὸς μαχόμενος, μόνος δὲ ὁ Σθένελος σωματοφυλακεῖ, διοπτεύων ἀφ’ ὑψηλοῦ τοῦ ἅρματος, μήποτέ τις ἐξ ἀφανοῦς ἐπέλθοι τῷ Διομήδει κίνδυνος. Ὅθεν καὶ τὸν Αἰνείαν καὶ τὸν Πάνδαρον ἐπιόντας αὐτῷ ὡς ἐκ περιωπῆς προορᾷ, καὶ εἰπών, ὅτι ἄνδρε ὁρόω κρατερὼ ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι, ἶν’ ἀπέλεθρον ἔχοντας, ὃ μὲν τόξων εὖ εἰδώς, Πάνδαρος, ὃ δὲ Αἰνείας, (v. 249 s.) εἶτα τὸν Διομήδην εἰς εὐσχήμονα φυγὴν προκαλεῖται, λέγων· «ἀλλ’ ἄγε δὴ χαζώμεθα ἐφ’ ἵππων», ἤτοι ἀναχωρήσωμεν, «μηδέ μοι οὕτω θῦνε διὰ προμάχων, μή πως φίλον ἦτορ ὀλέσσῃς». Τοῦτο δὲ λέγει, ὡς ἂν ἀναβὰς εἰς ἅρμα μήτε πεζὸς πρὸς ἱππέας διαμάχοιτο, καὶ φύγῃ δέ, ἐὰν βούλοιτο.

2.66 (v. 252—8) Καὶ αὐτὸς μὲν οὕτω λαλεῖ, ἀκούει δὲ ὅσα τις ἂν εἴπῃ ἀνδρεῖος ἄνθρωπος «μή τι φόβονδ’ ἀγόρευε, οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντα μάχεσθαι, οὐδὲ καταπτώσσειν, ἔτι μοι

μένος ἔμπεδόν ἐστιν. ὀκνείω δ' ἵππων ἐπιβαινέμεν, ἀλλὰ καὶ αὔτως ἀντίον εἶμι αὐτῶν, τρεῖν μ' οὐκ ἔα Παλλὰς Ἀθήνη». Ἐφ' οἷς καὶ τὴν ἀγαθὴν ἐλπίδα προβεβλημένος ὁ Διομήδης φησὶν οὐκ ἂν ἀμφοτέρους ἐκείνους παλιννοστῆσαι, εἰ γοῦν ἕτερός γε φύγῃσι. Καὶ ὅρα οἷον θυμὸν ὁ Διομήδης ἀνέλαβε μετὰ τὴν ὑπὸ Πανδάρου πληγήν, πατρῴζων καὶ ἐνταῦθα. Λόγος γὰρ καὶ τὸν Τυδέα κατὰ Θήβας ὑπὸ Μελανίππου υἱοῦ Ἀστακοῦ τρωθέντα σφόδρα ἀγανακτεῖν. ὡς δὲ Ἀμφιάρεως ἀνελὼν τὸν Μελάνιππον προεκόμισε τὴν ἐκείνου κεφαλὴν τῷ Τυδεῖ, αὐτὸς διελὼν ῥοφεῖ τὸν ἐγκέφαλον δίκην θηρός. ὅτε καὶ ἡ μὲν Ἀθηνᾶ, φασίν, ἀθανασίαν αὐτῷ φέρουσα ἀπεστράφη διὰ τὸ μύσος. ὁ δὲ ἰδὼν ἐζήτησε κἂν γοῦν τῷ υἱῷ τὴν ἀθανασίαν χαρίσασθαι. καὶ τοῦτο μὲν τοιοῦτον. (v. 260—4) Ὁ δὲ Διομήδης, ὡς εἴρηται, μετὰ τὴν πληγὴν ἐρεθισθείς, εἶτα καὶ ὡς πάνυ φίλιππος τῷ Σθενέλῳ ἐντέλλεται οὕτως «αἴ κέν μοι πολύβουλος Ἀθήνη κῦδος», ὡς καὶ προερρέθη, «ὀρέξῃ ἀμφοτέρω κτεῖναι, σὺ δέ», ἤγουν σὺ δή, «τούσδε μὲν ὠκέας ἵππους αὐτοῦ ἐρυκακέειν», ἤγουν κατάσχε, «ἐξ ἄντυγος», τῆς τοῦ ἅρματος δηλαδή, «ἡνία τείνας», ἵνα δοκοῦντες ἄγχεσθαι καὶ ὑπό τινος ἐπέχεσθαι ἡσυχάζωσιν, ἐπαΐξαι δὲ τοῖς τοῦ Αἰνείου ἵπποις μεμνημένος καὶ ἐξελάσαι εἰς τοὺς Ἕλληνας, (v. 265—9) εἶτα καὶ γενεαλογεῖ τοὺς ἵππους, ἀτιτάλλων οἷον αὐτοὺς ἐν ψυχῇ, ἐκ τῆς γενεᾶς λέγων ἐκείνους εἶναι, ἧς ἔδωκεν ὁ Ζεὺς τῷ Τρωῒ ποινὴν Γανυμήδεος, ἀνθ' ὧν ἐκεῖνος πρὸ ὥρας ἡρπάγη, ὡς ἐν τῇ υ̅ ῥαψῳδίᾳ ῥηθήσεται. ἐξ ὧν γενεῆς ἔκλεψεν ὁ τοῦ Αἰνείου πατὴρ Ἀγχίσης, ὑποσχὼν θήλεας ἵππους. (v. 270—2) «Τῶν οἱ», φησίν, «ἓξ ἐγένοντο ἐνὶ μεγάροισι γενέθλη, τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων ἀτίταλλ' ἐπὶ φάτνῃ, τὼ δὲ δύο Αἰνείᾳ δῶκε, μήστωρε φόβοιο», καθὰ προείρηται. Καὶ σημείωσαι ὅτι γενεή οὐ μόνον ἐπὶ ἀνδρῶν ἀλλ' ἰδοὺ καὶ ἐπὶ ἀλόγων ζῴων εἴρηται. λέγεται δὲ καὶ ἐπὶ φύλλων, ὡς τὸ «οἵη περ φύλλων γενεή». (v. 266 s. et 273) Λέγει δὲ ὁ Διομήδης περὶ τῶν τοῦ Αἰνείου ἵππων καὶ ὅτι ἄριστοι ἵππων, ὅσοι εἰσὶν ὑπ' ἠῶ τ' ἠέλιόν τε, πάνυ ἐξαίρων αὐτοὺς τῷ τοιούτῳ ἐπαίνῳ. οὓς καὶ ἐὰν λάβοιμεν, φησίν, ἀροίμεθα ἂν κλέος ἐσθλόν.

2.67 τοῦτο δὲ οὐ πάνυ πολὺ ἀπέχει παράφρασις εἶναι τοῦ «ἠράμεθα μέγα κῦδος». Καὶ ὅρα ὅπως τοὺς ἵππους φιλῶν οὐχί, ἐὰν κτείνῃ τοὺς ἄνδρας, φησὶ κλέος λαβεῖν, ἀλλ' ἐὰν λάβῃ τοὺς ἵππους, ὡς ἐνταῦθα παρ' αὐτῷ κειμένου τοῦ μείζονος ἀριστεύματος διὰ τὸ τοῦ λαφύρου ἔνδοξον. καὶ τοιοῦτον μὲν τὸ Ὁμηρικὸν τοῦτο χωρίον. Τὰ δὲ κατὰ μέρος ἐν αὐτῷ τοιαῦτά εἰσι. (v. 244) Τὸ μὲν «ἐπὶ σοὶ μεμαῶτε μάχεσθαι», ἀντὶ τοῦ κατὰ σοῦ, καὶ ἔστι διασαφητικὸν τοῦ «ἐπὶ Τυδείδῃ ἔχον ἵππους». (v. 245) Δύναμις δὲ ἀπέλεθρος λέγεται ὡς ἀπὸ ἀπείρονος γῆς κατὰ ἐπίτασιν ἡ πολυπέλεθρος ἢ καὶ κατὰ στέρησιν ἡ μὴ δυναμένη πελέθρῳ ἤτοι πλέθρῳ ὑποπεσεῖν. Ἔστι δὲ πέλεθρον τὸ καὶ πλέθρον μέτρον γῆς πήχεων ξϛ' διμοίρου, ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται. ἀνάλογα δὲ πρὸς τὸ πέλεθρον τὸ πτολίεθρον, ῥέεθρον, πύρεθρον, φαρύγεθρον. (v. 244—7) Τὸ δὲ «ἄνδρε ὁρόω», ὁ μὲν Πάνδαρος, ὁ δὲ Αἰνείας, καινοπρεπῶς ἐσχημάτισται. ἐχρῆν γὰρ εἰπεῖν ἄνδρε ὁρῶ, τὸν μὲν Πάνδαρον, τὸν δὲ Αἰνείαν. ὁ δὲ τελείαν στίξας εἰς τὸ «ἄνδρε ὁρῶ», ἐπάγει ὡς ἀπὸ ἄλλης ἀρχῆς· ὁ μέν ἐστιν ὁ δεῖνα, ὁ δὲ ὁ δεῖνα. καὶ ἔστιν ὅμοιον τῷ «φημὶ κατανεῦσαι Δία Κρονίωνα, ἀστράπτων ἐπιδέξια». (v. 247 s.) Ἐνταῦθα δὲ καὶ γενεαλογίαν παραρρίπτων φησίν, ὅτι Αἰνείας υἱὸς μὲν Ἀγχίσαο εὔχεται ἐκγεγάμεν, ὃ δὴ πρὸ βραχέων ἐγράφη, μήτηρ δέ οἵ ἐστ' Ἀφροδίτη. Ποιεῖ δὲ τοῦτο δεινῶς, ἵνα εὐθὺς προσφυῶς κολλήσῃ τὸ τῆς Ἀφροδίτης ἐπεισόδιον, πεισομένης διὰ τὸν υἱόν, ἃ δηλωθήσεται. (v. 250) Ὅρα δὲ καὶ ὅτι τοῦ Ὁμήρου εἰπόντος περιφραστικῶς «μή πως φίλον ἦτορ ὀλέσσῃς», ἀντὶ τοῦ ἀποθάνῃς, λαβὼν ἐντεῦθεν ὁ Εὐριπίδης ἔφη τὸ «Ἕκτορός τ' ἀπόλλυται ψυχή». (v. 249 et 255) Σημείωσαι δὲ καὶ ὅτι ἐνταῦθα φανερῶς τὸ αὔτως καὶ τὸ οὕτως ταὐτὸν δηλοῦσι.

2.68 Σθενέλου γὰρ εἰπόντος «μηδέ μοι οὕτω θῦνε διὰ προμάχων» ὁ Διομήδης λέγει «ἀλλὰ καὶ αὔτως εἶμι ἀντίον αὐτῶν». (v. 252) Τὸ δὲ «μή μοι φόβονδ' ἀγόρευε» ἐλλέλειπται καί πως ἡ φράσις οὕτω συνεπισπεύδει τῇ περισπερχείᾳ τοῦ ἥρωος. Ἔστι γὰρ τὸ πλῆρες οὕτω πως· μή μοι

ἀγόρευε τραπῆναι φόβονδε, ἤ· μή μοι ἀγόρευε ὀτρύνων φόβονδε, ἤγουν ἀλλά· μή μοι ἀγόρευε τὰ φόβονδε, ἤγουν τὰ τρέποντα εἰς φυγήν. [Τηρηθήσεται δὲ καθ’ ὅμοιον λόγον κατωτέρω καὶ ἕτερα ἐλλειπτικά.] (v. 253) Ἐν δὲ τῷ «οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντα μάχεσθαι οὐδὲ καταπτώσσειν» ἦθος θαρσαλέον καὶ ἀνδρεῖον ἐνδείκνυται. Ἔστι δὲ τὸ μὲν γενναῖον ἀσύνηθες. οὐ γὰρ ἐπὶ ἰσχυροῦ κεῖσθαι νῦν βούλονται οἱ παλαιοί, ἀλλ’ ἐπὶ τοῦ ἐκ γένους, ἢ μᾶλλον ἀπὸ γέννης, ἵνα λέγῃ ὅτι οὐ προγονικόν μοι τὸ δειλαίνεσθαι. ἢ καὶ ἄλλως, κατὰ τοὺς παλαιούς, γενναῖον τὸ συγγενὲς καὶ ἔμφυτον καὶ κατὰ Πίνδαρον εἰπεῖν ἐμφυές.

2.69 [Ὅτε δέ που ὁ Πλάτων γενναῖα λέγει σῦκα, οὐ μόνον τὰ εὐγενῆ δοκεῖ οὕτω καλεῖν, ἀλλ’ ἴσως καὶ τὰ ἐπιγεγεννημένα ἐξ ἐπεμβεβλημένων συκεῶν κατὰ τὰς παρὰ τῷ Ἀριστοτέλει ἐπεμβολάδας ἀπίους, τὰς κοινότερον εἰπεῖν ἐγκεκεντρισμένας. τοιαύτη δὲ ἴσως καὶ ἡ παρ’ αὐτῷ γενναία σταφυλή, τάχα δὲ καὶ ἡ μεγάλη, καθὰ καὶ γεννικὸν κρέας παρὰ τῷ Κωμικῷ τὸ ἁδρὸν κόμμα. Ἰστέον δὲ ὅτι καὶ Λύκιοι μέχρι νῦν γενναῖον ἄνδρα οὐ τὸν ἰσχυρόν φασιν ἀλλὰ τὸν ἀπὸ γένους καὶ μὴ τυχόντα καὶ ἀφανῆ. Τὸ δὲ ἀλυσκάζοντι ἢ ἀλυσκάζοντα μάχεσθαι, ἄμφω γὰρ ἀσόλοικα, τὸ ἐν σχήματι φυγῆς ὅμως πάλιν μάχεσθαι, ὅπερ καὶ λεοντός ἐστιν ἴδιον. οὕτω δέ που καὶ ὁ Αἴας φεύγων ἀνθίσταται τοῖς διώκουσι. Προϋπάρχει δὲ τοῦ ἀλυσκάζειν τὸ ἀλύσκειν, ἀμφοῖν δὲ τὸ ἀλύω. ὡς γὰρ μεθύω μεθύσκω, οὕτως ἀλύω ἀλύσκω, καὶ ἐξ αὐτοῦ ἀλυσκάζω. (v. 254) Πτώσσειν δὲ τὸ προτροπάδην φεύγειν, ἐξ οὗ καὶ πτώξ λαγῳός (v. 255) Τὸ ὀκνεῖν δὲ ἰστέον ὅτι κἂν Ὅμηρος ἐπὶ τοῦ ὀκνηλῶς ἔχειν ἔταξεν, ἵνα ᾖ ὀκνεῖν τὸ οὐκ ὀνεῖν ἤγουν μὴ ἐνεργεῖν, ἀλλ’ ἡ πλείων χρῆσις τῶν μεθ’ Ὅμηρον ἐπὶ φόβου τὸν ὄκνον τίθησι, καὶ ἔστι πολλὴ ἡ χρῆσις παρὰ τῷ Σοφοκλεῖ. Ἐπιβαίνειν δὲ ἵππων λέγει τὸ εἰς ἅρμα ἀναβαίνειν, ὥσπερ ἀποβαίνειν τὸ πεζεύειν. (v. 256) Τὸ δὲ «τρεῖν μ’ οὐκ ἔα Παλλὰς Ἀθήνη» οὕτω σχηματίζεται παρὰ τοῖς παλαιοῖς. Ἔθος Ὁμήρῳ τὰ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων ῥήματα κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον πολλάκις εἰς δύο α διαλύειν, ὧν τὸ μὲν πρῶτον συνεσταλμένον, τὸ δὲ δεύτερον ἐκτεταμένον σὺν τῷ ι , οἷον «οὐχ’ ὁράᾳς, οἷος κἀγώ», καὶ «ἰσχανάᾳ δακέειν», καὶ «ἐκπεράᾳ μέγα κῦμα», καὶ «οὐκ ἐάᾳ Κρονίδης».

2.70 Τοῦτο τὸ ἐάᾳ, ἐὰν ἀποκοπῇ, ποιεῖ ὡς ἐν μέτρῳ δακτυλικῷ τὸ «τρεῖν μ’ οὐκ ἔα», ἀναβιβασθέντος τοῦ τόνου μετὰ βραχείας τῆς παραληγούσης, ὡς τῆς ἐν τῷ τέλει μακρᾶς ἀποκοπείσης. οὐ γὰρ εἶχεν ἀναλογίαν τινὰ ἡ ὀξυτόνησις. Εἰ δὲ γράφεται «τρεῖν μ’ οὐκ ἐᾷ» περισπωμένως, ὅπερ ἥκιστα ἐν τοῖς παλαιοῖς εὕρηται, θεραπευθήσεται σπονδειακῶς τὸ μέτρον διὰ συνιζήσεως. (v. 258) Τὸ δὲ «εἰ γοῦν ἕτερός γε φύγῃσιν» ὅμοιον μέν ἐστι τῷ ἀλλαχοῦ εἰρημένῳ περὶ τῆς Ἄτης «κατὰ δ’ οὖν ἕτερόν γε πέδησεν». Ἔστι δὲ καὶ αὐτὸ ἐλλειπτικόν, δηλοῦν κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα ὅτι, εἴπερ ἀνάγκη φυγεῖν, οὐ φευξοῦνται οἱ δύο ἀλλ’ ὁ εἷς, ὃ καὶ γίνεται. ἀγχίνους γάρ ἐστιν ὁ Διομήδης τὸ μέλλον προϊδεῖν. (v. 260) Διὸ καὶ ἡ πολύβουλος κατὰ τὸν ποιητὴν Ἀθηνᾶ λέγεται αὐτῷ συναίρεσθαι τῆς μάχης, τουτέστιν ἡ φρόνησις, ἣν προσφυῶς τῇ ἀλληγορίᾳ πολύβουλον ἔφη κατὰ μετάληψιν τοῦ πολυμήχανος καὶ ἔτι μᾶλλον τοῦ πολύμητις. [Ἐλλέλειπται δὲ καὶ τὸ μεμνημένος. λείπει γὰρ τὸ «οὗ εἶπον» ἤ τι τοιοῦτον.] (v. 266) Τὸ δὲ «ποινήν» ἀντὶ τοῦ ἀντάλλαγμα κεῖται, ὥστε σημειωτέον, ὅτι ποινὴ οὐ μόνον λέγεται τὸ ὑπὲρ φόνου ἀλλὰ καὶ τὸ ἁπλῶς ἀντισήκωμα. Ἡ δὲ χρῆσις πολλὴ παρὰ Πινδάρῳ. [Ἰστέον δὲ ὅτι καθὰ ἡ ποινὴ ἀμοιβήν τινα ἔστιν ὅτε δηλοῖ, οὐχ’ ὡς ἀπὸ τοῦ φόνου ἴσως, ἀλλὰ τοῦ πόνου, ὅπερ ἐστὶ τῆς ἐπαινετῆς ἐνεργείας, οὕτω καὶ ἡ ἄμυνα. Φησὶ γὰρ ὁ γραμματικὸς Ἀριστοφάνης τὸ ἀμύνεσθαι οὐ μόνον σημαίνειν τὸ κακῶς παθόντα ἀντιδιατιθέναι, ἀλλὰ τεθεῖσθαι καὶ ἀντὶ ψιλοῦ τοῦ ἀμείψασθαι ὁτιοῦν.

2.71 Καὶ φέρει χρῆσιν ἔκ τε Ἀλκμᾶνος τὸ «οὐ γὰρ πορφύρας τόσσος κόρος, ὥστ’ ἀμύνασθαι», καὶ ἐκ τῶν Θουκυδίδου τὸ «ἀξιούτω τοῖς ὁμοίοις ἡμᾶς ἀμύνεσθαι».] Ἡ δὲ ἄρχουσα τοῦ Γανυμήδεος οὐκ ἀλόγως, ἀλλὰ κατὰ ἀναλογίαν τοῦ γάνος, ἐν ἑνὶ ἐκφέρεται ν , κἂν πολλοὶ ἐν οἷς γράφουσι,

διπλάζωσιν αὐτό. (v. 267) Τὸ δὲ «ὑπὸ ἠῶ τ' ἠέλιόν τε» ἐκ παραλλήλου τὸ αὐτὸ δηλοῖ. ἐκ τούτου δὲ λαβόντες οἱ ὕστερον τὴν ὑπ' οὐρανὸν ὑφ' ἥλιον λέγουσιν. Ὅρα δὲ εἰ πρός τινα ἔμφασιν ἐτυμολογίας συναπτῶς αἱ τοιαῦται λέξεις παράκεινται, ἵνα λέγοιτο ἠέλιος ὡς ἠοῦς ἔλην ποιῶν τῇ κατὰ τὸν ἀέρα θερμότητι. (v. 269) Ὅρα δὲ καὶ τὸ «ὑποσχὼν θήλεας ἵππους» καιρίως φρασθὲν ἀντὶ τοῦ ὑποβαλὼν καὶ ὑποθέμενος τοῖς ἄρρεσιν ἵπποις εἰς ὀχείαν. καὶ οὐκ ἔστιν ἑτέραν κρείττονα εἰς τοῦτο λέξιν εἰπεῖν. Τοιοῦτος δέ τις νοῦς ὕπεστι καὶ τῷ ὑποσχεῖν λόγοις τὰς ἀκοὰς καὶ χεῖρα τοῖς διδομένοις ὑποσχεῖν. Ἔστι δὲ τὸ «ὑποσχὼν θήλεας ἵππους» καὶ διασαφητικὸν τοῦ ἔκλεψεν. οὐ γὰρ ἵππους, φησίν, ὑφείλετο Ἀγχίσης, ἀλλ' ἐσοφίσατο γονὴν ἐξ ἐκείνων λαβεῖν διὰ λαθραίας ὀχείας. καὶ ἔστι κλοπή τις καὶ τοῦτο οἰκονομικὴ καὶ δόλον οὐ πάνυ τι μωμητὸν ἔχουσα, πρέπουσα δὲ φιλοκάλῳ ἀνδρί, μὴ ἔχοντι ἀδόλως τὸ ἐφετὸν πορίσασθαι. Τὸ δὲ «θήλεας» οἱ μὲν προπαροξύνουσιν ὡς ἀπὸ τοῦ ἡ θῆλυς, οἷον καὶ τὸ «θῆλυς ἐέρση», οἱ δὲ παροξύνουσιν ὡς ἀπὸ τοῦ θήλεια θηλείας καὶ ἀπελεύσει τοῦ ι θηλέας. (v. 271) Ἀτιτάλλειν δὲ τὸ ἀναπαύειν καὶ ἁπαλῶς τρέφειν, ὡς μὴ ταλάσσειν, ὅ ἐστι τάλανα τοῖς πόνοις εἶναι καὶ τλήμονα. ἵνα ᾖ πρῶτον τὸ ἀτάλλειν, ὅθεν καὶ ὁ ἀταλός, εἶτα κατὰ ἀναδιπλασιασμὸν τὸ ἀτιτάλλειν.

2.72 Δῆλον δὲ ὥς τινες, καθὰ καὶ προείρηται, ἀπὸ τοῦ ἅττειν καὶ ἅλλεσθαι τὸ ἀτάλλειν παράγουσι, τοῦ ἑνὸς τ ἀπελθόντος διὰ τὸ εὐφωνότερον. Τῆς δὲ φάτνης πρωτόθετον τὸ φαγεῖν ἢ τὸ πάσασθαι κατὰ τοὺς παλαιούς, ὅ ἐστι γεύσασθαι. ὅθεν καὶ φατνωτόν, φασί, τὸ σανιδωτόν, καὶ φατνώματα, σανιδώματα στέγης διάγλυφα, καὶ ὀδόντων δὲ προσφυῶς ἐντεῦθεν φατνώματα. (v. 277) Ὅτι καλὸν εἰς ἔπαινον εὐγενοῦς καὶ ἀνδρείου τινὸς τὸ «καρτερόθυμε, δαΐφρον, ἀγαυοῦ πατρὸς υἱέ». (v. 278) Ὅτι βελὸς εἰπὼν ὁ Πάνδαρος ἐπήγαγε τὸ «πικρὸς ὀϊστός», διὰ σαφήνειαν, ὡς καὶ τοῦ δόρατος ἔστιν ὅτε, εἰ μὴ ὀρεκτὸν εἴη, βέλους λεγομένου. Φησὶν οὖν παρακατιὼν ὅτι τὸ τοῦ Διομήδους βέλος ἴθυνεν ἡ Ἀθηνᾶ, ὅπερ ἦν δόρυ. (v. 282) Ὅτι τὸ «αἰχμὴ ταχείη πταμένη» τὸ τάχος δηλοῖ τῆς προέσεως, ὅθεν καὶ ἡ τοῦ Ἀχιλλέως μελία ἰθυπτίων που ῥηθήσεται διὰ τὸ ἰθὺ πέτεσθαι. Σημείωσαι οὖν ὅτι, κἂν μὴ πτερόεσσαν εἰπεῖν ἔχῃ τὴν αἰχμήν, καθάπερ τὸν ὀϊστὸν πτερόεντα, πέτεσθαι γοῦν ὅμως αὐτὴν λέγει διὰ τὸ τάχος ἢ καὶ διὰ τὸ ἐλαφρόν, καθ' ὃ καὶ λαισήϊά που λέγει πτερόεντα. Ὅτι δὲ οὐ μόνον ἐπτάμην πρῶτός ἐστιν ἀόριστος, ἐξ οὗ ὁ πτάμενος καὶ ἡ πταμένη, ἀλλὰ καὶ δεύτερος ὁ ἐπτόμην, δηλοῦται ἀλλαχοῦ. (v. 284 s.) Ὅτι πολὺ τὸ τοῦ Πανδάρου ἀλαζονικὸν καὶ ἐνταῦθα, ὃς μετὰ τὴν βολὴν ἀβλαβοῦς ἑστῶτος τοῦ Διομήδους μέγα κομπάζει καὶ τόπον ὁρίζει, περὶ ὃν δῆθεν ἐκεῖνον ἔπληξε, λέγων ὅτι «βέβληαι κενεῶνα διαμπερές», ὅ ἐστι τὴν λαγόνα ἤγουν τὴν λαπάραν, «οὐδέ ς' ὀΐω δηρὸν ἔτ' ἀνσχήσεσθαι, ἐμοὶ δὲ μέγ' εὖχος ἔδωκας». Οὕτω γλώσσαλγος ὁ ἀνήρ. διὸ καὶ Ὅμηρος οἰκείως εἰς τὴν γλῶσσαν κολάζει αὐτόν. πρυμνὴν γὰρ αὐτὴν ἐξέταμε χαλκὸς ὑπὸ Διομήδους ἐκ μετεώρου ποθέν, οἷα εἰκός, ἀφεθείς. (v. 290—3) Φησὶ γὰρ ὅτι ἡ Ἀθηνᾶ, ἤτοι ἡ τοῦ ἥρωος φρόνησις, στάντος, ὡς εἰκός, ἐν καιρίῳ τόπῳ, τὸ βέλος ἴθυνε «ῥῖνα παρ' ὀφθαλμόν, λευκοὺς δ' ἐπέρησεν ὀδόντας. τοῦ δ' ἀπὸ μὲν γλῶσσαν πρυμνὴν τάμε χαλκὸς ἀτειρής, αἰχμὴ δ' ἐξεσύθη παρὰ νείατον ἀνθερεῶνα».

2.73 ἐξ ὑψηλοῦ τοίνυν ἡ βολὴ γίνεται, ἢ τάχα καὶ ὁ Πάνδαρος πτοηθεὶς καὶ κατακύψας τοῦ δίφρου ἐκ μετεώρου διὰ τοῦτο βάλλεται. πολλαὶ δὲ καὶ νῦν γίνονται δι' ὀϊστῶν τοιαῦται βολαί. Σημείωσαι δὲ ὅτι ὁ ποιητὴς πολλοὺς καὶ ἄλλους πρεπόντως οἷς ἐπλημμέλησαν πάσχοντας ἐν πολέμῳ ποιεῖ. ὡς ὅτε καὶ Φερέκλῳ τῷ ναυπηγησαμένῳ εἰς μοιχείαν αἰσχρὸν τραῦμα ἐντρίβει κατὰ γλουτοῦ. καὶ ἡ Ἀφροδίτη δὲ κατὰ χειρὸς βάλλεται, διότι τῇ χειρὶ πλημμελεῖ, εἴπερ, ὡς Ὅμηρός φησι, καταρρέζουσα τὰς γυναῖκας ἀναπείθει εἰς μοιχείαν. ἄλλου δέ τινος χεῖρας ὁ ποιητὴς ἐκκόπτει διὰ τὸ τὸν αὐτοῦ πατέρα δῶρα ὑπ' Ἀλεξάνδρου ἐν Τροίᾳ κατὰ τοῦ Μενελάου λαβεῖν. καί τινα δὲ ἄλλον—Ἀγάστροφος δέ, οἶμαι, ἐστὶν ἐκεῖνος—κατὰ τοῦ ἰσχίου τιτρῴσκει, ὡς φεύγοντα. [Καὶ ὁ Λοκρὸς δὲ Αἴας ἐν τῷ Ἐπιταφίῳ ἀσχημονεῖται τὸ στόμα, ἐπειδὴ νεώτερος ὢν

τὸν πρεσβύτην Ἰδομενέα μάτην λαβραγόραν εἶναι ὠνείδισε.] (v. 284) Τῶν δὲ εἰρημένων ὁ μὲν κενεών ὡς περιεκτικόν ἐστι καὶ ἔχει πλεονασμὸν τοῦ δευτέρου ε κατὰ τὸ πυλεών, ἀκανθεών, χαραδρεών. λέγεται δὲ παρὰ τὸ κενὸς εἶναι ὀστῶν. (v. 291) Λευκοὶ δὲ ὀδόντες κατ' ἰδιότητα, ὡς καὶ ὀστέα λευκά καὶ γάλα λευκόν καὶ κρῖ λευκόν καὶ χιὼν λευκή. (v. 292) Πρυμνόν δὲ τὸ ἔσχατον, ὡς ἀπὸ τοῦ πέρας περῶ περύω περυμνόν, καὶ ἐν συγκοπῇ πρυμνόν. ὅθεν καὶ νηὸς πρύμνη, βαρυνομένη αὐτὴ πρὸς διαστολὴν τοῦ πρυμνή ἡ ἐσχάτη. ἐντεῦθεν δὲ καὶ τὸ πρυμνόθεν ἐπίρρημα.

2.74 (v. 293) Ἀνθερεών δὲ φανερῶς ἐνταῦθα ὁ ὑπὸ τὸ πρυμνὸν τῆς γλώττης ὤν, οὗ ἥπτοντο οἱ ἱκέται, ὡς προδεδήλωται. σαφέστερον δὲ εἰπεῖν, ἀνθερεών τὸ τέλος τοῦ ὑπογενείου. (v. 287) Ὅτι τὸ «ἤμβροτες οὐδ' ἔτυχες» παροιμιῶδές ἐστιν ἐπὶ τῶν ἁμαρτανόντων τῆς προθέσεως. δηλοῦσιν ἄμφω τὰ ῥήματα ἐκ παραλλήλου τὸ αὐτὸ νόημα. Γίνεται δὲ τὸ ἤμβροτες ἢ ἐκ τοῦ ἀβρότω, τὸ ἀποτυγχάνω, πλεονασμῷ τοῦ νῦ, ὃ καὶ ἀβροτάζω παραγώγως λέγει ὁ ποιητής, ἢ ἀπὸ τοῦ ἥμαρτες τροπῇ τοῦ α εἰς ο καὶ μεταθέσει τοῦ ρ καὶ πλεονασμῷ τοῦ β , διὰ καλλιφωνίαν, ὡς ἐπὶ τοῦ γαμβρός καὶ μεσημβρία καὶ τῶν ὁμοίων γίνεται. (v. 289) Ὅτι τὸ «αἵματος ἆσαι», ἤτοι κορέσαι, Ἄρηα ταλαύρινον πολεμιστήν, ἀστείως καὶ ἀλληγορικῶς δηλοῖ τὸ εἰς αἷμα πολὺ βάψαι τὸν Ἄρην, ἤγουν τὸ ξίφος. Καὶ σημείωσαι ὅτι ἐψύχωσεν οἷον τὸν σίδηρον καὶ ἐνταῦθα ὁ ποιητὴς πολεμιστὴν αὐτὸν εἰπὼν κορεννύμενον αἵματος, ᾧ δὴ πολεμιστῇ ἀκόλουθον καὶ τὸ ταλαύρινον. Τοῖς μὲν γὰρ ἄλλοις πολεμισταῖς ὁ ῥινὸς οὐ τάλας ἐστίν, ἤτοι καρτερικός, οὐδὲ ἀτειρής, ἀλλὰ δηλονότι τέρην καὶ ἁπαλός.

2.75 κατὰ γὰρ τὸν ποιητὴν εἰπεῖν τοῖς μὲν μαχομένοις ἀνδράσιν ὁ χρὼς οὐ λίθος οὐδὲ σίδηρος, εἰ καὶ σιδήρῳ καταφράττονται, τούτῳ δὲ τῷ πολεμιστῇ Ἄρεϊ, τουτέστι τῷ ξίφει, τάλας ἐστὶν ὁ ῥινός, ἤγουν στερρότατόν ἐστι τὸ ἐπιπολάζον αὐτοῦ καὶ ὡς οἷον δέρμα ἐν ἐπιφανείᾳ προκείμενον. Διότι αὐτὸ τοῦτο σίδηρός ἐστιν ἀτειρὴς [κατά τε φύσιν οἰκείαν καὶ διὰ τὴν ἐκ τῆς βαφῆς στόμωσιν. Πολεμικὸς γὰρ ἐνταῦθα λέγεται Ἄρης, ἐν ἄλλοις μὲν ἢ σωματοειδὲς δηλῶν δαιμόνιον ἢ ὁρμὴν πρὸς πόλεμον, κατὰ τὸ «δῦ δέ μιν Ἄρης», ἢ τραῦμα ἢ πολέμου ἐνέργειαν. Ἐνταῦθα δὲ ξίφος ἐστομωμένον καὶ οὕτως ἀτειρές, ὅπερ ἐστὶ δυσδάμαστον καὶ ὡς εἰπεῖν ἀδαμάντινον.] Διὸ καὶ εἰκότως μάλιστα λέγοιτο ἂν ταλαύρινος διὰ τὸ οὕτως ἀτειρές. Ἔστιν οὖν ἐκ τοῦ τάλας καὶ τοῦ ῥινός ταλάρινος, καὶ πλεονασμῷ Αἰολικῷ τοῦ υ ταλαύρινος ὡς ἄρρηκτος αὔρηκτος. Διὸ καὶ τῶν παλαιῶν οἱ μὲν Αἰολικῶς ἐψίλουν τὸ ρ τοῦ ταλαύρινος, ὡς καὶ Ἀρίσταρχος, οἱ δὲ ἐδάσυνον, ὡς ἁπλῶς ἀπὸ τοῦ ῥινός γενόμενον, καθὰ προερρέθη. Ἔστι δὲ τὸ ταλαύρινος κατὰ τοὺς παλαιοὺς ἀντὶ τοῦ εὔτολμος, ἰσχυρός. (v. 294 s.) Ὅτι τοῦ Πανδάρου πεσόντος, ἀράβησε τεύχεα ἐπ' αὐτῷ αἰόλα, παμφανόωντα, παρέτρεσσαν δέ οἱ ἵπποι. καὶ ἦν μὲν οὐκ ἀναγκαῖον προστεθῆναι καὶ τοῦτο, ἡ δὲ ποιητικὴ φιλοτιμία οὐδὲ τῶν τοιούτων ἀπέχεται. (v. 296) Ὅτι καὶ θανάτου καὶ λειποθυμίας φραστικὸν τὸ «τοῦ δ' αὖθι λύθη ψυχή τε μένος τε».

2.76 Ἰστέον δὲ ὅτι ἐξ Ὁμήρου λαβόντες οἱ ὕστερον καὶ αὐτὸ δὴ μόνον τὸ λυθῆναι ἀντὶ τοῦ θανεῖν ἔφρασαν, ὡς δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ «ἔθανες, ἀπελύθης», καὶ ἐν τῷ «ποίῳ ἀπελύσατο τρόπῳ». (v. 299) Ὅτι σύντομος καὶ ἐνταῦθα παραβολὴ τὸ «ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖνε λέων ὣς ἀλκὶ πεποιθώς». λέγει δὲ καὶ νῦν ἀμφιβαίνειν τὸ ὑπερμαχεῖν τοῦ κειμένου. Τὸ δὲ ἀλκί μεταπλασμὸν ἔπαθεν ἀπὸ τῆς ἀλκῇ δοτικῆς. Τρύφων δέ φησι λέγειν τὸν Ἀρίσταρχον ὅτι ἔθος ἐστὶ τοῖς Αἰολεῦσι λέγειν τὴν ἰωκὴν ἰῶκα καὶ τὴν κρόκην κρόκα καὶ τὴν ἀλκὴν ἄλκα ὡς σάρκα, ὅθεν καὶ τὴν αὐτῆς δοτικὴν ἀλκί ὡς σαρκί. ὁ δὲ Ἀσκαλωνίτης, φασίν, οἴεται τὸ ἀλκί ἀπὸ εὐθείας παρῆχθαι τῆς ἡ ἄλξ. Σημείωσαι δὲ τὴν ἱστορίαν τῆς ἰδιότητος τοῦ λέοντος. οὐδὲν γὰρ ἄλλο ζῷον οὕτω πέποιθε τῇ ἀλκῇ. οἶδε γὰρ ἄλκιμος εἶναι. λέγεται δέ που καὶ σῦς ἀλκὶ πεποιθώς. εἴη δ' ἂν καὶ ῥωμαλέῳ ἀνδρὶ πρέπον τὸ νόημα. (v. 301) Ὅτι θάρσους, οὐ μὴν καὶ μένους, δηλωτικὸν εἰς τὸν Αἰνείαν λεχθὲν τὸ «τὸν κτάμεναι μεμαώς, ὃς τοῦ γ' ἀντίον ἔλθοι». Διομήδης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δέ γε ἄμφω εἶχεν, ὡς προείρηται. (v. 302) Ὅτι καὶ ἐνταῦθα ὑποδηλοῖ δεῖν εὐρυβόαν εἶναι τὸν στρατηγόν. καὶ Πάνδαρος γὰρ πρὸ μικροῦ μακρὸν ἄϋσε, καὶ Αἰνείας δὲ σμερδαλέον ἰάχει. [Ἔστι δὲ μακρὸν ἀῦσαι τὸ εἰς πολὺ μῆκος καὶ διάστημα ἀέρος. Λέγεται γάρ, ὥσπερ τὸ σκῆνος σκᾶνος Δωρικῶς, οὕτω καὶ μῆκος μᾶκος, ἐξ οὗ μακερόν καὶ ἐν συγκοπῇ μακρόν. ἐκ τοῦ τοιούτου δὲ μάκους καὶ ἡ μακεδνὴ αἴγειρος.] (v. 302—10) Ὅτι Διομήδης «χερμάδιον λάβε χειρὶ μέγα ἔργον, ὃ οὐ δύο γ' ἄνδρες φέροιεν, οἷοι νῦν βροτοί εἰσιν. ὃ δέ μιν ῥέα πάλλε καὶ οἶος», ἃ δὴ καὶ ἐν τοῖς ἑξῆς που ἀπαραποίητα οὕτω κεῖται, «τῷ βάλεν Αἰνείαο κατ' ἰσχίον, ἔνθα τε μηρὸς ἰσχίῳ ἐνστρέφεται, κοτύλην δέ τέ μιν καλέουσι. θλάσσε δέ οἱ κοτύλην, πρὸς δ' ἄμφω ῥῆξε τένοντε.

2.77 ὦσε δ' ἀπὸ ῥινὸν τρηχὺς λίθος» καὶ τὰ ἑξῆς. καὶ ταῦτα μὲν ἐνταῦθα. Προϊὼν δὲ λέγει, ὅτι βραχύ τι διαλιπὼν ὁ Αἰνείας οὐ μόνον ἐξῆλθεν εἰς μάχην, ἀλλὰ καὶ ἠρίστευσεν, ὡς εἴπερ μηδέν τι μέγα ἐπεπόνθει κακόν. καὶ ἔστιν ὁ μῦθος ἀναλληγόρητος μὲν καὶ εἰς τὸ παντελὲς ἀθεράπευτος, οἰκεῖος δὲ ὅμως τερατείᾳ ποιητικῇ. (v. 302) Ἰστέον δὲ ὅτι χερμάδιον μὲν λίθος χειροπληθής, οὗ χεὶρ ἂν μάσηται, ὅ ἐστιν ἐφάψηται. διὸ καὶ ὁ ποιητὴς «χειρὶ λάβεν» ἔφη. [Οὐ πάντῃ δὲ δῆλον εἴτε τὸ χερμάδιον ῥητέον εἴτε κατ' ἔλλειψιν τὸν χερμάδιον λίθον. δοκεῖ δὲ τοῦτο κρεῖττον εἶναι.] (v. 303) Τὸ δὲ «μέγα ἔργον» ταὐτόν ἐστι τῷ μέγα βάρος, ἀπὸ τοῦ ἔρα καὶ γῆ τάχα γεγονός, ὡς τῆς γῆς βαρυτάτης οὔσης ἐν στοιχείοις. [Μάλιστα δὲ ἔργον λέγοι ἂν τὸ παρὰ τοῖς ὕστερον δύσεργον, ἐξ οὗ καὶ ἐργῶδες τὸ δυσχερὲς καὶ δυσμεταχείριστον.] Ὅρα δὲ καὶ τὸ φέρειν ταὐτὸν ὂν τῷ βαστάζειν, ὃ καὶ ἐπὶ ἐμψύχου τίθεται μετὰ προθέσεως. Ἔφη γοῦν «οὐδ' ἐθέλητον ἐκφέρειν πολέμοιο». καὶ μετ' ὀλίγα δὲ ἡ Ἀφροδίτη τὸν υἱὸν ὑπεκφέρει τοῦ πολέμου. Δῆλον δὲ ὡς καὶ ἄλλα σημαινόμενα τὸ φέρειν καὶ τὰ ἐξ αὐτοῦ ἔχει λόγῳ τε τροπῆς καὶ ἑτέρως, ὡς δῆλον ἐκ του φέρειν, ὅ ἐστιν ὑπομένειν, καὶ τοῦ «σὺ νῦν διάφερε τῶν κακῶν», καὶ τοῦ «διάφερε κόρας ὀμμάτων,» καὶ τοῦ συμφέρειν, ὅ ἐστι λυσιτελεῖν, καὶ τοῦ ῥηματικοῦ ὀνόματος τῆς φορᾶς ἤτοι κινήσεως, καὶ τῆς ξυμφορᾶς, καὶ τοῦ «ξυμφερτὴ δ' ἀρετή», καὶ τοῦ διαφέρεσθαι, ὅ ἐστι διαμάχεσθαι, ὅθεν καὶ διάφορός τινι ὁ πρός τινα ἐχθραίνων. (v.

2.78 304) Τὸ δὲ «οἷοι νῦν βροτοί εἰσι», φανερῶς δηλοῖ μετὰ τὰ Τρωϊκὰ γενέσθαι τὸν Ὅμηρον. (v. 306) Ἡ δὲ τοῦ ἰσχίου κοτύλη καθ' ὁμοιότητα λέγεται τοῦ σκεύους, τῆς κοτύλης. κοῖλα γὰρ καὶ ἡ κατὰ τὸ ἰσχίον κοτύλη καὶ τὸ ἀγγεῖον, δι' οὗ ἀρυόμεθα, ὅθεν καὶ τὸ κοτυλήρυτον. ἐκεῖθεν δὲ καθ' ὁμοιότητά τινα καὶ αἱ τῶν πολυπόδων κοτυληδόνες ἐν ταῖς κατ' αὐτοὺς πλεκτάναις, ὡς ἡ Ὀδύσσεια δηλοῖ. Ὅτι δὲ οὐ μηροῦ μόνου, ἀλλὰ καὶ ὤμου κοτύλη λέγεται τὸ κατ' αὐτὴν κοῖλον τῆς ὠμοπλάτης, λέγουσιν οἱ παλαιοί. [Δῆλον δ' ὅτι κοτύλη καὶ μέτρου τι εἶδός ἐστιν οὐ μεγάλου, ἀλλά τινος βραχέος. τίθεται δὲ καὶ ἐπὶ κοιλότητος χειρός. ὅθεν καὶ παιδιά τις παίζεται καλουμένη ἐν κοτύλῃ. Προάγεται δὲ οὕτως· περιαγαγών τις ὀπίσω τὼ χεῖρε συμπλέκει τοὺς δακτύλους. ἕτερος δέ τις εἰς τὰ κοιλώματα τῶν χειρῶν, ἅπερ εἰσὶ κοτύλαι, τὰ γόνατα ἐνθεὶς καὶ οὕτως ἀναβαλὼν ἑαυτὸν φέρεται ἔποχος, ἐπιλαβὼν τοὺς ὀφθαλμοὺς τοῦ φέροντος. εἶτα ἐν μέρει ὁ τέως φερόμενος κατελθὼν φέρει τὸν ἕτερον. καὶ ἦν αὕτη παιδιὰ ἐν κοτύλῃ. Παράγει δὲ καὶ ἡ τῆς χειρὸς κοτύλη κοτυλήρυτον ὕδωρ καὶ εἴ τι τοιοῦτον παρά γε τοῖς ἀπερίττοις τὰ εἰς χρῆσιν σκευῶν.] Τὸ δὲ ἰσχίον ὁμώνυμον. ὅλον τε γάρ φασι τὸ ἄρθρον καὶ τὸ νεῦρον τὸ πρὸς τῇ κοτύλῃ. [Καιριωτάτη δὲ λέξις καὶ τὸ ἰσχίον καὶ ἡ κοτύλη, διὸ καὶ δὶς ἔφρασεν ἐπιμονῆς λόγῳ καὶ αὐτὸ καὶ αὐτήν.] (v. 307) Τένοντες δὲ ἄλλοι οὗτοι παρὰ τοὺς ἐν τῷ ἰνίῳ καὶ ταῖς κνήμαις. (v. 308) Τραχὺς δὲ ὁ ῥηθεὶς ὑπόκειται λίθος καὶ ὡς οἷον ὀκριόεις, ἵνα δυνηθῇ δρᾶσαι τὰ εἰρημένα. [Ἰστέον δὲ ὅτι καθάπερ κίων οὐ μόνον ἀρσενικῶς, οἷον «πρὸς κίονα μακρὸν ἐρείσας», ἀλλὰ καὶ θηλυκῶς· «ἔχει δέ τε κίονας αὐτὸς μακράς», οὕτω καὶ λίθος διχῶς.

2.79 Καὶ τὸ μὲν τρηχὺς λίθος οὐ πάνυ ἀριδήλως ἐκφαίνει τὸ ἄρρεν γένος. δύναται γὰρ εἶναι καὶ ἡ τρηχύς, κατὰ τὸ «θῆλυς ἐέρση», καὶ «πουλὺς ἅλς». Τὸ μέντοι «λίθον, κείμενον ἐν πεδίῳ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μέλανα, τρηχύν τε μέγαν τε» σαφῶς ἔχει τὸν λίθον γένους ἀρσενικοῦ, θηλυκοῦ δὲ τὸ «ἔξω δ’ ὡς ὅτε τις στερεὴ λίθος».] (v. 309) Ὅτι τὸ «ἔστη γνὺξ ἐριπὼν καὶ ἐρείσατο χειρὶ παχείῃ» δηλοῖ μὴ πεσεῖν τινα εἰς γῆν ὅλῳ τῷ σώματι, ἀλλὰ μετεωρίζεσθαι γόνασι καὶ χερσίν. ἐκ τοῦ γόνυ δὲ κατὰ συγκοπὴν γίνεται τὸ γνύξ. (v. 310) Ὅτι ἐν τῷ «ἀμφὶ δέ οἱ ὄσσε κελαινὴ νὺξ ἐκάλυψε» νύκτα τολμηρῶς λέγει τὴν τῶν ὀφθαλμῶν σκότωσιν. Ἀλλαχοῦ δὲ καὶ τὴν ἐν ἀέρι παχεῖαν ζόφωσιν οὕτω καλεῖ, οἷον «ὀρώρει δ’ οὐρανόθεν νύξ». (v. 311—7) Ὅτι ἐὰν ὑπὸ ἱστορίας ἐβοηθεῖτο, εἶχεν ἂν ὁ ποιητὴς ἐνταῦθα τὸν Αἰνείαν ὑπὸ τῷ Διομήδῃ ἀνελεῖν. διό φησι «καὶ νύ κεν ἔνθ’ ἀπόλοιτο» καὶ ἑξῆς. ἐπεὶ δὲ οὐκ ἔχει τοῦτο ἱστορούμενον—καὶ γὰρ καθ’ ἱστορίαν καὶ μετὰ τὴν ἅλωσιν τῆς Τροίας περίεστιν ὁ Αἰνείας—ῥίπτει μὲν αὐτὸν ἐνταῦθα εἰς κίνδυνον, ἐξαιρεῖται δὲ αὖθις μεθόδῳ ποιητικῇ δι’ ἐπεισοδίου θείων προσώπων, τοῦ τε Ἀπόλλωνος καὶ τῆς Ἀφροδίτης, περὶ ἧς καὶ τερατεύεται ὅσα βούλεται. Ἡ δὲ θεραπεία τοῦ μύθου ἐν τούτοις βούλεται νέους τινὰς ἡλικιώτας, ὀλίγην ἑταιρίαν, οὐ πάνυ μαχίμους, ἀλλά, ὡς ἄν τις εἴπῃ, ἐπαφροδίτους καὶ ἀβληχροὺς καὶ ἁπαλοὺς καί, ὡς εἰπεῖν, θηλύχειρας, ἐπαρῆξαι κειμένῳ τῷ Αἰνείᾳ καὶ κατά τι πεπρωμένον εὐτυχῶς ἀφαρπάσαι ἐκεῖνον, ὁποῖόν τι καὶ πρὸ τούτου ἐπὶ τῆς μονομαχίας τοῦ Ἀλεξάνδρου ἐγένετο. ἀλλ’ ἐκεῖνοι μὲν οὔπω ἔπαθον οὐδὲν οἱ τὸν Πάριν ὑποκλέψαντες, τούτους δὲ βλάψας ὁ Διομήδης λέγεται τὴν τῆς Ἀφροδίτης χεῖρα βαλεῖν τὴν τὸν Αἰνείαν σκέπουσαν.

2.80 Ὅτι δὲ πεπρωμένη τις ὁ Ἀπόλλων εἶναι ἀλληγορεῖται, ὡς ἥλιος, δῆλόν ἐστιν. (v. 313) Ὅτι καὶ τὸ «ὑπὸ Ἀγχίσῃ βουκολέοντι ἔτεκε» καινόν ἐστι τῇ μετὰ δοτικῆς συντάξει τῆς ὑπο προθέσεως. καὶ ἔστιν ὅμοιον τῷ «ὑφ’ ἡνιόχῳ εἰωθότι καμπύλον ἅρμα οἴσουσιν». Ἀττικὸν δὲ τὸ σχῆμα, ὡς καὶ παρ’ ἄλλοις τὸ ὑπὸ διδασκάλῳ τάττεσθαι, καὶ ἕτερα δὲ τοιαῦτα προεσημειώθησαν. Σημείωσαι δὲ ὅτι ὥσπερ ποιμαίνειν, οὕτω καὶ βουκολεῖν ἐξῆν τοῖς βασιλικοῖς παισίν, οὐ μὴν καὶ συφορβεῖν. τοῦτο γὰρ πάνυ ἀγεννὲς διὰ τὸ τῶν συῶν οὐ μόνον γεωχαρές, ἀλλὰ καὶ ἄλλως οὐκ εὐγενές. (v. 314 s.) Ὅτι ἐν τῷ «ἀμφὶ δὲ ὃν φίλον υἱὸν ἐχεύατο πήχεε λευκώ», ἡ Ἀφροδίτη δηλαδή, τὸ ἐχεύατο τρυφερότητα καὶ ἁπαλότητα δηλοῖ γυναικείων χειρῶν. περιπλοκὴν δὲ φράζει εὐνοϊκὴν τὸ ῥηθὲν ἔπος, καθὰ καὶ ἑξῆς (v. 315) τὸ «πρόσθε δέ οἱ πέπλοιο φαεινοῦ πτύγμ’ ἐκάλυψεν», ἤγουν χάριν καλύμματος ἔθετο. Πτύγμα δὲ λέγει τὸ περίττευμα καὶ δίπλωμα τοῦ τὴν χεῖρα σκέποντος μέρους τοῦ πέπλου, ᾧ τὸν Αἰνείαν ἡ Ἀφροδίτη καλύψασα, ὥστε ἕρκος ἔμεν βελέων, οὔτε ἐκεῖνον ὤνησε καὶ αὐτὴ ἐτρώθη, ἀντιτορηθεῖσα διὰ τοῦ πέπλου. (v. 314—7) Καὶ σημείωσαι ὅτι οὐ πρὸς ἀποτροπὴν βελῶν ἡ μυθικὴ Ἀφροδίτη σκέπει τὸν Αἰνείαν, οὐ γὰρ ἀπαθῆ τὸν πέπλον ἔχει, ὅπουγε καὶ αὐτὴ ἐκείνη βάλλεται, ἀλλ’ ἐπικρύπτει μὲν διὰ τοῦ πέπλου τὸν Αἰνείαν, τῇ δὲ ἐπικρύψει ἕπεται τὸ μὴ βάλλεσθαι, εἰ καὶ ὁ Διομήδης μόνος τῶν ἄλλων ἀφῃρημένος τὴν τῆς ὄψεως ἀχλὺν καὶ ὁρᾷ καὶ βάλλει. Οὕτω δὲ καὶ Ἀπόλλων κυανέῃ νεφέλῃ μετ’ ὀλίγον ἐρύσατο τὸν Αἰνείαν, ἵνα μὴ ἐν τῷ βλέπεσθαι Δαναῶν τις χαλκὸν ἐνὶ στήθεσσι βαλὼν ἐκ θυμὸν ἕλοιτο. (v. 317) Καὶ ὅρα τὸ βαλών. πάντως γὰρ οὐ ταὐτὸν εἰπεῖν βαλὼν τὸν Αἰνείαν καὶ βαλὼν χαλκὸν ἐν στήθεσιν Αἰνείου, ἀλλ’ ἐκεῖνο μὲν τὸ πλῆξαι δηλοῖ, τοῦτο δὲ τὸ ἐπιτυχῶς θεῖναι ἢ ἀφεῖναι ἢ ἐπιρρῖψαι, ὡς καὶ προϊών φησι «κάββαλεν υἱόν», ἤγουν κάτω ἔθετο, κατέρριψε.

2.81 Τὸ δὲ «ἐκ θυμὸν ἕλοιτο» δηλοῖ μὲν περιφραστικῶς τὸ θανατώσῃ, ἀστείως δὲ εἴρηται ὡς ἐπὶ πράγματος ἐκκρίτου ἀφαιρουμένου. τοιαύτης γὰρ σημασίας τὸ ἐξελέσθαι. (v. 316 s.) Ἰστέον δὲ ὅτι τε ἕρκος βελέων τὸ τοῦ πέπλου πτύγμα ἔφη πρὸς ὁμοιότητα τοῦ «ἕρκος πολέμοιο», καὶ «ἕρκος πόλεως», καὶ «ἕρκεα ἀλωάων». Καὶ ὅτι πρὸς σαφήνειαν τοῦ «ἕρκος ἔμεν βελέων» ἐπῆκται τὸ «μή τις Δαναῶν ταχυπώλων χαλκὸν ἐνὶ στήθεσσι» καὶ ἑξῆς, ὃ καὶ μετ’ ὀλίγα κεῖται ἀπαράλλακτον. (v. 319 s.) Ὅτι τὰς φιλικὰς παραινέσεις ἐνταῦθα συνθεσίας φησὶν ἐν τῷ εἰπεῖν, ὅτι οὐ λήθετο Σθένελος συνθεσιῶν, ἃς ἐπέτελλε Διομήδης. Λαμβάνεται δέ ποτε ἡ λέξις καὶ ἐπὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν κοινῶς λεγομένων συνθηκῶν ἤτοι συμφωνιῶν, ὡς ἐν τῷ «πῇ δὴ συνθεσίαι τε καὶ ὅρκια;» (v. 322) Ὅτι φλοῖσβος κεῖται καὶ ἐνταῦθα οὐκ ἐπὶ θαλάσσης ἀλλὰ ἐπὶ τοῦ κατὰ πόλεμον ἤχου καὶ θορύβου. Φησὶ γοῦν «ἠρύκακεν ἵππους νόσφιν ἀπὸ φλοίσβου». (v. 325 s.) Ὅτι Δηΐπυλόν τινα τιμᾶσθαι λέγει τῷ Σθενέλῳ πλέον οὐ τοῦ Διομήδους (πῶς γάρ;), ἀλλὰ πάσης ὁμηλικίης. Διὰ τί; ὅτι οἱ φρεσὶν ἄρτια ᾔδη, ἤγουν ὅτι τὰς φρενὰς ἀραρὼς ἦν, ὅ ἐστι, συνθέτως εἰπεῖν, φρενήρης, ἢ ὅτι ἐκεῖνα ἐφρόνει, ἃ καὶ τῷ Σθενέλῳ ἐν φρεσὶν ἄρηρε καὶ ἥρμοστο, ἤγουν ἃ ἤθελεν ὁ Σθένελος, ὡς καὶ ἐν ἄλλοις περί τινος λέγει αἰτίαν φιλίας, ὅτι τὰ γὰρ φρονέεις, ἅπερ ἐγώ. Καὶ σημείωσαι ὅτι οὐκ ἦν ὁ Διομήδης ἡλικιώτης τοῦ Σθενέλου. πῶς γὰρ ἂν ἠγάπα τὸν Δηΐπυλον ὁ Σθένελος περισσότερον πάσης ὁμηλικίης, εἰ καὶ ὁ Διομήδης ὁμῆλιξ ἦν αὐτῷ, [ἑταίρων ὁ φίλτατος. ἴσως δὲ καὶ περὶ πάσης ὁ ἥρως τὸν Δηΐπυλον ἐτίμα ὁμηλικίης οὐ τῆς καθ' ἑαυτόν, ἀλλὰ τῆς κατὰ τὸν Δηΐπυλον, τιμώμενον τῷ Σθενέλῳ περιττότερον τῶν ἄλλων τοῦ Δηϊπύλου ἡλικιωτῶν.] (v. 330—3) Ὅτι τὴν Κύπριν κακολογεῖ, ἐν οἷς φησιν οὕτω περὶ Διομήδους «ὃ δὲ Κύπριν ἐπῴχετο, γινώσκων ὅτ' ἄναλκις ἔην θεός, οὐδὲ θεάων τάων, αἵ ἀνδρῶν πόλεμον κατακοιρανέουσιν, οὔτ' ἂρ Ἀθηναίη οὔτε πτολίπορθος Ἐνυώ».

2.82 Παντοίως δὲ ἄναλκις ἡ Ἀφροδίτη καὶ κατὰ τὸν μῦθον καὶ κατὰ πᾶσαν ἀλληγορίαν ἠθικήν τε καὶ φυσικήν. οὐ γὰρ πολέμων ἐπιστατεῖν οὐδ' αὐτὸς ὁ τῆς Ἀφροδίτης λέγεται ἀστήρ. Διὸ καὶ ἐν τοῖς ἑξῆς ὡς ἐκ τοῦ Διὸς λέγεται, ὅτι οὐ δέδοταί σοι τὰ τοῦ πολέμου ἔργα, ἀλλὰ σύ γε ἱμερόεντα μετέρχεο ἔργα γάμοιο, τὰ δὲ κατὰ πόλεμον Ἄρεϊ μελήσει καὶ Ἀθηνᾷ. (v. 333) Ἡ δὲ Ἐνυὼ δαιμόνιόν τι πλάττεται μάχιμον, ἀπὸ τοῦ ἔνω ἐνύω τὸ φονεύω, ἤ, ὡς καὶ προείρηται, ἀπὸ τοῦ ἐναύειν τὸ φωνεῖν, ἀφ' οὗ καὶ ἀϋτή ὁ πόλεμος λέγεται καὶ ὁ Ἐνυάλιος παράγεται. (v. 331) Ἰστέον δὲ ὅτι τὸ γινώσκων οἱ μὲν συναναγινώσκοντες τοῖς ἐφεξῆς νοοῦσι γινώσκειν τὸν Διομήδην, ὅτι ἄναλκις ἦν θεὸς ἡ Ἀφροδίτη, ἕτεροι δὲ στίζοντες συμβιβάζουσιν αὐτὸ τοῖς πρὸ αὐτοῦ, ἵνα ᾖ, ὅτι Κύπριν ὁ Διομήδης ἐπῴχετο, γινώσκων αὐτήν, ὡς μὴ ἀχλυούμενος τοὺς ὀφθαλμούς. Εἶτα ὡς ἐξ ἄλλης ἀρχῆς ἀναγινώσκουσι τὸ «ὅτ' ἄναλκις ἔην», ἵνα λέγῃ ὅτι ἐπῴχετο κατ' αὐτῆς ὁ ἥρως, ἐπεὶ ἄναλκις ἦν αὐτή. (v. 334) Ὅτι ἀνδρικὸν τὸ «πολὺν καθ' ὅμιλον ὀπάζων», ὅ ἐστι κατόπιν διώκων, ὡς καὶ ἐν ἄλλοις κεῖται. Εἰ δὲ καὶ ἀντὶ τοῦ παρέχειν λαμβάνεταί ποτε τὸ ὀπάζειν, ἑτέρου τοῦτο λόγου. (v. 335—9) Ὅτι πιθανολογῶν τὸν τῆς Ἀφροδίτης μῦθον ὁ ποιητὴς καὶ μέγεθος πολὺ τῆς δαίμονος ἐνδεικνύμενος λέγει, ὅτι ἐπορεξάμενος ὁ Διομήδης «ἄκρην οὔτασε χεῖρα, μετάλμενος, ὀξέϊ δουρὶ ἀβληχρήν», οἱονεὶ λέγων, ὅτι καίτοι ἀναταθεὶς καὶ ἀναπηδήσας ὁ Διομήδης, μόλις καθίκετο τῆς χειρὸς ἐκείνης. Οἷς ἐπάγει «εἶθαρ δὲ δόρυ χροὸς ἀντετόρησεν ἀμβροσίου διὰ πέπλου, τόν οἱ Χάριτες κάμον αὐταί». (v. 335) Ὅρα δὲ τὸ ἐπορέξασθαι, ἐξ οὗ καὶ ὀρεκτή που μελία, ὡς καὶ ἀλλαχοῦ προδεδήλωται. τὸ μὲν γὰρ ἀφιέμενον δόρυ βέλος λέγεται, τὸ δὲ ἐκ χειρὸς ὀρεγομένης, ὡς νῦν γίνεται, ἤτοι ἐκτεινομένης οὐτάζον ὀρεκτόν.

2.83 (v. 337) Ἀβληχρὴ δὲ χείρ ἢ ἡ ἀριστερὰ κατά τινας ἢ μᾶλλον ἡ ἀσθενὴς διὰ τὸ καὶ τὴν Ἀφροδίτην ἄναλκιν θεὸν ῥηθῆναι. Οἱ γὰρ ἀκριβέστεροι οὐ τὴν ἀριστερὰν χεῖρα τρωθῆναι τῆς Ἀφροδίτης στοχάζονται, ἀλλὰ τὴν δεξιάν, ὡς ἐν τοῖς ἑξῆς φανήσεται, ὅτε ἡ Ἀθηνᾶ καὶ ἡ Ἥρα καταπαίζουσιν αὐτῆς ὡς χειρὶ καταψώσης τὰς γυναῖκας, τῇ δεξιᾷ δηλαδή. Τὸ δὲ εἶθαρ ταὐτόν ἐστι τῷ εὐθύς, παραχθὲν ἐκεῖθεν μετὰ καὶ τροπῆς τοῦ υ εἰς ι . ποιηταῖς δὲ μόνοις καὶ ἡ λέξις αὕτη φιλεῖται. Τὸ δὲ ἀντιτορεῖν ὠνοματοπεποίηται μὲν κυρίως ἐπὶ ξύλων, ἃ τρυπῶνται τερέτρῳ. δηλοῖ δὲ τὸ ἄντην ἐτόρησε καὶ διόλου ἐτρύπησεν. ἐρεῖ δέ που ὁ ποιητὴς καὶ ὅτι κλέπτων τις οἰκίαν ἀντετόρησεν. Ἐκ δὲ τοῦ τορῶ κατὰ συγκοπὴν μὲν γίνεται τὸ τρῶ τρήσω, κατὰ παραγωγὴν δὲ τὸ τετραίνω, ὡς τρέμω τετρεμαίνω, ἐξ οὗ τὸ «τέτρηνε δ' ἄρα πάντα» ἐν Ὀδυσσείᾳ. (v. 338) [Τὸ δὲ ἀμβροσίου δύναται μὲν κολληθῆναι καὶ μετὰ τοῦ χροός, κάλλιον δὲ ἀμβροσίου πέπλου εἰπεῖν.] Τὸ δὲ «ὃν Χάριτες ἔκαμον αὐταί» ἔπαινος χαρίεντός ἐστι πέπλου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤτοι γυναικείου ἱματίου, ὡς δῆθεν καὶ τῶν Χαρίτων ὑφαινουσῶν. Ὀπαδοὶ δὲ αὗται τῇ Ἀφροδίτῃ πλάττονται καὶ ὑπουργοί, ὡς καὶ ἡ Ὀδύσσεια δηλοῖ. [Ἕτεραι δὲ Χάριτες αὗται ἴσως παρὰ τὰς τρεῖς, ἃς ἡ τοῦ Ἡσιόδου Θεογονία σεμνύνει, καὶ οὐκ ἀναντιρρήτως αἱ αὐταί.] Ἡ δὲ τοῦ καμεῖν λέξις ἐπὶ τεχνῶν συνήθης Ὁμήρῳ. πέπτωκε δὲ καὶ εἰς κοινολεξίαν παρὰ τοῖς ὕστερον, οἷον· ἔκαμεν ὁ δεῖνα ὅπλα, κατὰ τὸ «Ἥφαιστος κάμε τεύχων».

2.84 Λείπει δ' ἐν τοῖς τοιούτοις πρόθεσις, οἷον περὶ ὃν Χάριτες ἔκαμον. οὕτω δὲ καὶ ἐν τοῖς ὁμοίοις. Τὸ δὲ «αὐταί» κατ' ἐξοχὴν μέν τινα κεῖται, βιάζεται δὲ μυθικῶς καὶ μὴ πρὸς ἀλληγορίαν νοηθῆναι τὰς Χάριτας. Ἰστέον δὲ ὅτι, ὃ νῦν περιπέφρασται ἐν τῷ «Χάριτες ἔκαμον», ἀλλαχοῦ μιᾷ δηλοῦται λέξει ἐν τῷ «χαρίεντα δὲ εἵματα ἕσσε». χαρίεντα γὰρ ἐκεῖ ἃ Χάριτες ἔκαμον, ἴσως δὲ καὶ ὧν χάρις, Ὁμηρικῶς εἰπεῖν, ἀπελάμπετο πολλή. [Ἧς πρὸς διαστολὴν εἴρηται ὧδε τὸ αὐταί. οὐ γὰρ ἀπέλαμπον ἐνταῦθα Χάριτες τοῦ ἀφροδισίου πέπλου, ἀλλ' αὐταὶ περὶ αὐτὸν ἔκαμον αὐτουργοῦσαι, οὐ μὴν μεταδιδοῦσαι τῷ πέπλῳ χαρίτων τινῶν.] (v. 339) Ὅτι Ὁμήρου εἰπόντος τρωθῆναι τὴν Ἀφροδίτην χεῖρα πρυμνὸν ὑπὲρ θέναρος, φασὶν οἱ παλαιοί, ὅτι θέναρ λέγεται τὸ μεταξὺ τῶν δακτύλων καὶ τοῦ καρποῦ, ἤγουν τὸ κοῖλον τῆς χειρός, ἢ κατὰ Εὔδημον τὸ μεταξὺ τοῦ λιχανοῦ καὶ τοῦ ἀντίχειρος, ἤγουν τοῦ μεγάλου δακτύλου, σαρκῶδες καὶ κοῖλον. Ἰστέον δὲ καὶ ὅτι τὸ πρυμνὸν ὑπὲρ θέναρος ἑρμηνεύων ἐν τοῖς ἑξῆς ὁ ποιητής φησι τρωθῆναι τὴν Ἀφροδίτην χεῖρα σχεδὸν ἐπὶ καρπῷ. ὅθεν ἐοίκασιν ὀρθότερον νοεῖν οἱ τὸ μεταξὺ τῶν δακτύλων καὶ τοῦ καρποῦ θέναρ λέγοντες, οὗ τὸ ἄκρον ἐστὶν ἐπὶ τῷ καρπῷ. Διὸ καὶ θέναρ λέγεται παρὰ τὸ θεῖναι, ἐν ᾧ ἔστι τεθῆναί τι εἰς ὑποδοχήν, ἢ παρὰ τὸ θένω, τὸ τύπτω. Πίνδαρος δὲ θέναρ βωμοῦ λέγει τὸ πλάτος. Ἀριστοτέλης δέ φησιν, ὅτι χειρὸς τὸ ἐντὸς θέναρ σαρκῶδες. λέγει δὲ καὶ τὸν καρπὸν ἄρθρον εἶναι χειρὸς καὶ βραχίονος. Εὕρηται δὲ παρά τισι θέναρ καὶ τὰ ἐν τῷ στήθει τοῦ ποδὸς δύο ὀστᾶ. Ὁμήρῳ δὲ ὁ λόγος περὶ τοῦ κατὰ χεῖρα.

2.85 Τινὲς δὲ συντομώτατα φράσαντες εἶπον· θέναρ καὶ κοτύλη τὸ κοῖλον τῆς χειρός. Λέγουσι δὲ καὶ ἕτεροι οὕτω· θέναρ· ποδὸς κοῖλον καὶ χειρὸς καὶ τὸ ἔσω τῆς παλαιστῆς. (v. 339 s.) Ὅτι αἷμα εἰπὼν ῥέειν τῆς χειρὸς τῆς Ἀφροδίτης οὐ πάνυ φιλεῖν δοκεῖ τὴν λέξιν ὁ ποιητής. ἐπὶ ζῴων γὰρ θνητῶν τὸ αἷμα, τοὺς δὲ θεοὺς ἀναίμονας λέγει. Ὀνομάζει τοίνυν αὐτὸ καὶ ἰχῶρα, πλὴν οὐ τὸν σεσηπότα, ἀλλὰ τὸν κατὰ φύσιν μετὰ τροφὴν χυλόν, ὃς ἀνάλογόν ἐστιν αἵματι κατὰ Ἀριστοτέλην καὶ εἰς αἷμα μεταβάλλεται. Ἐπεὶ δὲ οὐδὲ τοῦτο καίριον ἐπὶ θείας φύσεως διὰ τὸ τοῦ ἰχῶρος τούτου ἀτελὲς καὶ οὐδὲ τοῖς πολλοῖς γνώριμον εἰς σαφήνειαν—κάλλιον δὲ ἦν εἰπεῖν αἷμα διὰ τὸ καὶ τελειότερον εἶναι αὐτὸ τοῦ ἰχῶρος καὶ σαφέστερον εἰς νόησιν—, διὰ τοῦτο ἐν τοῖς ἑξῆς ἐπὶ τοῦ Ἄρεος ἀνακάμπτει πάλιν εἰς μόνον τὸ αἷμα, λέγων ἄμβροτον αἷμα καταρρέειν ἐξ ὠτειλῆς, ἀπὸ τῶν ἀνθρωπίνων ἐξ ἀνάγκης τῇ λέξει χρησάμενος, ὡς καὶ νέκταρ οἰνοχοεῖσθαί που τοῖς θεοῖς ἔφη ἀπὸ ἀνθρωπίνου συμποσίου τὴν λέξιν ἀναγαγών. ἀλλὰ ταῦτα μὲν ἐν ἄλλοις. Ἐνταῦθα δέ, ἐπεὶ ὁ ἰχὼρ οὐδ' αὐτός, ὡς ἐρρέθη, ἐπὶ θεῶν κυριολεκτεῖται—ζωϊκὴ γάρ ἐστι καὶ αὕτη λέξις—, μετάγει τὸν λόγον εἰς ἀόριστον μέν, σαφεστέραν δὲ ἑρμηνείαν, καὶ εἰπὼν «ῥέε δ' ἄμβροτον αἷμα θεοῖο, ἰχώρ», ἐπιφέρει ἀορίστως «οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσι», τουτέστιν ὑγρότης θεοῖς πρέπουσα τοῖς μὴ ἔχουσιν οὔτε τὸν ἀληθῶς ἰχῶρα οὔτε τὸ κατὰ τὸν ποιητὴν ἀτρεκὲς αἷμα. (v. 341 s.) Εἶτα καὶ συλλογίζεται τὸ μὴ ἔχειν αἷμα τοὺς θεοὺς διὰ μέσου τοῦ μήτε σῖτον ἔδειν αὐτοὺς μήτε οἶνον πίνειν, φράσας οὕτω «οὐ γὰρ σῖτον ἔδους', οὐ πίνους' αἴθοπα οἶνον, τοὔνεκ' ἀναίμονές εἰσι καὶ ἀθάνατοι καλέονται». Ἔνθα σημείωσαι ὅτι ἐν τῷ «οὐ γὰρ σῖτον ἔδουσι» δεῖ κατὰ τὸν Πορφύριον προσυπακούειν τὸ ἀλλ' ἀμβροσίαν, εἰ καὶ λείπει διά τε τὸ φανερὸν εἶναι καὶ διὰ γοργότητα λόγου.

2.86 Ἐν δὲ τῷ «οὐ πίνουσιν αἴθοπα οἶνον» προσληπτέον ὁμοίως τὸ «ἀλλὰ νέκταρ», ἵνα μὴ καὶ οἱ σκώληκες ὦσι θεοί, μήτε σῖτον ἔδοντες μήτε οἶνον πίνοντες καὶ ὄντες ἀναίμονες. Συλλογίζεται οὖν οὕτως. Οἱ θεοὶ ἀμβροσίαν καὶ νέκταρ προσφέρονται, οὐ μὴν σῖτον καὶ οἶνον. τὰ δὲ νέκταρι

καὶ ἀμβροσίᾳ χρώμενα ἀθάνατά εἰσιν. οἱ θεοὶ ἄρα ἀθάνατοι. Σημείωσαι δὲ καὶ ὅτι ἐπὶ ἐγκρατευτῶν ἀνδρῶν ῥηθήσεται τὸ «οὐ γὰρ σῖτον ἔδουσιν, οὐ πίνουσιν αἴθοπα οἶνον», τὸ δ' ἑξῆς παρῳδηθήσεται, οἷον· τοὔνεκα ὀλιγαίμονές εἰσι καὶ τῇ ἀρετῇ ἀθάνατοι καλέονται. καὶ ταῦτα μὲν τοιαῦτα. (v. 340) Ὁ δὲ ἰχὼρ ἀπὸ τοῦ ἴσχω κατὰ τοὺς παλαιοὺς γίνεται, ἀφ' οὗ καὶ ἡ ἰσχάς, ὁ ἰσχναίνων τὸ σῶμα ἐν τῷ ἀπορρέειν. Διό, φασί, καὶ ἐκτείνει τὴν ἄρχουσαν ὁμοίως τῷ γίγνεται γίνεται. (v. 344 s.) Ὅτι κυανένην νεφέλην ἱστᾷ περὶ τὸν Αἰνείαν ὁ Ἀπόλλων καὶ κρύπτει αὐτὸν καὶ οὕτω σῴζει δι' ἁρπαγῆς. Οὐ γὰρ μόνον φωσφόρος ὁ ἥλιος, ἀλλὰ καὶ νεφεληγερέτης διὰ τὰς ἀναθυμιάσεις, ἃς ἀνάγει, ὥσπερ οὐδὲ μόνον ἀλεξίκακος, ἀλλὰ καὶ ἀπόλλων. Οὕτω δὲ καὶ ὁ Ποσειδῶν οὐ μόνον σεισίχθων, ἀλλὰ καὶ ἀσφάλιος, ὡς ὑγρότητι συνέχων τὴν γῆν, διὸ καὶ γαιήοχος λέγεται. Φράζει δ' ἐνταῦθα Ὅμηρος οὕτω «καὶ τὸν μὲν μετὰ χερσὶν ἐρύσατο», τουτέστιν εἰρύσατο, ἐφύλαξε, «Φοῖβος Ἀπόλλων κυανέῃ νεφέλῃ, μή τις Δαναῶν ταχυπώλων» καὶ ἑξῆς, ὡς προγέγραπται. (v. 348 s.) Ὅτι θηλύφρονι ἀνδρί, ἀχρείῳ τὰ εἰς πόλεμον, ἐπιφωνηθήσεται τὸ «εἶκε πολέμοιο καὶ δηϊοτῆτος, ἦ οὐχ' ἅλις ὅτι γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις», καὶ τὰ ἑξῆς. Ὅμηρος δὲ περὶ Ἀφροδίτης τοῦτό φησιν, ἥτις ὥσπερ τὴν Ἑλένην, οὕτω καὶ ἄλλας ἀπατῶσα ἐποίει ἀφραίνειν. (v. 349) Τὸ δὲ «ἦ οὐχ' ἅλις» συνίζησιν ἔχει τῶν ἐν ἀρχῇ δύο μακρῶν συλλαβῶν εἰς μίαν μακρὰν καὶ λογίζεται ἀντὶ δακτύλου διὰ τὴν τοιαύτην συνίζησιν.

2.87 Σημείωσαι δὲ ὅτι οὐ μόνον ἀπολύτως φράζεται, ὡς καὶ ἐνταῦθα, τὸ ἅλις, καὶ ἐν τῷ «ἅλις δέ οἱ», ἀλλὰ καὶ γενικὴν ὡς τὰ πολλὰ ἔχει σύνταξιν, ὡς τὸ «τούτων μὲν ἅλις», καὶ Εὐριπίδης· «ἅλις ὀδυρμῶν ἐμῶν». Καὶ ἔχει ἔλλειψιν ὑπαρκτικοῦ ῥήματος ἡ τοιαύτη σύνταξις. Ἔστι δὲ ὅτε καὶ κατ' εὐθεῖαν προάγεται, οἷον «ἅλις πόλις ὡς ἔχει», καὶ «ἅλις γὰρ οἱ γεγῶτες». καὶ λείπει ἐν τοῖς τοιούτοις ῥῆμά τι ἐκ τοῦ ἔχω. Τὸ δὲ ἔπος τὸ «ἦ οὐχ' ἅλις» καὶ ἑξῆς, ὡς πεπονθὸς πλεονασμὸν περὶ τὴν κεφαλὴν προκέφαλον λέγεται, ὡς οἷον εἰπεῖν πρόμηκες τὴν κεφαλήν. διὸ τὸ αὐτὸ καὶ μακροκέφαλον ὡς διπλάζον τὴν ἄρχουσαν. Ἧς εἴ τις ἀφέλοι τὸ κορυφαῖον ὡς οἷά τινα περιττότητα, ὑγιοῦται τὸ λεῖπον εἰς δάκτυλον. Ὃ καὶ ἄλλως γίνεται τῇ ῥηθείσῃ συνιζήσει τῶν δύο μακρῶν κατὰ τὸ «ἢ λάθετ' ἢ οὐκ ἐνόησε». κἀκεῖ γὰρ τὸ «ἢ οὐκ ἐνόησεν» εἰς δάκτυλον ποδίζεται. καὶ τοιοῦτον μὲν τὸ ῥηθὲν ἔπος καὶ ὅσα κατ' αὐτό. Ἀνάπαλιν δὲ τῷ τοιούτῳ πάθει ἔχει τὸ ἀκέφαλον, ταὐτὸν δ' εἰπεῖν βραχυκέφαλον, κατὰ τὸ ἀμαθής ὁ ὀλιγομαθής, ὃ τοῦ κατὰ τὴν ἄρχουσαν μεγέθους ἐκπεσὸν ἀπὸ βραχείας ἄρχεται, ὁποῖον σὺν ἄλλοις, ἃ ἑτέρωθι φανεῖται, καὶ τὸ «ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο», καὶ «ἐπειδὴ λίπε δῶμα Καλυψοῦς ἠϋκόμοιο», καὶ «ἐπίτονος βέβλητο, βοὸς ῥινοῖο τετευχώς». τοιούτου δὲ πάθους ἔτυχε καὶ τὸ «Βορέης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον», καὶ τὸ «πλέονές κε μνηστῆρες ἐν ὑμετέροισι δόμοισιν». Εἰ γὰρ καὶ ἰσοδάκτυλοι τούτοις οἱ πρῶτοι πόδες ὡς τετράχρονοι, ἀλλ' ὅμως οὐκ ἔστι προκεφάλους εἰπεῖν αὐτούς, ὅτι μηδὲ περιττεύει αὐτοῖς ἡ κεφαλὴ μακρὰ οὖσα, ἀκεφάλους δὲ μᾶλλον διὰ τὸ ἐκπεσεῖν τῆς κατὰ τὴν ἄρχουσαν ἐκτάσεως.

2.88 Ἀκέφαλοι δὲ ὁμοίως στίχοι καὶ τὸ «ἕως ἐγὼ περὶ κεῖνα πολὺν βίοτον ξυναγείρων», καὶ «ἕως ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν». Περὶ δὲ τούτων φασὶν οἱ παλαιοὶ καὶ ὅτι γελοῖοι οἱ τὴν μέσην μακρὰν ἐν τῷ ποδολογεῖν προτάττοντες καὶ τὸ ἕως ωες λέγοντες, καθὰ καὶ ἐν τῷ Βορέης καὶ Ζέφυρος ἡσβορε ποδίζοντες τὴν ἄρχουσαν. εἰ δὲ δεῖ, φασί, κατὰ τέχνην βοηθεῖν ἐν τῷ «ἕως ἐγώ», καὶ «ἕως ὅ», προενεκτέον τὸν πρῶτον πόδα, [ὥσειπερ ἦν] ὥσει οἷα συνιζήσεως ἐν αὐτῷ γενομένης, κατὰ κοινὴν συλλαβήν. ἄλλως δέ, φασίν, ἀβοήθητον ὄν, τάττεται εἰς ἀκέφαλον, καθότι ἡ πρώτη τοῦ ποδὸς βραχεῖα οὖσα κεῖται ὡσεὶ καὶ μακρά. καὶ τοιαῦτα μὲν ταῦτα. Περὶ δέ γε τῶν κατὰ κοιλίαν καὶ σκέλη στιχηρῶν παθῶν ἐν οἰκείοις ἑτέρωθι χωρίοις ῥηθήσεται. Γυναῖκες δὲ ἀνάλκιδες κατὰ κοινὸν ἐπίθετον. τοιαῦται γὰρ αὐταί, εἰ μή τις ἄλλως δαΐφρων εἴη κατὰ τὴν Πηνελόπην ἢ κατὰ τὴν ἀνδρικὴν Ἀταλάντην ἢ Ἀργανθώνην ἢ

Ῥοδογούνην καὶ εἴ τις ἄλλη τοιαύτη γυνή, ὁποία καὶ ἡ Ἀρτεμισία καὶ ἡ Νίτωκρις αἱ βάρβαροι. (v. 350 s.) Ὅτι ἐκφόβησις κατὰ δειλοῦ τὸ «εἰ δὲ σύ γ' ἐς πόλεμον πωλήσεαι, ἦ τέ σ' ὀΐω ῥιγήσειν πόλεμόν γε, καὶ εἴ χ' ἑτέρωθι πύθηαι». Ὅρα δέ, ὅτι τε δὶς ἐταὐτολογήθη συνεχῶς ὁ πόλεμος, καὶ ὅτι τὸ «εἰς πόλεμον πωλήσεαι» παρήχησίν τινα ἔχει, ὁποῖαί τινες καὶ ἐν Ὀδυσσείᾳ καὶ ἐν τῇ α ῥαψῳδίᾳ τῆς Ἰλιάδος ταύτης ἔκκεινται. ὅμοιον δὲ καὶ τὸ Ἀριστοτελικὸν τὸ «τὰ φολιδωτὰ φωλεῖ μὲν τὰ πλεῖστα». (v. 352) Ὅτι τὸ ἀλύω οὐ μόνον ἐπὶ λύπης, ὡς ἐνταῦθα ἡ Ἀφροδίτη ἀπέβη ἀλύουσα, τείρετο δ' αἰνῶς, ἀλλὰ καὶ ἐπὶ χαρᾶς, ὡς ἐν Ὀδυσσείᾳ ἐν τῷ «ἀλύεις ὅτι Ἶρον ἐνίκησας», καὶ Πλούταρχος δὲ κατακόρως οὕτω χρᾶται τῇ λέξει.

2.89 Φασὶ δὲ τὸν Ἀσκαλωνίτην δασύνειν τὸ ἁλύω ἐπὶ τῆς χαρᾶς. εἴρηται δὲ περὶ τούτου καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. (v. 353 s.) Ὅτι Ἀφροδίτη μετὰ τὴν βολὴν ὑπὸ Ἴριδος τῆς μυθικῆς χειραγωγεῖται καὶ τοῦ πολέμου ἐξάγεται ἀχθομένη ὀδύναις, μελαίνετο δὲ χρόα καλόν. Φασὶ δὲ τὴν Ἶριν ἐρωτικὴν καὶ αὐτὴν εἶναι. καὶ μήν τινες, ὡς καὶ προεγράφη, αὐτῆς καὶ Ζεφύρου παῖδά φασι γενέσθαι τὸν Ἔρωτα. ταῦτα δὲ οὕτω μυθεύεται διὰ τὴν ἀλληγορουμένην Ἶριν, ἐπεὶ καὶ αὐτὴ ἔχει τί ἐπαφρόδιτον διὰ τὸ τῶν χρωμάτων κάλλος. διὸ καὶ οἰκείως πως ἔχειν δοκεῖ πρὸς Ἀφροδίτην. Ὠκεῖαν δὲ καὶ νῦν, ὡς ποδήνεμον, ταὐτὸν δ' εἰπεῖν ἀελλόποδα, τὴν Ἶριν λέγει, μυθικῶς μὲν διὰ τὸ πτερωτὴν εἶναι καὶ ταχεῖαν, καθὰ καὶ ὁ Ἑρμῆς. Ἄγγελοι γάρ εἰσι καὶ ἀμφότεροι. διὸ καὶ ἀπὸ τοῦ εἴρω, τὸ ἀγγέλλω, ἐτυμολογοῦνται. ἀρετὴ δὲ ἀγγέλου τὸ τάχος. Ἀλληγορικῶς δὲ διὰ τὸ ταχὺ τῆς Ἴριδος εἴς τε τὸ γίνεσθαι καὶ εἰς τὸ ἀπογίνεσθαι. [Ὅτι δὲ διττῶς ἡ Ἶρις, ἡ μὲν γὰρ σωματοειδής, ὡς δῆθεν κατὰ γυναικὸς εἶδος, οἷον «Ἶρις δ' αὖθ' Ἑλένῃ λευκωλένῳ ἄγγελος ἦλθεν», ἡ δὲ τὸ ἐν ἀέρι σημεῖον, οἷον «ὡς δ' ὅτε πορφυρέην ἶριν» καὶ ἑξῆς, καθωμίληται. Τὸ μέντοι ἴρινον μύρον καὶ τρίτην τινὰ ἶριν ἐμφαίνει εἶναι, περὶ ἧς ἐν ἄλλοις δηλοῦται.] (v. 355 s.) Ὅτι ἔοικεν ὁ Διομήδης περὶ τὰ τοῦ πολέμου δεξιὰ εὐδοκιμεῖν, ὡς τῶν Τρωϊκῶν ἀριστέων ἐν τοῖς ἀριστεροῖς νῦν μάλιστα πονουμένων. διὸ Ἀφροδίτη μάχης ἐπ' ἀριστερὰ τὸν Ἄρην εὑροῦσα καθήμενον, ἤτοι ἐγκείμενον καὶ προσεδρεύοντα, ἤδη δὲ καὶ ἀργοῦντα καὶ οὐ πάνυ ἀγωνιῶντα, διὰ τὸ ἐκεῖσε τοὺς Τρωϊκοὺς ἀριστέας νικᾶν, εἰς ἐπικουρίαν τῶν δεξιῶν αὐτὸν προκαλεῖται, ὡς πονούντων δηλαδή, καὶ ἐρεθίζει κατὰ τοῦ Διομήδους. Φησὶ γὰρ ὁ ποιητής· «εὗρε μάχης ἐπ' ἀριστερὰ θοῦρον Ἄρηα», ὅστις ἐκεῖθεν διεγερθεὶς οἷον καὶ διαναστὰς εἰς ἄμυναν ἐπελεύσεται τῷ Διομήδει, ὅτε καὶ γενήσεται μείζων ἡ τοῦ Διομήδους ἀριστεία, μυθικῶς μὲν Ἄρεος τρωθέντος τοῦ βροτολοιγοῦ, τῇ δὲ ἀληθείᾳ, γενναίων ἀνδρῶν ἀρειμανίων ἐπελθόντων μὲν τῷ Διομήδει πλειόνων τῷ πλήθει ἤπερ ἐπὶ τοῦ Αἰνείου καὶ Ἀφροδίτης, ἡττηθέντων δέ. Ἐρεῖ γὰρ ὅτι Τρώων στίχας οὖλος Ἄρης ὤτρυνε μετελθών, οἳ δηλαδὴ καὶ συνέμιξαν τῷ Διομήδει. καὶ γὰρ ζηλοῦσιν, ἐὰν ὁ Διομήδης εἷς ὢν τοσαῦτα κακὰ ποιῇ οὐ μόνον εἰς τοὺς καθ' ἕνα, ἀλλὰ καὶ εἰς πλῆθος.

2.90 διὸ καὶ ἐπέρχονται χιλιάδες πολλαί, ὡς ἐν τοῖς ἑξῆς φανήσεται, καὶ ἡττῶνται καὶ αὐτοί. καὶ οὕτω δοκεῖ τρωθῆναι Ἄρης ὁ ὄρσας αὐτούς. (v. 356) Ὅτι ἐν τῷ «ἠέρι δ' ἔγχος ἐκέκλιτο», τὸ τοῦ Ἄρεος δηλαδή, καὶ ταχέ' ἵππω, λέξεως ὁμωνυμία βοηθεῖ τῇ ὀρθῇ ἐννοίᾳ. τὸ μὲν γὰρ ἔγχος ἐκέκλιτο ἤτοι ἔκειτο, οἱ δὲ ἵπποι ἐκέκλιντο, ἤγουν ἵσταντο. ἄμφω γὰρ δηλοῖ τὸ κεῖσθαι, τό τε ἰδίως λεγόμενον κεῖσθαι καὶ τὸ ἵστασθαι. Καὶ ἄλλως δὲ ἔγχος μὲν ἐκέκλιτο, ἵπποι δὲ οὐχὶ ἐκέκλιντο, ἀλλὰ κατὰ τὸ εὔλογον ἵσταντο, ὡς τὸ «σῖτον ἔδοντες καὶ οἶνον», πίνοντες δηλαδή. οὕτω δὲ καὶ ἄλλα πολλά. Εἰ δὲ καὶ περιοχὴν τὸ κεκλίσθαι δηλοῖ, ὡς τὸ «λίμνῃ κεκλιμένος Κηφισσίδι», εὐμαρέστατον οὕτω τὸ ὑποδύσκολον. ἠέρι γὰρ περιείχετο καὶ τὸ ἔγχος τοῦ Ἄρεος καὶ ἡ ξυνωρὶς διὰ τὸ ἀόρατον. (v. 357) Ὅτι τὸ «γνὺξ ἐριποῦσα κασιγνήτοιο φίλοιο» ταὐτὸν μέν ἐστι τῷ γουνασαμένη τὸν ἀδελφόν. πλὴν οὐχ' ἁπλῶς, ἀλλὰ μετὰ πάθους, ὡς καὶ ἑαυτὴν προσρῖψαι τοῖς ἐκείνου γόνασιν. οὕτω δὲ καὶ ἑξῆς ἐν τοῖς γούνασι πίπτει τῆς μητρὸς Διώνης ἡ αὐτή, ἀγεννῶς καὶ θηλυπρεπῶς ἱκετεύουσα. τοιαύτη δέ τις φανεῖται καὶ ὅτε πρὸς τὸν Δία ἐν τῇ

τῶν θεῶν μάχῃ κλαυθμυρίζεται. οὐκ ἄδηλον δὲ ὡς καὶ ἐν πολέμῳ καταρριφέντες τινὲς γνὺξ ἐριπεῖν λέγονται. Ὅτι ἄμπυξ ἐκαλεῖτο σειρὰ κατάχρυσος τὰς περὶ τὸ μέτωπον τῶν ἵππων τρίχας συνδέουσα, ἐξ ἧς καὶ οἱ τοῦ Ἄρεος νῦν ἵπποι ἐν δυσὶ τόποις χρυσάμπυκες λέγονται. λεχθήσεται δὲ καὶ ἐν τῇ Χ ῥαψῳδίᾳ περὶ ἄμπυκος σαφέστερον. (v. 359) Ὅτι τὸ «φίλε» ἐκτείνει καὶ ἐνταῦθα τὸ τῆς ἀρχούσης δίχρονον, ὡς καὶ ἐν τῇ Γ ῥαψῳδίᾳ. Φησὶ γὰρ «φίλε κασίγνητε, κόμισαί τέ με, δὸς δέ μοι ἵππους». Διὸ καὶ ὁ Ἀσκαλωνίτης, φασί, περιέσπα τὸ φι . Καὶ ὅρα τὴν ἀδιαφορίαν καὶ νῦν τῶν διχρόνων, εἴγε καὶ τὸ φίλος ποτὲ μὲν ἐκτείνει, ποτὲ δὲ συστέλλει τὴν ἄρχουσαν. Σημειοῦνται δὲ καὶ ὅτι ἐν μὲν τῷ «αἰδεῖσθαί θ' ἱερῆα», καὶ ἐν τῷ «προσέειφ' ἱερὴ ἲς Τηλεμάχοιο» συστέλλεται τὸ ι τοῦ ἱερόν, ἐν δὲ τῷ «ἱερὸν ἰχθύν» ἐκτείνεται, ὡς μέν τινές φασι, καθὰ λέγει καὶ Τρύφων ἐν τοῖς Περὶ ἀρχαίας ἀναγνώσεως, διὰ τὸ τὸν ποιητὴν ἐκτείνειν πολλὰ ἕνεκεν τοῦ μέτρου, ὡς δὲ οἱ ἀκριβέστεροι λέγουσι διὰ τὸ φευκτέον εἶναι ἐν δακτυλικῷ μέτρῳ τὸ παράλληλον τῶν τριῶν βραχειῶν.

2.91 Τούτῳ τῷ λόγῳ καὶ τοῦ ἀκάματος καὶ ἀθάνατος, ὡς προερρέθη, ἐκτείνεται τὸ κατ' ἀρχὰς δίχρονον, καὶ τοῦ «ἄορι θεινομένων», καὶ «ἶσος Ἐνυαλίῳ», καὶ «ἱέμενος καπνὸν ἀποθρῴσκοντα νοῆσαι», καὶ «ἀποπέσῃσιν» ἐν τῷ τῆς Ὀδυσσείας ω , καὶ ἄλλα πολλά. Ἰστέον δὲ ὡς τῶν τινες παλαιῶν ἀπηλεγέως ἀποφηνάμενοι καθ' Ὁμήρου, ὡς οἷα διαγνόντες καὶ ἄλογον εἶναί ποτε παρ' αὐτῷ συστολήν τε καὶ ἔκτασιν διὰ μέτρον, καθυπάγουσι τῇ τοιαύτῃ ἀποφάσει καὶ τὸ «φίλε κασίγνητε», ἄλλως χρονισθὲν παρὰ τὸ «ἀνέρες ἐστέ, φίλοι», ὥσπερ καὶ τὸ ἀνήρ ἐν μὲν τῷ «ἀνέρες ἐστέ» μακρὰν ἔχει τὴν ἄρχουσαν. ἐν δὲ τῷ «ὃς δέ κ' ἀνὴρ μενέχαρμος» βραχύνει αὐτήν. Οὕτω δὲ καὶ ὁ δαήρ διφορεῖται, οἷα ἐν μὲν τῷ «δαὴρ αὖτ' ἐμός», καὶ «αὐτοκασίγνητον καὶ δαέρα» μηκύνων τὸ ἄρχον δίχρονον, συστέλλων δὲ ἐν τῷ «Ἕκτορ, ἐμῷ θυμῷ δαέρων πολὺ φίλτατε». Καὶ τὸ ὕδωρ δὲ ὁμοίαν παρὰ τῷ ποιητῇ πάσχει διφόρησιν καὶ ἡ λήγουσα τοῦ ἀντικρύ. Τὸ δὲ κόμισαι, ἀντὶ τοῦ ἐπιμελήθητι, ἐκ τοῦ κομίζω, ἐξ οὗ καὶ κομιδή, ἡ ἐπιμέλεια, [ἧς ἡ δοτικὴ ποιεῖ ἐπιρρηματικῶς τὸ κομιδῇ, ὅπερ ἐστὶ λίαν καὶ ὡς εἰπεῖν ἐν ἐπιμελείᾳ.] (v. 360) Ὅτι σεμνολογῶν τις ἀρχεῖον λαμπρὸν εἴποι ἂν τὸ «ὄφρ' ἐς Ὄλυμπον ἵκωμαι, ἵν' ἀθανάτων ἕδος ἐστίν». ὑποκαταβὰς δὲ Ὅμηρος πάλιν περὶ Ὀλύμπου φησὶ «θεῶν ἕδος, αἰπὺν Ὄλυμπον», ὃ παραφράζων Σοφοκλῆς αἰπὺν οὐρανόν φησι.

2.92 (v. 361 s.) Ὅτι γενναίαν πληγὴν ἔκ τινος ἀλαζόνος δηλοῖ τὸ «λίην ἄχθομαι ἕλκος, ὅ με βροτὸς οὔτασεν ἀνήρ, ὃς δή γε καὶ ἂν θεῷ πατρὶ μάχοιτο». βαρυνομένη δὲ Ἀφροδίτη κατὰ Διομήδους τοῦτό φησιν. (v. 364) Ἐν τούτοις δὲ κεῖται καὶ ἀντὶ τοῦ ἀκαχημένη ἀκηχεμένη μεταθετικῶς, διὰ χρείαν μέτρου. Φησὶ γὰρ «ἀκηχεμένη φίλον ἦτορ». Τὸ δὲ «θεῷ πατρί» παρῴδηται ἡμῖν. Ὅμηρος γὰρ Διῒ πατρὶ ἔφη. [(v. 361) Εἰ δὲ τὸ «λίην ἄχθομαι ἕλκος» καὶ ἑξῆς, εἰς γαμικόν τινι εὐφυῶς ἐχρησίμευσε κέντρωνα, οἶδεν ὁ περιτυχών.] (v. 365) Ὅτι καὶ ὁ παραιβάτης ἐνίοτε ἡνίοχος εὑρίσκεται λεγόμενος, ὡς ὅτε τὸν Ἕκτορα θρασὺν ἡνίοχον ὁ ποιητὴς ἐρεῖ. εὕρηται δέ που καὶ ὁ ἡνίοχος παραιβάτης. Καὶ νῦν οὖν τοιοῦτόν τι ἐμφαίνει ὁ ποιητὴς ἐν τῷ «πὰρ δέ οἱ Ἶρις ἔβαινε καὶ ἡνία ἔλαβε χερσίν». ἡ γὰρ αὐτὴ καὶ παραιβάτις διὰ τὸ παραβαίνειν καὶ ἡνίοχος διὰ τὸ ἡνία λαβεῖν. Καὶ ὅλως ἐπαλλάσσειν αἱ λέξεις αὗται ἀλλήλαις φαίνονται. εἰ δὲ καὶ ἡ νυμφικὴ πάροχος εὖ λέγεται παραιβάτις, φανεῖται ῥηθὲν ἀλλαχοῦ. (v. 366) Ὅτι πολλοῦ τάχους καὶ προθυμίας ἵππων δηλωτικὸν τὸ «μάστιξε δ' ἐλάαν», ἵππους δηλαδή, «τὼ δ' οὐκ ἄκοντε πετέσθην». Καὶ ὅρα τὴν ἀδιαφορίαν τῶν πτώσεων. δυνάμενος γὰρ εἰπεῖν δυϊκῶς [καὶ ἀνωτέρω τὸ «δῶκε χρυσάμπυκας ἵππους», ὁμοίως καὶ κατωτέρω] τὸ «ἔνθ' ἵππους ἔστησεν», ὁ δὲ πληθυντικῶς εἶπεν, ὡς ἀδιάφορον ὂν οὕτως ἢ ἐκείνως εἰπεῖν. Οὕτω καὶ πρὸ τούτου ἔφη «μὴ τὼ μὲν δείσαντε ματήσετον, τεὸν φθόγγον ποθέοντες», καὶ «ὣς ἄρα φωνήσαντες, ἐμμεμαῶτ' ἐπὶ Τυδείδῃ ἔχον», καὶ «ἄνδρε ὁρόω κρατερώ, ἶν' ἀπέλεθρον ἔχοντας». Καὶ ὅλως παρὰ τῷ ποιητῇ ἀδιαφόρως τὰ δυϊκά τε πληθυντικῶς ἐκφωνεῖται καὶ τὰ πληθυντικὰ δυϊκῶς, καὶ

ἀλλήλοις συμπλέκονται [κατά τινα σύγχυσιν. ἣν παρασημειοῦνται εἰς πλάτος οἱ παλαιοί.] Τοῦ δὲ μάστιξε περίφρασις ἀλλαχοῦ τὸ «νόῳ δ’ ἐπέβαλλεν ἱμάσθλην».

2.93 τὸ δὲ τραγικὸν περιφραστικώτερον ἐν τῷ «κέντρα πώλοις μεταφέρων ἰθύνει». Ἰστέον δὲ ὡς οἱ πέτεσθαι λεγόμενοι ἵπποι καὶ ἀελλόποδες ἂν εἰκότως ῥηθεῖεν καὶ ποδήνεμοι καὶ ὁπλαῖς ἁρπυίαις ἶσοι κατὰ Λυκόφρονα. Τὸ δὲ τοιοῦτον πέτεσθαι [οὐ μόνον ἐτυμολογίαν παραλαλεῖ, ἐκ τοῦ ἵπτασθαι γὰρ ποσὶν ὁ ἵππος συντέθειται, ἀλλὰ καὶ] ἀφορμὴ τῷ μύθῳ γέγονε τῆς τοῦ δῆθεν πτερωτοῦ Πηγάσου πλάσεως διὰ τό, ὡς εἰκός, ἀπαράμιλλον τάχος ἐκείνου. [Ἰστέον δὲ ὅτι τὸ «οὐκ ἄκοντε» ἀρετὴν ἵππων δηλοῖ. εἰ γὰρ κατὰ τὸν Λυρικὸν ἀγαθὸς ἵππος ὁ δέμας ἀκέντητον παρέχων, ἄρα ὁ μαστιζόμενος καὶ οὕτω θέων οὐκ εὖ ἔχει. καὶ ὅμως ὁ τοιοῦτος, εἴπερ οὐκ ἀέκων θέει, ἀγαθός ἐστιν.] (v. 369) Ὅτι τοῖς ἵπποις τοῦ Ἄρεος ἀμβρόσιον εἶδαρ ὁ μῦθος ὡς θείοις τισὶ παραβάλλει. Καὶ ὅρα τὸ παραβάλλει ἀντὶ τοῦ παρατίθησιν, ἐξ οὗ καλῶς παρὰ τοῖς πολλοῖς λέγεται τὸ παράβλημα. Εἰ δὲ οὐκ αὐτόχρημα ἀμβροσίαν ἁπλῶς δηλοῖ τὸ ἀμβρόσιον εἶδαρ—οὔτε γὰρ ὁ ἀμβρόσιος χιτών ἐᾷ νοεῖν οὕτω, καὶ οὐδὲ ἵπποις πρέπον ἡ ἀμβροσία—, ὅμως ἐπεὶ ἐν τοῖς ἑξῆς τοῖς ἵπποις τῆς Ἥρας ὁ Σιμόεις ἀμβροσίαν ἀνέτειλε νέμεσθαι, νοητέον ἀμβροσίαν καὶ ἐνταῦθα τὸ ἀμβρόσιον εἶδαρ περιφραστικῶς. Ὅτι δὲ καὶ ἄνθους παραμέμικταί τι τῇ τῆς ἀμβροσίας σκευῇ, ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δεδήλωται. (v. 370) Ὅτι ὡς πατρωνυμικὸν ἡ Διώνη ἡ τῆς Ἀφροδίτης μήτηρ. ὡς γὰρ Ἀκρίσιος Ἀκρισιώνη, οὕτω πως Διός Διώνη. εἰ δὲ Διώνης ἡ Ἀφροδίτη, οὐκ οἶδεν ἄρα Ὅμηρος τὴν καθ’ Ἡσίοδον ἐκ μηδέων γέννησιν αὐτῆς, καθ’ ἣν ἐκεῖνος φιλομειδῆ οἶδεν αὐτήν.

2.94 (v. 371) Ὅτι τὸ «ἀγκὰς ἐλάζετο», ἤτοι ἔλαβε, «θυγατέρα ἥν», εἰ μὲν ἐπίρρημά ἐστι, συστέλλει τὸ α , ὡς τὸ ἑκάς, ἀνδρακάς. Εἰ δέ ἐστι αἰτιατικὴ πληθυντική, ἧς εὐθεῖα αἱ ἀγκαί, καὶ δηλοῖ τὰς ἀγκάλας, Δωρικῶς συστέλλει τὸ α , ὡς καὶ πρὸ τούτου τινὲς ἐνόουν τὸ «ὑποσχὼν θήλεας ἵππους», γράφοντες «ὑποσχὼν θηλέας ἵππους», ἀντὶ τοῦ θηλείας, παροξυτόνως καὶ οὐ προπαροξυτόνως θήλεας. Τὰς δὲ τοιαύτας Δωρικὰς αἰτιατικὰς παρὰ Ἡσιόδῳ πολλὰς εἶναί φασιν, εἰ καὶ μὴ παρ’ Ὁμήρῳ. Ἰστέον δὲ καὶ ὅτι, ὡς καὶ ἐν τοῖς Θεοκρίτου φαίνεται, αἱ μὲν εἰς αι λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν συστέλλουσι τὸ α τῶν αἰτιατικῶν παρὰ τοῖς Δωριεῦσιν, αἱ δὲ εἰς ες ἐκτείνουσιν ἀπ’ ἐναντίας τῇ κοινῇ διαλέκτῳ. Τοῦ δὲ «ἀγκὰς ἐλάζετο» τραχυφωνότερον τὸ «ἀγκὰς ἔμαρπτε», κείμενόν που ἐν τοῖς ἑξῆς. (v. 372 s.) Ὅτι καταρρέζειν καὶ νῦν τὸ τῇ χειρὶ καταψᾶν κολακευτικῶς. Φησὶν οὖν ὁ ποιητὴς «χειρί τέ μιν κατέρεξεν, ἔπος τ’ ἔφατ’ ἔκ τ’ ὀνόμαζε· τίς νύ σε τοιάδ’ ἔρεξε;» Καὶ ὅρα τὰ συχνὰ πάρισα, τὸ κατέρεξε καὶ τὸ ἔκ τ’ ὀνόμαζε καὶ τὸ ἔρεξε, δι’ ὧν ὁ λόγος καλλωπίζεται, καὶ ὅτι ἐξ ἑνὸς ῥήματος διάφοροι ἔννοιαι τὸ «χειρὶ κατέρεξε», καὶ «τοιάδ’ ἔρεξε». περὶ δὲ τοῦ κατέρεξε καὶ ἐξονόμαζεν ἐν τῇ Α ῥαψῳδίᾳ εἴρηται. (v. 374) Ὅτι ἐν τῷ «ὡσεί τι κακὸν ῥέζουσαν ἐνωπῇ» ἐνωπὴν λέγει τὴν ὄψιν καὶ τὴν ἐν φανερῷ θέαν, ὅθεν καὶ τὸ ἐνώπιος. ἀνάλογος δὲ ἡ ἐνωπὴ αὕτη τῇ περιωπῇ.

2.95 Τὸ δὲ ῥέζειν κυρία λέξις ὡς ἐν ποιήσει. διὸ ἐπέμεινεν αὐτῇ ἐνταῦθα ὁ ποιητής. [Ἡ δὲ ἀναλογία τῆς ἐνωπῆς ταύτης κατὰ τὴν μάχιμον ἐνοπήν. ὡς γὰρ τοῦτο ἐκ τῆς ὀπός, ἐκεῖνο ἐκ τοῦ ὠπός.] (v. 378) Ὅτι ἄκρας φιλίας δηλωτικὸν τὸ «ὃς ἐμοὶ πάντων πολὺ φίλτατός ἐστιν». Ἐνταῦθα λαβὼν Σοφοκλῆς Ἀχιλλέως τὰ φίλτατα ἔφη τὸν Πάτροκλον, ὅπερ οἱ μεθ’ Ὅμηρον ἐπὶ τῶν πάνυ ἐγγυτάτω φασὶ συγγενῶν. φίλτατα γὰρ ἑκάστῳ γονεῖς καὶ γυνὴ καὶ παῖδες. [Ὅρα δ’ ἐν τούτοις καιρίαν ὑπέρθεσιν. φίλον γὰρ υἱὸν ἡ Ἀφροδίτη τὸν Αἰνείαν φαμένη ἐπήγαγεν ὑπερθετικῶς τὸ πολὺ φίλτατος.] (v. 379 s.) Ὅτι πολλῆς τόλμης καὶ θρασύτητος ἐνδεικτικὸν τὸ «οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνή, ἀλλ’ ἤδη Δαναοί γε καὶ ἀθανάτοισι μάχονται». Καὶ σημείωσαι ὅτι εὐσχημόνως εἰς ἀντιθέους ἡ Ἀφροδίτη ἄγει τοὺς Ἕλληνας, εἴγε καὶ ἀθανάτοισι μαχέσονται, ὥσπερ ποτὲ δηλαδὴ Τιτᾶνες καὶ Γίγαντες. Ὅρα δὲ καὶ τὴν αὔξησιν τοῦ λόγου. πρὸ ὀλίγου μὲν γὰρ ἔφη, ὅτι ὁ Διομήδης καὶ ἂν Διῒ πατρὶ μάχοιτο, ἐνταῦθα δὲ κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεταποίησιν ῥητορικὴν ἢ παράφρασιν ἐπιτείνουσα τὸν αὐτὸν λόγον φησίν, ὅτι οὐκέτι Τρώων καὶ Ἑλλήνων μάχη, ἀλλ' ἤδη Ἀχαιοὶ καὶ θεοῖς μάχονται ὡς οἷον ἀντίθεοι. καὶ τοίνυν ἦσαν ἀντίθεοι, οὐχ' οἵους μέντοι βούλεται ἡ Ἀφροδίτη λέγειν αὐτούς, ἀλλὰ ἰσόθεοι καὶ κατὰ τὸν Διομήδην ἀγχίθεοι. καὶ ἡ μὲν Ἀφροδίτη κατὰ τῶν Ἀχαιῶν οὕτω λέγει, διὰ τὸ πάθος αὔξουσα τὸ κακόν, ἡ μέντοι μήτηρ Διώνη σεμνότερον λαλοῦσα οὐκ ἐκ βροτοῦ ἀνδρός φησιν αὐτὴν τὸ ἕλκος παθεῖν, ἀλλά τινος τῶν Οὐρανίων. Λέγει δὲ καὶ παρακατιοῦσα ὡς οἱ θεοὶ ἐπ' ἀλλήλοις ἄλγεα τιθέντες ἐξ ἀνδρῶν χαλεπὰ ἄλγεα πάσχουσι. τοῦτο δὲ καὶ παραμυθία ἐστὶ τὸ μὴ ἐξ ἐλαττόνων, ἀλλὰ κρειττόνων ἢ ἴσων πάσχειν τὰ κακά. (v. 382—400) Ὅτι κατὰ μὲν τὸν μῦθον ἡ Διώνη παράγουσα θεῖα πρόσωπα δυστυχήσαντα παραμυθεῖται ἀπὸ τῶν ὁμοίων ἢ καὶ μειζόνων τὴν τῆς θυγατρὸς Ἀφροδίτης πληγήν, ὅτε λέγει ὡς ἔτλη ὁ Ἄρης καὶ ἡ Ἥρα καὶ ὁ Ἅιδης. Καὶ ἔστιν ἐκ τοῦ μείζονος ἡ ἀφορμὴ τοιαύτης ἐπιχειρήσεως κατὰ τοὺς ῥήτορας.

2.96 καὶ οὕτω μὲν μυθικώτερον. Τῇ δὲ ἀληθείᾳ ὁ Ὅμηρος τεχνικῶς ἑαυτῷ βοηθεῖ. ὡς γάρ τινος τυχὸν ὑποκρούσαντος, πῶς δή ποτε τολμᾷ θεούς, τὸν Ἄρην καὶ τὴν Ἀφροδίτην, τιτρωσκομένους ὑπὸ Διομήδους πλάττειν, παράγει μύθους ἀρχαίους ὁμοίους, ἐν οἷς ἡ Ἥρα, θήλεια καὶ αὐτὴ θεά, συμμαχοῦσά ποτε τῷ Νηλεῖ κατὰ τὴν Πύλον δεξιτερὸν κατὰ μαζὸν ὀϊστῷ βάλλεται, μείζων τῆς Ἀφροδίτης οὖσα. καὶ πάλιν θεὸς ἄρρην ὁ Ἅιδης τὸν στιβαρὸν ὦμον βέβληται. καὶ αὐτὸς δὲ ὁ νῦν τιτρωσκόμενος Ἄρης ἔπαθέ τί ποτε κατὰ τὸν πάλαι λόγον καὶ αὐτός, εἰ καὶ μὴ πληγείς, ἀλλὰ δεθεὶς δεσμῷ κρατερῷ, ταὐτὸν δ' εἰπεῖν, χαλεπῷ, καθὰ διασαφεῖ μετ' ὀλίγα ὁ ποιητὴς εἰπὼν «χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα». ὥστε διὰ ταῦτα μηδέν τι τὸν ποιητὴν δοκεῖν πλάττειν ἀπίθανον, εἰ τοιαῦτα προμεμυθολόγηνται περὶ θεῶν. Τὸ δὲ καὶ τὸν Διόνυσον ὑπὸ τοῦ Ἠδωνοῦ Λυκούργου κακὰ παθεῖν, καλὸν μὲν καὶ αὐτὸ εἰς παράδειγμα, οὐχ' ὅμοιον δὲ πάντῃ πρὸς τὰ ἐνταῦθα. οὔτε γὰρ ἐτρώθη ὁ Διόνυσος οὔτε ἐδέθη, ἀλλὰ μόνον ἐδιώχθη. διὸ καὶ διαστήσας ὁ ποιητὴς τὸ τοιοῦτον παράδειγμα ἐπάγει αὐτὸ ὕστερον, ἅμα καὶ γραφῆς εὐπορίαν ἑαυτῷ οὕτω τεχνώμενος καὶ διαφόροις ἐπίτηδες μερίζων τόποις τὰ ὅμοια νοήματα, ἔτι δὲ καὶ διὰ τὸ ἀνομοειδὲς οὐ συντάττων αὐτὸ τοῖς παροῦσι. (v. 385 s.) Φησὶ δὲ τὸν μὲν Ἄρην δεθῆναι ὑπὸ τῶν περὶ Ὦτον καὶ Ἐφιάλτην, οἳ Ἀλωέως μὲν ἦσαν καὶ Ἰφιμεδείας, περὶ ὧν καὶ ἐν Ὀδυσσείᾳ εἴρηται. (v. 387) Ἔδησαν δὲ τὸν Ἄρην ἐν χαλκέῳ κεράμῳ, ἤγουν ἀγγείῳ, οἷον πίθῳ. χρῆσις δὲ τῆς λέξεως ταύτης καὶ ἐν τῇ Ἰ ῥαψῳδίᾳ. Ἄλλοι δέ φασι δεσμωτηρίῳ στερρῷ, λέγοντες Κυπρίους κέραμον καλεῖν τὸ δεσμωτήριον. οἱ δὲ πόλιν Καρίας φασὶ τὸν Κέραμον, χάλκεον οἷον δοκοῦσαν καὶ τροπικῶς λεχθεῖσαν διὰ τὸ στερρὸν τοῦ τειχίσματος. (v. 387—91) Ἔνθα δεδέσθαι τὸν Ἄρην τρισκαίδεκα μῆνας, ἕως Ἠερίβοια, ἡ τῶν Ἀλωειδῶν μητρυιά, δυσμενῶς τοῖς προγόνοις ἔχουσα, ἐξήγγειλε τῷ Ἑρμῇ.

2.97 ὁ δὲ χαριζόμενος τῇ Ἥρᾳ ἐξέκλεψε τὸν Ἄρην, ὅθεν φυγὼν ἧκεν εἰς Νάξον. Βούλεται δὲ παρὰ τοῖς ἀλληγοροῦσιν ἠθικῶς ὁ παλαιὸς οὗτος λόγος δεσμὸν ἔλλογον αἰνίττεσθαι τοῦ θυμοῦ, ὃν δὴ δεσμὸν πάσχει ὑπό τε τοῦ Ὤτου, ἤτοι τοῦ ἐκ μαθήσεως καὶ διδασκαλίας λόγου, τοῦ ἐξ ἀκοῆς τῆς δι' ὤτων ἐγγινομένου, καὶ ὑπὸ τοῦ ἐνδιαθέτου καὶ φύσει ἰαλλομένου καὶ ἐπιπεμπομένου ἡμῖν, ὃν ὁ Ἐφιάλτης παραδηλοῖ, ὡς ἐκεῖνον ὁ Ὦτος. ὅστις Ἄρης οὐκ ἀεὶ παρ' ἡμῖν δέδεται, ἀλλά τις ψυχικὴ διάθεσις οὐκ ἀγαθή, ὁποία καὶ μήτηρ, ἀλλὰ τρόπον τινὰ μητρυιὰ ἔγκοτος, λαθοῦσα ὑπεκκλέπτει καὶ λύει αὐτόν. οὐ γὰρ ἔστι διὰ βίου πραΰθυμον εἶναί τινα. (v. 389) Ἰστέον δὲ ὅτι τε καὶ μητρυιὸν οἱ παλαιοί φασι τὸν πατρῷον, ἀρρενωνυμοῦντες τὴν μητρυιάν, καὶ λέγει οὕτω Θεόπομπος καὶ οἱ Κωμικοὶ δὲ μάλιστα κατὰ τοὺς παλαιούς. Καὶ ὅτι τὰς μὲν ἀγαθὰς διαθέσεις καλῶς ἄν τις μητέρας ἡμῶν ἐρεῖ, τὰς δὲ μὴ τοιαύτας μητρυιάς. Οὕτω καὶ Ἡσίοδος τὰς μὲν τῶν ἡμερῶν μητέρας λέγει, τὰς χρηστὰς δηλαδή, τὰς δὲ μητρυιὰς εἶναί φησι, τὰς μὴ ἀγαθάς. καὶ Αἰσχύλος δὲ «Σαλμυδησία γνάθος» που λέγει, «ἐχθρόξενος ναύταισι, μητρυιὰ νεῶν», ἤτοι ἐχθρὰ καὶ ὀλέθριος. [Ἀλλὰ ταῦτα μὲν σκληρότερον τέτραπται,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀσφαλέστατα δὲ τῇ ἀπὸ μητρυιᾶς εἰκόνι ἐχρήσατο ὁ φράσας, ὅτι Πλάτων πᾶσι τοῖς Σωκράτους μαθηταῖς ἐπεφύκει μητρυιᾶς ἔχων διάθεσιν.] Ἐνταῦθα δὲ σημείωσαι περὶ τοῦ τέθριππος καὶ περὶ τοῦ μητρυιά, ὡς ἐκεῖνο μὲν ἀναλόγως ἔτρεψε τὸ ψιλὸν εἰς δασὺ διὰ τὸ δασύνεσθαι τὸ ἵππος, ἐν δὲ τῷ μητρυιά τοῦτο οὐ γέγονεν, ἴσως μὲν Ἰωνικῶς, ἢ καὶ κατὰ Αἰολεῖς, οἳ καὶ τὸ ὕρχας καὶ τὸ ὕμμιν ψιλοῦσιν οἷα ψιλωτικοὶ ὄντες.

2.98 Ἴσως δὲ καὶ ἵνα καθαρὸν καὶ πάντῃ ἀπαραποίητον φυλαχθῇ τὸ τῆς μητρὸς ὄνομα. τὸ δ᾽ αὐτὸ λογιστέον καὶ ἐπὶ τοῦ πατρυιός. Ἀλλὰ τοιαύτη μὲν κατά τινας ἡ τοῦ Ἄρεος λύσις, ἣν ἀπεύχεται ὁ φρονῶν. Δύναται δὲ καὶ τὸ ἐναντίον ἤτοι τὴν ἔλλογον λύσιν τοῦ θυμοῦ ὁ μῦθος ὑπαινίττεσθαι, ἵνα, ὥσπερ λόγῳ δεσμεῖται, οὕτω καὶ λόγῳ λύηται. χρήσεται γάρ ποτε τῷ δορυφόρῳ θυμῷ ὁ βασιλεὺς νοῦς καὶ λύσει τὸν δεσμώτην τοῦτον ἐν καιρῷ ὑπὲρ νόμων καὶ ἱερῶν καὶ πατρίδος καὶ γονέων καὶ παίδων καὶ φίλων. Διὸ καὶ Ἑρμῆς, ὅ ἐστι λόγος, λύει αὐτόν. Ἔλλογος γάρ, ὡς ἔφαμεν, ἡ τοιαύτη λύσις αὐτοῦ, ὅτε καὶ ἡ μητρυιά, ἡ τῷ Ἑρμῇ τούτῳ συμπράττουσα, στάσις τις νοηθήσεται καὶ ἐρεθισμὸς εἰς θυμόν, πλὴν οὐ φαύλη, ὡς ἀνωτέρω, ἀλλὰ χρηστὴ διὰ τὸ ἐπὶ δικαίοις ἀμυντικόν. διὸ καὶ Ὅμηρος «περικαλλὴς μητρυιά» φησὶν οὐδὲν εἰπὼν περὶ αὐτῆς φορτικόν. καὶ τοιαύτη μὲν ἡ πρὸς ἦθος ἐν τούτοις ἀλληγορία. Ἄλλοι δὲ ἱστοροῦσιν ἀνδρειοτάτους γενέσθαι τοὺς τοῦ Ἀλωέως παῖδας καὶ περιγενομένους τῶν κατ᾽ αὐτοὺς καὶ ἐκ πολέμων εἰρηνεύσαντας δῆσαι τὸν Ἄρην τούτῳ τῷ τρόπῳ φασί. καὶ οὕτω τὸν μῦθον ἱστορικῶς θεραπεύουσιν. Ἡ μέντοι Δημὼ μαθηματικῶς ταῦτα τεθεράπευκε, λέγουσα χάλκεον μὲν κέραμον τὸν ὑπὸ τοῦ ποιητοῦ χάλκεον καλούμενον οὐρανόν, δεσμὸν δὲ Ἄρεος τρισκαιδεκάμηνον τὸ τοῦ Ἄρεος τοῦ πλάνητος ἀστέρος πάθος, τὸν λεγόμενον στηριγμόν, ὃν πάσχει γενόμενος πρὸς Καρκίνῳ καὶ Λέοντι ἐπὶ μῆνας ὀκτώ, ἔτι δὲ καὶ ἐπὶ ἑτέρους πέντε, οἳ τῇ πρώτῃ αὐτοῦ καὶ δευτέρᾳ ἀνωμαλίᾳ προσλογίζονται.

2.99 Ἀλωέως δὲ παῖδας δήσαντας τὸν τοιοῦτον Ἄρην λέγει τὰ διαληφθέντα δύο θερινὰ ζῴδια, τὸν Καρκίνον καὶ τὸν Λέοντα, πρὸς οἷς ὁ ἥλιος γενόμενος τοῦ ἀλωεῖν ἐστιν αἴτιος. καὶ τοιαῦτα μὲν ταῦτα. Ὁ δὲ μῦθός φησι τοὺς μὲν Ἀλωείδας ἐν τῷ κυνηγετεῖν ἐλάφου μεταξὺ αὐτῶν ἐλθούσης προέσθαι ὡς ἐπ᾽ αὐτὴν τὰ δοράτια καὶ τῆς μὲν ἀποτυχεῖν, ἀλλήλους δὲ βαλεῖν, ὁποῖα καὶ ἄλλα ἐγένοντο, καὶ οὕτω θανεῖν, διότι μετὰ τὸν Ἄρεος δεσμὸν καθυπερηφανευσάμενοι τὴν Ἥραν τε καὶ τὴν Ἄρτεμιν ἐβιάζοντο. Τὸν δὲ Ἄρην ὑπ᾽ αὐτῶν δεθῆναί φησιν ὁ μῦθος, διότι αὐτὸς ἀνεῖλε τὸν τοῦ Κινύρα υἱὸν Ἄδωνιν, αὐτοῖς ὑπ᾽ Ἀφροδίτης παρατεθέντα, καὶ ἐν τῷ Λιβάνῳ τῆς Ἀραβίας θηρολετοῦντα. (v. 385) Ὦτος δὲ τό τε κύριον, ὡς ἐρρέθη, καὶ ὄρνεόν τι παρά τε Ἀριστοτέλει καὶ ἑτέροις, ὡς δηλοῖ καὶ ὁ εἰπὼν «ὦτος, παραπλήσιον γλαυκί, ἔχων περὶ τὰ ὦτα πτερύγια. οἱ δὲ νυκτικόρακα». Αἴλιος δὲ Διονύσιος οὕτω περὶ τούτου φησὶν «ὦτος, ὄρνεον, ὃ περὶ τὰ ὦτα ἔχει πτερύγια. τοῦτο ἐπαινούμενον καὶ ἀντορχούμενον ὥσπερ ὁ νυκτικόραξ ἁλίσκεται. διὸ τοὺς χαύνους καὶ κενοδόξους ὤτους ἐκάλουν». Ἐφιάλτης δὲ οὐ μόνον κύριον, ἀλλὰ καὶ ἐπὶ πάθους ἡ λέξις κεῖται στομαχικοῦ, ὃ καὶ ἐπίαλτος λέγεται.

2.100 τοῦτο δὲ ὁ χυδαῖος ἄνθρωπος βαρυχνᾶν λέγει. Ἡ δὲ διὰ τοῦ φ γραφὴ τοῦ ἐφιάλτου ἢ διὰ τὸ ἴσως δασύνεσθαι τὸ ἰάλλω παρά τισι γίνεται ἢ κατά τινα γλῶσσαν τροπῇ τοῦ ψιλοῦ εἰς δασύ, ὃ δὴ καὶ ἐν τῷ κεκαφηώς γίνεται κατὰ Ἡρῳδιανόν. κεκαπηώς γάρ φησι τὸ ἀνάλογον. Οὕτω καὶ ὁ μοιχὸς τροπὴν ἔχει τοῦ κ εἰς χ . μοιχὸς γὰρ πάντως ὁ μὴ οἰκότα ἤγουν ἐοικότα εἶναι τὰ γένη ἀφιείς. καὶ ὁ αὐθέντης δὲ ψιλοῦ μεταβολὴν εἰς δασὺ ἔπαθεν, ἐκ τοῦ αὐτοέντης γενόμενος. [Οὕτω καὶ ἐκ τοῦ πίνειν ἡ φιάλη γέγονε. κατὰ δέ τινας καὶ ἐκ τοῦ πίνειν ὁ φίλος, καὶ ἐκ τοῦ τύπους ἴλλων ἔχειν ὁ τυφλός.] Ἐν δὲ Ῥητορικῷ Λεξικῷ φέρεται, ὅτι Ἐπιάλτην Ἀττικοί φασι δαίμονά τινα, διὰ δὲ τοῦ φ Ἐφιάλτην, ἀνδρὸς ὄνομα. Ἑτέρωθι δέ, ὅτι ἐπιάλτης ὁ πνιγαλίων ὑπό τινων, ὁ δ᾽ αὐτὸς καὶ ἠπίαλος.

2.101

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[Ἐν δὲ τοῖς Ἡρῳδιανοῦ κεῖται καὶ ἠπιάλης, ἠπιάλητος, οὗ χρῆσις, φησί, παρὰ Σώφρονι, οἷον «Ἡρακλῆς Ἠπιάλητα πνίγων».] καὶ τοιαῦτα μὲν τὰ κατὰ τὸν Ἄρην καὶ τοὺς Ἀλωείδας. (v. 392—4) Ἥρα δὲ καὶ Ἅιδης βάλλονται μυθικῶς. ἡ μὲν ἐν Πύλῳ συμμαχοῦσα τῷ Νηλεῖ κατὰ τοῦ Ἡρακλέους, ὅτε καὶ τὴν Πύλον ἐκεῖνος ἐπόρθησεν, ὡς προγέγραπται, φυγαδευθέντος ἢ ἄλλως τρεφομένου παιδὸς ἐν Γερήνοις τοῦ Νέστορος. (v. 395—400) Ὁ δὲ Ἅιδης κάτω ὑπὸ γῆν, ὅτε παραχωρηθεὶς ὁ ῥηθεὶς Ἡρακλῆς ὑπὸ Πλούτωνος ἄνευ ἀσπίδος καὶ σιδήρου χειρώσασθαι, εἰ οἷός τέ ἐστι τὸν Κέρβερον, αὐτὸς τῇ μὲν λεοντῇ ἀντὶ ἀσπίδος χρησάμενος, τοῖς δὲ βέλεσι λιθίνας ἐναρμόσας ἀκίδας, ὁποῖαι πολλαχοῦ ἱστοροῦνται, τὸν κύνα κατηγωνίσατο. μετὰ δὲ νίκην ἐναντιούμενον τὸν Ἅιδην κατετόξευσε καὶ οὕτω τὸν Κέρβερον ἀνήγαγε. Καὶ σημείωσαι, ὅτι οὐκ οἶδεν ἐνταῦθα Ὅμηρος τὸν Ἡρακλέα ῥοπάλῳ χρώμενον, ἀλλὰ τόξοις ἀνδραγαθοῦντα. καὶ τοιοῦτοι μὲν καὶ οἱ περὶ τούτων μῦθοι. Ἡ δὲ ἀλληγορία, εἰ καὶ ὁ Ἀρίσταρχος ἠξίου, ὡς προεγράφη, μηδέν τι τῶν παρὰ τῇ ποιήσει μυθικῶν περιεργάζεσθαι ἀλληγορικῶς ἔξω τῶν φραζομένων, τὸν μὲν Ἡρακλέα εἰς τὸν λόγον ἐκλαμβάνει διὰ τὸ ἐπίηρον αὐτοῦ καὶ τὸ εὐκλεές, Ἥραν δὲ καὶ Ἅιδην φησὶ τὸν μὲν τὸν ὑπὸ γῆν ἀΐδην ἤτοι ἀφανῆ ἀέρα, ὃν οὐκ ἔστιν ἰδεῖν, τὴν δὲ τὸν ὑπέργειον, καθ’ ὧν ὁ φιλόσοφος λόγος ἑαυτὸν συντείνας καὶ οἷον διοϊστεύσας βάλλει καὶ τυγχάνει τοῦ σκοποῦ καὶ ἁλίσκει τὸ ζητούμενον. ἀνάλωτον γὰρ τῇ φιλοσοφίᾳ οὐδὲν οὔτε τῶν ἄνω οὔτε τῶν κατὰ γῆς. Διὸ καὶ χθόνιος ὁ κατὰ λόγον Ἑρμῆς, καθὰ δηλοῖ καὶ ὁ Σοφοκλῆς καὶ ὁ Κωμικός, καὶ οὐράνιος δὲ διὰ τὸν Δία, οὗ ἐστὶν ἄγγελος.

2.102 ἀλλὰ μὴν καὶ θαλάττιος, ὡς ὁ μῦθος αἰνίττεται, ὁ λάρον αὐτὸν τοῖς κύμασιν ἐπαφείς. ἤδη δὲ καὶ καταχθόνιος, καθότι καὶ ψυχοπομπός. πάντα γὰρ ὁδευτὰ λόγῳ καὶ ἁλώσιμα, [εἰς ὃν οὐ μόνον ὁ Ἑρμῆς ἐκλαμβάνεται, ἀλλὰ καὶ ὁ Ἡρακλῆς, ὡς εἴρηται, ὃς ἐκ τῆς προσεχῶς ἠλληγορημένης Ἥρας προσφυῶς ἂν ἐτυμολογοῖτο, οἷα διὰ τῆς τοιαύτης Ἥρας κλέος εὑρὼν ὡς φιλόσοφος. Εἰ καὶ ὁ τεχνικὸς Γεώργιος ἀποτροπιάζεται τὴν τοιαύτην ἐτυμολογίαν, ἧς ἐπὶ πλέον ἀπορραπίζει καὶ τὴν τοῦ Φοίβου, ἣν ἱστορεῖ ὁ γράψας οὕτω· Ἡρακλῆς ἐλθὼν διὰ χρησμὸν ἤκουσε καὶ ταῦτα «Ἡρακλῆ δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει. ἦρα γὰρ ἀνθρώποισι φέρων κλέος ἄφθιτον ἕξεις». ἡ τοιαύτη γὰρ ψιλοῖ τὴν τοῦ Ἡρακλέος ἄρχουσαν, εἴπερ ἀπὸ τοῦ ἦρα γίνεται, ὃ δηλοῖ τὴν χάριν, ὅθεν σύνθετον τὸ ἐπίηρα, ὧν ἀρχὴ τὸ ἐρῶ ἤγουν ἐπιθυμῶ, ψιλούμενον ἀναντιρρήτως καθὰ καὶ τὸ ἦρα, οὗ τὸ ἐντελὲς ἐπιήρανα κατὰ τοὺς παλαιούς.] Καὶ τοιαῦτα μὲν καὶ ταῦτα. Ὅτι δὲ ἡ ἱστορία βασιλέα οἶδε τόπου τινὸς Μολοττικοῦ Ἅιδην καὶ κύνα γενναῖον ἐκείνου τὸν Κέρβερον, ὃν Ἡρακλῆς εἷλεν ἐξ ἐπιταγῆς καὶ τῷ Εὐρυσθεῖ ἐκόμισεν, ἐν ἄλλοις εἴρηται. Ἦλθε δὲ καὶ τοῖς νῦν εἰς πεῖραν Ἅιδης, ἀνὴρ πολυκτήμων Μακεδών. (v. 382—415) Ἔστι δ’ ἐν τούτοις ἡ Ὁμηρικὴ φράσις τοιαύτη «τέτλαθι, τέκνον ἐμόν, καὶ ἀνάσχεο, κηδομένη περ· πολλοὶ γὰρ δὴ τλῆμεν θεοὶ ἐξ ἀνδρῶν, χαλέπ’ ἄλγε’ ἐπ’ ἀλλήλοισι τιθέντες. τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερός τ’ Ἐφιάλτης, παῖδες Ἀλωῆος, δῆσαν κρατερῷ ἐνὶ δεσμῷ.

2.103 χαλκέῳ δ’ ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας. καί νύ κεν ἔνθ’ ἀπόλοιτο Ἄρης, ἆτος πολέμοιο, εἰ μὴ μητρυιὴ περικαλλὴς Ἠερίβοια Ἑρμέᾳ ἐξήγγειλεν. ὃ δ’ ἐξέκλεψεν Ἄρηα ἤδη τειρόμενον, χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα. τλῆ δ’ Ἥρη, ὅτε μιν κρατερὸς παῖς Ἀμφιτρύωνος δεξιτερὸν κατὰ μαζὸν ὀϊστῷ τριγλώχινι βεβλήκει. τλῆ δ’ Ἀΐδης ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστόν, εὖτέ μιν ωὐτὸς ἀνὴρ υἱὸς Διὸς ἐν Πύλῳ ἐν νεκύεσσι βαλὼν ὀδύνῃσιν ἔδωκεν», ὅ ἐστιν ὠδύνησε. καὶ ὁ μέν, φησίν, «ἔβη πρὸς δῶμα Διὸς καὶ Ὄλυμπον, κῆρ ἀχέων, ὀδύνῃσι πεπαρμένος. αὐτὰρ ὀϊστὸς ὤμῳ ἐνὶ στιβαρῷ ἐλήλατο», ἤγουν ἐπέπηκτο, καὶ τὰ ἑξῆς, ἐν οἷς φράζει καὶ περὶ Παιήονος, ὡς τὸν Ἅιδην ἠκέσατο, καὶ κατὰ Ἡρακλέος, οἷος ἦν, καὶ ὡς ὁ Διομήδης Ἀθηνᾶς ἀνιείσης ἀνδραγαθεῖ, καὶ ὡς οὐκ ἀεὶ εὐτυχοῦσιν οἱ θεομάχοι, καὶ περὶ Διομήδους, ὡς χρὴ πτοεῖσθαι, μὴ πρὸ ὥρας χήρα γένηται αὐτῷ ἡ γυνὴ Αἰγιάλεια ὡς θεομαχοῦντι. Περὶ δὲ τούτων πάντων ἐφεξῆς εἰρήσεται. Καὶ τέως πρὸ τῶν ἄλλων ἰστέον ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρᾶται καὶ ἐνταῦθα Ὅμηρος λέξεως ἐπιμονῇ διὰ τὸ καίριον. (v. 382 s.) Εἰπὼν γὰρ «τέτλαθι, τέκνον ἐμόν, καὶ ἀνάσχεο, κηδομένη περ»—παραμυθητικὸς δὲ ὁ λόγος—ἐπάγει ἐπιμένων «πολλοὶ γὰρ δὴ ἔτλημεν. ἔτλη μὲν Ἄρης, ἔτλη δὲ Ἥρη, ἔτλη δὲ Ἀΐδης πελώριος ὠκὺν ὀϊστόν». Καὶ σημείωσαι ὅτι ἐνταῦθα μὲν ἐντελῶς εἶπεν ἐν τῷ «ἔτλη ὠκὺν ὀϊστόν», ἀνωτέρω δὲ ἐλλειπτικῶς ἔλεγεν «ἔτλη Ἥρα,» ὀϊστὸν δηλαδή, ἔτλη ὁ Ἄρης, δηλονότι δεσμόν. Διὸ εἰκὸς καὶ τὸ τέτλαθι καὶ τὸ τλῆμεν τοιοῦτον ἀκολούθως εἶναι, ἵνα ᾖ· τέτλαθι, τέκνον, τὸ τοῦ Διομήδους ἔγχος, καὶ πολλοὶ γὰρ δὴ τλῆμεν, ἄλγεα δηλαδή. Ὅρα δὲ τὸ τέτλαθι καὶ τὸ ἀνάσχεο, ταὐτὰ δοκοῦντα εἶναι καὶ τῇ παραθέσει συντελοῦντα εἰς ἐτυμολογίαν τοῦ σχέτλιος, ὡς εἶναί ποτε σχέτλιον καὶ τὸν κήδεα τλάντα καὶ ἀνασχόμενον. Ἰστέον δὲ καὶ ὅτι ἅπας, ᾧ προσαρμόττει τὸ ἔτλη, ἐκεῖνος τλήμων καὶ τάλας λέγεται. [Οὗ ἀνάπαλιν ἔχει παρὰ τῷ Σοφοκλεῖ ἀτλητῶν, ἤγουν μὴ ἔχων τλήμων εἶναι.] Ὧι δὲ πολλάκις ἐπιλεχθείη, ἐκεῖνος καὶ πολυτλήμων ἂν εἴη, καθὰ καὶ πολύτλας.

2.104 Τὸ δὲ τέτλαθι ἀναδιπλασιασμὸν ἔχει, ὁποῖον καὶ τὸ τέθναθι καὶ τὸ κέκλυθι. Τὸ δὲ κηδομένη ἔχει καὶ ἐνεργητικόν, ὡς δηλοῖ τὸ «τόξοις ἔκηδε θεούς», ὅ ἐστιν ἔβλαπτε. τὸ μέντοι κήδεσθαι, ὃ δηλοῖ τὸ φροντίζειν, οὐδέποτε προφέρεται ἐνεργητικῶς. (v. 385) Κρατερὸς δὲ Ἐφιάλτης εἴη ἂν ὡς καὶ κρατερὸς δεσμὸς ὁ χαλεπός. οὕτω δὲ καὶ κρατερὸς παῖς Ἀμφιτρύωνος. Οὐ γὰρ ἔστι σημαντικὴν οὐδ' ἐνταῦθα ἐπαίνου τὴν τοιαύτην λέξιν εἶναι. Τοῦ δὲ Ἐφιάλτης ἀναλογώτερον ἔχειν δοκεῖ ὁ προρρηθεὶς ἐπίαλτος. οὐ γάρ ἐστι σαφὲς αἴτιον τῆς τοῦ π εἰς φ μεταβολῆς, εἴγε ψιλοῦται τὸ ἰάλλω. (v. 388) Τὸ δὲ «ἀπόλοιτό κεν» ταὐτόν ἐστι τῷ ἀπώλετο ἄν. ἔστι δὲ Ἀττικὸν τὸ ἀντὶ παρῳχημένων χρᾶσθαι τοῖς εὐκτικοῖς, οἷον τῷ ἔλθοι ἀντὶ τοῦ ἦλθε καὶ τῷ δράμοι ἀντὶ τοῦ ἔδραμε, καὶ τοῖς ὁμοίοις, ὧν χρῆσις ἀπειροπληθής. (v. 389) Ἠερίβοια δέ, εἰ μὲν παρὰ τὴν βοὴν γίνεται, καλοῖτο ἂν οὕτως ὡς οἷον ὑψίλαλος κατὰ τοὺς ἠεροφώνους. εἰ δὲ παρὰ τὴν βοῦν, δηλοῦν δοκεῖ ἢ τὴν μελάμβοον ἢ τὴν μεγαλόβοον, ὡς οἷον ἐρίβουν, ἢ τὴν πολύβουν, ὡς πλεονάζειν οὕτω τὸ κατ' ἀρχὴν η . Σχηματισμὸς δὲ τῆς Ἠεριβοίας κατὰ τὴν Εὔβοιαν καὶ ἀλφεσίβοιαν. (v. 390) Ὁ δὲ Ἑρμέας ὡς πρωτότυπον ἐπενθέσει μὲν τοῦ ι Ἑρμείας γίνεται, κράσει δὲ τοῦ ε καὶ α εἰς η Ἑρμῆς. (v. 391) Τὸ δὲ δαμνᾶν πλεονασμὸν ἔχει τοῦ ν Δώριον, ὁποῖος γίνεται καθ' Ἡρῳδιανὸν καὶ ἐν τῷ ἐλαύω ἐλαύνω, δύω δύνω, καὶ τοῖς ὁμοίοις.

2.105 (v. 392) Ὅρα δὲ καὶ ὅτι τὸν Ἡρακλῆν κρατερὸν παῖδα Ἀμφιτρύωνος εἰπών, εἶτα καὶ Διὸς υἱὸν αὐτὸν λέγει, οὐ μόνον διὰ τὸ βασιλικόν, ἀλλ' ἵνα καὶ πιθανοὺς καταστήσῃ τοὺς περὶ αὐτοῦ μύθους, ἤγουν τὴν βολὴν τῆς Ἥρας καὶ τοῦ Ἅιδου. οὐ γὰρ ὁ τοῦ Ἀμφιτρύωνος ἀλλ' ὁ τοῦ Διὸς δύναιτο ἂν τοιαῦτα ποιεῖν. (v. 393) Καὶ σημείωσαι ὅτι ἐνταῦθα καὶ τόπους ὁρίζει ταῖς πληγαῖς διὰ πιθανότητα, εἰπὼν τὴν μὲν Ἥραν δεξιτερὸν κατὰ μαζὸν βληθῆναι ὀϊστῷ τριγλώχινι, τὸν δὲ Ἅιδην ὤμῳ ἐνὶ στιβαρῷ. Ἰστέον δὲ καὶ ὅτι κατὰ μαζὸν ἀλληγορικῶς ἡ Ἥρα βάλλεται, ἤγουν ὁ ἀήρ, διότι ἐπηβόλως, εἰπεῖν δὲ καιριώτερον εὐθυβόλως καὶ ἐπιτυχῶς καὶ εὐσκοπώτατα, ὑπὸ τοῦ φιλοσόφου λόγου νενόηται, ὅτι ζωογόνος ἐστὶν ὁ ἀήρ· τούτου γάρ ἐστι δηλωτικὸν ὁ μαζός, τρέφων τὰ νεογνά. ὅθεν καὶ οὖθαρ ἀρούρης τὸ πῖον λέγεται καὶ θρεπτικόν. (v. 400) Ὁ δὲ Ἅιδης παρὰ τὸν ὦμον βέβληται, ὑψηλὸν ὄντα τόπον ἐν σώματι, διότι εὐσκόπως πάλιν ὁ αὐτὸς Ἡρακλῆς, τουτέστιν ὁ φιλόσοφος λόγος, κοῦφον εἶναι αὐτὸν καὶ ἀνωφορούμενον κατενόησεν. ὅπουγε καὶ αὐτὸς ὁ ὑπόγαιος ἀὴρ τοιοῦτός ἐστι φύσει. ἢ μάλιστα διότι ἡ καιριωτάτη βολὴ τοῦ λόγου κατὰ τοῦ ἀέρος ἄνω που γίνεται, ὅτε τὰ μετέωρα σκέπτεται. καὶ γὰρ θεωρεῖ μὲν αὐτὸς καὶ τὰ κάτω τοῦ Ἅιδου, ἤτοι τοῦ σκοτεινοῦ καὶ μέλανος ἀέρος, καταβαίνων εἰς αὐτὸν καὶ οἷον ἐρεβοδιφῶν. ἐπὶ μᾶλλον δὲ τῆς αὐτοῦ κεφαλῆς ἐφίεται καὶ κατὰ τῶν ἄνω τείνας ἑαυτὸν ἐπιβάλλει τοῖς ἐκεῖ σκοπιμώτατα. (v. 393) Τριγλώχιν δὲ ὀϊστὸς ὁ τῆς φιλοσοφίας τριπλοῦς τρόπος, ὁ ἠθικός, ὁ φυσικὸς καὶ ὁ μαθηματικός, οἷς χρώμενος ὁ Ἡρακλῆς λόγος ἐπιτυχῶς

βάλλει κατά τε ἀνδρῶν καὶ θεῶν, ἤτοι ἐπιτυγχάνει φιλοσοφίας λόγῳ τῆς τῶν θείων τε καὶ ἀνθρωπίνων καταλήψεως.

2.106 Γλωχὶν δὲ ξίφους ἡ γωνία. ὅθεν καὶ γίνεται κατὰ τοὺς παλαιοὺς ὡς οἷον γωνιοχίν τις οὖσα, καὶ ἐν συγκοπῇ καὶ τροπῇ γλωχὶν ἡ γωνίαν ἔχουσα. ἢ καὶ ἄλλως παρὰ τὸ κλῶ, οἱονεὶ κλωχίν τις ἡ κεκλασμένη, ταὐτὸν δ' εἰπεῖν, κλάσμα ἔχουσα. Ἡ δὲ γωνία ὅτι ἀπὸ τοῦ γόνυ κατ' ἔκτασιν γίνεται, δηλοῦσι καὶ αὐτὸ οἱ παλαιοί. (v. 395) Τὸ δὲ «Ἅιδης πελώριος» ἐπιλεχθείη ἄν ποτε ἀστείως καὶ ἀνδρὶ φάγῳ μεγαλοσωμάτῳ. (v. 396) Ἐν δὲ τῷ «ὡὐτὸς ἀνήρ», ἤγουν ὁ αὐτός, ἰστέον ὅτι ἡ ωυ δίφθογγος ἐν μιᾷ μὲν λέξει κατὰ διάλυσιν προάγεται διεξοδικῶς, οἷον θωϋμάσιος ὁ θαυμάσιος, καὶ ἑωϋτοῦ ἀντὶ τοῦ ἑαυτοῦ, ἐν δὲ δυσὶ λέξεσι κέκραται τῷ λόγῳ τῆς συναιρέσεως. Ἔτι ἰστέον ὅτι, ὥσπερ φθογγή φθόγγος, χολή χόλος, [τιμή τῖμος παρὰ τῇ κωμῳδίᾳ τὸ τίμημα], ποθή πόθος, ὠνή ὦνος, βολή βόλος, καὶ ἕτερα, οὕτω πύλη πύλος ἀρσενικῶς οἷον «ἐν πύλῳ βαλών». Οὐ γὰρ ἐν τῇ Πύλῳ τῇ πόλει τὸν Ἅιδην ὁ Ἡρακλῆς ἔβαλεν, ἀλλὰ κάτω ἐν τῇ τῶν νεκρῶν πύλῃ. διὸ καὶ ἑρμηνεύων ἐπάγει «ἐν νεκύεσσι βαλών». [Βόλον δὲ ἀνωτέρω ἔφαμεν τὸν ὁμωνύμως λεγόμενον ἐπί τε τοῦ πεττευτικοῦ καὶ ἐπὶ τοῦ κατὰ τὸ δίκτυον δέ. Ὅθεν καὶ ῥῆμα σπουδαῖον ἐν χρήσει τὸ βολίζειν, ἤγουν βάθος θαλάσσης μετρεῖν μολιβδίνῃ καθέτῳ ἢ τοιῷδέ τινι.] (v. 399) Τὸ δὲ ὀδύναις δεδόσθαι οὐκ ἀπέοικε τοῦ ὀδύναις πεπάρθαι.

2.107 διὸ εἰπὼν «ὀδύνῃσιν ἔδωκεν» ἐπάγει μετ' ὀλίγα τὸ «ὀδύνῃσι πεπαρμένος», προσφυῶς τρέψας. ὡς γάρ τις βέλει, οὕτω καὶ ὀξείαις ὀδύναις πείρεσθαι λέγοιτ' ἄν. [Τροπῆς δέ εἰσι καὶ ἄμφω μύθῳ πρεπούσης. ὡς οἷον γάρ τι σωματοειδὲς αἱ ὀδύναι ὑπόκεινται, αἷς ὁ Ἅιδης δέδοται, ναὶ μὴν καὶ πέπαρται, εἴη δ' ἂν ταὐτὸν εἰπεῖν καὶ ἐλήλαται. (v. 400) Στιβαρὸς δὲ ὦμος, καθὰ καὶ χεὶρ στιβαρά, ὁ πυκνὸς καὶ οὕτω στερρὸς παρὰ τὸ ἔστιβον. ἐξ οὗ καὶ ὁ στίβος καὶ ἡ στιβάς.] Τὸ δὲ ἐλήλατο νῦν μὲν ἐπὶ ὀϊστοῦ κεῖται, ἀλλαχοῦ δὲ καὶ ἐπὶ ἔγχους. καὶ ξίφει δέ τις διελαθῆναι δύναται. (v. 401) Ὅτι ἀνθρωποπαθεῖς τοὺς θεοὺς Ὅμηρος ποιῶν δίδωσιν αὐτοῖς ἀνθρωπίνως καὶ ἰατρὸν ἰώμενον τάς, ὡς εἰκός, συμπιπτούσας πληγάς. ὃν καὶ ἀπὸ τοῦ παίω, τὸ θεραπεύω, ὀνοματοποιεῖ καὶ Παιήονα καλεῖ, ὡς καὶ ἐν τῇ Ἀ ῥαψῳδίᾳ εἴρηται. (v. 400 s.) Ὅς ποτε καὶ τὸν Ἅιδην, φησίν, ὀδυνήφατα φάρμακα πάσσων, ἠκέσατο βληθέντα ὑπὸ τοῦ Ἡρακλέος. Τοῦτο δὲ διὰ τὸ πιθανὸν τοῦ μύθου λέγει, ἵνα καὶ τὸν Ἄρην ἐνταῦθα ἰάσηται ὁ αὐτός. Τὴν γὰρ Ἀφροδίτην οὐδενὸς τοιούτου ἀξιοῖ ὁ ποιητής, ἀλλὰ τῇ τῆς Διώνης μόνῃ ἐπαφῇ θεραπεύει, διότι τε οὐκ ἀξιόλογον τὸ τραῦμα καὶ ὅτι οὐδὲ θέλει πολυλογεῖν καὶ εἰς οὐδὲν δέον ταὐτολογεῖν. Ὅτι δὲ παιήων λέγεται καὶ ὕμνος εἰς Ἀπόλλωνα, ἐν τῇ Ἀ καὶ αὐτὸ εἴρηται.

2.108 λέγεται δὲ παιήων καί τι μέλος ἐπινίκιον, ὁποῖον Ἀχιλλεὺς ᾄδει ἀνελὼν τὸν Ἕκτορα, ὡς ἐν τοῖς ἑξῆς φαίνεται. Ὀδυνήφατα δὲ τά, ὡς εἰπεῖν, ἀκεσώδυνα. ταὐτὸν γὰρ οὕτως ἢ οὕτως εἰπεῖν, ὡς τοῦ ἀκέσασθαι ὀδύνην καὶ τοῦ ὀδύνην φᾶσαι, ἤτοι φονεῦσαι, ὡς οἷά τινα πολεμίαν, ταὐτὰ δηλούντων. ἐνέργειαν δὲ σημαίνει τὸ ὀδυνήφατον. Ἀνάπαλιν δὲ τούτου πάθος τὸ μυλήφατον καὶ τὸ πρόσφατον ἐν τῷ «πρόσφατος νεκρός», ὁ ἐγγὺς καὶ πρὸ ὀλίγου φονευθείς. Ἔστι δέ πως καὶ διασαφητικὸν τῶν ἐνταῦθα φαρμάκων τὸ ὀδυνήφατα. εἰ γὰρ ὀδυνήφατά εἰσι, φέρουσιν ἄρα ἄκος, ὡς δηλοῖ καὶ τὸ ἠκέσατο, οὐ μὴν ἄχος, ὃ τοῖς φαύλοις φαρμάκοις ἐτυμολογικῶς ἔγκειται. (v. 401 s.) Τὸ δὲ πάσσων ῥιζοτόμον ἐμφαίνει καὶ τὸν Παιήονα, καὶ ἄλλως δέ, βοτανῶν ἐπιλέκτην, ἃς τρίβων ἐπέπασσε τοῖς χρῄζουσι, ῥᾷον ἰώμενος, ὡς δῆλον ἐκ τοῦ «οὐ μὲν γάρ τι κατὰ θνητούς γ' ἐτέτυκτο», ἢ μάλιστα «καταθνητός γ' ἐτέτυκτο», ἐν ἑνὶ μέρει λόγου κατὰ τὸ «θεοῦ ἐπιμῆνις» καὶ «βοῶν ἐπιβουκόλος» καὶ «καταθνητῶν ἀνθρώπων» καὶ ὅσα τοιαῦτα. Ἔπαινος δὲ ἀγαθοῦ ἰατροῦ τὸ ῥηθέν. (v. 403) Ὅτι βαρυνομένη κατὰ Ἡρακλέος ἡ Διώνη φησὶ κομματικῶς, ὑβρίζουσα κατὰ σχῆμα σφοδρότητος, οὕτω «σχέτλιος, ὀβριμοεργός, ὃς οὐκ ὄθετ' αἴσυλα ῥέζων», ἤγουν οὐκ ἐπεστρέφετό τινος ἀδικῶν. (v. 404) Εἶτα καὶ τὸ εἶδος τῆς ἀδικίας ἐκτιθεῖσά φησιν «ὃς τόξοισιν ἔκηδε θεούς», ὅ ἐστιν ἔβλαπτε. (v. 403) Καὶ σημείωσαι ὅτι τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σχέτλιος οὐδ᾽ ἐνταῦθα πάνυ τραχεῖα ὕβρις ἐστίν, ὡς οὐδὲ τὸ ὀβριμοεργός, ἀλλὰ τὸν ὀξὺν δηλοῖ καὶ ἰταμὸν καὶ σφοδρὸν εἰς τὸ ποιῆσαί τι οὐκ ἀγαθόν, ὃν ἔδει μὴ τοιοῦτον εὐθὺς εἶναι, ἀλλὰ σχέσθαι καὶ τλῆναι.

2.109 Χρήσιμον δὲ τὸ «σχέτλιος» καὶ ἑξῆς ὅλον τὸ ἔπος εἰς ψόγον ἐμβριθοῦς ἀδίκου ἀνδρός. [Σημείωσαι δὲ ὡς τῶν αὐτῶν ῥημάτων συντιθέντων τήν τε γεωργικὴν ἐχέτλην καὶ τὸν σχέτλιον, ὅμως ἐν ἀμφοῖν πολλὴ ἡ κατὰ νοῦν διαφορά. Σχέτλιος μὲν γὰρ ὁ προσεχῶς δηλωθείς, ἐχέτλη δέ, ἧς ἔχεταί τις τλημόνως.] Τί δέ ἐστι τὸ αἴσυλον καὶ ὅθεν γίνεται, φανεῖται ἀλλαχοῦ. Ἐνταῦθα δὲ ἰστέον καὶ ὅτι ὁ αἴσυλα ῥέζων καὶ αἰσυλοεργός λέγεται ἀναλόγως τῷ ὀμβριμοεργός. Ὅρα δὲ καὶ τὸ «ὅς» δὶς κείμενον συνεχῶς κατὰ σχῆμα ἐπαναφορᾶς ἐν τῷ «ὃς οὐκ ὄθετο» καὶ «ὃς ἔκηδεν». (v. 406 s.) Ὅτι, ὡς καὶ προεγράφη, τὸ νήπιος ἐπιφωνεῖν εἴωθεν ἐν ἀρχῇ στίχου πολλαχοῦ ἡ ποιητικὴ Μοῦσα τοῖς ἄξιόν τι λόγου πταίσασιν, ὡς καὶ ἐνταῦθα «νήπιος», ὁ Διομήδης δηλαδή, «οὐδὲ τὸ οἶδε κατὰ φρένα καὶ κατὰ θυμόν, ὅττι μάλα οὐ δηναιός, ὃς ἀθανάτοισι μάχεται». Τοῦτο δὲ παρῳδηθὲν δύναται γνωμικὸν ὀρθὸν σὺν τοῖς ἑξῆς γίνεσθαι, οἷον ἵνα εἴπῃ τις, ὅτι μάλα οὐ δηναιός, ὃς ἄν γε θεῷ μάχηται, οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσιν ἐλθόντ᾽ ἐκ πολέμου καὶ αἰνῆς δηϊοτῆτος. Περὶ ἧς διὰ τί ὀξύνεται ἐν τῇ εὐθείᾳ—ἡ δηϊοτής γάρ ἐστιν, ὡς ἡ βραδυτής—ῥηθήσεται ἀλλαχοῦ. Σημείωσαι δὲ ἐνταῦθα τὸ καινοπρεπὲς τῆς συντάξεως. Εἰπὼν γὰρ «σοὶ δ᾽ ἐπὶ τοῦτον ἀνῆκεν ἡ Ἀθηνᾶ», ἐπάγει εὐθὺς τὸ νήπιος, τελείαν στίξας εἰς τὸ Ἀθηνᾶ. καὶ οὐδὲν μὲν ἐκώλυεν εἰπεῖν «σοὶ δὲ τοῦτον ἀνῆκεν ἡ Ἀθηνᾶ νήπιον» κατὰ πτῶσιν αἰτιατικήν, προέκρινε δὲ τὸ καινόσχημον.

2.110 (v. 408) Ἰστέον δὲ ὡς, εἰ καὶ ἀφελὴς ἔννοια τὸ «οὐδέ τι μιν παῖδες ποτὶ γούνασι παππάζουσιν», ἀλλ᾽ ἔχει ἄλλως ὕψος ὁ λόγος διὰ τὸ τῆς γνώμης ἔνδοξον. διδάσκει γὰρ ὅτι τῶν θεομάχων οἱ παῖδες ταχὺ ὀρφανίζονται. Ὠνοματοπεποίηται δὲ τὸ παππάζειν, ὡς καὶ τὸ ποππύζειν, καὶ δηλοῖ τὸ βρεφικῶς προσφθέγγεσθαι τὸν πατέρα. Ἐκ δὲ τῆς λέξεως ταύτης καὶ ὁ πάππος, καὶ πάππας, αὐτὸς ὁ πατήρ, πᾶς λεγόμενος μονοσυλλάβως κατὰ βρέφους προσφώνησιν, καθά φασιν οἱ παλαιοί, ὥσπερ καὶ μᾶ ἡ μήτηρ, καὶ κατὰ ἀναδιπλασιασμὸν πάπας καὶ παπίας, ὡς μαμμία ἡ ῥηθεῖσα μᾶ. Ἐνταῦθα δὲ χρήσιμον καὶ τὸ τοῦ Ἀρριανοῦ εἰπόντος ἐν Βιθυνιακοῖς, ὅτι ἀνιόντες εἰς τὰ ἄκρα τῶν ὀρῶν Βιθυνοὶ ἐκάλουν πάπαν τὸν Δία καὶ Ἄττιν τὸν αὐτόν. Ὁμοίως καὶ Ἡροδότου τὸ «καλεῖται Ζεὺς ὑπὸ Σκυθῶν ὀρθότατα Παπαῖος». ἐξ ὧν συνάγεται θείαν εἶναί τινα λέξιν τὸ πάπας καὶ πάππος καὶ τὰ τοιαῦτα. Ἰστέον δὲ καὶ ὅτι ὁμώνυμος ὢν ὁ πάππος δηλοῖ, ὡς ἐξ ὁμοιότητος ἴσως τοῦ παρ᾽ ἡμῖν προγόνου γέροντος πάππου, καὶ τὸ ἀκάνθινον ἐν ξηρότητι πολίωμα, ὅπερ Ἄρατος λευκῆς γήρειον ἀκάνθης λέγει. καὶ ὅτι παππάζειν μὲν ἐπὶ μόνων ἀνθρώπων, ποππύζειν δὲ καὶ ἐπὶ ἀλόγων. οὐ γὰρ μόνον τροφέες βρέφη, ἀλλὰ καὶ ἵππους καὶ βόας οἱ τημελοῦντες ποππύζουσι.

2.111 καὶ ὅτι τὸ ποππύζειν καὶ ποππυλιάζειν λέγεται Δωρικῶς. Θεόκριτος «καὶ ἁδύ τι ποππυλιάσδει». τινὲς δὲ αὐτὸ παππυλιάσδει γράφουσι. Παρὰ δὲ τοῖς παλαιοτέροις φέρεται καὶ ὅτι πάπας τῇ Ῥωμαίων φωνῇ πατέρα σημαίνει, καὶ ὅτι Ῥωμαῖοι μὲν αὐτὸ βαρυτόνως προφέρουσιν, ἡμεῖς δὲ περισπωμένως. Ἄλλοι δέ, ὅτι παρὰ Συρακουσίοις πάπας ὁ πατήρ. ὃ κατὰ ἀναδιπλασιασμὸν πάππας γίνεται, προσφώνησις ὂν τιμητικὴ υἱῶν πρὸς πατέρα. καὶ ὅτι κολακεύειν τί ἐστι τὸ ποππύζειν καὶ πόππυσμα κολακεία ἵππων ἀδαμάστων. Ἐν δὲ ἐκθέσει συγγενικῶν λέξεων φερομένων ἐν Ῥητορικῷ Λεξικῷ γράφεται καὶ ταῦτα· παππίζειν τὸ πάππαν καλεῖν καὶ παππίαν. οὕτω δὲ τὸν πατέρα οἱ Ἀττικοὶ ὑποκορίζονται. τὸν δὲ τροφέα πάππαν οὐδείς, φησίν, Ἕλλην καλεῖ. Καὶ ὅτι τῶν συγγενικῶν ὀνομάτων τὰ μέν ἐστι κοινὰ πάντων, οἷον πατήρ, μήτηρ, ἀδελφός καὶ τὰ ὅμοια—Λέγω δὲ ὅτι πᾶς ἂν εἴποι πατέρα τὸν δεῖνα τοῦ δεῖνος, καὶ υἱὸν καὶ ἀδελφόν—, τὰ δ᾽ ἐκ προσώπου λέγεται ἰδίως, οἷον ἄπφαν τὴν ἀδελφὴν Ἀττικῶς μόνη ἡ ἀδελφὴ εἴποι ἄν, καὶ πάππαν τὸν πατέρα μόνος ὁ παῖς, ὥσπερ καὶ μαμμίαν τὴν μητέρα καὶ τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅμοια, ἐν οἷς θήσει τις καὶ τὸ ἠθεῖος. Ἰστέον δὲ ὅτι ἐκ τοῦ, ὡς ἐρρέθη, ἄπφα γίνεται καὶ τὸ ἄπφιον, ὑποκόρισμα ὂν ἐρωμένης.

2.112 Τινὲς δὲ καὶ αὐτὸ τὸ ἄπφα ὑποκόρισμά φασιν Ἀττικόν. ὁ μέντοι ἀπφὺς παρὰ Θεοκρίτῳ πατρὸς κλῆσις, ἣν βρέφος ἂν προσείποι πατέρα τόν, ἀφ' οὗ ἔφυ. τοιοῦτον γάρ τι ἡ λέξις ὑποβάλλει νοεῖν. [Ἰστέον δὲ ὅτι, καθὰ λόγῳ συγγενικῷ πάππος ὁ τοῦ πατρὸς πατὴρ καὶ ἐπίπαππος πατὴρ πάππου, ὁ καὶ πρόπαππος, οὕτω καὶ τήθη βαρυτόνως ἢ τηθή ὀξυτόνως ἡ τοῦ πατρὸς μήτηρ καὶ ἡ τῆς μητρὸς δέ. Ἡ μέντοι τηθὶς ἄλλο τι ἐστιν, ἀναλογοῦσα τῷ θείῳ, περὶ οὗ ἀλλαχόθι δηλοῦται. Ἔτι ἰστέον καὶ ὅτι κωμῳδίας ἴδιον παππίζειν λέγειν διὰ τοῦ ἰῶτα τὸ καθ' Ὅμηρον παππάζειν διὰ τοῦ ἄλφα. Ὡς δὲ πάππος καί τι γενείου δηλοῖ καὶ ἀκάνθης δὲ λευκὸν ἐξάνθημα, ὅθεν καὶ τὸ γήρειον παρῆκται, ἀλλαχοῦ δεδήλωται.] (v. 408) Τὸ δὲ «ποτὶ γούνασιν» ἐλλιπῶς μὲν ἔχει τῆς φράσεως διὰ τὴν τοῦ λαλοῦντος προσώπου ἀγωνίαν. τὸ γὰρ ὅλον ἦν εἰπεῖν «ποτὶ γούνασιν ἑζόμενοι». Ἔθος δὲ δηλοῖ βρεφοκομούντων, οἳ γούνασιν ἐφέζουσι τὰ βρεφύλλια, ὡς καὶ ἐν τοῖς ἑξῆς που δηλοῖ ὁ ποιητής. (v. 410 s.) Ὅτι περί τινος ἀκαίρως ἀλαζονευομένου, ἐφ' οἷς ἐνίκησεν οὐ μέγαν τινά, εἴποι τις ἂν ὡς, εἰ καὶ μάλα καρτερός ἐστι, φραζέσθω, μή τίς οἱ ἀμείνων ἄλλος μάχηται. Διώνη δὲ τοῦτο περὶ Διομήδους φησίν. (v. 412—5) Ὅτι τριῶν θυγατέρων Ἀδράστου Αἰγιάλεια μὲν ἡ νεωτάτη γυνὴ Διομήδους ἦν, Ἀργεία δὲ Πολυνείκους, Δηϊπύλη δὲ Τυδέως. οἱ μὲν οὖν μεθ' Ὅμηρον ἐκμανῆναί τε τὴν Αἰγιάλειαν περὶ πορνείαν ἱστοροῦσιν Ἀφροδίτης χόλῳ, διότι ὑπὸ Διομήδους ἐτρώθη, καὶ Σθενέλῳ τῷ τοῦ Κομήτου, ὃν φύλακα τοῦ Ἄργους εἴασεν ὁ Διομήδης, φασὶν αὐτὴν ἐμφύεσθαι κατὰ ἔρωτα μοιχικόν. καὶ τἄλλα λέγουσιν, ὅσα καὶ Λυκόφρων ἱστορεῖ. Ὅμηρος μέντοι περίφρονα καὶ ἰφθίμην αὐτήν φησι καὶ φίλανδρον εἶναι λέγει καὶ πενθεῖν ἐπὶ τῇ τοῦ Διομήδους ἀποδημίᾳ ἱστορεῖ. Φησὶ γοῦν «μὴ δὴν Αἰγιάλεια περίφρων Ἀδρηστίνη ἐξ ὕπνου γοόωσα φίλους οἰκῆας ἐγείρῃ κουρίδιον ποθέουσα πόσιν, τὸν ἄριστον Ἀχαιῶν, ἰφθίμη ἄλοχος Διομήδεος».

2.113 (v. 413) Ἐνταῦθα δὲ οἰκῆας, ὡς δοκεῖ τοῖς παλαιοῖς, οὐ τοὺς δούλους ὁ ποιητὴς λέγει, ἀλλὰ ἁπλῶς τοὺς ἐν τῷ οἴκῳ ἢ τοὺς οἰκείους. διὸ καὶ φίλους οἰκῆάς φησι. [Φέρεται δ' ἐν τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους καὶ περὶ οἰκετῶν λόγος, ὅτι οὐ μόνον οἱ κατ' ἀγροὺς ὑπουργοὶ οὕτως ἐλέγοντο, ἀλλὰ καὶ οἱ ἐν οἰκίαις ἐλεύθεροι, ὡς ἂν εἴποι τις «οἰκῆται» μεταλήψει τοῦ η . παράγει δὲ αὐτὸς καὶ παροιμίαν ἐξ Εὐριπίδου λέγουσαν «ἔνδον γυναικῶν καὶ παρ' οἰκέτας λόγος», ἤγουν ἐν τοῖς κατ' οἰκίαν λαλητέον ἂν εἴη τὰς γυναῖκας, ἔξω δὲ οὐκ ἐξιτέον, οὐδὲ ἀλλοτρίων παρόντων λυτέον τὴν λαλιάν.] (v. 414) Τὸ δὲ ἄριστον Ἀχαιῶν πρὸς παρηγορίαν Ἀφροδίτης εἴρηται ὑπὸ τῆς μητρός, ἵνα μὴ δοκῇ ὑπὸ τοῦ τυχόντος τετρῶσθαι—ἄλλως γὰρ οὐ πάντων Ἀχαιῶν ἄριστος ὁ Διομήδης ἦν—ἢ καὶ ἄλλως ὁ ἄριστος τὸν ἁπλῶς ἀριστέα δηλοῖ. πιστὸς δὲ ὁ ἐκ τῶν ἐχθρῶν ἔπαινος. (v. 415) Ὅρα δὲ καὶ ὅτι τῷ ἀρίστῳ καὶ ἡ ἄλοχος ἰφθίμη προσμεμαρτύρηται, ὡς καὶ ἡ Πηνελόπη τῷ Ὀδυσσεῖ. Ἔστι δὲ πάντως τὸ ἰφθίμη ταὐτὸν τῷ ἀνδρεία, ὅπερ ἀλλαχοῦ δαΐφρων φησί. τοῦτο δὲ πρὸς διαστολὴν ἄλλων εἴρηται γυναικῶν, αἳ φύσει ἀνάλκιδές εἰσι καὶ θηλύτεραι, ὡς καὶ ὁ ποιητὴς ἔφη ἐν τῷ «γυναῖκας ἀνάλκιδας ἠπεροπεύεις». καὶ τάχα, ὅσας μὲν ἡ Ἀφροδίτη ἠπεροπεύει, αὗται ἀνάλκιδες, αἱ δὲ μὴ τοιαῦται ἴφθιμαί εἰσιν. (v. 413—5) Ἰστέον δὲ καὶ ὅτι τὸ «ἐξ ὕπνου γοόωσα» καὶ ἑξῆς ἕως τοῦ «ἄριστον Ἀχαιῶν» καὶ γυναικὶ ἂν ἁρμόσῃ χηρωθείσῃ μὲν ἀνδρός, πενθούσῃ δὲ πολλὰ ἐπ' ἐκείνῳ, ὁποῖον δή τι πάθοι ἂν καθ' Ὅμηρον καὶ ἡ Αἰγιάλεια θανόντος τοῦ ἀνδρός.

2.114 οὕτω καὶ τὴν Πηνελόπην ἱστορεῖ κλαίουσαν ἐπὶ τῷ Ὀδυσσεῖ οὐ μόνον μεθ' ἡμέραν, ἀλλὰ καὶ νυκτός, ὃ μάλιστα φιλίας πλείονος ἔνδειξις. [Ἐπίτασιν δὲ γόου δηλοῖ τὸ δι' αὐτοῦ νύκτωρ τοὺς κοιμωμένους ἀφυπνίζεσθαι.] (v. 416) Ὅτι ὥσπερ τὸν ἱδρῶτα ἱδρῶ λέγει κατὰ ἀποκοπὴν ὅλης συλλαβῆς, οὕτω τὸν ἰχῶρα ἰχῶ, οἷον «ἀμφοτέρῃσιν ἀπ' ἰχῶ χειρὸς ὀμόργνυ». καὶ ἔστιν ὅμοιον καὶ τὸ τὸν κυκεῶνα εἰπεῖν κυκεῶ, καὶ Ἀπόλλω τὸν Ἀπόλλωνα. Τὸ δὲ γράφειν ἰχῶρ μετὰ τοῦ ρ

κατὰ ἀποκοπὴν μόνου τοῦ τελευταίου φωνήεντος οὐ πάνυ ἀρέσκει τοῖς παλαιοῖς διά τε τὴν καινότητα τῆς ἀποκοπῆς καὶ ἵνα μὴ συμφωνῇ τῇ εὐθείᾳ. Ἰστέον δὲ ὅτι τοῦ Γεωγράφου ἱστοροῦντος καινήν τινα ἀποκοπὴν τοῦ ἧλος ἧλ, οἷον δαιμόνιος ἧλ, οὐ πάνυ ξενίζον ἂν εἴη τὸ εἰπεῖν τὸν ἰχῶρα ἰχῶρ. Τὸ δὲ ἀμφοτέρησιν ἀπὸ κοινοῦ ἔχει νοούμενον τὸ χερσί. Τὸ δὲ ὀμόργνυε γίνεται μὲν ἀπὸ τοῦ ὀμόργω, ὡς ἄγω ἀγνύω, καθὰ καὶ ἑτέρωθι ἐρρέθη. δηλοῖ δὲ τὸ ἀπεπίεζε. Τὸ δὲ ὀμόργω ἀπὸ τοῦ ἀμέλγω ἔχει τὴν παραγωγήν, ὃ καὶ ἀμέργω λέγεται, ὡς προείρηται. (v. 417) Ὅτι ἐπὶ συντόμου θεραπείας σώματος οἰκεῖον τὸ «ἄλθετο χείρ», ἢ ἄλλο τι μέρος σωματικόν, «ὀδύναι δὲ κατηπιόωντο βαρεῖαι». Καὶ σημείωσαι, ὡς ψιλοῦται τὸ ἤπιον. οὐ γὰρ λέγει καθηπιόωντο, ἀλλὰ ψιλῶς κατηπιόωντο. δῆλον δ' αὐτὸ καὶ ἐν τοῖς ἑξῆς ἐκ τοῦ «ἐπί τ' ἤπια φάρμακα πάσσειν». Τῶν δέ γε μεθ' Ὅμηρόν τινες ἐδάσυνον αὐτὸ ἐκ τοῦ ἥδω παράγοντες. Ὅρα δὲ καὶ ὅτι ἀσυνδέτως εἰσήγαγε κατὰ λόγον γοργότητος τὸ «ἄλθετο χείρ», δηλῶν καὶ ἐν τῷ σχήματι τὸ ταχὺ τῆς θεραπείας.

2.115 Παρῆκται δὲ τὸ ἄλθετο ἐκ πρωτοτύπου θέματος τοῦ ἄλθω, ἀφ' οὗ τὸ ἀλθαίνω. (v. 418—25) Ὅτι Ἀθηνᾶ καὶ Ἥρα σιλλαίνουσαι ἀστείως καὶ κερτομοῦσαι τὴν τῆς ἀνάλκιδος Ἀφροδίτης πληγὴν κωμικώτερον, ὡς δῆθεν οὔτε ἐκ δόρατος οὔτε ἐν πολέμῳ γενομένην, φασὶν ἀμύξασθαι τὴν αὐτῆς χεῖρα περόνῃ τινὸς γυναικὸς Ἀχαΐδος, καταψώσης ἐκείνην καὶ ἀνιείσης, ἤτοι ἀναπειθούσης, εἰς ἁρπαγήν, ὡς δηλαδή ποτε καὶ τὴν Ἑλένην ἠπάτησε. Φασὶν οὖν· «ἦ μάλα δή τινα Κύπρις Ἀχαιϊάδων ἀνιεῖσα Τρωσὶν ἅμ' ἑσπέσθαι, οὓς ἔκπαγλ' ἐφίλησε, τῶν τινα καρρέζουσα Ἀχαιϊάδων ἐϋπέπλων πρὸς χρυσῇ περόνῃ καταμύξατο χεῖρα ἀραιήν». καὶ αὐταὶ μὲν οὕτως. Ὁ δὲ Ζεὺς ἐπὶ τῷ σκώμματι οὐ γελᾷ—σεμνῶν γὰρ προσώπων ὁ ἐπὶ τοιούτοις γέλως ἀλλότριον—, ἀλλὰ μειδιᾷ, ὃ πολλῷ τοῦ γελᾶν σεμνότερον, γέλως ὂν ἠρεμαῖος, ἀνακεκραμένος συννοίᾳ. Καὶ σημείωσαι ὅπως ὁ καὶ τὰ τοιαῦτα δεξιὸς ποιητὴς ἐνταῦθα εὐφυῶς τὴν Ἀφροδίτην ἐκωμῴδησεν, οὐκ αὐτὸς ἐκ προσώπου οἰκείου, ἀλλὰ διὰ Ἀθηνᾶς καὶ Ἥρας, αἳ κερτομίοις ἐπέεσσιν ἐπὶ τῇ Ἀφροδίτῃ τὸν Δία ἐρέθιζον. Ὅρα δὲ καὶ τὴν μέθοδον. Ἐπεὶ γὰρ οὐκ ἔδει μὲν τοιούτοις ἐναγωνίοις τόποις παρεντεθῆναι σκώμματος ἱλαρότητα, ἄλλως δὲ πάλιν ἦν ἀνάγκη τοῦτο γενέσθαι διὰ τὴν τῶν προσώπων ποιότητα τῶν μισούντων τὴν Ἀφροδίτην, ποιεῖ ὁ ποιητὴς εὐμεθόδως τὸ πρᾶγμα, καὶ προεπισημηνάμενος ὡς, εἰ καὶ φορτικὸν ἐνταῦθα τὸ σκώπτειν, ὅμως ἀναγκαῖον οὕτως ἐπάγει τὸ σκῶμμα. (v. 421—5) Φησὶ γὰρ «Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι, ὅττι κεν εἴπω» καὶ τὰ ἑξῆς.

2.116 οἱονεὶ γὰρ πρὸς τὸν πολύνουν ἀκροατὴν ἐνταῦθά φησιν ὁ ποιητὴς ὡς, εἰ καὶ μὴ καιρὸς ἱλαρότητος ἐνταῦθα, ὅμως διὰ τὰ πρόσωπα τὰ ὑποκείμενα χρηστέον λόγῳ κερτόμῳ. συγγνώμην οὖν ζητεῖ τρόπον τινὰ ἐπὶ τῇ κερτομίᾳ καὶ συγγινώσκεται πρός γε Διός, ἤτοι τοῦ ὀρθὰ νοοῦντος. Ὅρα δὲ καὶ ὅπως ἀστεῖος ὁ λόγος καὶ πολυειδής. Προαγωγείαν τε γὰρ καταλέγει τῆς Κύπριδος καὶ ψεκτὴν φιλανδρίαν αὐτῆς ὑπολαλεῖ τὴν ἐπὶ τοῖς βαρβάροις Τρωσὶ καὶ ἀδικίαν αὐτῆς ἐμφαίνει τὴν ἐπὶ τῇ ἁρπαγῇ τῆς Ἑλένης καὶ μαλακότητα δὲ κατηγορεῖ, ὡς ἐπὶ πληγῇ οὐκ ἀξιολόγῳ ἀχθομένης ἀλλ' ἐπὶ μόνῳ ξέσματι. (v. 425) Τοῦτο γὰρ δηλοῖ τὸ ἀμύσσεσθαι, ἐξ οὗ καὶ ἡ ἀμυχὴ γίνεται, ὡς τὸ «ἀμυχὰς ξεσμάτων ἐπιφερόμενος», καὶ τὸ ἄμυγμα, οἷον «πολιᾶς ἀμύγματα χαίτης». Ὥσπερ δὲ τὸν ὑπὸ ὀϊστοῦ οὐκ ἐν καιρίῳ βληθέντα σκώπτων τις εἴποι ἂν τυχὸν ὑπὸ μυίας δηχθῆναι, οὕτω πως ἡ Ἀθηνᾶ τὴν τοῦ δόρατος ἐνταῦθα πληγὴν ἀμυχῇ περόνης εἰκάζει, ἣν ἐν τοῖς στήθεσιν ἐφόρουν αἱ παλαιαὶ γυναῖκες, δι' ἧς τὸ κεχηνὸς τοῦ πέπλου συνήγετο, Δωριέων καταρξάντων τοῦ τοιούτου ἱματισμοῦ. Φησὶ γοῦν Ἡρόδοτος γυναικείαν ἐσθῆτα Δωρίδα τὴν ἔχουσαν περόνας. τοιαύτη δέ, φησίν, ἡ ἀρχαία πᾶσα ἐσθὴς τῶν γυναικῶν. τὸν δὲ λίνεον, φησί, χιτῶνα αἱ περὶ τὴν Καρίαν εἶχον. Σημείωσαι δὲ καὶ ὅτι καλῶς οὐ τῇ Ἥρᾳ δέδοται ὁ ῥηθεὶς σκωπτικὸς λόγος. ἦν γὰρ σεμνοτάτη καὶ καθ' Ὅμηρον πρεσβυτάτη καὶ οὐ πρέπουσα τοιούτοις λόγοις. ἡ Ἀθηνᾶ δὲ κερτομεῖ ὡς καὶ νεωτέρα καὶ τῇ

Ἀφροδίτῃ πάντῃ ἀντίθετος, κατὰ μῦθον μὲν ὡς καθαρὰ μοιχαλίδι, κατὰ δὲ ἀλληγορίαν ὡς ἂν ἀντιπίπτοι τῇ ἀλογίᾳ ἡ φρόνησις Ἀθηνᾶ. Ὅτι δὲ οὐκ ἀξιόλογα πάνυ τὰ τῆς πληγῆς τῆς Ἀφροδίτης, δηλοῖ καὶ τὸ μὴ δεηθῆναι αὐτήν, ὡς εἴρηται, τοῦ Παιήονος. (v. 424 s.) Ὅρα δὲ καὶ ὅτι μετὰ τὸ Ἀχαιϊάδων ὀλίγον τι ἐπεμβαλὼν εὐθὺς χάριν σαφηνείας ἐπανέλαβεν, εἰπών· τῶν τινα, ἤγουν τούτων τῶν Ἀχαιϊάδων, καταρρέζουσα ἐξέσθη τὴν χεῖρα.

2.117 [Ποιεῖ δὲ τὴν τοιαύτην ἐπανάληψιν ἀναγκαίως οὐ διὰ κωλικὴν σχοινοτένειαν, ἀλλὰ διότι πάνυ χρειῶδες εἰς τὸ προκείμενον νόημα οὐ μόνον τὸ «ἀνιεῖσα», ἀλλὰ καὶ μᾶλλον τὸ «καρρέζουσα». διὸ εἰπὼν ἐν πρώτοις τὸ ἀνιεῖσα, ἔθετο ἐν τῇ ἐπαναλήψει καὶ τὸ λίαν καιριώτατον, ἤγουν τὸ καρρέζουσα.] Ὅρα δὲ καὶ τὸ καταρρέζουσα ἤτοι καταψῶσα. ἡ γὰρ οὕτω ποιοῦσα εἰκότως ἂν ἀμυχθείη χεῖρα τῇ πρὸ τοῦ στήθους περόνῃ. Δῆλον δὲ καὶ ὅτι δεξιᾷ χειρὶ ὡς τὰ πολλὰ γίνεται τὸ καταψᾶν. τὴν δεξιὰν ἄρα χεῖρα ἔοικε τετρῶσθαι ἡ Ἀφροδίτη, τὴν καταρρέζουσαν, ὅπερ καὶ τῇ ἀλληγορίᾳ συντρέχει. Ὡς γὰρ προείρηται, τοῦ Ἄρεος εἰς τὰ ἀριστερὰ τῆς μάχης ὄντος, ὁ Διομήδης εἰς τὰ δεξιὰ εὐδοκίμησε. διὸ καὶ χεῖρα ἁραιήν, τὴν διχῶς πνευματιζομένην, οὐ νοητέον ἀριστερὰν ἀλλ᾽ ἀσθενῆ κατὰ τοὺς παλαιούς. Τὸ δὲ «πρὸς χρυσῇ περόνῃ» ταὐτόν ἐστι τῷ ἐγγὺς τῆς χρυσῆς περόνης. Ἀττικὸν δὲ τὸ δασύνειν τὴν ἁραιήν. (v. 428) Ὅτι πρὸς τὸν ἐπαγγελλόμενον ἔργα στρατιωτικὰ ἢ ἀθλητικά, ὅσα μὴ δεξιῶς ἔχει ποιεῖν, καλὸν λεχθῆναι τὸ «οὔ τοι δέδοται πολεμήϊα ἔργα». (v. 429) Εἰ δὲ καὶ περὶ ἔρωτας ὁ τοιοῦτος πονεῖται, προσεπιλεκτέον καὶ τὸ «ἀλλὰ σύ γ᾽ ἱμερόεντα μετέρχεο ἔργα γάμοιο». Ζεὺς δὲ ταῦτα πρὸς τὴν Ἀφροδίτην φησὶ τὴν ἄναλκιν, λέγων καὶ ὅτι ταῦτα δ᾽ Ἄρηϊ θοῷ καὶ Ἀθήνῃ μελήσει, ὡς καὶ ἀλληγορικῶς καὶ μυθικῶς τῆς Ἀφροδίτης μὲν ἀπολέμου οὔσης, πολεμικῶν δὲ τῆς Ἀθηνᾶς καὶ τοῦ Ἄρεος. Τὰ δὲ ἱμερόεντα, ταὐτὸν δ᾽ εἰπεῖν ἐρόεντα καὶ ἱμερτά, ἐκ τοῦ ἱμείρω λέγεται, προσεχέστερον δὲ εἰπεῖν, ἐκ τοῦ ἵμερος, ὃν Εὐριπίδης ὡς φάρμακον Ἀφροδίτης πλάττει ἰῶδες ἐν τῷ «μήποτ᾽ ἐπ᾽ ἐμοὶ χρυσέων τόξων ἐφίῃς ἱμέρῳ χρίσας᾽ ἄφυκτον ὀϊστόν».

2.118 Τὸ δὲ «ἔργα γάμοιο» ἔχει τι κάλλους, εἰ καὶ ἀμυδρὸν κατὰ τοὺς ῥήτορας, ἐν τῷ τὴν λήγουσαν τῆς πρώτης λέξεως ἀρχὴν τῆς δευτέρας γίνεσθαι. (v. 430) [Τὸ δὲ «Ἄρηϊ θοῷ» καὶ ἑξῆς, προαναφώνησις καιρία ἐστίν, ὡς τοῦ Ὁμηρικοῦ Διός, ὅ ἐστι νοός, μετ᾽ ὀλίγα τερατευσομένου πολεμικήν τινα περιπέτειαν ἐν Ἀθηνᾷ καὶ Ἄρεϊ, δι᾽ ἧς ὁ Διομήδης φανεῖται σεμνός. (v. 429) Ἰστέον δὲ καὶ ὅτι ἔργα γάμου ὁ ποιητὴς ἐνταῦθά φησιν οὐ τὰ γυναιξὶν ἁπλῶς ἀνήκοντα, οἷον ἱστόν, ἠλακάτην, καὶ ὅσα ἄλλα οἶδεν αὐτός, ὧν ψιλὴν μνείαν ἔθετο ἐν τῷ «οὔτ᾽ ἂρ φρένας οὔτε τι ἔργα», τὰ μετὰ γάμον δηλαδὴ λόγῳ οἰκονομίας, ἀλλὰ τὰ εἰς αὐτὸν γάμον χρήσιμα, οἷον τὸν ἔρωτα, τὴν φιλότητα, τὸν ἵμερον, τὴν ὀαριστύν, τὴν πάρφασιν, καὶ τὰ τοιαῦτα, οὐκ Ἀθηνᾷ Ἐργάνῃ, ἀλλ᾽ Ἀφροδίτῃ, μητρὶ ἐρώτων, ἐπιπρέποντα.] (v. 432—42) Ὅτι οὕτω θαρραλέος ὁ Διομήδης, ὥστε καὶ τοῦ Ἀπόλλωνος καταθαρρεῖ, ὅτε τὸν Αἰνείαν ἐκεῖνος ἔσῳζεν, ὑπερέχων τὰς χεῖρας. καὶ τρὶς μὲν ἐπόρουσε τότε τῷ Αἰνείᾳ, τρὶς δέ οἱ ἐστυφέλιξε φαεινὴν ἀσπίδ᾽ Ἀπόλλων. Τὸ δὲ τέταρτον καὶ δεινὰ ὁμοκλήσας, ἤγουν ἀπειλησάμενος, ἐνέκοψε τῆς ὁρμῆς. Δηλοῖ δὲ ὁ λόγος ὅτι καὶ ὑπὲρ τὸ εἱμαρμένον ἀνδρίζεται νῦν ὁ Διομήδης. εἱμαρμένην γάρ τινα καὶ ὁ Ἀπόλλων δηλοῖ, καθὰ καὶ ὁ Ζεύς, ὡς καὶ προείρηται καὶ πολλαχοῦ φανήσεται. Ἐν τούτοις δὲ ὅρα ὅτι τε, ὡς πρὸ βραχέων ἐρρέθη τὸ «γινώσκων ὅτ᾽ ἄναλκις ἔην θεός», οὕτω καὶ ἐνταῦθα κεῖται τὸ «γινώσκων ὅ οἱ αὐτὸς ὑπείρεχε χεῖρας Ἀπόλλων», τουτέστιν, ὅτι ὑπερεῖχεν, ὅ ἐστι σκέπων ἄνω εἶχε τοῦ Αἰνείου τὰς χεῖρας, καὶ ὅτι θεομάχου θρασύτητος τὸ «οὐδὲ θεὸν μέγαν ἅζετο».

2.119 (v. 438) Καὶ ὅτι δαιμόνιον ἐπήρειαν φράσει ποτὲ τὸ «ἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος». Εἴη δ᾽ ἂν ἐνταῦθα τὸ ἶσος ἀκυριολέκτητον, ὡς καὶ ἐν ἄλλοις μυρίοις. Τὴν δέ γε διαφορὰν αὐτοῦ πρὸς τὸ ὅμοιον δηλοῦσι μὲν καὶ πεζολέκται σοφοί, δηλοῖ δὲ οὐδὲν ἧττον σαφέστατα καὶ Εὐριπίδης ἐν τῷ «οὔθ᾽ ὅμοιον οὐδὲν οὔτ᾽ ἶσον βροτοῖς», ὧν τὸ μὲν ποιότητος, τὸ ὅμοιον, τὸ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποσότητος, τὸ ἶσον δηλαδή. (v. 440—2) Ὅτι ὁ τῆς πρὸς μεγάλους ἔριδος ἀπείργων τινὰ ἀστείως ἂν εἴποι τὸ «φράζεο καὶ χάζεο, μηδὲ θεοῖς ἶς' ἔθελε φρονέειν, ἐπεὶ οὔ ποτε ὁμοῖον φῦλον ἀθανάτων τε θεῶν χαμαί τε ἐρχομένων ἀνθρώπων». Πάρισα δὲ ἐκφανῆ τὸ «φράζεο Τυδείδη καὶ χάζεο». Τὸ δὲ ὁμοῖον ὅτι ἀναλόγως προπερισπᾶται καὶ οὐ παρὰ τύπον κατὰ τὸ προπαροξυτονούμενον ὅμοιον, πολλαχοῦ δηλοῦται, ὥσπερ καὶ τὸ ὁμοῖος ἔν τε ἄλλοις καὶ ἐν Ὀδυσσείᾳ, ὃ πάντως ἀναλογώτερον τοῦ ὅμοιος.

2.120 [Ὅρα δὲ καὶ ἐνταῦθα ἐν τῷ «ἶσα φρονέειν», καὶ ἐν τῷ «φῦλον ὁμοῖον» τὸ ἶσον ἀντὶ τοῦ ὅμοιον ληφθέν, καθὰ καὶ πρὸ βραχέων. Δῆλον δὲ ὡς Ὅμηρος μὲν ἐκτείνει τὴν ἄρχουσαν τοῦ ἶσος, οἱ δὲ τραγικοὶ συστέλλουσιν.] (v. 446) Ὅτι καὶ ἐνταῦθα θηλυκῶς ἡ Πέργαμος παρ' Ὁμήρῳ ἐπὶ τῆς Τρωϊκῆς ἀκροπόλεως, ἐν ᾗ καὶ ναὸς Ἀπόλλωνος. Φησὶ γοῦν «Περγάμῳ ἐν ἱερῇ, ὅθι οἱ νηός γε τέτυκτο», καὶ μετ' ὀλίγα «Περγάμῳ ἄκρῃ». Μέγας δὲ ἔοικεν εἶναι ὁ ῥηθεὶς ναός. (v. 447 s.) Διό φησιν· ἐν μεγάλῳ ἀδύτῳ κύδαινον, τὸν Ἀπόλλωνα δηλαδή, Λητὼ ἡ μήτηρ καὶ Ἄρτεμις ἡ ἀδελφή. Τοῦτο δὲ ῥηθείη ἂν καὶ ὅταν ἐν ἀδύτοις ἱεροῖς που γεραίρηταί τις ἀνὴρ ἀρχικός. (v. 449) Ὅτι τὸ τοῦ Αἰνείου εἴδωλον, ὅπερ ὁ Ἀπόλλων, ἤτοι ὁ ἥλιος, ἔτευξεν, ἐφ' ᾧ μάχονται Τρῶες καὶ Ἕλληνες, ἡ φαντασία ἐστίν, ἥτις ἐκ τῆς ὑφ' ἡλίῳ ὄψεως καὶ θέας Αἰνείου ἐναπέμεινε τοῖς στρατεύμασι, καὶ ἡ τοῦ ἥρωος, ὡς εἰπεῖν, ἀνειδωλοποίησις, ἣν ἔτι ἐν ἑαυτοῖς φέροντες ὁ στρατὸς ἐκ τοῦ εἰσάπαξ ἐρεθισμοῦ καὶ ἀναπολοῦντες εἰς νοῦν ὡς ἐν εἰδωλοποιΐᾳ τὸν κείμενον, συνεκρότουν βαρὺν ὡς ἐπὶ παρόντι αὐτῷ δὴ ἀληθῶς τῷ Αἰνείᾳ τὸν πόλεμον, κἂν ἐκεῖνος ἀνήρπαστο. Οἱ δὲ παλαιοὶ ἄλλως τὸν μῦθον τοῦτον σεμνολογοῦντές φασι κατὰ πρῶτον λόγον εἴδωλον εἶναι τὸν πάντα τοῦτον κόσμον ὡς τύπον τινὰ τοῦ ὄντως ὄντος, κοσμούμενον μὲν καὶ ὑπὸ ἄλλων θειοτέρων ἐγκοσμίων, μάλιστα δὲ ὑπὸ τοῦ ἡλίου. Εἶτα καὶ τὸ τοῦ Αἰνείου τούτου εἴδωλον τοιοῦτόν τι νοοῦσιν, υἱοῦ μὲν ὄντος τῆς περικαλλοῦς Ἀφροδίτης, ἀνδρὸς δὲ καλοῦ ἐγχωρίου, καὶ ἀλληγοροῦσιν αὐτὸν εἴς τι κάλλος ἐγχώριον, ὅπερ καὶ αὐτὸ ὡς οἷά τι εἴδωλον τοῦ ἐγκοσμίου κάλλους οἰκείως ἂν ἔχοι πρὸς τὸν Ἀπόλλωνα, ἤτοι τὸν ἥλιον, καθὰ καὶ ὁ πᾶς κόσμος, τὸ μέγα τοῦ ὄντος εἴδωλον.

2.121 Τὸ δὲ τοὺς Ἕλληνας περὶ αὐτὸ μυρία πάσχειν αἰνίττεται, φασίν, ὅτι αἱ τῶν ψυχῶν ὑλικώτεραι οὐκ ἀπαλλάσσονται τῶν τοιούτων εἰδώλων, ἀλλὰ τοῖς τοιοῖσδε προστετηκυῖαι κάλλεσι περὶ αὐτὰ τρίβονται. [Σημείωσαι δὲ ὅτι κόσμου μὲν εἴδωλον ἀλληγορικῶς καὶ γλαφυρώτερον ἐν τοῖς εἰρημένοις τέθειται. Οἱ δὲ μεθ' Ὅμηρον ἄλλως παχυλῶς μηχανήν τινα, ὡς εἴδωλον κοσμικόν, ἐσκεύασαν ἐπὶ κολακείᾳ βασιλικῇ. Δημητρίων γάρ, φασίν, Ἀθήνησιν ἀγομένων, ἐγράφετο Δημήτριος ἐν τῷ προσκηνίῳ ἐπὶ τῆς οἰκουμένης ὀχούμενος. Δημητρίου δ' ἐνταῦθα μνεία τοῦ Πολιορκητοῦ, ᾧ καὶ ἤγοντο τὰ εἰρημένα Δημήτρια ὡς ἀλαζόνι.] (v. 449- 53) Φράζει δ' ἐνταῦθα Ὅμηρος οὕτως «αὐτὰρ ὃ εἴδωλον τεῦξ' ἀργυρότοξος Ἀπόλλων, αὐτῷ τ' Αἰνείᾳ ἴκελον καὶ τεύχεσι τοῖον. ἀμφὶ δ' ἄρ' εἰδώλῳ Τρῶες καὶ δῖοι Ἀχαιοὶ δῄουν ἀλλήλων ἀμφὶ στήθεσσι βοείας, ἀσπίδας εὐκύκλους λαισήϊά τε πτερόεντα». (v. 453) Καὶ ὅρα ὡς οὐ μόνον ὀϊστοὶ πτερόεντες, ἀλλὰ καὶ λαισήϊα πτερόεντα. [Πλὴν ταῦτα μὲν ὡς κοῦφα κατὰ πτερά, ἐκεῖνοι δὲ ὡς πτεροῖς διοικονομούμενοι πρὸς ἐκπέτασμα.] Δόρυ δὲ πτερόεν μὲν ῥητῶς οὐκ ἐφράσθη, παρελαλήθη δὲ ἐν τῷ «μελίη ἰθυπτίων», ἤγουν ἰθὺ πετομένη, ὡς οἷα πτερόεσσα.

2.122 Ἔστι δὲ τὸ λαισήϊον ἀσπίδος γένος θυρεοειδές, ἀναφορέα οὐκ ἔχον ἀλλὰ ζυγὸν διὰ μέσου. οἱ δέ φασιν εἶναι αὐτὸ θυρεὸν ἐπιμήκη, οἱ δὲ λάσιον ἐτυμολογοῦσιν αὐτό, φάσκοντες εἶναι ἐκ τετριχωμένων δερμάτων ἀνεργάστων. Κοῦφον δέ ἐστι τὸ λαισήϊον καὶ οὐδὲ μεγαλόκυκλον. διὸ καὶ πτερόεν αὐτὸ λέγει καὶ ἀντιδιαστέλλει πρὸς τὰς εὐκύκλους ἀσπίδας, λέγων βοείας εὐκύκλους ἀσπίδας καὶ λαισήϊα. Ὅλως δὲ οἱ πλείους τῶν παλαιῶν ἀσπιδίσκιον ὠμοβύρσινόν φασι τὸ λαισήϊον. Φησὶ γοῦν περί τινων καὶ Ἡρόδοτος ὅτι λαισήϊα εἶχον ἀντὶ ἀσπίδων, ὠμοβοείοις πεποιημένα. ἔνθα καὶ σημείωσαι τὸ ὠμοβοείοις, ὡς χρήσιμον εἰς τὸ βοῦς, ἡ βύρσα.

Ἡρῳδιανὸς δέ φησι καὶ πάντα τὰ κατὰ μάχην σκεπαστήρια λαισήϊα λέγεσθαι διὰ τὸ ἐν τῇ λαιᾷ φέρεσθαι. (v. 451 s.) [Τὸ δὲ δῖοι καὶ τὸ δῄουν ἐγγὺς παρατεθειμένα ψευδοπαρήχησίν τινα καὶ αὐτὰ κατὰ τὰς προδεδηλωμένας ὑποκρούεται.] (v. 457—9) Ὅτι Ἀφροδίτη μὲν οἷα καὶ ἐναγώνιος καὶ οὐδὲ σοφὴ ἀκατασκεύως εἶπε πρὸ ὀλίγου, ὅτι ὁ Διομήδης καὶ ἂν πατρὶ Διῒ μάχοιτο, Ἀπόλλων δέ, ἀνομοίως ἔχων τῇ Ἀφροδίτῃ, λέγει εὐμεθόδως τὸ αὐτὸ νόημα κάλλιον, καὶ εἰπὼν καὶ αὐτός, ὅτι ὁ Διομήδης μάχοιτο ἂν πατρὶ Διΐ, ἐπάγει κατασκευὴν τοιαύτην· «Κύπριδα μὲν πρῶτα σχεδὸν [οὔτασε χεῖρ’ ἐπὶ καρπῷ», τῷ προρρηθέντι. ὃ δὴ ἑρμηνεία ἐστὶ τοῦ «ἄκρην οὔτασε χεῖρα, πρυμνὸν ὑπὲρ θέναρος», ἤγουν οὐ κατὰ τὸ ἄκρον καὶ πρυμνὸν τὸ πρὸς τοῖς δακτύλοις, ἀλλὰ κατὰ τὸ ἐπὶ καρπῷ], «αὐτὰρ ἔπειτ’ αὐτῷ μοι ἐπέσσυτο, δαίμονι ἶσος», ὃ καὶ ἡ Ὁμηρικὴ πρὸ βραχέων Μοῦσα ἔφη, μονονουχὶ λέγων, ὡς ὁ καθ’ ἡμῶν τῶν παίδων ἀναιδευσάμενος οὐκ ἂν οὐδὲ τοῦ πατρὸς φείδοιτο.

2.123 Σημείωσαι δὲ καὶ ἐν τούτοις τὴν Ὁμηρικὴν ποικιλίαν καὶ τὴν τοῦ λόγου αὔξησιν. τὰς ἀρχὰς μὲν γὰρ κατὰ ἑνός τινος Τρωϊκοῦ ἀνδρὸς ὁ Διομήδης ἠρίστευσεν, εἶτα πυκινὰς κλονήσας φάλαγγας καὶ κατὰ ξυνωρίδας ῥίπτων τοὺς πολεμίους, μετ’ αὐτοὺς καὶ δαίμονος θηλείας περιγίνεται, περὶ ἧς εἴρηται. μετὰ δὲ αὐτὴν καταθρασύνεται μὲν ἄρρενος τοῦ Ἀπόλλωνος, ἀνύει δὲ οὐδέν, μικρὸν δὲ ὅσον καὶ κατὰ τοῦ Ἄρεος ἀνδρισάμενος μέγα τι διαπράξεται. Σημείωσαι δὲ καὶ ὅτι καλῶς Ὅμηρος οὐ ποιεῖ τὸν Διομήδην ἀριστεύοντα κατὰ τοῦ Ἀπόλλωνος, ἵνα μὴ πάνυ ἀπίθανα λέγῃ καὶ εἰς ἀλληγορίαν μὴ βάπτοντα. Διὰ τοῦτο θρασύνεται μέν πως κατ’ αὐτοῦ, ὡς καὶ παρὰ τὸ εἱμαρμένον ἀριστεύων, καθὰ καὶ προείρηται, οὐ μὴν καὶ τρῶσαι αὐτὸν δύναται. Ἀφροδίτης μὲν γὰρ καὶ Ἄρεος δυνατὸν περιγενέσθαι τινὰ ἠθικῶς ὡς ἀλόγων παθῶν, Ἀπόλλωνος δὲ οὐκ ἄν τις ὁπωσοῦν περιγένοιτο, εἴτε ὡς ἥλιόν τις λαμβάνει αὐτόν, καθ’ οὗ βάλλειν οὐκ ἔστι, εἴτε καὶ ὡς εἱμαρμένην τινά, ὥσπερ οὐδὲ Ἀφροδίτη οὐδὲ Ἄρης τρωθήσεται, ὅτε φυσικῶς ἀλληγορούμενοι ὡς ἀστέρες λαμβάνονται, εἰ μή τις ἀναλληγορήτοις θέλων ἐγχειρεῖν κατ’ οὐρανοῦ τοξεύειν ὥσπερ βούλεται. (v. 457) Σημείωσαι δὲ τὸ «καὶ ἂν Διῒ μάχοιτο», ὅπερ οἱ μετὰ τὸν Ὅμηρον συναλείφοντές φασι κἂν τῷ δεῖνι μάχοιτο, ἤγουν καὶ τῷ δεῖνι ἂν μάχοιτο, καὶ κἂν ἐξέπραξεν ἀντὶ τοῦ καὶ ἐξέπραξεν ἄν. (v. 455—7) Ἐνταῦθα δὲ εἰπὼν τὸ «Ἆρες, Ἄρες» καὶ ἑξῆς, ἀπαραποίητον τὸ ὅλον ἔπος ἐπάγει κατ’ ἐρώτησιν, ὡς καὶ ἐκεῖ τὸ «οὐκ ἂν δὴ τὸν ἄνδρα μάχης ἐρύσαιο μετελθών», ἤγουν οὐκ ἂν ἀπελάσῃς τῆς μάχης τὸν Διομήδην. Ὃ δὴ προσφυὲς καὶ ἐπ’ ἄλλου ὁμοίου ῥηθῆναι, ὅτε τις ἐθέλει κωλύειν τὸν ἀριστεύοντα.

2.124 (v. 461) [Ὅτι ἐν τῷ «Τρῶας δὲ στίχας οὖλος Ἄρης ὤτρυνε μετελθών» διττὴ φέρεται γραφὴ τοῦ πρώτου ποδός. ἢ γὰρ κτητικῶς Τρῳάς ὀξυτόνως λέγει τὰς Τρωϊκάς, ἢ μᾶλλον προπερισπωμένως Τρῶας στίχας, ἀντιπτωτικῶς τὰς τῶν Τρώων. (v. 463) Ὅτι τὸ «υἰάσι Πριάμοιο», ἤγουν υἱοῖς, ὤφειλε μὲν ἀπὸ τοῦ υἱεύς υἱέος εἶναι ἢ υἱεῦσιν ἢ υἱέσιν, ἐξηκολούθησε δὲ ὅμως Ἰωνικῶς τῇ συγγενείᾳ τοῦ πατράσι, μητράσι, θυγατράσιν.] (v. 465 s.) Ὅτι ἐντρεπτικὸν ἀχρείων στρατηγῶν τὸ «ἐς τί ἔτι κτείνεσθαι ἐάσετε λαόν;» «ἢ εἰς ὅ κεν ἀμφὶ πύλαις μάχονται;» [Χρονικῶς δὲ κεῖται τὸ «ἐς τί» ἀντὶ τοῦ «μέχρι τίνος». οὕτω δὲ καὶ τὸ «εἰς ὅ κεν» ἀντὶ τοῦ «ἕως οὗ».] (v. 467) Ὅτι τὸν Αἰνείαν οἱ Τρῶες ἐπίσης ἐτίμων Ἕκτορι, καθά φησιν Ἄρης ἐν τῷ «κεῖται ἀνήρ, ὅν τ’ ἶσον ἐτίομεν Ἕκτορι δίῳ». (v. 469) Ὅτι κεῖται καὶ ὧδε φλοῖσβος ἐπὶ πολέμου. Φησὶ γὰρ «ἀλλ’ ἄγετ’ ἐκ φλοίσβοιο σαώσομεν ἐσθλὸν ἑταῖρον». Τοῦτο δὲ πᾶς ἂν εἴπῃ βοηθῶν φίλῳ κινδυνεύοντι. [Ἑταῖρον δ’ ἐνταῦθα οὐκ ἐξ ἀνάγκης νοητέον συνήθως τὸν φίλον, ἀλλὰ καὶ τὸν συνεργὸν ἐν τῇ νῦν μάχῃ, καθ’ ὃ σημαινόμενον καὶ ἄνεμος πλησίστιος ἐσθλὸς ἑταῖρος λέγεται. τοιαύτης δὲ ἐννοίας καὶ τὸ ἑταιρίσαι τινά, ὃ ἐπὶ Ἑρμοῦ φησιν Ὅμηρος.] (v. 471—92) Ὅτι πάνυ καταφορικὸς ἐνταῦθα ὁ πρὸς Ἕκτορα τοῦ Σαρπηδόνος δημηγορικὸς λόγος. διὸ καὶ ὁ ποιητὴς λέγει, ὅτι μάλα νείκεσεν Ἕκτορα δῖον. Νοήματα δὲ τοῦ λόγου τούτου τοιάδε. Ὀνειδίζει ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥᾴθυμον καὶ διὰ τοῦτο οἷον ἀμενηνόν, εἰπὼν «πῇ δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες», ἤγουν εἶχες; Καὶ ὅρα τὸ ἀστεῖον τοῦ οἴχεται. οἱονεὶ γὰρ πρώην ἐνοικοῦν σοι, νῦν ἀπεδήμησεν. Εἶτα αἰτιᾶται καὶ ὡς ἀλαζόνα τὸν Ἕκτορα καὶ κεναῖς ἐλπίσι τρεφόμενον, λέγων «φῇς που», ἤγουν ἴσως ἂν ἔλεγες πρὸ τοῦ πολέμου, «ἄτερ λαῶν καὶ ἐπικούρων, ἑξέμεν», ἤγουν συνέξειν, τὴν πόλιν, «οἶος», τουτέστι μόνος, «σὺν γαμβροῖσι κασιγνήτοισί τε σοῖσι.

2.125 τῶν νῦν οὔ τιν’ ἐγὼν ἰδέειν δύναμαι οὐδὲ νοῆσαι, ἀλλὰ καταπτώσσουσι κύνες ὣς ἀμφὶ λέοντα, ἡμεῖς δὲ μαχόμεθα οἱ ἐπίκουροι». Λέγει δὲ λαοὺς μὲν τοὺς ἐγχωρίους, ἐπικούρους δὲ τοὺς ἐξ ἀλλοτρίας βοηθούς, ὧν ἦν καὶ αὐτὸς ὁ Σαρπηδών. Ἐνταῦθα δὲ τὸ πολύ τοῦ γένους τῶν Πριαμιδῶν παραδηλοῖ. πεντήκοντα γὰρ ἦσαν τέκνα τῷ Πριάμῳ, ὧν οἱ μὲν υἱοὶ αὐτόθεν στρατιῶται, ἀντὶ δὲ τῶν θυγατέρων συνετέλουν εἰς μάχην οἱ γαμβροί. (v. 476) Τὸ δὲ «κύνες ὣς ἀμφὶ λέοντα» παραβολὴ μέν ἐστι σύντομος, πρέπουσα τῷ καιρῷ. λέοντα δὲ ἴσως ἂν λέγοι τὸν Διομήδην. (v. 478- 84) Οὕτω δὲ τὸν Ἕκτορα αἰτιασάμενος ὁ Σαρπηδὼν αὐξάνει τὴν ἑαυτοῦ χάριν τὴν εἰς τοὺς Τρῶας ἐνθυμηματικῶς, καὶ λέγει, ὅτι τε μάλα τηλόθεν ἥκει τοῖς Τρωσὶν ἐπίκουρος—τηλοῦ γὰρ Λυκία Ξάνθῳ ἐπὶ δινήεντι—, καὶ ὅτι ἄλοχόν τε φίλην ἔλιπε καὶ νήπιον υἱὸν καὶ κτήματα πολλὰ καὶ αὐτὰ οὐ τὰ τυχόντα ἀλλὰ ἀναγκαῖα. Φησὶ γὰρ «τά τ’ ἔλδεται, ὅς κ’ ἐπιδευής», ἤγουν ὧν πολλὴν ἂν ὁ ἐπιδεὴς ἔχοι ἔφεσιν. καὶ ὅτι οὔ τι ἔχων ἐνθάδε τοῖον, οἷον ἂν ἠὲ φέροιεν Ἀχαιοὶ ἤ κεν ἄγοιεν, ὅμως καὶ τοὺς ἄλλους Λυκίους ὀτρύνει καὶ αὐτὸς δὲ μέμονε μάχεσθαι. (v. 485 s.) «τύνη δέ, φησίν, ἕστηκας», ἤτοι ἀργεῖς, «ἀτὰρ οὐδ’ ἄλλοισι κελεύεις λαοῖσι μενέμεν», ἤγουν μένειν, «καὶ ἀμύνειν ὤρεσσιν», ὅ ἐστι ταῖς οἰκείαις γυναιξί. Καὶ σημείωσαι ὅτι γενναιότατόν ἐστι νόημα καὶ ἐπιστρεπτικώτατον τὸ λέγειν, ὡς ἐγὼ μὲν καὶ πατρίδα καὶ γυναῖκα καὶ τέκνα ἀφεὶς καὶ μηδὲν ἐνταῦθα ἔχων ἀλλ’ ἢ ἐμαυτὸν καὶ τοὺς σὺν ἐμοὶ Λυκίους κινδυνεύω σὺν τοῖς ἐμοῖς ὑπὲρ Τρωϊκῶν γυναικῶν, οἱ δὲ νωθρεύονται. (v. 490- 2) Οἷς προστίθησιν ὁ Σαρπηδὼν καὶ ὅτι ἡ τοῦ δέοντος τάξις ἀντέστραπται, εἰπὼν «σοὶ δὲ χρὴ πάντα μέλειν νύκτας τε καὶ ἦμαρ, ἀρχοὺς λισσομένῳ ἐπικούρων νωλεμέως ἐχέμεν», ἤγουν πολεμεῖν καὶ ἀντέχειν.

2.126 Νῦν δὲ δηλονότι τὸ ἀνάπαλιν γίνεται καὶ ἡμῖν μάλιστα μέλει τῶν Τρωϊκῶν καὶ παρακαλοῦμεν εἰς μάχην ὑμᾶς. Οὕτω σφοδρὸς ὁ τοῦ Σαρπηδόνος λόγος. διὸ καὶ ὁ Ἕκτωρ ἀκούσας τοιαῦτα δηχθήσεται τὰς φρένας, ὅπερ αὐτὸς εἰς τὸν ἀδελφὸν Πάριν ἐποίησε, καὶ ἀριστεύσει πολλά, φεύγοντας τοὺς Τρῶας ἐπιστρέψας καὶ συστήσας μέγαν πόλεμον. Πᾶς γὰρ παραινετικὸς λόγος, ὡς προερρέθη, δραστικός ἐστι παρὰ τῷ ποιητῇ. (v. 491) Ἐνταῦθα δὲ σημείωσαι τὸ «λισσομένῳ». οἱονεὶ γὰρ προαναφωνητικῶς ἐκτρέπει τὸν Ἕκτορα τοῦ ἀντιφιλονεικῆσαι τὸν Σαρπηδόνα. οὐ γὰρ ἀπὸ ἴσου δικαίου ὥρμηται. (v. 492) Διὸ καὶ ἐπάγει «κρατερὴν δ’ ἀποθέσθαι ἐνιπήν». Τραχύνεσθαι γὰρ οὐ δεῖ κατὰ τῶν ἐπικούρων, ἀλλὰ τοῦτο μὲν χρὴ κατὰ τῶν οἰκείων ποιεῖν, τοὺς δ’ ἐπικούρους λίσσεσθαι. Στρατηγικὰ οὖν τὰ τοιαῦτα τοῦ Ὁμήρου παραγγέλματα. (v. 474) Ἰστέον δὲ ὅτι γαμβροὶ νῦν μὲν οἱ κοινῶς οὕτω καλούμενοι, ἡ δὲ τραγῳδία ἐν τῷ «κηδεύσας καλοῖς γαμβροῖς» τοὺς πενθεροὺς δηλοῖ, ὡς καὶ αὐτοὺς κατὰ γαμικὸν κτηθέντας συνάλλαγμα. καὶ ὁ παρὰ Σοφοκλεῖ δὲ Οἰδίπους γαμβρὸν ἑαυτοῦ τὸν τῆς Ἰοκάστης ἀδελφὸν Κρέοντα λέγει ὡς ἐξ ἐπιγαμβρείας συγγενῆ. ἀλλαχοῦ μέντοι κηδεστὴν κυριολεκτῶν αὐτὸν λέγει ἐν τῷ «ἄναξ, ἐμὸν κήδευμα». Τοῖς κασιγνήτοις δὲ εἰκὸς καὶ τοὺς ἄλλους καθ’ αἷμα συνεπινοεῖσθαι, καθὰ καὶ τὸ τοῦ ὁμαίμου καὶ αὐθομαίμου ὄνομα ἐν μυρίαις χρήσεσι τὴν ὅλην δηλοῖ συγγένειαν. (v. 475) Τοῦ δὲ ἰδεῖν τὸ νοῆσαι διέστησεν ἐνταῦθα ὁ ποιητὴς οὐχ’ ἁπλῶς, εἴγε νοῦς ὁρᾷ, ὥσπερ καὶ ἀκούει, ἀλλὰ διότι ἔστι νοῆσαί ποτε καὶ δίχα τοῦ ἰδεῖν, ὁποῖόν τι καὶ τὸ ἐξ ἀκοῆς μαθεῖν. (v. 479) Τὸ δὲ «τηλοῦ ἐν Λυκίᾳ», ὡς καὶ ἀλλαχοῦ προδεδήλωται, πρὸς διαστολὴν κεῖται τῆς μικρᾶς Λυκίας, ἧς, ὡς προείρηται, ἦρχεν ὁ Πάνδαρος.

2.127

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὴ γὰρ οὐ τηλοῦ, ἀλλὰ ἐγγὺς τῆς Τροίας ἐστί. Τὸ δὲ «Ξάνθῳ δινήεντι» πρὸς ἀντιδιαστολὴν λέγεται κατὰ τοὺς παλαιοὺς Λυκιακῆς πόλεως Ξάνθου. Ἐκείνη γὰρ Ξάνθος μέν, οὐ δινήεις δέ. ποταμοῦ γὰρ ἐπίθετον ὁ δινήεις. (v. 481) Τὸ δὲ ἔλδω, ἐξ οὗ τὸ ἔλδεται, φορτίζεταί ποτε καὶ ἕτερον ε , καὶ ποιεῖ τὸ ἐέλδωρ, καὶ ὅλως εἰπεῖν, καὶ ἔλδω δισυλλάβως λέγεται καὶ ἐέλδω ἐν τρισὶ συλλαβαῖς, ὡς μυριαχοῦ φαίνεται. (v. 484) Τὸ δὲ «φέροιεν ἢ ἄγοιεν», φανερὰν διαφορὰν δηλοῖ τοῦ ἄγειν καὶ φέρειν. Λέγεται δὲ ὡς ἐπὶ πολὺ ἄγεσθαι μὲν τὰ ἔμψυχα καὶ βαδιστικά, φέρεσθαι δὲ τὰ βασταζόμενα. ὅθεν καὶ τὸ φοράδην ἐπίρρημα, ὡς προγέγραπται, καὶ φέρτρον τὸ νεκροφόρον κλινίδιον, καὶ ἐκφορὰ ἡ ταφή, καὶ φορεῖον, καὶ ἀναφέρειν τὸ ἀνανήφειν, οὗ τὸ ἐναντίον καταφέρεσθαι. Οἶδε δὲ καὶ ὁ Κωμικὸς διαφορὰν τῶν δύο τούτων ῥημάτων ἐν τῷ «ἄγομαι, φέρομαι, τὰ χρήματα ἐνεχυράζομαι». λέγει δέ που καὶ Ἡρόδοτος «ἔφερον καὶ ἦγον τοὺς ἐν τῇ νήσῳ», καὶ πάλιν «ἔφερε καὶ ἦγε πάντας διακρίνων οὐδένα». καὶ Ὅμηρος δὲ ἀλλαχοῦ «ἦγον μὲν μῆλα, φέρον δ’ εὐήνορα οἶνον».

2.128 (v. 485) Τὸ δὲ «τύνη» Δωρικὴ καὶ νῦν ἀντωνυμία, πεζογράφοις ἄχρηστος, κειμένη καὶ παρ’ Ἡσιόδῳ. (v. 486) Τὸ δὲ «ὤρεσσι» δηλοῖ μὲν τὸ γυναιξίν, ἀνδράσι συνεζευγμέναις, τοιαύτην δέ τινα ἔχει διάθεσιν παραγωγῆς. Ἔστι ῥῆμα ἀείρω τὸ ὁμοῦ εἴρω καὶ συζευγνύω, ὡς τὸ «σὺν δ’ ἤειρεν», ἤγουν συνέζευξε, συνέδησεν. Ἐξ αὐτοῦ ῥηματικὸν ὄνομα ἄορ ἡ συνεζευγμένη καὶ ὁμοῦ οὖσα τῷ ἀνδρὶ γυνή. διὰ δὲ τὴν πρὸς τὸ ξίφος συνέμπτωσιν μετατεθὲν τὸ ἄορ γέγονεν ὄαρ, ἐξ οὗ καὶ ἁπλῶς ὀαρίζω τὸ σύνειμι καὶ οἷον συνέζευγμαι καὶ ὁμιλῶ, καὶ ὀαριστύς ἡ ὁμιλία, καὶ ὀαριστής ὁ ὁμιλητής, καὶ ξυνάορος κατὰ τὴν τραγῳδίαν ἡ γυνή, καὶ μήν ποτε καὶ ὁ ἀνήρ, καὶ ξυνωρίς ἡ συζυγία τῶν ἵππων. καὶ «τετράορον φάσμα ταύρου», καὶ τέτρωρον, τὸ τετράζευκτον, καὶ τετράορες ἵπποι» ἐν Ὀδυσσείᾳ.

2.129 Τὸ δὲ ὄαρ συναιρεθὲν γέγονεν ὦρ περισπωμένως, ὡς ἔαρ ἦρ, κέαρ κῆρ, ἄολξ ὦλξ, καὶ πληθυνθὲν ἐγένετο ὦρες, οὗ ἡ δοτικὴ ὤρεσιν Ἰωνικῶς, ὡς κύνεσιν, ἄνδρεσιν. Χρῆσις δὲ τῆς μὲν ξυναόρου ἔν τε ἄλλοις καὶ ἐν τῷ «τὴν σὴν ἀπολάβῃς ξυνάορον», τοῦ δὲ ξυναόρου ἐν τῷ «νύμφας ὀρφανὰς ξυναόρων», ὅ ἐστι συζύγων. (v. 490) Τὸ δὲ «νύκτας τε καὶ ἦμαρ» δηλοῖ μὲν καὶ αὐτὸ τὸ μὴ μόνον ἐν ἡμέρᾳ δεῖν ἐνεργὸν εἶναι τὸν ἀρχηγὸν καὶ ἐπιμελῆ, ἀλλὰ καὶ ἐν νυκτί, καὶ μὴ παννύχιον εὕδειν, ὥς που εἴρηται. Ἔχει δὲ τὸ ἦμαρ ἀντὶ ἐπιρρήματος, οἷον καὶ τὸ αὐτῆμαρ, ἐννῆμαρ. Ἐν τούτοις δὲ σημείωσαι καί, ὅτι πρὸ ὀλίγου μὲν ὁ Ἄρης τοὺς ὅλους υἱοὺς τοῦ Πριάμου ὀτρύνων εἰς μάχην ὀλίγα τινὰ ἐν πέντε στίχοις ἐδημηγόρησεν, ἐνταῦθα δὲ ὁ Σαρπηδὼν πάνυ εὐπορεῖ πρὸς τὸν Ἕκτορα. Αἴτιον δὲ ὅτι οἱ μὲν υἱοὶ τοῦ Πριάμου ἀόριστον ὄνομα, ὡρισμένον δὲ καὶ κύριον ὁ Ἕκτωρ. πλείων δὲ ἀεὶ τοῖς ῥήτορσιν εὐπορία ἐν τοῖς ὡρισμένοις ἐστίν, ὡς δῆλον καὶ ἐκ τῶν ἠθοποιϊῶν τῶν τε ἄλλων καὶ τῶν Ὁμηρικῶν. δῆλον γὰρ ὅτι ἀορίστων μὲν προσώπων ἠθοποιΐας ἐκτιθεὶς Ὅμηρος στενολογεῖ, ἐμπλατύνεται δὲ ταῖς ἀπὸ τῶν κυρίων. καὶ οὕτω μὲν ταῦτα. (v. 472—92) Ἰστέον δ’ ἐν τοῖς ῥηθεῖσι καὶ ὅτι πρὸς μὲν τὸν ἐνδόντα τοῦ πονεῖν καλόν ἐστι ῥηθῆναι τὸ «πῇ δή τοι μένος οἴχεται, ὃ πρὶν ἔχεσκες;

2.130 » Πρὸς δὲ τοὺς μὴ εὑρισκομένους ἐν τῷ ψηλαφᾶσθαι οἰκεῖον τὸ «τῶν οὔ τινα ἐγὼν ἰδέειν δύναμαι οὐδὲ νοῆσαι». εἰ δὲ καὶ φεύγουσιν ἀντίπαλόν τινα οἱ ψηλαφώμενοι, προσθετέον καὶ τὸ «ἀλλὰ πτώσσουσι κύνες ὣς ἀμφὶ λέοντα». Ὁ δὲ διὰ φιλίαν ἀποδημήσας καὶ τὰ φίλτατα λιπὼν καλῶς ἂν εἴποι τὸ «ἄλοχόν τε φίλην ἔλιπον καὶ νήπιον υἱὸν κὰδ δὲ κτήματα πολλά». Πτωχεύων δέ τις ἐν ἀλλοτρίᾳ ἐρεῖ, ὅτι οὔ τι μοι ἐνθάδε τοῖον, οἷον ἠὲ φέροιέν τινες ἢ ἄγοιεν. (v. 483 s.) Ὅρα δὲ καὶ τὸ «τοῖον οἷον», σχῆμα ὂν κάλλους ποιητικόν, ὁμοίως τῷ «Σαμία μία ναῦς» καὶ «ταμία μία», καὶ τοῖς τοιούτοις, ὅπερ ἐπαναστροφὴν καλοῦσιν οἱ ῥήτορες. (v. 487 s.) Ὅτι κἂν ἁπλοϊκῶς διαιτωμένους Ὅμηρος παρεισάγῃ τοὺς ἥρωας, ἑφθοῖς τε χρωμένους κρέασι καὶ μάλιστα ὀπτοῖς, ἐξ ὧν διὰ τὸ πολὺ τῆς χρήσεως καὶ τὸ ὀπτανεῖον παρῆκται, ἀλλ’ οἶδεν, ὥσπερ τὴν τῶν οἰωνῶν αἰμύλην, φασίν, ἄγραν καὶ χρῆσιν, οὕτω καὶ τὴν ἰχθυοφαγίαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐνταῦθα οὖν λέγει διὰ τοῦ Σαρπηδόνος τὸ «μή πως ὡς ἀψῖσι λίνου ἁλόντες πανάγρου ἀνδράσι δυσμενέεσσιν ἕλωρ καὶ κύρμα γένοισθε». Ἀψῖδες δὲ δικτύου αἱ καμπαὶ καὶ ἀγκάλαι. Ἰστέον δὲ ὅτι σπάνιον τοῖς ἥρωσι καὶ ἡ τῶν ἰχθύων ἄγρα, ὥσπερ καὶ ἡ τῶν πτηνῶν. καὶ οὐκ ἦσαν ὑδροθῆραι παρ' αὐτοῖς, εἰ μὴ ἄρα ἐν λιμῷ, ὡς ἐν Ὀδυσσείᾳ παρατετήρηται. Σημείωσαι δὲ καὶ ὅτι οἱ πανωλεθρίᾳ περιπίπτοντες οὐκ ἀφυῶς ἂν λέγοιντο ἀψῖσι λίνου πανάγρου ἁλίσκεσθαι. Τοιαύτης δέ τινος ἐννοίας ἔχεται καὶ τὸ εἰπεῖν σαγηνευθῆναί τινας ὑπὸ πολεμίων. Ὅρα δὲ τὸ πανάγρου.

2.131 οὐ γὰρ ἁπλῶς ἅπαν λίνον δίκτυόν ἐστιν, ἀλλὰ τὸ τοιῶσδε σκευασθέν, ὁποῖον σὺν ἄλλοις καὶ τὸ πάναγρον, δικτύου εἶδός τι ὄν. ἄλλως γὰρ πολυσήμαντον τὸ λίνον. Φασὶ δὲ τὰ Σχόλια δέον εἶναι βαρύνεσθαι τὴν εὐθεῖαν τοῦ ἀψῖσιν, ἵνα λέγηται ἄψις ἢ ὡς Αἰολικόν, καθὰ καὶ Ἡσίοδος τρισπίθαμον ἄψιν φησίν, ἢ καὶ ἀναλόγως ὡς ἀπὸ μέλλοντος ὄν, καθάπερ τὸ μέμψις καὶ ὄψις, ὥστε εἶναι τὴν δοτικὴν τῶν πληθυντικῶν ἄψισι προπαροξυτόνως. Λέγουσι δὲ καὶ ὅτι ψιλοῦται τὸ α ἐνταῦθα παραδόξως, καίτοι ἐκ τοῦ ἅπτω γινόμενον, ὥσπερ αὖ πάλιν ἐκ τοῦ ἐναντίου τὸ ἅλυσις, καίτοι στερητικὸν ἔχον τὸ α , ὅμως καινότερον δασύνεται. Ὅτι δὲ καὶ ἐπὶ τροχοῦ ἡ ἁψίς, δῆλον. Φησὶ γοῦν καὶ Παυσανίας, ὅτι ἁψίς ξύλινος κύκλος τροχοῦ. τὸ δ' ἐπ' αὐτοῦ σιδηροῦν ἐπίσωτρον. Ὅμηρος δὲ τὸν μὲν τροχὸν ὅλον κύκλον ὀνομάζει, τὴν δὲ ἁψῖδα ἴτυν. Λίνον δὲ καὶ ἐπὶ τῶν τῆς νηὸς ἱστίων λέγεται, καὶ ἐπὶ δικτύων κυνηγετικῶν, ὅθεν καὶ τὸ «διελινήσατο ὁ λαγῳός», τουτέστιν ἐξελίνησεν, ἤτοι διεξέφυγε τὰ λίνα. Καὶ φυλάττεται ἡ ῥητορικὴ αὕτη λέξις ἔτι νῦν παρὰ πολλοῖς τῶν ἐν τῇ Ἀσίᾳ, οἳ καὶ τὰ τοιαῦτα λίνα λινάριά φασιν.

2.132 Ἔστι δ' εὑρεῖν ποτε, καθὰ μίτον, οὕτω καὶ λίνον καὶ ἐπὶ μουσικῆς χορδῆς λεγόμενον κατὰ παλαιτάτην χρῆσιν, καθ' ἣν καὶ χέλυς ἡ λύρα λέγεται. Αἵ τε γὰρ χορδαὶ ἦν ὅτε λίνεαι ἦσαν, καὶ Ἑρμῆς δέ, φασί, πρῶτος Ἀπόλλωνι σκευωρίαν μουσικὴν ἐξ ὀστράκου χελώνης ἐμηχανήσατο εἰς λύσιν μήνιδος τῆς ἐπὶ κλοπῇ βοῶν ἐκείνου. Διὸ καὶ χέλυς ἡ αὐτὴ καὶ λύρα, τοῦτο μὲν ὡς οἷον λύτρα τις, ἐκεῖνο δὲ ὡς ἀπὸ τῆς χελώνης, ἀφ' ἧς χελύω χελύσω ῥῆμα, ὅθεν ἡ χέλυς. [Ἰστέον δὲ ὅτι τὸ «λίνου» συστέλλει τὸ δίχρονον, ὡς καὶ ἐν τῇ Ἀσπιδοποιΐᾳ δηλοῦται. Διὸ καὶ μετὰ τῆς ληγούσης καὶ παραληγούσης τοῦ «ἀψῖσι» δάκτυλον ποιεῖ, εἰ καί τινες ἄλλως ποδίζουσι.] καὶ οὕτω μὲν καὶ τοῦτο. (v. 489) Ἐν δὲ τοῖς εἰρημένοις κεῖται καὶ τὸ ὑμήν ἀντὶ τοῦ ὑμετέραν. Φησὶ γὰρ «εὖ ναιομένην πόλιν ὑμήν». Ἐν δὲ Ὀδυσσείᾳ ὑμὰ κτήματα λέγει τὰ ὑμέτερα. ὥστε ἔοικεν εὐθεῖα εἶναι ὑμός ὁ ὑμέτερος, εἰ καὶ μὴ ἐν χρήσει εὕρηται, ὥσπερ καὶ σφός, ὁ ἴδιος, αὐτὸ μὲν σεσίγηται, ἔχει δὲ τὰ ἐξ αὐτοῦ κινούμενα. [Ὅτι δὲ καὶ ἁμός ἐστιν ὁ ἡμέτερος ἐν πρώτῳ προσώπῳ, δηλοῖ καὶ ὁ γράψας «ἁμὸν πατέρα».] (v. 493) Ὅτι ἔδακε φρένας Ἕκτορι ὁ ῥηθεὶς τοῦ Σαρπηδόνος μῦθος. τῷ ὄντι γὰρ σφοδρὸς ἦν καὶ οἷος καθικέσθαι, ὡς προείρηται, τῆς ἐκείνου ψυχῆς. διὸ οὐδὲ λαλεῖ τι, ὡς μὴ ἔχων ἀντειπεῖν. Σημείωσαι δὲ ὅτι ἐκ τοῦ «ἔδακε θυμόν», ἐξ οὗ παρ' Εὐριπίδῃ τὸ «μή τι σὴν δάκω φρένα», ἐν ἄλλοις σύγκειται δακέθυμος ἄτα καὶ ὁ θυμοδακὴς μῦθος. Εἰ δὲ μελεδῶνες αἱ φροντίδες, ὡς τὰ μέλη ἔδουσαι, χείρων ἂν εἴη ὁ καταφορικὸς λόγος, οἷα τὸν θυμὸν δάκνων ἤτοι αὐτὴν τὴν ψυχήν.

2.133 Τούτοις δὲ συστοιχεῖ καὶ τὸ θυμὸν κατέδειν, καὶ τὸ θυμοφθορεῖν δέ, ὃ κεῖται παρὰ Σοφοκλεῖ. (v. 495) Ὅτι ἀμφοτεροδέξιος, ταὐτὸν δ' εἰπεῖν ἀμφιδέξιος, ἔοικε καὶ ὁ Ἕκτωρ εἶναι. πάλλων γὰρ ὀξέα δοῦρα κατὰ στρατὸν ᾤχετο πάντῃ. (v. 496) Ὅτι τὸ «ἤγειρε δέ» Ἕκτωρ «φύλοπιν αἰνήν» ἀφορμὴ ἀλληγορίας ἐστί. καὶ νοητέον καὶ ἐνταῦθα ὅτι ὁ πρὸ μικροῦ ἐν τοῖς ἀριστεροῖς τοῦ ναυστάθμου καθήμενος Ἄρης, ἤτοι ἀργῶν πόλεμος, ὡς προεγράφη, νῦν, ὡς ἐλελίχθησαν οἱ Τρῶες καὶ ἀντίοι ἔσταν Ἀχαιῶν, ἀνίσταται οἷον ὑπὸ τοῦ Ἕκτορος καὶ ἐπεγείρεται τῷ Διομήδει. αὐτὸς οὖν καὶ τρωθήσεται ὑπὸ τοῦ Διομήδους ἐν τοῖς ἑξῆς καὶ οὐχὶ ὁ μυθικὸς Ἄρης. (v. 502) Ὅτι ἀχυρμιά ὀξυτόνως κατὰ περιεκτικὴν ἔννοιαν τόπος ἀλωῆς, ἐν ᾧ πίπτει τὸ ἄχυρον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λικμώντων τῶν ἀνδρῶν, ὡς ἔχειν τὸ μῦ ἀπὸ πλεονασμοῦ. (v. 499—503) Τὸ δὲ ἄχυρον ἄχνην οὗτος καλεῖ διὰ τὴν εἰς λεπτὰ τομήν, λέγων «ὡς δ' ἄνεμος ἄχνας φορέει ἱερὰς κατ' ἀλωὰς ἀνδρῶν λικμώντων, ὅτε τε ξανθὴ Δημήτηρ κρίνει ἐπειγομένων ἀνέμων καρπόν τε καὶ ἄχνας, αἳ δ' ὑπολευκαίνονται ἀχυρμιαί, ὣς τότ' Ἀχαιοὶ λευκοὶ ὕπερθε γένοντο κονισάλῳ. (v. 499) Γίνεται δὲ ἄχνη παρὰ τὸ α στερητικὸν καὶ τὸ ἔχω τὸ κρατῶ, ἡ ἀκράτητος, διὰ λεπτότητα, ὡς καὶ ἀλλαχοῦ προείρηται. Ὡς γὰρ ἀχῆνες οἱ πτωχοὶ παρὰ τὸ μὴ ἔχειν οἱονεὶ ἀεχῆνες, καὶ κατὰ κρᾶσιν ἀχῆνες, οὕτω καὶ ἀέχη, καὶ κράσει ἄχη, ἡ μὴ ἐχομένη, καὶ πλεονασμῷ τοῦ νῦ ἄχνη, ὡς τεύχη τέχνη καὶ ἄλλα οὐκ ὀλίγα.

2.134 [Ἐν οἷς καὶ ἡ μυσάχνη, σκῶμμα πόρνης, ἐκ τοῦ μυσάττω, οὗ παρακείμενος μεμύσαχα, ὅθεν ἡ μυσάχνη.] Ἐκ τούτων δὲ φαίνεται ὅτι οὐχ' ἁπλῶς ἄχυρον ἀλλὰ τὸ τοῦ ἀχύρου λεπτότατον νῦν ἡ ἄχνη δηλοῖ. κατ' ἄλλον δὲ λόγον ταὐτίζονται ἀμφότερα. καὶ ἡ ἄχνη γὰρ παρὰ τὸ μὴ ἔχεσθαι εἴρηται καὶ τὸ ἄχυρον δὲ ἀέχυρόν τί ἐστι. Δῆλον δὲ ὅτι καὶ ἐπὶ ὕδατος ἡ ἄχνη λέγεται. κύματος γὰρ ἄχνην φαμὲν ἀκολούθως τῷ ἁλὸς ἄχνη. (v. 499) Ἱερὰς δὲ τὰς ἀλωὰς ὀνομάζει οὐ μόνον διὰ τὸ ἀνειμένας εἶναι τῇ Δήμητρι, οἷά τινα τεμένη, ἀλλὰ μάλιστα διὰ τὸ ἐπ' ὠφελείᾳ εἶναι ἀνθρώπων. Οὕτω γὰρ καὶ πόλεις ἱεράς φησιν ὡς ἀνθρώπων οὔσας φυλακτικὰς καὶ διὰ τοῦτο θείας τινάς, καὶ Δημήτερος ἱερὸν ἀκτήν. Ἀλωὴ δὲ οὐ μόνον ἡ φυτοφόρος γῆ, ἀλλ' ἰδοὺ καὶ ὁ τόπος, ἐν ᾧ πατεῖται ὁ πυρός. Ψιλοῦται δὲ τῆς λέξεως ἡ ἄρχουσα, ὡς δῆλον ἐκ τοῦ εἰπεῖν «κατ' ἀλωάς». Καὶ γράφουσιν οἱ παλαιοὶ τὴν τούτου παραλήγουσαν σὺν τῷ ἰῶτα διὰ τὸ γίνεσθαι, φασίν, ἀπὸ τοῦ ἀλοίω, τὸ συντρίβω, ἢ ἐκ τοῦ ἀλοιῶ, ἐκτάσει τοῦ ο εἰς ω . (v. 500) Λικμᾶν δὲ ἴσως παρὰ τὸ λίαν καὶ τὸ καμεῖν, ἐξ ὧν συγκεκόφθαι δοκεῖ. καματηρὸν γὰρ καὶ τὸ λικμᾶν. Εἰ δὲ ἴκμενος οὖρος, ἤγουν ἄνεμος, παρὰ τὴν ἰκμάδα γίνεται, εἴη ἂν καὶ τὸ λικμᾶν παρὰ τὸ λα ἐπιτατικὸν μόριον καὶ τὴν οὐρίαν ἰκμάδα, ἧς πολλῆς ὁ λικμῶν δέεται, ὡς ἀνέμοις ἀνύων τοῦ τοιούτου ἔργου τὸ πᾶν. Ξανθὴν δὲ λέγει τὴν Δήμητραν ἀλληγορικῶς, διὰ τὸ τὸν στάχυν τοιούτου χρώματος γεγονότα, εἶτα ἐπιτήδειον εἶναι θερίζεσθαι.

2.135 τὸ δ' αὐτὸ χρῶμα καὶ πολλοῖς τῶν σπορίμων ἐπιγίνεται, ὅτε πεπανθῶσι. ξανθίζονται γὰρ καὶ αὐτὰ ἐκ πρασοειδοῦς τοῦ πρότερον χρώματος. Ὅρα δὲ ὅπως γεωργικῶς λαλεῖ ἐν τῇ παραβολῇ, καιρόν τε θέρους ὑπογράφων καὶ τέχνην λικμήσεως. ἀεὶ γάρ, ὡς πολλάκις ἔφαμεν, πολυμάθειαν καὶ εὐχρηστίαν ἱκανὴν αἱ Ὁμηρικαὶ ἔχουσι παραβολαί. Ὅρα δὲ καὶ ὅτι εἰς δύο ταῦτα διαιρεῖ τὸ τῶν λικμώντων τέλος, εἰς καρπὸν καὶ εἰς ἄχνας, ὅπερ ἐστὶν ἄχυρα, ὡς προείρηται. (v. 501) Τὸ δὲ κρίνει ἀντὶ τοῦ διαχωρίζει κατὰ τὸ «κρῖν' ἄνδρας κατὰ φῦλα». Τὸ δὲ «ἐπειγομένων ἀνέμων» γλυκέως ἐρρέθη ὡς ἐπὶ ἐμψύχων, καὶ δηλοῖ σφοδρότητα πνοῆς συγκατεργαζομένης ταχὺ τοῖς λικμῶσι τὸ ἔργον. Ὁ δὲ καρπός ἀπὸ τοῦ κάρφω κάρψω, τὸ ξηραίνω, ἐξ οὗ τὸ «κάρψε δέ οἱ χρόα». Ἐξήρανται γὰρ ἐπιλιπόντος τοῦ ἀναβαίνοντος ὑγροῦ ἐν τῇ χλωρότητι. (v. 502) Τὸ δὲ ὑπολευκαίνονται ἀσφαλῶς εἴρηται εἰς ἔμφασιν τοῦ «ξανθὴ Δημήτηρ». ὑπόλευκον γάρ πως καὶ τὸ ξανθόν, ὅθεν καὶ κρῖ λέγεται λευκόν, καίτοι οὐ πάνυ λευκὸν ὄν. (v. 502 s.) Σημείωσαι δὲ ὅπως ἠρέμα μεταληπτικῶς ὑπέκλεψε τὰς λέξεις. Μεταλαβὼν γὰρ τὸ ξανθόν εἰς ὑπόλευκον, εἶτα τὸ ὑπόλευκον εἰς λευκόν, οὕτως ἀποδίδωσι τὴν παραβολήν, εἰπὼν «ὣς τότ' Ἀχαιοὶ λευκοὶ ὕπερθεν ἐγένοντο κονισάλῳ». Ξανθοὺς γὰρ κονισάλῳ αὐτοὺς ὤκνησεν εἰπεῖν. (v. 502—4) Σημείωσαι δὲ καὶ ὅτι σχῆμα ἐνταῦθά ἐστι συντομίας, ὃ δὴ λέγεται συλλογισμός. Εἰ γὰρ κονισάλῳ λευκοὶ ἐγένοντο οἱ Ἀχαιοί, ὃν διὰ μέσων αὐτῶν ἐκ γῆς οὐρανὸν ἐς πολύχαλκον ἐπέπληγον πόδες ἵππων, λευκὴν ἄρα συλλογιστέον εἶναι καὶ ἀργιλώδη τὴν ὑποκειμένην γῆν, οὐ μὴν μέλαιναν. οὐ γὰρ ἂν λευκοὶ ἦσαν μελαίνῃ γῇ καταπαττόμενοι. Τοιούτου δὲ ἐρρέθη συλλογισμοῦ καὶ ἐν Ὀδυσσείᾳ τὸ «ὅτε εἰς ἵππον κατεβαίνομεν», καὶ τὸ «ἱππόθεν ἐκχύμενοι». Καλεῖται δὲ αὐτὸς καὶ ἔμφασις καὶ ἔστιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρετὴ λόγου. Ὁρισμὸς δὲ αὐτῆς οὗτος· ἔμφασίς ἐστι λέξις δι’ ὑπονοίας αὔξουσα τὸ ζητούμενον, ὥστε τὸ τοιοῦτον περὶ μίαν μόνην λέξιν θεωρεῖται.

2.136 Ἔτι σημείωσαι καὶ ὅτι νῦν μὲν ὁ τοιοῦτος κονίσαλος, περὶ οὗ προδεδήλωται, λευκαίνει τοὺς Ἀχαιούς, μετ’ ὀλίγα δὲ νύκτα μέλαιναν ποιήσει. τὸ μὲν γὰρ ἐπιπίπτον τοῖς Ἕλλησι λευκαίνει αὐτούς, τὸ δὲ εἰς οὐρανὸν ἐγειρόμενον ἀμαυροῖ τὸν ἥλιον, ὁποῖά τι νέφος, καὶ σκότον ποιεῖ. (v. 506 s.) Ἐρεῖ γοῦν «ἀμφὶ δὲ νύκτα θοῦρος Ἄρης ἐκάλυψε μάχῃ», νύκτα λέγων τὴν διὰ τὸ πολὺ καὶ πυκνὸν τοῦ κονισάλου ζόφωσιν τοῦ ἀέρος, ὁποῖά τις καὶ ἀλλαχοῦ γενήσεται, ὅτε ὁ Αἴας ἐρεῖ «Ζεῦ, ποίησον αἴθρην, ἐν δὲ φάει καὶ ὄλεσσον». Καὶ ὅρα ὅπως ὁ ποιητὴς ἐκ τοῦ αὐτοῦ πράγματος ἐναντίας εἰκόνας ἔλαβε, τοὺς μὲν Ἀχαιοὺς λευκάνας, εἰς δὲ τὸν ἀέρα νύκτα ποιήσας τῷ κονισάλῳ. (v. 504) Πολύχαλκος δὲ οὐρανός, ὡς καὶ ἀλλαχοῦ, ὁ στερρός. διὸ καὶ σιδήρειός που λέγεται, εἰ καὶ ἄλλως ὡς λαμπρὸς χρυσέῳ δαπέδῳ λάμπεται. Ἢ ὁ πολὺν ἔχων χαλκὸν μυθικῶς διὰ τὰ ἐν αὐτῷ ἡφαιστότευκτα χαλκοβατῆ δώματα. Τὸ δὲ ἐπέπληγον ἀπὸ ἐνεστῶτος γίνεται τοῦ πεπλήγω, αὐτὸς δὲ ἀπὸ παρακειμένου τοῦ πέπληγα εἰς ἐνεστῶτος ἀρχὴν ἀνέβη. Συρακουσίων δὲ γλώσσης ἡ λέξις ἐστί, καθὰ καὶ παρ’ Ἡσιόδῳ τὸ ἐπέφυκον καὶ ὅσα τοιαῦτα, ὡς καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δεδήλωται. (v. 505) Ὅτι ἐπὶ στρατιᾶς καὶ ἐνταῦθα ἔφη τὸ μίσγεσθαι, οἷον «ἂψ ἐπιμισγομένων», ὡς καὶ ἐν τῇ Δ «ὣς τῶν μισγομένων». Ὅτι ὥσπερ Αἰθίοψ καὶ Αἰθιοπεύς κατὰ διφόρησιν, καὶ ἡγεμών ἡγεμονεύς, καὶ πομπός πομπεύς, οὕτω καὶ ἡνίοχος καὶ ἡνιοχεύς, οἷον «ὑπὸ δ’ ἔστρεφον ἡνιοχῆες». καὶ πολλὴ τούτου χρῆσις παρὰ τῷ ποιητῇ. Σημείωσαι δὲ ὅτι κατὰ Αἴλιον Διονύσιον Ἀθήνῃσι καὶ τάγμα ἦν ἀξιόλογον οἱ ἡνίοχοι. Κατελέγοντο γάρ, φησίν, οἱ εὐπορώτατοι ἁρματοτροφήσοντες.

2.137 [Δύναται δὲ ὁ ἡνιοχεύς καὶ ἐκ τοῦ ἡνιοχεύω ἡνιοχεύσω εἶναι, ὅθεν καὶ ἡ ἡνιοχεία. Οὕτω δὲ καὶ ἐκ τοῦ ἡγεμονεύω ἡγεμονεύσω ὁ ἡγεμονεύς, καὶ ὁ πομπεύς δὲ ἐκ τοῦ πομπεύω πομπεύσω, ἀφ’ οὗ δὴ ῥήματος καὶ τὰ παρ’ Ἀττικοῖς πομπεῖα, σκεύη ἐκεῖνα χρήσιμα ἐν δημοσίαις πομπαῖς.] (v. 506) Ὅτι τὸ «μένος χειρῶν ἰθὺς ἔφερον» ἀντὶ τοῦ ἐμάχοντο ἀντικρύ, ὡς καὶ ἀλλαχοῦ ἐρεῖ ὁ ποιητής. Καὶ ὅρα τὸ ἔφερον ἢ ἀντὶ τοῦ ἐπῆγον ῥηθὲν καταχρηστικῶς ἢ ἀντὶ τοῦ ἐκίνουν. ἐκ δὲ τοῦ τοιούτου φέρω καὶ φορά, ἡ κίνησις. (v. 510—2) Ὅτι ἐπεὶ Ἄρης εἶδε τὴν Ἀθηνᾶν οἰχομένην, ἣ πέλεν Δαναοῖσιν ἀρηγών, νύκτα ἐκάλυψε μάχῃ καὶ ἴσχυσε Τρωσὶ θυμὸν ἐγεῖραι, ἀρήγων αὐτοῖς κατὰ τὴν τοῦ Ἀπόλλωνος ἐφετμὴν ἤτοι κατὰ τὸ εἱμαρμένον. Καὶ σημείωσαι ὅτι Ἀθηνᾶς ἀπέλευσις, ἤγουν φρονήσεως, Ἄρεος ἐνδημία γίνεται, ἤγουν ἀφροσύνης καὶ ἀλογίας, ὡς καὶ φωτὸς ἀπέλευσις παρρησία σκότους ἐστί. (v. 510) Τὸ δὲ θυμὸν ἀγεῖραι τοῖς Τρωσὶν οὐ μόνον τὸ εἰς θυμὸν κινῆσαί ἐστι [καὶ πολεμικὸν χόλον συναγαγεῖν, οὗ σκεδασθέντος δεῖμα ὑπεισῆλθε τὰς ἑκάστων ψυχάς], ἀλλὰ καὶ τὸ εἰς εὐψυχίαν ὑποκινῆσαι. Ἀλλαχοῦ γοῦν ἐπί τινος συνθέτως ἐρεῖ θυμηγερέων, ἤτοι ἐκ λειποψυχίας συνάγων θυμόν.

2.138 Ἰστέον δὲ ὅτι τὰ πλείω τῶν ἀντιγράφων οὐκ «ἀγεῖραι» γράφουσιν, ἀλλὰ Τρωσὶ θυμὸν «ἐγεῖραι», ὡς οἷον ἀναπίπτοντα ἢ εὕδοντα. μετ’ ὀλίγα δὲ καὶ πόνον ἐγείρει Ἀπόλλων καὶ Ἄρης καὶ Ἔρις. (v. 506) Νύκτα δὲ τὸν πρὸ ὀλίγων δηλωθέντα σκότον ἀέριον λέγει. [Εἴη δὲ ἂν ἡ τοιαύτη νὺξ οἰκεία τῷ δεινῷ Ἄρει, καὶ οὗ τὰ ὑπώπια νυκτὶ ἐοικέναι καλῶς ἂν λέγοιτο. Καί πως ὅπλον καὶ αὐτὴ Ἄρεος, ὡς καὶ Διὸς ἀστραπὴ καὶ Ἀθηνᾶς αἰγὶς καὶ Ποσειδῶνος τρίαινα. καὶ ἄλλως δὲ σύμβολον ἡ τοιαύτη νὺξ θανάτου καὶ τοῦ κατ’ αὐτὸν σκότου, ὧν ὁ Ἄρης αἴτιος.] (v. 507) Τὸ δὲ ἐκάλυψεν ἀντὶ τοῦ δίκην καλύμματός τινος κατεπέτασε. Τὸ δὲ ἀρήγων ἡ μετοχὴ παρηχοῦν πρὸς τὸ ἀρηγών ὀξύτονον ὄνομα, ὃ δηλοῖ μὲν τὴν βοηθόν, παράγει δὲ τὴν ἀρωγὴν καὶ τὸν ἀρωγόν, οὐχ’ ὁμοῦ κεῖται μετὰ τοῦ ἀρηγών, ἀλλὰ μεσολαβοῦσι στίχοι τρεῖς, ἵνα μὴ τεχνασθείη λόγου κάλλος ἄκαιρον. (v. 508 s.) Ἐφετμὴν δὲ καὶ κέλευσιν εἰπεῖν ταὐτόν ἐστι. Διὸ εἰπὼν «τοῦ δ’ ἐκραίαινεν ἐφετμάς», ἐπάγει «ὅς μιν ἀνώγει». [Ἐν τούτοις δὲ καὶ χρυσάορον τὸν Ἀπόλλωνα λέγει πρός τινα ὁμοιότητα τοῦ ἀργυρότοξος. Ἡ δὲ ἀλληγορία εἰς ταὐτὸν ἄγει

τοῦτον τῷ ἐν τῇ καθ’ Ἡσίοδον Θεογονίᾳ μυθευομένῳ Χρυσαόρῳ.] (v. 512 s.) Ὅτι ἐν τῷ «Αἰνείαν μάλα πίονος ἐξ ἀδύτοιο ἧκε καὶ ἐν στήθεσσι μένος βάλε» τὴν Τρωϊκὴν δαψιλῆ θυτικὴν δηλοῖ, ἣν καὶ ὁ τοῦ μύθου Ζεὺς φθάσας ἐπῄνεσε. Πῖον δὲ ἄδυτον ἄλλον τρόπον ἤπερ τὸ πῖον ζῷον. τοῦτο μὲν γὰρ πιαίνειν ἔχει βωμὸν καὶ ἄδυτα, ἐκεῖνα δὲ πιαίνεται. (v.

2.139 514—6) Ὅτι ἐπὶ φίλῳ ἀνακομισθέντι ἔκ τινος κακοῦ εἴποις ἂν τό· ὁ δεῖνα «ἑτάροισι μεθίστατο, οἳ δ’ ἐχάρησαν, ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα καὶ μένος ἐσθλὸν ἔχοντα». Ἔστι δὲ τὸ μεθίστατο μὲν ἀντὶ τοῦ συνίστατο, ὡς καὶ τὸ ὑπερφιάλοισι μετελθών ἀντὶ τοῦ συνελθών. (v. 515) Τὸ δὲ ἀρτεμέα ἀντὶ τοῦ ὑγιῆ, οἱονεὶ ἀτεμέα τινὰ καὶ σῷον, ἢ ἄρτιον. ὅθεν καὶ Ἄρτεμις, φασίν, ἡ περιποιουμένη ὑγείαν, ὡς καὶ Ἀπόλλων οὔλιος ὁ ποιῶν οὔλειν ἤτοι ὑγιαίνειν κατὰ τὸ «οὖλέ τε καὶ μέγα χαῖρε». Ἄρταμος μέντοι ἐν δυσὶν ἄλφα ὁ εἰς ἄρτια τέμνων καὶ δαιτρεύων, ὅς ἐστι κρεουργός, μάγειρος, φονεύς, οὗ ἡ χρῆσις καὶ παρὰ Λυκόφρονι. (v. 514—8) Ὅτι τὸν Αἰνείαν κακῶς παθόντα ὑπὸ τῆς ἐκ Διομήδους πληγῆς καὶ παραδόξως φανέντα οὐ μόνον ζῶντα ἀλλὰ καὶ ὑγιῆ, καὶ οὐ τοῦτο μόνον ἀλλὰ καὶ μένος ἔχοντα καὶ τοῦτο ἐσθλόν, ἰδόντες οἱ ἑταῖροι ἐχάρησαν μέν, ὡς ἀνωτέρω ἔκκειται, οὐ μὴν ἐπολυπραγμόνησαν μεταλλήσαντες τὰ κατ’ αὐτόν. «οὐ γὰρ ἔα», φησί, «πόνος ἄλλος, ὃν ἀργυρότοξος ἤγειρε» καὶ Ἄρης καὶ Ἔρις. Ἔνθα σημείωσαι ὅτι ἀληθῶς διὰ τὸ ἀθεράπευτον πάντη καὶ ὡς εἰπεῖν ἀπαραμύθητον καὶ ἀναλληγόρητον εἶναι τὸν μῦθον, ὡς καὶ προείρηται, οὐκ ἐθέλει διασκευάζειν τὰ κατ’ αὐτὸν ὁ ποιητής, ἀλλὰ τρόπον τινὰ λέγει καὶ τῷ ἀκροατῇ ὅτι μηδὲ σὺ τὰ τοιαῦτα μετάλλα. (v. 517) Τὸ δὲ «οὐ γὰρ ἔα πόνος ἄλλος» ἀσχολουμένῳ περί τι ἀνθρώπῳ ἁρμόζει. (v. 516) Περὶ δὲ τοῦ μεταλλᾶν ἑτέρωθι δηλοῦται. οὗ παράγωγον παρὰ τοῖς ὕστερον τὸ μεταλλεύειν, ἵνα ᾖ ὡς συλῶ συλεύω, οὕτω μεταλλῶ μεταλλεύω. (v. 519—26) Ὅτι οἱ δύο Αἴαντες καὶ Ὀδυσσεὺς δὲ καὶ Διομήδης οὐ μόνον ὤτρυνον τοὺς Δαναοὺς πολεμίζειν, ἀλλὰ καὶ αὐτοὶ ἔμενον ἀσφαλῶς ἐν τῷ πολέμῳ πυκνωθέντες, καὶ διὰ τοῦτο, φησί, «νεφέλησιν ἐοικότες, ἅς τε Κρονίων νηνεμίης ἔστησεν ἐπ’ ἀκροπόλοισιν ὄρεσιν ἀτρέμας, ὄφρα», ἤγουν ἕως, «εὕδησι μένος Βορέαο καὶ ἄλλων ζαχρειῶν ἀνέμων, οἵ νέφεα σκιόεντα πνοιῇσι λιγυρῇσι διασκιδνᾶσιν ἀέντες».

2.140 Καὶ σημείωσαι ὅτι νῦν μὲν νεφέλαις ἠρεμούσαις εἰκάζει τοὺς ἥρωας τούτους. ἀρκεῖ γὰρ καὶ τὸ μόνον δυνηθῆναι ἀντιστῆναι. πρό δέ γε τούτου νέφει κινουμένῳ τὰς τῶν Αἰάντων εἴκασε τάξεις, ὡς προγέγραπται. ἐποίησε δὲ ἐκεῖνο μὲν διὰ τὴν ὁρμήν, τοῦτο δὲ διὰ τὴν μονήν. (v. 523) Ὅρα δὲ τὸ νηνεμίας, σχῆμα ὂν Ἀττικὸν ἐλλειπτικόν. Τὸ γὰρ τέλειόν ἐστι νηνεμίας οὔσης, ἢ ἐν καιρῷ νηνεμίας ἢ ἐπὶ νηνεμίας, ὁποῖά εἰσι καὶ τὸ θέρους καὶ χειμῶνος καὶ νυκτός καὶ ἡμέρας. καὶ αὐτὰ γὰρ ὁμοίως ἐλλειπτικῶς προάγεται. Σημείωσαι δὲ καὶ ὅτι οὐ μόνον κατὰ τὴν παροιμίαν ἀνέμοις θάλασσα δουλεύει καὶ πῦρ, ἀλλὰ καὶ αὐτὰ τὰ νέφη. Νηνεμίας μὲν γὰρ οὔσης ἵστανται, ἀνέμων δὲ πνοαῖς διασκίδνανται λυομένης τῆς πυκνώσεως, ὡς καὶ οἱ ἥρωες οὗτοι οὐ μέχρι τέλους ἑστήξονται ἐν πυκνότητι, ἀλλὰ μετὰ μικρὸν κινηθέντες συρρήξουσι πόλεμον. (v. 523) Τὸ δὲ «ἔστησε» τὸν ἐν τοῖς νέφεσι δηλοῖ στηριγμὸν ἐξ ἀκινησίας. ἔστι δὲ ἄλλως καίριον ἐπ’ αὐτῶν καὶ τὸ ἐκρέμασε. Ζεὺς δὲ αὐτὰς ἔστησεν, ἤγουν ἀὴρ νήνεμος. Ἀκροπόλοις δὲ ὄρεσιν, ὡς ἄν τις εἴποι, οὐρανίοις, ὧν τὸ ἄκρον ἐφικνεῖσθαι δοκεῖ τῶν ἀνωτάτω πόλων. Ὅτι δὲ καὶ παρὰ τὸ πολεῖν γίνεται, ὅ ἐστιν ἀναστρέφεσθαι, ἡ λέξις ὁ πόλος, καὶ τί τὸ ἐκεῖθεν δηλούμενον, ἀλλαχοῦ φανεῖται. [Καὶ ἄλλως δὲ τὸ ἀκροπόλοις ὅμοιόν ἐστι τῷ ἀνωφόροις, ἐν οἷς δηλαδὴ ὁ πολῶν, ὅ ἐστιν ἀναστρεφόμενος, εἰς ἄκρον φέρεται. Δοκεῖ δὲ παροξυτονεῖσθαι καὶ ἡ εὐθεῖα τοῦ ἀκροπόλοις, καθὰ καὶ τὰ κατ’ αὐτό.

2.141 Τὰ γὰρ παρὰ τὸ πολῶ, εἰ μὲν προθέσει σύγκεινται προηγουμένῃ, προπαροξύνονται, οἷον ἀμφίπολος, πρόπολος, πρόσπολος, εἰ δὲ ὀνόματι, παροξύνονται, ὡς δῆλον ἐκ τοῦ ὀνειροπόλος, μαντιπόλος, οἰωνοπόλος, θυηπόλος, ὁ καὶ ἱερεύς καὶ θυοσκόος δὲ ἐν Ὀδυσσείᾳ. Οὕτω γοῦν ἀναλόγως καὶ ἀκροπόλος. Ὁμοίως δὲ καὶ μυστοπόλος καὶ αἰπόλος καὶ θαλαμηπόλος καὶ

δικασπόλος ὁ καὶ θεμιστοπόλος.] (v. 524) Τὸ δὲ ἀτρέμας, ὥσπερ ἦν ἐπίρρημα ἐν τῷ «δαιμόνιε ἀτρέμας ἧσο», οὕτω καὶ ἐνταῦθα. Οἱ δὲ μεθ' Ὅμηρον καὶ δίχα τοῦ ς λέγουσιν αὐτὸ οἷον «οὔκουν ἀτρέμ' ἕξεις» παρὰ τῷ Κωμικῷ. καὶ τὸ εὐθύς δὲ καὶ ἰθύς τὰ ἐπιρρήματα ὁμοίως ἀπάγουσι τὸ ς ἐν τῷ εὐθύ καὶ ἰθύ. ὅθεν καὶ τὸ κατ' εὐθύ καὶ κατ' ἰθύ. Τὸ δὲ εὕδουσιν ὡς ἐπὶ ἐμψύχων εἴρηται, διότι καὶ θεῖόν τι γένος ὁ μῦθος οἶδε τοὺς ἀνέμους. Ἔχει δέ τι καὶ ἀφελείας καὶ γλυκύτητος τὸ εἰπεῖν ἑστάναι τὰ νέφη, ἕως οἱ ἄνεμοι εὕδουσιν, ὡς εἰ καὶ δοῦλοι ἐφεστᾶσι κοιμωμένοις δεσπόταις, κινησόμενοι μετὰ τὴν ἐκείνων ἔγερσιν. Τοῦ δὲ Βορέου ἐνταῦθα ἔοικε μόνου μνησθῆναι κατά τινα ἐξοχὴν διὰ τὸ τοῦ ἀνέμου φερέσβιον καὶ ζωοφόρον, ὅπερ παραδηλοῖ ὁ Ζέφυρος, ὃς καὶ βορέας παρὰ τὴν βοράν, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, ἐτυμολογεῖσθαι δοκεῖ, ὡς τροφῆς ὢν αἴτιος διὰ τὸ ἁδρύνειν τοὺς στάχυας.

2.142 [Δύναται δὲ καὶ καθὰ βορὸν ὕδωρ διὰ τὴν ἐκ ψυχρίας κενεαγγίαν λέγεται, οὕτω καὶ ἄνεμος βορέας ὁ διὰ τοιοῦτον αἴτιον βορότητος αἴτιος ὤν.] (v. 525) Ὥσπερ δὲ ζάλη ἡ μεγάλη ἄελλα, οὕτω καὶ ζαχρειεῖς ἄνεμοι οἱ ἄγαν χρειώδεις, πάντες γὰρ ἡμῖν χρήσιμοι. καὶ τούτῳ τῷ λόγῳ γράφεται ἡ παραλήγουσα διὰ διφθόγγου, ἔχουσα ἢ τὸ ε καὶ ι ἢ τὸ η μετὰ τοῦ ι . ἐὰν δέ γε διὰ μόνου τοῦ η γράφηται, λέγοι ἂν ζαχρηεῖς τοὺς ἄγαν βαρεῖς ἀπὸ τοῦ χράω, τὸ ἐπιπίπτω, ὡς τὸ «μητέρι μοι μνηστῆρες ἐπέχραον», καὶ παρὰ Ἡροδότῳ «ἐνέχραεν εἰς τὸ πρόσωπον τὸ σκῆπτρον». Ὅθεν καὶ ζαχρηεῖς ἴσως ἄνεμοι οἱ ἄγαν ἐπιπίπτοντες, οἳ καὶ δύνανται μάλιστα σκεδάσαι νέφη, ὧν καὶ αἱ πνοαὶ λιγυραὶ διὰ τὸ μετὰ ψόφου ποιοῦ τινος πνέειν. οὗ πρὸς ὁμοιότητα καὶ μάστιξ λιγυρά, ἡ ἐν ἀέρι ψοφοῦσα. Οὐ μόνον δὲ ἀνέμων ἐπίθετον τὸ ζαχρηές, ἀλλ' ἐν τοῖς ἑξῆς καὶ ἐπὶ στρατιωτῶν ἡ λέξις εὑρεθήσεται. Ὅρα δὲ καὶ ὅτι οὐ μόνον οὔρεα σκιόεντα ἀλλὰ καὶ νέφεα. ἐρεῖ δέ που καὶ μέγαρα σκιόεντα. (v. 526) Τὴν δὲ παρίσωσιν τοῦ «πνοιῇσιν λιγυρῇσιν» ἐζήλωσεν ὁ εἰπὼν «σμερδνῇσι γαμφηλῇσι συρίζων φόνον».

2.143 Τοῦ δὲ «ἀέντες» τὸ θέμα καὶ τὸν ἀήτην ποιεῖ καὶ τὸ τῶν πνευμάτων ἄημα καὶ τὸν ἄνεμον δὲ ἐπενθέσει τοῦ ν . (v. 520—2) Ἐν δὲ τοῖς ῥηθεῖσι κεῖται περὶ τῶν δηλωθέντων ἡρώων καὶ τὸ «οἳ δὲ καὶ αὐτοὶ οὔτε βίας Τρώων ὑπεδείδισαν», ἤγουν ἐδειλίασαν, «οὔτε ἰωκάς, ἀλλ' ἔμενον νεφέλαις ἐοικότες», ὡς εἴρηται, ἃ δὴ θαρσαλεότητός ἐστιν ἐνδεικτικά. Ἔστι δὲ τοῦ μὲν ἐδείδισαν ἀρχὴ τὸ δεδίω, ἐξ οὗ ἐπενθέσει τοῦ ι δειδίω, ὅθεν δειδία ἡ νύξ. τοῦ δὲ ἰωκάς ἡ διωκή, ὡς καὶ τοῦ ἰωχμοῦ ὁ διωγμός, ἀπελθόντος τοῦ ἐν ἀρχῇ συμφώνου, ὡς καὶ ἐν τῷ σῦς ὗς καὶ τοῖς ὁμοίοις. Ἐδύνατο δὲ καὶ ἰῶκας εἶναι προπερισπωμένως διὰ τὸ καὶ ἑνικὴν αἰτιατικὴν Ὁμηρικῶς εἶναι τὴν ἰῶκα. (v. 528—32) Ὅτι Σαρπηδὼν μὲν ἄδειαν ἔχων πολέμου μακρὰ ἐδημηγόρησε πρὸς Ἕκτορα, ὁ δὲ Ἀγαμέμνων ἐν ἀκμαίᾳ μάχῃ μὴ ἔχων πολυλογεῖν βραχέα τινὰ λέγων, ὀτρύνει τοὺς Ἀχαιούς. Φησὶ γὰρ ὁ ποιητής, ὅτι «ἀν' ὅμιλον ἐφοίτα, πολλά», ἢ μακρά, «κελεύων· ὦ φίλοι, ἀνέρες ἐστὲ καὶ ἄλκιμον ἦτορ ἕλεσθε ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας». Εἶτα ἐπιπλέκει γνωμικόν, ὃ καὶ ἀλλαχόθι οὕτως ἐρεῖ «αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται. φευγόντων δὲ οὔτ' ἂρ κλέος ὄρνυται οὔτε τις ἀλκή», ἤγουν οἱ φεύγοντες σὺν τῷ ἀκλεεῖς εἶναι οὐδὲ ἄλκιμόν τι ποιοῦσι προβάλλοντες ἑαυτοὺς εἰς ἀναίρεσιν. Καὶ ταῦτα εἰπὼν εὐθὺς ἀκοντίζει καὶ βάλλει πρόμαχόν τινα, ἵνα δείξῃ ὅτι τέλειός ἐστι στρατηγός, οὐ μόνον λόγοις θαρρύνων, ὃ πᾶς τις ἂν ποιήσειεν, ἀλλὰ καὶ ἔργου προάρχων, ὡς καὶ πρὸ μικροῦ ἐποίουν οἱ ἥρωες τούς τε ἄλλους ὀτρύνοντες καὶ αὐτοὶ μένοντες.

2.144 Ἐνταῦθα δὲ σημείωσαι καὶ αἰδοῦς ἔπαινον, ὅπως σωτηρία ἐστὶ τοῦ στρατεύματος, ὥσπερ αὖ πάλιν ψόγον φυγῆς ὡς ὀλεθρίου. Ὅρα δὲ καὶ ὅπως ἐν ἑνὶ τούτῳ τόπῳ καὶ περισπωμένως οἶδε καὶ βαρυτόνως τὸ ῥῆμα τῆς αἰδοῦς ἐν τῷ αἰδεῖσθε ὡς ποιεῖσθε, καὶ ἐν τῷ αἰδομένων ὡς ᾀδομένων, ὁποῖόν τί ἐστι καὶ τὸ τῆς μάχης ῥῆμα, ὡς πολλαχοῦ φαίνεται. καὶ αὐτὸ γὰρ καὶ περισπᾶται καὶ βαρύνεται, καθὰ σὺν ἄλλοις προδεδηλωμένοις καὶ τὸ ὀμιχῶ ὀμιχήσω. Ἔστι γὰρ βαρυτόνως ὀμίχω, ὡς δῆλον ἐκ τοῦ «ὤμιξεν αἷμα καὶ χολὴν ἐτίλησεν». Οὕτω δὲ καὶ εἰλῶ καὶ

εἴλω ἐν τόπῳ ἑνὶ ὁμοῦ, οἷον «εἰλομένων», «εἴλει δὲ ὁ δεῖνα». (v. 535 s.) Ὅτι πρὸ μικροῦ μὲν ὁ Αἰνείας ἶσον ἐρρέθη τιμᾶσθαι τῷ Πριαμίδῃ Ἕκτορι, ἐνταῦθα δὲ τοῦ Αἰνείου ἑταῖρόν τινα κτείνει ὁ Ἀγαμέμνων, ὃν οἱ Τρῶες ὁμῶς Πριάμοιο τεκέεσσιν ἐτίμων. Διὰ τί; ἐπεί, φησί, θοὸς ἦν μετὰ πρώτοισι μάχεσθαι. Καὶ δοκεῖ μὲν τοῦτο μείζονος τιμῆς ἢ καὶ ἴσης τῷ Αἰνείᾳ εἶναι δηλωτικόν, ἔστι δὲ ἄλλως τὸ τοῦ Αἰνείου ἐνδοξότερον. καὶ γὰρ ὁ Ἄρης εἶπεν ἐκεῖ, ὅτι κεῖται ἀνήρ, ὁ Αἰνείας δηλαδή, ὃν ἶσον ἐτίομεν Ἕκτορι δίῳ, ἤγουν ὃν καθὰ καὶ τὸν Ἕκτορα οὐ μόνον ἄνθρωποι ἀλλὰ καὶ θεοὶ ἐτιμῶμεν. εἰ τοίνυν καὶ θεοῖς τιμᾶται ὁ Αἰνείας, πλέον ἄρα τιμᾶται ἤπερ ὁ ἑταῖρος αὐτοῦ ὁ τοῖς Πριαμίδαις ἐπίσης τιμώμενος. ἔτι δὲ οὗτος μὲν ὡς θοὸς μαχητὴς καί, ὡς εἰπεῖν, βοηθόος τιμᾶται, ὁ δὲ Αἰνείας καὶ ὡς εὐγενής. Ὅρα δὲ ὡς παρακολουθεῖ καὶ τῇ ἀνδρίᾳ καθὰ καὶ ταῖς λοιπαῖς ἀρεταῖς τιμή, ὡς οἷά τις ἀδάπανος ἀμοιβή. [(v. 539) Ὅτι νείαιρα γαστὴρ οὐ μόνον, δι’ ἧς τὰ σιτία νέονται, ὅ ἐστι πορεύονται, ἀλλὰ καὶ ἡ ἐσχάτη. ὅθεν καὶ ἡ γυναικεία ὑστέρα μετείληπται.] (v. 543—5) Ὅτι Φηρά, πόλις Μεσσηνιακὴ κατὰ Πελοπόννησον, ἐν ᾗ Διοκλῆς τις ἦν, ὁ καὶ ἐν Ὀδυσσείᾳ κείμενος, ἀφνειός, γένος ἐκ ποταμοῦ Ἀλφειοῦ, ὅς εὐρὺ ῥέει Πυλίων διὰ γαίης, τουτέστιν οὐ μένει ἀεὶ κατὰ χώραν, ἀλλ’ ὑπερβαίνων τὴν κοίτην εὐρύνεται, ὃ δὴ μέχρι καὶ νῦν φαίνεται ποιῶν, [καθὰ καί τινες ἄλλοι εὐρύ τε ῥέειν ἐν διαλύσει λεγόμενοι καὶ εὐρυρέειν συνθέτως.

2.145 ] Διὰ τί δὲ λέγεται Ἀλφειός, εἴρηται μὲν καὶ ἀλλαχοῦ. καὶ νῦν δέ, ὡς ἐν ὀλίγῳ ὑποδηλῶσαι, καλεῖται οὕτω διὰ τὸ κατά τινα ἰδιότητα δύνασθαι ἀλφοὺς θεραπεύειν, ὅθεν καὶ αὐτὸς Ἀλφός καὶ πλεονασμῷ τῆς ει διφθόγγου Ἀλφειός, ὡς ἀδελφός ἀδελφειός, ἀφνός ἀφνειός. Παραλόγως δὲ ἡ Φηρά κατὰ τοὺς παλαιοὺς ὀξύνεται, ὡς οὕτω τετριμμένη τῇ παραδόσει. ἄλλως γὰρ τὰ εἰς ρα δισύλλαβα μονογενῆ τῷ η παραληγόμενα βαρύνεται· πήρα, θήρα, Ἥρα. Σημείωσαι δὲ ὅτι καὶ ἐν τούτοις τοῖς τόποις πολλὴν ἱστορίαν κατασπείρει ὁ ποιητὴς ἄλλοις τε τρόποις καὶ διὰ τοῦ γενεαλογεῖν Τρῶάς τε καὶ Ἕλληνας πίπτοντας, καὶ ὅτι ἔοικε σχετικῶς πως ἔχειν καὶ ὁ Διοκλῆς πρὸς τὸν ἐγχώριον ποταμὸν Ἀλφειόν. Διὸ καὶ υἱὸς αὐτοῦ εἶναι μυθεύεται, ὃς δὴ λόγος καὶ ἑτέρους τῶν ἡρώων ἐκ θαλάσσης ἢ πηγῆς ἢ ποταμοῦ κατάγει τινὸς καὶ ὅλως ἐκ τόπων τινῶν, οἷς ἐκεῖνοι ἔχαιρον, ὡς προδεδήλωται. (v. 547—9) Ἰστέον δὲ καὶ ὅτι παλαίτατον ἔθος ἦν τοὺς ἐγγόνους καλεῖσθαι τοῖς τῶν πάππων ὀνόμασιν εἰς ἀνάμνησιν τῶν προγόνων [καὶ ἵνα δοκοῖεν ὡς οἷον ἀναζῆν οὕτω οἱ θανεῖν φθάσαντες, καὶ ἄλλως δέ, ἵνα ἐξαρκοῖεν τῷ γοῦν ὀνόματι ἐπὶ πλεῖον καὶ οὕτω πως ἀπαθανατίζοιντο.] Ἐνταῦθα γοῦν Ἀλφειοῦ Ὀρσίλοχος, τοῦ δὲ Διοκλῆς, οὗ διδυμάονες Κρήθων τε καὶ Ὀρσίλοχος ὁμώνυμος τῷ πάππῳ, οὓς ἀναιρεῖ ὁ Αἰνείας. (v. 550 s.) Ἔστι δ’ ἐν τούτοις γνῶναι καὶ ὡς ὁ ἡβῶν ὡραῖος ἤδη ἐστὶ τοῦ πολεμεῖν. Κρήθων οὖν καὶ Ὀρσίλοχος «ἡβήσαντε Ἴλιον εἰς εὔπωλον ἅμ’ Ἀργείοισιν ἑπέσθην».

2.146 Λέγεται δὲ ἥβη ἡ πρώτη τε τρίχωσις τῶν αἰδοίων, καὶ ὁ τριχούμενος ἐκεῖνος τόπος, ἔτι δὲ καὶ ὁ καιρός, καθ’ ὃν γίνεται τοῦτο. ἐξ ὧν παρονομάζεται ὁ ἡβῶν ὁ τὰ πρὸ τούτου ἀπότριχος κατὰ τοὺς παλαιούς. Ἐτυμολογεῖται δὲ ἀπὸ τοῦ ἥδω, ἥδη τις οὖσα κατὰ τοὺς παλαιούς, καὶ τροπῇ Βοιωτικῇ τοῦ δ εἰς β ἥβη. Διὸ καὶ ὁ ποιητής πού φησι «καὶ δ’ ἔχει ἥβης ἄνθος», καὶ ἀλλαχοῦ δὲ «τοῦ περ χαριεστάτη ἥβη». (v. 551) Εὔπωλος δὲ Ἴλιος ἀντὶ τοῦ εὔιππος ἢ εὔγειος καὶ ἀγαθὴ πωλεῖσθαι ἤτοι βωλοστροφεῖσθαι. (v. 548) Διδυμάονες δὲ διδύμων διαφέρουσι, καθότι οὗτοι μὲν ἀδελφοὺς δηλοῦσιν, οἱ δὲ δίδυμοι οὐκ ἐξ ἀνάγκης. κεῖται γὰρ ἡ λέξις καὶ ἐπὶ ἁπλῶς δυάδος. διδύμους γοῦν ἀνεψιοὺς ἡ τραγῳδία οἶδε τοὺς ἁπλῶς οὕτω δύο. τοιοῦτον καὶ τὸ «διδύμην Ἐριννύν» καὶ «διδύμων πελαγέων». καὶ οἱ ὄρχεις δὲ οὕτω δίδυμοι. Ἐκτείνει δὲ ὁ διδυμάων τὴν παραλήγουσαν ἀναγκαίως διὰ μέτρου χρείαν. διὸ καὶ διὰ τοῦ ο μικροῦ κλίνεται ὁμοίως τῷ Μαχάων Μαχάονος, εἰ καὶ ἄλλως ὡς παρώνυμον ὤφειλε τὸ ω τῆς εὐθείας φυλάσσειν διόλου. [Ἐν τούτοις δὲ κείμενον τὸ «παῖδε γενέσθην»—Φησὶ γὰρ «ἐκ δὲ Διοκλῆος διδυμάονε παῖδε γενέσθην»—πρωτόθετόν ἐστι τῆς παιδογονίας καὶ τῶν παιδογόνων. Τὸ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Διοκλῆος κατὰ τὸ Ἡρακλῆος κλίνεται. (v. 549) Τοῦ δὲ Κρήθωνος ἡ ἄρχουσα διὰ τοῦ η γράφεται κατὰ τὸν Κρηθέα καὶ τὴν Κρηθηΐδα, οἷς βοηθεῖ ὁ Κρᾶθις εἰς τὴν γραφήν.

2.147 ] (v. 553) Ὅτι τὸ «τοὺς δὲ τέλος θανάτοιο κάλυψε» περίφρασίς ἐστι τοῦ ἔθανον. ὅθεν λαβὼν Σοφοκλῆς ἔφη «τὸν τελευταῖον βίον κρύψων», ἤγουν τεθνηξόμενος. (v. 554- 60) Ὅτι τοὺς τοῦ ῥηθέντος Διοκλέους παῖδας, πεσόντας ὑπὸ τοῦ Αἰνείου, σεμνύνων ἐν παραβολῇ Ὅμηρός φησιν «οἵω τώ γε λέοντε δύω ὄρεος κορυφῇσιν ἐτραφέτην ὑπὸ μητρί, βαθείης τάρφεσιν ὕλης. τὼ μὲν ἂρ ἁρπάζοντε βόας καὶ ἴφια μῆλα σταθμοὺς ἀνθρώπων κεραΐζετον, ὄφρα καὶ αὐτοὶ ἀνδρῶν ἐν παλάμῃσι κατέκταθεν ὀξέϊ χαλκῷ. τοίω τώ», ἤγουν τοιοῦτοι οὗτοι, «χείρεσσιν ὑπ’ Αἰνείαο δαμέντες καππεσέτην, ἐλάτῃσιν ἐοικότες ὑψηλῇσι». Καὶ ὅρα ὡς διὰ συνήθη ποικιλίαν τῇ ἀπὸ τῶν λεόντων πλατείᾳ παραβολῇ τὴν συντομωτάτην ἐν τῷ τέλει συνέπλεξε τὴν ἀπὸ τῶν φυτῶν. Καὶ ἦν αὕτη μὲν ἀπὸ τῆς σωματικῆς εὐφυΐας, ἡ δὲ πρὸ αὐτῆς ἀπὸ τῆς κατὰ ψυχὴν ἀνδρικῆς διαθέσεως. (v. 554 et 556) Σημείωσαι δὲ καί, ὅτι εἰπόντος ἐνταῦθα τοῦ Ὁμήρου κατὰ δυϊκὸν ἀριθμόν «λέοντε δύο ἁρπάζοντε βόας», γράφουσιν οἱ παλαιοί, ὅτι ἡ λέαινα δύο τίκτει, ἔχουσα δύο μαζούς, καὶ ὅτι οἱ λεοντιδεῖς ἀμύξαντες τὴν αὐτῆς μήτραν ποιοῦσι τοῦ λοιποῦ τὴν μητέρα στεῖραν. ἡ πάρδαλις δέ, φασί, τέσσαρα τίκτει. Ὅτι δὲ καὶ πέντε τίκτει ὁ λέων, εἶτα τέσσαρα, καὶ ἑξῆς ὑποκαταβαίνων, ἱστοροῦσιν ἄλλοι. (v. 554) Τὸ δὲ δύω πλεονάζει μὲν καὶ ἐνταῦθα, καθὰ σὺν ἄλλοις καὶ ἐν τῷ «Ἀτρείδα δύω κοσμήτορε λαῶν». Δοκεῖ δὲ καὶ ἄλλως τὸ εὔλογον ἔχειν διὰ τὴν παρὰ τῷ ποιητῇ ἀοριστίαν τῶν δυϊκῶν, δι’ ἥν, ἵνα μὴ τὸ Ἀτρείδα καὶ τὸ λέοντε καὶ τὰ τοιαῦτα πληθυντικῶς νοήσῃ τις, ἐπάγει τὸ «δύο» ὡς διασαφητικόν. (v. 555) Τὸ δὲ «ἐτραφέτην τάρφεσιν ὕλης» τρόπος ἐστὶν ἐτυμολογικός.

2.148 τὸ γὰρ ἐτραφέτην τὸ ῥῆμά ἐστιν, ἀφ’ οὗ τὸ τάρφος γίνεται, ἤγουν τὸ δάσος τὸ δυνάμενον τρέφειν ζῷα, [ὃ δὴ τάρφος μετατεθὲν καὶ τὴν παρὰ τοῖς λογίοις τάφρον ποιεῖ, χρόνῳ γὰρ καὶ αὐτὴ βοτανηφορεῖ τὰ εἰς τροφὴν ζῴοις, καὶ τὸν παρὰ τοῖς χυδαίοις δὲ ὁμοίως τράφον κατὰ τὸν αὐτὸν λόγον.] (v. 556) Τὸ δὲ ἁρπάζοντες ἐπὶ λεόντων κυριολεκτεῖται καὶ κυνῶν καὶ λύκων καὶ τῶν τοιούτων. Ἴφια δὲ μῆλα τὰ μικρὰ νῦν θρέμματα λέγει πάντα ἐκ μέρους ὡς ἰσχυροποιά, εἴγε καὶ κρέας παρὰ τὸ κρατύνειν δοκεῖ παράγεσθαι. [Ὅρα δὲ ὡς ἐκ τοῦ ἶφι ἐπιρρήματος οὐ μόνον ἡ καὶ παρ’ Ὁμήρῳ Ἶφις, τὸ κύριον, ἀλλ’ ἰδοὺ καὶ θρέμμα ἶφι, οὔτε ἄκλιτον ὂν κατὰ τὸ τρόφι κῦμα οὔτε κλιθὲν κατὰ τὸ μέλι, ἀλλὰ κατὰ τὸ στίμμι καὶ τὰ ὅμοια ἐθνικά.] (v. 557) Σταθμοί δὲ καὶ νῦν αἱ ἐν ἀγροῖς καταγωγαί. καὶ ἐκ τούτου μὲν συντέθειται τὸ βούσταθμον, ἐκ δὲ τοῦ ἁπλῶς δηλοῦντος τόπον στάσεως τὸ ναύσταθμον εἴρηται. Ὀξύνεται δὲ ὁ σταθμὸς κανόνι τοιούτῳ. Τὰ εἰς μος λήγοντα, ἔχοντα πρὸ τοῦ μ τὸ θ , ὀξύνεται· μηνιθμός, πορθμός, σκαρθμός, ἰσθμός. οὕτω καὶ σταθμός. τὸ κρῆθμος οἱ μὲν τοῦ Ὁμήρου Ὑπομνηματισταὶ βαρύνεσθαί φασιν εἰς ἰδιότητα, ἐν δὲ τοῖς ἀντιγράφοις τοῦ Λυκόφρονος καὶ αὐτὸ ὀξύνεται.

2.149 Τὸ δὲ κεραΐζειν ἢ καταχρηστικῶς εἴρηται ἀπὸ ζῴων βλαπτόντων τοῖς κέρασιν ἢ ἀπὸ τοῦ κείρειν, ὡς προείρηται, ἐξ οὗ καὶ ὁ κόρος. (v. 560) Ἐλάται δὲ ὑψηλαί, ἃς καλλύνει παρίσοις εἰπὼν «ἐλάτῃσιν ἐοικότες ὑψηλῇσι», παρατετηρημένως εἴρηνται. τῷ ὄντι γὰρ εἰς πολὺ ὕψος ἡ ἐλάτη αἴρεται. Διὸ καὶ ὁ μῦθος Ὤτου καὶ Ἐφιάλτου τῶν μεγίστων αὐτὴν ἀδελφὴν γενεαλογεῖ, ὧν ἐπὶ τῷ θανάτῳ πενθοῦσα εἰς ἐλάτην μεταβέβλητο, ὡς καὶ αἱ Ἡλιάδες εἰς αἰγείρους. Ὅρα δὲ καὶ ἐνταῦθα τὸ «ἐοικότες», ὡς καὶ πρὸ μικροῦ ἐν τῷ «νεφέλαις ἐοικότες», ὧν θέμα τὸ εἴκω, ἐξ οὗ εἰκών λέγεται ἡ παραβολὴ παρὰ τοῖς ὕστερον. (v. 561) Ὅτι ἐλεεῖ ὁ Μενέλαος τοὺς τοῦ εἰρημένου Διοκλέος διδύμους παῖδας ὑπὸ τῷ Αἰνείᾳ πεσόντας, καὶ δι’ αὐτοὺς ἐφορμᾷ τῷ Αἰνείᾳ. Ἔνθα καὶ σημείωσαι τὸ τοῦ Ὁμήρου φιλάληθες. οὐ γὰρ ὡς ἀξιόμαχον ἐπεξάγει τῷ ἀνδρειοτάτῳ Αἰνείᾳ τὸν μαλθακὸν πολεμιστὴν Μενέλαον, ἀλλὰ λέγει ὅτι Ἄρης, ἤγουν θυμὸς ἄκαιρος καὶ ἀλόγιστος, ὤτρυνε τὸ τοῦ Μενελάου μένος βῆναι διὰ προμάχων, «τὰ φρονέων, ἵνα χερσὶν ὑπὸ Αἰνείου δαμείη». (v. 565—7) Ἀντίλοχος μέντοι δείσας περὶ τῷ βασιλεῖ, «μή τι πάθῃ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μέγα δέ σφεας» ἤγουν τοὺς Ἕλληνας, «ἀποσφήλειε πόνοιο», ἄγχι μάλα παρίσταται. Ἦν γὰρ ἐν τοῖς καιρίοις ὀξύς, ὡς καὶ ἀλλαχοῦ εἴρηται. (v. 571 s.) «Αἰνείας δὲ οὐκ ἔμεινε, θοός περ ἐὼν πολεμιστής, ὡς εἶδε δύο φῶτε παρ' ἀλλήλοισι μένοντε», ἤγουν ἐγγὺς ἀλλήλων. περὶ οὗ, τί ποτε διαφέρει τοῦ ἐν ἀλλήλοις, δηλοῦται ἑτέρωθι. Καὶ ὅρα ὅπως ἀγαθοὶ ἐν ἀνάγκαις οἱ δύο ὑπὲρ τὸν ἕνα. κατὰ γὰρ τὴν παροιμίαν «εἷς ἀνὴρ οὐδεὶς ἀνήρ». Σημείωσαι δὲ καὶ ὅτι οὐκ εἶπεν, «ὡς εἶδε δύο ἄνδρε», ἵνα μή τις τοὺς ἀνδρείους μόνους νοήσῃ, ἀλλὰ ἁπλῶς δύο φῶτε. ἀγαθοὶ γὰρ ὅπως ἂν ἔχοιεν ἀρετῆς οἱ δύο. —[Διὸ κατὰ τὴν παροιμίαν «πρὸς δύο οὐδὲ Ἡρακλῆς»]—Εἰ μὴ ἄρα τις κατὰ τὴν ἐν τῇ Ἀ ῥαψῳδίᾳ γραφεῖσαν μετάληψιν νοήσῃ φῶτα μὲν τὸν ἄνδρα, τοῦτον δὲ ἀνδρεῖον, εἶτα μεταλάβῃ τὸν φῶτα εἰς ἀνδρεῖον.

2.150 Φιλεῖ δὲ τὸν βασιλέα Μενέλαον ὁ Ἀντίλοχος οὐ μόνον διὰ τὴν κατὰ ἔθνος ἐγγύτητα, ὡς Λάκωνα Μεσσήνιος, ἀλλὰ καὶ διὰ τὸν πατέρα φιλοβασιλέα ὄντα. Ὅρα δὲ καὶ ὅτι Μενέλαος μὲν εὐνοεῖται ὑπὸ τῶν Ἑλλήνων ὡς ἠδικημένος, Ἀλέξανδρος δὲ ὑπὸ τῶν Τρώων μισεῖται, οἷς ἠδίκησεν. Ἰστέον δὲ καὶ ὅτι τὸ «οὐκ ἔμεινε, θοός περ ἐών» καὶ ἑξῆς, εἰς πάντα ἕνα προσαρμόζει, δύο ἀντιμάχους ἔχοντα. (v. 567) Τὸ δὲ «ἀποσφήλειε πόνου» ἀντὶ τοῦ ἐμποδίσει, κωλύσει τοῦ ἐνεργεῖν. Πάντως γὰρ πεσόντος Μενελάου ἐλύετο ἡ μάχη, ὡς καὶ ὁ Ἀγαμέμνων ἐν τῇ Γ ἔφη «αὐτίκα γὰρ μνήσονται Ἀχαιοὶ πατρίδος αἴης» καὶ τὰ ἑξῆς. [Εἰ δὲ περὶ ποινῆς ἐκεῖνος καὶ ἐσαῦθις ἔφη μαχεῖσθαι, ἀλλὰ τοῦτο μὲν αὐτός, οἱ δὲ Ἀχαιοὶ μόγις ἂν ἔμειναν.] Σφάλλειν δὲ λέγεται τὸ συμποδίζειν καὶ ῥίπτειν. ἐξ οὗ καὶ σφέλας ἐν Ὀδυσσείᾳ τὸ ὑποπόδιον. Τούτου δὲ τὸ ἐναντίον ἀνασφάλλειν, ὃ δηλοῖ τὴν ἐκ τοῦ πτώματος ἔγερσιν. ἀποσφάλλειν δὲ τὸ πόρρω ποιεῖν καὶ ἀποπλανᾶν. (v. 574) Ὅτι βαλεῖν καὶ ἐνταῦθα φανερῶς, ὡς καὶ μετ' ὀλίγα, τὸ θεῖναι. βαλέτην γάρ, φησίν, ἐν χερσὶν ἑταίρων, ἀντὶ τοῦ ἔθεντο ἢ ἀντὶ τοῦ ἔρριψαν. ὁποῖον καὶ τὸ «βάλε σεαυτὸν κάτω». καὶ τὸ βαλεῖν δὲ ὀδόντας τοιοῦτόν τι παρὰ Ἀριστοτέλει, ὅτε λέγει βάλλειν ἄνθρωπον τοὺς ὀδόντας ἤτοι ἐκβάλλειν καὶ ῥίπτειν.

2.151 ἀφ' οὗ καὶ ἡ τοῦ πρωτοβόλου λέξις ἐπὶ ἀλόγων παρὰ τοῖς κοινολεκτοῦσιν. (v. 575) Ἐν τούτοις δὲ κεῖται καὶ τὸ «στρεφθέντε», τραχύφωνον ῥῆμα, κατὰ τὸ βλαφθῆναι, οἷον «τοιοῦδ' ἀποβλαφθεῖσαν ἀρτίως φίλου», καὶ κατὰ τὸ θρεφθῆναι καὶ ὅσα τοιαῦτα χαρτὰ καιρίως τοῖς λογίοις κεῖται ἀλλαχοῦ. (v. 576) Ὅτι τὸ Πυλαιμένης κύριον βαρύνοντες οἱ παλαιοὶ λέγουσιν, ὅτι τὰ τοιαῦτα κύρια ὡς ἐπὶ πλεῖστον βαρύνεσθαι φιλεῖ. ἡ μέντοι συνήθεια πολλὰ παρέφθειρεν ὀξυτονοῦσα, ὡς τὸ Εὐτυχής καὶ τὸ Εὐμενής τὰ κύρια. (v. 576 s.) Ἰστέον δὲ καὶ ὅτι ὧδε μὲν ἀναιρεῖται Πυλαιμένης, Παφλαγόνων ἀρχός, οὓς μεγαθύμους λέγει καὶ ἀσπιστάς, ὁ δ' ἐν τοῖς ἑξῆς ζῶν Πυλαιμένης ὁμώνυμός ἐστι τούτῳ. πολλὴ γάρ, ὡς καὶ προερρέθη, παρ' Ὁμήρῳ ἡ ὁμωνυμία τῶν κυρίων. Σκευωρία δὲ τῆς παραγωγῆς τοῦ Πυλαιμένεος, ὁποία καὶ ἡ τοῦ Ἀλθαιμένης κύριον, καὶ τοῦ ἀκραιφνής καὶ ἰθαιγενής καὶ Ἰθαιμένης κύριον, καὶ τοῦ τιθαιβώσσειν καὶ τοῦ μεσαιπόλιος, περὶ ὧν καὶ ἀλλαχοῦ δηλοῦται ἐν οἰκείοις τόποις. (v. 583) Ὅτι τὰ τοῦ εἰρημένου Πυλαιμένους ἡνία λευκὰ λέγει ἐλέφαντι, διότι κατὰ συνήθειαν παλαιὰν ἀστραγάλους ἐλεφαντίνους ἑκατέρωθεν εἶχον, δι' ὧν εἷλκον αὐτὰς οἱ ἡνίοχοι. Ὅρα δὲ ὅτι καὶ ἐνταῦθα ἐλέφαντα τὸ ἐλεφάντινον ἔφη ὀστοῦν, ὡς καὶ ἐν τῷ «ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ». [Οὔκουν χρυσόνωτοι μόνον παρὰ τοῖς παλαιοῖς ἡνίαι, ὁποίας δή τινος μέμνηται καὶ Σοφοκλῆς, ἀλλά που καὶ ἐλεφαντόνωτοι, ὡς πολλαχοῦ καὶ τότε παρρησιαζομένων τῶν ἐλεφαντίνων ὀστῶν.

2.152 ] (v. 585—7) Ὅτι Μύδων τις ἡνίοχος, ξίφει τὴν κόρσην πληγείς, «ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου κύμβαχος ἐν κονίῃσιν, ἐπὶ βρεχμὸν δὲ καὶ ὤμους δηθὰ μάλ' εἱστήκει», διὰ τὸ τὴν κεφαλὴν αὐτοῦ οἷον βυθισθῆναι χωσθεῖσαν ἀμάθῳ βαθείᾳ ὑποκειμένῃ, ὡς δηλοῖ τὸ «τύχε γάρ ῥ' ἀμάθοιο βαθείης», ἤγουν γῆς ἀμμώδους. Ἀμμώδης γὰρ ἡ ἄμαθος καὶ οὐκ ἄμμος αὐτόχρημα. Καὶ σημείωσαι τὴν ἀσφάλειαν τῆς γραφῆς. οὐ γὰρ ἦν δυνατὸν ἐπὶ μόνον βρεχμὸν ἵστασθαι τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πεσόντα νεκρόν, εἰ μὴ καὶ ἐπὶ ὤμους ἔκειτο, πλάτος προσλαβόμενος καὶ οὕτω δυνάμενος ἵστασθαι κύμβαχος. (v. 586) Ἔστι δὲ τὸ κύμβαχος ταὐτὸν τῷ ἐπὶ κεφαλήν. Ἔοικε γὰρ οὐ μόνον ἐπὶ ὀστρακοδέρμων κύτους ἡ κύμβη λέγεσθαι, ἀλλὰ καὶ ἐπὶ κεφαλῆς κατά τινα γλῶσσαν. ὅθεν καὶ κυβιστᾶν τὸ ἐπὶ κεφαλὴν καθάλλεσθαι. Ἔστι δὲ καὶ κυμβαῖον εἶδός τι ποτηρίου, ὡς Παυσανίας ἐν τῷ οἰκείῳ φησὶ Λεξικῷ. Παρὰ τὸ κυφόν δέ, φασίν, ἐτυμολογεῖται ἡ κύμβη, ὡς περιφερής. ὁ δέ γε κύμβαχος ἢ ἔχει τι ὀνοματοποιΐας διὰ τὸν δοκοῦντα ἐγκεῖσθαι αὐτῷ ἦχον ἢ ἐκ παραγωγῆς ἔχει τὸ χ , ἵνα ᾖ, ὡς τιμή τίμαχος. ὅθεν κύριον Δωρικὸν ὁ Τιμαχίδας, οὕτω καὶ κύμβη κύμβαχος. Σημαίνει δέ, φασίν, ἡ λέξις καὶ τὸ τῆς περικεφαλαίας ἄκρον, ᾧ ἐνίεται ὁ λόφος, ὡς τὸ «κύμβαχον ἀκρότατον νύξ’ ἔγχεϊ». Τὸ δὲ ῥηθὲν κυμβαῖον ποτήριον κυμβίον ἕτεροι γράφουσι, λέγοντες καὶ ὅτι ἔοικε κατὰ σχῆμα πλοίῳ καλουμένῳ κύμβῃ, ἐξ οὗ [ἴσως] καὶ παρωνόμασται.

2.153 Εἴη δ’ ἂν ἴσως τοιοῦτον πλοῖον ἡ κοινῶς ὀνομαζομένη πρός τινων ξυλοκουμβάρα, [ὡς δῆθεν ἐκ παραφθορᾶς τοῦ κύμβη, ἵνα ᾖ τὸ σκῶμμα ξυλοκύμβη, λεγόμενον ἐπὶ γυναικῶν, αἷς οὔτε κάλλος ἐπανθεῖ οὔτε σύμμετρον μέγεθος.] Τοῦ δὲ ῥηθέντος κυμβίου ἡ γραφὴ κατὰ τὸ ἱστίον καὶ ἰσχίον, ὥς φασιν οἱ παλαιοί. (v. 580) Ὁ δὲ Μύδων τὸ κύριον πρὸς διαστολὴν βαρύνεται τῆς μυδῶν μετοχῆς. (v. 586) Τὸ δὲ «ἐπὶ βρεχμὸν καὶ ὤμους» οἷον ἐπεξηγητικόν ἐστι κατὰ Ὁμηρικὴν συνήθειαν τοῦ κύμβαχος. Βρεχμός δὲ διὰ τοῦ χ τὸ ἄνω τοῦ μετώπου. λέγεται δὲ καὶ κοινῶς βρέγμα διὰ τοῦ γ . Καλεῖται δὲ οὕτω διὰ τὸ οἷον βεβρέχθαι τοῦτο τὸ μέρος καὶ ὑγρότατον εἶναι καὶ ἁπαλὸν τοῖς βρέφεσιν. Οὕτω καὶ ῥῆγμα λέγομεν διὰ τοῦ γ καὶ ῥωχμόν διὰ τοῦ χ, καὶ διωγμόν καὶ ἰωχμόν καὶ ἄλλα. Περὶ δὲ βρέγματός φησι καὶ Ἀριστοτέλης, ὅτι λεπτότατον ὀστοῦν ἐστι καὶ ἀσθενέστατον τῆς κεφαλῆς. (v. 587) Τὸ δὲ τύχε καιριωτάτη λέξις, δηλοῦσα τὸ κατὰ τύχην εὗρεν. [Ἐνταῦθα δὲ ὅρα καὶ ὡς οὐ ταὐτὸν ψάμαθον εἰπεῖν καὶ ἄμαθον, ἀλλὰ ψάμαθος μέν ἐστιν ἡ καὶ ψάμμος, ἄμαθος δὲ κόνεώς τι φαίνεται εἶναι εἶδος.

2.154 Εἰπὼν γοῦν Ὅμηρος τὸν Μύδωνα κύμβαχον ἐν κονίαις πεσεῖν, ἐπήγαγε τὸ «τύχε γάρ ῥ’ ἀμάθοιο βαθείης», ὡς ταὐτὸν ὂν κονίην εἰπεῖν καὶ ἄμαθον.] (v. 588) Ὅτι καὶ ὧδε τὸ βαλεῖν ἐπὶ τοῦ θεῖναι τέθειται ἢ τοῦ ῥῖψαι ἐν τῷ «ὄφρ’ ἵππω πλήξαντε χαμαὶ βάλον ἐν κονίῃσιν». Ἔνθα ὅρα καὶ τὸ «πλήξαντες» ἁπλῶς ῥηθὲν ἀντὶ τοῦ κρούσαντες ἢ πελάσαντες, ἀφ’ οὗ καὶ τὸ πλησιάζειν παράγεται. Ἐνταῦθα δὲ Ἀντίλοχος ξυνωρίδα ταύτην ἵππων ἐξελαύνει τῶν Τρώων, καταρρίψας τοῦ δίφρου τὸν τοῦ εἰρημένου Πυλαιμένεος ἡνίοχον. (v. 592—4) Ὅτι σωματοποιεῖ ὁ ποιητής, ὥσπερ τὸν Ἄρην, οὕτω καὶ τὴν Ἐνυώ, καὶ τῷ μὲν δίδωσι πελώριον ἔγχος νωμᾶν, τῇ δὲ τὸν κυδοιμὸν ἐν χερσίν, ὁποῖά τι σωματοειδὲς ὅπλον, τίθησιν, ὡς πάσης ἔριδος κυδοιμὸν ἐχούσης. Ἐνταῦθα δὲ σημείωσαι καὶ τὴν σύνταξιν ἔχουσάν τι καινόν. Φησὶ γὰρ «ἣ μὲν ἔχουσα κυδοιμὸν ἀναιδέα δηϊοτῆτος, Ἄρης δ’ ἐν παλάμῃσι πελώριον ἔγχος ἐνώμα». καίτοι ἠδύνατο εἰπεῖν «πελώριον ἔγχος νωμῶν», οὐκ ἠθέλησε δέ, ἀλλὰ συνεξήλλαξε καὶ νῦν τὸ σχῆμα τῇ τῶν προσώπων διαφορᾷ. (v. 594 s.) Ὅτι ὥσπερ πρὸ μικροῦ ἡ ἀλληγορία τοῖς οὐ γενναίως μαχομένοις τὴν Ἀφροδίτην συμπαρέμιξεν, οὕτως ἐνταῦθα ἐκ τοῦ ἐναντίου τοῖς ἀνδριζομένοις τὸν Ἄρην συνέταξε. Φησὶ γὰρ «Ἄρης δ’ ἐν παλάμῃσι πελώριον ἔγχος ἐνώμα, φοίτα δ’ ἄλλοτε μὲν πρόσθ’ Ἕκτορος, ἄλλοτε δ’ ὄπισθεν». Καὶ σημείωσαι ὅτι, εἰ καὶ οἱ μετὰ τὸν Ὅμηρον τὸ φοιτᾶν ἐπὶ μαθητῶν ἰδιάζουσιν, ὅθεν καὶ φοιτητὴν λέγουσι τὸν μαθητήν, ἀλλ’ ὁ ποιητὴς τὸ ὁρμᾶν φοιτᾶν λέγει. οὕτω δὲ καὶ Ἡσίοδος. Εἰ δὲ κατὰ τοὺς παλαιοὺς φοῖτος ἡ μανία, οἰκειότατον Ἄρεϊ ἐνταῦθα τὸ φοιτᾶν, μανιωδῶς ὁρμωμένῳ κατὰ Ἑλλήνων, διὰ τὸ καὶ μαινόμενον κακὸν λέγεσθαι αὐτόν.

2.155 ὅθεν ἔχει καὶ τὸ εἶναι ἀλλοπρόσαλλος. (v. 596—600) Ὅτι Διομήδης ἰδών, ὅπως ὁ Ἄρης αὐτὸς ἐκεῖνος ἐν παλάμαις πελώριον ἔγχος νωμῶν ἐφοίτα, ὡς προσεχῶς ἐρρέθη, νῦν μὲν πρόσθεν Ἕκτορος ὡς προμαχῶν, νῦν δὲ ὄπισθεν οἷα οὐραγῶν, ἐρρίγησε καὶ ἀνεχάζετο, «ὡς ὅτε ἀνὴρ

ἀπάλαμνος ἰὼν πολέος πεδίοιο», ἤγουν γῆν πολλὴν περιεληλυθώς, ὡς ἐξ ἀλλοδαπῆς ἥκων, «στήῃ ἐπ᾽ ὠκυρόῳ ποταμῷ ἅλαδε προρέοντι ἀφρῷ μορμύροντα ἰδών, ἀνά τ᾽ ἔδραμ᾽ ὀπίσσω», ὁποῖόν τι παθεῖν ἐν τοῖς πρὸ τούτου ἔφη καὶ τὸν δράκοντι περιτυχόντα. καὶ ἐκεῖνος γὰρ παλίνορσος ἀπέστη καὶ ἂψ ἀνεχώρησε δράκοντα ἰδών. Καὶ σημείωσαι ὅτι, εἰ καὶ ὅμοιαί πώς εἰσιν αἱ παραβολαὶ αὗται διὰ τὸ καὶ τὸν ποταμὸν καὶ τὸν δράκοντα ταὐτά πως εἶναι τῷ τε ὑγρῷ καὶ τῷ ψυχρῷ καὶ τῇ κατὰ γῆς ἕρψει καὶ τοῖς ἑλιγμοῖς—ὅθεν καὶ ὁ Περιηγητὴς τὸν Ἰσσικὸν κόλπον δράκοντι διὰ ταῦτα εἴκασεν ἐν παραβολῇ. —ὅμως ἀφελεστέρα ἐκείνης αὕτη. τὸν μὲν γὰρ δράκοντα φοβηθεὶς ἐκεῖ τις παλίνορσος ἀφορμᾷ, τοῦ δὲ ποταμοῦ ὁ ἀναχαζόμενος δι᾽ ἔκπληξιν καὶ ἀμηχανίαν τοῦτο ποιεῖ. Ἰστέον δὲ ὅτι στρατηγοῦ σπουδαίου ἀρετὴ τὸ οὕτω φυλάττεσθαι, ποτὲ μὲν προμαχοῦντα, ποτὲ δὲ οὐραγοῦντα, κατὰ τὸν Ἄρην ἐν ἑνὶ καιρῷ. (v. 603—7) Εἶτα εἰπὼν ὁ Διομήδης ὅτι ἀεὶ πάρεστιν, ὡς θεοφιλεῖ δηλαδή, τῷ Ἕκτορι θεός, ὃς λοιγὸν ἀμύνει, ὑποτίθησι τοῖς Ἀχαιοῖς στρατηγικῶς μετὰ προμηθείας φεύγειν ἐκ τοῦ θεοφιλοῦς ἀνδρός, καὶ ὅτι πρὸς τοὺς Τρῶας τετραμμένοι αἰὲν ὀπίσω εἴκετε, μηδὲ θεοῖς ἐθέλετε μάχεσθαι, ὅ ἐστι, μὴ ἐν προσποιήσει ἀνδρίας θεομαχεῖν βούλεσθε. Βούλεται γὰρ ὁ στρατηγός, εἰ καὶ πληγείη τις φεύγων, κατὰ στέρνου δέξασθαι τὸ τραῦμα καὶ μὴ προτροπάδην φυγεῖν καὶ νῶτα δοῦναι τοῖς ἐχθροῖς. Πάνυ γὰρ ἐν αἰσχρῷ τοῦτο τοῖς παλαιοῖς ἔκειτο καὶ μάλιστα τοῖς Λάκωσιν οἳ καὶ ἄταφον ἐρρίπτουν τὸν ὀπισθότρωτον.

2.156 Σημείωσαι δὲ ἐνταῦθα τὴν τυχηρὰν περιπέτειαν, ὅπως ὁ μὴ πειθόμενος πρὸ μικροῦ τῷ Σθενέλῳ τὴν εὐσχήμονα φυγὴν συμβουλεύοντι νῦν αὐτὸς φεύγειν ὑποτίθεται καὶ οἱ Ἕλληνες πείθονται. Διὸ μετ᾽ ὀλίγα οὔτε προτρέπονται, ἤτοι προτροπάδην φεύγουσιν, οὔτε ἀντιφέρονται ἐν μάχῃ, ἤτοι ἀνθίστανται τοῖς Τρωσίν, ἀλλ᾽ αἰὲν ὀπίσω χάζονται. (v. 597) Ἰστέον δὲ ὅτι ἀπάλαμνον λέγει τὸν ἄπειρον καὶ μὴ ἔχοντα τεχνάσασθαί τι, ὡς οἷον ἄχειρα καὶ μὴ ἔχοντα παλαίειν ἢ παλαμᾶσθαί τι, οὗ ἀνάπαλιν παλαμναῖος οὐ μόνον κοινότερον ὁ βριαρόχειρ, ἀλλὰ καὶ ὁ αὐτοχειρὶ κατὰ τοὺς παλαιοὺς φονεύων καί τινι μιάσματι ἔνοχος. καὶ Ζεὺς δέ, φασί, παλαμναῖος ὁ τοὺς φονεῖς καταρρίπτων. καί τις δέ, φασί, κατὰ θηρίων ἀσπὶς παλαμναία ἐκαλεῖτο. Ψογερὰ δὲ λέξις ἀεὶ παρὰ τοῖς ῥήτορσι δίχα Διὸς ὁ παλαμναῖος, οὐ μὴν οὕτω καὶ ὁ ἀπάλαμνος. (v. 598) Τὸ δὲ ὠκυρόῳ οὐκ ἐδιπλασίασε τὸ ρ κατὰ συνήθειαν, ὡς οὐδὲ τὸ ἅλαδε προρέοντι, κατὰ φύσιν τε καὶ διὰ μέτρου δὲ χρείαν, οὐ μὴν Ἀττικῶς. (v. 599) Τὸ δὲ μορμύρειν ὀνοματοποιΐα ἐστὶν ἤχου ῥέοντος ὕδατος καὶ τραχυνομένου ἠρέμα, ὡς καὶ ὑπαφρίζειν. καὶ ἔστι τραχύτερον τοῦ μύρειν, ἐξ οὗ, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, καὶ οἱ ἁλιμυρήεντές που ποταμοί, καὶ τὸ μύρεσθαι, ἤγουν κλαίειν, καὶ τὸ κλαυθμυρίζεσθαι, οὗ διασαφητικὸν ἡ κατὰ μελάνυδρον κρήνην μορμύρουσα ἢ μύρουσα τῶν δακρύων ῥοή.

2.157 Σημείωσαι δὲ καὶ ὅπως ἐνταῦθα τῷ συχνῷ ρ τραχύνει τὴν φράσιν, εἰπὼν ὠκύροον ποταμὸν ἅλαδε προρέοντα, ἀφρῷ μορμύροντα. [Τὸ δὲ ὀπίσσω πρὸς σαφήνειαν κεῖται τοῦ ἀνέδραμεν, ἤγουν παλίμπους ὥρμησεν, ὅπερ ἐστὶν ἀνεπόδισεν. ἄλλως γὰρ ἀναδραμεῖν λέγεται καὶ τὸ ἄνω δραμεῖν ἤγουν αὐξηθῆναι κατὰ τὸ «ὃ δ᾽ ἀνέδραμεν ἔρνεϊ ἶσος», ἀφ᾽ οὗ καὶ ἀναδρομή ἡ καθ᾽ ἡλικίαν αὔξησις.] (v. 601—3) Ὅτι ἐπὶ θεοφιλοῦς μαχητοῦ οἰκεῖον εἰπεῖν κατὰ τὸν ἐπὶ Ἕκτορι θαμβηθέντα Διομήδην τὸ «Ὦ φίλοι, οἷον δὴ θαυμάζομεν τὸν δεῖνα αἰχμητήν τε εἶναι καὶ θαρσαλέον πολεμιστήν τῷ δὲ αἰεὶ πάρα θεός, ὃς λοιγόν», ὡς εἴρηται, «ἀμύνει». (v. 604) Ὅτι ὥσπερ ἡ αὐτός ἀντωνυμία δηλοῖ ἔστιν ὅτε ὑπεροχήν τινα, ὡς τὸ «αὐτὸς ἔφατο», οὕτω πολλαχοῦ καὶ τὸ ἐκεῖνος. Φησὶν οὖν ὅτι τῷ Ἕκτορι πάρα, ἤγουν πάρεστι, κεῖνος Ἄρης, βροτῷ ἀνδρὶ ἐοικώς, ἤτοι ἀνθρώπῳ θνητῷ. ἐπίθετον γάρ, ὡς προγέγραπται, τὸ βροτός. Συνήθη δὲ τὰ τοιαῦτα καὶ Ἀττικοῖς, ἤγουν αἱ πρὸς ἐξοχὴν καὶ ἀλλοίας δὲ ἐμφάσεις ἀντωνυμίαι.

2.158 Περὶ δὲ τοῦ πάρα ἰστέον, ὅτι οὐ μόνον ἀντὶ τοῦ πάρεστι καὶ πάρεισι λαμβάνεται, ἀλλὰ καινότερον καὶ ἀντὶ τοῦ πάρειμι πρώτου ἑνικοῦ προσώπου, ὡς ἐν παλαιῷ Περὶ παθῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκέμματι φέρεται, ὅπου καὶ χρῆσις κεῖται αὕτη «τίς ἐσθ’ ὁ πωλῶν τἀνδράποδα; ἐγὼ πάρα». (v. 605 s.) [Ὅτι τὸ ἀλλὰ πρὸς τοὺς δεῖνα «τετραμμένοι, αἰὲν ὀπίσσω εἴκετε μηδὲ θεῷ μενεαινέμεν», ἤγουν προθυμεῖσθε, «ἶφι μάχεσθαι», φυγὴν ἐκ μάχης παραινεῖ ἀντιπρόσωπον εὐσχημόνως, ὡς καὶ πρὸ βραχέων ἐδηλώθη, ὅτε μὴ θεὸς βοηθοίη τοῖς καταπονουμένοις.] (v. 609) Ὅτι δοκεῖ μὲν ὁ Μενέσθης πρωτότυπον εἶναι τοῦ Μενεσθεύς, οὐκ ἔχει δὲ ταὐτοσήμως πρὸς ἐκεῖνο πάντῃ κατὰ τὸ ἡνίοχος ἡνιοχεύς καὶ Αἰθίοψ Αἰθίοπος, Αἰθιοπεύς. ὁ μὲν γὰρ περιώνυμος βασιλεὺς Ἀθηναίων, ὁ δὲ Μενέσθης ἑτεροῖος, ὃς καὶ πίπτει ἐνταῦθα ὑπὸ τῷ Ἕκτορι. (v. 612 s.) Ὅτι Ἄμφιός τις Σελάγου υἱὸς ἦν ἀπὸ Παισοῦ πόλεως, πολυκτήμων, πολυλήϊος, καὶ τάχα διὰ τοῦτο καὶ φιλόζῳος, εἴγε δειλὸν ὁ πλοῦτος καὶ φιλόψυχον κακόν. (v. 613—5) Ἀλλ’ ἡ μοῖρα, φησίν, ἦγε καὶ αὐτὸν ἐπικουρήσοντα Τρωσίν, ὃν καὶ ἀνεῖλεν Αἴας μάλα ἐγγὺς ἐλθὼν καὶ ἀκοντίσας, ὅτε ἠλέησε δύο τινὰς Ἀχαιούς, οὓς ἐν ἑνὶ δίφρῳ ὄντας ὁ Ἕκτωρ κατέκτανε. Σημείωσαι δὲ ἐνταῦθα, ὅπως τὸν μὲν Ἄμφιον καὶ ἐγενεαλόγησε καὶ ἐπῄνεσεν, ὡς ἂν εἴη λαμπρὸν τὸ ἐπ’ αὐτοῖς ἔργον τῷ Αἴαντι, τοὺς δὲ δύο, οὕς, ὡς εἴρηται, ἀνεῖλεν ὁ Ἕκτωρ, σιγῇ παρέδραμε, μόνον εἰδότε χάρμης ἐκείνους εἰπών. Καὶ ὅρα ὅπως τὸ εἰδότας μόνον αὐτὸ καθ’ αὑτὸ καὶ νῦν γενικῇ συνέταξεν. Ἰστέον δὲ ὅτι καὶ πρὸ ὀλίγου Ἕλληνας δύο ὑπὸ τῷ Αἰνείᾳ ἀνελὼν οὐδὲν ἧττον ἐσεμνολόγησε καὶ αὐτοὺς καὶ ἐγενεαλόγησεν, ὡς ἂν ἐκεῖ αὐξήσῃ τὸ τοῦ Αἰνείου ἔργον, μένος ἀναλαβόντος ἐσθλὸν ὑπὸ Ἀπόλλωνος καὶ ἀνδρισαμένου καὶ μέγα ποιήσαντος. (v. 611) Τὸ δὲ «μάλα ἐγγύς» πρὸ ὀλίγου «μάλα σχεδόν» εἶπεν, ὥστε ταὐτὸν τὸ σχεδόν καὶ τὸ ἐγγύς, τὸ μὲν ἀπὸ τοῦ σχῶ σχήσω, ἵνα δηλοῖ τὸ ἐχόμενον ἤτοι ἁπτόμενον, τὸ δὲ ἀπὸ τῆς ἐν προθέσεως καὶ τοῦ γῦια, ὃ δηλοῖ τὰς χεῖρας, ἵνα δηλοῖ τὸ ἐν ὑπογύῳ καὶ πρόχειρον καὶ ὡς εἰπεῖν ἐν χερσί.

2.159 Πρὸ δὲ τούτων καὶ «μάλα ἄγχι» εἶπε. τοῦτο δὲ καὶ ἄγχιστα λέγεται, οἷον «θανάτῳ ἄγχιστα ἐοικώς». (v. 612) Παισός δὲ πόλις μεταξὺ Παρίου καὶ Λαμψάκου, ἥτις, ὡς προδεδήλωται, καὶ μετὰ τοῦ α λέγεται Ἀπαισός, οἷον «δῆμον Ἀπαισοῦ». Λέγεται δέ, φασί, Παισός, διότι ἐκεῖ που ἡ Ἀργὼ ὑπὸ πνευμάτων ἀντιπνόων ἀνεπαίσθη ἤτοι ἀντεκρούσθη, ὅτε καὶ τῇ Κίῳ προσωρμίσθη. [(v. 616) Ὅτι νείαιραν κἀνταῦθα γαστέρα φησὶν ἢ τὸ τῆς γαστρὸς νείατον ἤγουν ἔσχατον, ἢ ἐπιθετικῶς, δι’ ἧς νέονται τὰ σιτία, καθὰ προείρηται. Καὶ ἔστι τὸ ἁπαθὲς νέαιρα, ὃ καὶ κύριον ἐστὶ παρὰ τοῖς ὕστερον ὄνομα. παρὰ τὸ νέα μέντοι ἐκεῖνο, ἵνα δηλοῖ τὴν νεαράν, ὅ τις καὶ ἐπὶ τῆς γαστρὸς ἀστεΐσεται διὰ τὸ ἐνδελεχῶς νεάζειν αὐτὴν εἰς ὄρεξιν. Ἔστι δὲ καὶ παρ’ Ὁμήρῳ ἐν Ὀδυσσείᾳ κύριον ὄνομα Νέαιρα.] (v. 617—26) Ὅτι ἐπέδραμε μὲν «φαίδιμος Αἴας τεύχεα συλήσων», τὰ τοῦ δηλωθέντος Ἀμφίου, «Τρῶες δ’ ἐπὶ δούρατ’ ἔχευαν ὀξέα, παμφανόωντα. σάκος δ’ ἀνεδέξατο πολλά. αὐτὰρ ὃ λὰξ προσβὰς ἐκ νεκροῦ χάλκεον ἔγχος ἐσπάσατο, οὐδ’ ἄρ ἔτ’ ἄλλα δυνήσατο τεύχεα καλὰ ὤμοιϊν ἀφελέσθαι. ἐπείγετο γὰρ βελέεσσι. δεῖσε δ’ ὅ γ’ ἀμφίβασιν κρατερὴν Τρώων ἀγερώχων, οἳ πολλοί τε καὶ ἐσθλοὶ ἐφέστασαν ἔγχε’ ἔχοντες. οἵ ἑ», ἤγουν αὐτόν, «μέγαν περ ἐόντα καὶ ἴφθιμον καὶ ἀγαυὸν ὦσαν ἀπὸ σφείων. ὃ δὲ χασάμενος πελεμίχθη». Καὶ ὅρα ὅπως ὁ Αἴας εἴκει οὐχ’ ἁπλῶς ἑνί τινι, ἀλλ’ ἀνδράσι, καὶ αὐτοῖς πολλοῖς, καὶ οὐ τοῖς τυχοῦσιν, ἀλλὰ καὶ ἐσθλοῖς—οὐ γὰρ ἂν εἶξεν ἑτεροίοις τισί—, καὶ ὅπως διὰ τοῦ «δούρατα ἔχευαν» τὸ πλῆθος τῶν δοράτων δηλοῖ. Καὶ σημείωσαι ὅτι ὁ μεθ’ Ὅμηρον εἰκάσας τὸ πλῆθος τῶν βελῶν νέφεσιν ἐξ Ὁμήρου τὸ νόημα ἔλαβεν, ὃς ὄμβρου καταφορᾷ παραβάλλειν ἔοικε τὴν τῶν πολλῶν δοράτων ἐπάφεσιν. τούτου γάρ πώς ἐστι δηλωτικὸν τὸ ἔχευαν. [Τοιαύτης δὲ ἐννοίας, ὅσα καὶ μητρὸς ἔκγονον, καὶ τὸ χυδαῖον σαγιτοβρόχον.] (v. 619) Ὅρα δὲ καὶ τὸ καίριον καὶ τὴν συντομίαν καὶ τὸ ἐπιφωνηματικὸν τοῦ «σάκος δ’ ἀνεδέξατο πολλά». οὐκ ἂν γάρ τις κάλλιον εἴπῃ οὔτε στενώσας οὔτε πλατύνας τὸ νόημα. εἴπῃ δ’ ἄν τις αὐτὸ παροιμιωδῶς καὶ ἐπὶ τοῦ πολλὰ δυσχερῆ ὑπομείναντος. Ἀστεϊζόμενος δέ τις κωμικώτερον καὶ ἐπὶ πτωχοῦ πολλὰ ἐπισαττομένου διὰ τῆς πήρας ἐρεῖ διπλασιάσας τὸ κ , εἰ βούλεται, ὅτι «σάκκος δ’ ἀνεδέξατο πολλά».

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.160 Καὶ μὴν οἱ παλαιοὶ καὶ τὸν σάκκον φασὶ καὶ δι᾽ ἑνὸς γράφεσθαι κ , ὃν καὶ σάκταν φασί, καθὰ δηλοῖ καὶ ὁ Κωμικός, ὡς ἀπὸ τοῦ σάττω, τὸ φορτίζω. (v. 622) Ἰστέον δὲ καὶ ὅτι τὸ «ἐπείγετο γὰρ βελέεσσιν» οἰκεῖον εἰπεῖν καὶ ἐπὶ τοῦ πολλὰ ὀχλουμένου ἢ διαβαλλομένου. Ἀφελῶς δὲ ὡς οἷα ἐμψύχοις τοῖς βέλεσιν οἰκειοῦται τὸ ἐπείγειν, ἐξ οὗ καὶ οἱ ἐργεπεῖκται λέγονται. (v. 623) Ἀμφίβασιν δὲ καὶ ὧδε ἐπὶ βοηθείας καὶ σκέπης τέθεικεν, ὡς καὶ ἐν τῷ «ὃς Χρύσην ἀμφιβέβηκας», τῆς λέξεως ἐκ τῶν τετραπόδων ζῴων καὶ νῦν, ὡς καὶ ἐν ἄλλοις μυρίοις, ληφθείσης, ἅπερ ἀμφιβαίνουσιν, ἤγουν ἀμφὶ τὰ σκυμνία βαίνουσιν, ὑπερμαχοῦντα ἐκείνων. [Κρατερὴ δὲ ἀμφίβασις ἡ γενναία, ἡ βιαία, ἡ καθ᾽ Ὅμηρον εἰπεῖν κρείσσων. Οὕτω δὲ καὶ μετ᾽ ὀλίγα ὑσμίνην ἐρεῖ κρατερήν, ὁμοίως δὲ καὶ μοῖραν κραταιήν.] (v. 625) Ὅρα δὲ καὶ ὅτι τὸν Αἴαντα τοῖς ἐπιθέτοις σεμνύνει. οὐ γὰρ κατὰ φυσικὴν κάκην ἀλλ᾽ ἀναγκαίαν περιπέτειαν ἔπαθε τὴν φυγήν. Καὶ ἤρκει μὲν εἰς ἔπαινον καὶ μόνον τὸ μέγαν, ἐπεὶ καὶ μέγας Αἴας αὐτὸς καὶ μείζων κατ᾽ ἐξοχὴν ἐλέγετο. πρὸς διαστολὴν δὲ ὅμως τοῦ κατὰ βουγάϊον μεγάλου προσεπήχθησαν τὸ ἴφθιμον καὶ τὸ ἀγαυόν. (v. 626) Περὶ δὲ τοῦ «χασάμενος πελεμίχθη» προγέγραπται. [(v. 620) Περὶ δὲ τοῦ λάξ, ὃ καὶ ἐν Ὀδυσσείᾳ κεῖται, δηλωθήσεται που ἐν τοῖς ἑξῆς.] Ὅτι διδάσκει καὶ ἐνταῦθα ὁ ποιητὴς μὴ ἐπὶ μόνοις τοῖς ἐκ πατέρων ἀγαθοῖς ἐπαίρεσθαί τινα, ἐν δευτέρῳ τῆς ἀνδραγαθίας τὴν πατραγαθίαν τιθέμενον. τὸν γοῦν μὴ γενναῖον Τληπόλεμον, ἐπὶ τῷ ἀνδρειοτάτῳ πατρὶ Ἡρακλεῖ μέγα φρονοῦντα, ἱστορήσει ὑπὸ Σαρπηδόνος ἀναιρεθῆναι, ὃν ἐξευτελίζων ὡς δειλὸν καὶ ἀπειροπόλεμον ὁ Τληπόλεμός φησι (v. 633—7) «Σαρπῆδον, [Λυκίων βουληφόρε,] τίς τοι ἀνάγκη πτώσσειν, ἔνθαδ᾽ ἐόντι, μάχης ἀδαήμονι φωτί;» λέγων καὶ ὅτι «ψευδόμενοι δέ σέ φασι Διὸς γόνον εἶναι, ἐπεί», φησί, «πολὺ κείνων ἐπιδεύεαι ἀνδρῶν, οἳ Διὸς ἐξεγένοντο ἐπὶ προτέρων ἀνθρώπων» καὶ τὰ ἑξῆς. Καὶ οὕτως ἐλέγχει ὁ ποιητὴς ἠρέμα τοὺς ἄλλως μὲν ἀγεννεῖς, ἐπὶ δὲ πατράσι καὶ μόνοις αὐχοῦντας κἀντεῦθεν πρωτεύειν ἐθέλοντας.

2.161 (v. 638—42) Ὅρα δὲ καὶ τὴν τοῦ Ὁμήρου ἀμφίστομον κἀνταῦθα ῥητορικὴν καὶ τὸ οἷον εἰπεῖν ἐκείνου ἀμφοτερόγλωσσον. Τὸν Ἡρακλέα γὰρ ἐγκωμιάζει μὲν ὁ υἱὸς ἐκείνου Τληπόλεμος, ἐν οἷς λέγει «ἀλλ᾽ οἷόν τινά φασι βίην Ἡρακληείην εἶναι, ἐμὸν πατέρα θρασυμέμνονα, θυμολέοντα». Ἐκτίθεται δὲ καὶ ὅπως Ἡρακλῆς ποτε ἐλθὼν εἰς Τροίαν «ἕνεκα ἵππων Λαομέδοντος ἓξ οἴῃς», ἤγουν μόναις, «σὺν νηυσὶ καὶ ἀνδράσι παυροτέροισιν Ἰλίου ἐξαλάπαξε πόλιν, χήρωσε δὲ ἀγυιάς», ὅ ἐστιν ἐρήμους ἀνδρῶν ἐποίησε, καὶ ἑξῆς. (v. 642) Ἔνθα ὅρα ὅπως τὸ ἐχήρωσεν οὐκ ἐπὶ λογικῶν ἢ ὅλως ἐμψύχου τινὸς τέθειται. Οὕτω καὶ ἐν Ὀδυσσείᾳ νῆσος ἔρημος ἡ πρὸ τῶν Κυκλώπων χηρεύειν εἴρηται ἀνδρῶν. Κυρίως μέντοι χήρα γυνὴ ἡ μετὰ θάνατον ἀνδρὸς ἢ καὶ γάμου διάλυσιν μηδενὶ συνοικοῦσα. [Οὕτω δὲ καὶ χῆρος ἀνήρ ὁ μηκέτι γυναῖκα ἔχων, ὡς ὁ γραμματικὸς Ἀριστοφάνης φησὶ λέγων καί, ὡς χηρωστής ὁ ἀγχιστής, ὃ καὶ σημείωσαι.] Καὶ οὕτω μὲν ὁ Τληπόλεμος ὑπὲρ τοῦ πατρὸς Ἡρακλέος λαλεῖ. (v. 647—51) Ὁ δέ γε Σαρπηδὼν καταψεύσασθαι μὲν τῆς Ἡρακλέους στρατηγίας ἢ ἀνδρίας οὐκ ἔχει, ἵνα μὴ τοῖς ὡμολογημένοις ἀναισχύντως ἀντιβαίνῃ, σμικρύνει δὲ ἄλλως καὶ ἐξευτελίζει τὸ μεγαλεῖον ἐκείνης τῆς πράξεως, λέγων «Τληπόλεμ᾽, ἤτοι κεῖνος ἀπώλεσεν Ἴλιον ἱρὴν ἀνέρος ἀφραδίῃσιν», ἤγουν κακοβουλίαις, «ἀγαυοῦ Λαομέδοντος, ὅς ῥά μιν εὖ ἔρξαντα», ἤγουν εὐεργετήσαντα διὰ τοῦ ἀνελεῖν μὲν τὸ κῆτος, περισώσασθαι δὲ τὴν θυγατέρα Ἡσιόνην, «κακῷ ἠνίπαπε μύθῳ», ἤγουν λόγοις ἐπέπληξεν οὐκ ἀγαθοῖς, «οὐδ᾽ ἀπέδωχ᾽ ἵππους, ὧν εἵνεκα τηλόθεν ἦλθε». Τοιαῦτα καὶ τὰ τοῦ Σαρπηδόνος, ἐν οἷς, συνελόντα εἰπεῖν, οὐ τοσοῦτον τὴν Ἡρακλέους ἀνδρίαν αἰτίαν τοῦ τὴν Τροίαν τότε ἁλῶναι δηλοῖ, ὅσον τὴν Λαομέδοντος ἀδικίαν.

2.162 Καὶ ἐχρῆν μέν, ὥς φασιν οἱ παλαιοί, τὸν Σαρπηδόνα εἰπεῖν, ὅτι τότε ὁ Λαομέδων δικαίως πολεμούμενος ἔπαθεν, εἶτα ἐπαγαγεῖν, ὅτι σὺ δὲ νῦν ἀδίκως πολεμῶν οὐκ ἀνύσεις. ὁ δὲ θυμῷ ἐχόμενος, ἐγκόπτει τὸν λόγον καὶ ἀφίησιν ἀτελῆ. τάχα δὲ οὐδὲ εἶχεν εἰπεῖν τοῦτο. οὐ γὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀδίκως ὑπερμαχεῖ ὁ Τληπόλεμος τοῦ Μενελάου. (v. 648 s.) Σημείωσαι δὲ καί, ὅτι ἐν τῷ «ἐκεῖνος ἀπώλεσεν Ἴλιον» ἔοικεν ὁ Σαρπηδὼν ὀκνεῖν ἐξ ὀνόματος μνησθῆναι τοῦ Ἡρακλέους, ἀχθόμενος ἐπὶ τοῖς ἐκείνου. Διὸ αὐτὸν μὲν οὐδ' ὅλως ὠνόμασε, τοῦ δὲ Λαομέδοντος μετὰ ἐπαίνου ἐμνήσθη, εἰπὼν ἀγαυὸν Λαομέδοντα. Ἀναμνηστέον δὲ καὶ ἐνταῦθα τῶν προρρηθέντων περὶ τοῦ τὸν Ὅμηρον μὴ μόνον τὰ πρὸ τοῦ δεκάτου ἔτους τῆς μάχης καὶ τὰ μετ' αὐτὸ ἐνείρειν τῇ Ἰλιάδι, ἀλλὰ καὶ ἑτέρας ἱστορίας, ὧν οὐδέν τι μέτεστι τῷ Τρωϊκῷ τούτῳ πολέμῳ. ἰδοὺ γὰρ καὶ τὰ κατὰ Ἡρακλέα καὶ Λαομέδοντα πρὸ τούτων μὲν γέγονε τῶν πολέμων, δεξιώτατα δὲ τοῖς νῦν πραττομένοις παρενεβλήθη ὑπὸ τοῦ ποιητοῦ. (v. 638) Σημείωσαι δὲ καὶ ὅτι διάφοροι Ἡρακλέες ἱστοροῦνται, ὡς δηλοῖ ὁ εἰπών, ὅτι ἐν τῷ «ἄλλος οὗτος Ἡρακλῆς», ὅπερ ἐπὶ Θησεῖ παροιμιωδῶς ἐλέχθη, ἄδηλον, ἢ ἐπὶ τῷ Ἰδαίῳ Δακτύλῳ Ἡρακλεῖ ἐρρέθη ἢ τῷ τῆς Ἀλκμήνης. Αἴλιος δὲ Διονύσιος τοῦτό φησι. Παυσανίας δὲ ἱστορεῖ, ὅτι τὸ «ἄλλος οὗτος Ἡρακλῆς» παροιμία ἐστὶν ἐπὶ Θησεῖ ἢ ἑνὶ τῶν Ἰδαίων Δακτύλων, οἱ δὲ ἐπὶ τῷ Αἰγυπτίῳ Ἡρακλεῖ, οἱ δὲ ἐπὶ τῷ τῆς Ἀλκμήνης. καὶ ὧδε μὲν ταῦτα. (v. 652- 4) Ὁ δὲ Σαρπηδὼν ἁρπάσας οἷον τὸ μονομαχῆσαι κατὰ τοῦ ἀλαζόνος καὶ εἰπὼν «σοὶ δ' ἐγὼ ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν ἐξ ἐμέθεν τεύξεσθαι, ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ», καὶ οὕτω μερίσειν ὡς ἐπιθανάτιόν τινα δωρεὰν ταύτην, ἐμοί τε καὶ τῷ Ἅιδῃ, ὡς ἐμὲ μὲν εὖχος ἔχειν ἐπὶ σοί, ἐκεῖνον δὲ τὴν σὴν ψυχὴν κάτω γενομένην, εὐθὺς ἔργου γίνεται. Καὶ Τληπόλεμος μὲν ἀνέσχετο μείλινον ἔγχος, καὶ αὐτὸς δὲ ὁμοίως. ἀποβαίνει δὲ τὰ κατ' αὐτούς, ὡς ἐν τοῖς ἑξῆς ἱστορεῖται. Ἰστέον δέ, ὅτι οὐδὲν θαυμαστόν, ἐὰν Γλαῦκος μὲν καὶ Διομήδης ἐν τοῖς ἑξῆς ἀναγνωρίσαντες ἀλλήλους ξένους ἀλλήλων πατρῴους σπένδωνται, υἱὸς δὲ Διὸς καθ' Ὅμηρον καὶ υἱωνός, ὁ Σαρπηδὼν δηλαδὴ καὶ ὁ Τληπόλεμος, μάχωνται, παρ' οὐδὲν θέμενοι τὴν συγγένειαν.

2.163 οὔτε γὰρ μιαρὸς ἐδόκει ὁ ἐν πολέμῳ θάνατος. καὶ ἄλλως δὲ αὐτοὶ τὴν συγγένειαν ἀπηρνήσαντο. (v. 635 s.) Εἶπε γὰρ ὁ Τληπόλεμος ὅτι ψευδόμενοι δέ σέ φασιν υἱὸν Διός. Σημείωσαι δὲ ὡς οἱ καυχησάμενοι οὐδὲ νῦν ἐπὶ καλοῖς ἀπαλλάττουσιν, ἀλλ' ὁ μὲν πρότερος ἀλαζονευσάμενος ἀναιρεῖται, ὁ δὲ ἀνταλαζονευσάμενος τιτρῴσκεται μόνον. (v. 638- 42 et 648—51) Ὅρα δὲ ὅσην καὶ τὸ παρὸν χωρίον πλουτεῖ χρηστομάθειαν. ἱστορίαν τε γὰρ οὐκ ἀλλοδαπὴν παραπλέκει τοῖς Τρωϊκοῖς, διανιστῶν συνήθως τὸν ἀκροατὴν ἐκ τῆς μονοειδοῦς ὑπτιότητος. Ἡ δὲ ἱστορία ἐστὶν ἅλωσις Τροίας παλαιά, ἧς καὶ τὰ περιστατικὰ ἐκτίθησιν ὁ ποιητής· πρόσωπον μὲν τὸν Ἡρακλέα, αἰτίαν δὲ τὸ μὴ τοὺς ἵππους ἀπολαβεῖν, χρόνον δὲ ἀόριστον. Φησὶ γὰρ «ὅς ποτε δεῦρ' ἐλθών», τρόπον δὲ τῆς ἐκστρατείας τὸ «ἓξ μόναις σὺν ναυσί». καὶ τὴν ἀνδρίαν δὲ τοῦ Ἡρακλέος ἐνταῦθα ἱστορεῖ καὶ φίλιππον ἐκεῖνον εἶναι παραδηλοῖ, καὶ ἅλωσιν ἐκείνην Τροίας τῇ νῦν ἐλπιζομένῃ συγκρίνει πάνυ γοργῶς καὶ δείκνυσιν ἐκείνην πιθανῶς κρείττονα ἔκ τε τοῦ χρόνου, ὅτι συντομώτατα κατειργάσθη, καὶ ἐκ τοῦ λαοῦ. Ἐνταῦθα μὲν γὰρ χιλιόναυς ὁ στόλος, ἐκεῖ δὲ ἓξ νῆες καὶ ἄνδρες παυρότεροι, ἤγουν ἁπλῶς παῦροι καὶ ὀλίγοι, ὥς που καὶ ἀλλαχοῦ ἐγράφη, ἢ ὀλιγώτεροι τῶν ἀνηκόντων ταῖς ἓξ ναυσί. Διδάσκει δὲ ἐνταῦθα, ὡς προερρέθη, καὶ ὅτι οὐδὲν ἡ πατραγαθία δίχα τοῦ ἀνδραγαθεῖν καὶ ὅτι οὐκ ἀεὶ τὰ τέκνα πατρῴζουσι. ποιεῖται δὲ καὶ σύγκρισιν δύο παίδων τοῦ Διὸς ἐξ ἐγκωμίου συγκειμένην καὶ ψόγου, καὶ τὴν ἀλαζονείαν κολάζει, ὡς καὶ τοῦτο προείρηται.

2.164 Δείκνυσι δὲ καὶ τὸ ψεῦδος οὐ πρὸς καλοῦ γίνεσθαι, οὐδὲ τὸ τοὺς εὐεργέτας κακῶς ποιεῖν, εἴγε διὰ ταῦτα ὁ Λαομέδων τὴν Ἴλιον ὤλεσε. Παραδηλοῖ δὲ καὶ ὡς, εἰ διὰ ψεῦδος καὶ μικρὰν ἀδικίαν ἑάλω ἡ Τροία, πολλῷ πλέον διὰ παρασπόνδησιν ἄρτι καὶ ἀδικίαν μεγάλην, καὶ ὅτι πολλάκις διὰ μικρὰν αἰτίαν πολλὰ γίνεται κακά, εἴγε διὰ ἵππους ἑάλω ποτὲ ἡ Τροία, ὡς καὶ ὕστερον διὰ γυναῖκα. Καὶ ὅλως Ὁμηρικῆς πολλῆς δεινότητος καὶ ὁ τόπος οὗτος πέπλησται. (v. 642) Σημείωσαι δὲ εἰς τὸ «ἐχήρωσεν ἀγυιάς» καὶ τὸ τοῦ Γεωγράφου εἰπόντος, ὅτι Ἰλιεῖς

Ἀχιλλεῖ μὲν καὶ Αἴαντι καὶ Πατρόκλῳ καὶ Ἀντιλόχῳ ἐναγίζουσιν, Ἡρακλέα δὲ οὐ τιμῶσι, καίτοι ὁ μὲν οὐκ ἠφάνισε τελέως τὴν Τροίαν, ἀλλὰ ἐξαλαπάξας ἐχήρωσεν ἀγυιάς. Ἡ δὲ χηρεία λειπανδρία τίς ἐστιν, οὐ μὴν ἀφανισμός. Οὗτοι δέ, οἷς ἐναγίζουσι, τελείως αὐτὴν ἠφάνισαν. εἰ μὴ ἄρα, φησί, διότι οὗτοι μὲν δίκαιον πόλεμον ἐξήνεγκαν, ἐκεῖνος δὲ ἄδικον ἕνεκεν ἵππων Λαομέδοντος. Ἔχομεν οὖν καὶ ἐντεῦθεν μαρτυρίαν τοῦ περὶ Ἡρακλέα Τρωϊκοῦ μίσους, ὃς μισοῖτο ἂν καὶ ἄλλως πρὸς Τρώων πλέον ἤπερ οἱ Ἕλληνες, ἐπειδὴ αὐτοὶ μὲν οἷά τι μεγαλεῖον τοῖς ἐπιγόνοις τὴν Τροίαν ἀφῆκαν περιᾴδεσθαι μόγις ὀψέ ποτε καὶ μετὰ πολλῶν ἡρώων θανάτους αὐτῆς περιγενόμενοι, ὁ δὲ αὐτοβοεὶ τὴν τοσαύτην ἑλὼν ἐξηθέρισεν. Ὄντων δὴ καὶ τούτων ἐν τούτοις τὰ κατὰ μέρος τοῦ ῥηθέντος χωρίου διάκειται οὕτω. (v. 633 s.) Τὸ «Σαρπῆδον, Λυκίων βουληφόρε, τίς τοι ἀνάγκη πτώσσειν ἐνθάδε» δύναται μὲν γράφεσθαι καὶ Σαρπηδών ὀξυτόνως, ἀρέσκει δὲ τοῖς παλαιοῖς προπερισπᾶν αὐτό. Ἔστι γὰρ εὐθεῖα ὁ Σαρπηδών ὀξυτόνως καὶ ἑτέρα [Αἰολικὴ ἴσως] ὁ Σαρπήδων παροξυτόνως. διφορεῖται γὰρ τὸ ὄνομα, καὶ τοῦ μὲν ἡ γενικὴ Σαρπηδόνος ὡς ἀηδόνος καὶ ἡ κλητικὴ ὁμόφωνος τῇ εὐθείᾳ τῷ κανόνι τῶν εἰς δων ὀξυτόνων, τοῦ δὲ ἡ κλίσις Σαρπήδοντος ὡς λέοντος καὶ ἡ κλητικὴ ἀποβολῇ τῆς ληγούσης «Σαρπῆδον» προπερισπωμένως μετὰ συστολῆς τῆς ληγούσης. Καὶ πολλαχοῦ ἡ τοιαύτη κλίσις εὑρεθήσεται παρὰ τῷ ποιητῇ. Τὸ δὲ βουληφόρε ὑποκρύπτει σκῶμμά τι, ὡς δῆθεν μὴ ἀνδρείου τοῦ Σαρπηδόνος ὄντος ἀλλὰ μόνον βουλευτοῦ.

2.165 Διὸ καὶ ὑποκατιὼν ἀδαήμονα μάχης αὐτὸν λέγει, καὶ ἀντὶ τοῦ «τίς ἀνάγκη ἐνταῦθά σε εἶναι;» «τις τοι ἀνάγκη», φησί, «πτώσσειν ἐνθάδε», τὸ διατρίβειν εἰς τὸ πτώσσειν μεταλαβών, [ὡς καὶ ἀλλαχοῦ «ἐνθάδε ἔρρων» φησὶν ἀντὶ τοῦ «ἐπὶ φθορᾷ διατρίβων».] Τὸ δὲ «τίς τοι ἀνάγκη» φανερῶς δηλοῖ μὴ ἀναγκαστὸν ἀλλ' ἑκούσιον εἶναι τὸν Σαρπηδόνα σύμμαχον τοῖς Τρωσίν. Ἰστέον δὲ καὶ ὅτι ἐπὶ παντὸς ἀνάνδρου, μάτην παρόντος τῇ μάχῃ, δύναται λέγεσθαι τὸ «τίς τοι ἀνάγκη πτώσσειν ἐνθάδ' ἐόντι, μάχης ἀδαήμονι φωτί», [ὃ καὶ κατὰ αἰτιατικὴν πτῶσιν λεχθὲν ἀσολοίκιστόν ἐστι διὰ τὸ πτώσσειν, ἵνα ἦν «τίς σοι ἀνάγκη πτώσσειν σε ὧδε ἀπόλεμον ὄντα».] Καὶ ὅρα ὅτι οὐ λέγει πτήσσειν ἀλλὰ πτώσσειν, ἐξ οὗ καὶ τὸ πτωσκάζειν καὶ πτὼξ λαγωός. Καὶ σημείωσαι τὸ σφοδρὸν καὶ καταφορικὸν τῆς λέξεως. (v. 635—7) Πρὸς δὲ τὸν μάτην ἐξισούμενον παλαιοῖς ἀγαθοῖς ἀνδράσι παρῳδήσας μικρὸν εἴπῃ ἄν τις τό· ψευδόμενοι δέ σέ φασι τοιόνδε τινὰ εἶναι, ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν, οἳ τοιοίδε ἐγένοντο ἐπὶ προτέρων ἀνθρώπων. (v. 638 s.) Τὸ δὲ «ἀλλ' οἷόν τινά φασιν εἶναι ἐμὸν πατέρα θρασυμέμνονα, θυμολέοντα» υἱὸς ἂν εἴπῃ, σεμνυνόμενος ἐπὶ πατρὶ ἀνδρείῳ ἀποιχομένῳ. Ἐνταῦθα δὲ σημείωσαι καὶ ὅτι τὸ θρασυμέμνων, ἤγουν θρασὺς καὶ μένων, σύνθεσίς ἐστι τοῦ μένος καὶ θάρσος, ὃ φθάσας εἶπεν ἐπὶ τοῦ Διομήδους, καὶ ὅτι τὸ θρασύς ἐνταῦθα οὐ ψόγον ἔχει, ἀλλ' ἴσον ἐστὶ τῷ θαρραλέος. Ἡ δὲ ἀνάγνωσις τοῦ θρασυμέμνων ὡς τὸ Ἀγαμέμνων. [Δῆλον δ' ἐκ τούτων ὡς καὶ τὸ ἁπλοῦν ὁ μέμνων, καθὰ καὶ ὁ μένων, ἀνδρείους ὑποδηλοῦσι.] (v. 638) Τὸ δὲ «βίη Ἡρακληείη» κεῖται καὶ ἐν τῇ Βοιωτίᾳ, καὶ ἐγράφη περὶ αὐτοῦ ἐκεῖ, ἔνθα κεῖται καὶ σχῆμα καινοπρεπές, ὅμοιον τῷ «ψυχὴ Τειρεσίου χρύσεον σκῆπτρον ἔχων».

2.166 Τοιοῦτον γὰρ καὶ ἐκεῖσε τὸ «βίη Ἡρακληείη πέρσας πόλεις,» ἤγουν Ἡρακλῆς πορθήσας, ἵνα καὶ αὐτόθι μὴ πρὸς τὸ ῥητὸν θῆλυ ἀλλὰ πρὸς τὸ νοητὸν ἄρρεν ἡ σύνταξις γένηται. Ὅμοιον δὴ κἀνταῦθα τὸ «ἀλλ' οἷόν τινά φασι βίην Ἡρακληείην εἶναι». τὸ μὲν γὰρ εὐθὺ καὶ κοινὸν ἦν εἰπεῖν· ἀλλ' οἵαν τινά φασι τὴν Ἡρακλέος εἶναι βίαν, ὁ δὲ πρὸς τὸ νοητόν, ἤγουν πρὸς τὸν Ἡρακλῆν, ἀποτεινάμενος ἔφη τὸ «ἀλλ' οἷόν τινα». Εἰ μὴ ἄρα θηλυκοῦ γένους ἐστὶ τὸ οἷον Ἀττικῶς. Τὸ δὲ «φασί» περίφημον καὶ ὡς εἰπεῖν περίφαντον εἶναι τὸν Ἡρακλέα δηλοῖ. (v. 643—5) Ἰστέον δὲ καὶ ὡς ἐν μέσῳ τῶν τοῦ Τληπολέμου λόγων κεῖται ψόγος ἐπὶ δειλίᾳ στρατηγοῦ τὸ «σοὶ δὲ κακὸς μὲν θυμός, ἀποφθινύθουσι δὲ λαοί». Τὸ δὲ ἐφεξῆς ἀπειλητικόν ἐστι κατὰ βοηθοῦ ἀλυσιτελοῦς παρῳδηθέν, οἷον «οὐδέ τί σε τοῖς δεῖνα ὀΐομαι ἄλκαρ ἔσεσθαι, οὐδ' εἰ μάλα

καρτερός ἐσσι». (v. 646) Εἶτα ὅρα ὅτι πολλαχοῦ φιλοτίμως ἔχων εἰς τὸ φράζειν ὁ ποιητὴς ποιεῖ αὐτὸ καὶ ἐνταῦθα, τὸ ἀποθανεῖν διὰ μὲν τοῦ Γλαύκου εἰπὼν πύλας Ἀΐδαο περήσειν, διὰ δὲ Σαρπηδόνος ψυχὴν Ἄϊδι δοῦναι. Ἰστέον δὲ καὶ ὅτι τὸ «πύλας Ἅιδου περήσειν», ἤγουν εἰς Ἅιδην ἀπελθεῖν, μύθου ἤρτηται τοῦ πέραν περὶ τὰ τοῦ Ὠκεανοῦ ἑσπέρια πλάττοντος εἶναι τὸν Ἅιδην, ὡς καὶ ἐν τῇ Ὀδυσσείᾳ φαίνεται. (v. 651) Τὸ δὲ ἀπέδωκε τὸ χρεωστικῶς δοῦναι δηλοῖ. (v. 654) Τοῦ δὲ κλυτοπώλου ἡ εὐθεῖα ἔοικε προπαροξύνεσθαι κατὰ τὸ εὔπωλος. Ἔστι δὲ τοιοῦτος Ἅιδης, οὗ κλυτὴ ἡ ἐπιπώλησις, ἤτοι ἔφοδος. μηνύουσι γὰρ τοὺς θανόντας οἱ ἐπ' αὐτοῖς θρῆνοι. ἢ ὁ κλυτοὺς ἔχων ἵππους. πανταχοῦ γὰρ οἶδε φθάνειν ὁ θάνατος. Εἰκασθείη δ' ἄν ποτε κλυτοπώλῳ Ἅιδῃ ἀστείως καὶ ὁ δι' ἱπποτροφίας ἐπιτρίβων τινάς. Τὸ δὲ «ἀνέσχετο ἔγχος» Ὁμήρῳ ἀρέσκει παθητικῶς λεχθέν, ἡ δὲ κοινὴ χρῆσις ἀνέσχε χεῖρά φησι καὶ ἔγχος καὶ τὰ ὅμοια.

2.167 Λέγει δὲ καὶ μετοχὴν παθητικὴν ἀνασχόμενος. δῆλον δὲ ὡς οἶδε καὶ τὰ ἐνεργητικά, ἤγουν τὸ ἀνέσχε καὶ τὸ ἀνασχών. (v. 656) Ὅτι ἁμαρτῇ, τουτέστιν ὁμοῦ, ὅ τε Σαρπηδὼν καὶ ὁ Τληπόλεμος ἀφῆκαν δούρατα μακρὰ κατ' ἀλλήλων, καὶ ὁ μὲν αὐχένα μέσον βληθεὶς τέθνηκε, (v. 660—7) Σαρπηδὼν δὲ μηρὸν ἀριστερὸν βάλλεται καὶ ἡ αἰχμὴ τῷ ὀστέῳ ἐγχρίμπτεται, οὐ θνῄσκει δέ, ἀλλὰ δῖοι ἑταῖροι ἐξέφερον αὐτὸν πολέμοιο, ταμιευόμενον ἀλλαχοῦ εἰς ἀναίρεσιν τῷ Πατρόκλῳ. Διό φησι «πατὴρ δ' ἐπὶ λοιγὸν ἄμυνε. βάρυνε δέ», φησίν, «αὐτὸν δόρυ μακρὸν ἑλκόμενον. οὐ γάρ τις ἐπεφράσατο οὐδ' ἐνόησε» μηροῦ ἐξελκῦσαι αὐτό, «ὄφρ' ἐπιβαίη, σπευδόντων», τουτέστιν ὀρθὸς σταίη, «τοῖον γὰρ ἔχον πόνον ἀμφιέποντες». Καὶ σημείωσαι ὅπως ἡ σπουδὴ καὶ ἀγωνία ἐκκρούει τινὰς τοῦ δέοντος. Ἰστέον δὲ ὅτι τὸ ἁμαρτῇ, ὃ γίνεται ἀπὸ τοῦ ἅμα καὶ τοῦ ἀρτῶ, ἡ μὲν συνήθεια περισπᾷ, ὡς τὸ εἰκῇ, πολλαχῇ, καὶ ὅσα τοιαῦτα, ἐν οἷς καὶ τὸ ἡσυχῇ, καὶ βῆ—ὄνομα φωνῆς προβάτου ὀνοματοποιηθέν, ὡς καὶ ἀλλαχοῦ δηλοῦται—, Ἀρίσταρχος δὲ ὀξύνει, ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται, λέγων ἐκ τοῦ ἁμαρτήδην συγκοπῆναι αὐτό. Ἰστέον δὲ ὡς, εἰ καὶ ὁμαρτῇ τὸ ῥηθὲν ἐπίρρημα γράφεται κατά τινα τῶν ἀντιγράφων, ἔχεται λόγου διὰ τὸ καὶ τὸ ἀκολουθεῖν ἁμαρτεῖν τε λέγεσθαι διὰ τοῦ α καὶ ὁμαρτεῖν διὰ τοῦ ο ἐκ τῆς αὐτῆς ἐτυμολογίας τῷ ἐπιρρήματι, ὡς ἔστι γνῶναι καὶ αὐτὸ ἐκ τῶν παλαιῶν.

2.168 (v. 664) Ὅρα δὲ καὶ ἐνταῦθα τὸ ἐξέφερον, ἤτοι φοράδην ἀπῆγον, τὸν Τληπόλεμον καὶ τὸν Σαρπηδόνα. (v. 665) Τὸ δὲ «οὐκ ἐπεφράσατο οὐδ' ἐνόησε» δοκοῦσι διαφορὰν ἔχειν τινά. Ἐπιφράσασθαι μὲν γὰρ τὸ βουλεύσασθαι καὶ χρόνον τινὰ τρῖψαι τῇ καταλήψει, νοῆσαι δὲ τὸ δίχα βουλῆς ἀχρόνως οἷον τὸ δέον καταλαβεῖν, οἷον «νόησε δὲ δῖος Ὀδυσσεύς», ὃ μετ' ὀλίγα «ὀξὺ νόησε» φησὶν ἐπὶ Ἕκτορος. Ἦ καὶ ἄλλως διαφέρει τὸ νοῆσαι τοῦ ἐπιφράσασθαι ᾧ λόγῳ καὶ Προμηθεὺς καὶ Ἐπιμηθεύς, ὡς προηγεῖσθαι μὲν τὸ νοῆσαι, δευτερεύειν δὲ τὸ ἐπιφράσασθαι, εἰ καὶ ὁ ποιητὴς ἄλλως κατὰ ὑστερολογίαν ἐσχημάτισεν. (v. 656 s.) Ἐν δὲ τοῖς εἰρημένοις καὶ τὸ τάχος τῶν ἀφεθέντων δοράτων ἐμφαίνων οὐχ' ἁπλῶς κινηθῆναι αὐτὰ εἶπεν, ἀλλὰ συντόνως, ὡσεὶ καὶ ἄημα, ὅ ἐστι πνεῦμα. οὗ θέμα τὸ ἄω, οὗ παράγωγον τὸ ἀΐσσω. Ἔφη γὰρ «τῶν μὲν ἁμαρτῇ δούρατα μακρὰ ἐκ χειρῶν ἤϊξαν», ὡσεὶ καὶ ἀκόντων ἐκείνων ἐξώρμησαν οἷά τινα ἔμψυχα. Οὕτω δὲ ὑποκαταβὰς ἔφη ὡς ἐπὶ ἐμψύχου τὸ «αἰχμὴ δὲ διέσσυτο μαιμώωσα», ὅπερ ἐπὶ Ὀδυσσέως μετ' ὀλίγα κυριολεκτῶν ἐρεῖ ἐν τῷ «μαίμησε δέ οἱ φίλον ἦτορ». Ψυχοῖ γὰρ οἷον αὐτονόμως πολλαχοῦ τὰ βέλη ὁ ποιητής, ὅτ' ἂν ἐνθέρμως καὶ μετὰ συντονίας πέμπωνται. (v. 670) Ὅτι Ὀδυσσεὺς ἀλλαχοῦ μὲν τλήμων ὑπὸ τοῦ ποιητοῦ ὀνομάζεται, ἐνταῦθα δὲ τλήμονα θυμὸν ἔχειν λέγεται, ὃ καὶ αὐτὸς ἐκεῖνος δηλοῖ ἐν τῷ «τέτλαθι, κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης». ἐξ οὗπερ ἄλλοι τὸν τλησικάρδιον συντεθείκασι. Σημείωσαι δὲ ὅτι κυρίως μὲν τλήμων ὁ εὔτολμος, ὡς καὶ Ἄτλας ὁ οἱονεὶ πολύτλας, Τραγικοὶ δὲ ἐπὶ δυστυχοῦς τὴν λέξιν τιθέασιν, ὡς καὶ τὸ τάλας.

2.169 (v. 669—73) Φράζει δ’ ἐνταῦθα ὁ ποιητὴς οὕτω «νόησε δὲ δῖος Ὀδυσσεύς, τλήμονα θυμὸν ἔχων, μαίμησε δέ οἱ φίλον ἦτορ, μερμήριξε δέ» καὶ ἑξῆς. Ταῦτα δὲ ἀνδρείῳ βουλευτῇ οἰκεῖά εἰσιν, ἐν οἷς τὸ μερμήριξε διασαφητικόν ἐστι τοῦ «μαίμησε δέ οἱ φίλον ἦτορ». Ἐνθυμητέον δ’ ἐνταῦθα καὶ ὅτι τὸ ἔχειν καὶ τὸ τλῆναι τὴν γεωργικὴν ἐχέτλην συντίθησιν, ἣν δηλαδὴ ὁ ἔχων τάλας τὸν βίον ἐστίν, [ἢ καί, ἄλλως εἰπεῖν, τλήμων διὰ τὸ ἐργατικόν.] (v. 671—6) Ὅτι πολλαχοῦ ὁ ποιητὴς τὴν τοῦ λόγου προθεωρίαν ἑτέροις δῆθεν ἀνατιθείς, ποιεῖ οὕτω καὶ ἐνταῦθα, καὶ σκοπῶν αὐτός, ποῖον ἂν εἴη κάλλιον, ἆρά γε τὸ ποιῆσαι τὸν Ὀδυσσέα ἐπιτρέχοντα τῷ Σαρπηδόνι ἢ κατὰ τῶν Λυκίων ἀνδραγαθοῦντα, κρίνει διὰ τῆς ῥητορικῆς Ἀθηνᾶς, ἤτοι τῆς κατ’ αὐτὸν δεινότητος, κάλλιον τοῦτο εἶναι. Τὸ γὰρ ἐπιδραμεῖν τῷ Σαρπηδόνι ἀλυσιτελές. οὐ γὰρ μόρσιμον ἦν, φησί, θανεῖν ἐκεῖνον ὑπὸ τῷ Ὀδυσσεῖ. Καὶ οὕτω σκοπήσας αὐτὸς καὶ ἐπικρίνας ἐν σχήματι καταστάσεως καὶ προεκθέσεως, εἶτα πλάττει τὸν Ὀδυσσέα σκοποῦντα, ἢ προτέρω, ἤγουν προσωτέρω, περαιτέρω, διώκοι τὸν Σαρπηδόνα, ἢ πλεόνων Λυκίων ἀπὸ θυμὸν ἕλοιτο. (v. 676—8) Καὶ λέγει, ὅτι ἡ Ἀθηνᾶ, τουτέστιν ἡ ἐν τῷ Ὀδυσσεῖ φρόνησις, κατὰ πληθὺν Λυκίων τράπεν, ἤγουν ἔτρεψε, τὸν τοῦ Ὀδυσσέως θυμόν, οἷς καὶ ἐμπεσὼν ἀναιρεῖ Κοίρανόν τέ τινα καὶ Ἀλάστορα Χρόμιόν τε Ἄλκανδρόν τε καὶ Ἅλιον καὶ Νοήμονα καὶ Πρύτανιν. Καὶ ὅρα ὡς τὸ κοίρανος καὶ ἀλάστωρ καὶ νοήμων καὶ πρύτανις τὰ προσηγορικὰ εἰς κύρια ἐχρησίμευσαν τῷ ποιητῇ, καὶ ὅτι συντόμως ἐπιδραμὼν δυσὶ στίχοις ἑπτὰ κύρια ἐμπεριέλαβε. κατωτέρω μέντοι ἐπὶ Ἕκτορος τρισὶ στίχοις ἓξ κύρια ἐντίθησιν ἀνὰ δύο ἐν ἑκάστῳ στίχῳ διὰ τὸ καὶ ἐπιθέτοις ἐκεῖ κοσμεῖν σεμνότερον τοὺς πίπτοντας Ἕλληνας. (v. 673) Ἐν δὲ τῷ «πλεόνων Λυκίων θυμόν» πλέονας τὴν πληθὺν λέγει. ἐπάγει οὖν «κατὰ πληθὺν Λυκίων». Τοῦτο δὲ πρὸς ἀντιδιαστολὴν τοῦ ἑνός, τοῦ Σαρπηδόνος, ὥστε ἐκ τούτου νοητέον ληφθῆναι τὸ τὸν μέγαν μὲν ἕνα λέγεσθαι, πολλοὺς δὲ καὶ πληθὺν τὸν χυδαῖον λαόν.

2.170 [Εἰ δὲ καὶ τοὺς ἀποιχομένους πλείονάς φαμεν, οἷον «ἐκινδύνευσα παρὰ τοὺς πλείονας ἀπελθεῖν», ἤγουν θανεῖν, εἴη ἂν καὶ αὐτὸ ἐξ Ὁμήρου ἀποσυληθέν.] (v. 677 s.) Σημείωσαι δὲ καὶ ὅτι ἐν τῷ χωρίῳ τούτῳ τὸ μὲν Χρομίος κύριον παροξύνουσιν οἱ παλαιοί, τὸ δὲ Ἅλιος προπαροξύνουσι, λέγοντες ὅτι, κἂν ἐπὶ κυρίων παροξύνεται τὰ τριβράχεα, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, οἷον Δολίος, Τυχίος, Χρομίος, ἀλλὰ σημειώδη τὸ Ἅλιος, Ξένιος, Ἄνιος καὶ Κρόνιος, κύρια μὲν ὄντα καὶ τριβράχεα, προπαροξυνόμενα δέ. τινὲς δὲ καὶ τὸ Ἅλιος κύριον ἐνταῦθα παροξύνουσι. (v. 679—83) Ὅτι ἀνδρείων στρατηγῶν τὸ «καί νύ κ’ ἔτι πλέονας κτάνε δῖος» ὁ δεῖνα, «εἰ μὴ ἄρ ὀξὺ νόησε μέγας κορυθαίολος» δεῖνα. «βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ δεῖμα φέρων» καὶ τὰ ἑξῆς. Ἐν οἷς καὶ σχῆμα κεῖται ἀντίθετον ἐπὶ Ἕκτορι τὸ «δεῖμα φέρων Δαναοῖσι· χάρη δ’ ἄρα οἱ προσιόντι Σαρπηδών». λέγει γὰρ ὅτι φόβον μὲν Ἀχαιοῖς, χαρὰν δὲ τῷ Σαρπηδόνι ἐνεποίησεν ἡ τοῦ Ἕκτορος ὁδός. Ἐσχημάτισται δέ πως καὶ καινότερον. ἦν γὰρ ἄλλως τὸ ἀκόλουθον εἰπεῖν· δεῖμα φέρων Δαναοῖς, χαρὰν δὲ τῷ Σαρπηδόνι. Τοιοῦτον καὶ πρὸ μικροῦ περὶ Ἐνυοῦς καὶ Ἄρεος τὸ «ἣ μὲν ἔχουσα κυδοιμόν, Ἄρης δὲ ἔγχος ἐνώμα». καὶ ἐκεῖ γὰρ ἡ σύνταξις ἀπὸ μετοχῆς εἰς ῥῆμα μετέπεσεν. (v. 684—8) Ὅτι κείμενος ὁ Σαρπηδὼν λέγει πρὸς τὸν Ἕκτορα «μὴ δή με ἕλωρ Δαναοῖσιν ἐάσῃς κεῖσθαι, ἀλλ’ ἐπάμυνον. ἔπειτά με καὶ λίποι αἰών», ἤγουν ἡ ζωή, «ἐν πόλει ὑμετέρῃ, ἐπεὶ οὐκ ἄρ ἔμελλον ἔγωγε νοστήσας οἶκόνδε φίλην ἐς πατρίδα γαῖαν εὐφρανέειν ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν». Οἶκτον δὲ πολὺν ἔχει ὁ λόγος, ὀρφανίαν φράζων παιδὸς καὶ χηρείαν γυναικὸς καὶ τάφον ἐπ’ ἀλλοδαπῆς. (v. 683) Διὸ καὶ Ὅμηρος ἐπεσημειώσατο ὀλοφυδνὸν ἔπος εἶναι τὸ τοιοῦτον. Καὶ ὅρα οἷα ἔτυχεν αὐτῷ τὰ τοῦ πράγματος. ὁ γὰρ πρὸ μικροῦ πολὺς καὶ μακρὰ ὀνειδίζων τὸν Ἕκτορα ἐνταῦθα οἰκτρὸς ἱκέτης αὐτοῦ γίνεται, ὁ δὲ οὐκ ἐγκοτεῖ, ἀλλὰ ἐλεεῖ ἄνθρωπον, ἐν δευτέρῳ τῆς τῶν Τρώων συμμαχίας τὰ φίλτατα θέμενον, καὶ οὕτως ἐπαμύνειν σπεύδει, ὡς διὰ τὸ τάχος μηδὲ προσειπεῖν τὸν Σαρπηδόνα, ἵνα μὴ λάθῃ ἐν τῷ ὁμιλεῖν προηκάμενος τὸν καιρόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.171 Φησὶ γὰρ ὁ ποιητὴς (v. 689—91) «τὸν δ' οὔ τι προσέφη Ἕκτωρ, ἀλλὰ παρήϊξε λελιημένος, ὄφρα τάχιστα ὤσαιτο Ἀργείους». Καὶ ὅρα κἀνταῦθα σιγὴν ἔλλογον διὰ σπουδήν. (v. 685) Σημείωσαι δὲ καὶ ὅτι οὐ τὸ θανεῖν τὸν Σαρπηδόνα λυπεῖ, ἀλλὰ τὸ ἀνεκδίκητον κεῖσθαι καὶ ἀβοήθητον. Διὸ λέγει «ἐπάμυνον, ἔπειτά με καὶ λίποι αἰών», περὶ οὗ προείρηται. τοῦτο δὲ εἴποι ἂν ὁ θερμῶς προκαλούμενός τινα εἰς βοήθειαν. (v. 683) Ἰστέον δὲ ὅτι τοῦ ὀλοφυδνόν προϋπόκειται θέμα τὸ ὀλοφύζω, ὅμοιον τῷ ὀλολύζω, ἵνα ὡς παίζω παιδνόν, οὕτως ᾖ καὶ ὀλοφύζω ὀλοφυδνόν, καὶ ὥσπερ ὀλολύζω ὀλολυγών, τρύζω τρυγών, οὕτω καὶ ὀλοφύζω ὀλοφυγδών, ὡς τὸ «ὀλοφυγδόνα φύσεις». Εἰ δὲ καὶ τὸ ἔθνος οἱ Ὀλοφύξιοι ἐκ τοῦ τοιούτου παράγεται ῥήματος, ἀφ' ὧν παίζει τοὺς Ὀτοτυξίους ὁ Κωμικός, οὐκ ἔστι στερεῶς εἰπεῖν. Πόλις δέ, φασί, Θρᾳκικὴ περὶ Ἄθων Ὀλόφυξος, ἀφ' ἧς ἱστορεῖταί τις Ἡρόδοτος, γράψας περὶ Νυμφῶν. (v. 690) Τὸ δὲ λελιημένος ὡς τὸ τετιημένος. ποιητικὰ δὲ ἄμφω, οὐ μήν ποτε πεζά. (v. 691) Ὅτι τὸ πολλοὺς φονεῦσαι περιφράζων, πολέων θυμὸν ἀφελέσθαι φησίν. (v. 693) Ὅτι οἱ παλαιοὶ διὰ τὸ τὸν Δία, ἤγουν τὸν ἀέρα, ζωῆς εἶναι αἴτιον, τοιοῦτον δὲ καὶ τὴν δρῦν πάλαι ποτὲ χρηματίσαι, ὅτε οἱ ἄνθρωποι δρυκάρποις ἀπετρέφοντο.

2.172 Διὸ καὶ φηγός ἡ δρῦς λέγεται, παρὰ τὸ φαγεῖν. Διὰ τοίνυν ταῦτα τῷ Διῒ τὴν δρῦν ἀνιέρωσαν, τὸ ζωοτρόφον φυτὸν τῷ ζωογόνῳ. Ἦν τοίνυν καὶ πρὸ τῆς Τροίας δρῦς ἱερὰ τῷ Διΐ, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ὑφ' ᾗ διὰ τὴν σκιὰν καθίζουσι νῦν οἱ Λύκιοι τὸν τοῦ Διὸς Σαρπηδόνα. ἣν καὶ περικαλλέα λέγει φηγόν, διότι, ὡς εἰκός, ἀθιγὴς ἦν, ὡς οἵά τις τεμενία καὶ διὰ τοῦτο ἀμφιλαφὴς καὶ ἀμφιθαλής, ὡς μηδενὸς ἐκεῖθεν τολμῶντος δρέπεσθαι. Οὐ μόνον δὲ διὰ σκιὰν ὑπὸ τῇ δρυῒ τὸν Σαρπηδόνα καθίζουσιν, ἀλλὰ καὶ ὡς εἰς ἱερόν τινα τόπον, καθὰ καὶ τὸν Αἰνείαν ἐν τῷ τοῦ Ἀπόλλωνος ἀδύτῳ. Ἐνταῦθα δὲ ὅρα καὶ τὸ «ὑπὸ Διὸς φηγῷ». τὴν γὰρ ὑπό πρόθεσιν καὶ νῦν δοτικῇ συνέταξεν. (v. 694) Ὅτι ἐν τῷ «ἐκ δ' ἄρα μηροῦ δόρυ μείλινον ὦσε θύραζε» ἁπλοϊκῶς εἶπε τὸ θύραζε ἀντὶ τοῦ ἔξω, ὥς που καὶ ἰχθὺς ἐκ θαλάττης ῥίπτεται θύραζε ἤτοι ἔξω. Ὅρα δὲ τὸ ὦσεν οὐκ ἐπὶ τῆς συνήθους τεθὲν σημασίας, ἤγουν τῆς ἐκ τῶν κάτω ἐπὶ τὰ ἄνω κινήσεως, ἀλλὰ ληφθὲν ἀντὶ τοῦ ἐξήγαγε, μετὰ τῆς ἐξ μέντοι προθέσεως, ἵνα ᾖ τὸ ἐντελὲς ἐξῶσεν, ᾧ ἐναντίον τὸ προῶσε καὶ διῶσεν. (v. 696- 8) Ὅτι ἐξελκυσθέντος τοῦ δόρατος ἐκ τοῦ μηροῦ τοῦ Σαρπηδόνος ἔλιπεν αὐτὸν ἡ ψυχή, ὅπερ ἐστὶ νῦν οὐ θανεῖν, ἀλλὰ λειποψυχῆσαι, ὃ καὶ λειποθυμεῖν συνθέτως φαμέν. Εἶτα διασαφῶν ἐπάγει «κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύς. αὖθις δ' ἀμπνύνθη», ἤγουν ἀνέπνευσεν ἀναλαβὼν ἑαυτόν, «περὶ δὲ πνοιή», φησί, «Βορέαο ζώγρει ἐπιπνείουσα κακῶς κεκαφηότα θυμόν».

2.173 Καὶ σημείωσαι ἔπαινον τοῦ Βορρᾶ. Ὁ μὲν γὰρ ἐν τοῖς τοιούτοις πυκνοῖ τὴν τῆς σαρκὸς ἐπιφάνειαν καὶ οὕτως ἔσω ἀντιπεριϊστᾷ τὸ θερμόν, ὁ δὲ Νότος διάπνοιαν ἐργαζόμενος εὔοδα τὰ τῆς λειποψυχίας ποιεῖ, ὅθεν καὶ εἰς νόσον ὁ Νότος παραλαλεῖσθαι δοκεῖ, ὡς εἶναι μὴ ἀφυὲς εἰπεῖν τὴν νόσον εἰς Νότον ἀττικίζεσθαι. (v. 698) Ὅρα δὲ τὸ ἐζώγρει ἐνταῦθα ἀντὶ τοῦ ἀνεζωπύρει ἀγείρουσα τὴν ζωήν. ἀλλαχοῦ δὲ ζωγρεῖν λέγει τὸ ζῶντάς τινας ἀγρεύειν αἰχμαλωσίας νόμῳ. ἐκ δὲ τοῦ τοιούτου καὶ τὸ ζωγρεῖον παρῆκται, λέξις εἰς ῥητορείαν ἀγαθή. Τὸ δὲ «ἐζώγρει θυμόν» ἀλλαχοῦ συνθέτως θυμηγερέειν φησί. (v. 696) Τὸ δὲ «κατ' ὀφθαλμῶν κέχυτ' ἀχλύς» πρὸ ὀλίγου ἄλλως ἔφρασεν, εἰπὼν «κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψε». (v. 697) Τοῦ δὲ ἀμπνύνθη πρωτότυπον τὸ πνύω, ἐξ οὗ καὶ ὁ πεπνυμένος. Αὐτοῦ δὲ προϋπάρχει τὸ πνέω πνῶ, ἵνα ᾖ ὡς θῶ θύω, ῥῶ ῥύω, οὕτω πνῶ πνύω, ἐξ οὗ κατὰ πλεονασμὸν καὶ τὸ πινύω, ὅθεν πινυτός ὁ συνετός. Ἐκ δὲ τοῦ πινύω κινεῖται τὸ πινύσσω, ὅ ἐστι συνετίζω, οὗ στέρησις ἀπινύσσειν, τὸ ἀσυνετεῖν ἤτοι ἀφραίνειν.

2.174 (v. 698) Τοῦ δὲ κεκαφηότα, ὅ ἐστιν ἐκπεπνευκότα, πρόεστι τὸ κάπτω ἢ κάπω, ἐξ οὗ καὶ κῆπος καὶ κάπη, ἡ καταπνεομένη τοῖς περὶ αὐτὴν ἀλόγοις. Ἐκεῖθεν παρακείμενος κέκαφα, ὃς ἀναβὰς εἰς ἐνεστῶτα γίνεται καφῶ καφήσω, οὗ μετοχὴ Ἰωνικὴ διὰ τοῦ η κεκαφηώς, ὃ ἀντίθετόν ἐστι

πρὸς τὸ ἀμπνύνθη. (v. 697) Λέγει γὰρ ὡς ἐκπεπνευκὼς ὁ Σαρπηδὼν αὖθις ἀνέπνευσεν, εἴτ' οὖν ἐπανῆλθεν εἰς τὸ πνεῖν. Οὐκ ἀσχολεῖται δὲ πεζὸς ῥήτωρ οὔτε περὶ τὸ ἀμπνύνθη οὔτε περὶ τὸ κεκαφηώς. Ὅρα δὲ μήποτε οὐκ ἀρκῇ πρὸς τὸ ἐκπνεῦσαι τὸ κεκαφηότα μόνον δίχα τοῦ κακῶς ἐπιρρήματος. ἔστι γὰρ εἰπεῖν κεκαφηότα μὲν τὸν ἁπλῶς πνεύσαντα, κακῶς δὲ κεκαφηότα τὸν δυσπνοήσαντα, ὡς μικροῦ καὶ ἐκπνεῦσαι. Ὅτι δέ τινες καπῶ καπήσω εἶπον περισπωμένως, ἐξ οὗ Ἰωνικῶς κεκαπηώς καὶ μεταθέσει τοῦ ψιλοῦ εἰς δασὺ κεκαφηώς, δηλοῦται καὶ αὐτὸ ἀλλαχοῦ. (v. 699—702) Ὅτι Ἀργεῖοι «ὑπ' Ἄρηϊ καὶ Ἕκτορι χαλκοκορυστῇ οὔτε ποτὲ προτρέποντο μελαινάων ἐπὶ νηῶν οὔτε ποτ' ἀντεφέροντο μάχῃ», τουτέστιν οὔτε προτροπάδην κατὰ κράτος ἔφευγον οὔτε ἄντην ἐφέροντο, ἀλλὰ τὸ μέσον ἀμφοῖν ποιοῦντες αἰὲν ὀπίσω χάζοντο, καθὰ φθάσας παρήγγειλεν ὁ Διομήδης, ὅπερ οὔτε φεύγειν ἄντικρύς ἐστιν οὔτε ἀνθίστασθαι.

2.175 (v. 699) Ἀττικὸν δὲ τὸ «ὑπ' Ἄρηϊ καὶ Ἕκτορι», καὶ ἔστιν ἀντίπτωσις, ληφθὲν ἀντὶ τοῦ ὑπ' Ἄρεος καὶ Ἕκτορος. Οὕτω δὲ καὶ πρὸ ὀλίγου ἔλεγεν ἐν τῷ «ὑπ' ἐμοὶ δμηθέντα» καὶ «ἐμῷ ὑπὸ δουρὶ δαμέντα». (v. 700 s.) Τὸ δὲ «οὔτε ποτὲ προτρέποντο οὔτε ποτὲ ἀντεφέροντο» σχῆμά ἐστι κάλλους διὰ τὴν ἐπαναφορὰν καὶ τὰ πάρισα. Ἔστι δὲ ἐπαναφορὰ μὲν ἐνταῦθα ἡ ἐν ἀρχῇ διττολογία τοῦ οὔτε ποτέ, πάρισα δὲ ἤγουν ὁμοιοτέλευτα καιριώτατα καὶ ἀνεπιβούλευτα τὸ προτρέποντο καὶ ἀντεφέροντο. ἐκ δὲ τοῦ ἀντιφέρεσθαι τὸ ἀντιφερίζειν παράγεται. (v. 703 s.) Ὅτι ἄκραν τοῦ Ἕκτορος ἀνδραγαθίαν ἐνδείξασθαι θέλων ὁ ποιητὴς ἐρωτᾷ οἷον ἑαυτὸν καὶ τὴν οἰκείαν Μοῦσαν «ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξεν Ἕκτωρ» τε καὶ χάλκεος Ἄρης; ὡς δῆθεν ὑπὸ πολυπληθίας μηδὲ ἔχων κατ' ὄνομα φράζειν τοὺς ἀνῃρημένους. (v. 705—7) Σημείωσαι δὲ ὅτι καίτοι γε οὕτω σχηματίσας μεγαλοπρεπῶς τὸν λόγον, ὅμως ὀλιγωτέρους ποιεῖ πίπτοντας ὑπὸ τούτων τῶν δύο ἤπερ ἀνωτέρω ὑπὸ μόνου τοῦ Ὀδυσσέως. Ἐκεῖνοι μὲν γὰρ ἑπτὰ ἦσαν, οὗτοι δὲ ἕξ, ὧν τέσσαρες μὲν μετὰ ἐπιθέτων προάγονται· ἀντίθεος Τεύθρας, πλήξιππος Ὀρέστης, Τρῆχος αἰχμητὴς Αἰτώλιος καὶ Ὀρέσβιος αἰολομίτρης. τῶν δὲ λοιπῶν δύο Οἰνόμαος μὲν ἁπλῶς οὕτω καὶ ψιλῶς προάγεται, Ἕλενος δέ τις ὡς Οἴνοπος μόνον υἱὸς γενεαλογεῖται. τὸν μέντοι Ὀρέσβιον καὶ πλείονος λόγου ἀξιοῖ, ὡς κατωτέρω ῥηθήσεται. οὕτω καὶ ἐνταῦθα ποικίλος ὁ ποιητὴς καὶ πολύφωνος. Ὅρα δὲ τὴν ἡρωϊκὴν καὶ ἐν τούτοις ὁμωνυμίαν, τὸν Οἰνόμαον ὁμωνυμοῦντα τῷ τοῦ Πέλοπος πενθερῷ, τὸν Ὀρέστην ὁμώνυμον τῷ Ἀγαμεμνονίδῃ, καὶ τὸν Ἕλενον, ὃς τῷ ἀδελφῷ τοῦ Ἕκτορος ὁμωνυμεῖ. Ὅθεν χώρα δίδοται τοῖς βουλομένοις παίζειν ἐν αἰνίγμασι. Αἰνίξαιτο γὰρ ἄν τις εἰς τὸν Ἕκτορα ὡς δῆθεν ἀδελφοκτόνον διὰ τοῦτον τὸν Ἕλενον. ὁμοίως δὲ διὰ αἰνίγματος ἐκπλήξει ἀκοήν, γράψας Ὀρέστην ἢ Οἰνόμαον ἀναιρεθῆναι ὑπὸ Ἕκτορος, ὡς τοῦ ἀκροατοῦ δυναμένου παρανοῆσαί τι διὰ τὴν ὁμωνυμίαν.

2.176 Τοιοῦτόν τι ἐτεχνήσατο καὶ ὁ εἰπὼν περί τινος, ὃν οὐκ ἀνεῖλεν ὁ Διομήδης, τὸ «τὸν κτάνε Διομήδης ἀνήρ». Διομήδης γὰρ ἀνὴρ ἐν τῷ τοιούτῳ αἰνίγματι ὁ Ἀχιλλεύς, οὗπερ παλλακὴ ἦν ἡ Διομήδη. (v. 705) Τὸ δὲ Ὀρέστης βαρύνεται κανόνι τοιούτῳ κατὰ τοὺς παλαιούς. Τὰ εἰς στης τῷ ε παραληγόμενα, ἀπὸ ὀνομάτων ὄντα ἤτοι παρώνυμα, ὀξύνονται μὲν ἐπιθετικώτερα ὄντα, βαρύνονται δὲ οὐχ' οὕτως ἔχοντα, οἷον ἀργός ἀργεστὴς ἄνεμος, κῆδος κηδεστής. τὸ Ὀφελέστης, εἰ καὶ παρώνυμον παρὰ τὸ ὄφελος, ἀλλ' οὐκ ἐπίθετον, κύριον δέ. διὸ οὐδὲ ὀξύνεται, ἀλλὰ βαρύνεται ὡς κύριον. ὡσαύτως καὶ Ὀρέστης παρὰ τὸ ὄρος. οὕτω δὲ καὶ παρὰ τὸ μένος Μενέστης κύριον. ἡ δὲ κοινὴ παράδοσις ἔτρεψε τὸ τ εἰς θ , ὡς πρὸ μικροῦ ἔφη Μενέσθην Ἀγχίαλόν τε. Ἀρίσταρχος δὲ Μενεσθὴν λέγει, ὡς Ἀπελλήν. (v. 704) Χάλκεον δὲ καὶ νῦν τὸν Ἄρην φησίν, ὡς καὶ τὴν Ἀφροδίτην χρυσῆν, ἀπὸ τοῦ φορήματος. (v. 708 s.) Ὅτι σαφηνείας καὶ ἐνταῦθα πεφροντικῶς ὁ ποιητής, ἐν οἷς μέμνηται τόπου τινὸς Ὕλης λεγομένου, ἵνα μὴ ἐπὶ δάσους ὀρεινοῦ νοεῖν ἔχοι τις αὐτό, πρῶτα μὲν συστέλλει τὸ δίχρονον πρὸς ἀντιδιαστολὴν τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀρεινῆς ὕλης—ἐκείνη γὰρ ἐκτείνει τὴν ἄρχουσαν—, εἶτα καὶ πλησιάζειν τὴν τοιαύτην Ὕλην λέγει τοῖς περὶ Κηφισσὸν τόποις, περὶ οὗ ἱκανῶς ἐν τῷ Περιηγητῇ εἴρηται, ἀφ' οὗ καὶ λίμνη Κηφισσίς. Παραδεικνύων δὲ καὶ τὸν τόπον τοῦ Κηφισσοῦ ἐπάγει «ὅπου ἄλλοι Βοιωτοί», μονονουχὶ λέγων καὶ τὸν Κηφισὸν Βοιώτιον καὶ τὴν τοιαύτην δὲ Ὕλην διὰ τοῦτο περὶ τὴν Βοιωτίαν εἶναι. περὶ δὲ τούτων καὶ ἐν τοῖς εἰς τὴν Βοιωτίαν γέγραπται. Ἦν δέ, φασί, καὶ Λοκρικὴ πόλις Ὕλη καὶ ἄλλη Κύπρου, ἀφ' ἧς καὶ Ὑλάτης Ἀπόλλων παρὰ Λυκόφρονι. (v. 710) Τοὺς δὲ Βοιωτοὺς μάλα πίονα δῆμον ἔχειν φησί, διότι εὔκαρπος αὐτοῖς ἡ γῆ. (v. 707 s.) Καὶ τὸν ἀνωτέρω δὲ ῥηθέντα Ὀρέσβιον ἄνδρα Ὑλαῖον ἤτοι Βοιώτιον, μέγα πλούτοιο μεμηλότα ἱστορεῖ, ἤτοι φροντίδα πλούτου ἔχοντα, καὶ οὐκ ἐκ τύχης πλούσιον ἢ διαδοχῆς.

2.177 Ἰστέον δὲ ὅτι δοκεῖ μὲν ὁ Ὀρέσβιος οὕτω κληθῆναι κατά τινα φερωνυμίαν τοπικὴν ἀστείως, ὡς ἐν τῇ ὕλῃ βιοὺς καὶ ἀνατραφείς. ταὐτὸν γὰρ εἰπεῖν ὑλαῖον καὶ ὀρέσβιον. Οὐ πάνυ δὲ ἀστεῖον τοῦτο, ἀλλ' ἔχει τινὰ διθυραμβώδη ψυχρότητα. ὁ μὲν γὰρ ἐξ ὕλης ὀρεινῆς οὐκ ἀπεικότως ἂν ὀνομασθείη ὀρέσβιος, ἀλλὰ προσφυῶς, οὐ μὴν δὲ καὶ ὁ ἐξ Ὕλης πόλεως, εἰ μὴ τάχα διὰ μόνην ὁμωνυμίαν τῆς ὕλης. (v. 708—10) Ἔστι δὲ τὸ περὶ τῆς τοιαύτης Ὕλης Ὁμηρικὸν ῥητὸν τοιοῦτον· Ὀρέσβιος, «ὅς ῥ' ἐν Ὕλῃ ναίεσκε, λίμνῃ κεκλιμένος Κηφισσίδι», τουτέστι περιεχόμενος, «πὰρ δέ οἱ ἄλλοι ναῖον Βοιωτοί» καὶ ἑξῆς. Τὸ δὲ ἄλλοι, ὡς καὶ αὐτοῦ Βοιωτοῦ ὄντος. Ἐνταῦθα δὲ ἱστορεῖ ὁ Γεωγράφος, ὅτι Κηφισσίδα λίμνην οὐ τὴν Κωπαΐδα λέγει κατά τινας ὁ ποιητής, ἀλλὰ τὴν Ὑλικὴν προσαγορευομένην, διὰ τὸ «ἐν Ὕλῃ ναίεσκε, λίμνῃ Κηφισσίδι κεκλιμένος». Λέγει δὲ καὶ ὅτι οὐ γραπτέον Ὕδῃ, ὥς τινες ἔγραψαν. Ὕδη μὲν γὰρ ἐν Λυδίᾳ, ὡς δηλοῖ τὸ «Τμώλῳ ὑπὸ νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ». ἡ δὲ Ὕλη Βοιωτική, ὅπου ὁ Κηφισσός. διό φησιν ὁ ποιητής «λίμνῃ Κηφισσίδι· πὰρ δέ οἱ Βοιωτοὶ ἄλλοι». (v. 714—8) Ὅτι συμμαχίας εὐϋπολήπτου φραστικὸν τὸ τῆς Ἥρας πρὸς Ἀθηνᾶν περὶ Μενελάου, τοιοῦτον ὄν· «ὢ πόποι, ἦ ῥ' ἅλιον», ἤγουν ἆρα δὴ ἢ ὄντως δὴ μάταιον, «τὸν μῦθον ὑπέστημεν», ἤγουν ὑπεσχόμεθα, τῷ δεῖνι, «εἰ οὕτω μαίνεσθαι ἐάσομεν οὖλον Ἄρηα. ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα θούριδος ἀλκῆς», ὅ ἐστι· ἀλλ' ἄγε δὴ καὶ ἡμεῖς βουλευσώμεθα περὶ βοηθείας. Ἐξευτελίζει δὲ ἡ ποίησις ἐνταῦθα τὴν Ἕκτορος ἀριστείαν, εἰ δι' Ἄρεος γίνεται, καὶ ἅμα προκατασκευάζει εὐαφόρμως προεκθέσεως λόγῳ τὸ πληγῆναι μικρὸν ὅσον τὸν Ἄρην, ὃν καὶ προσφυῶς, ὡς καὶ προείρηται, μαίνεσθαί φησιν.

2.178 (v. 722—32) Ὅτι τὸ τῆς Ἥρας ἅρμα συντιθεὶς Ὅμηρος ἐκ τῶν κάτω καὶ τῶν ὡσανεὶ ποδῶν τοῦ ἅρματος ἄρχεται. Ἡ τοίνυν Ἥβη πρῶτα μὲν ἀμφὶ τῷ ἅρματι «θοῶς βάλε καμπύλα κύκλα», ἤτοι τροχούς, «χάλκεα, ὀκτάκνημα» καὶ ἑξῆς. Εἶτα ἐπ' ἄκρῳ ῥυμῷ «δῆσε χρύσειον καλὸν ζυγόν, ἐν δὲ λέπαδνα καλὰ ἔβαλε χρύσεια, ὑπὸ δὲ ζυγὸν ἤγαγεν Ἥρη ἵππους ὠκύποδας, μεμαυῖα», ἤγουν ἐπιθυμοῦσα, «ἔριδος καὶ ἀϋτῆς», ἡ καὶ προετοιμάσασα τοὺς τοιούτους ἵππους. (v. 720 s.) Ἔφη γὰρ «ἣ μὲν ἐποιχομένη χρυσάμπυκας ἔντυεν ἵππους Ἥρη πρέσβα θυγάτηρ μεγάλοιο Κρόνοιο». μεθ' ἣν ἐπήγαγε τὰ εἰρημένα περὶ τῆς Ἥβης. (v. 722 et 731) Ἐν οἷς ὅρα τὸ ἔβαλε κύκλα τῷ ἄξονι, καί· ἔβαλεν ἐπὶ τῷ ῥυμῷ λέπαδνα. Οὐ γὰρ τὸ σύνηθες βάλλειν ἡ λέξις ἐν τούτοις, ἀλλά τινα θέσιν δηλοῖ κοινότερον, ὡς εἶναι κἀντεῦθεν ἐκδηλότατον ὡς οὐκ ἀεὶ πολεμικὴ λέξις τὸ βάλλειν ἐστίν. (v. 723) Εἰσὶ δὲ ὀκτάκνημα μὲν τὰ ὀκτάραβδα διὰ πλείω στερρότητα. Κνῆμαι γὰρ νῦν αἱ ἀπὸ τῶν ἔσω χοινικίδων ἕως τῆς ἔξω περιφερείας ῥάβδοι, οὕτω ῥηθεῖσαι πρὸς ὁμοιότητα ζωϊκῆς κνήμης ὑπανεχούσης τὰ ἐπικείμενα. Χάλκεα δὲ ἐκ τῆς ἐπιπολαζούσης ὕλης. (v. 725 s.) Ἐρεῖ γὰρ τὰ ἐπίσωτρα, ἤτοι τοὺς ἐπικειμένους κύκλους τοῖς τροχοῖς, χαλκᾶ εἶναι, εἰ καὶ τὰ ἐντὸς ἀργύρῳ καὶ χρυσῷ συγκεκρότηνται. (v. 724—6) Ποικίλως γὰρ ὁ ποιητὴς αὐτὰ χαλκεύει, χρυσῆν μὲν αὐτοῖς καὶ ἄφθιτον ἱστορῶν τὴν ἴτυν, ἤγουν τὴν περιφέρειαν. —Φησὶ γὰρ «τῶν ἤτοι χρυσέη ἴτυς ἄφθιτος» —, ὕπερθε δὲ τὰ ῥηθέντα ἐπίσωτρα, ἤγουν οἱ τὴν ἴτυν περιέχοντες κύκλοι ἤτοι οἱ κανθοί, χάλκεα προσαρηρότα, θαῦμα ἰδέσθαι. Αἱ πλῆμναι δέ, φησίν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξ ἀργύρου εἰσί, περίδρομοι ἀμφοτέρωθεν, ἤγουν ἐκ δεξιῶν καὶ ἐξ ἀριστερῶν τοῦ ἅρματος, ὅπερ ἀμφίς ἐπὶ τοῦ ἄξονός φησιν. (v. 726) Εἰσὶ δὲ πλῆμναι αἱ τῶν τροχῶν χοινικίδες, ἤτοι σύριγγες, ὅ ἐστιν ὀπαί, ἅς τινες καὶ χνόας φασίν, ὡς δηλοῖ καὶ Σοφοκλῆς, ἤγουν τὰ μέσα τῶν εἰρημένων συρίγγων, εἰς ἃς ἐντίθενται τὰ τοῦ ἄξονος ἄκρα, πλῆμναι καλούμεναι διὰ τὸ πλήθεσθαι ἢ πληροῦσθαι ὑπὸ τοῦ ἄξονος.

2.179 [Ἰστέον δὲ ὅτι πλεονασμὸν τοῦ ν ἔσχεν ἡ Ὁμηρικὴ πλήμνη, ὡς δῆλον ἔκ τε τῆς πλήμης τῆς ἐν ὕδασι, ὁποῖαι καὶ περὶ τὸν Ὠκεανὸν μάλιστα ἱστοροῦνται γίνεσθαι, ἧς πλήμης παράγωγον ἡ πλημύρα, ἔτι δὲ καὶ ἀπὸ τῆς παρὰ τῷ Ἀθηναίῳ πλημοχόης, ἧς προϋπάρχει ἁπλοῦν ἡ πλήμη. Σκεῦος δέ, φησίν, ἡ πλημοχόη κεραμεοῦν βεμβικῶδες ἑδραῖον ἡσυχῇ. Ἀπὸ τοίνυν τοῦ πλῶ πλήσω, ἐξ οὗ καὶ τὸ πλήθω, πλήμη, καὶ ἐξ αὐτοῦ πλήμνη. Οὕτω δὲ καὶ πόρνη καὶ μυσάχνη καὶ Αἴτνη καὶ ἄλλα πλεονασμὸν τοῦ ν ἔχειν δεδήλωνται.] Σημείωσαι δὲ ὡς ἡ πλήμνη καὶ τόρμη λέγεται, καθὰ δηλοῖ ὁ γράψας· τόρμη ἡ πλήμνη, εἰς ἣν ὁ ἄξων ἐνήρμοσται, καὶ ὁ ἐν τῷ ἱπποδρόμῳ δὲ δρόμος ἢ ἡ καμπὴ καὶ ὁ ὕσπληξ. Ἔστι δ’ ἐνταῦθα προσθεῖναι καὶ τὴν κατὰ Λυκόφρονα τυπωτὴν τῷ τροχῷ τόρμαν, ἤγουν αὐλακοειδῆ γραμμήν. Οἴδαμεν δὲ καὶ ὡς ἡ τῶν Κρητῶν γλῶσσα τόρμαν οἶδεν ἰδίαν καθ’ ὁμοιότητα τῶν ἐνταῦθα, ἧς ὁ προάρχων τορμάρχης λέγεται παρ’ αὐτοῖς.

2.180 Παυσανίας δὲ ἐκ τῆς τόρμης καὶ ἐκτορμεῖν λέγει τὸ τοῦ καθήκοντος δρόμου ἐκβαίνειν. Προσενθυμητέον δὲ τοῖς ἀνωτέρω ῥηθεῖσι καὶ ἃ εἶπον οἱ παλαιοὶ παρ’ Εὐριπίδῃ ἐν τῷ «σύριγγες ἵππων» καὶ «ἐνήλατα», ὡς χρήσιμα πρὸς εἴδησιν καὶ αὐτά. Φασὶ γάρ, ὅτι σύριγγες χοινικίδες, πλῆμναι, ἐνήλατα δὲ τὰ ταῖς χοινικίσιν ἐμβαλλόμενα ἢ πασσαλίσκοι κωλύοντες ἐξιέναι τὸν τροχόν, τὰ καλούμενα, φασίν, ἁμαξηδόνια. καὶ οὕτω μὲν ἐν τούτοις ἄξονος μέρος τι τὰ ἐνήλατα. Λέγεται δὲ παρὰ τῷ αὐτῷ ποιητῇ οὕτω καθ’ ὁμωνυμίαν καὶ «κλιμάκων ἐνήλατα», τὰ τῶν βαθμίδων ἄκρα ὡς ἐνειρόμενα τοῖς μηροῖς τῶν κλιμάκων τῶν τε πολεμικῶν καὶ τῶν αὐταῖς ὁμοίων. Καὶ οὕτω μὲν Ὅμηρος κατήρτισε τοὺς τροχούς. (v. 725) Ὧν τὰ ἐπίσωτρα οὕτω λέγονται διὰ τὸ ἐπιτρέχειν ἢ παρὰ τὸ σῴζειν, ὡς ἀπὸ τῆς ἐπί προθέσεως καὶ τοῦ σῶ, τὸ ὁρμῶ, ἢ τοῦ σῴζω. σωστικοὶ γὰρ τῆς ἔσω περιφερείας εἰσὶν οἱ κανθοί. (v. 723) Τὸν μέντοι τοῦ ἅρματος τούτου ἄξονα σιδήρεον εἶναι λέγει, εἰπὼν «σιδηρέῳ ἄξονι ἀμφίς», [ταὐτὸν δ’ εἰπεῖν, «ἀμφοτέρωθεν», ὡς πρὸ ὀλίγων ἐρρέθη.] (v. 727 s.) Δίφρος δέ, φησί, χρυσέοισι καὶ ἀργυρέοισιν ἱμᾶσιν, ὡς οἷα δι’ ἐκείνων πλεκτός, ἐντέταται. (v. 727—31) Δοιαὶ δὲ περίδρομοι ἄντυγές εἰσι καὶ ῥυμὸς ἀργύρεος. ἐπ’ ἄκρῳ δὲ εἶχε χρύσεον ζυγὸν καλὸν καὶ λέπαδνα, ὡς ἐρρέθη, καλὰ χρύσεα. Αἰνίττεται δὲ ταῦτα κατὰ τὴν ἀλληγορίαν τῆς Δημοῦς εἰς τὴν τοῦ ἀέρος φύσιν ὁ ποιητής, οὗ τὰ μὲν περὶ γῆν πεπάχυνται καὶ οὐ πολὺ μὲν ἔχουσι τὸ λαμπρόν, ὡς οὐδὲ ὁ χαλκὸς οὐδὲ ὁ σίδηρος, ἔχουσι δ’ ὅμως καί τι φαεινὸν καὶ οἷον χρύσεον ἐξ ἡλίου, ᾧ ἀνάκειται ὁ χρυσός.

2.181 τὰ δὲ ἀνωτάτω καθαρώτατά εἰσι καὶ ἀρρύπαντα διὰ τὸ πάντη ἀνέφελον καὶ διὰ τοῦτο οἷον ἀργυρᾶ καὶ χρυσᾶ. Οὕτω γὰρ καὶ ὁ χρυσὸς ἰοῦ ἀνεπίδεκτός ἐστι καὶ λαμπρός. διὸ καὶ ἄφθιτος καὶ καλὸς λέγεται, καὶ τὰ ἐξ αὐτοῦ ἔργα καλά. (v. 727) Ἰστέον δὲ ὅτι καὶ ἐν τῷ «ἀργυρέοις ἱμᾶσι» παράχρησιν ἔχει τὸ ἱμᾶσι δι’ ἀπορίαν ἄλλης λέξεως. κυρίως γὰρ ἀπὸ δερμάτων οἱ ἱμάντες, ἐξ ὧν καὶ ἱμάσθλη καὶ ἱμονιά. (v. 730 s.) Τὸ δ’ αὐτὸ νοητέον καὶ εἰς τὰ χρυσᾶ λέπαδνα. λέπαδνα γὰρ κυρίως πλατεῖς ἱμάντες, οἷς ἀναδεσμοῦνται οἱ τράχηλοι τῶν ἵππων πρὸς τὸν ζυγόν, παρὰ τὸ λέπω, τὸ λεπίζω, λέπανον, ὡς ξέω ξόανον καὶ κόπτω κόπανον, καὶ πλεονασμῷ τοῦ δ λέπαδνον. Τινὲς δὲ λέπαδνα τοὺς μασχαλιστῆράς φασιν. Ἐνταῦθα δὲ σημείωσαι καὶ ὅτι τε ἔκφρασιν θειοτέρου ἅρματος Ὅμηρος πεποίηται, οἷα μὴ θελήσας εἰς εὐτελὲς ἅρμα καὶ θνητὸν ἑαυτὸν ἀπασχολῆσαι, καὶ ὅτι μέρη ἅρματος προέθετο διασκευαστικῶς διδάξαι, ἅ εἰσι τὰ κύκλα, ὁ ἄξων καὶ τὰ ἑξῆς, ἵνα καὶ τῶν τοιούτων ἐπιστήμων εἴη ὁ ἀκροατὴς διὰ πολυμάθειαν. Οὐχ’ ὑπόκειται δέ τι ξύλον τῷ τῆς Ἥρας ἅρματι. θεῖον γάρ ἐστιν. ὅθεν οὐδὲ ὁ Ἥφαιστος ἀπὸ ξύλων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκευάζει τὰ Ὀλύμπια δώματα. (v. 721 s.) Ὑπηρετητικὴ δὲ καὶ ἐνταῦθα ἡ Ἥβη. καὶ Ἥρη μὲν περὶ τοὺς καὶ ἀλλαχοῦ κειμένους χρυσάμπυκας ἵππους, Ἥβη δὲ περὶ τὸ ἅρμα πονεῖται. ἔνθα ἑνὸς μὲν στίχου πρόκειται τὸ Ἥρη, ἑτέρου δὲ τὸ Ἥβη, ὅπερ ἔχει τι κάλλους διὰ τὸ ἰσοφωνεῖν παρὰ γράμμα ἓν τὴν Ἥβην καὶ τὴν Ἥρην, [(v.

2.182 724) καθάπερ ἴσως καὶ τὸ «ἤτοι χρυσέη ἴτυς» διὰ τὴν ἐν αὐτῷ ψευδοπαρήχησιν τοῦ ἤτοι καὶ τοῦ ἴτυς.] (v. 720) Ἰστέον δὲ καὶ ὅτι τὸ «ἔντυεν ἵππους», ὅ ἐστιν εὐτρέπιζεν, ὥπλιζεν, ὡς ἀπὸ τοῦ ἔντεα, τὰ ἁπλῶς ὅπλα τῶν ἐν ἀνθρώποις ἔργων ἤτοι ὄργανα, ἐκ θέματός ἐστι τοῦ ἐντύω, ἐξ οὗ τὸ ἐντύνω κατὰ τὸ θύνω, δύνω. (v. 721) Τὸ δὲ «πρέσβα» συγκέκοπται, ὡς ἀλλαχοῦ δηλοῦται. (v. 722) Τοῦ δὲ «καμπύλα κύκλα» προϋπάρχουσιν οἱ καμπύλοι κύκλοι, ἐξ ὧν αὐτὰ μετεπλάσθη, ὡς καὶ τοῦ τράχηλα καὶ λύχνα καὶ δόρπα καὶ ταρσά οἱ τράχηλοι καὶ οἱ λύχνοι καὶ οἱ δόρποι καὶ οἱ ταρσοί. (v. 728) Περὶ δὲ ἄντυγος σημείωσαι ὡς οὐ μόνον ἐπὶ ἅρματος ἡ λέξις ἀλλὰ καὶ ἐπὶ ζυγοῦ κιθάρας κατὰ τοὺς παλαιοὺς ἢ πήχεως, καθ' ὃ σημαινόμενον ἄντυγα χορδῶν Εὐριπίδης φησὶν ἐν Ἱππολύτῳ. Ἔνθα κεῖται καὶ ἀρβύλη, οὐκ ἐπὶ ὑποδήματος, ἐν τῷ «αὐταῖσιν ἀρβύλαισιν ἁρμόσας πόδα», αἳ δηλοῦσι τὸ περὶ τὴν ἄντυγα τοῦ ἅρματος μέρος, ἔνθα, φασίν, ἡ τοῦ ἡνιόχου στάσις ἐστί. [Δῆλον δὲ ὅτι τε εἰς ἓν ἥκει ἐννοίας ἄντυγα καὶ ἴτυν καὶ κύκλον ἀρσενικῶς ἢ οὐδετέρως καὶ ἁψῖδα ἢ ἅψιν εἰπεῖν καὶ ὅτι καὶ οὐρανοῦ ἄντυξ, ὥσπερ καὶ ἁψίς, εὕρηται τροπικώτερον.

2.183 ] (v. 733—7) Ὅτι Ἀθηνᾶ «πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ' οὔδει ποικίλον, ὅν ῥ' αὐτὴ ποιήσατο καὶ κάμε χερσί», τουτέστιν ὃν καμοῦσα ἐποίησεν. ἐνδῦσα δὲ τὸν τοῦ Διὸς χιτῶνα ἐθωρήσσετο εἰς πόλεμον. Καὶ τιθέασιν ἐνταῦθα οἱ παλαιοὶ ἀστερίσκον, ὅς ἐστιν ἀστέρος σημεῖον χιαστόν, ἔχων ἐν ταῖς τέσσαρσι γωνίαις στιγμάς, οὕτω ※ καὶ τίθεται ἐπὶ τῶν ἄριστα ἐχόντων ἐπῶν καὶ ἀστεροειδῶς οἱονεὶ λαμπόντων, ὡς ἐν καλῷ τόπῳ κειμένων. Καὶ λέγουσιν ὅτι ἐνταῦθα μὲν καλῶς ταῦτα λέγει καὶ κατὰ καιρὸν ὁ ποιητής, ἐν δὲ τῇ κόλῳ μάχῃ, ἤγουν τῇ Θ ῥαψῳδίᾳ, οὐ δεόντως. ἀριστεία γὰρ ἐκεῖ τῆς Ἀθηνᾶς μεγάλη οὐ φαίνεται. Κόλον δὲ μάχην ἤτοι κολοβὴν τὴν Θ ῥαψῳδίαν καλοῦσι διὰ τὴν ἐκεῖ ῥηθησομένην αἰτίαν. (v. 734) Ἔστι δὲ πέπλος καὶ ἐνταῦθα γυναικεῖος χιτών, ὃν οὐκ ἐνεδύοντο ἀλλ' ἐπερονῶντο, καὶ τῆς περόνης ἀρθείσης καταρρέων αὐτὸς εἰς τὸ ἔδαφος φαίνεται. Διὸ καὶ Ὅμηρος ἐνταῦθά φησι «πέπλον ἑανόν», περὶ οὗ προείρηται, «κατέχευεν ἐπ' οὔδει». καὶ ἄλλως δὲ τὸ «κατέχευε» τὴν τρυφερότητα τοῦ πέπλου δηλοῖ. Γίνεται δὲ παρὰ τὸ πρέπω πρέπαλος, ὁ ἐκπρεπὴς καὶ λαμπρός, καὶ ἀφαιρέσει πέπαλος καὶ συγκοπῇ πέπλος. Ὅτι δέ ποτε καὶ ἐπὶ ἀνδρείου ἱματίου ὁ πέπλος τίθεται, δηλοῖ που Εὐριπίδης, καὶ Σοφοκλῆς δὲ ἐν Τραχινίαις, ὃς τὸν Ἡρακλέος χιτῶνα, ὃν ἔβαψε Δηϊάνειρα τῷ ἐκ Νέσου φαρμάκῳ, καὶ εὐαφῆ πέπλον λέγει καὶ καινὸν πέπλωμα καὶ ἐνδυτῆρα πέπλον καὶ θανάσιμον πέπλον.

2.184 Ὁ μέντοι ῥηθεὶς ἐν τοῖς περὶ Πανδάρου πέπλος καὶ ἡ ἐπ' αὐτῷ ἐτυμολογία ἑτεροιοῦνται πρὸς τὰ ἐνταῦθα, ὡς ἐκεῖ δεδήλωται. (v. 736 s.) Σημείωσαι δὲ ὅτι καὶ ὁ τοῦ Διὸς χιτὼν ὡς οἷά τι τεῦχος, ἤτοι ὅπλον, ὑπόκειται εἶναι. Διό φησιν «ἣ δὲ χιτῶνα ἐνδῦσα Διὸς τεύχεσιν εἰς πόλεμον θωρήσσετο», καὶ αὐτοῖς, οὐ τομοῖς τισιν, ἀλλ' ἢ σειστοῖς κατὰ τὸ «ἐρεμνὴν ἐπισείει αἰγίδα», καὶ δυναμένοις βλάπτειν ἐν μόνῳ τῷ σείεσθαι, ἢ δεινοῖς καὶ σμερδνοῖς καὶ τῇ θέᾳ καὶ μόνῃ βλάπτουσιν. Ὅρα δὲ καὶ ὡς κοινὰ τὰ τοιαῦτα τῷ Διῒ καὶ τῇ Ἀθηνᾷ μυθικῶς μὲν διὰ τὸ φιλτάτην εἶναι αὐτὴν τῷ Διΐ— Κοινὰ δὲ τὰ τῶν φίλων—, ἀλληγορικῶς δὲ διὰ τὸ τῆς φρονήσεως Ἀθηνᾶς οἰκεῖον πρὸς Δία νοῦν. (v. 734) Τὸ δὲ «πατρὸς ἐπ' οὔδει» πρὸς διαστολὴν ἔφη. οὐ γὰρ ἁπλῶς εἰς ἔδαφος ἔχευεν, ἀλλ' εἰς τὸ τοῦ Διός. Ὅτι δὲ καθάπερ ὕδας καὶ ὕδος, οὕτω καὶ οὖδας οὖδος, πολλαχοῦ δηλοῦται. Οὕτω καὶ δέρας δέρος, οἷον «πάγχρυσον δέρος», καὶ γῆρας γῆρος, ἐξ οὗ τὸ γηροβοσκήσειν παρ' Εὐριπίδῃ καὶ τὸ γηροβοσκός παρὰ Σοφοκλεῖ ἐν συστολῇ τοῦ ο , εἰ καὶ οἱ μετ' αὐτοὺς ἐκτείνουσιν ἐν τοῖς τοιούτοις τὴν ρω συλλαβὴν ἀπὸ γενικῆς Ἀττικῆς τοῦ γήρως.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.185 (v. 738—42) Ὅτι τὴν αἰγίδα τῆς Ἀθηνᾶς, ἣν καὶ θυσσανόεσσαν λέγει, ὅ ἐστι κροσσωτήν, — Θύσανοι γὰρ οἱ διὰ τοῦ ο μικροῦ γραφόμενοι κροσσοί, οὐ μὴν οἱ διὰ τοῦ ω μεγάλου, οἱ τὰ ὑδροφόρα δηλοῦντες ἀγγεῖα—οὕτως ἐκφράζει «ἀμφὶ δ’ ἄρ ὤμοισι βάλετο αἰγίδα θυσανόεσσαν δεινήν, ἣν περὶ μὲν πάντῃ φόβος ἐστεφάνωτο», ἤτοι κύκλῳ περιεῖχεν. «ἐν δ’ Ἔρις, ἐν δ’ Ἀλκή, ἐν δὲ κρυόεσσα Ἰωκή, ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου, δεινή τε σμερδνή τε, Διὸς τέρας αἰγιόχοιο». Ταῦτα δὲ ἢ ὡς εἴδωλα ἐντετύπωται, φασί, τῇ αἰγίδι, ἢ ὡς διαθέσεις καὶ δυνάμεις ἄρρητοι καὶ θεῖαί τινες. Δηλοῖ δὲ διὰ τούτων ὁ μῦθος τὰ πολύτροπα τῆς φρονήσεως ἐνεργήματα, ἥτις ἐριστικὴ τοῖς ἐχθροῖς ἐπαιγίζουσα δέος τε ἐμποιεῖ καὶ εἰς φόβον, ἤτοι φυγήν, διώκει καὶ ἀλκὴν ἐνδείκνυται καὶ τὸ γοργὸν καὶ ὀξὺ πρὸς ἐνέργειαν καὶ τὸ καταπληκτικὸν ἔχει πολύ. (v. 743 s.) Λέγει δὲ ἐκφραστικῶς ὁ ποιητὴς καὶ τὸ «κρατὶ δ’ ἐπ’ ἀμφίφαλον κυνέην θέτο τετραφάληρον, χρυσείην, ἑκατόν», ἤτοι πολλῶν, «πόλεων πρυλέεσιν», ὅ ἐστι πεζοῖς ὁπλίταις, «ἀραρυῖαν». Καὶ ὅρα ὡς μεγίστην κατὰ μῦθον πλάττει τὴν ῥηθεῖσαν κυνέην, εἴγε τοσούτων πόλεων ὁπλίτας καλύπτειν καὶ σκέπειν ἠδύνατο. Καὶ ἔστι καὶ τοῦτο συλλογισμὸς τὸ σχῆμα, εἴτ’ οὖν ἔμφασις. Συλλογιστέον γὰρ οἵα κεφαλὴ καὶ τὸ λοιπὸν ἀναλόγως τοῦ σώματος μέγεθος τῇ Ἀθηνᾷ, εἰ τοιαύτην περικεφαλαίαν περιέκειτο. Τινὲς δέ φασιν, οὐχ’ ὅτι ἑκατὸν πόλεων ὁπλίτας ἠδύνατο σκέπειν, ὡς τοσούτοις ἀριστεῦσιν ἁρμόσαι δυναμένη, ἀλλ’ ὅτι ἑκατὸν πόλεων ὁπλίτας εἶχεν ἐντετυπωμένους ἑαυτῇ.

2.186 Τοῦτο δὲ καὶ ἀλληγορίαν ἔχειν ἐθέλει τοῦ προνοητικοῦ τῆς τελείας καὶ μάλιστα βασιλικῆς φρονήσεως, ἥτις ὥς που ὁ παρὰ τῷ Ἰουλιανῷ Τραϊανὸς ἐπὶ τῶν ὤμων φέρει τὰ τρόπαια, οὕτως αὐτὴ ἀναδέδεκται ὡς οἷον εἰς κεφαλὴν φροντίδας πολλῶν πόλεων, ἧς δὴ βασιλικῆς προνοίας καὶ τὰ κατωτέρω καὶ ταπεινὰ καὶ ὡς εἰπεῖν πρὸ ποδῶν φροντίσματα, ὧν οἱ θύσανοι σύμβολον, πολλὰ τυγχάνει καί, ὡς ἄν τις καιρίως εἴπῃ, πολυσχιδῆ. Σχίσματα γάρ τινα καὶ οἱ θύσανοι. Ὅθεν ἀρειθύσανοι κατὰ Παυσανίαν Ἄρεος θύσανοι οἱονεὶ ἀποσχίσματα παρ’ Αἰσχύλῳ ἐν Προμηθεῖ Λυομένῳ. Τινὲς δὲ τὸ «ἑκατὸν πόλεων πρυλέεσσιν ἀραρυῖαν» οὕτως ἔφρασαν· ἑκατὸν πόλεων ἀριστεῖς ἔχουσαν, ἢ κεκοσμημένην τοῖς τῆς Κρήτης ὁπλίταις, τουτέστι τὰ τῶν Κορυβάντων ἔργα ἔχουσαν ἐντετυπωμένα. Ὅτι δὲ ἑκατόμπολις ἡ Κρήτη, καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται. ὡς δὲ καὶ Κρῆτες οἱ Κορύβαντες, δῆλον καὶ αὐτό. Εὐθεῖαν δέ φασί τινες τοῦ πρυλέεσσι πρύλις, γινομένην ἐκ τοῦ περῶ περύω, τὸ ὁδεύω, περύσω, πέρυλις καὶ πρύλις, ὡς δαμάσω δάμαλις. [Ἴσως δὲ συντελεῖ τι πρὸς τὴν τοιαύτην κλίσιν καὶ τόνωσιν καὶ τὸ κύριον ὁ Πρύλις, ὁ παρὰ Λυκόφρονι.] Καὶ μὴν ἄλλοι, ἐν οἷς καὶ Ἡρῳδιανός, πρυλής γράφουσιν ὀξυτόνως καὶ κλίνουσι κανονικῶς πρυλέος, πρυλοῦς, ὥς που καὶ προείρηται. [Καὶ ἔστιν ἀσφαλέστερον τοῦτο. ἀπὸ γάρ τοι τοῦ πρύλις πρύλεες ὤφειλεν εἶναι ὡς ὄφεες, ἀλλὰ μὴν εὕρηται πρυλέες ὡς εὐσεβέες.

2.187 ] (v. 743) Τὸ δὲ τετραφάληρον καὶ ἀμφίφαλον ἐξηγούμενοι οἱ παλαιοί φασιν, ὅτι φάλοι μὲν οἱ κατὰ τὸ μέτωπον τῆς περικεφαλαίας ἀσπιδίσκοι, φάλαρα δὲ κρίκοι τινὲς τῆς περικεφαλαίας ἐν ταῖς παραγναθίσιν, ὡς εἶναι διαφορὰν ταύτην φάλων καὶ φαλάρων. Τινὲς μέντοι ταὐτὰ ὑπέλαβον ἀμφότερα, ὡς εἶναι τὸ τετραφάληρον ἐξηγητικὸν τοῦ ἀμφίφαλον. ἡ γὰρ ἐκ δεξιῶν καὶ ἀριστερῶν ἔχουσα τοιαῦτα καὶ αὖ πάλιν ἐν τοῖς ἔμπροσθεν καὶ ὄπισθεν ἀμφίφαλος μὲν ἤγουν δίφαλός ἐστι τῇ συζύγῳ, τετραφάληρος δὲ τοῖς καθ’ ἕν. Ὅτι δὲ φάλαρα καὶ ἵππων ἐστὶ κόσμος προμετωπίδιος, ὡμολόγηται, γινόμενος καὶ αὐτὸς ἀπὸ τοῦ φάω, τὸ λάμπω, ὅθεν φάλιον τὸ λευκόν, ἐξ οὗ ἵππος τε φάλιος ὁ τὸ μέτωπον, φασίν, ἔχων λευκόν, καὶ ἄνθρωπος φάλιος, οὗ αἱ περὶ τὸ μέτωπον τρίχες λευκαί. Τινὲς δὲ καὶ ἄλλως περὶ τοῦ φάλου φράζοντες ἀνάστημά φασιν αὐτὸν περικεφαλαίας προμετωπίδιον καὶ ἀσπιδίσκιόν τι μικρὸν καὶ λαμπρὸν ἢ ἧλον λαμπρόν. (v. 740 s.) Ἐν δὲ τῷ χωρίῳ τούτῳ ὅρα καὶ τὴν ἐπιμονὴν τῆς ἐν προθέσεως καὶ τὸ ἐν τῇ ἐπιμονῇ γοργόν. Φησὶ γὰρ «ἐν δ’ ἔρις, ἐν δ’ ἀλκή» καὶ τὰ ἑξῆς, ὡς καὶ ἀλλαχοῦ ἐν τῷ

«ἔνθ’ ἔνι μὲν φιλότης, ἐν δ’ ἵμερος, ἐν δ’ ὀαριστύς». Τὸ δὲ σχῆμά ἐστι περικαλλὲς καὶ καλεῖται ἐπαναφορὰ διὰ τὸ τὰ κῶλα ἐπαναφέρειν καὶ ἀπὸ τῆς αὐτῆς λέξεως ἄρχεσθαι.

2.188 Εἰσὶ δὲ καὶ παρ’ ἑτέροις ὅμοιαι ἐν προθέσεσιν ἐπιμοναί, ὡς καὶ παρ’ Ἡροδότῳ τὸ «κατὰ μὲν ἔλευσαν αὐτοῦ τὴν γυναῖκα, κατὰ δὲ τὰ τέκνα». Ἡ δὲ ῥηθεῖσα ἔκφρασις κεκαλλώπισται καὶ ἄλλως παρίσοις, ἤγουν ὁμοιοτελεύτοις, τῷ ἀλκή, ἰωκή, κεφαλή, δεινή, σμερδνή. (v. 739—42) Κάλλους δὲ σχῆμα καὶ τὸ «αἰγίδα δεινήν, ἣν περὶ φόβος», ὅμοιον τῷ «αὐτίκα βοὴ ἦν» καὶ τοῖς ὁμοίοις. Ἔνθα καὶ σημείωσαι ὅτι ἑρμηνεύων, πῶς δεινὴ ἡ αἰγίς, ἐπήγαγε τὸ «ἣν περὶ μὲν φόβος ἐστεφάνωται» καὶ τὰ ἑξῆς. τὸ μέντοι «Γοργεία κεφαλὴ δεινή» ἀνεπεξέργαστον εἴασεν ὡς γνωριμώτερον. Καὶ ὅρα ὅτι τὴν τερατώδη σκυθρωπότητα τῆς ἐκφράσεως κάλλους ἐφαίδρυνε σχήμασι. Περὶ δὲ τῆς Γοργείας κεφαλῆς ζητητέον καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Ὅλον δὲ τὸ «Γοργείη κεφαλὴ δεινοῖο πελώρου» ὅμοιόν ἐστι τῷ «Νεστορέῃ παρὰ νηῒ Πυλοιγενέος βασιλῆος». Ὡς γὰρ ἐκεῖνο τῇ τοῦ κτητικοῦ ἀναλύσει εὐοδοῦται εἰς σύνταξιν, οὕτω καὶ τοῦτο. τὸ γὰρ Νεστορέῃ ἀναλυθὲν εἰς τὸ «τῇ τοῦ Νέστορος» εὖ ἔχει πρὸς τὸ εἰπεῖν· παρὰ τῇ Νέστορος βασιλῆος νηΐ. Οὕτω δὲ καὶ τὸ «Γοργείη κεφαλὴ δεινοῦ πελώρου» λέγει κατ’ ἀνάλυσιν, ὅτι ἡ κεφαλὴ τῆς Γοργοῦς τοῦ δεινοῦ πελώρου. [Ὁμοίως καὶ τὸ «Θηβαίας ἐπισκοποῦντ’ ἀγυιάς, τὰν ἐκ πασᾶν τιμᾷς» μεταποιηθὲν ἀναλυτικῶς εὐοδοῦται εἰς τό· τὰς τῆς Θήβης ἀγυιάς, ἣν ἐπέκεινα πασῶν πόλεων τιμᾷς. Ἐκεῖνο μέντοι καὶ ἄλλως καθίσταται. δύναται γὰρ εἶναι τὸ Θηβαίας ἀντὶ τοῦ Θήβης, ἵνα ᾖ ὥσπερ σελήνη σεληναία, οὕτω καὶ Θήβη Θηβαία αὐτὴ ἡ Θήβη. Ὅμοιον δὲ πρὸς τὸ «Γοργείη κεφαλὴ δεινοῖο πελώρου» καὶ ἐκ τῶν Σοφοκλέους τὸ «Λαβδακείῳ παιδί, Πολυδώρου τε καὶ Κάδμου καὶ Ἀγήνορος». Καὶ ἐκεῖ γὰρ εὔοδος ἡ σύνταξις δι’ ἀναλύσεως τοῦ «Λαβδακείῳ παιδί», ἵνα ᾖ τῷ παιδὶ τοῦ Λαβδάκου καὶ τῶν ἑξῆς.] Χρῆσις δὲ τῆς Γοργοῦς πολλαχοῦ, εἰ καὶ κοινῶς εὐθεῖα ταύτης ἡ Γοργών ὡς τρυγών.

2.189 οὕτω δὲ καὶ ἀηδών μὲν τὸ κοινόν, εὕρηται δὲ καὶ ἀηδοῦς γενική, ὡς Λητοῦς, καὶ κλητικὴ ἀηδοῖ, ὡς χελιδοῖ, παρὰ τῷ Κωμικῷ. Τὸ δὲ πέλωρον τρεῖς πολλαχοῦ ἔχει κινήσεις. λέγεται γὰρ πελώριον καὶ πέλωρ καὶ πέλωρον. (v. 738) Ἰστέον δὲ ὅτι ἀμφιβάλλεται εἴτε ἴδιον φόρημα τῆς Ἀθηνᾶς ἡ αἰγίς εἴτε καί, ὥσπερ τὸν χιτῶνα τοῦ πατρὸς Διός, οὕτω καὶ τὴν ἐκείνου αἰγίδα φορεῖ. πρὸς ὃ δοκεῖ συντελεῖν ἐνταῦθα τὸ «Διὸς τέρας αἰγιόχοιο», ὡς αὐτοῦ μάλιστα ταύτην ὅπλον αὐχοῦντος, ὃς καὶ παρωνυμεῖται αὐτῇ. Καὶ δοκεῖ καθ’ ὑπερβατὸν λέγειν, ὅτι ἀμφὶ ὤμοισι βάλετο αἰγίδα, Διὸς τέρας αἰγιόχου. Ὁ δὲ περὶ τῆς αἰγίδος λόγος, ἵνα τις ἐπιτεμὼν καὶ νῦν εἴπῃ τὰ καίρια, τοιοῦτός ἐστιν. Ἡ τοῦ Διὸς αἰγὶς μυθικῶς μὲν κατὰ τὰς λεγομένας τραγέας καὶ κατὰ κρᾶσιν τραγᾶς οὕτω καὶ αὐτὴ εἴη ἂν αἰγέη, τουτέστιν αἰγὸς δέρμα, ὅπερ ὁ Ζεὺς ἐνῆπτο εἰς ἀνάμνησιν αἰγός, ἧς αὐτὸς ἔσπασέ ποτε τὴν θηλήν, ἀφ’ ἧς καὶ ἐπεκλήθη αἰγίοχος, ὡς εἰς ὀχήν, ἤγουν τροφήν, αἰγὶ χρησάμενος. Οὕτω δέ τις καὶ λεοντῆν ἢ λυκέην ἢ παρδαλέην ἐνάψεται εἰς μνήμην τινὸς πράξεως. Καὶ ἄλλως δὲ ἡ τοῦ Διὸς αἰγὶς σκεύασμά τι κατὰ τὸν μῦθον πλάττεται ἀπὸ ὕλης τιμίας, αἰγιδοειδές, ἤτοι μηλωτῇ ἐοικός, καί, ὡς ἂν ἀμαθέστερόν πως κατὰ τὴν κωμῳδίαν ῥηθῇ καὶ σαφέστερον, φόρημά τι δοκεῖ σαγοειδές, θυσάνους τε ἔχον χρυσέους ἀπῃωρημένους κατὰ τὰ κροσσωτὰ καὶ δι’ ὅλου τοῦ κύτους λεπτά τινα καὶ ἰσχνὰ τριχώδη, ἐξ ὕλης καὶ αὐτὰ ὁμοίας, πρὸς ἐμφέρειαν αἰγίδος τῆς ἀληθοῦς.

2.190 Ὅπλον δὲ Διὸς ἡ τοιαύτη μυθικὴ αἰγὶς οὐχ’ οἷον ἢ βαλεῖν ἢ τραῦμα ἐντρῖψαί τινι, ἀλλὰ μόνον φοβῆσαι ἐν τῷ διατινάσσεσθαι καὶ ἐπισείεσθαι. καὶ αὕτη μὲν ἡ τοῦ μυθικοῦ Διὸς αἰγίς. Ἡ δὲ ἀλληγορουμένη συμμετατίθεται ταῖς τοῦ Διὸς μεταλήψεσι, καὶ εἰ μὲν εἰς ἀέρα ὁ Ζεὺς ἐκλαμβάνεται, αἰγὶς νοεῖται τὰ κατὰ τὸν ἀέρα πάθη καὶ φόβητρα, ὧν ἔνια οὐ μόνον καταιγίδες λέγονται, ἀλλὰ καὶ αἰγίδες ἀσυνθέτως, τινὰ δὲ καὶ αὐτὸ τοῦτο αἶγες, οὐ ζῷα πάντως, ἀλλὰ ἐκ πυκνότητος ἀέρος ποιὰ πάθη οὐράνια, ἀλληγορουμένην συγκροτοῦντα αἰγίδα. ἐν οἷς πάντῃ

φόβος ἐστεφάνωται καὶ τῷ περιέχοντι συνεσφαίρωται καὶ τοῖς περὶ γῆν οὐ φορητὸς καταρρήγνυται διὰ τὴν ἐν αὐτοῖς ἀλκὴν καὶ δεινότητα καὶ γοργότητα.

2.191 Καὶ οὗτος μὲν εἷς τρόπος ἀλληγορίας ἐπὶ τῇ αἰγίδι ὁ φυσικώτερος. ἔνθα καὶ τὸ πρὸ ὀλίγου ῥηθὲν ἐνθυμητέον τὸ «ἐρεμνὴν ἐπισείει αἰγίδα ὁ Ζεύς», ὡς τῶν ἐν ἀέρι καταιγίδων οὐχ' ἁπλῶς ἀεὶ μελαινομένων, ἀλλά ποτε καὶ ἠΰτε πίσσα κατὰ τὸν ποιητήν. Εἰ μέντοι νοῦς ὁ Ζεὺς νοοῖτο, ἀνάλογος ἂν αὐτῷ καὶ ἡ αἰγὶς ἐκλαμβάνοιτο, δύναμις δηλαδή τις νοερά, οὐ μόνον ὑψηλὴ καὶ ἀνωφορουμένη, ἀλλὰ καὶ πολὺ τὸ πυκνὸν ἔχουσα καί, ὡς ἂν εἴπῃ τις, λάσιον, ὁποῖα λάσια καὶ τὰ τοῦ Ἀχιλλέως στήθη ὡς δασυστέρνου ἐν τῇ α ῥαψῳδίᾳ νοοῦσί τινες. Ἡ δὲ τοιαύτη αἰγὶς κατὰ τὸν ποιητὴν φόβῳ τε ἂν στεφανοῖτο, φοβερὰ δηλαδὴ τοῖς ἀντιμάχοις ἐπαιγίζουσα, στεφανοίη δ' ἂν αὐτὴν καὶ ἡ ἔρις ἡ ἐπ' ἀγαθῷ πάντως, ἔχοι δ' ἂν καὶ ἀλκήν, ἀλλὰ καὶ γοργότητα τὴν ἐπὶ τοῖς πρακτέοις. Τοιαύτης οὖν οὔσης τῆς κατὰ νοῦν θεωρουμένης αἰγίδος, εἴη ἂν καὶ ἡ τῆς Ἀθηνᾶς αἰγὶς ὁμοία τῇ ἠθικευομένῃ ταύτῃ αἰγίδι τοῦ Διός. Ἐκεῖνός τε γὰρ νοῦς τεθεώρηται καὶ αὐτὴ θυγάτηρ ἐκείνου. ἡ φρόνησις γὰρ νοός ἐστι προβολή. Ὅθεν καὶ ἡ αἰγὶς ἐπ' ἀμφοῖν τούτοιν συγγενής, καὶ ὅσα ἐπὶ μιᾶς τῆς τοῦ νοός, ταῦτα καὶ ἐπὶ τῆς ἑτέρας συμβιβάζοιτο ἄν, ἣν ἡ Ἀθηνᾶ φορεῖ. Ἰστέον δὲ καὶ ὅτι, ἐὰν καὶ εἰς ἀέρα ἡ Ἀθηνᾶ ἐκλαμβάνηται, ὡς ἐν τῇ α ῥαψῳδίᾳ εἴρηται, εἴη ἂν οὕτω καὶ φυσικῶς ἡ αἰγὶς τῇ Ἀθηνᾷ, ὡς καὶ τῷ πατρὶ Διΐ, προσαρμόζουσα. Κἀκεῖνο δὲ ἰστέον, ὅτι νομοθετοῦσα μὲν ἡ Ἀθηνᾶ, ἤγουν ἡ φρόνησις, καὶ οἰκονομοῦσα καὶ δικάζουσα καὶ ὅλως εἰρήνην πραγματευομένη καὶ ἡσυχάζουσα καὶ εἰς θεωρίαν ἀπασχολοῦσα ἑαυτὴν καὶ οἷον οἰκουρίαν πολιτικήν, ἧς παρώνυμον τὰ οἰκούρια παρὰ Σοφοκλεῖ, ἅπερ εἰσὶν οἰκουρίας μισθοί, θήλεια τάχα πώς ἐστι καὶ μαλακῶς ἔχει καὶ τὸν ἑανὸν πέπλον ἐνδέδυται.

2.192 ὅτε δὲ πολέμοις ἐπέξεισι καὶ μάχας τάττει καὶ ἀντεπεξάγεται τῷ βροτολοιγῷ, τηνικαῦτά γε τὸν πέπλον μὲν εἰς ἔδαφος καταχέει, μετασκευάζεται δὲ πρὸς τὸ ἀρρενωπότερον καὶ ὥσπερ ἐπαιγίζει τοῖς ἀντιπάλοις καὶ οὐκέτι γαληνὸν καὶ μαλακὸν ἀλλὰ γοργὸν ἐμβλέπει καὶ τὴν σμερδαλέαν καὶ δεινὴν αἰγίδα φορεῖ. (v. 738) Ἔτι ἰστέον καὶ ὅτι ὁ παλαιὸς λόγος τοὺς θυσάνους, ὅ ἐστι κροσσούς, τῆς ῥηθείσης αἰγίδος ὄφεις βούλεται εἶναι ἢ ὀφεωειδεῖς. Φησὶ γοῦν Ἡρόδοτος, ὅτι τὴν ἐσθῆτα καὶ τὰς αἰγίδας τῶν ἀγαλμάτων τῆς Ἀθηνᾶς ἐκ τῶν Λιβυσσῶν ἐποιήσαντο οἱ Ἕλληνες, πλὴν ὅτι σκυτίνη ἡ ἐσθὴς τῶν Λιβυσσῶν ἐστι καὶ οἱ θύσανοι οἱ ἐκ τῶν αἰγίδων οὐκ ὄφιές εἰσιν ἀλλὰ ἱμάντινοι. Ὁ δὲ αὐτὸς λέγει καί, ὅτι δὲ ἐκ Λιβύης ἥκει ἡ στολὴ τῶν Παλλαδίων, δῆλον. αἰγέας γὰρ περιβάλλονται ψιλὰς περὶ τὴν ἐσθῆτα θυσανωτοὺς αἱ Λίβυσσαι, κεχρισμένας ἐρευθεδάνῳ. ἐκ δὲ τῶν αἰγέων τούτων αἰγίδας οἱ Ἕλληνες μετωνόμασαν. λέγει δὲ Ἡρόδοτος ἐν τούτοις αἰγέας μὲν δορὰς αἰγῶν, ὡς καὶ προείρηται, ἐρευθεδάνῳ δέ, ἤτοι ἐρυθροδάνῳ, κεχρισμένας τὰς ἐρυθροβαφεῖς. Σημείωσαι δὲ καὶ ὡς, εἴπερ αἱ πρῶται καὶ κυρίως αἰγίδες αἱ Λίβυσσαι θυσάνους εἶχον φρικτούς, ὁποίους Ἡρόδοτος ἱστορεῖ, ἔστιν αὐτόθεν νοῆσαι τὸ ἐν τῇ ποιητικῇ αἰγίδι φοβερὸν καὶ δεινὸν καὶ σμερδνόν, διὰ τοὺς ῥηθέντας δηλαδὴ ὄφεις. Τὸ δὲ «πλὴν ὅτι σκυτίνη ἡ ἐσθὴς τῶν Λιβυσσῶν» δηλοῖ τὰς παρ' Ἕλλησιν αἰγίδας ἐν ἀγάλμασι, τυχὸν Διὸς ἢ Ἀθηνᾶς, ὑφαντὰς ἢ πλεκτάς τινας εἶναι καὶ οἷον σαγοειδεῖς μαλλωτάς, τυχὸν μὲν ἐξ εὐποριστου ὕλης, τυχὸν δὲ καὶ ἐκ τιμιωτέρας, οὐ μὴν αὐτόχρημα αἰγᾶς, ἤτοι αἰγίδας, ὅ ἐστιν αἰγῶν δοράς.

2.193 Σημείωσαι δὲ ὅτι οὐ μόνον αἰγίδες τὰ ῥηθέντα λέγονται, ἀλλὰ καὶ ἄλλο τι ἡ λέξις δηλοῖ. Αἴλιος μὲν γὰρ Διονύσιός φησιν· αἰγὶς τὸ ἐκ τῶν στεμμάτων δίκτυον. Παυσανίας δὲ τὸ ἐκ τῶν στεμμάτων πλέγμα καὶ τὸ διὰ τῶν στεμμάτων πεπλεγμένον δίκτυον. Καὶ αὐτοὶ μὲν οὕτω. οἷον δὲ ἔργον ἡ τοιαύτη αἰγίς, οὐκ ἐδήλωσαν σαφῶς. Εἰκὸς δὲ τά τε εἰρημένα στέμματα ἐξ ἐρίων εἶναι κατὰ τὸ «στέμματα ξήνασα», καὶ τὰ ἐξ αὐτῶν δὲ πλεκόμενα μὴ αὐτόχρημα δίκτυα γίνεσθαι ἁλιευτικά, ὁποῖα δὲ τὰ εἰς ζώνην παρὰ τοῖς ὕστερον χρήσιμα, οἷς ἐπανθοῦν τι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χνοῶδες ἐν τῷ γναφεύεσθαι ἀποτελοίη ἂν αἰγιδοειδῆ αὐτά. Τῶν δὲ μνημονευθέντων κροσσῶν διὰ τοῦ ο μικροῦ ἡ παραλήγουσα, οἷς δηλαδὴ τὸ ἄκρον σείεται. Ὁ μέντοι παρὰ Σοφοκλεῖ κρωσσός, ὅ ἐστι κρατήρ, γενόμενος, φασί, παρὰ τὸ κερῶ, καὶ ἐν συγκοπῇ κρῶ, τὸ σταλάσσω καὶ ἐπιχέω, καὶ οἱ παρὰ Λυκόφρονι δὲ καὶ ἑτέροις κρωσσοί, ἀγγεῖα ἐκεῖνα δεξιὰ ὑδρεύεσθαι, λάγυνοι ἴσως ἢ ξέσται καὶ τοιαῦτά τινα, τῷ ω μεγάλῳ παραλήγεται. [Ἔτι ἰστέον ὅτι καὶ Ἀπόλλωνος ἡλίου ἐστὶν αἰγίς, ὃν τρόπον καὶ Διὸς τοῦ εἰς ἀέρα ἐκλαμβανομένου, ἐπειδὴ καὶ τῷ τοιούτῳ Διῒ αὐτός ἐστιν αἴτιος τοῦ αἰγίζειν ἢ καταιγίζειν ἢ καθ' Ὅμηρον ἐπαιγίζειν, ὡς ἀνάγων γῆθεν ὑψοῦ τὰς ἀναθυμιάσεις. καὶ τοιαῦτα μὲν ταῦτα. Ὁ δὲ γραμματικὸς Ἀριστοφάνης ἴδιόν τι σύγγραμμα περὶ αἰγίδος προενεγκὼν ἄλλα τέ τινα λέγει οὐ πάνυ γλαφυρὰ καὶ ὅτι Ὅμηρος τοῖς πάθεσι καὶ τοῖς δι' αὐτῶν ἀποτελουμένοις πράγμασιν ὁμωνύμους τινὰς ἐφιστᾷ δαίμονας, εἰδωλοποιουμένους μυθικῶς, ἐφ' ὧν καὶ τὸ ἀποτελοῦν, ἤγουν παρασκευαστικόν, νοεῖται καὶ τὸ ἀποτελούμενον κακὸν ἐναργῶς.

2.194 Ἔρως γοῦν καὶ πλοῦτος καὶ ἔρις καὶ ὕβρις καὶ δεῖμος καὶ φόβος καὶ κυδοιμὸς καὶ βροντὴ καὶ ἀστραπὴ καὶ ἄλλα μυρία ὁμωνύμως δηλοῦσι τὴν εἰδωλοποιΐαν τε δαιμονιώδη καὶ τὸ ἐκεῖθεν σύμπτωμα. ἐν δὲ τοῖς τοιούτοις λέγει ὁ αὐτὸς καὶ ὅτι τὸ συνεστραμμένον πνεῦμα καὶ καταράσσον ἄνεμον κατάρη λέγουσιν ὁ Ἀλκαῖος καὶ ἡ Σαπφὼ διὰ τὸ κατωφερῆ ὁρμὴν ἔχειν.] (v. 745) Ὅτι ὄχεα φλόγεα ὁ Ὁμηρικὸς μῦθος τῇ φωσφόρῳ δίδωσιν Ἀθηνᾷ, τουτέστι λαμπρά. Καὶ ὅρα σύντομα πάρισα, ἤτοι ὁμοιοτέλευτα, τὸ ὄχεα φλόγεα. Τοῦτο δὲ καὶ διὰ τὸ τοῦ χρυσοῦ εἶπε πυροειδές, ὃ τάχα καὶ τῷ Διομήδει πρὸ μικροῦ ἐνήστραπτε. τοιοῦτον γὰρ τὸ χρύσεον χρῶμα. ὅθεν καὶ Πίνδαρος αἰθομένῳ πυρὶ τὸν χρυσὸν εἴκασεν. (v. 745—7) Εἰ δὲ καὶ ἔμπρακτος εἴη ἡ Ἀθηνᾶ, τότε καὶ ἔγχος λαμβάνει «βριθύ, μέγα, στιβαρόν, ᾧ δάμνησι στίχας ἀνδρῶν ἡρώων, οἷς ἂν κοτέσσηται». Ταῦτα δὲ χρήσιμα καὶ εἰς ἄνδρα τινὰ βριαρὸν πολεμιστήν, κείμενα καὶ ἐν Ὀδυσσείᾳ. [Ὅτι δὲ τὸ λαμβάνειν λάζεσθαι οἶδε λέγειν ἡ ποίησις, ἀφ' οὗ παράγωγον τὸ λαζύω λάζυμι, ὡς ζεύγνυμι, καὶ ὅτι ἔγχος οὐ μόνον δόρυ δηλοῖ, ἀλλά που καὶ ξίφος, ὡς καὶ παρὰ Σοφοκλεῖ, δῆλόν ἐστιν.] (v. 748) Ὅτι τὸ «Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετο ἵππους», ποιητικῶς περιπέφρασται ἀντὶ τοῦ ἡνιόχει.

2.195 Ἔστι δὲ ἐπιμαίεσθαι κοινῶς μὲν τὸ ζητεῖν, ὅθεν καὶ ἡ Μαῖα καὶ Μαίων τὸ κύριον, ἄλλως δὲ τὸ μεταχειρίζεσθαι καὶ ἅπτεσθαι, ἐπεὶ καὶ μάσασθαι τὸ ἅψασθαι ἀπὸ τοῦ μῶ, ἐξ οὗ τὸ μαίω παράγεται. Μάστιγι οὖν ἐπιμαίεσθαι ἵππους ἐστὶ τὸ ὡσεὶ καὶ χειρὶ ἅπτεσθαι, τὸ δέ ἐστι μαστίζειν. (v. 768) Διὸ ἐπάγει «μάστιξε δ' ἵππους». οὓς καὶ κεντρηνεκέας μετ' ὀλίγα φησίν, εἰς ταὐτὸν ἄγων τὴν μάστιγα καὶ τὸ κέντρον. Ὧν παραγωγὴ κατὰ τὸ «ἀτραποὶ διηνεκέες». ἄμφω γὰρ ἀπὸ τοῦ ἐνεγκεῖν γίνονται. (v. 753 s.) Ἐν τούτοις δὲ πλάττει καὶ τὸν Δία «θεῶν ἄτερ ἥμενον ἄλλων ἀκροτάτῃ κορυφῇ πολυδειράδος Ὀλύμποιο», καθὰ καὶ ἐν τῇ α ῥαψῳδίᾳ, ταὐτολογῶν συνήθως, οἷα εἰκός. καὶ οὕτω καθ' ἡσυχίαν καὶ ἡ Ἥρα ἐντυγχάνει αὐτῷ καὶ τυγχάνει οὗ θέλει. [(v. 752) Ἰστέον δὲ ὡς ὁ μεγαλόνους Πίνδαρος ἐπαινεῖ τινα ἵππον ὡς μὴ κεντρηνεκέα, δέμας δὲ ἀκέντητον δρόμῳ παρέχοντα. καί εἰσι μέν τινες τοιοῦτοι, Ὅμηρος δὲ ἐκ τοῦ πλεονάζοντος ἔφρασεν.] (v. 749—51) Ὅτι τὰς Ὥρας φιλοσοφῶν ὁ ποιητὴς πυλωροὺς αὐτὰς λέγει τοῦ οὐρανοῦ καὶ ἐπιτετράφθαι αὐταῖς φησι «μέγαν οὐρανὸν Οὔλυμπόν τε», οὐ διὰ τὰ ἐκ τῶν Ὡρῶν ἀποτελέσματα, ὡς ἄν τις εἴποι ἀστεϊζόμενος, ἀλλὰ ὥστε «ἠμὲν ἀνακλῖναι», φησί, «πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι», τουτέστι καὶ ἀνοῖξαι νέφος, οἷά τινα πύλην, καὶ αὖθις ἐπιθεῖναι.

2.196 Τῷ ὄντι γὰρ ὧραί τινές εἰσιν ὡς ἐπὶ πολὺ καὶ καιροὶ τεταγμένοι τοῦ νεφελοῦσθαι τὸν οὐρανὸν εἴτε καὶ μή. Ὅτι δὲ πύλαι οἷον τῷ οὐρανῷ τὰ νέφη, δηλοῖ ὁ ποιητὴς εἰπὼν τὸ «αὐτόματοι δὲ πύλαι μύκον οὐρανοῦ», ὅ ἐστιν ἤχησαν καὶ ἠνοίχθησαν ἐξιούσῃ τῇ Ἥρᾳ καὶ τῇ Ἀθηνᾷ. (v. 751) Καιριωτάτη δὲ λέξις ἐπὶ ἀνοίξεως πυλῶν τὸ ἀνακλίνειν, ὡς πολλαχοῦ φαίνεται, ἵνα ᾖ κλίνειν μὲν τὸ κλείειν, ἀνακλίνειν δὲ τὸ ἀνάπαλιν. (v. 749) Ὅρα δὲ ὅπως τὸ ἔμυκον, ἐπὶ βοὸς κυρίως

κείμενον, ἐπὶ πύλης εἶπε τῆς διὰ τὴν ἄγαν ἁρμογὴν ἠχητικῆς καὶ οἷον μυκητικῆς ὀνοματοποιῶν καὶ ἐκ τοῦ παρακολουθοῦντος ἦχου πυλῶν τε μέγεθος καὶ στερεότητα δηλῶν καὶ ἄνοιξιν αὐτῶν. καὶ ἐν Ὀδυσσείᾳ δέ πού φησι «τὰ δ’ ἀνέβραχεν ἠΰτε ταῦρος», τὰ θύρετρα δηλαδή. Καὶ σημείωσαι ὅτι ὁ παραβολικῶς δεξάμενος ταύρου δίκην ἠχεῖν θύρας δέξαιτ’ ἂν καὶ τὸ μυκᾶσθαι αὐτάς. Καὶ οὕτω τὸ ἀναιδὲς ταύτης τῆς λέξεως διὰ παραβολῆς ἑτέρωθι συνήθους τεθεράπευται, εἰ καὶ μὴ παράκεινται ἀλλήλαις ἥ τε λέξις καὶ ἡ ῥηθεῖσα παραβολή. Σημείωσαι δὲ καὶ ὅτι ἐντεῦθεν οἱ μεθ’ Ὅμηρον λαβόντες μυκᾶσθαί φασι καὶ βροντάς, ἐπεὶ καὶ αἱ Ὁμηρικαὶ αὗται πύλαι νέφη εἰσὶ βροντώδη μυκηθμόν ποτε ἀφιέντα. Ἀκόλουθον δὲ πάντως τὸν ἐν Ὀλύμπῳ οἴκους πλασάμενον καὶ πύλας αὐτοῖς τολμῆσαι εἰπεῖν.

2.197 Ἔστι δὲ τὸ ἔμυκον δεύτερος ἀόριστος τοῦ μυκῶ ῥήματος κατὰ τὸ χραισμῶ ἔχραισμον, δουπῶ ἔδουπον, κτυπῶ ἔκτυπον, ληκῶ ἔλακον. Τὸ δὲ αὐτόματοι ἀντὶ τοῦ μόναι ἀφ’ ἑαυτῶν δίχα πυλωρῶν, ὡς ἐὰν ἦσαν αἰσθητικαί. εἴρηται δὲ καθ’ ὁμοιότητα τοῦ «αὐτόματος δέ οἱ ἦλθεν βοὴν ἀγαθὸς Μενέλαος». Παρὰ δέ γε τοῖς μεθ’ Ὅμηρον σοφοῖς ἄλλως ἡ λέξις αὕτη λαμβάνεται. ἧς καὶ εὐθεῖα ἡ ἑνικὴ οὐ μόνον εἰς ος λήγει, ἀλλὰ καὶ διὰ τοῦ η προφέρεται. ἡ αὐτομάτη γάρ. (v. 750) [Τὸ δὲ ἐπιτέτραπται λέξις σεμνὴ καιρία κατὰ τὸ «ᾧ λαοί τ’ ἐπιτετράφαται» καὶ ὅσα τοιαῦτα.] Τὸ δὲ «μέγας οὐρανὸς Οὔλυμπός τε» ἢ ἐκ παραλλήλου τὸ αὐτὸ λέγουσι κατὰ ἀλληγορικὴν ἀλήθειαν, ἢ καὶ ἄλλως, ὡς καὶ ἀλλαχοῦ, Ὄλυμπον μὲν νοητέον τὸ Μακεδονικὸν ὄρος, οὐρανὸν δὲ τὸν ὑπὲρ τὰ νέφη τόπον, ὃς ποτὲ μὲν κλείεται, ὅσα καὶ πύλαις, τοῖς νέφεσι, ποτὲ δέ, ὡς οἷον ἀνοιγόμενος διεκφαίνεται. (v. 756) Ὅτι παρὰ μὲν τοῖς ὕστερον διαφορά ἐστιν ἐρωτήσεως καὶ πεύσεως, Ὅμηρος δὲ καὶ τὴν πεῦσιν ἐρώτησιν οἶδε. Φησὶ γὰρ ὅτι ἡ Ἥρα τὸν Δία ἐξείρετο καὶ μετέειπεν. ἡ δὲ τοιαύτη ἐρώτησις πεῦσις ἐνταῦθά ἐστι. δύο γὰρ στίχους δαπανᾷ ὁ Ζεὺς εἰς ἀπόκρισιν. Ἴδιον δὲ πάντως πεύσεως τὸ ἐν τῇ ἀποκρίσει μακρολογεῖν, ὥσπερ ἐρωτήσεως τὸ θεραπεύεσθαι τὸν ἐρωτῶντα διὰ τοῦ ναί ἢ οὔ ἢ διὰ κατανεύσεως μόνης καὶ ἀνανεύσεως. (v. 757—61) Ὅτι νεμεσῶν τις ἀνδρὶ ἄφρονι ἐρεθισθέντι πρός τινων εἰς πολλῶν μάτην ὄλεθρον, ἐρεῖ παρῳδήσας τὰ ῥηθησόμενα ἔχοντα οὕτω «Ζεῦ πάτερ, οὐ νεμεσίζῃ Ἄρῃ τάδε καρτερὰ ἔργα, ὁσσάτιόν τε καὶ οἷον ἀπώλεσε λαὸν Ἀχαιῶν μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐμοὶ δ’ ἄχος, οἱ δὲ ἕκηλοι τέρπονται», Κύπρις τε καὶ Ἀπόλλων, «ἄφρονα τοῦτον ἀνέντες, ὃς οὔ τινα οἶδε θέμιστα». (v. 762 s.) Εἰ δὲ καὶ θαρρεῖ ὁ νεμεσῶν τίσασθαι τὸν τοιοῦτον, ἁρμόττει κατὰ παρῳδίαν καὶ τῶν ἐφεξῆς τὸ «Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι, εἴ κεν Ἄρηα λυγρῶς πεπληγὼς μάχης ἐξαποδίωμαι», ἤγουν ἐκδιώξω. (v. 765 s.) Ὁ δὲ ταῦτα ἀκούσας καὶ παραινῶν τὴν μετὰ φρονήσεως ἄμυναν ὀρθῶς ἂν ἐρεῖ τὸ «ἄγρει μάν οἱ ἔπορσον Ἀθηναίην ἀγελείην, ἥ ἑ», ἤγουν ἥτις αὐτὸν τὸν ἀλόγιστον Ἄρην, «μάλιστ’ εἴωθε κακῇς ὀδύνῃσι πελάζειν», ὅπερ ἐστὶ περιφραστικῶς ἶσον τῷ κακύνειν. Λέγει δὲ τοῦτο μὲν ὁ τοῦ μύθου Ζεύς, ἐκεῖνα δὲ ἡ Ἥρα λυπουμένη, ἐὰν ὁ ἀθέμιστος Ἄρης κακὰ ποιῇ, παροξυνθεὶς ὑπὸ Κύπριδος καὶ Ἀπόλλωνος.

2.198 (v. 757) Ὅρα δὲ ὅτι τὸ «Ζεῦ πάτερ» δὶς ἡ Ἥρα προσφωνεῖ, κολακεύουσα καιρίως τὸν Δία. Καρτερὰ δὲ καὶ νῦν ἔργα τὰ βίαια. (v. 758) Τὸ δὲ ὁσσάτιον δύο ἔχει παραγωγὰς ἐκ τοῦ ὅσσος· ὅσσατος γάρ, εἶτα ὁσσάτιος. (v. 759 s.) Τὸ δὲ «ἐμοὶ δ’ ἄχος, οἱ δὲ τέρπονται» σχῆμά ἐστι γοργὸν ἀντιθετικόν, σύνηθες καὶ αὐτὸ ῥήτορσι. (v. 761) Τὸ δὲ ἀνέντες ἀντὶ τοῦ ἐρεθίσαντες, παροξύναντες, ἀναπείσαντες. λέξις δὲ καὶ αὕτη ἀγαθὴ καὶ τοῖς πεζολογοῦσι, ληφθεῖσα ἐκ χορδῶν ἀνιεμένων, ἢ μᾶλλον ἐκ κυνῶν λυθέντων ἐπὶ ἄγρᾳ. ταύτῃ δὲ σύστοιχον καὶ τὸ ἀνῆκεν ἀντὶ τοῦ ἀνέπεισε. (v. 763) Τὸ δὲ δίωμαι πρωτόθετον τοῦ διώκω ἐστί. (v. 765) Τὸ δὲ ἄγρει ἀντὶ τοῦ ἄγε σπουδὴν παρακελεύεται, ὁποία πρέπει καὶ εἰς ἄγραν, ὡς ἀπὸ τοῦ ἀγρεῖν, ἐξ οὗ καὶ τὸ ζωγρεῖν καὶ τὸ ἀγρεύειν. (v. 766) Πελάζειν δὲ ὀδύναις κακαῖς, ἤγουν κακωτικαῖς, τὸν Ἄρην λέγεται Ἀθηνᾶ, ἐπείπερ Ἀθηνᾶ μέν ἐστιν ἡ φρόνησις, Ἄρης δὲ εἰς ἀλογίαν μεταλαμβάνεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Περιγίνεται δὲ φύσει τοῦ τοιούτου Ἄρεος ἡ ἀλληγορουμένη Ἀθηνᾶ, οὐ μὴν ἡ Ἥρα, τουτέστιν ὁ ἀήρ.

2.199 ἀσυμβίβαστον γὰρ τοῦτό γε. Διὸ καὶ τὴν Ἀθηνᾶν ὁπλίσει ὁ ποιητὴς κατὰ τοῦ Ἄρεος, οὐ μὴν τὴν Ἥραν, ἵνα μὴ ἀχρειώσῃ τὴν κατὰ φύσιν ἀλληγορίαν. Ἐκθετικὴ δέ τις μέθοδος ἐννοίας τὰ εἰρημένα, προαναφωνοῦσα οἷα μετ' ὀλίγον πείσεται ὁ Ἄρης. [(v. 757) Ἰστέον δὲ ὅτι τὸ «οὐ νεμεσίζῃ τῷ Ἄρεϊ τάδε ἔργα», ἤγουν διὰ τὰ ὑπ' αὐτοῦ πραττόμενα, Ἀττικὸς ἀνὴρ φράσοι ἄν, ὡς οὐ νεμεσίζῃ τῶνδε ἔργων, ἤγουν ἕνεκεν ὧν ποιεῖ. (v. 766) Τὸ δὲ μάλιστα καὶ τὸ εἴωθεν ἀκρίβειαν ἱκανὴν ἔχει. Κακύνει μὲν γὰρ ὁ μῦθος καὶ ὑπό τισιν ἄλλοις τὸν Ἄρην, οἷον ὑπὸ τοῖς Ἀλωείδαις, οὔτε δὲ μάλιστα οὔτε εἰωθότως, ὡς ὑπὸ τῇ Ἀθηνᾷ. Τὸ δὲ «ὀδύναις πελάζειν» οὐ μακράν ἐστι τοῦ ὀδύναις μιγνύειν, ὃ δὴ φράζειν φιλεῖ Ὅμηρος, καθὰ καὶ Πίνδαρος.] (v. 768 s.) Ὅτι ἐμφαίνων κἀνταῦθα ὁ ποιητὴς τὴν εἰς ἀέρα τῆς Ἥρας ἀλληγορίαν φησίν, ὡς ἡ Ἥρα «μάστιξεν ἵππους, τὼ δ' οὐκ ἄκοντε πετέσθην μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος». τὸ γὰρ μέσον οὐρανοῦ καὶ γῆς τόπος ἀέρος ἐστί, περὶ ὃν ἐλαύνει ἡ Ἥρα τὸ ἅρμα. Ὅρα δὲ ὡς καὶ ἐνταῦθα συνήθως τῷ πληθυντικῷ συνέζευξε δυϊκὸν ἐν τῷ μάστιξε δ' ἵππους, τὼ δὲ πετέσθην. (v. 770—2) Ὅτι μετρῶν ὁ ποιητὴς κίνησιν δαιμονίων ἵππων ποιητικώτερον καὶ τερατωδέστερον, λέγει «ὅσσον δ' ἠεροειδές», διάστημα δηλαδή, «ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν ἥμενος ἐν σκοπιῇ, λεύσσων ἐπὶ οἴνοπα πόντον», ἔνθα τὰ τῆς ὄψεως ἀνεπιπρόσθητα, «τόσσον ἐπιθρῴσκουσι θεῶν ὑψηχέες ἵπποι», ὅ ἐστι ὑψαύχενες ἢ ὧν ὁ κρότος ὑψοῦ ἠχεῖ. Καὶ οὕτω μὲν ἐνταῦθα μετρεῖ κατὰ ἀόριστον σχῆμα τὸ ὅσον καὶ τὸ τόσον, ἵνα δηλώσῃ ταχυτάτην ἐξ Ὀλύμπου τοῦ Μακεδονικοῦ κίνησιν ἵππων εἰς τὴν Τροίαν. ἀλλαχοῦ δὲ ἐξ ἀριθμοῦ ὡρισμένου τὸ αὐτὸ παριστῶν φησιν, ὡς τρία βήματα διαβάντες οἱ τοῦ Ποσειδῶνος ἵπποι τόπον καὶ αὐτοὶ διΐππευσαν πάνυ πολύν. Πίνδαρος δὲ ἐπὶ πλέον Ὁμήρου τερατευσάμενος ἐπὶ Ἀπόλλωνος ἑνὶ θείῳ βήματι πλείονα συντέμνει ὁδόν. Σημείωσαι δὲ τὴν ἐν τῷ λόγῳ αὔξησιν.

2.200 Οὐ γὰρ εἶπεν ἁπλῶς «ὅσον τις εἶδεν», ἀλλὰ «ὅσον εἶδεν ἠεροειδές» καὶ «καθήμενος ἐν σκοπιᾷ» καὶ «βλέπων εἰς πόντον». Ὁ γὰρ τοιοῦτος εἰς πολὺ ἂν ἀέρος βλέποι διάστημα, [ἐν ἡμέρᾳ δηλαδὴ ἀνεφέλῳ. εἰ γάρ τοι μὴ ἀέρα καθαρὸν ὁρᾷ, μηδὲ ἐκ περιωπῆς, ἀλλά ποθεν κάτωθεν μηδὲ διὰ πελάγους, οὐ τοσοῦτον ἂν ὀφθαλμοῖς ἴδοι.] (v. 773) Ὅτι ἐν τῷ «Τροίην ποταμώ τε ῥέοντε» ἀπισχυρίσαιτο ἄν τις ἀργὸν κεῖσθαι περιττῶς τὸ ῥέοντε πρὸς ἔπους ἐντέλειαν, εἰ μὴ ἄρα βούλεται δηλῶσαι ποταμοὺς οὐ λειψυδροῦντας ἀλλὰ πλήθοντας. (v. 774) Ὅτι τὸ ἧχι, τουτέστιν ὅπου, «ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος», Ἀλκμανικὸν σχῆμα λέγεται, οὐχ' ὅτι Ἀλκμὰν εὗρε τοῦτο, ἀλλὰ διότι ἐκεῖνος αὐτῷ ἔχαιρε μάλιστα, μέσον δύο ὀνομάτων τιθεὶς ῥῆμα τὸ μετ' αὐτὰ κεῖσθαι ὀφεῖλον. καλεῖται δὲ τὸ σχῆμα τοῦτο καὶ προεπίζευξις. Τοιοῦτον καὶ τὸ «ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι Κωκυτός τε». Καιριωτάτη δὲ λέξις κἀνταῦθα τὸ συμβάλλειν ἐπὶ μίξεως ποταμῶν, οὐχ' ἥκιστα δὲ καὶ ἐπὶ στρατευμάτων. Λέγεται δ' ἐκ τοῦ τοιούτου ῥήματος τροπικῶς ξυμβολή καὶ ἡ ἐκ κοινοῦ, καθ' Ἡσίοδον εἰπεῖν, δαπάνη. ὅθεν καὶ ἀξύμβολον δεῖπνον, εἰς ὅπερ οὐδὲν δεδαπάνηκεν ὁ φαγών. (v. 776 s.) Ὅτι λύσασα τοὺς ἵππους ἐξ ὀχέων Ἥρα ἠέρα πουλὺν ἔχευε περὶ αὐτούς, ὡσὰν μὴ ὁρῶνται. «τοῖσι δ' ἀμβροσίην Σιμόεις ἀνέτειλε νέμεσθαι». Αὐτὴ δὲ καὶ ἡ Ἀθηνᾶ βήτην, ὅ ἐστιν ἔβησαν, «τρήρωσι πελειάσιν ἴθματα ὁμοῖαι», ἤγουν ὅμοιαι κατὰ τὰ κινήματα περιστεραῖς, ὧν τὰ ἴχνη ἀφανῆ εἶναι ἱστοροῦσιν οἱ παλαιοὶ καὶ οὐ κατὰ λόγον τοῦ μεγέθους διηρθρωμένα. (v. 777) Ὅρα δὲ ὅτι ὁ μῦθος τοῖς δαιμονίοις ἵπποις αὐτόματον ἀμβροσίαν παραβάλλει καὶ ταύτην οὐ φύεσθαί φησι— Τοῦτο γὰρ ταπεινὸν εἰπεῖν—, ἀλλ' ἀνατέλλειν ἐκ γῆς. σεμνοτέρα γὰρ καὶ θειοτέρα ἡ τοιαύτη λέξις. Ξηρὰ δὲ κἀνταῦθα βρῶσις ἡ ἀμβροσία. εἶδαρ γάρ φησιν, οὐ μὴν ποτόν. [Εἰ μὴ ἄρα καὶ αὕτη δροσερόν τι κρᾶμα ἦν πρὸς ὁμοιότητα τοῦ Ὁμηρικοῦ κυκεῶνος, ὃς ἔκ τε στερεῶν ἔκ τε ὑγρῶν ἐκέκρατο.

2.201 ] (v. 778) Αἱ δὲ πελειάδες εἶδός τι περιστερᾶς. Τὸ δὲ ἴθμα οὐ σύνηθες ὂν φράζεσθαι ἐκ τοῦ ἰέναι γίνεται πλεονασμῷ τοῦ θῆτα, [ὡς καὶ ἐν τῷ μηνιθμός καὶ παρὰ Κοΐντῳ δὲ ὠρυθμός. Τὸ μέντοι διὰ τοῦ ς ἵσμα, ὃ καὶ δασύνεται, ἵδρυμα δηλοῖ παρὰ Λυκόφρονι, ἀπὸ τοῦ ἵζω γενόμενον.] (v. 776) Ἰστέον δὲ ὅτι οἰκεῖον τῇ Ἥρᾳ τὸ ἠέρα πουλὺν χεύειν, περὶ ἧς ἀλλαχοῦ ῥηθήσεται, ὅτι ἠέρα πίτνα πρόσθε βαθεῖαν, ἀορασίαν δηλαδή τινα ἐξ ὁμίχλης, ἥτις ἐπιταθεῖσα καὶ νυκτὶ ἔοικε. Θηλυκοῦ δὲ γένους Ἰωνικῶς κἀνταῦθα εἶναί φασιν οἱ παλαιοὶ τὸ ἠέρα πουλύν. [Τοιοῦτον δέ που καὶ τὸ «θῆλυς ἐέρση» καὶ «ἡδὺς ἀϋτμή».] (v. 780—3) Ὅτι τοὺς περὶ τὸν Διομήδην ἐπαινῶν φησιν, ὡς πλεῖστοι καὶ ἄριστοι ἕστασαν περὶ αὐτόν «λείουσιν ἐοικότες ὠμοφάγοισιν ἢ συσὶ κάπροισι, τῶν τε σθένος οὐκ ἀλαπαδνόν». Καὶ σημείωσαι καὶ ἐνταῦθα τὴν συντομίαν τῶν παραβολῶν, καὶ ὅτι καλῶς εἶπε προσθεὶς τὸ κάπροις. οὐ γὰρ ἁπλῶς οἱ σύες ἄλκιμοι, ἀλλὰ οἱ κάπροι. τὰ δὲ ἔπη ταῦτα χρήσιμα καὶ εἰς ἐγκώμιον παρατάξεως. (v. 784—6) Ὅτι στᾶσα ἡ Ἥρα ἐβόησε «Στέντορι εἰσαμένη», ὅ ἐστιν ὁμοιωθεῖσα, «μεγαλήτορι, χαλκεοφώνῳ, ὃς τόσον αὐδήσασκεν, ὅσον ἄλλοι πεντήκοντα». Καὶ σημείωσαι τὴν τοῦ Στέντορος μεγαλοφωνίαν. Φασὶ δὲ αὐτόν τινες μὲν Ἀρκάδα, τινὲς δὲ Θρᾷκα εἶναι, Ἑρμῇ δὲ περὶ μεγαλοφωνίας ἐρίσαντα ἀναιρεθῆναι. εὑρεῖν δὲ αὐτὸν λέγουσι καὶ τὴν ἐκ κόχλου βαφὴν ἢ μᾶλλον τὴν διὰ κόχλου βοὴν ἐν ταῖς μάχαις. Ἄλλοι δέ φασιν ἐν πολλοῖς τῶν ἀντιγράφων μὴ κεῖσθαι τὸν τελευταῖον περὶ Στέντορος στίχον τὸν περὶ τῆς φωνῆς διὰ τὴν ὑπερβολήν. Μέμνηται δὲ καὶ Ἡρόδοτος εὐρυβόα τινὸς φωνοῦντος ὑπὲρ τοὺς τότε ἀνθρώπους, λέγων ὡς ἦν περὶ Δαρεῖον ἀνὴρ Αἰγύπτιος φωνέων μέγιστον ἀνθρώπων. Πάνυ δὲ παρατετηρημένον τὸ «χαλκεοφώνῳ», οὐ διὰ τὸ στερρόν, ὅπερ ἀλλαχοῦ φωνὴν εἶπεν ἄρρηκτον, ἀλλὰ διὰ τὸ ἐξάκουστον τῆς βοῆς. Ἠχητικώτατος γὰρ ἐν μετάλλοις χαλκός, διὸ καὶ ἤνοπα λέγει ὁ ποιητὴς χαλκόν, ὡς ἀλλαχοῦ φανήσεται.

2.202 Τὸ δὲ κύων χαλκεόφωνος καὶ ἕτερον ἔχει λόγον κατὰ ποιότητα φωνῆς, ὁποία καί τισιν ἀνθρώποις καὶ πτηνοῖς δὲ ἐμφαίνεται. [(v. 786) Προσφυῶς δὲ Ὅμηρος μὴ ἔχων ἀριστείαν τινὰ τῇ Ἥρᾳ προσάψαι ὡς ἀέρι, ποιεῖ γοῦν αὐτὴν μέγα βοῶσαν καί, καιρίως εἰπεῖν, Στεντόρειον, ἐπεὶ πᾶσα φωνὴ ἀέρος ἐστὶ πληγὴ ἢ πεπληγμένος ἀήρ.] (v. 787) Ὅτι γοργότης ἐννοιῶν ἐν τῷ «αἰδώς, Ἀργεῖοι, κάκ’ ἐλέγχεα, εἶδος ἀγητοί», διότι καιρὸς ἐνταῦθα ἦν τῇ λεγούσῃ Ἥρᾳ κατεπείξεως καὶ βραχυλογίας. Διὸ σὺν τῷ ἀσυνδέτῳ καὶ ἐλλειπτικῶς εἶπεν «αἰδώς Ἀργεῖοι», λείπει γὰρ τὸ ἐστίν. Ὀνειδίζει δέ, εἰ μὴ αἰδοῦνται ῥαθυμοῦντες, ἀλλὰ ἐλέγχουσιν, ἤτοι αἰσχύνουσι, τὸ εἶδος τοῖς ἔργοις. (v. 788—91) Ὅτι κατὰ τὸν τῆς Ἥρας λόγον «ὄφρα μὲν ἐς πόλεμον πωλέσκετο Ἀχιλλεύς, οὐδέ ποτε Τρῶες πρὸ πυλάων Δαρδανιάων οἴχνεσκον», ἤγουν ἤρχοντο, «κείνου γὰρ ἐδείδισαν ὄβριμον ἔγχος», αὐτοῦ δὲ μηνίσαντος ἑκὰς πόλιος κοίλης ἐπὶ νηυσὶ μάχονται. Καὶ ὅρα ὡς δεξιώτατα καὶ ἐνταῦθα τὸν ἀκροατὴν εἰς συνήθη ἀνάμνησιν ἄγει τοῦ Ἀχιλλέως. (v. 788) Ψευδοπαρήχησις δὲ τὸ «ἐς πόλεμον πωλέσκετο». (v. 789) Αἱ δὲ πολλαχοῦ δηλούμεναι Δαρδάνιαι πύλαι ἐπωνομάζοντο μὲν τῷ ἀρχαίῳ Δαρδάνῳ, τῷ τοῦ Πριάμου προγόνῳ, ἐλέγοντο δὲ καὶ Σκαιαί, ὡς ἀλλαχοῦ εἴρηται. (v. 791) Ἔοικε δὲ ὁ Ἑλληνικὸς ναύσταθμος πόρρω τῆς πόλεως εἶναι, ὡς δηλοῖ τὸ ἑκάς, οὗ διασαφητικὸν τὸ «κοίλαις ἐπὶ ναυσίν». Ἰστέον δὲ ὅτι ὁ Γεωγράφος τοπογραφῶν τὸ Ἑλληνικὸν ναύσταθμον λέγει, ὅτι τὸ ναύσταθμον πρὸς τῷ Σιγείῳ ἄλλο ὂν παρὰ τὸν Ἀχαιῶν λιμένα, καὶ ὅτι Σίγειον πόλις κατεσπασμένη, ἔνθα καὶ τὸ ναύσταθμον καὶ ὁ Ἀχαιῶν λιμὴν καὶ τὸ Ἀχαϊϊκὸν στρατόπεδον.

2.203 Ἀποφαινόμενος δὲ καὶ μὴ κατὰ τὸ ὕστερον Ἴλιον ἀφεστάναι τῆς Ἑλληνικῆς ναυστάθμου τὸ παλαιὸν Ἴλιον λέγει πρὸς ἄλλοις καὶ ὅτι τὸ ναύσταθμον οὕτω πλησίον ἐστὶ τῆς νῦν πόλεως, ὥστε θαυμάζειν ἄν τινα τῶν μὲν Ἑλλήνων ἀπόνοιαν, εἴπερ τοσοῦτον χρόνον ἀτείχιστοι ἦσαν πλησίον οὔσης τοιαύτης πόλεως, τῶν δὲ Τρώων ἀψυχίαν, εἰ γενομένου μὲν τείχους τοιαῦτα ἤνυσαν, ἀτείχιστον δὲ τὸ ναύσταθμον ἔχοντες οὐδὲν ἐποίουν. (v. 793—8) Ὅτι ἐπορούειν οὐ

μόνον τὸ πολεμικῶς ἐφορμᾶν, ἀλλ’ ἔστιν οὗ καὶ προσηνῶς. Ἀθηνᾶ γοῦν Τυδείδῃ ἐπόρουσεν, ἤγουν ἁπλῶς εἰς αὐτὸν ἦλθεν, ὅτε καὶ εὗρεν αὐτὸν «ἕλκος ἀναψύχοντα, τό μιν», ἤγουν καθ’ ὃ αὐτόν, «βάλε Πάνδαρος ἰῷ. ἱδρὼς γάρ μιν ἔτειρεν ὑπὸ πλατέος τελαμῶνος ἀσπίδος εὐκύκλου», ἢ ἀμφιβρότης. «τῷ», ἤγουν ᾧτινι, «τείρετο», ἢ τρίβετο, «κάμνε δὲ χεῖρα, ἂν δ’ ἴσχων τελαμῶνα», τουτέστιν ἀνέχων, ἀνατείνων, «κελαινεφὲς αἷμ’ ἀπομόργνυ», ὅ ἐστιν ἀπέμασσεν, ἀπεπίεζε, περὶ οὗ προείρηται. (v. 800 s.) Καὶ τοιούτῳ λόγῳ ἡ Ἀθηνᾶ τὸν Διομήδην ἀπόμαχον ἑστῶτα εὑροῦσα ὠνείδισεν, ὑπειποῦσα, ὡς ἄρα «ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς. Τυδεύς τοι μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής». (v. 802—13) Εἶτα δεικνῦσα τὸ τοῦ Τυδέως θάρσος λέγει, ὡς ἐκεῖνος μὲν καὶ ἐπεχόμενος ὑπ’ ἐμοῦ πολεμεῖν ὅμως προκαλούμενος τοὺς Θηβαίους ἠρίστευε, σὺ δὲ καὶ ἐρεθιζόμενος ὑπ’ ἐμοὶ φύλακι ὄκνον ἔχεις. ἐξ οὗ συνάγει μὴ Τυδέως ἐκγεγεννῆσθαι αὐτόν, πιθανῶς κεφαλαιωσαμένη τὴν ἀνομοιότητα ἐκ τοῦ ἐκεῖνον μὲν Ἀθηνᾶς κωλυούσης μάχεσθαι καὶ νικᾶν, τοῦτον δὲ κελευόμενον ἀνηκουστεῖν. Εἰσὶ δὲ τὰ τῆς Ἀθηνᾶς τοιαῦτα «καί ῥ’ ὅτε πέρ μιν ἐγὼ πολεμίζειν οὐκ εἴασκον οὐδ’ ἐκπαιφάσσειν, ὅτε τ’ ἤλυθε νόσφιν Ἀχαιῶν ἄγγελος ἐς Θήβας, δαίνυσθαί μιν ἄνωγον ἐνὶ μεγάροισιν ἕκηλον. αὐτὰρ ὃ θυμὸν ἔχων ὃν καρτερὸν ὡς τὸ πάρος περ κούρους Καδμείων προκαλίζετο, πάντα δ’ ἐνίκα ῥηϊδίως. τοίη τοι ἐγὼν ἐπιτάρροθος ἦα. σοὶ δ’ ἤτοι μὲν ἐγὼ παρά θ’ ἵσταμαι ἠδὲ φυλάσσω, καί σε προφρονέως κέλομαι Τρώεσσι μάχεσθαι· ἀλλά σευ ἢ κάματος πολυάϊξ γυῖα δέδυκεν, ἤ νύ σέ που δέος ἴσχει ἀκήριον· οὐ σύ γ’ ἔπειτα Τυδέος ἔκγονός ἐσσι δαΐφρονος Οἰνείδαο».

2.204 [Τούτων δὲ πολλὰ παραπλακῆναι δύναταί ποτε εἰς λόγον τὸν περὶ ἀνδρὸς εὐγενοῦς μὲν καὶ ἀνδρείου, ὀκνοῦντος δὲ εἰς ἔργον σπουδαῖον κατά τινα περιπέτειαν.] Ἐν τούτοις δὲ φαίνεται ὅτι τε οὐκ ἐνστατικῶς ἡ Ἀθηνᾶ τὸν Τυδέα ἐκώλυε πολεμεῖν, ἀλλ’ ἐπεῖχε κηδεμονικῶς, καὶ ὅτι τὰ κατὰ Θήβας ὁ Τυδεὺς τὴν μὲν ἀρχὴν θρασύτερον διεχειρίσατο, εἶτα συνετώτερον, ὅτε πρὸς αὐτοῖς τοῖς ἔργοις ἦν. διὸ καὶ εὐτυχῶς αὐτῷ ἀπέβη ἐκεῖνα. καὶ οὕτω μὲν πρὸς τὸν Διομήδην ἡ Ἀθηνᾶ. (v. 817—9) Ἐκεῖνος δέ, ἐφ’ οἷς ὠνείδισται, φησίν, ἀρξάμενος ἐκ τῶν τοῦ ὀνειδισμοῦ τελευταίων διὰ συνέχειαν λόγου, ὡς οὔτε δέος ἔχει αὐτὸν οὔτε ὀκνεῖ, ἀλλὰ μέμνηται ὧν ἔφθη προεντείλασθαι αὐτῷ ἡ Ἀθηνᾶ κωλύουσα θεομαχεῖν. Καὶ οὕτω ῥητορικῶς τὸ αἴτιον περιτρέπει τῇ μυθικῇ Ἀθηνᾷ, τὴν αἰτίαν, καθά φασιν οἱ ῥήτορες, εἰς αὐτὴν μεθιστῶν ὡς κωλύουσαν, καὶ λεληθότως κατασκευάζει μήτε ἡλαττῶσθαι τοῦ πατρός, ἀλλὰ καὶ θεοφιλέστερος ἐκείνου εἶναι, εἰ Τυδεὺς μὲν κωλυόμενος οὐχ’ ὑπήκουεν, οὗτος δὲ μέμνηται τῆς μὴ ἐώσης θεοῖς ἀντικρὺ μάχεσθαι καὶ πείθεται αὐτῇ. (v. 817—24) Ἔχει δὲ οὕτω καὶ τὰ τοῦ Διομήδους «Γινώσκω σε, θεά, θύγατερ Διός. τῷ τοι προφρονέως ἐρέω ἔπος οὐδ’ ἐπικεύσω. οὔτε τί με δέος ἴσχει ἀκήριον οὔτε τις ὄκνος, ἀλλ’ ἔτι σῶν μέμνημαι ἐφετμέων, ἃς ἐπέτειλας. οὔ μ’ εἴας μακάρεσσι θεοῖς ἀντικρὺ μάχεσθαι τοῖς ἄλλοις, ἀτὰρ εἴ κε Διὸς θυγάτηρ Ἀφροδίτη ἔλθῃς’ ἐς πόλεμον, τήν γ’ οὐτάμεν ὀξέϊ χαλκῷ. τοὔνεκεν αὐτός τ’ ἀναχάζομαι ἠδὲ καὶ ἄλλους Ἀργείους ἐκέλευσα ἀλήμεναι ἐνθάδε πάντας. γινώσκω γὰρ Ἄρην μάχην ἀνακοιρανέοντα. [Χρήσιμα δέ τινι καὶ ταῦτα κατὰ καιρὸν παραπλεκόμενα καὶ παρῳδούμενα, ὅτε αὐτὸς μὲν καλῶς εὐλαβεῖται ποιεῖν τι, πάσχει δὲ μέμψιν, ὡς ἢ δειλὸς ἢ ὀκνηλός.

2.205 ] Καὶ ὅρα τό τε φιλάλληλον τοῦ Διομήδους, εἴπερ οὐ μόνον αὐτὸς ἀπέχεται οὗπερ ἡ Ἀθηνᾶ παρῄνεσεν, ἀλλὰ καὶ τοὺς ἄλλους τὸ αὐτὸ ποιεῖν ἐθέλει, καὶ ὅτι καὶ διὰ τῆς Ἀθηνᾶς ὁ ποιητὴς δηλοῖ τὸ τῆς συμβουλῆς ἐν πολλοῖς οὐκ εὐσυντέλεστον, καὶ ὡς αἱ δεύτεραί πως φροντίδες σοφώτεραι. ἡ γὰρ κωλύσασα τὸν Διομήδην μηδενὶ θεῷ ἐπιθέσθαι ὅτι μὴ μόνῃ τῇ Ἀφροδίτῃ, νῦν μέμφεται αὐτὸν ὅτι τὸν Ἄρην ὑποστέλλεται. (v. 796 s.) Ὅρα δὲ ἐν τῷ εἰρημένῳ χωρίῳ καὶ ὅπως ὁ ποιητὴς ἑρμηνεύων τὸν ῥηθέντα τελαμῶνα ἐπήνεγκε τὸ ἀσπίδος, ἵνα νοοῖτο νῦν τελαμὼν ὁ ταύτης ἀναφορεύς, οὐ μὴν ὁ τῆς σπάθης. (v. 800) Τὸ δὲ «ὀλίγον» ταὐτόν ἐστι νῦν τῷ ἧττον, αὐτὸ δὲ ἀντὶ τοῦ οὐδαμῶς. (v. 812 s.) Διὸ ὑποκαταβᾶσά φησιν «οὐ σύ γ’ ἔπειτα Τυδέος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔκγονός ἐσσι», οὐκ ὀλίγην εἰποῦσα ὁμοιότητα, πάντῃ δὲ ἀποφήσασα. Ἐντεῦθεν δὲ καὶ Σοφοκλῆς λαβὼν λέγει βαιὸν ἐντρέπεσθαι τὸ οὐδ' ὅλως ἐπιστρέφεσθαι, καὶ μείων λόγος ἀντὶ τοῦ οὐδείς. Σημείωσαι δὲ ὅτι καὶ ἐν τούτοις ἡ τῷ Διομήδει λαλοῦσα Ἀθηνᾶ ἡ φρόνησίς ἐστιν, ἡ ἔμφυτος αὐτῷ καὶ ἀεὶ συμπαρομαρτοῦσα, δι' ἧς ἀναπολεῖ τὰ τοῦ πατρὸς καὶ ἐκεῖθεν εἰς μάχην ἐρεθίζεται καὶ μέμφεται ἑαυτόν, ὅτι καὶ βραχὺ γοῦν τι ἀνεπαύσατο, [καὶ μεμψάμενος, εἶτα καὶ ἀναπολήσας εἰς νοῦν, οἷα μεγάλα κατόρθωσε, σπεύδων κατὰ συνασπισμῶν τεραστίων καί, ὡς εἰπεῖν, δαιμονίων ἐρεθίζει ἑαυτὸν ἀγχινούστατα καὶ κατὰ τοῦ φρικτοῦ Ἄρεος.] (v. 801) Ἀνδρὶ δὲ βραχυήλικι μέν, ἐνεργεστάτῳ δέ, πρέπει τὸ «μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής», ὁποῖον ἡ ἱστορία τὸν Τυδέα παραδίδωσιν. Ὁ δὲ τοιοῦτος μικρὸς καὶ ὀλίγος λέγοιτ' ἄν. οὕτω γὰρ ἐν Ὀδυσσείᾳ ὁ Κύκλωψ ὀλίγον τὸν Ὀδυσσέα φησὶ [καὶ Ἡσίοδος δὲ πλοῖον ὀλίγον τὸ μικρὸν ἐν τῷ «νῆ' ὀλίγην αἰνεῖν», ἤγουν μικράν, διαστελλομένην πρὸς τὴν μεγάλην. διὸ ἐπάγει «μεγάλῃ δ' ἐνὶ φορτία θέσθαι».

2.206 ] Ἀντίκειται δὲ τῷ μὲν μικρῷ ὁ μέγας—Οὕτω γὰρ ὁ Σαλαμίνιος Αἴας μέγας καὶ μείζων ἐλέγετο —, τῷ δὲ ὀλίγῳ ὁ πολλός κατὰ τὸ «πολλὸς γάρ τις ἔκειτο», τουτέστι μέγας. Εἰ δὲ καὶ ἐν πολλοῖς ὁ μικρὸς καὶ ὀλίγος καὶ τυτθὸς εἰς ἶσον ἄγονται πολυωνυμίας λόγῳ, ἀλλ' ἐστὶν ἐν αὐτοῖς ἄλλως πολλὴ διαφορά. μικρὸς μὲν γὰρ Τυδεὺς ἢ εἴ τις ἄλλος, ὀλίγος δὲ ὄχλος, τυτθὸς δὲ παῖς καὶ βρέφος τυτθὸν τὸ ἐπιτίτθιον. Ὅτε μέντοι πολυωνυμοῦσι, μετ' αὐτῶν ἐστι καὶ τὸ βραχύ καὶ τὸ μέτριον, [καὶ πρὸ αὐτῶν τὸ μικκός, ὅπερ ἐστὶ μικρός, ὀξυνόμενον μὲν κατὰ τὸ μικρός, διπλάζον δὲ τὸ κάππα, ὡς δῆθεν Αἰολικόν, κατὰ τὸ Ἰκκός, ὅπερ ἐστὶ κύριον ὄνομα σοφοῦ ἰατροῦ Ῥηγίνου, ἐξ οὗ παροιμία τὸ «δεῖπνον Ἰκκοῦ», διὰ τὸ εὐτελὲς τῆς ἐκείνου ζωῆς. Ἐκ δὲ τοῦ ῥηθέντος μικκοῦ, ὅ ἐστι μικροῦ, ὑποκοριστικὸν ὁ μικκύλος. Ὅθεν μικκύλα χερύδρια αἱ παιδικαὶ μικραὶ χεῖρες παρὰ τῷ Συρακουσίῳ Μόσχῳ.] Δοκεῖ δὲ τὸ «μικρὸς ἔην δέμας» πρὸς διαστολὴν εἰρῆσθαι τῆς κατ' ἄλλο τι μικρότητος, [οἷον τῆς κατά τι μέλος ἢ ψυχῆς ἀρετήν. εἰκὸς γὰρ εἶναί τινα βραχύχειρα, ᾧ ἀνάπαλιν ἔσχεν ὁ μακρόχειρ Ἀρταξέρξης. Οὕτω δέ πως καὶ μικροψυχεῖ τις, καὶ ἄλλος διεκπεσὼν τοῦ μεγαλοπρεπὴς εἶναι μικροπρεπὴς λέγεται.

2.207 ] Ἐκ τοῦ μείων δὲ τὸν μικρὸν παράγουσιν οἱ παλαιοί. Χορηγία δέ τις ἐτυμολόγοις καὶ τὸ «Τυδεὺς μικρὸς ἔην», οἱ ἐκ τοῦ τυτθόν, ὅ ἐστι μικρόν, τὸν Τυδέα παρωνυμοῦσι. Μώμου δέ τι ἔχειν φαίνεται καὶ τὸ μικρόν τινα εἶναι τὸ δέμας. διὸ καὶ ὁ ποιητὴς ἔοικε λέγειν ὡς, εἰ καὶ μὴ ἀρετὴν κατὰ σῶμα εἶχε Τυδεύς, ἀφανὴς ὢν καὶ οἷον κατακεχωσμένος, τῇ γοῦν ἀνδρίᾳ περιεβλέπετο. ὁ μέντοι Διομήδης εὐμεγεθέστερος ὑπονοεῖται, ὡς εἰκός, εἶναι τοῦ πατρός. (v. 800 s.) Τὸ δὲ Τυδεύς κείμενον ἐν τέλει στίχου καὶ πάλιν κατάρχον ἑτέρου στίχου, ὡς προέκκειται, δόξοι μὲν ἂν ἐπαναληπτικῶς εἰρῆσθαι, ποιεῖ δὲ μᾶλλον σχῆμα ἀντιστροφῆς κατὰ τοὺς ῥήτορας. Ὅρα δὲ καὶ ὡς τὴν Θηβαϊκὴν ἱστορίαν τόποις διαφόροις ὁ ποιητὴς μερίσας ἐν μὲν τῇ βασιλικῇ ἐπιπωλήσει ἐπλάτυνεν αὐτήν, ἐνταῦθα δὲ βραχυλογεῖ. (v. 803) Περὶ δὲ τοῦ ἐκπαιφάσσειν δηλοῦται ἀλλαχοῦ. (v. 804) Τὸ δὲ ἐλθεῖν ἄγγελον τὸν Τυδέα ἐς Θήβας ἄλλως ἔφρασε φθάσας Ὅμηρος ἐν τῷ «ἀγγελίην ἐπὶ Τυδῆ στεῖλαν Ἀχαιοί». (v. 806) Τὸ δὲ θυμὸν ἔχειν καρτερὸν συντίθησιν τὸν ἀλλαχοῦ καρτερόθυμον. (v. 807) Τοὺς δὲ Καδμείους ἀνωτέρω Καδμείωνας ἔφη κατὰ παρωνυμίαν τὴν ἀλλαχόθι δηλωθεῖσαν. Τὸ δὲ «πάντα ἐνίκα» διχῶς κἀνταῦθα νοεῖται. ἢ γὰρ πάντα τὸν ἀντιστάντα ἢ πάντα τὰ ἆθλα. (v. 809) Τὸ δὲ παρίστασθαι οὐκ ἐξ ἀνάγκης αἰεὶ ἐπικουρίαν δηλοῖ. διὸ ἐδέησεν ἐνταῦθα προσθήκης διὰ σαφήνειαν ἐν τῷ «παρά θ' ἵσταμαι ἠδὲ φυλάσσω». Ἔστι δὲ τὸ τοιοῦτον παρίστασθαι ὅμοιόν τι τῷ προΐστασθαι. (v. 810) Τὸ δὲ «προφρονέως» δὶς ἐνταῦθα ῥηθὲν ποιητικώτερόν ἐστι, κοινότερον δὲ καὶ ἀναλογώτερον ἀπαθῶς τὸ προφρόνως.

2.208 (v. 811) Τὸ δὲ πολυάϊξ καίριον ἐπίθετον καμάτου πολεμικοῦ, ἐν ᾧ αἱ πολλαὶ κινήσεις ἀνιᾶσι τὸν μαχητήν. (v. 812) Δέος δὲ ἀκήριον τὸ ἀψυχοποιόν, ταὐτὸν δ' εἰπεῖν νεκροποιόν. Καί εἰσι

τρεῖς αὗται λέξεις ἰσοδύναμοι, καὶ τέταρτον τὸ νῶκαρ. ἐν αἷς ἡ ἐτυμολογία στέρησιν ἀναπτύσσει ψυχῆς καὶ κῆρος, ἃ ταὐτὸν σημαίνουσιν. Ἐν τούτοις δὲ καὶ ὁρισμὸς ὑπανακύπτει ὄκνου, ὡς δοξάζοντος Ὁμήρου ὄκνον εἶναι τὴν μετὰ κάματον ἀργίαν. (v. 813) Ὅρα δὲ καὶ τὸ «Τυδέος ἔκγονος» διὰ τοῦ κ γραφέν, ὅπερ διασαφῶν ὁ ποιητὴς μετ' ὀλίγα ἐν τοῖς περὶ τοῦ Ἄρεός φησιν «ἐκ γὰρ ἐμεῦ γένος ἐσσί», τρόπον τινὰ διὰ τούτου καὶ τὸν Ἄρην Διὸς ἔκγονον λέγων. καὶ μετ' ὀλίγα «εἰ δέ κεν ἐξ ἄλλου θεῶν ἐγένου». Ὁ μέντοι διὰ τῶν δύο γ ἔγγονος οὔτε Ὁμηρικός ἐστι καὶ δηλοῖ υἱωνὸν παρὰ τοῖς μεθ' Ὅμηρον. (v. 815) Τὸ δὲ «γινώσκω σε θεά» ὑπόμνησίς ἐστι τοῦ ἔτι ἐξ ὀφθαλμῶν ἀφῃρῆσθαι τὴν ἀχλὺν τῷ ἥρωϊ, ὡς οὕτω γινώσκεσθαι ὑπ' αὐτοῦ «ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα». Εἰκὸς δὲ καὶ κατὰ τὸν Σοφόκλειον Ὀδυσσέα εὐμαθὲς εἶναι καὶ τῷ Διομήδει τὸ τῆς Ἀθηνᾶς φώνημα. (v. 823) Ἀλήμεναι δὲ, ταὐτὸν δ' εἰπεῖν ἀλῆναι, δηλοῖ μὲν τὸ συστραφῆναι, ἀφίλητον δὲ πεζολόγοις ἔρριπται.

2.209 ὅθεν δὲ γίνεται, φανεῖται ἀλλαχοῦ. (v. 824) Τὸ δὲ «γινώσκω Ἄρηα», ὡς καὶ πρὸ αὐτοῦ τὸ «γινώσκω σε θεά», λεχθέντα οὕτω καθ' αὑτὰ δηλοῦσιν, ὅτι καὶ πρὸ τούτων ἐν τῷ Κύπριν Διομήδης ἐπῴχετο γινώσκων «ὅ τ' ἄναλκις θεὸς ἦν», ὀρθῶς ἐτίθετο στιγμὴ εἰς τὸ γινώσκων, εἶτα ὡς ἀπ' ἄλλης ἀρχῆς ἀνεγινώσκετο τὸ «ὅ τ' ἄναλκις ἦν», καθὰ καὶ ἐκεῖ γέγραπται. Κοιρανέων δὲ καὶ ἐνταῦθα ὁ ἀρχικῶς διατατtόμενος, ὡς καὶ πρὸ τούτων Ὀδυσσεὺς κοιρανέων που δίεπε στρατόν. Οὕτω καὶ παρὰ Σοφοκλεῖ ἑτεροιοῦται τοῦ τυραννεῖν τὸ τύραννα δρᾶν, καθὰ καὶ τοῦ βασιλεύειν ἑτεροῖον ἂν εἴη τὸ βασιλικὰ πράττειν. (v. 827—34) Ὅτι ὀτρυντικὸν εἰς θάρρος μάχης τὸ «μήτε σύ γε Ἄρηα τό γε δείδιθι μήτε τινὰ ἄλλον» καὶ ἑξῆς. Ἔνθα καὶ τὸ «ἀλλ' ἄγ' ἐπ' Ἄρηϊ πρώτῳ ἔχε ἵππους», ἤγουν ἔλαυνε, ὃ πολλαχοῦ κεῖται. (v. 827) Τὸ δὲ δείδιθι χρηστόν ἐστιν εἰς μέτρον δακτυλικόν, ἄλλως δέ γε κοινότερον δέδιθι λέγεται ἐν τρισὶ βραχείαις λέξεσι. [Μεταπλασμὸν δὲ ἔπαθε καὶ τὸ δείδιθι. ὡς γὰρ ἴε ἴθι, κλῦε κλῦθι, οὕτω δέδιε δέδιθι καὶ ἐπενθέσει δείδιθι.] Ὅτι δὲ τὰ συχνὰ βραχέα οὐ μόνον ἐπενθέσεις διχρόνων πάσχουσι κατὰ τὸ Μούλιος, δουράτεος, εἴριον, δείδιθι, καὶ τὰ τοιαῦτα, ἐν οἷς καὶ ὁδοιπόρος καὶ ὁδοιδόκος καὶ Πυλαιμένης καὶ τὰ κατ' αὐτόν, ἀλλὰ καὶ τροπὰς καὶ ἐκτάσεις καὶ συμφώνων πλεονασμούς, δῆλόν ἐστι. τροπὰς μέν, ὡς τὸ θεητόκος καὶ ὅσα τοιαῦτα ἐδηλώθη, ἐκτάσεις δέ, ὡς τὸ ὠλεσίκαρπος, διωλύγιον, ἐτώσιον, περιώσιον, πλεονασμοὺς δὲ συμφώνων, ὡς τὸ φερέσβιος, θεσπέσιος.

2.210 οὐκ ἄδηλον δὲ ὅτι καὶ τὸ η ἐν ἐνίοις ἐπεντεθὲν παχύνει τὴν τῶν βραχέων ἰσχνότητα, ὁποῖόν τι καὶ ὁ ἐπήβολος καὶ ὁ ἐπηετανός. (v. 830) Ὅτι τὸ σχεδόν καὶ σχεδίην λέγεται, οἷον «τύψον δὲ σχεδίην». Ἔστι δὲ ὀνοματικὸν ἐπίρρημα ἀπὸ τοῦ σχέδιος σχεδία, ἡ σύνεγγυς, ἵνα λέγῃ ἐλλειπτικῶς· τύψον σχεδίην τυπὴν ἢ πληγήν. καὶ ἔστιν ὅμοιον τῷ ἀμφαδίην ἐκ τοῦ ἀμφαδόν. (v. 831) Ὅτι τὸν θοῦρον Ἄρην προϊὼν ὁ Ζεὺς ἀλλοπρόσαλλον καλέσει. Ἐνταῦθα δὲ ἡ Ἀθηνᾶ ἐπὶ πλέον κακολογοῦσα σφοδρῶς κατὰ κόμματα λέγει αὐτὸν μαινόμενον, τυκτὸν κακόν, ἀλλοπρόσαλλον. Μαινόμενον μὲν διὰ τοὺς ἐν ταῖς μάχαις θυμούς, ἐξ ὧν καὶ ὁ ἀρειμάνιος εἴρηται. Καὶ γὰρ καὶ πρὸ ὀλίγου ἔφη «εἰ οὕτω μαίνεσθαι ἐάσομεν Ἄρηα», καὶ ἐν τοῖς ἑξῆς δὲ ἀκουσόμεθα «ὃ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶς», καὶ «ἢ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃ». Τυκτὸν δὲ κακόν, ὡς ὑφ' ἡμῶν αὐτῶν τευχόμενον καὶ μὴ φύσει ἡμῖν ἐγγινόμενον, καθὰ τὸ ἐσθίειν, τὸ πίνειν, τὸ ὑπνοῦν καὶ τὰ ἄλλα. —Ἡ γὰρ φύσις ἥμερον ἔτευξε ζῷον τὸν ἄνθρωπον, εἰ καὶ αὐτὸς ἑαυτὸν εἰς μάχιμον μετατεύχει καὶ κακοποιὸς δι' Ἄρεος γίνεται, ἀπειπάμενος τὸν ἀκάκητα Ἑρμῆν.

2.211 —Ἀλλοπρόσαλλον δὲ ὡς ἀστατοῦντα καὶ ἄλλοτε ἄλλῳ χαριζόμενον, (v. 832—4) ὡς δηλοῖ τὸ «ὃς πρῴην μὲν ἐμοί τε καὶ Ἥρῃ στεῦτο», ἤγουν ὑπισχνεῖτο, «ἀγορεύων Τρωσὶ μαχήσεσθαι, ἀτὰρ Ἀργείοισιν ἀρήξειν, νῦν δὲ μετὰ Τρώεσσιν ὁμιλεῖ, τῶν δὲ λέλασται», ἤγουν τῶν Ἀργείων ἢ ὧν ὑπέσχετο. ἤγουν, ὡς εἴρηται, ἀλλοπρόσαλλός ἐστι κατὰ τὸ φαινόμενον ὁ ἄλλος πρὸς

ἄλλον γινόμενος κατὰ τὴν Ὁμηρικὴν ἑρμηνείαν, καί, κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ἕτερον πρὸς ἕτερον διαβάλλων καὶ ἄλλοτε ἄλλῳ φίλος. Ἢ κατὰ ἀλληγορίαν, ὅτι οὐ τῶν αὐτῶν ἀεὶ ἡ νίκη ἐστὶν ἡ κατὰ πόλεμον, ἀλλ᾽ ἄλλοτε ἄλλῳ ἐκ πολέμου προστίθεται, γινομένη ἑτεραλκής. «Ξυνὸς γὰρ Ἐνυάλιος καί τε κτανέοντα κατέκτα», ὡς ἐν ἄλλοις λέγεται. Σὺ δ᾽ ἄν, ὦ οὗτος, ἀλλοπρόσαλλον ἐρεῖς καὶ ξυνὸν Ἐνυάλιον καὶ τὸν πολύφιλον καὶ κακόφιλον. καὶ ἄλλως δὲ ἀλλοπρόσαλλον ἐροῦμεν τὸν σκολιὸν ἢ καὶ κολακικόν. Εὐριπίδης δὲ τὸν Ὁμηρικὸν παραποιήσας νοῦν λέγει που δριμέως κοινὸν Ἐνυάλιον τὸν ἀδελφικόν, καθ᾽ ὁμοιότητα τοῦ «κοινὸν αὐτάδελφον κάρα».

2.212 [Σημείωσαι δὲ ὅτι ἐς τοσοῦτον φευκτέος ὁ καθ᾽ Ὅμηρον ἀλλοπρόσαλλος, ὥστε καὶ ὁ τοῦ μύθου Ζεὺς ἐν τῇ α ῥαψῳδίᾳ εὐλαβεῖται σκωφθῆναι τοιοῦτος, ἔνθα βαρὺ κρίνει, ὡς ἡ Ἥρα νεικεῖ αὐτόν «καί τέ φησι μάχῃ Τρώεσσιν ἀρήγειν», ὡς ἐκ τούτου ὑπονοεῖσθαι οὐκ ἀφυῶς ἀλλοπρόσαλλον καὶ τὸν Δία, ὅτε εἰς εἱμαρμένην ἐκληφθεὶς ἄλλοτε πρὸς ἄλλους ῥέπει καὶ αὐτὸς κατὰ τύχης μεταβολάς, οὐ μὴν ὡς μαινόμενος καὶ ὡς τυκτὸν κακόν.] (v. 835 s.) Ὅτι τὸ ἁπλῶς καταγαγεῖν τοῦ ἅρματος ἀφ᾽ ἵππων ὠθεῖν λέγει. Οὕτω γὰρ ἡ Ἀθηνᾶ τὸν Σθένελον ἀφ᾽ ἵππων ὦσε χαμᾶζε, χειρὶ πάλιν ἐρύσασα, ἤγουν εἰς τοὐπίσω ἑλκύσασα. Ἰστέον δὲ ὅτι καὶ τὸ χωρίον τοῦτο παντελῶς ἐστιν ἀναλληγόρητον καὶ ποιητικῇ μάλιστα τερατείᾳ πρέπον. οὐ γὰρ ἔστι νοεῖν ἱστορικῶς, ὅτι ὁ Σθένελος κατά τινα σύνεσιν κατῆλθε τοῦ ἅρματος, ὡς εἶναι τὸν Διομήδην παραιβάτην ἅμα τὸν αὐτὸν καὶ ἡνίοχον, εἰ μὴ ἄρα ἐστί τις θεραπεία τοῦ τοιούτου μύθου τὸ πᾶσαν οὕτω καταπραχθῆναι δεξιώτατα ὑπὸ Διομήδους τὴν διφρηλασίαν, ὡς μηδὲ προσλογισθῆναι τοῖς ἔργοις ὅλως τὸν ἡνίοχον Σθένελον. (v. 836) Ὅτι ἐν τῷ «ὃ δ᾽ ἂρ ἐμμαπέως ἀπόρουσε», τὸ ἐμμαπέως λέξις ἐστὶ ποιητική, δηλοῦσα τὸ σπουδαίως, οἱονεὶ ἁμεπέως, ἤγουν ἅμα ἔπει καὶ λόγῳ κατὰ Φιλόξενον, καὶ κατὰ μετάθεσιν ἐμμαπέως, ἵνα λέγῃ ὅτι κατέβη τοῦ ἅρματος ὁ Σθένελος ἅμα τῷ λαλούσης αἰσθέσθαι τῆς Ἀθηνᾶς.

2.213 (v. 837—9) Μεθὸ Ἀθηνᾶ μὲν «ἐς δίφρον ἔβαινε παραὶ Διομήδεα δῖον, μέγα δ᾽ ἔβραχε φήγινος ἄξων βριθοσύνῃ. δεινὴν γὰρ ἄγεν θεὸν ἄνδρα τ᾽ ἄριστον». Καὶ σημείωσαι τὸ ἔβραχεν ὡς οὐ μόνον ἐπὶ ὅπλων λέγεται, ἀλλ᾽ ἰδοὺ καὶ ἐπὶ ἄξονος βαρυνθέντος, ὥσπερ που καὶ ἐπὶ θυρέτρων εὐαρμόστων. Καὶ ἀπορεῖται μέν, πῶς βάρους αἰτία ἡ ἀβαρὴς Ἀθηνᾶ. Λύει δὲ αὐτὸ φιλοσόφως ὁ Σιμπλίκιος, τῇ αἰσθήσει προσχρώμενος εἰς λύσιν τῆς ἀπορίας. τὸ γὰρ νοητὸν ἀληθῶς μὲν ἀβαρές, βάρος δὲ ἔχειν φαίνεται, ὡς αἰσθητόν, ὅτε κατ᾽ αἴσθησιν ἐπιφαίνοιτο. (v. 838) Τὸ δὲ «φήγινος ἄξων» φιλοτίμως παρέρριψεν ὁ ποιητὴς ὡς τεκτονικὸν παράγγελμα, μονονουχὶ λέγων δεῖν φήγινον εἶναι τὸν τοιοῦτον ἄξονα, οὐ κατὰ τὴν Ἡσιόδου μικροπρέπειαν ἐν ἔργῳ τὰ τοιαῦτα παραγγέλματα θέμενος, ἀλλ᾽ αὐτὰ μὲν ἐπιτρέχων καὶ ἐν παρέργῳ τιθείς, τῶν δὲ μεγαλοπρεπῶν ἡρωϊκῶν καὶ καιρίων γινόμενος. Οἱ δὲ παλαιοὶ ἀντὶ τοῦ φήγινος πήδινος γράφουσιν, εἰπόντες ὅτι πῆδος εἶδος ξύλου. ὅθεν καὶ πηδὸς ἡ πλάτη, ὡς ἐκ τοιούτου ξύλου σκευασθεῖσα. (v. 839) Τῆς δὲ βριθοσύνης ἡ ἀναλογία κατὰ τὴν τοξοσύνην καὶ δρηστοσύνην καὶ παλαισμοσύνην καὶ τὴν τραγικὴν ἀπιστοσύνην καὶ βιότου ἀπειροσύνην. Τὸ δὲ «δεινὴν θεόν» χρήσιμόν ἐστι καὶ εἰς τὴν δεινὴν τῆς Ἀθηνᾶς αἰγίδα. (v. 840) Ὅρα δὲ ὡς παρὰ τὴν προδηλωθεῖσαν τοῦ σοφοῦ Νέστορος παραγγελίαν ἡ Ἀθηνᾶ εἰς τὸ τοῦ Διομήδους ἱκομένη ἅρμα οὐκ ἔγχει ὀρέγεται, ὡς ἐκεῖνος ἔφη, ἀλλὰ μάστιγα καὶ ἡνία λάζεται, ὅ ἐστι λαμβάνει. Αἴτιον δ᾽ ὅτι οὐ κατ᾽ ἄνθρωπον ἡ πρᾶξις, διὸ οὐδ᾽ ἀνθρωπίνως μεθοδεύεται. (v. 845) Ὅτι ἡ Ἀθηνᾶ ἔλαθε τὸν Ἄρην ἐν τῷ τοῦ Διομήδους ἅρματι οὖσα, διότι «δῦνεν Ἄϊδος κυνέην, μή μιν ἴδοι ὄβριμος Ἄρης». ἥτις μελαντάτη ὑπὸ τοῦ μύθου λέγεται εἶναι ὑπὲρ πᾶν, ὃ ἂν εἴπῃ τις, μέλαν. Διὸ καὶ πᾶς ἀφανὴς ὢν ἐν τῷ δολίως τι πράττειν καὶ οἷον ὑπὸ Ἅιδῃ καὶ τῷ ἐκεῖσε σκότῳ Ἅιδου λέγεται παροιμιωδῶς κυνέην φορεῖν. Ἔστι δὲ κατὰ τοὺς παλαιοὺς νέφος τι πυκνότατον ἡ τοῦ Ἅιδου

κυνέη, δι’ οὗ καὶ θεοὶ ἀφανεῖς ἀλλήλοις γίνονται, ὡς εἶναι ταὐτὸν κυνῆν Ἅιδου δῦναι καὶ ὑπὸ παχυτάτῳ νέφει γενέσθαι.

2.214 Ἴσως δὲ καὶ ἐκ τοῦ ὑπὸ γῆν ἀΐδου ἤτοι σκότου εἴρηται τὸ «δῦν’ Ἄϊδος κυνέην», ἣν δηλαδὴ περιβαλόμενός τις οὐκ ἂν ὁραθείη. Διὸ καὶ Ἀθηνᾶ ἔδυνεν αὐτήν, ἵνα μὴ αὐτὴν ἴδοι ὁ Ἄρης. Καὶ σημείωσαι ὅτι ἡ φύσει φωσφόρος Ἀθηνᾶ νῦν διὰ χρείαν ἐπικτήτῳ σκότῳ καλύπτεται. Δηλοῖ δὲ καὶ ταῦτα τὴν τῆς φρονήσεως φύσιν, ἥτις ἐν Ὀδυσσείᾳ μὲν ἐξέλαμψε δίκην φωτός, ἐνταῦθα δὲ ἑαυτὴν ὡς ἐν σκοτίᾳ ἐπέκρυψε. Σημείωσαι δὲ καὶ ὅτι ὥσπερ νῦν ἡ Ἀθηνᾶ ἑαυτὴν τῷ Ἄρει δοκεῖ διὰ σκοτεινοῦ νέφους ἐπικρύψαι—Τοῦτο γάρ, ὡς εἴρηται, ἦν ἡ τοῦ Ἅιδου κυνῆ—, οὕτω πρός τινα σαφήνειαν ὑπονοητικὴν τῆς τοιαύτης κυνέης καὶ ἐν τοῖς ἑξῆς ὁ Ἄρης ἀφανὴς ἔσται τῷ Διομήδει, ὡς εὐθὺς μετ’ ὀλίγα φανήσεται. Δῆλον δὲ ὅτι, ὥσπερ πρὸ μικροῦ ἱμάντας καὶ λέπαδνα οὐ κυριολεκτῶν εἶπεν ἐπὶ τοῦ τῆς Ἥρας ἅρματος, οὕτως οὐδὲ ἐνταῦθα ἐπὶ καταστάσεως νεφώδους τὴν τοῦ Ἅιδου κυνέην κυριολεκτεῖ ὁ ποιητής, οἷα κατ’ ἀνάγκην μεταφορᾶς καὶ τοῦτο παθών. Ἄλλως μέντοι μυθικώτερόν ἐστι κυριολεξίαν ἐνταῦθα ὑπονοῆσαι, εἴ τις κατὰ τὸ σιωπώμενον ἐκ Πλούτωνος εἴπῃ τὴν Ἀθηνᾶν λαβεῖν τὴν ἐκείνου κυνέην. Τέως γε μὴν θεωρητέον ὡς εὐλόγως ὁ ποιητὴς οὐδέν τι ὅλως περὶ τῆς τοιαύτης ἔφη κυνέης, ἀλλ’ ὀνομάσας μόνον αὐτὴν οὐδέν τι πλέον ἐπεσημήνατο εὖ ποιήσας. [Σκοπητέον δὲ καθ’ οἵαν καὶ ὅσην παράχρησιν Ἅιδου κυνέην ἔφη ὁ ποιητὴς τὸ τῆς κεφαλῆς ἀέριον κάλυμμα, δι’ οὗ κρύπτεταί τις τὸ βλέπεσθαι ἢ ἐς τὸ πᾶν ἢ κατὰ μόνον πρόσωπον. Ἔστι δ’ εὑρεῖν παρὰ τοῖς παλαιοῖς ὡς κυνέη καλεῖται καὶ τὸ κοινῶς λεγόμενον σκιάδειον, ὅπερ Ἡσίοδος πῖλόν φησιν ἀσκητόν.] (v. 842—4) Ὅτι οὐκ ἀργῶς βροτολοιγὸν πολλαχοῦ λέγει τὸν Ἄρην ὁ ποιητὴς κατὰ μόνην ἀλληγορίαν ἀλλὰ καὶ σωματικῶς. Ἰδοὺ γὰρ ἐνταῦθα καὶ κατὰ μῦθον κτείνας ὁ Ἄρης καὶ θυμὸν ἐξαινύμενος, ἤγουν ἀφελόμενος, ἐξεναρίζει τινὰ πελώριον Περίφαντα καὶ χειρουργεῖ τὸν φόνον, ἵνα πιθανὸν οὕτως εἴη ἐνταῦθα καὶ τὸ κατὰ Διομήδους αὐτὸν ἔγχεϊ χαλκείῳ ὀρέξασθαι.

2.215 Καὶ πρὸ ὀλίγου δὲ πολλοὺς ἐξενάριξεν Ἕκτωρ τε καὶ χάλκεος Ἄρης. Ὅλως γὰρ ἐν δευτέρῳ τὰ τῶν ἀλληγοριῶν τίθεται ὁ ποιητής, καὶ οὐδὲ δεῖ ἀλληγορεῖν, εἰ μὴ πρότερόν τις καταστήσει καὶ κρατυνεῖ τὸν μῦθον εἰς πιθανότητα. Ἀρίσταρχος μέντοι μηδέν τι τῶν Ὁμήρου, ὡς καὶ προερρέθη, ἀλληγορεῖν ἀξιῶν, οὐ μόνον ὑπερβολικόν τι λέγει, ἀλλὰ καὶ σοφίας μεγάλης ἀφαιρεῖται τὸν ποιητήν. (v. 851 s.) Ὅρα δὲ καὶ ἐνταῦθα τὸ «ὠρέξατο ἔγχεϊ χαλκείῳ», ἤτοι ἀνέτεινεν ἔγχος καὶ ἔτεινεν ἑαυτὸν τῷ ἔγχει. καὶ ἔστιν ὅμοιον τῷ «ἔγχει ὀρεξάσθω». Τοῦτο δὲ παρακατιὼν σαφέστερον λέγει «ὡρμᾶτο ἔγχεϊ χαλκείῳ». [Ἐνταῦθα δὲ εἰπὼν ὁ ποιητὴς καὶ ζυγὸν ἡνία θ’ ἵππων, τὸν ἵππειον ζυγόν, ὃν πρὸ τούτων ἔφη, πρὸς διαστολὴν ἑτεροίων ζυγῶν διέλυσεν εἰς τὸ «ζυγὸν ἵππων».] (v. 848) Τοῦ δὲ αἴνυτο θέμα αἴνυμι, ὅπερ ἁπλῶς μὲν ληφθὲν ἀντὶ τοῦ ἀφαιρῶ λέγεται γίνεσθαι ἀπὸ τοῦ αἴρω αἴρνω αἰρνύω, αἴρνυμι, ἐξ οὗ τὸ «τυρῶν αἰνύμενοι» ἐν Ὀδυσσείᾳ. Εἰ δὲ φονία λέξις ἐστί, πρόκειται, φασίν, αὐτοῦ τὸ κτῶ κταίνω, ἀφ’ οὗ ἀπελεύσει τοῦ τ καίνω, ἐξ αὐτοῦ δὲ ὁμοίως αἴνω, ὅθεν αἰνύω αἴνυμι καὶ «θυμὸν αἰνύμενος». (v. 846) Ὅτι τὸν Διομήδην σεμνολογῶν ὁ ποιητὴς ὡς εὐθὺς ἀριστεύσοντά φησιν «Διομήδεα δῖον, Αἰτωλῶν ὄχ’ ἄριστον, Ὀϊλέος ἀγλαὸν υἱόν». (v. 854—6) Ὅτι τὸ μὲν τοῦ Ἄρεος ἔγχος χειρὶ λαβοῦσα ἡ Ἀθηνᾶ «ὦσεν ὑπ’ ἐκ δίφροιο ἐτώσιον ἀϊχθῆναι», τὸ δὲ τοῦ Διομήδους ἐπέρεισε «νείατον ἐς κενεῶνα, ὅθι ζωνύσκετο μίτρην» ὁ Ἄρης. ἔνθα μιν «οὖτα τυχών, διὰ δὲ χρόα καλὸν ἔδαψεν, ἐκ δὲ δόρυ σπάσεν αὖτις. ὃ δ’ ἔβραχε χάλκεος Ἄρης, ὅσσον τ’ ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι ἀνέρες ἐν πολέμῳ ἔριδα ξυνάγοντες Ἄρηος». Καὶ ἔοικεν ὁ Διομήδης ἐν πλήθει τοσούτων χιλιάδων τὴν ἀρρενωπὸν ἀριστείαν ἄρτι ἐνδείξασθαι, κένωμά τι εὑρὼν ἐν ἄκροις καὶ ἀραίωσιν λαοῦ.

2.216

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦτο γάρ, φασίν, αἰνίττεται ὁ νείατος κενεών. Καὶ δοκεῖ τοῖς παλαιοῖς ἐν πλείονι συνασπισμῷ ἀριστεῦσαι νῦν ὁ ἥρως ἢ ὅτε τὴν θῆλυν Ἀφροδίτην ἔτρωσεν, ὡς καὶ Ἡράκλειτος πλατύτερον ἀλληγορεῖ. Καὶ ἔστι μείζων αὕτη ἀριστεία. ἐκεῖ μὲν γὰρ οὐ παρῆν τις γενναῖος τῶν Τρώων πρόμαχος τοῦ Αἰνείου κειμένου, ἐνταῦθα δὲ ὁ Ἕκτωρ ὁμιλεῖ, ὁ τῶν Τρώων ἄριστος, καὶ οὕτως εὐδοκιμεῖ ὡς καὶ τὸν Ἄρην δοκεῖν σὺν αὐτῷ εἶναι. ὁ τοίνυν Διομήδης κατὰ τοῦ τοιούτου πολέμου δράσας γενναῖα μέγα τι ποιεῖ. διὸ καὶ αὐτὸν τὸν Ἄρην λέγεται βαλεῖν. (v. 860) Τὸ δὲ ἐννεάχιλοι ἢ δεκάχιλοι διὰ μὲν διχρόνου γραφόμενον ἔχει τερατείαν ποιητικὴν καὶ μεγαλοπρέπειαν. Ἐὰν δὲ διὰ διφθόγγου κατά τινας γράφεται, οὐ μόνον ἀδιανόητόν ἐστιν, ἀλλὰ καὶ πάνυ σμικροπρεπές. τί γὰρ μέγα, ἐὰν ἐννέα χειλέων ἢ δέκα φωνὴν ὁ τοιοῦτος Ἄρης ἀφίησιν, ὅπου γε ὁ θνητὸς Στέντωρ αὐδᾶν ἔχει ὅσον ἄλλοι πεντήκοντα;

2.217 πῶς δὲ καὶ τρόμος εἷλεν Ἀχαιούς τε Τρῶάς τε δείσαντας ἐκ τῆς βοῆς, ἐὰν δεκάστομος ἦν; ἐφ’ οἵῳ δὲ μεγαλείῳ δεκαστόμου βοῆς ἐπεσημάνθη τὸ «τόσον ἔβραχ’ Ἄρης, ἆτος πολέμοιο», τουτέστιν ἀκόρεστος, κραθεὶς ἐκ τοῦ ἄατος, ὡς πολλαχοῦ φαίνεται. Ὥρμητο δὲ ὅμως ἡ διὰ διφθόγγου ἀλλόκοτος γραφὴ ἐκ τοῦ «οὐδ’ εἴ μοι δέκα μὲν στόματ’ εἶεν», καὶ ἔχοι ἂν ἴσως οὕτω τερατῶδές τι ὁ λόγος, ὡς οὕτως ἑκάστου τῶν ἰαχόντων Τρώων γεγωνὸς φθεγγομένου, καθάπερ ἂν εἰ καὶ πολλοῖς ἐχρᾶτο στόμασιν, ὧν οἷον πύλαι τὰ χείλη. (v. 857) Ὅρα δὲ τὸ «ζωνύσκετο μίτρην», διασαφητικὸν ὂν καὶ αὐτὸ τῆς πολεμικῆς ζώνης καὶ τοῦ ἑτεροιοῦσθαι αὐτὴν πρὸς τὴν μίτραν. ἄλλως γάρ, εἴπερ ζώνη ἡ μίτρα, πῶς ἂν ζωνύσκοιτο; (v. 858) Τοῦ δὲ δάπτειν, ἐξ οὗ καὶ τὸ δαρδάπτειν καὶ δαπταί αἱ μυῖαι, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, πρωτότυπον τὸ δῶ, ἐξ οὗ τὸ δαίω, καθ’ οἷον ἄν τις ἐρεῖ σημαινόμενον. Ὡς γὰρ βῶ βάπτω, ῥῶ ῥάπτω, κνῶ κνάπτω, τὰ ἑτέρωθι σαφῶς δηλωθέντα, οὕτω καὶ δῶ δάπτω. (v. 859) Τὸ δὲ βράχειν ἰδοὺ καὶ ἐπὶ μεγάλης βοῆς, ὁπλιτῶν μέντοι. (v. 861) Τὸ δὲ «ἔριδα ξυνάγοντες Ἄρηος» ἔχει μὲν διαστολὴν πρὸς ἑτέρας ἔριδας, ἐπιτείνει δὲ συγκριτικῶς τὴν ἐνταῦθα πολεμικὴν ἰαχήν, ὡς μὴ κατὰ τὰς ἄλλας οὖσαν, τὰς ἁπλῶς βοωμένας, ἀλλ’ ὁποίαν ἰαχήσαιεν ἂν μυριοπληθεῖς ἄνδρες πόλεμον συρρηγνύντες. Ὥσπερ δὲ ξυνάγεται πόλεμος ὁ ἐκ πολλῶν ἀνδρῶν τῶν καθέκαστα, οἷον «ἵνα ξυνάγωμεν Ἄρηα», ταὐτὸν δ’ εἰπεῖν συμφέρεται, κατὰ τὸ «συμφερτὴ δ’ ἀρετὴ πέλει ἀνδρῶν», οὕτω ξυνάγεται καὶ ἔρις ἡ κατὰ πόλεμον.

2.218 (v. 862 s.) Ὅτι ἐν Ὀδυσσείᾳ μὲν τὸν Κύκλωπος βαρὺν φθόγγον ὀλίγοι τινὲς ἔδεισαν, ἐνταῦθα δὲ Ἄρεος βοήσαντος λαοὶ τρέμουσι. Φησὶ γὰρ «τοὺς δ’ ἄρ ὑπὸ τρόμος εἷλεν Ἀχαιούς τε Τρῶάς τε δείσαντας. τόσσον ἔβραχ’ Ἄρης», ὡς εἴρηται, οὐ βοὴν ἀγαθὸς αὐτὸς ὤν, ἀλλὰ καὶ τὸν φθόγγον οὖλος. (v. 864- 7) Ὅτι ὁπηνίκα καυματηρᾶς οὔσης τῆς ἡμέρας πρὸς ἀνατολὴν ἢ δύσιν μελαίνεται ὁ ἀήρ, ἄνεμος προσδοκᾶται. ὃ καὶ Ὅμηρος ἐκ παρέργου ἐν παραβολῇ δηλοῖ, φιλοσοφῶν ὡς οἷον ἐκ παρόδου καὶ λέγων ὅτι «οἵη δ’ ἐκ νεφέων ἐρεβεννὴ φαίνεται ἀὴρ καύματος ἐξ», ἤγουν μετὰ καῦμα, «ἀνέμοιο δυσαέος ὀρνυμένοιο, τοῖος Διομήδεϊ χάλκεος Ἄρης φαίνεθ’ ὁμοῦ νεφέεσσιν ἰὼν εἰς οὐρανὸν εὐρύν», τουτέστιν εἰς νέφος ἔδοξεν ἐσχηματίσθαι ὁ μυθικὸς Ἄρης, φεύγων ἐκ τοῦ πολέμου. Καὶ σημείωσαι ὅτι ἐπὶ μὲν τῆς Ἀφροδίτης ἀσφαλέστερον εἶπε τὸ «μελαίνετο δὲ χρόα καλόν», ἐνταῦθα δὲ ἄλλως τερατώδη ταύτην τῷ Ἄρεϊ μελανίαν τὴν διὰ τοῦ νέφους προσέπλασεν. ὅθεν ἔμφασίν τινα δίδωσι τοῦ νέφος τι νοεῖν καὶ τὴν τοῦ Ἅιδου κυνῆν, ὡς καὶ προγέγραπται, εἴγε καὶ ὁ Ἄρης νῦν ἀφανὴς γίνεται, νεφωθεὶς οἷον καὶ ζοφωθείς, οἵα τις ἐκ νεφέων ἐρεβεννὴ ἀὴρ φαίνεται. Εἴη δὲ ἂν αὕτη νέφωσις ἐκ παχείας κόνεως ὑψοῦ ἀρθείσης ἐν τῇ συντόνῳ κινήσει τῶν μαχομένων, ὅτε ἡ μάχη ἐκλίνθη γενομένης τροπῆς. Ὅρα δὲ καὶ σχῆμα παραβολῆς καινότερον. οὐ γὰρ ἐκ παραβολικοῦ ἄρχεται ἐπιρρήματος, ἀλλ’ ἐξ ἀντωνυμίας ἀναφορικῆς. Φησὶ γάρ· οἵα ἐρεβεννὴ ἀήρ, τοῖος ἐφαίνετο Ἄρης. (v. 864) Ὅρα δὲ καὶ τὸ ἀήρ θηλυκῶς καὶ νῦν λεχθὲν καὶ ἐκτεῖνον τὴν ἄρχουσαν. (v. 865) Ἡ δὲ ἐξ πρόθεσις οὐ μόνον ἐνταῦθα εἴληπται ἀντὶ τῆς μετα προθέσεως, ἀλλὰ καὶ ἀλλαχοῦ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἷον «πιόμενα ἐκ βοτάνης», ἤτοι μετὰ τὴν βοσκήν, καὶ «ἐκ νυκτῶν δ’ ἄνεμοι χαλεποί», ἤτοι μετὰ τὰς νύκτας. (v. 864) Διπλάζεται δὲ τὸ ἀμετάβολον ἐν τῷ ἐρεβεννή ἀναγκαίως εἰς μέτρου χρείαν.

2.219 πάσχει δ’ αὐτό ποτε καὶ ἡ φαεννή καὶ ἡ κλεεννή, ἅπερ εἰσὶν ἡ φαεινή καὶ ἡ κλεινή. [(v. 868) Ὅτι διασαφῶν ἐνταῦθα τὴν τοῦ Ὀλύμπου λέξιν φησὶν «ἵκανε θεῶν ἕδος, αἰπὺν Ὄλυμπον».] (v. 869) Ὅτι διδάσκων κἀνταῦθα ὁ ποιητὴς παραποίησιν ἐπῶν φησι περὶ Ἄρεος «πὰρ δὲ Διῒ Κρονίωνι καθέζετο θυμὸν ἀχεύων», ὃν δὴ στίχον ἔφη ἐν τῇ α ῥαψῳδίᾳ περὶ Αἰγαίωνος, θεὶς ἐκεῖ ἀντὶ τοῦ «θυμὸν ἀχεύων» τὸ «κύδεϊ γαίων». (v. 870) Ὅτι καὶ ἐνταῦθα, ὡς καὶ ἐπὶ Ἀφροδίτης, ἄμβροτον αἷμα καταρρέειν ἐξ ὠτειλῆς λέγει τοῦ Ἄρεος, ἐπαναπαυσάμενος ἤδη τῇ λέξει τοῦ αἵματος μᾶλλον ἤπερ τῇ τοῦ ἰχῶρος, περὶ οὗ προείρηται. «Δεῖξε» γάρ, φησίν, «ἄμβροτον αἷμα καταρρέον ἐξ ὠτειλῆς». (v. 872) Ὅτι ὥσπερ προκαλῶ προκαλίζω, καναχῶ καναχίζω, στοναχῶ στοναχίζω, μηρυκῶ μηρυκίζω, μοχθῶ μοχθίζω παρὰ Θεοκρίτῳ, οὕτω πολλαχοῦ καὶ νεμεσῶ νεμεσίζω. εὕρηται δὲ καὶ τὸ ἠρεμίζω, καὶ αἰτίζω, ὥσπερ καὶ πολεμίζω. Ἡρόδοτος δὲ καὶ ἀτρεμίζειν φησίν. (v. 872—4) Ἰστέον δὲ ὅτι ὁ ἐκτραγῳδῶν πρός τινα ὑπερέχοντα πάθος οἰκεῖον, ὅπερ ἔπαθε παρά τινος τῶν συνήθων, εἴποι ἂν «οὐ νεμεσίζῃ ὁρῶν τάδε καρτερὰ ἔργα;

2.220 αἰεί τοι ῥίγιστα τετληότες εἱμέν», ἤγουν ἐσμέν, «ἀλλήλων ἰότητι», τουτέστι βουλῇ, «χάριν ἄνδρεσσι φέροντες». Παρῴδηται δὲ ἡ ἀρχὴ τῶν ῥηθέντων κατὰ μίαν λέξιν ἐκ τῶν πρὸ ὀλίγου ῥηθέντων, ἔνθα ἔφη «Ζεῦ πάτερ, οὐ νεμεσίζῃ Ἄρηι τάδε καρτερὰ ἔργα;» Καὶ σημείωσαι ὅτι καὶ ἐνταῦθα τὸ «καρτερὰ ἔργα» οὐκ ἐπὶ ἐπαίνου κεῖται ἀλλ’ ἀντὶ τοῦ βιαστικά, καθ’ ὃ καὶ βέλος λέγεται καρτερόν. πάντως γὰρ οὐκ ἐπαινεῖ ὁ Ἄρης, ἃ κακῶς ἔπαθε διὰ τὴν Ἀθηνᾶν. οὕτω δὲ καὶ λόγος κρατερός ὁ ἀπειλητικὸς καὶ βίαν δηλῶν. (v. 875) Ὅτι τὸ «σοὶ πάντες μαχόμεθα», ἤγουν διὰ σέ, ὅμοιον τῷ «σοὶ ζῶ», ἤτοι διὰ σέ. Ἐνταῦθα δὲ ὅρα ὡς ἀδιανόητα δοκεῖ πρὸς τὸν Δία λέγειν ὁ Ἄρης ἐν τῷ «σοὶ μαχόμεθα. σὺ γὰρ ἔτεκες ἄφρονα κούρην». οὐ γὰρ αἴτιος μάχης ὁ ἄφρονα παῖδα γεννήσας οὐδὲ αἰτιατέος ἁπλῶς. (v. 877—80) Διὸ καὶ τὸν λόγον ἐπιδιορθούμενος ἐπάγει «ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰς’ ἐν Ὀλύμπῳ, σοί τ’ ἐπιπείθονται καὶ δεδμήμεσθα ἕκαστος· ταύτην δὲ οὔτ’ ἔπεϊ προτιβάλλεαι, οὔτε τι ἔργῳ», ὅ ἐστιν, οὔτε λόγῳ οὔτε ἔργῳ λυπεῖς, ἀλλ’ ἀνίεις, ἤγουν ἀναπείθεις, «ἐπεὶ αὐτὸς ἐγείναο» καὶ ἑξῆς. Καὶ οὕτως γίνεται ὀρθὸς καὶ σπουδαῖος ὁ τοῦ Ἄρεος λόγος. Τῷ ὄντι γὰρ αἰτιατέος πατήρ, ὃς γεννήσας ἄφρονα παῖδα, οὐκ ἐπέχει τῆς ἀφροσύνης αὐτήν, ἀλλὰ καὶ προσερεθίζει. [Ἰστέον δὲ ὡς ἡ ῥηθεῖσα κατὰ τοῦ Διὸς αἰτίασις, ὅς ἐστί ποτε καὶ νοῦς, αἴνιγμά ἐστι τοῦ ἐν τοῖς ἐφαμάρτοις πράξεσιν, ἃς οὐκ ἂν ἐν ζῴοις ἀλόγοις εὕρῃ τις, τὸν νοῦν αἴτιον εἶναι βαθέα κυβιστῶντα καί που πονηρευόμενον καὶ οὐ διευκρινοῦντα τὸ δέον ἀεί.

2.221 ] (v. 878) Ὅρα δὲ τὸ «δεδμήμεθα ἕκαστος», σύνεσιν ἔχον ἐπιδιορθωτικὴν τοῦ «σοί τ’ ἐπιπείθονται». Εἰ γὰρ κατὰ τὸ «σοὶ πείθονται» ἐσχημάτισε καὶ τὸ δέδμηνται, οὐ καλῶς ἐλάλει, ὡς δοκῶν ὑπεξάγειν ἑαυτὸν τοῦ πείθεσθαι καὶ δεδμῆσθαι κατὰ τοὺς λοιπούς. [Δῆλον δὲ ὅτι διαφορά ἐστι τοῦ πείθεσθαι καὶ δεδμῆσθαι. οὔτε γὰρ πᾶς ὁ πειθόμενος ἄρχοντι ἐξ ἀνάγκης καὶ δεδμημένος ἐστὶν ἐκείνῳ οὔτε πᾶς ὁ δεδμημένος τινὶ ἤδη καὶ πείθεται. πολλοὶ γὰρ ἀπειθεῖν τοῖς ἄρχουσι βούλονται. Ὅτι δὲ καὶ εὐοδώτερον εἰς μέτρον τὸ ὅσοι θεοί εἰσι καὶ τὸ πείθονται καὶ τὸ δεδμήμεσθα, ἤπερ τὸ ἐσμέν καὶ πειθόμεθα καὶ δεδμήμεθα, οὐδ’ αὐτὸ ἄδηλόν ἐστι.] (v. 877) Τὸ δὲ «ὅσοι θεοὶ ἐν Ὀλύμπῳ» πρὸς διαστολὴν εἶπε τῶν ὑποταρταρίων, οἳ διὰ τὸ μὴ πείθεσθαι Διῒ καὶ δεδμῆσθαι κάτω ἐρρίφησαν. (v. 879) Τὸ δὲ προτιβάλλεαι, ὅ ἐστι προσβάλλῃ, μάχιμος λέξις, Ἄρεϊ φίλη, ἀφ’ ἧς ἡ κατὰ πόλεμον προσβολή, [ἶσον ὂν τῷ ἐπιπλήττεις. Τῷ δὲ προτιβάλλεαι παθητικῶς ῥηθέντι ὅμοιον καὶ τὸ «σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῇσιν».] Ἐν τούτοις δὲ οὐ μόνον ἄφρονα κούρην, ἀλλὰ καὶ οὐλομένην καὶ ᾗ ἀήσυλα ἔργα μέμηλε καὶ ἀΐδηλον καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μαργαίνειν πείθουσαν καὶ τοιαῦτά τινα τὴν Ἀθηνᾶν ὁ ἄφρων Ἄρης ἀποκαλεῖ. Καὶ τί γὰρ ἄλλ' ἢ κανών τίς ἐστι διεστραμμένος ἅπας ἄφρων πρὸς ἑαυτὸν μετάγειν καὶ στρεβλοῦν ἐθέλων καὶ τὰ ὀρθὰ καὶ μηδὲν αὐτοῦ ἀπεοικέναι κρίνων καὶ τοὺς εὖ ἔχοντας λόγου καὶ φρονήσεως; καὶ τοιαῦτα μὲν ὁ ἀλόγιστος Ἄρης. (v. 889—98) Ὁ δὲ Ζεύς, ὃς εἰς νοῦν λαμβάνεται, τὰ μὲν πρῶτα ἐξουθενῶν αὐτόν φησι «μή μοι ἀλλοπρόσαλλε παρεζόμενος μινύριζε», καὶ τὰ ἑξῆς, ὅσα πρέπει παρῳδηθῆναι εἰς ἄλογον θυμόν. ἐπάγει γὰρ [παραποιῶν στίχον προπεποιημένον] «ἔχθιστος δέ μοί ἐσσι θεῶν, [οἳ Ὄλυμπον ἔχουσιν], αἰεὶ γάρ τοι ἔρις φίλη πόλεμοί [τε μάχαι τε.] μητρός τοι μένος ἐστὶν ἀάσχετον» καὶ ἑξῆς, ὡς ῥηθήσεται. Εἶτα ἐφιστᾷ καὶ αὐτῷ τὸν παρὰ θεοῖς ἰατρὸν Παιήονα καὶ ἰᾶται τὸ τραῦμα, διότι, φησίν, ἐξ ἐμοῦ γένος ἐσσί.

2.222 Τῷ ὄντι γὰρ προσδεῖται καὶ τοῦ ἀλόγου μέρους τῆς ψυχῆς τοῦ θυμικοῦ διά τι συγγενὲς ὁ νοῦς καὶ ἡ φρόνησις, καθὰ καὶ δορυφόρων οἱ βασιλεῖς. διὸ καὶ ἄγχουσι μὲν αὐτὸ καὶ ἐπιπλήττουσι καὶ ὑπείκειν ποιοῦσιν, οὐ μέντοι καὶ τέλεον ἐξαφανίζουσιν. (v. 876) Ἀήσυλα δὲ ἔργα ἢ τὰ βλαπτικά παρὰ τὸ ἆσαι, ἤτοι βλάψαι, πλεονασμῷ τοῦ η , ὡς καὶ ἐν τῷ ὑπέρφανος ὑπερήφανος, καὶ ἐν ἄλλοις, ἢ τὰ ἀηδῆ παρὰ τὸ α στερητικὸν καὶ τὸ ἧσαι τὸ εὐφρανεῖν. Ποιητικὴ δὲ ἡ λέξις καὶ πεζῷ λόγῳ οὐκ εὔχρηστος. Ἰστέον δὲ καὶ ὡς περὶ ἀπειθοῦς τινος ἐροῦμεν ἂν πρὸς ἐπιεικῆ ἄρχοντα τὸ «ἄλλοι μὲν πάντες σοί τ' ἐπιπείθονται» καὶ τὰ ἑξῆς. (v. 880) Καὶ ὅτι ἐν τῷ «αὐτὸς ἐγείναο παῖδ' ἀΐδηλον», ὃ παράφρασίς ἐστι τοῦ (v. 875) «σὺ γὰρ ἔτεκες ἄφρονα κούρην», ὑποδηλοῖ ὁ Ὅμηρος ὁμοίως τοῖς ἄλλοις ποιηταῖς, ὡς ἐκ μόνου Διὸς ἐγένετο ἡ Ἀθηνᾶ, καὶ οὐχ' ὥσπερ ὁ Ἄρης, ἐξ αὐτοῦ καὶ Ἥρας. Τὸ δὲ ἀνιέναι, ἤτοι ἀναπείθειν, λέξις Ὁμήρῳ συνήθης, πολλαχοῦ κειμένη. (v. 882) Διὸ καὶ μετ' ὀλίγα τὸ «μαργαίνειν ἀνέηκεν», ἡ Ἀθηνᾶ δηλαδὴ τὸν Διομήδην, ταὐτόν ἐστι τῷ ἀνέπεισε, διήγειρεν, ἠρέθισε. Τὸ δὲ μαργαίνειν, ὅ ἐστι μαίνεσθαι, καὶ ὁ πρωτότυπος αὐτοῦ μάργος βαρυτόνως, ἢ μαργός ὀξυτόνως κατὰ Τυραννίωνα, ἢ ἐκ τοῦ μή ἀρνητικοῦ καὶ τοῦ ἔργον γίνεται κατὰ τοὺς παλαιοὺς ἢ ἐκ τοῦ μὴ ἀρήγειν. οὔτε γὰρ ἔργον τι σπουδαῖον τῷ μαργαίνοντι οὔτε ἀρήγεται ὡς ἀποδυσπετῶν. [(v. 889) Σημείωσαι δὲ ὡς, εἰ καὶ ἡ ἄλλος ἀντωνυμία οὐκ ἔχει κλητικὴν ἀναγκαίῳ λόγῳ κατὰ τοὺς τεχνικούς, ἀλλ' ἰδοὺ ἐν τῇ συνθέσει τοῦ ἀλλοπρόσαλλε ἔσχεν, ὅπερ ἐνέλειψε τῇ ἁπλότητι.

2.223 ἔτι δέ, εἰ καὶ τὸ οὐδέτερον αὐτοῦ ὀφεῖλον εἶναι ἄλλον μετὰ τοῦ ν ἀναλόγως, ὅμως πέπονθεν αὐτοῦ ἔνδειαν, ὡς καὶ τὸ τοιοῦτο καὶ τοσοῦτο, ἀλλ' ἐπαναλαμβάνει αὐτό, καθ' Ἡρῳδιανὸν εἰπεῖν, ἐν τῷ ἀλλοπρόσαλλον. οὕτω δὲ καὶ ἐν τῷ ἔξαλλον καὶ ἄναλλον.] (v. 883 s.) Ὅτι συγκεφαλαιούμενος ὁ ποιητὴς διὰ τοῦ Ἄρεος ἐν βραχυτάτῳ τὰ εἰς πλάτος ἤδη τερατευθέντα φησὶ «Κύπριδα μὲν πρῶτον οὔτασε χεῖρ' ἐπὶ καρπῷ, αὐτὰρ ἔπειτ' αὐτῷ μοι ἐπέσσυτο δαίμονι ἶσος», ὁ Διομήδης δηλαδή. (v. 885) Ὅτι τὸ φυγεῖν περιφράζων φησὶν «ἀλλά μ' ὑπήνεικαν», ἤγουν ὑπήνεγκαν, ὑπεξήγαγον, «ταχέες πόδες». (v. 886 s.) Ἄρης δὲ καὶ τοῦτό φησιν, λέγων καὶ ὡς, εἰ μὴ ταχὺ ἔφυγεν, αὐτοῦ ἂν «πήματ' ἔπασχον ἐν αἰνῇσιν», ὅ ἐστι δειναῖς ἢ αἰαναῖς, «νεκάδεσσιν, ἤ κεν ζῶς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇσιν», ἤγουν ἐὰν ζῶν ἀσθενῶς εἶχον ταῖς ἐκ σιδήρου πληγαῖς. Τὸ γὰρ «ἤ κεν» γράφεται μὲν διὰ τοῦ η παρὰ τοῖς ἀκριβεστέροις, ἑρμηνεύεται δὲ ἀντὶ τοῦ εἰ διστακτικοῦ, ὡς καὶ τὸ «ἢ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσι», καὶ ἄλλα δέ τινα, περὶ ὧν προείρηται. Λέγει δὲ νεκάδας τὰς τάξεις τῶν νεκρῶν. Τὸ δὲ ζώς ἐκ τοῦ ζωός γίνεται κατὰ συναίρεσιν, οἷον «ζωὸς ἔην» καὶ «Ἄδρηστον ζωὸν ἕλε».

2.224 Διὸ καὶ ὀξύνεται ὡς ἐκ βαρείας καὶ ὀξείας συναιρεθέν, εἰ καὶ ὁ Ἀσκαλωνίτης αὐτὸ περιέσπα, καθά φασιν Ἀπίων καὶ Ἡρόδωρος. Καὶ οὐκ ἔστιν ὅμοιον τῷ σῶς ὁ ὑγιής. ἐκεῖνο γὰρ ἐκ τοῦ σάος ἢ σόος περιέσπασται, ὡς ἐξ ὀξείας καὶ βαρείας κραθέν. [Τὸ δὲ ἔα Ἰωνικόν, οὗ κοινὸν τὸ ἦα, ὃ δηλοῖ τὸ ἦν, κεῖται καὶ ἐν ἄλλοις, καί που ῥηθήσεται σαφῶς περὶ αὐτοῦ.] (v. 889—91) Ὅτι πρὸς ἐριστικὸν καὶ ἀλλήναλλον ἄνθρωπον δυσωποῦντα πρέπει ῥηθῆναι τῶν τοῦ Διός, ὡς ἐρρέθη, πρὸς Ἄρην τὸ «μή τί μοι, ἀλλοπρόσαλλε, παρεζόμενος μινύριζε. ἔχθιστος δέ μοί ἐσσι·

αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε». ὃ ἐκ τῆς α ῥαψῳδίας παρελκυσθὲν ἀπαραποίητον κεῖται. τὸ μέντοι πρὸ αὐτοῦ ἔπος παρῴδηται.

2.225 ἀντὶ γὰρ τοῦ «ἔχθιστος δέ μοί ἐσσι διοτρεφέων βασιλήων», ὃ ἐκεῖ ἐρρέθη, ἐνταῦθά φησιν «ἔχθιστος θεῶν, οἳ Ὄλυμπον ἔχουσιν». (v. 889) Ἰστέον δὲ ὅτι μινυρίζειν ἐστὶ τὸ μινυὸν κατὰ Ἀττικούς, ἤτοι μικρὸν καὶ ἠρέμα, κλαίειν. [Παλαιὸς δέ τις γράφει οὕτω ῥητῶς «μινυρίζειν τὸ ἠρέμα καὶ λεπτὸν ᾄδειν. οἱ δέ τινες τὸ θρηνεῖν καὶ ἀποδύρεσθαι». Ἡ δὲ χρῆσις τοῦ μινυοῦ φυλάττεσθαι δοκεῖ καὶ εἰσέτι νῦν ἐν Ἀθήναις. Εἰ δὲ ἐκ τοῦ μινυός ὁ Μινύας τὸ κύριον καθάπερ ἐκ τοῦ τυτθός ὁ Τυδεύς, στοχάσασθαι μὲν ἔστιν, ἀποφήνασθαι δὲ οὔ.] (v. 890 s.) Ἐν δὲ τῷ «αἰεὶ γάρ τοι ἔρις τε φίλη» καὶ ἑξῆς, ἀστέρα τὸν καὶ πρὸ ὀλίγου ῥηθέντα παρατιθέασιν οἱ παλαιοί, ὡς ὧδε κάλλιστα κειμένου τοῦ λόγου ἤπερ ἐπὶ τοῦ Ἀχιλλέως ἐν τῇ α ῥαψῳδίᾳ. ὅπως δ’ ἂν ἔχοι τὸ πρᾶγμα, οὐκ ἐν ἐπαίνῳ κεῖται τὸ ἀεὶ φίλερι. Χρὴ γὰρ κατὰ τοὺς σοφοὺς πολεμικὸν εἶναί τινα, οὐ μὴν φιλοπόλεμον. (v. 892 s.) Ὅτι τὸ τῆς Ἥρας ἀνένδοτον πρὸς τὸν Δία δηλοῦται μὲν καὶ ἐν τῇ α ῥαψῳδίᾳ, ἐνταῦθα δὲ ἀριδηλότατα, ἐν οἷς αὐτὸς ὁ Ζεὺς ἀάσχετον λέγει τὸ μένος ἐκείνης καὶ οὐκ ἐπίεικτον, εἰ καὶ ὑπ’ αὐτοῦ σπουδῇ δάμναται ἐπέεσσι. Διασαφητικὸν δέ ἐστι τοῦ ἀάσχετον τὸ ἐπίεικτον, εἴπερ καὶ ταὐτὸν σχέσθαι καὶ εἴκειν. Οὐ δύο δὲ στερήσεις ἔχει τὸ ἀάσχετον κατὰ τὸ ἀάατον. οὐ γάρ, ὥσπερ ἀάατον ἔστιν ὅτε τὸ ἀτηρόν, οὕτω καὶ ἀάσχετον τὸ σχετόν. ἀλλὰ τὸ μὲν πρῶτον α ἐπιτείνει, τὸ δὲ δεύτερον στερεῖ, ὡς δηλοῦν τὸ ἄγαν ἀκατάσχετον. (v. 894) Ἐνταῦθα δὲ καί τι κεῖται παιδευτικὸν τοῦ φυλάττειν μυστήρια. Ὁ γὰρ τὴν Ἥραν ἐρεθισθεῖσαν κατὰ τοῦ Ἄρεος Ζεὺς εὖ εἰδὼς λέγει διστακτικῶς ὀΐεσθαι τὸν Ἄρην κείνης τάδε πάσχειν ἐννεσίῃσιν, ἤγουν συμβουλαῖς, αἳ γίνονται οὐκ ἀπὸ τοῦ ἐννέπω, ἀλλ’ ἢ ἀπὸ τοῦ ἔννοια κατὰ τοὺς παλαιούς, πρὸς ὁμοιότητα, φασί, τοῦ πηγόμαλλος πηγεσίμαλλος, ἢ μᾶλλον ἀπὸ τοῦ ἐνίημι, τὸ ἐμβάλλω, κατὰ τὸ «ἐν φρεσὶ βάλλεο σῇσιν», ἵνα ἐκ τοῦ ἐνίημι ἐνεῖμαι ἐνεῖσαι γίνεται ἐνεσία, καὶ διπλασμῷ τοῦ ν ἐννεσία, ἡ εἰς νοῦν ἐνιεμένη συμβουλή.

2.226 (v. 891—8) Ὅτι τὴν φύσει πατρικὴν σχέσιν καὶ ἐν μύθοις ὑπεμφαίνων ὁ ποιητὴς πλάττει τὸν πατέρα Δία λέγοντα πρὸς τὸν Ἄρην ὡς, εἰ καὶ φίλερις εἶ ἀεὶ καὶ μάχιμος καὶ ἀΐδηλος, ὃ φθάσας Ἄρης εἶπε κατὰ Ἀθηνᾶς, καὶ διὰ τοῦτο ἀνόμοιος τῷ πατρί, «ἀλλ’ οὐ μάν ς’ ἔτι δηρὸν ἀνέξομαι ἄλγε’ ἔχοντα. ἐκ γὰρ ἐμεῦ γένος ἐσσί». ὃ διασαφῶν ἐπάγει «ἐμοὶ δέ σε γείνατο μήτηρ», ἤγουν οὐχ’ ἁπλῶς ὁμογενὴς εἶ, ἀλλὰ καὶ υἱός, ὡς εἴπερ, φησίν, «ἐξ ἄλλου γε θεῶν γένευ», ὅ ἐστιν, ἐγένου, «ὧδ’ ἀΐδηλος», ὃ σὺ ὠνείδισας εἰς Ἀθηνᾶν, «καί κεν δὴ πάλαι ἦσθα ἐνέρτερος Οὐρανιώνων», κατὰ τοὺς Τιτᾶνας δηλαδή. Χείριστος ἄρα ὁ μυθικὸς Ἄρης. διὸ καὶ καλῶς ὤκνει εἰπεῖν τὸ «σοί τ’ ἐπιπειθόμεθα». οὐ γὰρ οἶδε πείθεσθαι, εἰ καὶ ἄκων δέδμηται. Ὅρα δὲ τὸ γένευ πρὸς ὄγκον λόγου φρασθέν. ἄλλως γὰρ ἦν γένου εἰπεῖν. (v. 898) Τὸ δὲ ἐνέρτερος ἡ ἐντέλειά ἐστι τοῦ νέρτερος. Καὶ ταῦτα μὲν μυθικῶς ἐκ Διὸς πρὸς Ἄρην. (v. 895) Ἐν οἷς τὸ «ἀνέξομαί σε» ἀσυνήθως τοῖς ὕστερον αἰτιατικῇ συντάσσεται. ἀλληγορικῶς δὲ τί αὐτὰ βούλονται, προείρηται. (v. 899) Ὅτι ἄνωγε μὲν τὸ ἐκέλευε προπαροξυτόνως, οἷον «Παιήον’ ἄνωγεν ἰήσασθαι», ὃ καὶ ἀνώγει, γράφεται ἀπὸ τοῦ ἀνώγω ῥήματος, οὗ ὁ μέλλων ἀνώξω. ἐπὶ δὲ τοῦ ἤνοιγε προπερισπᾶται, οἷον «οὔ τις θεὸς ἄλλος ἀνῷγεν», ἐκ τοῦ ᾦγεν, ὡς ἦγεν ἀνῆγεν, εὗδε καθεῦδε, καὶ ὅσα τοιαῦτα, ὡς καὶ προείρηται, τροχαϊκὰ ῥήματα.

2.227 (v. 900 s.) Ὅτι ἐν τῷ «τῷ δ’ ἐπὶ Παιήων ὀδυνήφατα φάρμακα πάσσων ἠκέσατο» φάρμακα μὲν πάντως τὰ ἐπ’ ἀγαθῷ, δι’ ὧν ὀδύνη πέφασται, ἤγουν πεφόνευται, ὅπερ ταὐτόν ἐστι τῷ ἀκεσώδυνα καὶ φέροντα ἄκος. Τὸ δὲ «πάσσεν» ἐμφαίνει ῥιζικὸν ἰατρὸν εἶναι καὶ τὸν Παιήονα, τρίβοντα βοτάνας καὶ καταπάσσοντα, ὡς καὶ ἀλλαχοῦ ἐφ’ ἑτέρων οἶδεν ὁ ποιητής. (v. 902—4) Ὅτι τὸ τάχος τῆς τῶν φαρμάκων, ὡς εἰκός, τοῦ μυθικοῦ Παιήονος θεραπείας ὁ ποιητὴς τεραστίως ὑποδηλῶν λαμβάνει παραβολὴν ἐκ τυροποιΐας καὶ λέγει οὕτω ταχέως αὐτὰ ξηρᾶναι τὸ τοῦ Ἄρεος ἕλκος καὶ συμπῆξαι τὸ αἷμα, «ὡς ὅτε ὀπὸς γάλα λευκὸν ἐπειγόμενος συνέπηξεν,

ὑγρὸν ἐόν, μάλα δ' ὦκα περιστρέφεται κυκόωντι», τουτέστιν, οὕτω ταχέως ὁ Παιήων τὸν Ἄρην ἰάσατο συμπήξας τὸ ἕλκος, ὥσπερ ὀπὸς γάλατι ἐμβληθεὶς καὶ ὡς οἷον ἔμψυχός τις αὐτὸς κατὰ σπουδὴν ἐπειγόμενος, ἢ καὶ ἄλλως, ὡς μάλα ὦκα τῷ κυκῶντι περιστρεφόμενος, ὑγρὸν ὂν τὸ γάλα συνέπηξεν, ἢ κατὰ ἑτέραν γραφήν, ὥσπερ ὑγρὸν γάλα ἐπειγόμενον ὑπὸ τοῦ κυκῶντος συνέπηξεν ὁ ὀπός. Ὥστε ὀπὸς οὐ τὸ γάλα ἐστίν, ὡς μανθάνουσιν οἱ τρόφιμοι τῶν σχεδικῶν αἰνιγμάτων, οἷα τοῦ ὀποῦ τούτου, καθὰ γάλακτος, παραβδάλλοντες ἰδιωτικώτερον, ἀλλὰ κυρίως ὀπὸς καλεῖται ἡ τὸν τυρὸν συμπήττουσα πυετία.

2.228 ὅθεν καὶ ὀπίας τυρός ὁ πεπηγὼς ὑπὸ ὀποῦ. Λέγεται μέντοι ὀπός καὶ τὸ γαλακτῶδες τῆς συκῆς, ναὶ μὴν καὶ τὸ ὑγρόν, ὃ τὰ φύλλα πρὸς τοῖς κλάδοις συνέχει. ὅθεν καὶ ἡ ὀπώρα παρωνόμασται. Τῶν τις δὲ παλαιῶν φησιν «ὀπός· ἡ πυτία, τὸ τῶν δένδρων δάκρυον, τὸ γαλακτῶδες τῆς συκῆς». (v. 904) Ὅτι δὲ τάχους ἐστὶ δηλωτικὴ ἡ ῥηθεῖσα παραβολή, δηλοῖ ὁ ποιητὴς εἰπὼν «ὣς ἄρα καρπαλίμως ἰήσατο θοῦρον Ἄρηα». Τίς δὲ ὁ Παιήων καὶ πόθεν ἡ λέξις εἴληπται καὶ ποσαχῶς λέγεται, προείρηται. Ἰστέον δὲ ὅτι τε ἐπέτεινεν ὁ ποιητὴς τὸ πολὺ τάχος τῆς συμπήξεως διὰ τοῦ ἐπείγεσθαι καὶ τοῦ ὦκα καὶ τοῦ μάλα καὶ ὅτι ἔχει τι γλυκύτητος ἡ λέξις τοῦ ἐπείγεσθαι, ὡς ἐπὶ ἐμψύχου, καθὰ ἐδηλώθη, λεχθεῖσα, εἴτε ἐπὶ τοῦ ὀποῦ νοηθείη εἴτε ἐπὶ τοῦ γάλατος. (v. 903) Καὶ ὅτι ὑγρὸν γάλα εἶπε πρὸς διαστολὴν τοῦ τυροῦ, ὃς γάλα ἐστὶ πεπηγὸς ὀπῷ, καθὰ παραδηλοῖ ὁ ποιητής, ἢ καὶ γάλα καθ' ἑτέρους ξηρόν. Ὅρα δὲ καὶ τὸ κυκᾶν ἁπλῶς οὕτω τεθὲν ἀντὶ τοῦ ταράττειν καὶ στρέφειν, καὶ οὐ μόνῳ τῷ κατὰ τὴν Κίρκην κυκεῶνι προσαρμόττον, ὃς ἀπὸ τοῦ χύειν καὶ χέειν κατὰ τοὺς παλαιοὺς παρῆκται διὰ τὸ ὑγρὸς εἶναι καὶ πόσιμος.

2.229 Εἰ δὲ καὶ πράγματα κυκᾶν τις λέγεται καὶ διὰ τοῦτο κυκεὼν σκώπτεται, μεταφορικῆς τοῦτο μεθόδου ἐστίν. Εἴη δ' ἂν οὐκ ἄκομψον εἰπεῖν, ὡς ὁ οὕτω κυκῶν σκωπτικῶς καὶ ἐπιψόγως, ἐκεῖνος καὶ τυρεύειν λέγεται κατὰ τὸν ἐνταῦθα Ὁμηρικῶς ἐπὶ τυροποιΐᾳ κυκῶντα. Καὶ μαρτυρήσει καὶ ὁ Κωμικὸς ἐκ τοῦ τυροῦ παρετυμολογῶν τὸ τύρευμα, ἐξ οὗ καὶ τὸ τυρβάζειν γίνεται. Σημειῶδες δ' ἐν τούτοις ὡς τὸ κυκᾶν μὲν καὶ ὁ κυκεών διλογεῖται λαμβανόμενα ἐπί τε ψόγῳ καὶ ἄλλως δὲ δίχα ψόγου πραγματικῶς, τὸ δὲ τυρεύειν καὶ ἡ τυρεία μοναχῶς ἐπὶ φαυλότητος τίθεται. Σημείωσαι δὲ ὅτι ὁ σοφὸς Ἡρῳδιανὸς τὸ «περιστρέφεται κυκόωντι» περιτρέφεται γράφει, πάνυ ὀρθῶς. Ἐν γοῦν τοῖς περὶ τροφαλίδος φησί· τροφαλίδα ῥητέον διὰ τοῦ ο , οὐ τρυφαλίδα διὰ τοῦ υ . ἡ γὰρ λέξις εἴρηται παρὰ τὸ τρέφεσθαι, ὅ ἐστι πήγνυσθαι. καὶ παράγει χρῆσιν αὐτίκα τὸ «ὡς δ' ὅτε τις γάλα» ἕως τοῦ «περιτρέφεται», τὸ γάλα δηλαδή, «κυκόωντι», ἀντὶ τοῦ πήγνυται, φησίν. Ὡς δὲ καὶ ἀπὸ τοῦ τηρῶ γίνεται τυρός ὁ τηρούμενος εἰς ἀπόθεσιν πλέον γάλατος, οὐκ ἔστιν ἐνστῆναι τὸν ἐνθυμηθέντα ὁμοίαν τροπὴν τοῦ η εἰς υ ἐν τῷ στήσω στῦλος καὶ ἅλμη ἁλμυρός. (v. 905) Ὅτι καὶ ἐνταῦθα ὑπηρετητική ἐστιν ἡ Ἥβη. καὶ γὰρ τὸν Ἄρην ἰατρικῇ μεθόδῳ μετὰ τὴν τοῦ τραύματος θεραπείαν αὐτὴ λοῦσε, χαρίεντα δὲ εἵματα ἕσσεν, ὅ ἐστιν ἐνέδυσεν.

2.230 Ἀδελφὴ δέ ἐστιν Ἥρας ἡ Ἥβη, ὡς καὶ Θεόκριτος μυθολογεῖ. (v. 906) Ὅτι καὶ ἐνταῦθα βραχὺ παρῳδήσας τίθησιν ἔπος ἐκ τῶν πρὸ τούτου, ἐκεῖ μὲν εἰπὼν «ὃς ῥὰ παρὰ Κρονίωνι καθέζετο κύδεϊ γαίων», ἐνταῦθα δὲ «πὰρ δὲ Διῒ Κρονίωνι καθέζετο κύδεϊ γαίων». (v. 909) Ὅτι ἀνδρείῳ στρατηγῷ πρέπει τὸ «παύσας βροτολοιγὸν Ἄρη ἀνδροκτασιάων». ΕΚ ΤΩΝ ΤΗΣ ΖΗΤΑ ΡΑΨΩΙΔΙΑΣ Ὅτι ἐπιγράφεται ἡ ζῆτα ῥαψῳδία κατὰ μὲν σύντομον πεζολογίαν «Ἕκτορος καὶ Ἀνδρομάχης ὁμιλία», ἐμμέτρως δὲ «ζῆτα δ' ἂρ Ἀνδρομάχης καὶ Ἕκτορός ἐστ' ὀαριστύς».

2.231.(t) (v. 1—4) Λέγει δὲ ὁ ποιητὴς ἐν καταρχῇ ταύτης τὸ «Τρώων δ' οἰώθη καὶ Ἀχαιῶν φύλοπις αἰνή· πολλὰ δὲ ἔνθα καὶ ἔνθα ἴθυσε μάχη πεδίοιο ἀλλήλων ἰθυνομένων χαλκήρεα δοῦρα», ἤγουν ἀκοντιζόντων κατ' ἀλλήλων, «μεσσηγύς», ὅ ἐστι μέσον, «Σιμόεντος καὶ Ξάνθοιο ῥοάων», τῶν Τρωϊκῶν ποταμῶν. (v. 2) Τοῦ δὲ ἰθύειν, ὅ ἐστιν ὁρμᾶν, ἡ χρῆσις καὶ παρ' Ἡροδότῳ παθητικῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν τῷ «ἰθύοντο στρατεύεσθαι». ἀφ’ οὗ καὶ ἰθύς ἡ ὁρμή, οἷον «ἄριστοι πᾶσαν ἐπ’ ἰθὺν μάχεσθαί τε φρονέειν τε». (v. 5—8) Ἐν δὲ τῷ οὕτω τὴν μάχην ἰθύειν «πρῶτος», φησίν, «Αἴας Τελαμώνιος, ἕρκος Ἀχαιῶν, Τρώων ῥῆξε φάλαγγα, φόως δ’ ἑτάροισιν ἔθηκεν ἄνδρα βαλὼν ἠΰν τε μέγαν τε» Ἀκάμαντα, ὃς ἄριστος ἦν ἐνὶ Θρήκεσσιν. (v. 1) Ἰστέον δὲ ὅτι τὴν μάχην θεῶν μονωθῆναι λέγει, Ἄρεος δηλαδὴ καὶ Ἀθηνᾶς, καὶ ὅλως τῶν δαιμονιωδῶν ἐπεισοδίων, ὥστε μόνην αὐτὴν μεῖναι καθ’ ἑαυτήν. Ποιεῖ δὲ τοῦτο, ἵνα μὴ τῇ συνεχείᾳ τῶν τοιούτων μύθων κατασμικρύνῃ τοὺς ἥρωας ὡς μὴ ἀριστοπραγοῦντας οἴκοθεν. ἔχει δέ τι μυθικὸν καὶ οὕτω πάλιν ὁ λόγος. βούλεται γὰρ τοὺς μὲν ἄλλους θεοὺς ἀπελθεῖν, μόνην δ’ αὐτὴν τὴν σωματοειδῆ μάχην παρεῖναι τοῖς Τρωσὶ καὶ τοῖς Ἕλλησιν. Ἔοικε δέ πως καὶ προεκθέσει. προαναφωνεῖ γὰρ ὡς ἡ παροῦσα ῥαψῳδία οὐκ ἔχει δαιμόνια πρόσωπα.

2.232 [Φάναι δὲ ἄλλως κάλλιον, προεκτίθεται ὁ ποιητής, ὡς εἰ καὶ καλῶς ἐνταῦθα καὶ γλυκέως καὶ σεμνῶς γράψει καὶ ὡς οὐκ ἂν ἄλλος τις, ὅμως πρὸς ἱστορίαν ὑπτιώτερον λαλήσει καὶ ὡς εἰπεῖν ἀνθρωπίνως, οὐ μὴν καθ’ ὕψος δαιμόνιον τερατευσάμενος ἐκπλήξει τὸν ἀκροατὴν ὡς αὐτῷ σύνηθες.] (v. 2) Ἰστέον δὲ ὅτι τὸ «ἔνθα καὶ ἔνθα ἴθυσεν ἡ μάχη» ἐξήγησις οἷόν ἐστι τοῦ πολυάϊκος πολέμου. ταὐτὸν γὰρ τὸ πολυάϊξ καὶ τὸ ἔνθα καὶ ἔνθα τὴν μάχην ἰθύειν. (v. 3) Σημείωσαι δὲ καὶ ὅτι εἰπὼν «ἴθυσεν ἡ μάχη» ἐπάγει «ἀλλήλων ἰθυνομένων χαλκήρεα δοῦρα», οἱονεὶ λέγων ὅτι τοῦτό ἐστιν ἰθύειν τὴν μάχην τὸ τοὺς μαχομένους κατ’ ἀλλήλων, ὡς ἐρρέθη, ἰθύνειν τὰ δόρατα. Ἐνταῦθα δὲ δῆλον καὶ ὅτι τὸ ἰθύνω ἐκ τοῦ ἰθύω γίνεται, ὡς δύω δύνω, πλύω πλύνω, χύω χύνω. Ἀττικῶς δὲ εἴρηται τὸ «ἰθυνομένων κατ’ ἀλλήλων δοῦρα», ἤγουν ἰθυνόντων. [Δῆλον οὖν ὡς Ὁμηρικῶς ἔγραψεν Ἡρόδοτος τὸ «ἰθύοντο μάχεσθαι», ἤγουν ὥρμων.] (v. 4) Ὅρα δὲ καὶ ὅτι μεταξὺ Σιμόεντος καὶ Ξάνθου τὰ τῆς μάχης διάκεινται ἐν τῷ λειμῶνι, ὃν φθάσας πεδίον εἶπε Σκαμάνδριον ἀπὸ ἑνὸς τῶν δύο ποταμῶν, ἤγουν Ξάνθου τοῦ καὶ Σκαμάνδρου. Ἐνταῦθα δὲ μνηστέον καὶ τοῦ Γεωγράφου εἰπόντος, ὅτι ἰδίως Τρωϊκὸν πεδίον τὸ Σιμοείσιον καὶ τὸ Σκαμάνδριον, ἔνθα οἱ πλεῖστοι ἀγῶνες, ὡς καὶ προγέγραπται. (v. 5) Ὅρα δὲ καὶ ὡς τῆς μάχης μονωθείσης εὐδοκιμεῖ ὁ Τελαμώνιος, οἷα τῶν μὲν ἄλλων παρουσίᾳ θεοῦ ἀνδριζομένων, τοῦ δὲ Αἴαντος καθ’ ἑαυτόν. Διὸ καὶ ὁ Σοφοκλῆς πλάττει αὐτὸν ἀλαζονευόμενον καὶ λέγοντα πρὸς Ἀθηνᾶν, ὡς ἄλλοις πέλας παρίστασο, καθ’ ἡμᾶς δ’ οὔποτ’ ἐκρήξει μάχη. Τὸ δὲ «ἕρκος Ἀχαιῶν» ἐλλειπτικῶς εἴρηται ἀντὶ τοῦ «ἕρκος Ἑλλήνων ἐν μάχῃ».

2.233 διὸ ἀλλαχοῦ ἐντελέστερον λέγει «ἕρκος ἔμεν πολέμοιο». Ἕρκος δὲ τὸ τεῖχος. ὅθεν μεταλαβὼν ὁ Θεόκριτός φησι τὸν Ἀχιλλέα «πύργον ἀϋτῆς», ἤγουν τεῖχος πολέμου, [παρασυλήσας ἐξ Ὁμήρου εἰπόντος ὡς μέγα πᾶσιν Ἀχαιοῖσιν ἕρκος ἐστὶ πολέμου.] (v. 6) Ὅρα δὲ καὶ ὅπως ἑνὸς ἀριστέως πεσόντος μέγα γίνεται τοῖς ὁμοεθνέσι κακόν. ἄριστον γάρ τινα, ὡς ἐρρέθη, βαλὼν ὁ Αἴας ὅλην ἔρρηξε φάλαγγα Τρώων, ἤγουν διέλυσε, διέρρηξε, Τρωϊκὸν πολὺν συνασπισμόν. Ἐκ τούτου δὲ δῆλον ὅτι καὶ αὐτὸς ῥηξήνωρ δύναται νῦν κατὰ τὸν Ἀχιλλέα λέγεσθαι. Ἐν δὲ τῷ «φόως ἑτάροις ἔθηκε» φῶς τὴν νίκην φησί, διότι οἱ νικώμενοι ὡς ὑπὸ σκότῳ εἰσί. καὶ ἐν τοῖς ἑξῆς δὲ ἐρεῖ «αἴ κέν τι φόως ἑτάροισι γένοιο», φῶς καὶ ἐκεῖ τὴν νίκην λέγων. Ζητητέον δὲ ἐνταῦθα καὶ τὰ τοῦ Πινδάρου περὶ τῶν ἡττωμένων, [οἷς ἐπίκρυφον οἶμον ἐκεῖνος εἶναί φησι διὰ τὸ κεκρύφθαι καὶ ὀκνεῖν ὑπὸ φωτὶ ζῆν ἐν τῷ αἰσχύνεσθαι τοὺς ὁρῶντας.] Τοῦ δὲ φόως τὸ σκευώρημα κατὰ τὸ γαλόως. ὡς γὰρ φῶς φόως, οὕτω καὶ γάλως γαλόως, ἴσως δὲ καὶ Κῶς Κόως, «Κόων δὲ εὖ ναιομένην». (v. 14) Ὅτι πλούσιος καὶ πάνυ φιλόξενος ὁ ἐξ Ἀρίσβης Τευθρανίδης Ἄξυλος. Φησὶ γὰρ «ἀφνειὸς βιότοιο, φίλος δ’ ἦν ἀνθρώποισι. πάντας γὰρ φιλέεσκεν ὁδῷ ἔπι οἰκία ναίων». Διὸ καὶ ἀπὸ τοῦ ἄγω ἄξω ἐτυμολογοῦσιν αὐτόν, ὡς πάντας εἰς ξενίαν ἄγοντα, ταὐτὸν δ’ εἰπεῖν, ξεναγοῦντα καὶ καλοῦντα. ὅθεν καὶ ὁ θεράπων αὐτῷ Καλήσιος, ἐκ τοῦ καλῶ καλήσω, ὡς αἰνῶ αἰνήσω. (v. 13) Ἰστέον δὲ ὅτι τὸ Τευθρανίδης ἔλλειψιν ἔχει τοῦ τ . δηλοῖ γὰρ τὸν υἱὸν τοῦ Τεύθραντος. Τοιοῦτον καὶ τὸ τάλανος ἀπὸ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τάλας καὶ τὸ μέλανος ἐκ τοῦ μέλας. ἐλλείπει γὰρ καὶ ἐκεῖ τὸ τ , ὡς δηλοῖ τὸ ταλάντατος καὶ τὸ μελάντερον. Ἀρίσβη δὲ ἦν μὲν καὶ ἐν Λέσβῳ, πόλις ὁμώνυμος Ἀρίσβῃ τῇ Μάκαρος θυγατρί. Ἐνταῦθα δὲ πόλιν τινὰ Τρῳάδα δηλοῖ ἄποικον, ὡς λόγος, Μιτυληναίων, κειμένην μεταξὺ Περκώτης καὶ Ἀβύδου, ὁμώνυμον Ἀρίσβῃ τῇ τοῦ Κρητὸς Τεύκρου.

2.234 εἴρηται δὲ περὶ Ἀρίσβης καὶ ἐν Βοιωτίᾳ. [(v. 14) Τὸ δὲ «ἀφνειὸς βιότοιο» καινότερον πέφρασται, ὡς εἴπερ εἶπεν, εὔπορος βίου. τὸ δέ γε κοινότερον ἦν ἀφνειὸς βίοτον κατὰ τὸ «ἀνὴρ φρένας ἀφνειός». (v. 15) Τὸ δὲ φίλος παρηχεῖ μετὰ τοῦ φιλέεσκε.] Τὸ δὲ «ὁδῷ ἔπι οἰκία ναίων» ἀντὶ τοῦ ἐν τῇ λεωφόρῳ οἰκῶν, ὃς δὴ τόπος πρόσφορος ξενοδόχῳ. (v. 16 s.) Τοῦτον τὸν Ἄξυλον ὁ ποιητὴς ἀναιρῶν ὑπὸ τῷ Διομήδει φησὶν ὡς, εἰ καὶ πάντας ἐφίλει, ἤτοι ἐφιλοφρονεῖτο, «ἀλλά οἱ οὔ τις τῶν γε», ἤγουν τούτων, «τότ’ ἤρκεσε λυγρὸν ὄλεθρον πρόσθεν ὑπαντιάσας». Τοῦτο δὲ οὐκ ἐπὶ ὀνείδει ὁ ποιητὴς λέγει καὶ φαυλισμῷ τῆς φιλανθρώπου φιλοξενίας, ὥς που καὶ προεγράφη, ἀλλὰ τὴν τοῦ μοιριδίου ἀνάγκην ὑποδηλοῖ. ὥσπερ οὖν ἐν ἄλλοις, οὕτω καὶ ἐν τούτοις ἁπλοϊκῶς τὸ κατὰ φύσιν τῆς ζωῆς τέλος ἀναφωνεῖ, ὡς τοῦ θανάτου πάντας ἀπάγοντος. Κατά τινας δὲ φαυλιστικὸς ὁ λόγος. ἀποδοκιμάζει γάρ, φασί, τὴν ἄκριτον φιλοξενίαν ὁ ποιητὴς οἷα χυδαίαν καὶ ἀσυντελῆ, ὡς μὴ καλὸν ὂν πάντας ἀκρίτως ξενίζειν καὶ αὐτούς, εἴ που τύχῃ, τοὺς φαυλοτάτους. Διὸ καὶ ὁ Πλάτων παρά τινι ξενισθεὶς ἀλλοδαπῷ καὶ θαυμάσας τὸν ἄνδρα, ὡς εἶδεν ἐκεῖνον καὶ εἰς δεύτερόν τινα καὶ εἰς τρίτον καὶ εἰς πλείονας ἔτι τὸ αὐτὸ ποιοῦντα, ἀπεπήδησε καὶ τὴν ξενίαν ἀπείπατο. οὐ γὰρ ἤθελε τοὺς τυχόντας ἀνθρώπους τῶν αὐτῶν τῷ σπουδαίῳ ἀξιοῦσθαι καὶ πάντας ἐν ἴσῳ κεῖσθαι παρὰ τῷ φιλοφρονουμένῳ. Ὅρα δὲ τὸ «ἤρκεσε λυγρὸν ὄλεθρον» ἐντελῶς ῥηθέν. δοκεῖ γὰρ τὸ ἤρκεσεν ἁπλῶς οὕτω λεγόμενον λείπεσθαί τινος αἰτιατικῆς, οἷον· οὔ οἱ ἤρκεσεν ὄλεθρον ἢ θάνατον ἤ τοιοῦτόν τι. Οὕτω καὶ τὸ μὲν «ἐτελεύτησε τὴν ζωήν» πλῆρές ἐστι, ὡς καὶ τὸ «ἀπέψυξε βίον» παρὰ Σοφοκλεῖ. τὸ δὲ ψιλῶς εἰπεῖν, ὡς ἐτελεύτησέ τις ἢ ἀπέψυξεν, ἐλλιπῶς ἔχει. (v. 17) Ὅτι τὸ ἀνεῖλε «θυμὸν ἀπηύρα», ὅ ἐστιν ἀφείλετο, λέγει καὶ «ὑπέλυσε μένος καὶ φαίδιμα γυῖα».

2.235 (v. 19) Τὸ δὲ ἔθανε «γαῖαν ἔδυ» φησίν. ὅθεν καὶ δύσις βίου οἷά τινος ἡλίου ὁ θάνατος λέγεται. Ὅτι τὸν ἡνίοχον ὑφηνίοχον λέγει πλεοναζούσης καὶ ἐνταῦθα τῆς προθέσεως. ἴσως δὲ καὶ ταὐτόν ἐστι τὸ ὑφηνίοχος τῷ δεύτερος ἡνίοχος, ὑποβεβηκώς, ὑφειμένος, ὑπό τινι μεγάλῳ καὶ πρώτῳ ἡνιόχῳ ταττόμενος, τῷ παραιβάτῃ δηλαδή, ὃς καὶ αὐτὸς ἡνίοχος ἐλέγετο. τὸν γοῦν Ἕκτορα θρασύν που ἡνίοχον καλεῖ. διὸ καὶ ὁ ὑπὸ τῷ τοιούτῳ μεγάλῳ ἡνιόχῳ καλῶς ἂν ὑφηνίοχος λέγοιτο. (v. 21 s.) Ὅτι τὰς μὲν Νηρηΐδας ὁ μῦθος θαλασσίας δαίμονας ὑφιστᾷ, τὰς δὲ Νηΐδας τῶν γλυκέων ναμάτων προϊστᾷ, ὧν μία τις καὶ Ἀβαρβαρέη, ἥτις διδυμάονας ἔτεκέ τινας, Αἴσηπον καὶ Πήδασον, ὑπὸ τῷ ῥηθησομένῳ Λαομεδοντιάδῃ Βουκολίωνι, ὧν Αἴσηπος μὲν ὁμώνυμός τινι ποταμῷ, Πήδασος δὲ πολιχνίῳ τῷ μετ’ ὀλίγα ῥηθησομένῳ. (v. 23—6) Ὅτι διήγημα κἀνταῦθα μικτὸν ἐξ ἱστορίας καὶ μύθου παρεισάγει ὁ ποιητής, ὀλιγόστιχον μέν, γοργότητα δὲ ποιοῦν ἐξαιρετικὴν τῆς ἐν λόγῳ ὑπτιότητος, ἀρχόμενον καὶ αὐτὸ συνήθως ἀπὸ ῥήματος ὑπαρκτικοῦ. Φησὶ γάρ «Βουκολίων ἦν υἱὸς ἀγαυοῦ Λαομέδοντος, πρεσβύτατος γενεῇ. σκότιον δέ ἑ», ἤγουν αὐτόν, «ἐγείνατο μήτηρ», ἤτοι ἐκ λαθραίας μίξεως. ὅπερ ὁ Ἀπίων ἐξ ἀδᾳδουχήτων γάμων φησί. «Ποιμαίνων δ’ ἐπ’ ὄεσσι» καὶ αὐτός, ὡς καὶ ὁ τοῦ Πριάμου Ἀλέξανδρος καὶ ἄλλοι πολλοί, «μίγη» τῇ προσεχῶς ῥηθείσῃ Ἀβαρβαρέῃ νύμφῃ «φιλότητι καὶ εὐνῇ. ἣ δ’ ὑποκυσαμένη», τουτέστιν ὑπ’ αὐτοῦ ἔγκυος γενομένη, «διδυμάονε γείνατο παῖδε». Ὅτι δὲ ἕτερός ἐστιν ὁ σκότιος τοῦ παρθενίου καὶ τοῦ γνησίου, προείρηται. Ὅρα δὲ καὶ τὴν περιπέτειαν τοῦ Βουκολίωνος.

2.236 ἡ μὲν γὰρ κλῆσις αὐτῷ ἐκ τοῦ βουκολεῖν, ἡ δὲ τέχνη ποιμαντική. «ποιμαίνων» γάρ, φησίν, «ἐπ’ ὄεσσι». Καὶ ἴδε καὶ νῦν ὅτι τὸ ποιμαίνειν ἐπὶ προβάτων κυριολεκτεῖ ὁ ποιητής. Τὸ δὲ «μίγη φιλότητι καὶ εὐνῇ» διαστολὴν ποιεῖ πρὸς τὰς λοιπὰς μίξεις, ὅ ἐστι συνουσίας, ἃς οἱ σοφοὶ ἐπὶ

τῶν ἁπλῶς ὁμιλιῶν τιθέασι. Περὶ δὲ τοῦ διδυμάονες κεῖται ἐν ῥητορικῷ Λεξικῷ, ὅτι διδυμάονες μὲν οἱ κεχωρισμένοι τοῖς σώμασι, δίδυμοι δὲ οἱ συμφυεῖς, ὁποίους ὁ μῦθος πλάττει τοὺς Ἀκτορίωνας. (v. 29—36) Σημείωσαι δὲ ὡς καὶ ἐνταῦθα ὁ ποιητὴς ἱστορίας παρεμπλέκει τοῖς φονευομένοις προσώποις, ὡς καὶ πρὸ τούτου, δυνάμενος μέν τινας αὐτῶν ἐν τῷ Καταλόγῳ θεῖναι, ἤγουν ἐν τῇ Βοιωτίᾳ, μὴ ποιήσας δὲ τοῦτο, ἀλλὰ ταμιευσάμενος αὐτὰς ἑκασταχοῦ, ἔνθα καιρός, εἰς ποικιλίαν τε τῆς ποιήσεως καὶ ἵνα μὴ ὁ Κατάλογος ἐκεῖνος μακρότερος τοῦ δέοντος γένοιτο. Φιλοτιμεῖται δ᾽ ἐνταῦθα καὶ τὸ τῆς φράσεως Λακωνικόν, ἤγουν γοργόν, τιθεὶς ἐν ἔπεσιν ἑπτὰ κατὰ ἕκαστον στίχον τόν τε πεφονευμένον καὶ τὸν φονεύσαντα, καὶ τοῦτο μετὰ τῆς συνήθους ποικιλίας. τοὺς μὲν γὰρ μετὰ ἐπιθέτων προάγει, ὅπως ἂν τύχῃ, τοὺς δὲ ἁπλῶς οὕτως ἐν μόνῳ ὀνόματι. καὶ στίχον μὲν ἕνα ἐκ τῶν ἑπτὰ συναπαρτίζει τῷ πεσόντι καὶ τῷ ῥίψαντι εἰπὼν «Ἄστυλον δ᾽ ἂρ ἔπεφνε μενεπτόλεμος Πολυποίτης». Τῶν δὲ λοιπῶν στίχων οἱ μὲν καὶ δευτέρου ἔπους εἰς ἀπαρτισμὸν ἐννοίας προσεφάπτονται, [ὡς καὶ ὁ περὶ Ὀδυσσέως], οἱ δὲ συντομώτερον ἐν ἡμιστιχίῳ τὴν ἔννοιαν ἀπαρτίζουσιν, οἷον «Φύλακον δ᾽ ἕλε Λήϊτος ἥρως», καὶ «Τεῦκρος δ᾽ Ἀρετάονα δῖον» ἢ «Τεῦκρος δ᾽ ἂρ Ἐτάονα δῖον», καὶ «Ἔλατον δὲ ἄναξ ἀνδρῶν Ἀγαμέμνων», καὶ «Εὐρύπυλος δὲ Μελάνθιον ἐξενάριξεν». Ἔχουσι δὲ οἱ τοιοῦτοι στίχοι καὶ ῥημάτων ὁμοτίμων πλοῦτον ἐν τῷ ἔπεφνε καὶ ἐξενάριξε καὶ ἐνήρατο καὶ εἷλε.

2.237 Τινὲς δὲ καὶ ἄνευ ῥημάτων προάγονται κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα, οἷον «Τεῦκρος Ἀρετάονα» καὶ «Ἔλατον Ἀγαμέμνων». οὕτω καὶ ἐν τούτοις ποικίλος ὁ ποιητής. (v. 21) Ὅτι ἡ μὲν πρὸς Καρίᾳ καὶ Ἁλικαρνασῷ Πήδασος ἀπὸ Πηγάσου τοῦ ἵππου, ὥς φασι, καλεῖται, ὑφ᾽ οὗ καὶ περιεγράφη. ὑπέσχοντο γὰρ οἱ ἐκεῖ κατὰ τὴν ἱστορίαν τῷ Βελλεροφόντῃ χώραν δώσειν, ἣν ἵππος νυχθημέρῳ περιτροχάσει. διὸ καὶ χάραγμα ἵππου ἔχουσιν οἱ ἐκεῖ. Ἔστι δὲ καὶ ἄλλη Πήδασος Τρωϊκὴ ὀχυρωτάτη, ἡ πάλαι Μονηνία, ἧς ἐνταῦθα κατὰ τοὺς ἀκριβεστέρους μεμνῆσθαι δοκεῖ ὁ ποιητής. ἣν πολιορκῶν Ἀχιλλεὺς καὶ δι᾽ ὀχυρότητα μέλλων ἄπρακτος ὑποχωρεῖν εἷλεν ἄλλως ἐκ προδοσίας. παρθένος γὰρ ἔσω τειχῶν οὖσα καὶ τοῦ Ἀχιλλέως ἐρασθεῖσα ἐπέρριψε μῆλον, ἐν ᾧ ἔγραψε τάδε «μὴ σπεῦδ᾽, Ἀχιλλεῦ, πρὶν Μονηνίαν ἕλῃς. ὕδωρ γὰρ οὐκ ἔνεστι, διψῶσι κακῶς». ὁ δ᾽ ἐπιμείνας εἷλε τὴν πόλιν σπανίζουσαν ὕδατος. Ἔστι δὲ ἐνταῦθα τὸ περὶ Πηδάσου Ὁμηρικὸν ῥητὸν τοιοῦτον «ναῖε δὲ Σατνιόεντος παρ᾽ ὄχθας Πήδασον αἰπεινήν». Καὶ περὶ μὲν Σατνιόεντος ὁ Γεωγράφος φησίν, ὅτι τινὲς Σαφνιόεντα λέγουσιν, ἔστι δὲ χείμαρρος μέγας, ὃν ὁ ποιητής, φησίν, ὀνομάσας ἄξιον μνήμης πεποίηκε. Περὶ δὲ Πηδάσου ἱστορεῖ, ὡς οἱ περὶ Πήδασον Λέλεγες, μεταξὺ οἰκοῦντες Δαρδανίων καὶ Κιλίκων τῶν Τρωϊκῶν, ἐκπορθηθέντες ὑπ᾽ Ἀχιλλέως, μετέστησαν εἰς Καρίαν καὶ κατέσχον χωρία περὶ Ἁλικαρνασόν. καὶ ἡ μὲν Πήδασος ἡ ἐκλειφθεῖσα ὑπ᾽ αὐτῶν οὐκ ἔστιν, ἐν δὲ τῇ μεσογείῳ τῆς Ἁλικαρνασοῦ πόλις τὰ Πήδασα καὶ χώρα Πηδασίς. ἐφαίνοντο γοῦν ἐν Καρίᾳ καὶ Μιλήτῳ Λελέγων τάφοι καὶ ἐρύματα. μετὰ δὲ τοὺς Λέλεγας οἱ καθ᾽ Ὅμηρον Κίλικες. Ὁ δ᾽ αὐτὸς ἐν ἄλλοις λέγει καί, ὅτι Πήδασον τὴν τῶν Λελέγων καὶ Θήβην καὶ Λυρνησόν, τὰ ἀντικείμενα τῇ Λέσβῳ, εἷλεν Ἀχιλλεύς. Ὅτι δὲ καὶ Εὐρωπαία πόλις Πήδασος, ἡ νῦν Μεθώνη ἢ Κορώνη, ἐν ἄλλοις δεδήλωται. ἥτις καὶ μία ἦν τῶν ἑπτὰ τοῦ Ἀγαμέμνονος πόλεων ἐν Πελοποννήσῳ (v.

2.238 39) Ὅτι βλάπτεσθαι καὶ βλαφθῆναι κυρίως ἐπὶ τοῦ προσκόπτειν καὶ ἐμποδίζεσθαι, οἷον «ὄζῳ ἔνι βλαφθέντε μυρικίνῳ». ἐξ αὐτοῦ δὲ καὶ τὸ πτώματος ἢ νόσου ἀναστῆναι ἀνασφῆλαι λέγεται. Ἀντίκειται δὲ τῷ σφάλλεσθαι τὸ ὀρθοῦσθαι, ταὐτὸν δ᾽ εἰπεῖν, κατορθοῦσθαι, ὡς δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ «ἔσφηλαν ἤδη καὶ κατώρθωσαν βροτούς». Χρηστότερον δὲ πολλάκις ποιηταῖς τὸ βλαφθῆναι ἤπερ τὸ βλαβῆναι, ὡς καὶ ἐν ἄλλοις δηλοῦται. δηλοῖ δ᾽ αὐτὸ καὶ τὸ «τοιοῦδ᾽ ἀποβλαφθεῖσαν ἀρτίως φίλου». Μυρίκη δὲ φυτόν ἐστι αὐτομάτως ἐν πεδίῳ φυόμενον, ὅπερ καὶ εἰσάρτι παρὰ Πελοποννησίοις καὶ ἑτέροις φυλάσσει τὸν τῆς κλήσεως

ἀρχαϊσμόν. (v. 38—40) Ἰστέον δὲ ὅτι καὶ ἐν τῷ χωρίῳ τούτῳ κεῖνται τρεῖς ἐφεξῆς μετοχαὶ ἀσύνδετοι. Φησὶ γὰρ «ἵππω ἀτυζομένω πεδίοιο», ἤγουν σκιρτῶντες καὶ ᾄττοντες κατὰ πεδιάδος ἢ ἀτώμενοι, ὡς μετ' ὀλίγα φανεῖται, «ὄζῳ ἔνι βλαφθέντε μυρικίνῳ ἀγκύλον ἅρμα ἄξαντ' ἐν πρώτῳ ῥυμῷ», ὅ ἐστι θραύσαντες, κλάσαντες, κατὰ ῥυμόν, «αὐτὼ μὲν ἐβήτην» καὶ ἑξῆς. (v. 40) Σημείωσαι δὲ ὡς ἐπὶ ἅρματος μὲν ῥυμὸς λέγεται παρὰ τὸ ῥύω, τὸ ἑλκύω, οὕτω δὲ καὶ ἐπὶ ἀπήνης. ἐπὶ δὲ ἀρότρου ἱστοβοεὺς παρὰ Ἡσιόδῳ, βαρβαριζόμενος νῦν παρὰ πολλοῖς, οἵ φασιν αὐτὸν σταβάριον ὡς οἷον ἱστοβοάριον.

2.239 ξύλινα δὲ καὶ ἀμφότερα, ὁ ῥυμός τε καὶ ὁ ἱστοβοεύς. Τὸ μέντοι ἄμπρον, ἐξ οὗ παρὰ Λυκόφρονι τὸ ἀμπρεύειν, οὐ τοιοῦτόν ἐστιν. Ἄμπρον γάρ, φασί, σχοινίον, ᾧ ἐχρῶντο ἀντὶ ῥυμοῦ, μέσῳ τεταμένῳ τῶν ἑλκόντων ζεύγων. Ὅρα δὲ τὸ ἐν πρώτῳ ῥυμῷ ἀντὶ τοῦ ἐν ἄκρῳ. Οὐ γὰρ δήπου νοητέον ἅρμα πολύρρυμον. τοιαῦτα γὰρ οὐκ οἶδεν ὁ ποιητής, ἀλλὰ παρὰ τοῖς ὕστερον ἐπινενόηνται, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. (v. 41) Ὅτι ὥσπερ τὸ φέβεσθαι, οὕτω καὶ τὸ φοβεῖσθαι ἀντὶ τοῦ φεύγειν ἀεὶ κεῖται παρὰ τῷ ποιητῇ, ὁποῖον καὶ ἐνταῦθα τὸ ὅπου «οἱ ἄλλοι ἀτυζόμενοι φοβέοντο». (v. 42 s.) Ὅτι ἑρμηνεύων ἐνταῦθα ὁ ποιητής, τίς ἐστιν ὁ πρηνής, λέγει «ἐκ δίφρου παρὰ τροχὸν ἐξεκυλίσθη πρηνὴς ἐν κονίῃσιν ἐπὶ στόμα», παραδηλῶν ὡς ὁ ἐπὶ στόμα κείμενος πρηνὴς κεῖσθαι λέγεται, ὁ δὲ ἀνάπαλιν ὕπτιος. Δοκεῖ δὲ τὸ μὲν πρηνής, ὃ καὶ πρανὴς διὰ τοῦ ἄλφα λέγεται, ἀπὸ τοῦ παρανέειν γίνεσθαι, ὅ ἐστι παρανήχεσθαι. παρανέοντι γὰρ ἔοικεν ὁ πρηνής, τὸ δὲ ὕπτιος ἀπὸ τοῦ ὄπτω Αἰολικῶς, γνωρίζεται γὰρ κατ' ὄψιν ὁ οὕτω κείμενος καὶ οὐ λανθάνει κατὰ τὸν πρανῆ. Ἐναντιοῦται δὲ τῇ τοιαύτῃ ἐτυμολογίᾳ τὸ πνεῦμα. εἰ γὰρ ἦν ἡ λέξις καθαρῶς Αἰολική, ἐψιλοῦτο ἄν. (v. 44) Ὅτι δολιχόσκιον ἔγχος, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, τὸ εἰς δολιχὸν διάστημα καὶ μακρὸν κίειν δυνάμενον πλεονάσαντος τοῦ ς , ὡς καὶ ἐν τῷ θεόσδοτος. ἢ οὗ σκιὰ δολιχή, ἵνα ἐκ τοῦ παρακολουθοῦντος δηλοῖ τὸ μακρόν. ἢ ὅπερ διὰ τὸ ἐν σκιᾷ ἐκτραφῆναι γέγονε δολιχόν, ὃ καὶ ἀνεμοτρεφὲς Ὅμηρος καλεῖ. κραταιὰ μὲν γὰρ τὰ εἱληθερούμενα, εὐφυέστερα δὲ τὰ σκιατραφούμενα. (v. 46) Ὅτι ζωγρεῖν καὶ ἐνταῦθα τὸ ζῶντα ἀγρεύειν τινά, οἷον «ζώγρει Ἀτρέος υἱέ».

2.240 καὶ τὰ ὑπὲρ αὐτοῦ λύτρα ζωάγρια λέγονται, καὶ τὸ τῶν ἰχθύων δὲ ζωγρεῖον ἐντεῦθεν εἴληφε τὴν ἀρχήν. Ὅτε μέντοι τὸν Σαρπηδόνα ἡ τοῦ Βορέου πνοὴ ζωγρεῖ, τότε τὸ ζωγρεῖν ἀντὶ τοῦ ζωὴν ἀγείρειν λέγεται καὶ τὴν λειποθυμίαν ἐπανακαλεῖσθαι, ὡς προείρηται. Τὸ δὲ «Ἀτρέος» Ἰωνικῶς συστέλλει τὴν λήγουσαν. (v. 46—50) Ὅτι πλουσίου υἱῷ ὑπισχνουμένῳ δόσιν οἰκεῖον τὸ «ζώγρει, ὦ δεῖνα, σὺ δ' ἄξια δέξαι ἄποινα, πολλὰ δ' ἐν ἀφνειοῦ πατρὸς κειμήλια κεῖται, χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος, τῶν κέν τοι χαρίσαιτο πατὴρ ἀπερείσι' ἄποινα, αἴ κεν ἐμὲ ζωόν» καὶ ἑξῆς. Ἄδραστος δέ τις ταῦτα λέγει πρὸς τὸν Μενέλαον ἁλοὺς καὶ πτοούμενος θάνατον καὶ διὰ τοῦτο δυσωπῶν ζωγρηθῆναι διὰ δόσιν χρημάτων, οἷς οἱ τοιοῦτοι πεποίθασιν. Ἀττικὸν δὲ τὸ «ἐν ἀφνειοῦ πατρός», καὶ ἔστι τὸ σχῆμα ἔλλειψις καιρία δυσωποῦντος ἀνδρὸς καὶ ἀγωνιῶντος καὶ διὰ τοῦτο μὴ ἔχοντος λαλεῖν διεξοδικῶς. Ὅτι δὲ ὁ ἀφνειὸς δύναται καὶ ἀφνεὸς λέγεσθαι, δῆλον καὶ ἐκ τοῦ «χερσὶν ἀφνεωτέραις» παρὰ Σοφοκλεῖ. οὕτω δὲ καὶ ὁ θειότερος θεώτερος ἐν τῷ Περιηγητῇ. [Τὸ δὲ «κειμήλια κεῖται» Ἀττικόν ἐστιν, ὡς καὶ τἄλλα τὰ ὡς αὐτό. Δῆλον δὲ ὡς ἐκ τοῦ κεῖσθαι παρῆκται τὸ κειμήλιον.] (v. 48) Τὸ δὲ «χαλκός τε χρυσός τε» οἷον ἐξήγησίς ἐστι τοῦ κειμήλια. Σίδηρος δὲ πολύκμητος ἢ ὁ ἤδη κατειργασμένος καὶ ἐφ' ᾧ οἱ τεχνῖται πολλὰ ἔκαμον ἢ ἀνάπαλιν ὁ ἀκατέργαστος καὶ εἰς ὃν πολλὰ ἂν κάμωσιν οἱ εἰδοποιοῦντες αὐτόν, ἢ δι' οὗ πολλοὶ ἂν κάμοιεν, ἤτοι θάνοιεν κατὰ τὸ «εἴδωλα καμόντων», ἤτοι τεθνεώτων. (v. 49) Τὸ δὲ χαρίσαιτο ἀστείως εἴρηται καὶ κολακικῶς, ὡς τοῦ πατρὸς πολλὰ μὲν δώσοντος λύτρα καὶ ἄξια ἄποινα, οὐ πρὸς ὦνον δέ, ἀλλ' εἰς χάριν.

2.241 Ὅρα δὲ καὶ ἐνταῦθα, ὡς δειλὸν ὁ πλοῦτος καὶ φιλόψυχον κακόν. Πλούσιος γὰρ ὢν ὁ Ἄδραστος ἀγεννῶς πρὸς θάνατον μαλακίζεται. (v. 51) Ὅτι τὸν Μενέλαον καὶ ἐν ἄλλοις μὲν ἀκούομεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μαλθακὸν πολεμιστήν, ὧδε δὲ καὶ ἁπαλὸν αὐτὸν τὰ εἰς ἦθος εὑρίσκομεν, ὃς τοῦ Τρωὸς Ἀδράστου ζωγρηθέντος καὶ ἀγεννῶς οὕτω, καθὰ εἴρηται, λιταζομένου αὐτόν, ὅπερ μηδεὶς τῶν Ἑλλήνων ἐποίησε, καὶ δῶρα δὲ πολλὰ ὑπισχνουμένου, κάμπτεται πρὸς ἔλεον καὶ ἐθέλει περιποιήσασθαι τὸν ἱκέτην, ἴσως μὲν καὶ διὰ τὰ ὑπεσχημένα δῶρα, ἴσως δὲ καὶ αἰδεσθεὶς τὸν ἱκέσιον. (v. 52—60) «Καὶ δή μιν τάχ' ἔμελλε», φησί, «θοὰς ἐπὶ νῆας Ἀχαιῶν δώσειν ᾧ θεράποντι καταξέμεν, ἀλλ' Ἀγαμέμνων ἀντίος ἦλθε θέων», καὶ τραχύτερον καὶ εὐγενέστερον προσενεχθεὶς οὐ μόνον, οἷς καιρίως ἐρρητόρευκε, τὰς τοῦ ἀδελφοῦ φρένας ἔτρεψεν, ἀλλὰ καὶ ἀνεῖλεν αὐτὸς τὸν Ἄδραστον, σκώψας πρῶτα τὸν Μενέλαον ὡς χαῦνον καὶ ἔκλυτον ἐν τῷ εἰπεῖν «ὦ πέπον, ὦ Μενέλαε», καὶ ὀνειδίσας διὰ τοῦ «τιὴ δὲ σὺ κήδεαι αὔτως ἀνδρῶν», καὶ βαρέως δὲ εἰρωνευσάμενος τὸ «ἦ τοι» ἤγουν ὄντως σοι, «ἄριστα πεποίηται κατὰ οἶκον πρὸς Τρώων», ἤγουν ἀνάπαλιν χείριστα πεποίηται. [Τοῦτο δὲ εἰρωνείας ἐστὶ τῆς κατὰ βαρύτητα. βαρυνομένου γὰρ ἤθους ὥσπερ τὸ χρηστοὺς εἰπεῖν τοὺς πονηρούς, οὕτω καὶ ἄριστα βαρέως ἀντιφράσαι τὰ κάκιστα.] Καὶ ἐπὶ πᾶσι τοπικῶς ἐρεθίσας διὰ τοῦ φάναι· «τῶν μή τις ὑπεκφύγῃ αἰπὺν ὄλεθρον χεῖράς θ' ἡμετέρας, μηδ' ὅν τινα γαστέρι μήτηρ κοῦρον ἐόντα φέρει, μηδ' ὃς φύγοι». οὕτω βαρὺς ὁ βασιλεὺς τοῖς ἐπιόρκοις ἐχθροῖς ὁ τοῖς ἀρχομένοις πρᾶος. Καὶ σημείωσαι ὅτι τοὺς ἄνδρας τε ἀναιρεῖσθαι βούλεται καὶ τοὺς ἄρρενας παῖδας. τὸ γὰρ θῆλυ ὡς τὰ πολλὰ περιποιοῦνται οἱ πολιορκοῦντες. (v.

2.242 58) Τὸ δὲ «γαστέρι» ἐνταῦθα νοητέον ἀντὶ τοῦ κόλπῳ. τὸ γὰρ ἔνδον ὑπὸ τῇ γαστρὶ νοῆσαι οὐ μόνον θηριῶδες διὰ τὸ ἀπάνθρωπον τοῦ τοιούτου φόνου, ἀλλὰ καὶ γελοῖον σὺν τῷ ὑπερβολικῷ. τί γὰρ ἔδει τῆς μητρὸς ἀναιρεθείσης ἐπιβουλεύειν ἰδίᾳ ἐμβρύῳ τῷ κατὰ γαστρός; Δῆλον δὲ τοῦτο καὶ ἐκ τοῦ ποιητοῦ. οὐ γὰρ εἶπεν «ὅν τινα ἡ μήτηρ ἔμβρυον φέρει», ἀλλὰ κοῦρον. ὁ δὲ κοῦρος οὐκ ἔμβρυον. [Ἔχει δὲ τὸ εὔλογον ἡ τοιαύτη ἔννοια καὶ ἀπὸ τοῦ Πριάμου. προμηθεῖται γὰρ νῦν ὁ τῶν Ἀχαιῶν βασιλεύς, μήποτε κοῦρός τις ἐλεηθείς, ὡς πάλαι ὁ κοῦρος Ποδάρκης, εἴτ' οὖν Πρίαμος, οἰκίσῃ τὴν Τροίαν ἐπὶ κακῷ τῶν ἐπιγόνων Ἑλλήνων.] Ἰστέον δὲ ὅτι τὸ βασιλικὸν τοῦτο παράγγελμα δέδωκε τοῖς ὕστερον ἀφορμὴν τοῦ ἱστορῆσαι καὶ τὸν τοῦ Ἕκτορος κοῦρον τὸν Ἀστυάνακτα ἐν τῇ τῆς Τροίας ἁλώσει βρέφος ὄντα ἀναιρεθῆναι. (v. 53) [Τὸ δὲ καταξέμεν, ἤγουν καταγαγεῖν, ᾠκείωται τῇ ἠνεμοέσσῃ Τροίᾳ. Ὁ γὰρ ἐκεῖθεν ἥκων εἰς τὸ ναύσταθμον καταβαίνειν καὶ κατάγεσθαι καὶ κατέρχεσθαι λέγεται κατὰ κυριολεξίαν. Ἀκολούθως δὲ πάλιν ὁ ἐκεῖθεν πλέων καὶ μὴ εἰς πλέον γινόμενος τοῦ κατωφορεῖσθαι ἀναβαίνει καὶ ἀνάγεται, ὥσπερ καὶ ἀναπλέει, καθὰ καὶ ἐν ἄλλοις ἐρρέθη. Αὐτὰ δὲ καὶ τὸ κατὰ τοὺς παλαιοὺς σφαιροειδὲς τῆς θαλάσσης ἐμφαίνει, δι' οὗ κυρτουμένης τρόπον τινὰ ἀναβαίνει ναῦς ἐπ' αὐτὴν καὶ ἀναπλέει καὶ τὰ λοιπὰ ὁμοίως.] (v. 56) Τὸ δὲ πεποίηται φανερῶς εἴρηται ἀντὶ τοῦ πέπρακται, εἰ καὶ ἄλλως καθ' ὁμωνυμίας λόγον ποιεῖν λέγεται καὶ τὸ ποιητικῶς γράφειν, ὡς προδεδήλωται. (v. 59 s.) Τὸ δὲ «μήδ' ὃς φύγοι» κόμμα ἐστὶ θυμικὸν ταὐτολογοῦν τὴν πρὸ αὐτοῦ ἔννοιαν ἐπαναληπτικῶς, ἵνα ἐμφήνῃ, ὡς οὐχ' ἁπλῶς οὕτως ἔφη φθάσας τὸ «μή τις ὑπεκφύγοι ὄλεθρον», ἀλλ' ἐσκεμμένως, οἷα ἐθέλων πανώλεις οἴχεσθαι τοὺς Τρῶας. Διὸ ἐπάγει «ἀλλ' ἅμα πάντες Ἰλίου ἐξαπολοίατο ἀκήδεστοι καὶ ἄφαντοι». δῆλον γὰρ ὡς τὸ πάντες ὀλοίατο πανωλεθρίαν δηλοῖ.

2.243 Τοῦ δὲ ἀκήδεστοι πρωτότυπον τὸ κηδῶ κηδέσω, ἐξ οὗ καὶ ὁ κηδεστὴς καὶ ὁ κηδεμών. ἔστι δὲ καὶ ἕτερος μέλλων ἐκ περισπωμένου ῥήματος ἀρρήτου τὸ κηδήσω. Οὕτω καὶ οὐ μόνον ἡγῶ ἡγήσω, ἀλλὰ καὶ ἡγέσω, ὅθεν ὁ ἡγεμών. [Ἐκ δὲ τοῦ ῥηθέντος ἀχρήστου κηδῶ, οὗ ὁ μέλλων κηδήσω, γίνεται καὶ τὸ ἀκηδιῶ, ὡς μειδῶ μειδιῶ, καὶ ἡ ἀκηδία.] (v. 55) Σημείωσαι δὲ καὶ ὅτι ἐν τῷ «ὦ πέπον, ὦ Μενέλαε» περισσὸν φαίνεται κεῖσθαι τὸ δεύτερον ω τῆς κλήσεως. Ἴσως δὲ ὁ Ἀγαμέμνων ἔοικεν ἐθέλειν μὲν καὶ ἕτερον ἐπίθετον ὀνειδιστικὸν εἰπεῖν πρὸς τὸν ἀδελφόν, φείσασθαι δὲ καὶ ἀντ' αὐτοῦ ἐκπεσεῖν εἰς τὸ κύριον ὄνομα. ἴσως δὲ καὶ ὡς κύριον παραλαλεῖ

σκωπτικῶς τῷ ἀδελφῷ, καθὰ τὸ «ὦ Μενέλαε», οὕτω καὶ τὸ «ὦ πέπον». Δεῖ δὲ καὶ νῦν εἰδέναι, ὅτι ὁ πέπων ποτὲ μὲν ἐπὶ φιλίας λαμβάνεται, ποτὲ δὲ ἐπὶ τοῦ χαύνου καὶ ἁπαλοῦ. ἀμφότερα δὲ εἴληπται ἀπὸ τοῦ πέπονος καρποῦ. Πᾶς γὰρ πέπων [ὑγρὸς] καρπὸς φίλος μέν ἐστι διὰ τὸ ὡραῖον, ἔκλυτος δὲ διὰ τὸ ἤδη πεπανθῆναι καὶ μὴ πολὺ πνευματῶδες καὶ φυσῶδες ἔχειν, ὅπερ εἶχεν ἐν καιρῷ ὠμότητος. Καὶ τὸ ὠμὸν δὲ ὁμοίως ἐπαμφοτερίζει. Καθότι μὲν γὰρ ἄβρωτον, οὐκ ἐν ἐπαίνῳ κεῖται οὔτε αὐτὸ οὔτε τὰ ἀπ' αὐτοῦ λεγόμενα, οἷον ὁ ὠμηστής καὶ ἡ ὠμότης καὶ τὰ τοιαῦτα.

2.244 καθὸ δὲ στερρὸν καὶ οὐκ ἔκλυτον, ἔχει τι μικρὸν ἐπαίνου. Αἴας γοῦν ὁ παρὰ Σοφοκλεῖ στερεόφρων ὠμοὺς νόμους τοὺς ἑαυτοῦ τρόπους καλεῖ, ὡς ἀνενδότους καὶ στερεούς. Ὅλως οὖν διὰ τοῦτο ἐναντία εἰσὶν ἀεὶ τό τε πέπον καὶ τὸ ὠμόν, δίχα γε τοῦ ὠμολίνου, οὗ μνησθείς τις τῶν παλαιῶν φησιν, ὅτι οὐκ οἶδα εἴ τις τοῦτο εἴρηκε τῶν ἀκριβῶν. Ἰστέον δὲ καὶ ὅτι κοινὸν τῷ γένει ἐστὶ τὸ ῥηθὲν ὄνομα. εὕρηται γὰρ καὶ οὐδέτερον τὸ πέπον, οἷον «πέπονα φαρμακεύειν», καὶ Ἡρόδοτος «ἐπὰν γένηται πέπον». καὶ ὅτι ἐντεῦθεν καὶ τὸ πεπαίνειν οὐ μόνον τὸ κοινόν, ἀλλὰ καὶ τὸ παρὰ Θεοκρίτῳ λεχθὲν ὡς ἐν λόγῳ σεμνῷ τὸ «ἐπὶ χρωτὶ χρὼς ἐπεπαίνετο», ἤγουν ἐρωτικῶς ἐμαλθάσσετο. καὶ οὕτω μὲν ταῦτα. Ἡ δὲ κοινοτέρα ὁμιλία τὸ τοῦ πέπονος ὄνομα ἐπί τινος εἴδους ἀφορίζει σικύων ἡδέων εἰς γεῦσιν καὶ φιλουμένων βρωθῆναι. Πολλοὶ δέ τινες τῶν ἑῴων Ποντικῶν τῶν γε ὑψηλοτέρων καὶ ἀπίους καὶ μῆλα Κυδώνια ἤδη πρὸς σῆψιν τραπέντα, ὡς τὰ ἐντὸς ἔχειν ἥπατι παρόμοια τὴν χρόαν, χρηστὰ μέντοι ἔτι ὄντα πρὸς βρῶσιν, πέπονά φασι, συνεισφέροντές τι καὶ αὐτοὶ καλὸν τῇ ἑρμηνείᾳ τοῦ πέπονος. (v. 59 s.) Τὸ δὲ «μηδ' ὃς φύγοι» περιττῶς μὲν κεῖται, ὡς καὶ ἀνωτέρω ἐρρέθη, δηλοῖ δὲ τὸ ἐνδιαθέτως τὸν βασιλέα λαλεῖν καὶ ἅμα εὐοδοῖ τὸ «ἀλλ' ἅμα πάντες ἐξαπόλοιντο», μὴ φθάσαν ἄνω τεθῆναι. Ἰστέον δὲ καὶ ὅτι ὁ κηδόμενος τῶν βλαψάντων ἀκούσοι ἂν παρὰ τοῦ εἰς θυμὸν ἐρεθίζοντος κατὰ τὸν Μενέλαον τὸ «ὦ πέπον, τί σὺ κήδεαι οὕτως ἀνδρῶν» καὶ τὰ ἑξῆς. (v. 61 s.) Ὅτι τὸ «ἔτρεψεν ἀδελφειοῦ φρένας ἥρως», ὁ βασιλεὺς δηλαδή, «αἴσιμα παρειπών», ἀντὶ τοῦ μετέπεισεν. ὅθεν καὶ τρεπτὸν ζῷον ὁ ἄνθρωπος. Τὸ δ' αὐτὸ καὶ στρέψαι λέγεται καὶ ὁ τοῦτο πάσχων στρεπτὸς κατὰ τὸ «στρεπτοὶ καὶ θεοὶ αὐτοί», καὶ «στρεπταὶ δέ τοι φρένες ἐσθλῶν». Ὅρα δ' ἐν τῷ «παρειπών» ἐκτεταμένην οὐκ ἀναλόγως τὴν τῆς προθέσεως παραλήγουσαν.

2.245 οὕτω δ' εὐθὺς ἐφεξῆς καὶ τῆς ἀπο προθέσεως ἐκτείνεται ἡ λήγουσα ἐν τῷ «ὃ δ' ἀπὸ ἕθεν ὤσατο χειρί». τινὲς δὲ θεραπεύοντες αὐτὸ μεταγράφουσιν «ἀπαὶ ἕθεν» καὶ οὕτω τὸ μέτρον ἀναπληροῦσιν. Οἱ μέντοι ἀκριβέστεροι ἐκτείνουσιν, ὡς ἐρρέθη, τὸ ο ἐνταῦθα τῆς προθέσεως διαφόροις λόγοις τῆς κοινῆς συλλαβῆς. Μέρους τε γὰρ λόγου καταπεραίωσίς ἐστι, καὶ δασεῖα καὶ ὀξεῖα τοῦ ἕθεν ἐπιφέρονται, δυνάμεναι τὴν λήγουσαν ἐκτείνειν τῆς προθέσεως, ὡς οἱ γραμματικοὶ δεικνύουσιν ἐν τῷ περὶ κοινῆς συλλαβῆς. Τὸ δὲ ὤσατο νῦν μὲν Ἀττικῶς προηνέχθη κατὰ πάθος, πλείων δὲ ἡ χρῆσις τοῦ ἐνεργητικοῦ, τοῦ ὦσε δηλαδή. (v. 64) Ὅτι τὴν λαγόνα, ἣν καὶ κενεῶνα καλοῦμεν, ἤγουν τὸν ὑπὸ τὰς πλευρὰς τόπον, λαπάραν καὶ ἐνταῦθα καλεῖ εἰπὼν «οὗτα κατὰ λαπάρην». Καὶ γίνεται λαγὼν μέν, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, παρὰ τὸ λήγειν, ἔνθα λήγουσι τὰ ὀστώδη πλευρά, κενεὼν δέ, ὡς κενὸς ὀστῶν, λαπάρα δὲ παρὰ τὸ λάπτειν, ὃ ταὐτόν ἐστι τῷ ἐκκενοῦν, ἀφ' οὗ καὶ λάφυρα τὰ ἐκ τῶν πολεμίων σκηνῶν καὶ πόλεων ἐκκενούμενα. ταῦτα δέ τινες καὶ ἀπὸ τοῦ τῷ λαῷ φύρεσθαι συντιθέασιν. (v. 64 s.) Ὅτι τὸ ὕπτιον πεσεῖν ἀνατραπῆναι λέγει εἰπὼν «ὃ δ' ἀνετράπετο», καὶ ἐπάγει «Ἀτρείδης δὲ λὰξ ἐν στήθεσι βὰς ἐξέσπασεν ἔγχος». Ὅρα δὲ ὅτι λὰξ ἐμβῆναι λέγει τοῖς στήθεσι τὸ ποδὶ πατῆσαι εἰς τὸ στῆθος, [ἐξ οὗ παρὰ Σοφοκλεῖ τὸ «λαξπάτητον ἀντρέπων χαράν», ὅ τινες λακπάτητον διὰ τοῦ κ γράφουσι.

2.246 Τὸ μέντοι λὰξ ἐμπηδῆσαι κωμικότητά τινα ἔχειν δύναταί ποτε, ὡς δηλοῖ ἐν Ὀδυσσείᾳ τὸ «λὰξ ἔνθορεν ἀφραδίῃσι».] Γίνεται δὲ τὸ λάξ, ὡς πολλαχοῦ φαίνεται, ἀπὸ τοῦ λήγω λήξω. Ὡς γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ τοῦ παύω παύσω ὁ πούς, οὕτω καὶ ἀπὸ τοῦ λήγω λήξω τὸ λάξ, ὅπερ ἐστὶ ταὐτὸν τῷ ληκτικῶς, παυστικῶς, καὶ ὡς εἰπεῖν ποδικῶς. Ποὺς δὲ πάντως τὸ πατοῦν εἰς γῆν, οὗ τὸ μὲν ἄνω κνήμη, τὸ δὲ ἀνωτέρω μηρός. ὅτε μέντοι τὰ μετὰ τὴν ὀσφὺν πόδες λέγονται, ἀπὸ μέρους τοῦ κατωτάτω δηλαδὴ ὀνομάζονται. κυρίως γὰρ ποὺς ἐκεῖνό ἐστιν. Ἰστέον δὲ ὅτι ἕνα μέν τινα ἀνατραπῆναι ἄνθρωπον ἢ σκεῦος ἢ τράπεζαν καίριον εἰπεῖν, μεταφορικῶς δὲ καί τι πρᾶγμα, πόλιν δὲ ὅλην ἢ ἔθνος ἀνατραπῆναι τολμηρὸν ἂν δόξῃ. Τῶν τινος γοῦν παλαιῶν ῥητόρων γράψαντος, ὡς Θηβαῖοι ἐν μάχῃ τῇ πρὸς Μακεδόνας ὑπὲρ μυρίους ἀνετράπησαν, σκώπτων Ἀγαθαρχίδης φησίν· «ὢ καλῆς ἐμφάσεως, ἄνθρωποι τοσοῦτοι παραλόγως ἀνατετραμμένοι». (v. 66—71) Ὅτι συνήθως προσφωνήσας ὁ τακτικώτατος Νέστωρ τὸ «ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος», εἶτα στρατηγικὸν παράγγελμα τίθεται τὸ «μή τις νῦν», ἐν τῇ τῶν πολεμίων δηλονότι διώξει, «ἐνάρων», ὅ ἐστι λαφύρων, «ἐπιβαλλόμενος μετόπισθε μιμνέτω, ὡς ἂν πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται, ἀλλ' ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ ταῦτα ἕκηλοι», τουτέστι καθ' ἡσυχίαν, «νεκροὺς ἂν πεδίον συλήσετε τεθνηῶτας». Τοῦτο δέ, φασί, καὶ Λακεδαιμόνιοι ἐνομοθέτησαν ὕστερον τριακοσίους ἄνδρας τεταχότες φύλακας τοῦ τοιούτου θεσπίσματος. (v. 68) Σημείωσαι δὲ τὸ ἐπιβάλλεσθαι ἀντὶ τοῦ ἐφίεσθαι καὶ ἐπιθυμεῖν.

2.247 διὸ καὶ γενικῇ συντάσσεται. Κεῖται δὲ ἡ τοιαύτη λέξις ὁμοίως καὶ παρ' ἄλλοις, ὧν ἐστι καὶ Ἀριστοτέλης. Ἔστι δὲ καὶ ἄλλως φράσαι περιφραστικώτερον, ὅτι ἐπιβαλλόμενος ἐνταῦθα ὁ θέλων ἐπιτυχεῖν, καθότι καὶ νηὸς ἐπήβολος ἐν Ὀδυσσείᾳ ὁ ἐπιτυχής. οὕτω δὲ καὶ φρενῶν ἐπήβολος. (v. 70 s.) Ὅρα δὲ ὅπως θαυμασίως ὁ γέρων τοῦ μὲν καμάτου συνεφάπτεσθαι καὶ αὐτὸς θέλει, ὡς δηλοῖ τὸ κτείνωμεν, ῥῆμα πρώτου προσώπου πληθυντικοῦ, τὸ δὲ κέρδος ἴδιον ποιεῖται τῶν στρατιωτῶν. οὐ γὰρ συλήσομέν φησιν, ἀλλὰ συλήσετε. Συνήθης δὲ Ὁμήρῳ ὁ τοιοῦτος χαρακτήρ, οἷον καὶ τὸ «ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες. νῦν μὲν δόρπον ἕλεσθε». Δῆλον δὲ ὅτι ἔθος Ὁμήρῳ τὰ πολλά, ὅτε ἄλλοι ἀριστεύουσι, ποιεῖν τὸν γέροντα Νέστορα ἐν λόγοις μόνοις καὶ ὑποθήκαις στρατηγικαῖς ἱστῶντα τρόπαιον, ἐπεὶ μὴ δύναται ταῖς χερσί. (v. 68—71) Σημείωσαι δὲ καὶ ἐνταῦθα, ὅπως ἡ διὰ λόγου παραίνεσις, ὡς καὶ ἐν ἄλλοις, εὐθὺς ἔσχε τὸ ἐνεργόν, καὶ ὅτι ὁ μὲν ἐν διώξει μένων ὄπισθε πάντως τοῦτο ποιεῖ, ὡς ἂν πλεῖστα φέρῃ λάφυρα, ὅπερ ἐστὶ ἀγαθὸν τῆς τοιαύτης μονῆς, ὁ δὲ μετὰ τὴν παντελῆ τῶν πολεμίων φυγὴν σκυλεύων ὀλίγα μὲν λήψεται ἐν τῷ κοινῷ, ἀσφαλέστερον δέ. Κρεῖττον δὲ τοῦτο τοῦ σὺν φόβῳ πολλὰ λαβεῖν. διὸ καὶ ὁ Νέστωρ γοργῶς ἐπιδραμὼν διὰ τὸν καιρὸν ἄμφω ἐνέφηνεν εἰπών· μή τις μενέτω ὡς ἂν πλεῖστα φέρῃ, «ἀλλ' ἄνδρας κτείνωμεν», ἔπειτα δὲ καὶ τὰ τῶν νεκρῶν ἕκηλοι συλήσετε, μονονουχὶ λέγων, ὅτι κρεῖττον ἐν ἡσυχίᾳ συλᾶν ἢ ἄλλως φέρειν πολλά. Ὅρα δὲ τό· καὶ ταῦτα νεκροὺς συλήσετε, ἤγουν ἀφαιρήσεσθε συλῶντες, ὅ ἐστι σκυλεύοντες. τὸ μέντοι χυδαιότερον ἦν εἰπεῖν, ὡς καὶ ταῦτα ἐκ τῶν νεκρῶν συλήσετε. (v. 73—101) Ὅτι Πριάμου παῖδες μαντικοὶ Κασάνδρα καὶ Ἕλενος, ὃν Ὅμηρος οἰωνοπόλων ὄχ' ἄριστον καλεῖ, καθὰ καὶ τὸν παρ' Ἕλλησι Κάλχαντα. διὸ καὶ πείθεται ὁ Ἕκτωρ αὐτῷ νῦν τε συμβουλεύοντι ἀφεῖναι τὴν μάχην καὶ ἀνελθεῖν εἰς τὴν πόλιν καὶ ἐν τοῖς ἑξῆς δὲ ὑποτιθεμένῳ τὸ πρὸς τὸν Τελαμώνιον μονομάχημα. Ἐκβάλλει δὲ πρὸς βραχὺ τῆς μάχης ὁ ποιητὴς ἐνταῦθα τὸν Ἕκτορα διά τε ἄλλα οὐκ ὀλίγα καὶ ὡς ἂν τοῦ πολέμου ἀνακωχήν τινα ποιήσῃ τοῖς στρατεύμασι καὶ σχοίῃ οὕτω χώραν καὶ ὁ τοῦ Διομήδους καὶ Γλαύκου ἀναγνωρισμὸς καὶ παρεισδυὲν τὸ ἐντεῦθεν ἱστορικὸν ἐπεισόδιον ψυχαγωγήσῃ τὸν ἀκροατὴν τῇ τε καθ' ἱστορίαν γενεαλογίᾳ καὶ τῇ τοῦ μύθου γλυκύτητι.

2.248 ὅσα δὲ καὶ ἄλλα λόγου ἄξια ὁ ποιητὴς ἐκ τῆς τοῦ Ἕκτορος ἀναχωρήσεως πορίσεται, δηλώσει τὰ ἐφεξῆς. Πάνυ δὲ δεξιώτατα εἰς τοιαύτην συμβουλὴν ἐπελέγη ἐνταῦθα ὁ Ἕλενος. οὐ γὰρ πιθανὸν ἦν ἑτέρῳ τινὶ πεισθῆναι τὸν μεγάθυμον Ἕκτορα ἐπὶ οὕτως ἀγεννεῖ δοκοῦντι πράγματι. φυγῇ γὰρ ἔοικεν ἡ ἀναχώρησις καὶ δειλίαν κατηγορεῖ καὶ ἀπόγνωσιν σωτηρίας.

ἄνεισι γὰρ ὁ Ἕκτωρ, ὡς ἂν ἡ μήτηρ εὔξηται τῇ Ἀθηνᾷ κατὰ ἑνὸς Ἀχαιοῦ τοῦ Διομήδους, οἷα μὴ ὂν ἑτέρως σῴζεσθαι. οὔκουν ἂν ἐπείσθη ἑτέρῳ τοιαῦτα συμβουλεύοντι. Ἕλενος δὲ καὶ ὡς ἀδελφὸς εὐνοεῖ καὶ ὡς μάντις οἶδε τὰ θεῖα. διὸ καὶ πείθει τὸν Ἕκτορα ὡς σύμβουλος ἀγαθός. Ἐν δὲ τῷ χωρίῳ τούτῳ καὶ τὸ διττὸν τῆς εἱμαρμένης δηλοῖ ὁ ποιητὴς καὶ τὸ χρήσιμον τῆς εὐχῆς. ἀπώλοντο γὰρ ἂν οἱ Τρῶες σήμερον, εἰ μὴ εὔξαντο, ἱερεύσαντες δὲ καὶ εὐξάμενοι δυστυχοῦσι μόνον. Φησὶ γὰρ «ἔνθα κεν αὖτε Τρῶες ἀρηϊφίλων ὑπ' Ἀχαιῶν Ἴλιον εἰσανέβησαν ἀναλκείῃσι δαμέντες, εἰ μὴ Ἕλενος» εἶπε τάδε. [Ἴσως οὖν καὶ Ἰάμβλιχος ἐξ Ὁμήρου λαβὼν ἐφιλοσόφησεν, ὡς ἀναστρέφεται εἱμαρμένη θυσίαις καὶ εὐχαῖς.] Καὶ ὅρα ὡς μεμονωμένης τῆς τῶν Τρώων καὶ Ἀχαιῶν φυλώπιδος, καθὰ εἴρηται, καὶ μηδετέροις χαριζομένης κακῶς πάσχουσιν οἱ Τρῶες. Ἰστέον δὲ καὶ ὅτι περὶ Ἑλένου ἱστορία τοιαύτη φέρεται παρὰ Ἀρριανῷ. Ἠδωνοῦ Θρᾳκὸς ἀνδρὸς παῖς Ἕλενος, μάντεων διαπρεπέστατος. παρὰ τοῦτον ἐξ Ἀσίας φοιτῆσαι τὸν Πριάμου παῖδα Σκαμάνδριον, ὃν ἀπονοστήσαντα οἴκαδε μνήμην θέσθαι τοῦ τὴν μαντικὴν ἐκπαιδεύσαντος Ἕλενον ἀπὸ Σκαμανδρίου μετονομασθέντα. (v. 77—9) Ὅτι ἀρετὴ στρατηγοῦ κατὰ τοὺς παλαιοὺς βουλεύεσθαι μὲν ἄριστα τὸ συμφέρον, πράττειν δὲ κάλλιστα τὸ βεβουλευμένον. Διὸ καὶ ὁ παρὰ τῷ ποιητῇ Ἕλενος τὸν Αἰνείαν ἐπαινῶν καὶ τὸν Ἕκτορά φησιν, ὡς ἄριστοι πᾶσαν ἐπ' ἰθύν ἐστε μάχεσθαί τε φρονέειν τε, ἤγουν ἐπὶ πᾶσαν ὁρμὴν τοῦ μάχεσθαι καὶ τοῦ φρονεῖν, καὶ διὰ τοῦτο ὑμῖν πόνος μάλιστα Τρώων καὶ Λυκίων ἐγκέκλιται, ἤτοι ἀνάκειται.

2.249 Λυκίους δὲ καὶ νῦν πάντας λέγει τοὺς τῶν Τρώων ἐπικούρους, ὡς ἀπὸ μέρους ἀξιολόγου τοῦ τῶν Λυκίων. Ἰστέον δὲ ὅτι Ὁμήρου εἰπόντος ἐγκεκλίσθαι τῷ Ἕκτορι τὸν ὑπὲρ πάντων πόνον, ἐντεῦθεν ἔλαβεν ἀφορμὴν ὁ εἰπὼν αὐτὸν ἀστραβῆ κίονα Τροίας. [Κίονος γὰρ ἔργον βάρους τινὸς ὑποδοχή. καὶ ἔστιν ἐγκεκλίσθαι οὐ τὸ ἁπλῶς ἐγκεῖσθαι ἀλλὰ τὸ ἐπικεῖσθαι. Ἄλλως μέντοι ἐγκεῖσθαι ἢ τὸ ἐντὸς κεῖσθαι ἢ μᾶλλον τὸ σφοδρῶς ἐνίστασθαι. ἔγκειται γοῦν τις ὀχλῶν ἢ ἔγκειται μαχόμενος.] Ἡ δὲ ἰθύς ἐκ τοῦ ἰθύω ἰθύσω γέγονε ῥήματος. Ἔφη γὰρ πρὸ ὀλίγου «ἔνθα καὶ ἔνθα ἴθυσε μάχη». ἐξ οὗ καὶ τὸ ἰθὺ ἐπίρρημα γίνεται. (v. 80—2) Ὅτι τὸ «στῆτ' αὐτοῦ καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων πάντῃ ἐποιχόμενοι πρὶν αὖτ' ἐν χερσὶ γυναικῶν φεύγοντας πεσέειν, δηΐοισι δὲ χάρμα γενέσθαι» ἔχει τι παρὰ τῷ Ἑλένῳ καὶ σκώμματος, ὡς τῶν Τρώων ἀγεννῶς φευγόντων εἰς τὴν πόλιν, ἐν ᾗ γέροντες νῦν ἦσαν καὶ γυναῖκες καὶ παῖδες ἀπόλεμοι. Τρόπον οὖν τινα ὀνειδίζει τοῖς στρατιώταις ὁ Ἕλενος τὸ εἰς τὴν ἄχρηστον ἡλικίαν καταφεύγειν, ἣν ἔδει μᾶλλον ὑπ' αὐτῶν ἐκδικεῖσθαι. Γυναικῶν δὲ εἶπεν, οὐ μὴν γερόντων ἢ παίδων, ἵνα πλέον εἴη τὸ ἐντρεπτικόν, ἐὰν εἰς γυναικῶν πεσοῦνται χεῖρας. Ἐνταῦθα δὲ σημειοῦνται οἱ παλαιοί, ὅτι Ὅμηρος μὲν πάνυ σεμνῶς εἶπεν ὡς βοηθητέον, πρὶν φεύγοντας τοὺς Τρώας εἰς τὴν πόλιν χάρμα τοῖς δυσμενέσι γενέσθαι ἐν χερσὶ πεσόντας γυναικῶν καὶ οἷον ἀγκαλισθέντας ὑπ' αὐτῶν τὰ ἐπιθανάτια. Τὸ δὲ τοῦ Ἡροδότου οὐχ' ὅμοιον εἶναί φασι, παρ' ᾧ Σκυθίδες τινὲς γυναῖκες τοὺς ἑαυτῶν ἄνδρας φεύγοντας ὁρῶσαι προτροπάδην, ἀνασυράμεναι τὰ κάτω «πῇ φεύγετε», εἶπον, «ἢ ἵνα κρυβῆτε εἰς τὰ ἐξ ἀρχῆς;

2.250 » ὅθεν αἰδεσθέντες ἐκεῖνοι ἐθάρρησαν, καὶ ἀναμαχεσάμενοι ἐνίκησαν. Ἑτέρα δὲ ἱστορία λέγει, ὅτι γυναῖκες Γαλατῶν τῶν εἰς Ἀσίαν διαβάντων ἐπέρρωσαν φεύγοντας τοὺς ἄνδρας, ὀλολύζουσαι καὶ τὰ τέκνα ἐν ἀγκάλαις φερόμεναι, ἃ καὶ προϊσχόμεναι αὐτά τε εἰς ὕβριν ἐκδώσειν ἔλεγον τοῖς πολεμίοις καὶ αὐταὶ εἰς τὴν τῶν ἐναντίων ὤσεσθαι φάλαγγα, ὅθεν αἰσχυνθέντες ἐκεῖνοι ὑπέστρεψαν, εἰ καὶ μηδέν τι γενναῖον ἤνυσαν. (v. 84 s.) Ὅτι οἱ κατ' ἀνάγκην μαχόμενοι καλῶς ἂν εἴποιεν καθ' Ἕλενον τὸ «ἡμεῖς μὲν μαχησόμεθα καὶ μάλα τειρόμενοί περ, ἀναγκαίη γὰρ ἐπείγει», ἤγουν, ὡς προεγράφη, ἀνάγκη. (v. 86) Ὅτι ταὐτὸν εἰπεῖν μετέρχεσθαι καὶ μετοίχεσθαι, ὡς δηλοῖ τὸ «ἀτὰρ σὺ πόλινδε μετοίχεο». (v. 88) Ὅτι διάλυσις ἢ μετατύπωσις λέγεται τοῖς παλαιοῖς τὸ ἐν πόλει ἄκρῃ, ληφθὲν ἀντὶ συνθέτου

ὀνόματος τοῦ ἀκροπόλει. τοιοῦτον καὶ τὸ τὴν Μεσοποταμίαν μέσην ποταμῶν εἰπεῖν. Οὕτω καὶ ὁ Περιηγητὴς τὴν Ῥηγίνην Λευκοπέτραν λευκὴν πέτραν καλεῖ. ὅμοια δὲ τούτοις καὶ τὸ κενὴ δόξα ἡ κενοδοξία, καὶ παρ᾽ Ἡροδότῳ τὸ «ὁ δὲ νεκρὸς ἦν θέης ἄξιος», ἤτοι ἀξιοθέατος, «μεγέθους ἕνεκα καὶ κάλλους», καὶ «ζῷα γραψάμενος», ἤγουν ζωγραφήσας, καὶ παρὰ Θεοκρίτῳ τὸ «δρυὸς ἄκρα», ἤτοι ἀκρόδρυα. καὶ Σοφοκλῆς δὲ οὕτω τὸ λυσιτελεῖ «τέλη λύει φρονοῦντι» φησί, καὶ τὸν ὁδηγὸν δὲ ὁ εἰπὼν ὁδοῦ ἡγούμενον εἰς τοιαύτην ὁμοιότητα ἦλθε καὶ ὁ τὸ σιταρκεῖν φάμενος σῖτον ἐπαρκεῖν καὶ τὸν εὐγενῆ εὖ γεγονότα καὶ τὸν ἀγεννῆ μηδὲν ὄντα γοναῖς. τὸ γὰρ μηδὲν τῇ τοῦ α ἰσοδυναμεῖ στερήσει.

2.251 Δῆλον δὲ ὅτι αἱ ἀκροπόλεις τῇ Ἀθηνᾷ ὡς ἐπὶ πολὺ ἀνέκειντο, ὡς δηλοῖ καὶ ὁ Παραβάτης, ἐν οἷς εἰπὼν ἔργα Ἀθηνᾶς ὡς φρονήσεως σοφίαν τε καὶ δημιουργικὰς τέχνας λέγει καὶ ὅτι κατοικεῖ τὰς ἀκροπόλεις, ὡς αὐτὴ διὰ σοφίας καταστησαμένη τὴν πολιτικὴν κοινωνίαν. (v. 89) Ὅτι ταὐτὸν κατὰ πολυωνυμίαν ναὸν εἰπεῖν καὶ ἱερὸν δόμον. εἰπὼν γοῦν Ἕλενος νηὸν Ἀθηναίης ἐπάγει «οἴξασα κληῗδι θύρας ἱεροῖο δόμοιο». (v. 90—2) Ὅτι τὸν πέπλον τὸν ἀνατεθησόμενον τῷ Παλλαδίῳ χαριέστατον εἶναι ὁ Ἕλενος ἐθέλει καὶ μέγιστον καὶ πολὺ φίλτατον τῇ Ἑκάβῃ. ὑπερθετικὰ δὲ ταῦτα πάντα, ἵνα δειχθῇ ὅτι τὰ κρείττω τῶν παρ᾽ ἡμῖν δοτέα θεῷ. προϊὼν δὲ ἐρεῖ καὶ ἄλλα τινὰ περὶ αὐτοῦ. Ἀνατίθησι δὲ τῇ μητρὶ τὴν τοῦ πέπλου ἐπιλογὴν φράσας οὕτω «πέπλον, ὅς οἱ δοκέει χαριέστατος ἠδὲ μέγιστος εἶναι ἐνὶ μεγάροισι, καί οἱ πολὺ φίλτατος αὐτῇ, θεῖναι Ἀθηναίης ἐπὶ γούνασι». Καὶ ὅρα τὸ «ἐνὶ μεγάροισιν». οὐ γὰρ ἔξωθέν ποθεν ἀλλ᾽ οἴκοθεν ἀναληπτέον τὸν πέπλον, τὸν οὐχ᾽ ἁπλῶς χαρίεντα καὶ μέγαν καὶ φίλον, ἀλλὰ χαριέστατον καὶ μέγιστον καὶ φίλτατον, καὶ οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ καὶ πολὺ φίλτατον. Εὔδηλον δὲ ὡς οὐχ᾽ ἱμάτιον ὁ τοιοῦτος πέπλος, ἀλλὰ ὕφασμα, καὶ ὅτι τὸ θεῖναι ἐν γούνασιν, ὁμοίως δὲ κατωτέρω τὸ «καί οἱ ὑποσχέσθαι» ἀντὶ προστακτικῶν μὲν λαμβάνονται, πλὴν οὐ συνήθως ἀντὶ δευτέρων, ἤγουν ἀντὶ τοῦ θὲς καὶ ὑπόσχου, ἀλλ᾽ ἀντὶ τρίτων. θέσθω γὰρ ἡ Ἑκάβη πέπλον καί οἱ ὑποσχέσθω θυσίαν. (v. 92) Φασὶ δὲ τὸ ἐν Τροίᾳ Παλλάδιον διοπετὲς μὲν εἶναι, ἤγουν ἐξ ἀέρος ἄνωθεν οὐρανόθεν πεσόν, ἀνδρὸς δὲ δορὰν ἠμφιέσθαι στέμμα τε ἔχειν καὶ ἠλακάτην, ἐν δὲ τῇ κεφαλῇ πῖλον καὶ δόρυ ἐν τῇ δεξιᾷ. Ἐνταῦθα δὲ τὸ ἀναθεῖναι, ἀφ᾽ οὗ γίνεται τὸ ἀνάθημα, θεῖναι λέγει χωρὶς προθέσεως. Θεῖναι γάρ, φησίν, Ἀθηνᾶς ἐπὶ γούνασιν, ὡς καθημένου δηλαδὴ τοῦ Παλλαδίου, ἢ θεῖναι παρὰ γόνασιν, εἴπερ ἵσταται. Δύναται δέ, φασί, τὸ ἐπὶ γούνασι νοηθῆναι καὶ ἀντὶ τοῦ ἐπὶ γουνασμῷ καὶ ἱκετείᾳ. ὁ δὲ Γεωγράφος, ὅπου λέγει τὴν μὲν παλαιὰν Ἴλιον ἠφανίσθαι, τὴν δὲ νῦν βλεπομένην νεωτέραν εἶναι, μὴ ἀποδεχόμενος τοὺς νοοῦντας τὸ ἐπὶ γούνασιν ἀντὶ τοῦ παρὰ τοῖς γούνασι, φησίν, ὅτι τὸ τῆς Ἀθηνᾶς ξόανον νῦν μὲν ἑστηκὸς ὁρᾶται, Ὅμηρος δὲ καθήμενον ἐμφαίνει ἐν τῷ «πέπλον θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν», ὡς καὶ τὸ «γούνασιν ἐφέζεσθαι φίλον υἱόν».

2.252 βέλτιον γὰρ οὕτως ἢ παρὰ τοῖς γόνασιν, ὡς τὸ «ἣ δ᾽ ἧσται ἐπ᾽ ἐσχάρῃ ἐν πυρὸς αὐγῇ». κάθηνται δὲ Ἀθηνᾶς ξόανα καὶ ἐν Φωκαίᾳ καὶ Μασσαλίᾳ καὶ Ῥώμῃ καὶ Χίῳ. (v. 93 s.) Ὅτι βοῦς ἤνις ἠκέστας Ἕλενος θύσειν τῇ Ἀθηνᾷ βούλεται, ἤγουν ἐνιαυσιαίας, ἀκεντήτους. Καὶ εἴη ἂν καὶ ἡ τοιαύτη θυσία βούτας φόνος, εἰπεῖν τραγικῶς, ὃ εἰς τὸν περὶ ἑκατόμβης λόγον συντελεῖ. Γίνεται δὲ ἡ ἦνις μὲν ἀπὸ τοῦ ἔνου, ὅ ἐστιν ἐνιαυτοῦ, ἧς γενικὴ ἤνιδος καὶ Ἰωνικῶς ἤνιος, ἡ πληθυντικὴ αἰτιατικὴ ἤνιας καὶ κατὰ κρᾶσιν ἦνις. Ἠκέστη δὲ ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ κένσαι, ὃ δηλοῖ τὸ κεντῆσαι, ἀφ᾽ οὗ καὶ ὁ κεστὸς γίνεται καὶ ὁ πολύκεστος ἱμάς. χρῆσις δὲ τοῦ κένσαι παρ᾽ Ὁμήρῳ. Δοκεῖ δὲ χαίρειν ἡ Παλλὰς τοιαύταις βουσίν. οἰκεῖον γὰρ τῇ νεαζούσῃ καὶ κατὰ τὸν μῦθον παρθένῳ σφριγῶσα βοῦς καὶ ἀδάμαστος. Οὐ νῦν δὲ αὐτίκα γίνεται ἡ θυσία διδάσκοντός τε τοῦ ποιητοῦ τὰ κατ᾽ ἀνθρώπους, οἳ οὐ πάντα εὐθὺς ποιοῦσιν, ἀλλ᾽ ἔνια καὶ εἰς τὸ μέλλον ἀναρτῶσι, καὶ διότι οὐδέ ἐστι καιρὸς ἄρτι τοῖς ἐν Τροίᾳ εἰς τοιαύτην ἀπασχοληθῆναι θυσίαν. [Σκοπητέον δὲ ἐπὶ τοῦ ἠκέστη, ὅ ἐστιν ἀκέντητος, διὰ τί καὶ τὸ στερητικὸν α εἰς η

ἐτράπη, ὅπερ οὐ γέγονεν ἐν τῷ ἀκάματος καὶ ἀθάνατος, καὶ διὰ τί τὸ ν τοῦ κένσαι ἐξέπεσεν, εἰωθὸς ἄλλως πολλαχοῦ πλεονάζειν, ὡς προσεσημείωται. Καὶ ἴσως ἡ μὲν τροπὴ τοῦ α εἰς η ἐγένετο, ἵνα μὴ ἔμφασις εἴη τις ἐκ τοῦ ἀκεῖν γενέσθαι τὴν ἡκέστην, ὅθεν τὸ ἀκεσταὶ φρένες. τὸ δὲ ν ἀπῆλθε, διότι τε οὐ συνετέλει εἰς εὔφωνον, καὶ ἵνα μὴ φαντάζῃ ἐγκεῖσθαι τὴν ἐν πρόθεσιν τῇ λέξει καὶ πλανᾷ τὸν ἀκροατήν.] (v. 93—6) Ὁ δὲ Ὁμηρικὸς οὗτος τόπος ἔχει τι παρηχήσεως ἐν τῷ ὑποσχέσθαι καὶ ἐν τῷ ἀπόσχῃ. Φησὶ γὰρ «καὶ οἱ ὑποσχέσθαι δυοκαίδεκα βοῦς, εἴ περ ἀπόσχῃ Ἰλίου» τὸν ῥηθησόμενον. (v. 94) Ἐνταῦθα δὲ καὶ τὸ ἐλεήσῃ ῥῆμα κεῖται κοινότερον ἐν τῷ «ἱερευσέμεν, αἴ κ’ ἐλεήσῃ ἄστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα».

2.253 [ὃ δὴ φρασθὲν δίχα τοῦ Τρώων ἱερά ἐστι πολιτικὴ εὐχή.] ἑτέρωθι δὲ ἐλεαίρειν λέγει τὸ ἐλεεῖν ποιητικώτερον. Ἰστέον δὲ ὅτι ἀποσχεῖν ἐνεργητικῶς τὸ διῶξαί ἐστι. Φησὶ γοῦν «αἴ κεν Τυδέος υἱὸν ἀπόσχῃ Ἰλίου». (v. 97 s.) Καὶ ὅρα ὅπως οὕτω φοβερὸς ὁ Διομήδης νῦν ἔδοξε τοῖς Τρωσίν, ὥστε τὸν Ἕλενον κατ’ αὐτοῦ μόνου εὐχὴν ἐνιστᾶν καὶ ἄγριον αἰχμητὴν αὐτὸν καλεῖν, «κρατερὸν μήστωρα φόβοιο, ὃν δή», φησίν, «ἐγὼ κάρτιστον Ἀχαιῶν φημι γενέσθαι». (v. 99—101) Λέγει δ’ αὐτὸν καὶ αὐτοῦ Ἀχιλλέως φρικτότερον. Φησὶ γὰρ ὅτι «οὐδ’ Ἀχιλῆά ποθ’ ὧδέ γ’ ἐδείδιμεν ὄρχαμον ἀνδρῶν, ὅν πέρ φασι θεᾶς ἐξέμμεναι, ἀλλ’ ὅδε λίην μαίνεται, οὐδέ τίς οἱ δύναται μένος ἰσοφαρίζειν». ὅπερ ἐστὶν ἑρμηνεία τοῦ μαίνεται. Τὸ δὲ «ὅν φασι θεᾶς ἐξέμμεναι», ἤγουν ἐκ θεᾶς μητρὸς εἶναι, τοῦ νοήματός ἐστιν ἐπίτασις. οὐ γὰρ οὕτω, φησί, φοβερὸς ὁ ἐκ θεᾶς Ἀχιλλεύς, ὡς Διομήδης ὁ θνητογενής (v. 97) Τὸ δὲ «ἄγριον αἰχμητήν», ὑφὲν ἀναγνωστέον κατὰ τοὺς παλαιούς. δηλοῖ γὰρ τὸν ἐν πολέμῳ ἄγριον. (v. 99) Ἰστέον δὲ καὶ ὅτι οὐκ ἀληθῶς οἱ Τρῶες ὑπερτιθέασι τοῦ Ἀχιλλέως τὸν Διομήδην, ἀλλὰ τοὺς δυσπραγοῦντας εἴωθε τὰ ὑπόγυα κακὰ μᾶλλον λυπεῖν. Οὕτω καὶ τὸν Τηλέμαχον ἐν Ὀδυσσείᾳ τὰ τῶν μνηστήρων κακὰ λυπεῖ μᾶλλον ἤπερ ὁ τοῦ πατρὸς θάνατος. Ὅρα δὲ ὡς κἀνταῦθα τοῦ Ἀχιλλέως ἀναμιμνήσκει τὸν ἀκροατὴν ὁ ποιητὴς ὡς μνήμης ἀξίου, εἰωθὼς αὐτὸ πολλαχοῦ ποιεῖν κατά τινα ποσὰ διαστήματα. (v. 90—101) Ἰστέον δὲ καὶ ὅτι χρήσιμα σχεδὸν ὅλα τὰ τοῦ χωρίου τοῦδε παρῳδηθῆναι εἰς ἱκεσίαν τὴν ἐν κινδύνῳ, ἔστιν ὅτε καὶ ἐξ αὐτοῦ δὴ τοῦ πέπλου μέχρι τέλους, οἷον «πέπλον, ὅς οἱ δοκέει χαριέστατος εἶναι καὶ τοιόσδε καὶ τοιόσδε, θεῖναι ἐπὶ γούνασι τοῦ δεῖνος ἢ τῆς δεῖνος, καί οἱ ὑποσχέσθαι τόδε τι, αἴ κ’ ἐλεήσῃ ἄστυ τε καὶ ἀλόχους καὶ νήπια τέκνα, αἴ κεν τὸν δεῖνα ἡμῶν ἀπόσχῃ», ἤγουν ἀποσχοίη, ἀφέξει, «ἄγριον αἰχμητήν, κρατερὸν μήστωρα φόβοιο, ὃν δὴ ἐγὼ κάρτιστον» πάντων ἢ ἄλλων «φημὶ γενέσθαι. οὐδὲ τὸν δεῖνά ποθ’ ὧδέ γ’ ἐδείδιμεν ὄρχαμον ἀνδρῶν, ὅνπερ φασὶ θεῖόν τινα εἶναι, ἀλλ’ ὅδε λίην μαίνεται», κατὰ πόλεμον δηλαδή, «οὐδέ τίς οἱ δύναται μένος ἰσοφαρίζειν». (v. 98) Ἰστέον δὲ καὶ ὅτι τὸ μὲν «ὃν ἐγώ φημι» ἀξιωματικῶς ἐρρέθη καὶ ἀποφαντικῶς, καθὰ πολλαχοῦ ποιεῖται.
2.254 (vs. 100). Τὸ δὲ «ὅνπερ φασί» δοκεῖ δισταγμόν τινα ἔχειν. (v. 103—5) Ὅτι ἀγαθὸν διαζωγραφεῖ στρατηγὸν τὸ «αὐτίκα δὲ σὺν τεύχεσιν ἆλτο χαμᾶζε, πάλλων δ’ ὀξέα δοῦρα κατὰ στρατὸν ᾤχετο πάντῃ ὀτρύνων μάχεσθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν», ὡς οἷα πρὸ τούτου ἢ κοιμωμένην ἢ καθημένην. (v. 106—8) Ὅτι προθυμίαν Τρώων ὁ ποιητὴς πολλὴν εἰς μάχην ἐμφαίνων, ἣν ἔσχον ὀτρυνθέντες ὑπὸ Ἕκτορος, φησὶν ὡς αὐτοὶ μὲν «ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν, Ἀργεῖοι δ’ ὑπεχώρησαν, λῆξαν δὲ φόνοιο. φὰν δέ τιν’ ἀθανάτων ἐξ οὐρανοῦ ἀστερόεντος Τρωσὶν ἀλεξήσοντα κατελθέμεν». (v. 109) Εἶτα ἐπάγει ἐπιφωνηματικῶς ὡς ἐν ἀποδόσει παραβολικῇ κομματικῶς κατὰ γοργότητα τὸ «ὣς ἐλέλιχθεν», μονονουχὶ λέγων, ὅτι ὥσπερ θεὸς οὐρανόθεν ἐπελθὼν ἐφόβησέ τινας, οὕτω καὶ τοὺς Ἀχαιοὺς ἐλελιχθέντες οἱ Τρῶες. [Ὅρα δ’ ἐν τούτοις ὅτι καὶ κοινῶς εἶπεν ἐλελίχθησαν καὶ ποιητικῶς ἐλέλιχθεν,] οὗ κατὰ τὸ φάν ἡ συνήθης κίνησις. ὡς γὰρ φάς φάντος φάν, τὸ τρίτον πληθυντικόν, οὕτως ἐλελιχθέντος ἐλέλιχθεν. (v. 113—5) Ὅτι εἰπὼν ἐνταῦθα τοῖς Τρωσὶν ὁ Ἕκτωρ, ὡς εἰς Τροίαν ἐλθὼν γέρουσιν εἴπω βουλευτῇσι καὶ ἡμετέρῃς ἀλόχοισιν ἀρήσασθαι, ὑποσχέσθαι θ’ ἑκατόμβας, οὐ φαίνεται ὕστερον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰπών τι τοῖς ἀνδράσι, διότι οὐδὲ παρηγγέλθη τοῦτο ὑπὸ τοῦ Ἑλένου. Ἐψεύσατο οὖν τοῦτό γε τοῦ εὐπρεποῦς χάριν, ἵνα μὴ ἐπὶ μέσου τοῦ στρατοπέδου μεμνημένος μόνων τῶν γυναικῶν αἰσχύνην ὄφλῃ, ὡς αὐταῖς ἀνατιθεὶς τὸ κοινὸν ἀγαθόν. Ψεύσεται ἄρα ἐν καιρῷ δεόντως ὁ στρατηγός. κατὰ γὰρ τὸν Ἡρόδοτον «ἔνθα τι δεῖ ψεῦδος λέγεσθαι, λεγέσθω». Τυχὸν δὲ καὶ κατὰ τὸ σιωπώμενον —σχῆμα δέ ἐστι καὶ τοῦτο ποιητικόν—νοητέον καὶ τοῖς ἀνδράσιν ὁμιλῆσαι τὸν Ἕκτορα. Οὐκ αἰδεῖται δὲ ὁ Ἕκτωρ ἐν ἐπηκόῳ τῶν ἐχθρῶν ὁμολογεῖν εὔξεσθαι διὰ τὸ τοῦ ἔργου ἀνεμέσητον. Οὕτω καὶ ὁ Σαλαμίνιος Αἴας ἐν τοῖς ἑξῆς εἰπὼν «εὔξασθε Διῒ σιγῇ ἐφ' ὑμείων, ἵνα μὴ Τρῶές γε πύθωνται», ἐπάγει «ἠὲ καὶ ἀμφαδίην, ἐπεὶ οὔ τινα δείδιμεν». (v. 117 s.) Ὅτι ἣν ἐν ἄλλοις φησὶν Ὅμηρος ἀμφιβρότην ἀσπίδα καὶ ποδηνεκῆ, ταὐτὸν δὲ εἰπεῖν, ἀνδρομήκη, ταύτην ἑρμηνεύων ἐνταῦθά φησιν «ἀμφὶ δέ μιν σφυρὰ τύπτε καὶ αὐχένα», ἤγουν ἐκ τοῦ αὐχένος καθῆκεν ἕως ἄκρων ποδῶν.

2.255 Λέγει δὲ καὶ ἄντυγα εἶναι τῇ τοῦ Ἕκτορος ἀσπίδι δέρμα, οὐ πρὸς ἀσφάλειάν τινα, πρὸς τερατείαν δὲ μᾶλλον καὶ ἀγλαΐαν καὶ καινοπρέπειαν ὁπλισμοῦ. Φησὶ γοῦν τὸ ὅλον οὕτως· «ἀμφὶ δέ μιν σφυρὰ τύπτε καὶ αὐχένα δέρμα κελαινόν, ἄντυξ, ἣ πυμάτη θέεν ἀσπίδος ὀμφαλοέσσης». Καὶ σημείωσαι τὸ καινὸν τοῦ σχήματος. ἔδει γὰρ εἰπεῖν «ἄντυξ, ὃ πυμάτη», τουτέστιν ὅπερ δέρμα ἐσχάτη ἦν ἄντυξ. ὁ δὲ πρὸς τὸ ἄντυξ ἐποίησε τὸν κατὰ γένος σχηματισμόν. Τοιοῦτόν τι καὶ τὸ «ἐγένοντο τάδε καὶ τάδε», ὅσπερ δὴ τρόπος οἰκονομίας θεοῦ», καὶ «ἐκολάσθη ὁ κακός, ἥπερ ἐστὶ δίκη θεοῦ» καὶ ὅσα τοιαῦτα, [γενομένης τῆς ἀποδόσεως ἐν τοῖς τοιούτοις οὐ πρός τι πρᾶγμα προηγούμενον, ἀλλὰ πρὸς τὸ ὕστερον ἐπαχθέν, ἤγουν πρὸς τὸ ἄντυξ ἢ πρὸς τὸ τρόπος ἢ νόμος ἢ λόγος ἢ δίκη θεοῦ.] Ὅρα δὲ ὅτι ἐσίγησεν ὁ ποιητής, οὕτω δόξαν αὐτῷ, οἵου ζῴου ἦν τὸ ῥηθὲν δέρμα, εἰωθὼς πολλαχοῦ παρατρέχειν τὰ μὴ καίρια. [καὶ ὅτι ἐκ τοῦ δέρω μὲν καὶ τὸ δέρτρον, ὥσπερ καὶ τὸ δέρμα. πολλὴ δὲ ἐν ἀμφοῖν ἡ κατὰ σημασίαν διαφορά, ὡς ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δηλοῦται.] Πυμάτη δὲ ἄντυξ τὸ δέρμα πρὸς διαστολὴν τῶν λοιπῶν κύκλων, εἰς οὓς ἀναλυόμενον δύναται τὸ τῆς ἀσπίδος ἐπίπεδον τέμνεσθαι. Συνακτέον δ' ἐντεῦθεν καί, ὡς οὐ μόνον ἅρματος ἄντυξ ἐστίν, εἴγε καὶ ἀσπίδος λέγεται. [Ἡ μεταφορὰ δὲ καὶ οὐρανοῦ ἄντυγα ἐγύρωσεν, ὡς δηλοῖ καὶ τὸ «ἐξ ἀντύγων οὐρανίων».] Τὸ δὲ «πυμάτη θέεν» ἀντὶ τοῦ περιέθεεν ἀστείως ὡς ἀπὸ καμπτῆρος θεωρικοῦ ἐρρέθη ἐπὶ σχήματος κυκλοτεροῦς.

2.256 Καὶ ἔστι πως τοῦτο χρήσιμον εἰς τὸ καὶ τὴν ἴτυν ἐτυμολογεῖν ἀπὸ τοῦ ἰέναι διὰ τὸ καὶ τὸ θέειν καὶ τὸ ἰέναι, ὥσπερ δὴ καὶ τὸ φέρεσθαι, ἀφ' οὗ ἡ περιφέρεια, καὶ τὸ ἄγειν δέ, ἀφ' οὗ τὸ περιηγές, ὁμογενῶς ἔχειν ἀλλήλοις. Ὀμφαλόεσσα δὲ καὶ νῦν ἀσπὶς ἡ ἔχουσα μέσον αὐτῆς ὀμφαλόν, ὅς ἐστι κάλλος ὑπερανεστηκός, ἐπίθετον συγκεκροτημένον ἔκ τινος ὕλης στερεᾶς, [ἐν ἀσπίσι μὲν χαλκῆς ἢ ἀργυρᾶς ἢ καὶ χρυσῆς, ἐν ἄλλοις δὲ καὶ ἀπό τινος ἑτεροίας. ἐν βιβλίοις γοῦν καὶ ἐξ ἐλέφαντος ἀπέχρησεν ὕλη πρὸς κόσμον ὀμφαλόεντα.] Ὅτι τὸν ἄγριον αἰχμητὴν Ἕκτορα τῆς μάχης ἀποστήσας, ὡς καὶ πρὸ βραχέων ἐρρέθη, ὁ ποιητὴς καὶ οὕτω μονάσας καὶ θείου τούτου προσώπου τὴν φύλοπιν ἀνίησι τὸ τοῦ πολέμου ἀκμαῖον καὶ ἀναπαύει τὸν ἀκροατὴν μεταπεσὼν ἐκ τῶν ἐναγωνίων εἰς γλυκύτητα ἱστορικῆς ὑπτιάσεως, καὶ τὸν Λύκιον Γλαῦκον εὑρὼν λαβὴν λόγου καὶ αὐτὸν ἐπεισοδιάσας πολλὰ δι' αὐτοῦ θαυμάσια τῇ ποιήσει παρεμβάλλει οἷον μύθους, ἐξ ὧν τὸ τῆς ἀλληγορίας ἀνακύπτει καλόν, ἱστορίας, γενεαλογίας, γνωμολογίας, ἔθη παλαιὰ καὶ ἄλλα οὐκ ὀλίγα, δι' ὧν τό τε μονοειδὲς τῆς γραφῆς ἐξαιρεῖ τῆς ποιήσεως καὶ πολυμαθῆ ποιεῖ τὸν ἀκροατήν.

2.257 (v. 120) Ὅτι μονομαχικὸν τὸ «ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι». Περὶ Γλαύκου δὲ καὶ Διομήδους ὁ λόγος. ἀμφοτέρους δὲ λέγει τὸν Ἀχαϊκὸν στρατὸν καὶ τὸν Τρωϊκόν. (v. 123—6) Ὅτι πρὸς τὸν ἐξαίφνης ἐκ μὴ δοκοῦντός τινος θρασυνόμενον εἰς ἔριν κατὰ τῶν εἶναί τι δοκούντων καλῶς ἂν ἐρεῖ τις τὸ τοῦ Διομήδους πρὸς Γλαῦκον «τίς δὲ σύ ἐσσι φέριστε κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θνητῶν ἀνθρώπων; οὐ μὲν γάρ ποτε ὄπωπα μάχῃ ἐνὶ κυδιανείρῃ τὸ πρίν. ἀτὰρ μὲν νῦν πολὺ προβέβηκας πάντων σῷ θάρσει, ὅτ᾽ ἐμὸν δολιχόσκιον ἔγχος ἔμεινας», ὃ διασαφητικόν ἐστι τοῦ κατὰ τὸν Γλαῦκον θάρσους, εἴπερ ὑπέμεινεν ἀντιστῆναι τῷ τηλικούτῳ Διομήδει. (v. 123) Ἰστέον δὲ ὅτι τὸ «κατὰ θνητῶν ἀνθρώπων», ἢ περισσὴν ἔχει τὴν κατα πρόθεσιν ἢ ἀντὶ τῆς ἀπο κεῖται. ἐν πολλοῖς γὰρ λαμβάνονται προθέσεις ἀντὶ προθέσεων. (v. 127) Ὅτι Διομήδης τοὺς τὸ αὐτοῦ ἔγχος ὑπομένοντας δυστήνων πατέρων παῖδας λέγει, τουτέστιν υἱοὺς πατέρων δυστυχῶν, οἳ ταχὺ ἄπαιδες γίνονται. Φησὶ γὰρ «δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσι». ταὐτὸν δ᾽ ἂν εἴη εἰπεῖν «ἐμὸν ἔγχος μένουσιν», ἃ καὶ πᾶς ἄλλος ἂν εἴπῃ κατὰ ταπεινοτέρων ἀντιπάλων θρασυνόμενος. Καὶ ἔστιν ἰδοὺ τὸ ἀντιᾶν λαμβανόμενον καὶ ἐπὶ τοῦ συναντᾶν. Δῆλον δὲ ὅτι λέγεται καὶ ἐπὶ τοῦ ἀπολαύειν, ὡς τὸ «ἀντιόων ἑκατόμβης», καὶ ἐπὶ τοῦ ἐπιμελείας ἀξιοῦν, ὡς τὸ «ἐμὸν λέχος ἀντιόωσαν». (v. 128 s.) Ὅτι εὐσέβειαν διδάσκει ὁ Διομήδης πρὸς Γλαῦκον εἰπὼν τὸ «εἰ δέ τις ἀθανάτων γε κατ᾽ οὐρανοῦ εἰλήλουθας», ἤγουν κατῆλθες οὐρανοῦ, «οὐκ ἂν ἔγωγε θεῷ ἐπουρανίῳ μαχοίμην». καὶ ἔστι τὸ θεῷ μάχεσθαι διάλυσις Ἰωνικὴ τοῦ θεομαχεῖν. Εἶτα δεικνὺς ὁ ἥρως κακὸν εἶναι τὸ θεομαχεῖν ἐπιχειρεῖ προσωπικῶς ἐκ τοῦ ῥηθησομένου Λυκούργου, δι᾽ οὗ φανεῖται κακῶς ἀπαλλάσσειν τοὺς θεομάχους.

2.258 Καὶ ὅρα ὡς ἀπὸ τῆς ἄρτι ὁ Διομήδης οὐκ ἔχει ἀκούειν ἐκ τῆς φωσφόρου Ἀθηνᾶς τὸ «ἀχλὺν αὖ τοι ἀπ᾽ ὀφθαλμῶν ἕλον». ἤδη γὰρ ἀχλύεται ἀμφιβάλλων μήποτε θεὸς οὐρανόθεν εἴη ὁ Γλαῦκος. [Ἐναργείας δὲ πάντως θείας δηλωτικὸν τὸ «εἴ τις ἀθάνατος οὐρανόθεν ἦλθες», ἣν δὴ ἐνάργειαν καὶ ἡ Ὀδύσσεια δηλοῖ ὡς εἰωθυῖαν γίνεσθαι, ὅπου τοῦ Ὀδυσσέως περιυβριζομένου εὐλαβεῖταί τις τῶν μνηστήρων μήποτε θεὸς Ὀλύμπιός ἐστιν ὁ τὰς ὕβρεις πάσχων, ἐλθὼν ἐξ οὐρανοῦ καὶ τοῦ κατὰ τοὺς μνηστῆρας ἤθους ἀποπειρώμενος.] (v. 130 s.) Ὅτι λέγων ἐνταῦθα διὰ τοῦ Διομήδους ὁ ποιητὴς «οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόοργος δὴν ἦν», ἀντὶ τοῦ ἐπὶ πολὺ ἔζη, ἐπίρρημα συντάσσει τὸ δήν μετὰ ῥήματος ὑπαρκτικοῦ, καὶ οὕτως ἐμφαίνει δυνατὸν εἶναι καὶ ἐν τῷ «ἤτοι Ἀθηναίη ἀκέων ἦν» νοεῖσθαι τὸ ἀκέων ἀντὶ ἐπιρρήματος, κἂν πολλοῖς ἀπαρέσκῃ. Τοιοῦτον δέ ἐστι καὶ τὸ «τόφρα δὲ Κουρήτεσσι κακῶς ἦν». Σκοπητέον δὲ ὅτι τὸ Λυκόοργος ἐντελές ἐστι τοῦ Λυκοῦργος, οὐ μὴν τὸ Λυκόεργος. λύκου γὰρ ὀργὴν μὲν ἔστιν εἰπεῖν, ἔργον δὲ οὔ. ἐπὶ γὰρ ἀνθρώπων μόνων κυριολεκτεῖται τὸ ἔργον. (v. 130 s. et 138—40) Ἰστέον δὲ ὅτι μεμνήσεται καὶ ἐν τοῖς ἑξῆς Λυκούργου τινὸς ὁ ποιητής, γενναίου ἀνδρός. Ὃν δὲ νῦν λέγει, Δρύαντος ἦν υἱὸς Ἠδωνός, ἤγουν περί που τὰ κατὰ Θρᾴκην βασιλεύων, θεομαχεῖν δεινός, κρατερός, θεοῖς ἐπουρανίοις ἐρίζων, ἀνδροφόνος. διὸ δυστυχήσας καὶ ἀφῃρέθη τῶν ὀφθαλμῶν πρὸς Διός. τυφλὸν γάρ, φησίν, αὐτὸν ἔθηκε, καὶ οὐδὲ ἐπὶ πολὺ ἐβίω. (v. 132—7) Λέγεται δὲ αὐτὸς διώκειν μικρὸν ἔτι ὄντα τὸν Διόνυσον καὶ τὰς ὀργιαζούσας αὐτῷ τιθήνας, παύσασθαι δὲ τοῦτο ποιῶν, ὅτε φοβηθέντα τὸν Διόνυσον ἡ Νηρηῒς Θέτις καθυπεδέξατο κόλπῳ, οἷα δηλαδὴ ἁπαλόν τινα παῖδα. τοὺς τοιούτους γὰρ ἔστι κόλπῳ δέχεσθαι. Δηλοῖ δὲ ὁ τοιοῦτος μῦθος καθ᾽ ἱστορίαν θεραπευόμενος, ὅτι ὁ ῥηθεὶς Λυκοῦργος κηδόμενος τῶν ὑπὸ χεῖρα κακῶς πασχόντων ὑπὸ τῆς τοῦ ἀκράτου πλησμονῆς, ὅτε πρῶτον οἴνου χρῆσις παρ᾽ αὐτοῖς ἐπεπόλασε, τάς τε ἀμπέλους ἐξέσπα, αἳ δὴ Βάκχαι λέγονται, καὶ τιθῆναι, ἤτοι τροφοί, Διονύσου, τουτέστιν οἴνου, καὶ ὀπαδοί, καὶ τοὺς μεθύοντας ἐκόλαζε καὶ τὰς αὐτῶν συνόδους ἐσκέδαζε, καὶ τὸν οἶνον οὐκ εἴα ἐπιχωριάζειν, ὕστερον δὲ ἀφῆκε τὴν σπουδὴν ταύτην, ὁπηνίκα ἡ τοῦ οἴνου ἐπενοήθη μεθ᾽ ὕδατος κρᾶσις, ἣν αἰνίττεται ἡ τοῦ Διονύσου ῥῖψις κατὰ τοῦ ὕδατος, ὅπερ ὕδωρ δηλοῦται διὰ Θέτιδος ὑγροβίου δαίμονος, κἀντεῦθεν ἐπαύσαντο οἱ ἐγχώριοι τῆς τε ἀκρατοποσίας καὶ τῶν ἐξ αὐτῆς κακῶν.

2.259 Ἐνταῦθα δὲ καὶ τὸν Διόνυσον μαινόμενον εἶπεν ὁ ποιητής, καθὰ καὶ τὸν Ἄρην, ἤτοι μανιοποιόν. μεμήνασι γάρ πως οἱ μεθύοντες, ὡς καὶ οἱ κατὰ μάχην ἐναγώνιοι. Ὅθεν τούτους

μὲν ἀρειμανίους φαμέν, τοὺς δὲ μεθύσους οἰνομανεῖς, ἐπεὶ καὶ τὸν Διόνυσον μαινόλην καὶ Μαινάδας τὰς ὀπαδοὺς αὐτοῦ, [καθὰ καὶ Βάκχας, ἐπεὶ ἐκεῖνος Βάκχος ἀπὸ τοῦ βάζω βέβαχα πλεονάσαντος τοῦ κ διὰ τραχυφωνίαν καιρίαν, ὃ δὴ καὶ ἐπὶ τοῦ Ἴακχος γίνεται, οὗ ἀρχὴ τὸ ἰάχω ῥῆμα. Αἱ δὲ ῥηθεῖσαι καὶ Ληνίδες λέγονται διὰ τὸν ὑποδεκτικὸν ληνὸν τοῦ οἴνου, ὃν αὐταὶ τρέφουσι.] Φράζει δὲ περὶ τῶν κατὰ Λυκοῦργον Ὅμηρος οὕτω «ὅς ποτε μαινομένοιο Διονυσοῖο τιθήνας σεῦεν», ὅ ἐστιν ἐκίνει, ἐδίωκε, «κατ' ἠγάθεον Νυσσήϊον. αἳ δ' ἅμα πᾶσαι θύσθλα χαμαὶ κατέχευαν», ἤγουν ῥᾷον καὶ ταχὺ κατέρριψαν, «ὑπ' ἀνδροφόνοιο Λυκούργου θεινόμεναι βουπλῆγι, Διόνυσος δὲ φοβηθεὶς δύσεθ' ἁλὸς κατὰ κῦμα, Θέτις δ' ὑπεδέξατο κόλπῳ δειδιότα» καὶ ἑξῆς ὡς μετ' ὀλίγα γραφήσεται.

2.260 Εἶτα λέγει καὶ ὡς ὀδύσαντο αὐτῷ θεοὶ ῥεῖα ζώοντες, καὶ ὡς ἐτυφλώθη, «οὐδ' ἄρ ἔτι δὴν ἦν», ὡς ἐρρέθη, «ἐπεί», φησίν, «ἀθανάτοισιν ἀπήχθετο πᾶσι». (v. 135) Τὸ δὲ Διόνυσσος ἐνταῦθα πολλὰ τῶν ἀντιγράφων διὰ μεγάλου τοῦ ω γράφουσιν, οὐ δι' ἀνάγκην μέτρου κατά τινας, δύναται γὰρ καὶ μικρὸν ὂν διὰ τῆς ὀξείας ἐκτείνεσθαι, ἀλλὰ κατά τινα διάλεκτον. Ὅτι δὲ ὁ μυθικὸς Διόνυσος εἰς οἶνον ἀλληγορεῖται καὶ ὅτι καθ' ἱστορίαν δοτὴρ οἴνου ἢ ἐφευρετὴς λέγεται καὶ ὅτι διάφοροι Διόνυσοι, ἀλλαχόθεν ἔστι γνῶναι. Ἡρόδοτος δὲ λέγει καὶ ὅτι Ὦσιρις καθ' Ἑλλάδα γλῶσσαν ὁ Διόνυσος. Ὅρα δὲ καὶ ὡς πιθανολογῶν Ὅμηρος τὴν τοῦ Διονύσου κατὰ θαλάσσης φυγὴν οὐ μόνον φοβηθῆναι, τουτέστι φυγεῖν, αὐτὸν εἶπεν, ἀλλὰ καὶ δεδιότα ἔφη, καὶ ὅτι κρατερὸς αὐτὸν ἔχε τρόμος ἀνδρὸς ὁμοκλῇ. Ἐξ ὧν λαβόντες οἱ μεθ' Ὅμηρον δειλόν τε τὸν Διόνυσον πλάττουσι καὶ θηλυστολοῦντα, ὅθεν καὶ διοννὺς παρ' αὐτοῖς ἡ γυναικεία καὶ θῆλυς ἐσθὴς ἢ ἄλλο τι. (v. 133) Νυσσήϊον δὲ ἐνταῦθα ὄρος τι Θρᾴκης, ὃ καὶ Νύσσα λέγεται, ἀφ' ἧς ὁ Διόνυσος ὠνομάσθαι δοκεῖ, περὶ ἣν ὁ δηλωθεὶς Λυκοῦργος ἔσευε τὰς Βάκχας. [Δηλοῖ δὲ τὸ Νυσσήϊον περιεκτικῷ λόγῳ διατριβήν τινα οὐ Νύσσης, ἀλλὰ Διονύσου, κατὰ τὸ Νύσσια Κνώσσια, ὅπερ ἐστὶ Διονυσιακά. καί πως ἔοικε πρὸς τὸ Ποσιδήϊον, ὃ σημαίνει Ποσειδῶνος διατριβήν.

2.261 ] Εἰσὶ δὲ καὶ ἕτεραι Νύσσαι κατὰ τὰς ἱστορίας, αἱ μὲν ὄρη, ὡς ἐν Βοιωτίᾳ καὶ Ἀραβίᾳ καὶ Ἰνδικῇ καὶ Λιβύῃ, ἡ δέ τις καὶ νῆσος ἐν τῷ Καυκασίῳ ὄρει καὶ τῷ ποταμῷ Νείλῳ. Ἠγάθεον δέ, τουτέστιν ἀγαστὸν ἢ ἄγαν θεῖον, τὸ ῥηθὲν ὄρος ὁ ποιητὴς λέγει διὰ τάς, ὡς εἰκός, ἐν αὐτῷ τελουμένας τῷ Διονύσῳ θυσίας. ὅθεν δὲ παρῆκται τὸ ἠγάθεον, ἐκεῖθεν πάντως καὶ τὸ ἀγαθόν. (v. 134) Θύσθλα δὲ ἢ τελεστικά τινα θύματα, οἷα καὶ χέεσθαι, ἢ ῥάβδοι τινές, ἐν οἷς καὶ νάρθηκες, φορήματα Διονυσιακά, ἢ κλάδοι τινές, ὁποῖοι καὶ οἱ περὶ τὸν Διόνυσον Βακχικοὶ θύρσοι, οἱ βαρυτονούμενοι. οἱ γάρ τοι ὀξυνόμενοι θυρσοὶ γαμικὰ δηλοῦσι στέμματα. (v. 135) Βουπλὴξ δὲ βούκεντρον ἢ πέλεκυς βοὸς ἀναιρετικὸς ἢ μάστιξ γινομένη ἀπὸ τμήματος βύρσης. Ὀξύνεται δὲ κανόνι τοιούτῳ· Τὰ κατὰ παρακείμενον συντεθειμένα ὀνόματα εἰς ης ἢ εἰς ξ λήγοντα ὀξύνονται, κἂν μίαν φυλάττῃ τοῦ ῥήματος συλλαβήν, οἷον ἀδμής, ἀβλής, ἡμιθνής, κυαμοτρώξ, βουπλήξ. σεσημείωται τὸ ὕσπληξ. Ἐν δὲ ῥητορικῷ Λεξικῷ εὕρηται καὶ ὀρθοπλὴξ ἵππος, ὁ ὀρθὸς αἰρόμενος καὶ πλήσσων. Προφέρεται δὲ καὶ ἀκανθοπλήξ καὶ νωτοπλήξ καὶ οἰστροπλήξ, ὡς τὸ «τῆς οἰστροπλῆγος ἄλσος Ἰνάχου κόρης», καὶ μεθυπλήξ, ὡς Καλλίμαχος «τοῦ μεθυπλῆγος φροίμιον Ἀντιλόχου».

2.262 Περίεργον οὖν, φασί, λέγειν ὅτι τὰ μὲν δραστικὰ ὀξυτονεῖται, τὰ δὲ παθητικὰ βαρύνεται. πάντα γὰρ οἱ Ἀττικοὶ ὀξύνουσι δίχα τοῦ ὕσπληξ. (v. 136 s.) Ἰστέον δὲ ὅτι τὸ «Θέτις δ' ὑπεδέξατο κόλπῳ δειδιότα. κρατερὸς γὰρ ἔχε τρόμος ἀνδρὸς ὁμοκλῇ» παρῳδηθήσεταί ποτε ἐπὶ ἀνδρὶ περιποιηθέντι ὑπό τινος ἐν καιρῷ φόβου. (v. 139 s.) Ὅρα δὲ καὶ ὅτι τὸ «δὴν ἦν» δὶς ἐν τοῖς ῥηθεῖσι κεῖται, καὶ ὅτι ἔχθους ἀεὶ αἴτιον ἡ φαύλη ἔρις. Ὁ γοῦν ἀθανάτοις ἐρίζων ἀπήχθετο οὔ τισιν ἀλλὰ πᾶσιν αὐτοῖς. (v. 138) Τοῦ δὲ ὀδύσσω ῥήματος πολλαχοῦ ἡ χρῆσις, ἐξ οὗ καθ' Ὅμηρον καὶ ὁ Ὀδυσσεύς. [(v. 136) Ἰστέον δὲ καὶ ὅτι τὸ «Θέτις δ' ὑπεδέξατο κόλπῳ», ἡ κατὰ τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μῦθον δηλαδὴ θαλασσία δαίμων, ἔφασάν τινες αἴνιγμα εἶναι τοῦ χρησιμεύειν τὸ ἐκ θαλάττης ὕδωρ εἰς τὸ περισῴζειν οἶνον, ὃ καὶ δεδοκίμασται μὴ ψευδὲς ὄν.] (v. 141) Ὅτι εὐλαβοῦς ἤθους παρῳδηθὲν ἐξ Ὁμήρου τὸ «οὐκ ἂν ἐγὼ μάκαρι τῷ δεῖνι ἐθέλοιμι μάχεσθαι». (v. 143) Ὅτι πηγὴ τοῖς ἀρχαίοις ὁ ποιητὴς οὐ σπουδαίων μόνον, ἀλλὰ καὶ ὅσα ἐν ἀστεΐσμασι. Τὸ γοῦν «ἄσσον ἴθι, ὥς κεν θάσσον ὀλέθρου πείραθ’ ἵκηαι», ὅ φησι πρὸς Γλαῦκον ὁ Διομήδης, εἴρηκέ τις παλαιὸς ἀστεϊζόμενος ἐπὶ σκώμματι πόλεως Ἀσιανῆς, καλουμένης μὲν Ἄσσου, ἐν τόπῳ δὲ κειμένης ὑψηλοκρήμνῳ, ἔνθα δυσχερὲς καὶ ἐπικίνδυνον ἦν ἀνελθεῖν, οἱονεὶ παίζων ἐκεῖνος ὁ παλαιός, ὅτι, εἰ βούλει θᾶσσον θανεῖν, εἰς τὴν Ἄσσον πόλιν ἐλθέ. Ὡσαύτως δὲ καὶ μετ’ ὀλίγα κείμενον τὸ «οἵη περ φύλλων γενεή, τοίηδε καὶ ἀνδρῶν» ἐπί τινας μετήνεγκεν ὁ αὐτὸς δυσπροσόπτως ἔχοντας καὶ τὴν ὄψιν χλωροὺς ἐκ νόσου καὶ φύλλοις δι’ αὐτὸ τοῦτο ἐοικότας, σκώπτων ὡς ἡ τῶν ἀνδρῶν ἐκείνων γενεὰ φύλλων ἔοικε γενεᾷ. Εἰ δέ τις καὶ ἐπὶ ἀστατούντων τινῶν καὶ κούφων καὶ εὐμεταφόρων ἐρεῖ τὸ «οἵη περ φύλλων γενεή, τοίηδε καί» ἡ τῶν δεῖνα, εὖ πάντως ἀστεΐσεται καὶ αὐτός. καὶ οὕτω μὲν ταῦτα. (v.
2.263 142 s.) Σημείωσαι δὲ ὅτι τὸ ὅλον Ὁμηρικὸν ἔπος, τὸ «εἰ δέ τίς ἐσσι βροτῶν, οἳ ἀρούρης καρπὸν ἔδουσιν, ἆσσον ἴθ’, ὥς κε θᾶσσον ὀλέθρου πέρατα ἵκηαι» εἴποι ἂν ἀριστεὺς προκαλούμενος ἄνδρα εἰς μονομαχίαν, ὃν οὐ πάνυ γενναῖον λογίζεται. Τὸ δὲ «οἳ ἀρούρης καρπὸν ἔδουσι» πρὸς διαστολὴν εἶπε τῶν ἀπολελυμένων σώματος ἡρώων, οἳ κἂν βροτοὶ λέγοιντο, ἀλλ’ οὐ καρποφαγοῦσι. Τὸ δὲ ἀρούρης καρπὸν ἔδειν περίφρασίς ἐστι τοῦ σῖτον ἔδειν, ὅπερ καὶ ἐν Ἰλιάδι κεῖται καὶ ἐν Ὀδυσσείᾳ δὲ πολλαχοῦ. ἡ δὲ τοιαύτη ἄρουρα, ἧς ἔδουσί τινες τὸν καρπόν, ὀρθῶς ἂν καὶ ζείδωρος λέγοιτο. [Δοκεῖ δὲ τὸ καρπὸν ἀρούρης ἔδειν διαστέλλειν τε τὸν τοιοῦτον καρπὸν τοῦ ἐξ ἀγρίας γῆς, ὃς θηρία διοικεῖ, καὶ σεμνολογεῖν τὸν γεωργικὸν ἄνθρωπον κατά τι ἐξαίρετον, ὡς διενηνοχότα τῶν μὴ ἀροῦν θελόντων ἀλλὰ ζῆν ἀγρίως.] Ὅρα δὲ ἐνταῦθα καὶ τὴν Ὁμηρικὴν ταχεῖαν παρίσωσιν ἐν τῷ «ἆσσον ἴθι, ὅπως θᾶσσον ἀπέλθῃς», ἥτις ἐὰν μεταπέσῃ, ποιεῖ καὶ ἐπαναστροφήν. εἰ γάρ τις τυχὸν εἴπῃ «θᾶσσον ἆσσον ἴθι» ἐπαναστροφὴ τὸ σχῆμά ἐστι. Γίνεται δὲ τὸ ἆσσον ἀπὸ τοῦ ἐγγύς ἐγγίων, οὗ τὸ οὐδέτερον ἔγγιον, καὶ ἐξ αὐτοῦ δευτέρα παραγωγὴ συγκριτικὴ ἔσσον, καὶ κατὰ τροπὴν ἄσσον, ὅ ἐστιν ἔγγιον ἤτοι πλησίον. Οὕτω δὲ καὶ ταχύς ταχίων τάσσων καὶ θάσσων, πρὸς διαστολὴν τῆς τάσσων μετοχῆς, καὶ τὸ οὐδέτερον, ἔτι δὲ καὶ τὸ ἐπίρρημα, θάσσον. ὁμοίως καὶ μακρός μακρίων μάσσων καὶ βραδύς βραδίων βράσσων καὶ παχύς παχίων πάσσων καὶ ἐλαχύς, ἢ κατὰ Καλλίμαχον ἐλαχός, ἐλαχίων ἐλάσσων. οἷς ἀναλογίας δίκην συνεξακολουθῆσαν καὶ τὸ ἔσσον κατὰ τροπὴν τῆς ἀρχούσης γέγονεν ἄσσον. Ὡς δὲ πολλὰς λέξεις καινοτομεῖ καὶ ἡ συνεξακολούθησις, δῆλον καὶ ἐκ τοῦ υἱάσι.
2.264 τοῦτο γὰρ υἱέσιν ὀφεῖλον εἶναι ὡς ἀπὸ τοῦ υἱεύς υἱέος, ὅμως συνεξέδραμε τοῖς συγγενικοῖς, τῷ πατράσι καὶ μητράσιν. οὕτω δὲ καὶ τὸ πάτερ, ὀφεῖλον ὀξύνεσθαι κατὰ τὴν οἰκείαν εὐθεῖαν, βαρυτονεῖται διὰ τὰ οἰκεῖα συγγενικὰ τὸ μῆτερ καὶ θύγατερ. καὶ τὸ σῶτερ δὲ ἡ πρὸς τὸ πάτερ συνεκδρομὴ ἐβάρυνε. καθ’ ὅμοιον δὲ λόγον καὶ τὸ χωρίς ἐπίρρημα ὀξυνόμενον, ὡς τὸ λικριφίς, ὅμως εὕρηται, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, μετὰ τὴν ἀποβολὴν τοῦ ς χῶρι λεγόμενον βαρυτόνως καθ’ ὁμοιότητα τοῦ αὐτόθι καὶ ὅθι καὶ τῶν ὁμοίων. Ἴσως οὖν καὶ τὸ οὕτως ἐπίρρημα ἐξῶσε τὸ ς πρὸς ὁμοιότητα οἷον ἀναλογικὴν τοῦ ἰώ καὶ ἐπισχερώ καὶ τῶν ὁμοίων ἐπιρρημάτων, εἰ καὶ μὴ τονοῦται ὁμοίως ἐκείνοις. [Καὶ μὴν εἰ καὶ ἐνταῦθα τὴν φυσικὴν ἐτήρησε βαρυτόνησιν, ἀλλ’ ἐν ἑτέρᾳ συνδρομῇ περιεκλάσθη εἰς περίσπασιν. Δωριεῖς γὰρ κατὰ τὸ καλῶς, σοφῶς, δυνατῶς, φασὶ καὶ οὑτῶς, οἷον «πιαίνεται ὁ στάχυς οὑτῶς».] (v. 145—9) Ὅτι γνώμη ἐστὶν ἐνδεικτικὴ τῆς ἀνθρωπίνης εὐτελείας τὸ «ὦ δεῖνα μεγάθυμε, τιή», τουτέστι διὰ τί, «γενεὴν ἐρεείνεις; οἵη περ φύλλων γενεή, τοίηδε καὶ ἀνδρῶν. φύλλα τὰ μέν τ’ ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ’ ὕλη τηλεθόωσα φύει, ἔαρος δ’ ἐπιγίνεται ὥρῃ. ὣς ἀνδρῶν γενεὴ ἡ μὲν φύει ἠδ’ ἀπολήγει», τουτέστι καὶ φύει καὶ ἀπολήγει, ἢ καὶ ἄλλως αὕτη μὲν φύει, ἐκείνη δὲ ἀπολήγει. Καὶ λέγει μὲν καλῶς ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιητικὸς Γλαῦκος φύλλοις τὰ καθ’ ἡμᾶς εἰκάζων, ἃ νῦν μὲν ἦρται ἄνω καὶ μετέωρα σαλεύει, μικρὸν δ’ ὕστερον ἔραζε πίπτει. Νικᾷ δὲ μᾶλλον ὁ ὡς ἄνθος ἀγροῦ θάλλειν γνωματεύων τὰ ἡμέτερα. Σημείωσαι δὲ ὅτι τετράκις ἐνταῦθα κεῖται τὸ γενεή ἐπιμένοντος τοῦ ποιητοῦ συνήθως διὰ τὸ τῆς λέξεως καίριον. Φύλλων δὲ γενεὴ περιφραστικῶς νοεῖται ἀντὶ τοῦ φύλλα πληθυντικῶς, οὐδετέρου ὀνόματος.

2.265 Διὸ καὶ ἡ ἐπανάληψις καινοπρεπέστερον, καὶ ὥς τινές φασι, σολοικοφανῶς, οὐχ’ ὁμοιοπτώτως ἐκφέρεται κατὰ πληθυντικὴν γενικήν, ἀλλὰ κατὰ εὐθεῖαν πληθυντικὴν. (v. 147 s.) Φησὶ γὰρ «φύλλα τὰ μὲν ἄνεμος χαμαὶ χέει», οὐ πρὸς τὸ ῥητόν, τὸ «φύλλων γενεή» ποιησάμενος τὴν ἐπανάληψιν, ἀλλὰ πρὸς τὸ νοητόν, ἤγουν πρὸς τὰ φύλλα, τὰ νοούμενα ἀντὶ τῆς τῶν φύλλων γενεῆς. φύλλων γὰρ γενεὴ περιφραστικῶς καὶ φύλλα ταὐτόν εἰσι τῷ ἀριθμῷ διὰ τὴν τῆς ἐννοίας ταὐτότητα. Ὅτι δὲ πολλαχῶς ἡ γενεά, δηλοῦσιν οἱ παλαιοί. Δῆλον δὲ ὅτι οὐκ ἐπὶ μόνων ἀνθρώπων λέγεται, εἴγε καὶ ἵππων ἔφη γενεὰν ἐν τοῖς πρὸ τούτου, καὶ νῦν δὲ φύλλων λέγει γενεάν. Φύλλοις δὲ τὴν τῶν ἀνθρώπων εἰκάζει γενεὰν καὶ πᾶσι μὲν ἴσως, μάλιστα δὲ τοῖς τῶν ἀειθαλῶν, ὧν ἔτι προσισχομένων τῷ δένδρῳ ἄλλα νέα ἐν ὥρῃ ἔαρος καί, ὅ φασι καθ’ ὥραν, φύεται, ὅπερ Ὅμηρός φησιν ἐπιγίνεται. ἀφ’ οὗ ῥήματος καὶ ὁ ἐπίγονος παράγεται, ὅ ἐστιν ἀπόγονος. Οὕτω γὰρ καὶ γονέων οὐ πάντων ἐπιλειπόντων, ἀλλά τινων ἔτι παραμενόντων, οἱ ἐπίγονοι γίνονται κατὰ τὴν τῶν ἀειθαλῶν ὁμοιότητα, ἣν ὑποδηλοῖ καὶ τὸ «ὕλη τηλεθόωσα», ὅ ἐστι θαλέθουσα ἤτοι θάλλουσα, ὃ δὴ μάλιστα τῶν ἀειθαλῶν ἐστιν. Ὅρα δὲ καὶ ἐνταῦθα σύντομα πάρισα ἐν τῷ χέει καὶ φύει, καὶ αὖθις φύει καὶ ἀπολήγει, καὶ ὅπως προτάξας τὸ χέει τοῦ φύει, μετ’ ὀλίγα πρῶτον τίθησι τὸ φύει, εἶτα τὸ λήγει, ὡς ἀδιάφορον ὂν οὕτως ἢ ἐκείνως εἰπεῖν. καὶ ὅτι τοῦ μὲν φύειν οὐκ ἔσχε καιριωτέραν λέξιν εἰπεῖν, τὸ δὲ χέειν εἰς τὸ ἀπολήγειν μετέλαβε κατὰ τρόπον πολυωνυμίας. Σημείωσαι δὲ καὶ ὅτι, κἂν οἱ μεθ’ Ὅμηρον πρέπειν φύλλοις ἐθέλωσι τὸ ῥέειν, ὅθεν καὶ τὸ φυλλοροεῖν συντιθέασιν, ἀλλ’ ὁ ποιητὴς τὸ χέειν προκρίνει ὡς λειότερον καὶ διὰ τοῦτο οἰκειότερον. διὸ καὶ οἱ μεθ’ Ὅμηρον φυλλοχόον μῆνά φασι, καθ’ ὃν τὰ φύλλα εἰς γῆν χέονται.

2.266 Σημείωσαι δὲ καὶ ὅτι παρατετηρημένως εἶπε τὸ ἄνεμος χέει—ἀθρόα γὰρ φύλλων χύσις ὑπὸ ἀνέμου πνοῆς γίνεται—, καὶ ὅτι ἐνταῦθα μὲν τὸ «ἔαρος ἐπιγίνεται ὥρῃ» ἐντελῶς εἴρηται, ἐν δὲ τῷ «ὅσα φύλλα καὶ ἄνθεα γίνεται ὥρῃ» λείπει τὸ ἔαρος. (v. 145) Τὸ δὲ τιή ὡς Ἀττικῶς ἔχει τὴν διὰ τοῦ η ἐπέκτασιν, καθὰ καὶ τὸ ἐπειή, δηλοῦται καὶ ἀλλαχοῦ. ὡμοίωται δὲ τούτοις καὶ τὸ ὠή γενόμενον ἐκ τοῦ ὤ. [Ὅτι δὲ τὸ τιή, ὃ κεῖται καὶ παρὰ τῷ Κωμικῷ, παροξύνουσιν παλαιοὶ τεχνικοί, καὶ ὅτι τὸ ἐπειῆ περισπῶσιν, ἐν τοῖς εἰς τὴν ἄλφα ῥαψῳδίαν δεδήλωται.] (v. 150 s.) Ὅτι θαρρῶν ἂν εἴπῃ ποτὲ ἔκ ποθεν ἀνακρίσεως ὁ εὐγενὴς τὸ «εἰ δ’ ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ’ εὖ εἰδῇς ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασιν». Ἔστι δὲ ἐνταῦθα τὸ δε ἀντὶ τοῦ δη , ὡς καὶ μετ’ ὀλίγα ἐν τῷ «ἔνθα δὲ Σίσυφος», ὃ παρὰ τοῖς μεθ’ Ὅμηρον ἐνθάδε λέγεται. (v. 152 s.) Ὅτι σαφῶς καὶ νῦν κατὰ σχῆμα σύνηθες ἀφηγούμενος διὰ τοῦ Γλαύκου ὁ ποιητής φησιν «ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο. ἔνθα δὲ Σίσυφος ἔσκε», καὶ τὰ ἑξῆς. καὶ ἔστι φυσικὴ καὶ ἁπλῆ καὶ τοῦ διηγήματος τούτου ἡ καθ’ ὑπαρκτικὸν ῥῆμα εἰσβολή. Ὅτι δὲ καὶ ἄλλαι εἰσὶν Ἔφυραι, δηλοῦται μὲν καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν, εἴρηται δὲ καὶ ἐν τῇ Βοιωτίᾳ. Ἄργος δὲ καὶ ὧδε ἡ Πελοπόννησος, οὗ ἡ Κόρινθος ἐν μυχῷ, τουτέστιν ἔνδον, οὐ μὴν ἐν μυχαιτάτῳ καὶ ἐνδοτάτῳ. τοῦτο γὰρ ψεῦδος ἁπλῶς οὕτω εἰπεῖν διὰ τὸ ἰσθμίαν εἶναι τὴν Κόρινθον, περὶ ἧς καὶ ἡ Βοιωτία δηλοῖ. Ἥδοιτο δ’ ἄν, ὡς εἰκός, ὁ Διομήδης ἐνταῦθα, ὁ τὰ κατὰ Πελοπόννησον εὖ εἰδώς, ἀκούων τοῦ ξένου Γλαύκου διδασκαλικῶς περιηγουμένου κατ’ ἦθος ἀφελές, ποῦ ἡ Κόρινθος. Πλατὺ δ’ ἐνταῦθα τὸ τοῦ Γλαύκου ἀφήγημα καὶ ἡδὺ ὡς πολυειδές, δι’ οὗ, ὡς τὰ κατὰ μέρος δηλώσει, πολλὰ ἱστορεῖται, οἷον περὶ Σισύφου, οἷος καὶ ὅθεν ἦν καὶ τίνες οἱ ἐξ αὐτοῦ, περὶ τοῦ ἐγγόνου Βελλεροφόντου, τοῦ καὶ καλοῦ καὶ ἀνδρείου καὶ σώφρονος, εἰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἄλλως καθ’ Ἡρακλῆν ἐδυσπράγει, δεδμημένος ὑπὸ σκήπτρῳ τῷ τοῦ Προίτου ἀνὴρ πολὺ φέρτερος ἐκείνου, περὶ τοῦ κατὰ τὴν δύσερων Ἄντειαν ἔρωτος, καὶ ὡς ὑπ’ ἐκείνης ὁ καλὸς διεβλήθη ἀτυχησάσης οὗ κακῶς ἐπεθύμει, καὶ ὡς διὰ τοῦτο εἰς Λυκίαν ἀφωρίσθη φέρων τὸν καθ’ ἑαυτοῦ πίνακα τῷ τοῦ Προίτου πενθερῷ Ἰοβάτῃ, καὶ ὡς ἐκεῖ ἀριστεύσας κατὰ Χιμαίρας καὶ Σολύμων καὶ Ἀμαζόνων καὶ λοχιτῶν Λυκίων καὶ θαυμασθεὶς ἔγημεν ἀδελφὴν τῆς διαβόλου Ἀντείας, καὶ ὡς τέμενος γῆς ἔλαβε πρὸς τοῦ δήμου καλόν, καὶ τίνας ἔτεκε καὶ οἷον τέλος ἀπέβη αὐτῷ καὶ τοῖς ἐξ αὐτοῦ, ὧν ἑνὸς υἱὸς ὁ Γλαῦκος ἦν.

2.267 (v. 153 s.) Ὅτι ἐπαναλαμβάνει ὁ ποιητής, ὥσπερ πρὸ μικροῦ τὰ «φύλλα» διὰ σύστασιν καὶ διδασκαλίαν σαφῆ, οὕτω καὶ νῦν πρὸς θαῦμα τὸν Σίσυφον, δὶς ὀνομάσας αὐτόν, οὐκ ἀνομοιοπτώτως μέντοι, ὡς ἐκεῖ τὸ φύλλα, ἀλλὰ κατὰ ὁμοιότητα πτώσεως, ὅσπερ δὴ συνήθης τρόπος ἐστὶν ἐπαναλήψεως. καθόλου γὰρ ἡ ἐπανάληψις, εἰ μὴ καινοπρέπειαν ἔχει, συντρέχει τῇ φθασάσῃ λέξει κατὰ τὸ ἀπαράλλακτον. οἷον «ἔνθα Σίσυφος ἦν, Σίσυφος Αἰολίδης» καὶ «Αἰθίοπας μετεκίαθεν, Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται», ὃ δὴ ἐν Ὀδυσσείᾳ κεῖται, ὅπου καὶ σημειοῦνται οἱ παλαιοί, ὡς ἅπαξ ἐκεῖ ἐν Ὀδυσσείᾳ ἐπανέλαβεν Ὅμηρος πολλάκις τοῦτο ποιήσας ἐν τῇ Ἰλιάδι. (v. 154) Ἰστέον δὲ ὅτι τὸν Αἰόλον, τὸ κύριον, ἐξ οὗ Αἰολίδης Σίσυφος, βούλεται ἡ τέχνη τῶν διαφόρως τονουμένων λέξεων προπαροξύνεσθαι πρὸς διαφορὰν τοῦ αἰόλος ὁ ποικίλος. Αἴολος γάρ, φησί, τὸ κύριον. Ὅτι ὁ Αἰολίδης Σίσυφος, ὁ τοῦ Λυκίου Γλαύκου πρόγονος, κέρδιστος ἦν ἀνδρῶν, ὅ ἐστιν ἐντρεχέστατος, συνετώτατος, ὡς ὁ Γλαῦκός φησι. μέση δὲ λέξις ἐστὶ τὸ κέρδιστος. οὐ γὰρ ἐθέλει βλασφημεῖν ὁ Γλαῦκος τὸν πρόγονον, κλεπτίστατον ἀληθῶς ὄντα καὶ ὑπὲρ τὸν τοῦ Ὀδυσσέως πάππον Αὐτόλυκον, ὡς ἡ ἱστορία βούλεται, ὃς καὶ τὸν Θάνατον δεσμοῖς, ὡς ὁ μῦθός φησι, καρτεροῖς ἔδησεν ἐπιπεμφθέντα αὐτῷ, ὅτε τῷ Ἀσωπῷ ζητοῦντι τὴν θυγατέρα Αἴγιναν ἁρπαγῆναι αὐτὴν ὑπὸ Διὸς κατεμήνυσεν, ὁπηνίκα καὶ συνέβαινε, φασί, μηδένα τῶν ἀνθρώπων θνῄσκειν, ὡς τοῦ Θανάτου ἐν δεσμοῖς ὄντος, ἕως αὐτὸν ὁ Ἄρης ἔλυσεν.

2.268 Ἔοικε δὲ ὁ Σίσυφος εἰρηναίαν ἀρχὴν ἄρξαι καὶ τοῖς ὑπ’ αὐτὸν ἀκίνδυνον. Διὸ καὶ δῆσαι τὸν Θάνατον λέγεται, ὁποίῳ δή τινι λόγῳ καὶ Ὦτος καὶ Ἐφιάλτης τὸν Ἄρην δῆσαι ᾄδονται, ἄχρις οὗ πάλιν τῆς εἰρήνης λυθείσης παρεισεφθάρη ὁ βροτολοιγός. Τυχὸν δὲ καὶ ἀκεσώδυνα ἐξεῦρέ τινα καὶ νόσων ἀντίπαλα, ὡς δοκεῖν καὶ οὕτω δῆσαι τὸν Θάνατον. Ὅτι δὲ σοφὸς ἦν, καὶ ἡ κλῆσις ὑπεμφαίνει. τὸ γὰρ Σίσυφος ταὐτὸν κατὰ τοὺς παλαιοὺς δύναται τῷ θεόσοφος, ὡς καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται, σιοῦ μὲν τοῦ θεοῦ παρὰ Πελοποννησίοις καλουμένου, ὡς καὶ ὁ Κωμικὸς δηλοῖ, τοῦ δὲ σοφοῦ συφοῦ λεγομένου Αἰολικῶς, καθὰ καὶ τὸ ὄνομα ὄνυμα καὶ τὸ ἀσσότερον ἀσσύτερον καὶ ἀγορά ἄγυρις, ὅθεν καὶ ἡ ὁμήγυρις καὶ πανήγυρις, καὶ ταναόποδα ταναύποδα, καὶ ὄπτιος ὕπτιος. Ὅσα δὲ καὶ θανὼν μυθεύεται δολιεύσασθαι Σίσυφος καὶ ὡς ἐν Ἅιδου λίθον δι’ αὐτὰ κυλίει [καὶ ὡς ἐξ αὐτοῦ Σισυφεὺς παρὰ Λυκόφρονι ὁ σοφὸς ἀριθμητής], δῆλα ἐν ἄλλοις. (v. 154—205) Τούτου υἱὸς Γλαῦκος ὁ παλαιός, οὗ ἀμύμων Βελλεροφόντης, «ᾧ», φησί, «θεοὶ κάλλος τε καὶ ἠνορέην ἐρατεινὴν ὤπασαν», ἅπερ σπανίως ἔστιν ἐφ’ ἑνὶ συνδεδραμηκότα ἰδεῖν. Τούτῳ γυνὴ Προίτου ἐπεμήνατο δῖ’ Ἄντεια ἤτοι, κοινότερον εἰπεῖν καὶ μὴ Ἀττικῶς, ἐπεμάνη ἐν ὑπερβάλλοντι ἔρωτι, ὥστε κρυπταδίῃ φιλότητι μιγήμεναι. μανία γὰρ ὄντως καὶ ὁ τοιοῦτος ἔρως. Ὡς δὲ τοῦτον οὐκ ἔπειθεν ἀγαθὰ φρονέοντα, κατεψεύσατο αὐτοῦ πρὸς τὸν ἄνδρα Προῖτον. Ὁ δὲ σεβασάμενος κτεῖναι αὐτὸν διὰ τὸ ὁμόστεγον πέμπει Λυκίηνδε τῷ πενθερῷ, ἔδωκε δὲ «σήματα λυγρὰ γράψας ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλά». καὶ τὰ ἑξῆς δὲ ἐκτίθεται σαφῶς Ὅμηρος, ἤγουν τὰ περὶ Χιμαίρας, τὰ περὶ Σολύμων τῶν περιᾳδομένων, τὰ περὶ Ἀμαζόνων, αἳ τότε τὴν Ἀσίαν κατέτρεχον, τὰ περὶ τῆς ὑποκαθημένης τῶν Λυκίων ἐνέδρας, καὶ ὡς γαμβρὸς καὶ αὐτὸς τῷ Ἰοβάτῃ κατὰ Προῖτον γέγονε δασαμένῳ τὴν βασιλείαν, καὶ ὡς τέμενος ἐδωρήθη γῆς αὐτῷ, καθὰ καὶ προεκτέθειται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.269 (v. 156) Ἰστέον δὲ καὶ ὅτι ἐν μὲν τῷ «ἠνορέην ὤπασαν» ἡ λέξις τὸ ἔδωκαν σημαίνει. ἐν ἄλλοις δὲ ὀπάζειν τὸ κατόπιν διώκειν λέγεται. [Ἐρατεινὴ δὲ ἠνορέη πρὸς διαστολὴν τῆς ἀνεράστου, ἐξ ἧς ὁ φαῦλος ἀγήνωρ.] (v. 157) Ὁ δὲ Προῖτος τῇ ἐτυμολογίᾳ προϊτητικὸς φαίνεται εἶναι καὶ ὁρμητίας ἀπὸ τοῦ προϊέναι. διὸ καὶ διὰ διφθόγγου γράφεται. (v. 160) Τὸ δὲ «δῖ' Ἄντεια» σκληρά ἐστι συναλιφή, ὡς καὶ ἐν Ὀδυσσείᾳ τὸ «δῖ' Εὔμαιε», ἤγουν ἐνδοξότατε. (v. 161) Ἡ δὲ κρυπταδία φιλότης, ἡ κατὰ μοιχείαν δηλαδή, διέσταλται τῆς ἀμφαδίης, ἥ δέ ἐστιν ἡ τοῦ γάμου, ὥσπερ καὶ τὸ κρυπτάδια φρονέειν τοῦ ἀμφαδὰ ἐμφαίνειν τὸ κατὰ νοῦν. (v. 157—60) Σημείωσαι δὲ ὅτι καὶ ἐνταῦθα κεῖται σχῆμα πρωθύστερον περιφανές. Εἰπὼν γὰρ ὁ ποιητὴς «αὐτάρ οἱ Προῖτος», ἤγουν τῷ Βελλεροφόντῃ, «κάκ' ἐμήσατο θυμῷ, ὅς ῥ' ἐκ δήμου ἔλασσεν, ἐπεὶ πολὺ φέρτερος ἦεν Ἀργείων, Ζεὺς γὰρ ὑπὸ σκήπτρῳ», τῷ τοῦ Προίτου, «ἐδάμασεν», εἶτα ἐπάγει ὡς ἡ γυνὴ τοῦ Προίτου αὐτῷ ἐπεμήνατο. τοῦτο δὲ φύσει πρότερόν ἐστι τῆς ῥηθείσης ἐξελάσεως τοῦ Βελλεροφόντου. δι' ἔρωτος γὰρ διαβολὴν ἀπελήλατο. Λέγει δ' ἐν τοῖς ῥηθεῖσι δῆμον μὲν τὸν Ἀργεῖον, Δία δὲ τὴν εἱμαρμένην, ἣ καθὰ τὸν μέγαν Ἡρακλῆν τῷ οὐτιδανῷ τὴν ἰσχὺν Εὐρυσθεῖ, οὕτω καὶ Προίτῳ τὸν μέγαν ὑπήγαγε Βελλεροφόντην, ὅν φασιν Ἱππόνουν τὰ πρῶτα κυριολεκτεῖσθαι ἢ Λεωφόντην, ἀνελόντα δὲ Βέλλερον δυνάστην Κορινθίων μεταθέσθαι τὸ ὄνομα καὶ φυγεῖν εἰς Ἄργος καὶ τυχεῖν παρὰ Προίτῳ τῶν συνήθων καθαρσίων, εἶτα παθεῖν ἃ ἔπαθε τῇ τῆς Ἀντείας διαβολῇ.

2.270 Ἰστέον δὲ ὅτι τὴν παρ' Ὁμήρῳ ταύτην Ἄντειαν Σθενέβοιαν ἄλλοι καλοῦσιν, ὡς καὶ Εὐριπίδης, καθά που μέμνηται καὶ ὁ Κωμικός. (v. 162) Ὅτι δὲ ὁ Βελλεροφόντης καὶ Βελλεροφῶν τετρασυλλάβως λέγεται, ποιητὴς ἕτερος δηλοῖ. δῆλον δὲ ὡς ἐκ τοῦ Βελλεροφόων κατὰ συναίρεσιν, ὡς Ξενοφόων Ξενοφῶν. Δῆλον δὲ ὅτι καὶ Ἐλλεροφόντην τοῦτον ἱστόρησάν τινες καλεῖσθαι, ὡς καὶ μετ' ὀλίγα ῥηθήσεται. Ἐν δὲ ῥητορικῷ Λεξικῷ εὕρηται καὶ Βέλλερος λεγόμενος [(v. 169) Ἔτι ἰστέον καὶ ὅτι ὁ πτυκτὸς πίναξ, περὶ οὗ ἀναγκαίως καὶ μετ' ὀλίγα εἰρήσεται, τὴν παρὰ τοῖς ὕστερον δηλοῖ ἐπιστολήν, εἰς ἣν γριφεύουσα ἡ Σαπφὼ ἔγραψεν οὕτω «ἔστι φύσις θήλεια βρέφη σῴζους' ὑπὸ κόλποις αὐτῆς. ταῦτα δ' ἄφωνα βοὴν ἵστησι γεγωνὸν καὶ διὰ πόντιον οἶδμα». ὃν δὴ γρῖφον μὴ λύσαντος καλῶς τοῦ ἀκούσαντος, ἀλλὰ νενοηκότος εἰς πόλιν καὶ ῥήτορας δωρολήπτας, ἡρμήνευσεν ἐκείνη, ὡς θήλεια μὲν φύσις ἐστὶν ἡ ἐπιστολή, βρέφη δὲ τὰ γράμματα περιφέρει, ἅπερ ἄφωνα ὄντα τοῖς πόρρω λαλεῖ.] (v. 164 s.) Ὅτι ἡ τῆς Ἀντείας ψευσαμένης διαβολὴ τοιαύτη τις ἦν «τεθναίης, ὦ Προῖτ', ἢ κάκτανε», ἤγουν κατάκτανε, «Βελλεροφόντην, ὅς μ' ἔθελε φιλότητι μιγήμεναι οὐκ ἐθελούσῃ». Τοιοῦτον δέ τι ἴσως καὶ Ἱπποδάμεια πρὸς Πέλοπα τοῦ Μυρτίλου κατεῖπε καὶ τοῦ Πηλέως ἡ Ἀκάστου γυνὴ καὶ ἄλλαι ἄλλων, μισήσασαι τοὺς μὴ ὑπακούσαντας. Ὡς γάρ φασιν οἱ σοφοὶ «τόκος ἀποτευχθέντος ἔρωτος μῖσός ἐστιν». Ἐνταῦθα δὲ ἐνθυμητέον τὸ τοῦ Πορφυρίου, ὡς ἢ ἐθέλων ἐθέλουσάν τις εὑρίσκει, καθὰ ἡ Ὀδύσσεια περὶ Αἰγίσθου καὶ Κλυταιμνήστρας φησίν, ἢ ἐθέλων μὴ ἐθέλουσαν, ὁποῖαί εἰσιν αἱ ἀπαναινόμεναι ἀεικὲς ἔργον, καθά ποτε καὶ ἡ Κλυταιμνήστρα, ἢ οὐκ ἐθέλων ἐθέλουσαν, ὡς ἐνταῦθα Βελλεροφόντης τὴν Ἄντειαν. Ἔνθα δὲ οὐκ ἐθέλων καὶ οὐκ ἐθέλουσα, ἐκεῖ πάντῃ ἄσχετος ἡ διάθεσις, εἰ μή ποθεν ἄμφω βιάζοιντο. Τὸ δὲ κάκτανε ἢ τὸ τ ὤφειλεν ἔχειν κατὰ φύσιν μετὰ τὴν ἀποκοπὴν τοῦ α τῆς κατα προθέσεως ἢ γοῦν ἀλλὰ τρέψαι αὐτὸ συνήθως εἰς τὸ ἐπαγόμενον σύμφωνον, ὡς ἐν τῷ κάββαλε, κάλλιπε, καὶ τοῖς ὁμοίοις, ἐκώλυσε δὲ καὶ εἰς ἄμφω ἡ ἑκατέρωθεν κακοφωνία.

2.271 (v. 166 s.) Ὅτι πρᾷον βασιλέα κατὰ Προῖτον χαρακτηρίζει τὸ «τὸν δὲ ἄνακτα χόλος λάβεν, οἷον ἄκουσε, κτεῖναι μὲν δὴ ἀλέεινε, σεβάσσατο γὰρ τό γε θυμῷ», ἤγουν ἐξεπλάγη, ὡς φρικτὸν ὄν. ἢ καὶ ἄλλως· σεβάσατο ἐν θυμῷ κατά γε τοῦτο τὸν Βελλεροφόντην, εἰ καὶ ἄλλως ἐμελέτησε κατ' αὐτοῦ. Ἐκ τοῦ σέβω δὲ τὸ σεβάζω, καθὰ ἐκ [τοῦ σκέπω τὸ σκεπάζω καὶ τοῦ λίτω τὸ λιτάζω καὶ τοῦ μίμνω τὸ μιμνάζω καὶ] τοῦ στέγω τὸ στεγάζω, ἀφ' οὗ παρὰ Σοφοκλεῖ τὸ «ὕπνον ἐμὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στεγάζειν ἡδύν», μεταποιηθὲν ἐξ Ὁμηρικοῦ τοῦ ἀμφικεχύσθαι νήδυμον ὕπνον. (v. 168—70) Ὅτι ἐν τῷ «πέμπε δέ μιν», ὡς ἐρρέθη, «Λυκίηνδε», ὁ Προῖτος δηλαδὴ τὸν Βελλεροφόντην, [γράμματα καθ' ἑαυτοῦ κομίζοντα, καὶ ταῦτα οὐχ' ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτοῦ, τραγῳδικῶς εἰπεῖν, ἁλισκόμενον πτεροῖς], «πόρεν δ' ὅ γε σήματα λυγρὰ γράψας ἐν πίνακι πτυκτῷ [θυμοφθόρα πολλά. δεῖξαι δ' ἠνώγει ᾧ πενθερῷ, ὄφρ' ἀπόλοιτο», καὶ ἑξῆς, (v. 168 s.) τὸ «σήματα γράψας ἐν πίνακι πτυκτῷ» διέσταλται μὲν τοῦ ἀπὸ στόματός τι δηλοῦν, οὗ χρῆσις παρὰ Πλάτωνι ἐν τῷ «οὐκ ἔχω διηγεῖσθαι οὕτω γε ἀπὸ στόματος, ἀλλὰ ἔγραψα τότ' εὐθὺς οἴκαδ' ἐλθὼν ὑπομνήματα».

2.272 ] Ἀπὸ παλαιτάτης δὲ εἴλπται χρήσεως. ἡ μὲν γὰρ τῶν κυρίως λεγομένων ἀπὸ τοῦ γράφειν, ὅ ἐστι ξέειν. γραμμάτων χρῆσις νεωτέρα ἐστίν. ὡσαύτως καὶ τὸ ἄξεστα σημεῖα διὰ χρωμάτων ἐντυποῦν ὕστερον εὕρηται. καὶ ἡ τῶν χαρταρίων δὲ χρεία τοῦ κάτω χρόνου εὕρημα. οἱ δέ γε παλαιοί, ὁποῖόν τι καὶ οἱ Αἰγύπτιοι ἐποίουν, ζῳΐδιά τινα ἱερογλυφοῦντες καὶ λοιποὺς δὲ χαρακτῆρας εἰς σημασίαν ὧν λέγειν ἐβούλοντο. οὕτω καὶ αὐτοί, καθὰ καὶ τῶν τινες ὕστερον Σκυθῶν, ἐσήμαινον, ἃ ἤθελον, εἴδωλά τινα καὶ πολυειδῆ γραμμικὰ ξέσματα ἐγγράφοντες ἤτοι ἐγγλύφοντες πίναξι, τουτέστι σανίσιν, ἀλλοίαις τε καὶ ταῖς ἐκ πύξων, ἐξ ὧν αἱ λεγόμεναι πυξίδες, ἔστι δὲ ὅτε καὶ κατά τινα χρείαν πτυκτὰ ποιοῦντες, ἤγουν πτύσσοντες τὰ τοιαῦτα πυξία, καὶ ἀλλήλοις ἐπιτιθέντες διὰ διπλώσεως, ὁποῖα καὶ νῦν ἐπιχωριάζει ξύλινα βιβλιδάρια ἑτέροις τέ τισι καὶ τοῖς οἰκοῦσι τὴν Ταυρικήν. κἀντεῦθεν καὶ ὁ ποιητὴς τὴν τοῦ Προίτου ἐπιστολὴν σήματά φησιν, ἤτοι σημάδιά τινα, ἐγκεκολαμμένα πίνακι πτυκτῷ τῷ κατὰ τὴν ἀρχαιοτάτην χρῆσιν, ἧς ἐγκατάλειμμά ἐστι παρὰ τοῖς ὕστερον πρὸς μόνον ὄνομα, ὡς προεγράφη καὶ τὸ τὴν χαλκῆν κόρυθα κυνένη λέγειν, διὰ τὴν πάλαι ποτὲ κατασκευνὴν τὴν ἐκ κυνέης δορᾶς, καὶ τὰ ἐκ σιδήρου ὅπλα χαλκᾶ, ὡς ἦν ὅτε ἀπὸ χαλκοῦ συγκροτούμενα.

2.273 [Εἰ δὲ ἀπὸ τοῦ πτύσσω πτύξω, ἐξ οὗ τὸ πτυκτόν, ἐκεῖθεν ἐκβολῇ τοῦ ταῦ διὰ εὐφωνίαν γίνεται, ὥσπερ τὸ πυκτίον, ὅπερ ἐστὶ βιβλίον, οὕτω καὶ ἡ πυξὶς καὶ τὸ πυξίον, οὐδὲ τοῦτο μακρὰν τοῦ εἰκότος λόγου κεῖται.] Τινὲς μέντοι φασὶ δύνασθαι τὰ μὲν γράμματα ἐνταῦθα σήματα φιλοσοφώτερον καλεῖσθαι. Σημεῖα γὰρ φωνῶν καὶ νοημάτων καὶ πραγμάτων εἰσὶ τὰ γράμματα. Πίνακα δὲ πτυκτόν, ὅ φαμεν ἡμεῖς δέλτον ἤτοι βιβλίον ἢ πιττάκιον. δέλτον μὲν διὰ τὸ κατὰ σχῆμα τοῦ δέλτα γράμματος καὶ τῶν λεγομένων δελτωτῶν ἔστιν ὅτε τὰ τοιαῦτα σχηματίζεσθαι, πτυσσόμενα τριγωνοειδῶς, ὅπερ ἐν πολλοῖς ὁρῶμεν εἰσέτι γινόμενον. βίβλον δὲ ἢ βιβλίον οὐδετέρως ἀπὸ τοῦ φυτοῦ τῆς βύβλου κατὰ ἐναλλαγὴν γράμματος, ὡς καὶ τῆς τοιαύτης βύβλου κατεργαζομένης ποτὲ εἰς ὑποκείμενον γραμμάτων, καθὰ καὶ ὁ ἀπὸ ξύλου πίναξ, ὡς εἶναι τῆς παλαιτάτης χρήσεως καὶ τὴν βίβλον ὁμοίως τῷ πίνακι καὶ τῇ πυξίδι. πιττάκιον δὲ ἰδιωτικώτερον διὰ τὸν τρόπον καὶ αὐτὸ τῆς πτύξεως ἤτοι διπλώσεως.

2.274 ὡς γὰρ δέλτος διὰ τὸ δελτωτὸν σχῆμα, οὕτω πιττάκιον διὰ τὸ τετραγωνίζεσθαι πτυσσόμενον ὁμοίως πως τῷ τῆς χυτῆς πίττης σχηματισμῷ. Οἱ δὲ παλαιοὶ καὶ ἐν τῇ κατ' Εὐριπίδην Φαίδρᾳ, ἔνθα μνήμη πεύκης κεῖται, φασὶ πεύκην ἐκεῖ ῥηθῆναι τὴν ἐν τῇ χειρὶ τῆς Φαίδρας δέλτον, τὴν κατὰ τοῦ Ἱππολύτου, ὡς ξυλίνην οὖσαν καὶ ἴσως ἐκ πεύκης διὰ τὸ τῆς γραφῆς ἐν τοιούτῳ ξύλῳ εὐτύπωτον. Ἔχοι δὴ ἄν τις καὶ τοῦτο εἰς μαρτυρίαν τοῦ ξύλοις ἐγχαράσσεσθαί ποτε γράμματα, ὃ μάλιστα ἐπὶ μαρμάρων λίθων ἐπεχειρήθη, ἐφ' ὧν καὶ ἡ τοῦ γράφειν ἁρμόττει ὀνοματοποιΐα. Εἰ δὲ καὶ συνήγετο ἡ τοιαύτη δέλτος, ἡ ἐκ πεύκης, τριγωνοειδῶς κατὰ τοὺς ὕστερον Ἀττικοὺς ἄξονας, ἐν οἷς ἐπινακογραφοῦντο νόμοι, κυριολεκτοῖτο ἂν ἐπ' αὐτῆς καὶ ὁ καθ' Ὅμηρον πίναξ καὶ ἡ παρὰ τοῖς μεθ' Ὅμηρον δέλτος. [Πίναξ γάρ, ἐξ οὗ καὶ πινακίσκιον, οὐ μόνον σκεῦος δεξιὸν εἰς τὸ πίνειν κατὰ ἀτρεκὲς ὄνομα εἴποι ἂν ὁ Κίλιξ σοφός, ἤγουν κατὰ ἐτυμολογίαν, ἀφ' οὗ καὶ κρεῶν πίνακες πρὸς ὁμοιότητα, ὡς ἐξὸν ὂν καὶ δι' αὐτῶν πίνειν, ἀλλὰ καὶ ἡ σανὶς πίναξ λέγεται, ὡς δῆλον καὶ ἐκ τοῦ νεῶν εἰρῆσθαι πίνακας, καὶ ἐκ τοῦ «πινακηδὸν ἀποσπῶν», ἤγουν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δίκην σανίδων, ὅθεν καὶ πινακίδια γραμμάτων, καὶ βιβλίου δὲ πίναξ, τὸ ἐπίπεδον, ᾧπερ αἱ κατ' αὐτὸ ὑποθέσεις ἐπιτιτλοῦνται, ῥηθεὶς οὕτω μεταφορικῶς.

2.275 ] Χρήσιμον δὲ εἰς τὸν παρόντα τόπον καὶ τὸ παλαιὸν ἔθος, καθ' ὃ δένδροις ὅσα καὶ πίναξιν ἐνεκόλαπτον οἱ παλαιοὶ τὰ τῶν φιλουμένων ὀνόματα, ὡς εἴπερ Ἔρωτες ἢ Νύμφαι ὀρειναὶ τοῦτο ἐποίουν, οἷον «ἡ δεῖνα καλή, ὁ δεῖνα καλός». Ὅθεν λαβὼν Εὐριπίδης ἔφη τὸ μὴ ἂν ἀγαθὰς εἰπεῖν τὰς γυναῖκας, οὐδ' εἰ περὶ τούτου τὴν ἐν Ἴδῃ γραμμάτων πλήσειέ τις πεύκην. ἔνθα ὁ νοῦς μέν, ὡς οὐκ ἂν εὐλογήσοι τὰ γυναικῶν, οὐδ' εἰ πάντα τὰ Ἰδαῖα δένδρα καταγραφεῖεν καλὰς εἶναι τὰς γυναῖκας. Ἴδην δὲ ὄρος πᾶν φασιν ὑψηλόν, ὡς ἐκ μέρους καὶ κατ' ἐξοχήν τινα. Πεύκην δὲ ὁμοίως ἅπαν δένδρον καθ' ὅμοιον καὶ αὐτὸ τρόπον, ὥσπερ καὶ ὁ δρῦς καὶ ὁ δρυμὼν καὶ λοιπὰ συνεισάγουσι ξύλα, καθὰ πολλαχοῦ καὶ φαίνεται καὶ δηλοῦται. καὶ οὕτω μὲν ταῦτα. Εὐριπίδης δέ που τὰ Ὁμηρικὰ σήματα εἰς ξύμβολα μεταλαβών φησι «ξένοις τε πέμπειν σύμβολα, οἳ δράσουσί ς' εὖ». Ἰστέον δὲ καὶ ὅτι γράψαι μὲν παρ' Ὁμήρῳ εὕρηται, τὸ δὲ ἐξ αὐτοῦ ὄνομα τὸ γράμμα οὐκ οἶδεν ὁ ποιητής. Εἰ γὰρ ἐπ' αὐτοῦ ἦν ἐν χρήσει, [καθὰ καὶ ἡ ἐν Ὀδυσσείᾳ γραπτύς, ὅπου καὶ περὶ τοῦ γράψαι εἴρηταί τινα οὐκ ἀχρεῖα,] οὐκ ἂν τρὶς εἶπε τὸ σῆμα, ἐπιμείνας τῇ λέξει διὰ τὸ μονῆρες καὶ καίριον.

2.276 Οὕτω καὶ λέγειν μέν, εἰ καὶ σπανίως που, φησὶν ὁ ποιητής, λόγον δέ, φασί, τὸ ἐξ αὐτοῦ ὄνομα, οὐδαμοῦ. Ἰστέον δὲ καὶ ὅτι, καθὰ τὸ γράφειν, οὕτω καὶ τὸ χαράσσειν ἐξ ὀνοματοποιΐας παρεισῆχθαι δοκεῖ ἐπὶ σημασίας ὁμοίας. Διὸ καὶ τὸ «κείνῳ τόδε μὴ χαράσσου» ἀντὶ τοῦ μὴ ἐπίγραφε ἑρμηνεύουσιν οἱ παλαιοί, καὶ ἔοικεν ἀπ' αὐτοῦ καὶ ὁ χάρτης εἶναι, καὶ ὁ κατὰ πρόσωπον δὲ χαρακτὴρ ἐκεῖθεν μετήνεκται. Φασὶ δ' οἱ παλαιοὶ καὶ ἐκ τοῦ γρῶ, τὸ ἐσθίω καὶ φθείρω, εἶναι τὸ γράφειν, ὡς καὶ ἐκ τοῦ γλῶ τὸ γλάφειν καὶ γλύφειν. Οἱ δ' αὐτοὶ καὶ τὸ δίκτυον τὸν γρῖπον τὸν καὶ γρῖφον ἐκ τοῦ αὐτοῦ γρῶ παράγουσιν. ἑλκόμενος γὰρ καὶ αὐτὸς ξύει τὰ ὑπ' αὐτόν. Ἐκ δὲ τοῦ αὐτοῦ γρῶ καὶ ἡ παρὰ Λυκόφρονι γρώνη πέτρα, καὶ ἡ χρόνῳ διεφθαρμένη γραῦς, καὶ ἡ τοῖς ἀλόγοις φίλη γράστις, ἣν καὶ κράστιν γράφουσιν οἱ παλαιοὶ φάμενοι τὸν ἡμίξηρον χόρτον οὕτω καλεῖσθαι, ὅθεν καὶ ῥῆμα τὸ κραστίζεσθαι. Ὅτι δὲ τοῦ γρῶ προϋπάρχει τὸ ῥῶ, ἐξ οὗ ῥαίω τὸ φθείρω, καὶ ὅτι, καθὰ δουπῶ καὶ πλεονασμῷ τοῦ γ γδουπῶ, ὡς τὸ «ἐπὶ δ' ἐγδούπησαν Ἀθηναίη τε καὶ Ἥρη», [οὕτω καὶ ῥῶ γρῶ, οὐκ ἔστιν ἀμφιβαλεῖν τὸν ἔσω λόγου ὄντα.

2.277 οὕτω δὲ καὶ τοῦ Γραικὸς προϋπάρχει Ῥαικὸς κατὰ τοὺς Τεχνικούς.] (v. 168 s.) Ὅρα δὲ ἐν τούτοις καὶ ὁμοιοτελεύτους στίχους ἐν τῷ «πόρε σήματα λυγρά» καὶ «γράψας θυμοφθόρα πολλά». Τῷ γὰρ τόπῳ σκυθρωπῷ ἄλλως ὄντι διὰ τὸ τῆς ἱστορίας φορτικὸν ἐνεποίησεν οἷόν τι μειδίαμα τὸ τῆς παρισώσεως κάλλος. ἔχει δέ τι κάλλους καὶ τὸ «λυγρὰ γράψας» ὁποῖον καὶ τὸ «ἦλθε θέων» καὶ τὸ «Σαμία μία ναῦς». Τὸ δὲ «θυμοφθόρα πολλά» ἑρμηνεύων ὁ ποιητής φησι «ὄφρ' ἀπόλοιτο». θυμοφθόρα γὰρ πάντως τὰ ἀπολλύντα. Ἐκ τούτων δὲ καὶ παροιμία παρέξεσται ὕστερον τὸ «Βελλεροφόντης καθ' ἑαυτοῦ γράμματα» ἐπὶ τῶν τοιαῦτά που ἀγγελλόντων, ἐξ ὧν βλάπτονται. [Ἰστέον δὲ καὶ ὅτι ἐκ τοῦ γράφειν εἴρηται παρὰ τοῖς παλαιοῖς καὶ ὁ γράπτις ὁ ῥυσσὸς καὶ ὡσανεὶ καταγεγραμμένος ἤγουν γραμμάς τινας ἔχων ἐκ τῶν ῥυτίδων. καὶ ὅτι, ὡς ξύσμα ξυσμή, οὕτω καὶ γράμμα γραμμή, οὐ μόνον ἡ ἐν μαθήμασιν, ἀλλὰ καὶ ὁποίαις ἔπαιζον οἱ κυβεύοντες. ὧν μία τις μέση γραμμὴ ὠνομάζετο ἱερά, ἐπειδὴ ὁ ἡττώμενος ἐπ' ἐσχάτην αὐτὴν ἵετο. Ὅθεν καὶ παροιμία «κινεῖν τὸν ἀφ' ἱερᾶς», ἐπὶ τῶν ἐν ἀπογνώσει δεομένων βοηθείας ἐσχάτης. Χρῆσις δὲ ταύτης καὶ παρὰ Σώφρονι ἐν τῷ «κινήσω δ' ἤδη καὶ τὸν ἀφ' ἱερᾶς», ἔνθα λείπει τὸ πεσσὸν ἢ λίθον.

2.278 Ἀλκαῖος οὖν ἐκ πλήρους ἔφη τὸ «κινήσας τὸν πήρας πυκινὸν λίθον», κωμικευσάμενος ἐκεῖνος καὶ ἀντὶ τοῦ ἱερᾶς ὡς ἐν παρῳδίᾳ γράψας τὸ πήρας. Θεόκριτος δὲ ἐν τῷ «καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον» ἰδίως τῇ ἐλλείψει χρῆται παραπέμψας, φασίν, ἤγουν σιωπήσας, τὴν ἱεράν. Δοκεῖ

δὲ παρὰ τὸ γράμμα καὶ ῥῆμα εἶναι γραμμίζειν, ἀφ’ οὗ παιδιά τις ὁ διαγραμμισμός. Ἐγίνετο δέ, φασίν, αὕτη κυβείας οὖσα εἶδος διὰ τῶν ἐν πλινθίοις ψήφων ἑξήκοντα λευκῶν τε ἅμα καὶ μελαινῶν. Χρῆσις τοῦ παιγνίου τοῦδε παρὰ Φιλήμονι ἐν τῷ «μεθύει, διαγραμμίζει, κυβεύει». Ἔτι ἰστέον καὶ ὅτι ὥσπερ ἐκ τοῦ γράφειν γίνεται ὁ ῥηθεὶς γράπτις, οὕτω καὶ ἡ γραπτύς, ἧς χρῆσις ἐν Ὀδυσσείᾳ.] (v. 171) Ὅτι ἐν οἷς περὶ Βελλεροφόντου λέγει ὁ ποιητής «αὐτὰρ ὅ», ἤγουν οὗτος, «βῆ Λυκίηνδε θεοῦ ὑπ’ ἀμύμονι πομπῇ», ἤγουν ὑπὸ θείᾳ ἀμέμπτῳ ὁδηγίᾳ, διδάσκει ὡς, εἰ καὶ πρὸς βραχὺ ἀνύσει τι ὁ διαβάλλων, ὅμως οὐ μέχρι τέλους εὔοδα γίνεται τῇ διαβολῇ. καὶ ὁ Βελλεροφόντης γὰρ διαβληθεὶς περιπέπτωκε μὲν κακοῖς, θείᾳ δὲ πομπῇ περιγέγονε «τεράεσσι θεῶν πιθήσας», ὡς ἐν τοῖς ἑξῆς ἐρεῖ. Ἴσως γὰρ καὶ σημεῖά τινα παρηκολούθηκε θαρρύνοντα τὸν Βελλεροφόντην εἰς τοὺς ἀγῶνας, οἷς περιπέπτωκεν. Ὅρα δὲ καὶ ἐνταῦθα τὴν ὑπο πρόθεσιν δοτικῇ συνταχθεῖσαν ἐν τῷ «ὑπὸ πομπῇ». Σεμνὴ δὲ λέξις ὥσπερ τὸ πέμπειν, οὕτω καὶ ἡ πομπή. Διὸ καὶ ὁ ποιητὴς φιληδεῖ τούτοις. προῆκται δὲ τὸ σεμνὸν καὶ εἰς θριαμβικὴν πομπήν. Εἰ δέ τινες κοινότερον ἀντιφράζοντες ψογερῶς ποτε προφέρονται τὴν πομπήν, ἐοικέτω τηνικαῦτα τῷ εὐλογεῖν, ὃ ἀντεμφαίνει ποτὲ ὕβριν, ἔτι δὲ καὶ τῷ ὑμνεῖν, φαύλως ἐκλαμβανομένῳ ποτὲ κατὰ βαρεῖαν ἀντίφρασιν.

2.279 Σοφοκλῆς «ὑμνήσεις κακά», ἤγουν ὑβρίσεις. [καὶ ἐν Οἰδίποδι τῷ τυράννῳ «τοιαῦτ’ ἐφυμνῶν», ἤγουν δυσφημῶν,] Αἰσχύλος «ὑμνεῖται ὑπ’ ἀστῶν φροιμίοις πολυρρόθοις», Εὐριπίδης «τὴν ἐμὴν ὑμνοῦσαι ἀπιστοσύνην», ἤγουν κακολογοῦσαι, καὶ «ἐπεὶ ἀντάχησαν ὕμνοι», αἱ κατὰ τῶν ἀρρένων ὕβρεις δηλαδή. (v. 172) Ὅτι ποταμὸς ἐν Λυκίᾳ μέχρι καὶ νῦν σῴζων τοὔνομα ὁ Ξάνθος, ὁμώνυμος τῷ Τρωϊκῷ. Φησὶν οὖν «ἀλλ’ ὅτε δή» Βελλεροφόντης «Λυκίην ἷξε Ξάνθον τε ῥέοντα». Προσέθηκε δὲ καὶ νῦν τὸ ῥέοντα κατὰ Πορφύριον πρὸς διαστολὴν Ξάνθου Λυκιακῆς πόλεως. τὴν δὲ τοιαύτην Λυκίαν εὐρεῖαν λέγει, διαστέλλων αὐτὴν τῆς μικρᾶς Λυκίας, ἧς ἦρχεν ὁ Πάνδαρος, ὡς προγέγραπται. (v. 173) Ἐπάγει οὖν «προφρονέως μιν τῖεν ἄναξ Λυκίης εὐρείης», ἤγουν οὐ πρὸς ἀφοσίωσιν μόνην, ἀλλὰ ὁλοψύχως ἐτίμα. (v. 174) Ὅτι ἐν Ὀδυσσείᾳ μὲν αὐθημερὸν ἐρωτῶνται καὶ ἀνακρίνονται οἱ ἐνδημοῦντές που ξένοι, ἐνταῦθα δὲ ὁ Βελλεροφόντης μετὰ ἐννέα ἐρωτᾶται ἡμέρας ἐν Λυκίᾳ ὑπὸ τοῦ Ἰοβάτου. Ἴσως γάρ, φασίν, οὐδὲ ἐνεφάνισε πρὸ τούτων τὰ τοῦ Προίτου σήματα, ὀκνῶν μὴ καὶ παλιννοστήσῃ ταχὺ πρὸς τὴν δύσερων Ἄντειαν. Οἱ δὲ καὶ ἀρχαῖον ἔθος φασὶ τὸ τῇ δεκάτῃ ἐρωτᾶσθαι τοὺς ξένους, ὃ καὶ ἐπὶ Ἀλεξάνδρου γενέσθαι φασίν, ὅτε τῷ Μενελάῳ ξενωθεὶς ἀφήρπασε τὴν Ἑλένην. Ὅρα δὲ καὶ ἐνταῦθα τὸ «ἐννῆμαρ ξείνισεν», ὁ Ἰοβάτης δηλαδὴ τὸν Βελλεροφόντην, «καὶ ἐννέα βοῦς ἱέρευσεν». Ἀριθμὸς γὰρ οὗτος φίλος διὰ τὰς Μούσας τῷ ποιητῇ, ὡς πολλαχοῦ φαίνεται. (v. 176 s.) Ὅτι ζήτησιν πιττακίου δηλοῖ τὸ «καὶ τότε μιν ἐρέεινε καὶ ᾔτεε σῆμα ἰδέσθαι, ὅττι ῥά οἱ παρὰ τοῦ δεῖνος φέροιτο».

2.280 Οὐκ ἔχει δὲ καιριωτέραν λέξιν εἰπεῖν τοῦ σήματος. Διὸ καὶ φθάσας σήματα λυγρὰ ἔφη καὶ μετ’ ὀλίγα δὲ ἐπιμένων φησὶν «αὐτὰρ ἐπειδὴ σῆμα», καὶ ἑξῆς. Ταὐτὸν δὲ πάντως νῦν σήματα λυγρὰ πληθυντικῶς εἰπεῖν καὶ σῆμα κακὸν ἑνικῶς. [Ἔκδηλον δὲ ὅτι ὁμώνυμος φωνὴ καὶ τὸ σῆμα τεθειμένον ἐπί τε ἄλλων οὐκ ὀλίγων καὶ ἐπὶ τάφου, ὃς τάφος μὲν λέγεται διὰ τὸ ἐκπλήττειν τοὺς μετὰ οἴκτου βλέποντας, ἐπειδὴ καὶ ἡ ἔκπληξις τάφος καλεῖται. Σῆμα δὲ ὁ αὐτός, ἐπεὶ σημεῖόν ἐστι τοῦ νεκρὸν αὐτόθι κεῖσθαι. ὥσπερ καὶ μνῆμα διὰ τὸ μνήμην ἀνακινεῖν τοῦ ποτε ζῶντος. Τὸ δὲ σῆμα σημεῖον λέγειν, καθὰ καὶ τὸ μνῆμα μνημεῖον, τῶν μεθ’ Ὅμηρόν ἐστιν.] (v. 177 s.) Καιρία δὲ λέξις τὸ φέροιτο, ἀντὶ τοῦ φέρει, ὥσπερ τὸ παραδέξασθαι προσφυὲς τῷ λαβόντι τὸ σῆμα, οἷον «αὐτὰρ ἐπειδὴ σήματα κακὰ παρεδέξατο γαμβροῦ». [Ἀπὸ δὲ τοῦ σῆμα φέρεσθαι, ἤτοι φέρειν, ὁ γραμματοφόρος παρὰ τοῖς ὕστερον ἐπινενόηται λέγεσθαι.] (v. 179 s.) Ὅτι τὴν Χίμαιραν ἱστορῶν ὁ ποιητὴς φράζει οὕτως «ἡ δ’ ἂρ ἔην θεῖον γένος, οὐδ’ ἀνθρώπων», τουτέστιν ὑπερφυές. ὀκνεῖ γὰρ τερατῶδες εἰπεῖν καὶ παρὰ φύσιν. Λέγει δὲ αὐτὴν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμαιμακέτην, ἤτοι ἄγαν μαιμῶσαν ἢ περιμήκετον, ἐκ τοῦ α ἐπιτατικοῦ καὶ τοῦ μᾶκος Δωρικοῦ, ὃ δηλοῖ τὸ μῆκος, τῆς μαι συλλαβῆς παρεντεθείσης, πλεονασμῷ τῆς μα συλλαβῆς, εἶτα καὶ ἐπενθέσει τοῦ ι , καθ' ὁμοιότητα τοῦ παιπαλόεις καὶ τοῦ παιφάσσειν καὶ τῶν ὁμοίων.

2.281 Φησὶ γὰρ «πρῶτον μέν ῥα Χίμαιραν ἀμαιμακέτην ἐκέλευσε πεφνέμεν». Ταύτην δὲ οἱ μὲν τρικέφαλον ἀνεπλάσαντο Ἡσιόδῳ ἀκολουθήσαντες εἰπόντι «τῆς δ' ἦν τρεῖς κεφαλαί». οἱ δὲ δύο ἔχειν ἐτερατεύσαντο κεφαλάς, λέοντός τε καὶ δράκοντος. Εἰσὶ δὲ οἳ καὶ μιᾷ ἠρκέσθησαν κεφαλῇ τῇ τοῦ λέοντος λεοντοπρόσωπον εἰπόντες αὐτὴν οὐρὰν ἔχουσαν δράκοντος καὶ μέσον σῶμα χιμαίρας. Λαμβάνουσι δὲ πάντες τὰς ἀφορμὰς ἐξ Ὁμήρου διὰ τὸ μὴ πάνυ σαφῶς αὐτὸν τὰ περὶ ταύτης εἰπεῖν, καὶ νικῶσιν οἱ τὸν τρίτον λῆρον κρατύνοντες, εἰ καὶ οἱ ζωγραφοῦντες τῷ τερατωδεστέρῳ προσέχουσι. καὶ ζητητέον τὸν Πορφύριον καλῶς τοῖς περὶ τούτων διαιτῶντα. (v. 181 s.) Ἦν δὲ ἡ Χίμαιρα κατὰ τὸν ποιητὴν «πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα, δεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο», ἤγουν οὐ ζωτικῶς ἐγκειμένου τῇ καρδίᾳ τῇ τοῦ κατὰ φύσιν πυρὸς ἑστίᾳ, ἐξακοντιζομένου δὲ σωματικῶς κατὰ μύθου τέρας, ὃ δὴ ἄλλως ἐπὶ τοῦ καθ' ἱστορίαν κατώβλεπος λέγεται γίνεσθαι. Ἐνταῦθα δὲ σημείωσαι ὅτι λέοντα λέγει τὴν τοῦ λέοντος κεφαλήν. πάντως γὰρ κεφαλὴ νοηθείη ἂν τὸ ἀποπνέον τὸ πῦρ. ὠνόμασεν οὖν τὸ μέρος τῷ τοῦ ὅλου ὀνόματι, ὥς που καὶ ἐλέφαντα τὸ ἐξ ἐλέφαντος εἶπεν ὀστοῦν. Εἰ δὲ τυχὸν καὶ ὁ δράκων ἢ καὶ ἡ χίμαιρα κεφαλαὶ νοηθήσονται καθ' Ἡσίοδον χιμαίρας καὶ δράκοντος, ὁμοίως καὶ ἐν τούτοις ἐκ τοῦ ὅλου τὰ μέρη ὠνόμασται. κἂν δράκοντά τις τὸ οὐραῖον νοήσῃ τοῦ δράκοντος, χίμαιραν δὲ τὸ τῆς θηλείας χιμαίρας σῶμα, τὸ μέσον τῆς λεοντείας κεφαλῆς καὶ τῆς δρακοντείας οὐρᾶς, καὶ οὕτω πάλιν τὰ μέρη ὡς ὅλα λέγεται. Ἰστέον δὲ καὶ ὅτι τὸ «δεινὸν ἀποπνέειν πυρὸς μένος» δύναται καὶ ἐπὶ παντὸς λέγεσθαι θυμώδους καὶ θηριώδους ἀνδρὸς ἢ καὶ βλασφήμου καὶ λοιδόρου.

2.282 Εἴρηκε δέ τις [ἀστείως] αὐτὸ καὶ ἐπὶ ῥήτορος ἐν τῷ πάνυ πυρέττειν πνεύσαντος [οὐ φαῦλόν τι] ἐπιστόλιον. Ὁ δὲ τὴν ῥητορικὴν μένος πυρὸς πνέειν εἰπὼν πάνυ δεξιώτατα εἶπεν ἀφελόμενος τὸ δεινόν. Δεῖ δὲ εἰδέναι ὅτι τὴν Χίμαιραν οἱ μὲν ἀλληγοροῦσιν ἠθικῶς εἰς κακόν τι ψυχικὸν πολυσύνθετον, οἷον εἰς λιχνείαν, εἰς ἐπιθυμίαν ἀκρατῆ, εἰς ἀναίδειαν, εἰς θυμὸν ἐμπύριον, καὶ εἰς τοιαῦτά τινα. ἡ γὰρ τῶν τριῶν θηρίων εἰς ἓν συναγωγὴ ἐπιπλοκὴν τοιαύτην ὑπεμφαίνει κακῶν. Οἱ δὲ θηρία εἶναι ἀπρόσμαχα ἱστοροῦσι τρία περί τι Λυκιακὸν ὄρος, ἐγχώριον λέοντα καὶ χίμαιραν ὑπερφυῆ τινα, ὁποία καὶ ἡ κατὰ Πτολεμαῖον ἡ μεγαλόκερως, καὶ δράκοντα, φύσει μὲν διεστῶτα καὶ τόπῳ, διὰ δὲ τὸ συγγενὲς τῆς ἐξ αὐτῶν βλάβης καὶ τὸ εἰς κάκωσιν σύντροχον εἰς ἓν οἷον σῶμα ὑπὸ τοῦ μύθου συναγόμενα καὶ συμφυόμενα. Ἕτεροι δὲ ξενοδόχους εἶναί φασι τρεῖς, ἄνδρας μὲν δύο, γυναῖκα δὲ μίαν, τοὺς ἐκείνοις ξενοδοχουμένους εἰς οἰκείαν πανδαισίαν σφίσι τε αὐτοῖς καὶ ἑτέροις δέ, ὡς εἰκός, ἀνθρωποφαγικῶς παραβάλλοντας, ὁποῖα πολλὰ ἱστόρηνται. Ἄλλοι δὲ ὄρος κατὰ τὴν Λυκίαν εἶναι τὴν Χίμαιράν φασιν, ἐν τῷ μέσῳ μὲν ἀναφυσήματα ἔχον πυρός, τὰ μέχρι καὶ νῦν βλεπόμενα, κατὰ δέ γε τὰ ἄκρα πολύθηρον. Ὅτι δὲ καὶ φυσική τις ὕπεστιν ἀλληγορία τοῦ Βελλεροφόντου ἀναγομένου εἰς ἥλιον, ἔστιν ἐξ ἄλλων γνῶναι.

2.283 οὕτω τοῦ πολυσυνθέτου μυθικοῦ τῆς Χιμαίρας κακοῦ καὶ ἡ θεραπεία ἐστὶ πολύμορφος. (v. 183) Ταύτην τὴν Χίμαιραν, ὁποία τις ἂν καὶ νοοῖτο, κατεμαχήσατο Βελλεροφόντης τῇ πολυλογουμένῃ Χιμαίρᾳ συμμεταπίπτων καὶ αὐτὸς καὶ πολυειδῶς συμβιβαζόμενος. Ὁποίαν γὰρ λάβοι ἄν τις τὴν Χίμαιραν, προσφυῶς αὐτῇ καὶ ὁ ἥρως συσχηματίζεται. Καὶ εἰ μὲν μῦθος τὸ λεγόμενον, νικᾷ καὶ αὐτὸς νίκην μυθώδη τὴν διὰ τοῦ πτερωτοῦ Πηγάσου καὶ διὰ μολίβδου ἐγχύσεως εἰς τὸ τῆς Χιμαίρας στόμα, [οὗ δή, φασί, μολίβδου τῷ ἐκεῖθεν ἀποπνεομένῳ] πυρὶ τακέντος ἐκείνη ὤλετο. Εἰ δὲ κατὰ ἠθικὴν ἀλληγορίαν εἰς κακόν τι ποικίλον ἐκλάβηταί τις τὴν Χίμαιραν, τηνικαῦτα νοεῖται Βελλεροφόντης ἠθικῶς ὁ σπουδαῖος ἀνὴρ ὁ τὴν τοιαύτην

Χίμαιραν κτείνων καί, ὡς εἰπεῖν, παθοκτόνος, καὶ ὡς ἄν τις ἐρεῖ, Ἐλλεροφόντης, ἤτοι φονεὺς κακίας. —Ἔλλερα γάρ, φασί, κατὰ διάλεκτον τὰ κακά. — Καὶ μέμνηνταί τινες καὶ τοῦ ἥρωος οὕτω κυριωνυμουμένου κατ' ἔλλειψιν, ὡς καὶ πρὸ βραχέων ἐρρέθη, τοῦ ἐν ἀρχῇ βῆτα. Ἐὰν δὲ θηρία τινὰ ἢ κακόξενοι ἄνθρωποι διὰ τῆς Χιμαίρας δηλοῖντο, τότε δὴ ἀνδρεῖος ἀνὴρ κατὰ ἱστορίαν ὁ Βελλεροφόντης φανήσεται, τῆς ἱστορουμένης Χιμαίρας περιγινόμενος, ὥσπερ καὶ ὅτε εἰς ἥλιον ὁ Βελλεροφόντης ληφθήσεται, πάντως κατὰ ὁμοίαν ἐπιβολὴν φυσικόν τι πάθος ἀέριον ἔσται ἡ Χίμαιρα, οὗπερ ὁ ἥλιος περιγενήσεται. (v. 180) Ἰστέον δὲ ὡς τὸ τὴν μυθικὴν Χίμαιραν θεῖον εἶναι γένος οὐδ' ἀνθρώπων οὐκ ἀκριβῶς εἰρῆσθαι δοκεῖ. οὐ γὰρ εἰ μὴ ἀνθρώπων ἦν ἡ Χίμαιρα, διὰ τοῦτο θεῖον ἂν εἴη γένος. τούτῳ γὰρ τῷ λόγῳ θεῖον γένος καὶ πάντα τὰ θηρία μὴ ἀνθρώπων ὄντα. Λυθήσεται δὲ τὸ ἄπορον ἐκ τοῦ προσώπου. ὁ Γλαῦκος γὰρ μὴ λόγιος ὢν οὕτω πως συλλογίζεται.

2.284 Ἡ Χίμαιρα οὐκ ἀνθρώπων. τὸ μὴ ἀνθρώπων θεῖον. ἡ Χίμαιρα ἄρα γένος θεῖον. Ἤδη δὲ καὶ οὕτω νοεῖται τὸ «οὐδ' ἀνθρώπων», ὅτι οὐ τῶν παρ' ἀνθρώποις ζῴων ἡ Χίμαιρα, θεῖον δέ τι γένος, τουτέστι τεράστιον καί, ὡς ἐρρέθη, ὑπερφυές. (v. 181) Ὅρα δὲ ἐνταῦθα καὶ τὸ ὄπιθεν δίχα τοῦ ς λεχθὲν ἐν τῷ «ὄπιθεν δὲ δράκων». (v. 179) Ἰστέον δὲ καὶ ὅτι περὶ Χιμαίρας τοιαῦτά τινα ὁ Γεωγράφος φησί. Δαίδαλος, Λυκίων ὄρος, μεθ' ὃ πλησίον Τελμισσός, πολίχνη Λυκίων, καὶ Τελμισσὶς ἄκρα. Εἶτα ὁ Ἀντίκραγος, ὄρθιον ὄρος, μεθ' ὃν ὁ Κράγος ἔχων ἄκρας δύο καὶ πόλιν ὁμώνυμον. περὶ ταῦτα τὰ ὄρη μυθεύεται τὰ περὶ τῆς Χιμαίρας. ἔστι δ' οὐκ ἄποθεν καὶ ἡ Χίμαιρα, φάραγξ τις ἀπὸ αἰγιαλοῦ ἀνατείνουσα. Εἰ δέ τις βούλοιτο εἰδέναι, ποῦ γῆς ὁ ῥηθεὶς Ἀντίκραγος κεῖται, μάθοι ἂν αὐτὸ ἐκείνοις τοῖς τοῦ Γεωγράφου προσεσχηκώς, ἔνθα φησίν, ὅτι ὑπόκειται τῷ Κράγῳ Πίνναρα, μεγίστη πόλις Λυκίας καὶ τὰ ἑξῆς, ἱστορῶν καὶ ὄρος Λύκιον πῦρ τίκτον αὐτόματον. Οὐκ ἂν δέ τις οὐδὲ τὸ προφαινόμενον τοῦ μύθου μέμψηται πλάττοντος βλαπτικὴν Χίμαιραν ἢ ἐκ γενετῆς ἀγρίαν οὖσαν ἢ καὶ ἐξ ἡμέρων θηριωθεῖσαν. οὐκ ἀπίθανον γὰρ οὐδὲ τοῦτο ἐξ ἑτέρων ὁμοίων ἱστορουμένων φαίνεται. Φέρεται δὲ καί τις παρ' Ὁμήρῳ ἐν τοῖς ἑξῆς Ἀμισώδαρος ἐκθρεψάμενος τὴν τοιαύτην Χίμαιραν. Ἡ δὲ γραφὴ τῆς κατὰ τὴν Χίμαιραν ἀρχούσης ὁμοία τῇ τῶν χιμέτλων. ἐκεῖνά τε γὰρ παρὰ τὸν χειμῶνα γενόμενα διὰ μόνου διχρόνου γράφεται, καὶ χίμαρος δὲ ὁμοίως ὁ τράγος, καὶ χίμαιρα τὸ αὐτοῦ θηλυκόν, ἡ ἐν χειμῶνι, φασί, κυρίως τεχθεῖσα. Ὅτι δὲ καὶ ἐπὶ ἑτέρων διφθόγγων τὸ αὐτὸ πάθος ἐξέδραμεν, οἷον καὶ ἐπὶ τῶν χιράδων, αἳ δηλοῦσι ῥαγάδας χειρῶν, καὶ ἐπὶ τοῦ θιάσου, ὃς ἀπὸ τοῦ θειάζω γίνεται, κεῖται καὶ ἀλλαχοῦ, ὡς καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. (v. 184 s.) Ὅτι Σόλυμοι ὅμορον ἔθνος Λυκίοις, πολέμιον αὐτοῖς. διὸ καὶ ὁ Βελλεροφόντης σταλείς, ὡς εἴρηται, ὑπὸ Ἰοβάτου ἠρίστευσε κατ' αὐτῶν, γενναίως πολεμήσας.

2.285 Φησὶ γὰρ ὁ ἀπόγονος ἐκείνου Γλαῦκος οὕτω «δεύτερον αὖ Σολύμοισι μαχέσσατο κυδαλίμοισι· καρτίστην δὴ τήν γε μάχην φάτο δύμεναι ἀνδρῶν». Καὶ ὅρα ὅπως ὁ Βελλεροφόντης φιλοτίμως καὶ μεγαλοπρεπῶς ἐνεκαυχᾶτο τῷ κατορθώματι. Φασὶ δὲ οἱ παλαιοὶ τοὺς παρὰ τῷ Ὁμήρῳ Σολύμους εἶναι τοὺς ὕστερον λεγομένους Πισίδας ἢ Πισιδεῖς. ἔνδοξον δὲ τὸ ἔθνος, ὡς δηλοῖ τὸ κυδαλίμοισιν. ἔνθα καὶ ὅρα τὰ καίρια πάρισα, τὸ Σολύμοισι καὶ τὸ κυδαλίμοισι, ὅπερ καὶ μετ' ὀλίγα ἐρεῖ. Οὐδετέρως μέντοι Σόλυμα πόλις, φασίν, Ἀσσυρίων, κτισθεῖσα μετὰ τὴν ἅλωσιν τοῦ ἐν Ἱεροσολύμοις ἱεροῦ. καὶ ὄνομα δὲ ὄρους Λυκιακοῦ, ὡς δηλοῖ καὶ τὸ τοῦ Γεωγράφου· Κώρυκος αἰγιαλὸς περὶ Λυκίαν, εἶτα Φάσηλις τρεῖς ἔχουσα λιμένας, πόλις ἀξιόλογος καὶ λίμνη. ταύτης ὑπέρκειται ὄρος τὰ Σόλυμα. Ἰστέον δὲ καὶ ὅτι μέχρι καὶ νῦν σῴζεταί πως τὸ τῶν ῥηθέντων Σολύμων ἐθνικὸν ὄνομα. τόπος γάρ ἐστιν ὀχυρώτατος περί που τὴν Λυκίαν, οὗ οἱ ἐγχώριοι βαρβαρικώτερον τοῖς ἐκεῖ καλοῦνται Τζέλυμοι. Καὶ ὅτι τοὺς ἐν Ὀδυσσείᾳ Σολύμους, ὡς ὁ Γεωγράφος λέγει, ἔπλασεν ὁ ποιητὴς ἀναλόγως τῇ πλάνῃ καὶ τοῖς τόποις, ἔνθα ὁ Ὀδυσσεὺς ἔπλεε, καὶ οὐ τούτους τοὺς ἐν Πισιδίᾳ λέγει. Περὶ δὲ τῶν ῥηθέντων Λυκίων Σολύμων

φασὶ καὶ ὅτι Σόλυμοι οὗτοι Μινύαι ἀπὸ Μίνωος ἐκαλοῦντο, οὗ ἀδελφοὶ Σαρπηδὼν καὶ Ῥαδάμανθυς, Λύκος δὲ ἢ Λύκων ὁ Πανδίονος ἐπελθὼν Λυκίους αὐτοὺς προσηγόρευσεν. Ὅρα δὲ ὅτι τὰ μὲν τῆς γενεαλογίας διεξοδικώτερον ὁ Γλαῦκος διῆλθεν, ἐμπλατυνάμενος αὐτοῖς λαμπρότερον. τὰ μέντοι κατὰ τὴν Χίμαιραν καὶ τοὺς Σολύμους, ἔτι δὲ καὶ τὰς Ἀμαζόνας, ὧν καὶ αὐτῶν ὁ Βελλεροφόντης περιγέγονε, πάνυ γοργῶς ἐπέτεμεν. οὐ γὰρ ἔδει ἐν ἀκμῇ πολέμου καὶ τοιούτοις αὐτὸν μάτην ἐναδολεσχεῖν πατραγαθίας ἐκτιθέμενον ἔξω καιροῦ, ἐφ' οἷς οὐ περὶ τοιούτων τινῶν ἠρώτηται, ἀλλὰ «τίς δὲ σύ ἐσσι φέριστε». εἶπεν οὖν τὰ μὲν τῆς Χιμαίρας ἐν στίχοις τέσσαρσι, τὰ δὲ τῶν Σολύμων ἐν δυσί, τὰ δὲ τῶν Ἀμαζόνων ἐν ἑνί. (v. 186) Φησὶ γὰρ «τὸ τρίτον αὖ κατέπεφνεν Ἀμαζόνας ἀντιανείρας», στενώσας μὲν τὸ περὶ τῶν Ἀμαζόνων διὰ τὸ μὴ πάνυ ἔνδοξον τοῦ πρὸς γυναῖκας πολέμου, εἰ καὶ ἀντιάνειραι ἦσαν, πλεῖον δέ τι περὶ τῶν Σολύμων εἰπὼν διὰ τὸ ἐνδοξότερον, οὕς, ὡς ἐδηλώθη, κυδαλίμους ἔφη, καὶ κρατίστην εἶπε μάχην τὴν πρὸς αὐτούς, ἔτι δὲ πλείω περὶ τῆς Χιμαίρας λαλήσας διὰ τὸ τεράστιον αὐτῆς καὶ ἀλλόκοτον.

2.286 Ἐνταῦθα δὲ ὅρα καὶ τὸ εὐκρινὲς τῶν σχημάτων κατὰ ἀπαρίθμησιν. πρῶτον μὲν γάρ, φησί, κατέπεφνε Χίμαιραν, δεύτερον αὖ Σολύμοισι μαχέσσατο, τὸ τρίτον αὖ κατέπεφνεν Ἀμαζόνας, περὶ ὧν καὶ προγέγραπται. (v. 187—90) Τὸ δὲ τοῦ λόχου δίχα τινὸς τοιούτου σχήματος ἐπήγαγεν εἰπὼν «τῷ δ' ἂρ ἀνερχομένῳ πυκινὸν δόλον ἄλλον ὕφαινεν», ὁ πενθερὸς δηλαδὴ τοῦ Προίτου, «κρίνας ἐκ Λυκίης εὐρείης φῶτας ἀρίστους εἷσεν», ἤγουν ἐκάθισε, «λόχον· τοὶ δ' οὔ τι πάλιν οἴκονδε νέοντο», τουτέστιν οὐκ ἐπαλιννόστησαν εἰς τὰ οἰκεῖα. «πάντας γὰρ κατέπεφνεν ἀμύμων Βελλεροφόντης». Καὶ ὅρα ὅτι τετράκις ἐν τῷ παρόντι χωρίῳ τοῖς ἀπὸ τοῦ πέφνω ῥήμασιν ὁ ποιητὴς ἐχρήσατο ἐπιμείνας τῇ λέξει. (v. 186) Ἀντιάνειραι δὲ Ἀμαζόνες, ὡς καὶ προείρηται, ἢ ἐναντιούμεναι ἀνδράσι καὶ ὡς εἰπεῖν δηϊάνειραι, ἢ ἐξισούμεναι ἀνδράσι τὰ εἰς πόλεμον καὶ ὡς οἷον εἰπεῖν ἴσανδροι, ὁποῖόν τι δηλοῖ καὶ τὸ τοῦ Ἀντήνορος ὄνομα. ἐκ τοιαύτης δὲ ἐννοίας καὶ Ἴσανδρον κύριον ὄνομα μετ' ὀλίγα ἐρεῖ ὁ ποιητής. σεμνότερον δὲ τούτων πάντων τὸ ἀντίθεος, ὅτε τὸν ἰσόθεον δηλοῖ. (v. 187) Τὸ δὲ «δόλον ὕφαινεν», ᾧ συγγενὲς τὸ κακὰ ῥάπτειν, φανερῶς δόλου εἶδος ἐνταῦθα λέγει καὶ τὸν λόχον εἶναι. (v. 188) Τὸ δὲ κρίνας, ὃ ἀποστατικῶς, ἤγουν ἀσυνδέτως, ἐπηνέχθη, ὁποῖα καὶ ἄλλα πολλαχοῦ κεῖνται, ἔοικε παρεμφαίνειν ἐτυμολογίαν τινὰ τοῦ λόχου. ταὐτὸν γάρ ἐστι τὸ κρίνειν καὶ τὸ ἐπιλέγεσθαι, ἀφ' οὗ ὁ λόχος παράγεται, ὡς ἐκκρίτων καὶ ἐπιλέκτων ὀφειλόντων εἶναι τῶν ἐλλοχησόντων. καὶ μὴν ἄλλως καὶ τὸ εἷσε λόχον συντελεῖ τι πρὸς ἐτυμότητα λόχου. εἰ γὰρ κάθηται λόχος, καὶ λέγεται ἄρα, ὅ ἐστι κεῖταί πως χάριν ἐπικρύψεως. (v. 185) Ἰστέον δὲ καὶ ὅτι ἀριστέως αὔχημα δηλοῖ τὸ «καρτίστην δὴ τήν γε μάχην φάτο δύμεναι ἀνδρῶν», ἤγουν ἔλεγε κράτιστον τοῦτον ἀνύσαι πόλεμον.

2.287 (v. 189 s.) Τὸ δὲ «πάντας γὰρ κατέπεφνε» διασαφητικόν ἐστι τοῦ «οὐκ οἴκονδε νέοντο», ὡς εἰκὸς ὂν νοηθῆναι τοὺς μὴ ἐπανελθόντας οἴκαδε ἀλλαχοῦ που τραπέσθαι, εἰ μὴ σαφῶς ἱστορηθεῖεν, ὅτι ἔθανον. [Τὸ δὲ οἴκονδε, ταὐτόν ἐστι τῷ οἴκοι καὶ οἴκαδε ὡς ἐπίρρημα. οὐ γὰρ ἂν ἄλλως ὀνοματικῶς εἷς οἶκος ἦν πάντων τῶν λοχιτῶν.] Ὅτι πολὺ τῷ Βελλεροφόντῃ τὸ ὑπὲρ ἀρετῆς γέρας, εἴπερ ὁ τοῦ Προίτου πενθερὸς γνοὺς αὐτὸν διαβληθέντα, ὅμως μετὰ πεῖραν δίδωσιν αὐτῷ τὸ τῆς κατ' αὐτὸν βασιλείας ἥμισυ καὶ τὴν θυγατέρα εἰς γάμον. (v. 191—3) Φησὶ γὰρ ὁ ποιητὴς «ἀλλ' ὅτε δὴ γίνωσκε θεοῦ γόνον ἠΰν», ἤγουν ἀγαθόν, «ἐόντα, αὐτοῦ μιν κατέρυκε, δίδου δ' ὅ γε θυγατέρα ἥν, δῶκε δέ οἱ τιμῆς βασιληΐδος ἥμισυ πάσης». πῶς δὲ θεοῦ γόνος ὁ Βελλεροφόντης, οὐκ ἐκτίθεται Ὅμηρος, ἀφιεὶς νοεῖν θεῖον γόνον τοὺς ἀγαθοὺς ἄνδρας. Ἐκ τοῦ βασιλεύς δὲ ἡ βασιληῒς τιμή, ὁμοίως τῷ Νηρεύς Νηρηΐς, Θησεύς Θησηῒς καὶ τοῖς ὁμοίοις. [Ἰστέον δὲ ὅτι ἐνταῦθα μὲν τιμὴ συνήθως ἡ εὔκλεια, καθὰ καὶ ἐν τῷ «τιμήν πέρ μοι ὄφελλεν Ὀλύμπιος ἐγγυαλίξαι», καὶ ἐν τῷ «οὔ τί με ταύτης χρεὼ τιμῆς». ὅθεν καὶ τὸ τιμᾶν, ὡς

τὸ «οἵ κέ με τιμήσουσιν». ἀλλαχοῦ δὲ τιμωρίαν δηλοῖ καὶ πρόστιμον, οἷον «εἰ δ’ ἂν ἐμοὶ τιμὴν Πρίαμος τίνειν οὐκ ἐθέλει». Ἦν δέ, φασίν, ἔθος λαμβάνειν τοὺς οὕτως ἀδικηθέντας παρὰ τῶν ἀδικησάντων εἰς μερίδα χρήματα πολιτικά, ἄνδιχα πᾶσαν κτῆσιν δασαμένους, ὡς ἡ Ὁπλοποιΐα λέγει.] (v. 194 s.) Ὅτι τέμενος παρὰ μὲν τοῖς ὕστερον ὁ ναὸς καθ’ ὑπεροχήν, παρ’ Ὁμήρῳ δὲ τόπος ἁπλῶς ἀφωρισμένος, τουτέστιν ὅρῳ ἰδίῳ περιγεγραμμένος καί, ὡς ὁ ποιητὴς ἐτυμολογεῖν βούλεται, ἀποτετμημένος τῶν ἐγγύς.

2.288 Φησὶν οὖν ὅτι τῷ Βελλεροφόντῃ «Λύκιοι τέμενος τάμον», ἤγουν ἀφώρισαν εἰς κτῆσιν ἰδίαν, «ἔξοχον ἄλλων», ὡς ἀριστεῖον, οἷα καὶ Σολύμους τοὺς ἐναντίους αὐτοῖς καταπολεμήσαντι. Καὶ ὅρα καὶ νῦν ὅπως ἐν μεγάλῳ ἦν τοῖς παλαιοῖς ἡ τῆς γῆς κτῆσις. Οὐ γὰρ χρήματα ἔδοσαν οἱ Λύκιοι τῷ εὐεργετήσαντι, ἀλλὰ τέμενος καλὸν φυταλιῆς, φησί, καὶ ἀρούρης, ὄφρα νέμοιτο. Καὶ ὅρα τὸ «νέμοιτο» ἐπὶ ἀνθρώπων λέγεσθαι, λαβὸν ἐξ Ὁμήρου ἀρχήν. ἀπὸ τούτου δὲ καὶ τὸ νέμος παρήχθη οὐδέτερον ὄνομα. Σημείωσαι δὲ καὶ τὸ καλόν, ὡς δέον ὂν τοῖς εὐεργέταις μὴ τὰ τυχόντα διδόναι ἀλλὰ τὰ καλά. Ἔστι δὲ φυταλιὰ μὲν ἡ φυτοφόρος γῆ, ἄρουρα δὲ ἡ ψιλὴ ἄροσις. ὡς δὲ καὶ μέτρον γῆς ποτε ἡ ἄρουρα, καθὰ καὶ τὸ πλέθρον, δηλοῦται ἀλλαχοῦ. Σημείωσαι δὲ ὡς βασιλέως τιμήσαντος μεγάλα τὸν Βελλεροφόντην, εἶτα καὶ ὁ εὐεργετηθεὶς δῆμος δώροις τὸν τοιοῦτον τιμᾷ τοῖς κατὰ τὸ ῥηθὲν τέμενος. ἄλλως γὰρ οὐκ ἂν ἴσως τοιοῦτον ποιήσειν ἐθάρρησαν, εἰ μὴ προκατῆρξεν ὁ βασιλεύς. (v. 196) Ὅτι ἡ γυνὴ τῷ ἀνδρὶ τίκτειν λέγεται διὰ τὸ ἐκ τοῦ πατρὸς καίριον τῆς γεννήσεως. Φησὶν οὖν Ὅμηρος «ἣ δ’ ἔτεκε τρία τέκνα δαΐφρονι Βελλεροφόντῃ», καὶ ἀλλαχοῦ «οὕς ποτε νύμφη τέκεν ἀμύμονι Βουκολίωνι», ἐν ἄλλοις δέ, ὡς καὶ προεγράφη, παράκειται τῇ τοιαύτῃ δοτικῇ καὶ ἡ ὑπο πρόθεσις, οἷον «ἡ δεῖνα ὑπὸ τῷ δεῖνι ἔτεκε τόνδε τινά». [Ἐὰν δὲ τὸ «ἣ δ’ ἔτεκε» δοκοίη ἀποκληροῦν γυναιξὶ τὸ τίκτειν κατὰ παρατήρησιν παλαιάν, ἀλλ’ ὁ ποιητὴς μετ’ ὀλίγα φησίν «Ἱππόλοχος δ’ ἔμ’ ἔτικτε».] (v. 197—9) Ὅτι τὸν Σαρπηδόνα οὕτω διὰ τοῦ Γλαύκου γενεαλογεῖ ὁ ποιητής. Βελλεροφόντου παῖδες Ἴσανδρος καὶ Ἱππόλοχος καὶ Λαοδάμεια. τούτων Ἴσανδρος μὲν ἀνῃρέθη, ὡς καὶ μετ’ ὀλίγα ῥηθήσεται, μαχόμενος. Ἱππολόχου δὲ παῖς ὁ Γλαῦκος οὗτος. Λαοδαμείῃ δὲ παρελέξατο Ζεύς, «ἣ δ’ ἔτεκεν ἀντίθεον Σαρπηδόνα χαλκοκορυστήν», ὥστε αὐτανέψιος ὁ Γλαῦκος τῷ Σαρπηδόνι. καὶ οὕτω μὲν ὁ ποιητής. Οἱ δὲ νεώτεροι Εὐρώπης καὶ Διὸς υἱὸν Σαρπηδόνα λέγοντες καὶ ἀδελφὸν αὐτὸν ἱστοροῦντες τοῦ Μίνωος ἄλλον ἐκεῖνον Σαρπηδόνα γενεαλογοῦσι παλαιότερον, ὥς φασιν οἱ ἀκριβέστεροι, [καθὰ καὶ προείρηται.

2.289 ] (v. 200—5) Ὅτι περὶ τὰ τελευταῖα καὶ ὁ Βελλεροφόντης ἀπήχθετο πᾶσι θεοῖς, Ἴσανδρον μὲν τὸν υἱὸν πολέμῳ ἀποβαλών, Λαοδάμειαν δὲ τὴν θυγατέρα θανάτῳ τῷ ἐξαίφνης. οὗ δηλωτικὸν τὸ «τὴν δὲ Ἄρτεμις ἔκτα», ἡ τοῦ θνήσκειν οὕτω αἰτία ταῖς γυναιξὶ κατὰ τὴν ποίησιν. Ὧν δὴ παίδων ὁ Βελλεροφόντης τῇ ἀπωλείᾳ ἐπιστυγνάζων «κὰπ πεδίον», ἤγουν κατὰ πεδίον, «τὸ Ἀλήϊον οἶος ἀλᾶτο», τουτέστι μόνος ἐπλανᾶτο, «ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων», ἤγουν ἐκφεύγων τὴν μετ’ ἀνθρώπων συνδιατριβήν, οἷα εἰς μελαγχολίαν ἐκκυλισθείς, καθὰ καὶ Ἀριστοτέλης ἐν τοῖς οἰκείοις ἱστορεῖ Προβλήμασι. Τοιοῦτον τὸ ἐπὶ παίδων στερήσει πάθος τοῖς φιλοτέκνοις, ὃ καὶ Λαέρτην ἐρημάζειν ἠνάγκαζεν οἰόμενον τεθνάναι τὸν υἱὸν Ὀδυσσέα. Σκοπητέον δὲ καὶ ὅπως θυμοβόρον ὁ μονασμός. ὁ γὰρ Βελλεροφόντης ὃν θυμὸν κατέδει ἐρημωθείς. Σημείωσαι δὲ καὶ ὅτι δεινότερον τοῦ θυμοδακοῦς τὸ τὸν θυμὸν ἔδεσθαι. Τὴν δέ γε τοῖς ὕστερον ποιουμένην τοῦ Βελλεροφόντου ἐκ μετεωροπορίας τῆς διὰ Πηγάσου κατάπτωσιν καὶ τὴν ἐκεῖθεν χώλωσιν οὐκ οἶδεν ὁ ποιητής, οὐδ’ ὅτι Γοργόνος ἐξέφυ ὁ Πήγασος ἵππος καὶ ὅτι πτεροῖς αἴρεσθαι εἶχε καὶ ὅτι βληθεὶς οἴστρῳ χόλῳ Διὸς ἐν Κιλικίᾳ ἢ Λυκίᾳ τὸν ἀναβάτην Βελλεροφόντην κατέρριψεν ἐς Διὸς ἱέμενον, ἢ ὅτι ὁ Βελλεροφόντης Πηγάσῳ ἀέριος ἀρθεὶς μόλιβδον ἐνέρριψε τῷ τῆς Χιμαίρας στόματι, ὃς τακεὶς κατειργάσατο ἐκείνην, καὶ ὅσα ἄλλα μῦθοι ἐθρύλησαν ἀναιδεῖς (v. 200) Τὸ δὲ «ἀλλ’ ὅτε δὴ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεῖνος ἀπήχθετο πᾶσι θεοῖσιν» ἄκραν τοῦ ἥρωος δυσπραγίαν ἐμφαίνει. Ὡς μὲν γὰρ τῷ Διῒ ἀπήχθετο καὶ τῇ Ἥρᾳ, ἡ τῆς βασιλείας δηλοῖ ἔκπτωσις, ὡς δὲ Ἄρεϊ καὶ Ἀθηνᾷ, τοῖς ἐπιστατοῦσι τῆς μάχης, ὁ φόνος παριστᾷ τοῦ υἱοῦ, Ἄρτεμις δὲ τὴν θυγατέρα κτείνασα οὐκ ἂν εἴη τὸν πατέρα στέργουσα.

2.290 οὐ μὴν οὐδὲ Δημήτηρ φιλεῖ τὸν τῇ ἐρημίᾳ κληρωθέντα, οὐδ’ Ἀπόλλων τὸν κακόμοιρον. ὅμοια δέ τινα καὶ ἐπὶ τῶν ἄλλων ἔστιν εἰπεῖν. Σημείωσαι δὲ ὅτι τὸ μὲν ἐφεξῆς τοῦ λόγου καὶ ἀκόλουθον ἦν μετὰ τὴν Λαοδάμειαν περὶ τῶν λοιπῶν ἀπερικόπως εἰπεῖν ἀδελφῶν, οἷον ὅτι Λαοδάμεια μὲν ἔτεκε Σαρπηδόνα, Ἴσανδρον δὲ Ἄρης ἀνεῖλεν, Ἱππόλοχος δ’ ἐμ’ ἔτικτεν. Ὅμηρος δὲ βραχὺ περικόψας τὴν τοιαύτην γενεαλογίαν ἐπενέβαλε τὴν τοῦ Βελλεροφόντου δυσδαιμονίαν, εἶτα πάλιν εἰς τὴν γενεαλογίαν ἐπανέβη, οὐ μόνον διὰ ποικιλίαν γραφῆς, ἀλλὰ καὶ ἄλλας πολλὰς αἰτίας, ἃς ὁ ἐχέφρων ἐπινοήσεται. (v. 201) Τὸ δὲ Ἀλήϊον πεδίον κατὰ τοὺς παλαιοὺς ἢ παρὰ τὴν ἐκεῖ τοῦ ἥρωος ἄλην, ὅ ἐστι πλάνην, ὠνομάσθη. διὸ καί, ὥσπερ ἀνωτέρω ἐν τῷ «τέμενος ἔταμον» [καὶ «ἔτεκε τέκνα»], οὕτω καὶ ὧδε χρησάμενος ἐτυμολογίας τρόπῳ φησὶ «κατὰ πεδίον Ἀλήϊον ἀλᾶτο», ἢ διότι ἐστέρηται λῄων διὰ τὴν ἐρημίαν. Τινὲς δὲ ἐδάσυναν τὴν ἄρχουσαν παρὰ τὸν ἅλα, φάμενοι ἅλας φέρειν τὸν τόπον ἐκεῖνον. Τοῦ δὲ τοιούτου πεδίου σὺν ἄλλοις μέμνηται καὶ Ἡρόδοτος τῆς Κιλικίας τε αὐτὸ εἰδὼς καὶ στρατοπεδεύσασθαί ποτε εἰπὼν περὶ αὐτὸ στρατηγοὺς Δαρείου τοὺς κατὰ Ἑλλήνων. [Ἰστέον δὲ ὅτι ἐκ τοῦ, ὡς ἐρρέθη, ἀλῶ, οὗ παράγωγον ἡ ἄλη, ὧν πρωτότυπα, ὡς ἀλλαχοῦ δηλοῦται, τὸ πλανῶ καὶ ἡ πλάνη, καὶ ὁ ἠλεὸς γίνεται, ὅπερ ἐστὶ μάταιος, οὗ κλητικὴ «ἠλεέ» καὶ κατὰ ἀποκοπὴν ἠλέ, ὡς τὸ «μαινόμενε φρένας ἠλέ», καὶ ὁ παρὰ τῷ Ὀππιανῷ ἠλέματος, ἔτι δὲ καὶ ὁ ἐν τῇ κωμῳδίᾳ κοάλεμος, ἤγουν ἐν τῷ κοεῖν ἤτοι νοεῖν ἀλώμενος, ὁποίου σημαινομένου ἐστὶ καὶ ἡ Ἀκκώ, τὸ παροιμιῶδες κύριον, καὶ τὸ κωμικῶς εἰπεῖν μακκοᾶν, ἶσον ὂν τῷ μὴ νοεῖν.

2.291 Ἐκ δὲ τοῦ εἰρημένου κοαλέμου, ὃς τὸν εὐήθη δηλοῖ, καὶ Κοάλεμος, φασίν, ὁ τοῦ Κίμωνος πρόπαππος, δι’ εὐήθειαν. Ἴσως δὲ παρὰ τὸ ἀλᾶσθαι καὶ ὁ Ἰάλεμος, ὅθεν παροιμία εἵλκυσται τὸ «Ἰαλέμου ψυχρότερος».] (v. 202) Ὁ δὲ πάτος, ὃ δηλοῖ κατὰ ὀνοματοποιΐαν ὁδόν, ὅ ἐστι τρίβον, βαρύνεται κανόνι τοιούτῳ. Τὰ εἰς ος δισύλλαβα βραχυπαράληκτα μονογενῆ βαρύνονται· κρότος, κότος, μίτος, ὅ τε τῶν ὑφαινόντων καὶ ὄνομα ποταμοῦ, Νότος, πότος, οὕτω καὶ πάτος. ἀντίκειται τὸ στρατός. τὸ βροτός διχῶς φασιν ἐκπίπτειν τοῦ κανόνος, ὅτι τε κοινόν ἐστι καὶ οὐ μονογενὲς καὶ ὅτι ἀντέμφασιν ἔχει πρὸς τὸ βρότος, ὃ δηλοῖ τὸν μολυσμόν. Ἰστέον δὲ ὅτι ἐκ τοῦ πάτος γίνεται καὶ τὸ ἀναπατεῖν, ἤγουν ἄνω που οἰκήματος ἀργοῦντα κινεῖσθαι, καὶ τὸ ἀποπατεῖν δὲ καὶ ὁ ἀπόπατος. ἐπεὶ γὰρ ταὐτὸν πάτος καὶ ὁδός, ὡς ἀπὸ τῆς ὁδοῦ τὸ ἀφοδεύειν, οὕτω καὶ ἐκ τοῦ πάτου τὸ ἀποπατεῖν, ὅπερ ἐκτὸς ὁδοῦ εἶπεν Ἡσίοδος. ἐκ δὲ τοῦ πάτου καὶ τὸ περιπατεῖν καὶ ὁ περίπατος.

2.292 Ἐκεῖθεν δὲ καὶ ἀπάτη καὶ ἀπατᾶν, οἱονεὶ τὸ μὴ εὐθείας ὁδοῦ ἔχεσθαι καὶ ὡς ἐπὶ ἀτραποῦ βαδίζειν ἀλλὰ καμπὰς ἑλίττειν καὶ παράγειν ὧδε κἀκεῖ. Εἴη δὲ ἂν τούτῳ τῷ λόγῳ καὶ ἐναντία ἡ ἀπάτη καὶ ἡ ὁδηγία. ἀπατᾶν μὲν γὰρ τὸ ἀπάγειν τοῦ πάτου, ὁδηγεῖν δὲ τὸ ἐνάγειν εἰς ὁδόν. [Ἐκ τοῦ πάτου δὲ καὶ τὸ πατάσσειν. καὶ τοιοῦτος μὲν ὁ Ὁμηρικὸς πάτος. Ὁ δὲ παρὰ τῷ Κωμικῷ βάδος, οἷον «διὰ σὲ τόνδε τὸν βάδον βαδίζομεν» ἴσως πέπαικται, καὶ ἔστιν ὡς ἐκ τοῦ κινῶ ὁ ἀπόκινος παρὰ τῷ αὐτῷ, οὕτω καὶ ὁ βάδος ἐκ τοῦ βάδω, οὗ παράγωγον τὸ βαδίζω.] (v. 201 s.) Τὸ δὲ ἀλεείνων καὶ τὸ Ἀλήϊον καὶ τὸ ἀλᾶτο διὰ τὴν τοῦ ἤχου ἐγγύτητα παρήχησίν φασιν οἱ παλαιοί. αἱ γὰρ λέξεις ἀπὸ τοῦ α καὶ λ ἀρχόμεναι ὁμοιότητα ἤχου προβάλλουσι. Ὅρα δὲ καὶ παρίσωσιν τοῦ κατέδων καὶ ἀλεείνων, ἐπίτηδες κἀνταῦθα τοῦ ποιητοῦ ἱλαρύναντος διὰ παρηχήσεως καὶ παρισώσεως τὴν ἱστορικὴν σκυθρωπότητα. (v. 203 s.) Ἐν τούτοις δὲ ἱστορεῖ καὶ ὡς ὑπὸ Σολύμων, οὓς ὁ πατὴρ Βελλεροφόντης κατηγωνίσατο, ἀνηρέθη μαρνάμενος ὁ υἱὸς Ἴσανδρος, δυστυχῶς τοῦτό γε πράξας. Τὸ τοιοῦτον λυπεῖ καὶ τὸν παρὰ τῷ Σοφοκλεῖ Αἴαντα, ὃς

οὐκ ἤνεγκεν, εἰ τοῦ πατρὸς μεγάλα κλεϊσθέντος ἐν Τροίᾳ δεύτερος ἔλθοι ἐκεῖσε αὐτὸς τῆς πατρικῆς ἀρετῆς. Καὶ ἔχει φύσεως οὕτω τὸ πρᾶγμα. εἰ γὰρ πατὴρ εὔχεται ὅμοιον ἑαυτῷ γενέσθαι παῖδα, ὡς ὁ παρὰ τῷ Σοφοκλεῖ Αἴας, ἢ καὶ ἀμείνονα, ὡς ὁ παρ’ Ὁμήρῳ Ἕκτωρ, εἰκότως ἂν λυποῖντο παῖδες ἀτελεσφορήτους ὁρῶντες τὰς τῶν πατέρων εὐχάς. (v. 205) Ὅτι δὲ τῇ Ἀρτέμιδι, τουτέστι τῇ σελήνῃ, τοὺς αἰφνιδίους θανάτους τῶν γυναικῶν ἀνατίθησιν ἡ Ἑλληνικὴ δόξα, δῆλόν ἐστιν, ὥσπερ ὁ Ἀπόλλων ἥλιος αἴτιος λέγεται τοῦ αἴφνης θνῄσκειν τοὺς ἄνδρας, ὡς καὶ ἐν τῇ Ὀδυσσείᾳ σαφῶς φαίνεται. διὸ καὶ ἐνταῦθα ὁ ποιητὴς θέλων εἰπεῖν ὡς ἡ Λαοδάμεια, καθὰ ἐρρέθη, αἴφνης τέθνηκε, φησὶ «τὴν δὲ χολωσαμένη χρυσήνιος Ἄρτεμις ἔκτα», ὅ ἐστιν ἔκτανε κατὰ ἀποκοπήν.

2.293 Ὅτι δὲ ἡ Ἄρτεμις ἡ αὐτή ἐστι τῇ σελήνῃ, καθωμίληται. Σημείωσαι δὲ ὅτι Ὁμήρου χρυσήνιον εἰπόντος Ἄρτεμιν, Σοφοκλῆς ἐντεῦθεν λαβὼν χρυσόνωτον Ἡλίου ἡνίαν φησίν. Ἡ δὲ Λαοδάμεια, καθὰ καὶ ὁ ἐν Ὀδυσσείᾳ Λαοδάμας, ἀρχικοῦ κληρονομοῦσιν ὀνόματος. καὶ Ἀγαμέμνων δὴ τοιοῦτος ὑπολαλεῖται ἐν τῷ «ἦ ῥά νύ τοι πολλοὶ δεδμήατο κοῦροι Ἀχαιῶν». ᾧ γὰρ πολλοὶ δέδμηνται κοῦροι, λαοδάμας ἂν εἴη καὶ ἐκεῖνος, ταὐτὸν δ’ εἰπεῖν λαγέτας καθ’ ἕτερον ποιητήν. Ἐπαύξει δ’ ἐνταῦθα τὴν δυσπραγίαν τοῖς πεσοῦσιν, εἰ καὶ ὑπὸ θείοις προσώποις πίπτουσι, Λαοδάμεια μὲν ὑπ’ Ἀρτέμιδι, Ἴσανδρος δὲ ὑπὸ Ἄρεϊ, ὃς αὐτὸν μαρνάμενον Σολύμοισι κατέκτανε. καὶ ὅρα τὸ κατέκτανεν ἐντελῶς ῥηθὲν καὶ οὐ κατὰ τὸ «Ἄρτεμις ἔκτα», ὃ ἀνωτέρω κεῖται. (v. 206) Ὅτι τῆς αὐτῆς ἐννοίας τὸ «Ἱππόλοχος δέ μ’ ἔτικτε», καὶ τὸ «ἐκ τοῦ μέ φημι γενέσθαι» ἀξιωματικῶς κειμένου καὶ ἐνταῦθα τοῦ φημί καὶ κατὰ κριτικὴν ἀπόφανσιν. Ἔχει δέ τι καὶ σεμνὸν ὁ λόγος, φαμένου τοῦ Γλαύκου, ὡς καὶ ἔτικτέ με ὁ Ἱππόλοχος καὶ ἐγὼ κηρύττω τοῦτο οἷα μὴ αἰδούμενος τὴν ἐκ τοιούτου ἀνδρὸς γέννησιν. Καταστατικὴ δὲ τοῦτο ἔννοια, συμπληροῦσα τὴν τοῦ Γλαύκου ἐπὶ τῇ κατ’ αὐτὸν γενεαλογίᾳ διήγησιν. τὸ δὲ μάλιστα συμπληρωτικὸν ταύτης μετ’ ὀλίγα κείσεται. (v. 207—9) Ὅτι Ἱππόλοχος πέμπων εἰς Τροίαν τὸν υἱὸν Γλαῦκον «μάλα πόλλ’ ἐπέτελλεν αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων μηδὲ γένος πατέρων αἰσχυνέμεν, οἳ μέγ’ ἄριστοι γένοντο». καὶ ἔστιν ἡ παραίνεσις πρέπουσα εὐγενέσι καὶ ἀγαθοῖς πατράσι πρὸς ὁμοίους υἱούς.

2.294 Εἴρηκε δὲ καί τις παλαιὸς ῥήτωρ πρὸς Ῥωμαῖον στρατηγόν, ἐρωτήσαντα ὅ τι θέλει ἐξ αὐτοῦ, τὸ Ὁμηρικὸν τοῦτο ἔπος τὸ «αἰὲν ἀριστεύειν καὶ ὑπείροχον εἶναι ἄλλων», ὡς καὶ ὁ Στράβων ἱστορεῖ. Ἔοικε δὲ ἀνενδεὴς ἐκεῖνος ὁ ῥήτωρ εἶναι. διὸ καὶ μηδενὸς ἔφη ἑτέρου προσδεῖσθαι ἢ τοῦ εἰσαεὶ τὸν στρατηγὸν προέχειν τῶν κατ’ αὐτόν, ὡς οἷα καὶ φιλούμενον αὐτῷ. (v. 211) Ὅτι τὸ «ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι» ἔννοιά ἐστὶ τῷ Γλαύκῳ συμπληρωτικὴ καὶ αὐτὴ γενεαλογίας. Ἐντεῦθεν καὶ ὁ Κυνικὸς Ἀντισθένης χρησάμενος πρὸς τὸν ἀνακρίνοντα τὸ γένος αὐτοῦ εἰπών, ὡς ἐμοὶ πατὴρ μὲν ἦν τῷ ἀγκῶνι ἀπομυσσόμενος, ἤγουν ταριχέμπορος καὶ τὰ ἑξῆς, ἐπάγει τὸ «ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι». Τὸ δὲ αἵματος ἀντὶ τοῦ σπέρματός φασιν οἱ σοφοί, ὡς τοῦ σπέρματος ὕλην τὸ αἷμα ἔχοντος. (v. 212—25) Ὅτι ἐγήθησεν ὁ Διομήδης ἀναγνωρίσας τὸν Γλαῦκον ξένον πατρῷον. Διὸ καὶ τὸ ἔγχος καταπήξας ἐπὶ χθονὶ καὶ ἀργίαν αὐτοῦ καταγνοὺς μειλιχίοις λόγοις δηλαδὴ προσηύδα ποιμένα λαῶν «ἦ ῥά νύ μοι ξεῖνος πατρώϊός ἐσσι παλαιός». Εἶτα ἐπεξηγούμενος πῶς ξένος πατρῷος ὁ Γλαῦκος αὐτῷ, ἑταῖρος δηλαδὴ ἀπὸ ξενίας τῆς οὐκ ἐξ ἑαυτοῦ, ἀλλ’ ἐκ πατέρων ἤτοι προγόνων, διηγεῖται οὕτω, γνώριμα λέγων καὶ διὰ τοῦτο πιστευόμενος «Οἰνεὺς γάρ ποτε δῖος ἀμύμονα Βελλεροφόντην», πρὸ τῆς εἰς Λυκίαν ὁδοῦ, «ξείνις’ ἐνὶ μεγάροισιν, ἐείκοσιν ἤματ’ ἐρύξας», ἤγουν παρακατασχών, καθὰ καὶ Ἰοβάτης ἐφ’ ἡμέρας τινὰς τὸν Βελλεροφόντην παρ’ ἑαυτῷ κατέρυκεν. «Οἳ δὲ καὶ ἀλλήλοισι πόρον ξεινήϊα καλά. Οἰνεὺς μὲν ζωστῆρα δίδου φοίνικι φαεινόν», ἤγουν φοινικῷ χρώματι, τῷ ἐκ καρποῦ ἴσως τῆς πρίνου, Βελλεροφόντης δὲ χρύσεον δέπας ἀμφικύπελλον. καὶ διὰ τοῦτό φησι «νῦν σοὶ μὲν ἐγὼ ξεῖνος φίλος Ἄργεϊ μέσσῳ εἰμί, σὺ δ’ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λυκίῃ, ὅτε κεν τῶν δῆμον ἵκωμαι». (v. 217) Ὅρα δὲ τὸ «ἐείκοσιν» ἤματα ῥηθὲν ἁπλῶς καὶ οὐ κατά τινα παρατήρησιν ἀναγκαίαν. [Ἐνταῦθα δὲ ἀναγκαία κεῖται στιγμὴ μετὰ τὸ μεγάροισιν, ἵνα μή τις ἴσως ἐρεῖ σοφιζόμενος «μεγάροισιν εἴκοσι». (v. 214) Τὸ δέ «μειλιχίοις» διαστολὴν ἔχει πρὸς τὰ φθάσαντα ῥηθῆναι ἐν τῷ «εἰ δέ τίς ἐσσι βροτῶν, ἴθι, ὡς ἂν ὀλέθρου πείραθ' ἵκηαι». ἐκεῖ γὰρ οὐ μειλιχίοις ὁ ἥρως προσηύδα.

2.295 ] (v. 218) Ξένια δὲ καλὰ τὰ εὐειδῆ καὶ ἀξιοθέατα. τὸ μὲν γὰρ χρύσεον δέπας καὶ καλὸν καὶ τῇ ὕλῃ τίμιον, ὁ δὲ φαεινὸς φοίνικι ζωστὴρ καλὸς διὰ τὸ τοῦ ἱμάντος φοινικοῦν. Ταῦτα δὲ δεινῶς ὁ Διομήδης καὶ δεξιώτατα προεκτίθεται, ἵνα εὐλόγως καὶ αὐτὸς τὴν τῶν ὅπλων ζητήσῃ ἄμειψιν, ὡς ῥηθήσεται, καὶ δοκιμάσῃ τὸν Γλαῦκον, εἰ μὴ ἐθέλει τὴν τῶν πατέρων αἰσχύνειν ἀρετήν. (v. 224 s.) Ἰστέον δὲ καὶ ὅτι τῷ ἔχοντι φίλον ἐξ ἀλλοδαπῆς χρήσιμος μεταποιηθεὶς ὁ ῥηθεὶς τοῦ Διομήδους λόγος μέγα φρονοῦντος καὶ σεμνυνομένου, διότι αὐτὸς Ἀργεῖος ὢν ἔχει ξένον φίλον ἐν Λυκίᾳ. Ἔφη γὰρ «σοὶ μὲν ἐγὼ ξεῖνος φίλος Ἄργεϊ» καὶ ἑξῆς. Ἔνθα τὸ ἐν Λυκίῃ ἐλλειπτικῶς ἐσχημάτισται κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα. Τὸ γὰρ ὅλον οὕτως ἐστὶ «σὺ δ' ἐν Λυκίῃ ξεῖνος φίλος ἐμοί». Σημείωσαι δὲ ὅτι τὸ «Ἄργεϊ μέσσῳ» ταὐτόν ἐστι τῷ ἐν Ἀργείοις, διὸ ἐπάγει «ὅτε ἂν τῶν δῆμον ἵκωμαι», ἤγουν ὅτε εἰς τὸν δῆμον τῶν Ἀργείων ἐπανέλθω. Καὶ ἔστι τὸ σχῆμα καινόν. ἡ γὰρ σύνταξις οὐ πρὸς τὸ ῥητὸν Ἄργος, ἀλλὰ πρὸς τὸν δι' αὐτοῦ νοούμενον, ἤτοι τοὺς Ἀργείους. πόλις γὰρ οἱ πολῖταί εἰσιν, ὥσπερ καὶ ναῦς οἱ ναῦται, καθὰ καὶ Σοφοκλῆς δηλοῖ, λέγων ὡς οὐδέν ἐστιν οὔτε ναῦς οὔτε πόλις ἔρημος ἀνδρῶν μὴ συνοικούντων ἔσω. Τοιοῦτόν τι σχῆμα ἐσημειώθη καὶ κατὰ τὸν ἀνάπλουν τῆς α ῥαψῳδίας ἐν τῷ «οἳ δ' ὅτε δὴ λιμένος ἐντὸς ἵκοντο». Σημείωσαι δὲ καὶ ὅτι τὸ «ὅτε τῶν δῆμον ἵκωμαι» πρὸς ἀκρίβειαν κεῖται. νῦν μὲν γὰρ ἄμφω ξένοι εἰσὶν ἀλλήλοις οὐκ ἐν Λυκίᾳ καὶ Ἄργει ἀλλ' ἐν τόπῳ ἑνὶ τῷ περὶ Τροίαν. ὅτε δὲ ἐπανέλθωσιν οἴκαδε, τότε Διομήδης μὲν ἐν μέσῳ Ἄργει φίλος ἔσται τῷ Λυκίῳ Γλαύκῳ, Γλαῦκος δὲ αὖ ἐν Λυκίᾳ μέσῃ ξεῖνος ἔσται τῷ ἐξ Ἄργους Διομήδει. Καὶ ἔστι σχῆμα συντομίας καὶ ἐνταῦθα. εἰπὼν γὰρ ὁ Διομήδης «ὅτε Ἀργείων δῆμον ἵκωμαι», ἀφῆκε τῷ Γλαύκῳ νοεῖν τὸ ὅμοιον, δηλαδὴ τὸ «ὅτε καὶ σὺ Λυκίων δῆμον ἵκῃ». Ἐσίγησε δὲ αὐτὸ ἀστείως ὁ ποιητής, οὐ μόνον ὡς δυσοιώνιστον λόγον τῷ φίλῳ, ἀλλὰ καὶ ὅτι τὸν Γλαῦκον οἶδεν οὐκ ἐπανελθόντα εἰς τὰ οἰκεῖα.

2.296 (v. 221) Ἔτι ἰστέον καὶ ὅτι τὰ ξένια, ἤτοι τὰ τῆς ξενίας δῶρα, κειμήλια τοῖς παλαιοῖς ἀπετίθεντο εἰς ἀνάμνησιν πατρῴας φιλίας τοῖς ἐπιγόνοις. Διομήδης γοῦν φησιν, ὅτι εἰς Τροίαν ἰὼν οἴκοι κατέλειψεν ἀποκεῖσθαι τὸ ῥηθὲν τοῦ Βελλεροφόντου κύπελλον, καὶ Ὀδυσσεὺς δὲ τὸ τοῦ Ἰφίτου τόξον ἐν Ἰθάκῃ ἔλειψεν εἰς μνήμην ξενίας. ταμιεύεται γὰρ καθάπερ ἐν θαλάμοις τὸ ξένιον, οὕτως ἐν ταῖς τῶν ὁρώντων ψυχαῖς ἡ μνήμη τοῦ δόντος. καὶ γίνεται κειμήλιον ταμείου μὲν τὸ δῶρον, ἡ δὲ μνήμη ψυχῆς. Διὸ καὶ Διομήδης πιθανολογῶν τὴν πατρῴαν ξενίαν ἐκ τοῦ κυπέλλου λέγει εἰδέναι αὐτὴν καὶ μεμνῆσθαι, οὐ μὴν ἐκ πατέρων. (v. 222 s.) «Τυδέα γάρ», φησίν, «οὐ μέμνημαι», πολλῷ δὴ πλέον τὸν πάππον Οἰνέα. Ἐνταῦθα δὲ εὐμεθόδως ὁ ποιητὴς καὶ τὴν τῶν ἑπτὰ ἐπὶ Θήβας ἱστορίαν παρενέθετο κομιδῇ ἀποστενώσας αὐτήν, ἐν οἷς ὁ Διομήδης φησίν, ὅτι «Τυδέα δ' οὐ μέμνημαι, ἐπεί μ' ἔτι τυτθὸν ἐόντα κάλλιπεν, ὅτ' ἐν Θήβαις ἀπώλετο λαὸς Ἀχαιῶν». Καὶ ὅρα τὸ μέμνημαι αἰτιατικῇ συνταχθέν. (v. 226—33) Ὅτι συνέθεντο Διομήδης καὶ Γλαῦκος ἀλλήλων ἐν πολέμῳ ἀπέχεσθαι καθ' ἑαυτούς τε καὶ δι' ὁμίλου, ἤγουν κατὰ τὸν ὑπ' αὐτοὺς πάντα ὅμιλον. Ἀξιοῖ γὰρ ὁ Διομήδης οὕτω «ἔγχεσι δ' ἀλλήλων ἀλεώμεθα καὶ δι' ὁμίλου, πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶες καὶ ἐπίκουροι κτείνειν, ὃν ἂν θεός γε πόροι καὶ ποσσὶ κιχείω, πολλοὶ δ' αὖ σοὶ Ἀχαιοὶ ἐναιρέμεν, ὅν κε δύνηαι». Καὶ ἐπὶ τῇ συνθήκῃ ταύτῃ «χεirάς τ' ἀλλήλων λαβέτην καὶ πιστώσαντο», ἤγουν πίστιν ἀλλήλοις ἐποίησαν διὰ τῆς συνήθους δεξιώσεως. Πιστώσεως γὰρ δηλωτικὸν τῶν δεξιῶν χειρῶν ἡ συμβολή, ὡς καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται. Καὶ σημείωσαι ὅπως αἰδέσιμος ἦν ἡ φιλία οὐκ αὐτοῖς μόνοις τοῖς

ξενισθεῖσιν, ἀλλὰ κατὰ διαδοχὴν καὶ τοῖς ἐκ αὐτῶν. ἰδοὺ γὰρ Βελλεροφόντου καὶ Οἰνέως πάλαι ποτὲ ξένων ἀλλήλοις γενομένων, οἱ αὐτῶν ἔγγονοι τὸ τῆς ξενίας ἀγαθὸν αἰδεσθέντες εἰρηναῖα σπένδονται. καί πως τοῦ συγγενικοῦ θεσμοῦ κρείττων τοῖς παλαιοῖς ἦν ὁ κατὰ τὴν ξενίαν. Τεῦκρος μὲν γὰρ Τρωϊκὸς ὢν ἀνέκαθεν καὶ τῷ Πριάμῳ προσγενής —αὐτανέψιος γὰρ ἦν Ἕκτορος—πολεμεῖ τοῖς Τρωσὶ καὶ ὁμοφύλοις αἵμασι χραίνεται.

2.297 Γλαῦκος δὲ καὶ Διομήδης ὡς πατρῷοι ξένοι ἀλλήλων καὶ δι’ ὁμίλου, ὡς εἴρηται, ἀλέονται, ἤτοι ἐκκλίνουσιν, ἀπέχονται. (v. 228) Σημείωσαι δὲ καὶ ὅτι ὁ Διομήδης ἐν τῷ «ὃν ἂν θεὸς πόροι καὶ ποσσὶ κιχείω» ἐσέμνυνεν ἑαυτὸν ὡς καὶ θεοφιλῆ καὶ ποδώκη. (v. 229) Τὸν μέντοι Γλαῦκον οὐ πάνυ σεμνύνει τὸ «ὃν ἂν δύνηαι». [Ἴσως δὲ τὸ μὲν «ὃν ἂν θεὸς πόροι» σταδαίαν μάχην δηλοῖ τὴν καὶ ἐπὶ πλέον ἐναγώνιον καὶ θείας δεομένην συνάρσεως. Τὸ δὲ «ὃν ποσσὶ κιχείω» φεύγοντος ἐχθροῦ πτῶμα ἐμφαίνει, ὃν οὐκ ἐξ ἀνάγκης αὐτὸς ὁ διώκων ἔτρεψεν εἰς φυγήν.] (v. 230 s.) Ὅτι τὰ τεύχεα ὁ Γλαῦκος καὶ ὁ Διομήδης ἀλλήλοις ἐπαμείβουσιν ἀξιώσαντος Διομήδους οὕτω ποιῆσαι. «τεύχεα γάρ», φησίν, «ἀλλήλοις ἐπαμείψομεν, ὄφρα καὶ οἵδε γνῶσιν ὅτι ξεῖνοι πατρώϊοι εὐχόμεθ’ εἶναι», καὶ οὕτως εἴη ἀνύποπτον τὸ ἀλλήλων ἡμᾶς καὶ δι’ ὁμίλου ἀπέχεσθαι. ἄλλως γὰρ προδοτικοῦ ἂν ἤθους ἐκρίνοντο καὶ δολερᾶς καθυφέσεως τῆς εἰς πόλεμον. καὶ δίδωσι μὲν ὁ Διομήδης εὐτελῆ τινα, ὡς ῥηθήσεται, ὅπλα, λαμβάνει δὲ τιμιώτατα. Καὶ σημείωσαι ὅτι ὥσπερ ἐπὶ τῶν προγόνων, οὕτω κἀνταῦθα γίνεται. Οἰνεύς τε γὰρ ζωστῆρα δοὺς φοίνικι φαεινόν, ὡς προείρηται, χρύσεον δέπας ἀντέλαβεν ἐκ τοῦ Βελλεροφόντου φιλοτιμότερον διατεθέντος, καὶ Διομήδης ὁ τοῦ Οἰνέως ἀπόγονος χάλκεα νῦν δοὺς ὅπλα χρύσεα ἔλαβε. Καὶ ὅρα ὅπως ὁ Γλαῦκος προγονικὴν μεγαλοπρέπειαν καὶ φιλοτιμίαν μιμούμενος καὶ κατὰ πατρικὴν παραίφασιν μὴ θέλων πατέρων γένος αἰσχύνειν, ἄλλως τε καὶ τοῦ Διομήδους ἀπαιτήσαντος, ἤμειψεν αὐτῷ τὰ οἰκεῖα ὅπλα, ὑπὲρ δεκαπλάσιον ὄντα τῶν τοῦ Διομήδους τιμιώτερα. (v. 235 s.) Φησὶ γὰρ «ὃς πρὸς Τυδείδην Διομήδεα τεύχε’ ἄμειβε, χρύσεα χαλκείων, ἑκατόμβοι’ ἐννεαβοίων». Ἀσφαλείας γὰρ ὁ Γλαῦκος μόνης ἐδεῖτο τῆς ἐκ τῶν ὅπλων, οὐ μὴν ὕλης τιμίας. πάντως δὲ οὐχ’ ἧττόν τι τῶν χρυσέων ἀσφαλῆ καὶ τὰ χάλκεα. (v. 234) Διὸ καί φησιν ὁ ποιητής «ἔνθ’ αὖτε Γλαύκῳ φρένας ἐξείλετο Ζεύς», ὅ ἐστιν ἐξαιρέτους ἐποίησεν, ὡς τῷ Πορφυρίῳ δοκεῖ, διὰ τὸ τοιαύτην φιλοτιμίαν ἐνδείξασθαι καὶ μὴ γλισχρεύσασθαι περὶ τὴν τοῦ ξένου ἀξίωσιν καὶ οὕτως αἰσχῦναι τὴν τοῦ πάππου ἀρετήν. εἰ δὲ ἐν τοῖς ἑξῆς τὸ «φρένας ἐξείλετο Ζεύς» φανερῶς ἐπὶ ἀφροσύνης κεῖται, ῥηθήσεται τὰ εἰκότα ἐκεῖ.

2.298 Δῆλον δὲ ὅτι, ὡς καὶ ἀλλαχοῦ ἐγράφη, πρὸς διάφορον σημασίαν ὁ Γλαῦκος βαρύνεται. πρὸς διαστολὴν γὰρ τοῦ ὁ γλαυκός ἐπιθέτου. τοιοῦτον δὲ ἐγνώσθη καὶ τὸ Λεῦκος πρὸς τὸ λευκός. ὅμοιον καὶ τὸ ἀρητός καὶ Ἄρητος, καὶ ἄλλα μυρία, ἐν οἷς καὶ τὸ διηνεκής καὶ Διηνέκης κύριον καθ’ Ἡρόδοτον, Σπαρτιάτης ἄριστος γενόμενος ἐν τῇ μάχῃ τῶν Θερμοπυλῶν, καὶ δρυμός δὲ ὁ δρυωτὸς τόπος καὶ Δρύμος πόλις. Φησὶ γοῦν ὁ αὐτός, ὅτι κατέκαυσαν πόλεις οἱ Θεσσαλοὶ ὁδηγοῦντες τοὺς Πέρσας ἄλλας τε καὶ Δρύμον καὶ Θρόνιον καὶ τὰ ἑξῆς. Διαφόρου δ’ εὐλόγου τονώσεως καὶ τὸ πυρρός ὁ πυρρόθριξ καὶ Πύρρος κύριον, καὶ γύρος ὁ κατὰ κύκλον καὶ γυρὸς ὤμοις ὁ ἐν Ὀδυσσείᾳ, ὅθεν καὶ πέτραι Γυραί, καὶ κυρτός ὁ κατὰ πάθος καὶ κύρτος ὁ ζωγρητικός. Ὅτι δὲ καὶ ἕτεροι Γλαῦκοι διάσημοι, δῆλον καὶ αὐτό, ἐν οἷς καὶ ὁ Ἀνθηδόνιος καὶ ὁ παρὰ Ἡροδότῳ, καὶ ὃν δὲ Γλαύκωνα ὁ Λυκόφρων καλεῖ παρωνύμως. [Δῆλον δὲ ὡς καὶ ἰχθύος εἶδος ὁ γλαῦκος περιᾴδεται.

2.299 ] (v. 230 s.) Σημείωσαι δὲ καὶ ὅτι οὐχ’ ὡς κερδαλέος ὁ Διομήδης αἰτεῖ τὰ χρυσᾶ ὅπλα, προΐσχεται δὲ αἰτίαν εὐσχήμονα, ἵνα, φησί, πάντες γνῶσιν, ὡς ἐρρέθη, ὅτι ξένοι ἀλλήλων πατρῷοί ἐσμεν καὶ διὰ τοῦτο ἀπεχόμεθα τῆς πρὸς ἀλλήλους μάχης καὶ οὐ διά τινα φαύλην ὑπόληψιν, ἀλλὰ διὰ τὸν Πατρῷον καὶ Ἑταιρεῖον καὶ Ξένιον. Ἦν δὲ ἄρα ἡ τῶν ὅπλων ἄμειψις καὶ σημεῖον τῆς κατὰ παράταξιν ἀμείψεως. οὐκέτι γὰρ ἀλλήλοις ἀντεμάχοντο. Διὸ καὶ ἐν ὄψεσι πάντων τὰ

ὅπλα ἠλλάξαντο, ἵνα διὰ φιλίαν ἀλλήλων ἀπέχεσθαι φαίνωνται καὶ μὴ τοὺς οἰκείους προΐεσθαι. [Εἰ δὲ καὶ Λυκάων ὁ Τρωϊκὸς ἤμειψε θώρακα τῷ ἀδελφῷ Πάριδι καὶ Ἀχιλλεὺς ὅπλα τῷ φίλῳ ἑταίρῳ Πατρόκλῳ, ἀλλ' ἐκεῖνα πρὸς ὥραν γεγονότα πάντῃ ἑτεροιοῦνται πρὸς τὰ ἐνταῦθα.] Ὅρα δὲ ὅπως εὐτυχῶς τῷ κρείττονι τὰ κρείττονα ὅπλα ἐγένετο, τῷ δὲ χείρονι Γλαύκῳ τὰ προσήκοντα, ὅπερ οἱ Ἕλληνες μετὰ ταῦτα ποιοῦσι κατὰ συμβουλήν, ὅπου «ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε», χείρονα δὲ χείρων. (v. 236) Ἑκατόμβοιον δὲ καὶ ἐννεάβοιον, ὥσπερ καὶ δωδεκάβοιον καὶ εἰκοσάβοιον καὶ εἴ τι τοιοῦτον, οἱ μὲν ἐπὶ νομισμάτων ἀκούουσι, βοῦν εἰρῆσθαι τὸ νόμισμα λέγοντες διὰ τόν, ὡς καὶ προεγράφη, ἐν αὐτῷ τοῦ βοὸς ἔκπαλαι τύπον κατὰ τιμὴν τοῦ ζῴου, οἱ δέ, ὡς καὶ αὐτὸ εἴρηται, σταθμόν τινα τὰ τοιαῦτα νοοῦσι, δι' οὗ βόας ἑκατὸν τυχὸν ἢ ἐννέα ἢ δώδεκα ἢ εἴκοσιν ἢ ἁπλῶς τοσούσδε ὠνησάμενός τις κτήσεται. (v. 237) Ὅτι σχῆμα ὑστερολογίας καὶ ἐν τῷ «Ἕκτωρ Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν». ἀνιὼν γὰρ εἰς τὴν πόλιν πρῶτον φηγὸν ἵκανε περὶ τὸ πεδίον οὖσαν, εἶτα τὰς Σκαιὰς πύλας. Ὅρα δὲ καὶ ἐνταῦθα τὸ τῆς ἱστορίας εὐκρινές.

2.300 Μεσολαβήσας γὰρ ὁ ποιητὴς τῇ τοῦ Ἕκτορος εἰς Τροίαν ἀνόδῳ τὰ κατὰ Διομήδην καὶ Γλαῦκον, εἶτα τούτων ἀπαλλαγεὶς ἀνατρέχει πάλιν εἰς τὸν Ἕκτορα καὶ γίνεται εὐτάκτως τῶν ἐφεξῆς. (v. 238—41) Ὅτι παιδεύει τὸν ἀκροατὴν καὶ ὁ παρ' Ὁμήρῳ Ἕκτωρ μὴ ἀεὶ πρὸς τὰς ἐρωτήσεις λεπτομερῶς ἀποτείνεσθαι, ὅπου ἂν μὴ συμφέρον εἴη. Ἐρωτᾶται μὲν γὰρ ὑπὸ τῶν Τρῳάδων, πῶς ἂν ἔχοιεν ἐν τῷ πολέμῳ οἱ προσήκοντες αὐταῖς, ὁ δὲ οὐδὲν ἄλλο ἔφη ἀλλ' ἢ θεοῖς μόνον ἐκέλευσεν εὔχεσθαι πάσας ἑξείης. καίτοι πολλαῖς αὐτῶν, ὡς ὁ ποιητής φησι, κήδεα ἐφῆπτο διὰ τὴν τῶν οἰκείων ἀπώλειαν. (v. 241) Καὶ ὅρα τὸ «πολλαῖς κήδεα ἐφῆπτο», ἤτοι πολλῶν ἥπτετο ἡ βλάβη καὶ ἤδη αὐταῖς ἐπέκειτο. τοιοῦτον καὶ τὸ «ὀλέθρου πείρατα ἐφῆπται», ἤγουν τέλειος ὄλεθρος ἐπίκειται. Προσήκοντας δὲ ταῖς γυναιξὶ μετρεῖ Ὅμηρος παῖδάς τε κασιγνήτους τε ἔτας τε καὶ πόσιας, περὶ ὧν πολλαχοῦ δηλοῦται. Ἐνταῦθα δὲ ὅρα ὅτι καθάπερ ἐν συμποσίοις ἄκροι κάθηνται οἱ ἄριστοι, οὕτω κἀνταῦθα τὰ φίλτατα μὲν ἐν ἄκροις ὁ ποιητὴς ἔταξε, τὰ δὲ μὴ πάνυ τοιαῦτα, τοὺς κασιγνήτους καὶ τοὺς ἔτας, εἰς μέσον ἤλασεν. (v. 242 s.) Ὅτι περικαλλέα λέγει τὸν τοῦ Πριάμου οἶκον, ξεσταῖς αἰθούσαις τετυγμένον, ἤτοι λιθίνοις ὑπαίθροις στοαῖς αἰθομέναις ἡλίῳ, καθὰ δηλοῖ τοὔνομα τῆς αἰθούσης, ὅθεν τῇ δημώδει γλώσσῃ παρεποιήθη τὰ ἡλιακά. Ὅτι δὲ ξεστὰς λέγει τὰς ἐκ λίθων ἐξεσμένων, δηλοῦσι καὶ οἱ ἐπαγόμενοι θάλαμοι ξεστοῖο λίθοιο δεδμημένοι. Περὶ δὲ αἰθούσης δηλοῖ μὲν σαφῶς καὶ ἡ Ὀδύσσεια, ῥηθήσεται δέ που καὶ ἐν τοῖς ἐφεξῆς. (v. 244—50) Ὅτι ἐν τῷ τοῦ Πριάμου δόμῳ «πεντήκοντα ἔνεσαν θάλαμοι ξεστοῖο λίθοιο, πλησίοι ἀλλήλων δεδμημένοι», ἤγουν δεδομημένοι, «ἔνθα δὲ παῖδες κοιμῶντο Πριάμοιο παρὰ μνηστῇς ἀλόχοισι, κουράων δ' ἑτέρωθεν ἐναντίοι ἔνδοθεν αὐλῆς δώδεκ' ἔσαν τέγεοι θάλαμοι ξεστοῖο λίθοιο, πλησίοι ἀλλήλων δεδμημένοι.

2.301 ἔνθα δὲ γαμβροὶ κοιμῶντο Πριάμοιο παρ' αἰδοίῃς ἀλόχοισι». Καὶ ὅρα τὴν ταὐτολογίαν τοῦ ποιητοῦ δὶς ἐνταῦθα εἰπόντος ἀπαραποιήτως τὸ «θάλαμοι ξεστοῖο λίθοιο, πλησίοι ἀλλήλων δεδμημένοι». (v. 247) Σημείωσαι δὲ ὅτι καὶ τὰς τοιαύτας τοῦ Πριάμου θυγατέρας κόρας εἶπεν, οὐχ' ὡς παρθένους—πῶς γὰρ τὰς ὑπὸ ἀνδράσιν οὔσας; —, ἀλλὰ ἁπλῶς ἀντὶ τοῦ νέας, ὡς ταὐτὸν ὂν ἐνταῦθα εἰπεῖν κούρας τε καὶ νέας ἀλόχους. [Κρατεῖ δὲ καὶ μέχρι νῦν παρά τισι τῶν Ἑῴων τὸ κόρας λέγεσθαι καὶ μετὰ γάμον τὰς ἐν ἡλικίᾳ νέᾳ.] (v. 244) Ὁ δὲ ἀριθμὸς τῶν πεντήκοντα θαλάμων ἔοικεν εἰς ποσὸν συνδιήκειν παίδων Πριάμου ἀρρένων κατὰ τὸ «ἡμεῖς δὲ πεντήκοντ' ἄγ' ἄμμοροι τέκνων». Τὸ δὲ ἔνεσαν μέτρου χάριν ῥηθὲν μετὰ προθέσεως μετ' ὀλίγα ἐν τῷ «δώδεκ' ἔσαν» δίχα προθέσεως εἴληπται. (v. 245 et 249) Τὸ δὲ πλησίοι ἀμεμφῶς ἔχει. πολλαχοῦ γὰρ ἡ τοιαύτη κλίσις διαφαίνεται, ἐπεὶ προϋπάρχει ὁ πλησίος, οὗ ἡ αἰτιατικὴ γεννᾷ τὸ πλησίον ἐπίρρημα. (v. 248) Ὅρα δὲ καὶ ὅτι τοὺς γυναικείους θαλάμους, οὐ μὴν καὶ τοὺς τῶν ἀνδρῶν, ὠνόμασε τεγέους ἀντὶ τοῦ ἀνωγείους, ἐπὶ τέγει ἑτέρου οἴκου ἀναστάντας, ὑπερῴους,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολυστέγους, πολυωρόφους, ἵνα μὴ διοδευομένων, φασί, κατοπτεύωνται αἱ γυναῖκες. Γίνεται δὲ τὸ τέγεος ἀπὸ τοῦ τέγος τέγειος καὶ ἀποβολῇ τέγεος, ὡς τέλος τέλειος τέλεος. ὥσπερ δὲ μικρός καὶ σμικρός, οὕτω καὶ τέγος καὶ στέγος, ἐξ οὗ τὸ στέγω ῥῆμα.

2.302 εἰσὶ δὲ καὶ ἄλλα τοιαῦτα ὀνόματα, ὡς ἀλλαχοῦ δεδήλωται. Ἰστέον δὲ ὡς εἰ καὶ ἀπὸ τοῦ τέγους, ὃ γίνεται ἀπὸ τοῦ τέγγω, παράγεται τὸ στέγος, ἀλλ' ἐξ αὐτοῦ αὖθις ὁ ὅλος οἶκος παρονομάζεται διὰ μέσου τοῦ στέγειν ῥήματος, ὡς ὑποδηλοῖ καὶ Εὐριπίδης, ἐν οἷς που λέγει, ὅτι ὄχλον στέγει δόμος. Θάλαμοι δὲ παρὰ μὲν τοῖς ὕστερον αἱ γυναικωνίτιδες, παρὰ δὲ Ὁμήρῳ καὶ οἱ ἁπλῶς ἐνδοτάτω οἶκοι ἀπὸ τοῦ θάλπειν ἐτυμολογούμενοι. [Ἡ δὲ θαλάμη οὐ δόμον δηλοῖ, κατάδυσιν δέ τινα ζῴων ἀλόγων, οἷον πολυπόδων καί τινων τοιούτων. ὅθεν μεταφορικῶς καὶ θαλαμῖται καὶ θαλάμακες, ἐρέται οἱ ὑπὸ τοὺς θρανίτας.] (v. 248—50) Ἐνταῦθα δὲ ὅρα καὶ ὅπως ὁ ποιητὴς τὴν συγγενικὴν ἐγγύτητα βούλεται καὶ τῇ κατὰ τόπον σχέσει ἑνοῦσθαι, ὡς ἐγχωρεῖ, τὸ γένος ἅπαν τοῦ Πριάμου εἰς ἕνα τόπον συναγαγών. ὃ καὶ βουλόμενος ἐγκαθίσαι τῇ ψυχῇ τοῦ ἀκροατοῦ ἐπιμονὴν ἐποίησε διὰ τῆς ἀνωτέρω παρασημειωθείσης ταὐτολογίας. (v. 251) Ὅτι τὸ ἠπιόδωρος οἰκεῖον ἐπίθετον ἀγαθῇ μητρί, ὁποία καὶ ἡ Ἑκάβη ἐνταῦθα τῷ Ἕκτορι ἐλεοῦσα τὸν παῖδα ἐκ μάχης ἐλθόντα καὶ ἠπίως δεξιουμένη αὐτόν, ὡς μετ' ὀλίγα φανήσεται. προκλητικὴ γάρ πως ἡ τοιαύτη λέξις ἐνταῦθα τῶν ἐν τοῖς ἑξῆς δώρων τῆς μητρός. Ἔχει δ' ἐνταῦθα τὸ Ὁμηρικὸν οὕτως «ἔνθα οἱ ἠπιόδωρος ἐναντίη ἤλυθε μήτηρ», κατὰ τύχην δηλαδὴ καὶ οὐκ ἔκ τινος προμηθείας, ὡς εὐθὺς φαίνεται.

2.303 Ἰατροῖς δὲ καὶ τοῖς κατ' αὐτοὺς πρέπουσα ἡ τοῦ ἠπίου λέξις, ὡς καὶ ἡ τοῦ Ἀσκληπιοῦ δηλοῖ σύνθεσις καὶ τὸ «ἐπί τ' ἤπια φάρμακα πάσσειν», καὶ τὸ «ὀδύναι δὲ κατηπιόωντο βαρεῖαι». Διὸ εἰκότως οἰκειοῦται καὶ μητρὶ ἀκεσωδύνῳ, ἣ ἐς τοσοῦτον οἶδε φύσει τῶν ἐξ αὐτῆς κήδεσθαι, ὡς μηδὲ μυῖαν ἐᾶν δάκνειν τὸ φίλον βρέφος ὑπνοῦν. Οὐκ ἐστέρηται δὲ τῆς τοῦ ἠπίου προσηγορίας οὐδὲ ὁ πατήρ, ὡς δῆλον ἐκ τοῦ «πατὴρ δ' ὣς ἤπιος ἦεν». Ἀγαθὴ δὲ πανταχοῦ λέξις ὁ ἤπιος, δίχα γε τοῦ κακοῦ ἠπιάλου, περὶ οὗ προδεδήλωται, ὃς φαῦλος ὢν ὅμως εὐωνυμεῖται λόγῳ ἀντιφράσεως. [Τὸ δὲ ἐναντίη οὐ δηλοῖ ἐναντίωσιν, ἀλλὰ εἴληπται ἀντὶ τοῦ ἀντιπρόσωπος. ὅμοιον δὲ καὶ τὸ «θάλαμοι κουράων ἑτέρωθεν ἐναντίοι», ὃ πρὸ ὀλίγων εἴρηται.] (v. 252) Ὅτι ἡ Λαοδίκη, εἰς ἣν ἡ Ἑκάβη ἀπιοῦσα ἐντυγχάνει τῷ Ἕκτορι, εἶδος ἀρίστη τῶν Πριάμου θυγατέρων ἦν, αἳ δηλονότι ἄνδρας εἶχον. ἐν ἄλλοις δὲ τὴν Κασάνδραν οὕτω καλεῖ, ταῖς ἔτι παρθένοις ἐκείνην συγκρίνων. Ἐνταῦθα δὲ κεῖται καὶ τὸ εἰσάγειν ἀντὶ τοῦ εἰσιέναι ἢ ὑπάγειν. Φησὶ γὰρ «Λαοδίκην εἰσάγουσα θυγατρῶν εἶδος ἀρίστην». Χρήσιμον δ' ἐνταῦθα καὶ τὸ παρὰ τῷ Κωμικῷ παροιμιῶδες ἐπὶ τῶν εἰς οὐδὲν δέον ἀχθοφορούντων τὸ «ὄνος ἄγων μυστήρια». Καὶ ἐκεῖ γὰρ ἄγειν οὐ τὸ φέρειν ἀλλὰ τὸ ἀπιέναι, ἵνα ᾖ ὄνος ἄγων μυστήρια ὁ ἀπιὼν εἰς τὴν τοῦ μυστηρίου ἑορτήν. (v. 253) Ὅτι καὶ ἐνταῦθα ἐμφῦναι χειρὶ τὸ χειρὸς λαβέσθαι καὶ στερεῶς αὐτῆς ἅψασθαι. καὶ ἔστι πως ὅμοιον τῷ ἐμφῦναι χείλεσιν, ὡς καὶ ἐν Ὀδυσσείᾳ γέγραπται. (v. 254) Ὅτι τῆς Ἑκάβης τὸ «τί ποτε λιπὼν πόλεμον θρασὺν εἰλήλουθας» λεχθείη ἂν ἐπὶ τοῦ παρ' ἐλπίδα τῆς μάχης ἀναχωρήσαντος. (v. 255 s.) Τὸ δὲ ἐφεξῆς βίαν μάχης δηλοῖ τὸ «ἦ μάλα δὴ τείρουσι δυσώνυμοι υἷες Ἀχαιῶν μαρνάμενοι». Λέγει δὲ δυσωνύμους τοὺς Ἀχαιοὺς ἢ κατὰ τὸ Δύσπαρι καὶ τὸ Κακοΐλιον ἢ δυσφημοῦσα ὡς δῆθεν κακωνύμους διὰ τὸ δοκεῖν παρηχεῖσθαι αὐτοὺς τῷ ἄχει.

2.304 Διχῶς γὰρ τὸ κακώνυμον. ἢ τὸ οὐδ' ὀνομάζεσθαι ἄξιον, ὡς δῆλον ἐκ τοῦ «Κακοΐλιον οὐκ ὀνομαστήν», ἢ τὸ δυσοιώνιστον καὶ τῇ προφορᾷ δύσφημον, ὡς καὶ εἴ τις εἴποι κατὰ Σοφοκλῆν δυσώνυμον τὸν Αἴαντα, ὡς δοκοῦντα παρὰ τὸ αἴ ἢ παρὰ τὸ αἰάζειν ὀνομασθῆναι. (v. 256—8) Ὅτι τὸ τοῦ Ἕκτορος ἀνδρεῖον ἡ μήτηρ γινώσκουσα καὶ ὡς οὐκ ἂν ἔφυγε πρὸ τῶν ἄλλων τὴν μάχην ὑπονοεῖ τὴν αἰτίαν τῆς εἰς τὴν πόλιν αὐτοῦ ἐλεύσεως, ὅτι δηλαδὴ ἦλθεν ἐξ ἄκρης πόλεως, ἤγουν ἐκ τῆς ἀκροπόλεως, Διῒ χεῖρας ἀνασχεῖν, ὅ ἐστιν ἀνατεῖναι, ὡς πολλαχοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγεται. διὸ καὶ οἶνον αὐτῷ θέλει χειρίσαι ὡς ἐπὶ σπονδῇ. (v. 261) Ὅτι γνωμικὸν τὸ «ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει», τουτέστι τὸ τοῦ κεκμηκότος μένος μεγάλως ὁ οἶνος αὔξει, κατὰ καιρὸν δηλαδὴ προσφερόμενος. καὶ οὕτω μὲν ἐνταῦθα λέγει διὰ τῆς τῷ Ἕκτορι λαλούσης Ἑκάβης ὁ ποιητής. (v. 263—5) Μετ’ ὀλίγα δὲ οἷά τις ἀμφοτερόγλωσσος ἄλλως τὸν λόγον μεταχειρίζεται διὰ τοῦ Ἕκτορος, εἰπόντος «μή μοι οἶνον ἄειρε μελίφρονα πότνια μῆτερ» καὶ ἐπαγαγόντος «μή μ’ ἀπογυιώσῃς μένεος ἀλκῆς τε λάθωμαι», ὡς τῆς ἀκαίρου πόσεως αὖθις τοῦ οἴνου μελῶν ποιούσης πάρεσιν. (v. 259—62) Σημείωσαι δὲ ὅτι ἡ μὲν Ἑκάβη πάνυ δεξιῶς καὶ εὐσχημόνως προτρέπεται τῷ υἱῷ λαβεῖν μελιηδέα οἶνον, «ὡς σπείσῃς», φησί, «Διῒ πατρί» πρῶτον, «ἔπειτα δέ κ’ αὐτὸς ὀνήσεαι, αἴ κε πίῃσθα» καὶ αὔξησιν οὕτω λάβῃς μένεος, μονονουχὶ οὕτω πως ἐπιχειροῦσα· σὺ κέκμηκας τειρόμενος πολέμῳ, παντὶ δὲ κεκμηκότι τὸ μένος οἶνος αὔξει. καὶ σοῦ ἄρα τὸ μένος οἴνῳ αὐξηθήσεται. καὶ οὕτω μὲν συλλογίζεται ἡ Ἑκάβη. (v. 264) Ὁ δὲ Ἕκτωρ παραιτεῖται τὸν οἶνον ῥητορικώτατα, πρὸς μὲν τὸ ἓν τῆς Ἑκάβης λέγων, ὅτι οὐ πίωμαι, ἵνα μὴ ἀντὶ ἐπαυξήσεως μένους πάρεσιν μᾶλλον πάθω μελῶν καί, ὡς ἐρρέθη, λάθωμαι ἀλκῆς, πρὸς δὲ τὸ ἕτερον, ὅτι αἵματα ἔχων πτοοῦμαι ἄνιπτος σπένδειν.

2.305 (v. 266—8) Φράζει δ’ ἐνταῦθα Ὅμηρος οὕτω «χερσὶ δ’ ἀνίπτοισι Διῒ λείβειν αἴθοπα οἶνον ἅζομαι. οὐδέ πῃ ἔστι Διῒ αἵματι καὶ λύθρῳ πεπαλαγμένον εὐχετάασθαι». Ἐν οἷς ὅρα ὅτι τε εἶδος εὐχῆς καὶ ἡ λοιβή, ὡς δῆλον ἐκ τοῦ εὐχετάασθαι, καὶ ὡς ἀδιάφορον σπένδειν εἰπεῖν κατὰ τὸ «ὡς σπείσῃς Διῒ πατρί», καὶ λείβειν κατὰ τὸ «Διῒ λείβειν οἶνον». Οἱ δὲ παλαιοὶ ἐνταῦθά φασι καί, ὅτι οὐδὲν καινόν, ἐὰν ἐναντίοι λόγοι λέγονται περὶ τοῦ οἴνου ὑπὸ διαφόρων προσώπων. εἰ μὲν γὰρ αὐτὸς ὁ ποιητὴς ἀφ’ ἑαυτοῦ ταῦτα ἐλάλει, πάντα ἦν ἂν ἀλλήλοις 〈ἀν〉 ακόλουθα, νῦν δὲ προσώποις τὴν περὶ τοῦ οἴνου δόξαν ἀνατίθησιν, ὧν ἡ Ἑκάβη μὲν οἷα γυνὴ μὴ τὸν κάματον ἐπισταμένη τῶν ἀνδρῶν ἄλλα λέγει, Ἕκτωρ δὲ εἰδὼς ἀντιλέγει. ἔτι δὲ ἡ μὲν Ἑκάβη πρεσβυτικῆς ἐστιν ἡλικίας, ἡ δὲ τοιαύτη χαίρει τῷ οἴνῳ θερμῷ τε ὄντι καὶ ὑγρῷ, ὁ δὲ Ἕκτωρ ἀκμαῖος καὶ διὰ τοῦτο οὐ πάνυ προσήκων τοιούτῳ ποτῷ [τῷ τοῦ ἀκράτου δηλαδὴ οἴνου. πάντως γὰρ ἀκράτῳ ἔσπενδον κατὰ τὸ «σπονδαί τ’ ἄκρητοι». Ἡ δὲ Ἑρμαϊκὴ κύλιξ ἴσον ἴσῳ κεκραμένη λόγον ἑτεροῖόν τινα ἔχει, ὡς ἐν τοῖς τοῦ Ἀριστοφάνους κεῖται. Κεφάλαιον δὲ αὐτῆς τὸ διττὸν τοῦ εἰς λόγον ἀλληγορουμένου Ἑρμοῦ. Παραδέδονται δέ τινες σπονδαὶ καὶ παντελῶς ἄοινοι, ὡς καὶ ἡ ἐπὶ τῷ ἡλίῳ διὰ μέλιτος, καθὰ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν γέγραπται.] Καὶ ἄλλως δὲ περὶ τὸν καιρὸν ἡ Ἑκάβη σφάλλεται. ἄμεινον γάρ, φασίν, ἐν ἅπασιν ὁ καιρός, ἄρτι δὲ οὐ καιρὸς οἴνου πόσεως. οὐ γὰρ ἁπλῶς οἴνου πόσις εἰς ἰσχὺν ἔχει συμβάλλεσθαι, εἴγε κατὰ τὸν εἰπόντα οἱ παλαιοὶ οὐδὲ ὕδωρ πρὶν ἐντραγεῖν ἔπινον, ἀλλὰ ἡ τροφὴ σὺν τῷ οἴνῳ μεγάλα συντελεῖ ἀνδρί, ὃς ἂν οἴνου κορεσσάμενος καὶ ἐδωδῆς πανημέριος πολεμίζῃ, ὡς ὁ ποιητὴς ἐν ἄλλοις φησί. καὶ ὁ τοιοῦτος οἶνος ὤνησε τὸν πιόντα κατὰ τὸ «ἔπειτα δὲ καὶ αὐτὸς ὀνήσεαι πιών». Ἔνθα καὶ φαίνεται παρετυμολογῶν τὸν οἶνον ὁ ποιητὴς κατ’ ἐξοχήν τινα ἐκ τοῦ ὀνεῖν, ὅ ἐστιν ὠφελεῖν, ἐξ οὗ καὶ τὰ βρώματα ὀνείατα λέγεται.

2.306 [Τινὲς μέντοι, ὡς καὶ ἐν ἄλλοις δηλοῦται, παρὰ τὸ οἴω, τὸ κομίζω, καὶ τὸν νοῦν ἐτυμολογοῦσι τὸν οἶνον, ἀκολούθως τῷ τε Δειπνοσοφιστῇ καὶ τῷ Κωμικῷ, εἰπόντι ἄρδεσθαι οἴνῳ τὸν νοῦν ὡς λέγειν τι δεξιόν. Ἄλλοι δὲ παρὰ τὸ αἴτιον εἶναι οἰήσεως τὸν οἶνον τοῖς πίνουσι. φρονηματίζει γὰρ ἀλαζονικῶς ὁ οἶνος τοὺς ἀμέτρως φιλοῦντας αὐτόν.] (v. 261) Τὸ δὲ «κεκμηῶτι» δῆλον ὅτι Ἰωνικόν ἐστι ταὐτὸν ὂν τῷ κεκμηκότι, ἀποβολὴν τοῦ κ πεπονθὸς Ἰωνικῶς καὶ ἔκτασιν τοῦ ο . Ἴσως δὲ καὶ αὐτὸ ἐφύλαξεν, ὡς ἀλλαχοῦ ἐρρέθη, τὸ ω τῆς εὐθείας ᾧ λόγῳ καὶ ὁ γέλως καὶ ὁ ἔρως καὶ τὰ ὅμοια ὀνόματα. Σημείωσαι δὲ ὅτι οὐ κατὰ τὴν κοινοτέραν παρατήρησιν μόνα τὸ βεβῶτος γεγῶτος ἑστῶτος καὶ τεθνεῶτος ἐκτείνουσι τὰς παραληγούσας, ἀλλὰ μυρίος ἕτερος ὁρμαθὸς τοιοῦτός ἐστι παρά γε τοῖς ποιηταῖς, ὡς πολλαχοῦ φαίνεται [Οὕτω καὶ τοῦ τύπτομαι γράφομαι καὶ τῶν ὁμοίων πάντων ἐχόντων τὰ δεύτερα ἐν

αὐτοῖς πρόσωπα εἰς ει δίφθογγον λήγοντα Ἀττικῶς, εἰ καὶ ὕστερον ἀναλογώτερον διὰ τοῦ η καὶ προσγεγραμμένου ἰῶτα γράφεται ἅπαντα τὰ τοιαῦτα, ὅμως ἐναπέμειναν τὸ ὄψομαι βούλομαι καὶ τὰ λοιπὰ δύο πρὸς ἀνάμνησιν τῆς παλαιᾶς γραφῆς, ἔχοντα ἐν τοῖς δευτέροις αὐτῶν προσώποις τὴν ει δίφθογγον· ὄψει βούλει οἴει καὶ εἶ.

2.307 ] (v. 262) Ὅτι δὲ κέκμηκεν, ὡς εἰκός, ὁ Ἕκτωρ δῆλον, ὃς ἐκ τῆς κατὰ τὴν πεδιάδα μάχης ἔκαθεν πόλεως εἰς τὴν ἠνεμόεσσαν Ἴλιον ἔνοπλος ἀνέδραμε κατὰ σπουδήν. Ἰστέον δὲ καὶ ὅτι ἐκ τῶν τοῦ χωρίου τούτου ὁ μὲν ποτίζων φιλοφρονικῶς οἶνον ὡς ἐπ' ὠφελείᾳ ἐρεῖ ἂν τὸ «ἀλλὰ μένε, ὄφρα κέ τοι μελιηδέα οἶνον ἐνείκω» καὶ ἑξῆς, εἴ τι χρήσιμον, οἷον καὶ τὸ «ἔπειτα δὲ αὐτὸς ὀνήσεαι αἴ κε πίῃσθα». ὁ δὲ παραιτούμενος δόσιν οἴνου εἴποι ἂν τὸ «μή μοι οἶνον ἄειρε μελίφρονα, μή μ' ἀπογυιώσῃς», καὶ τὸ ἑξῆς. (v. 266) Τὸ δὲ «χερσὶ δ' ἀνίπτοις λείβειν ἅζομαι», καὶ ἑξῆς, ὡς προέκκειται, εὐλαβοῦς ἤθους καὶ θεοφιλοῦς καὶ οἵου ἀμοιροῦσιν ὅσοι τῆς ἱερωτάτης ὄντες τάξεως αἱμάτων ἄνδρες καὶ φαύλων ἐπιθυμιῶν γίνονται. Διὸ τὸ ἀνίπτοις χερσὶ λείβειν ἢ εἴ τι ἄλλο τοιοῦτον καὶ εἰς παροιμίαν ἔπεσε παρὰ τοῖς μεθ' Ὅμηρον ἐπὶ τῶν μὴ θείως τοῖς θείοις ἐγχειρούντων. (v. 261) Ἰστέον δὲ ὅτι [τὸ μὲν «ἀέξει μένος» μεταφορικῶς εἴληπται ἀπὸ τῶν κατὰ φύσιν αὐξομένων σωμάτων, καθὰ καὶ τὸ «θυμὸς ἀέξεται», ἤγουν ψυχή, ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται.] (v. 264) Τὸ δὲ «ἄειρε» ἀντὶ τοῦ πρόσφερε εἴρηται, ἀφ' οὗ καὶ ὁ ἄρτος καὶ τὰ προσάρματα ἤγουν αἱ τροφαί. Τὸν δὲ μελίφρονα οἶνον ἀνωτέρω μελιηδέα εἶπεν, ὡς ταὐτὸν ὂν οὕτως ἢ οὕτως εἰπεῖν.

2.308 Οὐ κατὰ τὸ περίφρων τοίνυν καὶ ἀλκίφρων καὶ δαΐφρων καὶ τὰ τοιαῦτα, οὕτω καὶ μελίφρων οἶνος. ἐκείνοις μὲν γὰρ ἔγκειται τὸ φρονεῖν, ἐνταῦθα δὲ τὸ εὐφραίνειν, ἵνα ᾖ κατὰ τὸ «εὔφρονα καρπὸν ἀρούρης». Δι' εὐφωνίαν δὲ συγκέκοπται ὁ μελίφρων. τὸ γὰρ πλῆρες ὁ μελιεύφρων ἀηδῶς ἀπηχεῖται. (v. 265) Τὸ δὲ «ἀπογυιώσῃς» ἀντὶ τοῦ εἰς ἄνεσιν ἀγάγῃς καὶ ὡς οἷον εἰπεῖν ἀπομελίσῃς. γυῖα γὰρ τὰ μέλη. ὥστε οὐ μόνον λυσιμελὴς ὕπνος καὶ θάνατος, ἀλλὰ καὶ ὁ παρὰ καιρὸν ἀειρόμενος οἶνος. καὶ οὕτω μὲν ἡ κοινότης. Κρεῖττον δέ ἐστιν εἰπεῖν, ὅτι Ὁμήρου εἰπόντος «γυιώσω μὲν σφῶϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους», ἤγουν χωλανῶ, βλάψω τὰ γυῖα, δύναται καὶ τὸ ἀπογυιῶσαι τῆς αὐτῆς εἶναι σημασίας, ἵνα εἴη ὥσπερ μάχομαι καὶ ἀπομάχομαι, καρτερῶ ἀποκαρτερῶ, ἀμύνω ἀπαμύνω, καὶ ἄλλα μυρία τοιαῦτα ταὐτόσημα, οὕτω καὶ γυιῶ καὶ ἀπογυιῶ τὴν αὐτὴν ἑρμηνείαν ἔχον καὶ ἐν προθέσει καὶ δίχα προθέσεως. Τὸ δὲ «μένεος» ἐκτείνει μετρικῶς ἐνταῦθα τὴν λήγουσαν διὰ τὴν ἀρέσκουσαν Ἀριστάρχῳ τελείαν στιγμὴν καὶ τὸ ἐν αὐτῇ οὕτω χρονίζον καὶ στάσιμον τῆς φωνῆς λόγῳ κοινῆς συλλαβῆς. Ἄλλως δέ γε δύο παθῶν ὥσπερ κεφαλικῶν τῶν ἐν τῇ ε ῥαψῳδίᾳ ῥηθέντων, οὕτω καὶ κοιλιακῶν ὡς ἄν τις ἐρεῖ ἐν τοῖς Ὁμηρικοῖς ἔπεσιν ὄντων, ἑνὸς μὲν κατὰ μέγεθος εἴτ' οὖν πλεονασμόν, ὃ δὴ προκοίλιον ἐκ μεταφορᾶς τῶν τοιούτων λέγεται ζῴων, ἑτέρου δὲ κατ' ἔνδειαν ἤτοι ἔλλειψιν, ὃ σφηκῶδές τε καὶ σφηκοειδὲς λέγεται κατὰ μεταφορὰν τὴν ἐκ τῶν σφηκῶν, ἔτι δὲ καὶ λαγαρὸν τὸ αὐτὸ ἐκ τῆς κατὰ λαγόνας ἀπαχείας, εἴη ἂν ὁ παρὼν στίχος τοῦ τοιούτου εἴδους ὡς τρίχρονος τὸ μέσον ἤγουν τὸν τέταρτον πόδα ἰαμβικῶς καὶ μὴ τετράχρονος σπονδειακῶς ἢ δακτυλικῶς, ὡς ἐχρῆν ἐν μέτρῳ ἡρωϊκῷ.

2.309 Τοιοῦτον καὶ τὸ «βῆν εἰς Αἰόλου κλυτὰ δώματα». Ἡ γὰρ ἄρχουσα τοῦ Αἰόλου καὶ ἡ μετ' αὐτήν, εἰ καὶ μὴ κατὰ ἴαμβον, ἀλλ' οὖν κατὰ τροχαῖον σφηκικὴ καὶ ἀπαχής ἐστι λαγαρουμένη. καὶ τοιαῦτα μὲν ταῦτα. Προκοιλίου δὲ παράδειγμα τὸ «ὦ Ἀχιλεῦ Πηλέος υἱέ». Ὁ γὰρ τρίτος ποὺς τετρασύλλαβος ὢν ὤγκωται οἷον τὴν κοιλίαν καὶ δέεται συστολῆς μετρικῆς. Τοιοῦτον καὶ τὸ «θώρηκας ῥήξειν δηΐων ἀμφὶ στήθεσφι». καὶ αὐτὸ γὰρ ἐν τῷ τρίτῳ ποδὶ ἀσυμμετρίαν ἔχον ἐθέλει σφίγγεσθαι τῇ συνιζήσει. Ὅμοιον καὶ τὸ πρῶτον ἔπος τῆς Ἰλιάδος καὶ τὸ πρὸ ὀλίγων ῥηθὲν «Βελλεροφόντης δὲ χρύσεον δέπας ἀμφικύπελλον», καὶ τὸ «Πατρόκλου ποθέων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνδροτῆτα». καὶ οὕτω μὲν καὶ τάδε. Οἱ δὲ τὸ προκοίλιον λαγαρὸν καλέσαντες διὰ τὸ ἀκούειν ἴσως λαγαρὸν εἶναι, οὗ τὸ πάχος ἐκκεκένωται εἰς πλάτος, οὐκ ἂν ἀρέσκοιεν τοῖς παλαιοῖς.

2.310 (v. 265) Τὸ δὲ «ἀλκῆς λάθωμαι», ὅ ἐστιν ἀμελήσω τοῦ ἀνδρίζεσθαι, ἀνάπαλίν ἐστι πρὸς τὸ «μνήσασθε δὲ θούριδος ἀλκῆς», ἐπεὶ καὶ τὸ λαθέσθαι ἀντίκειται φύσει τῷ μνήσασθαι. (v. 266) Αἶθοψ δὲ οἶνος ὁ μέλας ἢ ὁ θερμός, ὡς ἐν ἄλλοις εἴρηται. (v. 267) Τὸ δὲ ἅζομαι τί δηλοῖ καὶ διὰ τί δασύνεται, προείρηται. [Τὸ δὲ «οὐδέ πῃ ἔστιν» ἐλλειπτικῶς ἔχει καὶ ὡς οἷον εἰπεῖν μυστικῶς, ἵνα λέγῃ «οὐδέ πῄ ἐστι δέον» ἢ πρέπον ἢ ὅσιον ἢ θεοφιλὲς ἤ τι τοιοῦτον.] (v. 268) Λύθρον δὲ ὁ τοῦ αἵματος μιασμὸς ἀναμεμιγμένος τῇ κόνει ἀπὸ τοῦ λύω ῥήματος διὰ τὸ δέεσθαι λύματος ἤτοι καθάρσεως. Ἔχει δὲ τὸ θῆτα πρὸς διαστολὴν τοῦ λύτρου, ὃ δηλοῖ τὸ ἄποινον [ἀντιστοιχίας γενομένης, ὁποία τίς ἐστι καὶ ἐν τῷ ἀμφιέχειν ἀμπέχειν, ὅθεν καὶ τὸ ἀμπίσχειν καὶ τὸ ἀμπέσχετο καὶ ἡ ἀμπεχόνη καὶ τὸ ἀμπέχονον παρὰ τῷ Κωμικῷ, πρὸς ἅπερ ἑτεροιοῦται τὸ σπεύδω, ἐξ οὗ τὸ σφεδανόν καὶ τὸ σφόδρα, ἔτι δὲ καὶ τὸ ἔντεα ὡς τὸ «ἀνά τ᾽ ἔντεα», ὅθεν αὐτοέντης καὶ αὐθέντης.

2.311 τοιαῦτα δὲ καὶ ἄλλα πολλά.] Πεπαλαγμένον δὲ ἀντὶ τοῦ μεμολυσμένον ἐκ τοῦ παλάσσω, ἀφ᾽ οὗ καὶ ὁ πηλός. Σημείωσαι δὲ ὅτι Ἕκτωρ μὲν χερσὶν ἀνίπτοις Διῒ λείβειν οἶνον οὐ θέλει, Τηλέμαχος δὲ ἐν Ὀδυσσείᾳ καὶ εὔχεσθαι μέλλων τὰς χεῖρας νίπτεται. (v. 262) Κεῖται δ᾽ ἐν τοῖς ῥηθεῖσι καὶ τὸ «τύνη» Δωρικὸν ἀντὶ τοῦ σύ, καθὰ καὶ πρὸ βραχέων, πλεοναζούσης τῆς νη συλλαβῆς, ὡς καὶ ἐπὶ τοῦ ἐγώ ἐγώνη κατὰ τοὺς παλαιούς. Πιστούμενος γὰρ ὁ ποιητὴς ἐκ μερικοῦ καθολικὴν γνώμην τὸ «ἀνδρὶ κεκμηκότι αὔξεσθαι δι᾽ οἴνου τὸ μένος», φησίν, «ὡς τύνη κέκμηκας ἀμύνων σοῖσιν ἔτῃσιν», ὅ ἐστι πολίταις. [Πλεονάζει δὲ ἡ νη συλλαβὴ οὐ μόνον ἐν τέλει λέξεων, ὡς εἴρηται, ἀλλὰ καὶ ἐν μέσῳ, οἷον, ἐκ τοῦ μένος, ἡ δύναμις, γίνεται ἀμενός, ὁ ἀσθενής, καὶ πλεονασμῷ ἀμενηνός. Οὕτω δὲ καὶ νῶ, τὸ σωρεύω, καὶ προσθέσει τῆς νη συλλαβῆς ἐν καταρχῇ νηνῶ, ἐξ οὗ τὸ «ἐπενήνεον ἐν κανέοισιν».] Ἰστέον δὲ ὅτι τὸ ἔτης πολλὰ μὲν σημαίνει κατὰ τοὺς παλαιούς, ἐφ᾽ οὗ δ᾽ ἂν τάσσηται σημαινομένου, ψιλοῦται. Εἰ γὰρ καὶ ὁ Ἀλεξίων, φασί, δασύνει αὐτὸ ὡς ἀπὸ τοῦ ἑταῖρος συγκοπέν, ἀλλ᾽ ἐκ τῆς συναλιφῆς κρινόμενον, ὡς Ἀπίων φησὶ καὶ Ἡρόδωρος, τὸ ψιλὸν πνεῦμα κεκλήρωται. Αἰσχύλος γάρ φησιν «οὔτε δῆμος οὔτ᾽ ἔτης ἀνήρ», καὶ Εὐριπίδης «πόλει μὲν ἄρχων, φωτὶ δ᾽ οὐκ ἔτῃ πρέπων». συγκαταθετέον οὖν, φησί, τῷ Ἀσκαλωνίτῃ ψιλοῦντι τὸ ἔτης. (v. 270) Ὅτι τὸ «ἔρχεο σὺν θυέεσσιν» ἀντὶ τοῦ σὺν θυμιάμασι. Καὶ ἔστιν εὐθεῖα τὸ θύος. ἐκ τούτου δὲ παρήχθη ἡ τῶν ζῴων θυσία, κληθεῖσα καὶ αὐτὴ οὕτω διὰ τὴν ἀναθυμιωμένην κνίσσαν.

2.312 [Ὅτι ἐκ τοῦ α ἐπιτατικοῦ ἢ ἀθροιστικοῦ οὐ μόνον ἀολλέες οἱ ὁμοῦ ἠθροισμένοι καὶ συνειλημμένοι, ἀλλὰ καὶ ἀολλίζω ῥῆμα. Φησὶ γὰρ «ἀολλίσασα γεραιάς».] (v. 271) Ὅτι καὶ ἐνταῦθα ταὐτολογία κεῖται πλατεῖα ἐκθεμένου Ἕκτορος τῇ μητρὶ Ἑκάβῃ δίχα παραποιήσεως ἅπερ ἐκ τοῦ ἀδελφοῦ Ἑλένου ἤκουσε περὶ τῆς ἐν τῇ ἀκροπόλει εὐχῆς. (v. 280) Ὅτι τὸ «Πάριν μετελεύσομαι» ταὐτόν ἐστι τῷ μετὰ σὲ εἰς τὸν Πάριν ἐλεύσομαι. Οἱ δὲ μεθ᾽ Ὅμηρον ἐπὶ ἀμύνης καὶ ἐκδικήσεως τὴν λέξιν τιθέασιν, οἷον «μετῆλθεν ἡ δίκη τὸν κακόν». Δύναται δὲ τὸ «Πάριν μετελεύσομαι» καὶ ἁπλῶς νοηθῆναι ἀντὶ τοῦ «εἰς τὸν Πάριν ἐλεύσομαι». Ἐν μέντοι τοῖς ἑξῆς, ἔνθα ἐρεῖ ὅτι ἔβη ἡ Ἑκάβη, «πολλαὶ δὲ μετεσσεύοντο γεραιαί», φανερῶς ἡ μετα πρόθεσις ὑστεροχρονίαν δηλοῖ, ἵνα λέγῃ ὅτι μετὰ τὴν Ἑκάβην ὥρμων ἀκολουθοῦσαι αὐτῇ. (v. 280 s.) Ἰστέον δὲ ὅτι ἐνδοιασμὸν ἐπὶ ὑπακοῇ φράζει τὸ «ἐγὼ δὲ τὸν δεῖνα μετελεύσομαι ὄφρα καλέσσω, αἴ κ᾽ ἐθέλῃς᾽ εἰπόντος ἀκουέμεν». (v. 281—3) Ὅτι ἐπαρᾶται πάνυ ἐνδιαθέτως ὁ Ἕκτωρ τῷ Πάριδι οὕτως «ὥς κέ οἱ αὖθι», τουτέστιν εἴθε οἱ αὐτόθι, ἔνθα νῦν διάγει, «γαῖα χάνοι». διὰ τί; «μέγα γάρ μιν Ὀλύμπιος ἔτραφε πῆμα Τρωσί τε καὶ Πριάμῳ τοῖό τε παισίν», ἤγουν τῷ πατρὶ καὶ τῷ ἔθνει καὶ τοῖς ἀδελφοῖς, ἐξ ὧν ὡς μέρους καὶ τὴν λοιπὴν ἅπασαν δηλοῖ συγγένειαν. (v. 284 s.) Λέγει δὲ καί, ὅτι «εἰ κεῖνόν γε ἴδοιμι κατελθόντα Ἄϊδος εἴσω, φαίην κεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φρέν' ἀτέρπου ὀϊζύος ἐκλελαθέσθαι», τουτέστιν εἴποιμι ἂν μηδέποτε παθεῖν ἄτερπον καὶ ἀηδῆ κακοπάθειαν. αἱ δὲ τοιαῦται ἀραὶ καὶ εἰς ἑτέρους φαύλους παραποιηθήσονται. (v. 282) Σημείωσαι δὲ ὅτι Ὁμήρου εἰπόντος «εἴθε οἱ γαῖα χάνοι», καὶ πάλιν μετ' ὀλίγα «τότε μοι χάνοι εὐρεῖα χθών», ὁ Ξενοφῶν χαίνουσαν εἰς εὖρος παρ' Ὁμήρῳ τὴν γῆν εὑρηκὼς αὐτὸς καταβαίνει τῷ λόγῳ πρὸς βάθος, καί φησί που, ὅτι ἐπεύχομαι πρὶν ταῦτα ἰδεῖν μυρίας ἐμέ γε κατὰ γῆς ὀργυιὰς γενέσθαι, γλυκέως εἰπὼν καὶ ἀφελῶς.

2.313 Μετ' ὀλίγα δὲ ἄλλως ἐρεῖ τὸ νόημα ὁ ποιητής «ἐμοὶ δὲ κέρδιον εἴη χθόνα δῦναι», ὃ ταὐτόν ἐστι τῷ «χυτὴ κατὰ γαῖα καλύπτει». (v. 285) Ὅτι δὲ οὐ μόνον ἄτερπος, ὡς νῦν, ἀλλὰ καὶ ἀτερπής ἑτέρωθι, δῆλον ἐν τῷ «χῶρον ἀτερπέα», καὶ «ἀτερπέα δ' αὖλιν ἔκυρσαν». [Ἰστέον δὲ ὅτι τε οἱ γράφοντες «ἄτερ που ὀϊζύος», ἤγουν δίχα κακοπαθείας, ἐννοίας οὐκ ἀστείας προΐστανται, καὶ ὅτι ἡ ἄτερπος ὀϊζύς δοκεῖ διαστολὴν ἔχειν πρός τινας ὑποτερπούσας, ὁποία καὶ ἡ κατὰ ἔρωτας, καθὰ δηλοῖ Ἑλένη, ἔνθα ἔφη πρὸς Ἀφροδίτην τὸ «περὶ κεῖνον», ἤγουν περὶ τὸν Πάριν, «ὀΐζυε», καὶ ὁποία ἡ περὶ τῶν τέκνων γλυκεῖα κατὰ τὸν εἰπόντα μέριμνα, καὶ ὅσαι δὲ ἄλλαι κατὰ προαίρεσιν ἐπί τινι δοκοῦντι καλῷ.] (v. 284) Ὅρα δὲ ὅτι τε ἐντελῶς ἐρρέθη νῦν τὸ «Ἄϊδος εἴσω» καὶ οὐ κατὰ τὸ «Ἄϊδος δὲ κατῆλθε», καὶ ὅτι γενικῇ συντέτακται τὸ εἴσω ληφθὲν ἀντὶ τοῦ εἰς Ἅιδου, εἰ καὶ ἐν τῷ «δόμον εἴσω» ἄλλως ἀντὶ τοῦ εἰς δόμον εἴληπται. (v. 287) Ὅτι ποιηταῖς φίλη λέξις τὸ ἀολλίζειν. Διὸ προσμένων αὐτῇ Ὅμηρος φθάσας τε ἔφη «ἀολλίσασα γεραιάς», καὶ αὖθις «αἳ δ' ἄρ' ἀόλλισσαν κατὰ ἄστυ γεραιάς». (v. 286 s.) Ἰστέον δὲ ὅτι, ὅπερ τοῖς βασιλεῦσιν οἱ κήρυκες, τοῦτο ἐνταῦθα τῇ Ἑκάβῃ αἱ ἀμφίπολοι, ἃς αὐτὴ στέλλει ἀθροῖσαι κατὰ τὸν τοῦ Ἕκτορος λόγον εἰς εὐχὴν τὰς γεραιάς, ἤτοι τὰς ἐντίμους, κἂν οὔπω τινὲς εἰς γῆρας ἦλθον. Διὸ καὶ ὁ Ἕκτωρ τὴν ἄλοχον Ἀνδρομάχην οἴκοι μὴ εὑρὼν οἴεται ὡς οὕτω γεραιὰν εἰς Ἀθηνᾶς αὐτὴν ἐλθεῖν.

2.314 Ὅτι δὲ ἀμφίπολος οὐ μόνον ὄνομα δουλικόν, ἀλλά που καὶ τύμβου ἐπίθετον ἀμφιπολουμένου, ὅ ἐστι κύκλῳ περιοδευομένου, καὶ ὅτι ἡ ἀμφίπολος καὶ πρόσπολος λέγεται κατὰ τὸ «προσπόλων τινὸς ὑποστενούσης» παρὰ Σοφοκλεῖ, τὸ δ' αὐτὸ καὶ ἀρσενικῶς, ὡς δηλοῖ παρὰ τῷ αὐτῷ τὸ «ὦ φίλτατ' ἀνδρῶν προσπόλων», καὶ ὅτι καὶ πρόπολος ὁ τοιοῦτος λέγεται κατὰ τὸν Κωμικόν, οὐκ ἄδηλόν ἐστι. περὶ δὲ τούτων καὶ προείρηται. Ὁ μέντοι ἐπίπολος οὐ δουλικὸν ὄνομά ἐστιν, ἀλλὰ διαφέρει τῶν προρρηθέντων. δηλοῖ γὰρ τὸν μέχρι τέλους πολοῦντα καὶ παραμένοντά τινι, οἷον «σὺ μὲν ἐμὸς ἐπίπολος ἔτι μόνιμος». [Ἴσως δὲ ἔχοι ἂν ἀπορίαν, διὰ τί μὴ ὥσπερ πρωτότοκος ἐν σημασίᾳ παθητικῇ ὁ πρῶτος τεχθεὶς προπαροξυτόνως, πρωτοτόκος δὲ ἐν παροξυτονήσει ἡ πρώτως τεκοῦσα, οὕτω κατὰ διαφορὰν σημασίας παθητικῆς τε καὶ ἐνεργητικῆς ἀμφίπολος μὲν τάφος ὁ ἀμφιπολούμενος προπαροξύνεται διὰ πάθος εὐλόγως εἰς ὃ ἀναλύεται, ἀμφιπόλος δὲ ἡ ἀμφιπολοῦσα πρὸ μιᾶς ἔχει τὸν τόνον διὰ τὴν ἐνέργειαν ἣν δηλοῖ. Τὴν δὲ τούτου λύσιν οὐχ' ὑποδύσκολόν ἐστιν εὑρεῖν.] (v. 288) Ὅτι τὸ βασιλικὸν ταμιεῖον θάλαμον κηώεντα λέγει [εἰπὼν «αὐτὴ δ' ἐς θάλαμον κατεβήσατο κηώεντα»,] ὅ ἐστι τεθυμιαμένον, εὐῶδες ὄζοντα, ἐκ τοῦ κῆαι, ὃ δηλοῖ τὸ καῦσαι. Κυρίως δὲ κηώεις ναὸς ἢ βωμός, ἐν ᾧ ἐκαίοντο θύματα, ὧν ἡ κνίσσα ἐποίει ὀδωδέναι τὰ ἐκεῖ. Ἰστέον δὲ ὅτι παρὰ τῇ ποιήσει τὰ διὰ τοῦ ωεις ὀνόματα βραχείᾳ μὲν παραληγόμενα συστέλλονται, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, οἷον σκιόεις, ἠερόεις, ἐρόεις, κερόεις, οὐατόεις, ἀνεμόεις, μακρὰν δὲ τὴν παραλήγουσαν ἔχοντα ἐκτείνεται, οἷον κητώεις, ὠτώεις. οὕτως οὖν καὶ κηώεις.

2.315 [Τὸ δὲ «ἐς θάλαμον κατέβη» οὐ βαθύτητα μόνον ἀλλὰ καὶ μέγεθος βασιλικοῦ θαλάμου δηλοῖ ταὐτὸν ὂν τῷ «κατέδυ πόλιν εὐρυάγυιαν».] (v. 289—92) Ὅτι τὰς Σιδονίας γυναῖκας ἐπαινεῖ ἐπὶ ἱστουργίᾳ ὁ ποιητής, ἐν οἷς λέγει «ἔνθ' ἔσαν οἱ», τουτέστι τῇ Ἑκάβῃ, «πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν Σιδονίων, τάς», ἤγουν ἅς, «αὐτὸς Ἀλέξανδρος θεοειδὴς ἤγαγε Σιδονίηθεν ἐπιπλὼς εὐρέα πόντον», οὐ δι' αὐτάς, ἀλλὰ «τὴν ὁδόν», ἤτοι κατὰ τήνδε κέλευθον, «ἣν Ἑλένην περ

ἀνήγαγεν εὐπατέρειαν». Ὅρα δὲ ὅπως εὐμεθόδως κἀνταῦθα ἱστορίαν παρενέθετο Ἑλληνικὴν πρὸ τοῦ δεκαετοῦς χρόνου πραχθεῖσαν, καὶ ὅτι τὴν Ἑλένην ἁρπάσας ὁ Πάρις οὐ διὰ τῆς αὐτῆς ἐπανῆλθε, δι' ἧς τὰ πρῶτα ἔπλευσεν, ἀλλὰ δι' Αἰγύπτου καὶ Φοινίκης καὶ τοῦ Φαρίου καὶ Ἰσσικοῦ πελάγους περιοδεύσας καὶ πολὺν πλοῦν ἑλίξας, ἵνα μὴ ἐπιδιωχθεὶς καταληφθῇ, ἦλθεν εἰς Τροίαν, καὶ οὕτως ἐκ τῆς κατὰ Φοινίκην Σιδῶνος τὰς γυναῖκας εἴληφε, τυχὸν μὲν ὠνησάμενος, ἴσως δὲ καὶ ληϊσάμενος. Οὕτω ποτὲ καὶ οἱ Ἀργοναῦται διὰ τοῦ Ἑλλησπόντου εἰς Κολχίδα ἐξ Ἑλλάδος πλεύσαντες περιώδευσαν καὶ διὰ τοῦ Ἴστρου εἰς τὴν Ἀδριάδα διεκπεσόντες μόλις ἐπανεσώθησαν φόβῳ τοῦ Αἰήτου μακρὰ πλανηθέντες. Σημείωσαι δὲ καὶ ὅτι ὁ μὲν ποιητής φησιν, ὡς ἐπλάζετο Ἀλέξανδρος ἄγων τὴν Ἑλένην, ὁ δὲ τὰ Κύπρια ποιήσας λέγει, ὡς τριταῖος ἐκ Σπάρτης Ἀλέξανδρος ἀφίκετο εἰς τὸ Ἴλιον ἄγων Ἑλένην, εὐαέϊ τε πνεύματι χρησάμενος καὶ θαλάττῃ λείᾳ. Θᾶττον οὖν κατὰ τὸν τοιοῦτον ἐκεῖνος εἰς Τροίαν ἀνέπλευσεν ἤπερ ὁ Νέστωρ καὶ ὁ Διομήδης ὕστερον ἐκ Τροίας ἐνόστησαν, οἳ τετάρτῃ ἡμέρᾳ οἴκοι ἐγένοντο, ὡς ἡ Ὀδύσσεια ἱστορεῖ. Ἰστέον δὲ καὶ ὅτι τὴν Σιδῶνα ὁ ποιητὴς οὐ καθ' ἡμᾶς ἐκτείνει ἐπὶ τῶν πλαγίων, ἀλλὰ συστέλλει ὁμοίως τῷ χελιδών χελιδόνος, ὡς καὶ ἐν Ὀδυσσείᾳ φαίνεται.

2.316 Καὶ ἔοικε χρόνων γενέσθαι κἀνταῦθα μετάθεσιν, ὡς παρ' ἡμῖν μὲν συστελλομένης τῆς ἀρχούσης τῆς Σιδῶνος, ἐκτεινομένης δὲ τῆς μετ' αὐτὴν συλλαβῆς, παρὰ δὲ τῷ ποιητῇ ἀνάπαλιν. (v. 289) Ὅρα δὲ καὶ ὅτι πέπλος καὶ ἐνταῦθα οὐκ ἐπὶ ἱματίου ἀλλὰ ἁπλῶς ἐπὶ ὑφάσματος, καὶ ὡς ἀπειρόκαλος ὁ Ἀλέξανδρος. οὐ γὰρ ὠνήσατο πέπλους Σιδωνίους, ἀλλὰ τὰς ἐργαζομένας ἔσχεν, ὡς ἂν ἔχῃ τὸ καλὸν ἀνέκλειπτον. (v. 292) Τὸ δὲ ἀνήγαγεν ὕψους ἐστὶ δηλωτικὸν καὶ καλῶς εἴρηται, ὡς τοῦ εἰς Τροίαν ἐκ τῶν νοτίων πλόου ἀναγωγῆς τινος ἤτοι ἀναβάσεως καὶ ὡς εἰπεῖν ἀνάπλου ὄντος, ὅπερ καὶ ὁ ἐκεῖθεν ἀγάρροος Ἑλλησπόντιος κατάρρους δηλοῖ. Διὸ καὶ κατωτικὰ τὰ καθ' Ἑλλάδα ὁ κοινὸς λόγος φησίν, ὡς κάτω κειμένων τῶν ἐκεῖ πρὸς τὰ καθ' ἡμᾶς. (v. 290) [Τὸ δὲ «αὐτὸς Ἀλέξανδρος» ἐρρέθη μὲν πάντως ἐξοχικῶς, ὑποκρύπτει δέ τι καὶ θαυμασμοῦ, εἰ οὕτω φεύγων ἐναγώνιος τοιάδε περιεργάζεται.] (v. 292) Τὸ δὲ εὐπατέρειαν, ὃ δηλοῖ τὴν εὐγενῆ, ἀπὸ εὐθείας παρῆκται τῆς εὐπάτηρ εὐπάτερος. τὸ μέντοι εὐπάτωρ τῆς μεθ' Ὅμηρον ἐστι χρήσεως. (v. 291) Τὸ δὲ ἐπιπλώς, περὶ οὗ καὶ προερρέθη, μετοχή ἐστι κατὰ ἀποκοπὴν τοῦ ἐπιπλώσας, ὡς ἀρέσκει τοῖς παλαιοῖς. οὐ γὰρ διδόασιν εἰπεῖν ὅτι ἀπὸ τοῦ πλῶμι ῥήματος γίνεται. (v. 293) Ὅτι οἶνον ἄειρε ἀντὶ τοῦ πρόσφερε εἰπὼν ἐνεργητικῶς ἐνταῦθα παθητικῶς πέπλον ἀειραμένη φησί, τουτέστιν ἄρασα. καὶ σημείωσαι τὴν τῶν τοιούτων διαθέσεων διαφοράν. (v. 294 s.) Ὅτι σεμνύνων κομματικῶς καὶ πρὸς κάλλος παρισωτικὸν ὁ ποιητὴς τὸν τῇ Ἀθηνᾷ ἀνατεθέντα πέπλον φησὶν «ὃς κάλλιστος ἔην ποικίλμασιν ἠδὲ μέγιστος, ἀστὴρ δ' ὣς ἀπέλαμπεν, ἔκειτο δὲ νείατος ἄλλων», ἤγουν ἔσχατος καὶ ἰδιάζων, ὡς ἔκκριτος δηλαδή.

2.317 χρήσιμα δὲ ταῦτα εἰς ἔπαινον ἀγαθοῦ πέπλου. Ὅρα δὲ τὸ ἔκειτο, ἐξ οὗ παρῆκται τὸ κειμήλιον. Σημείωσαι δὲ ὅτι καὶ ἐν Ὀδυσσείᾳ τὸν ὑπὸ τῆς Ἑλένης τῷ Τηλεμάχῳ δοθέντα πέπλον ὁμοίως ἐκφράζει, ὃς ἔργον ἦν τῶν Ἑλένης χειρῶν. Δηλοῖ δὲ τὸ «κάλλιστος ποικίλμασι» ποιότητα ποικιλμοῦ καὶ οὔκ ἐστιν ὅμοιον τῷ παμποίκιλος, ὅπερ μόνον πλῆθος ποικιλμάτων δηλοῖ. (v. 298—300) Ὅτι παρὰ μὲν τοῖς ὕστερον αἱ ἱέρειαι παρθένοι ἦσαν καὶ θάνατος ἦν αὐταῖς ἐπιτίμιον διακορηθείσαις, ὡς ἱστόρηται ἐπί τε ἄλλαις καὶ τῇ τοῦ Ῥώμου καὶ Ῥωμύλου μητρί, ἣ παρὰ βραχὺ ἦλθε θανεῖν διὰ τὸ ἐν ἀξίᾳ ἱερείας οὖσα τεκεῖν. Ὅμηρος δὲ τὴν Κισσέως Θεανώ, τὴν Ἀντήνορος γυναῖκα, ἱέρειαν παραδίδωσιν Ἀθηνᾶς, οὔτε κληρωτὴν οὔτ' ἐκ γένους οὔτε ἑνὸς ψήφῳ, ἀλλ' ἥν, ὡς οἱ παλαιοί φασι, τὸ πλῆθος εἵλετο. Φησὶ γὰρ «θύρας ὤϊξε Θεανὼ καλλιπάρῃος Κισσηΐς ἄλοχος Ἀντήνορος· τὴν γὰρ Τρῶες ἔθηκαν Ἀθηναίης ἱέρειαν», ἧς ἀρσενικὸν ἱερεύς ἀναλόγως τῷ βασιλεύς βασίλεια. (v. 299) [Ζητητέον δὲ περὶ τῆς Κισσηΐδος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θεανοῦς εἴτε Κισσέως ἦν θυγάτηρ, οὗ κατ’ Εὐριπίδην καὶ ἡ Ἑκάβη, εἴτε ἑτέρου. (v. 300) Τὸ δὲ ἔθηκαν καιρία λέξις ἐστίν, ἐξ ἧς καὶ ὁ θεσμοθέτης.] (v. 301) Ὅτι ὀλολυγὴν τὴν τῶν γυναικῶν εὐχὴν καλεῖ ὁ ποιητὴς καὶ τὸ σὺν οἴκτῳ αὐτὰς εὔχεσθαι ὀλολύζειν φησίν. Ἐνταῦθα οὖν εἰπὼν «αἳ δ’ ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον» ἐπάγει μετ’ ὀλίγα «ὣς αἳ μὲν εὔχοντο». Οἱ δὲ νεώτεροι ἐπὶ τοῦ κλαίειν τὸ ὀλολύζειν ἔθεντο κατὰ τὸ «ἀνωλόλυξε τὸν νεανίαν». ἐξ οὗ καὶ ὄρνεον ἡ ὀλολυγών, ὡς ἐκ τοῦ τρύζειν ἡ τρυγών, ἣν λαλιστάτην καθὰ καὶ τὴν κερκώπην ἡ παροιμία οἶδεν.

2.318 [Οὕτω δὲ καὶ ἐκ τοῦ ὀλοφύζειν ὀλοφυγών καὶ πλεονασμῷ τοῦ δ ὀλοφυγδών ἡ παρὰ Θεοκρίτῳ, εἰ μὴ ἄρα ὥσπερ ὀλοφύζω ὀλοφυδνόν, οὕτω καὶ ὀλοφυδών καὶ προσθήκῃ τοῦ γ ὀλοφυγδών, κατὰ τὸ ἐδούπησαν ἐγδούπησαν.] Ἰστέον δὲ καὶ ὅτι καθ’ Ἡρόδοτον ἐκ Λιβύων ἦλθεν εἰς Ἕλληνας τὸ ὀλολύζειν ἐπὶ ἱεροῦ. Λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι δοκεῖ μοι ὡς ἡ ὀλολυγὴ ἐπὶ τῶν ἱερῶν ἐν Λιβύῃ πρῶτον ἐγένετο. κάρτα γὰρ ταύτῃ χρῶνται αἱ Λίβυσσαι. Καὶ ὅρα τὸ ἐπὶ ἱεροῦ καὶ τὸ ἐπὶ τῶν ἱερῶν. ἔοικε γὰρ καὶ ἔξω ἱερῶν γίνεσθαι τὴν Λιβυκὴν ὀλολυγήν, ποιάν οὖσαν γυναικείαν φωνὴν ἐξηλλαγμένην τῆς συνήθους, τὰ μὲν πρῶτα, ὡς εἰκός, καὶ ἐν ἑτέροις τόποις ἀπηχουμένην, ὕστερον δὲ καὶ ἐπὶ τῶν ἱερῶν ἐν εὐχαῖς. Ἰστέον δὲ ὅτι καὶ Εὐριπίδης «ἀντίμολπον ὀλολυγῆς κωκυτόν» εἰπὼν δηλοῖ, ὡς ὁ μὲν κωκυτὸς αὐτόχρημα θρῆνός ἐστιν, ἡ δὲ ὀλολυγὴ ἀπεναντίας αὐτῷ θεοῦ ἐπίκλησις καὶ εὐχὴ μετὰ ἐμμελοῦς τινος γυναικείου ἐνθεασμοῦ ἀτραχύντου οἶμαι καὶ λειοτάτου, ὡς καὶ ἡ τῆς λέξεως ὀνοματοποιΐα δηλοῖ. Ὅτι δὲ καὶ ἕτερόν ἐστιν εὐχῆς τῆς ἁπλῶς ἡ ὀλολυγὴ καὶ ὅτι διαφέρει τοῦ κλαίειν καὶ τοῦ αἰάζειν, δηλοῖ καὶ τὸ περιφορούμενον Ἱπποκράτειον συμβολικόν, ἐν ᾧ φέρεται, ὅτι ἀσπαζόμενοι, ὑπισχνούμενοι, κελεύοντες, εὐφημέοντες, εὐχόμενοι, ὀλολύζοντες, εὐαγγελιζόμενοι, ἐς πᾶσαν ἴησιν ἀγαθοί, αἰάζοντες δὲ ἢ κλαίοντες ἢ συμπεπλεχότες τὰς χεῖρας ἢ περιηγκωνισμένοι καὶ ἑξῆς ἐς πᾶσαν ἰατρείην κακοί.

2.319 (v. 305) Ὅτι ὥσπερ ὁ ἐφιέμενος λείας ἀγελείαν Ἀθηνᾶν ἐπεκαλεῖτο, οὕτως οἱ περὶ σωτηρίας πόλεως χεῖρας αὐτῇ ἀνέχοντες, ὡς νῦν οἱ Τρῶες, ἐρυσίπτολιν Ἀθηνᾶν ἐπεβοῶντο, ἤγουν φύλακα πόλεως, ἀπὸ τοῦ ἐρύω, τὸ φυλάσσω. (v. 305—10) Ἰστέον δὲ ὅτι οὕτως ἡ Θεανὼ κατεύχεται Διομήδους πρὸς Ἀθηνᾶν «πότνια ἐρυσίπτολι, δῖα θεάων, ἆξον δὴ ἔγχος Διομήδεος ἠδὲ καὶ αὐτὸν πρηνέα δὸς πεσέειν» καὶ τὰ ἑξῆς. ἐν οἷς κεῖται παράλληλα τὸ αὐτίκα καὶ τὸ νῦν εἰς ἔνδειξιν σαφῆ τοῦ κατὰ ταύτην τὴν ὥραν. Φησὶ γὰρ «ὄφρα τοι αὐτίκα νῦν ἱερεύσομεν». πολλαχοῦ δὲ τὰ ῥηθέντα ἐπὶ συμμαχίᾳ παρῳδηθήσεται. Εἰ δὲ δοκεῖ ἀλογίστως εὔχεσθαι ἡ Θεανὼ πρηνέα πεσεῖν τὸν Διομήδην—τί γάρ, φασίν, ἐὰν ὕπτιος πέσῃ—, ἀλλ’ ἡ εὐχὴ βούλεται φεύγοντα πεσεῖν τὸν ἥρωα, ἵνα μὴ εὐγενῶς ἀποθάνῃ ἀνδριζόμενος καὶ οὕτω κατὰ στέρνων δεξάμενος τὴν πληγήν. καὶ ὅτε δὲ εἴπῃ, ὅτι πολλοὶ ἔπεσον πρηνεῖς τε καὶ ὕπτιοι, πρηνεῖς μὲν λέγει, ὡς καὶ ἑτέρωθι ἐγράφη που, τοὺς ἐν φυγῇ πεσόντας, ὑπτίους δὲ τοὺς ἐξ ἀντιπροσώπου μάχης. [(v. 306) Ἰστέον δὲ ὅτι τὸ «ἆξον δὴ ἔγχος Διομήδεος» γυναικικοῦ ἀφελοῦς ἤθους ἐστὶν εὐχή. εἰς τί γὰρ εὔχεται ἀχρειωθῆναι τὸ ἡρωϊκὸν ἔγχος, εἴπερ αὐτὸν ἐχρῆν πεσεῖν, ὃ δὴ κεφάλαιον ἦν τῆς εὐχῆς. Εἰ μὴ ἄρα εὔχεται προκατεργασθῆναι τὸν ἥρωα λύπῃ διὰ τὸ κάταγμα τοῦ ἔγχους, εἶτα καὶ πρηνιχθῆναι, ὥς τις ἔφη.] (v. 311) Ὅτι τὸ «ὣς ἔφατ’ εὐχομένη, ἀνένευε δὲ Παλλὰς Ἀθήνη» προαναφώνησίς ἐστι παραμυθουμένη ἀκροατὴν φιλέλληνα, ὡς οὐδέν τι πείσεται ὁ καλὸς Διομήδης ἐξ ὧν ἐκείνου ἡ Θεανὼ κατηύξατο. πῶς δ’ ἂν καὶ ἐκακοποιήθη πρὸς Ἀθηνᾶς, ἣ πρὸ βραχέων ἀριστέα ἐκεῖνον κατὰ Τρώων ἐξέφαινεν; Εἰ δὲ δοκεῖ σφαλῆναι ὁ σοφὸς τὰ μαντικὰ Ἕλενος, ἐφ’ οἷς τὴν ἐπὶ εὐχῇ συμβουλὴν ἔθετο, ἔστιν εἰπεῖν ὅτι οὐ πρὸς τὰ τοῦ Ἑλένου ἀνανεύει, ἀλλὰ πρὸς τὰ τῆς Θεανοῦς ἡ Ἀθηνᾶ. οὐ γὰρ ηὔξατο ἁπλῶς ἀποσχεῖν ἐκεῖνον τῆς Ἰλίου κατὰ τὸν τοῦ Ἑλένου λόγον, ἀλλὰ καταρρῖψαι πρὸ τῶν Σκαιῶν πυλῶν. οὔκουν ὁ Ἕλενος φαύλως παρῄνεσεν, ἀλλ’ ἡ Θεανὼ κακῶς εὔξατο, διὸ οὐδὲ εἰσήκουσται. [Ἰστέον δὲ ὅτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῇ ἀνανεύσει ἐναντίον ἡ ἐπίνευσις, ὡς δηλοῖ τὸ «κυανέῃσιν ἐπ᾽ ὀφρύσι νεῦσε Κρονίων». εἴη δὲ ἂν αὖθις τὸ ἐπινεῦσαι ὡς ἐπὶ δόσει κατὰ τὸ «ἕτερον μὲν δῶκε θεός, ἕτερον δ᾽ ἀνένευσεν».

2.320 ] (v. 313—7) Ὅτι τὸ τοῦ Ἀλεξάνδρου τεκμηριοῦσιν ἀπειρόκαλον καὶ οἱ οἶκοι αὐτοῦ. Φησὶ γὰρ «πρὸς δώματ᾽ Ἀλεξάνδροιο βεβήκει καλά, τά ῥ᾽ αὐτὸς ἔτευξε σὺν ἀνδράσιν, οἳ τότ᾽ ἄριστοι ἦσαν ἐνὶ Τροίῃ ἐριβώλακι τέκτονες ἄνδρες, οἵ οἱ ἐποίησαν θάλαμον καὶ δῶμα καὶ αὐλὴν ἐγγύθι τε Πριάμοιο καὶ Ἕκτορος ἐν πόλει ἄκρῃ», ἤτοι ἐν ἀκροπόλει, ὡς καὶ ἀλλαχοῦ εἴρηται. (v. 315) Τέκτονας δὲ κατὰ ὄνομα γενικὸν καὶ τοὺς οἰκοδόμους λέγει, ὧν πρωτότυπον τὸ τεύχειν, ῥηθὲν ἀνωτέρω κατὰ τρόπον ἐτυμολογίας ἐν τῷ «αὐτὸς ἔτευξεν», ὃ ταὐτόν ἐστι τῷ ἐποίησεν, ὡς δηλοῖ ἐπαχθὲν τὸ «ἐποίησαν θάλαμον», τουτέστιν ἔτευξαν (v. 316) Ἔνθα σημειωτέον τὸ «ἐποίησαν αὐλήν», χρήσιμον ὂν εἰς τὸ ἐν Ὀδυσσείᾳ τυκτὸν δάπεδον. Δῆλον γὰρ ὡς οὐκ ἂν εἴη ἀπεοικὸς ποιητὴν αὐλὴν εἰπεῖν καὶ τυκτὸν δάπεδον, τουτέστιν οὐ φύσει τοιοῦτον ὂν ὁποῖον ἦν, ἀλλ᾽ ἐξ ἐπιτεχνήσεως τεκτόνων, [οἳ περιγράφοντες αὐλὰς πρὸς συμμετρίαν τοῦ περιειργοντος ἕρκους οὕτω τεύχουσιν αὐτάς, οὐ γὰρ ἄλλως.] Ὅρα δὲ τὸ καὶ ἐν τρυφῇ ἀπέριττον τῶν ἡρώων. Εἰ γὰρ καὶ καλὰ τὰ δώματα τοῦ Ἀλεξάνδρου, ἀλλ᾽ οὐ πολλά, θάλαμος δὲ εἷς ὁ ἐνδοτάτω καὶ τὸ ἐξωτέρω αὐτοῦ δῶμα καὶ μετ᾽ αὐτὰ ἡ αὐλή. [(v. 314) Ὅρα δὲ καὶ ὅτι δυνάμενος εἰπεῖν «τὰ αὐτὸς ποίησεν» ὤκνησε τὴν ἄκαιρον χάσμην, συμμύσας αὐτὴν συνδέσμου φίλου ἐνθέσει τῇ τοῦ ῥά.] (v. 317) Τὸ δὲ «ἐγγύθι Πριάμοιο καὶ Ἕκτορος» παραγγελία ἐστὶ τοῦ χρῆναι, εἰ δυνατόν, τοὺς συγγενεῖς ξυνοικεῖν τοῖς χρηστοτέροις ἐπὶ συγκροτήσει βίου. (v. 318—20) Ὅτι τὸν Ἕκτορα ἐπιστάντα τῷ Ἀλεξάνδρῳ ἐν τῇ ἀκροπόλει ὁ ποιητὴς οὕτω διαζωγραφεῖ «ἐν δ᾽ ἄρα χειρὶ ἔγχος ἔχ᾽ ἑνδεκάπηχυ, πάροιθε δὲ λάμπετο δουρὸς αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης». Ὅρα οὖν τὸ σχῆμα τοῦ ἥρωος ὡς ἐν γραφῇ.

2.321 οὐ γὰρ οἷά τις μαλθακὸς καθέζεται ὡς ἀπὸ μόχθου, ἀλλὰ φερεπονῶν ἐπερείδεται μόνον τῷ δόρατι. (v. 319) Ἰστέον δὲ ὅτι τὸ «ἔγχος ἔχε» τρόπος ἐτυμολογίας ἐστὶν ὡς τοῦ ἔγχους ἀπὸ τοῦ ἔχειν ὀνομαζομένου, καὶ ὅτι τὸ «ἔγχος ἔχ᾽ ἑνδεκάπηχυ» οἱ μὲν ἀσυναλείπτως γράφοντες νοοῦσι δεκάπηχυ τὸ τοῦ Ἕκτορος ἔγχος, οἱ δὲ μετὰ συναλιφῆς λέγουσιν ἑνδεκάπηχυ, ᾧ καὶ ἀρέσκονται οἱ παλαιοὶ λέγοντες καὶ ὅτι τὸ ναύμαχον διπλάσιον τούτου ὡς ἐκ δύο συμβληθέν, ὅπερ δύο καὶ εἰκοσίπηχυ λέγει ὁ ποιητής. Σημείωσαι δὲ καὶ ὅτι ἐνταῦθα μὲν λάμπεσθαι λέγει ἁπλῶς τὴν αἰχμὴν τοῦ Ἕκτορος, ἐν τοῖς ἑξῆς δὲ τὰ τῶν Ἀργείων ἔγχεα λάμπειν ἐρεῖ ὡς ἀστραπὴν Διός. (v. 320) Ὅρα δὲ καὶ ὅτι τὸ ἔγχος μερίσας εἰς δύο δόρυ μὲν εἶπε τὸ ξύλον αὐτοῦ, αἰχμὴν δὲ αὐτὸν τὸν προλάμποντα σίδηρον. Τὸν μέντοι κρίκον, ὃς περιθέει καὶ περιάγεται ἑλίσσων τὸ ξύλον, εἰς ὃ ἐμβέβληται ἡ αἰχμή, ὃν ἡ ἀπερινόητος γλῶσσα κουσπίον φησί, ἐκ μεταφορᾶς τοῦ περὶ τοὺς πόδας ξυλίνου δεσμοῦ, πόρκην ὁ Ὅμηρος καλεῖ. [Ὅτι δὲ τὸ περιθέειν κυκλοτερίαν δηλοῖ, διαδείκνυσι καὶ ὁ ἐν Ὀδυσσείᾳ θόλος ἐκ τοῦ θέειν ἐτυμολογούμενος, ὡς ἐρρέθη ἐκεῖ.] Ἐτυμολογεῖται δὲ ὁ πόρκης ἐκ τοῦ περικεῖσθαι ἢ ἐκ τοῦ περιέχειν, τραπέντος Ἰωνικῶς τοῦ δασέος χ εἰς τὸ ἀντίστοιχον ψιλόν. (v. 319) Σκοπητέον δέ, εἴπερ τὸ ἑνδεκάπηχυ καὶ πρὸς διαστολήν τινα εἴρηται καὶ σαφήνειαν, ὡς ἔγχους δυναμένου καὶ τοῦ ξίφους λέγεσθαι. Σοφοκλῆς γὰρ ἔγχος περιπετὲς εἰπεῖν ἐτόλμησεν, ᾧ περιπέπτωκεν Αἴας, ξίφος ὂν ἐκεῖνο πάντως.

2.322 τὸ δ᾽ αὐτὸ καὶ βέλος τολμηρῶς ἔφη ἐν τῷ «ἔγχος ἔχθιστον βελῶν», ὡς δοθὲν ὑπὸ ἐχθροῦ τοῦ Ἕκτορος. Δῆλον δὲ ὡς οὔτε Ἕκτωρ δόρυ ἔδωκεν Αἴαντι, ὃ ταὐτίζεται πρὸς ἔγχος, καὶ ὅτι οὐ βάλλεται ἔγχος τὸ κατὰ τὸ ξίφος. ἐκηβολίαν γὰρ ἡ τοῦ βέλους λέξις δηλοῖ. ἴσως οὖν καὶ ἐπ᾽ ἀμφοῖν τετόλμηκεν ὁ Σοφοκλῆς καινότερον. (v. 321 s.) Ὅτι τὸν περί τι πεπαιδευμένον οὐδὲ ἐν ἀργίας καιρῷ τοῦ ἔργου χρὴ ἀπέχεσθαι εἰς τὸ παντελές. Ἀλέξανδρον οὖν κατὰ τὴν Ὁμηρικὴν ἱστορίαν εὗρεν ὁ Ἕκτωρ ἐν τῷ θαλάμῳ καὶ τῇ γυναικωνίτιδι οὐ πεσσοῖσι τερπόμενον ἢ ἄλλως ἀνειμένον ἀλλὰ περικαλλέα τεύχε᾽ ἕποντα, ὃ διασαφῶν ὁ ποιητὴς ἐπάγει· «ἀσπίδα καὶ θώρηκα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἀγκύλα τόξ' ἁφόωντα», ὅ ἐστι ψηλαφῶντα, χειριζόμενον, φιλοκαλοῦντα. ἐποίει δὲ τοῦτο ἴσως μὲν καὶ ταῖς γυναιξὶν ἐνδεικνύμενος, οὐ μὴν δὲ ἀλλὰ καὶ διὰ τὸ φύσει ἐπιρρεπῶς ἔχειν πρὸς αὐτά. εἶχε δέ που καὶ αἰδημόνως, ἐὰν ἡ μὲν Ἑλένη ταῖς ἀμφιπόλοις ἐκέλευεν ἔργα, αὐτὸς δὲ ἀργῶν ἐκάθητο. (v. 323 s.) Τίνες δὲ αἱ ἀμφίπολοι, ὁ ποιητὴς κἀνταῦθα ἡρμήνευσεν εἰπὼν «Ἑλένη δὲ μετ' ἄρα δμωῇσι γυναιξὶν ἧστο καὶ ἀμφιπόλοισι περικλυτὰ ἔργα κέλευε», δηλῶν ὡς ταὐτὸν γυναῖκες δμῳαὶ καὶ ἀμφίπολοι. (v. 321 s.) Ἐνταῦθα δὲ ὅρα καὶ ποιητικὰ πάρισα τὸ «τεύχε' ἕποντα» καὶ «τόξ' ἁφόωντα». Ἐκ δὲ τοῦ ἀφόω γίνεται καὶ τὸ ψηλαφῶ, λέξις αὕτη μουσική, ἐπεὶ καὶ κυρίως ἐπὶ χορδῶν τὸ ψηλαφᾶν λέγεται παρὰ τὸ τὸ ψαλτήριον ἁφᾶν. [Ἰστέον δὲ καὶ ὅτι τὸ μὲν «τεύχε' ἕποντα» ταὐτόν ἐστι τῷ ἀμφέποντα, περιέποντα, περὶ αὐτὰ πονούμενον. (v. 323) Τοῦ δὲ δμωῇσι εὐθεῖα ἑνικὴ μὲν ἡ δμωή, πληθυντικὴ δὲ αἱ δμωαί. οὐκ ἄδηλον δὲ ὅτι ἐν ἄλλοις ἔστι γράψαι ποτὲ καὶ δμωΐσι διὰ τοῦ ι ἐκ τοῦ δμωΐς δμωΐδος.] (v. 325 s.) Ὅτι καὶ ἐνταῦθα τὸν ἀδελφὸν Πάριν Ἕκτωρ νείκεσεν ἰδὼν αἰσχροῖς ἐπέεσσιν εἰπών «δαιμόνιε, οὐ μὲν καλά», ἀντὶ τοῦ οὐ καλῶς, «χόλον τόνδ' ἔνθεο θυμῷ», ἤγουν ἐνέθου τῇ ψυχῇ καὶ τὰ ἑξῆς.

2.323 Καὶ σημείωσαι ὅπως τὴν τοῦ ἀδελφοῦ δειλίαν συσκιάζων καὶ μὴ ἀνέδην ἐξονειδίζων χόλον αὐτὴν εὐσχημονέστερον λέγει, ὡς δῆθεν χολουμένου τοῦ Πάριδος κατὰ τῶν Τρώων, οἷα μισούντων αὐτὸν καὶ διὰ τοῦτο ἐκδεδωκότων εἰς μονομαχίαν τῷ Μενελάῳ. καὶ οὕτω μὲν ὁ Ἕκτωρ. (v. 332—6) Ὁ δὲ Πάρις καὶ ἐν τούτοις, ὡς καὶ ἐν τῇ Γ ῥαψῳδίᾳ, κατ' αἶσαν ὁμολογεῖ φιλονεικηθῆναι οὐδ' ὑπὲρ αἶσαν, καὶ οὐκ ἔχει τι ἀντειπεῖν γενναῖον, δεξάμενος δὲ ὡς ἀληθῆ τὸν τοῦ ἀδελφοῦ λόγον λέγει ὅτι «οὔ τοι ἐγὼ Τρώων τόσσον χόλῳ οὐδὲ νεμέσσει ἥμην ἐν θαλάμῳ, ἔθελον δ' ἄχεϊ προτραπέσθαι», ἤγουν εἰ καὶ ἐχολούμην, καθὰ καὶ σὺ λέγεις, τοῖς Τρωσίν, ἔτι δὲ καὶ ἐνεμέσων, ἀλλ' οὐ τοσοῦτον διὰ ταῦτα ἐκαθήμην οἴκαδε, ἀλλὰ διὰ λύπην ἁπλῶς θέλων ἄχεϊ προτραπέσθαι, ἤγουν χώραν ἢ μᾶλλον ἐκτροπὴν δοῦναι τῇ λύπῃ. καὶ ἄλλως δὲ εἰπεῖν, ἤθελον μὴ ἄντην ἰέναι τῷ ἄχει, ἀλλὰ προτραπέσθαι αὐτῷ καὶ οἷον τραπῆναι εἰς φυγὴν καὶ κατανωτίσασθαι ἐν τῷ ἀποστῆναι μὲν τῆς μάχης, καθεσθῆναι δὲ πρὸς ὥραν ἐν τῷ οἴκῳ. Καὶ σημείωσαι ὅπως τοῦ ἀδελφοῦ δόντος εὐπρόσωπον αἰτίαν γυναικισμοῦ τῷ Πάριδι καὶ ἐπίτηδες εἰπόντος μὴ δειλιᾶν αὐτὸν τὴν μάχην, ἀλλὰ χολοῦσθαι τοῖς Τρωσίν, ὁ Πάρις οὐ μόνον αὐτὸ δέχεται ὡς ἀληθές, ἀλλὰ καὶ νεμεσᾶν τοῖς Τρωσὶ λέγει, τουτέστιν οὐ μόνον χολοῦσθαι τὴν ἁπλῶς χολήν, ἀλλὰ καὶ τὴν μετὰ δικαίας μέμψεως. Εἰ δὲ καὶ τὸν χόλον καὶ τὴν νέμεσιν ἀπολέξεται, τὸ γοῦν ἔχειν ἄχος, ὅ ἐστι λύπην, ὀκνεῖ ἀρνήσεσθαι. οὕτω δεινὸς ὁ Πάρις αἰτιᾶσθαι τοὺς οὐδὲν αἰτίους (v. 337—9) Τὸ δὲ ἐπαγόμενον ἔχει τι καὶ καταγέλωτος. Φησὶ γὰρ ὅτι «νῦν δέ με παρειποῦσ' ἄλοχος μαλακοῖς ἐπέεσσι ὥρμησεν εἰς πόλεμον». γελοῖος γὰρ ὁ ὑπὸ γυναικὸς εἰς μάχην ἐρεθιζόμενος, ὅπερ καὶ ὁ Πάρις ἐπιγνοὺς ἐπάγει «δοκεῖ δέ μοι ὧδε καὶ αὐτῷ λώϊον εἶναι». ἦν γὰρ ἂν πάνυ μεμπτέος, εἰ μὴ δοκοῦν αὐτῷ ὑπὸ τῆς Ἑλένης εἰς μάχην ὥρμητο.

2.324 (v. 333) Ἰστέον δὲ ὅτι τε τὸ «οὐδ' ὑπὲρ αἶσαν» ταὐτόν ἐστι τῷ κατ' αἶσαν. διὸ καὶ ἐπιμονὴν ὁ λόγος ἔχει τὴν κατ' ἦθος ἀληθευτικήν. καὶ ὅτι ὅμοιον καὶ παρὰ τῷ φιλομήρῳ Σοφοκλεῖ τὸ «γνωτὰ κοὐκ ἄγνωτά μοι», καὶ τὸ «ἡδὺς οὐδὲ μητρὶ δυσχερής», καὶ τὸ «οὔτε τι τοῦ μὴ θανεῖν προμηθὴς τό τε μὴ βλέπειν ἑτοίμα» καὶ ὅτι τὸν Πάριν ψευσάμενον ἐν τῷ νέμεσιν ἔχειν εἰπεῖν κατὰ Τρώων ἡ Ἑλένη μετ' ὀλίγα αἰτιάσεται ὡς νεμέσεως ἀνεπιστήμονα. (v. 326) Ὅρα δὲ καὶ τὸ «χόλον ἔνθεο θυμῷ», τουτέστιν ἐνεκότησας. ὁ γὰρ ἀπόθετος χόλος κότος ἐστί. (v. 337) Τὸ δὲ παρειποῦσα ταὐτόν ἐστι τῷ παρπείσασα, ὡς καὶ ἐν τῇ Ἀ ῥαψῳδίᾳ κεῖται. Μαλακὰ δὲ ἔπη λέγει τὰ παραμυθητικά, ὡς τῆς λύπης σκληρυνούσης, ἢ μᾶλλον τὰ πειστικά. (v. 339) Εἶτα ὁ Πάρις τὴν ἀγαθὴν ἐλπίδα προβεβλημένος ἐπάγει «νίκη δ' ἐπαμείβεται ἄνδρας». Γνωμικὸν δέ ἐστι τοῦτο, ἐν ᾧ ἄνδρας ὁ ποιητὴς λέγει ἢ τοὺς ἀνδρείους ἢ ἁπλῶς τοὺς πολεμιστάς. [(v. 333 s.) Ἰστέον δὲ ὅτι τὸ «Ἕκτορ, ἐπεί με κατ' αἶσαν ἐνείκεσας οὐδ' ὑπὲρ αἶσαν» ἐνταῦθα μὲν εὐθὺς ἀποδίδωσι τὸ

ἑξῆς τῆς συντάξεως. ἐπάγει γάρ «τοὔνεκά τοι ἐρέω». Ἐν δέ γε τῇ γάμμα ῥαψῳδίᾳ τοιοῦτον κεῖται οὐδὲν εἰς ἐννοίας ἀπόδοσιν καίτοι ὀφειλόμενον κεῖσθαι. διὸ καὶ ταραχήν τινα ἡ ἀπόδοσις ἐκεῖ ἔχει ἀμφίβολον.] (v. 363) Σημείωσαι δὲ καὶ ὅτι ὁ Ἕκτωρ ἀκούσας τοῦ ἀδελφοῦ, ὅτι γυνὴ παρορμᾷ εἰς μάχην αὐτὸν καὶ ὥσπερ ὑπὸ στρατηγῷ τῇ γυναικὶ τάττεται, ἀστείως μετ' ὀλίγα αὐτῇ ἐπιτρέπει τῇ Ἑλένῃ διεγείρειν τὸν ἄνδρα εἰς μάχην, εἰπὼν «ἀλλὰ σύ γε ὄρνυθι τοῦτον» καὶ οἷον ὑπάλειφε ἀναπεπτωκότα εἰς μάχην, «ἐπειγέσθω δὲ καὶ αὐτός». οὕτω γὰρ καὶ ἐκεῖνος ἔφη ἐν οἷς εἶπεν, ὅτι ἄλοχος ὥρμησέ με εἰς πόλεμον, δοκεῖ δέ μοι καὶ αὐτῷ λῷον εἶναι. Καὶ ὅρα ὅπως ἡ Ἑλένη οὕτω δύναται πείθειν, ὡς καὶ εἰς πόλεμον ἐξάγειν, οὐδὲν ἧττον τοῦ θρυλλουμένου Τυρταίου ἐρεθίζειν εἰς μάχην λόγοις ἔχουσα. Εἴποις ἂν οὖν ὅτι κἀνταῦθα ὡς καὶ ἐν Ὀδυσσείᾳ κρατήρ τις τῇ Ἑλένῃ ἐστίν, οὗπερ ὁ πιών, κἂν ἐντύχῃ πολλοῖς πτώμασι νεκρῶν, οὐ δεδίττεται. ὁ δὲ τοιοῦτος κρατὴρ ἡ συμβουλευτικὴ τῆς ἡρωΐδος ὁμιλία ἐστίν. (v. 326—9) Ὅτι ὁ μάχης αἴτιος ἀκούσοι ἂν πρὸς τοῦ αὐτὸν μεμφομένου τὸ «δαιμόνιε, λαοὶ μὲν φθινύθουσι περὶ πτόλιν αἰπύ τε τεῖχος μαρνάμενοι, σέο δ' εἵνεκα ἀϋτή τε πτόλεμός τε ἄστυ τόδ' ἀμφιδέδηεν», ἤγουν ἀνάπτεται.

2.325 ἐξ οὗ ῥήματος καὶ δαΐς καὶ δηΐς ἡ μάχη. [Καὶ ἔστι τὸ «πόλεμος ἀμφιδέδηεν» ἐμφαντικώτερον καὶ διὰ τοῦτο καιριώτερον τοῦ συνέστηκε καὶ τοῦ ἐγήγερται καὶ τοῦ συνέρρηκται ἢ συνέρρωγε καὶ τῶν ὁμοίων, ληφθὲν ἐκ τοῦ ἐμάχοντο «δέμας πυρός», ἤγουν ὡς πῦρ δαιόμενον δηλαδή. ἐξ οὗ καὶ τὸ «μάχη δέδηε» καὶ «πῦρ δήϊον».] (v. 329—31) Ὅτι τὸ μάχεσθαι καὶ ἐπὶ τοῦ φιλονεικεῖν καὶ ὀτρύνειν ἐπιπληκτικῶς ἔστιν ὅτε λαμβάνεται. Φησὶ γοῦν Ἕκτωρ πρὸς Ἀλέξανδρον «σὺ δ' ἂν μαχέσαιο καὶ ἄλλῳ, εἴ τινά που μεθιέντα ἴδοις στυγεροῦ πολέμοιο». Τοῦτο δὲ καὶ ὀτρυντικὸν εἰς μάχην ἐστίν, ὥσπερ καὶ ἐφεξῆς τὸ «ἀλλ' ἄνα», τουτέστιν ἀνάστηθι, «μὴ τάχα ἄστυ πυρὸς δηΐοιο θέρηται», ἤγουν θερμανθῇ διὰ πυρός, ὅ ἐστι καυθῇ. Παρακολούθημα δὲ τοῦτο ἁλώσεως πόλεως, ὡς ἐν τοῖς ἑξῆς που σαφέστερον δηλώσει ὁ ποιητής. Ἐκ δὲ τοῦ τοιούτου ἴσως πάθους καὶ τὸ πέρθειν ἐρρέθη. πρήθειν γάρ, καὶ ἐν συστολῇ καὶ μεταθέσει πέρθειν. (v. 340) Ὅτι ἐν τῷ «ἀλλ' ἄγε νῦν ἐπίμεινον, ἀρήϊα τεύχεα δύω» λείπει τὸ ἵνα ἤ τι τοιοῦτον. βούλεται γὰρ εἰπεῖν ὅτι ἐπίμεινον, ἵνα ὁπλίσωμαι. Καὶ σημείωσαι ὅτι καὶ νῦν οἰκείως τῷ σπεύδοντι προσώπῳ καὶ τὸ σχῆμα τοῦ λόγου τῇ ἐλλείψει κατέσπευσται. οἰκεῖον δὲ τοῦτο ἀνδρὶ ἐθέλοντι ἕπεσθαι εἰς μάχην ῥωμαλέῳ τινί, ὥσπερ καὶ ἐφεξῆς τὸ «ἢ ἴθ', ἐγὼ δὲ μέτειμι, κιχήσεσθαι δέ ς' ὀΐω». (v. 341) Ἔστι δὲ καὶ ὧδε μέτειμι τὸ μετὰ ταῦτα ἔρχομαι, ὁποῖόν τι πρὸ ὀλίγου ἐδήλου καὶ τὸ μετελεύσομαι καὶ τὸ μετεσσεύοντο, καθὰ προγέγραπται. (v. 342) Ὅτι Ἕκτωρ ἀκούσας μὲν τοῦ ἀδελφοῦ Πάριδος λαλήσαντος οὐκ εὐγενῶς οὔτι προσέφη αὐτόν, μὴ καὶ λυπήσῃ ἀμειψάμενος, τὴν δὲ Ἑλένην προσφωνήσασαν σπουδαίως, ἅπερ εὐθὺς εἰρήσεται, ἀμείβεται, ὡς αὐτίκα δηλωθήσεται καὶ αὐτό. (v. 344—8) Ὅτι συχνὰ ἡ Ἑλένη ἐπὶ τῇ ἁρπαγῇ μεταμελομένη, ὡς πολλαχοῦ φαίνεται, καὶ ἐνταῦθα κακολογεῖ ἑαυτὴν ἐν τῷ πρὸς Ἕκτορα εἰπεῖν· «δᾶερ», ἤτοι ἀνδράδελφε, ὡς πολλαχοῦ κεῖται, «ἐμεῖο κυνὸς κακομηχάνου ὀκρυοέσσης», δυσανασχετοῦσα καὶ ὅτι μὴ ἅμα τῷ γεννηθῆναι ὤλετο.

2.326 Φησὶ γὰρ «ὥς μ' ὄφελ' ἤματι τῷ, ὅτε με πρῶτον τέκε μήτηρ, οἴχεσθαι, προφέρουσα κακὴ ἀνέμοιο θύελλα», οὐ μὴν πνοή τις εὐήνεμος, «εἰς ὄρος ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης, ἔνθα με κῦμ' ἀπόερσε πάρος τάδε ἔργα γενέσθαι». Ταῦτα δὲ τὰ τῆς Ἑλένης καὶ πᾶς ἄν τις ἕτερος εἴποι ἀχθόμενος, ὅτε ζῇ ἐν κακοῖς. (v. 344) Κύνα δὲ καὶ ἐνταῦθα καὶ κατωτέρω ἑαυτὴν ἡ Ἑλένη καλεῖ, ὥσπερ καὶ ἀλλαχοῦ κυνώπιδα, διότι τὴν ἀρχὴν ἀναιδῶς ἐθρασύνθη ἐξ Ἑλλάδος ἀκολουθῆσαι τῷ ἅρπαγι. Διὸ καὶ κακομήχανός ἐστιν, ὅπερ ἀλλαχοῦ ἀμήχανος λέγεται ἐν τῷ «ἀμήχανε Ἥρη». ἄλλον τρόπον ἤπερ Εὐριπίδης ἀμήχανον γυναῖκα τὴν εὐήθη λέγει καὶ ἐναντίαν τῇ πολυμηχάνῳ, ἧς δὴ πολυμηχάνου πρὸς ὁμοιότητα ἡ παρὰ τῇ κωμῳδίᾳ δωδεκαμήχανος Κυρήνη. Ὀκρυόεσσαν δὲ λέγει τὴν πολλοὺς νεκρώσασαν τοῖς δι' αὐτὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολέμοις καὶ κρυερῷ Ἅιδῃ προπέμψασαν. τὴν δ’ αὐτὴν διὰ τοῦτο καὶ ῥιγεδανήν φησιν ἀλλαχοῦ. (v. 345) Τὸ δὲ ὄφελεν ἐνταῦθα μὲν συστέλλει τὴν ἄρχουσαν Ἰωνικῶς γραφὲν ἐν ἑνὶ λ , μετ’ ὀλίγα δὲ ἐκτείνει, ὡς καὶ πρὸ τούτου, κοινότερον προενεχθὲν ἐν δυσὶ λ . (v. 346) Σημείωσαι δὲ καὶ ὅτι θύελλα τοιαύτη, ὁποίαν ἡ Ἑλένη φησίν, ἡ κατὰ τὰς Ἁρπυίας μυθευομένη ἂν εἴη, ὡς εἶναι τὸ ἐνταῦθα νόημα ὅμοιον πρὸς τὸ «Ἅρπυιαι ἀνηρείψαντο». Ὅτι δὲ καὶ ἀληθῶς ἄνεμοι ἀπηνεῖς δεινὰ πολλὰ ποιοῦσι κουφίζοντες ἐκ γῆς καὶ μακρὰν ἀπάγοντες δυσβάστακτα σωμάτων βάρη καὶ ἱστόρηται καὶ εἰς πεῖραν ἦλθε τοῖς καθ’ ἡμᾶς. Ἰστέον δὲ καὶ ὅτι ὁ Λιβάνιος τὴν τῆς Ἑλένης ὑπερβαλὼν ἔννοιαν, ὡς ἐντεῦθεν ὠφελημένος, τερατωδέστερον λαλεῖ, ἐν οἷς ἀστείως λέγει, ὅτι φόβοις ἐταραττόμην μὴ τὴν πόλιν ἡμῖν ἁρπάσαντες ἄνεμοι φέροντες εἰς Ὠκεανὸν ἐμβάλωσι. (v. 348) Τὸ δὲ ἀπόερσεν ἀντὶ τοῦ ἔφθειρεν, ἀπὸ τοῦ ἔρρω ἔρσω Αἰολικοῦ.

2.327 εὑρεθήσεται δὲ καὶ ἐν τοῖς ἑξῆς που ἡ τοιαύτη λέξις. [Φθορᾶς δὲ ἐμνήσθη τῆς ἐκ τοῦ κύματος μόνου ἀκριβῶς. τὸ γάρ τοι ὄρος, γῆς καὶ αὐτὸ μέρος ὄν, οὐκ ἐξ ἀνάγκης οὐδὲ ταχὺ οὕτω φθερεῖ τὸν ὑπὸ θυέλλης ἀνέμου ἡρπαγμένον ἕως ἐκεῖ. (v. 347) Πρὸς διαστολὴν δὲ ἁρπαγῆς ἑτεροίας ἐρρέθη τὸ «εἰς ὄρος ἢ εἰς κῦμα». Μυθεύεται γάρ τις καὶ ἀλλοία, ὁποῖον καὶ τὸ «ὃν καὶ ἀνηρείψαντο θεοὶ Διῒ οἰνοχοεύειν». Ἡρπάγη δὲ καὶ ὁ Τιθωνὸς ὑπὸ τῆς Ἠοῦς, πλὴν οὔτε εἰς ὄρος οὔτε εἰς κῦμα. ληροῦσι δὲ οἱ μῦθοι καὶ ἄλλα τοιαῦτά τινα.] (v. 350—3) Ὅτι ψέγουσα παρὰ τῷ Ἕκτορι τὸν Πάριν ἡ Ἑλένη λέγει, ὡς «ἀνδρὸς ἔπειτ’ ὤφελλον ἀμείνονος εἶναι ἄκοιτις, ὃς ᾔδη», τουτέστιν ἠπίστατο, «νέμεσίν τε καὶ αἴσχεα πόλλ’ ἀνθρώπων. τούτῳ δ’ οὔτ’ ἂρ νῦν φρένες ἔμπεδοι, οὔτ’ ἂρ ὀπίσσω ἔσονται, τῷ καί μιν ἐπαυρήσεσθαι ὀΐω». τουτέστιν οἴομαι αὐτὸν ἐπαπολαῦσαι, ἑαυτοῦ δηλαδὴ καὶ ὧν φρονεῖ. Εὐφήμως δὲ τοῦτο ἐρρέθη κατὰ τὸ «ἵνα πάντες ἐπαύρωνται βασιλῆος». Συνιστᾷ δὲ καὶ ἐν τούτοις ἡ Ἑλένη ἑαυτὴν αἰσχυντηλὴν καὶ αἰδήμονα καὶ νεμεσητικὴν ἑαυτῆς ἐφ’ οἷς ἐσφάλη, τὸν δὲ Ἀλέξανδρον τούτων ἁπάντων ἀποστερεῖ καὶ ἐνδείκνυται, ὅτι κατ’ ἀνάγκην σύνεστιν, ᾧ οὐκ ἀρέσκεται ἀνδρί. (v. 352) Τὸ δὲ «φρένες ἔμπεδοι» ἐναντίον τῷ «φρένες ἠερέθονται», περὶ οὗ προείρηται. Σημείωσαι δὲ ὅτι καὶ σοφὴ ἐν τούτοις ἡ Ἑλένη διαδείκνυται. Ἀλέξανδρος μὲν γὰρ πεπίστευκε τῷ Ἕκτορι χόλον εἰπόντι τὴν αὐτοῦ ἄρτι ἀργίαν, παρελάλησε δὲ καὶ νεμεσᾶν τοῖς Τρωσίν, ὡς εἴρηται, μάταια καὶ νοῶν καὶ λέγων καὶ ἀδιανόητα. τί γὰρ ἂν καὶ χολοῖτο κατὰ τῶν ἀναιτίων, οἳ δι’ αὐτὸν ἀναιροῦνται, ὡς καὶ πρὸ ὀλίγου ὁ Ἕκτωρ εἶπε καὶ μετὰ μικρὸν αὖθις ἐρεῖ. πῶς δ’ ἂν καὶ νεμεσῴη τοῖς κατ’ αὐτοῦ δικαιότατα νεμεσῶσιν; ἄφρων οὖν ὁ Πάρις οὔτε νοήσας, ὅτι ὁ Ἕκτωρ αἰσχύνων αὐτὸν καὶ εἰρωνευόμενος εἰς χόλον ἐχρωμάτισε τὴν αἰτίαν τῆς αὐτοῦ ἀργίας, ἀλλὰ καὶ νεμεσᾶν εἰπὼν τοῖς Τρωσί, καὶ ἔοικε μηδὲ εἰδέναι τί ποτέ ἐστιν ἡ νέμεσις.

2.328 καὶ οὕτω μὲν ὁ ἀνήρ. ἡ δὲ σοφὴ γυνὴ αἰτιᾶται αὐτόν, ἐπεὶ μὴ οἶδε νέμεσιν καὶ αἴσχεα, τουτέστι διότι οὔτε τὴν νέμεσιν οἶδε τί ἐστιν, καὶ οὐδὲ τὸν χόλον ἔγνω πρὸς αἶσχος αὐτοῦ σχηματισθέντα ὑφ’ Ἕκτορος. (v. 351) Ἰστέον δὲ ὅτι τὸ μὴ νέμεσιν εἰδέναι καὶ αἴσχεα καὶ τὸ ἑξῆς, ὡς ἀνωτέρω κεῖται, χαρακτήρ ἐστιν ἤθους θρασέος καὶ οὐδὲ ἔμφρονος, καὶ ὅτι ὡς τὰ πρός τι δοκεῖ ἀντικεῖσθαι ἡ νέμεσις καὶ τὸ αἶσχος, ὅ τε γὰρ νεμεσῶν ἐπ’ αἰσχροῖς νεμεσᾷ καὶ ὁ αἰσχυνόμενος νεμεσῶντα αἰσχύνεται. (v. 354—6) Ὅτι Ἑλένη μὲν κολακεύουσα τὸν Ἕκτορά φησι «ἀλλ’ ἄγε νῦν εἴσελθε καὶ ἔζεο τῷδ’ ἐπὶ δίφρῳ, δᾶερ, ἐπεί σε μάλιστα πόνος φρένας ἀμφιβέβηκεν εἵνεκ’ ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδρου εἵνεκ’ ἄτης». ὁ δὲ οὕτως ἀκάμας ἐστὶν ὥστε, καθὰ περιεῖδε τὴν μητέρα οἰνοχοοῦσαν, οὕτω καὶ τὴν Ἑλένην καθίζουσαν. (v. 360—2) Φησὶ γοῦν· «μή με κάθιζ’ Ἑλένη, φιλέουσά περ, οὐδέ με πείσεις. ἤδη γάρ μοι θυμὸς ἐπέσσυται ὄφρ’ ἐπαμύνω», καὶ ἑξῆς. Ὁ δὲ λόγος οὗτος πρέπει κατὰ μικράν τινα παρῳδίαν καὶ ἑτέροις, οἳ σπεύδοντες εἰς ἔργον ἐπέχονται πρός τινων οἰκείων αὐτοῖς. Ἔοικε δὲ ὁ Ἕκτωρ ἐν τούτοις ὑποπτεύειν τὸ τῆς Ἑλένης αἱμύλον καὶ αἰδεῖσθαι, εἰ τὸν μὲν μαλθακὸν Πάριν ἠρέθισεν ἐκείνη λόγοις πρὸς πόλεμον, αὐτὸν δὲ ἐκθηλυνεῖ καθίσασα. διὸ οὐδὲ ὑπακούει. (v. 354) Ὅρα δὲ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νῦν τὸν δίφρον ἐπὶ θρόνου. ἐν δὲ Ὀδυσσείᾳ καὶ ἀεικέλιος δίφρος εὕρηται, εἰς ὃν οἱ εὐτελέστεροι κάθηνται. (v. 355) Τῷ δὲ τοῦ δαέρος ὀνόματι κολακευτικῶς ἡ σοφὴ Ἑλένη ἐναβρύνεται δὶς ἤδη τοῦτο εἰποῦσα κατ' ἐπιμονὴν καιρίως φίλην αὐτῇ. Ὅρα δὲ καὶ τὸ «πόνος ἀμφιβέβηκεν», ἤγουν κατέλαβε, περιῆλθεν. ὥστε οὐ πάντοτε ἡ λέξις τὸ σκέπειν καὶ βοηθεῖν δηλοῖ, ὡς οὐδὲ ἐν τῷ «ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει». Ὁμοίως οὐδὲ παρ' Εὐριπίδῃ ἐν τῷ «πολὺν ταραγμὸν ἀμφιβάντ' εἶχον μάχης», ἤγουν ἀμφοτέρωθεν βάντες ἀντιπάλων δίκην κατ' ἀλλήλων.

2.329 (v. 360) Σημείωσαι δὲ καὶ τὸ «μή με κάθιζε», ἀλλοπαθὲς καὶ ἐνταῦθα ὄν. ὅτε μέντοι ἐρεῖ τις ὅτι ὁ δεῖνα ἶζεν ἢ ἐκάθιζεν, ἀντὶ τοῦ ἐκάθητο, αὐτοπαθὲς τότε τὸ τοιοῦτον ῥῆμα λέγεται. (v. 356) [Ἰστέον δὲ ὅτι τὸ «εἵνεκα ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδρου εἵνεκ' ἄτης» παρατετηρημένως ἐρρέθη. αὐτὴ μὲν γὰρ ἁρπαγεῖσα ὠνείδισται εἰς κύνεον ἦθος, ὁ δὲ Πάρις καὶ ἄτην ἔσχε παγγενῇ ὀλοθρευόμενος. καὶ ἄλλως δὲ ἄτην λέγει τὴν ὑπ' ἐκείνου ἁρπαγήν.] (v. 357 s.) Ὅτι τὸ ἀοίδιμος μέση λέξις ἐστὶ καὶ οὐκ ἀεὶ ἐπὶ ἐπαίνου λαμβάνεται. Φησὶ γοῦν ἡ Ἑλένη, ὅτι κακὸς μόρος, ὅ ἐστι κακὴ τύχη, ἐμοί τε καὶ Ἀλεξάνδρῳ πρὸς Διός, ἤτοι εἱμαρμένης, ἐτέθη, ὡς καὶ ὕστερον ἀνθρώποισι πελώμεθα ἀοίδιμοι ἐσσομένοις, ὅ ἐστιν ἐν ᾠδαῖς φερόμενοι, ταῖς ἐπὶ δυσκλείᾳ δηλαδή. Τὸ δὲ πέλεσθαι πολλαχοῦ μὲν παθητικῶς προφέρεται, ὡς καὶ ἐν τῷ «ἤματα μακρὰ πέλονται», οὐχ' ἥκιστα δὲ καὶ ἐνεργητικῶς, ὡς ἔν τε ἄλλοις καὶ ἐν τῷ «κακοῦ δ' ἄρα οἱ πέλεν ἀρχή». (v. 360—2) [Ὅτι τὸ «μή με κάθιζε φιλέουσά περ», ἢ φιλέων περ, «οὐδέ με πείσεις, ἤδη γάρ μοι θυμὸς ἐπέσσυται, ὄφρ' ἐπαμύνω τοῖς δεῖνα, οἳ μέγ' ἐμεῖο ποθὴν ἀπεόντος ἔχουσιν» ἐρεῖ ἄν τις γενναῖος ἀνὴρ βραχύ τι ἀναπαυσάμενος τοῦ βοηθεῖν τισιν ἐν κινδύνῳ καὶ προκαλούμενος μὲν εἰς ἀνάπαυσιν, ἀπαναινόμενος δέ. Σημείωσαι δ' ἐνταῦθα καὶ ὡς, εἰ καὶ κατὰ τὴν παροιμίαν «εἷς ἀνὴρ οὐδεὶς ἀνήρ», ἀλλ' ἰδοὺ εἷς καὶ οὗτος κατὰ τὸν Ἀχιλλέα, οὗ ἀπεόντος ποθὴν ἔχουσιν οἱ ὁμόφυλοι.] (v. 363) Ὅτι ἀλειπτικὸν εἰς ἔργον τὸ «ἀλλὰ σύ γ' ὄρνυθι τοῦτον», ἤγουν διέγειρε, «ἐπειγέσθω δὲ καὶ αὐτός». (v. 365 s.) Ὅτι Ἕκτορος εἰπόντος πρὸς Ἑλένην τὸ «καὶ γὰρ ἐγὼν οἶκόνδ' ἐλεύσομαι ὄφρα ἴδωμαι οἰκῆας, ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν», σημειοῦνται οἱ παλαιοὶ καὶ νῦν οἰκῆας ῥηθῆναι οὐ μόνον δούλους ἀλλὰ καὶ πάντας ἁπλῶς τοὺς ἐν τῷ οἴκῳ.

2.330 (v. 367 s.) Λέγει δὲ ὁ Ἕκτωρ καὶ ὡς «οὐ γὰρ οἶδα, εἰ ἔτι σφιν ὑπότροπος ἵξομαι αὖτις ἢ ἤδη μ' ὑπὸ χερσὶ θεοὶ δαμόωσιν Ἀχαιῶν», προλέγων κατά τι θεῖον, ὡς εἰκός, τὸ μετ' ὀλίγον ἐσόμενον ἐπ' αὐτῷ. Καὶ ἔστι καὶ τοῦτο εἶδός τι προαναφωνήσεως Ὁμηρικῆς, οὐχ' ὑπ' αὐτοῦ ῥηθὲν τοῦ ποιητοῦ, ἀλλὰ στοχαστικῶς ἀνατεθὲν ποικιλίας χάριν τῷ πεισομένῳ Ἕκτορι. Καὶ εἶεν ἂν ἅπερ ἐνταῦθά φησι καὶ ἃ δὲ πρὸς τὴν Ἀνδρομάχην ἐρεῖ μετ' ὀλίγα, ἐπιτελεύτιά πως κατ' οἶκτον καὶ συντακτήρια. (v. 367) Ἔστι δὲ ὑπότροπος ὁ ἐν καλῷ νοστήσας καὶ σῷος ἐξ ὑποστροφῆς ἐπανελθών, ὅθεν ἄλλως παρ' Ἱπποκράτει τὸ ἐπ' οὐκ ἀγαθῷ ὑποτροπιάζειν νόσους. Ἰστέον δ' ὅτι τε προϊὼν αὐτὸς ὁ ποιητὴς διασαφεῖ τὸ «ὑπότροπος» εἰπών· «οὐ γάρ μιν ἔφαντο ὑπότροπον ἐκ πολέμου ἵξεσθαι». Καὶ ὅτι πολλαὶ καὶ ἄλλαι μέσαι λέξεις, ὡς καὶ ἡ τύχη καὶ ὁ κατ' αὐτὴν δαίμων, καὶ ὁ παντουργός, ὃ οὐ μόνον ἐπὶ θεοῦ κεῖται ἀλλὰ καὶ ἐπὶ πανούργου κατὰ τὸ «ἀνδρὶ παντουργῷ φρένας», καὶ ἡ καθοσίωσις δὲ καὶ οἱ καθωσιωμένοι, ὁσιότητά τε παρὰ τοῖς παλαιοῖς δηλοῦσι καὶ πίστιν, καὶ ἀντίθεσιν δὲ παρὰ τοῖς ὕστερον κατὰ τῶν ὁσίων τῷ θεῷ βασιλέων. καὶ ἡ συνωμοσία δὲ ἦν μὲν ὅτε σύμπνοιαν ἁπλῶς ἐδήλου ἔνορκον, ὕστερον δὲ φατριασμὸν στασιωτικόν.

2.331 καὶ τὸ ἄγος δὲ μεσοῦται, ἀφ' οὗπερ οὐ μόνον ὁ ἅγιος καὶ τὸ ἁγιάζειν καὶ ἡ ἁγιστεία καὶ ἡ παναγὴς θυσία καὶ ὁ εὐαγής, ἀλλὰ καὶ ὁ ἐναγὴς καὶ ὁ ἐξάγιστος καὶ τὸ ἁγηλατεῖν. ἔτι καὶ οἰωνὸς ὁ μέν τις αἴσιος, ὁ δὲ μὴ τοιοῦτος. καὶ ὄνειδος δὲ τὸ μὲν καλόν, τὸ δὲ ἑτεροῖον, ὡς οἱ τραγῳδοῦντες δηλοῦσι. καὶ ἡ φύσις δὲ πῇ μὲν μέγα κακὸν τοῖς κακῶς, πῇ δὲ σωτήριον τοῖς

καλῶς χρωμένοις κατὰ τὸν εἰπόντα. καὶ ἡ συμφορὰ δὲ οὐ μόνον ἀποτρόπαιος ἀλλὰ καὶ ἀγαθή, ὡς δηλοῖ σὺν ἄλλοις καὶ ὁ εἰπὼν ἐπ' ἀγαθῷ τὸ «ἐπὶ συμφοραῖς γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο». πολλὰ δὲ τοιαῦτα καὶ ἕτερα. Ὅτι ἀνδρείαν γυναῖκα τὴν Ἀνδρομάχην Ὅμηρος ἐν διαφόροις ποιεῖ, ἧς καὶ αὐτὸ τοὔνομα παρὰ τὸ ἀνδρεῖον καὶ μάχιμον φερωνύμως σύγκειται. (v. 386—9) Αὕτη καὶ νῦν ἀκούσασα τείρεσθαι τοὺς Τρῶας, μέγα δὲ κράτος εἶναι Ἀχαιῶν, καὶ περὶ τῷ ἀνδρὶ δείσασα, πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει μαινομένῃ εἰκυῖα, ἤγουν ἐοικυῖα, (v.
2.332 371—3) καὶ «ξὺν παιδὶ καὶ ἀμφιπόλῳ ἐϋπέπλῳ πύργῳ ἐφειστήκει γοόωσά τε μυρομένη τε», διὸ οὐδὲ εὗρεν αὐτὴν ὁ Ἕκτωρ ἔσω. Ἡ δ' αὐτὴ καὶ ἐν τοῖς ἑξῆς στρατηγικῶς τὸ ποιητέον τῷ Ἕκτορι συμβουλεύει, τρόπον ὑποτιθεῖσα τῆς πρὸς Ἕλληνας παρατάξεως. οὕτω δέ πως καὶ ἡ Ἑλένη ἀνδρεία σεμνολογεῖται, εἴγε, ὡς προερρέθη, τὸν Πάριν αὐτὴ ὀτρύνει πρὸς πόλεμον. καὶ τοῦτο μὲν ὅμοιαί πως ἡ Ἑλένη καὶ ἡ Ἀνδρομάχη. ἀλλ' ἡ μὲν φίλανδρος ὑπερλίαν, Ἑλένη δὲ οὔτε τὸν Μενέλαον ἔστερξε καὶ τὸν Πάριν δὲ οὐ πάνυ τι φιλοῦσα φαίνεται. Σημείωσαι δὲ καὶ ὅτι καινότερον ὁ ποιητὴς τὰς τῶν πραγμάτων περιπετείας διασκευάζων οὐκ ἔκρινε δεῖν πλάσασθαι, ὡς τὴν Ἀνδρομάχην οἴκοι εὗρεν ὁ ἀνήρ. ἁπλοῦν γὰρ τοῦτό γε καὶ οὐκ ἐπιστρεπτικὸν ἀκοῆς. ποιεῖ δὲ αὐτὴν ἔξω οὖσαν τοῦ οἴκου, ὡς ἀνωτέρω εἴρηται. Τοῦτο δὲ πάνυ ἐπιστρέφει τὸν ἀκροατήν, τάχα που καὶ ἀχθόμενον, εἴπερ ὁ καλὸς Ἕκτωρ ἃ μὲν οὐ πάνυ ἔστεργεν εὗρε, τὰ δὲ φίλτατα οὐχ' εὑρίσκει. Ἐπεὶ δὲ οὐκ ἐχρῆν τοῦτο διόλου γενέσθαι—χρεία γὰρ καὶ τῆς Ἀνδρομάχης ἐνταῦθα ἐπὶ ῥητορείᾳ—, μεθοδεύει ὁ ποιητὴς ἄλλως τὴν τοῦ ζητουμένου εὕρεσιν δεξιώτατα. παλιννοστῶν γὰρ εἰς τὸν πόλεμον ἔτυχε τῆς ποθουμένης ἐντεύξεως, δι' ἧς ἱκαναὶ χάριτές τινες τῇ ποιήσει παρεισκριθήσονται, ὡς δηλωθήσεται. Καὶ ἄλλως δὲ θεωρῆσαι, ἡ Ὁμηρικὴ μέθοδος ἐπὶ τῇ τοῦ Ἕκτορος εἰς τὸ ἄστυ ἐλεύσει τοιάδε τίς ἐστι, κεστόν χαρίεντα λόγου ποικίλλουσα. Πέντε πρόσωπα ἐκφαίνονται ἀναγκαῖα τῷ ἥρωϊ, ὧν δύο μὲν ἄρρενα, τὰ δὲ λοιπὰ θατέρου γένους. Καὶ ἡ διαφορὰ ἐν αὐτοῖς φανερά. τῶν μὲν γὰρ ἀνδρῶν ἅτερος μὲν πληρέστατος εἰς ἔργον καὶ οἷος προσφωνεῖν τὸν Ἕκτορα. ὁ Πάρις γάρ. ὁ δὲ ἕτερος, ὁ παῖς Ἀστυάναξ, ἐστέρηται τούτοιν ἀμφοῖν. τῶν δὲ γυναικῶν μία μὲν μήτηρ, εἰς ἣν πρὸ ἔργου ἥκει κατ' εὐθὺ ὁ Ἕκτωρ χάριν εὐχῆς, ὡς προείρηται. ἡ δὲ ἑτέρα, ἡ Ἑλένη, ὁδοῦ πάρεργον εἰς ὄψιν ἐλθοῦσα τῷ Ἕκτορι.

2.333 ἐλθὼν γὰρ διὰ τὸν ἀδελφὸν καὶ ἰδὼν συγκατεῖδε καὶ αὐτήν. ἡ δὲ τρίτη ἡ ἄλοχος Ἀνδρομάχη ἐστίν. Ὡς δὲ καὶ ἡ ὁμιλία τῶν πέντε τούτων προσώπων ποικίλλεται, οὐδὲ τοῦτο ἀμφιγνοεῖται. Τὰ μὲν γὰρ τῆς Ἑκάβης πάντα σεμνά, ἔτι δὲ καὶ ἀπεριλάλητα. τὰ δὲ τοῦ Ἀλεξάνδρου πλατύτερα καὶ ὑπόκενα, ὡς δεδήλωται. τὰ δὲ τῆς Ἑλένης οὔτε οἴκτου μακράν εἰσι καὶ πρὸς κολακείαν δὲ κωτίλλονται. τὰ δὲ τῆς Ἀνδρομάχης διαλάμπουσιν εὖ μάλα πρός τε σεμνότητα ἱστορικὴν καὶ γλυκύτητα τὴν κατὰ ἀφέλειαν. ἡ δὲ τοῦ παιδὸς ὁμιλία ἐν γλώττης ἀργίᾳ ἑτεροίαν ἡδονὴν φύσει προβάλλεται, ὁποίαν ἐν τοῖς ἐφεξῆς εἰσόμεθα. Ἐπεὶ δὲ καὶ δουλικὰ τῷ ῥηθέντι τόπῳ ἔγκειται πρόσωπα, ἔχει τι καὶ αὐτὰ ποικίλον. Αἱ μὲν γὰρ περὶ τὴν Ἑκάβην ἀμφίπολοι τί ἂν εἶπον ἀολλίζουσαι τὰς γεραίας, οὐ δεδήλωται ὑπὸ τοῦ ποιητοῦ. αἱ δὲ τῆς Ἀνδρομάχης λαλοῦσι βιωτικῶς τῷ δεσπότῃ Ἕκτορι πρὸς ἅπερ ἠρώτηνται. ἡ δὲ τὸν Ἀστυάνακτα φέρουσα λαλεῖ οὐδὲν οὐδ' αὐτή, καθάπερ οὐδὲ τὸ φερόμενον βρέφος. Καὶ αἱ ἐντυχίαι δὲ τῶν προσώπων οὐκ ἀδιάφοροι. Ἑκάβη μὲν γὰρ Λαοδίκην ἐσάγουσα ἐναντίη τῷ Ἕκτορι ἦλθε πρὸς ἐντυχίαν κατὰ τύχην αὐτὸν εὑρηκυῖα, ὁ δὲ Πάρις ἐπίτηδες ἐρευνηθεὶς εὑρίσκεται, ἡ δὲ Ἑλένη ὡς παρακαθημένη τῷ Πάριδι τυχαίως εὕρηται, ἡ δὲ Ἀνδρομάχη σὺν τῷ βρέφει ἐξ ἀποτυχίας εἰς ὁμιλίαν ἥκει τῷ ἀνδρί. Μὴ γὰρ εὑρεθεῖσα οἴκαδε καταλαμβάνει δρόμῳ τὸν Ἕκτορα ἤδη ἐξιόντα τῆς πόλεως. [Ἐναντίη γάρ, φησί, κατὰ τὴν Ἑκάβην ἦλθε, πλὴν οὐχ' ἁπλῶς ἀλλὰ θέουσα.] καὶ τοιαῦτα μὲν καὶ ταῦτα. (v. 376—80) Ὁ δὲ ποιητὴς καὶ τὴν αὐτῷ συνήθη δεξιότητα ἑφερμηνευτικῶς ὑποδηλοῖ, ἔνθα ὁ Ἕκτωρ ἐρωτᾷ τὰς δμῳὰς «πῇ ἔβη Ἀνδρομάχη λευκώλενος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκ μεγάροιο, ἠέ πῃ», ἤγουν ἤ που, «ἐς γαλόων ἢ εἰνατέρων ἐϋπέπλων ἢ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι Τρῳαὶ εὐπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται».

2.334 Μονονουχὶ γὰρ λέγει, ὡς ἐδύνατο μὲν πλάσαι τὴν Ἀνδρομάχην ἀπελθοῦσαν ἐκ τοῦ οἴκου ἢ εἰς ἀδελφήν τινα τοῦ ἀνδρός, οἷον τὴν Κασάνδραν ἢ τὴν Λαοδίκην, ἢ εἰς μίαν τῶν συννύμφων ἢ ἀλλ' εἰς τὴν Ἀθηνᾶν, ὅπου καὶ αἱ λοιπαὶ Τρῳάδες. οὐκ ἐποίησε δὲ οὕτως. ἀλλὰ τὸ ξενίζον ἐπελέξατο, τουτέστι τὴν εἰς τὸ τεῖχος ἀπέλευσιν. Ἡ δὲ τοιαύτη μέθοδος, ἤγουν ἡ ἀποτυχία μὲν τῶν πολυειδῶν ἐρωτήσεων, μάθησις δὲ τοῦ ἐρωτωμένου ἑνός τινος πράγματος ἑτέρωθεν, πλατυσμόν τε τῇ ποιήσει ἐργάζεται φανερῶς καὶ τὸν νέον δὲ ἀκροατὴν τὰ πραγματικὰ εἰκότα διδάσκει, ἤγουν ὅτι τὸ αὐτὸ καὶ ἓν πρᾶγμα ἔστιν ὅτε κατὰ πολλοὺς τρόπους εἰκὸς γίνεσθαι. Ἐπίτηδες δὲ καὶ τὸν Ἀστυάνακτα τὸ βρέφος τοῦ οἴκου συνεκβάλλει ὁ ποιητής, ἵνα καὶ ἀπ' αὐτοῦ χάρις τις ἐπανθήσῃ τῷ ποιήματι ἀφελέστερον ὡς βρέφους. (v. 389) Ὅ γε οὐδὲ ἕπεται τῇ μητρὶ κατὰ τὴν ἀμφίπολον, ἀλλὰ φέρεται, καθὰ διασαφεῖ ὁ ποιητὴς ἐν τῷ «φέρει δ' ἅμα παῖδα τιθήνη». (v. 373) Ἰστέον δὲ ὅτι τὸ «γοόωσα», καθὰ καὶ τὸ αὐτῆς θέμα τὸ γοᾶσθαι, ἔστι μὲν ἐξ ὀνοματοποιΐας, ἀφ' ἧς καὶ ὁ γόος, παράγει δὲ καὶ τὸν παρὰ τοῖς ὕστερον γόητα, εἰπεῖν δὲ ταὐτόν, θρηνώδη ἐπαοιδόν, καθὰ Σοφοκλῆς ὑποδηλοῖ ἐν τῷ «οὐ πρὸς ἰατροῦ σοφοῦ θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι». δῆλον γὰρ ὡς ταὐτὸν θρηνεῖν ἐπῳδὰς καὶ γοᾶσθαι ἐπῳδάς. τοῦτο δὲ σοφοῦ γόητος ἔργον. (v. 374) Κεῖται δ' ἐν τούτοις καὶ τὸ «τέτμε», λέξις πάντῃ ἄχρηστος τοῖς πεζὰ λαλοῦσιν, οἷον «οὐκ ἔνδον ἀμύμονα τέτμεν ἄκοιτιν». καὶ εἴρηται μὲν περὶ αὐτοῦ καὶ ἀλλαχοῦ πλατύτερον, ἐνταῦθα δὲ ἀρκεῖ φάναι καί, ὡς ἐκ τοῦ τέμω τέτομα μέσου παρακειμένου γέγονε κατὰ συγκοπήν, ἵνα ᾖ τὸ τέτμεν ἀντὶ τοῦ συντόμως καί, ὡς εἰπεῖν, ἐν ἐπιτομῇ κατέλαβεν.

2.335 (v. 378) Ἰστέον δὲ [ὅτι τε ἀττικίζεται τὸ «ἐς γαλόων» καὶ ἑξῆς, κατὰ τὸ ἐς διδασκάλων, ἵνα λέγῃ ἐς δόμους γαλόων ἢ ἐς θαλάμους εἰνατέρων ἢ ἐς ναὸν Ἀθηναίης. καὶ] ὅτι συγγενικαὶ λέξεις παρ' Ὁμήρῳ ὥσπερ τὸ δαήρ καὶ τὸ ἑκυρός καὶ τὸ πενθερός, οὕτω καὶ ἡ γάλως καὶ ἡ εἰνάτειρ. Δηλοῖ δὲ ἡ μὲν γάλως τὴν τοῦ ἀνδρὸς ἀδελφήν, καθὰ καὶ ἀλλαχοῦ δεδήλωται, ὁποία ἐστὶ τῇ Ἑλένῃ ἡ Κασάνδρα, κατὰ δὲ Αἴλιον Διονύσιον καὶ τὴν τοῦ ἀδελφοῦ γυναῖκα. πρὸς ἀλλήλας γάρ, φησί, λέγονται. Ταύτην δὲ Ὅμηρος τρισυλλάβως λέγει μεσολαβηθέντος τοῦ ο . ὡς γὰρ φῶς φόως, οὕτω γάλως γαλόως. Κλίνεται δὲ ἡ γάλως ἢ ἰσοσυλλάβως ἀποβολῇ τοῦ ς ἢ περιττοσυλλάβως ὡς ἥρως. Παράγεται δὲ ἢ παρὰ τὸ γάλα διὰ τὸ γαλήνιον καὶ προσηνὲς τῆς κατὰ ἀγχιστείαν ἐγγύτητος, ἢ παρὰ τὸ καλεῖν, ἡ μάλιστα τῶν ἀγχιστευόντων καλουμένη ὑπὸ τῆς γυναικός. Σημείωσαι δὲ ὅτι ἑτερώνυμόν ἐστι συγγενικὸν καὶ ἡ γάλως ἤτοι γαλόως. ἐχρῆν γὰρ εἶναι δάειρα ἐκ τοῦ δαήρ δαέρος. καί εἰσιν οἱ τὴν χρῆσιν ταύτην εἰδότες, ὡς εὐθὺς δηλωθήσεται. Ὅμηρος δέ γε οὐκ εἰδὼς τὴν λέξιν ταύτην γάλως λέγει ἑτερωνύμως, οὐ δάειρα. Λυκόφρων δὲ μέμνηται μὲν Δαείρας, ἣν καὶ παρατίθησι τῇ Περσεφόνῃ ἐν στίχῳ ἑνί. οὐ συγγενικὴν δὲ λέξιν οἶδεν αὐτήν, ἀλλὰ δαιμονίαν. Καὶ δοκεῖ προληπτικῶς ἡ λέξις ὡς θεία ληφθεῖσα σιγηθῆναι παρὰ τῷ ποιητῇ ἐπὶ ἀνθρωπίνης συγγενείας, ὁποῖόν τι καὶ ἐπὶ τῆς τοῦ Διὸς Ἀθηναίας καὶ ἐπὶ γυναικὸς Ἀθηναίας προεδηλώθη. Ὅτι δὲ θεία λέξις τὸ Δάειρα, δηλοῖ ὁ εἰπών· Δάειραν Φερεκύδης ἱστορεῖ Στυγὸς ἀδελφήν. καὶ ἔοικε, φησίν, οὕτως ἔχειν. ἐπὶ γὰρ ὑγρᾶς οὐσίας τάττουσιν οἱ παλαιοὶ τὴν Δάειραν.

2.336 Διὸ καὶ πολεμίαν τῇ Δήμητρι νομίζουσι. ὅταν γὰρ θύηται αὐτῇ, οὐ πάρεστιν ἡ τῆς Δήμητρος ἱέρεια καὶ οὐδὲ τῶν τεθυμένων γεύεσθαι αὐτὴν ὅσιον. Φαύλως οὖν ὁ Φανόδημος Ἀφροδίτην, φησί, νομίζει τὴν Δάειραν καὶ τὴν αὐτὴν τῇ Δήμητρι λέγει. ἔτι δὲ φαυλότεροι οἱ τὴν Ἥραν δάειραν τῆς Δήμητρος ἀποδιδόντες. δάειρα γάρ, φασίν, ἡ τοῦ ἀνδρὸς ἀδελφή. Τινὲς δὲ φύλακα Περσεφόνης ὑπὸ Πλούτωνος ἀποδειχθῆναί φασι τὴν Δάειραν. Αἴλιος μέντοι Διονύσιος Δαῖραν γράφων δισυλλάβως τὴν Δάειράν φησιν, ὅτι οἱ περὶ τελετὰς καὶ μυστήρια τὴν ὑγρὰν οὐσίαν

Δαῖραν ὀνομάζουσι. Δῆλον δὲ ὅτι ἀπὸ δαΐρας γραφομένης διὰ τοῦ ι ἡ ῥηθεῖσα δαῖρα συνῄρηται ὁμοίως κατά τινας τῷ Κάϊρα Καῖρα. καὶ τοιαύτη μὲν ἡ καὶ γάλως καὶ γαλόως. Ἡ δὲ εἰνάτειρ τὴν σύννυμφον δηλοῖ, ὁποία ἡ Ἑλένη τῇ Ἀνδρομάχῃ. γίνεται δὲ παρὰ τὸ εὐνάζειν οἱονεὶ ἡ συνευνάτειρα πρὸς ἄλλην. Αἴλιος δὲ Διονύσιος οὕτω φράζει· εἰνάτερες, αἱ τοῖς ἀλλήλων ἀδελφοῖς γεγαμημέναι, ἃς συννύμφους τινές φασιν. ὥσπερ δὲ εἰνάτειρες αἱ ἐπὶ ἀδελφοῖς σύννυμφοι, οὕτω καὶ ἀέλιοι κατὰ τοὺς παλαιοὺς οἱ ἀδελφὰς γυναῖκας ἔχοντες καὶ πλεονασμῷ τοῦ ι αἰέλιοι, κατὰ τὸ ἀεί αἰεί καὶ [κατὰ τὸ ἀζόκροτος] αἰζόκροτος, ἡ ξηρασία, παρὰ τὴν ἄζην, καὶ ἄψα αἶψα καὶ ἀζηός αἰζηός. Δαὴρ δέ ἐστιν, ὡς καὶ πρὸ ὀλίγου ἐρρέθη, ὁ τοῦ ἀνδρὸς ἀδελφός, καὶ παρῆκται ἀπὸ τοῦ δαίω, τὸ μανθάνω, ὃν μάλιστα τῶν ἄλλων ἀγχιστέων δέδαεν, ἤτοι μεμάθηκεν, ἡ γυνή. Ἑκυρὸς δὲ ὁ αὐτὸς μέν ἐστι τῷ πενθερῷ. Λέγεται δὲ ἑκυρὸς μέν, ὡς εἰς ἕ, ἤτοι εἰς ἑαυτόν, ἔχων τὴν κύρην ἢ τὸ τῆς ἀγχιστείας κῦρος.

2.337 Διὸ καὶ δασύνεται κατὰ τὴν ἄρχουσαν παρά γε τοῖς πλείοσιν. ὁ δέ γε συνθεὶς τοὺς κατὰ στοιχεῖον πνευματισμοὺς ψιλοῖ αὐτὸ κατὰ τὸ ἐκεῖνος. Καὶ φασί τινες παρὰ τὸ κῦρος γενέσθαι τὴν λέξιν κατὰ πλεονασμόν, διὸ καὶ ψιλοῦσθαι. Πενθερὸς δὲ ἴσως διὰ τὸ περὶ τοὺς νομίμους πένεσθαι ἔρωτας, ἤτοι ἀσχολεῖσθαι καὶ ἐνεργεῖν, ἐπεντεθέντος τοῦ θ διὰ τὸ εὔφωνον. [Ἰστέον δὲ ὅτι ἐν τοῖς Ἀριστοφάνους τοῦ γραμματικοῦ Συγγενικοῖς εὕρηταί τις διαφορὰ τοῦ ἑκυρός καὶ πενθερός. Φησὶ γάρ, ὡς πενθερὸς μὲν ὁ τῆς γυναικὸς πατὴρ τῷ νυμφίῳ καὶ πενθερὰ ἡ μήτηρ, ἑκυρὸς δὲ ὁ τοῦ ἀνδρὸς πατὴρ τῇ νύμφῃ καὶ ἑκυρὰ ἡ μήτηρ, οἷον τῇ Ἑλένῃ, φησίν, ὁ Πρίαμος καὶ ἡ Ἑκάβη. ἔνθα κεῖται καὶ τό· τινὲς δὲ ποιηταὶ καταφέρονται πολλάκις ἐπὶ τὸ καὶ τοὺς πενθεροὺς γαμβροὺς ὀνομάζειν. Λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι ἡ μὲν Κασάνδρα τῇ Ἑλένῃ γάλως ἐστί, ὁ δὲ Ἕκτωρ δαήρ, αὐτῆς δέ, ἤγουν τῆς Ἑλένης, ὄνομα οὐχ' εὑρίσκεται. καταλείπεται δή, φησίν, ὁριστικῷ λόγῳ ἀδελφοῦ λέγεσθαι γυνή. εἰ δέ τις οἴεται νυὸν αὐτὴν καλεῖσθαι Κασάνδρας καὶ Ἕκτορος, ἀλλ' ὁ αὐτὸς Γραμματικός φησι, ὅτι νυὸς ὡς ἐπὶ πλεῖστον υἱοῦ γυνὴ τῷ πατρὶ καὶ τῇ μητρί, ὡς ἡ Ἑλένη, φησί, τῷ Πριάμῳ καὶ τῇ Ἑκάβῃ.] (v. 367 s.) Σημείωσαι δὲ ἐν τῷ τόπῳ τούτῳ καὶ εὐλάβειαν τοῦ Ἕκτορος. Ἀλέξανδρος μὲν γὰρ ὁ μαλακὸς θαρρεῖ νικῆσαι διὰ τὸ τὴν νίκην ἐπαμείβεσθαι ἄνδρας, ὡς προερρέθη, [νοῶν ἴσως ἐκεῖνος ἄνδρας οὐ τούς, ὡς ἐρρέθη, ἀνδρείους, ἀλλὰ τοὺς φύσει ἁπλῶς ἄρρενας.] Ἕκτωρ δὲ ὁ τηλικοῦτος ἀμφιβόλως ἔχει, ἐάν, ὡς προερρέθη, ὑπότροπος ἔλθῃ ἢ ὑπὸ χερσὶ Δαναῶν δαμασθῇ. (v. 365 s.) Ὅρα δὲ καὶ ἁπλότητα ἡρωϊκὴν ἐν τοῖς τοῦ Ἕκτορος πρὸς τὴν Ἑλένην λόγοις, ἔτι δὲ καὶ σύνεσιν. Δυνάμενος γὰρ λαθεῖν ὅμως ἐκφαίνει τῇ Ἑλένῃ, ὡς εἰσελεύσεται οἴκαδε, «ὄφρα ἴδηται», ὡς εἴρηται, «οἰκῆας ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν», εὖ εἰδὼς ὅτι οὐ μεμπτέος ἔσται ἀνδρὶ καὶ γυναικὶ ἐπὶ τοσοῦτον παρ' ἀλλήλοις μένουσιν ὁ πρὸς βραχὺ τοῖς οἰκείοις ἐντευξόμενος. καὶ ἄλλως γὰρ οἱ μὲν εἰκῇ συμμένουσιν, αὐτὸς δὲ τοὺς οἰκείους ἰδεῖν θέλει οὐ κατὰ τρυφήν, ἀλλά που, ὡς ἐρρέθη, συνταξόμενος τὰ ἐπιθανάτια διὰ τὸ μὴ θαρρεῖν ὡς ὑπότροπος ἵξεται.

2.338 Διὸ καὶ τοὺς οἰκῆας προέθετο τῆς ἀλόχου καὶ τοῦ παιδίου, ὡς οὐ κατὰ ἔρωτα εἰς οἶκον ἐλευσόμενος, ἀλλ' ἐφ' ᾧ συντάξασθαι ἅπασιν. Ἐνταῦθα δὲ καὶ σχῆμά ἐστι σύνηθες προεκθέσεως, προαναφωνοῦν τί ποιῆσαι μέλλει ὁ Ἕκτωρ μετὰ τὴν ἐντυχίαν τοῦ Πάριδος. (v. 380) Εὐπλόκαμον δὲ δεινὴν θεὸν τὴν Ἀθηνᾶν λέγει ἐνδεικνύμενος μὴ καταρριπτεῖσθαι τὸ φοβερὸν τῷ περιουσιασμῷ τῶν τριχῶν. διὸ καὶ οἱ Ἀχαιοὶ οὐκ ἀπηξίουν εἶναι καρηκομόωντες. Τινὲς δέ γε οὐ τὴν Ἀθηνᾶν ἀφιᾶσιν εὐπλόκαμον λέγεσθαι, ἀλλὰ γράφουσι «Τρῳαὶ ἐϋπλόκαμοι». Δῆλον δὲ ὡς προϋπάρχει τοῦ πλοκάμου ὁ πλόκος, ὡς καὶ τοῦ ὀρχάμου ὁ ὄρχος, ἐξ οὗ διχῇ νοουμένου πῇ μὲν ὄρχαμος, πῇ δὲ ὄρχατος παράγεται. Χρῆσις δὲ πλόκου καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «τόνδ' ἐγὼ τέμνω πλόκον». Τὸ δὲ δεινὴν προσρηθῆναι τὴν Ἀθηνᾶν συντελεῖ τι καὶ εἰς τὸ τὴν δεινότητα ὑπὸ τῶν ὕστερον σοφῶν δοξασθῆναι εἰς ταὐτὸν τῇ φρονήσει ποτὲ ἥκειν. Δεινότης γὰρ ἡ μὲν ἐπ' ἀγαθῷ φρόνησιν ὅσα καὶ μήτηρ ἀπογεννᾷ, ἧς θεράποντες

Νέστωρ καὶ Ὀδυσσεὺς καὶ οἱ κατ’ αὐτούς, ἡ δὲ ἀνάπαλιν πονηρίαν ἀποκυΐσκει ὁποῖα καί τι ἀμβλωθρίδιον, ἧς ὑποδρηστὴρ Πάνδαρος εἰς οὐκ ἀγαθὸν τῆς κατ’ αὐτὸν Ἀθηνᾶς, ὡς ἔγνωσται, ἀπονάμενος. ὡς οὐδὲ οἱ λοιποὶ τοιοῦτοι ὄναιντο ἄν ποτε. Ἄλλως δὲ ῥητορικώτερον δεινὴν Ἀθηνᾶν κατὰ ἦθος βαρὺ ὁ Ἕκτωρ φησίν, ὡς τοιαύτην οὖσαν τοῖς Ἰλιεῦσι καὶ διὰ τοῦτο καὶ ἱκετευομένην. Διὸ καὶ εἰπὼν αὐτὴν δεινὴν ἐπήγαγεν εὐθὺς τὸ ἱλάσκονται. ὡς μὴ ἂν ἱλασμοῦ γινομένου, εἰ μὴ δεινὴ θεὸς ἦν αὐτή. [Πρωτότυπον δὲ τοῦ ἱλάσκεσθαι τὸ ἱλάεσθαι. ἱλάω γάρ, οὗ μέλλων ἱλάσω, ἐξ οὗ πλεονασμῷ συνήθει τοῦ κ ἱλάσκω. θεῖαι δὲ λέξεις ὥσπερ τὸ ἱλάω, οὕτω καὶ τὸ ἱλάσκω καὶ τὸ ἵληθι καὶ ὁ ἵλαος κοινῶς καὶ ὁ ἵλεως Ἀττικῶς, ἐξ ὧν καὶ τὸ ἱλαρύνειν καὶ ὁ ἱλαρός.

2.339 Διασημαίνεται γὰρ ἐν τούτοις θειοτέρα τις ἐπισκοπὴ καί, ὡς εἰπεῖν, ἐποπτεία ἢ ἐφορεία. Ἱλάω γὰρ τὸ ἵεμαι λάειν, ἤγουν ἐφίεμαι καὶ ὁρμῶ ἐπιβλέπειν. λάειν γὰρ τὸ βλέπειν. καὶ ἵλαος ἐντεῦθεν ὁ πρόθυμος ἐποπτεύειν τοὺς δεομένους. τοιαύτης δὲ σημασίας καὶ τὰ τούτοις σύστοιχα.] (v. 386) Μέγαν δὲ πύργον Ἰλίου λέγει ἐφ’ ὃν ἡ Ἀνδρομάχη ἔβη, ὡς καὶ τὸ ἄστυ παρακατιὼν μέγα φησί. πλὴν πύργος μὲν καθ’ ὕψος μέγας, ἄστυ δὲ κατὰ τὸ καὶ εἰς πλάτος εὐρύχωρον. (v. 389) Τὸ δὲ μαινομένη ἐνθουσιᾶν δηλοῖ τὴν γυναῖκα πρὸς ὁρμὴν τῷ τοῦ ἀνδρὸς πόθῳ, οὗ ἡ ἐπίτασις μανίᾳ ἔοικε, καθὰ δηλοῖ καὶ τὸ «μαίνεται δ’ ὑφ’ ἡδονῆς» παρὰ Σοφοκλεῖ. [Ὅτι δὲ οὐκ ἐν τάξει ἐβηματίζεν ἡ Ἀνδρομάχη ἐπὶ πύργον βαίνουσα, δρόμῳ δὲ συντόνῳ ἐχρᾶτο, ὡς εἰ καὶ ἐμαίνετο, δηλοῖ καὶ μετ’ ὀλίγα Ὅμηρος ἐν τῷ «ἐναντίη ἦλθε θέουσα Ἀνδρομάχη». Παραβολικὸν δὲ τὸ μαινομένη, γοργότατα φρασθὲν διὰ τὸ μηδὲ χρῆναι πλατυνθῆναι. διασαφητικὸν δὲ αὐτοῦ τὸ «ἐπειγομένη ἀφικάνει», ἐπὶ τὸ τεῖχος δηλαδὴ ἡ Ἀνδρομάχη.] (v. 394) Ὅτι πολύδωρον ἄλοχον τὴν Ἀνδρομάχην λέγει ὡς πολύπροικον, ἐπίθετον τοῦτο θέμενος αὐτῇ πρέπον περικαλλεῖ γυναικὶ καὶ ἐξ εὐγενῶν καὶ πλουτούντων καταγομένῃ καὶ οἵων τε δῶρα προικῷα πολλὰ διδόναι φίλῃ θυγατρί. Τὸ μέντοι κύριον ὁ Πολύδωρος ἄλλον τρόπον οὕτω καλεῖται, ὡς πολλὰ δῶρα λαβὼν ἐκ φύσεως κατὰ τὴν περιᾳδομένην Πανδώραν. καὶ ἐνταῦθα μὲν ἀόριστα τὰ δῶρα, ἐν δὲ τῷ «γυναῖκες ἀλφεσίβοιαι» εἰδοπεποίηται. [Ἔτι δὲ εἰς πλέον ἐν τῷ «πρῶθ’ ἑκατὸν βοῦς δῶκεν, ἔπειτα δὲ χίλι’ ὑπέστη, πολλὰ δ’ ἔδωκε».

2.340 Πολυδάπανοι γὰρ ἀληθῶς αἱ κόραι. ὅθεν παροιμία ἀστεία τὸ «παῖς μοι τριτογενὴς εἴη, μὴ τριτογένεια», ἤγουν υἱός, μὴ θυγάτηρ. Χρήσιμον δ’ ἐνταῦθα καὶ Ἡσιόδου τὸ «μουνογενὴς δὲ πάϊς εἴη φερβέμεν» καὶ ἑξῆς.] (v. 395—7) Ὅτι καινοπρεπεῖ ἐπαναλήψεως ὁ ποιητὴς κἀνταῦθα κέχρηται σχήματι, ὅπερ σόλοικον μὲν οὐκ ἄν—οὐ γὰρ ἄκοντος Ὁμήρου ἐκπίπτει οὐδὲ τὸ τῶν ὀδόντων ἕρκος ἐκφεύγει—, σολοικοφανὲς δὲ εἴποι τις ἄν. Ἔστι δὲ τοιοῦτον «Ἀνδρομάχη θυγάτηρ μεγαλήτορος Ἠετίωνος», εἶτα ἐπιφέρει ἀκαταλλήλως εὐθεῖαν «Ἠετίων, ὃς ἔναιεν Ὑποπλάκῳ ὑληέσσῃ, Θήβῃ Ὑποπλακίῃ, Κιλίκεσσιν ἄνδρεσιν ἀνάσσων». Ὤφειλε γὰρ ὁμοιοπτώτως ἐπαναλαβεῖν· «Ἠετίωνος, ὃς ἔναιεν ἐν Θήβῃ», ὁ δὲ τὸν ἀκροατὴν ἐπιστρέφων τῷ καινῷ τοῦ σχήματος ἤρξατο ὡς οἷον ἀπ’ ἀρχῆς διηγούμενος οὕτως· Ἠετίων ἦν τις, ὃς ἔναιε, καὶ τὰ ἑξῆς. Τοιοῦτον σχῆμα καὶ τῆς β ῥαψῳδίας ἐν τῷ «φημὶ κατανεῦσαι τὸν Δία, ἀστράπτων ἐπιδέξια». Ἔδει μὲν γὰρ εἰπεῖν ἀστράπτοντα, ὁ δὲ καινῶς ἐπέβαλε καὶ ἐκεῖ ὡς ἀπ’ ἀρχῆς ἄλλης ἀφηγηματικῶς, οἷον ὅτι ἀστράπτων ἦν ὁ Ζεὺς ἐκ τῶν δεξιῶν. Καὶ ὅτε δὲ τοὺς τοῦ Ῥήσου ἵππους ἐκφράζει ὁ ποιητής, ὁμοίῳ χρῆται σχήματι, ὡς κατὰ τόπον ῥηθήσεται, διὰ τὸ καὶ ἐν τοῖς τοιούτοις ἵπποις ξενίζον. Σημειοῦνται δὲ οἱ παλαιοί, ὅτι τὰ καινὰ καινῶς φράζει ὁ ποιητής. (v. 397) Θήβην δὲ Ὑποπλακίην μὴ τὴν αὐτὴν μὲν τῷ Ἀτραμυτείῳ νομιστέον κατά τινας, ἐγγὺς δ’ ὅμως ἐκείνου, καὶ ὡς εἰπεῖν Ἀτραμυτηνὴν κατὰ χώρας περιοχήν. Λέγει οὖν καὶ ὁ Γεωγράφος Ἀτραμυτηνὴν καὶ αὐτὴν καὶ τὴν Χρῦσαν, ἠρημῶσθαι δὲ ἀμφοτέρας. καὶ Ἡρόδοτος δὲ διαιρεῖ Θήβης πεδίον εἰπὼν καὶ Ἀτραμύτειον πόλιν. Ἕτεροι δὲ καὶ τοιαῦτα ἱστοροῦσι. Θήβη θυγάτηρ

γέγονεν Ἀδραμύστιος, ἀνδρὸς Πελασγοῦ, τοῦ τὴν Ἀδραμυστίαν ὁμώνυμον ἑαυτῷ κτίσαντος, ἣν οἱ ὕστερον Ἀδραμύτιον μετεκάλεσαν εὐφωνότερον.

2.341 Ταύτης τῆς Θήβης τὸν γάμον ἐν γυμνικῷ ἀγῶνι ὥρισεν ὁ πατὴρ τῷ ἀριστεύσαντι. παρατυχόντα δὲ Ἡρακλέα νικῆσαί φασι καὶ λαβεῖν τὴν Θήβην εἰς γυναῖκα καὶ κτίσαι πόλιν ὁμώνυμον αὐτῇ, Πλακίαν τε ἐπικαλουμένην καὶ Ὑποπλακίαν διὰ τὸ κεῖσθαι ὑπὸ ὄρος τὸ Πλάκιον, ἀφ’ οὗ ὄρους καὶ ἡ χώρα Ὑπόπλακος ὑλήεσσα κατὰ τὸν ποιητήν. Ὅρα οὖν ὅτι τὸ μὲν «Ὑποπλάκῳ ὑληέσσῃ» τοῦ ὅλου ἐστὶ δηλωτικόν, τὸ δὲ «Θήβῃ Ὑποπλακίῃ» τὸ μέρος δηλοῖ, τουτέστι τὴν πόλιν. Περὶ δὲ Θηβῶν Ὑποπλακίων καὶ ἐν Βοιωτίᾳ εἴρηταί τι, ἔνθα καὶ ἀπαρέσκεται ὁ Πορφύριος ὄρος εἶναι Πλάκιον. Εἴπερ δέ ἐστιν, ὡς ὁ πλείων λόγος κρατεῖ, ἀπὸ τῆς πλακὸς ἔχει τὴν κλῆσιν, ὡς καὶ ἡ ὑποπλακία Θήβη καὶ ἡ ὑλήεσσα ὑπόπλακος, ὅ ἐστιν ἡ ὀρεινὴ καὶ δασεῖα. Πλάκες δέ, φασί, πάντα τὰ πλατέα. ὅθεν καὶ τὸ πέμμα ὁ πλακόεις καὶ ἐν συναιρέσει πλακοῦς. Διὸ οὐδ’ ἐξ ἀνάγκης λιθώδεις πᾶσαι πλάκες κατὰ τὸ «ἱερὴν ὑποπλάκα Σουνίου», ἀλλὰ καὶ ἑτέρως πλατεῖαι καὶ γόνιμοι, ὁποία καὶ ἡ παρὰ τῷ Εὐριπίδῃ σπειρομένη ἀρίστη Χερονησία πλάξ. Κίλικες δὲ οὗτοι, ὧν Ἠετίων ἄρχει καθ’ Ὅμηρον, πάντως ἕτεροί εἰσι τῶν περὶ τὴν νῦν μεγάλην Κιλικίαν, περὶ ὧν καὶ προείρηται. Ὁ δὲ Γεωγράφος περὶ τῆς τοιαύτης Κιλικίας καὶ τοιαῦτά φησιν· Ἀδραμυτηνὴ ἡ Θήβη διέχουσα Ἀδραμυτείου σταδίους ἱκανούς, πλησίον δὲ αὐτῆς ἡ Κίλλα.

2.342 καὶ ὅτι Κίλλας ἡνίοχος ἡγήσατο τῶν τόπων, ἀφ’ οὗ ἴσως ἡ ἐκεῖ Κίλλα ὠνόμασται. Ὁ δ’ αὐτός φησι καὶ ὅτι κάμψαντι τὸ Λεκτὸν ἐλλογιμώταταί εἰσι πόλεις Αἰολέων καὶ ὁ Ἀδραμυτηνὸς κόλπος, ἐν ᾧ πολλοὶ τῶν Λελέγων καὶ οἱ διττοὶ Ὁμηρικοὶ Κίλικες, ἐνταῦθα δὲ καὶ ὁ Μιτυληναίων αἰγιαλός. Πῶς δὲ διττοὶ οἱ ῥηθέντες Κίλικες, ὁ αὐτὸς δηλοῖ, λέγων ὅτι μετὰ τοὺς Λέλεγας, τοὺς Τρωϊκοὺς δηλαδή, περὶ ὧν ἐρρέθη οὐ πρὸ πολλοῦ ἐν τοῖς περὶ Πηδάσου, οἱ καθ’ Ὅμηρον Κίλικες κατὰ τὴν Ἀτραμυτηνὴν παραλίαν. διῃροῦντο δὲ εἰς δύο δυναστείας, τὴν ὑπὸ τῷ Ἠετίωνι καὶ τὴν ὑπὸ τῷ Μύνητι, ὃς ἦρχε Λυρνησσοῦ, ἣν διὰ τοῦτο καὶ πόλιν Μύνητός που ἐρεῖ ἡ πατριῶτις αὐτῆς Βρισηΐς. Ἰστέον δὲ καὶ ὅτι διαφόρους γραφὰς ἀποφέρεται τὸ ῥηθὲν Ἀδραμύτειον, καθὰ καὶ Στέφανος παραδίδωσιν ἐν τοῖς Ἐθνικοῖς. καὶ γὰρ καὶ μετὰ τοῦ δ λέγεται Ἀδραμύτειον, καὶ μετὰ τοῦ τ Ἀτραμύτειον, ὡς καὶ τοῦ ῥηθέντος κτήτορος αὐτοῦ ἴσως οὕτω διφορουμένου, καὶ τὴν παραλήγουσαν δὲ διά τε δύο τ ἔχει καὶ δι’ ἑνός, ἔτι δὲ καὶ διὰ διφθόγγου καὶ διὰ μόνου διχρόνου. (v. 398) Ὅτι ἔχει μὲν ὁ ἀνὴρ γυναῖκα, ἔχεται δὲ γυνὴ τῷ ἀνδρί, ὡς ἡ Ἀνδρομάχη ἐνταῦθα τῷ Ἕκτορι. (v. 399) Ὅτι εἰ καὶ Ἀλέξανδρος ἐπὶ μακρὸν ἔμεινε παρὰ τῇ γυναικί, ἀλλ’ ὁ καλὸς Ἕκτωρ οὐχ’ εὑρὼν οἴκοι, καθὰ καὶ προείρηται, τὴν γυναῖκα οὐκ ἀναμένει, ἄπεισι δὲ κατὰ σπουδὴν προτιμώμενος τῶν ἰδίων τὴν κοινὴν βοήθειαν. αὐτομάτως μέντοι εὑρίσκει τὴν γυναῖκα καὶ τὸ αὐτοῦ βρεφύλλιον, οὐ κατὰ ἔργον ὁδοῦ. Καὶ οὕτως ὁ ποιητής, οἷος αὐτὸς καινῶν θεωρημάτων εὑρετής, παρεντίθησιν, ὡς οὐκ ἂν ἐλπίσῃ τις, τῇ ποιήσει καὶ τὸ τῆς ἡρωΐνης ταύτης ἐπεισόδιον καὶ γλυκαίνει, ὡς ἐρρέθη, τὸν ἀκροατὴν πολυειδῆ τινα ὁμιλίαν παρεντιθείς. Εἰς μυρία γὰρ τῷ ποιητῇ ἐχρησίμευσε τὸ ἀπελθεῖν τὸν Ἕκτορα εἰς τὴν πόλιν.

2.343 δίχα γὰρ τῶν ἄλλων παρεισέδυ οὕτως ἀναγνωρισμὸς Γλαύκου καὶ Διομήδους, ὅθεν ἱστορίας πολὺ χύμα ἔρρευσεν. ἐκεῖθεν δὲ καὶ περὶ οἴνου ἐφιλοσοφήθη τὰ δέοντα καὶ περὶ Σιδονίων ἱστορήθη τινά, ἔτι δὲ καὶ περὶ Ἑλένης καὶ περὶ Ἠετίωνος καὶ περὶ Ἀνδρομάχης. γλυκανεῖ δὲ τὴν ποίησιν καὶ τὸ βρεφύλλιον τοῦ Ἕκτορος, καί, τὸ ὅλον εἰπεῖν, εὖ πεποίηται ὁ Ἕκτωρ ἀπελθὼν τῆς μάχης. Ἱλαρύνθη γὰρ οὕτω τῆς ποιήσεως ἡ σκυθρωπότης καὶ ἀπονιψαμένη τοῦ λύθρου τῶν πιπτόντων τοῖς ἐπεισοδίοις διεγέλασεν. (v. 399—401) Ὅτι περὶ τοῦ ὑποτιτθίου Ἑκτορέου παιδὸς οὕτω φράζει ὁ ποιητής «ἅμα δ’ ἀμφίπολος κίεν αὐτῇ παῖδ’ ἐνὶ κόλπῳ ἔχους’ ἀταλάφρονα, νήπιον αὔτως, Ἑκτορίδην ἀγαπητὸν ἀλίγκιον», ἤγουν ὅμοιον, «ἀστέρι καλῷ», οὐ μὴν ἡλίῳ εἴτε σελήνῃ. οὐ γὰρ ἔπρεπε βρεφυλλίῳ τοιοῦτον ἐπίθετον. Καὶ σημείωσαι [ὅτι τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθὰ τῇ Ἀνδρομάχῃ ἀμφίπολος ἀκολουθεῖ ἔξω, οὕτω κατὰ τοὺς παλαιοὺς καὶ ἐν τοῖς ὕστερον ἠκολούθει ἐξιούσῃ τῇ δεσποίνῃ μία θεραπαινίς, καὶ] ὅτι χρήσιμα εἰς ἀγαθοῦ βρέφους ἔπαινον τὸ «ἀταλάφρονα νήπιον ἀγαπητὸν ἀλίγκιον ἀστέρι καλῷ». Τὴν δὲ ῥηθεῖσαν ἀμφίπολον καὶ τιθήνην ἀνωτέρω ἔφη καὶ ταμίην, [τὸ μὲν ἐκ τῆς κατ' οἶκον ἐνεργείας, ὁποία ἐν Ὀδυσσείᾳ ἡ τῆς Εὐρυκλείας καὶ τῆς Εὐρυνόμης, τὸ δὲ διὰ τὸ θηλάζειν τὸν βασιλικὸν παῖδα. Ἔφη γάρ «φέρει δ' ἅμα παῖδα τιθήνη», γυνὴ ταμίη. Γίνεται δὲ ἡ τιθήνη παρὰ τὸ θῶ θήσω, τὸ θηλάζω, ἀναδιπλασιασμῷ δυσφώνῳ καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν διὰ καλλίονα φωνήν. Τὴν δὲ τιθήνην καὶ τιθηνόν φασιν οἱ παλαιοί, λέγοντες καί, ὅτι τιτθή καὶ τροφός καὶ τιθήνη διαφέρουσι παρὰ τοῖς μὴ πενιχροῖς.

2.344 Τίτθαι μὲν γὰρ βαρυτόνως ἢ τιτθαί ὀξυτόνως αἱ τοὺς τιτθοὺς παρέχουσαι, ὅπερ ἐστὶ μαστούς, ἐξ ὧν καὶ βρέφος ὑποτίτθιον τὸ ὑπομάζιον. Τιθηνοὶ δέ, ἔτι δὲ καὶ τροφοί, ὧν τὸ ἀρσενικὸν οἱ τροφεῖς, αἱ τὸν ἄλλον, φασί, πόνον μετὰ τὸν ἀπογαλακτισμὸν ἀναδεχόμεναι ἤγουν περιφέρουσαι προσπαίζουσαι τοῖς τροφίμοις καὶ ἄλλως ἐπιμελῶς ἐκτρέφουσαι. καὶ τοιαῦτα μὲν ταῦτα. Ὁ δὲ τιτθὸς πλεονασμὸν ἔχει τοῦ τ ἐπίτηδες διὰ τραχυφωνίαν. γίνεται γὰρ ἀπὸ τοῦ ἐντίθεσθαι στόμασι βρεφικοῖς.] (v. 400) Ἔστι δὲ ἀταλάφρων ὁ μὴ τάλας ἢ τλήμων ἀλλ' ἔτι φρονεῖν ἁπαλός. Τὸ δὲ αὔτως εἰ μὲν ἀντὶ 〈τοῦ〉 οὕτω λαμβάνοιτο, περιττὸν κεῖται, ὃ καὶ ἄλλαι, ὡς καὶ προεδηλώθη, λέξεις πάσχουσιν. εἰ δὲ μάλιστα τὸ ὡσαύτως σημαίνει, ἐκ παραλλήλου ἑρμηνεύει κεῖσθαι τὸ ἀταλάφρονα καὶ τὸ νήπιον, ἵνα εἴη ὁ παῖς καὶ ἀταλάφρων ὁμοίως καὶ νήπιος. ἀντὶ τοῦ μάτην γὰρ αὐτὸ νοῆσαι οὐκ ἐγχωρεῖ. (v. 402) Λέγει δ' ἐνταῦθα ὁ ποιητὴς καὶ ὅτι ὁ Ἕκτωρ μὲν μετριοφρονῶν Σκαμάνδριον ἐκάλει τὸν παῖδα ὁμωνύμως ἀνδρί τινι Τρωϊκῷ, οὗ καὶ αὐτοῦ ἐμνήσθη ὁ ποιητής, κατὰ παρωνυμίαν τὴν ἀπὸ τοῦ ποταμοῦ Σκαμάνδρου, ὥσπερ καὶ Σιμοείσιός τις παρὰ τῷ ποιητῇ παρωνυμεῖται τῷ Σιμόεντι ποταμῷ, καί τις Ἰδαῖος τῇ Ἴδῃ τῷ ὄρει. καὶ οὕτω μὲν ὁ Ἕκτωρ. (v. 403) Οἱ δὲ Τρῶες χάριτας εἰδότες τῷ προμάχῳ πατρὶ Ἀστυάνακτα τὸν υἱὸν ἐκάλουν τρόπῳ διωνυμίας, ὡς καὶ ἐν τοῖς μετὰ ταῦτα δηλωθήσεται, οὐχ' ὅτι ὁ οὕτω νήπιος τοῦ ἄστεος ἄναξ ἦν τῆς Ἰλίου ἤτοι φροντιστὴς καὶ ἀνακῶς ἤγουν ἐπιμελῶς ἔχων αὐτῆς, εἰ καὶ ὁ Ἕκτωρ ἐπεύξεται Ἰλίου ἶφι ἀνάσσειν αὐτόν, ἀλλὰ διὰ τὸν πατέρα, ἐπειδή, φησί, μόνος ἐρύετο Ἴλιον Ἕκτωρ. Καὶ ὅρα ὅπως ἐτυμολογεῖ καὶ τὸν Ἀστυάνακτα τρόπῳ ποιητικῷ. Ἰστέον δὲ ὅτι καὶ διὰ τὰ τῶν πατέρων καὶ προγόνων ἔργα ἐτίθετό ποτε ὀνόματα τοῖς ἐπιγόνοις. Τὴν γοῦν Μάρπησσαν Ἀλκυόνην καλεῖσθαί φησί που Ὅμηρος ἐπώνυμον διὰ τὸ τὴν μητέρα αὐτῆς ποτε πολλὰ πενθῆσαι δίκην ἀλκυόνος, καὶ τῷ Ὀδυσσεῖ δὲ ὁ πάππος Αὐτόλυκος τὸ τοιοῦτον ὄνομα ἔθετο, διότι πολλοί, φησίν, ἐμοὶ ὠδύσαντο, τουτέστιν ὠργίσθησαν, κατὰ γῆν, ὡς κλέπτοντι τὰ ἐκείνων.

2.345 οὕτω γὰρ βούλεται ὁ ποιητὴς ἐτυμολογεῖσθαι τὸν Ὀδυσσέα, ὡς ἡ Ὀδύσσεια δηλοῖ. Ὅτι δὲ χαίρουσιν ἐτυμολογεῖν ἐν καιρῷ, καθάπερ οἱ ἄλλοι σοφοί, οὕτω καὶ οἱ ποιηταί, οὐκ ἄδηλόν ἐστιν. οἳ τὰ μὲν ὡς ἐκ παρόδου καὶ οὐ κατὰ πλάτος ἐτυμολογοῦσιν, ἀλλ' ὡς ἂν συνήσει ἀγχίνους ἀκροατής, τὰ πολλὰ καὶ ἓν πρὸς ἓν φράζοντες ἐτυμολογικῶς, ὡς ἔστι μυρία ἐκ τῶν Ὁμηρικῶν ἀναλέγεσθαι, καθὰ καὶ Πορφύριος ἐπισημαίνεται. τὰ δὲ καὶ πλατικώτερον προάγουσιν, ὡς ἔχει καὶ τὰ προσεχῶς εἰρημένα. Τοιοῦτος δὲ καὶ Ἡσίοδος ἔν τε ἄλλοις καὶ ἐν οἷς τὴν Πανδώραν ἐτυμολογεῖ, καὶ ἔνθα δὲ τὴν φιλομειδῆ καὶ τὴν Κυθέρειαν, τὸ μὲν ὅτι Κυθήροις προσεπ〈έ〉λασε, τὸ δ' ὅτι μηδέων ἐξεφαάνθη, ὅ ἐστιν αἰδοίων τῶν τοῦ Κρόνου, καὶ ὅπου δὲ τὸν παρὰ τοῖς ἄλλοις Ὀϊλέα τετρασυλλάβως καλούμενον Ἰλέα τρισυλλάβως αὐτὸς λέγειν ἐθέλων φησὶν οὕτως αὐτὸν κληθῆναι, οὕνεκα νύμφην εὑράμενος ἵλεων μίχθη ἐρατῇ φιλότητι. Ὅθεν ἔστι συνιδεῖν ὅτι κατὰ πλεονασμὸν τοῦ ο ἐκ τοῦ Ἰλεύς γέγονεν ὁ Ὀϊλεύς, ὁμοίως τῷ κέλλω ὀκέλλω, κλῶ κλάζω ὀκλάζω, ἔτι δὲ καὶ τῷ Βριάρεως Ὀβριάρεως, ὡς τεχνογραφεῖ Ἡρῳδιανός. καὶ οὕτω μὲν Ἡσίοδος. Εὐριπίδης δὲ τὸν Οἰδίπουν ἐτυμολογῆσαι

θελήσας ἐπέκρυψε μὲν τὸ σαφές, ὃ δὴ ἀρετὴ ἐτυμολογίας ἐστίν, ἀσαφῶς δὲ χρυσοδέτοις αὐτὸν περόναις ἐπίσημον ἔφη, δι' ὧν δηλαδὴ ἐξοιδηθέντες οἱ πόδες ὄνομα πεποιήκασιν αὐτῷ. (v. 404) Ὅτι μὴ ἔχων ὁ Ἕκτωρ τὸν νήπιον Ἀστυάνακτα προσειπεῖν μειδιάματι φιλοφρονεῖται αὐτόν, ᾧ καὶ μόνῳ δεξιούμενοι τὰ βρέφη προσαγορεύομεν, λόγου μὲν οὐ συνιέντα, τὴν δὲ ὄψιν γνωρίζοντα. Φησὶ γὰρ «μείδησεν ἰδὼν ἐς παῖδα σιωπῇ». (v. 405) Ἀνδρομάχη μέντοι ἄγχι παρίστατο δακρυχέουσα. καὶ οὕτω μερίζονταί πως οἷον ἀμφότεροι τὸν κλαυσίγελων.

2.346 Ἀλλ' ὅτε ἰδὼν τὸν τῆς περικεφαλαίας λόφον ὁ παῖς μετ' ὀλίγα ἐτάρβησε καὶ πτοηθεὶς συνεστάλη, τότε δὴ ὁ πατήρ τε καὶ ἡ μήτηρ ἐξεγέλασαν τῷ δέει τοῦ παιδὸς αὐτοὶ ἀντεπεξαγαγόντες τὸν γέλωτα. Καὶ ὅρα ὅπως πιθανῶς ὁ ποιητὴς διαφόροις πάθεσι τὸ χωρίον τοῦτο κατεκέρασε, μειδιάματι, δάκρυσι, δέει, γέλωτι. ἡ δὲ γλυκύτης καὶ τὸ ἐνδιάθετον ῥητορείαν ἐθέλει μακράν. Ἰστέον δὲ ὅτι τε καθὰ μειδιάματι, οὕτω δὴ καὶ δακρύοις ἔστι πως προσφωνεῖν κατὰ τὸ «προσεῖπε δακρύοις ὥστε σημῆναι φίλα», καὶ ὅτι καὶ διὰ νεύματος ἔστι γενέσθαι τὸ αὐτό, καὶ ὅτι τὸ μὲν Ὁμηρικὸν βρέφος ἔδεισεν, ὡς ἐρρέθη, παρὰ δὲ Ἡροδότῳ φέρουσα γυνὴ δέδωκέ τινι παιδίον, τὸ δὲ προσεγέλασε, φησί, τῷ λαβόντι, καὶ ὅτι τὸ μείδησεν ἀπὸ ἐνεστῶτος γίνεται διφορουμένου. Λέγεται γὰρ καὶ μειδῶ μειδιῶ, ὥσπερ κατηφῶ καὶ κατηφιῶ, καθὰ καὶ πρὸ μικροῦ γέγραπται. (v. 407) Ὅτι τὸ «δαιμόνιε φθίσει σε τὸ σὸν μένος», ὃ Ἀνδρομάχη πρὸς τὸν ἄνδρα φησί, ἁρμόζει παντὶ θρασυνομένῳ ὑπὲρ τὸ δέον. (v. 408—10) Ἐφεξῆς δὲ τὸ «οὐδ' ἐλεαίρεις παῖδά τε νηπίαχον καὶ ἔμ' ἄμμορον, ἣ τάχα χήρη σεῦ ἔσομαι» γυναικὸς λόγοι πρὸς ἄνδρα ὁρμῶντα εἰς κίνδυνον. (v. 407) Ὅρα δέ, φασί, πῶς τὸ σὸν εἶπε μένος, οὐ μὴν πολέμιός τις καὶ ἀριστεύς, ὡς εἴγε πεσεῖν τὸν Ἕκτορα ἐν πολέμῳ ἀνάγκη, οὐχ' ἕνα τινὰ τοῦτο ποιήσειν ἡ Ἀνδρομάχη φησίν, ἀλλὰ τὸ Πανελλήνιον. «Τάχα γάρ σε κατακτανέουσι», φησίν, «Ἀχαιοὶ πάντες ἐφορμηθέντες». οὕτω μεγάλα φρονεῖ περὶ τοῦ ἀνδρός. Ἐπαινοῦσι δ' ἐνταῦθα οἱ παλαιοὶ καὶ τὸ «δαιμόνιε», παρασημειούμενοι, ὡς οὔτε «Ἕκτορ» οὔτε «ἄνερ» οὔτε τι τοιοῦτον ἕτερον προσεῖπεν αὐτόν, ἀλλὰ «δαιμόνιε», ὅπερ θυμὸν ἐμφαίνει καὶ εὔνοιαν. Θαυμάζει μὲν γάρ, φασί, τὴν ἰσχὺν τοῦ ἀνδρός, τὸ δὲ θράσος οὐκ ἐπαινεῖ, ὃ καὶ ὀκνήσασα ὀνομάσαι διὰ τὸ δύσφημον μένος εἶπεν ἀντ' αὐτοῦ. [Οὐκοῦν ἀληθῶς μέσως ἐνταῦθα εἴρηται τὸ δαιμόνιε, ὥσπερ καὶ μετ' ὀλίγα τὸ «δαιμονίη» ἐν τῷ «δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο». οὔτε γὰρ μακαριότητα μόνην οὔτε μὴν ἀθλιότητα κατὰ μόνας ἐν τούτοις ἔστι νοεῖν, ἀλλά τι κρᾶμα ἐξ ἀμφοῖν. Ὁ μέντοι δαίμων, ὥσπερ δὴ καὶ ἡ μοῖρα καὶ ἡ τύχη ἄλλως λέγονται μέσαι λέξεις, καὶ ὡς ἐπὶ πολὺ μὲν τῷ εὖ καὶ τῷ δυς διακρίνονται εἰς ὃ νοοῦσιν, ἔστι δὲ ὅτε καὶ ἁπλᾶ ὄντα τῇ κατ' ἔννοιαν ἀκολουθίᾳ διευκρινοῦνται.

2.347 Δαίμων γοῦν εὐροεῖν, καὶ δαιμόνιος δὲ Ἀριστοτέλης ἐπὶ καλῷ λέγονται, δαίμων δὲ βαρὺς τὸ ἀνάπαλιν. οὕτω δὲ καὶ ἡ μοῖρα ἐν ταῖς χρήσεσι θεωρεῖται. ὡσαύτως δὲ καὶ ἡ τύχη. τὸ μὲν γὰρ «θέλω τύχης σταλαγμόν» καὶ τὸ «τύχη Καίσαρος» ἀγαθὰ νοοῦσι. Τὸ δὲ «οὐκ ἔστιν, εἰ μὴ τὴν τύχην αὐτὴν λέγεις», καὶ ἡ παρὰ Σοφοκλεῖ ἀναγκαία τύχη τὴν μὴ εὖ πίπτουσάν τινι δηλοῦσιν.] (v. 408) Ἰστέον δὲ καὶ ὡς διαφέρει νήπιος καὶ νηπίαχος οὐ κατὰ μόνον τὸ ἁπλοῦν καὶ τὸ σύνθετον, ἀλλὰ καὶ ὅτι νήπιος μὲν δηλοῖ ὁτὲ μὲν ἡλικίαν, ὁτὲ δὲ ἦθος, νηπίαχος δὲ συνεμφαίνει τῇ ἡλικίᾳ καὶ τὴν βρεφικὴν ἰαχήν, ἥτις ἐστὶ κλαυθμυρισμός. ἧς δὴ νηπιέης ἰαχῆς μαρτύριον μετ' ὀλίγα τὸ πρὸς κόλπον τιθήνης ἐκλίνθη ἰάχων. Ἔφη δ' ἐν τούτοις περὶ Ἀστυάνακτος τὸ μὲν «νήπιος» ὁ ποιητὴς ἀπαθῶς εἰπὼν «ἀταλάφρονα νήπιον», τὸ δὲ νηπίαχος ἡ μήτηρ Ἀνδρομάχη περιπαθῶς. (v. 408 s.) Ὅρα δὲ καὶ ὅτι συνεχῶς δὶς ἐν τοῖς ῥηθεῖσι κεῖται ταὐτολιγικῶς τὸ τάχα, ὃ δηλοῖ τὸ ταχέως. Ἔφη γὰρ ἡ Ἀνδρομάχη «ἣ τάχα χήρη σεῦ ἔσομαι· τάχα γάρ σε κατακτανέουσιν». Ἐντελῶς δὲ πέφρασται τὸ «χήρη σεῦ». ἡ γὰρ χήρα τινός ἐστι χήρα. κατωτέρω δὲ τὸ «παῖδ' ὀρφανικὸν χήρην τε γυναῖκα» ἐλλέλειπται. Οὕτω καὶ πολιὰν μὲν εἰπεῖν ἐλλιπῶς ἔχει, τὸ δὲ «πολιὰς ἕλκετο τρίχας» καὶ «πολιᾶς ἀμύγματα χαίτης» ἀνελλιπῶς

ἔχει. (v. 410—3) Ὅτι ὁ λυπούμενος ἐπὶ στερήσει φίλου ἢ εὐεργέτου εἴποι ἂν τὸ τῆς Ἀνδρομάχης πρὸς Ἕκτορα «ἐμοὶ δέ κε κέρδιον εἴη σεῦ ἀφαμαρτόντι χθόνα δύμεναι· οὐ γὰρ ἔτ’ ἄλλη ἔσται θαλπωρή, ἐπεὶ ἂν σύ γε πότμον ἐπίσπῃς, ἀλλ’ ἄχεα».

2.348 Εἰ δὲ καὶ γονέων ἐστέρηται ὁ ταῦτα λέγων, ἁρμόττει καὶ τὸ ἐφεξῆς «οὐδέ μοί ἐστι πατὴρ καὶ πότνια μήτηρ». Λέγει δὲ θαλπωρὴν μὲν τὴν ὑπὸ ἡλίῳ διαγωγήν, ὅ ἐστι ζωήν. Χθόνα δὲ δῦναι τὸ τεθνάναι, ὅτε οὐκ ἔστι θάλπεσθαι, εἴγε κρυερὸς ὁ Ἅιδης λέγεται. Καὶ ἄλλως δὲ ἡ θαλπωρὴ ἔοικε βεβαίαν ἐλπίδα δηλοῦν καὶ οὐκ ἐν κενοῖς θάλπουσαν, ἣν ὁ μὴ ἔχων ἀνηκέστῳ πυρὶ θάλπεται, καὶ ἄλλως δὲ κεναῖς ἐλπίσι θερμαίνεται κατὰ τὸν εἰπόντα τραγικόν. Κοινότερον δὲ θαλπωρὴ ἡ θάλπουσα ἡδονή, ᾗ ἀντίκειται τὰ ὡς εἰπεῖν ψυχρὰ ἄχεα. (v. 411) Τὸ δὲ ἀφαμαρτούσῃ ἀρίστη λέξις ἐπὶ ἀνδρὸς φίλου θανάτῳ καὶ οὐδεμία ἑτέρα καιριωτέρα ταύτης εὑρεθήσεται. [Ἰστέον δὲ καὶ ὅτι τὸ χθόνα δῦναι ταὐτόν ἐστι τῷ δῦναι δόμον Ἄϊδος εἴσω, ἤδη δὲ καὶ τῷ χυτῇ γαίᾳ καλυφθῆναι καὶ τοῖς τοιούτοις. Τὸ δέ γε χανεῖν τινι εὐρεῖαν χθόνα ἑτεροῖόν ἐστι. πρὸς ὃ γράψας τις τολμηρότερον, ὡς καὶ ἀλλαχοῦ παρεσημάνθη, ἔφη τὸ «οὕτω τοι δεῖ ζῆν τὸν ἐλεύθερον ἢ κατὰ τῆς γῆς καὶ τοῦ βαράθρου καὶ τοῦ ταρτάρου εἰς τὸν ὄλεθρον ἥκειν καὶ κατορωρύχθαι σταδίους ἀναριθμήτους».] (v. 412) Τὸ δὲ ἐπεὶ ἂν τὸ ἐντελές ἐστι τοῦ παρὰ τοῖς ὕστερον λεγομένου ἐπάν, παρ’ οἷς συνθετώτερον τοῦ ἐπεὶ ἂν τὸ ἐπειδάν. Ὅτι Ἀνδρομάχη τὰ κατὰ τοὺς οἰκείους γονεῖς διηγεῖται τῷ Ἕκτορι καὶ ταῦτα πάντως εἰδότι, παρέλκον τι καὶ αὐτὴ ποιοῦσα κατὰ γυναικεῖαν ἀφέλειαν εἰς οὐδὲν κατεπεῖγον. οὐ γάρ ἐστι, φασίν, ἀναλογισμὸς τοῦ δέοντος ἀσθενούσαις ψυχαῖς, ἢ πενθούσαις καὶ τεταραγμέναις. ἔτι δὲ οἱ ἀτυχοῦντες φιλοῦσι καὶ πρὸς εἰδότας ἀδολεσχεῖν, ὡς καὶ Ἀχιλλεὺς ἐν τῇ α′ ῥαψῳδίᾳ πρὸς τὴν μητέρα ποιεῖ.

2.349 καὶ ἄλλως δὲ τῷ φιλοπενθεῖ συγχωρητέον μακρολογεῖν. Σημείωσαι δὲ ὅτι καὶ ταῦτα δεινῶς μεθοδεύει ὁ ποιητής, ἵνα εἰ καὶ ἀπὸ τῶν τελευταίων τῆς μάχης ἤρξατο, μηδὲ τῶν παλαιοτέρων ἔργων τῶν ἀξίων λόγου παραλείψῃ μηδέν. (v. 413—28) Λέγει δὲ ἡ Ἀνδρομάχη οὕτως «οὐδέ μοί ἐστι πατὴρ καὶ πότνια μήτηρ. ἤτοι μὲν γὰρ πατέρα ἐμὸν ἀπέκτανε δῖος Ἀχιλλεύς, ἐκ δὲ πόλιν πέρσεν Κιλίκων εὖ ναιετάουσαν», ἤτοι ναιομένην, «Θήβην ὑψίπυλον», τὴν πατρίδα μου δηλαδή, «κατὰ δ’ ἔκτανεν Ἠετίωνα, οὐδέ μιν ἐξενάριξε, σεβάσατο γὰρ τό γε θυμῷ, ἀλλ’ ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισιν ἠδ’ ἐπὶ σῆμ’ ἔχευεν», ἤγουν διὰ χώματος ὑψηλοῦ ἐσήμανε τὸν τόπον τῆς ταφῆς. περὶ δὲ τὸ σῆμα «πτελέας ἐφύτευσαν νύμφαι ὀρεστιάδες κοῦραι Διός. οἳ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισιν, οἳ μὲν πάντες ἰῷ κίον ἤματι Ἄϊδος εἴσω· πάντας γὰρ κατέπεφνεν Ἀχιλλεὺς βουσὶν ἐπ’ εἰλιπόδεσσι καὶ ἀργεννῇς ὀΐεσσιν», ὥστε βουκολοῦντες παλαιῷ ἔθει καὶ ὄϊς νέμοντες ἐκεῖνοι ἔπεσον ὑπὸ τῷ Ἀχιλλεῖ. «μητέρα δέ», φησίν, «ἣ βασίλευεν Ὑποπλάκῳ ὑληέσσῃ, τήν, ἐπεὶ ἂρ δεῦρ’ ἤγαγεν ἅμ’ ἄλλοισι κτεάτεσιν, ἂψ ὅ γε τὴν ἀπέλυσε λαβὼν ἀπερείσι’ ἄποινα, πατρὸς δ’ ἐν μεγάροισι βάλ’ Ἄρτεμις ἰοχέαιρα», τουτέστιν αἴφνης μετὰ τὴν λύσιν τέθνηκεν, ἴσως διὰ λύπης ὑπερβολήν. ὅτι γὰρ τῶν αἰφνιδίων θανάτων ταῖς γυναιξὶν ἡ Ἄρτεμις ἐπιστατεῖ, καὶ πρὸ ὀλίγων εἴρηται. (v. 415 s.) Πόλιν δὲ Κιλίκων ἀκριβῶς λέγει τὴν ὑπὸ τῷ Ἠετίωνι Θήβην, ὃν πρὸ βραχέων Κιλίκεσσιν ἔφη ἀνάσσειν. Τὴν δὲ Θήβην ὑψίπυλον λέγει ἀντὶ τοῦ μεγάλην ὡς ἀπὸ μέρους. Χρεία γὰρ τῇ μεγάλῃ πόλει τοιούτων πυλῶν, οὐ μὴν τῇ φαυλοτάτῃ, ὡς ἂν μὴ ἐπισκώψῃ τις τὸ ᾀδόμενον «κλείσατε τὰς πύλας, ἵνα μὴ ἐξέλθῃ ἡ πόλις». Ἴσως δὲ ταὐτὸν ὑψίπυλον εἰπεῖν ποτε καὶ τηλέπυλον, ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται. (v. 416 s.) Σημείωσαι δὲ καί, ὡς ἐνταῦθα φανερῶς ἐδήλωσεν, ὅτι ἐναρίζειν οὐ τὸ κτείνειν ἐστὶν ἀλλὰ τὸ σκυλεύειν. Φησὶ γάρ· κατέκτανεν, οὐδέ μιν ἐνάριζεν, ἀλλ’ ἔκηε σὺν ἔντεσιν. ὅθεν καὶ ἔναρα τὰ σκῦλα, ὅ ἐστι τὰ λάφυρα. Ἔνθα ὅρα καὶ ὅπως ὁ Ἀχιλλεὺς τὴν τοῦ πολεμίου Ἠετίωνος ἀρετὴν ᾐδέσατο τιμήσας ἐκεῖνον μετὰ θάνατον. Τὸ γὰρ «σεβάσατο» ἀντὶ τοῦ ἐτίμησεν, ἀφ’ οὗ καὶ ὁ παρὰ τοῖς ὕστερον σεβαστός. [(v.

2.350

Eulogikon public reading copy · View original HTML at eulogikon.org

419) Τὸ δὲ «σῆμα ἐπιχεῦε» παραφράσας ὁ Σοφοκλῆς τάφον χῶσαι εἶπεν, ὅ ἐστιν ἀναχωματίσαι. ὅθεν καὶ τὰ ἱστορούμενα πολλαχοῦ χώματα.] Αἱ δὲ πτελέαι προσήκουσι νεκρῶν καὶ αὐταὶ μνήμασι διὰ τὸ ἄκαρπον, καθὰ καὶ αἱ ἰτέαι καὶ ὅσα ἕτερα δηλοῖ καὶ ἡ Ὀδύσσεια. (v. 420) Νύμφαι δὲ ὀρεστιάδες φυσικαὶ 〈καὶ〉 φυτικαὶ νοοῦνται δυνάμεις διοικοῦσαι τὰ φυόμενα ἐκ γῆς καὶ εἰς αὔξην προκαλούμεναι καὶ ἁδρύνουσαι δι' ὑγρότητος καὶ θερμότητος τὰ ἐν ὄρεσι καὶ ἄγρια, ὧν εἶδος καὶ αἱ πτελέαι. Εἰ δὲ καὶ δρύες δι' αὐτῶν γίνονται καὶ μηλέαι καὶ τὰ ἐν λειμῶσιν, οὐδὲ τοῦτο ἀφῆκεν ἡ ποίησις ἀπεριλάλητον ἁμαδρυάδας νύμφας τινὰς πλασαμένη καὶ μηλίδας καὶ λειμωνιάδας. Αἱ δὲ τοιαῦται δυνάμεις νύμφαι μὲν λέγονται, ὡς καὶ ἀλλαχοῦ σαφέστερον εἴρηται, διὰ τὸ κατὰ τὸ νέον, ὅ ἐστι κατὰ τὸ ἔαρ, μάλιστα ἐκφαίνεσθαι, Διὸς δὲ θυγατέρες, ὅ ἐστιν ἀέρος καὶ αἰθέρος, διὰ τὴν ἄνωθεν ἑπομένην αὐταῖς ὑγρότητα καὶ θερμότητα. [Ἰστέον δὲ ὅτι καθάπερ ὁμώνυμος γυναικὶ κόρῃ, τουτέστι παρθένῳ, ἡ μυθευομένη τῆς Δήμητρος Κόρη, οὕτω καὶ αἱ μυθικαὶ Νύμφαι ὁμωνυμοῦσι ταῖς παρ' ἀνθρώποις. Ἔτι δέ, καθὰ αἱ παρθένοι κόραι καὶ μετὰ γάμον κόραι καὶ κοῦραι λέγονται διὰ τὸ νεάζειν, ὡς καὶ Ὅμηρος οἶδεν, οὕτω καὶ αἱ τοῦ μύθου Νύμφαι, ὧν πολὺ πλῆθος ἐν τῇ ποιήσει καὶ γάμῳ ὑποπεσοῦσαι καὶ τεκοῦσαι Νύμφαι καλοῦνται κατά τινα κυριωνυμίαν.

2.351 Ὅτι δὲ καὶ συγγενικόν ἐστιν ὄνομα ἡ νύμφη, καὶ ὅτι καὶ προβεβηκυῖάν τινα τῇ ἡλικίᾳ νύμφην ὁ ποιητὴς καλεῖ, οἷον «δεῦρ' ἴθι νύμφα φίλη», καὶ ὅτι παρώνυμος τῇ νύμφῃ ὁ νυμφίος, καὶ ὅτι ὁ παράνυμφος εἰκαιότερον οὕτω λέγεται. ὀρθότερον γάρ ἐστι παρανυμφίον καλεῖσθαι τὸν συναπάγοντα τῷ νυμφίῳ τὴν νύμφην ἢ πεζῇ ἢ ἐφ' ἁμάξης ὡς παρ' Ἀθηναίοις, ὑφ' ὧν καὶ πάροχος καλεῖται διὰ τὸ μόνος αὐτὸς συναναβαίνειν καὶ ὀχουμένῳ τῷ νυμφίῳ παροχεῖσθαι, καὶ ὅτι νυμφεῖον περιεκτικῷ λόγῳ ὁ τόπος ἐν ᾗ οἱ νυμφίοι, καὶ ὅτι νυμφαγωγός ὁ τὴν νύμφην ἄγων ἐκ τῆς πατρικῆς οἰκίας τῷ νυμφίῳ, καὶ μάλιστα ὁ τὴν κατὰ δεύτερον γάμον, καθ' ὃν οὐ θέμις τὸν νυμφίον μετιέναι, ἀλλ' ἀποστέλλεσθαι φίλον, ὃς οὕτω προσονομάζεται, δηλοῦσιν οἱ παλαιοί. καὶ οὕτω μὲν καὶ ταῦτα.] (v. 422—4) Σημείωσαι δὲ καὶ ὅτι προσθήκη τις πένθους τῇ Ἀνδρομάχῃ οὐ μόνον ὅτι ἑπτὰ ἔπεσον αὐτῇ ἀδελφοί, ἀλλ' ὅτι καὶ ἐν ἰῷ, ἤγουν ἑνί, ἤματι, καὶ ὅτι οὐδὲ μαχόμενοι ἔπεσον, ἀλλ' ἐπὶ βουσὶ καὶ ὀΐεσσιν. (v. 422) Ἰστέον δὲ ὅτι ἄπορον μὲν τοῖς παλαιοῖς διὰ τί κλίνεται μία μιᾶς μιᾷ ἐν ἀνομοιότητι τόνων. Ἔοικε δὲ παθεῖν τοῦτο ἐξ ἀναλογίας τῆς πρὸς τὸ οἰκεῖον ἀρσενικὸν καὶ οὐδέτερον. ἰδοὺ γὰρ ἐνταῦθα ἰῷ ἤματί φησιν ὁ ποιητὴς ἀντὶ τοῦ μιᾷ ἡμέρᾳ μετὰ περισπωμένου τόνου. Ἀριστάρχειος δέ, φασίν, ἡ τοιαύτη ἀνάγνωσις. Τινὲς δὲ καὶ Ἀττικὸν αὐτὸ εἶναι ἠθέλησαν. τὸν δὲ Ἀρίσταρχόν φασι καὶ ἄλλα πολλὰ παρὰ τὴν ἀναλογίαν καινοτέροις τόνοις ὑποβαλεῖν, ὃς καὶ «μέσην ἐς ἄγυιαν» προπαροξυτόνως ἀναγινώσκων ἐν τοῖς ἑνικοῖς τὸ «ἐϋκτιμένας κατ' ἀγυιάς» ὀξυτόνως προέφερεν, ὁποῖόν τι πάσχει κατ' ἄλλους, ὡς προεγράφη, καὶ τὸ Θέσπια καὶ Θεσπιαί καὶ Πλάταια καὶ Πλαταιαί.

2.352 Τούτων δὲ εἴ τις ἀποδοῦναι σχοίη σταθηρὰς αἰτίας, ἔχοι ἂν λῦσαι καὶ τὸ περὶ τοῦ ἡ μία τῆς μιᾶς ἄπορον. Περὶ δὲ τοῦ ἰῷ ἤματι, καὶ ἄλλα τινὰ ἐν τοῖς ἑξῆς γεγράψεται. (v. 425) Τὸ δὲ «ἣ βασίλευε» σεμνώματος χάριν εἶπεν, ἐπειδὴ πολλαὶ γυναῖκες ὑπὸ βασιλεῦσιν οὖσαι ὅμως αὐταὶ οἷα παλλακαὶ οὐ βασιλεύουσι. (v. 426 s.) Τὸ δὲ «τὴν ἐπεὶ ἂρ δεῦρ' ἤγαγεν» ἐπανάληψιν ἔχει οὐκ ἀναγκαίαν διὰ τὴν ἐξ ἐγγυτάτου ἀπόδοσιν τῆς συντάξεως. Ἦν γὰρ ἀσφαλῶς εἰπεῖν ὅτι μητέρα, ἣ βασίλευε, δεῦρο ἀγαγὼν ἀπέλυσεν. Οὕτω δὲ καὶ ἐν τῷ «ἂψ ὅ γε τὴν ἀπέλυσεν» οὐ κατά τι ἀναγκαῖον κεῖται τὸ τήν, ἀλλὰ περιττεύει πρὸς μέτρου πλήρωσιν. Τοῦ δὲ «ἐπεὶ ἄρ» κοινότερον τὸ ἐπειδή. Τοῦ δὲ ἀπέλυσεν οὐκ ἔχει καιριωτέραν λέξιν, ἀφ' ἧς δηλαδὴ καὶ τὰ λύτρα. Ἐνταῦθα δὲ ὅρα καὶ ὅτι σὺν ἄλλοις κτεάτεσιν ἀγαγὼν Ἀχιλλεὺς τὴν τῆς Ἀνδρομάχης μητέρα, εἶτα καὶ ἀπερείσια λαβὼν ἀπέλυσεν ἐκείνην, οὐ προσλογισάμενος ἃ ἐληΐσατο, ἀλλ' ἐκεῖνα μὲν πολέμου δῶρον κρίνας, τῆς δὲ γυναικὸς ἀντιλαβὼν ἕτερα, ὃ δὴ καὶ τοῖς ὕστερον σύνηθες. (v. 429—32) Ὅτι πάνυ περιπαθὴς καὶ ἐνδιάθετος ὁ τῆς Ἀνδρομάχης ὅλος πρὸς Ἕκτορα λόγος, καὶ μάλιστα ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μετὰ τὴν εἰρημένην συγγενικὴν ἱστορίαν, ἐν ᾧ μόνου τοῦ Ἕκτορος ἑαυτὴν ἐξαρτῶσα καὶ οὕτως εἰς οἶκτον κινοῦσα οὕτω φησὶν «Ἕκτορ, ἀτὰρ σύ μοί ἐσσι πατὴρ καὶ πότνια μήτηρ ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης· ἀλλ' ἄγε νῦν ἐλέαιρε καὶ αὐτοῦ μίμν' ἐπὶ πύργῳ», καὶ ἑξῆς. (v. 450—62) Πρὸς ἅπερ ἀντιδιδοὺς ὁμοίαν εὔνοιαν ὁ ἀνὴρ ἢ μείζονα ἐρεῖ «ἀλλ' οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω, οὔτ' αὐτῆς Ἑκάβης οὔτε Πριάμοιο ἄνακτος οὔτε κασιγνήτων», οἳ οὐ κατὰ τοὺς σοὺς ἀδελφοὺς ἑπτὰ μόνοι, ἀλλὰ «πολέες τε καὶ ἐσθλοὶ ἐν κονίῃσι πέσοιεν ὑπ' ἀνδράσι δυσμενέεσσιν». οὔκουν αὐτῶν μοι τοσοῦτον μέλει ἄλγος, «ὅσσον σεῖο, ὅτε κέν τις Ἀχαιῶν δακρυόεσσαν ἄγηται ἐλεύθερον ἦμαρ ἀπούρας», ἤγουν ἀφελόμενος, «καί κεν ἐν Ἄργει ἐοῦσα πρὸς ἄλλης ἱστὸν ὑφαίνοις καί κεν ὕδωρ φορέοις Μεσσηΐδος ἢ Ὑπερείης, πόλλ' ἀεκαζομένη», καὶ τὰ ἑξῆς.

2.353 Καὶ σημείωσαι, ὅτι Ἀνδρομάχη μὲν τὸν Ἕκτορα τῶν οὐκέτ' ὄντων αὐτῇ συγγενῶν προτιμᾶται, αὐτὸς δὲ ἐκείνην τῶν ζώντων ὕπερθεν τίθησιν. ἀλλὰ περὶ τούτων μὲν εἰρήσεται μετ' ὀλίγα ἐν τοῖς ἑξῆς. (v. 432—7) Ἐνταῦθα δὲ ἡ γυνὴ προβάλλεται εἰς οἶκτον καὶ τὸ «μὴ παῖδα ὀρφανικὸν θείης χήρην τε γυναῖκα». Παραγγέλλει δὲ σὺν τῷ μεῖναι ἐπὶ πύργῳ καὶ τὸ «λαὸν δὲ στῆσον παρ' ἐρινεόν, ἔνθα μάλιστα ἀμβατός ἐστι πόλις καὶ ἐπίδρομον ἔπλετο τεῖχος». ἔνθα, φησί, τρὶς ἐλθόντες ἐπειρήσαντο οἱ ἄριστοι, ἀμφὶ Αἴαντε δύο καὶ ἀγακλειτὸν Ἰδομενέα καὶ ἀμφ' Ἀτρεΐδας καὶ Τυδέος ἄλκιμον υἱόν. Καὶ ὅρα ὅπως κἀνταῦθα περίνους ὁ ποιητὴς καὶ ποικίλος. Ἑλένη μὲν γὰρ ἐκπέμπει τὸν ἄνδρα εἰς μάχην, ὡς προείρηται, τάχα που καὶ ἐπευχομένη θάνατον, Ἀνδρομάχη δὲ τὸν οἰκεῖον κατέχει ὡς ῥιψοκίνδυνον. Ἐδέοντο γὰρ οὗτος μὲν χαλινοῦ κατὰ τὴν παροιμίαν, ἐκεῖνος δὲ κέντρου. Οἴονται δὲ οἱ παλαιοὶ τὸ τρὶς ἐλθόντας ἐπὶ τὸ τεῖχος πειράσασθαι τοὺς ἀρίστους σχῆμα εἶναι κατὰ τὸ σιωπώμενον, ὡς ἀληθῶς νῦν ἐλθόντων ἐκεῖ τῶν Ἑλλήνων, εἰ καὶ μὴ ἱστόρησεν Ὅμηρος. Ἐμφαίνει δὲ αὐτὸ καὶ ὁ Ἕκτωρ, ἐν οἷς πρὸ μικροῦ εἶπεν, ὅτι «λαοὶ φθινύθουσι περὶ πτόλιν αἰπύ τε τεῖχος μαρνάμενοι». καὶ οὕτω μέν τινες. Οἱ δὲ ἀκριβέστεροι καὶ ἐκεῖνο πλάττεσθαί φασιν ὑπὸ τοῦ Ἕκτορος, ὡς ἂν αἰσχύνῃ τὸν Ἀλέξανδρον, καὶ τοῦτο δὲ πλάσμα εἶναι τῆς γυναικὸς νοοῦσιν, ὡς ἂν ἀποστήσῃ τῆς πεδιάδος τὸν Ἕκτορα. Ψεύσεται γάρ ποτε, ὥς που καὶ προερρέθη, καιρίως ὁ φρόνιμος κατὰ τὸν εἰπόντα «ἔνθα τι χρὴ ψεῦδος λέγεσθαι, λεγέσθω». Ὅλως οὖν καὶ ἀστεία εἰπεῖν καὶ ἀνδρεία δὲ φερωνύμως ἡ Ἀνδρομάχη, ἥτις καὶ ἐν τοῖς ἑξῆς ὑπὸ Ἕκτορος ἐπαινεῖται ὡς δεξιῶς ἔχουσα ἱπποκομεῖν.

2.354 Τινὲς δὲ τὸ τοὺς Ἀχαιοὺς ἀπὸ τοῦ ἐρινεοῦ ἐπιθέσθαι τῇ Τροίᾳ οὐχ' ὡς γενόμενον ἄρτι νοοῦσιν, ἀλλ' ὡς πάλαι ποτὲ ἐπιχειρηθέν, ὥστε οὐ διδάσκει αὐτὸ ἡ γυνὴ τὸν Ἕκτορα, ἀλλ' ἀναμιμνῄσκει. Οὕτω δὲ καὶ τὸ «περὶ πόλιν αἰπύ τε τεῖχος» μάρνασθαι τοὺς Ἀχαιοὺς οὐ νῦν γενέσθαι φασίν, ἀλλ' ἐν ἄλλοις καιροῖς. Ἔφη γοῦν πρὸ ὀλίγου ὁ ποιητής, ὅτι ἔνθα κε Τρῶες ὑπ' Ἀχαιῶν Ἴλιον εἰσανέβησαν, εἰ μὴ ὁ Ἕλενος εἶπεν ἃ εἶπεν, ὥστε οὔπω σήμερον ἤγγισαν οἱ Ἕλληνες τῷ τείχει. (v. 434) Ὅρα δὲ ὅπως τὰ καίρια λεπτολογῶν ὁ ποιητὴς καὶ αὐτὸ τοῦτο ἱστόρησεν, ὅθεν ἀναβατὸς ἦν μάλιστα ἡ πόλις καὶ τὸ τεῖχος ἐπίδρομον καὶ διὰ τοῦτο εὐεπιβούλευτον. Ἔστι δὲ Ἀττικὸν τὸ ἀμβατός ἀντὶ τοῦ ἀμβατή, ὅ ἐστιν ἀναβαινομένη. (v. 429) Ὅρα δὲ καὶ τὸ «Ἕκτορ, σύ μοι πατήρ» καὶ τὰ ἑξῆς. Ἠρκέσθη γὰρ ἡ γυνὴ περιπαθῶς ἅμα καὶ ἀφελῶς μόνῃ τῇ κυριωνυμίᾳ τοῦ ἀνδρός, μηδέν τι ἐκεῖνον σεμνολογήσασα. Πολλὰ δὲ καὶ ἕτερα τοιαῦτα ἔστιν εὑρεῖν. Καὶ νῦν μὲν ἀφελείας τὸ τοιοῦτον, ἔστι δ' ὅπου καὶ βαρύτητος, ὡς ὅτε ἡ παρὰ τῷ Εὐριπίδῃ Ἠλέκτρα εἴπῃ τὸ «Ἑλένη, τί σοι λέγοιμ' ἄν;» Ἐκεῖ γὰρ ἡ τοῦ κυρίου ὀνόματος χρῆσις βαρυνόμενον ἦθος δηλοῖ κατὰ τοὺς παλαιούς. Ἰστέον δὲ καὶ ὅτι τὸ «σύ μοι πατὴρ καὶ πότνια μήτηρ» ἀπέχρησέ τινι τοιοῦτον εἰπεῖν τῷ Διονύσῳ τὸν Δία, γράψαντι οὕτως «ἄρσενι γαστρὶ λόχευσε πατὴρ καὶ πότνια μήτηρ». (v. 429 s.) Ἐνταῦθα δὲ ὅρα τὴν γυναῖκα τὸν μὲν πατέρα καὶ τοὺς ἀδελφοὺς ἁπλῶς εἰποῦσαν, τὰ δὲ φίλτερα μετὰ σεμνῶν ἐπιθέτων προενεγκοῦσαν. πότνια γάρ, φησί, μήτηρ καὶ θαλερὸς παρακοίτης, ὃ ταὐτόν ἐστι τῷ ἀκοίτης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τῷ ὁμόλεκτρος κατὰ τὸ «Ζηνὸς ὁμόλεκτρον κάρα», καὶ τῷ κοινολεχής κατὰ τὸ «κοινολεχὴς Αἴγισθος».

2.355 Τούτοις δὲ ἰσοδύναμα κατὰ πολυωνυμίαν καὶ ὁ γαμέτης καὶ ὁ εὐνέτης καὶ τὰ ἐκ τούτου σύνθετα, ἔτι δὲ μεταφορικῶς παρὰ τοῖς ὕστερον καὶ ὁ σύζυγος καὶ εἴ τι κατὰ τοῦτο προφέρεται, καὶ ὁ ξυνάορος δέ. Τὰ δὲ τοιαῦτα καὶ θηλυκὰ γίνονται κατὰ σχηματισμοὺς ἰδίους ἐξιδιουμένων τοῖν γενοῖν, ἰδίᾳ μὲν τοῦ πόσις καὶ ἀνήρ, ἰδίᾳ δὲ τοῦ ἄλοχος, γυνή, δάμαρ. (v. 432) Τὸ δὲ «χήρην γυναῖκα», ὡς καὶ προεδηλώθη, ἐλλειπτικῶς εἴρηται, πρὸ ὀλίγου ῥηθὲν ἐντελῶς ἐν τῷ «τάχα χήρη σεῦ ἔσομαι». ἡ γὰρ χήρα τινός ἐστι χήρα. τὸ δὲ ὅμοιον νοητέον καὶ ἐπὶ τοῦ «ὀρφανικὸν παῖδα». τινὸς γὰρ ὀρφανικός ἐστιν ὁ τοιοῦτος ὀρφανός. Ὥσπερ δὲ παρθενικὴ πολλαχοῦ ἡ παρθένος λαμβανομένου τοῦ κτητικοῦ ἀντὶ πρωτοτύπου, οὕτω καὶ νῦν ὀρφανικὸς αὐτὸς ὁ ὀρφανὸς παῖς. [Τὸ δὲ θείης, ὃ δὴ κοινῶς τῇ ει διφθόγγῳ παραλήγεται, πολλὰ τῶν ἀντιγράφων διὰ τοῦ ἦτα γράφουσιν ἐν τῇ παραληγούσῃ, καὶ αὐτοῦ ἢ δίχα τοῦ ἰῶτα, ὡς ἐκ τοῦ θῆς πλεονασμῷ τοῦ ἦτα κατ’ ἐπένθεσιν, ἢ σὺν τῷ ἰῶτα ἐκ τοῦ θείης, τραπέντος τοῦ ε εἰς η .] (v. 433) Ἐρινεὸς δέ, περὶ οὗ καὶ ἐν τοῖς ἑξῆς που ῥηθήσεται, μέρος τι τοῦ τείχους κατά τινας, ἔχον παραπεφυκότας ἐρινεούς. οἱ δὲ τοιοῦτοι οὐκ ἀκριβῶς λέγουσιν. Ὁ μέντοι Γεωγράφος οὕτω περὶ τούτου φησί. Ὁ ἐρινεὸς τραχύς ἐστι τόπος ἐρινεώδης, τῷ μὲν ἀρχαίῳ κτίσματι ὑποπεπτωκώς, τῆς δὲ νῦν πόλεως ἀφεστηκώς.

2.356 Ὥστε, φησί, τὸ «λαὸν στῆσον παρ’ ἐρινεόν» οἰκείως λέγει ἡ Ἀνδρομάχη, πρὸς ἐκεῖνο τὸ ἀρχαῖον δηλαδὴ κτίσμα. Καὶ ἡ φηγὸς δέ, φησί, μικρὸν κατωτέρω τοῦ ἐρινεοῦ. διό φησιν ὁ ποιητής, ὅτι Ἀχιλλεὺς ἦλθεν ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγόν. Ἰστέον οὖν ὅτι, ἐπεὶ τόπος ἐρινεώδης ὁ ῥηθεὶς ἐρινεός, περιεκτική τίς ἐστι πως καὶ ἡ λέξις αὕτη, ὡς καὶ τὸ ἄστρον προεδηλώθη, ὅπερ ἐξ ἀστέρων ἐστὶ πολλῶν, καὶ ὁ ἀσφοδελὸς ἐν Ὀδυσσείᾳ λειμών, ἐν ᾧ πολλοὶ ἀσφόδελοι. Λέγει δὲ ὁ αὐτὸς Γεωγράφος καὶ ὅτι τῆς ἀρχαίας Ἰλίου οὐδὲ ἴχνος σῴζεται, καθὰ ἐν τῇ δ′ ῥαψῳδίᾳ εἴρηται πλατύτερον, καὶ ὅτι οἱ ὕστερον οἰκίσαι αὐτὴν ἐννοησάμενοι οἰωνίσαντο ἢ διὰ τὰς ἐκεῖ συμφορὰς ἢ καὶ ὡς τοῦ Ἀγαμέμνονος ἀρὰς θεμένου κατὰ τῶν τειχιούντων αὐτήν. διὸ ἀποστάντες ἑτέραν ἐτείχισαν. Ἐρινεὸς δὲ κατὰ μέν τινας καὶ ἡ ἀγρία συκῆ καὶ ὁ καρπὸς αὐτῆς, ὥσπερ καὶ ἐλαία τό τε φυτὸν καὶ ὁ καρπός. Ἀριστοτέλης δὲ ἐρινεοὺς μὲν τὸ φυτὸν ἐν τοῖς Περὶ ζῴων, ἐρινοὺς δὲ τὸν καρπόν. ἀφ’ οὗ κατὰ Παυσανίαν ἐρινάζειν τὸ περιάπτειν ταῖς ἡμέροις συκαῖς ὀλύνθους ἤτοι ἐρινέους φησίν. ἐξ ὧν οἱ λεγόμενοι ψῆνες μετεισέρχονται εἰς τὸν τῶν ἡμέρων συκῶν καρπὸν καὶ κρατύνουσιν αὐτὸν ὥστε μὴ ἀπορρυῆναι τοῦ δένδρου. (v. 434) Ἐπίδρομον δὲ κατὰ τοὺς παλαιοὺς τὸ εὐάλωτον, ὅθεν ἔστιν ἐπιδραμεῖν καὶ ἐπιβῆναι, [ἵνα καὶ τὸ ἐπίδρομον εἴη πως ἀμβατόν], περίδρομον δέ γε τεῖχος τὸ στρογγύλον, φασίν, ὥσπερ ἀμφίδρομον τὸ ἑκατέρωθεν δρόμον ἔχον. (v. 436) Τὸ δὲ «ἀμφ’ Αἴαντε δύο καὶ Ἰδομενέα ἠδ’ ἀμφ’ Ἀτρείδας καὶ Τυδέος υἱόν» σχῆμά ἐστιν ἐπαναφορᾶς καλλωπίζον τὸν λόγον.

2.357 ἀπὸ γὰρ τῆς ἀμφι προθέσεως οἱ δύο στίχοι ἄρχονται. Κεκόλασται δέ πως τὸ σχῆμα καὶ οὐ λίαν καθαρῶς ἐπαναφέρει προηγουμένου συνδέσμου ἐν τῷ δευτέρῳ στίχῳ, ἐπεὶ οὐδὲ ἔδει τὴν Ἀνδρομάχην παθαινομένην καλλωπίζειν ἐμφανῶς τὸν λόγον. Ὅρα δὲ καὶ ὅτι τὸν μὲν Ἰδομενέα ἐξ ὀνόματος εἶπεν ἡ Ἀνδρομάχη, τὸν δὲ Διομήδην ἐκ τοῦ πατρὸς ἐδήλωσε, μισοῦσα ἴσως τὸν ἐν Ἀχαιοῖς μέγαν ἀριστέα καὶ αὐτὴ καὶ μηδὲ ὀνομάζειν ἐθέλουσα. (v. 449—51) Ἐν οἷς δὲ περὶ τῶν γνησίων ὁ Ἕκτωρ λέγει, δαιδάλλει τὴν φράσιν Ὅμηρος. Ἀνδρομάχη μὲν γὰρ τὴν μητέρα ἐσέμνυνε, τὸν δὲ πατέρα καὶ τοὺς ἀδελφοὺς ἁπλῶς ὠνόμασεν, Ἕκτωρ δὲ τὴν μητέρα ἐπιθέτου δίχα ἐπιδραμὼν τὸν πατέρα τε σεμνολογεῖ ἄνακτα καὶ ἐϋμελίην εἰπών, καὶ τοὺς ἀδελφοὺς ἐσθλοὺς φάμενος. ἴσως δὲ καὶ τὴν Ἑκάβην ἡ ἐξοχὴ σεμνύνει. ἔφη γὰρ «οὔτ’ αὐτῆς Ἑκάβης». τοῦτο δὲ ὑπεροχικῶς εἴρηται. (v. 455—7) Ὅρα δὲ καὶ ἐν τοῖς ῥηθεῖσι καὶ τὸ ἄγειν μὲν

ἐπὶ ἐμψύχου τῆς Ἀνδρομάχης τεθέν, τὸ δὲ φέρειν ἐπὶ ἀψύχου τοῦ ὕδατος. Ἔνθα σημείωσαι καὶ τὸ «πρὸς ἄλλης ἱστὸν ὑφαίνοις», ἀντὶ τοῦ ὑπ᾽ ἄλλης εἴτ᾽ οὖν παρ᾽ ἑτέρας τινὸς προστασσομένη, καὶ οὐ τὰ ἑαυτῆς ἔργα κομίζουσα—κατὰ τὸ «εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε»—οὐδὲ ἑαυτῇ ταλασιουργοῦσα τὸ ὑφαινόμενον. Οἱ μέντοι μεθ᾽ Ὅμηρον τὸ τοιοῦτον σχῆμα ἐπὶ ἑτέρας ἐννοίας τιθέασιν, ὡς δηλοῖ τὸ πρὸς καλῶν καὶ τὸ πρὸς κακῶν. τὸ μέντοι πρὸς σοῦ εἰμι ἀντὶ τοῦ ὑπὲρ σοῦ ἔοικέ πως τῷ Ὁμηρικῷ. τὸ δέ γε ἐπὶ δυσωπίας, οἷον πρὸς τῶν λόγων, πρὸς τῆς φιλίας, καὶ ὅσα τοιαῦτα, παντελῶς ἑτεροιοῦται πρὸς τὰ προειρημένα. Ἰστέον δὲ καὶ ὅτι Ὁμήρου διαλελυμένως εἰπόντος «ὕδωρ φορέοις», οἱ μετ᾽ αὐτὸν συνέθεντο ἐντεῦθεν τὸ ὑδροφορεῖν. (v. 457) Μεσσηῒς δὲ καὶ Ὑπέρεια κρῆναί εἰσι ῥηθεῖσαι καὶ ἐν Βοιωτίᾳ, ὧν Ἕκτωρ ἐνταῦθα μέμνηται ἀπὸ αἰχμαλώτων, ὡς εἰκός, ταύτας μαθών.

2.358 (v. 456) Φιλομαθὴς ἄρα ὁ ἄνθρωπος, ὃς καὶ τοῦ Ἄργους ἐνταῦθα μόνου μέμνηται, παραμυθούμενος ἴσως τὴν γυναῖκα καὶ ἐν αἰχμαλωσίᾳ περισπούδαστον ἐσομένην. οὐ γὰρ νησιώτης αὐτὴν ἀπάξεταί τις ἢ ἕτερος τῶν τυχόντων, ἀλλ᾽ εἰς βασιλικὸν γέρας ἐν Ἄργει ἐξαιρεθήσεται. Τὸ δὲ τοῦ Ἕκτορος φιλομαθὲς καὶ Εὐριπίδης Ὁμηρικῷ ζήλῳ ἐν τῇ κατ᾽ αὐτὸν Ἑκάβῃ τῷ γυναικικῷ χορῷ περιτίθησιν, ἀπαριθμουμένῳ που στοχαστικῶς εἰς οἵους τόπους ἀπελεύσεται λαχοῦσα ἑκάστη γέρας οἷς ἂν τύχοι. Ἰστέον δὲ ὅτι τὸ «ἐν Ἄργει ἐοῦσα» δύναται μὲν νοηθῆναι καὶ διὰ τὸ Πελοποννήσιον Ἄργος, κρεῖττον δὲ εἰς τὸ Θετταλικὸν ἐκλαβέσθαι αὐτό, ἵνα μὴ διεσπασμένως οὕτω ἐν ἄλλῳ μὲν τόπῳ, τῇ Πελοποννήσῳ δηλαδή, στοχάσηται τὴν Ἀνδρομάχην ὑφαίνειν ἱστόν, ἐν ἑτέρῳ δὲ ὑδροφορεῖν, ἐν τῇ Θετταλίᾳ δηλονότι. Θετταλικαὶ γὰρ εἶναι κρῆναι μεμαρτύρηνται, ἥ τε Μεσσηῒς καὶ ἡ Ὑπέρεια, περὶ τὴν ἐν Βοιωτίᾳ ῥηθεῖσαν Ἑλλάδα οὖσαι, ὧν ἡ Ὑπέρεια πλησίον Φερῶν πόλεως Θετταλικῆς κατὰ τὸν Γεωγράφον. Εἰ δὲ καὶ ἐν Πελοποννήσῳ οἰήσεταί τις ὁμωνύμους ταύταις κρήνας, ἵνα συναπτῶς ἐκεῖ νοοῖτο τὸ ὑφαίνειν καὶ ὑδροφορεῖν, ζητητέον πάντως καὶ ἱστορίαν δι᾽ ἧς ὁ λόγος συγκροτηθήσεται. (v. 458) Κρατερὰ δὲ ἀνάγκη ἡ κατὰ τὸ ἀκούσιον. διὸ καὶ ὁ ποιητὴς διασαφῶν φησι «πόλλ᾽ ἀεκαζομένη, κρατερὴ δ᾽ ἐπικείσεται ἀνάγκη». Ἔνθα ἐνθυμητέον, εἴπου ἐστὶ πρωτότυπόν τι τοῦ ἀεκάζεσθαι ἐν χρήσει. ἡ γὰρ ἑκὼν μετοχὴ καὶ μάλιστα ἡ ἀέκων ἐμφαίνουσι τοιοῦτόν τι. [(v. 414) Ὅρα δ᾽ ἐν τοῖς κατὰ τὴν Ἀνδρομάχην καὶ ὡς τοῦ φίλου Ἀχιλλέως μνήμην παρέρριψεν ὁ ποιητής, ὡς εἴωθεν ἐν διαφόροις εὐμεθόδως ποιεῖν.] (v. 433—9) Ὅτι δυνατόν ἐστι πολλάκις καὶ κατὰ τύχην μέγα τι γενέσθαι καὶ καίριον. Φησὶ γοῦν ἡ Ἀνδρομάχη, ὡς οἱ ἄριστοι τῶν Ἀχαιῶν τρίς, ὡς ἐρρέθη, ἐλθόντες ὅπου ἡ πόλις μάλιστα ἦν ἀναβατός, ἐπειράσαντο. Καὶ ἡ αἰτία τῆς πείρας, ὅτι ἢ θεοπρόπος τις εὖ εἰδὼς εἶπεν αὐτοῖς τοιοῦτον ἐκεῖ τὸ τεῖχος εἶναι, ἢ καὶ αὐτῶν, φησί, θυμὸς ἐποτρύνει καὶ ἀνώγει, ὡς τῆς προθυμίας ἐπιτυχῶς ἐπιβεβλημκυίας τῷ πράγματι.

2.359 Τὸ δὲ σχῆμα δισταγμός, ὅμοιον τῷ «ἤ τι ὀϊσσάμενος ἢ καὶ θεὸς ὣς ἐκέλευε». Καὶ ὅρα ὡς οὐδὲν ὕποπτον ἐνταῦθα κατὰ τῶν Τρώων. ἢ γὰρ θεός, φησίν, εἶπεν, ἢ οἱ ἐχθροὶ κατὰ τύχην οὕτως ἐποίησαν, οὐ μὴν ἐκ τῶν Τρώων ὕπεστί τι αἴτιον κατ᾽ ἦθος προδοτικόν. ἀγαθοὶ ἄρα κατὰ Τροίαν ἅπαν τό τε ἐφέστιον καὶ τὸ ἐπικουρικόν. (v. 441—6) Ὅτι τὸ δυσαπόβλητον τῆς καθ᾽ ἕξιν ἀρετῆς ὑποδηλοῖ ὁ ποιητὴς ἐν τῷ τοῦ Ἕκτορος λόγῳ τῷ τοιούτῳ «ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει γύναι, ἀλλὰ μάλ᾽ αἰνῶς αἰδέομαι Τρῶας καὶ Τρωϊάδας ἑλκεσιπέπλους, αἴ κε κακὸς ὣς νόσφιν ἀλυσκάζω πολέμοιο, οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς αἰεὶ καὶ ἐν πρώτοισι μάχεσθαι, ἀρνύμενος πατρός τε μέγα κλέος καὶ ἐμὸν αὐτοῦ». Καὶ σημείωσαι ὅτι καὶ ἐκ μαθήσεως οἶδε τὰς ἀρετὰς περιγίνεσθαι ὡς διδακτὰς οὔσας τῷ συνεθισμῷ, καὶ μονίμους δὲ δοξάζει αὐτάς, ὡς προείρηται, καθότι καὶ ἐπιστῆμαι πρός τινων ἐλέγοντο διὰ τὸ κατ᾽ αὐτὰς στάσιμον. Ἰδοὺ γὰρ ὁ Ἕκτωρ μαθὼν ἐσθλὸς εἶναι οὐκ ἔχει μεταβαλέσθαι, ἀλλὰ καὶ αἰδεῖται οὐ μόνον Τρῶας ἀλλὰ καὶ Τρῳάδας, εἴπερ οἷα κακὸς ἐκκλίνει τὸν πόλεμον. Οἷον δὲ ἀγαθὸν ἐν τοῖς τοιούτοις ἡ αἰδώς, μυριαχοῦ δηλοῦται, ὡς καὶ ἐν τῷ «αἰδὼς Ἀργεῖοι», καὶ «ἀλλήλους τ᾽

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰδεῖσθε», καὶ «αἰδομένων δ’ ἀνδρῶν πλέονες σόοι». (v. 441) Ἰστέον δὲ ὅτι τὸ μέλειν ἐπὶ φροντίδος ποτὲ μὲν μονάζει, οἷον «οὔ μοι μέλει», ποτὲ δὲ καὶ σύνταξιν ἐπιφέρεται, καὶ ταύτην ἢ κατ’ εὐθεῖαν, ὡς τὸ «τάδε πάντα μέλει», ἤγουν ἐν φροντίδι ἐστί, καὶ «οὔ μοι Τρώων τόσσον μέλει ἄλγος», καὶ «οὐδέν μοι μέλον», ἢ κατὰ γενικήν, οἷον «μέλει μοι τοῦδέ τινος», ἤγουν φροντίς μοί ἐστι.

2.360 (v. 442) Τὸ δὲ ἑλκεσίπεπλον τῶν γυναικῶν βαρβαρικόν ἐστι, ὡς καὶ ἀλλαχοῦ φανήσεται. Προϋπάρχει δὲ αὐτοῦ ῥῆμα τὸ ἑλκῶ ἑλκέσω, τὸ καὶ διὰ τοῦ η προφερόμενον ἐπὶ βίας, ὡς καὶ μετ’ ὀλίγα ῥηθήσεται. Φιλοτίμου δὲ ἤθους τὸ μὴ μόνον ἄνδρας ἀλλὰ καὶ γυναῖκας αἰδεῖσθαι, διότι καὶ ἐξ ἀμφοτέρων τοῖς ἀριστεῦσιν ἡ τιμή. οὕτω γάρ που καὶ κορυνήτην τινὰ ἐκίκλησκον, ἤτοι ἐκάλουν, οὐ μόνον ἄνδρες ἀλλὰ καὶ γυναῖκες καθ’ Ὅμηρον. (v. 441—3) Σημείωσαι δὲ ὅτι οὐκ ἀγαθὴ αὕτη αἰδὼς τῷ Ἕκτορι. Διὸ οὐδὲ ἐπανήξει τοῦ πολέμου, ἀλλὰ πείσεται τὰ ἱστορούμενα, διότι οὐδὲ πάντες οἱ αἰδούμενοι σῴζονται, ἀλλὰ πλέονες κατὰ τὸν ποιητήν, τινὲς δὲ καὶ πέφανται. (v. 443) Σημείωσαι δὲ ὅτι τε τὸ «κακὸς ὥς» γράφεται καὶ «κακὸς ᾆ», ἤγουν καθὰ κακός, καὶ ὅτι τὸ κακός, δι’ οὗ λαγαροῦται ὁ στίχος, ἐκτείνει ἐνταῦθα τὴν λήγουσαν λόγῳ κοινῆς συλλαβῆς, διότι τε φύσει ὀξύνεται καὶ διὰ τὸ καταπεραιοῦσθαι καὶ ἔχειν τὴν ἑξῆς συλλαβὴν ἀρχομένην ἀπὸ φωνήεντος, καὶ διὰ τὴν ἐπαγομένην δασεῖαν καὶ δι’ ἕτερα. Τὸ δὲ ἀλυσκάζω δύο ἔχει παραγωγάς. Ἔστι γὰρ ἀλύω ῥῆμα, οὐ τὸ ἀδημονῶ, ἀλλ’ ὡς καὶ ἐν Ὀδυσσείᾳ φαίνεται, τὸ χαίρω καὶ ἀνίεμαι καὶ ἐκλέλυμαι, οὗ μέλλων ἀλύσω, καὶ παράγωγον ἀλύσκω, ἐξ οὗ αὖθις παρῆκται τὸ ἀλυσκάζω. [Εἰ δ’ ἴσως κατὰ τοὺς παλαιοὺς τὸ ῥηθὲν ἁλύω τὸ καὶ δασυνόμενον τὴν διὰ τῆς υι διφθόγγου ἔχει γραφὴν καὶ διὰ τοῦτο οὐκ ἔχει μέλλοντα, ζητητέον ἑτεροίαν ἐτυμολογίαν τοῦ ἀλυσκάζειν εὐχερῆ οὖσαν.

2.361 Οἱ δὲ παλαιοὶ λέγουσι καὶ ταῦτα· ἀλύειν ἐκτεταμένως, ἤγουν μετὰ μακρᾶς παραληγούσης, ἐπὶ τοῦ μετὰ λύπης περιπάτου, εἰς ὃ καὶ παράγουσι χρήσεις Ὁμηρικὰς μέν, συστελλούσας δὲ τὴν λυ συλλαβήν, ταύτας «ἣ δ’ ἀλύους’ ἀπεβήσατο», καὶ «δινεύεσκ’ ἀλύων παρὰ θῖν’ ἁλός». Καὶ μήποτε, φασί, τοῦτο ἐσχημάτισται παρὰ τὸ ἀλύτως ἔχειν τὴν ψυχήν. προσεπάγουσι δὲ καὶ τὸ «τὸν μὲν ἔπειτ’ ἔρριψεν ἀπὸ ἕο χερσὶν ἀλύων», ἤγουν ἀνιώμενος. Κεῖται δέ, φασί, καὶ ἐπὶ χαρᾶς, οὐκ ἀπὸ τῆς αὐτῆς ἐννοίας, ἀλλ’ ἀπὸ τοῦ ἀλεαίνεσθαι ψυχὴν καὶ διαχεῖσθαι, οἷον «ἢ ἀλύεις ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην».] (v. 444) Τὸ δέ γε «θυμὸς ἄνωγεν», ὃ καὶ πρὸ ὀλίγων ἐρρέθη, ἀλλαχοῦ τῇ καρδίᾳ συνδυασθὲν ποιεῖ τὸ «ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ», καὶ «κραδίη καὶ θυμὸς ἄνωγεν». (v. 446) Φιλοπάτωρ δὲ ὁ Ἕκτωρ, εἴγε πραγματεύεται πρόμαχος εἶναι οὐ μόνον ἑαυτοῦ χάριν, ἀλλὰ καὶ πατρὸς μέγα κλέος ἀρνύμενος, ἤγουν, ὡς καὶ ἐν Ὀδυσσείᾳ εἴρηται, ἀντικαταλλασσόμενος. ἔστι δὲ τὸ «ἀρνύμενος κλέος πατρός» ὅμοιον τῷ «τιμὴν ἀρνύμενοι Μενελάῳ». [Ἐκεῖ μέντοι οὐ κλέος τὴν τιμὴν ἐθέλουσί τινες νοεῖν, ἀλλὰ τὴν ποινήν, ὡς ἐκ τοῦ τίω, τὸ τιμωρῶ.] (v. 447 s.) Ὅτι φασὶν οἱ παλαιοί, ὡς τῶν δεινῶν ὧν ὁ χρόνος οὐχ’ ὥρισται, τούτων ἡ προσδοκία ἔλαττον λυπεῖ. οὕτω γὰρ προειδότες ὡς τεθνηξόμεθα, ὅμως διὰ τὸ τῆς ὥρας ἄδηλον ἧττον λυπούμεθα. Οὐκοῦν καὶ Ἕκτωρ εἰδέναι λέγων τῇ γυναικί, ὡς ἁλώσεταί ποτε ἡ Ἴλιος, οὐ πάνυ ἐκφοβεῖ αὐτὴν τῷ τέλει ὡς τῷ ἀορίστῳ τοῦ χρόνου παραμυθούμενος.

2.362 Σημείωσαι δὲ ὅτι ὁ Ἕκτωρ ἐνταῦθα εἰδὼς ἀκριβῶς τὴν ὑπὸ Ἑλλήνων τῆς Τροίας ἅλωσιν ἐν τοῖς ἑξῆς οὕτω τῇ εὐτυχίᾳ μετεωρίζεται, ὡς ἐλπίζειν ἐξελάσαι τῆς Τρωϊκῆς χώρας τοὺς Ἕλληνας. Καὶ ὅρα ὅπως τὰς τῶν ἀνθρώπων γνώμας αἱ τύχαι μεταποιοῦσιν. Ἰστέον δὲ καὶ ὅτι ὁ ἀκριβῶς εἰδὼς τὸ μέλλον ἐρεῖ ἂν τὸ «εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν. ἔσσεται ἦμαρ ὅτ’ ἄν» ποτε γενήσεται τόδε. καὶ ὅτι ἅλωσιν μὲν Τροίας οὐκ ἔγραψεν ὁ ποιητής, οἷα ὀλιγοημέρῳ μάχῃ προθέμενος ἀπασχολῆσαι τὴν ποίησιν, εἰς δὲ παραμυθίαν τοῦ φιλέλληνος ἀκροατοῦ καὶ διὰ τὸ τῆς ἱστορίας ἀπαράλειπτον πολλαχοῦ ἐν στενῷ προαναφωνεῖ ἁλώσεσθαι

τὴν Τροίαν, ὡς καὶ νῦν τὸν Ἕκτορα ποιεῖ λέγοντα, ὅτι εὖ οἶδα ὡς ἔσσεται ἦμαρ ὅτ’ ἄν ποτ’ ὀλώλῃ Ἴλιος ἱρὴ καὶ Πρίαμος καὶ λαὸς Πριάμου. Ἔστι δὲ τὸ μὲν ὀλώλῃ ὑποτακτικὸν τοῦ ὄλωλα, ὡς καὶ προεγράφη. Ἱερὰ δὲ ἡ Τροία διὰ τὰ πολλαχοῦ ῥηθέντα. Τὰ δὲ Ὁμηρικὰ ταῦτα ἔπη ἀπαραποίητα κατὰ λόγον ταὐτολογίας καὶ ἐν τῇ Δ ῥαψῳδίᾳ κεῖνται, ἔνθα καὶ οἷα ἡ Τροία ἔπαθεν ἁλοῦσα εἴρηται. [Ἔτι ἰστέον καὶ ὡς τοῦ ἔσεται συγκοπτομένου εἰς τὸ ἔσται λέγει τις παλαιὸς Τεχνικός, ὅτι δοκεῖ μοι μέμφεσθαι τῇ συνηθείᾳ «ἔσται» λεγούσῃ. οὐδέποτε γὰρ τὸ τρίτον τῶν τοιούτων μελλόντων χρεωκοπεῖται παραλήγεσθαι φωνήεντι, ἵνα τις εἴπῃ τὸ καλέσεται καλέσται ἢ τὸ τελέσεται τελέσται. Λέγει δὲ καὶ Σικελικὸν εἶναι τὸ ἔσσεται, οὐ μὴν Αἰολικόν. Σικελοὶ γάρ, φησί, διπλάζουσιν ἐν τοῖς τοιούτοις τὸ σίγμα, Δωριεῖς δὲ τοὺς τοιούτους μέσους παρενθέσει τοῦ ἰῶτα προφερόμενοι περισπῶσι· πλευσεῖται, πορευσεῖται, ῥευσεῖται. οὕτω γοῦν καὶ «ἄρκιον ἐσσεῖται φυγέειν». Δίων μέντοι ἔσσειται προπαροξυτόνως φησὶ λέγων ὅτι τὰ εἰς μακρὸν λήγοντα τῷ αὐτῷ λέγεται τόνῳ τοῖς ὁλοκλήροις καὶ ἐν τῇ τοῦ ἰῶτα παρενθέσει, οἷον σφέων σφείων, σπέους σπείους, δέους δείους. Ὅθεν εἰ καὶ τὸ ἔσσεται εἰς μακρὸν περαιοῦται—εἰς δίφθογγον γάρ—, πάλιν ἐν τῇ τοῦ ι παρενθέσει ἔσσειται γενήσεται ἐν τῷ αὐτῷ τόνῳ. νικῶσι δὲ ὅμως τὸν Δίωνα οἱ προπερισπῶντες τὸ ἐσεῖται.] (v. 464 s.) Ὅτι ὁ Ἕκτωρ εἰπὼν οὐ τοιοῦτον αὐτῷ μέλειν τῶν ἄλλων ὅσον τῆς Ἀνδρομάχης, ὅτε τάδε πάθοι, ὡς προείρηται, μετ’ ὀλίγα εὔχεται τὸ «ἀλλά με τεθνειῶτα χυτὴ κατὰ γαῖα καλύπτοι πρίν γ’ ἔτι σῆς τε βοῆς σοῦ θ’ ἑλκηθμοῖο πυθέσθαι».

2.363 (v. 459—63) Λυπεῖ δὲ αὐτὸν σὺν ἄλλοις καὶ εἴ ποτέ τις εἴπῃσι τὴν Ἀνδρομάχην ἰδὼν δακρυχέουσαν «Ἕκτορος ἥδε γυνή, ὃς ἀριστεύεσκε μάχεσθαι [Τρώων ἱπποδάμων, ὅτε Ἴλιον ἀμφεμάχοντο»] καὶ ἐπάγει «ὥς ποτέ τις ἐρέει, σοὶ δ’ αὖ νέον ἔσσεται ἄλγος χήτει τοιοῦδ’ ἀνδρὸς ἀμύνειν δούλιον ἦμαρ». Καὶ ὅρα τὸ τοῦ Ἕκτορος καὶ ἐν τούτοις μεγαλόφρον καὶ φίλαυτον. Ἐν πολλοῖς γὰρ τῶν ἄλλων ἑαυτὸν ὑπεξαίρει καὶ περιαυτολογεῖ καὶ φιλοτιμεῖται τὴν παρὰ τοῖς ὀψιγόνοις μνήμην αὐτοῦ. Ὅρα δὲ καὶ ὅτι οὐκ εἶπεν ἐνταῦθα ὁ Ἕκτωρ, ὡς οὐδενός μοι μέλει τῶν ἄλλων, οὔτε Τρώων οὔτ’ αὐτῆς Ἑκάβης οὔτε Πριάμου—ἀναλγήτου γὰρ ὁ τοιοῦτος λόγος—, ἀλλ’ ὅτι ἔχει μὲν καὶ ἐκείνων μέλημα, οὐ τοσοῦτον δὲ ὅσον τῆς γυναικός. Καὶ μὴν φιλομήτωρ ὁ Ἕκτωρ, ὡς ὑπεμφαίνεται καὶ ἐκ τοῦ εἰπεῖν «αὐτῆς Ἑκάβης» κατ’ ἐξοχήν. ἀλλὰ τὴν Ἀνδρομάχην πλέον πάντων οἰκτίζεται, διότι καὶ αὐτὴ ἀντὶ πάντων αὐτὸν ἐπιγράφεται. ὅτι δὲ καὶ φιλοπάτωρ ὁ Ἕκτωρ, πρὸ ὀλίγου δέδεικται. (v. 462) Τὸ δὲ νέον ἄλγος σύστοιχόν ἐστι τῷ θαλερῷ δακρύῳ, οὗ μέμνηται ὁ ποιητὴς μετ’ ὀλίγα ἐν τῷ «θαλερὸν κατὰ δάκρυ χέουσα». Ἐκ γὰρ τοῦ νέου ἄλγους θαλερὸν δάκρυ καταχέεται καὶ ἄλλως δὲ εἰπεῖν τό, ὡς προσεχῶς ἐρρέθη, δακρυχέειν καὶ τὸ νέον ἄλγος θαλερὸν κατὰ δάκρυ χέειν λέγεται. (v. 463) Τὸ δὲ «τοιοῦδ’ ἀνδρός» οὐχ’ ἁπλῶς τὸ ἐνδύναμον δηλοῖ τοῦ ἥρωος, ἀλλ’ ἐπιεικέστερον φράζεται κατὰ τὸ πῃ δύνασθαι, ἵνα λέγῃ ἀνδρὸς τοιοῦδε, ἤγουν ἐνδυνάμου καὶ ἰσχυροῦ ἀμύνειν ἀπὸ σοῦ τὸ δουλεύειν. Δούλιον δὲ ἦμαρ περιφραστικῶς αὐτὴ ἡ δουλεία, ὥσπερ καὶ ἐλεύθερον ἦμαρ ἀνωτέρω ἡ ἐλευθερία. ἄλλως γὰρ ἐνταῦθα νοῆσαι ἀδύνατον. (v. 459—62) Ὅρα δὲ καὶ τὴν συντομωτάτην ἠθοποιΐαν ἐν τῷ «καί ποτέ τις εἴπῃσιν· Ἕκτορος ἥδε γυνή» καὶ ἑξῆς. δυσὶ γὰρ ἔπεσι περιγέγραπται, ὅτι μηδὲ ἐνεχώρει πολυλογεῖν τὸν εἰπόντα ταύτην Ἕκτορα οἷα εἰσάγαν σπεύδοντα. (v. 464) Χυτὴ δὲ γαῖα τὸ χῶμα, ἤτοι ὁ κατὰ τύμβον ἀναχωματισμός. χυτὴ γάρ, φασίν, οὐχ’ ἁπλῶς ἅπασα γῆ, ἀλλ’ ἡ ἐπὶ νεκροῖς χεομένη. (v. 465) Τὸ δὲ «πρίν γ’ ἔτι», εἰ μὲν κατὰ συναλιφήν ἐστιν ἀντὶ τοῦ πρίν γε ἔτι, περιττεῦον ἔχει τὸ ἔτι, ὃ δὴ καὶ ἐν ἄλλοις γίνεται, ὡς καὶ προσεσημείωται. εἰ δὲ τρεῖς εἰσι λέξεις τὸ πρίν, τὸ γε καὶ τὸ τι , περιττεύει τὸ τι , ὡς καὶ ἐν τῷ σχεδόν τι καὶ ἐν ἑτέροις.

2.364 Ἑλκηθμός δὲ ἡ βία, ὡς καὶ πρὸ βραχέων ἐρρέθη, ἀπὸ τοῦ ἑλκῶ ἑλκήσω, οὗπερ ἡ χρῆσις ἐν Ὀδυσσείᾳ, «Λητὼ γὰρ ἥλκησεν». Ἰστέον γὰρ ὡς οὐ μόνον ἕλκω ἑλκύω, ἀλλὰ καὶ ἑλκῶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περισπωμένως. Τούτου δὲ διχῶς ὁ μέλλων παρὰ τοῖς ποιηταῖς διά τε τοῦ ε ἑλκέσω, ἐξ οὗ ἑλκεσίπεπλοι Τρῳάδες, αἱ βαθύζωνοι, καὶ διὰ τοῦ η ἑλκήσω, ἐξ οὗ ἑλκηθμός, ὁ βίαιος τῶν γυναικῶν ἑλκυσμός. Τὸ μέντοι ἑλκῶ ἑλκώσω, ἤγουν ἕλκος ποιήσω, κοινόν τέ ἐστι καὶ ὕστερον. Ὅρα δὲ καὶ ὅτι τὸ πυθέσθαι, ὃ δηλοῖ τὸ μαθεῖν ἢ ἀκοῦσαι, γενικῇ ἐν τοῖς ῥηθεῖσι συνέταξεν ὁ ποιητής. (v. 460 s.) [Σημείωσαι δ’ ἐν τοῖς ῥηθεῖσι καὶ τὸ ἀληθευτικὸν τοῦ Ἕκτορος. οὐ γὰρ πάντων ἔφη ἄριστος εἶναι μάχεσθαι, ἀλλὰ μόνων Τρώων. Ἔφη γὰρ «ὃς ἀριστεύεσκε μάχεσθαι Τρώων» καὶ ἑξῆς, οὔτε Ἀχαιῶν μνησθεὶς οὐδὲ μὴν Λυκίων ἢ ἐπικούρων, ἵνα μὴ καὶ ὑπερφρονοίη. Καλῶς δὲ γενικῇ συνέταξε τὸ ἀριστεύεσκε διὰ τὸ ὑπερθετικῶς ἔχειν τὸν ἄριστον, ὅθεν τὸ ἀριστεύειν γίνεται καὶ ὁ ἀριστεύς.] (v. 466) Ὅτι ἐν ἄλλοις τὸ ὀρέγεσθαι δοτικῇ συντάξας, οἷον «ἔγχει ὀρεξάσθω», ἐνταῦθα γενικῇ συντάσσει. Φησὶ γὰρ «ὣς εἰπὼν οὗ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ», ἤγουν ἐκταθεὶς ἥψατο.

2.365 (v. 467—70) Ὅτι πάνυ ἀφελῶς καὶ γλυκέως φράζει Ὅμηρος ὡς ἐν γραφικῇ ὄψει, ὅπως τὸν πατέρα ὡπλισμένον ἰδὼν τὸ βρέφος, ὁ Ἀστυάναξ, διετέθη. Φησὶ γὰρ «ἂψ δ’ ὁ πάϊς πρὸς κόλπον ἐϋζώνοιο τιθήνης», ἤτοι τῆς τροφοῦ, «ἐκλίνθη ἰάχων, πατρὸς φίλου ὄψιν ἀτυχθείς, ταρβήσας χαλκόν τε ἰδὲ λόφον ἱππιοχαίτην, δεινὸν ἀπ’ ἀκροτάτης κόρυθος νεύοντα νοήσας». Ὅθεν καὶ οὐκ ἄλλως ἐθέλει φιληθῆναι τῷ πατρὶ ὁ παῖς, εἰ μὴ κόρυθος γυμνώσας τὴν κεφαλὴν γνωρισθείη αὐτὸς ὁ πατὴρ εἶναι. (v. 467) Κόλπος δὲ καὶ νῦν κατὰ τοὺς παλαιοὺς ἡ ἀγκάλη. Σημαίνει δέ ποτε καὶ τὸ ἄνω τοῦ πέπλου, ὡς δηλοῖ καὶ Ἡρόδοτος εἰπὼν «ἐνδὺς χιτῶνα μέγαν καὶ κόλπον πολὺν καταλιπόμενος τοῦ χιτῶνος». Εἴληπται δὲ ἴσως ἐξ ὁμοιότητός τινος ἀπὸ τοῦ θαλασσίου κόλπου, ὅς ἐστι θάλασσα μεταξὺ δύο ἀκρωτηρίων, ἐτυμολογούμενος ἀπὸ τοῦ κέλλω, ἐξ οὗ τὸ ὀκέλλω καὶ τὸ προσώκειλε καὶ τὸ ἐξώκειλε. (v. 467 s.) Τὸ δὲ «πάϊς ἰάχων» ἀσφαλῶς ἂν συνθήσει τὸν προρρηθέντα νηπίαχον. Ἐν δὲ τῷ «πατρὸς ὄψιν ἀτυχθείς» λείπει πρόθεσις ἡ κατα ἢ ἡ δια , ἵνα λέγῃ ὅτι ταραχθεὶς καὶ ἐκπλαγεὶς διὰ τὴν ὄψιν ἢ πρὸς τὴν ὄψιν τοῦ πατρός. Διὸ καὶ ἐν τῷ «ἵπποι ἀτυζόμενοι πεδίοιο» λείπει τοιοῦτόν τι, ἵνα λέγῃ ὅτι ταρασσόμενοι ἐπὶ πεδιάδος διὰ στέρησιν ἡνιόχου ἢ πτοίαν τινά. (v. 468 s.) Διασάφησις δὲ τοῦ ἀτυχθείς οὐ μόνον τὸ ἐκλίνθη—ἐκκλίνει γὰρ τὸ κατ’ εὐθὺ ὁ ἀτυζόμενος—, ἀλλὰ καὶ τὸ «ταρβήσας χαλκόν» καὶ ἑξῆς. (v. 470) Ἐν οἷς ὅρα ὅτι τε καιρίως εἶπε δεινόν, ἤτοι φοβερόν, νεύειν τὸν λόφον, εἴγε ὁ παῖς βλέπων ἐτάρβησε, καὶ ὅτι τὸ ἐν ἄλλοις ῥηθὲν «δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν» ἐνταῦθα πραγματικῶς ἐξηγήθη.

2.366 ἐκφοβεῖ γὰρ καὶ τὸν Ἀστυάνακτα ὁ τῆς πατρικῆς περικεφαλαίας λόφος. (v. 469) Τὸ δὲ ἱππιοχαίτης, ὡς καὶ πρὸ τούτου τὸ ἱππιοχάρμης, ἔοικεν ἔχειν καινότερον ἐν τῇ προπαραληγούσῃ τὸ ι κατὰ ἔλλειψιν τοῦ ε . ἀπὸ γὰρ τοῦ ἱππεία χαίτη γέγονεν. Ἐνταῦθα δὲ χρήσιμον καὶ τὸ «ἵππιος Ποσειδῶν», καὶ τὸ «μὰ τὴν ἄνασσαν ἱππίαν Ἀμαζόνα», ὧν διὰ τοῦ ι ἡ παραλήγουσα. Ζητητέον δὲ εἰ τοιαύτην ἔχει γραφὴν καὶ ὁ ἵππιος Κολωνός, ὃς ἀπὸ τοῦ ἱππίου Ποσειδῶνος ἔσχε τὸ οὕτω κληθῆναι, ὅπου, φασί, καὶ οἱ ὀρεωκόμοι ἵσταντο, παράσημον αὑτοῖς διὰ τὴν ἐξ ἵππου παρωνυμίαν τὸν τόπον, ὡς εἰκός, κρίναντες. Σημείωσαι δὲ καί, ὅτι νῦν λόφον εἰπὼν ἱππιοχαίτην κατωτέρω ἵππουριν κόρυθα λέγει τὴν ἔχουσαν τοιοῦτον λόφον, δηλῶν ὅτι εἰκὸς ἦν καὶ ἀπὸ χαίτης καὶ ἐξ οὐρᾶς δὲ ἵππου τῷ λόφῳ τρίχας ἐνίεσθαι. Ἱππιοχαίτην δὲ εἶπε λόφον πρὸς διαστολὴν τῶν τῆς γῆς λόφων, ὡς εἴγε μὴ οὕτως εἶπεν, ἀδιάρθρωτόν τι ἔλεγεν. Ὅρα δὲ καὶ ὅτι ἐν τῷ χωρίῳ τούτῳ τέσσαρας εἶπεν ἐφεξῆς ἀσυνδέτους μετοχάς· τὸ ἰάχων, τὸ ἀτυχθείς, τὸ ταρβήσας καὶ τὸ νοήσας, [ὃ καὶ σημείωσαι εἰς σέμνωμα τοῦ βρεφυλλίου. οὐ γὰρ ἁπλῶς εἶδεν, ἀλλὰ τῇ ὄψει καὶ τὸ νοῆσαι παρηκολούθησε κατὰ τὸ «νοῦς ὁρᾷ».] (v. 471) Ὅτι ἐν τῷ «ἐκ δ’ ἐγέλασε πατήρ τε φίλος καὶ πότνια μήτηρ» τὸ ἐξεγέλασεν ἢ ἀντὶ τοῦ ἔξω καὶ κατὰ τὸ φαινόμενον ἐγέλασεν, ἄλλως ἤπερ παρ’ Ἡσιόδῳ εὕρηται, ἢ ἀντὶ τοῦ πάνυ ἐγέλασε, πρὸς διαστολὴν τοῦ πρὸ μικροῦ μειδιάματος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.367 Καὶ σημείωσαι ὅτι τε πρὸ ὀλίγου μὲν ὁ ἀνὴρ ἐμειδία διὰ τὸν παῖδα, δακρυχέουσα δὲ ἦν ἡ γυνὴ μεριζομένη τὸν παρὰ τοῖς ὕστερον κλαυσίγελων, ἐνταῦθα δὲ γελῶσιν ἀμφότεροι, μετὰ μικρὸν δὲ ἡ γυνὴ δακρυόεν γελάσασα κεράσει αὐτὴ δακρύοις τὸν γέλωτα. καὶ ὅτι τὸ «πατήρ τε φίλος» οὐκ ἀφίησι νῦν τὸ ἐκγελάσαι νοηθῆναι ὅλως κατὰ τό, ὡς ἐρρέθη, ἐν Ἡσιόδῳ κείμενον. ἐκεῖ μὲν γὰρ κατὰ ὀργὴν ὁ Ζεὺς ἐξεγέλασεν, ἐνταῦθα δὲ ὁ φίλος πατὴρ οὐκ ἂν οὕτως ἐκγελάσοι ἐπὶ τῷ φίλῳ υἱῷ. (v. 473—81) Ὅτι ἀτυχθέντα, ὡς εἴρηται, ὁ πατὴρ τὸν παῖδα ἰδὼν αὐτίκ’ ἀπὸ κρατὸς, καθὰ δεδήλωται, κόρυθ’ εἵλετο, «καὶ τὴν μὲν κατέθηκεν ἐπὶ χθονὶ παμφανόωσαν», ὃ καὶ αὐτὸ τὸν νηπίαχον ἐξεδειμάτου ὡς οἷα καταστραπτόμενον τῇ ἐκεῖθεν λαμπηδόνι. «αὐτὰρ ὅ γε ὃν φίλον υἱόν», ἤγουν τὸ ἴδιον τέκνον, «ἐπεὶ κῦσε πῆλέ τε χερσὶν εἶπεν ἐπευξάμενος· θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι παῖδ’ ἐμόν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσιν, ὧδε βίην τ’ ἀγαθὸν καὶ Ἰλίου ἶφι ἀνάσσειν. καί ποτέ τις εἴπῃσι πατρὸς δ’ ὅ γε πολλὸν ἀμείνων ἐκ πολέμου ἀνιόντα· φέροι δ’ ἔναρα βροτόεντα κτείνας δήϊον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ», ὡς τοιούτου δηλαδὴ τυχοῦσα παιδὸς ἴσου τῷ πατρὶ ἢ καὶ ὡς πολλὸν ἀμείνονος. Καὶ ὅρα ὅπως καὶ νῦν ὁ Ἕκτωρ περιαυτολογεῖ καὶ ὅτι ὁ μὲν τοῦ Σοφοκλέους Αἴας ὑπέρφρων πλαττόμενος «γένοιο πατρὶ ὅμοιος» ἐπεύχεται τῷ υἱῷ, τὴν δὲ τοῦ ἀμείνονος αὔξησιν εἰπεῖν ὀκνεῖ, ὡς μὴ ἐγχωροῦν γενέσθαι οὕτω διὰ τὸ μεγαλεῖον τοῦ πατρός, Ἕκτωρ δὲ τὸν ἑαυτοῦ υἱὸν καὶ ἀμείνονα γενέσθαι αὐτοῦ ἐθέλει, καὶ οὐχ’ ἁπλῶς ἀμείνονα ἀλλὰ καὶ κατὰ πολύ. Ἰστέον δὲ καὶ ὅτι φύσει οἱ ἄνθρωποι τῶν μὲν ἄλλων οὐδενὸς ἐθέλομεν ἐκπίπτειν δεύτεροι, τῶν οἰκείων δὲ παίδων ὕστεροι παρὰ πολὺ ἐρχόμενοι χαίρομεν.

2.368 ὅθεν καὶ ὁ πατὴρ Ἕκτωρ πρῶτα μὲν ὅμοιον αὐτῷ εὔξατο γενέσθαι τὸν παῖδα, εἶτα καὶ πολλὸν ἀμείνονα. (v. 474) Τὸ δὲ κῦσεν, ἤγουν ἐφίλησε, καὶ τὸ πῆλε χερσίν, ἤγουν διεκίνησεν εἰς ἀέρα ὧδε καὶ ἐκεῖ, ἀφέλειαν ὑπογράφει πατρὸς φιλόπαιδος, κατὰ μόνας χειριζομένου φίλον βρεφύλλιον καὶ διακινοῦντος εἰς ἀέρα ἐπὶ συμβόλῳ πετάσματος καὶ ὕψους τινός. [Ἀφελείας δὲ πατρικῆς περὶ βρέφος παράδειγμα καὶ ὁ Λάκων βασιλεὺς Ἀγησίλαος τῷ οἰκείῳ βρέφει περιβεβηκότι κάλαμον καὶ προβεβλημένῳ καλαμίσκον ἕτερον ὡς ἐν σχήματι αἰχμητοῦ ἱππέως τοιοῦτος καὶ αὐτὸς ἀντεπεξιὼν πολεμικῷ νόμῳ ἐν τῇ κατ’ οἶκον αὐλῇ καὶ εἰς τοσοῦτον διὰ φίλτρον ὑποκαταβὰς τοῦ βασιλείου ὕψους, φύσεως οὕτω κατασπώσης ὥσπερ αὐτόν, οὕτω καὶ ἄλλους. Σημείωσαι δὲ ὅτι τὸ κύω ῥῆμα ἐνταῦθα μὲν φίλημα σημαίνει, ἀλλαχοῦ δὲ τὸ κατὰ γαστρὸς ἔχειν, οἷον «ὑποκυσαμένη τέκεν». Ἐκ δὲ τοῦ τοιούτου κύειν καὶ ἡ ἐγκύμων καὶ τὸ ἐγκυμονεῖν καὶ κῦμα τὸ γέννημα ὡς ἐκ τοῦ κύημα κατὰ κρᾶσιν, ὡς δηλοῖ παρ’ Εὐριπίδῃ ἐν Κερκυόνι τὸ «γέμουσαν κύματος θεοσπόρου», ἤγουν ἐγκυμονοῦσαν ἐκ Ποσειδῶνος. Λέγεται δὲ κύειν ἀποτελεσματικῶς καὶ αὐτὸ τὸ γεννᾶν.] Τὸ δὲ πῆλεν ἔχει καὶ ἀπαρέμφατον, κείμενόν που ἐν τοῖς ἑξῆς καθ’ ὁμοιότητα τοῦ σφῆλαι καὶ τοῦ ἰῆλαι καὶ τοῦ ἀγῆλαι, οἷον «εὐνὰς ἀγῆλαι» παρ’ Εὐριπίδῃ, ἀντὶ τοῦ τιμῆσαι, τελέσαι μετὰ ἀγαλλιάσεως.

2.369 Ὥσπερ δὲ πάλλω ἔπηλα, οὕτω καὶ ψάλλω ἔψηλα, ἐξ οὗ καὶ τὸ ψηλαφᾶν κυριολεκτεῖται, ὡς ἀλλαχοῦ δηλοῦται. (v. 478) Τὸ δὲ «καὶ Ἰλίου ἶφι ἀνάσσειν» εὐχή ἐστι τοῦ φερωνυμηθῆναι τὸν Ἀστυάνακτα κληθέντα παρὰ τὸ ἄστεος ἀνάσσειν, [εἰ καί τις παλαιὸς παίζων κωμικώτερον ἑτέρῳ λόγῳ Ἀστυάνακτα ἑαυτὸν ἔφη που ὡς μὴ στύοντα, τουτέστι μὴ πεφυκότα ἐντείνειν τὸ αἰδοῖον κατὰ ἔρωτα, ὅπερ ἄλλος τις Ῥωμαῖος ἀνὴρ Ὁμηρικῶς ᾐνίξατο, εἰπὼν «οὐ δύναμαι τανύσαι», παίξας τὸ τοιοῦτον ὡς ἐπὶ νευρᾶς τόξου.] Ὀνόματι δὲ ἰσοδυναμεῖ συνήθως καὶ τὸ τοιοῦτον ἀπαρέμφατον, ἵνα ᾖ· βίην τ’ ἀγαθὸν καὶ βασιλέα Ἰλίου. (v. 480) Τὸ δὲ «ἐκ πολέμου ἀνιόντα» σολοικοφανές ἐστιν, εἰ μή τις ἔξωθεν νοήσει τὸ ἰδών ἢ μαθών ἢ τοιοῦτόν τι, ἢ προσλάβῃ πρόθεσιν καὶ συντάξει ὑπερβατῶς, οἷον· καί ποτέ τις εἴπῃ πρὸς αὐτὸν ἢ δι’ αὐτὸν ἐκ πολέμου ἀνιόντα. (v. 479) Καὶ σημείωσαι ὅτι καὶ νῦν σπεύδοντι καὶ ἀγωνιῶντι προσώπῳ τὸ καινοφανὲς δέδωκε τῆς συντάξεως. Διὸ καὶ τὴν ἠθοποιΐαν ὥσπερ πρὸ ὀλίγου, οὕτω κἀνταῦθα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐσμίκρυνε, καὶ μᾶλλον ἐνταῦθα, ἡμιστιχίῳ αὐτὴν ἐμπεριγράψας, εἰπὼν «καί ποτέ τις εἴπησι, πατρὸς δ’ ὅ γε πολλὸν ἀμείνων». Ἴσως δὲ οὐδ’ ἀνέχεται διὰ φιλαυτίαν πλατῦναι αὐτήν. διὸ οὐδὲ ηὔξατο ἀμείνω αὐτοῦ τὸν παῖδα γενέσθαι, ἀλλά φησι «καί ποτέ τις εἴπῃ», καὶ οὐδὲ ἔφη «καί ποτέ τινες εἴπωσιν», ἀλλά τις, εἷς δηλαδή. οὐ γάρ που οἴεται οὐδ’ αὐτὸς δυνατὸν εἶναι ἀμείνω αὐτοῦ γενέσθαι τὸν παῖδα. [Ὅτι δὲ ἐν τῷ «καί ποτέ τις εἴπησιν» ἐκτείνεται τὸ τις μετρικῶς διὰ τὸ καταπεραιοῦσθαι μέρος ὂν λόγου, καὶ ὅτι τὸ εἴπῃσι δύναται εἶναι καὶ ἀντὶ τοῦ προσείπῃ, ὅπερ αἰτιατικῇ συντάσσεται, καὶ ὅτι ἐν τῷ «πατρὸς δ’ ὅ γε ἀμείνων» ὁ δε σύνδεσμος ἀντὶ τοῦ δη νοεῖται, δῆλον ἂν εἴη.

2.370 ] (v. 480) Ἔναρα δὲ βροτόεντα ἢ παρὰ τὸ βροτός, ὃ δηλοῖ τὸν ἄνθρωπον, ἵνα δηλοῖ τὰ ἐξ ἀνθρώπων σκῦλα, ἢ παρὰ τὸ βρότος βαρύτονον, ὃ δηλοῖ τὸν μολυσμόν, ἵνα λέγῃ τὰ ᾑματωμένα. (v. 482 s.) Ὅτι τὸ «ἀλόχοιο φίλης ἐν χερσὶν ἔθηκε παῖδ’ ἑόν. ἣ δ’ ἄρα μιν κηώδεϊ δέξατο κόλπῳ» φιλοφροσύνην φράζει γονέων περὶ βρέφος φίλον. (v. 484) Ὅτι τὸ δακρυόεν γελάσαι τὴν Ἀνδρομάχην πάθος ψυχῆς δηλοῖ χαρᾷ καὶ λύπῃ σύμμικτον, χαρᾷ διὰ τὰ παρόντα, λύπῃ διὰ τὰ μέλλοντα. Φησὶ γὰρ «ἣ δ’ ἄρα μιν δέξατο κόλπῳ δακρυόεν γελάσασα». Καί φασιν οἱ παλαιοί, ὅτι ἐν τῷ «δακρυόεν γελάσασα» δυνατῶς εἰπὼν ὁ ποιητὴς οὐχ’ ἡρμήνευσε, τουτέστιν οὐκ ἔφρασε τὸ νόημα πρὸς σαφήνειαν. Καὶ λέγουσιν αὐτοί, ὅτι οὐχ’ ἁπλοῦν τῇ γυναικὶ τὸ πάθος ἀλλ’ ἐξ ἐναντίων σύνθετον, ἡδονῆς τε καὶ λύπης. γελᾷ μὲν γὰρ διὰ τὸ βρέφος, ἡ δὲ περὶ Ἕκτορος ἀγωνία εἰς δάκρυα προκαλεῖται αὐτήν, δι’ οὗ οἶκτον κινεῖ τῷ ἀνδρί, ὡς δηλοῖ εὐθὺς ἐπαχθὲν τὸ «πόσις δ’ ἐλέησε νοήσας». (v. 485) Ὅτι καὶ ὁ Ἕκτωρ ἐνταῦθα χειρὶ κατέρεξε τὴν ἄλοχον, ὥς που τὸν υἱὸν ἡ Θέτις, «ἔπος τ’ ἔφατ’ ἔκ τ’ ὀνόμαζεν». (v. 486 s.) Ὅτι παραμυθητικὸν ἐξ ἀνδρὸς γυναικὶ τὸ «δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ· οὐ γάρ τίς μ’ ὑπὲρ αἶσαν ἀνὴρ» καὶ ἑξῆς, ὡς κατωτέρω κείσεται. [Ἔνθα τὸ «Ἄϊδι προϊάψει», φιλούμενον εἰς φράσιν τῷ ποιητῇ, ἔχει ἐν τοῖς πρὸ τούτων που ἀντιπαρακείμενον τὸ «ἐφάμην Ἀϊδωνῆϊ προϊάψειν».] Τὸ δὲ «μή μοί τι» διεκόπη. τὸ γὰρ συνεχὲς «μή τί μοι λίην ἀκαχίζεο», ἀντὶ τοῦ μηδαμῶς. Ἀποτροπὴ δὲ καὶ ἐνταῦθα σοφὴ τοῦ λίαν, εἴτ’ οὖν ἄγαν, ἀντεισάγουσα τὸ μέτριον. (v. 488 s.) Ὅτι γνωματεύει ἐνταῦθα ὁ ποιητὴς οὕτω «μοῖραν δ’ οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν, οὐ κακὸν οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται». Σῴζει δέ τινα ὁμοιότητα πρὸς τοῦτο προσεχῶς ἀνωτέρω κείμενον καὶ τὸ «οὐ γάρ τίς μ’ ὑπὲρ αἶσαν Ἄϊδι προϊάψει». Λέγει δὲ μοῖραν τὸν ἐξ ἀνάγκης θάνατον. Φιλόσοφος δὲ ὁ ῥηθεὶς γνωμικὸς λόγος, δεικνύων, ὅτι ὁ γεγονὼς φθείρεται.

2.371 Σημείωσαι δὲ ὅτι ἐντεῦθεν παρέξεσται ὁ χρησμὸς ὁ παρὰ τῷ Αἰλιανῷ ἐν τῷ Περὶ προνοίας, λέγων οὕτω «μοῖραν μὲν θνητοῖσιν ἀμήχανον ἐξαλέασθαι, ἣν ἐπὶ γεινομένοισι πατὴρ Ζεὺς ἐγγυάλιξεν». Οὕτω κερδαίνει τι τῶν τοῦ ποιητοῦ καὶ ὁ Πύθιος, ὥσπερ καὶ ἕτεροι τῶν σοφῶν, ἐν οἷς καὶ ὁ γνωματεύσας τὸ «μηδὲν ἄγαν», ὃ καὶ αὐτὸ ἐξ Ὁμήρου ἀπενοσφίσθη προσεχῶς τε εἰπόντος τὸ «μή μοί τι λίην ἀκαχίζεο θυμῷ», καὶ ἐν τοῖς ἑξῆς τὸ «μήτ’ ἄρ με μάλ’ αἴνεε». Τὸ δὲ πεφυγμένον, ὃ καὶ ἐν ’Οδυσσείᾳ κεῖται, ἐκ τοῦ πεφευγμένον γέγονεν, ἀπελθόντος τοῦ ε διὰ τὸ λειότερον τῆς φωνῆς. (v. 489) Τὸ δὲ ἐπήν ταὐτόν ἐστι τῷ ἐπάν καὶ ἐπειδάν καὶ ἐπεὶ ἄν, ὃ πρὸ ὀλίγων ἐρρέθη. (v. 490—3) Ὅτι καὶ ἐνταῦθα ὁ ποιητὴς διὰ τοῦ Ἕκτορος γυναιξὶ πρέπειν φησὶ τὰ ἑαυτῶν ἔργα κομίζειν κατ’ οἶκον, ἅπερ καὶ ἐν ὀλιγίστῳ ἐκτίθεται εἰπών· «ἀλλ’ εἰς οἶκον ἰοῦσα τὰ σαυτῆς ἔργα κόμιζε ἱστόν τ’ ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε ἔργον ἐποίχεσθαι, πόλεμος δὲ ἄνδρεσσι μελήσει πᾶσιν, ἐμοὶ δὲ μάλιστα, [τοί», ἤγουν οἵτινες, «’Ιλίῳ ἐγγεγάασι».] Πολέμαρχος γὰρ ἐν Τρωσὶν ὁ Ἕκτωρ, ὡς ἐν Ἕλλησιν Ἀχιλλεύς. διὸ κατωτέρω ἀνδροφόνον αὐτὸν ὁ ποιητὴς καλέσει, καθά που καὶ τὸν Ἀχιλλέα. (v. 498) Ἐνταῦθα δὲ καὶ οἰκεῖον εἶναι γυναιξὶ τὴν οἰκουρίαν γνωματεύει ὁ ποιητής. ταὐτὸν γὰρ τὸ ἐν οἴκῳ ἔργα κομίζειν καὶ τὸ οἰκουρεῖν. Ἔστι δὲ κομίζειν τὸ ἐπιμελείας ἀξιοῦν, ἐξ οὗ καὶ ἡ κομιδή. γίνεται δὲ ἀπὸ τοῦ κομῶ, ὡς ἐκ τοῦ νεμεσῶ τὸ νεμεσίζω καὶ τὸ πολεμίζω ἐκ τοῦ πολεμῶ. Σημείωσαι δὲ ὅτι τῆς πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γυναῖκας Ὁμηρικῆς ταύτης παραγγελίας εὕρηται καὶ παρὰ Ἡροδότῳ παράδειγμα, ἔνθα φησίν, ὅτι Φερετίμη γυνὴ Βάττου τοῦ χωλοῦ, ἀφικομένη παρὰ τὸν Σαλαμίνιον, ἤτοι Κύπριον, Εὐέλθοντα, ἐδέετο στρατιᾶς ἐπί τινα πόλεμον. Ὁ δὲ πολλὰ πρότερον δοὺς καὶ μὴ θεραπεύων— ἀεὶ γὰρ ἐκείνη τὸ μὲν διδόμενον, φησίν, ἐλάμβανε καὶ καλὸν ἔλεγε, κάλλιον δὲ ἔκρινε τὸ στρατιὰν λαβεῖν—, τελευταῖον ἐξέπεμψεν αὐτῇ δῶρον, ἄτρακτον χρύσεον καὶ ἠλακάτην, ᾗ καὶ εἴριον προσέκειτο, καὶ προσεπεῖπεν, ὅτι γυναῖκα τοιούτοις δωρεῖσθαι χρὴ ἀλλ᾽ οὐ στρατιᾷ θνῃσκούσῃ ἐκ τῶν τρωμάτων.

2.372 (v. 492 s.) Ἰστέον δὲ καὶ ὅτι καθ᾽ ὁμοιότητα τοῦ «πόλεμος ἄνδρεσσι μελήσει πᾶσιν, ἐμοὶ δὲ μάλιστα» εἴρηται ἀλλαχοῦ παρῳδηθὲν τὸ «μῦθος δ᾽ ἄνδρεσσι μελήσει πᾶσι, μάλιστα δ᾽ ἐμοί», καὶ ἐν ἄλλοις «τόξον δ᾽ ἄνδρεσσι μελήσει». οὕτως ἑαυτὸν ὁ ποιητὴς παρῳδεῖ ἐν πολλοῖς. Ὅρα δέ, φασίν, ἠθῶν διαφοράν. Ἕκτωρ μὲν γὰρ τὸν πόλεμον ἄνδρεσσί φησι μελήσειν, Ἀλέξανδρος δὲ τῇ γυναικὶ Ἑλένῃ μέλειν τοῦ πολέμου φησί, ἐν οἷς ἔφη ὡς ἡ ἄλοχος παρειποῦσα μαλακοῖς λόγοις ὥρμησεν αὐτὸν εἰς τὸν πόλεμον. Ἔτι ἰστέον καὶ ὅτι ἡ νῦν προαναφωνητικῷ τρόπῳ ῥηθεῖσα παραίνεσις ἔπεισε τὴν Ἀνδρομάχην οἰκουρεῖν καὶ μηκέτι ἐξελθεῖν εἰς τὸν πύργον, ὡς εἴγε ἐξῆλθεν ἐν τοῖς ἑξῆς, οὐκ ἂν ἤνεγκεν ἰδοῦσα τὸν Ἕκτορα νεκρὸν ἑλκόμενον μὴ οὐχ᾽ ἑαυτὴν καταρρῖψαι τοῦ πύργου, ὅπερ οὐκ ἔχων καθ᾽ ἱστορίαν ποιῆσαι Ὅμηρος, μὴ καὶ εἰς κακόζηλόν τι ἀπεκβῇ, κατέσχεν αὐτὴν ἔσω τοῦ οἴκου ἀπὸ τῆς ἄρτι πειθαρχήσασαν τῷ ἀνδρί. [(v. 493) Ἰστέον δὲ ὅτι τὸ «οἳ Ἰλίῳ ἐγγεγάασιν» ἢ πρὸς τὸ πᾶσι κολλητέον καθ᾽ ὑπερβατόν, ἵνα λέγῃ ὅτι πόλεμος μελήσει πᾶσι τοῖς Ἰλιεῦσιν, ἢ συννοητέον αὐτῷ εἰς τὸ «μάλιστα», ἵνα ᾖ· ἐμοὶ δὲ πόλεμος μελήσει μάλιστα καὶ ἐπέκεινα τῶν ὅλων Τρώων. (v. 490) Τὸ δὲ «τὰ σαυτῆς ἔργα» πρὸς διαστολὴν ἑτεροίων ἔργων ἐρρέθη. ἔστι γὰρ καὶ πολέμου ἔργον καὶ «ἔργα καλὰ αἰζηῶν» καὶ ἄλλα δὲ μυρία.] (v. 496) Ὅτι οὕτω φίλανδρος ἡ Ἀνδρομάχη, ὥστε καὶ ὑποχωροῦντι τῷ Ἕκτορι συνεφέπεταί πως καὶ οἷον συνεκδημεῖ τῇ ὁράσει ἐχομένη αὐτοῦ. Φησὶ γάρ, ὅτι «οἴκονδε βεβήκει ἐντροπαλιζομένη», ἤτοι συχνὰ ἐπιστρεφομένη, «θαλερὸν κατὰ δάκρυ χέουσα», περὶ οὗ πρὸ βραχέων εἴρηται. Ἀπάγει μὲν γὰρ αὐτὴν ἡ παραίνεσις, ἐπιστρέφει δὲ ἡ εὔνοια. (v. 499—502) Καὶ ἔσω γενομένη θρῆνον παρὰ ταῖς ἀμφιπόλοις ἁπάσαις ἤγειρε, ζῶντα ὀδυρομέναις τὸν Ἕκτορα. Φησὶ γὰρ «τῇσι δὲ γόον πάσῃσιν ἐνῶρσεν. αἳ μὲν ἔτι ζωὸν γόων», ὅ ἐστιν ἐθρήνουν, «Ἕκτορα. οὐ γάρ μιν ἔτ᾽ ἔφαντο ὑπότροπον ἐκ πολέμοιο ἵξεσθαι προφυγόντα μένος καὶ χεῖρας Ἀχαιῶν», [οὐ τούτων ἢ ἐκείνων, ἀλλὰ δηλαδὴ πάντων, κατὰ τὸ «τάχα γάρ σε κατακτανέουσιν Ἀχαιοὶ πάντες ἐφορμηθέντες».

2.373 ] Καὶ ὅρα ὅπως εὐνοοῦσιν ἐνταῦθα αἱ ἀμφίπολοι τοῖς δεσπόταις. Καί φασιν οἱ σοφοὶ χρῆναι τοὺς δεσπότας οὕτω δεσπόζειν ὅπως εὐνοῶνται. Ἰστέον δὲ καὶ ὅτι, καθὰ πρὸ τούτων οὕτω καὶ νῦν προεκθετικῶς ἀναπεφώνηται τὸ μὴ ὑπότροπον ἐπανελεύσεσθαι τὸν Ἕκτορα, καὶ ὅτι οὐχ᾽ ὡς ἐν τοῖς ἑξῆς ἀμφίπολοι Πάτροκλον πρόφασιν κλαίουσιν, ἀληθῶς δὲ τὰ ἑαυτῆς ἑκάστη κήδεα, οὕτω καὶ ἐνταῦθα αἱ οἰκεῖαι πρόφασιν Ἕκτορα θρηνοῦσιν, ἀλλ᾽ ἐνδιαθέτως οἰκτίζονται ὡς μηκέτι αὐτὸν ὀψόμεναι. (v. 496) Τὸ δὲ ἐντροπαλίζεσθαι κείσεταί που καὶ ἐν τοῖς ἑξῆς ἐπὶ ἥρωος. (v. 501) Περὶ δὲ τοῦ ὑπότροπος προγέγραπται. (v. 499 s.) Τὸ δὲ γόον, ὅ ἐστι θρῆνον, καὶ γόων ἀντὶ τοῦ ἐθρήνουν ἔχει τι ψευδοπαρηχήσεως, ὁποῖαι καὶ ἕτεραι προδεδήλωνται ταὐτοφωνίαν ἔχουσαι ἐν ἀνομοιότητι γραφῆς. (v. 503) Ὅτι τὸν Πάριν ἀναπαυσάμενον, εἶτα κατόπιν τοῦ ἀδελφοῦ σπουδαίως εἰς μάχην ἐξορμήσαντα, ἵππῳ εἰκάζει στατῷ, ὃς εἰωθὼς λούεσθαι ἐπὶ ποταμοῦ καὶ ἐν τῷ ἵστασθαι ἀναπολήσας φανταστικῶς τὰ λουτρὰ καὶ ποθήσας θέει διὰ πεδίου ἀπορρήξας τὰ δεσμά. Φησὶ γάρ· «οὐδὲ Πάρις δήθυνεν», ἤγουν δηθὰ καὶ ἐπὶ πολὺ διέτριψε καὶ ὡς εἰπεῖν ἐβράδυνεν, «ἐν ὑψηλοῖσι δόμοισι» μετὰ τὸν Ἕκτορα, «ἀλλ᾽ ὅ γ᾽ ἐπεὶ κατέδυ κλυτὰ τεύχεα ποικίλα χαλκῷ, σεύατ᾽ ἔπειτα», ἤγουν ὥρμησεν, «ἀνὰ ἄστυ ποσὶ κραιπνοῖσι πεποιθώς». (v. 506—13) Εἶτα ἐπάγων τὴν ῥηθεῖσαν παραβολήν φησιν «ὡς δ᾽ ὅτε τις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στατὸς ἵππος ἀκοστήσας ἐπὶ φάτνῃ δεσμὸν ἀπορρήξας θείει πεδίοιο κροαίνων, εἰωθὼς λούεσθαι ἐϋρρεῖος ποταμοῖο κυδιόων. ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται ὤμοις ἀΐσσονται, ὃ δ' ἀγλαΐηφι πεποιθὼς ῥίμφα ἑ γοῦνα φέρει μετά τ' ἤθεα καὶ νομὸν ἵππων, ὣς υἱὸς Πριάμοιο Πάρις κατὰ Περγάμου ἄκρης τεύχεσι παμφαίνων ὥστ' ἠλέκτωρ ἐβεβήκει καγχαλόων, ταχέες δὲ πόδες φέρον». Καὶ σημείωσαι, ὅτι γραφικῶς, ἤτοι ὡς ἐν ζωγραφίας τύπῳ, φράζει καὶ τὴν τοῦ ἵππου παραβολὴν ὁ ποιητής. Ἦ γάρ, ὦ οὗτος, ἀκούων ταῦτα οὐ δοκεῖς ἵππον ὁρᾶν κροαίνοντά τε καὶ κυδιόωντα, ὁποῖα τὰ τῶν εὐγενῶν ἵππων, οἳ καὶ αἰσθάνονται τῆς ἑαυτῶν ἀγλαίας ἕκαστος. εἴποις δ' ἂν καὶ ἀγέρωχον κεφαλὴν βλέπειν ὑψοῦ αἰρομένην καὶ χαίτας ἀγαθοῦ ἵππου ἐν τῷ οὕτω θέειν ἐπικυμαινομένας τοῖς ὤμοις. οὕτω καλλιγραφεῖ καὶ τὰ τοιαῦτα Ὅμηρος.

2.374 Ἰστέον δὲ ὅτι πρὸς μόνην προθυμίαν ἡ παραβολὴ καὶ σπουδὴν δρόμου. Διὸ καὶ εἰπών, ὅτι ὥρμησεν ὁ Πάρις ἀνὰ ἄστυ ποσὶ κραιπνοῖς πεποιθώς, εὐθὺς ἐπάγει τὴν ῥηθεῖσαν παραβολήν. Ἀνδρεῖον μέντοι οὐδὲ νῦν οὐδὲν ἔχει ὁ Πάρις, ἀλλὰ καὶ εἰς μάχην ἐκτρέχων μετὰ τῆς συνήθους ἀγλαίας πρόεισι. καὶ ἔστιν ὡς ἄν τις σκώψειε τὸ τοῦ Τραγικοῦ «ἡ πάλαι γυνή». (v. 504) Ὅρα δὲ καὶ νῦν τὸ «κατέδυ τεύχεα» ὁμοίως ῥηθὲν τῷ «κατέδυ πόλιν». τὸ δὲ ἁπλοῦν αὐτοῦ πρὸ βραχέων ἐγράφη. Τὸ δὲ «ποικίλα χαλκῷ» πρὸς διαστολὴν ἔφη τῶν ἄλλως πολυτρόπως ποικιλλομένων. (v. 506) Στατὸς δὲ ἵππος ὁ τῆς ἀγέλης ἀποσπασθεὶς καὶ ἐν φάτνῃ ἐφ' ἱκανὸν στὰς καὶ ἀναπαυθείς. Τὸ δὲ τοιοῦτον στῆναι καὶ τὸ ἱπποστάσιον ποιεῖ καὶ τὸ βουστάσιον καὶ τὸ βούσταθμον, —ἃ καὶ ἐν ἁπλότητι σταθμοὶ λέγονται, [καὶ σταθμὰ δὲ κατὰ γένους μεταπλασμόν] —καὶ τὸν ζωϊκὸν δὲ σηκόν, ὡς οἷον στηκόν τινα εἶναι, ἀφ' οὗ καὶ ὁ ναὸς σηκός, περὶ ὃν δηλαδὴ ἱερεῖα ἵστανται. Ἀκοστῆσαι δὲ τὸ πολυκριθῆσαι κατὰ τοὺς παλαιούς, ἤγουν τὸ κριθιάσαι. ἀκοσταὶ γὰρ αἱ κριθαί, ὅπερ, φασίν, ἐξ Ὁμήρου μὲν οὐ δείκνυται, παρὰ δέ γε Νικάνδρῳ καὶ ἄλλοις κεῖται. Οἱ δὲ παλαιοί φασι καὶ πάσας τὰς τροφὰς παρὰ Θεσσαλοῖς ἀκοστὰς λέγεσθαι. Ἄλλοι δὲ ἀκοστῆσαί φασι τὸ σχεῖν ἄχος ἐν τῷ ἵστασθαι, ἔνιοι δὲ τὸ λαβεῖν ἄχθος [ἢ μᾶλλον, κατ' αὐτοὺς καὶ τοῦτο εἰπεῖν, ἄκος] τῇ στάσει καὶ τῇ τῆς τροφῆς ἀπολαύσει, ὡς τὸ «πίον τ' ἀκέοντό τε δίψαν».

2.375 [Ἕτεροι τὸ ἀκολάστως διατεθῆναι, ἵνα ᾖ ἀκολαστῆσαι καὶ ἐν συγκοπῇ ἀκοστῆσαι.] Ἄλλοι δὲ τὸ ἡσυχάσαι παρὰ τὸ ἀκήν, ἤγουν ἡσύχως, στῆναι. Τινὲς δὲ γράφουσιν ἀγοστήσας, ὅ ἐστι ῥυπανθεὶς καὶ διὰ τοῦτο φαντασάμενος τὰς συνήθεις νομὰς καὶ τὰ πρῴην λουτρά, καί φασιν ὅτι γοῖτος λέγεται ὁ ῥύπος, ὅθεν καὶ τὸ ἀγοστήσας γίνεται. [Ἡ δὲ φάτνη παρὰ τὸ φαγεῖν γίνεται, ὥσπερ αὖ ἡ κάπη ἐκ τοῦ κάπτειν, ὅπερ ἐστὶν ἐσθίειν, οἷον «ἱππείῃσι κάπῃσι». Χρῆσις δὲ τοῦ κάπτειν καὶ παρὰ τῷ Κωμικῷ. «ἐνέκαψε» γάρ φησιν ἐκεῖνος.] (v. 507) Τὸ δὲ «ἀπορρήξας δεσμόν» γενναιότητα ἵππου δηλοῖ οὕτω βιασαμένου τὸ ἐλεύθερον. Τὸ δὲ θείει διὰ μέτρον οὕτω γράφεται, καθὰ καὶ τὸ πλέειν πλείειν λέγεται. Τὸ δὲ πεδίοιο ἢ τῷ θείει συντακτέον, ἵνα λέγῃ· θέει διὰ πεδίου, ἢ τῷ κροαίνων, ἵνα ᾖ· κατὰ πεδίου κροαίνων, ὅ ἐστι κρούων καὶ κροτῶν κατὰ τῆς πεδιάδος.

2.376 ἵππος γάρ, φασίν, εἰς πεδίον. (v. 508) Τὸ δὲ εἰωθώς κυρίως μὲν ἐπὶ ἀνθρώπων, ὡς καὶ τὸ ἔθος καὶ τὸ ἦθος, καταχρηστικῶς δὲ καὶ ἐπὶ ἀλόγων. Διὸ καὶ θαρρήσας εἰπεῖν ὁ ποιητὴς ἐπὶ ἵππου τὸ εἰωθώς παρακατιών φησιν «ἤθεα καὶ νομὸν ἵππων», ὡς τοῦ εἰωθέναι καὶ τοῦ ἤθους συστοίχων ὄντων. Τὸ δὲ εἰωθὼς λούεσθαι ἐπὶ ποταμοῦ ἡ συνοχή ἐστι τῆς ὅλης παραβολῆς. Εἰ μὴ γὰρ τοιοῦτος ἵππος ὑποτεθείη, οὐδὲ τὰ λοιπὰ γίνεται τῆς παραβολῆς. Ὅτι δὲ φιλεῖ λούεσθαι ὁ ἵππος, δηλοῖ καὶ Ἀριστοτέλης γράψας, ὅτι φιλόλουτρον ζῷον ὁ ἵππος καὶ φίλυδρον καὶ χαίρει λειμῶσι καὶ ἕλεσι. Τὸ δὲ «ἐϋρρεῖος» δηλοῖ μὲν τὸ εὖ ῥέοντος, πάνυ δέ ἐστι τραχὺ καὶ πεζῷ λόγῳ δύσχρηστον. λειότερον δὲ αὐτοῦ τὸ εὐρείτης, τραχὺ δὲ ὅμως καὶ αὐτό. Σημείωσαι δὲ ὅτι καὶ νῦν τέσσαρες ἀσύνδετοι παράκεινται μετοχαί· τὸ ἀπορρήξας, τὸ κροαίνων, τὸ εἰωθὼς λούεσθαι καὶ τὸ κυδιόων. (v. 509) Ἐν ᾧ ἔστιν ἐνθυμηθῆναι, ὡς κυδιᾶν μὲν ἴσως καὶ κυδροῦσθαι

λέγοιτ' ἂν ἵππος οἷά τις φιλητός. ἐπεὶ καὶ ἐκ τοῦ κύω, τὸ φιλῶ, τὸ κῦδος. κύδιμος δὲ ἢ κυδάλιμος ἢ κύδιστος οὐκ ἂν λέγοιτο. Τὸ δὲ «ὑψοῦ κάρη ἔχει», ὅ ἐστιν ὑψαυχενεῖ, καὶ τὸ «χαῖται ὤμοις ἀΐσσονται», τοῦ κυδιόων εἰσὶν ἑρμηνευτικά. ἵππος γὰρ κυδιᾷ, οὗ ἡ κεφαλή τε ὑψοῦ αἴρεται καὶ αἱ χαῖται ὤμοις ἀΐσσονται. (v. 510 s.) Τὸ δὲ «ὃ δ' ἀγλαΐῃ πεποιθὼς ῥίμφα ἑ γοῦνα φέρει» σχῆμά ἐστι καινοπρεπὲς ἐπὶ καινῷ ῥηθὲν καὶ αὐτὸ πράγματι, ταὐτὸν δ' εἰπεῖν, σολοικοφανές. Ὤφειλε μὲν γὰρ ἢ εἰπεῖν, ὅτι ὃ δ' ἀγλαΐᾳ πεποιθὼς ῥίμφα θέει ἢ κροαίνει ἢ φέρεται γόνασιν ἢ τοιοῦτόν τι, ἢ καὶ ἄλλως ἀπὸ αἰτιατικῆς ἀρξάμενος οὕτω πως φράσαι· τὸν δ' ἀγλαΐᾳ πεποιθότα ῥίμφα, ὅ ἐστιν εὐκόλως καὶ κούφως, τὰ γοῦνα φέρει. Ὁ δὲ καινοπρεπῶς κἀνταῦθα σχηματίζων ὡς ἐν σχεδιασμῷ ἔμιξεν ἀμφοτέρας τὰς συντάξεις, ἀρξάμενος ἀπὸ τῆς μιᾶς, ἧς ἡ εὐθεῖα κατάρχει, καὶ καταλήξας εἰς τὸ τέλος τῆς ἑτέρας τῆς κατὰ αἰτιατικὴν προϊούσης, συναγλαϊζόμενος οἷον τῷ φραζομένῳ πράγματι καὶ ὅλος αὐτοῦ γενόμενος καὶ τῆς ἀκολουθίας οὕτω λαθόμενος, οἷς γέγηθε, καὶ ἀγάλλων τὸν ἀκροατὴν τῇ καινοπρεπείᾳ τοῦ σχήματος.

2.377 Τινὲς δέ γε ὑπερπαθοῦντες οἷον Ὁμήρου, εἰ σόλοικα φθέγγεται, θεραπεύουσι διὰ προθέσεως τὸ σολοικοφανές, φάμενοι, ὅτι ὁ ἵππος ῥίμφα ἑ κατὰ γοῦνα φέρει, ἵνα λέγῃ ὅτι ὁ ἵππος τῇ ἀγλαΐᾳ θαρρῶν εὐκόλως ἑαυτὸν φέρει τοῖς γόνασι. Καὶ ἴσως ὥσπερ ἐν τῷ «πεδίοιο κροαίνων» λείπει πρόθεσις, ὡς ἐρρέθη, καὶ ἐν τῷ «λούεσθαι ποταμοῖο», οὕτω καὶ ἐν τῷ γοῦνα ἐνόμισαν ἐνδεῖν τὴν κατα πρόθεσιν. Ἕτεροι δὲ μεταγράφουσι «ῥίμφ' ἑὰ γοῦνα φέρει». Οἱ δὲ τοιοῦτοι λέγουσιν οὐδέν. Οὔτε γὰρ τὸ «ἕ» ἀντὶ τοῦ ἑαυτόν Ὁμηρικόν ἐστιν ἢ ὅλως ὀρθόν, ὅπερ οἱ προσεχῶς ἀνωτέρω πρῶτοι θεραπευταὶ εἶπον, οὔτε ὅπερ οἱ μετ' αὐτοὺς οὗτοι δεύτεροι, ὅτι δηλαδὴ ὁ ἵππος τὰ οἰκεῖα γόνατα φέρει, ἐμφαίνει Ὁμηρικὴν ἰδιότητα. αὐτὸν γὰρ μᾶλλον φέρουσι τὰ γόνατα συντόνως θέοντα, ὡς Ὁμήρῳ ἀρέσκει. Δεῖ γὰρ εἰδέναι ὅτι ὁ ποιητὴς εἴωθε τὰ σπουδαίως θέοντα λέγειν ὑπὸ τῶν ποδῶν φέρεσθαι, ὡς ἐν ἄλλοις τε δηλοῖ καὶ μετ' ὀλίγα ἐν τῷ «ταχέες δέ», ὡς ἐρρέθη, «πόδες ἔφερον τὸν Ἀλέξανδρον». Τινὲς δέ φασι τὸν τοῦ Ἀριστάρχου ἀναγνώστην Ποσειδώνιον ῥίμφαε λέγειν ἐν ἑνὶ τρισυλλάβῳ μέρει λόγου, πλεονάσαντος, φησίν, ἐν παρολκῇ τοῦ ε , ὡς ἐν τῷ «ἠὲ σὺ τόνδε δέδεξο». καὶ αὐτοὶ μὲν τοιαῦτα. Ὁ δὲ Ὁμηρικὸς ἀνὴρ ἥδιον ἀκούοι ἂν καὶ νῦν καινοφωνοῦντος ἐλλόγως τοῦ ποιητοῦ τὰ ἀστεῖα ταῦτα σολοικοφανῆ ἤπερ ἀνέχοιτο Ἀττικῶς φθεγγομένων ἀκροᾶσθαι τῶν ἐπιδιορθουμένων αὐτόν.

2.378 Σημείωσαι οὖν ὅτι ἐν τῷ «ὃ δ' ἀγλαΐᾳ πεποιθώς» λείπει ῥῆμα τῆς τοιαύτης εὐθείας καὶ ἔμεινεν ἀναπόδοτος ἡ ἔννοια, ὡς οἷα μὴ εὐπορήσαντος τοῦ ποιητοῦ ἐκ τοῦ παραυτίκα διὰ τὸ σχεδιάζειν εἰπεῖν ῥῆμα καιριώτερον καὶ διὰ τοῦτο τραπέντος εἰς ἕτερον νόημα, ὅπερ ἐστὶ τὸ φέρει αὐτὸν τὰ γόνατα. καὶ τοῦτό ἐστι τὸ τῆς καινοπρεπείας τοῦ σχήματος αἴτιον. Τὸ δὲ ἀγλαΐᾳ πεποιθώς καὶ ποσὶ πεποιθὼς ὅμοιον τῷ ἀλκὶ πεποιθώς. Ὡς γὰρ οἶδε λέων ἄλκιμος ὤν, οὕτω καὶ ὁ ῥηθεὶς ἵππος, ὅτι ἀγλαός, καὶ ὁ Πάρις, ὅτι ποδώκης. (v. 512 s.) Τὸ δὲ «καταβεβήκει Περγάμου ἄκρης» μετάληψίς ἐστι τοῦ «ἄκρης πόλεως». ἐν ἑκατέροις γὰρ ἡ ἀκρόπολις νοεῖται. Φανερῶς δ' ἐνταῦθα θηλυκῶς ἡ Πέργαμος, εἰ καὶ ἐν ἄλλοις οὐδετέρως τὸ Πέργαμον. Τὸ δὲ «τεύχεσι παμφαίνων» νεόσμηκτά τε δηλοῖ τὰ ὅπλα τοῦ Πάριδος, ἐπεὶ πρὸ ὀλίγου, ὡς ἐρρέθη, ἐπεμελεῖτο αὐτῶν, καὶ ὁπλίτην δὲ νῦν ἀντὶ τοξότου αὐτὸν παριστᾷ. ἔοικε γὰρ καὶ αὐτὸς τοῦ τοξεύειν καταγνῶναι. διὸ ῥίψας τὰ τόξα παμφαίνει τεύχεσιν. Ἠλέκτωρ δὲ ἀντὶ τοῦ ἥλιος, ὡς δὲ Ἀπίων φησίν, ὁ λάμπων ὡς ἤλεκτρον, ὅπερ οὐκ ἄν τις ῥᾷον ἀποδέξαιτο, τά τε ἄλλα, καὶ ὅτι οὐκ ἔδει τὸ μὲν τοῦ Ἕκτορος βρεφύλλιον ἀστέρι εἰκάσαι, ἠλέκτρῳ δὲ τὸν θεοειδῆ Ἀλέξανδρον. Μάλιστα μὲν οὖν θαυμαστέον τὴν παραβολὴν ταύτην, ὅτι ἐκ ταπεινοῦ τοῦ κατὰ τὸν ἵππον λόγου μετέωρος ἦρται ὁ Πάρις τῇ κατὰ τὸν ἠλέκτορα ἥλιον παραβολῇ, ὥς που καὶ τὸν Ἀγαμέμνονα ἀπὸ ζωϊκῆς παραβολῆς θειοτέραις εἰκασίαις ἐσεμνολόγησεν ἡ ποίησις. Τεχνικῶς δὲ ὁ ποιητὴς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν μὲν κατὰ τὸν ἀγλαὸν ἵππον παραβολὴν πλατὺ διεσκεύασεν, ἀπεστένωσε δὲ τὴν κατὰ τὸν ἥλιον.

2.379 Ἡ μὲν γὰρ ταπεινὴ οὖσα ἤθελε τριβὴν λόγου ἐκφραστικήν, τὸ δὲ κατὰ τὸν ἥλιον οὐχ’ οὕτω ῥᾴδιον ἁπλῶς ἐνταῦθα ἦν. Καὶ ἄλλως δέ, ἐκκλίνων τὸ κατὰ τὴν φράσιν ὁμοειδὲς τὴν μὲν τῶν παραβολῶν ἐπλάτυνε, τὴν δὲ ἑτέραν κατεσμίκρυνε μυστηριωδῶς, ὡς οὐκ ἄν τις φράσῃ γοργότερον. Γίνεται δὲ ἠλέκτωρ ἥλιος ἢ παρὰ τὸν χρυσοφαῆ ἤλεκτρον ἢ καὶ ὅτι ἀνατέλλων ἀποστερεῖ λέκτρου ἤτοι λέχους καὶ κοίτης τοὺς ἐργατικούς, ὡς οἷά τις ἀλέκτωρ ὤν, εἶτα ἠλέκτωρ κατὰ τροπὴν [ἐκφεύγουσαν τὴν πρὸς τὸν ἀλέκτορα συνέμπτωσιν.] Σημείωσαι δὲ καὶ ὅπως ὁ Ἀλέξανδρος λόγῳ ἐρεθισθεὶς οὐ μόνον τοῦ οἰκουρεῖν ἀπήχθη, ἀλλὰ καὶ ἀνδραγαθήσει μετ’ οὐ πολύ. (v. 514) Τὸ δὲ καγχαλόων, ὅ ἐστι χαίρων, εἰς χάρμην τὴν ἀληθῶς ἀπιέναι τὸν Πάριν δηλοῖ. Ἔστι γὰρ κυρίως χάρμη μάχη, ἣν ὑποδύεταί τις οὐχ’ ὑποπτήσσων ἀλλὰ καγχαλόων καὶ χάρμα ἔχων, καὶ ἄλλως δὲ εἰπεῖν, μελπόμενος Ἄρηϊ. (v. 516) Ὅτι ὀαρίζειν τὸ ὁμιλεῖν ἐν λόγοις. Φησὶ γὰρ «ἔνθα Ἕκτωρ ᾗ ὀάριζε γυναικί», τουτέστι διὰ λόγων ὡμίλει. πολλαχοῦ δὲ περὶ τῆς τοιαύτης δηλοῦται λέξεως ἔν τε τῇ Ἰλιάδι καὶ τῇ Ὀδυσσείᾳ. Παράγωγον δὲ αὐτῆς ὁ ὀαριστύς καὶ ὀαριστής, ὁ ὁμιλητής. Προϋπάρχει δὲ τῶν τοιούτων τὸ ἀείρειν καὶ ἡ ἀπ’ αὐτοῦ ἄορ καὶ ἡ ξυνάορος καὶ ὁ ξυνάορος. ὅθεν ἐν μεταθέσει τὸ ὀαρίζειν καὶ τά, ὡς ἐρρέθη, ἐξ αὐτοῦ. (v. 518) Ὅτι καὶ ἐνταῦθα, ὡς καὶ ἐν Ὀδυσσείᾳ, τὸ ἠθεῖος, περὶ οὗ καὶ ἀλλαχοῦ κεῖται, λέξις ἐστὶ συγγενική, ὡς καὶ τὸ θεῖος. Ἔστι δὲ προσφώνησις νεωτέρου ἀδελφοῦ πρὸς παλαιότερον. Ἐλήφθη δὲ κατὰ παράχρησιν ὕστερον παρά τισι καὶ ἀντὶ τοῦ θεῖος, ὃ δηλοῖ τὸν θαυμαστόν, [πλεονάσαντος τοῦ η , ὡς καὶ ἐν τῷ ἠβαιόν καὶ ἠλύγη καὶ ἠμύω.

2.380 Ἐν δὲ τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους κεῖται καί, ὅτι ἠθείους τοὺς ὁμοτρόπους φαμὲν τῷ τὰ αὐτὰ ἤθη ἔχειν καὶ ἐν ὁμοίοις ἤθεσι καταγεγονέναι. Παρ’ ἐνίοις γάρ, φησί, τὰ ἔθη ἤθη λέγεται. Τινὲς δέ, φησί, τὴν φωνὴν ἐκ συγγενοῦς λέγουσι πρός τινα πρεσβύτερον φιλοφρόνως ἀναφέρεσθαι. ἀντισπᾷ δέ πως τὴν ἔννοιαν Εὔμαιος λέγων περὶ Ὀδυσσέως τὸ «ἀλλά μιν ἠθεῖον καλέω».] Ἐν δὲ τοῖς Ἀπίωνος καὶ Ἡροδώρου κεῖται, ὅτι ἴσως τὸ θεῖος, τὸ σημαντικὸν ἐπαίνου, πλεονασμῷ τοῦ η ἠθεῖος γέγονε, καὶ ἔστι προσφώνησις ἔχουσά τινα σεβασμόν. Συγχέεται δὲ παρὰ τοῖς μεθ’ Ὅμηρον ἡ λέξις. Ἔστι δὲ τὸ μὲν τέττα φίλου, τὸ δὲ ἄττα τροφέως, τὸ δὲ πάππα πατρός, τὸ δὲ ἠθεῖε ἀδελφοῦ. Φησὶ γοῦν ὁ Πάρις πρὸς Ἕκτορα «ἠθεῖε, ἦ μάλα δή σε καὶ ἐσσύμενον κατερύκω δηθύνων», ἤγουν βραδύνων ἐγὼ κωλύω σε σπεύδοντα. Ὅρα δὲ ὅτι κολακεύων καιρίως καὶ ὁ Πάρις ψεύδεται. Εἰδὼς γὰρ ὅτι ὁ Ἕκτωρ διὰ τὰ φίλτατα ἤργησεν, ὡς ἐκείνου τοῦτο προειπόντος, ὅμως ἐνταῦθα εἶπεν ἐπέχεσθαι τὸν Ἕκτορα σπεύδοντα, ὡς αὐτοῦ δὴ τοῦ Πάριδος δῆθεν βραδύνοντος. Τὸ δὲ «ἦ μάλα δή σε καὶ ἐσσύμενον κατερύκω» ἐρεῖ ἂν ὁ ἐμποδών τινι πρὸς ἔργον γινόμενος. (v. 519) Ἐνταῦθα δὲ κεῖται καὶ τὸ ἐναίσιμον ἀντὶ τοῦ καθῆκον. Φησὶ γὰρ «οὐδ’ ἦλθον ἐναίσιμον, ὡς ἐκέλευες». μετ’ ὀλίγα δὲ ἐν τῷ «ἀνὴρ ὃς ἐναίσιμος εἴη» τὸν δίκαιον ἢ συνετὸν ἡ λέξις δηλοῖ. [Ἐνταῦθα δὲ ὅρα ὡς, εἰ καὶ αἶσα τριχῶς λέγεται, ἐπί τε εἱμαρμένης, ὡς μυριαχοῦ φαίνεται, καὶ ἐπὶ τοῦ καθήκοντος εἴτ’ οὖν προσήκοντος, ὡς καὶ αὐτὸ πολλαχοῦ κεῖται, καὶ ἐπὶ μερίδος δέ, ὡς τὸ «λαχὼν ἀπὸ ληΐδος αἶσαν», ἥτις αἶσα καὶ μοῖρα λέγεται, καθ’ ὃ σημαινόμενον καὶ μοῖραν κρεῶν φαμεν.

2.381 Εἰ γοῦν καὶ τριχῶς οὕτως ἡ αἶσα νοεῖται, ἀλλὰ τὸ ἀπ’ αὐτῆς σύνθετον τὸ ἐναίσιμον μονάζειν δοκεῖ. οὔτε γὰρ μόρσιμόν τι δηλοῖ οὔτε μερίδα, μόνον δὲ τὸ κατ’ ἀρετὴν καθῆκον. Ὁ μέντοι αἴσιος οἰωνὸς καὶ ὁ ἀπαίσιος ἐκ τῆς καθ’ εἱμαρμένην αἴσης παρονομάζονται, ὥσπερ καὶ ὁ αἴσιος ὄρνις καὶ ἡ αἰσία τύχη καὶ εἴ τι ἄλλο τοιοῦτον. Ἔστι δέ που τοῦτο καὶ κατὰ τὸ ἐναίσιμον, ὡς καὶ ὅτε φησίν, ὡς πολλοὶ ὄρνιθες πέτονται, οὐδέ τε πάντες ἐναίσιμοι, ἤγουν σημαίνοντές τι μέλλον.] (v. 520—3) Σημείωσαι δὲ καὶ ὅτι κολακευθείς, ὡς εἴρηται, ὁ Ἕκτωρ, ὃν μέγαν ἐνταῦθα ὁ ποιητής φησιν ἐν τῷ «μέγας κορυθαιόλος Ἕκτωρ», ἀνταποδίδωσιν εὐθὺς τὸ ὅμοιον καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντικολακεύων ψεύδεται καὶ αὐτός. Ἐπικρύπτων δὲ καὶ πάλιν ὑπούλως τὸ πρὸς μάχην ἀχρεῖον τοῦ ἀδελφοῦ οὐκέτι μὲν χόλον αὐτὸ καλεῖ, ὡς πρὸ μικροῦ ὠνόμασεν εὐφημότερον, ἑκούσιον δὲ ἀμέλειαν αὐτὸ λέγει, καὶ ἄλκιμον αὐτὸν καλέσας ὅμως οὐκ ἐθέλειν φησὶ μάχεσθαι. Τοῦτο δὲ ποιεῖ στρατηγικῶς, εἰς μάχην θαρρύνων αὐτὸν ἀμφοτέρωθεν, οἷς τε φθάσας ὡμίλησε σφοδρότερον καὶ οἷς ἄρτι μειλίχιος προσφέρεται. Καὶ τοίνυν ἀνύει τι μέγα μετὰ μικρὸν Ἀλέξανδρος, ἀνελὼν τὸν τοῦ κορυνήτου Μενέσθιον, οὐ τοσοῦτον ὡς προπέτης καὶ ὡς ἀναπεπαυμένος, ἀλλ' ὡς λόγῳ συνήθως ἐρεθισθείς. Τοιοῦτον γὰρ ὡς πολλαχοῦ φαίνεται ἡ παραίνεσις. Ἔστι δ' ἐνταῦθα τὰ τοῦ Ἕκτορος πρὸς τὸν Πάριν τοιαῦτα «δαιμόνιε, οὐκ ἄν τίς τοι ἀνήρ, ὃς ἐναίσιμος εἴη, ἔργον ἀτιμήσειε μάχης, ἐπεὶ ἄλκιμός ἐσσι, ἀλλὰ ἑκὼν μεθίης τε καὶ οὐκ ἐθέλεις». (v. 523—5) Εἶτα καὶ ἑαυτοῦ ὑπερλαλῶν, ἐφ' οἷς ἤδη προκατηγόρησε τοῦ Πάριδος, φησὶ διὰ λύπην ἐκεῖνο ποιῆσαι, ὡς δι' αὐτόν, καθὰ κατωτέρω κείσεται, αἰσχυνόμενος. Ἰστέον δὲ ὅτι τὸ «δαιμόνιε, οὐκ ἄν τίς τοι ἀνήρ» καὶ ἑξῆς ὅλον τὸ ῥηθὲν χωρίον, πρὸς ἀμελητὴν ἀνδρεῖον οἰκεῖον ῥηθῆναι, καὶ ὅτι τὸ «ἐπεὶ ἄλκιμός ἐσσι» κομματικὴ παράφρασίς ἐστι τοῦ «οὐκ ἄν τίς σοι ἀνὴρ ἔργον ἀτιμήσειε μάχης», ὥσπερ τὸ «καὶ οὐκ ἐθέλεις» ἑρμηνεία ἐστὶ τοῦ «ἀλλὰ ἑκὼν μεθίης» ἤγουν ἀμελεῖς.

2.382 ὅθεν καὶ μεθήμων ὁ ἀμελητὴς καὶ μεθημοσύνη ἡ ἀμέλεια καὶ μέθυ ὁ εἰς μεθημοσύνην ἄγων οἶνος καὶ μέθη τὸ ἐκεῖθεν πάθος. Γράφεται δὲ καὶ νῦν τὸ μεθίης ἐν τῇ ληγούσῃ καὶ διὰ τοῦ η , ὡς τὸ τίθημι τίθης κατὰ λόγον ἐνεστῶτος, καὶ διὰ διφθόγγου δὲ ὡς παρατατικός, ὁμοίως τῷ ἐτίθεις. Ἐναίσιμος δὲ ὁ κατὰ τὸ δέον φρονῶν. (v. 522) Τὸ δὲ ἔργον μάχης πρὸς διαστολὴν ἑτέρων ἔργων εἴρηται, ὧν ἐστι καὶ τὸ δηλοῦν τὴν γεωργίαν κατ' ἐξοχήν, ἐξ οὗ καὶ ἐργάζεσθαι τὸ γεωργικῶς πονεῖσθαι, καὶ ὁ παρὰ Σοφοκλεῖ ἐργάτης καὶ ὁ παρὰ Θεοκρίτῳ ἐργατίνας. Τὸ δὲ ἀτιμήσει πρωτότυπόν ἐστι τοῦ ἀτίμητος, ὃ δηλοῖ παρ' Ὁμήρῳ τὸν ἄτιμον ἐν τῷ «ὡσεί τιν' ἀτίμητον μετανάστην». καὶ ἔστι τὸ θέμα αὐτοῦ δευτέρας συζυγίας τῶν περισπωμένων, ὡς ἡ Ὀδύσσεια σαφῶς δηλοῖ. οἱ δὲ μεθ' Ὅμηρον ἐν τρίτῃ συζυγίᾳ τὸ ῥῆμα τοῦτο τιθέασιν. ἀτιμῶ γὰρ ἀτιμώσω φασίν. (v. 523—5) Ὅτι γοργὸς λόγος ἐνταῦθα καὶ καίριος, ἐν οἷς ὁ Ἕκτωρ, ὡς ἐρρέθη, ἀπολογεῖται, ἀνθ' ὧν φθάσας ᾔσχυνε τὸν Ἀλέξανδρον.

2.383 Φησὶ γὰρ «τὸ δ' ἐμὸν κῆρ ἄχνυται ἐν θυμῷ, ὅθ' ὑπὲρ σέθεν αἴσχε' ἀκούω πρὸς Τρώων, οἳ ἔχουσι πολὺν πόνον εἵνεκα σεῖο». Συντομώτατα γὰρ ἐνταῦθα ὁ Ἕκτωρ καὶ ὑπὲρ ἑαυτοῦ καὶ ὑπὲρ τῶν Τρώων λαλεῖ, μονονουχὶ λέγων ὡς οὔτε οἱ Τρῶες μεμπτέοι καταλέγοντές σου, ὡς πολλὰ πονοῦντες διὰ σέ, οὔτ' αὖθις ἐγώ, ὁ ἀντὶ σοῦ ἀκούων ἐξ ἐκείνων αἰσχύνης ἄξια, ὡς δυνάμενος μὲν ἐκθεραπεῦσαι τὸ σὸν κακόν, μὴ ἐθέλων δὲ διὰ τὸ πρὸς σὲ φίλτρον. (v. 523) Ὅρα δὲ τὸ «ἐμὸν κῆρ ἄχνυται ἐν θυμῷ». Ἔοικε γὰρ νῦν διαφοράν τινα ἔχειν τὸ κῆρ, ἤγουν ἦτορ, καὶ ὁ θυμός, ἤγουν ἡ ψυχή. καὶ τοίνυν τινὲς ἦτορ καὶ ἐνταῦθα τὴν καρδίαν νοοῦσι. δύναται μέντοι τὸ ἐν θυμῷ καὶ ἀντὶ τοῦ ἐν ὀργῇ νοηθῆναι. Ἄλλοι δὲ τῶν παραφραζόντων ἦτορ μὲν συνήθως τὴν ψυχήν φασι, θυμὸν δὲ τὴν διάνοιαν (v. 524) Ὅρα δὲ καὶ τὸ «ὑπὲρ σοῦ αἴσχε' ἀκούω», ληφθὲν ἀντὶ τοῦ διὰ σέ, καὶ ὡς ἄν τις εἴποι χάριν σοῦ. (v. 526) Ὅτι ὁ μετὰ ἔχθραν σπενδόμενος εἴποι ἂν τὸ «ἀλλ' ἴομεν, τὰ δ' ὄπισθεν ἀρεσσόμεθα», ἤγουν ὕστερον φιλιωσόμεθα, ἐκ τοῦ ἀρῶ ἀρέσω, ἤγουν εἰς φιλίαν συναρμόττω, [ἐξ οὗ καὶ ἀρεστήρ, εἶδος πέμματος ἀρέσκοντος, ὡς εἰκός,] καὶ ἀρθμός ἡ φιλία, καὶ ἄρθμιος ὁ φιλιωθείς. πολλαχοῦ δὲ ἡ τοιαύτη λέξις κεῖται, ἀφ' ἧς καὶ ἀρέσαι παρὰ τοῖς ὕστερον τὸ συγκαταθέσθαι. ὅθεν καὶ τὸ εὐαρεστεῖν καὶ τὸ ἀρέσκειν καὶ ὁ ἄρεσκος.

2.384 Ὅρα δὲ καὶ νῦν τὸ ἴομεν, ἀντὶ τοῦ ἔλθωμεν, ληφθὲν ἀντὶ ἐνεστῶτος, ὡς τὸ τίομεν, κυλίομεν, καὶ τὰ τοιαῦτα. (v. 528) Ὅτι κρατῆρα στήσεσθαι ἐλεύθερον λέγει τὸ ἐν εἰρήνῃ παυσάμενον πολέμου καθ' ἡσυχίαν τρυφῆσαι. (v. 528 s.) Ἐνταῦθα δὲ σημείωσαι τὸ τοῦ Ἕκτορος ἐμβριθὲς καὶ φιλάληθες. Ἐκολάκευσε μὲν γὰρ τὸν ἀδελφόν, ὡς προσεχῶς ἐρρέθη, καὶ ἀρέσεσθαι

ὑπέσχετο, πλὴν οὐ σήμερον ἢ αὔριον ἢ ἐγγύς που ἡμερῶν, ἀλλ’ ὅτε κρατῆρα στήσονται ἐλεύθερον ἐκ Τροίας ἐλάσαντες Ἀχαιούς, ἤτοι ἐξελάσαντες. Δῆλον γὰρ ὡς πρὶν ἢ τοῦτο γενέσθαι, οὐ παύσηται ἂν ἐν καιρῷ αἰσχύνων, εἰ δεήσει, τὸν ἀδελφόν, καὶ τὸ ἀρέσεσθαι ἀπολεγόμενος. Σημείωσαι δὲ καὶ ὅτι ἐκ τοῦ στήσειν κρατῆρα τὸ πιεῖν δηλοῦται, ὡς καὶ ἐκ τοῦ στήσειν τράπεζαν τὸ φαγεῖν. ΕΚ ΤΩΝ ΤΗΣ ΗΤΑ ΡΑΨΩΙΔΙΑΣ Ὅτι τῆς ἦτα ῥαψῳδίας ἡ μὲν ἔποχος ἡρωϊκῷ ὕψει ἐπιγραφὴ τοιαύτη· Ἦτα δ’ Αἴας πολέμιζε μόνῳ μόνος Ἕκτορι δίῳ.

2.385.(t) ἡ δὲ πεζεύουσα αὕτη· Ἕκτορος καὶ Αἴαντος μονομαχία. (v. 2 s.) Ὅτι προθυμίας πολεμικῆς φραστικὸν τὸ «ἐν δ’ ἄρα θυμῷ ἀμφότεροι μέμασαν πολεμίζειν ἠδὲ μάχεσθαι». Καὶ ὅρα τὴν τῶν ῥημάτων τούτων παράλληλον θέσιν, ὡς καὶ τὴν τῶν ὀνομάτων ἐν τῷ «πόλεμόν τε μάχην τε». Τοῦ δὲ μέμασαν θέμα οὐ τὸ μαιμῶ, οὗ ὁ μέλλων μαιμήσω, ἀλλὰ τὸ μῶ, τὸ πρωτότυπον τοῦ μαιμῶ. τοῦ δὲ τοιούτου μῶ παράγωγα καὶ ἡ μαῖα καὶ ἡ μήτηρ, ἤδη δὲ καὶ ἡ Μοῦσα. οὐ γὰρ ἀξύμβατα τὸ μῶ, ἤγουν ζητῶ, καὶ τὸ μῶ, ὅ ἐστι προθυμοῦμαι. (v. 4—6) Ὅτι τὸν Ἕκτορα καὶ τὸν Πάριν βραχύ τι ἀποχωρήσαντας τοῦ πολέμου, εἶτα ἐπανελθόντας, φανῆναι λέγει τοῖς Τρωσίν, ὡς ὅτε «θεὸς ναύτῃσιν ἐελδομένοισιν ἔδωκεν οὖρον, ἐπεί κε», ἤγουν ἐπειδάν, «κάμωσιν ἐϋξέστῃς ἐλάτῃσι πόντον ἐλαύνοντες, καμάτῳ δ’ ὑπὸ γυῖα λέλυνται». Καὶ ὅρα παρήχησιν καὶ ἐνταῦθα, ἔτι δὲ καὶ ἐτυμολογίαν ἐν τῷ «ἐλάταις ἐλαύνοντες», καὶ ὅτι τὸ «ὑπὸ γυῖα λέλυνται» λυσιμελῆ δηλοῖ καὶ τὸν κάματον εἶναι, καὶ ὅτι ὅπερ ὁ φορὸς ἄνεμος τοῖς πλέουσι, τοῦτο καὶ οἱ στρατηγοὶ τοῖς στρατιώταις γίνονται παρόντες, τὸ πολὺ τοῦ καμάτου αὐτοῖς παραιρούμενοι, ὡς καὶ ὁ ἄνεμος τοῖς ἐλαύνουσι, καὶ ὅτι ὁ πλείων κάματος στρατιώταις ἔγκειται ἤπερ στρατηγοῖς, ὡς καὶ τοῖς κωπηλατοῦσιν ἤπερ τῷ ἀνέμῳ.

2.386 Καλῶς δὲ καὶ ἀνέμῳ εἰκάζονται οἱ ἐκ τῆς ἠνεμοέσσης κατεληλυθότες Τροίας. Εὔξεσται δὲ ἐλάται αἱ κῶπαι πρὸς διαστολὴν τοῦ φυτοῦ. Ἰστέον δὲ καὶ ὅτι ὁ τῶν κωπηλατούντων πλοῦς δεύτερος κατὰ τὴν παροιμίαν λέγεται πλοῦς, ὡς πρώτου ὄντος τοῦ πλέειν πρὸς ἄνεμον. (v. 5) Ὅτι δὲ ἐκ τοῦ ῥηθέντος οὔρου καὶ ῥῆμα οὐρίζειν τὸ ἐξ οὐρίων πλέειν, δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ «κατ’ ὀρθὸν οὔρισας». Δῆλον δὲ καὶ ὅτι διαφορὰ παρ’ Ὁμήρῳ τοῦ οὖρος καὶ οὐρός, ὡς ἀλλαχοῦ δηλοῦται. [Τὸ δὲ «ἐπεί κε κάμωσι» χρησιμεύει καὶ εἰς τὸ «ἐπήν κε κάμω πολεμίζων».] (v. 9—11) Ὅτι Ἄρνη πόλις Βοιωτίας ἡ καὶ ἐν τῷ Καταλόγῳ τῶν νεῶν γραφεῖσα. Ταύτης πολίτης ἐνταῦθα Μενέσθιος ὁ τοῦ κορυνήτου υἱὸς Ἀρηϊθόου, ὃν εἷλεν, ἤτοι ἀνεῖλεν, ὁ Πάρις. Δῆλον δὲ ὅτι κύριον μὲν τὸ Ἀρηΐθοος, ἐπίθετον δὲ τὸ κορυνήτης, ὡς ἐν τοῖς ἑξῆς ἱστορήσει ὁ ποιητής. Διὸ ἐνταῦθα εἰπὼν Μενέσθιον υἱὸν Ἀρηϊθόου, ἐπάγει κατ’ ἐπανάληψιν, «ὃν κορυνήτης γείνατ’ Ἀρηΐθοος». Ἱστορεῖται δὲ ὅτι ὁ κορυνήτης οὗτος διαβὰς εἰς Ἀρκαδίαν—ἦν γὰρ ἐκεῖ ἁψιμαχία τις Ἀρκάσι καὶ Βοιωτοῖς τοῖς τούτου πολίταις περὶ γῆς ὅρων—πολλὴν κατεσύρατο λείαν. καταφρόνησιν δὲ αὐτοῦ μεγάλην ἐμβαλόντος τοῖς Ἀρκάσιν, ὥς φασιν οἱ παλαιοί, Λυκοῦργός τις, τῶν ἐκεῖ κράτιστος, λόχον καθίσας αὐτόν τε ἀνεῖλε καὶ τὴν παντευχίαν μετὰ τῆς κορύνης ἔλαβε καὶ τὴν λείαν ἐπανεσώσατο.

2.387 Ἰστέον δὲ ὅτι τὸν ῥηθέντα Μενέσθιον τὸν τοῦ κορυνήτου παλαιότερον εἶναι ὑποπτεύουσί τινες τοῦ Νέστορος, καὶ θαυμάζουσι πῶς οὐκ ἐπεσημήνατο τὸ τοιοῦτον ὁ ποιητής. Ὅπως δὲ κατασκευάζεται τὸ ὕποπτον καὶ ὅπως αὖθις λύεται, μετ’ ὀλίγα ἔστιν εὑρεῖν. Ἐν τούτοις δὲ τὸν ἐκ παραινέσεως θερμὸν Πάριν ἐθελήσας εἰς πλέον σεμνῦναι ὁ ποιητὴς αὐτὸν φράζει πρότερον ἀριστεῦσαι κατὰ τοῦ ῥηθέντος Μενεσθίου, εἶτα τὸν μέγαν Ἕκτορα κατὰ Ἠϊονέως. (v. 11 s.) Ὅτι στεφάνη περικεφαλαίας εἶδος. Φησὶ γοῦν «βάλεν ἔγχεϊ αὐχένα ὑπὸ στεφάνης», ἤγουν ὑποκάτω τῆς στεφάνης. Καὶ κόσμον δέ ποτε γυναικεῖον ἡ τοιαύτη λέξις δηλοῖ. τίθεται δὲ καὶ ἐπὶ ἐξοχῆς ὄρους, ὡς ἐν τῷ «ὅν τε κατὰ στεφάνης ποταμὸς χειμάρροος ὤσει». Καὶ στεφάναι δὲ πύργων παρὰ τοῖς ῥήτορσι λέγονται, οἷον «στεφάναν κέκαρσαι πύργων». Διὸ πρὸς διαστολὴν «στεφάνης εὐχάλκου» ὁ ποιητὴς ἐνταῦθά φησιν. Ὅτι ἀνωτέρω μὲν ἔφη «καμάτῳ ὑπὸ γυῖα

λέλυνται», μετὰ τῆς ὑπο προθέσεως ἐπὶ κεκμηκότων ἀνθρώπων, ἐνταῦθα δὲ «ἔλυσε γυῖα» φησίν, ἀντὶ τοῦ ἀνεῖλεν, ἀπὸ τοῦ παρακολουθοῦντος. Λύεται γὰρ τὰ μέλη τῷ πίπτοντι. Φησὶ γοῦν κατωτέρω «χαμάδις πέσε, λῦντο δὲ γυῖα», ὅ ἐστι τὰ μέλη. ἐκ τούτων δὲ σύγκειται τὸ λυσιμελής. Ἐντεῦθεν δὲ λαβόντες οἱ μεθ’ Ὅμηρον καὶ τὸ θανεῖν καταλῦσαι τὸν βίον φασίν. Ἔχει μέντοι τοῦτο καὶ ἑτέρας ἐννοίας, ἐξ ὧν εἴληπται, οἷον τὴν ἀπὸ τοῦ ἐνοδίου καταλύματος τοῦ ἐπ’ ἀναπαύσει, καὶ τὴν ἀπὸ οἰκοδομῆς.

2.388 ὡς γὰρ οἰκία, οὕτω καὶ βίος καταλύεσθαι λέγεται. (v. 14 s.) Ὅτι ἐν τῷ «βάλε δουρὶ Ἰφίνοον Δεξιάδην» ἢ Δεξίου τινὸς υἱὸν δηλοῖ πατρωνυμικῶς, ἢ ἐπίρρημά ἐστι τὸ δεξιάδην ἀντὶ τοῦ κατὰ τὰ δεξιὰ ἢ δεξιῶς. (v. 17 et 20) Ὅτι ἀλληγορικῶς καὶ ἐνταῦθα Ἕλλησι μὲν συμμαχεῖ Ἀθηνᾶ, ἡ συνήθης ἀνδρικὴ φρόνησις, Ἀπόλλων δὲ Τρωσίν, ἡ τῆς μοίρας ἰσχύς. καὶ τοῦτο μὲν τοιοῦτον. Ἡ δὲ Ὁμηρικὴ δεινότης καὶ τοιόνδε τι βούλεται. Ποιήσας γὰρ τὴν τῆς πρώτης ἡμέρας μάχην ἀπὸ μονομαχίας ἀρξαμένην τῆς τῶν αἰτίων τοῦ πολέμου βούλεται καταπαύσειν αὐτὴν καινότερον ὁμοίως, ἤγουν εἰς τὴν τῶν ἀριστέων μονομαχίαν. Οὐ τοίνυν ἱστορεῖ τοῦτο ἄλλως γενέσθαι ἀλλ’ ἢ θείᾳ τινὶ βουλῇ, Ἀθηνᾶς εἰς τοῦτο συμπνευσάντων καὶ Ἀπόλλωνος. Διὸ συνάγει αὐτοὺς εἰς ἓν καὶ οὕτω κυροῦται αὐτοῖς τὸ βούλημα καὶ ξυνίησιν αὐτοῦ ὁ προμνημονευθείς που μάντις Ἕλενος καὶ συμβουλεύει τῷ Ἕκτορι. καὶ οὕτω πιθανῶς ἡ μονομαχία κατά τι θεῖον συνίσταται. Σημείωσαι δὲ ὅτι τὸ μονωθῆναι, ὡς προδεδήλωται, τὴν μάχην τῶν Τρώων καὶ τῶν Ἀχαιῶν μόνης ἦν τῆς ζ′ ῥαψῳδίας, ἔνθα ὕπτια τὰ τοῦ πολέμου, ὡς προτεθεώρηται, καὶ ἀνειμένα καὶ οὐδέν τι γενναῖον ἔχοντα καὶ μᾶλλον μετὰ τὴν Ἕκτορος ἀνέλευσιν. ἐνταῦθα δὲ πάλιν ἐπεισοδιάζονται οἱ ποιητικοὶ θεοὶ διὰ τὸ ἐν τοῖς ἔργοις μεγαλεῖον καὶ καινόν. (v. 22) Ὅτι πρὸς ἀκολουθίαν τοῦ ἄντω ἄντομαι βαρυτόνου φησὶν ἐνταῦθα Ὅμηρος τὸ «ἀλλήλοισι συναντέσθην». ἦν δ’ ἂν οὐκ ἔξω ἀναλογίας οὐδὲ τὸ «ἀλλήλοισι συναντήσθην», ὡς ἀπὸ τοῦ ἀντῶ ἀντήσω, οὗ καὶ αὐτοῦ χρήσεις παρὰ τῷ ποιητῇ. (v. 24 s.) Ὅτι μεγαλοθύμῳ ἢ μεγαθύμῳ ἀνδρὶ ὑψηλῷ ἐπιπρέπει παρῳδηθὲν τὸ «τίπτε σὺ δ’ αὖ μεμαὼς ἦλθες ἀπ’ Οὐλύμποιο, μέγας δέ σε θυμὸς ἀνῆκεν», ὃ δὴ ὁ μυθικὸς Ἀπόλλων ἔφη πρὸς Ἀθηνᾶν.

2.389 (v. 26) Ὅτι τὸν μὲν πόλεμον ὁμοίϊον πολλαχοῦ φησιν ὁ ποιητής, οὐ μόνον διὰ τὸ χαλεπόν, ὡς προγέγραπται, ἀλλὰ καὶ διὰ τὴν ὁμοιότητα καὶ ἰσοπραξίαν τῶν ἔτι μαχομένων καὶ τὴν τοῦ τέλους ἀδηλίαν, καὶ ἀπὸ τοῦ ὁμοῦ ἰέναι τοὺς πολεμοῦντας, ὡς καὶ ὁμοίϊον κακὸν τὸ ὁμοῦ ἢ ὁμοίως πᾶσιν ἰόν. Τὴν δέ γε νίκην ἑτεραλκέα καλεῖ ὡς ἑτεροκλινῆ καὶ τῷ ἑτέρῳ μέρει τὴν ἀλκὴν ἀεὶ προσνέμουσαν. Φησὶ γὰρ «μάχης ἑτεραλκέα νίκην». Καὶ οὐκ ἔστι γενέσθαι νίκην ἀντιπάλων, ὅ ἐστιν ἰσοπαλῶν ὄντων τῶν μαχομένων, εἰ μὴ θάτερον μέρος ἀλκιμώτερον γένηται. διὸ καὶ ἡ νίκη παρὰ τὸ ἑνὶ εἴκειν γίνεται, ὃ δὴ ἑτεραλκείας ἐστίν. (v. 24—7) Ἐνταῦθα δὲ κεῖται καὶ σχῆμα ἐλλειπτικὸν ἐν τῷ «τίπτε σὺ ἦλθες ἀπ’ Οὐλύμποιο;» «ἦ ἵνα δὴ Δαναοῖσι μάχης ἑτεραλκέα νίκην δῷς; ἐπεὶ οὔ τι Τρῶας ἀπολλυμένους ἐλεαίρεις». Πρὸ γὰρ τοῦ ἐπεὶ συνδέσμου λείπει λόγος, οἷον τὸ «ναὶ πάντως» ἢ τοιοῦτόν τι, ἵνα λέγῃ ὅτι τί ποτε ἦλθες ἄνωθεν; ἢ ἵνα τοῖς Δαναοῖς νίκην δῷς; ναὶ τοῦτο πάντως. ἐπεὶ οὐκ ἐλεεῖς αὐτούς. Ἐν τούτοις δὲ τὸ «μάχης νίκην» πρὸς διαστολὴν ἑτεροίων ἐκνικημάτων κεῖται. [Ἰστέον δὲ ὅτι ἐπεὶ πάνυ προσφυῶς τὸ ἑτεραλκὲς νίκης ἐστὶν ἐπίθετον διὰ τὸ μὴ ἄλλως εἶναι νικᾶν ἐν πολέμοις, εἰ μὴ θάτερον μέρος ἀλκιμώτερον γένηται, οὐκ ἂν ἀφυῶς ἡ νίκη κληθείη ἂν τολμηρῶς καὶ ἑτεράλκεια ἢ ἑτεραλκείη πρὸς ὁμοιότητα τοῦ ἀναλκείη, ὡς τὸ «ἀναλκείῃσι δαμέντες». (v. 28—31) Ὅτι ἐπὶ τῶν εἰρηνεῦσαι καλῶς ἐθελόντων πρὸς μικρόν, εἰσαῦθις δὲ στασιασόντων, οἰκεῖον τὸ «ἀλλ’ εἴ μοί τι πίθοιο, τό κεν πολὺ κέρδιον εἴη. νῦν μὲν παύσωμεν πόλεμον σήμερον, ὕστερον δ’ αὖ μαχήσονται, εἰς ὅ κε τέκμωρ εὕρωμεν». (v. 34) Καὶ ὁ συγκατατιθέμενος πρὸς τοῦτο ἐρεῖ ἂν τὸ «ὧδ’ ἔστω, τὰ γὰρ φρονέω καὶ αὐτός».

2.390

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Προέκθεσις δὲ Ὁμηρικὴ ταῦτα τῶν ἐφεξῆς, οἷα τοῦ κατὰ μῦθον Ἀπόλλωνος καὶ τῆς Ἀθηνᾶς κυρωσάντων οὕτω γενέσθαι, μάλιστα δέ γε, ὡς ἐρρέθη, τῆς Ὁμηρικῆς δεινότητος οὕτω μεθοδευούσης, ὡς αὐτὴ ἄρτι ἀπέκρινεν. (v. 29 s.) Ὅρα δὲ ὡς εἰπὼν ὁ ποιητὴς τὸ «νῦν» ἐπάγει διασαφητικῶς τὸ «σήμερον», ἵνα μὴ λοξὸς εἴη ὁ λόγος τῷ Ἀπόλλωνι καὶ ἀσαφής, ὡς ὁ τοῦ ὀνείρου ἐν τῷ «νῦν γάρ κεν ἕλοις πόλιν Τρώων». (v. 31 s.) Ὅτι καὶ ἐνταῦθα δι' ἐνδοξοτάτου προσώπου, τοῦ Ἀπόλλωνος, προαναφωνεῖ ὁ ποιητὴς καὶ τὴν τῆς Τροίας ἅλωσιν, εἰπόντος, ὅτι «φίλον ἔπλετο θυμῷ ὑμῖν ἀθανάτῃσιν», ἤγουν τῇ Ἀθηνᾷ καὶ τῇ Ἥρᾳ, «διαπραθέειν τόδε ἄστυ». Δηλοῦται γὰρ πολλαχοῦ, ὅτι μὴ βουλόμενος ὁ ποιητὴς εἰς πλάτος ἐνδιατρῖψαι τῇ ἁλώσει τῆς Ἰλίου, ἄλλως γοῦν ἐν στενῷ οὕτω παραμυθεῖται τὸν φιλέλληνα ἀκροατήν. (v. 58—61) Ὅτι ὁ μὲν ἀκροατὴς δεινὰ τυχὸν καὶ νῦν ἐλπίζει ἐπὶ τῇ τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀθηνᾶς εἰς μάχην καθόδῳ καὶ τῇ τοῦ Ἕκτορος καὶ Ἀλεξάνδρου κατελεύσει, Ὅμηρος δὲ παρὰ προσδοκίαν εἰωθὼς γράφειν καὶ διασκευάζων, ὡς οὐκ ἄν τις ἐλπίσοι, τὰ πράγματα, οὐχ' οὕτω ποιεῖ, ἀλλὰ τὴν μὲν Ἀθηνᾶν καὶ τὸν Ἀπόλλωνα ὄρνισιν ἐοικότας αἰγυπιοῖς φηγῷ ἐφ' ὑψηλῇ τῇ τοῦ Διὸς καθίζει, καταπαύει δὲ τὴν μάχην, ὡς οὐκ ἂν ὁ ἀκροατὴς προσεδόκησε. τοῦτο δὲ καὶ ἐν τῇ τοῦ πρώτου πολέμου εἰσβολῇ κατὰ τὴν Γάμμα ῥαψῳδίαν ἐποίησε. Καὶ ἐκεῖ γὰρ ὁ μὲν Ὁμηρίδης ὁμιλαδὸν ἀλλήλοις ἤλπισε συρρῆξαι τοὺς πολεμίους, Ὅμηρος δὲ πάντας καθίσας μονομαχίαν, ὡς ἐρρέθη, ποιεῖ. Καὶ ὅλως ἡ τῆς πρώτης ἡμέρας μάχη, ὡς δεδήλωται, ὁμοίοις παρασπίζεται πέρασιν ἐκ μονομαχίας ἀρξαμένη καὶ εἰς μονομαχίαν καταλήξασα, ὡς εἶναι τοῦ σήμερον πολέμου ὀξέα μὲν τὰ μέσα, τὰ δὲ ἄκρα ἀμβλύτερα. (v. 36—42) Ἰστέον δὲ ὅτι ἐνταῦθα ὁ ποιητὴς ὑποσχόμενος παύσεσθαι τὸν πόλεμον, εἶτα ὡς ἐν ἑτέρᾳ προεκθέσει ἢ καὶ ὡς ἐν προθεωρίας τύπῳ πλάττει τὴν Ἀθηνᾶν ἐρωτῶσαν τὸν Ἀπόλλωνα τὸ «ἀλλ' ἄγε πῶς μέμονας» καταπαῦσαι τὸν ἄρτι πόλεμον. Ὁ δὲ συμβουλεύει διὰ μονομαχίας αὐτὸν καταλῦσαι εἰπὼν «Ἕκτορος ὄρσωμεν κρατερὸν μένος, ἤν τινά που Δαναῶν προκαλέσσεται οἰόθεν οἶος ἀντίβιον μαχέσασθαι.

2.391 οἱ δὲ ἀγασάμενοι χαλκοκνήμιδες Ἀχαιοὶ οἶον ἐπόρσειαν πολεμίζειν Ἕκτορι δίῳ», ὃν καὶ ἱππόδαμον ἀνωτέρω ἔφη. καὶ τοιοῦτον μὲν τὸ μυθικόν. Τῇ δὲ ἀληθείᾳ ὁ ποιητὴς ἑαυτὸν ἐρεθίζει πρὸς ζήτησιν τοῦ πῶς ἂν παύσῃ τὴν μάχην τῆς πρώτης ἡμέρας, καὶ νοεῖ καλὸν εἶναι τὸ διὰ μονομαχίας αὐτὴν λῦσαι. Διὸ εἴη ἂν Ἀθηνᾶ μὲν ἡ παρ' αὐτῷ δεινότης ἤτοι φρόνησις, Ἀπόλλων δὲ ἡ ἐν αὐτῷ ἐμμελὴς τέχνη καὶ ὡς εἰπεῖν μουσικὴ καὶ ἀπῳδὸν μηδὲν ἔχουσα. Σύνηθες δὲ τῷ ποιητῇ ὄρνισιν ἐξομοιοῦν τοὺς παρ' αὐτῷ θεούς, [ταὐτὸν δ' εἰπεῖν οἰωνοῖς, οἷς ὁμώνυμοι καὶ οἱ θείως ἐμφανιζόμενοι ὄρνιθές τε καὶ οἰωνοί, τὰ τῶν μελλόντων δηλαδὴ σημαντικὰ σύμβολα.] Καὶ ἔστι τοῦτο σεμνότερον τοῦ περιπεζίοις αὐτοὺς εἰκάζεσθαι ζῴοις. Οἰκεῖα γὰρ τοῖς οὐρανίοις τὰ ὑψιπετῆ καὶ μάλιστα τὰ ἀετώδη, ὁποῖόν τι καὶ ὁ αἰγυπιός. εἶδος γὰρ ἀετοῦ καὶ αὐτός, μέγιστος ὤν, φυλάσσων καὶ παρὰ τοῖς νῦν τὸ ὄνομα. (v. 39) Ὅρα δὲ τὸ «ἤν τινά που προκαλέσσεται», ἀντὶ τοῦ εἴ πως, τουτέστιν ὅπως, περὶ οὗ προδεδήλωται, καὶ τὸ οἰόθεν οἶος μαχέσασθαι, ἤγουν μονομαχῆσαι, καὶ οἶον πολεμίζειν, ἤγουν μόνον. Οὔπω γὰρ τότε τὸ μονομαχεῖν ῥῆμα συνέκειτο, οὐδὲ ὁ πρόμαχος, ἀλλ' αὐτὸς πρόμος ἐλέγετο ἢ κατὰ συγκοπὴν ἢ ἐκ τῆς πρό προθέσεως καὶ τοῦ μῶ, τὸ προθυμοῦμαι, ἵνα ᾖ πρόμος ὁ πρὸ τῶν ἄλλων προθυμούμενος.

2.392 Διὸ προϊὼν ἐρεῖ «ἴτω ἐκ πάντων πρόμος εἶναι Ἕκτορι δίῳ». Ἔστι δὲ τὸ «οἰόθεν οἶος» ταὐτὸν τῷ μόνος ἐκ μόνου, τουτέστιν εἷς ἐκ τοῦ ἑνὸς μέρους. Ἰστέον γὰρ ὅτι τὸ μὲν μονομαχεῖν καὶ ἡ μονομαχία ἐλλιπῶς διὰ συντομίαν ἔχει. σύγκειται μὲν γὰρ ἐκ δύο λέξεων, δηλοῖ δὲ πλείονας. Οὐ γὰρ μονομάχος ὁ μόνος ὡς ἐν σκιαμαχίᾳ μαχόμενος καί, ὅ φασιν, ἀέρα δαίρων, ἀλλ' ὁ μόνος πρὸς μόνον, ἤγουν εἷς πρὸς ἕνα, μαχόμενος ἐχθρόν. Ὅμηρος μέντοι τὴν τοῦ μονομαχεῖν λέξιν, ὡς εἴρηται, μὴ ἔχων ἐν παλαιᾷ χρήσει, διαλελυμένως εἰπὼν καὶ ἐν περιφράσει ἀκριβέστατα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔφρασεν. Ἐπεὶ γὰρ ἐν μονομαχίᾳ ὁ μέν τις προκαλεῖται, ὁ δέ τις δεύτερος ἥκει, τὸ μὲν προκατάρξαι οὕτω φράζει «ἤν τινά που Δαναῶν», ὁ Ἕκτωρ, «προκαλέσσεται οἰόθεν οἶος ἀντίβιον μαχέσασθαι». τὸ δὲ ἀντιστῆναί τινα τῷ τοιούτῳ οἷον πολεμίζειν Ἕκτορι λέγει. Καὶ ἰδοὺ τὸ τὸν μὲν Ἕκτορα προκαλέσασθαί τινα ὥστε οἰόθεν οἶον μαχέσασθαι, αὖθις δὲ ἐκεῖνον τῷ Ἕκτορι μόνον πολεμίσαι, ἄμφω ταῦτα μονομαχία ἐστί. Καὶ οὕτω τῆς ἐν μιᾷ λέξει προφερομένης μονομαχίας γλαφυρωτέρα καὶ σαφεστέρα δείκνυται ἡ Ὁμηρικὴ λεκτική. Οἶος δὲ ὁ μόνος, ἤγουν ὁ εἷς, ἀπὸ τοῦ ἴος ἀρρήτου γίνεται κατὰ πλεονασμὸν τοῦ ο , ὡς ὀέτεας οἰέτεας, ὃ δηλοῖ τοὺς ὁμοχρόνους, ὡς ἐν τῇ Βοιωτίᾳ εἴρηται. Ἴσως δὲ καὶ πρὸς διαστολὴν τοῦ Ἴος, ὃ δηλοῖ τὴν νῆσον, ὁ ῥηθεὶς πλεονασμὸς τοῦ ο γέγονεν.

2.393 Ἦν δὲ τότε περίπυστον καὶ ὡς ἀπὸ χρησμοῦ μάλιστα τοῖς Ἴωσι τὸ τῆς Ἴου ὄνομα, ἣν καὶ Ὁμήρου μητρίδα ὁ χρήσας ὠνόμασεν. Ἀπὸ δὲ τοῦ σεσιγημένου ἴος, ὅ ἐστιν εἷς, καὶ ἴα, ἡ μία, λέγεται καὶ ἴον τὸ ἕν, ἐξ οὗ τὸ «ἰῷ ἤματι», ἤγουν μιᾷ ἡμέρᾳ, ὡς ἐν τῇ πρὸ ταύτης ῥαψῳδίᾳ γέγραπται. (v. 41) [Τὸ δὲ ἀγασσάμενοι οὐχ' οὕτω δηλοῖ τὸ ἐκπλαγέντες, ὅσον τὸ τεθαυμακότες. Ἀγῶ γὰρ καὶ τὸ θαυμάζω, ὅθεν καὶ εἶδος ἀγητοὶ οἱ ἀξιοθέατοι καὶ ἀγήνωρ ὁ ἀγαστὸς τὴν ἠνορέην. τοῖς δὲ τοιούτοις καὶ τὸ ἐκπλήττειν παρακολουθεῖ.] Ὅρα δὲ καὶ ὡς τοὺς ἀλλαχοῦ ἐϋκνήμιδας ἐνταῦθα χαλκοκνήμιδας λέγει, ἐκεῖνο μὲν κατὰ ποιότητα, τοῦτο δὲ καθ' ὕλην φράσας. (v. 42) Ἐν δὲ τῷ «οἷον ἐπόρσειαν» λείπει τὸ τινά, ἵνα ᾖ· μόνον τινὰ τῶν Ἑλλήνων δηλαδὴ ἐπόρσειαν, ὃ ἀνωτέρω ἐντελῶς εἶχεν ἐν τῷ «ἤν τινά που Δαναῶν». (v. 44 s.) Ὅτι καθὰ πρὸ ὀλίγων, οὕτω κἀνταῦθα μαντικὸς ὁ Ἕλενος, ὅσγε Ἀθηνᾶς καὶ Ἀπόλλωνος ἄρτι βουλευομένων περὶ μονομαχίας σύνθετο, τουτέστιν ἔγνω διὰ τέχνης μαντικῆς, θυμῷ, οἷά τις θυμόσοφος, βουλήν, ἣ θεοῖς ἤρεσκε, τῇ Ἀθηνᾷ δηλαδὴ καὶ τῷ Ἀπόλλωνι. Καὶ σημείωσαι ὅτι συνθέσθαι οὐ μόνον τὸ συμφωνῆσαι, ὡς ἐν τῇ α ῥαψῳδίᾳ ἔγνωσται, ἀλλ' ἰδοὺ καὶ τὸ νοῆσαι. Ὅτι δὲ Ἕλενος καὶ Κασάνδρα βρεφῶν ἄγοντες ἡλικίαν καὶ τεθέντες που ἐν ἄλσει Ἀπόλλωνος γλώσσαις ὄφεων τοὺς τῆς ἀκοῆς ἐκαθάρθησαν πόρους, κἀντεῦθεν τὴν μαντικὴν ἄκρως ἐτελέσθησαν ὡς καὶ φωνῶν θείων ἐπαΐειν, θρυλοῦσι πλατύτερον οἱ παλαιοί.

2.394 Φαίνεται δὲ ἐξ οἰωνοσκοπίας γνῶναι τὸ μέλλον ὁ Ἕλενος, ὡς ἐμφαντικῶς παραδηλοῖ τὸ τὴν Ἀθηνᾶν καὶ τὸν Ἀπόλλωνα, ὧν ἡ βουλή, ἡ τῷ Ἑλένῳ ἀκουσθεῖσα, ἐοικέναι ὄρνισιν αἰγυπιοῖς. Ὅτι δὲ Σκαμάνδριος ὁ Ἕλενος ἐκαλεῖτό ποτε, προείρηται. [Ἴσως δὲ καὶ Πυθωνικοί τινες ὄντες ὁ Ἕλενος καὶ ἡ Κασάνδρα δίχα σκέψεως καὶ μεθόδων ἀπεφοίβαζον ὡς οἷον ἐμπνεόμενοι καὶ κάτοχοι δαιμονίοις καὶ ὑποφητεύοντες αὐτοῖς. διὸ καὶ τὰς ἀκοάς, ὡς ἐρρέθη, κεκαθάρθαι μυθεύονται.] (v. 46) Ὅτι ἐν τῷ «στῆ δὲ παρ' Ἕκτορ' ἰών» ἄδηλον εἴτε λέγει ὅτι παρέστη τῷ Ἕκτορι, εἴτε ἔστη παρὰ τὸν Ἕκτορα. (v. 48) Ὅτι πιθανῶς καὶ νῦν ὁ ποιητὴς πλάττει τὸν Ἕλενον παραινοῦντα τὴν μονομαχίαν τῷ Ἕκτορι ὡς καὶ μάντιν ἄριστον καὶ ὡς ἀδελφόν, ὃ καὶ αὐτὸς ἐπισημαίνεται εἰπὼν «κασίγνητος δέ τοί εἰμι». Ὡς μὲν οὖν μάντις, οἶδε τὸ μέλλον, ὡς δὲ ἀδελφός, εὐνοεῖ. οὔτε οὖν ψεύσεται οὔτε ἀκλεές τι τῷ εὐνοουμένῳ ἐρεῖ. Ὅτι δὲ πιστὰ τὰ ἐξ ἀδελφοῦ ἀγαθοῦ λεγόμενα, δηλοῖ μετ' ὀλίγα καὶ ὁ βασιλεύς, ἐν οἷς ἀκολακεύτως τῷ Μενελάῳ προσφερόμενος ἀφραίνειν ἐκεῖνόν φησι θέλοντα μονομαχῆσαι τῷ κρείττονι Ἕκτορι καὶ κωλύει, ὁ δὲ πείθεται. Καὶ ὅρα περιπέτειαν ταύτην. Ἕλενος μὲν γὰρ τὸν ἀδελφὸν ὀτρύνει μονομαχεῖν φιλῶν αὐτόν, τὸν δὲ Μενέλαον ὁ ἀδελφὸς φιλῶν καὶ αὐτὸς ἐπέχει τῆς μονομαχίας. Σημείωσαι δὲ καὶ ὅτι ὁ Ἕλενος κασίγνητος μὲν εἶναί φησι, τοῦτο δὴ τὸ φυσικὸν καὶ ἄτυφον, μάντις δὲ ἄριστος εἶναι οὐ λέγει, ὡς μὴ δόξῃ περιαυτολογεῖν.

2.395 (v. 53) Ἄλλως μέντοι ἐμφαίνει αὐτὸ ἐν τῷ «ὣς γὰρ ἐγὼν ὄπ' ἄκουσα θεῶν», ὡς δῆθεν λαλούντων σωματικῶς, ἢ καὶ διότι ἀνωτέρω εἶπεν, ὅτι θεῶν σύνθετο βουλήν, ἤγουν ἐνόησε. Νοῦς γὰρ ὥσπερ ὁρᾷ, οὕτω καὶ ἀκούει. (v. 52) Σημείωσαι δὲ καὶ ὅτι σμικρύνεταί πως ἐνταῦθα τὸ θάρσος καὶ ἡ ἀνδρεία τοῦ Ἕκτορος. οὐ γὰρ ἁπλῶς εἰς μονομαχίαν ὁρμᾷ, ἀλλὰ πρότερον

μαθών, ὅτι οὔπω σοι μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν, ἅπερ ἐκ παραλλήλου ταὐτὸ δηλοῦσι, καὶ οὐ προβεβλημένος ἐλπίδα δεινοῦ τινος. ὁ μέντοι Αἴας οὐδέν τι τοιοῦτον εἰδὼς θαρρεῖ τὴν μονομαχίαν. (v. 54) Ὅρα δὲ καὶ ὅτι, ὥσπερ ἐν τῇ τοῦ Πάριδος μονομαχίᾳ ἐχάρη ὁ Ἕκτωρ, οὕτω καὶ νῦν ἐχάρη μέγα μῦθον ἀκούσας, ἐκεῖ μὲν ὡς μισῶν τὸν ἀδελφὸν καὶ ὡς λύσιν τοῦ πολέμου καραδοκῶν, ἐνταῦθα δὲ διὰ μόνην φιλοτιμίαν. ἐλπίζει γὰρ εὔκλειαν. (v. 53) Τὸ δὲ «ὄπ' ἄκουσα θεῶν» ὀαριστάς, ὅ ἐστιν ὁμιλητάς, δαιμόνων εἶναί τινας ὑπεμφαίνει, ὁποῖος καὶ ὁ παλαιὸς Σωκράτης, ὃς ὁμιλεῖν αὐτῷ καὶ ἔλεγε καὶ ἐπιστεύετο τὸ δαιμόνιον. τοιοῦτοι δὲ ἦσαν καὶ ἕτεροι πολλοί. [Καὶ ἄλλως δὲ παραλαλεῖ ὁ ῥηθεὶς τοῦ Ἑλένου λόγος, ὡς οἱ τοῦ μέλλοντος θεωρητικοὶ ἐκ θεῶν οἴδασιν αὐτὸ ἢ πρὸς διδασκαλίαν φθεγγομένων ἢ ὁμιλούντων ἀλλήλοις.] (v. 47 s.) Ἐν τούτοις δὲ ὁ Ἕλενος προσφωνήσας τὸν ἀδελφὸν «Ἕκτορ υἱὲ Πριάμοιο, Διῒ μῆτιν ἀτάλαντε», ὡς εἴπερ ξένον τινὰ προσεφώνει, ἐπάγει ὡς δέον τὸ «κασίγνητος δέ τοί εἰμι». (v. 49—51) Ὁ δ' αὐτὸς καὶ τοῦ κατὰ μῦθον Ἀπόλλωνος εἰπόντος ἀορίστως «ἤν τινά που Δαναῶν προκαλέσσεται» ὁ Ἕκτωρ μαχέσασθαι, μεῖζόν τι διηρθρωμένως λαλεῖ οἷα ἐπιστήμων πρὸς τὸν ἀδελφὸν εἰπὼν «ἄλλους μὲν κάθισον Τρῶας καὶ πάντας Ἀχαιούς, αὐτὸς δὲ προκάλεσαι» οὐ τυχόντα τινά, ἀλλ' «Ἀχαιῶν ὅς τις ἄριστος». ἔνθα καὶ δισσεύεται στίχος ὁ καὶ ἀνωτέρω ῥηθεὶς «τὸ ἀντίβιον μαχέσασθαι ἐν αἰνῇ δηϊοτῆτι». (v. 55 s.) Ὅτι καὶ ἐνταῦθα ὡς καὶ ἐν τῇ Γάμμα ῥαψῳδίᾳ ἐς μέσον ἰὼν ὁ Ἕκτωρ «Τρώων ἀνέεργε φάλαγγας μέσσου δουρὸς ἑλών», ἤτοι ἁψάμενος.

2.396 Ἐποίουν δὲ τοῦτο ἐν τοιούτοις καιροῖς οἱ παλαιοί, ὡς μὴ ἔχοντες βοᾶν ἐξάκουστον διὰ τὸ ἀκμάζειν ἔτι τὸν πόλεμον, καὶ ἐδείκνυον τῇ μεσολαβήσει τοῦ δόρατος πολέμου σχολήν, οἷα μὴ πρὸς σχῆμα μάχιμον αὐτὸ χειριζόμενοι. (v. 56 s.) Λέγει δὲ ὁ ποιητὴς καί, ὅτι ἱδρύθησαν καὶ νῦν οἱ Τρῶες εὐπειθέστατα, οὕτω δὲ καὶ οἱ Ἕλληνες, οὗτοι μὲν Ἀγαμέμνονος κελεύσαντος, ἐκεῖνοι δὲ Ἕκτορος. οὐκ ἐκδύεσθαι δέ, ὡς καὶ ἐκεῖ, τὰ ὅπλα δοκοῦσιν. Ὡς μέντοι ἄλλοι φασί, κατὰ σιωπώμενον σχῆμα ποιῆσαι καὶ τοῦτο νοοῦνται, ὡς μετ' ὀλίγα φαίνεται, ὅπου ὁ Μενέλαος ἀγασάμενος καὶ φιλονεικήσας, εἰ μηδεὶς ἀνίσταται μονομαχήσων Ἕκτορι, αὐτὸς τεύχεα κατεδύσατο. δῆλον γὰρ ὅτι φθάσας καὶ αὐτὸς ἀπεκδύσασθαι αὐτά, εἶτα ἐνεδύσατο. Γίνονται δὲ καὶ συνθῆκαι ἄρτι, πλὴν οὔτε ἔνορκοι, ὡς ἐν τῇ πρῴην μονομαχίᾳ, οὔτε ἐπὶ μεγάλῳ τῷ τέλει, ἀλλ' ἐπὶ τοῖς ὅπλοις μόνοις τοῦ πεσουμένου καὶ ἐπὶ τῷ ἐκείνου νεκρῷ. Εὔχονται δὲ καὶ νῦν οἱ Ἕλληνες καὶ τελειοῦται τὰ τῶν εὐχῶν. Οὐ γὰρ οὕτω φλήναφος ὁ ποιητὴς κατὰ τοὺς μετ' αὐτὸν σοφούς, ὡς ἀτελεῖς δοξάζειν τὰς εὐλόγους εὐχάς. [(v. 57 s.) Ὅτι κάλλος ποιήσει πρέπον ἔχουσιν ἐνταῦθα δύο στίχοι, ὧν ἐν ἀρχαῖς τὸ «κὰδ δ' Ἀγαμέμνων», «κὰδ δ' ἂρ Ἀθηναίη».] (v. 60) Ὅτι ἔοικέ τι μεγαλεῖον ἔχειν ἡ πολλαχοῦ ῥηθεῖσα τοῦ Διὸς ἐν Τροίᾳ φηγός, ὅ ἐστι δρῦς, ἣν καὶ ὑψηλὴν λέγει. Διὸ καὶ οἷα ἐπίσημον περιεῖπον, ὡς εἰκός, αὐτὴν οἱ Τρῶες, ὥς που καὶ Ξέρξης τὴν ἐρωμένην πλάτανον. ἀλλ' ἐκεῖνος μὲν ἄλλως, οἱ δὲ Τρῶες ὡς τοῦ Διὸς ἱερὰν καὶ ὡς τά τε ἄλλα τίμιον φυτὸν καὶ ὡς ἰσχυρὸν καὶ πολυχρόνιον καί πως κατὰ τὸ ὕψος συγγενὲς τῇ ὑψηλῇ Τροίᾳ.

2.397 Ἦν δὲ καὶ ἄλλως αἰδέσιμος ἁπλῶς ἡ δρῦς διὰ τὸ ἀρχέγονον τῆς τροφῆς, ἣν ἐπόριζεν, ὅτε οἱ παλαιοὶ βαλανηφαγεῖν εἶχον ἀνάγκην, ὁποῖοι καὶ οἱ Ἀρκάδες, οὓς ὁ χρησμὸς κατ' ἐξαίρετόν τι βαλανηφάγους ἐκάλεσεν. Εἰ δὲ ζωογόνος ὁ ἀὴρ Ζεύς, εἴη ἂν αὐτοῦ καὶ ἡ ζωογονοῦσα δρῦς διὰ τὸ τρέφειν τοὺς προσιεμένους. Ὅτι δὲ ὥσπερ τοῖς ζῴοις τροφῆς, οὕτω καὶ τοῖς δένδροις κλήσεως ἡ δρῦς μετέδωκε, δηλοῖ, ὡς ἐν ὀλιγίστῳ φάναι, ὁ δρυμών, [ὃς καὶ δρυμὸς λέγεται καὶ οὐδέτερον τὸ δρυμόν,] καὶ ὁ δρυκολάπτης καὶ τὰ δρύκαρπα καὶ τὰ δρύφακτα καὶ αἱ δρυπεπεῖς ἐλαῖαι, [ὧν δὴ δύο λέξεων αἱ μὲν δρυπέπεις ἢ κατά τινας περισπωμένως δρυπεπεῖς οὕτω λέγεται παρὰ τὸ ἐν δρυῒ πεπανθῆναι, ἤγουν ἐν φυτῷ ἐλαΐνῳ, αἵτινες ἐλαῖαι καὶ γεργέριμοι κατά τινας ἐλέγοντο.

2.398 τὰ δὲ δρύφακτα παρὰ τὸ δρυσίν, ὅπερ ἐστὶ ξύλοις, φράσσεσθαι οἷον κιγκλίσιν ἢ τοιοῖσδέ τισιν, ἀπελθόντος τοῦ δευτέρου ῥῶ πρὸς ἔκκλισιν τραχυφωνίας, ἣν πέφευγε καὶ ὁ τὴν τετράπεζαν καλλιφωνήσας εἰς τράπεζαν καὶ τὸ τετράδραχμον εἰς τέτραχμον, ἤδη δὲ καὶ τὸν ἐν τοῖς φρουρίοις συριγγοέμβολον συρέμβολον, ὅν, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ἡ παράκοπος ὁμιλία τζιρέμβολον παραλαλεῖ, δι’ οὗ ὡς ἐπὶ πολὺ ὕδωρ πορίζονται οἱ πολιορκούμενοι, συγκειμένου ἀπὸ λέξεων ἰσοδυνάμων ῥητορικῶν, τῆς τε σύριγγος καὶ τοῦ ἐμβόλου. καὶ τοιάδε μὲν ταῦτα.] Οἱ δὲ βαλανηφάγοι λαλοῦσιν οἷον, ὅτι τοὔνομα κεῖται τῷ φυτῷ ἐξ αὐτῶν, ἀπὸ τοῦ φαγεῖν γὰρ ἡ φηγός. ὡς δὲ καὶ Φήγιον ὄρος ἡ φηγὸς παράγει, ὃ πολλὰς δρῦς εἶχεν, οἶδεν ἡ ἱστορία. [Ὑπονοεῖται δὲ κατ’ ἀλληγορίαν καὶ ὁ Φηγαλεὺς Διόνυσος τῇ φηγῷ παρωνυμεῖσθαι διὰ τὰς ἀναδενδράδας ἀμπέλους.] Ὁ δὲ Ὁμηρικὸς ἐνταῦθα μῦθος τὴν τοιαύτην φηγὸν σεμνύνει καθίσας ἐπ’ αὐτῇ τὴν Ἀθηνᾶν καὶ τὸν Ἀπόλλωνα αἰγυπιοῖς, ὡς ἐρρέθη, ἐοικότας.

2.399 (v. 61) Οἱ καὶ ἕζοντο εἰς αὐτὴν ἀνδράσι, φησί, τερπόμενοι, τούτοις δηλαδὴ τοῖς μαχηταῖς. Ἰστέον δὲ ὅτι ἐκ τούτου δὴ τοῦ «ἑζέσθην οἱ ῥηθέντες θεοί, ἀνδράσι τερπόμενοι» ἔοικεν ἀρχὴν λαβεῖν ὁ τὸν ἄνθρωπον ὁρισάμενος παίγνιον θεοῦ, παραξέσας ἐκεῖνος τὴν τερπωλὴν εἰς παίγνιον καὶ τὸ σπουδαῖον νόημα εἰς γελοῖον μεταγαγών. Εἰ δὲ καὶ θεοὶ ἀνδράσι μαχομένοις τέρπονται, οὐκέτι οὐδὲ τῷ Ἀχιλλεῖ πρὸς μώμου κατὰ τὸ βασιλικὸν ὄνειδος, εἴπερ αὐτῷ φίλος ὁ πόλεμος. (v. 63) Ὅτι φρίκα Ζεφύρου καλεῖ τὴν πρώτην ἠρεμαίαν αὐτοῦ κατὰ θαλάσσης ἐπίπνοιαν, ὑφ’ ἧς ὁ πόντος γαληνότερον σαλευόμενος μελαίνεται, ᾗ καὶ ἀπεικάζει τὰς τάξεις ὅτε μονομαχούντων Ἕκτορός τε καὶ Αἴαντος ἐκάθηντο ἔνοπλοι, ὡς δοκεῖν τὰς περικεφαλαίας διὰ τὸ συνεχὲς μελαινομένας καὶ ἐπανεστηκυίας φρίκα κύματος εἶναι, οὐκ αἰρομένου καὶ ἀφρίζοντος, ἀλλ’ ἠρέμα μελαινομένου καὶ ὑποφρίσσοντος. (v. 61—6) Φησὶ γὰρ «τῶν δὲ στίχες εἵατο πυκναὶ ἀσπίσι καὶ κορύθεσσι καὶ ἔγχεσι πεφρικυῖαι. οἵη δὲ Ζεφύροιο ἐχεύατο πόντον ἐπιφρὶξ ὀρνυμένοιο νέον, μελάνει δέ τε πόντος ὑπ’ αὐτῆς, τοῖαι ἄρα στίχες εἵατ’ Ἀχαιῶν τε Τρώων τε ἐν πεδίῳ». Καὶ οὕτω μὲν ἐπὶ τῶν καθημένων ἔφη. Ἀλλαχοῦ δὲ νέφει παρείκασε πυκνῷ καὶ μελαντάτῳ τοιαύτην μελανίαν καὶ πύκνωσιν ἱσταμένων στρατιωτῶν, τοῖς μὲν προσγειοτέροις προσαρμόσας ταπεινοτέραν παραβολήν, τοῖς δὲ ὀρθοῖς τὴν ἐκ μετεώρων. (v. 62) Σημείωσαι δὲ ὅτι, ὥσπερ τὸ λήϊον φρίσσει ἀσταχύεσσι καὶ ἄλλα ἄλλως, ὡς ἐν ἑτέροις εἴρηται, οὕτω καὶ νῦν αἱ στίχες φρίσσουσιν ἀσπίσι καὶ κορύθεσι καὶ ἔγχεσιν. ἔνθα καὶ ὅρα τὰ συνεχῆ πάρισα, τὸ ἀσπίσι, κορύθεσσι, καὶ ἔγχεσι, δι’ ὧν φαιδρύνεται τὸ δεινὸν τῆς παραβολῆς. Δηλοῖ δὲ καθόλου τὸ φρίσσειν πύκνωσίν τινα ὀρθωτικὴν κατὰ ἡσύχιον κίνησιν.

2.400 οὕτω γὰρ τρίχες φρίσσουσιν, οὕτω λήϊα καὶ τὰ λοιπά. δῆλον δὲ ὡς, εἰ καὶ τὰ ἄλλα ὅπλα νῦν οἱ καθήμενοι ἐξεδύσαντο, αἱ γοῦν κόρυθες ἐφοροῦντο. (v. 63) Τὸ δὲ «ἐχεύατο» ἤρεμον ὑποκίνησιν δηλοῖ τῆς κατὰ θάλασσαν ἐπιφανείας, ὅτε γίνεται μέλαινα φρίξ. Ἐν δὲ τῷ «ἐπιφρίξ» πλεονάζει ἡ πρόθεσις. φρὶξ γὰρ τὸ κοινόν. εἰ μὴ ἄρα κατ’ ἀναστροφὴν ἀναγνῷ τις «χεύατο πόντον ἔπι φρίξ». (v. 64) Τὸ δὲ «νέον ὀρνυμένου» πρὸς διαστολὴν εἴρηται τοῦ ὕστερον ἐπιτεινομένου Ζεφύρου καὶ οὐκέτι χεύοντος φρίκα, κορθύοντος δὲ καὶ μέγα κῦμα, ὅπερ οὔτε μελαίνεται ἀλλ’ ἤδη ἀφριᾷ, καὶ οὐδὲ ἐπιφρὶξ λέγεται, ἀλλὰ κῦμα φαληριῶν. Ἡ γὰρ φρὶξ ἢ ἐπιφρὶξ προοίμιόν ἐστι κύματος. Σημείωσαι δὲ καὶ ὅτι τρόπον τινὰ ἐνταῦθα τὴν φρίκα οὕτως ὁρίζεται· φρίξ ἐστι μελανία πόντου, ὅτε ἄνεμος χεύεται νέον ὀρνύμενος. καὶ ὅτι ὥσπερ ἀπὸ αἰτιατικῆς τοῦ πατέρα, μητέρα, γαστέρα γίνονται εὐθεῖαι πάτρα, μήτρα, γάστρα, οὕτω καὶ ἀπὸ τοῦ φρίξ φρικός φρίκα παρὰ τοῖς ὕστερον ἡ φρίκα. καὶ ὥσπερ γάστρα γάστρη, ὡς τὸ «γάστρην μὲν τρίποδος πῦρ ἄμφεπεν», οὕτω καὶ φρίκα φρίκη Ἰωνικῶς. καὶ ὅτι προειπών, ὡς στίχες ἐκάθηντο πεφρικυῖαι ὅπλοις, εἶτα εὐθὺς ἐπήγαγε τὴν τῆς φρικὸς παραβολήν, ὡς ἂν δείξῃ δι’ αὐτῆς, ὅτι τὸ φρίσσειν οἰκείως ἐνταῦθα προσήρμοσται, ὅπερ καὶ ἐν ἄλλοις ποιεῖ θεραπεύων τὴν τῶν λέξεων τολμηρίαν διὰ παραβολῶν. Ἡ δὲ τοιαύτη μέθοδος, ἵνα τι καὶ ἐκ τῆς πλατείας ἥδυσμα τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁμηρικοῖς δαιτυμόσι πορισώμεθα, καὶ χυδαΐζουσάν τινα παραβολικὴν ἔφηνεν ἔννοιαν. Ἡ γὰρ χυδαία γλῶσσα ἐκ τοῦ «ἄνεμος ποιμαίνων ἅλα», καὶ ἐκ τοῦ «Θρασκίας κύων», ἃ δὴ ποιητικῶς ἐρρέθησαν, ὡρμημένη ἐτόλμησεν αὐτὴ ἀσφαλῶς δῆθεν εἰπεῖν πρόβατα τὰ ἐν θαλάσσῃ λευκὰ τοῖς ἀφροῖς κύματα, ὡς εἶναι παραβολὴν πλακῆναι τοιάνδε τινά· ὡς δ' ὅτ' ὄϊς λευκαὶ ποιοῖεν τάδε τινὰ περὶ χέρσον, οὕτω κύματα περὶ θάλασσαν ἀφρῷ μορμύροντα.

2.401 (v. 65) Ἔτι σημείωσαι καὶ ὅτι, ὥσπερ οὐλαμὸς ποτὲ μὲν ἁπλῶς ἡ τυχοῦσα τάξις καὶ συστροφὴ τῶν στρατιωτῶν, ποτὲ δὲ ὡρισμένως ἡ ἐξ ἀνδρῶν τεσσαράκοντα, καὶ λόχος ὁμοίως ἐστὶ μὲν ὅτε στρατιωτική τις ἁπλῶς σύνταξις, ποτὲ δὲ ἀνδρῶν σύνταγμα πεντήκοντα, ὡς ἐν οἷς εἶπεν ἐν τῇ γ περὶ Τυδέως ἐμφαίνεται, οὕτω καὶ στίχες ὧδε μὲν αἱ τῶν Ἀχαιῶν ἁπλῶς καὶ τῶν Τρώων τάξεις, ἐν δὲ τοῖς περὶ Μυρμιδόνων λόγοις πεντακοσίων ἀνδρῶν ἄθροισμα εἶναι ἡ στὶξ φανήσεται. (v. 64) Τὸ δὲ μελάνει παθητικὴν ἑρμηνείαν ἔχει, δηλοῖ γὰρ τὸ μελαίνεται. πέπονθε δὲ ἀπέλευσιν τοῦ ι , ὡς καὶ τὸ οἰδάνει ἀντὶ τοῦ οἰδαίνει. (v. 67 s.) Ὅτι ὁ λέγων ἅπερ ἐθέλει πρὸς τοὺς μὴ πάνυ αὐτὰ βουλομένους ἐρεῖ ἂν τὸ «κέκλυτέ μευ, ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσι κελεύει». (v. 69) Ὅτι Ζεὺς καὶ ἐνταῦθα ὑψίζυγος ὁ ἀφ' ὕψους τὰ κάτω κυβερνῶν, ὡς ἀπὸ ζυγῶν κυβερνητικῶν, ἢ ὁ ἄνωθεν ταλαντεύων οἷον τὰ κατ' ἀνθρώπους. διὸ ἐρεῖ κατωτέρω, ὅτι «ὕπερθεν», ἤγουν ἐκ θεοῦ, «νίκης πέρατα ἔχονται». Καὶ γίνεται τοῦτο ἀφορμὴ τοῦ ἐν τοῖς ἑξῆς γραφῆναι τὸν Δία μεταχειριζόμενον τάλαντα, ὡς ἐν ζυγοστατήματι. [Τοῦτο δὲ νοεῖν οὐ πάνυ φιλοῦσιν οἱ παλαιοί, ζυγὸν εἰδότες ἅρματος καὶ ἁμάξης, ὅθεν καὶ ζυγόδεσμον Ὅμηρός φησιν ἱμάντα τὸ ζυγόν, φασί, τῶν ζῴων ζευγνύντα, εἰδότες δὲ καὶ ζυγά, καθέδρας ἐρεσσόντων, ὅθεν φασὶν ὑψίζυγος, ὁ ὕψι καθέδραν ἔχων.

2.402 Καὶ ὅμως οἱ μεθ' Ὅμηρον οἴδασι ζυγὸν καὶ ἐπὶ σταθμοῦ, καὶ αὐτὸν παρὰ τὸ δύο ἄγειν ἐτυμολογικῶς, τὰς ἑκατέρωθεν δηλαδὴ πλάστιγγας, ἀφ' οὗ καὶ παροιμία τὸ «ζυγοῦ πρὸς δίκην εὐθέστερος».] (v. 69—72) Ὅτι περί τινος παρὰ τὸ ἠλπισμένον βλάπτοντος τὰ μέρη ἐρεῖ τις τὸ «οὐκ ἐτέλεσσεν, ἀλλὰ κακὰ φρονέων τεκμαίρεται ἀμφοτέροισιν». Ἕκτωρ δὲ τοῦτό φησιν, ἐν οἷς τῶν ἐπὶ Μενελάῳ καὶ Πάριδι ὁρκίων μὴ τελεσθέντων κακὰ φρονεῖν λέγει τὸν Δία Τρωσί τε καὶ Ἕλλησιν, ἕως «ἢ ὑμεῖς», φησί, «Τροίην εὔπυργον ἕλητε ἢ αὐτοὶ παρὰ νηυσὶ δαμείητε. Ἔνθα καὶ αἰτιᾶται τὸν Δία εἰπὼν «ὅρκια μὲν Κρονίδης οὐκ ἐτέλεσσε», τῷ τῆς πεπρωμένης δηλαδὴ λόγῳ. ἄλλως γὰρ ὁ Πρίαμος καὶ οἱ ἀμφ' αὐτὸν οὐκ ἐτέλεσαν τοὺς ὅρκους, ὧν ταμίας ὁ Ζεύς. (v. 70) Λέγει δὲ τεκμαίρεσθαι τὸ τελειοῦν ἀπὸ τοῦ τέκμωρ, ὃ δηλοῖ τὸ τέλος. Τὸ μέντοι τεκμαίρεσθαι ἀντὶ τοῦ σημειοῦσθαι, ἀφ' οὗ καὶ τέκμαρ, τὸ σημεῖον, οἱ μεθ' Ὅμηρον λέγουσιν.

2.403 (v. 71) Εὔπυργος δὲ Τροία ἀπὸ μέρους ἡ ὀχυρά. Εἰ δὲ φθάσας εἰπεῖν Ἕκτωρ εὖ εἰδέναι ὡς ἔσσεται ἦμαρ ὅτε ἂν ἁλῷ ἡ Τροία, νῦν λαλεῖ, ὡς ἢ ἕλωσι Τροίην Ἀχαιοὶ ἢ δαμασθῶσι παρὰ νηυσίν, οὐχ' ἕξει τὸν ἐναντιωσόμενον. ἄλλως γὰρ λαλήσας τῇ [φίλῃ] γυναικί, ἄλλως ἐνταῦθα ὁμιλεῖ τοῖς ἐχθροῖς. (v. 73) Ὅτι δοκεῖ ἐν τοῖς τοῦ Ἕκτορος λόγοις κεῖσθαι περιττὸς ὁ γαρ σύνδεσμος. Εἰπὼν γὰρ «κέκλυτέ μευ, ὄφρ' εἴπω», ἐπάγει «ὑμῖν μὲν γὰρ ἔασιν», ἤγουν εἰσίν, «ἀριστῆες Παναχαιῶν. τῶν νῦν ὅν τινα θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει, δεῦρ' ἴτω» καὶ ἑξῆς. Ἔστι δὲ εἰπεῖν ἀληθῶς, ὅτι οὐ παρέλκει ὁ ῥηθεὶς σύνδεσμος, ἀλλὰ κατ' ἔθος Ὁμηρικὸν ἐν καταρχῇ ἐννοίας τέθειται, ὡς ἰσοδυναμῶν τῷ ἐπειδή, ἵνα λέγῃ· ἐπειδὴ ὑμῖν εἰσιν ἀριστέες, τούτων ὁ προθυμούμενος ἀντεπεξελθέτω μοι εἰς μονομαχίαν. (v. 75) Ὅρα δὲ καὶ ὡς ὀφείλων ἐνταῦθα ὁ Ἕκτωρ εἰπεῖν «δεῦρ' ἴτω τις ἐκ πάντων πρόμος ἔμμεναι ἐμοί», ὁ δὲ εἶπεν ἀντὶ τοῦ ἐμοί τὸ «Ἕκτορι δίῳ», ἑαυτὸν ἐπαινῶν, οὐκ Ἀστυδάμας κατὰ τὴν παροιμίαν, ἀλλ' ἐκ μεγαλοψυχίας καὶ φιλοτιμίας ἐνδεικνύμενος, ὡς τὴν ἀγαθὴν ἐλπίδα προβέβληται, καθὰ καὶ ἐν τοῖς ἑξῆς δειχθήσεται. Ἄλλως δέ γε εἰπεῖν, ἔφθη ἀνωτέρω καὶ τὴν ῥηθεῖσαν ἀντωνυμίαν θεῖναι ἐν τῷ «ὅν τινα θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει». καὶ ἔστιν οὐδὲν ἧττον καὶ οὕτω ἐπαινετικὸς ἑαυτοῦ ὁ Ἕκτωρ, ὃς καὶ μετ' ὀλίγα φαίδιμον ἑαυτὸν καλέσει. (v. 76) Ὅτι κεῖται καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνταῦθα παρὰ Ἕκτορι εὐθεῖα ὁ μάρτυρος. Φησὶ γὰρ «Ζεὺς δ' ἄμμιν ἐπιμάρτυρος ἔστω». Ἐκ τούτου δοκεῖ κατὰ συγκοπήν, ὡς καὶ προεδηλώθη, ὁ μάρτυς γενέσθαι. διό, φασίν, οὐδὲ κλίνεται ὁ μάρτυς, διὰ τὸ ἀπὸ πάθους ἔχειν τὴν γένεσιν. Περιττὴ δὲ ἡ πρόθεσις ἐν τῷ ἐπιμάρτυρος, ὡς καὶ ἐν τῷ ἐπιβουκόλος καὶ ἐπίουρος καὶ ἐπιφρίξ καὶ ἄλλοις πολλοῖς.

2.404 Εἶπε δ' ἄν τις τότε πρὸς τὸν Ἕκτορα, ὡς τί ὄφελος μάρτυρον εἶναι τὸν Δία. Εἰ γὰρ ὅρκους ἐκείνους, οὕς, ἔφης, οὐκ ἐτέλεσεν, εἰκὸς οὐδὲ τὰ νῦν ὑπὸ σοῦ κυρούμενα τελεσθῆναι, ἀλλὰ μεῖναι ὑπὸ Διὸς ἀτέλεστα. (v. 77—86) Ὅτι ὁ Ἕκτωρ ἐνταῦθα μονομαχίαν ζητήσας τοιαῦτα συντίθεται «εἰ μέν κεν ἐμὲ κεῖνος», ἤγουν ὁ ἐν Ἀχαιοῖς ἀριστεύς, «ἕλῃ ταναήκεϊ χαλκῷ, τεύχεα συλήσας φερέτω κοίλας ἐπὶ νῆας, σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα. εἰ δέ κ' ἐγὼ τὸν ἕλω, δῴη δέ μοι εὖχος Ἀπόλλων, τεύχεα συλήσας οἴσω προτὶ Ἴλιον ἱρὴν καὶ κρεμόω ποτὶ νηὸν Ἀπόλλωνος ἑκάτοιο, τὸν δὲ νέκυν ἐπὶ νῆας ἐϋσέλμους ἀποδώσω, ὄφρα ἑ ταρχύσωσι καρηκομόωντες Ἀχαιοί, σῆμά τέ οἱ» καὶ τὰ ἑξῆς. Καὶ σημείωσαι, ὅτι ὁ μὲν ἀδελφὸς Ἕλενος ἀπήγαγε τοῦ Ἕκτορος τὴν τοῦ θανεῖν δειλίαν, ὁ δὲ ὅμως οὐκ εἰς τέλος ἀλαζονεύεται, ἀλλὰ παραλαλεῖ καὶ τὸ τοῦ ζῆν ἔμπαλιν, καὶ ὅτι οἴκτου ἄξιος ὁ Ἕκτωρ, ὃς νῦν μὲν φιλοτιμούμενος καὶ δῖον ἑαυτὸν καὶ φαίδιμον ἀποκαλῶν συντίθεται θανόντος αὐτοῦ τὸ σῶμα οἴκαδε ἀποδοθῆναι, ὡς ἂν σεμνῆς τύχῃ ταφῆς, ὅτε δὲ ὑπ' Ἀχιλλέως θάνοι, παρὰ βραχὺ ἔρχεται τοῦ καὶ ἄταφος ῥιφῆναι. Καὶ σημείωσαι δὲ καὶ ὅπως ἀλαζονικῶς ἑαυτὸν μὲν ἀξιοῖ ἐν Ἰλίῳ ταφῆναι πόρρω θαλάσσης, εἴπερ ἀναιρεθείη, ὡς μὴ βλέποιτο πρός τινος τῶν παραπλεόντων. τὸν Αἴαντα δὲ πρὸς Ἑλλησπόντῳ ταφήσεσθαι λέγει πρὸς οἰκεῖον κλέος, ὡς μετὰ βραχὺ δηλωθήσεται. Πλὴν εἰ καὶ οὕτω δοκεῖ ἀλαζονικὸς ὁ ἥρως, ἀλλ' ὑφίεται ἄλλως τοῦ μεγαλοφρονεῖν, ἐν οἷς τὸ μὲν αὐτὸν ἀναιρεθῆναι οὐδὲν μέγα οἴεται, τὸ δὲ τὸν ἀντίπαλον ἀριστέα πεσεῖν θεῖόν τι νομίζει καὶ εὖχος αὐτῷ θεόσδοτον. ἐξ Ἀπόλλωνος γάρ, οὗ καὶ εἰς τὸν ναὸν ἀναθήσειν τὰ ὅπλα φησί. καὶ ταῦτα μὲν τοιαῦτα. [(v. 77) Τὸ δὲ ἕλῃ καὶ τὸ ἕλω ταὐτόν ἐστι τῷ ἀνέλω καὶ ἀνέλῃ, ᾧ πλεονάζουσιν οἱ ὕστερον.] Ταναήκεα δὲ χαλκὸν τὸ ξίφος λέγει, κἂν μὴ ἐχρήσαντο ξίφει μήτε ὁ Ἕκτωρ μήτε ὁ μονομαχήσας αὐτῷ. καὶ ἔστι ταὐτὸν ταναήκεα χαλκὸν εἰπεῖν καὶ τανύηκες ἄορ, ὧν δηλαδὴ ταναὸν τὸ ἀκόνημα διὰ τὸ τοῦ σιδήρου πρόμηκες, ἢ τὰ εἰς τανυσμὸν ἥκοντα, ἢ ὧν ταναὴ διόλου ἀκή, τουτέστιν ὀξύτης τοῦ στομώματος.

2.405 (v. 78) Ὅρα δὲ ὅτι καὶ ἐνταῦθα συλᾶν τεύχεα φανερῶς ὁ ποιητής φησι τὸ ἐκδύειν ὅπλων τὸν κείμενον, δὶς ἐπιμονῆς λόγῳ τὴν λέξιν φράσας διὰ τὸ καίριον. καὶ ὅτι τὸ φερέτω ἐπὶ τοῦ βαστάζειν εἴρηται κυριολεκτικῶς (v. 79) Καὶ ὅτι ταὐτόν ἐστι σῶμα καὶ νέκυν εἰπεῖν. εἰπὼν γὰρ «σῶμα δὲ οἴκαδ' ἐμὸν δοῦναι» παρακατιών φησι «τὸν δὲ νέκυν ἐπὶ νῆας ἀποδώσω». Ἔνθα καὶ χρὴ ἐπιστῆσαι, ὡς εἰ καὶ ἐν ἄλλοις διαφορά ἐστι τοῦ δοῦναι καὶ τοῦ ἀποδοῦναι, ἀλλ' ἐνταῦθα ἐπὶ τοῦ αὐτοῦ σημαινομένου κεῖνται ἀμφότερα. [Ἰστέον δὲ ὅτι ὁ εἰπὼν ἐν τῷ περὶ τοῦ σώματος λόγῳ, ὅτι δέμας μὲν ἐπὶ ζώντων ἀεὶ παρὰ τὸ δῶμα εἶναι ψυχῆς, σῶμα δὲ ἐπὶ ἀλόγων, εἰς μὲν τὸ πρῶτον εὐστοχώτερον ἔφη, ἀλλοῖος δὲ διεξέπεσε κατὰ τὸ δεύτερον. Ἐχρῆν γὰρ ἀκολουθοῦντα τοῖς παλαιοῖς εἰπεῖν, ὅτι σῶμα δὲ ἐπὶ ἀψύχων, ὡς δηλοῖ αὐτὸς ἐκεῖνος ἐπαγαγὼν παραδείγματα τὸ «μεγάλῳ ἐπὶ σώματι κύρσας», καὶ «σῶμα γὰρ ἐν Κίρκης κατελείπομεν», καὶ «σῶμα δὲ οἴκαδ' ἐμὸν δοῦναι».] Ὅρα δὲ καὶ ὅτι τὸ δοῦναι ἐνταῦθα φανερῶς ἀντὶ τοῦ δότω εἴρηκεν, ἀκολούθως τῷ φερέτω. (v. 79 s.) Καὶ ὅτι τὴν ταφὴν διαφόρως ὁ ποιητὴς ἐνταῦθα ἔφρασεν ἐπὶ μὲν τοῦ Ἕκτορος εἰπὼν «ὄφρα πυρός με» λελάχωσιν οἱ ἐν τῇ Τροίᾳ, ἤγουν ταφῆς ἀξιώσωσι λάχος πυρὸς δόντες μοι, ἐπὶ δὲ τοῦ Αἴαντος· ὅπως αὐτὸν ταρχύσωσιν Ἀχαιοί, ὅ ἐστιν ἐνταφιάσωσι μετὰ συνήθους ταράχου.

2.406 Ἰστέον δὲ καὶ ὅτι τὸ «λελάχωσι πυρός» ἀλλοπαθῶς ἐνταῦθα συντέτακται. λαχεῖν μὲν γάρ τοι ἁπλῶς τοὺς Τρῶας αὐτοπαθῶς ἐρρέθη, λαχεῖν δὲ αὐτοὺς τὸν δεῖνα τοῦδέ τινος ἀλλοπάθειαν

ἔχει. Καὶ ἔστι μὲν τὸ πρῶτον λαχεῖν ἶσον τῷ εὑρεῖν, τὸ δὲ δεύτερον ὅμοιον τῷ ἀξιῶσαι λάχους, ὡς εἴρηται. (v. 83) Τὸ δὲ ἐν ναοῖς κρεμᾶν τὰ σκῦλα τῶν νενικημένων ἔθος ἦν ἀρχαῖον. Καὶ δηλοῖ αὐτὸ καὶ Εὐριπίδης ἐν Φοινίσσαις καὶ ὁ Κωμικὸς δὲ ἐν τοῖς Ἱππεῦσι. Τὸ δὲ κρεμόω πλεονασμὸν ἔχει τοῦ ο τῆς παραληγούσης, εἴληπται δὲ ἀντὶ μέλλοντος τοῦ κρεμάσω. (v. 81) Ἰστέον δὲ καὶ ὅτι τοῦ δῴη προϋπάρχει τὸ δοίη, αὐτοῦ δὲ πρόκειται κοινὸν πρῶτον τὸ δοῖμι, ἐξ οὗ τὸ δοῖεν ὡς γνοῖεν. Ὅτι δέ ποτε τὰ εἰς μι εὐκτικὰ εἰς ην μεταπλάττονται, προδεδήλωται, καὶ δηλοῖ αὐτὸ σὺν ἄλλοις ἀριδήλως καὶ τὸ πεφεύγοιμι, πεφευγοίην, Σοφοκλῆς «ἐκπεφευγοίην πάθος», ἔτι δὲ καὶ τὸ εἰδείην ἐκ τοῦ εἰδήκοιμι μεταπλασθὲν κατά τε συγκοπὴν καὶ ὁμοιότητα τὴν πρὸς τὸ τυφθείην καὶ τὰ τοιαῦτα.

2.407 (v. 85—90) Ὅτι ἔδει μὲν τὸν Ἕκτορα παῦσαι τὸν λόγον εἰς τὸ «ὄφρα ἑ», ὡς ἐγράφη, «ταρχύσωσιν Ἀχαιοί», ὁ δὲ συμμετεωριζόμενος τῇ μνήμῃ τῆς ἀριστείας ἐπάγει «σῆμά τε οἱ χεύωσιν ἐπὶ πλατεῖ Ἑλλησπόντῳ». Εἶτα καὶ δίστιχον ὡς ἐν σχεδιασμῷ συντίθησιν ἐπίγραμμα τῷ τάφῳ τοῦ ὑπ' αὐτοῦ νικηθέντος τοιοῦτον ὡς ἐξ ἀορίστου ἐπιγραμματοποιοῦ «καί ποτέ τις εἴπῃσι καὶ ὀψιγόνων ἀνθρώπων· ἀνδρὸς μὲν τόδε σῆμα πάλαι κατατεθνειῶτος, ὅν ποτ' ἀριστεύοντα κατέκτανε φαίδιμος Ἕκτωρ». Οὕτω μεγαλόφρων ὁ ἥρως καὶ ταῖς εὐτυχίαις συνεξαιρόμενος. Καὶ ὅρα ὅπως καὶ ἐν ἐπιγράμμασιν ὁ ποιητὴς εὐδοκιμεῖ. (v. 91) Ἐπὶ τούτοις ὁ Ἕκτωρ καὶ τὸ τέλος τῆς ἑαυτοῦ ἐφέσεως ἐκτίθεται, δηλαδὴ τὴν τιμήν, εἰπὼν «ὥς ποτέ τις ἐρέει, τὸ δ' ἐμὸν κλέος οὔποτ' ὀλεῖται», ὃ δὴ παρέφρασε καὶ ὁ ἐν τῇ Τραγῳδίᾳ εἰπὼν ἐθέλειν τὸν αὐτοῦ τύμβον μετὰ θάνατον στεφανοῦσθαι. «διὰ μακροῦ γάρ», φησίν, «ἡ χάρις». Ἐκεῖνος δὲ καὶ ἄλλως τὴν τιμὴν προάγων πλάττει τινὰ λέγοντα μήτε χρυσὸν ἐθέλειν, ὡς καὶ προεγράφη, «μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος, ἢν μὴ 'πίσημος ἡ τύχη γένοιτό μοι». (v. 86) Ἰστέον δὲ ὅτι ἐξ ἱστορίας ἔχων ὁ ποιητὴς λαλεῖ τὴν ἐπὶ πλατεῖ Ἑλλησπόντῳ ταφὴν τοῦ Αἴαντος. Πολλοῖς γὰρ τῶν ἡρώων ἦσαν αὐτόθι τύμβοι ἄποπτοι τοῖς πλέουσιν ἐπὶ οἴνοπα πόντον. Φησὶ γοῦν καὶ ὁ Γεωγράφος, ὅτι Ῥοίτειον πόλις ἐπὶ λόφῳ. συνεχὴς δὲ τῷ Ῥοιτείῳ ἠών, ἐφ' ᾗ μνῆμα καὶ ἱερὸν Αἴαντος καὶ ἀνδριάς, ὃν Ἀντώνιος μὲν εἰς Αἴγυπτον ἐκόμισε χαριζόμενος τῇ Αἰγυπτίᾳ Κλεοπάτρᾳ σὺν ἄλλοις ἀναθήμασιν, Ἄρατος δὲ ἐπαναγαγὼν τοῖς Ῥοιτειεῦσιν ἀπέδωκεν, ὃ καὶ ὁ σεβαστὸς Καῖσαρ ἐποίησεν ἐπὶ ὁμοίων τινῶν. Λέγει δὲ καὶ ὅτι μετὰ Ῥοίτειον τὸ Σίγειον, πόλις κατεσπασμένη, καὶ τὸ ναύσταθμον καὶ τὸ Ἀχαϊκὸν στρατόπεδον, καὶ ὅτι ἡ παραλία ἀπὸ Ῥοιτείου μέχρι Σιγείου καὶ τοῦ μνήματος Ἀχιλλέως, ἐάν τις εὐθυπλοῇ, ἑπτὰ στάδια, πρὸς δὲ τῷ Σιγείῳ Ἀχιλλέως μνῆμα καὶ Πατρόκλου καὶ Ἀντιλόχου, καὶ ἐναγίζουσιν οἱ Ἰλιεῖς τούτοις καὶ τῷ Αἴαντι.

2.408 Ἔτι ἰστέον καὶ ὡς τὸ «σῆμα χεύωσι» ταὐτόν ἐστι τῷ τυμβοχοήσωσι. Δηλοῖ δὲ καὶ ἐνταῦθα τὸ χέειν τὴν ἐν τοῖς τάφοις τότε τοῦ χοὸς ἐπιφόρησιν, ὃς δὴ καὶ χυτὴ ἐλέγετο γῆ, ὡς προείρηται. [οὗ πρὸς μίμησιν ἐρρέθη καὶ τὸ διψία κόνις παρὰ τῷ Σοφοκλεῖ. Τὰ μέντοι πρὸ τῶν πόλεων λεγόμενα χώματα ἑτεροῖά εἰσιν, ὡς αἱ ἱστορίαι φασί.] Σῆμα δέ, ὡς καὶ ἐν τῇ Βοιωτίᾳ ἐρρέθη, λέγεται διὰ τὸ σημαίνειν τεθάφθαι τινὰ ἐκεῖ, ὥσπερ καὶ μνῆμα, διὰ τὸ μνήμην τοῦ ποτε ζῶντος ἀνακινεῖν. Κεῖται δέ ποτε τὸ μνῆμα, ὡς καὶ ἐν Ὀδυσσείᾳ, ἐπὶ τοῦ κατὰ τὴν Ἑλένην δώρου πρὸς Τηλέμαχον καὶ ἐπὶ τῆς ἁπλῶς μνήμης, οἷον «μνῆμα χερῶν Ἑλένης», ἵνα ᾖ ὡς χάρμη καὶ χάρμα καὶ βρώμη καὶ βρῶμα, οὕτω καὶ μνήμη καὶ μνῆμα. Ὁμώνυμον ἄρα καὶ τὸ μνῆμα, καθὰ καὶ τὸ σῆμα, κείμενον ὡς τὰ πολλὰ καὶ ἐπὶ σημείου, ὡς καὶ προδεδήλωται καὶ μετ' ὀλίγα δὲ δηλοῦται ἐν τῷ «κλήρου σῆμα». Καὶ αὐτὸ δὲ τὸ μνημεῖον μνήμην σαφῶς δηλοῖ παρὰ Σοφοκλεῖ ἐν τῷ «μνημεῖον ψυχῆς Ὀρέστου». Πλατὺν δὲ Ἑλλήσποντον λέγει οὐ τὸν ἁπλῶς διόλου τοιοῦτον— ἔχει γὰρ στενὰ πολλὰ καί τι λίαν στενότατον καὶ οὐ πλέον ἑπτασταδίου πλατυνόμενον—, ἀλλὰ τὸ διεκπίπτον αὐτοῦ ἔξω πρὸς τῷ Αἰγαίῳ ἕως καὶ εἰς τὸ ναύσταθμον καὶ εἰς τὸ Ῥοίτειον καὶ εἰς τὸ Σίγειον, τὰ ἀνωτέρω ῥηθέντα, ἐκεῖνο πλατὺν Ἑλλήσποντον λέγει. ἐκεῖ γὰρ εἰς πλάτος ὁ τῆς

Ἕλλης πόντος ἀνοίγεται. Οἱονεὶ γοῦν φησιν ὁ ποιητής, ὅτι σῆμα χεύωσι περὶ τὸ πλατὺ μέρος τοῦ Ἑλλησπόντου, ὥσπερ καὶ ἀλλαχοῦ ἁπαλὸν αὐχένα φησὶν οὐ τὸν ἁπλῶς ἁπαλόν, ἀλλὰ τὸ τοιοῦτον μέρος αὐτοῦ.

2.409 Τὰ δὲ περὶ Ἕλλης θρυλλούμενα δῆλα, ὅτι δηλαδὴ ἀδελφὴ αὕτη Φρίξου, θυγάτηρ Ἀθάμαντος καὶ Νεφέλης, ἣν δὴ Νεφέλην ὁ Ἀθάμας γυναῖκα δευτέραν ἐπεισηγάγετο τὴν προτέραν Ἰνὼ ἐκπεμψάμενος, καὶ ὅπως ἡ Ἰνὼ αὖθις ἀναληφθεῖσα ἐνεκότει τοῖς ἐκ Νεφέλης παισί, καὶ ὡς μηχαναῖς τισι φρύξασα τὰ ἐγχώρια σπόριμα καὶ ἄκαρπα ποιήσασα χρησμὸν κατὰ τῶν παίδων ὑπέκλεψεν, ὡς τοῦ κακοῦ λυθησομένου τῷ ἐκείνων φόνῳ, καὶ ὅπως αὐτοῖς ἐπιβουλευθεῖσι κριὸς τὴν ἐπιβουλὴν κατεμήνυσε, καὶ ὡς ἀναδεξάμενος αὐτοὺς ὁ τοιοῦτος κριὸς καὶ κατά τι θεῖον ἀέριος ἀρθεὶς τὸν μὲν Φρίξον περιεσώσατο εἰς τὴν Κολχίδα γῆν, τὴν δὲ Ἕλλην οὐκ ἴσχυσε, καταπεσοῦσαν εἰς τὸν ἀπ' αὐτῆς κληθέντα Ἑλλήσποντον, καὶ ὅτι ἐν Κόλχοις ἀπεδάρη παρὰ τοῦ Φρίξου ὁ κριὸς οὗτος, τυθεὶς φυξίῳ Διῒ καὶ τὸ αὐτοῦ κῶας χρυσωθὲν ἐφυλάττετο ὑπὸ ἀΰπνου δράκοντος, εἰς ὃ οἱ Ἀργοναῦται ἔπλευσαν, καὶ ὅτι οὐδὲ ἡ κακοῦργος Ἰνὼ καλῶς ἀπήλλαξε καταπεσοῦσα συνάμα τῷ παιδὶ Μελικέρτῃ εἰς θάλασσαν ἐν τῷ τὸν ἄνδρα μανῆναι κατὰ χόλον Ἥρας καὶ ξιφήρη διώκειν αὐτήν. καὶ τοιάδε μὲν ταῦτα. Ἡ δὲ ἀκριβὴς ἱστορία μητρυιὰν εἰδυῖα τὴν Ἰνὼ δύσνουν τῷ Φρίξῳ τε καὶ τῇ Ἕλλῃ πλοιάριόν τί φησιν εἶναι τὸν κριόν, ἐκτύπωμα φέρον κριοῦ ἐν ἄκρῳ, ὁποῖόν τι καὶ παρὰ Λυκόφρονι τὸ ταυρόμορφον τύπωμα τὸ τὴν Εὐρώπην ἁρπάσαν, καὶ ὁποῖα πλοῖα τὰ σὺν ἑτέροις γλύμμασι καὶ χηνίσκους ἐν τοῖς ἄκροις ἔχοντα ἤγουν τύπους χηνῶν. καὶ βούλεται διὰ τοιούτου κριοῦ σὺν τῷ ἀδελφῷ πλέουσαν τὴν Ἕλλην ἐκπεσεῖν καὶ κινδυνεῦσαι.

2.410 Ἑτέρα δέ τις ἱστορία εὔνουν ὑπηρέτην φησὶ τὸν Κριόν, ὃς τὴν τῆς μητρυιᾶς βουλὴν ἀνακαλύψας καὶ περισώσασθαι τοὺς δεσπότας παῖδας προθέμενος ἐδυστύχησε κατὰ τὸν Ἑλλήσποντον. λέμβῳ γὰρ βραχυτάτῳ πιστεύσας αὐτοὺς οὐκ ἔσχεν ἀμφοτέρους περιποιήσασθαι, ἀλλ' ὁ μὲν Φρίξος περιεγένετο, ἡ δὲ Ἕλλη κατὰ πάθος ἰλίγγου ἢ ἄλλου τινὸς τοιούτου καταπεσοῦσα μόνον αὐτῆς ἄνω ἀφῆκε τοὔνομα φέρεσθαι αὐτὴ καταδῦσα εἰς βυθόν. Διπλάζεται δὲ τῇ Ἕλλῃ τὸ ἀμετάβολον πρὸς διαστολὴν τοῦ ἕλη, ἡ θερμασία, ἐξ ἧς καὶ τὰς λαμπάδας ἑλάνας λεχθῆναί που ὁ Ναυκρατίτης ἱστορεῖ σοφιστής. καὶ ὁ Ἕλλην δὲ κατὰ τοὺς παλαιοὺς διὰ τὴν αὐτὴν αἰτίαν ἐν δυσὶ λ γράφεται. τὸ δ' αὐτὸ γίνεται καὶ ἐπὶ τοῦ Ἅλος πόλις καὶ ἅλλος, ἡ ἀντωνυμία, ὡς ἐν Βοιωτίᾳ εἴρηται. (v. 91) Τὸ δὲ «ὥς ποτέ τις ἐρέει, τὸ δ' ἐμὸν κλέος οὔποτ' ὀλεῖται» πλαγίως ἔπαινόν τε τῆς Ὁμήρου ἐμφαίνει ποιήσεως καὶ τὴν αὐτοῦ μαντικὴν ἐνδείκνυται, δεξιῶς οὕτω σχηματίσαντος. Τῷ ὄντι γὰρ ἕως τὸ Ὁμηρικὸν τοῦτο ἐπίγραμμα εἰς ἀνάγνωσιν ἔρχοιτ' ἄν, οὐκ ἂν ὀλεῖται τὸ κλέος τῷ Ἕκτορι, ἔρχεσθαι δὲ δοκεῖ εἰσαεί, ἀεὶ ἄρα ἔσται καὶ τὸ ῥηθὲν κλέος καὶ οὐδέποτε ὀλεῖται. Οὕτω δέ πως καὶ ἀλλαχοῦ σεμνολογεῖ τὴν Ἰλιάδα ὁ ποιητής, ἔνθα τοῦ Ἑλληνικοῦ τειχίσματος τὸ κλέος περιελθεῖν λέγει τὸν ὑφ' ἥλιον διὰ τὸ κατὰ τὴν Ἰλιάδα περιᾴδεσθαι, ἄλλως γὰρ ἀφανισθὲν ἀκλεὲς ἦν. (v. 92 s.) Ὅτι ὑποδέξασθαι καὶ ἐνταῦθα ὁ ποιητὴς κοινότερον τὸ ἀντιστῆναί φησιν ὁμοίως τῷ «σὺ μὲν τόνδε δέδεξο, μελήσουσι δέ μοι ἵπποι». Φησὶ γὰρ «ὣς ἔφατο» Ἕκτωρ, «οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ, αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι», τουτέστιν ἀπειπεῖν μὲν τὴν πρὸς Ἕκτορα μονομαχίαν οἱ Ἀχαιοὶ αἰδημόνως ἔσχον, εὐλαβήθησαν δὲ αὖ πάλιν τὴν πρὸς ἐκεῖνον ἔνστασιν.

2.411 οὕτω φοβερὸς αὐτοῖς γέγονε. Τινὲς δέ φασιν, ὅτι οὐ τὸν Ἕκτορα ἔδεισαν οἱ Ἀχαιοὶ ἀλλὰ τὸν βασιλέα διὰ τὸ ἀναμένειν κέλευσιν καὶ μὴ ἐθέλειν θρασύτερον προπετεύεσθαι. Θρασὺς γὰρ πρὸς ἔργον ἐκ πολλοῦ κακός, κατὰ τὴν παροιμίαν. λέγει δέ, φασί, καὶ Ἐπίχαρμος «κακὸς θαρρεῖ μάλ' αὐτόθεν, ἔπειτα δὲ φεύγει». Καὶ οὕτω μὲν οἱ ἄλλοι Ἕλληνες αἰδῶ τε καὶ δέος ἔπασχον, ἄλλως δέ γε ἤπερ ἡ προσειποῦσα τὸν Πρίαμον αἰδοῖόν τε ἑαυτῇ καὶ δεινόν, ἐγγὺς δέ πως τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰπόντι, ὅτι «δέος ᾧ πρόσεστιν αἰσχύνη θ' ὁμοῦ, σωτηρίαν ἔχοντα τόνδ' ἐπίστασο». (v. 94) Μενέλαος δὲ ἰσχυροπαθήσας ἀνέστη καὶ ὑπέστη τὴν μονομαχίαν. Φησὶ γὰρ ὁ ποιητής, ὅτι «ὀψὲ δὲ δὴ Μενέλαος ἀνίστατο» καὶ τὰ ἑξῆς. Καὶ ὅρα τὸ ὀψέ, οὐ γὰρ χρὴ τὸν νοῦν ἔχοντα παραχρῆμα ποιεῖν τὸ παρατυχὸν καὶ τοῖς κινδύνοις ἐπιπηδᾶν. (v. 95—102) Τὰ δέ, ὡς ἐρρέθη, ἑξῆς τοῦ λόγου τοιαῦτα· ἀναστὰς ὁ Μενέλαος «νείκει ὀνειδίζων, μέγα δὲ στεναχίζετο θυμῷ», ἤγουν στενακτικῶς ἐλάλει «ὦ μοι ἀπειλητῆρες, Ἀχαιΐδες, οὐκέτ' Ἀχαιοί. ἦ μὲν δὴ λώβη τάδε γ' ἔσσεται αἰνόθεν αἰνῶς, εἰ μή τις Δαναῶν νῦν Ἕκτορος ἀντίος εἶσιν, ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε, ἥμενοι αὖθι ἕκαστοι ἀκήριοι ἀκλεὲς αὔτως. τῷδε δ' ἐγὼν αὐτὸς θωρήξομαι». Καὶ οὕτω μὲν ὁ Μενέλαος θαρρεῖ τὴν μονομαχίαν ἐπαγαγὼν καὶ γνωμικὸν τοῦτο «αὐτὰρ ὕπερθε νίκης πείρατ' ἔχονται ἐν θεῷ». καὶ οὕτω μὲν ὁ βασιλεύς. (v. 104—6) Ὅμηρος δὲ ἐνδεικνύμενος οὐκ ἀξιόμαχον αὐτὸν ἀντίμαχον εἶναι τῷ Ἕκτορι ἀποτείνει τὸν λόγον εἰς αὐτὸν ἐνδιαθέτως κατὰ σχῆμα ἀποστροφῆς καί φησιν ὡς οἷον οἰκτιζόμενος «ἔνθα κέ τοι Μενέλαε φάνη βιότοιο τελευτὴ Ἕκτορος ἐν παλάμῃσιν, ἐπεὶ πολὺ φέρτερος ἦεν, εἰ μὴ ἀναΐξαντες ἕλον», τουτέστιν ἐκώλυσαν, «βασιλῆες Ἀχαιῶν». Καὶ ὅρα τὸ φιλάληθες τοῦ φιλέλληνος ποιητοῦ, πολὺ φέρτερον τοῦ Μενελάου εἰπόντος τὸν Ἕκτορα, ὅπερ ταὐτόν ἐστι τῷ κατωτέρω εἰρησομένῳ περὶ Ἀχιλλέως τῷ «ὅς περ σέο πολλὸν ἀμείνων». Καὶ ὁ μὲν ποιητὴς οὕτω πρὸς οἶκτον λαλεῖ. (v. 108—14) Ἀγαμέμνων μέντοι καὶ δριμύτερον εὐθὺς ἐπιπλήττει τῷ ἀδελφῷ.

2.412 Δεξιτερῆς γὰρ ἕλε χειρὸς καὶ «ἀφραίνεις», ἔφη, «Μενέλαε διοτρεφές, οὐδέ τί σε χρὴ ταύτης ἀφροσύνης· ἀνὰ δ' ἴσχεο», τουτέστιν ἀνέχου, ἢ «ἀνὰ δὲ σχέο», τουτέστιν ἀνάσχου, «κηδόμενός περ». Εἶτα τρόπον τινὰ καὶ τὸ γνῶθι σαυτὸν ὑποτιθείς φησι «μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι Ἕκτορι, τόν τε στυγέουσι καὶ ἄλλοι. καὶ δ' Ἀχιλλεὺς τούτῳ γε μάχῃ ἐνὶ κυδιανείρῃ ἔρριγ' ἀντιβολῆσαι, ὅ περ», ἤγουν ὅς, «σέο πολλὸν ἀμείνων». Καὶ ὅρα ὡς εὐμεθόδως κἀνταῦθα ὁ ποιητὴς μνήμην τοῦ Ἀχιλλέως παρέρριψε, καὶ ὅτι οὐ μόνον ὁ ἀδελφός, ἀλλὰ καὶ οἱ λοιποὶ βασιλεῖς ἐπέχουσι τῆς μονομαχίας τὸν Μενέλαον ἐλεοῦντες ὡς ἀδικούμενον. τὸν μέντοι Πάριν ὁ ἀδελφὸς Ἕκτωρ ὑπόψιον ἅπασιν ὄντα ἐχάρη ἂν ἰδὼν καὶ πεσόντα. Σημείωσαι δὲ ὅτι τε πρὸς συμφέρον ἐνταῦθα νόμῳ στρατηγικῷ ψεύδεται ὁ βασιλεύς. Οὐ γὰρ ὁμολογουμένως ἔρριγεν Ἀχιλλεὺς τὸν Ἕκτορα, λαλεῖ δὲ αὐτὸ ἐπίτηδες, ἵνα τὸ ἀδελφικὸν καταστείλῃ θράσος. καὶ ὅτι ἐνταῦθα μὲν ἐν ὑποθήκης λόγῳ ἔοικεν, ὡς εἴρηται, λέγεσθαι τὸ γνῶθι σαυτόν, ἐν δὲ τοῖς ἑξῆς καὶ πραγματικῶς ἐνεργεῖται ἡ παραίνεσις, ὅπου ἑαυτὸν εἰδὼς ὁ Ἕκτωρ τοῖς μὲν ἄλλοις μάχεται, Αἴαντος δὲ ἀλεείνει μάχην Τελαμωνιάδαο. ὥστε νῦν οὐ πάνυ τι ἑαυτὸν οἶδεν ὁ Ἕκτωρ, εἴγε τῷ τοιούτῳ Αἴαντι ἀντιστήσεται. καὶ ὅτι κἂν φυσᾷ τὸν Ἕκτορα λεγόμενα παρὰ τοῦ βασιλέως τὰ σεμνύνοντα ἐκεῖνον, ἀλλὰ κατωτέρω ῥίψει τὴν αὐτοῦ ὀφρὺν ὁ βασιλεύς, ἔνθα ἐρεῖ ὅτι τούτῳ, ἤγουν τῷ Ἕκτορι, πρόμον ἄλλον ἀναστήσουσιν Ἀχαιοί, ὃν ἐὰν φύγῃ, ἀσπασίως γόνυ κάμψει. ἔνθα καὶ δείκνυται, ὅτι τὰ περὶ Ἀχιλλέως ψευδῶς ἔλεγεν ὁ βασιλεύς, ἵνα πείσῃ τὸν ἀδελφόν. Εἰ γὰρ ὁ Ἀχιλλεὺς ἀληθῶς ἔρριγε τὸν Ἕκτορα, ποῖος ἄλλος εὑρεθήσεται πρόμος ἀντίπαλος τῷ Ἕκτορι; Ἦν δὲ ἐν τῷ περὶ Ἀχιλλέως λόγῳ ἐκ τοῦ μείζονος τὸ ἐπιχείρημα. Μείζων γὰρ πάντως τοῦ Μενελάου ὁ Ἀχιλλεύς. εἰ δὴ αὐτὸς ἔρριγε τὴν μετὰ Ἕκτορος μάχην, πολλῷ πλέον ῥιγήσει ὁ Μενέλαος. (v. 101 s.) Ἰστέον δὲ καὶ ὅτι ὁ εὔελπις ἀγωνιστὴς καλῶς ἂν εἴποι τὸ [«τῷδε δέ», ἤγουν ἐπὶ τούτῳ, ταὐτὸν δ' εἰπεῖν, κατὰ τούτου,] «ἐγὼν αὐτὸς θωρήξομαι, αὐτὰρ ὕπερθε νίκης πείρατ' ἔχονται». (v. 109 s.) Τὸ δὲ «ἀφραίνεις, οὐδέ τί σε χρὴ ταύτης ἀφροσύνης, ἀνάσχεο δὲ κηδόμενός περ», ὅ ἐστι βλαπτόμενος, οἰκεῖον ῥηθῆναι πρός τινα θρασέως κινδυνεύειν ἐθέλοντα.

2.413 (v. 111) Τὸ δὲ «μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι» δύναται καὶ γνωμικὸν εἶναί ποτε, οὕτως ἁπλῶς ἐν τῷ καθόλου ῥηθέν. Καὶ τοιοῦτον μὲν ὁλικῶς εἰπεῖν ἐν νοήμασι τὸ ῥηθὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁμηρικὸν χωρίον. Τὰ δὲ κατὰ μέρος αὐτοῦ τοιάδε εἰσί. (v. 92) Σιωπῶσιν ἐνταῦθα οἱ Ἀχαιοὶ ἀκὴν γενόμενοι ἐξ ἀμηχανίας, ὡς καὶ ἐν ἄλλοις γίνεται. Κρείττων γὰρ σιωπὴ καίριος παρακεκινδυνευμένου λόγου. Τὸ δὲ ἀκήν, περὶ οὗ ἀλλαχοῦ εἴρηται, εὕρηται λεγόμενον καὶ ἀκασκᾶ. Αἴλιος δὲ Διονύσιος καὶ χρῆσιν παράγει Κρατίνου ταύτην «σκήπτροισιν ἀκασκᾶ προβιβῶντα». (v. 93) Τὸ δὲ ἀνήνασθαι δηλοῖ μὲν τὸ ἀρνήσασθαι, γίνεται δὲ ἀπὸ τοῦ ἀναίνω. αὐτὸ δὲ κατὰ μέν τινας ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ ναι , ἵνα εἴη ἀναίνεσθαι τὸ μὴ διὰ τοῦ ναι ἐπιρρήματος κατατίθεσθαι. κατὰ δὲ ἑτέρους ἀπὸ τῆς α στερήσεως καὶ τοῦ αἶνος, ὃ δηλοῖ τὴν συγκατάθεσιν. (v. 95) Τὸ δὲ «νείκει» τῆς παλαιᾶς ἐστι χρήσεως. ὡς γὰρ βλάβος καὶ δίψος, οὕτω καὶ νεῖκος, ἐξ οὗ καὶ ἡ φιλονεικία. τὰ μέντοι κοινὰ βλάβη καὶ δίψα καὶ νείκη. οὕτω δὲ καὶ ἡ νάπη νάπος παρά τε Εὐριπίδῃ καὶ ἑτέροις.

2.414 [καὶ ἡ κνίση δὲ κνῖσος, καθὰ δηλοῖ καὶ ὁ γράψας ἀντὶ τοῦ «κνίσσην μελδόμενος» κνίση δίχα τοῦ ν , ὡς ἐν τοῖς μετὰ ταῦτά που κεῖται, εἰ καί τινες τῶν παλαιῶν ἀπαρέσκονται ὡς μὴ ἐντετυχηκότες τῇ χρήσει τοῦ κνίσσος.] Εὕρηται δὲ καὶ ἡ ἑτέρα νίκη νῖκος λεγομένη, ὡς καὶ ἡ σκάφη σκάφος καὶ ἡ πάθη πάθος. (v. 96) Ἐν δὲ τῷ «ἀπειλητῆρες, Ἀχαιΐδες, οὐκέτ' Ἀχαιοί» ἀπειλητῆρες μὲν οἱ μόνον καυχώμενοι καὶ εἰς κενὸν αὐχοῦντες, ὡς εἰ καὶ Ἀχαιΐδες ἦσαν, κατὰ τὸ «γυναικῶν μὲν τὸ λαλεῖν, ἀνδρῶν δὲ τὸ πράττειν», ἢ οἱ ἐκφοβοῦντες λόγοις. ἐπ' ἀμφοτέρων γὰρ λέγεται τὸ ἀπειλεῖν. Ἀχαιΐδες δὲ ἀντὶ τοῦ γυναῖκες, ὃ παραφράζων ὁ Σοφοκλῆς φησι «μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας ἕστατε». Ἔστι δὲ τοῦτο σφοδρότερον τοῦ Ὁμηρικοῦ. λειότερον γὰρ τὸ Ἀχαιΐδες τοῦ «γυναῖκες ἀντ' ἀνδρῶν», ἐξ οὗ ὁ ἀνδρόγυνος σύγκειται. καὶ ταῦτα μὲν ἐν λόγοις. Τὸ δὲ τοῦ Σεσώστριδος ἔργον ἔχει πλεῖον τὸ ἀναιδές. Ἱστορεῖ γὰρ Ἡρόδοτος ὅτι Σέσωστρις, εἴποτε ἀνδρῶν εὐπετῶς καὶ ἀμαχητὶ περιγένοιτο, στήλας στήσας αἰδοῖα γυναικῶν τοῖς ἀνδρείοις προσενέγραφε, δηλῶν ὡς ἦσαν ἀνάλκιδες. Ἔτι σφοδρὸν παρὰ τῷ αὐτῷ καὶ τὸ «οἱ μὲν ἄνδρες γεγόνασί μοι γυναῖκες, αἱ δὲ γυναῖκες ἄνδρες». Τὸ μέντοι «πολλοὶ μὲν ἄνθρωποι εἶεν, ὀλίγοι δὲ ἄνδρες» σεμνότερον τῶν προρρηθέντων. Ὅτι δὲ μέγα εἰς ὕβριν ἀνδράσι τὸ γυναῖκας καλεῖσθαι, δηλοῖ ὁ αὐτὸς ἔν τε τῷ «προσβάλλοντες κακὰ μεγάλα εἰργάζοντο καὶ γυναῖκας ἀπεκάλεον», καὶ ἐν τῷ «παρὰ Πέρσαις γυναικὸς κακίω ἀκοῦσαι δέννος μέγιστός ἐστι».

2.415 Δέννον δὲ λέγει τὴν ὕβριν, ἐξ οὗ τὸ δεννάζειν παρὰ Σοφοκλεῖ. Ἀστεῖον δέ πως τὸ «οὐκέτ' Ἀχαιοί», ὡς ἕως μὲν τῆς ἄρτι ἀνδρῶν ὄντων τῶν Ἀχαιῶν, νῦν δὲ μεταβεβλημένων οἷον εἰς Ἀχαιΐδας κατὰ τὰς θρυλουμένας μυθικὰς μεταμορφώσεις. ἢ καὶ κατὰ τὴν ἀμφιγενῆ λαγῴαν ἱστορίαν, εἴ τι χρὴ προσπαῖξαι τῷ ποιητικῷ γλυκάσματι. [Ὅθεν δοκεῖ καί τις ποιητὴς λαβὼν σκῶψαι εἰς λαγνείαν βασιλέως Λιβυκοῦ δριμέως τὸ «βαινόμενος βαίνων», οὗ πρὸς σαφήνειαν ἐπάγει τὸ «ὁτὲ νυμφίος, ἄλλοτε νύμφη».] Καὶ ἄλλως δέ, [καθὰ] τὸ «κατ' αἶσαν ἐνείκεσας οὐδ' ὑπὲρ αἶσαν», καὶ τἄλλα ὅσα ἐκεῖ ἐγράφησαν, οὕτω καὶ τὸ «Ἀχαιΐδες, οὐκέτ' Ἀχαιοί» ἐσχημάτισται. Τοῦτο μέντοι κατὰ ἦθος ὀργίλον, ὡς γὰρ μὴ ἀρκοῦν τὸ «Ἀχαιΐδες» εἰς ὕβριν ἐπῆκται πρὸς πλείω αὐτῆς ἔνδειξιν τὸ «οὐκέτ' Ἀχαιοί». καὶ τοιοῦτον μὲν καὶ τοῦτο. (v. 97) Τὸ δὲ «αἰνόθεν αἰνῶς», δηλοῖ τὸ ἀπὸ δεινοῦ δεινῶς, ὅ ἐστιν ἐκ δεινῶν δεινοτέρως. (v. 99) Τὸ δὲ «ὕδωρ καὶ γαῖα γένοισθε» ἀντὶ τοῦ νεκρωθείητε καὶ τοῦ μὲν ζωογόνου πνευματώδους θερμοῦ στερηθείητε, γένοισθε δὲ ὕδωρ καὶ γῆ, ἃ δὴ ἐναπομένει τοῖς νεκροῖς σώμασι. (v. 100) Διὸ καὶ ἐπάγει «ἥμενοι αὖθι ἀκήριοι», τουτέστι καθήμενοι αὐτόθι ὡς νεκροί. Νεκρός τε γὰρ ἀπὸ τοῦ νε στερητικοῦ καὶ τοῦ κῆρ, ἡ ψυχή, καὶ ἀκήριος ὁμοίως ὁ μὴ ἔχων κῆρ.

2.416 οἷς καὶ ὁ νῶκαρ συστοιχεῖ παρὰ τὴν νω στέρησιν καὶ τὸ κᾶρ, ὅ ἐστι κῆρ, ἡ ψυχή. Καὶ ἄλλως δὲ ὀνειδίζει ὁ λόγος τοὺς Ἕλληνας, ὡς μὴ ἀνωφορουμένους, ἀλλὰ καθῆσθαι ἢ κεῖσθαι ὀρεγομένους καὶ κάτω βρίθοντας κατὰ τὰ βαρέα στοιχεῖα, καὶ μὴ ἐοικότας μετέχειν ζωτικῆς τινος κουφιζούσης θερμότητος. Τινὲς δὲ ἄλλως φράζουσι τὸ «ὕδωρ καὶ γαῖα γένοισθε», ἀντὶ

τοῦ ἀναστοιχειωθείητε, τουτέστιν εἰς τὰ βαρύτερα τῶν στοιχείων καὶ ἀκίνητα καὶ ὑμῖν ὅμοια ἀναλυθείητε. Ἕτεροι δέ φασιν, ὅτι συνεπινοητέον τοῖς δυσὶ τούτοις στοιχείοις καὶ τὰ λοιπὰ δύο, καθὰ εὕρηται καὶ παρ' Ἡσιόδῳ, ἐν οἷς γαῖαν ὕδει φύρων Ἥφαιστος τὴν γυναῖκα πλάττει. Οὕτω δὲ καὶ Ξενοφάνης που λέγεται εἰπεῖν «πάντες γὰρ γαίης τε καὶ ὕδατος ἐκγενόμεθα». Καθ' ὅμοιον λόγον καὶ ἐν τῷ «μήθ' αἷμά μου δέξαιτο κάρπιμον πέδον, μὴ λαμπρὸς αἰθήρ» καὶ τὰ λοιπὰ δύο στοιχεῖα ἔστι συνεπινοήσασθαι, οὐ μὴν καὶ ἐν τῷ «μήτε πόντος μήτε γῆ δέξαιτό μου σάρκας». ἦν δ' ἂν τὸ ὅμοιον καὶ ἐκεῖ, εἰ μὴ σάρκας ἔφη, ἀλλ' ὅτι μήτε πόντος μήτε γῆ δέξαιτό με, κατὰ φυσικὴν δηλαδὴ ἀνάλυσιν. Τὸ δὲ «ἀκλεές» εὐθεῖά ἐστι πληθυντικὴ ἀντὶ τοῦ ἀκλεεῖς, ἀπελθόντος τοῦ ι , ὡς καὶ ἐν τῷ «ἐρέτας ἐπιτηδές». κεῖται δὲ καὶ ἐν Ὀδυσσείᾳ χρῆσις τοιαύτης λέξεως. Τινὲς μέντοι ἐπίρρημα τοῦτό φασιν εἶναι, ἄλλοι δὲ παροξύνουσιν. ὡς γὰρ ἀγακλέες κατὰ ἔλλειψιν τοῦ ἑνός ε , οὕτω φασὶ καὶ ἀκλέες. (v. 102) Τὸ δὲ «νίκης πέρατα» περιφραστικῶς ἀντὶ τοῦ ἡ νίκη, τὸ τέλος δηλαδὴ τῶν ἀγωνιζομένων. Σημείωσαι δὲ ὅτι νῦν μὲν ἁπλοϊκῶς εἴρηται τὸ ὕπερθεν ἔχεσθαι τὰ τῆς νίκης πέρατα, τραπὲν μεταφορικῶς ἀπὸ σχοίνων ἤ τινων ἑτέρων τοιούτων σωμάτων, ὧν καὶ ἀρχή τις καὶ πέρας ἐστίν. Ἐν τοῖς ἑξῆς δέ που διὰ ταλάντων ὕπερθεν ἐχομένων πρὸς Διὸς τὴν νίκην ἐρεῖ διεξάγεσθαι.

2.417 [Εὐθεῖα δὲ ἑνικὴ τοῦ πείρατα οὐ τὸ πεῖρας, ἀλλὰ τὸ πεῖραρ. Ἔστι δὲ αὐτοῦ καὶ ῥῆμα τὸ πειραίνω ἀντὶ τοῦ περαίνω.] Τελευτὴ δέ, εἰ καὶ φανερῶς τὸ ἁπλῶς τέλος, ἀλλὰ συνδυασθέν ποτε μετὰ ζωῆς ἢ βίου, ὁποῖον καὶ ἐνταῦθα τὸ «βιότοιο τελευτή», δηλοῖ τηνικαῦτα θάνατον. (v. 109) Τὸ δὲ «ἀφραίνεις Μενέλαε διοτρεφές» μίγμα ὕβρεως καὶ ἐπαίνου. καὶ ἔστιν ὅμοιον τῷ «κύδιστε φιλοκτεανώτατε». καὶ ἐκεῖ γὰρ ἔπαινος μὲν τὸ κύδιστε, ψόγος δὲ τὸ φιλοκτεανώτατε. Ἔχει δέ τι καὶ ἀστεῖον ἐνταῦθα ὁ λόγος κατὰ ἀλληγορίαν. Εἰ γὰρ Ζεὺς ὁ νοῦς, οὐ δεῖ ἀφραίνειν τὸν τῷ Διῒ παρώνυμον, ἤγουν τὸν διοτρεφῆ. Τὸ δὲ «οὐδέ τί σε χρὴ ταύτης ἀφροσύνης» δηλοῖ μὲν τό· οὔ σοι χρεία τοῦ ἀφραίνειν οὕτως. Εἴρηται δὲ καὶ αὐτὸ ἀστείως, ὡς ἔστιν ὅτε πολλῶν ἀφραινόντων καὶ ἐπίτηδες ἔν τε ὕβρεσι ταῖς πρὸς τοὺς ἰσχυροτέρους καὶ ἀπειλαῖς καὶ προκλήσεσι δέ, ὅτε μὴ κίνδυνός ἐστι προφανής. αὐτὸς γοῦν ἠφρονεύσατο φθάσας πρὸς τὸν Ἀχιλλέα ὁ τοῦτο ἐνταῦθα εἰπών. Μενέλαος μέντοι ἀφρονευόμενος ἄρτι πρὸς μονομαχίαν Ἕκτορος κινδυνεύσει μὴ ζῆν. Οὔκουν αὐτῷ χρεία τοιαύτης ἀφροσύνης, ἀλλά τινος ἑτεροίας, οἷον τοῦ ἀπειλεῖσθαι τῷ Ἕκτορι, τοῦ θρασύνεσθαι, οὐ μὴν τοῦ εἰς καὶ μονομαχίαν ἀντικαθίστασθαι, καὶ ταῦτα οὐκ ἐξ αὐτομάτου ἤ τινος ἑτεροίας ἀνάγκης, ἀλλὰ ἐξ ἔριδος. (v. 112) Τὸ δὲ «στυγέουσι» ταὐτὸν τῷ φρίσσουσιν, αὐτὸ δὲ ἶσον τῷ ἐρρίγασι. διὸ εἰπὼν «στυγέουσι καὶ ἄλλοι», παρακατιὼν λέγει «καὶ Ἀχιλλεὺς δὲ «ἔρριγεν», ὅ ἐστι φρίσσει, στυγεῖ. Ὅτι δὲ τὸ στυγεῖν ἀπὸ τῆς ψυχροτάτης παρῆκται Στυγός, πολλαχοῦ εἴρηται. (v. 114) Τὸ δὲ «ἔρριγε» μέσος παρακείμενός ἐστι τοῦ ῥιγῶ ῥιγήσω ἐρρίγηκα. Δῆλον δὲ πολλαχόθεν, ὡς ἐπὶ μὲν βαρυτόνων ἰσοσυλλαβεῖ ὁ μέσος παρακείμενος τῷ ἐνεργητικῷ, οἷον λέλειφα λέλοιβα, πέπεικα πέποιθα, ἀπὸ δὲ περισπωμένων μιᾷ φασιν ἐνδεῖ ὁ μέσος τοῦ προτέρου, οἷον δουπῶ δεδούπηκα δέδουπα, οἷον «δεδουπότος Οἰδιπόδαο», κτυπῶ ἐκτύπηκα ἔκτυπα, οἷον «μέγα δ' ἔκτυπε μητίετα Ζεύς».

2.418 Τοῦτο δέ τινες, ἤγουν τὸ ἔκτυπε, καὶ δευτέρου ἀορίστου φασίν. ἔστι γὰρ ἀληθῶς ὥσπερ ἔδουπον, οὕτω καὶ ἔκτυπον, κατὰ τὸ ἔχραισμον καὶ τὰ ὅμοια. Ἀντιβολῆσαι δὲ καὶ νῦν τὸ συναντῆσαι καὶ ἄντην τὰς ὄψεις βαλεῖν. παρὰ μέντοι τοῖς μεθ' Ὅμηρον ἱκέσιος ἡ λέξις καὶ σημαίνει τὸ ἄντην καὶ πρὸ ποδῶν τινος ῥίπτεσθαι. (v. 115 s.) Ὅτι κατασταλτικὸν θρασέος μέν, οὐκ ἀξιομάχου δὲ προμάχου τὸ «ἀλλὰ σὺ μὲν νῦν ἵζευ ἰὼν μετὰ ἔθνος ἑταίρων, τούτῳ δὲ πρόμον ἄλλον ἀναστήσουσιν» οἱ δεῖνα. (v. 117—9) Ὅτι σεμνύνων ὁ βασιλεὺς τὸν ἀναστησόμενον ἀντίμαχον τῷ Ἕκτορί φησιν «εἴ περ ἀδειής τ' ἐστὶ καὶ εἰ μόθου ἐστὶν ἀκόρητος, φημί μιν ἀσπασίως γόνυ κάμψειν», ἤτοι καθεσθῆναι, «αἴ κε φύγῃσι δηΐου ἐκ πολέμου καὶ αἰνῆς δηϊοτῆτος». (v. 118) Καὶ ὅρα τὸ φύγῃ. οὐ γὰρ ἀπέλθῃ φησὶν ἢ ἄλλο τι ῥῆμα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοιοῦτον, ἀλλὰ φύγῃ, τὴν ἧτταν αὐτῷ οἰωνιζόμενος. τῷ δὲ φυγεῖν ἀκόλουθον καὶ τὸ ἀσπασίως γόνυ κάμψειν. κεκμηκὼς γὰρ ἐν τῷ συντόνως φεύγειν ἀσπασίως κατακλιθήσεται. [Πρόσκειται δ' ἐνταῦθα τὸ ἀσπασίως πρὸς διαστολὴν ἑτεροίας καμπῆς γόνατος, ὁποῖαι πολλαί εἰσι καὶ ἀκούσιοι καὶ φορτικαί. Κάμπτεται δὲ γόνυ ἔστιν ὅτε καὶ ἱκετευτικῶς, ὃ καὶ γονυπετεῖν λέγεται καὶ γόνυ κλίνειν καὶ συνθέτως γονυκλιτεῖν. κάμπτει δέ τις γόνυ καὶ ἐπὶ τιμῇ ἀνδρὸς ὑπερέχοντος καὶ ἐπὶ σώματος δέ ποτε ἰατρείᾳ. Οὕτω γοῦν ἐν Ὀδυσσείᾳ ὁ Λαερτιάδης μετὰ νῆξιν πολυήμερον κάμπτει σὺν χερσὶ καὶ γόνατα δι' αἰτίαν ἀναγκαίαν τὴν ῥηθεῖσαν ἐκεῖ.] (v. 117—9) Ἰστέον δὲ ὅτι ὁ ῥηθεὶς τοῦ βασιλέως λόγος τὸ «εἴ περ ἀδειής τ' ἐστί» καὶ ἑξῆς, ἐκφοβητικός ἐστι παντὸς τοῦ ἐν προκλήσει μονομαχίας θρασυνομένου. (v. 117) Ἐπαναφορικὸν δὲ τὸ «εἴ περ ἀδειής ἐστι καὶ εἰ μόθου ἔστ' ἀκόρητος», ἐπίτηδες καλλωπισθέν. ἄλλως γὰρ ἀσφαλὲς εἰς φράσιν καὶ τὸ «εἴ περ ἀδεής ἐστι καὶ μόχθου ἀκόρητος». καὶ ὅτι ἀναγκαίως τῷ ἀδεής ἐπήνεκται τὸ «καὶ εἰ μόθου ἀκόρητος». οὐ γὰρ ἐξ ἀνάγκης πᾶς ἀδεὴς καὶ μάχης ἐστὶν ἀκόρεστος. Ὅρα δὲ καὶ ὅτι τοῦ κορῶ μέλλων οὐ μόνον διὰ τοῦ ε κορέσω, ἐξ οὗ ἀκόρεστος, ἀλλὰ καὶ κορήσω, ἐξ οὗ ἐνταῦθα τὸ «ἀκόρητος μόθου», ἤτοι μάχης ἀκόρεστος.

2.419 Τοῦτο δὲ τὸ νόημα ὁ ποιητὴς πλατυνεῖ ἐν τῷ «πάντων μὲν κόρος ἐστί» καὶ ἑξῆς. Ἀττικοὶ δὲ ἀκόρητον τὸ ἀκαλλώπιστόν φασιν, ὅθεν καὶ βίον ἀκόρητον λέγουσι τὸν ἀφιλοκάλητον. Ὥσπερ δὲ ἀκόρητος καὶ ἀκόρεστος, οὕτω καὶ ἀπόθητος καὶ ἀπόθεστος. ἡ δὲ λέξις ἐν Ὀδυσσείᾳ. (v. 119) Τὸ δὲ «καὶ αἰνῆς δηϊοτῆτος» ταὐτολογικόν ἐστι πρὸς τὸ «δηΐου ἐκ πολέμου», φιλοτιμησαμένου τοῦ ποιητοῦ ἐνταῦθα πολλαχῶς ὀνομάσαι τὴν μάχην. Μόθον τε γὰρ ἔφη παρὰ τὸ ὁμοῦ, φασί, θέειν τοὺς μαχομένους, καὶ πόλεμον παρὰ τὸ τὰς πόλεις μειοῦν, καὶ δηϊοτῆτα παρὰ τὸ δαίειν, ἤτοι καίειν, ὅθεν καὶ Πλούταρχος λαβὼν ἐξάψαι πόλεμον λέγει τὸ ἐξεγεῖραι μάχην. Διὸ καὶ οἱ παλαιοὶ πρὸς σύμβολον τοῦ κατὰ τὴν μάχην πυρώδους οὐ σάλπιγγι μόνον ἐν πολέμοις ἐχρῶντο, ἀλλὰ καὶ δαλῷ ἀφιεμένῳ συνίστων μάχην, ὡς καὶ Εὐριπίδης δηλοῖ ἐν τῷ «ἐπεὶ δ' ἀφείθη πυρσός», ἤτοι λαμπάς, «ὡς Τυρσηνικῆς σάλπιγγος ἠχή, σῆμα φοινίου μάχης». Περὶ δὲ τοῦ τόνου τῆς δηϊοτῆτος, ὥσπερ καὶ τῆς ταχυτῆτος καὶ τῆς βραδυτῆτος καὶ τῶν ὁμοίων προπερισπωμένων, ἀμφιλογεῖται. Οἱ μὲν γὰρ συνηγοροῦσιν ὀξέως τονοῦσθαι τὰς αὐτῶν εὐθείας. δηϊοτής γάρ, φασί, καὶ ταχυτής καὶ βραδυτής. Πλείους δὲ ἀντιλέγουσι γενναιότερον βαρυτονοῦντες καὶ αὐτὰ κατὰ τὸ φιλότης φιλότητος, κακότης κακότητος. Ὅρα δὲ καὶ ὅτι τὸ δήϊον μάχης ἐπίθετον ὂν ἐν τῷ «δηΐου ἐκ πολέμου» εἰς ὄνομα γέγονεν αὐτῇ ἐν τῷ «καὶ αἰνῆς δηϊοτῆτος». (v. 118) Γόνυ δὲ κάμψειν ὅτι οὐ μόνον ἐπὶ ἀναπαύσεως λέγεται ἀλλὰ καὶ ἐπὶ ὑποταγῆς καὶ ἐπὶ ἱκετείας καὶ ἄλλως δέ, ἤδη ἔγνωσται.

2.420 (v. 120 s.) Ὅτι διττολογεῖ καὶ ἐνταῦθα ὁ ποιητὴς φανερῶς ἐν τῷ «ὣς εἰπὼν παρέπεισεν ἀδελφειοῦ φρένας αἴσιμα παρειπών, ὃ δ' ἐπείθετο». ἤρκει γὰρ καὶ τὸ ἓν μόνον εἰπεῖν. καὶ τὸ μὲν εἰπών καὶ παρειπών ἔχουσι πολλὴν διαφοράν, ὡς τοῦ παρειπεῖν λαμβανομένου ἐπὶ παραινέσεως. Τὸ δὲ «παρέπεισε» καὶ τὸ «ὃ δ' ἐπείθετο» κατὰ μόνην διαφέρουσι τὴν σχέσιν τοῦ πείθοντος καὶ τοῦ πειθομένου. Ὁ γὰρ πείθων πειθόμενον πείθει καὶ οὐδεὶς ἂν ἐρεῖ πεῖσαι τὸν μὴ αὐτῷ πεισθέντα, ἵνα μὴ καὶ ἐπ' αὐτοῦ ῥηθῇ τὸ τοῦ Κωμικοῦ, τὸ «οὐ πείσεις, οὐδ' ἢν πείσῃς». Ἔστι δ' εἰπεῖν καὶ ὅτι τὸ «παρέπεισεν, ὃ δ' ἐπείθετο», ἐν ταὐτολογίᾳ εἶπεν ὁ ποιητὴς διὰ τοὺς τῷ δοκεῖν μὲν πείθοντας, οὐ μὴν καὶ τῇ ἀληθείᾳ πείθοντας, ἵνα εἴπῃ, ὅτι ὁ βασιλεὺς οὐ μόνον ἔδοξε πεῖσαι, ἀλλὰ καὶ ἀληθῶς ἔπεισε τὸν ἀδελφόν. Ἐκτείνει δὲ καὶ ἐνταῦθα τὸ παρειπών τὴν παραλήγουσαν τῆς παρα προθέσεως. [Ἰστέον δὲ ὅτι τε τὸ «εἰπών» καὶ τὸ «παρειπών» κατὰ τὴν θέσιν, ἣν ἔχουσι, παρίσωσιν ποιοῦσι, καὶ ὅτι καθὰ ἐκ τοῦ εἶπον δευτέρου ἀορίστου γίνεται ἀναλόγως ὁ εἰπών, οὕτω καὶ ἐκ τοῦ εἶπα πρώτου ἀορίστου ὁ εἴπας, οὗ χρῆσις πλατεῖα. Τούτου δὲ πλάγιοι οὐκ ἐτρίβησαν ὡς τοῦ εἰπών.] (v. 122) Ὅτι ἐν οἷς μὲν ἔλεγεν ὁ ποιητής, ὅτι ἐκάθηντο αἱ στίχες πεφρικυῖαι κορύθεσιν, ἐοίκασιν αἱ τάξεις μὴ ἀφοπλισθῆναι. οἷς δὲ ἐνταῦθα λέγει, ὅτι

γηθόσυνοι οἱ τοῦ Μενελάου θεράποντες ἀπ’ ὤμων τεύχε’ ἕλοντο, δηλοῖ ἀφωπλίσθαι τὰς στίχας. εἰ γὰρ ὁ βασιλεὺς ἀφωπλίσθη, καὶ οἱ περὶ αὐτὸν ἄρα. Καὶ πρὸ τούτου δὲ εἰπὼν ὁ Μενέλαος ἃ εἶπεν, εἶτα κατεδύσατο τεύχεα καλά. Καὶ ὁ Αἴας δὲ μετ’ ὀλίγα κορύσσεται νώροπι χαλκῷ, οἷα δηλονότι ἀποδὺς πρὸ τούτου τὰ ὅπλα. Ἔστιν οὖν κἀνταῦθά τις ἀμφιβολία, οἷα τοῦ Ὁμήρου μὴ ἐπισημηναμένου τὸ πρᾶγμα σαφῶς. Σημείωσαι δὲ ὡς ἠδύνατο μὲν ὁ ποιητὴς ἅμα τῷ λόγῳ τοῦ Ἕκτορος ἀναστῆσαι τοὺς πρὸς ἐκεῖνον ἀντιπάλους, ὁ δὲ ἐπίτηδες ἄλλως ἐποίησεν, ἵνα καὶ τὸ πρᾶγμα καινότερον εἴη, καὶ χώραν δὲ σχοίη ποικιλίας χάριν τό τε γνωσθὲν ἐπεισόδιον τοῦ Μενελάου καὶ ἑξῆς δὲ τὸ τοῦ Νέστορος, καὶ πλατυνθείη κατά τι χρῆμα δαιδάλεον δι’ αὐτῶν ἡ ποίησις.

2.421 περὶ μὲν οὖν Μενελάου ἔγνωσται τὰ προειρημένα. Ὁ δὲ Νέστωρ εὐθὺς ὀνειδίσει τε τοὺς Ἕλληνας καὶ μονομαχίαν ἑαυτοῦ παλαιὰν ἱστορήσει λαμπρὰν ἀποσεμνυνόμενος, ὡς καὶ ἐν ἄλλοις ποιεῖ, καὶ οὕτως ἐρεθίσει ἐννέα πάντας ἀναστῆναι κατὰ τοῦ Ἕκτορος, ὡς ἐν τοῖς ἐφεξῆς φανήσεται. (v. 124—6) Ὅτι δυσανασχετῶν ὁ γέρων, ἐφ’ οἷς οἱ Ἀχαιοὶ ὀκνοῦσι τὴν ἐζητημένην μονομαχίαν, φησὶ τὸ καὶ ἀλλαχοῦ κείμενον «ὢ πόποι, ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει». Εἶτα τὸν Πηλέα ἐπαινῶν ἐπάγει «ἦ κε μέγ’ οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς, ἐσθλὸς Μυρμιδόνων βουληφόρος ἠδ’ ἀγορητής». τοῦ πολεμεῖν γὰρ ἤδη καὶ ὁ Πηλεὺς διὰ γῆρας πεπαυμένος, καθὰ καὶ ὁ Νέστωρ, λόγοις μόνοις ἐνέπρεπεν. εἰδὼς δὲ ταῦτα λέγει ὁ Νέστωρ. Πειραθῆναι γὰρ τοῦ Πηλέως αὐτὸς ἐρεῖ, ὃν καὶ ἱππηλάτην ἔφη, ὡς ἦν ὅτε τοιοῦτον ὄντα, καθά που καὶ ὁ Πρίαμος ἐϋμελίης λέγεται. Ἐν δὲ τούτοις λεληθυῖά τις παρήχησις τὸ «ἱππηλάτα Πηλεύς». καὶ ταῦτα μὲν οὕτως. Ἰστέον δὲ ὡς μέγα κακὸν κρίνουσιν οἱ λογισμῷ διοικούμενοι, ἐφ’ ᾧ οἱ μὲν ἐχθροὶ χαίρουσιν, οἱ δὲ φίλοι βαρέως φέρουσιν, ὡς καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ ὁ Ὁμηρικὸς ῥήτωρ ἔφη, μέγα μὲν πένθος εἰπὼν τὴν Ἀχαιΐδα γαῖαν ἕξειν, γηθήσειν δὲ τοὺς περὶ Πρίαμον, ἐὰν Ἀχιλλεὺς καὶ Ἀγαμέμνων μάχωνται. Εἰ δὲ καὶ τοιοῦτον εἴη τὸ κακόν, ὡς μὴ μόνον τοὺς φίλους βαρύνεσθαι, ἀλλὰ καὶ αὐτοὺς τοὺς ἐχθροὺς δυσχεραίνειν, ὑπερβολὴ πάντως τοῦτό ἐστι δυστυχήματος, ὡς ὁ αὐτὸς ῥήτωρ ἐπιτείνων τὸ νόημα ἐνταῦθά φησι. Λέγει γὰρ ὡς καὶ πᾶσα μὲν ἡ Ἀχαιῒς γῆ λυπηθήσεται ἐπὶ τοῖς νῦν γινομένοις καὶ αὐτὸς δὲ οὐδὲν ἧττον ὁ Πηλεύς, ὃς διὰ τὸν υἱὸν Ἀχιλλέα ἐχθαίρων τοὺς Ἀχαιοὺς χαίρειν ὀφείλει ἐπὶ δυστυχοῦσιν αὐτοῖς, μονονουχὶ λέγων, ὡς δεινὸν μὲν εἰ γελώμεθα τοῖς ἐχθροῖς, μεῖζον δὲ δεινόν, εἰ καὶ αὐτοὶ συλλυποῦνται διὰ μέγεθος τοῦ κακοῦ. Δῆλον οὖν ὅτι ἐν τῇ α′ μὲν ῥαψῳδίᾳ ὑπέθετο φίλους λυπουμένους καὶ ἐχθροὺς χαίροντας, ἐνταῦθα δὲ λυπουμένους καὶ φίλους, τὴν Ἀχαιΐδα δηλαδὴ γῆν, καὶ ἐχθροὺς δέ, τοὺς ἀμφὶ τὸν Πηλέα δηλονότι. (v. 127—131) «ὅς ποτέ με», φησίν, «εἰρόμενος», ὅ ἐστιν ἐρωτῶν, «μέγ’ ἐγήθεεν ᾧ ἐνὶ οἴκῳ, πάντων Ἀργείων ἐρέων», τουτέστιν ἐρευνῶν, «γενεήν τε τόκον τε.

2.422 τοὺς νῦν εἰ πτώσσοντας ὑφ’ Ἕκτορι πάντας ἀκούσει, πολλά κεν θεῷ φίλας ἀνὰ χεῖρας ἀείραι θυμὸν ἀπὸ μελέων δῦναι δόμον Ἄϊδος εἴσω», ὅπερ τοῦ θανεῖν ἐστὶ περίφρασις, οἰκεῖον ὂν ἐπὶ παντὸς λέγεσθαι ἀπευχομένου τὸ ζῆν. Ἰστέον δὲ ὅτι καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ ὁμοίως τοῖς ἐνταῦθα ὁ σοφὸς γέρων προοιμιασάμενος τὸ ἐφεξῆς διαφόρως ἐξήνεγκεν, ἐκεῖ μὲν αὐξήσας τὸ Ἑλληνικὸν κακὸν ἐκ τοῦ γηθῆσαι ἂν τὸν Πρίαμον, ὧδε δὲ ἀπὸ τοῦ λυπηθῆναι ἂν τὸν Πηλέα. Ἔτι ἰστέον ὅτι καὶ παρ’ Ἡροδότῳ εὕρηται σχῆμα ὅμοιον τῷ Ὁμηρικῷ ἐν τῷ «ἦ κε μέγ’ οἰμώξειεν ὁ Πελοπίδης Ἀγαμέμνων, εἰ πύθοιτο Σπαρτιάτας τὴν ἡγεμονίαν ἀφαιρεῖσθαι ὑπὸ Συρακουσίων καὶ Γέλωνος». Δοκεῖ δὲ ὁ Νέστωρ πεῖραν, ὡς ἐρρέθη, ἐσχηκέναι τοῦ Πηλέως, ὅτε περὶ Ἀχιλλέως εἰς ἐκεῖνον ἐπρέσβευσε. Βαρύνεται δὲ ὁ γέρων οὐ μόνον διὰ τὸ Ἑλληνικὸν αἶσχος, ἀλλ’ ὅτι καὶ αὐτὸς ψευσάμενος τῷ Πηλεῖ ἀπελεγχθήσεται, ἐφ’ οἷς ἐκείνου ἐρωτῶντος αὐτὸς ἀπεσέμνυνεν, ὡς εἴρηται, τοὺς Ἕλληνας. (v. 127) Ἐν δὲ τοῖς ῥηθεῖσι τὸ μὲν «ἐγήθεεν», [ὥσπερ καὶ τὸ ἐγήθησε καὶ τὸ γηθῆσαι καὶ τὸ γηθήσειν,] περισπωμένου ἐστὶν ἐνεστῶτος τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γηθῶ, οὗ ὁ μέλλων γηθήσω. Δωριεῖς δὲ γαθεῖν αὐτό φασι. Τὸ δὲ γήθω οὐ πάνυ σύνηθες. (v. 128) Τὸ δὲ ἐρέων καὶ τὸ αὐτοῦ θέμα πρωτότυπά εἰσι τοῦ ἐρευνῶ καὶ ἐρευνῶν. Παραγωγὴ δὲ αὐτῶν κατὰ τὸ ἱκνῶ καὶ οἰχνῶ. Ὡς γὰρ ἵκω ἱκνῶ, οἴχω οἰχνῶ, οὕτω ἐρέω ἐρεύω, καὶ πλεονασμῷ τοῦ ν Δωρικῶς ἐρευνῶ κατὰ χρῆσιν κοινήν. ἄλλως γὰρ κατὰ Ἡρακλείδην βαρύνεσθαι ὤφειλεν, οὐ μόνον διότι Αἰολικόν, φησί, τὸ ἐρεύω, ἀλλὰ καὶ ὅτι πάντα τὰ πλεονάσαντα τῷ νυ ὁμοτονεῖ τοῖς πρωτοτύποις, οἷον ἐλάω ἐλαύω Αἰολικῶς, καὶ ἐλαύνω κατὰ Δωριεῖς, θύω θύνω, δύω δύνω. (v. 129) Τὸ δὲ πτώσσειν πτήσσειν φασὶν οἱ μεθ' Ὅμηρον, καὶ γίνεται ἀπὸ μὲν τοῦ πτώσσειν ὁ πτωχὸς καὶ ὁ πτώξ, ἀπὸ δὲ τοῦ πτήσσειν τὸ κατεπτηχέναι καὶ ὁ κατεπτηχώς.

2.423 Τοιαύτης δὲ σκευωρίας καὶ τὸ ἔρρωγε καὶ διερρηχὼς καὶ ῥῆγμα καὶ ῥωχμός καὶ ῥωγαλέος. καὶ ὧδε μὲν καὶ ταῦτα. (v. 132—157) Ὁ δὲ γέρων Νέστωρ καταιδέσας τοὺς Ἀχαιούς, ἐν οἷς φθάσας εἶπε λυπηθήσεσθαι ἂν καὶ τὸν ἐχθρὸν Πηλέα, εἰ μάθῃ τὰ κατ' αὐτούς, μεταχειρίζεται τὴν δημηγορίαν ἄλλως, ἀνδραγαθίαν καιρίως οἰκείαν ἱστορῶν μονομαχικήν, δι' ἧς ἐντρέψει τοὺς Ἕλληνας. Φησὶ γοῦν «αἲ γὰρ θεὲ πάτερ ἡβῷμι ὡς ὅτ' ἐπ' ὠκυρόῳ ποταμῷ Κελάδοντι μάχοντο ἀγρόμενοι Πύλιοί τε καὶ Ἀρκάδες ἐγχεσίμωροι Φειᾶς πὰρ τείχεσσιν Ἰαρδάνου ἀμφὶ ῥέεθρα. τοῖσι δ' Ἐρευθαλίων πρόμος» καὶ τὰ ἑξῆς. (v. 133) Ὅρα δὲ ὡς τὸ ὠκυρόῳ τοῦ μέτρου μὴ ἀπαιτήσαντος οὐκ ἐδίπλασε τὸ ρ κατὰ τὴν ἐν τοῖς τοιούτοις Ἀττικὴν ἀναλογίαν, ἐν δὲ λόγῳ πεζῷ, καθὰ τὸ χρυσορρόας καὶ τὸ γλυκύρροον καὶ τὸ πολύρρυτον καὶ ὅσα τοιαῦτα, οὕτω καὶ τὸ ὠκύρροος διπλάζει τὸ ἀμετάβολον. Ὁ δὲ ῥηθεὶς Κελάδων ποταμοῦ κλῆσίς ἐστι. ἄλλως γὰρ οὐ δύναται δύο ἐπίθετα ὁμοῦ κεῖσθαι δίχα κυρίου ἢ προσηγορικοῦ. Ἐν δέ γε τῷ «πόντος κελάδων» ἐπίθετόν ἐστιν ἡ τοιαύτη λέξις. (v. 134) Ἰστέον δὲ καὶ ὅτι καθ' ὃν λόγον ἐν τῇ δ' ῥαψῳδίᾳ τὸ ἰόμωροι ἐκτείνει τὴν παραλήγουσαν, οὕτω καὶ ἐνταῦθα τὸ ἐγχεσίμωροι καὶ τὰ ἐκεῖ γραφέντα χρήσιμα κἀνταῦθά εἰσι. (v. 135) Φειὰ δὲ πόλις περὶ τὴν Ἦλιν, περὶ ἣν Ἰάρδανος ῥέει ποταμός, ὁ χρησιμεύσας εἰς Ἰορδάνην τοῖς τοὺς Ὁμηρικοὺς συρράψασι θειότερον κέντρωνας. Ταύτης τῆς Φειᾶς ἡ παραλήγουσα διφορεῖται. Φέρεται γὰρ ἐν τῇ κατὰ στοιχεῖον ἀναγραφῇ τῶν Ἐθνικῶν τοιαῦτά τινα. Φεὰ πόλις Ἠλείας, ἣν Ὅμηρος μετὰ τοῦ ι γράφει «Φειᾶς πὰρ τείχεσι». ταύτης ὁ πολίτης Φεαῖος. Παρακατιὼν δὲ ὁ ταῦτα ἐκεῖ γράψας καὶ οἷον ἐκλαθόμενός φησι τὸ αὐτὸ ἄλλως· Φιὰ πόλις τῶν περιμάχων Μεσσηνίοις καὶ Λάκωσιν.

2.424 Ὅμηρος «Φιᾶς πὰρ τείχεσι». τὸ δὲ ἐθνικὸν ταύτης Φιεὺς καὶ Φιάτης καὶ Φιαῖος. καὶ οὕτω μὲν ἐκεῖνος. Αἱ μέντοι ἀλλαχοῦ φερόμεναι Φηραὶ Γερήνοις ὁμοροῦσι κατὰ τὸν Γεωγράφον. ἀφ' ὧν ὁ Νέστωρ Γερήνιος. Τὸν δὲ Ἰάρδανον οὐ μέγαν ποταμὸν ἡ ἱστορία ἔχει, ὡς ὁ αὐτὸς Γεωγράφος δηλοῖ ἐν οἷς λέγει· Φειὰ ἄκρα καὶ πολίχνη. ἔστι δὲ καὶ ποτάμιον πλησίον ὁ Ἰάρδανος. Λέγει δ' ὁ αὐτὸς καὶ ὅτι μετὰ τὸν αἰγιαλὸν τῶν Πισατῶν ἄκρα Φειά. ἦν δὲ καὶ πολίχνη, ὡς ὁ ποιητὴς «Φειᾶς πὰρ τείχεσι». Τοῦτο δέ τινες Χάας φασὶ δεῖν γράφειν, πόλις δὲ ὑπῆρξε πλησίον Λεπρέου, περὶ ἧς γενέσθαι φασὶ πόλεμον, ὃν ἔφρασεν Ὅμηρος, Ἀρκάσι πρὸς Πυλίους. Ἐχόντων δὴ καὶ τῶν εἰρημένων οὕτως ὁ Νέστωρ προσφυῶς τῷ παρόντι τόπῳ παλαιὰν μονομαχικήν, ὡς προσεχῶς ἐλέχθη, ἀνδραγαθίαν ἐκτίθεται, ἀφηγούμενος, ὅπως Πυλίων καὶ Ἀρκάδων μαχομένων ἀνεῖλεν αὐτὸς ἐν μονομαχίᾳ τὸν Ἀρκάδα Ἐρευθαλίωνα. (v. 136—141) Φησὶ γὰρ «τοῖσι δ' Ἐρευθαλίων», τοῖς δηλωθεῖσι δηλαδὴ Ἀρκάσι, «πρόμος ἵστατο ἰσόθεος φὼς τεύχε' ἔχων ὤμοισιν Ἀρηϊθόοιο ἄνακτος, δίου Ἀρηϊθόου, τὸν ἐπίκλησιν κορυνήτην ἄνδρες κίκλησκον καλλίζωνοί τε γυναῖκες, οὕνεκ' ἄρ οὐ τόξοισι μαχέσκετο δουρί τε μακρῷ, ἀλλὰ σιδηρείῃ κορύνῃ ῥήγνυσκε φάλαγγας». (v. 142—9) Εἶτα καθ' ἱστορίαν λεπτολογῶν λέγει καὶ πῶς τὰ τοῦ Ἀρηϊθόου τεύχεα ἦσαν παρὰ τῷ Ἐρευθαλίωνι καί φησιν, ὅτι τὸν Ἀρηΐθοον «Λυκόοργος ἔπεφνε δόλῳ, οὔ τι κράτεΐ γε, στεινωπῷ ἐν ὁδῷ, ὅθ' ἂρ οὐ κορύνη οἱ ὄλεθρον χραῖσμε σιδηρείη. πρὶν γὰρ Λυκόοργος ὑποφθὰς δουρὶ μέσον περόνησεν, ὃ δ' ὕπτιος οὔδει ἐρείσθη. τεύχεά τ' ἐξενάριξε, τά οἱ πόρε χάλκεος Ἄρης. καὶ τὰ μὲν αὐτὸς ἔπειτα φόρει μετὰ μῶλον Ἄρηος· αὐτὰρ ἐπεὶ

Λυκόοργος ἐνὶ μεγάροισιν ἐγήρα, δῶκε δέ», ἤγουν ἔδωκε δή, «Ἐρευθαλίωνι φίλῳ θεράποντι φορῆναι», ἤγουν φορεῖν, ὡς πολλαχοῦ κεῖται. (v. 150—4) Καὶ οὕτω τῇ ἱστορίᾳ παρεκβὰς ἔχεται αὖθις τοῦ προκειμένου καί φησι «τοῦ ὅ γε τεύχε' ἔχων», ὁ Ἐρευθαλίων δηλαδή, «προκαλίζετο πάντας ἀρίστους. οἳ δὲ μάλα ἐτρόμεον» ὡς καὶ νῦν δηλαδὴ τὸν Ἕκτορα οἱ Ἀχαιοί, «καὶ ἐδείδισαν, οὐδέ τις ἔτλη, ἀλλ' ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμων πολεμίζειν θάρσεϊ ᾧ», ἤγουν κατὰ ἴδιον θάρσος καὶ οὐχ' ἑτέρωθέν μοι ἐντεθέν, ὡς νῦν ἐγὼ θαρσοποιεῖν τοὺς Ἀχαιοὺς βούλομαι. «γενεῇ δέ», φησί, «νεώτατος ἔσκον ἁπάντων καὶ μαχόμην οἱ ἐγώ, δῶκε δέ μοι εὖχος Ἀθήνη».

2.425 (v. 155 s.) Εἶτα ὁ γέρων τὴν ἑαυτοῦ ἀνδραγαθίαν αὔξων φησὶ «τὸν δὴ μήκιστον καὶ κάρτιστον κτάνον ἄνδρα». Καὶ ἐφερμηνεύων τὸ μήκιστον ἐπάγει «πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα». (v. 157—160) Ἐπὶ δὲ τούτοις ἐπιφέρει τὸν τῆς ἱστορίας σκοπόν, ὅ ἐστι τὴν καὶ προδηλωθεῖσαν ἀξίωσιν τοῦ διηγήματος, εἰπὼν «εἴθ' ὧς ἡβώοιμι, βίη δέ μοι ἔμπεδος εἴη· τῷ κε τάχ' ἀντήσειε μάχης κορυθαίολος Ἕκτωρ», ἤγουν ταχὺ ἂν εὗρε τὸν ἀντιστησόμενον, ἐμὲ δηλαδή, ὡς μὴ δεησόμενον τοῦ ἐρεθίσοντος. «ὑμέων δέ», φησίν, «οἵ περ ἔασιν ἀριστῆες Παναχαιῶν, οὐδ' οἳ προφρονέως μέμαθ' Ἕκτορος ἀντίον ἐλθεῖν», ὀνειδίζων ἐνταῦθα ὡς αὐτὸς μὲν καὶ νεώτατος ὢν καὶ μήπω ἀριστεὺς ἐτόλμησέ ποτε κατὰ μηκίστου καὶ καρτίστου ἀνδρός, τῶν δὲ Ἀχαιῶν τό τε πλῆθος κάθηται νῦν ὑποτρέμον καὶ οἱ ἀριστεῖς δὲ ὀκνοῦσιν ἀντιστῆναι τῷ Ἕκτορι. Καὶ ὅρα ὅτι ἐν τῷ ῥηθέντι διηγήματι ὁ ποιητὴς εὐκτικῶς ἀρξάμενος ἀπὸ τοῦ «αἲ γὰρ ἡβῷμι», ἀντὶ τοῦ «εἴθε ἀκμάζοιμι», καὶ μεταξὺ διηγησάμενος ἃ ἤθελεν, εἰς ὁμοίαν πάλιν εὐχὴν κυκλικῶς τὸν λόγον συνέκλεισεν εἰπὼν «εἴθε ὧς ἡβώοιμι» καὶ ἑξῆς, ὡς ἀνωτέρω κεῖται. Σημείωσαι δὲ ὅτι ἐπίτηδες τὴν ἱστορίαν ταύτην καὶ ὑπὲρ ἑαυτοῦ εἰς παράδειγμα ὁ ποιητὴς παρήγαγε, δεικνὺς ὡς οὐδέν τι καινὸν ποιεῖ πλάττων μονομαχίας, εἴγε καὶ οἱ παλαιοὶ οὕτω ποτὲ ἐποίουν. Ἰστέον δὲ ὅτι τὸ τὸν Μενέσθιον, ὡς ἐν τῇ ἀρχῇ τῆς ῥαψῳδίας ταύτης ἐρρέθη, τὸν ὑπὸ Ἀλεξάνδρου πεσόντα πρεσβύτερον τοῦ Νέστορος νομισθῆναι οὕτω συνῆκται παρά τινων. Μενέσθιος ὁ ῥηθεὶς υἱὸς ἦν Ἀρηϊθόου τοῦ κορυνήτου, ὡς ἐκεῖ ἐρρέθη. ὃν κορυνήτην ὁ Λυκοῦργος δόλῳ ἀνελὼν εἶχε τὰ ὅπλα. τὰ δὲ γηράσκων μετὰ ταῦτα ὁ τοιοῦτος Λυκοῦργος Ἐρευθαλίωνι δέδωκε φορεῖν, τοῦτον δὲ ὁ Νέστωρ νεώτατος ὤν—ἡβάσκων γὰρ ἦν—ἀνεῖλεν. ὥστε, φασί, προγεγέννηται τοῦ τότε νεωτάτου Νέστορος ὁ ῥηθεὶς Μενέσθιος, καὶ εἴη ἂν οὐχ' ὁ Νέστωρ καθ' Ὅμηρον πρεσβύτατος τῶν στρατευσάντων εἰς Ἴλιον, ἀλλὰ μᾶλλον ὁ Μενέσθιος. Λύεται δὲ παρὰ τῶν παλαιῶν τὰ τῆς τοιαύτης ἀπορίας πιθανώτατα, δεικνύντων τὸν Νέστορα παλαιότατον. Φασὶ γὰρ οὕτω πως ἐν ὑποθέσεως σχήματι, ὅτι θετέον, ὡς ἐπὶ βρέφει τῷ υἱῷ Μενεσθίῳ τέθνηκεν ὁ πατὴρ Ἀρηΐθοος φονευθεὶς ὑπὸ Λυκούργου, οὐ κατ' ἀνδρίαν ἀλλὰ δόλῳ, οἷα γηραιοῦ, ὡς εἰκός, ὄντος καὶ μὴ δυναμένου κράτει περιγενέσθαι.

2.426 τεθνηκότος δὲ τοῦ Λυκούργου μετ' οὐ πολὺ διὰ τὸ ἔτι πλεῖον τοῦ γήρως διάδοχος τῶν Ἀρηϊθόου ὅπλων Ἐρευθαλίων γενόμενος ἀναιρεῖται ὑπὸ Νέστορος. Εἰ δὴ βρεφυλλίου ὄντος τοῦ Μενεσθίου ἠδύνατο Νέστωρ ὅπλα αἴρειν κατὰ Ἐρευθαλίωνος, εἴη ἂν χρόνοις πολλοῖς τοῦ Μενεσθίου πρότερος, διὸ καὶ γηραιότατος. οὐδὲν γὰρ ἀπεικὸς τὸν Μενέσθιον οὔπω οὐδὲ δύο ἐτῶν εἶναι, ὅτε ὁ Νέστωρ ἀνεῖλε τὸν καὶ ἐν τῇ γ' ῥαψῳδίᾳ κείμενον Ἐρευθαλίωνα, ὃς καθὰ τὸ κύριον ὁ Φοῖνιξ ἀπὸ τοῦ, ὡς εἰκός, πεφοινίχθαι τὴν ὄψιν χυμῷ φιλίῳ καλεῖσθαι δοκεῖ, οὕτω καὶ αὐτὸς ἀπὸ τοῦ ἐρεύθεσθαι, φυλαχθείσης τῆς ευ διφθόγγου, ὡς καὶ ἐν τῷ ἐρευθέδανον καὶ ἐνέρευθες, διὰ τὸ μὴ ἔχειν κακοφωνίαν. Ἔνθα γὰρ κακοφωνεῖται ἡ παραγωγή, ἐκεῖ ἐκτρέχει τὸ ε τῆς διφθόγγου, ὡς καὶ ἐν τῷ ἐρυθρόν. ἐρεύθω γὰρ ἐρευθερόν καὶ ἐν συγκοπῇ ἐρευθρόν καὶ ἀπελεύσει τοῦ ε δι' εὐφωνίαν ἐρυθρόν, ὁμοίως τῷ ψεύδω ψευδηρός, ψευδρός καὶ ψυδρός, ὡς τὸ «ψυδραῖσι φήμαις». [Καὶ ἄλλως δὲ εἰπεῖν, ἐκ μὲν τοῦ ἐρεύθω ἐνεστῶτος γίνεται τὰ εἰρημένα καὶ εἴ τι κατ' αὐτὰ φυλάττει τὴν ευ δίφθογγον, ἐκ δὲ τοῦ ἤρυθον δευτέρου ἀορίστου, ὁμοίου τῷ ἐλεύθω ἤλυθον, γίνεται καὶ τὸ ἐρυθηρόν καὶ ἐν συγκοπῇ ἐρυθρόν καὶ τὸ ἐξ αὐτοῦ κοινότερον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λεγόμενον ἐρυθρόδανον καὶ τὸ ἐρύθημα, ἤδη δὲ καὶ νῆσος Ὠκεανῖτις ἡ Ἐρύθεια, ἡ τοῦ Γηρυόνου, ὁμωνυμοῦσα μιᾷ τῶν μυθικῶν πολλῶν Ὠκεανίδων. Δῆλον δὲ καὶ ὅτι Ἐρευθίων ἐστὶ τὸ πρωτόθετον, ἡ δὲ αλ συλλαβὴ ἐπλεόνασε διὰ λειότητα φωνῆς, ὅπερ ἔν τε ὀνόμασι γίνεται τοῖς διὰ τοῦ αλεος καὶ ἐν τῷ μάσσω μαλάσσω καὶ στάζω σταλάζω.

2.427 ] (v. 137 s.) Ὅρα δὲ ὅτι καὶ τὸν Ἀρηΐθοον δὶς ὠνόμασεν ἐπαναληπτικῶς ἐν ἑνὶ τόπῳ διὰ τὸ ἔνδοξον τοῦ ἀνδρός, εἰπὼν ὁμοιοπτώτως, ὡς ἔθος, Ἀρηϊθόου ἄνακτος, δίου Ἀρηϊθόου. Τὸ δὲ «ἐπίκλησιν» παρὰ τοῖς ὕστερον συγκοπὲν τὸ ἐπίκλην ἐπίρρημα πεποίηκεν, ὃ δηλοῖ κλῆσίν τινα ἑτέραν ἐπὶ κυρίῳ ὀνόματι νόμῳ ἐπιθέτων. Ἐνταῦθα δὲ καὶ τρόπος ἐτυμολογίας ὑποφαίνεται ἐν τῷ «ἐπίκλησιν κίκλησκον». τὸ γὰρ καλεῖν ἐν ἀμφοτέραις ἐτυμολογικῶς παρηχεῖται ταῖς λέξεσιν. Ὁμοίου δὲ τρόπου καὶ τὸ «κορυνήτην ἐκάλουν ἄνδρες καὶ καλλίζωνοι γυναῖκες, διότι σιδηρᾶ κορύνῃ ῥήγνυσκε φάλαγγας». Ἐτυμολογία γὰρ ἐνταῦθα τοῦ κορυνήτου ἐστί. (v. 141) Κορύνη δέ, ἣν καὶ αὐτὴν δὶς ἔφη, ἐπιμείνας διὰ τὸ τῆς λέξεως καίριον, ἁπλῶς μὲν πᾶσα ῥάβδος κεφαλωτὴ παρὰ τὴν κάραν, ὅθεν καὶ ἡ κόρυς. Εἰ δὲ τὸ τοῦ ξύλου ἐξ ἄκρου παχὺ σιδηροῦν εἴη, τότε καὶ σιδηρείη κορύνη λέγεται ἀπὸ τοῦ κεφαλωτοῦ μέρους οὕτω κληθεῖσα, ὥσπερ καὶ ῥόπαλόν τι λέγεται ἀπὸ τοῦ ἄκρου μὴ ὀρθοῦ ὄντος, ἀλλὰ ῥέποντος. Οὕτω καὶ ἡ πολεμικὴ κάμαξ ἀπὸ ξύλου συγκειμένη καὶ σιδήρου δόρυ μὲν λέγεται διὰ τὸ ξύλον, αἰχμὴ δὲ διὰ τὸν σίδηρον. Ἰστέον δὲ ὡς οὐ δῆλον εἴτε ἡ κεφαλὴ τῆς ῥηθείσης κορύνης μόνη σιδηρᾶ ἦν, εἴτε καὶ ὅλην αὐτὴν σίδηρος συνεκρότει, ὥσπερ καὶ δόρυ τὸ μὲν αἰχμὴν μόνην εἶχε σιδηρᾶν, τὸ δὲ ὁλοσίδηρον ἦν κατὰ τὸ σίγυμνον, ἢ μᾶλλον σύγινον, περὶ οὗ προδεδήλωται. (v. 139) Τὸ δὲ «καλλίζωνοι» ταὐτόν ἐστι τῷ εὔζωνοι. τὸ μέντοι βαθύζωνοι ἑτεροῖόν ἐστι, τὸ δὲ καλλίπεπλοι περιττότερον τούτων ἐστί.

2.428 Περίπυστον δὲ δηλοῖ ἄνδρα, ὡς καὶ ἀλλαχοῦ εἴρηται, τὸ καὶ ἀνδράσι καὶ γυναιξὶ περιᾴδεσθαι. (v. 141) Τὸ δὲ «ῥήγνυσκε φάλαγγας» ἀφορμή ἐστι καὶ αὐτὸ συνθέτου ὀνόματος τοῦ ῥηξήνωρ, ὃς φάλαγγας ῥήγνυσιν ἀνδρῶν. (v. 142) Λυκοῦργος δὲ ὁ ἐνταῦθα ἕτερός ἐστι παρὰ τὸν προδηλωθέντα Θρᾷκα, τὸν τοῦ Διονύσου διώκτην. Τὸ δὲ «δόλῳ, οὔ τι κράτεΐ γε» περιττῶς διπλάζεται. δῆλον γὰρ ὡς ὁ δόλῳ ἀνελὼν οὐ κράτεϊ ἀναιρεῖ. (v. 143) Τὸ δὲ «στεινωπῷ ἐν ὁδῷ» ἐντελῶς εἴρηται. ὅτε μέντοι ἐρεῖ τις μόνον τὸ στεινωπῷ, οἷον· ἔπεφνεν ἐν στεινωπῷ ἤ· διέτριβεν ἐν στεινωπῷ, τηνικαῦτα ἐλλιπῶς λέγεται. (v. 144) Οὕτω δὲ καὶ τὸ μὲν «ἔχραισμεν ὄλεθρον» ἐντελὲς ἔοικεν εἶναι, τὸ δὲ «οὐκ ἄν σοι χραίσμῃ σκῆπτρον» καὶ τὰ ὅμοια, ἐλλιπῶς ἔχειν. Ὡσαύτως καὶ τὸ μὲν μῶλον Ἄρηος ἐντελές ἐστιν, ὡς καὶ ἀλλαχοῦ κεῖται, μῶλον δὲ ἁπλῶς εἰπεῖν τὸν πόλεμον ἐλλέλειπται. Λέγονται δὲ καὶ πόλεων στενωποὶ αἱ στεναὶ ἄμφοδοι διὰ τὸ ἐν αὐταῖς ἀποστενοῦσθαι τοὺς ὦπας εἰς τὸ βλέπειν. Ἀντίκειται δὲ πάντως τῷ στεινωπῷ τὸ εὐρωπόν, οὗ χρῆσις καὶ παρὰ Ὀππιανῷ εἰπόντι που εὐρωπὸν σπήλαιον τὸ πλατύ. Τὸ δὲ «ὅθι οὐ κορύνη ὄλεθρον ἔχραισμεν» οὐκ εὐτελίζων τὴν κορύνην ἔφη ὡς μὴ εὔχρηστον οὖσαν, ἀλλ’ ἁπλῶς καὶ νῦν αὐτὸ εἶπε τὸ πρᾶγμα, ὅτι δηλαδὴ τοῦ Λυκούργου ὑποφθάντος περονῆσαι τὸν Ἀρηΐθοον οὐκ ἐχρησίμευσεν αὐτῷ ἡ κορύνη. (v. 145) Τὸ δὲ περονῆσαι τὸ ῥᾴδιον δηλοῖ τῆς διελάσεως τοῦ δόρατος, ὡς ἐὰν περόνη διά τινος ἦλθεν ὀπῆς. Τοῦτο δὲ οὐ μόνον διαμπερὲς πλῆξαι, ἀλλὰ καὶ ἀντιτορῆσαι εἴποι τις ἂν λαβὼν ἀφορμὴν ἐξ ἑτέρου ῥήτορος, εἰ καὶ Ὅμηρος ἐν τοῖς μετὰ ταῦτά που ἐπὶ ἐκτρυπήσεως τοίχου τὴν ἀντιτόρησιν τίθησι.

2.429 Τὸ δὲ «ὕπτιος οὔδει ἐρείσθη» οὐ φεύγοντα δηλοῖ πεσεῖν τὸν κορυνήτην ἀλλ’ ἐξ ἀντιμετώπου μάχης. ἄλλως γὰρ πρηνὴς ἂν ἔπεσεν, εἰ ἔφευγεν. (v. 146) Ἄρης δὲ δοῦναι τὰ ὅπλα τῷ Ἀρηϊθόῳ λέγεται, ὡς καὶ τόξον ὁ Ἀπόλλων Πανδάρῳ ἢ Εὐρύτῳ. Χάλκεος δὲ Ἄρης, καθὰ καὶ ἀλλαχοῦ εἴρηται, ὡς καὶ Ἀφροδίτη χρυσῆ. (v. 147) Τὸ δὲ φορεῖν διφορεῖσθαι καὶ ἐνταῦθα δηλοῦται. Ἔστι γὰρ ἐνεστὼς αὐτοῦ φορῶ καὶ φοραίνω ἢ φόρημι, ἐξ οὗ τὸ φορῆναι. (v. 149) Ὅρα δὲ καὶ ὅτι οὐ συγγενεῖ οὐδὲ ἑταίρῳ, ἀλλὰ φίλῳ θεράποντι δέδοται φορεῖσθαι ἡ τοῦ δεσπότου πανοπλία.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προτιμητέοι γὰρ ἐν πολλοῖς καὶ οἱ ἀγαθοὶ θεράποντες. (v. 151) Τὸ δὲ «ἐδείδισαν» ἀπὸ τοῦ δεδίω ῥήματος γίνεται [δεδιπλασιασμένου. Τὸ γὰρ πρωτότυπον δίω, ἐξ οὗ καὶ διώκω. Χρῆσις δὲ αὐτοῦ καὶ ἐν τῷ «περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν», ἤγουν ἐδεδίει περὶ ταῖς ναυσί. Καὶ ἄλλως δέ, γίνεται τὸ ἐδείδισαν] ἀπὸ τοῦ ἐδεδίεσαν κατὰ συγκοπήν. Δῆλον δὲ ὡς διαφέρει τρέμειν καὶ δεδιέναι, εἴγε καὶ μὴ δεδιώς τις ὅμως τρομέει ποτὲ ῥιγῶν ἢ καὶ διὰ νόσον. [Ἰστέον δὲ ὅτι τὸ τρομέειν, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, γενόμενον ἀπὸ τοῦ τρέμω τρόμος τρομῶ, ὅμως οὐκ ἔσχεν ὀγκῶσαι τὴν ἄρχουσαν κατὰ τὸ τρέχω τρόχος τρωχῶ, καὶ στρέφω στρόφος στρωφῶ καὶ τὰ ὅμοια, ἀλλ' ἐφύλαξε τὴν γραφὴν τοῦ τρόμου δίχα μεγεθυσμοῦ. Καὶ ἴσως ἐποίησε τοῦτο διὰ τὸ μὴ δευτέρας εἶναι συζυγίας κατὰ τὸ τρωχῶ καὶ στρωφῶ καὶ ὅσα τοιαῦτα. Ἡ δ' αὐτὴ αἰτία τῆς τοῦ ο συστολῆς καὶ ἐν τῷ δέμω δόμος δομῶ δομήσω καὶ ἐν ἄλλοις δὲ ὁμοίοις.] (v. 151 s.) Τὸ δὲ «οἳ δὲ μάλ' ἐτρόμεον, οὐδέ τις ἔτλη, ἀλλ' ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμων πολεμίζειν» πρέπει ῥηθῆναι περὶ ἀνδρὸς θαρσαλέως μονομαχήσαντος.

2.430 Ἔνθα σημείωσαι ὅτι πολυτλήμων καὶ ὁ Νέστωρ, καθά που καὶ ὁ Ὀδυσσεύς, καὶ ὅτι τὸ «οὐδέ τις ἔτλη» τὸ ἐναντίον ἐστὶ τοῦ πολυτλήμων, καὶ ὅτι ἐν τούτοις πάνυ σεμνύνει ὁ Νέστωρ ἑαυτόν. Εἰ γὰρ ἀγεννὲς τό· οὐ τέτληκέ ποτε θυμῷ πόλεμον ὁ βασιλεύς, κατὰ τὸν τοῦ Ἀχιλλέως λόγον, γενναῖος ἄρα ὁ καὶ ἐν ἀταλῇ ἡλικίᾳ [καὶ οὕτως ἀτελεῖ] πολυτλήμων. Ἐνταῦθα δὲ ὅρα καὶ τὸ «οὐδέ τις ἔτλη» ἐλλιπῶς λεχθέν. λείπει γὰρ τὸ πολεμίζειν. Ἴσως δὲ καὶ καθ' ὑπερβατὸν αὐτὸ νοεῖται ἀπὸ κοινοῦ. Ἐπάγει γὰρ «ἀλλ' ἐμὲ θυμὸς ἀνῆκε πολυτλήμων πολεμίζειν», ἔνθα τὸ πολυτλήμων ἀντίκειται πρὸς τὸ «οὐδέ τις ἔτλη». (v. 152 s.) Τὸ δὲ «πολεμίζειν θάρσει ᾧ», τουτέστιν ἰδίῳ, ταὐτόν ἐστι περιφραστικῷ νοήματι τῷ πεισθῆναί τινα ἑῷ αὐτοῦ θυμῷ τολμήεντι παρακινδυνεῦσαι εἰς ἔργον, ὅπερ ἐν τοῖς ἑξῆς που ὁ γέρων ἐρεῖ. (v. 154) Ἐν δὲ τῷ «μαχόμην οἱ ἐγώ» κατ' ἐξοχήν τινα εἴρηται τὸ ἐγώ, ὥς που καὶ τὸ αὐτός. οὕτω δέ ποτε καὶ τὸ ἐκεῖνος. Ἴσως δὲ καὶ θαῦμα ἡ λέξις δηλοῖ, εἴπερ νεώτατος ὢν ὁ Νέστωρ οὕτως ἐν ἥβῃ ἐθάρσει. Ἄλλως μέντοι περιττῶς κεῖται. ἤρκει γὰρ εἰς τελείαν ἔννοιαν καὶ μόνον τὸ ἐμαχόμην δίχα τοῦ ἐγώ. Τοιοῦτον καὶ ἀλλαχοῦ τὸ «καὶ μαχόμην κατ' ἔμ' αὐτὸν ἐγώ». (v. 154) Τὸ δὲ «δῶκε δέ μοι εὖχος Ἀθήνη» ταὐτὸν δ' εἰπεῖν φρόνησις, καθυποφαίνει διὰ συνέσεως περιέργου τινὸς περιγενέσθαι τοῦ Ἐρευθαλίωνος Νέστορα τὸν νεώτατον. (v. 156) Τὸ δὲ «πολλὸς γάρ τις ἔκειτο παρήορος ἔνθα καὶ ἔνθα» ἐπὶ μεγαλοσωμάτων καὶ ἐκλύτων ῥηθήσεται. Δηλοῖ δὲ τὸ μὲν ἔνθα καὶ ἔνθα τὸ εἰς μῆκος καὶ εἰς πλάτος. Τὸ δὲ παρήορος ἀντὶ τοῦ παρηρτημένος, ὅ ἐστι κεχυμένος ὧδε καὶ ἐκεῖ, ἔκλυτος, χαῦνος, καὶ οὕτω πολὺν ἐπέχων τόπον τῷ σώματι. Εἴληπται δὲ ἡ λέξις ἐκ μεταφορᾶς τοῦ παρηόρου ἵππου, περὶ οὗ ἀλλαχοῦ ῥηθήσεται. Τέως δ' οὖν δῆλον ὡς ὁμωνύμως οὐ μόνον ἵππος παρήορος, ἀλλ' ἰδοὺ καὶ ἄνθρωπος ὁ κατὰ τὸν Ἐρευθαλίωνα μετὰ τὸ πεσεῖν κείμενος οὐκ ἐν συνοχῇ τινι καὶ συστολῇ, ἀλλὰ πάρετος, ἐκτεταμένος, κατὰ τὸν εἰπόντα Τραγικὸν τὸ «ἓν γὰρ ἐκτενεῖ ς' ἔπος», ἤγουν εἷς λόγος ἐκτάδην ῥίψει.

2.431 [Ὁ δέ γε παρὰ τῷ Θεοκρίτῳ «πάραρος» ἑτεροῖός ἐστι παρὰ τὸν παρήορον, ὁποῖος ἂν καὶ λαμβάνοιτο. Δηλοῖ γὰρ τὸν μὴ φρενήρη, ταὐτὸν δ' εἰπεῖν, εὖ ἀρηρότα κατὰ νοῦν, ἀλλὰ ψευδόμενον τὴν νοερὰν ἁρμονίαν καὶ παρατετραμμένον τοῦ οὕτως ἀρηρέναι.] Πρωτότυπον δέ ἐστιν ὁ πολλὸς τοῦ πολλόν ἐπιρρήματος, γενομένου ἐκ τῆς τούτου ἑνικῆς αἰτιατικῆς. Διὸ καὶ ἐν δυσὶ λ γράφεται καὶ αὐτό, καθὰ καὶ αἱ πᾶσαι πλάγιοι τοῦ πολλός, ἀνάπαλιν ἤπερ ἐπὶ τοῦ ὁ πολύς καὶ τῶν ἐξ αὐτοῦ. [Σημείωσαι δὲ ὅτι πάνυ καίριον τε καὶ ἀστεῖον ἐνταῦθα τὸ πολλός. Δηλοῦται γὰρ δι' αὐτοῦ διωρισμένου ποσοῦ ὄντος, εἴτ' οὖν διεχοῦς, οὐ μὴν συνεχοῦς, τὸ μὴ ἂν δοκεῖν τὸν Ἐρευθαλίωνα ἕν τι σῶμα εἶναι συνεχές, ἀλλ' ὡς οἷον διεσπάρθαι ὧδε καὶ ἐκεῖ τῇ παρέσει τῶν μελῶν τοῦ τοσούτου σώματος. ᾧ ἐναντίος ὁ κατὰ τὸν Κύκλωπα ὀλίγος Ὀδυσσεύς.] (v. 157) Ἐν δὲ τῷ «ἡβώοιμι» σημειοῦνται οἱ παλαιοὶ ἔφεσιν ταύτην ἀνθρωπίνην εἶναι, τὸν ἡβῶντα μὲν εἰς γῆρας ἐλάσαι, τὸν δὲ γέροντα εἰς ἡβῶντα ἐπανακάμψαι. Γίνεται δὲ τὸ μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡβῷμι ἐκ τοῦ ἡβῶ δισυλλάβου ῥήματος, τὸ δὲ ἡβώοιμι ἐκ τοῦ ἡβώω τρισυλλάβου. Τὸ δὲ «βίη δέ μοι ἔμπεδος εἴη» τοῦ ἡβώοιμι ἔχεται, ὡς τῆς ἀνδρικῆς ἥβης ἐχούσης τὴν ἔμπεδον βίην, οὐ μὴν τῆς ἁπλῶς ἥβης. (v. 158) Τὸ δὲ «ἀντήσειε μάχης» εἴρηται συνήθως ἀντὶ τοῦ ἐπιτύχῃ, ἄντην γένηται, καιριώτερον δὲ εἰπεῖν, ἀντίον ἔλθοι, ὡς εὐθὺς μετὰ βραχέα φανεῖται. Τοιοῦτον σὺν ἄλλοις καὶ τὸ «οὐ γὰρ ἔγωγε ἤντησα οὐδὲ ἴδον». (v. 159 s.) Ἐν δὲ τῷ «ὑμῶν οἵ περ ἔασιν ἀριστῆες, οὐδὲ αὐτοὶ προφρονέως μέματε ἀντιστῆναι» καινότης ἐστὶ σχήματος.

2.432 Ἢ γὰρ κατὰ τὸ ἔασιν ὤφειλεν εἶναι καὶ τὸ μεμάασιν ἐν τρίτῳ προσώπῳ πληθυντικῷ, ἢ κατὰ τὸ μέματε δεύτερον πληθυντικὸν ὤφειλεν εἶναι καὶ τὸ «οἵ ἐστε ἀριστεῖς». Ἐσχημάτισε δὲ οὕτως ὁ γέρων οὐ μόνον διὰ καινοτροπίαν ἐπιστρέφουσαν ἀσφαλῶς τὸν ἀκροατήν, ἀλλὰ καὶ δι' εὐχρηστίαν μέτρου, καὶ ἄλλως δὲ διὰ κρᾶμα τραχύτητος καὶ ἐπιεικείας. Σφοδρὸν μὲν γὰρ τὸ «οὐ μέματε», ἤγουν οὐ προθυμεῖσθε εἰς μονομαχίαν, οἷα ἐν σχήματι ἀποστροφῆς λεχθὲν κατὰ προσώπων ἡρωϊκῶν, λειότερον δὲ τὸ «οἵ περ ἔασι» καὶ οὐ κατὰ τὸ «οἵ περ ἐστέ». αὐτὸ γὰρ σφοδρῶς ἂν οὕτως ἐρρέθη. Τὸ δὲ ἀντίον ἐλθεῖν ταὐτόν ἐστι τῷ ἀντῆσαι, ὃ ἀνωτέρω εἴρηται. (v. 161—9) Ὅτι μέγα τι ἔδρασεν ἐν τοῖς ἄρτι οὐ μόνον ἡ προρρηθεῖσα σφοδρὰ τοῦ Μενελάου ἐπιφορὰ κατὰ τῶν ἀριστέων καὶ ἡ τοῦ βασιλέως μετ' αὐτὸν ἀμυδρὰ κολακεία ἐπὶ τοῖς αὐτοῖς, ἀλλὰ καὶ μάλιστα ὁ Νέστορος ἐρεθισμός, ὅτι μηδὲ ἔστιν ἀγαθὴν παραίνεσιν ἀπρακτῆσαί ποτε παρὰ τῷ ποιητῇ, ἀλλ' ἅμα ἐκείνη ἅμα ἔργον, καθὰ δηλοῖ καὶ νῦν τὸ «ὣς νείκεσ' ὁ γέρων, οἳ δ' ἐννέα πάντες ἀνέσταν. ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Ἀγαμέμνων, τῷ δ' ἔπι Τυδείδης ὦρτο κρατερὸς Διομήδης, τοῖσι δ' ἔπ' Αἴαντες θοῦριν ἐπιειμένοι ἀλκήν, τοῖσι δ' ἔπ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδρεϊφόντῃ, τοῖσι δ' ἔπ' Εὐρύπυλος Εὐαίμονος ἀγλαὸς υἱός, ἂν δὲ Θόας Ἀνδραιμονίδης καὶ δῖος Ὀδυσσεύς. πάντες ἄρ οἵ δ' ἔθελον πολεμίζειν Ἕκτορι δίῳ». Ἔνθα καὶ σημείωσαι τίνας ὁ ποιητὴς τῶν ἡγεμόνων κρίνει μετὰ τὸν Ἀχιλλέα ἐν Ἕλλησιν ἀριστεῖς, καὶ ὅτι κἀνταῦθα τῷ ἐννέα ἀριθμῷ συνήθως ἐχρήσατο, ὃν διὰ τὰς Μούσας φιλεῖ. τῶν δὲ ἐννέα ὑπερεξαίρει τρεῖς μόνους, ὡς μετ' ὀλίγα εἰρήσεται.

2.433 Οὕτως ἡ τοῦ Νέστορος συμβουλὴ καὶ τὸ τῆς παλαιᾶς ἀριστείας διήγημα ἠρέθισεν ἀναστῆναι τοὺς οἵους τε ὄντας Ἕκτορι ἀντιμάχεσθαι, ὡς εἶναι καὶ νῦν ἀληθῆ τὴν λέγουσαν παροιμίαν, ὡς βουλὴ μὲν ἄρχει, χεὶρ δ' ἐπεξεργάζεται. Σημείωσαι δὲ καὶ ὅτι τῶν ἐννέα ἀριστέων τούτων ἕνα μόνον τὸν Ἰδομενέα ψιλῶς ἐκφέρει, ὡς προέκκειται, καὶ ἕτερον μετὰ πατρωνυμίας τὸν Ἀνδραιμονίδην Θόαντα, τοὺς δὲ λοιποὺς μετὰ καί τινων ἐπαίνων φράζει, ὡς προσεχῶς γέγραπται, ποικίλος καὶ ἐνταῦθα ὤν. Ὅρα δὲ ὅτι τε τὸ πάντες κατὰ παρολκὴν καὶ νῦν συνήθως κεῖται ἐν τῷ «ἐννέα πάντες ἀνέσταν», καὶ ὅτι καιρία λέξις ὡς ἐν ποιήσει τὸ ὦρτο, διὸ καὶ δὶς ἐνταῦθα ἐτέθη, καὶ ὅτι τὸ «τοῖσι» κατὰ σχῆμα κάλλους ἐν στίχοις προκατάρχει τρισί, καὶ ὅτι τὸ «ἐπιειμένοι ἀλκήν» ὁμοίως ἐσχημάτισται τῷ «ἀναιδείην ἐπιειμένος», περὶ οὗ ἐν τῇ α' ῥαψῳδίᾳ εἴρηται. (v. 166) Ἐνυάλιος δὲ κατὰ μὲν τοὺς πλείους ὁ πολεμικός, ἀπὸ τῆς Ἐνυοῦς. Τινὲς δὲ ὥσπερ τὴν Παλλάδα διὰ φόνον τοῦ Πάλλαντος, οὕτω καὶ τὸν Ἐνυάλιον διά τι τοιοῦτον κεκλῆσθαί φασιν. Ἀρριανὸς γοῦν ἱστορεῖ, ὅτι ἐλθὼν Ἄρης εἰς τὰ τῆς Θρᾴκης χωρία, ὅπου τὰ οἰκία ἦν τῷ Ἐνυαλίῳ, ἤθελε ξενισθῆναι. ὁ δὲ οὐκ ἤθελε δέχεσθαι, φάμενος οὐκ ἂν ξενίσαι ἄλλον ἢ ὃς κρείσσων αὐτοῦ τὰ πολέμια ἔλθοι. καὶ ὃς «ὥρα σοι ξενίζειν ἐμέ, καθότι κρείσσων σοῦ φημι τὰ πολέμια εἶναι». Τοῦ δὲ Ἐνυαλίου ἀποφάσκοντος ἔρχεται εἰς χεῖρας καὶ ἐπὶ πολὺ τῆς μάχης ἐκταθείσης τέλος ὁ Ἐνυάλιος πίπτει ὑπὸ τῷ Ἄρεϊ, πληγεὶς ὅπλῳ τῇ ῥομφαίᾳ. Διὸ καθότι μέγα τοῦτο ἆθλον ὁ Ἄρης νέος ὢν ἐξετέλεσεν, ἐκαλεῖτο ἐπ' αὐτῷ Ἐνυάλιος. Τὸ δὲ ἀνδριφόντης διφορεῖται, ὡς ἐν ἄλλοις ἐστὶ δῆλον. Σημείωσαι δὲ ὅτι τὸ ἀνδριφόντης ἐστὶ μὲν ταὐτὸν τῷ βροτολοιγός καὶ ἀνδροφόνος, ἀποκεκλήρωται δὲ εἰς ὄνομα τῷ Ἄρει. Τὸ μέντοι ἀνδροφόνος ἀνθρώπινον, εἴγε καὶ ὁ Ἕκτωρ ἀνδροφόνος που λέγεται. (v. 162) Ὅρα δὲ καὶ ὅπως τὸν βασιλέα σεμνύνει ὁ ποιητὴς οὐχ' ἁπλῶς εἰπών, ὅτι πρῶτος ὦρτο, ἀλλὰ πολὺ πρῶτος. καὶ

ἔχει ὁ βασιλεὺς τοῦτο τῶν ἄλλων σεμνότερον, εἰ καὶ ὁ Αἴας κρείττων ἐστὶν ἄλλως αὐτοῦ, ὡς φανήσεται. Εἰκότως δὲ προανίσταται, ἵνα μὴ φιλοψυχεῖν δόξῃ ὁ τὸν ἀδελφὸν ἤδη κωλύσας τοῦ μονομαχῆσαι, καί ποθεν ἀκούσῃ ὡς, εἴπερ οἱ βασιλεῖς ἀπόμαχοι φιλοῦσιν εἶναι, τί δὴ τοὺς ἄλλους εἰς κίνδυνον παραβάλλονται.

2.434 Καὶ δοκεῖ μεμελετῆσθαι ἤδη τὸ τοιοῦτον θάρσος τῷ βασιλεῖ. Φάμενος γὰρ πρὸ βραχέων ἀναστήσεσθαί τινα πρόμαχον ἀξιόλογον τῷ Ἕκτορι αὐτὸς ἄρτι πρῶτος εἰς ἔργον ἀναπηδᾷ, ὡς οὕτω κατὰ ζῆλον ἐπαινετὸν καὶ ἄλλους ἐποτρυνθῆναι πεισθέντας ἑῷ θυμῷ τολμήεντι, καθά που καὶ ἐν τοῖς ἑξῆς ὁ γέρων Νέστωρ τοῦ βασιλέως Μενελάου νύκτωρ προεξαναστάντος καὶ πονουμένου φησίν· οὕτως οὔτις οἱ ἀπιθήσει Ἀργείων, ὅτε κέν τινα ἐποτρύνῃ καὶ ἀνώγῃ. Τὸ δὲ «πολὺ πρῶτος» μὴ συναναστῆναί τινι τὸν βασιλέα δηλοῖ, ἀλλὰ τῶν ἄλλων τοῦδέ τινος πρὸ τοῦδε ἀνισταμένων αὐτὸν πολὺ πρῶτον ἀναπηδῆσαι. (v. 169) Τὸ δὲ «ἤθελον πολεμίζειν Ἕκτορι» ἢ τὸ ἐβούλοντο δηλοῖ κοινότερον, ἢ ἀντὶ τοῦ ἠδύναντο εἴληπται. πολλάκις γὰρ καὶ ἐπὶ τοιούτου σημαινομένου ἡ λέξις λαμβάνεται, ὡς καὶ ἐν τῷ «οὐδέ τις ἤθελεν ὁμοιωθῆναι τῷ Ὀδυσσεῖ», καὶ «οὐδ᾽ ἔθελε προρρέειν», ὁ ποταμὸς δηλαδή. (v. 171—4) Ὅτι βούλεται ὁ Νέστωρ τοὺς ῥηθέντας ἐννέα προμάχους κλήρῳ λαχεῖν εἰπὼν «κλήρῳ νῦν πεπάλαχθε διαμπερές, ὅς κε λάχῃσιν. οὗτος γὰρ δὴ ὀνήσει Ἀχαιούς, καὶ δ᾽ αὐτὸς ὃν θυμὸν ὀνήσεται, αἴ κε φύγῃσι δηΐου ἐκ πολέμου καὶ αἰνῆς δηϊοτῆτος». Δῆλον δὲ ὅτι ὀνήσει τοὺς Ἀχαιοὺς ὁ τοιοῦτος τιμήσας αὐτοὺς καὶ τῷ αὐτῷ αὖθις ὀνηθήσεται τιμηθεὶς οἷα νικητής. Καὶ ἄλλως δὲ κατὰ τὸν λόγον τοῦ Νέστορος ὀνηθήσεται τὴν ἰδίαν ψυχήν, ὡς περισωσάμενος ἑαυτὸν καὶ γέρας οἷον τοῦτο σχὼν πολυτίμητον. (v. 171) Σημείωσαι δὲ ὅπως τῇ τύχῃ ἐπιρρίπτει τὴν τοῦ ἀρίστου ἐπιλογὴν ὁ συνετώτατος καὶ οὐκ αὐτὸς ἐπικρίνει, οὐ μόνον ἵνα μὴ λυπήσῃ τοὺς λοιποὺς ἕνα τινὰ ἐπιλεξάμενος, ἀλλὰ καὶ ὅτι πάντας ἀξιομάχους οἶδε πρὸς Ἕκτορα. Διὸ σεμνότερόν τι καὶ ἐνδοξότερον ποιῶν τῇ τύχῃ ἐπιτρέπει τὴν ἐπίκρισιν, εὖ εἰδὼς ὡς ὁποῖος ἂν ἐκπεσεῖται πρῶτος τῷ κλήρῳ, ἀξιόλογος ἂν ἐκβαίη ἀντίμαχος τῷ Ἕκτορι. Τὴν δὲ ῥηθεῖσαν αἰτίαν τοῦ κλήρου ἀναπτύσσει που καὶ ὁ Ἀρριανὸς λέγων περί τινος, ὅτι εἰς κλῆρον τοὺς δεῖνα καθίστασθαι ἐδικαίου, οὐ θέλων ὡς γέρας αὐτὸ τῷ ἑτέρῳ ἀπονείμασθαι, οὐδὲ ἀτιμῶσαι τὸν οὐ προκριθέντα εἰς μάχην.

2.435 Ἰστέον δὲ ὅτι παλάσσειν οὐ μόνον, ὡς πολλαχοῦ φαίνεται, τὸ μολύνειν, ἀλλὰ καὶ τὸ κληροῦσθαι καὶ λαγχάνειν, ὡς δῆλον ἐκ τοῦ «κλήρῳ πεπάλαχθε». Παράγεται δὲ ἀπὸ τοῦ πάλλω, τὸ κινῶ, ἐξ οὗ καὶ πάλος ὁ κλῆρος, ὅθεν ἀντίπαλος ὁ κατὰ πάλον ἐναντίος ἢ καὶ ἰσοπαλής, ὡς προδεδήλωται, καὶ κατὰ πάλον ἶσος, καὶ παλτὸν εἶδός τι ὅπλου, ἐξ οὗ καὶ ὁ παρὰ Σοφοκλεῖ δίπαλτος φονεύς [καὶ παλτὸν πῦρ, τὸ κεραύνιον, ἐκ τοῦ πάλλω δὲ καὶ τὸ παρὰ Πινδάρῳ δυσπαλές, καὶ ἄλλα οὐκ ὀλίγα.] Κλῆρος δὲ λέγεται νῦν μὲν ἀπὸ τοῦ καλεῖν τινα εἰς ἔριν πολέμου, ἄλλως δὲ ἁπλῶς ἐν τῷ καθόλου ἀπὸ τοῦ καλεῖν τινα εἰς προκείμενον ἔργον ἢ πρᾶγμα. ὡς δὲ καὶ ἀπὸ κάλου, ὅ ἐστι ξύλου, παράγεσθαι ὁ κλῆρος λέγεται, προγέγραπται καὶ αὐτό. Οὐκ ἔχει δὲ καιριωτέραν τοῦ κλήρου λέξιν ὁ ποιητής, διὸ πεντάκις ἐνταῦθα λέγει αὐτὴν «κλήρῳ νῦν πεπάλαχθε», καὶ «κλῆρον ἐσημήναντο ἕκαστος», καὶ «ἐκ δ᾽ ἔθορε κλῆρος Αἴαντος», καὶ «γνῶ δὲ κλήρου σῆμα ἰδών», καὶ «ὦ φίλοι, ἤτοι κλῆρος ἐμός». Καὶ ἡ τοῦ λαχεῖν δὲ λέξις δὶς ἐνταῦθα λέγεται διὰ τὸ καίριον, εἰωθυῖα λέγεσθαι ἐπὶ τῶν ἀπὸ τοιούτου κλήρου ἐρχομένων τινί. Παρὰ μέντοι τοῖς ὕστερον καὶ ἀπὸ ψήφου λαχεῖν τις ἐλέγετό τι. Ἰστέον δὲ καὶ ὅτι τὸ λαχεῖν ἀποτέλεσμα ἐστι τοῦ κληροῦσθαι, ὡς δηλοῖ τὸ «κλήρῳ νῦν πεπάλαχθε, ὅς κε λάχῃσι», τουτέστι κληρώσασθε, ὅ ἐστι κλήρους βάλετε, τίς ἂν λάχῃ πρῶτος δηλαδὴ ἀντιστῆναι τῷ Ἕκτορι. Ἄλλως μέντοι καὶ εἰς ἶσον ἔρχεταί ποτε τὸ κληροῦσθαι καὶ τὸ λαγχάνειν, [ἐφ᾽ οἵου ἄν τις ἐρεῖ σημαινομένου αὐτά, εἴτε ἐπὶ τοῦ πάλαι κατὰ τὸν ἱστορούμενον λαχμόν, εἴτε ἐπὶ τοῦ

παρὰ τοῖς ὕστερον καθ’ ἑτεροῖον εἱρμὸν ἀκολουθίας.] Ὄνομα δὲ τοῦ λαχεῖν οὐ μόνον τὸ λάχος, ἀλλὰ καὶ τὸ λαχμητήριον καὶ ὁ λαχμός.

2.436 Λαχμὸς δὲ οὗτος ἑτεροῖος τοῦ ἐν Ὀδυσσείᾳ. ἐκεῖνος γὰρ δάσος ἐρίων δηλοῖ, ᾧ δάσει ἀνάπαλιν ἡ λάχνη ἔχει. [Ἀπὸ δέ γε τοῦ κλήρου γίνεται οὐ μόνον ἡ κληρονομία, κλήρου δίκην καθήκουσά τινι ὡς λάχος, ἀλλὰ καὶ ἡ παροιμιώδης ἀποκλήρωσις, τύπωμά τι οὖσα ψυχῆς νοερᾶς, καθ’ ὃ φαμὲν τὸ «τίς ἡ ἀποκλήρωσις τοῦ τόδε τι εἰπεῖν». Ὁ κλῆρος δὲ παράγει καὶ τὰς παρὰ Ἀττικοῖς ἐπικλήρους. Ἐλέγετο δὲ ἐπίκληρος οὐ μόνον ἡ ἐκδοθεῖσά τινι πρὸς γάμον, ὡς μετ’ οὐ πολλὰ δηλωθήσεται, ἀλλὰ καὶ ἡ παρὰ τῷ πατρὶ μὲν ἔτι οὖσα, ἐλπιζομένη δὲ καθήκειν αὐτῇ πᾶσαν τὴν πατρόθεν οὐσίαν. ἐκαλοῦντο δὲ οὕτω, κἂν δύο ἦσαν ἢ καὶ πλείονες. Ἡ δὲ ἐπίκληρος, φασί, καὶ μάνδα πρός τινων ἐκαλεῖτο, ὑπ’ ἐνίων δὲ πατροῦχος. Ἔτι ἐκ τοῦ Ὁμηρικοῦ κλήρου ἔλαχε τοῖς ὕστερον τροπικώτερον καὶ ἡ σύνθεσις τῆς κληρουχίας καὶ τῆς ὁλοκληρίας καὶ τῶν ὁμοίων.

2.437 ] Τὸ δὲ διαμπερές ἀντὶ τοῦ διὰ πάντων τῶν ἐννέα. διὸ ἐπάγει «οἳ δὲ κλῆρον ἐσημήναντο ἕκαστος». (v. 174) Ὁ δὲ δήϊος πόλεμος καὶ ἡ αἰνὴ δηϊοτής, ὡς καὶ προείρηται, ταὐτὸ σημαίνουσι. (v. 189) Κλήρου δὲ σῆμα ἢ περιφραστικῶς τὸν κλῆρον λέγει ἢ κλῆρον μὲν τὸ σῶμα τὸ διδόμενον πάλλεσθαι, σῆμα δὲ τὸ ἐν αὐτῷ τυπωθὲν σημεῖον. Διό φησι «κλῆρον ἐσημήναντο ἕκαστος». Οὐ γράμματα δὲ νοητέον ἐξ ἀνάγκης τὰ τοιαῦτα σήματα, εἴδωλα δέ τινα, ἢ ἁπλῶς ἐκτυπώματα ἐν ὑποκειμένῳ εὐτελεῖ λιθιδίῳ τυχὸν ἢ ξυληφίῳ ἢ τοιούτῳ τινί. Αἴας οὖν τὸν αὑτοῦ κλῆρον ἐν τοῖς ἑξῆς ἐκ τοῦ κήρυκος λαβών, ὃν αὐτὸς ἐπιγράψας κυνέῃ ἔβαλε, παρὰ πόδα χαμάδις ἔρριψεν ὡς εὐτελῆ τινα ὄντα. Ζητητέον δ’ ἐνταῦθα καὶ τὸν παρὰ Σοφοκλεῖ δραπέτην κλῆρον, ὃς εὐτελὴς ἦν καὶ αὐτός. Ὅτι δὲ γράψαι μὲν λέγει ὁ ποιητής, γράμμα δὲ οὔ, ἀλλ’ ἀντ’ αὐτοῦ τὸ σῆμα, προγέγραπται. (v. 176) Ὅτι ἕκαστος τῶν ῥηθέντων ἀριστέων κλῆρον, καθὰ ἐρρέθη, ἐνσημηνάμενοι ἐνέβαλον τῇ τοῦ βασιλέως κυνέῃ. Καὶ ὅρα ὅτι παλλόμενόν τι σῶμα ἐνσεσημασμένον ὁ κλῆρος ἦν. (v. 177—180) Ὅτι παλλομένων τῶν κλήρων εὔξαντο Ἀχαιοί. Φησὶ γὰρ «λαοὶ δ’ ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνέσχον. ὧδε δέ τις εἴπεσκεν ἰδὼν εἰς οὐρανὸν εὐρύν· Ζεῦ πάτερ, ἢ Αἴαντα λαχεῖν ἢ Τυδέος υἱὸν ἢ αὐτὸν βασιλῆα πολυχρύσοιο Μυκήνης». Καὶ ὅρα τίνας ἐπικρίνει ὁ ποιητὴς κρείττους εἶναι τῶν ἐννέα παρ’ Ἕλλησιν ἀριστέων, καὶ ὅτι ἐν τῇ ἀπαριθμήσει προτάξας τὸν βασιλέα ὡς προεξαναστάντα, ὅμως ἐν τῇ τῶν Ἑλλήνων εὐχῇ καὶ τῇ τῶν ἀρίστων ἐπιλογῇ προτάττει μὲν τὸν Αἴαντα, ὕστερον δὲ τάσσει τὸν βασιλέα, καὶ ὅτι εἰς οὐρανὸν ὁρῶντες Ἕλληνες εὔχονται, ἔνθα ἱδρῦσθαι τὸ θεῖον δοκεῖ, καὶ ὅτι τὸ εὐξάμενον μέρος κἀνταῦθα εὐτυχεῖ, καὶ ὅτι τὸ «θεοῖσι δέ» διαιρεθὲν γράφεται καὶ οὕτως «ἠρήσαντο θεοῖς», εἶτα «ἰδὲ χεῖρας ἀνέσχον», τουτέστιν ἀνέτειναν εἰς ἐκείνους, ὃ δὴ παρακολούθημά ἐστιν εὐχῆς ὡς οἷον ἐχομένων τοῦ θείου τῶν εὐχομένων—Διὸ καὶ δοκεῖ παρὰ τὸ τοῦ εὖ ἔχεσθαι συντεθεῖσθαι ἡ εὐχή—, ἢ καὶ ὡς προκαλουμένων τὴν ἐκεῖθεν ἀντοχήν.

2.438 Τὸ δὲ σχῆμα κἀνταῦθα τῆς εὐχῆς Ἀττικῶς ἤπεικται κατὰ ἔλλειψιν. Λείπει γὰρ τὸ δός, ἵνα λέγῃ ὅτι δὸς τὸν δεῖνα ἢ τὸν δεῖνα λαχεῖν. Παρακατιὼν οὖν φησιν ἐντελέστερον «δὸς νίκην Αἴαντι καὶ ἀγλαὸν εὖχος ἀρέσθαι». (v. 180) Βασιλεὺς δὲ Μυκήνης ὁ Ἀγαμέμνων, ὡς Ἄργους ὁ Διομήδης καὶ Νέστωρ Πύλου καὶ Σπάρτης Μενέλαος καὶ ἄλλος ἄλλου τόπου. Εἰ δ’ ἐν ἄλλοις εὐρυκρείων ὁ αὐτός, ῥητέον ὡς ἑνὶ μὲν τόπῳ ἦν ἐνδιαιτώμενος, τῶν δὲ ἄλλων ψυχῇ δεσπόζων, ὡς διὰ μὲν τὴν Μυκήνην βασιλεὺς λέγεσθαι ἁπλῶς καὶ αὐτός, διὰ δὲ τοὺς ἄλλους εὐρυκρείων. Τισὶ δὲ ἀρέσκει αἱρετὸν εὐρυκρείοντα τὸν Ἀγαμέμνονα χειροτονηθῆναι τοῖς Ἀχαιοῖς ἐν μόνῳ τῷ Ἰλιακῷ πολέμῳ, [καθά που καὶ Εὐριπίδης ἱστορῶν σαφῶς εὕρηται.], ἄλλως δέ γε μικροβασιλέα εἶναι καὶ αὐτὸν καὶ οὐ βασιλέα βασιλέων. Διὸ καὶ ἐν τῇ δʹ ῥαψῳδίᾳ φησὶ τοὺς Ἀχαιοὺς αὐτίκα μνήσεσθαι νόστου, εἰ πέσοι Μενέλαος, ὡς οὕτω συντεθὲν αὐτοῖς καὶ μηκέτι ἀνάγκης οὔσης παραμένειν. Καὶ Διομήδης δέ που ἐρεῖ, κἂν πάντες Ἀχαιοὶ ἀπονοστήσωσι, μόνος αὐτὸς Σθένελός τε παραμενεῖν καὶ πολεμήσειν, ὡς μὴ ἀνάγκην ἔχοντες

συναπονοστεῖν. Καὶ τῷ Ἀχιλλεῖ δὲ ἐξῆν εἰπεῖν «ἄπειμι Φθίηνδε», ἤδη δὲ καὶ τῷ Πατρόκλῳ. τάχα γὰρ ἦν καὶ αὐτῶν ἑκάστῳ λέγειν, ὡς οὐκ οἶδα δεσπότας κεκτημένος, τοὺς Ἀτρεΐδας δηλαδή. Πολύχρυσον δὲ τὴν Μυκήνην λέγει ἢ ὡς τοιαύτην ἀληθῶς οὖσαν διὰ τὸν ἐν αὐτῇ εὐρυκρείοντα— δεῖ γὰρ ὄντως χρημάτων τῷ εὐρυκρείοντι, εἴπερ τινὶ ἄλλῳ—ἢ κατὰ τοὺς νεωτέρους πολύχρυσος λέγεται, ὡς εἴ τις εἴποι πολύφθορος, οἷα τοῦ χρυσοῦ βιοφθόρου ῥηθέντος παρά τινων. τοῦτο δὲ διὰ τὰς ἐν αὐτῇ δυσπραγίας τῶν ἀρχόντων, τοῦ τε Ἀτρέως καὶ τοῦ Θυέστου καὶ τῶν μετ' αὐτούς, περὶ ὧν Σοφοκλῆς ἔφη τὸ «πολύφθορόν τε δῶμα Πελοπιδῶν τόδε». Ὅτι δὲ Μυκήνη ἡ πόλις καλεῖται ἢ ἀπὸ γυναικὸς ἡρωΐδος ἢ διὰ τὸν μύκητα τῆς λαβῆς τοῦ ξίφους τοῦ Βελλεροφόντου, καὶ ὅτι πάλαι ποτὲ λαμπρὰ οὖσα ὕστερον ἐξήλειπται καὶ ἐν ὀνόματι μόνῳ κεῖται, γέγραπται καὶ ἀλλαχοῦ. Τὸ δὲ «ἢ αὐτὸν βασιλῆα» ἐξοχικῶς ἐρρέθη, σεμνύνοντος οὕτω τοῦ ποιητοῦ τὸν βασιλέα καί πως ἐξαίροντος τὸ ταπεινὸν τοῦ τρίτον αὐτὸν ταχθῆναι μετὰ τὸν Αἴαντα καὶ τὸν Διομήδην.

2.439 Ὅρα δὲ καὶ ἐνταῦθα τὸ σύντομον τῆς ὀχλικῆς ἠθοποιΐας. δυσὶ γὰρ ἔπεσιν ἡ τοῦ ὁμίλου εὐχὴ περιγέγραπται. Καὶ εἴωθεν οὕτω ποιεῖν Ὅμηρος πανταχοῦ ἐν ταῖς κατὰ πλῆθος ἠθοποιΐαις, καὶ ἡ αἰτία δήλη. Οὕτω δὲ καὶ κατωτέρω ποιήσει, ὀλίγον τι πλατύνας τὴν ἠθοποιΐαν ἐκεῖ ἀναγκαίως διὰ τὸ μὴ μόνον περὶ Αἴαντος εἶναι τὴν εὐχὴν ἀλλὰ καὶ περὶ Ἕκτορος. (v. 181) Ὅτι τοὺς κλήρους ἔπαλλεν οὐχ' ἕτερός τις, ἀλλὰ γερήνιος ἱππότα Νέστωρ, ὡς καὶ τοῦ τοιούτου ἔργου πολυπειρίας τινὸς γεροντικῆς δεομένου. Ὅτι κατὰ τὴν εὐχὴν τῶν Ἀχαιῶν—οὐ γὰρ ἔστι παρὰ τῷ ποιητῇ εὑρεῖν ἀτελεσφόρητον δικαίαν εὐχήν—ἐξέβη τὰ τοῦ ῥηθέντος κλήρου. (v. 182—92) Φησὶ γὰρ «ἐκ δ' ἔθορε κλῆρος κυνέης, ὃν ἄρ ἤθελον αὐτοί, Αἴαντος», ὃ δὴ ἑρμηνεία ἐστὶ τοῦ «ὃν ἤθελον αὐτοί». «Κῆρυξ δὲ φέρων ἀν' ὅμιλον ἁπάντῃ δεῖξ' ἐνδέξια πᾶσιν ἀριστήεσσιν Ἀχαιῶν. οἳ δ' οὐ γινώσκοντες ἀπηνήναντο ἕκαστος», ὃ παρισοῦται πρὸς τὸ «ἐσημήναντο ἕκαστος». «ἀλλ' ὅτε δὴ τὸν ἵκανε φέρων ἀν' ὅμιλον ἁπάντῃ, ὅς μιν ἐπιγράψας», ὡς καὶ πρὸ ὀλίγου ἐρρέθη, «κυνέῃ βάλε φαίδιμος Αἴας», αὐτὸς μὲν ὑπέσχεθε χεῖρα, ὁ δὲ κῆρυξ «ἔμβαλεν ἄγχι παραστάς, γνῶ δὲ κλήρου σῆμα ἰδών, γήθησε δὲ θυμῷ. τὸν μέν», ὡς προδεδήλωται, «πὰρ πόδ' ἑὸν χαμάδις βάλε φώνησέν τε· ὦ φίλοι, ἤτοι κλῆρος ἐμός, χαίρω δὲ καὶ αὐτὸς θυμῷ, ἐπεὶ δοκέω νικησέμεν Ἕκτορα δῖον». Κάλλιον ἄρα Αἴας τὴν κρείττω ἐλπίδα προβέβληται ἤπερ ὁ Ἕκτωρ. Ὁ μὲν γὰρ ἐκ τοῦ Ἑλένου μαθών, ὡς προείρηται, ὅτι οὔ πώ σοι μοῖρα θανεῖν, οὕτως ἀνδρίζεται, ὁποῖον δή τι καὶ ἐπὶ Κόδρου τοῦ Ἀθηναίου ἱστόρηται, ὅς, εἰ καὶ ἄλλως ἔχει τὰ κατ' ἐκεῖνον ἤπερ τὰ κατὰ Ἕκτορα, ὅμως χρησμῷ θαρρήσας ἠνδρίσατο ἕως καὶ εἰς θάνατον τὸν ὑπὲρ πατρίδος. Αἴας δὲ σφετέρᾳ πεποιθὼς ἀρετῇ λέγει, ἃ λέγει. (v. 182) Ὅρα δὲ ὅτι τε τὸ «ἐξέθορε κλῆρος κυνέης» ταὐτόν ἐστι τῷ «ἅλμα ἐκούφισεν», ὃ Σοφοκλῆς παρέφρασεν ἐν τῷ «πρῶτος ἔμελλεν ἅλμα κουφιεῖν», καὶ (v. 183) ὅτι τὸ «φέρων ἀν' ὅμιλον ἁπάντῃ», δὶς εἶπεν ὁ ποιητὴς οὐκ ὀκνήσας οὐδὲ νῦν τὴν διττολογίαν, καὶ ὅτι τὸ ἁπάντῃ οὐ σύνηθες τοῖς μεθ' Ὅμηρον. δισυλλάβως γὰρ ἐκεῖνοι πάντῃ φασί, καὶ ὅτι σεμνὰ κἀνταῦθα τὰ δεξιά. (v. 184) Τὸν γοῦν κλῆρον ἐπ' ἀγαθῷ οἰωνῷ ἐνδέξια πᾶσιν ἔδειξεν ὁ κῆρυξ, ἤγουν δεξιᾷ χειρὶ φέρων αὐτὸς ἐκεῖνον, ἢ ἐκ δεξιῶν ἱστάμενος τοῖς ἀριστεῦσιν ἐν τῷ δεικνύειν αὐτόν.

2.440 Ἴσως δὲ καὶ ἀμφότερα, [εἰς ἃ χρήσιμον σὺν ἑτέροις μυρίοις καὶ τὸ «ἐνδέξια πᾶσιν ἐκίρνα», καὶ ἡ παρὰ τοῖς παλαιοῖς δεξίωσις καὶ ὁ τραγῳδικὸς δεξιόσειρος Ἄρης. Ὅτι δὲ καὶ ὁ ἐκ δεξιῶν πταρμὸς οἰωνίζετό τι ἀγαθόν, παλαιὰ νόμισίς ἐστι καὶ αὐτό, οὕτω δὲ καὶ ὁ παλμὸς τοῦ δεξιοῦ ὀφθαλμοῦ κατὰ τὸ «ἅλλεται ὀφθαλμός μευ ὁ δεξιός»]. (v. 185) Καὶ ὅτι τὸ ἀπηνήναντο διαφοράν τινα βραχεῖαν ἔχει πρὸς τὸ «αἴδεσθεν μὲν ἀνήνασθαι, δεῖσαν δ' ὑποδέχθαι». ἄλλο γὰρ ἐκεῖνο καὶ ἄλλο τοῦτο κατ' ἔννοιαν. (v. 186 s.) Καὶ ὅτι τὸ «ἀλλ' ὅτε δὴ τὸν ἵκανε» καὶ ἑξῆς ἕως τοῦ φαίδιμος Αἴας, περιπέφρασται εἰς τιμὴν τοῦ Αἴαντος. Ἄλλως γὰρ ἤρκει φάναι· ἀλλ' ὅτε δὴ τὸν Αἴαντα ἵκανε. Καὶ ὅτι φανερῶς ἐνταῦθα ὁμωνυμία κεῖται τοῦ βαλεῖν. Αἴας γὰρ ἐν κυνέῃ

μὲν κλῆρον ἔβαλεν, ἀντὶ τοῦ ἔθετο, ἐξ οὗ καὶ τὸ «ἔμβαλεν ἄγχι παραστάς», παρὰ πόδα δὲ χαμάδις ἔβαλεν ἀντὶ τοῦ ἔρριψεν. (v. 188) Χεῖρα δὲ ὑποσχέθειν, ὅ ἐστιν ὑποσχεῖν, τὸ ὑπτιάσαι τὴν δεξιὰν εἰς ὑποδοχὴν καὶ ὡς εἰπεῖν ὑποκάτω σχεῖν τοῦ διδομένου. (v. 191) Τὸ δὲ «ἤτοι κλῆρος ἐμός» ἐχρησίμευσεν ἡμετέρῳ θείῳ Μελῳδῷ ἐν τῷ «οὐ κλῆρος γὰρ ἐμός», ὥσπερ καὶ ἕτερός τις ἐκ Πινδάρου ἔλαβε τὸ «μόνη καὶ μόνον». Ἄλλῳ δέ τινι ἐχρησίμευσεν εἰς μέλος ἐξ Αἰσχύλου τὸ «τοιαῦτ’ ἀπηύρω τοῦ φιλανθρώπου τρόπου». Οὕτω δὲ καὶ Σοφοκλέους τὸ «μιᾶς τρέφῃ πρὸς νυκτός», ἐπὶ Τειρεσίᾳ ῥηθέν, ἐλυσιτέλησεν εἰς τὸ νύκτα τῷ ἐκ γενετῆς τυφλῷ εἶναι τὸν ὅλον βίον.

2.441 Πολλὰ δὲ καὶ ἕτερα τοιαῦτα ἔστι εὑρεῖν. Ἰστέον δὲ ὅτι κλῆρος ἐλέγετο παρὰ τοῖς παλαιοῖς καὶ ἡ κατὰ βίον οὐσία, ὅθεν καὶ ἡ προειρημένη ἐπίκληρος γυνή, θυγάτηρ αὕτη γεγαμημένη τινὶ ἐπὶ ὅλῃ τῇ τοῦ πατρὸς οὐσίᾳ, ἐπίπροικος δὲ ἡ ἐπὶ προικί. Ἔτι ἰστέον καὶ ὅτι ἐλέγετό τις Ἑρμοῦ κλῆρος, ἐπεὶ αὐτῷ τὰ κατὰ τοὺς κλήρους ἀνέκειτο, ἵνα εὐτυχοῖεν οἱ κληρούμενοι εὐερμίαν ἔχοντες, ὅ ἐστιν εὐτυχίαν, ἐξ οὗ καὶ ῥῆμα τὸ εὐερμεῖν. Ἦν δὲ ὁ ῥηθεὶς κλῆρος φύλλον ἐλαίας, ὃ κατὰ τιμὴν τοῦ θεοῦ, φασίν, εἰώθεσαν ἐμβάλλειν καὶ πρῶτον ἀνέλκειν. Ὅτι δὲ εἰς εὐτυχίαν ὁ Ἑρμῆς ἐλαμβάνετο, δηλοῖ καὶ τὸ ἕρμαιον. καὶ τοιαῦτα μὲν ταῦτα. Εἰ δὲ χαίρει ἐνταῦθα ὁ Αἴας τῇ πρὸς Ἕκτορα μάχῃ, ἔχομεν καὶ νῦν ἀφορμὴν ἐντεῦθεν ἐτυμολογεῖν τὴν χάρμην, ὅ ἐστι τὴν μάχην, ὡς τῶν ἀνδρείων χαιρόντων αὐτῇ. Καίτοι ἕτεροι ὥσπερ φάσγανον ἀπὸ τοῦ σφαγαῖς γάνυσθαι καὶ μάχαιραν ἀπὸ τοῦ αἵμασι χαίρειν, οὕτω καὶ χάρμην ἀπὸ τοῦ χαίρειν αἵμασιν εἰρῆσθαί φασι. (v. 191 s.) Τὸ δὲ «χαίρω θυμῷ», ἀντὶ τοῦ ἐκ ψυχῆς καὶ οὐ κατά τι ἐπιπόλαιον καὶ προσποίητον. Ἐπιεικὲς δὲ τὸ «δοκέω νικησέμεν Ἕκτορα», ὥσπερ μεγαλορρημοσύνην εἶχεν ἂν τὸ εἰπεῖν, ὅτι νικήσω ἢ πέποιθα νικήσειν, οὗ δὴ πάθους ἐντὸς ὁ Ἕκτωρ, ὃς ἐν τοῖς ἑξῆς «ἐμπρήσω», φησί, «νῆας, κτενέω δὲ καὶ αὐτούς». [Ἰστέον δὲ καί, ὅτι ἐν τῷ «χαίρω δὲ καὶ αὐτὸς θυμῷ» οὐ πάντῃ ἀργός ἐστιν ὁ και σύνδεσμος, ἀλλὰ δηλοῖ ὡς οὐδὲν ἧττον τοῦ προπηδήσαντος Ἕκτορος χαίρει καὶ αὐτὸς τῇ μονομαχίᾳ.] (v. 193—6) Ὅτι προτρέπων εἰς εὐχὴν ὁ Αἴας τοὺς Ἕλληνάς φησιν «ἀλλ’ ἄγετ’, ὄφρ’ ἂν ἐγὼ πολεμήϊα τεύχεα δύω, τόφρ’ ὑμεῖς εὔχεσθε Διῒ ἄνακτι, σιγῇ ἐφ’ ὑμείων, ἵνα μὴ Τρῶές γε πύθωνται», καὶ δόξωμεν δηλαδὴ θορυβεῖσθαι, «ἠὲ καὶ ἀμφαδίην, ἐπεὶ οὔ τινα δείδιμεν ἔμπης», τουτέστιν ἢ καὶ ἀμφαδὸν εὔχεσθε, ἐπεὶ οὔτινα δεδίαμεν.

2.442 Τοῦτο δὲ καὶ πᾶς τις ἂν εἴποι εὐλαβηθεὶς μὲν εἰπεῖν τι ὡς ἄξιον αἰδοῦς, θαρρήσας δὲ αὖθις φάναι αὐτὸ διὰ τὸ μὴ εἶναι αἰσχρόν. Ἄλλως δέ, τὸ μὲν «σιγῇ ἐφ’ ὑμῶν, ἵνα μὴ Τρῶές γε πύθωνται» πρόσφορόν ἐστι παροιμιακῶς τοῖς μυστηριάζεσθαι θέλουσιν. Ὁ δὲ μὴ ἔχων ἀνάγκην κρύφα λαλεῖν προσθείη ἂν καὶ τὸ «ἢ καὶ ἀμφαδίην, ἐπεὶ οὔ τινα δείδιμεν». (v. 197—9) Ἐπὶ δὲ τούτοις ὁ Αἴας ἀντιμεγαλοφρονῶν τῷ Ἕκτορι καὶ τῇ μὲν εὐχῇ τὸν φθόνον ἐκθυόμενος, οἷς δὲ αὐχήσει, θαρρύνων ἑαυτόν τε καὶ τοὺς Ἀχαιοὺς ἐπάγει «οὐ γάρ τίς με βίῃ γε ἑκὼν ἀέκοντα δίηται οὐδέ τ’ ἀϊδρείῃ, ἐπεὶ οὐδ’ ἐμὲ νήϊδά γε οὕτως ἔλπομαι ἐν Σαλαμῖνι γενέσθαι τε τραφέμεν τε», τῇ θρεψαμένῃ πατρίδι, ὥς φασιν οἱ παλαιοί, τὴν ἐκ τῆς παιδείας ἀρετὴν ἀνατιθείς. Ὅρα δὲ ὡς οὐκ αἰδεῖται μικρόπατριν ἑαυτὸν ὁ Αἴας ὁμολογῶν, ὡς οὐδὲ Ὀδυσσεὺς τὴν κραναὴν Ἰθάκην ἑαυτῷ πατρίδα σεμνολογῶν. οὐδὲ γάρ ἐστιν ἐμποδὼν λυπρότης τόπου εἰς ἀνδρὸς ἀρετήν. [(v. 197) Τὸ δὲ ἀέκοντα ὑπεμφαίνει, ὡς φεύξεταί τίς ποτε καὶ ἑκών, ἐφ’ οἷς οὐχ’ ἡττᾶται μὲν ὑπὸ τοῦ ἀντιπάλου, δέδιε δὲ ἄλλο τι μεῖζον κακόν, ὅπερ οὐδὲ ὁ ἀντίπαλος οἶδε. (v. 199) Τὸ δὲ ἔλπομαι ταὐτόν ἐστι τῷ δοκέω.] Σημείωσαι δὲ καὶ ὅτι δύο τούτων ἐξ ἀνάγκης χρεία τῷ ἀγαθῷ στρατηγῷ, βίας τε, ἤτοι ῥωμαλεότητος, ἔτι δὲ καὶ ἐπιστήμης τῶν πολεμικῶν, ἅπερ ἄμφω ἑαυτῷ ἐπιμαρτύρεται νῦν ὁ Αἴας λέγων, ὅτι οὔτε βίᾳ ἡττηθήσεται πρός τινος οὔτε ἀϊδρείᾳ, τουτέστιν ἀνεπιστημοσύνῃ, ἀλλὰ δηλονότι ἐὰν θεὸς ἐναντιωθείη. Καὶ αὕτη ἐστὶν ἡ αἰτία, δι’ ἣν ὀτρύνει εὔξασθαι τοὺς Ἀχαιοὺς ὑπὲρ ἑαυτοῦ.

2.443 Τὰ μὲν γὰρ ἀνθρώπινα, φησίν, ἱκανῶς ἡμῖν ἔχει, ἐξευμενιστέον δὲ θεόν, εἴ τί που χολοῦται. (v. 198) Ἰστέον δὲ ὅτι προϋπόκειται ἴδρις ὁ ἐπιστήμων, οὗ στέρησις ὁ ἄϊδρις. τούτου γενικὴ ἀΐδρεως, ὡς ὄφεως, καὶ ἐξ αὐτοῦ ἀϊδρεία, ἔχουσα τὸ δίφθογγον διὰ τὸ προϋπάρχον ε , ὅπερ καὶ ἐπὶ τοῦ ἐγχείη καὶ ἐλεγχείη γίνεται. Τὸ δὲ νῆϊς νήϊδος ταὐτόν ἐστι τῷ ἀνεπιστήμων, καὶ γίνεται παρὰ τὸ νη στερητικὸν μόριον καὶ τὸ εἴδω εἴσω, τὸ γινώσκω. Καὶ τούτου τεκμήριον ἃ λέγει ἐν τοῖς ἑξῆς ὁ Ἕκτωρ. εἰπόντος γὰρ Αἴαντος μετριώτερον ἐν σχήματι ἀποφατικῷ, ὡς οὐκ εἰμὶ νῆϊς, ἐπάγει ἐκεῖνος ἀλαζονικώτερον καταφατικῶς, ὅτι εὖ οἶδα μάχας, οἱονεὶ λέγων, ὅτι σὺ μὲν οὐκ ἀνεπιστήμων φῄς εἶναι, ἐγὼ δὲ τὸ μεῖζόν φημι, εὖ εἰδέναι. Καθόλου δὲ παρὰ τοῖς παλαιοῖς τὸ νῆϊς στέρησιν τοῦ εἰδέναι δηλοῖ, ἵνα ᾖ νῆϊς ὁ ἄπειρος, ὁ ἄτεχνος, ὁ μὴ εἰδώς, [ὥσπερ καὶ τῷ Ἄϊς Ἄϊδος στέρησις ἔγκειται τοῦ ἰδεῖν.] Τὸ δὲ «νήϊδα οὕτως» καταρριπτεῖ πως τὴν τοῦ Ἕκτορος ἀρετήν. οἱονεὶ γάρ φησιν, ὅτι οὐχ’ οὕτω νῆΐς εἰμι, ὡς μὴ δύνασθαι ἀντιστῆναι τῷ Ἕκτορι. (v. 199) Τὸ δὲ «γενέσθαι τε τραφέμεν τε» κατὰ φύσιν ἐνταῦθα κεῖται καὶ οὐκ ἔχει ὑστερολογίαν τὴν ἐν τῷ «ἅμα τράφεν ἠδ’ ἐγένοντο». Περὶ δὲ Σαλαμῖνος, ὅτι τε πρόκειται τῆς Ἀττικῆς καὶ οἷα σεμνολογεῖται, δεδήλωται ἐν ἄλλοις, ὥσπερ καὶ ὅτι καὶ Κυπρία ἐστὶ Σαλαμίν. οὐδὲν γοῦν τι νῦν πλέον ῥητέον περὶ αὐτῆς, ὥσπερ οὐδὲ περὶ τοῦ δίηται, ὅ ἐστι διώξῃ. Πολλαχοῦ γὰρ ἐφάνη, ὡς τὸ δίω καὶ ταὐτὸν καὶ πρωτότυπον τοῦ διώκω ἐστίν. (v. 202—5) Ὅτι Ἕλληνες ἐπεύχονται τὸ «δὸς θεέ», ὡς ἐρρέθη, «νίκην Αἴαντι. εἰ δὲ καὶ Ἕκτορά περ φιλέεις καὶ κήδεαι αὐτοῦ, ἴσην ἀμφοτέροισι βίην καὶ κῦδος ὄπασσον». ὅπερ καὶ ἀποβαίνει. Καὶ ἔστι τοῦτο οἷον προέκθεσίς τε τοῦ μέλλοντος καὶ δήλωσις τοῦ δραστήριον εἶναι τὴν εὔλογον εὐχήν. Στενολεσχεῖται δὲ τεχνικῶς καὶ ἡ εὐχὴ αὕτη, καθὰ καὶ αἱ κατὰ πλῆθος ἠθοποιΐαι, περὶ ὧν πολλαχοῦ δηλοῦται. (v. 206—10) Ὅτι εἰπὼν «Αἴας δὲ κορύσσετο νώροπι χαλκῷ», ὅ ἐστι λαμπρῷ, καθὰ πολλαχοῦ κεῖται, εἶτα παραβολικῶς αὐτὸν σεμνύνων ὁ ποιητής φησιν, ὡς «ἐπεὶ δὴ πάντα περὶ χροΐ ἕσσατο τεύχη, σεύατ’ ἔπειτα οἷός τε πελώριος ἔρχεται Ἄρης, ὅς τ’ εἶσι πόλεμόνδε μετ’ ἀνέρας, οὓς θεὸς θυμοβόρου ἔριδος μένεϊ ξυνέηκε μάχεσθαι».

2.444 ὃ περίφρασίς ἐστι τοῦ «ἔριδι ξυνέηκε μάχεσθαι». (v. 211—3) Ἀποδιδοὺς δὲ τὴν ῥηθεῖσαν παραβολὴν ἐπάγει «τοῖος ἄρ Αἴας ὦρτο πελώριος, ἕρκος Ἀχαιῶν, μειδιόων βλοσυροῖσι προσώπασι· νέρθε δὲ ποσσὶν ἤϊε μακρὰ βιβὰς κραδάων δολιχόσκιον ἔγχος». Καὶ σημείωσαι ταῦτα εἰς ἔκφρασιν στρατιωτικῆς ἐκτάξεως. Ὅρα δὲ καὶ τὸ «ἔρχεται πόλεμόνδε». οὐ γὰρ ἐῴκει ὁ Αἴας Ἄρεϊ θρυπτομένῳ τυχὸν τὰ εἰς τὴν ἐρωμένην Ἀφροδίτην ἢ ἄλλως ἀνιεμένῳ, ἀλλὰ εἰς μάχην ἰόντι, καὶ ταύτην σφοδράν, θυμοβόρου ἔριδος μένεϊ συγκροτουμένην. (v. 214—6) Ἐπὶ δὲ τῇ διαθέσει ταύτῃ τοῦ Αἴαντος «Ἀργεῖοι μέν», φησί, «μέγα ἐγήθεον εἰσορόωντες, Τρῶας δὲ τρόμος αἰνὸς ὑπείληφε γυῖα ἕκαστον, Ἕκτορι τ’ αὐτῷ θυμὸς ἐνὶ στήθεσσι πάτασσεν». (v. 211) Ἐν τούτοις δὲ σημείωσαι, ὅτι τε πελώριον τὸν Ἄρην εἰπὼν μετ’ ὀλίγα καὶ τὸν Αἴαντα οὕτως ἐκάλεσεν, ὡς ἤδη ἐξωμοιωμένον τῷ Ἄρεϊ διὰ τῆς παραβολῆς. (v. 212) Καὶ ὅτι τὸ μειδιᾶν γέλωτος μὲν αὐστηρότερον, σκυθρωπότητος δὲ φαιδρότερον, καὶ ὅτι ἐὰν μειδιᾷ βλοσυροῖς ὁ Αἴας προσώποις, κέκραται ἄρα θυμῷ καὶ χαρᾷ, καὶ ὅτι πληθύνει τὰ πρόσωπα τῷ ἥρωϊ ὁ ποιητής, [οὐ μόνον ἀφελῶς κατὰ τὸν γράψαντα τὸ «πὺξ παίει αὐτὸν κατὰ τῶν προσώπων», ἤγουν κατὰ τῆς ἔνθεν καὶ ἐκεῖθεν παρειᾶς, ἀλλὰ καὶ] ὡς θαρσαλέῳ. τὸ μὲν γὰρ θάρσος διαχέει, συστέλλει δὲ ὁ φόβος. Διὸ καὶ ὁ μὲν θαρσῶν μακρὰ βαίνει, οὐ συμποδιζόμενος τῷ δέει, ὁ μέντοι δειλιῶν ὀκλάζει καὶ ἐπ’ ἀμφοτέρους ἵζει πόδας. Ἔοικε δέ πως ἀρχὴν ἐντεῦθεν λαβεῖν ὁ εἰπὼν ὄρεγμα παρηΐδων τὴν τοῦ προσώπου ἔκτασιν καὶ πλατύτητα, καὶ ὁ τὸ στόμα πληθύνας Ὁμηρικῷ ζήλῳ ἐν τῷ «ἀμφιπίπτων στόμασι».

2.445 Τὸ δὲ βλοσυρόν δηλοῖ μὲν δεινότητα προσώπου, ἐξ οὗ καὶ βλοσυρωπός. γράφεται δὲ δι’ ἑνὸς ς , ὡς καὶ τὸ μέτρον δηλοῖ. ἐτυμολογεῖται δὲ παρὰ τὸ τὸ βλέμμα ὑποσύρειν. Οἱ δὲ παλαιοὶ βλοσυρόν φασι καὶ τὸ σεμνόν, παρ’ οἷς καὶ χρῆσις Νικοστράτου φέρεται αὕτη «νὴ τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀφροδίτην, ὦ ξένη, βλοσυράν γε τὴν ψυχὴν ἔχεις». Ὅρα δὲ καὶ ὅτι τὸ προσώποισι μεταπλάσας ὁ ποιητὴς προσώπασι λέγει, ὡς καὶ ἐν τοῖς ἑξῆς τὸ ἐγκάτοις εἰς τὸ ἔγκασι μεταπέπλασται. [Σημείωσαι δὲ ὅτι οὐχ' ὥσπερ ἐν τῷ λίτῳ λιτί, καὶ κλάδῳ κλαδί, καὶ ἐρυσάρματοι ἐρυσάρματες καὶ τοῖς ὁμοίοις, τὸ κατάρχον μὲν σύμφωνον τῆς ληγούσης μένει, ὁ δὲ ἐφεξῆς μεταπλασμὸς τὴν τῆς ἀπαθοῦς λέξεως ἰσοσυλλαβίαν τηρεῖ, οὕτω καὶ ἐπὶ τῶν προκειμένων γέγονεν, ἀλλὰ δισυλλαβίαν ἀπετέλεσεν ἡ τῶν εἰρημένων ποιητικῶν δοτικῶν μετάπλασις ἀναγκαίως πρὸς ἀναλογίας ἔμφασιν. Τοῖς δὲ εἰρημένοις ὅμοιον] καὶ τὸ ὀνείρασιν, ἔτι δὲ καὶ τὸ ἄστρασιν, ὅπερ εἰ ἀπὸ τοῦ ἀστήρ ἀστέρος ἐκλίθη, ἀστράσιν ἂν ἦν, ὡς τὸ πατράσιν, ἀνδράσιν. [Οὕτω δ' ἂν καὶ τὸ μήλοις μήλασιν εἴποι ἂν ὁ φράσας τὸ «μηλάτων ἀπάργματα», ἤγουν μήλων, ὅ ἐστι θρεμμάτων, ἀπαρχάς. Εἰ δέ τις νοήσοι καὶ ἄρρητον εὐθεῖαν τὸ πρόσωπας, οὗ δοτικὴ πληθυντικῶν τὸ προσώπασιν, οὐκ ἂν καινοπραγοίη ἐνθυμούμενος τὸ γόνας γόνατος καὶ δόρας δόρατος καθ' Ἡρῳδιανόν.

2.446 Εἰ δὲ καινὸν τὸ πρόσωπας, τί ἂν εἴη ὁ πρόσωπος, οὗ μνεία ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν.] (v. 213) Τὸ δὲ «μακρὰ βιβάς», ἀντὶ τοῦ διϊστῶν εἰς μῆκος πολὺ τὰ σκέλη διὰ θάρσος, ἀνάπαλιν ἔχει πρὸς τὸ «ὀλίγον γόνυ γουνὸς ἀμείβειν», ὃ καὶ ἐπὶ σκέλος χωρεῖν λέγεται. Τὸ δὲ κραδάειν πρωτότυπον τοῦ κραδαίνειν ἐστίν, αὐτὸ δὲ τῆς κράδης ἐξηχεῖται, δι' ἧς ἢ φύλλον δηλοῦται ἁπλῶς ἢ φύλλον συκῆς. (v. 215) Τὸ δὲ «Τρῶας ἕκαστον» Ἀττικῶς ἔχει, ἐκφωνουμένων ἰδίᾳ μὲν τοῦ Τρῶας, ἰδίᾳ δὲ τοῦ ἕκαστον. τὸ μέντοι κοινὸν «Τρώων ἕκαστον.» (v. 216) Τὸ δὲ πατάσσειν ἐν στήθεσι θυμόν, ὅ ἐστι τὰ κατὰ τὴν καρδίαν, ὠνοματοπεποίηται κατὰ μίμησιν ἤχου, ἀφ' οὗ καὶ τὸ πατεῖν καὶ ὁ περίπατος καὶ πάτος, ἡ ὁδός, καὶ πάταγος. Δηλοῖ δὲ ἡ λέξις τὸ ποιὸν ἦχον τὴν καρδίαν ἀποτελεῖν ἐν τῷ κραδαίνεσθαι, ἀφ' οὗ καὶ παράγεσθαι αὐτὴ δοκεῖ. Τὴν δὲ τοιαύτην καρδιακὴν κίνησιν διασαφῶν ἐν ἄλλοις ὁ ποιητής φησι «κραδίη δὲ ἔξω στηθέων ἐκθρῴσκει», πατάσσουσα δηλαδή. Λέγεται δέ ποτε ἡ λέξις καὶ ἐπὶ τοῦ πλήσσειν, οἷον «ἐπάταξε μαχαίρᾳ», οἱονεὶ ἐθορύβησεν, ἐπατάγησε, κτύπον ἐποίησε πλήξας. Ὅρα δὲ καὶ ὅτι ῥητορικῶς οὐ μόνον τὴν μονομαχίαν τῶν ἡρώων τούτων ὑψοῖ ἐν τοῖς ἑξῆς, ἀλλὰ καὶ τὰ πρὸ τῆς μονομαχίας ἐνταῦθα καινὰ ποιεῖ, τὸν μὲν Αἴαντα μειδιᾶν εἰπὼν βλοσυροῖς προσώποις καὶ ὅσα προερρέθη, τῷ δὲ Ἕκτορι πατάσσειν τὸν θυμόν.

2.447 Συνδιατίθησι δὲ αὐτοῖς καὶ τὸν λαὸν λέγων, ὡς οἱ μὲν Ἕλληνες μέγα ἔχαιρον τὸν Αἴαντα εἰσορῶντες, Τρῶας δὲ τρόμος ὑπῆλθεν. Ἔνθα ὅρα καὶ τὴν καθ' Ὅμηρον τῶν προσώπων τάξιν. τῶν Ἑλλήνων μὲν γὰρ προέταξε τὸν μέγαν Αἴαντα, εἰπὼν ὅτι ὁ Αἴας μὲν ἐποίει τὰ ῥηθέντα, Ἀργεῖοι δὲ ὁρῶντες ἔχαιρον. κατωτέρω δὲ προέταξε μὲν τοὺς Τρῶας, ἐπήγαγε δὲ τὸν Ἕκτορα. Ἔφη γὰρ «Τρῶας τρόμος ὑπῆλθεν, Ἕκτορί τε θυμὸς ἐνὶ στήθεσι πάτασσε». Τοῦτο δὲ ἐποίησεν Ὅμηρος οὐ μόνον διὰ ποικιλίαν καὶ τὸ ἐκκλίνειν τὴν ὁμοιοσχημοσύνην, ἀλλὰ καὶ ἵνα συνεχὴς αὐτῷ εἴη ὁ λόγος. αὐτίκα γὰρ τῷ Ἕκτορι συνάπτει τὸν Αἴαντα, ὃς τῷ μὲν μειδιᾶν ἀγάλλει τοὺς Ἕλληνας, τῷ δὲ βλοσυρῶς ἔχειν καταπλήττει τοὺς ἐναντίους. (v. 215) Ἐνταῦθα δὲ ὅρα καὶ τὸ «Τρῶας τρόμος ὑπῆλθεν», ὡς κάλλος τι ἐμφαίνει κατὰ τὴν προφοράν, ὅμοιον τῷ «προσήκει προθύμως», καὶ τοῖς τοιούτοις, καὶ ὅτι τρόμος μὲν ἐπὶ δειλίας, ὁμοίως καὶ τὸ τρομέειν. τὸν γὰρ Ἐρευθαλίωνα ἐτρόμεον οἱ Πύλιοι, ὡς προγέγραπται, καὶ τοὺς Τρῶας τρόμος νῦν ὑπῆλθεν, ὃν καὶ ὁ Αἴας ἔπαθε. (v. 217) Τὸ μέντοι τρέσαι καὶ ἀναποδισμόν τινα ἐνταῦθα δηλοῖ, καθὰ καὶ τὸ ἀναδῦναι, εἴγε τῷ Ἕκτορι πατάσσει μὲν θυμός, οὐκ ἔχει δὲ τρέσαι οὐδ' ἀναδῦναι εἰς ὅμιλον. Ἔνθα καί φασιν οἱ παλαιοί, ὅτι πρώτη αὕτη Ἕκτορος ἧττα τὸ πατάσσειν αὐτῷ τὸν θυμόν, ὡς καὶ φυγεῖν ἄν, εἰ μὴ προεκαλέσατο χάρμῃ φθάσας αὐτός. Δῆλον δὲ ὅτι τὸ ἀναδῦναι ἀνάπαλιν ἔχει πρὸς τὸ καταδῦναι εἰς πόλιν ἐχθρὰν ἢ ὅμιλον. (v. 219—21) Ὅτι ὁ Αἴας, ὃν καὶ Ἀχαιῶν ἕρκος ἔφη, προδραμὼν Ἕκτορος «ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον, χάλκεον, ἑπταβόειον, ὅ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱ», φησί, «Τυχίος κάμε τεύχων, σκυτοτόμων ὄχ’ ἄριστος, Ὕλῃ ἔνι οἰκία ναίων», τουτέστι κατοικῶν περὶ τὴν Ὕλην.

2.448 Καὶ σημείωσαι τὴν τοῦ νοήματος ἀστειότητα. ἕρκος γὰρ Ἀχαιῶν, ὅ ἐστι τεῖχος, εἰπὼν τὸν Αἴαντα, πύργον ἔφη τὸ περὶ αὐτὸν σάκος, μέρος δὲ τείχους ὁ πύργος. (v. 221) Ὕλη δὲ νῦν πόλις Βοιωτίας, περὶ ἧς καὶ προεγράφη ἀλλαχοῦ τε καὶ ἐν τῇ Βοιωτίᾳ. Τινὲς δὲ γράφοντες Ὕδην διὰ τοῦ δ φασι πόλιν εἶναι Ὕδην, ἐν ᾗ ᾤκει Ὀμφάλη, βασίλειον Λυδῶν, τὰς νῦν Σάρδεις, ἱστοροῦντες ὅτι πηρωθεὶς Ὅμηρος μετοικίζεται εἰς Σμύρναν ἐκ Κολοφῶνος, ἐλθὼν δὲ εἰς τὸ Νέον τεῖχος, ὃ ἦν ἀποικία Κυμαίων, καὶ μεταλαβὼν ἐκεῖ τῆς τοῦ Κυμαίου Τυχίου φιλοφροσύνης, ἐνέθετο αὐτὸν τῇ ποιήσει εἰς μνήμην τοῖς ἐντυγχάνουσιν, ὃ δὴ καὶ μόνον τῷ Τυχίῳ ἀντιδοῦναι ἴσχυεν. Ἔστι δὲ καλλίων ἡ πρώτη γραφή. ἐξ Ὕλης μὲν γάρ, φασίν, εἶχεν ὁ Αἴας κτήσασθαι ἀσπίδα, χώρας Εὐρωπαίας, ἔνθα εἰκὸς ἦν καὶ Τυχίον εἶναί τινα σκυτοτόμον γνώριμον, ἐξ Ὕδης δὲ τῆς Λυδίας ἄπορον πῶς εὐπόρησεν. Ὅθεν δὲ ἂν ἦν ὁ Τυχίος, λέγει ὁ ποιητής, ὅτι αὐτὸς ἀπετέλεσε τῷ Αἴαντι σάκος. (v. 222 et 224 s.) Φησὶ γὰρ «ὅς οἱ ἐποίησε σάκος αἰόλον, ἑπταβόειον, τὸ πρόσθε στέρνοιο φέρων Τελαμώνιος Αἴας, στῆ ῥα μάλα Ἕκτορος ἐγγύς». ἐν δὲ τοῖς ἑξῆς καὶ δεινὸν τὸ αὐτὸ σάκος καλεῖ. (v. 225) Ὅρα δὲ ὅπως τὸ τοῦ Αἴαντος αὔξει θάρσος, εἴπερ Ἕκτωρ μὲν ἔτρεσεν ἄν, ὡς εἴρηται, εἴπερ εἶχεν, Αἴας δὲ οὐ μόνον ἐγγύθεν ἦλθεν, ὡς ἀνωτέρω ἔφη, ἀλλὰ καὶ μάλα ἐγγὺς ἦλθεν Ἕκτορος, ὃ δὴ ἐπίτασίς ἐστι τοῦ ἐγγύθεν ἦλθε. (v. 220) Ἰστέον δὲ ὅτι χάλκεον μὲν τὸ τοῦ Αἴαντος ἔφη σάκος ἀπὸ μέρους τῆς ἐξωτάτω πτυχός. τέτριπται γὰρ καὶ ἡ τῶν τοιούτων ἀσπίδων χρῆσις. Εἰ δ’ ἴσως κἀνταῦθα ὁ χαλκὸς σίδηρον συνήθως ἐμφαίνει, εἴη ἂν οὕτω σιδηρόνωτος ἡ τοῦ Αἴαντος ἀσπὶς κατὰ τὴν τοῦ τραγῳδικοῦ Καπανέως. [(v. 221) Τοῦ δὲ οἰκία, ὅ ἐστιν οἴκους, εὐθεῖα μὲν τὸ οἰκίον. Ὥσπερ δὲ οὔτε τὸ θηρός θηρίον, οὔτε τὸ ἴχνος ἴχνιον ὑποκοριστικῶς ἔχει παρὰ τῷ ποιητῇ, ἀλλὰ παρώνυμά εἰσι κατὰ τοὺς παλαιούς, οὕτως οὐδὲ τὸ οἶκος οἰκίον, ὅθεν παρὰ τοῖς ὕστερον ὑποκοριστικὸν οἰκίδιον κατὰ τὸ ἄργυρος ἀργύριον ἀργυρίδιον.

2.449 Χρῆσις δὲ τοῦ οἰκία καὶ παρὰ τῷ πεζογράφῳ Ἀρριανῷ, ὃς πρὸ ὀλίγων μεμνημόνευται. (v. 222) Αἰόλον δὲ σάκος ἢ τὸ δαιδαλθέν, ὡς εἰκός, ἐπιπολῆς εἴς τι κάλλος, ἢ καὶ τὸ ταχύ, οὐχ’ ὅτι πάντως αὐτὸ τοιοῦτον, ἀλλ’ ὅτι ταχὺ καὶ πρόθυμον εἰς μάχης ὁρμὴν ποιεῖ τὸν στερεούμενον ὑπ’ αὐτοῦ, καθὰ καὶ ζυγός που θοὸς εἰρεσίας ὁ ἐπιταχύνων τὴν νῆα διὰ τῶν ἐρεσσόντων ἐπ’ αὐτοῦ.] Ἑπταβόειον δὲ ὡς ἑπτάβυρσον. Βόες γὰρ νῦν τὰ ὠμοβόεια, ἤγουν αἱ βύρσαι, [ὅθεν καὶ βόας αὔας, ἤγουν ξηράς, τὰς ἐκ τοιούτων βυρσῶν λέγει που ὁ ποιητής], κληθέντος τοῦ μέρους τῷ τοῦ ὅλου ὀνόματι, ὥς που καὶ ἐλέφας τὸ τοῦ ἐλέφαντος εἴρηται ὀστοῦν. (v. 223) Ἐπάγει οὖν πρὸς σαφήνειαν τοῦ σάκος χάλκεον ἑπταβόειον τὸ «σάκος αἰόλον ἑπταβόειον ταύρων ζατρεφέων, ἐπὶ δ’ ὄγδοον ἤλασε χαλκόν», οὐκ αὐτὸς ὁ Τυχίος ἐλάσας, εἴγε σκυτοτόμος ἦν, ἀλλὰ διά τινος χαλκέως τοῦτο ποιήσας. Οὐκ ἀργὸν δὲ κεῖται οὐδὲ τὸ «ζατρεφέων», ἀλλ’ ὡς δέον ὂν τοιούτων βοῶν εἶναι καὶ τὰς ἐν τοιαύτῃ ἀσπίδι βύρσας, οὓς ἶφι κταμένους φησὶν ἡ ποίησις. Ὅτι δὲ ζατρεφεῖς οὐ μόνον ταῦροι, ἀλλὰ καὶ σύες καὶ αἶγες καὶ φῶκαι, δηλοῖ ἡ Ὀδύσσεια. Σημείωσαι δὲ καὶ ὅτι τὰς ἔξω τοῦ προκειμένου ἔργου ἱστορίας οὐ μόνον διὰ πλατυσμὸν καί τινα πληθυσμὸν καὶ εὐπορίας ἐπίχυσιν ὁ ποιητὴς παρεντίθησιν, ἀλλὰ καὶ εἰς ἐργασίαν ἔστιν οὗ ἐπιχειρηματικὴν καὶ εἰς πολυπειρίας ἔνδειξιν καὶ ἀκροάσεως παίδευσιν, πολλὰς δὲ καὶ εἰς μνήμην τινῶν συνήθων αὐτῷ, καὶ ταύτην ἢ ἀγαθήν, ὡς ἐπί τε ἄλλων φαίνεται καὶ ἐνταῦθα ἐπὶ Τυχίου, ὃν ἐφίλει, ὡς εἴρηται, ἢ φαύλην, ὡς ἐπὶ Θερσίτου ἐρρέθη, τοῦ μεμισημένου αὐτῷ ἐπιτρόπου.

2.450 (v. 220) Ὅτι δὲ τὸ Τυχίος παροξύνεται ὡς τρίβραχυ κύριον, δηλοῦται πολλαχοῦ. (v. 225—8) Ὅτι ὁ Αἴας μὲν ἀπειλησάμενος κατὰ τὸ «ἀπειλήσας δὲ προσηῦδα»—Διχῶς δέ φαμεν, καὶ κατὰ πάθος ἀπειλησάμενος καὶ κατ’ ἐνέργειαν ἀπειλήσας—μετρίως εἶπε πρὸς Ἕκτορα τὸ «Ἕκτορ, νῦν μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὴ σάφα εἴσεαι οἰόθεν οἶος», ἤγουν μόνος ἐκ μόνου ἐμοῦ, ὡς καὶ προερρέθη, «οἷοι καὶ Δαναοῖσιν ἀριστῆες μετέασι καὶ μετ᾽ Ἀχιλλῆα ῥηξήνορα, θυμολέοντα». Καὶ ἔστι τὸ «καὶ μετ᾽ Ἀχιλλῆα» ἑρμηνεία τοῦ «μετέασιν», ἤγουν μετὰ τὸν Ἀχιλλέα εἰσίν. (v. 229—32) Εἶτα ἐπάγει «ἀλλ᾽ ὃ μὲν ἐν νήεσσι κορωνίσι ποντοπόροισι κεῖτ᾽ ἀπομηνίσας Ἀγαμέμνονι ποιμένι λαῶν. ἡμεῖς δ᾽ εἰμέν», ἤγουν ἐσμέν, «τοῖοι οἳ ἂν σέθεν ἀντιάσαιμεν καὶ πολέες». Καὶ οὕτω μὲν αὐτὸς μετριολογεῖ. οὐδὲν γὰρ μέγα εἶπε δι᾽ ἑαυτόν, ἀλλὰ σωφρόνως ἐλάλησε περί τε ἑαυτοῦ καὶ τῶν ἀριστέων κοινοποιήσας τὸ ἐγκώμιον. (v. 234—6) Ἕκτωρ δὲ μεγάλα φρονῶν φησιν «Αἶαν διογενές, Τελαμώνιε, κοίρανε λαῶν, μή τί μευ ἠΰτε παιδὸς ἀφαυροῦ πειρήτιζε ἠὲ γυναικός, ἣ οὐκ οἶδε πολεμήϊα ἔργα». (v. 237—41) Εἶτα ἐπιτείνων τὸ αὔχημα ἐπάγει «αὐτὰρ ἐγὼν εὖ οἶδα μάχας τ᾽ ἀνδροκτασίας τε· οἶδ᾽ ἐπὶ δεξιά, οἶδ᾽ ἐπ᾽ ἀριστερὰ νωμῆσαι βῶν ἀζαλέην, τό μοί ἐστι ταλαύρινον πολεμίζειν· οἶδα δ᾽ ἐν σταδίῃ δηΐῳ μέλπεσθαι Ἄρηϊ, οἶδα δ᾽ ἐπαΐξαι μόθον ἵππων ὠκειάων».

2.451 Καὶ ὅρα ὅτι ἐν τῷ τόπῳ τούτῳ πεντάκις ὁ Ὅμηρος εἶπε τὸ οἶδα, οὔτε συνδήσας ἐν τόποις δυσί, καὶ ἐπιμείνας τῇ λέξει διὰ τὸ καίριον, [εἰ καί τινες πειρῶνται τὸ «οἶδ᾽ ἐπὶ δεξιὰ οἶδ᾽ ἐπ᾽ ἀριστερά» μεταγράψαι «ἠδ᾽ ἐπὶ δεξιὰ ἠδ᾽ ἐπ᾽ ἀριστερά».] (v. 238) Καὶ ὅτι ἐν ἄλλοις τὸ εὖ εἰδώς γενικῇ συντάσσων ἐνταῦθα τὸ οἶδα κατὰ σύνταξιν αἰτιατικὴν προάγει εἰπὼν «εὖ οἶδα μάχας» καὶ ἑξῆς, καὶ ὅτι οὐκ ἐμνήσθη ἐνταῦθα τοξικῆς ὁ ἀριστεύς, ἀλλ᾽ αὐχεῖ ἀσπιστὴς εἶναι σταδαῖός τε καὶ ἱππότης, καὶ ὅτι τὸ «εὖ οἶδα μάχας» ἕως τοῦ «μόθον ἵππων», (v. 240) ἃς καὶ θηλυκῶς προάγει εἰπὼν «ἵππων ὠκειάων», ἔπαινός ἐστιν ἐπιστήμονος στρατηγοῦ. (v. 228) Καὶ ὅτι δεξιώτατα καὶ ἐνταῦθα ὁ ποιητὴς παρέρριψε μνήμην τοῦ Ἀχιλλέως, ὃν καὶ ὑπερεξαίρει τῶν ἄλλων ἀριστέων, μετ᾽ Ἀχιλλέα λέγων αὐτοὺς εἶναι, ὀνομάζων αὐτὸν καὶ ῥηξήνορα θυμολέοντα. Ἔνθα σημείωσαι, ὅτι τὸ ῥηξήνωρ ἐλλειπτικῶς ἔχει δι᾽ ἀνάγκην συνθέσεως. εἴτε γάρ ἐστι ῥηξήνωρ ὁ ῥήσσων ἐν ἠνορέῃ, συννοητέον τὸ φάλαγγας ἀνδρῶν—Ῥηξήνωρ γὰρ πάντως ὁ ῥηγνύων ἀνέρων φάλαγγας—, εἴτε ῥηξήνωρ ἐστὶν ὁ ῥήσσων ἀνέρας, προσληπτέον τὸ πεπυκνωμένους τῇ παρατάξει. μόνος γὰρ ὁ τοιοῦτός ἐστι ῥηξήνωρ. Οὕτω δὲ καὶ πρὸ ὀλίγων ἐν τῷ «ῥήγνυσκε φάλαγγας» ἔλειπε τὸ ἀνδρῶν, οἳ οὐκ ἐξ ἀνάγκης συνεπινοοῦνται τῇ φάλαγγι. Φάλαγξ γὰρ οὐκ ἐπὶ μόνων ἀνδρῶν λέγεται, ἵνα εὐθὺς τῇ φάλαγγι συνεπινοοῖντο καὶ αὐτοί, [εἴγε καὶ ζῴων ἑτεροίων καὶ δένδρων δὲ φάλαγξ λέγεται. Θυμολέων δέ, ὡς καὶ ἐν Ὀδυσσείᾳ, ἢ ὁ ψυχικὴν προθυμίαν ἔχων λέοντος ἢ ὁ θυμὸν ἀγήνορα ἔχων κατὰ λέοντα ἢ ὁ μὴ φύσει λέων, ἀλλὰ θυμῷ, τουτέστιν οἴκοθεν καὶ ἀφ᾽ ἑαυτοῦ τοιοῦτος, ὡς καὶ θυμόσοφος ὁ μὴ ἄλλοθεν ἀλλὰ φυᾷ, ὅ ἐστιν εὐφυΐᾳ τῇ κατ᾽ αὐτόν, σοφός, Πινδαρικῶς εἰπεῖν.] (v. 226 s.) Σημείωσαι δὲ ὅτι ἐν τῷ «γνώσεαι οἰόθεν οἶος οἷοι καὶ Δαναοῖς ἀριστῆες» τὸ «οἰόθεν οἶος οἷοι» παρηχήσεώς ἐστι.

2.452 τὸ γὰρ οἶος, ὁ μόνος, καὶ οἷος, ὁ ὁποῖος, ἤχῳ μόνῳ ἀλλήλοις ἐπικοινωνοῦσι. Μιμεῖται δὲ ἐν τούτοις ἀγωνιῶντα ὁ ποιητὴς τὸν Αἴαντα καὶ διὰ τοῦτο τὸν λόγον εἰς ταὐτολογίαν ἄγει παρηχητικήν. (v. 229 s.) Τὸ δὲ «κορωνίσι ποντοπόροισιν» ἐκ παρέλκοντος κεῖται κόσμου χάριν φραστικοῦ, καθὰ καὶ τὸ «ποιμένι λαῶν». Τὸ δὲ κεῖσθαι τὸν Ἀχιλλέα ἐν ταῖς ναυσὶ καὶ τὸ ἀπομηνίσαι κεῖται καὶ ἐν τῇ Βοιωτίᾳ, καὶ εἴρηται τὰ δέοντα ἐκεῖ. (v. 231) Τὸ δὲ «ἐσμὲν τοῖοι» καὶ ἑξῆς, μετριοφροσύνην ἔχει. Οὔτε γὰρ λέγει ὡς ἐγὼ τοιόσδε εἰμὶ οὔτε ὁρίζει ποταπός ἐστιν, ἀλλὰ κοινοποιούμενος λέγει, ὡς τοιοῦτοί ἐσμεν οἱ Ἀχαιοὶ οἷοι ἀντιστῆναί σοι, ὁποῖος ἂν δηλονότι καὶ εἶ, καὶ ὁποῖοι ἂν ἡμεῖς ὦμεν, οὐκ εἰς μονάδα ἐστενοχωρημένοι, ἀλλὰ πολλοὶ ὄντες. Τὸ δὲ «ἀντιάσαιμεν σέθεν» ταὐτόν ἐστι τῷ ἀντήσομεν καὶ ἀντίοι ἔλθωμεν. (v. 234) Ἰστέον δὲ καὶ ὅτι νῦν μὲν ὁ Ἕκτωρ σεμνολογεῖ τὸν Αἴαντα, ὡς ἀνωτέρω ἐρρέθη, καὶ μετ᾽ ὀλίγα δὲ τῆς αὐτοῦ πειραθεὶς ἀνδρίας μέγεθος αὐτῷ προσμαρτυρήσει καὶ βίαν καὶ φρόνησιν. Ἀλλαχοῦ μέντοι εὐτυχήσας ἐξουδενώσει αὐτόν, ὡς ἐκεῖ φανήσεται. (v. 242 s.) Ὅτε δὲ βραχὺ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προελθὼν ἐρεῖ «ἀλλ’ οὐ γάρ ς’ ἐθέλω βαλέειν τοιοῦτον ἐόντα, λάθρῃ ὀπιπεύσας, ἀλλ’ ἀμφαδόν, αἴ κε τύχοιμι», συνεσκίασται ὁ λόγος.

2.453 ἄδηλον γὰρ τί βούλεται τὸ «τοιοῦτον ἐόντα». (v. 235 s.) Τὸ δὲ «παιδὸς ἀφαυροῦ καὶ γυναικός, ἣ οὐκ οἶδε πολεμήϊα ἔργα», πρὸς διαστολὴν εἴρηται, ὡς καὶ παίδων ὄντων τινῶν ποτε μὴ ἀφαυρῶν, ἤγουν ἀσθενῶν, καὶ μάλιστα γυναικῶν, αἳ οἴδασι πόλεμον, ὁποῖαί τινες καὶ αἱ Ἀμαζόνες. [Τὸ δὲ πειρητίζειν ἐκ τοῦ πεῖραρ πείρατος ἔχει παραγωγήν.] (v. 238) Τὸ δὲ «ἐπὶ δεξιὰ καὶ ἐπ’ ἀριστερὰ νωμῆσαι τὴν βῶν» ἢ ἀμφιδέξιον, ταὐτὸν δ’ εἰπεῖν, ἀμφοτεροδέξιον εἶναι δηλοῖ τὸν Ἕκτορα, ὁποῖός τις καὶ ὁ ἐν τοῖς ἑξῆς Ἀστεροπαῖος. ἢ τὸ μὲν νικᾶν καὶ διώκειν ἐπὶ δεξιὰ κινεῖν εἶπε τὴν ἀσπίδα διὰ τὸ πρακτικὸν τῶν δεξιῶν, τὸ δὲ φεύγειν καὶ ἡττᾶσθαι ἐπ’ ἀριστερὰ κινεῖν φησιν εὐφημότερον. ἢ καὶ ἄλλως συμβολικῶς ἐπὶ δεξιὰ μὲν κινεῖν φασι τὸ ἀνθίστασθαι. τότε γάρ τις τὴν ἐξ ἀριστερῶν ἀσπίδα ἐν δεξιοῖς ἔχει τοῦ ἀντιπάλου. τὸ δὲ φεύγειν ἐπ’ ἀριστερὰ λέγει νωμᾶν. τηνικαῦτα γὰρ ἐξ ἀριστερῶν αὐτὴν ἔχει τοῦ διώκοντος. (v. 238 s.) Βῶν δὲ ἀζαλέην, ἤγουν ξηράν, ἔφη πρὸς διαστολὴν τῆς ὑγρᾶς ἤτοι ζώσης βοός, ὥσπερ καὶ ἀλίβαντες μὲν οἱ νεκροί, διερὸς δὲ βροτὸς ὁ ζῶν. Ἰστέον δὲ ὅτι οὐχ’ ἁπλῶς οὕτω ἐπὶ βύρσης τέθειται τὸ βοῦς ὄνομα, ἀλλὰ μετὰ προσθήκης τινός, ὡς ἔχει τὸ «βόας αὔας», ὃ ταὐτόν ἐστι τῷ «βῶν ἀζαλέην», καὶ τὸ «βοῶν εὐποιητάων», ἤγουν εὖ τετεχνιτευμένων, ὃ πρὸς διαστολὴν τῶν ὠμοβοείων εἴρηται. Σημείωσαι δὲ καὶ ὅτι ὁ εἰδὼς νωμᾶν βῶν ἀζαλέην εἰκότως καὶ ταλαύρινος λέγοιτ’ ἂν πολεμιστής, ὥς που καὶ αὐτός φησιν ὁ ποιητής. Ἔνθα καὶ διασαφεῖται ἡ τοιαύτη λέξις πρὸς ἀκρίβειαν. Ἡ γὰρ ἀζαλέα βοῦς τάλας ἐστὶ ῥινός, ὅ ἐστι καρτερικὸν καὶ στερεὸν δέρμα, ἐξ ὧν σύγκειται τὸ ταλαύρινον. Διὸ καὶ ὁ ποιητικὸς Ἕκτωρ ἐνταῦθα εἰπὼν εἰδέναι νωμᾶν βῶν ἀζαλέην καὶ δηλῶν πολεμιστὴς καὶ αὐτὸς εἶναι διὰ τοῦτο ταλαύρινος ἐπάγει «διό μοι ἔστι ταλαύρινον πολεμίζειν».

2.454 (v. 241) Τὸ δὲ «ἐν σταδίῃ δηΐῳ μέλπεσθαι Ἄρεϊ» ἔχει μέν τι καὶ ψευδοπαρηχήσεως ἐν τῷ σταδίῃ καὶ δηΐῳ. Δηλοῖ δὲ τὸ εὐχερῶς κινεῖσθαι καὶ οἷον παίζειν καὶ ᾄδειν ἐν τῇ κατὰ συστάδην καὶ πεζῇ μάχῃ διὰ τὸ πολλὴν ἐν τοῖς δεινοῖς ἔχειν εὐχέρειαν. καὶ τὸ μὲν «σταδίῃ» λείπεται τοῦ ὑσμίνῃ ἢ μάχῃ ἢ τοιούτου τινός. τὸ δὲ «μέλπεσθαι» εἴληπται ἀπὸ τῶν καθ’ ἡσυχίαν μελπόντων παιανικῶς τῷ Ἄρεϊ λόγῳ ἑορτῆς, ἢ καὶ τῶν πρὸ μάχης καταυλουμένων ὡς μὴ δειλιᾶν. [Ὅτι δὲ ὁ σταδαῖος ἀπὸ τοῦ στάδην γίνεται, ἀφ’ οὗ τὸ συστάδην, καθὰ ἐκ τοῦ χύδην ὁ χυδαῖος, δῆλόν ἐστιν. Ὁμοίως δὲ καὶ ὅτι σταδαῖος μέν ἐστιν ὁ ἤδη ῥηθείς, σταδιαῖος δὲ τετρασυλλάβως τῷ παρὰ τοῖς ὕστερον σταδίῳ παρωνυμεῖται, ὅπερ δόξει μὲν ἀπὸ τοῦ σταδήν γίνεσθαι διὰ τὸ τοὺς περὶ αὐτὸ ἀγωνιζομένους μὴ πρὸς θέαν μόνην ἀθροισθῆναι, ὥστε καθημένους θεᾶσθαι, ἀλλ’ ὥστε πρὸς ἆθλα ἑστάναι. Οἱ μέντοι παλαιοὶ σπάδιον τι αὐτὸ βούλονται εἶναι ἱστοροῦντες ἐπ’ αὐτῷ καί τι σελίνου ἀνάσπασμα. Τοῦ δὲ σταδίη ἀρσενικὸν στάδιος, παραγόμενος ἐκ τοῦ στάδην.] (v. 231 s.) Ἰστέον δὲ καὶ ὅτι πρὸς ἀγέρωχον ἀντίπαλον καλῶς ἂν εἴπῃ ὁ σωφρονῶν, ὅτι «ἡμεῖς ἐσμὲν τοῖοι, οἳ ἂν σέθεν ἀντιάσαιμεν. ἀλλ’ ἄρχε μάχης ἠδὲ πτολέμοιο». Αἴας δὲ τοῦτο λέγει παραχωρῶν μεγαλοψύχως καὶ φιλοτίμως τῆς πρώτης βολῆς τῷ Ἕκτορι. (v. 242 s.) Ἰστέον δὲ καὶ ὅτι τὸ μὴ ἐθέλειν κλέπτειν τὴν νίκην ἐξ Ὁμήρου ὁ Μακεδὼν Ἀλέξανδρος μαθὼν ἐκέρδησε πλάσαντος τὸν Ἕκτορα, ὡς ἐρρέθη, λέγοντα τῷ Αἴαντι ὡς «οὔ ς’ ἐθέλω βαλέειν» καὶ ἑξῆς.

2.455 Ὀπιπεύειν δὲ τὸ ἐποπτεύειν καὶ ἐπιτηρεῖν καί, ὡς ἐν Ὀδυσσείᾳ εἴρηται, ἐπιόπτεσθαι, ὅθεν καὶ ὁ παρθενοπίπης καὶ ὁ πυρροπίπης δὲ παρὰ τῷ Κωμικῷ καὶ ὁ Ὀππιανός δὲ κατὰ συγκοπήν. Τὸ δὲ τύχοιμι δηλοῖ μὲν ἐπιτυχίαν, γράφεται δὲ καὶ τύχῳμι ἐκταθέντος τοῦ ο , καθὰ καὶ ἐπὶ τοῦ κτείνοιμι κτείνῳμι καὶ τῶν ὁμοίων, ὡς καὶ ἐν τοῖς κατὰ τὴν Ὀδύσσειαν δεδήλωται. (v. 244—8) Ὅτι τῶν ἀριστέων ἀντιστάντων ἀλλήλοις τὸ μὲν Ἕκτορος δόρυ ἓξ πτύχας, ἤγουν θέσεις, διῆλθε τῆς τοῦ Αἴαντος ἀσπίδος. Φησὶ γὰρ «προΐει δολιχόσκιον ἔγχος καὶ βάλεν Αἴαντος δεινὸν

σάκος ἑπταβόειον ἀκρότατον κατὰ χαλκόν, ὃς ὄγδοος ἦεν ἐπ᾿ αὐτῷ. ἓξ δὲ διὰ πτύχας ἦλθε δαΐζων χαλκὸς ἀτειρής, ἐν τῇ δ᾿ ἑβδομάτῃ ῥινῷ σχέτο». Καὶ ὅρα ὡς κἀνταῦθα θηλυκῶς ἔφη τὴν ῥινόν. καὶ οὕτω μὲν τὸ τοῦ Ἕκτορος δόρυ. (v. 251—4) Τὸ δὲ τοῦ Αἴαντος ἔγχος διά τε φαεινῆς ἀσπίδος ἦλθε τῆς τοῦ Ἕκτορος «καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο, ἀντικρὺ δὲ παραὶ λαπάρην διάμησε χιτῶνα». Ταῦτα δὲ καὶ ἐν τῇ γ′ ῥαψῳδίᾳ ὁ Πάρις ὑπὸ τοῦ Μενελάου ἔπαθεν. Ἐκφεύγει δὲ καὶ ἐνταῦθα ὁ Ἕκτωρ τὸν θάνατον, ὡς καὶ ἐκεῖ ὁ Πάρις. «ἐκλίνθη» γάρ, «καὶ ἀλεύατο κῆρα μέλαιναν». (v. 247) Αἱ δὲ πτύχες καὶ τὰς περιπτυχὰς παράγουσιν, ὡς τὸ «ναύλοχοι περιπτυχαί», καὶ τὰς αὐταῖς ἀντικειμένας ἀναπτυχάς, ὡς τὸ «ἡλίου ἀναπτυχαί», τοῦ ἀναπτύσσοντος δηλαδὴ τὰ ἐν σκότῳ.

2.456 Διὸ καὶ δήλιος ὁ αὐτὸς κατ᾿ ἀλληγορίαν, ὡς δηλοποιός. Ὅθεν καὶ τὰ τῶν ὀνείρων σκοτεινότερα ὑπὸ ἡλίῳ ἀνατέλλοντι ἐκλαλούμενα ἐκρίνοντο. (v. 248) Ἡ δὲ ἑβδομάτη ῥινὸς δηλοῖ δύνασθαι τὸ ῥηθὲν σάκος καὶ ἑπτάρινον λέγεσθαι, σαφέστερον μέντοι τὸ ἑπταβόειον, οὗ πάλιν διασαφητικὸν τὸ «ταύρων ζατρεφέων», ὡς καὶ ἐν τῷ ταῦρος βοῦς ἀριδηλότερον τοῦ βοῦς τὸ ταῦρος ὡς εἶδος γένους. Ὅτι καὶ ἐνταῦθα δυσὶ συντομωτάταις Ὅμηρος χρᾶται παραβολαῖς προσηκόντως τῷ καιρῷ, συνεπιτρέχων οἷον τῷ λόγῳ καὶ συστενοχωρῶν αὐτὸν τοῖς φραζομένοις πράγμασι. (v. 255—7) Λέγει γὰρ ὅτι «ἐκσπασάμενοι δολίχ᾿ ἔγχεα χερσὶν ἅμ᾿ ἄμφω», ἤγουν ὁ Ἕκτωρ καὶ ὁ Αἴας, «σύν ῥ᾿ ἔπεσον λείουσιν ἐοικότες ὠμοφάγοισιν ἢ συσὶ κάπροισι, τῶν τε σθένος οὐκ ἀλαπαδνόν», ὡς τῶν θηλέων δηλαδὴ συῶν ἀλαπαδνῶν οὐσῶν. (v. 256) Καὶ ὅρα τὸ ἐκσπασάμενοι ἀπὸ τῶν φυτῶν ληφθὲν μέσως πως, ἤγουν ἢ σεμνῶς, ἐὰν ἀπὸ δένδρων μετήνεκται, ἢ μικροφυῶς, ἐὰν ἀπὸ φυταρίων ἴσως γέγονεν ἡ τροπή, ὅπερ οὐκ ἂν εἴη, ὡς δηλοῖ καὶ τὸ «σύν ῥ᾿ ἔπεσον». Τὸ γὰρ συμπεσεῖν ὡς ἐπὶ μεγάλων σωμάτων καὶ αὐτὸ εἴρηται ὑψόθεν καταρασσομένων εἰς ἄλληλα, οἷον νεφελῶν ἢ λίθων ὀρεινῶν ἢ τοιούτων τινῶν. Οἱ δὲ μεθ᾿ Ὅμηρον τὴν λέξιν καὶ ἐπὶ τυχηρῶν ἀποβάσεων τιθέασι. Λέγεται δέ ποτε συμπεσεῖν καὶ τὸ ἅμα πεσεῖν. (v. 255) Ἰστέον δὲ ὅτι ἐκ τοῦ σπᾶν, ἐξ οὗ τὸ ἐκσπάσασθαι, οὐ μόνον ἐπὶ φυτῶν τὸ ἀνασπᾶν λέγεται, ἀλλὰ καὶ ἐπὶ ἀλαζονείας, ὡς δηλοῖ παρὰ Σοφοκλεῖ τὸ «λόγους ἀνέσπα», ᾧ ὅμοιον καὶ τὸ «ὀφρῦς ἀνασπᾶν», οἷς ἐναντίον τὸ κατασπᾶν.

2.457 Ἐκεῖθεν δὲ καὶ τὸ «προσανεσπάσθησαν κλίμακες», ἤγουν ὑψώθησαν κτισθεῖσαι. Δῆλον δὲ καί, ὡς ἕτεραι προθέσεις τῷ αὐτῷ ῥήματι συντεθεῖσαι διάφορα ποιοῦσι νοήματα, ὡς δῆλον ἐκ τοῦ συσπᾶν καὶ διασπᾶν καὶ παρασπᾶν, τὸ ἀφαιρεῖσθαι γῆν τυχὸν ἢ ἕτερόν τι, καὶ ἐκ τοῦ ἀντισπᾶν καὶ τῆς ἐπισπάσεως καὶ τοῦ περισπασμοῦ καὶ ἑτέρων. (v. 256) Ἐν δὲ τῷ «λείουσιν ὠμοφάγοισιν» ἢ «συσὶ κάπροισι» συχνὰ διὰ κάλλος τὰ πάρισα. Καὶ ἐνταῦθα δὲ γενικὸν μὲν τὸ συσίν, εἰδικὸν δὲ τὸ κάπροισι, καὶ ἔστι καὶ αὐτὸ ὅμοιον τῷ «βοῦς ταῦρος» καὶ τοῖς τοιούτοις. (v. 258 s.) Ὅτι ἐπεὶ ἀλλήλοις οἱ μονομάχοι ἐκσπασάμενοι τὰ ἔγχεα συνέπεσον, ὁ μὲν Ἕκτωρ ἤνυσεν οὐδέν. οὐτάσας γὰρ τὸ τοῦ Αἴαντος μέσον σάκος δουρὶ οὐκ ἔρρηξε χαλκόν, τὸν ἐξ ἐπιπολῆς δηλαδὴ ὄγδοον, «ἀνεγνάμφθη δέ οἱ αἰχμή». (v. 260—272) «Αἴας δ᾿ ἀσπίδα νύξε», τὴν τοῦ Ἕκτορος, «ἐπάλμενος, ἣ δὲ διαπρὸ ἤλυθεν ἐγχείη, στυφέλιξε δέ μιν», ἤτοι διέσεισε, «μεμαῶτα, τμήδην δ᾿ αὐχένα ἐπῆλθε, μέλαν δ᾿ ἀνεκήκιεν αἷμα. ἀλλ᾿ οὐδ᾿ ὣς ἀπέληγε μάχης Ἕκτωρ, ἀλλ᾿ ἀναχασσάμενος», ὅτε δηλαδὴ καὶ τὸ ἔγχος αὖθις ἐξεσπάσθη τῆς τοῦ Ἕκτορος ἀσπίδος, «λίθον εἵλετο χειρὶ παχείῃ κείμενον ἐν πεδίῳ μέλανα τρηχύν τε μέγαν τε· τῷ βάλεν Αἴαντος», τὸ καὶ ἀνωτέρω ῥηθέν, «δεινὸν σάκος ἑπταβόειον μέσσον ἐπομφάλιον, περιήχησε δ᾿ ἄρα χαλκός». «Δεύτερος αὖτ᾿ Αἴας πολὺ μείζονα λᾶαν ἀείρας ἧκεν», ὅ ἐστιν ἀφῆκεν, «ἐπιδινήσας ἐπέρεισε δὲ ἶν᾿ ἀπέλεθρον», ὃ καὶ ἐν ἄλλοις κεῖται, ἤγουν ἐνεστήριξε τῷ λίθῳ ἰσχὺν πολλὴν τῇ ἐπιδινήσει. «εἴσω δ᾿ ἀσπίδ᾿ ἔαζε βαλὼν μυλοειδέϊ πέτρῳ, βλάψε δέ οἱ φίλα γούνατα. ὃ δ᾿ ὕπτιος ἐξετανύσθη ἀσπίδι ἐγχριμφθείς», ἤτοι ἐν χρῷ κρουσθείς, προσπελασθεὶς

κατὰ χροῦν, «τὸν δ’ αἶψ’ ὤρθωσεν Ἀπόλλων». Καὶ ὅρα πολλὴν δυστυχίαν Ἕκτορος, καὶ ὡς τεραστίως ἐξέφυγε τὸ πεσεῖν. (v.

2.458 259) Καὶ ὅτι καὶ ἐν τῷ «ἀνεγνάμφθη δέ οἱ αἰχμή» φανερῶς αἰχμὴν λέγει τὸν τοῦ δόρατος σίδηρον, ὃς καὶ ἐπιδορατὶς λέγεται. Ἄλλως μέντοι, ὥσπερ τὸ δόρυ ἔστιν ὅτε πόλεμον σημαίνει, ὡς δηλοῖ τὸ «δουρὶ κλυτός», ἤγουν περιώνυμος ἐν πολέμῳ, οὕτω καὶ τὸ αἰχμή. Διὸ καὶ ταὐτὸν δορυάλωτον εἰπεῖν καὶ αἰχμάλωτον, ἐν οἷς δηλοῦται ὁ ἐν πολέμῳ ἁλούς. Λέγει δέ που καὶ Ἡρόδοτος περί τινων ὡς κακῶς αὐτοῖς ἡ αἰχμὴ ἔστηκε πρὸς τοὺς δεῖνα, ἤγουν ἐδυστυχήθη αὐτοῖς ὁ πόλεμος. τοῦτο δὲ καὶ ἐκ τοῦ παρακολουθοῦντος εἴρηται. παρακολουθεῖ γὰρ τοῖς ἐν μάχῃ δυστυχοῦσι κακῶς αὐτοῖς ἑστάναι τὴν αἰχμήν. [(v. 260) Τὸ δὲ νύξεν οὐ δοκεῖ διαφέρειν τοῦ οὔτασεν, ἀμφοῖν δὲ διέσταλται τὸ ἔρρηξε.] (v. 262) Τὸ δὲ «τμήδην», παραχθὲν ἀναλόγως τῷ παραβλήδην καὶ ὑποβλήδην καὶ τοῖς ὁμοίοις, τὸ ἐπιπολάζον δηλοῖ τῆς πληγῆς. Ἀνακηκίειν δὲ τὸ ἀναπηδᾶν, ἀπὸ τοῦ κίω, καὶ ἀναδιπλασιασμῷ κακίω καὶ τροπῇ κηκίω. ἄλλως γὰρ οὐκ ἔστιν εὑρεθῆναι ἀναδιπλασιασμὸν ἐκτεταμένον. Τοιοῦτον δέ τι γίνεται καὶ ἐπὶ τοῦ τητῶ, τὸ στερίσκω, καὶ ἐπὶ τοῦ ἐπενήνεον, περὶ οὗ μετ’ ὀλίγα εἰρήσεται, καὶ ἐπὶ τοῦ κηκάζω, περὶ οὗ ἐν Ὀδυσσείᾳ δεδήλωται. Ἰστέον δὲ ὡς οὐ πολὺ ἀναπήδημα αἵματος δηλοῖ τὸ ἀνακηκίειν, οὐδὲ ὁποῖον τὸ ἀνακοντίζειν ἐν τῷ «αἷμα δ’ ἀνηκόντιζεν ἀπὸ στρεπτοῖο χιτῶνος», ἠρεμαίαν δὲ σημαίνει ἀνάδοσιν, ὡς δηλοῖ καὶ τὸ «μυδῶσα κηκὶς μηρίων ἐτήκετο» παρὰ Σοφοκλεῖ. ἡ γὰρ τηκομένη κηκὶς οὐκ ἂν ὑψοῦ ἀναπηδῴη. Ἡ δὲ τοιαύτη ἀπὸ τοῦ καίειν δοκεῖ λεχθῆναι, καιομένη γὰρ ἐτήκετο. (v. 264) Ὅρα δὲ καὶ τὸ «ἀναχασάμενος», ὅ ἐστιν ἀναποδίσας, δι’ οὗ ἡρμήνευσε τὸ συνέπεσον, οἱονεὶ εἰπών, ὅτι διὰ τὴν ἄγαν ἐγγύτητα εἴρηται συμπεσεῖν ἀλλήλοις τοὺς ἥρωας καὶ οἷον ἐπιπεσεῖν. ἰδοὺ γάρ, εἰ μὴ ἀνεπόδισεν ὁ Ἕκτωρ, οὐκ εἶχε βαλεῖν. Τὸ δὲ εἵλετο, τουτέστιν ἔλαβεν, ἐνεργητικῶς εἷλεν ὡς ἐπὶ πολὺ λέγεται.

2.459 (v. 265) Εὐτυχεῖ δὲ λίθον εὑρὼν εἰκῇ ἐν πεδίῳ κείμενον ὁ Ἕκτωρ φίλον αὐτῷ. Μέλανα δὲ καὶ τραχὺν λίθον ἔφη πρὸς διαστολὴν τοῦ μαρμάρου, ὃν ἐρεῖ ἐν τοῖς ἐφεξῆς. Ὁ γὰρ μάρμαρος λίθος, ἐπειδὴ μαρμαίρει, λεῖός ἐστι καὶ οὐ τραχύς, τάχα δὲ οὐδὲ μέλας. Πιθανότητος δὲ ἐργαστικὸν τὸ καὶ σχῆμα καὶ χρῶμα λίθου καὶ μέγεθος εἰπεῖν. (v. 267) Τὸ δὲ «μέσον ἐπομφάλιον», ἀλλήλων εἰσὶν ἐφερμηνευτικά, ὡς τῆς ἀσπίδος ἐν τῷ μέσῳ ἐχούσης ὀμφαλόν, ὃς καὶ ἔοικε διὰ τοῦτο λέγεσθαι ὀμφαλός, ὡς καὶ τοῦ φυσικοῦ ὀμφαλοῦ μεσάζοντος τὸ ζῷον. (v. 266 s.) Καὶ ἔστιν ἐνταῦθα ὁ λόγος τῷ ποιητῇ, ὡς ἔβαλεν Ἕκτωρ τὸ τοῦ Αἴαντος σάκος κατὰ μέσον τὸ ἐπομφάλιον, ὃ δὴ σάκος οὐδ’ ἐνταῦθα ὤκνησεν ἑπταβόειον εἰπεῖν, ἐγκαθίζων οὕτω τὴν τούτου μνήμην τῷ ἀκροατῇ. (v. 269) Ὅτι δὲ τῷ ἐπιδινῆσαι τὸν λίθον πρὸ τῆς ἀφέσεως ἰσχὺν ἐπερείδει τῇ βολῇ, ὡς καὶ ὁ ποιητὴς δηλοῖ, οὐκ ἔστιν ἀμφιβαλεῖν. οὕτω δὲ καὶ ὁ τὸ δόρυ ἀμπεπαλών, ὡς ἀλλαχοῦ εἴρηται, ἰσχυρὰν ποιεῖ τὴν βολήν. (v. 270) Τὸ δὲ ἔσω κάταγμα τῆς ἀσπίδος, οὐ μόνον τὸ ἐμβριθὲς τῆς βολῆς δηλοῖ, ἀλλὰ καὶ τὸ τῆς ἀσπίδος εὐπαγές. Οὐ γὰρ κατεάγη πρὸς μῆκος, ἀλλὰ μόνον ὅπου ὁ μυλοειδὴς πέτρος ἔκρουσε, τουτέστιν ὁ στρογγύλος, καὶ ἴσως οὐδὲ εἰς τὸ πᾶν σφαιροειδὴς οὐδ’ αὐτὸ τοῦτο μυλίας κατὰ τοὺς ῥήτορας, ἀλλὰ ἐοικὼς τοιούτῳ λίθῳ. Οὔτε γὰρ ὁ θεοειδὴς θεὸς ἂν εἴη οὔτε ὁ μυλοειδὴς μύλος νοηθείη αὐτόχρημα, ἤτοι λίθος μυλωνικός. (v. 271) Τὸ δὲ «βλάψαι γούνατα» ταὐτὸν καὶ ἐνταῦθα τῷ συνεπόδισε καὶ τῆς κατὰ φύσιν ἐνεργείας ἔσφηλεν, ὡς ὕπτιον ἐκτανυσθῆναι τὸν οὕτω βλαβέντα. Ἐν δὲ τῷ «φίλα γοῦνα» παρέλκει τὸ φίλα συνήθως, καθὰ καὶ ἐν τῷ «φίλα γυῖα». οὕτω δὲ καὶ φίλαι χεῖρες. (v. 272) Ὁ δὲ ὀρθώσας Ἀπόλλων τὸν Ἕκτορα εἱμαρμένη τίς ἐστιν, ὡς πολλάκις εἴρηται. Διὸ καὶ ὁ Ἕλενος πρὸ μικροῦ ἐξ Ἀπόλλωνος γνοὺς εἶπε τὸ «οὐ γάρ πώ τοι μοῖρα θανεῖν». Σημείωσαι δὲ καὶ ὅτι ἐν ταῖς τρισὶν ὁρμαῖς ὁ Ἕκτωρ κατάρχει. Πρῶτος γὰρ καὶ ἔβαλεν ἔγχει τὸ τοῦ Αἴαντος σάκος καὶ αὖθις ἐν τῷ συμπεσεῖν οὔτασε καὶ λίθον δὲ ἐπαφῆκεν.

2.460

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὕτω πάνυ σύντομος ἦν καὶ ὀξύς. Δραστηριώτερος μέντοι ὁ Αἴας, ὃς οὐ μόνον ἤνεγκεν τὰς τρεῖς προεξορμήσεις, ἀλλὰ καὶ τοσαυτάκις ἐνήργησεν. (v. 273—7) Ἐνταῦθα δὲ σημείωσαι καί, ὅτι δυνάμενος ὁ ποιητὴς καὶ διὰ ξιφῶν ἀγῶνα τοῖς ἥρωσι πλάσασθαι παρεᾷ τοῦτο, ἐμφήνας μόνον ὅτι δύναται. Φησὶ γὰρ ὅτι καὶ ξίφεσιν ἂν αὐτοσχεδὸν οὐτάζοντο, εἰ μὴ ἐκώλυσαν οἱ κήρυκες. (v. 273) Καὶ ὅρα τὸ «αὐτοσχεδὸν οὐτάζοντο», πρὸς διαστολὴν λεχθὲν τῶν πόρρωθεν βολῶν. (v. 277—282) Ὅτι μέσοι ἀμφοτέρων κήρυκες ἐλθόντες, Ἑλλήνων μὲν Ταλθύβιος, Ἰδαῖος δὲ Τρώων, [πεπνυμένω ἄμφω,] καὶ ἀνασχόντες τὰ σκῆπτρα, ὡς ἂν φαίνοιντο παντὶ τῷ στρατῷ, ἔπαυσαν τὴν μονομαχίαν. Τούτων δὲ τῶν δύω κηρύκων, [οἳ καὶ Διός εἰσιν ἄγγελοι,] ὁ Ἰδαῖος παῖδάς τε φίλους τοὺς μονομάχους προσεῖπε, γέρων δηλαδὴ αὐτὸς ὤν, καὶ ἄμφω αἰχμητὰς εἶπεν εἶναι, καὶ ὅτι «νὺξ ἤδη τελέθει, ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι», ὅπερ προϊὼν καὶ ὁ Ἕκτωρ λέγει, οὐκ αἰδεσθέντος οὐδ’ ἐνταῦθα τοῦ ποιητοῦ τὴν καίριον ταὐτολογίαν, ἥτις καὶ εἰς παροιμίαν ἦλθε παρὰ τοῖς μεθ’ Ὅμηρον, γλυκέως λεχθεῖσα ὡς περὶ ἐμψύχου τῆς νυκτὸς καὶ συμβουλευομένης τὰ πρὸς ἀνάπαυσιν. Ὅτι δὲ ἡ ποίησις τίμιόν τι τὴν νύκτα οἶδε, φανήσεται καὶ ὅπου ἐρεῖ ὁ ποιητὴς τὸ «αἴδετο γὰρ Ζεὺς μὴ νυκτὶ θοῇ ἀποθύμια ἔρδοι». Πείθεται δέ τις νυκτί, δηλαδὴ ἀλαλήτως ὑποτιθεμένῃ παύσασθαι ἔργων. οὗ τὸ ἀνάπαλιν ἡ ἠὼς ποιεῖ ἐν τῷ φῶς ἀγγέλλειν Διῒ καὶ ἑτέροις. Αὐτὴ γὰρ οὐκ ἀναπαύεσθαι βούλεται, ἀλλά «προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου», καθ’ Ἡσίοδον, [ὀρθοῦσα εἰς τὸ ἐργάζεσθαι, ὅθεν καὶ ὁ ὄρθρος παρῆκται. Ἡ μέντοι νὺξ οὐ τοιαύτη, ἀλλὰ γίνεται μὲν ἀπὸ τοῦ νύσσω νύξω ἀποβολῇ τοῦ ω .
2.461 Λαλεῖται δέ, φασί, τοῦτο ἀντιφραστικῶς. Οὐ γὰρ νύσσει πρὸς ἔργον, ἀλλὰ μᾶλλον κατατίθησιν, ὡς δηλοῖ, φασί, καὶ τὸ «θοὴ νύξ», ἡ καταθετική. εἰ μὴ ἄρα τοὺς φιλεργοὺς νύσσει κεντοῦσα οἷον καὶ πλήττουσα, ὅτι καταργοῦσι τὸν καιρὸν αὐτῆς.] καὶ τοιαῦτα μὲν ὁ Ἰδαῖος. (v. 284—6) Αἴας δὲ οὐ πείθεται, εἰ μὴ ὥσπερ μάχης, οὕτω καὶ φιλοφροσύνης ὁ Ἕκτωρ κατάρξεται. «Ἰδαῖε», γάρ φησιν, «Ἕκτορι ταῦτα κελεύετε μυθήσασθαι, αὐτὸς γὰρ χάρμῃ προκαλέσσατο πάντας ἀρίστους. ἀρχέτω, ἐγὼ δὲ μάλα πείσομαι», τῷ Ἕκτορι δηλαδὴ ἢ τῇ νυκτί. Τοῦτο δὲ καὶ πρὸ τοῦ ἔργου εἶπεν ἐν τῷ «ἀλλ’ ἄρχε μάχης ἠδὲ πτολέμοιο». Ἐπὶ γοῦν τούτοις ὁ Ἕκτωρ πείθεται καὶ ἀπαγορεύσας τρόπον τινὰ ὁμολογεῖ τὴν ἧτταν. (v. 282) Ἰστέον δὲ ὡς οὐ νυκτὶ μόνον πείθεταί τις εἰς τὸ σχολάζειν ἀπ’ ἔργου, ἀλλὰ καὶ ταῖς μετὰ σταθερὰν μεσημβρίαν ὥραις, εἴ τι προσεκτέον τῷ ἀποφηναμένῳ, ὡς αἱ μὲν ἓξ πρῶται τῆς ἡμέρας ὧραι ἔργων εἰσίν, αἱ δ’ ἄλλαι ζῆθι λέγουσι βροτοῖσιν, ὡς τοῦ μὲν ἄχρι μεσημβρίας κόπου οἷον θανατοῦντος, τῆς δὲ ἐφεξῆς ἀνέσεως ζωογονούσης. Τοῦτο δ’ ἐσοφίσατο ἐκεῖνος ἐκ τοῦ τὰ ἀριθμητικὰ σημεῖα τῆς ἑβδόμης ὀγδόης ἐνάτης καὶ δεκάτης ὥρας ὁμοῦ παρακείμενα δοκεῖν ἐπιτάσσειν τοῖς ἐργατίναις ἑκάστῳ τὸ ζῆθι, ὅπερ δίχα τῆς θι συλλαβῆς ζῇ λέγει ἡ τραγῳδία, οἷον «πλούτει κατ’ οἶκον καὶ ζῆ». Ὥσπερ καὶ τὸ δρᾶ μονοσυλλάβως καὶ αὐτὸ ἀντὶ τοῦ πράττε, οἷον «ἄνθρωπε, μὴ δρᾶ τοὺς τεθνηκότας κακῶς». (v. 277) Σημείωσαι δὲ ὅτι καὶ ἐνταῦθα σχῆμά ἐστι τὸ κατὰ τὸ σιωπώμενον, ἐπινοηθὲν διὰ συντομίαν. Νοητέον γὰρ ὅτι κελευσθέντες οἱ κήρυκες ὑπὸ τῶν ἀριστέων ἦλθον μέσοι, εἰ μὴ ἄρα καὶ ἄλλως ὡς θεῖον γένος εἶχον καὶ οἴκοθεν οὕτω ποιεῖν. (v. 274) Ἄγγελοι γάρ, φησί, Διὸς καὶ ἀνδρῶν, ὡς καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ εἶπε. Σημείωσαι δὲ καὶ ὅτι ὁ Ταλθύβιος ἐνταῦθα σιωπᾷ καιριώτατα, ὡς καὶ ἀλλαχοῦ ἕτερα πρόσωπα. Οὔτε γὰρ ἐθέλει τὴν μονομαχίαν παῦσαι νικῶντα τέως ὁρῶν τὸν Αἴαντα, οὔτε μὴν προτρέπειν εἰς μάχην θαρρεῖ, δεδιὼς τὸ ἄδηλον. Οὔπω γὰρ ἀκριβὴς ἡ νίκη. ἄλλως τε καὶ διότι νὺξ ἤδη ἐστίν, ἐν ᾗ πάθοι ἂν ὁ Αἴας ἐπιβουλὴν μᾶλλον ἤπερ ὁ Μενέλαος μεθ’ ἡμέραν ἔπαθε, καὶ διότι ἐν νυκτὶ κρίσις τύχης, οὐ τέχνης ἐστίν. Ὁ πᾶς οὖν λόγος τῷ Ἰδαίῳ νενέμηται περισῴζοντι τὸν Ἕκτορα κινδυνεύοντα. τάχα δὲ καὶ προεπήδησε τοῦ Ταλθυβίου δεδοικὼς περὶ τῷ Ἕκτορι μὴ καὶ εἰς οὐδὲν δέον ἀπολεῖται. ὅθεν καὶ λαλεῖ ὡς προμελετήσας, Ταλθύβιος δὲ οὔ. Ὅρα δὲ καὶ ὡς εἰς ταὐτὸν ἄγει τὸ κήρυκες καὶ τὸ ἄγγελοι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.462 (v. 276 et 278) Εἰ δὲ Διὸς ἄγγελοι, Ζεὺς δέ ποτε καὶ ὁ νοῦς, καλῶς ἄρα καὶ πεπνυμένους ἄμφω τούτους λέγει καὶ αὖ πάλιν τὸν Ἰδαῖον πεπνυμένα μήδεα, ἤτοι βουλεύματα, εἰδότα. Ἐν ἑτέροις δὲ καὶ ἐσθλὸν εἶναί φησι τὸ τοὺς ἀγγέλους αἴσιμα εἰδέναι, ὡς μὴ δέον ὂν τοὺς τοιούτους ἀφραίνειν. (v. 279) Ἰστέον δ᾽ ἐν τούτοις καὶ ὅτι εἰρηνοποιὸν ἐκ παλαιοτέρου τινὸς ἀνδρὸς πρὸς νεωτέρους μονομάχους τὸ «μηκέτι παῖδε φίλω πολεμίζετε μηδὲ μάχεσθε». (v. 280 s.) Εἰ δὲ καὶ ἀγαθοί, ἔτι δὲ καὶ γενναῖοι ἐκεῖνοι, ἐπιφωνηθήσεται καὶ τὸ ἑξῆς μικρόν τι παρῳδηθὲν «ἀμφοτέρω δὲ σφῶϊ φιλεῖ θεός, ἄμφω δ᾽ αἰχμητά, τό γε δὴ καὶ ἴδμεν ἅπαντες». (v. 284—6) Ὁ δὲ ὀκνῶν εἰρηνεῦσαι πρὶν ἢ ἐθελήσει ὁ προκατάρξας ἐχθρός, εἴποι ἄν, ὅτι τῷ δεῖνι «ταῦτα κελεύετε μυθήσασθαι, οὗτος γὰρ χάρμῃ προκαλέσσατο», καὶ ὅτι «ἀρχέτω, αὐτὰρ ἐγὼ μάλα πείσομαι ᾗ περ ἂν οὗτος». Ἔνθα καὶ σημείωσαι τὴν ἔλλειψιν καιρίως γενομένην ὑπὸ τοῦ Αἴαντος διὰ τὸ μὴ ἔχειν πολυλογεῖν. Λέγει γὰρ ὅτι ἀρχέτω, εἰρήνης δηλαδή, ὁ Ἕκτωρ, ἐγὼ δὲ πείσομαι, ὅπου ἂν οὗτος δηλονότι ἄρχῃ, καὶ ὡς ἐπείσθην μονομαχῆσαι, οὕτω καὶ μή. Γοργότητος δὲ τὸ «ἀρχέτω» ἀσυνδέτως λεχθέν. [(v. 286) Ὅρα δὲ ὅτι τε τὸ «ᾗ περ ἂν οὗτος» δικαιολογικόν τι ἔχει, ὡς δίκαιον ὂν μὴ τὸν Ἰδαῖον παύειν τὴν μάχην εἰρηνικῶς, ἀλλ᾽ αὐτὸν δὴ τὸν προκαλεσάμενον Ἕκτορα. (v. 285) Καὶ ὅτι τὸ «χάρμῃ προκαλέσσατο πάντας ἀρίστους» μυκτῆρα ὑποκρύπτει σκωπτικόν τινα. δάκνει γάρ πως ὁ Αἴας τὸν Ἕκτορα, τωθάζων, εἰ πάντας τοὺς κρατίστους προκαλεσάμενος εἰς μάχην, εἶτα νῦν οὐδὲ πρὸς ἕνα γοῦν τοῦτον αὐτάρκης ἐστὶν ἀντιμάχεσθαι.] (v. 288—298) Ὅτι οἶδεν ἡ τύχη τὰς τῶν ἀνθρώπων, ὡς καὶ προερρέθη, γνώμας ἑαυτῇ συνεξαλλάττειν ὡς τὰ πολλά. Ἕκτωρ οὖν, ὁ ἐν τοῖς ἑξῆς ὑπὸ εὐτυχίας αἰρόμενος καὶ ἁμαρτοεπῆ καὶ βουγάϊον ἐκεῖ λέγων τὸν Αἴαντα, νῦν θωπεύων αὐτὸν διὰ τὸ ὑπογυίως τῆς αὐτοῦ ἀρετῆς πειραθῆναι πολλά, καθὰ καὶ προεδηλώθη, ἐπιμαρτύρεται αὐτῷ ἀγαθὰ λέγων «Αἶαν, ἐπεί τοι δῶκε θεὸς μέγεθός τε βίην τε καὶ πινυτήν, περὶ δ᾽ ἔγχει Ἀχαιῶν φέρτατός ἐσσι, νῦν μὲν παύσωμεν» καὶ τὰ ἑξῆς. Καὶ σημείωσαι ὅτι οἱονεὶ τρόπαιον ζῶν καὶ λαλοῦν ὁ Ἕκτωρ ἀνίσταται τῷ Αἴαντι. Ὅρα δὲ καὶ νῦν τὸ τοῦ Ἕκτορος μεγαλόφρον.

2.463 οὐ γὰρ ἑαυτοῦ ἢ τῶν Τρώων φέρτερον τὸν Αἴαντα λέγει, ἀλλὰ τῶν ὁμοφύλων Ἀχαιῶν. (v. 289) Πινυτὴν δὲ νῦν μὲν τὴν σύνεσιν ἔφη. ἐν ἄλλοις δὲ ἐπιθετικῶς τὴν μετέχουσαν πινυτότητος, ἧς ἀρσενικὸν ὁ πινυτός, ὃς καὶ κύριον εὕρηται ὄνομα. (v. 290—2) Ὅτι καιρικῆς ἀγάπης ἐνταῦθα τὰ τοῦ Ἕκτορος, ἤγουν τὸ «νῦν μὲν παυσώμεσθα μάχης καὶ δηϊοτῆτος σήμερον· ὕστερον αὖτε μαχησόμεθα, εἰς ὅ κε θεὸς ἄμμε διακρίνῃ, δώῃ δ᾽ ἑτέροισί γε νίκην». Καὶ ὅρα ὡς τὸ νῦν διεσάφησεν ἐπαγαγὼν τὸ σήμερον, ἵνα μὴ ἀμφίβολος ὁ λόγος εἴη, ὡς ἐν τῇ β′ ῥαψῳδίᾳ. Ἐν δὲ τῷ «δώῃ ἑτέροις νίκην» ἔοικε τὸ τῆς νίκης ὁ ποιητὴς ἑρμηνεύειν ἑτεραλκές. ἀεὶ γὰρ ἑτέρῳ μέρει δίδοται νίκη ἀλκίμῳ φανέντι. Τὸ δὲ διακρῖναι διατμῆξαι προϊὼν ἐρεῖ ὁ ποιητής. (v. 295) Ὅτι ἐστὶ διαφορὰ ἔτου καὶ ἑταίρου, ὡς δηλοῖ καὶ τὸ «σούς τε μάλιστα ἔτας καὶ ἑταίρους». Ἐθάδες μὲν οὖν καὶ ὁ ἔτης καὶ ὁ ἑταῖρος, ὡς καὶ ἡ ἐτυμολογία δηλοῖ, συνηθέστερος δὲ ὁ ἑταῖρος. Ὅτι δὲ τὸ ἔτης ἡ πλείων χρῆσις ψιλοῖ, ἀλλαχοῦ προρρηθὲν εὑρεθήσεται. (v. 294—8) Ἰστέον δὲ ὅτι κοινήν τε καὶ ἰδικὴν εὐφροσύνην τὴν ἐπί τινι ἀγαθῷ ἀνδρὶ δηλοῖ τὸ «ὡς σύ τ᾽ εὐφρήνῃς πάντας Ἀχαιούς, σούς τε μάλιστα ἔτας καὶ ἑταίρους, οἵ τοι ἔασιν· αὐτὰρ ἐγὼ κατὰ ἄστυ» καὶ ἑξῆς. Ἔστι δὲ καὶ νῦν τὸ ἔασι ταὐτὸν τῷ εἰσί, καθ᾽ ὁμοιότητα τοῦ τιθέασι τιθεῖσιν. (v. 297) Ὅτι ἑλκεσίπεπλοι Τρῳάδες καὶ ἐνταῦθα ἀντὶ τοῦ μακρόπεπλοι, ὃ δὴ καὶ Ῥωμαίοις ἐπεχωρίασεν, ὡς ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν σεσημείωται.

2.464 (v. 298) Ὅτι θεῖον ἀγῶνα ἐνταῦθά φησιν ὁ ποιητὴς ἢ τὸ ἀγωνίως καὶ προθύμως εὔχεσθαι ἢ τὸν ναὸν αὐτὸν ὡς θεῖον καταγώγιον καὶ ἀθροιστήριον διὰ τὰ ἐν αὐτῷ ἀγάλματα. Ὅτι δὲ πενταχῶς λέγεται ὁ ἀγών, ἀριθμοῦσιν οἱ παλαιοί. Ἐνταῦθα δὲ εἰπὼν ὁ Ἕκτωρ ὅτι αἱ Τρῳάδες εὐχόμεναί μοι θεῖον δύσονται ἀγῶνα, ὑπερεξαίρει ἑαυτὸν τοῦ Αἴαντος, μονονουχὶ λέγων ὅτι σὺ μὲν ἁπλῶς εὐφρανεῖς, ὡς ἐρρέθη, τοὺς Ἀχαιούς, ὑπὲρ ἐμοῦ δὲ καὶ εὔξονται οἱ ἐν τῇ Τροίᾳ ἢ καὶ ὅσα

θεῷ τινι εὔξονταί μοι, ὡς ἐκεῖ μὲν μὴ ὄντος ἑτέρου τοιούτου, παρὰ δὲ Ἕλλησι πολλῶν ὄντων ἀντιπάλων τῷ Ἕκτορι κατὰ τὰ πρὸ μικροῦ εἰρημένα. Ἴσως δὲ καὶ ἔκφυγεν ἔπος τοῦτο ἕρκος ὀδόντων τὸν Ἕκτορα καὶ οὐκ οἶδεν ὁμολογῶν εὐκτὸν εἶναι Τρωσὶ περισωθῆναι αὐτόν. Δοκεῖ γὰρ λέγειν ὅτι εὐχόμεναι ὑπὲρ ἐμοῦ εἰσελεύσονται εἰς τοὺς ναούς, ὡς μέγα ὂν καὶ ἐν θεῶν γούνασι κείμενον, εἰ περισωθήσεται. Οὕτω σχηματίζειν οἶδεν ὁ ποιητὴς δεξιῶς. (v. 299—302) Ὅτι φιλότιμος ὁ Ἕκτωρ κἀνταῦθα, ὃς οὐ μόνον προκατάρχει τοῦ δῶρα δοῦναι, ἀλλὰ καὶ ὁρίζει τί ἂν εἴποιεν οἱ θεαταί. Φησὶ γὰρ «δῶρα δέ γε», ἢ «δῶρα δ’ ἄγ’ ἀλλήλοισι περικλυτὰ δώομεν ἄμφω, ὄφρα τις ὧδ’ εἴπῃσιν Ἀχαιῶν τε Τρώων τε», κατὰ ἠθοποιΐαν τὴν ἐν κοινῷ, «ἦ μὲν ἐμαρνάσθην», ὅ ἐστιν ἐμάχοντο, «ἔριδος πέρι θυμοβόροιο, ἠδ’ αὖτ’ ἐν φιλότητι διέτμαγεν ἀρθμήσαντε». (v. 307—10) Ὅτι δὲ καὶ ἔπαθέ τι γενναῖον ὑπὸ τοῦ Αἴαντος, ἐσίγησεν ἐξ ἀγερωχίας. καὶ αὐτὸς μὲν οὕτω. Οἱ δὲ Τρῶες οἴδασι τὴν τοῦ Αἴαντος ἀρετὴν καὶ ἐχάρησαν, ὡς εἶδον Ἕκτορα «ζῳόν τε καὶ ἀρτεμέα προσιόντα, Αἴαντος προφυγόντα μένος καὶ χεῖρας ἀάπτους. καὶ δὴ ἦγον προτὶ ἄστυ ἀελπέοντες», ἢ ἀέλποντες, τουτέστι δυσελπιστοῦντες, «σόον εἶναι», [καί που, ὡς εἰκός, διὰ τοῦτο εὐχόμενοι καὶ αὐτοὶ τῷ Ἕκτορι διαφυγεῖν μένος καὶ χεῖρας ἀάπτους τὰς τοῦ Αἴαντος.

2.465 ] (v. 311 s.) Καὶ οἱ Ἕλληνες δὲ οὐκ ἀπεικότως, καθὰ καὶ ὁ Αἴας, χαίρουσι τῇ νίκῃ, ἣν ὁ ποιητὴς αὐτῷ ἐπιμαρτύρεται ἐν τῷ «Αἴαντα ἑτέρωθεν Ἀχαιοὶ εἰς Ἀγαμέμνονα δῖον ἄγον κεχαρηότα νίκῃ», χαίροντες, οἷα εἰκός, καὶ αὐτοί. Ἐκ δὲ τοῦ τοιούτου χαίρειν, ὡς καὶ προεδηλώθη, καὶ ἡ χάρμη, κατὰ δέ τινας καὶ ἡ μάχη παρὰ τὸ μὴ ἄχνυσθαι. πάντως γὰρ ἐλπίδι τῆς κατὰ τὴν νίκην χαρᾶς ἡ μάχη συνίσταται. (v. 302) Ὅρα δὲ τὸ «διέτμαγεν ἐν φιλότητι», ἀντὶ τοῦ φιλίως διεκόπησαν χωρισθέντες ἀλλήλων καί, εἰπεῖν καιρίως, διακριθέντες, (v. 306 s.) ὡς δηλοῖ τὸ «τὼ δὲ διακριθέντε, ὃ μὲν μετὰ λαὸν Ἀχαιῶν» καὶ ἑξῆς. Ἄλλως γὰρ τὸ διέτμαγε στασιώδης λέξις ἐστίν. Εἶτα ἐν ὀλίγῳ τὸ αὐτὸ ἑρμηνεύων ὁ ποιητὴς ἐπάγει τὸ ἀρθμήσαντες, ἤτοι φιλιωθέντες, καὶ διὰ τοῦ ἐν φιλότητι διατμαγῆναι εἰς ἀρθμόν, ἤγουν ἁρμονίαν φιλικήν, ἐλθόντες ἀλλήλοις. ὡς γάρ ἐστι συμπλοκὴ μάχιμος, οὕτω καὶ φιλικὴ διάτμηξις. (v. 308) Ἀρτεμέα δὲ λέγει τὸν ὑγιῆ καὶ ἄρτιον, ἐξ οὗ παρῆχθαι δοκεῖ καὶ ἡ Ἄρτεμις, ὡς προείρηται. (v. 310) Ὅρα δὲ ἐν τῷ τόπῳ τούτῳ καὶ τὸ ἄγειν, οἷον «οἳ δ’ ἦγον προτὶ ἄστυ», οὐ δηλοῦν ἁφήν τινα, ὁποῖόν τί ἐστι τὸ κρατεῖν ἢ βαστάζειν ἢ εἴ τι τοιοῦτον, ἀλλ’ ἁπλῶς ληφθὲν ἀντὶ τοῦ προῆγον ἢ εἶχον συνόντα καὶ ἐφεπόμενον. Ἐκ δὲ τοῦ τοιούτου ἄγειν καὶ ὁ ἀρχηγὸς γίνεται καὶ ὁ στρατηγὸς καὶ τὰ ὅμοια. πολλὴ δὲ τοιαύτη χρῆσις ἐν τῷ Καταλόγῳ τῶν νηῶν. (v. 312) Τοῦ δὲ κεχαρηότα ὁ ἐνεστὼς χαρῶ χαρήσω, οὗ πατὴρ δεύτερος μέλλων ὁ χαρῶ ἐκ τοῦ χαίρω, ἀναδραμὼν εἰς ἐνεστῶτα, ὡς ἐν πολλοῖς γίνεται, ὁποῖόν τι καὶ τὸ δραμῶ δραμήσω, ἐξ οὗ τὸ συνδεδραμηκέναι, καὶ τὸ τυχῶ τυχήσω καὶ ἄλλα ὅμοια.

2.466 (v. 306 s.) Ἐν δὲ τοῖς ῥηθεῖσι κεῖται καί τι καινότροπον σχῆμα σύνηθες Ὁμήρῳ τὸ «οἳ δὲ διακριθέντες, ὃ μὲν μετὰ λαὸν Ἀχαιῶν ἤϊεν, ὃ δ’ ἐς Τρώων ὅμαδον κίεν». Ἔνθα ταὐτὸν λαὸς παρὰ τὸ λίαν αὔειν καὶ ὅμαδος παρὰ τὴν ὁμοῦ αὐδήν. Σεμνοτέρα δὲ λέξις ὁ λαός ἤπερ ὁ ὅμαδος, διὸ λαὸν μὲν ἔφη ἐπὶ Ἀχαιῶν, ὅμαδον δὲ ἐπὶ τῶν βαρβάρων Τρώων. (v. 303—5) Ὅτι δώροις ἀλλήλους δεξιοῦνται ὁ Ἕκτωρ τε καὶ ὁ Αἴας μετὰ τὴν μονομαχίαν, οὐκ ἐπὶ ξενίᾳ μέντοι, ὡς ἐπὶ Γλαύκου καὶ Διομήδους ἐγένετο, ἀλλ’ εἰς μνήμην τῆς μονομαχίας καὶ τοῦ ἐπὶ ἴσοις ἀπαλλαγῆναι τοὺς ἥρωας. Ἕκτωρ μὲν οὖν, ὁ καὶ προκαλεσάμενος, ὡς εἴρηται, εἰς δῶρα, ἀφοπλίσας οἷον ἑαυτὸν «δῶκε ξίφος ἀργυρόηλον σὺν κολεῷ τε φέρων καὶ ἐϋτμήτῳ τελαμῶνι, Αἴας δὲ ζωστῆρα δίδου φοίνικι φαεινόν», ὅ ἐστιν ἐρυθροβαφῆ, φοινικῷ ἄνθει φαιδρόν. Ὅτι δέ, τὸ τοῦ Σοφοκλέους εἰπεῖν, δύσδωρα τὰ δῶρα ταῦτα τούτοις ἀπέβησαν ὡς ἐχθροῖς καὶ ψευσαμένοις τὸν Φίλιον, ἡ ἱστορία διδάσκει, ἐπειδὴ καί, κατ’ Εὐριπίδην εἰπεῖν, κακοῦ ἀνδρὸς δῶρ’ ὄνησιν οὐκ ἔχει. Αἴας μὲν γὰρ τῷ τοιούτῳ ξίφει ἑαυτὸν κατειργάσατο, Ἕκτωρ δὲ τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δωρηθέντι ζωστῆρι ἅρματος ἐκδεθεὶς ἀπελωβήθη μετὰ θάνατον. Σημείωσαι δὲ ὅτι μέγα δῶρον λαβὼν ὁ Αἴας μικρὸν ἔδωκεν, ὥς που καὶ ἐπὶ Διομήδους καὶ Γλαύκου γέγονε. Ὅρα δὲ καὶ ὅτι ὁ ποιητὴς ἔχων ἐνταῦθα παρηχῆσαι τὸν Τελαμώνιον Αἴαντα τῷ ῥηθέντι ἴσως πρὸς διαστολὴν ἐϋτμήτῳ τελαμῶνι, οὐκ ἠθέλησε κατὰ τοὺς ψυχροὺς ἀχρειῶσαι παιγνίῳ τὸ σπουδαῖον τῆς ποιήσεως.

2.467 (v. 314 s. et 321) Ὅτι βοῦν ἱέρευσε Διῒ Ἀγαμέμνων «ἄρσενα πενταέτηρον», «νώτοισι δ᾽ Αἴαντα διηνεκέεσσι γέραιρε», διότι, φασίν, οὐκ ἔκλινε νῶτα τῷ πολεμίῳ, ἢ καὶ τοῖς αὐτῷ παρατιθεμένοις ὁ βασιλεὺς δεξιοῦται τὸν νικητήν. ἔοικε γὰρ τοῖς ἐν ὑπεροχῇ τὰ νωτιαῖα κρέα παρατίθεσθαι. Φησὶ γοῦν καὶ Ἡρόδοτος γέρα εἶναι τοῖς βασιλεῦσιν ἐν Σπάρτῃ τῶν θυομένων τὰ δέρματα καὶ τὰ νῶτα λαμβάνειν καὶ πρώτους ἵζειν ἐπὶ τῷ δείπνῳ καὶ διπλάσια νέμειν αὐτοῖς τὰ πάντα. Ὅρα δὲ καὶ νῦν οἷα εὐτελῆ τὰ τῆς ἀνδραγαθίας ἔπαθλα τοῖς ἥρωσιν, ὅπουγε καὶ τοῖς ὕστερον πίτυς ἢ σέλινον ἢ κότινος ἀγώνων μεγάλων ἦσαν ἔπαθλα. [Ὅλως δὲ πολλαχοῦ παρά τε ἄλλοις καὶ ἱστορικοῖς καὶ ποιηταῖς κατὰ τὰ δεῖπνα τιμαὶ ἦσαν τοῖς ἀρίστοις, καὶ παρ᾽ Ὁμήρῳ δέ. καὶ δῆλον ἔκ τε Σαρπηδόνος, ὃς παρὰ Λυκίοις ἕδρῃ καὶ κρέασι τιμᾶται, καὶ ἐκ τοῦ κρέασι τὸν Τυδείδην καὶ πλείοις δεπάεσσι δεξιοῦσθαι, καὶ ἐκ τοῦ τὸν Μενέλαον νῶτα βοὸς χαρίζεσθαί τινι, τὰ ῥά οἱ πάρθεσαν αὐτῷ. Ἐπεχωρίαζε δὲ τοῖς τότε τιμῆς χάριν καὶ ὁ διὰ προπόσεως ἀσπασμός. οὐ μόνον οὖν οἱ τοῦ μύθου θεοὶ χρυσέοις δεπάεσσι δειδέχατ᾽ ἀλλήλους, ἤγουν ἐδεξιοῦντο προπίνοντες ἑαυτοῖς ταῖς δεξιαῖς, ἀλλὰ καί τις καθ᾽ ἱστορίαν οὕτω δείδεκτ᾽ Ἀχιλῆα, ἤγουν ἐδεξιοῦτο, τουτέστι προὔπινεν αὐτῷ, τῇ δεξιᾷ, φασί, διδοὺς τὸ ποτήριον.] (v. 316—8) Ἐνταῦθα δὲ καὶ διασκευὴ στενὴ ἐπελευστικῶς κεῖται συγκατεπειγομένη τῷ καιρῷ, λέγουσα, ὅτι τὸν βοῦν «δέρον ἀμφί θ᾽ ἕπον», ἤγουν καὶ ἀμφεῖπον, «καί μιν διέχευαν ἅπαντα, μίστυλλόν τ᾽ ἄρ᾽ ἐπισταμένως πεῖράν τ᾽ ὀβελοῖσιν ὤπτησάν τε περιφραδέως ἐρύσαντό τε πάντα». (v. 316 s.) Λέγει δὲ διαχέειν μὲν τὸ μελίζειν, μιστύλλειν δέ, ὡς καὶ ἀλλαχοῦ προγέγραπται, τὸ εἰς μικρὰς μερίδας κόπτειν καί, ὡς ἓν ἀνθ᾽ ἑνὸς εἰπεῖν, σμικρύνειν. Τὸ δὲ ἐπισταμένως καὶ περιφραδέως ταὐτὸ καὶ νῦν δηλοῦσι.

2.468 (v. 321) Τὸ δὲ «διηνεκέεσσιν» ἢ ἀντὶ τοῦ διόλου, καθ᾽ ὅλον τὸν τοῦ συμποσίου καιρόν, ἢ ἀντὶ τοῦ ἀκεραίοις ἢ ἐπιμήκεσιν, ᾧ λόγῳ καὶ διηνεκεῖς που λέγονται ἀτραποί. Ὅτι εἰ μὲν τετέλεσται σιωπηρῶς ἡ περὶ τοῦ κοινοταφίου τῶν νεκρῶν ἐνταῦθα γενομένη συμβουλή, οὐκ ἀναγκαῖον ἐξετάζειν. (v. 331—7) Συμβουλεύει δ᾽ οὖν ὁ Νέστωρ μάχην ἕωθεν παύσαντας βραχύ τι πρὸ τῶν νηῶν πυρὰν καῦσαι καὶ ἕνα τύμβον χέασθαι εἰς πολυάνδριον τοῖς ἐν πολέμῳ θανοῦσιν Ἕλλησιν, ἵνα, φησίν, ἐν τῷ νόστῳ ἕκαστος τῶν περισεσωσμένων οἴκαδε ἄγῃ τοῖς παισὶ τὰ τῶν προγόνων ὀστᾶ. ἀρίστη δὲ ἡ τοῦ γέροντος συμβουλή. (v. 325 s.) Διὸ καὶ ὁ ποιητὴς ἐπεσημήνατο, εἰπών, ὅτι τε ὁ Νέστωρ εἶπεν εὖ φρονέων, οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή. (v. 344) Καὶ ἐν τῷ τέλει δὲ τῆς συμβουλῆς λέγει «ὣς ἔφατο, οἳ δ᾽ ἄρα πάντες ἐπήνησαν βασιλῆες», ἐπικρίνων πάνυ ἐπαινετὸν εἶναι τὸ τοῦ γέροντος βούλευμα, καὶ ἑαυτὸν δὲ σεμνύνων ὡς ἐπαινετὰ γράφοντα. Τῷ ὄντι γὰρ χρὴ τοὺς ζῶντας ἐπιμέλεσθαι τῶν τεθνεώτων εἰς προθυμίαν τῶν ἔτι περιόντων, ὃ καὶ εἰώθει γίνεσθαι μάλιστα παρὰ τοῖς παλαιοῖς, ἵνα μὴ ἐθελοκακῶσιν ὡς μετὰ θάνατον ὁσίας μὴ τευξόμενοι. (v. 327—343) Συμβουλεύει δὲ ὁ Νέστωρ καὶ ἕτερον, εἰκὸς καὶ αὐτὸ γενέσθαι, ἤγουν πύργους δεῖμαι πρὸ τῶν νηῶν καὶ τάφρον ὀρύξαι, ὃ δὴ καὶ γενέσθαι ἡ ἐφεξῆς γραφὴ δηλοῖ. Φράζει δ᾽ ἐν τούτοις ὁ ποιητὴς οὕτω τὰ τοῦ Νέστορος «Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν, πολλοὶ γὰρ τεθνᾶσιν Ἀχαιοί, τῶν νῦν αἷμα κελαινὸν ἐΰρροον ἀμφὶ Σκάμανδρον ἐσκέδας᾽ ὀξὺς Ἄρης, ψυχαὶ δ᾽ Ἄϊδόσδε κατῆλθον. τῷ σε χρὴ πόλεμον μὲν ἅμ᾽ ἠοῖ παῦσαι Ἀχαιῶν, αὐτοὶ δ᾽ ἀγρόμενοι κυκλήσομεν ἐνθάδε νεκροὺς βουσὶ καὶ ἡμιόνοισιν· ἀτὰρ κατακείομεν αὐτοὺς τυτθὸν ἄπο πρὸ νεῶν», ἢ μᾶλλον τυτθὸν ἀπόπρο νεῶν, «ὥς κεν», ἤγουν ὡς ἄν, «ὀστέα παισὶν ἕκαστος οἴκαδ᾽ ἄγῃ, ὅτ᾽ ἂν αὖτε νεώμεθα πατρίδα γαῖαν», ὅπερ ἐστὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περίφρασις τοῦ νοστήσωμεν, «τύμβον δ’ ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες ἄκριτον ἐκ πεδίου», ἢ μάλιστα ἐν πεδίῳ, «ποτὶ δ’ αὐτὸν δείμομεν ὦκα πύργους ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν», ἤγουν ἡμῶν, «ἐν δ’ αὐτοῖσι πύλας ποιήσομεν εὖ ἀραρυίας, ὄφρα δι’ αὐτάων ἱππηλασίη ὁδὸς εἴη, ἔκτοσθε δὲ βαθεῖαν ὀρύξομεν ἐγγύθι τάφρον, ἥ ἂν ἵππους καὶ λαὸν ἐρυκάκοι ἀμφὶς ἐοῦσα, μή ποτ’ ἐπιβρίσῃ πόλεμος Τρώων ἀγερώχων».

2.469 Ἀρίστη δὴ καὶ ἡ δευτέρα βουλὴ αὕτη κατὰ τὸν ποιητὴν καὶ οἵα πιθανολογῆσαι, ὅπως ἐκ βαρυτάτου πολέμου τοῦ ἐφεξῆς αἱ Ἀχαϊκαὶ νῆες περιεσώθησαν. (v. 328) Ὅρα δ’ ἐν τῷ «πολλοὶ γὰρ τεθνᾶσιν», ὅτι ὁ γαρ σύνδεσμος ἐν ἀρχῇ δημηγορίας κεῖται. Αἴτιον δὲ καὶ νῦν τούτου, ὅτι θέλει κατὰ μέθοδον περιβολῆς τὸ δεύτερον θεῖναι πρῶτον, ἤγουν τὴν αἰτίαν πρὸ τοῦ αἰτιατοῦ, ὡς καὶ εἴ τις εἴποι· ἄνθρωπε, καὶ γὰρ ὤχλησάς με, παῦσαι λαλῶν. Ἰστέον δὲ ὅτι, ὥσπερ ἄμεμπτόν ἐστι τὸ ἄρχεσθαι ἀπὸ τοῦ ἐπει συνδέσμου, οὕτως καὶ ἀπὸ τοῦ γαρ . Ἰσοδυναμοῦσι γὰρ ἀλλήλοις οἱ σύνδεσμοι οὗτοι. ταὐτὸν γὰρ εἰπεῖν· ἄνθρωπε, ἐπεὶ ἠδίκησάς με, λυποῦμαι, καί· ἄνθρωπε, καὶ γὰρ ἠδίκησάς με, λυποῦμαι. Οὕτω δὲ ταὐτὸν φάναι· χρή, βασιλεῦ, τύμβον θέσθαι κοινόν, πολλοὶ γὰρ τεθνᾶσιν Ἀχαιοί, καὶ αὖ πάλιν εἰπεῖν· ὦ βασιλεῦ, πολλοὶ γὰρ τεθνᾶσιν Ἀχαιοί, χρὴ τύμβον γενέσθαι κοινόν. Ἔστι δὲ τὸ μὲν πρῶτον κοινότερον, τὸ δὲ δεύτερον ἀσύνηθες τοῖς πολλοῖς. Τὸ δὲ τεθνᾶσι κρᾶσιν ἔπαθεν ὁποίαν καὶ τὸ βεβάασι βεβᾶσι καὶ ἑστάασιν ἑστᾶσιν. (v. 329) Ὅρα δὲ ὅτι πρὸς τὸ κελαινὸν αἷμα, ὃ ἐρεμνὸν ἡ Τραγῳδία φησί, δυνάμενος ὁ ποιητὴς παραθεῖναι μελανδίνην Σκάμανδρον ἢ ἀντιθετικῶς ἀργυροδίνην ἢ λευκὸν ὕδωρ Σκαμάνδρου, ὁ δὲ ὅμως ἠρκέσθη ἁπλούστερον, ἐΰρροον εἰπὼν Σκάμανδρον, ὡς οἷα τοῦ κελαινοῦ [αἵματος] μὴ εὖ ῥέοντος ἀλλ’ ἐπὶ κακῷ. (v. 330) Τοῦ δὲ ἐσκέδασεν οὐκ ἔστι καιριωτέρα λέξις ἐπὶ τοῦ κατὰ πόλεμον αἵματος ἐν πεδίῳ χεθέντος ὧδε καὶ ἐκεῖ. Ὀξὺς δὲ Ἄρης ὁ ταχὺς πόλεμος καὶ σφοδρός, ἴσως δὲ καὶ ὁ τὸ αἷμα ἐκχέας σίδηρος οὕτως ἐκλήθη. Τὸ δὲ Ἄϊδόσδε ὅτι ταὐτόν ἐστι τῷ εἰς Ἅιδου καὶ ὅτι Ἀττικῶς ἐλλέλειπται, καθὰ καὶ τὸ ἐς μυσταγωγοῦ, δῆλόν ἐστιν.

2.470 Ὡς δὲ καὶ οὐ μόνον ἀντὶ προθέσεως κἀνταῦθα κεῖται ὁ δε , ἀλλὰ καὶ ὡς οἷά τις ἐπέκτασις, προδεδήλωται. (v. 332) Τὸ δὲ «αὐτοὶ ἀγρόμενοι» αὐτοδιακονεῖν ἐν καιρῷ καὶ τοὺς ἀρίστους βούλεται. [Καὶ δηλοῦται τοῦτο ἔκ τε ἄλλων μυρίων τῶν κατὰ τοὺς ἥρωας, καὶ οἷς δὲ Πάτροκλος καὶ Ἀχιλλεὺς ἐν ταῖς Λιταῖς αὐτοὶ τὰ τῆς δεξιώσεως τῶν φίλων πρέσβεων εὐτρεπίζουσι, καὶ οἷς Μενελάου, φασί, τελοῦντος γάμους ὁ νυμφίος οἰνοχοεῖ. καὶ Ὀδυσσεὺς δέ που δαιτρεῦσαι καὶ πῦρ εὐνῆσαι καὶ ξύλα κεάσαι δεξιὸς εἶναι λέγει. Τὸ πᾶν δὲ κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ἐπετήδευον οἱ ἥρωες τὴν αὐτοδιακονίαν καὶ ἐκαλλωπίζοντο τῇ ἐν τοῖς τοιούτοις εὐστροφίᾳ. Καὶ ἔστιν εἰπεῖν, ὡς ἐφιλοτιμοῦντο οὕτω αὐτάρκεις εἶναι δοκεῖν καὶ τέλειοι καὶ ἀνενδεεῖς, οἷα μὴ ἐθέλοντες ὄφλειν χάριτας, εἰ τῶν ἔργων συνεφάπτονται αὐτοῖς ἐπὶ οὕτω μικροῖς καὶ οὐ πολλοῦ λόγου ἀξίοις, καὶ ἅμα πραγματευόμεναι τὸ πολιτικώτερον.] (v. 332) Τὸ δὲ «κυκλήσομεν νεκρούς», ἀντὶ τοῦ τροχοῖς ἀγάγωμεν ἢ μάλιστα ἐφ’ ἁμαξῶν κομίσομεν, ὡς ἀπὸ μέρους. τὰ γὰρ κύκλα, ἤγουν οἱ τροχοί, μέρος ἁμάξης. προϊὼν οὖν ἐρεῖ «ἁμαξάων ἐπάειραν». Ἰστέον δὲ ὡς οὐκ ἦν ἂν ἀπᾆδον καὶ κυκλώσομεν εἰπεῖν κοινότερον, εἴγε παρ’ Εὐριπίδῃ «κύκλωμα Ἰξίονος» φέρεται, ῥηθὲν ἐπὶ τροχοῦ κινήσεως κατὰ τὸν ἐπὶ τῷ Ἰξίονι τοῦ μύθου λῆρον.

2.471 Ὁμήρῳ μέντοι εὐηρέστηται κυκλήσομεν εἰπεῖν, ἐξ οὗ παρὰ τοῖς ὕστερον παρεισκυκλεῖν λόγους τὸ ὡς ἐκ περιόδου τινὸς κυκλικῶς παρεισάγειν καὶ στρογγύλλειν τὸ φραζόμενον. ἔτι δὲ καὶ ἄλλως, τὸ πολλάκις περὶ τὸ αὐτὸ στρέφεσθαι καὶ οἷον τροχοειδῶς εἰλεῖσθαι. (v. 333) Διασάφησις δὲ ὑποδυσκόλου ῥήματος τοῦ κυκλήσομεν τὸ «βουσὶ καὶ ἡμιόνοισιν», ὧν μὴ προστεθέντων πάνυ ἀσαφὴς ἦν ὁ καθ’ Ὅμηρον νοῦς τῆς τοιαύτης λέξεως. Ὅρα δὲ καὶ ὅτι οὐ μόνον βόες ἀλλὰ καὶ ἡμίονοι ὑπὸ ζυγὸν ἤγοντο, καθά που καὶ ἵπποι. διὸ καὶ ὑποζύγια

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγονται. Ἐν δὲ τῷ «κατακείομεν» φαίνεται καὶ διὰ τοῦ ε ψιλοῦ εἶναι τὸ καίω, τὸ ἐπὶ τοῦ πυρός, παρὰ τοῖς παλαιοῖς, ὡς καὶ ἐν Ὀδυσσείᾳ εἴρηται, ἐξ οὗ καὶ ἐνταῦθα τὸ «κατακείομεν αὐτούς», καὶ μετ' ὀλίγα «νεκροὺς κείομεν». Ἐκ τούτου δὲ καὶ τὸ θυοσκόος ἐν Ὀδυσσείᾳ. Καὶ ἔοικεν οὕτω πως ἔχειν τοῦ ῥήματος ἡ διάθεσις, κέω κῶ τὸ πρωτότυπον, ἐξ οὗ παράγωγον τὸ ἕτερον καίω, τὸ ἀσυναίρετον, τὸ διὰ τῆς αι διφθόγγου, ὡς κλῶ κλαίω, λῶ λαίω, ἐξ οὗ τὸ λιλαίω, καὶ τὰ τοιαῦτα. Εἰ δέ τις τὸ κείομεν ἐθέλει γράφειν διὰ τοῦ η καὶ μεγάλου ω , ὡς ἀπὸ τοῦ κῆαι, τὸ καῦσαι, τῷ λόγῳ τῶν αὐθυποτάκτων, οὐ σφάλλεται μὲν ὀρθότητος, ἀπορραπίζει δὲ τὰ πλείω τῶν παλαιῶν ἀντιγράφων, ἐν οἷς διὰ διφθόγγου καὶ ο μικροῦ ἐμφέρεται ἡ γραφὴ τοῦ κείομεν.

2.472 (v. 335) Τὸ δὲ «ἄγειν» οὐ μόνον ἐνταῦθα ἐπὶ ἀψύχων κεῖται ἐν τῷ «ὀστέα οἴκαδε ἄγῃ», ἀλλὰ καὶ μετ' ὀλίγα ἐν τῷ «νέκυάς τε ἄγειν», καὶ «κτήματα ὅσα ἠγόμην». οὕτω δὲ καὶ ἄγειν μέθυ χίλια μέτρα. Τὸ δὲ «νεώμεθα» δῆλον ὡς θέμα ἐστὶ τοῦ νόστου. ἐκ τοῦ νέεσθαι γὰρ νότος, καὶ πρὸς διαστολὴν τοῦ ἀνέμου νόστος. Τὸ δὲ «πατρίδα γαῖαν» ἐντελῶς καὶ νῦν πέφρασται. πατρίδα δὲ μόνον εἰπεῖν ἐλλιπῶς ἔχει. (v. 336) Τὸ δὲ «χεύομεν τύμβον», ταὐτὸν τῷ διὰ χυτῆς γῆς ἀναχωματίσομεν. οἱ δὲ παλαιοὶ χώσομεν αὐτὸ ἑρμηνεύουσι. Τὸ «ἐξαγαγόντες» ἀντὶ τοῦ ἐξελθόντες, ἐκπορευθέντες, οὗ τὸ ἀνάπαλιν ἐν τῷ «Λαοδίκην εἰσάγουσα», ἤγουν εἰσπορευομένη, εἰσιοῦσα. (v. 337) Ἄκριτον δὲ τύμβον λέγει τὸν μὴ διακεκριμένον εἰς ἕνα τινὰ νεκρόν, ἀλλὰ δηλονότι κοινὸν ὄντα πολλῶν, ὁποῖα τὰ κυρίως πολυάνδρια. Τὸ δὲ «ἐκ πεδίου» ἀντὶ τοῦ ἔξω που τῆς πεδιάδος, πλὴν οὐ πάνυ μακράν. Τὸ γοῦν τεῖχος προτὶ αὐτόν, ἤγουν περὶ αὐτόν, τὸν τύμβον ἔδειμαν καὶ ἐγγὺς αὐτοῦ. [Ἔνθα ἰστέον ὅτι ποιητικαὶ προθέσεις ἰσοδύναμοι οὖσαι ἡ προτι καὶ ἡ ποτι ἐκθλίβουσι ποτε καὶ ἀμφότεραι τὸ ἐπεκτατικὸν ἰῶτα, ἡ μὲν ποτί ἐν τῷ πόταγε, ἤγουν πρόσαγε, καὶ ἐν τῷ ποταίνιον, περὶ οὗ ἀλλαχοῦ κεῖται, καὶ ἐν τῷ πότωπον Δωρικῶς, ἤγουν πρόσωπον, ἡ δὲ προτί ἐν τῷ προταινί.

2.473 ] Τὸ δὲ «δείμομεν» αὐθυπότακτον μέν ἐστι παρὰ τοῖς ὕστερον χρόνου ἀορίστου πρώτου ἐνεργητικοῦ, Ὅμηρος δὲ αὐτῷ ἀντὶ ἁπλῶς θεματικοῦ ἐνεστῶτος χρᾶται καὶ συστέλλει ἐνταύθα μετρήσας δακτυλικῶς. Τὸ δὲ «ὦκα» προαναφώνησίς ἐστι τοῦ ταχὺ δομηθήσεσθαι ἐν τοῖς μετὰ ταῦτα τὸ πλαστὸν τεῖχος. (v. 338) Τὸ δὲ «πύργους ὑψηλούς» ἐκ μέρους δηλοῦν τὸν ὅλον τειχισμὸν παρατετηρημένως κεῖται, ὡς μὴ καὶ τοῦ τείχους διόλου ὑψηλοῦ ὄντος, καθὰ ἐν τοῖς ἑξῆς φανήσεται. Εἶλαρ δὲ παρὰ τὸ εἰλεῖν καὶ ἔσω συγκλείειν ἀσφάλεια, φυλακή, φραγμός. οὕτω καὶ κύματος εἶλαρ τὸ περὶ τοὺς τοίχους τῆς νεὼς ἄνω πλέγμα. (v. 339) Τὸ δὲ πολλὰς ἱππηλάτους πύλας τῷ Ἑλληνικῷ γενέσθαι τείχει ἀντιλέγεται. Ἀρίσταρχος γὰρ οὐ συγκατατίθεται, ὡς καὶ αὐτό που ἐν τοῖς ἑξῆς δηλωθήσεται. Τὸ δὲ «εὖ ἀραρυίας» ταὐτὸν τῷ πυκινάς, ὃ ἐν ἄλλοις κεῖται. (v. 340) Τὸ δὲ «ἱππηλασίη ὁδός» ἐντελῶς ἐφράσθη, ἄλλως δὲ ἱππηλασία παρὰ τοῖς ὕστερον ἀπολύτως τὸ ἐλάσαι ἵππους. (v. 341) Τὸ δὲ «βαθεῖαν» ἀρετὴ τάφρου, καθὰ καὶ τὸ εὐρεῖαν, ὡς μετ' ὀλίγα ἐρεῖ ὁ ποιητής. Ὡς δὲ καὶ μακρὰ ἡ τάφρος ἦν, δῆλον ἐκ τοῦ συνδιήκειν τοσαύταις ναυσὶν εἰς ἀσφάλειαν. διὸ πληθύνει αὐτὴν τῇ φράσει ὁ Σοφοκλῆς «τάφρους» εἰπών, ὥσπερ καὶ τὸ τεῖχος ἕρκη πληθυντικῶς νηῶν, αἳ ὅτι διαφέρουσι τῶν ὕστερον κοινότερον λεγομένων πλοίων, δηλοῖ ὁ γράψας οὕτω· Δίδυμος ἐν Ἱστορικῷ φησιν, ὡς διαφέρουσι νῆες πλοίων, ὅτι αἱ μέν εἰσι στρογγύλαι, αἱ δὲ στρατιώτιδες.

2.474 Ἀριστοτέλης δέ, φασίν, ἱστορεῖ ἐν Δικαιώμασι πόλεων οὕτως· ὑπὸ δὲ τὸν αὐτὸν χρόνον Ἀλέξανδρος ὁ Μολοττὸς αὐτὸν μεταπεμψαμένων Ταραντίνων ἐπὶ τὸν πρὸς βαρβάρους πόλεμον ἐξέπλευσε ναυσὶ μὲν πεντεκαίδεκα, πλοίοις δὲ συχνοῖς ἱππαγωγοῖς καὶ στρατιωτικοῖς. (v. 341) Τὸ δὲ «ἐγγύθι» ἀκριβῶς ἔχει. οὐ μακρὰν γὰρ τοῦ τείχους εἶναι χρὴ τὴν τάφρον, ὡς δεδοκίμασται. (v. 342) Τὸ δὲ «ἀμφὶς ἐοῦσα» ἀντὶ τοῦ κύκλῳ εἴτ' οὖν πέριξ. Ταὐτὸν γὰρ ἡ ἀμφι καὶ ἡ περι , ἀφ' ἧς τὸ πέριξ γίνεται, [ἢ μᾶλλον ἀντὶ τοῦ ἀμφὶ τὸ τεῖχος οὖσα, ἵνα ᾖ ἀντὶ

προθέσεως ἐπίρρημα τὸ γενόμενον ἐξ αὐτῆς.] (v. 343) Τὸ δὲ «ἐπιβρίσει πόλεμος Τρώων» ζαχρηεῖς ἐν πολέμῳ καὶ τοὺς Τρῶας εἶναι βούλεται. τοιοῦτον γάρ τι ποιητικῶς οἱ ζαχρηεῖς, δηλοῦντες τοὺς ἄγαν βαρεῖς, ὅ ἐστιν ἐπιθετικῶς βρίθοντας. (v. 344) Τὸ δὲ «ἐπήνησαν» ἀσυνηθέστερον μὲν τοῦ ἐπῄνεσαν, πολλαχοῦ δὲ ὅμως ἐν χρήσει κείμενον, ὡς καὶ παρ' Ἡσιόδῳ. (v. 345 s.) Ὅτι, ὥσπερ ἀλλαχοῦ ἔφη «τετρήχει δ' ἀγορή», οὕτω καὶ ἐνταῦθα λέγει, ὅτι ἀγορὰ ἐγένετο Ἰλίου ἐν πόλει ἄκρῃ, τουτέστιν ἀκροπόλει, ὡς πολλαχοῦ κεῖται, «δεινὴ τετρηχυῖα», ὅ ἐστι ταραχώδης. τοιαύτη γὰρ ἡ δημοτικὴ ἄθροισις. Ἐγένετο δέ, φησίν, ἡ τοιαύτη ἀγορὰ παρὰ Πριάμοιο θύρῃσιν, οὐ μὴν ἔξω παρὰ τῇ σκηνῇ τοῦ Ἕκτορος. οὐ γὰρ ἦν εἰκὸς αὐτὸν βουλεύσασθαι τὰ ῥηθησόμενα, δημογέροντας δέ τινας πεπνυμένους κατὰ τὸν Νέστορα. [Δεινὴ δὲ ἡ προκειμένη Τρωϊκὴ ἀγορὰ οὐκ ἐν τῷ καθόλου, ἀλλ' ὅτι νῦν δέδοικε περὶ τῷ μέλλοντι ἕκαστος τῶν περὶ τὴν ἀγορὰν ἠθροισμένων, καθὰ καὶ ὁ Ἀντήνωρ, ὡς εὐθὺς φανεῖται.] (v. 350—3) Ὅτι ὁ τῶν Ἑλλήνων πρόξενος Ἀντήνωρ, ὁ Τρωϊκός, μαθών, ὡς εἰκός, καὶ αὐτὸς τὴν κατὰ τοῦ Ἕκτορος ἀριστείαν τοῦ Αἴαντος κἀντεῦθεν περὶ τῷ παντὶ δεδιώς, συμβουλεύει δικαιότατα τοῖς πολίταις οὕτω «δεῦτ' ἄγετ' Ἀργείην Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῇ δώομεν Ἀτρείδῃσιν ἄγειν. νῦν δ' ὅρκια πιστὰ ψευσάμενοι», ἤγουν ἐπιορκήσαντες, «μαχόμεσθα.

2.475 τῷ», ἤγουν διό, «οὔ νύ τι κέρδιον ἡμῖν», ἢ ἧμιν, «ἔλπομαι ἐκτελέεσθαι, ἵνα μὴ ῥέξωμεν ὧδε», ἀντὶ τοῦ ἐὰν μὴ ῥέξομεν οὕτω. Σύνδεσμος γὰρ ἀντὶ συνδέσμου εἴληπται, ὥς που καὶ προδεδήλωται. καὶ οὕτω μὲν ὁ Ἀντήνωρ εἰπὼν ἕζετο (v. 357—364) Ἀλέξανδρος δέ—βαρὺ γὰρ τοῖς ἀδικοῦσιν ὁ ἔλεγχος—οὕτως ἄδικος φαίνεται, ὥστε καὶ τὸν Ἀντήνορα, εἰ ταῦτα σπουδάζων λέγει, ἐκπεσεῖν φησι τῶν φρενῶν καὶ τὴν μὲν γυναῖκά φησιν οὐκ ἀποδώσειν, κτήματα δὲ δοῦναι κατὰ τὸν λόγον τοῦ Ἀντήνορος, ἵνα δόξῃ πεισθῆναι αὐτῷ. Ἀναστὰς γάρ φησιν οὕτω «Ἀντῆνορ, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις. οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι. εἰ δ' ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις, ἐξ ἄρα δή τοι ἔπειτα θεὸς φρένας ὤλεσεν αὐτός. αὐτὰρ ἐγὼ Τρώεσσιν ἀγορεύσω. ἀντικρὺ δ' ἀπόφημι, γυναῖκα μὲν οὐκ ἀποδώσω, κτήματα δ' ὅσ' ἀγόμην ἐξ Ἄργεος ἡμέτερον δῶ, πάντ' ἐθέλω δόμεναι, καὶ ἔτι οἴκοθεν ἄλλ' ἐπιθεῖναι», ὅ ἐστι προσεπιβαλεῖν, ἐπέκεινα δοῦναι. (v. 363) Ἰστέον δὲ ὅτι Ἀργεία μὲν καὶ νῦν Ἑλένη ἡ Πελοποννησία, ἡ ἐξ Ἄργους δηλαδή, ὅθεν τὰ ῥηθέντα κτήματα ἤγετο ὁ Ἀλέξανδρος. (v. 357- 60) Τὸ δὲ «σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτα» καὶ ἑξῆς ἕως τοῦ «θεὸς φρένας ὤλεσεν αὐτός» πᾶς ἐρεῖ ἂν ὁ μὴ ἀρεσκόμενος ἐφ' οἷς λέγει καταδεέστερός τις αὐτοῦ. (v. 362) Σημείωσαι δὲ ὅτι τε ἐν τῷ «γυναῖκα μὲν οὐκ ἀποδώσω» τολμᾷ οἱονεὶ λέγειν ὁ ἄδικος, ὅτι καὶ ἐγὼ ὡς γυναικὸς τῆς Ἑλένης ἀντέχομαι, καθὰ καὶ ὁ Μενέλαος, ὃ καὶ ὁ ποιητὴς ἐν τούτοις ὑπαινίττεται, εἰπὼν πρὸ βραχέων τὸ «ἀνέστη δῖος Ἀλέξανδρος Ἑλένης πόσις ἠϋκόμοιο». (v. 358) Καὶ ὅτι βούλεται ὁ Πάρις καὶ τὸν δίκαιον καὶ συνετὸν Ἀντήνορα συναινέσαι αὐτῷ καὶ συνδιαστρέψαι τὸν τῆς δίκης κανόνα καὶ τοιοῦτόν τι καὶ αὐτὸν συνδικαιολογήσασθαι.

2.476 διὸ ταῦτα μὲν οὐ φίλα κρίνει, ἐθέλει δὲ ἄλλο τι νοηθῆναι τῷ Ἀντήνορι ἄμεινον ὡς οἷα ποριμωτάτῳ ῥήτορι. καὶ μὴν οὐδὲν δικαιότερον τοῦ δεῖν τὸ ἀλλότριον ἀναδοῦναι. (v. 357 s.) Ὅρα δὲ καὶ ὅτι οὐ ψέγει τὸν τοῦ Ἀντήνορος λόγον ὁ φαυλότατος, ἀλλὰ καλὸν μὲν εἶναι νοεῖ διὰ τὸ κοινῇ συμφέρον, ἐθέλει δὲ τὸν Ἀντήνορα νοῆσαι ἄμεινον ἄλλο νόημα τῇ αὐτοῦ κακίᾳ σύμφωνον. (v. 362—4) Ἔτι σημείωσαι καὶ ὡς τοῖς οἰκείοις λόγοις περιπετὴς ὁ Πάρις γίνεται. ὁ γὰρ ἐν τοῖς πρὸ τούτων ἐθέλων ἀποδοῦναι γυναῖκα καὶ κτήματα πάντα νῦν φησιν, ὅτι γυναῖκα μὲν οὐκ ἀποδώσω, κτήματα δὲ πάντα καὶ οἴκοθεν δὲ ἄλλα ἐπιθήσω, ἀντισηκῶν οἷον τῇ Ἑλένῃ τὰ οἴκοθεν κτήματα. Τάχα δὲ καὶ αὐτὸς προσπαίζων ὡς φιλοκτεάνῳ τῷ βασιλεῖ, ὃς φθάσας Ἑλένην ἐζήτησε καὶ κτήματα πάντα καὶ ποινήν. (v. 366 s.) Ὅτι δὲ οὐ δίκαια λαλεῖ ὁ Ἀλέξανδρος, ἐπικρινεῖ μετ' ὀλίγα σεμνῶς αὐτὸς ὁ Πρίαμος, φιλόπαις μὲν ὤν, ἀλλ' ὡς μετ' ὀλίγα κεῖται, καὶ θεόφιν μήστωρ ἀτάλαντος καὶ εὖ φρονέων καὶ δίκαιος. Τὰ μὲν γὰρ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀλεξάνδρου ταῦτα μῦθον ἁπλῶς ἐρεῖ μηνυθησόμενον Ἕλλησι, τὸ δὲ παῦσαι τὸν πόλεμον καὶ θάψαι τοὺς νεκροὺς πυκινὸν ἔπος ὀνομάσει, ὡς τοῦ λόγου τοῦ Ἀλεξάνδρου μὴ πυκινοῦ ὄντος. [Πῶς γὰρ ἂν εἴη πυκινὸν τὸ φάναι, ὡς οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις, εἰ καὶ τοῖς ἄλλοις δηλαδὴ φίλα δημηγορεῖς. Τὸ γὰρ «ἐμοί» διαστέλλει τὸν ἕνα Πάριν τοῦ τε βασιλέως Πριάμου καὶ τῶν λοιπῶν ὅλων Ἰλιέων, ὡς εἴπερ αὐτὸς ἦν τὸ πᾶν ἐν τῇ Τροίᾳ.] (v. 351) «Ὅρκια δὲ πιστά» τὰ πιστοποιά. ὅθεν καὶ πιστωθῆναι ὅρκῳ τὸ πίστιν δοῦναι δι' ὅρκου. (v. 353) Τὸ δὲ «ἵνα μὴ ῥέξομεν ὧδε» ἠθέλησάν τινες εἰπεῖν ἀντὶ τοῦ «ὅπου μὴ ποιήσομεν οὕτω». οὐκ εὖ δέ. στέργεται γὰρ μᾶλλον ἡ προρρηθεῖσα ἐξήγησις. (v. 355) Δῖον δὲ τὸν Ἀλέξανδρον ἀνεμεσήτως καλεῖ ὁ ποιητής, μηδ' ἐνταῦθα ἐθελήσας κακολογῆσαι τὸν ἄδικον. (v. 359) Τὸ δὲ «ἀπὸ σπουδῆς» ἀντὶ τοῦ σπουδαίως καὶ οὐχ' ὡς ἐπὶ πείρᾳ τινί, ὡς εἰ καὶ εἶπεν, ὅτι ἀπόλωλέ σοι τὸ φρονεῖν, εἰ ταῦτα μὴ παίζων ἀλλὰ σπουδάζων λέγεις. (v. 362) Ἐν τούτοις δὲ σημείωσαι ὡς τὸ τῆς ἀποφάσεως φιλόσοφον ὄνομα ἐξ Ὁμήρου εἴληπται εἰπόντος «ἀντικρὺ δ' ἀπόφημι, γυναῖκα μὲν οὐκ ἀποδώσω». τὸ γὰρ γυναῖκα οὐκ ἀποδώσω ἀπόφασίς ἐστιν, ὥσπερ κατάφασις τὸ ἀποδώσω γυναῖκα.

2.477 ἀπὸ γοῦν τοῦ Ὁμηρικοῦ ἀπόφημι παρῆκται καὶ τὸ ἀποφάσκειν καὶ ἡ ἀπόφασις. Τὸ δὲ «ἀντικρύ» τὸ φανερῶς δηλοῖ καί, ὡς ἄν τις ἐρεῖ, ἐξ ἐναντίας καὶ κατὰ ἀντίκρουσιν. τὸ μέντοι ἄντικρυς τῶν μεθ' Ὅμηρόν ἐστι καὶ ἑτεροίαν σημασίαν ἔχει. [(v. 363) Κτήματα δὲ οἱ μὲν μεθ' Ὅμηρον ἰδίως ἐπὶ ἀγρῶν καὶ οἴκων φασίν, Ὅμηρος δὲ ἐπὶ πάντων ἁπλῶς τῶν ὑπαρχόντων, ὡς καὶ ἐνταῦθα φαίνεται, καὶ ἐν τῷ «ὑμὰ κτήματ' ἔδοντες» καὶ ἐν τῷ «ἐπὶ κτεάτεσσιν ἀνάσσω».] (v. 362 s.) Ὅρα δ' ἐν τοῖς ῥηθεῖσι καὶ ὅτι ταὐτόν ποτε τὸ ἀποδώσειν μετὰ προθέσεως καὶ δοῦναι χωρὶς προθέσεως. (v. 370 s.) Ὅτι στρατηγικὸν παράγγελμα νύκτερον εἰς ὠφέλειαν στρατοῦ τὸ «νῦν μὲν δόρπον ἕλεσθε κατὰ στρατόν, ὡς τὸ πάρος περ, καὶ φυλακῆς μνήσασθε καὶ ἐγρήγορθε ἕκαστος». Πρίαμος δὲ τοῦτό φησι μετὰ τοὺς λόγους τοῦ Πάριδος. Γίνεται δὲ τὸ «ἐγρήγορθε» ἐκ τοῦ ἐγρηγόρετε προστακτικοῦ κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ ψιλοῦ εἰς δασύ. (v. 373 s.) Ὅτι ἀρχέκακον ἐμφαίνων δεῖν εἶναι λέγεσθαι καὶ τὸν Πάριν ὁ ποιητής φησι διὰ τοῦ Πριάμου «εἰπὲ μὲν Ἀτρείδῃσι μῦθον Ἀλεξάνδροιο, τοῦ εἵνεκα νεῖκος ὄρωρεν.» Ὁ γὰρ τοιοῦτον ἐγείρας νεῖκος πάντως ἀρχέκακός ἐστι μᾶλλον ἤπερ αἱ προρρηθεῖσαι νῆες αὐτοῦ. Ἐνταῦθα δὲ ὑπολαλεῖ ὁ γέρων καὶ ὅτι ὁ τὸ νεῖκος ἐγείρας Πάρις καὶ εἰσέτι παρατενεῖ αὐτὸ διὰ τῆς δημηγορίας, ἣν ἀφρόνως ἄρτι ἐλάλησεν.

2.478 (v. 372- 5) Ὅρα δὲ ἢ τὴν φιλοτεκνίαν τοῦ Πριάμου ἢ τὴν τοῦ μοιριδίου ἀνάγκην, εἰ δυνάμενος ὁ Πρίαμος ἐπικρῖναι, ὡς εὖ ὁ Ἀντήνωρ λέγει, καὶ ἐκθεραπεῦσαι τὸ κοινὸν κακόν, ὁ δὲ ἁπαλῶς προσφέρεται τοῖς φαύλοις τοῦ υἱοῦ λόγοις καὶ ἀρκεῖται εἰπών, ὡς ὁ Ἰδαῖος κῆρυξ εἰπάτω τοῖς Ἀτρείδαις τὸν τοῦ Ἀλεξάνδρου ἄδικον λόγον, εἴ πως δῆθεν ἐκεῖνοι ἀρεσθεῖεν αὐτῷ. (v. 373) Ὅρα δ' ἐνταῦθα καὶ ὅτι Ἀτρείδαις εἰπὼν ὁ Πρίαμος ἐπάγει ἐν ἁπλότητι ἀφελῶς τὸ «Ἀγαμέμνονι καὶ Μενελάῳ», ὡς εἴπερ οὐκ αὐτόθεν ἐγνωρίζοντο διὰ τοῦ ὀνομασθῆναι Ἀτρεῖδαι. (v. 375—8) Ὅτι δηλοῖ καὶ ἐνταῦθα Ὅμηρος οὐκ ἀδύνατον εἶναι τὸ αὐτὸ νόημα τὸν αὐτὸν καιρὸν εἰς διαφόρους ἐλθεῖν. ἐν μιᾷ γοῦν ἡμέρᾳ πρὸς ἑσπέραν καὶ ὁ Νέστωρ τοῖς Ἀχαιοῖς καὶ ὁ Πρίαμος δὲ μετ' αὐτὸν τοῖς Τρωσὶ τὰ περὶ ταφῆς νεκρῶν συνεβούλευσαν. Δεινότης δὲ καὶ τοῦτο ποιητική, ἵνα μὴ φθάσωσιν οἱ Ἕλληνες διαπρεσβεύσασθαι περὶ τῶν οἰκείων νεκρῶν, ἀλλὰ διαπρεσβευσαμένων τῶν ἐκ Τροίας ὑπακούσωσιν εὐκλεῶς, εἰς ὃ δὴ πρὸς θελήσεως ἦν αὐτοῖς. (v. 376) Κεῖται δ' ἐν τούτοις καὶ ἐπίθετον σύνηθες πολέμου τὸ «δυσηχής» ἐν τῷ «αἴ κ' ἐθέλωσι παύσασθαι πολέμοιο δυσηχέος». Ὧιπερ ὅμοιον καὶ τὸ πολυηχής πολυηχέος. Ἦν δὲ οὐκ ἔξω ἀναλογίας οὐδὲ τὸ δύσηχος δυσήχου κατὰ τὸ εὔηχος, ἵνα ἦν ὥσπερ ἀτερπής καὶ ἄτερπος, ἅπερ ἄμφω οἶδεν Ὅμηρος, οὕτω καὶ δυσηχής καὶ δύσηχος.] Δῆλον δὲ ὡς ἡ τοιαύτη Τρωϊκὴ πρεσβεία οὐ λύει τὴν μάχην εἰς τὸ πᾶν. (v. 377 s.) Φησὶ γοῦν ὁ ταύτην ὁρίσας Πρίαμος «ὕστερον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὖτε μαχεσσόμεθα, εἰς ὅ κε δαίμων», ἤγουν τύχη ἢ μοῖρα, «ἄμμε», Ἀχαιοὺς δηλαδὴ καὶ Τρῶας, «διακρίνῃ, δῴη δ' ἑτέροισί γε νίκην», ὃ καὶ πρὸ βραχέων πέφρασται. Καὶ ὅρα τὸ διακρίνειν. Οἱ μὲν γὰρ πολεμοῦντες κρίνονται Ἄρηϊ, ἤγουν συγχέονται, συγκέκρανται ἀναμεμιγμένοι, οἱ δὲ παυσάμενοι μάχης διακέκρινται χωρὶς ἀλλήλων γενόμενοι.

2.479 Τὸ δὲ εἰσόκε πολλαχοῦ κεῖται ἀντὶ τοῦ ἕως οὗ, τουτέστιν εἰς ὅ, χρονικὸν διάστημα. (v. 380) Ὅτι τέλη τὰ στρατιωτικὰ λέγει τάγματα, ὡς καὶ ἀλλαχοῦ κεῖται. Φησὶ γὰρ «δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατὸν ἐν τελέεσσιν», [ὅπερ ἐχόμενον τοῦ «δόρπον ἕλεσθε κατὰ στρατόν, ὡς τὸ πάρος περ», ἔχει τι καὶ διασαφητικὸν ἐκείνου. Τὸ γὰρ «ἐν τελέεσσιν» ἑρμηνευτικόν ἐστι τοῦ πάρος καὶ τοῦ κατὰ στρατόν. οὐ γὰρ μονὰξ ἐδόρπουν, ἀλλὰ στρατευτικῶς κατὰ ἴλας καὶ τάγματα, ὡς καὶ νῦν δηλαδὴ ποιήσουσιν.] Ὅτι δὲ καὶ τὸ πέρας παντὸς πράγματος τέλος λέγεται καὶ ἡ ὑπεροχικὴ ἀξία ὡς τὸ «τοῖς ἐν τέλει βεβῶσι πείσομαι», [καὶ τὸ «χρὴ κλύειν τῶν ἐν τέλει»,] καὶ ὡς θεία λέξις ἐστί ποτε, καθὰ καὶ ἡ μυστηριώδης τελετή, οὐκ ἄδηλόν ἐστι. [Σοφοκλῆς δὲ καὶ τὰς στρατιωτικὰς παντευχίας ἐν Ἀντιγόνῃ «πάγχαλκα τέλη» λέγει διὰ τὸ τελεωτέρους ἴσως ποιεῖν τοὺς ἔχοντας αὐτήν, εἰ μή τι ἄρα καὶ ἐκεῖ οὕτως ἐκάλεσε τὰ ὁπλιτικὰ τάγματα.] (v. 384) Ὅτι τὸ «μετεφώνεεν ἠπύτα κῆρυξ», ὅ ἐστι φωνητικός, τρόπος ἐστὶν ἐτυμολογικός. Κῆρυξ τε γὰρ ἀπὸ τοῦ γαρύειν λέγεται, ὅ ἐστι φωνεῖν, καὶ ἠπύτης ἀπὸ τοῦ ἠπύειν.

2.480 καὶ τὸ μετεφώνεε δὲ τούτοις ἐστὶ σύστοιχον. Ἐπὶ λογικῶν δὲ μόνων τὸ ἠπύειν, ὡς καὶ τὸ αὐδᾶν καὶ ἐννέπειν, ὅ ἐστι λέγειν, ἐξ οὗ τὸ ἠπύειν καὶ Δωρικῶς ἀπύειν. Ἐκ δὲ τοῦ ἠπύειν καὶ ὁ βριήπυος Ἄρης καὶ ὄρος Θρᾳκικόν, Ἤπυτον, ἔνθα, φασί, Πρωτεὺς ἀναβὰς φονευθέντων τῶν παίδων ἤπυε θεοῖς ἀποκαταστῆναι εἰς Αἴγυπτον. Καθὰ δὲ ἱππότης ἱππότα, ἱππηλάτης ἱππηλάτα, οὕτω καὶ ἠπύτης ἠπύτα, πρὸς χρησιμότητα μέτρου δακτυλικοῦ ἐξαλλαχθέντος ἐν τούτοις τοῦ τελευταίου ἀχρήστου τοῖς ἡρωΐζουσιν ἀμφιμάκρου εἰς δάκτυλον. (v. 386—8) Ὅτι ἀγγέλου συνετοῦ προοίμιον τό· ἠνώγει ὁ δεῖνα «εἰπεῖν, αἴ κέ περ», ἤγουν εἴπερ, «ὔμμι φίλον καὶ ἡδὺ γένοιτο, μῦθον» τοῦ δεῖνος, τοῦ εἵνεκα τόδε γέγονε. Καὶ ὅρα τὸ «φίλον καὶ ἡδύ», ἴσως μὲν ἀδιάφορα ὄντα κατὰ τὸ «ἀλλ' ἄρχε μάχης ἠδὲ πτολέμοιο», τὸ πρὸ ὀλίγων ῥηθέν, ἴσως δὲ καὶ διαφέροντα. πολλὰ γὰρ φίλα μέν εἰσι κατὰ περιπέτειάν τινα, οὐχ' ἡδέα δέ, οὐκ ὀλίγα δὲ καὶ ἡδύνουσι μέν, οὐ φιλοῦνται δὲ πάντῃ ἁπλῶς. καὶ αὐτῇ δὲ τῇ μάχῃ καὶ τῷ πολέμῳ διαφορά τις παρὰ πολλοῖς ἐντεθεώρηται, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. (v. 388 s.) Ὅτι παραπρεσβεύειν δοκεῖ ὁ Ἰδαῖος, ἐν οἷς Ἀλεξάνδρου εἰπόντος «κτήματα ὅσ' ἀγόμην ἐξ Ἄργεος ἡμέτερον δῶ πάντ' ἐθέλω δόμεναι καὶ ἔτ' οἴκοθεν ἄλλ' ἐπιθεῖναι», αὐτὸς λέγει, ὅτι κτήματα πάντα ἐθέλει δώσειν Ἀλέξανδρος, ὅσα ἐνὶ νηυσὶν ἠγάγετο Τροίηνδε. Ἐκεῖνος γὰρ οὐ μόνον ἐξ Ἄργους, ἀλλὰ καὶ ἀπὸ Σιδῶνος, ὡς προείρηται, τυχὸν δὲ καὶ ἄλλοθεν, ἠγάγετό τινα εἰς τὴν Ἴλιον. (v. 392 s.) Ἔτι δὲ καὶ ἐν οἷς λέγει ὁ αὐτὸς κῆρυξ, ὅτι Ἑλένην οὔ φησι δώσειν, ἦ μὴν Τρῶές γε κέλονται, ψεύδεται. οὐ γὰρ φαίνονται οἱ Τρῶες κελεύσαντες ἀποδοῦναι τὴν γυναῖκα. Ἔστι δὲ πρὸς μὲν τοῦτο εἰπεῖν, ὅτι τε κατὰ τὸ σιωπώμενον νοητέον, ὡς καὶ οἱ Τρῶες ἠναντιώθησαν τῷ Ἀλεξάνδρῳ, καὶ ὅτι τοῦ ῥήτορος Ἀντήνορος ἀποδοῦναι τὴν Ἑλένην δημηγορήσαντος καὶ μηδενὸς ἀντειπόντος δοκεῖ τὸ πλῆθος τοῖς τοῦ Ἀντήνορος λόγοις συντίθεσθαι, ὥσπερ καὶ ἐν τοῖς ἑξῆς τοῦ Διομήδους μόνου δημηγορήσαντος κοινοποιεῖται ὁ λόγος τοῖς Ἕλλησι μηδὲν ὅλως λαλήσασι. καὶ ὅτι τοῦ βασιλέως Πριάμου ἐν τῇ συμβουλῇ τὸ τοῦ Ἀλεξάνδρου ἔπος, ὡς προείρηται, οὐ πυκινὸν κρίναντος κοινὴν τῶν Τρώων ὁ Ἰδαῖος λέγει τὴν βασιλικὴν κρίσιν.

2.481 (v. 389 s.) Περὶ δὲ τῶν κτημάτων ῥητέον ὅτι καὶ ὁ Ἰδαῖος τὰ ἐξ Ἄργους μόνα λέγει κἂν οὐ διωρίσατο. Τὰ γὰρ ἀπὸ Σιδῶνος, καὶ εἴ ποθεν ἄλλοθεν ὁ Πάρις κτήματα ἔσχεν, ἐμπορεύματα ἦν. Ἕλληνες δὲ ἁρπαγῆς αἰτιῶνται τὸν Πάριν καὶ τὰ ἑαυτῶν ἀπαιτοῦσιν, οὐ μὴν εἴ ποθεν ἐκεῖνος ἐχρηματίσατο. (v. 390) Ἐπεὶ δὲ καὶ κακοήθης φαίνεται ὁ Ἰδαῖος ἐν οἷς τοῦ βασιλικοῦ παιδὸς Ἀλεξάνδρου καταφέρεται εἰπὼν ἐνδιαθέτως παρὰ τοῖς πολεμίοις μετὰ τὸ «ἠγάγετο Τροίηνδε»

τὸ «ὡς πρὶν ὤφελλ' ἀπολέσθαι», φασὶν οἱ παλαιοὶ μὴ εἰς ἐπήκοον ἐκφωνηθῆναι τὸ τοιοῦτον ὑπὸ τοῦ κήρυκος, εἰ καὶ ἡ ποιητικὴ αὐτὸ Μοῦσα ἐξελάλησεν, ἀλλὰ διὰ λύπην ὑφειμένῃ καθ' αὑτὸν φωνῇ λαληθῆναι, διὰ μέσου ἀναφωνηθέν. Ὅρα δὲ καὶ ὅτι Ἀλέξανδρος μὲν ἔφη ὅτι γυναῖκα οὐκ ἀποδώσω, καθὰ προεγράφη, ὁ δὲ κῆρυξ οὐκ ἀορίστως καὶ ἀσαφῶς λέγει, ἀλλ' ἐκφαίνει τὸ παρ' ἐκείνου σκιασθέν, διαδεικνὺς τὴν τοῦ Πάριδος ἀδικίαν. (v. 392 s.) Λέγει γάρ, ὅτι κουριδίην ἄλοχον Μενελάου οὔ φησι δώσειν, μεταλαβὼν τὸ «γυναῖκα» εἰς τὸ κουριδίην ἄλοχον Μενελάου, καὶ τὸ μέσως ἐκεῖ λεχθὲν τρανώσας αὐτὸς διὰ τὸ μισοπόνηρον. (v. 390) Τὸ δὲ «Τροίηνδε» διασαφητικόν ἐστι τοῦ «ἡμέτερον δῶ». τῷ Πάριδι γὰρ ταὐτὸν εἰπεῖν εἰς ἡμέτερον δῶ καὶ Τροίηνδε. (v. 400—2) Ὅτι πάνυ μεγαλόφρων ὁ Διομήδης κἀνταῦθα. ὁ μὲν γὰρ Ἀλέξανδρος διὰ τοῦ Ἰδαίου οὐ δώσειν τὴν Ἑλένην φησίν, ἀλλὰ μόνα κτήματα, Διομήδης δὲ συμβουλεύει, ὡς «μήτ' ἄρ τις νῦν κτήματ' Ἀλεξάνδροιο δεχέσθω μήθ' Ἑλένην», ὑποτείνων καὶ ἀγαθὴν ἐλπίδα, ὡς ἤδη ἁλίσκεται ἡ Τροία. «Γνωτὸν γάρ», φησί, «καὶ ὃς μάλα νήπιός ἐστιν, ὡς ἤδη Τρώεσσιν ὀλέθρου πείρατ' ἐφῆπται», ἤγουν, ὡς καὶ ἀλλαχοῦ προεγράφη, τέλειος ἐπῆλθεν ὄλεθρος. (v. 399) Ὅρα δὲ ὅτι καὶ νῦν κατὰ τὸν ποιητὴν ὀψὲ ὁ Διομήδης λαλεῖ ὡς πάντων σιγώντων ἐφ' ἱκανόν. οὐ γὰρ ἐν βουλῇ τοὺς νεωτέρους δεῖ προπετεύεσθαι, ὃ καὶ Δημοσθένης που προοιμιαζόμενος παραδίδωσι. Τῶν δὲ Ἑλλήνων τὸ μὲν πλῆθος σιγᾷ, ὅτι τῶν βασιλέων ἦν τὸ ἀποκρίνασθαι, οἱ δέ γε βασιλεῖς σιωπῶσιν, οὐ μόνον φειδοῖ τῶν Ἑλλήνων, ἵνα μὴ δόξωσιν ἐπὶ καλῷ τῷ ἑαυτῶν Ἀτρεῖδαι παραβάλλειν κινδύνοις τοὺς ἄλλους, ἀλλὰ καὶ διότι θαρροῦσιν, ὡς αἰσχυνόμενοι οἱ ἀριστεῖς οὐδὲν ἐροῦσιν ἄνανδρον.

2.482 (v. 406 s.) Σημείωσαι δὲ καὶ νῦν ὅτι δήμου μὲν ἦν τὸ εἰπεῖν, βασιλέως δὲ τὸ ἐπιψηφίσασθαι, ὡς δῆλον ἐκ τοῦ «Ἰδαῖε», ἀκούεις μῦθον Ἀχαιῶν, «ὥς τοι ὑποκρίνονται, ἐμοὶ δ' ἐπιανδάνει οὕτως». Εἰ δὲ ὁ μὲν λαὸς εἴπῃ, οὐκ Ἀτρείδῃ δὲ Ἀγαμέμνονι ἁνδάνει θυμῷ, ἄκυρα γίνεται τὰ τῆς βουλῆς, ὡς ἐπὶ τῆς τοῦ Χρύσου πρεσβείας γέγονεν. (v. 407) Ἰστέον δὲ καὶ ὅτι οὐκ οἶδεν Ὅμηρος τὴν λέξιν τοῦ ἀποκρίνασθαι, ὡς καὶ ἐν ἄλλοις φανεῖται, ἀλλ' ἀντ' αὐτοῦ τῷ ὑποκρίνασθαι κέχρηται. Φασὶ δὲ καὶ τὸν παρὰ τοῖς Δραματικοῖς ὑποκριτὴν οὕτω λέγεσθαι διὰ τὸ πρὸς τὸν χορὸν ἀποκρίνεσθαι. κεῖται δὲ ἡ λέξις καὶ παρὰ τῷ Ἡροδότῳ, Ἰωνικὴ οὖσα. [Γίνονται δὲ καὶ ἄμφω αὗται αἱ λέξεις ἐκ τοῦ κρίνειν, ὅ ἐστι διαχωρίζειν. Ἑαυτὸν γὰρ ἀποκρίνων ἢ ὑποκρίνων, ὅ ἐστι τῶν ἄλλων ἀποχωρίζων καὶ ὁ κατὰ τὸν Ὅμηρον ὑποκρινόμενος, κατὰ δὲ τοὺς ὕστερον ἀποκρινόμενος, ἔτι δὲ καὶ ὁ κατὰ τοὺς μεθ' Ὅμηρον ὑποκρινόμενος καὶ ὁ ἐξ αὐτοῦ παραγόμενος ὑποκριτής, λαλοῦσιν ἅπερ λαλοῦσιν. Ἔστι δὲ ὑποκρινόμενος καὶ ὑποκριτής παρὰ τοῖς ὑστερογενέσι ῥήτορσι ὁ μὴ ἐκ ψυχῆς λέγων ἢ πράττων, μηδὲ ἅπερ φρονεῖ, ὁποῖοι πρώτως καὶ μάλιστα οἱ τῆς θυμέλης, οἱ σκηνικοί.] (v. 401) Τοῦ δὲ «γνωστόν», ὃ παρὰ τοῖς ὕστερον ἔγνωσται, περὶ οὗ καὶ ἀλλαχοῦ κεῖται, ἀναλογώτερον τὸ γνωτόν, ἐξ οὗ καὶ τὸ ἀλλόγνωτον. ὡς γὰρ χρυσώσω χρυσωτόν, ἁλυσειδώσω ἁλυσειδωτόν, καὶ τὰ ὅμοια, οὕτω καὶ γνώσω γνωτόν. (v. 403 s.) Ὅτι ἀγαθοῦ ῥήτορος ἔπαινος τὸ «ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν μῦθον ἀγασάμενοι» τοῦ δεῖνος, ὡς ἐνταῦθα τὸν Διομήδους οἱ Ἕλληνες. Ὡς δὲ τὸ ἰάχειν πρωτότυπόν ἐστι τοῦ Ἴακχος, προδεδήλωται.

2.483 (v. 408) Ὅτι καὶ ἐνταῦθα ἡ ἀμφι δοτικῇ σύγκειται ἐν τῷ «ἀμφὶ δὲ νεκροῖσι κατακειέμεν οὔ τι μεγαίρω», ἤγουν οὐ φθονῶ, ὅ ἐστι μέμφομαι καίειν τοὺς νεκρούς. (v. 409 s.) Ὅτι ἐν τῷ «οὐ γάρ τις φειδὼ νεκύων κατατεθνειώτων γίνεται, ἐπεί κε θάνωσι πυρὸς μειλισσέμεν ὦκα» περισσόν ἐστι καὶ τὸ «κατατεθνειώτων» καὶ τὸ ἐπειδὰν θάνωσιν. Ἀρκεῖ γὰρ καὶ μόνον τὸ νεκύων. Καὶ ἔστι καὶ τοῦτο προσθήκη ἄκυρος. Κατὰ γὰρ τοὺς παλαιοὺς ἔνια ὁ ποιητὴς ἀκύρως προστίθησιν, ὡς τὸ «τῆλε» ἐν τῷ «τῆλ' ἐξ Ἀσκανίης». οὐ γὰρ οὕτω φασὶ μακρὰν Τροίας ἡ Ἀσκανία. Ὅμοιον καὶ τὸ «εἵλετο ἡ Πηνελόπη κληῖδα χειρὶ παχείῃ». τί γὰρ ἔδει, φασί, παχεῖαν χεῖρα γυναικὸς εἰπεῖν. Τοιοῦτον καὶ τὸ «Ἀρναῖος ὄνομα ἔσκε, τὸ γὰρ θέτο πότνια μήτηρ». ἤρκει γάρ, φασί, τὸ

«Ἀρναῖος ὄνομα ἔσκε». Τοῦ αὐτοῦ τύπου καὶ τὸ «οὐδὲν γλύκιον ἧς γαίης οὐδὲ πατρίδος». Ἤρκει γὰρ καὶ τὸ «ἧς γαίης» τὴν πατρίδα δηλῶσαι, νοούμενον ἀντὶ τῆς οἰκείας γῆς, ἐπεὶ καὶ ἡ οἰκεία κατὰ μόνας τὴν πατρίδα σημαίνει, οὐ μὴν καὶ ἡ ἰδία. οὐ γὰρ οἶδε τοῦτο ἡ κοινὴ χρῆσις. Καὶ Εὐριπίδης δὲ ἀκύρως προσέθετο εἰπὼν τὸ «σῶμα δ’ ἐν γυναιξὶ θηλείαις πρέπον». ἤρκει γὰρ τὸ γυναιξίν, εἰ μὴ ἐναγώνιος ἦν καὶ ἄσκεπτος ὁ τοῦτο εἰπών. Παρέξεσται δὲ ἐκ τοῦ «θηλύτεραι δὲ γυναῖκες». Καὶ ἐν τῇ γ′ δὲ ῥαψῳδίᾳ ἐν τῷ «ποντοπόροις ναυσὶ πόντον ἐπιπλώσας» ἢ τὸ «ποντοπόροις ναυσί» παρελκόντως τέθειται ἢ τὸ «πόντος», οὐκ ἀκριβοῦντος τοῦ Ἕκτορος ἐκεῖ τὴν φράσιν διὰ τὸν κατὰ τοῦ Πάριδος θυμόν.

2.484 Καὶ παρὰ Σοφοκλεῖ δὲ ἐν τῷ «τυμβεῦσαι τάφῳ» οὐκ ἀναγκαίως κεῖται τὸ τάφῳ. Ἰστέον δὲ καὶ ὅτι σοφιστικώτερόν τις ἐπιβαλὼν τῷ «νεκύων κατατεθνειώτων» εἴπῃ ἂν μὴ παρέλκειν τὸ «κατατεθνειώτων», ἀλλ’ ὡς πρὸς διαστολὴν εἰρῆσθαι νεκύων ζώντων. Εἶεν δ’ ἂν τοιοῦτοι οἱ ἐν τληπαθείαις βιοῦντες, ὁποῖοι καὶ οἱ κατὰ Τροίαν τὸν δεκαετῆ παρατείναντες πόλεμον, οἳ δὴ ζῶντες μὲν λογίζοιντο ἂν εἰς νέκυας διὰ τὸ μὴ καλῶς ζῆν, μὴ ζῶντες δὲ καλοῖντο ἂν νέκυες τεθνεῶτες. τοῦτο δὲ καὶ εἰς πάντας τοὺς ἐν κακοπαθείᾳ τὸν βίον διάγοντας παρελκυσθήσεται. [Ὧν μέρος καὶ οἱ ἐν παρέσει καὶ τυφλότητι καὶ σκοτώδει καθείρξει. Συντελεῖ δ’ ἐνταῦθα καὶ Στρατονίκου τὸ «ἔνθα καὶ οἱ νεκροὶ περιπατοῦσι», ῥηθὲν ὑπ’ ἐκείνου ἐπὶ καχεκτούντων ἀνδρῶν καὶ διὰ τοῦτο ἀχρείων τὰ ἐς ὄψιν ὅτι μάλα, ὡς καὶ νεκροῖς ἐοικέναι καί πως ψεύδεσθαι τὴν ζωήν.] Καθ’ ὁμοίαν δέ τινα ἐπιβολὴν καὶ τὸ «τυμβεῦσαι τάφῳ» οὐκ ἔχοι ἂν παρολκήν, ἀλλὰ διαστολὴν πρὸς ἑτεροῖα τυμβεύματα. καὶ θαλάσσῃ γὰρ τυμβεύεσθαί τις λέγεται βυθισθεὶς ἐκεῖ, καὶ εἰς θηρίων δὲ γαστέρας, εἰ καταφάγωσιν αὐτόν. [Οὕτω δὲ καὶ γῦπες τυμβεύουσι κατὰ γαστέρων ὅσα καί τινων τάφων τοὺς ὑπ’ αὐτῶν διασπωμένους καὶ οὕτω κατασπωμένους.

2.485 Διὸ καὶ τάφους ἐμψύχους ἐτόλμησάν τινες εἰπεῖν αὐτούς. Εἰ δὲ καὶ οἱ ἅρπαγες τυμβεύειν πειρῶνται τροπικώτερον τοὺς ἀδικουμένους, ἀλλ’ αὐτοὶ τυμβεύοιντο κυριολεκτικῶς, ὡς οὐκ ἂν ἐθέλοιεν.] (v. 410) Τὸ δὲ μειλίσσειν ἀστείως εἴρηται. ὡς γὰρ παίδων μειλίγματα τὰ ἐκείνων θελήματα, οὕτω νεκροῦ μείλιγμα μὲν ἡ [ὠκεῖα] ταφὴ μειλισσομένου διὰ πυρός, μήνιμα δὲ τὸ μὴ [ταχὺ] θάπτεσθαι. Διὸ καὶ ὁ Πάτροκλός που ὀνειδίσει τῷ Ἀχιλλεῖ, ὅτι μὴ θάπτεται τάχιον. Ὡς δὲ καὶ λοιπά τινα μειλίγματα νεκρῶν μηνιώντων ἦσαν, αἱ τῶν παλαιῶν ἱστορίαι δηλοῦσιν. Ἰστέον δὲ ὅτι τὸ μὲν πυρὸς μειλισσέμεν ἔλλειψιν ἔχει τῆς δια προθέσεως, ἵνα δηλοῖ τὸ διὰ πυρὸς μείλιγμα. ἡ δὲ ἀπαθὴς σύνταξις κατὰ δοτικὴν γίνεται, ὡς δηλοῖ παρ’ Ἡροδότῳ τὸ «τραπέζῃ μειλίξαντας». (v. 411) Ὅτι τὸ «ὅρκια δὲ Ζεὺς ἴστω» ἀπορίαν ἔχει. οὐ γὰρ εὕρηται οὔτε ὁ βασιλεὺς ἐνταῦθα οὔτε πρὸ αὐτοῦ ὁ Πρίαμος ἐπὶ τοῖς συντεθειμένοις ὀμωμοκότες. Ὑπονοητέον οὖν σιωπηλῶς, ὡς καὶ ὅρκοι ἐξεφωνήθησαν μέν, οὐκ ἐγράφησαν δὲ τῷ ποιητῇ διὰ τὸ πασίδηλον. (v. 412) Ὅτι ὥσπερ ἐν τῇ α′ ῥαψῳδίᾳ τὸ σκῆπτρον τῷ Ἀχιλλεῖ μέγας ὅρκος ἦν, οὕτω καὶ νῦν τὸ «σκῆπτρον ἀνέσχεθε πᾶσι θεοῖσι» διογενὴς Ἀγαμέμνων, ἐφ’ οἷς τῷ Ἰδαίῳ εἶπεν, ὡς ἱερὸν καὶ βασιλείας σύμβολον ἐκ Διός, καὶ ἐλογίσθη τοῦτο εἰς ὅρκον. Καὶ οἱ κήρυκες δὲ καταλλάσσοντες τοὺς μονομάχους πρὸ βραχέων τὰ σκῆπτρα ἐν μέσῳ ἐκείνων ἔσχον, οἱ δὲ ἐπαύσαντο σύμβολα θεῖα ἰδόντες μεσολαβήσαντα.

2.486 Εἰ δὲ Ἀχιλλεὺς μὲν ἀλλαχοῦ πρὸς τῇ γῇ τὸ σκῆπτρον ἔβαλεν, ὁ δὲ βασιλεὺς ἀνέσχεν αὐτὸ ἄρτι, ἀναθετέον ἐκεῖνο μὲν θυμῷ, τοῦτο δὲ λογισμῷ ἔμφρονι. Ὥσπερ δὲ σκῆπτρον ὁ βασιλεὺς ἀνέσχεν ἐνταῦθα, οὕτω τις ἑτέρωθι ἀνέσχε χεῖρα καὶ εὐχὴν ἕτερος καὶ δόρυ ἄλλος. [Ὅρα δὲ ἐν τῷ «ἀνέσχεθε πᾶσι θεοῖσιν», ὅτι δυνάμενος κατὰ κάλλος εἰπεῖν «ἀνέσχεθε θεοῖς», αὐτὸ μὲν διέκοψεν ὡς οὐκ εὔφωνον, ἠρκέσθη δὲ καλλωπίσαι διὰ παρισώσεως.] (v. 414) Ὅτι ταὐτόν ἐστιν εἰπεῖν Δάρδανοι καὶ Δαρδανίωνες. διὸ πρὸ ὀλίγου εἰπὼν «Τρῶες καὶ Δάρδανοι», ἐνταῦθα «Τρῶες» φησὶ «καὶ Δαρδανίωνες», ἤγουν Δαρδανίδαι, Δαρδάνου ἀπόγονοι. Καὶ ἔστι τοῦτο καιριώτερον, ὡς καθαρῶς πατρωνυμικόν, καθὰ καὶ τὸ Δαρδάνιοι, ὃ προδεδήλωται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πατρωνυμεῖται γὰρ καὶ ὁ Δαρδάνιος κατὰ τὸ Τελαμώνιος. Οἱ μέντοι Δάρδανοι ἢ ὁμωνυμίαν ἔχουσι πρὸς τὸν Δάρδανον, ἢ ἐκ τοῦ Δαρδάνιοι συνεκόπησαν. (v. 414—7) Ὅτι τὸ ὅτε «ὁππότ' ἂν» ἐνταῦθα Ὅμηρος λέγει εἰπὼν «οἳ δὲ ἐκάθηντο πάντες ὁμηγερέες, ποτιδέγμενοι ὁππότ' ἄν», ἤγουν ὅτε, καὶ κατὰ τοὺς ὕστερον Ἀττικοὺς εἰπεῖν πηνίκα, «ἔλθοι ὁ Ἰδαῖος, ὃ δ' ἄρ' ἦλθε καὶ ἀγγελίην ἀπέειπε στὰς ἐν μέσσοισιν». ἃ δὴ ἁρμόττει εἰς ὑπουργίαν ἀγγέλων πολλαχοῦ. (v. 416 s.) Ἰστέον δὲ ὅτι ἐν ἄλλοις μὲν ὁ ποιητὴς παράγει τοὺς ἀγγέλους ἀνελλιπῶς αὐτὰ δὴ τὰ παραγγελθέντα προφέροντας, ἐνταῦθα δὲ κατὰ σχῆμα συντομίας ἐπὶ τοῦ Ἰδαίου ἀρκεῖται τοῦτο καὶ μόνον εἰπών· ὁ δ' ἦλθεν εἰς Ἴλιον καὶ ἀγγελίην, τὴν ἐκ τῶν Ἀχαιῶν, ἀπέειπεν, ἤγουν ἁπλῶς εἶπεν, ὡς περιττευούσης τῆς προθέσεως, καθὰ καὶ ἐν τῷ «κεῖται ἀπομηνίσας», ἢ μάλιστα Ὁμηρικώτερον τὴν ἀπόφασιν ἡ λέξις δηλοῖ τὴν, ὅτι οὔτε τὰ κτήματα οὔτε τὴν Ἑλένην οἱ Ἀχαιοὶ δέχονται.

2.487 Καὶ σημείωσαι ὅτι τῆς Ἑλληνικῆς ὁμιλίας συγκειμένης ἔκ τε τοῦ εἰπεῖν καὶ τοῦ ἀπειπεῖν— Εἰπεῖν μὲν γὰρ ἦν τὸ συγκαταθέσθαι ταφῆναι τοὺς νεκρούς, ἀπειπεῖν δὲ τὸ μηδέν τι ἐκ τῶν Τρώων δέξασθαι—, ἀπειπεῖν ἀγγελίαν ἐνταῦθα εἶπεν ἀπὸ μέρους τοῦ καιριωτέρου. Τί δέ ἐστι τὸ κυρίως ἀπειπεῖν, ἐδηλώθη σαφῶς καὶ ἐν τῷ «ὑπόσχεο καὶ κατάνευσον ἢ ἀπόειπε». [Ὅτι δὲ ἀπειπεῖν λέγεται καὶ τὸ σιγῆσαι, εἴτ' οὖν ἀπαγορεῦσαι διά τινα βαρύτητα, δηλοῖ καὶ τὸ «ἀπεῖπον ἄλγει», καὶ τὸ «ἔστε κ' ἀπείπῃς», ἤγουν ἕως ἂν ἀπαγορεύσῃς ὡς ἡττημένος.] (v. 417 s.) Ὅτι ὁπλίζεσθαι καὶ ἐνταῦθα τὸ ἁπλῶς εὐτρεπίζεσθαι. Φησὶ γὰρ «τοὶ δ' ὡπλίζοντο», ἤγουν οἱ Τρῶες, «ἀμφότερον νέκυάς τε ἀγέμεν, ἕτεροι δὲ μεθ' ὕλην», ἀντὶ τοῦ εἰς τὸ ὀρεινὸν δάσος. Τοῦτο δὲ καὶ κατωτέρω εὐθὺς ἐπὶ Ἀργείων λέγει ταὐτολογῶν, ὡς ἔθος αὐτῷ, καὶ μὴ ἐθέλων ποικιλίαν φράσεως ἐν οὐ δέοντι περιεργάζεσθαι. Τὸ δὲ «ἀμφότερον» ἐπίρρημά ἐστι κἀνταῦθα, ὡς καὶ ἐν τῷ «ἀμφότερον βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής». (v. 417 s.) Δῆλον δέ, ὡς καινόσχημόν ἐστι τὸ «ὡπλίζοντο νέκυάς τε ἄγειν, ἕτεροι δὲ μεθ' ὕλην». Ἦν γὰρ κοινότερον τὸ «οἳ μὲν ὡπλίζοντο εἰς νεκύων ἀγωγήν, ἕτεροι δὲ εἰς ὕλην», ἢ καὶ ἄλλως «νέκυάς τε ἄγειν καὶ ξύλα». Ὅμηρος δὲ ὁμοιοσχημόνως ἔφρασεν ὡς οὐκ ἄν τις ἕτερος (v. 420) Τὸ δὲ νέκυας ἄγειν τὸ νεκραγωγεῖν παρήγαγεν. [Οὕτω δὲ καὶ τὸ δάκρυα χέοντες, ὃ μετ' ὀλίγα κεῖται εἰς πιθανὴν ἔνδειξιν πλήθους δακρύων, συντίθησι τὸ δακρυχέειν.] Τὸ δὲ ἄγειν ἰσοδυναμεῖ καὶ νῦν τῷ φέρειν. Ἰστέον δὲ ὅτι ὁ νῦν πάνυ βραχυλογήσας ποιητὴς τὴν τοῦ Ἑλληνικοῦ καὶ Τρωϊκοῦ πολυανδρίου σκευωρίαν, ὡς καὶ μετ' ὀλίγα εὐθὺς φανεῖται, προϊὼν ἐν τοῖς κατὰ τὸν Πάτροκλον πλατυνεῖ τὴν τοιαύτην ἔννοιαν, οὕτω κρίνας αὐτὸς καὶ τοῦτο δέον εἶναι, καθὰ καὶ ἐχρῆν.

2.488 οὐ γὰρ ἔδει νῦν ἐν τοσούτοις ἀγῶσιν ἁβρύνειν τὸν λόγον τοιαύτῃ διασκευῇ. (v. 421 s.) Ὅτι τὸ ἀνατεῖλαι τὸν ἥλιον περιφράζων φησὶν «ἠέλιος μὲν ἔπειτα νέον προσέβαλλεν ἀρούρας ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῖο οὐρανὸν εἰσανιών». Τίς δὲ ὁ Ὠκεανός, καὶ διὰ τί ἀκαλαρρείτης λέγεται, εἴρηται ἀλλαχοῦ. Νῦν δὲ ἐν ὀλιγίστῳ ῥητέον τὸ τοῦ Γεωγράφου εἰπόντος, ὅτι τὸ ἀκαλαρρείτης ἔμφασιν ἔχει τῆς τοῦ Ὠκεανοῦ πλημυρίδος, ἐχούσης τὴν ἐπίβασιν πραεῖαν καὶ οὐ τελείως ῥοώδη, ὥστε ὁ σοφὸς οὗτος τὸ «ἀκαλαρρείτης», ὃ δηλοῖ τὸν ἡσύχως ῥέοντα, οὐχ' ὡς ἐπὶ ποταμοῦ τοῦ Ὠκεανοῦ λαμβάνει, ἀλλ' ὡς ἐπὶ θαλάσσης ἐκείνης τῆς ἔξω ἀμπωτιζομένης ἠρέμα καὶ οὐ καταρακτικῶς ἐν τῷ πλημύρειν ἐπιβαινούσης εἰς γῆν. (v. 424—8) Ὅτι «χαλεπῶς μέν», φησίν, «ἦν διαγνῶναι ἄνδρα ἕκαστον», τῶν τεθνεώτων δηλαδή, «ἀλλ' ὕδατι νίζοντες ἄπο βρότον αἱματόεντα», ὅ ἐστιν ἀποκαθαίροντες τὸν ἐκ τοῦ αἵματος μολυσμὸν καὶ οὕτως ἐπιγινώσκοντες οἱ αὐτοὺς ἀναλεγόμενοι, «δάκρυα θερμὰ χέοντες ἁμαξάων ἐπάειραν. οὐδ' εἴα κλαίειν Πρίαμος μέγας, οἳ δὲ σιωπῇ νεκροὺς πυρκαϊῆς ἐπενήνεον», ἤγουν ἐπεσώρευον εἰς πυρκαϊάν, «ἀχνύμενοι κῆρ». καὶ τοῦτο μὲν ἐπὶ Τρώων. (v. 430—2) Εἶτα κατὰ μέθοδον συντομίας ἐπὶ τῶν Ἑλλήνων ταὐτολογῶν, ὡς εἴωθε, λέγει ὡσαύτως ἑτέρωθεν

καὶ αὐτοὺς ποιεῖν. (v. 424) Τὸ δὲ «ἔνθα διαγνῶναι χαλεπῶς ἦν ἄνδρα ἕκαστον» λεχθήσεταί ποτε ἁπλῶς καὶ ἐπὶ συγχύσεως πλήθους. Σημείωσαι δὲ καὶ ἐνταῦθα, ὅτι οὕτω διασκευῶν παραδόξων ἐφευρετικὸς ὁ ποιητής, ὥστε ἤνυσεν ἰδοῦ εὐμεθόδως ἀόπλους εἰς τὸ πεδίον συναγαγεῖν καὶ ἀναμῖξαι Τρῶάς τε καὶ Ἕλληνας ἐν τῇ τῶν νεκρῶν συλλογῇ, πρὸς ἀλλήλους μὲν οὐδὲν φθεγγομένους, ἐπὶ δὲ τοῖς τεθνεῶσι παθαινομένους. (v. 427) Καὶ ὅτι βαρβαρικὸν μὲν τὸ ἀκρατῶς κλαίειν, ὃ καὶ ποιοῦντες ἢ καὶ ποιεῖν ἐθέλοντες οἱ Τρῶες κωλύονται ὑπὸ τοῦ Πριάμου, ἵνα τε μὴ δόξωσι μαλακοὶ εἶναι διὰ τὸν κλαυθμὸν καὶ μηδὲ ἀμελῶσι τοῦ ἔργου κατακλώμενοι, ὃ δὴ καὶ ἡ τοῦ κλαίειν λέξις βούλεται.

2.489 (v. 430 s.) Οἱ μέντοι Ἕλληνες μόνον ἀχνύμενοι κῆρ ἐπισωρεύουσι τῇ πυρκαϊᾷ τοὺς νεκρούς. διὸ οὐδ' ἂν κωλύοιντο ὑπ' οὐδενός. Ὡς γὰρ ὑφεῖται τῷ γέλωτι τὸ μειδίαμα, οὕτω καὶ τῷ κλαυθμῷ τὸ ἄχνυσθαι. (v. 423—8) Περιπαθὲς δὲ τὸ δρᾶμα καὶ μᾶλλον ἤπερ τὸ ἐπ' Ἀλεξάνδρου τοῦ Μακεδόνος. Ἐπ' ἐκείνου μὲν γάρ, ὥς φασιν αἱ ἱστορίαι, ἦν ἰδεῖν ποτε πεδίον πλῆρες ἀνδρῶν κεκυφότων εἰς γῆν καὶ λίθους ἀναστρεφόντων, οἷα τοῦ φρονεῖν ἐκστάντων διά τι φάρμακον, ὅπερ ἀγνοίᾳ προσηνέγκαντο. Ἐνταῦθα δὲ τὸ Τρωϊκὸν πεδίον ἀνδρῶν γέμει ἐπικυπτόντων νεκροῖς, φρονούντων μὲν φύσει, ἐξεστηκότων δὲ ὥσπερ τῷ πάθει καὶ φωνούντων ἀλλήλοις οὐδέν. (v. 428) Ὅρα δὲ καὶ ὅτι συντέμνει, ὡς καὶ προεσημειώθη, τὴν τῆς ταφῆς διασκευὴν ἐνταῦθα ὁ ποιητής, ὥσπερ καὶ τὴν τοῦ τείχους μετὰ βραχέα κατασκευήν, οὐκ ἐθέλων τοῖς μὴ ἀναγκαίοις ἀκαίρως ἐμφιλοχωρεῖν. ἑνὶ γοῦν στίχῳ τῷ αὐτῷ ἐπί τε Τρώων καὶ Ἑλλήνων τὰ τῆς πυρκαϊᾶς ἀφοσιοῦται, οἳ τοὺς νεκρούς, φησίν, εἰς πυρκαϊὰν ἐπενήνεον ἀχνύμενοι κῆρ. Τὴν δὲ πολλὴν ἐπιτάφιον διατριβὴν τῷ τοῦ Πατρόκλου τηρήσει τάφῳ χαριζόμενος κἀνταῦθα τῷ φίλῳ Ἀχιλλεῖ, ἵνα καὶ ἀγωνοθέτην ἐκεῖνον καθίσῃ τοῖς Ἕλλησιν. (v. 427) Ἐνδημεῖ δὲ αὐτὸς ὁ Πρίαμος ἐνταῦθα τῷ ἔργῳ διά τε τὴν τοῦ Ἀγαμέμνονος ἀναφώνησιν φαμένου «ὅρκια δὲ Ζεὺς ἴστω», καὶ διὰ τὸ ἀναγκαῖον ἄλλως τοῦ πράγματος, ὅπερ ἐπὶ τῶν φθασάντων ὅρκων οὐκ ἐποίησεν, ὁ μὴ κατὰ τὸν Σαλαμίνιον Αἴαντα μέγας, ἀλλὰ καθ' ἑτέρους πολλοὺς τρόπους, οἷα μὴ ἀνασχόμενος τότε παραμεῖναι τῇ μονομαχίᾳ τοῦ υἱοῦ. (v. 428) Τὸ δὲ «ἐπενήνεον» ἀπὸ διπλασιασμοῦ γίνεται, ὡς καὶ τὸ ἀνεκήκιε, καθὰ καὶ προδεδήλωται. Ἔστι γὰρ νῶ, τὸ σωρεύω, καὶ ἀναδιπλασιασμῷ νανῶ καὶ τροπῇ νηνῶ, ἐξ οὗ τὸ ἐπενήνεον. Ἡ δὲ λέξις καὶ παρὰ Ἡροδότῳ ἐν τῷ «συννενέαται φρυγάνων φάκελλοι». κεῖται δὲ καὶ ἐπὶ ἄρτων σωρείας ἐν Ὀδυσσείᾳ.

2.490 (v. 433) Ὅτι «ἀμφιλύκη νύξ» τὸ παρ' ἡμῖν ἰδιωτικώτερον λεγόμενον λυκόφως, ὅπερ οὔτε ἡμέρα ἤδη ἐστίν, ἀλλ' οὐδὲ νύξ ἐστιν ἁπλῶς, νὺξ δὲ ἀμφιλύκη. καὶ ἄλλως δὲ εἰπεῖν, ἀμφιλύκην νύκτα καλεῖ ὁ ποιητὴς τὴν ἤδη πρὸς τῇ ἡμέρᾳ οὖσαν καὶ προηγουμένην τῆς ἠοῦς, ἤτοι τοῦ ὄρθρου. (v. 433 s.) Διὸ καί φησιν «ἦμος δ' οὔτ' ἄρ πω ἠώς, ἔτι δ' ἀμφιλύκη νύξ, τῆμος δ' ἀμφὶ πυρὴν κριτὸς ἔγρετο λαός». Καὶ ἄλλως δὲ καθ' Ὅμηρον, ἀμφιλύκη νύξ, καθ' ἣν ἥλιος νέον προσβάλλει τῇ γῇ οὔπω διαλύσας τὴν νύκτα, οὐ μὴν ἤδη προσβέβληκεν ὡς καὶ ἠῶ ποιῆσαι. Ἐτυμολογεῖται δὲ ἢ παρὰ τὴν λύγην, ὅ ἐστι τὴν σκοτίαν. —Λυγαῖον γάρ, ὅ ἐστι σκοτῶδες, τὸ τηνικαῦτα φῶς—ἢ παρὰ τὸ λυκέῃ ἐοικέναι, τουτέστι λύκου δορᾷ. τεφρώδης γὰρ ἡ λυκέη καὶ οὐκ ἄκρατον ἴσχει τὸ μέλαν. [Εἰς τοῦτο δὲ συντελεῖ τι καὶ ἡ παρὰ τοῖς πολλοῖς ἰδιωτικῶς λεγομένη λυκόχροος βαφή. κατ' ἐκείνην γάρ πως διάκειται καὶ ἡ ἀμφιλύκη νύξ. εἴη δ' ἂν αὕτη καὶ λυκόφως. Λέξις δὲ καὶ αὕτη γνωστὴ τοῖς παλαιοῖς, οἳ καὶ ἔγραψαν ὅτι λυκόφως ὁ πρὸ τῆς ἀνατολῆς χρόνος, εἰ καὶ ἡ χυδαία λογιότης γλυκόφως αὐτὸ λαλεῖ.] Ἰστέον δὲ ὅτι πρῶτα μὲν νύξ, εἶτα ἀμφιλύκη, νὺξ μὲν ἔτι οὖσα, πέρας δὲ ὅμως νυκτός, μεθ' ἣν ἡ κροκόπεπλος καὶ ἡ ῥοδοδάκτυλος, μετὰ δὲ ταύτας ἡ ἀπροσδιορίστως λεγομένη ἡμέρα. (v. 434—6) Ἰστέον δὲ ὅτι σῶφρον κάλλος ὁ ποιητὴς ἐνταῦθα τῷ λόγῳ μετρίως τεχνώμενος τὸν μὲν ἀμφὶ τὴν πυρὰν λαὸν κριτὸν ἔφη, ὅ ἐστιν ἐπίλεκτον, τὸν δὲ τύμβον, ἤτοι τὸ Ἑλληνικὸν πολυάνδριον, ἄκριτον,

ὡς καὶ προερρέθη, ὅ ἐστιν ἀδιαχώριστον διὰ τὴν κοινότητα. Ἔχει δέ τι πάντως γλυκέος ἤχου τὸ κριτὸν καὶ ἄκριτον κατὰ τὸ αὐτοῖς ἐμφαινόμενον ἀντιθετικόν.

2.491 εἰσὶ δὲ τῶν πρός τι. Καὶ ὁ μὲν κριτὸς λαὸς δηλοῖ οὐ τὸν ἐν συνθέσει ἔκκριτον ἢ πρόκριτον κατά τι ἐξαίρετον ἀρετῆς ἢ τὸν λογάδα χαρακτηρίζει, ἀλλὰ τὸν ἁπλῶς χωριστὸν εἴς τι ἔργον. Ἄκριτος δὲ τύμβος ἀνάπαλιν ὁ κοινὸς καὶ ἀχώριστος καὶ μὴ ἰδιάζων ἐν τοῖς καθέκαστον ἀλλ’ ἀδιευκρίνητος. καὶ δῆλον ὡς ἐκ τῆς τοιαύτης λέξεως ὁ ἀκριτόμυθος σύγκειται, ὁ συμπεφυρμένος δηλαδὴ καὶ μὴ εὐκρινῶς ἔχων ἐν τῇ τῶν νοημάτων τάξει. (v. 436—441) Ὅτι τὴν τειχοποιΐαν, ἣν ὁ Νέστωρ γενέσθαι ὑπέθετο, οὕτω νῦν φράζει ἀδιασκεύως καὶ ἐπιτροχάδην ὁ ποιητὴς διὰ τὸ μὴ ἀναγκαῖον τῆς πολυλογίας «τεῖχος ἔδειμαν πύργους θ’ ὑψηλούς, εἶλαρ νηῶν τε καὶ αὐτῶν», ὡς καὶ προεγράφη, «ἐν δ’ αὐτοῖσι πύλας ἐνεποίεον εὖ ἀραρυίας, ἔκτοσθεν δὲ βαθεῖαν ἐπ’ αὐτῷ», ἤγουν τῷ τείχει, «τάφρον ὤρυξαν εὐρεῖαν μεγάλην», ὡς καὶ ἐχρῆν, «ἐν δὲ σκόλοπας κατέπηξαν». Καὶ ἔστι τοῦτο σκάριφον τειχισμοῦ πεποιημένου εἰς ἀσφάλειαν τῶν ἐντός, οὐ μὴν ἀληθὴς κατὰ ἱστορίαν τειχισμός, ὡς καὶ μετ’ ὀλίγα δηλωθήσεται. (v. 436) Ἰστέον δὲ ὅτι ἐν τῷ «τεῖχος ἔδειμαν πύργους θ’ ὑψηλούς» ἐντελὴς ἡ φράσις, πρὸ δὲ τούτων ἐν τῷ «δείμομεν πύργους ὑψηλούς» ἐνέλειπε πρὸς ἐντέλειαν ἐννοίας τὸ τεῖχος, νοούμενον καὶ αὐτὸ ἐκ μέρους, τῶν πύργων δηλαδή. (v. 438) Ἐν δὲ τῷ «πύλας ἐνεποίεον εὖ ἀραρυίας», γράφουσί τινες «πύλας ἐνεποίεον ἑπτ’ ἀραρυίας», ὡς ἑπτὰ πυλῶν οὐσῶν ἐκεῖσε, ἱππηλάτων δηλαδὴ κατὰ τὸν ποιητὴν εἰπόντα «ὄφρα δι’ αὐτῶν ἱππηλασίη ὁδὸς εἴη». Ἀρίσταρχος μέντοι, ὡς καὶ προεδηλώθη, ἐναντιούμενος καὶ δοκῶν παραδοξολογεῖν ἐπαγωνίζεται δεῖξαι πυλίδας μὲν πολλὰς εἶναι πρὸς διαφόρους χρείας, ἱππήλατον δὲ μίαν ἐπὶ τὰ ἀριστερὰ τοῦ ναυστάθμου περὶ τὸ προρρηθὲν Ῥοίτειον ἀκρωτήριον.

2.492 Τέως μέντοι ἐν τῇ προτέρᾳ γραφῇ περιττὴ κεῖται πρόθεσις δι’ ἐντέλειαν μέτρου, ἢ τοῦ «ἐν δ’ αὐτοῖσιν» ἢ τοῦ «ἐνεποίεον». πάντως γὰρ ἀσφαλὲς εἰπεῖν «ἐν δ’ αὐτοῖσι πύλας ἐποίεον» ἢ «αὐτοῖσι πύλας ἐνεποίεον». Τὸ δὲ ἐποίεον κοινότερον ἀντὶ τοῦ ἔτευχον εἴρηται. (v. 441) Ἡ προσθήκη δὲ τοῦ «εὐρεῖαν» ἐν μὲν τοῖς φθάσασιν ἐσιγήθη τῷ Νέστορι αὐτοσχεδιάζοντι, ἐνταῦθα δὲ ἐκφωνηθὲν ἄρτιον τὸν λόγον ποιεῖ, ὥσπερ καὶ τὸ «ἐν δὲ σκόλοπας κατέπηξεν». οὐδ’ αὐτὸ γὰρ ὁ γέρων Νέστωρ εἶπεν, Ὁμήρῳ δέ γε ἐκφωνεῖται, ὡς οἷα τοῦ Νέστορος ἐν αὐτῷ τῷ ἔργῳ τοῦ τειχισμοῦ προσθεμένου, ἅπερ σχεδιάζων ἐνέλειψεν. Εἰσὶ δὲ σκόλοπες ὀρθὰ ξύλα, ὧν ἀπωξυμμένων ἡ κατὰ γραμμὴν εὐθεῖαν στάσις ἔοικεν ἡπλωμένῃ πτέρυγι. Διὸ καὶ σταυροῖσι κορσωτὴν πτέρυγα τὴν τούτων ἔκτασιν ἔφη τις. Λέγονται δὲ οἱ τοιοῦτοι σκόλοπες καὶ σταυροὶ παρὰ τὸ ἵστασθαι κατ’ εὖρος ἢ παρὰ τὸ ἀνίστασθαι εἰς ἀέρα ἠρμένους. ἐκ δὲ τούτων τὸ ἀνασκολοπίζειν καὶ τὸ ἀνασταυροῦν. [Εἰ δὲ καὶ τὸ σκολύπτειν ἐκ τῶν σκολόπων λέγεται διὰ τὴν ἀφαίρεσιν τοῦ ἄνω καλύμματος, ἐπεὶ καὶ οἱ σκόλοπες γυμνοί εἰσι τὸ ἄνω ὀξύ, ζητητέον ἄλλοθεν.] Ὡς δὲ τοὺς τοιούτους σταυροὺς οἱ ἀπερίσκεπτα κατὰ παραφθορὰν λαλοῦντες στάβαρα καλοῦσι, δῆλόν ἐστι. Ἰστέον δὲ καὶ ὅτι τριῶν οὐσῶν διαστάσεων, μήκους, βάθους καὶ πλάτους, ὅταν ὁ ποιητὴς λέγῃ βαθεῖαν τάφρον ὄρυξαν, εὐρεῖαν, μεγάλην, τὸ μὲν βαθεῖαν βάθος δηλοῖ, τὸ δὲ εὐρεῖαν πλάτους ἐστὶ δηλωτικόν, ἅπερ τάφρου εἰσὶν ἀρεταί, τὸ δὲ μεγάλην τοῦ μήκους, ὃ καὶ παρακατιὼν δηλοῖ ἐν τῷ «ἀμφὶ δὲ τάφρον ἤλασαν», τουτέστιν ἐπὶ μῆκος ἐξέτειναν.

2.493 Ἐνταῦθα δὲ σημείωσαι καὶ ὅπως αἱ δεύτεραι φροντίδες σοφώτεραι. Νέστωρ μὲν γὰρ ἴσως οὐ παρήγγειλε καταπῆξαι σκόλοπας, Ἕλληνες δὲ ἐποίησαν οὕτω, σκεψάμενοι, ὡς εἰκός, κατὰ τὸ σιωπώμενον πλεῖόν τι τῶν τοῦ γέροντος. Σημείωσαι δὲ καὶ ὅτι τὸ Ἑλληνικὸν τοῦτο τεῖχος ἀρέσκει τοῖς παλαιοῖς πλάσμα εἶναι Ὁμηρικόν. τῇ γὰρ ἀληθείᾳ, φασίν, οὐ γέγονεν, ἀλλ’ ἐπλάσατο τὴν πρὸς τῷ ναυστάθμῳ τειχοποιΐαν καὶ τὰ κατ’ αὐτὴν ὁ ποιητής, οὐχ’ ἱστορῶν πρᾶγμα γενόμενον ἀλλ’ ὡς γενόμενον ἐκτιθέμενος, οὐδὲ λέγων ἀληθῶς, τὰ εἰκότα δὲ

ὑποτιθέμενος, ὡς ἂν ἐγγυμνάσῃ προϊὼν τὴν ἑαυτοῦ ῥητορικὴν καὶ τειχομαχίαις καὶ κινδύνοις τοῖς περὶ αὐτάς, ὅπερ οὐκ εἶχε περὶ αὐτὴν τὴν Τροίαν ἄρτι πιθανῶς ποιῆσαι, τά τε ἄλλα, καὶ μάλιστα διὰ τὴν τοῦ Ἀχιλλέως μῆνιν, οὗ χωρὶς οὐ δυνατὸν ἦν τοὺς Τρῶας ἐγκλεισθῆναι τῇ πόλει καὶ πολιορκητικὴν τειχομαχίαν παθεῖν διὰ τὸ δεῖν εἶναι τελειωθῆναι τὴν προρρηθεῖσαν βουλὴν τοῦ Διός. Ἐπλάσατο μὲν οὖν οὐκ ἀπιθάνως ὁ ποιητὴς τὴν ἐν τῷ ναυστάθμῳ πυργοποιΐαν διὰ πάνυ πολλὴν ποικιλίαν καὶ εὐπορίαν γραφῆς τὴν εἰσέπειτα φανησομένην. (v. 445—63) Ἵνα δὲ μὴ ἐλέγχηται ὑπὸ τῶν ὕστερον ὡς ψευσάμενος, ζητούντων μὲν βραχέα γοῦν τινα ἰδεῖν γνωρίσματα τῆς τοιαύτης περιπύστου τειχοποιΐας, μὴ εὑρισκόντων δέ, παράγει τὸν Ποσειδῶνα ὀργιζόμενον ἐπὶ τῷ ἔργῳ τούτῳ ἐν ἐπηκόῳ τοῦ Διὸς καὶ οἷον φθονοῦντα ὑπέρ τε ἑαυτοῦ καὶ τοῦ Ἀπόλλωνος, ἔτι δὲ καὶ ἐπεγκαλοῦντα τοῖς Ἕλλησι, διότι μηδὲ θύσαντες ἑκατόμβας εἶτα τειχοποιεῖν ἐπιβάλλονται, καὶ τὸν Δία ποιεῖ καταψηφιζόμενον τοῦ Ἑλληνικοῦ ἔργου καὶ κυροῦντα τὸν τείχους ἀφανισμόν, καλύψει μὲν ψαμάθων ὕστερον, πρὸ δὲ τούτου ἀναρρήξει καὶ ἐκμοχλεύσει τῶν θεμελίων, τῇ διὰ σεισμῶν δηλαδὴ καὶ ὑδάτων, ὡς εἰκός, ἐπικλύσεως, ὧν κύριος Ποσειδῶν σὺν Ἀπόλλωνι, ὥστε τὸ αὐτὸ καὶ σεισμοῖς πεσεῖν καὶ ποταμόκλυστον γενέσθαι καὶ ἀμμόχωστον.

2.494 καὶ οὕτω λαμπροτάτην μὲν ἐν τοῖς ἑξῆς τειχομαχίαν ὁ ποιητὴς ἀρτύει ἐν τῷ πλαστῷ τούτῳ τείχει. Διὰ δὲ τοῦ παντελοῦς αὖθις ἀφανισμοῦ διαφεύγει τὸν τοῦ ψεύδους ἔλεγχον, αὐτὸς ποιήσας τὸ τεῖχος, αὐτὸς ἀφαντώσας, ὡς καὶ Ἀριστοτέλης δηλοῖ, ὅπου ἔφη ὅτι τὸ τεῖχος ὁ φράσας ποιητὴς ἠφάνισε. Διὸ καί, καθ' Ὅμηρον ἱστορῆσαι, αὐθημερὸν τὸ τοσοῦτον τετέλεστο διὰ τὴν πολυχειρίαν τῶν Ἀχαιῶν, ἵνα μὴ ἀπιστοῖτο ἐξαπολέσθαι [τὸ μέγα μέν, εἰκαῖον δέ, καὶ Ὁμηρικῶς εἰπεῖν, οὐδενόσωρον κατά γε τὸ ἀπεριμερίμνως ἔχειν τὰ εἰς κατασκευὴν καὶ οὐκ εὐσταθῶς διὰ τὴν ἄγαν κατέπειξιν.] (v. 465) Φησὶ γὰρ «δύσετό τε ἠέλιος, τετέλεστο δὲ ἔργον Ἀχαιῶν», ὅπερ καὶ μέγα ἔργον καλεῖ, τοιοῦτον ἂν τῇ ἀληθείᾳ ὄν, εἰ γέγονεν. Ὅθεν ὁ περὶ τὴν ὀλίγην πυρὰν τοῦ Πατρόκλου ἐν τοῖς ὕστερον πολὺν λόγον δαπανήσων καὶ ὀρέας ἀχθοφόρους σκευάσων καὶ ἄνδρας ὑλοτόμους ἐπιλεξόμενος καὶ ἄρχοντα τὸν Μηριόνην αὐτοῖς ἐπιστήσων καὶ ἀρχιτεκτονήσων πυρὰν ἑκατόμποδον, τῷ τοσούτῳ τείχει οὐκ ἀρχιτέκτονά τινα ἐφιστᾷ, οὐ λατομίαν ὑπονομεύσας ἀνοίγει, οὐ τὴν ἄλλην ὕλην φράζει, οὐ τοὺς τεχνίτας ἱστορεῖ, ὡς εὖγε καὶ ταῦτα ποιῶν, ἵνα μὴ περιηγησάμενος τὸ μὴ γενόμενον ὡς γεγονὸς καὶ λόγον πολὺν περὶ αὐτὸ ἀναλώσας ὕποπτον ποιήσῃ τὴν ὅλην ποίησιν καὶ ἀπιστηθείη καὶ περὶ τὰ ὄντως γενόμενα. Ἰστέον δὲ ὅτι ἔχουσι πιθανότητα τοῦ μὲν ταχὺ γενέσθαι τὸ μέγα τεῖχος αἱ πολλαὶ τοῦ λαοῦ μυριάδες, τοῦ δὲ νῦν μὴ φαίνεσθαι ὁ διὰ κλοπὴν καιροῦ σχεδιασμός, οἷα εἰκός, τοῦ τειχισμοῦ. εὐκατάβλητον γὰρ τὸ οὕτως εἰκαῖον καὶ αὐτοσχέδιον καὶ ἐπὶ ἠόνος ἀμμώδους ἑστώς, ὡς φαίνεται.

2.495 Ἡ δὲ μυθικὴ τοῦ Διὸς ἐνταῦθα παρενθήκη, ναὶ μὴν καὶ Ποσειδῶνος καὶ Ἀπόλλωνος, καὶ αἴνιγμά ἐστι τοῦ μηδὲν ἀθεεὶ γενέσθαι. Ὅμηρος δὲ ἄλλως ἀνθρωπίνως τὰ μυθικὰ διαχειριζόμενος πλάττει, ὡς οὐ μόνον φθονεῖ ὁ Ποσειδῶν τοῖς φίλοις Ἀχαιοῖς διὰ φιλοτιμίαν οἰκείαν, λογιζόμενος ὡς τὸ μὲν Ἑλληνικὸν τεῖχος εὐκλεὲς ἐστήξεται, ὃ δὲ αὐτὸς καὶ Ἀπόλλων ἔκτισε λήθην ἕξει, ἀλλὰ καὶ περιεργότερον εἰς θυμὸν ἐρεθίζει τὸν Δία τῇ στερήσει τῶν αὐτῷ ἡδέων, ἅπερ εἰσὶν αἱ ἑκατόμβαι. καὶ ἀθεΐαν δὲ ἀξίαν ἀμύνης τοῖς Ἀχαιοῖς ἐπικλᾷ, εἰ δίχα χρησμοῦ ἢ ὅλως θείας βουλῆς τειχοποιοῦσιν. Ὅτι δὲ φθόνος τῶν Ἑλληνίων κατελαλεῖτο θεῶν, διαρρήδην φησὶ καὶ Ἡρόδοτος ἔν τε ἄλλοις καὶ ἐν τῷ «τὸ θεῖον ὡς ἔστι φθονερόν». Ὡς δὲ καὶ ἄλλως ἐμπαθῶς παντοίως εἶχον, καθωμίληται κοινῶς. (v. 442—4) Ὅτι ἐργαζομένοις οἰκεῖον τὸ «ὣς οἳ μὲν πονέοντο καρηκομόωντες» δεῖνα. Μέσως δὲ ἔχει τὸ «πονέοντο», ἢ γὰρ ἐμόχθουν ἢ ἁπλῶς ἐνήργουν. Θαυμασμοῦ δὲ τό· οἱ δὲ δεῖνα καθήμενοι θηεῦντο μέγα ἔργον, ἤγουν ἐθαύμαζον, ἐκ τοῦ θηῶ θηήσω, ἐξ οὗ θηητόν, τὸ θέας ἄξιον. [Καὶ ἔστιν εἰπεῖν ὅτι, καθὰ

θεωρεῖν ἐστι κυρίως τὸ βλέπειν, οὐ κατὰ νοῦν φιλοσόφως ὀφθαλμοῖς νοεροῖς, ἀλλὰ τοῖς κατὰ σῶμα, οὕτω καὶ θαυμάζειν ἀπὸ θέας καὶ αὐτὸ ὁμοίως, καὶ θάμβος δὲ ὡσαύτως, ὅπερ κατὰ θέαν βαίνει ἐς ψυχήν. Καὶ τὸ τεθηπέναι δὲ τούτοις εἶναι σύστοιχον ὑπὸ τῶν παλαιῶν λέγεται. Οὐκοῦν καὶ τὸ θηητόν. καὶ οὐκ ἔστιν εὑρεῖν ταῦτα ἑτέρως νοούμενα, εἰ μὴ προηγήσεται ὅρασις πορθμεύουσα τὸ θεατὸν ἐς ψυχήν.] (v. 446 s.) Ὅτι δεινοπαθῶν ὁ τοῦ μύθου Ποσειδῶν ἐφ' οἷς οἱ Ἀχαιοὶ τειχοποιοῦσί φησι «Ζεῦ πάτερ, ἦ ῥά τίς ἐστι βροτῶν ἐπ' ἀπείρονα γαῖαν, ὅς τις ἔτ' ἀθανάτοισι νόον καὶ μῆτιν ἐνίψει», τουτέστιν· εἰσί τινες ἔτι καὶ μετὰ τοὺς Τιτᾶνας ἐκείνους καὶ τοὺς Γίγαντας, οἳ κακολογήσουσι καὶ βλάψουσιν ἡμᾶς, εἴπερ οἱ Ἀχαιοὶ τοιαῦτα δρῶσι δίχα ἡμῶν.

2.496 Ἐπάγει οὖν «οὐχ' ὁράᾳς ὅτι δ' αὖτε καρηκομόωντες Ἀχαιοὶ τεῖχος ἐτειχίσαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον ἤλασαν, οὐδὲ θεοῖσι δόσαν κλειτὰς ἑκατόμβας». Καὶ οὕτω μέν τινες ἀποφατικῶς τὸ ῥηθὲν ἐνόησαν. Ἕτεροι δὲ οὕτω κατ' ἐρώτησιν «Ζεῦ πάτερ, ἆρα δή ἐστί τις περὶ γῆν ὃς ἐνίψει», τουτέστιν ἐνίσπῃ, «βουλὴν οἰκείαν ἡμῖν τοῖς θεοῖς λόγῳ μαντείας ἢ καὶ θύσει», ἵνα νοῆται ὡς οὐδείς ἐστιν ὁ τοῦτο ποιήσων, εἴπερ οἱ Ἀχαιοὶ οὕτω τειχίζουσι μήτε μαντευσάμενοι μήτε θύσαντες. Δοκεῖ δὲ κρείττων εἶναι ἡ πρώτη ἔννοια τά τ' ἄλλα καὶ ὅτι τὸ ἐνίψει οὐχ' ἁπλῶς δηλοῖ τὸ ἐνίσπῃ, ἤγουν ἐρεῖ, ἀλλὰ τὸ κακολογήσει. (v. 446) Ἰστέον δὲ ὅτι γῆν λέγει ἀπείρονα ἀντὶ τοῦ ἄπειρον, ὡς Εὐριπίδης ἐν Φαίδρᾳ φησί. Καὶ εἴρηται μὲν καὶ ἀλλαχοῦ περὶ τούτου, καὶ νῦν δὲ ῥητέον, ὅτι τε ἐντεῦθεν παραφράσας Εὐριπίδης ἀτέρμονα ἔσοπτρα εἶπε τὰ κυκλοτερῆ, ὅπερ ταὐτόν ἐστι τῷ ἀπείρονα, ἐπεὶ καὶ τὸ τέρμα καὶ τὸ πέρας τὸ αὐτὸ δηλοῦσι. καὶ ὅτι καθ' Ὅμηρον μὲν ἀπείρων ἡ ὅλη γῆ, ὅ ἐστι σφαιροειδὴς καὶ στρογγύλη. Τὴν δὲ οἰκουμένην γῆν Ποσειδώνιος μὲν ὁ Στωϊκὸς καὶ Διονύσιος σφενδονοειδῆ φασι, Δημόκριτος δὲ προμήκη, τραπεζοειδῆ δὲ Ἵππαρχος. (v.

2.497 447) Νόον δὲ λέγει τὸ ἁπλῶς νόημα κατ' ἐνθύμησιν, ὃ πληροφορεῖται διὰ μαντικῆς ἢ θυτικῆς ἐξ ἐρωτήσεως. [Καὶ ἔστιν ὁ τοιοῦτος νόος ἀλλοῖος παρὰ τὸν ἐν Ὀδυσσείᾳ, οἷον «καὶ νόον ἔγνω», ἔτι δὲ καὶ παρὰ τὸ «ὡς δ' ὅτ' ἀναείξει νόος ἀνέρος».] Μῆτιν δὲ ἔφη τὸ βουλευθὲν πρῶτα, εἶτα καὶ ἐρωτηθέν. Ὅρα δὲ καὶ ὅτι χοώμενος ὁ Ποσειδῶν οὐκ ἐπλάτυνε τὰ περὶ τοῦ τειχισμοῦ. τούς τε γὰρ πύργους ἐσίγησε καὶ τοὺς σκόλοπας καὶ οὐδὲ τὴν ποιότητα τῆς τάφρου εἶπεν, ὡς οἷον ἀχθόμενος, εἰ καὶ πρὸς ὄνομα μέμνηται τειχισμοῦ. (v. 449) Τὸ δὲ «τεῖχος ἐτειχίσαντο» ἐτυμολογικὸς καὶ αὐτὸ τρόπος. Τὸ δὲ «νεῶν ὕπερ» ἢ ἀντὶ τοῦ ἕνεκεν ἢ ἀντὶ τοῦ ὑπεράνω τῶν νεῶν. [Ἦν δὲ καὶ ἐν τῷ «ὑπὲρ σέθεν αἴσχε' ἀκούω», ἡ ὑπερ πρόθεσις ἀντὶ τοῦ ἕνεκεν ἢ ἀντὶ τῆς δια προθέσεως. Οὐ γὰρ δήπουθεν ὑπερηγορίαν ἐκεῖ δηλοῖ, ὁποία ἐστὶν ἐν τῷ «ὑπὲρ σοῦ λαλῶ» καὶ «ὑπὲρ σοῦ ἐνίσταμαι».] (v. 450) Τὸ δὲ «κλειτὰς ἑκατόμβας» παιδεύει ἔκκριτα εἶναι τὰ τῷ κρείττονι διδόμενα. (v. 451) Ὅτι τῶν παλαιῶν εἰπόντων δεῖν εἶναι καὶ μαντικῇ χρῆσθαι τοὺς ποιητάς, τοιοῦτος φαίνεται Ὅμηρος ἔν τε ἄλλοις καὶ ἐν οἷς ἐνταῦθα πεποιθὼς τῇ οἰκείᾳ λογιότητι λέγει ὡς ἐκ τοῦ Ποσειδῶνος, ὅτι τοῦ παρ' αὐτῷ πλαττομένου τείχους τὸ «κλέος ἔσται, ὅσον τ' ἐπικίδναται ἠώς», ἤγουν ἐπὶ πᾶσαν τὴν ὑφ' ἥλιον, εἰς ὅσην δηλαδὴ καὶ ἡ αὐτοῦ διαδέδοται ποίησις.

2.498 Ὑπερβολικὸς δὲ ὁ λόγος. τὸ γὰρ «ὅσον ἐπικίδναται ἠώς» οὐ τὴν οἰκουμένην μόνον ἀλλὰ καὶ τὴν ἀοίκητον περιλαμβάνει. Ἡ γὰρ τῆς ἡμέρας λαμπηδὼν καὶ περὶ τὰς ἐρήμους σκίδναται. Δύναται δὲ τοῦτο καὶ ἄλλως νοηθῆναι, ἵνα λέγῃ μὴ τοπικῶς τὸ ὅσον ἀλλὰ χρονικῶς καί, καθὰ Εὐριπίδης μιμησάμενος φράζει «διὰ μακροῦ γὰρ ἡ χάρις», οὕτω κἀνταῦθα νοοῖτο, ὡς ἀΐδιον καὶ ἀείμνηστον ἔσται τὸ κλέος τοῦ τείχους, εἰς ὅσον καιρὸν ἡμέρα λάμπει. Δῆλον δὲ τοῦτο ἐκ τοῦ τὸν Ποσειδῶνα εἰπεῖν, ὅτι τοῦ δὲ ἡμετέρου τείχους ἐπιλήσονται, καὶ οὕτως ἀντιδιαστεῖλαι τῇ μακρᾷ μνήμῃ τὴν λήθην. (v. 452) Καὶ ὅρα τὸ «ἐπιλήσονται». εἴρηται γὰρ ἐλλειπτικῶς διὰ τὸ ἐναγώνιον τοῦ λέγοντος. δῆλον δὲ ὅτι ἄνθρωποι ἐπιλήσονται. Σημείωσαι δὲ καὶ ὅτι ἐνταῦθα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰς ἶσον ἄγει ὁ ποιητὴς τὸ ἑαυτοῦ πλαστὸν τεῖχος τῷ ἱστορικῷ καὶ ἀληθεῖ τῷ τῆς Τροίας. Κλέος γὰρ μόνον καὶ ἀμφοτέρων φέρεται, πραγματικῶς δὲ οὐδέτερον φαίνεται, ἤδη δὲ καὶ εὐκλεέστερον τὸ Ὁμηρικόν. Αὐτὸ μὲν γὰρ διὰ τὴν τοῦ ποιητοῦ λογιότητα ἐκ μὴ ὄντος ἐστὶ τρόπον τινά, ἡ δὲ ἀληθὴς Τροία τῇ τοῦ χρόνου φορᾷ ἐκ τοῦ ὄντος ἦλθεν εἰς τὸ μηδέν, ἀφανισθεῖσα, ὡς προείρηται. (v. 458) Διὸ καὶ ἀστείως ὁ Ζεὺς τὸν Ποσειδῶνα σοφίζεται εἰπὼν «σὸν δή τοι κλέος ἔσται, ὅσον τ' ἐπικίδναται ἠώς». Οὐ γὰρ εἶπεν ὅτι τοῦ κατὰ σὲ καὶ τὸν Ἀπόλλωνα τείχους μακρὸν ἔσται τὸ κλέος, ἀλλὰ τὸ σὸν κλέος, ὡς Ποσειδῶνος δηλαδή. (v. 451) Τὸ δὲ κίδναται δηλοῖ μὲν τὸ σκεδάζεται, ἔλλειψιν δὲ ἔχει τοῦ ς , ὡς καὶ ἀλλαχοῦ εἴρηται. Ἰστέον δὲ ὅτι ἐκ τοῦ «ὅσον ἐπικίδναται ἠώς» λαβὼν Ἡρόδοτος ἔφη τὸ «ἅμα ἡλίῳ σκιδναμένῳ». Ἡ δὲ ἀναλογία τοῦ κιδνῶ κατὰ τὸ πελῶ πιλνῶ, τὸ πλησιάζω, κερῶ κιρνῶ, καὶ ὅσα τοιαῦτα. οὕτω γὰρ καὶ κεδῶ κιδνῶ. διὸ καὶ ὡς πιλνῶ πίλνημι πίλναται, κιρνῶ κίρνημι κίρναται, οὕτω καὶ κιδνῶ κίδνημι κίδναται.

2.499 Τῆς δὲ κατὰ τὸ κεδῶ κιδνῶ παραγωγῆς καὶ τὸ ὀρέγω ὀριγνῶ, πέτω πιτνῶ, ῥέπω ῥιπτῶ, καὶ τὰ ὅμοια. (v. 453) Ὅτι τὸ τεῖχος τειχίσαι διαφέρει τοῦ πολίσαι. οὐ γὰρ πᾶς ὁ τειχίζων ἤδη καὶ πολίζει. Διὸ Ἕλληνες μὲν τεῖχος, ὡς ἐρρέθη, ἐτειχίσαντο, Ποσειδῶν δὲ καὶ Ἀπόλλων τεῖχος ἐπόλισαν ἥρῳ Λαομέδοντι ἀθλήσαντες. Καὶ σημείωσαι τὸ «ἀθλήσαντες» ἀντὶ τοῦ κακοπαθήσαντες. Ἔστι γὰρ ὅτε τὸ ἄεθλον τὸν μὴ ἐθελητὸν κόπον σημαίνει, ὡς δηλοῖ καὶ τὸ «οὐδ' ἔνθα πεφυγμένος ἦεν ἀέθλων». Πῶς δὲ Ποσειδῶν καὶ Ἀπόλλων ἐθήτευσαν τῷ Λαομέδοντι, ἐν τοῖς μετὰ ταῦτα δηλωθήσεται, καταμερίσαντος Ὁμήρου καὶ τοῦτο τόποις διαφόροις, ὡς πολλαχοῦ ποιεῖν εἴωθεν, ὁ καὶ ἐν τοῖς ἑξῆς που αὖθις τοῦ ἐνταῦθα τειχισμοῦ εὐμεθόδως μνησόμενος. Τὸ δὲ «ἥρῳ» ἢ ἀποκέκοπται ἐκ τῆς ἥρωϊ δοτικῆς ἢ ἀπὸ ἰσοσυλλάβου κλίσεως γέγονεν. (v. 455—8) Ὅτι ἀνδρὶ μεγάλῳ δειλιάσαντι ἐπὶ δυσκλείᾳ εὐφυῶς προσφωνηθήσεται τὸ «ὢ πόποι εὐρυσθενές, οἷον ἔειπες. ἄλλος δή τις τοῦτό γε δείσειε νόημα, ὃς σέο πολλὸν ἀφαυρότερος χεῖράς τε μένος τε. σὸν δ' ἤτοι κλέος ἔσται», ὡς καὶ προεγράφη, ὅσον τ' ἐπικίδναται ἠώς, [ἤγουν μεταφραστικῷ λόγῳ, ἡμέρα, κατὰ τὸν εἰπόντα· λαμβάνουσι τὴν ἠῶ ἡμέραν οἱ μεταφράζοντες, ὃ δὴ ταὐτόν ἐστι τῷ μεταλαμβάνοντες. Ἡ γὰρ διασαφητικὴ τῶν λέξεων ἑρμηνεία μετάληψις καὶ μετάφρασις καίριος λέγεται.] (v. 459—63) Ὅτι ἐν τῷ «ἄγρει μάν», ἤγουν ἄγε δή, «ὅτ' ἂν αὖτε καρηκομόωντες Ἀχαιοὶ οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν, τεῖχος ἀναρρήξας τὸ μὲν εἰς ἅλα πᾶν καταχεῦαι», ἤγουν κατάχεον, «ἠϊόνα δὲ μεγάλην ψαμάθοισι καλύψαι», ὅ ἐστι κάλυψον, «ὥς κέν τοι μέγα τεῖχος ἀμαλδύνηται Ἀχαιῶν», ἀναρρῆξαι λέγει τὸ ἀνασαλεῦσαι, ἀναμοχλεῦσαι, ὅθεν καὶ κοιλία πληγεῖσα ξίφει ἀναρραγῆναί που λέγεται, [καὶ θὴρ δὲ βοῦν φθείρει ἀναρρήξας τὴν αὐτοῦ κοιλίαν.

2.500 ] Προαναφωνεῖ δέ πως ἐνταῦθα ὁ ποιητὴς τὸν τοῦ Ἑλληνικοῦ τείχους ὕστερόν ποτε ἀφανισμὸν συντομώτατα, ὡς ἐν ὀνείρῳ καὶ σκευάσας αὐτὸ καὶ ἀνασκευάσας καί, ὡς αὐτός φησιν, ἀμαλδύνας διὰ τοῦ ἀναρρῆξαι καὶ εἰς ἅλα πᾶν καταχεῦαι, ἤγουν ῥᾷον καταγαγεῖν, καὶ τὴν ἠϊόνα, ἐφ' ἧς ἵστατο, ψαμάθοις καλύψαι. (v. 459) Τὸ δὲ «μάν» τριχῶς ἀλλοιοῦται, ὡς καὶ ἑτέρωθι δηλοῦται, κατὰ φύσιν τοῦ η στοιχείου. Λέγεται γὰρ καὶ μήν κοινότερον, καὶ μάν Δωρικῶς καὶ μέν Ἰωνικῶς. Οὕτω καὶ ὁ Πρίηπος οὐ μόνον ἐν τῷ η λέγεται ἀλλὰ καὶ διὰ τοῦ α Πρίαπος καὶ διὰ τοῦ ε δὲ Πρίεπος παρὰ Ἀρριανῷ ἐν Βιθυνιακοῖς, παρ' ᾧ καὶ εἰς ἥλιον ἀλληγορεῖται ὁ Πρίεπος διὰ τὸ γόνιμον. (v. 463) Τὸ δὲ «ἀμαλδύνειν» λέξις μέν ἐστι ποιητικὴ πεζῷ λόγῳ δύσχρηστος, γίνεται δὲ ἀπὸ τοῦ ἀμαλόν, ὃ δηλοῖ τὸ ἁπαλόν, πλεονασμῷ τοῦ δ . ὅθεν καὶ ἀμαλάπτειν παρὰ Λυκόφρονι τὸ οἷά τι ἁπαλὸν καὶ εὔφθαρτον ἀφανίζειν, ὡς δηλοῖ τὸ «ἠμάλαψε κάρχαρος κύων». Ἐκεῖθεν δὲ καὶ ἐν Ὀδυσσείᾳ τὸ «ἄρν' ἀμαλήν» ἐν συναλιφῇ, ἤγουν τὴν ἀμαλὴν ἤτοι ἁπαλὴν ἄρνα.

2.501

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τινὲς δὲ ἐκεῖ ἄρνα φασὶ μαλὴν ἐντελῶς ἐν δισυλλαβίᾳ, ὅθεν καὶ παρὰ Θεοκρίτῳ μαλοπάρῃος, ἡ ἁπαλοπάρῃος, καὶ μαλερόν τὸ εὔφθαρτον δι' ἁπαλότητα ἢ τὸ μαραντικὸν τῶν ἁπαλῶν σωμάτων ἢ τὸ σκληρὸν κατὰ ἀντίφρασιν. Τὸ δὲ τοιοῦτον δισύλλαβον μαλόν πλεονασμῷ τοῦ α γίνεται καὶ αὐτὸ ἀμαλόν, ἐξ οὗ τὸ ἀμαλδύνειν παράγεται, ὡς ἀνωτέρω εἴρηται. [Εἰ δὲ ἐκ τοῦ διειλημμένου μαλοῦ καὶ μαῦλις Αἰολικῶς ἡ ἀφανιστικὴ μάχαιρα λέγεται, οὐκ ἂν εἴη ἀφυὲς εἰπεῖν.] Τὸ δὲ ῥηθὲν Ἑλληνικὸν τεῖχος ἔργον τε ἁπλῶς ἔφη καὶ μέγα ἔργον ὁ ποιητὴς καὶ νῦν μέγα τεῖχος Ἀχαιῶν, μεγεθύνων τὴν αὐτοῦ ἐπίνοιαν. (v. 465) Ἔνθα ὅρα καὶ ὡς μονοημέρῳ ἔργῳ οἰκεῖον τὸ «δύσετό τ' ἠέλιος, τετέλεστο δὲ ἔργον». (v. 466) Ὅτι πολυτελοῦς δόρπου φράσις τὸ «βουφόνεον δὲ κατὰ κλισίας καὶ δόρπον ἕλοντο». Προϊὼν δέ φησι «τίθεντο δέ», ἤγουν κατά τινα συνθήκην ἐποιοῦντο, «δαῖτα θάλειαν». Ἀχαιοὶ δὲ οὕτω ἐποίουν τὸ τεῖχος δείμαντες, οἳ καὶ παννύχιοι δαίνυντο. (v. 476) Ἀπαθὲς δὲ πάντως ἐκ φυσικῆς κλίσεως τὸ παννύχιοι, καθὰ καὶ τὸ εἰνάνυχες, καὶ τὸ αὐτονυχεί, καὶ εἴ τι ἄλλο τοιοῦτον.

2.502 Τὸ μέντοι ὁλονύκτιος καὶ τὸ νυκτερινός, καθὰ δὴ καὶ αὐτὸ τὸ νυκτός, διπαθῶς ἔχουσι. Τὸ μὲν γὰρ φυσικὸν νύξ νυχός ἐκ τοῦ νύσσω νένυχα, ὡς καὶ ὄνυξ ὄνυχος. ἐξ αὐτοῦ δὲ κατὰ πάθος τροπῆς τε καὶ πλεονασμοῦ νυκός καὶ νυκτός, ὡς ἄναξ ἄνακος ἄνακτος. [(v. 466) Ὅτι δὲ ἐκ τοῦ βουφονεῖν ἐπενοήθη τοῖς Ἀθηναίοις ὕστερον βουφόνια εἰπεῖν ἑορτήν τινα μεγάλην τῶν παρ' αὐτοῖς, οὐ σφαλερῶς ἂν εἴποι τις.] (v. 467 s.) Ὅτι πολύοινος πάλαι ποτὲ δοκεῖ εἶναι καὶ ἡ Λῆμνος. Διό φησιν ἐνταῦθα ὁ ποιητής, ὅτι «νῆες ἐκ Λήμνου παρέστασαν οἶνον ἄγουσαι πολλαί», Λήμνιον οἶον τοῦτο καλόν, τῷ Ἑλληνικῷ στρατῷ, ἀνάπαλιν πρὸς τὸ «Λήμνια κακά», τὸ παροιμιακόν. (v. 472—5) «Ἔνθεν ἄρ' οἰνίζοντο», φησίν, «Ἀχαιοί, ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ, ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ' αὐτῇσι βόεσσιν, ἄλλοι δ' ἀνδραπόδεσσιν». Ἀμοιβαῖς γὰρ οἱ παλαιοὶ ἐχρῶντο καὶ οὐ νομίσμασιν. Οὔπω γὰρ ἦν παρρησία νομίσματος δουλοποιοῦ ἐν ἀνθρώποις. Εἰ δὲ λυπεῖ τοὺς παλαιοὺς ἐνταῦθα ὁ πλεονασμὸς τοῦ «ἄλλοι», ὅμως σημειωτέον τὴν τῆς λέξεως ἐπιμονήν. πεντάκις γὰρ ἐνταῦθα εἴρηται τὸ ἄλλοι. (v. 467) Τὸ δὲ «παρέστασαν» ἐγγύς ἐστι τοῦ εἰπεῖν ἐνελιμενίσθησαν, οὐ μὴν καὶ ὡρμίσθησαν. Τριστοιχεὶ γὰρ ἱσταμένων τῶν Ἑλληνικῶν νεῶν ὁ τρίτος πρὸς τῇ θαλάσσῃ στοῖχος ὥρμιστο, αἱ δὲ μετ' αὐτὸν ἄρτι Λήμνιοι νῆες παρέστασαν, ἤγουν κατὰ πλατὺν λιμένα ἐγγὺς ἦσαν ταῖς πρὸς τῷ ὅρμῳ ναυσί.

2.503 Τὸ δὲ «ἄγειν» ἐπὶ ἀψύχου καὶ νῦν τοῦ οἴνου ἔφη διὰ τὰς νῆας, αἷς ᾠκείωται τὸ ἄγειν. ἐξ οὗ αἱ μέν τινες φορτηγοὶ λέγονται, αἱ δ' ἱππαγωγοί. ἀπ' αὐτοῦ δὲ καὶ νηῶν φαμεν ἀγώγιμα. (v. 472) Τὸ δὲ «οἰνίζεσθαι» καθ' ὁμοιότητα λέγεταί τινα τοῦ ὑδρεύεσθαι. ὡς γὰρ ὑδρεύεταί ποθεν ὁ χορηγίαν ἐκεῖθεν ἔχων ὕδατος, οὕτως οἰνίζεται ὁ οἶνον ποριζόμενος. Ὅρα δὲ ὡς ἄψογον μὲν τὸ οἰνίζεσθαι, οὐκ ἐπαινετὸν δὲ τὸ οἰνοῦσθαι. μέθην γὰρ ἡ λέξις ἐνδείκνυται, ὡς δηλοῖ καὶ παρὰ Σοφοκλεῖ τὸ οἰνωθείς. [Τὸ δὲ ἀεὶ ἀναύξητον τοῦ οἰνίζοντο, καθὰ καὶ τοῦ οἰωνίζοντο καὶ ἄλλων δέ τινων, σημειῶδές ἐστι τοῖς παλαιοῖς.] (v. 473) Αἴθων δὲ σίδηρος ἢ ὁ λαμπρός, ἀπὸ τοῦ αἴθω, τὸ λάμπω, ἐξ οὗ καὶ ὁ ἀστήρ, ἢ ὁ καυστειρός, ἐκ τοῦ αἴθω, τὸ καίω, καθ' ὃν λόγον καὶ ἡ μάχη καυστειρά, ἢ ὃν δεῖ καυθῆναι, ἵνα κατεργασθῇ. (v. 474) Ῥινοὶ δὲ αἱ βύρσαι, βόες ἔστιν ὅτε καὶ αὐταὶ τῷ τοῦ ὅλου ὀνόματι λεγόμεναι, ὡς πρὸ ὀλίγου ἐφάνη. Διὸ ἐπὶ τῶν ζώντων βοῶν φησι τὸ «ἄλλοι δ' αὐταῖς βουσίν». οὐ γὰρ ἡ βύρσα βοῦς αὐτόχρημα, μέρος δὲ βοός. τὸ δὲ ζῷον βοῦς αὐτὸ τοῦτό ἐστι. καὶ οὐδὲ ἀπολύτως ἡ βύρσα λέγεται βοῦς, ἀλλά, ὡς προεγράφη, μετὰ προσθήκης, καθὰ δηλοῖ τὸ «βόας αὔας», καὶ τὸ «βῶν ἀζαλέην». Ἐκ τοῦ ῥέειν δὲ ἡ ῥινός, καθὰ καὶ ἡ ῥίν. διὰ τοῦ δέρματος γὰρ οἱ ἱδρῶτες ἐκρέουσιν. Ἰωνικὸν δὲ τὸ «αὐταῖς βόεσσιν», Ἰώνων γὰρ ἴδιον τὰς βόας λέγειν καὶ τὰς ἵππους καὶ τὰς κύνας καὶ τὰ τοιαῦτα.

2.504 Οἱ δὲ παλαιοί φασι καὶ ὅτι τὰ τῶν θρεμμάτων πλήθη κατὰ θηλυκὸν γένος προφέρονται, αἱ ὄϊς, αἱ βόες, αἱ ἵπποι, αἱ κάμηλοι, αἱ ἡμίονοι. (v. 475) Ἡ δὲ τῶν ἀνδραπόδων λέξις νεωτερική ἐστι κατὰ τοὺς παλαιούς. Διὸ καὶ Ἀριστοφάνης καὶ Ζηνόδοτος ἠθέτουν τὸ ἔπος, ἐν ᾧ κεῖται ἡ λέξις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὕτη. Ἰστέον δὲ ὅτι τὸ «ἀνδραπόδεσσι» μεταπλασμός ἐστιν ὡς τὸ κρίνεσιν, ἴσως δὲ καὶ τὸ δένδρεσιν. οὐ γὰρ ἔστιν εἰπεῖν, ὡς εὐθεῖά ἐστιν αὐτοῦ ὁ ἀνδράπους, ἵνα ἐξ αὐτοῦ γίνηται τὸ ἀνδραπόδεσσιν, ὡς ἐκ τοῦ πούς ποδός ποδί τὸ πόδεσσι. Τινὲς δὲ ἀνδραπόδοισι γράφουσιν. Ἅπαξ δὲ ἡ λέξις εἴρηται, καὶ δηλοῖ τοὺς δούλους, ὡς ἀνδρῶν ὄντας πόδας, δηλονότι τῶν δεσποτῶν, οἵπερ εἰς κεφαλὰς ἐκείνοις λογίζονται. [Ὅτι δὲ οἱ τῶν ἀνδραπόδων ποριστaὶ τοῖς ἐμπόροις ἀνδραποδισταὶ λέγονται, οἷς ἡ Θετταλία εὐθήνει πάλαι ποτέ, καὶ ὅτι οὐκ αἰχμάλωτα ἐξ ἀνάγκης τὰ ἀνδράποδα, εἴγε τὰ πλείω κλέπτονται, δῆλόν ἐστιν.] Σημείωσαι δὲ ἐν τούτοις καὶ ὅτι, καθάπερ οἱ Λήμνιοι οἴνου ὠνοῦντο ἀνδράποδα, οὕτω ποτὲ καὶ οἱ Θρᾷκες ἅλατος, ὅθεν καὶ ἁλώνητα δουλάρια τὰ εὔωνα. (v. 468—71) Ἐν τούτοις δὲ καὶ ἱστορίαν παλαιὰν ὁ ποιητὴς ἐπεμβάλλων καὶ οἰκονομίαν βίου καθυποδεικνὺς φιλικὴν λέγει περὶ τῶν ἐκ Λήμνου νεῶν καὶ ταῦτα «τάς», ἤγουν ἅστινας, «προέηκεν», εἰς Τροίαν δηλαδή, «Ἰησονίδης Εὔνηος.

2.505 τόν ῥ' ἔτεχ' Ὑψιπύλη ὑπ' Ἰήσονι ποιμένι λαῶν». ἐξ οὗ καὶ Ἰησονίδην ἔφη αὐτόν. «χωρὶς δέ», τουτέστιν ἰδιαζόντως, «Ἀτρείδῃς'», τουτέστι τοῖς ἐξ Ἀτρέως, «Ἀγαμέμνονι καὶ Μενελάῳ, δῶκεν Ἰησονίδης ἀγέμεν μέθυ», τουτέστιν οἶνον, «χίλια μέτρα» ὅπερ ἡ κοινοτέρα φράσις οἴνου χίλια μέτρα φησί. Ξέσται δέ τινες ἦσαν ταῦτα τὰ μέτρα. (v. 468 s.) Δῆλον δὲ ὅτι ὁ τοῦ Εὐνήου πατὴρ Ἰάσων, Θετταλὸς ὤν, συνῆλθε τῇ Λημνίᾳ Ὑψιπύλῃ, ὅτε τοῖς Ἀργοναύταις συμπλέων εἰς Κόλχους τῇ Λήμνῳ προσώκειλε καὶ εὗρε τὴν νῆσον ἔρημον ἀνδρῶν. πᾶσαι γὰρ τότε πάντας τοὺς ἑαυτῶν ἀνεῖλον ἄρδην αἱ Λήμνιαι, ὡς καὶ Εὐριπίδης φησίν. Ὅθεν καὶ χηρεύουσαι ἀνδρῶν ἄλλαι μὲν ἑτέροις, Ὑψιπύλη δὲ τῷ ἐξάρχοντι τῶν Ἀργοναυτῶν Ἰάσονι συνεζύγη, ἐξ ὧν Εὔνηος βασιλεύς, νηῶν ἐπιμελητής, ὡς ἡ κλῆσις δηλοῖ. Ἰστέον δὲ ὅτι τὸ «ὃν ἔτεκεν Ὑψιπύλη ὑπὸ Ἰάσονι» οὔκ ἐστιν ἁπλῶς ἑρμηνεία τοῦ Ἰησονίδης, ἀλλ' ἱστορία τοῦ καὶ ποίαν ἔσχε μητέρα ὁ Εὔνηος. Δῆλον δὲ ὡς, ἐπεὶ ὁ Ἰάσων συστέλλων τὴν παραλήγουσαν δύσχρηστος εἰς μέτρον ἐστὶν ἐν ταῖς πλαγίαις, διὰ τοῦτο ἐτράπη τὸ α εἰς η παρὰ τῷ ποιητῇ ἔν τε τῷ «ὑπ' Ἰήσονι» καὶ «Ἰησονίδης». (v. 470) Τὸ δὲ «Ἀγαμέμνονι καὶ Μενελάῳ» κατὰ τὸ παρέλκον καὶ ἐνταῦθα κεῖται.

2.506 (v. 471) Μέθυ δὲ συνήθως λέγει τὸν οἶνον διὰ τὸ τοὺς ἀμέτρως αὐτοῦ πίνοντας μεθίεσθαι ἤτοι ἀμελεῖν. ἀφ' οὗ καὶ ἡ μέθη καὶ μεθημοσύνη, ἡ ἀμέλεια. [(v. 467) Σημείωσαι δὲ ὅτι τὸ «νῆες δ' ἐκ Λήμνοιο» καὶ ἑξῆς, οὐκ ἐξ ἀνάγκης Λημνίας νῆας δηλοῖ, ἀλλ' ἴσως μὲν τοιαύτας, ἴσως δὲ ἑτέρωθεν μὲν οὔσας, στελλομένας δ' ἐκεῖθεν ἐμπορικῶς. εἰκὸς δὲ καὶ ἐκ Λήμνου αὐτὰς εἶναι καὶ ἑτέρωθεν. Ὅτι δὲ τὸ «νῆες ἐκ Λήμνου» δύναται ταὐτόν ποτε περιφραστικῶς εἶναι τῷ Λήμνιαι, δῆλον ἐκ τῶν παλαιῶν. οὕτω καὶ ὁ Ἀθηναῖος καὶ ὁ ἐξ Ἀθηνῶν καὶ ὁ Ἀντιοχεὺς καὶ ὁ ἐξ Ἀντιοχείας καὶ ὁ πολίτης καὶ ὁ ἐκ πόλεως εἰς ταὐτὸν ἥκουσιν. ὁμοίως δὲ καὶ τὰ ἄλλα πάντα τοπικά. (v. 469) Ἡ δὲ Ὑψιπύλη, ὅτι καὶ Ὑψιπύλεια λέγεται ὡς Πηνελόπη Πηνελόπεια, οὐκ ἀμάρτυρόν ἐστιν.] (v. 476—481) Ὅτι παννύχιοι μὲν Ἀχαιοὶ καὶ Τρῶες, οἱ μὲν ἐν ταῖς ναυσίν, οἱ δὲ κατὰ πόλιν δαίνυντο, «παννύχιος δέ σφιν κακὰ μήδετο μητίετα Ζεὺς σμερδαλέα κτυπέων», ὅ ἐστι βροντῶν καὶ οὕτως οἷον ἐπαπειλούμενος, «τοὺς δὲ χλωρὸν δέος ᾕρει. οἶνον δ' ἐκ δεπάων χαμάδις χέον», ὡς οἷον ἀποτροπιαζόμενοι ἢ ἄλλως ἱκέται γινόμενοι, «οὐδέ τις ἔτλη πρὶν πιέειν πρὶν λεῖψαι Διΐ». (v. 478) Καὶ ὅρα καὶ ἐν τῷ «κακὰ μήδετο», ἤτοι ἐβουλεύετο, «Ζεὺς κτυπῶν» οἷόν ἐστι τὸ βουλεύεσθαι τὸν Δία, τὸ δίδοσθαι δηλαδὴ ἄνωθεν σημεῖα. Τὸ δὲ «μήδετο μητίετα Ζεύς», ἐτυμολογικῶς καὶ αὐτό, ὡς ἐρρέθη. ἀπὸ τοῦ μήδεσθαι γὰρ ὁ μητίετα, βουλευτικὸς ὤν. (v. 479) Τὸ δὲ «σμερδαλέα κτυπέων», τραχείαις λέξεσι κατὰ ὀνοματοποιΐαν σκληρυνόμενον τὴν ἀηδίαν καὶ τὸ φρικτὸν ἐν βραχυτάτῳ δηλοῖ τοῦ τῆς βροντῆς ἤχου. Σημείωσαι δὲ ὅτι ἐκ τοῦ «Ζεὺς σμερδαλέα κτυπῶν» λαβὼν ὁ Σοφοκλῆς ἔφη τὸ «μέγας κτύπος ἄφατος διόβολος». Ἐν οἷς δηλοῖ ἐκεῖνος καὶ ὅτι βέλη Διὸς οὐ μόνον κεραυνοὶ καὶ τὰ τοιαῦτα, ἀλλὰ καὶ βρονταί.

2.507

[Ὅμως καὶ τοὺς ῥαγδαίους ὑετοὺς καὶ μάλιστα τοὺς χειμερίους τοιούτῳ λόγῳ «δύσομβρα βέλη» λέγει. Ἰστέον δὲ ὅτι καὶ τὸ «σμερδαλέα κτυπῶν» καὶ Σοφοκλέους τὸ «μέγας κτύπος» καὶ ἑξῆς, μεγαλοφωνότερά εἰσι τοῦ μεγάλα κτυπέων.] (v. 480) Ἐνταῦθα δὲ καὶ τὸ λείβειν ἑρμηνεύει ὁ ποιητὴς μεταλαβὼν αὐτὸ εἰς τὸ χαμάδις οἶνον χέειν, ὡς ταὐτὸν ὂν ἐπὶ σπονδῆς λείβειν ἢ χέειν εἰπεῖν, ἧς ὁμοιότητος ἕνεκεν καὶ ἡ νεκρικὴ χοὴ λοιβὴ παρὰ Σοφοκλεῖ ἐν τῷ «τύμβον λοιβαῖσι στέψω». (v. 478 s.) Ἰστέον δὲ καὶ ὅτι γένοιτ' ἄν ποτε ψόγος σφοδρᾶς ἀπειλῆς τὸ «κακὰ μήδετο σμερδαλέα κτυπέων, τοὺς δὲ χλωρὸν δέος ᾕρει». Παρὰ δὲ τῷ ποιητῇ οὐδὲ πόρρω γλυκύτητος ὁ τραχὺς οὗτος λόγος, μονονουχὶ φαμένῳ, ὡς οἱ μὲν Ἕλληνες ἐξελύοντο πότον στησάμενοι, ὁ Ζεὺς δὲ κτυπῶν ἐξεδειμάτου αὐτούς. ἢ καὶ ἄλλως, οἱ μὲν παννύχιοι, ὡς οἷον εἰπεῖν, ὑποβεβρεγμένοι τῷ ἀκράτῳ ἦσαν, ὁ δὲ παννύχιος δεινὸν ἐκτύπει, δεινοῖς τούτοις κτύποις δεινὰ σημαίνων μέλλοντα καί, καθ' Ἡσίοδον εἰπεῖν, πόλεμον τεκμαιρόμενος. Ἔστι δὲ καὶ ὑπογραφὴ ἐνταῦθα βροντῆς. δυνατὸν γάρ ἐστιν εἰπεῖν βροντὴν εἶναι σμερδαλέον κτύπον Διός, ἤγουν ἀέρος [(v. 480) Ὅρα δὲ καὶ ὅτι ἐν τῷ «οἶνον δ' ἐκ δεπάων χαμάδις χέον» δυνάμενος εἰπεῖν «ἐκ δεπάων δὲ μέθυ χαμάδις χέον», οὐκ ἔφρασεν οὕτω, ἴσως μὲν ταὐτὸν κατὰ πολυωνυμίαν κρίνας εἶναι μέθυ καὶ οἶνον, ἴσως δὲ καὶ μέθυ μὲν ἔχων τὸν ἁπλῶς οἶνον, δι' οὗ μεθήμονες οἱ πίνοντες γίνονται εἴτε λίαν διὰ μέθης εἴτε καὶ ἄλλως κατὰ ῥᾳστώνην ἔμφρονα, τὸν δὲ ἐν λοιβαῖς μὴ ἀξιῶν τοιούτου ὀνόματος, ἀλλὰ ἐπικρίνων οἶνον λέγειν αὐτόν. καὶ μὴν οὐδ' αὐτὸ ἀπείρηται. Εὕρηται γὰρ ἐν χρήσει καὶ τὸ «μέθυ λείβειν», οἷα τῆς λέξεως ταύτης δοκούσης μὴ ἐξ ἀνάγκης ἐκ τοῦ μεθιέναι γίνεσθαι, ἀλλὰ καὶ χρηστολογουμένης ἄλλως ὡς ἀπὸ τοῦ ὕειν, ὅ ἐστι διαβρέχειν τὸ σῶμα, κατὰ τὸ «τέγγε πνεύμονας οἴνῳ», καὶ κατὰ τὸ «κίρνα, τὸν νοῦν ἵν' ἄρδω».

2.508 ] (v. 482) Ὅτι καὶ ἐνταῦθα, ὡς καὶ ἐν Ὀδυσσείᾳ, κοιμηθῆναι μὲν λέγει τὸ ἀναπεσεῖν καὶ ὡς εἰς ὕπνον ἀνακλιθῆναι, ὅπερ καὶ καθεύδειν ἀλλαχοῦ εἶπεν, ὕπνου δὲ δῶρον λαβεῖν αὐτὸ τὸ ὑπνῶσαι, ὡς ἄλλο μὲν εἶναι τὸ κοιμᾶσθαι, ἄλλο δὲ τὸ ὑπνοῦν, παρακολούθημα ὂν τοῦ κοιμᾶσθαι. Φησὶ γοῦν «κοιμήσαντ' ἆρ ἔπειτα καὶ ὕπνου δῶρον ἕλοντο». ΕΚ ΤΩΝ ΤΗΣ ΘΗΤΑ ΡΑΨΩΙΔΙΑΣ Ὅτι τὴν ῥαψῳδίαν τῆς θῆτα οἱ μὲν ἡρωΐζοντες οὕτως ἐπιγράφουσι· Θῆτα, θεῶν ἀγορά, Τρώων κράτος, Ἕκτορος εὖχος.

2.509.(t) (v. 1—3) Οἱ δὲ πεζολογοῦντες θεῶν ἀγοράν φασιν, ἐξ Ὁμήρου λαβόντες εἰπόντος «Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν», ὃ δὴ πολλαχοῦ κεῖται, «Ζεὺς δὲ θεῶν ἀγορὴν ποιήσατο τερπικέραυνος ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο». Καλοῦσι δὲ αὐτὴν καὶ κόλον μάχην, ὡς καὶ προερρέθη, ὅ ἐστι κολοβήν, καθὰ καὶ βοῦν κόλον τὸν κεκολουσμένον τὰ κέρατα, ὃς καὶ κυρίως λέγεται κολοβός. Ἐκλήθη δὲ κόλος μάχη ἡ παροῦσα ῥαψῳδία δι' αἰτίαν τοιαύτην. Ἡ πρώτη παράταξις τέσσαρσι ῥαψῳδίαις μεμέριστο, τῇ δ , τῇ ε , τῇ ζ καὶ τῇ η . ἡ δὲ τρίτη ἀπὸ τῆς λ ἕως τῆς ς μηκύνεται διηγήσεων ἐμπλεκομένων πολυειδῶν. Ἡ δὲ μέση, τουτέστι δευτέρα, μάχῃ τῇ θ ἐμπεριγραφεῖσα συντέτμηται, ὅλης ἡμέρας ἔργα περικλείσασα ἐν αὐτῇ στενῶς καὶ ὡς οἷον εἰπεῖν κολοβῶς. Τὸ γὰρ ἀπὸ πρωΐας μέχρι μέσης ἡμέρας παντελῶς παρῆλθε διὰ τὸ μὴ ἐναγώνιον τῆς μάχης δυσὶν ἐπιτεμὼν αὐτὸ ἔπεσιν, ἐν τῷ «ἕως μὲν Ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ» καὶ ἑξῆς. (v. 1) Ἰστέον δὲ ὡς κροκόπεπλος μὲν ἠὼς ἡ ἔχουσά τι καὶ νυκτέρου ἔτι σκότους, εἰ καὶ τὸ χρυσοφαὲς κροκωτὸν αὐτῇ ἐξ ἡλιακῶν ἀκτίνων ἐμφαίνεται, ὑφ' οὗ χρυσοείμων δοκεῖ κατὰ τὸ κροκοειδές. ῥοδοδάκτυλος δὲ ἡ ἐπὶ πλέον πεφωτισμένη καὶ ῥόδεον οἷον πορφύρουσα καί, ὡς εἰπεῖν, ἐρυθροδάκτυλος, πρωΐαι δὲ ἀμφότεραι.

2.510 Προηγεῖται δ' αὐτῶν ἡ προδιαληφθεῖσα νὺξ ἀμφιλύκη. Εἴρηται δὲ περὶ τούτων καὶ ἀλλαχοῦ. Ἔτι ἰστέον καὶ ὅτι τὸ «Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν» περιφραστικῶς εἴρηται ἀντὶ τοῦ ἐνήρξατο ἡμέρα. Καὶ ὅτι ἡ τῆς ῥαψῳδίας ταύτης ἡμέρα τρισκαιδεκάτη μέν ἐστι μετὰ τὴν τοῦ Ἀχιλλέως μῆνιν, δευτέρα δὲ τοῦ πολέμου. Εἰ δέ τις καὶ τὰς ἐννέα τοῦ λοιμοῦ ἡμέρας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταύταις προσλογίσεται, εἴη ἂν ἡ ἐξ ἀρχῆς τῆς Ἰλιάδος ἱστορία ἕως τῶν ὧδε ἡμερῶν κβʹ, ἀριθμουμένων οὕτω· Ἡ δεκάτη τοῦ λοιμοῦ δευτέρα μὲν ἦν τῆς Διὸς ἀπελεύσεως εἰς Αἰθίοπας. χθιζὸς γάρ, φησίν, ἔβη Ζεὺς εἰς Αἰθίοπας, ἤγουν τῇ ἐνάτῃ μὲν τοῦ λοιμοῦ, πρώτῃ δὲ τῆς μήνιδος. ὅτε δὲ δωδεκάτη μὲν τῷ Διῒ ἐπανελθόντι, ἑνδεκάτη δὲ τῷ Ἀχιλλεῖ μηνίσαντι, τότε δὴ ἱκέτευσεν ἡ Θέτις. ἐπεὶ δὲ πέρας εἶχεν αὕτη, ἐπέστη νυκτὸς ὁ ἐν τῇ βʹ οὖλος ὄνειρος καὶ τῇ ἐπαύριον δωδεκάτῃ οὔσῃ τῆς μήνιδος συνέστη πόλεμος, ὃς ἐκ μονομαχίας ἀρξάμενος ἐν τῇ γ εἰς μονομαχίαν ἐν τῇ η ἔληξεν, ὡς εἶναι τὴν τῆς θ , ὡς ἐρρέθη, ἡμέραν τρισκαιδεκάτην μὲν τῆς μήνιδος, δευτέραν δὲ τῆς κατὰ μάχην ἔριδος, εἰκοστὴν δὲ δευτέραν τῆς τοῦ βιβλίου τῆς Ἰλιάδος καταρχῆς. (v. 2) Ὅρα δὲ ὅτι οὐ μόνον ἐπὶ ἑτέρων ἔργων τὸ ποιεῖν τίθησιν ὁ ποιητής, κοινότερον φράζων, ἀλλ᾽ ἰδοὺ καὶ ἐπὶ δημογορικῆς ἀθροίσεως, εἰπὼν «θεῶν ἀγορὴν ποιήσατο». (v. 3) Ἰστέον δὲ καὶ ὅτι, ὥσπερ οὐκ ἤρκεσεν εἰπεῖν ὄρους κορυφὴν τὸ ἀνωτάτω, ἀλλὰ ἀκροτάτην κορυφὴν Ὀλύμπου ἐνταῦθα ἔφη ὁ ποιητής, ὁποία τις τῷ αἰθέρι Διῒ ᾠκείωται, οὕτως οὐ μόνον κορυφαῖός τις ἀρκεῖ λέγεσθαι, ἀλλ᾽ ἔχει χρήσεις παρά τισι καὶ ὁ κορυφαιότατος. Προϊὼν δὲ πληθυντικῶς κορυφὰς ἐρεῖ τὴν ἄρτι ῥηθεῖσαν κορυφήν, ὑπεραύξων καὶ οὕτω τὴν κορυφήν. Περὶ δὲ πολυδειράδος Ὀλύμπου ἑτέρωθι γέγραπται. Ἔτι ἰστέον ὡς καθίζει μὲν καὶ ἐνταῦθα θεῶν ἀγορὰν ὁ ποιητής, καθίζει δέ που καὶ ἐν τοῖς ἑξῆς. Ἀλλ᾽ ἐνταῦθα μὲν ὁ Ζεὺς βασιλικῶς ἑαυτὸν συνιστᾷ κατὰ ἐμβρίθειαν κρατεράν, ὡς φανήσεται, ἵνα πάντες εἴξωσιν οἷς αὐτὸς βούλεται, ἐκεῖ δὲ τί τε τὸ αἴτιον τῆς ἀγορᾶς καὶ ὅ τι ἄλλο παρὰ τὰ ἐνταῦθα, δηλωθήσεται, ὥσπερ καὶ τὰ πρὸ τούτων ἔν τε τῇ α καὶ τῇ δ , ἔνθα συμποσιακὸν ἦν τὸ ἄθροισμα.

2.511 (v. 4—6) Ὅτι ἐνδόξῳ τινὶ λαλοῦντι πρὸς τοὺς ὑπ᾽ αὐτὸν οἰκεῖον παρῳδηθὲν τὸ «αὐτὸς δέ σφιν ἀγόρευεν, οἱ δ᾽ ὑπὸ πάντες ἄκουον· κέκλυτέ μευ πάντες πᾶσαί τε, ὄφρ᾽ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει». Εἰ δὲ καὶ πάνυ ἐνδόξων καὶ θείων ὄντων τῶν ἀκουόντων κρινεῖ τις εὔκαιρον εἶναι τὸ πᾶν Ὁμηρικῶς εἰπεῖν, ἐρεῖ ἂν ἀπαραποιήτως «πάντες θεοὶ πᾶσαί τε θέαιναι». (v. 5) Δῆλον δὲ ὅτι σύνηθες τοῖς παλαιοῖς, εἰ καὶ μὴ κατὰ ἀκολουθίαν τοῦ δράκαινα καὶ θεράπαινα καὶ τῶν ὁμοίων, ὅμως θεαίνας λέγειν τὰς θεὰς κατὰ τὸ λύκαινα, φλύκταινα, γάγγραινα, μύραινα, ὕαινα, φάλαινα, σκίαινα. Αἱ δ᾽ αὐταὶ καὶ θεοὶ λέγονται, κατὰ τὸ «μήτε τις οὖν θήλεια θεός», ὃ μετ᾽ ὀλίγα κεῖται, Ἀττικῶς τε καὶ Ἰωνικῶς, ὁποῖόν τι καὶ ἡ «ἀλιτηρὸς φρήν» παρὰ Σοφοκλεῖ, καὶ ἡ «ἀγνὼς δόκησις». (v. 4) Τὸ δὲ «ὑπὸ πάντες ἄκουον», ἤγουν πάντες ὑπήκουον, παράγει μὲν τὸν ὑπήκοον. Δοκεῖ δὲ ἡ λέξις ἐνταῦθα τὸ ἁπλῶς ἀκούειν δηλοῦν. (v. 7) Ἰστέον δὲ καὶ ὅτι ἄρχων βουλευόμενός τι κοινῶς ἀπαραίτητον εἴποι ἂν «μήτε τις θήλεια μήτε τις ἄρσην πειράτω διακέρσαι ἐμὸν ἔπος, ἀλλ᾽ ἅμα πάντες αἰνεῖτε, ὄφρα τάχιστα τελευτήσω τάδε ἔργα». Καὶ ὅρα κἀνταῦθα ὅτι τε ἁπλῶς τελευτᾶν τὸ τελειοῦν, καὶ ὅτι τὸ πειράτω ἐνεργητικῶς ἐλέχθη, ὡς καὶ πρὸ τούτου ἀλλαχοῦ τὸ πειρᾶν. Ὅτι δὲ καὶ παθητικῶς οἶδε τὴν λέξιν ὁ ποιητής, ὡς καὶ ἐν Ὀδυσσείᾳ τὸ νήχειν καὶ νήχεσθαι καὶ ἄλλα μυρία, ἐκδηλότατόν ἐστι. Γέμει δὲ τοιούτων ἡ παλαιὰ χρῆσις. τὸ γοῦν ἐξαγγέλλειν ἐξαγγέλλεσθαί φησι Σοφοκλῆς, οἷον «ὧν ὅδ᾽ ἐξαγγέλλεται». οὕτω καὶ τὸ σῴζειν σῴζεσθαι, οἷον «ἐσῴζετο τὴν εὐλάβειαν», ἤγουν εὐλαβεῖτο. Οὕτω καὶ Εὐριπίδης τὸ ἔγημε παθητικῶς ἔφη ἐν τῷ «ἣν ἐγήματο», καὶ ταῦτα τῆς παλαιᾶς παρατηρήσεως διαφορὰν ἀμφοῖν παραδιδούσης, ὡς δηλοῖ καὶ ὁ φράσας τὸ «οὐκ ἔγημεν ἀλλ᾽ ἐγήματο».

2.512 Τοιοῦτον καὶ τὸ «βεβουλευκὼς ἔχει» παρὰ Σοφοκλεῖ, παρ᾽ ᾧ κεῖται καὶ τὸ «βεβούλευνται ποιεῖν». παρ᾽ αὐτῷ δὲ καὶ ὁ ὁρῶν ὁρώμενος Ὁμηρικῷ ζήλῳ, οἷον «τοὺς ἄνωθεν φρονιμωτάτους οἰωνοὺς ὁρώμενοι». καὶ ὁ αἴρων ἡρμένος, οἷον «τύπωμα χαλκόπλευρον ἡρμένοι χεροῖν». Διφορεῖται δ᾽ ὁμοίως καὶ τὸ διορίζεσθαι, ὡς δηλοῦται ἐν τῷ «φῆμαι μαντικαὶ διώρισαν». καὶ τὸ νοσφίζεσθαι δὲ τὸ Ὁμηρικὸν ἐν τῷ «τὰ μεσόμφαλα γᾶς ἀπονοσφίζων μαντεῖα» καὶ τὸ ἅζεσθαι δέ, ἐξ οὗ παρ᾽ Ὁμήρῳ μὲν οἱ ἁζόμενοι, παρὰ Σοφοκλεῖ δὲ τὸ «οὐδὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἅζοντα», ἤγουν σεβόμενον, παρ’ ᾧ καὶ ἀπειλεῖν καὶ ἀπειλεῖσθαι, οἷον «ἀπείλει νῦν», καὶ «ἀκραιφνεῖς τῶν κατηπειλημένων». καὶ Πίνδαρος δὲ τὸ δρέπεσθαι δρέπειν φησίν. Οὕτω καὶ καλῶ καὶ καλοῦμαι, καὶ σέβω καὶ σέβομαί τινα, καὶ μορμολύττω καὶ μορμολύττομαί σε, καὶ «οὐχ’ ἡ πρόσοψίς μ’ ἀλλὰ τἄργ’ αἰκίζεται», ταὐτὸν δ’ εἰπεῖν αἰκίζει. (v. 8) Διακέρσαι δὲ τὸ διακόψαι τῆς κατὰ τελεσφορίαν ὁλότητος. (v. 8 s.) Τὸ δὲ «πάντες αἰνεῖτε» ἀντὶ τοῦ συναινεῖτε, συγκατατίθεσθε. Διὸς δὲ λόγος τὰ ῥηθέντα, δι’ ὧν προοικονομεῖ τὰ ἐφεξῆς ὁ ποιητὴς πιθανῶς ἅμα καὶ σεμνῶς, ὡς χρεὼν ὂν ἀρχικῶς τελείεσθαι τὴν προδεδηλωμένην βουλὴν τοῦ Διός. Ὅτι ὁ ὑπὸ τριῶν ποτε ἐπιβούλων μικροῦ ἂν καὶ δεθεὶς Ζεύς, ὡς ἐν τῇ α εἴρηται, νῦν ἐν φανερῷ πάντων κρατεῖν ἀλαζονεύεται, πάνυ μεγαλοπρεπῶς καὶ βασιλικῶς δημηγορῶν καὶ κάρτιστος ἁπάντων εἶναι λέγων καὶ οὐ συμβουλὴν εἰσφέρων, ἀλλὰ λέγων ἃ θυμὸς ἐν στήθεσι κελεύει, ὡς εἴρηται, καὶ ἐγκελευόμενος μήτινα διακόψαι οἱ τὸ ἔπος, ἵνα τάχιστα τελευτήσῃ τάδε ἔργα, ἃ σιγᾷ μὲν διὰ σεμνότητα, βούλεται δὲ εἰπεῖν τὴν τοῦ Ἀχιλλέως τιμήν, ἣν καὶ Διὸς βουλὴν εἶπε φθάσας ὁ ποιητής.

2.513 Εἶτα καὶ ἀρχικῶς ἀπειλεῖται τῷ ἀντιστησομένῳ, θάνατον μὲν οὔ—Πῶς γὰρ τῷ θνῄσκειν οὐκ εἰδότι; —, πληγὰς δὲ δεινοτάτας. (v. 10—6) Φησὶ γὰρ «ὃν δ’ ἂν ἐγὼν ἀπάνευθε θεῶν ἐθέλοντα νοήσω ἐλθόντ’ ἢ Τρώεσσιν ἀρηγέμεν ἢ Δαναοῖσι, πληγεὶς οὐ κατὰ κόσμον ἐλεύσεται Οὔλυμπόνδε. ἤ μιν ἑλὼν ῥίψω εἰς Τάρταρον ἠερόεντα τῆλε μάλ’, ἧχι βάθιστον ὑπὸ χθονός ἐστι βέρεθρον», ὃ Ταρτάρου ἐστὶν ὁρισμός. «ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδός, τόσσον ἔνερθ’ Ἀΐδεω, ὅσον οὐρανός ἐστ’ ἀπὸ γαίης». Τοῦτο δὲ φιλοσόφως λέγει, διότι σφαιροειδὴς μὲν ὁ κόσμος, ἡ δὲ γῆ μέση τοῦ παντός, κέντρου λόγον ἐπέχουσα πρὸς τὴν σφαῖραν τοῦ οὐρανοῦ, εἰς ὃν μυθικῶς ἀνελεύσεται ὁ πληγείς, καὶ πάντοθεν ἐπίσης ἀφεστηκυῖα. Ὁ δὲ Τάρταρος κατωτάτω, ἔνθα πεσεῖται ὁ ῥιφείς, ἀπ’ ἐναντίας τῷ αἰθέρι ἀφώρισται. Διὸ καὶ ὅσον ὁ περὶ αἰθέρα ἐν ὕψει οὐρανὸς ἀφέστηκε τοῦ μέσου, ἤτοι τῆς γῆς, τοσοῦτον καὶ ὁ κατωτάτω Τάρταρος, ὁ καὶ βάθιστος καὶ ἀδιεξόδευτος. Ὧν ὁ μὲν αἰθὴρ καὶ τὰ περὶ Ὄλυμπον εὐκρινῶς ἔχει καὶ ἀνέφελά ἐστιν οὐδ’ ἀνέμοις τινάσσεται, διὸ καὶ ζωῆς καὶ ῥᾳστώνης θείας τόποι λέγονται, ὁ δὲ Τάρταρος ἀνάπαλιν, ὃς φερωνύμως τετάρακται, ναὶ μὴν καὶ κατέψυκται, ἀὴρ ὢν καθ’ Ὅμηρον καὶ αὐτός. ἠερόεντα γὰρ αὐτὸν λέγει. Ἀὴρ μέντοι ὑπόγαιος καὶ ἀνήλιος καὶ διὰ τοῦτο καὶ ψυχρός. ἐξ οὗ καὶ τὸ σφόδρα ῥιγοῦν ταρταρίζειν φασὶ λέγεσθαι. Ὁ μὲν γὰρ αἰθὴρ καταλάμπεται. διὸ καὶ Ὄλυμπος ἐφάνη λέγεσθαι τὰ ἐκεῖ διὰ τὸ ὁλολαμπές.

2.514 ὁ δὲ Τάρταρος, ὡς εἴρηται, ἠερόεις ἐστίν, ἤτοι σκοτεινός, καὶ οὐ λάμπεται οὔτε αὐγαῖς ἠελίοιο τέρπεται, ὡς ἐν τοῖς ἑξῆς ἐρεῖ ὁ ποιητής. Ὁ δ’ αὐτὸς Ζεὺς μετὰ τὴν ῥηθεῖσαν ἀπειλὴν ἐπιδεικνύμενος οἷα δύναταί φησιν (v. 18—27) «εἰ δ’ ἄγε πειρήσασθε θεοί, ἵνα εἴδετε πάντες. σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες, πάντες δ’ ἐξάπτεσθε θεοὶ πᾶσαί τε θέαιναι· ἀλλ’ οὐκ ἂν ἐρύσαιτ’ ἐξ οὐρανόθεν πεδίονδε Ζῆν’, ὕπατον μήστωρα, οὐδ’ εἰ μάλα πολλὰ κάμοιτε. ἀλλ’ ὅτε δὴ καὶ ἐγὼ πρόφρων ἐθέλοιμι ἐρύσσαι», ὅ ἐστιν ἑλκύσαι, «αὐτῇ κεν γαίῃ ἐρύσαιμ’ αὐτῇ τε θαλάσσῃ. σειρὴν μέν κεν ἔπειτα περὶ ῥίον Οὐλύμποιο δησαίμην. τὰ δέ κ’ αὖτε μετήορα πάντα γένοιτο. τόσσον ἐγὼ περί τ’ εἰμὶ θεῶν, περί τ’ εἴμ’ ἀνθρώπων», ὅ ἐστι περίειμι καὶ θεῶν καὶ ἀνθρώπων, ὡς καὶ ἀμφοτέρων πατήρ. ὃ δὴ σεμνότερόν ἐστι τοῦ «γνώσετ’ ἔπειθ’ ὅσον εἰμὶ θεῶν κάρτιστος ἁπάντων». Ταῦτα δὲ παρῳδηθέντα δεξιῶς χρήσιμα λεχθῆναί ποτε παρὰ μεγιστᾶνος ἐν καιρῷ πρὸς ἥττονας. Ἔστι δὲ ἡ ἀπειλή, σαφῶς πεζολογῆσαι, τὸ καθεῖναι ἂν χρυσῆν σειρὰν ἐξ οὐρανοῦ τοῦ εἰς κλῆρον τῷ Διῒ λαχόντος καὶ ἐκδῆσαι αὐτὴν ἑνὸς τῶν τοῦ Ὀλύμπου ὄρους ἄκρων, οἷα καὶ αὐτοῦ μέρους ὄντος τῆς γῆς καὶ ἐνερριζωμένου αὐτῇ, καὶ τῇ τοιαύτῃ σειρᾷ πάντα ἑλκύσαι σὺν αὐτῇ γῇ σὺν αὐτῇ θαλάσσῃ καὶ μετέωρα θέσθαι. Καὶ ἴδε φανερὰν κἀνταῦθα διαφορὰν Ὀλύμπου καὶ οὐρανοῦ. Ἐν οὐρανῷ γὰρ ἱδρυμένος ὁ Ζεὺς τῆς σειρᾶς τὸ ἕτερον ἄκρον ἐκδῆσαι τοῦ Ὀλύμπου φησί, τοῦ ὄρους δηλαδή. Καὶ ὅτι τὴν θάλασσαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀχεῖσθαι πᾶσαν οἶδεν ἐπὶ γῆς, μᾶλλον δ’ αὐτῇ συνεσφαιρῶσθαι, εἴπερ ἀνελκομένης τῆς γῆς συναναπασθήσεται καὶ ἡ θάλασσα. (v. 27) Ὁ δὲ ταῦτα λέγων Ζεὺς ἡ κατὰ τοὺς Στωϊκοὺς εἱμαρμένη ἐστίν, ὃς καὶ πάντων περιεῖναι λέγει ἐν τῷ «τόσσον ἐγὼ περί τ’ εἰμὶ θεῶν περί τ’ εἰμὶ ἀνθρώπων», τουτέστιν ὑπὲρ πάντα εἰμὶ τὰ περὶ γῆν καὶ τὰ ὑπὲρ αὐτήν. (v. 19) Χρυσῆν δὲ σειρὰν οἱ μέν φασι τὴν δίκην ἁλύσεως ἐπιπλοκὴν τῶν τεσσάρων στοιχείων κατὰ τὰς ἐν αὐταῖς ποιότητας, λεγομένην χρυσῆν διὰ τὸ φύσει πολυτίμητον καὶ διὰ τὴν ἐκ τοῦ ἡλίου ἐν αὐτοῖς χρυσαύγειαν, ἧς δὴ ἐπιπλοκῆς μεταποιηθείσης ποτὲ ἄνω κάτω, φασί, γενήσεται τὸ πᾶν μεταστοιχειωθέν, ἢ μεγάλῳ χειμῶνι ἄνωθεν ἐκ Διὸς ἐν κατακλυσμῷ καὶ ἐξυδατώσει, ἢ μεγάλῳ θέρει κατὰ ἐκπύρωσιν.

2.515 Οἱ δὲ χρυσῆν νοοῦσι σειρὰν τὰς τοῦ αἰῶνος ἡμέρας, αἳ χρυσῷ οἷον κέκρανται τῇ τοῦ ἡλίου λαμπρότητι καὶ ἁλύσεως δίκην ἀλλήλων ἐξήρτηνται, τὸν καθ’ ἡμᾶς βίον συνδέουσαι, ληψόμεναί ποτε πέρας καὶ αὐταὶ καὶ τὸ πᾶν ἀναστοιχειώσουσαι, τοῦ Διὸς μένοντος ἀπαθοῦς, ὃν ψυχήν φασι τοῦ παντὸς οἱ παλαιοί. Πλάτων δὲ αὐτὸν τὸν ἥλιον χρυσέαν λέγει σειράν. αὐτῷ γὰρ ἐκδεδέσθαι τὸ πᾶν. Ἕτεροι δὲ τοὺς κύκλους τῶν πλανωμένων νοοῦσι χρυσέαν σειράν, ὧν ἀνωτάτω μὲν ὁ τοῦ Κρόνου, πρόσγειος δὲ ὁ τῆς σελήνης, ἐν οἷς κύκλοις ἄλλοτε ἄλλως τῶν πλανητῶν συνιόντων πολλαὶ περὶ τὸ πᾶν γίνονται μεταβολαί. Οἱ δὲ Στωϊκοὶ τὴν Διὸς ἀπειλὴν εἰς μόνην ἀλληγοροῦσιν ἐκπύρωσιν. Ἐπεὶ γὰρ Ζεὺς μὲν ὁ αἰθήρ, χρυσῆ δέ, φασί, σειρὰ ὁ ἥλιος, εἰς ὃν κάτωθεν ὥσπερ εἰς καρδίαν ἀποχεῖται ἀναδιδομένη ἡ τῶν ὑγρῶν ἀναθυμίασις, ὅταν χρόνῳ ποτὲ ἀνελκομένη δι’ ἀναθυμιάσεως, ὡς εἰκός, ἡ θάλασσα ἐπιλίπῃ, τότε δὴ τὸ πῦρ τροφῆς ἐφιέμενον ἀνελκύσει τὰ ἐν τῷ βάθει τῆς γῆς ὑγρὰ καὶ λύσει καὶ αὐτὴν τὴν γῆν. καὶ ὁ μὲν Ζεὺς οὐ καθελκυσθήσεται, τὰ δὲ κάτω μετέωρα γένηται τοῦ πυρὸς κατισχύσαντος. Τινὲς δὲ οὐ πολυλογεῖν ἐθέλοντές φασι τὴν ἀπειλὴν ταύτην αἴνιγμα μοναρχίας εἶναι, καὶ ὡς ἑνὸς ἐξῆπται τὰ πάντα καὶ μιᾶς ἀρχῆς ἤρτηται. Ὡς γὰρ ἐν τοῖς κάτω οὐκ ἀγαθὸν πολυκοιρανίη, οὕτω καὶ ἐν τοῖς ἄνω, καὶ πολλῷ μάλιστα ἐκεῖ. Παρασημειοῦνται δὲ καὶ ὅτι, ὥσπερ ὑπὲρ γῆς ἀὴρ μέχρι νεφελῶν, εἶτα αἰθὴρ ἀνωτέρω ἕως τῶν τοῦ οὐρανοῦ φαινομένων, οὕτω πως καὶ κάτω ἐκ γῆς Ἅιδης, ἀπὸ δ’ αὐτοῦ Τάρταρος. Σημείωσαι δὲ ὅτι ἐκ τῶν ῥηθέντων Ὁμηρικῶν ἀπειλῶν ὁ δεξιώτατος Ἡρόδοτος εἴρηκε κατὰ παραποίησιν τὸ «ἦ δὴ ὅ τε οὐρανὸς ἔσται ἔνερθε τῆς γῆς καὶ ἡ γῆ μετέωρος ὑπὲρ τοῦ οὐρανοῦ». (v. 13—5) Ἰστέον δὲ καὶ ὅτι ὁ ταπεινωθεὶς ἐξ ὕψους ἐσχάτως ἐρεῖ ἂν ἐξ Ὀλύμπου ῥιφῆναι εἰς Τάρταρον ἠερόεντα τῆλε μάλ’, ἔνθα βάθιστον βέρεθρον. Εἰ δὲ καὶ ἀμετάβατος ἡ ταπείνωσις, προσθείη ἂν καὶ τὸ «ἔνθα σιδήρειαί τε πύλαι καὶ χάλκεος οὐδός». καὶ τοιάδε μὲν ταῦτα. (v. 10) Τῶν δὲ τοῦ χωρίου λέξεων τὸ μὲν «ὃν ἂν ἐγὼν ἀπάνευθε θεῶν νοήσω» διχῶς νοεῖται.

2.516 Ἢ γὰρ ὃν ἂν τῶν θεῶν νοήσω ἢ ὃν ἂν νοήσω ἐθέλοντα ποιεῖν τόδε ἀπάνευθε θεῶν, τῶν ἄλλων δηλαδὴ τῶν πειθομένων μοι. [Τὸ δὲ ἐγών μετὰ τοῦ ν σύνηθες Ὁμήρῳ διὰ τὴν τοῦ νῦ ἐπιφοράν. Δωριεῖς μέντοι καὶ ἄλλως τὸ ἐγώ σὺν τῷ ν προφέρονται, ὡς δῆλον ἐκ τοῦ ἐγώνγα, ἤγουν ἔγωγε.] (v. 10—2) Τὸ δὲ κωλύειν ἀρῆξαι Τρώεσσιν ἢ Δαναοῖσι τὴν βουλὴν ὑπολαλεῖ τοῦ Διός, ἣν ἐκεῖνός τε λέγειν βούλεται. εἰ γὰρ μηδεὶς μηδετέροις ἀρήγει, αὐτοῦ ἄρα καὶ μόνον ἔσται τὸ πᾶν τῆς μάχης. (v. 12) Τὸ δὲ «πληγείς» νῦν μὲν ἀσαφὲς κεῖται, ἀλλαχοῦ δὲ διαρθροῦται πλατύτερον, ἔνθα καὶ ὄργανον φανεῖται πληγῶν τοιούτων ὁ κεραυνός. Τὸ δὲ «οὐ κατὰ κόσμον», ἀντὶ τοῦ ἀκόσμως, οὐκ εὐτάκτως, ἀλλὰ σὺν θορύβῳ. (v. 13) Ἠερόεις δὲ Τάρταρος ὁ σκοτεινός, ἐπεὶ φύσει μέλας ὁ ἀήρ. ὅθεν καὶ τὸ «ἠέρα πολὺν ἔχευεν», ἤτοι σκότος κατέχεεν, ἢ καὶ ἄλλως, ὁ ἀὴρ αὐτόχρημα, ὡς πρὸ βραχέων γέγραπται. (v. 14) Τὸ δὲ «τῆλε μάλα» ἐπίτασίς ἐστι τοῦ πόρρω. Διασάφησις δὲ αὐτοῦ τὸ «ἧχι βάθιστον ὑπὸ χθονὸς βέρεθρον». Βέρεθρον δὲ τροπῇ τοῦ α εἰς ε γέγονεν ἐκ τοῦ βάραθρον ὁμοίως τῷ πάθος πένθος, βάθος βένθος, οἷς ἀνάλογον κατά γε φωνὴν καὶ τὸ βρένθος ἐπὶ ὑπερηφανίας παρὰ τῷ Κωμικῷ.

2.517 ἐξ οὗ τὸ βρένθειον, μῦρόν τι ἐκεῖνο περιᾳδόμενον, [ἐξ ὧν ῥῆμα τὸ βρενθύεσθαι, ἤγουν κατατρυφᾶν ἀλαζονικῶς.] Ὅτι δὲ τὸ βέρεθρον ζέρεθρον Μακεδόνες φασί, καὶ ἀλλαχοῦ δηλοῦται. (v. 15) Αἱ δὲ σιδήρειαι τοῦ μύθου πύλαι καὶ ὁ χάλκεος οὐδός, ἅπερ καὶ ὁ Ἅιδης ἂν ἔχοι, τὴν διηνεκῆ καὶ δυσεξίτητον τῶν κατὰ γῆς ὑδάτων καὶ πνευμάτων ἔγκλεισιν δηλοῖ, ὧν εἴ τί ποτε προκύψει ἐν τοῖς ἄνω διὰ σεισμοῦ τυχὸν ἤ πως ἑτέρως, δεινὰ γίνονται, ὁποῖα καὶ ὁ τυφῶς ποιεῖ. (v. 18) Τὸ δὲ πάντες ἐν τῷ «ἵνα εἴδετε πάντες» δύναται καὶ τοῖς ὄπισθεν κολληθῆναι, ἵνα ᾖ «πειρήσασθε πάντες», καὶ οὕτω δέ, κατ' εὐθὺ νοηθῆναι «εἴδετε πάντες». Καὶ ὅρα τὸ «πειρήσασθε» παθητικῶς λεχθὲν ἄρτι, ἔτι δὲ καὶ τὸ «εἴδετε», χρόνου ὂν ἐνεστῶτος, χρηστὸν Ὁμήρῳ, ἐξ οὗπερ οὐ τὸ ἰδεῖν καὶ ἰδέσθαι καὶ ἰδών καὶ τὰ σὺν αὐτοῖς, [ἀλλὰ τὸ εἶδον. Ἐκεῖνα γὰρ δευτέρου ἀορίστου εἰσὶ τοῦ φαινομένου μυριαχοῦ.] Ἔστι δὲ αὐτοῦ καὶ πρῶτον πρόσωπον παρὰ τῷ ποιητῇ, οἷον «ἵνα εἴδομεν ἄμφω».

2.518 ἡ δὲ ὕστερον χρῆσις οὐ δεῖται ῥημάτων τοιούτων. (v. 19) Τὸ δὲ «ἐξ οὐρανόθεν», δὶς λεχθέν, περιττὴν ἔχει [καὶ αὐτὸ] τὴν πρόθεσιν, ὡς καὶ τὸ ἀπ' οὐρανόθεν καὶ ὅσα τοιαῦτα. Ἐκ δὲ τοῦ κρεμάσαντες καὶ ὅλως ἐκ τοῦ κρεμῶ θέματος καὶ τὸ κρήμνασθαι γίνεται καὶ τὸ «κρήμνη σεαυτήν», καὶ ὁ κρημνός, καὶ ὅσα τοιαῦτα, τροπῇ δηλαδὴ τοῦ η εἰς ε καὶ πλεονασμῷ τοῦ ν (v. 20) Τὸ δὲ «ἐξάπτεσθε» ταὐτὸν τῷ ἐκκρέμασθε, ἵνα δηλονότι καθελκύσητε τὸν Δία πεδίονδε, ὅ ἐστι κάτω εἰς γῆν, ὅπερ οὐκ ἂν δῆθεν γένοιτο. [Δύναται δὲ εἶναι καὶ ἀντὶ τοῦ ἅπτεσθε, ὅ ἐστιν ἐπιλαμβάνεσθε, περιττῆς οὔσης τῆς ἐκ προθέσεως.] (v. 22) Τὸ δὲ «ὕπατον μήστωρα» ἢ ὑφ' ἓν νοητέον, ἵνα δηλοῖ τὸν ὕπατον ἐν βουλευταῖς, ἢ ἰδίᾳ μὲν τὸ μήστωρα, ἰδίᾳ δὲ τὸ ὕπατον. Αὐτὸ δὲ διχῶς νοεῖται. ἢ γὰρ ἁπλῶς πάντων ὕπατον, ἢ τῶν ἀρχόντων, κατὰ τὸ «ὕπατε κρειόντων». [Μήστωρ δὲ Ζεύς, ὁ ἐν ἄλλοις μητιόεις καὶ μητίετα, εἰπεῖν δὲ κοινότερον καὶ οὐδὲ συνήθως, μητιέτης.] (v. 21—4) Τοῖς δὲ τοῦ ἐρύω χρόνοις τριχῇ ἐνταῦθα χρησάμενος ἐν τῷ «οὐκ ἂν ἐρύσαιτε», καὶ «ἐθέλοιμι ἐρύσσαι», καὶ «αὐτῇ γαίῃ ἐρύσαιμι» ἐπιμονὴν ἐποίησεν, ὡς καὶ ἐν τῷ «ἐξ οὐρανόθεν». (v. 24) Τὸ δὲ «αὐτῇ γαίῃ», «αὐτῇ θαλάσσῃ», Ἀττικοῖς σύνηθες, ἐλλιπὲς τῆς συν προθέσεως, ὁποῖον καὶ τὸ «αὐτοῖς ἀνδράσι βεβύθισται ναῦς», οὗ σύνθετον τὸ αὔτανδρος, καὶ ὁποῖον τὸ «αὐταῖς βουλαῖς ἐξόλοιτο».

2.519 (v. 26) Τὸ δὲ «δησαίμην» ἔχει καὶ ἐνεργητικὰ ἐν χρήσει. Διφορεῖται γὰρ καὶ τὸ τοιοῦτον ῥῆμα κατά τε ἐνέργειαν κατά τε πάθος. Μετήορα δὲ τὰ κοινῶς μετέωρα. Καὶ ἔστι τοῦτο εὐπαραγωγότερον τοῦ κοινοῦ. Ὡς γὰρ ἐκ τοῦ ἀείρω, τὸ συζυγῶ, παρήορος ἵππος, ὁ παρεζευγμένος, οὕτως ἐκ τοῦ ἀείρω, τὸ κουφίζω καὶ ἀνωφορῶ, τὸ μετήορον. ἐκεῖθεν δὲ καὶ τὸ μετέωρον κατὰ περίεργον σκευωρίαν. Ἐκ τοῦ ἀείρω γάρ, φασίν, ἄοιρος, ὁ εἰς ἀέρα ἐλαφρισθείς, καὶ τροπῇ τοῦ α εἰς ε καὶ τῆς οι διφθόγγου εἰς ω , ἐν συνθέσει μετέωρον. (v. 27) Τὸ δὲ «τόσσον ἐγὼ περίειμι πάντων» σχῆμά ἐστι συμπληρωτικόν, οὗ πολὺς νοῦς διὰ τὸ ἀοριστaίνειν. τῷ γὰρ μεγαλείῳ τῶν εἰρημένων συμπαραμετρεῖται καὶ ἡ περιουσία τῆς ἰσχύος τοῦ Διός. Ἐνταῦθα δὲ καὶ ἐπαναφορὰ κατὰ κόμμα ἐστὶ τὸν βασιλικὸν πρὸς τῷ τέλει λόγον καλλύνουσα. δῆλον γὰρ ὡς ἐπαναφορικόν ἐστι τὸ «περί τ' εἰμὶ θεῶν, περί τ' εἰμὶ ἀνθρώπων». (v. 19) Ἰστέον δὲ ὅτι ἡ ῥηθεῖσα ἐξ οὐρανόθεν χρυσέα σειρὰ καὶ εἰς βασιλικὸν γένος μεταλαμβάνεται τοῖς ῥητορικῶς ἐπιβάλλουσιν, οἳ καὶ τῶν ἑξῆς οὐκ ὀλίγα συμβιβάσουσι κατὰ καιρὸν δεξιῶς εἰς ἐγκώμιον.

2.520 (v. 28 s.) Ὅτι ἔκπληξιν ἐπὶ ἀπειλῇ δηλοῖ τὸ «ὡς ἔφαθ', οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ», ὅ ἐστι περιφραστικῶς ἐσίγησαν, «μῦθον ἀγασσάμενοι· μάλα γὰρ κρατερῶς ἀγόρευεν», ἤγουν ἀποτόμως ἐλάλει. (v. 31—3) Δυσωπία δὲ ἄρχοντος τραχυνομένου κατά τινων τὸ «ὦ πάτερ ἡμέτερε, ὕπατε κρειόντων, εὖ νυ καὶ ἡμεῖς ἴδμεν, ὅ τοι», ἤγουν ὅτι σοι, «σθένος οὐκ ἐπιεικτόν. ἀλλ' ἔμπης ὀλοφυρόμεθα» ὑπὲρ τῶν δεῖνα, «οἵ κεν δὴ κακὸν οἶτον ἀναπλήσαντες ὄλωνται», ὅ ἐστι κακῷ θανάτῳ οἰχήσονται. (v. 35- 7) Ὁ δέ γε ζητῶν εἰρηναίαν τοῖς ἑαυτοῦ συμβουλὴν ἔκ τινος ὑπερέχοντος εἴποι ἂν τὸ «ἀλλ' ἤτοι πολέμου μὲν ἀφεξόμεθα, εἰ σὺ κελεύεις, βουλὴν» δ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑποθησόμεθα τοῖς δεῖνα, «ἥ τις ὀνήσει, ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τεοῖο», ἤγουν σοῦ ὀργισθέντος. Ἀθηνᾶ δὲ ταῦτα τῷ Διΐ φησιν ὑπὲρ Ἀχαιῶν. [(v. 31) Ἔστι δὲ ὕπατος μέν, ὥς που καὶ ἀλλαχοῦ δηλοῦται, ὁ ὑπέρτατος, ἐξ οὗ γίνεται αὐτὸς κατὰ συγκοπήν, ἀντικείμενος τῷ νειάτῳ, ταὐτὸν δὲ εἰπεῖν νεάτῳ, οὗ πρὸς ὁμοιότητα καὶ ἡ παρὰ τοῖς μουσικοῖς ὠνόμασται ὑπάτη τε καὶ νεάτη καὶ κατὰ κρᾶσιν νήτη.] (v. 32) Σθένος δὲ οὐκ ἐπιεικτὸν κατὰ τοὺς παλαιοὺς δύναμις οὐκ εὐσυγχώρητος, ἤγουν οὐ ῥᾳδίως εἴκουσά τινι. (v. 33) Ὀλοφύρεσθαι δὲ τὸ ὀλοῶς ἢ μετὰ ὀλυγῆς φύρεσθαι, δάκρυσι δηλαδή. (v. 34) Κακὸς δὲ οἶτος ὁ ἀπευκταιότατος καὶ διαστελλόμενος πρὸς ἑτεροῖον οἶτον, ὃν ἄν τις εὔξηταί ποτε. ὃ δὴ σὺν ἄλλοις πολλοῖς εὕρηται καὶ ἡ Πηνελόπη ἐν Ὀδυσσείᾳ ποιοῦσα. Ἐκ τοῦ οἴ δέ, θρηνητικοῦ ἐπιρρήματος, ὁ οἶτος. Ἀναπλῆσαι δὲ οἶτον τὸ τελευτὴν θανάτου ἰδεῖν. ταὐτὸν γὰρ ἀναπλῆσαι καὶ τελευτῆσαι, ὅ ἐστι τελειῶσαι, πληρῶσαι. (v. 36) Τὸ δὲ ὑποθησόμεθα ἡ ἀρχή ἐστι τῆς ποιητικῆς ὑποθημοσύνης τῆς ἀγαθῆς, ᾗ ἀντίκειται ἡ κακοθημοσύνη, ἔτι δὲ καὶ τῆς παρὰ τοῖς ὕστερον ὑποθήκης καὶ τοῦ νουθετεῖν ὅπερ ἐστὶ νοῦν ἐντιθέναι, ἤγουν ἐμβάλλειν, ἴσως δὲ καὶ τῆς εὐθημοσύνης.

2.521 (v. 37) Τοῦ δὲ ὀδύσσω χρῆσις μάλιστα καὶ ἐν Ὀδυσσείᾳ. Ὅτι ὁ οὕτω σφοδρῶς πρὸ βραχέων δημηγορήσας Ζεὺς ἤπιος γίνεται, μειλίχιόν τι καὶ ὕπουλον φθεγξαμένης τῆς Ἀθηνᾶς. Ἥρα μὲν οὖν, εἴπερ ἐλάλησεν, αἰνότατόν τε προσεῖπεν ἂν τὸν Δία καὶ προσηρέθισεν εἰς θυμόν. τοιοῦτον γὰρ ὁ μῦθος ἦθος αὐτῇ ἀνεπλάσατο, καθὰ προδεδήλωται, ἥτις καὶ μετ᾽ ὀλίγα ἐρεῖ, ὡς «εἰ θέλομεν ὅσοι Δαναοῖς ἀρωγοὶ ἀντιπεσεῖν τῷ Διΐ, ἀκάχοιτο ἄν». καὶ ἡ μὲν Ἥρα τοιαύτη. Ἀθηνᾶ δὲ τεχνικῶς ὑπενδίδωσι, καὶ ὀψὲ καὶ αὐτὴ λαλήσασα, ὡς καὶ ὁ Διομήδης πρὸ μικροῦ ἐν τοῖς Ἀχαιοῖς, εἰδέναι μὲν τὸ τοῦ Διός φησι σθένος, ὀλοφύρεσθαι δ᾽ ὅμως ὑπὲρ Ἀχαιῶν, ὡς ἐρρέθη, καὶ τὴν Διὸς μὲν ἰσχὺν ὁμολογεῖ, προΐσχεται δὲ ἐλέου εἰσβολήν, ὡς οὐ θρασυνομένη κατὰ πατρός, ἀλλ᾽ οἰκτιζομένη τοὺς ἐλεεινούς. (v. 38—40) Καὶ ὁ πατὴρ ἐπὶ τούτοις πραϋθυμήσας προσέφη ἐπιμειδήσας, ἅπερ καὶ ἑξῆς που ἐρεῖ «θάρσει Τριτογένεια, φίλον τέκος, οὔ νύ τοι θυμῷ πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι», ὁποῖόν τι καὶ πᾶς εἴποι ἂν πρὸς φίλον, μεταβαλὼν ἐκ θυμοῦ εἰς πρᾳότητα. Καὶ ὅρα ὅπως θυμὸς κολακευόμενος μαλθάσσεται καὶ κατὰ τὰ δεινὰ τῶν θηρίων εἴκει τοῖς τιθασσεύουσι. Κατὰ γὰρ τὴν τραγῳδίαν ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι, καὶ ὁ τῷ θυμουμένῳ εἴκων ἐν καιρῷ τύχοι ἂν αὐτοῦ ῥᾳδίως ὅσον θέλει. (v. 39) Τριτογένεια δὲ ἀλληγορικῶς ἡ φρόνησις, ἐπεὶ κατὰ Δημόκριτον τρία γίνεται ταῦτα ἐξ αὐτῆς, τὸ εὖ λογίζεσθαι, τὸ λέγειν καλῶς τὸ νοηθέν, καὶ τὸ ὀρθῶς πράττειν αὐτό. Τελείας γὰρ ὄντως φρονήσεως τὸ νοῆσαι, τὸ εἰπεῖν, τὸ ποιῆσαι, καὶ πάντα καλῶς.

2.522 Ὁ δὲ μῦθος οὕτω λέγει αὐτὴν ὡς ἐν τρίτῃ μηνὸς γεννηθεῖσαν, ἢ ὡς ἐκ τοῦ Διὸς κεφαλῆς γενομένην. τριτὼ γάρ, φασί, κατὰ γλῶσσαν Κρητῶν ἡ κεφαλή. Ὡς δὲ καὶ ἀπὸ τοῦ Τρίτωνος Λιβυκοῦ ποταμοῦ καλεῖται οὕτω, ἀλλαχοῦ δηλοῦται. [Ὅρα δ᾽ ἐν τοῖς εἰρημένοις ὅτι, καθά που καὶ ἀλλαχοῦ ἐρρέθη, οὐ μόνον εἰς πάθος ἀναλύεται ἡ Τριτογένεια, ὡς γεννηθεῖσά ποθεν, ἀλλὰ καὶ εἰς ἐνέργειαν, ὡς δεδήλωται ἐν τῷ τρία γεννῶσα. Οὕτω δὲ διχῶς καὶ ἡ ἠριγένεια. καὶ γὰρ ἡ τὸ ἦρ γεννῶσα, καὶ ἡ ἐν ἦρι γεννωμένη.] Ἰστέον δὲ ὅτι ὁ γεννῶν μῦθος τὴν Ἀθηνᾶν ἐκ τῆς Διὸς κεφαλῆς ἐχορήγησέ τινι τῶν παλαιῶν ὑπόψυχρον νόημα τὸ καὶ σκωφθὲν τότε. Ἦν δὲ τοιοῦτον ὡς Ἀγαθαρχίδης ἱστορεῖ. Εἰκὸς γὰρ αὐτὴν ἐκ τῆς Διὸς κεφαλῆς γεννηθεῖσαν ἔχειν τῶν ἀγαθῶν τὸ κεφάλαιον. (v. 40) Πρόφρονα δὲ θυμὸν ἢ τὸν πρόθυμον λέγει, καθὸ καὶ προϊὼν ἐρεῖ «πρόφρων κατένευσε Κρονίων», ἢ κατὰ Πορφύριον τὸν ὑπέρφρονα, ἤτοι καταφρονητικόν. Οὕτω καὶ πρὸ ὀλίγων «πρόφρων ἐθέλοιμι ἐρύσσαι», ἀντὶ τοῦ πρόθυμος καὶ ὑπὲρ ἐμοῦ αὐτοῦ φρονῶν ἢ ἀντὶ τοῦ ὑπέρφρων καὶ τοὺς ἄλλους περιφρονῶν. (v. 41 s.) Ὅτι ἐν τῷ «ὑπ᾽ ὄχεσφι τιτύσκετο χαλκόποδ᾽ ἵππω, ὠκυπέτα, χρυσείῃσιν ἐθείρῃσι κομόωντε», ἅπερ ἔπαινος ἵππων εἰσί, χαλκόποδες μὲν οἱ στερρόποδες καί, ὡς ἀλλαχοῦ ἐρεῖ, κρατερώνυχες. Τὸ δὲ «ὠκυπέτα» ἔοικε τὸν ἵππον ἐτυμολογεῖν, ὃς παρὰ τὸ ἵπτασθαι ποσὶ λέγεται. ὁ γὰρ ποσὶν ἱπτάμενος καλῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὠκυπέτης τε εἶναι λέγεται καὶ οὐκ ἄκων πέτεσθαι, ὡς μετ’ ὀλίγα ἐρεῖ. Ὅρα δὲ καὶ ὅτι ἐπὶ τῆς αὐτῆς κειμένων σημασίας τοῦ θρίξ καὶ ἔθειρα καὶ κόμη, ἀλλαχοῦ μὲν καλλίτριχες λέγονται ἵπποι, οἷς καὶ ψήκτραις αἱ τρίχες κτενίζονται κατά τινα Τραγικόν. Ἐνταῦθα δὲ καὶ ἡ κόμη καὶ ἡ ἔθειρα κατὰ μύθου σεμνότητα προσαρμόττεται αὐτοῖς ἐν τῷ «ἐθείραις κομόωντες».

2.523 [Ἔριον μέντοι οὐκ ἂν τολμήσῃ τις ὅλως ἐνταῦθα προσάψαι, εἰ καὶ ὁ Κωμικὸς ὄνου πόκας ἔπαιξε. Διαφορὰ δὲ τριχὸς καὶ ἐρίου καὶ ἐν τῷ «τρίχας ἀντ’ ἐρίων ἐποκίξατο».] Γίνεται δὲ ἡ ἔθειρα ἐκ τοῦ ἐθείρω ῥήματος, ὅπερ ἐν τοῖς ἑξῆς που ῥηθήσεται, ἀφ’ οὗ καὶ ἐθειράδες τὸ γένειον. Ἵπποι δὲ Διός εἰσιν οἱ ῥηθέντες, οὓς τεχνηέντως ὑπέζευξεν ἅρματι—Τοῦτο γὰρ δηλοῖ τὸ τιτύσκετο. —, ἡνίκα εἰς τὴν Τρωϊκὴν Ἴδην κατῆλθε διοικήσων τὰ κατὰ τὴν μάχην αὐτὸς μόνος μετὰ τὸ ἀπειλήσασθαι τοῖς λοιποῖς θεοῖς. (v. 41) Ἔστι δὲ τὸ «τιτύσκετο» λέξις ἀμεταχείριστος πεζολεκτοῦντι ῥήτορι, γινομένη ἀπὸ τοῦ τύκω, τὸ κατασκευάζω, πλεονασμῷ τοῦ ς καὶ ἀναδιπλασιασμῷ Ἰωνικῷ, ἵνα ᾖ λέγων τὸ ζευγνύειν περιφραστικῶς τιτύσκειν ὑπ’ ὄχεσφιν, ἤγουν σκευάζειν ὑφ’ ἅρματι. (v. 43 s.) Ὅρα δὲ ὅπως χρυσῷ περιλάμπεται ὁ Ζεύς, ὅτε εἰς τὸ κατὰ τὴν ῥηθεῖσαν Ἴδην Γάργαρον κατήρχετο. Ἡ ξυνωρίς τε γὰρ τῶν ἵππων αὐτῷ χρυσέαις, ὡς ἐρρέθη, ἐθείραις κομᾷ, οὐ μὴν κατ’ ἄλλους φαιαῖς ἢ μελαίναις ἢ λευκαῖς ἢ ψαραῖς. «Χρυσὸν δ’ αὐτός», ἤγουν χρυσέαν σκευήν, «ἔδυνε περὶ χροΐ, γέντο δέ», τουτέστιν εἵλετο, «ἱμάσθλην χρυσείαν, εὔτυκτον». Ὁ δ’ αὐτὸς καὶ τὴν οὐρανίαν πρὸ τούτου σειρὰν ἐξ ὁμοίας ὕλης συνεκρότησε, προϊὼν δὲ καὶ χρύσεα τιταίνει τάλαντα. χρύσειος δὲ καὶ ὁ θρόνος αὐτῷ. οὕτω χαίρει τῷ χρυσῷ καί που, κατὰ τὸν Μίδαν, καὶ αὐτῷ χρυσός ἐστι πᾶν οὗ ἂν ἅψηται. Ἰστέον δὲ ὅτι οἱ ἐκ μαθημάτων ἀνήκειν φασὶν Ἡλίῳ τὸν χρυσόν, ὡς τῇ Σελήνῃ ἄργυρον, Κρόνῳ δὲ μόλιβδον, καὶ ἄλλῳ τῶν πλανωμένων ἕτερόν τι τῶν μετάλλων. Διὸ χαίρειν χρυσῷ λέγεται καὶ ὁ Ζεύς, καθότι καὶ εἰς ἥλιον ἀλληγορεῖταί ποτε κατὰ τὸν εἰπόντα «Ὁ μὲν δὴ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων». [Καὶ μὴν εἰ καὶ εἰς αἰθέρα ὁ Ζεὺς ἀλληγορεῖται, ἁρμόττει αὐτῷ διὰ τὸ πυρῶδες, εἴτ’ οὖν πυροειδές, καὶ οὕτω λαμπρὸν ὁ χρυσός, ἐπεὶ καὶ ὁ αἰθὴρ διχῇ οὕτω λέγεται.

2.524 ἢ γὰρ παρὰ τὸ αἴθειν, ὅ ἐστι καίειν, πυρὸς δίκην κατά τινας, ἢ παρὰ τὸ αἴθειν, ἤγουν λάμπειν, ὅθεν καὶ ὁ ἀστήρ, εἰ καὶ μάλιστα τοῖς σοφοῖς ἀρέσκει παρὰ τὸ αἰεὶ θεῖν αἰθὴρ λελέχθαι, διὰ τὸ κατ’ αὐτὸν ἀεικίνητον συνεσφαιρωμένον τῷ οὐρανῷ. Ἐὰν δὲ καὶ εἰς οὐρανὸν ὁ Ζεὺς μεταλαμβάνηταί ποτε, ᾠκείωται καὶ οὕτως αὐτῷ ὁ χρυσός, ὀρθῶς μὲν διὰ τὸ ἀνέφελον αὐτοῦ καὶ ἀληθῶς αἴθριον, εἰ καὶ καθ’ ἕτερον τρόπον χάλκεος λέγεται. Κατὰ δέ γε τὸν μῦθον διὰ τὸ καὶ χρυσέοις δώμασι πλήθειν καὶ χρύσεον δάπεδον ἡπλωμένον ἔχειν. Συντελεῖ δὲ πρὸς νοῦν τοιοῦτον καὶ εἴ τι που χρύσεον λέγεται νέφος. καὶ ταῦτα μὲν τοιαῦτα.] (v. 43) Ὅτι δὲ Δωρικὴ λέξις τὸ «γέντο», γενομένη ἐκ τοῦ ἕλετο, δηλοῦται ἀλλαχοῦ. Ὁ δὲ τόπος οὗτος χρήσιμος καὶ εἰς χρυσοῦ καὶ εἰς πλουσίου ἐγκώμιον. (v. 45) Ὅτι τὸ πέτεσθαι τοὺς τοῦ Διὸς ἵππους μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος σύμβολόν ἐστι τοῦ ἀλληγορεῖσθαι αὐτὸν εἴς τε ἀέρα καὶ εἰς αἰθέρα, στοιχεῖα ταῦτα πληροῦντα τὸ μεταξὺ γῆς τε καὶ οὐρανοῦ. (v. 50) Τῆς δὲ εἰς ἀέρα τοῦ Διὸς ἀλληγορίας ἐμφαντικὸν μετ’ ὀλίγα καὶ τὸ «κατὰ δ’ ἠέρα πουλὺν ἔχευε», τῶν αὐτοῦ ἵππων δηλαδή. Ἔνθα τὸ «πουλύν» θηλυκοῦ γένους φασὶν οἱ παλαιοί, καθὰ καὶ τὸ ἠέρα. Καὶ ἔστιν ἡ λέξις Ἰωνικὴ ὁμοίως τῷ «πουλὺν ἐφ’ ὑγρήν». (v. 47 s.) Ὅτι ἐν τῷ «Ἴδην δ’ ἵκανε πολυπίδακα, μητέρα θηρῶν, Γάργαρον» τῷ μέρει τὸ ὅλον συμπεριείληπται, ὡς καὶ πρὸ τούτων πολλὰ τοιαῦτα σεσημείωται.

2.525 Καὶ ἔστι πλατὺς τρόπος ποιητικὸς προτάσσειν τὸ ὅλον, εἶτα ἐπάγειν τὸ μέρος διὰ σαφήνειαν. Ὅλον μὲν γὰρ ἡ Ἴδη, μέρος δὲ τὸ Γάργαρον, καὶ μέχρι νῦν τηροῦν τοὔνομα, κληθὲν οὕτω διὰ τὰ ἐκεῖ ἀναδιδόμενα ὕδατα καὶ τὸν ἐντεῦθεν ποιὸν ἦχον, ἐξ οὗ καὶ ἐφ’ ἡμῶν τὸ ἀναγαργαρίζειν λέγεται καὶ ὁ γαργαρεών. Οἱ δέ φασι τρία εἶναι τῆς Ἴδης ἀκρωτήρια, Γάργαρον, Λεκτόν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φαλάκραν, τοῦ δὲ Γαργάρου τοὺς οἰκήτορας Γαργαρεῖς λέγεσθαι, αὐτὸ δὲ οὕτω κληθῆναι καθ' ὁμοιότητα τοῦ ἐν ἡμῖν γαργαρεῶνος, λήγοντος ἀπὸ παχέος εἰς ὀξύτερον. Τὴν δὲ Ἴδην πολυπίδακα λέγει, διότι καὶ τοῦ Γαργάρου δίχα πολυπόταμός ἐστιν, ὡς καὶ ἐν τοῖς ἑξῆς ῥηθήσεται. Κοινότερον δὲ τὸ «πολυπίδακα», ἐκ τοῦ πῖδαξ πίδακος, οὗ ἀναδραμόντος εἰς εὐθεῖαν, ὡς δηλοῖ τὸ «πολυπιδάκου», εἴη ἂν ποτε καὶ ἡ αἰτιατικὴ πολυπίδακον. Ἐκ τοῦ πιεῖν δέ, φασίν, ἡ πῖδαξ, ἢ ἐκ τοῦ πιδύειν, ὅ ἐστιν γῆθεν ἅλλεσθαι. αὐτὸ δὲ κατ' ἐναλλαγήν, φασίν, Αἰολικὴν ἐκ τοῦ πηδᾶν γίνεται, ἀφ' οὗ καθ' ὁμοίαν τροπὴν καὶ πιδήεσσα, ἡ κάθυγρος. ἐκ δὲ τοῦ πιδύειν καὶ Πιδύτης κύριον, ὡς ἐκ τοῦ ἠπύειν ὁ Ἠπύτης. Μητέρα δὲ θηρῶν τὴν Ἴδην φησὶν ἀντὶ τοῦ πολύθηρον. Θηρίον δὲ παρὰ τοῖς παλαιοῖς πᾶν ἄλογον ζῷον, ὅπουγε καὶ τὸν ἶπα θηρίδιόν τι λέγουσιν οἱ σοφοί. Κυρίως δέ, φασί, θῆρες, οἱ ἢ θέειν ῥᾷον δυνάμενοι κατὰ τὴν παρὰ Σοφοκλεῖ θῆρα ἔλαφον, ὁποία τις καὶ ἐν Ὀδυσσείᾳ κεῖται, ἢ καὶ φθείρειν, ὅθεν καὶ ἐτυμολογεῖσθαι ὁ θὴρ λέγεται [ὡς οἷα φθείρ, εἰ καὶ ἡ ἀπέλευσις τοῦ φ μετήλλαξε τὴν τῆς διφθόγγου γραφὴν εἰς τὸ τῆς ἀναλογίας η .

2.526 Ὅτι δὲ φθεῖρες διὰ διφθόγγου καὶ οἱ θῆρες, ἐν τοῖς εἰς τὴν Βοιωτίαν δεδήλωται.] Ἱστορεῖται δὲ καὶ ὄφεις τὴν Ἴδην ἐνεγκεῖν ποτε, οἳ καὶ ἐλάφους, φασίν, ἀνῄρουν εἰλούμενοι περὶ τὰ σκέλη αὐτῶν καὶ περὶ τοὺς αὐχένας καὶ δένδροις προσαρτῶντες αὐτούς. Ἰστέον δὲ καὶ ὅτι γυναικὶ μεθύσῃ, ἀδίκων παίδων μητρί, ἁρμόσοι ἂν ποτε τὸ προσρηθῆναι Ἴδην πολυπίδακα, μητέρα θηρῶν. Καὶ πόλις δὲ ἢ χώρα γέμουσα ἀνδρῶν ἀδίκων μήτηρ ἂν θηρῶν λέγοιτο, [καθά ποτε καὶ πόλις που ἦν πονηρῶν, ὡς αἱ ἱστορίαι δηλοῦσι, καί τις ἑτέρα συνηγόρων τοιούτων, ἀφορισθέντων ἐν αὐτῇ διὰ τὸ κακουργεῖν περὶ τὴν δικαιοτάτην θέσιν τῶν νόμων.] (v. 48) Λέγει δὲ ὁ ποιητής, ὡς καὶ τέμενος τῷ Διῒ ἐν τῷ Γαργάρῳ ἦν, ὁποῖα πολλαχοῦ εἴρηται, «βωμός τε θυήεις», ὡς θυσιῶν γινομένων ἐν τοῖς ὑψηλοῖς, καθὰ πολλαχοῦ φαίνεται, ἢ καὶ ὡς εὐώδους τοῦ τόπου ὄντος, παρὰ τὸ θύος, ἐξ οὗ καὶ νέφος θυόεν, οὐ μὴν θυῆεν κατὰ τὸν διχῇ οὕτω νοούμενον βωμόν. Καὶ εἰσορᾶσθαι δέ φησιν ἐκ τῶν τῆς Ἴδης κορυφῶν Τρώων τε πόλιν καὶ νῆας Ἀχαιῶν, ὡς καὶ ἐν τοῖς μετὰ ταῦτα ἐρεῖ. Καὶ δοκεῖ παραλάλημα εἶναι τοῦτο ἐτυμολογικόν. Εἰ γὰρ ἐκεῖθεν εἰσορᾷ ὁ Ζεὺς τὰ εἰρημένα ὡς τοῦ τόπου δεξιοῦ ὄντος ἰδεῖν, ὀρθῶς ἄρα Ἴδη τὸ ὄρος ἐκεῖνο λέγεται. Ὁ δὲ Γεωγράφος Γάργαρα οἶδε καὶ πόλιν εἰπὼν «Γάργαρα τόπος ἐν τοῖς ἄνω μέρεσι τῆς Ἴδης, ἀφ' οὗ Γάργαρα, πόλις Αἰολική». Ἰστέον δὲ ὅτι Διὸς κατέλευσις παρὰ τῷ ποιητῇ γίνεται, ὅπου ἄξια λόγου ἔργα τελοῦνται κατὰ εἱμαρμένην τινά, ὡς καὶ νῦν καταπραχθήσεται. (v. 53—7) Ὅτι καθάπερ ἀλλαχοῦ ἡ ἐκ πρόθεσις ἀντὶ τῆς μετα λαμβάνεται, οὕτως ἐνταῦθα ἡ ἀπο ἐν τῷ «οἳ δ' ἄρα δεῖπνον ἕλοντο Ἀχαιοὶ ῥίμφα κατὰ κλισίας, ἀπὸ δ' αὐτοῦ θωρήσσοντο. Τρῶες δ' αὖθ' ἑτέρωθεν ἀνὰ πτόλιν ὡπλίζοντο παυρότεροι· μέμασαν δὲ καὶ ὧς ὑσμῖνι μάχεσθαι, χρειοῖ ἀναγκαίῃ», ὅ ἐστιν ἀναγκαστικῇ, «πρό τε παίδων καὶ πρὸ γυναικῶν».

2.527 Ἐν τούτοις γὰρ τὸ «ἀπὸ δ' αὐτοῦ θωρήσσοντο», ἀντὶ τοῦ μετὰ τὸ δεῖπνον. Τὰ δὲ συχνὰ ἐνταῦθα πάρισα, τὸ ἕλοντο, θωρήσσοντο, ὡπλίζοντο, ἀνεπιτηδεύτως κεῖνται πρὸς κάλλος φυσικόν. Ὅρα δὲ καὶ ὅτι ἀντιπαρέθετο ἀλλήλοις ὡς ἰσοδύναμα τὸ θωρήσσοντο καὶ ὡπλίζοντο. Πλειόνως μέντοι τὸ ὁπλίζεσθαι ἀντὶ τοῦ ἁπλῶς εὐτρεπίζεσθαι λέγεται. Ὅρα δὲ καὶ ὅτι δειπνῆσαι εἶτα θωρήσσεσθαι τοὺς Ἀχαιοὺς εἰπὼν ἐπὶ Τρώων σιγᾷ μὲν τὸ δεῖπνον συντομίας τρόπῳ, λέγει δὲ μόνον καὶ αὐτοὺς ὁπλίζεσθαι. Ἔνθα ὅρα καὶ τὸ «ἀνὰ πτόλιν», ὡς μὴ πάντων τῶν Τρώων ἔξω μεινάντων, εἰ καὶ ὁ Ἕκτωρ διὰ τὸ ἀναγκαῖον παρέμεινεν. Ὅτι δὲ παυρότεροι Τρῶες Ἀχαιῶν, ἤδη πρὸ τούτων σαφῶς δεδήλωται. (v. 56) Τὸ δὲ «ὑσμῖνι» ὅτι μεταπλασμοῦ πάθος ἔχει, προείρηται καὶ αὐτό. ἐρρέθη δὲ «ὑσμῖνι μάχεσθαι» πρὸς διαστολὴν τοῦ ἄλλως πως μάχεσθαι, ὁποῖόν τι καὶ τὸ διὰ λόγων ἐρίζειν ἐστί. [Καὶ ἔστι τὸ ὑσμῖνι μάχεσθαι ταὐτὸν τῷ χερσὶ μάχεσθαι κατὰ τὸ «χερσὶ μὲν οὔτι μαχέσσομαι».] (v. 57) Τὸ δὲ «χρειοῖ ἀναγκαίῃ» καὶ τούτους ἀναγκαίους ὑπεμφαίνει πολεμιστὰς κατὰ τοὺς ἐν τῇ Ὀδυσσείᾳ ῥηθέντας τῷ ποιητῇ. Ἰωνικὸν δὲ τὸ «χρειοῖ».

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρεία μὲν γὰρ τὸ κοινόν, ὁ δὲ ἰωνίζων χρειώ λέγει, χρέος δὲ οἱ Τραγικοί, πολλάκις δὲ καὶ χρῆμα. Τὸ δὲ «πρὸ παίδων καὶ γυναικῶν» ἀντὶ τοῦ ὑπὲρ τῶν φιλτάτων. Καὶ εἴληπται νῦν ἡ προ ἀντὶ τῆς ὑπερ , ἄλλως ἤπερ ἐπὶ τοῦ «θυμῷ πρόφρονι». ἐκεῖ μὲν γὰρ κατὰ Πορφύριον ὑπερηφανίας ἡ λέξις δηλωτική, ἐνταῦθα δὲ φανερῶς προστασίας. Δῆλον δὲ ὡς ὁ πρὸ τοιούτων μαχόμενος τὸν κυρίως πρόμαχον συντίθησιν.

2.528 (v. 58 s.) Ὅτι ἔκχυσιν λαοῦ ἀπὸ πόλεως δηλοῖ τὸ «πᾶσαι δ’ ὠΐγνυντο πύλαι, ἐκ δ’ ἔσσυτο λαός, πεζοί θ’ ἱππῆές τε, πολὺς δ’ ὀρυμαγδὸς ὀρώρει», ὃ δὴ καὶ μετ’ ὀλίγα κεῖται. Γίνεται δὲ τὸ «ὠΐγνυντο» ἀπὸ τοῦ οἴγω οἴγνω οἰγνύω οἴγνυμι ὁμοίως τῷ ἀχνύμενος καὶ τοῖς ὁμοίοις, ἃ πολλαχοῦ ἐδηλώθη. Ὁ ὀρυμαγδὸς δὲ λέγεται μέν, ὅτε μέτρου χρεία, καὶ ὀρυγμαδός. Κεῖται δὲ οὐ μόνον ἐπὶ πολέμου κατὰ ὀνοματοποιΐαν καὶ ἐπὶ ἤχου τομῆς ξύλων κυρίως ἐν ὄρεσιν, ἀλλὰ καὶ ἁπλῶς ἐπὶ θορύβου μεγάλου. Τὸ δὲ «πᾶσαι πύλαι» δεδήλωται καὶ ἀλλαχοῦ, ὡς οἱ μὲν ἐπὶ δύο μόνων πυλῶν ἡρμήνευσαν, οἱ δὲ ἐπὶ πολλῶν. (v. 60—3) Ὅτι συμβολῆς πολέμου ἐκφραστικὸν τὸ «οἳ δ’ ὅτε δὴ ἐς χῶρον ἕνα ξυνιόντες ἵκοντο, σύν ῥ’ ἔβαλον ῥινούς», καὶ ἑξῆς, οἱ καὶ ἐν τῇ δ′ ῥαψῳδίᾳ πέντε στίχοι. Καὶ σημείωσαι καὶ ἐν τούτοις ὡς οὐκ αἰδεῖται ταὐτολογῶν ὁ ποιητὴς ἐν τοῖς ἐπιτυχῶς γραφεῖσι καὶ ἔνθα οὐκ ἔστι φράσαι κάλλιον. Δῆλον δὲ ὅτι τοῦ «συνέβαλον ῥινούς» περιφραστικὴ ἑρμηνεία ἐν τῷ ἐφεξῆς στίχῳ τὸ «ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι ἔπληντο ἀλλήλαις». (v. 66—9) Ὅτι αὔξησις ἡμέρας λέγεται καθ’ Ὅμηρον τὸ ἀπὸ πρωΐας μέχρις ἡλιακοῦ μεσουρανήματος, τὸ δ’ ἐντεῦθεν φθίνειν ἡ ἡμέρα δοκεῖ, ὅθεν τὴν δύσιν Αἰσχύλος ἡλίου λέγει φθινάσματα. Δηλοῖ δὲ τὴν ῥηθεῖσαν αὔξην ὁ ποιητὴς καὶ νῦν ἐν τῷ «ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ, τόφρα μάλ’ ἀμφοτέρων βέλε’ ἥπτετο, πίπτε δὲ λαός», διὰ τὸ τῆς μάχης δηλαδὴ ἰσόρροπον. «ἦμος δ’ ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει» καὶ ἑξῆς. [Ὁ παραφράζων ὁ Σοφοκλῆς φησιν «ἐν αἰθέρι μέσῳ κατέστη λαμπρὸς ἡλίου κύκλος».] (v. 66) Ἠὼς δὲ ἐνταῦθα ἢ ἡ πρωΐα, ἵνα λέγῃ, ὅτι ἕως ὄρθρος ἦν, εἶτα καὶ ἕως οὗ ηὔξετο ἡ ἡμέρα, ἢ καὶ ἄλλως, ἠὼς ἡ μεσημβρία, ἵνα ᾖ ὁ λόγος τοιοῦτος· ἕως μεσημβρία ἦν, τουτέστιν ηὔξετο ἱερὸν ἦμαρ, ὡς τοῦ και συνδέσμου διασαφητικοῦ ὄντος τοῦ «ἠὼς ἦν».

2.529 Τὸ δὲ ἀέξεσθαι πρωτότυπόν ἐστι τοῦ αὔξεσθαι. Ἔχω γὰρ ἕξω, τὸ ἐπέχω, καὶ ἀέξω τὸ οὐκ ἐπέχω, καὶ κράσει ἄξω, ἐξ οὗ, ἵνα μὴ συνεμπίπτῃ πρὸς τὸ ἄγω ἄξω, τὸ φέρω, καὶ ἄγω ἄξω, τὸ κλῶ, πλεονασμῷ Αἰολικῷ τοῦ υ γίνεται αὔξω. Καὶ ἔστιν ἀέξεσθαι τὸ μὴ ἐπέχεσθαι τῆς κατὰ φύσιν προκοπῆς ἀλλ’ εἰς μέγεθος προχωρεῖν μεῖζον τοῦ κατ’ ἀρχάς. Ἱερὸν δέ, φασίν, ἦμαρ λέγει τὸ πρὸ μεσημβρίας, ἐν ᾧ ἔθυον ὡς τὰ πολλά. τὸ γὰρ μεσημβρινὸν τοῖς κατοιχομένοις ἀπένεμον εἰς χοάς. Οὐδὲν δὲ κωλύει νοῆσαι ἦμαρ ἱερὸν ἐνταῦθα καὶ τὴν ὅλην ἡμέραν διά τε τὸ ἐντελὲς καὶ διὰ τὸ κατ’ αὐτὴν μάλιστα ἔμπρακτον τῶν ἐθελόντων ἐργάζεσθαι, ὃ δὴ θεοφιλὲς ὂν ἱερολογεῖσθαι τὴν ἡμέραν ποιεῖ. Εἰ δὲ καὶ καθ’ Ἡσίοδον «μακάρων τοι νύκτες ἔασιν», εἶεν ἂν τοιαῦται καὶ αἱ ἡμέραι, διόπερ ἱεραὶ καὶ αὐταί. (v. 67) Τὸ δὲ «ἀμφοτέρων βέλε’ ἥπτετο, πίπτε δὲ λαός» περίφρασις μέν ἐστι τοῦ «μάλα πολλοὶ ἔπιπτον ἑκατέρωθεν». Ἐκ μέρους δὲ [συνεκδοχικῶς] εἶπε τὸ «βέλε’ ἥπτετο». οὐ γὰρ πάντες ἐβάλλοντο, ἀλλ’ ὡς εἰκός, καὶ ἄλλως ἐπλήττοντο. Ὅτι αἰνιττόμενος ὁ ποιητὴς τὴν τῆς μοίρας καὶ περὶ τὰ πολεμικὰ διπλόην ζυγοστατοῦντα πλάττει νῦν τὸν Δία, ὃς εἰς μοῖραν ἐκλαμβάνεται, καὶ ἐν πλάστιγγι τιθέντα δύο κῆρας θανάτου Τρώων τε καὶ Ἀχαιῶν, μίαν δηλαδὴ ὑπὲρ ἑκατέρου στρατεύματος, καὶ εἰς ζυγοῦ ῥοπὰς ἄγει τὸ δισταζόμενον. (v. 69—72) Φησὶ γὰρ «καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα, ἐν δ’ ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο, Τρώων θ’ ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων, ἕλκε δὲ μέσσα λαβών, ῥέπε δ’ αἴσιμον ἦμαρ Ἀχαιῶν. (v. 73 s.) Εἶτα ἑρμηνεύων τὸ «ἔρρεπεν» ἐπάγει «αἱ μὲν Ἀχαιῶν κῆρες ἐπὶ χθονὶ πουλυβοτείρῃ ἑζέσθην, Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν», ἤγουν ἤρθησαν μετέωροι.

2.530

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Δηλοῖ δ’ ἐν τούτοις τό, ὡς ἐρρέθη, τῆς μοίρας διπλοῦν. διχῶς γὰρ αὕτη. καὶ τὸ μὲν αὐτῆς ἠναγκασμένως εἵμαρται, οἷον τὸ δεῖν τὸν γενόμενον θανεῖν, οὗπερ οὐδὲ κρατεῖν ὁ μῦθος δοξάζει τὸν Δία, ἕτερον δὲ τὸ ἢ θᾶττον ἢ βράδιον ἢ εὐτυχῶς ἢ δυστυχῶς εἱμαρμένον καὶ οὕτως ἢ ἄλλως γινόμενον, οὗ δεσπόζειν τὸν Δία φησὶ καταλείπων τι καὶ ἐφ’ ἡμῖν. τὸν γοῦν Ἀχιλλέα διτταὶ οὕτω κῆρες λέγονται φέρειν εἰς Ἅιδην, ὡς πολλαχοῦ εἴρηται. Ποιεῖ δὲ ὁ αὐτὸς Ζεὺς καὶ ἐν τοῖς ἑξῆς ὁμοίαν ζυγοστάτησιν ἐπὶ Σαρπηδόνος καὶ Πατρόκλου, καὶ ἐπὶ Ἀχιλλέως δὲ μετὰ ταῦτα καὶ Ἕκτορος, διὰ τὸ τῶν προσώπων ἀξιόλογον. (v. 69) Ὅτι δὲ τάλαντον κυρίως ἐπὶ ζυγοῦ διὰ τὸ τάλαν, ἤγουν καρτερικόν, τοῦ ὀργάνου, καὶ ὅτι ὁμωνύμως τῷ ὀργάνῳ λέγεται τάλαντον καὶ τὸ ζυγοστατούμενον, καὶ ὅτι τὸ ῥέπειν κυριωτάτη λέξις ἐπὶ τοῦ κάτω βαρεῖσθαι τὸν σταθμόν, ἀφ’ οὗ καὶ ἑτερορρεπὴς πλάστιγξ καὶ δίκη καὶ φιλία, καὶ ὅτι τὰ μὲν κάτω καὶ πρόσγεια δυστυχίας τίθεται σύμβολα —Θνητότητος γὰρ τόπος τὰ περὶ γῆν. —, ἡ δέ γε μετέωρος πλάστιγξ εὐτυχίαν δηλοῖ καὶ ἐνηρτημένην ζωὴν διὰ τὸ τῶν ἄνω μακρόβιον, καὶ ἐν τοῖς ἑξῆς φανήσεται. [Νῦν δὲ παραπηκτέον τῷ λόγῳ ὅτι τε πλείστη τῷ παντὶ διαφορὰ εἰπεῖν χρύσεια τάλαντα, ὡς ἐνταῦθα, καὶ αὖ πάλιν χρυσοῖο τάλαντα, ὡς ἀλλαχοῦ, καὶ ὅτι τάλαντον ἑνικῶς καὶ τάλαντα πληθυντικῶς κατὰ παλαιὰν παρατήρησιν οὐκ ἐπὶ ἀργύρου ἀλλ’ ἢ ἐπὶ πλαστίγγων, οἷον «ἀλλ’ ἔχον ὥστε τάλαντα γυνὴ χερνῆτις», καὶ «χρύσεια πατὴρ ἐτίταινε τάλαντα», ἢ ἐπὶ χρυσοῦ, οἷον «θῆκε δύο χρυσοῖο τάλαντα», καὶ «στήσας ἔφερε δέκα πάντα τάλαντα».

2.531 καὶ ὅτι ὅθεν τὸ τάλαντον, ἐκεῖθεν καὶ ὁ τάλαρος ἤγουν ὁ καλαθίσκος, ὡς δηλαδὴ τάλας εἰς τὸ αἴρειν τὰ ἐντιθέμενα. Οὕτω δὲ καὶ ὁ ἀλλαχοῦ δηλούμενος ταλαπείριος, τάλας γὰρ ἐκεῖνος ἐν τῷ περᾶν κατά τινας. καὶ ὁ ταλαίπωρος δὲ τάλας καὶ αὐτὸς κυριολεκτικῶς περὶ πώρους, ἤγουν λίθους, ἐν τῷ λατομεῖν. ἔτι δὲ καὶ ὁ ἀταλός, οἷα μὴ δυνάμενος εἶναι τάλας εἰς ἔργον καί, ὡς εἰπεῖν, ταλαεργός. Ἴσως δὲ καὶ ἡ παρὰ τῷ Σοφοκλεῖ μελλόνυμφος τάλις. τάλαιναν γὰρ αὐτὴν ἡρμήνευσάν τινες, εἰ καὶ ἕτεροι ὄνομα ἡλικίας νέας αὐτό φασιν.] (v. 73 s.) Ὅρα δὲ καὶ ὅτι κῆρα μίαν Ἀχαιῶν ἑνικῶς ὑποθέμενος καὶ μίαν Τρώων λόγῳ προσηγορικῷ, εἶτα ἐπλήθυνε καὶ ταύτην καὶ ἐκείνην διὰ τοὺς καθ’ ἕκαστον, εἰπὼν «αἱ μὲν Ἀχαιῶν κῆρες» καὶ ἑξῆς. Φασὶ δὲ οἱ παλαιοί, ὅτι Αἰσχύλος ἐνταῦθα κῆρας οὐ τὰς εἰς θάνατον μοίρας ἀλλὰ ψυχὰς νοήσας ἐποίησεν αὐτὸς ψυχοστασίαν, ἐν ᾗ ὁ Ζεὺς ἵστησιν ἐν ζυγῷ τὴν τοῦ Μέμνονος καὶ τοῦ Ἀχιλλέως ψυχήν. Πάνυ δὲ δεξιῶς ὡς ἐπὶ ζυγοστατοῦντος ἀνδρὸς Ὅμηρος ἐνταῦθα τὴν φράσιν διεχειρίσατο. Καὶ ἔστιν ἐπὶ νοῦν λαβεῖν ἐν τούτοις ἄνδρα χρυσογνώμονα, ὃς τὸ τάλαντον, δι’ οὗ σταθμᾶται, προχειρισάμενος καὶ ἐκ τοῦ συγκεκλάσθαι ἀνεγείρας τιταίνει, ὅ ἐστιν ἐξαπλοῖ, καὶ μέσου λαβόμενος ἀνορθοῖ καὶ ἐντίθησι τὸ δοκοῦν.

2.532 καὶ ἡ ῥοπὴ ὅποι τύχῃ καθέλκει, ὡς τὴν μὲν πλάστιγγα ἕζεσθαι, τὴν δὲ μετεωρίζεσθαι ὑψοῦ. (v. 74) Ἔνθα ὅρα τὸ ἕζεσθαι, γλυκέως ὡς ἐπί τινος ἐμψύχου λεχθέν, οἷα καὶ ἑκατέρας κηρὸς ἐμψύχου πλαττομένης μυθικῶς, [ὧν ἡ μὲν ἐπὶ χθονὶ ἑζομένη διὰ πλεῖον βάρος τοὺς ἐνσχεθησομένους τῇ γῇ καὶ τεθαψομένους ἐμφαίνει, ἡ δὲ πρὸς οὐρανὸν ἀειρομένη θειότερόν τι αἰνίττεται πρᾶγμα, ὅπερ ἐστὶ τὸ ζῆν κοῦφα βιβῶντας ἐν μάχῃ καὶ οἷον ἀνωφορουμένους ταῖς ἐλπίσι καὶ μετέωρα θέοντας, οἷς αἴρει αὐτοὺς τὸ μοιρίδιον.] (v. 72) Σημείωσαι δὲ ὅτι τε ἐκ τοῦ ῥέπειν θανασίμως τὰ τοῦ Διὸς τάλαντα καὶ ἡ Τραγῳδία λαβοῦσα ἔφη τὸ «δέδορκε φῶς ὡς ἐπὶ σμικρᾶς ῥοπῆς», καὶ τὸ «σμικρὰ παλαιὰ σώματ’ εὐνάζει ῥοπή», ἔνθα τὸ εὐνάζειν ταὐτὸν τῷ «κῆρας ἐπὶ χθονὶ ἕζεσθαι». καὶ ἡ κοινὴ δὲ γλῶσσα ἐντεῦθεν τοὺς θνῄσκοντάς φησιν εἰς τὰ τοῦ Ἅιδου κεῖσθαι ζυγά. καὶ ὅτι τῆς μάχης μὲν ἐπὶ ἶσα τεταμένης, ὅτε ἀμφοτέρων ἅπτεται τὰ βέλη, ῥοπὴν ἴσην ἔχειν ἐκείνη δοκεῖ, ὅτε δὲ θάτερον ὑπέρσχῃ μέρος, ἑτερορρεπεῖν λέγεται. καὶ ὅτι τοῦ ἕλκειν, ἐξ οὗ καὶ ἡ κατὰ σταθμὸν ὁλκή, ἀνάπαλιν ἔχει τὸ καθέλκειν. ὁ μὲν γὰρ ταλαντεύων ἕλκει μέσα λαβών, τῶν δὲ σταθμωμένων τὸ βαρύτερον καθέλκει, ῥέπον δηλαδὴ ὡς οἷα ῥιπτούμενον, ἐπεὶ καὶ ἐκ τοῦ ῥέπειν τὸ ῥιπτεῖσθαι παράγεται, ὡς καὶ προδεδήλωται. (v. 73)

Ἰστέον δὲ καὶ ὅτι γῆς ἐπιθέτων ὄντων τοῦ πολυβότειρα, βωτιάνειρα, βότειρα καὶ παμβῶτις, τοῦτο μὲν καθολικώτερον σέμνωμα γῆς τῆς πάντα τρεφούσης. οὕτω δέ πως καὶ τὸ βότειρα. μερικὸν δὲ ἡ πολυβότειρα, ἔτι δὲ μερικώτερον ἡ βωτιάνειρα, ἧς πρωτότυπον ἡ βῶτις, ἀφ' ἧς κατὰ σύνθεσιν ἡ παμβῶτις, ἐκτείνουσα διὰ μέτρον τὸ ω , καθὰ καὶ ἡ βωτιάνειρα καὶ ὁ βώτωρ.

2.533 Τοῦτο μέντοι καὶ ὡς ἀπὸ τοῦ βούτης Δωρικῶς ἐξέτεινε τὴν ἄρχουσαν, ἐξ οὗ καὶ ἡ βῶτις εἶναι δοκεῖ. Ὡς γὰρ ὁ δεσπότης καὶ ἡ δεσπότις, οὕτω καὶ ὁ βούτης ἤτοι βώτης, καὶ ἡ βῶτις, ὅθεν καὶ ἡ παμβῶτις καὶ ἡ βωτιάνειρα. [Ἰστέον δὲ ὅτι τῶν τῆς γῆς ἐπιθέτων τὸ μὲν ζείδωρος καὶ πολυβότειρα κοινὰ γῆς ἐπίθετά φασιν οἱ παλαιοί. Δῆλον δὲ ὅτι οὕτω κοινὸν καὶ τὸ παμβῶτις καὶ πρὸ πάντων τὸ ἀπείρων καὶ ἄσπετος καὶ ὅσα τοιαῦτα. τὸ μέντοι χυτὴ γαῖα ἴδιόν φασι, τουτέστι γῆς τινος ἐπίθετον, χοώδους δηλαδὴ καὶ οἵας ἐπιχέεσθαι ἢ νεκροῖς ἢ καὶ ἀλλοίοις σώμασιν. Εἴη δ' ἂν τοιούτου ἐπιθέτου καὶ ἡ κατὰ τοὺς Ἐρεμβοὺς παρδαλέη γῆ, καὶ ἡ ἀργιλώδης δέ, ἤδη δὲ καὶ ἡ μέλαινα.] (v. 72) Τὸ δὲ αἴσιμον ἦμαρ εἰς ταὐτὸν ἄγεται τῇ ταλαντευομένῃ κηρί, ὡς ἶσον ὂν ῥέπουσαν εἰπεῖν κῆρα καὶ ῥέπον αἴσιμον ἦμαρ, τὸ κατ' αἶσαν δηλαδὴ κάτω φέρον τοὺς Ἀχαιούς. (v. 75) Ὅτι Ζεὺς ἐξ Ἴδης μεγάλα ἔκτυπεν ἐκφοβῶν τούς, ὡς εἴρηται, κατασταθμηθέντας Ἕλληνας καὶ ὡς οἷον ἀπειλητικῶς ἐκδειματῶν, οἷς οὐχ' ἁπλῶς ἔκτυπεν, ἀλλὰ μεγάλ' ἔκτυπε. (v. 75—7) Δαιόμενον δὲ ἧκεν, ὅ ἐστιν ἀφῆκε, σέλας μετὰ λαὸν Ἀχαιῶν, ἤγουν εἰς Ἀχαιούς. «οἳ δὲ ἰδόντες θάμβησαν καὶ πάντας ὑπὸ χλωρὸν δέος εἷλεν». (v. 78—89) Εἶτα διασαφῶν τί τὸ κατὰ πάντων χλωρὸν δέος, ἐπάγει «ἔνθ' οὔτ' Ἰδομενεὺς τλῆ μίμνειν οὔτ' Ἀγαμέμνων οὔτε δύ' Αἴαντες μενέτην, θεράποντες Ἄρηος· Νέστωρ οἶος ἔμιμνε Γερήνιος, οὖρος Ἀχαιῶν, οὔτι ἑκών, ἀλλ' ἵππος ἐτείρετο, τὸν βάλεν ἰῷ δῖος Ἀλέξανδρος, Ἑλένης πόσις ἠϋκόμοιο, ἄκρην κὰκ κορυφήν, ὅθι τε πρῶται τρίχες ἵππων κρανίῳ ἐμπεφύασι, μάλιστα δὲ καίριόν ἐστιν. ἀλγήσας δ' ἀνέπαλτο, βέλος δ' εἰς ἐγκέφαλον δῦ, σὺν δ' ἵππους ἐτάραξε κυλινδόμενος περὶ χαλκῷ, ὄφρ' ὁ γέρων ἵπποιο παρηορίας ἀπέταμνε φασγάνῳ ἀΐσσων, τόφρα Ἕκτορος ὠκέες ἵπποι ἦλθον ἀν' ἰωχμόν, θρασὺν ἡνίοχον φορέοντες, Ἕκτορα». ὅτε καὶ ἀπώλετο ἂν ὁ γέρων, εἰ μὴ Διομήδης ἐβοήθησε. (v. 91—9) Φησὶ γὰρ «καί νύ κεν ἔνθ' ὁ γέρων ἀπὸ θυμὸν ὄλεσσεν, εἰ μὴ ἂρ ὀξὺ νόησε βοὴν ἀγαθὸς Διομήδης», ἔσχατος δηλονότι πάντων φεύγων, καὶ παρεβοήθησεν ἐξ ἀνάγκης μόνος, ὅτε αὐτὸς μὲν «σμερδαλέον ἐβόησεν ἐποτρύνων Ὀδυσσῆα», τὸν παρὰ τῷ ποιητῇ τλήμονα «Διογενὲς Λαερτιάδη, πολυμήχανε Ὀδυσσεῦ, πῇ φεύγεις μετὰ νῶτα βαλών» καὶ ἑξῆς.

2.534 «οὐκ ἐσάκουσε δὲ πολύτλας δῖος Ὀδυσσεύς, ἀλλὰ παρήϊξε κοίλας ἐπὶ νῆας Ἀχαιῶν», ὡς οἷα φεύγων. «Τυδείδης δ' αὐτός περ ἐών», ἤτοι μόνος, «προμάχοισιν ἐμίχθη». Σημείωσαι δὲ ὅτι τεράστιος ὢν ὁ ποιητὴς καὶ πολυμήχανος ἐν ταῖς διασκευαῖς τοιοῦτος κἀνταῦθα εὕρηται. Ἀνάγκη μὲν γὰρ ἀπὸ τῆς ἄρτι ἡττηθῆναι τοὺς Ἀχαιούς, ἵνα ἡ τοῦ Διὸς βουλὴ τελεσθῇ. τὸ δ' οὐκ ἔστι γενέσθαι, εἰ μὴ συσταλῶσιν οἱ ἄρχοντες. γίνεται δὴ τοῦτο καὶ οὐδεὶς ἔτλη μένειν. ἐπεὶ δ' ἀγεννέστατον τὸ πάντας φυγεῖν, μένει μόνος ὁ Διομήδης, ἠρεθισμένος ἔτι ἐκτῶν χθὲς λόγων τοῦ βασιλέως. ἐπεὶ δὲ ἀδύνατον μὴ καὶ αὐτὸν φυγεῖν Διὸς βουλομένου, συγχέεται, ὡς ἐρρέθη, τὸ ἅρμα τοῦ Νέστορος, κἀκεῖθεν εἰς τὸ τοῦ Διομήδους ὁ γέρων ἀναβὰς καὶ γνοὺς οἷα ὁ Ζεὺς βούλεται, πείθει τὸν ἥρωα εὐλαβηθῆναι καὶ φύγαδε τρέπει τοὺς ἵππους. καὶ οὕτως εὐσχημόνως ἡ πάντων φυγὴ οἰκονομεῖται, ἵνα μὴ θεομαχῶσιν ἀνθιστάμενοι τῷ Διῒ τὰ ἑαυτοῦ προβεβλημένῳ βέλη, τοὺς τῶν βροντῶν δηλαδὴ κτύπους καὶ σέλας τὸ δαιόμενον, ὧν αἱ μὲν βρονταὶ εἶεν ἂν κατὰ σάλπιγγας μάχην συνθηματιζούσας, καθότι καὶ ἐν τοῖς ἑξῆς οὕτω πως ἐσάλπιγξε μέγας οὐρανὸς ἐν μεγάλῳ πολέμῳ. (v. 76) Τὸ δὲ σέλας κατὰ τὸ ἐν μάχῃ ἐπαφιέμενον πῦρ εἰς σύμβολον τοῦ καυστειρὰν αὐτὴν εἶναι, ὡς δηλοῖ καὶ ἡ Τραγῳδία ἐν τῷ «ἐπεὶ δ' ἀφείθη πυρσός» καὶ ἑξῆς, ὥς που προδεδήλωται. Ὅτι δὲ Διὸς βέλη, τουτέστιν ἀέρος, τὰ τοιαῦτα, δῆλον καὶ ἐκ τοῦ «οὔτε πυρὸς οὔτ' ἄστρων ὑπέρτερον βέλος». ὅθεν καὶ ἀστροβλῆτες ἄμπελοι. Καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τάλαντα δὲ Διὸς ἄνωθεν τοὺς τοιούτους κτύπους καὶ τὸ δαιόμενον σέλας εἰπών τις, δι’ ὧν ἀπαίσια ἐδηλοῦτο τοῖς Ἀχαιοῖς, οὐκ ἀφυῶς εἴποι ἄν. [Ἔστι δὲ νῦν σέλας δαιόμενον κεραυνός. Ἕλη μὲν γὰρ καὶ εἵλη κυρίως ἡ ἐξ ἡλίου, ὅθεν καὶ παράγεται, ὡς δῆλον ἐκ τοῦ εἱληθερεῖσθαι, καὶ τοῦ «ὕδωρ εἱληθερές», καὶ τοῦ «θειλόπεδον», ὅθεν καὶ τὸ θειλοπεδεύειν. καὶ τοιοῦτον μὲν ἡ εἵλη.

2.535 Σέλας δὲ σεομένη ἕλη, ὅ ἐστι σευομένη καὶ ἐξορμῶσα, πυρὸς δηλαδὴ ἢ πυρώδους τινός. Οὕτω σέλας ἄστρων φαμὲν καὶ πυρὸς καὶ λαμπάδος, καὶ προβάλλεται μὲν ἐκ πυρὸς ἤ τινος πυρόεντος τὸ τοιοῦτον, ὡς οἷον ἀκοντιζόμενον δι’ ἀέρος, οὐ καίει δέ, ὡς οὐδ’ ἀστραπαὶ φῶς ἀφιεῖσαι. Ὁ δέ γε κεραυνὸς καὶ σέλας ἐστὶ καὶ δαιόμενον. φέρεται γὰρ καὶ φωσφορῶν κατὰ τὰ λοιπὰ σέλα καὶ αὐτὸς ἑαυτὸν κατακαίων καὶ οἷς δ’ ἂν ἐνσκήψῃ, καυστειρὸς ὢν οἷα καὶ πῦρ. (v. 75 s.) Σημείωσαι δὲ ὅτι τὸν μὲν κεραυνὸν σεμνῶς καὶ οὐδὲ ταπεινῶς δαιόμενον ἔφη σέλας ὁ ποιητής, τὴν δὲ βροντὴν καὶ τὸ κατ’ αὐτὴν τραχὺ κατ’ ἐκφώνησιν ἐξ ὀνοματοποιΐας, λεάνας διὰ τοῦ κτύπον αὐτὴν εἰπεῖν—Λειότερον γὰρ πάντως τοῦ βροντᾶν τὸ κτυπεῖν. —, ὅμως ὕψωσεν ἄλλως τὸ τῆς λέξεως ταπεινὸν καὶ ὡς οἷον εἰς μεγαλεῖον ἀνήγαγεν εἰπὼν οὐχ’ ἁπλῶς «ἔκτυπεν», ἀλλὰ «μεγάλ’ ἔκτυπεν», ὥς που καὶ τὴν ἐξ ὑποκορισμοῦ σμικρότητα τοῦ «θηρίον» ἐμεγέθυνέ που ἐν τῷ εἰπεῖν «μάλα γὰρ μέγα θηρίον ἦεν». Οὕτω δ’ ἐν τοῖς ἑξῆς καὶ τὰ τοῦ Ἅιδου οἰκία, ἵνα μὴ δοκοῖεν ὑποκορίζεσθαι, ἁδρύνει πρὸς ὄγκον, σμερδαλέα εἰπὼν ἐκεῖνα καὶ εὐρώεντα.] (v. 80) Καινὸν δὲ τῆς διασκευῆς ταύτης καὶ τὸ δύο μόνους μεῖναι ἥρωας διαφόρους τόν γε τῆς μονῆς τρόπον. Νέστωρ μὲν γὰρ ἄκων, Διομήδης δὲ ἑκὼν ἔμεινε. (v. 97 s.) Καὶ τὸ ἄλλους μὲν ὁμοῦ ἐξονομάσαι ἀρίστους φεύγοντας, τὸν δὲ Ὀδυσσέα ἰδίᾳ θέσθαι χάριν ἐπικρύψεως, δι’ ἣν οὐδὲ φυγεῖν ἔφη αὐτόν, ἀλλὰ παραΐξαι τὸν Διομήδην ἐπὶ νῆας, τὴν φυγὴν οὕτω ὑποσεμνύνων τοῦ πολύτλα καὶ τλήμονος ἥρωος. Ἰστέον δὲ ὅτι οὐκ ἔστι καιριωτέραν λέξιν εὑρεῖν ἐνταῦθα τοῦ μένειν. διὸ καὶ ἐπέμεινεν αὐτῇ ὁ ποιητής, ταὐτὸν δηλῶν διά τε τοῦ μένειν καὶ διὰ τοῦ μίμνειν. ἔνθα περίφρασις τὸ «τλῆ μίμνειν», ὡς τλήμονος ὄντος τοῦ ἐν τοιούτῳ κινδύνῳ μένοντος.

2.536 Ἡ δὲ ῥηθεῖσα τῶν ἡρώων ἀπαρίθμησις κατὰ τὸ παρατυχὸν ἀφελῶς κεῖται. ἄλλως γὰρ οὐκ ἂν ὁ βασιλεὺς καὶ οἱ Αἴαντες ὑπετάγησαν τῷ Ἰδομενεῖ, μετ’ αὐτὸν ἠριθμημένοι. Ἐπιτρέχει δὲ κἀνταῦθα ὁ ποιητὴς ἀναλόγως τῷ καιρῷ οὐ πάντας μετρήσας τοὺς ἀριστεῖς, ἀλλὰ τοῖς ὀλίγοις καὶ τοὺς λοιποὺς συννοεῖσθαι ἀφείς. (v. 80) Τὸ δὲ «οὖρος Ἀχαιῶν», ὅ ἐστι φύλαξ, σέμνωμα τοῦ γέροντός ἐστι φιλουμένου, ὅτι σώσει τὸν Διομήδην. [Γίνεται δὲ ὁ ῥηθεὶς οὖρος ἢ ἀπὸ τοῦ ὁρῶ, τὸ βλέπω—Προορῶνται γὰρ τὰ ἐπιόντα οἱ φύλακες, ὅθεν καὶ φρουροὶ λέγονται. —ἢ παρὰ τὸν ὅρον τὸν ἐν τοῖς γηδίοις. ὁρίζειν γάρ πως καὶ ὁ φύλαξ τέτακται τὰ φυλασσόμενα καὶ ἀποδιϊστᾶν τῶν ἐπιόντων βλαβερῶν.] (v. 87) Τὸν δὲ τειρόμενον ἵππον παρήορον νοητέον, ὡς δηλοῖ τὸ «παρηορίας ἀπέτεμνεν», ὃ σημαίνει τὰς τοῦ παρηόρου ἡνίας. Καὶ σημείωσαι ὅτι καὶ ἑτέρους εἰκὸς παρηόροις ἐν μάχῃ χρᾶσθαι ἀναγκαίως, εἰ καὶ μὴ ὁ ποιητὴς παρασημαίνεται, ὃς οὐδ’ ἂν ἐνταῦθα ἐπέστησεν, εἰ μὴ ἐχρῆν. Εἰ δὲ παρηόρῳ ἑνὶ ἐξῆν τὸν μαχόμενον χρῆσθαι, τί ἐκώλυσε καὶ δυσίν; οὐκοῦν οὐ καινοπραγεῖ Ἕκτωρ, εἰ κατά τινας ἐν τοῖς ἑξῆς τετρώρῳ χρῆται. Τάχα γὰρ καὶ εἰς πιθανότητα τῆς τετραορίας ἐκείνης τὰ ἐνταῦθα ἱστόρηται. εἰ γὰρ ὁ μικροῦ καὶ ἀπόμαχος τῷ γήρᾳ Νέστωρ φιλοτιμεῖται τοὺς τρεῖς ἵππους ἑαυτῷ, δοτέον τῷ καὶ γενναίῳ καὶ θρασεῖ Ἕκτορι τοὺς τέσσαρας. ἀλλὰ περὶ τούτων μὲν καὶ μετ’ ὀλίγα εἰρήσεται. Ὁ δὲ παρήορος ἀπὸ τοῦ παραείρω, τὸ παραζευγνύω, γίνεται, ἵνα ᾖ παρήορος ὁ παρεζευγμένος, ἤγουν ὁ ἐγγὺς ὢν τῶν ζυγιτῶν ἢ τῶν ζυγίων κατὰ τὸν Κωμικόν. Ὁ δὲ τοιοῦτος καὶ παράσειρος λέγεται παρὰ τοῖς ὕστερον, ἔτι δὲ καὶ σειραῖος, ὡς δηλοῖ Σοφοκλῆς, ἀπὸ τῆς σειρᾶς.

2.537 ὅθεν καὶ ἀνασειράζειν ἵππον τὸ ἀναχαιτίζειν. Ὅτι δὲ ἀπὸ τοῦ ῥηθέντος ἀείρειν καὶ ὧρες αἱ γυναῖκες καὶ ξυνωρὶς καὶ τέτρωρον, ἀλλαχοῦ δηλοῦται. ὡς δὲ καὶ ἀπὸ ἑτεροίου ἀείρειν τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μετήορον γίνεται, πρὸ βραχέων εἴρηται. (v. 81) Τὸ δὲ «βάλεν ἰῷ» πρὸς διαστολὴν ἑτεροίας κεῖται βολῆς, οἷον τῆς διὰ δόρατος ἢ λίθου. (v. 82) Τὸ δὲ τῆς Ἑλένης ὄνομα εἰς μηδὲν δέον καὶ νῦν παρέρριψεν ἐνταῦθα, καὶ οὐ πρὸς μέτρου ἀναπλήρωσιν τοσοῦτον, ὅσον διαθέσει τῆς Ὁμηρικῆς Μούσης πρὸς τὴν διογενῆ ἡρωΐδα. (v. 83 s.) Τὸ δὲ «ὅθι πρῶται τρίχες ἵππων» καὶ ἑξῆς, ἑρμηνεία ἐστὶ τοῦ «ἄκραν κατὰ κορυφήν». Τὰς δὲ τοιαύτας τρίχας ἕτεροι προκόμιον ἵππου φασί. Πρῶται δὲ λέγονται ὡς πρὸς τὴν χαίτην, αὕτη γὰρ μετ’ ἐκείνας ἐστί. Τὸ δὲ κρανίον τῆς κεφαλικῆς πολυωνυμίας τμῆμά ἐστι, ἧς καὶ αἱ κατ’ εὐθεῖαν προφοραὶ καὶ τὸ ἐκεῖθεν δὲ κλίμα, κατὰ Ἡρῳδιανὸν εἰπεῖν, διαφόρως ἔχουσιν, ἵνα ᾖ καὶ τοῦτο πολυκέφαλόν τι, ὡς εἰπεῖν, χρῆμα. Τὸ μὲν γὰρ πρωτόθετον ἄκρα ἐστίν, ὡς ἐμφαίνεται καὶ ἐν τῷ «ἤλασε κῦμα κατ’ ἄκρης», ἐξ οὗ κατὰ ἀναγραμματισμὸν κάρα θηλυκῶς τε καὶ οὐδετέρως. Ὡς γὰρ ἡ νάφθα καὶ τὸ νάφθα παρά τε ἄλλοις καὶ παρὰ Πλουτάρχῳ, οὕτω καὶ τὸ κάρα παρὰ τοῖς παλαιοῖς καὶ ἡ κάρα παρὰ τοῖς ὕστερον. Ἔτι κοινῶς καὶ κράς κρατός, ἡ κεφαλή, ναὶ μὴν καὶ κράας, ὅθεν τὸ «σῷ κράατι τίσεις». ἡ δ’ αὐτὴ καὶ κάρηαρ καρήατος, ἐξ οὗ ἴσως κατὰ συγκοπὴν τὸ κάρητι παρὰ τῷ ποιήσαντι τὰ Διονυσιακά, οἷον «εὖ εἰδὼς πόνον ἄλλον ἐπὶ στονόεντι κάρητι», [ἤγουν πεπειραμένος, ὁ Ζεὺς δηλαδή, πόνου, ὅτε τὴν Ἀθηνᾶν ἐκ τῆς κεφαλῆς ἐγέννα, καὶ διὰ τοῦτο ῥᾴων ἐσόμενος καὶ οὐ τοσοῦτον πονήσων ἐν τῷ γεννᾶν ἐκ τοῦ μηροῦ τὸν μυθικὸν Διόνυσον.

2.538 ] Τὸ δ’ αὐτὸ καὶ κάρηνον καὶ ἀποκοπῇ κάρη ἄκλιτον κατὰ τὸ κρῖ καὶ τὸ δῶ, ὧν ἡ ἀποκοπὴ ἐκ τοῦ κρίμνον καὶ δῶμα. παρὰ δὲ Σοφοκλεῖ καὶ τὸ κρᾶτα εὕρηται καινότερον. Τὸ δὲ ῥηθὲν κάρηνον κάρανον ἐν συστολῇ γεγονός, εἶτα συγκοπέν, τὸ κρανίον παράγει, οὗ προϋπάρχειν τὸ κράνον δοκεῖ, ὡς δῆλον ἐκ τῶν συνθέτων, τοῦ ὠλέκρανον καὶ ἐπίκρανον. ὅπερ ἐστὶ κεφαλὴ κίονος, καὶ κατ’ Εὐριπίδην, κρήδεμνον, εἰπόντα ἐπίκρανον κεφαλῆς. ἐκεῖθεν δὲ καὶ τὸ κράνος καὶ τὸ κραναόν. Ὡς δὲ καὶ κόρση ἔστιν ὅτε ἡ κεφαλή, δῆλον ἐκ τοῦ «ὄγκον ἔχων ἐγκύμονι κόρσῃ», ὃ καὶ αὐτὸ ἐν Διονυσιακοῖς κεῖται περὶ Διός. Τὸ μέντοι «σῷ κράατι» ἐν Ὀδυσσείᾳ, καὶ τὸ «ἐπὶ κρατὶ σῷ» παρὰ τῷ Κωμικῷ, ἑτέραν ἔχει λόγου τριβὴν τεθεῖσαν ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Τὸ δὲ «ἐμπεφύασι» καιριώτατόν ἐστιν ἐνταῦθα ἐπὶ τριχῶν ἐκφυομένων κεφαλῆς. ἐξ αὐτοῦ δὲ τροπικῶς λαλεῖται τὸ «ἔν τ’ ἄρα οἱ φῦ χειρί», καὶ ὅσα ἄλλα τοιαῦτα δηλοῦνται ἀλλαχοῦ. Καίριον δὲ ἢ τὸ θανάσιμον κατὰ τοὺς παλαιούς, παρὰ τὴν κῆρα, ἢ τὸ εὔκαιρον εἰς κίνδυνον διὰ τὸν ὑποκείμενον ἐγκέφαλον. «Βέλος» γὰρ «εἰς ἐγκέφαλον δῦ». πεπείραται δὲ καὶ ἡ τυχοῦσα βολὴ τὸν τοιοῦτον τόπον λυπεῖν. (v. 85) Τὸ δὲ «ἀνέπαλτο» λέξις καὶ αὐτὸ καιρία, δηλοῦσα ὀρθὸν ὑπὸ ἄλγους τὸν ἵππον στῆναι, ἤτοι ἀναπηδῆσαι. Ὁ δὲ ἐγκέφαλος κοινῶς ἐρρέθη καὶ Ἀττικῶς.

2.539 οἱ δὲ ὕστερον ἔγκαρον αὐτὸν εἶπον. Ὡς δὲ καὶ φοίνικος τοῦ δένδρου ἐγκέφαλος ἐκλήθη τὸ ἄνω αὐτοῦ κορυφαῖον, ὃ καὶ γλυκύτατόν ἐστι φαγεῖν, αἱ ἱστορίαι φασί. Τὸ δὲ «δῦ» ἀναλόγως ἔχει τῷ φῦ, οἷον «ἔν τ’ ἄρα οἱ φῦ χειρί». (v. 86) Τὸ δὲ κυλινδόμενος ἀπὸ βαρυτόνου ἐνεστῶτος τοῦ κυλίνδω, ὃν μόνον οἶδεν ὁ ποιητής. περισπᾶν γὰρ αὐτὸν τῶν μεθ’ Ὅμηρόν ἐστι. Τὸ δὲ «περὶ χαλκῷ», τῷ τοῦ ὀϊστοῦ σιδήρῳ δηλαδή, καινότερον ἔχει τὴν περι πρόθεσιν μετὰ δοτικῆς. (v. 87) Τὸ δὲ «ἀπέταμνεν» ἀστείως εἴρηται κατὰ τὴν παρατήρησιν τῶν παλαιῶν. οὐ γὰρ δυνάμενος ὁ οὕτω γέρων ταχὺ ἀποταμεῖν ἀπέτεμνε κατ’ ὀλίγον ἐν παρατάσει χρόνου, καίτοι μὴ ἀνιέμενος ἀλλ’ ἀΐσσων, ὅ ἐστι πάνυ σπεύδων. Εἰ δὲ καὶ ἦν εἰπεῖν ἀπέτεμνε κοινότερον, ἀλλ’ Ὅμηρος τὴν κατ’ αὐτὸν Ἰάδα γλῶσσαν τιμᾷ, τὸ τέμνειν τάμνειν λέγουσαν. (v. 89) Ἰωχμός δέ, κατ’ ἔλλειψιν τοῦ δ , ἡ δίωξις. ὁ δ’ αὐτὸς καὶ διωγμὸς ἂν εἴη ὁμοίως τῷ βρέγμα καὶ βρεχμός, καὶ ῥῆγμα καὶ ῥωχμός. ὥσπερ δὲ ἰωχμὸς κατ’ ἔλλειψιν τοῦ δ , οὕτω καὶ ἰωκή, ἡ δίωξις. Ὅτι δὲ λέξεις πολλαὶ τοῦ κατ’ ἀρχὴν ἐκπίπτουσαι συμφώνου τὸν αὐτὸν αὖθις νοῦν σῴζουσιν, ἐδηλώθη ἔν τε τῷ χλιαρός λιαρός, καὶ περι καὶ ἐρι τῷ ἐπιτατικῷ, καὶ πήγανον ἤγανον, καὶ σμικρόν μικρόν καὶ ἐν ἄλλοις, [ὧν ἐστι καὶ τὸ μῆλα ἦλα, ὥς φασιν οἱ παλαιοὶ μετὰ καὶ χρήσεως.] Τὸν δὲ Ἕκτορα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Διομήδης μὲν ἄγριον λέγει ἐν τῷ «ἀλλὰ μένε, ὄφρα γέροντος ἀπώσομεν ἄγριον ἄνδρα», Ὅμηρος δὲ θρασὺν σεμνότερον αὐτὸς εἰπών, ὃς καὶ τοῦ ἡνιόχου πεσόντος τῷ Ἕκτορι θρασὺν αὐτῷ ἡνίοχον ἐπιλέξεται. Χαίρει γὰρ τῷ ὁμοίῳ τὸ ὅμοιον. Θρασὺς γὰρ καὶ αὐτὸς καθ' Ὅμηρον ἡνίοχος, ὅτε δηλαδὴ ἡνιοχεῖν δεήσειε, καὶ οὐ κατεπτηχὼς κατὰ τὸν Νέστορα, ὃν ἡνιοχήσαντα τῷ Διομήδει ἐκ χειρῶν ἡνία φύγον. (v. 92) Τὸ δὲ «σμερδαλέον ἐβόησεν» οὐ μόνον βοὴν ἀγαθόν, ὅ ἐστιν εὐρυβόαν, παριστᾷ τὸν Διομήδην εἶναι, ἀλλὰ καὶ οἷόν τε ἐκπλήττειν τῇ βοῇ, ὅτε καιρός.

2.540 (v. 93) Πολυμήχανον δὲ οὐχ' ἁπλῶς, ἀλλ' ὡς ἀληθῶς τοιοῦτον τὸν Ὀδυσσέα φησίν. Ἦν γάρ, ὡς καὶ ἐν Ὀδυσσείᾳ σημειοῦνται οἱ παλαιοί, οὐ μόνον πύκτης καὶ παλαιστὴς καὶ δισκεύειν εἰδὼς καὶ τόξῳ ἀριστεύειν καὶ ἀκοντίζειν, «ὅσον οὐκ ἄλλος τις ὀϊστῷ», ἀλλὰ καὶ γεωργός, ὅτε δρέπανον ἐκεῖ ζητεῖ καὶ πηκτὸν ἄροτρον, καὶ κυβερνήτης, ὃς καὶ πόδα νηὸς διόλου νωμᾷ, καὶ τέκτων, ὡς ἡ ἐν τῇ Ἰθάκῃ κλίνη δείκνυσι, καὶ ναυπηγός, ὡς ἡ σχεδία δηλοῖ, ἣν συνεπήξατο, καὶ κυνηγός, ὁ καὶ τὴν ἐπίσημον οὐλὴν ἔχων ἐκ τοῦ συός, ὃν ὀδόντι ἐλάσαντα ὅμως κατέβαλε, καὶ μάντις. φῆμιν γοῦν ζητεῖ ἐν Ἰθάκῃ, ἀφ' ἧς συμβαλεῖται τὸ μέλλον. ἔτι δὲ καὶ μάγειρος δαιτρεῦσαι εἰδὼς καὶ ὀπτῆσαι, ἤδη δὲ καὶ ἰατρὸς ἐν οἷς φάρμακον, φασί, ζητεῖ «ὄφρα οἱ εἴη ἰοὺς χρίεσθαι». ὅτι δὲ καὶ ῥήτωρ ἄκρος ἦν, ἔκδηλον. εἰ δὲ καὶ Πληϊάδας ὁρῶν καὶ Ὑάδας ναυτίλλεται, ἔστι καὶ ἀστρονόμον νοῆσαι αὐτόν. [Τῷ δὲ πολυμηχάνῳ ἀντίκειται ἡ ἀλλαχοῦ δηλουμένη ἀμήχανος, ὅ ἐστιν ἁπλῆ καὶ ἀπόνηρος καὶ ἀπερίεργος καὶ ἄτεχνος, εἴτ' οὖν ἄδολος γυνή, καὶ ὁ κατ' αὐτὴν ἀνήρ. Αὐτοῖς δὲ πάλιν ἀντιπίπτει ἡ ἀμήχανος Ἥρη, καὶ εἴ τις δαίμων ἔοικεν αὐτῇ, ὧν καὶ τὰ ἔργα ἀμήχανα κατὰ τὸ «λοιγὸς ἔην καὶ ἀμήχανα ἔργα», εἰπεῖν δὲ ταὐτόν, κακομήχανα.] (v. 97) Τὸ δὲ «οὐδ' ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεύς» οἱ τὸν Ὀδυσσέα ψέγοντες ὡς δειλὸν ἀντὶ τοῦ οὐχ' ὑπήκουσεν οὐδὲ ἐπείσθη νοοῦσι, δειλίαν αὐτοῦ σημειούμενοι καὶ ἀπὸ τοῦ ἐν μέσῳ τοῦ ναυστάθμου τὰς αὐτοῦ νῆας εἶναι, οὗ ἀνάπαλιν αἱ τῶν ἀρίστων, ὡς εἰρήσεται, ἄκραι ἵσταντο. Ἔτι δὲ καὶ ἀπὸ τοῦ ἐν τῇ μονομαχίᾳ ὕστατον ἀναστῆναι αὐτόν, καὶ ἐν τῇ νυκτεγερσίᾳ δὲ τὸν Δόλωνα πρὸ τοῦ Διομήδους ἰδεῖν καὶ μηδὲ τὸν Ῥῆσον φονεῦσαι. Ὅτι δὲ ταῦτα συνέσεως μᾶλλον ἔργα καὶ ἀσφαλείας ἤπερ δειλίας, ἑτέροις δέδεικται. Τέως γε μὴν οἱ μὲν τὸ «οὐδ' ἐσάκουσεν», ἀντὶ τοῦ οὐκ ἐπείσθη, ὡς εἴρηται, φασίν, ἕτεροι δὲ ἀντὶ τοῦ οὐκ ᾔσθετο οἷα θορυβούμενος.

2.541 Εἰ γὰρ καὶ σμερδαλέον ὁ Διομήδης βοᾷ, ἀλλὰ πολλῷ μείζων ἡ τῆς φυλόπιδος καὶ ἐνοπῆς βοή, καὶ κρεῖττον οὕτω νοῆσαι τὸ «οὐδ' ἐσήκουσεν». οὐ γὰρ ἂν Ὅμηρος τὸν οὕτω δειλανδροῦντα καὶ φυγομαχοῦντα ἐπιθέτοις κοσμίοις ἐσέμνυνε πολύτλαν καὶ δῖον ἀποκαλῶν. Βραχεία γὰρ ἐπιθέτων προσθήκη τὰς τῶν νοημάτων ἀμφιβολίας ἔλυσεν, ὥς που καὶ χρησμὸς εἰπὼν «ὦ θεία Σαλαμίς, ἀπολεῖς τέκνα γυναικῶν» οὐκ ἂν θείαν ἐκείνην προσεῖπεν, εἰ τὰ ἑαυτῆς ἀπολέσειν ἔμελλε τέκνα καὶ μὴ τὰ τῶν Περσῶν. Ἰστέον δὲ ὅτι οὐ κατηγορητέον Ὀδυσσέως δειλίαν, οὐδὲ εἰ φεύγει ἄρτι, ὅτι μηδὲ τοῦ μεγάλου Αἴαντος κατηγορήσει τις τὸ δειλαίνεσθαι, ὅτε φεύγει καὶ ἐκεῖνος, ἵνα μὴ θεομαχῇ, ὃ καὶ Διομήδης ἄκων συμβουλεύσαντος Νέστορος μετ' ὀλίγα πείσεται. [(v. 94) Τὸ δὲ «μετὰ νῶτα βαλών» φιλοσόφως εἴρηται. ὁ γὰρ τὰ νῶτα στρέφων τοῖς πολεμίοις μεταβολῇ χρῆται. προβάλλων γὰρ τὰ στέρνα πρὸ τῆς φυγῆς μεταβάλλει ἐν τῷ φεύγειν δεικνὺς αὐτὰ τοῖς ἐχθροῖς.] (v. 94 s.) Ὅτι ὀνειδισμὸς ἀνδρὸς ἐν μάχῃ προτροπάδην φεύγοντος τὸ «πῇ φεύγεις μετὰ νῶτα βαλὼν κακὸς ὣς ἐν ὁμίλῳ; μή τίς τοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξῃ», ὃ δὴ πρὸς αἰσχύνης ἦν τοῖς παλαιοῖς, ἐναβρυνομένοις ταῖς κατὰ στέρνων πληγαῖς. Διομήδους δὲ λόγος οὗτος πρὸς Ὀδυσσέα, ὅτε Διὸς ἐκφοβοῦντος ἐπὶ νῆας, ὡς ἐρρέθη, παρήϊξεν, οὐκ ἐπιστραφεὶς Διομήδους μετακαλουμένου αὐτὸν ἐπικουρῆσαι κατὰ Ἕκτορος τῷ γέροντι Νέστορι. Ἐλλιπῶς δὲ ἔχει ὁ δεύτερος στίχος. λείπει γὰρ τὸ ὅρα ἢ δέδιθι ἢ ἄλλο ῥῆμα τοιούτου τόπου, ἵνα λέγῃ ὅτι ὅρα μή σε φεύγοντά τις πλήξῃ ἢ βάλῃ τὰ νῶτα. ὃ δυνάμενος οὕτω φράσαι ὁ ποιητὴς ὅμως ἄλλως ἐποίησεν, ἵνα μὴ εἰπὼν «μετὰ νῶτα βαλών», εἶτα ἐπαγαγὼν «μή τις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βάλῃ» καλλωπίσῃ τὴν φράσιν ἐν οὐ καιρῷ. (v. 94) Τὸ δὲ «μεταβαλὼν νῶτα», περὶ οὗ καὶ προσεχῶς ἐρρέθη, ταὐτὸν δύναται τῷ μεταθέμενος, στρέψας.

2.542 μεταβολὴ γὰρ ἀντιπροσώπου στάσεως τὸ στρέψαι τὰ νῶτα. Σημείωσαι δὲ ὅτι τοῦτο καὶ εἰς παράδειγμα κείσεται ἀναγκαίας διαστολῆς βελτιούσης λόγου διάνοιαν. Εἰς γὰρ τὸ «φεύγεις» ἐξ ἀνάγκης τεθήσεται ὑποδιαστολή, ἵνα μή τις νοήσῃ «πῇ φεύγεις με», εἶτα ἐπιφέρῃ «τὰ νῶτα βαλών». Τὸ δὲ «ἐν ὁμίλῳ» οὐχ' οὕτω ψεκτέους δηλοῖ τοὺς τοῦ ὁμίλου, ὅ ἐστι τοὺς δημότας, εἶναι φεύγοντας οἷα κακούς, ὅ ἐστι δειλούς, ὡς τοὺς ἀριστέας, οὓς χρὴ προμάχους εἶναι. (v. 96) Ὅτι ὁ προκαλούμενος βοηθὸν ὑπὲρ γέροντος εἴποι ἄν ποτε τὸ «ἀλλὰ μένε, ὄφρα γέροντος ἀπώσομεν ἄγριον ἄνδρα». (v. 102—4) Γέροντι δὲ φαύλως μὲν ὑπηρετουμένῳ, ἐχθροὺς δ' ἀγαθοὺς ἔχοντι, προσαρμόσοι ἂν τὸ «ὦ γέρον, ἦ μάλα δή σε νέοι τείρουσι μαχηταί, σὴ δὲ βίη λέλυται, χαλεπὸν δέ σε γῆρας ὀπάζει», ὅ ἐστι διώκει, καταλαμβάνει ἐκ τῶν κατόπιν. «ἠπεδανὸς δέ νύ τοι θεράπων». Εἰ δὲ καὶ ἵππους παλαιοὺς ὁ τοιοῦτος ἔχοι, προσρηθήσεται καὶ τὸ «βραδέες δέ τοι ἵπποι». (v. 105) Προσαρμόσει δέ ποτε καὶ τὸ «ἀλλ' ἄγ' ἐμῶν ὀχέων ἐπιβήσεο». (v. 106—8) Διομήδης δὲ ταῦτά φησι τῷ Νέστορι, ὃς ἐπὶ τούτοις καὶ ἀναβιβάζει αὐτὸν ἡνίοχον ἐπὶ τοὺς Τρωΐους ἵππους, «οὕς ποτε ἀπ' Αἰνείαν», φησίν, «εἰλόμην», τουτέστιν ἐληϊσάμην, ὡς καὶ ἐν τοῖς μετὰ ταῦτά που δηλοῖ ὁ ποιητὴς εἰπὼν «οὕς ποτε ἀπηύρα Αἰνείαν». Σεμνῶς δὲ εἴρηται τὸ «οὕς ποτε ἀπ' Αἰνείαν εἰλόμην», ἤτοι ἄκοντος ἀφειλόμην, ὡς οἷά τι δηλονότι ἐξαίρετον. Ἔνθα ὅρα τὸ «ποτέ», οὐκ ἀνέκαθεν προχρονίζον, ἀλλὰ τὴν χθὲς ἡμέραν δηλοῦν, ὅτε Διομήδης κατὰ Αἰνείου ἠνδρίσατο. Τοιαύτης δυνάμεως καὶ τὸ πάλαι παρά τε τῷ Κωμικῷ καὶ ἑτέροις δείκνυται, οὐκ ἀεὶ μακρὸν χρόνον σημαῖνον, ἀλλ' ἔστιν οὗ καὶ πρόσφατον Ἀττικῶς, ὡς μάλιστα δῆλον καὶ παρὰ Σοφοκλεῖ, ἀλλαχοῦ τε καὶ ἐν τῷ «νῦν τε καὶ πάλαι λέγω». Νῦν μὲν γὰρ ἔφη τὸ προσεχῶς ἄρτι, πάλαι δὲ τὸ ἐν τῷ ἀνωτέρω ἐκεῖ προσεχεῖ στίχῳ.

2.543 (v. 102—4) Ἰστέον δὲ ὅτι τὸ «ὦ γέρον» καὶ τὰ ἑξῆς, ὡς εἴρηται, λέγοιντο ἂν καὶ πρὸς οἱονοῦν ἄνθρωπον, ἐν νεότητι μὲν πολὺν τεχνίτην ὄντα, γήρᾳ δὲ πεπαυμένον καὶ ὑπὸ νεωτέρων ἡττώμενον. [Εἰ δὲ καὶ διδάσκαλος γήρᾳ κατάπονος ἐλαττοῖτο μαθητῶν, παρῳδηθείη ἂν οὕτω «ὦ γέρον, ἦ μάλα δή σε νέοι τείρουσι μαθηταί».] Εἰ δὲ καὶ λόγιος ὁ σκωπτόμενος γέρων, ἵπποι μὲν βραδέες οἱ ἐκείνου λόγοι νοηθεῖεν ἄν, οὐκέτι πτερόεντες ὄντες εἰς τὸ πᾶν ἀλλὰ νωθρῶς προϊόντες, θεράπων δὲ ὁ νοῦς μηκέτι ὀξὺς ὢν καὶ ὑψηλὸς ἀλλὰ περιπέζιος καὶ ταπεινός. Τοῦτο γὰρ δηλοῖ τὸ ἠπεδανός ἀπὸ τοῦ πέδον πλεονασμῷ τοῦ η , ὡς ἀπὸ τοῦ πάτος γίνεται κατὰ μετάθεσιν ὁ ταπεινός. (v. 103) Τὸ δὲ «βίη λέλυται» πάρεσιν δηλοῖ συνδέσεως νεύρων. Τὸ δὲ χαλεπὸν γῆρας εἴη ἂν ἐφερμηνευτικὸν τοῦ ὁμοιΐον γῆρας, περὶ οὗ προδεδήλωται. (v. 105) Τὸ δὲ «ἐπιβήσεο», οὗ κρᾶσις τὸ ἐπιβήσου, ἀσυνήθως καὶ αὐτὸ ἔχει, κανονισθὲν ὡς ἀπὸ ἐνεστῶτος τοῦ ἐπιβήσω, οὐκ ἔχοντος δύο ς , ἵνα τε μὴ ὁ βήσω μέλλων, ἐξ οὗ ἐκινήθη, ἀπολέσῃ τὸν οἰκεῖον χαρακτῆρα, καὶ ἵνα δὲ ἴσως μὴ συνεμπέσῃ τῷ βήσσω βήξω, ἐξ οὗ τὸ βήξ βηχός. (v. 106 s.) Ὅτι ἔπαινος πολεμιστηρίων ἵππων τὸ «ἐπιστάμενοι πεδίοιο κραιπνὰ μάλα ἔνθα καὶ ἔνθα διωκέμεν ἠδὲ φέβεσθαι», ἤγουν εἰδότες ὧδε καὶ ἐκεῖ τῆς πεδιάδος ποτὲ μὲν διώκειν, ποτὲ δὲ φεύγειν, καὶ ἄλλως δὲ γοργότερον φράσαι, εἰδότες καιρὸν διωγμοῦ καὶ φυγῆς. Θεῖοι δὲ ἵπποι μυθικῶς, περὶ ὧν ταῦτα εἴρηται, οἱ καὶ προδεδηλωμένοι. Διὸ καὶ τετόλμηται ἐπ' αὐτῶν εἰπεῖν τὸ ἐπίστασθαι, τὸ κυριολεκτούμενον ἐπὶ λογικῶν, οὓς καὶ κοσμεῖ παρίσοις τέσσαρσι, δυσὶ μὲν καθαροῖς, δυσὶ δὲ μετὰ συμφώνων, εἰπὼν «οἷοι Τρώϊοι ἵπποι ἐπιστάμενοι». Ὁ Διομήδης δὲ καὶ τὸν ῥηθέντα ἱππικὸν ἔπαινον λέγει, φίλιππός γε οὗτος ἀνήρ, ὃς ἐν οὕτω μεγάλῳ κινδύνῳ φιλενδεικτεῖ ἐπαινῶν ἵππους, ὡς αὐτῷ σύνηθες.

2.544 (v. 108) Εἰ δὲ τὸ «οὕς ποτ' ἀπ' Αἰνείαν εἰλόμην μήστωρα φόβοιο», δοκεῖ ταπεινοῦν τὸν Αἰνείαν ὡς μὴ ἐπιστάμενον καὶ διώκειν καὶ φεύγειν, ἀλλὰ μόνου φόβου μήστωρα, ἴσως μὲν τῷ φόβῳ καὶ τὴν δίωξιν συννοητέον, ἵνα μὴ ὁ ἥρως ἐλαττοῖτο ἵππων ἀρετῆς. Μάλιστα δὲ νοητέον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκεῖνον μήστωρα φόβου, ὡς μηδόμενον, ὅ ἐστι βουλευόμενον, δι᾽ ὧν ἂν φόβον πάθοιεν οἱ ἀντίπαλοι. Οἱ δὲ γράψαντες «μήστωρε φόβοιο», ἤγουν μήστωρας, διὰ τοὺς ῥηθέντας ἵππους, πάνυ σφάλλονται τοῦ ὀρθοῦ. (v. 109) Ὅτι ποτὲ μὲν κομῶ τὸ ἐπιμελοῦμαι, ὡς καὶ ἐνταῦθα «θεράποντες κομείτων», ἤτοι ἐπιμελείσθωσαν, καὶ «θεράποντε κομείτην», ὅ ἐστιν ἐπεμελοῦντο, ποτὲ δὲ κομίζω, ἐξ οὗ κομιδή, ἡ ἐπιμέλεια. Τὸ δὲ τοιοῦτον διφόρημα καὶ ἐπ᾽ ἄλλων μυρίων φαίνεται. [Εἰ δὲ καὶ κομᾶν οἱ ὕστερον οἴδασιν ἐν δευτέρᾳ συζυγίᾳ τῶν περισπωμένων, ἀλλ᾽ ὁ ποιητὴς κομείτην εἰπὼν καὶ κομείτων, οὐ κομᾶν οἶδεν, ἀλλὰ κομεῖν κατὰ ἀκολουθίαν πρώτης συζυγίας.] (v. 110) Ὅτι καὶ ἐνταῦθα κεῖται ἡ ἐπι πρόθεσις ἐναντιωματικῶς ἐν τῷ «Τρωσὶν ἐφ᾽ ἱπποδάμοισιν ἰθύνομεν», ἤγουν κατὰ Τρώων. Ταὐτὸν δὲ παρὰ τῷ ποιητῇ ἰθύνειν ἵππους εἰς πόλεμον, καὶ ἰθὺς μαιμᾶν ἤγουν ὁρμᾶν (v. 110 s.) Ὅτι μαίνεσθαι καὶ ἐνταῦθα δόρυ ἐν παλάμαις λέγει ὡς εἴπερ αὐτὸ ἔμψυχον ἦν. Φησὶ γὰρ Διομήδης τὸ καὶ ἀλλαχοῦ ῥηθὲν «ὄφρα καὶ Ἕκτωρ εἴσεται, εἰ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσιν», ἀντὶ τοῦ «εἰ καὶ ἐγὼ αἰχμητής εἰμι», καθὰ ἑτέρωθι σαφῶς ἐξήγηται.

2.545 [Ὅτι δὲ τὸ μαίνεσθαι οὐκ ἐπὶ μόνου τοῦ συνήθους ἀεὶ τίθεται, ὡς τὸ «μαινόμενε φρένας ἠλὲ διέφθορας», ἐξ οὗ καὶ ὁ μαινόλης καὶ ἡ κυριολεκτουμένη μανία, ἀλλὰ καὶ ἐπὶ σφοδρᾶς κινήσεως καὶ ἐνεργείας, ὡς τὸ «μαίνεται δ᾽ ὡς ὅτ᾽ Ἄρης», ὁ Ἕκτωρ δηλονότι, ᾧ δὴ λόγῳ καὶ δόρυ μαίνεται ἐν παλάμαις, παρασημειοῦνται οἱ παλαιοί. Ὡς δὲ καὶ τὸ καθ᾽ ὑπερβολὴν ἐρᾶν μανίᾳ ἔοικε, καὶ ὁ πάσχων αὐτὸ μαίνεσθαι δοκεῖ, ὁμοίως δὲ καὶ ὁ κατ᾽ ἄλλην ἄλογον καὶ ἀσύμμετρον ἔφεσιν πλεονάζων τοιούτῳ ἐνίσχεται σκώμματι, δῆλον ἐκ τῶν σοφῶν. Μαίνεται γοῦν τις ὑφ᾽ ἡδονῆς παρὰ Σοφοκλεῖ. Οὕτω δὲ καὶ ὁ χρυσομανὴς ἐπὶ χρυσῷ καὶ ὁ οἰνομανὴς ἐπὶ οἴνῳ καὶ ὁ γυναιμανὴς δὲ καὶ ὁ νοσῶν ἐρωμανίαν εἰς τοιαύτην ὁμοιότητα πίπτουσι. Θεραπεία δέ τις ἀμυδρὰ τῆς τόλμης τοῦ δόρυ τὸ ἄψυχον μαίνεσθαι, τὸ ἐν παλάμῃσι. διὰ γὰρ τὰς ἀρεϊκὰς παλάμας τὸ δόρυ μαίνεται, οὐ μὴν αὐτὸ καθ᾽ αὑτό. σκληρᾶς γὰρ τοῦτό γε τροπῆς καί, κατὰ τὸν Τεχνικὸν εἰπεῖν, ἀτηρᾶς.] (v. 115 s.) Ὅρα δὲ ὅτι τε περιήγαγεν ὁ ποιητὴς ἐνταῦθα μάχιμον τύχην εἰς τὸ ἡνιόχους μὲν δύο τὸν τοῦ Διομήδους καὶ τὸν τοῦ Νέστορος ἐφ᾽ ἑνὸς ἅρματος γενέσθαι, αὖθις δὲ ἐφ᾽ ἑτέρου ἑνὸς παραιβάτας τοὺς ῥηθέντας δύο ἀριστεῖς, καὶ ὅτι ἐνταῦθα ἔοικεν ὁ Νέστωρ ἐκλαθέσθαι τῆς οἰκείας παραγγελίας. Ὁ γάρ που εἰπών, ὅτι «ὃς ἂν ἐξ οἰκείων ὀχέων ἕτερα ἅρματα ἵκηται ἔγχει ὀρεξάσθω», νῦν ἐπιβὰς τοῦ κατὰ Διομήδην ἅρματος οὐκ ἐθέλει δόρατος ἅπτεσθαι, ἀλλ᾽ ἡνιοχεῖ. (v. 116) Φησὶ γὰρ «Νέστωρ δ᾽ ἐν χερσὶ λάβ᾽ ἡνία σιγαλόεντα». Ἔστι δὲ εἰπεῖν ἢ ὅτι ὁ κίνδυνος ἐξέκρουσεν αὐτὸν τῆς μνήμης ἢ μάλιστα ὅτι ἐκεῖνα μὲν πρὸς εὐσθενοῦντας ἐρρέθη, αὐτὸς δὲ ἐς τοσοῦτον ἀπάλαμνος, ὥστε, καθὰ προείρηται, μόλις τὰς τοῦ ἵππου παρῃορίας ἀπέταμνε. Διὸ ἀναγκαίως παραχωρεῖ τοῦ ἔγχους τῷ δυναμένῳ πολεμεῖν, ἔχων καὶ αὐτὸς εἰπεῖν πρὸς τὸν ψέγοντα, ὅτι πρὸς τὰς τύχας τὰς φρένας κεκτήμεθα.

2.546 (v. 115) Σημείωσαι δ᾽ ἐν τούτοις καὶ σχῆμα καινὸν τὸ «τὼ δ᾽ εἰς ἀμφοτέρω Διομήδεος ἅρματα βήτην», ἤγουν οὗτοι ἄμφω εἰς τὸ τοῦ Διομήδους ἔβησαν ἅρμα. Ἡ γὰρ τοιάδε ὑπέρβασις τῆς προθέσεως οὐ πάνυ συνήθης, ὡς οὐδὲ τὸ εἰπεῖν «οἱ δ᾽ εἰς ἅπαντες νῆα μίαν ἔβησαν». καὶ ὅμως ἐκ τούτου εἴληπται παρὰ τοῖς ὕστερον τὸ κατ᾽ ἄλλος ἄλλο μέρος καὶ τὴν αὐτὸς ἐμαυτοῦ τύχην, καὶ ὅσα τοιαῦτα. [(v. 122) Ὅτι τὸ «ὑπερώησαν δέ οἱ ἵπποι» δύναται μὲν ὡς ἐκ τοῦ ὑπερῴου νοηθῆναι ἀντὶ τοῦ ὀρθοὶ ἔστησαν ὡς εἰς ὕψος καί, ὡς εἰπεῖν, ἀνεπάλθησαν κατὰ τὸ «ὃ δ᾽ ἀλγήσας ἀνέπαλτο». Ἀρέσκει δὲ μάλιστα δηλοῦν τὸ ἀφώρμησαν, ἀνεχώρησαν, ἀνεπόδισαν, ἀπὸ τοῦ ἐρωή, ἡ ὁρμή, ὅθεν ἐρωῶ, τὸ ὁρμῶ.] (v. 124) Ὅτι τὸ «Ἕκτορα δ᾽ αἰνὸν ἄχος πύκασε φρένας ἡνιόχοιο», ἤγουν τὰς τοῦ Ἕκτορος φρένας ἐκάλυψεν ἢ ἐπύκνωσε λύπη, συνήθως τῷ ποιητῇ ἐσχημάτισται. Καὶ ζήτει τὴν ἀντιπτωτικὴν ταύτην ὁμοιότητα καὶ ἐν τῷ «περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε φύλλα». Τὸ δὲ «ἄχος πύκασεν ἡνιόχοιο» λείπεται προθέσεως τῆς ὑπερ . οὕτω δ᾽

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὐθὺς καὶ τὸ «ἀχνύμενός περ ἑταίρου», ἤγουν ὑπὲρ τοῦ αὐτοῦ ἡνιόχου. (v. 126 s.) Κεῖται δ' ἐν τούτοις καὶ μεθέπειν τὸ ζητεῖν καὶ ἀνερευνᾶν. Φησὶ γὰρ «ὃ δ' ἡνίοχον μέθεπε θρασύν», ὃν καὶ ἵππων σημάντορά φησι, ὡς ἀπὸ τοῦ σημαίνειν, ὃ δηλοῖ τὸ ἐπιτάσσειν. Φησὶ γὰρ «οὐδ' ἄρ ἔτι δὴν ἵππω», τουτέστιν οἱ ἵπποι, «δευέσθην», ὅ ἐστιν ἐδέοντο, «σημάντορος». Καὶ οὕτω κατὰ ἄρσιν εἰπὼν ἐπάγει θέσιν γοργήν, τὸ «αἶψα γὰρ εὗρεν».

2.547 Οὔτε γὰρ τὸν ποιητὴν ἐχρῆν ἐν κενοῖς χρόνον τρίβειν οὔτε τὸν Ἕκτορα εἰκὸς ἦν μὴ ταχὺ εὑρεῖν ὃν ἐζήτει. Γλυκέως δὲ ὡς ἐπὶ λογικῶν ἐρρέθη σημάντωρ ὁ ἡνίοχος. κυρίως γὰρ σημαίνειν ἐπὶ ἀνθρώπων, οἷον «μὴ γὰρ ἔμοιγε σήμαινε». Εἰ δὲ καὶ ἵπποι σήμασι πείθονταί τισιν, οὐκ ἀπᾴδει οὐδὲ ἐπ' ἐκείνων ἡ λέξις. (v. 133) Ὅτι Διομήδης βουληθεὶς μὲν πρὸ ὀλίγων Ἕκτορι μονομαχῆσαι, κλήρῳ δὲ τότε ἀποσφαλείς, ἐφιλοτιμήσατο νῦν ἀναπληρῶσαι τὸ ἐλλεῖψαν καὶ πάντων φευγόντων διὰ τὰς διοσημίας αὐτός, ὡς ἐρρέθη, ἔμεινεν ὁρμῶν κατὰ Ἕκτορος. ἀλλ' ὁ τότε δυσκληρήσας δυσπραγεῖ καὶ νῦν διὰ τὸν Δία, ὃς καὶ ἐπ' αὐτῷ βροντῶν καὶ κεραυνοβολῶν μόλις ἐπέχει αὐτὸν τῆς ὁρμῆς, τολμῶντα οὐ κατὰ πυρὸς ἁπλῶς, ὡς ἡ παροιμία φησίν, ἀλλὰ κατὰ οὐρανίου πυρός. Καὶ ἰδοὺ αἰγὶς δεινὴ αὕτη Διὸς ἀλληγορουμένη, ὅ ἐστι καταιγίς, δι' ἧς ἄνωθεν κινουμένης ἵπποι τε καὶ ἄνδρες ὑποπτήσσουσιν. (v. 133—7) Ἐρεῖ γὰρ ὅτι «βροντήσας δ' ἄρα δεινὸν ἀφῆκεν ἀργῆτα κεραυνόν, κὰδ δὲ πρόσθ' ἵππων Διομήδεος ἧκε χαμᾶζε, δεινὴ δὲ φλὸξ ὦρτο θεείου καιομένοιο. τὼ δ' ἵππω δείσαντε καταπτήτην», ὅ ἐστι κατεπτηξάτην, «ὑπ' ὄχεσφι. Νέστορα δ' ἐκ χειρῶν φύγεν ἡνία φοινικόεντα» ἢ «σιγαλόεντα», τουτέστιν, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, κατεστιγμένα πρὸς κάλλος, ἐλλείψει τοῦ τ , ἢ ἁπαλὰ καὶ μὴ ψοφοῦντα, ἢ σιγὴν ποιοῦντα τῷ βλέποντι διὰ τὸ εὖ πεποιῆσθαι, ὅθεν καὶ οἶκοι σιγαλόεντες, οἳ ἄλλως ἠχήεντα δώματα λέγονται [σχήματι ἀντιθετικῷ. Τοιοῦτον γὰρ πάντως τό, σιγαλόεντα δώματα, καὶ αὖ πάλιν ἠχήεντα.] Ἀστείως δὲ εἴρηται ὥσπερ ἀλλαχοῦ τὸ «ποῖόν σε ἔπος φύγεν», οὕτως ἐνταῦθα τὸ φυγεῖν ἐκ χειρῶν τὰ ἡνία, ὡς εἴπερ ἔμψυχά τινα ἦσαν. (v. 138) Αἴτιον δὲ νῦν τὸ δέος, ἐκλῦσαν τὰ νεῦρα. ὅθεν ἐπάγει «δεῖσε δ' ὅ γ' ἐν θυμῷ». (v. 132—4) Σημείωσαι δὲ ὅτι αὐξάνει τὸ τοῦ Διομήδους μένος καὶ θάρσος ἐνταῦθα ὁ ποιητής, εἴπερ οὐκ ἂν ἔφυγεν, «εἰ μὴ ἄρ ὀξὺ νόησε» Ζεύς, βροντήσας δὲ ἀργῆτα κεραυνὸν πρὸ τῶν τοῦ Διομήδους ἵππων ἀφῆκεν ἢ καθῆκεν. ἄμφω γὰρ αἱ λέξεις κυρίως ἐνταῦθα κείσονται. (v. 130 s.) Ὡς πρίνγε τὰ ἐκ Διὸς ἐλθεῖν δείματά φησιν, ὅτι «ἔνθα κε λοιγὸς ἔην καὶ ἀμήχανα ἔργα γένοντο, καὶ νύ κε σήκασθεν κατὰ Ἴλιον ἠΰτε ἄρνες», οἱ Τρῶες δηλαδὴ παρὰ τοῦ Διομήδους διωκόμενοι, ἅπερ σημείωσαι ὅτι ἐσίγησεν ὁ ποιητὴς ἢ συγκατασπεύδων τοῖς πραττομένοις τὴν φράσιν ἢ διὰ τὸ ἔκδηλον.

2.548 Καὶ ὅρα ὅτι οὓς εἴκασεν ἐν ἄλλοις πρὸς ὄϊς βοώσας ἐν αὐλῇ ἀνδρὸς πολυθρέμμονος, ἐνταῦθα ὡς ἄρνας φησὶ κατὰ Ἴλιον σηκάσεσθαι ἄν. Λέγεται δὲ τὸ σηκάζεσθαι κατὰ τοὺς παλαιοὺς οὐχ' ἁπλῶς ἐπὶ πάντων θρεμμάτων, ἀλλὰ κυρίως ἐπὶ ἀρνῶν, καὶ σηκὸς ὁ τόπος τῆς αὐτῶν στάσεως, εἰ καὶ οἱ μεθ' Ὅμηρον, ὡς καὶ ἑτέρωθι δηλοῦται, καὶ ἐπὶ ναοῦ τὴν λέξιν ἔθεντο τοῦ σηκοῦ, εὐλόγως ποιοῦντες. Σημείωσαι δὲ ὡς εἰπὼν ὁ ποιητὴς ἐπὶ Τρώων τὸ σηκάσεσθαι ἀντὶ τοῦ ἐγκλεισθῆναι τῇ πόλει καὶ τῇ λέξει παραχρησάμενος τολμηρότερον θεραπεύει αὐτίκα συνήθως διὰ συντόμου παραβολῆς τῆς «καθὰ ἄρνες». Ὅρα δὲ καὶ ὅτι ἀνδρίας ἐνταῦθα συζυγείσης οἷον τῇ φρονήσει, καθὰ καὶ ἐν τῇ ε' ῥαψῳδίᾳ, μεγάλα ἔργα ἐγένοντο, καὶ ὡς ἀλλήλους ὁ ἀνδρεῖος Διομήδης καὶ ὁ συνετώτατος Νέστωρ περιεσώσαντο, συμφερτῆς καὶ ἐπ' αὐτῶν γενομένης ἀρετῆς. Τοῦ δὲ δεινὰ τὸν κεραυνὸν καὶ τὴν φλόγα εἶναι πίστις τὸ δέος τῶν ἵππων καὶ τὸ δεῖσαι τὸν Νέστορα οὐχ' ἁπλῶς ἀλλ' ἐν θυμῷ. Ἔστι δὲ διασαφητικὸν τοῦ «δαιόμενον σέλας» ἡ φλὸξ αὕτη τοῦ κεραυνοῦ. Ἐν δὲ τῷ θεείου πλεονάζει μὲν τὸ ε , λείπει δὲ τὸ ως . ὤφειλε γὰρ εἰπεῖν ὡς θείου καιομένου. ἔνθα γὰρ κεραυνὸς πέσῃ, ἐκεῖ ὡσανεὶ θείου καιομένου ὄζει. Τοῦτο δέ, ὡς καὶ ἐν τῇ Ὀδυσσείᾳ δηλοῦται σαφέστερον, διὰ τὴν ὕλην γίνεται τοῦ κεραυνοῦ, ἀναθυμίασιν οὖσαν ξηρὰν καὶ καπνώδη. [Ἢ καὶ ἄλλως τὸ «ὡς θεείου» εἶπεν οὐ διὰ τὴν ὀδμήν, ἀλλὰ διὰ τὸ οἷα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰκός οὐκ αὐτόχρημα φλόγεον τοῦ κεραυνοῦ ὡς καὶ ἀκοντίζεσθαι ὑψοῦ, ταπεινούμενον δέ, ὡς εἰ καὶ θέειον ἐφλογοῦτο. Παραβολικὸν δὲ τὸ «θεείου καιομένοιο», ἀντὶ τοῦ ὡς θεαφίου ἐκπυρωθέντος. Καὶ ἔστιν ἡ τούτου γοργότης, ἔτι δὲ καὶ ἔλλειψις, κατὰ τὸ «ἐμάχοντο δέμας πυρός», ἤγουν ὡς πῦρ. Παραβολικῶς γὰρ καὶ ἐκεῖνο ἔχει.] (v. 136) Τὸ δὲ «καταπτήτην» συγκέκοπται καὶ αὐτό, καθὰ πρὸ ὀλίγων τὸ κιχήτην.

2.549 Ἰστέον δὲ καὶ ὅτι τὸ «ἔνθα κε λοιγὸς ἔην» καὶ τὰ ἑξῆς τῶν εἰρημένων, χρήσιμα εἰς γραφὴν καὶ κατὰ παραποίησιν καὶ κατὰ Ὁμηρικὴν φράσιν τιθέμενα. (v. 139—44) Ὅτι προτροπὴ ἐλλόγου φυγῆς καὶ παραμυθία ἥττης τὸ «ἄγε δ᾽ αὖτε φόβονδ᾽ ἔχε μώνυχας ἵππους. ἢ οὐ γινώσκεις ὅ τοι ἐκ θεοῦ οὐχ᾽ ἕπεται ἀλκή; νῦν μὲν γὰρ τούτῳ θεὸς κῦδος ὀπάζει σήμερον, ὕστερον αὖτε καὶ ἡμῖν, αἴκ᾽ ἐθέλῃσι, δώσει. ἀνὴρ δέ κεν οὔ τι θεοῦ νόον εἰρύσαιτο οὐδὲ μάλα ἴφθιμος, ἐπεὶ πολὺ φέρτατός ἐστιν», [ὃ δὴ κατασκευή ἐστι τοῦ «αἴκ᾽ ἐθέλῃσιν». ἐθέλων γάρ, φησί, δώσει κῦδος, οὐ μὴν ὑπὸ θνητοῦ τινὸς βιασθείς.] Γνωμικῶς δὲ ταῦτα εἴρηκε πρὸς Διομήδην ὁ Νέστωρ. Ἔστι δὲ τὸ μὲν «φόβονδ᾽ ἔχε» ἀντὶ τοῦ εἰς φυγὴν ἔλαυνε, ὡς τοῦ ἔχειν καὶ ἐπὶ ἐλάσεως ἱππικῆς πολλαχοῦ νοουμένου διὰ τὸ δέον εἶναι τὸν ἐλαύνοντα οὕτως ἢ οὕτως ἐπέχειν τοὺς ἵππους ἢ ἔχειν τὰ χαλινά. (v. 140) Τὸ δὲ «οὐχ᾽ ἕπετ᾽ ἀλκή» ἀστείως ἔχει. Ἐθέλει γὰρ εἰπεῖν ὡς, ἐπεὶ ἐθέλουσιν ἡμῖν διώκειν τὸν Ἕκτορα οὐκ ἐπακολουθεῖ θεόθεν ἰσχύς, στρεπτέον τοὺς ἵππους εἰς φυγήν. (v. 142) Τὸ δὲ «σήμερον» τοῦ νῦν ἐστὶ συνήθως διασαφητικόν, ἵνα μὴ ἀχθεσθῇ ὁ Διομήδης νοήσας πλατικῶς τὸ «νῦν κῦδος ἔσται τῷ Ἕκτορι». Οὐ γάρ μοι πολλάς, φησίν, ἡμέρας δηλοῖ τὸ νῦν, ἀλλὰ μόνην τὴν σήμερον. (v. 143) Τὸ δὲ «εἰρύσαιτο» ἀντὶ τοῦ μεθελκύσει ἢ κωλύσει. (v. 139) Ἰστέον δὲ ὅτι ἐκ τοῦ «φόβονδ᾽ ἔχε», ἤτοι, ὡς ἐρρέθη, ἔλαυνε εἰς φυγήν, ὥρμηται τὸ λέγεσθαι τὸν παραιβάτην ἡνίοχον, ὡς αὐτοῦ δὴ τοῦ παραιβάτου εἰς φυγὴν καὶ δίωξιν δοκοῦντος ἐλαύνειν τῷ πρὸς τὸν ἡνίοχον ἐπιτάγματι. Ἐνάγει δὲ εἰς τοῦτο καὶ τὸ ἐφεξῆς, ἔνθα λέγει ὡς μερμήριξε Τυδείδης ἵππους τε στρέψαι καὶ ἐναντίβιον μαχέσασθαι. Ἡνιόχου μὲν γὰρ τὸ στρέφειν ἵππους. οὐκ ἂν δὲ αὐτὸ γένηται, μὴ τοῦ παραιβάτου τῷ ὑφηνιόχῳ ἐγκελευσαμένου. Ἴσως δὲ καὶ θεραπεύει οὕτως ὁ Νέστωρ, ὃ μὴ καλῶς ἤδη πεποίηκε. Φθάσας γὰρ παραινέσαι τὸν ἐξ οἰκείου ἅρματος ἀναβάντα εἰς ἕτερον πολεμεῖν, οὐ μὴν ἡνιοχεῖν, αὐτὸς δὲ ἄρτι ἐπὶ ἅρματος τοῦ Διομήδους οὐ πολεμῶν, ἀλλὰ ἡνιοχῶν, προβάλλεται τὸν Διομήδην εἰς ἡνιοχείαν, εἰπὼν τὸ «φόβονδ᾽ ἔχε ἵππους», ὡς εἴρηται, ἵν᾽ οὕτως ἡνίοχος ὁ Διομήδης εἴη, οὐ μὴν αὐτός.

2.550 (v. 146—50) Ὅτι ὁ συγκαταθέμενος γεροντικοῖς λόγοις εἴποι ἂν «ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπες». Λυπουμένου δὲ τὸ «ἀλλὰ τόδ᾽ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει». Μῖσος δὲ δηλοῖ καυχήσεως ἐχθροῦ τὸ «ὥς ποτ᾽ ἀπειλήσει», ἤγουν καυχήσεται, «τότε μοι χάνοι εὐρεῖα χθών», ὃ καὶ ἀλλαχοῦ εἴρηται. (v. 150) Ὡς δὲ ἀπειλὴ καὶ τὸ καύχημα λέγεται καὶ ἀπειλεῖν τὸ αὐχεῖν, οὐκ ἔστιν ἀμφιβαλεῖν. Γίνεται δὲ καὶ ἡ τοιαύτη λέξις παρὰ τὴν ἀπο πρόθεσιν καὶ τὸ εἱλεῖν. Ἀποστρέφεται γὰρ ὁ καυχώμενος τοὺς ὑπερηφανευομένους, καθὰ καὶ ὁ ἄλλως λόγοις τοῖς πρὸς ὀργὴν ἀπειλούμενος. Ὁ μέντοι εὐχόμενος ἀπειλεῖσθαι καὶ αὐτὸς λέγεται παρὰ τὰς ἱεράς, φασί, πέλλας ἤτοι φιάλας, αἷς χρῶνται οἱ θεοκλυτοῦντες, πλεονάσαντος ἐκεῖ τοῦ α , ἵνα ᾖ ἀπελή, ἡ εὐχή, καὶ ἐπενθέσει τοῦ ι ἀπειλή. Δῆλον δὲ ἐκ τῶν τῆς Ὀδυσσείας, ὡς πέλλαι οὐχ᾽ ἁπλῶς αἱ φιάλαι ἀλλ᾽ αἱ πελεκηθεῖσαι (v. 148—50) Ὅτι Διομήδης μὲν αἰδεῖται φυγεῖν, λογιζόμενος ὡς ἄρα, οἷα εἰκός, «Ἕκτωρ δή ποτε φήσει ἐνὶ Τρώεσσιν ἀγορεύων· Τυδείδης ὑπ᾽ ἐμοῖο φοβεύμενος», ἤτοι οὐχ᾽ ὑπὸ Διός, ἀλλ᾽ ἐμοῦ φεύγων, «ἵκετο νῆας». καὶ ἐπεύχεται τότε θανεῖν, εἰπών, ὡς εἴρηται, προσεχῶς τὸ «ὥς ποτ᾽ ἀπειλήσει» καὶ ἑξῆς. Καὶ οὕτω μὲν ὁ Διομήδης ὀκνεῖ φυγεῖν, μέγα φρονῶν, ὡς πρέπον ἥρωϊ. (v. 151—8) Ὁ δὲ ῥήτωρ Νέστωρ ἀνθυπάγει ἀντιπαραστατικῶς «ὢ μοι Τυδέος υἱὲ δαΐφρονος, οἷον ἔειπες. εἴπερ γάρ ς᾽ Ἕκτωρ γε κακὸν καὶ ἀνάλκιδα φήσει, ἀλλ᾽ οὐ πείσονται Τρῶες καὶ Τρώων ἄλοχοι

μεγαθύμων ἀσπιστάων, τάων ἐν κονίῃσι βάλες», ἤγουν ἔθου, ἔρριψας, «θαλεροὺς παρακοίτας». Καὶ εὐθὺς ὁ Νέστωρ, καὶ ταῦτα Διομήδους οὐ κατανεύσαντος, ὅπερ καὶ σημείωσαι, «φύγαδ' ἔτραπε μώνυχας ἵππους αὖτις ἀν' ἰωχμόν», ἤγουν ὀπίσω, ἔνθα ἦν ἡ τῶν λοιπῶν Ἀχαιῶν δίωξις, ὥστε εἰ καί τι μεμπτέον τὸν ἥρωα ὡς φυγόντα, τῷ Νέστορι ἐπιγραπτέον τὸ αἴτιον. Ἰστέον δὲ ὡς εἶχε μὲν ὁ σοφὸς Νέστωρ καὶ ἐνστατικῶς εἰπεῖν, ὡς οὐκ ἂν ὁ Ἕκτωρ ἀλαζονεύσηται κατὰ Διομήδους.

2.551 ἐπεὶ δὲ φεύγειν σπεύδων οὐκ ἔχει πολυλογεῖν καὶ οὐδὲ θαρρεῖ οὕτως εἰπεῖν, ἀντιπαρίσταται, ὡς εἰ καὶ εἴπῃ ἀλαζονικόν τι, ἀλλ' οὐδένα ἂν πείσοι. (v. 153) Τὸ δὲ «κακὸν καὶ ἀνάλκιδα» ταὐτὸν ἄμφω νοοῦσι, ταὐτολογικῶς ῥηθέντα καὶ νῦν πρὸς διασάφησιν, ἵνα μὴ κακόν τις νοήσῃ τὸν κατὰ ψυχὴν οὐ χρηστόν. Τὸν δὲ ἀνάλκιδα καλῶς ἐνταῦθα εἰπεῖν ἐταμιεύσατο. Εἶχε μὲν γὰρ πρὸ βραχέων ἐν τῷ «οὐδὲ μάλ' ἴφθιμος» εἰπεῖν οὐδὲ μάλ' ἄλκιμος, ὤκνησε δὲ εἰπεῖν ἐκεῖ αὐτό, ἐπεὶ προέκειτο τὸ «οὐχ' ἕπετ' ἀλκή». Φυγὼν οὖν τὸ κάλλος ἔθετο ἐκεῖ μὲν τὸ ἴφθιμος, ἐνταῦθα δὲ τὸ ἄλκιμος. (v. 155) Ὅρα δὲ καὶ ὅτι τὸ «μεγαθύμων ἀσπιστάων» οὐχ' ἁπλῶς παρέρριπται ἀλλὰ πρὸς ἔπαινον, ὡς τοιούτους ἄνδρας ἀνελόντος τοῦ ἥρωος, κάλλους δὲ ποιήσει πρέποντος τὸ «ἀσπιστάων, τάων» ἐοικὸς τῷ «Σαμία μία ναῦς», καὶ τοῖς ὁμοίοις. (v. 156) Τὸ δὲ «ἐν κονίαις βαλεῖν» τὸ κτεῖναι περιέφρασε, καὶ ἄλλως δὲ εἰπεῖν, παλαιστικὴ ἡ φράσις. ἐν πάλῃ γὰρ οἱ ἀγωνισταὶ ἐν κονίαις βάλλονται. Ἴσως δὲ καὶ ταφῆς ἔννοιαν ὁ λόγος ἔχει, ὡς τῶν θνῃσκόντων ὑπὸ χοῦν βαλλομένων. Διὸ καὶ τὸ «θαλερούς» ἔχει τι καὶ οἴκτου. οἰκτρὸν γὰρ τοὺς ἔτι θάλλοντας ὑπὸ κόνιν βαλεῖν. (v. 157) Τὸ δὲ «φύγαδε» ταὐτὸν ὂν τῷ φόβονδε ἐσχημάτισται, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, καθὰ τὸ οἴκαδε. [Ὡς γὰρ οἶκονδε οἴκαδε, οὕτω καὶ φυγήν φύγαδε.] (v. 159) Ὅτι οὐ μόνον πολεμικὸν ἀλλά ποτε καὶ ἄκρας λοιδορίας φραστικὸν ἔσται τὸ «ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο». Βέλη δέ φησιν ὀϊστούς, λίθους, δόρατα, καὶ εἴ τι ἄλλο ἀφίεται μήκοθεν, ὁποῖα Τρῶες καὶ Ἕκτωρ ἀφιᾶσι κατὰ Διομήδους φύγαδε τραπέντος. Τὸ δὲ «χέοντο» πολὺ καὶ νῦν πλῆθος δηλοῖ βελῶν ὡς ἄνωθεν ὄμβρου δίκην χεομένων. Καὶ σημείωσαι ὅτι τὸ παρ' Ἡροδότῳ νέφος βελῶν, ὑφ' ᾧ ὡς ὑπὸ σκιᾷ ἐχρῆν μάχεσθαι, συγγενῶς ἔχει τῇ Ὁμηρικῇ ταύτῃ λέξει. δοκεῖ γὰρ ὡς ἐκ νέφους χέεσθαι τὸ χεόμενον ἄνωθεν. Εἰπεῖν δὲ καὶ ἄλλως, εἰ νέφος παρ' Ὁμήρῳ ἡ τῆς στρατιωτικῆς συντάξεως πυκνότης κατὰ τὸ «νέφος πεζῶν», οὐδὲν καινὸν φάναι, ὡς ἐκ τοιούτων νεφέων βέλεα στονόεντα χέοντο.

2.552 (v. 160—6) Ὅτι Ἕκτωρ φεύγοντα τὸν Διομήδην μεμφόμενος ὀνειδίζει, ὡς μέχρι νῦν πολλὰ τιμώμενος ὑπ' Ἀχαιῶν οὐκ ἔτι ἔσται τίμιος φεύγων οὕτω. Φράζει δ' ἐνταῦθα Ὅμηρος οὕτω «τῷ δ' ἐπὶ μακρὸν ἄϋσε μέγας κορυθαιόλος Ἕκτωρ· Τυδείδη, πέρι μέν σε τίον Δαναοὶ ταχύπωλοι ἕδρῃ τε κρέασίν τε ἰδὲ πλείοις δεπάεσσι, νῦν δέ ς' ἀτιμήσουσι. γυναικὸς ἄρ' ἀντετέτυξο. ἔρρε κακὴ γλήνη, ἐπεὶ οὐκ εἴξαντος ἐμεῖο πύργων ἡμετέρων ἐπιβήσεαι οὐδὲ γυναῖκας ἄξεις ἐν νήεσσι. πάρος τοι δαίμονα δώσω». (v. 162) Καὶ ὅρα κἀν τούτοις ὡς σμικροπρεπῆ τὰ τῶν ἡρώων γέρα, οἷον προεδρία καὶ κρέατα καὶ οἴνου πλήρη ποτήρια. Συντομώτατα δὲ νῦν ἔφρασε διὰ τὸ στενόν τε τοῦ καιροῦ καὶ διότι ἀλλαχοῦ σαφῶς ἡρμήνευκε. Τὸ δὲ «πλείοις δεπάεσσιν» εὐθεῖαν ἔχει τὸ πλεῖον, ὅ ἐστι πλῆρες, οὗ ἀρσενικὸν μὲν ὁ πλεῖος, θηλυκὸν δὲ ἡ πλείη, ὡς τὸ «πλείη μὲν γαῖα κακῶν». Ἁπλᾶ δὲ τούτων ὁ πλέος, ἤτοι γέμων, καὶ τὸ ἐξ αὐτοῦ πλέον. κοινὰ δὲ ταῦτα καὶ παλαιά. ὕστερον γάρ, ἤγουν μεθ' Ὅμηρον, ὁ πλέως, Ἀττικῶς κατὰ ἔκτασιν, καὶ τὸ πλέων ὁμοίως, ὅθεν ὁ ἔμπλεως καὶ τὸ ἔμπλεων, ὃ καὶ αὐτὸ ἡ ποίησις ἐνίπλειον λέγει καινότερον, ὡς τὸ «δῶμα ἐνίπλειον βιότοιο». Τὸ δὲ «ἀτιμῆσαι» ὅτι ἀτιμῶσαι λέγουσιν οἱ μεθ' Ὅμηρον, πολλαχοῦ δηλοῦται. (v. 163) Τὸ δὲ «γυναικὸς ἀντετέτυξο» σκῶμμα μέν ἐστι δειλοῦ, κερτομεῖ δὲ ἀντὶ γυναικὸς γενέσθαι τὸν Διομήδην, ἤγουν ἶσον γυναικί. Καὶ ἔοικε τῷ «Ἀχαιΐδες οὐκέτ' Ἀχαιοί», περὶ οὗ προγέγραπται γλαφυρώτερον. Ἐξ αὐτοῦ δὲ παρὰ Σοφοκλεῖ τὸ «γυναῖκες ἀντ' ἀνδρῶν», ἀντιστρόφως τῷ Ὁμηρικῷ. (v. 164) Τὸ δὲ «ἔρρε κακὴ γλήνη» ῥηθήσεται μὲν πρὸς τὸν

μηδὲ βλέπεσθαι ἄξιον, δηλοῖ δὲ τὸ «κακὴ θέα». Περὶ δὲ τούτου καὶ αὐτοῦ προγέγραπται τὸ ἀρκοῦν, ἔνθα ἐφάνη ὡς μεταληπτικῶς ἡ ἐνταῦθα γλήνη κόρην δηλοῖ, οὐ τὴν κατ᾽ ὀφθαλμὸν ἁπλῶς, ἀλλὰ διὰ μέσης αὐτῆς γυναῖκα παρθενικήν, εἰς ὃ συλλαμβάνεταί τι καὶ τὸ «ἀντὶ γυναικὸς ἐτέτυξο». (v. 163) Ἰστέον δὲ καὶ ὅτι τὸ ἀντὶ γυναικὸς τετύχθαι ἴσως μὲν ἀνόμοιόν ἐστι πρὸς τὸ εἶδος ἀγητόν τινα εἶναι, ἴσως δὲ ὅμοιον, κατὰ τὸ «Ἀχαιοὶ εἶδος ἀγητοί».

2.553 (v. 164 s.) Τὸ δὲ «οὐκ εἴξαντος ἐμοῦ πύργων ἡμετέρων ἐπιβήσῃ» σεμνύνων ἑαυτὸν ὁ Ἕκτωρ φησίν, ὡς αὐτοῦ δὴ καὶ μόνου πολιουχοῦντος ἐν τοῖς Τρωσί. (v. 165 s.) Τὸ δὲ «οὐδὲ γυναῖκας ἄξεις» δοκεῖ ἀστείως εἰρῆσθαι, ὡς μὴ δυνατὸν ὂν τὸν ἀντὶ γυναικὸς τετυγμένον γυναῖκας ἀριστέων εἰς αἰχμαλωσίας ἀπάγειν. Καὶ ἄλλως δέ, τὸν Πάριν πλαγίως ὑπερτίθησι τοῦ Διομήδους, ὡς ἐκείνου μὲν καὶ τὴν Ἑλένην καὶ ἄλλας ἐξ Ἑλλάδος ἀγαγόντος, τοῦ δὲ Διομήδους οὐ δυνησομένου τοιοῦτόν τι. [Ἴσως δὲ καὶ τοῦ Νέστορος ἐθέλει λεληθότως καθάψασθαι, οἷα μαθών, ὡς εἰκός, βουλεύσασθαί που τὸν γέροντα τοῖς Ἀχαιοῖς μὴ ἐθελήσειν αὐτοὺς οἴκοι νοστῆσαι πρίν τινα πὰρ Τρώων ἀλόχῳ κατακοιμηθῆναι.] (v. 166) Δαίμονα δὲ δώσειν φησί, κακὸν δηλαδή, λαβὼν τὸ κακὸν ἀπὸ κοινοῦ ἐκ τοῦ κακὴ γλήνη, μᾶλλον δὲ ἀφεὶς ἀναλόγως τῇ ἀπειλῇ νοηθῆναι τὴν λέξιν, μέσην καὶ αὐτὴν οὖσαν, καθὰ καὶ ἡ μοῖρα καὶ ἡ τύχη καὶ ὁ πότμος. Μέσως δέ πως εἴρηται τὸ δαίμονα, δηλοῦν οὐ μόνον θάνατον, ἀλλὰ καὶ ἑτεροίαν τινὰ τύχην. οὐ γὰρ οὕτως ἄφρων ὁ Ἕκτωρ, ὡς ἀποφαίνεσθαι περὶ τῶν μὴ ἐπ᾽ αὐτῷ. [Ἐντεῦθεν δὲ ἴσως οἱ πολλοὶ τὸν θροήσαντά τινας ἐπὶ ἐκπλήξει δαίμονα δοῦναι τοῖς τεθαμβημένοις φασί.] Σημείωσαι δὲ ὅτι κατ᾽ ἦθος θυμικὸν πλεονάζει ἐνταῦθα ὁ Ἕκτωρ τοῖς κατὰ κόμματα συχνὰ νοήμασιν. (v. 169—71) Ὅτι ὀνειδίσαντος, ὡς ἐρρέθη, τοῦ Ἕκτορος, διάνδιχα μερμήριξε Διομήδης ἵππους τε στρέψαι καὶ ἐναντίβιον μαχέσασθαι, ἀχθόμενος, ὡς προείρηται, καὶ αἰδούμενος. (v. 167 s.) «Τρὶς μὲν μερμήριξε κατὰ φρένα καὶ κατὰ θυμόν, τρὶς δ᾽ ἂρ ἀπ᾽ Ἰδαίων ὀρέων κτύπε μητίετα Ζεὺς σῆμα τιθεὶς Τρώεσσι, μάχης ἑτεραλκέα νίκην». καὶ οὕτω Διομήδης μὲν ἄπεισιν. (v. 172—6) Ἕκτωρ δὲ τὴν ἐκ Διὸς γνοὺς ῥοπὴν ἄλλα τε λέγει ὀτρύνων τοὺς ὑπ᾽ αὐτὸν εἰς μάχην καὶ τὸ «γινώσκω δ᾽ ὅτι μοι πρόφρων κατένευσε Κρονίων νίκην καὶ μέγα κῦδος, ἀτὰρ Δαναοῖσί γε πῆμα». (v. 177—83) Εἶτα καὶ ἐπαρθεὶς τούς τε Ἀχαιοὺς ἐξουθενοῖ καὶ τοῦ τείχους καταλέγει καὶ ἀπειλεῖται εἰπὼν «νήπιοι, οἳ ἄρα δὴ τάδε τείχεα μηχανόωντο, ἀβληχρά, οὐδενόσωρα· τὰ δ᾽ οὐ μένος ἁμὸν ἐρύξει, ἵπποι δὲ ῥέα τάφρον ὑπερθορέονται ὀρυκτήν. ἀλλ᾽ ὅτε δὴ ἐπὶ νηυσὶ γένωμαι, μνημοσύνη τις ἔπειτα πυρὸς δηΐοιο γενέσθω, ὡς πυρὶ νῆας ἐνιπρήσω, κτείνω δὲ καὶ αὐτοὺς Ἀργείους ἀτυζομένους περὶ καπνῷ», ἤγουν ὑπὸ καπνοῦ. Οὕτω μεγαλόφρων ὁ Ἕκτωρ καὶ θρασὺς καὶ φέρειν μετρίως εὐτυχίαν οὐκ εἰδώς.

2.554 (v. 175 s.) Ὅρα δὲ ἐν τούτοις φανερῶς ἡρμηνευμένην τὴν καὶ ἀλλαχοῦ δηλωθεῖσαν κατάνευσιν τοῦ Διός. Ὡς γάρ που ἔφη ὁ Νέστωρ κατανεῦσαι τὸν ἀέρα Δία ἐναίσιμα σήματα φαίνοντα, οὕτω κἀνταῦθα Ζεὺς τοῖς Τρωσὶ σῆμα τίθησι μάχης, κτυπῶν ἄνωθεν καὶ οὕτω δηλῶν ἑτεροκλινῆ νίκην, ὃ δὴ κατανεῦσαι νίκην τὸν Δία φησί. Καὶ ἰδοὺ κατάνευσις καὶ νῦν Διὸς τὸ ἄνωθεν σῆμα, ὅπερ πῆμα τοῖς Ἀχαιοῖς ὁ ποιητὴς εἶναι ἀστείως φησίν, ἐν ἀρχῇ μὲν στίχου θέμενος τὸ σῆμα, ἄλλον δέ τινα στίχον περατώσας εἰς τὸ πῆμα. Ἐρεῖ δὲ καὶ μετ᾽ ὀλίγα ὁ ποιητής, ὡς ἔνευσεν ὁ Ζεὺς λαὸν σόον εἶναι πέμψας αἰετόν, ὃν καὶ ὄρνιν ἐρεῖ ὡς σημαντικὸν μέλλοντος, καθὰ καὶ ἐν τοῖς ἑξῆς που φανήσεται. (v. 168) Ἰστέον δὲ ὅτι τὸ μὲν ἵππους τε στρέψαι καὶ ἐναντίβιον μαχέσασθαι οὐκ ἔστι τελεία διασάφησις τοῦ διάνδιχα μερμηρίξαι. οὐ γὰρ εἶπεν ἢ ἵππους στρέψαι ἢ μαχέσασθαι—ἀδιανόητον γὰρ στρέψαι ἵππους τὸν ἤδη στρέψαντα εἰς φυγήν—, ἀλλ᾽ ἕν τι δηλοῦσι ἀμφότερα, ἤγουν τὸ στραφῆναι καὶ ἀντιστῆναι τῷ διώκοντι. τὸ δέ γε ἕτερον μέρος τοῦ διάνδιχα, ὅπερ ἦν τὸ προτροπάδην φεύγειν ἀφιέντα τὸν Ἕκτορα κομπάζειν, σεσίγηκεν ὁ ποιητὴς καὶ ὡς δῆλον καὶ διὰ τὸ οὐκ εὔφημον καὶ διὰ συντομίαν. (v. 169) Τὸ δὲ «μερμήριξε» καιρία ποιητικὴ λέξις ὃν ἐπιμονὴν κἀνταῦθα πεποίηκε. (v. 170) Τὸ δὲ «ἀπ᾽ Ἰδαίων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀρέων ἔκτυπε» τοῦ ἐβρόντησέν ἐστι περίφρασις. (v. 171) Ἐν δὲ τῷ «σῆμα τιθεὶς μάχης ἑτεραλκέα νίκην» τὸ μάχης δύναται καὶ εἰς τὸ σῆμα κεῖσθαι καὶ εἰς τὴν νίκην. ὀρθὸν γὰρ καὶ μάχης εἰπεῖν σῆμα καὶ μάχης ἑτεραλκέα νίκην. (v. 177) Τὸ δὲ «νήπιοι» ὤφειλε μὲν κατὰ δοτικὴν φρασθῆναι ἀκολούθως τῷ «πῆμα Δαναοῖς», εἴρηται δὲ ὅμως καινότερον καὶ αὐτὸ κατ' εὐθεῖαν ἀποστατικῶς, ὡς ἀπὸ ἀρχῆς, ἵνα λέγῃ ὅτι νήπιοί εἰσιν οἱ Ἀχαιοί. (v. 178) Ἀβληχρὰ δὲ τείχη τὰ ἀσθενῆ. καὶ κεῖται ἡ λέξις πολλαχοῦ, καὶ μάλιστα ἐπὶ σαρκῶν. Ἐν δὲ τοῖς Ἡροδώρου καὶ Ἀπίωνος φέρεται, ὅτι Ἡρακλείδης μὲν ὁ Μιλήσιος βαρύνει τὴν λέξιν, λέγων ὡς βληχρόν ἐστι τὸ ἰσχυρόν, καὶ ἐν συνθέσει ἄβληχρον ὡς ἄκακον. ἡ δὲ παράδοσις ὀξύνει. Βληχρὸν γὰρ τὸ ἀσθενές, ὡς Ἀλκαῖος «βληχρῶν ἀνέμων ἀχείμαντοι πνοαί», καὶ Νίκανδρος «βληχρὸν μυὸς οἷα μυληβόρου ἐν χροῒ νύγμα». ἐν τούτῳ πλεονάσαν τὸ α φυλάσσει τὸν αὐτὸν τόνον, ὡς καὶ ἐν τῷ λαλητός ἀλαλητός, στεροπή ἀστεροπή.

2.555 οὐκ ἐκεῖνο μέντοι διηνεκές, φασί, λέγομεν, ὅτι ὁ πλεονασμὸς τοῦ α φυλάσσει τὸν αὐτὸν τόνον ἀεί. οἴδαμεν γὰρ τὸ γαῦρος ἄγαυρος, στάχυς ἄσταχυς. καὶ οὕτω μὲν περὶ τούτου αὐτοί. Τὸ δὲ «οὐδενόσωρα» προπαροξύνεται μὲν ὡς τὸ κυνόσουρα, δηλοῖ δὲ τὰ οὐδεμιᾶς ὥρας, ὅ ἐστι φροντίδος, ἄξια. Μένος δὲ ἁμὸν ἤθελε μὲν εἰπεῖν ἐμόν, μὴ ἔχων δὲ ποιῆσαι οὕτω διὰ τὸ μέτρον ἔθηκε τὸ ἁμόν ἀντὶ τοῦ ἡμέτερον, τρέψας τὸ ἰδικὸν εἰς τὸ κοινόν. (v. 179) Τάφρος δὲ ὀρυκτὴ ἡ εὖ ὀρωρυγμένη, λείποντος τοῦ εὖ, ὡς καὶ ἐν ἄλλοις, ἢ πρὸς διαστολὴν τῶν μὴ ὀρυκτῶν, αἳ καὶ κυρίως λέγονται τάφροι ἀπὸ τοῦ ἔτραφον. οὗ ἐνεστὼς τρέφω, ὅθεν τράφος ἰδιωτικῶς, εἶτα καὶ τάρφος, τὸ δάσος, καὶ ὀρυκτὴ τάφρος κατὰ μετάθεσιν, ἡ ἔχουσα πόας τρέφειν δυναμένας διὰ τὸ χειμαρρῶδες τοῦ ῥωχμοῦ. Τινὲς μέντοι τὸ πρὸ τῶν τειχέων ὄρυγμα τάφρον καλεῖσθαί φασιν ἀπὸ τοῦ ἀφαιρεῖσθαί τι αὐτῆς ἀναγκαίως ἐν τῷ ὀρύσσεσθαι, ἵνα ᾖ ἄφαιρος καὶ ἐν συγκοπῇ καὶ πλεονασμῷ τοῦ τ τάφρος. Ἐνταῦθα δὲ πολὺ τὸ τοῦ Ἕκτορος ἀλαζονικόν, εἰ καὶ τὴν εὐρεῖαν τάφρον ὑπερθορεῖν τοὺς ἵππους θαρρεῖ, οὓς ἐν τοῖς ἑξῆς ἐπ' ἄκρῳ χείλει ἑστῶτας ἡ τάφρος ἀποδειδίσσεται. (v. 181) Μνημοσύνη δὲ ἡ μνήμη, καὶ συντελεῖ τοῦτο εἰς ἀλληγορίαν τῆς τῶν Μουσῶν μητρός, Μνημοσύνης. Τὸ δὲ «πυρὸς δηΐου» διαστέλλει τὸ παρὸν πῦρ πρὸς τὰ λοιπὰ πυρά, ἐν οἷς καὶ τὸ θυτικὸν καὶ τὸ γαμήλιον καὶ τὸ ἐν θήραις καὶ τὸ φρυκτωρικόν. (v. 182) Τὸ δὲ «πρήσω» ἐκ τοῦ πῦρ γίνεται, ἀφ' οὗ ἐμπυρίσω καὶ ἐν συγκοπῇ ἐμπρήσω, ἐν ἑτεροίᾳ γραφῇ καθ' ὁμοιότητα τοῦ διαχειρίσασθαι διαχρήσασθαι. [Σαφέστερον δὲ εἰπεῖν, ἐκ τοῦ πῦρ πυρός γίνεται μετὰ τῆς εν προθέσεως ἐντελὲς τὸ ἐμπυρίζω, οὗ ὁ μέλλων ἐμπυρίσω.

2.556 ἐκ δὲ τοῦ αὐτοῦ πυρός γίνεται καὶ περισπώμενον τὸ πυρῶ, καὶ ἐν συγκοπῇ πρῶ, οὗ μέλλων πρήσω διὰ τοῦ η ἐξ ἀνάγκης. ἐκ δὲ τοῦ εἰρημένου πρῶ παραγώγως μὲν τὸ πρήθω, ἐν δὲ ἀναδιπλασιασμῷ καὶ ἐνθέσει τοῦ ν πιμπρῶ, τὸ καίω. καὶ τοῦτο μὲν τοιοῦτον. Ἐκ δὲ τοῦ χείρ χειρός γίνεται ὁμοίως καὶ τὸ διαχειρίζω κατὰ ἐντέλειαν, ὅθεν τὸ διαχειρίσασθαι, καὶ τὸ διαχρῶ, ἀφ' οὗ τὸ διαχρήσασθαι. καὶ ἰδοὺ συγκοπαὶ αὗται ἀλλάξασαι πρωτοτύπους συζυγίας.] Εἰ δέ τις ἐνταῦθα ἐνθυμηθῇ καὶ τὸ ἀόργητος καὶ ἀοργησία, τὰ ἐκ τοῦ ὀργίζω γινόμενα, ἔχοι ἄν τι καὶ τοῦτο παρασημειώσεως ὁμοίας ἄξιον, [πλὴν ὅσον οὐ συγκοπὴ ἐνταῦθα ἐποίησεν ἀλλαγὴν συζυγίας, ἀλλὰ σύνθεσις. τὸ μὲν γὰρ ἁπλοῦν ὀργίζω βαρυτόνως, τὸ δὲ ἀπ' αὐτοῦ σύνθετον δοκεῖ ἀοργῶ εἶναι καὶ ἀπ' αὐτοῦ παρῆχθαι, ὥσπερ τὸν ἀόργητον, οὕτω καὶ τὴν ἀοργησίαν. Τοιοῦτον δέ τι γίνεται καὶ ἐπὶ τοῦ χειρίζω, ἐγχειρῶ, καὶ σκοτίζω, ἐπισκοτῶ, καὶ κακίζω, ἐκκακῶ.] Ἰστέον δὲ καὶ ὅτι παρὰ Ἡροδότῳ πυρῶσαι κεῖται τὸ ἐμπρῆσαι ἐν τῷ «πυρώσω τὰς Ἀθήνας». [Κεῖται δὲ ἡ λέξις καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «ἀμφικίονας ναοὺς πυρώσων ἦλθεν», ἤγουν καύσων. Ἔνθα ναοὶ ἀμφικίονες ἐρρέθησαν οἱ, ὡς καὶ μέχρι νῦν ἐνιαχοῦ φαίνεται, κύκλῳ ὑπὸ κιόνων περιεχόμενοι, ταὐτὸν δ' εἰπεῖν, κυκληδόν, ὃ κεῖται παρὰ τοῖς παλαιοῖς.] (v. 184—97) Ὅτι ἐνθουσιῶν οἷον ὁ Ἕκτωρ ἐφ' οἷς ἄρτι ἐθάρρησεν, ἢ καὶ ἀφελῶς λαλῶν, ἐγκελεύεται τοῖς ἵπποις ὡς εἴπερ ἦσαν λογικοὶ «Ξάνθε τε καὶ σὺ Πόδαργε καὶ Αἴθων Λάμπε τε

δῖε, νῦν μοι τὴν κομιδὴν ἀποτίνετον, ἣν μάλα πολλὴν Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος, ὑμῖν πὰρ προτέροισι μελίφρονα πυρὸν ἔθηκεν οἶνόν τ᾽ ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγει, ἢ ἐμοί, ὅς πέρ οἱ θαλερὸς πόσις εὔχομαι εἶναι. ἀλλ᾽ ἐφομαρτεῖτον καὶ σπεύδετον, ὄφρα λάβωμεν ἀσπίδα Νεστορέην, τῆς νῦν κλέος οὐρανὸν ἵκει πᾶσαν χρυσείην ἔμμεναι, κανόνας τε καὶ αὐτήν, αὐτὰρ ἀπ᾽ ὤμοιϊν Διομήδεος ἱπποδάμοιο δαιδάλεον θώρηκα, τὸν Ἥφαιστος κάμε τεύχων.

2.557 εἰ τούτω κε λάβοιμεν, ἐλποίμην ἂν Ἀχαιοὺς αὐτονυχεὶ νηῶν ἐπιβησέμεν ὠκειάων». Τοιαῦτα καὶ ταῦτα τὰ τοῦ Ἕκτορος οὐ μακρὰν εὐηθείας εἰρημένα, οἷς ὡς πρὸς νοοῦντας τοὺς ἵππους λαλῶν τροφεῖά τε ἀπαιτεῖ—Τοῦτο γὰρ δηλοῖ τὸ τὴν κομιδὴν ἀποτίνειν. —, καὶ κοινοῦται τὸ ἀριστεῖον αὐτοῖς ἐν τῷ «ὅπως λάβωμεν ἀσπίδα καὶ θώρακα». (v. 185) Τῶν δὲ παλαιῶν οἱ μὲν τὰς τέσσαρας τῶν ἵππων κλητικὰς μίσγοντες εἰς δύο συναλείφουσι συζυγίας καὶ ξυνωρίδας ποιοῦσιν ἵππων, δύο νοοῦντες ὀνόματα ἐπίθετα, κείμενα δυσὶν ὀνόμασιν ἵππων κυρίοις, οἷον λόγου χάριν «Ξάνθε τε καὶ σὺ Λάμπε, πόδαργε καὶ αἴθων, τουτέστι ταχύτατε καὶ πυρρέ. Χρῶνται δὲ πρὸς ἀπόδειξιν καὶ τῷ «ἀποτίνετον» δυϊκῷ ῥήματι καὶ τῷ «ἐφομαρτεῖτον καὶ σπεύδετον». Ὡς ἐπὶ συνωρίδος γάρ, φασί, κεῖνται τὰ τοιαῦτα δυϊκά. Λέγουσι δὲ καὶ οὐδὲ τεθρίππου χρῆσιν εἶναι τοτὲ τοῖς ἥρωσιν, ἀλλὰ ξυνωρίσι χρᾶσθαι πάντας, καί που καὶ παρηόρῳ ἑνί, ὡς ἐφάνη ἐπὶ Νέστορος. Ἔτι δέ φασιν ὡς, εἴπερ ἦν τέθριππον, καὶ δύο ἂν εἶχε ῥυμούς, ὡς Αἰσχύλος φησίν «ἐν διρρυμίᾳ πῶλοι». καὶ οὕτω μέν τινες. Ἕτεροι δέ, ὡς καὶ προερρέθη, τεθρίππῳ νοοῦσι τὸν Ἕκτορα χρήσασθαι ἐπὶ καταπλήξει τῶν Ἀχαιῶν, ἐπαρθέντα τοῖς τέρασι καὶ παραδόξως ὑπὲρ τοὺς ἄλλους φιλοτιμούμενον. διὸ καὶ δευτέρῳ παρηόρῳ πλείονι τῶν συνήθων τριῶν προσχρήσασθαι. Ὅθεν, φασί, καὶ Ὅμηρος θρασὺν ἡνίοχον φθάσας προσεῖπεν αὐτόν.

2.558 Οἱ δὲ ταῦτα εἰπόντες καὶ ἕκαστον τῶν ἐνταῦθα ὀνομάτων ὡς κύριον ἵππου τιθέασι· τὸ Ξάνθε, τὸ Πόδαργε, τὸ Αἴθων, τὸ Λάμπε, ὧν τὰ τρία μὲν ἀπὸ χροιᾶς, τὸ δὲ ἓν τυχὸν μὲν ὁμοίως καὶ αὐτὸ διὰ τὴν ἐν ποσὶ λευκότητα, ἴσως δὲ ἀπὸ ταχυτῆτος ποδῶν. Οἱ δ᾽ αὐτοί φασι καί, ὡς ψυχρόν ἐστι νοεῖν ἐπίθετα μὲν τὰ δύο, τὰ δὲ λοιπὰ κύρια, ἐπεὶ κατὰ Ἡρόδωρον καὶ Ἀπίωνα οἱ σύνδεσμοι παρακείμενοι χωρίζουσιν αὐτὰ ἀπ᾽ ἀλλήλων. κύρια γὰρ πρὸς ἐπίθετα οὐδέποτε συνδεῖται. Οὐδεὶς γὰρ εἰπεῖν θέλων Ἀχιλλεὺς ποδώκης καὶ Αἴας βουγάϊος συνδήσει τὸν λόγον οὕτως· Ἀχιλλεύς τε καὶ ποδώκης καὶ Αἴας βουγάϊός τε. Ἐκεῖνοι δὲ καὶ τὸ ἀποτίνετον καὶ ἐφομαρτεῖτον καὶ σπεύδετον οὐ πρὸς ξυνωρίδα νοοῦσιν, ἀλλὰ πρὸς δύο συστήματα, ἤγουν πρὸς τὴν δεξιὰν συζυγίαν καὶ τὴν ἐξ ἀριστερῶν, ἢ πρὸς τὴν τῶν ζυγίων σύστασιν, ἤγουν τῶν ζυγοφόρων, καὶ πρὸς τοὺς δύο παρηόρους. Ἄλλοι δὲ παρασημειοῦνται καὶ ὅτι ὀνόματα Τρωϊκῶν ἵππων οὐ παραδέδωκεν ὁ ποιητὴς καὶ ὅτι τὰ ἐνταῦθα ὀνόματα ἐξ ἄλλων συμπεφόρηται. Ξάνθος μὲν γὰρ Ἀχιλλέως, Πόδαργος δὲ Μενελάου, Αἴθων δὲ παρὰ τὴν Ἀγαμεμνονέην Αἴθην πέπλασται, ὁ δὲ Λάμπος τῆς Ἠοῦς ἐστιν ἵππος. Καὶ ὅλως πολλὴ σπουδὴ τοῖς τοιούτοις ἀθετῆσαι τὰ Ὁμηρικὰ ἔπη ταῦτα, ὡς καὶ ἑξῆς εἰρήσεται. Ἰστέον δὲ ὅτι, εἰ καὶ μὴ τετρώρῳ ποιεῖ Ὅμηρος χρωμένους τοὺς ἥρωας, ἀλλ᾽ αὐτὸς ἐν Ὀδυσσείᾳ οἶδε τετρώρου χρῆσιν, ἔνθα νῆα Φαιακικὴν θέειν φησίν, ὡς ἐν πεδίῳ τετράορες ἵπποι. ἀπὸ γὰρ τοῦ τετράορες τέτρωρον δηλοῦται. Ἡρόδοτος δὲ λέγει καὶ ὅτι τέσσαρας ἵππους ζευγνύναι παρὰ Λιβύων Ἕλληνες μεμαθήκασι. καὶ ἐν τούτοις μὲν τὰ κατὰ τοὺς Ἑκτορέους ἵππους. (v. 186) Τὸ δὲ «κομιδὴν ἀποτίνειν», ὅ ἐστιν ἐπιμέλειαν, ὅμοιόν ἐστι τῷ «θρέπτρ᾽ ἀποδιδόναι», ὅ ἐστι τροφεῖα. Ἐκεῖνο μέντοι ἐπ᾽ ἀνθρώπων. τοκεῦσι γὰρ φίλοις θρέπτρα καὶ ὀφείλεται καὶ ἀποτίνεται. Τὸ δὲ «μάλα πολλήν» ἀκοστεῖν καὶ τοὺς Ἕκτορος ἵππους δηλοῖ. (v. 187) Ἀγαθοῦ δὲ καὶ ἁπλοῦ ἤθους ἐν τοιούτῳ καιρῷ ἐπαινεῖν ἄνδρα φίλον, [ὁποῖος τῷ Ἕκτορι ὁ ἐνταῦθα μνημονευθεὶς μεγαλήτωρ Ἠετίων.] (v. 188—90). Τὸ δὲ «ὑμῖν προτέροις πυρὸν παρέθηκεν οἶνόν τε» καὶ ἑξῆς,

οἱ μὲν οὕτω καθιστῶσιν ἐν ὑπερβατῷ σχήματι· ὑμῖν παρὰ προτέροις ἔθηκε καί, ὡς ἀλλαχοῦ φησιν, ἔβαλε τὴν ἀνωτέρω λεχθεῖσαν κομιδήν, ἥπερ ἐμοὶ μελίφρονα πυρὸν ἔθηκεν οἶνόν τ' ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγει, ὁ ἐμὸς δηλαδή.

2.559 Ἄλλως γάρ, φασίν, ἀδιανόητον τὸ μὴ οὕτω νοούμενον. ἵπποις γὰρ οὔτε πυρὸς παρατίθεται οὔτε κιρνᾶται οἶνος. Καὶ οὕτω μέν τινές φασιν, εἰ καὶ μὴ εὐσυντάκτως, ἀλλ' οὖν συνήθως καὶ ἀνθρωπίνως. Ἕτεροι δὲ καὶ τὸ «πυρὸν παρέβαλε» καὶ τὸ «οἶνον ἐνεκέρασε» τοῖς ἵπποις προσαρμόττουσι διὰ τὸ τῇ συντάξει εὐθὺ καὶ ἀπερίεργον καὶ ἀνυπέρβατον καὶ τῇ ὀρθῇ φράσει κατάλληλον. Τὸ γὰρ ἐπὶ Ἕκτορος αὐτὰ νοεῖν ὀρθὸν μέν ἐστι τῷ νοήματι, στρεβλὸν δὲ τῇ συντάξει καὶ οὐ σύνηθες Ὁμήρῳ. Εἰ δέ τις λέγει μὴ ἵππων εἶναι τὸ οἰνοποτεῖν ἢ πυροφαγεῖν, εἰς μὲν τὸ ἓν πλατέως ψεύδεται. πολλοὶ γὰρ τῶν ἵππων οὐ μόνον κριθοφαγοῦσι καὶ ὀλύρας ἐρέπτονται, ταῦτα δὴ τὰ συνήθη, ἀλλὰ καὶ πυροὺς καὶ ἄλλα τῶν σπορίμων προσιέμενοι τρέφονται, οὓς ὁ συνεθισμὸς καὶ ἀρτοφαγεῖν προκαλεῖται, ἤδη δέ που ἐθιζομένους καὶ εἰς κρεῶν ἐνάγει βορὰν καὶ αὐτῶν ὠμῶν, ὡς μηκέτι ἀπίθανον εἶναι τοὺς τοῦ Θρᾳκὸς Διομήδους ἵππους ἀνθρωποφαγεῖν. Εἰς δὲ τὸ μὴ οἰνοποτεῖν τοὺς ἵππους τὰ μὲν ὡς ἐπὶ πολὺ φαινόμενα συμφωνεῖ, ἡ δὲ τοῦ γίνεσθαι δύναμις ἐὰν εὐοδωθῇ πρὸς συνήθειαν, οὐκ ἂν οὐδὲ τοῦ τοιούτου συνεθισμοῦ ἀπείρξῃ τοὺς ἵππους. καὶ ὦπται καὶ τοῦτο οὐκ εἰς πλάτος μέντοι πραχθέν. Οὔκουν ἀδύνατον τὴν καὶ φίλανδρον καὶ φίλιππον Ἀνδρομάχην προσιτὸν ποιῆσαι τοῖς ἵπποις κατά τι μέτριον κρᾶμα τὸν οἶνον ἀφελέστερον καὶ οἷον εὐηθέστερον ἱπποκομοῦσαν, καὶ τοῦτο οὐκ ἀεί, ἀλλ' ὅτε αὐτῇ θυμὸς ἀνώγει, ὃς πολλοὺς πρὸς οὐδὲν ἀναγκαῖον φιλοῦντας τὸ ζῷον πείθει παραμιγνύειν καί τι μελιτόεν τῷ ὕδατι, κολακεύοντας οὕτω τὸ ἄλογον.

2.560 Ὅλως οὖν ἀμφίβολος καὶ ἡ ἔννοια αὕτη διὰ τὸ ἐπὶ μὲν ἵππων νοηθῆναι τὸ πυροφαγεῖν καὶ οἰνοποτεῖν ἀπεμφαῖνον δοκεῖν εἶναι καὶ γελοῖον—Διὸ καὶ ἠθετοῦντο οἱ στίχοι παρά τινων. —, ἐπὶ δὲ Ἕκτορος αὐτὰ οὐκ εὖ ἔχειν διὰ τὸ τῆς συντάξεως ἀγκύλον καὶ οὐκ εὐσύνθετον. Καὶ ἔστιν ἀστείως ἐνταῦθα εἰπεῖν ἐπί τε τῇ στρεβλώσει τοῦ τοιούτου νοήματος καὶ τῇ κατὰ τοὺς ἵππους αὖθις ἀμφιβολίᾳ, ὡς ἄρα ὁ Ὁμηρικὸς Ἕκτωρ οὐ μόνον τοῖς Ἕλλησι τότε παρέσχε πράγματα οἷς ἐποίει, ἀλλὰ καὶ γραμματικῶν παισὶν ὕστερον, οἷς οὐκ εὐκρινῶς ἐνταῦθα λαλεῖ. Εἰ δέ τις εἴποι τὸν ποιητὴν ἐπίτηδες νῦν τῷ Ἕκτορι περιθεῖναι κακοσύνθετον λόγου σύνταξιν, μιμούμενον τὴν ἐκείνου περὶ τὴν μάχην θερμότητα ἢ καὶ τὴν ταραχήν, δι' ἣν οὐκ ἔσχεν ἐπιμεληθῆναι τῆς φράσεως, ἀκούσοι ἂν ὅτι καὶ τοῦ τὴν πυροφαγίαν καὶ οἰνοποσίαν τοῖς ἵπποις προσνεῖμαι τὸ αὐτὸ αἴτιον. διὰ γὰρ σπουδὴν ἐξεκρούσθη τοῦ ὀρθοῦ νοήματος καὶ τὰ ἑαυτοῦ τοῖς ἵπποις προσήρμοσεν. Ἔχοι δ' ἂν ἐντεῦθεν ἀπολογίαν καὶ ἡ κατὰ τοὺς ἵππους ἀσάφεια, οἷα τοῦ ποιητοῦ μὴ καθ' ἑαυτὸν ἀεὶ φράζοντος, ἀλλὰ καὶ κατὰ προσώπων ἔστιν οὗ μίμησιν. (v. 187) Ἰστέον δὲ ὅτι γυναικείαν διακονίαν ὁμοίαν τινὰ τῇ κατὰ τὴν Ἀνδρομάχην καὶ Ἡρόδοτος ἱστορεῖ, ἐν οἷς φησιν, ὅτι γυνή τις, ἐπεὶ ἀφίκετο ἐπὶ τὸν ποταμόν, ἦρδε τὸν ἵππον, ὅ ἐστιν ἐπότιζεν, ἀφ' οὗ ἀρδάνιον παρὰ Αἰλίῳ Διονυσίῳ τὸ ἀπὸ τοῦ πυθμένος τοῦ κεραμείου ἕως τῆς γαστρός, ἐν ᾧ ἄρδουσι θρέμματα. Παυσανίας δέ φησιν, ὅτι ἀρδάνια κεράμων γάστραι ἀπὸ τοῦ ἄρδειν τὰ βοσκήματα. προετίθεντο δέ, φησί, τῶν θυρῶν. Εἰ δὲ καὶ ὁ ἄρδαλος καὶ τὸ ἀρδαλῶσαι καὶ ἡ ἀρδαλία ἐκ τοῦ τοιούτου γίνεται ῥήματος, οὐκ ἔστι σταθερῶς ἐπικρῖναι. Τέως δὲ κατὰ Παυσανίαν Φερεκράτης ποιεῖ τινα ἐκμασσόμενον ἀπὸ πυρετοῦ, λέγοντα «τὸν ἱδρῶτα καὶ τὴν ἀρδαλίαν ἀπ' ἐμοῦ σπόγγισον».

2.561 Τὸ μέντοι ἄρδην ἐπίρρημα οὐκ ἂν οὐδ' αὐτὸ παραγάγοι τινά, ὡς ἐκ τοῦ ἄρδω γίνεται, ἀλλὰ μάλιστα ἐκ τοῦ αἴρειν, ὥσπερ ἐκ τοῦ ἀείρειν γίνεται τὸ ἀέρδην. Ἔστι γάρ, φασί, τὸ ἄρδην ἀντὶ τοῦ φοράδην. Εὐριπίδης Ἀλκήστιδι «νέκυν ἤδη πρόσπολοι φέρουσιν ἄρδην ἐς τάφον τε καὶ πυράν». (v. 188) Ἔτι ἰστέον καὶ ὅτι τινὲς μὲν τὸ «μελίφρονα πυρόν» ἐπὶ σίτου νοοῦντές φασι δι' αὐτοῦ ἄρτον σημαίνεσθαι τὸν ἐξ ἀποτελέσματος ἢ τοῖς ἵπποις ἢ τῷ Ἕκτορι παρατιθέμενον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τινὲς δὲ εἶδος ἀντὶ εἴδους λαβόντες, ὃ μάλιστα δι’ ἀσάφειαν πλεονάζει παρὰ Λυκόφρονι, κριθὴν ἐνόησαν τὸν πυρὸν καὶ ἐπὶ μόνων ἵππων τὴν λέξιν συνεβίβασαν. Παρὰ μέντοι τῷ Γεωγράφῳ δοκεῖ διαφορά τις εἶναι σίτου καὶ πυροῦ, ἔνθα λέγει γίνεσθαι ἐν Ἰνδίᾳ σῖτον αὐτοφυῆ ἐοικότα πυρῷ. Πιθανὸν δὲ νοῆσαι νῦν τὸν πυρὸν ἐπὶ σίτου, ὃν μελίφρονα λέγει, καθά που καὶ τὸν οἶνον. ἀκόλουθον γὰρ τῇ δι’ οἴνου ἱπποκομούσῃ καὶ δι’ ἄρτου τρέφειν συζυγοῦντος τῷ οἴνῳ. (v. 189) Τὸ δὲ κερᾶν ἀπὸ τοῦ κέρατος εἴληπται. Οἱ γὰρ παλαιοὶ πρὸ τῆς τῶν ποτηρίων χρήσεως κέρασιν ἐχρῶντο ἀντὶ ἐκπωμάτων, ὡς ἐξ ἄλλων τε δῆλον καὶ τοῦ Ξενοφῶντος λέγοντος «κέρατα δὲ οἴνου περιέφερον καὶ πάντες ἐδέχοντο», καὶ «φέρων τὸ κέρας ὁ οἰνοχόος ἧκε», καὶ «λαβὼν κέρας μεστὸν εἶπε· προπίνω σοι», καὶ «ἀναστὰς συνεξέπιε καὶ συγκατεδάσατο μετ’ αὐτοῦ τὸ κέρας».

2.562 (v. 190) Θαλερὸς δὲ πόσις ὁ ἐκ παρθενίας ἀνὴρ καὶ ἐκ νεότητος κατὰ τοὺς παλαιούς, ὥσπερ καὶ κουριδίη ἄλοχος ἡ ἐξ ἔτι κόρης. (v. 191) Ἐφομαρτεῖν δὲ ἐνταῦθα τὸ διωκτικῶς ἐπακολουθεῖν. (v. 192—5) Ἐν δὲ τῷ Νεστορέην ἀσπίδα καὶ Διομήδεος θώρηκα, ὃς εἰκότως ἡφαιστότευκτος λέγεται, [καὶ οὐχ’ ἁπλῶς, ἀλλὰ καμάτῳ κατασκευασθεὶς διὰ τό, ὡς εἰκός, φιλοτεχνηθῆναι μετ’ ἐπιμελείας πολυπόνου,] τὸ σχῆμα, ὡς οἱ παλαιοί φασιν, ἀλληγορία. Ὁπλίτας γὰρ θέλων εἰπεῖν λαλεῖ ὅπλα. Πάντως γὰρ οὐ διὰ τὴν ἀσπίδα τοῦ συνετωτάτου Νέστορος καὶ τὸν θώρακα τοῦ ἀνδρείου Διομήδους ἐπιβήσονται νηῶν αὐτῇ τῇ νυκτὶ καὶ φεύξονται Ἀχαιοί, ἀλλὰ διὰ τοὺς ἔχοντας αὐτά, οὓς ἀνελὼν Ἕκτωρ τούς τε Ἕλληνας καιριώτατα βλάψει καὶ τὰ ἔναρα λήψεται. (v. 196 s.) Καὶ ὅρα ὅτι, καθὰ πρὸ βραχέων ἑαυτῷ ἐλογίσατο τῆς Τροίας τὸ πᾶν ὁ Ἕκτωρ, ἔνθα εἴξαντος αὐτοῦ ἔφη πύργων ἐπιβήσεσθαι τὸν Διομήδην, οὕτως ἐνταῦθα τῷ Νέστορι καὶ τῷ Διομήδει ἐγκεῖσθαι λέγει τὴν τῶν Ἀχαιῶν σύστασιν, εἴπερ αὐτῶν ἁλόντων ἐκεῖνοι φεύξονται. Ἔτι ὅρα ὡς καὶ γέρων ὢν ὁ Νέστωρ ὅμως ἄριστα ὥπλιστο, ἀσπίδα ἔχων οὕτως ἐπίσημον. (v. 192) Τὸ δὲ «κλέος οὐρανὸν ἵκει» ὠφέλησε τὸν Ἡρόδοτον εἰπεῖν τῷ τοῦ Διὸς αἰθέρι ὁμορέουσαν. (v. 193) Κανόνας δὲ λέγει, ὥς φασιν οἱ παλαιοί, ῥάβδους τινάς, ἀναφορέας τῆς ἀσπίδος, τορευτοὺς ἴσως ὄντας καί, ὡς εἰπεῖν, κανονωτούς.

2.563 Οὔπω γὰρ ἐπενοήθησαν οἱ νῦν ἐξ ἱμάντων πόρπακες, ἤγουν τὰ ὄχανα, δι’ ὧν αἱ ἀσπίδες ἔχονται καὶ ἀναβαστάζονται. Φασὶ γὰρ αὐτοὺς Καρῶν ἐπινοήματα εἶναι, ὡς Ἀνακρέων «Καριοεργέος ὀχάνοιο». Σημείωσαι δὲ ὅτι τὸ τῆς ῥηθείσης χρυσονώτου ἀσπίδος παράσημον εἰς τὴν τοῦ γέροντος ἀλληγοροῦσί τινες πολυτίμητον φρόνησιν καὶ εἰς τοὺς παρ’ ἐκείνῳ μεθοδικοὺς κανόνας, ὧν εἰ στερηθῶσιν Ἀχαιοί, μεγάλα βλαβήσονται. (v. 195) Σημείωσαι δὲ καὶ τὴν ἐπὶ τῷ θώρακι τοῦ Νέστορος ποιητικὴν μέθοδον. Πάνυ γὰρ σεμνύνας Ὅμηρος τὴν αὐτοῦ ἀσπίδα τὸν θώρακα ἠρκέσθη πρὸς ἑτεροῖον σέμνωμα Ἡφαίστου ἔργον εἰπεῖν, καὶ οὕτως ὑποκρουσάμενος δύνασθαι καὶ αὐτὸν εἰς πλάτος σεμνολογῆσαι, ὅμως ἀφῆκε πλεῖον εἰπεῖν τι ὡς μὴ ἔχων καιρόν. (v. 197) Τὸ δὲ «αὐτονυχεί» ἐν τοῖς Ἀπίωνος μὲν καὶ Ἡροδώρου διὰ τοῦ ι γράφεται, ἄλλοι δὲ διὰ διφθόγγου αὐτὸ ἔγραψαν. Τὸ δὲ «νηῶν ἐπιβησέμεν» χρήσιμον ἐν τοῖς πρὸ τούτων εἰς τὸ «κακῶν ἐπιβασκέμεν υἷας Ἀχαιῶν». Εὐλαβῶς δὲ εἶπεν Ἕκτωρ τὸ νηῶν ἐπιβησέμεν, ἤγουν εἰς νῆας ἀναβιβάσαι, οἷα μὴ θαρρῶν καὶ εἰς φυγὴν πλείω τοὺς Ἀχαιοὺς κινῆσαι. (v. 198 s.) Ὅτι ἐφ’ οἷς Ἕκτωρ ἀλαζονευόμενος εὔχεται «νεμέσησε πότνια Ἥρη. σείσατο δ’ εἰνὶ θρόνῳ, ἐλέλιξε δὲ μακρὸν Ὄλυμπον». Δῆλον δὲ ὡς ἀγανακτεῖ ἡ τοῦ μύθου Ἥρα τὴν ἄγαν προθυμίαν μισοῦσα τοῦ Ἕκτορος κατὰ τὸ «μισεῖ θεὸς γὰρ τὰς ἄγαν προθυμίας». Τὸ δὲ «ἐλέλιξε» διὰ τῶν ὑγρῶν ἀμεταβόλων, ἤγουν τῶν δύο λάμβδα, τὴν τοῦ οὐρανοῦ ταχεῖαν καὶ ἄπονον κἀνταῦθα ἐδήλωσε κίνησιν, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη. Ἔστι δὲ τὸ λεχθὲν ὡς οἷον προαναφώνησις τοῦ ἐθελήσειν ἂν τὴν Ἥραν κακόν τι διαθέσθαι τοὺς Τρῶας, ἐφ’ οἷς δρῶσι τοὺς Ἀχαιούς.

2.564

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(v. 201) Ὅτι Ἐννοσίγαιος μὲν διὰ δύο νῦ κατὰ πλεονασμὸν ἀεί, ὡς ἂν ἀπαρτίζῃ ἀναγκαίως ἐξ ἀρχῆς δάκτυλον, οἷον «ὢ πόποι, Ἐννοσίγαι᾽ εὐρυσθενές», Ἐνοσίχθων δὲ δι᾽ ἑνός. Δηλοῦσι δὲ ἄμφω τὸν ἐνόθοντα, ἤτοι σεισμοῖς κινοῦντα, τὴν γῆν. Ὡς δὲ ταὐτὸν ἐννοσίγαιον εἰπεῖν καὶ ἐνοσίχθονα καὶ σεισίχθονα καὶ γακίναν, δηλοῦται καὶ ἀλλαχοῦ. Λέγοιντο δ᾽ ἂν τοιοῦτοι τροπικῶς καὶ οἱ ἔθνος ἢ πόλεις ταράσσοντες ἢ ὅλως λαόν τινα. (v. 200) Τὸν δὲ Ποσειδῶνα καὶ μέγαν θεὸν ἐνταῦθα ἡ Ἥρα προσφωνεῖ διὰ τὸ κατ᾽ αὐτὸν πρεσβεῖον μυθικῶς τε καὶ ἀλληγορικῶς. [Εἰ δὲ Ποσειδῶν Ποτειδὰν παρὰ Δωριεῦσι λέγεται κατὰ τὸ Ἀλκμάν, οὐδὲν τούτου μέλον τοῖς ἰωνίζουσι.] (v. 201 s.) Ὅτι σκληρῷ ἀνθρώπῳ προσρηθήσεται τὸ «οὐδέ σοί περ ὀλλυμένων τῶν δεῖνα ὀλοφύρεται ἐν φρεσὶ θυμός;» Ἥρα δὲ πρὸς Ποσειδῶνα καὶ τοῦτό φησιν ἐρεθίζουσα καθ᾽ Ἕκτορος ὑπὲρ Ἀχαιῶν, ὃν καὶ εὐρυσθενῆ ἔφη διὰ τὸ ἐνδύναμον τοῦ στοιχειακοῦ ὕδατος, καθὸ καὶ Ἐννοσίγαιος ὁ αὐτός, ὡς προσεχῶς ἐρρέθη, συμβαλλομένης αὐτῷ πρὸς τοῦτο καὶ τῆς εἰς ἀέρα ἀλληγορουμένης Ἥρας. διὸ καὶ προσφυῶς φιλιοῦται κατὰ τὸν μῦθον αὐτῷ πολλαχοῦ. (v. 203) Ὅτι Ἑλίκη μὲν τόπος περὶ Πελοπόννησον, ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη, Αἰγαὶ δὲ περὶ Εὔβοιαν, ἀφ᾽ ὧν δοκεῖ καὶ πέλαγος Αἰγαῖον παρονομασθῆναι. διαφερόντως δ᾽ αὐτόθι Ποσειδῶν ἐτιμᾶτο. (v. 203 s.) Διό φησι Ἥρα τῷ Ποσειδῶνι προκαλουμένη αὐτὸν ἀμείψασθαι βοηθητικῶς τοὺς καὶ ἐκεῖθεν Ἀχαιοὺς τὸ «οἳ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ᾽ ἀνάγουσι πολλά τε καὶ χαρίεντα· σὺ δέ σφισι βούλεο νίκην», ἤγουν θέλε νικήσαντας αὐτοὺς περιγενέσθαι τῶν Τρώων. Καὶ ὅρα τὴν ἐπίτασιν. οὐ γὰρ δῶρα εἶπεν ἁπλῶς, ἀλλὰ καὶ πολλὰ καὶ χαρίεντα, ὡς ἂν καταιδέσῃ τὸν λαβόντα καὶ πείσῃ ἀμείψασθαι. Εἰσὶ δὲ καὶ ἕτεραι Αἰγαί, ὡς ἱστοροῦσιν οἱ παλαιοί.

2.565 ὁ μέντοι Γεωγράφος φησίν, ὅτι ὁμώνυμοι ταῖς Ἀχαϊκαῖς Αἰγαῖς αἱ ἐν Εὐβοίᾳ. καὶ τὴν μὲν Ἀχαϊκὴν δηλοῖ Ὅμηρος ἐν τῷ «οἳ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ᾽ ἀνάγουσιν». ὅταν δὲ φῇ «Αἰγάς, ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης», τὰς ἐν Εὐβοίᾳ λέγει, ἀφ᾽ ὧν εἰκός, φησί, καὶ τὸ πέλαγος Αἰγαῖον κληθῆναι. Ὥστε κατὰ τὸν Γεωγράφον Αἰγάς ἐνταῦθα οὐ τὰς ἐν Εὐβοίᾳ νοητέον, ἀλλὰ τὰς Ἀχαϊκάς, ὧν τοῖς ἐποίκοις ὀφειλέτης βοηθεῖν ὁ Ποσειδῶν. Τὸ δὲ ἀνάγουσιν ἀντὶ τοῦ ἁπλῶς ἄγουσι. καὶ κεῖνται καὶ ἐν Ὀδυσσείᾳ πολλαχοῦ τοιαῦται λέξεις. Ὅτι δὲ δυσωποῦσι τοὺς τοῦ μύθου θεοὺς εἰς ἄμυναν αἱ θυσίαι κατὰ τὸ «δῶρα καὶ θεοὺς πείθει», πολλαχοῦ δηλοῦται. (v. 205) Ὅτι ἀναιδὴς μὲν κἀνταῦθα συνήθως ἡ Ἥρα, εὐλαβὴς δὲ ὁ Ποσειδῶν, ὃς καὶ κωλύει αὐτὴν θρασύνεσθαι κατὰ Διός, παιδεύοντος τοῦ ποιητοῦ ἓν μέν, μὴ χρῆναι ἁπλῶς κατὰ ἀρχόντων θρασύνεσθαι, ἕτερον δέ, μὴ κατεπαίρεσθαι γυναῖκα ἀνδρός, καὶ τρίτον, σωφρονίζεσθαι τοὺς ἀφελεστέρους ὑπὸ τῶν κρειττόνων. (v. 205—7) Ἡ μὲν οὖν Ἥρα ἐθέλει τοὺς τῶν Δαναῶν ἀρωγοὺς θεοὺς ἀντιστῆναι τῷ Διῒ εἰποῦσα «εἴ περ γάρ κ᾽ ἐθέλοιμεν, ὅσοι Δαναοῖσι ἀρωγοί, Τρῶας ἀπώσασθαι καὶ ἐρυκέμεν εὐρύοπα Ζῆν᾽, αὐτοῦ κ᾽ ἔνθ᾽ ἀκάχοιτο καθήμενος οἶος ἐν Ἴδῃ», τουτέστι μονάζοι ἂν ἐκεῖ ὡς μηδένα ἔχων ἐπιστρεφόμενον αὐτοῦ. Καὶ οὕτω μὲν ἡ Ἥρα, θρασεῖα καὶ νῦν οὖσα καὶ τὰς τοῦ Διὸς ἀπειλὰς ἐκβαλοῦσα τῆς μνήμης. (v. 208—11) Ποσειδῶν δὲ μεμφόμενος, καὶ οὐχ᾽ ἁπλῶς, ἀλλὰ μέγα ὀχθήσας, φησὶν «Ἥρη ἀπτοεπές, ποῖον τὸν μῦθον ἔειπες; οὐκ ἂν ἔγωγ᾽ ἐθέλοιμι Διῒ μάχεσθαι ἡμέας τοὺς ἄλλους, ἐπειῆ πολὺ φέρτερός ἐστι». Τοῦτο δὲ καὶ πᾶς εἴποι ἂν ὁ κατὰ μεγάλου προσώπου ἔκ τινος οὐχ᾽ ὁμοίου ἀκούσας λόγον θρασύν, ἀλλάξας μόνον τὸ ὄνομα τῆς Ἥρας καὶ τοῦ Διός. (v. 208) Ἰστέον δὲ ὡς τὸ ὀχθῆσαι, ὃ πολλαχοῦ τῆς Ἰλιάδος κεῖται, Ὅμηρος μὲν διὰ τοῦ η γράφει, εὕρηται δὲ καὶ διὰ τοῦ ι , ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη. Χρῆσις δὲ αὐτοῦ καὶ παρὰ Ὀππιανῷ ἐν τῷ «ὀχθίζων σφακέλῳ». (v. 209) Τὸ δὲ «ἀπτοεπές» ἢ δασύνεται καὶ δηλοῖ τὴν καθαπτομένην ἐν ἔπεσι καὶ ὑβριστικήν—ὅθεν ἡ συρφετώδης ἴσως ὑπολείξασα γλῶσσά φησιν ἁψοὺς τοὺς ἐν λόγῳ θρασεῖς—, ἢ ψιλοῦται καὶ σημαίνει τὴν ἀπτόητον ἐν ἔπεσι καὶ θρασεῖαν.

2.566

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(v. 211) Τὸ δὲ «ἐπειῆ» ὅτι περισπᾶται, ἐν τῇ ἄλφα γέγραπται. (v. 206) Σημείωσαι δὲ ὅτι ἐν τῷ τόπῳ τούτῳ εἰπόντος τοῦ ποιητοῦ τὸν Δία Ζῆνα ἐν τέλει στίχου, κατὰ δὲ τὸν ἐφεξῆς στίχον ἀρξαμένου ἀπὸ φωνήεντος τοῦ α , ὡς ἀνωτέρω κεῖται, καὶ ἐκθλίψαντος τὸ α τοῦ Ζῆνα, οἱ γραφεῖς τὸ τοῦ Ζηνὸς ν , τὸ ἐναπομεῖναν ἀπὸ τῆς παθούσης τὴν ἔκθλιψιν αἰτιατικῆς, τῷ δευτέρῳ στίχῳ προστιθέασι. Καὶ δοκεῖ μέν τισι καινὸν τοῦτο, ἔχεται δὲ κανόνος γραμματικοῦ λέγοντος ὡς, εἰ μέσον δύο φωνηέντων εὑρεθῇ σύμφωνον ἐν ἁπλότητι ἢ συνθέσει ἢ καὶ συναλιφῇ, τῷ δευτέρῳ, τουτέστι τῷ ἐπαγομένῳ φωνήεντι, ἀκολουθεῖ. Ἐφ' ἑνὸς γοῦν τῶν συμφώνων τοῦ τ παραδειγματίσαι τὸν λόγον, ἐν ἁπλότητι μὲν ἐπὶ τοῦ ἔτι τὸ τ τῷ ι συντάττεται, ἐν συνθέσει δὲ ἐπὶ τοῦ κατάγω ὁμοίως τῷ μετ' αὐτὸ α συμβιβάζεται, ἐν συναλιφῇ δὲ ἐπὶ τοῦ «κατ' ἐμέ» τῷ ἐφεξῆς ε συγγράφεται. Δηλοῦται δὲ περὶ τούτου κρειττόνως καὶ ἀλλαχοῦ. (v. 207) Τὸ δὲ «αὐτοῦ ἔνθα» ἐκ παραλλήλου θέσεως δηλοῦσι τὸ αὐτόθι. (v. 211) Τὸ δὲ «ἡμέας τοὺς ἄλλους» πολλὴν διαφορὰν τῶν λοιπῶν πρὸς τὸν Δία δηλοῖ. ἄλλοι γάρ, φησίν, ἐσμὲν πρὸς τὸν Δία καὶ οὐχ' ἁπλῶς ἀλλοῖοι. Ἐξ οὗ ἐοίκασι λαβόντες οἱ σοφοὶ εἰπεῖν τῶν διαφορῶν τὰς μὲν ἄλλο, τὰς δὲ ἀλλοῖον ποιεῖν. (v. 213) Ὅτι τὸ μεταξὺ τοῦ τείχους καὶ τῆς τάφρου, περὶ ἣν ὁ Ἕκτωρ ἦν, οὕτω φράζει «ὅσον ἐκ νηῶν ἀπὸ πύργου τάφρος ἔεργεν, [ἔπληθεν ἵππων τε καὶ ἀνδρῶν ἀσπιστάων»,] πύργον ὡς ἐκ μέρους τὸ τεῖχος λέγων. Τὸ δὲ τοιοῦτον διάστημα καὶ στεῖνος ἐν τοῖς μετὰ ταῦτα ἐρεῖ διὰ τὴν κατ' αὐτὸ συστολὴν καὶ στενοχωρίαν. (v. 214—6) Ὅτι χρῆσις ἐνταῦθα ἐν στίχῳ ἑνὶ συναπτῶς εὕρηται τοῦ εἴλω βαρυτόνου καὶ τοῦ εἰλῶ περισπωμένου. Φησὶ γὰρ ὅτι ἔπληθε τὸ ῥηθὲν διάστημα ἀνδρῶν εἰλομένων, εἴλει δὲ Ἕκτωρ, ὃν καὶ ἀτάλαντον Ἄρηϊ λέγει, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν.

2.567 (v. 218—27) Ὁπηνίκα καὶ ἐνέπρησεν ἂν πυρὶ κηλέῳ νῆας ἐΐσας, εἰ μὴ θεὸς ἐπὶ φρεσὶν ἔθηκε τῷ βασιλεῖ, αὐτῷ ποιπνύσαντι, τουτέστι πονήσαντι, θοῶς ὀτρῦναι Ἀχαιούς, ὃς «πορφύρεον μέγα φᾶρος ἔχων ἐν χειρὶ παχείῃ στῆ ἐπ' Ὀδυσσέως μεγακήτεϊ νηῒ μελαίνῃ, ἣ δὴ ἐν μεσσάτῳ ἔσκε, γεγωνέμεν ἀμφοτέρωσε», ἤγουν, κατὰ τὸν ποιητήν, ἐπὶ τὰς Αἴαντος καὶ Ἀχιλλέως κλισίας. «ἤϋσε δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς» τὰ ῥηθησόμενα. (v. 221) Δίδωσι δὲ πορφύρεον Ὅμηρος φᾶρος τῷ Ἀγαμέμνονι ὡς βασιλεῖ. Ὃ καὶ ἔχων ἐκεῖνος ἐπιστρέφει οὕτω τοὺς θεατὰς Ἀχαιούς, καθὰ καὶ ἀλλαχοῦ παρεσημάνθη, τῷ παραδόξῳ τῆς θέας, κατασείων αὐτὸ καὶ οὕτω κατασιγάζων τὸν ὄχλον, ὡς ἐξακούεσθαι. Μέγα δὲ τὸ τοιοῦτον φᾶρος, δηλοῦν κατὰ τρόπον ποιητικοῦ συλλογισμοῦ, ὡς μέγας καὶ ὁ φορῶν καὶ εὐμήκης, καθὰ καὶ ἡ ἐν τοῖς ἑξῆς ἀπὸ αἰγίλιπος πέτρας καταρρέουσα κρήνη παραβολικῶς παριστᾷ. Ἐνταῦθα δὲ καὶ τὸ «χειρὶ παχείῃ» καιρίως λεχθὲν ἀνάπαλιν ἐπὶ γυναικὸς ἔχει κατεχούσης κληῗδα χειρὶ παχείῃ, ὡς καὶ προδεδήλωται. (v. 217) Τὸ δὲ κήλεον πῦρ, ὅ ἐστι καυστικόν, παρὰ τὸ κῆαι κατὰ τὸ δαιδάλεον καὶ τὸ τέλεον παρῆκται. αὐτά τε γὰρ ἐκ τοῦ δαιδάλειον καὶ τέλειόν εἰσι, καὶ αὐτὸ ἐκ τοῦ κήλειον. (v. 219) Τοῦ δὲ ποιπνύειν, ὃ πολλαχοῦ κεῖται, ἀρχὴ τὸ πονῶ πονύω, τουτέστιν ἐνεργῶ. καὶ ἔπαθε συγκοπὴν καὶ ἀναδιπλασιασμὸν καὶ ἐπένθεσιν τοῦ ι , καθά φασιν οἱ παλαιοί. [Ἰστέον δὲ ὅτι τοῦ ἀναδιπλασιασμοῦ ἀφαιρεθέντος, ἤγουν τῆς ποι συλλαβῆς, τὸ πνύσαντι σύστοιχόν ἐστι τῷ πεπνυμένος, ὡς ἀπὸ θέματος τοῦ πνύω.] (v. 222) Τὸ δὲ «μεγακήτεϊ» τὴν μεγάλην σημαίνει, ὡς τοῦ κήτους πολὺ δηλοῦντος μέγεθος, ἀφ' οὗ κατά τινας, εἰ καὶ πάνυ σμικροπρεπῶς, ἀλλ' ὅμως καὶ Λακεδαίμων κητώεσσα.

2.568 (v. 223) Ἐν τῷ μέσῳ δὲ ἡ τοῦ Ὀδυσσέως ναῦς οὐ διὰ δειλίαν, ὡς οἱ ψέγοντες εἶπον, ἀλλ' ἵνα τῷ στρατῷ οἷον καρδία τις εἴη, ἐκ τοῦ μέσου πᾶσιν ἐπαρκοῦσα τῷ ζωογόνῳ τῆς φρονήσεως. Διὸ καὶ ὁ βασιλεὺς ἐπ' αὐτῆς ἵσταται, ὥστε γεγωνεῖν ἀμφοτέρωσε, ἤγουν ἐξάκουστον βοᾶν. Ἐπὶ τοιούτου γὰρ σημαινομένου τὸ γεγωνέναι εἴωθε τίθεσθαι. Γνώω γάρ, φασί, τὸ νοῶ, οὗ μέσος παρακείμενος γέγνωα, καὶ μεταθέσει γέγωνα, τὸ γνωστῶς βοῶ, ἐξ οὗ τὸ γεγωνέναι καὶ ὁ γεγωνώς καὶ τὸ γεγώνω παρὰ Σοφοκλεῖ, οἷον «τί γεγώνω». Ὅτι δὲ καὶ γεγωνῶ περισπώμενον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥῆμά ἐστιν, ἐξ οὗπερ οὐ μόνον τὸ γεγωνεῖν, ὅθεν τὸ γεγωνέμεν, ἀλλ' ἀναλόγως καὶ μετοχὴ ἄρρητος γεγωνηκώς καὶ ἐν συγκοπῇ δι' εὐφωνίαν γεγωνώς, ἥτις εὐφωνία ἐπραγματεύθη καὶ ἐν τῷ δέδοικα καὶ δεδοικώς ἐκ τοῦ δέδοιδα δεδοιδώς, πολλαχοῦ φαίνεται. Τὸ δὲ «ἐν μεσσάτῳ», οὗ πρωτότυπον ὁ μέσος, ὡς ὁ τρίτος τοῦ τρίτατος, μεσαιτάτῳ λέγουσιν οἱ μεθ' Ὅμηρον Ἀττικῶς. (v. 227) Διαπρύσιον δὲ ἢ τὸ φανερὸν καὶ διάδηλον, ὡς ἐκ τοῦ πυρσοῦ, ἤγουν φανοῦ, κατὰ μετάθεσιν τοῦ ρ , ἢ τὸ εἰς μακρὸν διῆκον καὶ διαπεράσιμον, ἐκ τοῦ περῶ περύω περύσω κατὰ συγκοπήν.

2.569 Δῆλον δὲ ὅτι εὐρυβόας ἦν ὁ οὕτω βοῶν διαπρύσιον. (v. 224—6) Ἰστέον δὲ καὶ ὅτι Αἴας καὶ Ἀχιλλεύς, ὡς καὶ ἀλλαχόθεν δῆλόν ἐστι, «ἔσχατα», τουτέστιν ἐν τοῖς ἐσχάτοις καὶ ἄκροις μέρεσι τοῦ ναυστάθμου, «νῆας ἐΐσας εἴρυσαν, ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν», κἀντεῦθεν μὴ δεδιότες ὡς ἀφύλακτοι τὰ ἐκ τῆς λείας κακά. (v. 226) Ὅτι δὲ ὕπεστιν ἄρρητος εὐθεῖα ἤνωρ ἤνορος, ὅθεν καὶ ἠνόρειος κτητικόν, ἐξ οὗ ἠνορέη, ἡ ἀνδρία, καὶ ὅτι Συρακουσία λέξις ὁ πίσυνος ἐκ τοῦ πείθω πείσω γινομένη, καὶ ἐν ἄλλοις δηλοῦται. Ἀναλογία δὲ τοῦ πίσυνος κατὰ τὸ δεσπόσυνος, θάρσυνος. τοιαῦτα δέ τινα καὶ τὸ εὐφρόσυνος, καὶ παρὰ τῇ τραγῳδίᾳ τὸ «ποὺς κηδόσυνος». (v. 228—35) Ὅτι ἡ ῥηθεῖσα τοῦ βασιλέως ἐνταῦθα διαπρύσιος δημηγορία τοιαύτη ἐστὶν «αἰδώς, Ἀργεῖοι, κάκ' ἐλέγχεα, εἶδος ἀγητοί, πῇ ἔβαν εὐχωλαί, ὅτε δὴ φάμεν εἶναι ἄριστοι, ἃς ὁπότ' ἐν Λήμνῳ κενεαυχέες ἠγοράασθε, ἔσθοντες κρέα πολλὰ βοῶν» τῶν, ὡς πολλαχοῦ δηλοῦται, «ὀρθοκραιράων, πίνοντες κρητῆρας ἐπιστεφέας οἴνοιο, Τρώων ἄνθ' ἑκατόν τε διηκοσίων τε ἕκαστος στήσεσθ' ἐν πολέμῳ, νῦν δ' οὐδ' ἑνὸς ἄξιοί εἰμεν», ἤγουν ἐσμέν, «Ἕκτορος, ὃς τάχα νῆας ἐνιπρήσει πυρὶ κηλέῳ». (v. 236 s.) Ἐφ' οἷς, ὡς εἰκός, ὁ αὐτὸς βασιλεὺς ἐφ' οὕτω μεγάλῃ σχετλιάσας λύπῃ ἐρωτᾷ πάνυ περιπαθῶς στρέψας τὸν λόγον «Ζεῦ πάτερ, ἦ ῥά τινα», ἤγουν ἆρα δή τινα ἤδη, «ὑπερμένεων βασιλήων τῇδ' ἄτῃ ἄασας», ἤγουν τοιᾷδε βλάβῃ ἔβλαψας, «καί μιν μέγα κῦδος ἀπηῦρας;» (v. 238—41) Εἶτα ὑπομνήσας ὧν ἀεὶ ἔθυε διὰ τὴν τῆς Ἰλίου ἅλωσιν καὶ εἰπών, ὡς «οὐ μὲν δή ποτέ φημι τεὸν περικαλλέα βωμὸν νηῒ πολυκλήϊδι παρελθέμεν ἐνθάδε ἔρρων, ἀλλ' ἐπὶ πᾶσι βοῶν δημὸν καὶ μηρί' ἔκηα, ἱέμενος Τροίην εὐτείχεον ἐξαλαπάξαι», ἐπεύχεται περιπαθῶς ἀντιλαβεῖν μικρὰν γοῦν χάριν, τὸ τοὺς Ἀχαιοὺς περισωθῆναι. (v. 242—4) Φησὶ γὰρ «ἀλλὰ Ζεῦ τόδε πέρ μοι ἐπικρήηνον ἐέλδωρ· αὐτοὺς δή περ ἔασον ὑπεκφυγέειν καὶ ἀλύξαι, μηδ' οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς». καὶ ὁ Ζεὺς κατανεύει, ὡς εὐθὺς δηλωθήσεται. (v. 228) Καὶ ὅρα τὸ καὶ ἀλλαχοῦ κείμενον προοίμιον σφοδρῶς ἐξενεχθέν. Τρεῖς γὰρ κομματικὰς ἐννοίας ὀνειδιστικὰς ὁ πρῶτος ἔχει στίχος, ὧν ἡ κατάρχουσα καὶ ἐλλέλειπται διὰ συντομίαν καιρίαν, καὶ μάλιστα τὴν διὰ θυμόν.

2.570 Τὸ γὰρ «αἰδὼς Ἀργεῖοι» ῥήματος ὑπαρκτικοῦ ἐλλιπῶς ἔχει, ἵνα λέγῃ· αἰδὼς ὑμῖν ἔστω ἢ αἰδώς ἐστι τὰ βλεπόμενα. Βαρὺς δὲ ὁ πᾶς λόγος τῷ βασιλεῖ ὀνειδισμόν τε σφοδρὸν ἔχων κατ' Ἀχαιῶν καὶ ἐξ ἀποστάσεως ἐντυχίαν πρὸς Δία, οὐδ' αὐτὴν ἀπηλλαγμένην ὀνείδους, εἰ λαβὼν πολλὰ ἐκεῖνος ὑπέρ τινος τέλους εἶτα οὐκ εὐοδοῖ ἐκεῖνο, καὶ ἐπὶ τούτοις ἐντρέπων τὸν Δία βιωτικώτερον, ὡς ἐπεὶ οὐ δίδως τὸ ζητηθέν, αὐτὸ γοῦν τοῦτο δὸς τὸ μὴ ἐξολέσθαι οὕτως ἡμᾶς. ὃ καὶ γενήσεται, οἷα δικαιώτατα αἰτηθέν. Ὅμηρος γὰρ τελεσφορεῖσθαι τὰς δικαίας εὐχὰς οἶδε. Τὸ δὲ «εἶδος ἀγητοί», ὅ ἐστι θαυμαστοί, ὅτι ψόγον ἐμποιεῖ τοῖς μὴ καὶ τὰ ἔργα θαυμαστοῖς, πολλαχοῦ λέγεται. Δῆλον δὲ ὅτι τὸ «κακὰ ἐλέγχεα, εἶδος ἀγητοί» ἀντιθέτῳ ἔοικε σχήματι. Λέγει γὰρ ὅτι καλοὶ μὲν τὸ εἶδός ἐστε, κακοὶ δὲ τὰς πράξεις καὶ ἐλέγχιστοι. (v. 229 s.) Τὸ δὲ «πῇ ἔβαν εὐχωλαί», ἤτοι αἱ καυχήσεις, καὶ ἑξῆς ὁ στίχος ὅλος, καὶ τὸ «ἅς ποτε κενεαυχέες», καὶ τὸ ἑξῆς, κατὰ πάντων ἐστὶ καίριον τῶν ἐν συμποσίῳ ἀλαζονευομένων. Ἔτι τὸ «πῇ ἔβαν εὐχωλαί» ἀπειλητῆρας δηλοῖ τοὺς Ἀχαιούς, ὃ καὶ ἀλλαχοῦ εἴρηται. Δηλοῖ δέ πως καὶ ὡς εἰς ἀέρα ἐκεῖναι κενῶς ἐσκεδάσθησαν. διὸ καὶ κενεαυχέας αὐτούς φησιν, ἤτοι αὐχοῦντας κενεά. Εἶεν δ' ἂν οἱ τοιοῦτοι καὶ προδοσίκομποι κατὰ τοὺς παλαιούς, ὅ ἐστιν εἰς μάτην ὑποσχετικοί, οἱ τὰς ἑαυτῶν

ὑποσχέσεις ἐν οὐδενὶ τιθέμενοι ἀλλὰ προδιδόντες. Τὸ δὲ «ἔφαμεν» παραμυθητικῶς ἔχει, λεαῖνον τὸ τραχὺ τοῦ λόγου, οἷα τοῦ βασιλέως κοινοποιουμένου τὸ ὄνειδος. (v. 230—4) Διὸ καὶ «οὐδ᾽ ἑνὸς ἄξιοί ἐσμεν» εἶπεν, ἵνα μὴ ἄγαν ὁ ὄχλος λυπῆται ἀκούσας τὸ «ἐστέ». Ἦν γὰρ τῷ ὄντι σφοδρότατον ἀκοῦσαι ὡς οὔκ εἰσιν ἀξιόμαχοι, οὐδὲ πρὸς ἕνα γοῦν οἱ τοσοῦτοι, ὧν ἕκαστος ἔναντι ἑκατὸν καὶ διακοσίων ἠλαζονεύετο στῆναι, σοβούσης τῆς μέθης ἐν Λήμνῳ, ἣν καὶ πρὸ ὀλίγων πολύοινον ὁ ποιητὴς ἱστόρησε. (v. 230) Τὸ δὲ «ἂς ὁπότε» ἀντὶ τοῦ ποτέ εἴρηται, ἀσυνήθως μέντοι, διὸ καὶ σημειῶδές ἐστι. (v. 231) Τὸ δὲ «κρέα πολλά» ἀφειδῆ τε τὸν βασιλέα δαπάνης δηλοῖ καὶ δίαιταν ὑπογράφει στρατιωτικήν, ὡς δέον ὂν τοὺς τοιούτους μὴ συντήκεσθαι ὀλιγοσιτοῦντας.

2.571 (v. 232) Τὸ δὲ «ἐπιστεφέας οἴνοιο» ἐκ τοῦ «ἐπεστέψαντο ποτοῖο» ὥρμηται, ὅπερ προδεδήλωται. Ἀφ᾽ οὗ καὶ ὁ ἡμέτερος Χρυσολόγος κρατῆρας ἐστεμμένους οἴνου φησίν. Ἰστέον δὲ ὡς, εἴπερ ἡ τροπὴ κρατῆρος οἶδε κεφαλὴν τὸ ἄνω αὐτοῦ ἄκρον κατὰ τὸ «κρατήρων κρᾶτα ἔρεψαι θαλλοῖς», κεφαλῆς δὲ ἴδιον τὸ στέφεσθαι, ἀσφαλῶς ἄρα ἔχει τὸ λέγειν «κρατῆρας ἐπιστεφεῖς οἴνου», ὥσπερ καὶ τὸ «κρατῆρας ἐπιστέφεσθαι ποτοῖο». Τὸ δὲ «πίνοντες κρατῆρας» ἀφελῶς μὲν ἔχει, ἄλλως δὲ ἀσφαλῶς διὰ τὸν ἐμπεριεχόμενον οἶνον. οὐ γὰρ κρατὴρ ἢ ἀμφορεὺς ἢ πίθος πίνεται, ἀλλὰ τὸ ἐν αὐτοῖς ποτόν. Δι᾽ αὐτὸ δὲ λέγεται τὸ ἀγγεῖον πίνεσθαι, νοουμένου τοῦ περιεχομένου τῷ τοῦ περιέχοντος ὀνόματι. (v. 233) Τὸ δὲ «ἄντα ἑκατόν τε διηκοσίων τε» πάνυ ἐντρέπειν ἔχει τοὺς Ἕλληνας, ὡς ἑκάστου ἀλαζονευομένου μὲν τότε πρὸς ὑπερβολήν, ἄρτι δὲ εἰς τὸ μηδὲν περιελθόντος. Τοῦ δὲ τοιούτου λόγου πλεῖον ἐν Ὀδυσσείᾳ, οὐ μὴν πρὸς ἀλαζονείαν, τὸ καὶ τριηκοσίοις ἔχειν ἀντιστῆναι τὸν Ὀδυσσέα. (v. 234) Τὸ δὲ «οὐδ᾽ ἑνὸς ἄξιοί ἐσμεν» ἐν δυσὶ μέρεσι λόγου, συνείληπται ἀντὶ τοῦ «οὐδὲ κἂν γοῦν ἑνὸς ἀνδρός». Καὶ ἔστιν ἑτεροῖον τοῦτο πρὸς τὸ ἄλλο «μηδείς», τὸ ἀοριστaῖνον καὶ ὡς ἓν λόγου μέρος λαμβανόμενον. ὅ τινες τῶν παλαιῶν οὐδὲ ἐκ τριῶν συγκεῖσθαι εἶπον τοῦ μη καὶ δε καὶ εἷς , ἀλλὰ τοῦ μη καὶ τοῦ δεις , ἀρρήτου ὀνόματος. Διὸ μηδὲ περισπᾶσθαι, ὡς ἀπὸ τοῦ εἷς ἑνός, ἀλλὰ ὀξύνεσθαι, ἵνα ᾖ, ὥσπερ κτείς κτενός, οὕτω καὶ δείς δενός καὶ μηδενός, ᾧ σύστοιχον καὶ τὸ οὐδείς οὐδενός. [Δοκεῖ δὲ τὸ «οὐδ᾽ ἑνὸς ἄξιοι» σαφηνισθῆναι διὰ τοῦ προστεθεῖσθαι τὸ Ἕκτορος, οὗ μὴ προσκειμένου ῥητῶς ἦν ἂν τὸ «οὐδ᾽ ἑνός» νοούμενον τῇ ἐκφωνήσει ὡς ἓν μέρος λόγου ἀσυναλείπτως δίχα δασείας καὶ ἀποστρόφου, ὡς εἴπερ ἔλεγεν ὅτι τοῦ μηδενός ἐσμεν ἄξιοι.] (v. 235) Τὸ δὲ «ἐμπρήσει» φαίνεται παρέλκον ἀφελῶς ἔχειν τὸ «πυρὶ κηλέῳ», ὃ καὶ ἐπ᾽ ἄλλων πολλῶν γίνεται.

2.572 Ἴσως δὲ καὶ πρὸς διαστολὴν εἴρηται μάχης, ἥτις ὡς δέμας πυρὸς εἰκάζεται, ἵνα λέγῃ ὅτι οὐ νικήσει μόνον καυστειρὰν ἀρτύων μάχην καὶ δέμας πυρὸς μαχόμενος, ἀλλὰ καὶ πυρὶ καύσει. Κήλειον δέ, ὡς καὶ πρὸ βραχέων ἐρρέθη, πῦρ, καὶ Ἰωνικῶς κήλεον, οὐ μόνον παρὰ τὸ κῆαι ἀλλὰ καὶ παρὰ τὸ κᾶλον, ὅ ἐστι ξύλον. ξύλοις γὰρ ὡς τὰ πολλὰ διοικονομεῖται ἡ καῦσις. (v. 236) Τὸ δὲ «ὑπερμενέων βασιλήων» διαστολήν τινα ἔχει. πολλοὶ μὲν γὰρ ἀφῄρηνται κῦδος μέγα βασιλεῖς, οὐ μὴν οὕτως ὑπερμενέες κατὰ τὸν Ἀγαμέμνονα. (v. 237) Τὸ δὲ «τῇδ᾽ ἄτῃ ἄασας» Ὁμήρῳ δόξαν ἐγράφη οὕτως. Ἦν δὲ καὶ κατὰ αἰτιατικὴν εἰπεῖν «τήνδ᾽ ἄτην ἄασας», κατὰ τὸ βουλὴν ἐβούλευσας καὶ λόγον ἔλεξας, καὶ μυρία ὅσα τοιαῦτα. Ἐκ τοῦ ἄασας δὲ καὶ κατὰ κρᾶσιν ἆσας, ὡς τὸ «ἆσέ με δαίμονος αἶσα κακή» γίνεται ἀάτη καὶ κράσει ἄτη. Τὸ δὲ «κῦδος ἀπηῦρας», ἤγουν ἀφείλου, ἐναντίον πρὸς τὸ ἐπαυρεῖν, ὃ γενικῇ συντάσσεται. (v. 238) Τὸ δὲ «περικαλλέα βωμόν», οὐχ᾽ ἁπλῶς οὕτω εἰκαίους ποιεῖσθαι δηλοῖ τοὺς βωμούς, ἀλλὰ πρὸς κάλλος διασκευάζεσθαι, ἵνα μὴ μόνον θυσίαις θεραπεύηται τὸ τιμώμενον, ἀλλὰ καὶ κάλλει ἐπισκευῆς. Βωμὸν δὲ εἰπὼν προσηγορικῶς ἔφη ἀντὶ τοῦ βωμούς. (v. 240) Διὸ καὶ ἐπάγει «ἀλλ᾽ ἐπὶ πᾶσι βοῶν δημὸν καὶ μηρί᾽ ἔκηα», ἤγουν οὐδένα βωμὸν παρῆλθον ἀγέραστον, ἀλλ᾽ ἐπὶ πᾶσιν ἔθυσα. (v. 239) Τοῦ δὲ «πολυκλήϊδι» εὐθεῖα βαρύτονος διὰ σύνθεσιν ἡ πολυκλήϊς, ἐκτείνουσα τὴν

λήγουσαν, ὡς προδεδήλωται. Τὸ δὲ «ἐνθάδε ἔρρων» βαρέως εἴρηται, φθορᾷ εἰκάζοντος τοῦ βασιλέως τὴν αὐτοῦ ἐν Τροίᾳ διαγωγήν. Μονονουχὶ γὰρ λέγει, ὅτι αὐτὸς φθίνων ὅμως τιμαῖς ηὖξόν σε, καλλύνων τέ σοι τὸν βωμόν, ὃν καὶ προϊὼν αὖθις περικαλλέα ἐρεῖ, καὶ θύων.

2.573 Διὰ δὲ τῶν βοῶν καὶ τὰ λοιπὰ ὡς ἐκ μέρους δηλοῦνται βοσκήματα, καθὰ καὶ ἀνωτέρω ἐν τῷ «βοῶν ὀρθοκραιράων», ἤτοι γαύρων καὶ ὀρθοκεφάλων ἢ ὀρθοκεράτων. Κραῖρα γὰρ Ἀττικῶς τὰ περὶ τὴν κεφαλήν, ὅθεν παρὰ τῷ Κωμικῷ ἐψίλωταί τις τὴν ἑτέραν ἡμίκραιραν, ἤτοι τὸ ἡμίκρανον. Ἐντεῦθεν δὲ καθ' ὁμοιότητα καὶ νῆες ὀρθόκραιραι, ὧν τὰ ἄκρα εἰς ὀρθὸν ἀνίστανται. Δημὸς δέ, τὸ λίπος, ὀξύνεται μὲν πρὸς διαστολὴν τοῦ κατ' ἀνθρώπους δήμου, πρὸς ὃ καὶ παίζει που ὁ Κωμικὸς «δημὸν βόειον», ὡς ἐν παρῳδίᾳ, φράσας τὸν Ἀττικὸν δῆμον, οὐ διά τι βουγάϊον, ἀλλὰ διὰ τὸ ἁπλῶς ἀλόγιστον. καὶ οὕτω μὲν ὀξύνεται. Γίνεται δὲ παρὰ τὸ δαίω, τὸ καίω, εὐέξαπτον γὰρ τὸ λίπος. Τὸ δὲ «δημὸν καὶ μηρία» χρήσιμον εἰς τὸ «μηροὺς ἐξέταμον κατά τε κνίσσῃ ἐκάλυψαν». ὃ γὰρ ἐκεῖ μηροὶ καὶ κνίσσα, τοῦτο ἐνταῦθα δημὸς καὶ μηρία. (v. 241) Τὸ δὲ «εὐτείχεον» παράγωγον τοῦ τεῖχος τείχεος, ὅθεν εὐθεῖα ἡ εὐτείχεος. (v. 243) Τὸ δὲ «ὑπεκφυγέειν καὶ ἀλύξαι» φανερῶς ταὐτολογοῦνται διὰ σύγχυσιν τὴν τοῦ λέγοντος. [Ὅτι δὲ τὸ ἀλύξαι οὐ μόνον κοινότερον αἰτιατικῇ συντάσσεται, ἀλλὰ καὶ γενικῇ, δηλοῖ Σοφοκλῆς ἐν τῷ «οὐκ ἀλύξετον μόρου κακίστου». (v. 245 s.) Ὅτι Ζεὺς τὸν βασιλέα ᾤκτειρε κλαίοντα. Φησὶ γὰρ «ὣς φάτο, τὸν δὲ πατὴρ ὀλοφύρατο δακρυχέοντα, νεῦσε δέ οἱ λαὸν σόον ἔμμεναι οὐδ' ἀπολέσθαι». Καὶ σημείωσαι τὸ «οὐδ' ἀπολέσθαι», ὡς συντελοῦν τι πρὸς τὸ «βούλομαι λαὸν σόον εἶναι ἢ ἀπολέσθαι». Ὅρα δὲ τὸ τοῦ βασιλέως ἑτοιμόδακρυ, ὅπερ ἐν τοῖς ἑξῆς ἐπιταθήσεται.

2.574 Δακρύει δὲ ἐπιλογικῶς μετὰ τὴν δημηγορίαν ἐν αὐτῇ τῇ ἀξιώσει τῇ πρὸς τὸν Δία, διὸ καὶ εἰσβαλὼν ἔλεον πείθει αὐτόν. Τὸ δὲ «πατὴρ ὀλοφύρατο» ἢ κατ' ἐξοχὴν ἢ ἐλλειπτικῶς ἐρρέθη. τὸ μέντοι τέλειον «πατὴρ ἀνδρῶν τε θεῶν τε». Κατάνευσις δὲ καὶ νῦν Διός, ἤτοι νεῦσις, ἡ ἐν διοσημίᾳ δήλωσις ἄνωθεν τοῦ μέλλοντος, ὡς καὶ προδεδήλωται. (v. 247—50) Διὸ ἐπάγει «αὐτίκα δ' αἰετὸν ἧκε τελειότατον πετεηνῶν, νέβρον ἔχοντα ὀνύχεσσι, τέκος ἐλάφοιο ταχείης. πὰρ δὲ Διὸς βωμῷ περικαλλέϊ κάββαλε νεβρόν, ἔνθα πανομφαίῳ Ζηνὶ ῥέζεσκον Ἀχαιοί». Ἐδήλου δὲ ὁ μὲν ἀετὸς τοὺς περὶ Ἕκτορα, οἳ σήμερον κρατοῦσι διὰ τὸν Δία, ὁ δὲ κρατούμενος νεβρός, ὁ τῆς φυζακινῆς καὶ δειλῆς ἐλάφου γόνος, τοὺς τεθηπότας καὶ κατεπτηχότας καὶ κρατουμένους Ἕλληνας, ἡ δὲ παρὰ τῷ βωμῷ τοῦ Διὸς καταβολὴ τοῦ νεβροῦ, ὡς ἐκφευξοῦνται τοὺς κρατοῦντας οἱ Ἕλληνες διὰ τὸν Δία, οὗ τὸν βωμὸν οὔποτε, ὡς ἐρρέθη, παρῆλθεν ἀγέραστον ὁ βασιλεύς. Ἔστι γὰρ ἀεὶ ἀμοιβὴ τῇ εὐσεβείᾳ. ὅθεν οὐδὲ μετὰ ὥρας τινὰς ἀλλ' αὐτίκα ὁ ἀετὸς πέμπεται. Ὃν διὰ τί τελειότατον λέγει, ἐν τοῖς ἑξῆς ῥηθήσεται, ὅπου κείσεται καὶ εἴ τι ἄλλο λεχθῆναι χρὴ περὶ ἀετοῦ. Ἐνταῦθα δὲ ῥητέον ὅτι τε ἀετός παρὰ τὸ α ἐπιτατικὸν καὶ τὸ ἐτεόν ὠνόμασται οἱονεὶ ὁ ἀεὶ ἀληθὴς καὶ αἴσιος, καὶ ὅτι φέρεται μῦθος, ὅτε ὤδινεν ἡ Ῥέα γεννωμένου Διός, ἀετὸν φανῆναι. ὅθεν καὶ κατὰ τὴν ἀποκλήρωσιν τῶν Τιτάνων ὁ Ζεὺς αὐτὸν ἐν τῇ διανεμήσει τῶν πτηνῶν ἐπελέξατο. (v. 248) Νεβρὸς δὲ οὐ τελεία ἔλαφος, ἀλλ' ὁ νεωστὶ βορὰν δεχόμενος. Διὸ πρὸς διασάφησιν περιφράσας ἐπήγαγε «τέκος ἐλάφοιο ταχείης», τουτέστιν ᾗ τάχος ἐξαίρετον ἡ φύσις ἐφιλοτιμήσατο εἰς ἀποφυγὴν τῶν ἐπιβούλων. [Φέρεται δὲ καὶ Ἀνακρέοντος χρῆσις αὕτη «οἶά τε νεβρὸν νεοθηλέα γαλαθηνόν». Ἕτερος δέ τις γράφει οὕτω «ἐλάφων τὰ μὲν νέα νεβροί, αἱ δὲ ἀρτίως ἐκ νεβρῶν ἐπ' ἐλάφους μεταβάλλουσαι καλοῦνται κεμάδες, τὰ δὲ τέλεια οὐκ ἄλλο τι ἢ ἔλαφοι.» Εἰ μὴ ἄρα, φησίν, οἱ ἀχαιΐναι καὶ οἱ σπαθίναι λεγόμενοι ἡλικίᾳ τινὶ διαφέρουσιν ἢ εἴδει καὶ κεράτων ἰδιότητι καὶ μεγέθει.

2.575 Λέγει δ' αὐτὸς καὶ τὰς πρόκας παρὰ Ἀρχιλόχῳ ἐπὶ ἐλάφου τεθεῖσθαι, παρ' ᾧ καί τις διὰ δειλίαν προσωνομάσθη πρόξ. Εἰς δὲ τοὺς ῥηθέντας ἀχαιΐνας ἐνθυμητέον τὴν παρ' ἑτέρῳ ποιητῇ ἀχαιϊνέην ἔλαφον, περὶ ἣν πολλὰ πονοῦνται οἱ ἐξηγηταί. Εἰ δὲ καὶ αἱ δορκάδες καὶ αἱ ζόρκες

ἐλάφου εἴδη κατὰ τὰς πρόκας, ἄλλοθι ζητητέον.] Τὸ δὲ νεβρόν κατὰ πτῶσιν αἰτιατικὴν κείμενον ἐν ἀρχῇ στίχου καὶ αὖθις ἐν τέλει ἑτέρου στίχου σχῆμα ἐθέλει κύκλου περιαγαγεῖν. (v. 249) Περικαλλέα δὲ καὶ νῦν βωμὸν λέγει, ἐπεί, ὡς πρὸ ὀλίγων ἐρρέθη, κοσμίως καὶ αὐτὸν ἔχειν ἐφιλοτιμοῦντο οἱ παλαιοί. Ἄιδεται γοῦν καὶ Παριανὸς βωμὸς ἐπὶ μεγέθει καὶ Ἐφέσιος δὲ κεράτινος. (v. 250) Πανομφαῖος δὲ Ζεὺς κατὰ μὲν ἀλληγορίαν, εἰς ὃν πᾶσα ὀμφή, ἤγουν ἁπλῶς φωνή, ἀνάγεται, τουτέστιν ὁ πάσης φωνῆς αἴτιος ἀήρ. Φωνὴ γὰρ ἀέρος ἐστὶ πληγή. Κατὰ δὲ μῦθον πανομφαῖός ἐστιν ὁ πάσης μαντείας αἴτιος. οἱ γὰρ ἄλλοι πάντες ὑποφῆται Διός εἰσιν, εἴτε δαίμονες ἐκεῖνοι εἴτε ἄνθρωποι. Ὀμφὴ δὲ κυρίως ἡ ἀληθὴς φήμη ἡ τὸ ὂν φαίνουσα, ὡς καὶ ὄνειρος κατὰ κυριολεξίαν τὸ ἀληθὲς ἐνύπνιον, δι’ οὗ τὸ ὂν εἴρεται. Ἡ δ’ αὐτὴ ὀμφὴ καὶ κληδὼν λέγεται, ὥστε τὸν ὀμφαῖον εἶναι πάντως καὶ κληδόνιον. Ἅπαξ δὲ τὸ πανομφαῖος εἶπεν ὁ ποιητής, ὡς παρετήρησαν οἱ παλαιοί. (v. 251 s.) Τὸν δὲ ἀετὸν καὶ ὄρνιν λέγει, τουτέστι σημαντικὸν τοῦ μέλλοντος, ὡς καὶ ἐν τοῖς ἑξῆς που φανήσεται. Φησὶν οὖν «οἳ δ’ ὡς οὖν εἴδοντο ὅ τ’ ἄρ ἐκ Διὸς ἤλυθεν ὄρνις, μᾶλλον ἐπὶ Τρώεσσι θόρον», τουτέστι κατὰ Τρώων ὥρμησαν, «μνήσαντο δὲ χάρμης». Καὶ σημείωσαι τὴν Ἑλληνικὴν καὶ ἀνδρίαν καὶ πολυπειρίαν, ταύτην μὲν ὅτι οὐ δέονται μάντεως ἑρμηνέως ἀλλ’ αὐτοὶ τὸν οἰωνὸν συμβάλλονται [«μάντεων, ὅ φασιν, «ὑπέρτερον», ὃ δὴ παροιμιωδῶς κεῖται παρὰ τῷ Σοφοκλεῖ,] καὶ ἀναθαρροῦσιν, ἐκείνην δὲ ὅτι ἀνδρίζονται οἱ οὕτω κακῶς διατεθειμένοι ἅμα ῥοπῇ βραχείᾳ τῇ ἐκ τοῦ ὄρνιθος. (v. 253—60) Φησὶ γοῦν· «ἔνθ’ οὔ τις πρότερος Δαναῶν πολλῶν περ ἐόντων εὔξατο», τουτέστιν ἐκαυχήσατο, «Τυδείδαο πάρος», ἤγουν πρὸ τοῦ Διομήδους, «ἐχέμεν ὠκέας ἵππους τάφρου τ’ ἐξελάσαι καὶ ἐναντίβιον μαχέσασθαι.
2.576 ἀλλὰ πολὺ πρῶτος Τρώων ἕλεν ἄνδρα κορυστήν», Ἀγέλαόν τινα ὁμώνυμον τῷ ἐν Ὀδυσσείᾳ, μετὰ δ’ αὐτὸν οἱ βασιλεῖς καὶ οἱ ἑξῆς. (v. 261—6) Φησὶ γὰρ «τὸν δὲ μετὰ Ἀτρεῖδαι, Ἀγαμέμνων καὶ Μενέλαος, τοῖσι δ’ ἔπ’ Αἴαντες, θοῦριν ἐπιειμένοι ἀλκήν, τοῖσι δ’ ἔπ’ Ἰδομενεύς» καὶ Μηριόνης, ὃν καὶ ἐπιθέτοις ἀρεϊκοῖς τιμᾷ, τοῖσι δ’ Εὐρύπυλος καὶ ἕτεροι, «Τεῦκρος δ’ εἴνατος ἦλθε παλίντονα τόξα τιταίνων». (v. 266) Καὶ ὅρα ὡς κἀνταῦθα εἰς τὸν ἐννέα ἔστησεν ἀριθμὸν τοὺς ἀριστέας ὁ τὴν ἐννεάδα διὰ τὰς Μούσας φιλῶν ποιητής. (v. 253—5) Ἀριστεύει δὲ πρὸ πάντων Διομήδης οἷα πρῶτος ὑποστρέψας, ὡς καὶ ὕστερον φεύγων. (v. 253—6) Τὸ δὲ εἰς αὐτὸν ποιηθὲν «ἔνθ’ οὔτις πρότερος» καὶ ἑξῆς, παρῳδηθὲν εὐφυῶς οἰκεῖον ἔσται παντὶ πρωταγωνιστῇ. (v. 256) Τὸ δὲ «πολὺ πρῶτος» οὐκ ἀναγκαίως μὲν ἐπῆκται μετὰ τὸ «οὔ τις πρότερος» Διομήδεος ἐξήλασε, ποιεῖ δὲ ὅμως κάλλος τὸ κατὰ ἄρσιν καὶ θέσιν. ἄρσις μὲν γὰρ τὸ «οὔ τις πρότερος», θέσις δὲ τὸ «ἀλλὰ πολὺ πρῶτος». Ἔτι δὲ καὶ ἐνδιαθέτως ταὐτολογεῖ ὁ ποιητὴς φιλῶν τὸν ἥρωα. ταὐτὸν γάρ πως τὸ «οὔ τις πρότερος Διομήδους», καὶ τὸ «ἀλλὰ πολὺ πρῶτος αὐτός». (v. 261) Κατὰ τοιαύτην δὲ φιλίαν καὶ Ἀτρεῖδαι εἰπὼν οὐκ ἠρκέσθη, ἀλλὰ καὶ νῦν πρὸς ὄνομα ἐξεφώνησε τοὺς φίλους αὐτῷ κοσμήτορας εἰπὼν «Ἀγαμέμνων καὶ Μενέλαος». (v. 262 s. et 265) Τὸ δὲ «τοῖσι» τρὶς τεθὲν ἐν καταρχῇ στίχων μετὰ τῆς ἐπι προθέσεως καὶ τοῦ δε συνδέσμου κάλλος καὶ αὐτὸ ποιεῖ τὸ κατ’ ἐπαναφοράν, ἁβρύνοντος οὕτω τοῦ ποιητοῦ τὴν φράσιν διὰ τοὺς καλοὺς ἥρωας. (v. 262) Ἐπιειμένοι δὲ ἀλκὴν ἀντὶ τοῦ προβεβλημένοι, ὡς πολλαχοῦ κεῖται, καὶ φανερὰν ἀνδρίαν ἔχοντες, ἢ οὐχ’ ὅπλοις ἀλλ’ αὐτόχρημα τῇ ἀνδρίᾳ σκεπόμενοι, ὃν τρόπον καὶ ὁ βασιλεὺς ἀναιδείην που ἐπιειμένος εἴρηται. (v. 266) Τὸ δὲ «εἴνατος», καθὰ καὶ ἀλλαχόθι δηλοῦται, ποιητικὴν ἐπένθεσιν ἔχει τοῦ ἰῶτα, ὡς ἀπὸ τοῦ ἔνατος, ὅπερ οἱ μὲν λόγιοι δι’ ἑνὸς νῦ γράφουσιν ὡς ἀπὸ τοῦ νέατος, ὃ δηλοῖ τὸν ἔσχατον. παρέσχατος γὰρ ὁ ἐννέα ἐν μοναδικοῖς ἀριθμοῖς. ἢ καὶ ἄλλως, διὰ παραγωγῆς ἀλλοίωσιν. Ὡς γὰρ τέτταρα μὲν ἐν δυσὶ ταῦ, τέταρτος δὲ ἐν ἑνί, ἐξ οὗ ὁ τέτρατος, οὕτω καὶ ἐννέα ἔνατος. Οἱ δὲ χύδην βάζοντες διπλασιάζουσι καὶ ἐν τῷ ἔννατος δι’ ἀναλογίαν τὸ ἀμετάβολον, οἷς δοκεῖ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τροπῇ τοῦ ἑνὸς ν εἰς ι γενέσθαι ἀπὸ τοῦ ἔννατος τὸ εἴνατος, ὡς καὶ αἰεί αἰέν, καὶ ἐνείκω ἐνέγκω.

2.577 ὅτι δὲ ταῦτα ἀντιλέγονται, δῆλον. Ὅρα δὲ καὶ τὸ «Τεῦκρος ἦλθε». Διομήδης μὲν γὰρ εἷλεν ἄνδρα, ὁμοίως δὲ καὶ ἕκαστος τῶν μετ' αὐτόν. Τεῦκρος δὲ οὐχ' εἷλεν οὐδένα, ἀλλ' ἦλθε τοξεύσων. Παλίντονα δὲ δοκεῖ μὲν ἅπαντα εἶναι τὰ τόξα. Ἡρόδοτος δὲ ἐπιστήσας τινὶ ἔθνει παλίντονα τόξα ἔχοντι ὑπέβαλε νοεῖν μὴ πᾶν τόξον εἶναι παλίντονον ἁπλῶς, ἀλλὰ κυρίως καὶ μάλιστα τὸ κατ' ἐπίτασιν ἔμπαλιν τεινόμενον, ὡς καὶ οὕτω κυκλοτερὲς γίνεσθαι, ἢ καὶ ἄλλως φράσαι, τὸ ἐπὶ θάτερα μέρη κλινόμενον, ὥς φασιν οἱ παλαιοί. Τὸ δὲ τιταίνειν, ὅ ἐστι τείνειν, παράγει μὲν καὶ τοὺς Τιτᾶνας κατὰ τὸν Ἡσιόδου μῦθον, καὶ διὰ μέσων αὐτῶν τὸ προδηλωθὲν ἐν Βοιωτίᾳ τίτανον. Κυριολεκτεῖται δὲ καὶ ἐπὶ ταλάντων, ἃ τὸν ἄλλον καιρὸν ἀνιέμενα ἐν τῇ ζυγοστατήσει τείνονται. (v. 258 s.) Διὰ μέσων δὲ τῶν εἰρημένων κεῖται καὶ διασάφησις μεταφρένου, ἡ προδεδηλωμένη, οὕτως· «μεταφρένῳ ἐν δόρυ πῆξεν ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσεν», ταὐτολογήσαντος καὶ ἐν τούτοις τοῦ ποιητοῦ ὡς αὐτῷ σύνηθες. (v. 267—72) Ὅτι Τεῦκρος ὑποδὺς τὸ τοῦ Αἴαντος σάκος μάχεται νῦν, καινὸν τοῦτον ἐπινοησάμενος ὁπλισμόν. τοξότης γὰρ ἦν καὶ διὰ τοῦτο ἄφρακτος καὶ ἐλαφρὸς ὁπλίτης καὶ οὐ προσήκων τοιούτῳ πολέμῳ. Δεξιότης δὲ Ὁμηρικὴ καὶ τὸ ποιῆσαι τὸν μὲν Αἴαντα οὐ μαχόμενον, τὸν δὲ Τεῦκρον ἀσπιζόμενον ὑπ' αὐτοῦ καὶ κρυπτόμενον οἷα πύργῳ τινὶ κἀκεῖθεν ὡς ἀπὸ ἐπάλξεως βάλλοντα. Γράφει δ' ἐνταῦθα Ὅμηρος οὕτω «στῆ δ' ἂρ ὑπ' Αἴαντος σάκεϊ Τελαμωνιάδαο. ἔνθ' Αἴας μὲν ὑπεξέφερε σάκος, αὐτὰρ ὅ γ' ἥρως», ἤγουν ὁ Τεῦκρος, «παπτήνας, ἐπεὶ ἄρ τινα ὀϊστεύσας ἐν ὁμίλῳ βεβλήκει, ὃ μὲν αὖθι πεσὼν ἀπὸ θυμὸν ὤλεσεν, αὐτὰρ ὃ αὖτις ἰών», ἤτοι ἀναποδίζων, «πάϊς ὣς ὑπὸ μητέρα δύσκεν εἰς Αἴαντα· ὃ δέ μιν σάκεϊ κρύπτεσκε φαεινῷ». (v. 271 s.) Καὶ ὅρα κἀνταῦθα σύντομον καιρίως παραβολήν, ἐν ᾗ τὸ εὐνοϊκόν τε τοῦ Αἴαντος ἐπὶ τῷ Τεύκρῳ δηλοῦται, καὶ τὸ πολὺ τοῦ μεγέθους τοῦ τε σάκους καὶ τοῦ ἥρωος, καὶ τὸ ἄοπλον τοῦ τοξότου, καὶ τὸ δεξιὸν εἰς ἐπίκρυψιν, καὶ ὡς πάνυ ἐφοβεῖτο τὸν Ἕκτορα.

2.578 Ὅρα δὲ καὶ ὅτι τῶν ἄλλων ἀριστέων ἀνδραγαθούντων αὐτοχειρίᾳ, ὁ μέγας Αἴας αὐτό τε ἐποίησε μετὰ τοὺς βασιλεῖς, καὶ διὰ τοῦ ἀδελφοῦ δὲ ἀτεχνῶς ὑπασπιζομένου ἀριστεύει, δοκῶν αὐτὸς πράττειν οἷς ἐκεῖνον ἀριστεύοντα συνετήρει, ὡς ἀπὸ πύργου τοξεύοντα, στάσιμος καὶ ἄλλως ὢν καὶ οὐχ' ὁρμητίας καὶ εἰς τοὺς ἑξῆς δὲ κινδύνους φυλαττόμενος. Ἡ δὲ ὑπο πρόθεσις ἐνταῦθα καὶ δοτικῇ συντέτακται Ἀττικῶς ἐν τῷ «ὑπ' Αἴαντος σάκεϊ», καὶ αἰτιατικῇ κοινότερον ἐν τῷ «ὑπὸ μητέρα». (v. 267) Τὸ δὲ «στῆ δ' ἄρ» παρεσημάνθη καινότητος χάριν, ὡς τοῦ Τεύκρου μὴ κατακλωμένου ἔσω τοῦ ἀδελφικοῦ σάκους ὑπὸ στενοχωρίας, ἀλλ' ὀρθοῦ ἑστῶτος. (v. 268) Τὸ δὲ «ὑπεξέφερεν» οὐδ' αὐτὸ κενῶς ἐστοίβασται προθέσεσιν, ἀλλ' ἡ μὲν εξ φορὰν δηλοῖ τῆς ἀσπίδος ἐπὶ τὸ ἔξω καὶ πορρωτέρω τοῦ κατὰ τὸν Αἴαντα στήθους, ἡ δὲ ὑπο τὸ κρυφαῖον σημαίνει καὶ λεληθὸς τοὺς ἐχθρούς. λάθρα γὰρ ἐξανοίγων ὁ Αἴας τὸν ἑπταβόειον θυρεὸν ἐνεδίδου τῷ ἀδελφῷ βαλεῖν, εἶτ' αὖθις ἔσκεπε, ποιῶν μόνος αὐτὸς δι' εὐρύτητα ἑαυτοῦ τε καὶ τοῦ σάκους, ὅπερ οἴδαμεν τοὺς ἄλλους σύνδυο πράττειν ἐπὶ τοῖς οὕτω βάλλουσιν ἀπὸ ἀσπίδων σκεπάσματος. (v. 268—72) Τὸ δὲ «αὐτὰρ ὅ γ' ἥρως παπτήνας» καὶ ἑξῆς, δόξοι ἂν σόλοικον εἶναι, εἰ μή τις ἀναστρέψας τὴν φράσιν καταστήσει τὴν σύνταξιν οὕτως· Ἐπειδὰν δὲ ὁ ἥρως παπτήνας βάλοι τινὰ ὀϊστεύσας ἐν ὁμίλῳ, ὁ μὲν βληθεὶς ἔκειτο πεσών, Τεῦκρος δὲ ἀναχωρήσας ἐγίνετο ὑπὸ τῷ σάκει τοῦ Αἴαντος. [Ἐστρύφνωται οὖν ἡ φράσις ἐπίτηδες ἀκολούθως τῇ ἐνταῦθα συγχυτικῇ ἀγωνίᾳ τῶν ἡρώων, ἴσως δὲ καὶ λόγῳ ποιητικοῦ σχεδιασμοῦ διὰ τὸ ἀμελέτητον.] (v. 271 s.) Τὸ δὲ «δύσκεν εἰς Αἴαντα» σεμνότερον τοῦ εἰπεῖν ὑπὸ Αἴαντα. τὸ γὰρ τοιοῦτον οἰκεῖον ἦν βρέφει τῷ, ὡς εἴρηται, ὑπὸ τὴν μητέρα δύντι. (v. 273) Ὅτι ἐνδιάθετον σχῆμα, ὡς ἐν θαύματι, τὸ «ἔνθα τίνα πρῶτον Τρώων ἕλε Τεῦκρος ἀμύμων».

2.579

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Καὶ μὴν οὐ πολλοὺς πάνυ ἀλλά, ὡς καὶ ἐκεῖνος λέγει, ὀκτὼ μόνους ἀνεῖλε. Διὸ οὐδὲ ἠξίωσεν εἰπεῖν καὶ ἐνταῦθα ὁ ποιητὴς «τίνα πρῶτον, τίνα δ' ὕστατον», ὡς ἐποίησεν ἀλλαχοῦ. (v. 276) Ἐν δὲ τοῖς ῥηθεῖσιν ὀκτώ, οὓς ἕως νῦν ἔρριψεν ὁ Τεῦκρος, ὀνομάζει τινὰ ὁ ποιητὴς Ἁμοπάονα, ὃν οἱ γράφοντες ἅμ' ὀπάονα ἐν δυσὶ μέρεσι λόγου σφάλλονται τῆς ὀρθότητος. (v. 279) Ὅτι τὸ ὀϊστοῖς θανατοῦν ἀπὸ τόξου ἀπόλλειν φησίν, ἔνθα τὸν Τεῦκρον ἰδὼν γήθησεν «Ἀγαμέμνων τόξου ἀπὸ κρατεροῦ Τρώων ὀλέκοντα φάλαγγας». Καὶ ὅρα τὸ «κρατεροῦ», ἐξ οὗ καθ' ὁμοιότητα καὶ ἀνὴρ κρατερός καὶ μῦθος κρατερός καὶ Ἀΐδης πυλάρτης κρατερός. Ὅτι δεῖ τοὺς στρατηγοὺς περιϊέναι ἀναγκαίως τὰ κατὰ τὴν μάχην καὶ τοὺς πολεμιστὰς ἐφορᾶν, ὡς ἂν καὶ ἐκεῖνοι ἐπιστρεφῶς ἔχοιεν τοῦ ἀριστεύειν, εἰδότες ὡς ἐπιστατοῦσι τοῖς αὐτῶν ἔργοις οἱ στρατηγοί, καὶ αὐτοὶ δὲ εἰδεῖεν, τίς μὲν ὁ ἀριστεύων, τίς δὲ ὁ ἐθελοκακῶν ἢ καὶ λειποτακτῶν, καὶ τὸν μὲν γεραίρωσι, τὸν δὲ ἐρεθίζωσι, τὸν δὲ κολάζωσι. Χρὴ δὲ καὶ ὑποσχέσεσιν ἀγαθαῖς ἐπαίρειν τοὺς μαχομένους, ὡς ἂν ἔχοιεν τὰ ἐν ἐλπίσι δῶρα, οἷον ἄπονα λάφυρα, ἃ δὴ πάντα καὶ Ἀγαμέμνων, ὡς εἰκός, ἐποίει. Οὔκουν ἔλαθεν αὐτὸν ἄρτι οὐδ' ὁ Τεῦκρος ἀριστεύων. (v. 280—91) Διὸ στὰς παρ' αὐτὸν λόγοις τε ἐξαίρει καὶ δώρων ὑποσχέσεσιν ἐπαίρει διαθερμαίνων εἰς πόλεμον, εἰπὼν «Τεῦκρε, φίλη κεφαλή, Τελαμώνιε, κοίρανε λαῶν, βάλλ' οὕτως, αἴ κέν τι φόως Δαναοῖσι γένηαι πατρί τε σῷ Τελαμῶνι, ὃς ἔτρεφε τυτθὸν ἐόντα, καί σε νόθον περ ἐόντα κομίσσατο ᾧ ἐνὶ οἴκῳ. τὸν καὶ τηλόθ' ἐόντα ἐϋκλείης ἐπίβησον. σοὶ δ' ἐγὼν ἐξερέω, ὡς καὶ τετελεσμένον ἔσται· αἴ κέν μοι δώῃ Ζεὺς καὶ Ἀθήνη Ἴλιον ἐξαλαπάξαι, πρώτῳ τοι μετ' ἐμὲ πρεσβήϊον ἐν χερσὶ θήσω, ἢ τρίποδα ἠὲ δύω ἵππους αὐτοῖσιν ὄχεσφιν ἠὲ γυναῖχ', ἥ κέν τοι ὁμὸν λέχος εἰσαναβαίνοι». Ἐφ' οἷς ὁ Τεῦκρος λαλεῖ καὶ ποιεῖ τὰ δηλωθησόμενα. (v. 281) Ἰστέον δὲ ὅτι ἐν τῷ «φίλη κεφαλή» τὸν ὅλον Τεῦκρον ἐδήλωσεν ἀπὸ τοῦ καιριωτάτου μέρους. Καθόλου γὰρ οὐκ ἔστιν ἄλλως ἀπὸ μέρους καλέσαι τὸ ὅλον, εἰ μὴ τὸ μέρος ἐκεῖνο εἴη λόγου ἄξιον. [Τοιοῦτον σὺν ἄλλοις καὶ τὸ «ὤνησας κραδίην Διός», ἤγουν αὐτὸν τὸν Δία, καὶ τὸ «ἤγομεν ἐνθάδε πάντα».

2.580 Ἐκ μέρους γὰρ τοῦ τῶν ἀγομένων ἐμψύχων καὶ τὰ φερόμενα ἐξ αἰχμαλωσίας ὡς ἄψυχα ἐδήλωσε, τουτέστι τὰ φορτίου δίκην βασταζόμενα.] Ἰστέον δὲ ὡς Ὁμήρου ἀρχὴν ἐνδόντος λαλεῖται παρὰ τοῖς ὕστερον οὐ μόνον τὸ τιμία κεφαλὴ καὶ ἀξία τοῦ παντὸς καὶ σεβασμία, καὶ ὅσα τοιαῦτα σεμνά, ἀλλὰ καὶ ἀνάπαλιν. Κακὴ γοῦν κεφαλή ποτε καὶ ἀναιδὴς καὶ μισητὴ καὶ τοιαῦθ' ἕτερα. (v. 282) Τὸ δὲ «βάλλ' οὕτως» καὶ ἑξῆς ὁ στίχος ὅλος, εἴωθεν ἐπιλέγεσθαι τῷ ἐπιτυχῶς εἰς ἔργον σπεύδοντι. [Βάλλειν γὰρ τὸ ἐπιτυγχάνειν καὶ ἐνταῦθα. οὐ μὴν ἔστι νοῆσαι βάλλειν ἄρτι καὶ τὸ ἁπλῶς ἀφιέναι βέλος ἐκ τόξου, καὶ ὡς ἄν τις εἴποι, ῥίπτειν. Καὶ συλλαλεῖ τῇ ἐννοίᾳ ταύτῃ καί τις παλαιὸς αἶνος, ἤγουν γρῖφος, εἰπεῖν δὲ σαφέστερον, αἴνιγμα, κείμενον παρὰ Κλεάρχῳ, εἰπόντι ἐμμέτρως οὕτω «αἶνός τίς ἐστιν ὡς ἀνήρ τε κοὐκ ἀνήρ, ὄρνιθά τε κοὐκ ὄρνιθα, ἰδών τε κοὐκ ἰδών, ἐπὶ ξύλου τε κοὐ ξύλου, καθημένην τε κοὐ καθημένην, λίθῳ τε κοὐ λίθῳ, βάλοι τε κοὐ βάλοι». Ἐνταῦθα γὰρ τὸ μὲν βάλοι ἀντὶ τοῦ ἀφήσοι, πέμψοι, ῥίψοι, τὸ δὲ οὐ βάλοι ἀντὶ τοῦ οὐκ εὐστοχήσοι, οὐκ ἐπιτύχοι, ἵνα λέγῃ τὸ συμποσιακὸν ἐκεῖνο γριφῶδες πρόβλημα, ὅτι εὐνοῦχος νυκτερίδα θεασάμενος καὶ οὐ παριδὼν ἐπὶ νάρθηκος κυρίως μὲν οὐ καθημένην, ἄλλως δὲ καθημένην, ἐπειδὴ τὰ πτηνὰ καθέζεσθαί φαμεν, ὅτε μὴ πέτανται, ψευδολίθῳ κισσήρει βάλοι μὲν κατὰ μόνην ῥῖψιν καὶ ἄφεσιν κισσήρεως, οὐ μὴν καὶ βάλοι ἐπιτυχῶς καὶ εὐστόχως. Ἵνα νοῆται, ὅτι ἀφῆκε μὲν βέλος κίσσηριν, οὐκ ἐπέτυχε δέ. ὥστε βαλεῖν ἔσται ποτὲ καὶ τὸ ἁπλῶς ἀφεῖναι βέλος ἐφέσει τοῦ τυχεῖν.

2.581 ] Φῶς δὲ κἀνταῦθα τὴν νίκην λέγει, ὡς τῶν ἡττωμένων ὑπὸ σκότει δοκούντων εἶναι, καθὰ καὶ Πίνδαρος φράζει σαφῶς. Κατὰ πλεονασμὸν δὲ τὸ φῶς γίνεται φόως, ὡς καὶ ἡ Κῶς Κόως. (v. 283) Τὸ δὲ «ὃς ἔτρεφε» λείπεται τῆς σε ἀντωνυμίας. (v. 283- 5) Τὸ δὲ «ἐόντα» τρὶς ἐνταῦθα κεῖται διὰ τὸ καίριον· τυτθὸν ἐόντα, νόθον ἐόντα, τηλόθι ἐόντα. (v. 284) Νόθον δὲ τὸν Τεῦκρον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ βασιλεὺς λέγει ἁπλοϊκῶς αὐτὸ λέγων τὸ ὄν, οὐ μὴν ὀνειδίζων ὅτε καὶ κολακεύειν ἐχρῆν. Δῆλον δ’ ὅτι οὐδ’ ἦν ἐν ὀνείδει τοῖς παλαιοῖς ἡ νοθεία. Ἐπεὶ γὰρ νενόμιστο παλλακὰς ἔχειν, διὰ τοῦτο καὶ οἱ ἐξ αὐτῶν νόθοι μὲν ἐκαλοῦντο ἀκαταγνώστῳ καὶ ἀνεμεσήτῳ κλήσει, οὐδὲν δὲ ἧττον ἐτιμῶντο τῶν γνησίων οἱ ἐν νόθοις ἀγαθοί, ἐπεὶ οὐδὲ ἡ παλλακὴ ἐφύβριστον ἦν ὄνομα. Πόθεν δὲ γίνεται ὁ νόθος, ἡ Ὀδύσσεια δηλοῖ. (v. 281) Βασιλικὸς δὲ ἦν εὐγενὴς ὁ Τεῦκρος Ἡσιόνῃ γεννηθείς, τῇ ἀδελφῇ τοῦ Πριάμου, ἣν ὁ Τελαμὼν γέρας ἔλαχε πολέμου ἐν Τροίᾳ ποτὲ ὑφ’ Ἡρακλέους, ὅτε διὰ τοὺς ἵππους τοῦ Λαομέδοντος πλεύσας εἷλε τὴν Τροίαν. Διὸ καὶ οἰκείως Τεῦκρος ἐκλήθη, ὄνομα τοῦτο ἐπιχώριον τοῖς Τρωσί. Τεῦκροι γὰρ οἱ Τρῶες, ἢ Τευκροί ὀξυτόνως, ὡς πολλοῖς δοκεῖ τῶν παλαιῶν, ἀπό τινος ὁμωνύμου ἀνδρός. ὅθεν οἰκεῖόν ἐστι Τεῦκρον καλεῖσθαι τὸν προσεχῶς μὲν Σαλαμίνιον υἱὸν Τελαμῶνος, ἀνέκαθεν δὲ Τρωϊκόν. Τὸ δὲ «ᾧ ἐνὶ οἴκῳ» διασαφητικόν ἐστι τοῦ κομίσατο, ὅ ἐστι κομιδῆς ἠξίωσε. κομίζει μὲν γάρ τις ἄγων τινὰ εἰς οἶκον, ἐπιμελείας δὲ ἀξιοῖ οὐκ εἰς οἶκον, ἀλλ’ ἐν οἴκῳ. (v. 285) Τὸ δὲ «ἐπίβησον εὐκλείας», ἀντὶ τοῦ ἐπιβίβασον, ὅμοιόν ἐστι τῷ «αὐτονυχεὶ νηῶν ἐπιβησέμεν».

2.582 Τοιοῦτον δὲ καὶ τὸ «κακῶν ἐπιβασκέμεν υἷας Ἀχαιῶν», καὶ παρὰ Σοφοκλεῖ τὸ «εὐσεβείας ἐπιβαίνοντες», ἤγουν εὐσεβοῦντες. Λέγει οὖν ὅτι ἀναβίβασον εἰς εὔκλειαν τὸν πατέρα σου, εἰ καὶ τηλόθι ἐστίν. Ὡς γὰρ θανὼν πατὴρ κλεΐζοιτ’ ἂν ὑπὸ παιδὸς ἀγαθοῦ, ὡς οἷον ἀναγόμενος ἄνω τῷ κλέει, φελλοὶ ὅπως δίκτυον ἀνέχουσιν ἄνω κατ’ Αἰσχύλον, οὕτω καὶ τηλόθι ὢν κλέος ἔχει. Ἔστι δὲ τὸ «ἐϋκλείης ἐπίβησον» περίφρασις τοῦ κλεΐσον. (v. 288) Οὕτω δὲ καὶ τὴν Ἴλιον περιφραστικῶς Ἰλίου εὐκτίμενον πτολίεθρον λέγει, ὡς καὶ ἀλλαχοῦ Τροίης ἱερὸν πτολίεθρον ἀντὶ τοῦ Τροίαν. (v. 289) Τὸ δὲ «πρώτῳ σοι μετ’ ἐμέ» πρὸς ἀκρίβειαν ὑποσχέσεως κεῖται, ἵνα μὴ καὶ πρὸ αὐτοῦ τοῦ βασιλέως λαβεῖν ἴσως ἐθελήσῃ πρεσβεῖον ὁ Τεῦκρος, ὅπερ ἐζήτησεν ἄν, εἰ μὴ τὸ μετ’ ἐμὲ νῦν προσέκειτο. Πρόσκειται δὲ τὸ τοιοῦτον καλῶς, ἵνα τὸ βασιλικὸν καὶ οὕτω φυλάττοιτο σέμνωμα καὶ μὴ τὸ καθῆκον κλέος εἰς οὐδὲν δέον πρόοιτο ὁ βασιλεύς. Τὸ δὲ πρεσβήϊον, ἤτοι πρεσβεῖον, δῶρον δηλοῖ τίμιον, ἤγουν τοῖς πρεσβυτέροις καὶ ἐντίμοις διδόμενον, [ὅπερ ἀριστεῖον οἱ μεθ’ Ὅμηρόν φασιν, ἵνα ἐπεὶ οἱ αὐτοὶ καὶ γέροντες λέγονται καθ’ Ὅμηρον ὡς τίμιοι καὶ ἀριστεῖς δέ εἰσιν, εἴη καὶ τὸ αὐτῶν γέρας καὶ ἀριστεῖον διὰ τοὺς ἀρίστους καὶ πρεσβεῖον διὰ τοὺς κατὰ τιμιότητα γέροντας.] (v. 290 s.) Μικρὸν μὲν οὖν τρίπους ἢ ξυνωρὶς ἢ γυνὴ αἰχμάλωτος, μέγα δὲ ἄλλως ἕκαστον τούτων, ὡς γέρας. Ἀχιλλεὺς μὲν οὖν γυναικὸς τοιαύτης στερηθεὶς τὴν θρυλουμένην μῆνιν ἔπαθε. Τεῦκρος δὲ ἐκ τοιούτου δώρου Τελαμωνιάδης ἐστί. Τὸ δὲ «αὐτοῖσιν ὄχεσφιν» ἀντὶ τοῦ σὺν αὐτοῖς ἅρμασιν Ἀττικῶς. Ἓν δὲ νοητέον ἅρμα διὰ τοὺς δύο ἵππους, εἰ καὶ συνήθως Ἀττικῷ ἔθει πεπλήθυνται καὶ νῦν τὸ «ὄχεσφι». Τὸ δὲ «ὁμὸν λέχος εἰσαναβαίνοι» ἐκερδάνθη μὲν τῷ βασιλεῖ ἐκ τῆς τοῦ φιλοβασιλέως ῥήτορος δημηγορίας, εἰπόντος «ἄλοχοι δέ», αἱ τῶν Τρώων δηλαδή, «ἄλλοισι μιγεῖεν». Σεμνῶς δὲ πέφρασται ἀντὶ τοῦ· «ἥτις ἂν εἴη συγκοιμωμένη σοι», ὡς μὴ ἁπλῶς αἰχμάλωτος δούλη, ἀλλὰ καὶ οἵα εἶναί σοι εἰς παλλακὴν καί που καὶ παῖδα τεκέσθαι ὑπὸ σοί, ὁποῖος αὐτὸς τῷ Τελαμῶνι ἐκ τοιαύτης γέγονας. Τὸ γὰρ λέχος εἰσαναβαίνειν τὸ εἰς τὴν αὐτὴν κοίτην ἰέναι δηλοῖ σαφῶς καὶ ἄλοχον εἶναι, ἐπείπερ τὸ ὁμὸν λέχος εἰ συντεθῇ, ποιεῖ τὸν ὁμόλεκτρον, τοῦτο δέ ἐστιν ἄλοχος. (v. 293—5) Ὅτι ὁ ἐφ’ οἷς σπεύδει ἐποτρυνόμενος καὶ ἀκούων τὸ «βάλλ’ οὕτως» καὶ ἑξῆς, ὡς εἴρηται, καλῶς ἂν εἴποι τὸ «τί με σπεύδοντα καὶ αὐτὸν ὀτρύνεις;

2.583 οὐ μέν τοι ὅση δύναμίς γε πάρεστι, παύομαι», ἢ «παύσομαι». τοῦτο δὲ ἑρμηνεία τοῦ σπεύδειν ἐστί. σπεύδει γὰρ πάντως ὁ μὴ παυόμενος πονεῖν, ὅση δύναμίς γε πάρεστι. Τὸ δὲ ῥηθὲν Ὁμηρικὸν ῥητόν, ὃ Τεῦκρος εἶπεν ὀτρύνοντι τῷ βασιλεῖ, παρεποιήθη τοῖς μεθ’ Ὅμηρον εἰς παροιμίαν ἀποφαντικὴν ταύτην· σπεύδοντα ὀτρύνεις. (v. 296) Ἐν τούτοις δὲ κεῖται καὶ τὸ δεδεγμένος, ὁ προσέχων καὶ παρατηρῶν, ἐξ οὗ καὶ ἡ ἀλλαχοῦ ῥηθεῖσα ὁδοῦ προδοκή. Φησὶ γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«τόξοις δεδεγμένος ἄνδρας ἐναίρω». Ἴσως δὲ καὶ ταὐτόν ἐστιν ἀστείως τῷ φιλοφρονούμενος, δεξιούμενος, ἵνα ὥσπερ δώροις ἢ δαιτὶ δεξιοῦνταί τινες, οὕτω καὶ Τεῦκρος τοὺς Τρώας τόξοις οἷς ῥίπτει αὐτούς. [Οὕτω καὶ τὸν Ἅιδην παρὰ Λυκόφρονι, καθά τινες νοοῦσι, τόξοις ὁ Ἡρακλῆς ἐδεξιώσατο βαλὼν ἐκεῖνον.] Σύστοιχον δὲ τῷ δεδεγμένος καὶ τὸ «ἠὲ σὺ τόνδε δέδεξο». (v. 297—9) Ὅτι ἐν τῷ «ὀκτὼ δὴ προέηκα τανυγλώχινας ὀϊστούς, πάντες δ' ἐν χροῒ πῆχθεν ἀρηϊθόων αἰζηῶν. τοῦτον δ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα», ἢ «λωβητῆρα», κύνα τὸν Ἕκτορα καλεῖ ὁ Τεῦκρος διὰ τὸ πολὺ τῆς θρασύτητος. Ἐνταῦθα δέ τις ψέγειν ἐθέλων τὸν Τεῦκρον ἐπιχειρήσοι ἂν οὕτως, ὡς ἢ κατὰ τοῦ Ἕκτορος ἀφίησι τοὺς ὀϊστοὺς ἢ οὔ. εἰ μὲν οὖν οὐ τοξεύει κατ' ἐκείνου, ἀλλ' ἐν ὁμίλῳ, καθὰ προείρηται, τί δή ποτε δυσχεραίνει μὴ βάλλων ὃν οὐ προέθετο εἰς σκοπόν; εἰ δὲ σκοπὸς αὐτῷ τῆς βολῆς ὁ Ἕκτωρ, μάτην αὐτὸν ὁ βασιλεὺς ἐξαίρει, ἐπιτυχῆ νομίζων τοξότην ἐν οἷς δυστυχεῖ μὴ ἐπιτυγχάνων τοῦ σκοποῦ. Λυθήσεται δὲ τὸ ἄπορον, εἴ τις εἴποι ὅτι θέλει μὲν ὁ Τεῦκρος βαλεῖν τὸν Ἕκτορα καὶ δύναται δὲ ὡς τοξότης εὔστοχος, καὶ ἄλλως γε μὴν οὐ δύναται ὡς ἢ μὴ ἐξικνούμενος τῷ ἀσυμμέτρῳ τοῦ διαστήματος ἢ διὰ τὸ ὑπὸ θυμοῦ σφάλλεσθαι.

2.584 Φησὶ γὰρ προϊὼν ὁ ποιητής, ὅτι «καὶ τόθ' ἅμαρτε, παρέσφηλε γὰρ Ἀπόλλων». Σημείωσαι δὲ ὅτι τὸ ὀκτὼ παρῳδήσας τις παλαιὸς καὶ εἰπὼν «πολλοὺς δὴ προέηκα» καὶ ἑξῆς τοὺς δύο στίχους τὸν πρῶτον καὶ τὸν τρίτον ἕως τοῦ λυσσητῆρα, προσήρμοσε τὰ ἔπη τῷ κυνικῷ Διογένει, ὡς οἷα τῆς τύχης λεγούσης, ὡς πολλοῖς μὲν βέλεσι δυσπραγιῶν κατεστοχασάμην τοῦ φιλοσόφου τούτου κυνός, βλάψαι δὲ οὐκ ἔσχον αὐτόν. (v. 297) Τανυγλώχινες δὲ ὀϊστοί ἀντὶ τοῦ ὀξυγώνιοι, μακρογώνιοι. Γλωχίν γὰρ καὶ ἀλλαχοῦ ἡ γωνία δηλοῦται. (v. 299) Τὸ δὲ «λυσσητῆρα» ἐπίτασίς ἐστι σκώμματος, εἴγε μὴ μόνον κύων ὁ Ἕκτωρ, ἀλλὰ καὶ λυσσητήρ. (v. 300—2) Ὅτι ἀποτυχίαν τοξότου φράζει ἐν τῷ «καὶ ἄλλον ὀϊστὸν ἀπὸ νευρῆφιν ἴαλλε τοῦ δεῖνος ἀντικρύ, βαλέειν δέ ἑ ἵετο θυμός· καὶ τοῦ μὲν ἀφάμαρτε». τοῦτο δὲ καὶ μετ' ὀλίγα οὕτω κεῖται διττολογηθὲν συνήθως. [Ὅρα δὲ τὸ «ἴαλλε», δηλοῦν φανερῶς τὸ ἔπεμπεν. Ἐξ οὗ πάντως καὶ τὸ χεῖρας ἐπὶ δαῖτα προϊάλλειν λέγεται τροπικώτερον.] (v. 302—8) Ὅτι Γοργυθίων νόθος Πριάμου υἱός, ὃν «ἐξ Αἰσύμηθεν ὀπυιομένη τέκε μήτηρ, καλὴ Καστιάνειρα, δέμας εἰκυῖα θεῇσιν», εἴνατος ὑπὸ Τεύκρου κατὰ τὸ στῆθος ἐβλήθη. «Μήκων δ' ὡς ἑτέρωσε κάρη βάλεν, ἥ τ' ἐνὶ κήπῳ καρπῷ βριθομένη νοτίῃσί τε εἰαρινῇσι». Νοητέον δὲ τὸν Πριαμίδην τοῦτον σφηκώδη τὰ μέσα τοῦ σώματος καὶ κρέασι μὲν οὐ πεπληθυσμένον, μήκους δὲ διαστάσει πεφιλοτιμημένον ἐκ φύσεως καὶ ἐπιεικῶς ὄρθιον. Ταῦτα γὰρ λογίζεσθαι δίδωσιν ἡ παραβολὴ τῆς μήκωνος, ἥτις ἐκ τοῦ μήκους παρωνομασμένη μάκων εἰσέτι καὶ νῦν παρ' ἐνίοις λέγεται, βαρβάροις μέν, ἐοικόσι δὲ ἀπήχημα φυλάττειν γλώσσης Ἑλληνίδος παλαιᾶς. Εἰ δὲ καὶ ἡρωϊκῆς εἶχέ τι γενναιότητος ὁ ἀνήρ, αἰγείρῳ ἂν αὐτὸν ἢ ἑτέρῳ τινὶ φυτῷ μεγαλοφυεῖ παρείκασεν ὁ ποιητής, ἐξ ὧν τοῖς ἥρωσι τεκταίνεται τὰς παραβολάς.

2.585 Ἐνταῦθα δὲ ἀστεία τις περιπέτεια τὸ κατὰ Πριαμίδου τοῦ Ἕκτορος βαλόντα τὸν Τεῦκρον ἐκείνου μὲν ἀποτυχεῖν, Πριαμίδην δὲ ὅμως ἕτερον ἀνελεῖν καὶ αὐτὸν νόθον τῷ Πριάμῳ, ὁποῖος καὶ ὁ Τεῦκρος ἦν τῷ Τελαμῶνι, ὡς εἶναι τὸν Τεῦκρον εἰπεῖν καὶ αὐτόν, ὅτι οὐδ' οὕτω κακῶς, ὃ δὴ λέγεται εἰπεῖν καὶ ὁ κατὰ κυνὸς μὲν λίθον ἀφείς, κρούσας δὲ τὴν μητρυιάν. (v. 309—13) Οὐ τοῦτον δὲ μόνον ὁ Τεῦκρος ἔρριψεν ἐρεθισθεὶς οἷς ὁ βασιλεὺς εἶπεν, ἀλλὰ καὶ θρασὺν ἡνίοχον Ἕκτορος ὁμοίως βαλὼν ἀνεῖλε. Καὶ οὕτως ἐγγὺς μὲν ἥκει τοῦ καὶ εἰς τὸν Ἕκτορα κακοῦ, ἀνελεῖν δὲ αὐτὸν οὐκ ἔχει, ὅτι μηδὲ δύναται ὁ ποιητὴς πλάσασθαί τι παρὰ τὴν τῆς ἱστορίας ἀλήθειαν. (v. 304) Τὸ δὲ «ἐξ Αἰσύμηθεν» ἀντὶ τοῦ ἐξ Αἰσύμης πόλεως Θρακικῆς, ὡς ὁ τὰ Ἐθνικὰ γράψας δηλοῖ. Περισσῶς δὲ κεῖται ἡ ἐξ πρόθεσις καὶ ἐν τῷ «ἐξ Αἰσύμηθεν», ὡς καὶ ἐν τῷ «ἐξ οὐρανόθεν» καὶ ἐν ἄλλοις. Τὸ δὲ ὀπυίειν, ἐξ οὗ ἡ ὀπυιομένη, οὐ διὰ μόνου τοῦ υ διχρόνου ἀλλὰ σὺν τῷ ι ἔχει τὴν παραλήγουσαν κατὰ παλαιὰν παράδοσιν. Διὸ οὐδὲ κινεῖται ὁ τοιοῦτος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνεστὼς εἰς μέλλοντα καὶ τοὺς ἐφεξῆς χρόνους, εἰ καὶ ἡ σχεδικὴ τόλμα ἐθρασύνατο ἐν τῷ ὠπύθη, νεωτερισαμένη κατὰ τῶν παλαιῶν. (v. 305) Καλὴν δὲ εἰπὼν τὴν ῥηθεῖσαν γυναῖκα ἑρμηνεύει τὴν λέξιν περιφραστικῶς εἰπὼν «δέμας ἐοικυῖα θεαῖς», ὡς τοῦ κάλλους, ᾧ παρονομάζεται ἡ καλή, μὴ προσώπῳ μόνῳ ἐμφαινομένου ἀλλὰ καὶ καθ’ ὅλον δέμας, ὡς ἐν συμμετρίᾳ θεωρουμένου τῶν ὅλων μερῶν τοῦ σώματος. [Τὸ δὲ «εἰκυῖα», ὃ γίνεται ἀπὸ τοῦ εἴκω, τὸ ὁμοιῶ, καθὰ καὶ ἄλλα ὅμοια, οὐκ ὤφειλε μὲν ἔχειν τὸ σύμφωνον τοῦ ἐνεστῶτος, ὡς τὸ ἐοικυῖα, ὃ χρόνου μέσου παρακειμένου ἐστίν. ἔσχε δὲ ὅμως αὐτὸ διὰ τὸ εὐφωνότερον ὡς ἀπὸ ἐνεργητικοῦ παρακειμένου τοῦ εἶκα.

2.586 Ὅτι δὲ ἀναλογώτερον τὸ οἰκυῖα, δῆλον ἐκ τοῦ οἰκός, ἤγουν ἐοικός, ὃ κεῖται παρά τε Ἡροδότῳ καὶ ἄλλοις.] (v. 306) Ὅτι δὲ μήκων καὶ σηπίας μέρος ἐστί, δῆλον, ὡς εἶναι καὶ τὴν λέξιν ταύτην ὁμώνυμον. Ὅρα δὲ καὶ τὸ «κάρη βάλεν», ἀντὶ τοῦ ἔκλινε τὴν κεφαλήν, καινῶς οὕτω λεχθέν. καὶ ἴσως ἀντὶ τοῦ ἔθηκε συνήθως εἴληπται. εἰκὸς γὰρ κλιθεῖσαν τὴν κεφαλὴν ἐπιτεθῆναί που τοῖς ἐκ πλαγίων μορίοις. δύναται δὲ εἶναι καὶ ἀντὶ τοῦ ἔρριψε. (v. 306 s.) Τὸ δὲ «ἣ ἐν κήπῳ καρπῷ βριθομένη», ὀρθῶς μὲν εἰπεῖν, λείπεται τοῦ ἔστιν, ἵνα λέγῃ ὅτι ἥτις τῷ καρπῷ βαρουμένη ἐστί. Τῶν τινες δὲ παλαιῶν ἠθέλησαν τὸ βριθομένη νοῆσαι ἀντὶ τοῦ βρίθεται, εἰπόντες εἰλῆφθαι μετοχὴν ἀντὶ ῥήματος καὶ σημειωσάμενοι τὴν λέξιν ὡς καινοσχήμονα. Ἔχει δὲ ὁμοιότητα πρὸς τοῦτο καὶ τὸ «μῦθος δ’ ὃς μὲν νῦν εἰρημένος ἔστω», ἤγουν ὃς νῦν εἴρηται. Ὅμοιον καὶ παρὰ τῷ Ὁμηρικῷ ζηλωτῇ Σοφοκλεῖ τὸ «πρῶτά σε κεκλόμενος». ἢ γὰρ καὶ ἐκεῖ λείπει τὸ εἰμί ἢ τὸ κεκλόμενος ἀντὶ τοῦ κέκλομαι εἴληπται. [Χρῆσις δὲ ὁμοία σεσημείωταί που εἶναι καὶ παρὰ τῷ Πινδάρῳ ἐν Ὀλυμπιονίκαις.] Τὸ δὲ «καρπῷ βρίθεσθαι καὶ νοτίαις ἔαρος» πρὸς τὸ τῆς παραβολῆς ἀσφαλὲς εἴρηται. Τοιαύτη γὰρ μήκωνι ὁ βληθεὶς ἔοικεν, οὐ μὴν τῇ ὀρθοτενεῖ διὰ τὸ καὶ ἄκαρπον καὶ ἀνότιστον. Τὸ δὲ «νοτίαις» ἔπεσε μὲν ἤδη καὶ εἰς κοινολεξίαν παρὰ τοῖς ὕστερον διὰ τὸ σαφῶς πεφράσθαι, ἐλλιπῶς δ’ ἔχει. Τὸ γὰρ ἐντελές, νοτίαις πνοαῖς ἢ ὑγρότησι, ταῖς ἐκ νότου δηλαδή, [αἷς κατὰ τὴν ἐκ μέρους δήλωσιν τοῦ ὅλου συννοοῦνται καὶ αἱ βόρειοι καὶ αἱ κατὰ ζέφυρον καὶ αἱ λοιπαὶ πνοαί.

2.587 ] (v. 308) Ἰστέον δὲ ὅτι τὸ ἔβαλεν ἤμυσε κατωτέρω φησίν, ὃ καὶ αὐτὸ σημαίνει τὸ ἔκλινε. Φησὶ γὰρ «ὣς ἑτέρωσε ἤμυσε κάρη, πήληκι βαρυνθέν». Καὶ σημείωσαι τοῦτο πάνυ συστατικὸν τῆς παραβολῆς ὄν. Ὡς γὰρ καρπὸς καὶ ὑγρότης πλαγιάζει τὸ ἄνω τῆς μήκωνος, οὕτω καὶ πήληξ βαρύνασα κεφαλὴν ἑτέρωσε αὐτὴν βάλλει. Ὅτι δὲ ἡ μήκων καὶ κώδεια λέγεται, ὃ δὴ καὶ αὐτὸ λαλεῖται μέχρι καὶ νῦν, δηλοῖ ἀλλαχοῦ ὁ ποιητὴς ἐν τῷ «φῆ κώδειαν ἀνασχών». (v. 311) Ὅτι ὡς ἐπὶ πολὺ μὲν τὸ σφάλλειν τινὰ καὶ σφάλλεσθαι ὑπό τινος ἐμποδισμὸν δηλοῖ κατὰ τὸ σύνηθες, ὅθεν καὶ τὸ ἐν Ὀδυσσείᾳ σφέλας, καὶ ἀνασφάλλειν, τὸ ἀνεγείρεσθαι εἴτε ἀπὸ νόσου εἴτε ἀπὸ ἑτεροίου πτώματος. Ἐνταῦθα δὲ σφάλμα ἡ τῆς βολῆς ἀποτυχία, ἐν τῷ «ἀλλ’ ὅ γε καὶ τόθ’ ἅμαρτε, παρέσφηλε γὰρ Ἀπόλλων», [ἤγουν ἐγγὺς τοῦ σφαλῆναι ἤγαγεν. Ἐγγύτητα γὰρ ἐνταῦθα δοκεῖ σημαίνειν ἡ παρα πρόθεσις, ἴσως δὲ καὶ παρέκνευσίν τινα τῆς ὀρθῆς. Ὅρα δὲ τὸ «καὶ τότε», δι’ οὗ δηλοῦται ὅτι καὶ τὰς ἄλλας βολὰς ὁ Ἀπόλλων παρέσφαλλεν.] (v. 315) Ὅτι τὸ ἔθανε περιφράζων φησὶ «τοῦ δ’ αὖθι λύθη ψυχή τε μένος τε». [(v. 316) Ὅτι διαχέει μὲν ἡ χαρά, ὡς δῆλον καὶ ἐκ τοῦ χαίρειν, ὅπερ ἀπὸ τοῦ χέω χῶ γίνεται, πυκνοποιεῖ δὲ ἡ λύπη. Διό φησιν ὁ ποιητής, ὅτι τὸν Ἕκτορα αἰνὸν ἄχος πύκασεν, ἤγουν ἐπύκνωσε. Πυκάζειν γὰρ οὐ μόνον τὸ σκεπάζειν καὶ κρύπτειν, ἀλλὰ καὶ τὸ πυκνοῦν, ὡς ἀπὸ τοῦ πτύσσειν.

2.588 ] (v. 317) Ὅτι ὁ σπεύδων ἐπί τι μεῖζον ἀμελήσοι ἄν, ὡς εἰκός, ποτε τοῦ ἥττονος. Οὕτω καὶ Ἕκτωρ ἐνταῦθα ἐπὶ Ἀρχεπτολέμῳ οἰκείῳ ἡνιόχῳ σχὼν ἄχος βληθέντι πρὸς Διομήδους, αὐτὸν μὲν ἀφῆκε κεῖσθαι, ποιεῖ δέ τι ἄλλο τῶν πρὸ ἔργου. Φησὶ γοῦν ὁ ποιητὴς «τὸν μὲν ἔπειτ’ εἴασε καὶ ἀχνύμενός περ ἑταίρου» καὶ ἑξῆς. (v. 319) Ἐνταῦθα δὲ καὶ τὸ ἡνιοχεύειν ἀναλύων περιφραστικῶς ἵππων ἡνία ἔχειν φησί. (v. 320—9) Ὅτι ὁπηνίκα δέκατον ἔβαλε Τεῦκρος, ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐρρέθη, Ἀρχεπτόλεμον, Ἕκτορος ἡνίοχον, τότε δὴ «αὐτὸς ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος σμερδαλέα ἰάχων. ὃ δὲ χερμάδιον λάβε χειρί. βῆ δ᾽ ἰθὺς Τεύκρου, βαλέειν δέ ἑ θυμὸς ἄνωγεν», [ὅπερ ἐστι περίφρασις τοῦ προεθυμεῖτο βαλεῖν], «ἤτοι ὃ μὲν φαρέτρης ἐξείλετο πικρὸν ὀϊστόν, θῆκε δ᾽ ἐπὶ νευρῇ. τὸν δ᾽ αὖ κορυθαιόλος Ἕκτωρ αὖ ἐρύοντα παρ᾽ ὦμον, ὅθι κληῒς ἀποέργει αὐχένα τε στῆθός τε, μάλιστα δὲ καίριόν ἐστι, βάλε λίθῳ ὀκριόεντι, ῥῆξε δέ οἱ νευρήν, νάρκησε δὲ χεὶρ ἐπὶ καρπῷ, στῆ δὲ γνὺξ ἐριπών, τόξον δέ οἱ ἔκπεσε χειρός». (v. 325) Ἐνταῦθα δὲ τῶν τις παλαιῶν γραμματικῶν, Νεοτέλης τὴν κλῆσιν, λέγων Σκυθικὴν εἶναι τὴν τῆς νευρᾶς ἕλξιν, πρὸς τὸν ὦμον αὐτήν φησιν ἑλκυσθῆναι νόμῳ Σκυθῶν, καὶ ἐκεῖ γενέσθαι τὴν πληγὴν τῷ Τεύκρῳ καὶ τὴν νευρὰν οὕτω ῥαγῆναι, ὡς εἶναι δεξιὰν χεῖρα τὴν πληγεῖσαν τῷ λίθῳ καὶ ναρκήσασαν. Λέγει δὲ οὕτω διὰ τὸ τὸν Ὅμηρον εἰπεῖν «αὖ ἐρύοντα παρ᾽ ὦμον». καὶ οὕτω μὲν ὁ Νεοτέλης. Ἕτεροι δὲ εἰς τὸ «αὖ ἐρύοντα» στίζοντες, τὸ δὲ «παρ᾽ ὦμον» τοῖς ἑξῆς συντάσσοντες, ἵνα λέγῃ ὅτι παρ᾽ ὦμον ἔβαλε λίθῳ, νοοῦσι τὸν μὲν τῆς νευρᾶς ἑλκυσμὸν εἰς τὸν δεξιὸν γενέσθαι μαζὸν συνήθως τοῖς τότε, κατὰ τὸ «νευρὴν μὲν μαζῷ πέλασσε», τὸν δὲ λίθον ἐκ δεξιῶν, ὡς εἰκός, ὑφ᾽ Ἕκτορος ἀφεθέντα ῥῆξαι μὲν ὡς ἐκ παρόδου τῇ ῥύμῃ καὶ τὴν νευράν, ἐμπελάσαι δὲ τῷ ἀριστερῷ τοῦ Τεύκρου ὤμῳ. Διὸ καὶ τὸ τόξον ἐκπεσεῖν ναρκησάσης κατὰ συμπάθειαν αὐτῆς δὴ τῆς τοξοφόρου χειρός.

2.589 Καὶ δοκοῦσιν οὗτοι κρεῖττον εἰπεῖν. Καὶ γὰρ ἄλλοι τε καὶ ὁ Καισαρεὺς Προκόπιος τοῖς μὲν παλαιοῖς παρὰ μαζὸν ἱστοροῦσιν ἕλκεσθαι τὴν νευράν, τοῖς δὲ ὕστερον παρ᾽ αὐτὸ μάλιστα τὸ δεξιὸν ὠτίον. Εἰ μὴ ἄρα παίζειν ἐθέλοντες οἱ περὶ τὸν Νεοτέλην τρεῖς ἐροῦσιν ἑλκυσμοὺς νευρᾶς, δύο μὲν παλαιάς, τὴν παρὰ μαζὸν καὶ τὴν παρ᾽ ὦμον, τρίτην δὲ τήν, ὡς εἴρηται, περὶ τὸ δεξιὸν ὠτίον. καὶ τοῦτο μὲν οὕτω. (v. 320) Δίφρος δὲ παμφανόων, καθ᾽ ὃ δηλαδὴ μέρος οὐ πέπλεκται. ἄλλως γὰρ εὔπλεκτοι καὶ εὐπλεκέες λέγονται. Παμφαίνει δέ, ὡς εἰκός, χαλκῷ καί τισι τοιούτοις. (v. 321) Ὅρα δὲ τὸ «ὃ δὲ χερμάδιον λάβε». Περιττὸν γὰρ ἐνταῦθα τό «ὃ δέ». τί γὰρ ἐχρῆν εἰπεῖν «αὐτὸς δ᾽ ἐκ δίφροιο θόρεν, ὃ δὲ χερμάδιον λάβε», δυνατὸν ὂν εἰπεῖν «καὶ χερμάδιον λάβε». [Καὶ ἔστι καὶ τοῦτο σχῆμα ὡς οἷα ἐπιτετηδευμένον. ἄλλως γὰρ εἶχεν ἀσφάλτως εἰπεῖν «χαμαὶ θόρεν ἰδὲ χερμάδιον λάβεν».] Ὅτι δὲ πρωτότυπον τοῦ χερμάδιον ἡ χερμάς, καὶ ὅτι ἐν τῷ χερμάδιον λείπει τὸ λίθον, διὸ ὑποκατιὼν λίθον ὀκριόεντα τοῦτον λέγει, καὶ ὅτι ἐκ τοῦ χερὶ μάσασθαι, ὅ ἐστιν ἅψασθαι, λέγεται, —Λίθος γὰρ χειροπληθὴς ὁ χερμάδιος. —δῆλόν ἐστι. (v. 322) Τὸ δὲ «βαλέειν δέ ἑ θυμὸς ἄνωγε» πρὸ τούτων ἄλλως ἔφη ἐν δυσὶ τόποις «βαλέειν δέ ἑ θυμὸς ἵετο», ἔνθα καὶ ἐν ὅλοις στίχοις ἐταὐτολόγησε. (v. 323) Τὸ δὲ «ἐξείλετο» ἀντὶ τοῦ ἐξήγαγεν ἢ ἐξελέξατο. Πικρὸν δὲ ὀϊστόν ἢ τὸν πικροποιὸν ταῖς ὀδύναις ἢ τὸν θανάσιμον, ὁποῖον ἀλλαχοῦ τὸ τοῦ Ἀπόλλωνος βέλος ἐχεπευκές. (v. 324) Ἐν δὲ τῷ «ἔθηκεν ἐπὶ νευρῇ» τὰς τοῦ ὀϊστοῦ γλυφίδας πελασθῆναι νοητέον τῇ νευρᾷ. Τὸ δὲ «αὖ» δὶς ἐνταῦθα ἐγγυτάτω τεθὲν διάφορον σημασίαν ἔχει. Ἐν μὲν γὰρ τῷ «τὸν δ᾽ αὖ Ἕκτωρ» παραπλήρωσιν ἔχει ἄσημον.

2.590 (v. 325) Ἐν δὲ τῷ «αὖ ἐρύοντα» τὸ ἔμπαλιν καὶ ὀπίσω δηλοῖ, ἐξ οὗ καὶ τὸ σύνθετον αὐερύειν προδεδήλωται. (v. 326) Τὸ δὲ καίριον τί σημαίνει, προγέγραπται. (v. 325 s.) Νῦν δὲ τοσοῦτον μόνον ῥητέον, ὅτι τε τὴν κλεῖδα ἐνταῦθα ἐγνώρισε διὰ τοῦ εἰπεῖν ἀπείργειν αὐτὴν τὸν αὐχένα καὶ τὸ στῆθος, [μεσολαβοῦσαν οἷα καί τι κλειδίον,] καὶ ὅτι θανάσιμον δηλοῖ τὴν αὐτόθι σφοδρὰν βολήν. (v. 327) Ὁ δὲ ὀκριόεις λίθος, ἤτοι ἄκρας ἔχων καὶ τραχύς, πιθανολογεῖ τὴν ῥῆξιν τῆς νευρᾶς. ὁ γὰρ λεῖος ποιεῖν οὕτως οὐ δύναται. (v. 328) Τοῦ δὲ «ῥῆξε νευρήν» οὐκ ἔστι κρείττων λέξις. οὔτε γὰρ τὸ διέκοψεν οὔτε τὸ διέκερσεν οὔτ᾽ ἄλλο τι. Περὶ δὲ καρποῦ τοῦ κατὰ χεῖρα προγέγραπται. (v. 329) Γνὺξ δὲ πεσεῖν τὸ ἐπὶ γόνυ, ὅτε δηλαδὴ τὸ λοιπὸν τοῦ σώματος ἀνέστηκε. Διὸ ἔφη «στῆ δὲ γνὺξ ἐριπών», ὅ ἐστι πεσών. Ὁ γὰρ οὕτω σχηματισθεὶς τοῖς κάτω μὲν ἤριπεν ἕως εἰς γόνυ, τοῖς δὲ ἄνω ἕστηκεν. (v. 330 s.) Ὅτι Αἴας οὐκ ἠμέλησε κασιγνήτου, ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσεχῶς ἐρρέθη, πεσόντος, ἀλλὰ θέων περίβη, ἤγουν τῷ κειμένῳ ἐπέστη, ὥστε ὑπερμαχῆσαι. Διὸ ἐπάγει «καί οἱ σάκος ἀμφεκάλυψε». Δῆλον δ' ὅτι ταὐτὸν περιβῆναι καὶ ἀμφιβῆναι, καί εἰσιν ἄμφω λέξεις συμμαχικαί. Ὁ δὲ ῥηθεὶς Ὁμηρικὸς λόγος προσφυής ποτε παρῳδηθῆναι καὶ εἰς ἁπλῶς φιλικὴν ἐπικουρίαν, ἐφ' οἷς οἰκεῖον καὶ τὸ παροιμιῶδες «γόνυ κνήμης ἔγγιον», ὥς φασιν οἱ τὰς παροιμίας ἀναγραψάμενοι. (v. 332—4) Ὅτι φέρειν καὶ ἐνταῦθα τὸ βαστάζειν. Φησὶ γὰρ «τὸν μὲν ἔπειτα», ἤγουν τὸν Τεῦκρον, «ὑποδύντε δύω ἐρίηρες ἑταῖροι νῆας ἐπὶ γλαφυρὰς φερέτην βαρέα στενάχοντα». Καὶ ὅρα τὸ «ὑποδύντε» ἀστειότητός τι ἔχον. ὃς γὰρ ἀριστεύων πρὸ βραχέων πάϊς ὣς ὑπὸ μητέρα δύσκεν εἰς Αἴαντα, νῦν δύο ὑποδύντων αὐτὸν φέρεται. Ὧν ὁ ἕτερος Ἀλάστωρ κατὰ κυριωνυμίαν. Ὅρα δὲ οἵα ἡ τοῦ Ἕκτορος ἐν καιρίῳ βολή, διὰ χερμαδίου οὕτω ῥίψασα τὸν Τεῦκρον. (v. 335 s.) Ὅτι βληθέντος Τεύκρου, ὡς εἴρηται, λίθῳ καὶ πεσόντος «ἂψ Τρώεσσιν Ὀλύμπιος ἐν μένος ὦρσεν.

2.591 οἳ δ' ἰθὺς τάφροιο βαθείης ὦσαν Ἀχαιούς». Οὕτω δὲ καὶ ἐν ἄλλοις ἀριστέων βλαβέντων μεταβολαὶ μάχης γίνονται. Ὅρα δὲ τὸ «ὦσαν» οὐ τὴν ἐκ τῶν κάτω εἰς τὰ ἄνω ἐνταῦθα συνήθως δηλοῦν κίνησιν, ἀλλὰ τὸν ἁπλῶς ὠθισμόν. (v. 337) Ὅτι «σθένεϊ βλεμεαίνειν» κυρίως ἐπὶ λέοντος. δηλοῖ δὲ τὸ καὶ μόνῳ βλέμματι ἐκφοβεῖν, ἢ τὸ ἐνταῦθα καὶ ἐκεῖ ἐπιστρεφῶς περιβλέπεσθαι. Οἱ δὲ ἀπὸ τοῦ βρέμειν τὴν λέξιν παράγουσι, λέγοντες προϋπῆναι τὸ βρεμεαίνειν καὶ ἐξ αὐτοῦ γίνεσθαι τὸ βλεμεαίνειν, ὁμοίως τῷ «κρίβανος κλίβανος». Τῷ Ἕκτορι δὲ νῦν τὴν τοιαύτην λέξιν ἐπιλαλεῖ ὁ ποιητὴς εἰπὼν «Ἕκτωρ δ' ἐν πρώτοισι κίε σθένεϊ βλεμεαίνων», τουτέστιν οὐχ' ἁπλῶς ὢν βλοσυρός, ἀλλὰ καὶ μετὰ ἀνδρίας, ὁποῖον καὶ λέοντά που δείξει διὰ παραβολῆς. (v. 338—42) Ὅτι κἀνταῦθα κυνὶ παραβάλλει τὸν Ἕκτορα, οὐ λυσσητῆρι δέ, ἀλλ' ὃς τεχνίτης ὢν θηριομαχεῖν ποιεῖ, ἃ ἐκτίθεται ὁ ποιητής, εἰπὼν οὕτως «ὡς δ' ὅτε τίς τε κύων συὸς ἀγρίου ἠὲ λέοντος ἅπτηται κατόπισθεν ποσὶ ταχέεσσι πεποιθώς, ἰσχία τε γλουτούς τε, ἑλισσόμενον τε δοκεύει, ὣς Ἕκτωρ ὤπαζε καρηκομόωντας Ἀχαιούς, αἰὲν ἀποκτείνων τὸν ὀπίστατον, οἳ δ' ἐφέβοντο». Καὶ κατὰ τοῦτο μὲν εἰκάζονται τοῖς ὡς εἴρηται διωκομένοις ζῴοις. Καθότι δέ γε καὶ πλήττονται, ὁμοιότητα σῴζουσι πρὸς ἐκεῖνα, ὧν κύων, ὡς ἐρρέθη, κατόπισθεν ἅπτεται. Ὅρα δὲ ὅτι καὶ δυσπραγοῦντα τὸν Ἑλληνικὸν στρατὸν συάγρῳ καὶ λέοντι ὁ ποιητὴς εἰκάζει διὰ τὸ φύσει ἀνδρεῖον. καὶ τὸν Αἴαντα δὲ ἐν τοῖς ἑξῆς ἀναχωροῦντα, ὅτε ὁ Ζεὺς αὐτὸν ἐφόβησε, λέοντι παραβαλεῖ. Τὸν μέντοι νῦν διώκοντα Ἕκτορα κυνὶ ἀπεικάζει, ὡς διὰ θράσος καὶ τάχος ἐπιτιθέμενον τοῖς καὶ τοσούτοις καὶ ἀνδρείοις, ὡς ὁ κύων τοῖς γενναιοτέροις θηρίοις. (v. 338 s.) Ὅρα δὲ καὶ ὅτι τὸ ἅπτεσθαι αἰτιατικῇ συνέταξεν ἐν τῷ «ἅπτηται ἰσχία καὶ γλουτούς», εἰ μή τις ἴσως τὴν κατα πρόθεσιν προσλογίσεται, ἵνα ᾖ κατὰ ἰσχία καὶ γλουτούς. [Ἐνταῦθα δὲ ὅρα καὶ τὸ ἅπτηται ἀναιτίως ἐκτεῖνον τὴν παραλήγουσαν Ἰώνων ἔθει, ὁποῖα μυρία ἐκεῖνοι ποιοῦσι.

2.592 Τοιοῦτον δὲ καὶ πρὸ τούτων τὸ «ἀλλὰ σὺ τόν γ' ἐπέεσσι καθάπτεσθαι». σύνταξιν γὰρ ὁμοίαν καὶ ἐκεῖνο ἔσχε.] (v. 340) Γλουτοὶ δέ, φασί, περὶ ὧν καὶ προδεδήλωται, σφαίρωμα κοτύλης ἢ τὸ ὄπισθεν βαθὺ τῶν μηρῶν καὶ ἁπαλὸν καὶ γλοιῶδες, ἵνα ᾖ γλουτὸς ὡς οἷον γλοιτός. Ἰσχίον δέ, φασί, τὸ ὑπὸ τὴν ὀσφὺν ὀστοῦν, εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστοῦν, ὃ καὶ γλουτὸς καλεῖται, καὶ κοτύλη δὲ διὰ τὴν κοιλότητα. καὶ ἄλλως δὲ ἰσχίον τὸ κοῖλον τοῦ γλουτοῦ, ἐν ᾧ ἡ κοτύλη στρέφεται. Ῥοῦφος δὲ εἰπὼν πυγὰς τὰ μετὰ τὴν ὀσφὺν σαρκώδη καὶ ἐφέδρανα, τὰ ἐφ' ὧν καθεζόμεθα, ἐπάγει· ἄλλοι δὲ γλουτοὺς καλοῦσιν. Ἰσχίον δέ, φησί, καὶ τὸ νεῦρον τὸ πρὸς τὴν κοτύλην καὶ ὅλον τὸ ἄρθρον. (v. 341) Ὀπάζειν δὲ καὶ νῦν οὐ τὸ παρέχειν, ἀλλὰ τὸ κατόπιν διώκειν ἐν τῷ «ὤπαζεν Ἀχαιούς». (v. 342) Τὸ δὲ «οἳ δ' ἐφέβοντο» διὰ σαφήνειαν κεῖται, ἵνα δηλώσῃ ὅτι ἔκτεινεν Ἕκτωρ τὸν ἐν τοῖς φεύγουσιν ὄπισθεν ὄντα. Σημείωσαι δὲ ὅτι ὡς μὲν ἐκ τοῦ ὄπισθεν ὀπίσθατος ὤφειλεν εἶναι, οὐχ' εὕρηται δὲ τοιαύτη γραφή. Καὶ ἔοικε συνεκδραμεῖν ἡ λέξις τῷ κλεπτίστατος καὶ λαλίστατος καὶ τοῖς ὁμοίοις. Δύναται δὲ καὶ ἀπὸ τοῦ ὀπίσω εἶναι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀπισώτατος καὶ ἐν συγκοπῇ ὀπίστατος. (v. 343—7) Ὅτι τροπῆς ἐν μάχῃ καὶ κινδύνου μεγάλου δηλωτικὸν τὸ «αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν φεύγοντες, πολλοὶ δὲ δάμεν τῶν δεῖνα ὑπὸ χερσίν, οἳ μὲν δὴ ἐρητύοντο μένοντες, ἀλλήλοισί τε κεκλόμενοι καὶ θεῷ χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο ἕκαστος». (v. 347) Ἔνθα ὅρα τὸ «ἀνίσχοντες», ἤγουν ἄνω ἔχοντες, ὁμώνυμον ὂν τῷ δηλοῦντι τὸ ἀνατέλλειν, ἣ δὴ ὁμωνυμία καὶ ἐπὶ τοῦ ἀνέχειν ἐστί. Τὸ δὲ «μεγάλα εὔχεσθαι» διέσταλται τοῦ σιγῇ εὐχὴν ποιεῖσθαι, [οἷα ὁμοιούμενον τῷ ἀμφαδίην εὔχεσθαι.] (v. 348 s.) Ὅτι Ἕκτωρ συγκλείσας τοὺς Ἀχαιοὺς εἰς τὴν τάφρον «ἀμφιπεριστρώφα καλλίτριχας ἵππους, Γοργοῦς ὄμματ' ἔχων ἠδὲ βροτολοιγοῦ Ἄρηος», μαινόμενος καὶ πολλὰ κακὰ ἐοργώς.

2.593 Τὸ δὲ ἀμφιπεριστρωφᾶν τὴν ἐνταῦθα καὶ ἐκεῖ τῆς τάφρου καὶ ὡς εἰπεῖν ἀμφὶς καὶ πέριξ στροφὴν δηλοῖ τοῦ Ἕκτορος, οἷα περιεργαζομένου πάροδον ὡς πρὸς τὰς νῆας. Ἐκτείνεται δὲ τοῦ στρωφᾶν ἡ παραλήγουσα κατὰ τὴν ἀλλαχοῦ ῥηθεῖσαν κίνησιν τοῦ στρέφω στρόφος στρωφῶ, τρέχω τρόχος τρωχῶ, τρέπω τρόπος τρωπῶ, καὶ τῶν ὁμοίων [ὅσα δευτέρας συζυγίας τῶν περισπωμένων εἰσί.] Τὸ δὲ «Γοργοῦς» κλίνεται ὡς ἡ Σαπφώ τῆς Σαπφοῦς. Ἴσως δὲ καὶ τὸ ἀηδοῦς, ὅ ἐστι ἀηδόνος, παρὰ Σοφοκλεῖ, καὶ τὸ χελιδοῖ παρὰ τῷ Κωμικῷ ἀπὸ ὁμοίας εὐθείας ἐκλίθησαν. Ζηνόδοτος δὲ «Γοργόνος ὄμματα ἔχων» γράφει, Ἀρίσταρχος δὲ «Γοργοῦς οἴματα ἔχων», ὅ ἐστιν ὁρμήματα. Ἀλληγορικῶς δὲ καὶ ἐνταῦθα λαμβάνει τὴν Γοργόνα ἐπὶ τῆς κατὰ ψυχὴν καὶ σῶμα γοργότητος. Ἔοικε γὰρ τοιοῦτος εἶναι ὁ Ἕκτωρ καὶ μάλιστα νῦν ὅτε ἀρεϊκῶς ἠρέθισται, ὡς δῆλον ἐκ τοῦ «Γοργοῦς ὄμματ' ἔχων καὶ Ἄρεος». Ὅτι δὲ ὁ μὲν μῦθος τεράστιόν τι χρῆμα καὶ δεινὸν τὴν Γοργόνα οἶδε καὶ ὀφεωπλόκαμον, ἡ δὲ ἱστορία σεμνά τινα περὶ Γοργόνων λαλεῖ, ἐν ἄλλοις δεδήλωται. (v. 354 s.) Ὅτι ἐπί τινος ἑνὸς πολλοὺς βλάπτοντος οἰκεῖον εἰπεῖν τὸ «οἳ δὴ κακὸν οἶτον», ὥς που καὶ ἀλλαχοῦ κεῖται, «ἀναπλήσαντες ὄλωνται ἀνδρὸς ἑνὸς ῥιπῇ. ὃ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶς». [Μαίνεσθαι δὲ καὶ ἐνταῦθα τὸ ἐνθουσιᾶν ἔφη πρὸς μάχην, ὅπερ ἐπίτασίς ἐστι τοῦ μαιμᾶν καὶ τοῦ ὁρμᾶν καὶ τῶν ὁμοίων.] Περὶ Ἕκτορος δὲ ἡ Ἥρα ταῦτά φησιν, ἐλεήσασα διωκομένους τοὺς Ἀχαιοὺς ὑπ' αὐτοῦ, ὅτε καὶ προσεταιρίζεται τὴν Ἀθηνᾶν εἰς ἐπικουρίαν τῶν διωκομένων, πείσασα καὶ κατειπεῖν ἀφελέστερον τοῦ πατρὸς Διός, καὶ περιτρέψαι αὐτῷ τὴν κατὰ τοῦ Ἕκτορος ὕβριν, εἴπερ ἐκεῖνος μὲν κατὰ τὸν τῆς Ἥρας λόγον μαίνεται οὐκέτ' ἀνεκτῶς, Ἀθηνᾶ δὲ τὸν πατέρα ἐρεῖ φρεσὶ μαίνεσθαι οὐκ ἀγαθαῖς. (v. 353) Ἐν τούτοις δὲ κεῖται καὶ λέξις ποιητική, τὸ «κεκαδησόμεθα», τουτέστι κηδήσομεν, φροντίσομεν. οὐ φιλεῖ δὲ ταῦτα λόγος πεζός. Γίνεται δὲ ἀπὸ τοῦ κηδῶ κηδήσω, τὸ φροντίζω, κατὰ χρόνον μετ' ὀλίγον μέλλοντα, ἐξ οὗ καὶ ἀκηδῆσαι, τὸ ἀφροντιστῆσαι, καὶ ἀκηδέστως, τὸ ἀφροντίστως, καθ' ἕτερον μέλλοντα.

2.594 Ἔστι γὰρ οὐ μόνον κηδῶ κηδήσω, ἀλλὰ καὶ κηδέσω, ἐξ οὗ καὶ κηδεμών καὶ κηδεστής. [Προϋπόκειται δὲ τούτων ἐνεστὼς ἐντελὴς τὸ κηδέω, ἐξ οὗ ἐπενθέσει τοῦ υ τὸ κηδεύω ἐπί τε τοῦ θάπτειν, ὅθεν καὶ κηδεὸς νέκυς, καὶ τοῦ ἐπιγαμβρεύειν, καθ' ὃ ἔφη Αἰσχύλος, ὡς τὸ κηδεύειν καθ' ἑαυτὸν ἀριστεύει μακρῷ. Ἡ δὲ ἀκηδία οὐκ ἂν εἴη δῆλον εἴτε ἀπὸ τοῦ κηδῶ περισπωμένου εἴτε ἀπὸ βαρυτόνου τοῦ κήδω γίνεται, στέρησιν τοῦ φροντίζειν δηλοῦσα.] (v. 352—4) Τὸ δὲ χωρίον, ἐν ᾧ ἡ ῥηθεῖσα κεῖται λέξις, τοιοῦτον «ὢ πόποι, Διὸς τέκος, οὐκ ἔθ' ἡμεῖς ὀλλυμένων Δαναῶν κεκαδησόμεθα ὑστάτιόν περ;» Τὸ δὲ σχῆμα κατ' ἐρώτησιν. Ἐρωτᾷ γὰρ ἡ Ἥρα τὴν Ἀθηνᾶν, ὡς οὐκ ἐπιμελησόμεθα ὕστατον τοῦτο τῶν Ἀχαιῶν, «οἳ τάχ' ἂν οἰχήσονται ὑφ' Ἕκτορος κακὸν οἶτον ἀναπλήσαντες». Δύναται δὲ τὸ αὐτὸ νοηθῆναι καὶ ἀποφαντικῶς, ἵνα λέγῃ, ὡς ἐπεὶ ὄλλυνται νῦν οἱ Ἀχαιοί, οὐκέτι ἄρα ἕξομεν φροντίσαι αὐτῶν. (v. 358 s.) Ὅτι ἀπειλὴ ἐπὶ θανάτῳ τὸ «καὶ λίην οὗτός γε μένος θυμόν τ' ὀλέσειε, φθίμενος ἐν πατρίδι γαίῃ». (v. 360 s.) Μικροψύχου δὲ τέκνου λόγος τὸ «ἀλλὰ πατὴρ οὑμὸς φρεσὶ μαίνεται οὐκ ἀγαθῇσι, σχέτλιος, αἰὲν ἀλιτρός, ἐμῶν μενέων ἀπερωεύς», ἤγουν κωλυτὴς τῶν ἐμῶν προθυμιῶν καὶ

οἷον ἀναποδιστής, ἐκ τοῦ ἐρωῶ, ἐξ οὗ πολλαχοῦ καὶ τὸ «ἵπποι δ’ ὑπερώησαν». Ἀθηνᾶ δὲ ἡ μυθικὴ ταῦτά φησι περὶ Διός. Ἔνθα καὶ ὅρα οἷον ὁ θυμός. Ἡ γὰρ σώφρων θυγάτηρ οὐκ ἄξια ἑαυτῆς ποιοῦσα ὑβρίζει νῦν τὸν πατέρα διὰ θυμόν. Ἀλιτρὸς δὲ ὁ τοῦ δέοντος ἀλιτών, ἤτοι ἁμαρτών, ἵνα ᾖ ἀλιτός, καὶ πλεονασμῷ τοῦ ρ ἀλιτρός ἢ ἀλιτηρός καὶ ἐν συγκοπῇ ἀλιτρός.

2.595 ἐκ τούτου δὲ κατά τινας καὶ ὁ ἀλιτήριος. Ἔχει δὲ καὶ ἑτέραν ἐτυμολογίαν ἐκεῖνο. Ὥσπερ δὲ ἀπὸ τοῦ ἤλιτον δευτέρου ἀορίστου ἀλιτός, ὅθεν ὡς εἴρηται ὁ ἀλιτρός, οὕτως ἀπὸ τοῦ ἀλείτω ἐνεστῶτος ἀλοιτός παρὰ Λυκόφρονι, τοῦ ῥηματικοῦ ε μεταπεσόντος εἰς ο , καθὰ καὶ ἐν τῷ λείπω λοιπός καὶ τοῖς ὁμοίοις. (v. 362 s.) Ὅτι ὀνειδίζει Ἀθηνᾶ, ὡς αὐτὴ μὲν Διὸς χάριν τὸν υἱὸν μάλα πολλάκις τειρόμενον, φησί, «σώεσκον ὑπ’ Εὐρυσθῆος ἀέθλων». Ζεὺς δὲ οὔτι τῶν μέμνηται, ὡς πρὸς ἀντίχαριν δηλαδή. (v. 364) Ἐκτίθεται δὲ καὶ σχῆμα ἱκετικὸν Ἡρακλέος, ὡς «ὃ μὲν κλαίεσκε πρὸς οὐρανόν, αὐτὰρ ἐμὲ Ζεὺς τῷ ἐπαλεξήσουσαν ἀπ’ οὐρανόθεν προΐαλλεν». (v. 366—72) Εἶτα καὶ ὡς οἷα μετάμελον παθοῦσα, ἐφ’ οἷς τότε ὑπήκουσε, φησὶν «εἰ γὰρ ἐγὼ τάδε ᾔδε’ ἐνὶ φρεσὶ πευκαλίμησι», περὶ ὧν λέξεων ἀλλαχοῦ δηλοῦται, «εὖτε μιν εἰς Ἀΐδαο πυλάρταο προὔπεμψεν ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο, οὐκ ἂν ὑπεξέφυγε Στυγὸς ὕδατος αἰπὰ ῥέεθρα. νῦν δ’ ἐμὲ μὲν στυγέει, Θέτιδος δ’ ἐξήνυσε βουλάς, ἥ οἱ γούνατ’ ἔκυσε καὶ ἔλλαβε χειρὶ γενείου, λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον». (v. 373) Εἶτα ἐπάγει ἀφελὲς νόημα καί, ὡς ἂν εἴποι τις κορικόν, τοῦτο «ἔσται μὰν ὅτ’ ἂν αὖτε φίλην γλαυκώπιδα εἴπῃ», τουτέστιν, εἰ καὶ οὕτω με λυπεῖ ὁ πατήρ, ἀλλ’ ἐν καιρῷ ὑποκορίσεται με συνήθει προσφθέγματι. Οὕτω θαρρεῖ Ἀθηνᾶ πεφιλῆσθαι τῷ Διΐ, ὡς φρόνησις νοΐ, ὃς εἰ καί ποτε θυμοῦ ἐπισκοτοῦντος ἢ ἐπιθυμίας ἀποστρέψεται τὴν φωσφόρον Ἀθηνᾶν, οὐκ εἰς μακρὸν τοιοῦτος μένει, ἀλλὰ ταχὺ ἐπίστροφος αὐτῆς γίνεται.

2.596 Ἰστέον δὲ ὅτι πολλὴν καὶ τὸ τοιοῦτον χωρίον ποικιλίαν ἔχει. Ἱστορίᾳ τε γὰρ ἤρτυται καὶ μύθῳ γλυκάζεται καὶ ἀλληγορίας ὑπόνοιαν ἔχει καὶ ἤθη διαζωγραφεῖ, ὡς εὐθὺς εἰρήσεται. Αὐτίκα γοῦν Ἀθηνᾶ θυμὸν ἔχουσα υἱὸν Διὸς ἔφη ἀντὶ τοῦ Ἡρακλέα, οὐχ’ οὕτω κατ’ ἐξοχήν, ἀλλ’ ὡς μηδὲ πρὸς ὄνομα ἐθέλουσα ἐκείνου μνησθῆναι. καί γε ἐχρῆν τήν, ὡς ὁ μῦθος βούλεται, ἀεὶ κόρην μὴ ἔχειν ἐνδιαθέτως πρὸς τὸν λαγνίστατον. (v. 370 s.) Τὸ δὲ περὶ τῆς Θέτιδος ζηλήμονα τὴν Ἀθηνᾶν ἐμφαίνει καὶ βαρύθυμον, εἰ διὰ φίλημα γονάτων καὶ γενείου ἁφὴν παρ’ οὐδὲν τίθεται τὸ θεραπευτικὸν τῆς Ἀθηνᾶς ὁ πατὴρ Ζεύς. Διαγράφει δὲ καὶ σχῆμα παθητικόν, ἐν οἷς Ἡρακλῆς κλαίει, ὡς εἰκὸς δὲ καὶ εὔχεται ἀναβλέπων εἰς οὐρανόν. (v. 373) Ὑποσμύχεται δέ τι καὶ ἀπειλῆς ἐν τῷ «ἔσται μὰν ὅτε φίλην γλαυκώπιδα εἴπῃ». Βούλεται γὰρ ὑπολαλεῖν ὡς Διὸς ἀξιοῦντος ἀκκίσεται καὶ οὐ ῥᾳδίως ὑπακούσεται. (v. 367—9) Κάθοδον δὲ Ἡρακλέος εἰς Ἅιδην καὶ φθάσας μὲν ἐδήλωσεν ὁ ποιητής, ἔνθα καὶ ἐρρέθη ὅσον ἐχρῆν. Ἐνταῦθα δὲ καὶ αἰτίαν τῆς καθόδου λέγει τὸν τοῦ Ἅιδου κύνα, οὗ τὴν κλῆσιν Ὅμηρος μὲν σιγᾷ, οἱ δὲ νεώτεροι Κέρβερον αὐτὸν καλοῦσι. Καὶ κυνὸς μὲν κεφαλὰς αὐτῷ προσάπτουσι τρεῖς, οὐρὰν δὲ προσπλάττουσι δράκοντος, ἐπὶ δὲ νώτου προσφύουσιν ὄφεων κεφαλάς. Καὶ τὴν τούτου ἐξ Ἅιδου ἀναγωγὴν ἕνα φασὶν εἶναι τῶν Ἡρακλέους ἄθλων, οἳ ἐν μηνὶ καὶ ἔτεσιν ὀκτὼ ἐκείνῳ ἠνύσθησαν. καὶ ταῦτα μὲν ὁ μῦθος. Οἱ δὲ ἱστοροῦντες λέγουσιν, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, ἄφυκτον εἶναι κύνα τὸν Κέρβερον Ἀϊδωνέως Θρᾳκῶν βασιλέως.

2.597 ἔνθα σταλέντα τὸν Ἡρακλέα ὑπὸ Εὐρυσθέως περιγενέσθαι τοῦ κυνός. Καὶ τὸν μῦθον ἐντεῦθεν πλασθῆναι διὰ τὸ τὸν Ἀϊδωνέα τὸν Θρᾷκα τῷ ὑπὸ γῆν Ἅιδῃ ὁμωνυμεῖν. Ἡ δὲ ἀλληγορία εἰς μέθην αὐτὸν ὑπονοεῖ ἢ ἄλλο τι τοιοῦτον κακόν, παρὰ τὸ τὸ κέαρ βαρύνειν, ὅ ἐστι τὴν ψυχήν. οὗ δὴ Κερβέρου περιγίνεται Ἡρακλῆς, ὁ εἰς τὸν λόγον ἀναγόμενος, καθὰ καὶ αὐτὸ ἐν ἄλλοις εἴρηται. Μέμνηται δὲ Κερβέρου καὶ ὁ Περιηγητής. (v. 362—5) Ἰστέον δὲ ὅτι τὸ μὲν «οὐδέ τι τῶν μέμνηται», ὅτι τὸν δεῖνα μάλα πολλάκις «τειρόμενον σώεσκον ὑπ’ ἀέθλων», καὶ τὸ «ἤτοι ὃ μὲν κλαίεσκε πρὸς οὐρανόν, αὐτὰρ ἐμὲ ὁ δεῖνα ἐπαλεξήσουσαν», ἢ «ἐπαλεξήσοντα, προΐαλλε»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρήσιμά ποτε εἰς ὀνειδισμὸν τὸν ἐπὶ ἀχαριστίᾳ, ὅτε τις βοηθείας οὐ μέμνηται ἧν ἔπαθεν. (v. 366 et 369 s.) Ἔχεται δὲ τοιαύτης ἐννοίας καὶ τὸ «εἰ γὰρ ἐγὼ τάδε ᾔδεα ἐνὶ φρεσίν, οὐκ ἂν ὁ δεῖνα ὑπεξέφυγε κινδυνεύων», καὶ τὸ «νῦν δὲ ἐμὲ μὲν στυγέει, τοῦ δεῖνος δ' ἐξήνυσε βουλάς». (v. 373) Ἐλπίδα δὲ παρακλήσεως παρῳδεῖ τὸ «ἔσται μὰν ὅτ' ἂν αὖτε φίλον εἴπῃ», ἤγουν προσείπῃ. [Ἔνθα ὅρα ὅτι οὐ μόνον τῷ ἔσεται χρᾶται ὁ ποιητὴς ἐντελῶς, ἀλλὰ καὶ τῷ ἔσται, οὗ τὴν συγκοπὴν καινὴν κρίνουσιν οἱ παλαιοί, καὶ ὡς εἰπεῖν μονήρη, καθά που προδεδήλωται. Θέμα δὲ αὐτῶν κοινότερον μὲν ἔω, ἀφ' οὗ καὶ τὸ εἰμί καὶ τὰ κατ' αὐτό. Ἡρακλείδης δὲ πεποιῆσθαι λέγει τὸ ἔσομαι ἀπὸ μονοσυλλάβου τοῦ ὦ, ἤγουν ὑπάρχω, ἵνα ᾖ ὥσπερ καλῶ καλέσω καλέσομαι, οὕτω καὶ ὦ ἔσω ἔσομαι, ὃ καὶ πλατύνει ἐκεῖνος καινότερον.] (v. 362 s.) Ὅρα δὲ τό τε «πολλάκις», δι' οὗ δηλοῦται τὸ πλῆθος τῶν Ἡρακλείων ἄθλων, (v. 363) καὶ τὸ «σώεσκον», ἐξ οὗ δυνατὸν ὂν τὸ σῷος διὰ τοῦ ω μεγάλου γράφεσθαι, ὅμως ἑτέρῳ λόγῳ συστέλλεται παρὰ τῷ ποιητῇ, καθὰ προδεδήλωται. Γίνεται δὲ τὸ σωέσκω οὐκ ἀπὸ τοῦ σώω βαρυτόνου, ἀλλ' ἐκ τοῦ σωῶ σωέσω ἀχρήστου, πλεονασμῷ τοῦ κ , ὁμοίως τῷ ζωέσκω καὶ τοῖς τοιούτοις, [ἐν οἷς καὶ τὸ κλαιέσκω, ἀφ' οὗ τὸ κλαίεσκε κατὰ τὸ ποθέεσκε.

2.598 ] (v. 363) Τὸ δὲ «ὑπ' Εὐρυσθῆος ἀέθλων» ἢ πρόθεσιν ἔχει ἀντὶ προθέσεως, ἵνα ᾖ ἀπὸ ἄθλων ὧν ἐπέταττεν Εὐρυσθεύς, ἢ ἀναστροφὴν ἡ πρόθεσις πάσχει, ἵνα λέγῃ ἡ Ἀθηνᾶ ὑποσῴζειν τὸν Ἡρακλέα τῶν τοῦ Εὐρυσθέως ἄθλων, [ὡς ἂν εἶεν οἱ αὐτοὶ ἆθλοι καὶ Εὐρυσθέως διὰ τὸ ἐπιτάσσειν καὶ Ἡρακλέους διὰ τὸ ἐπιτάσσεσθαι.] (v. 364) Τὸ δὲ «κλαΐεσκε πρὸς οὐρανόν» οὐ μόνον ἤθους, ὡς εἴρηται, ὁποίου καὶ τὸ ἀνέχειν ἐν εὐχαῖς χεῖρας ὑψόσε, ἀλλὰ καὶ ὅτι μυθικῶς ὁ Ἡρακλῆς ἄνωθεν ἐδόκει εἶναι, ὡς οἷα ἐκ Διός, ὅθεν καὶ ἐστέλλετο ἡ Ἀθηνᾶ ἐπαλεξήσουσα, δι' ἧς δηλοῦται μὴ θρασέως, ἀλλὰ μετὰ Ἀθηνᾶς φρονήσεως κατορθοῦν ὁ Ἡρακλῆς. Δοκεῖ δὲ ἐλλειπτικῶς εἰρῆσθαι τὸ «πρὸς οὐρανόν», τὸ δὲ πλῆρες εἶναι «κλαίεσκε πρὸς οὐρανὸν ἀναβλέπων». (v. 366) Τὸ δὲ «ᾔδεα» διάλυσίς ἐστι τοῦ ᾔδειν, ἀντὶ τοῦ ἠπιστάμην, Ἰωνική, ὡς καὶ προδεδήλωται. Οὕτω καὶ τὸ πεποιήκειν πεποιήκεά φασιν Ἴωνες, καὶ τοὺς λοιποὺς δὲ ἐνεργητικοὺς ὑπερσυντελίκους ὁμοίως προφέρουσι. (v. 367) Τὸ δὲ «εὖτε» νῦν μὲν χρονικὸν ἐπίρρημα ἰσοδυναμοῦν τῷ ὅτε καὶ ὁπηνίκα. Ἡ δὲ γ' ῥαψῳδία καὶ ὁμοιωτικὸν αὐτό, ἤτοι παραβολικόν, ἔφηνεν ἐν τῇ περὶ ὁμίχλης παραβολῇ «εὖτ' ὄρεος κορυφῆσι» καὶ ἑξῆς. Τὸ δὲ «εἰς Ἀΐδαο», καθὰ καὶ τὸ Ἄϊδόσδε, Ἀττικῶς ἐσχημάτισται κατὰ τὸ ἐς μυσταγωγῶν καὶ ἐν Κλωπιδῶν καὶ τὰ τοιαῦτα. Πυλάρτην δὲ τὸν Ἅιδην φησὶν ἀντὶ τοῦ ἀδιεξόδευτον παρὰ τὸ τὰς πύλας ἀραρυίας εἶναι αὐτῷ, τουτέστιν εὖ ἡρμοσμένας. [Τὸ δὲ «εἰς Ἀΐδαο προὔπεμψε» σημειωτέον ὡς πάντῃ ἑτεροῖον ὂν πρὸς τὸ «ψυχὰς Ἄϊδι προΐαψεν». Ἔνθα, ὡς καὶ προδεδήλωται, τὸ προΐαψεν οὐχ' ἁπλῶς δηλοῖ τὸ προΐαλλεν ἢ τὸ προέπεμψεν, ἀλλὰ τὸ μετὰ βλάβης.] (v. 368) Τὸ δὲ «Ἐρέβευς» διὰ τὸ ποιητικώτερον ἔφρασεν. ἄλλως γὰρ εἶχε καὶ Ἐρέβους εἰπεῖν. Οὐ γὰρ τὸ κοινὸν τῆς γραφῆς φίλον ὡς ἐπὶ πολὺ ποιηταῖς, ἐξ οὗ οἱ λογοειδεῖς γίνονται στίχοι, ἀλλ' εἰς πλέον τὸ ἀσύνηθες καὶ σκληρότερον. (v.

2.599 367—70) Τὸ δὲ «στυγεροῦ» καὶ τὸ «Στυγός» καὶ τὸ «στυγέει» ἐγγὺς ἀλλήλων παρακείμενα οὐ μακράν εἰσιν ἐτυμολογίας ἢ παρηχήσεως, ἣν ὁ ποιητὴς ἐπετηδεύσατο, καθὰ καὶ τὰ πάρισα τὸ «πυλάρταο» καὶ τὸ «Ἀΐδαο. Ἐθέλει γὰρ οὐ μόνον ὁ μῦθος, ἀλλὰ καὶ τὰ τῶν νοημάτων σκυθρωπὰ τοιούτοις ἱλαρύνεσθαι καὶ γλυκάζεσθαι σχήμασιν. (v. 369) Ἡ δὲ Στύξ, ὡς πολλαχοῦ λαλεῖται, πηγὴ ἐν Ἅιδου κατὰ τὸν μῦθον, ἀστείως πλασθεῖσα διὰ τὴν τῆς λέξεως δεξιότητα, ἐπειδὴ στυγητά εἰσι τὰ ἐν Ἅιδου, τουτέστι φρικτά. Ἡ δὲ ἱστορία, ὡς δεδήλωται καὶ ἐν ἄλλοις, πηγὴν αὐτὴν οἶδεν ἐν Φενεῷ ἢ Νωνάκρει τῇ περὶ Ἀρκαδίαν. Ὅτι δὲ ὁ Γεωγράφος λιβάδιον αὐτὴν ὀλεθρίου ὕδατος λέγει, καὶ ὅτι ψυχρότατον τὸ κατ' αὐτὴν ὕδωρ, ὃ μηδὲν ἀγγεῖον στέγειν εἶχεν, ἐξ ὀστράκου δηλαδὴ εἴτε ὑέλου, πλὴν εἴπερ ἀπὸ κέρατος, καὶ αὐτὰ ἐν ἄλλοις ἐρρέθη. Προέγνωσται δὲ καὶ ἄλλην ὑπὲρ γῆς εἶναι Στύγα, εἴπερ ἀπορρὼξ αὐτῆς ὁ εἰς τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πηνειὸν ἐμβάλλων Τιταρήσιος προϊστόρηται. [Προσφυέστατον δὲ τῷ Ἀΐδῃ τὸ στυγερόν, εἴπερ τινὶ ἄλλῳ, διὰ τὸ κάτω ἐν Ἅιδου μεμυθεῦσθαι εἶναι τὴν Στύγα, ἧς παράγωγον καὶ ὁ στυγερός.] Παράγεται δὲ ἀπὸ τῆς τοῦ μύθου Στυγὸς οὐ μόνον τὸ στυγεῖν, ὅ ἐστι μισεῖν καὶ φρίσσειν, καὶ ὁ στυγητός, ἀλλὰ καὶ ὁ στυγνός, ὃς δηλοῖ καὶ τὸν στυγνάζοντα, ὅ ἐστι λυπούμενον, καὶ τὸν μισητὸν δὲ παρὰ Σοφοκλεῖ, παρ’ ᾧ καὶ Στύγιος δόμος τὰ κάτω. Ἐκ τοῦ στυγεῖν δὲ τὸ στυγνάζειν ἐστὶ πλεονασμῷ τοῦ ν καὶ παραγωγῇ συνήθει. [(v. 370) Ἰστέον δὲ ὅτι ἐνταῦθα τὸ «ἐμὲ μὲν στυγέει», ἀντὶ τοῦ μισεῖ κεῖται, ὅθεν καὶ τὸ «στυγερὸς δέ οἱ ἔπλετο». Ἐν δὲ τῷ «στυγέῃ δὲ καὶ ἄλλος», καὶ ἐν τῷ «κατὰ δ’ ἔστυγον αὐτήν» τὸ φρίσσειν ἡ λέξις δηλοῖ. τὰ αὐτὰ δὲ καὶ ἐν ἄλλοις ὅτι μάλα πολλοῖς.] (v. 369) Τὸ δὲ «αἰπά» βαρύνεται ἢ ἀπὸ σεσιγημένης εὐθείας τῆς τὸ αἰπόν, ὡς κακόν κακά, ἢ κατὰ τοὺς παλαιοὺς ἀπὸ τοῦ αἰπέα κατὰ συγκοπήν.

2.600 Κεῖται δέ που καὶ ἐν τοῖς μετὰ ταῦτα ἡ λέξις ἐπὶ ποταμοῦ Τρωϊκοῦ. Συζυγεῖ δὲ πρὸς τό, ὡς ἐρρέθη, αἰπόν καὶ ἡ αἰπή, ἧς χρῆσις ἀλλαχοῦ. (v. 370) Τὸ δὲ Θέτιδος βουλάς, αἳ ἦσαν τὸ τιμῆσαι τὸν Ἀχιλλέα, βαρέως εἴρηται. Ἦν γὰρ ὀρθὸν εἰπεῖν τὴν Ἀθηνᾶν Διὸς βουλάς. ἐκείνου γὰρ αὗται, ὡς δηλοῖ καὶ τὸ «Διὸς δ’ ἐτελείετο βουλή». (v. 371) Τὸ δὲ «κῦσε γούνατα» μέρος τοῦ γουνάζεσθαι, ὡς τοῦ ἱκέτου μὴ μόνον χειρὶ ἁπτομένου γονάτων, ἀλλά που καὶ φιλοῦντος αὐτά. Τὸ δὲ «ἔλλαβε χειρὶ γενείου» ἀλλαχοῦ ὑπ’ ἀνθερεῶνος ἑλεῖν εἶπε καὶ ποτὶ στόμα χεῖρα ὀρέξαι. Πολλαχοῦ δὲ τὸ λαβεῖν γενικῇ συντάσσεται ταὐτὸν ὂν τῷ ἅψασθαι. [Ἰστέον δὲ ὅτι τὸ «γούνατ’ ἔκυσε καὶ ἔλλαβε χειρὶ γενείου» προσφυὲς ἔσται ποτὲ σκωφθῆναι εἰς πρόσωπον κακόηθες καὶ ὕπουλον, ὃ πῇ μὲν γουνάζεταί τινα ἱκετευτικῶς, πῇ δὲ θρασύνεται, ὡς εἰ καὶ καθεῖλκε τοῦ πώγωνος. Δῆλον δ’ ὅτι γένειον καὶ ἐπὶ ἀλόγων κεῖται. λὶς γοῦν ἠϋγένειος καὶ πάρδαλις ἠϋγένειος λέγεται.] (v. 372) Ὅρα δὲ καὶ ὡς ἐπιτηδείως παρέρριψεν ὁ ποιητὴς κἀνταῦθα τὴν τοῦ φιλουμένου αὐτῷ Ἀχιλλέως μνήμην, ὡς μυριαχοῦ ποιεῖ. Καὶ ὅτι πτολίπορθον τὸν Ἀχιλλέα λέγει, ὡς καὶ ἐν τοῖς ἑξῆς που ἐρεῖ, διὰ τὰς πολλὰς 〈πόλεις〉, ἃς εἷλεν, ὡς αὐτὸς Ἀχιλλεὺς ἐν τοῖς ὑπὲρ ἑαυτοῦ δηλώσει. Πολέμαρχος γὰρ ὢν αὐτὸς αἰτίαν εἶχε τῶν πορθουμένων πόλεων. Ὀδυσσεὺς μέντοι πτολίπορθος διὰ μίαν λεχθήσεται κορυφαίαν πόλιν, τὴν Ἴλιον, ἥτις, ὡς ἐν Ὀδυσσείᾳ λέγεται, τῇ τοῦ Ὀδυσσέως ἥλω βουλῇ. (v. 373) Τὸ δὲ «ἔσται μάν» ἔλλειψιν ἔχει καὶ αὐτό.

2.601 λείπει τὸ χρόνος ἢ ἀνάγκη ἤ τοιοῦτόν τι. [Τὸ δὲ «φίλην γλαυκώπιδα» ποθητὸν εἶναι δηλοῖ τῇ μυθικῇ Ἀθηνᾷ τὸ οὕτω καλεῖσθαι ὑπὸ τοῦ πατρός. Διὸ καὶ Ὅμηρος, ὡς οἷα ἐκ Μουσῶν πεπαιδευμένος καὶ τοῦτο, πλεονάζει τῷ ἐπιθέτῳ τῆς γλαυκώπιδος.] (v. 374—80) Ὅτι ὁ μετὰ θάρρους ὁπλιζόμενος κατὰ ἐχθροῦ εἴποι ἂν κατὰ τὴν ἐνταυθοῖ Ἀθηνᾶν μικρόν τι παρῳδήσας τό «ἀλλὰ σὺ μὲν ἐπέντυε», ὅ ἐστιν ὅπλιζε, εὐτρέπιζε, «μώνυχας ἵππους, ἐγὼ δὲ τεύχεσιν ἐς πόλεμον θωρήξομαι, ὄφρα ἴδωμαι, εἴ μοι ὁ δεῖνα γηθήσει προφανέντι ἀνὰ πτολέμοιο γεφύρας, ἤ τις καὶ τῶν» δεῖνα, ὡς ἐνταῦθα τῶν «Τρώων, κορέει κύνας ἠδ’ οἰωνοὺς δημῷ καὶ σάρκεσσι πεσών». (v. 378) Λέγει δὲ γεφύρας πολέμου τὰς διὰ τοῦ ῥεύματος τῶν αἱμάτων διόδους. πᾶσα γὰρ γέφυρα ἐφ’ ὑγροῦ διαβάσεως λέγεται. πῶς δὲ καὶ ἄλλως οἱ παλαιοὶ ταύτας φράζουσιν, ἀλλαχοῦ κεῖται. ἔσται δὲ καὶ μετ’ ὀλίγα μνήμη αὐτῶν. (v. 374) Τὸ δὲ «ἔντυε» πρωτότυπόν ἐστι τοῦ ἐντύνειν, ὡς καὶ τὸ δύειν καὶ θύειν τοῦ δύνειν καὶ θύνειν. (v. 377 s.) Ἐν τούτοις δὲ κεῖται καὶ σχῆμα σολοικοφανὲς τὸ «ὄφρα ἴδωμαι εἰ νῶϊ Πριάμου παῖς γηθήσει προφανεῖσα ἀνὰ πτολέμοιο γεφύρας». Δυϊκὴ γὰρ πάντως θηλυκῶν εὐθεῖα ἢ αἰτιατικὴ τὸ «νῶϊ» καὶ τὸ «προφανεῖσα». Τὸ δὲ τοιοῦτον οὐκ εὐσύντακτον. οὐ γὰρ εἰώθαμεν λέγειν, ὡς ἡμεῖς φανεῖσαι ἢ ἡμᾶς φανείσας γηθήσει ὁ δεῖνα. ἐπίτηδες δὲ κἀνταῦθα τὴν φράσιν ἐτάραξεν ὁ ποιητὴς ἀναλόγως τῷ θυμουμένῳ προσώπῳ, ἢ καὶ ἐκτροπὴν ὑπεμφαίνων καὶ τάραχον, ἃ πάθοι ἂν ὁ Ἕκτωρ τὰς θεὰς ἰδών. Δύναται δὲ θεραπευθῆναι τὸ σολοικοειδὲς ἢ δι’ ἀντιπτώσεως, ὡς εἴτις εἶπεν «εἰ νῶϊν προφανείσαιν γηθήσει», ἀντὶ τοῦ ἡμῶν φανεισῶν, ἢ προσλήψει τῆς εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προθέσεως ἢ τῆς δια , ἵνα λέγῃ, ὅτι ἴδω, ἐὰν ὁ Ἕκτωρ εἰς ἡμᾶς ἢ δι’ ἡμᾶς γηθήσει φανείσας ἐν τῷ πολέμῳ. [Χρήσιμον δὲ εἰς τὴν ῥηθεῖσαν σύνταξιν καὶ τὸ «τίς ἂν τάδε γηθήσειεν».] (v. 379 s.) Ἰστέον δὲ καὶ ὅτι ἐπὶ νεκρῷ ἀτάφῳ ῥηθήσεται [ὥσπερ τὸ «ἕλωρ κεῖται κύνεσσιν οἰωνοῖσί τε πᾶσιν», οὕτω καὶ] τὸ «κορέει κύνας ἠδ’ οἰωνοὺς δημῷ καὶ σάρκεσσι πεσών».

2.602 ἔνθα ὅρα, ὡς διέσταλται σαρκῶν ὁ δημός. Τὸ δὲ «κορέει» ἀντὶ μέλλοντός ἐστι τοῦ κορέσει, οὐ κατ’ ἀνάγκην τινὰ μέτρου τεθέν, ποίαν γὰρ ἐκείνην; ἀλλὰ κατ’ ἔθος ποιητικόν. Ἰστέον δὲ ὅτι τὸ «Τρώων κύνας ἠδ’ οἰωνούς» σαφέστερον ἔχει τοῦ «κύνεσσιν οἰωνοῖσί τε πᾶσι». Τοῦτο μὲν γὰρ ἀφορίζει τοὺς οἰωνοὺς Τρωϊκοὺς εἶναι λέγον, ἐκεῖνο δὲ διὰ τοῦ «πᾶσιν» πλείους εἰσάγον δέεται διορισμοῦ, ἵνα προσθήσει τις τό· οἰωνοῖς ἅπασι τοῖς περὶ Τροίαν, καὶ αὐτοῖς οὐ τοῖς ἁπλῶς, οἷον καὶ τοῖς σπερμοφάγοις, ἀλλὰ τοῖς πρὸς χάριν ὁρῶσι βορᾶς τῆς ἀπὸ σαρκῶν. (v. 384—8) Ὅτι καὶ ἐνταῦθα ὡς καὶ ἐν τῇ ε′ ῥαψῳδίᾳ ἡ Ἀθηνᾶ «πέπλον μὲν καταχεύει ἑανόν», τὸν ἑαυτῆς δηλαδή, «πατρὸς ἐπ’ οὔδει», ἤγουν ἐπὶ ἐδάφει Διός, τῷ κοιτωνικῷ ἴσως, «ποικίλον, ὅν ῥ’ αὐτὴ ποιήσατο καὶ κάμε χερσίν. ἡ δὲ χιτῶνα ἐνδῦσα Διὸς τεύχεσιν ἐς πόλεμον θωρήσσεται δακρυόεντα». (v. 389 s.) Λέγει δέ, ὥσπερ ἐκεῖ, καὶ φλόγεα Ὅμηρος τὰ αὐτῆς ἅρματα καὶ τὸ ἔγχος βριθύ, μέγα, στιβαρόν, προϊὼν δὲ καὶ πελώριον. (v. 393—5) Διηγεῖται δὲ καὶ περὶ τῶν τοῦ οὐρανοῦ πυλῶν καὶ τῶν Ὡρῶν, ὅσα καὶ ἐν τῇ ῥηθείσῃ ῥαψῳδίᾳ. καὶ ζητητέον μὲν περὶ τούτων ἐκεῖ. Καὶ νῦν δὲ ῥητέον ἐν ἐπιτόμῳ, ὅτι τὸ μὲν ποικίλον τοῦ τῆς Ἀθηνᾶς πέπλου τὸ πολυειδὲς δηλοῖ τῆς φρονήσεως. διὸ καὶ ὁ συνετὸς Ὀδυσσεὺς πολύμητις καὶ πολυμήχανος καὶ δόλους πολλοὺς εἰδὼς λέγεται. Τὸ δ’ ὅτι αὐτὴ τὸν πέπλον ἐποιήσατο, τὸ ἀπροσδεὲς καὶ αὔταρκες δηλοῖ τῆς φρονήσεως. Τὸ δὲ τὸν Διὸς ἐνδύεσθαι χιτῶνα τὸ αὐτῆς ἀγχίστροφον αἰνίττεται, ποτὲ μὲν ὑπενδιδούσης μαλθακώτερον, ὡς καὶ δοκεῖν εἶναι θηλύφρονα, ὅτε καὶ δοκεῖ πέπλον ἔχειν, ὃς γυναικεῖόν ἐστι παράβλημα, ποτὲ δὲ ἀρρενωποῦ φαινομένης καὶ ἀνδρικῆς. ἀνδρώδης γὰρ ὁ χιτὼν τοῦ Διὸς καὶ βασιλικὸς καὶ πολεμικός. (v. 389) Τὸ δὲ πύρινον ἅρμα τὸ κατ’ αὐτὴν θερμουργὸν δηλοῖ, καὶ ἄλλως δὲ φράσαι, τὸ αὐτῆς ὀξὺ καὶ δραστικόν, ὥσπερ καὶ τὸ ἔγχος τὸ βριθὺ καὶ πελώριον.

2.603 (v. 392) Ἐν τούτοις δὲ κεῖται καὶ ῥῆμα ποιητικὸν μαίω, τὸ προθυμοποιῶ, οἷον «μάστιγι θοῶς ἐπεμαίετο ἵππους», ὅ ἐστι περιφραστικῶς ἐμάστιζεν. Εὐριπίδης δ’ ἂν εἴποι «κέντρον ἐπῆγεν ἵπποις». οὓς διὰ τοῦτο καὶ κεντρηνεκέας ἡ ποίησις καλεῖ ὡς διὰ κέντρων ταχύνοντας τὸν δρόμον. οἱ δ’ αὐτοὶ καὶ χρυσάμπυκες, περὶ ὧν ἐρρέθη ἀλλαχοῦ. (v. 383) Καλεῖ δὲ καὶ τὸν Κρόνον συνήθως ἐν τούτοις μέγαν ὁ ποιητὴς εἰπὼν «Ἥρη πρέσβα θεά, θυγάτηρ μεγάλοιο Κρόνοιο». καὶ Ζεὺς δὲ οὕτω μέγας κατὰ τὸ «Διὸς μεγάλοιο ἕκητι», καὶ «τί νυ μήσῃ μεγάλε Ζεῦ». εἰ καὶ ἡ Δημὼ τῷ Κρόνῳ τὸ μεγαλεῖον ἀποκληροῖ διὰ τὸ τοῦ ἀστέρος μέγεθος. (v. 398) Λέγει δὲ καὶ τὴν Ἶριν χρυσόπτερον, τὸν μὲν χρυσὸν παρενθεὶς διὰ τὴν λαμπρότητα τῶν χρωμάτων τῆς ἀερίας ἴριδος, τὸ δὲ πτερὸν διὰ τὸ ταχὺ τοῦ γίνεσθαί τε αὐτὴν καὶ ἀπογίνεσθαι. Ὅτι δὲ Ἶρις παρὰ τὸ εἴρειν, ὅ ἐστιν ἀγγέλλειν λέγεται, ὡς καὶ ὁ Ἶρος καὶ ὁ Ἑρμῆς, ὅθεν καὶ Ὅμηρος ἐνταῦθα Ἶρίν φησιν ἀγγελέουσαν, καὶ ὅτι Διὸς ἄγγελός ἐστιν, ἤγουν ἀέρος, οἷα ποτὲ μὲν εὐδίαν, ὅ ἐστιν εὐαερίαν, δηλοῦσα, ποτὲ δὲ ὑετὸν, δῆλόν ἐστιν. (v. 386) Ἰστέον δὲ καὶ ὅτι τὸ «ὅν ῥ’ αὐτὴ ποιήσατο» ἦν μὲν λείως φρασθῆναι δίχα τοῦ ῥα συνδέσμου, Ὅμηρος δὲ εἵλετο τραχυφωνῆσαι ποιητικῷ ἔθει, οὐ μὴν διὰ μέτρον, ὃ καὶ ἄλλως εἶχε θεραπείαν. [(v. 388) Ἰστέον δὲ ὅτι πόλεμος δακρυόεις ποιητικῶς μὲν κατὰ μῦθον ὁ καὶ τοιούτους ἔχων ὀφθαλμοὺς καὶ οὕτω διαζωγραφούμενος συμβολικώτερον, ἄλλως δὲ πραγματικώτερον ὁ δακρύων αἴτιος.

2.604 ἔχοι δὲ ἂν καὶ διαστολὴν πρὸς τὸν ἄδακρυν, ὁποῖος ὁ ἐν λόγοις ψιλοῖς, ὁ ὡς εἰπεῖν λογομαχικός.] (v. 397) Ὅτι γεροντικοῦ θυμοῦ φραστικὸν τὸ «πατὴρ δὲ ἐπεὶ ἴδε, χώσατ’ ἄρ αἰνῶς». περὶ Διὸς δὲ ὁ λόγος ὀργισθέντος ἐπὶ Ἥρᾳ καὶ Ἀθηνᾷ. (v. 399) Ὅτι τὸ «βάσκ’ ἴθι, Ἶρι, πάλιν τρέπε», ἀντὶ τοῦ στραφῆναι ὀπίσω καὶ ἀνακάμψαι τῆς ὁδοῦ ποίησον. ὅμοιον δὲ τούτῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλαχοῦ καὶ τὸ «πάλιν τρέπεν ὄσσε φαεινώ». προϊὼν δὲ τὸ πάλιν τραπῆναι ἂψ ἱκέσθαι φησί. Δῆλον δὲ ὡς ἐκ τοῦ πάλιν τρέπειν ὁ παλίντροπος σύγκειται καὶ τὸ παλιντροπάασθαι, ὃ καινότερον διὰ τοῦ ο μικροῦ γράφεται, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ἀνάπαλιν τοῦ τρωπᾶσθαι, ἴσως διὰ τὴν σύνθεσιν, καθὰ καὶ τὸ «γαστρὶ δὲ πάντας ἐπιτροπόωσι κάλωας». Ἑρμηνεία δὲ τοῦ «πάλιν τρέπε» τὸ «μηδ’ ἔα ἄντην ἔρχεσθαι», ὅπερ εὐθὺς ἐπήγαγεν ὁ ποιητής. Ὡς ἐκ μεταφορᾶς δὲ ἅρματος παλινδρομοῦντος εἴρηται τὸ πάλιν τρέπε, κατὰ τὸ «πάλιν τρέπε μώνυχας ἵππους». Τὸ δὲ «βάσκ’ ἴθι», ὡς καὶ προδεδήλωται, τὸ αὐτὸ νοεῖ παραλλήλως διά τε τοῦ βάσκε καὶ τοῦ ἴθι. Ἐκτείνεται δὲ ἀεὶ τῆς Ἴριδος, καθὰ καὶ τοῦ Ἴρου, ἡ ἄρχουσα. (v. 399 s.) Ὅτι ἀπειλὴ πρὸς ἀντίδικον τὸ «μηδὲ ἔα ἄντην ἔρχεσθαι, οὐ γὰρ καλὰ συνοισόμεθα πόλεμόνδε». Ἔστι δὲ κἀνταῦθα τὸ μὲν καλά ἀντὶ τοῦ καλῶς, τὸ δὲ συνοίσεσθαι τὸ κατὰ τὰ συμφερτὰ συγκομισθῆναι καὶ εἰς ἓν ἐλθεῖν καὶ συμβαλεῖν. (v. 402 s.) Ὅτι ὁ τοῦ μύθου Ζεὺς τῇ γυναικὶ καὶ τῇ θυγατρὶ Ἀθηνᾷ ζευγνυούσαις ἅρμα καὶ κατὰ Τρώων ὁπλιζομέναις ἀπειλεῖται ταῦτα δι’ ἀγγέλου τῆς Ἴριδος «γυιώσω μὲν σφῶϊν ὑφ’ ἅρμασιν ὠκέας ἵππους, αὐτὰς δ’ ἐκ δίφρου βαλέω κατὰ δ’ ἅρματ’ ἄξω». τὰ δὲ ἀπὸ κεραυνοβολίας αὐταῖς γενησόμενα ἕλκη μὴ ἂν ταχὺ ἰαθήσεσθαί φησιν. (v. 404—8) Ἐπάγει γὰρ «οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτοὺς ἕλκε’ ἀπαλθήσεσθον, ἅ κεν μάρπτῃσι κεραυνός, ὄφρ’ εἰδῇ γλαυκῶπις ὅτ’ ἂν ᾧ πατρὶ μάχηται.

2.605 Ἥρῃ δ’ οὔτι τόσον», φησί, «νεμεσίζομαι οὐδὲ χολοῦμαι. αἰεὶ γάρ μοι ἔωθεν ἐνικλᾶν ὅττι νοήσω», ἤγουν ἀεὶ ἔθος αὐτῇ ἐμποδὼν εἶναι καὶ κατακάμπτειν καὶ ὡς οἷον κατακλᾶν τὰ εἰς ὀρθὸν ἐμοὶ βουλευθέντα. [Ἐκ μεταφορᾶς δὲ φυτῶν ὀρθοτενῶν εἴληπται τὸ ἐνικλᾶν. εἰσὶ γὰρ καὶ τῇ ψυχῇ βλαστοὶ εὐγενεῖς κατὰ τὸ «ὃς ἂν βλαστοῖ νοῦς» παρὰ Σοφοκλεῖ, καὶ παρ’ Αἰσχύλῳ τὸ «κεδνὰ βλαστάνει βουλεύματα».] Καὶ ὅρα ὡς τοῖς μὲν ἀγαθοῖς νεμεσῶμεν, εἴ τί που καὶ σφαλεῖεν, τοὺς δὲ μὴ τοιούτους οὐ καινοπραγεῖν δοκοῦμεν σφαλλομένους, οἷα ἐν ἕξει ἐθίμῳ γενομένους φαυλότητος. οὕτω γὰρ Ζεὺς Ἀθηνᾶν μὲν σφαλεῖσαν μέμφεται, Ἥραν δὲ οὔ, τὴν ἀεὶ φίλεριν. οὐ γὰρ ἁπλῶς ἀπολύει τὴν Ἥραν ὁ Ζεὺς τῆς αἰτιάσεως, ἀλλὰ φέρει διὰ τὸν μακρὸν συνεθισμόν. αἰεὶ γὰρ τῷ Διῒ τοιαύτη φαίνεται εἶναι. Σημείωσαι δὲ ὅτι τὰ τέσσαρα ἔπη τῆς ἀπειλῆς, τὸ «γυιώσω μὲν σφῶϊν» καὶ ἑξῆς, προϊὼν διὰ στίχου ἑνὸς ἐπιτέμνει μετ’ ὀλίγα ἐν τῷ «ἐφ’ ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ». (v. 402) Γυιῶσαι δὲ τὸ χωλῶσαι λέγει, ἀφ’ οὗ καὶ γυιόν ὀξυτόνως τὸ χωλόν, ὡς παρὰ Λυκόφρονι γυιαὶ μοῖραι, αἱ χωλαί, καὶ Ἥφαιστος ἀμφιγυιήεις ὁ ἀμφοτέρους τοὺς πόδας χωλός. (v. 403) Τὸ δὲ «ἐκ δίφρου βαλέω», ἀντὶ τοῦ ἐκβαλῶ, ἔξω θήσω, ἐκρίψω, οἷα καὶ κατακλάσας τὸ ἅρμα. (v. 404) Τὸ δὲ «εἰς δεκάτους», ἢ ἁπλῶς ἀντὶ τοῦ εἰς δέκα, ἵνα ᾖ παράγωγον ἀντὶ ἁπλοῦ, ἢ ἀντὶ τοῦ εἰς πολλὰς δεκάδας. Περιτελλόμενοι δὲ ἐνιαυτοί ἢ οἱ ἀλλαχοῦ περιπλόμενοι, ὅ ἐστι συντελούμενοι, ἀφ’ οὗ ῥήματος καὶ τὸ τέλος γίνεται, ἢ μᾶλλον οἱ ἀπαρτιζόμενοι διὰ τῶν πέριξ ἀνατολῶν τοῦ ἡλίου, ἀφ’ οὗ καὶ τὸ ἐπιτέλλειν καὶ τὸ ἀνατέλλειν λέγεται.

2.606 (v. 405) Ἀπαλθήσεσθαι δὲ τὸ θεραπευθήσεσθαι ἢ καὶ ἐνεργητικῶς θεραπεῦσαι εἰς ὑγίειαν, ἀπὸ τοῦ ἄλδω, τὸ αὐξάνω, κατὰ τὴν προδηλωθεῖσαν συγγένειαν τοῦ δ πρὸς τὸ θῆτα, ἧς ἔνδειξις καὶ ἐν τῷ προτένθης, ὃ ἐκ τοῦ τένδω γίνεται τροπῇ τοῦ δ εἰς θ , δηλοῦν τὸν προγεύστην. τοῦτο δέ, ὡς τῆς νόσου φθίνειν ποιούσης, ὅπερ ἐναντίον τῷ ἀλθεῖσθαι, ἤτοι αὔξεσθαι, [οὗ τὸ πρωτότυπον, ἤγουν τὸ ἄλδω ἢ περισπωμένως ἀλδῶ ἀλδήσω, ἐξ οὗ καὶ ἀλδήσκω, τὸ αὐξάνω, καὶ Ἄλδησκος ποταμός, ἐκ τοῦ ἅλλω ἅλλομαι γίνεται ἐπενθέσει συνήθει τοῦ δ . ἅλλονται γάρ πως ὑψοῦ τὰ αὐξόμενα.] Ὅρα δὲ ἐν ταῖς ῥηθείσαις ἀπειλαῖς, ὡς ὁ ἄρχων τὰ δεινότατα ἐν καιρῷ καὶ αὐτοῖς τοῖς οἰκειοτάτοις ἀπειλήσεται, καὶ ὡς λεπτόσωμα τὰ δαιμόνια ἡ ποιητικὴ παχύτης νοεῖν βούλεται, εἴγε ὑπὸ κεραυνῶν ἕλκεα πάσχουσι. καὶ καινὸν οὐδὲν τοῦτο τοῖς λογιζομένοις ὡς καὶ βάλλονται ποιητικῶς καὶ τιτρώσκονται. Προκατασκευάζει δ’ ἐν τούτοις ὁ ποιητὴς καὶ τὴν ἐν τοῖς ἑξῆς ἀναιδέστερον μυθολογουμένην μάχην τῶν θεῶν ὡς δυναμένην καὶ αὐτὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γενέσθαι. Τὸ δὲ μάρπτειν κυρίως ἐπὶ λογικῶν, ὡς τὸ «μάρπτων ἑξείης ὅς τ᾿ αἴτιος ὅς τε καὶ οὐχί». ἐπὶ δὲ κεραυνοῦ νῦν ἀφελῶς εἴρηται ὡς οἷον χεῖρας ἔχοντος. πρὸς διαστολὴν δὲ ἑτέρων ἑλκέων εἴρηται τὸ «ἃ μάρπτῃσι κεραυνός». [Καὶ ἄλλως δὲ εἰπεῖν ἔχων Ὅμηρος «ὅ κεν βάλλῃσι κεραυνός» ἐπέκρινεν εἰπεῖν μάρπτῃσιν, ὡς τοῦ διοβόλου κατὰ τὴν τραγῳδίαν κεραυνοῦ μὴ ἁπλῶς βάλλοντος κατά τινα μετρίαν βολῆς περιγραφήν, ἀλλὰ μάρπτοντος εἰς πλατύτερον.

2.607 ] (v. 406) Τὸ δὲ «ὄφρα εἰδῇ γλαυκῶπις ὅτ᾿ ἂν ᾧ πατρὶ μάχηται» ἐλλιπῶς ἔχει διὰ μυθικὴν λόγου ἐγκοπήν. Καὶ ἄδηλον μὲν τί ἐλλείπει τῷ λόγῳ. Ἔστι δὲ νοῆσαι «ἵνα εἰδῇ τί ἐσφάλη», ἢ «ἵνα εἰδῇ ὅτι ἀφραίνει», ἢ ὅτι κρείττονι ἀντιφερίζει, ἢ τοιοῦτόν τι, [ὁποῖον μάλιστα τὸ «ἣν ἄτην», κατὰ τὸ «γνῷ δὲ καὶ Ἀτρείδης ἣν ἄτην», ὃ δὴ Ἀχιλλεὺς ἔφη περὶ τοῦ βασιλέως.] Καὶ ἄλλως δὲ ἔστι νοῆσαι τὸ ῥηθὲν οὕτως ἀνελλιπῶς· ὄφρα ἡ γλαυκῶπις μάθοι, πότε ἂν μάχοιτο τῷ πατρί, ὡς εἰκὸς ὂν θυγατέρα πατρὶ σωφρόνως ἀνθίστασθαί ποτε, οὐ μὴν ἐπὶ τοιούτοις, ὅτε δηλαδὴ ἐκεῖνος ἄλλα σπουδαῖα βούλεται. [(v. 407) Τὸ δὲ χολοῦσθαι παρακολούθημά ἐστι νεμέσεως ἀπρακτούσης. διόπερ ὁ μὴ νεμεσιζόμενος οὐδ᾿ ἂν χολοῖτο. καὶ ἄλλως δέ, ἐπεὶ ὁ μὲν χόλος ἔστιν ὅτε ἀλόγιστός ἐστιν, ἡ δὲ νέμεσις ἀγαθόν ἐστιν ἄχολον, ὁ ἀπεγνωκὼς διόρθωσιν φαύλου προσώπου ὀρθῶς ἂν εἴποι, ὡς οὔτε νεμεσίζεται τῷ τοιούτῳ οὔτε χολοῦται, ὡς οἷα ἐθισθεὶς τὴν ἐκείνου ἀπόνοιαν.] (v. 408) Τὸ δὲ «ἔωθεν» ἀσύνηθες μέν, ὀρθὸν δὲ κατὰ Ἴωνας, εἰ καὶ συνεμπίπτει κατὰ μόνην φωνὴν τῷ ἔωθεν ἐπιρρήματι. Τὸ δὲ ἐνικλᾶν κατὰ στερεῶν καί, ὡς ἐρρέθη, ἀτενῶν σωμάτων λέγεται, ὁποῖά τινα ὄντα καὶ τὰ τοῦ Διὸς βουλεύματα ἡ Ἥρα ἐνικλᾶν λέγεται. (v. 410—2) Ὅτι οὕτω ταχεῖα κατὰ τὴν ἀλληγορουμένην Ἶριν καὶ ἡ μυθική, ὥστε ἅμα σταλῆναι πρὸς Διὸς καὶ εὐθὺς ἄντεσθαι ταῖς θεαῖς παρὰ πρώταις πύλαις Ὀλύμπου. καὶ μὴν ἐκεῖναι πρὸ τοῦ αὐτὴν σταλῆναι διὰ τῶν πυλῶν ἐξήρχοντο. (v. 411) Πρώτας οὖν πύλας λέγει τὰ προπύλαια καθ᾿ ὁμοιότητα τοῦ πρώταις θύραις, ὅπερ ἐν τοῖς ἑξῆς που λεχθήσεται. καὶ ἐκεῖ γὰρ πρῶται θύραι τὰ πρόθυρα. (v. 409—12) Φράζει δ᾿ ἐνταῦθα ὁ ποιητὴς οὕτω «ὦρτο δ᾿ Ἶρις ἀελλόπος ἀγγελέουσα, βῆ δὲ κατ᾿ Ἰδαίων ὀρέων εἰς μακρὸν Ὄλυμπον. πρώτῃσι δὲ πύλῃσι πολυπτύχου Οὐλύμποιο ἀντομένη κατέρυκεν», εἰποῦσα τὰ ἐπιταχθέντα. (v. 409) Ἰστέον δὲ ὅτι, ὥσπερ ταὐτὸν ποδώκης καὶ τραγικῶς ἀνεμώκης, οὕτω καὶ ποδήνεμος καὶ ἀελλόπους, ἐξ οὗ ἀπελθόντος τοῦ υ γίνεται ἡ ἀελλόπος ἀναγκαίως. Ἄλλως γὰρ ἄχρηστος ἡ λέξις μέτρῳ δακτυλικῷ, καθὰ καὶ ὁ Οἰδίπους καὶ ὅσα ἀμφίμακρα.

2.608 (v. 410) Τὸ δὲ «βῆ δὲ κατ᾿ Ἰδαίων ὀρέων ἐς Ὄλυμπον» οὐκ ἐξ ἀνάγκης τὴν Ἴδην ὑψηλοτέραν τοῦ Ὀλύμπου εἶναι δηλοῖ, ἀλλὰ λέγοι ἄν, ὅτι κατέβη τῆς Ἴδης, ὡς τὸ ἐντεῦθεν ἀνελθεῖν εἰς ὁπότερον ἂν εἴπῃ τις Ὄλυμπον. Εἰ δὲ καὶ ἄλλως ἔγνωσται Ὁμήρῳ ἐξ Ἴδης ὡς ὑψηλοτέρας καταβαίνειν εἰς τὸ ὄρος τὸν Ὄλυμπον ταπεινότερον ἐκείνης ὄντα, οἶδεν αὐτός. (v. 411) Τὸ δὲ πολύπτυχος, ὡς καὶ ἀλλαχοῦ φαίνεται, ὡς ἐπὶ ὄρους τοῦ Ὀλύμπου εἰρῆσθαι δοκεῖ, ὃς πολλὰς πτύχας, ἤτοι φαραγγώδεις πτύξεις, ἤγουν περιοχάς, ἔχει. οὐρανῷ γὰρ οὐκ ἂν οἰκείως τὸ πολύπτυχον ἐπιλέγοιτο. Ὄλυμπος δέ ἐστιν, ὡς μετ᾿ ὀλίγα ἐρεῖ, ἀθανάτων ἔδαφος. Φησὶ γὰρ «ἐς Ὄλυμπον, ἵν᾿ ἀθανάτων ἕδος ἐστί». Παρηχητικῶς δέ πως ἢ ἐτυμολογικῶς παράκεινται ἡ πύλη καὶ ὁ πολύπτυχος. Παρὰ τὸ πτύσσειν γὰρ καὶ ἄμφω, ἵνα ᾖ πολύπτυχος ὁ πολύπυλος. πάντως δὲ ὁ πολυδειρὰς Ὄλυμπος κατά γε τὰς ὀρεινὰς ἐξοχὰς εἴη ἂν καὶ πολύπτυχος διὰ τὰς μεταξὺ τῶν πολλῶν δειράδων πολλὰς πτύχας ἢ πτυχάς. (v. 412) Τοῦ δὲ ἀντομένη ὁ ἐνεργητικὸς ἐνεστὼς τὸ ἄντω ὅτι καὶ περισπᾶται, δηλοῖ τὸ ἤντησε καὶ ὅσα τοιαῦτα. Σύστοιχα δὲ τούτοις καὶ τὸ ἀντιᾶν καὶ τὸ ὑπαντιάζειν. (v. 413 et 423 s.) Ἐν δὲ τοῖς περὶ τὴν Ἶριν ἄρτι ὅρα καὶ οἷον ὑπεῖναι χρὴ τοῖς ὑπακούουσι ζῆλον ὑπὲρ τοῦ ἄρχοντος. Ἶρις γὰρ καίτοι μὴ ἐπιταγεῖσα ὑβρίσαι τὴν Ἀθηνᾶν ὅμως αὐτὴ θερμότητι διαθέσεως [οὐ μόνον μανιώδη καὶ αὐτὴν ἔφη, καθὰ καὶ τὴν Ἥραν ἐν τῷ «πῇ μέματον; τί σφῶϊν ἐνὶ φρεσὶ μαίνεται ἦτορ;» ἀλλὰ καὶ] εἰποῦσα τὰ τοῦ Διός, ὡς ἐπετράπη,

ἐπάγει «ἀλλὰ σύ γ' αἰνοτάτη κύον ἀδδεές, εἰ ἐτεόν γε τολμήσεις Διὸς ἄντα πελώριον ἔγχος ἀεῖραι», τουτέστι «σὺ ὦ κύον ἀπτόητε, αἰνοτάτη εἶ, ἐὰν τῷ πατρὶ ἀντιστῇς».

2.609 (v. 415) Ἡ δ' αὐτὴ καὶ ἄλλως δεικνῦσα, ὡς ἀγαθὸν ὁ συνετὸς ἄγγελος, πρὸ τοῦ εἰπεῖν τὴν ἀπειλὴν ἔφη «ὧδε γὰρ ἠπείλησεν, εἰ τελέει περ», ὑπὲρ τοῦ Διὸς οἷον λαλοῦσα, ὡς ἴσως ἐν λόγοις αὐτῷ καὶ μόνοις ἔσται τὰ τῆς ἀπειλῆς. Ἔστι δὲ τοῦτο καὶ Ὁμηρικὴ προαναφώνησις, ὡς ἂν μὴ ἀναρτῴη τὸν ἀκροατὴν καραδοκοῦντα πληρώσεσθαι τὰς τοῦ Διὸς ἀπειλάς. Δύναται δὲ τὸ «εἰ τελέει περ» καὶ ἀποφαντικὸν εἶναι κατὰ ἀπειλὴν ἀντὶ τοῦ «ἐπειδὴ τελέσει». κρεῖττον δὲ τὸ πρῶτον νόημα. (v. 423) Ἰστέον δὲ ὅτι ἐν τῷ «ἀλλὰ σύ γ' αἰνοτάτη» οὐκ ἂν ῥαδίως εἶχέ τις τὸ «σύ γε» ἐπὶ εὐθείας νοῆσαι, εἰ μὴ ὁ μετρικὸς δάκτυλος αὐτὸ ἐδήλου. Ἔστι γὰρ ὁ τῆς Ἴριδος λόγος τοιοῦτος «Ἥρῃ δ' οὔτι τόσον νεμεσίζεται Ζεὺς οὐδὲ χολοῦται, ἀλλὰ σύ γε» καὶ ἑξῆς. Ἔστι δὲ συμβιβάσαι καὶ ἄλλως τὴν τοιαύτην διὰ τοῦ υ ψιλοῦ γραφὴν οὕτω, νοουμένου ἀπὸ κοινοῦ τοῦ «νεμεσίζεται καὶ χολοῦται», ἵνα λέγῃ ὅτι ἀλλ' ἀγανακτεῖ ὁ Ζεύς, εἴπερ σὺ τολμήσεις ἀντιστῆναι αὐτῷ. Ἰστέον δὲ καὶ ὅτι τὸ «ἀλλὰ σύ γ' αἰνοτάτη κύον ἀδδεές» καὶ ἑξῆς, παρῳδηθήσεταί ποτε, ὅτε τις μεγάλῳ τινὶ ἀντιβαίνειν βούλεται. (v. 413 s.) Ὁμοίως δ' ἐν τούτοις κωλυτικόν τινων ἀπιόντων εἰς ἄμυναν τὸ «πῇ μέματον; τί σφῶϊν ἐνὶ φρεσὶ μαίνεται ἦτορ; οὐκ ἐάᾳ ὁ δεῖνα ἐπαμύνειν». (v. 414) Ἔστι δὲ ἐν τῷ «ἐάᾳ» τὸ παραλῆγον α ἐκ πλεονασμοῦ. ὡς γὰρ ὁρᾷ ὁράᾳ, βοᾷ βοάᾳ, οὕτω καὶ ἐᾷ ἐάᾳ (v. 423) Ἡ δὲ διπλόη τοῦ δ ἐν τῷ «ἀδδεές» ὁμοία τῇ τοῦ «ἔδδεισε δ' ὁ γέρων». Ὅτι δὲ ὁ ἀδεὴς καὶ ἀδειὴς ποιητικῶς λέγεται, δηλοῦται ἐν τῷ «εἴ περ ἀδειής ἐστιν». (v. 415—7) Ὅρα δ' ἐν τούτοις καὶ ὅπως τὰ τοῦ Διὸς δεξιῶς ταὐτολογεῖ Ὅμηρος διὰ τῆς Ἴριδος ἐγκλίσεις τε ἀλλάξας καὶ πρόσωπα. Τὸ μὲν γὰρ γυιώσω καὶ βαλέω καὶ ἄξω μετήμειψεν ἀπαρεμφάτως διὰ τοῦ ἠπείλησε γυίωσειν, βαλέειν, ἄξειν.

2.610 Τὸ δὲ «εἰδῇ γλαυκῶπις» καὶ τὸ «μάχηται» καὶ τὸ «νεμεσίζομαι καὶ χολοῦμαι», καὶ «αἰεὶ γάρ μοι», καὶ «ὅττι νοήσω» προσωπικῶς μετέβαλεν ἐν τῷ «ὄφρ' εἰδῇς γλαυκῶπι», καὶ «ὅτ' ἂν μάχηαι», καὶ «Ἥρῃ οὐ νεμεσίζεται οὐδὲ χολοῦται, αἰεὶ γάρ οἱ ἐνικλᾷ, ὃ νοήσει». Οὐκ ἂν δὲ οὐδὲ τὰ τοιαῦτα ἐνήλλαξεν Ὅμηρος, εἰ μὴ τὸ πρᾶγμα ἠνάγκαζεν, ἀλλ' ἐταυτολόγησεν ἂν ἀπαραποιήτως κατὰ νόμον οἰκεῖον, οὐκ ἐγκαλυπτόμενος πολλάκις λαλεῖν τὸ γραφὲν πάνυ ἐπιτυχῶς. (v. 427 s.) Ὅτι ἀπόγνωσιν βοηθοῦ δηλοῖ τὸ «οὐκέτ' ἔγωγε ὑμᾶς ἐῶ ἄντα τοῦ δεῖνος βροτῶν ἕνεκα πολεμίζειν». (v. 429 s.) Τὸ δὲ ἐφεξῆς «τῶν», ἤγουν τούτων, «ἄλλος μὲν ἀποφθίσθω, ἄλλος δὲ βιώτω, ὅς κε τύχῃ» οἰκεῖον ἐπὶ τοῦ μὴ φροντίζοντος, εἴτε περίεισί τινες εἴτε καὶ μή. (v. 430 s.) Πρὸς δὲ ἄρχοντα πεισματικὸν καλὸν εἰπεῖν τὸ «κεῖνος δὲ τὰ ἃ φρονέων ἐνὶ θυμῷ τοῖς δεῖνα δικαζέτω, ὡς ἐπιεικές». Ἥρα δὲ καὶ ταῦτά φησι μετὰ τὰς ἀπειλὰς τοῦ Διός, ἀπογνοῦσα τοῦ συμμαχῆσαι τοῖς Ἀχαιοῖς. (v. 429) Ὅτι δὲ τὸ ἀποφθίσθω διφορεῖται παρὰ τοῖς παλαιοῖς, καθὰ καὶ ὁ θεματικὸς ἐνεστὼς αὐτοῦ, (v. 431) καὶ ὅτι παρ' Ὁμήρῳ ἐπιεικές ἀεὶ τὸ πρέπον λέγεται, πολλαχοῦ δηλοῦται. [Τοῦ δὲ «φθίσθω» τὸ ἀπαθὲς καὶ ἄκρατον φθιέσθω, ἐξ οὗ κατὰ κρᾶσιν ἢ συγκοπὴν τὸ φθίσθω. Τὸ δὲ «βιώτω» δοκεῖ βιούτω εἶναι ὡς χρυσούτω καὶ μεταβολῇ ἐθίμῳ τῆς ου διφθόγγου εἰς μέγα ω βιώτω.] (v. 433—5) Ὅτι καὶ αἱ Ὧραι ὡς ὑπηρετητικαί τινες πλάττονται δαίμονες. Ὧραι γοῦν ἔλυσαν καλλίτριχας ἵππους τῇ Ἥρᾳ καὶ τῇ Ἀθηνᾷ, θυμωθείσαις ἤδη κατὰ τοῦ Διός, καὶ αὐτοὺς μὲν κατέδησαν ἐπ' ἀμβροσίῃσι κάπῃσιν, ἅρματα δ' ἔκλιναν καὶ αὐταὶ πρὸς ἐνώπια παμφανόωντα. καὶ οὕτω μὲν ὁ μῦθος. Ἡ δὲ πρὸς ἦθος ἀλληγορία αἴνιγμα ἐνταῦθα νοεῖ τοῦ χρῆναι ὥραν εἶναι δέουσαν τοῖς ἐνδόξοις καὶ λύσεως θυμοῦ, τοῦ ἀλόγου μέρους τῆς ψυχῆς.

2.611 τῷ δέ γε Διΐ μετ' ὀλίγα τοὺς ἵππους κλυτὸς Ἐννοσίγαιος λύει, ὡς τοῦ ἀέρος μέχρι τοῦ κατὰ Ποσειδῶνα ὕδατος ἄνωθεν ἥκοντος, ἐκεῖσε δὲ καταλύοντος. [Ἔνθα εἰπὼν Ὅμηρος «τῷ δὲ καὶ ἵππους μὲν λῦσεν Ἐννοσίγαιος» ἀργὸν ἐκ περιττοῦ ἔθετο τὸν και σύνδεσμον.] (v. 433 s.) Τὸ δὲ «ἔλυσαν ἵππους καὶ ἔδησαν ἐπὶ φάτναις» ἀντιθετικόν τι σχῆμά ἐστιν, ἐπεὶ τὸ λῦσαι καὶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δῆσαι ἀντιτέθεινται. οὕτω καὶ Τρῶες ἐν τοῖς ἑξῆς ἵππους μὲν ἔλυσαν ὑπὸ ζυγοῦ, ἤγουν ὑπέλυσαν τοῦ ζυγοῦ, ἔδησαν δὲ ἱμάντεσσιν. Ἐντελέστερον δὲ ἐκεῖνο εἴρηται. ἐνταῦθα γὰρ ἐλλέλειπται τὸ ὑπὸ ζυγοῦ καὶ τὸ ἱμάντεσσι. Τὸ δὲ λύειν καὶ παθητικῶς μετ' ὀλίγα φησὶν ἐν τῷ «ἵππους λύσασθ' ἐξ ὀχέων». (v. 454) Ἀμβρόσιαι δὲ κάπαι διὰ τὸν μῦθον, παρ' ᾧ πολλὴ ἀμβροσίας χορηγία, ἣν καὶ Σκάμανδρος ἵπποις μυθικοῖς ἀνέτειλέ που νέμεσθαι. Ἄλλως γὰρ ἵπποι ἀτιτάλλονται Πριάμῳ ἐϋξέστῳ ἐπὶ φάτνῃ, ὁποία καὶ ἡ ἐν τοῖς ἑξῆς ἱππεία φάτνη. Ὥσπερ δὲ φάτνη ἀπὸ τοῦ φαγεῖν, οὕτω καὶ κάπη παρὰ τὸ κάπτειν, ὅ ἐστιν ἐσθίειν, οὗ ἡ χρῆσις καὶ παρὰ τῷ Κωμικῷ. (v. 435) Ἐνώπια δέ, τὰ καὶ ἀλλαχοῦ κείμενα, πολλοὶ μὲν τοὺς παροδίους τῆς οἰκίας λέγουσι τοίχους, τουτέστι τοὺς ἀντικρὺ τῆς εἰσόδου, οἳ ἐν ὀφθαλμοῖς εἰσι τῶν παροδευόντων ἔξωθεν. διὸ καὶ παμφανόωντα τὰ τοιαῦτα. Ἡ μέντοι Ὀδύσσεια ἐν τῇ κατὰ τοὺς μνηστῆρας μάχῃ ἐμφαίνει ἐνώπια μάλιστα τοίχων εἶναι τὰ ἐν τῇ τῶν θυρῶν εἰσόδῳ καὶ ἐξόδῳ πλάγια, ὡς ἐκεῖ δεδήλωται. Εἰ δὲ μὴ παμφανόωντα ταῦτα, θετέον ἄρα ἐνταῦθα τὴν λέξιν ταύτην ὑπερβατῶς εἰς τὸ ἅρματα, ὃ καὶ οἰκειότερόν ἐστι μάλιστα. (v. 436 s.) Ὅτι ἀπὸ χρυσοῦ κἀνταῦθα κοσμῶν τὰ κατὰ τὸν μῦθον θεῖά φησι περὶ Ἥρας καὶ Ἀθηνᾶς, ὡς «αὐταὶ δὲ χρυσέοισιν ἐπὶ κλισμοῖσι κάθιζον μίγδ' ἄλλοισι θεοῖσιν». Ἔνθα ὅρα καὶ τὰ συχνὰ ποιητικὰ πάρισα, καὶ τὸ «μίγδα» ἐκ τοῦ μίγδην μεταπλασθὲν ὁμοίως τῷ κρύβδην κρύβδα, ὧν χρῆσις καὶ ἐν Ὀδυσσείᾳ. (v. 438 s.) Ὅτι διώκειν ἐνταῦθα τὸ ἁπλῶς κατὰ σπουδὴν ἐλαύνειν. Φησὶ γοῦν «Ζεὺς δὲ Ἴδηθεν ἅρμα καὶ ἵππους Ὄλυμπόνδ' ἐδίωκεν».

2.612 Ἀστεία δὲ ἡ λέξις, καθότι δοκεῖ ὁ πλήττων ἵππους διώκειν αὐτούς. Ἀκολούθως δὲ καὶ ἐκεῖνοι κατὰ σπουδὴν συντόνως θέοντες φεύγειν ἂν λέγοιντο, καὶ λαλεῖται καὶ τοῦθ' οὕτως νῦν ἐν τοῖς ἱππικοῖς ἀγῶσι. Δοκεῖ δὲ προϋποκεῖσθαι ἰώκειν, τὸ ἰέναι ὦκα, ἐξ οὗ κατὰ συνήθη πλεονασμὸν τοῦ δ τὸ διώκειν γίνεται. (v. 441) Ὅτι βωμοὶ οὐ μόνον ἐφ' ὧν ἔθυον, ἀλλὰ καὶ κτίσμα τι ἁπλῶς καὶ ἀνάστημα, ἐφ' οὗ ἔστι βῆναί τι καὶ τεθῆναι. Οὕτω γοῦν ἐν Ὀδυσσείᾳ ἀγαλμάτιά τινα δᾶδας ἐν χερσὶν ἔχοντα, ἱστάμενα ἐπὶ βωμῶν, ἤτοι βάσεων τινων, ἔφαινον τοῖς δαιτυμόσι. Καὶ ἐνταῦθα δὲ Ποσειδῶν τὰ τοῦ Διὸς ἅρματα «ἂν βωμοῖσι τίθει κατὰ λῖτα πετάσας», ἤγουν καταπετάσας ὕφασμά τι λιτὸν καὶ οὕτω σκεπάσας, ἵνα δῆθεν εἴη ἄχραντα ῥύπῳ, καὶ μή ποθεν καταικίζηται κατὰ τὴν ἐν Ὀδυσσείᾳ Ὁμηρικὴν ῥῆσιν. Καὶ ὅρα καὶ νῦν τὴν ἀνα πρόθεσιν, ὡς καὶ προδεδήλωται, δοτικῇ συντεταγμένην, ὡς καὶ ἐν Ὀδυσσείᾳ ἐν τῷ «ἀνὰ φαιδίμῳ ὤμῳ». [Ἰστέον δὲ ὅτι ὅθεν παρῆκται τὸ καταπετάσας λῖτα, ἐκεῖθεν γέγονε καὶ τὸ καταπέτασμα, ὅπερ ὁ Κωμικὸς παραπέτασμα λέγει, δυνάμενον, ὡς εἰκός, ῥηθῆναι καὶ περιπέτασμα, ὡς δηλοῖ ὁ ἐξηγησάμενος παρ' αὐτῷ τὸ «ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν».] Τὸ δὲ «λῖτα» ἔχει καὶ δοτικὴν εἰς ι λήγουσαν γένους καὶ αὐτὴν οὐδετέρου, οἷον «ἑανῷ λιτὶ κάλυψεν», ἤγουν εὐτελεῖ τινι περιβολαίῳ οἷον λινῷ. Καὶ γίνεται κατὰ μεταπλασμὸν ἐκ δοτικῆς τῆς τῷ λιτῷ, οὗ αἰτιατικὴ τὸ λῖτα βαρυνόμενον διὰ τὸ μηδέποτε δισύλλαβον αἰτιατικὴν ἑνικὴν εἰς α λήγουσαν ὀξύνεσθαι πλὴν τοῦ τινά. περὶ δὲ τούτου καὶ ἐν τῇ α τῆς Ὀδυσσείας πλατύτερον εἴρηται.

2.613 [Σημείωσαι δὲ καὶ ὅτι τὸ ῥῆμα, ἐξ οὗ γίνεται ὁ βωμός, βῶ γὰρ βωμός, ὡς βλῶ βλωμός, ψῶ ψωμός, ἐκεῖθεν καὶ τὸ παρὰ τοῖς παλαιοῖς βῆμα παράγεται. ἀπὸ γὰρ τοῦ βῶ βέβηκα βέβημαι, βῆμα, ἐφ' οὗ οἷα καί τινος ὀκρίβαντος ἀναβαίνοντες ἐλάλουν.] (v. 442 s.) Ὅτι ἀνωτέρω εἰπὼν «χρυσέοις ἐπὶ κλισμοῖς κάθιζον» λέγει νῦν καὶ περὶ Διὸς ὅμοιον. Φησὶ γὰρ «αὐτὸς δὲ χρύσειον ἐπὶ θρόνον Ζεὺς ἕζετο, τῷ δ' ὑπὸ ποσὶ πελεμίζετ' Ὄλυμπος». ἔνθα εἰς ταὐτὸν ἄγει θρόνον καὶ κλισμόν. Ἐν οἷς ὅρα καὶ ὅτι ἐκεῖ μὲν ἐπὶ κλισμοῖς εἶπεν, ἐνταῦθα δὲ ἐπὶ θρόνον κατὰ σύνταξιν αἰτιατικήν. Καὶ ὅτι, ὥσπερ δάπεδον ἐν ἄλλοις χρυσοῦν καὶ νέκταρος πόσις ἐν χρυσέοις δεπάεσσι καὶ συγκρότησις ἅρματος ἀφειδὴς χρυσοῦ, οὕτω κἀνταῦθα κλισμοὶ καὶ θρόνοι χρύσεοι, ὡς οἷα θείᾳ φύσει πρέποντος τοῦ χρυσοῦ διὰ τὸ ἀνίωτον καὶ ἀεὶ καθαρόν. (v. 443) Πελεμίζεται δὲ οὐρανὸς ὑπὸ Διΐ, καθὰ καὶ Ἥρα σεισαμένη ἐν θρόνῳ μέγαν ἐλέλιξεν Ὄλυμπον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πελεμίζειν δὲ κυρίως τὸ παλάμῃ κινεῖν. ὅθεν ἴσως καὶ πόλεμος ὁ καὶ παλαμναῖος καὶ παλαμναίων δεόμενος. Προσφυὴς δὲ λέξις τοιᾷδε ἠρεμαίᾳ κινήσει Ὀλύμπου ὡς τὸ ἐλελίζειν, καθὰ ἐρρέθη ἀλλαχοῦ, οὕτω καὶ τὸ πελεμίζειν, οἷα λείως ἐκφωνούμενον καὶ αὐτὸ καθὰ καὶ ὁ Ὄλυμπος, οὗ τραχύτερον ἀπηχεῖται οὐρανός. Τερατείας δὲ ποιητικῆς αἱ τοιαῦται πᾶσαι πελεμίξεις καὶ λοιπαὶ στοιχειακαὶ παρακινήσεις, ὧν εἴ τις ἀποστερήσει τὴν ποίησιν, καιρίῳ δή τινι μέρει ἐζημίωκεν αὐτήν. (v. 444 s.) Ὅτι λύπης πολλῆς ἐνδεικτικὸν ἐπὶ Ἀθηνᾶς καὶ Ἥρας τὸ «ἀμφὶς ἥσθην», ἤγουν χωρὶς καὶ ἰδίᾳ τοῦ Διός, «οὐδέ τί μιν προσεφώνεον οὐδ’ ἐρέοντο».

2.614 Ἔνθα κεῖται καὶ ἀστεία ἔννοια, σκώπτοντος τοῦ Διὸς τὴν ἐκείνων ἀποστροφήν. Φησὶ γὰρ «τί ποτε οὕτω τετίησθον», ἤγουν τεταλαιπώρησθε κατὰ τοὺς παλαιούς. «οὐ μέν θην», ἤγουν οὐ μὴν δή, «κάμετόν γε μάχῃ ἐνὶ κυδανείρῃ ὀλλῦσαι Τρῶας, τοῖσι κότον αἰνὸν ἔθεσθε». Ἀστεΐζεται γὰρ τὴν λύπην ἐκείνων εἰς κόπον φράζων, ὡς εἴπερ ταλαιπώρως εἶχον καταπονηθεῖσαι τῇ κατὰ Τρώων μάχῃ, οὗ μὴ γεγονότος δῆλον ὡς ἀχθόμεναι οὕτω κάθησθε, εἴποι ἂν ὁ Ζεύς. (v. 445) Ἰστέον δὲ ὅτι τοῦ «οὐ προσεφώνεον οὐδ’ ἐρέοντο», καθὸ μὲν ὑπὸ τὸ φωνεῖσθαι ἄμφω ἀνάγονται καὶ ἡ προσφώνησις καὶ ἡ ἐρώτησις, οὐκ ἔστι διαφορά. Ἑτέρως δὲ διαφέρουσι, καθότι προσφωνεῖ μέν τις ἁπλῶς κατά τι ἑτεροῖον λόγου σχῆμα. Ἡ δὲ ἐρώτησις ἰδιάζει παρὰ τὰ λοιπά, πέμπτον οὖσα μέρος τοῦ παρὰ φιλοσόφοις λόγου. (v. 447) Τοῦ δὲ «τετίησθον», ῥήματος οὐ πεζολογικοῦ, ἐνεστὼς τὸ τιῶ τιήσω ἄχρηστον, ὁμοίως τῷ λιῶ λιήσω, ὅθεν ὁ λελιημένος. Εἰκὸς δὲ καὶ ὡς παίω παιήσω, τὸ τύψω, παρὰ τῷ Κωμικῷ, οὕτως εἶναι καὶ τίω τιήσω. [(v. 448) Τὸ δὲ «οὐ μέν θην κάμετόν γε» οὕτω μὲν γεγραμμένον, σαφῶς ἔχει. Ἔστι δὲ καὶ ἑτεροίας ἐκδόσεως γραφὴ ὑποδύσκολος καθ’ Ἡρακλείδην αὕτη· οὐ μέντον κάμετόν γε, ἀντὶ τοῦ οὐ μέντοι. Καὶ ἔστι κατ’ αὐτὸν τὸ «οὐ μέντον» Ἀργείων καὶ Κρητῶν γλώσσης, οἳ πολλάκις ἐξαιροῦντες, φησί, τὸ ι ἐντάττουσι τὸ ν , τὴν εἰς πρόθεσιν ἔνς λέγοντες καὶ τὸ τιθείς τιθένς, οἷς ὅμοιον καὶ τὸ σπείδω σπένδω, καὶ τὸ οὐ μέντοι οὐ μέντον, καὶ τὸ αἰεί αἰέν.

2.615 Σικελοὶ μέντοι, φησίν, ἔμπαλιν τὸ ἰῶτα ἀντὶ τοῦ νῦ τάττουσι, τὸ ἔνδον ἔνδοι λέγοντες ἢ ἐνδοῖ περισπωμένως, καὶ Ὅμηρος εἰνάνυχες ἀντὶ τοῦ ἐννεάνυχες. ταῦτα ὁ Ἡρακλείδης. Ἐξ ὧν στομοῦνται πῇ μὲν οἱ λέγοντες τρέπεσθαι τὸ ἰῶτα εἰς νῦ Ἀργολικῶς τε καὶ Κρητικῶς ἐν τῷ αἰεί αἰέν, πῇ δὲ οἱ τὸ ἀνάπαλιν κατὰ Σικελούς.] (v. 449) Τὸν δὲ αἰνὸν κότον ἑρμηνεύει ὁ Ζεὺς ἀλλαχοῦ, ἔνθα φησὶ μὴ ἂν κορεσθήσεσθαι τὴν Ἥραν εἴπερ ὠμὸν βεβρώθοι Πρίαμον καὶ τοὺς ἀμφ’ αὐτόν. [Τὸ ἔθεσθε δὲ καιριώτατον ἐν τῷ κότον ἔθεσθε. δῆλον γὰρ ὅτι χόλος ἀπόθετος ὁ κότος ἐστίν, ἐπεὶ καὶ ἐκ τοῦ κέεσθαι, ἤγουν κεῖσθαι, παράγεται.] (v. 450 s.) Ὅτι ἀλαζονευόμενος καὶ νῦν ὁ Ζεύς φησιν, ἃ δὴ καὶ πᾶς ἐρεῖ ἂν παρῳδήσας ἄρχων συνιστῶν μεγαλοφρόνως ἑαυτὸν «πάντως, οἷον ἐμόν γε μένος καὶ χεῖρες ἄαπτοι, οὐκ ἄν με τρέψειαν ὅσοι θεοί εἰσιν ἐν Ὀλύμπῳ». τοῦτο δὲ συντομωτάτη ἐστὶ παράφρασις τῶν πρὸ μικροῦ λαληθέντων ἐν τῷ περὶ τῆς χρυσέας σειρᾶς λόγῳ. (v. 457) Ἐπὶ δὲ τούτοις ἐπέμυξαν, φησίν, Ἀθηναίη τε καὶ Ἥρη καὶ τὰ ἑξῆς. Ἔστι δὲ μύζειν τὸ μεμυκότων χειλέων ἦχον ἀποτελεῖν διὰ τῆς ῥινός, ἐξ οὗ καὶ ὁ μυκτήρ. Ἔστι δὲ καὶ ἕτερον μύζειν, ὃ πάθος οὐκ ἔχει ψυχῆς. καὶ ἐξ ἐκείνου ἡ γλαγόεσσα μύξα ἐν Ἁλιευτικοῖς. τροπικῶς δὲ καὶ ἡ κατὰ τὸν λύχνον μύξα, καὶ αὐτὴ δὲ ἡ μύτις. Ἐξ ἐκείνου δὲ καὶ κοινῶς ἀπομύσσεσθαι, οὗ χρῆσις ἐν τῷ «πατὴρ τῷ ἀγκῶνι ἀπομυσσόμενος», διὰ τὸ μὴ ἔχειν δηλαδὴ τοῦτο ποιεῖν τῇ χειρὶ ἀσχολουμένῃ περὶ ἁλίπαστα.

2.616 Ἀρχὴ δὲ τῶν τοιούτων ῥημάτων τὸ μῦ ἐπίρρημα παρὰ τῷ Κωμικῷ. (v. 450) Ἀσύνδετος δὲ καὶ μετὰ θαύματος ἡ ἐπιβολὴ τῆς ῥηθείσης ἐννοίας ἀναλόγως τῷ θυμῷ τοῦ Διός. Ἔτι δὲ καὶ ἀξιωματικὴ διὰ τὸ «πάντως». ἀποφατικῶς γὰρ ἔχει ὡς ἐπὶ ὁμολογουμένῳ πράγματι. (v. 452 s.) Ὅτι δειλίας ἄκρας δεικτικὸν τὸ «ὑμῶν δὲ πρίν περ τρόμος ἔλλαβε φαίδιμα γυῖα πρὶν πόλεμόν τε ἰδεῖν πολέμοιό τε μέρμερα ἔργα». Ἀνωτέρω δὲ παρῳδηθὲν τὸ «οὐ μὴν κάμετόν γε μάχῃ ἐνὶ κυδιανείρῃ» καὶ ἑξῆς ὄνειδός ἐστι τῶν εὐλαβηθέντων μάχην. (v. 455) Ὅτι τὸ «πληγέντε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεραυνῷ», ῥηθὲν ἐπὶ Ἥρας καὶ Ἀθηνᾶς, ὡς καὶ προδεδήλωται, Ἀττικῶς δίκην ἀρσενικοῦ ἢ οὐδετέρου ἐσχημάτισται. Καὶ Ἡσίοδος δὲ οὕτω φησί «προλιπόντε ἀνθρώπους αἰδὼς καὶ νέμεσις», καὶ Εὐριπίδης «ταὐτὰ ἔχοντε γράμματα», ἤγουν ἔχουσαι, αἱ δύο αἰδοί. καὶ ἡ τοῦ Σοφοκλέους δὲ Ἠλέκτρα ἐφ' ἑαυτῇ καὶ τῇ ἀδελφῇ λέγει «ἴδεσθε τώδε τὼ κασιγνήτω», ἤγουν ταύτας τὰς αὐταδέλφας, «τούτω χρὴ τιμᾶν, ὢ ψυχῆς ἀφειδήσαντε», ὅ ἐστι ταύτας, αἳ ψυχῆς ἀφειδήσασαι. Καὶ οὐ ταῦτα μόνον καινοτομοῦσιν Ἀττικοί, ἀλλὰ καὶ εὐθείας ἑνικὰς ἀρρενικὰς τῇ προφορᾷ ἐκθηλύνοντες ἡ κλυτός καὶ ἡ γενναῖός φασι, καὶ ἡ ἀδελφὸς δέ, ἧς δυϊκὸν παρὰ Σοφοκλεῖ τὼ ἀδελφώ. καὶ ἄρρενα δὲ ἄρθρα τοῖς θήλεσι προσαρμόζουσι τὼ γυναῖκε λέγοντες καὶ τὼ χεῖρε καὶ τὼ θεώ, τουτέστι τὰς θεάς, τὴν Δήμητραν καὶ τὴν Κόρην.

2.617 (v. 458) Ὅτι γοργὰ πάρισα καὶ ἐνταῦθα τὸ «πλησίαι ἥσθην, κακὰ δὲ Τρώεσσι μεδέσθην», Ἥρα δηλαδὴ καὶ Ἀθηνᾶ. Λαλεῖ δὲ οὕτω πρὸς κάλλος ὁ ποιητής, ἁβρυνόμενος οἷς ἡ ὀργὴ αὕτη κατὰ τὸ αὐτῷ θελητὸν γίνεται. Ὅρα δὲ τὸ «πλησίαι» γενόμενον ἀπὸ τοῦ ὁ πλησίος ἀρσενικοῦ ὀνόματος, ἐξ οὗ καὶ τὸ πλησίον ἐπίρρημα, ὁμοίως τῷ ἐναντίος ἐναντίον. Χρῆσις δὲ τοῦ πλησία καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «παρούσης τῆσδε πλησίας ἐμοί», καὶ ἐν τῷ «πλησία τῷ νυμφίῳ». (v. 459) Ὅτι ἐν τῷ «ἤτοι Ἀθηναίη ἀκέων ἦν οὐδέ τι εἶπε», τρόπος ἐτυμολογίας ἐστί. τὸ γὰρ ἀκέων, ὡς καὶ ἀλλαχοῦ φαίνεται, ταὐτόν ἐστι τῷ ἀκήν. Αὐτὸ δὲ γίνεται ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ χαίνειν. τὸ δὲ μὴ χαίνειν ὅλως ταὐτόν ἐστι τῷ μηδέν τι εἰπεῖν. Καὶ ἄλλως δέ, εἰ χαίνειν ἐστὶ τὸ λέγειν κατά τινα παρακολούθησιν—Διὸ καὶ ὡς ἀπὸ τοῦ φῶ, τὸ λέγω, πρόφασις, οὕτω ἡ αὐτὴ καὶ ἀπὸ τοῦ χαίνω προχάνη κατὰ τοὺς τοῦ Σοφοκλέους Ὑπομνηματιστάς, [παρ' ᾧ κεῖται καὶ τὸ «ἀνοιμωκτὶ χανεῖν τὰ δεινά», ὅπερ ἐστὶ δεινοὺς λόγους πρὸς ὕβριν εἰπεῖν]—, εἴη ἂν καὶ ἀκέων καὶ ἀκήν τὸ ἐκ τοῦ μὴ χαίνειν γινόμενον, ταὐτὸν τῷ ἀφώνως, καὶ κατὰ Σοφοκλῆν εἰπεῖν, ἀλόγως, ὃ κεῖται ἐν τῷ δευτέρῳ Οἰδίποδι, ταὐτὸν ὂν τῷ ἀλαλήτως. Ἰστέον δὲ ὅτι ἐκ τῶν εἰρημένων ἔστι λογίσασθαι, ὡς εἴη ἂν ταὐτόν τι τὸ προχαίνειν καὶ τὸ προφασίζεσθαι, ὧν τὸ μὲν ἐκ τοῦ κατάρχοντος, τὸ δ' ἐκ τοῦ ἐφεπομένου λέγεται. διὸ καὶ ἀχανὴς ἵστασθαί τις λέγεται ἀντὶ τοῦ ἄφωνος. [Εἰ δὲ καὶ προέχεσθαι τὸ προφασίζεσθαι λέγεται, ἀλλὰ τοῦτο τροπῆς ἐστιν. Ὡς γὰρ ὁ μαχόμενος προΐσχεται εἴτ' οὖν προβάλλεται, τι ἑαυτοῦ ὅπλον πρόβλημα, οὕτω προὔχεται λόγον τινὰ ὡς οἷον βοηθητικὸν πρόβλημα ὁ προφασιζόμενος.

2.618 ] Σημείωσαι δὲ καὶ ὅτι πρὸ ὀλίγου ἐθυμομάχει μὲν Ἀθηνᾶ, ἡσύχαζε δὲ Ἥρα οἷα χαίρουσα οἷς ἐκείνη ἔλεγε κατὰ Διός, ἐνταῦθα δὲ τῆς Ἀθηνᾶς σιγώσης ἐκρήγνυσιν αὕτη θυμόν. (v. 460) Ὅρα δὲ καὶ οἷον ὁ φρόνιμος. Ἦν μὲν γὰρ Ἀθηνᾶ «σκυζομένη Διΐ πατρί, χόλος δέ μιν ἄγριος ᾕρει», οὐ τολμᾷ δὲ κατὰ πρόσωπον ἀντιλέγειν τῷ πατρὶ αἰδοῖ καὶ δέει αὐτοῦ, εἰ καὶ πρὸ τούτων ἀπόντα ἔσκωπτε. Τῆς δέ γε Ἥρας περιγίνεται ὁ συνήθης χόλος καὶ οἱ λόγοι τυραννήσαντες προέρχονται, φαῦλοι δορυφόροι θυμοῦ, δεσπότου κακοῦ. (v. 461- 8) Φησὶ γὰρ «Ἥρῃ δ' οὐκ ἔχαδε στῆθος χόλον, ἀλλὰ προσηύδα· αἰνότατε Κρονίδη» καὶ τὰ ἑξῆς, ὥσπερ καὶ ἡ Ἶρις πρὸ μικροῦ αἰνοτάτην εἶπε τὴν Ἀθηνᾶν. (v. 459 s.) Ἰστέον δὲ ὅτι, ὥσπερ τὸ «ἀκέων ἦν» ἡρμήνευται διὰ τό «οὐδέ τι εἶπεν», οὕτω καὶ τὸ «σκυζομένη» διὰ τοῦ «χόλος δέ μιν ἄγριος ᾕρει». Σκύζεσθαι γὰρ τὸ χόλῳ αἱρεῖσθαι. Γίνεται δὲ ἴσως μὲν καὶ παρὰ τὸ κύων πλεονασμῷ τοῦ ς , ἵνα ᾖ σκύζεσθαι τὸ κύνεόν τινα σχεῖν ἦθος ἢ κυνῶπα εἶναι. ὅθεν καὶ τὸ ἐπισκύνιον, ὡς ἀλλαχοῦ δηλοῦται. Μάλιστα δὲ κατὰ τοὺς παλαιοὺς παρὰ τὸν Σκύθην, ὡς τῶν Σκυθῶν μάλιστα ἑτοίμων ὄντων χολᾶν. Καιρίᾳ δὲ οὔσῃ τῇ λέξει ἐπιμένει ὁ ποιητής, θέμενος αὐτὴν καὶ μετ' ὀλίγα. Ἔνθα καὶ δοκεῖ συγκροτεῖν εἰς τὸ ἀπὸ τοῦ κυνὸς εἶναι τὸ σκύζεσθαι. Εἰπὼν γὰρ «οὐ σκυζομένης ἀλέγω», ἐπιφέρει εὐθὺς ὡς οἷον ἐτυμολογικῶς τὸ «ἐπεὶ οὐ σέο κύντερον ἄλλο». (v. 460 s.) Τὸ δὲ «χόλος ᾕρει, Ἥρῃ δ' οὐ κέχαδε χόλον στῆθος», οἵου σχήματός ἐστιν, εἴρηται καὶ ἐν τῷ «ἔδδεισαν μάκαρες θεοὶ οὐδ' ἔτ' ἔδησαν». Τὸ δὲ «οὐ κέχαδε χόλον», ὡς ἐπὶ ἀγγείου εἴρηται. οἱονεὶ γάρ, φησί, πλεονάσας ὁ χόλος ἐξ ὑπερζέσεως ἀπήφρισεν ὕβρεις. Ἢ δὲ «κέχαδε» μετὰ τοῦ

κ , ἵνα ᾖ μέσος παρακείμενος, ἀπὸ τοῦ χῶ χάζω, τὸ χωρῶ, ὡς φράζω πέφραδα, χλάζω κέχλαδα παρὰ Πινδάρῳ, ἢ ἔχαδε δεύτερος ἀόριστος τοῦ αὐτοῦ ῥήματος.

2.619 [Ἰστέον δὲ ὅτι πάνυ ἀστειότερον καὶ βαθύτερον τοῦ «ἔπος φύγεν ἕρκος ὀδόντων» τὸ «οὐ κέχαδε στῆθος χόλον». Δηλοῦσι δ᾽ ὅμως ἄμφω λαλιὰν ἄκαιρον. πλὴν ἐκεῖνο μὲν τὴν ἁπλῶς, τοῦτο δὲ τὸ τῆς Ἥρας τὴν ἐξ ὑπερβολικοῦ χόλου. Ἐν ἀμφοῖν δὲ ψεκτὸν τὸ ἀθυρόγλωττον καί, καθ᾽ Ὅμηρον εἰπεῖν, ἀκριτόμυθον, ἅπερ ὁ πάσχων λέγοιτ᾽ ἂν καὶ ἀπύλωτον ἔχειν στόμα, κατὰ τὸν Κωμικὸν φάναι.] (v. 463) Ὅτι δηλωτικὸν ὑπεροχῆς τὸ «εὖ νυ», ἤγουν καλῶς δή, «καὶ ἡμεῖς ἴδμεν ὅ τοι σθένος οὐκ ἐπιεικτόν», ἤγουν ὅτι σοι τὸ σθένος οὐδενὶ εἴκει ἀλλὰ πάντων ὑπερέχει. (v. 464) Χρησιμεύσει δέ ποτε καὶ τὸ ἐφεξῆς «ἀλλ᾽ ἔμπης τῶν δεῖνα ὀλοφυρόμεθα» καὶ ἑξῆς, ὡς προγέγραπται. Ἐνταῦθα δὲ σημείωσαι, ὡς Εὐριπίδης μέν φησι «τὸν αὐτὸν λόγον ἐκ τε δοκούντων ἰόντα καὶ ἐκ μὴ δοκούντων, οὐ ταὐτὸν σθένειν». Ἔστι δέ τινα τὸ ἐκείνου παρῳδήσαντα εἰπεῖν, ὡς ὁ αὐτὸς λόγος ἔκ τε τῶν εἰκόντων τοῖς κρείττοσι καὶ ἐκ τῶν ἀντιπιπτόντων λεχθεὶς οὐ ταὐτὸν σθένει. Ἰδοὺ γὰρ ἡ Ἥρα φθέγγεται μὲν αὐτὰ ἐκεῖνα ὅσα καὶ ἡ Ἀθηνᾶ ἐν ἀρχῇ ταύτης τῆς ῥαψῳδίας, τὸ μὲν σθένος ὁμολογοῦσα τοῦ Διός, ὀλοφύρεσθαι δὲ ὑπὲρ Ἀχαιῶν λέγουσα, εἰ κακῶς ὄλωνται. Ἀλλ᾽ ὅτι Ἀθηνᾶ μὲν ἐκεῖ προοιμιάσατο κολακικώτερον, Ἥρα δὲ νῦν τραχύνασα τὸ προοίμιον ἐλάλησε, διὰ τοῦτο ἐκείνη μὲν εἰς μειδίαμα κινεῖ τὸν Δία καὶ «θάρσει φίλον τέκος» ἀκούει καὶ ἑξῆς, ἡ δὲ Ἥρα σκορακίζεται καὶ ἀκούει τὰ μὴ φίλα. Ἐν οἷς σημείωσαι καὶ οἷα δύναται τὸ προοίμιον, εἴπερ Ἀθηνᾶ μὲν φιλεῖται προοιμιασαμένη τεχνικῶς, Ἥρα δὲ δυσπραγεῖ, ὡς ἐκ προοιμίων λυπήσασα. [(v. 464) Ἰστέον δὲ ὅτι τὸ «ἀλλ᾽ ἔμπης Δαναῶν ὀλοφυρόμεθα», ἤγουν ὑπὲρ Δαναῶν ἢ χάριν Δαναῶν, ὅμοιόν ἐστι τῷ «χωόμενον εὐζώνοιο γυναικός», ἤγουν λυπούμενον ἕνεκεν τῆς Βρισηΐδος.] (v. 470—7) Ὅτι σχῆμα Ὁμηρικῆς προαναφωνήσεως καὶ τὸ «ἠοῦς δὴ καὶ μᾶλλον», ἤγουν ἐκ πρωΐας αὔριον, τὸν Δία ὄψεαι, ὦ Ἥρα δηλαδή, ὀλλύντα Ἀργείους.

2.620 «οὐ γὰρ πρὶν πολέμου», φησίν, «ἀποπαύσεται ὄβριμος Ἕκτωρ πρὶν ὄρθαι», ἤγουν διεγηγέρθαι, «παρὰ ναῦφιν», ἤγουν ἀπὸ νηῶν, Ἀχιλλέα, ὅτε ἡ μάχη πρὸς αὐταῖς ταῖς ναυσὶν ἔσται Πατρόκλου θανόντος. ὣς γὰρ θέσφατόν ἐστι». Καὶ ὅρα κἀνταῦθα μνήμην Ἀχιλλέως τὴν συνήθη τῷ ποιητῇ, καὶ ὅτι συνεκεφαλαιώσατο προεκθετικῶς, ὅπως πιθανῶς διασκευάζει τὰ ἐφεξῆς. Κεῖται δ᾽ ἐνταῦθα καὶ τὸ προϊστορηθὲν στεῖνος, τὸ μεταξὺ τῆς τάφρου καὶ τοῦ τείχους, ὃ καὶ αἰνότατον λέγει διὰ τοὺς ἐκεῖ γενησομένους φόνους. (v. 477) Τὸ δὲ «ὣς γὰρ θέσφατόν ἐστι» τὴν τοῦ Διὸς ὑποδηλοῖ βουλὴν ἀλληγορικῶς. ταὐτὸν γὰρ εἰπεῖν «Διὸς δ᾽ ἐτελείετο βουλή», καὶ «ὣς γὰρ θέσφατόν ἐστι». Ὅτι τὰ τοῦ Διὸς πρὸς τὴν Ἥραν λεχθήσεταί ποτε παρῳδηθέντα καὶ παραποιηθέντα δεξιῶς ἐπὶ προσώπου φορτικοῦ ἀκκιζομένου καὶ προσποιουμένου χωρισμόν, ὁποῖος ἦν τις πρὸ βραχέων τῇ Ἥρᾳ Διὸς ἀμφὶς καθημένῃ. (v. 477—83) Φησὶ γὰρ «σέθεν δ᾽ ἐγὼ οὐκ ἀλεγίζω χωομένης, οὐδ᾽ εἴ κε τὰ νείατα πείραθ᾽ ἵκηαι γαίης καὶ πόντοιο, ἵν᾽ Ἰαπετός τε Κρόνος τε ἥμενοι οὔτ᾽ αὐγῇς», ἤγουν αὐγαῖς, «Ὑπερίονος ἠελίοιο τέρπονται οὔτ᾽ ἀνέμοισι, βαθὺς δέ τε Τάρταρος ἀμφίς», ἤγουν ἀμφὶ αὐτούς. «οὐδ᾽ ἢν ἔνθ᾽ ἀφίκηαι ἀλωμένη, οὔ σευ ἔγωγε σκυζομένης ἀλέγω, ἐπεὶ οὐ σέο κύντερον ἄλλο», ἤγουν χαλεπώτερον ἢ κυρίως ἀναιδέστερον, ὡς καὶ ἀλλαχοῦ σαφῶς δηλοῦται. Καὶ ὅρα ὡς ὁ ποιητικὸς Ζεὺς τόποις τὸ φοβερὸν διαφόροις κατεμέρισε, πρὸ μὲν ὀλίγων ἀπειλησάμενος Ἥρᾳ καὶ Ἀθηνᾷ διὰ τῆς Ἴριδος, ἐνταῦθα δὲ δεινὸς προσενεχθεὶς τῇ Ἥρᾳ δι᾽ ἑαυτοῦ, τραχυνθησόμενος δὲ ὁμοίως καὶ ἐν τοῖς ἑξῆς. Πολλαχοῦ δὲ καταμερίζειν οὕτω τὰς αὐτὰς ἐννοίας εἴωθεν ὁ ποιητής. (v. 481) Ἐν δὲ τοῖς ῥηθεῖσιν ὅρα καὶ ὅτι τὸν Τάρταρον, ὡς καὶ προεδηλώθη, ὑπόγειον ἐν βάθει ἀέρα ὁρίζεται ἡλίῳ ἀφώτιστον, βάθους νοουμένου τοῦ περὶ τὰ νείατα πέρατα γῆς καὶ πόντου. (v. 479) Ἰαπετὸς δὲ κατὰ τοὺς παλαιοὺς ἡ ὀξυκινησία τοῦ οὐρανοῦ παρὰ τὸ ἵεσθαι καὶ πέτεσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.621 Κρόνος δὲ ὁ τῶν λοιπῶν ἀνωτάτω πλανητῶν, ὃς ὑπὸ γῆν ἐνεχθεὶς ἐν τῷ τὴν ἀπλανῆ στρέφεσθαι κατωτάτω γίνεται καὶ οἷον ταρταροῦσθαι τηνικαῦτα δοκεῖ ἅμα τῷ οὐρανίῳ ἡμισφαιρίῳ, περὶ ὃ τύχῃ ἐκεῖνος εἶναι. Καὶ τοῦτο μὲν ἀεὶ γίνεται, οἷα ποτὲ μὲν ἀνωτάτω αὐτῶν ὄντων, ποτὲ δὲ κατωτάτω στρεφομένων. Ὁ δὲ μῦθος τὸ φυσικῶς γινόμενον καὶ διηνεκῶς κατὰ τὸ πάλιν καὶ πάλιν, τὴν ῥηθεῖσαν δηλαδὴ τοῦ Ἰαπετοῦ καὶ Κρόνου κατένεξιν, εἰς κόλασιν ἐκείνοις ἀπονέμει, καὶ ὡς καθάπαξ κάτω ῥιφέντας ἐκεῖ μένειν φησὶ τοῦ λοιποῦ, ψευδόμενος ἐπί τι καὶ αὐτός. (v. 478) Ὅρα δὲ τὸ νείατα πείρατα, ἤγουν ἔνθα καὶ ἡ ἀπείρων γῆ τελειοῦται. εἴρηται γὰρ πρὸς διαστολὴν ἑτέρων περάτων κελεύθου καὶ ὁδοῦ, ἅπερ οὐκ ἤδη καὶ νείατα. (v. 477) Καὶ ὅτι τὸ αὐτὸ ἀλεγίζω εἶπε καὶ ἀλέγω διὰ τὸ τῶν λέξεων ἰσοδύναμον, (v. 478) καὶ τὴν χωομένην δὲ σκυζομένην εἶπεν ἑρμηνείας χάριν καὶ τοῦ ταὐτοδυνάμου τῶν μετοχῶν. καὶ τοιαῦτα μὲν ταῦτα. Ἡ δὲ ῥηθεῖσα τοῦ Διὸς ἔννοια ὑπερβολικήν τινα ἔχει ἀστειότητα, φαμένου, ὡς εἰπεῖν, ὅτι οὐ μόνον εἴπερ ἀμφὶς ἐμοῦ ἕζεσθαι θέλεις κατὰ βραχύ τι διάστημα, οὐδέν μοι μέλει, ἀλλ᾽ οὐδὲ εἰ τὸν Τάρταρον αὐτὸν ὑποδύσῃ. (v. 482 s.) Ἐν δὲ τῷ «οὐδ᾽ ἢν ἔνθ᾽ ἀφίκηαι, οὔ σευ ἔγωγε ἀλέγω» περιττὴ συνήθως καὶ Ὁμήρῳ κατὰ Ἀττικοὺς ἡ ου ἄρνησις. (v. 484) Ὅτι μέγαν εἶναι τὸν θυμὸν τῶν ὑπερεχόντων δηλοῖ ὁ ποιητὴς καὶ ἐν οἷς ποιεῖ τὴν θρασυτάτην Ἥραν σιωπῶσαν, ἐφ᾽ οἷς ὁ Ζεὺς ὀργίζεται. Φησὶ γὰρ «τὸν δ᾽ οὔ τι προσέφη λευκώλενος Ἥρη», [οὐ ταχὺ μὲν οὕτω θρασυνθεῖσα, θᾶττον δὲ ἢ λόγος δειλιάσασα κατὰ τοὺς θρασυδείλους καὶ ψοφοδεεῖς, οἷα καὶ αὐτὴ πτοηθεῖσα, μὴ ἅμ᾽ ἔπος ἅμ᾽ ἔργον ἔσται τῷ ἀπειλησαμένῳ Διΐ.] Σημείωσαι δὲ ὡς οἰκονομικῶς οὕτω πεποίηται, ἵνα παυθῇ πιθανῶς ἡ μυθοποιΐα. Εἰ μὴ γὰρ φόβος ἐπεστόμισε τὴν Ἥραν, ἐξηνέχθη ἂν ἡ ποίησις καὶ εἴς τι κακόζηλον. (v. 485 s.) Ὅτι τὸ ἔδυ ὁ ἥλιος περιφράζων Ὅμηρός φησιν «ἐν δ᾽ ἔπεσεν Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο, ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν». Καὶ ὅρα τὸ ἐνέπεσεν ἀστείως λεχθὲν διὰ τὴν ἐξ ὕψους κατένεξιν. ὁμοίως καὶ τὸ ἕλκον. τὸ γὰρ ἕλκον ἑλκόμενόν τι ἕλκει, ὡς καὶ ἡ τοῦ φωτὸς δύσις τὴν νύκτα ἐφέλκεται. ἅμα γὰρ ἡλίου κατάδυσις, ἅμα σκότος. Ἀστείως δὲ τὸ ῥηθὲν ἔφη ὁ ποιητὴς ὡς ἐπί τινος σώματος ἐν τῷ καθίεσθαι εἰς βάθος ἐφελκομένου ἄλλο τι σῶμα, ὁποῖον ἡ κλεψύδρα κατὰ βυθοῦ, ἔτι δὲ καὶ ἡ ἄγκυρα καὶ ὁ βολίζων μόλιβδος καὶ ὁ καδδίσκος, οἷς συγκαθέλκεται καὶ συγκαθίεται ἡ ἱμονία.

2.622 Οὕτω γάρ πώς φησι καὶ τὸ φῶς τοῦ ἡλίου, ὅ ἐστιν αὐτὸν τὸν ἥλιον, τῷ ὠκεανῷ ἐμπίπτοντα ἕλκειν νύκτα. ὑποκαταβὰς δὲ ἁπλοϊκῶς φράζει «ἔδυ φάος καὶ ἐπήλυθε νύξ». (v. 485) Ὠκεανός δὲ ἀλληγορικῶς κἀνταῦθα ὁ διανοητὸς κύκλος, ὁ τὸ τοῦ κόσμου φανερόν τε καὶ ἀφανὲς ὁρίζων, ἤγουν τὸ ὑπὲρ γῆς ἡμισφαίριον καὶ τὸ ὑπὸ γῆν. (v. 487 s.) Ὅτι Τρωσὶ μὲν ἀέκουσιν ἔδυ φάος, Ἀχαιοῖς δὲ ἀσπασίη τρίλλιστος ἐπήλυθε νὺξ ἐρεβεννή. Τούτους μὲν γὰρ τὸ κνέφας ἔσωσεν, ὡς ὁ Ἕκτωρ ἐρεῖ, οἱ δὲ Τρῶες εὐτύχουν ἐν ἡμέρᾳ νικῶντες. διὸ οὐδὲ ἤθελον δῦναι τὸν ἥλιον. Ὁ δὲ λόγος οἰκεῖος ἐπὶ πάντων, ὧν τοὺς μὲν εὐτυχοῦντας, τοὺς δὲ δυστυχοῦντας παύει τοῦ ἔργου ἡ νύξ. Τρίλλιστος δὲ ἐν δυσὶ λ κατά τινα τῶν ἀντιγράφων ἡ πολυλιτάνευτος, ἐκ τοῦ τρία, ὃ δηλοῖ τὰ πολλά, καὶ τοῦ λίσσεσθαι, τὸ παρακαλεῖν. Κεῖται δὲ ἡ λέξις καὶ παρὰ τῷ Περιηγητῇ. Καὶ ἡ λιτὴ δὲ ἀπὸ τοῦ αὐτοῦ γινομένη ῥήματος, εἰ μὴ ἄρα ἐκ τοῦ λίτω παράγεται, ὑποστολὴν ἔπαθε τοῦ ς , ὁμοίως τῷ Ἐπήριτος κύριον, ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται δοκοῦν παρῆχθαι ἐκ τοῦ ἐριστός [κατὰ τὸ Νήριτον ὄρος τὸ οἷον ἀνέριστον διὰ τὸ δασὺ τῆς ὕλης.] Ἰστέον δὲ ὡς ἐπεὶ τὰ τρία καὶ πολλά εἰσιν, εἰ καὶ μὴ ἀντιστρέφει ὁ λόγος, διὰ τοῦτο τὸ τρίλιστον καλῶς καὶ πολύλιστον λέγεται, ὡς ἐν Ὀδυσσείᾳ κεῖται. Οὕτω δὲ καὶ τὴν τριγλώχινα τοῦ Ποσειδῶνος τρίαιναν πολυγλώχινά τις λέγει ποιητής, καὶ τρισάθλιος δὲ τῷ αὐτῷ λόγῳ ὁ κατὰ πολὺ ἄθλιος, καὶ τρισμάκαρες δὲ Δαναοὶ οἱ λίαν μακάριοι. Τοιαῦτα δὲ καὶ ἕτερα οὐκ ὀλίγα, [ἐν οἷς καὶ ὁ παρὰ τῷ Κωμικῷ τρισκακοδαίμων καὶ ὁ ἀνάπαλιν τρισόλβιος.

2.623

Τοιαῦτα δὲ καὶ ἅπερ τῶν τις παλαιῶν ἔθετο παραδείγματα βλασφημιῶν τῶν ἀπὸ ἀριθμοῦ, οἷον, τρισεξώλης ὁ πάνυ ἐξώλης, καὶ τριπέδων ὁ πολλάκις πεδηθεὶς κακοῦργος δοῦλος, ὃς καὶ πέδων πέδωνος ἐν ἁπλότητι λέγεται καὶ στίγων, εἴτ' οὖν στιγματίας. Φέρει δὲ καὶ ἀπὸ χρήσεως τοῦ Κωμικοῦ τὸ παλίμβολος τρίπρατος καὶ πολλάκις ἀπημπολημένος. Σοφοκλῆς δὲ τρίδουλον τὸν ἐκ προγόνων δοῦλον ἔφη, Ἀνακρέων δὲ τρισκεκορημένον τὸν πολλάκις ἐκσεσαρωμένον, Ἀρχίλοχος δὲ τρισοιζυρὴν πόλιν ἔφη τὴν Θάσον, Ἱππῶναξ δὲ τὸν τρία ὑπεραναβὰς ἀριθμὸν ἑπτάδουλον ἔφη τινά. Ὑπὲρ δὲ ταῦτά ἐστι τὸ τοῦ Κωμικοῦ εἰπόντος τρίπαλαι καὶ δεκάπαλαι καὶ μυριόπαλαι.] Ὅτι συσκευάζων μακρόθεν Ὅμηρος τὴν τοῦ Ἕκτορος ὑπὸ τῷ Ἀχιλλεῖ πτῶσιν, ἣν οὐκ ἂν ἔπαθεν, εἰ μὴ ἐθάρρησεν ἀντιστῆναι, πλάττει αὐτὸν ἀπὸ τῆς ἄρτι θάρσυνον διὰ τὸ θέσφατον καὶ εἰς τόσον καταθαρροῦντα τῶν Ἀχαιῶν, ὡς μηκέτι ἐθέλειν ἀναδραμεῖν εἰς τὴν πόλιν, ἀλλὰ μακρὰν αὐτῆς αἰθριοκοιτεῖν, ἵνα ταχὺ ἕωθεν ἐπιτρέχῃ τοῖς ἐχθροῖς. καὶ δὴ νικῶν κατὰ τὴν τοῦ Διὸς βουλὴν καὶ οὕτω φρονηματισθεὶς καὶ ἐπαυξήσας τὸ θάρσος τολμήσει πιθανῶς ἐν τοῖς ἑξῆς ἀντιστῆναι τῷ Ἀχιλλεῖ καὶ πεσεῖται. (v. 489—91) Φησὶ γοῦν «Τρώων δ' αὖτ' ἀγορὴν ποιήσατο φαίδιμος Ἕκτωρ νόσφι νεῶν ἀγαγὼν ποταμῷ ἐπὶ δινήεντι, ἐν καθαρῷ ὅθι δὴ νεκύων διεφαίνετο χῶρος», ἤγουν ἔνθα τόπος ἦν καθαρεύων νεκρῶν. Συντάσσεται γὰρ καθ' ὑπερβατὸν «ἐν καθαρῷ νεκύων, ὅπου διεφαίνετο χῶρος», ἤτοι διαφανὴς ἦν. Ἕτεροι δὲ οὕτως· ὅθι νεκύων, ἤγουν ἔνθα τῆς τῶν νεκρῶν πτώσεως, ἦν διαφαινομένη ἡ γῆ, ὅπερ ἐστὶ ἑρμηνεία τοῦ ἐν καθαρῷ.

2.624 Ἄλλοι δὲ τὸ «διεφαίνετο» γενικῇ συντάξαι τολμήσαντές φασιν· ἔνθα διεφαίνετο νεκύων ὁ χῶρος, ἤγουν ἔνθα καθαρὰ νεκρῶν ἦν ἡ γῆ. Καὶ ἀληθῶς πολλαὶ κοιναὶ συντάξεις καινοτροποῦνται παρά τισιν. Ἀττικοὶ γοῦν τὸ ὑπερορᾶν αἰτιατικῇ ἀσυνήθως συντάσσουσιν, οὕτω δὲ καὶ τὸ ἀνέχεσθαί. οἱ δ' αὐτοὶ καὶ τὸ ἀρέσκειν δοτικῇ φιλοῦν συνεῖναι κατὰ αἰτιατικὴν προάγουσι. Σοφοκλῆς «ἀλλ' ἐμέ γε ἡ στονόεσσα ἀηδὼν ἄραρεν», ὃ ταὐτὸν τῷ «ἀρέσκει μοι». ὁ δ' αὐτὸς καὶ ἐν τῷ «τοῖς θανοῦσιν ὠφελεῖν» οὐ συνήθως συνέταξεν, ὡς οὐδὲ ἐν τῷ «ψαύων τὸν θεόν». (v. 492) Ὅτι τὸ καταβῆναι τοῦ ἅρματος ἀποβῆναί φησιν ἐξ ἵππων ἐν τῷ «ἐξ ἵππων ἀποβάντες ἐπὶ χθόνα μῦθον ἄκουον», οἱ Τρῶες δηλαδὴ τὸν τοῦ Ἕκτορος. (v. 494) Ὅτι δημηγορεῖ μετὰ νίκην ὁ Ἕκτωρ νύκτωρ ὀρθός ἐν ὀρθοῖς τοῖς Τρωσὶν ἔγχος ἀντὶ σκήπτρου ἔχων τὸ τῆς ἀνδραγαθίας ὄργανον. Ἡ δὲ δημηγορία ὑπέρφρων καὶ πολὺ τὸ θάρρος προβεβλημένη, ἐξ ὧν οἶδεν ὡς νῦν Ἀργεῖοι κακὰ πείσονται. ἀναρριπίζει δὲ τῇ μνήμῃ τὸν θυμὸν καὶ κατὰ Διομήδους τοῦ πρὸ μικροῦ ἀντιστάντος. Πρὸ δὲ τούτων συμβουλεύει πεισθῆναι τῇ νυκτὶ καὶ δορπήσειν καὶ ἵππων ἐπιμελήσεσθαι. ἐθέλει δὲ καὶ πυρὰ πολλὰ καίεσθαι, εἰπὼν καὶ τὴν αἰτίαν. εἶτα καὶ φυλακὴν τῆς πόλεως ἐπιτάσσει. (v. 493—516) Ἔστι δὲ τὰ τῆς δημηγορίας τοῦ Ἕκτορος τοιάδε «Ἕκτωρ ἀγόρευε Διῒ φίλος, ἐν δ' ἄρα χειρὶ ἔγχος ἔχεν», ᾧ ἐρεισάμενος ἔφη «κέκλυτέ μευ Τρῶες καὶ Δάρδανοι ἠδ' ἐπίκουροι. νῦν ἐφάμην νῆάς τ' ὀλέσας καὶ πάντας Ἀχαιοὺς ἂψ ἀπονοστήσειν ποτὶ Ἴλιον ἠνεμόεσσαν, ἀλλὰ πρὶν κνέφας ἦλθε, τό», ἤγουν ὅπερ, «νῦν ἐσάωσε μάλιστα Ἀργείους καὶ νῆας ἐπὶ ῥηγμῖνι θαλάσσης ἀλλ' ἤτοι νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ δόρπα τ' ἐφοπλισόμεσθα.

2.625 ἀτὰρ καλλίτριχας ἵππους λύσαθ' ὑπ' ἐξ ὀχέων, παρὰ δέ σφισι βάλλετ' ἐδωδήν. ἐκ πόλιος δ' ἄξασθε βόας καὶ ἴφια μῆλα καρπαλίμως, οἶνον δὲ μελίφρονα οἰνίζεσθε σῖτον τ' ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγεσθε, ὥς κεν παννύχιοι μέσφ' ἠοῦς ἠριγενείης καίωμεν πυρὰ πολλά, σέλας δ' εἰς οὐρανὸν ἵκῃ, μή πως καὶ διὰ νύκτα καρηκομόωντες Ἀχαιοὶ φεύγειν ὁρμήσωνται ἐπ' εὐρέα νῶτα θαλάσσης. μὴ μὰν ἀσπουδεί γε νεῶν ἐπιβαῖεν ἕκηλοι, ἀλλ' ὥς τις τούτων γε βέλος καὶ οἴκοθι πέσσῃ βλήμενος ἢ ἰῷ ἢ ἔγχεϊ ὀξυόεντι νηὸς ἐπιθρῴσκων, ἵνα τις στυγέῃσι καὶ ἄλλος Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν Ἄρηα» καὶ ἑξῆς. Καὶ ὅρα ὡς ἅμα τεῖχος Ἑλληνικὸν ἅμα ἐπέλευσις Τρωϊκή, ὃ δὴ ἐθέλει ὁ σοφὸς μεθοδευτὴς Ὅμηρος. Δοκεῖ δὲ οὕτω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταχὺ γενέσθαι ἡ ἐπιδρομὴ διὰ τὸ ὑπόνοιαν, ὡς εἰκός, ἐγγενέσθαι τῷ Ἕκτορι πάνυ δειλανδρήσαντας τοὺς Ἀχαιοὺς προβαλέσθαι τὸ τεῖχος ἑαυτῶν ὡς οἷον εἰς συγκλεισμόν. Στρατηγικῶς δὲ τῶν ἵππων ὁ Ἕκτωρ προμηθεῖται πρὸ τῶν ἀνδρῶν, ὅπερ πρὸ τούτων καὶ ἡ Ἀνδρομάχη ἐδηλώθη ποιεῖν εἰς αὐτόν. (v. 494 s.) Τὸ δὲ ῥηθὲν ἔγχος τοῦ Ἕκτορος πλείονος ἀξιῶν λόγου φησὶν «ἔγχος ἔχ’ ἑνδεκάπηχυ, πάροιθε δὲ λάμπετο δουρὸς αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης». Ἰστέον δὲ ὅτι τὸ μὲν ναυμάχον δόρυ πηχεών ἐστιν εἰκοσιδύο παρὰ τῷ ποιητῇ, τὸ δὲ πεζομάχον ἑνδεκάπηχυ. Ὡς δὲ τὸ «ἔγχος ἔχεν» ἐτυμολογικοῦ τρόπου ἐστί, πολλαχοῦ ἐφάνη. Τὸ δὲ λάμπετο ἔχει καὶ ἐνεργητικὸν τὸ ἔλαμπεν. Αἰχμὴ δὲ κἀνταῦθα ἡ ἐπιδορατίς, ἤτοι ὁ μετὰ τὸ δόρυ, τουτέστι τὸ ἐκδεδαρμένον ξύλον, ἐστομωμένος σίδηρος. οὗπερ εἴγε πάγχρυσος ὁ πόρκης καὶ μὴ ἑτεροίας ὢν ὕλης ἀλήλιπτο χρυσῷ, μεγαλοπρεπὴς ὁ Ἕκτωρ, οὕτω τιμίαν ὕλην περιθεὶς ξύλῳ καὶ σιδήρῳ, τοῖς εὐτελέσιν. Ἔστι δὲ πόρκης κρίκωμα συνεκτικὸν τοῦ ξύλου καὶ τῆς αἰχμῆς, οὗ ἡ ἐτυμολογία προδεδήλωται. οἰκεῖον δὲ ἐπ’ αὐτοῦ τὸ περιθέειν, ἤτοι περικυκλοῦν, ὥσπερ καὶ τὸ περιϊέναι. ὅθεν ἴτυς ἡ περιφέρεια καὶ τὸ περιάγεσθαι, ἀφ’ οὗ ἄγκιστρον περιηγὲς τὸ περιφερές. [Ἐκ δὲ τοῦ εἰρημένου θέειν καὶ ὁ ἐν Ὀδυσσείᾳ περιφερὴς θόλος καὶ ὁ κάλαθος δέ, οὗ χρῆσις παρὰ πολλοῖς, ὃν δηλαδὴ ἀπαρτίζουσι κᾶλα θέοντα, ἤγουν ξύλα, καὶ λύγοι περιηγμένοι ἐς κύκλον.] (v. 496) Ἐρείδεται δὲ τῷ ῥηθέντι δόρατι ὁ ἥρως οὐχ’ οἷα σκήπτρῳ βασιλεὺς δημηγορῶν, ἀλλ’ ὅσα καὶ βακτηρίᾳ κατάκοπος ἀνήρ.

2.626 (v. 493) Διῒ δὲ φίλος ὁ Ἕκτωρ τά τε ἄλλα καὶ μάλισθ’ ὅτι ἀπὸ τῶν ἄρτι ὁ κατὰ πεπρωμένην Ζεὺς ὑπὲρ αὐτοῦ γίνεται. Ὅρα δὲ καὶ ὅτι συχνοῖς παρίσοις καὶ νῦν ὁ ποιητὴς καλλύνει τὸν λόγον, ἁβρότερον φράζων διὰ τὴν ἐν τοῖς ἄρτι λεγομένοις σεμνότητα, ὡς δηλοῖ καὶ τὸ πειθώμεθα, ἐφοπλισόμεσθα, καὶ τὸ ἄξασθε, οἰνίζεσθε, λέγεσθε. (v. 499) Τὸ δὲ «ποτὶ Ἴλιον» διασαφητικόν ἐστι τοῦ ἂψ ἀπονοστήσειν. (v. 502) Πῶς δὲ πείθεταί τις νυκτί, προδεδήλωται. Ταὐτὸν δὲ νύκτα εἰπεῖν καὶ κνέφας, ὃ σαῶσαι μάλιστα τοὺς Ἀργείους φησίν, ὡς καὶ τοῦ τείχους μὲν καὶ τῆς τάφρου καὶ τῶν σκολόπων καὶ τῆς κατὰ φύσιν δὲ ἠνορέης περισωσαμένων τοὺς Ἀχαιούς, μάλιστα δὲ τῆς νυκτός. (v. 503) Τὸ δὲ δόρπα γένους μεταπλασμός, καθὰ καὶ παρὰ Σοφοκλεῖ τὸ σταθμά καὶ τὸ ἔπαυλα. Ὁπλίσασθαι δὲ ὅτι τὸ ἁπλῶς εὐτρεπίσαι, πλεισταχοῦ δηλοῦται. (v. 504) Ἡ δὲ τῶν ἵππων λύσις πολλαχοῦ πέφρασται. Ἔλυσαν γὰρ ἵππους αἱ Ὧραι, καὶ νῦν «λύσατε ἐξ ὀχέων», καὶ μετ’ ὀλίγα «λῦσαν ὑπὸ ζυγοῦ». Ἐντεῦθεν δὲ εἴληπται καὶ τὸ λύεσθαι, ἀφ’ οὗ λύτρα, οἷς οἱ αἰχμάλωτοι ὡς ἐκ δεσμοῦ λύονται. Παραβάλλειν δὲ ἐδωδὴν ἀντὶ τοῦ παρατιθέναι, ὡς καὶ ἀλλαχοῦ. Καὶ ὅρα ὡς καὶ ἐπὶ ἀλόγων κεῖται ἡ ἐδωδή, [οὐ μὴν οὕτω καὶ ἡ δαίς, ὡς καὶ προδεδήλωται.] (v. 505) Τὸ δὲ ἄξασθε Ἀττικῶς ἐρρέθη κατὰ πάθος. ἄλλως γὰρ ἡ τοῦ ἄγειν κίνησις καὶ ἐνεργητικῶς κεῖται ἐν πολλοῖς παρὰ τῷ ποιητῇ. (v. 506) Ἐν δὲ τῷ «οἶνον οἰνίζεσθε» καὶ μετ’ ὀλίγα δὲ «οἶνον οἰνίζοντο» παρέλκει μὲν τὸ οἶνον, οὐκ ἀσυνήθως δὲ Ὁμήρῳ πέφρασται Ἀττικώτερον, ὡς καὶ μετ’ ὀλίγα εἰρήσεται. (v. 506 s.) Καινὸν δέ τι δοκεῖ ἐν τούτοις μὲν παρελκύσαι τὸν οἶνον, ἐν δὲ τῷ σῖτον σιγῆσαι τὸ ῥῆμα. Ἐχρῆν γὰρ ἀκολούθως τῷ «οἶνον οἰνίζεσθε», καὶ «οἶνον οἰνίζοντο» εἰπεῖν καὶ «σῖτον σιτεῖσθε» καὶ «σῖτον ἐσιτοῦντο», ὁ δὲ παρῆκε διὰ τὸ πάντῃ γνώριμον οἷα σύνηθες, ἔχων καὶ οὕτω λαλεῖν ἐλλιπῶς ἔν τε τῇ Ἰλιάδι καὶ τοῖς κατὰ τὴν Ὀδύσσειαν. Οἶνον δὲ μελίφρονα εἰπεῖν, [ὅπερ ἐστὶ κατὰ μέλι εὐφραίνοντα,] ὅμοιον ὡς εἰ καὶ μελιηδῆ φαίη τις. Τὸ δὲ «ξύλα λέγεσθε», ὅ ἐστι συνάγετε, δοκεῖ ἀναπέμπειν τὸ αὐτὸ ῥῆμα καὶ εἰς τὸ «σῖτον δ’ ἐκ μεγάρων», ἵνα λέγῃ ὅτι σῖτον οἴκοθεν λέγεσθε.

2.627 Οὐδετέρου δὲ γένους τὸ σῖτον, δηλοῦν ἄρτους, οὐ μὴν τὸ ἀκατέργαστον σπόριμον. (v. 508) Τὸ δὲ «μέσφα», ἤγουν μέχρι, «ἠοῦς», ἤτοι πρωΐας, διασαφητικόν ἐστι τοῦ παννύχιοι. Ποιηταὶ δὲ μόνοι τὴν τοῦ μέσφα λέξιν φιλοῦσιν. (v. 509) Ἡ δὲ παραγγελία τοῦ πυρὰ καίεσθαι γίνεται, ὡς ἂν μὴ λάθωσι φεύγοντες, φησίν, οἱ Ἀχαιοί, ἀλλὰ καταλάμπωσιν αὐτοὺς τὰ πυρὰ καὶ οὕτω φαίνωνται, διὰ τὸ καὶ πολλὰ εἶναι αὐτὰ καὶ μεγάλα δέ, ὡς εἰκός. Ἄλλως μέντοι ἀστρατήγητος

ἡ συμβουλή. οὐ μᾶλλον γὰρ οἱ τὰ πυρὰ καίοντες τοὺς ἐν σκότει ὁρῶσιν ἢ ὑπ' ἐκείνων ὁρῶνται (v. 510) Τὸ δὲ «διὰ νύκτα» ἀντὶ τοῦ κατὰ νύκτα. Πρόθεσις γὰρ καὶ νῦν ἀντὶ προθέσεως εἴληπται, ὥσπερ καὶ ἐν τῷ «ἐπ' εὐρέα νῶτα θαλάσσης». (v. 511) Τοῦ δὲ «ὁρμήσωνται» συνηθέστερον τὸ ὁρμήσωσιν ἐνεργητικῶς λεγόμενον. (v. 512) Ἀσπουδεὶ δὲ ἀντὶ τοῦ ῥᾷον καὶ ἀμογητί καὶ δίχα κακοπαθείας καί, κατὰ τὸν ποιητήν, ἡσυχῇ. τοῦτο γὰρ ἐμφαίνεται διὰ τοῦ «ἕκηλοι». (v. 513) Τὸ δὲ «ἀλλ' ὥς τις» ἢ ἀντὶ τοῦ ἀλλ' ὅπως ἤ, κατὰ τοὺς παλαιούς, ἀντὶ τοῦ ἀλλὰ πάντως καὶ λίαν. Πέσσειν δὲ βέλος τὸ θεραπεύειν. Τὰ γὰρ πρὸς θεραπείαν, φασί, γενόμενα ἕλκη πέττεσθαι λέγεται. Νοεῖται δὲ καὶ ἀντὶ τοῦ παρακατέχειν ὁμοίως τῷ «χόλον καταπέψῃ». (v. 514) Τὸ δὲ «βλήμενος ἰῷ ἢ ἔγχεϊ» οὐκ ἐπεξῆλθε μὲν πᾶσι βέλεσι, βάλλεται γάρ τις καὶ λίθῳ καὶ σκώλοις ἐπαφιεμένοις, φυγὴν δὲ καταψηφίζεται τῶν Ἀχαιῶν κατὰ κράτος, εἰ βλήμενοι ἔσονται καὶ οὐδεὶς ἀντιστήσεται ὡς φέρειν πληγὴν προστέρνιον. (v. 515) Τὸ δὲ «νηὸς ἐπιθρῴσκειν» ἀνάπαλιν ἔχει πρὸς τὸ νηὸς ἀποθρῴσκειν. Τὸ δὲ «ἵνα τις στυγέῃσι καὶ ἄλλος» ποιεῖν τόδε, συνῳδόν ἐστι τῷ «ὄφρα τις στυγέῃσι καὶ ἄλλος ἶσον ἐμοὶ φάσθαι».

2.628 (v. 516) Τὸ δὲ «Τρωσὶν ἐφ' ἱπποδάμοισιν» ἀντὶ τοῦ κατὰ Τρώων ἱπποδάμων. Ὁ δὲ πολύδακρυς Ἄρης ἀνάπαλιν ἔχει πρὸς εἰρήνην, καθ' ἣν καὶ φιλομειδής ποτε Ἀφροδίτη παρρησιάζεται. (v. 517) Ὅτι καὶ ἐνταῦθα τρίτον πληθυντικὸν προστακτικὸν τὸ «ἀγγελλόντων», ἀντὶ τοῦ ἀγγελλέτωσαν. Φησὶ γὰρ Ἕκτωρ «κήρυκες δ' ἀνὰ ἄστυ Διῒ φίλοι ἀγγελλόντων», ἤγουν ἔστωσαν τῶν ἀγγελλόντων. οὕτω δὲ καὶ μετ' ὀλίγα «πῦρ καιόντων», ἀντὶ τοῦ ἔστωσαν καίοντες. Δῆλον γὰρ ὡς τὰ τοιαῦτα προστακτικά, κατὰ φυσικὸν γραμματικὸν κανόνα ἀναλυθέντα εἰς ῥῆμα ὑπαρκτικὸν τῆς αὐτῆς ἐγκλίσεως καὶ τοῦ αὐτοῦ ἀριθμοῦ, δύνανται διχῶς προφέρεσθαι, οἷον τὸ καιέτωσαν οὕτως ἀναλυθὲν ποιήσει τὸ ἔστωσαν καίοντες ἢ ἔστωσαν τῶν καιόντων. Ὁμοίως καὶ τὸ κλαιέτωσαν ἀποτελέσει τὸ ἔστωσαν κλαίοντες ἢ ἔστωσαν τῶν κλαιόντων. Ὡσαύτως καὶ τὰ λοιπά, ἐν οἷς καὶ τὸ ἀγγελλέτωσαν, οὗ ἀνάλυσις τὸ ἔστωσαν ἀγγέλλοντες ἢ ἔστωσαν τῶν ἀγγελλόντων. καὶ τοιαύτη μὲν ἡ ἀνενδεὴς ἀνάλυσις. Οἱ δὲ Ἀττικοὶ ἐλλείψαντες ἐν τούτοις τὸ ὑπαρκτικὸν ῥῆμα ἀρκοῦνται ταῖς μετοχαῖς εἰς γοργὴν σημασίαν ὁλικὴν καὶ φράζουσι τὰς πληθυντικὰς γενικὰς ἀντὶ προστακτικῶν. Τὸ δὲ «κήρυκες ἀνὰ ἄστυ ἀγγελλόντων» ἀποτελέσει ἐν τοῖς ἑξῆς τὸ «κῆρυξ ἀστυβοώτης». Διῒ δὲ φίλοι οἱ κήρυκες οὐ κατὰ τὸν Ἕκτορα, ὃ προσεχῶς ἐλέχθη, ἀλλὰ διὰ τὸν ἐξ Ἑρμοῦ κήρυκα, ὡς καὶ ἐν ἄλλοις ἐρρέθη, καὶ ὡς βασιλέων δὲ ὑπουργοί, οὓς δίους καὶ διοτρεφεῖς καὶ διογενεῖς ὁ παλαιὸς οἶδε λόγος. Ἡ δὲ ἀλληγορία Διῒ φίλους κήρυκας, ἤγουν ἀέρι, φησί. Φωνητικοὶ γὰρ οἱ κήρυκες, ὅθεν καὶ ἠερόφωνοι κατὰ τὴν ποίησιν, οἳ καὶ ἀπὸ τοῦ γαρύω, τὸ φωνῶ, τὴν ἐτυμολογίαν ἔχουσι.

2.629 Τὸ δὲ «Διΐ» ἐκτείνει τὴν λήγουσαν καὶ ἐνταῦθα τρόπῳ κοινῆς συλλαβῆς. (v. 518—522) Ὅτι ἡ διὰ κηρύκων ἀνὰ ἄστυ στρατηγικὴ ἀγγελία τοῦ Ἕκτορος τοιαύτη ἦν «παῖδας πρωθήβας πολιοκροτάφους τε γέροντας λέξασθαι», τουτέστι συναχθῆναι, «περὶ ἄστυ θεοδμήτων ἐπὶ πύργων· θηλύτεραι δὲ γυναῖκες ἐνὶ μεγάροισιν ἑκάστη πῦρ μέγα καιόντων, φυλακὴ δέ τις ἔμπεδος ἔστω, μὴ λόχος εἰσέλθῃ πόλιν λαῶν ἀπεόντων». Λόχον δὲ νῦν φανερῶς τὸ ἔγκρυμμα λέγει, οὐ μὴν τάξιν ἐκ τοσῶνδε συνεστηκυῖαν ἀνδρῶν. (v. 518 et 520) Ὅρα δὲ ὅτι οὐδεμίαν ἡλικίαν ἀσυντελῆ βούλεται εἶναι τῇ πατρίδι, οὐ τοὺς πρωθήβας, οὐ τοὺς γέροντας, οὐ τὰς γυναῖκας, πολλῷ δὲ πλέον τοὺς ἡβῶντας καὶ τοὺς τελείους ἄνδρας, οἳ καὶ ἔξω τῆς πόλεως κάμνουσιν. Ἀπόλεμοι δὲ οἱ μὲν πρωθῆβαι, ὡς ἐγγὺς ὄντες ἀνήβων καὶ ἄρτι μέλλοντες ἀλκὴν ἐνδύεσθαι, οἱ δὲ γέροντες, ὡς ἤδη ἀπεκδυσάμενοι αὐτήν, καὶ κατὰ τοὺς δηλωθέντας ἐν τῇ γ' δημογέροντας, πύργῳ, οὐ πεδιάδι, πρέποντες. (v. 518) Ὅρα δὲ ὅτι τε παῖδας καὶ τοὺς πρωθήβας λέγει ὁ ποιητής, καὶ ὅτι οὐχ' ἁπλῶς παῖδας ἀνάγει ἐπὶ πύργους φυλακῆς νυκτερινῆς χάριν. — Πῶς γὰρ οἱ νηπίαχοι παῖδες καὶ οἱ μικρόν τι ὑπὲρ αὐτοὺς πόνον τοιοῦτον ἀναδέξονται; —, ἀλλὰ

παῖδας πρωθήβας. Δῆλον δὲ ὡς ἐκ τῆς ἥβης οὐ μόνον εἰς ης παράγονται ἀρσενικὰ ὀνόματα, ὧν καὶ ὁ πρωθήβης, ἀλλὰ καὶ εἰς ος , ὡς καὶ ὁ ἄναβος παῖς παρὰ Θεοκρίτῳ δηλοῖ καὶ ὁ παρ’ Αἰσχύλῳ ἔξηβος. εἴη δ’ ἂν ἴσως που καὶ πρώθηβος, ἐξ οὗ ἐν Ὀδυσσείᾳ τὸ «πρωθήβην ἔτ’ ἐοῦσαν». [Ἰστέον δὲ ὅτι, ὥσπερ ὁ πρωθήβης, οὕτω καὶ ὁ ἔφηβος διαφέρουσι τῶν παίδων, οἱ δὲ παῖδες τῶν παιδαρίων καὶ τῶν παιδίσκων, καθὰ δηλοῖ ὁ εἰς πλάτος γράψας περὶ τῶν εἰρησομένων. βρέφος τὸ ἄρτι γεγονός. παιδίον τὸ τρεφόμενον ὑπὸ τηθῆς.

2.630 παιδάριον τὸ περιπατοῦν καὶ ἤδη λέξεως ἀντιλαμβανόμενον. παιδίσκος ὁ τῆς ἐχομένης ἡλικίας. παῖς ὁ δι’ ἐγκυκλίων ἤδη μαθημάτων δυνάμενος ἰέναι. τὴν δὲ ἑξῆς ἡλικίαν πάλλακα καὶ βούπαιδα καὶ ἀντίπαιδα καὶ μελλέφηβον καλοῦσι. τοὺς δὲ μετ’ αὐτοὺς ἐφήβους Κυρηναῖοι μὲν τριακάπους καλοῦσι, Κρῆτες δὲ ἀποδρόμους, οὐ διὰ τὸ πεπαῦθαι τῶν δρόμων, —καθ’ ὃ δὴ σημαινόμενον τῆς ἀπο προθέσεως ἄπιχθυς λέγεται ὁ μὴ ἐσθίων ἰχθῦς, καὶ ἄποινος θυσία ἡ νηφάλιος, καὶ ἀποβώμια ἱερά τὰ μὴ ἐπὶ βωμοῦ ἀλλ’ ἐπὶ ἐδάφους καθαγιζόμενα, καὶ ἀπόμουσος ὁ ἄμουσος, καὶ ἀπότριχες παρὰ Καλλιμάχῳ οἱ ἄνηβοι—, ἀλλὰ δηλαδὴ ἀπόδρομοι ἐν Κρήτῃ, οἱ μήπω τῶν κοινῶν δρόμων μετέχοντες ἔφηβοι, μεθ’ οὕς φασι τὸ μειράκιον, εἶτα μεῖραξ καὶ νεανίσκος καὶ νεανίας ὁ αὐτός. Λάκωνες δὲ τούτους ἱππεῖς ἐκάλουν καὶ τοὺς προεστῶτας αὐτῶν ἱππαγρέτας. Ἔχεται δὲ τῶν τοιούτων ἱππέων ἡλικία ἡ τοῦ ἐν καιρῷ νυμφίου, μεθ’ ὃν ὁ κατὰ τὸ εἰκὸς πατήρ, εἶτα ἀνὴρ νέος, εἶτα ἀνὴρ μέσος, εἶτα προβεβηκώς, ὑποπόλιος, ὁ καὶ ὠμογέρων, εἶτα γέρων ὁ καὶ πρεσβύτης, εἶτα ὁ ἐσχατόγηρως.] Πολιοκρόταφοι δὲ οἱ ἐκεῖθεν ὡς τὰ πολλὰ πολιοῦσθαι ἀρχόμενοι, ὡς παρασημειοῦται καὶ Θεόκριτος εἰπὼν «ἀπὸ κροτάφων πελόμεθα πάντες γηραλέοι». Διὸ καὶ κρόταφος κατά τινας ὁ κηρύσσων τάφον, εἰ καὶ ἕτεροι παρὰ τὸ κροτεῖν περὶ τὴν ἁφὴν αὐτὸν ἐτυμολογοῦσι διὰ τὸ σφύζειν, καὶ ἄλλοι ἄλλως. (v. 519) Θεόδμητοι δὲ Ἰλίου πύργοι οἱ ὑπὸ θεῶν δομηθέντες, ὡς καὶ ἐν τοῖς ἑξῆς που ῥηθήσεται. (v. 520) Τὸ δὲ «θηλύτεραι δὲ γυναῖκες» ἐξήλλακται ἀσολοίκως τῆς ἀκολουθίας ἥτις ἦν· παῖδας πρωθήβας, θηλυτέρας δὲ γυναῖκας. Καὶ σημείωσαι κἀνταῦθα τὴν Ὁμηρικὴν ἔντεχνον ποικιλίαν, στήσασαν τὸ πρῶτον νόημα εἰς τὸ ἐπὶ πύργων, εἶτα ἑτέρως σχηματίσασαν. Θηλύτεραι δὲ ἢ ἁπλῶς θήλειαι, καθὰ καὶ νεώτερός που ὁ νέος λέγεται, ἢ κατὰ Πορφύριον συγκριτικῶς, αἱ τῶν ἄλλων θηλέων ζῴων θηλύτεραι. οὐ γὰρ τέτακταί τις καιρὸς καὶ αὐταῖς, καθὰ τοῖς ἄλλοις, ὁμιλίας τῆς εἰς τὸ γεννᾶν.

2.631 Δύναται δὲ καὶ κατὰ τὸ παρέλκον κεῖσθαι. Πρὸς ὁμοιότητα δὲ τούτου καὶ Εὐριπίδης εἶπε «σῶμα ἐν γυναιξὶ θηλείαις πρέπον». (v. 521) Εἰ δὲ μέγα φησὶ τὸ ἐν οἴκοις πῦρ, πολλῷ πλέον τοιαῦτα τὰ ἐν τῇ πεδιάδι. Ἰστέον δὲ καὶ ὅτι φυλακῆς μέν, καί ποτε καὶ πανηγύρεως, ἐκ τῶν προρρηθέντων τὸ «καίωμεν πυρὰ πολλά, σέλας δ’ εἰς οὐρανὸν ἵκοι», μόνης δὲ φυλακῆς τό «πῦρ μέγα καιόντων, φυλακὴ δέ τις ἔμπεδος ἔστω». (v. 523 s.) Βεβαίωσις δὲ ἐπιτάγματος ἐκ τῶν ἐν τοῖς ἐφεξῆς τὸ «ὧδ’ ἔστω, ὦ οὗτοι μεγαλήτορες, ὡς ἀγορεύω», καὶ τὸ «μῦθος δὲ ὃς μὲν νῦν ὑγιὴς εἰρημένος ἔστω», τουτέστιν ὁ μὲν λόγος, ὃς νῦν εἰρημένος ἐστίν, ὑγιὴς ἔστω. καὶ συντέτακται μὲν καθ’ ὑπερβατόν. Ἔστι δέ πως ὅμοιον, ὡς καὶ προερρέθη, τῷ «μήκων ἥτις ἐν κήπῳ καρπῷ βριθομένη». Ὑγιὴς δὲ λόγος ὁ ἀπαραποίητος καὶ ἀκολόβωτος. Καὶ σύνεσιν δέ τινα δύναται ἡ λέξις δηλοῦν, ἐπεὶ τὸ ὑγιαίνειν καὶ ἐπὶ φρονήσεως τιθέασιν οἱ μεθ’ Ὅμηρον Ἀττικοί, ὡς μυριαχοῦ φαίνεται, καὶ μάλιστα παρὰ τῷ καλῷ Ἀττικιστῇ Κωμικῷ. Δηλοῖ δὲ αὐτὸ οὐχ’ ἥκιστα καὶ ὁ πολλὰ μὲν ἀκούσας ἀλαζονικὰ πρός τινος γραφέντα, μόνον δὲ ἀντεπιστείλας τὸ «ὑγίαινε», ἤγουν φρόνει. (v. 525) Ὅτι ὥσπερ νυκτὸς ἀντὶ τοῦ κατὰ νύκτα, οὕτω καὶ ἠοῦς ἀντὶ τοῦ κατὰ πρωΐαν Ἀττικῶς, οἷον «ἠοῦς ἀγορεύσω», ἤγουν ἕωθεν. (v. 526 s.) Ὅτι τοὺς Ἀχαιοὺς ὁ Ἕκτωρ κύνας κηρεσσιφορήτους λέγει ἐν τῷ «εὔχομαι ἐλπόμενος θεοῖς ἐξελάαν ἐνθένδε κύνας κηρεσσιφορήτους». (v. 528) Εἶτα ἐτυμολογικῷ τρόπῳ τὴν τελευταίαν λέξιν ἀναπτύσσων ἐπάγει «οὓς κῆρες φορέουσιν ἐπὶ νηῶν», μονονουχὶ λέγων ὅτι κηρεσσιφορήτους λέγω οὐ τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνεργητικῶς ἐπάγοντας κῆρας τοῖς Τρωσίν—οὐ γὰρ δύνανται τοῦτο. —, ἀλλὰ οὓς κῆρες φέρουσι πάσχοντας τὸ φέρεσθαι, ἤγουν οἳ ἐπὶ κακῷ ἑαυτῶν ἡμῖν ἐπεστράτευσαν. Φασὶ δὲ οἱ παλαιοί, ὅτι τὸ κηρεσσιφορήτους καινὴν ἔχει σύνθεσιν. οὐδέποτε γὰρ δοτικὴ ἐπέκτασιν ἔχουσα συντίθεται κατ' ἀρχάς, ἀλλὰ μόνη φυσικὴ δοτικὴ συντίθεται, οἷον «Ἀργὼ πασιμέλουσα» οὐ μὴν παντεσσιμέλουσα. ὁμοίως καὶ Ναυσίθοος καὶ ἐγχεσίμωρος. Πρόσκειται τὸ κατ' ἀρχάς, διότι παρὰ Ἐπιχάρμῳ εὕρηται κατὰ τὸ τέλος συντεθειμένη ἐπεκτεταμένη δοτική, οἷον «γυναικάνδρεσσι ποθεινοί».

2.632 Ἰστέον δὲ καὶ ὅτι τὸ «εὔχομαι ἐλπόμενος ἐξελάαν ἐνθένδε κύνας» καὶ ἑξῆς ἔστι ῥηθῆναι καὶ παρ' ἑτέρου ἀνδρείου κατευχομένου ἐχθρῶν ἀνδρῶν. (v. 530) Ὅτι καὶ ἐνταῦθα κεῖται ἠοῖος, ὁ πρωϊνός, ἐκ τοῦ ἠώς, ἡ πρωΐα, ἧς γενικὴ ἠόος, ὅθεν προσθέσει τοῦ ι ὁ ἠοῖος. (v. 529—31) Φησὶ γοῦν στρατηγικῶς ὁ Ἕκτωρ «ἀλλ' ἤτοι ἐπὶ νυκτὶ φυλάξομεν ἡμέας αὐτούς, πρωῒ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες ἐγείρομεν ὀξὺν Ἄρηα», ὃς εἴρηται καὶ ἑτέρωθι. Ὅτι δὲ λέγεται ἠοῖος καὶ ὁ ἀνατολικός, ἄλλοθι δηλοῦται. (v. 530) Ἔστι δὲ τὸ πρωΐ διασαφητικὸν τοῦ ἠοῖοι, ὃ μετ' ὀλίγα ἐρεῖ «ἠελίου ἀνιόντος». Ὡς δὲ ταῦτα δηλοῦσι καὶ τὸ αὔριον, φανερὸν ἐκ τοῦ ἐπάγειν «αὔριον διαείσεται», καὶ «ἠλίου ἀνιόντος ἐς αὔριον». καὶ καλόν ἐστι τοῦτο. Ἐκ τοῦ ἄω γάρ, τὸ λάμπω, γίνεται καὶ ἠώς καὶ ἠοῖος καὶ αὔριον. Ἰστέον δὲ καὶ ὅτι σπάνια τῶν ἀντιγράφων γράφουσιν «πρωῒ δ' ὑπ' ἠοῖ», ἵνα ἐκ παραλλήλου ταὐτολογῆται τὸ πρωΐ καὶ τὸ ἠοῖ. [(v. 531) Ἰστέον δὲ ὅτι ὡς παντός παντοῖος, ἄλλος ἀλλοῖος, νέος νεοῖος, ὅθεν καὶ νεοίη Ὁμηρικῶς ἡ νεότης, οὕτω καὶ ἠώς ἠόος, ἠοῖος Ἰωνικώτερον. ἐξ αὐτοῦ δὲ ἠῷος τὸ κοινόν. Ἴσως δὲ καί, ὥσπερ ἕως ἑῷος, οὕτω καὶ ἠώς ἠῷος. (v. 531) Ἐν δὲ τοῖς εἰρημένοις ἀστείως κεῖται τὸ «ἐγείρομεν Ἄρηα». Οἱονεὶ γὰρ λέγει ὅτι μετὰ νύκτα ἐγερθέντες εἰς μάχην, τότε δὴ ἐγεροῦμεν καὶ Ἄρην ὃς εὗδε παννύχιος.

2.633 ] (v. 532—4) Ὅτι οὕτω πεφρονημάτισται ὁ Ἕκτωρ, ὥστε τῷ Διομήδει μὲν οὐδὲ μικρόν τι ἀνατίθησι κατόρθωμα, ἑαυτῷ δὲ τὸ μέγιστον εἰπὼν «εἴσομαι αἴ κε μ' ὁ Τυδείδης πὰρ νηῶν πρὸς τεῖχος ἀπώσεται ἤ κεν ἐγὼ τὸν χαλκῷ δῃώσας ἔναρα βροτόεντα φέρωμαι», λέγων οἱονεί, ὡς ἐκεῖνος μὲν ὁ δῆθεν κρατερὸς οὐκ ἄν με οὐδ' ἀπώσηται, ἐγὼ δ' αὐτὸν καὶ ἀνελῶ καὶ σκυλεύσω. (v. 536 s.) Ὅτι ἀνδρείου στρατηγοῦ ἀπειλὴ κατὰ ὁμοίου τινὸς τὸ «αὔριον ἣν ἀρετήν», ἤγουν ἰδίαν ἀνδρίαν, «διαείσεται ὁ δεῖνα, αἴ κ' ἐμὸν ἔγχος μείνῃ ἐπερχόμενον, ἀλλ' ἐν πρώτοισιν ὀΐω κείσεται οὐτηθείς, πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι», κείσονται δηλαδή. Καὶ ὅρα τὸ «ἐπερχόμενον» ὡς ἐπὶ ἐμψύχου τοῦ ἔγχους λεχθέν, εἰ μὴ ἄρα τὸ ἐμὸν ἔγχος εἴληπται περιφρασθὲν ἀντὶ τοῦ ἐμέ, ἵνα ᾖ τὸ «ἐπερχόμενον» αἰτιατικὴ ἀρσενικὴ περὶ αὐτοῦ Ἕκτορος, οὗ λόγοι κατὰ Διομήδους καὶ τὰ εἰρημένα. Ἐν οἷς σημείωσαι ὡς τὸ θάρσος τοῦ ἥρωος αὐτὸς ὁ Ἕκτωρ ἐμφαίνων καὶ τὸ πρόμαχον ὡς ἀνδρεῖον ἐκεῖνον εἶναι—Φιλαλήθης γὰρ ὁ Ἕκτωρ τοῦτό γε. —, ἐν πρώτοις τὸν Διομήδην αὐχεῖ πεσεῖν, σφαλλόμενος ἐνταῦθα τοῦ ἀληθοῦς, εἰ καὶ κατὰ τὸ πεσεῖν ἂν τὸν Διομήδην οὐτηθέντα, οὐ μὴν βληθέντα, εὐστόχησε. Σημείωσαι γὰρ ὅτι ἐν τῇ τοῦ Ἕκτορος δημηγορίᾳ συμπεπλεγμένοι εἰσὶ λόγοι καὶ ἔμφρονες καὶ ἄλλως θυμικοί. Ἡ μὲν γάρ, ὡς ἐρρέθη, τῶν ἵππων προμήθεια καὶ τῶν ἀνδρῶν καὶ τῆς πολιτικῆς φυλακῆς σπουδαῖά εἰσι, τὸ δὲ τῶν ἐλπίδων ἀλλόκοτον καὶ τὰ καθ' Ἑλλήνων καὶ Διομήδους αὐχήματα καὶ ἡ παράλογος εὐχὴ ἀνδρός εἰσιν οὐ καθεστῶτος τὸν νοῦν διὰ τὸ τοῦ θράσους πολύ. (v. 538—41) Εὔχεται γὰρ καὶ οὕτως «αἲ γάρ», ἤγουν αἴθε ἐγών, «ὣς εἴην ἀθάνατος καὶ ἀγήραος ἤματα πάντα, τιοίμην δ' ὡς τίεται Ἀθηναίη καὶ Ἀπόλλων, ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισι». καὶ αὐτὸς μὲν οὕτω. (v. 541) «Ἐπὶ δὲ Τρῶες κελάδησαν», ὅ ἐστιν ἐθορύβησαν, ὥσπερ καὶ Διομήδους ἐν τοῖς ἑξῆς δημηγορήσαντος πάντες ἐπίαχον υἷες Ἀχαιῶν. Ἔνθα φασὶν οἱ παλαιοὶ ὡς ἡρωϊκώτερον τὸ ἰάχειν τοῦ κελαδεῖν. (v. 540) Ἡ δ' ἐνταῦθα σύζευξις Ἀθηνᾶς καὶ Ἀπόλλωνος ληρεῖται ὑπὸ τοῦ Παραβάτου, ὡς καὶ ἄλλοθί που ἐρρέθη, διὰ τὸ Δία μὲν νοεῖσθαι τὸν ἥλιον, ἐξ αὐτοῦ δὲ

γεννᾶσθαι τὴν Ἀθηνᾶν, ἤτοι τὴν πρόνοιαν, ὡς ἐκεῖνός φησι. καὶ οὕτω μὲν καὶ τοῦτο. (v. 535) Τοῦ δὲ «διαείσεται», ᾧ παρισοῦται τὸ κείσεται, τὸ μὲν πρῶτον πρόσωπον ἁπλοῦν ἀνωτέρω κεῖται. εἴσομαι γάρ. τοῦτο δὲ πρόθεσιν ἔχει κατὰ τὸ εἰπέ δίειπε, οἷον «δίειπέ μοι, ὄφρα δαείω», τουτέστι δαῶ, μάθω.

2.634 (v. 539) Τὸ δὲ «καὶ ἀγήραος», οὗ κρᾶμα ὁ ἀγήρως, μύθου ἤρτηται τοῦ κατὰ Τιθωνόν, ὃς ὑπεργηράσας οὐδὲν τῆς μυθικῆς ἀθανασίας ἀπώνητο. (v. 541) Τὸ δὲ «νῦν ἡμέρη ἥδε» ὅμοιον τῷ νῦν σήμερον. ὡς γὰρ διὰ τοῦ σήμερον διασαφεῖται τὸ νῦν, οὕτω καὶ διὰ τοῦ ἡμέρη ἥδε, ἄλλως ἀσαφὲς ὄν, ὡς πλατικόν. ὅθεν καὶ τὸν βασιλέα ἠπάτησε φθάσας δι᾽ αὐτοῦ ὁ ὄνειρος. Ὅρα δὲ καὶ ὡς πρὸ βραχέων μὲν συχνὸν θέμενος Ἕκτωρ τὸ «νῦν» οὐ διεσάφησεν ἐκεῖνο, ἐνταῦθα δὲ ἑρμηνεύει περιφράσας τὸ «νῦν σήμερον» εἰς τὸ «νῦν ἡμέρη ἥδε», ἣ καὶ ἐν Ὀδυσσείᾳ κεῖται, ἀφ᾽ ἧς καὶ γίνεται τὸ σήμερον. Οὕτω καὶ πρὸ ὀλίγων τὸ τοῦ ἐσαύριον πλατὺ δι᾽ ἀνατολῆς ἡρμήνευσεν, εἰπὼν «ἠελίου ἀνιόντος ἐς αὔριον», ἤγουν αὔριον ἕωθεν ἅμα ἡλίου ἀνατολῇ. (v. 543—9) Ὅτι φράζων ὁ ποιητής, ὡς ὑπήκουσαν οἱ Τρῶες Ἕκτορι, φησὶν «οἳ δ᾽ ἵππους μὲν λῦσαν ὑπὸ ζυγοῦ ἱδρώοντας, δῆσαν δ᾽ ἱμάντεσσι παρ᾽ ἅρμασιν οἷσιν ἕκαστος. ἐκ πόλιος δ᾽ ἄξαντο βόας καὶ ἴφια μῆλα καρπαλίμως, οἶνον δὲ μελίφρονα οἰνίζοντο, σῖτόν τ᾽ ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγοντο», καθὰ Ἕκτωρ ἐκέλευσε, «κνίσσην δ᾽ ἐκ πεδίου ἄνεμοι φέρον οὐρανὸν εἴσω», ἤγουν εἰς τὸν ἀέρα, σκεδάζοντες δηλαδὴ αὐτὴν ἐπὶ πολύ, ὡς πολλῶν ὄντων τῶν ὀπτωμένων κρεῶν. Τούτων δὲ τῶν λόγων τὰ πλείω χρηστὰ καὶ εἰς ἔκφρασιν δαιτὸς πολυτελοῦς. (v. 545) Ἴφια δὲ καὶ νῦν μῆλα τὰ ἰσχυροποιὰ θρέμματα, ἐπεὶ καὶ κρέας τὸ ἐξ αὐτῶν παρὰ τὸ κρατύνειν τὰ σώματα λέγεται. ἢ καὶ ἄλλως, ἴφια τὰ μὴ ἀσθενῆ ὑπὸ νόσου, ἀλλὰ ἀναλόγως ἰσχυρά, ὡς λιπαρά. Ὁ δὲ γράψας Παρῳδὸς ἐπὶ ὀπώρας «ἴφια μῆλα» τὰ εὐτραφῆ ἔπαιξε πάντως, καθὰ καὶ ὁ φράσας «ἀμύγδαλα σιγαλόεντα» τὰ λεπτόφλοια καὶ μὴ θορυβοῦντα ἐν τῷ θραύεσθαι. Ἰστέον δὲ ὡς ἀποκεκλήρωταί πως μήλοις μόνοις τὸ «ἴφια» ὡς οἷά τισιν ἐξαιρέτοις. Ἶφις μὲν οὖν κύριόν ἐστιν ἐπὶ γυναικός, βόες δὲ ἢ ἄλλο τι ζῷον οὐχ᾽ εὗρον τοιοῦτον ἐπίθετον. Οὗ ἄδηλος ἡ εὐθεῖα, εἴτε κατὰ τὸ ἴχνιον κλίνεται, εἴτε κατὰ τὸ στίμμι, ὃ δηλοῖ τὸν καὶ παρὰ τοῖς παλαιοῖς καὶ παρὰ τοῖς ἄρτι δὲ χολλᾶν, ὃν κόχλον ἡ γυναικεῖα γλῶσσα φιλεῖ καλεῖν.

2.635 Αἴτιον δὲ τῆς ῥηθείσης ἀδηλίας τὸ μονῆρες τοῦ ἴφια. οὐκ ἔχομεν γὰρ καὶ ἄλλας πλαγίους, ἐξ ὧν ἡ ἑνικὴ ὀρθὴ θηραθείη ἂν τοῦ ἴφια. καὶ τοιόνδε μὲν καὶ τόδε. [Ὧι συμμνηστέον καὶ ὅτι τὸ εἰρημένον οὐδέτερον ὄνομα τὸ στίμμι καὶ στίμμις εὕρηται λεγόμενον θηλυκῶς. Γράφει γοῦν τις οὕτω· στίμμις ἡ εἰς τὰ ὄμματα χρήσιμος, Αἰγυπτίων φωνῇ. Φέρων δὲ καὶ χρῆσιν τὸ «καὶ τὴν μέλαιναν στίμμιν ὀμματογράφον» ἁμαρτάνειν φησὶ τοὺς λέγοντας τὸ στίμμι.] (v. 546) Τὸ δὲ «οἶνον οἰνίζοντο», οὗ λόγος ἦν καὶ πρὸ βραχέων, Ἀττικῶς εἴρηται, καθὰ καὶ τὸ «δαῖτα δαινυμένους», καὶ «λέγω λόγον ἄρρητον» παρὰ Σοφοκλεῖ, καὶ τὰ ὅμοια. Ἔθος γὰρ εἶναι Ἀττικοῖς πέφανται συνεκλαλεῖν ποτε τῷ ῥήματι περιττῶς καὶ τὸ ἐκεῖθεν ὄνομα. (v. 547) Τὸ δὲ «σῖτόν τ᾽ ἐκ μεγάρων» ἐλλέλειπται, ὡς καὶ αὐτὸ οὐ πρὸ πολλῶν ἐρρέθη. νοεῖται γὰρ καὶ ἐπ᾽ αὐτοῦ ἐξ ἀναλόγου τὸ ἐσιτοῦντο. καὶ ἔστιν ἡ ἔλλειψις εὔλογος, οἷα καιροῦ ἐπιτομῇ συσπεύδουσα. Τὸ δέ γε εἰπεῖν ὅτι σῖτον ἐκ μεγάρων καὶ ξύλα λέγοντο, ἤτοι συνῆγον, ψόγον μὲν οὐκ ἔχει, οὐκ ἀρέσκει δὲ τοῖς ἀκριβεστέροις τῶν παλαιῶν. Ἰστέον δὲ καὶ ὅτι, ὥσπερ τὰ περὶ ἵππων καὶ ἀνδρῶν ὑφ᾽ Ἕκτορος παρηγγελμένα τετέλεσται, οὕτω χρὴ νοῆσαι καὶ τὰ ἐπὶ φυλακῇ τῆς πόλεως, εἰ καὶ ὁ ποιητὴς αὐτὸ σιγᾷ, εἰωθὼς οὕτω ποιεῖν ἐφ᾽ ὧν οὐ ψεκτὸν ἡ σιωπή. (v. 549) Κνίσσα δὲ καὶ νῦν οὐ τὸ λίπος αὐτό, ἀλλ᾽ ἡ ἐξ αὐτοῦ καπνώδης ἀναγωγή, τὸ δαίμοσι φίλον. τὸ γὰρ ἔλαχον γέρας ἐκεῖνοι. (v. 553 s.) Ὅτι ἐνταῦθα εἰπὼν Ὅμηρος, ὡς ἐκάθηντο οἱ Τρῶες, «μέγα φρονέοντες ἐπὶ πτολέμοιο γεφύρῃ» ἢ «γεφύραις, παννύχιοι», φαίνεται γεφύρας πολέμου λέγειν, ὃ προλαβὼν ἔφη «ἐν καθαρῷ, ὅπου νεκύων διεφαίνετο χῶρος», ἤγουν τὸν τόπον, ἐν ᾧ οὐ γέγονέ τι πολέμου κακόν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.636 Διὸ οἱ παλαιοί, ὡς καὶ προδεδήλωται, γεφύρας πολέμου τὰς διεξόδους φασί. Καὶ ἄλλως δέ, μέγα φρονοῦσι Τρῶες ἐπὶ γεφύραις, ἃς οἷον ῥυμοτομίας τινὰς καὶ ἀγυιὰς ἤνοιξαν ἑαυτοῖς, ῥήξαντες τὰς τῶν Ἀχαιῶν φάλαγγας. Ἴσως δὲ φρονοῦσι μέγα ἐπὶ γεφύρῃ τῇ κατὰ τὴν Ἀριστάρχειον μίαν ἱππήλατον πύλην, δι᾽ ἧς θαρροῦσιν αὔριον εἰς τὰ ἐνδότερον διαβήσεσθαι, ἢ καὶ κατὰ γραφὴν ἄλλην ἐπὶ γεφύραις, ταῖς πολλαῖς ἱππηλάτοις κατὰ τοὺς ἄλλους Ἐξηγητὰς πύλαις, δι᾽ ὧν καταπηδήσουσι τῶν νεῶν, διαβάντες τὰ στενωπὰ τῆς τάφρου οἷα καὶ γεφύρας τινάς. (v. 554) Ὅτι τὰ Τρωϊκὰ πυρὰ πρὸ ὀλίγου πολλὰ εἰπὼν ὁ ποιητής, νῦν δὲ προθέμενος εἰδοποιῆσαι ὡρισμένῳ ἀριθμῷ τὸ πλῆθος αὐτῶν, πρῶτα μὲν δεξιῶς ἀνακυκλεῖ δι᾽ ἐπαναλήψεως τὸ «πυρὰ δέ σφισι καίετο πολλά». (v. 555—61) Εἶτα ἐπάγει παραβολὴν τοιαύτην «ὡς δ᾽ ὅτ᾽ ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελήνην φαίνεται ἀριπρεπέα, ὅτε τ᾽ ἔπλετο νήνεμος αἰθήρ. ἔκ τ᾽ ἔφανον πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι καὶ νάπαι, οὐρανόθεν δ᾽ ἄρ ὑπερράγη ἄσπετος αἰθήρ, πάντα δέ τ᾽ εἴδεται ἄστρα, γέγηθε δέ τε φρένα ποιμήν, τόσσα μεσηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων Τρώων καιόντων πυρὰ φαίνετο», τουτέστιν ἔλαμπεν, «Ἰλιόθι πρό», ἤγουν οὐκ ἔσω ἀλλ᾽ ἔξω πρὸ τῆς Ἰλίου. (v. 562 s.) Εἶτα μετὰ τὴν παραβολὴν σεμνῶς μὲν δηλοῦσαν ὅσα τὰ πυρά, πλὴν ἄλλως διὰ τὸ ἀοριστaίνειν οὐ σαφῶς ἔχουσαν, ὁρίζει αὐτὰ δι᾽ ἀριθμοῦ, εἰπὼν «χίλι᾽ ἄρ ἐν πεδίῳ πυρὰ καίετο, πὰρ δὲ ἑκάστῳ εἵατο πεντήκοντα σέλᾳ πυρὸς αἰθομένοιο», τουτέστι παρὰ ἑκάστῳ σέλαϊ πυρὸς ἐκάθηντο ἄνδρες πεντήκοντα, ὥστε οἱ πολεμισταὶ οὗτοι τῆς Τροίας πεντακισμύριοι ἦσαν.

2.637 Εἰς τοσοῦτον γὰρ κορυφοῦται ὁ τοῦ πεντήκοντα πολλαπλασιασμὸς πρὸς τὰ χίλια. Νοητέον δὲ τούτους μὴ τοὺς ἐφεστίους εἶναι μόνους Τρῶας κατά τινας, ὡς τῶν ἐπικούρων καθευδόντων, οἷα τοῖς Τρωσὶν ἐπιτρεψάντων τὴν φυλακήν, ἀλλὰ πάντας, ἤγουν τούς τε αὐτόχθονας Τρῶας τούς τε ἐπικούρους. Εἰ γὰρ αἱ πέντε αὗται μυριάδες αὐτοὶ δὴ καὶ μόνοι εἰσὶν οἱ ἐγχώριοι, περιΐσταται ὑπὲρ πεντήκοντα μυριάδας τὸ Ἑλληνικὸν εἶναι στράτευμα, ὡς Ὁμήρου φθάσαντος ἀριθμῆσαι τοὺς Ἕλληνας ὑπὲρ δεκαπλασίονας τῶν ἐφεστίων Τρώων. Εἰ γοῦν οἱ ἐφέστιοι ἄρτι, ὥς τινες εἶπον, πεντακισμύριοι τυγχάνουσιν ὄντες, εἶεν ἂν διὰ τὸ ὑπὲρ δεκαπλάσιον οἱ Ἕλληνες ὑπὲρ μυριάδας πεντήκοντα, ὅπερ οὐχ᾽ οὕτως ἀλλ᾽ ἑτέρως ἐλογίσαντο οἱ τὸ τῶν Ἑλλήνων ἀριθμήσαντες πλῆθος ἐκ τῆς Βοιωτίας, ἤτοι τοῦ τῶν νεῶν Καταλόγου, κατά τινα εἰκοτολογίαν λογιστικήν. (v. 555) Ἰστέον δὲ ὅτι ἐν τῷ «φαεινὴν ἀμφὶ σελήνην» οὐ τὴν πλησιφαῆ νοητέον καὶ πληροσέληνον. ἐν αὐτῇ γὰρ ἀμαυρά εἰσι τὰ ἄστρα ὡς ὑπεραυγαζόμενα, καθὰ καὶ ἡ Σαπφώ πού φησιν «ἀστέρες μὲν ἀμφὶ καλὰν σελάναν ἂψ ἀποκρύπτουσι φαεινὸν εἶδος, ὁπότ᾽ ἂν πλήθοισα μάλιστα λάμπῃ γᾶν». ἀλλὰ φαεινὴν λέγει κατὰ Ἀρίσταρχον τὴν φύσει τοιαύτην, κἂν μὴ πλήθουσα εἴη φωτός. Οὕτω καὶ Ναυσικάα εἰς πλυνοὺς ἰοῦσα φέρει ἐσθῆτα φαεινήν, οὐ τὴν τότε φαεινήν—Πλυνθῆναι γὰρ αὐτὴν ἔδει. —, ἀλλὰ τὴν κατά τι ἴδιον λαμπράν. εἰς γὰρ τὴν ἰδιότητα τῆς ἐσθῆτος ἐκεῖ ἀναφέρεται ἡ λέξις. Τινὲς δέ, ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται, διχοτομήσαντες τὴν σελήνην ἐν τῷ «φαεινήν» τὸ μὲν φάει παρώξυναν, τὸ δὲ νῆν περιέσπασαν εἰπόντες τὴν τῷ φάει νῆν, ὅ ἐστι νέην, ἤγουν ἄρτι φωτίζεσθαι ἀρξαμένην, ὅτε αὐτῆς ἀμυδρὸν φαινούσης ἀριπρεπῆ τὰ ἄστρα φαίνεται.

2.638 Τὸ δὲ «φαεινὴν ἀμφὶ σελήνην φαίνεται» τρόπος ἐτυμολογίας ἐστὶ κατά γε τὸ φαεινήν καὶ τὸ φαίνεται. καὶ αὐτὸ δὲ τὸ «φαεινὴν ἀμφὶ σελήνην» τοιοῦτον ἐμφαίνει τρόπον, εἴπερ σελήνη μὲν παρὰ τὸ σέλας γίνεται, σέλας δὲ ταὐτὸν τῷ φάει, ὃ συστοιχεῖ τῇ φαεινῇ. (v. 555 s.) Ἀριπρεπέα δὲ ἄστρα τὰ λίαν ἐκπρεπῆ τῇ λαμπρότητι. [Καὶ ἔστι ταὐτὸν ἐκπρεπέα βασιλέα εἰπεῖν Ὁμηρικῶς καὶ ἀριπρεπὲς ἄστρον διὰ τὸ ἐν ἀμφοῖν, ὡς εἰπεῖν, περιφανές. Ὡς γὰρ ἐπιτείνει τὸ ἀρι ἐπιρρηματικὸν μόριον, οὕτω πολλαχοῦ καὶ ἡ ἐξ πρόθεσις καὶ ἡ περι . Ἐναντίον δὲ τῷ ἐκπρεπεῖ καὶ ἀριπρεπεῖ τὸ ἀπρεπές, ὡς ὑπ᾽ οὐδενὸς περιεπόμενον, τὸ δὲ μεγαλοπρεπές ἀρετὴν δηλοῖ λαμπράν.] Τὸ δὲ «ὅτε νήνεμος αἰθήρ» ἀσφαλίζεται τὴν παραβολήν, ὡς τῶν ἄστρων τηνικαῦτα

λαμπόντων μάλιστα, ὅτε ἄνεμοι εὕδουσιν, οἷς τὰ ἐπιπροσθοῦντα νέφη τοῖς ἄστροις νύκτωρ ἐλαύνονται. Αἰθὴρ δὲ νῦν μὲν ὁ ὑψηλότατος ἀήρ, κατωτέρω δὲ ἐν τῷ «ὑπερράγη αἰθήρ» οὐ τὸν ἁπλῶς ἀλλὰ τὸν φωτὶ λαμπρὸν ἀέρα δηλοῖ, ἀφ’ οὗ καὶ ἡ αἰθρία λέγεται. (v. 557) Τὸ δὲ «ἔφανον» ὁ πρῶτος ἐνεργητικὸς ἀόριστός ἐστιν, ὅθεν τὸ ἐξεφάνησαν. Οἱ πρώονες δὲ πλεονασμὸν ἔχουσι τοῦ μικροῦ ο , κλίσις δὲ αὐτῶν καθ’ ὁμοιότητα τοῦ λῴονος καὶ τῶν ὁμοίων. Προϋπάρχει δὲ τὸ πρών πρωνός, ὃ δηλοῖ τὸν ὑψηλὸν τόπον, ὡς ἀπὸ τῆς προϊών μετοχῆς κατὰ τοὺς παλαιούς, ἐκδρομῇ τοῦ ι καὶ κράσει τῶν λοιπῶν φωνηέντων. Ὁ δ’ αὐτὸς καὶ πρηών λέγεται ἐν ἄλλοις, πλεονασμῷ ἴσως τοῦ η .

2.639 Ἰστέον δὲ ὅτι ἐνταῦθα μὲν μετὰ τὸ μεμεγεθυσμένον ω ἐπλεόνασε τὸ μικρὸν διὰ ἀπαρτισμὸν δακτύλου, ἐν δὲ τῷ «φόως» πρὸ τοῦ μεγάλου ω πλεονασμὸς ὅμοιος γέγονεν, ἵνα μὴ τοῦ μικροῦ ο πεσόντος εἰς τὴν λήγουσαν ἐπισκοτωθῇ ἡ κλίσις τοῦ φωτός. (v. 558) Νάπαι δὲ κατὰ τοὺς παλαιοὺς δρυμοί, φάραγγες, κοιλάδες. Γίνεται δὲ ἢ παρὰ τὸ νη ἐπιτατικὸν καὶ τὸ πῶ, τὸ πίνω, ὅθεν ἔστι πίνειν τὰ ἐκεῖ ζῷα, ἤ, ὡς οἱ παλαιοί φασιν, ἀπὸ τοῦ νη στερητικοῦ καὶ τοῦ φῶ, τὸ λάμπω, οἱονεὶ νάφη τις ἡ ἀφώτιστος καὶ οὐ κατὰ σκοπιὰς ἐκκειμένη φωτί. Καὶ ἔχει προσφυῶς ἡ ἐτυμολογία τῇ παραβολῇ. τοσαύτη γὰρ ἡ φαῦσις ὡς καὶ τὰς νάπας φωτισθῆναι. Ὅτι δὲ τὸ νη καὶ ἐπίτασιν δηλοῖ καὶ στέρησιν, δεδήλωται καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. Δῆλον δὲ καὶ ὅτι, ὥσπερ ἡ νάπη, οὕτω καὶ τὸ νέφος στέρησιν φωτὸς δοκεῖ δηλοῦν, καὶ ὅτι εὕρηται καὶ οὐδετέρως τὸ νάπος παρ’ ἑτέροις ποιηταῖς [τε καὶ πεζογράφοις, ὁμοίως τῷ βλάβη βλάβος, κνίση κνῖσος, πάθη πάθος, καὶ τοῖς ὁμοίοις.] Καὶ ὅτι ἀντιδιαστέλλονται, ὥσπερ αἱ σκοπιαί, οὕτω καὶ οἱ πρῶνες ταῖς νάπαις. οἱ μὲν γὰρ ἐξοχαὶ ὀρῶν, ἐν αἷς τὸ πρωῒ μάλιστα διαφαίνεται, ὅθεν καὶ ἐτυμολογεῖσθαι δοκεῖ τισι τοὺς πρῶνας. αἱ δὲ χθαμαλαί εἰσι καὶ διὰ τοῦτο ἀφώτιστοι, ὡς εἴρηται. (v. 558) Τὸ δὲ «οὐρανόθεν ὑπερράγη αἰθήρ» ἀντὶ τοῦ αἰθρία γέγονε καὶ πανταχοῦ ἐξηπλώθη οὐκ ἐκ μεγάλου φωστῆρος ἀλλ’ ἐκ τῶν ἀνωτέρω σποράδων ἀστέρων. Τοῦτο δ’ ἐναντίον ἐστὶ τῷ «ὀρώρει δ’ οὐρανόθεν νύξ», ὃ λέγοι ἂν ὅτι σκότος γέγονεν ἀερόθεν νεφῶν ὑποδραμόντων τὸν ἥλιον.

2.640 οὐ γάρ ἐστιν ὁ οὐρανὸς νυκτός αἴτιος. μᾶλλον μὲν οὖν αὐτὸς λύει τὸ σκότος ἢ τὸν ἥλιον περιάγων ἢ τὴν σελήνην στρέφων ἢ τοῖς ἄστροις αἰθριάζων. Καὶ ἄλλως δὲ εἰπεῖν, εἴη ἂν ὁ οὐρανόθεν αἰθὴρ οὐρανία λαμπηδών, ῥηθεῖσα πρὸς διαστολὴν ἑτέρων φώτων, ὁποῖον καὶ τὸ «φῶς ἡλίου» παρ’ Εὐριπίδῃ καὶ «φῶς σεληναίης» παρὰ τῷ Κωμικῷ. Καιρίως δὲ εἴρηται τὸ «ὑπερράγη» κατά τε τὴν ὑπο πρόθεσιν καὶ τὸ ἐρράγη. Ἄνωθεν γὰρ ἐκφανεὶς ὁ ῥηθεὶς αἰθὴρ κατεσπάρη καὶ εἰς τὰ ταπεινά, οὗ δηλωτικὸν τὸ «ὑπερράγη», ὅπερ εἰ καὶ κατερράγη ἐρρέθη, οὐδ’ οὕτως ἂν φαύλως πέφραστο. (v. 559) Τὸ δὲ «εἴδεται ἄστρα» καιρίως μὲν εἴρηται, ληφθὲν ἀντὶ τοῦ φαίνεται κατὰ πολυωνυμίας λόγον καὶ δηλοῖ εἰδοποίησιν τοῦ παντὸς διὰ τοῦ φωτός. Καιριώτερον δέ γε τὸ φαίνεσθαι. διὸ ἐκεῖνο μὲν πολλάκις, τοῦτο δὲ ἅπαξ ἐν τῇ παραβολῇ ἐρρέθη. Τὸ δὲ «γέγηθε φρένα ποιμήν» δοκεῖ μὲν ἐκ περισσοῦ νόμῳ παραβολικῷ κεῖσθαι, οὐκ ἔχει δὲ τὸ ἀκριβὲς οὕτω. Πραγματικῶς τε γὰρ ἐτέθη καὶ τῇ παραβολῇ συμβάλλεται. Σκοπιαὶ μὲν γὰρ καὶ πρώονες καὶ τοῖς πόρρωθεν φαίνοιντ’ ἂν λαμπόμεναι, νάπην δὲ φαεινομένην ποιμὴν ἂν ἴδοι ἐκεῖ βόσκων, ὃς καὶ εἰκότως χαρήσεται. Ὡς γὰρ ἡμέρας ὀμίχλῃ ζοφουμένης ἄχθεται διὰ τὸν κλέπτην, ὥς που προείρηται, οὕτω χαίροι ἂν αἰθριαζούσης νυκτός. Καὶ ἄλλως δὲ φάναι, ὥσπερ ἀηδὲς ἡμέρα νυκτίμορφος, οὕτως ἡδὺ νὺξ ἡμεροφαής. (v. 561) Τοῦ δὲ «πυρά» εὐθεῖα τὸ πῦρ. Αἰθόμενον δὲ πῦρ τὸ καὶ φλόγα ἔχον πρὸς διαστολὴν ζωπύρου τε καὶ ἄνθρακος καὶ τῶν τοιούτων. (v. 564) Ὅτι κἀνταῦθα, ὡς καὶ ἀλλαχοῦ, ἵπποι κρῖ λευκὸν ἐρέπτονται καὶ ὀλύρας. Δῆλον δὲ ὅτι τε, ὡς καὶ προεδηλώθη, ἀποκοπὴν ἔπαθε τὸ κρῖ ἀπὸ τοῦ κρῖμνον. —Διὸ καὶ οὐδετέρου γένους ἐστὶ καὶ αὐτὸ καθ’ ὁμοιότητα τοῦ δῶμα δῶ, καὶ κάρηνον κάρη—, καὶ ὅτι λευκὸν κρῖ, ὡς ὄντος που καὶ μέλανος τὴν ἐπιφάνειαν, καὶ πρὸς διαστολὴν δέ τινα σίτου, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι τὸ ἐρέπτεσθαι ἀλόγοις μόνοις οἰκεῖον, οἷς τῇ ἔρᾳ ἐπικύπτουσιν ἡ τροφή, καὶ ὅτι ὀρόβου βραχύτερον σπέρμα ἡ ὀλύρα, καὶ ὅτι ἀκίνητον εἰς κλίσιν τὸ κρῖ.

2.641 Ἐστέρηται γὰρ τοῦ οἷον ποδὸς τῆς ληγούσης, καθ' ἣν ἐκινεῖτο. Οὕτω δὲ καὶ τὸ δῶ καὶ τὸ κάρη καὶ ὅλως τὰ παθόντα ἀποκοπήν. (v. 565) Ὅτι τὴν Ἥραν χρυσόθρονόν που καλέσας ἐΰθρονον ἐνταῦθα τὴν ἡμέραν φησί, μυθικώτερον οὕτω φράσας. Ἄλλως γὰρ οὐ πρέπει τῇ ἡμέρᾳ θρόνος, ἐπεὶ ὀρθίους ἐν ἡμέρᾳ εἶναι χρὴ τοὺς σπουδαίους, ἀφ' οὗ καὶ ὁ ὄρθρος γίνεται, ὃς εἰς ἔργα ἡμᾶς ὀρθοῖ. Οὕτω δὲ μύθου καὶ τὸ τὸν ἀεικίνητον Δία ἐπὶ θρόνου καθίζειν. Εἴτε γὰρ αἰθὴρ ὁ Ζεὺς εἴτε ἥλιος εἴτε οὐρανός, οὐκ ἂν ἀκινητίζοι καθήμενος. Ἐνταῦθα δὲ ὁ ποιητὴς μεθοδεύων συνήθως, ὡς ἡ ποίησις οὐ τοῖς ἀναγκαίοις μόνον, ἀλλὰ καί τισι παρέργοις ἁβρῶς ἐμπλατύνεται, οὐκ ἠρκέσθη εἰπὼν ἵππους ἐρέπτεσθαι, ἃ προσεχῶς ἔφη, ἀλλὰ προσέθετο ἁπλῶς οὕτω εἰς οὐδὲν δέον καὶ τὸ «ἑσταότες παρ' ὄχεσφιν ἐΰθρονον ἠῶ μίμνον», γλυκέως μὲν εἰπών, ὡς εἴπερ λογικοὶ ἦσαν, οὐκ ἂν δὲ ὀφειλέτης ὢν ἢ ἐλπιζόμενος καὶ οὕτω φράσαι, ἀλλὰ παρὰ προσδοκίαν λαλήσας, ὁποῖος αὐτὸς τὰ πολλά. ΕΚ ΤΩΝ ΤΗΣ ΙΩΤΑ ΡΑΨΩΙΔΙΑΣ Ὅτι Λιταί ἡ ῥαψῳδία ἐπιγράφεται αὕτη ὑπὸ μιᾶς ταύτης τιτλουμένη λέξεως διὰ τὴν πρὸς Ἀχιλλέα πρεσβείαν τῶν Ἑλλήνων, οἳ ἐκεῖνον συμμαχεῖν ἐλιτάζοντο.

2.642.(t) Ἡ δὲ ἡρωϊκὴ ἐπιγραφὴ ἔχει οὕτως· Ἐξεσίη δ' Ἀχιλῆος ἀπειθέος ἐστὶν ἰῶτα. Ἔστι δὲ ἐξεσία ἡ πρεσβεία, ἧς χρῆσις καὶ ἐν Ὀδυσσείᾳ. Πάνυ δὲ ἐναγώνιος ἡ ῥαψῳδία καὶ πολλὴν ἔχουσα δύναμιν ῥητορείας δικανικῆς, ἐν οἷς οἱ μὲν πρέσβεις λέγουσιν, ὁ δὲ Ἀχιλλεὺς ἀντιλέγει, καὶ εἴπερ που ἀλλαχοῦ, ἐνταῦθα τὴν ἐν λόγῳ πολιτικῷ ῥητορικὴν Ὅμηρος ἐπιδείκνυται. (v. 1 s.) Ὅτι σχῆμα ἐνταῦθα κατὰ τοὺς παλαιοὺς ἀντίθετον τὸ «ὣς οἱ μὲν Τρῶες φυλακὰς εἶχον, ἀτὰρ Ἀχαιοὺς θεσπεσίη εἶχε φύζα». Ἀντιθετικὸν γὰρ τὸ εἰπεῖν «οἳ μὲν εἶχον, τοὺς δὲ εἶχε», καὶ ἔστιν ὅμοιον τῷ «οἱ μὲν εἶχον, οἱ δὲ εἴχοντο». Ὅρα δὲ ὅτι διαφέρειν ἐνταῦθα φαίνεται φύζα καὶ φόβος. Φησὶ γοῦν «φύζα φόβου κρυόεντος ἑταίρη». Καὶ λέγουσιν οἱ παλαιοί, ὅτι ἀεὶ μὲν φύζα ἡ μετὰ δέους φυγή, ὅθεν καὶ ἔλαφοι φυζακιναί, νῦν δὲ φύζαν τὴν ἔκπληξιν ὁ ποιητὴς καλεῖ, φίλα φρονοῦσαν τῷ φόβῳ, προηγουμένην μέντοι ὡς τὰ πολλά. ἐκπλαγεὶς γάρ τις εἶτα φεύγει τὸ φρικτόν. [Κρυόεις δὲ φόβος ἐκ τοῦ παρακολουθοῦντος, ὁ ψύχων τὸν φεύγοντα, ἤδη δέ ποτε καὶ ἀπονεκρῶν, οὗπερ ἀνάπαλιν θαλπωρὴ ἡ ἐλπίς, ὡς θάλπουσα καὶ ζῳοῦσα.

2.643 ] (v. 3) Ὅτι βέλει τὸ πένθος ἔοικεν ὡς πλῆττον εἰς ψυχήν. Διό φησι «πένθεϊ δ' ἀτλήτῳ βεβολήατο πάντες ἄριστοι». Γίνεται δὲ τὸ «βεβολήατο» ἀπὸ ἐνεστῶτος τοῦ βολῶ βολήσω, τὸ βάλλω, καὶ ἔστι πρωτότυπον αὐτὸ καὶ τοῦ βλῶ βλήσω καὶ τοῦ βεβλήατο, ἤγουν βέβληντο, καθὰ καὶ τὸ βεβολημένος τοῦ βεβλημένος. καὶ τοιοῦτον μὲν τὸ ἁπλοῦν βολεῖν. Τὸ δὲ ἀντιβολεῖν ἑτεροῖον ἔγνωσται εἶναι, ὡς καὶ τὸ ἐπὶ νηῶν βολεῖν εἴτε βολίζειν, ὃ βάθους θαλάσσης δηλοῖ μέτρημα διὰ καθιεμένου βόλου τινός. Ὅρα δὲ ὅπως ἐσέμνυνεν Ὅμηρος τοὺς ἀριστεῖς. τὸν μὲν γὰρ δῆμον, ὅ ἐστι τὸν κοινὸν ὄχλον, θεσπεσία εἶχεν, ὡς ἐρρέθη, φύζα, ὁποίαν ἔχοιεν ἂν οἱ μετ' ἐκπλήξεως φεύγοντες, τοὺς δὲ ἀρίστους πένθει βεβλῆσθαί φησιν. Ἤδη δὲ καὶ τὸν λαὸν ἐσέμνυνέ πως διὰ τοῦ «θεσπεσίη». οὐ γὰρ φυσικὴ αὐτοὺς φύζα ἔχει, ἀλλὰ ἐκ θεοῦ πεσοῦσα, ὅ ἐστιν ἐκ θεομηνίας ἐπεισφρήσασα. Παρακατιὼν δὲ τὸν Ἀτρείδην ἄχεϊ βεβλῆσθαί φησι. Λέγει γὰρ «Ἀτρείδης δ' ἄχεϊ βεβολημένος ἦτορ ἐφοίτα». Καὶ ὅρα ὅπως καιρίαις ὁ ποιητὴς πλουτεῖ λέξεσι κἀν τούτοις, ἐπὶ μὲν Ἀχαιῶν φύζαν θεσπεσίαν εἰπών, ἐπὶ δὲ τῶν ἀρίστων πένθος ἄτλητον, ἐπὶ δὲ τοῦ βασιλέως ἄχος μέγα. (v. 4—8) Ὅτι τὸν Ἑλληνικὸν τάραχον ἑρμηνεύων διὰ παραβολῆς φησιν «ὡς δ' ἄνεμοι δύο πόντον ὀρίνετον ἰχθυόεντα, Βορέης καὶ Ζέφυρος, τώ τε Θρήκηθεν ἄητον ἐλθόντ' ἐξαπίνης, ἄμυδις δέ τε κῦμα κελαινὸν κορθύεται, πολλὸν δὲ παρὲξ ἅλα φῦκος ἔχευαν, ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν». Εἰκάζει δὲ ἀνέμοις δυσὶν ὁ ποιητὴς τὸν εἰς δύο τινὰ μερισμὸν τῶν Ἑλλήνων, οἳ δαΐζονται, ὅ ἐστι μερίζονται βουλαῖς, εἴτε μένειν εἴτε φεύγειν χρεών, ὡς μετ' ὀλίγα φανεῖται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.644 (v. 4) Ὅρα δὲ ὡς οὐ μόνον θυμὸς ὀρίνεται, ἀλλ’ ἰδοὺ καὶ πόντος ἀνέμοις ταρασσόμενος. Τὸ δὲ «ἰχθυόεντα» νῦν μὲν περιεκτική τίς ἐστι φωνή. πόντος γὰρ ἰχθυόεις ὁ περιέχων ἰχθῦς. τοιοῦτον δέ τι καὶ τὸ «ἰχθυόεντα κέλευθα». Ὅτε δέ τις εἴποι «βίον ἰχθυόεντα» καὶ «ἰχθυόεντα γένεθλα», οὐ περιοχὴν ἡ λέξις, ὡς ἐνταῦθα, δηλοῖ. [Ἰστέον δὲ ὅτι κατὰ τὸ «ἀνθεμόεντα λειμῶνα» καὶ «ἰχθυόεντα πόντον» κεῖται ἀλλαχοῦ τὸ «οὐρανὸν ἀστερόεντα».] (v. 5) Ὁ δὲ Βορέης, ὃς ἀκέφαλον, ὡς καὶ προεδηλώθη, ποιεῖ τὸν στίχον ἐνταῦθα, παρὰ τὴν βορὰν ἐτυμολογεῖται. Καὶ γὰρ ἁδρύνει τοὺς στάχυας ὁ Βορρᾶς καὶ οὕτω γίνεται βορᾶς ἡμῖν αἴτιος, καθὰ καὶ ὁ ἐαρινὸς Ζέφυρος. Εἰ δὲ ὁ μὲν Βορρᾶς διὰ δύο ἐκφέρεται ῥῶ, ὁ δὲ Βορέας τῆς θατέρου ῥῶ ἐξέπεσε ῥοιζήσεως, τοῦ ε πλεονάσαντος, ἕχεις ὁμοιότητα τοιαύτην καὶ ἐν τῷ στερρός στερεός. Ὁ δὲ Ζέφυρος ἢ καὶ αὐτὸς κατὰ ὁμοίαν ἔννοιαν ἐτυμολογεῖται ὡς τὰ πρὸς τὸ ζῆν φέρων. Καρποφορεῖν γὰρ ποιεῖ καὶ αὐτὸς τὰς ἀρούρας ἔαρος πνέων καὶ οὕτω φέρει τὸ ζῆν, ποιῶν τὴν γῆν φυσίζοον καὶ ζείδωρον ἀληθῶς, ἢ ὡς ἀπὸ τοῦ ζόφου οὖρος, ἤτοι ἐκ τῶν πρὸς δύσιν ἄνεμος. Θρῄκηθεν δὲ πνέειν λέγει τὸν Ζέφυρον καὶ τὸν Βορρᾶν Ὅμηρος ἢ διὰ τὸ τὴν Θρᾴκην κοινὸν οἰκητήριον ἀνέμων μυθολογεῖσθαι ἢ διότι δι’ αὐτῆς τῇ καθ’ ἡμᾶς ἐμπίπτουσι θαλάσσῃ, οὐ μὴν ἐξ αὐτῆς ἐκείνης. Φησὶ γοῦν καὶ ὁ Γεωγράφος τὸν Ζέφυρον οὐκ ἐκ Θρᾴκης πνέειν, ἀλλὰ κατὰ τὴν Θρᾳκίαν θάλασσαν συμπίπτειν τῷ Βορρᾷ περὶ τὸν Μέλανα κόλπον. Περὶ δὲ Θρᾴκης, ἣν καὶ δρεπανοειδές φασί τινες ἔχειν σχῆμα θέσεως, εἴρηται καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. Ἐμνήσθη δὲ Βορέου νῦν καὶ Ζεφύρου ὁ ποιητὴς ἐκ τοῦ παρατυχόντος, καθὰ ἔδοξεν αὐτῷ, οὐ μὴν κατά τι ἀναγκαῖον, ἴσως δὲ καὶ διὰ τὸ προσκυρεῖν τὸν ῥηθέντα Μέλανα κόλπον τοῖς περὶ Ἑλλήσποντον, καθ’ ὃν τὸ Ἑλληνικὸν ναύσταθμον.

2.645 Τοῦ δὲ «ἄητον» πόρρω μὲν θέμα τὸ ἀῶ ἀήσω, ἐξ οὗ καὶ ἀήτης ἐπὶ ἀνέμου καὶ ἄημα πνευμάτων παρὰ Σοφοκλεῖ καὶ ἀΐτης δὲ διὰ τοῦ ἰῶτα ὁ φίλος, εἰπεῖν δὲ κατὰ τοὺς παλαιούς, ὁ ἐρώμενος διὰ τὸ οἷον πνεῖσθαι διὰ φιλίαν, διὸ καὶ εἴσπνιλος ὁ αὐτὸς παρὰ Λάκωσι. Προσεχὲς δὲ θέμα τοῦ αὐτοῦ ἄημι, ἐξ οὗ καὶ τὸ «ἀνέμων μένος ὑγρὸν ἀέντων». Ἐκτέταται δὲ διὰ μέτρον ἡ παραλήγουσα τοῦ ἄητον. τὸ γὰρ ἁπλοῦν δυϊκὸν ἄετον ὡς τίθετον. (v. 6) Τὸ δὲ «ἐξαπίνης ἐλθεῖν» τὸ σφοδρόν τε δηλοῖ τῆς, τραγῳδικῶς εἰπεῖν, δυσπνόου Θρῄσσης πνοῆς. οἱ γὰρ οὕτω πνέοντες ἐπὶ πλέον ταράττουσι τὴν θάλασσαν. Καὶ πρὸς τὸ πρᾶγμα δὲ καλῶς συμβιβάζεται. καὶ τοῖς Ἀχαιοῖς γὰρ ἐξαπίνης καί, ὡς οὐκ ἂν ἤλπισαν, ἐπῆλθεν ὁ τάραχος. Τὸ δὲ «ἄμυδις» Αἰολικόν ἐστι, καθὰ καὶ τὸ ἄλλυδις. διὸ καὶ ψιλοῦται. [Ψιλωτικοὶ γὰρ οἱ Αἰολεῖς.] Κῦμα δὲ κελαινόν ᾧ οὐ προσλογίζεται καὶ ἀφρός, ἐξ οὗ κῦμα φαληριῶν, ὅ ἐστι λευκόν. (v. 7) Τὸ δὲ «κορθύεται» ἀπὸ κόρυθος γίνεται, καὶ ἔστιν ὅμοιον τῷ κορύσσεται, ἤτοι κορυφοῦται, ὡς τὸ «κορυσσομένης Ἀμφιτρίτης». Εἰ δὲ μικροπρεπὲς δοκεῖ ἀπὸ κόρυθος καὶ ζωϊκῆς κορυφῆς λέγειν κορθύεσθαι καὶ κορύσσεσθαι καὶ κορυφοῦσθαι τὴν οὕτω μεγάλα ὑψουμένην θάλασσαν, ἐνθυμητέον ὡς οὐκ ἐξ ἀνάγκης αἱ τροπαὶ ἀεὶ ποιότητος μεγαλεῖον ζητοῦσι καὶ ποσότητος ἀλλ’ ἢ μόνον ὅτε που ἐγχωρεῖ, μεγάλοις τε μικρὰ προσβιβάζουσα, ὡς ὅτε ἀνθρωπίνως φράζει τὰ θεῖα, καὶ αὖ πάλιν μικροῖς μεγάλα, ὁπηνίκα ποιεῖ ἔμπαλιν. Οὕτω καὶ Ὀλύμπου κορυφαὶ καὶ κάρηνα λέγονται, καὶ σκάφος οὐ μόνον πλοῖον ἀλλὰ καὶ αὐτὸς ὁ μέγιστος κόσμος, οὗ καὶ κυβερνήτης προΐσταται θεός, ὁ καὶ δημιουργὸς κληθεὶς ἀπὸ σμικροτάτου τροπικῶς τοῦ κατὰ πόλεις δημιουργοῦ, ὃν δηλοῖ ἡ Ὀδύσσεια.

2.646 Τὸ δὲ «παρὲξ ἅλα» ἐπίρρημά ἐστι τοπικὸν συγκείμενον ἀπὸ τῆς παρα καὶ ἐξ προθέσεως. Δηλοῖ δὲ τὸ παρὰ τὴν ἅλα ἢ μᾶλλον τὸ ἔξω μὲν ἁλός, παρ’ αὐτὴν δὲ ἤτοι ἐγγὺς αὐτῆς. Ἰστέον δὲ ὡς ἡμεῖς μὲν οἱ ὕστερον πάρεξ ἀεί φαμεν βαρυτόνως κατὰ κοινὴν διάλεκτον καὶ ἀντὶ τοῦ χωρίς τὴν λέξιν νοοῦμεν καὶ διὰ τοῦ ξ γράφομεν αὐτὴν καὶ μόνῃ γενικῇ συντάσσομεν, Ὅμηρος δὲ παρέξ λέγει ὀξυτόνως, ἀκολουθῶν τῷ κανόνι τῶν προθέσεων, καὶ ἀντὶ τοῦ ἔξω μέν, ἐγγὺς δέ, τὴν λέξιν λαμβάνει, καὶ φωνήεντος μὲν ἐπιφερομένου φυλάσσει τὸ διπλοῦν, ὡς καὶ ἐνταῦθα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συμφώνου δὲ ἐπαγομένου τρέπει συνήθως τὸ ξ εἰς ἄφωνον τὸ κ , οἷον «παρὲκ νόον ἤγαγεν». Ἔστι δ' ὅτε καὶ οὕτω φυλάσσει τὸ ξ , ὡς ἐν τῷ «παρὲξ τὴν νῆσον ἐλαύνομεν», καὶ τὴν σύνταξιν δὲ διφορεῖ. Ἀπίων δὲ καὶ Ἡρόδωρός φασιν, ὅτι ἐπὶ τοῦ παρέξ ἔστι μὲν ὅτε τὸ νοητὸν ἐπικρατεῖ τῆς ἐξ ἔσθ' ὅτε δὲ τῆς παρα , ἤγουν ἐπεὶ τὸ παρέξ ἐκ δύο σύγκειται προθέσεων, τῆς παρα καὶ τῆς ἐξ , ποτὲ μὲν ἡ τῆς ἐξ προθέσεως νόησις ἐπικρατεῖ καὶ προκαλεῖται γενικὴν σύνταξιν, ὡς τὸ «παρὲξ ὁδοῦ», ἤγουν ἔξω τῆς ὁδοῦ, ποτὲ δὲ ἡ παρα πρόθεσις νικῶσα προάγεται εἰς αἰτιατικήν, ὡς τὸ «παρὲξ τὴν νῆσον», ἤτοι παρὰ τὴν νῆσον. Λαμβάνει δὲ τὴν λέξιν Ὅμηρος, ὡς φαίνεται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν μάλιστα, ἐπὶ τῶν μήτε πάνυ πολὺ ἀπεχόντων μήτε ἔγγιστα ὄντων, ἀλλὰ ἔξω μέν, ὅπερ ἡ ἐξ πρόθεσις δηλοῖ, ὅμως δὲ ἐγγύς, ὅπερ διὰ τῆς παρα δηλοῦται προθέσεως σημαινούσης ἐγγύτητα, ὡς καὶ ἐπὶ τοῦ πάρεδρος καὶ παρακαθίζω καὶ τῶν ὁμοίων.

2.647 Τὸ δὲ φῦκος ἐκτείνει μὲν τὴν ἄρχουσαν, ἔστι δὲ εἶδός τι μνίου καὶ βρύου. (v. 9—12) Ὅτι συγκλήτου μὲν λέξιν ὁ ποιητὴς οὐκ οἶδεν, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, ὅτε δὲ εἴπῃ, ὡς ὁ βασιλεὺς «φοίτα [κηρύκεσσι] λιγυφθόγγοισι κελεύων κλήδην εἰς ἀγορὰν κικλήσκειν ἄνδρα ἕκαστον μηδὲ βοᾶν», καὶ ἐν τοῖς ἑξῆς δὲ «ὅσοι κεκλήατο βουλήν», τὴν σύγκλητον παραδηλοῖ, ἀπὸ τοῦ καλεῖσθαι ὀνομαζομένην. Σοφοκλῆς δὲ σύγκλητον λέσχην ταύτην καλεῖ. Οὕτω δὲ καὶ γερουσίαν μὲν οὐκ οἶδεν ὀνομάζειν ὁ ποιητής, ὅτε δὲ γέροντας λέγει καὶ ὅτε οἶνον ὀνομάζει γερούσιον, τὴν τῆς γερουσίας ἐμφαίνει ἔννοιαν. Ἰστέον δὲ ὅτι οὐκ ἐᾷ ὁ βασιλεὺς βοᾶν ὡς ἐν ἀγορᾷ τοὺς κήρυκας, ἵνα μὴ ἔκπυστα τοῖς Τρωσὶ τὰ κατὰ τοὺς Ἀχαιοὺς γένοιντο καὶ γνωσθεῖεν ἀμηχανοῦντες καὶ ταρασσόμενοι, ὥστε βοᾶν μὲν τὸ τρανέστερον φωνεῖν, κικλήσκειν δέ, ὅ ἐστι καλεῖν, τὸ ἠρέμα. (v. 11) Τοῦ δὲ «κλήδην» ἡ διάθεσις κατὰ τὸ τμήδην, ὃ δηλοῖ τὸ τμητικῶς. Ἀττικὸν δὲ καὶ ἅμα ἐτυμολογικὸν τὸ κλήδην κικλήσκειν, ὃ σαφέστερον ἑτέρωθι ἐξονομακλήδην ἐρρέθη. (v. 10) Φοιτᾶν δὲ τὸ ἁπλῶς περιοδεύειν, γινόμενον κατὰ τοὺς παλαιοὺς ἐκ τοῦ προϊέναι ἢ ἐκ τῆς ὁδοῦ. Ἀττικοὶ δὲ ὕστερον τὸ ἐς διδασκάλου ἰέναι φοιτᾶν ἔλεγον καὶ φοιτητὴν τὸν τοῦτο ποιοῦντα. Ὡς δὲ καὶ τὸ ἐνθουσιωδῶς ὁρμᾶν καὶ μαίνεσθαι φοιτᾶν ἐλέχθη, ὅθεν καὶ φοῖτος ἡ μανία, δηλοῦσιν οἱ παλαιοί. (v. 11) Τὸ δὲ «εἰς ἀγορήν» οὐκ ἀποστερεῖ οὐδὲ τὴν σύγκλητον ἄγυριν τοῦ λέγεσθαι ἥκειν εἰς ἀγορήν. (v. 10 et 12) Ὅτι φιλοπόνῳ οἰκεῖον τὸ «ἐφοίτα κελεύων, αὐτὸς δὲ μετὰ πρώτοισι πονεῖτο», ὅ ἐστιν ἐνήργει, αὐτοδιακονῶν δηλαδή. (v. 13—5) Ὅτι Ἀγαμέμνων εἰς δημηγορίαν ἀνίστατο δακρυχέων, «ὥστε κρήνη μελάνυδρος, ἥ τε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ». (v. 16—28) Καὶ βαρυστενάχων προφέρει ἀπαραποιήτως καὶ ἐνταῦθα πολλά, ὧν ἔφη καὶ ἐν τῇ β′, ἀρξάμενος ἐκ τοῦ «Ζεύς με ἄτῃ ἐνέδησε βαρείῃ».

2.648 Οὐκ ἐσχηματισμένως μέντοι, ἀλλὰ ἀληθῶς αὐτὰ λαλεῖ. Ἐν οἷς καὶ τὸ «φεύγωμεν σὺν νηυσί» καὶ ἑξῆς. (v. 29—36) Καὶ οἱ μὲν ἄλλοι σιωπῶσι, δεδιότες μὴ καὶ οὗτος ὁ βασιλικὸς λόγος ἀπόπειρά τις εἴη τῶν Ἀχαιῶν, μόνος δὲ καὶ νῦν ὁ Διομήδης, ὡς καὶ πρὸ ὀλίγων, ὀψὲ διὰ τὴν νεότητα εἰπεῖν θαρρήσας —Οἱ γὰρ ἄλλοι «πάντες ἀκὴν ἐγένοντο σιωπῇ, δὴν δ' ἄνεῳ ἦσαν τετιηότες». —ἀφραδέοντά τε τὸν βασιλέα καλεῖ, καὶ κατὰ νόμον ἐντέχνου ῥητορείας παραιτησάμενος νέμεσιν, καὶ ἐν σχήματι προδιορθώσεως αἰτησάμενος μὴ χολωθῆναι τὸν βασιλέα, καὶ οὕτω τῇ τοῦ λόγου τραχύτητι κεράσας ἐπιείκειαν, μαχήσεσθαι τῷ βασιλεῖ λέγει, καθὰ θέμις ἐστίν, ἀγορῇ, καὶ ἀναμιμνήσκει, ὅτι φθάσας ὁ βασιλεὺς ἀλκὴν τῷ Διομήδει ὠνείδισεν, εἰπὼν ἀπόλεμον αὐτὸν εἶναι καὶ ἀνάλκιδα. (v. 37—9) Εἶτα λέγει ὅτι μάλιστά γε τῷ Ἀγαμέμνονι ὁ Ζεὺς οὐ τέλειον ἔδωκε τὸ ἀγαθόν, ἀλλὰ διάνδιχα, τὸ τῆς βασιλείας καλὸν διελών, σκήπτρῳ μὲν ἔδωκε τετιμῆσθαι πλεῖον πάντων, ὡς εὐρυκρείοντα. —Τοῦτο δὴ τὸ καὶ ἐκ τύχης ποτὲ ἀγαθόν. —, ἀλκὴν δὲ οὐκ ἔδωκεν, ὃ κράτος ἐστὶ μέγιστον. ἐξ ἀρετῆς γὰρ τουτὶ τὸ καλόν. (v. 32—49) Φράζει δὲ ὁ ποιητὴς τὰ κατὰ τὸν Διομήδην οὕτως «Ἀτρείδη, σοὶ πρῶτα μαχήσομαι ἀφραδέοντι, ἣ θέμις ἐστὶν ἄναξ ἀγορῇ, σὺ δὲ μή τι χολωθῇς. ἀλκὴν μέν μοι πρῶτον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀνείδισας ἐν Δαναοῖσι, φὰς ἔμεν ἀπτόλεμον καὶ ἀνάλκιδα· ταῦτα δὲ πάντα ἴσας' Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες. σοὶ δὲ διάνδιχα δῶκε θεός· σκήπτρῳ μέν τοι δῶκε τετιμῆσθαι περὶ πάντων, ἀλκὴν δ' οὔ τοι δῶκεν, ὅ τε κράτος ἐστὶ μέγιστον. δαιμόνιε», ἤγουν μακάριε, «οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν ἀπτολέμους τ' ἔμεναι καὶ ἀνάλκιδας, ὡς ἀγορεύεις; εἰ δέ τοι αὐτῷ θυμὸς ἐπέσσυται ὥστε νέεσθαι, ἔρχεο, πάρ τοι ὁδός, νῆες δέ τοι ἄγχι θαλάσσης ἑστᾶσιν, αἵ τοι ἕπονται Μυκήνηθεν μάλα πολλαί. ἀλλ' ἄλλοι μενέουσι καρηκομόωντες Ἀχαιοί, εἰς ὅ κέ περ Τροίην διαπέρσομεν. εἰ δὲ καὶ αὐτοί, φευγόντων σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν. νῶϊ δ' ἐγὼ Σθένελός τε μαχησόμεθα, εἰς ὅ κε τέκμωρ Ἰλίου εὕρωμεν. σὺν γὰρ θεῷ εἰλήλουθμεν». ὃ δὴ ἐπιφωνηματικῶς ἐπῆκται, θεραπεῦον, ὡς καὶ ῥηθήσεται, τὴν δοκοῦσαν ἀλαζονείαν τοῦ ἥρωος. Ἐν τούτοις δὲ ὅρα ὅπως ὁ Διομήδης ὁ ἐν καιρῷ σιγήσας, ὅτε ὠνειδίσθη παρὰ τοῦ βασιλέως ὡς ἀπόλεμος καὶ ἄναλκις, νῦν εὐθέτως καὶ ἀληθῶς ἐλέγχει τὸν ὀνειδίσαντα, περιτρέπων ἐκείνῳ τὸν ὀνειδισμὸν ἐξ ἔργων αὐτῶν.

2.649 ἄναλκις γὰρ ὡς ἐπὶ πολὺ ὁ φεύγειν ἐθέλων, οὐ μὴν ὁ ἑτοιμαζόμενος εἰς πόλεμον, ὡς τότε ὁ Διομήδης. Καὶ οὕτω μὲν ὁ ἥρως πρὸς βάρος λαλεῖ. Ὁ δέ γε βασιλεὺς φέρει τὸν ἔλεγχον διά τε τὴν θέμιν τῆς ἀγορᾶς καὶ διότι οὐ ψευδές ἐστι τὸ ὄνειδος, ἀλλὰ κατ' αὐτὸ ἀληθίζεται ὁ ἥρως, ὥσπερ αὖ πάλιν ἠλαζόνευται αὐτῷ τὸ «ἐγὼ Σθένελός τε μαχησόμεθα» καὶ ἑξῆς. Ὅθεν καὶ ἐπεὶ ὑπέρκομπος ὁ τοιοῦτος λόγος —Πῶς γὰρ ἂν οἱ περὶ Διομήδην ἶσα τῷ Πανελληνίῳ δυνήσονται; —ἐπάγει θεραπείαν τὸ «σὺν γὰρ θεῷ ἤλθομεν». Οἰκεία δέ, φασίν, ἄρτι ἡ τοιαύτη μεγαλόφρων ῥητορεία τῷ Διομήδει. παρώξυνται γὰρ οὐ μόνον φιλοτιμίᾳ καὶ θυμῷ, ἀλλὰ καὶ ἀρετῇ. ἔτρωσε γὰρ τὴν τὸν Ἀλέξανδρον σώσασαν, ἀνεῖλε Πάνδαρον, ἔλαβε τοὺς ἵππους Αἰνείου, χρύσεα ὅπλα ἔσχεν, Ἰδαίῳ τῷ ἐκ Τροίας κήρυκι μόνος ἀντεῖπε, κεραυνοῖς ἀντέσχεν, ἔφυγεν ὕστερος, ὑπέστρεψε πρῶτος, καὶ διὰ ταῦτα ὑπέρφρων γίνεται. Καὶ ὅμως οὐ θαρρεῖ αὐχήσειν πολιορκῆσαι τὴν Τροίαν, ἀλλὰ «μαχησόμεθα», φησίν, «ἕως τέκμωρ Ἰλίου εὕρωμεν», ἤτοι τέλος τῆς περὶ τὴν Ἴλιον μάχης, ὅπερ μέσως ῥηθὲν δηλοῖ οὐ μόνον τὸ ἑλεῖν αὐτὴν ἀλλὰ καὶ τὸ ἐπὶ διακειμένοις τισὶ λῦσαι τὴν μάχην, τυχὸν δὲ καὶ τὸ μαχομένους εὐκλεῶς πεσεῖν. Ἰστέον δὲ καὶ ὅτι τῷ Ὁμηρικῷ τούτῳ τόπῳ παρ' Ἡροδότῳ ἔοικε τὸ «μὴ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα Ἀρτάβανε, ἐγὼ δὲ καὶ ἄνευ σέο, ὅσα εἶπα, ἐπιτελέα ποιήσω». Ἔστι δὲ ἐκεῖνο ἀκομπότερον τοῦ Ὁμηρικοῦ καὶ διὰ τοῦτο ἀσφαλέστερον. Καὶ τοιοῦτον μὲν τὸ ἐκτεθὲν Ὁμηρικὸν χωρίον, τὰ δὲ διὰ μέσου αὐτοῦ εὐθὺς εἰρήσεται. (v. 14) Μελάνυδρος μὲν οὖν κρήνη οὐ μόνον διότι καθόλου τὸ ὕδωρ μέλαν εἶναι δοκεῖ μὴ φωτιζόμενον, ἀλλὰ καὶ ὡς ἐκ βάθους ἀνάγουσα τὸ ὕδωρ καὶ ὡς πολύϋδρος. (v. 15) Αἰγίλιψ δὲ πέτρα, ἥτις διὰ τὸ τοῦ ὕψους δυσανάβατον καὶ ὑπὸ αἰγὸς λείπεται, ἁλτικοῦ ζῴου καὶ πετροβατικοῦ.

2.650 Τοιαύτῃ δέ τινι κρήνῃ τὸν βασιλέα εἰκάζει, ἐξ ὑψηλῆς δηλαδὴ καταρρεούσῃ πέτρας, διὰ τὸ τοῦ ἥρωος καὶ στερέμνιον καὶ εὐμέγεθες, καὶ διὰ τὸ δαψιλὲς δὲ δάκρυον καὶ ὑπερβολικόν. Εὑρεθήσεται δὲ ὑπερβολὴ δακρύων καὶ ἐν τοῖς ἑξῆς ἐπὶ τῷ τοῦ Πατρόκλου νεκρῷ. Δνοφερὸν δὲ ὕδωρ ἢ τὸ μέλαν, ἐξ ὁμοιότητος γνόφου τραπέντος τοῦ γ εἰς δ συνήθως, ἢ ὡς ἐν σχήματι συνθέτῳ τὸ μετὰ δονήσεως φερόμενον καὶ ψόφου τινός. ᾧ ψόφῳ ἔοικεν ὁ βαρὺς τοῦ βασιλέως στεναγμός, ὡς τὰ δάκρυα τῷ καταρρέοντι τῆς πέτρας ὕδατι. (v. 16) Φησὶ γὰρ «βαρυστενάχων μετηύδα». Ὅτι δὲ μυριαχοῦ εὕρηνται πηγαὶ οὐ μόνον ἁπλῶς κατὰ πετρῶν χέουσαι ὕδωρ ἀλλὰ καὶ κατὰ ὀρέων κορυφῶν, δῆλον. καὶ ἱστορεῖ τοιοῦτόν τι καὶ ὁ Αἰσχύλος ἐν Προμηθεῖ. (v. 18) Τὸ δὲ «ἄτῃ ἐνέδησε βαρείῃ» τὸ δυσαπάλλακτον τῆς δυστυχίας δηλοῖ. Ἔνθα καὶ Δία εἰπὼν ὑπερμενέα ἑρμηνεύει ἐπαγαγὼν «ὃς πολλάων πολίων» καὶ ἑξῆς, καὶ «τοῦ γὰρ κράτος ἐστὶ μέγιστον». (v. 30) Περὶ δὲ τοῦ «ἄνεῳ ἦσαν», ὅ ἐστιν ἄφωνοι, καὶ τοῦ τετιηότες, ὅ ἐστι λελυπημένοι, τετιμωρημένοι, ἐν ἄλλοις ἐρρέθη (v. 32 s.) Τὸ δὲ «μαχήσομαι» ἐπὶ ἀντιλογίας νῦν κεῖται. διὸ ἐπήγαγεν «ὡς θέμις ἐστὶν ἄναξ ἀγορῇ». ἄλλως γὰρ οὐκ ἔστιν ἀνταγορεύειν ἄνακτι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐν μέντοι τῷ «ἐγὼ Σθένελός τε μαχησόμεθα» κυριολεκτεῖται τὸ μαχησόμεθα. Ἀπὸ δέ γε τοῦ «μαχήσομαι ὡς θέμις ἀγορῇ» καὶ ἡ λογομαχία εἴληπται. Ἰστέον δὲ καὶ ὅτι τὸ «μαχήσομαι, ἣ θέμις ἐστὶν ἀγορῇ» ῥητορικῶς τεθεώρηται ὡς τοῦ συμβουλευτικοῦ εἴδους στασιαζομένου. τοιοῦτον γὰρ πάντως τὸ ἐν ἀγορᾷ κατὰ θέμιν μάχεσθαι.

2.651 Τὸ δὲ «ἄναξ» οὐκ ἀργὸν κεῖται, ἀλλ' ἀξιωματικῶς δηλοῖ ὡς οὐ λέληθέ με, ὅτι πρὸς ἄνακτα λαλῶ, εἰδὼς δὲ ποιῶ τὸ τῇ ἀγορᾷ θεμιτόν. Τὸ δὲ «ἀφραδέοντι» οὐ πάνυ τραχέως ἔχει. οὐ γὰρ τὸν ἀφραίνοντα δηλοῖ, ἐπεὶ μηδὲ ἐχρῆν εὐθὺς ἐκ προοιμίων ἀπαρακαλύπτως τραχύνεσθαι, ἀλλὰ τὸν κακῶς φραζόμενον. τραχὺ δὲ ὅμως ὂν καὶ τοῦτο λεαίνεται τῇ ἐπαγωγῇ τοῦ «ἄναξ». Τὸ δὲ «ἣ θέμις ἐστὶν ἀγορῇ» ἀντὶ τοῦ «ὡς νόμος ἐστὶ τοῖς συγκληθεῖσιν εἰς ἀγοράν», ἢ καὶ κατὰ ἑτεροῖον τόνωμα τοῦ «ἡ θέμις», ἀντὶ τοῦ «ἥτις θέμις ἐστὶν ἐν ἀγορᾷ», ἤγουν ὅσπερ νόμος ἐστὶν ἀγορᾶς. Ἔξεστι γὰρ ἀγορεύειν τὰ δοκοῦντα. Ἔνθα σημείωσαι καὶ ὅτι ἀγορὰν πάλιν ἔφη καὶ τήν, ὡς εἴρηται, σύγκλητον βουλήν. Ἐν τούτοις δὲ καὶ σχῆμα προθεραπείας ἐστί. Μέλλων γὰρ ὁ Διομήδης τοῦ βασιλέως καθάψασθαι λέγει «σοὶ πρῶτα μαχήσομαι» καὶ ἑξῆς ἕως τοῦ «σὺ δὲ μή τι χολωθῇς». ἄλλως γὰρ πάνυ ἄτεχνον ἦν κατὰ τοῦ βασιλέως ἀπαρακαλύπτως τραχύνασθαι. (v. 34) Τὸ δὲ «ἀλκὴν ὀνείδισας» ἀσυνήθως λέλεκται. οὐ γὰρ ὥσπερ τὸ κλοπὴν ὀνείδισας ἢ δειλίαν ἀντὶ τοῦ κλέπτην εἶπας εἶναι ἢ δειλόν, οὕτω κἀνταῦθα τὸ «ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας» ἀντὶ τοῦ ἄλκιμον ὠνόμασας, ἀλλ' ἀντὶ τοῦ «ἐμέμψω μοι τὴν ἀλκήν». Διὸ καὶ ἑρμηνεύων ἐπήγαγε τὸ «φὰς εἶναι ἀπτόλεμον καὶ ἀνάλκιδα» ὃ πληθυνθὲν ποιεῖ τὸ ἀπτολέμους ἔμεναι καὶ ἀνάλκιδας. Τὸ δὲ «πρῶτον ὀνείδισας» ἶσόν ἐστι τῷ «πρῶτος ὀνείδισας». Ὅθεν εἰ καὶ εἶπον, φησίν, ὡς σοὶ πρῶτα μαχήσομαι, ἀλλὰ τοῦτο μὲν ὡς πρὸς ἑτέρους, ἐγὼ δὲ δεύτερος ἥκω εἰς λόγους οἷά σου προονειδίσαντος. Ὄνειδος δὲ καὶ νῦν ὕβρις, ὄνοσις, ὅ ἐστι μέμψις, οὐ μὴν τὸ σύνηθες τοῖς μεθ' Ὅμηρον, ὃ δηλοῖ προφορὰν εὐεργεσιῶν ἐπὶ ἐλέγχῳ ἀχαριστίας.

2.652 (v. 35) Τοῦ δὲ «φάς» τὸ πληθυντικὸν ἦν πρὸ τούτων ἐν τῷ «φάντες ἀριστῆα». Τὸ δὲ «ταῦτα δὲ πάντα ἴσασι» πολὺν ἐμφαίνει νοῦν. Ὑποκρούεται γὰρ οὐ μόνον ἄρσεις, ὡς οὐκ ἀπτόλεμός εἰμι οὐδὲ ἄναλκις, ἀλλὰ καὶ θέσεις, ὡς τοιόσδε καὶ τοιόσδε μάλιστα ἐν τῷ ἀριστεύειν ἔγνωσμαι. (v. 37) Τοῦ δὲ «διάνδιχα δῶκε» διασαφητικόν ἐστι τὸ «σκήπτρῳ μέν τοι δῶκε» καὶ ἑξῆς, ὃ δὴ ἑρμηνευτικόν ἐστι τοῦ εὐρυκρείοντα εἶναι τὸν Ἀγαμέμνονα. (v. 38) Τὸ δὲ «περὶ πάντων» ἀντὶ τοῦ περιττότερον πάντων, ὅ ἐστιν ὑπὲρ πάντας. (v. 39) Τὸ δὲ «ἀλκὴν οὔ τοι δῶκε» χρήσιμον εἰς τὸ «ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας». Δῆλον γὰρ ὅτι καὶ ὁ βασιλεὺς οὕτως ἀλκὴν τῷ Διομήδει ὠνείδισεν, ὅτι δηλαδὴ ἀλκὴν οὔ οἱ δῶκε θεός. Τρὶς δὲ ἐνταῦθα κεῖται συνεχῶς τὸ δῶκεν, ὡς λέξις καιρία. Τὸ δὲ τὴν ἀλκὴν γνωμικῶς κράτος εἰπεῖν μέγιστον ὑπέρθεσίς ἐστι συγκριτική, προτιμωμένη τοῦ βασιλικῶς σκηπτουχεῖν τὸ μέγα κράτος τὸ ἐξ ἀλκῆς, ἧς ἕνεκεν καὶ ἡ μάχη κυδιάνειρα λέγεται. Ἔνθα ὅρα καὶ ὅτι ἐτόλμησεν ὁ Διομήδης ἀνάπαλιν εἰπεῖν τῷ σοφῷ Νέστορι. Ὁ μὲν γὰρ ἐξαίρων τὸν Ἀγαμέμνονα ὡς κρατοῦντα ἔφη «εἰ δὲ σύ, ὦ Ἀχιλλεῦ, κρατερός ἐσσι ἀλλ' ὅ γε φέρτερός ἐστι, ἐπεὶ πλεόνεσσιν ἀνάσσει». Ὁ Διομήδης δὲ ἐνταῦθα τοῦ σκήπτρου τὴν ἀνδρίαν ὑπερτιθεὶς κράτος εἶναι μέγιστόν φησι τὴν ἀλκήν, ὑπερεξαίρων ἑαυτὸν λεληθότως τοῦ βασιλέως ὡς ἄλκιμον, οἷα ἐκείνου μὴ ὄντος τοιούτου, ᾧ καὶ σφοδρότερον αὐτὸς νῦν ἤπερ ὁ Ἀχιλλεὺς τότε προσφέρεται. Ὁ μὲν γὰρ συμβολικῶς ὠνείδισε τῷ βασιλεῖ τὸ ἄναλκι κραδίην αὐτὸν εἰπὼν ἔχειν ἐλάφου, Διομήδης δὲ σαφῶς ἀπέφηνε μὴ ἔχειν αὐτὸν ἀλκήν. Τὸ δὲ «ὅ τε κράτος ἐστὶ μέγιστον» ἴσως μὲν ἐσχημάτισται. Ἦν γὰρ καινότερον εἰπεῖν «ἥ τε κράτος ἐστὶ μέγιστον», ὡς τῆς ἀλκῆς τοιαύτης οὔσης, καθὰ καὶ ἀνωτέρω τὸ «μαχήσομαι ὃ θέμις ἐστίν» ἄλλως ἐσχηματίσθη κατὰ θῆλυ γένος, «ἣ θέμις ἐστί» καὶ παρ' Εὐριπίδῃ δὲ τὸ «πάντα συμφέρουσα, ὃ λίαν σῴζει», ὅμοιον σχῆμα ἔσχε τῷ «ἥπερ μεγίστη γίνεται σωτηρία».

2.653 Δύναται δὲ καὶ ἄλλως ὀρθῶς ἔχειν ἐν τῷ ἀπὸ κοινοῦ εἰπεῖν, ὅπερ, ἤγουν τὸ δοθῆναί τινι ἀλκήν, κράτος ἐστὶ μέγιστον. (v. 40 s.) Πρὸς δὲ τὸ «φεύγωμεν» καθαπτόμενος ὁ Διομήδης τοῦ

βασιλέως διὰ τὸ πληθυντικῶς αὐτὸ εἰρῆσθαι, ἀποσεμνύνων δὲ τοὺς Ἕλληνας ὡς μὴ πεισθησομένους φησίν, ὡς ἐρρέθη, τὸ «δαιμόνιε» καὶ ἑξῆς ἕως τοῦ «ὡς ἀγορεύεις». Καὶ ἔστι τῆς ἐννοίας τὸ σχῆμα ἐρωτηματικὸν κατὰ ἐλεγκτικὴν δύναμιν ἐνστάσεως. Βούλεται γὰρ εἰπεῖν, ὡς οὐ πεισθήσονταί σοι φυγεῖν. Ἐφεξῆς δὲ καὶ ἀντιπαραστατικῶς φησιν, ὅτι εἰ δὲ βούλονται, πεισθήτωσαν, εἰπὼν «εἰ δὲ καὶ αὐτοί, φευγόντων σὺν νηυσί». Δοκεῖ δὲ καὶ ἄλλως λέγειν ὁ Διομήδης, ὡς διχῇ ὁ βασιλεὺς ἔσφαλται, αὐτόν τε φθάσας εἰπεῖν ἀπτόλεμον καὶ ἀνάλκιδα, καὶ νῦν δὲ τοὺς Ἀχαιοὺς τοιούτους ἐλπόμενος εἶναι. (v. 41) Τὸ δὲ «ὡς ἀγορεύεις» ἐλλέλειπται διὰ γοργότητα. Δοκεῖ γὰρ λείπειν ἢ τὸ φυγεῖν, ἵνα λέγῃ «ὡς ἀγορεύεις φυγεῖν φίλην ἐς πατρίδα γαῖαν», ἢ τὸ νέεσθαι, καθὰ μικρόν τι ὑποκαταβάς φησιν. Ἔτι δὲ τὸ «ὡς ἀγορεύεις» ἀστείως εἴρηκε, μονονουχὶ λέγων ὡς, εἰ καὶ θετέον, ὅτι ἀπόλεμοι καὶ ἀνάλκιδες οἱ Ἀχαιοί, ἀλλ᾽ οὐχ᾽ οὕτως ὡς ἀγορεύεις, ἵνα καὶ φεύγωσι. Καὶ ἄλλως δὲ εἰπεῖν, ἀπόδειξίς ἐστι τὸ «ὡς ἀγορεύεις» τοῦ ἔλπεσθαι ἀνάλκιδας εἶναι τοὺς Ἀχαιούς. ὁ γὰρ ἀγορεύων τι ψεκτόν τινος καὶ τοιοῦτον ἐκεῖνον ἔλπεται εἶναι. (v. 42) Ἐν δὲ τῷ «ὥστε νέεσθαι» κοινότερον πλεονάζει ὁ τε σύνδεσμος, ὡς καὶ ἐν τῷ οἷόν τε ἀντὶ τοῦ δυνατόν καὶ ἐν τῷ οἷός τε ἦν καὶ ἐν τοῖς ὁμοίοις. (v. 43) Τὸ δὲ τὰς νῆας τῷ βασιλεῖ ἄγχι θαλάσσης ἑστάναι σκῶμμα λεληθότως εὐφυές ἐστιν, ὡς δῆθεν προχείρου τοῦ βασιλέως ὄντος φυγεῖν. (v. 44) Τὸ δὲ «αἵ σοι ἕποντο Μυκήνηθεν» μερικεύει τε ἅμα καὶ ἑρμηνεύει τὸν νοῦν, ἵνα μὴ βασιλέως νῆες αἱ κατὰ τὸν ναύσταθμον πᾶσαι νοοῖντο. Τὸ δὲ «μάλα πολλαί» σεμνύνει πάλιν τὸν βασιλέα φιλαλήθως ὡς καὶ ἄλλως πολύναυν. Ὅτι δὲ καὶ πολλαὶ αὐτῷ νῆες ἦσαν, ἡ Βοιωτία ἐδήλωσεν. (v. 45) Ἐν δὲ τῷ «ἀλλ᾽ ἄλλοι μενέουσιν» ἢ περιττὸς ὁ ἀλλὰ σύνδεσμος, ἢ ἔλλειψιν ἔχει νοήματος, ἵνα λέγῃ, ὡς εἰ καὶ σὺ ἀπελεύσῃ, ἀλλὰ οἱ λοιποὶ μενοῦσι. (v.

2.654 46) Τὸ δὲ «εἰς ὅ κε Τροίην διαπέρσομεν» οὐ μόνον σεμνότερον ἀλλὰ καὶ σαφέστερον τοῦ «εἰς ὅ κε τέκμωρ Ἰλίου εὕρωμεν». ἐκεῖνο δὲ πῶς νοεῖται, προείρηται. Εἰ δὲ ἀκόλουθον ἦν πρὸς τὸ «ἄλλοι μενέουσιν Ἀχαιοί» εἰπεῖν «εἰς ὅ κε Τροίην διαπέρσουσιν», ἀλλ᾽ ὁ Διομήδης οὐκ ἠνέσχετο μὴ κοινώσασθαι τὸ καλόν, τὸ μὲν παραμεῖναι τοῖς ἄλλοις προσνείμας ἐπὶ ἐπαίνῳ ἐκείνων, τοῦ δὲ πορθῆσαι καὶ ἑαυτὸν θέμενος κοινωνόν. (v. 46 s.) Τὸ δὲ «εἰ δὲ καὶ αὐτοί, φευγόντων», ἀντὶ τοῦ· εἰ δὲ βούλονται, φευγέτωσαν καὶ αὐτοί. Καὶ ἔστι σχῆμα σύνηθες ἐλλείψεως οὐ μόνον γοργὸν ἀλλὰ καὶ σεμνὸν διὰ τὴν ἀποσιώπησιν τοῦ προαιρετικοῦ ῥήματος. οὐ γὰρ καθαρῶς ἀνέχεται εἰπεῖν· εἰ βούλονται, φευγέτωσαν. Ὅτι δὲ τὸ φευγόντων προστακτικῶς ῥηθὲν κατὰ Ἀττικοὺς σχῆμα καὶ αὐτό ἐστιν ἐλλειπτικόν, οὐκ ἄδηλόν ἐστιν. Ἰστέον δὲ καὶ ὅτι τὸ «εἰ δὲ φευγόντων» χρήσιμόν ἐστιν εἰς νόησιν τοῦ «εἰ δ᾽ ἄγε μὴν πείρησαι» καὶ τῶν ὁμοίων. (v. 48) Τοῦ δὲ «νῶϊ» ἑρμηνεία ἐστὶ τὸ «ἐγὼ Σθένελός τε». Εὐθεῖα γὰρ δυϊκῶν ἡ τοιαύτη ἀντωνυμία ἐστίν. (v. 32 s.) Ἔτι ἰστέον καὶ ὅτι τὸ «σοὶ πρῶτα μαχήσομαι ἀφραδέοντι, ἣ θέμις ἐστὶν ἀγορῇ, σὺ δὲ μή τι χολωθῇς» παντὶ προσαρμόττει ἀντιλέγοντι πρὸς τὸν μὴ καλῶς βουλευσάμενον. (v. 34—6) Ἀνδρεῖος δὲ ἀνὴρ ἐπὶ δειλίᾳ ὀνειδισθεὶς πρός τινος μάτην εὐλόγως ἂν εἴποι τὸ «ἀλκὴν μέν μοι πρῶτον ὀνείδισας, φὰς ἔμεναι ἀπτόλεμον καὶ ἀνάλκιδα, ταῦτα δὲ πάντα ἴσασι» καὶ ἑξῆς. (v. 38 s.) Ἀνὴρ δὲ πλούσιος μὲν ἢ ἄλλως πως ἄρχων, ἀγεννὴς δέ, ἀκούσοι ἂν προσφυῶς, ὅτι θεὸς σκήπτρῳ μὲν ἢ πλούτῳ τυχὸν ἤ τινι τοιούτῳ δῶκέ σοι τετιμῆσθαι περὶ πάντων, ἀλκὴν δ᾽ οὔ τι δῶκεν, ὅ τε κράτος ἐστὶ μέγιστον. (v. 42 s.) Πρὸς δὲ τὸν ἐθέλοντα ὑποχωρεῖν ἔκ τινος μὴ πάνυ τοῦτο ἐθέλοντος καλὸν ῥηθῆναι τὸ «εἴ σοι θυμὸς ἐπέσσυται, ἔρχεο, πάρ τοι ὁδός», ἤτοι πάρεστί σοι ὁδεύειν καί, ὡς εἰπεῖν, ὑφήπλωταί σοι ἡ ὁδός. Τοῦτο δὲ ἤδη καὶ παροιμιῶδες γέγονεν. Ὁδὸς δὲ νῦν ἡ διὰ νηῶν κέλευθος, ἣν οἴδαμεν ἐκ τοῦ ἐλεύθω γενομένην. Κατὰ γὰρ τὸν Ἀλεξανδρέα Ἡρακλείδην, ὡς πατῶ πάτος, στείβω στίβος, οὕτω ἐλεύθω ἔλευθος, καὶ πλεονασμῷ τοῦ κ κέλευθος, ᾧ λόγῳ καὶ τὴν Αὐλωνίαν Χάραξ Καυλωνίαν φησὶν ἐν Ἰταλικοῖς.

2.655 οὕτω δέ, φησί, καὶ τὰ ἀνθήλια κανθήλια. Καὶ τοῦτο μὲν τοιοῦτον. (v. 48 s.) Ὁ δὲ μετὰ θείου θάρσους προσλιπαρῶν τινι ἔργῳ ἐρεῖ, ὅτι παραμενῶ εἰσόκε τέκμωρ εὕρω, σὺν γὰρ θεῷ εἰλήλουθα. Εἰ δὲ πλείους οἱ προσμένοντες, σχηματισθήσεται ὁ λόγος καὶ πληθυντικῶς· εἰλήλουθμεν, ἤγουν ἐληλύθαμεν. Ὃ κατὰ τὸν ῥηθέντα Ἡρακλείδην πεποίηται διαλέκτοις τέσσαρσιν· Ἀτθίδι, Ἰάδι, Βοιωτίᾳ, Αἰολίδι. Ἐλεύθω γάρ, οὗ μέσος κοινὸς παρακείμενος ἤλευθα καὶ Ἀττικῶς ἐλήλυθα, κατὰ τὸ ἤρεικα ἐρήρικα, ὅ ἐστιν ἔσχισα, ἤλειφα ἀλήλιφα. Ἐπεὶ δὲ ἔθος Βοιώτιον προστιθέναι τῷ υ τὸ ο καὶ Ἰακὸν τῷ ε τὸ ι , γίνεται οὕτως εἰλήλουθα, ὃ βεβοιωτίασται μέν, φησί, κατὰ τὴν παραλήγουσαν, κατὰ δὲ τὴν πρώτην, ἤγουν τὴν ἄρχουσαν, ἰώνισται. Τοῦ δὲ τοιούτου εἰλήλουθα πληθυντικὸν εἰληλούθαμεν ἀναλόγῳ προσθέσει τοῦ μεν , κατὰ τὸ τέτυφα τετύφαμεν, ὅθεν Αἰολικῶς συγκέκοπται τὸ εἰλήλουθμεν. Αἰολέων γάρ εἰσιν αἱ συγκοπαί. Ὅτι δὲ συγκέκοπται τὸ εἰλήλουθμεν, δῆλον οὕτω. Πᾶν ῥῆμα πληθυντικὸν πρώτου προσώπου ἑκάστοτε πρὸ τῆς μεν φωνῆεν ἔχει καὶ οὐδέποτε σύμφωνον. τοῦτο δὲ ἔχει πρὸ τοῦ μ τὸ θ . συγκέκοπται ἄρα, ὥσπερ καὶ τὸ ἐπέπιθμεν ἐκ τοῦ ἐπεπίθομεν καὶ τὸ ἴσμεν ἐκ τοῦ ἴσαμεν, οὗ θέμα τὸ ἴσημι. (v. 50 s.) Ὅτι Διομήδους δημηγορήσαντος ἐθαύμασαν Ἕλληνες, ὡς δηλοῖ τὸ «ὣς ἔφαθ’, οἱ δ’ ἄρα πάντες ἐπίαχον υἷες Ἀχαιῶν μῦθον ἀγασσάμενοι Διομήδεος». Ἔστι δὲ ἀγαίεσθαι μὲν φθόνου, ἀγάσσασθαι δὲ ἐκπλήξεως. Ὅτι Νέστωρ ἔργοις αὐτοῖς ἤδη τὴν τοῦ Διομήδους ἀνδρίαν μεμαθηκώς, οἷα πρὸ μικροῦ δι’ αὐτοῦ περισωθείς, μαρτυρεῖ, ὅτι τε ἐν πολέμῳ δύναται καὶ ὅτι βουλῇ τῶν ὁμηλίκων ὑπερέχει, καὶ τὴν δημηγορίαν δὲ αὐτοῦ ἐπαινεῖ. (v. 53—6) Φησὶ γοῦν «Τυδείδη, πέρι μὲν πολέμῳ ἐνὶ κρατερός ἐσσι, καὶ βουλῇ μετὰ πάντας», ὅ ἐστι κατὰ πάντας, «ὁμήλικας ἔπλευ ἄριστος.

2.656 οὔ τίς τοι τὸν μῦθον ὀνόσσεται, ὅσσοι Ἀχαιοί, οὐδὲ πάλιν», τουτέστιν ἔμπαλιν, «ἐρέει», ἐναντιούμενος δηλαδή. «ἀτάρ», φησίν, «οὐ τέλος ἵκεο μύθων», τουτέστιν ἐλλιπῶς συνεβουλεύσω καὶ οὐ τελείαν γνώμην εἰσήνεγκας. οὐ δι’ ἀφροσύνην, ἀλλ’ ὅτι μὴ ἔχεις τὴν ἀπὸ τοῦ γήρως ἐμπειρίαν. (v. 57—9) Φησὶ γὰρ «ἦ μὴν καὶ νέος ἐσσί, ἐμὸς δέ κε παΐς εἴης», ὅ ἐστι φανείης, νομισθείης, «ὁπλότερος γενεῆφιν, ἀτὰρ πεπνυμένα βάζεις Ἀργείων βασιλῆας, ἐπεὶ κατὰ μοῖραν ἔειπας». Ἐπίκρισις δὲ Ὁμήρου τὰ ῥηθέντα, ἐφ’ οἷς τεχνικῶς δεδημηγόρηκε καί, ὡς αὐτὸς λέγει, κατὰ μοῖραν ἔειπεν. Εἶτα τελεώτερον συμβουλεύεται αὐτὸς οἷα γεραίτερος ἄλλα τέ τινα καὶ ὡς χρὴ πρέσβεις εἰς Ἀχιλλέα στεῖλαι καὶ σπεῦσαι πείσειν ἐκεῖνον δώροισί τε ἀγανοῖς καὶ ἔπεσι μειλιχίοις. (v. 55) Ἰστέον δὲ ὅτι τε τὸ «ὅσσοι Ἀχαιοί» πρὸς διαστολὴν εἴρηται, ὡς τῶν ἐχθρῶν Τρώων μεμψομένων ἂν τὴν τοῦ ἥρωος δημηγορίαν, [καὶ ὅτι τὸ «οὔ τις ὅσσοι Ἀχαιοί» περιπέφρασται δι’ ἐξαλλαγὴν σχήματος, ἀντὶ τοῦ οὔτις τῶν Ἀχαιῶν,] καὶ ὅτι ἔπαινος γενναίου νέου καὶ συνετοῦ τὸ «περὶ μὲν πολέμῳ καρτερός ἐσσι» καὶ ἑξῆς ἕως τοῦ «οὐδὲ πάλιν ἐρέει». (v. 56—62) Καὶ ὅτι ὁ μέλλων τελεώτερόν τι δημηγορῆσαι εἴπῃ ἂν πρὸς τὸν ἀτελῶς διὰ νεότητα βουλευσάμενον τὸ τοῦ Νέστορος πρὸς Διομήδην, ὡς πεπνυμένα μὲν βάζεις καὶ κατὰ μοῖραν ἔειπες, αὐτάρ, ὡς προείρηται, «οὐ τέλος ἵκεο μύθων. ἦ μὴν καὶ νέος ἐσσί. ἀλλ’ ἄγ’ ἐγών, ὃς σέο γεραίτερος εὔχομαι εἶναι, ἐξείπω καὶ πάντα διΐξομαι. οὐδέ κέ τίς μοι μῦθον ἀτιμήσει» [οὐδὲ ὁ δεῖνα. κεῖται δὲ ὧδε ὁ βασιλεύς. Τοῦτο δὲ εἶπεν ὁ σοφὸς γέρων σεμνύνων τὸν βασιλέα ὡς ἢ κριτικὸν ῥήτορα ἢ ὡς ὑπὲρ πάντας δυνάμενον.] (v. 58 s.) Ἔστι δ’ ἐν τούτοις τὸ μὲν «βάζεις βασιλῆας» ἐλλιπὲς προθέσεως. Βούλεται γὰρ εἰπεῖν βάζεις πρὸς τοὺς βασιλεῖς. Μοῖρα δὲ συνήθως τὸ προσῆκον. (v. 56) Οὐ τέλος δὲ ἱκέσθαι μύθων τὸ ἀτελῶς, ὡς καὶ προελέχθη, δημηγορῆσαι καὶ οὐκ εἰς τέλειον λόγου ἐλθεῖν.

2.657 (v. 60) Τὸ δὲ «γεραίτερος» ἐκ τοῦ γεραιότερος συγκέκοπται, οὗ ἀρχὴ ὁ γηραιός. (v. 61) Τὸ δὲ «διΐξομαι» ἀντὶ τοῦ διεξέλθω, διεξοδεύσω τῷ λόγῳ. (v. 62) Τὸ δὲ «ἀτιμήσει» Ὁμήρῳ σύνηθες καθ’ ὁμοιότητα τοῦ τιμήσει. οἱ δὲ μεθ’ Ὅμηρον ἀτιμώσει κατὰ τρίτην συζυγίαν φασίν. (v. 63 s.) Ὅτι ἐντέχνως ὁ Ὁμηρικὸς ῥήτωρ Νέστωρ διὰ γνωμικῆς ἀναντιρρήτου ἐννοίας πειρώμενος

ἐναγαγεῖν τὸν βασιλέα εἰς φιλίαν τὴν μετὰ τοῦ Ἀχιλλέως φησὶν «ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος, ὃς πολέμου ἔραται ἐπιδημίου ὀκρυόεντος», τουτέστιν ἄπολίς ἐστι καὶ μήτε θέμιν εἰδὼς μήτε οἶκον ἔχων, ὃς ἐμφυλίου πολέμου ἐρᾷ, ὁποῖος δηλαδὴ καὶ ὁ βασιλεὺς καὶ ὁ Ἀχιλλεύς, εἰ μὴ διαλλαγέντες σπείσονται, τῷ τῶν ὁμοφύλων Ἑλλήνων χαίροντες φόνῳ. Ἰστέον δὲ ὅτι τῶν γνωρίμων εἰς δύο τούτους διαιρουμένων, εἴς τε τοὺς οἰκείους καὶ εἰς τοὺς μὴ τούτους, τῶν δ' αὖ οἰκειουμένων διαιρουμένων αὖθις εἰς ἀγχιστεῖς καὶ εἰς καθ' αἷμα συγγενεῖς καὶ εἰς ἁπλῶς ὁμοεστίους, ὁ τοῦ ἐμφυλίου πολέμου ἐρῶν οὐδενὸς τῶν τοιούτων διαιρεμάτων ἐπίστροφος γίνεται, ἀλλὰ πανωλεθρίαν πάντων καταψηφίζεται. Καὶ εἴη ἂν ὡς μὲν τῶν ἄλλως πολλῶν καταφρονῶν ἀθέμιστος, ὡς δὲ τῶν πρὸς γένους μὴ ἐπιστρεφόμενος ἀφρήτωρ ἂν δικαίως καλοῖτο, ὡς δὲ καὶ τοὺς ὁμοστέγους ἀποστέργων ἀνέστιος. Γίνεται δὲ κατὰ τοὺς παλαιοὺς ὁ ἀφρήτωρ ἢ παρὰ τὴν δηλωθεῖσαν φρήτρην, ἣ δηλοῖ τὴν τριττύν, τουτέστι τὸ τρίτον τῆς φυλῆς, ἢ παρὰ τὴν φατρίαν καὶ τοὺς φράτορας. —Σύστημα δὲ τοῦτο ἐν Ἀθήναις τοὺς τικτομένους ἀπογραφόμενον, ὥστε φανεροὺς εἶναι ὅτι πολῖταί εἰσι.

2.658 —Καὶ ἔστι τῷ λόγῳ τούτῳ ἀφρήτωρ, ὡς καὶ ἀνωτέρω γέγραπται, ὁ ἄπολις. Ἦν δὲ κατὰ τὴν ἱστορίαν καὶ φράτιον τόπος ὡρισμένος, ἐν ᾧ οἱ τῆς αὐτῆς φατρίας συνήγοντο, καὶ φατριάζειν εὐφωνότερον ἐλέγετο παρὰ Ἀττικοῖς τὸ εἰς ταὐτὸ συνιέναι. Ἐγράφετο δὲ καὶ φράτηρ διὰ τοῦ η καὶ φράτωρ διὰ τοῦ ω ὁ ἐκ τῆς αὐτῆς φατρίας. Ἡ δέ γε Θέμις ἐδόκει θεά τις εἶναι τοῦ δικαίου φυλακτική. Διὸ καὶ τῷ Διῒ ἐλέγετο πάρεδρος. Ἐκλίνετο δὲ Θέμιδος καὶ Δωρικῶς Θέμιτος, ὅθεν τὸ θεμιτὸν καὶ ἀθέμιτον, πλεονασμῷ δὲ τοῦ ς Θέμιστος, ὡς τὸ «Θέμιστι καλλιπαρῄῳ», ἀφ' οὗ καὶ ἀθέμιστος καὶ Θεμίστιος κύριον. Ἰστέον δὲ ὅτι ἐκ τοῦ θεμίσσω ἐνεστῶτος γίνεται ἡ θέμις, οὗ χρῆσις παρὰ Παυσανίᾳ εἰπόντι· θεμισσέτω τὸ νομοθετείτω ἢ δικαζέτω. Ἡ δὲ τοῦ δ καὶ τοῦ τ συγγένεια δηλοῦται καὶ διὰ τῆς χάριτος. —Ὡς γὰρ θέμιδος θέμιτος, οὕτω καὶ χάριδος χάριτος. —Ἔτι δὲ καὶ διὰ τοῦ πελιδνοῦ. Αὐτὸ γὰρ καὶ πελιτνόν διὰ τοῦ τ παρὰ Θουκυδίδῃ εὕρηται, ὡς καὶ Διονύσιος Αἴλιος παρασημειοῦται. [Ναὶ μὴν καὶ διὰ τοῦ «τηϋσίην ὁδόν», ὅπερ ἐστὶ ματαίαν, ἁλίαν κατὰ τὴν ποίησιν, ὃ δὴ ἐν Ὀδυσσείᾳ κεῖται, ἀπὸ τοῦ δεύω δεύσω εἶναι τροπῇ τοῦ δ εἰς τ , καὶ διαλύσει τῆς ευ διφθόγγου, κατὰ τὸ εὔκομος ἠΰκομος, καὶ εὖτε ἠΰτε. Ἡ δὲ Ἑστία θεά τις καὶ αὐτὴ ἐνομίζετο εἶναι οἴκου συστατική.

2.659 καὶ τόπος δὲ ἦν ἐν τοῖς οἴκοις, ὅπου τῇ τοιαύτῃ Ἑστίᾳ ἔθυον καὶ αὐτὸς ἱερὸς [ἑστιούχῳ Διῒ] καλούμενος καὶ ἱστία, ὡς καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται. Ἀπὸ τῆς τοιαύτης ἑστίας ὡς ἀξιολόγου μέρους καὶ ὁ ὅλος οἶκος ἑστία λέγεται, καθὰ καὶ ἀπὸ τοῦ κατὰ θυσίαν βωμοῦ βωμὸς παρὰ τοῖς νεωτέροις ὁ ὅλος ναός, καὶ ἀπὸ τοῦ κατὰ τὴν στάσιν τῆς νηὸς ὅρμου ὅρμος ὁ ὅλος λιμήν. ὁ τοίνυν μὴ ἔχων ἑστίαν ἐστὶ πάντως ἀνέστιος. Τὸ δὲ «ἔραται» ἢ ἀπὸ ἐνεστῶτος γίνεται σεσιγημένου τοῦ ἔρημι, ἐξ οὗ τὸ ἔραμαι, ὡς ἵστημι ἵσταμαι, ἢ παθητικὸς παρακείμενός ἐστιν ἀναύξητος ἀπὸ τοῦ ἐράω ἐρῶ. Οὕτω δὲ διχῶς δύναται καθίστασθαι καὶ τὸ ἄγαμαι. Τέτριπται δὲ ἡ τοῦ τοιούτου ῥήματος προπαροξυτόνησις καὶ παρὰ ἑτέροις ῥήτορσι καὶ οὐκ ἔστιν αὐτὸ προπερισπᾶν ὡς ἀπὸ τοῦ ἐράω ἐρῶ. Ἐπιδήμιος δὲ νῦν μὲν ὁ ἐν δήμῳ πόλεμος, τουτέστιν ὁ ἐμφύλιος. ἐν Ὀδυσσείᾳ δὲ ἡ λέξις ἐπὶ ἀνθρώπου τίθεται διάγοντος ἐν τῇ πατρίδι. ἐν δέ γε τῇ τελευταίᾳ ῥαψῳδίᾳ τῆς Ἰλιάδος ἑτεροῖόν τι σημαινόμενον κεῖται τῆς τοιαύτης λέξεως. [Δῆλον δὲ ὅτι καὶ ἐπιδήμια νοσήματα λέγεται. Καὶ ἄλλως δέ, ἐπιδήμιος πόλεμος ὁ κατὰ δήμου. Πολλαχοῦ γὰρ ἡ ἐπι πρόθεσις οὕτω νοεῖται, ὡς καὶ ἐν τῷ «δαιμονίη τί μοι ἐπέχεις», ὅπερ ἐστὶ κατ' ἐμοῦ ἔχεις, καὶ ἐν τῷ ἐπίρρητος ὁ καταρρήσεων ἄξιος, καὶ ἐν ἄλλοις δέ]. Σημείωσαι δὲ ὅτι τὸν σκοπὸν τῆς ῥηθείσης γνώμης, ὅς ἐστι τὸ δώροις τὸν Ἀχιλλέα προκαλέσασθαι εἰς σπονδήν, οὐκ αὐτίκα ὁ Νέστωρ λαλεῖ τῷ βασιλεῖ, ἀλλὰ μετὰ δόρπον, ὅτε, ὡς εἰκός, καὶ εὐέντευκτος ὢν πεισθήσεται.

2.660

Τέως μέντοι κεῖται ἡ ῥηθεῖσα γνώμη ὡς οἷόν τι λῆμμα ἢ ἀξίωμα χρησιμεύουσα εἰς τὴν ὕστερον τοῦ βασιλέως πειθώ. (v. 65—7) Ὅτι στρατηγικὸν παράγγελμα καὶ τῷ Νέστορι ἐν τοῖς ἄρτι τὸ «νῦν μὲν πειθώμεθα νυκτὶ μελαίνῃ δόρπα τ' ἐφοπλισόμεσθα, φυλακτῆρες δὲ ἕκαστοι λεξάσθων παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός». (v. 68) Ὅτι δὲ νέοις ἡ πολεμικὴ φυλακὴ πρέπει, δηλοῖ ἐπαχθὲν τὸ «κούροισι μὲν ταῦτ' ἐπιτέλλομαι». Καὶ ὅρα ὅτι τε οὐ ῥητοῖς ὥρισέ τισι τὴν φυλακήν, ἀλλ' ἑκάστοις, καὶ ὡς κἀνταῦθα δυϊκὸν ῥῆμα τὸ λεξάσθων συντέτακται ὀνόματι πληθυντικῷ. Δηλοῖ δὲ ἡ λέξις τὸ ἀριθμηθήτωσαν ἢ ἐπιλεγέτωσαν. εἰπεῖν γὰρ κοιμηθήτωσαν ἀνάρμοστον τοῖς νυκτοφυλακοῦσι. (v. 66) Τὸ δὲ «δόρπα» μεταπλασμὸν μὲν ἔπαθε γένους ἀπὸ ἀρσενικοῦ τοῦ ὁ δόρπος, προσφυῶς δὲ τῇ νυκτὶ ἐπῆκται, ᾗ πειθόμενοι οἱ ἐν μάχῃ δουρὸς παύονται, ὃ τὸν δόρπον ἐτυμολογεῖ. Ἐφοπλίσασθαι δὲ καὶ νῦν τὸ ἁπλῶς ἑτοιμάσαι. Τοὺς δὲ φυλακτῆρας προϊὼν καὶ φύλακας λέγει. [Οἱ δ' αὐτοὶ καὶ φύλακοι λέγονται, καὶ σκοποὶ δὲ ἂν εἰκότως, ἔτι δὲ καὶ ὀπτῆρες. Ἡ δὲ παραγγελία τοῦ πείθεσθαι νυκτὶ οὐκ ἂν εἴη ἐξ ἀνάγκης οὔτε πρὸς τὸ παννυχίους ὑπνοῦν τινας οὔτε μὴν ἄλλως πρὸς τὸ ὑπνοῦν ἀναγκαίως, ἀλλὰ πρὸς τὸ ἔργων ἀπέχεσθαι, ὧν καιρὸς μάλιστα ὁ τῆς ἡμέρας, ὁποῖος καὶ ὁ πόλεμος, εἰπεῖν δὲ ἀκριβέστερον, πρὸς τὸ μετρίως ἀναπαύεσθαι δι' ἀνάληψιν ὑγείας. Ἄλλως γὰρ οὐδὲν ἐν ἀνθρώποις ἔργον ἡμερινόν, ὃ μὴ καὶ νὺξ παρά γε τοῖς σπουδαιοτέροις κατορθοῖ]. (v. 69) Ὅτι συμβουλεύων ὁ Νέστωρ κἀνταῦθα τῷ βασιλεῖ φησιν «Ἀτρείδη, σὺ μὲν ἄρχε, σὺ γὰρ βασιλεύτατός ἐσσι», ἀντὶ τοῦ σὺ πάντων πραγμάτων καὶ παντὸς λόγου προκαταβάλλου ἀρχάς.

2.661 οἰκεῖον γὰρ τοῦτο τῷ εὐρυκρείοντι. Τὸ δὲ «βασιλεύτατος» ὁμοιόσχημόν ἐστι τῷ δεύτατος, περὶ οὗ ἀλλαχοῦ εἴρηται. (v. 70—8) Τὰ δὲ ἐφεξῆς τῆς τοῦ γέροντος δημηγορίας τοιαῦτα «δαίνυ δαῖτα γέρουσιν, ἔοικέ τοι, οὔ τοι ἀεικές. πλεῖαί τοι οἴνου κλισίαι, τὸν νῆες Ἀχαιῶν ἠμάτιαι Θρήκηθεν ἐπ' εὐρέα πόντον ἄγουσι· πᾶσά τοί ἐσθ' ὑποδεξίη, πολέεσσι δ' ἀνάσσεις, πολλῶν δ' ἀγρομένων τῷ πείσεαι, ὅς κεν ἀρίστην βουλὴν βουλεύσει. μάλα δὲ χρεὼ πάντας Ἀχαιοὺς ἐσθλῆς καὶ πυκινῆς, ὅτι δήϊοι ἐγγύθι νηῶν καίουσι πυρὰ πολλά. τίς ἂν τάδε γηθήσειε; νὺξ δ' ἥδε ἠὲ διαρραίσει στρατὸν ἠὲ σαώσει», τουτέστιν ἀμφίβολον εἴτε σωθησόμεθα κατὰ τὴν ἄρτι νύκτα εἴτε ἀπολούμεθα. Πολύνους δὲ καὶ ἡ ῥηθεῖσα δημηγορία, εἰ καὶ ἄλλως γοργότερον ἐπιτέτμηται οἰκείως τῷ καιρῷ, τὰ πλείω νοήματα κομματικῶς προφέρουσα. (v. 70) Σημείωσαι δὲ καὶ ὅτι τοῖς σωφρονοῦσιν οὐδὲν ἐμποδὼν τὸ συμπόσιον εἰς τὸ φρονεῖν. Ἰδοὺ γὰρ ὁ Νέστωρ «δαίνυ δαῖτα» φησί, καθ' ἣν ἐσθλὴ καὶ πυκινὴ βουλὴ βουλευθήσεται, οἷα τοῦ οἴνου τὸ πρακτικὸν καὶ ἱλαρὸν τηνικαῦτα προβαλλομένου, οὐ μὴν τὸν ἐκ μέθης τάραχον τὸν ἐκ τῆς τοῦ πίνειν ἀσυμμετρίας. Ἣν σκορακίζων ὁ ῥήτωρ οὐ «μείζονα κρατῆρα καθίστα» φησὶν ἢ τοιοῦτόν τι, ἀλλὰ «δαίνυ δαῖτα», τὴν καὶ συνήθη καὶ θάλειαν, καθ' ἣν οὐχ' ὁ οἶνος αὐτὸς χορηγήσει τὴν κατὰ τὸ δέον βουλήν, ἀλλὰ τὸ πολλοὺς ἀγηγέρθαι, ὡς ἕκαστον εἰπεῖν ὃ νοεῖ. Ἰστέον δὲ ὅτι ἐν τῷ «δαίνυ δαῖτα γέρουσιν, ἔοικέ τοι, οὔ τοι ἀεικές», τὸ μὲν «δαίνυ δαῖτα» Ἀττικόν ἐστιν ἀντὶ τοῦ εὐώχει εὐωχίαν, ὡς καὶ κατωτέρω τὸ «βουλὴν βουλεύσει». Αὐτὸ δὲ τὸ «δαίνυ» ἐκ τοῦ δαίνυε κέκραται ἢ καὶ τρίτον ἐστὶ πρόσωπον παρατατικοῦ τοῦ ἐκ τοῦ δαίνυμι. Γέροντες δὲ κἀνταῦθα οἱ ἔντιμοι καὶ βασιλικοί, ἐξ ὧν ἡ γερουσία παρονομάζεται, οἳ καὶ εἰς συμπόσιον εἰώθασι συγκαλεῖσθαι τῷ βασιλεῖ. [Ἰστέον δὲ ὅτι ἔχει μὲν ὑγιῶς καὶ τὸ εἰπεῖν «δαίνυ δαῖτα γέροντας». Ἐπέκρινε δὲ Ὅμηρος τὴν ἐν δοτικῇ σύνταξιν, ἑτέρῳ λόγῳ σῴζοντι τὸ ἀκριβὲς ἐν τῷ νοεῖσθαι ἀντὶ τοῦ ἵστα κρατῆρα καὶ τίθει δαῖτα γέρουσιν].

2.662 Τὸ δὲ «ἔοικέ τοι, οὔ τοι ἀεικές», ἐκ παραλλήλου τῆς αὐτῆς ἐννοίας ἐστί. σαφέστερον δὲ τοῦ «ἔοικέ τοι» τὸ «οὔ τοι ἀεικές». Ἄλλως γὰρ τὸ ἔοικε λαμβάνεταί ποτε καὶ ἀντὶ τοῦ ὁμοιοῦται καὶ φαίνεται. (v. 71 s.) Ὅρα δὲ ὅτι φθάσας μὲν Ὅμηρος εἶπε νῆας ἐκ Λήμνου ἐλθεῖν οἶνον ἀγούσας, ὃ δή, ὡς εἰκός, ὀλιγάκις ἐγίνετο καί ποτε, ἐνταῦθα δὲ πλατύτερον ἱστορῶν τὰς τοῦ βασιλέως σκηνὰς πλήρεις εἶναί φησιν οἴνου, «ὃν νῆες Ἀχαιῶν ἠμάτιαι», ἤγουν καθ' ἑκάστην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡμέραν ἢ δι' ἡμέρας, «ἄγουσι Θρῄκηθεν», ὅ ἐστιν ἐκ τῆς ἀντιπέραν Θρᾴκης, καθ' ἣν καὶ ἐγεώργουν μέρη τινὰ οἱ Ἀχαιοί, καθὰ τὰ περὶ Χερρόνησον, ὡς ἡ ἱστορία φησίν. Ἧς Θρᾴκης μέρος καὶ ἡ Θρᾳκία Σάμος καὶ αἱ περὶ αὐτὴν νῆσοι, ὧν μία, ὡς εἰκός, καὶ ἡ Λῆμνος. καὶ ἔοικε πολύοινος εἶναι καὶ τότε ἡ Θρᾴκη. Διὸ καὶ οἰκητήριον ἐμυθεύετο Ἄρεος εἶναι διὰ τοὺς ἐκ μέθης θυμοὺς καὶ πολέμους, οὓς ὁ Θρᾷξ Λυκοῦργος παύειν ἐθέλων ἐδίωκε τὸν Διόνυσον, ὡς προγέγραπται, [ἄχρις οὗ ὁ Διόνυσος οἶνος ἐνέπεσε τῇ θαλάττῃ φεύγων, εἴτε καὶ κατὰ τὴν ἀλληγορίαν φευγόμενος, εἰ χρὴ οὕτως εἰπεῖν, διὰ τὸ ἄκρατον. Ἔκτοτε μέντοι φιληθεὶς διὰ τὸ κεκρᾶσθαι ὕδατι πολιτικὸς γέγονε καὶ οὕτω προσιτὸς καὶ ἀδίωκτος, οὗ μέρος καὶ ὁ παρὰ τοῖς παλαιοῖς τεθαλαττωμένος οἶνος]. Ἰστέον δὲ καὶ ὅτι αἱ ῥηθεῖσαι πλήρεις οἴνου βασιλικαὶ κλισίαι ἀφορμὴ τῷ Ἀχιλλεῖ ἐγένοντο οἰνοβαρῆ τὸν βασιλέα ἐν τῇ α' ῥαψῳδίᾳ εἰπεῖν. Ἀπετίθει γὰρ οἶνον, ὡς ἔοικε, σκωπτικῶς μὲν εἰπεῖν, ὡς οἰνόφλυξ, πρὸς ἱστορίαν δέ, διὰ τά, ὡς φαίνεται, συχνὰ τῶν γερόντων συμπόσια. (v. 73) Τὸ δὲ «πᾶσά σοί ἐστιν ὑποδεξίη» ἀντὶ τοῦ περιουσιάζῃ τοῖς ἀναγκαίοις καὶ πάντ' ἔχεις τὰ πρὸς ξενίαν καὶ ὑποδοχὴν γερόντων ἐπιτήδεια.

2.663 Φασὶ γὰρ ἐν τῷ τῶν λαφύρων δασμῷ μοῖραν τῷ βασιλεῖ ἀποκρίνεσθαι εἰς τὰ κοινὰ συμπόσια. Σημείωσαι δὲ ὅτι τὸ «ὑποδεξίη» διὰ τὸ μέτρον ἔκτασιν τῆς παραληγούσης ἔπαθεν. (v. 74 s.) Ἀρίστη δὲ γνώμη τὸ «πολλῶν ἀγρομένων τῷ πείσεαι, ὅς κεν ἀρίστην βουλὴν βουλεύσει». Δεῖ γὰρ τὸν στρατηγὸν πολλῶν μὲν ἀκούειν, αἱρεῖσθαι δὲ τὸ ἄριστον. Καὶ ὅρα ὅπως τὰ τῶν ἡρώων ἀεὶ συμπόσια σπουδαῖα ἦσαν, ὡς μυριαχοῦ δηλοῦσιν οἱ σοφοί, οἳ συναγόμενοι τὰ σπουδῆς ἄξια παρ' οἶνον ἐβούλευον. Ὡς γάρ φασιν οἱ παλαιοί, ῥᾴονες ἑαυτῶν ἐν οἴνῳ ἐσμέν, ὃ καὶ ὁ Κωμικὸς ὑποκρουόμενός φησι «τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν». Καὶ ἡ τοῦ ὁμοτραπέζου δέ, φασί, κοινωνία φιλοποιόν ἐστι. διὸ καὶ Πέρσαι πίνοντες μὲν βουλεύουσι, νήφοντες δὲ ἐπικρίνουσι. Καὶ ὁ Ῥοδίων δὲ νόμος κελεύει ταῖς μεγίσταις ἀρχαῖς συσσιτεῖσθαι τοὺς ἀρίστους περὶ τῶν ἕωθεν πρακτέων βουλευσομένους. Οὔκουν οἱ Ἕλληνες ἀγειρόμενοι πρὸς μέθην ἔπινον, ἀλλ' ὅσον τὸ κοινωνικὸν συντηρῆσαι τὰ σπουδαῖα βουλεύοντας. Ὅρα δὲ καὶ ὅτι οὐ μόνον ἐν πολέμῳ συμφερτὴ καθ' Ὅμηρον τῶν ἀνδρῶν ἡ ἀρετή, ἀλλὰ καὶ ἐν βουλῇ. Τὸ γὰρ «πολλῶν ἀγρομένων» καὶ «πολλῶν συμφερομένων» οὐ μακρὰν τῆς αὐτῆς ἐννοίας ἐστί. (v. 74—6) Καλῶς δὲ καὶ τὸ «ὃς ἂν ἀρίστην βουλὴν βουλεύσῃ». οὐ γὰρ τὴν ἁπλῶς ἀγαθήν, ἀλλὰ τὴν ἀρίστην ἐπιλεκτέον βουλήν, ἣν καὶ ἐσθλήν φησι καὶ πυκινήν. Ἀττικὸν δὲ τὸ «βουλὴν βουλεύσει», ὡς εἴρηται. (v. 77) Μετ' ὀλίγα δὲ ἀττικίζει Ὅμηρος καὶ ἐν τῷ «τίς ἂν τάδε γηθήσειεν», ὃ κατὰ ἔλλειψιν ἔφρασε προθέσεως, οἷον· τίς ἂν εἰς τάδε ἢ κατὰ τάδε γηθήσειε. Δύναται δὲ καὶ ἀντιπτωτικῶς ἀντὶ τοῦ· τίς ἂν τούτοις γηθήσειε. (v. 75 s.) Τοιοῦτον δὲ καὶ τὸ «μάλα χρεὼ πάντας Ἀχαιοὺς ἐσθλῆς καὶ πυκινῆς». Ἣ γὰρ ἀντὶ τοῦ χρεία βουλῆς ἀγαθῆς Πανέλλησιν ἢ χρεία βουλῆς εἰς πάντας Ἀχαιούς. Φασὶ δὲ καὶ Κρατῖνον οὕτω που γράψαι «γέγηθα τὸν ἄνδρα». Τοιοῦτον καὶ παρ' Εὐριπίδῃ τὸ «τοὺς εὐσεβεῖς θεοὶ θνήσκοντας οὐ χαίρουσι», καὶ παρὰ Σοφοκλεῖ τὸ «ἥσθην πατέρα τὸν ἐμὸν εὐλογοῦντά σε».

2.664 Εἴη δ' ἂν οὐκ ἀπᾷδον πρὸς ταῦτα οὐδὲ τὸ «τὸ δ' ἔπος, ὃ ἐξερῶ τάχα, ἥδοιο μέν». Χρήσιμον δὲ εἰς αὐτὰ καὶ τὸ «πρᾶξιν ἣν ἤλγης' ἐγώ». (v. 80—8) Ὅτι ἑπτακόσιοι ἐπελέγησαν φυλακτῆρες Ἑλλήνων, οἳ καὶ ὑπὸ ἑπτὰ ἡγεμόσιν ἑκατοντάρχοις νύκτωρ μέσον τῆς τάφρου καὶ τοῦ τείχους ἐκάθηντο, εἰ καὶ μὴ πυρὰ πολλὰ κατὰ τοὺς Τρῶας, ὅμως καὶ αὐτοὶ πῦρ ἀνάψαντες, ὡς ἂν βλεπόμενοι μὴ δοκοῖεν θορυβεῖσθαι καὶ κρύπτεσθαι, εἴγε πῦρ κείαντες, ὅ ἐστι καύσαντες, «τίθεντο δόρπα ἕκαστος». (v. 88) Διὰ διφθόγγου δὲ καὶ νῦν τὸ κείαντο παρὰ τοῖς παλαιοῖς ἀντιγράφοις, ὡς φαίνεσθαι κἀνταῦθα προϋποκεῖσθαι τοῦ καίω ῥήματος τὴν διὰ τοῦ ε ψιλοῦ γραφὴν καὶ εἶναι, καθὰ καὶ ἐν Ὀδυσσείᾳ σαφῶς δηλοῦται, κέω ὡς ῥέω, καὶ συναιρέσει κῶ ὡς ῥέω ῥῶ, εἶτα κατὰ παραγωγὴν καίω ὡς ῥῶ ῥαίω, τὸ φθείρω, ἐξ οὗ καὶ ὁ ῥαιστὴρ καὶ ὁ κυνοραϊστής. (v. 85 s.) Ὅτι δὲ τοσοῦτοι, ὡς ἐρρέθη, τὸ τῶν φυλάκων ἦσαν τάγμα, «οἳ σὺν

τεύχεσσιν ἐσσεύοντο, κὰδ δὲ μέσον τάφρου καὶ τείχεος ἷζον ἰόντες», δηλοῖ ὁ ποιητὴς γράψας οὕτω «ἕπτ' ἔσαν ἡγεμόνες φυλάκων, ἑκατὸν δὲ ἑκάστῳ κοῦροι ἅμ' ἔστειχον δολίχ' ἔγχεα χερσὶν ἔχοντες». Καὶ ὅρα ὡς οὐδὲ νῦν τοξόται παρὰ τούτοις. Πείθουσι γὰρ ἑαυτοὺς μὴ ἔκαθεν ἀμύνεσθαι δι' ἐκηβολίας ἀλλ' αὐτοσχεδόν. (v. 81—3) Συντάσσονται δὲ τοῖς ἑπτὰ ἡγεμόσι καὶ ὁ τοῦ Νέστορος Θρασυμήδης καὶ ὁ τοῦ Ἄρεος Ἀσκάλαφος καὶ ὁ Μηριόνης. (v. 89—92) Ὅτι χρήσιμον εἰς εἰλαπίνην σώφρονα τὸ «ὁ δεῖνα», ὡς ἐνταῦθα ὁ βασιλεύς, «γέροντας ἀολλέας ἦγεν Ἀχαιῶν ἐς κλισίην, παρὰ δέ σφι τίθει μενοεικέα δαῖτα. οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα» καὶ ἑξῆς, ταὐτολογικῶς τοῖς ἀλλαχοῦ γραφεῖσιν. [Ὅρα δὲ καὶ ἐνταῦθα τὸ τῆς φράσεως καιρίως ἀπέριττον. Οὐ γὰρ διεσκεύασε τὰ τῆς δαιτός, ἀλλ' ἐπῆλθε πάνυ γοργῶς, οἷα μὴ ἔχων καιρὸν ἐμπλατύνασθαι εἰς διασκευήν]. (v. 93—9) Ὅτι ὁ γέρων Νέστωρ, «οὗ καὶ πρόσθεν ἀρίστη φαίνετο βουλή, πάμπρωτος ὑφαίνειν ἤρχετο μῆτιν» καὶ εἶπε συνήθως «Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον, ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι, οὕνεκα πολλῶν λαῶν ἐσσι ἄναξ καί σοι θεὸς ἐγγυάλιξεν», ἤγουν ἔδωκε, «σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βουλεύῃσθα».

2.665 Καὶ ὅρα ὅπως κἀνταῦθα ὁ Νέστωρ φιλοβασιλεύς, οὐχ' ἧττον ἤπερ Ὀδυσσεὺς δημοχαριστὴς καὶ φιλόδημος, ὡς ἤδη δέδεικται. (v. 100) Λέγει δὲ ὁ Νέστωρ ὡς οἷον γνωματευόμενος καί, ὅτι διὰ τοῦτό σε χρὴ πέρι μὲν φάσθαι ἔπος ἠδ' ἐπακοῦσαι, ὡς χρεὼν ὂν τὸν βασιλέα καὶ βουλὴν εἰπεῖν ὑπὲρ τοὺς ἄλλους καὶ ἑτέρου δὲ λέγοντος ἐπακοῦσαι. (v. 101 s.) «Κρηῆναι δέ», φησίν, ἤτοι τελέσαι, «καὶ ἄλλῳ ὅτ' ἄν τινα θυμὸς ἀνώγῃ εἰπεῖν εἰς ἀγαθόν. σέο δ' ἕξεται ὅττι κεν ἄρχει», τουτέστι σοῦ τοῦ βασιλέως λογισθήσεται καὶ σοῦ ἅψεται καὶ σὸν ἔσται, ὅπερ ἐν τῇ βουλῇ ἀρχικὸν καὶ πρωτεῦον φανείη καὶ κρατυνθείη. Ὡς γὰρ αἱ κατὰ μάχην ἀριστεῖαι τοῖς βασιλεῦσι προσλογίζονται, οὕτω καὶ τὰ ἐκ τῆς βουλῆς, ἧπερ αὐτοὶ πάρεισιν, ἀγαθά. (v. 93) Ὅρα δὲ τὸ «πάμπρωτος» καὶ νῦν ἀκριβῶς ῥηθέν. Ἐν πολλῷ γὰρ ἀριθμοῦ χύματι πολλὰ πρῶτα τῷ λόγῳ τῶν πρός τι. ὃ γὰρ τοῦ ἐφεξῆς προτέτακται, πρῶτον ἐκείνου λέγοιτ' ἄν. τὸ δὲ πρὸ πάντων εἴη ἂν ἐκεῖνο πάμπρωτον. Τὴν δὲ τροπικὴν περιεργίαν τοῦ «ὑφαίνειν μῆτιν» δοκεῖ ἀνακαλύπτειν ἡ ἐν Ὀδυσσείᾳ τῆς Πηνελόπης ἱστορία. Ὑφαίνουσα γὰρ ἐκείνη πέπλον τὸν περιᾳδόμενον μῆτιν καὶ δόλον ὕφαινε. (v. 94) Τὸ δὲ «φαίνετο ἀρίστη βουλή» ἀντὶ τοῦ ἀπεφαίνετο ἢ ἔφαινεν, ἔλαμπεν. Οὐ γὰρ δήπουθεν ἐνομίζετο. (v. 103—5) Οὕτω καὶ μετ' ὀλίγα ὁ Νέστωρ συνιστῶν ἑαυτὸν ἐν τῷ «ὥς μοι δοκεῖ εἶναι ἄριστα» οὐ διστάζοι ἐν τῷ «ὥς μοι δοκεῖ». Πῶς γὰρ ἂν διστάζοι ὁ ἐπαγαγὼν τὸ «οὐ γάρ τις ἄμεινόν τι νοήσει». [Φησὶ γὰρ μετὰ τὸ «ὥς μοι δοκεῖ ἄριστα» τὸ «οὐ γάρ τις νόον ἄλλος ἀμείνονα τοῦδε νοήσει οἷον ἐγὼ νοέω». Ἔνθα τὸ «νόον» καὶ «νοήσει» καὶ «νοέω» τρόπου ἐστίν, ὁποίου καὶ τὸ «βουλὴν βουλεύσει» καὶ τὰ κατ' αὐτό, ποιοῦν καὶ σχῆμά τι ἐπιμονῆς. Τὸ δὲ «νόον», ὅπερ ἔννοιαν δηλοῖ καὶ νόημα, ὁμωνυμεῖ τῷ νόῳ, οὗ προβολαί εἰσι τὰ νοήματα.

2.666 Καὶ ἔστι συνήθης ἡ λέξις. Νοῦν γὰρ λόγου φαμέν, καθότι καὶ νοεῖν αὐτὸν λέγομεν, ὡς τὸ «πυθοίμεθ' ἂν τὸν χρησμὸν ἡμῶν ὅ τι νοεῖ», τουτέστι ποταπὴν ἔννοιαν κρύπτει]. (v. 94) Τὸ δὲ «φαίνετο βουλή» ταὐτὸν τῷ μῆτις, ὃ ἀνωτέρω κεῖται, πολυωνυμούμενον πρὸς τὴν βουλὴν καὶ τὴν σκέψιν καὶ τὸ βούλευμα. (v. 97) Τὸ δὲ «ἐν σοὶ μὲν λήξω, σοῦ δ' ἄρξομαι» σχῆμα μὲν ὑστερολογίας ἐστί—Προτερεύει γὰρ λήξεως ἡ ἀρχή. —, δηλοῖ δὲ προεκθετικῶς, ὅτι ἀπὸ σοῦ ἄρξομαι δημηγορῶν καὶ εἰς σὲ καταλήξω, ἤγουν σὲ ἀρχὴν καὶ τέλος τοῦ λόγου ποιήσομαι, ὡς περὶ πλειονός σε τῶν ἄλλων τιθέμενος, ὃ δὴ καὶ ἐνταῦθα ὁ γέρων ποιεῖ, ἀρξάμενος τῆς συμβουλῆς ἐκ τοῦ βασιλέως καὶ εἰς αὐτὸν περάνας αὐτήν. (v. 97 s.) Τὸ δὲ «οὕνεκα πολλῶν λαῶν εἶ ἄναξ» ἔστι μὲν αἰτιολογία καὶ τοῦ «ἐν σοὶ μὲν λήξω, σοῦ δ' ἄρξομαι», μάλιστα δὲ αἰτιολογικόν ἐστι τοῦ κατωτέρω, ἤγουν τοῦ «χρή σε πέρι μὲν φάσθαι ἔπος» καὶ ἑξῆς, ἵνα λέγῃ, ὡς διότι πολλῶν ἄρχεις, διὰ τοῦτο χρή σε καὶ περιττὸν τὴν δημηγορίαν εἶναι καὶ ἄλλων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀκούειν. Ἐκεῖνο μὲν γὰρ παναρίστου καὶ αὐτῷ πάντα νοοῦντος, τοῦτο δὲ ἐσθλοῦ ὡς ἑτέρῳ πειθομένου καὶ κραίνοντος τὸ ῥηθὲν εἰς ἀγαθόν. Εἰ δὲ τοῦθ’ οὕτως ἔχει, προηγεῖται κἀνταῦθα περιβλητικῶς ἡ αἰτία τοῦ αἰτιατοῦ νοήματος. (v. 99) Τὸ δὲ «σκῆπτρόν τ’ ἠδὲ θέμιστας» ἀσφαλῶς πέφρασται κατὰ συνδυασμόν. Οὐ γὰρ ὁ σκῆπτρον ἁπλῶς ἔχων ἤδη καὶ σκηπτοῦχος βασιλεύς ἐστιν, εἴγε καὶ ὁ πτωχικὸς Ὀδυσσεὺς ἐν Ὀδυσσείᾳ σκῆπτρον ἔχει. Καὶ ἄναξ δέ τις ἐν τοῖς μετὰ ταῦτα σιωπῇ σκῆπτρον ἔχων ἐπ’ ὄγμου ἵσταται, οἰκοδεσπότης ἐκεῖνος ὤν. Ὁ δὲ κυρίως ἄναξ καὶ σκῆπτρον θεόθεν ἔχει καὶ θέμιστας οἷα καὶ δικασπόλος. (v. 100) Ὅρα δὲ ὡς καὶ λόγιον βούλεται εἶναι τὸν βασιλέα, ἐν οἷς λέγει, ὡς χρή σε πέρι μὲν φάσθαι ἔπος. οὐ γὰρ ἁπλῶς φάσθαι χρή, ἀλλὰ περισσῶς. Δῆλον δ’ ὡς τὸ περιττῶς φράζειν ἀνάπαλιν ἔχει πρὸς τὸ ἀφελῶς, ὅ ἐστιν ἀπερίττως. (v. 101) Τὸ δὲ «κρηῆναι», ὅ ἐστιν ἐπιτελέσαι, «καὶ ἄλλῳ», ἤγουν ἄλλου ἔπος, ὅταν εἰς ἀγαθόν τις εἴπῃ, οὐ μὴν εἴς τι φαῦλον, παράφρασίς ἐστι τοῦ «πολλῶν ἀγρομένων τῷ πείσεαι, ὃς ἂν ἄριστα βουλεύσῃ».

2.667 Ἔχεται δέ πως καὶ τοῦ καθ’ Ἡσίοδον ἐσθλὸν εἶναι κἀκεῖνον, ὃς εὖ εἰπόντι πίθηται. (v. 102) Τὸ δὲ «σέο δ’ ἕξεται ὅττι κεν ἄρχῃ» ἶσον εἶναι ἀποφαίνεται τῷ ἀγαθῷ συμβούλῳ καὶ τὸν κυροῦντα τὴν συμβουλὴν καὶ μὴ φθονοῦντα ἤ τι τοιοῦτον πάσχοντα. φθόνῳ γὰρ καὶ θυμῷ καὶ ἔριδι πολλὰ τῶν κοινῶν ἀνετράπησαν. [Ἰστέον δὲ ὅτι δυσμίμητος φράσις τὸ «σέο δ’ ἕξεται ὅττι κεν ἄρχῃ», ληφθεῖσα ὡς ἀπὸ πείσματος, ὅ ἐστι σχοίνου, ἀρχομένου μέν ποθεν, συνδέοντος δὲ πρὸς τῷ ἑτέρῳ ἄκρῳ ἄλλο τι. Καὶ δηλοῖ ὡς ὁ ἔκ τινος ἀγαθὸς λόγος τελεσφορηθεὶς ὑφ’ ἑτέρου ἀρχὴν μὲν ἄλλοθεν ἔσχεν, ἔχεται δέ πως καὶ τοῦ ἀποτελέσαντος αὐτὸν καὶ δοκεῖ αὐτοῦ μάλιστα εἶναι, ὃς ἴσχυσε τὸν ἀγαθὸν λόγον εἰς τέλος ἀγαγεῖν]. (v. 103—5) Ὅτι ἐν οἷς λέγει ὁ ῥήτωρ Νέστωρ «αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα. οὐ γάρ τις νόον ἄλλος ἀμείνονα τοῦδε νοήσει, οἷον ἐγὼ νοέω ἠμὲν πάλαι ἠδ’ ἔτι καὶ νῦν»—Λέγει δὲ περὶ τοῦ εἰς Ἀχιλλέα πρεσβεῦσαι. — διδασκόμεθα οἷον εἶναι χρὴ τὸν σύμβουλον. Ὡς γὰρ τοῖς σοφοῖς ἀρέσκει, οὐ σχεδιάσει ὁ συμβουλεύων περὶ μεγάλων, ἀλλ’ ἐρεῖ ἐσκεμμένος πάλαι ἥκειν, καὶ οὐ τὸ ἐπιὸν φθέγγεσθαι οὐδὲ διστάζων δημηγορήσει, ἀλλ’ ἀξιωματικῶς λέγων. Ὅρα δὲ οἷον ἡ ἀνάγκη. ὁ γὰρ φιλοβασιλεὺς ῥήτωρ εἰς ὑπόπτωσιν ἄγει τὸν βασιλέα διὰ περίστασιν ἀναγκαίαν ὡς εἰς Ἀχιλλέα πρεσβεύσειν. (v. 104) Νόον δέ, ὡς εἴρηται, τὸ νόημα λέγει ὁμωνύμως τῷ νοοῦντι λογισμῷ. Καὶ ἔστι κἀνταῦθα τὸ «νόον νοήσει» σχήματος Ἀττικοῦ. (v. 105—7) Ἰστέον δὲ ὅτι τε τὸ «πάλαι» ἑρμηνεύων ὁ ποιητής φησιν «ἐξ ἔτι τοῦ, ὅτε διογενὲς Βρισηΐδα κούρην χωομένου Ἀχιλῆος ἔβης κλισίηθεν ἀπούρας». Καὶ ὅτι τὸ «ἠδ’ ἔτι καὶ νῦν» περισσὸν συνήθως ἔχει τὸν ἕνα σύνδεσμον, ὁποῖόν τι καὶ τὸ «ἠδέ κε καὶ οὗ πατρός», ἀντὶ τοῦ καὶ τοῦ ἰδίου πατρός. Καὶ ὅτι ἐν τῷ «ἐξ ἔτι τοῦ», ἤγουν τούτου τοῦ χρόνου, περιττὸν κεῖσθαι δοκεῖ τὸ ἔτι, καὶ ἔστιν ὅμοιον τῷ «ἐξ ἔτι πατρῶν». καὶ ὅτι τὸ «ἐξ ἔτι τοῦ» ταὐτόν ἐστι τῷ ἐξ ὅτου. Καὶ ὅτι ὁ Νέστωρ, ὅτε καιρὸν εὗρε, κατακρίνων τὸν βασιλέα ἐφ’ οἷς ὕβρισεν εἰς Ἀχιλλέα, οὐ μόνον λέγει, ὅτι ἑλὼν ἔχεις γέρας, ἀλλὰ καὶ ὅτι ἔβης τὴν Βρισηΐδα ἐκ τῆς τοῦ Ἀχιλλέως λαβὼν σκηνῆς, ὅπερ οὐδ’ Ἀχιλλεὺς εἶπεν.

2.668 Ἐκεῖνος γὰρ ἐπιεικέστερον τῇ μητρὶ ἔφη, ὅτι κήρυκες αὐτὴν ἔβαν ἄγοντες, ὁ δὲ γέρων δριμύτερον τοῦ βασιλέως καθάπτεται, ἀφ’ ὧν ἐκεῖνος εἶπεν ἀπειλησάμενος, ὡς ἐγὼ ἄγω Βρισηΐδα αὐτὸς ἰὼν κλισίηνδε. (v. 108 s.) Λέγει δὲ ὁ Νέστωρ καὶ ὅτι «οὔ τι καθ’ ἡμέτερόν γε νόον, μάλα γάρ τοι ἔγωγε πόλλ’ ἀπεμυθεόμην», ἤτοι ἀπηγόρευον, ὃ ἀνάπαλιν ἔχει πρὸς τὸ μυθεῖσθαι καὶ παραμυθεῖσθαι. Ὅτι δὲ ἀληθῶς ὁ γέρων ἀπεμυθεῖτο, ἡ α′ ῥαψῳδία δηλοῖ ἐν τῷ «μήτε σὺ τόνδ’ ἀγαθός περ ἐών» καὶ ἑξῆς. Εἰ δὲ μὴ πόλλ’ ἀπεμυθεῖτο—Οἴδαμεν γὰρ ὡς ἐν τῇ ῥηθείσῃ ῥαψῳδίᾳ καίρια μέν, οὐ πολλὰ δὲ ὁ ῥήτωρ ἀπεμυθήσατο. —, νοητέον ὡς κατὰ τὸ σιωπώμενον οὐκ ὀλίγα ὕστερον τὸν βασιλέα ἐμέμψατο, ἐφ’ οἷς ἐκεῖνος εἰς τὸν τηλικοῦτον Ἀχιλλέα ὕβρισεν (v. 109 s.) Εἶτα ἐξαίρων τῷ λόγῳ τὸν Ἀχιλλέα φησὶ «σὺ δὲ σῷ μεγαλήτορι

θυμῷ εἴξας ἄνδρα φέριστον, ὃν ἀθάνατοί περ ἔτισαν, ἠτίμησας». Καὶ ὅρα, ὡς παιδεύει Ὅμηρος, ὅπως χρὴ πεπαιδευμένως τοῖς ἄρχουσιν ὁμιλεῖν. Νέστωρ γὰρ τῷ βασιλεῖ δι' αὐθάδειαν καὶ προπέτειαν εἰς Ἀχιλλέα ὑβρίσαντι λέγει, ὅτι μεγαλήτορι θυμῷ εἴξας ἠτίμησε τὸν Ἀχιλλέα, ψυχῆς μὲν μεγαλειότητα καλέσας καθ' ὑπαλλαγὴν ὀνόματος τὴν αὐθάδειαν, τὸ δὲ προπετεύσασθαι εἶξαι εἰπών. Αὐτὸς μέντοι ὁ βασιλεὺς μετ' ὀλίγα ἑαυτοῦ καταγνοὺς λευγαλέας φρένας τὰς οἰκείας λέγει, ὡς οἷον ὀλοόφρονα, ἤγουν ὀλεθριόφρονα, καλέσας ἑαυτὸν ἀντὶ μεγαλήτορος. Δύναται δὲ μεγαλήτορα θυμὸν λέγειν καὶ τὸν πάνυ μέγαν θυμόν, ὡς μετ' ὀλίγα ἐν τοῖς πρὸς Ἀχιλλέα λόγοις ῥηθήσεται. (v. 106) Ἰστέον δὲ ὅτι τὸ «ὅτε διογενές» καὶ ἑξῆς γράφεται καὶ «ὅτε διογενεῦς», ὁμοίως τῷ Ὀδυσσέος Ὀδυσσεῦς, ἵνα λέγῃ τὴν κόρην τοῦ διογενοῦς Ἀχιλλέως. Καὶ εἶχε μὲν διογενοῦς εἰπεῖν ἀσφαλῶς, προείλετο δὲ τὸ ποιητικώτερον. (v. 107) Τὸ δὲ «χωομένου Ἀχιλῆος» παιδευτικῶς πρόσκειται, ὡς μὴ δέον ὂν τὸν ἀγαθὸν βασιλέα δριμέως ἐπεξιέναι τῷ ὀργιζομένῳ ἄγαν καὶ οὕτως ἐπισκοτουμένῳ τὸν νοῦν ἥρωϊ. (v. 108) Τὸ δὲ «οὔ τι καθ' ἡμέτερόν γε νόον» ἐπὶ τῶν ἀπαρεσκομένων τινὶ ἁρμόττει εἰπεῖν. (v. 111—3) Ἐπὶ δέ γε τῶν θελόντων σπείσασθαι πρὸς ἐχθραίνοντα οἰκεῖον τὸ «φραζώμεθα ὥς κέν μιν ἀρεσσάμενοι πεπίθοιμεν δώροισίν τ' ἀγανοῖσιν ἔπεσσί τε μειλιχίοισι», τουτέστι παντὶ τρόπῳ, καὶ λόγοις ἱλαροῖς καὶ ἔργοις δεξιωτικοῖς.

2.669 (v. 111) Ὅρα δὲ καὶ νῦν τὸ «ἠτίμησεν» ἀνομοίως λεχθὲν τῇ ὕστερον χρήσει. Οἱ γὰρ μεθ' Ὅμηρον ἠτίμωσε λέγουσι κατὰ συζυγίας ἐναλλαγήν, ὃ δὴ καὶ ἐπ' ἄλλων γίνεται τῆς συνθέσεως ἐναλλαττούσης τὰς συζυγίας, οἷον δοκῶ δοκεῖς τὸ ἁπλοῦν, προσδοκῶ δέ, προσδοκᾷς, τὸ σύνθετον. Οὕτω καὶ ὁρῶ ὁρᾷς ἐν ἁπλότητι, ἐν δὲ συνθέσει θεωρῶ θεωρεῖς, καὶ κυκλῶ μὲν κυκλοῖς, [ὃ καὶ κυκλεύειν φαμέν], εἰσκυκλῶ δὲ εἰσκυκλεῖς, καὶ λογίζω μέν, ἐλλογῶ δέ, ὡς τὸ «ἐμοὶ ἐλλόγει», καὶ χειρίζω μὲν χειρίσω, διαχρῶ δὲ διαχρήσω, καὶ σκοτίζω μέν, ἐπισκοτῶ δέ, καὶ ἱερεύω μὲν βαρυτόνως, καλλιερῶ δὲ περισπωμένως, καὶ τοπῶ μὲν τοπᾷς, καχυποτοπῶ δὲ καχυποτοπεῖς, καὶ ξενίζω μὲν καὶ κακίζω, προξενῶ δὲ καὶ φιλοξενῶ καὶ ἐκκακῶ, καὶ ὁρίζω μέν, ὁμορῶ δέ, καὶ ὁρκίζω μέν, εὐορκῶ δέ, καὶ ὁπλίζω εὐοπλῶ, πλέω εὐθυπλοῶ, ῥέω εὐροῶ, σὺν δὲ μυρίοις ἑτέροις καὶ τιμῶ μὲν τιμήσω, τὸ ἁπλοῦν, ἀτιμῶ δὲ ἀτιμώσω, τὸ σύνθετον, παρὰ τοῖς μεθ' Ὅμηρον. (v. 112) Ἀρέσασθαι δὲ καὶ νῦν τὸ εἰς φιλίαν ἁρμόσασθαι, ὅθεν καὶ ἀρθμός ἡ φιλία καὶ ἑταῖροι ἐρίηρες, οἱ ἄγαν ἀλλήλοις ἀρεστοί, ὅ ἐστιν ἡρμοσμένοι, καὶ πρόσαρμα δὲ ἡ τῷ σώματι προσφυὴς τροφή. μετ' ὀλίγα δὲ καὶ ἐνεργητικῶς ἀρέσαι φησὶ τὸ φιλοφρονήσασθαι. Καὶ τὸ ἀρήσασθαι δὲ ἀντὶ τοῦ εὔξασθαι ὁμοίας ἐστὶ δυνάμεως. καὶ γὰρ καὶ τὸ ἀρᾶσθαι ἁρμονία τίς ἐστι πρὸς θεόν, ὥσπερ καὶ ἡ εὐχή, ἣν ὁ Αἰλιανὸς πρέσβιν φησὶ πρὸς θεὸν ἀδωρότατον. (v. 113) Ὅρα δὲ καὶ ἐν στίχῳ ἑνὶ πάρισα τέσσαρα, τὸ «δώροισι» καὶ ἑξῆς, ὡς προγέγραπται. (v. 115—8) Ὅτι ὥσπερ ἡ Ἑλένη ἔλεον ἐπισπᾶται ὁμολογοῦσα ἰδίαν κακίαν καὶ κατηγοροῦσα ἑαυτῆς, οὕτω καὶ νῦν ὁ βασιλεὺς προκαλεῖται συγγνώμην, λέγων «ὦ γέρον, οὔ τι ψεῦδος ἐμὰς ἄτας κατέλεξας. ἀασάμην, οὐδ' αὐτὸς ἀναίνομαι». Ὁμολογεῖ δὲ καὶ ὅτι «ἀντί νυ πολλῶν λαῶν ἐστὶν ἀνήρ», οὐχ' ὁ Ἀχιλλεύς, —Τοῦτο γὰρ ἔτι ὀκνεῖ ἐξ ὀνόματος εἰπεῖν.

2.670 —, ἀλλ' ἁπλῶς ὁ θεοφιλής. Ἐπάγει γὰρ «ὅν τε θεὸς κῆρι φιλήσῃ, ὡς νῦν τοῦτον ἔτισε, δάμασσε δὲ λαὸν Ἀχαιῶν». (v. 120 s.) Εἶτά φησιν ἐθέλειν ἀρέσαι, ὡς εἴρηται, δοῦναί τε σὺν μιᾷ τῶν θυγατέρων καὶ σὺν ἑτέραις γυναιξὶ καὶ πόλεσι δὲ καὶ ἑτεροῖα ἄποινα τῷ Ἀχιλλεῖ, ἅπερ αὐτὸς μὲν ἀπερείσια λέγει καὶ περικλυτὰ καὶ μάλα πολλά, Νέστωρ δὲ οὐκ ὀνοστὰ εἶναί φησιν. Ὀδυσσεὺς δὲ ἐν τοῖς ἑξῆς ἄξια δῶρα διδόναι τῷ Ἀχιλλεῖ λέγει τὸν Ἀγαμέμνονα, εἰς ταὐτὸν κἀνταῦθα τοῖς δώροις ἀγομένων τῶν ἀποίνων κατὰ σχῆμα πολυωνυμίας. Λέγουσι δὲ οἱ παλαιοὶ ἐν τούτοις ὡς, εἰ μὲν φιλοχρήματος ὁ Ἀχιλλεύς, πολλὰ τὰ ἐξ Ἀγαμέμνονος δῶρα, εἰ δὲ φιλογύνης, ἔχει τῶν βασιλέως θυγατέρων, ἣν ἂν ἕλοιτο, εἰ δὲ φιλότιμος, ἔχει καὶ τὸ τιμᾶσθαι διά τε τὸ βασιλικὸν κῆδος καὶ τὰς πόλεις ἃς προῖκα λήψεται. (v. 115 s.) Ἰστέον δὲ ὅτι ὁ

ὁμολογῶν πταῖσαι εἴποι ἂν πρὸς τὸν ἐλέγχοντα τὸ «οὔ τι ψεῦδος ἐμὰς ἄτας κατέλεξας» καὶ ἑξῆς, ὡς ἀνωτέρω εἴρηται. Ἔστι δὲ τὸ «ψεῦδος» μὲν ἐπιρρηματικὸν ἀντὶ τοῦ ψευδῶς, [εἰ μή τις ἴσως ἐθέλει στίζειν ἐν τῷ «οὔ τι ψεῦδος», εἶτα ἐπάγειν ἀσυνδέτως κατ᾽ ἔλλειψιν τὸ ἐφεξῆς, ἵνα λέγῃ κομματικῶς· οὔ τι ψεῦδός ἐστιν ὧν ἐδημηγόρησας, ἐμὰς ἄτας κατέλεξας]. (v. 115) Τὸ δὲ «κατέλεξας» ἀντὶ τοῦ ἠρίθμησας. Δοκεῖ γάρ τισι μὴ ἐν χρήσει παρὰ τῷ ποιητῇ εἶναι τὸ λέξαι ἀντὶ τοῦ εἰπεῖν. (v. 116) Τὸ δὲ «ἀασάμην» τὸ ῥῆμά ἐστιν, ἐξ οὗ ἡ ἄτη γίνεται, ἀεὶ ἐκτείνουσα ὡς ἀπὸ κράσεως τὸ ἐν ἀρχῇ δίχρονον, εἰ καὶ ἡ ἄση, ἄλλο τι παρὰ τὴν ἄτην οὖσα, ὡς καὶ οἱ Ἀσκληπιάδαι δηλοῦσι, συστέλλει τὴν ἄρχουσαν, καθὰ καὶ Εὐριπίδης δηλοῖ ἐν τῷ «ἔπαυσε καρδίαν ἄσης».

2.671 Ὅρα δὲ ὅτι τὸ «ἀασάμην» ἐκτείνει μὲν τὴν ἄρχουσαν ἐν διαφόροις τόποις διὰ δακτύλου ἀπαρτισμόν, συστέλλει δὲ τὴν μετ᾽ αὐτήν. Ἐφεξῆς δὲ ἐν τῷ «οὐκ ἐνόησεν, ἀάσατο δέ» ἀνάπαλιν βραχύνει μὲν ὡς ἐν μεταθέσει χρόνου τὸ κατάρχον δίχρονον, ἐκτείνει δὲ τὸ μετ᾽ αὐτό. Τὸ δὲ «ἀναίνεσθαι» ταὐτόν ἐστι τῷ μὴ αἰνεῖν, ἤγουν συναινεῖν καὶ συγκατατίθεσθαι. (v. 116 s.) Τὸ δὲ «ἀντί νυ πολλῶν λαῶν ἐστιν ἀνήρ, ὃν θεὸς φιλήσει» γνωμικῶς εἴρηται. Λέγει δὲ ὅτι ὁ θεοφιλής, κἂν εἷς εἴη, ὅλως παρεξισοῦται πλείοσι, καὶ πιστοῦται τὸν λόγον ἐκ τοῦ Ἀχιλλέως, καταγαγὼν συνήθως τὸ καθόλου εἰς μερικὸν καὶ δείξας ἀντὶ πολλῶν λαῶν εἶναι τὸν εἰς τοσοῦτον τιμηθέντα, ὡς δαμασθῆναι δι᾽ αὐτὸν πολὺν οὕτω λαόν. (v. 119—21) Ἐν τούτοις δὲ τὸ «ἀλλ᾽ ἐπεὶ ἀασάμην φρεσὶ λευγαλέῃσι πιθήσας, ἂψ ἐθέλω ἀρέσαι δόμεναί τ᾽ ἀπερείσι᾽ ἄποινα. ὑμῖν δ᾽ ἐν πάντεσσι περικλυτὰ δῶρ᾽ ὀνομήνω» οἰκεῖόν ἐστι προσώπῳ μεταμελομένῳ ἐφ᾽ οἷς ἔπταισε. Περὶ δὲ τῶν ἐν τῷ τοιούτῳ νοήματι λέξεων προγέγραπται. Ὀνομαίνειν δὲ καὶ ἐνταῦθα τὸ πρὸς ὄνομα καταλέγειν, ὃ δὴ ποιεῖ εὐθὺς ὁ βασιλεὺς ἐξαριθμούμενος, ἃ δώσει τῷ Ἀχιλλεῖ. (v. 122) Ὅτι τῶν τριπόδων οἱ μὲν ἐμπυριβῆται, οἳ καὶ αἴθωνες ἴσως λέγοιντο ἂν ὡς πυρὶ αἰθόμενοι καὶ οὕτω χρήσιμοι, οἱ δὲ ἀναθεματικοὶ πρὸς κάλλος ἀνατιθέμενοι ἐν οἴκοις ἢ ναοῖς, ἄχραντοι πυρὶ φυλαττόμενοι, οὓς ἀπύρους ἐνταῦθά φησιν ὁ ποιητής, πρὸς διαστολὴν τῶν ἐμπυριβητῶν. Ἕτεροι δὲ ἀπύρους μὲν νοοῦσι τοὺς μήπω πυρὶ ὁμιλήσαντας, αἴθωνας δὲ τοὺς ἤδη πυρωθέντας. (v. 123) Λέβητες δὲ ἕτεροι ὄντες τριπόδων, ὡς δηλοῖ σαφῶς καὶ ἡ Ὀδύσσεια, λέγονται ἄλλως αἴθωνες διὰ τὸ ἐκ τοῦ γεγανῶσθαι λαμπρόν, ὡς ἀπὸ τοῦ αἴθω, τὸ λάμπω. Ὅτι δὲ ἐντιμότεροι λεβήτων οἱ τρίποδες, δηλοῖ κἀνταῦθα ὁ ποιητής, ἑπτὰ μὲν ἀπύρους τρίποδας, αἴθωνας δὲ λέβητας εἴκοσι πρὸς τοῦ βασιλέως ὑπεσχῆσθαι λέγων τῷ Ἀχιλλεῖ. (v. 122 s.) Ἔνθα δυσὶ στίχοις φιλοτιμεῖται τέσσαρα δῶρα ἐμπεριγράψαι, εἰπὼν «ἕπτ᾽ ἀπύρους τρίποδας, δέκα δὲ χρυσοῖο τάλαντα, αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ᾽ ἵππους». Τούτων δὲ τῶν στίχων ἑκατέρου ἡ εἰς ἀνὰ δύο ἐννοίας τομὴ οὐ πάνυ μετρικῶς ἔχειν δοκεῖ τοῖς παλαιοῖς, οἵ φασιν, ὅτι τὸ μέτρον χαίρει μὲν συνδεσμεῖσθαι τοὺς πόδας ἀλλήλοις, ὡς κατὰ μηδὲν εἰς μέρος ἀπαρτίζειν λόγου, οἷον «Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσε».

2.672 Παραιτεῖται δὲ ὥσπερ τὸ κατὰ πόδα τέμνεσθαι, οἷον «ὕβριος εἵνεκα τῆσδε, σὺ δ᾽ ἴσχεο, πείθεο δ᾽ ἡμῖν», ἔνθα καθ᾽ ἕνα ἕκαστον πόδα καὶ μέρος λόγου ἀπαρτίζεται, οὕτω καὶ τὴν δίχα τομήν, ἤγουν τὴν εἰς δύο ἐννοίας, ὡς τὸ «ἔνθ᾽ οὔτ᾽ Ἰδομενεὺς τλῆ μίμνειν οὔτ᾽ Ἀγαμέμνων». οὕτω δὲ καὶ τὴν τριχῇ καὶ ἐπὶ πλεῖον διαίρεσιν. Ῥυθμικὰ γάρ, φασί, ταῦτα ἢ μετρικά. Οὐκοῦν καὶ τὰ ῥηθέντα δύο ἔπη ῥυθμικώτερον διάκεινται. καὶ οὕτω μὲν τοῦτο. [Ἐν δὲ τοῖς τοῦ Ἀθηναίου φέρεται ὅτι τε ἄπυροι τρίποδες, εἰς οὓς οἶνος ἐξεκεράννυτο, λοετροχόοι δέ, ἐν οἷς ὕδωρ ἐθερμαίνετο, οἱ καὶ ἐμπυριβῆται. ὧν ἔνιοι ὠτώεντες, τρίποδες καλούμενοι διὰ τὸ τρίποδα τὴν ὑπόβασιν ἔχειν. Καὶ ὅτι τὸ ἀρχαῖον δύο γένη τριπόδων ἦσαν, οἳ καὶ λέβητες ἐκαλοῦντο, ἐμπυριβήτης ὁ καὶ λοετροχόος. Αἰσχύλος «τὸν μὲν τρίπους ἐδέξατο οἰκεῖος λέβης, ἀεὶ φυλάσσων τὴν ὑπὲρ πυρὸς στάσιν». ὁ δὲ ἕτερος κρατὴρ καλούμενος, ὁποῖοι οἱ παρ᾽ Ὁμήρῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄπυροι, ἐν οἷς οἶνον ἐκίρνων. ὃς δὴ καὶ ᾠκειοῦτο Διονύσῳ διὰ τὴν κατ᾽ αὐτὸν ἐν μέθῃ ἀλήθειαν, καθὰ καὶ τῷ Πυθίῳ Ἀπόλλωνι τρίπους ἦν ἀληθείας διὰ τὴν ἐκ μαντικῆς ἀλήθειαν. «Οἶνος γάρ», φασί, «καὶ ἀλήθεια». «ὅς καὶ ἀνδρός», φασίν, «ἔδειξε νόον». καὶ ἐν Διονυσίοις νικητήριον διὰ τοῦτο τέθειται τρίπους, ἐπεὶ καὶ τοὺς ἀληθεύοντας ἐκ τρίποδος λέγειν φαμέν, τοῦ κατὰ μαντείαν δηλαδὴ ἀληθευτικοῦ. ὃ καὶ οἶνος ποιεῖ, ὡς εἴρηται. Λέγει δὲ ὁ αὐτὸς καὶ ὡς ἡ τῶν τριπόδων λέξις καὶ ἐπὶ τραπεζῶν ἔκειτο. ἔνθα καὶ χρῆσιν φέρων ἀπὸ Ξενοφῶντος τοῦ, ὥς φησι, μουσικωτάτου, παράγει καὶ Ἀντιφάνην εἰπόντα «ἐπεὶ δ᾽ ὁ τρίπους ἤρθη», τουτέστιν ἡ τράπεζα, «κατὰ χειρῶν εἴχομεν», ἤγουν ἐνιπτόμεθα. Ἔστι δὲ πάντως ταὐτὸν τρίπουν εἰπεῖν καὶ τράπεζαν]. (v. 122) Ἰστέον δὲ ὅτι ἀόριστον, ὡς καὶ ἐν ἄλλοις ἐρρέθη, τὸ τάλαντον παρὰ τοῖς παλαιοῖς, καθὰ καὶ Πορφύριος καὶ ἄλλοι ἀπέδειξαν. Ἐπεὶ καὶ παρ᾽ Ἀττικοῖς μὲν ὕστερον εἰς ἑξακισχιλίους στατῆρας αὐτὸ περιέστη.

2.673 τὸ δὲ Μακεδονικὸν τάλαντον τρεῖς ἦσαν χρύσινοι. Δίφιλος δέ πού φησιν ἀργυρίου βραχύ τι τάλαντον. Παρ᾽ ἄλλοις δὲ τάλαντον αἱ ἑκατὸν εἰκοσιτέσσαρες δραχμαί. οὕτως ἀνίσως εἶχε. Κἀνταῦθα γοῦν τὰ τῷ Ἀχιλλεῖ δοθησόμενα δέκα τάλαντα 〈οὐ〉 μέγα τι δοκοῦσιν εἶναι, ὥσπερ τὰ δύο τὰ ἐν τῷ ἐπιταφίῳ τοῦ Πατρόκλου τῷ τετάρτῳ ἀθλητῇ κείμενα βραχύ τι φανήσεται στάθμιον. [Ἐν δὲ τοῖς τοῦ Ἀθηναίου φαίνεται, ὅτι τὸ τάλαντον ἦν ὅτε χιλιάδες ἦν κερμάτων ἕξ. Ἱστορῶν γὰρ ὡς ἑκατὸν μνᾶς ὁ μέγας Ἀλέξανδρος εἰς δεῖπνον ἀνήλισκε, λέγει καὶ ὅτι τὰ τετρακόσια τάλαντα γίνεται Ἰταλικοῦ νομίσματος μυριάδες διακόσιαι τεσσαράκοντα. Καὶ ἦν ταῦτα βασιλικὸν ἀνάλωμα εἰς δεῖπνον]. Σημείωσαι δὲ καὶ ὅτι νῦν μὲν τάλαντα παρὰ τῷ ποιητῇ τὰ ταλαντευόμενα. Λέγεται δέ ποτε κυρίως τάλαντον καὶ αὐτὸ τὸ ὄργανον τοῦ σταθμοῦ, ὡς καὶ παρὰ Λυκόφρονι, διὰ τὸ τάλαν ἤτοι καρτερικὸν τοῦ ἐργαλείου καὶ κοπηρὸν καί, ὡς εἰπεῖν, φερέπονον. Οὗ καὶ μέρος τι τρυτάνη λέγεται διὰ τὸ τοῖς βαρήμασι τρύεσθαι, ὅ ἐστι καταπονεῖσθαι. ὅθεν καὶ ὁ ἄτρυτος καὶ ἡ Ἀτρυτώνη. Καθ᾽ ὅμοιον δέ τινα τρόπον καὶ μέδιμνος καὶ χοῖνιξ καὶ πῆχυς καὶ ἕτερα τό τε ὄργανον δηλοῦσι τοῦ μετρουμένου καὶ αὐτὸ τὸ μετρούμενον, ὥσπερ καὶ ἡ λέξις τοῦ σταθμοῦ.

2.674 (v. 123 s.) Τοὺς δὲ ῥηθέντας δώδεκα πηγοὺς ἵππους ἀθλοφόρους εἰπὼν ἐτυμολογεῖ τὸ ἀεθλοφόρους, ἵνα μή τις τοιούτους νοήσῃ τοὺς ἐν ἄθλῳ, ἤτου ἀγῶνι, ταχέως φερομένους, καί φησιν «οἳ ἀέθλια ποσὶν ἄροντο», ὅ ἐστιν ἔπαθλα ἔσχον, καὶ καθ᾽ Ὅμηρον λόγῳ πολυωνυμίας εἰπεῖν, ἠνείκαντο, τουτέστιν ἠνέγκαντο, σαφέστερον δὲ φάναι, ἔφερον. οἷς ταὐτὸν τὸ ἄροντο. Οἱ δὲ τοιοῦτοι καὶ φερένικοι ῥηθεῖεν ἄν. Παρατατικοῦ δὲ παθητικοῦ χρόνου τὸ «ἄροντο», ἴσως δὲ καὶ μέσου ἀορίστου δευτέρου, οὗ πρῶτος τὸ «ἠράμεθα μέγα κῦδος». Νοητέον δὲ ὅτι ἐν Τροίᾳ οἱ τοιοῦτοι ἀληθῶς ἀγωνιζόμενοι ἤραντο ἀέθλια. Εἰ γὰρ πρὸ τῆς Τρωϊκῆς μάχης ἐν Πελοποννήσῳ νοηθεῖεν ἀεθλεύοντες, εἶεν ἂν ἤδη ἀχρεῖοι τῷ Ἀχιλλεῖ ὡς γέροντες. (v. 125—7) Ἀποσεμνύνων δὲ τοὺς τοιούτους ἵππους ὡς καὶ πολυνίκους καὶ οὐχ᾽ ἁπλῶς ἀπενεγκαμένους ἀέθλια ποσίν, ἀλλὰ καὶ πολλὰ μάλα, φησὶν «οὔ κεν», ἤγουν οὐκ ἄν, «ἀλήϊος εἴη ἀνήρ, ᾧ τόσσα γένοιτο, οὐδέ κεν ἀκτήμων ἐριτίμοιο χρυσοῖο, ὅσσα μοι ἠνείκαντο ἀέθλια μώνυχες ἵπποι», τουτέστιν ὁ ἄνθρωπος, ᾧτινι τόσα γένοιντο πράγματα, ὅσα τοῖς ἵπποις ἦλθον εἰς ἔπαθλον, πολύχρυσός τε ἂν γένοιτο καὶ πολλὰ σχοίη λήϊα. Καὶ ὅρα ὅτι τε τοῦ καταφατικῶς εἰπεῖν «πολυλήϊος ἀνὴρ καὶ πολυκτήμων» προείλετο κατ᾽ ἀπόφασιν, εὖ εἰδώς, σχηματίσαι τὸν λόγον, εἰπὼν «οὔτε ἀλήϊος οὔτε ἀκτήμων χρυσοῦ», καὶ ὅτι τὸ νόημα τοῦτο περίφρασίς ἐστι τοῦ «ἀέθλια πολλά», διασαφοῦσα τὸ ἐν ἐκείνῳ ἀόριστον πλῆθος. Καὶ ὅρα ὡς ἐκ μέρους τῶν ληΐων καὶ τῆς χρυσοῦ κτήσεως πάντα πλουτισμὸν ἐνέφηνε, καὶ ὅτι κατ᾽ ἐξαίρετον ἐκ τῶν ἄλλων ὑλῶν μνησθεὶς τοῦ χρυσοῦ μετὰ τὰ λήϊα, καὶ ἐρίτιμον αὐτὸν λέγει ὡς τῶν λοιπῶν μετάλλων τιμιώτερον. Ληΐων δὲ πρώτων μνησθεὶς ἐξοχὴν ἐγκωμιαστικὴν τῆς γεωργίας ἐνέφηνε.

2.675

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[Ἰστέον δὲ ὅτι σπουδαῖον πάλαι κριθὲν τὸ ἐναγωνίως καὶ χάριν ἐπάθλων γυμνάζεσθαι φίλον ἦν καὶ τοῖς περὶ Τροίαν Ἀχαιοῖς τά τε ἄλλα καὶ διότι φιλοτιμίαν τε εἶχε τὸ πρᾶγμα καὶ εἰς μάχην ἠρέθιζε τὴν ἀναγκαιοτάτην, ἧς ἕνεκεν Ἀθηναῖοι Πέρσας νικήσαντες ὕστερον ἐπενοήσαντο ἀστεῖόν τι καὶ ἀκίνδυνον γυμνάσιον, ἀλεκτρυόνας νομοθετήσαντες ἀγωνίζεσθαι δημοσίᾳ μιᾶς ἡμέρας τοῦ ἔτους. Ἐπεὶ καὶ Θεμιστοκλῆς, ὅτε κατὰ Περσῶν ἐξῆγε στρατόν, ἀλεκτρυόνας ἰδὼν μαχομένους ὑπὲρ τοῦ μὴ ἡττηθῆναι, ἐκεῖθεν, φασί, τοὺς Ἀθηναίους ἐπέρρωσεν εἰς μάχην. Ὅμοιον δὲ καὶ Ῥωμαῖοι ἐποίουν δι' ὀρτύγων μονομαχίας, κήρυκος προφωνοῦντος τὸ «ποῦλλι ποῦγναντ», ἤγουν τὰ πωλία μάχονται, καὶ οὕτω τοὺς θεατὰς ἀθροίζοντος]. (v. 124) Πηγοὺς δὲ ἵππους τοὺς εὐπαγεῖς λέγει καὶ στερεούς. Οἱ δὲ παλαιοὶ θέλουσι νοεῖν μέλανας ὡς τούτους ὄντας ἀρίστους. Τῆς δὲ τοῦ πηγοῦ λέξεως μνεία κεῖται καὶ ἐν τῷ «κριῷ μιν ἔγωγε ἐΐσκω πηγεσιμάλλῳ». Τὸ δὲ «ἀέθλια» παράγωγόν ἐστιν ἐκ τοῦ ἄεθλον, ὡς ἐκ τοῦ ἴχνος τὰ ἴχνια. Ἐνταῦθα δὲ θεωρητέον ὡς, εἰ καὶ ἐκ τοῦ ἄεθλον κέκραται τὸ ἆθλον, ὅθεν καὶ ὁ ἀθλοφόρος, ἀλλ' οὐκ ἤδη καὶ ἐκ τοῦ παραγώγου ἀεθλίου ὡσαύτως ἐστὶ τὸ ἄθλιον. Αὐτὸ γὰρ ἐπὶ δυστυχίας μόνης κεῖται, ἵν' ᾖ ἄθλιος ὁ δυσάεθλος κατὰ τὸν Ὁμηρικὸν Ὀδυσσέα, ὃς οὐδ' ἐν τῷ νόστῳ πεφυγμένος ἦεν ἀέθλων. ἐξ ὧν ὁ ἄθλιος καὶ ἡ ἀθλιότης κεκέραται, ἐξ οὗ παραχθεὶς καὶ ὁ Ἀθλίας τὸ κύριον, εἰ καὶ ἐθέλει ἀπὸ τοῦ ἐπαινετοῦ ἄθλου κεκλῆσθαι, ὅμως κωμῳδεῖται ἄλλως ἐν τῷ «δι' Ἀθλίου πρὸς ἄθλιον». Ὅτι δὲ διάφοροι, ὡς εἰκός, ἐπικήδειοι ἀγῶνες ἐν τῇ Τροίᾳ ἐγίνοντο, πολλαχόθεν δῆλον.

2.676 ἐν οἷς καὶ ἵπποι τοῖς ἔχουσιν ἠγωνίζοντο, εἰ καὶ ὁ ποιητὴς ἕνα μόνον τὸν ἐπὶ τῷ Πατρόκλῳ περιττῶς ἔφρασεν ἐν τοῖς ἑξῆς. (v. 128, 30) Ὅτι ἐν τοῖς πρὸς Ἀχιλλέα δώροις καὶ γυναῖκας ὁ βασιλεὺς ἀριθμεῖ. Φησὶ γὰρ «δώσω δ' ἑπτὰ γυναῖκας, ἀμύμονα ἔργα εἰδυίας, Λεσβίδας, αἳ κάλλει ἐνίκων φῦλα γυναικῶν». [Κατὰ δὲ ἑτέραν γραφὴν «δώσω δ' ἑπτὰ γυναῖκας ἀμύμονας, ἔργ' εἰδυίας», ὅ ἐστιν ἐργατικάς]. Γνώριμοι δὲ πάντως αὗται τῷ Ἀχιλλεῖ, εἴγε αὐτὸς πολεμαρχῶν τὴν Λέσβον ἑλὼν ἐληΐσατο. Φησὶ γὰρ «ἃς ὅτε Λέσβον ἐϋκτιμένην ἕλεν αὐτός, ἐξελόμην». Καὶ ὅρα ὅτι φιλαλήθως ὁ βασιλεὺς βεβαιοῖ, ὡς τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο τῶν τοῦ Ἀχιλλέως χειρῶν ἦν, ὃ φθάσας ἐκεῖνος εἶπεν. ὅτε δὲ δασμός, τότε δὴ τῷ βασιλεῖ πολὺ μεῖζον τὸ γέρας. Ἰδοὺ γάρ, Ἀχιλλεὺς μὲν εἷλε Λέσβον, ὁ δὲ βασιλεὺς ἑπτὰ Λεσβίδας καλλίστας γυναῖκας ἐξείλετο, τουτέστιν ἐπέκρινεν, ὃ παρὰ τοῖς μεθ' Ὅμηρον ἐπὶ λύσεως, εἴτ' οὖν λυτρώσεως, λέγεται οἷον· ἐξελοῦ με ἐξ ἐχθρῶν, καί· ἐξείλετο κινδύνου. καὶ ὧδε μὲν ταῦτα. [Ἐν οἷς ὅρα ὅτι κάλλιον εἰπεῖν «ὅτε Λέσβον ἕλεν αὐτός», ἤγουν ὁ Ἀχιλλεύς, ἤπερ «αὐτὸς ἐξελόμην». εἰ δὲ δοκεῖ καὶ τοῦτο καλὸν εἶναι εἰς νοῦν, ὥσπερ καὶ ἔστι, κείσθω εἰς ἀμφιβολίαν καὶ αὐτό]. (v. 131 s.) Ὁ δὲ βασιλεὺς τὰ περὶ τῶν γυναικῶν ῥηθέντα ἐπαναλαβών, ἵνα εὐόδως εἰσαγάγῃ τὸ περὶ Βρισηΐδος, ἐπάγει «τὰς μέν οἱ δώσω, μετὰ δ' ἔσσεται ἣν τότ' ἀπηύρων κούρην Βρισῆος», ἤτοι σὺν αὐταῖς ὀγδόη ἔσσεται ἡ Βρισηΐς. Ζηνόδοτος μέντοι τοῦτο εἰς ἀμφιβολίαν ἔρριψεν. οὐ γὰρ ὀγδόην ἐκεῖνος ἐνόησε τὴν Βρισηΐδα μετὰ τὰς ἑπτά, ἀλλὰ καὶ αὐτὴν ταῖς ἑπτὰ συνεισήγαγε. Τοῦ δὲ ποιητοῦ λύσαντος τὸ ἀμφίβολον ἐν τοῖς ἐφεξῆς, ὅτε εἴπῃ «ὀγδοάτην Βρισηΐδα καλλιπάρῃον», Ζηνόδοτος πειρᾶται μεταγράφειν τὸν στίχον ἐκεῖνον, ἵνα φυλάξῃ τὴν οἰκείαν πεισμονήν. (v. 129 s.) Ἐν τούτοις δὲ καὶ σχῆμα παρηχήσεως τὸ «ἃς ὅτε Λέσβον ἕλεν αὐτός, ἐξελόμην». Ἔνθα καὶ ὅρα διαφορὰν τοῦ ἑλεῖν καὶ ἐξελέσθαι. Ἑλεῖν μὲν γὰρ νῦν τὸ αἰχμαλωτίσαι, ἐξελέσθαι δὲ τὸ ἁπλῶς ἐπιλέξασθαι. Τὸ μέντοι χάριν ἑτέρου ἐκλέξασθαι ἐξελεῖν ἀλλαχοῦ φησιν ἐνεργητικῶς ἐν τῷ «ἐξεῖλον Ἀτρείδῃ», τουτέστιν ὡς ἐξαίρετον ἔδωκαν τὴν Χρυσηΐδα. Τοῦ δὲ «ἐξελόμην» ἑρμηνεία εὐθὺς κεῖται τὸ «αἳ κάλλει ἐνίκων». Ἰστέον δὲ ὅτι τὸ νικᾶν ἀποκαίνυσθαι ἐν Ὀδυσσείᾳ φησίν, ἐπὶ ἀνδρὸς μέντοι ἐν τῷ «ἀπεκαίνυτο φῦλ' ἀνθρώπων».

2.677

Λέσβος δέ, ἡ νῦν Μιτυλήνη, ἀπὸ μέρους, ἤτοι ἀπὸ Λέσβου μιᾶς τῶν ἐν τῇ νήσῳ πόλεων, ὥσπερ καὶ ὕστερον ἡ αὐτὴ ὅλη νῆσος Μιτυλήνη καλεῖται, ὡσαύτως ἀπὸ ἑτέρας μιᾶς τινος τῶν ἐν αὐτῇ ποτε πέντε πόλεων. Ἰστέον δὲ καὶ ὅτι δοκεῖ οὐκ ἀγαθοὺς ἀνθρώπους ἡ Λέσβος ἐνεγκεῖν. Ὅθεν καὶ λεσβιάσαι τὸ αἰσχρῶς μολῦναι τὸ στόμα κατὰ Αἴλιον Διονύσιον, ὃς καὶ τὸν τῆς παροιμίας Λέσβιον ᾠδὸν Τέρπανδρόν φησιν ἢ Εὐαινετίδην ἢ Ἀριστοκλείδην. Καὶ Ἀριστοτέλης δὲ ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ τὸ «μετὰ Λέσβιον ᾠδόν» τὸν Τέρπανδρόν φησι δηλοῦν. Ἐκαλοῦντο δέ, φασί, καὶ ὕστερον εἰς τὴν ἐκείνου τιμὴν πρῶτον μὲν ἀπόγονοι αὐτοῦ, εἶτα εἴ τις ἄλλος παρείη Λέσβιος, εἶθ’ οὕτως οἱ λοιποί, «μετὰ Λέσβιον ᾠδόν», τὸν ἁπλῶς δηλαδὴ Λέσβιον. Χρῆσις δὲ τοῦ, ὡς ἐρρέθη, λεσβιάζειν καὶ παρὰ τῷ Κωμικῷ. [Ἰστέον δὲ ὅτι περὶ τοῦ, ὡς ἐρρέθη, λεσβιάζειν, οὗ χρῆσις καὶ παρὰ τῷ Κωμικῷ, ἔνθα κεῖται τὸ «αὕτη ποθ’ ἡ Μοῦς’ οὐκ ἐλεσβίαζε», γράφουσιν οἱ παλαιοὶ καὶ ταῦτα. Εἰσὶ βλασφημίαι καὶ ἀπὸ ἐθνῶν καὶ πόλεων καὶ δήμων πολλαὶ ῥηματικῶς πεποιημέναι· ἐθνῶν μέν, οἷον κιλικίζειν καὶ αἰγυπτιάζειν, τὸ πονηρεύεσθαι, καὶ κρητίζειν, τὸ ψεύδεσθαι, ἐκ πόλεων δέ, οἷον λεσβιάζειν, τὸ αἰσχροποιεῖν. Εἶτα παραγαγόντες Φερεκράτους χρῆσιν ἐν ἰάμβῳ τὸ «δώσει δέ σοι γυναῖκας ἑπτὰ Λεσβίας», ἐπάγουσιν ἀμοιβαῖον τὸ «καλόν γε δῶρον ἕπτ’ ἔχειν λαικαστρίας», ὡς τοιούτων οὐσῶν τῶν Λεσβίων γυναικῶν. Ἐκ δήμων δὲ βλασφημία τὸ αἰξωνεύεσθαι, ἤγουν κακολογεῖν. Αἰξωνεῖς γὰρ δημόται Ἀττικοὶ σκωπτόμενοι ὡς κακολόγοι, καθὰ καὶ οἱ Σφήττιοι ἐπὶ ἀγριότητι. ὅθεν ὁ Χαιρεφῶν Σφήττιος ἔσκωπται. Ἔτι ἰστέον καὶ ὅτι αἱ ῥηθεῖσαι λαικάστριαι, τουτέστι πόρναι, ἐκ ῥήματος παράγονται τοῦ λαικάζειν, αὐτὸ δὲ παρὰ τὸ λα ἐπιτατικὸν γίνεται καὶ τὸ κάζειν, ὅ ἐστι κοσμεῖν. Σκώπτεται γὰρ καὶ τὸ ἀκαίρως ὡς ἐπὶ φαύλῳ ἔρωτι κοσμεῖσθαι.

2.678 Διὸ καὶ κασωρίς, ἡ πόρνη, διὰ τὸ κάσαι, ὅ ἐστι κοσμῆσαι, τὴν ὥραν οὐ δεόντως. Ἀντιφάνης δέ, φασί, κασωρῖτιν ἔφη τὴν ἐπὶ τέγους προεστῶσαν, οὕτω δὲ καὶ Ἱππῶναξ. Τὴν δὲ αὐτὴν κασωρίδα καὶ κασωρῖτιν ἔλεγόν τινες καὶ κασαλβάδα παρὰ τὸ κάσαι καὶ τὸ ἄλλος καὶ τὸ βάζειν, οἱονεὶ ἡ ἐν τῷ κοσμεῖσθαι ποτὲ μὲν ἄλλον, ποτὲ δὲ ἄλλον βάζουσα, ἤγουν φωνοῦσα καὶ καλοῦσα εἰς ἑαυτήν. Ἐλέγετο δὲ διὰ τὴν τοιαύτην καὶ τὸ λοιδορεῖν κασαλβίζειν. Οἱ δὲ γράφοντες καλσαβάς φασιν, ὅτι ἴσως ἀπὸ τοῦ καλεῖν εἰς ἑαυτὴν καὶ σοβεῖν τοὺς ἐραστάς.] Ἔτι ἰστέον καὶ ὅτι Ἱμερτὴ καὶ Πελασγία ἡ αὐτὴ Λέσβος ἐκλήθη ποτὲ κατὰ τὴν παλαιὰν ἱστορίαν, καὶ ὅτι ἀπ’ αὐτῆς τὰ Λεσβιακὰ περιᾴδονται, περὶ ὧν πολλοὶ ἔγραψαν, καὶ ὅτι, ὥσπερ Λέσβος, οὕτω καὶ Ἴσσα ἡ αὐτὴ νῆσος ἐκ μιᾶς τῶν περὶ αὐτὴν πέντε πόλεων, ὡς καὶ ὁ Λυκόφρων ἐμφαίνει. (v. 131) Τὸ δὲ «ἥν ποτ’ ἀπηύρων» φιλαλήθη καὶ αὐτὸ δεικνύει τὸν βασιλέα. Εἰπόντος γάρ που Ἀχιλλέως, ὡς ἑλὼν Ἀγαμέμνων ἔχει γέρας αὐτὸς ἀπούρας, ἐνταῦθα ἐκεῖνος δοκεῖ συνθέσθαι, ὡς οὕτω πεποίηκε. (v. 132) Τὸ δὲ «κούρην Βρισῆος» καὶ δίχα τοῦ ν γραφὲν κατ’ εὐθεῖαν ὀρθῶς ἂν εἶχεν. (v. 132—4) Ὅτι τοῖς προσεχῶς εἰρημένοις ἐπιφέρει ὁ βασιλεὺς τὸ «ἐπὶ δὲ μέγαν ὅρκον ὀμοῦμαι» περὶ Βρισηΐδος «μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι, ἣ θέμις ἀνθρώπων πέλει ἀνδρῶν ἠδὲ γυναικῶν».

2.679 Ἔνθα σημείωσαι ὅτι σεμνὸς πάνυ ὁ λόγος. Ἐν γὰρ τῷ «ἣ θέμις ἐστί» τιμιωτάτῃ προσηγορίᾳ ἐπισκιάζει τὸ αἰσχρόν, φύσεως νόμῳ τὴν ἀκόλαστον μίξιν καλύπτων καὶ τὸ τῆς συμπλοκῆς ταπεινὸν θέμιδι φυσικῇ ἀνιστῶν καὶ μονονουχὶ λέγων ὡς, εἰ καὶ ἁρπαγιμαία καὶ ἄδικος ἡ τῆς Βρισηΐδος μίξις, ἀλλ’ οὐκ ἤδη καὶ ἀθέμιτος. Λάφυρον γὰρ οἷον αὐτὴν λαβὼν ἐκ τοῦ ὑβρίσαντος θεμιτῶς ἂν συνῆλθον τῇ ληϊσθείσῃ. (v. 133) Τὸ δὲ «μιγῆναι» σαφήνειαν τεθὲν ἐποίησεν. ἄλλως γὰρ αὐτοῦ δίχα τὸ εὐνῆς ἐπιβῆναι ἀσαφέστερον εἶχε καὶ ὅρκου ἐποίει σόφισμα, ὅπουγε καὶ αὐτὸ δὴ τὸ μιγῆναι σοφιστικόν τι παρελάλει μὴ ἐπενεχθέντος τοῦ «ἣ θέμις ἐστὶ ἀνδρῶν ἠδὲ γυναικῶν». Τὸ γάρ τοι μιγῆναι πολυσήμαντον καθ’ ὁμωνυμίαν καὶ οἷον μὴ ἔχειν πεσεῖν εἰς ὅρκον, ὃς λέξεις ἀπαιτεῖ ἀσχίστους εἰς διπλόην ὁμωνυμιακήν. Ὅρα δὲ καὶ ὅτι δυνάμενος ἐπιβῆναι εἰπεῖν, ὅμως «ἐπιβήμεναι» εἶπεν, ἵνα μὴ ἐν οὐχ’ ἱλαρῷ λόγῳ ἐκφανῶς καλλωπίσῃ

εἰπὼν ἐπιβῆναι καὶ μιγῆναι, καὶ ὅτι ἐκ τοῦ Ὁμηρικοῦ ἐπιβῆναι εἴληπται καὶ ἡ βιαία ἐπίβασις παρὰ τοῖς μεθ' Ὅμηρον. Ἐκ δὲ τούτου καὶ τὸ βατεῦνται παρὰ Θεοκρίτῳ ἐπὶ ζῴων μίξεως καὶ ὅσα τοιαῦτα. (v. 135) Ὅτι ταχείας δόσεως τὸ «ταῦτα μὲν αὐτίκα πάντα παρέσσεται». Ἰστέον δὲ ὡς εἰς τρεῖς ὁ βασιλεὺς καιροὺς διαιρεῖται τὰ δοθησόμενα τῷ Ἀχιλλεῖ, εἰς τὸν αὐτίκα νῦν καὶ εἰς τὸν μετὰ τὴν ἅλωσιν τῆς Τροίας καὶ εἰς τὸν μετὰ τὸν νόστον. Φησὶ γὰρ «ταῦτα μὲν αὐτίκα», ὡς ἐρρέθη, «παρέσσεται», ἤγουν οἱ ἑπτὰ ἄπυροι τρίποδες, τὰ δέκα τάλαντα τοῦ χρυσοῦ, οἱ αἴθωνες εἴκοσι λέβητες, οἱ δώδεκα ἵπποι καὶ αἱ γυναῖκες. (v. 135—48) «Εἰ δέ κεν αὖτε ἄστυ μέγα», φησί, «Πριάμοιο θεὸς δῴη ἐξαλαπάξαι, νῆα ἅλις χρυσοῦ καὶ χαλκοῦ νηησάσθω εἰσελθών, ὅτε κεν δατεώμεθα ληΐδ' Ἀχαιοί, Τρωϊάδας δὲ γυναῖκας ἐείκοσιν αὐτὸς ἑλέσθω, αἴ κε μετ' Ἀργείην Ἑλένην κάλλισται ἔωσιν.

2.680 εἰ δέ κεν Ἄργος ἱκοίμεθ' Ἀχαϊκὸν οὖθαρ ἀρούρης, γαμβρός κέν μοι ἔῃ, τίσω δέ μιν ἶσον Ὀρέστῃ, ὅς μοι τηλύγετος τρέφεται θαλίῃ ἐνὶ πολλῇ. τρεῖς δέ μοί εἰσι θύγατρες ἐνὶ μεγάρῳ εὐπήκτῳ Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα. τάων, ἥν κ' ἐθέλῃσιν φίλην ἀνάεδνον ἀγέσθω πρὸς οἶκον Πηλῆος, ἐγὼ δ' ἐπιμείλια» καὶ ἑξῆς. Ἐν τούτοις δὲ ὅρα ὅτι ἀνταπέδωκεν ὁ βασιλεὺς τῷ Ἀχιλλεῖ οὐ τὸ ἶσον ἀλλὰ καὶ πλέον. Ἐκείνου γάρ ποτε εἰπόντος, ὡς ἐὰν πόλιν Τροίην ἀλαπάξομεν τριπλῇ τετραπλῇ τε ἀποτίσομεν, ὁ βασιλεὺς ἐνταῦθά φησιν, ὅτι ἐὰν ἄστυ μέγα Πριάμοιο ἕλωμεν, λαβέτω Ἀχιλλεὺς τάδε καὶ τάδε, πολλὰ ὄντα. (v. 137) Τὸ δὲ «νῆα ἅλις νηησάσθω», ἤτοι σωρευσάτω, δοκεῖ μὲν εἶναι οἷον παρήχησις, ἔτι δὲ καὶ ὡς ἐτυμολογία, οἷα τῆς νηὸς ἀπὸ τοῦ τοιούτου παρετυμολογουμένης ῥήματος διὰ τὸ ἐν αὐτῇ σωρεύεσθαι τὰ ἀγώγιμα. Παράγεται δὲ ποιητικῶς, ὡς δῆθεν τὸ θηήσασθαι, ἀφ' οὗ τὸ θηητόν. Κοινῶς δέ γε νήσασθαι ὤφειλεν εἶναι ὡς ἀπὸ τοῦ νῶ νήσω, τὸ σωρεύω, ἐξ οὗ καὶ τὸ ἐπενήνεον κατὰ ἀναδιπλασιασμόν. Ἰστέον δὲ ὅτι πρὸς ὁμοιότητα τοιαύτης δωροφόρου νηὸς ἔστι παρακατέχειν καὶ τὸ τοῦ Ἡροδότου, εἰπόντος, ὡς Δαρεῖος Δημοκήδει ὁλκάδα δώρων ἔφη συμβαλεῖσθαι πλήσας ἀγαθῶν παντοίων. Ἔχει δέ τι παρόμοιον, εἰ καὶ μὴ τοσοῦτον, καὶ ἡ ἐν Ὀδυσσείᾳ Φαιακικὴ ναῦς, ἡ μετὰ δώρων τὸν Ὀδυσσέα εἰς Ἰθάκην κομίσασα. Σημείωσαι δὲ καὶ ὅτι αὐτὸ τὸ νόημα τὸ «νῆα ἅλις χρυσοῦ καὶ ἀργύρου νηησάσθω» οὐκ ἀπερίεργον εἶναι δοκεῖ. Οὐ γὰρ πρὸς ἁπλότητα ὁ ποιητὴς τὴν βασιλικὴν ἐξέθετο ὑπόσχεσιν, ἀλλ' ἐπίτηδες τὸν λόγον εἰς ἀμφιβολίαν στασιώδη συνέστρεψε, μιμούμενος τὴν ὡς ἐπὶ πολὺ ἐν συμβολαίοις στρεβλότητα ἢ καὶ τὸ ἐν σχεδιασμοῖς ἀπερίσκεπτον. Ἐν γὰρ τῷ «νῆα χαλκοῦ καὶ χρυσοῦ» πρῶτα μὲν ἀμφίβολόν ἐστι ποταπὴν λέγει νῆα καὶ ὅσης οὖσαν χωρήσεως, εἶτα ὁμοίως ἄδηλον καὶ εἴτε νῆα χαλκοῦ λέγει ὁ βασιλεὺς καὶ ἑτέραν νῆα χρυσοῦ εἴτε μίαν ἑκατέρων, καὶ εἰ μίαν ἑκατέρων, ἤγουν χρυσοῦ καὶ χαλκοῦ, ἄδηλον αὖθις ὅσος μὲν ὁ χρυσὸς ἔσται, ὅσος δὲ ὁ χαλκός.

2.681 Τοιαύτη δέ τις ἀμφίβολος ἔννοια καὶ ἐν Ὀδυσσείᾳ κεῖται κατὰ τὴν μνηστηροφονίαν. Καὶ ἡ τῆς προικὸς δὲ ἀδηλία ἐνταῦθα ὁμοίως ἀμφιβολίαν ἔχει διὰ τὸ ἀόριστον. (v. 147 s.) Φησὶ γὰρ «ἐγὼ δ' ἐπιμείλια δώσω πολλὰ μάλα, ὅσα οὔπω τις ἑῇ ἐπέδωκε θυγατρί». Οὕτω καὶ ἐν τοῖς τοιούτοις δεξιὸς ὁ ποιητὴς ἀνδρῶν ἤθη μιμήσασθαι. καὶ ταῦτα μὲν ἐν τούτοις. (v. 138) Τοῦ δὲ δατέεσθαι καὶ δατεῖσθαι, ὅ ἐστι μερίζειν, παρὰ πολλοῖς κεῖνται χρήσεις. (v. 139) Τὸ δὲ «αὐτὸς ἑλέσθω» ταὐτόν ἐστι τῷ ἐξελέσθω, ἐπικρινάτω, ἐπιλεξάσθω. [Χρήσιμον δὲ τοῦτο καὶ εἰς τὸ «αὐτὸς ἐξελόμην», ὅπερ ἀμφιβολίαν πρὸ βραχέων ἐποίησεν]. (v. 140) Ὅρα δὲ ἐν τούτοις καί, ὅτι τὴν Ἑλένην πασῶν τῶν ἐν Τροίᾳ περικαλλεστέραν ἱστορεῖ. αἱ γὰρ ἐκεῖ κάλλισται μετὰ τὴν Ἑλένην εἰσὶ κάλλισται. (v. 141) «Ἄργος δὲ Ἀχαιϊκόν» κἀνταῦθα τὴν Πελοπόννησον λέγει πρὸς διαστολὴν τῶν ἄλλων. Οὐ γὰρ ἓν Ἄργος, ὡς καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ δεδήλωται. ἐκ τούτου δὲ καὶ ἡ Ἑλένη Ἀργεία, ὡς ἄν τις εἴπῃ, Πελοποννησία. Τὸ δὲ Ἀχαιϊκόν διὰ διφθόγγου ὁ ποιητὴς γράφει ἐν τῇ προπαραληγούσῃ, ὡς καὶ ἀλλαχοῦ σεσημείωται. τὸ γὰρ διὰ τοῦ α Ἀχαϊκόν τῶν ὑστέρων ἐστί. Οὖθαρ δὲ ἀρούρης τὸ πιότατον καὶ τροφιμώτατον, καί, ὡς εἰπεῖν, ὁ μαστὸς ἢ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν Πελοποννήσῳ μητρὸς γῆς τῆς τοῦ βασιλέως πατρίδος ἢ τῆς ἁπλῶς γῆς. Εἰκὸς γὰρ τὸν βασιλέα πασῶν ὑπερτιθέναι τὴν ἑαυτοῦ. Εἰ δέ τις χώρα οὖθαρ λέγεται γῆς διὰ τὸ κατ' αὐτὴν πῖον ἐκ μεταφορᾶς ζωϊκῆς, καλῶς ἂν ἡ ταύτης προάρχουσα κορυφὴ γῆς λέγοιτο καθ' ὁμοίαν τροπήν. Καὶ οὕτω μὲν Ὅμηρος τὴν μητέρα γῆν ὡς οἷά τινα γυναῖκα θέμενος, κατὰ τὴν μυθικὴν Δηὼ καὶ Δήμητραν ἢ καί τι ἕτερον ζῷον γάλακτι ἐκτρέφον τὰ νεογνά, περὶ τὸ Ἀχαϊκὸν Ἄργος ἐθεώρησεν ἕν τι οὖθαρ αὐτῆς, ἐάσας τῇ ῥητορείᾳ τὸ ἕτερον οὖθαρ ἢ τὰ ἕτερα ἐπιλέγειν τόποις ἑτέροις, εἴ που σεμνύνειν αὐτοὺς ὡς τροφίμους βούλοιντο.

2.682 Ὁ δὲ περί τινα Λιβυκὴν γῆν τετρῆσθαι τὸν οὐρανὸν φάμενος ἄλλως γηπονικῶς ἐτερατεύσατο. Ἐθέλει γὰρ εἰπεῖν τὸν οὐρανὸν ὡς οἷα καί τινα δεξαμενὴν ἐν μὲν ταῖς ἄλλαις γαίαις ἐστεγανῶσθαι, περὶ δὲ τὸν τόπον ἐκεῖνον οἷον συντετρῆσθαι, ὡς ὑετὸν συχνὸν ἐξερεύγεσθαι καὶ ἄρδειν τὰ ἐκεῖ πρὸς τροφιμότητα. (v. 142) Τὸ δὲ «ἔῃ» ἑνικόν ἐστι τοῦ ἔωσιν, ὃ ἀνωτέρω κεῖται. (v. 143) Τηλύγετος δέ, ὃς πολλαχοῦ φαίνεται, ἔσχε μὲν τὴν ἀρχὴν ἀπὸ τῶν γεννωμένων παίδων πατράσιν ἐξώροις οὖσιν ἤδη καὶ τῆλε τοῦ γεννᾶν, ὅθεν καὶ τηλύγετος παρωνόμασται. Ἀπ' αὐτῶν δὲ τὴν ἀρχὴν ἡ λέξις λαβοῦσα τίθεται καὶ ἐπὶ τοῦ ἐν θηλείαις μόνου ἄρρενος παιδός, ναὶ μὴν καὶ ἐπὶ τῆς ἐν ἄρρεσι μιᾶς μόνης θυγατρός. Καὶ ὁ τοιοῦτος γὰρ καὶ ἡ τοιαύτη διὰ τὸ μονῆρες τοῦ γένους τηλύγετοι τρόπον τινὰ τοῖς γονεῦσίν εἰσιν. Οὕτω τῷ Ἀγαμέμνονι θυγατέρας ἔχοντι τρεῖς τηλύγετος ὁ Ὀρέστης λέγεται εἶναι, ὅ ἐστι μονογενὴς ἐπὶ θηλείαις. Ἀλλὰ καί, εἴ που ἐν ἔτι νέᾳ τῇ ἡλικίᾳ πατέρες γεννήσαντες οὐκέτι παῖδα δεύτερον τέκοιεν, τηλύγετος καὶ οὗτος αὐτοῖς, ὥς που ἡ Ἑρμιόνη τηλυγέτη ὠνομάσθη τῇ Ἑλένῃ, καθ' ὁμοιότητά τινα καὶ αὐτὴ τοῦ πρώτου ἐκείνου τηλυγέτου. Τὸ δ' ἐντεῦθεν ἡ λέξις οἷον ἀναιδευσαμένη καταθαρρεῖ καὶ τῶν πάντῃ ἀνομοίων καὶ καταμελετήσασα τῆς γενέσεως ἐκπίπτει καὶ πρὸς σημασίαν ἀλλόκοτον καὶ λαμβάνεται καὶ ἐπὶ τοῦ ἁπλῶς μεμονωμένου, ὡς ὅτε ἀκούοι τις ὅτι τὸν Ἰδομενέα οὐκ ἔλαβε φόβος τηλύγετον ὥς, ἀντὶ τοῦ ὡς μόνον αὐτὸν τῆλε γενόμενον καὶ ἐναποληφθέντα τοῖς πολεμίοις, ὃ καὶ ἔστιν ὅμοιον τῷ «Τυδείδης δ' αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη». Τὸ δὲ τοιοῦτον σημαινόμενον τοῦ τηλυγέτου σχῆμά ἐστι μεταληπτικόν, ὁποῖον ἐν τῇ α ῥαψῳδίᾳ διείληπται.

2.683 Θαλία δὲ ὡς καρδία παροξυτόνως αὐτὴ ἡ εὐωχία, δι' ἧς θάλλει τις, ὡς οἷα καί τι θάλος, ἐξ ἧς καὶ ἀτασθαλία κατά τινας ἡ ἐπιτραπέζιος ὕβρις. Θάλεια μέντοι προπαροξυτόνως εὐωχίας ἐπίθετον καὶ Μούσης δὲ καὶ Νηρηΐδος ὄνομα. [(v. 144) Εὔπηκτον δὲ μέγαρον τὸ εὐπαγές. Κεκύρωται γὰρ ἐπὶ τοιούτων λέγεσθαι τὸ πήσσειν, ὅθεν καὶ ὁ πάγιος καὶ ὁ ἀπαγὴς καὶ παγίς, ἡ πεπηγυῖα πρὸς θήραν ἢ περὶ ἣν πέπηγε τὸ θηραθέν, καὶ πάγος ὅ τε ἐπὶ ὀξύτητος ὀρεινῆς καὶ ὁ κατὰ τὴν ἐν Ὀδυσσείᾳ πηγυλίδα, καὶ ἐπίπαγος ὁ ἐν ὀσπρίοις. καὶ ὕδατα δὲ κατὰ τεῖχος ἐκεῖθεν παγῆναι λέγονται. Πέπηγε δέ τις καὶ δέει ὅσα καὶ στήλη τις. Πήγνυται καὶ ναῦς κατὰ ναυπηγίαν, ἡ καὶ πρωτοπαγής ποτε. Ἔστι δὲ καὶ πηκτὸν ἄροτρον. Ἤρτηται δὲ τοῦ τοιούτου ῥήματος καὶ ἡ Ναύπακτος καὶ τὸ πακτοῦν, ὅ ἐστιν ἀσφαλίζεσθαι, οὗ χρῆσις παρά τε Σοφοκλεῖ ἐν τῷ «καὶ δῶμα πάκτου», ἤγουν σύγκλειε ἀσφαλῶς, καὶ παρὰ τῷ Κωμικῷ ἐν τῷ «κἀπακτώσαμέν γε», ἤγουν καὶ ἐπακτώσαμεν]. (v. 147) Περὶ δὲ τοῦ «ἐπιμείλια δώσω» κατωτέρω ῥηθήσεται. (v. 145) Ἔτι ἰστέον καὶ ὅτι τρία συνέχει τὴν ἀρχήν· νόμος ὀρθός, κρίσις ἡ πρὸς τὸν δῆμον καὶ ἰσχὺς ἄρχοντι πρέπουσα. Ὅθεν καὶ Ἀγαμέμνων προσφυῶς Χρυσόθεμιν καὶ Λαοδίκην καὶ Ἰφιάνασσαν ἱστορεῖ τὰς ἑαυτοῦ θυγατέρας. Καὶ ἔστιν ἡ μὲν Χρυσόθεμις τοῦ ὀρθοῦ νόμου καὶ καθαροῦ παρώνυμος διὰ τὴν θέμιν, ἡ δὲ Λαοδίκη τῆς κρίσεως τοῦ δικαζομένου λαοῦ, ἡ δὲ Ἰφιάνασσα τῆς βασιλικῆς ἰσχύος, ἤτοι τοῦ ἶφι ἀνάσσειν. Ὁ δὲ στίχος ὁ τὰ ὀνόματα ἔχων τῶν τοῦ βασιλέως θυγατέρων τὸ «Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα» λογοειδής ἐστιν ἐξ ἀνάγκης, οὐκ ἔχων δίαρμά τι ποιητικόν, ὡς καὶ ἐν τοῖς ἑξῆς τὸ «ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα».

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.684 Ἡ γὰρ φύσις τῶν πραγμάτων οὐκ ἀφῆκε λέξιν ὀγκηρὰν ἐντεθῆναι τοῖς ἔπεσι τούτοις. Ὅρα δὲ ὅτι ἡ Ἠλέκτρα ἐνταῦθα οὐ κεῖται, ἀλλά φασί τινες τὴν Λαοδίκην ταύτην εἶναι, Ἠλέκτραν ἐπικληθεῖσαν ἢ κατὰ τρόπον διωνυμίας ἢ διὰ τὸ κατ' ὄψιν ἠλεκτρῶδες καὶ χρυσοειδὲς ἢ κατὰ λόγον τινὰ σκώμματος διὰ τὸ πολὺν χρόνον ἄλεκτρον μεῖναι χόλῳ Κλυταιμνήστρας, ὃ δὴ ἐμφαίνεται καὶ παρ' Εὐριπίδῃ ἐν τῷ «παρθένε μακρὸν δὴ μῆκος Ἠλέκτρα χρόνου». (v. 146) Ἕδνα δὲ κυρίως τὰ ἐκ τοῦ ἀνδρὸς διδόμενα τῇ γυναικί. Φησὶ γοῦν Ἀγαμέμνων, ὅτι ἣν ἂν Ἀχιλλεὺς αἱροῖτο τῶν βασιλίδων, λαβέτω ἀνάεδνον, ἤτοι μὴ λαβοῦσαν ἀπ' αὐτοῦ ἕδνα, ὅ ἐστι φερνήν. Φερνὴ γὰρ ἡ τῆς γυναικὸς προίξ, οἷον «προθεὶς φερνὰς πατήρ», ἣν Ὅμηρος καὶ μείλια ἢ ἐπιμείλια λέγει διὰ τὸ τὸν ἄνδρα μειλίσσειν ἤτοι κατὰ μέλι γλυκαίνειν, ὥσπερ καὶ ἕδνα εἴρηται παρὰ τὸ τὴν νύμφην ἥδειν, ἡδανά τινα ὄντα, καὶ ἐν συστολῇ καὶ συγκοπῇ ἕδνα. Ἰστέον δὲ ὅτι ἐν ῥητορικῷ Λεξικῷ φέρεται καὶ ταῦτα «φερνή· δωρεὰ γυναικὶ διδομένη. φέρνια δέ· ἰχθύων σπυρίδες. Μένανδρος· ὁ προσιὼν γέρων ἁλιεύς, παρ' οὗ τὸ φέρνιον τρίτην ταύτην ἐπριάμεθ' ἡμέραν». (v. 147) Ἔτι ἰστέον καὶ ὅτι Ἀρίσταρχος μὲν ἓν μέρος λόγου λαμβάνει τὸ ἐπιμείλια ὡς τὸ ἐπιφέρνια, Ἀπολλόδωρος δὲ διαλύει λέγων· ἐπιδώσω μείλια, ὡς καὶ κατωτέρω εὐθὺς ἐπάγει «ὅσα οὔπω τις ἑῇ ἐπέδωκε θυγατρί». Τρύφων δὲ περὶ τοῦ τόνου ζητεῖ, πότερον ἀναγνωστέον ὡς ποίμνια προπαροξυτόνως ἢ παροξυτόνως ὡς πεδία.

2.685 Ἀπίων δὲ καὶ Ἡρόδωρός φασιν, ὅτι ἡμῖν δοκεῖ προπαροξύνεσθαι. Εὐλογώτερον γὰρ εἶναι τὸ τοιοῦτον ἢ τὸ παροξυνόμενον, ἐὰν οὕτως ὁρισώμεθα. Τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ τρισύλλαβα, μὴ ὄντα ὑποκοριστικά, εἰ ἔχει τὴν τρίτην ἀπὸ τέλους, ἤτοι τὴν προπαραλήγουσαν, φύσει μακρὰν διὰ τοῦ ι ἐκφερομένην ἢ μόνου ἢ σὺν ἑτέρῳ φωνήεντι, προπαροξύνεται, οἷον Ἴλιον, εἴριον, ποίμνιον, Σίγειον, λείριον. οὕτω καὶ μείλιον. Σπάνια δὲ τὰ παροξύτονα ὡς τὸ ἡνίον. τὸ γὰρ τειχίον, κλειδίον καὶ τὰ τοιαῦτα ὑποκοριστικά. (v. 146) Ἔτι ἰστέον καὶ ὅτι ἕδνα ἔστιν ὅτε καὶ τὰ τοῖς ἀνδράσι διδόμενα λέγεται, ὡς πολλαχοῦ φανεῖται. Οὕτω δὲ καὶ φερνὴ οὐ μόνον ἡ τῆς γυναικὸς ἐκ πατέρων, ἀλλὰ καὶ ἡ τοῦ ἀνδρός, ὡς δηλοῖ καὶ αὐτὸ Εὐριπίδης ἐν τῷ «γάμων φερνὰς διδοὺς Αἵμονι». Σημείωσαι δὲ καὶ ὅτι ἐν τῷ «ἀνάεδνον» δύο κεῖνται στερήσεις ἀντὶ μιᾶς, μεσολαβηθέντος τοῦ ν διὰ μόνην εὐφωνίαν. Οὕτω καὶ ἀνάγνωστον τὸ ἄγνωστον ἐν τῷ «μηδὲν ἀνάγνωστον καλὸν ἔχοιμι». Εἰ δὲ κατά τινας ἡ ἀνα πρόθεσις δύναται καὶ στέρησιν ἔστιν ὅτε δηλοῦν, εἴη ἂν οὕτως ἀνάεδνον καὶ ἐνταῦθα τὸ ἄπροικον. [Τὸ δὲ «φίλην» οὐ πάνυ περισσεύει, ἀλλὰ πρὸς τὸ «ἐθέλῃσιν» εἴρηται. ἡ γὰρ ἑλετὴ φίλη ἐστίν]. (v. 149—52) Ὅτι ἑπτὰ πόλεις εἰς προῖκα λέγει δώσειν τῷ Ἀχιλλεῖ ὁ βασιλεύς, καὶ τούτων τὰς δύο μὲν ἁπλῶς ὀνομάζει, τὴν Καρδαμύλην δηλαδὴ καὶ τὴν Ἐνόπην, ὡς ἴσως μὴ πλέον τι ἐχούσας σεμνὸν παρὰ τὰ κοινά, ἤγουν τὸ εὖ ναίεσθαι, τὸ ἐγγὺς θαλάσσης εἶναι καὶ τἆλλα τὰ ῥηθησόμενα. Τὰς δὲ λοιπὰς πέντε μετ' ἐπιθέτων προάγει τὴν μὲν ποιήεσσαν εἰπών, τουτέστι πολυβότανον διὰ τὸ λιπαρόγεων, ἑτέραν δὲ ζαθέαν διά τινα σεσιγημένα σεμνά, τὴν δὲ βαθύλειμον, ἄλλην δὲ καλήν, ὅ ἐστιν εὐειδῆ, τὴν δὲ λοιπὴν ἀμπελόεσσαν. Φράζει δ' ἐν τούτοις ὁ ποιητὴς οὕτω «ἑπτὰ δέ οἱ δώσω εὖ ναιόμενα πτολίεθρα, Καρδαμύλην, Ἐνόπην τε καὶ Ἱρὴν ποιήεσσαν, Φηράς τε ζαθέας ἠδ' Ἄνθειαν βαθύλειμον, καλήν τ' Αἴπειαν καὶ Πήδασον ἀμπελόεσσαν», ἥν τινες τὴν ὕστερον Μεθώνην εἶναί φασι. Τούτων δὲ τὴν Καρδαμύλην μὲν ὁ τὰ Ἐθνικὰ συγγράψας πόλιν Μεσσηνίας φησὶν ἢ κατὰ Ἡρόδοτον Λακωνικήν, λέγων καὶ ἑτέραν εἶναι πλησίον Χίου.

2.686 καὶ τὴν Ἐνόπην δὲ ὁμοίως Μεσσηνιακὴν πόλιν λέγει, βαρυνομένην πρὸς διαστολὴν τῆς ἐνοπῆς, ἣ δηλοῖ τὴν φωνήν. [Ὅτι δὲ Καρδαμύλη οὐ μόνον τοπικόν ἐστιν ὄνομα, ἀλλὰ καί τις μάζα οὕτως ἐκαλεῖτο, ὁ Ἀθήναιος ἱστορεῖ]. Τὴν δὲ Ἱρὴν οὐ μόνον πόλιν ἀλλὰ καὶ ὄρος Μησσήνης, λέγων καὶ πόλιν Λέσβου εἶναι ὁμώνυμον ταύτῃ καὶ ἑτέραν πόλιν Μαλιέων ἀπὸ Ἴρου. Τοῦτο δὲ ψιλοῦσθαι δηλοῖ τὴν ἄρχουσαν τῆς τοιαύτης πόλεως, ὡς μὴ ἀπὸ ἱεροῦ τινος ἀλλὰ ἀπὸ Ἴρου παρονομασθεῖσαν. Εἰ δὲ καὶ βαρύνεται ἡ πόλις Ἴρα λεγομένη κατὰ πολλὰ τῶν

ἀντιγράφων, οὐκ ἀνάγκη ζητεῖν. (v. 151) Τὴν δὲ Ἄνθειαν πλησίον Ἄργους εἶναί φησιν ἱστορῶν καὶ Πόντου πόλιν Ἄνθειαν καὶ κώμην Λιβύης καὶ Ἰταλίας. (v. 152) Αἴπειαν δὲ πόλιν Λακωνικὴν προπαροξυτόνως ὡς Ζέλειαν ἐπὶ διαστολῇ τοῦ ἐπιθέτου. Ἔστι δέ, φησί, καὶ ἑτέρα Κύπρου, καὶ ἄλλη Κρήτης. καὶ οὕτω μὲν ταῦτα. περὶ δὲ Φηρῶν ἑτέρωθι γέγραπται, ὥσπερ δὴ καὶ περὶ Πηδάσου, ἧς ὅτι διαφέρει τὰ Πήδασα πόλις Καρική, καὶ αὐτὸ ἀλλαχοῦ εἴρηται. Ὁ δὲ Γεωγράφος περὶ τούτων φησί, ὡς τῶν βασιλικῶν πόλεων ἐπὶ πέτρας μὲν ὀρεινῆς ἵδρυται ἡ Καρδαμύλη. εἶτα Φηραί, ὅμοροι Φηρίᾳ καὶ Γερηνίᾳ. Ἡ δὲ Ἰρὴ κατὰ τὸ ὄρος δείκνυται τὸ κατὰ Μεγάλην Πόλιν Ἀρκαδίας ἐπὶ Ἀνδανίαν ἰόντι, ἣν Οἰχαλίαν ὁ ποιητὴς καλεῖ. ἡ δὲ Αἴπεια Θουρία ὕστερον ἐκλήθη, ἱδρυμένη ἐπὶ λόφου ὑψηλοῦ, ὅθεν καὶ τοὔνομα. Τινὲς δέ, φησίν, Αἴπειαν τὴν Μεθώνην. Ἄνθειαν δὲ οἱ μὲν αὐτὴν τὴν Θουρίαν, ἀφ' ἧς ὁ Θουριάτης κόλπος, οἱ δὲ τὴν μεταξὺ Ἀσίνης οἰκειότατα βαθύλειμον λεχθεῖσαν, ἧς πρὸς θαλάττῃ πόλις Κορώνη, ἣν Πήδασον λεχθῆναί φασιν ὑπὸ τοῦ ποιητοῦ. καὶ τοιαῦτα μὲν καὶ ὁ Γεωγράφος. (v. 151) Τὸ δὲ «βαθύλειμον» δηλοῖ μὲν τὸ πολύχορτον, κἀντεῦθεν τὸ πῖον τῆς γῆς. Ἐσχημάτισται δὲ καινότερον. Ἐχρῆν γὰρ ὡς ἀπὸ τοῦ λειμῶνος βαθυλείμωνα εἶναι. Οὐκ ἂν δὲ ἀνόμοιον εἴη ποιήεσσαν καὶ βαθύλειμον εἰπεῖν.

2.687 (v. 153—6) Ὅτι πόλεων ἔπαινος καὶ πλεονέκτημα πρὸς ἄλλας πόλεις τὸ ἀγχιάλους τε εἶναι καὶ οἰκουμένας καὶ εὐπόρους ἔχειν οἰκήτορας καὶ εὐπειθεῖς τῷ ἄρχοντι. Διὸ καὶ ὁ βασιλεὺς ἀποσεμνύνων, ἃς ὑπισχνεῖται τῷ Ἀχιλλεῖ πόλεις, οὕτω φησὶ «πᾶσαι δ' ἐγγὺς ἁλός, νέαται Πύλου, ἐν δ' ἄνδρες ναίουσι πολύρρηνες, πολυβοῦται, οἵ κεν καί ἑ», ἤγουν αὐτόν, «δωτίνῃσι θεὸν ὣς τιμήσουσι καί οἱ ὑπὸ σκήπτρῳ λιπαρὰς τελέουσι θέμιστας», ὅ ἐστι λιπαροποιοὺς καὶ εὐδαιμονεῖν ποιούσας διὰ τὴν θέμιν καὶ τὸ δίκαιον, εἴγε καθ' Ἡσίοδον παρ' οἷς ἡ δίκη πρεσβεύεται «τοῖσι τέθηλε πόλις, λαοὶ δ' ἀνθεῦσιν ἐν αὐτῇ». Οὐ μόνον δὲ ἀστασιάστου λαοῦ ἀλλὰ καὶ βασιλέως ἀγαθοῦ δηλωτικὸν τὸ δωτίναις ἶσα καὶ θεῷ τιμᾶν τὸν ἄρχοντα καὶ ὑπὸ τῷ αὐτοῦ σκήπτρῳ λιπαρὰς τελεῖν θέμιστας. Εἰς δὲ τὸ ἐγγὺς ἁλὸς εἶναι τὰς ῥηθείσας πόλεις φησὶν ὁ Γεωγράφος, ὅτι Καρδαμύλη μὲν ἐπ' αὐτῇ, Φηραὶ δ' ἀπὸ πέντε σταδίων, αἱ δ' ἄλλαι ἀνωμάλοις κέχρηνται τοῖς ἀπὸ θαλάσσης διαστήμασιν. (v. 153) Ὅμηρος δὲ ἱστορεῖ καὶ ὅτι αἱ πόλεις αὗται νέαται Πύλου ἠμαθόεντος, ὅ ἐστιν ἔσχατοι, ὡς ὁμοροῦσαι τῇ Πύλῳ. Τοῦτο δέ τινες ἄλλως ἡρμήνευσαν, νοήσαντες μὲν τὸ «νέαται» συγκοπὲν ἐκ τοῦ νεναίαται, ὃ δηλοῖ τὸ οἰκοῦνται, εἰπόντες δέ, ὅτι πᾶσαι κατοικοῦνται ἄγχι τῆς κατὰ Πύλον θαλάσσης. (v. 154) Πολύρρηνες δὲ καὶ πολυβοῦται οἱ ἁπλῶς πολυθρέμμονες, ὡς ἀπὸ μέρους καὶ νῦν δηλοῦσθαι τὸ πᾶν. Ἔστι δὲ τῷ μὲν «πολύρρηνες» ὁμοιοσύνθετον τὸ «ὄϊς ὑπόρρηνος», τῷ δὲ «πολυβούτης» τὸ ἀβούτης, ὃ παρ' Ἡσιόδῳ κεῖται. Δῆλον δὲ καὶ ὡς προϋπόκειται ὁ βούτης τοῦ βώτωρ, καθὰ καὶ ὁ δότης τοῦ δώτωρ. Ἡ δὲ δωτίνη ἔκτασιν ἔχει τῆς ἀρχούσης κατὰ τὸν δώτορα, ἤδη δέ που σπανίως καὶ τὸν δωτῆρα. Σημείωσαι δὲ ὅτι ἐξ Ὁμήρου λαβόντες οἱ παλαιοὶ καὶ ὡς πρέπον λόγῳ πεζῷ φράσαντές φασιν, ὡς αἱ ῥηθεῖσαι πόλεις διάφοροι τοῖς καρποῖς, ποικίλαι ζῴων φύσεσι, φιλάνθρωποι ταῖς κατοικίαις, εὐνομώτατοι ταῖς ἀγωγαῖς.

2.688 (v. 156) Ὅρα δὲ καὶ ὅτι τὴν ὑπο πρόθεσιν δοτικῇ κἀνταῦθα συνέταξεν ἐν τῷ «ὑπὸ σκήπτρῳ», καθὰ καὶ ἀλλαχοῦ ἐν πολλοῖς. (v. 157) Ὅτι ὁ ὑποσχόμενός τι ἐπὶ καταπαύσει χόλου ἐρεῖ ἂν «ταῦτα οἱ τελέσαιμι μεταλήξαντι χόλοιο». (v. 158 s.) Ὅτι μετὰ τὴν ἀπαρίθμησιν τῶν δώρων ὁ βασιλεὺς πάνυ ἐνδιαθέτως καὶ γοργῶς κόμμασί τε κατατέμνων καὶ ἀσυνδέτως προάγων τὸν λόγον φησὶ «δμηθήτω. Ἀΐδης τοι ἀμείλιχος ἠδ' ἀδάμαστος, τοὔνεκα καί τε βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων». τουτέστιν εἰξάτω, πραϋνθήτω, ἐπιεικευσάσθω μοι ὁ Ἀχιλλεύς. Ἅιδου γὰρ τὸ ἀμείλικτον. (v. 160) Εἶτα ἐπάγει «καί μοι ὑποστήτω», τουτέστιν ὑπ' ἐμὲ ὡς ὑψηλότερον αὐτοῦ στήτω, βασταζάτω, [ἀχθοφορησάτω με, καὶ ἄλλως δὲ φράσαι, ὡς δεδμημένος ἐμοὶ εἴτε φιλίας νόμῳ εἴτε ὡς εὐρυκρείοντι ὑπ' ἐμὲ στήτω, ὅσα δηλαδὴ καὶ ζῷον δμηθὲν ὑπὸ τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δαμάσαντι. Τὸ δὲ τοιοῦτον ὑποστῆναι παράγει τὸν παρὰ τοῖς ὕστερον ἀνυπόστατον, οὐ τὸν μὴ ὄντα, ἤγουν μὴ ὑφεστηκότα, ὃ δὴ ἐπὶ τῶν ἀνουσίων λέγεται πραγμάτων, ἀλλὰ τὸν γενναίως ἰσχυρὸν καὶ μὴ ἂν ὑπό τινι στῆναι ἀνεχόμενον καὶ δμηθῆναι. Οὕτως ὀργὴ ἀνυπόστατος λαλεῖται καὶ στρατὸς ἀνυπόστατος κατὰ τὸ «ἡ τῶν Ῥωμαίων βασιλεία ἡ ἀνυπόστατος». Εἰ δέ τις τὸν ἀσθενῆ ἐπαινεῖν φαινόμενος ὡς ἀνδριζόμενον ἀνυπόστατον τὰ εἰς ἀνδρίαν ἐρεῖ, παίζει ἐκεῖνος ἀστεϊζόμενος. Τὰ δὲ εἰρημένα Ὁμηρικὰ ἔπη] πᾶς ἂν εἴποι ἔνδοξος παρακαλῶν ἀναγκαῖόν τινα ἐξ ὀργῆς εἰς φιλίαν μεταπεσεῖν. (v. 156—8) Σώφρων δὲ παρίσωσις τὸ δμηθήτω καὶ ὑποστήτω καὶ δυναμένη λανθάνειν διὰ τὴν τοῦ ῥηθέντος στίχου ἐπεμβολήν.

2.689 Οὐ γὰρ μέλει κάλλους λόγου τῷ παθαινομένῳ. (v. 160 s.) Εἶτα προβάλλεται ὁ βασιλεύς, εἰ καὶ μὴ ἀνδρίαν, ἀλλὰ τὸ εὐρυκρείων καὶ βασιλικώτερος εἶναι τοῦ Ἀχιλλέως καὶ γενεῇ προγενέστερος, ὅ ἐστι πολυχρονιώτερος. Φησὶ γὰρ ἀσυνδέτως πρὸς θαῦμα «ὅσσον βασιλεύτερός εἰμι ἠδ’ ὅσσον γενεῇ προγενέστερος εὔχομαι εἶναι». Τίμιον δὲ πάντως καὶ ἡ μεγάλη βασιλεία καὶ ἡ πρεσβυγένεια, ἧς δηλωτικὸν τὸ «γενεῇ προγενέστερος», ἤγουν τῇ γενέσει. γενεῇ μέντοι τιμιώτερος ὁ εὐγενέστερος. (v. 158) Ἰστέον δὲ ὅτι τὸ «δμηθήτω» πωλοδαμνικὴ λέξις ἐθέλουσα τὸ ἀκάθεκτον ζῷον δάμνασθαι δι’ εὐχρηστίαν, ὃ δὴ πάσχει ἅπας ὁ ἀπὸ σκληρᾶς ὀργῆς εἴξας τῷ φιλιουμένῳ. Τὸ δὲ «ἀμείλιχος» καὶ «ἀδάμαστος» ἀντὶ τοῦ λόγοις τε ἀγοήτευτος καὶ βίᾳ ἀνίκητος. δύο γὰρ ταῦτά εἰσιν, οἷς ὑπαγόμεθά τινας, λόγος καὶ βία. (v. 159) Εἰς δὲ τὸ εἶναι τὸν Ἅιδην θεῶν ἔχθιστον συμβάλλεται καὶ Αἰσχύλου τὸ «μόνος θεῶν θάνατος οὐ δώρων ἐρᾷ, οὐδ’ ἄν τι θύων οὐδ’ ἐπισπένδων λάβοις, οὐδ’ ἔστι βωμὸς οὐδὲ παιωνίζεται». Ἐν οὐδεμιᾷ γὰρ πόλει βωμὸν Ἅιδου εἶναί φασι, Θανάτου μέντοι ἐν Γαδείροις ἱστοροῦσί τινες. Ἄλλοι δέ γε, ὧν οἶμαι καὶ ὁ Γεωγράφος, καὶ τὸν Ἅιδην περί που τὴν Πελοπόννησον ἱκανῶς ἐκτετιμῆσθαί φασιν. Ἔτι ἰστέον καὶ ὅτι ἐν τῷ «τοὔνεκα βροτοῖσι θεῶν ἔχθιστος ἁπάντων» διασαφεῖ ὁ βασιλεύς, ὅπως ἐν τῇ α′ ῥαψῳδίᾳ ἔχθιστον ἑαυτῷ εἶπε τὸν Ἀχιλλέα, ἐπεὶ ἀεὶ αὐτῷ ἔρις τε φίλη πόλεμοί τε μάχαι τε. Εἰ γὰρ ἔχθιστος ὁ Ἅιδης ὡς ἀμείλιχος ὢν καὶ ἀδάμαστος, τοιοῦτος δὲ καὶ ὃς ἀεὶ ἔριν φιλεῖ καὶ μάχας (ἀμείλιχος γὰρ αὐτὸς καὶ οἷον ἀδάμαστος), ἔχθιστος ἄρα καλῶς καὶ ὁ τοιοῦτος Ἀχιλλεύς. (v. 160) Ἐκ δὲ τοῦ «καί μοι ὑποστήτω» λαβόντες οἱ μεθ’ Ὅμηρον ὑποστῆναι τὸ ὑπομεῖναί φασι καὶ θυμόν, ὡς ἐρρέθη, ἀνυπόστατον τὸν ἀφόρητον. Τὸ δὲ «βασιλεύτερος» ταὐτόν ἐστι τῷ «πλεόνεσσιν ἀνάσσων», ὅπερ τῷ βασιλεῖ διάφορον πρὸς τὸν Ἀχιλλέα ὁ Νέστωρ προεπεσημήνατο ἐν τῇ τῆς Ἰλιάδος καταρχῇ.

2.690 Ἰστέον δὲ ὡς, εἴπερ ἦν τῷ ποιητῇ πιθανῶς πλάσασθαι τὸν βασιλέα ἐς Ἀχιλλέως ἀπελθεῖν, οὐκ ἂν εἰπὼν ὁ ἥρως τὰ ῥηθέντα ὀλίγα ἔπη τὸ «δμηθήτω» καὶ ἑξῆς ἀπῆλθεν ἂν πλείω εἰπών, ἀλλ’ ἔπεισεν ἂν τούτοις καὶ μόνοις. Πολὺ γὰρ ἔχουσι τὸ ἐπιεικὲς καὶ περιπαθὲς καὶ οἷον οἶκτον κινεῖν καὶ ψυχὴν ἀτενῆ κατακάμπτειν εἰς ἔλεον. (v. 164) Ὅτι ἀξιολόγου δωρεᾶς δηλωτικὸν τὸ «δῶρα μὲν οὐκ ἔτ’ ὀνοστὰ διδοῖς», ὃ πρὸς τὸν βασιλέα φησὶν Ὀδυσσεύς. Καὶ ὅρα τὸ «διδοῖς» ῥῆμα περισπώμενον τρίτης συζυγίας πρωτότυπον τοῦ δίδωμι. Τὸ δὲ «ὀνοστά» εὑρίσκεταί ποτε καὶ δίχα τοῦ ς ὁμοίως τῷ γνωστός καὶ γνωτός. Καὶ ἐκ τοῦ ὀνοτά γίνεται καὶ ὀνοτάζειν, τὸ μέμφεσθαι, ὡς τὸ «σκολιῶς ὀνοτάζων». Ἰστέον δὲ ὅτι ἐν τῷ «οὐκέτ’ ὀνοστὰ διδοῖς Ἀχιλῆϊ ἄνακτι»—Οὕτω γάρ ἐστι τὸ ὅλον. —οὐ κεῖται ἁπλῶς ἀργὸν τὸ «ἄνακτι», ἀλλὰ παραμυθεῖται τὸν Ἀγαμέμνονα ὡς οὐκ ἐπ’ ἀνδρὶ τυχόντι τῷ Ἀχιλλεῖ, ἀλλ’ ἄνακτι ποιοῦντα ὅσα δὴ καὶ ποιεῖ. (v. 165) Ὅτι τοὺς ἐς Ἀχιλλέα σταλησομένους πρέσβεις κλητούς φησι, ἤγουν ἐξονομακλήδην ἐπιλέκτους. Ἐπιλέγεται δὲ αὐτοὺς ὁ Νέστωρ, λέγων, ὅτι αὐτοὺς ἐγὼν ἐπιόψομαι, ἤγουν ἀκριβέστατα ἐπιτηρήσω, διακρινῶ, ἐπιλέξομαι, ὡς καὶ ἐν Ὀδυσσείᾳ «νῆα ἐπιόψομαι ἥτις ἀρίστη». (v. 165—7) Ὁ δὲ ὅλος λόγος τοῦ Νέστορος χρήσιμος ὢν εἰς τοιαύτας κλήσεις ἔχει οὕτως «ἀλλ’ ἄγετε κλητοὺς ὀτρύνομεν, οἵ κε τάχιστα ἔλθωσιν ἐς κλισίην Ἀχιλῆος. εἰ δ’ ἄγε»,

τουτέστιν εἰ δὲ βούλεσθε ἢ εἰ δὲ βούλει, ἄγε, «τοὺς ἂν ἐγὼν ἐπιόψομαι, οἳ δὲ πιθέσθων». (v. 167) Καὶ ὅρα καὶ νῦν τὸ «εἰ δ᾽ ἄγε» ὁμοιόσχημον ὂν τῷ «εἰ δ᾽ ἄγε μὴν πείρησαι» καὶ τοῖς τοιούτοις, ἐν οἷς ἐκφανέστατον μετ᾽ ὀλίγα καὶ τό «εἰ δὲ σὺ μέν μευ ἄκουσον, ἐγὼ δέ κέ τοι καταλέξω», τὰ ἐκ βασιλέως δηλαδὴ δῶρα. Τὸ δὲ «ἄγε» εἰ μὲν πρὸς τὸν βασιλέα ἐρρέθη, οὐδέν τι καινὸν ἔχει, εἰ δὲ πρὸς τοὺς συμβούλους ἐφράσθη, σημειωτέον ὡς εἰς ταὐτὸν ἥκει τῷ ἄγετε, ὅπερ ἀνωτέρω ἐτέθη. (v. 165) Ὅτι δὲ κλητοὺς τοὺς ἐκκρίτους λέγει, δηλώσει ἐν τοῖς ἐφεξῆς ὁ Φοῖνιξ εἰπών, ὡς ἄνδρας ὁ βασιλεὺς προέηκεν ἀρίστους κρινάμενος. Σημείωσαι δὲ ὅτι ἐνταῦθα καὶ εἶδός τι παρηχήσεως κεῖται καινότερον, ὁποῖον ἐν ἄλλοις προεγράφη, τὸ «κλητοὺς οἳ ἔλθωσιν ἐς κλισίην Ἀχιλῆος», οἵπερ εἰσὶ Φοῖνιξ, Αἴας καὶ Ὀδυσσεύς. (v. 168) Ἰστέον δὲ ὅτι τε Φοῖνιξ, ὡς οἱ παλαιοὶ στοχάζονται, ἀπὸ τῆς Ἀχιλλέως σκηνῆς ἐπὶ θέαν τῆς μάχης ἐλθὼν καὶ χρονίσας παρὰ ταῖς τῶν ἀριστέων σκηναῖς ἐπανέρχεται μετὰ τῶν πρέσβεων, τῆς ἱκεσίας αὐτοῖς συλληψόμενος.

2.691 διὸ καὶ ὑπεξαιρεῖ αὐτοῦ τοὺς δύο πρέσβεις ὁ ποιητὴς ἐν τῷ «οἳ δὲ πιθέσθων» καὶ «βάτην εὐχομένω» καὶ «χαίρετον» καὶ «ἱκάνετον» καὶ «φίλτατοί ἐστον». (v. 168 s.) Καὶ ὅτι κολακεύων ὁ Νέστωρ τοὺς πρέσβεις μετὰ ἐπιθέτων προφέρει αὐτοὺς εἰπὼν «Φοῖνιξ μὲν πρώτιστα Διῒ φίλος ἡγησάσθω, αὐτὰρ ἔπειτα Αἴας τε μέγας καὶ δῖος Ὀδυσσεύς». Σημείωσαι δὲ ὅτι ὁ Νέστωρ μὲν τὸν Φοίνικα ἡγήσασθαι συμβουλεύει, Ὀδυσσεὺς μέντοι αὐτὸς ἡγεῖται προϊὼν τῆς εἰς τὸν Ἀχιλλέα εἰσόδου ἢ διὰ θερμότητα ψυχῆς ἢ διὰ τὸ μὴ συγκαταλέγεσθαι αὐτοῖς ὡς κυρίως πρέσβυν τὸν Φοίνικα, καθὰ καὶ ἀνωτέρω εἴρηται. Ἰστέον δὲ ὅτι τὸν Φοίνικα μὲν ὡς παιδαγωγὸν πρώτιστα ἐπιλέγεται εἰς πρεσβείαν ὁ Νέστωρ—Αἰδέσεται γὰρ Ἀχιλλεὺς τὸν διδάσκαλον ἱκετεύοντα. —, εἶτα Αἴαντα τὸν μέγαν καὶ Ὀδυσσέα ὡς φιλουμένους διὰ τὸ ὁμοιοπαθές. Ἐν γὰρ τῇ α' ῥαψῳδίᾳ καὶ αὐτοὶ συνυβρίσθησαν τῷ Ἀχιλλεῖ, εἰ καὶ μὴ ἐμνησικάκησαν. Ἢ καὶ ἄλλως, Αἴαντα μὲν πρέσβυν πέμπει ὁ Νέστωρ ὡς συγγενῆ τῷ Ἀχιλλεῖ, Ὀδυσσέα δὲ ὡς ῥήτορα, ἴσως δὲ καὶ τὸν μὲν ὡς ἀνδρειότατον ἐν Ἀχαιοῖς μετά γε τὸν Ἀχιλλέα, τὸν δὲ ὡς λίαν συνετὸν μετά γε τὸν Νέστορα, ἵνα δυσωπηθείη μᾶλλον, οἷς τὰ πρωτόλεια τῶν Ἑλλήνων εἰς αὐτὸν πρεσβεύει. καί πως διὰ μέσων αὐτῶν γουνάζεται τὸν Ἀχιλλέα τὸ Πανελλήνιον. Αὐτὸς δέ γε ὁ Νέστωρ οὐκ ἐθέλει πρεσβεῦσαι, τάχα μὲν ὑπερπαθῶν τοῦ βασιλέως ὡς φιλοβασιλεύς, ἴσως δὲ καὶ τὸν Ἀχιλλέα αἰδούμενος, εἴγε φθάσας εἶπε «τούσδε δ᾽ ἔα φθινύθειν ἕνα καὶ δύο», ὧν τὸ μὲν εἰς Θερσίτην, τὸ δ᾽ εἰς Ἀχιλλέα δοκεῖ κατά τινας ἀποτείνεσθαι. Μάλιστα δὲ ταμιεύεται τὸν Νέστορα ὁ ποιητής, ὡς οἷά τινα τελευταίαν ἱερὰν ἄγκυραν τῷ ἐσχάτῳ κλύδωνι τῶν Ἀχαιῶν, ὀκνῶν τὴν τοῦ γέροντος νῦν ἐλέγξαι ῥητορικήν, ἣν ἐν τοῖς ἑξῆς προβαλεῖται, οὕτως ἐνεργὸν ἐκεῖ ἐσομένην, ὥστε τόν τε Πάτροκλον ἐρεθίσαι εἰς θάνατον καὶ δι᾽ αὐτοῦ τὸν Ἀχιλλέα ἐξεγεῖραι ἀναγκαίως τότε εἰς πόλεμον. Ὡς νῦν γε πρόθεσις οὐκ ἔστι τῷ ποιητῇ δαμάσαι δυσωπίαις τὸν Ἀχιλλέα, εἰ μὴ πρότερον καὶ ἐκπλήξει καὶ ἐκθυμώσει τοὺς ἀκροατὰς ταῖς κινδυνώδεσι τῆς μάχης περιπετείαις. Οὐκοῦν οὐδ᾽ ἀναγκαῖον τὴν τοῦ Νέστορος ἐνταῦθα προβαλέσθαι ῥητορικὴν φανησομένην ἄπρακτον. (v. 170) Ὅτι καὶ κήρυκες ἐπιλέγονται εἰς τὰς λιτὰς ὁ Ὀδίος καὶ ὁ Εὐρυβάτης, ἵνα δόξῃ δι᾽ αὐτῶν καὶ ὁ βασιλεὺς αὐτὸς παρεῖναι τῇ πρεσβείᾳ, ὥσπερ καὶ τὴν Βρισηΐδα κηρύκων ἀφελομένων αὐτὸς ἐκείνην ἀφελέσθαι λέγεται, [ἔτι δὲ καὶ ἵνα, ὡς ἐν τῇ ἀφαιρέσει τῆς Βρισηΐδος μάρτυροι ἦσαν πρός τε θεῶν πρός τ᾽ ἀνθρώπων τοῦ ἀδικήματος εἴ ποτε παραπέσῃ χρεία, οὕτω κἀνταῦθα τῆς καὶ ἐλλόγου καὶ ἐνδόξου πρεσβείας, εἰ περιορα θήσεται].

2.692 Ὅτι δὲ ὁ Ὀδίος παροξύνεται ὡς τρίβραχυ, καὶ ὅτι Εὐρυβάτης οἰκείως κήρυκι καλεῖται παρὰ τὸ εὐρὺ βάζειν, δηλοῦται καὶ ἀλλαχοῦ. [Ὅρα δὲ ἐν τῷ «κηρύκων δ᾽ Ὀδίος καὶ Εὐρυβάτης», ὅτι τε πολλοὶ κήρυκες ἦσαν τοῖς Ἀχαιοῖς, ὡς πολλαχοῦ φαίνεται, καὶ ὅτι κατά τι ἐξαίρετον δοκοῦσιν οἱ ῥηθέντες δύο προκεκρίσθαι]. (v. 171) Ὅτι ὡς ἐν τῇ α' ῥαψῳδίᾳ, οὕτω καὶ νῦν εὐφημῆσαι

λέγει ὁ ποιητὴς οὐ τὸ ἐπαινέσαι ἀλλὰ τὸ ὑμνῆσαι καὶ ἐνθεάσαι κατὰ εὐχήν. (v. 171—6) Φησὶ γὰρ ὁ Ὁμηρικὸς Νέστωρ «φέρτε δὲ χερσὶν ὕδωρ εὐφημῆσαί τε κέλεσθε, ὄφρα Διῒ ἀρησόμεθα, αἴ κ' ἐλεήσῃ». Καὶ οὕτως εἰπὼν «πᾶσιν ἑαδότα μῦθον ἔεπεν. αὐτίκα κήρυκες μὲν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν, κοῦροι δὲ κρητῆρας ἐπιστεψάμενοι ποτοῖο νώμησαν» καὶ ἑξῆς. (v. 171) Καὶ ὅρα τὴν τοῦ «φέρτε» συγκοπήν, καὶ ὅπως καὶ ἀρώμενοι ἐνίπτοντο, ἵνα καθαρὰς ἄνω χεῖρας αἴρωσι, καὶ ὅτι πρὸς κήρυκας ἔφη τὸ «φέρτε». κατωτέρω γοῦν κήρυκες τοῦτο ποιοῦσιν, ἔνθα καὶ παραφράζει τὸ «φέρτε χερσὶν ὕδωρ» οὕτω· «ὕδωρ ἐπὶ χεῖρας ἔχευαν». Ὅτι δὲ τὸ χερσὶν ὕδωρ καὶ ὕδωρ ἐπὶ χεῖρας καὶ κατὰ χειρῶν ἔλεγον οἱ μεθ' Ὅμηρον, δῆλον ἐκ τῶν παλαιῶν. (v. 173) Τοῦ δὲ «ἑαδότα» θέμα τὸ ἥδω, οὗ μέσος ἄρρητος παρακείμενος ἧδα, μετοχὴ δὲ αὐτοῦ ἡδώς, καὶ διαλύσει ἑαδώς, κατὰ τὸ ἥλω ἑάλω καὶ τὰ τοιαῦτα. [(v. 171) Σημειωτέον δὲ περὶ τοῦ ῥηθέντος εὐφημῆσαι, ὅτι ὡς ἐκ τοῦ παρακολουθοῦντος δηλοῖ αὐτὸ δὴ τὸ εὔξασθαι.

2.693 Εἰ γὰρ ἐν Ὀδυσσείᾳ πορίζει φήμην ἡ καταρασαμένη τοῖς μνηστῆρσι γραῦς, εἴη ἂν πάντως φήμη καὶ ἡ εὐχή. Χρηστολογικὴ δὲ αὕτη, ὥσπερ ἀνάπαλιν φαυλολόγος ἡ κατευχή]. (v. 180) Ὅτι τῶν πρέσβεων τῷ Ὀδυσσεῖ μάλιστα πολλὰ ἐπέτελλεν ὁ Νέστωρ πειρᾶν πεῖσαι τὸν Ἀχιλλέα. (v. 184) Ὃν δὴ Ἀχιλλέα καὶ ἀποσεμνύνων ὁ ποιητὴς λέγει μεγάλας φρένας τὰς αὐτῷ, ὡς ἐντεῦθεν ἐξεῖναι μεγαλόφρονα συνθέτως τὸν Ἀχιλλέα εἰπεῖν καθ' ὁμοιότητα τοῦ μεγαλήτορα, ὃ πρὸ ὀλίγων ὁ Νέστωρ ἐπὶ τοῦ βασιλέως ἔφη «σῷ μεγαλήτορι θυμῷ εἴξας». (v. 181) Τὸ δὲ «πειρᾶν» ἀντὶ τοῦ πειρᾶσθαι καὶ πρὸ τούτων εἶπεν ὁ ποιητής. (v. 180) Ἐνταῦθα δὲ κεῖται τὸ δενδίλλειν Ἰωνικὴ λέξις, δηλοῦσα τὸ περιβλέπεσθαι καὶ δινεῖν τοὺς ἴλλους ὧδε καὶ ἐκεῖ. ἐξ ὧν ἰλλοὶ παρὰ τῷ Κωμικῷ οἱ στραβοί. ἀφ' ὧν τὸ ἰλλίζειν καὶ τὸ ἐν Ὀδυσσείᾳ ἐπιλλίζειν. Φησὶ γὰρ «δενδίλλων εἰς ἕκαστον, Ὀδυσσῆϊ δὲ μάλιστα» ἐπιτέλλων πειρᾶν, [οἷα τοῦτον ἐπικρίνας ἀγρομένων τὸν ἄριστον εἶναι, εἰ καὶ μηδέν τι ἐξαίρετον ἤνυσε πρεσβεύσας]. Κεῖται δὲ καὶ παράφρασις καιρία νοήματος. Εἰπὼν γὰρ ὡς πεπίθοιεν, ἤγουν πείσοιεν, ἀμύμονα Πηλείωνα, ἐπάγει παραφραστικῶς εὐχόμενοι «ῥηϊδίως πεπιθεῖν μεγάλας φρένας Αἰακίδαο». (v. 186—8) Ὅτι τὸν Ἀχιλλέα οἱ πρέσβεις εὗρον οὔτε ὑπνοῦντα—Ἦ γὰρ ἂν ἀπρακτεῖν εἶχε τὰ τῆς πρεσβείας. —οὔτε ὅπλα χειριζόμενον—Ἀπίθανον γὰρ ἐν τοιούτῳ καιρῷ. —οὔτε μὴν πάντῃ ἀργόν—Οὐ γὰρ ἤθελεν ὥσπερ τῷ σώματι, οὕτω καὶ τῇ ψυχῇ ἀεργὸς εἶναι. —, ἀλλὰ φρένα τερπόμενον φόρμιγγι τά τε ἄλλα ἐπαινετῇ καὶ ζυγὸν ἐχούσῃ, ὅ ἐστι πῆχυν, ἀργύρεον ἐπ' αὐτῇ. Φράζει γὰρ ὁ ποιητὴς οὕτω «τὸν δ' εὗρον φρένα τερπόμενον φόρμιγγι λιγείῃ καλῇ δαιδαλέῃ, ἐπὶ δ' ἀργύρεον ζυγὸν ἦεν, τήν», φησίν, ἤγουν ἣν, «ἄρετο ἐξ ἐνάρων», ὅ ἐστι λαφύρων, «πόλιν Ἠετίωνος ὀλέσσας».

2.694 Οὐ γὰρ ἐκ τῆς Ἑλλάδος ἦγεν ἐπίτηδες αὐτήν, ἐν λαφύροις δὲ βασιλικοῖς εὑρὼν κατὰ τὸ παρατυχὸν ἔλαβε βασιλεὺς νεανίας φιλόμουσος. Ἴσως μὲν οὖν καὶ ἐπιχαίρων τῇ τῶν Ἑλλήνων δυσπραγίᾳ μετὰ χεῖρας ἔχει νῦν τὴν κιθάραν, θυμοῦ καὶ λύπης παραμύθιον, μάλιστα δὲ νυκτὸς οὔσης, τόν τε θυμὸν οὕτω παρηγορεῖτο καὶ τὸν ζωπυρούμενον σπινθῆρα τῆς ἀνδρίας ἀνερρίπιζε, παλαιῶν πράξεων μεμνημένος ἡρώων καὶ ὧν ἐκεῖνοι κατώρθουν. (v. 189) Φησὶ γὰρ «τῇ ὅ γε θυμὸν ἔτερπεν, ἄειδε δ' ἄρα κλέα ἀνδρῶν», οὐ μὴν γυναικῶν καταλόγου κλέα κατὰ τοὺς ἐν θηλυδριώδεσι κωμάζοντας μέλεσιν [ἢ καὶ κατὰ τὸν καλὸν Ἡσίοδον, ὃς Ὁμήρου, καθά τις παλαιὸς ἔφη, τὸν ἡρωϊκὸν ἀνδρῶνα σεμνύναντος, αὐτὸς ἐν τῷ τῶν ἡρωΐδων Καταλόγῳ τῆς γυναικωνίτιδος γέγονε]. Καὶ σημείωσαι ὅτι ἀείδων ὁ Ἀχιλλεὺς κλέα ἀνδρῶν ἀοιδίμους ἐκείνους φερωνύμως ἐποίει, καθάπερ αὐτὸν ὁ ποιητής. [Καλῶς ἄρα φιλεῖται τῷ ποιητῇ ὡς οἷα καί τινι ζηλωτῇ τῆς κατ' ἐκεῖνον μουσικῆς. Κλέα δὲ Ἀχιλλεὺς ᾄδει οὐ τὰ ἐξ ἀνάγκης ἔντιμα καὶ εὐκλεῆ, ἀλλὰ καὶ τὰ ἔμπαλιν. ἐπεὶ καὶ μέση λέξις τὸ κλέος. Οὕτω καὶ Ὅμηρος ᾄδει δι' ὅλης αὐτοῦ τῆς ποιήσεως οὐ μόνα τὰ πρὸς εὔκλειαν ἐμμελῶς ἱστορῶν, ἀλλά που καὶ μὴ τοιαῦτα πολλά, οἷς οὐκ ἂν ἔχοιεν ἐλλάμπεσθαι τὰ μνημονευόμενα πρόσωπα, εἴτε ἀνθρώπινά εἰσιν εἴτε δαιμόνια]. (v. 190 s.) «Πάτροκλος δέ οἱ», φησίν, «οἶος», ἤγουν μόνος, «ἐναντίος ἧστο σιωπῇ»,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς καὶ ἐχρῆν, «δέγμενος Αἰακίδην ὁππότε λήξειεν ἀείδων». Τῶν τις δὲ παλαιῶν φησι καὶ αὐτός, ὅτι μουσικὸς ὢν ὁ Ἀχιλλεὺς κιθάραν πρώτην ἐκ τῶν λαφύρων ἔλαβε καὶ ταύτῃ τὴν μῆνιν κατεύναζεν. Οὕτω, φασί, καὶ Κλεινίας ὁ Πυθαγόρειος ὅτε εἰς ὀργὴν προήχθη, λύραν ἁρμοσάμενος ἐκιθάριζε καὶ ἔλεγεν οὕτω πραΰνεσθαι.

2.695 Ἰστέον δὲ ὅτι τε [ἐπαινοῦνται οἱ ἥρωες οἷς καθήμενοι οἰνοπόταζον. Ἐπεὶ γάρ, φασί, τρυφᾶν ἤρξαντο, κατερρύησαν ἀπὸ τῶν δίφρων ἐπὶ τὰς κλίνας ὡς ἀνειμένως πίνειν], καὶ ὅτι καὶ δίσκον ἐκ τῶν τοῦ Ἠετίωνος λαφύρων ὁ Ἀχιλλεὺς ἔχων ἐν τοῖς ἑξῆς που εὑρεθήσεται, ναὶ μὴν καὶ ἵππον, ἐκεῖνον μὲν ὡς γυμναστικός, τοῦτον δὲ ὡς πολεμικός. (v. 188) Τὸ δὲ «ἄρετο ἐξ ἐνάρων» ἐτυμολογικὸς τρόπος ἐστίν. ἀπὸ γὰρ τοῦ αἴρω τὰ ἔναρα γίνεται. (v. 189) Τὸ δὲ «θυμὸν τέρπεν» ἐκ τοῦ «φρένα τερπόμενον» παραπέφρασται. [Ὡς δὲ τερπνὰ τὰ μέλη, δηλοῖ καὶ Ἀπόλλων, ὃς «φρένα τέρπετ' ἀκούων μολπῆς». Ἐκ τοῦ τρέπειν δὲ μετετέθη τὸ τέρπειν. τροπὴν γάρ τινα καὶ μεταβολὴν διαθέσεων ψυχῆς ἡ μουσικὴ ἐπιστήμη ποιεῖ]. (v. 190) Τὸ δὲ «ἐναντίος» ἶσόν ἐστι τῷ ἀντικρύ. ἐξ αὐτοῦ δὲ καὶ ὁ ἀντιπροσώπως ἐναντιούμενος. Σιωπᾷ δὲ ἀκούων ὁ Πάτροκλος, καθὰ ἔδει, ὡς ἂν μὴ λαλῶν κολούῃ τὴν ἡδονὴν τὴν ἀκοῇ. [(v. 189) Ἰστέον δὲ ὅτι τε ἐν τῷ «ἄειδε κλέα ἀνδρῶν» φιλῳδὸς ὁ Ἀχιλλεὺς φαίνεται εἶναι καὶ μελικός, καὶ ὅτι ἐν τοιούτοις κυριολεκτεῖται τὸ ᾄδειν. Αἱ δὲ παρὰ Θεοκρίτῳ ἀείδουσαι λίθοι ἐν τῷ προσπταίειν ἀρβύλαις βουκολικὴν ἔχουσιν ἀφέλειαν]. (v. 192—8) Ὅτι ἐν τῷ τοὺς πρέσβεις πρόσθε στῆναι τοῦ Ἀχιλλέως («βάτην» γάρ, φησί, «προτέρω», ἤγουν προσωτέρω, «ἡγεῖτο δὲ δῖος Ὀδυσσεύς», ὡς καὶ προδεδήλωται, «στὰν δὲ πρόσθ' αὐτοῖο, ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺς αὐτῇ σὺν φόρμιγγι). τώ», ἤγουν οὕς, «καὶ δεικνύμενος προσέφη· χαίρετον, ἦ φίλοι ἄνδρες ἱκάνετον, ἦ τι μάλα χρεώ, οἵ μοι σκυζομένῳ περ Ἀχαιῶν φίλτατοί ἐστον». Καὶ ὅρα ὅτι ἄριστα ἐπελέξατο Νέστωρ τοὺς πρέσβεις. οὓς γὰρ αὐτὸς ἐπέκρινε, φιλτάτους ὁ Ἀχιλλεὺς ὡμολόγησε. (v. 199—204) Καὶ ἔτι προτέρω ἄγων εἷσεν, ἤγουν ἐκάθισεν, ἐν κλισμοῖς τάπησί τε πορφυρέοισι, προσεῖπε δὲ Πάτροκλον «μείζονα δὴ κρητῆρα Μενοιτίου υἱὲ καθίστα, ζωρότερόν τε κέραιε, δέπας δ' ἔντυνον ἑκάστῳ. οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ». (v. 193) Ἰστέον δὲ ὅτι τὸ μὲν «στάν», ἤγουν ἔστησαν, ἐκ τοῦ στάς στάντος γέγονε, καθὰ καὶ τὸ φθάν ἐν τοῖς ἑξῆς ἀντὶ τοῦ ἔφθασαν ἐκ τοῦ φθάς φθάντος καὶ τὸ φάν ἀντὶ τοῦ ἔφησαν ἐκ τοῦ φάς φάντος.

2.696 Τὸ δὲ «ταφών» Ἰωνικὴν ἔχει τερθρείαν τοιαύτην. Θάπτω θάψω, οὗ δεύτερος ἀόριστος ἔθαπον, καὶ ἀλλαγῇ τῶν δύο ἀφώνων εἰς τὰ αὐτῶν ἀντίστοιχα ἔταφον, ἐπί τε νεκρικῆς ταφῆς καὶ ἐπὶ ἐκπλήξεως δὲ μεταφορικῶς, ὅθεν καὶ τάφος οὐ μνῆμα μόνον ἀλλὰ καὶ ἔκπληξις, καὶ ἡ μετοχὴ ταφών. Ὥσπερ δὲ τὸ ἔθαπον, ἀφ' οὗ τὸ τεθηπέναι, ἀφώνων ἐναλλαγὴν ἔπαθεν εἰς τὰ ἀντιστοιχοῦντα, οὕτω, καθὰ καὶ ἑτέρωθι δηλοῦται, καὶ ἄλλα εὑρίσκονται παρὰ τοῖς Ἴωσι. Τὸ γοῦν ἐντεῦθεν ἐνθεῦτέν φασι καὶ τὸν χιτῶνα κιθῶνα καὶ τὸν βάτραχον βάθρακον. Οὕτω καὶ χύτρα κύθρα λέγεται καὶ ἡ παρὰ τῷ Κωμικῷ δὲ κύσθου [ἢ κύσου] λεοντῆ ὅμοιόν τι νοεῖ. Ἔστι δὲ μέχρι καὶ νῦν ἀκοῦσαι πολλοὺς τῶν ἀγροίκων οὕτω καὶ τὰ ἀκάνθια ἀχάντια λέγοντας. [Ὅτι δὲ τὸν κύσθον καὶ κύσον ἔλεγον ἐλλείψει τοῦ θ , δηλοῖ καὶ ὁ κυσολέσχης, ὃν ἄν τις διασαφῶν κιναιδολόγον ἐρεῖ, κοινότερον δὲ ἄλλως αἰσχρορρήμονα].

2.697 (v. 194) Τὸ δὲ «ἀνόρουσεν» ἐφερμηνεύων κατὰ ἰδίαν φιλοτιμίαν ἐκ περιττοῦ ὁ ποιητὴς περιφραστικῶς φησι «λιπὼν ἕδος ἔνθα θάασσεν», ἤτοι ἐκάθητο. ἐξ οὗ θᾶκος ὁ θρόνος λέγεται, ὡς ἀπὸ τοῦ θῶ ὁ θῶκος. Θοάζει μὲν γάρ, φασί, τὸ τρέχει, μαίνεται, σκιρτᾷ, θάασσε δὲ τὸ ἐκάθητο, καὶ θακεῖ κάθηται, καὶ θᾶκος δίφρος, καθέδρα τις. Ὑποκαταβὰς δὲ τὸ «ἀνόρουσεν» ἀνέστη φησὶν ἐν τῷ «ὡς δ' αὔτως Πάτροκλος, ἐπεὶ ἴδε φῶτας, ἀνέστη», [ἀφελῶς φράσας τὸ φῶτας, ὡς εἴ τις εἴποι τοὺς εἰρημένους ἄνδρας, κατ' ἐξοχήν τινα οὕτως εἰπών. Ἄλλως γὰρ εἶχεν εἰπεῖν, ὡς, ἐπεὶ ἴδε τούσδε, ἀνέστη. Προέκρινε δὲ καὶ τοῦ ἄνδρας τὸ φῶτας ὡς οἰκεῖον μᾶλλον τοῖς ἄρτι λογίως πρεσβεύουσι. Δοκεῖ γὰρ παρὰ τὸ φῶ, τὸ λέγω, εἶναι φώς ὁ ἀνήρ, ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μάλιστα λαλητὸν ζῷον. γυναιξὶ γὰρ ἡ σιγὴ πρέπει]. (v. 196) Τὸ δὲ «δεικνύμενος» ἀντὶ τοῦ δεξιούμενος, φιλοφρονούμενος, ξενοδοχῶν, ἀπὸ τοῦ δέκω Ἰωνικοῦ ῥήματος, ἐξ οὗ δέκνω δεκνύω δέκνυμι, καὶ πλεονασμῷ δείκνυμι, ἀφ' οὗ μεταφορικῶς δείκνυσθαι λέγεται καὶ τὸ δακτύλῳ ἢ ἄλλως ὁπωσοῦν γνώριμόν τι ποιεῖν. Ἐκ δὲ τοῦ ῥηθέντος δέκω καὶ δείκω καὶ τὸ δεικανᾶσθαι γίνεται, οἷον «δεικανόωντ' ἐπέεσσιν», ἤγουν ἐδεξιοῦντο. (v. 197) Τὸ δὲ «χαίρετον» ἀρχαιοτάτη φιλικὴ προσφώνησις ἐπιστολιμαία τε καὶ ἑτεροία, ὡς καὶ ὁ Κωμικὸς καὶ ὁ κατ' αὐτὸν ὑπομνηματισμὸς ἐν τῷ Πλούτῳ δηλοῖ. Τὸ δὲ «φίλοι ἄνδρες» κατωτέρω ἐπιτείνας οἱ φίλτατοι ἄνδρες φησίν, αὔξησιν ἐκεῖ φιλίας δηλῶν ἐπικριτικὴν διά τε τοῦ ἄρθρου καὶ τῆς ὑπερθέσεως.

2.698 Τὸ δὲ «ἦ μάλα χρεώ» ἀγχίνουν τὸν Ἀχιλλέα παριστᾷ, οὕτω ταχὺ νοήσαντα, ὡς οὐκ ἂν ὁ βασιλεὺς τῷ ἐχθίστῳ εἴασε τοὺς φιλτάτους ὁμιλῆσαι, εἰ μὴ ἀνάγκη μάλα ἤπειγε. [Περιττὸν δὲ συνήθως τὸ τι ἐν τῷ «ἦ τι μάλα χρεώ», καθὰ καὶ ἐν τῷ οὔτι καὶ «μήτι ἐγώ» καὶ «ἀλλ' εἴ τι χαίρεις» καὶ τοῖς ὁμοίοις]. (v. 198) Τὸ δὲ «σκυζομένῳ περ», ὅ ἐστιν ὀργιζομένῳ, περὶ οὗ πολλαχοῦ δηλοῦται, βιωτικῶς παρεσημήνατο Ἀχιλλεύς, ὡς δῆθεν τῶν ἄλλων ἑξείης ἐν καιρῷ μήνιδος μαρπτόντων «ὅς τ' αἴτιος ὅς τε καὶ οὐκί». (v. 199) Τὸ δὲ «προτέρω» ἐκ τῆς προ παρεσύρη προθέσεως τῆς δηλούσης πρόοδόν τινα εἰς τὸ πρόσθεν. (v. 200) Τάπητες δὲ νῦν τὰ προσκεφάλαια. Καὶ σημείωσαι ὅτι ὁ τάπης ὑπόκειται, οὐ μὴν ὑπέρκειται οἷά τι σκέπασμα, καθά τινες ἐν ἄλλοις οἴονται. Καί πως δηλοῖ τοῦτο καὶ ἡ τῆς λέξεως ἐτυμολογία, παραγομένης ἐκ τοῦ πατεῖσθαι κατὰ μετάθεσιν. ἐξ οὗ ῥήματος παρῆκται καὶ ὁ ταπεινός. Ἐοίκασι δὲ καὶ μαλλωτοὶ τάπητες εἶναι. Ὅθεν Αἴλιος Διονύσιος ἀμφιτάπητάς φησι τοὺς μὴ ἑτερομάλλους, ἀλλ' ἐξ ἑκατέρων τῶν μερῶν δασεῖς. Καὶ Παυσανίας δὲ λέγει, ὅτι ἀμφιτάπητες οἱ ἀμφίμαλλοι, οἱ δὲ ἑτερόμαλλοι τάπητες. (v. 203) «Ζωρότερον» δὲ ἢ ἀντὶ τοῦ σπουδαιότερον καὶ ζωηρότερον ἢ ἀντὶ τοῦ ἀκρατότερον, καὶ αὐτὸ παρὰ τὸ ζῆν. Αὐτὸς γὰρ ὁ Ἀχιλλεὺς ἔοικεν ὑδαρέστερον πίνειν, καὶ εἰκότως ὁ τῷ Ἀγαμέμνονι ὀνειδίσας οἰνοφλυγίαν.

2.699 Πάντως δὲ εἰ ζωηρόν τι τὸ ἄκρατον, ἄψυχον οἷον λογιστέον τὸ κρᾶμα. διὸ οὐδὲ εὐπαράληπτον ἦν ἐν σπονδαῖς. [Ἐνταῦθα δὲ ἐνθυμητέον καὶ τὸ «μελίζωρον ποτόν», ὃ δή τις ἔφη, καὶ τὸ ζωρέστερον. Ὁμήρου γὰρ ἀναλόγως εἰπόντος ζωρότερον ἐκ τοῦ ζωρόν, παρὰ τοῖς ὕστερον εὕρηται καὶ ζωρέστερον κατὰ τὸ ἀκρατέστερον, ὥσπερ καὶ ἀνιηρέστερον καὶ αἰδοιέστερον ἐν Ὀδυσσείᾳ, καὶ κοινῶς πλησιέστερον, καὶ παρ' Αἰσχύλῳ ἀφθονέστερον, καὶ εὐωνέστερον παρὰ Ἐπιχάρμῳ. Λέγει δὲ καὶ Ὑπερίδης «ῥαδιεστέραν πόλιν». Τινὲς δὲ ζωρότερόν φασι τὸ θερμὸν ἀπὸ τῆς ζέσεως, ἄλλοι δὲ εὔκρατον]. Ἰστέον δὲ ὅτι τῶν τινα ἀντιγράφων τὸ «κέραιε» κέραιρέ φασιν, ὀλίγα μέντοι καὶ οὐδὲ τὰ ἀκριβέστερα, ἵνα γίνηται τὸ μὲν κέραιε ἀπὸ τοῦ κερῶ κεραίω, ὡς ἀγῶ ἀγαίω, τὸ θαυμάζω καὶ μέμφομαι, τὸ δὲ κέραιρε ἀπὸ τοῦ κερῶ κεραίρω, ὡς σπῶ σπαίρω καὶ ἀσπαίρω. καὶ ὅτι μᾶλλον ἐπὶ ἀκράτου νοεῖται τὸ ζωρόν, ὡς παραδηλοῖ καὶ Ἡρόδοτος ἐν οἷς φησιν· ἐπὰν ζωρότερον βούλωνται οἱ Σπαρτιᾶται πιεῖν, ἐπισκύθισον λέγουσιν, ὡς ἀπὸ τῶν Σκυθῶν, οἵ, φησίν, εἰς Σπάρτην ἀφικόμενοι πρέσβεις ἐδίδαξαν τὸν Κλεομένην ἀκρατοποτεῖν. Ἰστέον δὲ ὅτι καὶ ἐχρῆν ἀνδράσι καμοῦσιν ἄκρατον ἐγκερασθῆναι διὰ ὄνησιν, ὥς που καὶ ἡ Ἑκάβη γενέσθαι ἠθέλησε κεκμηκότι τῷ υἱῷ Ἕκτορι. Ἄκρατος γὰρ καὶ ἐκεῖ ὁ οἶνος ἦν, ὡς δηλοῖ τὸ ἐθέλειν σπεῖσαι ἐξ αὐτοῦ τῷ Διΐ. Ὥστε μείζων μὲν ἵσταται ἄρτι κρατὴρ διὰ τὸ πλείους συνελθεῖν, ζωρότερος δὲ διὰ τὸ κεκμηκότας εἶναι τοὺς παραβαλόντας φίλους.

2.700 [Εἰς δὲ τὸ νοεῖσθαι ζωρὸν τὸ ἄκρατον συντελεῖ καὶ Διφίλου τὸ «ἔγχεον πιεῖν εὐζωρότερον. τὸ γὰρ ὑδαρὲς ἅπαν τοῦτ' ἔστι τῇ ψυχῇ κακόν». Ἐμπεδοκλέους μέντοι τὸ «αἶψα δὲ θνητὰ φύοντο, τὰ πρὶν μάθον ἀθάνατ' εἶναι, ζωρά τε τὰ πρὶν ἄκρητα», ζωρὸν εἶναι δηλοῖ τὸ κεκραμένον, ᾧ πάντως ἀντίκειται τὸ ἄκρατον. Εἴρηκε δέ τις καὶ ῥῆμα ἐκ τοῦ ζωρὸν τὸ ζωροποτεῖν, ἐπιγράψας οὕτω «τοῦ πολυκώθωνος τοῦτ' ἠρίον Ἀρκαδίωνος, ὃς θάνεν ἐκ χανδῆς ζωροποτῶν κύλικος».

Ἔνθ’ ὅρα τὸ χανδῆς, οὗ ἡ ἀρσενικὴ αἰτιατικὴ ποιεῖ τὸ χανδόν ἐπίρρημα. Ὅτι δὲ πολλοὶ ἀκρατοποτοῦντες ἔθνῃσκον, δηλοῦσιν αἱ παλαιαὶ ἱστορίαι. Πρόμαχος γοῦν τις δίχα τῶν ἄλλων ἐν ἀγῶνι ἀκρατοποσίας νικήσας καὶ πιὼν μέν, φασίν, ἀκράτου χοὰς τέσσαρας, τάλαντον δὲ λαβὼν εἰς ἔπαθλον, ἀπέθανε βιοὺς ἡμέρας τέσσαρας. Μέτρον δέ τι παλαιὸν οἱ χοεῖς, ὧν εὐθεῖα ὁ χοεύς, οὗ γενικὴ χοέως χοῶς, ὡς Πειραιέως Πειραιῶς, αἰτιατικὴ ἑνικὴ χοέα χοᾶ, ὡς Πειραιᾶ, πληθυντικὴ χοέας χοᾶς. Ἐντεῦθεν δὲ καὶ ποτήριον δίχουν τὸ χωροῦν τοιούτους δύο χοᾶς. Σημείωσαι δὲ καὶ ὅτι ζωρὸν οἶνον τὸν πολυετῆ ἐνόησάν τινες, οὐκ ἀπὸ τοῦ ζῆν ἢ ζέειν, ἀλλ’ ἐκ τοῦ ζῷον καὶ τοῦ ὧρος, ὧν ὧρος μὲν ὁ ἐνιαυτός, εἴτ’ οὖν ἔτος, ζῷον δὲ ἀντὶ τοῦ μέγα καὶ πολύ, ἃ δὴ σημαίνεται, φασί, διὰ τῶν ζῴων]. (v. 203) Τὸ δὲ «δέπας ἔντυνον ἑκάστῳ» φιλοτιμίαν μόνην δηλοῖ σκευῶν συμποσιακῶν. Τὸ δὲ «ἔντυνον» ταὐτὸν τῷ ὅπλισον, ἐπεὶ καὶ ἔντεα δαιτὸς τὰ εἰς αὐτὴν σκεύη κατὰ τὸ «οἳ δ’ ἀπεκόσμεον ἔντεα δαιτός». Γίνεται δὲ ἀπὸ τοῦ ἐντύω ὁμοίως τῷ θύω θύνω καὶ τοῖς ὁμοίοις. (v. 197) Ἰστέον δὲ ὅτι τε φιλικῆς δεξιώσεως καὶ τὸ «χαίρετον, ἦ φίλοι ἄνδρες ἱκάνετον», καὶ τὸ «οἱ γὰρ φίλτατοι ἄνδρες ἐμῷ ὑπέασι μελάθρῳ», καὶ ὡς Ἀχιλλεὺς μὲν μετρίως λέγει πρὸς τοὺς πρέσβεις «ἦ τι μάλα χρεώ», ἀντὶ τοῦ χρεία τις ἐμοῦ γέγονε τοῖς Ἀχαιοῖς, Ὀδυσσεὺς δὲ προϊὼν φιλαλήθως λέγει, ὅτι λίαν μέγα πῆμα εἰσορῶντες δεδίαμεν.

2.701 Καὶ χρὴ οὕτω ποιεῖν καὶ μὴ ἐθέλειν ψεύδεσθαι φίλοις καὶ ταῦτα ἐφ’ οἷς ἴσασιν. Ὅρα δ’ ἐν τοῖς εἰρημένοις καὶ ἢ σχῆμα σύνηθες τὸ κατὰ τὸ σιωπώμενον ἢ ἁπλότητα ἡρωϊκήν. Οὐ γὰρ πυλωροὶ τῷ Ἀχιλλεῖ, οὐ μνήμονες, οὐ θεραπεία κολακική, οὐκ ἄλλο οὐδὲν τῶν ὅσα ἐκ τρυφῆς παρεισήρρησεν ὕστερον, ἀλλ’ ἁπλῶς οὕτω οἱ πρέσβεις ἐνέτυχον τῷ μεγάλῳ ἥρωϊ, ὡς εἰ καί που καθ’ ὁδὸν ἐσκηνεῖτο ἀφύλακτος. (v. 206—8) Ὅτι ἐν τῷ «Πάτροκλος κρεῖον μέγα κάββαλεν ἐν πυρὸς αὐγῇ», [μετὰ τὸ καταστῆσαι δηλαδὴ τὸν κελευσθέντα κρατῆρα ὡς εἰς ἑτοιμασίαν τοῦ κιρνᾶν], «ἐν δ’ ἄρα νῶτον ἔθηκ’ ὄϊος καὶ πίονος αἰγός, ἐν δὲ συὸς σιάλοιο ῥάχιν τεθαλυῖαν ἀλοιφῇ», κρεῖον τὸ κρεωδόχον ἀγγεῖόν φασιν οἱ πλείους τῶν παλαιῶν. Εὐφορίων δὲ κρεῖον αὐτὸ τὸ κρέας νοεῖ, ὥς φησιν Ἀπίων καὶ Ἡρόδωρος, διὰ τὸ τὸν ποιητὴν κατωτέρω μηδαμοῦ μεμνῆσθαι κρεῶν ἑφθῶν ἐν ἀγγείῳ, ἀλλὰ μόνων ὀπτῶν. Καὶ συντελεῖ πρὸς τοῦτο καὶ τὸ «ἐν πυρὸς αὐγῇ». οὐ γὰρ ἐξ ἀνάγκης πυρὸς αὐγή αὐτὸ τὸ πῦρ, περὶ ὃ αἱ χύτραι τίθενται τῶν ἑφθῶν, ἀλλὰ τὸ ἐγγὺς τοῦ πυρός, ἔνθα ἔστιν ὀπτᾶσθαί τι, ὡς καὶ ἡ Ὀδύσσεια δηλοῖ. Παυσανίας δὲ κανοῦν παραδίδωσι τὸ κρεῖον ἢ ἄλλο τι, ἐφ’ οὗ τὰ κρέα κόπτεται. Ὥσπερ δὲ ἀπὸ τοῦ κρέας τὸ κρεῖον, οὕτω καὶ ἡ κρεάγρα καὶ ὁ κρεανόμος. τὴν δὲ κρεάγραν καὶ ἅρπαγα καὶ λύκον ὁ Παυσανίας καλεῖσθαί φησι. Τὸ δὲ «κάββαλεν» ἢ ἁπλῶς ἀντὶ τοῦ ἔβαλεν, ὅ ἐστιν ἔθετο, ἢ βαστάξας ἄνω εἶτα κατέθετο. Οὕτω καὶ παλαιστὴς καταβάλλει τὸν ἀντίπαλον. (v. 207 s.) Τὸ δὲ «ἐν δ’ ἄρα νῶτον ἔθηκεν ὄϊος, ἐν δὲ συὸς ῥάχιν», [ἔνθα φανερὰ διαφορὰ νώτου καὶ ῥάχεως], σχῆμα μέν ἐστι σύνηθες ἐπαναφορᾶς, δηλοῖ δὲ διὰ τοῦ ἐνέθηκεν, ὅ ἐστιν ἐνέβαλεν, ἀγγεῖον εἶναι τὸ κρεῖον, ᾧ τὸ νῶτον καὶ τὴν ῥάχιν ἐνέθετο.

2.702 [Τούτου δὲ οὕτω νοουμένου, δυσχέρειά τις ὕπεστιν ἐν τοῖς εὐθὺς ἐφεξῆς. Εἰ γὰρ ἐνετέθη, ἤγουν ἐνεβλήθη, τῷ κρείῳ πρὸς ἀφέψησιν τὸ νῶτον τοῦ ὄϊος καὶ τῆς αἰγὸς καὶ ἡ ῥάχις τοῦ συός, ἔστιν ἀπορῆσαι πῶς αὐτὰ τέμνονται αὐτίκα καὶ μιστύλλονται καὶ πείρονται ἀμφ’ ὀβελοῖς, εἶτα καὶ ὀπτῶνται. Ἢ τοίνυν τὸ κρεῖον οὐκ ἔστι κρεωδόχον ἀγγεῖον, ἢ ἀλλὰ νοητέον ὡς ἐξ ἄλλης ἀρχῆς, ὅτι ἐντεθέντων τῶν εἰρημένων κρεῶν ἑψήσεως χάριν τῷ κρείῳ, εἶτα ἕτερα ταμόντες οἱ ἥρωες καὶ μιστύλαντες καὶ πείραντες ὤπτησαν. καὶ οὕτω μὲν ταῦτα. Εἰ δὲ τὸ κρεῖον νοηθείη κανοῦν, τότε δὴ τὸ «ἐν δ’ ἄρα νῶτον ἔθηκε» καὶ ἑξῆς, ληφθήσεται ἀντὶ τοῦ ἔθηκεν ὁ Πάτροκλος καὶ τὸ κανοῦν ἐν τῷ τόπῳ ἐκείνῳ καὶ τὰ ἐπαγόμενα κρέα, ὧν αὐτουργοὶ πρὸς ὄπτησιν ὁ Αὐτομέδων, ὁ Πάτροκλος, καὶ ὁ Ἀχιλλεύς. Δύνανται δὲ τὰ τοιαῦτα καὶ πρὸς τὸ κρεῖον, ὅπερ ἐστὶ κατά τινας κρέας, συμβιβάζεσθαι ἀσφαλέστερον ἤπερ ἐπὶ τοῦ κρεῖον, τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κρεωδόχον ἀγγεῖον]. Σίαλος δὲ χοῖρος ἐντρόφιος παρὰ τὸ ἅλις σιτεῖσθαι. [Αὐτὸ δὲ τὸ συὸς σιάλοιο ψευδοπαρηχεῖται, καθὰ καὶ ἄλλα γέγραπται ἀλλαχοῦ. Ἡ δὲ ῥάχις τὰς ῥάχιας παράγει πέτρας, ἴσως δὲ καὶ τὰ βράχεα πλεονασμῷ τοῦ β κατὰ τὸ ῥάκος βράκος καὶ τὰ ὅμοια]. Ἀλοιφὴ δὲ τὸ λίπος, ἤτοι ἡ πιμελή. (v. 209—17) Ὅρα δὲ ὅτι κἀνταῦθα, ὡς καὶ ἀλλαχοῦ, αὐτουργοῦσιν ἥρωες. «ἔχε μὲν γάρ» φησίν, «Αὐτομέδων», τὰ κρέατα δηλαδή, «τάμνε δ’ ἄρα δῖος Ἀχιλλεύς. καὶ τὰ μὲν εὖ», ὡς καὶ ἀλλαχοῦ κεῖται, «μίστυλλε καὶ ἀμφ’ ὀβελοῖσιν ἔπειρε. πῦρ δὲ Μενοιτιάδης δαῖε», τουτέστιν ἀνῆπτε, «μέγα ἰσόθεος φώς. αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη, ἀνθρακιὴν στορέσας ὀβελοὺς ἐφύπερθε τάνυσσε, πάσσε δ’ ἁλὸς θείοιο κρατευτάων ἐπαείρας. αὐτὰρ ἐπεί ῥ’ ὤπτησε καὶ εἰν ἐλεοῖσιν ἔθηκεν», ἢ «ἔχευε», τουτέστιν ἐν ταῖς μαγειρικαῖς τραπέζαις ἐξήπλωσε, «Πάτροκλος μὲν σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ καλοῖς ἐν κανέοισιν.

2.703 ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς». (v. 212) Ὅρα δὲ τὸ «ἐμαράνθη» λεχθὲν ἐπὶ σβέσεως φλογός. Καὶ σημείωσαι ὅτι τὸ μαίρειν, ἐξ οὗ τὸ μαραίνειν καὶ τὸ ἐμαράνθη, ὑφεῖσθαι δοκεῖ πρὸς τὸ φλέγειν καὶ τὴν φλόγα, εἴγε φλογὸς μαρανθείσης ὑπομένει ἀνθρακιά. Ἐντεῦθεν δὲ καὶ ἐπὶ ἀνθέων τὸ μαραίνεσθαι λέγεται καὶ ἐπὶ ἀνθρώπων, οἳ τοῦ ζαφλεγέες εἶναι ἐκπέσωσιν. Ἐφερμηνευτικὰ δὲ ἀλλήλων τὸ «κατὰ πῦρ ἐκάη» καὶ «φλὸξ ἐμαράνθη». Ἐν οἷς ὅρα ὡς οὐ μόνον ξύλα καίονται, ἀλλ’ ἰδοῦ καὶ πῦρ κατακαίεται σβεσθείσης φλογός. (v. 213) Ἀνθρακιὰ δὲ ἀναλόγως ἔχει τῷ μυρμηκία, πυρκαΐα, ἀχυρμία. [Ἔστι δὲ τύπου περιεκτικοῦ. Ὡς γὰρ ἡ ἀχυρμιὰ περιέχει ἄχυρα καὶ μύρμηκας ἡ μυρμηκιά, οὕτω καὶ ἄνθρακας ἡ ἀνθρακιά]. Τὸ δὲ στορέσας καιρία λέξις κἀνταῦθα ὡς ἐπί τινος στρώματος, οὕτω δὲ καὶ ἐπὶ πόντου ὅτε γαληνιᾷ. Εἰ δέ τινι καὶ θυμὸς καταστορεσθῆναι ῥηθείη, ἐκ τῆς Ὁμηρικῆς ταύτης λέξεως εἴρηται. [Ἰστέον δὲ ὅτι πρωτοτύπου ὄντος τοῦ στορέω στορῶ, ἐξ αὐτοῦ κατὰ συγκοπὴν μὲν ἐν ἀνομοιότητι συζυγίας, ὥσπερ μολῶ μολήσω, εἶτα βλῶ βλώσω, οὕτω καὶ στρῶ στρώσω, ἐξ οὗ καὶ στρῶμα καὶ στρωμονή, ὅθεν ἡ στρωμνή, καὶ στρῶται βασιλικοί.

2.704 Ἐκ δὲ τοῦ αὐτοῦ στρῶ στρώσω καὶ τὸ στρωνύω γίνεται καὶ τὸ στρώνυμι καὶ ὁ στρωματεὺς καὶ τὸ κατάστρωμα τῆς νεώς. Ἀπὸ δέ γε παραγωγῆς τοῦ στορέω πρῶτα μὲν τὸ στορεννύω γίνεται, εἶτα καθ’ ἑτέραν παραγωγὴν τὸ στορέννυμι κατὰ τὸ κορέω κορεννύω κορέννυμι, οὗ παρατατικὸς ἐκ συγκοπῆς ἐστόρνυν κατὰ τὸ «πιόντας δὲ αὐτοὺς ἐδεξιοῦτο ἡ γῆ εὐναῖς, ἃς αὐτὴ ὑπεστόρνυ». Εἰσὶ δὲ τοιαῦται αἱ ἐπὶ βοτανῶν ἴσως στιβάδες]. Τὸ δὲ «ὀβελοὺς τάνυσε» συνεπινοούμενα καὶ τὰ κρέα τοῖς ὀβελοῖς ἔχει. (v. 212 s.) Ἰστέον δὲ ὅτι ὀπτήσεως κρεῶν κατεργασίαν ἐνδιασκεύως δηλοῖ τὸ «ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη, ἀνθρακιὴν στορέσας» καὶ τὰ ἑξῆς, ὡς προέκκειται. Καὶ ὅτι τινὲς τὸ «αὐτὰρ ἐπεὶ κατὰ πῦρ ἐκάη καὶ φλὸξ ἐμαράνθη» μεταγράφουσιν οὕτως «αὐτὰρ ἐπεὶ πυρὸς ἄνθος ἀπέπτατο, παύσατο δὲ φλόξ». Δοκεῖ δὲ γελοία τοῖς παλαιοῖς ἡ τοιαύτη γραφή. οὐκ ἂν γὰρ ὁ ποιητὴς ἀεὶ τὸ πῦρ δεινοποιῶν ἄνθος εἴποι πυρὸς ὡς εἰ καὶ ῥόδου ἄνθος ἤ τινος τοιούτου. Εἰ δὲ Αἰσχύλος ἐν Προμηθεῖ ἄνθος πυρὸς λέγει, ἑτέρου ἐκεῖνο λόγου καὶ οὐδὲν αὐτὸ πρὸς τὸν Ὅμηρον. Σεμνοποιεῖται γὰρ ἐκεῖ τὸ πῦρ, ὥς τι καλλιστεῖον τοῖς ἀνθρώποις πρὸς τοῦ Προμηθέως δοθέν. (v. 214) Θεῖον δὲ ἅλα καλεῖ μυθικῶς, ὃν ὁ Ἀχιλλεὺς κειμήλιον εἶχε, δῶρον ὄντα Νηρέως ἐκ τοῦ πατρικοῦ γάμου, ὡς ἄν, ἐὰν ἐξ αὐτοῦ καταπάττοι βρῶμα, ἡδύτατον αὐτὸ ποιῇ καὶ τὸν ἐν μεγίσταις ὄντα λύπαις πείθῃ φαγεῖν. Οὕτω καὶ ἐν Ὀδυσσείᾳ ἡ Ἑλένη φάρμακόν τι ἔχουσα καὶ μίσγουσα τῷ κρατῆρι ἀλύπους ἐποίει τοὺς πίνοντας. Καὶ τὸν ἅλα γοῦν τοῦ Νηρέως τοῦτον θείαν τινὰ ἔχειν δύναμιν ὁ μῦθός φησιν ἐπὶ τοῖς ἐσθίουσιν. Ἄλλως μέντοι κοινότερον θεῖον τὸν ἅλα φησὶν ἢ διότι συναγωγός ἐστιν εἰς φιλίαν καὶ εὐνοίας σύμβολον τοῖς ξένοις ἐν τῇ τραπέζῃ παρετίθετο ἢ διότι τὰ ἁλίπαστα ἐπὶ πολὺ παραμένειν ποιεῖ.

2.705

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Εἴποι δ’ ἄν τις καὶ παρὰ τῷ Λυκόφρονι ἁγνίτην τὸν ἅλα λέγεσθαι ἀντὶ τοῦ θεῖον. Καὶ Πλούταρχος δὲ ἐν τοῖς ἑαυτοῦ Συμποσιακοῖς εἰς τοῦτο γράφει, ἃ καὶ ζητητέον ἐκεῖ. [Ὅτι δέ, ὥσπερ ἁλίπαστον ἐκ τοῦ ἁλός, οὕτω καὶ κάθαλόν τι λέγεται, δηλοῖ ὁ γράψας τὸ «κάθαλα ποίησον πάντα καὶ ἐσκοροδισμένα». Ὡς δὲ καὶ ἡ Θάσος ἅλα ἦγεν ἡδὺν εἰς βοράν, δηλοῖ ὁ γράψας περιᾴδεσθαι Θασίαν ἅλμην, χρηστήν, ὡς ἔοικε, τοῖς ὀψοφαγοῦσι]. Κρατευτὰς δέ φασί τινες τῶν παλαιῶν τὰς τῶν ὀβελίσκων λαβάς, [ὧν πρωτότυπον τὸ κρατέω κρατῶ, ἐξ οὗ τὸ κρατεύω, καθὰ ἐκ τοῦ ζητῶ παρ’ Ἡσιόδῳ τὸ ζητεύω]. Οἱ δὲ ἀκριβέστεροι τοὺς κρατευτὰς λίθους νοοῦσιν, ἐφ’ ὧν τὰ ἄκρα τῶν ὀβελίσκων ἐτίθεντο ἐν τῷ ὀπτᾶσθαι τὰ κρέα. Παυσανίας δέ φησι· κρατευταί· ὀβελοὶ ἢ λίθοι ἢ σιδήριά τινα ἐφ’ ὧν οἱ ὀβελίσκοι ἐπιτίθενται. (v. 215) Ὁ δὲ ἐλεὸς γίνεται μὲν ἀπὸ τοῦ ἕλος ἕλεος, εὕρηται δὲ καὶ οὐδέτερον, ὡς δηλοῖ τὸ «κάθελε τοὐλεόν» παρὰ τῷ Κωμικῷ. πλεονασμῷ δὲ τοῦ ι γίνεται καὶ εἰλεός. (v. 216 s.) Τὸ δὲ «νεῖμεν Ἀχιλλεύς» ἀντὶ τοῦ ἐμέρισε κατὰ μοίρας, ὅθεν καὶ ὁ κρεανόμος. τοιοῦτον δὲ καὶ ἀνωτέρω τὸ «σῖτον ἑλὼν Πάτροκλος ἐπένειμε τραπέζῃ». [Ἐκ τούτου δὲ παρὰ τοῖς μεθ’ Ὅμηρον ὁ τραπεζονόμος, εἰ καὶ μὴ συντέθειται ἀλλ’ ἐξεύρηται συνθέτως λέγεσθαι]. Σημείωσαι δὲ καὶ ἐνταῦθα τὴν ἡρωϊκὴν ἀφέλειαν καὶ εὐτέλειαν τὴν ἐν ὀπτοῖς κρέασι τοῖς κατὰ τὸν Ἀχιλλέα καὶ τοῖς λοιποῖς. Εἰ δέ που κατ’ ἐξαίρετον Ἀχίλλειαι κριθαὶ λέγονται, ἡρωϊκῆς ἐκεῖναι ἱπποτροφίας εἰσίν.

2.706 ἡ δὲ χρῆσις παρὰ τῷ Κωμικῷ. Εἰ δὲ καὶ Ἀχίλλειά τις μάζα περιλαλεῖται, οὐδ’ ἐκείνη τρυφερόν τι ἔχει, ἐν ἄρτῳ μόνῳ θεωρουμένη, οὗ σεμνὸν τὸ διαττᾶσθαι, ὅ ἐστι σήθεσθαι κατὰ Αἴλιον Διονύσιον, ὅς φησιν, ὅτι διαττᾶν Ἀττικοὶ λέγουσι τὸ σήθειν καὶ διηττημένον τὸ σεσησμένον. Ὁ μέντοι Ἀχίλλειος σπόγγος ἀλλ’ αὐτὸς ἔχει τι ἐξέχον πρὸς τοὺς λοιπούς, ὑποκείμενος ἁπαλὸς ταῖς περικεφαλαίαις καθ’ εὕρεσιν ἴσως Ἀχιλλέως, ἵνα μὴ ὁ σίδηρος τρίβοι τὴν κεφαλήν. (v. 218 s.) Ὅτι σαφηνείας ἀεὶ ἐπιμελόμενος ὁ ποιητὴς ἑρμηνεύει τὸ «Ἀχιλλεὺς δὲ ἀντίον ἷζεν Ὀδυσσῆος», εἰπὼν «τοίχου τοῦ ἑτέρου», ἵνα ᾖ ἀντίον τὸ ἀντικρύ ἐν τῷ τὸν μὲν πρὸς τῷδε τῷ τοίχῳ καθῆσθαι, τὸν δὲ ἐπὶ τοῦ ἑτέρου τοίχου. (v. 219 s.) Ὅτι Ἀχιλλεὺς μέλλων κατάρχεσθαι δαιτὸς διὰ τοὺς πρέσβεις θύειν ἐπιτάττει, καὶ ὁ Πάτροκλος ἐν πυρὶ βάλλε θυηλάς, ἀπόμοιραν δηλαδή τινα τῶν ὀπτηθέντων κρεῶν κατά τινα λόγον ἀπαρχῆς. Τοιοῦτον δέ τι καὶ ἐν Ὀδυσσείᾳ ὁ καλὸς Εὔμαιος ποιεῖ, παιδεύοντος Ὁμήρου κατάρχεσθαι καὶ τῶν τοιούτων τοῖς κρείττοσιν. [Ἡ δὲ ἀναλογία τῆς θυηλῆς, ἤτοι θυσίας, κατὰ τὴν γαμφηλὴν ἐστι καὶ τὰ τοιαῦτα, ἐν οἷς καὶ ἡ θηλή, τὸ ἄκρον τοῦ μαστοῦ. οὗ, φασίν, ἡ πρώτη ἐν τῷ ἡβάσκειν αὔξησις κύαμος λέγεται. Ἐν τούτοις δὲ κεῖνται καὶ δύο περιώνυμοι ἀμφιβολίαι, μία μὲν τὸ «θεοῖσι δὲ θῦσαι ἀνώγει», ἥπερ, ὡς καὶ ἄλλοθι δηλοῦται, ἀδιάφορός ἐστιν εἴτε θεοῖσι τρισυλλάβως νοηθείη εἴτε δισυλλάβως «θεοῖς», εἶτα «ἰδὲ θῦσαι» ἀντὶ τοῦ καὶ θῦσαι. Ἑτέρα δὲ οὐκ εὔχαρις τὸ «θῦσαι ἀνώγει» Πάτροκλον. Ἐπηρεάζων γάρ τις ἐρεῖ ἀμφιβόλως ἔχειν εἴτε ἀνώγει τῷ Πατρόκλῳ θῦσαι θυηλὰς εἴτε ἄλλῳ τινὶ ἀνώγει θῦσαι οἷά τι θῦμα τὸν Πάτροκλον]. (v. 223) Ὅτι μετὰ τὸ φαγεῖν καὶ πιεῖν ἔνευσεν ὁ Αἴας τῷ Φοίνικι. Νοήσας δὲ Ὀδυσσεύς, ᾧ καὶ ἐπέτελλε μάλιστα ὁ Νέστωρ, ἁρπάζει τὴν δημηγορίαν καὶ πρωτολογεῖ λογισάμενος, ὡς εἰκός, ἢ πείσειν τὸν Ἀχιλλέα καὶ ἀποίσεσθαι τὸ τῆς πειθοῦς ἀριστεῖον, ἢ εἰ μὴ πείσει, ἀλλὰ τότε δὴ ὥσπερ δευτέρᾳ τινὶ καὶ τρίτῃ μηχανῇ κατασεῖσαι τὸν τοῦ θυμοῦ πύργον τῷ Ἀχιλλεῖ τῇ τῶν οἰκειακῶν δημηγορίᾳ, τοῦ Φοίνικος καὶ τοῦ Αἴαντος.

2.707 (v. 224) Πλησάμενος οὖν δέπας οἴνου ἐδεξιοῦτο τὸν Ἀχιλλέα. Τοῦτο γὰρ δηλοῖ τὸ «δέδεκτο», ἐξ οὗ καὶ τὸ δεικνύμενος γίνεται, ὡς προσεχῶς προείρηται. (v. 225—8) Καὶ εἰπὼν «χαῖρ’ Ἀχιλεῦ», [ὃ δὴ φιλοφροσύνης ἐστὶ προσφώνημα, ὡς καὶ πρὸ βραχέων σεσημείωται], εἶτα πορίζεται συνήθως προοίμιον ἐξ αὐτοῦ τοῦ καιροῦ ὑπογυίως, τουτέστιν ἐκ τοῦ συμποσίου, καί φησι «δαιτὸς μὲν ἐΐσης οὐκ ἐπιδευεῖς εἰμεν», ἤγουν ἐσμέν, «ἐνὶ κλισίῃ βασιλέως ἠδὲ καὶ ἐνθάδε νῦν, πάρα γὰρ μενοεικέα πολλὰ δαίνυσθαι. ἀλλ’ οὐ δαιτός» καὶ ἑξῆς. (v. 228—31) Εἶτα τῆς διηγήσεως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρξάμενος ὁμολογεῖ ὡς «ἐν δοιῇ», τουτέστιν ἐν δισταγμῷ, ἐσμὲν δηλαδή, «σαωσέμεν ἢ ἀπολέσθαι νῆας ἐϋσέλμους, εἰ μὴ σύ γε δύσεαι ἀλκήν», ἣν ἄρτι δηλαδὴ ἐκδεδύσθαι δοκεῖς. ᾧ παρόμοιον καὶ τὸ «ἐπιειμένος ἀλκήν». Ἐν οἷς ὅρα τὸ καὶ ἁπλοῦν τῆς διηγήσεως καὶ ἀληθές. Οὐ γὰρ ἐθέλει ψεύδεσθαι τῷ φίλῳ διά τε αὐτὸ τὸ δέον καὶ ὅτι οὐδὲ ἔχει λαθεῖν. προφανὴς γὰρ ὁ κίνδυνος. Διὸ καὶ τὰ πυρὰ τῶν Τρώων καταλέγει καὶ τὰ ἐνδέξια σήματα τῶν ἀστραπῶν. οὐδ' αὐτὰ γὰρ πάντως τὸν Ἀχιλλέα ἐλάνθανεν. Ἔστι δὲ ὁ περὶ τούτων Ὁμηρικὸς λόγος τοιόσδε «ἀλλ' οὐ δαιτὸς ἐπηράτου ἔργα μέμηλεν, ἀλλὰ λίην μέγα πῆμα, διοτρεφές, εἰσορόωντες δείδιμεν. ἐν δοιῇ δέ», ὡς ἐρρέθη, «σαωσέμεν ἢ ἀπολέσθαι νῆας ἐϋσέλμους, εἰ μὴ σύ γε δύσεαι ἀλκήν». Ἐν οἷς ὅρα τὸ «δείδιμεν», οὗ ἐντελὲς τὸ δεδίαμεν, καὶ τὸ «ἐν δοιῇ», ἐξ οὗ τὸ ἐνδοιάζειν ῥῆμα παρῆκται, καὶ τὸ «σαωσέμεν ἢ ἀπολέσθαι νῆας», ἀνακολούθως σχηματισθὲν διὰ τὸ τοῦ λέγοντος ἐναγώνιον. Τὸ γὰρ ὀρθὸν σωθῆναι ἢ ἀπολέσθαι νῆας, ἢ καὶ ἄλλως σαωσέμεν ἡμᾶς νῆας ἢ ἀπολέσθαι. (v. 232—5) Εἶτα παροξύνων ῥητορικῶς τὸν ἥρωα εἰς θυμὸν τὸν κατὰ τῶν πολεμίων λέγει καὶ ὅτι «ἐγγὺς γὰρ νηῶν καὶ τείχεος αὖλιν ἔθεντο Τρῶες ὑπέρθυμοι καὶ ἐπίκουροι, κειάμενοι πυρὰ πολλὰ κατὰ στρατόν, οὐδέ τί φασι σχήσεσθαι, ἀλλ' ἐν νηυσὶ μελαίνῃσι πεσέεσθαι», τουτέστιν οὔ φασιν ἡμᾶς ὑπομεῖναι καὶ ἀντιστῆναι, ἀλλὰ φεύγοντας ἐμπεσεῖν ταῖς ναυσίν, ἢ καὶ ἑτέρως· οὔ φασι σχήσεσθαι μάχης, ἤγουν ἐφέξειν ἑαυτούς, ἀλλὰ διώκοντας ἐμπεσεῖσθαι ταῖς ναυσί.

2.708 (v. 236—43) Λέγει δὲ καὶ ὅτι ὁ Ζεὺς αὐτοῖς ἐνδέξια σήματα φαίνων, τὰ πολλαχοῦ ἑρμηνευθέντα, ἀστράπτει, καὶ ὅτι Ἕκτωρ «μέγα σθένεϊ βλεμεαίνων μαίνεται ἐκπάγλως πίσυνος Διΐ, οὐδέ τι τίει ἀνέρας οὐδὲ θεούς», [οἷα καὶ ἀσεβὴς καὶ εἰς ἀνθρώπους ὑπέρφρων], «κρατερὴ δέ ἑ λύσσα δέδυκεν. ἀρᾶται δὲ τάχιστα φανήμεναι ἠῶ δῖαν. στεῦται γάρ», ὅ ἐστι διαβεβαιοῦται, «νηῶν ἀποκόψειν ἄκρα κόρυμβα, αὐτὰς δ' ἐμπρήσειν μαλεροῦ πυρός, αὐτὰρ Ἀχαιοὺς δῃώσειν παρὰ τῇσιν», ἤγουν παρ' αὐταῖς, «ἀτυζομένους» ἢ «ὀρινομένους ὑπὸ καπνῷ». (v. 244—8) Καὶ τοιαῦτα εἰπὼν Ὀδυσσεὺς καὶ παύσας τὴν διήγησιν καὶ ὑπομνήσας πάλιν περὶ δέους ἐν τῷ «ταῦτ' αἰνῶς δείδοικα κατὰ φρένα, μή οἱ ἀπειλὰς ἐκτελέσῃ θεός, ἡμῖν δὲ δὴ αἴσιμον εἴη φθίσθαι ἐνὶ Τροίῃ ἑκὰς Ἄργεος ἱπποβότοιο», ἐπάγει ῥητορικῶς ἀξίωσιν, εἰπὼν «ἀλλ' ἄνα, εἰ μέμονάς γε καὶ ὀψέ περ υἷας Ἀχαιῶν τειρομένους ἐρύεσθαι ὑπὸ Τρώων ὀρυμαγδοῦ». (v. 249) Εἶτα τῶν ἐναγωνίων κεφαλαίων γενόμενος λέγει πάνυ βιαίως, ὅτι «αὐτῷ τοι μετόπισθεν», ἤγουν ὕστερον, «ἄχος ἔσεται», εἰ μὴ νῦν ἐπαμύνῃς. (v. 249—51) Καὶ ἐπιφέρει γνωμικῶς τὸ «οὐδέ τι μῆχος ῥεχθέντος κακοῦ ἔστιν ἄκος εὑρεῖν». Τὸ γὰρ γενόμενον μὴ γενέσθαι οὐ δύναται. «Ἀλλὰ πολύ», φησί, «πρίν», ἤγουν πρὸ τοῦ ῥεχθῆναί τι κακόν, «φράζευ ὅπως Δαναοῖσιν ἀλεξήσῃς κακὸν ἦμαρ». Ἐπὶ δὲ τούτοις ἀναμιμνήσκει δριμέως καὶ ὅπως ὁ πατὴρ Πηλεὺς τὴν τοῦ υἱοῦ φύσιν καταμαθὼν ἀνδρείαν μέν, ὀργίλην δὲ καὶ πλήρη φιλοτιμίας, καὶ πρὸς αὐτὴν τοὺς λόγους δεξιῶς ἁρμοττόμενος, παρήνει ποτὲ αὐτῷ. (v. 252—8) Καί φησι· «ὦ πέπον, ἦ μὲν σοί γε πατὴρ ἐπετέλλετο Πηλεὺς ἤματι τῷ, ὅτε ς' ἐκ Φθίης Ἀγαμέμνονι πέμπε· τέκνον ἐμόν, κράτος μὲν θεὸς δώσει αἴ κ' ἐθέλῃσι, σὺ δὲ μεγαλήτορα θυμὸν ἴσχειν ἐν στήθεσσι», τουτέστιν ἔπεχε τὴν μεγάλην ὀργήν, «φιλοφροσύνη γὰρ ἀμείνων.

2.709 ληγέμεναι δ' ἔριδος κακομηχάνου, ὄφρα σε μᾶλλον τίωσιν Ἀργείων ἠμὲν νέοι ἠδὲ γέροντες». ταῦτα δὲ πάντα χρήσιμα εἰς ἄνδρα μεγαλόθυμον. (v. 259 s.) Ἐφ' οἷς εἰπὼν ὅτι «ὣς ἐπέτελλ' ὁ γέρων, σὺ δὲ λήθεαι», καὶ πάντῃ εὐσχημόνως τὸ ἀνηκουστεῖν λήθεσθαι ὀνομάσας, καὶ δείξας αὐτὸν ἀπειθοῦντα τῷ πατρί, ἱκετεύει λέγων· «ἀλλ' ἔτι καὶ νῦν παύεο, ἔα δὲ χόλον θυμαλγέα». Εἶτα οὕτω ταὐτολογικῶς, ὡς προέκκειται, ῥητῶς ἀπαριθμησάμενος τὰ ῥηθέντα δῶρα τοῦ βασιλέως μετὰ τὸ εἰπεῖν «σοὶ δ' Ἀγαμέμνων ἄξια δῶρα δίδωσι μεταλήξαντι χόλοιο», ἀξιοῖ ὡς, εἰ μὴ ταῦτα ἐθέλεις, ἀλλὰ μισεῖς καὶ τὸν Ἀτρείδην καὶ τὰ ἐκείνου, ἐλέησον γοῦν τὸ Πανελλήνιον, [ἵνα δηλαδὴ ὑπερτιμηθῇς. Οὐ γὰρ λανθάνει τὸν σοφὸν Ὀδυσσέα εἰς ὅσον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀχιλλεὺς ἥττηται τιμῆς, ὡς τοῖς Ὁμηρίδαις ἡ α' ῥαψῳδία ἐδήλωσε]. (v. 300—3) Φησὶ γὰρ «εἰ δέ τοι Ἀτρείδης μὲν ἀπήχθετο κηρόθι μᾶλλον, αὐτὸς καὶ τοῦ δῶρα, σὺ δέ», ἀντὶ τοῦ ἀλλὰ σὺ ἢ σὺ δή, «ἄλλους περ Παναχαιοὺς τειρομένους ἐλέαιρε κατὰ στρατόν, οἵ σε θεὸν ὣς τίσουσιν. ἦ γάρ κέ σφιν», ἤγουν ὄντως γὰρ ἂν αὐτοῖς, «μάλα μέγα κῦδος ἄροιο», μονονουχὶ λέγων ὡς, εἰ μὴ δῶρα ἐθέλεις ἀλλὰ μάλιστα τιμήν, ἕξεις αὐτὴν μάλα πολλὴν ἐκ πάντων Ἀχαιῶν. (v. 304—6) Παραρριπτεῖ δὲ καὶ αὖθις τὸν περὶ Ἕκτορος λόγον, ὡς ἂν ἐπὶ πλέον ἐρεθίσῃ, λέγων· «νῦν γὰρ Ἕκτορα ἕλοις, ἐπεὶ ἂν μάλα τοι σχεδὸν ἔλθοι, λύσσαν ἔχων ὀλοήν, ἐπεὶ οὔ τινά φησιν ὁμοῖον οἷ ἔμεναι Δαναῶν, οὓς ἐνθάδε νῆες ἔνεικαν». Ἐνταῦθα δὲ καὶ προαναφωνεῖται ὁ τοῦ Ἕκτορος θάνατος πότε ἔσται, καὶ μέγας δὲ ἔπαινος ὑπολαλεῖται τοῦ Ἀχιλλέως, ὡς διὰ τοῦτο τοῦ Ἕκτορος περιόντος διὰ τὸ μὴ προσεγγίζειν τῷ Ἀχιλλεῖ. ἐγγίσας γὰρ πεσεῖται. καὶ τοιαῦτα μὲν Ὀδυσσεύς, ὡς συνελόντα εἰπεῖν. Ὁ δὲ Ἀχιλλεὺς ἀπηλεγέως ἀπειπὼν ἐρεῖ τὰ ἐφεξῆς δηλωθησόμενα. Ἰστέον δὲ ὅτι ἐν τῷ ῥηθέντι Ὁμηρικῷ χωρίῳ τὸ «χαῖρε, δαιτὸς μὲν ἐΐσης οὐκ ἐπιδευεῖς εἰμεν» καὶ ἑξῆς ἕως τοῦ «ἔργα μέμηλεν» ἐρεῖ ποτε ἂν ὁ καὶ ἀνενδεῶς ἔχων καὶ μηδὲ ἐθέλων φαγεῖν διά τι κατεπεῖγον. Εἰ δὲ καὶ κίνδυνος ἐπείγει, προσθήσει ἂν καὶ τὸ «ἀλλὰ λίην μέγα πῆμα» καὶ ἑξῆς, ὡς προγέγραπται. (v. 227) Μενοεικέα δὲ λέγει δαῖτα, ἥτινι τὸ μένος εἴκει διὰ τὸ αὔταρκες, ἢ τὴν ἐπαρκοῦσαν τῷ κατὰ φύσιν μένει. ἡ δ' αὐτὴ καὶ ἐπήρατος εἴη ἄν. (v. 233) Τὸ δὲ «Τρῶες καὶ ἐπίκουροι» ἐρεθίζει τὸν Ἀχιλλέα, εἰ κατὰ τοσούτων ἀνδρίσεται. (v. 234) Τὸ δὲ «κειάμενοι» διὰ διφθόγγου ἔχει τὴν ἄρχουσαν ὡς ἀπὸ τοῦ κέω κῶ, οὗ παράγωγον τὸ καίω διὰ διφθόγγου, καθὰ πλατύτερον διείληπται ἀλλαχοῦ.

2.710 (v. 234 s.) Τὸ δὲ «οὐδέ τί φασι σχήσεσθαι, ἀλλ' ἐν νηυσὶ πεσέεσθαι», ὅτι ἀμφίβολον ἔννοιαν ἔχει, ἤδη δεδήλωται. Φανεῖται δέ που καὶ ἐν τοῖς ἑξῆς τι ὅμοιον. (v. 236 s.) Ὅτι δὲ αἱ ἀστραπαὶ καὶ αἱ βρονταὶ δὲ σήματα ἐνδέξιά ποτε γίνεται, καὶ ὡς χρηστὰ τὰ ἐνδέξια, πολλαχοῦ δηλοῦται, καὶ ὅτι Διόθεν ταῦτα λέγεται διὰ τὸ ἐξ ἀέρος εἶναι, ὅς ἐστι Ζεύς. Περὶ δὲ τοῦ βλεμεαίνειν ἑτέρωθι ἐρρέθη. (v. 237—9) Τοῦ δὲ μαίνεσθαι τὸν Ἕκτορα τεκμήριον τίθησι τὸ «οὐδέ τι τίει ἀνέρας οὐδὲ θεούς», ὥστε θεομανίαν ὁ Ἕκτωρ νοσεῖ. Οὗ λόγος που καὶ τὸ «εἴην ἀθάνατος καὶ ἀγήραος», καὶ «τιοίμην ὡς τίεται Ἀθηνᾶ καὶ Ἀπόλλων». Ἡ δὲ τοιαύτη μανία ψέγεται, οὐ μὴν ἡ ἁπλῶς ἐν πολέμῳ μανία, ὡς δηλοῖ ὁ αὐχητικῶς λέγων «εἴσεται ἢ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσι». Θεραπεία δὲ βραχεῖα τῆς ῥηθείσης σφοδρᾶς ὕβρεως τὸ «πίσυνος Διΐ». Οὐ γὰρ ἁπλῶς ἀτιμάζει θεοὺς Ἕκτωρ, ἀλλὰ θαρρῶν Διΐ, τῷ ὑπὲρ τοὺς ἄλλους. τοῦτο δὲ καὶ σεμνύνει λεληθότως πάνυ τὸν Ἀχιλλέα, εἴπερ Ἕκτορος περιγενήσεται, ᾧπερ ἄρτι Ζεὺς αὐτὸς ἐπαμύνει, ὅς ἐστιν εἱμαρμένη, ταὐτὸν δὲ εἰπεῖν μοῖρα. ὡς οὕτω καὶ ὑπὲρ μοῖραν αὐτὸν ἀριστεῦσαι κατὰ τοῦ Ἕκτορος. Ὅρα δὲ καὶ ὅτι φθάσας μὲν ὁ ποιητὴς κύνα λυσσητῆρα ἔφη τὸν Ἕκτορα ἐνταῦθα δὲ λέγει, ὡς κρατερὴ αὐτὸν λύσσα δέδυκε, καὶ «λύσσαν ἔχει ὀλοήν». Οὕτω πολὺς ἐπέων νομός ἐστι καὶ τῇ γλώσσῃ τοῦ ποιητοῦ. (v. 240) Τὸ δὲ «ἀρᾶται τάχιστα φανήμεναι ἠῶ δῖαν» καὶ παντὶ προσαρμόττει ἀνδρὶ εἰς ἔργον ἐγρηγορότι. Ὁ μέντοι κατὰ Ἡσίοδον ἡμερόκοιτος ἀνάπαλιν ἐν τῷ ἐγρηγορέναι ἀρᾶται ταχὺ σκεδασθῆναι νύκτα κατὰ γῆς, ἵνα κλέπτων λανθάνῃ, [ὃς οὐδ' ἂν λέγοιτο νυκτὶ πείθεσθαι οἷα τηνικαῦτα ἐνεργῶν οὐκ ἀγαθά, κατὰ τοὺς εὐεργοὺς καὶ σπουδαίους ἀνθρώπους, οὐδὲ μὴν κατὰ τοὺς ἄλλως κερδαλέους ὁπωσοῦν, ὁποῖός τις καὶ ἐν Ὀδυσσείᾳ ἄοκνος ἀνὴρ καὶ δοιοὺς ἐξαίρων μισθούς. Οἱ μὲν γὰρ τοιοῦτοι ἐπαινετοί, ὁ δὲ κλέπτων καὶ ψεκτέος καὶ φευκτέος ἐστίν, ὡς οἷα νυκτιλοχῶν καὶ αὐτός]. (v. 241) Τὰ κόρυμβα δὲ τῶν νηῶν ἀποκόψειν ὁ Ἕκτωρ ἀπειλεῖται, ἢ ὡς ἂν μὴ ἅψηται τὸ πῦρ τῶν ἐντετυπωμένων αὐτοῖς ἀγαλμάτων, ἢ μάλιστα, ἵνα κατὰ παλαιὸν ἔθος ἀναθήσει αὐτὰ ναοῖς ἐγχωρίοις εἰς τρόπαια.

2.711 Τὸ δὲ τοιοῦτον ἔθος καὶ Εὐριπίδης ἱστορεῖ, καί που καὶ ὁ Κωμικὸς παραδηλοῖ. Κόρυμβα δέ εἰσιν ἄκρα καθ' Ὅμηρον, κατὰ δὲ ἑτέρους ἀκροστόλια καὶ οἷον κορυφαὶ νεῶν. Καὶ ἔοικεν οὕτω

λέγεσθαι τὰ ἐξέχοντα καὶ μάλιστα ἐν ὄρεσιν. Ἡρόδοτος γοῦν τὸν τοῦ ὄρους φησί που κόρυμβον, ὡς εἴ τις εἴποι κορυφήν. ἀφ' οὗ κατὰ γένους μεταπλασμὸν τὸ κόρυμβον. [Δοκεῖ δὲ ἡ λέξις γενέσθαι, ὅθεν καὶ ἡ κορύνη καὶ ἡ κόρυς καὶ τὸ κορθύεσθαι]. (v. 242 s.) Τὸ δὲ θαρρεῖν τὰς νῆας μὲν ἐμπρήσειν διὰ μαλεροῦ πυρὸς τοῦ καὶ ἐν ἄλλοις ῥηθέντος, τοὺς δ' Ἀχαιοὺς ἐν αὐταῖς ἐξολεῖν ὀρινομένους ὑπὸ καπνῷ, οἷά τινας δηλαδὴ μελίσσας ἢ σφῆκας, πολλὴν κατηγορεῖ θρασύτητα τοῦ Ἕκτορος, ὥσπερ καὶ τὸ λέγειν οὔτινα Δαναῶν ὁμοιοῦσθαι αὐτῷ. [Δῆλον δ' ὅτι ἐκ τοῦ καπνοῦ καὶ παροιμία τὸ «ὑπὲρ καπνοῦ τὸ πηδάλιον», ἐπὶ τῶν ἀργούντων καὶ καταμελούντων τέχνης. ὁποῖόν τι καὶ τὸ «ἐπὶ πασσάλου τόξον» ἢ «κιθάραν ἀγκρεμάσαι». καὶ ὅτι ἐξ αὐτοῦ καὶ καπνοσφράντης παροιμιακῶς ὁ φειδωλός, καὶ ῥῆμα καπνίζειν, τὸ ἐπὶ εὐωχίᾳ πῦρ ἀνάπτειν. ὅθεν καὶ κρέα καπνιστά παρὰ Ἀθηναίῳ]. (v. 244—6) Τὸ δὲ «ταῦτ' αἰνῶς δείδοικα» ἕως τοῦ «αἴσιμον εἴη φθεῖσθαι» χρήσιμον παρῳδηθῆναι εἴς τι δέος τὸ κατὰ θεομηνίαν. (v. 246) Ὅτι δὲ τὸ «φθεῖσθαι» διφορεῖται καὶ διὰ διφθόγγου γραφόμενον καὶ διὰ μόνου διχρόνου, παρεσημάνθη καὶ ἑτέρωθι. Ἐν δὲ τῷ «ἑκὰς Ἄργεος» φανερῶς διὰ τοῦ Ἄργους Ὀδυσσεὺς τὰς τῶν ὅλων χώρας δηλοῖ, ὅσοι κατὰ Τροίας ἐστρατεύσαντο, ἐκ μέρους ἀξιολογωτάτου δηλώσας ἐκείνας. (v. 247—51) Τὸ δὲ «ἀλλ' ἄνα», ἤγουν ἀνάστηθι, καὶ τὰ ἑξῆς ἕως τοῦ «ὅπως ἀλεξήσῃς κακὸν ἦμαρ» χρήσιμα εἰς βοηθείας πρόκλησιν μεταποιηθέντα, ὡς ἄν τις ἔχῃ δυνάμεως. (v. 251) Ὅρα δὲ ὅτι νῦν μὲν ἐντελῶς ἐφράσθη τὸ «ἀλεξήσῃς κακὸν ἦμαρ», ὅτε δέ τις μόνον αὐτὸ ἐρεῖ τὸ ἀλεξήσῃς, ἔχει τι ἐλλιπές.

2.712 [(v. 248) Τὸ δὲ «ἐρύεσθαι», ἀφ' οὗ καὶ ἡ ἐρυσίπτολις Ἀθηνᾶ, ποιεῖ ἐξ ἀφαιρέσεως τὸ κοινῶς λεγόμενον ῥύεσθαι]. (v. 252) Τὸ δὲ «ἐπετέλλετο Πηλεύς» ἐνεργητικῶς φησι κατωτέρω ἐν τῷ «ἐπέτελλ' ὁ γέρων». (v. 253—60) Τὸ δὲ «ἤματι τῷ», ἤγουν τούτῳ, καὶ ἑξῆς μνημονικώτατον τὸν Ὀδυσσέα εἶναι παριστᾷ, εἴγε δι' οὕτω μακροῦ χρόνου ἔχει τὴν τῶν λεχθέντων πάλαι ποτὲ μνήμην ἕως νῦν παραμένουσαν αὐτῷ. Διὸ καλῶς ὀνειδίζει λήθην τῷ Ἀχιλλεῖ. (v. 257) Τὸ δὲ «λῆγε ἔριδος κακομηχάνου» πρὸς διαστολὴν εἴρηται τῆς ἀγαθῆς, ἥτις εὐμήχανος ἂν εἴη. (v. 258) Τὸ δὲ «ὄφρα σε τίωσι» καὶ ἑξῆς τέλος εἶναι ἀγαθωσύνης ὑποδηλοῖ τὴν ἐξ ἁπάντων τιμήν. (v. 260) Χόλος δὲ θυμαλγής οὐ μόνον ὁ ἀλγύνων τοὺς καθ' ὧν ὁ θυμός, ἀλλὰ καὶ αὐτὸν τὸν θυμούμενον. (v. 300) Ἐν δὲ τῷ «κηρόθι μᾶλλον» κηρόθι μέν ἐστι τὸ μὴ λόγοις μόνοις καὶ ὡς εἰπεῖν ἐπιπολῆς, ἀλλ' ἐν βάθει ψυχῆς. Τὸ δὲ «μᾶλλον» ἢ τοῦ αὐτοῦ νοήματός ἐστιν ἐπίτασις ἢ ἁπλῶς οὕτω κεῖται. (v. 302 s.) Τοῦ δὲ «οἵ σε θεὸν ὣς τιμήσουσιν» ἑρμηνεία τὸ «μάλα γάρ σφιν μέγα κῦδος ἄροιο», ὥστε κατὰ θεὸν τιμᾶσθαί ἐστι τὸ μάλα μεγάλως κυδαίνεσθαι. Τοῦτο δὲ καὶ πρὸς τὸν τοῦ βασιλέως ἀποτείνεται λόγον εἰπόντος τιμῆσαι τὸν Ἀχιλλέα ἶσον Ὀρέστῃ. Μονονουχὶ γὰρ λέγει Ὀδυσσεὺς ὡς, εἰ μὴ θέλεις, ὦ Ἀχιλλεῦ, τὴν ἐξ Ἀγαμέμνονος ἴσην τῷ Ὀρέστῃ τιμήν, ἑλοῦ τὴν τῶν Ἀχαιῶν, οἵ σε τιμήσουσιν ἶσα θεῷ. (v. 304) Τὸ δὲ «ἐπεὶ ἄν» ταὐτόν ἐστι τῷ ἐπειδάν. Τὸ δὲ «μάλα σχεδόν» εἰς δεῖμα κολακικῶς κεῖται τοῦ λυττᾶν τὸν Ἕκτορα, εἰ οὕτω κατατολμήσει τοῦ Ἀχιλλέως. (v. 306) Τὸ δὲ «οὓς ἐνθάδε νῆες ἔνεικαν» πρὸς σαφήνειαν ἐπῆκται τοῦ «οὔ τινα Ἀχαιῶν». οὐ γὰρ ἁπλῶς πάντων τῶν ὁπουδήποτε Ἀχαιῶν ὑπερέχειν φησὶν Ἕκτωρ, ἀλλὰ μόνων τῶν εἰς Τροίαν πλευσάντων. Ἔτι δὲ οὐχ' ὑπερκεῖσθαί φησι τούτων δίχα τοῦ Ἀχιλλέως, ἀλλ' ἁπλῶς πάντων, ἤγουν καὶ τοῦ Ἀχιλλέως καὶ τῶν λοιπῶν. (v. 309 s.) Ὅτι στερεοῦ καὶ ἀληθοῦς ἤθους καὶ μὴ ἐθέλοντος ἀπατᾶν τοὺς δεομένους τὸ «χρὴ μὲν δὴ τὸν μῦθον ἀπηλεγέως ἀποειπεῖν, ᾗ περ δὴ κρανέω τε» ἢ «φρονέω». —Διχῶς γὰρ γράφεται.

2.713 —«καὶ ὡς τετελεσμένον ἔσται», τουτέστιν ἐνδέχεταί με δίχα τοῦ ἀλέγειν τινός, ἤτοι ἀποτόμως καὶ ἀνυποστόλως, εἰπεῖν ὅπερ φρονῶ ἢ ὅπερ τελέω. (v. 311) Διὰ τί; «ὡς μή μοι», φησί, «τρύζοιτε παρήμενοι ἄλλοθεν ἄλλος». Ἀχιλλεὺς δὲ πρὸς Ὀδυσσέα μετὰ τὴν ἐκείνου πρεσβείαν ταῦτα ἔφη, ὃν καὶ διογενῆ Λαερτιάδην πολυμήχανον προσεφώνησεν. Ἔστι δὲ τρύζειν τὸ πολυλογεῖν ἢ πολυφωνεῖν, ἐξ οὗ καὶ τρυγών, ἣν ἡ παροιμία ἐπὶ σκώμματι τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολυλογούντων παραλαμβάνει, λαλιστέρους τρυγόνων τοὺς τοιούτους καλοῦσα. Καὶ τὴν αἰτίαν λέγει ἡ περὶ ζῴων ἱστορία δηλοῦσα συνεργάζεσθαί τι τῷ ὀρνιθίῳ καὶ τὰ ὄπισθεν πρὸς τὸ πολύφωνον. Οὐκοῦν τὸ λαλίστερος τρυγόνος εἶναι οὐκ ἄν τις φρονῶν ἐφ' ἑαυτοῦ ὡς πολυλογοῦντος ἐρεῖ, ὡς ἂν μὴ γελῷτο οἷα ἔκ τε τῶν ἄνω ἔκ τε τῶν κάτω λάλος εἶναι εἰπών. [Τῇ μέντοι πλασματογραφουμένῃ λάλῳ γυναικὶ προσφυὴς ἡ τοιαύτη παροιμία κωμικώτερον. ὅλως δέ, οὐδενὶ ἐπαινουμένῳ προσώπῳ ἡ τοιαύτη παροιμία ἐπιλεχθήσεται]. Ἰστέον δὲ ὅτι ἐξ ὑπολήψεως τῷ Ἀχιλλεῖ ἐνταῦθα τὸ προοίμιον, ἐκβάλλοντι τὴν περὶ φιλίας τῶν πρέσβεων ὑπόληψιν, καὶ μονονουχὶ λέγοντι, ὡς οὐχ' ὑποστελοῦμαι διὰ φιλίαν, ἀλλ' ἀπηλεγέως ἀπείπω. Τοῦτο δὲ μετ' ὀλίγα στερρῶς ἀπειπεῖν λέγει. (v. 312 s.) Τῷ δὲ ῥηθέντι προοιμίῳ ἐπάγει γνωμικὴν κατασκευὴν τῆς αὐτοῦ προτάσεως ταύτην «ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν, ὅς χ' ἕτερον μὲν κεύθει ἐνὶ φρεσίν, ἄλλο δὲ βάζει». Καὶ σημείωσαι, ὅτι τὸν ἐπὶ κακῷ κρυψίνουν Ἅιδῃ ἐοικέναι φησὶ διὰ τὸ τοῦ νοῦ σκοτεινὸν καὶ τὴν ἐντεῦθεν βλάβην ὁ Ἀχιλλεύς, ὃς ἐξ ὧν Ὅμηρος περὶ αὐτοῦ ποιεῖ, φιλότιμος τὸ ἦθος φαίνεται καὶ ἁπλοῦς καὶ φιλαλήθης καὶ βαρύμηνις. [Ἰστέον δὲ ὅτι κρυψινοίας ψόγος ἐσχολίασται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν ἔκ τε μυθικῆς ἔκ τε ἑτεροίας ἀστείας ἐννοίας].

2.714 Πύλας δὲ Ἅιδου τὸν Ἅιδην φησὶ διὰ τῆς εἰσόδου δηλῶν τὰ ἐντός, καθὰ καὶ μετ' ὀλίγα φησὶν «ὅσα οὐδὸς Ἀπόλλωνος ἐντὸς ἐέργει». Ἐκεῖ δὲ ἔτι πορρωτέρω εἶπε, διὰ μὲν τοῦ οὐδοῦ τὰς πύλας δηλώσας, ἐξ αὐτῶν δὲ τὸ κάτω τοῦ ναοῦ. Ὅρα δὲ καὶ ὅπως φιλόζῳος ὁ Ἀχιλλεὺς διὰ τὸ φιλότιμον. Τὸν γὰρ ἐχθρὸν οὐχ' ὡς ἄλλο τι μισεῖν ἔφη, ἀλλ' ὁμοίως τῷ θανάτῳ, καὶ προϊὼν δὲ τὸν βασιλέα λέγει ἐν καρὸς αἴσῃ τιμᾶν, ἤτοι ἐν μοίρᾳ θανάτου. καὶ ἐν Ὀδυσσείᾳ δὲ δυσχεραίνει πολλὰ τὴν μετὰ νεκρῶν διαγωγήν. καὶ οὕτω μὲν ταῦτα. (v. 309) Χρὴ δὲ οἶμαι νῦν γοῦν θεωρῆσαι, ὅπως ὀξέως τονοῦται τὸ «χρή», ῥῆμα ὄν, ὡς καὶ ἡ ἑρμηνεία τούτου δηλοῖ. Δοκεῖ γὰρ εἶναι ἀντὶ τοῦ δεῖ καὶ πρέπει. Διὸ καὶ ὀφείλει περισπᾶσθαι κατὰ τὸ «κνῆ τυρόν», καὶ «ζῆ», καὶ «ψῆ κατ' ἄκρας σπιλάδος» παρὰ Σοφοκλεῖ, ἔτι δὲ ὡς δηλοῖ καὶ ὁ τούτου σύστοιχος ἐνεργητικὸς παρατατικὸς ὁ «ἐχρῆν», καὶ τὸ «χρῆναι» δὲ ἀπαρέμφατον, ὃ καὶ «χρῆν» μονοσυλλάβως λέγεται παρά τε Εὐριπίδῃ καὶ Σοφοκλεῖ. καὶ οὕτω μὲν ἐχρῆν περισπᾶσθαι τὸ χρή. Ἴσως δὲ ὀξυτονήθη πρὸς διαστολὴν τοῦ χρῇ, ὅ ἐστι μαντεύεται, οἷον «χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος». Εἰκὸς δὲ καὶ ἐκ τοῦ χρήζει ἀποκοπὲν αὐτὸ φυλάξαι τὸν ἐκεῖθεν τόνον. Γράφουσι γὰρ οἱ παλαιοὶ δίχα παραδειγμάτων, ὅτι πᾶσα λέξις δισύλλαβος ἐν ῥήμασιν, εἰ μὲν ἀπὸ τῆς ἀρχῆς πάθῃ ἀποκοπήν, περισπᾷ τὴν καταλειπομένην, εἰ δὲ ἀπὸ τοῦ τέλους, ὀξύνει αὐτήν, ἐπιρρηματικῶς δηλαδή, κατὰ τὸ ὠή, ὁτιή, καὶ κατὰ τὸ ὁμαρτή, ὅπερ ὀξύνει Ἀρίσταρχος, ὡς προδεδήλωται. Τῷ δὲ ῥηθέντι λόγῳ καί, εἴπερ ἐκ τοῦ χρῆμι χρῇς χρῇσιν ἔπαθεν ἀποκοπὴν τὸ χρή, ὀξύνοιτο ἄν. Ἔστι δ' εἰπεῖν καὶ ὅτι ὥσπερ τὸ ἰδοῦ ῥῆμα, ὡς τὸ «ἰδοῦ με κἀναθρῆσον», μεταπεσὸν εἰς ἐπίρρημα ἐξέπεσε καὶ τοῦ περισπᾶσθαι, οὕτω πως ἔπαθε καὶ τὸ χρή.

2.715 καὶ εἴπερ ταῦτα πιθανῶς ἔχει, ἔχοιτ' ἂν λόγου καὶ ἡ τοῦ ἀπόχρη βαρυτόνησις, ἀναδραμόντος τοῦ τόνου διὰ τὴν σύνθεσιν. ὅπερ ἐν ῥήμασιν οὐκ εἴωθε γίνεσθαι, ὡς δῆλον οὐ μόνον ἐκ τοῦ συνδεῖ καὶ ἀποπλεῖ καὶ καταχεῖ καὶ τῶν ὁμοίων, ἀλλὰ καὶ τοῦ συμπεινῇ καὶ ἀποψῇ καὶ τῶν παραπλησίων. Ὡς δὲ ῥῆμά ἐστι κυρίως καὶ τὸ ἀπόχρη, φαίνεται ἀριδήλως ἐκ τῆς κατ' αὐτὸ συστοιχίας τοῦ ἀπέχρησε, καὶ ὁ ἀποχρῶν, ἐξ οὗ καὶ τὸ ἀποχρώντως ἐπίρρημα. [(v. 310) Τὸ δὲ «τετελεσμένον», ὅπερ ἀπὸ τοῦ κοινότερον λεγομένου τέλους γίνεται, ὅθεν καὶ τὸ τελειῶ οἱ μεθ' Ὅμηρον ἱερὰν οἴδασι λέξιν, ὡς ἀπὸ τοῦ τέλους, ὅθεν ἡ τελετή, ἐξ οὗ τελεῖσθαι τὸ μυεῖσθαι καὶ οὕτως ἐντελέστατα ἔχειν. Ἢ καὶ ἄλλως τελεῖσθαι ὡς ἀπὸ τοῦ τέλλειν, ὅπερ ἐστὶν ἀνατέλλειν, τὸ ἡλίου ἀνατέλλοντος δίκην ὑπερῆρθαι τῶν κάτω διὰ τὸ τετελέσθαι, ταὐτὸν δ' εἰπεῖν μεμυῆσθαι. Τελεῖσθαι γοῦν τινες ἐλέγοντο Διονύσῳ κατὰ τὰ ἐν τοῖς πάλαι φλύαρα

μυστήρια, ἔτι δὲ καὶ Δήμητρι καὶ Περσεφόνῃ. καὶ γοῦν καὶ Παλλάδιον τετελεσμένον καὶ λίθος τετελεσμένος κατὰ τοιαύτην σημασίαν ἐλέγοντο].

2.716 (v. 313) Ἐν δὲ τῷ «ἕτερον μὲν κεύθει, ἄλλο δὲ βάζει» ἀδιάφορα φανερῶς τὸ ἕτερον καὶ τὸ ἄλλο καὶ οὐκ ἔχουσι τὴν συνήθη διαφοράν. [Σημειωτέον δ' ἐνταῦθα καὶ ὅτι ἐπίσης τῷ ἄλλα μὲν κεύθοντα, ἄλλα δὲ βάζοντα, μισητέος καὶ ὁ κατὰ παλαιὰν ἱστορίαν κελεύσας Θεόδωρος πλέον μὲν ἔχειν, ἐπαινεῖν δὲ τὸ ἶσον, ἔτι δὲ καὶ Σοφοκλῆς γνωματεύσας τὸ «σὺ δ' αὐτός, ὥσπερ οἱ σοφοί, τὰ μὲν δίκαι' ἐπαίνει, τοῦ δὲ κερδαίνειν ἔχου», καὶ τὸ «μηδὲν εἶναι ῥῆμα σὺν κέρδει κακόν». Ταῦτα δὲ οὐκ ἐξ ὀρθοῦ παραινοῦνται, ἀλλὰ κατά τινα εἰρωνικὴν βαρύτητα. διόπερ οὐδ' ἂν μισοῖντο ἁπλῶς οἱ ταῦτα εἰπόντες οἷά τινες πονηροδιδάσκαλοι]. Ὅτι Ὀδυσσέως εἰπόντος ἤδη τῷ Ἀχιλλεῖ, ὡς εἰ τὸν βασιλέα μισεῖς, ὅμως ἐλέησον τοὺς Ἀχαιούς, οἷς καὶ οἱ πρέσβεις οὗτοι συνεισάγονται, ὁ Ἀχιλλεὺς οὔτε τῷ βασιλεῖ πεισθῆναί φησι οὔτε τοῖς ἄλλοις Ἕλλησι. καὶ τοῦτο ἦν τὸ ἀπηλεγέως ἀποειπεῖν. (v. 315) Φησὶ γάρ· «οὔτ' ἔμε γ' Ἀτρεΐδην Ἀγαμέμνονα πεισέμεν οἴω οὔτ' ἄλλους Ἀχαιούς». (v. 316 s.) Εἶτα καὶ αἰτίαν τοῦ λόγου ἀποδιδοὺς ὀνειδίζει ἀχαριστίαν τοῖς Ἕλλησιν εἰπὼν «ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν μάρνασθαι δηΐοισιν ἐπ' ἀνδράσι νωλεμὲς αἰεί», τουτέστι διότι οὐκ ἔγνων μοι χάριτας οἱ Ἀχαιοὶ προπολεμοῦντι αὐτῶν. Καὶ ὅρα ὡς ἡρμήνευσε τὸ «νωλεμές» διὰ ταὐτοσήμου τοῦ «αἰεί». Ἔστι δὲ καὶ Ἀττικὸν τὸ σχῆμα, ὅμοιον τῷ λίαν πάνυ καὶ τοῖς τοιούτοις. (v. 310—20) Εἶτα ἐνδεικνύμενος τὴν τοῦ λέγειν δύναμιν ὁ Ὁμηρικὸς Ἀχιλλεὺς ἄλλως τὸ αὐτὸ νόημα μεταχειρίζεται καὶ τρισσάκις αὐτὸ στρέφει παραφράζων καὶ μεταποιῶν ἐν σχήματι ἐνδιαθέτου γοργότητος κατὰ τὸ ἀσύνδετον, καί φησιν ἅπερ εἴποι ἂν ἅπας μὴ λαμβάνων ἀξίας τῶν πόνων ἀμοιβάς· «ἴση μοῖρα μένοντι καὶ εἰ μάλα τις πολεμίζει». καὶ τοῦτο δὲ ἀχαριστίαν τῶν Ἀχαιῶν κατηγορεῖ. Καὶ πάλιν «ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός», καὶ πάλιν «κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς». Σημείωσαι δὲ ὅτι ἡ ἐν τοῖς ῥηθεῖσι τρισὶ στίχοις ταὐτολογία θυμικὴ φράσις ἐστίν. Ἔθος γὰρ τοῖς θυμουμένοις ταὐτολογεῖν.

2.717 Τὸ δ' αὐτὸ αἴτιον καὶ τοῦ κατὰ στίχον ἔννοιαν ἀπαρτίζεσθαι. Οὐ γὰρ μακρὰ τὰ κῶλα τοῦ λόγου τοῖς διακοπτομένοις τὸ πνεῦμα θυμῷ. (v. 315 s.) Ἰστέον δὲ καὶ ὅτι ὁ τοιοῦτος θυμὸς καὶ εἰς ἀμφιβολίας σχῆμα τὸν Ἀχιλλέα κατέρριψε, μὴ σκεψάμενον ὀρθολεκτῆσαι ἐν τῷ «οὔτε ἐμὲ Ἀγαμέμνονα πείσειν οἴω οὔτ' ἄλλους Δαναούς». Ὀρθὴν μὲν γὰρ μίαν ἔννοιαν ἔχει, ὡς οὔτε ὁ Ἀγαμέμνων οὔτε οἱ ἄλλοι πείσουσί με. ἀναφαίνεται δὲ διὰ τὰς συχνὰς αἰτιατικὰς καὶ ἑτέρα ἔννοιά τις ἀπεμφαίνουσα, οἷον ὅτι οὔτε ἐγὼ οὔτε οἱ ἄλλοι πείσομεν τὸν βασιλέα, καὶ ἄλλη δὲ τοιαύτη, ὡς οὔτε ἐμὲ οὔτε τοὺς ἄλλους Ἀχαιοὺς ἰσχύσει πείσειν ὁ Ἀγαμέμνων. Καινὸν δὲ οὐδὲν τοιαύτας ἐν σχεδιασμῷ ἀμφιβολίας παρεισπίπτειν, ὅπουγε καὶ ἄλλως τοιαῦτα συγκυροῦσιν. Τὸ γοῦν «ὦ Ζεῦ, γένοιτο καταβαλεῖν τὸν σῦν ἐμέ» παράγεταί τισιν εἰς τοιοῦτον παράδειγμα, ὡς δῆθέν τινος εὐξαμένου ἢ τὸν σῦν καταβλητικὸν αὐτοῦ γενέσθαι ἢ ἀνάπαλιν αὐτὸν τοῦ συός. Οὕτω δὲ καὶ πρὸ ὀλίγων ἐν τῷ «θεοῖσι δὲ θῦσαι ἀνώγει Πάτροκλον» Ἀχιλλεύς, οἱ καθ' Ὁμήρου ἀστεϊζόμενοι ἔσχισαν διχῇ τὸ νόημα τοῦ ῥητοῦ. Ἔστι γάρ, φασί, νοῆσαι, καθὰ καὶ προεδηλώθη, ὡς ἀνώγει Ἀχιλλεὺς θεοῖς θῦσαι τὸν Πάτροκλον αὐτὸν θύτην γενόμενον, καὶ αὖ ὅτι ἐκέλευσέ τισι τὸν Πάτροκλον εἰς θῦμα θεοῖς θέσθαι. [Τοῖς δὲ τοιούτοις ἔσται τοιόνδε τι τριχῇ κατ' ἀμφιβολίαν παῖξαι καὶ μετ' ὀλίγα ἐν τῷ «δώδεκα δὴ σὺν νηυσὶ πόλεις ἀλάπαξα». Ἢ γὰρ πόλεις ἀλάπαξα σὺν δώδεκα ναυσίν, ἢ δώδεκα πόλεις σὺν ναυσί. καὶ τοῦτο διχῶς. ἢ γὰρ δώδεκα πόλεις σὺν καὶ ταῖς αὐτῶν ναυσί, ἢ δώδεκα πόλεις νησιωτικὰς μετὰ τῶν ἐμῶν νηῶν]. (v. 318) Τοιούτων δὴ καὶ τούτων ὄντων, ὅρα ἐν τῷ «καὶ εἰ μάλα τις πολεμίζει» τὴν ἐξαλλαγὴν τοῦ σχήματος. Τὸ μὲν γὰρ ἀκόλουθον ἦν ἴση μοῖρα τῷ μένοντι καὶ τῷ μάλα πολεμίζοντι. ὁ δὲ λογίως τὸ σχῆμα μετήλλαξεν εἰς τὸ συγγενές. Ἰστέον γὰρ ὅτι αἱ μετοχαὶ δύνανται εἰς τοιοῦτον σχῆμα μεταλαμβάνεσθαι, οἷον· ἀριστεύων τις τιμᾶται. τοῦτο γὰρ ταὐτόν ἐστι τῷ· εἰ ἀριστεύει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τις, τιμᾶται. Καί· οὐδεὶς κοιμώμενος τρόπαιον ἱστᾷ, ὅπερ ἶσον δύναται τῷ· οὐδεὶς ἐὰν κοιμᾶται τρόπαιον ἱστᾷ. Οὕτως οὖν καὶ τό· ἴση μοῖρα τῷ μάλα πολεμίζοντι ταὐτὸν ἦν τῷ· ἐὰν μάλα πολεμίζῃ.

2.718 (v. 318—20) Τάττει δὲ πάντως ἐν τοῖς μάλα πολλὰ πολεμίζουσιν ἑαυτὸν ὁ Ἀχιλλεύς, ὥσπερ ἐν τῇ μοίρᾳ τῶν μενόντων τοὺς ἀμφὶ τὸν βασιλέα. ἔτι δὲ καὶ ἐν τῇ τῶν κακῶν καὶ ἐν τῇ τῶν ἀεργῶν ἤτοι ὀλιγοεργῶν, οἷς ἀντίθετος ὁ πολλὰ ἐοργώς, ὃς καὶ παρίσωσίν τινα ποιεῖ μετὰ τοῦ ἀεργός. Τὸ δὲ «μένοντι» πολὺν ἔχει νοῦν. Δηλοῖ γὰρ καὶ ἡλικίαν ἄχρηστον καὶ γεωργοὺς καὶ βαναυσοεργοὺς καὶ ὅλως πάντας ἀπολέμους, ἤδη δὲ εὐφήμως καὶ λειποτάκτας καὶ ἄλλως δειλούς. οὗτοι γὰρ πάντες μένουσιν οὐ πολεμοῦντες. Ὅτι δὲ ἐν τοῖς μένουσι τάττει καὶ τὸν βασιλέα, δηλοῖ ἐν οἷς προϊὼν ἐρεῖ, ὅτι ὁ Ἀτρείδης μένων παρὰ ναυσὶ παῦρα δασάσκετο, πολλὰ δ’ ἔσχεσκε. (v. 320) Τὸ δὲ ἔοργα καὶ ἐοργώς ἀπὸ τοῦ ἔργω ῥήματος γίνεται, ὡς ἀπὸ τοῦ ἔλπω τὸ ἔολπα. Τῶν δὲ εἰρημένων τριῶν ἐπῶν τὸ μὲν «ἴση μοῖρα» καὶ ἑξῆς, καὶ «ἐν δὲ ἰῇ τιμῇ» καὶ ἑξῆς, περὶ τὰ κατὰ ζωὴν στρέφεται, ὁ δὲ τρίτος στίχος περὶ τὰ ἐν τῷ τέλει τοῦ ζῆν, ποικιλλομένου καὶ οὕτω τοῦ ποιητοῦ. [Καὶ ἄλλως δὲ εἰπεῖν, τὸ μὲν «ἴση μοῖρα μένοντι» καὶ ἑξῆς ἐκ ποσότητος εἴληπται τοῦ κατὰ γέρας, τὸ δὲ «ἐν ἰῇ τιμῇ» καὶ ἑξῆς ἐκ ποιότητος τῆς κατὰ τιμήν, τὸ δὲ «κάτθαν’ ὁμῶς» καὶ ἑξῆς ἐκ τοῦ κατὰ βίον πέρατος]. (v. 321 s.) Ὅτι Ἀχιλλεὺς τὸ ἑαυτοῦ αὔταρκες δεικνύων, ἔτι δὲ καὶ τὸ φιλοκίνδυνον καὶ φερέπονον, φησίν, ὅτι «οὐδέ τι μοι περίκειται», ἀντὶ τοῦ περισσόν τι καὶ ὡς κειμήλιον κεῖται, «ἐπεὶ πάθον ἄλγεα θυμῷ, αἰεὶ ἐμὴν ψυχὴν παραβαλλόμενος πολεμίζειν». [Ἔνθα ὅρα ὅτι Ὁμήρου ἐν τῷ «κειμήλιά τε πρόβασίν τε» ὁρίσαντος τὸν πλοῦτον γοργῶς ἐν ἀκινήτοις καὶ αὐτοκινήτοις ἀντιθετικῷ σχήματι. — Ἀντίκειται γὰρ τοῖς κειμένοις τὰ προβαίνοντα. —τὸ «οὐ περίκειται» οὐδετέρου στερεῖ τὸν Ἀχιλλέα. Κειμήλιά τε γὰρ αὐτῷ κεῖται, εἰ καὶ μὴ περιττά, καὶ πρόβασιν δὲ ἔχει τὴν ἐν ζῴοις δηλαδὴ σπουδῆς ἀξίοις. Οὐδ’ ὅλως γὰρ ἀπέφησε ταύτην ὁ ἥρως.

2.719 (v. 323—6) Ἐπὶ δὲ τούτοις] ὁ Ἀχιλλεὺς λέγει καὶ παραβολὴν ταύτην «ὡς δ’ ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι μάστακα, ἐπεί κε λάβῃσι, κακῶς δ’ ἄρα οἱ πέλει αὐτῇ». Οὐ γὰρ ἀπόνως ὡς τὰ τετράποδα γάλακτι τρέφει, ἀλλὰ τῷ στόματι κάμνουσα. «Ὣς καὶ ἐγώ», φησί, «πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον, ἤματα δ’ αἱματόεντα διέπρησσον πολεμίζων». Καὶ ὅρα ὅπως οὐχ’ ἁπλῶς νεοσσοῖς εἰκάζει τοὺς Ἀχαιούς, ἀλλὰ καὶ ἀπτέροις, ὑπερεξαίρων μὲν ἑαυτόν, ἐξευτελίζων δὲ τοὺς ἄλλους. Καὶ ὡς αἰεὶ τοῖς πολέμοις παραβάλλεσθαι ὁμολογεῖ, οὐκ αἰδούμενος εἴπερ ὁ βασιλεὺς ὠνείδισέ που αἰεὶ αὐτῷ φίλην εἶναι τὴν ἔριν καὶ τοὺς πολέμους. (v. 322) Παραβάλλεσθαι δὲ τὸ παρατιθέναι καὶ παραρρίπτειν, ἐξ οὗ καὶ τὸ ἰδιωτικὸν παράβλημα. Σημείωσαι δὲ καὶ ὅτι τῶν παλαιῶν εἰπόντων δοκεῖν τὰ ἀπαρέμφατα ὀνόματα ῥημάτων εἶναι, συγκροτεῖται πολλαχοῦ ὁ λόγος καὶ ἐκ τῶν τοῦ ποιητοῦ, οἷον ὅτε εἶπεν, ὡς προτρέχει ὀνείδεα μυθήσασθαι, ἤγουν προτρέχουσιν ὕβρεις τοῦ μύθου. Καὶ νῦν δὲ παραβαλλόμενός φησι πολεμίζειν, ἤγουν παραρρίπτων ἑαυτὸν τῷ πολέμῳ. Ἀπτήν δὲ γίνεται παρὰ τὸ πτῶ πτήσω πτήν καὶ ἀπτήν, ὥσπερ παρὰ τὸ ἔχω ἀεχήν καὶ συναιρέσει ἀχήν, ὁ πτωχός, ὁ μηδὲν ἔχων. Νεοσσός δὲ ὁ νέον, ἤγουν νεωστί, σευόμενος καὶ κινούμενος, ἢ ὁ νέον ὀσσόμενος, ἤτοι φῶς βλέπων. [Ἀλλ’ οὕτω μὲν εὔλογος ἡ τῶν δύο σίγμα γραφή. Εἰ δὲ παρὰ τὸ νέον σεύεσθαι γίνεται, τότε τὸ πρῶτον ς ἐκ τοῦ ν ἀμεταβόλου τέτραπται, ὡς καὶ ἐν τῷ πασσυδίῃ καὶ ἐν τῷ σύσσιτος. Οἱ δὲ παλαιοὶ γράφουσι καὶ οὕτως. Ὀρνίθων τὰ ἐν ὄψει ἤδη ὄντα νεοττοί, κατὰ δέ τινας ὀρτάλιχοι. Ἀχαιὸς δὲ σκληρότερον ἔφη τὸ «χάσκοντα λιμῷ μόσχον ὡς χελιδόνος», δέον ὂν εἰπεῖν νεοττὸν ἤγουν ἀλλὰ χελιδονιδῆ.

2.720 ἐπεὶ ὥσπερ χηνιδεῖς λέγονται καὶ περδικιδεῖς καὶ κορωνιδεῖς καὶ ἱερακιδεῖς καὶ περιστεριδεῖς οἱ χηνῶν καὶ περδίκων καὶ τῶν ἑξῆς γόνοι, οὕτω καὶ χελιδονιδεῖς οἱ τῶν χελιδόνων]. Τὸ δὲ «προφέρῃσι» καιρίως μὲν ἔχει τὴν πρόθεσιν. Ὡς γὰρ ἐπὶ τῶν χειρὶ διδόντων ἀγαθὴ λέξις τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προχειρίζεσθαί τι, οὕτως ἐπὶ ὀρνίθων φερόντων ἐν στόματι τὸ τρέφον τὰ νεογνὰ κυριολεκτεῖται τὸ προφέρειν τροφήν. Πέφρασται δὲ κοινότερον ἐνεργητικῶς. ἄλλως γὰρ οἱ Ἀττικοὶ προφέρεσθαί φασιν, ὥσπερ καὶ φέρεσθαι, τὸ προφέρειν καὶ φέρειν. Σοφοκλῆς γοῦν δύο φησὶ φέρῃ δωρήματα ἀντὶ τοῦ φέρεις. (v. 324) Ἰστέον δὲ καὶ ὅτι οὐκ ἂν εἴη ἄκυρον οὐδὲ εἴ τις εἴπῃ τὸ προφέρειν μάστακα προΐσχεσθαι τροφήν. Μάσταξ δὲ νῦν μὲν τὸ μάσημα ἤγουν ἡ μεμασημένη τροφή. Ἐν Ὀδυσσείᾳ δὲ καὶ τὸ στόμα οὕτω λέγεται ὡς αἴτιον μασήσεως. Φησὶ γὰρ «μάστακα χερσὶ πίεζεν». [Ἰστέον δὲ ὅτι τὸ μασῶμαι ῥῆμα καὶ τὸν μαστὸν παράγει τὸν διὰ τοῦ ς καὶ τ γραφόμενον. Ὁ μέντοι διὰ τοῦ θ μασθὸς ἢ συνήθη τροπὴν ἐκ τοῦ ἀντιστοίχου τ ἔπαθεν ἢ ἐκ τοῦ μαζός, εἶτα Αἰολικῶς μασδός, προήχθη, ὡς καὶ τοῦ δ ἐν πολλοῖς τρεπομένου εἰς θ , καθὰ ἑτέρωθι δηλοῦται]. (v. 325) Ἰαύειν δὲ ποτὲ μὲν ἐπὶ ὕπνου καὶ ἀνακλίσεως τίθεσθαι δοκεῖ, οἷον «τῇ παριαύων τερπέσθω», ἤγουν παρακοιμώμενος.

2.721 ὡς ἐπὶ πολὺ δὲ ἡ λέξις ἐπὶ διατριβῆς, ὅ ἐστιν ἀργίας λέγεται. ὅθεν καὶ ἐνιαυτὸς ὁ μακρὸς χρόνος καὶ πολλὴν ἔχων διατριβήν. Διὸ καὶ τὸ «ἐτέων ἐνιαυτούς» ἀντὶ τοῦ διατριβὰς νοοῦσί τινες. Καὶ τὸ «νύκτας» οὖν «ἀΰπνους ἰαύειν» ἀντὶ τοῦ διάγειν, διατρίβειν. Πῶς γὰρ ἔστι τὸν ἄϋπνον νύκτας ἰαύειν, ἤγουν κοιμᾶσθαι; (v. 326) Αἱματόεντα δὲ ἤματα κυρίως τὰ ἐν τῷ φιλαιμάτῳ πολέμῳ. Διὸ καὶ ἐπάγει σαφήνειαν τὸ πολεμίζων. ἄλλως γὰρ αὔθαδές ἐστιν ἦμαρ αἱματόεν εἰπεῖν τὸ μὴ κατὰ πόλεμον. [Σημείωσαι δὲ ὅτι Ὅμηρος μὲν κἀνταῦθα, ὡς καὶ ἐν τοῖς ἄλλοις, τὸ αὔθαδες τῆς γραφῆς ἀπηνήνατο προσφυῶς τῷ λαλοῦντι σεμνῷ προσώπῳ. Οἱ δὲ μεθ’ Ὅμηρον ἀφειδῶς ἔπαιξαν ἐν τοιαύταις ἐννοίαις ἄλλα τε καὶ τὸ «καταπίνομεν δορατίων λείψανα κατεαγότα, ἀσπίδας δὲ προσκεφάλαια καὶ θώρακας ἔχομεν, πρὸ ποδῶν δὲ σφενδόνας καὶ τόξα, καταπέλταις δὲ στεφανούμεθα», καὶ πάλιν «τοῦ δεῖνος κύλιξ αἰχμή, κόμη δὲ τόξα, καὶ ἀλαλὴ μῦρον». Εἰ δὲ καὶ Ὅμηρός που τοὺς ἀμφὶ τὸν Διομήδην ὑπὸ κρασὶν ἀσπίδας ἔχειν ἔφη αἰθριοκοιτοῦντας, ἀλλὰ καὶ ἐκεῖνο σωφρόνως καὶ μετρίως, καὶ οὐδὲ πρὸς παίγνιον εἴρηται]. Διαπρήσσειν δὲ κυρίως μὲν ἐπὶ περάματος θαλάσσης, καταχρηστικῶς δὲ καὶ ἐπὶ γῆς, οἷον «διέπρησσον πεδίοιο». Ἐνταῦθα δὲ διαπρήσσειν λέγει τὸ ἁπλῶς διανύειν καὶ οἷον διεξοδεύειν. Ἔχει δέ πως τὸ ἀσφαλὲς ἡ λέξις ἐκ τοῦ αἱματόεντα, εἴπερ ὑγρὸν μὲν τὸ αἷμα, ἐπὶ ὑγρᾶς δὲ κυρίως τὸ διαπρήσσειν, ὡς τὸ «ναῦς διαπρήσσουσα κέλευθον». (v. 321 s. et 325 s.) Ἰστέον δὲ καὶ ὅτι τὸ «οὐδέ τί μοι περίκειται» καὶ ἑξῆς, καὶ «πολλὰς μὲν ἀΰπνους νύκτας ἴαυον» καὶ τὸ ἑξῆς πένητι πολυπαθεῖ ἀριστεῖ πρέπει ῥηθῆναι κατὰ καιρόν.

2.722 (v. 327) Ὅτι θυμούμενος ὁ Ἀχιλλεὺς λέγει τι καὶ παρὰ τὴν ἀλήθειαν ἐν τῷ εἰπεῖν μάχεσθαι αὐτὸν τοῖς Τρωσὶν ἕνεκα τῶν Ἑλληνικῶν γυναικῶν. πάντως γὰρ διὰ μίαν τὴν Ἑλένην ἐμάχετο, οὐ διὰ πολλάς. Φησὶ γὰρ «μαρνάμενος ὀάρων ἕνεκα σφετεράων», ὅπερ μετ’ ὀλίγα μερικεύων φησὶν «μόνοι φιλέουσιν ἀλόχους Ἀτρεῖδαι;» οἱονεὶ διορθούμενος, ὡς οὐ διὰ τὰς τῶν ἄλλων γυναῖκας, ἀλλὰ διὰ τὰς τῶν Ἀτρειδῶν μάρναμαι, εἰ καὶ μετ’ ὀλίγα διαρθροῖ αὐτὸ τὸ ἀληθὲς εἰπὼν Ἑλένης ἕνεκα τὸν στρατὸν συναχθῆναι, ὑποκαταβὰς ἐκ τοῦ κοινοῦ εἰς τὰς τῶν Ἀτρειδῶν, κἀκεῖθεν εἰς τὴν Ἑλένην. Ἰστέον δὲ ὅτι ἐντεῦθεν ὁ Σοφοκλῆς μεθοδευθεὶς ποιεῖ τὸν Τεῦκρον λέγοντα τῷ Ἀγαμέμνονι, ὅτι ὁ Αἴας διὰ τὴν αὐτοῦ γυναῖκα ἐν Τροίᾳ ἐμάχετο, ταὐτόν τι λογισάμενος τὸ «διὰ τὴν αὐτοῦ», καὶ τὸ «διὰ τὴν τοῦ Μενελάου», τοῦ ἀδελφοῦ. Ὄαρ δέ, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ἡ γυνή, ἐκ τοῦ ἀείρω τὸ συζευγνύω, ἐξ οὗ ἄορ καὶ μεταθέσει ὄαρ, ἵνα μὴ συνεμπίπτῃ πρὸς τὸ ἄορ τὸ ξίφος. ἡ γενικὴ ὄαρος, πληθυντικὸν ὄαρες, ὅθεν κατὰ κρᾶσιν ὦρες, καὶ ὤρεσι, ταῖς γυναιξίν, ὡς ἑτέρωθι πεποίηται. Ἐκ δὲ τοῦ ῥηθέντος ἀείρω γίνεται καὶ παραείρω τὸ παραζεύγνυμι, ἐξ οὗ παρήορος, ὡς καὶ αὐτό που δηλοῦται, ὁ καὶ παράσειρος, ἔτι δὲ καὶ σειραῖος παρὰ Σοφοκλεῖ. Ὅτι δὲ ὄαρ καὶ ἀρσενικῶς προφέρεται ἐπὶ ἀνδρός, καὶ ὡς ἐκεῖθεν καὶ ὀαρίζειν τὸ φιλικῶς ὁμιλεῖν, καὶ Διὸς ὀαριστὴς ὁ ὁμιλητής, ὅ ἐστι φοιτητής, καθότι καὶ συνουσίαι φιλοσόφως αἱ τοιαῦται ὀαριστύες λέγονται, οὐδ’ αὐτὰ σεσίγηνται. (v. 328—33)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὅτι σεμνῶς ἐλλαμπόμενος οἰκείοις κατορθώμασι κατά τινα συγγραφὴν ὁ λαμπρὸς Ἀχιλλεύς, [καὶ οὕτω μεγαλείως καὶ δίχα ψόγου περιαυτολογῶν], φησίν, ὡς «δώδεκα δὴ ξὺν νηυσὶ πόλεις ἀλάπαξ' ἀνθρώπων, πεζὸς δ' ἕνδεκά φημι κατὰ Τροίην ἐρίβωλον.

2.723 τάων ἐκ πασέων κειμήλια πολλὰ καὶ ἐσθλὰ ἐξελόμην», κατ' ἐξαίρετον δηλαδή, «καὶ πάντα φέρων Ἀγαμέμνονι δόσκον», ὅ ἐστιν ἐδίδων. «ὃ δ' ὄπισθε μένων παρὰ νηυσὶ δεξάμενος διὰ παῦρα δασάσκετο, πολλὰ δ' ἔχεσκεν, ἄλλα δ' ἀριστήεσσι δίδου δῶρα καὶ βασιλεῦσι» καὶ ἑξῆς. Καὶ ὅρα ὅτι εὐκαιρήσας ὁ ποιητὴς ἀριστείας τοῦ Ἀχιλλέως παλαιὰς ἱστόρησε πρὸ τοῦ δεκάτου γενομένας ἔτους. Ἐνταῦθα δὲ ἱστορεῖ καὶ ὁ Γεωγράφος, ὅτι Ἀχιλλεὺς τειχήρεις ὁρῶν τοὺς Ἰλιέας ἔξω ἐποιεῖτο τὸν πόλεμον καὶ περιϊὼν ἀφῃρεῖτο τὰ κύκλῳ, καὶ ὅτι Τροίαν ἐνταῦθα λέγει οὐκ αὐτὴν τὴν πόλιν [ὡς ἐν τῷ «Τροίην εὔπυργον ἕλητε»], ἀλλ' ὡς ἐκ μέρους τὴν πεπορθημένην ὅλην ἤπειρον, ἧς ὅτι ἐννέα δυναστεῖαι, ἐν τῷ τέλει που τῆς Ἰλιάδος λεχθήσεται. [Χρῆσις δὲ Τροίας τοιαύτης καὶ ἐν τῷ «ἐν Τροίῃ γὰρ πρῶτον ὑπέσχετο καὶ κατένευσε», καὶ ἐν τῷ «ἀλλ' ὅτε δὴ Τροίην ἷξον ποταμώ τε ῥέοντε»]. (v. 329) Ὅρα δὲ καὶ ἐνταῦθα τὸ «φημί» ἀξιωματικῶς λεχθὲν καὶ οὐχ' ὡς ἐπὶ ἀμφιβολίᾳ καὶ ἐνδοιασμῷ. Οὕτω καὶ Ἡσίοδός φησι τὸ «ἔνθα μέ φημι ὕμνῳ νικήσαντα». (v. 331) Τὸ δὲ «δόσκον» ποιηταῖς μόνοις ἀρέσκουσα λέξις, ὡς καὶ τὸ «δασάσκετο» καὶ τὸ «ἔχεσκεν». Οὐκ ἀνάλογον δὲ τὸ «δόσκον», ὡς ἐκ τοῦ δῶ δώσω. παρελήγετο γὰρ ἂν τῷ ω μεγάλῳ κατὰ τὸ βιώσκω, πτώσκω, τιτρώσκω καὶ τὰ ὅμοια. (v. 332) Ἐν δὲ τῷ «ὄπισθε μένων» μένειν μὲν τὸ ἀργεῖν, ὡς καὶ πρὸ ὀλίγου. Τὸ δὲ «ὄπισθεν» ἐντρεπτικόν ἐστιν, ὡς Ἀχιλλέως μὲν προμαχοῦντος, τοῦ δὲ βασιλέως οὐδὲ οὐραγοῦντος, ἀλλὰ ὄπισθεν μένοντος. (v. 331) Τὸ δὲ «πάντα φέρων δόσκον» ἐλευθερίου ἤθους καὶ εὐγενοῦς, εἴγε μηδέν τι τῶν τοσούτων καὶ τοιούτων ὁ ἥρως παρενοσφίζετο. Κειμήλια δὲ ἐκεῖνα καὶ πολλὰ καὶ ἐσθλὰ καὶ οἷα ἐξέλοιτ' ἄν τις. Αὐτὸ δὲ τὸ «φέρων» τοῦ παραβολικοῦ προφέρειν ἔχεται. ὡς γὰρ χελιδὼν προφέρει μάστακα νεοσσοῖς, οὕτως Ἀχιλλεὺς πάντα φέρων ἐδίδου τῷ βασιλεῖ. (v. 333) Τὸ δὲ «διὰ παῦρα δασάσκετο» διασαφεῖ τὸ δημοβόρον, ὃ προωνειδίσθη ὁ βασιλεύς, ὡς ἐκ πολλῶν ὀλίγα ἐπιμερίζων τοῖς Ἀχαιοῖς. (v. 334) Ἐν δὲ τῷ «ἀριστήεσσι καὶ βασιλεῦσιν» ὅρα τὴν διαφοράν. οὔτε γὰρ ἐξ ἀνάγκης οἱ ἀριστεῖς βασιλεύουσιν οὔτε βασιλέων τὸ ἀριστεύειν ἐστί. Σημείωσαι δὲ καὶ ὅτι τὰ μὲν ἀριστεῦσι καὶ βασιλεῦσι διδόμενα δῶρα ἦν, τὰ δὲ εἰς τὸ κοινὸν δασμός.

2.724 Διὸ «δασάσκετο» εἰπὼν ἐπάγει· ἄλλα δὲ τοῖς προέχουσιν ἐδίδου δῶρα. [Σημείωσαι δὲ ὅτι τε τὰ ἐνταῦθα κατὰ τοῦ Ἀγαμέμνονος εἰς πλάτος ῥηθέντα καὶ ἐν τῇ α' ῥαψῳδίᾳ στενολογεῖται κατά τινας ἐμφάσεις, καὶ ὅτι μυκτῆρα ἔχουσί τινα κατὰ τῶν βασιλικῶν δώρων. Οἱονεὶ γὰρ ἐμφαίνει μηδέν τι τῶν βασιλικῶν προσδεῖσθαι δώρων αὐτός, ὃς φθάσας μυριοπλάσια ἐκείνῳ προὐξένησε. Δῆλον γὰρ ὡς ὁ τοσαύτας ἀλαπάξας πόλεις σύν τε ναυσὶ καὶ πεζὸς μυρία ἐκεῖθεν ἤγαγε, θεωρούμενα ἔν τε χρυσῷ καὶ λοιποῖς μετάλλοις, καὶ σκεύεσι δὲ καὶ ἵπποις καὶ γυναιξὶ καίγε πόλεσι, ταὐτὸν δ' εἰπεῖν πτολιέθροις, ὡς ὁ βασιλεὺς ἔφη]. (v. 335 s.) Ὅτι λυπεῖ τὸν Ἀχιλλέα ὥσπερ τὸ μηδέν τι περικεῖσθαι αὐτῷ εἰς κειμήλιον, καθὰ προερρέθη, οὕτω καὶ εἰ τοῖς μὲν ἄλλοις τὰ γέρα ἔμπεδα κεῖται, ἤγουν κειμηλιοῦνται, «ἐμεῦ δ' ἀπὸ μούνου», φησίν, «Ἀχαιῶν εἵλετο» ὁ βασιλεύς, ἤγουν ἀφείλετο. ὃ καὶ ἐφερμηνεύων βαρέως φησὶν «ἔχει δ' ἄλοχον θυμαρέα». Καὶ κατωτέρω δὲ λέγει ὡς ἐκ χειρῶν γέρας εἵλετο καί μ' ἀπάτησε. Καὶ ὅρα ὅτι τε ἐν τῷ «εἵλετο» οὐ προσέθηκε τί ἀφείλετο ὁ βασιλεύς, ἀλλ' ἀφῆκεν αὐτὸ κατὰ πολλῶν νοεῖσθαι, καὶ ὅτι τὴν παλλακὴν ἄλοχον εἶπεν αὐξάνων τὴν τοῦ βασιλέως ἀδικίαν, καὶ οὐχ' ἁπλῶς ἄλοχον, ἀλλὰ καὶ θυμήρη, ὅπερ ἐφεξῆς ἑρμηνεύων λέγει «ἣν ἐκ θυμοῦ φίλεον», ὡς ταὐτὸν ὂν εἰπεῖν θυμαρέα, ἤγουν ἀρέσκουσαν τῷ θυμῷ καὶ ἣν ἐκ θυμοῦ φίλεον. Καὶ γὰρ φιλιώσεως σημαντικὴ λέξις καὶ τὸ ἀρέσαι, ὃ καὶ ἀρέσασθαι λέγεται, ὅθεν καὶ ὁ θυμηρὴς σύγκειται καὶ ὁ θυμαρής. Ζητητέον δὲ περὶ τοῦ τόνου, μήποτε ὀφείλει προπαροξύνεσθαι τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θυμαρέα. Ἐπεὶ γὰρ εὕρηται τὸ θυμῆρες βαρύτονον, ὡς τὸ «θυμῆρες κεράσασα», βαρύνοιτο ἂν ἴσως καὶ ὁ θυμήρης ἀναλόγως καὶ ἡ θυμήρης, ἀκολούθως δὲ καὶ ἡ θυμάρης. (v. 336 s.) Ὅτι μαλακῷ στρατιώτῃ ἐπιλεχθείη ἂν τὸ «τῇ», ἤγουν ταύτῃ, «παριαύων τερπέσθω. τί δὲ δεῖ πολεμίζειν;» Ἀχιλλεὺς δὲ τοῦτό φησι πρὸς τὸν τοῦ βασιλέως λόγον εἰπόντος ὀμόσειν μέγαν ὅρκον μήποτε ἐπιβῆναι εὐνῆς καὶ μιγῆναι τῇ Βρισηΐδι, οἱονεὶ λέγων· τί μοι τοῦτο, εἴπερ οὐκ ἐμίγη αὐτῇ. μιγνύσθω ἣν ἔχει, ὡς ἀνωτέρω ἔφη. (v. 338 s.) Ὅτι ἀρέσκει τοῖς ῥήτορσι τὸν ἐρωτῶντα οὐ μόνον ἐν σχήματι διλημμάτῳ ἀλλὰ καὶ ἐν ἁπλῇ ἐρωτήσει δέον εἶναι οὕτως ἐρωτᾶν, ὡς μὴ ἂν δυνησομένου τοῦ ἐρωτωμένου ῥᾳδίως ἀποκρίνασθαι.

2.725 Διὸ καὶ Ἀχιλλεὺς ἁπλῆν ἐνταῦθα ἐρώτησιν προτείνει ἀναντίρρητον ταύτην «τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας Ἀτρείδης, ἦ οὐχ' Ἑλένης ἕνεκα ἠϋκόμοιο;» πρὸς τοῦτο γὰρ οὐδεὶς ἀντερεῖ. (v. 340) Εἶτα πάλιν ὁμοίως ἐρωτῶν λέγει μετὰ βαρύτητος «ἦ μόνοι φιλέους' ἀλόχους μερόπων ἀνθρώπων Ἀτρεῖδαι;» (v. 341—3) Μεθ' ὃ κατὰ τὸ σιωπώμενον ἀνανεύσας πρὸς τὸν λόγον καὶ οὕτως οἷον ἀποφήσας, ὡς οὐ μόνοι ἀνθρώπων αὐτοὶ φιλοῦσι τὰς ἑαυτῶν, ἐπάγει γνωμικῶς «ἐπεὶ ὅς τις ἀνὴρ ἀγαθὸς καὶ ἐχέφρων τὴν αὑτοῦ», ἄλοχον δηλαδή, «φιλέει καὶ κήδεται. ὡς καὶ ἐγὼ τήν», ἤγουν ταύτην, «ἐκ θυμοῦ φίλεον δουρικτήτην περ ἐοῦσαν», ὃ ταὐτόν ἐστι τῷ αἰχμάλωτον. Οὐκ αἰδεῖται δὲ Ἀχιλλεὺς τὸν βασιλέα ταῦτα λέγων. κἀκεῖνος γὰρ ἐν τῇ α' ῥαψῳδίᾳ ἐμπαθέστερα τούτων ἐλάλει περὶ δορικτήτης τῆς Χρυσηΐδος. (v. 338) Ἰστέον δὲ ὅτι καὶ νῦν τὸ «ἀνήγαγε» λέξις ἐστὶ ναυτικὴ καὶ δηλοῖ τὸ ἀναπλέειν πεποίηκε. Τὸ δὲ «ἀγείρας» παρακείμενον τῷ «ἀνήγαγεν» παρήχησιν ποιεῖ. Ἔστι δὲ οὐ ψεκτὴ αὕτη λέξις κατὰ τὸ ἕτερον ἀγείρειν, ἐξ οὗ ὁ ἀγύρτης γίνεται καὶ ὁ μηναγύρτης. (v. 341) Τὸ δὲ «ἀγαθός» καὶ «ἐχέφρων» ἢ ταὐτά ἐστι ἢ καὶ διαφέρει καθότι γενικώτερον ὁ ἀγαθὸς τοῦ ἐχέφρονος. [(v. 342) Τὸ δὲ «τὴν αὑτοῦ φιλέει» δέδωκε τῷ Σοφοκλεῖ μέθοδον εἰπεῖν ἐν Οἰδίποδι τῷ τυράννῳ ἐσχηματισμένως τὸ «τὴν δὲ σὴν ὁμοῦ ναίουσαν οὐ κατεῖδες». Ἔνθα δοκεῖ μὲν λέγειν ὁ Τειρεσίας ὅτι τὴν σὴν ὀργὴν οὐ κατεῖδες τὴν σύμφυτόν σοι, ἀληθῶς δὲ λέγει ὅτι τὴν σὴν ἄλοχον οὐκ οἶδας, ἤγουν τὴν μητέρα σου, ᾗ συμβιοῖς, ὅπερ ὀκνήσας ἐκφῆναι εἶπε τὸ ὁμοῦ ναίουσαν, ὃ ταὐτόν ἐστι τῷ ὁμευνέτιν. καὶ οὕτως ἐδήλωσε τό τε ἄψογον, ἤγουν τὴν συγγενῆ ὀργήν, καὶ τὸ ἀνόσιον, ἤγουν τὸ τὴν μητέρα σου τὴν σοὶ ὁμόκοιτον]. (v. 343) Τὸ δὲ «ἐκ θυμοῦ» ἀντὶ τοῦ ἐκ ψυχῆς μέσης, ὃ καὶ ἐκθύμως λέγεται κατ' ἐπίτασιν προθέσεως, ὁποῖον καὶ τὸ ἐκνομίως, ἀντὶ τοῦ λίαν, καὶ ἔξω πάσης νομίσεως, ἤγουν ὡς οὐκ ἄν τις νομίσειε.

2.726 Τὸ μέντοι ἀπὸ θυμοῦ ἐναντίον τούτῳ ἐστὶν ἀντὶ τοῦ πόρρω ψυχῆς, ὡς τὸ «ἀπὸ θυμοῦ ἐμοὶ ἔσσεται», ἐξ οὗ καὶ ἀποθύμιόν που τὸ παρὰ τοῖς ὕστερον ἀκαταθύμιον, ἤγουν μὴ κατὰ ψυχήν. (v. 341 s.) Σημείωσαι δὲ καὶ τὴν ῥηθεῖσαν ἀποσιώπησιν πάνυ καινὴν οὖσαν. Νοητέον γάρ, ὡς προσεχῶς ἐρρέθη, ἀνανεύσαντα τὸν Ἀχιλλέα καὶ οὕτως ἀποφήσαντα καὶ αἰτίαν ἐπαγαγόντα τῆς ἀποφάσεως τὸ «ἐπεὶ ὅς τις ἀνὴρ ἀγαθός, τὴν ἑαυτοῦ φιλέει». (v. 344) Ὅτι αὔξων ὁ Ἀχιλλεὺς τὴν εἰς αὐτὸν βασιλικὴν ἀδικίαν λέγει τὸν βασιλέα ἐκ χειρῶν αὐτοῦ ἀφελέσθαι τὴν Βρισηΐδα κατά τινα βιαίαν καὶ ἀναιδῆ ἁρπαγήν. Φησὶ γὰρ «νῦν δ' ἐπεὶ ἐκ χειρῶν γέρας εἵλετο». (v. 344 s.) Ὅτι ὁ μὴ ἐθέλων πεισθῆναι τῷ ἀπατήσαντι ἐρεῖ κατὰ τὸν Ἀχιλλέα τὸ «νῦν δ' ἐπεί μ' ἀπάτησε, μή μευ πειράτω εὖ εἰδότος, οὐδέ με πείσει». Καιρία δὲ λέξις τὸ ἀπατᾶν. διὸ καὶ προϊὼν ἐπιμένει αὐτῇ ἐν τῷ «ἔλπεται ἐξαπατήσειν», καὶ «ἐκ γὰρ δή μ' ἀπάτησε». Πόθεν δὲ ἡ λέξις γίνεται, δηλοῦται ἀλλαχοῦ. Ὅρα δὲ καὶ τὸ «πειράτω» ῥηθὲν ἐνεργητικῶς. [Τοῦ δὲ ἀπατᾶν ὅτι προϋπάρχει ὁ πάτος καὶ τὸ πατεῖν, προδεδήλωται. Χρῆσις δὲ αὐτοῦ καὶ παρ' Ἡσιόδῳ ἐν τῷ «θέρεος δὲ νεωμένη οὔ ς' ἀπατήσει», τουτέστιν οὐ κακυνεῖ τὸν ἐν τῇ νειῷ πάτον σου οὐδὲ βλάψει κατὰ τοὺς ἔξω πάτου πλανωμένους, ἀλλὰ δηλαδὴ ὠφελήσει. Εἰκὸς δὲ ἴσως ἀπατᾶν εἶναι καὶ τὸ βλάπτειν, ἵνα ᾖ ὥσπερ μηνίω καὶ ἀπομηνίω τὸ αὐτὸ παρ' Ὁμήρῳ, οὕτω καὶ ἀτῶ καὶ ἀπατῶ ἐπὶ τῆς αὐτῆς ἑρμηνείας]. (v. 346 s.) Ὅτι τοῦ βασιλέως εἰπόντος ἐν τῇ α' ῥαψῳδίᾳ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς πάρεισί μοι καὶ ἄλλοι, οἵ κέ με τιμήσουσι, λέγει νῦν Ἀχιλλεὺς βαρέως μάλα πρὸς ἐκεῖνο «ἀλλ' Ὀδυσσεῦ, σὺν σοί τε καὶ ἄλλοις βασιλεῦσι φραζέσθω νήεσσιν ἀλεξέμεναι δήϊον πῦρ», καὶ οὐκ αἰδεῖται καὶ τῶν φιλτάτων καίρια καθαπτόμενος, Ὀδυσσέως τε καὶ Αἴαντος. (v. 348—50) Μυκτηρίζει δὲ καὶ τὴν τοῦ τείχους καὶ τῆς τάφρου ἐπίνοιαν καὶ οἷον ἀντιδάκνει τὸν Νέστορα πρὸ ὀλίγου εἰπόντα «τούσδε δ' ἔα φθινύθειν ἕνα καὶ δύο».

2.727 —Ἐκείνου γὰρ βουλῇ καὶ τὸ τεῖχος γέγονε καὶ ἡ τάφρος. —, καὶ πολὺν μὲν λέγει πόνον περὶ αὐτὰ γενέσθαι, ἀνυσθῆναι δὲ οὐδέν. Φησὶ γὰρ «ἦ μὲν δὴ μάλα πολλὰ πονήσατο νόσφιν ἐμεῖο, καὶ δὴ τεῖχος ἔδειμε, καὶ ἤλασε τάφρον ἐπ' αὐτῷ εὐρεῖαν, μεγάλην, ἐν δὲ σκόλοπας κατέπηξε. —, περὶ ὧν προγέγραπται. —, «ἀλλ' οὐδ' ὧς δύναται σθένος Ἕκτορος ἀνδροφόνοιο ἴσχειν». (v. 352—5) Εἶτα μεγαλαυχῶν λέγει καὶ οἷος ἦν ὁ Ἕκτωρ ἕως αὐτὸς ἐπολέμει. Φησὶ γὰρ «ὄφρα δ' ἐγὼ μετ' Ἀχαιοῖσιν», ἤγουν ἐν Ἀχαιοῖς ἢ σὺν Ἀχαιοῖς, «πολέμιζον, οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ, ἀλλ' ὅσον ἐς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν. ἔνθα ποτὲ οἶον», τουτέστι μόνον, «ἐμέ», ὡς ἐν μονομαχίας λόγῳ, «ἔμιμνε, μόγις δέ μευ ἔκφυγεν ὁρμήν». Καὶ ὅρα ὡς ἐκ παρόδου ἱστόρησεν Ὅμηρος τολμῆσαί ποτε τὸν Ἕκτορα, ὡς εἰκός, μονομαχῆσαι τῷ Ἀχιλλεῖ. Καὶ γίνεται πιθανὴ ἐντεῦθεν καὶ ἡ ἐν τοῖς μετὰ ταῦτα τόλμα κατὰ τοῦ Ἀχιλλέως τῷ Ἕκτορι. (v. 354) Περὶ δὲ Σκαιῶν πυλῶν καὶ φηγοῦ ἐγράφη ἀλλαχοῦ. (v. 347) Δῆλον δ' ὅτι καὶ τὸ «ἀλεξέμεναι δήϊον πῦρ» ἐντέλειαν ἔχει φράσεως, καθὰ καὶ πρὸ τούτων τὸ «ἀλεξήσῃς κακὸν ἦμαρ», ὡς αὐτοῦ μόνου τοῦ ἀλεξέμεν ἐλλιποῦς ὄντος. (v. 348) Τὸ δὲ «πονήσατο» Ἀττικόν ἐστι, κοινὸν δὲ αὐτοῦ τὸ ἐπόνησεν. (v. 351) Ἀνδροφόνον δὲ τὸν μετ' ὀλίγα καὶ δῖον Ἕκτορα ὁ Ἀχιλλεὺς ἔφη ἐπὶ ὀνείδει τῶν Ἀχαιῶν, δι' οὓς ἔσχεν ἐκεῖνος τὸ τοιοῦτον ἐπίθετον μετὰ τὴν αὐτοῦ μῆνιν. Οὐ δήπου γὰρ καὶ πρὸ τούτου ἀνδροφόνος ἦν ὁ μὴ τολμῶν προκύπτειν τοῦ κατὰ τὴν Τροίαν τείχεος, οὐδὲ μὴν ἐθελέσκων, ἤγουν δυνάμενος, μάχεσθαι, ὅτε Ἀχιλλεὺς ἦν ἐν τῷ καθεστῶτι. (v. 356—60) Ὅτι τοῦ Ὀδυσσέως πρὸ ὀλίγων εἰπόντος τῷ Ἀχιλλεῖ, ὡς νῦν τὸν Ἕκτορα ἕλῃς, ὁ Ἀχιλλεὺς πάνυ δεινῶς τὸν λόγον μεταχειριζόμενος οὐ μόνον λέγει ὡς οὐκ ἐθέλει πολεμεῖν, ἀλλὰ καὶ ὡς αὔριον ἀποπλεύσει, εἰπὼν «νῦν δ' ἐπεὶ οὐκ ἐθέλω πολεμίζειν Ἕκτορι δίῳ, αὔριον ἱρὰ Διῒ ῥέξας, νηήσας εὖ νῆας, ἐπὴν ἅλαδε προερύσσω, ὄψεαι ἢν ἐθέλῃσθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ, ἦρι μάλα Ἑλλήσποντον ἐπ' ἰχθυόεντα πλεούσας νῆας ἐμάς, ἐν δ' ἄνδρας ἐρεσσέμεναι μεμαῶτας».

2.728 Καὶ ὅρα τὸ σχῆμα τῆς ῥηθείσης ἐννοίας καινοπρεπὲς ὂν διὰ τὸ προφανὲς ἐν αὐτῇ σολοικοφανές. Ἔστι γὰρ τὸ ῥηθὲν τοιοῦτον. Νῦν δ' ἐπεὶ οὐ θέλω Ἕκτορι μάχεσθαι, αὔριον ἱερὰ ῥέξας ἐγὼ καὶ συναγαγὼν τὰς ἐμὰς νῆας, ὄψει σὺ αὐτὰς ὄρθρου ἀποπλεούσας. Ἦν δὲ τὸ εὐσυντάκτως ὀρθὸν εἰπεῖν, ὅτι αὔριον θύσας καὶ συσκευάσας τὰς νῆας ἀποπλευσοῦμαι. Ὁ δὲ μὴ ἐθελήσας ἑαυτῷ ἀλλὰ ταῖς ναυσὶ καὶ τοῖς ναύταις προσάψαι τὸ τῆς ἀποπλοίας ῥῆμα, ἐπήγαγε δευτέραν ἔννοιαν ἀπροσφυῆ τῇ πρώτῃ, τὸ «ὄψεαι» καὶ τὰ ἑξῆς, καὶ οὕτως ἔφρασε καινοφανέστερον. Ἔοικε δὲ καὶ διὰ θυμὸν ἐκλαθέσθαι τῆς κατ' ὀρθὸν συντάξεως. Εἰ δέ τις τὸ «ῥέξας» καὶ τὸ «νηήσας» συντάξει μετὰ τοῦ «ἐπεὶ οὐκ ἐθέλω πολεμίζειν», δοκεῖ μὲν θεραπεῦσαι τὸ σολοικοφανές, ποιεῖ δὲ οὐκ εὐδιανόητον τὸ νόημα. καὶ ταῦτα μὲν ἄρτι λαλεῖ Ἀχιλλεὺς διὰ τὸ πολὺ τοῦ θυμοῦ. Ἐν δὲ τοῖς ἑξῆς ἀγαθὰς ἐλπίδας ὑποτείνει, λέγων ὡς οὐ πείσει τὸν ἐμὸν θυμὸν ὁ βασιλεύς, πρίν γε ἀπὸ πᾶσαν ἐμοὶ δοῦναι θυμαλγέα λώβην, ἤγουν πρὶν ἀντιλωβηθῆναι ὧν με ἐλύπησεν. Ὅρα δὲ ὅτι ἄλλως μὲν οὐκ ἐθέλει Ἀχιλλεὺς πολεμίζειν Ἕκτορι, ἄλλως δὲ ὁ Ἕκτωρ οὐκ ἐθέλεσκεν, ὡς προεγράφη, μάχην ἀπὸ τείχεος ὀρνύμεν. Ἀχιλλεὺς μὲν γὰρ δυνάμενος, Ἕκτωρ δὲ μὴ ἰσχύων. ὥστε τὸ «οὐκ ἐθέλεσκεν Ἕκτωρ» εὐφήμως καὶ κατὰ εἰρωνείαν δὲ εἴρηται ἀντὶ τοῦ οὐκ ἠδύνατο, ὁμοίως τῷ «οὐδ' ἔθελε προρέειν». (v. 356) Τὸ δὲ «Ἕκτορι δίῳ» σεμνότερον ῥηθὲν ἤπερ πρὸ ὀλίγων τὸ «Ἕκτορος ἀνδροφόνοιο» βαρύνει τε τοὺς πρέσβεις, εἰ οὕτω τὸν τοῖς Ἀχαιοῖς ἐχθρὸν ὁ Ἀχιλλεὺς ἐπαινεῖ, καὶ τὸ πᾶν δὲ τὸν

Ἕκτορα ἐν τῇ Τροίᾳ εἶναι δηλοῖ. οὐ γὰρ ἔφη ὡς οὐκ ἐθέλω πολεμίζειν Τρωσίν, ἀλλὰ Ἕκτορι. (v. 357) Τὸ δὲ «ἱρὰ ῥέξας» κατὰ τὸ πλῆρες ἐφράσθη. ἁπλῶς δὲ εἰπεῖν ῥέξας ἔλλειψιν ἔχει. Ὁ γάρ τοι ῥέζων θυόμενόν τι ῥέζει.

2.729 (v. 358) Τὸ δὲ «νῆας εὖ νηήσας» ὅμοιόν ἐστι τῷ πρὸ ὀλίγου ῥηθέντι τῷ «νῆα νηησάσθω», καὶ δηλοῖ τὸ σωρεύσας, ἤτοι φορτίσας. οὐ γὰρ μόνον ἐν τῇ πατρίδι πλουτεῖ Ἀχιλλεύς, ἀλλὰ καὶ ἐκ Τροίας πολλὰ ἄξεται, ὡς αὐτὸς ἐρεῖ. [Τὸ δὲ «ἐπὴν ἅλαδε προερύσσω» δοκεῖ ἐπίτηδες οὕτω φρασθῆναι διὰ τὸ μὴ ἐγχωρεῖν εἰπεῖν αὐτὸ δὴ μόνον τὸ ἅλαδε προερύσας πρὸς ἀκολουθίαν τοῦ «νηήσας»]. (v. 359) Προσοχῆς δὲ ποιητικὸν τὸ «ὄψεαι ἢν ἐθέλῃσθα καὶ αἴ κέν τοι τὰ μεμήλῃ». Λέγει δὲ αὐτὸ Ἀχιλλεὺς ἐκφοβῶν τὸν Ὀδυσσέα καὶ ὑπεμφαίνων ὡς οὐκ ἔσται ὑμῖν ἄδεια εἰς τὰς ἐμὰς νῆας αὔριον ἀτενίζειν, ἀλλὰ τῶν πρὸς ποσὶ μόνων ἔσεσθε. Ἔστι δὲ τὸ μὲν ἐθέλῃσθα ὡς τὸ ἦσθα καὶ ἔφησθα. Τὸ δὲ «μεμήλῃ» μέσος παρακείμενος ὑποτακτικὸς ἐκ τοῦ μέμηλα, ὅμοιος τῷ ὄλωλα ὀλώλῃ, ὡς τὸ «ὅτ’ ἄν ποτ’ ὀλώλῃ». (v. 360) Ἦρ δὲ καὶ ἐνταῦθα φανερῶς ὁ ὄρθρος. ἐκ τούτου δὲ ἡ Ἠριγένεια γίνεται, ὡς ἀλλαχοῦ γέγραπται. Τὸ δὲ «μάλα» ἔοικε κατὰ παρολκὴν κεῖσθαι, ὡς καὶ ἐν τῷ πώμαλα, περὶ οὗ δηλοῦται καὶ ἐν τοῖς τοῦ Κωμικοῦ. Ὅρα δὲ ὅτι καὶ νῦν Ἑλλήσποντον λέγει τὴν περὶ τὸ ναύσταθμον θάλασσαν, μεθ’ ἣν ὁ Αἰγαῖος. Τοῦτον δὲ τὸν Ἑλλήσποντον πλατὺν ἀλλαχοῦ λέγει πρὸς διαστολὴν τοῦ στενοῦ, ὃς ἀγάρροος λέγεται. Εἰ δὲ καὶ ἰχθυόεις ὁ Ἑλλήσποντος κατά τι ἐξαίρετον, ἡ ποιητικὴ Μοῦσα οἶδε. (v. 361) Τὸ δὲ «ἐρεσσέμεναι μεμαῶτας» ναυτικωτάτους εἶναι παραδηλοῖ τοὺς ὑπὸ τῷ Ἀχιλλεῖ. [Ἐμφαίνει δὲ καὶ χαρὰν εὔλογον τῶν Μυρμιδόνων, ὡς οὐχὶ ἀκόντων ἀλλὰ σὺν προθυμίᾳ πολλῇ ἀποπλεόντων κατὰ πολλὰ τὰ αἴτια. Πλουτοῦσί τε γὰρ οἷς ἐληΐζοντο καὶ κινδύνων ἐξάντεις γίνονται καὶ ἀχαρίστων ἀνδρῶν ἀπαλλάττονται]. (v. 362 s.) Ὅτι μετρῶν χωρογραφικῶς τὸν ἀπὸ Τροίας πλοῦν εἰς Φθίαν ὁ Ἀχιλλεὺς λέγει ὡς, εἴπερ εὐπλοΐην, ἤγουν εὔπλοιαν, θεὸς δῴη, «ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἱκοίμην». Οὕτω καὶ ὁ φιλόμηρος Σοφοκλῆς, φιλοτιμησάμενός που ἐν στενῷ περιηγήσασθαι, μετρεῖ τὸν ἀπὸ Σκύρου πλοῦν εἰς τὸ Σίγειον, ἔνθα τὸ Ἀχαιϊκὸν ναύσταθμον ἦν, εἰπὼν «ἦν ἦμαρ ἤδη δεύτερον πλέοντί μοι», ὅτε δηλαδὴ καὶ κατέσχεν εἰς τὸ Σίγειον.

2.730 Καὶ τὸν ἐκ Λήμνου δὲ πλοῦν εἰς τὰ τοῦ Φιλοκτήτου ἱστορῶν «ἡμέρας» φησί «μόχθος οὐχ’ ὅλης μιᾶς». Ὅλως δὲ ποιηταῖς ἔθος καὶ τοιούτοις φιλομαθίας χάριν ἐμφιλοχωρεῖν. (v. 364) Ὅτι ἀλλαχοῦ μὲν ὁ ποιητὴς κεῖσθαι τὸν Ἀχιλλέα φησὶν ἐν ταῖς ναυσίν, ἤγουν διὰ τὴν μῆνιν ἀπρακτεῖν, αὐτὸς δὲ Ἀχιλλεὺς τὸ ἐν Τροίᾳ ζῆν ἔρρειν φησὶν εἰπὼν «τὰ κάλλιπον ἐνθάδε ἔρρων», ὡς τοιούτου ὄντος τοῦ κενῶς κοπιᾶν. Τῇ αὐτῇ δὲ λέξει καὶ ὁ βασιλεὺς ἐν τοῖς ἑξῆς που χρήσεται περὶ ἑαυτοῦ λύπην πάσχων. Προϊὼν δὲ Ἀχιλλεὺς ἄλλως ἐν κατευχῇ λέγει περὶ τοῦ βασιλέως, ὅτι ἕκηλος ἐρρέτω. Ὅτι δὲ τὸ ἔρρειν καὶ ἐπὶ τοῦ χωλεύειν τίθεται, ἡ τοῦ Ἡφαίστου ὁπλοποιΐα δηλώσει. Παραγωγὴ δὲ τοῦ ἔρρω ἁπλοϊκὴ μὲν τὸ εἰπεῖν ἐκ τῆς ἐν προθέσεως καὶ τοῦ ῥῶ, τὸ φθείρω, γίνεσθαι ἔνρω, καὶ τροπῇ ἀναλόγῳ τοῦ ν εἰς τὸ ἐφεξῆς ἀμετάβολον ἔρρω, ποικίλη δέ, εἴ τις φαίη ἐκ τοῦ φθείρω εἶναι αὐτὸ καθ’ Ἡρακλείδην, εἰπόντα ὅτι τὰ τῶν λέξεων πρῶτα σύμφωνα αἴρειν εἰώθασιν Ἴωνες καὶ Αἰολεῖς, ἄν τε ἓν ᾖ, οἷον λαιψηρός αἰψηρός, ἄν τε δύο, οἷον τὸ παρὰ πλευρὰν ἑστάναι πλάγιον εἶπεν ἐν ποιότητι Ὅμηρος εὐρὰξ «στῆ δ’ εὐράξ», ἀντὶ τοῦ πλευράξ. Οὕτω καὶ ἡ πλάνη καὶ τὸ πλανᾶσθαι ἀπελεύσει τῶν καταρχόντων δύο συμφώνων ἄλη γίνεται καὶ ἀλᾶσθαι ἀντιθέσει τοῦ ν εἰς λ , ᾧ ἀντιστοιχοῦσι Δωριεῖς ἐν τῷ φίλτατος φίντατος, ἦλθεν ἦνθεν, Φίλτις Φίντις παρὰ Πινδάρῳ, ἕλετο ἕντο, καὶ Δωρικῶς γέντο, κέλετο κέντο παρὰ Ἀλκμᾶνι. Τούτων οὕτως ἐχόντων, οἱ Αἰολεῖς, φησί, τὰ εἰς ρ βραχύτονα, ἔχοντα τὴν ει δίφθογγον παρατέλευτον μετατιθέντες τὸ ι εἰς ἕτερον ρ προφέρονται τὸ κείρω κέρρω λέγοντες καὶ τὸ δείρω δέρρω. οὕτως οὖν καὶ φθείρω φθέρρω καὶ ἄρσει τῶν πρώτων δύο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συμφώνων ἔρρω. Καὶ οἱ Ἀριστάρχειοι δέ, φησί, συνᾴδουσι τῇ τοιαύτῃ δηλαδὴ ἐκ τοῦ φθείρω παραγωγῇ. τὸ γὰρ «ἐρρ' ἐκ νήσου» ἐξηγεῖται «μετὰ φθορᾶς ἄπιθι».

2.731 Ὡς δὲ ἐκ τοῦ φθείρω καὶ τὸ ῥαίω γίνεται κατὰ τὸν αὐτὸν Ἡρακλείδην, ἐν οἰκείῳ τόπῳ ῥηθήσεται. Ὡς δὲ τὸ πληθυντικὸν τοῦ ἔρρε προστακτικοῦ τὸ ἔρρετε διὰ δύο λ γλῶσσά τις, φησί, Καλλίμαχος δηλοῖ ἐν τῷ «ἔλλατε, βασκανίης ὀλοὸν γένος». (v. 364—9) Ὅτι ἀνενδεῆ δεικνὺς ἑαυτὸν ὁ Ἀχιλλεύς φησιν «ἔστι δέ μοι μάλα πολλά», ἐν Φθίῃ, «τὰ κάλλιπον ἐνθάδε», ὡς ἐρρέθη, «ἔρρων. ἄλλον δ' ἐνθένδε χρυσὸν καὶ χαλκὸν ἐρυθρόν», ἤγουν πυρρόν, «ἠδὲ γυναῖκας ἐϋζώνους πολιόν τε σίδηρον ἄξομαι, ἅσ' ἔλαχόν γε», ὡς εἷς δηλαδὴ τῶν τοῦ πλήθους, τοιοῦτον γὰρ τὸ λαχεῖν. «γέρας δέ μοι», ὅπερ ὡς ἐξαίρετον ἦν δίχα τοῦ λαχεῖν, «ὥς περ ἔδωκεν, αὖτις ἐφυβρίζων ἕλετο Ἀτρείδης». Ἐν οἷς ὅρα ὅτι τε τὸ ἄξομαι κυριολεκτεῖται μὲν ἐπὶ γυναικῶν ὡς ἐμψύχων, συλληπτικῷ δὲ τρόπῳ ἐξακούεται καὶ ἐπὶ χρυσοῦ καὶ χαλκοῦ καὶ σιδήρου τῶν ἀνωτέρω ῥηθέντων, καὶ ὅτι τὸν χρυσὸν μὲν δίχα ἐπιθέτου προήγαγεν, ὃν ἐν ἄλλοις εἶπε τιμήεντα, τὸν δὲ χαλκὸν ἐρυθρὸν ἐπωνόμασε, τὸν δὲ σίδηρον πολιόν, ἢ ὡς ἔντιμον ἢ ὡς χρυσοῦ καὶ ἀργύρου καὶ τῶν ὁμοίων ὑλῶν χρειωδέστερον καὶ πολιτικώτερον. καὶ ὅτι τὸ «ὥς περ ἔδωκεν, αὖτις ἐφυβρίζων εἵλετο» δηλοῖ ῥᾶον ἀφαιρεθῆναι τὸ γέρας, ὥσπερ καὶ ἐδόθη, ἢ ὅτι, ὥσπερ μὴ δεομένῳ μοι ἐδωρήθη, οὕτω καὶ ἀνενδεοῦς ὄντος ἀφῄρηται, ἢ καὶ ὅτι ὁ νῦν κατὰ ὕβριν ἀφελόμενος ἔοικεν οὐδὲ διδοὺς κατὰ τιμὴν ἀληθῆ δοῦναι, ἀλλὰ μόνον ἀφοσιούμενος. Ὡς γοῦν ἔδωκεν, οὕτω καὶ ἀφείλετο, οὔτε τότε τιμῶν οὔτε νῦν. (v. 369—73) Ἐπὶ τούτοις ὁ Ἀχιλλεὺς καλεῖ καὶ ὧδε τὸν βασιλέα κύνεον καὶ ἀναιδείην ἐπιειμένον, εἰπὼν ἃ δή τις ἐρεῖ ἐπὶ ἀνθρώπῳ ἀπατεῶνι καὶ ἀναιδεῖ «τῷ πάντ' ἀγορευέμεν ὡς ἐπιτέλλω ἀμφαδόν», ἤγουν φανερῶς καὶ ἐν ἐπηκόῳ, «ὄφρα καὶ ἄλλοι ἐπισκύζωνται Ἀχαιοί, εἴ τινά που Δαναῶν ἔτι ἔλπεται ἐξαπατήσειν, αἰὲν ἀναιδείην ἐπιειμένος, οὐκ ἂν ἔμοιγε τετλαίη, κύνεός περ ἐών, εἰς ὦπα ἰδέσθαι».

2.732 (v. 374) Λέγει δὲ καὶ ὅτι «οὐδέ τι οἱ βουλὰς συμφράσομαι, οὐδὲ μὲν ἔργον». (v. 375—8) Τὸ ἐντεῦθεν δὲ ὀργίλον ἦθος, ὡς καὶ οἱ παλαιοὶ σημειοῦνται, διαγράφων ὁ ποιητὴς ἐγκόπτει συχνὰ τὸν λόγον τῷ Ἀχιλλεῖ, κομματικῶς προάγων τὴν ἀντιλογίαν, ὅπερ ἔθος τοῖς τραχυνομένοις. Ἐν γοῦν τέσσαρσι, φασί, στίχοις ἀπὸ τοῦ «οὐδὲ μὲν ἔργον» ἔννοιαι ὀκτὼ στίζονται αὐτοτελεῖς αὗται «ἐκ γὰρ δή μ' ἀπάτησε», «καὶ ἤλιτεν», «οὐδ' ἂν ἔτι αὖτις ἐξαπάφοιτο ἐπέεσσιν», «ἅλις δέ οἱ», «ἀλλὰ ἕκηλος ἐρρέτω», «ἐκ γάρ οἱ φρένας εἵλετο Ζεύς», «ἐχθρὰ δέ μοι τοῦ δῶρα», «τίω δέ μιν ἐν καρὸς αἴσῃ». (v. 370) Ἰστέον δὲ ὅτι ἐν τοῖς ῥηθεῖσι τὸ μὲν ἐπισκύζεσθαι, ὡς καὶ ἀλλαχοῦ, ὀργὴν δηλοῖ, ἐξ οὗ καὶ τὸ ἐπισκύνιον. (v. 372) Τὸ δὲ αἰὲν ἀναιδῶς τὸν βασιλέα ἔχειν δεινότερον τοῦ «αἰεὶ γάρ τοι ἔρις τε φίλη» καὶ ἑξῆς, ὃ φθάσας ὁ βασιλεὺς ὠνείδισεν εἰς Ἀχιλλέα. (v. 373) Τοῦ δὲ «τετλαίη» ὁ ἀναδιπλασιασμὸς ὅμοιος τῷ «τεθναίη». Ἀναιδείας δὲ χαρακτὴρ ἐνταῦθα φαινόμενος συνήθης εἶναι τῷ βασιλεῖ τὸ τλῆναι τὸν ἀδικητὴν ἀντιβλέψαι ἀσκαρδαμύκτως, [ὡς καὶ ἡ κωμῳδία φησί], τῷ ἀδικηθέντι, [καὶ ποιητικῶς εἰπεῖν, «κύνεον εἰς ὦπα ἰδέσθαι»]. Ἔνθα σημείωσαι καὶ ὡς ἐντεῦθεν τοῖς παλαιοῖς ἐλήφθη τὸ διακυνοφθαλμίζεσθαι, ὅπερ δηλοῖ κατὰ Αἴλιον Διονύσιον τὸ ὑποβλέπεσθαι καὶ ὑφορᾶσθαι ἀλλήλους. Σκοπητέον δὲ ἐνταῦθα καὶ εἴπερ τὸ «εἰς ὦπα ἰδέσθαι» συντελεῖ τι ἐν τοῖς ἑξῆς πρὸς σαφήνειαν τοῦ «εἰσωποὶ δ' ἐγένοντο νεῶν». (v. 374) Τὸ δὲ «οὐ βουλὰς οὐδὲ ἔργον» πάνυ σεμνύνει τὸν Ἀχιλλέα, εἰ καὶ ἐν βουλεύμασι καὶ ἐν ἔργοις τῷ βασιλεῖ καθηγεῖτο. (v. 375) Τὸ δὲ «ἀπάτησε» καιρία λέξις. Διὸ δὶς ἐν τοῖς νῦν ῥηθεῖσιν, εἶτα ἐτέθη ἀντ' αὐτοῦ ὡς ἰσοδύναμον τὸ ἀπάφεσθαι. Τὸ δὲ «καὶ ἤλιτεν» ἄριστα πρόσκειται εἰς τὸ «ἐκ γὰρ δή μ' ἀπάτησεν». Ὡς γὰρ οὐ πᾶς δόλος, οὕτως οὐδὲ ἀπάτη πᾶσα ψεκτή, ἀλλ' ἢ μόνη ἡ τῶν ἀλιτρῶν. καλῶς γὰρ ἔχει τὸ «ἀγαθῆς ἀπάτης οὐκ ἀποστατεῖ θεός». (v. 375 s.) Εἰς δὲ τὸ «οὐκ ἂν ἔτι ἐξαπάφοιτο» φασὶν οἱ παλαιοί, ὅτι τὸ μὲν ἅπαξ ὑπὸ φίλου ἀπατηθῆναι εὐηθείας ἐστί, τὸ δὲ δὶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μωρίας. Τὸ δὲ «ἐπέεσσιν ἐξαπατᾶν» ἔοικε μὲν πρὸς τὸ κλέπτειν νόῳ, εἴρηται δὲ πρὸς διαστολὴν ἑτέρας ἀπάτης. ἐξαπάφοιτο γὰρ ἄν τίς τινα καὶ ἔργοις. Δῆλον δὲ ὅτι τοῦ «ἀπάφοιτο», οὗ ἐνεργητικὸς δεύτερος ἀόριστος τὸ ἤπαφον, προϋπόκειται τὸ ἀπαφῶ, ἐξ οὗ τὸ ἀπαφίσκειν παράγωγον.

2.733 Ἔστι δὲ κυρίως ἀπάφεσθαι τὸ δι' ἁφῆς ἀπατᾶσθαι, ἀφ' οὗ καὶ ἡ μυθικὴ Παφία κατ' ἔλλειψιν τοῦ τῆς προθέσεως ε , ὁποία τις γίνεται καὶ ἐν τῷ νέρτερος [καὶ ἐν τῷ σκερβόλλειν, ἤγουν ἐς κέαρ βάλλειν, καὶ ἐν τῷ σκαρδαμύττειν] καὶ σκορακίζειν καὶ ἐν ἄλλοις. Αἰολικὴ δὲ λέξις τὸ ἀπάφοιτο καὶ τὰ κατ' αὐτό, ὡς δῆλον ἐκ τῆς ψιλώσεως τοῦ α . τὸ γάρ τοι κοινὸν ἀφάφοιτο ἂν ἦν καὶ ἐφαφᾶσθαι. Τὸ δὲ «ἅλις δέ οἱ» ἐλλειπτικῶς ἔχει. τὸ γὰρ ἐντελές, ὅτι ἅλις δέ οἱ ὧν ἠπάτησε. (v. 376 s.) Τὸ δὲ «ἕκηλος ἐρρέτω» παρ' ὑπόνοιαν εἴρηται, ὡς εἴπερ ἔφη ἕκηλος μενέτω ἢ ἐχέτω ἕκηλος, κατὰ τὸ «ἔχ' ἥσυχος». (v. 377) Ὅρα δὲ καὶ νῦν ὡς ὁ ποιητὴς πολλὴν ἔχει τέχνην καὶ τοῦ διλογεῖν ἐν ἐναντιότητι νοημάτων. Τὸ γὰρ ἐξείλετο φρένας θεὸς ἐπί τε Γλαύκου πρὸ τούτων εἰπὼν καὶ νῦν δὲ ἐπὶ τοῦ βασιλέως ἐκεῖ μὲν ἐπὶ ἐπαίνου τὸν λόγον ἔθετο, καθὰ καὶ Πορφυρίῳ δοκεῖ, ἀντὶ τοῦ ἐξαιρέτους τὰς τοῦ Γλαύκου φρένας ἐποίησεν, ἐνταῦθα δὲ ἐπὶ ψόγου, ἀντὶ τοῦ ἐστέρησε φρενῶν. [Διπλῆ δὲ ἐνταῦθα γραφή «ἐκ γάρ οἱ φρένας εἵλετο», καὶ «ἐκ γὰρ εὗ», ἤγουν αὐτοῦ, «φρένας εἵλετο»]. (v. 378) Τὸ δὲ «ἐχθρά μοι τούτου δῶρα» τῷ Σοφοκλεῖ γέγονεν ἀφορμὴ γνωματεύσασθαι, ὅτι «ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα». [Διὸ εἴπερ καὶ ὁ Σοφόκλειος μαστιγοφόρος ὁμοίως τῷ Ἀχιλλεῖ ἀναπόμπιμον τὸ τοῦ ἐχθροῦ τὴν ἀρχὴν ἔθετο δῶρον, εὖ ἂν ἐποίησε κατὰ οἰωνὸν αἴσιον. Καταχρηστικῶς δὲ νῦν ἔφαμεν ἀναπόμπιμον, κυρίως γὰρ ἀναπόμπιμα τὰ πεμφθέντα μέν, αὖθις δὲ ἀναστραφέντα διὰ τὸ δυσαρεστηθῆναι, οἷς ἐοίκασι καὶ τὰ τοῦ Χρύσου πρὸς τὸν Ἀγαμέμνονα ὑπὲρ λύτρου τῆς θυγατρός]. Τὸ δὲ «τίω δέ μιν ἐν καρὸς αἴσῃ», ὡς Ἀμερίας καὶ Νεοπτόλεμος οἱ γλωσσογράφοι φασίν, ἀντὶ τοῦ ἐν μισθοφόρου τίθεμαι τάξει καὶ ἶσον αὐτὸν ἔχω Καρὶ ἀνδρί. Ἐλοιδοροῦντο γὰρ καὶ δι' ἀτιμίας ἤγοντο οἱ καὶ ἐν τῇ Βοιωτίᾳ κείμενοι Κᾶρες, ὡς πρῶτοι μισθοφορήσαντες, ἤγουν μισθὸν ὑπὲρ μάχης λαβόντες καὶ χρημάτων ἀποδόμενοι ψυχὰς καὶ τὴν εὐγενῆ ἐπικουρίαν καπηλεύσαντες καὶ πρὸ τοῦ πολέμου ἀνδραποδισθέντες τῇ μισθοφορᾷ καὶ χρήμασιν ἤδη ἀπαχθέντες αἰχμάλωτοι.

2.734 Καὶ μήν, ὥς φησιν Ἀπίων, οὐ καλῶς ἂν ὁ Ἀγαμέμνων Καρὶ ἐοικέναι λέγοιτο, ἀλλὰ μᾶλλον ὁ Ἀχιλλεύς, ὁ πρὸς ὑποσχέσεις μαχόμενος καὶ εἰπὼν τὸ «ἐκ γὰρ δή μ' ἀπάτησε». Καὶ ἄλλως δέ, εἰ καὶ ἐμισθοφόρησαν, φησίν, οἱ Κᾶρες, ἀλλ' οὐκ ἐπὶ τῶν Τρωϊκῶν οὐδὲ πρὸ τοῦ Ὁμήρου. πόθεν οὖν, φησίν, οἶδεν ὁ Ἀχιλλεὺς μισθοφόρους τοὺς Κᾶρας. Ἐφ' οἷς λέγει ὁ αὐτός, ὅτι τινὲς ἓν μέρος λόγου ἀκούσαντες καὶ προπαροξύναντες «ἔγκαρος» ἔγραψαν καὶ τὸν φθεῖρα ἀπέδωκαν, ἵνα λέγῃ ὁ Ἀχιλλεύς, ὅτι ἐν αἴσῃ ἔγκαρος, ἤγουν φθειρός, τίθεμαι τὸν Ἀγαμέμνονα, ὡς ἀπὸ εὐθείας τῆς ἔγκαρ, ὡς μάκαρ μάκαρος. οἷς πάλιν αὐτὸς ἀντιλέγων ἐρωτᾷ τοὺς ταῦτα λέγοντας, ὅτι πόθεν ἔγκαρος ὁ φθείρ; Ἕτεροι δὲ εἰς δύο τε μέρη διαιροῦσι τὴν λέξιν ταύτην καὶ ὀξύνουσι τὴν λήγουσαν καὶ τὴν αὐτὴν αὖθις ἀποδιδόασιν ἔννοιαν, λέγοντες, ὡς τιμῶ αὐτὸν ἐν μοίρᾳ καρός, ὅ ἐστι φθειρὸς τοῦ περὶ τὴν κεφαλήν, τουτέστι τοῦ μηδενὸς τιμῶμαι αὐτόν, μάλιστα δέ, τοῦ εὐτελεστάτου. Τὸ γὰρ ἀξιοῦν τινα τοῦ μηδενὸς ἄλλως ἔστι φράζεσθαι, οἷον ὡς Σοφοκλῆς «τἄλλα ἐγὼ καπνοῦ σκιᾶς οὐκ ἂν πριαίμην», ὃ δοκεῖ ἐκ Πινδαρικοῦ ῥητοῦ παρεξέσθαι τοῦ «σκιᾶς ὄναρ ἄνθρωπος». Τὸ δέ γε ὀλίγου τινὸς τιμᾶσθαί τινα καὶ ὀβολοῦ τιμᾶσθαι οἱ ὕστερον ἔλεγον Ἀττικοί, καὶ τοιαῦτά τινα. ἐξ ἧς ἐννοίας καὶ ἁλώνητα δουλάρια παρὰ τοῖς παλαιοῖς τά, ὡς εἰπεῖν, εὔωνα. Λέγεται δὲ ὁ ἄτιμος καὶ οὐκ ἐν ἀριθμῷ κεῖσθαι, ὁμοίως οὐδὲ ἐν λόγῳ εἶναι. Ὧι ἶσον τὸ «οὐκ ἂν πριαίμην οὐδενὸς λόγου» τὸν δεῖνα. Ἄλλοι δὲ γράφουσι μὲν καὶ αὐτοὶ προπαροξυτόνως «ἔγκαρος», καὶ κλίνουσιν ἔγκαρ ἔγκαρος, τὴν δὲ λέξιν ἐπὶ ἐγκεφάλου νοοῦσιν, ὅν φασιν ὑπὸ Ἀθηναίων μὴ ἐσθίεσθαι, ἵνα λέγῃ ὅτι ἀποτροπιάζομαι τὸν βασιλέα ὥς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινες τὸν ἔγκαρα, ὃν ὁ Λυκόφρων ἔγκαρον λέγει, ὡς εἴ τις εἴποι καὶ τὸν μάρτυρα μάρτυρον καὶ τὸν ἀλάστορα ἀλάστορον. οὗ χρῆσις παρὰ Σοφοκλεῖ ἐν τῷ «ἀλαστόροισιν ὀμμάτων κύκλοις». Καὶ τοῦτο μὲν ἕτεροι, ἐν οἷς καὶ ὁ Πλούταρχος, ἱστορῶν καὶ αὐτὸς ἐν Συμποσιακοῖς, ὅτι ἐπεὶ ἐγκέφαλον οὐκ ἤσθιον οἱ παλαιοί, διὰ τοῦτο εἶπεν Ὅμηρος τὸ «τίω δέ μιν ἔγκαρος αἴσῃ», τὸν ἐγκέφαλον οὕτω προσειπὼν διὰ τὸ ῥίπτειν, φησί, καὶ ἀποβάλλειν μυσαττομένους αὐτόν, [καὶ μάλιστα, εἴπερ χοίρου ἦν.

2.735 χοιρείου γὰρ ἐγκεφάλου θέμις, φασίν, οὐκ ἦν ἐσθίειν διὰ τοὺς δοξάζοντας ἶσον εἶναι μεταλαμβάνειν αὐτοῦ καὶ κυάμων τρώγειν καὶ κεφαλῶν οὐ μόνον τοκήων ἀλλὰ καὶ τῶν ἄλλων βεβήλων. Εἰς ἐπίτασιν δὲ τοῦ κατὰ τὸν ἐγκέφαλον μύσους ἔδοξέ τισιν, ὧν καὶ Ἀπολλόδωρος ὁ Ἀθηναῖος, οὐδ’ ὀνομάζεσθαι τὸν ἐγκέφαλον πρός τινος τῶν παλαιῶν. Σοφοκλῆς γοῦν, φησίν, ἐν Τραχινίαις λευκὸν μυελὸν αὐτὸν εἶπε, ἐκκλίνων τὸ μὴ ὀνομαζόμενον, Εὐριπίδης δέ που περὶ Ἀστυάνακτος ἔφη «ἔνθεν ἐκγελᾷ ὀστέων ῥαγέντων φόνος, ἵν’ αἰσχρὰ μὴ λέγω». Ἀλλ’ αὐτὸς μὲν οὕτω σημειωσάμενος οὐκ εὐστόχησε. πολλὴ γὰρ χρῆσις τῆς λέξεως παρά τε ἄλλοις καὶ τῷ εἰπόντι, ὡς οὐδ’ ἂν ἐγκεφάλων ἔσθων λίποι. Ὡς δὲ καὶ ἱερὸν ἡ κεφαλὴ ἐνομίζετο καί τινες δι’ αὐτὸ ἀπείχοντο μυελοῦ, δῆλον, φασίν, ἐκ τοῦ καὶ κατ’ αὐτῆς ὀμνύειν πολλοὺς καὶ ἐν πταρμοῖς δὲ προσκυνεῖσθαι αὐτήν, καὶ μάλιστα διὰ τὸ ἁπάσας ἐν αὐτῇ αἰσθήσεις εἶναι. καὶ τοιάδε μὲν καὶ ταῦτα]. Οἱ δὲ ἀκριβέστεροι τὸ «καρός» ἀντὶ τοῦ κηρός καὶ θανάτου φασὶ συστολῇ τοῦ η εἰς α , [καθ’ ὃ καὶ μάκαρες θεοὶ λέγονται οἱ μὴ καρὶ τοιαύτῃ ὑποπίπτοντες. Ἔστι δὲ τὸ οὕτω νοῆσαι «τίω μὶν ἐν καρὸς αἴσῃ»], ὅμοιον τῷ «ἐχθρός μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλησι». ταὐτὸν γάρ τι αἱ τοῦ Ἅιδου πύλαι καὶ ἡ κήρ. Ἰστέον δὲ ὡς, εἰ καὶ περὶ τοῦ ζωϊκοῦ ἐγκεφάλου ἐδηλώθη τὰ ῥηθέντα, ὅμως Διὸς ἐγκέφαλος ἦν κατὰ Παυσανίαν κάλλιστόν τι βρῶμα. ὁποῖα ἴσως καὶ τὰ παρὰ τῷ Κωμικῷ εὖ ἠρτυμένα θρῖα τοῦ ἐγκεφάλου. Ἔστι δὲ ἡδὺς καὶ ὁ τοῦ φοίνικος τοῦ δένδρου ἐγκέφαλος, [Ἐν τούτοις δὲ ὅρα, ὡς οὐκ εἰς τὸ πᾶν ἀληθὲς ἦν τὸ μὴ ἐσθίειν ἐγκεφάλου τοὺς Ἀθηναίους, εἴγε θρίοις ἐχρῶντο, ἅπερ ἦσαν ἐγκεφάλου ἑψήματα περίεργα ἐντὸς κείμενα θρίων, ἤγουν φύλλων συκῆς. Ὡς δὲ ὁ εἰρημένος τοῦ φοίνικος ἐγκέφαλος ἡδύτατος ὢν ὅμως κεφαλαλγής ἐστι σφόδρα καὶ ὡς ἐξαιρεθεὶς αὐαίνει τὸν φοίνικα, ἡ πεῖρα ἱκανῶς ἔδειξεν.

2.736 ] (v. 379 s. et 386 s.) Ὅτι ἵνα μὴ ὑπονοηθείη ὁ Ἀχιλλεὺς πλειόνων δώρων ὀρέγεσθαι, φησὶ κατὰ λόγον ὡρισμένης αὐξήσεως ἀποφατικῶς, ὡς «οὐδ’ εἴ μοι δεκάκις τε καὶ εἰκοσάκις τόσα δοίη» ὁ βασιλεύς, «ὅσα τέ οἱ νῦν ἔστιν, οὐδέ κεν ὧς ἔτι», ἤγουν οὐδ’ ἂν οὕτω, «θυμὸν πείσῃ πρίν γ’ ἀπὸ πᾶσαν ἐμοὶ δόμεναι», τουτέστι πᾶσάν μοι ἀποδοῦναι, «θυμαλγέα λώβην», ἤτοι ἀντιλωβηθῆναι. Ἐν τῷ μέσῳ δὲ μεταβαίνων ἐκ τοῦ ὡρισμένου καὶ εἰς πάντῃ ἀόριστον αὔξησιν λέγει «καὶ εἴ ποθεν ἄλλα γένοιτο». (v. 381 s.) Ἐφ’ οἷς πλέον τὴν αὔξησιν ἐκκορυφῶν φησιν «οὐδ’ ὅσα ἐς Ὀρχομενὸν ποτινίσσεται», ἤτοι φέρεται, ἔρχεται, «οὐδ’ ὅσα Θήβας Αἰγυπτίας». (v. 385) Ἐπὶ δὲ τούτοις ἐνθουσιῶν οἷον ὑπὸ θυμοῦ προστίθησι τὴν τῆς αὐξητικῆς ὑπερβολῆς ἀκρότητα «οὐδ’ εἴ μοι τόσα δοίη, ὅσα ψάμαθός τε κόνις τε», τουτέστιν οὐδ’ ἄν μοι δοίη τὰ ὑπερπίπτοντα πάντας ἀριθμούς, ἢ ὡς οἱ παλαιοί φασιν, οὐδὲ εἴ μοι δοίη ὑπὲρ τὰ τῆς οἰκουμένης ἀγαθά. καὶ νῦν μὲν ταῦτα. Ὀλίγον δέ τι τῷ λόγῳ προελθὼν μνησθήσεται καὶ ἑτέρου πλούτου τοῦ περὶ τὴν Τροίαν καὶ τοῦ περὶ τὸν τοῦ Πυθίου ναόν. Καὶ ὅρα τὴν εὔτακτον αὔξησιν ἐκ τοῦ μετρίου καὶ πεπερασμένου ἠρέμα προϊοῦσαν ἐπὶ τὸ ἄπειρον. (v. 379 s.) Καὶ ὅτι πάνυ πλούσιον ὑπεμφαίνει τὸν βασιλέα εἶναι, εἴπερ καὶ ὑπὲρ εἰκοσαπλάσιον τῶν ὑπεσχημένων πολλῶν δώρων τῷ Ἀχιλλεῖ περιουσιάζεσθαι φαίνεται ἐν τῷ «ὅσσα τέ οἱ νῦν ἔστι». (v. 381) Τὸ δὲ «ποτινείσσεται» ὅτι διφορεῖται κατὰ τὴν γραφὴν τῷ τε λόγῳ τῶν διὰ τοῦ ισσω ῥημάτων καὶ ὡς ἀπὸ τοῦ νέω νείω, τὸ πορεύομαι, ἐν ἄλλοις ῥηθήσεται. (v. 382—4) Ἰστέον δὲ ὅτι καὶ φιλομαθῆ καὶ πολυΐστορα τὸν Ἀχιλλέα ὑποδεικνὺς ὁ ποιητὴς ποιεῖ ἐν τῇ περὶ Θηβῶν μνήμῃ λέγοντα οὕτω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«ὅθι πλεῖστα δόμοις ἐν κτήματα κεῖται, αἵ θ’ ἑκατόμπυλοί εἰσι, διηκόσιοι δ’ ἂν ἑκάστην ἀνέρες ἐξοιχνεῦσιν», ἤτοι ἐξίασι, «σὺν ἵπποισι καὶ ὄχεσφι».

2.737 Δηλοῖ δὲ διὰ τούτου τό τε τῆς πόλεως μέγεθος. —Μεγίστη γὰρ πάντως ἡ ἑκατόμπυλος. —, καὶ τὸ τῶν ἐνοικούντων πολυάνθρωπον, ναὶ μὴν καὶ τὸ πολὺ τῆς δυνάμεως. Ἑκατὸν γὰρ τάγματα ἱππέων τῇ πόλει, ὧν ταγμάτων ἕκαστον ἐξηρτύετο ὑπὸ διακοσίων ἁρματηλατῶν. ὥστε εἴπερ ἐν καιρῷ χρείας διανέμοιτο ἡ δύναμις τῇ ἑκατομπύλῳ, διακοσίους λαχεῖν ἀνὰ ἑκάστας. Οὕτω γὰρ πληθυντικῶς, καὶ οὐχὶ ἑκάστην ἑνικῶς, πολλοὶ γράφουσι τῶν παλαιῶν, παρασημειούμενοι ὡς οὐδέποτε πύλην ἑνικῶς λέγει ὁ ποιητὴς ἀλλὰ πύλας. Εἰ δὲ τοσαῦται μυριάδες ἱππέων ταῖς Θήβαις, οἱ λοιποὶ στρατιῶται ὅσοι; πόσοι δὲ τὸ κοινόν; ἡ δὲ τοσούτους διοικοῦσα πόλις σκοπητέον ὅπως ἄρα εἶχε πλούτου. Ὅτι δὲ κἀνταῦθά τινες ἀμφιβόλους ἐννοίας ἐνόησαν, ἔστιν ἑτέρωθεν ἀναλέξασθαι. Τοῦτο δὲ μόνον ἄρτι καίριον εἰπεῖν, ὡς διακοσίους μὲν ἀμφιβαλεῖν εἶναι ἢ μόνους αὐτοὺς τοὺς ἱππεῖς, ἤτοι τοὺς παραιβάτας, ἢ σὺν καὶ τοῖς ἡνιόχοις, ἔχεται λόγου, ὑπονοῆσαι δὲ καὶ τοὺς ἵππους δύνασθαι συναριθμεῖσθαι ἢ καὶ τὰ ἅρματα πρὸς συμπλήρωσιν τοῦ διακόσια ἀριθμοῦ, οὐκ ἄν τις ὅλως ἀποδέξοιτο. Φασὶ δὲ τὰς Θήβας ταύτας πάλαι ποτὲ βασίλειον εἶναι τῶν Αἰγυπτίων καὶ Διὸς πόλιν ἐν παραθέσει λέγεσθαι ἢ συνθέτως Διόσπολιν. Εἴρηται δὲ περὶ αὐτῶν καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Δῆλον δὲ ὅτι κατὰ τὴν Ἡροδότου ἱστορίαν οὐ μόνον αὗται, ἀλλὰ καὶ ἡ Βαβυλὼν ἑκατόμπυλος ἦν. Ὁ δὲ Γεωγράφος ἱστορεῖ ὅτι Θῆβαι ἡ καὶ Διόσπολις μητρόπολις Αἰγύπτου πάλαι. εἶχε δὲ καὶ ἱερά, ὧν τὰ πολλὰ ἠκρωτηρίασε Καμβύσης. ὕστερον δέ, φησί, κωμηδὸν συνῳκεῖτο καὶ ἐδείκνυτο ἴχνη τοῦ μεγέθους ἐκείνης ἐπὶ πολλὰ στάδια.

2.738 καὶ ταῦτα μὲν ἐν βραχίστῳ περὶ Θηβῶν. (v. 381) Ὀρχομενὸς δὲ πόλις ἐν Εὐρώπῃ, κομῶσα καὶ αὐτὴ πλούτῳ, πλὴν ἀλλοδαπῷ. Ἐπεὶ γάρ, ὡς καὶ ἐν Ὀδυσσείᾳ ἱστόρηται, ὀχυρὸν ἦν τὸ φρούριον, πολλοὶ τῶν περιοίκων ἐπίστευον ἐκείνῳ τὰ χρήματα. Ὅρα δὲ ὅτι περὶ μὲν Θηβῶν Αἰγυπτίων ἱστόρησέ τι ὁ ποιητὴς διὰ τὸ μὴ πάνυ ἐγνῶσθαι αὐτὰς τοῖς Ἕλλησι, περὶ δὲ τοῦ Ὀρχομενοῦ εἶπεν οὐδέν. ἐγνωρίζετο γὰρ αὐτὴ καὶ οὐκ εἶχεν ἐκτοπισμόν. Πολλοὶ δὲ κατὰ τοὺς παλαιούς, ὡς καὶ ἐν τῇ Βοιωτίᾳ δηλοῦται, Ὀρχομενοί. Ὧν καὶ ὁ περὶ Βοιωτίαν, ὃς καὶ Μινύειος ἐλέγετο, ἀπὸ Μινύα ποταμοῦ περιρρέοντος, καὶ ὁ Θετταλικὸς ἢ Μακεδονικός. Τούτους δὲ βαρβαρίζοντες νῦν οἱ πολλοὶ ἐν παραγραμματισμῷ Χαρμένας λέγουσιν. Ἦν δὲ καὶ Ἀρκαδικὸς Ὀρχομενός, ὁ παρ’ Ὁμήρῳ πολύμηλός που ἐπονομασθείς. (v. 382) Τὸ δὲ «Αἰγυπτίας» συστέλλει ἀναγκαίως τὴν προπαραλήγουσαν λόγῳ δακτύλου. Καὶ ἡ αἰτία εἴρηται ἀλλαχοῦ, προϊσχομένη ἐς λόγον οὐ μόνον τὸ μὴ ἔχειν ἂν ἄλλως μέτρῳ εὐχρηστηθῆναι τὴν τοιαύτην λέξιν δακτυλικῷ, ὡς καὶ ἐν Ὀδυσσείᾳ φαίνεται, ἀλλὰ καὶ τὸ ἀδρανὲς τῆς ἀπηχήσεως τῶν ψιλῶν τοῦ π καὶ τοῦ τ , δι’ ἣν ἀξύμβολά εἰσιν ἐκτείνειν τὸ πρὸ αὐτῶν. Δῆλον δὲ καὶ ὅτι τὸ Αἰγυπτίας πρὸς διαστολὴν ἑτέρων πρόσκειται Θηβῶν, ὧν Ὅμηρος μὲν τρεῖς εἰδέναι φαίνεται, ἄλλοι δὲ ἀπαριθμοῦνται πλείονας, ὡς ἑτέρωθι δεδήλωται. [Σημείωσαι δ’ ἐν τοῖς εἰρημένοις καὶ τὸ τῶν ἀποφάσεων εὐειδές, ἃς ἐν καταρχαῖς ἔθετο στίχων, ὃ δὴ καὶ αὐτὸ κάλλους ἐστίν, ὥς φασιν οἱ Τεχνικοί. Ἔφη γὰρ «οὐδ’ εἴ μοι δεκάκις», καὶ πάλιν «οὐδ’ ὅς’ ἐς Ὀρχόμενον», καὶ πάλιν «οὐδ’ εἴ μοι τόσα δοίη», καὶ αὖθις «οὐδέ κεν ὣς ἔτι θυμὸν ἐμὸν πείσει», ἔνθα καὶ περιττὸν κεῖσθαι δοκεῖ τὸ «ἔτι», καὶ πάλιν «οὐδ’ εἰ χρυσῇ Ἀφροδίτῃ», καὶ ὕστερον τὸ «οὐδέ μιν ὣς γαμέω»].

2.739 (v. 388—90) Ὅτι πρὸς τὸ τὸν Ὀδυσσέα εἰπεῖν, ὡς γαμβρὸς ἔσται τῷ βασιλεῖ Ἀχιλλεύς, ἀντιβαίνων μάλα σεμνῶς ὁ ἥρως φησὶ «κούρην δ’ οὐ γαμέω Ἀγαμέμνονος, οὐδ’ εἰ χρυσῇ Ἀφροδίτῃ κάλλος ἐρίζοι, ἔργα δ’ Ἀθηναίῃ γλαυκώπιδι ἰσοφαρίζοι». Ἐν οἷς ὅρα ὡς καλλωπίζει παρίσοις τὸν λόγον διὰ τὴν παρεμπεσοῦσαν ἐρωτικὴν ὑπόθεσιν ἐν τῷ «ἐρίζοι» καὶ «ἰσοφαρίζοι». Ἔχει δέ πως ὁ τόπος οὗτος παρὰ βραχὺ καὶ κυκλικοῦ σχήματος ἔμφασιν ἐν τῷ «κούρην δ’ οὐ γαμέω», καὶ «οὐδέ μιν ὣς γαμέω». Ὅρα δὲ καὶ ὅπως ηὔξησε κάλλος καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δεξιότητα γυναικὸς κατὰ μῦθον, ὃς τῷ μὲν κάλλει τὴν Ἀφροδίτην ἐφιστᾷ, τοῖς δὲ γυναικείοις ἔργοις τὴν Ἀθηνᾶν, ὡς δηλοῖ καὶ Ἡσίοδος. (v. 388) Ἰστέον δὲ καὶ ὅτι ἐκ τοῦ γαμεῖν οὐ μόνον αἱ γαμήλιοι ᾠδαὶ καὶ δᾶδες, ἀλλὰ καὶ πλακοῦς, φασί, γαμηλιὼν ἐν γάμοις πεσσόμενος, καὶ ὄνομα μηνὸς Ἀθήνῃσιν. Ἔστι δὲ καὶ ἀρχὴ τοῦ γαμβρός ἡ τοιαύτη λέξις, [ὃς δηλοῖ ποτε καὶ τὸν πενθερόν, ἔτι δὲ καὶ τοῦ γαμέτης, ὁ ἀνήρ, καὶ γαμετή, ἡ γυνή]. Πάντως δὲ ἐργάνης Ἀθηνᾶς μνεία ἐνταῦθα τῷ ποιητῇ, ὥσπερ νίκης Ἀθηνᾶς ἐν τοῖς κατὰ πόλεμον, ἧς μέμνηται καὶ Σοφοκλῆς ἐν τῷ «νίκη τ᾽ Ἀθάνα». (v. 391 s.) Ὅτι ὑπολαλῶν κἀνταῦθα χρείαν εἶναι καὶ ἀνδρίας τῷ βασιλεῖ ὁ Ἀχιλλεὺς καὶ μὴ μόνον ἐξαρκεῖν τὸ βασιλεύειν, φησὶν ὅτι ἄλλον ἑλέσθω ἐπὶ τῇ θυγατρὶ ὁ βασιλεύς, «ὅς τις οἷ τ᾽ ἐπέοικε καὶ ὃς βασιλεύτερός ἐστιν», ὡς μὴ πάνυ τοῦτο μέγα ὂν ἀλκῆς δίχα. Καὶ ὅρα βαρυνομένης ψυχῆς εἰρωνείαν, καθ᾽ ἣν ἑαυτὸν κατασμικρύνει ὁ τηλικοῦτος Ἀχιλλεύς. Ἴσως δὲ τὸ «ὃς βασιλεύτερός ἐστι» καὶ πρὸς τὸ τοῦ Νέστορος ἀποτείνεται τὸ «εἰ δὲ σὺ καρτερός ἐσσι, ἀλλ᾽ ὅ γε φέρτερός ἐστιν, ἐπεὶ πλεόνεσσιν ἀνάσσει». [Ἐκ τούτου δὲ νοητέον, ὡς οὔτι τῷ Ἀγαμέμνονι πάνυ σεμνὸν ἦν οὔτε τὸ «καί μοι ὑποστήτω ὅσσον βασιλεύτερός εἰμι», οὔτε μὴν εἰ βασιλεύτατός ἐστιν, ὡς εὐρυκρείων. Χρεία γὰρ τῇ βασιλείᾳ καὶ πολλῶν ἀρετῶν]. (v. 393) Ὅτι ἐστὶν ἐνταῦθα ῥῆμα τὸ «σόω» διὰ τοῦ ο μικροῦ ἐν τῷ «ἢν γὰρ δή με σόωσι θεοὶ καὶ οἴκαδ᾽ ἵκωμαι», ἐξ οὗ καὶ τὸ σόος ἔοικε γίνεσθαι καὶ τὸ λαοσσόος.

2.740 ἡ δ᾽ αὐτὴ γραφὴ καὶ μετ᾽ ὀλίγα κεῖται ἐν τῷ «νῆάς τε σόῃ καὶ λαὸν Ἀχαιῶν». (v. 394) Ὅτι γαμῆσαι μὲν διὰ τοῦ η τὸ εἰς γάμον ἐλθεῖν, ἤτοι γυναῖκα λαβεῖν, γαμέσαι δὲ διὰ τοῦ ε τὸ γυναῖκα δοῦναι, ὡς δηλοῖ τὸ «Πηλεὺς δή μοι ἔπειτα γυναῖκα γαμέσσεται». Τοῦτο δὲ ἐγγαμίζειν οἱ ὕστερον λέγουσιν, ὡς ἄν τις εἴποι ἐκπροικίζειν. (v. 395) Ὅτι Ἑλλὰς καὶ Φθία πόλεις Θετταλικαί, ὡς καὶ ἀλλαχοῦ δεδήλωται, Ἀχαιΐδες καὶ αὐταί, διότι καὶ οἱ ἐκεῖσε Μυρμιδόνες Ἀχαιοὶ ἐκαλοῦντο κατὰ τὸ «Μυρμιδόνες δ᾽ ἐκαλοῦντο καὶ Ἕλληνες 〈καὶ〉 Ἀχαιοί». (v. 395 s.) Περὶ δὲ ταύτας καλαὶ γυναῖκες. Φησὶ γὰρ «πολλαὶ δ᾽ Ἀχαιΐδες εἰσὶν ἀν᾽ Ἑλλάδα τε Φθίην τε κοῦραι ἀριστήων». Διὸ καὶ ὁ Φοῖνιξ καλλιγύναικα τὴν Ἑλλάδα ἐρεῖ πρὸς ὁμοιότητα τοῦ «Ἀχαιΐδα καλλιγύναικα», ἐπιμαρτυρόμενος ἀλήθειαν τῷ μαθητῇ, ὃς καὶ ἐφερμηνεύων, τίνας λέγει ἀριστεῖς, ἐπάγει «οἵ πτολίεθρα ῥύονται». Φύλακες γὰρ πόλεων οἱ ἀριστεῖς. [Ἔστι δὲ τὸ πτολίεθρα ῥύεσθαι ἀνάλυσις τοῦ οἳ ἐρυσιπτόλιδές εἰσιν. (v. 397) Ὅτι τὸ «ποιήσομαι ἄκοιτιν» ὀρθῶς ἐρρέθη. Ποιητὸς γάρ, ἤγουν θέσει, καὶ ὁ γάμος, ὡς δηλοῦσιν οἱ διὰ βίου ἄζυγες]. (v. 399 s.) Ὅτι εὐδαίμονα ζωὴν Ἀχιλλεὺς οἴεται οὐ μόνον τὸ «ἣν ἂν ἐθέλοι φίλην ποιήσεσθαι ἄκοιτιν», ἀλλὰ καὶ τὸ «γήμαντα μνηστὴν ἄλοχον, εἰκυῖαν», ἤγουν ἐοικυῖαν, «ἄκοιτιν, κτήμασι τέρπεσθαι, ἅ», φησί, «γέρων ἐκτήσατο Πηλεύς». Καὶ σημείωσαι ὅτι οὐ πρῶτος Αἰσχύλος εἶπεν, ὡς τὸ κηδεύειν καθ᾽ ἑαυτὸν ἀριστεύει μακρῷ, τουτέστιν ἄριστόν ἐστιν ἑκάστῳ τὴν αὐτῷ ἐοικυῖαν λαμβάνειν καὶ μὴ τῶν ὑπερκόμπων γάμων ἐρᾶν, ἀλλὰ πρῶτος Ὅμηρος καὶ αὐτὸ ἐν τοῖς κατὰ τὸν Ἀχιλλέα ἐδίδαξε.

2.741 Τὸ δὲ «εἰκυῖαν», εἴπερ ἀπὸ τοῦ εἴκω, τὸ πρέπω, γίνεται, οὐκ ἔχεται ἀναλογίας, ὥσπερ οὐδὲ τὸ εἰκός. Μάλιστα δὲ ἀνάλογον κοινῶς ἡ οἰκυῖα καὶ τὸ οἰκός, ὃ κεῖται καὶ παρ᾽ Ἡροδότῳ, ἀφ᾽ ὧν Ἀττικῶς ἡ ἐοικυῖα καὶ τὸ ἐοικός. Εἰ δ᾽ ἴσως ὥσπερ φρίσσω, φρίξω, πέφριχα, καὶ τροπῇ τοῦ δασέος εἰς ψιλὸν πέφρικα, οὕτω καὶ εἴκω, εἴξω, εἶχα, καὶ κατὰ τροπὴν εἶκα, εἴη ἂν οὕτω ἀναλογίας ἐχόμενα καὶ ἡ εἰκυῖα καὶ τὸ εἰκός. καὶ ταῦτα μὲν οὕτως εὔλογα. Ἡρῳδιανὸς δὲ προϋποθεὶς ῥῆμα τὸ εἴδω παράγει ἐξ αὐτοῦ μέσους παρακειμένους ἐπὶ μὲν τοῦ θεωρῶ καὶ γινώσκω τὸ οἶδα, ἐπὶ δὲ τοῦ ὁμοιῶ τὸ οἶκα, ἐξ οὗ τὸ ἔοικα, οὗ ὑπερσυντέλικος ἐῴκειν κατὰ ἔκτασιν. (v. 398 s.) Ὅτι ἐπιθυμίας φραστικὸν τὸ «ἔνθα δέ μοι μάλα πολλὸν ἐπέσσυτο θυμὸς ἀγήνωρ» τάδε ποιῆσαι. (v. 401—5) Ὅτι αἰτίαν ὁ Ἀχιλλεὺς ἀποδιδοὺς τοῦ μήτε τῶν βασιλικῶν δώρων δέεσθαι μήτε τῶν ἄλλων ὧν εἶπε τῶν ἀμετρήτων φησὶν «οὐ γὰρ ἐμῆς ψυχῆς ἀντάξιον οὐδ᾽ ὅσα φασὶν Ἴλιον ἐκτῆσθαι εὖ ναιόμενον πτολίεθρον τὸ πρὶν ἐπ᾽ εἰρήνης, πρὶν ἐλθεῖν υἷας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀχαιῶν, οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει Φοίβου Ἀπόλλωνος Πυθοῖ ἔνι πετρηέσσῃ». (v. 406—9) Εἶτα καὶ τῆς τοιαύτης αἰτίας αἰτίαν ἀποδιδοὺς κατὰ λόγον περιβολῆς φησι «ληϊστοὶ μὲν γάρ τε βόες καὶ ἴφια μῆλα, κτητοὶ δὲ τρίποδές τε καὶ ἵππων ξανθὰ κάρηνα. ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊστὴ οὔθ' ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων», τουτέστιν ἐπειδὰν τὸ ψυχικὸν πνεῦμα ἐπιλίπῃ τὴν κεφαλήν. Καὶ σημείωσαι ὅπως καὶ ἐνταῦθα πλούτου μνήμην κατέσπειρεν, ἐπιμερίσας τεχνικῶς διαφόροις τόποις ἓν νόημα διὰ τὸ ἀπροσκορές. Καὶ πρῶτα μὲν πάντη ὡρισμένως εἰπὼν τὸ δεκάκις καὶ εἰκοσάκις, εἶτα μέσως τὸ «ὅσα οἱ νῦν ἐστιν», ὅπερ πρὸς μὲν τὸν βασιλέα ὥρισται τὸν καὶ ἔχοντα καὶ εἰδότα, πρὸς δὲ τὸν Ἀχιλλέα οὐχ' ὥρισται.

2.742 Ἀγνοεῖ γάρ. Μεθ' ὃ πάντῃ ἀορίστως τὸ «εἴ ποθεν ἄλλα γένοιτο», καὶ τὸ «ὅσα ἐς Ὀρχομενὸν ἥκει καὶ εἰς Θήβας Αἰγυπτίας». Ἐφ' οἷς μνησθεὶς ἄρτι καὶ τοῦ Τρωϊκοῦ ποτε περιουσιασμοῦ καὶ τοῦ ἐν Πυθοῖ, καὶ ἐπὶ πᾶσι πλαγίως καὶ εὐμεθόδως παρεισκρίνας καὶ ἕτερον πλοῦτον ζωϊκὸν πολὺν καὶ ἀόριστον. Τὸ γὰρ «ληϊστοὶ βόες καὶ μῆλα καὶ τρίποδες καὶ ἵπποι» ταὐτόν τι παραλαλεῖ ὡς εἴπερ ἔλεγεν, ὅτι οὐδὲ εἴ τίς που ληϊστὸς πλοῦτος ὁθενοῦν, οὐδ' αὐτὸς ἀντάξιος τῆς ἐμῆς ψυχῆς, καὶ διὰ τοῦτο οὐδ' αὐτὸς τὸν ἐμὸν θυμὸν ἔπεισεν ἄν. Ὥστε εἰ μὴ πολυσχήμων ἦν ὁ ποιητὴς καὶ πολύτροπος, εἶχεν ἂν οὕτως εἰπεῖν πάντα συναπτῶς· οὐδ' εἴ μοι πολλάκις τόσα δοίη, ὅσα τε νῦν ἔχει καὶ εἴ ποθεν σχοίη, οὐδ' ὅσα ἐν Ὀρχομενῷ καὶ Θήβαις καί ποτε ἐν τῇ Τροίᾳ καὶ ὅσα ἐν Πυθοῖ καὶ ὅσα ἐκ λείας, οὐδ' οὕτως ἐμὸν θυμὸν πείσει. Καὶ ὅρα θυμικὴν ἔννοιαν. Ἐρεῖ γὰρ ἄν τις ὅτι, ἃ μὲν ἔχει ὁ βασιλεὺς καὶ ἅπερ ἂν σχοίη, δοίη ἄν σοι τυχόν, ὦ Ἀχιλλεῦ, τὰ δὲ κατὰ Ὀρχομενὸν καὶ τὰ ἐν Θήβαις καὶ Τροίᾳ καὶ Δελφοῖς καὶ τὰ ἁπλῶς ληϊστά, τιδήποτε τοῖς δοθῆναί σοι δυναμένοις ἐγκατέλεξας; θυμὸς ἄρα ὑποβάλλει σοι καὶ τοιαῦτα λαλεῖν. Σημείωσαι δὲ καὶ ὅτι πάνυ πολὺν εἶχε πλοῦτον, ὡς εἰκός, ποτὲ καὶ ἡ Τροία. Διὸ καὶ ἐξήρκεσεν εἰς μισθοφορὰν στρατιᾶς πολλῶν ἐπικούρων τοσαετῆ, ὡς καὶ ἀλλαχοῦ δηλωθήσεται. Πλουσιώτατον δὲ καὶ τὸ ἐν Δελφοῖς ἱερὸν τοῦ Ἀπόλλωνος ἐξ ἀναθημάτων, ὡς δῆλον ἐκ τῶν παλαιῶν ἱστοριῶν. Οὐ μόνον γὰρ ἀνδριάντες παγχρύσεοι προέκειντο καὶ ζῴων τύποι καὶ σκεύη καὶ λοιπά, ἐν οἷς καὶ αἱ τοῦ Κροίσου χρυσαῖ πλίνθοι, ὧν ἐκεῖνος τὸ πολυτίμητον ἐμπορευσάμενος ψεῦσμα τοῦ χρησμοῦ ἐξωνήσατο, ἀλλὰ καὶ λοιπὸς πλοῦτος ὑπωρώρυκτο κατὰ γῆς ἐν τῷ ἱερῷ, ὁ καὶ συληθεὶς ὕστερον. Ἱστορεῖ γοῦν ὁ Γεωγράφος, ὅτι λέγονται οἱ Φωκεῖς συλῆσαι τὸ τοῦ Ἀπόλλωνος ἱερὸν κατὰ Φίλιππον τὸν Ἀμύντου. Ἐπίφθονος γάρ, φησίν, ὢν ὁ πλοῦτος δυσφύλακτός ἐστι, κἂν ἱερὸς ᾖ. Ὅθεν ὁ Φωκικὸς καὶ ἱερὸς καλούμενος ἐξήφθη πόλεμος. Γέγονε δὲ καὶ πρότερον σύλησις, ἥτις τὸν ἐφ' Ὁμήρου λεγόμενον πλοῦτον ἐξεφόρησεν. Ὡς δὲ καὶ ἐν Σαμοθρᾴκῃ ἐσυλήθη ἱερόν ποτε πλούσιον, ἐν τοῖς ἑξῆς που γραφήσεται.

2.743 Σκοπητέον δὲ καὶ ὅτι τῶν ἐνταῦθα ἱστορικῶν ὑπερβολῶν, ἃς καὶ αὐτὰς ὁ ποιητὴς διεῖλε διαφόροις τόποις, ἐν μὲν Θήβαις καὶ Ἰλίῳ ἰθαγενὴς ἦν ὁ πλοῦτος, τῷ μέντοι Ὀρχομενῷ ἔπηλυς ἐτύγχανεν. Ἦν γὰρ οἷον γαζοφυλάκιον δι' ἀσφάλειαν τῆς πόλεως, ὡς προγέγραπται. Καὶ τῷ Πυθίῳ δὲ ναῷ οὐκ ἐγχώριος ὁ ὄλβος διὰ τὸ τῶν ἀναθημάτων ἀλλοδαπόν. Οὕτω πολυειδὴς ὁ ποιητὴς καὶ ἐν ταῖς ποικίλαις τῶν ἱστοριῶν παρενθέσεσιν. (v. 401) Ἰστέον δὲ ὅτι τὸ ἀντάξιον ἀντὶ πληθυντικοῦ λεχθὲν Ἀττικῶς ἐσχημάτισται, καθὰ καὶ ἕτερα πολλά. Τὸ γὰρ ὀρθὸν τοιοῦτόν ἐστιν. οὐκ ἀντάξιά μοι ψυχῆς, οὐδὲ τὰ καὶ τά. Καὶ μὴν ἄλλως ἀττικίζεται καὶ τὸ τὰ ἑνικὰ πληθύνειν, οἷον· «οὕτως ἀμυντέα ἐστὶ τοῖς κοσμουμένοις καὶ οὐ γυναικῶν ἡσσητέα», ἀντὶ τοῦ ἀμυντέον καὶ ἡσσητέον, καὶ «συνεκποτέ' ἐστί σοι καὶ τὴν τρύγα», ἤγουν συνεκποτέον. Τὸ δὲ «ὅσα φασί» πρὸς ἀκρίβειαν εἴρηται. οὐ γὰρ οἶδεν ὁ Ἀχιλλεὺς τόν ποτε πλοῦτον τῆς Τροίας, ἀλλὰ φασκόμενον ἔμαθε. (v. 402) Τὸ δὲ «ἐκτῆσθαι» Ἀττικόν ἐστι καὶ αὐτό, καὶ Ἰωνικὸν δέ, ἀποβληθέντος τοῦ συμφώνου τῆς αὐξήσεως. Τοιοῦτον καὶ τὸ ἐβούλευκε καὶ τὸ ἐξεπίακε καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ «τυρὸς ἐξεγλυμμένος» καὶ ἄλλα μυρία. Εὕρηται δὲ ἡ λέξις καὶ παρὰ Ἡροδότῳ ἐκτημένοι εἰπόντι ἀντὶ τοῦ κεκτημένοι.

2.744 Ἰστέον δὲ ὅτι ἡ κακοφωνία τοῦ ἐν παρακειμένοις ἀναδιπλασιασμοῦ ἢ δι' ἐναλλαγῆς θεραπεύεται στοιχείων, οἷον· φέφραδα πέφραδα, χεχείρικα κεχείρικα, ἢ διὰ παντελοῦς ἀπελεύσεως τοῦ κατ' ἀρχὴν στοιχείου, οἷον· ἔσπευκα, ἔφθακα, ἔζηκα. Τοιοῦτον οὖν καὶ τὸ ἐκτῆσθαι καὶ τὰ κατ' αὐτό, ὡς καὶ τὸ ἐβδαλμένον καὶ τὸ ἐβλάστηκε καὶ τὸ ἐχάλκευται κατὰ προφορὰν Ἀττικήν, καθ' ἣν καὶ τὸ ἔβλαμμαι καὶ πάντες οἱ τοιοῦτοι σχηματισμοί, ἤγουν οἱ διπλασιαζόμενοι παρακείμενοι, ἄνευ τοῦ ἄρχοντος συμφώνου προφέρονται. Τοιαῦτα καὶ τὸ εἴληχα καὶ εἴληφα καὶ τὸ εἵμαρται ἐπεντεθειμένον τὸ δίχρονον ἔχοντα. [Πρὸς δὲ ὁμοιότητα τοῦ ἐκτῆσθαι εἴρηται καὶ τὸ «φύσκαι προσεπατταλευμέναι» παρὰ Κρατίνῳ, οὗ τὸ κοινὸν πεπατταλευμέναι. Ὁμοίως καὶ τὸ «ὄστρακον φέρει τὸν θαυμαζόμενον μαργαρίτην λίθον, ὃ καλοῦσιν Ἰνδοὶ βέρβερι. Ἔστι δ' ἐκεῖνο κτενὶ παραπλήσιον, οὐ διέγλυπται δέ, ἀλλὰ λεῖόν ἐστι». Τὸ γὰρ διέγλυπται Ἀττικόν, ὃ κοινῶς διαγέγλυπται λέγεται. Ὁμηρικοῦ δὲ ζήλου καὶ τό· «ἐκτήσθω δ' ὁ θέλων τὸν ἀπείρονα χρόνον». Κεῖται γὰρ παρ' Ἀθηναίῳ ἀντὶ τοῦ κεκτήσθω]. (v. 403) Σημείωσαι δὲ καὶ τὴν σαφήνειαν τοῦ «πρὶν ἐπ' εἰρήνης» καὶ ἑξῆς. Τὸ μὲν γὰρ πρίν ἡρμήνευται διὰ τοῦ ἐπ' εἰρήνης, αὐτὸ δὲ διὰ τοῦ «πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν». Τὸ δὲ νόημα τοῦτο Ἀχιλλεὺς ἐπίτηδες λέγει αἰνιττόμενος δι' αὐτὸν ἀπορεῖν χρημάτων ἄρτι τὴν Τροίαν, ὃς πολεμαρχῶν ἐληΐζετο τὰ περὶ αὐτήν. Ἡ δὲ ῥηθεῖσα σαφήνεια καὶ νοήματός ἐστιν ἐπιμονὴ παραφρασθέντος τριχῇ.

2.745 Ταὐτὸν γὰρ τὸ πρίν καὶ τὸ ἐπ' εἰρήνης καὶ τὸ «πρὶν ἐλθεῖν Ἀχαιούς». Δωριέων δέ, φασίν, ὁ τοῦ οὐδετέρου ἄρθρου πλεονασμὸς ἐν τῷ τοπρίν, οἳ ἀντὶ τοῦ πρίν καὶ νῦν καὶ πάλαι καὶ τῶν ὁμοίων τὸ πρίν φασι καὶ τὸ νῦν καὶ τὸ πάλαι καθ' ἕν τι μέρος λόγου. ὡσαύτως δὲ καὶ τὰ ἄλλα. Δοκεῖ δὲ καὶ Ἀττικῶς ἐλλελεῖφθαι τὰ τοιαῦτα, ἵνα νοοῖτο κατὰ τὸ πρίν ποτε τοῦ χρόνου κατάστημα ἢ κατὰ τὸ πάλαι ἢ κατὰ τὸ νῦν. ἀλλὰ τάδε μὲν πάντα κατὰ πτῶσιν αἰτιατικήν. Τὸ δέ γε τῷ τέως καὶ τῷ τότε καὶ τῷ μεταξύ οὐδὲν μὲν ἐκώλυε καθ' ὁμοίαν πτῶσιν συνεστάλθαι καὶ αὐτά, ἔδοξε δὲ ὅμως τοῖς ἀττικίζουσι κατὰ δοτικὴν αὐτὰ προενεγκεῖν ἐλλείψει προθέσεώς τε καὶ ὀνόματος χρονικοῦ, ἵνα ᾖ ἐν τῷ τότε καιρῷ ἢ χρόνῳ ἢ ἐνιαυτῷ. οὕτω δὲ καὶ ἐν τῷ τέως καὶ ἐν τῷ μεταξύ. (v. 404) Ἀφήτωρ δὲ Ἀπόλλων ἢ ὁ τοξότης ἐκ τοῦ ἀφίημι, ἀφήσω, ἐξ οὗ καὶ ἥμων ὁ ἀκοντιστής, ἢ ἐκ τοῦ α , ὃ δηλοῖ τὸ ὁμοῦ, καὶ τοῦ φῶ, τὸ λέγω, οἱονεὶ ὁμοφήτωρ ὁ πᾶσι διδοὺς τὰς ὀμφάς. Ἐν δὲ τοῖς τοῦ Γεωγράφου φέρεται, ὅτι ἀφήτορά τινες δέχονται, ἤγουν νοοῦσι, θησαυρόν, ὅθεν ἀφήτορος οὐδὸν τὸν κατὰ γῆς θησαυρὸν ὡς ἐν τῷ ναῷ κατορωρυγμένου πλούτου. καὶ δοκεῖ κατὰ τὸν τοιοῦτον λόγον γλώσσης τινὸς εἶναι τὴν τοιαύτην λέξιν. Ὁ δ' αὐτός φησι καί τινα Ὀνόμαρχον ἐπιχειρῆσαι ἀνασκάπτειν νύκτωρ τὸν ῥηθέντα πλοῦτον, σεισμῶν δὲ γενομένων μεγάλων ἔξω φυγεῖν καὶ παύσασθαι τῆς ἀνασκαφῆς. (v. 406) Τὸ δὲ «ληϊστοί» ἀπὸ τοῦ ληΐζω γίνεται ἢ μᾶλλον ἀπὸ τοῦ λεία κατὰ διάλυσιν λεϊστοί. διὸ κατωτέρω ψυχὴ λεϊστή φησι διὰ τοῦ ε , ὅπερ ἐκταθὲν εἰς η ἐποίησε τὸ ληϊστόν. Ἔστι δὲ παθητικῆς μὲν διαθέσεως ὁ ληϊστός, ἐνεργητικῆς δὲ ὁ ληϊστὴρ καὶ ὁ ληϊστής, καὶ ἐν συναιρέσει ληστής.

2.746 (v. 407) Τὸ δὲ «κτητοί» διάφορόν ἐστι πρὸς τὸ ληϊστοί. ληΐζεται μὲν γάρ τις πολεμῶν, κτᾶται δὲ γενικώτερον καὶ ἀνταλλαττόμενος ἢ χάριν λαμβάνων ἢ ἕρμαιον εὑρίσκων ἢ ἄλλως ὁπωσοῦν. Πάρισα δὲ τὸ ληϊστοί καὶ κτητοί, ὥσπερ καὶ τὸ ψυχὴ λεϊστή καὶ ἑλετή. Ἔστι δὲ λεϊστὴ μὲν ἡ ἀκουσίως ἑλκομένη, ἑλετὴ δὲ ἡ ἑκουσίως ἐπανερχομένη καί, ὡς ἂν εἴποι τις, αἱρετὴ διὰ τὸ κατὰ προαίρεσιν. Τὸ δὲ «ἵππων ξανθὰ κάρηνα» ἐμφαίνει χαίρειν τὸν Ἀχιλλέα τῇ τοιαύτῃ τῶν ἵππων χροιᾷ. (v. 408) Πάλιν δὲ ἐλθεῖν τὸ ἐπανελθεῖν, ὃ παλινζωΐα καὶ παλιγγενεσία λέγεται (v. 410—6) Ὅτι τὸ διπλοῦν τῆς εἱμαρμένης πολλαχοῦ αἰνίττεται ὁ ποιητής, οἷον ὅτε Ζεὺς περὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Σαρπηδόνος βουλεύεται, καὶ ὅτε ὁ Κορίνθιος μάντις Πολύειδος τῷ παιδὶ Εὐχήνορι μαντεύεται ἢ ἐν μεγάροις νόσῳ φθαρῆναι ἢ ἐν Τροίᾳ μάχῃ δαμῆναι. καὶ ἐν Ὀδυσσείᾳ δέ, ἔνθα Αἴγισθος, εἴπερ οὐκ ἐμνᾶτο τὴν τοῦ βασιλέως μνηστὴν καὶ αὐτὸν ἀπέκτεινεν, οὐκ ἂν ὤλετο, καὶ ἐν οἷς οἱ τοῦ Ὀδυσσέως ἑταῖροι ἔζων ἂν μὴ φαγόντες τῶν Ἡλίου βοῶν. καὶ ἐνταῦθα δὴ ὁμοίως ποιεῖ. Λέγει γὰρ ἡ μήτηρ τῷ Ἀχιλλεῖ διχθαδίας κῆρας, ἤτοι διπλᾶς μοίρας, φερέμεν αὐτὸν θανάτοιο τέλοσδε. Εἰ μὲν αὐτόθι, φησί, «μένων Τρώων πόλιν ἀμφιμάχωμαι, ὤλετο μέν μοι νόστος, ἀτὰρ κλέος ἄφθιτον ἔσται. εἰ δέ κεν οἴκαδε ἵκωμαι φίλην ἐς πατρίδα γαῖαν, ὤλετο μὲν κλέος ἐσθλόν, ἐπὶ δηρὸν δέ μοι αἰὼν ἔσσεται», [ὅπερ ἐφερμηνεύων ἐπάγει «οὐδέ μ' ὦκα τέλος θανάτοιο κιχείη». Τοῦτο γάρ ἐστι τὸ «ἐπὶ δηρὸν δέ μοι αἰὼν ἔσσεται»]. Αἰὼν δὲ ἡ ζωὴ πολλαχοῦ παρὰ τῷ ποιητῇ. Καὶ ὅρα ὅτι τε οὐκ ᾐδέσθη δὶς εἰπεῖν ταὐτολογικῶς ὁ ποιητὴς τὸ θανάτοιο τέλος ἀντὶ τοῦ ὁ θάνατος κατὰ περίφρασιν, καὶ ὅτι νῦν μὲν τὸ «ἐπὶ δηρόν» ἐλλειπτικῶς εἴρηται ἀντὶ τοῦ ἐπὶ πολὺν χρόνον, ὅτε δὲ ἡ πρόθεσις ἄπεστι, τότε καὶ ἐπιρρηματικόν ἐστι τὸ δηρόν. (v. 410 s.) [Ἰστέον δὲ ὅτι τὸ «μήτηρ μέ φησι Θέτις διχθαδίας κῆρας φέρειν εἰς θάνατον» δηλοῖ μὲν ὡς διπλαῖ κῆρες ἄγουσι τὸν Ἀχιλλέα ἐς Ἅιδου, αἱ μέντοι δύο αἰτιατικαί, τὸ ἐμὲ καὶ τὸ κῆρας, διασείουσι τὴν φράσιν, ὡς δῆθεν δυνατὸν ὂν νοῆσαι, ὡς ὁ Ἀχιλλεὺς τὰς κῆρας ἄγει πρὸς θάνατον κατὰ τοὺς γελοιάζοντας]. (v.

2.747 417) Ὅτι ἐν τῷ «καὶ δ' ἂν τοῖς ἄλλοις ἐγὼ παραμυθησαίμην οἴκαδ' ἀποπλείειν» παραμυθήσασθαι τὸ παρηγορῆσαι καὶ παραινέσαι λέγει Ἀχιλλεύς. Ἰστέον γὰρ ὅτι μῦθος, αἶνος, φάσκειν, ἀγορεύειν, εἰπεῖν, εἰρηκέναι, ὁμοίων εἰσὶ νοημάτων δηλωτικά. Διὸ καὶ προσλαβόντα τὴν παρα πρόθεσιν ὁμοιότητά τινα ἔχουσιν ἐννοιῶν καὶ γίνεται ἐκ τοῦ μύθου μὲν τὸ παραμυθεῖσθαι, τοῦ αἴνου δὲ τὸ παραινεῖν, τοῦ δὲ φάσκειν τὸ παραιφάσκειν καὶ ἡ πάρφασις καὶ ἡ παραίφασις, τοῦ δὲ ἀγορεύειν τὸ παρηγόρημα, τοῦ δὲ εἰπεῖν τὸ παρειπεῖν, τοῦ δὲ εἰρηκέναι τὸ παραρρητοί, ὅπερ ὁ ποιητὴς μετ' ὀλίγα ἐρεῖ. Ἐτόλμησε δέ τις ἐντεῦθεν ἐκδοῦναι καὶ πάρρησιν, τὴν παράρρησιν. Δῆλον δὲ ὅτι μυθέεσθαι μὲν καὶ μυθεῖσθαι καὶ παραμυθεῖσθαι Ὁμηρικά, μυθεύεσθαι δέ, τὸ ψευδῶς λέγειν, τῆς μεθ' Ὅμηρόν ἐστι χρήσεως. (v. 418 s.) Ὅτι τὸ «οὐκέτι Τροίαν αἱρήσομεν εὐρυάγυιαν», ὅπερ που εἶπεν ὁ βασιλεύς, παραφράζων ἐνταῦθα διὰ τοῦ Ἀχιλλέως ὁ ποιητής φησιν «ἐπεὶ οὐκέτι δήετε», ὅ ἐστιν εὑρήσετε, «τέκμωρ Ἰλίου αἰπεινῆς», τέκμωρ εἰπὼν τὸ ἐν Ἀχαιοῖς σκοπιμώτατον τέλος, τὴν ἅλωσιν. Τοῦ δὲ «δήετε» παράγωγον ἡ τοῦ μύθου Δηώ, ἐπεί, φασίν, ἁρπαγεῖσαν τὴν θυγατέρα Κόρην ζητοῦσα ἤκουε πρὸς τῶν ἐντυγχανόντων ἐπὶ παραμυθίᾳ τὸ «δήεις», ὅ ἐστιν εὑρήσεις. Ἴλιον δὲ αἰπεινήν οὐκ ἀπᾳδόν ἐστι νοῆσαι νῦν καὶ τὴν χαλεπήν, οἷα τοῦ Ἀχιλλέως τοιαύτην ἤδη κρίνοντος αὐτὴν τοῖς Ἀχαιοῖς. (v. 420) Ἐνταῦθα δὲ κεῖται καὶ τὸ ὑπερσχεῖν οὐκ ἐπὶ νίκης συνήθως, ἀλλ' ἐπὶ βοηθείας, εἰπόντος Ἀχιλλέως ὅτι μάλα θεὸς τὴν χεῖρα ὑπερέσχε τῆς Τροίας, τεθαρσήκασι δὲ λαοί. Ἔστι δὲ ὑπερέσχε τὸ ὑπεράνω αὐτῆς ἔσχεν, ἐσκέπασεν, ἐφύλαξεν. (v. 421 s.) Κεῖται δ' ἐν τούτοις καὶ τό· ἀπόφασθε ἀγγελίαν τοῖς ἀριστεῦσιν, ἀντὶ τοῦ ἀποφατικῶς εἴπατε, ὡς οὐ πείθεται Ἀχιλλεύς. Ἔνθα καὶ ὅρα ὅτι οὐκ εἶπεν ἀπόφασθε τῷ βασιλεῖ, ἀλλὰ τοῖς τῶν Ἀχαιῶν ἀριστεῦσιν, ἢ διότι ὀκνεῖ ὅλως ὀνομάζειν ἐκεῖνον ἢ καὶ ἵνα τοὺς ἀριστέας ἐπεγείρῃ τῷ βασιλεῖ ἀκούσαντας ὡς δι' αὐτὸν κινδυνεύουσι καὶ αὐτοί, ὅπερ ἀνεκάλυψε φθάσας ὁ Ἀχιλλεὺς ἐν οἷς παρήγγειλεν εἰπών· πάντα ἀγορεύειν ὡς ἐπιτέλλω ἀμφαδόν, ὄφρα καὶ ἄλλοι ἐπισκύζωνται Ἀχαιοί.

2.748 (v. 423) Ἐνταῦθα μέντοι τοῦτο ὑποκρύψας φησὶν «ὄφρα ἄλλην φράζωνται ἀμείνω βουλήν». (v. 422) Λέγει δ' ἐν τούτοις γνωμικῶς καὶ ὅτι «τὸ γάρ», ἤγουν τοῦτο, «γέρας ἐστὶ γερόντων», τὸ τὰ ἀγγελθέντα δηλαδὴ μηνύειν, ὡς δέον ὂν τοὺς πρέσβεις μὴ ψεύδεσθαι παραποιοῦντας τὰ ἀγγελλόμενα. (v. 423—5) Ὅτι παροιμιῶδες ἐπὶ τῶν ἐκ πρώτης μὴ τυχόντων οὗ θέλουσι τὸ «ὄφρ' ἄλλην φράζωνται ἐν φρεσὶ μῆτιν ἀμείνω». οὐ γὰρ αὕτη ἑτοίμη. Ὕστερον δὲ παροιμία ὁμοία τοιαύτη ἐξεφωνήθη· αὕτη μὲν ἡ μήρινθος οὐδὲν ἔσπασεν, ἀντὶ τοῦ αὕτη ἡ μηχανὴ οὐδὲν

ἤνυσεν, ἐκ μεταφορᾶς τῶν σχοίνοις θηρευόντων ἢ ἁλιευόντων. (v. 426) Ὅτι καὶ ἐνταῦθα ἐν τῷ «ἐμεῦ ἀπομηνίσαντος» πλεονάζει ἡ ἀπο πρόθεσις, ὥσπερ καὶ ἡ κατα πρόθεσις εὐθὺς ἐν τῷ «Φοῖνιξ παρ' ἡμῖν μένων κατακοιμηθήτω». [Εὕρηται δὲ καὶ ἐπὶ τοῦ ἀποθέσθαι μῆνιν καὶ πραϋνθῆναι, καὶ οὕτως ἀπὸ μήνιδος γενέσθαι, πρὸς ὁμοιότητα τοῦ ἀπόμαχος γέρων, καὶ ἀπόμουσον γένος γυναικῶν καὶ ἀπῳδὸν φθέγμα, καὶ ἄποινος θυσία, ἡ δίχα σπονδῆς οἴνου, καὶ ἀπεμφαῖνον νόημα, καὶ τῶν ὁμοίων, περὶ ὧν καὶ προδεδήλωται]. (v. 428 s.) Ὅτι ἑκουσίας ὁδοῦ τὸ «ὄφρα μοι ἕπηται, ἢν ἐθέλῃσιν, ἀνάγκῃ δ' οὔτι μιν ἄξω». [Ἐν ᾧ δείκνυται ὡς ἐναντία ἐστὶ τὸ ἐθελουσίως καὶ τὸ κατ' ἀνάγκην γίνεσθαί τι]. (v. 430 s.) Ὅτι μετὰ τοὺς Ἀχιλλέως λόγους οἱ πρέσβεις «πάντες ἀκὴν ἐγένοντο σιωπῇ μῦθον ἀγασσάμενοι, μάλα γὰρ κρατερῶς ἀπέειπεν». Ἔστι δὲ τὸ μὲν «ἀπέειπε» ταὐτὸν τῷ ἀπέφησεν, ἐξ οὗ πρὸ ὀλίγου τὸ «ἀγγελίην ἀπόφασθε».

2.749 Τὸ δὲ «κρατερῶς» ὅμοιον τῷ ἀπηλεγέως, ὃ ἐν προοιμίοις εἴρηκεν ὁ Ἀχιλλεύς. Ὅρα δὲ τὸ «πάντες» ἐπὶ τριῶν λεχθέν. οὐ γὰρ ἐξ ἀνάγκης ἡ τοιαύτη λέξις ἀεὶ πολυλαΐαν δηλοῖ. Ὅτι στρυφνοτέρα μὲν ἡ ῥηθεῖσα τοῦ Ὀδυσσέως δημηγορία καὶ σεμνοτέρα καί, τὸ ὅλον εἰπεῖν, πρέπουσα πρέσβει βασιλικῷ. Ἡ δὲ ἐφεξῆς τοῦ Φοίνικος πειστικωτέρα ὡς οἰκείου καί πως ἐλέου ἔοικεν εἰσβολὴ ἐπὶ προϋπαρξάσῃ ἑτέρᾳ πρεσβείᾳ. Δακρύοις οὖν ὁ γέρων κιρνᾷ τὸ προοίμιον, παρρησιάζεταί τε ἐπὶ πλέον καὶ ἐντρέπει ὀνειδίζων καὶ ἀφελῶς δὲ λαλεῖ, τῆς βρεφικῆς τοῦ Ἀχιλλέως μεμνημένος ἡλικίας, ἔτι δὲ καὶ ἱστορικήν τινα ὁμοιότητα παραφέρει, καὶ ὅλως πολυειδῶς ποικίλλεται πρὸς πλείω πιθανότητα, καθὰ προϊοῦσι τῷ λόγῳ φανεῖται, οὐχ' ὅτι ῥητορικώτερος Ὀδυσσέως ἐστίν, ἀλλ' ὅτι οὐδὲν τῶν τοιούτων ἔπρεπε τῷ Ὀδυσσεῖ, ἀλλ' αὐτῷ καὶ μόνῳ, οἷα καὶ διδασκάλῳ τοῦ Ἀχιλλέως καὶ πατρὶ κατὰ θέσιν, ὡς ἐν τοῖς ἑξῆς δειχθήσεται. Ἰστέον δὲ ὅτι καὶ ὁ Φοῖνιξ ἐκ τοῦ παρόντος, καθὰ ποιεῖν Ὁμήρῳ σύνηθες, καὶ ἀπ' αὐτῶν τῶν, ὅ φασι, παρὰ πόδας λαμβάνει τὸ πρεσβευτικὸν προοίμιον, ὡς καὶ Ὀδυσσεὺς πρὸ αὐτοῦ. (v. 432—8) Εἰπόντος γὰρ Ἀχιλλέως ὅτι ὁ Φοῖνιξ αὐτόθι «κατακοιμηθήτω, ὄφρα μοι ἐν νήεσσι φίλην ἐς πατρίδα ἕπηται αὔριον, ἢν ἐθέλῃσιν, ἀνάγκῃ δ' οὔ τί μιν ἄξω», ὁ Φοῖνιξ ὀψὲ μετέειπε, δάκρυα ἀναπρήσας, ἤγουν δακρύσας, ἐξ αὐτοῦ προοιμίου, ὡς εἴρηται, «πέρι γὰρ δίε νηυσὶν Ἀχαιῶν. Εἰ μὲν δὴ νόστον γε μετὰ φρεσί, φαίδιμ' Ἀχιλλεῦ, βάλλεαι, οὐδέ τι πάμπαν ἀμύνειν νηυσὶ θοῇσι πῦρ ἐθέλεις ἀΐδηλον, ἐπεὶ χόλος ἔμπεσε θυμῷ, πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην οἶος;» ἤγουν πῶς ἄν σου μεμονωμένος ἀπολιποίμην; Ὅρα δὲ καὶ ὡς τῷ γέροντι περὶ νηυσὶ δεδιότι προέδραμε τῆς δημηγορίας τὸ δάκρυον, οἶκτον πολὺν ἐφελκόμενον. Ἐπεὶ καὶ ἀριδάκρυες κατὰ τὴν παροιμίαν οἱ ἀγαθοί.

2.750 Διὸ καὶ συγχέει τῷ μαθητῇ τὸν θυμόν, ὡς ἐκεῖνος ἐν τοῖς ἐφεξῆς ἐρεῖ, καί πως τέγγει τὴν ἐκείνου σκληρότητα. Καὶ ὅτι εἰρωνεύεται κατὰ ἦθους βαρύτητα, ἐν οἷς φησι «πῶς ἂν ἀπολιποίμην σου». Τὸν γὰρ Ἀχιλλέα μᾶλλον ἐχρῆν εἰπεῖν· πῶς ἄν σου λιποίμην, ᾧ με συνέστησεν ὁ πατήρ. οὐ γὰρ κελεύειν ἐχρῆν ἀλλὰ κελεύεσθαι ὑπὸ τοῦ διδασκάλου οὐδὲ ἡγεῖσθαι τοῦ ἀπόπλου ἀλλ' ἕπεσθαι. (v. 433) Τὸ δὲ «ἀναπρήσας» ἀντὶ τοῦ ἀναπεράσας ἐκ τοῦ ἐγκεφάλου ἢ ἀναφυσήσας, ὡς ἀπὸ τοῦ πρήθω ῥήματος, καὶ γεμίσας τοὺς ὀφθαλμούς. ὅθεν καὶ τὸ «ἄνεμος ἱστίον ἔπρησε». Τοῦ δὲ «δίε περὶ νηυσίν», ὅ ἐστιν ἐφοβεῖτο, ἐνεστὼς τὸ δίω διὰ μόνου διχρόνου. ἐξ οὗ κατὰ ἀναδιπλασιασμὸν καὶ τὸ δεδιέναι καὶ ἡ δειδία καὶ ὅσα τοιαῦτα. Εἰ δὲ καὶ τὸ ἐπιτρέχειν τῷ κατὰ δέος φεύγοντι διώκειν λέγεται παρὰ τὸ δίειν ὦκα, ὁμώνυμον ἄρα τὸ δίειν, δηλοῦν καὶ τὸ φεύγειν καὶ τὸ κατατρέχειν τῶν δειλαινομένων. Δοκεῖ δὲ διφορεῖσθαι τὸ δίειν, καθὰ καὶ τὸ φθίειν. καὶ τοῦ μὲν γραφομένου ἐν μόνῳ διχρόνῳ ἰδοὺ ἡ χρῆσις πέφηνεν. Ὡς δὲ καὶ ἐν διφθόγγῳ γράφεται δείω, φαίνεται ἐκ τοῦ δέος, ἐν ᾧ ἀπὸ διφθόγγου ἀνεφάνη τὸ ε , καθὰ ἐκ τοῦ νείφω τὸ νέφος, ἔτι δὲ καὶ ἐκ τοῦ δείδω, γενομένου πλεονασμῷ τοῦ δ ἐκ τοῦ δείω, καὶ ἀπὸ τοῦ δείμου δὲ τοῦ δηλοῦντος τὸν φόβον. (v. 434 s.) Τὸ δὲ «ἐν φρεσὶ βάλλεαι» Ἀττικῶς ἐγράφη ἀντὶ τοῦ βάλλεις, τίθης.

2.751 Τὸ δὲ «οὐδέ τι πάμπαν» ἶσον ἔστι τῷ οὐδαμῶς, οὐδ’ ὅλως. Τὸ δὲ «ἀμύνειν νηυσὶ πῦρ» κατὰ τὸ πλῆρες πέφρασται, καθὰ καὶ τὸ «ἀλεξήσῃς κακὸν ἦμαρ». Ἄλλως δὲ τὸ ἀμῦναι μόνον καὶ μόνον τὸ ἀλεξῆσαι ἐλλιπές ἐστι. (v. 436) Πῦρ δὲ ἀΐδηλον τὸ μὴ ἵζον καὶ οἷον καθήμενον ἀλλὰ προϊὸν καὶ νεμόμενον τὰ παρατυχόντα, ἵνα ᾖ ἀΐζηλον καὶ συνήθει τροπῇ τοῦ ζ εἰς δ ἀΐδηλον. Τὸ δὲ «ἐπεὶ χόλος ἔμπεσε θυμῷ» πολεμίου δηλονότι δίκην, πάνυ ἐντρεπτικῶς εἶπεν ὁ Φοῖνιξ, αἰσχύνων τὸν ἥρωα ὡς ὀργίλον, οὐ μήν, ὡς ἐκεῖνος οἴεται, φιλότιμον. Τὸν δὲ χόλον τοῦτον προϊὼν θυμὸν μέγαν ἐρεῖ. [Ἐπιεικῶς δὲ εἴρηται καὶ ἀμφότερα. Οὐ γὰρ ἀληθῶς χόλος ταὐτὰ καὶ θυμός, ἀλλὰ μῆνις αὐτόχρημα, εἰ μὴ ἄρα καὶ κότος]. Ἀστείως δὲ πάντως εἴρηται τὸ «ἐνέπεσε θυμῷ», ἀντὶ τοῦ πολεμικῶς ἐπῆλθεν. Οὕτω Τρῶες ἐμπίπτουσι ταῖς τῶν Ἀχαιῶν νηυσὶ καὶ πῦρ δὲ ὕλῃ καὶ ἕτερα βλαπτικὰ ἑτέροις τισί. (v. 438—43) Λέγει δὲ ὁ Φοῖνιξ τῷ Ἀχιλλεῖ καὶ ὅτι «σοὶ δέ μ’ ἔπεμπε γέρων ἱππηλάτα Πηλεὺς ἤματι τῷ, ὅτε ς’ ἐκ Φθίης Ἀγαμέμνονι πέμπε νήπιον, οὔ πω εἰδόθ’ ὁμοιΐου πολέμοιο οὐδ’ ἀγορέων, ἵνα τ’ ἄνδρες ἀριπρεπέες τελέθουσι. τοὔνεκά με προέηκε διδασκέμεναι τάδε πάντα, μύθων τε ῥητῆρ’ ἔμεναι πρηκτῆρά τε ἔργων», ἤγουν διδάσκαλον λόγων τε καὶ ἔργων τῷ Ἀχιλλεῖ. Φασὶ γάρ τινες νεώτατον τὸν Ἀχιλλέα εἰς τὸν Τρωϊκὸν ἐλθεῖν πόλεμον, ὡσεὶ δώδεκα ὄντα ἐτῶν. Καὶ σημείωσαι ὅτι ἣν ἔχει ἀρετὴν ἔν τε λόγοις ἔν τε ἔργοις ὁ Ἀχιλλεύς, ἑαυτῷ ἐπιγράφεταί πως ὁ Φοῖνιξ. διὸ καὶ ἐποφείλεται χάριτας, ὧν μία καὶ τὸ πεισθῆναι νῦν τὸν μαθητὴν αὐτῷ πρεσβεύοντι. Ὅτι δὲ ῥήτωρ ἕπεται τῷ Ἀχιλλεῖ ὁ Φοῖνιξ καὶ σύμβουλος, καὶ ὁ Γεωγράφος ἱστορεῖ.

2.752 Φασὶ δὲ οἱ παλαιοὶ ὅτι δυνάμενος καλλωπίσαι τὸν λόγον ἐμφανῶς ἐν τῷ εἰπεῖν «μύθων τε ῥητῆρα ἔργων τε πρηκτῆρα», ὅμως οὐκ ἐποίησεν οὕτω, ἀλλὰ μετέθηκε τὸ πρηκτῆρα κἀντεῦθεν τὸ ὁμοιοτέλευτον συνεσκίασεν, ἵνα μὴ ἐν σκυθρωποῖς ὁ λόγος ἐμφανέστατα καλλωπίζηται. (v. 442) Τὸ δὲ «προέηκε» φθάσας ἡρμήνευσε ἐν τῷ «σοὶ δέ μ’ ἔπεμπε γέρων ἱππηλάτα Πηλεύς», δὶς εἰπὼν ἐκεῖ τὸ ἔπεμπεν, οἷα τοῦ γέροντος ἐμφανῶς ταὐτολογοῦντος διὰ τὸ ἀγωνιᾶν. Ἔνθα ὅρα καὶ ὡς ἄλλως μὲν πέμπεται ὁ Φοῖνιξ τῷ Ἀχιλλεῖ. διδάσκαλος γάρ. ἄλλως δὲ ὁ Ἀχιλλεὺς τῷ βασιλεῖ. σύμμαχος γάρ. Ὅθεν καὶ ὥσπερ οὐκ ἂν δεόντως ὁ Φοῖνιξ ἀπολίποιτο τοῦ Ἀχιλλέως, ᾧ ἐπέμφθη, οὐδ’ ἂν τοῦ βασιλέως ὁ Ἀχιλλεύς. Διὸ καὶ ἐγγὺς ὁ ῥήτωρ παρέθετο κατὰ συνάφειαν τὸ «σοὶ δέ μ’ ἔπεμπε γέρων Πηλεύς, ὅτε ς’ ἐκ Φθίης Ἀγαμέμνονι πέμπε», διδάσκων τὸν μαθητὴν διὰ τοῦτο χρῆναι καὶ αὐτὸν εἰπεῖν τῷ βασιλεῖ· πῶς ἂν ἔπειτ’ ἀπὸ σεῖο λιποίμην, ᾧ ἐπέμφθην ὑπὸ τοῦ πατρός. Ἀγαθὴ δὲ λέξις τὸ πέμπε. διὸ καὶ ἐδισσεύθη κατ’ ἐπιμονήν, ἡ αὐτὴ οὖσα τῷ ἔστειλε. (v. 438) Τὸ δὲ «ἱππηλάτα Πηλεύς» ἔχει τινὰ παρηχήσεως ἔμφασιν, εἰ καὶ μὴ σπουδαίαν. ἐρρέθη δὲ καὶ ὁ Φοῖνιξ ἀνωτέρω ἱππηλάτης. Ἀναγκαίως δὲ ἱππηλάτα λέγει Ὅμηρος διὰ δάκτυλον μετρικόν. Ὁ γὰρ ἱππηλάτης, ὥσπερ καὶ ὁ τοξότης καὶ ὁ ἱππότης καὶ ὁ δεσπότης, ἀσυντελῆ τοῖς ἡρωΐζουσι διὰ τὸ ἐν αὐτοῖς ἀμφίμακρον. (v. 439) Τὸ δὲ «πέμπε» δέεται πάντως ὑποδιαστολῆς βελτιούσης διάνοιαν ἐν τῷ «πέμπε νήπιον», ἵνα μή τις, ὡς τοῦ ν ἡνωμένου τῷ ῥήματι, νοήσῃ ὅτι ἔπεμπεν οὐ νήπιον ἀλλὰ ἤπιον.

2.753 [Ἰστέον δὲ ὅτι πέμπειν παρὰ τοῖς μεθ’ Ὅμηρον καὶ τὸ στέλλεσθαι θριαμβικῶς, ὅθεν καὶ πομπή, ὁ θρίαμβος, ὃν προέλευσιν ἡ κοινὴ γλῶσσα λαλεῖ, καὶ πομπεῖα παρ’ Ἀττικοῖς ἱερὰ σκεύη χρήσιμα ἐν τοιαύταις πομπαῖς]. (v. 440) Τὸ δὲ «εἰδότα πολέμου» συνήθη Ὁμήρῳ σύνταξιν ἔχει τὴν μετὰ γενικῆς. οὐ γὰρ μόνον τὸ εὖ εἰδώς, ἀλλὰ καὶ αὐτὸ μόνον τὸ εἰδώς γενικῇ συντάσσει. Οὕτω δὲ καὶ τὸ γνῶναι, ὡς ἡ Ὀδύσσεια δηλοῖ. Διὰ τί δὲ ὁμοίϊος ὁ πόλεμος λέγεται, προδεδήλωται. (v. 441) Ἀγορὰς δὲ τοὺς δημηγορικοὺς λόγους φησί. Τὸ δὲ «ἔνθα ἄνδρες ἀριπρεπέες» δύναται μὲν καὶ ἐπὶ πολέμου νοεῖσθαι καὶ ἐπὶ ἀγορᾶς, μάλιστα δὲ κρεῖττον ἐπὶ ἀγορᾶς. Καὶ ἐν ἄλλοις γὰρ ὁ ποιητὴς τὸν ἄριστον δημηγόρον ἐπὶ πλέον ἐξαίρει τοῦ πολεμιστοῦ, [εἰ καὶ ἄλλως κυδιάνειρα λεγομένη καὶ ἡ μάχη ἀριπρεπέας νοεῖται ἄνδρας ποιεῖν καὶ αὐτή]. (v. 442 s.) Τοῦ δὲ «διδασκέμεναι τάδε πάντα» ἐφερμηνευτικὸν εὐθὺς ἐπῆκται τὸ «μύθων τε ῥητῆρα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶναι πρηκτῆρά τε ἔργων». Καὶ ὅρα ὅτι, ὥσπερ πρὸ ὀλίγων τὸ «οἳ δ’ ἄρα πάντες ἀκὴν ἐγένοντο» ἐπὶ τριῶν ἔφη ἀνδρῶν, οὕτω καὶ ἐνταῦθα τὸ πάντα ἐπὶ πραγμάτων δύο, τοῦ λόγοις παιδεῦσαι καὶ ἔργοις. Δοκεῖ δὲ καλῶς ἐπί γε τοιούτων ῥηθῆναι τὸ πάντες καὶ τὸ πάντα. Οἱ ἄνδρες τε γὰρ Φοῖνιξ καὶ Ὀδυσσεύς εἰσι καὶ Αἴας οἱ ἀντὶ πολλῶν, καὶ τὰ πράγματα λόγοι καὶ πράξεις, ὧν τὸ πολυσχιδὲς μικροῦ δεῖν ἀμύθητον. Ἰστέον δὲ καὶ ὅτι ῥήτορα οὐκ οἶδεν εἰπεῖν Ὅμηρος— Οὔπω γὰρ ἐπεχωρίαζε τότε ἡ λέξις. —, ῥητῆρα δὲ λέγει, ὡς καὶ φράτωρ φράτηρ ἐλέγετο παρὰ τοῖς παλαιοῖς. [Ὅρα δὲ τὸ «πρηκτῆρά τε ἔργων» δι’ οὗ διδασκάλου τελείου ἐκφαίνεται ἀρετή. Ὡς γὰρ ὁ τῶν μύθων ῥητὴρ ῥητορεύων διδάσκει τὸν μυούμενον, ὡς οὕτω χρὴ ῥητορεύειν, οὕτω καὶ ὁ τῶν ἔργων πρηκτὴρ πράττων παιδεύει τὰ πρακτέα τὸν μαθητήν, οὐ μὴν λέγων μόνον καὶ ἐρεθίζων.

2.754 οὕτω καὶ ὁ μουσικὸς ἐνάγει πρὸς μάθησιν, οὕτω καὶ πᾶς ὁστισοῦν ὁ πράττειν ἐπιστημοναρχῶν, ἵνα μὴ μακρὰ λέγωμεν. Οὐκοῦν πρακτικώτατος ὢν ὁ Φοῖνιξ τοιοῦτον καὶ τὸν Ἀχιλλέα ἐποίησεν]. (v. 444—8) Ὅτι ὁ Φοῖνιξ τὸ «πῶς ἂν ἔπειτ’ ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην» παραφράζων φησὶ πρὸς Ἀχιλλέα «ὡς ἄν», ἤγουν ὄντως ἄν, «ἔπειτ’ ἀπὸ σεῖο, φίλον τέκος, οὐκ ἐθέλοιμι λείπεσθαι», καὶ ἐπάγει «οὐδ’ εἴ κέν μοι ὑποσταίη θεὸς αὐτὸς γῆρας ἀποξύσας θήσειν νέον ἡβώωντα, οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα» καὶ ἑξῆς. (v. 446) Καὶ ὅρα τὸ «ἀποξύσας» προσφυῶς ῥηθὲν τῇ τοῦ γεροντικοῦ δέρματος τραχύτητι, δι’ ἣν καὶ πάγουρον αὐτὸν ἡ Κασάνδρα που καλεῖ. Ξύεται γὰρ τὸ τραχύ, ὡς ἂν εὐθετισθῇ πρὸς λειότητα. (v. 445) Τὸ δὲ «ὑποσταίη θεός» ἀντὶ τοῦ ὑπόσχηται, ἐγγυήσηται, καθ’ ὃ σημαινόμενον λέγει καὶ προϊών, ὅτι ὁ βασιλεὺς δῶρα τὰ μὲν διδοῖ, τὰ δὲ ὑπέστη, τουτέστιν ὑπέσχετο. [Τὸ δὲ «αὐτός» κατ’ ἐξοχὴν ῥηθὲν ἐν τῷ «θεὸς αὐτός» διαστολὴν ἔχει πρὸς τὸν θέσει θεόν, ὁποῖός τίς ἐστιν ὁ ἔνθεος καὶ ὁ ἀγχίθεος]. (v. 447) Σημείωσαι δὲ ὅτι νέος μὲν ὢν ὁ Φοῖνιξ ἐκ τῆς πατρίδος εἰς τὸν Πηλέα ἦλθεν, οὐ τοιοῦτος δέ, ὁποῖος ὁ Ἀχιλλεὺς πρὸς τοῦ Πηλέως παρετέθη τῷ Φοίνικι. Αὐτὸς μὲν γὰρ νήπιος οὔτε λόγων ἐπιστήμων οὔτε ἔργων, ὁ δὲ Φοῖνιξ οὐδέν τι τοιοῦτος ἀλλ’ εὐδόκιμος, ὡς μετ’ ὀλίγα φανεῖται. Διὸ καὶ πλειόνων χαρίτων ὁ Ἀχιλλεὺς ὀφειλέτης τῷ Φοίνικι. (v. 447 s.) Ὅτι Ἑλλαδικὸς ἀνέκαθεν ὢν ὁ Φοῖνιξ εἶτα ὕστερον εἰς Φθίαν ἐξίκετο φυγὼν δι’ αἰτίαν, ἥτις μετ’ ὀλίγα ῥηθήσεται. Φησὶ γοῦν «ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα φεύγων νείκεα πατρὸς Ἀμύντορος Ὀρμενίδαο». Ὁ δὲ Γεωγράφος ἐκ τοῦ Θετταλικοῦ Ὀρμενίου τοῦ ἐν τῇ Βοιωτίᾳ γραφέντος ἱστορεῖ δοκεῖν τισι τὸν Φοίνικα φυγεῖν εἰς Φθίαν. Διό, φησί, τινὲς ἀντὶ τοῦ «οἷον ὅτε πρῶτον λίπον Ἑλλάδα καλλιγύναικα» γράφουσιν «οἷον ὅτε πρῶτον λίπον Ὀρμένιον πολύμηλον». Φασὶ γὰρ τὸ χωρίον ὑπὸ Ὀρμένου κτισθῆναι, υἱοῦ Κερκάφου, παιδὸς Αἰόλου, Ὀρμένου δὲ γενέσθαι Ἀμύντορα, οὗ Φοῖνιξ καὶ Εὐαίμων, οὗ Εὐρύπυλος, ὅθεν φυλαχθῆναι τὴν διαδοχὴν Εὐρυπύλῳ, ὡς ἀπελθόντος τοῦ Φοίνικος.

2.755 Τινὲς δέ, φησί, Φωκέα ποιοῦσι τὸν Φοίνικα, νοοῦντες τὸν ἐν Ἐλεῶνι Ὀρμενίδην Ἀμύντορα, οὗ τὸν δόμον Αὐτόλυκος ἀντετόρησε, πατέρα τοῦ Φοίνικος ὄντα ἐξ Ἐλεῶνος τῆς περὶ Παρνασόν. [Ἰστέον δὲ ὡς οὔτε τὸ Ὀρμένιον οὔτε ὁ Ὄρμενος οὔτε ὁ ἐξ αὐτοῦ Ὀρμενίδης ἐξ ἀνάγκης ἐκ τοῦ ὁρμᾶν γίνονται, ἵνα καὶ δασύνωνται, ἀλλ’, ὡς εἰκός, ἐκ τοῦ ὄρω, τὸ διεγείρω, οὗ παθητικὸν ὀρόμενος καὶ ἐν συγκοπῇ ὄρμενος]. (v. 448—52) Ὅτι ἡ μήτηρ τοῦ Φοίνικος Ἱπποδάμεια παρευδοκιμουμένη ἔρωτι παλλακίδος τῆς Κλυτίας, ἧς ἤρα ὁ τοῦ Φοίνικος πατὴρ Ἀμύντωρ, καὶ δυσωπήσασα τὸν υἱὸν τὰ εἰς τὴν ῥηθησομένην ἐκδίκησιν, αἰτία γέγονεν αὐτῷ τοῦ ἐκ τῆς πατρίδος, ὡς ἐρρέθη, φυγεῖν. Ἱστορῶν γοῦν τὰ τοιαῦτα ὁ Ὁμηρικὸς Φοῖνίξ φησιν, ὅτι εἰς τὸν Πηλέα ἐξικόμην φεύγων νείκεα πατρός, ὡς εἴρηται, «ὅς μοι παλλακίδος πέρι χώσατο καλλικόμοιο, τὴν αὐτὸς φιλέεσκεν, ἀτιμάζεσκε δ’ ἄκοιτιν, μητέρ’ ἐμήν. ἣ δ’ αἰὲν ἐμὲ λισσέσκετο γούνων παλλακίδι προμιγῆναι, ἵν’ ἐχθήρειε γέροντα». Ἀφίσταται γὰρ γέροντος νέα γυνὴ πειραθεῖσα ἡβῶντος ἀνδρός. (v. 453—6) Ὁ δὲ τοῖς τοκεῦσιν ὁμόνοιαν πραγματευόμενος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπείσθη τῇ μητρί. Φησὶ γὰρ ὁ Φοῖνιξ «τῇ πιθόμην», ἤγουν τῇ μητρί, «καὶ ἔρεξα», μιγεὶς δηλαδὴ τῇ Κλυτίᾳ, ἣν ὁ πατὴρ Ἀμύντωρ οὔπω μὲν ἔγνω, καθὰ οἱ παλαιοί φασιν, εἰς τοῦτο δὲ ἀνέτρεφε. Διὸ οὐδὲ μιγῆναί φησιν ὁ Φοῖνιξ τῇ παλλακίδι ἀλλὰ προμιγῆναι, ἤτοι πρὸ ἐκείνου μιγῆναι, ἵνα ἐχθήρειε τὸν γέροντα. «Πατὴρ δ' ἐμός», φησίν, «αὐτίκ' ὀϊσθείς», ὅ ἐστι γνούς, «πολλὰ κατηρᾶτο, στυγερὰς δ' ἐπεκέκλετο Ἐριννῦς, μή ποτε γούνασιν οἷσιν», ὅ ἐστιν ἰδίοις, «ἐφέζεσθαι φίλον υἱὸν ἐξ ἐμέθεν γεγαῶτα», ἵνα δηλαδὴ ὁ λυπήσας πατέρα δυστυχήσῃ περὶ παιδὸς γονήν. «θεὸς δέ», φησίν, «ἐτέλειεν ἐπαράς». Καὶ καταντᾷ μετὰ πολλὰ ὁ λόγος τῷ διδασκάλῳ εἰς τὸ ἀντὶ υἱοῦ τὸν Ἀχιλλέα ἐκθρέψασθαι καὶ παῖδα ποιήσασθαι καὶ τηλικοῦτον θεῖναι ὁποῖος νῦν ἐστιν. Ἀναμνήσει δὲ καὶ ὅπως ἐπαιδαγώγει αὐτόν. Ἔνθα καὶ σημειοῦνται οἱ παλαιοί, ὡς οὐχ' ὑπὸ Χείρωνος Ὅμηρος οἶδε τραφῆναι τὸν Ἀχιλλέα, εἰ μὴ ἄρα ἴσως μόνην παιδευθῆναι τὴν ἰατρικήν. (v. 496) Εἶτα εἰπὼν «ἀλλ', Ἀχιλλεῦ, δάμασον θυμὸν μέγαν» καὶ τὰ ἑξῆς, ῥητορεύσας δὲ καὶ περὶ λιτῶν τὰ ἐν τοῖς ἑξῆς ῥηθησόμενα, ἐπάγει καὶ ἱστορίαν τὴν κατὰ τὸν Μελέαγρον οἰκείως πάνυ τῷ πράγματι καὶ συμβουλεύει ἑκόντα τοῖς Ἕλλησιν ἐπαμῦναι, μήποτε καὶ αὐτὸς τὸ τοῦ Μελεάγρου πάθοι. Καὶ γὰρ ἐκεῖνος, ὡς ἐν τοῖς ἑξῆς ἱστορηθήσεται, δῶρα μὲν λαμβάνων καὶ δυσωπούμενος οὐκ ἐπείθετο, ὕστερον δὲ ὑπ' ἀνάγκης τὸν μὲν πόλεμον, ᾧ θυμῷ εἷξας, κατειργάσατο, τῆς δὲ τιμῆς καὶ τῶν δώρων ἐξέπεσεν.

2.756 (v. 450) Ὅρα δὲ ὅτι πρὸς τὸ φιλέεσκε τὸ ἀτιμάζεσκεν ἀντέθετο συγγενές τι ὂν τῷ μισεῖν. (v. 451) Τὸ δὲ «λισσέσκετο γούνων» ἔλλειψιν ἔχει ἢ προθέσεως, ἵνα ᾖ λίσσετο ὑπὲρ γούνων ἢ διὰ γούνων, ἢ μάλιστα μετοχῆς, ἵνα λέγῃ ὅτι ἐλίσσετο ἁπτομένη γονάτων. (v. 453) Ἰστέον δὲ καὶ ὅτι τὸ «τῇ πιθόμην καὶ ἔρεξα» ἐνδέδωκε τῷ Κωμικῷ μέθοδον εἰπεῖν, ὡς «τῷ πατρὶ πειθόμενος καὶ ἐξάμαρτε», ἵνα καὶ ὁ Φοῖνιξ εἴπῃ, ὡς τῇ μητρὶ πεισθεὶς ἥμαρτον. Σεμνῶς δὲ ἡ τοιαύτη ἔννοια εἴρηται. Ῥέξαι γὰρ ὁ Φοῖνιξ λέγει τὸ μιγῆναι τῇ παλλακῇ, εὐφημῶν καὶ φειδόμενος «ὀλιγάκις λέγειν κακά». Ἐκ δὲ τοῦ τοιούτου σεμνοῦ θαλαμηπόλου λέξιν ἐρανισάμενος καὶ ὁ Ἀττικιστὴς Ἀλκίφρων ἔφη, ὡς ὁ δεῖνα οἷός τε ἦν ἐν ὀφθαλμοῖς ὁρώντων ἁπάντων τὴν ψάλτριαν ἐνεργεῖν. Ταὐτὸν γὰρ νοεῖ τὸ ῥέζειν καὶ τὸ ἐνεργεῖν καὶ ἐν ἀμφοῖν σεμνότητος παραπετάσματι τὸ τοῦ πράγματος δυσπρόσοπτον συγκαλύπτεται. Ὁμηρικὸν δέ τι καὶ παρὰ Σοφοκλεῖ ἐν Φιλοκτήτῃ τὸ «οὔτέ τι ῥέξας», κακὸν δηλαδή. Οὕτω γὰρ νοεῖται, εἰ καὶ παντελῶς ἐκεῖ σιωπᾶται, τὸ ῥεχθέν. Σημείωσαι δὲ ὅτι τὸ παρὰ τοῖς ῥήτορσι ζήτημα ἐκεῖνο τό· νόμος τὸν παῖδα τοῖς γονεῦσιν ἐπαμύνειν, μητρί τις ἐπαμύνας πρὸς τοῦ πατρὸς τυπτομένῃ ἀποκηρύττεται, ἐντεῦθεν δοκεῖ τὴν τῆς πλάσεως ἀρχὴν λαβεῖν. Κἀνταῦθα γὰρ ὁ Φοῖνιξ ἀδικουμένῃ τῇ μητρὶ τιμωρήσας δυσκόλου πειρᾶται τοῦ πατρός.

2.757 Εἰ δὲ ψέγεται ὡς πατέρα λυπήσας, ἀλλὰ λύεται τὸ ἔγκλημα διὰ τοῦ φύσει δικαίου. Γάμον γὰρ ἀδικούμενον ἀνωρθώσατο, οἷς τὸν πατέρα μὴ ἀδικήσας ἐλύπησεν. Εἰ δὲ ἀνόσιόν τις ἐρεῖ τὸ πραχθέν, ἐψεύσατο. Ἤδη γὰρ εἴρηται, ὡς οὐκ ἐμίγη ἀλλὰ προεμίγη τῇ παλλακῇ. Καὶ ἄλλως δέ, εἰ καὶ διὰ τὸν πατέρα ἴσως ἀνόσιος, ἀλλ' ἄλλον τρόπον ὅσιος τιμωρῶν μητρί, τοῦτο δὴ καλὸν τῇ τραγῳδίᾳ ἀντίστροφον. Ἀπίων δέ φησιν, ὅτι Ἀριστόδημος ὁ Νυσσαεὺς ῥήτωρ τε καὶ γραμματικὸς μετέγραψεν ἀντὶ τοῦ «τῇ πιθόμην καὶ ἔρεξα» «τῇ οὐ πιθόμην οὐδ' ἔρεξα», καὶ εὐδοκιμήσας ἐτιμήθη, ὡς εὐσεβῆ τιμήσας τὸν ἥρωα. Πρὸ δὲ αὐτοῦ Σωσιφάνης τὴν τοιαύτην εὗρε γραφήν. καὶ Εὐριπίδης δὲ ἐν Φοίνικι ἄπταιστον τὸν ἥρωα συντηρεῖ. Ἄριστον δὲ τὸ τῆς μητρὸς ἐπεισόδιον. Ἔοικε γὰρ λέγειν ὁ Φοῖνιξ, ὅτι οὐδὲ ἐμοὶ τότε συνήνεγκε πεισθέντι τῇ μητρί. Οὔκουν οὐδὲ σὲ ὀνήσει μήτηρ ἡ Θέτις, συμβουλεύσασα τῆς τῶν Ἑλλήνων ἀποσχέσθαι συμμαχίας, καὶ εἰποῦσα «ἀλλὰ σὺ μὲν μήνιε» καὶ τὰ ἑξῆς. Σημείωσαι δὲ καὶ ὅτι ἀπορήσαντες οἱ παλαιοί, πῶς ποτε τὸν ἐπὶ πράξει οὐκ ἀγαθῇ διάφορον τῷ πατρὶ Φοίνικα παιδαγωγὸν ἐπέστησε τῷ Ἀχιλλεῖ ὁ Πηλεύς, λύουσιν, ὡς ἀγαθοὶ διδάσκαλοι οἱ παθημάτων πεῖραν σχόντες καὶ ἑαυτοὺς ἀνακτησάμενοι. Καὶ Χείρωνα γάρ φασι τρωθέντα ποτὲ τὴν χεῖρα τὴν διὰ βοτανῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπινοήσασθαι ἰατρικήν, καὶ τὸν Σηλυβριανὸν παιδοτρίβην Ἡρόδικον διὰ πόνους ἐμπεσόντα φθόῃ μελετῆσαι τὰ περὶ δίαιταν. (v. 452) Ὅρα δέ, εἰ καθ' ὑποκορισμὸν ἡ παλλακὶς ἐρρέθη, καθά που ἐν τοῖς μετὰ ταῦτα καὶ ἡ ἀγκαλίς. Δοκεῖ γάρ, ὥσπερ πύλη πυλίς, οὕτως εἶναι καὶ ἀγκάλη ἀγκαλίς καὶ παλλακή παλλακίς. Τοῦτο δὲ παρετηρήθη διὰ τοὺς κελεύσαντας μὴ εἶναι ὑποκορισμὸν παρὰ τῷ ποιητῇ. Πόθεν δὲ γίνεται παλλακή, προδεδήλωται. [Ἰστέον δὲ ὅτι νεωτάτη δοκεῖ εἶναι ἡ ἁπλῶς παλλακή. Μνηστέον γὰρ ὅτι, καθὰ καὶ προδεδήλωται, ταὐτὸν πάλλακα εἰπεῖν ἡλικίας λόγῳ καὶ βούπαιδα καὶ ἀντίπαιδα καὶ μελλέφηβον, ἐξ οὗ δὴ πάλλακος ἡ παλλακίς. Ὡς δὲ καὶ ἡ Παλλὰς μετέχει τι τῆς τοιαύτης λέξεως, προεδηλώθη που καὶ αὐτό.

2.758 Σαφέστερον δὲ ταῦτα φράζει ὁ γράψας, ὅτι παλλακαὶ καλοῦνται τὸ μὲν ἀκριβὲς τῶν παιδίσκων αἱ νέαι, καθὰ καὶ τῶν ἀρρένων πάλλακες. Ταύταις δὲ ἡσσώμενοί ποτε διὰ τὴν ἀκμὴν οἱ δεσπόται ἀφιᾶσι καλεῖσθαι αὐτὰς οὕτω, κἂν μηκέτι νέαι ὦσι.] (v. 451) Τὸ δὲ «αἰὲν λίσσετο» τὸ δυσπειθὲς δηλοῖ τοῦ παιδὸς εἰς τὸ λυπῆσαι πατέρα εἰ καὶ ὕστερον ἡ μήτηρ ἱκετεύουσα ἐξενίκησε. (v. 453) Τὸ δὲ «ἔρεξα» φυσικῶς, οὐ μὴν Ἀττικῶς, ἀδίπλαστον ἔχει τὸ ρ . (v. 454) Στυγεραὶ δὲ Ἐρρινῦς αἱ φρικταὶ καί, ὡς εἰπεῖν, κρυεραὶ καὶ ῥιγεδαναί, παρὰ τὴν Στύγα τὴν ἐν Ἅιδου πηγήν, ὡς πολλαχοῦ φαίνεται. Δαιμόνια δὲ τιμωρητικὰ αἱ Ἐριννύες, μάλιστα μὲν ἐκδικοῦσαι τὰ εἰς γονεῖς ἁμαρτήματα, δοκοῦσαι δὲ καὶ λοιποῖς ἐπεξιέναι ἀδικήμασιν, ὡς αἱ ποιήσεις δηλοῦσιν. Ὅτι δὲ πτερωταὶ πλάττονται διὰ τὸ κατ' ἀλληγορίαν πάνυ ταχὺ τῆς θεόθεν δίκης καὶ ἄφυκτον, καὶ ὅτι τρεῖς εἰσι, καὶ τίνα ταύταις ὀνόματα, καὶ ὅτι ἄγριαι κατὰ δημίους, καὶ ὅτι μέλαιναι διὰ τὸ ἀφανῶς ἐπιέναι τοῖς κακοῖς, καὶ ὅτι ταναύποδες διὰ τὸ οἷον μακροσκελὲς καὶ οὕτω πλατὺ τῆς διαβάσεως καὶ ταχὺ καὶ εὐκίνητον, καὶ ὅτι παρὰ τὸ ἐρι ἐπιτατικὸν καὶ τὸ ἀνύειν αὐταῖς τὸ ὄνομα, ὡς ἄγαν ἀνυστικαῖς ἢ σπουδαίαις—Ἀνύειν γὰρ καὶ τὸ σπεύδειν παρ' Ἀττικοῖς.

2.759 —, ἢ ὡς τὰς ἀρὰς ἀνύουσαι, ἢ ὣς οἷον Ἐλινύες ἀντιφραστικῶς αἱ μάλιστα γοργαί, καὶ ὅσαι ἄλλαι τούτων ἐτυμολογίαι, ζητητέον ἐν τοῖς παλαιοῖς, παρ' οἷς καὶ ἀεὶ παρθένοι λογοποιοῦνται διὰ τὸ μὴ ληπταὶ εἶναι προσώποις καὶ ἀεὶ ὁρῶσαι πάντα τὰ ἐν βροτοῖς πάθη, καὶ ὡς εἰπεῖν ἄλαστοι. διὸ καὶ μνήμονες αἱ αὐταί. Ὅθεν καὶ Ζεὺς ἀλάστωρ καὶ φθόνος καὶ δαίμων ἀλάστωρ ἐπενοήθη λέγεσθαι. αἱ δ' αὐταὶ καὶ σεμναὶ καὶ δειναὶ καὶ δεινῶπες καὶ ἔμφοβοι, ἔστι δὲ καὶ ποίνιμοι, διὰ τὸ κατ' αὐτὰς φοβερόν. Εἰ δὲ καὶ Εὐμενίδες Ἀττικῶς κατὰ τὸ «ὅ γ' ἐνθάδ' ὢν εἴπῃ λεώς», ἤγουν ὡς ἂν Ἀττικοὶ εἴποιεν, ἀλλὰ τοῦτο ἀντίφρασις εὐφημητικὴ ἐκθυομένη τὴν κατὰ τὰς Ἐριννῦς φρίκην. Αἳ καὶ χαλκόποδες λέγονται διὰ τὸ ἀκάματον, ἔτι δὲ καὶ βαρὺ τῆς ἐπεμβάσεως, καὶ μετάδρομοι κακῶν ἔργων, ἔτι δὲ καὶ λωβητῆρες ὑστεροφθόροι, ὡς μετὰ τὸ πραχθῆναί τι κακὸν ἐπάγουσαι λώβην αὐταί, καὶ ἄφυκτοι δὲ κύνες διὰ τὸ οἷον ἰχνηλατεῖν εἶτα καὶ δάκνειν τοὺς κακούργους, καὶ ἄοινοι δὲ διὰ τὸ νηφάλιον καὶ ἀνύστακτον ἐπὶ τοῖς ἁμαρτάνουσι καὶ μάλιστα τοῖς φονεύουσι.

2.760 Διὸ καὶ μίαν τούτων Τισιφόνην καλοῦσιν, ἐπεὶ δίκας αὐτῇ τίνουσι οἱ φονεῖς. (v. 455) Τὸ δὲ «γούνασιν ἐφέζεσθαι υἱόν» τὸ πατρικὸν ὡς ἐκ μέρους ὑπεμφαίνει φιλότεκνον, [οὗ χάριν παρατατικῶς ἔφη τὸ ἐφέζεσθαι διὰ τὸ ἐπίμονον τοῦ ἔργου. Ἄλλως γὰρ εἶχεν εἰπεῖν «γούνασιν ἐφέσσασθαι», ὅπερ ἦν ἅπαξ ποτὲ ἐπικαθίσαι]. (v. 456) Τὸ δὲ «ἐξ ἐμέθεν γεγαῶτα» πρὸς διαστολὴν ἐρρέθη θετοῦ τε υἱοῦ καὶ τοῦ ἁπλῶς ἑτέρωθεν, [ὁποῖοι πολλάκις παῖδες ἐπικάθηνται ξένοις γούνασιν. Οὐ γὰρ ἐξ ἀνάγκης παῖς ἅπας πατρικοῖς γούνασιν ἐφιζάνει οὐδὲ πᾶς ὁ παῖδα φιλοφρονούμενος πατὴρ τοῦ τοιούτου ἐστὶ παιδός]. (v. 456) Ἐν δὲ τῷ «ἐπαράς» πλεονάζει ἡ πρόθεσις, ὡς καὶ ἐν τῷ ἐπιβουκόλος καὶ ἐπίουρος. καὶ μετ' ὀλίγα εὐθὺς ἐπαινὴ Περσεφόνεια ἡ αἰνή, τουτέστι δεινή. Ἔοικε δὲ ἐπαρὰς ἐξ ὀρθοῦ τὰς κατάρας εἰπεῖν, ὅθεν καὶ ἐπάρατος. [Δηλοῖ δὲ αὐτὸ σαφέστατα καὶ τὸ «πολλὰ κατηρᾶτο». Ὅτι δὲ πολλαχοῦ ἡ κατα πρόθεσις εἰς τὴν ἐπι ἀλλάσσεται, ὡς καὶ ἐν τῷ ἐπίρρητος, ὁ καταρρήσεων ἄξιος, καὶ ἐν ἄλλοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δεδήλωται]. (v. 457) Ὅτι Ζεὺς καὶ ἐνταῦθα καταχθόνιος ὁ Ἅιδης, ὡς ἐάν τις εἴποι ἀὴρ ὑπόγειος. [Εἰ δὲ κατὰ παλαιὰν ἱστορίαν περί τινα Καρικὸν ποταμὸν Ζηνὸς Ποσειδῶνος ἦν ἱερόν, ἰδοὺ τὸ Ζεύς, ἤτοι Ζήν, κοινὸν ὄνομα Διὸς καὶ Ποσειδῶνος καὶ Ἅιδου τῶν ἀδελφῶν].

2.761 Ἐπαινὴ δὲ Περσεφόνεια περιοχή τις τεθνεώτων, ὃ σύγκειται ἀπό τε τοῦ φθέρσαι, ὅ ἐστι φθεῖραι, ῥήματος Αἰολικοῦ, καὶ ἀπὸ τοῦ φόνου, ὡς τῶν θνησκόντων ἢ κατὰ φύσιν πιπτόντων, ὃ διὰ τοῦ φθείρεσθαι δηλοῦται, ἢ κατὰ βίαν, ὃ διὰ τοῦ φόνου παρασημαίνεται. Καὶ ταῦτα μὲν πρὸς ἀλληγορίαν. Ἄλλως δὲ Ζεὺς καταχθόνιος, ἤγουν ὑποχθόνιος, ὁ τοῦ μύθου Πλούτων. Περσεφόνη δὲ ἄκοιτις αὐτοῦ. Περὶ δὲ τούτους αἱ Ἐριννῦς, περὶ ὧν ἐρρέθη. Διὸ δοκοῦσι καὶ ἀπὸ τοῦ ἐκ τῆς ἔρας νέεσθαι τὴν κλῆσιν λαχεῖν. Αἳ λέγονται σὺν καὶ τῷ Ἅιδῃ καὶ τῇ Περσεφόνῃ τελέσαι τὰς τοῦ Φοίνικος ἀράς, ἤγουν τὸ ἄγονον ἀποβῆναι τὸν Φοίνικα, ὅπερ εὐφυῶς ἔχει ῥηθέν, ὡς τῆς ἀτεκνίας οὐ μόνον ἐριννυώδους ἀλλὰ καὶ οἷον θανατηρᾶς οὔσης, οἷς ἐπιτέμνουσα τὴν διαδοχὴν ἀφανίζει τὸ γένος οἰχόμενον. Γίνεται δὲ ἡ Περσεφόνεια ἐκ τοῦ Περσεφόνη κατὰ Ἰωνικὴν παραγωγὴν τῆς ληγούσης, ὡς τὸ Πηνελόπη Πηνελόπεια καὶ τὰ λοιπά, ὅσα καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ κεῖται. Ἰστέον δὲ καὶ ὅτι ἐν πολλοῖς τῶν παλαιῶν ἀντιγράφων Φερσεφόνη φέρεται ὡς ἀπὸ τοῦ εἰρημένου φθέρσαι, τοῦ θ ἐλλείψαντος. Ἡ δὲ καλλιφωνία τὸ ἀρκτικὸν δασὺ ἀλλάξασα Περσεφόνην πεποίηκεν, [ᾗ σύστοιχος καὶ ἡ Περσέφασσα.

2.762 Ὡς γὰρ παρὰ τὸ φθείρειν καὶ φονεύειν Φθερσεφόνη καὶ εὐφωνώτερον Φερσεφόνη καὶ ἔτι ἐμμελέστερον Περσεφόνη, οὕτω παρὰ τὸ αὐτὸ φθείρειν καὶ τὸ φάζειν, ὅ ἐστι φονεύειν, Φθερσέφασσα ἢ κατὰ τὸ κάλλιον Φερσέφασσα καὶ ἔτι λειότερον Περσέφασσα]. Ἐπαινὴ δὲ οὐ μόνον ἡ αἰνή, ὡς ἐρρέθη, ἀλλὰ καὶ ἡ αἰανὴ διὰ τὸ ἐν σκότῳ εἶναι. (v. 462 s.) Ὅτι ὁ βαρηθεὶς οἴκαδε μένειν ἐρεῖ ἂν τὸ «ἔνθ’ ἐμοὶ οὐκέτι πάμπαν ἐρητύεται ἐν φρεσὶ θυμὸς κατὰ μέγαρα στρωφᾶσθαι». [Ἐνταῦθα δὲ σημείωσαι ὡς, εἴπερ κατά τινα τῶν ἀντιγράφων γράφεται κατὰ μέγαρα στροφάασθαι διὰ μικροῦ ο , ἔχοι ἂν μεγάλην ἀπορίαν καὶ δύσλυτον ἡ τοιαύτη γραφή]. (v. 464 s.) Ὅτι ἐν τῷ «ἦ μὲν πολλὰ ἔται καὶ ἀνεψιοὶ ἀμφὶς ἐόντες», ἤγουν κύκλῳ περὶ ἐμέ, «αὐτοῦ», ὅ ἐστιν ἐκεῖ, «λισσόμενοι κατερήτυον ἐν μεγάροισι» φιλικὴ δηλοῦται δεξίωσις. Λέγει δὲ ἔτας μὲν πάντας τοὺς συνήθεις ὡς ἀπὸ τοῦ ἔθος, ἀνεψιοὺς δὲ τοὺς τοῦ γένους ὡς ἀπὸ μέρους τῶν ἀνεψιῶν. ἀνεψιοὶ δὲ οἱ παρὰ τοῖς ὕστερον ἐξάδελφοι. Πόθεν δὲ γίνεται ἀνεψιός, καὶ ὡς τὸ ἔτης ἄλλοι μὲν ἐδάσυνον, ἄλλοι δὲ ἐψίλουν, ἐν ἄλλοις γέγραπται. (v. 466—9) Ὅτι πολυτελοῦς δαιτὸς ἔνδειξις τὸ «πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς ἔσφαζον, πολλοὶ δὲ σύες θαλέθοντες ἀλοιφῇ», ὅ ἐστι πίονες, «εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο, πολλὸν δ’ ἐκ κεράμων μέθυ πίνετο».

2.763 (v. 466) Λέγει δὲ ἴφια μὲν καὶ νῦν μῆλα τὰ ἰσχυροποιὰ θρέμματα. Ἰφθιμοποιεῖ γὰρ τὸ αὐτῶν κρέας καί, ὡς ἡ ἐτυμολογία φησί, κρατύνει καὶ ἰσχυροποιεῖ. Ἢ καὶ ἄλλως, ἴφια τὰ λιπαρά. τὰ γὰρ πάντῃ ἀλιπῆ ἀνίσχυρα. Εἰλίποδες δὲ εἰς τὸ πᾶν μὲν βοῶν ἐπίθετον, ἡ δὲ κωμῳδία καὶ γυναῖκάς φησιν εἰλίποδας παίζουσα [δι’ Εὐπόλιδος] τὰ ἑαυτῆς. (v. 467) Ὁ δὲ θαλέθων πρωτότυπόν ἐστιν, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, τῆς τοῦ τηλεθόων παραγωγῆς. Ἀλοιφὴ δὲ τὸ λίπος διὰ τὸ χρήσιμον εἶναι ἀλείφειν. ἀπὸ ταύτης καὶ ξηραλοιφεῖν καὶ ξηραλοιφία τὸ ἄνευ λουτροῦ ἀλείφεσθαι. ἐπεὶ καὶ ξηρὸς ἱδρὼς ὁ μὴ ὑπὸ λουτροῦ ἀλλ’ ὑπὸ γυμνασίων καὶ πόνων γινόμενος. Δῆλον δὲ ὅτι καὶ τὸ τοίχους χρίειν ἀλείφειν λέγεται καὶ ἀλοιφή. Διὸ ἐν ῥητορικοῖς Λεξικοῖς φέρεται, ὅτι ἀλοιμὸς τὸ αὐτὸ καὶ ἀλοιφή, τὸ τῶν ἐν οἴκοις τοίχων χρίσμα, καὶ ὅτι ἀλοιφεῖον· ᾧ οἱ ἀλεῖπται χρῶνται. Πάντως δέ, ὥσπερ ἀπὸ τοῦ ἀλείφω ἡ ἀλοιφὴ ἢ ἀπὸ τοῦ ἤλειφα ἐνεργητικοῦ παρακειμένου, οὕτως ἀπὸ τοῦ ἤλειμμαι ὁ ἀλοιμός, καθὰ καὶ ἀπὸ τοῦ λείπω, λέλειμμαι, ὁ λοιμός. (v. 468) Τὸ δὲ «τανύοντο διὰ φλογὸς Ἡφαίστοιο» περιφραστικῶς κεῖται ἀντὶ τοῦ ὠπτῶντο. (v. 469) Κέραμος δὲ ἢ λάγυνος ἢ πίθος, ὡς καὶ ἐν τῷ «χαλκέῳ δ’ ἐν κεράμῳ

δέδετο». Μέθυ δὲ ὁ οἶνος, οὐ φύσει, ἀλλὰ τῇ ὑπὲρ μέτρον εἰσδοχῇ. μεθίεται γάρ, ἤγουν ἀμελεῖ, ὁ πέρα τοῦ μετρίου οἶνον προσιέμενος. ἐκφοβεῖ γοῦν τοὺς πολυπότας τῇ ἐπιγραφῇ ὁ τὸν οἶνον μέθυ καλῶν. Τὸ δὲ «πολλὰ λισσόμενοι», καὶ «πολλὰ ἴφια μῆλα», καὶ «πολλοὶ δὲ σύες», καὶ «πολλὸν μέθυ», σχῆμα ἐπιμονῆς τῆς κατὰ λέξιν. (v. 465) Σημείωσαι δὲ εἰς τὸ «λισσόμενοι» καὶ τὰ περὶ αὐτό, ὅτι διὰ τοῦ ς μὲν τὰ τοιαῦτα προφερόμενα διπλάζουσιν αὐτὸ ἀναγκαίως. ἐπεὶ τὸ μὲν ἓν ς μέλλοντα χαρακτηρίζει, διπλούμενον δὲ οἰκειοῦται τοῖς ἐνεστῶσιν.

2.764 Ὅτε μέντοι διὰ τοῦ τ λίτομαι εἴποι τις καὶ λιτόμενοι, οὐ διπλοῦται τὸ τ Ἀττικῷ ἔθει κατὰ τὸ φοινίσσω, φοινίττω, ἐλίσσω, ἐλίττω, καὶ τὰ ὅμοια, ἀλλὰ μονοῦται τὸ τ ἐν αὐτοῖς διὰ τὸ τρίτης συζυγίας τῶν βαρυτόνων εἶναι θέμα τότε τὸ λίτω καὶ τὰ κατ’ αὐτό. περὶ ὧν Ἡρωδιανὸς λέγει, ὡς διὰ τοῦ τ οὐ πολλὰ ὦπται, ἀλλὰ τὸ λίτω, ὅθεν τὸ λίτεσθαι, καὶ τὸ πέτω, ἀφ’ οὗ τὸ πέτομαι. καὶ ἔνια, φησί, ἃ ἤδη ὡς περισπώμενα ἐκλίθη, ὥσπερ τὸ κέντω, ἐξ οὗ τὸ «κένσαι ὁμοκλήσας», καὶ ἄντω, ὅθεν ἀντόμενος καὶ ἄντεσθαι ἐν πολέμῳ. Τὸ δὲ ἀνύτω, φησί, καὶ ἀρύτω τῷ τ ἐπλεόνασεν ὡς ἐκ τοῦ ἀνύω καὶ ἀρύω. καὶ οὕτω μὲν Ἡρωδιανός. Ἡρακλείδης δὲ ἀγνοεῖν φησι πολλούς, ὅτι τὸ λίσσομαι κοινολεκτούμενον Ἀτθίδι διαλέκτῳ γέγονε λίττομαι, παρέσει δὲ τοῦ ἑτέρου τ γεγένηται λίτομαι. Ὁ δ’ αὐτὸς καὶ περὶ τοῦ ἀνύτω καὶ ἀρύτω εἰπὼν ἀσυνήθως αὐτὰ ἔχειν, ὡς μηδενὸς εἰς ω λήγοντος βαρυτόνου ἔχοντος τὸ τ ἀρκτικὸν τῆς τελευταίας συλλαβῆς— Πάντα γάρ, φησί, περισπᾶται, οἷον κρατῶ, αἰτῶ, πατῶ, κροτῶ, φοιτῶ. —, ἐπάγει ὅτι Κύπριοι δὲ καὶ Ἀττικοὶ παρεντιθέντες ῥήμασι καὶ ὀνόμασι τὸ τ καὶ πτόλιν τὴν πόλιν λέγοντες καὶ πτόλεμον τὸν πόλεμον, ὅθεν καὶ ἡ ἄνακτος καὶ νυκτός γεγόνασι γενικαὶ πλεονάζουσαι τῷ τ , λέγουσιν οὕτω καὶ τὸ ἀρύω ἀνύω ἀρύτω καὶ ἀνύτω. (v. 470—3) Ὅτι οἰκεῖον σπουδαίοις νυκτοφύλαξι κατ’ οἶκον οὐ μόνον τὸ «εἰνάνυχες δέ μοι ἀμφ’ αὐτῷ νύκτας ἴαυον», φυλάσσοντές με δηλαδή, ἀλλὰ καὶ τὸ «οἳ μὲν ἀμειβόμενοι φυλακὰς ἔχον, οὐδέ ποτ’ ἔσβη πῦρ, ἕτερον μὲν ὑπ’ αἰθούσῃ εὐερκέος» καὶ ἑξῆς. (v. 470) Ἰστέον δὲ ὅτι τὸ «εἰνάνυχες» συγκοπήν τε ἔπαθεν ἐκ τοῦ ἐννέα καὶ τροπὴν συνήθη τοῦ ν εἰς ι πρὸς ὁμοιότητα τοῦ εἴνατος. Τὸ δὲ χ φυσικῶς ἔχει ὡς ἀπὸ τοῦ νύξ. Δῆλον γὰρ ὅτι, καθὰ ὄνυξ ὄνυχος, οὕτω καὶ νύξ νυχός. τὸ γάρ τοι νυκτός τροπὴν πέπονθε τοῦ δασέος εἰς ψιλὸν καὶ ἐπένθεσιν οὐκ ἀσυνήθη τοῦ τ , ὡς καὶ προσεχῶς δεδήλωται. Ἰαύειν δὲ καὶ νῦν τὸ διατρίβειν, οὐ μὴν κοιμᾶσθαι. οὐ γὰρ πρέπει τοῦτο φύλαξι. (v. 471) Τὸ δὲ «ἀμειβόμενοι» ἑτεροῖον φανερῶς τοῦ «τὸν δ’ ἀπαμειβόμενος» καὶ τῶν ὁμοίων. Κυριολεκτεῖται δὲ ὅτι μάλιστα.

2.765 ἐξ οὗ καὶ τὸ «ἀμοιβηδὶς δ’ ἀνέφαινον» καὶ οἱ ἐπημοιβοὶ ἐπίκουροι, [ὅπερ ἐστὶν οἱ κατὰ ἀλλαγήν, εἴτ’ οὖν ἐναλλάγδην, ἥκοντες εἰς ἐπικουρίαν. Εἰς ὅπερ ἀστείως ἔπαιξέ τις, ἤγουν εἰς τὸ μεταλαμβάνεσθαι τὸ ἀμείβειν ἀντὶ τοῦ καταλλάσσειν, ἀπορήσας ἀστείως ἐπὶ τῶν ἀμειβόντων ἐμπορευτικῶς, πῶς ποτε τὰ τετράδραχμα καταλλάσσονται μέν, οὐκ ὀργίζονται δέ, ὡς δῆθεν τοῦ καταλλάσσεσθαι ὁμωνυμίας λόγῳ ἀντικειμένου πρὸς τὸ ὀργίζεσθαι]. (v. 472 s.) Αἴθουσα δὲ στοὰ περίστυλος ἡλίῳ αἰθομένη, ὅ ἐστι λαμπομένη, ἧς τὸ μὲν ἐνδοτέρω πρόδομος, τὸ δὲ ἐνδοτάτω θάλαμος, ὡς καὶ ἐνταῦθα δηλοῖ ὁ ποιητὴς μνησθεὶς αὐλῆς, μεθ’ ἣν αἴθουσα καὶ πρόδομος, εἶτα θάλαμος, ἐν τῷ εἰπεῖν «πῦρ ἕτερον μὲν ὑπ’ αἰθούσῃ εὐερκέος αὐλῆς, ἄλλο δ’ ἐνὶ προδόμῳ, πρόσθε θαλάμοιο θυράων». Περὶ δὲ αἰθούσης ῥηθήσεται καὶ ἐν τοῖς μετὰ ταῦτα. Κατὰ δὲ τοὺς ἀκριβεστέρους ἡ τάξις οὕτως· ἕρκος, περὶ ὃ πύλαι, μετὰ δὲ τὸ ἕρκιον αὐλή, μεθ’ ἣν αἴθουσα, εἶτα πρόδομος, δόμος, καὶ θάλαμος. Ἐν τούτοις δὲ ἰστέον καὶ ὅτι οὐκ εὐκαίρως δοκεῖ ὁ Φοῖνιξ εἰπεῖν τὸ πολλὰ μὲν λιτανεύεσθαι παρὰ τῶν αὐτοῦ, μὴ πεισθῆναι δέ, ἀλλὰ βιάσασθαι τὴν φυγήν. Ἐρεῖ γὰρ ἂν ὁ δυσωπούμενος Ἀχιλλεύς, ὡς οὐκοῦν, ὦ διδάσκαλε, οὐδ’ ἐγὼ πείσομαι. Πρὸς ὅ φασιν οἱ παλαιοί, ὡς τῷ μὲν Φοίνικι οὐκ ἦν ὑπακοῦσαι διά τε τὴν ῥηθεῖσαν λύπην καὶ διὰ τὴν ὀργὴν τοῦ πατρός, τῷ δὲ Ἀχιλλεῖ ἔνδοξος ἡ ἐκ πειθοῦς μεταβολὴ γενήσεται διὰ τὴν παραίνεσιν τοῦ πατρός, ἣν Ὀδυσσεὺς ἤδη φθάσας πρὸ ὀλίγου ἐξέθετο. ἥτις οὕτως εἶχε

τὸ ἀναντίρρητον, ὥστε Ἀχιλλεὺς πρὸς μὲν τὰ ἄλλα τῶν τοῦ Ὀδυσσέως λόγων ἀπελογήσατο, αὐτὸ δὲ μόνον τὸ ἐκ πατρὸς κεφάλαιον παρῆκε σιωπήσας παντελῶς καὶ παραδραμὼν τεχνικῶς διὰ τὸ δυσεπιχείρητον.

2.766 Οἱ δ' αὐτοὶ λέγουσι καί, ὅτι καλῶς δι' ὀργὴν πατρὸς φεύγει τὴν πατρίδα ὁ Φοῖνιξ. Ἐν γὰρ ταῖς ἀδιαλλάκτοις, φασίν, ἔχθραις κρεῖττον τὸ φεύγειν. Ὅρα δὲ καὶ ὅτι πῦρ ἕτερον εἰπών, εἶτα ἐπήγαγε τὸ ἄλλο, δηλῶν ὡς τὸ μετὰ τὸ ἕτερον οὐκ ἂν κυρίως ἕτερον λέγοιτο, ἀλλὰ ἄλλο. Καὶ ἔστιν οὕτως ἡ Ἀττικὴ ὡς ἐπὶ πολὺ συνήθεια, οἷον· ἕτερος μὲν ποιεῖ τόδε, ἄλλος δὲ τόδε. καὶ οὕτω μὲν ἐνταῦθα. Ἐν δὲ τῷ «ἄρνε, ἕτερον λευκόν, ἑτέρην δὲ μέλαιναν» παραβαίνεται ἡ τοιαύτη παρατήρησις. Τὸ δὲ «ὑπ' αἰθούσῃ» δοκεῖ ταὐτὸν εἶναι τῷ «ἐν αἰθούσῃ», ὡς δηλοῖ ἐπαχθὲν τὸ «ἄλλο δ' ἐνὶ προδόμῳ», ἵνα ᾖ· ἐν αἰθούσῃ καὶ ἐν προδόμῳ. (v. 475 s.) Ὅτι κἀνταῦθα σχῆμα πρωθύστερον ἐν τῷ «καὶ τότ' ἐγὼ θαλάμοιο θύρας πυκινῶς ἀραρυίας ῥήξας ἐξῆλθον καὶ ὑπέρθορον ἕρκιον αὐλῆς». Πρῶτον γὰρ τό, ὡς εἴρηται, ὑπερθορεῖν, εἶτα τὸ ἐξελθεῖν. Ὁ δὲ λόγος οἰκεῖος ἀνδρὶ φυγόντι γενναίως ἀσφαλῆ κάθειρξιν. Ὅρα δὲ τὸ «πυκινῶς ἀραρυίας ῥήξας». Τὰ γὰρ πυκινὰ ῥήγνυνται, οὐ μὴν τὰ φύσει εὐδιάλυτα ἀραιά. ὅθεν καὶ ῥηξήνωρ ὁ τὴν τῆς φάλαγγος ῥήσσων πυκνότητα. Ἰστέον δὲ ὅτι λαθραίαν καὶ γενναίαν δηλοῖ, ὡς ἐρρέθη, φυγὴν ἀπὸ φρουρᾶς ἀσφαλοῦς τὸ ῥηθέν, εἴπερ παρῳδηθῇ, οἷον· καὶ τότ' ἐγὼ εἱρκτῆς θύρας πυκινῶς ἀραρυίας ῥήξας ἐξῆλθον ῥεῖα, λαθὼν φύλακάς τ' ἄνδρας δμωάς τε γυναῖκας. φεῦγον ἔπειτ' ἀπάνευθεν. (v. 478—80) Ἐν τούτοις δὲ καὶ καλλιλογῶν ὁ ῥήτωρ Φοῖνιξ τὴν Θετταλικὴν Ἑλλάδα καὶ τὴν ὑπὸ τῷ Πηλεῖ Φθίαν φησίν, ὡς «φεῦγον δι' Ἑλλάδος εὐρυχόροιο Φθίην δ' ἐξικόμην ἐριβώλακα, μητέρα μήλων», ὅ ἐστι θρεμμάτων, «ἐς Πηλῆα ἄνακτα», καθὰ καὶ κατωτέρω εὐθὺς ῥηθήσεται. (v. 477) Ἰστέον δὲ ὅτι ἐν τῷ «δμωάς τε γυναῖκας» περιττὸν κεῖται τὸ γυναῖκας. Ἀρκεῖ γὰρ καὶ μόνον τὸ δμωάς εἰς τὸ καὶ γυναῖκας αὐτὰς νοεῖσθαι. Ὡς δὲ συστέλλει ἀεὶ παρ' Ὁμήρῳ τὴν παραλήγουσαν ἀναγκαίως διὰ δακτύλου χρείαν τὸ εὐρύχορος, δηλοῦται πολλαχοῦ. (v. 479) Τὸ δὲ «μητέρα μήλων» συντελεῖ τι καὶ εἰς τὸ «οὖθαρ ἀρούρης», ὥσπερ καὶ τὸ Δημήτηρ, ὅ ἐστι γῆ μήτηρ ἀλληγορικῶς.

2.767 πάντως γὰρ μητρὸς ἴδιον τὸ οὖθαρ. Ἤδη δέ τις καὶ χώραν ἢ κῆπον μήλων ὀπώρᾳ ἐνευθηνούμενον, μητέρα μήλων ἀστείως ἐρεῖ ἄν, ὥσπερ καὶ πολύμηλον. (v. 479—95) Ὅτι λέγει περὶ ἑαυτοῦ καὶ περὶ Πηλέως ὁ Φοῖνιξ, ὡς φυγόντα με εἰς αὐτὸν καὶ ἱκετεύσαντα—Τοῦτο γὰρ δηλοῖ τό, ὡς προσεχῶς ἐρρέθη, «ἐξικόμην ἐς Πηλῆα. —, ὃ δέ με πρόφρων ὑπέδεκτο, καί με φίλησεν ὡσεί τε πατὴρ ὃν παῖδα φιλήσει, μοῦνον τηλύγετον πολλοῖσιν ἐπὶ κτεάτεσσι, καί μ' ἀφνειὸν ἔθηκε, πολὺν δέ μοι ὤπασε λαόν. ναῖον δ' ἐσχατιὴν Φθίης, Δολόπεσσιν ἀνάσσων. καί σε τοσοῦτον ἔθηκα, θεοῖς ἐπιείκελε Ἀχιλλεῦ, ἐκ θυμοῦ φιλέων, ἐπεὶ οὐκ ἐθέλεσκες ἅμα ἄλλῳ οὔτ' ἐς δαῖτα ἰέναι οὔτ' ἐν μεγάροισι πάσασθαι, πρίν γ' ὅτε δή σε ἐπ' ἐμοῖσιν ἐγὼ γούνασι καθίσας ὄψου τ' ἄσαιμι προταμὼν καὶ οἶνον ἐπισχών. πολλάκι μοι κατέδευσας ἐπὶ στήθεσσι χιτῶνα, οἴνου ἀποβλύζων ἐν νηπιέῃ ἀλεγεινῇ. ὣς ἐπὶ σοὶ μάλα πόλλ' ἔπαθον καὶ πόλλ' ἐμόγησα, τὰ φρονέων, ὅ μοι οὔ τι θεὸς γόνον ἐξετέλειεν ἐξ ἐμεῦ. ἀλλὰ σὲ παῖδα, θεοῖς ἐηιείκελε Ἀχιλλεῦ, ποιεύμην, ἵνα μοι πότ' ἀεικέα λοιγὸν ἀμύνῃς». Ἐν δὲ τούτοις ὅρα δεινότητα ῥήτορος, ὃς μονονουχὶ λέγει ὡς ἄτοπον, ἐὰν ὃν ἔτι νέον ὄντα ὁ Πηλεὺς ᾐδέσθη, τοῦτον ὁ μαθητὴς Ἀχιλλεὺς ἐν τοιαύτῃ πολιᾷ παρ' οὐδὲν θήσει, ἀξιῶν καὶ ὡς ἱκέτης καὶ ὡς ξένος πατρῷος αἰδοῦς τυχεῖν. Δι' αἰδοῦς γὰρ ἤγοντο καὶ οἱ ἱκέται καὶ οἱ πατρῷοι ξένοι, ὡς πολλαχοῦ φαίνεται. Ἔτι γε μὴν συναξιῶν στερχθῆναι καὶ ὡς ἀδελφός, εἴγε καὶ Πηλεὺς ὡς παῖδα καὶ αὐτὸν ἐφίλησεν, οὐ μὴν ἀλλὰ καὶ ὡς τρόπον τινὰ πατὴρ ἐπέκεινα τοῦ καὶ ἔργων, ὡς προειρρέθη, καὶ λόγων καθηγήσασθαι. Παῖδα γάρ σε, φησίν, ἐποιούμην, ἤγουν ἐτιθέμην. Ποιεῖσθαι γὰρ τὸ τίθεσθαι παρὰ τοῖς ῥήτορσιν, οἵ φασιν· ἔθετο ὁ δεῖνα τὸν παῖδα τοῦ δεῖνος,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤτοι θετὸν υἱὸν ἔσχεν. Οὕτω πανταχόθεν πειρᾶται πείσειν ὁ γέρων τὸν μαθητὴν καὶ εἰς ἡμερότητα μεταβαλεῖν. εἰ δὲ μὴ πεισθείη, καλῶς ἂν ἀκούσοι παρὰ τοῦ Αἴαντος ἄγριος εἶναι. (v.
2.768 485) Καὶ ἄλλως δὲ ὁ Φοῖνιξ ἐντρέπει τὸν Ἀχιλλέα ἐν τῷ «καί σε τοσοῦτον ἔθηκα», τουτέστι τηλικοῦτον, δηλαδὴ θεῖον. Τοῦτο γὰρ νοεῖν βούλεται ἐπαγαγὼν εὐθὺς «θεοῖς ἐπιείκελε», ὅπερ καὶ δὶς ἔφη ἐν τοῖς ῥηθεῖσι διὰ πραϋθυμίαν τοῦ ἥρωος. Ὁμοίως ἐντρέπει καὶ διὰ τοῦ ἀναμνῆσαι, ὡς παῖς μὲν ὢν ἐφίλει τὸν καὶ παιδαγωγὸν καὶ διδάσκαλον, ἀνδρωθεὶς δὲ οὔ, καὶ ὡς αὐτὸς μὲν ἔτρεφε τὸν μαθητήν, ἵνα οἵ ποτε λοιγὸν ἀμύνῃ, ὁ δὲ παραρρίπτει αὐτὸν τῷ ὀλέθρῳ ἀφιεὶς ἐν Τροίᾳ, ἵνα τοῖς Ἀχαιοῖς συναπόληται. καὶ ἀχαριστίαν δὲ ὀνειδίζει τῷ μὴ ἐθέλοντι ἀμείβεσθαι τὸν ἐπ᾽ αὐτῷ πολλὰ παθόντα καὶ μογήσαντα. καὶ τοιαῦτα μὲν ταῦτα. (v. 480) Ὅρα δὲ τὸ «πρόφρων ὑπέδεκτο», ἐν ᾧ δηλοῖ ὁ ποιητὴς χρῆναι τὰς ξενίας δίχα γίνεσθαι γογγυσμοῦ. (v. 481) Τὸ δὲ «ἐφίλησε» καὶ τὸ «φιλήσει» διὰ τὸ καίριον τῆς φράσεως ἐδιττολογήθη. (v. 482) Ἐν δὲ τῷ «παῖδα μόνον τηλύγετον πολλοῖς ἐπὶ κτήμασι» δηλοῖ Ὅμηρος φιλοτεκνότατον μάλιστα πατέρα εἶναι τὸν καὶ πλούσιον καὶ μόνον ἕνα παῖδα ἔχοντα ἐν ἡλικίᾳ γεροντικῇ. Τοιαύτης γὰρ ὁ τηλύγετος, ἤγουν ὁ τῷ πατρὶ γεννηθεὶς τῆλε ὄντι τοῦ γεννᾶν. Ἐνταῦθα δὲ καὶ ἐφερμηνευτικόν ἐστι τοῦ μόνον παῖδα τὸ τηλύγετον. ἄλλως γὰρ οὐκ ἐξ ἀνάγκης ὁ μόνος ἤδη καὶ τηλύγετος. Ὁ δὲ πλεονασμὸς τῆς τε συλλαβῆς ἐν τῷ κτεάτεσι παρεσημάνθη καὶ ἀλλαχοῦ. Δῆλον γὰρ ὅτι, καθὰ φρέαρ φρέασιν, οὕτω καὶ κτέαρ κτέασι. (v. 483) Τὸ δὲ «ἀφνειὸν ἔθηκε» συνήθως ἐφράσθη ἀντὶ τοῦ θέσει ἐποίησε πλούσιον, οὐκ ἔχοντα πλοῦτον οἴκοθεν, ἀλλὰ προσθέτῳ ἐκ Πηλέως κομῶντα περιουσιασμῷ. οὕτω καὶ παῖδα τίθεταί τις ἑαυτῷ, ὃν ἡ φύσις οὐ δέδωκε. [Τὸ δὲ «πολὺν ὤπασε λαόν» περίφρασίς ἐστι τοῦ ἐβασίλευσέ με, ὡς δηλοῖ ἐπαχθὲν τὸ «Δολόπεσσιν ἀνάσσων»]. (v. 484) Ἐσχατιὰ δὲ παρὰ μὲν τῷ ποιητῇ τὸ ἁπλῶς ἔσχατον κατὰ τόπον μέρος, παρὰ δὲ τοῖς ὕστερον ἐρημίαν τινὰ ἡ λέξις δηλοῖ καὶ οὐ χρηστολογεῖται. Δόλοπες δὲ ἔθνος Θετταλικὸν ἐν ἐσχατιᾷ τῆς Φθίας. καὶ οὗτοι μὲν Δόλοπες ἀπό τινος ἐθνάρχου Δόλοπος. Δολίονες μέντοι οἱ περὶ Κύζικον. Ὧν καὶ ὁ Γεωγράφος μεμνημένος Δόλοπας μὲν περί που τὴν Δωδώνην τοῖς Σελλοῖς φησι συγκεῖσθαι, λέγων ὡς, εἰ καὶ μὴ ἔχει ἡ Βοιωτία Δόλοπας, ἀλλ᾽ ἄτοπον τοὺς ὑπηκόους τῷ Φοίνικι μὴ συμπαρεῖναι.
2.769 Δολίονας δὲ λέγει μάλιστα τοὺς περὶ Κύζικον ἀπὸ Αἰσήπου ἕως Ῥυνδάκου καὶ Δασκυλίτιδος λίμνης. Μυγδόνας δὲ τοὺς ἐφεξῆς μέχρι Μυρλεανῆς χώρας. (v. 485) Τὸ δὲ «καί σε τοσοῦτον ἔθηκα» ὅμοιόν ἐστι τῷ παῖδά σε ποιεύμην. ἐπεὶ καὶ ταὐτὸν ποιήσασθαι καὶ θέσθαι. Παῖς τε γὰρ τῷ Φοίνικι ὁ Ἀχιλλεὺς ποιητὸς ἦν, καὶ τοσοῦτος δέ, ἤγουν θεοίκελος, θέσει ἦν, ἤτοι οὐ φύσει ἀλλὰ ποιητὸς ἐκ παιδεύσεως. [Ἰστέον δὲ ὅτι τε σεμνότερον τοῦ μύθων ῥητῆρα καὶ ἔργων πρηκτῆρα εἶναι τὸν Ἀχιλλέα τὸ τοσοῦτον τεθηκέναι αὐτόν, καὶ ὅτι ἐκεῖνο μὲν ἐκφανῶς ἔχει, τοῦτο δὲ μυστικώτερον. καὶ ὅτι φιλίας ἐπίτασις τὸ παῖδα ποιεῖσθαι τὸν διδασκόμενον. Ὁ γὰρ τοιοῦτος διδάσκαλος λέγοιτ᾽ ἂν φύσει τῷ μαθητῇ τὰ τῆς ἀρετῆς εἰσφέρειν διδάγματα]. (v. 486) Τὸ δὲ «ἐκ θυμοῦ φιλέων» κἀνταῦθα, ὡς καὶ πρὸ ὀλίγων, ἀντὶ τοῦ ἐνδιαθέτως καί, ὡς οἱ νεώτεροί φασιν, ἐκθύμως. Τὸ δὲ «ἐπεὶ οὐκ ἤθελες ἅμ᾽ ἄλλῳ ἰέναι» τὸ εὔλογον τῆς ἐκ τοῦ γέροντος φιλίας δηλοῖ καὶ μὴ ἀλόγιστον. (v. 487) Δαῖτα δὲ νῦν φησι τὴν ἐς φίλου ἢ ὅλως τὴν κατὰ τὰ ἔξω οἴκου γινόμενα δειπνοκλητόρια, πρὸς ἅπερ ἀντιδιαστέλλεται τὸ ἐν μεγάροισι πάσασθαι, ὅ ἐστι φαγεῖν, καὶ ὡς ἂν εἴποι τις κτήσασθαι. πρὸς ὅπερ ἔοικεν ἀπερεῖσαι τὸν νοῦν καὶ ὁ εἰπὼν «τοσαῦτ᾽ ἔχω, ὅσ᾽ ἔφαγόν τε καὶ ἔπιον», εἰ καὶ μηδὲν ἐκεῖνος ἔχει. (v.
2.770 488) Τὸ δὲ «ἐπὶ γούνασι καθίσας» ἔθος δηλοῖ φίλτρου γονέων, ὡς καὶ πρὸ ὀλίγου δεδήλωται. Συντελεῖ δ᾽ αὐτὸ καὶ εἰς τὸ «οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσι». (v. 489) Τὸ δὲ «ἄσαιμι», ὅ ἐστι κορέσαιμι, δοκεῖ ἀπὸ ῥήματος εἶναι, ἀφ᾽ οὗ καὶ ἅδος ὁ κόρος καὶ ἀδηκότες οἱ κεκορεσμένοι. Τὸ δὲ «οἶνον ἐπισχών» πάνυ καιρίως εἴρηται καὶ δυσερμηνεύτως. Δηλοῖ γὰρ τὸ λίαν ἀτελὲς τοῦ βρέφους, ὡς μηδὲ κρατῆσαι δύνασθαι τὸ δέπας ὅθεν ἀνάγκην εἶναι τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παιδαγωγῷ αὐτὸν κατέχειν καὶ ποτίζειν τὸν τιθηνούμενον. Δύναται δὲ καὶ ταὐτὸν εἶναι τῷ παρασχών. (v. 490) Τὸ δὲ «κατέδευσας χιτῶνα» ἐμφαίνει μὴ ἀεὶ χιτῶνα ἐξ ἀνάγκης λέγεσθαι τὸν ἀμέσως καὶ προσεχῶς πρὸς αὐτῇ τῇ σαρκὶ κεχυμένον. Ἐνταῦθα γὰρ χιτὼν ὁ φαινόμενος καὶ ἐπιπολάζων. εἰ μή τι ἄρα δαψιλὲς εἶναι τὸ ἀποβλύζον δηλοῖ, ὡς ἔχειν αὐτὸ ἐμβαθῦναι καὶ εἰς χιτῶνα. Τὸ δὲ «ἐπὶ στήθεσσιν» οὐ μόνον ἐπικόλπιον τῷ παιδαγωγῷ ἐμφαίνει τὸ βρέφος εἶναι, ἀλλά που καὶ κοινοῦσθαι ἀφελῶς τὸ δέπας αὐτῷ. (v. 491) Τὸ δὲ ἀποβλύζειν ὠνοματοπεποίηται καὶ δηλοῖ τὸ ἀποστάζειν διὰ τὴν βρεφικὴν βραχυστομίαν.

2.771 Νηπιέη δὲ νῦν ἡ παιδικὴ ἡλικία ἢ ἀνατροφὴ κατὰ ἔλλειψιν. Καὶ ἔστι κτητικὸν ἀπὸ τοῦ νήπιος νηπίειος, οὗ θηλυκὸν νηπιείη καὶ ἀπελεύσει τοῦ ι νηπιέη Ἰωνικῶς. [Ἰστέον δὲ ὡς οὐ πάνυ ταὐτὸν νηπιέη καὶ νηπιάα, ὡς τὸ «νηπιάας ὀχέειν», ἀλλὰ τοῦτο μὲν ἀφροσύνην δηλοῖ, ἡ δὲ νηπιέη βρέφους ἡλικίαν]. Τὸ δὲ «ἀλεγεινῇ» τὴν τῷ ὄντι πολλὴν δυσχέρειαν δηλοῖ τῆς βρεφικῆς ἀνατροφῆς. (v. 493) Τὸ δὲ «γόνον ἐξ ἐμοῦ» ἀντὶ τοῦ γνήσιον υἱόν, ὃς ἀντίκειται τῷ θετῷ, ὃν ποιεῖταί τις κατὰ τὸν ποιητὴν εἰπεῖν, κατὰ δὲ τοὺς ὕστερον καὶ εἰσποιεῖται, [καθ᾽ ὃ σημαινόμενον κεῖται καὶ ἐν τῇ γʹ ῥαψῳδίᾳ τὸ «εἰς ὅ κέ ς᾽ ἢ ἄλοχον ποιήσεται ἢ ὅ γε δούλην». Τὸ δὲ «ἐξετέλεσαν» δόξοι ἂν δηλοῦν ὡς ἐτεκνογόνει μὲν ὁ Φοῖνιξ, οὐκ ἐξετελοῦντο δὲ αὐτῷ τὰ γεννήματα]. Ὅρα δὲ ὅτι δυνάμενος ὁ ποιητὴς εἰπεῖν κοινότερον παῖδα ποιούμην, ὅμως ποιεύμην ἔφη, ἑλόμενος κἀνταῦθα τὸ ποιητικώτερον. [Ἰστέον δὲ ὅτι παλαιτάτου ἔθους ὄντος τοῦ ἐπὶ τοῖς θετοῖς υἱοῖς ἐφῆκεν ὁ νόμος καὶ ὕστερον ἄλλῳ τινὶ ποιεῖσθαι, καθά τις ἔφη, τὸν ἄλλου παῖδα ἑκόντος, καὶ ἐκαλεῖτο, φησίν, οὗτος ἀμφοτέρων]. (v. 495) Τὸ δὲ «ἵνα μοι λοιγὸν ἀμύνῃς» τὸ τέλος ἐστὶ τῆς παιδοποιΐας, ὡς τούτου χάριν παιδοποιουμένων, ἵνα ἐν καιρῷ ἔχοιεν λοιγοῦ ἀμύντορας καὶ μὴ «ἀνωφέλητα» κατὰ τὸν εἰπόντα «ἐκφύωσι τέκνα». (v. 496-501) Ὅτι ἀγωνισάμενος ὁ ῥήτωρ Φοῖνιξ εἶτα φανερὰν ἐπάγων ἀξίωσίν φησιν «ἀλλ᾽ Ἀχιλλεῦ, δάμασον θυμὸν μέγαν, οὐδέ τί σε χρὴ νηλεὲς ἦτορ ἔχειν. στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί, τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε. καὶ μὲν τούς», ἤγουν τούτους, «θυέεσσι καὶ εὐχωλῇς ἀγανῇσι λοιβῇ τε κνίσσῃ τε παρατρωπῶσιν ἄνθρωποι λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ καὶ ἁμάρτῃ». (v. 496) Ἰστέον δὲ ὅτι τὸ «δάμασον θυμὸν μέγαν» διὰ μιᾶς λέξεως πρὸ μικροῦ ἔφρασεν ὁ βασιλεὺς ἐν τῷ «δμηθήτω».

2.772 Βούλεται δὲ ἡ ἔννοια τὴν τοῦ κακοῦ μνήμην ἀπάγειν τῆς τοῦ Ἀχιλλέως ψυχῆς τά τε ἄλλα, καὶ διὰ τὰ ὑπεσχημένα δῶρα. Διὸ καὶ παρ᾽ Ἡροδότῳ κεῖται τὸ «παυσώμεθα μηδὲ κακῶν μεμνεώμεθα χρηστὰ ἔχοντες πρήγματα ἐν χερσί». Θυμὸν δὲ μέγαν λέγει, ὃν ὁ Αἴας μετ᾽ ὀλίγα ἐρεῖ ἄληκτόν τε κακόν τε τεθεῖσθαι ἐν τοῖς τοῦ Ἀχιλλέως στήθεσιν. Ἐξ οὗ οἱ μεθ᾽ Ὅμηρον συντιθέασι τὸν μεγαλόθυμον ἄνθρωπον, ἑτεροῖον ὄντα παρὰ τὸν μεγάθυμον. Ἔοικε δὲ οὕτω καὶ ὁ μεγαλήτωρ θυμὸς εἶναι μέγας θυμὸς περὶ τὸ ἦτορ, ἤτοι τὴν καρδίαν τὴν περὶ τὰ στήθη. (v. 497) Νηλεὲς δὲ ἦτορ, ὅπερ ἔχοι ἂν ὁ κατὰ τὸν Ἅιδην, ὡς προεφράσθη, ἀδάμαστος καὶ ἀμείλιχος. Τὸ δὲ «στρεπτοὶ καὶ θεοὶ αὐτοί» ἀπόφθεγμα λέγουσιν οἱ παλαιοί. Ἔστι δὲ κατ᾽ αὐτοὺς ἀπόφθεγμα βιωφελής τις προφορὰ δι᾽ ὀλίγων λέξεων, οἷον τὸ «γνῶθι σαυτόν», καὶ «ἐγγύα πάρα δ᾽ ἄτα», καὶ τὰ ὅμοια. (v. 498) Τὸ δὲ ἐπιχείρημα τοῦτο ἐκ τοῦ μείζονος εἴληπται. Διὸ καὶ ὁ ποιητὴς τεχνικῶς παρασημαίνεται, λέγων «ὧν περ καὶ μείζων ἀρετή», ὅ ἐστιν ἀνδρία ἢ καὶ πᾶσα ἕξις ἀγαθή. μονονουχὶ γάρ φησιν ὁ ῥήτωρ, ὡς ἐὰν στρεπτοὶ οἱ μείζονες, πολλῷ πλέον σὺ ὁ ἐλάττων. (v. 499 s.) Πῶς δὲ στρεπτοὶ οἱ θεοί, ἑρμηνεύει διὰ τοῦ εὐχαῖς καὶ λοιβαῖς καὶ κνίσσαις παρατρέπεσθαι, ἤδη δὲ καὶ θυμιάμασιν. Οὕτω γάρ τινες ἑρμηνεύουσι τὸ θυέεσσιν, ἀφ᾽ ὧν καὶ ἔλαιον θυόεν ἐν τοῖς ἑξῆς. Εἶεν δ᾽ ἂν ἴσως ταὐτὸν θυέεσσιν εἰπεῖν καὶ θυηλαῖς. Τὸ δὲ στρεπτοί ὅμοιόν ἐστι τῷ τρεπτοί, ὡς δηλοῖ τὸ παρατρωπᾶσθαι αὐτοὺς ἤτοι τρέπεσθαι ὑπὸ λισσομένων ἀνθρώπων. Ἔχοι δ᾽ ἂν ἐνταῦθα εἰπεῖν Ἀχιλλεὺς ὡς, εἴπερ εἰς θεοὺς ἐξισούμενόν με πρεσβεύεις, τοῖς δὲ κατὰ τοὺς σοφοὺς οὐκ αἶψα τρέπεται νόος, οὐδ᾽ ἄρα ἐμοί. [(v. 498) Ἰστέον

δὲ ὅτι ἀρετὴ νῦν μὲν ἀνδρία, δηλοῖ δέ ποτε καὶ τὴν εὐδαιμονίαν, ὅθεν τὸ «ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτῷ», ἤγουν εὐδαιμονοῦσι.

2.773 Τὸ μέντοι «οὐκ ἀρετᾷ κακὰ ἔργα» ἐκ τῆς κοινῶς καὶ συνήθως λεγομένης ἀρετῆς παρῆκται, ἧς χρῆσις τὸ «ἤτοι ἐμὴν ἀρετὴν εἶδός τε δέμας τε». Δηλοῖ δέ ποτε ἡ λέξις καὶ τὴν περὶ τὰ κατὰ βίον ἔργα δύναμιν, ἣν ἡμισεύει τοῖς δούλοις ὁ Ζεύς, ὥς φησιν ἡ Ὀδύσσεια]. (v. 501) Ἐν δὲ τῷ «ὑπερβήῃ καὶ ἁμάρτῃ» ἐκ παραλλήλου δηλοῦται τὸ αὐτό, ἐπεὶ καὶ ὑπερβασία καὶ ἁμαρτία τῆς αὐτῆς ἐννοίας εἰσίν. Ἄλλως δέ, ἁμαρτεῖν μὲν τὸ ὁπωσοῦν ἀστοχῆσαι τοῦ δέοντος, ὑπερβῆναι δὲ τὸ καθ' ὑπερβολὴν οὕτω παθεῖν, ληφθὲν μεταφορικῶς ἐκ τῶν μὴ βαινόντων εὐτάκτως ἀλλ' ὑπερβαινόντων, ταὐτὸν δ' εἰπεῖν, παραβαινόντων. [Εἰκὸς δὲ εἰλῆφθαι τὴν λέξιν ταύτην καὶ ἐκ τῶν ἀδικούντων ἐν τῷ ὑπερβαίνειν τὰ τεταγμένα ὁροθέσια, οὐ μόνον ὑπούλως διὰ τοῦ ἠρέμα ὁρογλυφεῖν, ἀλλὰ καὶ θρασύτερον διὰ τοῦ ὑπερπηδᾶν]. Ὅθεν καὶ ταὐτὸν ὑπερβασίαν καὶ παραιβασίαν εἰπεῖν. Σημείωσαι δὲ καὶ ὅτι τὸ «λισσόμενοι» προκλητικόν ἐστι τοῦ ἐφεξῆς νοήματος. Εὐθὺς γὰρ ἀφορμήν τινα λαβὼν ἐκ τοῦ λίσσεσθαι ὁ Φοῖνιξ διαλαμβάνει περὶ Λιτῶν, αἳ παρὰ τὸ λίσσεσθαι καὶ λίτεσθαι γίνονται, καὶ λέγει ὅσα δηλωθήσονται. Ὅτι γραφικῶς οἷον ἐκτίθεται ὁ ποιητὴς εἰδωλοποιῶν τὰ περὶ τὰς Λιτὰς καὶ τὴν Ἄτην, καὶ τὰ τῶν πασχόντων ἴδια, ἤγουν τὰ τῶν ἀτωμένων ταὐτὸν δ' εἰπεῖν ἀτυζομένων, καὶ τὰ τῶν λιταζομένων μετατιθεὶς ὡς ἔν τινι ζωγραφίᾳ εἰς τὴν Ἄτην καὶ εἰς τὰς Λιτάς, καὶ χαρακτηρίζων κατὰ συνήθειαν γραφικήν τε καὶ ποιητικὴν τὰ πάθη ἐκ τῶν ἐχόντων αὐτά. (v. 505) Καὶ τὴν μὲν Ἄτην λέγει σθεναρὰν εἶναι καὶ ἀρτίπουν, ἤγουν ὑγιῆ τοὺς πόδας, ἐπείπερ οἱ βλάπτοντες εὐσθενῶς τε ἔχουσι, καθὸ βλάπτουσι, καὶ ἐπιταχύνουσι τὸν καιρόν.

2.774 Ἐν ἄλλοις δὲ καὶ ἁπαλοὺς εἶναι πόδας τῇ Ἄτῃ ἐρεῖ, ὡς ἀνεπαισθήτως τὰ πολλά τινων βλαπτομένων, ἀψοφητὶ οἷον τῆς Ἄτης ἐπερχομένης αὐτοῖς. καὶ ἡ μὲν Ἄτη τοιαύτη. (v. 502) Τὰς δὲ Λιτὰς χωλάς τε διαζωγραφεῖ πρὸς διαστολὴν τῆς ἀρτίποδος Ἄτης διὰ τὸ σχολαίῳ ποδὶ καὶ ὡς οἷον συμπεποδισμένους βαίνειν τοὺς λισσομένους, καὶ ῥυσσὰς δὲ διὰ τὸ σχῆμα τοῦ προσώπου τῶν ἱκετευόντων, οἷς σκυθρωπάζον καὶ συναγόμενον ῥικνοῦται τὸ πρόσωπον. Ἢ καὶ ἄλλως φράσαι, ῥυσσάς, ἤγουν γραώδεις, συνεστραμμένας, ἐρρυτιδωμένας. Ῥυτίδες δὲ αἱ ἐπὶ τοῦ προσώπου συστροφαὶ τοῦ δέρματος. Ἔτι δὲ καὶ παραβλῶπας τῶν ὀφθαλμῶν ἢ τὼ ὀφθαλμὼ διαγράφει τὰς Λιτάς, τουτέστι διεστραμμένας τὴν ὄψιν, παραβαλλούσας τοὺς ὦπας καὶ παραγούσας τῆς κατὰ φύσιν ὄψεως καί, ὡς οἱ παλαιοί φασιν, στραβὰς καὶ πλαγιομμάτους διά τε τὴν τῆς ὄψεως τῶν δυσωπουμένων παρατροπὴν καὶ οἷον διαστροφήν, καὶ διότι οὐχ' ἱλαρὸν τὸ βλέμμα τοῖς λιταζομένοις ἀλλ', ὡς εἰπεῖν, δυσβλεπτοῦσιν ἐκεῖνοι, ὅθεν καὶ ἡ δυσωπία τὴν κλῆσιν ἔλαχεν. Ἰστέον δὲ [ὅτι τε παραβάλλει ὦπας οὐ μόνον ὁ λιταζόμενος, ἔτι δὲ καὶ ὁ στραβίζων, ὁ καὶ ἰλλὸς κατὰ τοὺς παλαιούς, ἀλλὰ καὶ ὁ ἀποσεμνυνόμενος ἐμβριθῶς. ὀφθαλμὼ γοῦν παραβάλλεσθαι ὁ Κωμικὸς λέγει τὸν Σωκράτην ἐν τῷ δηλαδὴ σεμνοπροσωπεῖν]. Καὶ ὅτι παραβλώψ μὲν ἐκτείνει τὴν λήγουσαν ὡς σύνθετον ἐκ τοῦ ὠπός, βλόψ μέντοι τὸ μονοσύλλαβον συνέσταλται, ὅπερ ἐστὶν ὁ τῆς κλεψύδρας ἦχος μιμητικῶς κατὰ τοὺς παλαιούς. Ὥσπερ, φασί, καὶ κύξ ἐπὶ τῆς ψήφου κατὰ μίμησιν καὶ αὐτό.

2.775 Οἱ δ' αὐτοί φασιν ὁμοίως μιμητικῶς καὶ βή οὐ μὴν βαί, μίμησιν προβάτων φωνῆς. Κρατῖνος «ὅδ' ἠλίθιος ὥσπερ πρόβατον βὴ βὴ λέγων βαδίζει». Σημείωσαι δὲ καὶ ὅτι ὁ βλοσυρὸς ἔχει τι ὅμοιον πρὸς τὸν παραβλῶπα, εἴγε καθάπερ ἐκεῖνος παραβάλλει τοὺς ὦπας, οὕτω καὶ αὐτὸς τὸ βλέμμα παρασύρει. Ἔστι μέντοι ὁ βλοσυρὸς οὐκ ἐφ' ὕβρει, ὡς ὁ κυρίως παραβλώψ. (v. 502—7) Ἡ δ' ἐν τοῖς ῥηθεῖσι ποιητικὴ φράσις αὕτη ἐστὶ «καὶ γάρ τε Λιταί εἰσι, Διὸς κοῦραι μεγάλοιο, χωλαί τε ῥυσσαί τε παραβλῶπές τ' ὀφθαλμῶν» ἢ «ὀφθαλμώ, αἵ ῥά τε καὶ μετόπισθ' Ἄτης ἀλέγουσι κιοῦσαι. ἡ δ' Ἄτη σθεναρή τε καὶ ἀρτίπος», ὅπερ ἀποβολὴν ἔπαθε τοῦ υ . ὡς γὰρ ἀελλόπος ἡ ἀελλόπους, οὕτω καὶ ἀρτίπος ἡ ἀρτίπους. «Οὕνεκα», φησίν, ἤγουν οὗ ἕνεκα, ὅ ἐστι

διὰ τοῦτο, ὡς ἀρτίπους πάσας Λιτὰς δηλαδὴ «πολλὸν ὑπεκπροθέει, φθάνει δέ τε πᾶσαν ἐπ' αἶαν βλάπτους' ἀνθρώπους, αἳ δ' ἐξακέονται ὀπίσω». Τουτέστιν ἡ μὲν Ἄτη ταχυδρομοῦσα προθέει κατὰ πολὺ καὶ φθάνει πανταχοῦ, ὡς δηλαδὴ μηδενὸς ὄντος ἔξω κακοῦ, βλάπτουσα, τουτέστι συμποδίζουσα, ὅθεν καὶ βλάβη ἡ ἄτη ἑρμηνεύεται. αἱ δὲ Λιταὶ ἐξακέονται ὀπίσω, εἴ που ἔπαθόν τινα συντριβὴν οἱ βλαφθέντες. Διὸ καὶ ὡς κατόπιν τῆς Ἄτης ἐρχόμεναι καὶ ὑστερίζουσαι αὐτῆς λέγονται καὶ διὰ τοῦτο χωλαί. Καὶ δηλοῖ ὁ λόγος ὅτι πρότερον πλημμελεῖταί τι ἐπὶ βλάβῃ τινός, εἶτα ἐπὶ θεραπείᾳ τοῦ κακοῦ ἐπεισέρχονται Λιταί. Καὶ ἄλλως δὲ εἰπεῖν, ἰστέον ὡς αἱ μὲν Μοῖραι χωλαὶ παρὰ Λυκόφρονι διὰ τὸ ἀνόμοιον τοῦ μοιριδίου καὶ ἄνισον καὶ ὑποσκάζον καὶ ὡς οἷον ὀκλάζον καὶ μὴ ἀεὶ ὡσαύτως βαῖνον. Αἱ δὲ Λιταὶ χωλαὶ πλάττονται οὐ μόνον διὰ τό, ὡς ἐρρέθη, βραδύπουν τῶν ἱκετευόντων, ὡς ἐκ τοῦ ὑπὸ τῆς Ἄτης βλάπτεσθαι συμποδιζομένων, ἀλλὰ καὶ διότι ἡ κατὰ τῶν παρηκόων ποινὴ ὀψίζει θεόθεν. Καὶ οὕτω μὲν ὁ ποιητὴς ἃ πάσχουσιν οἱ λιτανεύοντες προσάπτει, ὡς εἴρηται, αὐταῖς ταῖς Λιταῖς, οἱ δὲ Μυθολέσχαι συλλαλοῦντες τῷ μύθῳ Διός τε αὐτὰς λέγουσι θυγατέρας ὡς ἱκεσίου, καί φασιν ὡς οὐδὲν καινόν, εἴπερ ὁ Ζεὺς τοιαῦτα γεννᾷ, ὅπουγε καὶ ὁ Ἥφαιστος χωλὸς καὶ ὁ Πλοῦτος τυφλός. (v. 502) Ἰστέον δὲ ὅτι Διὸς θυγατέρες ἀλληγορικῶς αἱ Λιταί, ἤτοι νοὸς μηχανωμένου θεραπείαν ταύτην τοῖς κακουμένοις.

2.776 Τὴν μέντοι Ἄτην σιγᾷ, τίνος ἐξεγένετο. Δόξοι γὰρ ἂν οὐ Διὸς εἶναι ἀλλὰ Ἀρεϊκή. εἰ δὲ καὶ Διός —Οὕτω γὰρ ὁ μῦθος βούλεται. —, ἀλλ' οὐ τοῦ γεννῶντος Ἀθηνᾶν ἢ Λιτάς, ἀλλ' ὃς καὶ τὸν Ἄρην γεννῆσαι λέγεται, ἵνα εἶεν ὁμοπάτριοι Ἄτη τε καὶ Ἄρης οἱ βλαπτικοί. (v. 503) Λέγονται δὲ χωλαὶ ὥσπερ καὶ χωλός, ὧν ἡ βλάβη περὶ τὸ τοῦ ποδὸς κῶλον, ἵνα ᾖ ὥσπερ παρὰ τὸν εὖ ἔχοντα ἴλλον ἰλλός ὀξυτόνως ὁ τὸν ἴλλον διάστροφος, οὕτω καὶ παρὰ τὸ κατὰ φύσιν κῶλον κωλὸς καὶ τροπῇ χωλός, ὁ τὸ τοιοῦτον κῶλον πεπονθώς. Φέρεται δὲ παρὰ τοῖς παλαιοῖς καὶ Χῶλος κύριον ὡς Πῶλος βαρυτόνως πρὸς διαστολὴν τοῦ ῥηθέντος κατὰ πάθος χωλοῦ. Ῥυσσαί δὲ ἀπὸ τοῦ ῥύω, τὸ ἑλκύω, ἀφ' οὗ καὶ ἡ ῥυτίς. παρελκύεται γὰρ τὸ δέρμα τοῖς ῥυτιδουμένοις. Ἰστέον δὲ καὶ ὅτι τὰ παρὰ τὸν ὦπα εὑρίσκονται καὶ βαρυνόμενα κατὰ τὴν εὐθεῖαν τῶν ἑνικῶν, ὡς δηλοῖ τὸ Κύκλωπες, ἑλίκωπες, ἔτι δὲ καὶ ὀξυνόμενα, καθὰ δῆλον ἐκ τοῦ γλαυκῶπες δράκοντες, τυφλῶπες, παραβλῶπες, εὐῶπες, ὧν χρῆσις παρά τε Λυκόφρονι καὶ παρὰ Σοφοκλεῖ δὲ ἐν τῷ «εὐῶπα παρειάν». [Δῆλον δὲ ὡς οὐκ ἐκ μόνου τοῦ ὤψ γίνονται συνθέσεις, ὡς ὁ Κέρκωψ δηλοῖ καὶ ὁ νυκτάλωψ καὶ ὁ Κύκλωψ καὶ ὁ παραβλώψ καὶ λοιπὰ μυρία, ἀλλὰ καὶ ἐκ τοῦ κατ' αὐτὸν πλαγιασμοῦ, ἤγουν ἐκ τοῦ ὠπός. Ἐκεῖθεν γὰρ ὁ κυνώπης, ὅθεν καὶ τὸ «ὦ κυνῶπα», ἔτι δὲ ὁ γλαυκώπης καὶ ὁ βοώπης, ὧν θηλυκὰ ἡ γλαυκῶπις καὶ ἡ βοῶπις, ὡς ὁ τοξότης, ἡ τοξότις, ὁ δεσπότης, ἡ δεσπότις. Τοῦ δ' αὐτοῦ πλαγιασμοῦ καὶ ἡ Εὐρώπη καὶ ἡ Σινώπη καὶ ἡ παρὰ τῷ Πινδάρῳ Μετώπη. Ἐκεῖθεν δὲ καὶ ὁ εὐωπός καὶ εὐρωπός καὶ τὰ ὅμοια ὀξύτονα. Ἐκ τοῦ αὐτοῦ δὲ σὺν ἄλλοις πάνυ πολλοῖς καὶ τὸ ἐνώπιον καὶ τὸ μετώπιον καὶ τὸ κατενῶπα καὶ τὸ «κακὸν ῥέζουσαν ἐνωπῇ»].

2.777 Τὸ δὲ «παραβλῶπες ὀφθαλμώ», ἤγουν ὀφθαλμούς, τέτριπται μὲν πλέον τοῦ «ὀφθαλμῶν» κατὰ πτῶσιν γενικήν. Δοκεῖ δὲ περιττῶς ἔχειν τὴν τοιαύτην λέξιν. ἤρκει γὰρ εἰς τὴν προκειμένην ἔννοιαν καὶ μόνον τὸ παραβλῶπες. Περὶ δὲ τοῦ ἀρτίπος ὥσπερ καὶ περὶ τοῦ ἀελλόπος χρὴ ζητῆσαι, διὰ τί μὴ προπαροξύνονται μετὰ τὴν ἀπέλευσιν τοῦ υ τῆς ληγούσης ὁμοίως τῷ πούλυπος. (v. 506) Ἐν δὲ τῷ «ὑπεκπροθέει» ὅ τί ποτε δηλοῖ τῶν προθέσεων ἡ στοιβή, ἐν ἄλλοις δηλοῦται, ὥσπερ καὶ τὸ ἐξακεῖσθαι οὐ μόνον ἐπὶ ἰατρείας λεγόμενον ἀλλὰ καὶ ἐπὶ τοῦ ῥάπτειν, ἔτι δὲ καὶ ἐπὶ τοῦ νῆας παλαιωθείσας ἀναποιεῖν. Νῦν δὲ περὶ τοῦ ἐξακεῖσθαι ἰστέον ὅτι δι' ἑρμηνείαν σαφῆ τῆς εἰκόνος ἡ τοιαύτη λέξις κεῖται. Εἰ μὲν γὰρ ἐπὶ ἰατρείας νοηθείη, ἔστιν εἰπεῖν ὅτι, ὥσπερ νόσου προηγουμένης δεόμεθα τοῦ ἀκεσομένου, οὕτω καὶ μετὰ τὴν Ἄτην αἱ Λιταὶ ἱκνοῦνται. Εἰ δ' ἄλλως ἐπὶ ὑφασμάτων ἢ πλοίων ἀναποιήσεως νοηθήσεται, ῥητέον ὅτι,

καθάπερ μετὰ ῥῆξιν ἱματίων ἢ πλοίων ἀκεστῶν δεόμεθα, οἳ τὰ διερρωγότα συνάξουσι καὶ συνάψουσιν ἢ συζεύξουσιν, οὕτω καὶ μετὰ τὴν Ἄτην βλάψασαν χρεία Λιτῶν, ὅπως οἷα καί τινες ἀκέστριαι θεραπεύσωσι τὰ ἐκείνης κακά. Ἰστέον δὲ καὶ ὅτι Ἐριννύες μὲν «λωβητῆρες ὑστεροφθόροι» παρὰ Σοφοκλεῖ, [αἱ δ' αὐταὶ καὶ μετάδρομοι κακῶν κύνες καθ' ὁμοίαν ἔννοιαν], Λιταὶ δὲ ἀνάπαλιν ἀκέονται ὀπίσω, ἤγουν ὕστερον, πλὴν καὶ αὐταί, εἰ μὴ ἀκουσθῶσιν, ὑστεροφθόροι γίνονται τῇ ὕστερον ἐπελεύσει τῆς Ἄτης, ὡς ῥηθήσεται, εἰς τοὺς μὴ ὑπακούσαντας, [ἵνα ἡ αὐτὴ Ἄτη καὶ φθάνῃ βλάπτουσα προληπτικῶς, καὶ ὕστερον δὲ ὁμοίως ποιῇ διὰ τὸ παροραθῆναι τὰς Λιτάς].

2.778 (v. 508 s.) Ἐπὶ δὲ τούτοις παιδεύων εἰς πλέον ὁ ποιητὴς ἐπακούειν Λιτῶν φησιν «ὃς μέν τ' αἰδέσεται κούρας Διὸς ἆσσον ἰούσας, τὸν δὲ μέγ' ὤνησαν, καί τ' ἔκλυον εὐξαμένοιο». Ὁ γὰρ δοὺς λαμβάνει καὶ ὁ ἐλεῶν ἐλεεῖται κατὰ τὸ «δός τι καὶ λάβε τι». (v. 510—2) «Ὃς δέ», φησίν, «ἀνήνηται καί τε στερεῶς ἀποείπῃ, λίσσονται δὴ ἄρα ταί γε», ἤγουν αὗται, «Δία τῷ», ἤγουν τῷ τοιούτῳ, «Ἄτην ἅμ' ἕπεσθαι, ἵνα βλαφθεὶς ἀποτίσῃ». Καὶ ὅρα τὸ βλαφθείς, τραχύτερον μὲν ὂν τοῦ βλαβείς, φίλτερον δὲ αὐτοῦ τῇ ποιήσει, ὥσπερ καὶ τὸ στρεφθεὶς τοῦ στραφείς καὶ ὅσα τοιαῦτα σεσημείωται ἀλλαχοῦ. Ὡς ἀπὸ δρομέων δὲ εἴληπται τὸ βλάπτεσθαί τινα, τῆς ἀρτίποδος Ἄτης ἐπιδιωκούσης. Βλάπτονται γάρ ποτε, ὅ ἐστι προσκόπτουσιν, οἱ φεύγοντες, ὅτ' ἂν ἐπικαταλάβωσιν αὐτοὺς οἱ διώκοντες. Ἔστι δὲ κυρίως βλάπτεσθαι τὸ βάλλεσθαι ὥστε ἰάπτεσθαι, ἤγουν τὸ ῥίπτεσθαι ὡς ἐντεῦθεν βλάπτεσθαι. (v. 508) Τὸ δὲ «ἆσσον ἰούσας» ἀκριβῶς κεῖται. οὐ γὰρ ἁπλῶς ἐπιστρεπτέον τῶν ἀμύνης καὶ ἐπικουρίας χρῃζόντων, ὡς αὐτῶν δὴ τῶν καὶ λισσομένων. τούτων γὰρ ὅτι μάλιστα ἐπιστρέφεσθαι χρὴ καὶ οὐ τῶν πορρωτέρω εἰς τοσοῦτον. (v. 509) Τὸ δὲ «ἔκλυον εὐξαμένοιο» ἐκφοβητικόν ἐστι, μήποτε καὶ Ἀχιλλεὺς ὁ νῦν μὴ ὑπακούων οὐδ' αὐτὸς εὐχόμενός ποτε ἔχῃ τὸν κλύοντα. (v. 510) Τοῦ δὲ «ἀνήνηται» διασαφητικὸν εὐθὺς ἐπαχθὲν τὸ «καὶ στερεῶς ἀποείπῃ», ταὐτὸν δ' εἰπεῖν, ἀπηλεγέως ἀποφήσει. Ἀνήνασθαι μὲν γάρ τινα ἱκετευόμενον οὐκ ἂν εἴη πάνυ κακόν, εἴπερ ἀκκιζόμενος ἢ καὶ ἄλλως μαλακῶς ἔχων ἀναίνεται, σκληρότατα δὲ ἀνηκουστεῖν, ἐφ' οἷς οὐκ ἐχρῆν, θεομηνίαν ποιεῖ. Ὅτι δὲ ἀπηλεγέως Ἀχιλλεὺς ἔκρινεν ἀποειπεῖν, προδεδήλωται. (v. 512) Τὸ δὲ «ἀποτίσῃ» ἢ ἐλλειπτικῶς εἴρηται, ἵνα δηλοῖ τὸ ἀποδώσει ποινὴν τοῦ ἀπανήνασθαι δηλαδὴ τὰς λιτάς, ἢ ἀντὶ τοῦ τιμωρηθῇ εἴληπται.

2.779 (v. 513 s.) Ὅτι γνωματευόμενος ὁ Φοῖνιξ λέγει, ὡς ἡ τιμὴ κάμπτει τοὺς ἀγαθούς, οἳ οὐχ' οὕτω δώροις ὑπάγονται ὡς τιμῇ. Φησὶ γὰρ ἀξιῶν δευτέραν ταύτην ἀξίωσιν «ἀλλ', Ἀχιλλεῦ, πόρε καὶ σὺ Διὸς κούρῃσιν ἕπεσθαι τιμήν, ἥ τ' ἄλλων περ ἐπιγνάμπτει φρένας ἐσθλῶν», ἤγουν ἐπικλίνει, ἐπιεικεύεσθαι ποιεῖ, καὶ μὴ ἀτενῶς ἔχειν τοῦ ἤθους, εἴπερ εἶεν ἐσθλοί. οἱ γὰρ μὴ τοιοῦτοι οὐκ ἂν ἐθέλοιεν τιμήν. Ὅρα δὲ τὸ «Διὸς κούραις», οὗ πρὸς ὁμοιότητα σύνθετον οἱ Διόσκουροι. Δοξάζει δὲ ὁ Φοῖνιξ τιμὴν τῷ Ἀχιλλεῖ ἔσεσθαι, εἰ λάβοι τὰ βασιλικὰ δῶρα, ὡς αὐτίκα φανεῖται. (v. 515—9) Ὅτι Ἀχιλλεὺς μὲν ἀποπροσποιεῖται τὰ δῶρα, Φοῖνιξ δὲ λέγει βιαίως, ὡς «εἰ μὲν μὴ δῶρα φέροι, τὰ δ' ὄπισθ' ὀνομάζοι» ὁ βασιλεύς, «ἀλλ' αἰὲν ἐπιζαφελῶς χαλεπαίνοι, οὐκ ἂν ἔγωγέ σε μῆνιν ἀπορρίψαντα κελοίμην Ἀργείοισιν ἀμυνέμεν χατέουσί περ ἔμπης. νῦν δ' ἅμα τ' αὐτίκα πολλὰ διδοῖ, τὰ δ' ὄπισθεν ὑπέστη» καὶ ἑξῆς. Καὶ ὅρα ὅτι παραφράζων τὸ «φέρει δῶρα» ἐπάγει τὸ πολλὰ διδοῖ. (v. 515) Τὸ δὲ «ὄπισθεν ὀνομάζοι» εἰς ταὐτὸν ἔθετο τῷ «ὄπισθεν ὑπέστη», ἤγουν εἰς τὸ μέλλον ὑπέσχετο. Τοῦτο δὲ τὸ νόημα ὁ αὐτὸς Φοῖνιξ ἐν τοῖς μετὰ ταῦτα κάλλιον ἐρεῖ, δεικνὺς ὡς μᾶλλον ὁ Ἀχιλλεὺς τιμηθήσεται, εἰ καὶ τὰ δῶρα λάβοι. Ὀνομάζειν δὲ νῦν τὸ ἀριθμεῖν κατ' ὄνομα, τοιοῦτον δέ τι καὶ τὸ ὀνομαίνειν. τὸ μέντοι ἐξονομάζειν ἄλλο τι σημαίνειν δεδήλωται. [Δῆλον δὲ ὅτι δύναται τὸ ὀνομάζοι καὶ Ἀττικῶς νοεῖσθαι ἀντὶ τοῦ ὠνόμαζε. τοιοῦτον δέ τι καὶ τὸ φέροι καὶ τὸ χαλεπαίνοι]. (v. 516) Τὸ δὲ «ζαφελῶς» καινότερον περισπᾶται. Τὰ γὰρ εἰς ως ἐπιρρήματα μεσότητος καὶ γραφὴν καὶ

τόνον φυλάττει τῶν γενικῶν, ἐξ ὧν ἂν γένωνται, χωρὶς τοῦ ζαφελῶς, ὅ ἐστι λίαν ηὐξημένως, καὶ τοῦ ἑδρανῶς, ἀντὶ τοῦ στερεῶς. Ὧν τοῦ μὲν ζάφελος τὸ ὄνομα, οἷον «ὅτε κέν τιν' ἐπιζάφελος χόλος ἵκοι», ὃ μετ' ὀλίγα κεῖται, καὶ πληθυντικὴ γενικὴ ἀκολούθως ζαφέλων, τοῦ δὲ ἕδρανον ἡ καθέδρα, οὗ γενικὴ πληθυντικὴ ἑδράνων παρὰ Σοφοκλεῖ, βαρυτόνως ἀμφότερα, εἰ καὶ τὰ ἐξ αὐτῶν ἐπιρρήματα περισπῶνται.

2.780 Καί φασιν Ἀπίων καὶ Ἡρόδωρος, ὅτι τὸ ζάφελος προπαροξύνεται λόγῳ τοιούτῳ. Τὰ εἰς ος λήγοντα παρὰ τὸ ζα προπαροξύνονται· ζάθεος, ζάκοτος. τὸ δὲ ζαφελῶς περισπᾶται, ἐπεὶ τὰ εἰς λως ἐπιρρήματα παραληγόμενα τῷ ε ὡς ἐπὶ πλεῖστον φιλεῖ περισπᾶσθαι, οἷον εὐτελῶς, ἐπιμελῶς, οἷς καὶ τὸ ζαφελῶς συνεξέδραμε. καὶ οὕτω μὲν αὐτοὶ περὶ τοῦ ζαφελῶς. Τὸ δὲ ἑδρανῶς ἴσως ἂν καὶ αὐτὸ ἔχῃ ὁμοίαν συνηγορίαν, οἷα τονούμενον κατὰ τὸ ἱκανῶς, πιθανῶς καὶ τὰ τοιαῦτα. (v. 517) Τὸ δὲ «μῆνιν ἀπορρίψαντα» ὡς ἐπὶ φορτίου εἴρηκεν ἐπικειμένου τῷ Ἀχιλλεῖ. καὶ ἔστιν ἡ τοιαύτη λέξις κρείττων τοῦ μῆνιν ἀποειπεῖν. (v. 518) Τὸ δὲ «χατέουσιν», ὅ ἐστι στερομένοις, χρῄζουσι, ποιητικὴ λέξις, ὅθεν καὶ χᾶτις καὶ χῆτις ἡ στέρησις, ἥν τινες καὶ χῆτος οὐδετέρως φασίν. Ἐρεθιστικὸν δὲ φιλαλήθως εἰς ἄμυναν τὸ εἰπεῖν χρῄζειν Ἀργείους τοῦ Ἀχιλλέως. Δῆλον δὲ ὅτι τὸ χατεῖν καὶ χατίζειν παραγώγως λέγεται. (v. 520) Ὅτι Ἀχιλλεὺς μὲν τοὺς πρέσβεις ἀνωτέρω φιλτάτους εἶπε, Φοῖνιξ δὲ καὶ τοῦτο μὲν ὁμολογεῖ. Φησὶ δὲ καὶ ἀρίστους αὐτούς, δηλονότι οὐ συγκαταλέγων ἑαυτόν. Τοῦτο δέ φαμεν οὐχ' ὅτι οὐκ ἐπαινέσῃ ἄν τις ἑαυτὸν ἐν καιρῷ. Καὶ γάρ που Ἀχιλλεὺς ἄριστον Ἀχαιῶν ἑαυτὸν ἔφη καὶ Ἕκτωρ δὲ ἐν τοῖς φθάσασι δῖον ἑαυτὸν ἐπωνόμασε καὶ ὁ Ζεὺς ἑαυτὸν ὕπατον μητιόεντα. Ἀλλὰ τοῦτό φαμεν, ὡς οὐ καιρὸς νῦν περιαυτολογεῖν τὸν Φοίνικα φανερῶς. λεληθότως μέντοι μεγάλα περὶ ἑαυτοῦ ἔφη, ὡς προείπομεν, ἐν οἷς κἀκεῖνο. εἰ γὰρ αὐτὸς τηλικοῦτον ἔθηκε τὸν Ἀχιλλέα, λέγοι ἂν πολλῷ πρότερον ἑαυτὸν τηλικαύτης ἐπήβολον ἀρετῆς. (v. 520—3) Ἔχει δὲ τὸ Ὁμηρικὸν οὕτως «ἄνδρας δὲ λίσσεσθαι ἐπιπροέηκεν», ὁ βασιλεὺς δηλαδή, «ἀρίστους, κρινάμενος κατὰ λαὸν Ἀχαιϊκόν, οἵ τε σοὶ αὐτῷ φίλτατοι Ἀργείων. τῶν μὴ σύ γε μῦθον ἐλέγξῃς μηδὲ πόδας», ἤγουν μὴ ποιήσῃς τοὺς καὶ ἀρίστους καὶ φιλτάτους σοι πρέσβεις ἐπονειδίστους, ὡς ἀποδοκιμάσας αὐτούς, μηδὲ δώσεις εἰπεῖν τινα ὡς ἀλυσιτελῶς σκυλθέντες ἐπρέσβευσαν καὶ μάτην μὲν ὥδευσαν, μάτην δὲ ἐλάλησαν, οἷα τῆς αἰσχύνης τοῦ μὴ πεῖσαι εἰς αὐτοὺς ἀνατρεχούσης. (v. 522) Ὅτι δὲ τὸ ἐλέγχειν ἐπὶ ὕβρεως παρ' Ὁμήρῳ τίθεται, δῆλον.

2.781 Κακὰ γοῦν ἐλέγχεα ὀνομάζει τοὺς Ἕλληνας καὶ ἐλεγχέας, καὶ «Πολυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει» φησί, καὶ «τὰ δ' ἐλέγχεα πάντα λέλειπται». Ἰστέον δὲ ὅτι οὐ λόγος μόνον, ἀλλὰ καὶ ἀνδρία ἐλέγχεται ἀπρακτήσασα, καὶ ἵππου δέ ποτε ἀρετή, ὡς δηλοῖ τὸ «ἐλεγχείην καταχεύῃ Αἴθη θῆλύς περ ἐοῦσα». Τὸ γὰρ «ἐλεγχείην καταχεύῃ» περιφραστικῶς ἀντὶ τοῦ ἐλέγξῃ ἐρρέθη, ὡς ἐν τοῖς ἑξῆς φανήσεται. (v. 521) Τὸ δὲ «κρινάμενος», ὃ καὶ ἐνεργητικῶς προφέρεσθαι εἴωθεν, ἐκκρίτους τε ὑπολαλεῖ τοὺς πρέσβεις καὶ διασαφητικόν ἐστι τοῦ ἀρίστους, ὡς τῶν ἀρίστων ἐκκρίτων ὄντων. Ὅρα δὲ καὶ ὡς Νέστορος ἐπιλεξαμένου τοὺς πρέσβεις ὁ Φοῖνιξ τὸν βασιλέα φησὶν αὐτοὺς κρίνασθαι, ψευσάμενος ἐπί τι καιρίως διὰ τὸ συμφέρον, εἰ καὶ ἄλλως τῷ βασιλεῖ προσλογίζεται τὸ ὑπὸ τοῦ Νέστορος ὡς φιλοβασιλέως πραχθέν. (v. 521) Τὸ δὲ «σοὶ αὐτῷ» οὐκ εἴληπται ἀντὶ συνθέτου ἀντωνυμίας, δηλούσης τὸ σαυτῷ κατ' ἔθος Ὁμηρικόν, ἀλλ' ἐξοχικῶς εἴρηται, ὁποῖον καὶ τὸ «αὐτῷ τοι», ἤγουν αὐτῷ σοι, «μετόπισθεν ἄχος ἔσεται», καὶ ἐν τοῖς ἑξῆς δὲ τὸ «αὐτὴν γάρ νιν τρόμος αἰνὸς ἱκάνει». (v. 523) Ὅτι κατὰ σχῆμα ἀντιπαραστάσεως ὑπούλως λαλῶν ὁ διδάσκαλος Φοῖνιξ οὐχ' ἁπλῶς αἰτιᾶται, εἴπερ ἐχολώθη ὁ μαθητής, ἀλλ' εἰ καὶ μετὰ πρεσβείαν καὶ δῶρα χολοῦται. Φησὶ γοῦν «πρὶν δ' οὔτι νεμεσσητὸν κεχολῶσθαι». (v. 524—6) Εἶτα καὶ ἀπὸ παραδείγματος πεῖσαι θέλων κατὰ μέθοδον ὁποίαις καὶ ὁ Νέστωρ ἐξ ἱστοριῶν εἴωθεν χρᾶσθαι, λέγει ὡς καὶ οἱ παλαιοὶ τῶν ἡρώων δώροις τε καὶ λόγοις ἐπείθοντο. «Οὕτω γάρ», φησί, «καὶ τῶν πρόσθεν ἐπευθόμεθα κλέα ἀνδρῶν ἡρώων, ὅτε κέν τιν'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιζάφελος», ὡς προεγράφη, «χόλος ἵκοι. δωρητοί τ' ἐπέλοντο παραρρητοί τ' ἐπέεσσι», τουτέστι δώροις τε ὑπήγοντο καὶ λόγοις ἐμειλίσσοντο παραμυθούμενοι. Παραρρητοί γάρ, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, οἱ παρηγορητοί. καὶ εὐθὺς ἐπιφέρει τὴν ἱστορίαν. (v. 526) Καὶ ὅρα ὅτι τε ἐν τῷ «παραρρητοὶ ἐπέεσσι» περιττῶς κεῖνται τὰ ἔπη ὡς συνεξακουόμενα τῷ παραρρητοί, καὶ ὅτι ἐὰν οὐ περιττεύει τὸ ἐπέεσσιν [ἐν τῷ παραρρητοί, ἐλλιπῶς ἄρα ἔχει τὸ δωρητοί, ὡς δέον προσκεῖσθαι καὶ ἐκεῖ τὸ δώροις], ἵνα ᾖν δωρητοὶ δώροις.

2.782 καὶ ὅτι ἄρχεσθαι μέλλων ὑπτιώτερον διηγήματος παλαιοῦ ἤγειρε τὸν λόγον σώφρονι κάλλει διὰ ὁμοιοτελεύτων, ἤγουν παρίσων, τοῦ «δωρητοί» καὶ «παραρρητοί», καὶ ὡς χρήσιμον πάνυ ῥήτορσιν αἱ ἱστορίαι, εἰς ὃ καὶ ὁ Νέστωρ, ὡς ἐρρέθη, εὐδοκιμεῖ ἀπομνημονεύμασι παραρτύων τὴν ποίησιν. Διὸ καὶ Ἀχιλλεὺς ἐφιλοτιμεῖτο ἀείδειν κλέα ἀνδρῶν, ὡς προγέγραπται. (v. 527 s.) Ἐν τούτοις δὲ σημείωσαι καὶ ὅτι, ὡς καὶ ἐν ἄλλοις ἐρρέθη, ἡ τοῦ ἀπομνημονεύματος λέξις ἐξ Ὁμήρου παρῆκται. Φησὶ γὰρ ὁ Φοῖνιξ «μέμνημαι τόδε ἔργον ἐγὼ πάλαι, οὔ τι νέον γε, ὡς ᾖν», οἷα μὴ ἐπιλαθόμενος. οὐ γὰρ ἂν εἶχε μνήμην ἀκραιφνῆ. Καὶ εὐθὺς ὑποβάλλει ἀπομνημόνευμα, τὸ κατὰ Μελέαγρον δηλαδὴ ἐπεισόδιον. Τοῦτο δὲ τὸ σχῆμα ὑποδιήγησιν καλοῦσιν οἱ παλαιοί, ὡς καὶ μετ' ὀλίγα εἰρήσεται. Ἐνταῦθα δὲ ὅρα καὶ ὅτι αἰτιατικῇ συνέταξε τὸ μέμνημαι, καὶ ὡς ἀκριβῶς εἰς τὸ μέμνημαι προσέθετο τὸ «πάλαι, οὔ τι νέον γε». Μνήμη τε γὰρ οὐ τῶν ἄρτι ἀλλὰ τῶν παροιχομένων ἐστί. καὶ τὸ ἀπομνημόνευμα δὲ τῶν τοιούτων ἐστί. Δοκεῖ δὲ διὰ σαφήνειαν, οὐ μὴν ἀναγκαίως, προσκεῖσθαι τὸ «οὔ τι νέον γε». Δῆλον γὰρ ὡς τὸ πάλαι μνημονευόμενον οὐκ ἂν εἴη νέον. [Καὶ ἄλλως δὲ τὸ «οὔ τι νέον γε» διασαφητικόν ἐστι τοῦ πάλαι, ἵνα μὴ ἁπλῶς νοῆται κατὰ τὴν ὕστερον Ἀττικὴν συνήθειαν. Ἴσμεν γὰρ ὅτι ἡ Ἀτθὶς πάλαι οἶδε λέγειν οὐ μόνον τὸ ἀφ' ἱκανοῦ χρόνου ἀλλὰ καὶ τὸ πρὸ ὥρας ἢ καὶ στιγμῆς. τὸ γοῦν «οὔ τι νέον γε» ἀναγκάζει νοεῖν τὸ πάλαι ἀντὶ τοῦ πρὸ πολλοῦ]. Τὸ δὲ «μέμνημαι τόδε ἔργον» ἕως τοῦ «ὡς ᾖν», εἶτα «ἐν δ' ὑμῖν ἐρέω πάντεσσι φίλοισι» πᾶς τις ἂν προοιμιάσηται διηγούμενός τι παρὰ φίλοις ἀκροαταῖς. [Σημειωτέον δὲ ἐνταῦθα καὶ ὅτι κατὰ τοὺς παλαιοὺς τὸ μέμνημαι οὐ μόνον τὸ σύνηθες καὶ κοινὸν δηλοῖ κατὰ τὴν εἰρημένην σημασίαν, ἀλλὰ καὶ ἀντὶ τοῦ ἐπιμελεῖσθαι λαμβάνεται, ὡς ἐν τῷ «μεμνέῳτο δρόμου», ὃ δὴ κεῖταί που ἐν τοῖς ἑξῆς, καὶ ἐν τῷ «μεμνῆσθαι πατρὸς καὶ μητρός», ἤγουν ἐπιμέλειαν ἔχειν, ὅπερ ὁ Ὀδυσσεὺς τῇ Πηνελόπῃ παρήγγειλεν, ὅτε εἰς Τροίαν ἀπέπλεεν.

2.783 Ἔτι δὲ καὶ ἐν τῷ «μισῶ μνάμονα συμπόταν». Οὐ δεῖ γάρ, φασί, δέχεσθαι, τουτέστι νοεῖν, μνάμονα, ὡς ἔνιοι, τὸν μεμνημένον χθιζῶν ἁμαρτημάτων συμποσιαίων, ἀλλὰ τὸν ἄγαν ἐπιμελητὴν τοῦ συμποσίου. Μισοῦμεν γὰρ τὸν ἐν τοιούτοις ἐπιμελούμενον καὶ ἐπιτάσσοντα.] Ὅτι ὁ Φοῖνιξ περὶ τῶν πρόσθεν ἡρώων εἰπών, ὡς δωρητοὶ καὶ παραρρητοὶ ἦσαν, καὶ παραθεὶς εὐθὺς τὴν κατὰ τὸν Μελέαγρον ἱστορίαν εἰς λόγου πίστιν, ἀκούσοι ἂν πρός τινων οὐ φαύλων εἰς νοῦν ὡς οὐκ εὐοδοῦται αὐτῷ ἐντεῦθεν ὁ λόγος. Ὁ γὰρ Μελέαγρος οὗτος καὶ δῶρα λαμβάνων καὶ πολλὰ λιτανευόμενος οὐκ ἐπείθετο, ἀλλὰ μᾶλλον ἀναίνετο, θλίβων οὕτω τὰς τοῦ Διὸς Λιτάς. ὥστε οὐ δεικνύει ὁ Φοῖνιξ, ὃ προέθετο. Λύεται δὲ τὸ ἄπορον ἐκ τοῦ ἐναντίου τῷ ἐπιχειρήματι, λέγοντος οἷον τοῦ Φοίνικος, ὡς οἱ μὲν ἄλλοι πάντες δωρητοὶ ἐγένοντο, καθὰ εἶπον, καὶ παραρρητοί, ὁ μέντοι Μελέαγρος μὴ τοιοῦτος ἀποβὰς κακόν τι ἔπαθεν, ὡς δειχθήσεται. (v. 533—99) Ἔστι δὲ ἡ κατὰ τὸν Μελέαγρον ἱστορία τοιαύτη τις κατὰ τὸν ποιητήν. Οἰνεὺς ἀπαρχὰς θύων κατὰ Εὐριπίδην, ὅπερ ὁ ποιητὴς θαλύσια ἐν γουνῷ ἀλωῆς ῥέζειν φησί, τοῖς μὲν ἄλλοις θεοῖς ἔρεξεν, οἳ καὶ ἐδαίνυντο ἑκατόμβας, μόνῃ δ' οὐκ ἔρεξεν Ἀρτέμιδι. «ἢ λάθετο», φησίν, «ἢ οὐκ ἐνόησεν. ἀάσατο δὲ μέγα θυμῷ. ἣ δὲ χολωσαμένη ὦρσε χλούνην σῦν, ὃς κακὰ πολλά» ἐποίει τά τε τοῦ Οἰνέως καὶ τὴν λοιπὴν δέ, ὡς εἰκός, βλάπτων Αἰτωλίαν. τὸν δὲ ὁ τοῦ Οἰνέως ἀπέκτεινε Μελέαγρος, «πολλῶν ἐκ πολίων θηρήτορας ἄνδρας ἀγείρας καὶ κύνας». Ἐν οἷς ἀνδράσιν οὐ μόνον ἦσαν οἱ ὑπὸ τῷ σκήπτρῳ τοῦ Οἰνέως, ἀλλὰ καὶ Κουρῆτες οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλησιόχωροι. «οὐ μὲν γάρ», φησίν, «ἐδάμη παύροισι βροτοῖσιν», ἀλλὰ δηλονότι πολλοῖς. «τόσσος ἔην. πολλοὺς δὲ πυρῆς ἐπέβησ' ἀλεγεινῆς». Καὶ ὁ μὲν σῦς οὕτως ἔκειτο. ἡ δὲ Ἄρτεμις ἀμφ' αὐτῷ ἔθηκε πολὺν κέλαδον, «ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι λαχνήεντι, Κουρήτων τε μεσηγὺ καὶ Αἰτωλῶν μεγαθύμων. ὄφρα μὲν οὖν Μελέαγρος ἀρηΐφιλος πολέμιζε, τόφρα δέ», ἤγουν ἕως δὴ τότε, «Κουρήτεσσι», τουτέστι τῷ τῶν Κουρήτων στρατῷ, «κακῶς ἦν», οὗ ἐφερμηνευτικὸν τὸ «οὐδὲ δύναντο τείχεος ἔκτοσθε μίμνειν πολέες περ ἐόντες.

2.784 ἀλλ' ὅτε δὴ Μελέαγρον ἔδυ χόλος, ὅς τε καὶ ἄλλων οἰδάνει ἐν στήθεσσι νόον πύκα περ φρονεόντων, ἤτοι ὅ», ἤγουν ὁ μέν, «μητρὶ φίλῃ Ἀλθαίῃ χωόμενος κῆρ κεῖτο παρὰ μνηστῇ ἀλόχῳ καλῇ Κλεοπάτρῃ χόλον θυμαλγέα πέσσων ἐξ ἀρέων», ἤτοι ἕνεκεν ἀρῶν, «μητρὸς κεχολωμένος, ἥ ῥα θεοῖσι», κατὰ Μελεάγρου θεῷ, «πόλλ' ἀχέουσα ἠρᾶτο κασιγνήτοιο φόνοιο». Οἱ δὲ Κουρῆτες ἐν τοσούτῳ νικῶντες ἐπέθεντο ταῖς πύλαις τῆς Καλυδῶνος, περὶ ἣν τὰ τῶν Οἰνειδῶν βασίλεια, καὶ ταῦτα πρῴην ἡττώμενοι καὶ μὴ δυνάμενοι τῆς κατ' αὐτοὺς πόλεως ἐκτὸς μίμνειν, ὡς εἴρηται, ὅτε Μελέαγρος ἐπολέμει. Πολλὰ δὲ πολλῶν λιτανευσάντων ὁ ἥρως οὐκ ἐπείθετο, «πρίν γ' ὅτε δὴ θάλαμος πύκ' ἐβάλλετο. τοὶ δ' ἐπὶ πύργῳ» ἢ «ἐπὶ πύργον βαῖνον Κουρῆτες καὶ ἐνέπρηθον μέγα ἄστυ», ὃ δὴ πρήθειν τοῦ πέρθειν ἐστὶ πρωτότυπον, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. καὶ τότε δὴ πεισθεὶς τῇ καλῇ Κλεοπάτρᾳ «χροῒ ἔντε' ἐδύσετο παμφανόωντα» καὶ Αἰτωλοῖς «ἀπήμυνε κακὸν ἦμαρ εἴξας ᾧ θυμῷ. τῷ δ' οὐκέτι δῶρα τέλεσσαν οἱ Αἰτωλοὶ πολλά τε καὶ χαρίεντα, κακὸν δ' ἤμυνε καὶ αὔτως». ὅ ἐστι καὶ οὕτω μάτην ἐβοήθησεν ἀπαμύνας τὸν πόλεμον. καὶ οὕτω μέν, ἐπιτόμως εἰπεῖν, τὸ κατὰ Μελέαγρον ἔχει ἀπομνημόνευμα. Ὁ δὲ ποιητὴς οὐδ' ἐνταῦθα τὴν τῆς ἱστορίας ἀρχὴν προκαταρχὴν ποιεῖται τῆς διηγήσεως, ἤγουν τὴν ῥηθεῖσαν θείαν μῆνιν, μεθ' ἣν συὸς ἐπέλευσις καὶ ἀναίρεσις αὐτοῦ, ἐφ' αἷς μάχη Κουρήτων καὶ Αἰτωλῶν, ἀλλὰ ἐκ τῶν δευτέρων, ἤγουν ἐκ τοῦ τῶν Κουρήτων καὶ Αἰτωλῶν πολέμου ἀρξάμενος, οὗ χάριν καὶ ἐδεήθη τῆς ἱστορίας, εἶτα ὑποβάλλει τὰ πρῶτα, τουτέστι τὴν αἰτίαν τοῦ πολέμου, ἥτις ἐστὶ τὰ κατὰ Οἰνέα καὶ Ἄρτεμιν, καὶ μετ' αὐτὰ πάλιν ἐλθὼν ἐξ ἀνάγκης εἰς τὴν μάχην τῶν Κουρήτων καὶ τῶν Αἰτωλῶν προάγει τὸ ἐντεῦθεν μέχρι τέλους τὴν ἱστορίαν κατὰ ἁρμονίαν εὐσύντακτον. Ὁ δὲ Ὁμηρικὸς Φοῖνιξ καὶ ἐμπλατύνεται τῇ διηγήσει καὶ ἐνδιασκεύως αὐτὴν προάγει καὶ πολυειδῶς. Νὺξ γάρ ἐστι καὶ ἀργία καὶ οὐδέν τι ἐκώλυε τὴν τοῦ λόγου διασκευήν. Ὅθεν καὶ τὴν Ἄρτεμιν σεμνολογεῖ χρυσόθρονον ὀνομάζων καὶ Διὸς κούρην μεγάλοιο καὶ δῖον γένος, ἤγουν ἐξ αὐτοῦ Διός, καὶ ἰοχέαιραν δέ, ὡς ἰοὺς χέουσαν κατά τινα ὄμβρον ἢ νιφετόν.

2.785 [Ὅθεν ἡ ἀπεριλάλητος γλῶσσα λαβοῦσα βούλεται λέγειν ὑποκοριστικῶς ὀϊστοβρόχιον τὴν τοιαύτην χύσιν τῶν ὀϊστῶν]. (v. 539- 42) Καὶ τὸν σῦν δὲ ἐκφράζει οἷος ἦν καὶ οἷα ἐποίει λέγων «ὦρσε δ' ἐπὶ χλούνην σῦν ἄγριον, ἀργιόδοντα, ὃς κακὰ πόλλ' ἔρδεσκεν ἔθων Οἰνῆος ἀλωήν. πολλὰ δ' ὅ γε προθέλυμνα χαμαὶ βάλεν», ἤγουν ἔρριψε, «δένδρεα μακρὰ αὐτῇσι ῥίζῃσι καὶ αὐτοῖς ἄνθεσι μήλων» καὶ τὰ ἑξῆς. (v. 566—72) Διαγράφει δὲ καὶ τὴν πάνυ πολλὴν μητρικὴν ἐπὶ τῷ Μελεάγρῳ λύπην καὶ ἦθος γυναικεῖον διαζωγραφεῖ, λέγων ὡς ἡ ῥηθεῖσα μήτηρ αὐτοῦ πολλὰ ἠρᾶτο ἀχέουσα ἕνεκεν τοῦ κατ' ἀδελφοὺς φόνου. «πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερσὶν ἀλοία κικλήσκους' Ἀΐδην καὶ ἐπαινὴν Περσεφόνειαν», ὡς καὶ ὁ Ἀμύντωρ ποτὲ κατὰ Φοίνικος, «πρόχνυ καθεζομένη, δεύοντο δὲ δάκρυσι κόλποι παιδὶ δόμεν θάνατον. τῆς δὲ ἠεροφοῖτις Ἐριννὺς ἔκλυεν ἐξ Ἐρέβευς ἀμείλιχον ἦτορ ἔχουσα», [οὗ ἕνεκα καὶ αἱματωποὺς καὶ δρακοντώδεις κόρας τὰς Ἐριννύας ἡ Τραγῳδία φησίν]. (v. 573—87) Ἐφ' οἷς φράσας πυργομαχίαν γοργῶς ἐν τῷ «τῶν δὲ τάχ' ἀμφὶ πύλας ὅμαδος καὶ δοῦπος ὀρώρει πύργων βαλλομένων», διηγεῖται καὶ τὰς πρὸς τὸν Μελέαγρον λιτὰς ἐνδιασκεύως εἰπὼν «τὸν δ' ἐλίσσοντο γέροντες Αἰτωλῶν», ὡς νῦν δηλαδὴ τὸν Ἀχιλλέα οἱ ἀριστεῖς, «πέμπον δὲ θεῶν ἱερῆας ἀριστοὺς ἐξελθεῖν καὶ ἀμῦναι ὑποσχόμενοι μέγα δῶρον», τὸ μετ' ὀλίγα εἰρησόμενον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«πολλὰ δέ μιν ἐλιτάνευεν γέρων ἱππηλάτα Οἰνεὺς οὐδοῦ ἐπεμβεβαώς», ἢ «ὑπερβεβαώς, ὑψηρεφέος θαλάμοιο σείων κολλητὰς σανίδας», τὰς ἀλλαχοῦ κληϊστάς, «γουνούμενος υἱόν. πολλὰ δὲ τόν γε κασίγνητοι καὶ πότνια μήτηρ ἐλίσσοντο». Μετέβαλε γὰρ καὶ ἡ μήτηρ, εἰ καὶ πρὶν θάνατον ἐκείνῳ ἐπηύχετο. ταπεινοποιὸν γὰρ ἡ ἀνάγκη. «ὃ δέ», φησί, «μᾶλλον ἀναίνετο. πολλὰ δ᾽ ἑταῖροι, οἳ αὐτῷ κεδνότατοι καὶ φίλτατοι ἦσαν ἁπάντων, ἀλλ᾽ οὐδ᾽ ὣς τοῦ», ἤγουν τούτου, «θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον». (v. 576—80) Ἀφηγεῖται δ᾽ ἐν τούτοις καὶ τό, ὡς ἔφη, μέγα δῶρον τῶν Αἰτωλῶν, τὴν μετὰ βραχὺ ῥηθησομένην γῆν. Εἶτα διηγεῖται καὶ ὅπως ἡ Κλεοπάτρα ὀδυρομένη ἐλίσσετο τὸν Μελέαγρον, ὡς καὶ αὐτὸ ἐν τοῖς ἐφεξῆς εἰρήσεται. καὶ οὐ ταῦτα μόνον ὁ Φοῖνιξ, ἀλλὰ καὶ ἕτερα παρεισάγει κατά τινα περιττότητα, ἐπεισοδίοις παρενείρων ἐπεισόδια. (v.
2.786 556—64) Καὶ οὕτω μεστὸν ὡς οὐδαμοῦ τὸν λόγον τῆς παρενθέτου ἱστορίας Ὅμηρος ποιεῖ, τήν τε Κλεοπάτραν ἱστορῶν οἵα ἦν καὶ ἐξ οἵων ἦν καὶ ὡς διώνυμος ἦν καὶ ὡς καλή, διὸ καὶ ἡρπάγη παρὰ τοῦ Ἀπόλλωνος. Παραλαλῶν δὲ καὶ τὸν περὶ Ἀλκυόνος μῦθον, καὶ ὅλως πολλαῖς ἰδέαις τὸν τόπον τοῦτον καταποικίλλων, σεμνότητι μὲν ἐπ᾽ ὀλίγον χρώμενος ἔνθα περὶ τοῦ χόλου γνωμολογεῖ ὡς κυμαίνοντος καὶ τὸ ἐν φρονίμοις γαλήνιον, παρεμπλέκων δὲ καὶ φοβερὰ χωρία ἐν τοῖς περὶ συὸς καὶ Ἀρτέμιδος καὶ Ἐριννύων, ἔτι δὲ καὶ γλυκαίνων τὸν λόγον ἐν τοῖς περὶ κυνηγεσίων, καὶ οὕτω μιγνὺς φόβῳ τὴν ἱλαρότητα καὶ καλλωπίζων δὲ παρίσοις, ναὶ μὴν καὶ περιβάλλων ἱστοριῶν τε μεστότητι καί, ὡς προείρηται, ὑπαλλαγῇ τῆς φυσικῆς τῶν πραγμάτων τάξεως, πλεονάζων δὲ μάλιστα τῇ σαφηνείᾳ διὰ τὴν φύσιν τῆς ἀφηγήσεως. καὶ ταῦτα μὲν οὕτω. Τὴν δὲ ἐνταῦθα τῆς ἱστορίας μέθοδον ὑποδιήγησιν καλοῦσιν οἱ παλαιοί, ὡς καὶ προερρέθη. Ἔστι δὲ ὑποδιήγησις, ὅτε διηγεῖταί τις ὅμοιόν τι τοῖς προκειμένοις πράγμασιν, ὡς καὶ ἐνταῦθα τὸ τοῦ Μελεάγρου ἐπεισόδιον πολλὴν ἔχει πρὸς τὰ τοῦ Ἀχιλλέως ὁμοιότητα. Ἑκάτεροι γὰρ εὐγενεῖς καὶ ἀνδρεῖοι μηνίουσιν, Ἀχιλλεύς τε διὰ τὴν μητέρα εἰποῦσαν «ἀλλὰ σὺ μὲν μήνιε νηυσὶ παρήμενος», ἔτι δὲ καὶ διὰ τὴν Βρισηΐδα, καὶ Μελέαγρος δὲ διὰ μητέρα ἑτέρως λυπουμένην καὶ διὰ Ἀταλάντην τὴν ἐρωμένην, εἰ καὶ Ὅμηρος αὐτὸ σιωπᾷ. Ἔτι ὑπερέχει ἀρετῇ Μελέαγρος Καλυδωνίων, ὡς Ἀχιλλεὺς Ἀχαιῶν, καὶ οὔτε Κουρῆτες ἔκτοσθε μένειν τείχεος δύνανται μαχομένου Μελεάγρου καὶ Τρῶες δὲ δι᾽ Ἀχιλλέα οὐ θέλουσι μάχην ὀρνύειν ἀπὸ τείχεος, καὶ ἡττῶνται ἐκεῖ μὲν Καλυδώνιοι δίχα Μελεάγρου καὶ βάλλονται αὐτοῖς οἱ πύργοι, ἐνταῦθα δὲ Ἕλληνες Ἀχιλλέως ἀπομηνίσαντος καὶ πολεμεῖται τὸ τεῖχος αὐτοῖς. ἱκετεύονταί τε ἄμφω ὑπὸ τῶν οἰκειοτάτων καὶ ἀποστρέφονται τὰς λιτάς. Οὕτω τῆς ἰσότητος διὰ πάντων ἡκούσης τῷ Μελεάγρῳ καὶ τῷ Ἀχιλλεῖ ἐπεύχεται ὁ Φοῖνιξ μὴ καὶ τὸ τέλος ἐξισωθῆναι αὐτοῖς ὡς δίχα δώρων τὸν Ἀχιλλέα καὶ τιμῆς εἰς πόλεμον ἐξελθεῖν οἰκείῳ θυμῷ εἴξαντα, ἤγουν αὐτοθελῶς πολεμήσαντα, ὅπερ ὁ Μελέαγρος ἔπαθεν.
2.787 οὗ τὸ κακόν, ὡς εἴρηται, καὶ αὕτως ἀμύναντος οὐκ ἐτέλεσαν δῶρα οἱ Αἰτωλοί, τουτέστιν οἱ Καλυδώνιοι. (v. 600—3) Φησὶ γὰρ ἀξιῶν καὶ ἐνταῦθα τρίτην ταύτην ἀξίωσιν «ἀλλὰ σὺ μή μοι ταῦτα νόει φρεσί, μηδέ σε δαίμων ἐνταῦθα τρέψειε φίλος. κάκιον δέ κεν εἴη νηυσὶ καιομένῃσιν ἀμύνειν», ὡς ἐκεῖ Μελέαγρος ἁλισκομένοις τοῖς πολίταις ἐπήμυνεν, «ἀλλ᾽ ἐπὶ δώροις ἔρχευ, ἶσον γάρ σε θεῷ τίσουσιν Ἀχαιοί». Ἄλλως μέντοι ἀμύνας, οἷον ὅτε πελάσει ταῖς σαῖς ναυσὶν ὁ Ἕκτωρ, ἀδώρητά τε βοηθήσεις καὶ οὐδὲ τιμὴν ἕξεις. Ἐνταῦθα δὲ σημείωσαι καὶ ὅτι Ὀδυσσέως εἰπόντος τῷ Ἀχιλλεῖ, ὡς εἰ τὸν βασιλέα καὶ τὰ ἐκείνου δῶρα μισεῖς, ἀλλὰ σὺ τοὺς ἄλλους Ἀχαιοὺς ἐλέησον, οἵ σε θεὸν ὣς τιμήσουσιν, ὁ Φοῖνιξ πάνυ βιαίως καὶ γενναιότερον ἐξ ἐναντίου τὸ νόημα τοῦτο μεταχειρίζεται. Οὔτε γὰρ τῶν δώρων ἀποσχέσθαι θέλει τὸν Ἀχιλλέα καὶ τιμὴν ἴσην κατεπαγγέλλεται. (v. 604 s.) Εἶτα καὶ ἐπὶ πλέον κρατύνων τὸ νόημα καὶ τῷ Ὀδυσσεῖ ἀντιβαίνων συμβουλεύσαντι δώρων ἀλλάξασθαι τὴν τιμήν φησιν «εἰ δέ κεν ἄτερ δώρων πόλεμον φθισήνορα δύῃς, οὐκέθ᾽ ὁμῶς τιμῆς ἔσεαι», ὡς ἐρρέθη, «πόλεμόν περ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλαλκών», διά τε τὸ τῆς γνώμης αὐθέκαστον καὶ διὰ τὸ δοκεῖν περιφρονεῖν τὰ τῶν Ἀχαιῶν καὶ μὴ πάντῃ ξυμβαίνειν αὐτοῖς. καὶ τοιαῦτα μὲν ὁλοσχερῶς τὰ τῆς, ὡς εἴρηται, ὑποδιηγήσεως. Τὰ δὲ κατὰ μέρος αὐτῆς αὐτίκα λελέξεται. (v. 528 s.) Καὶ πρῶτον, ὅτι προοιμιακῶς οἷον εἰπὼν τὸ «ἐν δ’ ὑμῖν ἐρέω πάντεσσι φίλοισι», εἶτα ὑποβάλλει τὴν ἱστορίαν οὕτως· (v. 529—32) «Κουρῆτές τ’ ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι ἀμφὶ πόλιν Καλυδῶνα καὶ ἀλλήλους ἐνάριζον, Αἰτωλοὶ μὲν ἀμυνόμενοι Καλυδῶνος, Κουρῆτες δὲ διαπραθέειν μεμαῶτες Ἄρηϊ» καὶ ἑξῆς. (v. 529) Ἰστέον δὲ ὅτι Κουρῆτες οἱ τὴν Πλευρῶνα οἰκοῦντες—Δῆλον δ’ ὅτι πόλις Αἰτωλικὴ καὶ ἡ Πλευρών. —Εὐβοέων ἦσαν ἄποικοι, προφερόμενοι τῷ τόνῳ καὶ τῇ κλίσει ὡς τὸ ἀβλής ἀβλῆτος. οὕτω γὰρ καὶ Κουρής Κουρῆτος. Καὶ οὐκ ἐχρῆν μέν, φασίν, οὕτω, διότι τὰ εἰς ης ἐθνικὰ ὑπὲρ μίαν συλλαβὴν οὐ φιλοῦσιν ὀξύνεσθαι. ὠξυτονήθη μέντοι πρὸς διαστολὴν βαρυτόνου ὀνόματος τοῦ «κούρητες Ἀχαιῶν», ἀντὶ τοῦ νέοι, ὅπερ ἐν τοῖς ἑξῆς που ἐρεῖ ὁ ποιητής. Ἐκεῖνο δὲ αὖ πάλιν οὕτως ἐκλίθη, ὡς τρόπον τινὰ ἰαμβικόν, ἀπὸ τοῦ κόρης κόρητος.

2.788 Ἐκλήθησαν δὲ οἱ Αἰτωλοὶ οὗτοι Κουρῆτες ἢ διὰ τὸ Κούριον ὄρος ὑπερκείμενον Πλευρῶνος ἢ παρὰ τὴν κουράν. Ἐπεὶ γὰρ κατὰ τὸν Γεωγράφον οἱ πολέμιοι τῆς κόμης αὐτῶν δραττόμενοι τῆς ἔμπροσθεν κατέσπων αὐτούς, ὄπισθεν τοῦ λοιποῦ ἐκόμων κειρόμενοι τὰ ἔμπροσθεν. διὸ καὶ Κουρῆτες ἐλέγοντο. Ἐν Χαλκίδι δέ, φασί, συνῴκησαν, ἤγουν Εὐβοεῖς ἦσαν—Ἐκεῖ γὰρ ἡ τοιαύτη Χαλκίς. —συνεχῶς περὶ τοῦ ἐν Εὐβοίᾳ Λιλαντίου πεδίου πολεμοῦντες. κατασχόντες δέ γε ὕστερον τὰ πέραν Ἀχελῴου ἐν Αἰτωλίᾳ περὶ Πλευρῶνα καὶ μείναντες ἄκουροι ἐκλήθησαν Ἀκαρνᾶνες. Κατὰ δέ τινας ἀπό τινων ὁμωνύμων ἡρώων εἰσὶν ἄμφω τὰ ὀνόματα. Ἕτεροι δέ φασιν ὡς ἀπὸ μὲν τοῦ ῥηθέντος Κουρίου ὄρους Κουρῆτες οἱ Πλευρώνιοι, Ἀκαρνᾶνες δὲ ἀπὸ Ἀκαρνᾶνος, υἱοῦ Ἀλκμαίωνος. Οἱ δέ φασι Κουρῆτας μὲν καὶ Κορύβαντας καὶ Καβείρους καὶ Ἰδαίους Δακτύλους καὶ Τελχῖνας μικρὰν ἔχειν διαστολὴν πρὸς ἀλλήλους, ἐνθουσιαστικοὺς ὄντας καὶ βακχικοὺς καὶ ἐνοπλίῳ κινήσει μετὰ ψόφου κυμβάλων καὶ τυμπάνων καὶ ὅπλων καὶ αὐλῶν ἐκπλήττειν. Τοὺς δὲ περὶ Αἰτωλίαν Κουρῆτας οὕτω κληθῆναι καὶ ὡς θηλυστολοῦντας, καθάπερ αἱ κόραι. Τὸ δὲ τῶν τοιούτων Κουρήτων ἐν ὅπλοις ὀρχηστικὸν ἀφορμήν, φασί, δέδωκε τῷ ποιητῇ Κούρητας εἰπεῖν τοὺς νέους στρατιώτας ἐν τῷ «κούρητες ἀριστῆες Παναχαιῶν», καὶ «δῶρα φέρον κούρητες Ἀχαιῶν». Πύρριχος δὲ τῆς τοιαύτης ἀσκήσεως εὑρετής. Εἰ δὲ ἀλλαχοῦ φησιν ὁ Γεωγράφος ὅτι ἐνόπλιον ὄρχησιν Κουρὴς κατέδειξε πρῶτος, ὕστερον δὲ καὶ συνέταξεν, ἣν ἐκάλεσε πυρρίχην, ἔοικε τοῦ τοιούτου ἀνδρὸς κύριον μὲν εἶναι τὸ Πύρριχος, ἐθνικὸν δὲ τὸ Κουρής. Φησὶ γοῦν ἑτέρωθι ὅτι τὴν ἐνόπλιον ὄρχησιν, ἥτις ὑπὸ Κουρήτων κατεδείχθη, Πύρριχος συντάξας πυρρίχην ἀφ’ ἑαυτοῦ ἐκάλεσεν. Ὅτι δὲ οἱ Κρητικοὶ Κουρῆτες καὶ ὡς Διὸς κουροτρόφοι καὶ ὡς κόροι ἔσχον τὴν κλῆσιν, δηλοῖ ἡ ἱστορία εἰποῦσα· Κούρητες ἐν Κρήτῃ πρόπολοι Διός, νέοι τινὲς ἐνόπλιον κίνησιν μετ’ ὀρχήσεως ἀποδιδόντες, κόροι τινες ὄντες, ἢ ὡς κουροτροφοῦντες τὸν Δία. Ἐκεῖ εὑρέθη αὐλὸς καὶ τύμπανον, ὃ βυρσότονον κύκλωμα Εὐριπίδης καλεῖ. Λέγει δὲ ὁ Γεωγράφος καὶ ὅτι Τελχῖνες ἐννέα ἐν Ῥόδῳ τῇ Ῥέᾳ συνακολουθήσαντες εἰς Κρήτην καὶ Δία κουροτροφήσαντες Κουρῆτες ὠνομάσθησαν.

2.789 [Πολὺς δὲ ὁ περὶ Τελχίνων λόγος καὶ παρὰ πολλοῖς. Εἰσὶ γὰρ οἳ καὶ Κρῆτας αὐτούς φασι καὶ Θελγῖνας ὀνομάζουσι παρὰ τὸ θέλγειν καὶ γόητας εἶναί φασι καὶ φαρμακεῖς, καὶ δύο γένη αὐτῶν εἶναι, τὸ μὲν βάναυσον καὶ χειρωνακτικόν, τὸ δὲ λυμαντήριον τῶν καλῶν, ἤγουν τῶν εὐμόρφων. Καὶ οἱ μὲν θαλάσσης παῖδας αὐτοὺς εἶναι, οἱ δὲ ἐκ τῶν τοῦ Ἀκταίωνος κυνῶν μεταμορφωθῆναι εἰς ἀνθρώπους. τοῦτο δὲ διὰ τὸ ἀγρίως ἔχειν ὡς καὶ μυθεύεσθαι σκηπτοὺς ἀφιέναι καὶ ποτήριον δοκεῖν ἔχειν ἐν ᾧ ῥίζας κυκῶντες ἐφάρμασσον γοητευτικῶς. Ἀνατίθεται δὲ αὐτοῖς καὶ ἡ κατασκευὴ τῆς κατὰ τὸν Κρόνον ἅρπης, ᾗ τὸν πατέρα Οὐρανὸν εὐνούχισε. καὶ ἀγαλματοποιΐαν δὲ εὑρεῖν ἐδόκουν καὶ μέταλλα καὶ ἀμφίβιοι εἶναι καὶ ἔξαλλοι ταῖς μορφαῖς, ὡς ἐμφερεῖς τὰ μὲν δαίμοσι, τὰ δὲ ἀνθρώποις, τὰ δὲ ἰχθύσι, τὰ δὲ ὄφεσι. Μῦθος δὲ καὶ ἄχειρας

αὐτῶν ἐνίους εἶναι καὶ ἄποδας καὶ ἀνὰ μέσον τῶν δακτύλων δέρματα ἔχειν κατὰ χῆνας. Ἦσαν δέ, φασί, καὶ γλαυκωποὶ καὶ μελανόφρυες. Οἱ δὲ εἰπόντες τρεῖς αὐτοὺς εἶναι ὀνόματα κομίζουσιν αὐτοῖς Χρυσὸν καὶ Ἄργυρον καὶ Χαλκὸν ὁμωνύμως ὕλῃ ἣν ἕκαστος εὗρε. κατομβρηθέντες δέ, φασίν, ὑπὸ Διὸς ἢ τοξευθέντες ὑπὸ Ἀπόλλωνος ὤλοντο. Ἱστορεῖται δὲ καὶ ἡ Ῥόδος ἀπ' αὐτῶν Τελχινία καλεῖσθαι. Ἡ δὲ παροιμία τοὺς φθονεροὺς καὶ ψογεροὺς Τελχῖνας ὡς ἐκ τῶν εἰρημένων καλεῖ. Στησίχορος δέ, φασί, τὰς κῆρας καὶ τὰς σκοτώσεις Τελχῖνας προσηγόρευσε]. Καὶ ταῦτα μὲν οὐ μόνον περὶ Τελχίνων, ἀλλὰ καὶ Κουρήτων Κρητικῶν τε καὶ Αἰτωλικῶν. Ἐν οἷς ἰστέον καὶ ὡς οὐ μόνον Κουρητικῆς, ἀλλὰ πολλῶν ὀρχήσεων οὐσῶν, ὡς ἐν τοῖς ἑξῆς που ῥηθήσεται, καὶ Λακωνική τις ἦν εὐγενὴς ὄρχησις διποδία λεγομένη. καὶ ὅτι, ὥσπερ ἐν τοῖς δρομεῦσιν, οὕτω καὶ ἐν τῇ ὀρχήστρᾳ γραμμαί τινες ἐγίνοντο, ἵν' ὁ χορὸς ἵστηται κατὰ στίχον.

2.790 καὶ οὕτω μὲν ταῦτα. (v. 529) Αἰτωλοὺς δὲ τοὺς Καλυδωνίους Ὅμηρος λέγει τῷ ἐθνικῷ ὀνόματι ἐπὶ πολιτῶν χρησάμενος, καὶ τὸ μέρος ἐκ τοῦ ὅλου ὀνομάσας. ἄλλως γὰρ Αἰτωλοὶ καὶ οἱ Κουρῆτες, ὡς εἴρηται. Πλευρώνιοι γάρ. Ἰστέον δὲ ὡς ὁ ἐξ Αἰτωλίας οὐ μόνον Αἰτωλὸς ἀλλὰ καὶ Αἰτώλιος λέγεται, ὡς ἀλλαχοῦ φαίνεται. Μενεχάρμαι δὲ οὐ Κουρῆτες μόνοι, οὐδὲ μὴν μόνοι Αἰτωλοί, ἀλλ' ἀμφοῖν κοινὸν τὸ ἐπίθετον. Ἰστέον δὲ ὡς προϋποκειμένων χάρμης καὶ πτολέμου καὶ δηΐδος γίνεται ἀπ' αὐτῶν ὁ μενεχάρμης, ὁ μενεπτόλεμος, ὁ μενεδήϊος, οἱ αὐτοὶ ὄντες τῷ σταδαίῳ μαχητῇ, ᾧ ἐναντίος ὁ φύξηλις, ὃν καὶ τρεσᾶν εἴποι ἄν τις κωμικευόμενος. Ὁ δὲ μενεχάρμης εὑρίσκεται καὶ μενέχαρμος κατὰ τὸ πύλη εὐρύπυλος καὶ εὐρυπυλής, οὗ τὴν ὀξυτόνησιν δηλοῖ τὸ «εὐρυπυλὲς δῶ». (v. 530) Τὸ δὲ «καὶ ἀλλήλους» οἱ, ὡς ἐρρέθη, μαχόμενοι «ἐνάριζον», πρὸς διαστολὴν ἴσως ἑτεροίας μάχης κεῖται, ὁποῖόν τι καὶ τὸ λογομαχεῖν καὶ τὸ λίθοις ἐμάχοντο, μάλιστα δὲ πρὸς διαφορὰν τῶν ἠρέμα ἔτι μαχομένων, ὡς μὴ ἐνεργεῖν κατ' ἀλλήλων, ἢ καὶ τῶν ἤδη νενικηκότων, ὅτε θατέρου μέρους ὑπερσχόντος, οὐκέτι ἔστιν ἀλλήλους ἐναρίζειν. (v. 530) Καλυδὼν δὲ ἀπὸ Καλυδῶνός φασιν, υἱοῦ Ἐνδυμίωνος ἢ παιδὸς Αἰτωλοῦ, ἐξ οὗ ἡ Αἰτωλία. (v. 531) Ἐρατεινὴν δὲ καὶ ἐν συγκοπῇ ἐραννὴν τὴν τοιαύτην Καλυδῶνα λέγει, ὥς που καὶ τὴν Λακεδαίμονα, διὰ τό, ὡς εἰκός, εὔχαρι τῆς χώρας καὶ ἐπέραστον. (v.

2.791 532) Τὸ δὲ «διαπραθέειν Ἄρηϊ» πρὸς διαφορὰν εἴρηται πορθήσεως ἑτεροίας, τῆς διὰ δόλου δηλαδή. (v. 533) Χρυσόθρονος δὲ Ἄρτεμις, ὡς ἐάν τις εἴποι λαμπρόθρονος. ἡ αὐτὴ γάρ ἐστι τῇ σελήνῃ. οὕτω δέ που καὶ Ἥρη χρυσόθρονος, ὁ προσκυρῶν τῷ αἰθέρι ἀήρ. (v. 534) Θαλύσια δὲ αἱ ἀπαρχαί, ὡς πρὸ ὀλίγων εἴρηται, ἤγουν αἱ μετὰ συλλογὴν τῶν καρπῶν διδόμεναι θεῷ ὑπὲρ τοῦ καὶ εἰς ἔπειτα θάλλειν τὰς ἀρούρας. Τινὲς δὲ τῶν ῥητόρων καὶ συγκομιστήρια ταῦτα καλοῦσιν. ἅπαξ δ' ἐνταῦθα κεῖται παρ' Ὁμήρῳ ἡ λέξις. Γίνεται δὲ ἀπὸ τοῦ θάλλω θαλύω θαλύσω, ἐξ οὗ καὶ Θαλύσιος κύριον ὄνομα, ὡς δηλοῖ τὸ «Θαλυσιάδην Ἐχέπωλον». [Ἔτι δὲ καὶ θαλύσιος ἄρτος ὁ ἐκ τῆς τῶν καρπῶν, φασί, συγκομιδῆς πρῶτος γινόμενος]. Ἰστέον δὲ ὅτι ἐπὶ συγκομιδῇ καρπῶν, ἐφ' ᾗ καὶ τὰ θαλύσια ἐθύετο, ἑορτὴ ἤγετο Δήμητρος καὶ Διονύσου κατὰ Παυσανίαν, ἁλῷα καλουμένη διὰ τὸ ταῖς ἀπαρχαῖς, καὶ μάλιστα ἐν Ἀθήναις, ἀπὸ τῆς ἅλω τότε καταχρᾶσθαι φέροντας εἰς Ἐλευσῖνα, ἢ ἐπεί, καθὰ καὶ Ὅμηρος ἐμφαίνει, ἐν ἅλωσιν ἔπαιζον κατὰ τὴν ἑορτήν, ἐν ᾗ καὶ Ποσειδῶνος ἦν πομπή. Ἀπὸ τοῦ συναλίζεσθαι δὲ εἴρηται ἡ εἰρημένη ἁλώα, ὅθεν καὶ ἅλως. Γουνὸς δὲ ἀλωῆς ὁ γονός, ὅ ἐστι γόνιμος τόπος, καθὰ δηλοῖ καὶ ἡ Ὀδύσσεια. Ἀλωὴ δὲ οὐ μόνον ἡ σιτοφόρος καὶ ἀμπελόφυτος, ὡς δηλοῖ καὶ τὸ «ἔθων Οἰνῆος ἀλωήν». —Τί γὰρ μέγα, εἰ τοιαύτας ἔβλαπτεν ἀλωὰς ὁ σῦς; —ἀλλά που καὶ ἡ δενδροφόρος.

2.792 (v. 541) Διό φησι «πολλὰ δὲ δένδρεα ἔβαλε χαμαί». Ἔνθα καὶ ὅρα τὸ δένδρεα, ἢ ἀπὸ εὐθείας τῆς τὸ δένδρος, ἐξ οὗ καὶ τὸ δένδρεσιν, ἢ ἀπὸ τοῦ τὸ δένδρεον, ἐξ οὗ τὸ «δενδρέῳ ἐφεζόμενοι». (v. 535) Ὁ δὲ Οἰνεὺς ἔοικε τοὔνομα σχεῖν παρὰ τὸ κατ' αὐτὸν ἐρύθημα ὡς ἐξ ἀντιστροφῆς τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«οἶνος ἐρυθρός». Εἰ γὰρ εὐστόχως τοῦτο ἔχον ἐστίν, εἴη ἂν καὶ ὁ ἐνερευθὴς ἀνὴρ καί, ὡς εἰπεῖν, ἐρυθρός, οἰνωπός. ὁποῖός τις ἴσως καὶ ὁ τῆς ἱστορίας Οἰνοπίων, ὄψιν δοκῶν ἔχειν οἴνου, εἰ μὴ ἄρα διὰ τὸ οἶνον ὀπιπεύειν ἐκεῖνος Οἰνοπίων ἐκλήθη, καθὰ καὶ Οἰνόμαος διὰ τὸ οἴνου ζητητικὸς εἶναι. Διὸ καὶ εἰς σκῶμμα τὸ τοιοῦτον κύριον ὄνομα ὁ ῥήτωρ ἔθετο. Ἡ δὲ τοιαύτη κατ' οἶνον ἔννοια περὶ τοῦ ἥρωος Οἰνέως ἔφηνε καὶ λόγον ἀστεῖον ἐπὶ καπήλῳ οἶνον ταράττοντι, ὡς καὶ τὸν τρυγίαν συναπεμπολᾶν. ἤκουσε γάρ ποθεν εὐτραπέλως τὸ «μὴ ποίει τὸν Οἰνέα Πηλέα», τουτέστι μὴ τὸν τρυγίαν κυκῶν καὶ τῷ κρητῆρι παραμιγνὺς μετάβαλλε τὸν οἶνον ὡς εἰς πηλόν, ᾧ δοκεῖ παρωνομάσθαι παιγνημόνως ὁ Πηλεύς. (v. 536 et 538) Τὸ δὲ «Διὸς κούρη» καὶ τὸ «δῖον», ἤτοι δίϊον «γένος», τῆς αὐτῆς, ὡς καὶ πρὸ βραχέων ἐδηλώθη, σημασίας εἰσί. (v. 537) Τὸ δὲ «ἢ λάθετο ἢ οὐκ ἐνόησεν» οἱ μὲν οὕτω φασίν· ἢ ἑκὼν ἠμέλησεν ἢ οὐδ' ὅλως ἔγνω θεὸν εἶναι τὴν Ἄρτεμιν. διὸ καὶ ἐβλάβη. Οἱ δέ, ὅτι ἢ ἐνθυμηθεὶς τὴν Ἄρτεμιν αὖθις ἐξελάθετο ἢ οὐδ' ὅλως ἐπὶ νοῦν αὐτὴν ἔλαβε.

2.793 Χολοποιὰ δὲ πάντως τοῖς ἐν ὑπεροχῇ, ὥσπερ τὸ μηδ' ὅλως γινώσκεσθαι, οὕτω καὶ τὸ γινωσκομένους μὴ ἐν μνήμῃ κεῖσθαι. [Ἰστέον δὲ ὅτι ἐν τῷ «ἢ οὐκ ἐνόησε» τὸ η καὶ τὸ ου ἀντὶ μιᾶς λογίζονται μακρᾶς, ὡς καὶ ἐν τῷ «ἢ οὐχ' ἅλις», καὶ ὅτι ἐκεῖνο μὲν προκέφαλον ἐποίει στίχον, τοῦτο δὲ προκοίλιον.] Τὸ δὲ «ἀάσατο μέγα θυμῷ» βλαψίφρονα, εἴτ' οὖν φρενοβλαβῆ, τὸν Οἰνέα δηλοῖ, ἐπεὶ καὶ ταὐτὸν ἆσαι καὶ βλάψαι εἰπεῖν καὶ θυμὸν καὶ φρένας. Ἰοχέαιρα δὲ ὅτι ἡ, ὡς καὶ πρὸ ὀλίγων ἐρρέθη, χέουσα ἰοὺς ἢ χαίρουσα ἰοῖς ὡς τοξική, πολλαχοῦ φαίνεται. (v. 539) Τὸ δὲ «ὦρσε» καὶ ἑξῆς εὕρηται παρὰ τῷ Γεωγράφῳ «θρέψεν ἐπὶ χλούνην σῦν». Παρ' ᾧ καὶ στίχος εὕρηται οὗτος ἐπηγμένος «οὐδὲ ἐῴκει θηρί γε σιτοφάγῳ ἀλλὰ ῥίῳ ὑλήεντι». Καὶ σημείωσαι καὶ τοῦτο εἰς τὸ περὶ στίχων λειπόντων ἐκ τοῦ Ὁμήρου. Χλούνης δὲ ὁ ἐν χλόῃ εὐναζόμενος καὶ ἄνετος καὶ διὰ τοῦτο κατὰ τὸν ποιητὴν ἄγριος, ἵνα ᾖ ἐν ἁπλότητι χλόευνος. Διὸ καὶ ἡ πληθυντικὴ γενικὴ τοῦ χλούνης οὐ χλουνῶν περισπωμένως κατὰ ἀναλογίαν τῶν εἰς ης , ἀλλὰ βαρυτόνως κατὰ ἀκολουθίαν τοῦ χλόευνος.

2.794 Κατὰ δέ τινας χλούνης ὁ ἀφριστὴς ἢ εὐμεγέθης, μάλιστα δὲ ὁ ἐντομίας. Γίνονται γὰρ τοιοῦτοι οὐ μόνον αἶγες ἄγριοι, ὡς προεδηλώθη, ἀλλὰ καὶ σύες, τῇ προστρίψει ἀπὸ τοῦ προσκνᾶσθαι δένδροις ἢ πέτραις διά τι πάθος, ὡς πολλοῖς δοκεῖ. Διὸ καὶ εἴ τίς που ὑπερέχειν δοκοῦσα γυνὴ βλάψει τινὰ διά τινος τῶν ἐπιτρίπτων εὐνούχων, οἰκείως ἂν ἐρεῖ ὁ βλαβεὶς τὸ «ἣ δὲ χολωσαμένη δῖον γένος ὦρσεν ἐπὶ χλούνην σῦν ἄγριον, ὃς πολλὰ κακὰ ἐποίει». Ὅτι δὲ καὶ ἐντομίαν ὁ χλούνης δηλοῖ, οὐ μόνον Αἰσχύλος δίδωσι χρῆσιν, ἀλλὰ καὶ Αἰλιανὸς μάλιστα ἐν τοῖς Περὶ προνοίας, χλούνην λέγων τὸν ἀπόκοπον. Καὶ Ἀριστοτέλης δὲ κατὰ τὸν Γεωγράφον χλούνην σῦν τὸν τομίαν νοεῖ, δεχόμενος τὸ «θρέψεν ἐπὶ χλούνην σῦν ἄγριον» καὶ τὸν ἑξῆς γραφέντα στίχον πρὸς πίστωσιν τοῦ ὅτι τῶν ἀρρένων καὶ ἀγρίων οἱ τομίαι μείζους γίνονται καὶ χαλεπώτεροι. Γίνονται δέ, φησί, τομίαι ἀπὸ κνησμοῦ ἐμπίπτοντος τοῖς ὄρχεσι νοσηματικῶς, ὅθεν προσξυόμενοι τοῖς δένδροις ἐκθλίβουσι τοὺς ὄρχεις. [Ἀριστοφάνης δὲ ὁ γραμματικὸς ἐν τῷ Περὶ ὀνομασίας ἡλικιῶν δοκεῖ μὴ ἀρέσκεσθαι χλούνην τὸν ἐκτομίαν εἶναι. Φησὶ γάρ· καλοῦνται τῶν ὑῶν τινες μονιοί. τάχα δ' ἂν παραπλήσιος εἴη τούτοις καὶ ὁ χλούνης κατά τε χαλεπότητα καὶ ἀλκήν, οἱ δὲ ἐκτομίαν λέγοντες τελείως ἀπήρτηνται, φησί, τοῦ ὑποκειμένου. Καὶ οὕτω μὲν αὐτὸς οὐ σταθερὰ λέγων οὐδὲ ἀνενδοίαστα]. Ἰστέον δὲ ὅτι οὐ μόνον χλόη, ἡ γῆθεν φυομένη, ἀφ' ἧς εἴρηται ὁ χλούνης, ἀλλὰ καὶ ἡ Δημήτηρ ἐπιθετικῶς. Χλόης γάρ, φασί, Δήμητρος ἱερὸν περί που τὴν Ἀττικήν. Ὅτι δὲ ἡ χλόη καὶ χιλὸς ἐλέγετο, δηλοῖ Αἴλιος Διονύσιος, εἰπών· «χιλός· πόα, χόρτος». Παρ' αὐτῷ δὲ καὶ διὰ διφθόγγου γράφεται ὁ τοιοῦτος χιλός, ὡς ἡ αὐτοῦ στοιχειακὴ ἀκολουθία βούλεται.

2.795 Δηλοῖ δὲ τοιαύτην χιλοῦ ἔννοιαν καὶ τὸ ἐκχιλοῦσθαι. Φησὶ γοῦν Παυσανίας ὅτι ἐκκεχιλωμένη, ἐψευσμένη, ἐξημελημένη, κεχερσωμένη. ἐπεὶ ὁ χιλός, φησίν, ἐν χέρσῳ φύεται. τοῦτο δέ ἐστι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χόρτος. Εἰ δὲ ἡ χλόη Δημήτηρ καὶ ξανθὴ λέγεται, ἀλλ’ ἐκεῖνο μὲν διὰ τὸ κατ’ ἀρχὰς χλοερὸν τῶν ἀναφυομένων, τοῦτο δὲ ἀπὸ τοῦ τὸν σῖτον ξηραινόμενον ὑπόπυρρον, φασί, γίνεσθαι. Ἰστέον δὲ καὶ ὅτι οὕτω πολὺς περὶ τοῦ Καλυδωνίου τούτου συὸς λόγος παρὰ τοῖς παλαιοῖς, ὡς καὶ γένος αὐτοῦ φυλοκρινεῖν καὶ κατάγειν αὐτὸν Κρομυωνίας συὸς καὶ πατρίδα τὴν Οἴτην αὐτῷ ἐπιγράφειν καὶ χρῶμα διαγράφειν. λευκὴν γὰρ αὐτῷ τὴν χρόαν ἱστόρησαν. Ὡς δὲ καὶ ἄλλοι σύες πράγματά τισι παρέσχον, δηλοῖ καὶ ὁ Ἐρυμάνθιος κάπρος καὶ τὸ παρὰ Ἡροδότῳ συὸς μέγα χρῆμα, κατ’ ἐκεῖνον εἰπεῖν, ἐν τῷ Μυσίῳ Ὀλύμπῳ. Τὸ δὲ σῦν ἄγριον καὶ σῦς ἄγριος συντιθέντες οἱ μεθ’ Ὅμηρον σύαγρόν φασιν. [Ἰστέον δὲ ὡς οὐ μόνον ἀγρίους αἱ ἱστορίαι σύας μεγάλους φυλοκρινοῦσιν, ὧν εἰσι καὶ ἡ Κρομυωνία σῦς καὶ ὁ Καλυδώνιος κάπρος καὶ ὁ Ἐρυμάνθιος καὶ ὁ Ὀλυμπηνός, ἀλλὰ καὶ ἡμέρους οὔτε βλάπτοντας καὶ πολλοῦ δὲ τιμωμένους. Πτολεμαῖος γοῦν, φασίν, ὁ Αἰγύπτιος βασιλεὺς γράφει, ὡς εἰς Ἄσσον ἐπιδημήσαντί μοι παρέστησαν οἱ Ἄσσιοι χοῖρον ἔχοντα τὸ μὲν ὕψος δύο ἡμίσεων πήχεων, ὅλον ἄρτιον, φησί, πρὸς τὸ μῆκος, τῇ χροιᾷ χιόνινον. Καὶ λέγεται ὁ βασιλεὺς Εὐμενὴς τὰ τοιαῦτα ἐπιμελῶς ἐκ τῆς Ἄσσου ὠνεῖσθαι, διδοὺς τοῦ ἑνὸς δραχμὰς τετρακισχιλίας. Ἡ δὲ τοῦ Διὸς ὗς ἀλλοίως ἔχει παρὰ τὰ τῶν ἱστοριῶν τούτων καὶ τῶν τοιούτων. Τερατεύεται γὰρ εἰς ὅμοιόν τι πρὸς τὴν αἶγα τὴν θρεψαμένην τὸν Δία, ὡς δηλοῖ ὁ γράψας, ὅτι Διὸς ἐν Κρήτῃ τεκνουμένου θηλὴν αὐτῷ ὑπέσχεν ὗς καὶ τῷ σφετέρῳ γρυσμῷ περιοιχνεῦσα τὸν κνυζηθμὸν τοῦ βρέφεος ἀνεπάϊστον, ἤγουν ἄγνωστον, τοῖς παριοῦσιν ἐτίθει. Ἐν τούτοις δὲ ὅρα ὅτι τε παρώνυμόν ἐστι τοῦ γρύζειν ὁ γρυσμὸς ἐπὶ τελείου συός, ὡς τοῦ γρυλλίζειν ὁ γρυλλισμός, καὶ ὅτι κνυζηθμὸς οὐ μόνον ἐπὶ κυνός, ὡς ἐν Ὀδυσσείᾳ, ἀλλ’ ἰδοὺ καὶ βρέφους κλαίοντος.

2.796 καὶ ὅτι, καθὰ Κουρῆτες τὸν Δία λέγονται κλαίοντα κρύπτειν ἁρμάτων ἤχοις ὡς μὴ ἐξακούεσθαι, οὕτω καὶ σῦς γρύζουσα τραχύ, οὐ μήν, ὡς ἡ Ὀδύσσεια φράζει, κλάζουσα. Ἑτεροῖον γάρ τι τοῦ γρύζειν ἐκεῖνο τὸ κλάζειν]. Ὁ δὲ ἀργιόδους οὐκ ἂν εἴη μακρὰν τῆς ἐννοίας, καθ’ ἣν ὁ πόδας ἀργός, ἤτοι λευκός, εἴρηται. Δόξειε δ’ ἂν ἐπίτηδες διά τι κάλλος παρατεθεῖσθαι τῷ ἀγρίῳ ὁ ἀργιόδους. Ὡς γὰρ ὁ μῦθος ἔχει καὶ ὁ θυμὸς κατὰ ἀναγραμματισμόν, οὕτω πως καὶ ὁ ἄγριος καὶ ὁ ἀργιόδους. [Διὸ καὶ φυσικῶς ἐγκεῖσθαι δόξει τὸ ι τῷ ἀργιόδοντι ὡς ἀπὸ τοῦ ἄγριος. Ἄλλως μέντοι κοινότερον ὡς ἐκ τοῦ δρόμος δρομιχαίτης ἵππος τροπῇ τοῦ ο εἰς ι , οὕτω καὶ σῦς ἀργιόδους ὁ τοὺς ὀδόντας λευκός]. (v. 540) Τὸ δὲ «κακὰ πολλὰ ἔρδεσκεν» ὑποκαταβὰς εὐθὺς ἑρμηνεύσει ὁ ποιητής. Τὸ δὲ ἔρδειν ὡς ἀπὸ τοῦ ῥέζειν γίνεται, ὅ ἐστι πράττειν, κατὰ μετάθεσιν καὶ τροπὴν συνήθη τοῦ ζ εἰς δ , δῆλόν ἐστιν. Ἔνθα ὅρα καὶ ὡς, εἰ μὴ τὸ πράττειν παρὰ τοῖς ὕστερον ἀλόγοις ἐπιλαλεῖται, ἀλλ’ οὖν τὸ ἔρδειν ἐπὶ ἀλόγων κεῖται παρὰ τῷ ποιητῇ. Τὸ δὲ «ἔθων Οἰνῆος ἀλωήν» ἀντὶ τοῦ ἐξ ἔθους βλάπτων τὰ περὶ Καλυδῶνα. διὸ καὶ Καλυδώνιος ἐλέγετο. Ἢ μᾶλλον καθ’ ὑπερβατόν· πολλὰ κακὰ ἐποίει τὴν τοῦ Οἰνέως ἀλωήν, ἔθων, ἤτοι τὰ ἑαυτῷ συνήθη τελῶν, καθὰ καὶ ἀλλαχοῦ ἀπολύτως φησὶ «παῖδες ἐριδμαίνουσιν ἔθοντες», ἤγουν τὰ συνήθη πράττοντες.

2.797 Ἐκ δὲ τοῦ τοιούτου ἔθω παράγωγον τὸ ἐθείρω καὶ ἡ ἔθειρα καὶ ἐθειράζειν τὸ ἐπιμελεῖσθαι τριχῶν. Ἀπ’ αὐτοῦ δὲ καὶ τὸ ἐσθίειν καὶ τὸ ἔσθειν προσλήψει τοῦ ς . Ἡρακλείδης δέ φησιν, ὡς τῶν τινες κριτικῶν, ὅ ἐστιν ἀκριβεστέρων γραμματικῶν, ὧν ἐστι καὶ Τισίας, ὑπερβατὸν ἔλεγον εἶναι τὸ ἔθων, ἵνα ᾖ ἀντὶ τοῦ καταθέων, κατατρέχων, —ῥητορικῶς εἰπεῖν, ὑπερβατὸν λέγοντες ἐκεῖνοι τὴν τῶν στοιχείων μετάθεσιν, δι’ ἧς τὸ θέων ἔθων γίνεται, ὃ καὶ σημείωσαι. —Αὐτὸς δὲ ἐκ τοῦ ἔδω φησὶ γενέσθαι κατὰ Δωριεῖς τὸ ἔθω, οἳ καὶ τὸν μαδόν, ὡς καὶ ἐν τῇ δ’ ῥαψῳδίᾳ προδεδήλωται, μασθὸν λέγουσι καὶ τὸ ψεῦδος ψύθος. Τὸ δὲ ἔθω πρωτότυπον ὁ αὐτὸς εἶναι λέγει τοῦ ἔσθω τοῦ, ὥς φησιν, ἡμαρτημένου. ἐχρῆν γὰρ ὡς ἔχω ἴσχω, ἕπω ἴσπω καὶ ἐνίσπω, οὕτως εἶναι καὶ ἔθω ἴσθω, Σικελικῶς, κατὰ τὸ ἕζω ἵζω καὶ καθίζω, περὶ ὧν καὶ αὐτῶν προείρηται. [Χρῆσις δὲ τοῦ ἔθω καὶ παρὰ τῷ εἰπόντι, ὡς πίνουσι μόνον βατράχων τρόπον

οὐδὲν ἔθοντες. Ὅπερ ἔθειν, εἰ μὲν ἀπὸ τοῦ ἔδω γίνεται, ἀναλόγως ἔχει τῷ μήδω μήθω, οὐδείς οὐθείς, οὐδενῶ οὐθενῶ, καὶ τοῖς ὁμοίοις.

2.798 Εἰ δὲ ἀπὸ τοῦ ἕω, τὸ πληρῶ, ἀφ' οὗ καὶ τὸ «ἐξ ἔρον ἕντο», ἵνα ᾖ ἕω μετὰ δασείας καὶ πλεονασμῷ τοῦ θ ἕθω ψιλῶς κατὰ κανόνα, ἔχοι ἂν ἀναλογίαν πρὸς τὸ τελέω τελέθω καὶ τὰ τοιαῦτα. Γίνεται δὲ ἀπὸ μὲν τοῦ ἔθω προτένθης, ὁ προγεύστης, οὐ μόνον ὁ βασιλικός, ἀλλὰ καὶ ὁ κατὰ λιχνείαν, ἀπὸ δὲ τοῦ ἔδειν τὸ τένδειν παρ' Ἡσιόδῳ πλεονασμῷ τοῦ τ καὶ τοῦ ν , ἔτι δὲ καὶ ὁ ἐδέατρος, δηλῶν καὶ αὐτὸς προγεύστην. Ὁ μέντοι διὰ τοῦ λ , φασίν, ἐλέατρος ὡς ἀπὸ ἐλεοῦ, ἤγουν μαγειρικῆς τραπέζης, οὐκ αὐτόχρημα ἦν ἐδέατρος—Περὶ οὗ φησι Ξενοφῶν, ὡς οἱ τύραννοι ἀντὶ τοῦ θεοῖς ἀπάρχεσθαι τοῦ πότου τῷ διακόνῳ πρῶτον κελεύουσιν ἀπογεύεσθαι διὰ τὸ ἀπιστεῖν. —, ἀλλὰ δειπνοκλήτωρ ἦν βασιλικός, ἤγουν καλῶν ἐπὶ τὴν βασιλικὴν τράπεζαν. Ἐλεοδύται δέ γε οἱ διακονοῦντες ἐν θοίναις, οἷον μάγειροι καὶ τραπεζοποιοί, παρὰ τὸν ἐλεὸν καὶ αὐτοί. Ἐπὶ τούτοις ἰστέον καὶ ὡς διαφέρειν λέγεται τὸ ἔθειν τοῦ ἔδειν ὡς τὸ κατεσθίειν τοῦ ἐσθίειν]. (v. 541) Προθέλυμνα δὲ νῦν μὲν τὰ πρόρριζα καὶ ἐξ αὐτῆς θέσεως ἀνασπώμενα καί, ὡς εἰπεῖν, ἐκ θεμέθλων. Διὸ καὶ Ὅμηρος εἰπὼν προθέλυμνα ἐπάγει αὐταῖς ῥίζαις Ἀττικῶς ἀντὶ τοῦ σὺν αὐταῖς ταῖς ῥίζαις.

2.799 Δηλοῖ δέ ποτε ἡ λέξις καὶ τὸ συνεχὲς καὶ ἄλλο ἐπ' ἄλλῳ τιθέμενον ἢ ἁπλῶς τὸ πυκνόν, ὡς τὸ «τρίχας προθελύμνους», καὶ ὡς ὅτε σάκος εἴπῃ προθέλυμνον, οὗ αἱ τῶν βυρσῶν θέσεις πυκναί, καὶ τετραθέλυμνον δὲ τὸ τετράθετον. (v. 542) Μῆλα δὲ ἀκρόδρυα λέγει ἐκ μέρους, ἤτοι ἐξ ἑνὸς καρποῦ, τοῦ μήλου τοῦ καλοῦ καὶ κατὰ τὸν ποιητὴν ἀγλαοῦ, καθὰ καὶ ἀκρόδρυα καὶ δρύκαρπα ἐξ ἑνὸς δένδρου τῆς παλαιγόνου τροφοφόρου δρυός. Ἐκ δὲ τοῦ τοιούτου μήλου κατὰ τοὺς παλαιοὺς καὶ ἡ μέλισσα ὡς μήλοις ἐφιζάνουσα καὶ τὸ χρήσιμον ἐκ τῶν καρπῶν ἀπανθίζουσα, παρὰ τὸ μῆλον δηλαδὴ καὶ τὸ ἵζω τὸ κάθημαι, τοῦ η συσταλέντος εἰς ε . [Ἴσως δὲ καὶ ὥσπερ μῆλα πάντα τὰ θρέμματα ὡς ἀπὸ ἑνὸς εἴδους τοῦ τῶν προβάτων κατά τι ἔκκριτον, οὕτω καὶ τὰ ἀκρόδρυα μῆλα ἐνταῦθα ὡς ἐκ τῆς τῶν μήλων ὀπώρας διὰ τὸ κατὰ ἀγλαΐαν ἐξαίρετον]. Μέγα δὲ πάντως κακὸν εἰ δένδρα οὐχ' ἁπλῶς ἀλλὰ καὶ καρποῖς βρύοντα κατέρριπτεν ὁ σῦς. (v. 543) Τὸ δὲ Μελέαγρος κυνηγετικὸν ὄνομα, ᾧ δηλαδὴ μέλει ἄγρας, ὁποῖος φαίνεται καὶ ὁ τοῦ Οἰνέως. (v. 545 s.) Τὸ δὲ «πολλῶν ἐκ πολίων θηρήτορας ἄνδρας ἀγείρειν» καὶ τὰ ἑξῆς τὴν βίαν ἐμφαίνει τοῦ συός, αὖξον τοῦ θηρίου τὴν ἰσχύν. Τοῦ δὲ «θηρήτορας» ἐστὶ καὶ ἑτέρα κλίσις ἐκ τοῦ θηρητήρ, ὧν πρὸς ὁμοιότητα καὶ ὁ ῥητήρ ῥήτωρ παρὰ τοῖς μεθ' Ὅμηρον, ὧν οὐκ ἀπέοικεν οὐδὲ τὸ βοτήρ καὶ βώτωρ καὶ δοτήρ καὶ δώτωρ. (v. 545) Τὸ δὲ «οὐ μὲν γάρ κε δάμη παύροισι βροτοῖσι» καὶ ἀριστεῖ ἀνδρὶ τεθνεῶτι οἰκεῖόν ἐστι. (v. 546) Τὸ δὲ «τόσσος ἔην» ἀντὶ τοῦ τηλικοῦτος, ὃ καὶ ἐπὶ Ἀχιλλέως εἶπεν ὁ Φοῖνιξ. Τὸ δὲ «πολλοὺς πυρῆς ἐπέβησεν ἀλεγεινῆς» περιφραστικῶς ἀντὶ τοῦ πολλοὺς ἐθανάτωσε τοὺς καὶ καυθέντας, ὧν εἷς καὶ ὁ παρὰ τῷ Λυκόφρονι Ἀγκαῖος, ὃς ἀμπελῶνα κατὰ πολλὴν σπουδὴν φυτεύσας καὶ ἀκούσας ποθέν, ὡς οὐκ ἂν ἴσως τοῦ ἐκεῖθεν οἴνου πίοι, καὶ ψευδῆ τὸν λόγον εὐχόμενος ἐλεγχθῆναι ἦλθεν εἰς τοῦτο καιροῦ, ὡς τελεσφορηθῆναι καρπὸν ἐκεῖθεν καὶ οἶνον ἐκθλιβῆναι, οὗ ὡς ἔμελλεν ὁ Ἀγκαῖος πιεῖν, ἤλεγχε τὸν φοιβάσαντα.

2.800 Ὁ δὲ εἰπὼν τὸ παροιμιαζόμενον, ὡς πολλὰ μεταξὺ χείλους καὶ ποτηρίου, τέως μὲν ἔδοξε γελοῖος, ἐν ἀκαρεῖ δὲ κατεφάνη σπουδαῖος. Ἀκούσας γὰρ ὁ Ἀγκαῖος εὐθὺς τὴν περὶ τοῦ συὸς βοὴν ῥίπτει μὲν τὴν τοῦ οἴνου κύλικα, ἐκδραμὼν δὲ σπᾷ τὴν τοῦ θανάτου, πεσὼν ὑπὸ τῷ συΐ. Λέγεται δέ, ὡς προγέγραπται, καὶ ὁ Θερσίτης ἐκ τοῦ κατὰ τὴν τοιαύτην θηρατικὴν κινδύνου μεταποιηθῆναι τῆς κατὰ φύσιν πλάσεως. Τοῦ δὲ «πυρῆς ἐπέβησεν» ὁμοιότης καὶ ἐν τῷ ἀοιδῆς ἐπέβησαν, ἤγουν ᾄδειν ἐδίδαξαν, μάλιστα δὲ ἐν τῷ «δόξης οὔ ποτε τῆσδ' ἐπιβάντες», ἀντὶ τοῦ οὔποτε τοῦτο δοξάσαντες. Πολλὰ δὲ καὶ ἕτερα τοιαῦτα, ὧν καὶ τὸ «κακῶν ἐπιβασκέμεν». (v. 544 s.) Ὅρα δὲ ἐν τῷ «πολλῶν ἐκ πολίων θηρήτορας ἄνδρας ἀγείρας καὶ κύνας» καὶ τὴν τῶν

παρίσων ἐπιστοίβασιν, ἤγουν τὴν εἰς ας ὁμοιοκαταληξίαν καὶ τὴν εἰς ων , καλλωπισθέντος ἐνταῦθα τοῦ λόγου καὶ βραχύ τι γαληνιάσαντος διὰ τὴν τῆς κατὰ λόγον ὕλης τοῦ κυνηγεσίου δηλαδὴ γλυκύτητα καὶ τοῦ ῥήτορος συνεξαλλομένου οἷον τῷ πράγματι καὶ οὕτως ἀνιστῶντος τὴν τοῦ διηγήματος ὑπτιότητα. (v. 547) Τοῦ δὲ «ἀμφ' αὐτῷ ἔθηκε κέλαδον» ἀντὶ τοῦ ἐπὶ τῷ νεκρῷ τοῦ συός, ὡς καὶ ἐν τῷ «αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν» αὐτοὺς εἶπε τοὺς τῶν ἡρώων νεκρούς. Ἢ καὶ ἑτέρως φράσαι, ὥσπερ ἐκεῖ αὐτοὺς ἔφη τὸ ἐναπομεῖναν ἐκ τῆς πρώην ὁλότητος, οὕτω καὶ νῦν αὐτὸν λέγει τὸ μετὰ τὴν νέκρωσιν τοῦ συὸς καὶ τὴν ἀπουσίαν τοῦ ζωτικοῦ λειφθέν. Οὕτω δὲ καὶ πρὸ ὀλίγων ἔφη, ὡς ἀπειλεῖται ὁ Ἕκτωρ νηῶν μὲν κόρυμβα ἀποκόψειν, αὐτὰς δὲ καύσειν, ἤγουν τὰ μετὰ τὴν κοπὴν ἐναπομείναντα. Ἢ καὶ ἄλλως, αὐτὸν λέγει ἀντὶ τοῦ τὰ μέρη τοῦ συός, ὀνομάζων αὐτὰ τῷ τοῦ ὅλου ὀνόματι. (v. 548) Διὸ καὶ ἐπάγει ὡς οἷον ἐφερμηνευτικῶς τὸ «ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι λαχνήεντι». ἐξεδάρη γάρ. Ἔτι δὲ καί, ἵνα μή τις νοήσῃ τὸ ἀμφ' αὐτῷ ἐπὶ Οἰνέως ἢ Μελεάγρου, ἐπήγαγεν ἀναγκαίως τὸ «ἀμφὶ συὸς κεφαλῇ» καὶ ἑξῆς.

2.801 Ἐν οἷς ὅρα ὅτι τε δοτικῇ συνετάγη συνήθως ἡ ἀμφι πρόθεσις καὶ ὅτι λάχνην λέγει καὶ τὴν τοῦ συὸς τρίχωσιν, ἀφ' ἧς τὸ λαχνῆεν, λεγομένην καὶ ἐπὶ ἀνθρώπων, ὡς δηλοῖ τὸ «ψεδνὴ δ' ἐπενήνοθε λάχνη», καὶ ἐπί τινων δὲ ἀλόγων ζῴων, οἷον ἄρκτων καὶ ἀλωπέκων καὶ ἑτέρων τοιούτων, καὶ μὴν καὶ ἐπὶ δονάκων, ὡς δῆλον ἐκ τοῦ «λαχνήεντ' ὄροφον», ἤδη δὲ καὶ ἐπὶ καλάμων δι' ὁμοιότητα. Λαχνῆεν δὲ δέρμα τὸ ἔτι ἀκατέργαστον καὶ μήπω ψιλωθὲν ἢ χρόνῳ ἢ τέχνῃ. (v. 547) Ἀπὸ δὲ τοῦ ἐνταῦθα κελάδου καὶ ἡ Ἄρτεμίς που κελαδεινὴ λέγεται ὡς αἰτία τοῦ ἐν κυνηγεσίοις κελάδου. Ἧς καὶ ὅρα τὸ μεγαλόθυμον, εἰ καὶ τοῦ συὸς ἀναιρεθέντος ἔτι τὴν κακὴν ἔριν τοῖς ἀνδράσι παραμένειν ἐποίει διὰ τὰ ἐκείνου μέρη. Ἱστορεῖται γὰρ ὡς ἀναιρεθέντος τοῦ Καλυδωνίου συάγρου, ὅπερ ἐκ τοῦ σῦς ἄγριος Ὁμηρικοῦ, ὡς ἐρρέθη, σύγκειται, περὶ τῆς ἐκείνου κεφαλῆς καὶ τοῦ δέρματος ὡς περὶ ἀριστείων ἐφιλονείκουν Κουρῆτες καὶ Καλυδώνιοι οἱ συνθηράσαντες, ὅτε καὶ οἱ Θεστιάδαι ἀνηρέθησαν, οἱ τοῦ Μελεάγρου θεῖοι. [Ὅτι δὲ τὸ κυνηγετεῖν σπουδαιότατον ἦν καὶ τοῖς παλαιοῖς, καὶ ὅτι καὶ γέρας εἶχέ τι ὁ περὶ αὐτὸ εὐδοκιμῶν, καὶ ὅτι ἀσχέδωρος ἐκαλεῖτο κατὰ γλῶσσαν ὁ ἄγριος σῦς, καὶ ὅτι ὁμώνυμος φωνὴ ὁ σύαγρος, καὶ πῶς ἐτυμολογεῖται ὁ σῦς, ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δεδήλωται, ὅπου ὁ Ὀδυσσεὺς ἐγνωρίσθη ἐκ τῆς οὐλῆς].

2.802 Ἰστέον δὲ ὡς οἱ νεώτεροί φασι τὸν Μελέαγρον περιγενόμενον τοῦ Οἰταίου συὸς τούτου καὶ ἀποδείραντα δοῦναι τὴν αὐτοῦ κεφαλὴν καὶ τὸ δέρμα τῇ ἐρωμένῃ Ἀταλάντῃ. καὶ γὰρ καὶ αὐτὴ συνεκυνήγησεν. Οἱ δὲ Θεστίου παῖδες, Πλευρώνιοι μὲν ὄντες, μήτρωες δὲ Μελεάγρου, ὅ ἐστι θεῖοι πρὸς μητρός, ἀγανακτήσαντες αὐτά τε τῆς Ἀταλάντης ἀφείλοντο βίᾳ καὶ τῷ Μελεάγρῳ ἐπεβούλευον. Ὁ δὲ μαθὼν τούτους ἀπέκτεινεν, ἐφ' οἷς καὶ τὴν μητέρα λελύπηκε. Τῶν δὲ Πλευρωνίων διὰ ταῦτα Καλυδωνίοις πολεμούντων, ὁ Μελέαγρος ἐξ ἀρχῆς μὲν οὐ συνεμάχει τοῖς ἐν Καλυδῶνι συμπολίταις, ἀγανακτῶν πρὸς τὴν μητέρα καταρωμένην. Πεισθεὶς δὲ ὕστερον τῇ γυναικὶ Κλεοπάτρᾳ ἀπεσόβησεν ἐκ τῆς πόλεως τοὺς Κουρῆτας. Οἱ δ' αὐτοὶ νεώτεροι προσιστοροῦσι καὶ ὡς ἡ μήτηρ ἔτι μηνιῶσα τῷ υἱῷ Μελεάγρῳ διὰ τοὺς ἀδελφοὺς τὸν παρὰ Μοιρῶν αὐτῇ δοθέντα δαλὸν ὅρον ὄντα τῆς τοῦ υἱοῦ ζωῆς κατέφλεξε, τελευτήσαντος δὲ παραχρῆμα αὐτοῦ μεταμεληθεῖσα ἑαυτὴν κατέκαυσεν ἐπὶ τῇ τοῦ παιδὸς πυρᾷ. Αἱ δὲ τοῦ Μελεάγρου ἀδελφαὶ ἀπαύστως θρηνοῦσαι εἰς ὄρνις τὰς λεγομένας Μελεαγρίδας μετεβλήθησαν. Εἴη δὲ ἂν ἐνταῦθα δαλὸς ἀγαθῆς διαθέσεως ζώπυρον πεφυλαγμένον δίκην φίλτρου, ὅπερ ἀφανισθὲν ἀβίωτον ποιεῖ τῷ ποτε φιλουμένῳ τὸν βίον, ὡς καὶ δοκεῖν τοῦ λοιποῦ θνήσκειν αὐτόν. [Ἡ δὲ τῶν Μελεαγρίδων μυθολογία τῇ τῶν Ἡλιάδων συζυγεῖ. καὶ ἄλλα δὲ τοιαῦτα ὁ μῦθος ληρεῖ]. Εἰς δὲ τὸ «ἀμφὶ συὸς κεφαλῇ» σημείωσαι ὅτι μέχρι καὶ νῦν πολλαχοῦ, καὶ μάλιστα περὶ Λυκίαν, γέρας κυνηγέτῃ πρώτῳ βαλόντι ἔλαφον ἢ αἶγα ἢ σῦν ἡ

κεφαλή, κἂν ἀχρεῖον εἴη τὸ τῆς βολῆς. Ὁ δὲ Γεωγράφος λέγει ὅτι, ὡς τὸ εἰκός, περὶ μέρους τῆς χώρας ἐμάχοντο Κουρῆτες καὶ Αἰτωλοί, καὶ ὅτι Θέστιος, Ἀλθαίας πατήρ, Κουρήτων ἄρχων, πενθερὸς Οἰνέως, κρατῶν Πλευρῶνος, καὶ ὡς πόλεμος τοῖς Θεστιάδαις πρὸς Οἰνέα καὶ Μελέαγρον. (v. 551) Τὸ δὲ «Κουρήτεσσι κακῶς ἦν» σημειωτέον διὰ τοὺς φιλονείκους, οἳ λέγουσι μὴ δύνασθαι ἐν τῷ «Ἀθηναίη ἀκέων ἦν» ἐπίρρημα εἶναι τὸ ἀκέων διὰ τὸ οὐκ ἀγαθήν, φασίν, εἶναι τοῦ ἦν σύνταξιν μετὰ μόνου ἐπιρρήματος.

2.803 Ἴσως δὲ νῦν κατὰ ἔλλειψιν εἴρηται, ἵνα λέγῃ ὁ Φοῖνιξ ὅτι τοῖς Κουρήτεσσι κακῶς ἦν συγκυρῶν ὁ πόλεμος ἢ κακῶς ἦν ἔχοντα τὰ τῆς μάχης ἢ τοιοῦτόν τι. Οὗ καὶ ἐφερμηνευτικὸν αὐτίκα τὸ «οὐδὲ δύναντο τείχεος ἐκτὸς μίμνειν». (v. 553 s.) Τὸ δὲ εἰπεῖν ὡς ὁ χόλος καὶ ἄλλων ἐχεφρόνων οἰδάνει νόον, γνωμικὸν μέν, ὡς ἐρρέθη, ἐστί, παρηγορεῖται δέ πως, ἅμα δὲ καὶ καθάπτεται τοῦ Ἀχιλλέως, ὡς καὶ αὐτοῦ οὕτω παθόντος. Διὸ καὶ μετ’ ὀλίγα ὁμολογεῖ λέγων ἐκεῖνος «ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ». Καὶ ὅρα τὸ «οἰδάνει» χωρὶς τοῦ ι ὅμοιον τῷ «μελάνει δέ τε πόντος». Ἀστείως δὲ πρὸς τὸ «ἔδυ χόλος» ἐπῆκται τὸ «οἰδάνει νόος». Ἅπασα γὰρ ἐξοίδησις γίνεται δύντος ἔσω τινός, οἷον πνεύματος ἤ τινος ἑτεροίου σώματος. Διὸ καὶ ὁ τοῦ Μελεάγρου νοῦς ἐξῴδηκε δύντος αὐτὸν χόλου. (v. 555) Ἀλθαία δὲ νῦν μὲν κύριον. Ἡ δὲ ὕστερον χρῆσις καὶ φυταρίου ὄνομα οἶδεν ὁμωνύμου τῇ Ὁμηρικῇ Ἀλθαίᾳ. Ὁποῖόν τι καὶ ἐπὶ τῆς καλῆς Μίνθης καὶ ἐπὶ ἄλλων γίνεται. (v. 556) Τὸ δὲ κεῖσθαι τὸν Μελέαγρον πάνυ καιρίως εἶπεν. οὕτω γάρ που καὶ περὶ τοῦ Ἀχιλλέως ἀπρακτοῦντός φησι. τὸ δ’ αὐτὸ δηλοῖ καὶ παρακατιὼν ἐν τῷ «ταύτῃ παρκατέλεκτο χόλον θυμαλγέα πέσσων». Περὶ δὲ τοῦ πέσσειν χόλον καὶ ἐν τῇ α′ μὲν ῥαψῳδίᾳ εἴρηται, καὶ νῦν δὲ ἀναμνῆσαι οὐ περιττόν, ὅτι καθ’ Ἡρακλείδην τοῦ πέσσω τὸ πέπτω προΰπεστιν ὡς καὶ τοῦ ὄσσω τὸ ὄπτω, οἷα τῶν Αἰολέων ἐν τοῖς εἰς πτω λήγουσι ῥήμασι τὸ πτ εἰς δύο ς τρεπόντων. Διόπερ ὁ ποιητὴς ἄμφω εἰδὼς τά τε προϋποκείμενα καὶ τὰ ἐξ αὐτῶν Αἰολικὰ ἐκ μὲν τοῦ πέπτω τὸ «αὐτῆμαρ καταπέψῃ» ἔφη, ἐκ δὲ τοῦ Αἰολικοῦ πέσσω τὴν ἐνταῦθα μετοχὴν καὶ τὸ «γέρα πεσσέμεν». Οὕτω δὲ καὶ ἐκ μὲν τοῦ πρωτοτύπου ὄπτω τὸν ὀπτῆρα ἐν τοῖς ἑξῆς λέγει. Καὶ τὸ ὀπιπτεύειν δὲ ἀπ’ αὐτοῦ παράγει, καὶ τὸ «ὄψεαι ἢν ἐθέλῃσθα» ἐξ ἐκείνου κλίνει, καὶ τὸ ὀπτὸν ἐκεῖθεν σκευωρεῖ.

2.804 Ἐκ δὲ τοῦ κατὰ Αἰολέας ὄσσω τὸ ὄσσεσθαι λέγει καὶ «ὀσσόμενος πατέρ’ ἐσθλόν». καὶ οὕτω μὲν τὰ τοῦ Ὁμήρου. Οἱ δὲ ὕστερον ἐκ τοῦ πέπτω πέψω πέπεμμαι τὸ πέμμα παράγουσι, καὶ τὸν πέπονα δέ τινες ἐκ τοῦ αὐτοῦ ἐνεστῶτος ποιοῦσιν. ἐκ δέ γε τοῦ, ὡς εἰκός, μέσου παρακειμένου πέποπα τὸ πόπανον, πέμμα τι ὂν καὶ αὐτό. Καὶ μὴν τοῦτο καὶ ἄλλως δοκεῖ οὕτω κληθῆναι παρὰ τὸ πόπος, ὅ ἐστι θεός, καὶ τὸ ἄναξ, ἵν’ ᾖ πόπανον, ὡς καὶ προερρέθη, τὸ πόπῳ ἄνακτι ὁσιούμενον. Ὡς δὲ τοιοῦτον ἦν τι τὸ πόπανον, ἐμφαίνει καὶ ὁ Κωμικὸς ἐν τῷ Πλούτῳ. (v. 556) Καλὴν δὲ τὴν Κλεοπάτραν λέγει οὐκ ἀργῶς, ἀλλὰ διὰ τὸ πολὺ τοῦ κάλλους. Διὸ καὶ προκλητικῶς οὕτω εἰπὼν ἐπάγει εὐθὺς τὴν περὶ αὐτῆς ἱστορίαν, εἰρησομένην μετ’ ὀλίγα. (v. 567) Τὸ δὲ «κασιγνήτοιο φόνοιο» ἀντὶ τοῦ ἕνεκεν τοῦ ἀδελφικοῦ φόνου. ἀνεῖλε γὰρ, ὡς εἴρηται, ὁ Μελέαγρος τοὺς τῆς μητρὸς ἀδελφούς. Ὥσπερ δὲ παρ’ Αἰσχύλῳ Σκύθης οἶμος ὁ Σκυθικός, καὶ δοῦλον δέ που γένος τὸ δουλικόν, οὕτω καὶ κασίγνητος φόνος κτητικῶς ὁ κασιγνητικός. (v. 568) Γῆν δὲ ἡ Ἀλθαία χερσὶν ἀλοία ὡς οἷον θυροκρουστοῦσα τοὺς καταχθονίους εἰς ἐκδίκησιν. (v. 569—71) Διό φησι κικλήσκουσα τὸν Ἅιδην παιδὶ δοῦναι θάνατον. Ὅτι δὲ καὶ ἠνύσθησαν αἱ τῆς μητρὸς ἀραί, ἡ παλαιὰ ἱστορία δηλοῖ. Ὡς γὰρ πρὸ ὀλίγων ἡ τοῦ Ἀμύντορος ἀρὰ ἐπὶ τῷ Φοίνικι οὐ διέπεσεν, οὕτως οὐδὲ ἡ μητρικὴ κατὰ τοῦ Μελεάγρου, διδάσκοντος καὶ οὕτω τοῦ ποιητοῦ εὐαρεστεῖν τοῖς τοκεῦσι. (v. 568) Πολυφόρβην δὲ γῆν ταὐτόν ἐστιν εἰπεῖν καὶ πολυβότειραν. Ὅμοιον δέ τι λαλεῖ καὶ ὁ φορβάδα γῆν εἰπών, ἧς προϋπόκειται τὸ φέρβειν, ὅ ἐστι φέρειν τὸ βιοῦν ἢ φέρειν βίον, ὡς εἶναι φορβάδα γῆν τὴν φερέσβιον καὶ ζείδωρον.

2.805 τοιαύτη δὲ μάλιστα ἡ οὖσα κάρπιμον πέδον κατὰ τὴν τραγῳδίαν καὶ δυναμένη φέρειν βίον. Ὅρα δὲ καὶ ὡς οὐ μόνον βαρυτόνως ἀλοίω, τὸ τύπτω, ἀλλὰ καὶ περισπωμένως ἀλοιῶ. τὸ γὰρ ἀλοία ὅμοιον τῷ ἐβόα. Καὶ ἴσως ἐκ τοῦ ἀλοῶ γίνεται πλεονασμῷ τοῦ ι , ὥσπερ ἀγνοῶ ἀγνοιῶ, ὡς τὸ «οὐδέ μιν Ἥρη ἠγνοίησε». (v. 569) Τὸ δὲ κικλήσκουσα οὐχ' ἁπλῶς κλῆσιν δηλοῖ, ἀλλὰ ἱκετικήν. οὕτω γὰρ ἡ Ἀλθαία κατὰ Μελεάγρου κικλήσκει τοὺς αὐτὸν βλάψοντας. Ὁ δὲ ῥηθεὶς Ἀΐδης τὸν πρὸ μικροῦ ῥηθέντα Δία καταχθόνιον ἀλληγορεῖ, ἔνθα καὶ ἡ ἐπαινὴ ἔκειτο Περσεφόνεια. (v. 570) Τὸ δὲ «πρόχνυ» ἐπίρρημά ἐστι ποιότητος καὶ δηλοῖ τὸ ἐπὶ γόνυ καὶ ὡς εἰπεῖν προγόνυ, καὶ κατὰ συγκοπὴν καὶ τροπὴν πρόχνυ. Τὸ δὲ δεύεσθαι δάκρυσι κόλπους δαψίλειαν δακρύων δηλοῖ. (v. 571) Τὸ δὲ «δόμεν» ἀντὶ τοῦ δοῦναι πολλαχοῦ κείμενόν ἐστι καὶ παρ' Ἡσιόδῳ ἐν τῷ «καὶ δόμεν ὅς κεν δῷ». ἐκεῖνο μέντοι προστακτικῶς ἐρρέθη ἀντὶ τοῦ δός. Ἠεροφοῖτις δὲ Ἐριννύς ἡ ἀφανὴς καὶ ὡς ἐν σκότει ἐπιφοιτῶσα. Πολλαχοῦ γὰρ ἠέρα τὴν ἀορασίαν λέγει ὁ ποιητής. Ἢ καὶ διότι ἀπὸ τοῦ σκότου, ἤτοι τοῦ Ἅιδου, ἔξεισι. (v. 572) διὸ καὶ ἐπάγει «ἔκλυεν ἐξ ἐρέβευς». Ἀμείλιχον δὲ ἦτορ ἔχειν λέγει τὴν Ἐριννύν, καθὰ καὶ τὸν Ἅιδην φθάσας ὁ βασιλεὺς ἔφη ἀμείλιχον, ὃ τῷ μειλίχῳ ἐναντίον ἐστὶ τῷ καὶ μειλιχίῳ τετρασυλλάβως λεγομένῳ, οὗ τεθειμένου παρὰ Σοφοκλεῖ καὶ ἐπὶ ὑδάτων, ὡς τὸ «μειλιχίων ποτῶν ῥεῦμα» διασαφητικὴ μετάληψίς ἐστι τὸ μελιχρόν. [Ἔστι δὲ πάντως ὁ πλεονασμὸς τοῦ ι ἐν τῷ μειλίχιος κατὰ τὸ κέρτομος κερτόμιος, Αἰτωλός Αἰτώλιος, καὶ τὰ ὅμοια]. (v. 573) Ἐν δὲ τῷ «πολὺς ὅμαδος καὶ δοῦπος» ταὐτολογία ἐστὶν οὐκ ἄκαιρος.

2.806 (v. 575) Ὅρα δ' ἐν τοῖς ῥηθεῖσι καὶ ὅτι ἐν ταῖς πρεσβείαις ἱερεῖς ἀρίστους οἱ παλαιοὶ ἔπεμπον, ὅθεν ὁ Σοφοκλῆς λαβὼν ἐν Οἰδίποδι τοιαύτην πλάττει πρεσβείαν Θηβαϊκήν. (v. 576) Ἐν δὲ τῷ «ὑποσχόμενοι μέγα δῶρον» φανερῶς ἑρμηνεύει τὸ πρὸ μικροῦ ῥηθέν, ὡς ὑπέστη δῶρα ὁ βασιλεύς, ὡς ταὐτὸν ὂν ὑποστῆναι εἰπεῖν καὶ ὑποσχέσθαι. Σημείωσαι δὲ καὶ ὅτι ἐν τῷ «μέγα δῶρον» ἐπίτηδες ἐξαίρει ὁ Φοῖνιξ τὸ μεγαλεῖον τῶν βασιλικῶν δώρων. Εἰ γὰρ μέγα τὸ τῶν Αἰτωλῶν δῶρον, τό, ὡς ῥηθήσεται, πεντηκοντόγυιον, ἡλίκα τὰ τοῦ Ἀγαμέμνονος, ἅπερ, ὡς καὶ προερρέθη, Νέστωρ μὲν οὐκ ὀνοστά εἶπεν, Ὀδυσσεὺς δὲ ἄξια, Αἴας δὲ καὶ Φοῖνιξ πολλά, Διομήδης δὲ μυρία. Ὅρα δὲ καὶ ὅτι μέγα δῶρον ἐνταῦθα εἰπὼν προϊὼν ἑτέρως αὐτὸ αὔξει φάμενος πληθυντικῶς δῶρα πολλὰ καὶ χαρίεντα. (v. 581) Ἐν δὲ τῷ «γέρων ἱππηλάτα Οἰνεύς» ἑαυτόν πως ὑπεμφαίνει ὁ Φοῖνιξ. Ὡς γὰρ ἐκεῖ τὸν παῖδα Μελέαγρον ἐλιτάνευεν ὁ πατήρ, οὕτω νῦν ἐνταῦθα τὸν θετὸν υἱὸν ὁ Φοῖνιξ. (v. 583) Ἐν δὲ τῷ «σείων κολλητὰς σανίδας» σείειν μὲν σανίδας, ὡς ἐκ τοῦ παρακολουθοῦντος, τὸ θυροκρουστεῖν λέγει καὶ πρὸς βίαν αὐτὰς κόπτειν ὡς καὶ σείεσθαι. Κολλητὰς δὲ σανίδας τὰς θύρας φησὶ περιφραστικώτερον. Ἐν τούτοις δὲ ὅρα καὶ τὸ πολλά πλεονάσαν κατὰ σχῆμα ἐπιμονῆς, οἷον «πολλὰ ἀχέουσα», «πολλὰ γαῖαν ἀλοία», «πολλὰ λιτάνευε γέρων», «πολλὰ δὲ κασίγνητοι, πολλὰ δ' ἑταῖροι». (v. 586) Κεδνότατοι δὲ οἱ ἄξιοι μελήσεως διὰ τὸ καὶ φίλτατοι εἶναι κατὰ τὸν ποιητήν, ἐκ τοῦ κήδομαι. οἱ δ' αὐτοὶ ὁμοίως μετ' ὀλίγα καὶ κήδιστοι. (v. 598) Τὸ δὲ «εἴξας ᾧ θυμῷ» καὶ ὁ βασιλεὺς πρὸ ὀλίγων ἐκ τοῦ Νέστορος ἤκουσε. (v. 599) Τὸ δὲ «κακὸν δ' ἤμυνε καὶ αὔτως» ὁμοίαν δύναμιν ἔχει τῷ «πόλεμόν περ ἀλαλκών». Δῆλον δὲ ὡς ταὐτὸν ἀμύνειν εἰπεῖν καὶ ἀπαμύνειν κατὰ παρολκὴν προθέσεως. ἀνωτέρω γοῦν ἔφη «ἀπήμυνε κακὸν ἦμαρ». (v. 600 s.) Τὸ δὲ «ἀλλὰ σὺ μή μοι ταῦτα νόει» καὶ ἑξῆς ἕως τοῦ «κάκιον δέ κεν εἴη» ἀποτρεπτικὸν φρενοβλαβείας ἐστί. Τὸ δὲ «μηδέ σε δαίμων ἐνταῦθα τρέψειε φίλος» ἁπλότητα ἔχει σχεδιασμοῦ. Ὁ νοῦς μὲν γὰρ κλητικὴν Ἀττικὴν ἔχει τὸ φίλος ἀντὶ τοῦ ὦ φίλε, ἡ δὲ προφορὰ φαντάζει τὴν λέξιν ὡς εὐθεῖαν, ἐπίθετον τοῦ δαίμων, ἵνα φαίνηται λέγων δαίμων φίλος.

2.807 καὶ μιμεῖται ὁ ποιητὴς οὕτω τεθορυβημένον σχεδιασμόν. Εἰ δ' ἴσως δαίμων ἐνταῦθα ἡ ψυχὴ κατὰ τοὺς ὕστερον σοφούς, οἳ δαίμονα καὶ τὴν ἐν ἑκάστῳ ἀνθρώπῳ ψυχὴν ἔλεγον, εἴη ἂν λέγων, ὡς μή σε ἡ ψυχή σου ἐνταῦθα τρέψῃ, ἵνα ᾖ τὸ «δαίμων φίλος» ταὐτὸν τῷ «φίλον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἦτορ». [Τὸ δὲ «κάκιον δέ κεν εἴη» δύναται διασταλὲν ἀναπέμψαι τὸ «νηυσὶ καιομένῃσιν ἀμύνειν» ὄπισθεν εἰς τὸ «μηδέ σε δαίμων ἐνταῦθα τρέψειεν», ἵνα εἴπῃ· μή σε θεὸς τρέψῃ ἑλέσθαι μὴ νῦν ἀμῦναι ταῖς ναυσίν, ἀλλ' ὅτε καίονται]. (v. 603) Τὸ δὲ «ἶσόν σε θεῷ τίσουσιν Ἀχαιοί» ἔχει τὸ ἀσφαλὲς ἐκ τοῦ καὶ τοὺς θεοὺς θεραπευομένους, οἷς χρή, παρατρωπᾶσθαι. καὶ θεὸς γὰρ λαμβάνων τι βοηθεῖ. καὶ ἄλλως δὲ «ἶσα θεῷ», οὐ μὴν δίκην μισθωτοῦ καί, ὡς ἂν αὐτὸς εἴποι, «ἐν καρὸς αἴσῃ». (v. 604) Φθισήνωρ δὲ πόλεμος, ὡς καὶ Ἄρης βροτολοιγός. Ἔστι δὲ ἄμφω ταῦτα χρήσιμα καὶ εἰς τὸ ἐν Ὀδυσσείᾳ γραφὲν περὶ ἐπεσβολίας καὶ βλασφημίας. (v. 601) Τὸ δὲ «τιμῆς ἔσσεαι» δηλοῖ μὲν τὸ τιμήεις, ἐξ οὗ καὶ ἐκράθη, ἔχει δὲ προσγεγραμμένον ἰῶτα, καθὰ καὶ τὸ αἰγλήεις αἰγλῇς, καὶ ἀπ' αὐτοῦ τὸ «χρυσὸν τιμῆντα» ὁμοίως τῷ αἰγλῆντα. Καὶ ἐχρῆν μὲν οὕτω καὶ φωνῆντα βέλεμνα παρὰ Πινδάρῳ εἶναι τὰ φωνήεντα, ὁ δὲ φωνεῦντα λέγει ὡς ἀπὸ τοῦ φωνόεντα κατὰ κρᾶσιν ὁμοίαν τῷ πλέονα πλεῦνα, θεόν θεῦν, ὡς τὸ «θεῦν Ἄρτεμιν», καὶ Ἐρέβεος Ἐρέβευς καὶ Ὀδυσσέως Ὀδυσσεῦς καὶ ὅσα τοιαῦτα.

2.808 (v. 541) Ἔτι κἀκεῖνο ἰστέον ὅτι τὸ «πολλὰ προθέλυμνα χαμαὶ βάλε δένδρεα» καὶ ἑξῆς καὶ ἐπὶ ἀνέμου ποτὲ βιαίου ἔστιν εἰπεῖν. (v. 573 s.) Τὸ δὲ «ἀμφὶ πύλας ὅμαδος καὶ δοῦπος ὀρώρει πύργων βαλλομένων» πολιορκίας ἐστὶ δηλωτικόν. (v. 585 s.) Φιλίας δὲ ἔπαινος τὸ «ἑταῖροι οἵ οἱ κεδνότατοι καὶ φίλτατοι ἁπάντων». (v. 595) Ἐπὶ δὲ θυμουμένου ἐφ' οἷς μανθάνει κακοῖς, ἐρεῖ τις ἂν τὸ «τοῦ δ' ὠρίνετο θυμὸς ἀκούοντος κακὰ ἔργα». (v. 602 s.) Ἐπὶ δὲ πᾶσι τούτοις σημείωσαι, ὅτι ἐπίτηδες ὁ ποιητὴς τῷ Φοίνικι τὸ περὶ τῆς τιμῆς κεφάλαιον ὕστερον ἐνταῦθα ἐτήρησεν, ἵνα γένηται προκλητικὸν προοιμίου τῷ Ἀχιλλεῖ. Ἐντεῦθεν γὰρ ἐκεῖνος ὁρμηθεὶς προοιμιάζεται καιρίως ἐξ αὐτοῦ καὶ αὐτὸς τοῦ πράγματος, καὶ τοῦ Φοίνικος εἰπόντος, ὡς ἐπὶ δώροις ἐξελθὼν τιμηθήσῃ, φησὶν αὐτός, ὡς οὔ μοι χρεία τιμῆς ταύτης, φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ. Ὃ καὶ ὁ βασιλεὺς φθάσας εἶπεν ἐν τῷ «εἰσὶν οἵ με τιμήσουσι, μάλιστα δὲ μητίετα Ζεύς». (v. 556—8) Ὅτι περιβλητικῶς κατὰ λόγον παρενθέσεως ἱστορῶν τι καὶ περὶ τῆς μνημονευθείσης Κλεοπάτρας ὁ ποιητὴς ἐν τῇ τοῦ Φοίνικος ἀφηγήσει καλήν τε αὐτήν, ὡς προεγράφη, ἐπονομάζει καὶ «κούρην Μαρπήσσης καλλισφύρου Εὐηνίνης Ἴδεώ τε», τουτέστιν Ἴδου, κλιθέντος οὕτω ἀπὸ εὐθείας τῆς ὁ Ἴδας ὡς ὁ Μίδας, καθὰ καὶ ἐκ τοῦ Ἑρμείας γίνεται Ἑρμείεω, ἐξ οὗ κατὰ συγκοπὴν Ἑρμείω. (v. 558—64) Λέγει δὲ καί, ὅτι ὁ ῥηθεὶς Ἴδας «κάρτιστος ἐπιχθονίων γένετ' ἀνδρῶν τῶν τότε, καί ῥα ἄνακτος ἐναντίον εἵλετο τόξον Ἀπόλλωνος, καλλισφύρου εἵνεκα νύμφης, ἥν», φησί, «τότε ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ Ἀλκυόνην καλέεσκον ἐπώνυμον, οὕνεκ' ἄρ αὐτῇ», ἢ «αὐτῆς, μήτηρ ἀλκυόνος πολυπενθέος οἶτον ἔχουσα, κλαῖεν ὅτε μιν ἑκάεργος ἀνήρπασε Φοῖβος Ἀπόλλων». καὶ τοιαῦτα μὲν τὰ τοῦ ποιητοῦ. (v. 556) Ἰστέον δὲ ὅτι τε πρὸς ὁμοιότητά τινα τοῦ Θηρικλῆς καὶ Κλεισιθήρα καὶ τῶν ὁμοίων καὶ ὁ Πάτροκλος καὶ ἡ Κλεοπάτρα τοῖς αὐτοῖς διοικοῦνται ὀνόμασιν ἀνάπαλιν κειμένοις, καὶ ὅτι περιώνυμος ἐπὶ κάλλει ὥσπερ ἡ πάλαι Κλεοπάτρα, οὕτω καὶ ἡ ὕστερον Αἰγυπτία, ἡ τῷ Ἀντονίῳ φιλτάτη.

2.809 (v. 557) Καὶ ὅτι, ὥσπερ Ἑλένη παρὰ τὸ ἑλεῖν διὰ κάλλους, οὕτω καὶ Μάρπησσα παρὰ τὸ μάρπτειν, ταὐτὸν δέ πως τὸ μάρψειν καὶ τὸ ἑλεῖν. Τὸ δὲ «καλλίσφυρος», καθὰ καὶ ἀλλαχοῦ ἐρρέθη, γυναικός ἐστι κυρίως ἔπαινος, ὡς καὶ τὸ ἀργυρόπεζα. Διὸ καὶ δὶς αὐτὸ ἐνταῦθα εἶπεν ὁ ποιητής. Ἐν οἷς καὶ νύμφην τὴν τοιαύτην λέγει ἢ διὰ τὸν ἐκ νέου γάμον ἢ διὰ κάλλος τὸ καθ' ὁμοιότητα τῶν τοῦ μύθου Νυμφῶν. Εἰκὸς δὲ τὴν διόλου καλὴν καὶ περιμάχητον εἶναι καὶ καλλίσφυρον. Τὸ δὲ «Εὐηνίνη» τύπου ἐστὶ πατρωνυμικοῦ θηλυκοῦ καὶ δηλοῖ θυγατέρα Εὐήνου. οὕτω καὶ Ἀδρηστίνη ἡ τοῦ Ἀδράστου καὶ Ὠκεανίνη ἡ τοῦ Ὠκεανοῦ. Εἰ δέ τινα καὶ διὰ τοῦ ωνη πατρωνυμοῦνται ὡς ἡ Ἀκρισιώνη, καθ' ὁμοιότητα τοῦ Διώνη καὶ τῶν τοιούτων, ἑτέρου λόγου. Φασὶ δὲ περὶ τοῦ τοιούτου Εὐήνου ὡς γαμβροκτόνος καὶ αὐτὸς ἦν κατὰ τὸν Οἰνόμαον. Εἰς ἁρματηλασίαν γὰρ τοὺς μνηστῆρας τῆς θυγατρὸς προκαλούμενος καὶ τῷ

διεκφυγόντι αὐτὸν διώκοντα εἰς ἀριστεῖον διδοὺς αὐτὴν καὶ τοὺς λειπομένους, ὅ ἐστιν ἡττωμένους, καρατομῶν καὶ τὰς κεφαλὰς τῆς οἰκίας ἀπαιωρῶν εἰς ἐκφόβησιν, δεινὰ ἐποίει. ἐπεὶ δὲ ὁ Ἴδας ὑπερήλασεν αὐτὸν ἁρπάσας τὴν Μάρπησσαν καὶ ἐκεῖνος ἐπιδιώξας οὐ κατέλαβε, κατασφάττει μὲν τοὺς ἵππους, ἑαυτὸν δὲ ῥίπτει εἰς τὸν πρὶν μὲν Λυκόρμαν ποταμόν, ἀπ' ἐκείνου δὲ Εὔηνον. Ὅτι δὲ ὁ Ἴδας Λυγκέως ἦν ἀδελφός, καὶ ὡς ἄριστος εἶναι τοξότης φαίνεται, ὅσγε καὶ τῷ Ἀπόλλωνι κατὰ μῦθον ἀντικατέστη ἀφαρπάσαντι κατὰ ἔρωτα τὴν Μάρπησσαν οὐκ ἐθέλουσαν, καὶ ὁ Λυκόφρων ἱστορεῖ. Καὶ φαίνεται μὲν ἀμυθήτου κάλλους αἴνιγμα εἶναι ὁ τοῦ Ἀπόλλωνος ἡλίου εἰς τὴν ἡρωΐδα ταύτην ἔρως, ὡς ἀξιοθέατον καὶ οἷον ἡλιώδη τὸ εἶδος καὶ διὰ τοῦτο ἡλίῳ πρέπουσαν. Περιᾴδεται δὲ ὅμως ἄλλως τὸ φίλανδρον τῆς Μαρπήσσης, ἣν ὁ μῦθος λέγει πολλά τε κλαῦσαι, ὅτε ὑπὸ Ἀπόλλωνος ἡρπάγη, καὶ αἵρεσιν σχοῦσαν προελέσθαι Ἀπόλλωνος τὸν αὐτῇ συγγηράσοντα θνητὸν Ἴδαν, οὗ δὴ πάθους καὶ μνήμην ἡ Μάρπησσα κειμηλιουμένη τὴν ἐξ αὐτῆς καὶ τοῦ Ἴδου Κλεοπάτραν Ἀλκυόνην ἐκάλει. (v. 563) Ὅτι δὲ ἡ ἀλκυών, τὸ ὄρνεον, πολλὰ καὶ αὐτὴ ἔπαθεν εἰς πένθος αὐτὴν προκαλούμενα, λέγει ὁ μῦθος.

2.810 Φέρεται γὰρ λόγος, ὅτι συζυγία τις ἀνδρὸς καὶ γυναικός—Κῆϋξ δὲ ὁ ἀνὴρ ἐκαλεῖτο. —ἐς τοσοῦτον ἦλθε φυσήματος, ὡς ἐθέλειν τὸν μὲν Διὸς καλεῖσθαι ὀνόματι, τὴν δὲ τῇ τῆς Ἥρας κλήσει καλλωπίζεσθαι. καὶ ἐποίουν μὲν αὐτοὶ οὕτω. Ζεὺς δὲ ἀχθεσθεὶς τῆς ὕβρεως μετάγει τοὺς ἀνθρώπους εἰς ὄρνις καὶ τὸ κακὸν προσαύξων ἀναγκάζει χειμῶνός τε νεοττεύειν αὐτοὺς καὶ περὶ αἰγιαλόν. ὅθεν καὶ ἀλκυόνες ἐκλήθησαν διὰ τὸ παρὰ τὴν ἅλα κύειν. Ἐπεὶ δὲ τὰ ᾠά σφισιν ἐκλύζοντο καὶ ἦν ὁ τόκος ἀτελεσφόρητος καὶ οὐκ εἶχε τὸ γένος διαδοχήν, ἦν αὐτοῖς πολὺ πένθος, καὶ τοῦτο ἐπὶ πολύ. ὁ Ζεὺς οὖν, ἀλλὰ καὶ αὐτὸν οἶκτος εἰσέρχεται καὶ ἐπαναστρέφει τοῦ θυμοῦ καὶ κατελεεῖ τοὺς γοεροὺς ὄρνις καὶ ἐπιτάττει τῷ καιρῷ γαλήνην καὶ γίνεται, καὶ οἱ ὄρνις ἐπωάζουσι καὶ εἰς φῶς ἐκφαίνουσι νεοσσούς. Καὶ τοῦτο γενόμενον καὶ εἰς ὀπίσω καὶ ἐπὶ πολλοὺς παραμεῖναν ἐνιαυτοὺς τὰς ἀλκυονίδας ἡμέρας ἔφηνε. Πολυπενθὴς οὖν ἀνέκαθεν ἡ ἀλκυών. [Τῷ δὲ πάθει τοῦ εἰρημένου Κήϋκος παραθετέον καὶ τὴν Ἀντωνίου ἀπόνοιαν, ὃς τὴν πολυτελῆ Κλεοπάτραν ἠγάγετο, ἔτι δὲ καὶ τὴν τοῦ αὐτοκράτορος Γαΐου, τοῦ καὶ Καλλίγολα, φασί, προσαγορευθέντος διὰ τὸ ἐν στρατοπέδῳ γεννηθῆναι. Οὗτος μὲν γὰρ ὑπερφρονήσας, ὡς εἰκός, ἐπὶ κάλλει νέος τε Διόνυσος ἐκαλεῖτο καὶ Διονυσιακὴν πᾶσαν ἐνδύνων στολὴν ἐδίκαζεν. Ἀντώνιος δὲ ἐκέλευεν ἐξ Ἀθηνῶν ἀρξάμενος Διόνυσον αὐτὸν ἀνακηρύττειν κατὰ πόλεις ἁπάσας. Πρὸς τούτοις δὲ καὶ τὸν Συρακούσιον ἰατρὸν Μενεκράτην, ὃς Ζεὺς ἐπικαλούμενος ὡς μόνος αἴτιος τοῦ ζῆν ἀνθρώποις διὰ τῆς κατ' αὐτὸν τέχνης προὐβάλλετο καὶ ἑτέρους θεούς, ὡς ἀλλαχοῦ δεδήλωται]. Ἔτι ἰστέον, ὡς Παυσανίας ἐν τῷ κατ' αὐτὸν Λεξικῷ λέγει, ὅτι ἀλκυονίδες ἡμέραι αἱ ἐν χειμῶνι νήνεμοι καὶ γαλήνην ἔχουσαι, καὶ ὅτι περὶ τοῦ αὐτῶν ἀριθμοῦ διαφέρεται. Σιμωνίδης μὲν γὰρ πέντε φησὶν αὐτὰς καὶ Ἀριστοτέλης, Δημαγόρας δὲ ὁ Σάμιος ἑπτά, Φιλόχορος δὲ ἐννέα. Ὅτι δὲ καὶ δεκατέσσαρές εἰσιν, ἕτεροι λέγουσιν. Ὁ δ' αὐτὸς Παυσανίας μῦθον ἐπ' αὐταῖς καὶ τοῦτόν φησιν. Ἀλκυονέως τοῦ γίγαντος θυγατέρες Φθονία, Ἄνθη, Μεθώνη, Ἀλκίππα, Παλλήνη, Δριμώ, Ἀστερίη. Αὗται μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἀπὸ Καναστραίου, ὅ ἐστιν ἄκρον Παλλήνης μέχρι καὶ νῦν φυλάσσον τὴν κλῆσιν, ἔρριψαν ἑαυτὰς εἰς τὴν θάλασσαν, Ἀμφιτρίτη δ' αὐτὰς ὄρνιθας ἐποίησε.

2.811 καὶ ἀπὸ τοῦ πατρὸς ἀλκυόνες ἐκλήθησαν, ἀφ' ὧν αἱ ἀλκυονίδες ἡμέραι. Ἰστέον δὲ ὅτι κήρυλλοι κατὰ Παυσανίαν ἐν ἀλκυόσιν οἱ ἄρρενες, οἳ γηράσαντες, φησίν, ὑπὸ τῶν θηλειῶν βαστάζονται. Κεῖται δὲ ὁ ῥηθεὶς κήρυλλος καὶ παρὰ τῷ Κωμικῷ, παροξυτόνως μέντοι καὶ δι' ἑνὸς λ ἐν τοῖς πλείοσι τῶν ἀντιγράφων. Οὐ δασύνεται δὲ ἡ τῆς ἀλκυόνος ἄρχουσα διὰ τὴν τοῦ κ ἐπιφορὰν κατὰ κανόνα, ὃς ἐγράφη ἔνθα ἐλέχθη περὶ τῆς τοῦ ἆλτο ψιλώσεως. Σημείωσαι δὲ καὶ ὅτι ἀλκυὼν μὲν ἀλκυόνος τὸ ὄρνεον, Ἀλκυόνη δὲ ἐπὶ κυρίου τῆς Κλεοπάτρας τῆς παρωνύμου τῷ ὀρνέῳ. Καὶ ὅτι διώνυμος ἡ Κλεοπάτρα, ὡς καὶ ὁ τοῦ Ἕκτορος υἱὸς καὶ ἄλλοι, τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν μιᾷ τῶν κλήσεων παρὰ μόνων τῶν φιλτάτων ὀνομαζομένη ἐν μεγάροις, ὥς φησιν ὁ ποιητής, τῇ δὲ ἑτέρᾳ κοινῶς ὑπὸ τῶν ἄλλων. Καὶ ὅτι οὐ διὰ πάθος οἰκεῖον ἡ Κλεοπάτρα τὴν τῆς Ἀλκυόνης ἔσχεν ἐπωνυμίαν, ἀλλὰ διὰ τὴν μητέρα πενθοῦσαν δίκην πολυπενθοῦς ἀλκυόνος. Οὕτω καὶ Ὀδυσσεύς, ὡς ἐν Ὀδυσσείᾳ ἱστόρηται, διὰ τὸν πάππον ἔσχε τὸ ὄνομα, ἐπειδὴ πολλοὶ ἐκείνῳ διὰ τὸ κλέπτειν ὠδύσαντο, τουτέστιν ὠργίσθησαν. Τὸ δὲ «ἐπώνυμον» ἀντὶ τοῦ φερωνύμως. οὔπω γὰρ ἦν ἐπὶ Ὁμήρου λεκτὸν τὸ φερώνυμον, ἀλλ' ἀντ' αὐτοῦ τὸ ἐπώνυμον προεφέρετο. Διὸ καὶ τὴν Ἀλκυόνην ὁ ποιητὴς ἐπώνυμον οὕτω καλεῖσθαί φησιν, ἤγουν κατὰ φερωνυμίαν, ἢ μάλιστα εἰπεῖν, κατὰ ἐμφέρειαν ὀνόματος. οὕτω φερωνύμως καὶ ὁ Ὀδυσσεύς, ὡς ἐρρέθη, ὠνόμασται. Καὶ τὸ τοῦ Αἴαντος δὲ ὄνομα, καθά φησι Σοφοκλῆς, ἐπώνυμον ἦν τοῖς ἐκείνου κακοῖς ὡς ἀπὸ τοῦ αἴ ἢ τοῦ αἰάζειν, οἷα παθόντος αἰαγμάτων ἄξια. Καὶ Πολυνείκης δὲ πολλῶν νεικέων ἦν ἐπώνυμος θείᾳ προνοίᾳ, ὡς Εὐριπίδης φησίν. Οἶτον δὲ φανερῶς ἐνταῦθα ὁ ποιητὴς οὐ τὸν θάνατον ἀλλὰ τὴν συμφοράν φησιν.

2.812 Οὕτω καὶ πότμος καὶ μόρος οὐκ ἀεὶ ἐπὶ θανάτου ἀλλὰ καὶ ἐπὶ τύχης βαρυσυμφόρου. (v. 564) Τὸ δὲ «ἀνήρπασεν» ἢ περιττὴν ἔχει τὴν πρόθεσιν ἢ καὶ προσφυῶς Ἡλίῳ τῷ ἁρπάσαντι τὴν ἄνω τοπικὴν σχέσιν δηλοῖ. (v. 577—80) Ὅτι τό, ὡς ἐρρέθη, τῶν Αἰτωλῶν μέγα δῶρον πρὸς Μελέαγρον ἐφερμηνεύων ὁ ποιητής φησιν, ὅτι ἤθελον αὐτοὶ «ὁππόθι πιότατον πεδίον Καλυδῶνος ἐραννῆς, τέμενος αὐτὸν περικαλλὲς ἑλέσθαι πεντηκοντόγυον, τὸ μὲν ἥμισυ οἰνοπέδοιο, ἥμισυ δὲ ψιλὴν ἄροσιν πεδίοιο ταμέσθαι». Ἐν οἷς πρῶτα μὲν ὅρα τὰ πάρισα, τὸ ἑλέσθαι καὶ τὸ ταμέσθαι, εἶτα ὡς τὸ τέμενος ἐτυμολογεῖ κἀνταῦθα διὰ παρατεθειμένου ῥήματος τοῦ ταμέσθαι. Τέμενος γάρ ἐστιν, ὅπερ ἂν τάμηταί τις ὁρίσας καθ' ἑαυτό, καὶ ὅτι ἑλέσθαι λέγει τὸ ἐπιλέξασθαι, ὅπερ ἐν ἄλλοις μετὰ τῆς ἐξ προθέσεως κεῖται. (v. 579) Πεντηκοντόγυον δὲ τὸ ὂν πεντήκοντα ζευγῶν ἢ ἀροτήρων—Γύης γὰρ μέρος ἀρότρου. —, ἢ τὸ πεντηκοντάπλεθρον. Γύη γὰρ μέτρον τι γῆς. Τὸ δὲ οἰνόπεδον ὅμοιον μὲν τὴν σύνθεσιν πρὸς τὸ θειλόπεδον καὶ στρατόπεδον, σημαίνει δὲ ἀμπέλων γῆν πεδινήν. (v. 580) Ψιλὴ δὲ ἄροσις ἡ ἄφυτος καὶ καθ' ἑαυτὴν μόνην οὖσα, καθ' ὁμοιότητα τοῦ ψιλοῦ στρατιώτου. [(v. 577) Ἰστέον δὲ καὶ ὅτι τὸ πιότατον συγκοπὴν ἔπαθεν ἐκ πεντασυλλάβου τοῦ πῖον πίονος πιονώτατον]. (v. 588—94) Ὅτι διασκευάσας, ὡς εἴρηται, μεγαλοπρεπῶς ὁ Φοῖνιξ ὡς οἷόν τε τὰ τῷ Μελεάγρῳ ὑπεσχημένα δῶρα, ὧν ἐκεῖνος οὐδὲν ἀπώνατο—Οὐκέτι γάρ, φησί, δῶρ' ἐτέλεσσαν οἱ ὑποσχόμενοι. — καί τινα δὲ ἕτερα ἐπαγαγὼν λέγει καὶ ὅτι, ὅτε δὴ ὁ τοῦ Μελεάγρου θάλαμος ἐβάλλετο, οἱ δὲ Κουρῆτες ἐπὶ πύργῳ ἢ ἐπὶ πύργον ἔβαινον, ὡς καὶ προεγράφη, καὶ ἐνέπρηθον μέγα ἄστυ, «τότε δὴ Μελέαγρον ἐΰζωνος παράκοιτις», ἡ προσεχῶς ἱστορηθεῖσα, «λίσσετ' ὀδυρομένη καί οἱ κατέλεξεν ἅπαντα κήδεα ὅσα ἀνθρώποισι πέλει, τῶν ἄστυ ἁλῷη.

2.813 ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει, τέκνα δέ τ' ἄλλοι ἄγουσι βαθυζώνους τε γυναῖκας». (v. 593 s.) Ἔνθα καὶ ὅρα ὅπως Ὅμηρος ἐν δυσὶ στίχοις συντόμως τε ἅμα καὶ μεγαλοφώνως πόλεως ἁπάσης ἐξέφρασεν ἅλωσιν ἐν τῷ «ἄνδρας μὲν κτείνουσι» καὶ ἑξῆς, ὡς προγέγραπται. Οὐ γὰρ ἠθέλησε μιᾶς τινός που πόλεως ἁλώσει τὸν λόγον ἐνασχολῆσαι. Ὅρα δὲ καὶ ὅτι πρεπόντως τῷ καιρῷ ἐβραχυλόγησεν ἡ γυνή. οὐ γὰρ ἦν ἐν μάχης καιρῷ τῇ Κλεοπάτρᾳ πολυλογεῖν. Σημείωσαι δὲ καὶ ὅτι φαίνεται μάλιστα διὰ τὰ οἰκεῖα πεισθῆναι ὁ Μελέαγρος. τῇ γὰρ αἰχμαλωσίᾳ τῶν ὅλων τέκνων καὶ γυναικῶν συνεισάγονται πάντως καὶ τὰ τῷ Μελεάγρῳ φίλτατα. (v. 595) Διὸ καὶ παρασημειούμενός φησι «τοῦ δ' ὠρίνετο θυμὸς ἀκούοντος κακὰ ἔργα», τὰ τῆς αἰχμαλωσίας δηλαδή. οὐ γὰρ ὀδυρομένην τὴν καὶ φίλην καὶ φίλανδρον τοσοῦτον ᾤκτειρεν, ὅσον αἰχμαλωτισθησομένην ἠλέησεν. Ὅρα δὲ καὶ τὸ ἐντελὲς τῆς ἐκφράσεως. δίχα γὰρ τῶν κατὰ μέρος ἐν πολιορκίᾳ καὶ εὐτελῶν τὰ ἄλλα πάντα ἐντελέστατα ἔφρασε, τὸν τῶν πολιτῶν φόνον, τὸν τῆς πατρίδος ἀφανισμόν, τὴν τῶν φιλτάτων ἀπαγωγήν. (v. 590) Τὸ δὲ «εὔζωνος» γυναικὸς ἐπίθετον, καθὰ καὶ τὸ βαθύπεπλος καὶ βαθύζωνος καὶ τανύπεπλος [Οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μέντοι μεθ᾽ Ὅμηρον καὶ ὁδίτῃ ἀπερίττῳ καὶ οὕτως εὐσταλεῖ τὴν τοιαύτην λέξιν οἰκειοῦσιν, εὔζωνον ὁδοιπόρον λέγοντες τὸν ἀβαρῆ καὶ ἐπέκεινα τοῦ ἐλαφροῦ ἱματισμοῦ ζώνῃ μόνῃ σφιγγόμενον. Διὸ καὶ μονόζωνος ὁ τοιοῦτος ἐρρέθη που, ὡσαύτως δὲ καὶ οἰόζωνος]. (v. 592) Τὸ δὲ «ἁλῴη» ἐκ τοῦ ἁλούς ἁλόντος ἁλοίη γίνεται κατὰ ἔκτασιν συνήθη, ὁμοίως τῷ δούς δόντος δοίην δῴην.

2.814 Πλείων δὲ παρὰ τοῖς ὕστερον ἡ χρῆσις τοῦ ἁλοίη ὥσπερ καὶ τοῦ δοίη. (v. 593) Τὸ δὲ «ἄνδρας μὲν κτείνουσιν» ἐλλειπτικῶς εἴρηται. ἡ γυνὴ γὰρ ἐπειγομένη οὐ λέγει τίνες εἰσὶν οἱ κτείνοντες, ἀλλ᾽ ἀφίησιν αὐτὸ διὰ τοὺς πολεμίους νοεῖσθαι ὡς φανερώτατον. Οὕτω δὲ λείπει καὶ τὸ ὅτι ἢ τὸ ὅπως, ἵνα ᾖ τὸ ὅλον, ὡς κατέλεξεν, ὅτι ἄνδρας μὲν κτείνουσι καὶ τὰ ἑξῆς. Ἴσως δὲ καὶ μεθέλκεται τὸ ἄλλοι εἰς τὸ κτείνουσι κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα, ἵνα ᾖ· ἄνδρες μὲν κτείνουσιν ἄλλοι καὶ ἑξῆς. Τὸ δὲ «ἀμαθύνει» ἀντὶ τοῦ λεπτύνει ὡς εἰς ἄμαθον καί, ὡς οἱ παλαιοί φασιν, εἰς κόνιν πεδιάσιμον. (v. 598) Ἰστέον δὲ καὶ ὅτι τὸ «οὐκέτι δῶρα τέλεσαν» δηλοῖ μὲν τὸ ἐτελείωσαν, εἰς τέλος ἤγαγον, γέγονε δὲ τοῖς ὕστερον ἀφορμὴ τοῦ εἰς φορολογικὴν λέξιν θεῖναι τὸ τελεῖν, οἷον· ἐτέλεσεν ὁ δεῖνα τόδε τι. (v. 607—10) Ὅτι ἐκ τοῦ τῆς τιμῆς κεφαλαίου, ὡς καὶ πρὸ βραχέων ἐρρέθη, προοιμιαζόμενος Ἀχιλλεὺς πρὸς τὸν διδάσκαλόν φησι «Φοῖνιξ, ἄττα γεραιέ, διοτρεφές, οὔ τί με», ἤγουν οὐδαμῶς μοι, «ταύτης χρεὼ τιμῆς. φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ, ἥ μ᾽ ἕξει παρὰ νηυσὶ κορωνίσιν, εἰς ὅ κεν ἀϋτμὴ ἐν στήθεσσι μένῃ καί μοι φίλα γούνατ᾽ ὀρώρῃ», τουτέστι περιφραστικῶς· ἕως ἂν ζῶ. Καὶ ὅρα τὸ ἀσφαλὲς τῆς ἐννοίας. Ἐπεὶ γὰρ καὶ ὑπνοῦντι καὶ παρειμένῳ δέ τινι ἀναπνοή ἐστιν ἐν τοῖς στήθεσσι, προσέθηκε τὸ «καί μοι γούνατα ἔρρωται», τουτέστιν· ἕως ζῶν ἔρρωμαι. Ἰστέον δὲ ὡς ἡ ῥηθεῖσα ἔννοια καθ᾽ ὑπερβατὸν ὀρθοῦται καὶ οὐκ ἄλλως. Λέγει γὰρ Ἀχιλλεύς, ὡς οὔ μοι χρεὼ τιμῆς, ἥ με ἕξει παρὰ νηυσίν, ὅ ἐστι μερικῆς, καιρικῆς, «φρονέω δὲ τετιμῆσθαι Διὸς αἴσῃ, ἕως ἀϋτμὴ ἐν στήθεσσι μένῃ» καὶ ἑξῆς, ἵνα νοῇ, ὡς οὐ τοσοῦτον ἐθέλω νῦν ἐνταῦθα τιμᾶσθαι, ὅσον διὰ παντὸς βίου. Ἴσως δὲ καί, ἄλλως εἰπεῖν, ὑπολοξώσας ὡς οὐκ ἤθελε τὴν ῥηθεῖσαν ἔννοιαν ὁ ἥρως, παραλαλεῖ, ὡς ἐν Τροίᾳ διὰ βίου μενεῖ.

2.815 Δοκεῖ γὰρ εἰπεῖν ὡς ἡ αἶσα τοῦ Διὸς ἕξει αὐτὸν παρὰ νηυσίν, ἕως ἂν ζῇ. Τῷ δὲ τοιούτῳ λόγῳ οὐ συναναφαίνεταί τις ἐλπὶς νόστου. Καὶ ἔστι καὶ τοῦτο δεξιότητος Ὁμηρικῆς. Οἰκτιζόμενος γὰρ ὁ ποιητής, εἰ καὶ οἴκαδε ἱκέσθαι ὁ καλὸς Ἀχιλλεύς, ὡς εἰκός, ἐλπίζει καὶ γυναῖκα λήψεσθαι, ἣν ἂν ἐθέλοι, καὶ κτήμασι τέρψεσθαι τοῖς πατρόθεν, καὶ εἰπεῖν ἐθέλων, ὡς οὐκ ἔσται ταῦτα, σχίζει τὴν φράσιν εἰς διπλόην ἐννοίας, ὧν ἡ μὲν μία λαλεῖ ὀρθῶς, ὅπερ ἐθέλει ὁ Ἀχιλλεύς, ἡ δὲ ἑτέρα ὑπομαντεύεται προαναφωνητικῶς ἀκροατῇ συνετῷ καὶ οἵῳ διχάζειν ἀμφιβολίας, ὡς τῇ κατὰ Τροίαν παραμονῇ σύμμετρος ἔσται ἡ ζωὴ τῷ Ἀχιλλεῖ. Καί πως ἡ ψυχὴ κατά τι χρησμῳδικὸν τοῦτο λαλεῖ, βακχικῶς ἐνθουσιῶσα εἰς φοίβασμα προρρήσεως, ἧς οὐδέν τι ἐπαΐει ὁ ἥρως. [Τοῦτο δὲ τὸ εἶδος καὶ Σοφοκλῆς μιμησάμενος, ὡς καὶ ἄλλα τῶν Ὁμήρου, ποιεῖ τὸν τύραννον Οἰδίποδα ἐν διαφόροις τόποις ἑαυτοῦ καταλέγοντα, οὔτι ἑκόντα, ἐξ ἀκουσίου δέ τινος ψυχικοῦ κινήματος, καθ᾽ ὃ ἐλάλει μὲν καθ᾽ ἑαυτοῦ σκωπτικὰ πρὸς ἀλήθειαν, οὐκ ἐγίνωσκε δέ. ὃ δὴ ἐσχημάτισται τεχνικῶς]. (v. 607) Τὸ δὲ «ἄττα», κείμενον καὶ ἐν Ὀδυσσείᾳ, γλώττης φασὶ Θετταλῶν οἱ παλαιοί, προσφώνημα ὂν ἔκ τινος νεωτέρου ὡς πρὸς τροφέα, πρωτόθετον, ἄκλιτον, ἀμετάληπτον, ἤγουν μὴ δυνάμενον μεταληφθῆναι εἰς ἑρμηνευτικὴν ἑτέραν λέξιν. Καὶ ὅρα τὴν τῆς λέξεως ἔμφασιν. Ἐνέφηνε γὰρ ὁ Ἀχιλλεύς, ὅτι οὐχ᾽ ὡς πατρὶ προσέχειν αὐτὸν δεῖ τῷ Φοίνικι, οὐδὲ ὡς ἀδελφῷ, κἂν ἐκεῖνος οἷα ῥήτωρ δεινὸς εἰπεῖν ταῦτα σοφίζηται, ὡς προείρηται, ἀλλ᾽ ὡς θρεψαμένῳ ἀποτίνειν χάριτας. [Ὁ γάρ τινα προσφωνήσας τὸ «τέττα» τρόφιμος ἐκείνου ἐστίν, οὐ μὴν υἱὸς ἢ ἀδελφός.

2.816 Εἰ δέ τινα ξενίζει τὸ μὴ πάνυ σύνηθες τῆς λέξεως μηδὲ κοινόν, ἐνθυμείσθω μυρίας ὅσας τοιαύτας, ὧν τινας καὶ αἱ Ὁμηρικαὶ Παρεκβολαὶ συνειλήφασιν, ὁποία καὶ ὁ νέννος, λέξις αὕτη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συγγενική, δηλοῦσα θεῖον, ἤγουν τὸν τοῦ πατρὸς ἀδελφόν. Ὁ δὲ οὕτω διατεθεὶς εἰς τὸ τέττα, τὸ γνώριμον, τίς ἂν γένοιτο ἀκούσας, ὅτι σάννας ὁ μωρὸς παρὰ Κρατίνῳ, καὶ ὅτι ψάκαλα τὰ ἔμβρυα καὶ τὰ ἄρτι δὲ γεγονότα, ὅθεν καὶ «ψακαλοῦχοι μητέρες» παρὰ Σοφοκλεῖ, καὶ ἄλλα δὲ ἀμύθητα]. (v. 608) Τὸ δὲ «χρεώ» Ἰωνικὴ λέξις, πεζῷ λόγῳ οὐ προσηνής. Ἰστέον δὲ ὅτι τὸ μὲν «οὔ τι με ταύτης χρεὼ τιμῆς, φρονέω δὲ τετιμῆσθαι θεόθεν» ἐρεῖ ἂν ὁ μὴ χρῄζων ἀνθρωπίνης τιμῆς. ὁ δὲ ὑπισχνούμενος ἐπὶ πολὺ ἐμμεῖναι οἷς λέγει, εἴποι ἂν ὡς ποιήσω τόδε τι «ἕως ἂν ἀϋτμὴ ἐν στήθεσσι» καὶ τὸ ἑξῆς. (v. 609) Τὸ δὲ «εἰσόκεν», οὗ χρῆσις ἔν τε τῷ «εἰσόκε ς' ἢ ἄλοχον ποιήσεται» καὶ ἀλλαχοῦ, νοεῖται μὲν ἐπιρρηματικῶς ἀντὶ τοῦ ἕως καὶ ἕως οὗ καὶ ἕως ὅτου, σύγκειται δὲ ἐκ προθέσεως καὶ ὑποτακτικοῦ οὐδετέρου ἄρθρου ἑνικοῦ πτώσεως αἰτιατικῆς καὶ συνδέσμου. Ἔχει δὲ ἔλλειψιν ληφθὲν ἀντὶ τοῦ εἰς ὃ ἂν διάστημα καιροῦ, ἤγουν ἕως ἂν τόδε γένηται. Ἀϋτμὴ δὲ ἁπλῶς μὲν ἡ πνοή, ἐνταῦθα δὲ τὸ ψυχικὸν πνεῦμα, ἐκ τοῦ ἄω, ἀφ' οὗ καὶ τὸ ἦτορ. Ἔοικε δὲ τὸ ἄω, ἐξ οὗ καὶ ἄημι, τὸ πνέω, ὅθεν τὸ «ἄη νότος», καὶ «ἄνεμοι ὑγρὸν ἀέντες» ἐπενθέσει τοῦ υ Αἰολικῇ γενέσθαι αὔω, καὶ διαλύσει ἀΰω, ἀφ' οὗ ἀϋτμή, ἡ ῥηθεῖσα διὰ τοῦ μ πρὸς διαστολὴν τῆς κατὰ τὴν φωνὴν ἀϋτῆς. Ἡ δὲ ἀϋτμὴ καὶ ἀρσενικῶς ἀϋτμὴν λέγεται ὡς πυθμήν, οἷον «κατὰ κεφαλῆς ἀϋτμένα χεῦεν». Ὥσπερ δὲ ταῦτα ἐκ τοῦ ἀΰω, οὕτω καὶ ἐκ τοῦ ἄω ἀτμός καὶ ἀτμίς.

2.817 Ἐκεῖθεν δὲ παρῆκται καὶ τὸ ἆσθμα καὶ τὸ ἀσθμαίνειν. (v. 610) Φίλα δὲ γούνατα, ὡς καὶ φίλον ἦτορ καὶ φίλα γυῖα. Τὸ δὲ «ὀρώρῃ» τοῦ ὄρωρά ἐστιν ὑποτακτικόν, ὡς τοῦ ὄλωλα τὸ ὀλώλῃ. (v. 612—15) Ὅτι προοιμιασάμενος, ὡς ἐρρέθη, ὁ Ἀχιλλεὺς καὶ πρὸς μὲν τὸ τῆς τιμῆς κεφάλαιον ἀντειπών, εἶτα μὴ ἔχων εὑροεῖν εἰς ἀντίρρησιν, οὐ δικαιολογεῖται μέν, ὀνειδίζει δὲ τὸν διδάσκαλον, ὡς παρὰ τὸ φιλικὸν δίκαιον ποιοῦντα, καί φησι «μή μοι σύγχει θυμὸν ὀδυρόμενος καὶ ἀχεύων», ἢ καὶ ἄλλως, «μή μοι σύγχει θυμὸν ἐνὶ στήθεσσιν ἀχεύων, Ἀτρείδῃ ἥρωϊ φέρων χάριν», οἷα δηλαδὴ καὶ ἐκεῖνον φιλῶν. «οὐδέ τί σε χρὴ τὸν φιλέειν, ἵνα μή μοι ἀπέχθηαι φιλέοντι. καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν, ὅς κέ με κήδει». Κανὼν δὲ ταῦτα φιλίας ἀληθοῦς, εἴγε καὶ Ἡσίοδός φησι «τὸν φιλέοντα φιλεῖν», «τὸν δ' ἐχθρὸν ἐᾶσαι». (v. 616) Εἶτα λέγει «ἶσον ἐμοὶ βασίλευε καὶ ἥμισυ μείρεο τιμῆς». Καὶ ἔστι τοῦ Ὁμηρικοῦ τούτου παράφρασις ἡ ὕστερον παροιμία τὸ «κοινὰ τὰ τῶν φίλων», ὡς τῆς κοινότητος πυθμενικῶς ἐν ἡμίσει θεωρουμένης τῷ κατὰ δυασμόν, ὃ καὶ Ἡσίοδος ἐπαινεῖ. Ὅρα δὲ καὶ ὅτι τοῖς μὲν ὑπὸ τοῦ Ὀδυσσέως λαληθεῖσι κεφαλαίοις πᾶσιν ἀντεῖπεν ὁ Ἀχιλλεύς, ὡς προείρηται, δίχα ἑνὸς τοῦ κατὰ τὴν πατρικὴν παραίνεσιν. τῶν δὲ τοῦ Φοίνικος κεφαλαίων ἀνάπαλιν τοῖς μὲν ἄλλοις οὐκ ἔσχεν ἀντιπεσεῖν, ἑνὶ δὲ τῷ τελευταίῳ τῷ περὶ τῆς τιμῆς, τῶν μέντοι τοῦ Αἴαντος οὐδενὶ κεφαλαίῳ ἀντιπεσεῖται, ὡς δειχθήσεται. (v. 613) Ὅτι δὲ ἀληθῶς συνέχεε τὸν τοῦ Ἀχιλλέως θυμὸν ὁ Φοῖνιξ, δῆλον. οὐ γὰρ ἔτι θυμούμενος κύνεον τὸν βασιλέα, οὐδὲ ἀναιδείην ἐπιειμένον λέγει, ἀλλὰ ἥρωα, εἰπὼν «Ἀτρείδῃ ἥρωϊ φέρων χάριν», ἤγουν χαριζόμενος, ὅπερ ἀλλαχοῦ ἦρα φέρειν λέγεται.

2.818 Ἔτι συγχέεται ἡ ψυχὴ τῷ Ἀχιλλεῖ καὶ οἷς οὐκέτι μακρολογεῖν ἔχει, ἀλλ' ὡς οἷον ἐκχέας ἤδη καὶ αὐτὸς τὸ πᾶν σόφισμα ἐν τοῖς πρὸς τὸν Ὀδυσσέα βραχυλογεῖ ἐνταῦθα, καὶ οὐ μόνον, ἀλλὰ καὶ ὑπόσχεσιν προφέρει χρηστοτέραν, ὡς καὶ προδεδήλωται. (v. 618 s.) Οὐ γὰρ αὔριον πλευσεῖσθαί φησιν, ὃ φθάσας εἶπεν, ἀλλὰ φράσεσθαι εἴτε μενεῖ εἴτε νοστήσει ἐς τὰ οἰκεῖα. ταῦτα δὲ συγκεχυμένου νοὸς καὶ οὐδὲν ἀκριβὲς εὐκρινοῦντος. Δῆλον δὲ ὅτι ἐναντίον ὥσπερ τῇ εἰλικρινείᾳ ἡ ἀμαύρωσις, οὕτω τῇ εὐκρινείᾳ ἡ σύγχυσις, ἐκ μεταφορᾶς λεχθεῖσα τῶν κατὰ χοῦν ἀναμίξεων, αἷς ἀντίκειται τὸ κεκριμένον, ὅ ἐστι διακεχωρισμένον φυσικῶς ἢ τεχνικῶς, [ὡς δῆλον ἔσται μάλιστα, ὅπου φανεῖται παῖς οἰκοδομήσας ἐπὶ ψάμμου τὰ συνήθη ἐν τῷ ἀθύρειν, εἶτα χερσὶ καὶ ποσὶ συγχέας αὐτά. Ἄλλως δέ γε καὶ μίτοι συγχέονται, καὶ ἕτερα πολλὰ ἐν τῷ ἀτάκτως ἀναφύρεσθαι]. Ὅρα δὲ καὶ τὰ ἐν τῷ χωρίῳ τούτῳ συχνὰ κομματικά, τὸ καὶ θυμικὸν σχῆμα καὶ γοργόν, (v. 615) καὶ ὅτι ὁ Θετταλὸς μεῖραξ ῥήτωρ ὑπὸ θυμοῦ οἷον σφαλλόμενος οὐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὐοδοῖ τὸν λόγον διόλου εἰς τὸ σαφές, ἀλλὰ σχεδιάζων σὺν ὀργῇ ἐκπίπτει εἰς ἀμφίβολον νοῦν ἐν τῷ «καλὸν σὺν ἐμοὶ τοῦτον κήδειν, ὅς με κήδει». Τοῦτο γὰρ οὐ μόνον τὸ ὀρθὸν δηλοῖ τὸ «καλόν ἐστι μετ’ ἐμοῦ ὄντα σε βλάπτειν τὸν βλάπτοντά με», ἀλλὰ καὶ τὸ ἀπεμφαῖνον, ὃ οὐκ ἂν ἐθέλοι ὁ Ἀχιλλεύς, τὸ «χρεών σε βλάπτειν σὺν ἐμοὶ τὸν κήδοντά με», ἤγουν καὶ ἐμὲ καὶ ἐκεῖνον. Ἔνθα καὶ ὅρα ὡς κήδειν μὲν συνήθως τὸ βλάπτειν μετὰ αἰτιατικῆς κατὰ ἐνεργητικὴν διάθεσιν, κήδεσθαι δὲ τὸ φροντίζειν παθητικῶς καὶ μετὰ γενικῆς, ὡς δηλοῖ καὶ τὸ «κήδετο γὰρ Δαναῶν». (v. 616) Εἰς δὲ τὸ «ἥμισυ μείρεο τιμῆς» ἐνθυμητέον, ὡς καὶ Ἰοβάτης οὕτω ἥμισυ πάσης βασιληΐδος τιμῆς τῷ Βελλεροφόντῃ ἐδάσατο. (v. 617 s.) Ὅτι φιλοξενικὸν τὸ «σὺ δ’ αὐτόθι λέξεο μίμνων εὐνῇ ἐνὶ μαλακῇ».

2.819 (v. 618 s.) Ὁδοιπορικὸν δὲ τὸ «ἅμα δ’ ἠοῖ φαινομένηφι φρασσόμεθα ἤ κε νεώμεθ’ ἐφ’ ἡμέτερα ἤ κε μένωμεν». (v. 617) Ὅρα δὲ τὸ «λέξεο» καινῶς καὶ αὐτὸ ἔχον ἀπὸ τοῦ λέξω μέλλοντος, ἀναδραμόντος εἰς ἐνεστῶτα καὶ κλιθέντος ὡς τὸ λέγεο, ἤγουν κοιμῶ. (v. 619) Τὸ δὲ «νεώμεθα ἐφ’ ἡμέτερα» περίφρασίς ἐστι τοῦ νοστήσομεν. Ἔστι δὲ τὸ «ἡμέτερα» ταὐτὸν τῷ οἶκονδε, φρασθὲν ἐλλειπτικῶς ἀντὶ τοῦ εἰς τὰ ἡμέτερα δώματα καὶ τέτριπται μέχρι καὶ νῦν ἡ τοιαύτη χρῆσις κοινότερον. (v. 620—2) Ὅτι ὥσπερ πρὸ ὀλίγων ἔνευσεν Αἴας Φοίνικι, ἐνόησε δὲ Ὀδυσσεύς, οὕτως ἐνταῦθα «Πατρόκλῳ ἐπ’ ὀφρύσι νεῦσε σιωπῇ» Ἀχιλλεὺς «Φοίνικι στορέσαι πυκινὸν λέχος, ὄφρα τάχιστα» οἱ πρέσβεις «ἐκ κλισίης νόστοιο μεδοίατο». (v. 622 s.) Γνοὺς δὲ ὁ Αἴας φησὶν «ἴομεν», καὶ τὰ ἑξῆς, ὡς κείσεται κατωτέρω. (v. 625) Καὶ ὅρα τὸ «ἴομεν», ῥῆμα δακτυλικόν, ληφθὲν κἀνταῦθα οὐχ’ ὡς αὐθυπότακτον, ἀλλὰ κατὰ φωνὴν ἐνεστῶτος, ὁμοίως τῷ τίομεν, κυλίομεν καὶ τοῖς ὁμοίοις. (v. 621) Τὸ δὲ «στορέσαι» καιρία λέξις ἐπὶ κλίνης. Διὸ τρὶς ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ χρᾶται αὐτῇ διὰ τὸ καίριον. Ὅτι δὲ λέγεται καὶ ἐπὶ γαληνιώσης θαλάσσης, δῆλον. «ἐστόρεσε» γάρ, πού φησι, «θεὸς μεγακήτεα πόντον». Πρὸ βραχέων δὲ καὶ ἀνθρακιὰν ἐστόρεσε Πάτροκλος. Ἔστι δὲ θέμα τοῦ ῥήματος τούτου στορῶ, ὃ συγκοπὲν καὶ γενόμενον στρῶ μετέπεσεν εἰς τρίτην συζυγίαν. Ὥσπερ γὰρ τορῶ τορήσω, ἐξ οὗ τὸ ἀντετόρησε, καὶ ἐν συγκοπῇ τρῶ τρώσω, οὕτω καὶ στορῶ στορέσω, ἐξ οὗ τὸ στρῶ στρώσω, οἷον «ὑπὸ δ’ ἔστρωτο ῥινὸν βοός». Ἐξ οὗ καὶ οἱ βασιλικοὶ στρῶται, οἳ παρὰ Πέρσαις ἐπλεόναζον. Τὸ δὲ «πυκινὸν λέχος» καὶ μαλακὴν εὐνὴν ἀνωτέρω Ἀχιλλεὺς ἔφη κατὰ ἑτέραν ἔννοιαν. ἔπρεπε γὰρ μάλιστα τοιαύτη τῷ γέροντι. [Σημείωσαι δὲ ὅτι μαλακῆς εὐνῆς λεγομένης καὶ κώματος δέ, ἤγουν ὕπνου, μαλακοῦ, καὶ ἴσως ὑπονοίας ἀναβησομένης εἰς νοῦν, πότερον ἄρα τούτοιν ἀμφοῖν εἴη μαλακώτερον, δοκεῖ ἀσφαλῶς τολμῆσαι εἰπεῖν τις δέρματα ὕπνου μαλακώτερα κατὰ ἦθος ἀφελές]. Σημείωσαι καὶ ὅτι συντελεῖ τι τὸ «πυκινὸν λέχος» πρὸς νόησιν τῆς στιβάδος, εἴπερ στιβὰς μέν, ὡς ἐν ἄλλοις ἐρρέθη, γίνεται παρὰ τὸ στείβειν, ὃ σημαίνει τὸ καταπατεῖν, ὡς δηλοῖ καὶ ἡ παρὰ τῷ Σοφοκλεῖ «στειπτὴ φυλλάς».

2.820 Πυκινὸν δὲ γίνεται πᾶν τὸ οὕτω στειβόμενον. (v. 622) Τὸ δὲ «ἐκ κλισίης νόστου» ἀκριβῶς ἐρρέθη. Νόστος μὲν γὰρ γενικὸν ὄνομα, δηλοῦν καὶ τὸν οἴκαδε εἰς πατρίδα. νῦν δὲ οὐ τοιούτου μέδοιντ’ ἂν οἱ πρέσβεις τοῦ ἐκ Τροίας, ἀλλὰ τοῦ ἐκ κλισίας, τῆς τοῦ Ἀχιλλέως, εἰς τὰ ἑαυτῶν δηλαδή, ὡς δηλοῖ ἐπαχθὲν μετ’ ὀλίγα τὸ «παρὰ νῆας ἴσαν πάλιν». (v. 623—55) Ὅτι ἐπιχειρηματικώτερος μὲν Ὀδυσσεύς, ὡς προδεδήλωται, καί, ὡς εἰπεῖν, πρέσβις ἀκραιφνής, αὐτὰ γυμνὰ φράζων τὰ πράγματα δίχα σχετικῆς τινος φιλικῆς παρενθήκης. Διὸ οὔτε πείσειν τὸν Ἀχιλλέα ἔσχεν, ἀλλὰ καὶ γενναίαν ὁ Ἀχιλλεὺς ἀντίρρησιν ἐφιλοτιμήσατο πρὸς ἐκεῖνον ἐνστήσασθαι, ἄλλως τε καὶ ἀκμάζοντος αὐτῷ τοῦ θυμοῦ καὶ τῇ ἀναμνήσει τῶν προγενομένων ἐρεθισθέντος καὶ ὑπερζέσαντος. Ὁ δέ γε Φοῖνιξ οὐκ ἐπεχείρησε μὲν εἰς πολλά, γνησιώτερον δὲ ἐλάλησεν, ἀπό τε ἄλλων δικαίων ὁρμώμενος, καὶ οἷα διδάσκαλος ὁμιλῶν καὶ ἔλεον δὲ κινῶν οἷς περιπαθῶς ἐφθέγξατο, καὶ ἱστορίας δὲ ὁμοιότητι ἐν τοῖς περὶ Μελεάγρου καταμαλάττων τὸν ὁμιλητὴν μείρακα. Διὸ εἰ καὶ μὴ τέλεον αὐτὸν ἔπεισεν, ἤνυσεν ὅμως πλεῖόν τι τοῦ

Ὀδυσσέως. Τόν τε γὰρ βασιλέα οὐ κύνεον οὐδὲ ἀναιδῆ ἀποκαλεῖ, ὡς πρὸς τὸν Ὀδυσσέα ἔφη, ἀλλὰ ἥρωα, ὡς καὶ προερρέθη, ὠνόμασε, καὶ οὐδὲ αὔριον ἀποπλεύσειν λέγει, ὅπερ εἶπε πρὸς τὸν Ὀδυσσέα, ἀλλὰ μετριάσας τὸν θυμὸν βουλεύσασθαί φησιν ἅμα ἡμέρᾳ, ὡς καὶ αὐτὸ εἴρηται. καὶ οὕτω μὲν αὐτοί. Αἴας δὲ μετὰ τοὺς γέροντας ῥήτορας ἐπιλογικώτερον λαλεῖ καὶ μακρολογεῖν ἀφέμενος— Ἔχει γὰρ εἰπεῖν καὶ αὐτὸς «γλῶσσαν μὲν ἀργήν, χεῖρα δ' ἔχειν ἐργάτιν». — ἐπίτροχον λακωνίζει καὶ παρρησιαστικώτερον, ἔτι δὲ καὶ καταφορικώτερον φθέγγεται.

2.821 Ὅμως δ' ἐν τῷ τέλει τοῦ λόγου καὶ εἰς ἱλαρότητα δυσωπεῖ, ἐν ὀλιγίστῳ μέντοι, κατὰ λόγον καὶ αὐτὸ σεμνότητος. ἀναμιμνήσκει δὲ ὁμοίως καὶ περὶ φιλίας παλαιᾶς τῆς ἄγαν, ὅθεν καὶ ἐντρέψας τὸν Ἀχιλλέα ποιεῖ ἐπαγγείλασθαι, ὡς οὐ πρὶν εἰς πόλεμον ἐξελεύσεται, πρὶν ἂν Ἕκτωρ κτείνων Ἀργείους εἰς αὐτὰς τὰς τῶν Μυρμιδόνων νῆας ἐλεύσηται. Καὶ ὅρα ὅτι τριῶν τούτων ὄντων λόγων καιριωτέρων πρὸς ἀπόκρισιν τῷ Ἀχιλλεῖ, τοῦ «ἀπελεύσομαι εἰς Φθίαν», τοῦ «βουλεύσομαι εἰ ἀπελεύσομαι εἴτε καὶ μή», καὶ τοῦ «μενῶ ἐνταῦθα ἕως ἂν τόδε γένηται», τοῖς τρισὶ πρέσβεσιν Ὅμηρος ἕκαστον τῶν τριῶν, ὡς ἐρρέθη, ἀπεμέρισε καθ' ἕν. Τὸ δέ γε καὶ πεισθῆναι καὶ εἰς πόλεμον αὐτὸν ἐξελθεῖν τῷ μεγάλῳ ῥήτορι Νέστορι ταμιεύεται, ὃς ἐν τοῖς ἑξῆς ἀνύσει αὐτό, οὐκ αὐτὸς ὁμιλήσας τῷ Ἀχιλλεῖ, ἀλλὰ διὰ μέσου τοῦ Πατρόκλου, δευτέρᾳ πρεσβείᾳ οἰκειακῇ τὸν Ἀχιλλέα κατεργασάμενος. (v. 625 s.) Ἰστέον δὲ ὅτι ἐκ τῶν τοῦ Αἴαντος λόγων τῷ μὲν μὴ ἐκ πρώτης ὁδοῦ εἰσακουσθέντι οἰκεῖον εἰπεῖν κατὰ Αἴαντα τὸ «ἴομεν. οὐ γάρ μοι δοκέει μύθοιο τελευτὴ τῇδέ γ' ὁδῷ κρανέεσθαι». (v. 626 s.) Ὅτε δέ τῳ ἀνάγκη ἀγγεῖλαί τινα δυσχερῆ, ὀρθῶς ἂν εἴποι τὸ «ἀπαγγεῖλαι δὲ τάχιστα χρὴ μῦθον καὶ οὐκ ἀγαθόν περ ἐόντα». Ἔστι δ' ἐν τούτοις τὸ «τῇδέ γ' ὁδῷ» οἷά τις προαναφώνησις Ὁμήρου δηλοῦσα εὐμεθόδως, ὡς δευτέρα ὁδός, ὁποία τις ἐν τοῖς ἑξῆς ἡ τοῦ Πατρόκλου, πείσοι ἂν τὸν Ἀχιλλέα ἐλεῆσαι τοὺς Ἀχαιούς. Προοιμιάσατο δὲ ταῦτα ὁ Αἴας ἐνδεικνύμενος μὲν ἐξ ἀρχῆς αὐτῆς, ὡς ἀπέγνω πεῖσαι τὸν Ἀχιλλέα, ἐμφαίνων δὲ θαρρεῖν εἰς δευτέρας φροντίδας, αἳ σοφώτεραί πως κατὰ τὴν παροιμίαν εἰσίν. Ὁ δ' αὐτὸς Αἴας καὶ ἀνηλεῆ τὸν Ἀχιλλέα καὶ σχέτλιον καλεῖ καὶ μεγαλόθυμον. (v. 628 s.) Φησὶ γὰρ «αὐτὰρ Ἀχιλλεὺς ἄγριον ἐν στήθεσσι θέτο μεγαλήτορα θυμόν», περὶ οὗ προείρηται. Καὶ ὅρα τὸ «ἔθετο» σύστοιχον ὂν τῷ κεῖται, ἀφ' οὗ ὁ κότος παράγεται. (v. 630 s.) Εἶτα κατασκευάζων τὸ τοῦ Ἀχιλλέως ἄγριόν φησι «σχέτλιος, οὐδὲ μετατρέπεται φιλότητος ἑταίρων», ἤτοι οὐκ ἐπιστρέφεται φιλίας, «τῆς», ἤγουν ταύτης, «ᾗ μιν παρὰ νηυσὶν ἐτίομεν ἔξοχον ἄλλων». ὃ καὶ δριμύτητα βαρεῖαν ἔχειν δοκεῖ, ὡς διὰ φιλίαν δῆθεν, οὐ μὴν δι' ἀρετήν, τιμωμένου τοῦ Ἀχιλλέως αὐτοῖς.

2.822 Καὶ ὀνειδίζει τὸ ἀνεπίστροφον τιμῆς εἶναι τὸν Ἀχιλλέα καὶ διὰ τοῦτο μηδὲ ἐσθλόν, εἴπερ ἡ τιμὴ κατὰ τὸν τοῦ Φοίνικος λόγον ἐπιγνάμπτει φρένας ἐσθλῶν. ὅθεν καὶ ἡ φιλοτιμία τῷ τῶν ἀρετῶν ἐντάττεται ὁρμαθῷ. (v. 632—9) Εἶτα καὶ σκώπτων τὸν Ἀχιλλέα ὡς πέρα τοῦ δέοντος φιλογύνην φησὶ «νηλής. καὶ μέν», ἤγουν καὶ μήν, «τίς τε κασιγνήτοιο φόνοιο ποινὴν ἢ οὗ παιδὸς ἐδέξατο τεθνειῶτος. καί ῥ' ὃ μέν», ἤγουν ὁ φονεύς, «ἐν δήμῳ μένει αὐτοῦ», ὅ ἐστιν ἐκεῖ, «πόλλ' ἀποτίσας. τοῦ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ ποινὴν δεξαμένου», ὅπερ ἐστὶ περίφρασις τοῦ· παύεται ὁ χόλος μετὰ ποινήν. «σοὶ δέ», φησίν, «ἄληκτόν τε κακόν τε θυμὸν ἐν στήθεσσι θεὸς ἔθηκεν», οὐχ' ὑπὲρ ἀδελφοῦ δηλαδὴ ἢ παιδὸς τεθνεῶτος, ἀλλὰ «εἵνεκα κούρης οἴης», ὅ ἐστι μιᾶς. «νῦν δέ τοι ἑπτὰ παρίσχομεν ἔξοχα ἀρίστας, ἄλλα τε πόλλ' ἐπὶ τῇσιν», ἤγουν σὺν ταύταις. (v. 639—41) Εἶτα κατὰ εἰσβολὴν ἐλέου γοργῶς δυσωπῶν λέγει «σὺ δ' ἵλαον θέο θυμόν, αἴδεσσαι δὲ μέλαθρον. ὑπωρόφιοι δέ τοί εἰμεν», ἤγουν ἐσμέν, «πληθύος ἐκ Δαναῶν». (v. 641 s.) Προβάλλεται δὲ εἰς παράκλησιν καὶ τὴν φιλίαν, λέγων ὃ καὶ Ἀχιλλεὺς φθάσας ὡμολόγησεν, ὅτι δηλαδὴ φίλτατοι τῷ Ἀχιλλεῖ εἰσιν οἱ πρεσβεύοντες. Φησὶ γὰρ «μέμαμεν δέ τοι ἔξοχον ἄλλων κήδιστοί τ' ἔμεναι καὶ φίλτατοι, ὅσσοι Ἀχαιοί», διὰ τὸ χρῆναι ἀνακάμπτειν τὴν

ἀληθῆ φιλίαν. Ἐπεὶ γάρ σε παρὰ νηυσίν, ὡς ἐρρήθη, ἐτίομεν ἔξοχον ἄλλων, μέμαμεν, ἤγουν προθυμούμεθα, ἐθέλομεν, καὶ αὐτοὶ ἔξοχον εἶναί σοι φίλτατοι καὶ κήδιστοι, ὃ ταὐτόν ἐστι τῷ πρὸ ὀλίγων λεχθέντι κεδνότατοι, ὡς καὶ ἐκεῖ ἐρρέθη. Καὶ γὰρ ὁ κεδνὸς καὶ ὁ κήδιστος ἐκ τοῦ κήδεσθαι παράγονται. Ἐπὶ μέντοι νεκροῦ οὔτε τὸ κεδνός οὔτε τὸ κήδιστος εἴωθε λέγεσθαι, ἀλλὰ κηδεός, ὡς ἀπὸ τοῦ κηδεύω. [Οὐκ ἄδηλον δὲ ὅτι καὶ ὁ κηδεστὴς ὁμοίαν ἔχει τοῖς ῥηθεῖσι παραγωγήν. ἐκ τοῦ κήδω μὲν γὰρ τὸ κῆδος, ἐξ οὗ ὁ κήδιστος. ἐκ δὲ τοῦ κηδέω καὶ πλεονασμῷ τοῦ υ κηδεύω ὁ, ὡς ἐρρέθη, κηδεός καὶ ὁ ἐπικήδειος δέ. Ἐκ δὲ αὐτοῦ τοῦ κηδέω, ὡς ποιέω, καὶ κατὰ κρᾶσιν κηδῶ, οὗ μέλλων κηδέσω, ὡς τελῶ τελέσω, ὁ κηδεστής.

2.823 Εἰσὶ δέ, φασί, κηδεσταὶ οἱ συνοικειούμενοι ἀλλήλοις κατ' ἐπιγαμίαν, οἵ τε διδόντες καὶ οἱ λαμβάνοντες. οἱ δ' αὐτοί, φασί, καὶ πηοί. οἱ δὲ τοιοῦτοι καὶ κῆδος ἀλλήλοις τιθέναι λέγονται. Ὅτι δὲ καὶ κηδῶ κηδήσω τὸ φροντίσω εὕρηται, προδεδήλωται]. (v. 630) Ὅρα δὲ ὅτι σχέτλιος ἀσυνδέτως εἰπὼν ἐν ἀρχῇ στίχου ἐπήγαγε, διὰ τί τοῦτο ἔφη, διότι δηλαδὴ δέον ὂν ἀνασχέσθαι καὶ τλῆναι, ὁ δὲ οὐ μετατρέπεται τῆς ἡμῶν φιλίας. Καὶ πάλιν ὁμοίως νηλής εἰπὼν ἐπιφέρει αἰτίαν τοῦ σκώμματος ταύτην. (v. 632—6) Ἀδελφοῦ μὲν γάρ τινι φονευθέντος ἢ υἱοῦ καταπράττεται τῷ φονεῖ ἔλεος, Ἀχιλλεὺς δὲ οὐκ ἐλεεῖ τὸν βασιλέα, διδόντα ποινὴν τοσαύτην ὑπὲρ μιᾶς αἰχμαλώτου τῆς Βρισηΐδος, καὶ ποινὴν οὕτω πολλαπλασίονα σὺν τῷ καὶ αὐτὴν ἀποδίδοσθαι. Ἰστέον δὲ ὅτι ἔθος παλαιὸν ἦν φονευθέντος τινὸς ποινὴν ὑπὲρ τοῦ φόνου δίδοσθαι τοῖς συγγενέσιν, εἴπερ ἐθέλοιεν, καὶ τὸν φονέα οὕτω μένειν αὐτοῦ ἐν τῷ δήμῳ, χρημάτων τὸ μὴ φυγεῖν ὠνησάμενον. Ἄλλως δέ τοι ἔφευγεν ὁ φονεὺς οὐ πλεῖον ὡς τὰ πολλὰ ἐνιαυτοῦ. (v. 633) Καὶ σημείωσαι ὅτι ἐνταῦθα κυριολεκτεῖται ἡ ποινή, φοινή τις οὖσα, ὡς διὰ φόνον διδομένη. Καιρίως δὲ λεχθὲν τὸ «ποινὴν ἐδέξατο» κεῖται καὶ κατωτέρω κατὰ σχῆμα ἐπιμονῆς ἐν τῷ «ποινὴν δεξαμένου». (v. 631) Ἰστέον δὲ ὅτι τὸ «ἔξοχον ἄλλων» ἐλλιπές ἐστι.

2.824 Λείπει γὰρ τὸ Ἀχαιῶν, διὸ κατωτέρω ἐντελέστερόν ἐστι τὸ «ἔξοχον ἄλλων ὅσσοι Ἀχαιοί». (v. 632) Τὸ δὲ «κασιγνήτοιο φόνοιο» ἢ ἀντὶ ἀδελφικοῦ φόνου καὶ νῦν, ὡς καὶ πρὸ βραχέων εἴληπται, ἢ ἀντὶ φόνου τῶν τινος ἀδελφῶν, καὶ οὐ κτητικῶς, ὡς ἐκεῖ. (v. 633) Τεθνηῶτα δὲ λέγει οὐ τὸν ἁπλῶς ἀλλὰ τὸν διὰ φόνου, κατὰ τὸν ῥηθέντα κασίγνητον. (v. 634) Ὅρα δὲ καὶ ὅτι ἀπὸ ὀνόματος τοῦ φόνου ἕτερον νοεῖται ὄνομα ἢ μετοχὴ ἀπὸ κοινοῦ ἐν τῷ «ὃ μὲν ἐν δήμῳ μένει», ὁ φονεύσας δηλαδὴ ἢ ὁ φονεύς. (v. 637) Καὶ ὅτι ἐλέανε τὴν ὕβριν ὁ Αἴας ἐν τῷ θεόθεν εἰπεῖν τῷ Ἀχιλλεῖ τὸν θυμόν. οὐ γὰρ ἔφη ὡς ἄληκτον θυμὸν ἐν στήθεσσιν ἔχεις, ἀλλὰ θεοὶ ἔθεσαν, θεόσδοτον οἷον εἰπὼν τὸν τοιοῦτον θυμόν, καὶ ὅμως διὰ τοῦ ἄληκτον καὶ τοῦ ἔθεσαν, ὡς καὶ πρὸ βραχέων διὰ τοῦ θέτο, παράμονον καὶ ἀπόθετον κότον καὶ μῆνιν, οὐ μὴν ἁπλῶς θυμὸν αὐτοῦ κατηγορῶν. (v. 635 s.) Ἐκ δὲ τοῦ ἄληκτον θυμόν ἔστι φανερῶς νοῆσαι, ὅτι καὶ τὸ «ἐρητύεται θυμός» τῆς κατὰ χόλον κινήσεως καὶ ἀγηνορίας ταὐτόν ἐστι τῷ λήγει. οὕτω γὰρ εὐοδοῦται φάναι ἀντιθετικῶς, ὡς ἐκείνου μὲν ἐρητύεται θυμός, σοὶ δὲ ἄληκτος ὁ θυμός. Ἐρητύειν δὲ κυρίως τὸ διὰ λόγου κωλύειν, ὡς ἀπὸ τοῦ ἔρω ἐρήσω, τὸ ἐρωτῶ, ἤδη δὲ καὶ λέγω. Τῶν γὰρ ὁμωνύμων καὶ τὸ εἴρειν ἐστί, δι' οὗ σὺν ἄλλοις καὶ τὸ λέγειν δηλοῦται καὶ τὸ ἐρωτᾶν. (v. 638) Τὸ δὲ τὴν μίαν οἴαν εἰπεῖν ὑποδηλοῖ, ὅτι ἀπὸ τοῦ ἴος καὶ ἴα ὁ οἶος καὶ ἡ οἴα παράγονται, ὅτε δηλοῦσι μόνωσιν. Δύναται δὲ εἶναι τὸ οἴης καὶ ἀντὶ τοῦ μόνης, ἵνα λέγῃ, ὅτι ὁ μὲν βασιλεὺς μίαν τε ἀφείλετο καὶ ἐκείνην μόνην, ἄρτι δὲ καὶ αὐτὴν καὶ ἄλλα πολλὰ δίδωσι. Τὸ δὲ «ἔξοχ' ἀρίστας» διπλῆν ἐπίτασιν ἔχει πρὸς πλείω αὔξησιν. Ἐπιτατικὸν γὰρ καὶ τὸ ἔξοχα καὶ τὸ ἀρίστας καὶ ἔστιν ὅμοιον τῷ «ὄχ' ἄριστος». (v. 639) Τὸ δὲ «θέο θυμὸν ἵλαον» δεξιῶς εἴρηται, ὡς ἐπὶ τῷ Ἀχιλλεῖ ὂν ἱλαρὸν ἑαυτὸν θέσθαι. οὐ γάρ, ὥσπερ θεόθεν θυμὸς ὁ μεγαλήτωρ, οὕτω κἀνταῦθα ἔσται, ἀλλ' αὐτὸς ἐθέλων ἱλεωθήσεται.

2.825 Ἀστείως δὲ τὸ νόημα ἔχει καὶ ἄλλως, ὡς χρεὼν ὂν μὴ κακὸν θυμὸν ἐν στήθεσσι τεθεῖσθαι, ὅ ἐστι κότον θυμοφθόρον, ἀλλὰ θυμὸν ἵλαον, ὅ ἐστι πραϋθυμίαν ἐντίθεσθαι. Οὕτω καὶ μέλι μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κειμηλιωτέον, χολὴν δὲ οὐ πάνυ τι ἄν. Ταὐτὸν δὲ εἰπεῖν «ἵληθι», ὃ καὶ ἐν Ὀδυσσείᾳ κεῖται, καὶ αὖ πάλιν περιφραστικῶς «ἵλαον θέο θυμόν». (v. 640) Τὸ δὲ «ὑπωρόφιοί ἐσμεν» σαφήνειά ἐστι τοῦ «αἴδεσσαι μέλαθρον». ὅμοιον γὰρ εἰπεῖν αἴδεσσαι μέλαθρον καὶ αἴδεσσαι τοὺς ὑπωροφίους ἡμᾶς. ἀλλὰ τοῦτο μὲν εὐνόητον, ἐκεῖνο δὲ ὑποδύσκολον ὡς οἷά τι αἴνιγμα, οὗπερ ὁ νοῦς τοιοῦτος· αἴδεσσαι τοὺς ὑπὸ τὸ αὐτό σοι μέλαθρον ἱκέτας διὰ τὸν καὶ ἑρκεῖον καὶ ἐφέστιον καὶ ἱκέσιον. Ὅτι δὲ τὸ ὁμόστεγον μέγα τοῖς ἀρχαίοις εἰς δυσωπίαν καὶ τὸ ὁμοτράπεζον, ὡς καὶ τῆς ἑστίας συμπρεσβευούσης καὶ τοῦ ἑρκείου καὶ ἐφεστίου Διός, ἐκδηλότατόν ἐστι. Καὶ τὸν Πρίαμον τοίνυν ὁ Ἀχιλλεύς που αἰδέσεται διὰ ταῦτα, ἔνθα καὶ δέδιε μὴ ἀλιτρὸς γένηται λυπήσας τὸν ἱκέτην, αἰδοῖον πάντως ὄντα, ὡς δηλοῖ καὶ ἐνταῦθα τὸ «αἴδεσσαι μέλαθρον». Τὸ δὲ «ὑπωρόφιοι» κρᾶσιν ἔχει δύο ο . τὸ ἐντελὲς γὰρ ὑποορόφιοι. τὸ δ’ αὐτὸ γίνεται καὶ ἐν τῷ ἀκρώρεια καὶ ὑπώρεια καὶ ἐν ἄλλοις, ὡς καὶ ἑτέρωθι δεδήλωται. Περὶ δὲ ὀρόφου εἴρηται σαφῶς ἀλλαχοῦ. Σημείωσαι δὲ ὅτι τὸ «ὑπωρόφιοι δέ τοί εἰμεν» ἐσχημάτισται. Ἦν μὲν γὰρ ἁπλοῦν καὶ κοινὸν εἰπεῖν· αἴδεσσαι μέλαθρον καὶ ὄροφον, διὰ τὸ λέγεσθαι πρός τινων μέλαθρον καὶ τὸν ὄροφον, εἰ καὶ ἄλλως κυρίως μέλαθρον τὸ μέσον φασὶ τῆς στέγης ξύλον τὸ καλούμενον ὑπέρτονον. καὶ ἦν μὲν τὸ ἁπλοῦν οὕτως. Ὁ δὲ ποιητὴς ἐσχημάτισε φράσας καθ’ ἕτερον νόημα τὸ «ὑπωρόφιοί ἐσμεν». Ὅτι δὲ ὡς ἐκ τῆς ἑστίας καὶ τοῦ ἕρκους, οὕτω καὶ ἐκ τοῦ μελάθρου ὁ πᾶς οἶκος νοεῖται, οὐκ ἄδηλόν ἐστι. Διὸ αἰδεῖταί τις μέλαθρον καὶ ὄροφον, εἰ τοὺς ἐντὸς ὄντας αἰδοίους ἡγεῖται καὶ ὡς οἷον ὁμαίμονας, ὅ ἐστι, κατὰ τὸν Σοφοκλῆν, ὁμογενεῖς, διὰ τὸν ἑρκεῖον Δία. [Καὶ τοιοῦτοι μὲν οἱ Ὁμηρικοὶ ὑπωρόφιοι, ταὐτὸν δ’ εἰπεῖν ὁμόστεγοι, ὁμωρόφιοι. Φάλαγγες δὲ παρὰ τοῖς ὕστερον ὑπωρόφιοι τὰ ὑπ’ αὐτοῖς ὀρόφοις ἱστουργοῦντα φαλάγγια, ὅ ἐστιν ἀράχνιά τινα].

2.826 Ἰστέον δὲ καὶ ὅτι τὸ «εἰμέν» ῥῆμα πληθυντικὸν ὑπαρκτικὸν ἀναλογώτερόν ἐστι τοῦ ἐσμέν καθ’ Ἡρακλείδην φάμενον, ὡς οὐδὲν ῥῆμα πληθυντικὸν ἐπὶ τοῦ πρώτου σύμφωνον ἔχει πρὸ τοῦ μ , ἀλλ’ ἑκάστοτε φωνῆεν. Ὡς γοῦν δίδωμι δίδομεν, φημί φαμέν, ἴσημι ἴσαμεν, καὶ συγκοπῇ ἴσμεν, ἐξ οὗ τὸ ἴδμεν, οὕτω κατὰ τὸν αὐτὸν λόγον εἰμί ἐμέν. Δωριεῖς δὲ πλεονάζουσι τὸ ς , εἰπόντες ἐσμέν. Ὅμηρος δέ, φησίν, ὅταν λέγῃ ἀπήμονές εἰμεν, προστίθησι τὸ ι , ἵνα οὕτω φωνῆεν εἴη πρὸ τῆς μεν συλλαβῆς. (v. 641) Τὸ δὲ «μέμαμεν», ὃ οὐκ ἂν εἴη πεζολογικοῦ γραφέως, ἐκ τοῦ μῶ μάσω μέμακα μεμάκαμεν συγκέκοπται. (v. 641 s.) Τὸ δὲ «ἔξοχον ἄλλων, ὅσσοι Ἀχαιοί» τεχνικὴ σύγκρισις ἐξ ὁμογενῶν. [Τὸ δὲ «ὅσσοι Ἀχαιοί» περίφρασίς ἐστι τοῦ Ἀχαιῶν.] (v. 643 s.) Ὅτι ἕκαστον τῶν πρέσβεων οἰκειούμενος, καθὰ ἔπρεπεν, ὁ Ἀχιλλεὺς ἐντίμως προσεφθέγξατο, πατρόθεν ἐκ γενεῆς ὀνομάζων καὶ αὐτὸς τὸν μὲν Ὀδυσσέα οὕτω «διογενὲς Λαερτιάδη, πολυμήχανε Ὀδυσσεῦ», τὸν δὲ παιδαγωγὸν «Φοῖνιξ, ἄττα γεραιέ, διοτρεφές», τὸν δὲ Αἴαντα «Αἶαν, διογενές, Τελαμώνιε, κοίρανε λαῶν». Οἱ δὲ κήρυκες οὐδὲν οὐδ’ ὅλως προσφωνοῦνται, ἀλλ’ ἀργὰ καὶ νῦν παρεισάγονται πρόσωπα, ὁποῖα πολλὰ καὶ ὕστερον καθ’ ὁμοιότητα ποιοῦσιν οἱ Σκηνικοί. [Τυχὸν δὲ καὶ ἀχθόμενος ἐπ’ αὐτοῖς ὡς κήρυξιν ὀκνεῖ λαλῆσαί τι αὐτοῖς, μεμνημένος, ὡς κήρυκες διεχειρίσαντο τὴν τῆς Βρισηΐδος ἀπαγωγήν]. (v. 645) Ὅτι οὐδενὶ τῶν τοῦ Αἴαντος κεφαλαίων, ὡς καὶ προερρέθη, ὁ Ἀχιλλεὺς ἀντιπίπτει, ἀλλ’ εἰπών, ὅτι «πάντα τί μοι κατὰ θυμὸν ἐείσαο μυθήσασθαι», ἤγουν ἔδοξας εἰπεῖν, προβάλλεται εἰς κώλυμα πειθοῦς τὴν εὔλογον μῆνιν. (v. 646—8) Φησὶ γὰρ «ἀλλά μοι οἰδάνεται κραδίη χόλῳ ὁππότε κείνων μνήσομαι, ὥς με ἀσύφηλον ἐν Ἀργείοισιν ἔρεξεν Ἀτρείδης, ὡς εἴ τινα ἀτίμητον μετανάστην». (v. 649) Καὶ ἐν τούτοις παύσας τὰ πρὸς τὸν Αἴαντα, οἷα συμμετρήσας τὸν λόγον τῇ ἐκείνου βραχυλογίᾳ, φησὶ κοινῶς «ἀλλ’ ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην ἀπόφασθε». (v. 650—5) Τίς δὲ ἡ ἀποφατικὴ ἀγγελία; «οὐ γὰρ πρὶν πολέμοιο μεδήσομαι αἱματόεντος πρίν γ’ υἱὸν Πριάμοιο δαΐφρονος Ἕκτορα δῖον Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι κτείνοντ’ Ἀργείους κατά τε σμῦξαι πυρὶ νῆας.

2.827 ἀμφὶ δέ τοι τῇ ’μῇ κλισίῃ καὶ νηῒ μελαίνῃ Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀΐω». Καὶ ὅρα ὅπως ὁ βραχυλογήσας Αἴας πλεῖον ἴσχυσε τῶν μακρὰς ῥήσεις κατατεινάντων, ἀνύσας πεῖσαι μεῖναι τὸν Ἀχιλλέα. Χάρις δὲ ὅμως ἐκείνοις, οἳ τὸν τοῦ ἥρωος θυμὸν οἷα καί τινα πύργον ὀχυρὸν πολιορκίᾳ μακρᾷ κατειργάσαντο. Φοῖνιξ μὲν γὰρ μέγα ἤνυσεν, ὡς καὶ προγέγραπται, Ὀδυσσεὺς δέ, εἰ καὶ μηδὲν ἀνύσαι φαίνεται, ἀλλὰ καὶ ἐκεῖνος ἔφθασεν ὑπομαλάξαι καὶ κατασεῖσαι αὐτὸν εἰπόντα, ὡς οὔ με πείσει ὁ βασιλεύς, πρὶν ἂν ἀποδώσει πᾶσαν λώβην. Σημείωσαι οὖν τὴν τάξιν τῆς ἀντιλογίας. Τῶν μὲν γὰρ τοῦ Ὀδυσσέως κεφαλαίων, ὡς καὶ προείρηται, πρὸς ἓν οὐκ ἀντεῖπεν ὁ Ἀχιλλεύς, τῶν δὲ τοῦ Φοίνικος ἑνὶ μόνῳ ἀντέπεσε, τοῖς δὲ τοῦ Αἴαντος πᾶσι συνέθετο. (v. 645) Ὅρα δὲ ἐν τῷ «πάντα τί μοι κατὰ θυμόν» ἐκ περισσοῦ κείμενον τὸ τί, ὡς καὶ ἐν τῷ οὔ τι καὶ οὕτω τι καὶ σχεδόν τι καὶ μεγαλωστί καὶ νεωστί καὶ ἑτέροις. Καὶ ὅτι τὸ «ἐείσαο» Ἀττικῶς ἔχει ἐν τῇ ἀρχούσῃ τὸ ε . ἄλλως γὰρ εἴσαό ἐστιν Ἰωνικῶς ἀπὸ τοῦ εἴδω κλιθέν, ὃ δηλοῖ τὸ δοκεῖν καὶ φαίνεσθαι. Καὶ ὅτι τὸ μέμνημαι πρὸ βραχέων αἰτιατικῇ συντάξας ἐνταῦθα γενικῇ συντάττει «ὀππότε κείνων μνήσομαι».

2.828 (v. 647) Καὶ ὅτι τὸ ἐκείνων πληθύνας κατὰ θυμὸν ῥητορικὸν ἐν τῇ ἑρμηνείᾳ τῆς λέξεως οὐ πολλά τινα λέγει, ἀλλ’ ἕν, τὸ ἀσύφηλον αὐτὸν ἐν Ἀργείοις ῥέξαι, ὅ ἐστι θεῖναι, ποιῆσαι. Ἔστι δὲ τὸ ἀσύφηλον οὐ πεζὴ ῥητορικὴ λέξις. Γίνεται δὲ ἐκ τοῦ σοφός ἄσοφος κατὰ παραγωγὴν ἀσόφηλος, καὶ Αἰολικῶς ἀσύφηλος, ὁ ἀδόκιμος καὶ εἰς μηδὲν σοφός ἢ παρὰ τὸ ἆσαι ἤτοι βλάψαι καὶ τὸ φηλῆσαι, καὶ δηλοῖ, φασί, τὸν βλαβέντα καὶ ἀπατηθέντα. Ὅτι δὲ τὸ ῥηθὲν φηλῆσαι φηλῶσαι παρὰ τοῖς παλαιοῖς ἐλέγετο κατὰ τρίτην συζυγίαν τῶν περισπωμένων, δηλοῖ καὶ Λυκόφρων, εἰπὼν «φηλώσας πρόμον», ἤγουν ἀπατήσας τὸν ἄρχοντα. Τὸ δέ γε φηλῶ φηλήσω τῶν ὕστερόν ἐστι. Διὸ καὶ τὸ «πέποιθ’ ὅ γε φιλήτῃσιν» οὐ διὰ τοῦ η ἔχει τὴν ἄρχουσαν ἐν τοῖς ἀκριβέσιν ἀντιγράφοις, ἀλλὰ διὰ τοῦ ἰῶτα. Καὶ δηλοῖ οὐκ ἀπατεῶνα ὡς ἀπὸ τοῦ φηλεῖν, ἀλλὰ κλέπτην παρὰ τὸ ὑφελεῖν, ὡς ἑτέρωθι κρειττόνως γέγραπται. Τὸ δὲ «ἐν Ἀργείοισιν» ἢ ἀντὶ τοῦ ἐν ἐπηκόῳ δήμου, ἢ μᾶλλον παρὰ τοῖς ὁμοεθνέσιν, ἐφ’ οἷς ὥσπερ γλυκεῖα ἡ ἐπαινετικὴ σύγκρισις, οὕτω πικρὸς ὁ ψόγος. Τὸ δὲ «ἔρεξεν» οὐκ ἀττικίζεται, ἀλλὰ κοινότερον ἐν ἀδιπλασιάστῳ ἀμεταβόλῳ ἐκφέρεται. Μυρία δὲ καὶ ἄλλα ὅμοια παρὰ τῷ ποιητῇ, ἔνθα τὸ μέτρον ἀπαιτεῖ. (v. 648) Ἀτίμητον δὲ μετανάστην λέγει τὸν ἄτιμον μέτοικον, οἷα τῶν μετοίκων ὡς τὰ πολλὰ οὐκ ἐντίμων ὄντων, ὡς νόθων πολιτῶν, καθὰ καὶ ἡ Ἀττικὴ πολιτεία ἐδήλου, ἐν ᾗ ξένοι μὲν τὸ μηδὲν σχεδὸν ἦσαν, πεπολιτογραφημένοι δὲ ὅμως τῶν ἰθαγενῶν ἐδευτέρευον. Σημείωσαι δὲ ὅτι τε ἡμῖν ἐναντίως Ὅμηρος λέγει τὸ ἀτίμητος. Οὐ γὰρ τὸν πολλῆς τιμῆς ἄξιον κατὰ τοὺς ὕστερον οὕτω καὶ αὐτὸς νοεῖ ἀτίμητον, ἀλλὰ τὸν οὐδεμιᾶς, καὶ ὅτι ἐκ τοῦ ἀτιμῶ ἀτιμήσω τὴν λέξιν παράγει, ὅπερ ἡμεῖς ἀτιμώσω φαμέν, ὡς καὶ πολλαχοῦ σεσημείωται.

2.829 (v. 649) Τὸ δὲ «ἔρχεσθε» καὶ «ἀπόφασθε» τὰ πάρισα καλλωπίζων ἐπίτηδες ὁ Ἀχιλλεὺς ἔθετο, οἷα φραστικῶς ἐναγλαϊζόμενος οἷς ἔκρινε σεμνῶς. Φιλόσοφος δὲ λέξις τὸ ἀπόφασθε, καὶ δηλοῖ τὸν εὐθὺς ἐπαγόμενον ἀποφατικὸν λόγον τὸ «οὐ γὰρ πρίν γε» καὶ ἑξῆς, ὡς ἀνωτέρω κεῖται. (v. 650) Τὸ δὲ «μεδήσομαι» ὡς ἀπὸ περισπωμένου ἐνεστῶτος κεκίνηται τοῦ μεδῶ μεδήσω, ὡς αἰδῶ αἰδήσω ἐπὶ ἐντροπῆς, ὅθεν ὁ αἰδήμων, καὶ ἐδῶ ἐδήσω, ἐξ οὗ ἐδητύς, ἡ βρῶσις, καὶ μειδῶ μειδήσω, τὸ γελῶ. Ὁ γὰρ μέδω βαρύτονος ἐνεστώς, ἐξ οὗ καὶ ὁ κατ’ ἀρχήν τινα μέδων γίνεται, ὡς φροντιστικὸς ὢν τῶν ἀρχομένων καὶ βουλευτικός, οὐ δύναται οἰκεῖον ἔχειν μέλλοντα, οἷον ὡς ᾄδω ᾄσω, οὕτω καὶ μέδω μέσω, διὰ συνέμπτωσιν τὴν πρὸς τὴν δοτικὴν τοῦ μέσου, ὥσπερ οὐδὲ τοῦ ἔδω ἔσω μέλλων ἐστίν, ὡς ἂν μὴ συνεμπίπτῃ τῷ ἔσω ἐπιρρήματι. Τὰ δὲ τοῦ Ἕκτορος ἐπαινετικὰ πρὸς λύπην τῶν πρέσβεων καὶ τοῦ βασιλέως ἐξαίρων ἐκεῖνον εἶπεν ὁ Ἀχιλλεύς. (v. 653) Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ «κατά τε σμῦξαι πυρὶ νῆας» ἔχει τι πρόσκομμα ἡ μέχρις αὐτοῦ εὔοδος Ἀχίλλειος φράσις. Ἦν γὰρ τὸ πάντῃ ὀρθὸν εἰπεῖν, «κατά τε σμύξαντα», πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀκολουθίαν τοῦ κτείναντα, ὃ προσεχῶς ὄπισθεν κεῖται. Ἢ γοῦν νοητέον ἀπὸ κοινοῦ τὸ πρίν καὶ τὸ Ἀργείων, ἵνα λέγῃ πρὶν σμῦξαι πυρὶ νῆας Ἀργείων, ἢ ῥητέον ὡς ἐξ ὀρθοῦ πρὸς τὸ «Μυρμιδόνων ἐπί τε κλισίας καὶ νῆας ἱκέσθαι» συνετάγη καὶ τὸ «κατασμῦξαι πυρὶ νῆας», ἵνα εἴη κατ’ εἰρωνείαν συγχωρῶν ὁ ἥρως τῷ Ἕκτορι καὶ Μυρμιδονικάς τινας καῦσαι νῆας, οὐ μὴν καὶ τὴν ἑαυτοῦ.

2.830 ἐκεῖ γὰρ ἐξ ἀνάγκης ὁ Ἕκτωρ σχήσεται. Ἔστι δὲ σμῦξαι τὸ καῦσαι ἢ καπνὸν ἐκ πυρὸς ἀναδοῦναι, ὃ καὶ τύφεσθαι λέγεται. Ἐξ αὐτοῦ δὲ καὶ τὸ χόλον ὑποσμύχειν ἢ φθόνον εἴληπται. Ἐκεῖθεν δὲ καὶ τὸ σμυγερόν ἤτοι ἐπίπονον ὡς ἀπὸ μέσου παρακειμένου ἢ δευτέρου ἀορίστου τοῦ ἔσμυγα καὶ ἔσμυγον. (v. 655) Τὸ δὲ μάχης σχήσεσθαι Ἕκτορα εἰρωνικῶς καὶ εὐφήμως ἢ καὶ ἐπιεικῶς εἶπεν ὁ Ἀχιλλεύς. ἄλλως γὰρ οὐκ ἂν ὤκνησεν εἰπεῖν ἀμφὶ τῇ αὑτοῦ κλισίῃ πεσεῖν τὸν Ἕκτορα. Ἔνθα ὅρα καὶ ὅτι πάλιν δοτικῇ συνέταξε τὴν ἀμφι πρόθεσιν, καὶ ὅτι δι’ ἀντωνυμίας δυνάμενος τὸν προσεχῶς ῥηθέντα Ἕκτορα δηλῶσαι, ὅμως ἐκφωνεῖ αὖθις αὐτὸν οἷα γέμων αὐτοῦ καὶ χαίρων τῇ προφορᾷ τοῦ τοῖς πρέσβεσι μισουμένου ὀνόματος. Ἰστέον δὲ καὶ ὅτι ἀνθρώπου λόγος νοοῦντος μὲν τὸ δίκαιον, θυμουμένου δέ, τὸ «πάντα τί μοι κατὰ θυμόν» καὶ ἑξῆς ἕως τοῦ «μνήσομαι», ὡς προγέγραπται. (v. 656 s.) Ὅτι καινόν τι σχῆμα καὶ ἐνταῦθα τὸ «οἳ δὲ ἕκαστος ἑλὼν δέπας ἀμφικύπελλον, σπείσαντες παρὰ νῆας ἴσαν πάλιν», ἤγουν ἀπῄεσαν, ὡς ταὐτὸν ὂν εἰπεῖν «οἳ δὲ ἀπῄεσαν» καὶ «ἕκαστος ἀπῄεσαν». Κεῖται δὲ καὶ ἀλλαχοῦ τὸ τοιοῦτον σχῆμα παρὰ τῷ ποιητῇ. (v. 658—60) Καὶ ἕτερον δέ τι καινοπρεπὲς συμπαράκειται σχῆμα τοιοῦτον «Πάτροκλος δ’ ἑτάροισιν ἰδὲ δμωῇσι κέλευε Φοίνικι στορέσαι πυκινὸν λέχος. αἳ δ’ ἐπιπειθόμεναι στόρεσαν λέχος, ὡς ἐκέλευεν». Οὐ γὰρ ὡς παρὰ Καλλιμάχῳ ἐν τῷ «Μοῦσαι καλαὶ καὶ Ἀπόλλων, οἷς ἐγὼ σπένδω», οὕτω καὶ ἐνταῦθα τὸ ἀρρενικὸν γένος ἐπεκράτησεν, ἀλλὰ τὸ θηλυκόν. Τάχα, φασί, διότι ἐπιτηδειότεραι πρὸς τὴν τοιαύτην ὑπηρεσίαν αἱ γυναῖκες. Τὰ πολλὰ μέντοι ἐν συντάξεσιν ἀρσενικῶν καὶ θηλυκῶν ἐπικρατεῖν φασι τὸ ἀρσενικόν, ἔστι δὲ ὅτε οὐθέτερον, ὡς καὶ ἐν τῷ «σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας».

2.831 Ὅρα δὲ ὅτι ἀνὰ δὶς ἔφη ἐν τοῖς ῥηθεῖσι τὸ ἐκέλευσε καὶ τὸ στορέσαι καὶ τὸ λέχος, εἰπὼν «στορέσαι πυκινὸν λέχος» καὶ «ἐστόρεσαν λέχος ὡς ἐκέλευε». Καὶ ὅτι οὐ μόνον ἥκοντες εἰς Ἀχιλλέα οἱ πρέσβεις ἔσπεισαν, ἀλλὰ καὶ μετὰ πρεσβείαν σπείσαντες ἐπανῆλθον, ἐνδεικνύμενοι δεῖν ἀεὶ τιμᾶσθαι τὸ θεῖον. (v. 657) Ἰστέον δὲ ὅτι τὸ «ἴσαν» δηλοῖ μέν ποτε καὶ γνῶσιν ὡς ἐν τῷ «τὰ δ’ οὐκ ἴσαν ὡς ἐτέτυκτο», ἐνταῦθα δὲ τὸ ἐπορεύθησαν σημαίνει. Καὶ εἰ μὲν κλίνεται ἀπὸ τοῦ εἶμι, τὸ πορεύομαι, τοῦ γραφομένου διὰ διφθόγγου, ὑπάγεται κανόνι τῷ βουλομένῳ τὰ εἰς μι ἐπὶ τῶν πληθυντικῶν καὶ παθητικῶν συστέλλεσθαι. Εἰ δὲ ἀπὸ τοῦ ἶμι, τοῦ γραφομένου ἐν τῇ παραληγούσῃ διὰ τοῦ ι —Διφορεῖται γὰρ τὸ εἶμι κατὰ τοὺς Τεχνικούς—, αὐτόθεν ἔχει τὸ ι , ἐκ τοῦ ἐνεστῶτος, ἀφ’ οὗ καὶ τὸ ἴτην, ἀντὶ τοῦ ἐπορεύθησαν, καὶ εἴ τι ἄλλο τοιοῦτον. (v. 661) Ὅτι δηλῶν οἷον ἦν τὸ προσεχῶς ῥηθὲν λέχος φησὶ «κώεά τε ῥῆγός τε λίνοιό τε λεπτὸν ἄωτον». Καὶ ὅρα τὴν τῶν ἡρωϊκῶν στρωμάτων εὐτέλειαν. Εἰσὶ δὲ κώεα μὲν δέρματα εὐθετηθέντα εἰς τὸ κεῖσθαι, οὗ εὐθεῖα οὐ μόνον κῶας ἀλλὰ καὶ κῶος, ἐξ οὗ κώεα, ὡς τείχεα, βέλεα. Οὕτω καὶ ὕδας καὶ ὕδος καὶ γῆρας καὶ γῆρος, ὅθεν οὐ μόνον τὸ γηροτροφεῖν ἀλλὰ καὶ ὁ παρὰ τῷ Σοφοκλεῖ γηροβοσκός. Ῥῆγος δὲ, οὗ καὶ ἐν Ὀδυσσείᾳ χρῆσις, ὡς μέν τινες, τὸ σαγίον διὰ τὰ ῥήγματα τῶν κροσσῶν, ὡς δὲ ἕτεροι, τὸ βαπτὸν ὕφασμα παρὰ τὸ ῥῆξαι, ὃ ἦν βάψαι παρὰ τοῖς παλαιοῖς.

2.832 Λίνου δὲ λεπτὸν ἄωτον σκέπασμά τι σινδονοειδές. Ἔστι δὲ ἄωτον τὸ οἱονεὶ ἀπάνθισμα καὶ κάλλιστον, ὥσπερ καὶ οἰὸς ἄωτον, ὅσον τοῦ ἐρίου ἔκκριτον. Περὶ δὲ τούτου κρειττόνως ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν γέγραπται. (v. 662) Ὅτι γεροντικὸν κοίμημα δηλοῖ τὸ «ἔνθ’ ὁ γέρων κατέλεκτο καὶ ἠῶ δῖαν ἔμιμνεν». (v. 663) Ὅτι οἴκου μὲν οἰκεῖον ἐπίθετον τὸ εὔδμητον ἤτοι εὐδόμητον, κλισίας δὲ μάλιστα τὸ εὔπηκτον διὰ τὸ εὐπαγὲς τῶν ἐρειδόντων αὐτὴν ξύλων. Ἀχιλλεὺς οὖν εὗδε μυχῷ κλισίης εὐπήκτου. οὕτω που καὶ πηκτὸν ἄροτρον λέγεται. δῆλον δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι καὶ μέγαρόν που εὔπηκτον, ὥσπερ καὶ εὔτυκτον. Ληπτέον δὲ κατὰ νοῦν ἐνταῦθα καὶ τὸ «πηκτῶν κλιμάκων ἐνήλατα», εἴτ᾽ οὖν βαθμίδας, αἳ τοῖς ἑκάτερθε μηροῖς τῶν πολεμικῶν κλιμάκων ἐνείρονται. (v. 664 s.) Ὅτι ἀφαιρεθεὶς τῆς Βρισηΐδος ὁ Ἀχιλλεὺς τῇ Λεσβίᾳ ἐχρᾶτο Διομήδῃ. Φησὶ γὰρ «τῷ δ᾽ ἄρα παρκατέλεκτο γυνή, τὴν Λεσβόθεν ἦγε, Φόρβαντος θυγάτηρ, Διομήδη καλλιπάρῃος». ἐφ᾽ ᾗ καὶ αἴνιγμα σύγκειται οὕτω πως ἔχον εἰς νοῦν, ὅτι τὸν Ἕκτορα Διομήδης ἔκτανεν ἀνήρ, ὅ ἐστιν Ἀχιλλεύς, ὁ τῆς Διομήδης ἀνήρ. Καὶ ὅρα καὶ νῦν ὅτι καλλιγύναικα καὶ τὴν προϊστορηθεῖσαν Λέσβον οἶδεν ὁ ποιητής, ὃς καὶ τὰς διδομένας τῷ Ἀχιλλεῖ ἑπτὰ γυναῖκας Λεσβίδας λέγει, αἳ κάλλει ἐνίκων ἐπὶ πᾶσαν γῆν. Ἰστέον δὲ ὅτι καιρία λέξις ἐπὶ κοιμωμένων τὸ λέγεσθαι, ἀφ᾽ ἧς καὶ τὸ λέκτρον καὶ τὸ λέχος καὶ ἀλέκτωρ τὸ ζῷον καὶ ἠλέκτωρ ἥλιος. Διὸ καὶ Ὅμηρος ἐπιμένων αὐτῇ λέγει «ἔνθ᾽ ὁ γέρων κατέλεκτο», καὶ «τῷ δ᾽ ἄρα παρκατέλεκτο γυνή», καὶ «Πάτροκλος ἐλέξατο». (v. 666—8) Ἵνα δὲ μὴ προσκορὲς εἴη τὸ τῆς ἐπιμονῆς, χρᾶται καὶ ἐλλείψει ἐνταῦθα κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα, εἰπὼν «πὰρ δ᾽ ἄρα καὶ τῷ Ἶφις ἐΰζωνος», ἤγουν παρακατέλεκτο δὲ καὶ τῷ Πατρόκλῳ ἡ Σκυρία Ἶφις, ἤγουν ἡ ἀπὸ Σκύρου νήσου, ἣν αἰπεῖαν λέγει ὁ ποιητὴς καὶ Ἐνυέως πτολίεθρον, βασιλέως δηλονότι τινός.

2.833 Φησὶ γὰρ «Ἶφις ἐΰζωνος, τήν οἱ πόρε δῖος Ἀχιλλεύς, Σκῦρον ἑλὼν αἰπεῖαν, Ἐνυῆος πτολίεθρον». Λυκόφρων δὲ ἐντεῦθεν λαβὼν αἰγίλιπα ταύτην φησίν, ὅπερ ἔοικε πρὸς τὸ αἰπεῖαν. Ὁμώνυμος δὲ τῇ ὅλῃ νήσῳ ἡ πόλις, ὃ καὶ ἐπὶ ἄλλων πολλῶν φαίνεται. Ταύτην τὴν νῆσον πρὸ τῆς ἁρπαγῆς τῆς Ἑλένης κατά τινας ἢ καὶ μετ᾽ αὐτὴν ἐπιχειρήσασαν ἀποστῆναι τῆς τοῦ Πηλέως ἀρχῆς ἢ μὴ βουλομένην συμμαχίαν παρασχεῖν ἐπιστρατεύσας εἷλεν Ἀχιλλεύς. Ἔνθα καὶ Δηϊδαμείᾳ τῇ τοῦ Λυκομήδους συνελθὼν ἐγκύμονα πεποίηκεν, ἐξ ἧς ὁ Νεοπτόλεμος. Εἰ δὲ ἀληθῆ ταῦτα, —Λέγεται δὲ καὶ ὅτι δέκα ἔτη διήγαγον Ἕλληνες τὸ στράτευμα συναγείροντες, ὡς εἶναι εἴκοσιν ἔτη ἀπὸ τῆς Ἑλένης ἁρπαγῆς ἕως ἁλώσεως Τροίας. —, ἀπορεῖν ἔστιν εὐλόγως, πῶς νεώτατος ἐστράτευσεν εἰς Τροίαν ὁ Ἀχιλλεὺς καὶ νήπιος, οὔπω εἰδὼς πολέμου κατὰ τὸν λόγον τοῦ Φοίνικος, πῶς δὲ καὶ πρὶν Ἑλένην ἁρπαγῆναι ἀριστεύειν εἶχε καὶ σὺν τῷ Πατρόκλῳ τὴν ἀποστατήσασαν Σκῦρον πολιορκεῖν. Ἕτεροι δέ φασι τὸν Ἀχιλλέα εἰρηνικῶς τε καταδραμεῖν τὴν Σκῦρον καὶ λάφυρα ἐκεῖθεν λαβεῖν. Τὴν μέντοι ἐν Σκύρῳ κρύψιν τοῦ Ἀχιλλέως καὶ τὴν θηλυστολίαν καὶ τὴν ἐν τῇ γυναικωνίτιδι θαλάμευσιν καὶ τὸν ἐκ τοῦ Παλαμήδους ἔλεγχον παντελῶς ἀγνοεῖ, φασίν, ὁ ποιητής, οὔτε κατηναγκασμένως τὸν Ἀχιλλέα πλεύσαντα εἰδώς, ἀλλ᾽ ὑπὸ πρέσβεσιν ἐσταλμένον παρὰ τοῦ πατρός, οὐδὲ μὴν ὑπὸ τῷ τοῦ Ἀγαμέμνονος ὄντα σκήπτρῳ. Περὶ δὲ τῆς νήσου Σκύρου καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ εἴρηται. Ἕτεροι δὲ Σκῦρον οὐ νῆσον ἐνταῦθα νοοῦσιν, ἀλλά τινα πόλιν τῆς νῦν μὲν Φρυγίας, πάλαι δέ ποτε Κιλικίας, ἣν πορθήσας ὡς καὶ ἄλλας ὁ Ἀχιλλεύς, ἐκεῖθεν τὴν Διομήδην ἔχει λαβών.

2.834 Σημείωσαι δὲ ὅτι παροιμία φέρεται ἀπὸ τῆς νήσου Σκύρου τὸ «ἀρχὴ Σκυρία», ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων, ἀπὸ Θησέως ληφθεῖσα, ὥς φησι Παυσανίας, ἐπειδὴ ἐπιθέμενος τῇ Λυκομήδους ἀρχῇ καὶ πειρῶν τὴν γυναῖκα ἐκείνου κατακρημνισθείη, ὡς καὶ Λυκόφρων ἱστορεῖ. Λέγει δὲ καὶ ὅτι ὀστρακισθῆναι πρῶτον Ἀθήνῃσι Θησέα ἱστορεῖ Θεόφραστος. (v. 670 s.) Ὅτι χρυσέοις κυπέλλοις υἷες Ἀχαιῶν τοὺς πρέσβεις ἐπανελθόντας δειδέχατο, τουτέστιν ἐδεξιοῦντο, «ἄλλοθεν ἄλλος ἀνασταδόν». Οἰκεῖος δὲ ὁ λόγος ἐπὶ φιλοφροσύνης δεξιωτικῆς. Ὅρα δὲ κἀνταῦθα ὡς τὸ «δεδέχατο» ἐπένθεσιν τοῦ ι ἔσχεν ὁμοίως τῷ δεικανόωντο καὶ δειδίσκετο, ἀντὶ τοῦ ἐξεφόβει, καὶ ἑτέροις πολλοῖς διὰ δακτύλου ἀπαρτισμόν. Δῆλον δὲ ὅτι ἐκ τοῦ δέδεκτο τρίτου ἑνικοῦ τὸ δεδέχατο Ἰωνικὸν γίνεται. [Τὸ δὲ «ἀνασταδόν» ὑπὸ ἀναλογίαν πίπτει τὴν τοῦ παρασταδόν καὶ τῶν ὁμοίων, ὧν ἔκ τινος τὸ συστάδην γενέσθαι δοκεῖ]. (v. 673) Ὅτι πολύαινον τὸν Ὀδυσσέα ὁ βασιλεὺς καλεῖ καὶ μέγα κῦδος Ἀχαιῶν, καθὰ καὶ τὸν Νέστορα μέγα κῦδος Ἀχαιῶν ἐρεῖ ἐν τοῖς ἑξῆς. Πάντως δὲ οὐκ ἂν ὁ μέγας Αἴας δικαίως φθονήσῃ τῷ

Ὀδυσσεῖ πρώτῳ ἐρωτωμένῳ ὑπὸ τοῦ βασιλέως περὶ τῆς πρεσβείας. Ὁμολογοίη γὰρ ἂν καὶ αὐτὸς προφέρειν αὐτοῦ τὸν Ὀδυσσέα τά γε εἰς τὸ ῥητορεύειν. Ἄλλως μέντοι, εἰπεῖν ἀνθρωπίνως, ἔχοι ἂν τὸ πρᾶγμα φθόνον, καθάπερ κατωτέρω ὑπεμφαίνεται. (v. 673—5) Ἐρωτᾷ δὲ ὁ βασιλεὺς περὶ Ἀχιλλέως «εἴπ' ἄγε, ὦ τοιέδε Ὀδυσσεῦ, ἦ ῥ' ἐθέλει νήεσσιν ἀμυνέμεναι δήϊον πῦρ ἢ ἀπέειπε», καὶ ἑξῆς, ὡς εὐθὺς ῥηθήσεται. Καὶ ὅρα ὡς κἀνταῦθα δυνάμενος εἰπεῖν «ἦ ἐθέλει», ὅμως ποιητικώτερον ἔφρασεν, ὡς ἔθος αὐτῷ, ἐπενθεὶς τὸν ῥα σύνδεσμον συναλειπτικῶς. [(v. 673) Ἰστέον δὲ ὡς, εἰ οὕτω πολύαινος ὁ Ὀδυσσεύς, καλῶς ἄρα τὸν πλείω ἔπαινον παρητήσατο ἐν τῷ «μήτ' ἄρ με μάλ' αἴνεε». Τὸ δὲ «εἶπ' ἄγε», μετρικὴ φράσις ἐστί. ἄλλως γὰρ ἄγε εἰπέ φαμεν]. (v. 675) Ὅτι ἐπὶ τοῦ διὰ χόλον ἀπειπαμένου βοηθῆσαι ἢ ἁπλῶς ὠφελῆσαι οἰκεῖον εἰπεῖν τὸ «ἀπέειπεν, χόλος δ' ἔτ' ἔχει μεγαλήτορα θυμόν». (v. 678 s.) Εἰ δὲ καὶ δῶρά τις λαμβάνων ἔκ τινος οὐ πραΰνεται, καλὸν εἰπεῖν τὸ «κεῖνός γ' οὐκ ἐθέλει σβέσαι χόλον, ἀλλ' ἔτι μᾶλλον πιμπλάνεται μένεος, σὲ δ' ἀναίνεται ἠδὲ σὰ δῶρα».

2.835 Καὶ ὅρα τὸ «σβέσαι χόλον», πάνυ ἀσφαλῶς λεχθέν. πῦρ γὰρ οἷον ὁ θυμός. Τὸ δὲ «πιμπλάνεται» ὅμοιον τῷ οἰδάνεται. ἄμφω γὰρ παρῆκται, τὸ μὲν ἐκ τοῦ οἰδῶ, τὸ δὲ ἐκ τοῦ πιμπλῶ, [οὗ παραγωγὴ κατὰ τὸ πιμπρῶ. Πρῶ γὰρ ὡς πλῶ, καὶ διπλασιασμῷ πιπρῶ ὡς πιπλῶ, καὶ πλεονασμῷ τοῦ μῦ καὶ παραγωγῇ πίμπρημι, καθὰ καὶ πίμπλημι]. Τὸ δὲ «ἔτι μᾶλλον πιμπλάνεται μένεος» παραφράζων ὁ Διομήδης ἐρεῖ «νῦν δέ μιν πολὺ μᾶλλον ἀγηνορίαις ἐνῆκας». Περὶ δὲ Ἀχιλλέως ταῦτα πάντα. Καὶ τῷ ὄντι ὁ μεγαλόθυμος ἀνὴρ παρακαλούμενος ἐν ταῖς τῶν ἐχθρῶν δυσπραγίαις ἐπὶ πλέον αὔξει τὸν θυμόν. (v. 675) Ἰστέον δὲ ὅτι, εἰ μὲν μεγαλήτορα θυμὸν νοήσει τις τὸν μεγαλόψυχον, ἔχει τι ἀδολεσχίας τὸ εἰπεῖν μεγαλόψυχον ψυχήν. Εἰ δὲ τὸ ἦτορ κἀνταῦθα ὡς καὶ ἀλλαχοῦ ἐπὶ καρδίας ληφθῇ, εὐοδοῦται μᾶλλον ὁ νοῦς, ἵνα λέγῃ θυμὸν μεγαλοκάρδιον. Ἰστέον δὲ καὶ ὅτι ὁ Ὀδυσσεὺς ἐκ τῆς πρεσβείας ἐπανελθὼν μόνα πρὸς τὸν βασιλέα συνελὼν λέγει ἅπερ αὐτὸς ἐξ Ἀχιλλέως ἤκουσεν, οἷα καὶ ὀκνῶν, ὡς εἰκός, τὰ πρὸς τοὺς ἄλλους ῥηθέντα εἰπεῖν διὰ τὸ ἐκείνων, ὡς ἐρρέθη, ἐν τῇ πρεσβείᾳ ἀνυστικώτερον. Ἐκεῖνοι γὰρ τὸν Ἀχιλλέα μᾶλλον τοῦ Ὀδυσσέως κατειργάσαντο εἰς πειθώ. καὶ οὕτω μὲν Ὀδυσσεύς. Ὁ Αἴας δέ, φασί, σιωπᾷ τὰ πρὸς αὐτὸν λαληθέντα, ἵνα μὴ ἀγαθὰ ἐλπίσαντες οἱ Ἕλληνες ἀναπέσωσιν, ἀλλ' ἐλπίδας μὴ ἔχοντες εὐψυχότερον ἀγωνίσωνται. Τυχὸν δὲ καὶ διὰ τὸ τὰς ὑποσχέσεις ἑτεροίας λαληθῆναι τοῖς τρισὶ πρέσβεσιν οὐ θέλει προσέχειν τοῖς τοῦ Ἀχιλλέως λόγοις, παλιμβουλίαν καταγινώσκων αὐτοῦ, καὶ μᾶλλον ὅτι οὐδὲ ὡρισμένον καιρὸν ἤκουσεν, ἀλλὰ ὡς ἐμπαίζων εἰρωνικῶς τότε ἀντιστῆναι τρόπον τινὰ εἶπεν Ἀχιλλεὺς τῷ Ἕκτορι, ὅτε μηκέτι εἰσὶν οἱ Ἕλληνες.

2.836 Ἔφη γὰρ τότε μελήσειν αὐτῷ τοῦ πολέμου, ὅτε Ἕκτωρ εἰς τὰ τῶν Μυρμιδόνων ἔλθῃ, ὅπερ οὐκ ἂν γένοιτο, εἰ μὴ τοὺς ἄλλους ἐκφροντίσῃ Ἀχαιοὺς ὁ Ἕκτωρ. Καὶ ἄλλως δὲ σιγᾷ ὁ Αἴας, οἷα βαρυνθεὶς ἐπὶ τῷ Ἀχιλλεῖ. διὸ καὶ ἐν τῇ πρεσβείᾳ οὐ πολλὰ ἐλάλησεν. Ἴσως δὲ καὶ βαρυθυμήσας, ὅτι μὴ πρῶτος αὐτὸς ἀλλ' Ὀδυσσεὺς ἠρώτηται μετὰ τὸ ἐπανελθεῖν, [ἤδη δέ που χόλῳ βαρυνθεὶς οἷος αὐτός, καὶ διότι εἶπεν Ὀδυσσεύς, οὐχ' ὅτι εἰσὶ καὶ οἵδε εἰπεῖν, ἅπερ ἐξ Ἀχιλλέως ἤκουσαν, ὅπερ καὶ ἐχρῆν, ἀλλὰ τάδε εἰπέμεναι, ἅπερ ἐγὼ δηλαδὴ ἔφην, ὃ δὴ μυκτῆρά τινα ἔχει, ὡς τοῦ Αἴαντος μὴ ἔχοντός τι ἄλλο παρὰ ταῦτα εἰπεῖν]. Ἐκεῖνο δὲ καὶ μάλιστα ἐνταῦθα σκοπητέον, ὡς ὁ Ὀδυσσεὺς αὐτὸ ἐκεῖνο ἄντικρυς εἶπε, τὸ πᾶν τῆς πρεσβείας ἀποτέλεσμα, τὸ «οὐ θέλει σβέσαι χόλον». Κἂν γὰρ διάφορα τὰ τῶν ὑποσχέσεων, κἂν μέλλῃ σβέσαι τὸν χόλον ὁ Ἀχιλλεύς, ἀλλὰ τὸ μὲν μέλλον ἶσον ἀπραξίᾳ κρίνει καὶ ὁ Ὀδυσσεύς. Ἐκεῖνος δὲ οὔπω τὸν χόλον ἔσβεσε. Διὸ καὶ ὁ Αἴας τέλεον σιγᾷ, ὡς τοῦ Ὀδυσσέως εἰπόντος ἐν ὀλίγῳ τὸ πᾶν. Οἱ κήρυκες δὲ οὐδὲ ἐνταῦθα λαλοῦσι. τί γὰρ ἂν καὶ ἐλάλησαν; (v. 688) Ἰστέον δὲ ὅτι τοῦ βασιλέως, καθὰ δεδήλωται, τὸν Ὀδυσσέα πρῶτον ἐρωτήσαντος, ἐκθυόμενος, ὅ φασι, τὸν ἐντεῦθεν φθόνον ὁ Ὀδυσσεὺς ἐπιφέρει τοῖς ὑπ' αὐτοῦ λεχθεῖσι τὸ «εἰσὶ καὶ οἵδε τάδ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰπέμεν, οἵ μοι ἕποντο», εἰ καὶ μηδὲν ἐκεῖνοι ἐλάλησαν, ὡς ἐρρέθη προσεχῶς. Τοῦτο δὲ διὰ τὸν Αἴαντα μόνον εἰπεῖν ἔοικεν. ὁ μὲν γὰρ Φοῖνιξ ἄπεστιν, οἱ δὲ κήρυκες μηδέν τι προσφωνηθέντες τί ἂν καὶ λαλήσωσιν; Ἐν τούτοις δὲ φράζων Ὀδυσσεύς, ἅπερ ἐκ τοῦ Ἀχιλλέως ἤκουσε, δηλῶν δὲ καὶ τὸ αἴτιον τοῦ μὴ καὶ τὸν Φοίνικα συνεπανελθεῖν, τὸ καταλέξασθαι δηλαδὴ αὖθι, καθάπερ Ἀχιλλεὺς ἀνώγει, λέγει καὶ ἀπειλὴν Ἀχιλλέως τὸ αὔριον ἀποπλεύσεσθαι. (v. 682 s.) Φησὶ γὰρ «αὐτὸς δ' ἠπείλησεν ἅμ' ἠοῖ φαινομένηφι νῆας ἐϋσέλμους ἅλαδ' ἑλκέμεν». Καὶ μὴν οὐκ ἔφη ὁ ἥρως καὶ νῦν, ὡς ἀπειλήσω δέ τοι ὧδε, ἀλλ' ἡ τοῦ Ὀδυσσέως ῥητορικὴ οὕτως ἔγνω φράσαι ὅπερ ἦν.

2.837 (v. 696—700) Ὅτι ἀκούσας Διομήδης, ὡς πιμπλάνεται μένεος ἔτι μᾶλλον ὁ Ἀχιλλεύς, καὶ ὑπερπαθήσας τοῦ βασιλέως ὄψε καὶ νῦν μετέειπε «μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα μυρία δῶρα διδούς. ὃ δ' ἀγήνωρ ἐστὶ καὶ ἄλλως. νῦν αὖ μιν πολὺ μᾶλλον ἀγηνορίῃσιν ἐνῆκας», ἤγουν ἐνέβαλες ἐπαυξήσας τὸ κακόν. Ὁ δὲ λόγος οὗτος ῥηθείη ἂν πρὸς πάντα θρασὺν καὶ ὑπερήφανον ἐπὶ πλέον θρασυνόμενον ἐν τῷ ἱκετεύεσθαι. Καὶ ὅρα εὐσχημοσύνην ἡρωϊκοῦ σκώμματος. Ἐλέανε γὰρ ὁ Διομήδης τὸ τραχὺ τῆς ἀγηνορίας διὰ τοῦ εἰπεῖν ἀμύμονα τὸν Πηλείωνα. Σημείωσαι δὲ ὅτι ὁ Διομήδης ἐκ τοῦ ἀποτελέσματος αἰτιᾶται τὴν πρεσβείαν, καίτοι μηδὲν ἀντειπών, ὅτε ὁ Νέστωρ συμβουλεύων περὶ αὐτῆς προεσημήνατο μὴ εἶναι νόον ἄλλον ἀμείνονα τοῦδε νοηθῆναι. Καὶ μὴν οὐ χρὴ ἐκ τῶν ἀποτελουμένων αἰτιᾶσθαι, ἐπεὶ καὶ ἐν τῇ β' ῥαψῳδίᾳ ἔπταισε μὲν παρὰ βραχὺ ὁ βασιλεύς, οὐκ ἡτιάθη δέ, ἀλλὰ καὶ ἐξῆρχε τῆς ἐκεῖ ἐπικινδύνου βουλῆς Νέστωρ ὁ συνετώτατος ἐφεπομένων αὐτῷ τῶν λοιπῶν. (v. 696) Τὸ δὲ «ὀψέ» πρὸς τὸ ἀνωτέρω ῥηθὲν εἴρηται τὸ «δὴν δὲ ἄνεῳ ἦσαν», τουτέστιν ἄφωνοι, οἱ Ἀχαιοί. ὅθεν σιγώντων πάντων ἐπὶ πολὺ ὀψὲ αὐτὸς λαλεῖ. (v. 693 s.) Σιωπῶσι δὲ οἱ ἄλλοι, «μῦθον», φησίν, «ἀγασσάμενοι» τὸν τοῦ Ἀχιλλέως. διὰ τί; «μάλα γάρ», φησί, «κρατερῶς ἀγόρευσεν», ὅ ἐστιν ἀπηλεγέως, ὡς προείρηται. Μετ' ὀλίγα μέντοι τὸν τοῦ Διομήδους μῦθον ἄλλως ἠγάσαντο οἱ βασιλεῖς, ἐπαινέσαντες αὐτὸν δηλαδή. (v. 698) Τὸ δὲ «μὴ ὄφελες» ἀναύξητόν τε ἐστιν Ἰωνικῶς καὶ ἀποβολὴν τοῦ ι ἔπαθεν ἐκ τοῦ ὤφειλες. (v. 701—3) Ὅτι περιφρόνησιν συμμαχίας τῆς ἔκ τινος θυμουμένου δηλοῖ τὸ «κεῖνον μὲν ἐάσομεν ἤ κεν ἴῃσιν ἤ κε μένῃ. τότε δ' αὖτε μαχήσεται, ὁππότε κέν μιν θυμὸς ἐνὶ στήθεσσιν ὀρίνῃ καὶ θεὸς ὄρσῃ». Περὶ Ἀχιλλέως δὲ ὁ Διομήδης καὶ τοῦτό φησι δηλοῦντος Ὁμήρου προαναφωνητικῶς, ἅπερ πλάσεται ἐν τοῖς ἑξῆς. Σεμνύνει δὲ ὁ Διομήδης τὸν Ἀχιλλέα καὶ ἐν τῷ «θεὸς ὄρσῃ» θεοκινήτως αὐτὸν ὁρμᾶσθαι ὑπολαλῶν. [Αἰσχύλος δ' ἂν εἴποι θεόρτως. Ἔστι γὰρ κείμενον παρ' ἐκείνῳ τὸ θέορτον, ᾧ ἀντιπαράκειται τὸ βρότειον, οἷον «θέορτον ἢ βρότειον»]. (v.

2.838 705 s.) Ὅτι προτροπὴ εἰς νυκτερινὴν ἐπιδόρπιον ἀνάπαυσιν τὸ «νῦν μὲν κοιμήσασθε τεταρπόμενοι φίλον ἦτορ σίτου καὶ οἴνοιο. τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή». Ἔπαινος δὲ τοῦτο οὐ μόνον ὕπνου, ὡς τῆς καιρίας ἀναπαύσεως συντελούσης τι καὶ εἰς ἀλκήν, ἀλλὰ καὶ σίτου καὶ οἴνου. μένος γὰρ καὶ αὐτὰ καὶ ἀλκή. Διὸ καὶ πρὸ τῶν ἔργων ἕωθεν ἐδείπνουν οἱ παλαιοί. (v. 708 s.) Ἐν τούτοις δὲ καὶ βασιλικὸν ὁ Διομήδης κρίνει οὐ μόνον τὸ λαὸν καὶ ἵππους ὀτρύνειν, ὃ δηλοῖ περιφραστικῶς τὸ ἀντιπαρατάττεσθαι, ἀλλὰ καὶ αὐτὸν προμάχεσθαι. ὃ καὶ εἰπὼν ἐπαινεῖται ὑπὸ τῶν λοιπῶν βασιλέων διὰ τὸ ἀντιπίπτειν τῇ τοῦ Ἀγαμέμνονος δημηγορίᾳ, τῇ πρὸ μικροῦ εἰπούσῃ «φεύγωμεν σὺν νηυσί» πρὸς ἣν αὐτὸς καὶ τότε ἀντεῖπε. Καὶ ὅρα ὡς ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ καὶ ὁ Διομήδης κατὰ ζῆλον τοῦ Νέστορος ἀπὸ τοῦ βασιλέως ἀρξάμενος εἰς αὐτὸν καὶ κατέληξεν, οἷα τὸν ὅλον λόγον πρὸς αὐτὸν ἐνστησάμενος. (v. 705) Καὶ ὅτι τὸ «τεταρπόμενοι» συνήθως γενικῇ συντέτακται, ληφθὲν ἀντὶ τοῦ κορεσθέντες, ἢ καὶ ἄλλως, κατὰ ἔλλειψιν, ἵνα λέγῃ ὅτι τερφθέντες διὰ τοῦ φαγεῖν καὶ πιεῖν. Ἐκ περισσοῦ δὲ μετὰ τὸ τεταρπόμενοι κεῖται τὸ φίλον ἦτορ. καὶ αὐτοῦ γὰρ ἄνευ ἐντελὴς ἡ ἔννοια. (v. 707—11) Ἡ δὲ τοῦ Διομήδους ἐνταῦθα πρὸς τὸν βασιλέα φράσις περὶ παρατάξεως τοιαύτη «αὐτὰρ ἐπεί κε φανῇ

καλὴ ῥοδοδάκτυλος Ἠώς, καρπαλίμως πρὸ νεῶν ἐχέμεν», ἤγουν ἔχε, «λαόν τε καὶ ἵππους ὀτρύνων, καὶ δ’ αὐτὸς ἐνὶ πρώτοισι μάχεσθαι», ὅ ἐστι μάχου. «ὣς ἔφαθ’, οἱ δ’ ἄρα πάντες ἐπήνησαν βασιλῆες μῦθον ἀγασσάμενοι», τὸν τοῦ ἥρωος. (v. 710) Καὶ ὅρα καὶ νῦν τὸ «ἐπήνησαν», οὗ κοινότερον τὸ ἐπήνεσαν. διφορεῖται γάρ. Χρῆσις δὲ αὐτοῦ καὶ παρ’ Ἡσιόδῳ. (v. 707) Καλὴν δὲ τὴν Ἠῶ σωματικῶς λέγει, καθὰ καὶ ῥοδοδάκτυλον. Ἡ δὲ ἀλληγορία ἑτέρως αὐτὰ πρὸς ἔπαινον συμβιβάζει πρωϊνῆς καλλονῆς. (v. 712 s.) Ὅτι καὶ ἐνταῦθα δηλοῦται, ὡς κοιμηθησόμενοι ἔσπενδον οἱ παλαιοί, καθὰ ἐν Ὀδυσσείᾳ πλατύτερον εἴρηται. Φησὶ γοῦν ὧδε, ὅτι «καὶ τότε δὴ σπείσαντες ἔβαν κλισίηνδε ἕκαστος. ἔνθα δὲ κοιμήσαντο καὶ ὕπνου δῶρον ἕλοντο», τουτέστιν, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, ἀνεκλίθησαν καθευδήσαντες, εἶτα ὕπνωσαν. ΤΕΛΟΣ ΚΑΙ ΤΗΣ ΙΩΤΑ ΕΚ ΤΩΝ ΤΗΣ ΚΑΠΠΑ Ὅτι τῆς κάππα ῥαψῳδίας πραγματειώδης μὲν ἐπιγραφικὴ δήλωσις αὕτη· Κάππα, Ῥήσου τὴν κεφαλὴν ἕλε Τυδέος υἱός, κοινὴ δὲ ἥδε· νυκτεγερσία καὶ Δολωνοφονία, καθ’ ἣν δηλαδὴ ὁ Δόλων πεφόνευται.

3.1.(t) πολλοὶ δὲ τῶν παλαιῶν καὶ Δολώνειαν ταύτην ἐκάλεσαν, ὥσπερ καὶ Πατρόκλειαν ἐν τοῖς ἐφεξῆς, ἐν ᾗ τὰ κατὰ Πάτροκλον γράφονται. Προπαροξύνονται δὲ καὶ ἄμφω αἱ τοιαῦται λέξεις, ὥσπερ καὶ Τηλεγόνεια κατὰ τὴν παλαιὰν ὀρθογραφίαν ἡ κατὰ Τηλέγονον πραγματεία, καὶ Ἡράκλεια ἡ κατὰ Ἡρακλέα, καὶ Ὀδύσσεια ἡ κατὰ Ὀδυσσέα, καὶ Ὀρέστεια, ἧς καὶ ὁ Κωμικὸς μέμνηται, ἡ κατὰ Ὀρέστην. Ὅτι δὲ τὸ κάππα στοιχεῖον κόππα κατὰ γλῶσσαν ἐλέγετο, δηλοῦσιν οἱ τὸν κοππατίαν ἵππον εἰπόντες οὕτω λέγεσθαι διὰ τὸ ἔχειν κ ἐντετυπωμένον, ὥσπερ σαμφόραν, ᾧ ς ἐγκέκοπται ἢ ἐγκέκαυται, ὅπερ οἱ Δωριεῖς ἔλεγον σάν. Ἰστέον δὲ ὅτι τὴν μεθ’ ἡμέραν δυσπραγίαν τῶν Ἀχαιῶν ἀναπληροῖ ἐν τῷ γράμματι τούτῳ διὰ δόλου νυκτερινοῦ ὁ ποιητής, ἐν ᾧ καὶ δηλοῖ ὡς τῷ σπουδαίῳ οὐδὲ ἡ νὺξ πάντῃ ἄπρακτος, οὐδὲ πεισθήσεται τῇ νυκτί, ἀλλὰ καὶ αὐτὴν εἰς ἡμέραν σχεδιάσει τῷ πόνῳ, καὶ δοιοὺς ἐξαρεῖται μισθούς, οἷς τε ἡμέρας ἐπόνησε καὶ οἷς νύκτωρ ἐνήργησεν.

3.2 ἔτι δὲ διδάσκει πραγματικῶς, ὡς οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα, ποιῶν ἀγρυπνοῦντα τὸν βασιλέα καὶ οὕτω πολλὰ καὶ καλὰ ποιοῦντα. Φασὶ δὲ οἱ παλαιοὶ τὴν ῥαψῳδίαν ταύτην ὑφ’ Ὁμήρου ἰδίᾳ τετάχθαι καὶ μὴ ἐγκαταλεγῆναι τοῖς μέρεσι τῆς Ἰλιάδος, ὑπὸ δὲ Πεισιστράτου τετάχθαι εἰς τὴν ποίησιν. (v. 1—4) Ὅτι ὁποῖόν τι ἐν τῇ β′ ῥαψῳδίᾳ εἶπεν Ὅμηρος ἐπὶ τοῦ Διός, ὁμοίως καὶ ἐνταῦθα ἐπὶ Ἀγαμέμνονος τίθησιν εἰπὼν «Ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες Παναχαιῶν εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ· ἀλλ’ οὐκ Ἀτρεΐδην Ἀγαμέμνονα, ποιμένα λαῶν, ὕπνος ἔχε γλυκερὸς πολλὰ φρεσὶν ὁρμαίνοντα». Μαλακὸν δὲ καὶ νῦν ὕπνον ἔφη τὸν μαλάσσοντα ἤτοι μαλακοποιόν, ὥσπερ καὶ ἔγχος ἄλκιμον τὸ ἀλκιμοποιόν, καὶ κῶμα δὲ μαλακόν ὁμοίως, δι’ οὗ μαλθάσσεταί τις, ὡς τὸ «μαλακὸν περὶ κῶμ’ ἐκάλυψεν». ἐντεῦθεν δὲ λαβὼν εἴρηκεν ὁ εἰπὼν τάπητας ὕπνου μαλακωτέρους. Δῆλον δὲ ὡς οἱ ῥήτορες τὸ μαλακὸν καὶ ἐπὶ βλακείας τιθέασι, καὶ ὅτι τὸν ἀλλαχοῦ νήδυμον μαλακὸν ἐνταῦθα εἶπε. Τὸ δὲ «φρεσὶν ὁρμαίνειν» πρὸς διαστολὴν λεχθὲν τοῦ ἄλλως ὁρμαίνειν, κίνησιν δηλοῖ βουλευτικήν, ἥτις ὅταν παύσηται, ἵστασθαι λέγεται, ὡς δηλοῖ τὸ «ἔστησα παρ’ ἐμαυτῷ βουλήν», καὶ τὸ «ὤμοσα καὶ ἔστησα», καὶ ὅσα τοιαῦτα. (v. 5—10) Ὅτι τοὺς πυκνοὺς βασιλικοὺς στεναγμοὺς ἀστραπαῖς ὁ ποιητὴς εἰκάζει λέγων· «ὡς δ’ ὅτ’ ἂν ἀστράπτῃ πόσις Ἥρης ἠϋκόμοιο, τεύχων ἢ πολὺν ὄμβρον ἀθέσφατον ἠὲ χάλαζαν ἢ νιφετόν, ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας, ἠέ ποθι πτολέμοιο μέγα στόμα πευκεδανοῖο, ὣς πυκινὰ ἐν στήθεσσιν ἀνεστενάχιζεν Ἀγαμέμνων νειόθεν ἐκ κραδίης, τρομέοντο δέ οἱ φρένες ἐντός». Καὶ σημείωσαι ὅτι κατὰ παλαιὰν παρατήρησιν αἱ συχναὶ πολλάκις ἀστραπαὶ ὄμβρον ἐσήμαινον πολὺν ἢ χάλαζαν ἢ νιφετὸν ἢ καὶ πόλεμον μέγαν, καὶ ὅτι ἐνταῦθα μὲν ἐπαινεῖται τῆς ἐν λόγοις μεγαλοπρεπείας ὁ ποιητής, οἷα εἰκάσας τὸν μέγαν βασιλέα Διῒ ἀστράπτοντι, ὃς διὰ τὸ τοιοῦτον ἔργον καὶ ἀστραπαῖος

ἐπωνομάζετο, ἐν δὲ Ὀδυσσείᾳ θαυμάζεται ἄλλως, ὅτι τὸν πτωχικὸν Ὀδυσσέα κατασμικρύνει τῇ εἰκόνι, ἀνδρὶ ἀπεικάσας ὀπτῶντι γαστέρα κνίσσης γέμουσαν.

3.3 Ὅλως γὰρ ὁ ποιητὴς ἄριστος εἰκονίζειν καὶ προσφυῶς τοῖς καιροῖς τά τε μεγαλεῖα ἐκτιθέναι τάς τε σμικρότητας, καί πως κατὰ τὸν εἰπόντα τὸ «πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα» ἔχει λέγειν καὶ Ὅμηρος, ὡς πρὸς τὰς ποιότητας τῶν ὑποκειμένων ἔχει καὶ αὐτὸς τὰς ἐν τῷ γράφειν μεθοδικὰς φρένας. Ὅρα δέ, ὅτι περιττότητα ὡς τὰ πολλὰ ὁ ποιητὴς ἐν ταῖς παραβολαῖς τεχνώμενος τοιοῦτος καὶ ἐνταῦθά ἐστι. τό τε γὰρ Ζεύς περιέφρασεν, εἰπὼν «πόσις Ἥρας», τουτέστιν ἀνὴρ κατὰ τὸν μῦθον, οὗ ἡ ἀλληγορία ἔκδηλός ἐστι, καὶ τὸ τὴν γῆν δὲ χαλάζῃ, μάλιστα δὲ χιόνι λευκαίνεσθαι ἁπλῶς οὕτω καὶ εἰς οὐδὲν ἀναγκαῖον παρέρριψε πλουτίζων οὕτω τὸ ἄλλως ἀπέριττον τῆς παραβολῆς. [(v. 5) Τὸ δὲ ἀστράπτειν οὐ κατὰ τὴν στεροπὴν ἀναπτύσσεται, στεροπὴ μὲν γὰρ παρὰ τὸ στερεῖν ὀπωπῆς ἤτοι ὄψεως. μύομεν γὰρ πρὸς τὰ οὕτω λαμπρά. Καὶ ἔστι πρωτόθετον τῆς στεροπῆς ἡ στέροψ. καθάπερ γὰρ ἐκ τοῦ ὂψ ὀπός ἐνοπή, οὕτως ἐκ τοῦ στέροψ στέροπος στεροπή. καὶ τοῦτο μὲν τοιοῦτον. Τὸ δὲ ἀστράπτειν, ἐξ οὗ ἡ ἀστραπή, δοκεῖ γίνεσθαι παρὰ τὸ ἀστέρας ἰάπτειν, ἤγουν ἀστεροειδεῖς θέας πέμπειν.

3.4 Τὸ δὲ τῆς Ἥρας ἠΰκομον παραλαλοίη ἂν τοὺς κομήτας, οἳ περὶ τὸν ἀέρα φαίνονταί ποτε λόγῳ διοσημιῶν.] (v. 6) Τὸ δὲ «πολὺν ὄμβρον ἀθέσφατον» ἐκ παραλλήλου ταὐτὰ νοεῖ, ὡς καὶ ἐν τοῖς ἑξῆς τὸ «δηθά τε καὶ δολιχόν», καὶ τὸ «ἐπιτέλλεαι ἠδὲ κελεύεις». (v. 7) Τὸ δὲ «χιὼν ἐπάλυνεν ἀρούρας» ἑρμηνευτικόν ἐστι πολυωνυμίας, ὡς τοῦ νιφετοῦ καὶ χιόνος λεγομένου. Τὸ δὲ παλύνειν δηλοῖ μὲν τὸ λευκαίνειν, κυρίως δὲ ἐπὶ ἀλεύρου λέγεται, ὅθεν καὶ ἡ παιπάλη. Ὁ δὲ Κωμικὸς δοκεῖ καὶ ἀντὶ τοῦ καταπάσσειν νοεῖν τὴν λέξιν ἐν τῷ «καταπαττόμενος παιπάλη γενήσομαι». καὶ ἔστι, φασί, πάλη τὸ ἀποπαλλόμενον λεπτότατον τοῦ ἀλεύρου, ἐξ οὗ καὶ τὸ παλύνειν, καὶ ἡ παιπάλη κατὰ ἀναδιπλασιασμὸν καὶ ἐπένθεσιν τοῦ ι . Εἰ δὲ λέγεται παλύνειν καὶ τὸ μολύνειν κατὰ Ἀπίωνα, λυσιτελεῖ τοῦτο εἰς τὸ «ξανθὸν κρᾶτα διεπάλυνε» παρ’ Εὐριπίδῃ, ἀντὶ τοῦ οὕτως ἐλέπτυνε, ὥστε καταπασθῆναι τὴν κεφαλὴν τῆς ἐκεῖσε γῆς καὶ μολῦναι αὐτήν. εἴη δ’ ἂν ἡ ῥηθεῖσα πάλη καὶ τοῦ παλάσσειν, ὅ ἐστι μολύνειν, πρωτότυπος, ὥσπερ καὶ τοῦ παλύνειν. Ἐξαίρετον δὲ ἴδιον νιφετοῦ τὸ «ἐπάλυνεν ἀρούρας». οὐδὲν γὰρ οὕτω γῆν παλύνει ὡς ὁ νιφετός. (v. 8) Στόμα δὲ εἶπεν ἐπὶ πολέμου διὰ τὸ ἐκείνου βορόν. ἐντεῦθεν καὶ ξιφῶν στόματα λέγονται. καὶ στομοῦσθαι δέ φαμεν σίδηρον. καὶ τὸ λέγειν δὲ «αἵματος κορέσαι Ἄρηα» τοῦ τοιούτου στόματος ἔχεται. καὶ Ὅμηρος μὲν οὕτω συντόμως εἰπὼν ἀπήλλακται, ψυχρῶς δέ τις ῥητορεύων οὐκ ἂν ὀκνήσῃ καὶ ὀδόντας τῷ τοιούτῳ στόματι ἐνθεῖναι καὶ γνάθους περιθεῖναι, ὡς ἐντεῦθεν καὶ ὀδόντας καὶ γνάθους πολέμου εἰπεῖν, καὶ τοιαῦτά τινα στωμυλεύσασθαι. Πευκεδανόν δὲ κἀνταῦθα τὸ πικρὸν ὀξυτόνως πρὸς διαστολήν.

3.5 πευκέδανον μὲν γὰρ προπαροξυτόνως βοτάνη τις οὐκ ἀγαθὴ γεύσασθαι, ἧς ὁ τόνος, ὡς τὸ ἐρυθρόδανον, ἐρευθέδανον. πευκεδανόν δὲ κατὰ ὀξεῖαν τάσιν τὸ παρεμφερὲς πευκεδάνῳ. (v. 10) Τὸ δὲ «νειόθεν ἐκ κραδίης» σαφηνιστικὸν μέν ἐστι τοῦ ἐν στήθεσσιν, ἐνδείκνυται δὲ κατὰ τοὺς παλαιοὺς ἐν καρδίᾳ εἶναι τὸ ἡγεμονικόν, ἐκεῖθεν ἠρτημένον, ὅθεν καὶ τὸ λυπεῖσθαι καὶ τὸ χαίρειν ἔχει τὰς ἀρχάς. [Συγκέκοπται δὲ τὸ νειόθεν ἐκ πρωτοτύπου τοῦ νειατόθεν, εἰ μὴ ἄρα ἐκ τοῦ νεῖος δισυλλάβου ἀρρήτου πρωτοθέτου παρῆκται, ἀφ’ οὗ παράγωγον τὸ νείατος, ὡς τρίτος τρίτατος καὶ τὰ ὅμοια. ἐξ ἐκείνου δὲ τοῦ δισυλλάβου καὶ ἡ νείαιρα.] Τὸ δὲ «τρομέοντο» γίνεται ἐκ τοῦ τρέμω τρόμος τρομῶ. οὐχ’ ὑπάγεται δὲ τῇ ἀναλογίᾳ τοῦ στρόφος στρωφῶ, τρόπος τρωπῶ, καὶ τῶν ὁμοίων. ἐκεῖνα μὲν γὰρ δευτέρας συζυγίας τῶν περισπωμένων ἐστί, τοῦτο δὲ πρώτης, καθὰ καὶ τὸ παλινδρομεῖν, γινόμενον ἐκ τοῦ δρόμος δρομῶ. Φρένες δὲ καὶ νῦν αἱ σωματικαί, περὶ ὧν ἀλλαχοῦ δεδήλωται. (v. 9 s.) Ἔτι σημειωτέον ὅτι οὐ τοσοῦτον πρὸς τοὺς βασιλικοὺς στεναγμοὺς εἴληπται ἡ παραβολὴ τῶν ἀστραπῶν—βροντὰς γὰρ ἔδει παραλαβεῖν—, ἀλλὰ μάλιστα πρὸς μόνον τὸ τοῦ στενάζειν πυκνὸν γέγονεν ἡ παραβολή. διὸ καὶ ἡ ἀπόδοσις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτῆς οὕτως ἔχει· «ὣς πυκνὰ στοναχίζετο». εἰ μὴ ἄρα τυχὸν εἴποι τις ταῖς ἀστραπαῖς συνεπινοεῖσθαι κατὰ λόγον γοργότητος καὶ τὰς βροντάς. Τινὲς δέ φασι τὴν παραβολὴν εἰλῆφθαι καὶ πρὸς τὸ διάπυρον καὶ μετὰ σκέμματος ὀξὺ τοῦ ἥρωος. τῶν δὲ βασιλικῶν στεναγμῶν δηλωτικὸν κατωτέρω καὶ τὸ «μέγα δ' ἔστενε κυδάλιμον κῆρ», ὅμοιον ὂν τῷ «ἐν στήθεσσιν ἀνεστονάχιζε», καὶ «νειόθεν ἐκ κραδίης».

3.6 Ἀστείως δὲ τοῖς Τρωϊκοῖς ὁμάδοις καὶ ταῖς ἐνοπαῖς οἱ βασιλικοὶ ἀντίκεινται στόνοι. (v. 11—6) Ὅτι ὅτε μὲν ὁ βασιλεὺς «ἐς πεδίον τὸ Τρωϊκὸν ἀθρήσειε, θαύμαζεν πυρά πολλά, τὰ καίετο Ἰλιόθι πρό», καὶ ἔτι ταῦτα δὴ τὰ οὐχ' Ἑλληνικά, «αὐλῶν συρίγγων τ' ἐνοπὴν ὅμαδόν τ' ἀνθρώπων. αὐτὰρ ὅτ' ἐς νῆάς τε ἴδοι καὶ λαὸν Ἀχαιῶν, πολλὰς ἐκ κεφαλῆς προθελύμνους ἕλκετο χαίτας ὑψόθ' ἐόντι Διΐ», ὡς δυσανασχετῶν κατ' ἐκείνου καὶ ταῖς παραβολικαῖς νιφάσιν οἷον παραμετρῶν τὰς ἐκ τοῦ κατὰ αὐτὸν οὐρανοῦ, τῆς κεφαλῆς δηλαδή, τρίχας. εἰκὸς δὲ καὶ δακρύειν αὐτὸν εἰς ἀντίμιμον τοῦ εἰρημένου τῆς παραβολῆς ὄμβρου. ὁ δ' αὐτὸς καὶ πρὸς ὁμοιότητα βροντῆς «μέγα», φησίν, «ἔστενε κυδάλιμον κῆρ». Ὅρα δὲ καὶ τὸ πολὺ τῆς λύπης, εἰ μὴ μόνον ἀγρυπνεῖ καὶ πυκνὰ στενάζει, ἀλλὰ καὶ τὰς τρίχας ἕλκεται, ἤτοι ἕλκει, καὶ τὴν θρασύτητα δὲ τῶν βαρβάρων, διακειμένων ὡς ἐπὶ πότῳ καὶ ὥσπερ πανηγυριζόντων ἢ παιανιζόντων τὰ νικητήρια. Ἰστέον δὲ ὅτι καὶ γαμηλίου ποτὲ διαθέσεως τὸ «πυρὰ πολλά, αὐλῶν συρίγγων τ' ἐνοπὴ ὅμαδός τ' ἀνθρώπων», καὶ ὅτι Ἀχαιοὶ μέν, ὡς προεγράφη, πῦρ κείαντο, Τρῶες δὲ πυρὰ πολλά. περὶ δὲ προθελύμνων τριχῶν ἐν τῇ πρὸ ταύτης ῥαψῳδίᾳ γέγραπται. (v. 17—20) Ὅτι πολλὰ σκεψαμένῳ τῷ βασιλεῖ νύκτωρ αὕτη κατὰ θυμὸν ἀρίστη φαίνετο βουλὴ ἐπὶ πρῶτον ἐλθεῖν τὸν Νέστορα διὰ τὰ περιεστῶτα δυσχερῆ, καθάπερ εἰς ἰατῆρα νόσων, ὡς οἱ παλαιοί φασιν, «εἴ τινά οἱ σὺν μῆτιν ἀμύμονα τεκτήναιτο, ἥ τις ἀλεξίκακος πᾶσι Δαναοῖς γένοιτο». Καὶ ποιεῖ οὕτως, ἑσσάμενος δέρμα λέοντος, θεὶς δὲ καὶ ἄμφ' ὤμοις ὅπλα, ὡς μετ' ὀλίγα λέγει ὁ ποιητής. (v. 25—7) Τὴν δ' αὐτὴν ὥραν ἀνέστη καὶ ὁ Μενέλαος. μᾶλλον μὲν οὖν καὶ πρὸ τοῦ Ἀγαμέμνονος. «Οὐδὲ γὰρ αὐτῷ, φησίν, «ἐπὶ βλεφάροις ὕπνος ἐφίζανε, μή τι πάθοιεν Ἀργεῖοι». Ὅτι δὲ καὶ πρὸ τοῦ βασιλέως ἐγρήγορεν ὁ ἀδελφός, δῆλον ἐξ ὧν αὐτός, ἤγουν ὁ Μενέλαος, ἀπελθὼν ἀναστῆσαι τὸν βασιλέα ὁπλιζόμενον ἔτι εὗρεν ἐκεῖνον.

3.7 διὸ καὶ ὁ βασιλεὺς ἐρεῖ πρὸς τὸν Νέστορα, ὅτι ἐμοῦ πρότερος μάλα ἠγέρθη ὁ Μενέλαος. (v. 19) Ἐν δὲ τῷ «εἴ τινα» σύνδεσμος κεῖται ἀντὶ συνδέσμου. εἴληπται γὰρ τὸ ει ἀντὶ τοῦ ὅπως ἢ τοιούτου τινὸς αἰτιολογικοῦ συνδέσμου, ἵνα λέγῃ, ὅτι ἐσκέψατο ἐπὶ τὸν Νέστορα ἐλθεῖν, ὡς ἂν σὺν αὐτῷ βουλεύσηται. ἐντεῦθεν δέ οἱ μεθ' Ὅμηρον λαβόντες ἔχουσι τὸ εἴ πως, οἷον· σπεύδω εἴ πως γένηται τόδε τι. Τὸ δὲ «τεκταίνεσθαι βουλήν» ἀπὸ τῶν τεκτόνων μετήνεκται, ὡς καὶ ἀλλαχοῦ τὸ βουλὰς ὑφαίνειν ἀπὸ τῶν ἱστουργῶν. (v. 20) Τὸ δὲ «ἀλεξίκακος», περὶ οὗ κάλλιον ἑτέρωθι κεῖται, διασαφητικὸν μέν ἐστι τοῦ «μῆτιν ἀμύμονα», δηλοῖ δὲ τὴν ἀλέγουσαν τὰ κακά. Ἐντεῦθεν δὲ λαβόντες οἱ μεθ' Ὅμηρον ἀλεξίκακον εἶπον Δία καὶ Ἀπόλλωνα καὶ Ἡρακλῆν. (v. 21—4) Ὅτι διασκευὴ νυκτεγερσίας τὸ «ὀρθωθεὶς δ' ἔνδυνε περὶ στήθεσσι χιτῶνα, ποσσὶ δ' ὑπαὶ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα, ἀμφὶ δ' ἔπειτα δαφοινὸν ἑέσσατο δέρμα λέοντος αἴθωνος, μεγάλοιο, ποδηνεκές, εἵλετο δ' ἔγχος», ὁ βασιλεὺς δηλαδή. Ἐν οἷς τὸ ἕσασθαι ἀντὶ τοῦ ἐνάψασθαι εἶπεν ὁ ποιητής. οὐδεὶς γὰρ λέοντος δέρμα ἢ παρδαλῆν ἢ λυκέην ἐνδύεται, ἀλλὰ ἐνάπτονται τὰ τοιαῦτα, ὅ ἐστιν ἀπῃώρηνται. ἔστιν οὖν ἐνταῦθα τὸ ἕσασθαι ταὐτὸν τῷ ἐπικαθίσαι νώτοις ἢ μεταφρένοις. φησὶ γοῦν μετ' ὀλίγα ἐπὶ Μενελάου, ὅτι παρδαλέῃ μετάφρενον εὐρὺ κάλυψε, καὶ ἐπὶ Διομήδους «ἀμφ' ὤμοισιν ἑέσσατο δέρμα λέοντος» ὅπερ ὅμοιόν ἐστι τῷ «ποικίλον ἀμφ' ὤμοισι σάκος θέτο», καὶ «ἀμφ' ὤμοισι τιθήμενον ἔντεα καλά», οἷον ἀσπίδα ἢ ξίφος, οὐ μὴν καὶ θώρακα. τὸν γὰρ θώρακα οὐκ ἐνάπτονται, ἀλλ' ἐνδύονται. Ἰστέον δὲ ὅτι ἐν τοῖς τοῦ Παυσανίου φέρεται, ὡς τὴν δορὰν ἀσπάθητόν τινες εἶπον χλαῖναν, ὅ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐστιν ἀνύφαντον, καὶ ὅτι ἐκ τῆς λεοντῆς ἡ κατὰ τὸν λέοντα παροιμία, τὸ «ξυρεῖν λέοντα», ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων.

3.8 καὶ τοῦτο μὲν διὰ τὴν γενναιότητα τοῦ λέοντος, ὃν οὐκ ἂν ξυρεῖν τολμήσῃ τις. Τὸ μέντοι «πόκους ὄνου» ἄλλον τρόπον ἀδύνατόν ἐστι, διὰ τὸ μὴ εἶναι πέκεσθαι ὄνον. ὅμοιον δέ πως καὶ τὸ «ἀσκὸν δέρειν». οὐ γὰρ ἂν ἐξ ἀσκοῦ δέρμα ἕτερον ἀποσυρήσεται. (v. 24) Αἴθων δὲ λέων ἢ ὁ θερμός —τοιοῦτος γάρ ἐστιν, ὡς καὶ ἐν τοῖς ἑξῆς που δηλωθήσεται—, ἢ ὁ πυρρός. Τινὲς δὲ οὕτω καλεῖσθαι εἶπον αὐτὸν διὰ τὸ εἰς τοσοῦτον στερρὰ ὀστᾶ ἔχειν, ὡς τῇ προσκρούσει σπινθῆρας ἀφιέναι. Ποδηνεκὲς δέ ἐστι μὲν τὸ τερμιόεν καὶ μέχρι ποδῶν ἐνεχθέν, ἑρμηνεία δέ ἐστι τοῦ μεγάλου. τοσοῦτον γὰρ ἦν μέγας ὁ λέων, ὥστε τὸ ἐκείνου δέρμα ποδηνεκὲς ἦν τῷ ἥρωϊ ἐκ τῶν ἄνω ἀρτώμενον. παραγωγὴ δὲ τῆς λέξεως κατὰ τὸ δουρηνεκές διηνεκές. Ἰστέον δὲ ὅτι καὶ ὁ Διομήδης ἐν τοῖς ἑξῆς ὁμοίως τῷ βασιλεῖ λεοντῆν φορεῖ, καὶ ὅτι τινὲς τῶν παλαιῶν χειμέριον στοχάζονται εἶναι τὸν καιρόν, λέγοντες πρὸς ὄμβρου σκέπην εἶναι τὴν λεοντῆν. τὸ δ' αὐτὸ σημειοῦνται καὶ ἐκ τοῦ διπλῆν ἐκταδίην χλαῖναν τὸν Νέστορα φορεῖν. ἀντιλέγονται δὲ οἱ τοιοῦτοι γενναιότατα. (v. 25) Ὅτι σχῆμα συντομίας ἐνταῦθα τὸ «ὡς δ' αὔτως Μενέλαον ἔχε τρόμος», ἤτοι καθὰ ἐπλατύνθη ὁ περὶ τοῦ βασιλέως ἀνωτέρω λόγος. (v. 25—8) Εἶτα διασαφῶν τὸ λεχθὲν ἐπάγει «οὐδὲ γὰρ αὐτῷ», τῷ Μενελάῳ δηλαδή, «ὕπνος», ὡς καὶ προερρέθη, «ἐπὶ βλεφάροισιν ἐφίζανε, μή τι πάθοιεν Ἀργεῖοι, οἳ αὐτοῦ εἵνεκα πουλὺν ἐφ' ὑγρὴν ἤλυθον ἐς Τροίην πόλεμον θρασὺν ὁρμαίνοντες», ἤγουν ὁρμῶντες τότε εἰς πόλεμον. νῦν γὰρ πολεμεῖν λέγεται, οὐ μὴν ὁρμαίνειν εἰς πόλεμον. (v. 26) Τὸ δὲ «ἐφίζανεν» ἢ σωματικῶς νοητέον, ὥσπερ που καὶ ἐπὶ δένδρου οἷα κύμινδις καθεσθῆναι ὁ ὕπνος πλάττεται, ἢ ἀντὶ τοῦ ἐνεβράδυνεν, ὡς ὑπνοῦντος μὲν τοῦ ἥρως, πλὴν οὐχ' ὕπνον, ὃν ἀλλαχοῦ μὲν εἶπε νήδυμον, ὡς καὶ μετ' ὀλίγα ἐν τῷ «οὔ μοι ἐπ' ὄμμασι νήδυμος ὕπνος ἱζάνει», ἐν δὲ τῇ ἀρχῇ τῆς ῥαψῳδίας ταύτης γλυκύν. Περιττὴ δὲ πάντως ἐνταῦθα ἡ πρόθεσις. ἄρτιον γὰρ πάντως εἰπεῖν «βλεφάροις. ἐφίζανε», καὶ αὖ πάλιν «ἐπὶ βλεφάροις ἵζανεν», ὡς δηλοῖ καὶ τὸ «ἐπ' ὄμμασιν ὕπνος ἱζάνει».

3.9 Ὅρα δὲ ὅτι ἐπὶ μὲν τοῦ βασιλέως ἔφη, ὡς οὐχ' ὕπνος αὐτὸν ἔχε γλυκερός, ἀλλαχοῦ δὲ «οὐδέ οἱ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν». ἐνταῦθα δὲ «οὐδέ οἱ ὕπνος ἐπὶ βλεφάροισιν ἐφίζανε», καθὰ καὶ μετ' ὀλίγα «οὔ μοι ἐπ' ὄμμασιν ὕπνος ἱζάνει». Τοῦτο δὲ ἀστείως εἴρηται, ὡς τῶν μὲν βαθέως ὑπνούντων βαρουμένων τὰ βλέφαρα, τῇ ἐπιπτώσει δῆθεν καὶ τῷ ἐπικαθίσματι τοῦ ὕπνου, τῶν δὲ ἀγρυπνούντων οὐκ ἐώντων ἐπικαθεσθῆναι τὸν ὕπνον καὶ συγκλεῖσαι τὰ βλέφαρα. Τὸ δὲ «μή τι πάθοιεν» ἐλλειπτικῶς ἔχει. λείπει γὰρ τὸ δεδοικότι ἤ τι τοιοῦτον, ἵνα λέγῃ, ὅτι οὐδὲ αὐτῷ ἐπῆλθεν ὑπνοῦν, πτοουμένῳ μή τι πάθοιεν οἱ Ἕλληνες. (v. 27) Καὶ τὸ «ἐφ' ὑγρήν» δὲ ὁμοίως κατ' ἔλλειψιν εἴρηται, ἴσως δὲ καὶ κατά τι ἐξαίρετον ἐπίθετον. ὡς γὰρ τὸ τραφερή καὶ τὸ ξηρά ἐπὶ γῆς, οὕτως ἐπὶ θαλάσσης τὸ ὑγρή. Τὸ δὲ «πουλύν» Ἰωνικόν ἐστιν. ὡς γὰρ θῆλυς ἐέρση, οὕτω καὶ πουλὺς ὑγρά, τουτέστι πολλὴ θάλασσα. (v. 26) Σημείωσαι δὲ καὶ ὅτι τὸ «βουλεύεσθαι μή τι πάθοιεν» βουλὴ καὶ αὐτό ἐστιν ἀμύμων καὶ ἀλεξίκακος, ὁποίαν ἐζήτει καὶ ὁ ἀδελφὸς βασιλεύς. (v. 29—33) Ὅτι ἡ νύκτερος τοῦ Μενελάου σκευὴ τοιαύτη ἦν· «παρδαλέῃ μὲν πρῶτα μετάφρενον εὐρὺ κάλυψε ποικίλῃ, αὐτὰρ ἐπὶ στεφάνην κεφαλῆφιν ἀείρας θήκατο χαλκείην, δόρυ δ' εἵλετο χειρὶ παχείῃ. βῆ δ' ἴμεν ἀναστήσων ὃν ἀδελφεόν, ὃς μέγα» καὶ ἑξῆς. (v. 29) Ἔστι δὲ καὶ νῦν παρδαλέη δορὰ παρδάλεως ἀπὸ ἀρσενικοῦ τοῦ παρδάλειος. ἐκ δὲ αὐτῆς κατὰ συναίρεσιν παρδαλῆ, ὡς λεοντέη λεοντῆ. γράφεται δὲ αὐτὴ μὲν ἀεὶ διὰ τοῦ α κατὰ τὴν ἀρχήν, τὸ δὲ ζῷον καὶ διὰ τοῦ ο , πόρδαλις, παρὰ τὸ προάλλεσθαι, μεταθέσει τοῦ ο καὶ πλεονασμῷ τοῦ δ . Ποικίλη δὲ αὕτη διὰ τὰ ἐν αὐτῇ στίγματα ὅθεν καὶ εἰς παροιμίαν ἐπὶ πανούργων κεῖται τὸ στικτὸν τῆς παρδάλεως. Τὸ δὲ «μετάφρενον εὐρύ» τὸ τοῦ ἥρωος ὡς ἐκ μέρους ἐμφαίνει ἐπιφανές, ἅμα δὲ καὶ τὸ τῆς παρδαλέης παραδηλοῖ μέγεθος, εἰ τοιοῦτον ἐκάλυψεν μετάφρενον. (v. 30) Ἡ δὲ στεφάνη εἶδος περικεφαλαίας, καθὰ καὶ ἡ κυνέη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἡ καταῖτυξ καὶ ἡ ἀμφίφαλος καὶ ἡ τετράφαλος, ὡς πολλαχοῦ φαίνεται. Οἱ δὲ παλαιοί φασι καὶ πρόβλημά τι ἔχειν τὴν ῥηθεῖσαν στεφάνην. ὡς δὲ καὶ πύργων στεφάναι λέγονται, δηλοῦται ἐν ἄλλοις. (v. 31) Τὸ δὲ «θήκατο» ἀνάλογον μέν, ἀσύνηθες δὲ λόγῳ πεζῷ.

3.10 (v. 32) Τὸ δὲ ἀναστῆσαι νῦν μὲν ἐπὶ ὑπνοῦντος ἐρρέθη, ἐν δὲ τοῖς μετὰ ταῦτα καὶ ἐπὶ νεκροῦ ἐγέρσεως ῥηθήσεται. (v. 31) Ὅρα δὲ καὶ ὅτι ἐνταῦθα μὲν εἰπὼν «δόρυ δ' εἵλετο χειρὶ παχείῃ», καιρίως εἶπε τὸ παχείῃ ἐπὶ στρατιώτου ἥρωος, ἐμφαίνων διὰ τῆς τοιαύτης καὶ πάχος δόρατος. ὅτε δὲ αὐτὸ ἐπὶ γυναικὸς εἴπῃ, κατὰ ἀκυρολεξίαν ἐρεῖ, ὡς ἑτέρωθι φανήσεται. Ἔστι δέ πως ταὐτὸν τὸ «χειρὶ παχείῃ», καὶ χειρὶ μεγάλῃ καὶ ἀνδρείᾳ. ὅθεν λαβόντες οἱ τῶν κατὰ φύσιν γνωματευταὶ μεγάλα τοῖς ἀνδρείοις εἶπον ἀκρωτήρια εἶναι ὡς ἐπὶ πολύ. Καὶ τῇ μὲν χειρὶ οὕτως ἡ ποίησις ᾠκείωσε τὸ παχύ, ποσὶ δὲ ἡρώων τὸ λιπαρὸν ἀπένειμεν, ὡς πολλαχοῦ δηλοῦται. ᾧ πάντως ἐναντίον τὸ αὐχμηρόν, ᾧ ἶσον τὸ ἀλιπές, ἔτι δὲ καὶ τὸ ἀλιπαρές, κατὰ τὸ «ἀλιπαρῆ τρίχα». ὁ δὲ τοιοῦτος ποὺς καὶ νήλιπος, οὗ ἐντελὲς ὁ νηλίπους. Ἔνθα ζητητέον διὰ τί μὴ ὥσπερ Οἰδίπους Οἰδίπος, καὶ ἀελλόπους ἀελλόπος, ἐν φυλακῇ ὁμοίᾳ τόνου, οὕτω καὶ νηλίπους νηλίπος, ἀλλὰ προπαροξυτόνως νήλιπος. [Καὶ λυτέον, ὅτι δοκεῖ μὴ ὁ ποὺς ἐγκεῖσθαι τῇ τοιαύτῃ λέξει, ἀλλ' αὐτόχρημα τὸ λίπος, ἵνα ᾖ ταὐτὸν ἀλιπὴς καὶ νήλιπος.] (v. 32 s.) Ὅτι ἐν τῷ «ὃς μέγα πάντων Ἀργείων ἤνασσε, θεὸς δ' ὣς τίετο δήμῳ» παραφράζει τὸ εὐρυκρείων. Τὸ δὲ «θεὸς δ' ὣς τίετο δήμῳ» οὐ μόνον τὸ τῶν ὑπηκόων εὐπειθὲς ἐμφαίνει, ἀλλὰ καὶ οἷον δεῖ εἶναι τὸν βασιλέα, καὶ ὅπως διακεῖσθαι χρὴ αὐτὸν πρὸς τὸ ὑπήκοον, ἵνα ὡς θεὸς ἔχοι τιμᾶσθαι. περὶ Ἀγαμέμνονος δὲ ταῦτα εἶπεν ὁ ποιητής. (v. 34) Ὅτι καὶ ἐνταῦθα κεῖται μετὰ δοτικῆς ἡ ἀμφι πρόθεσις ἐν τῷ «ἀμφ' ὤμοισι τιθήμενον ἔντεα καλά». (v. 35) Διασαφεῖται δὲ συνήθως ἐν τούτοις καὶ ὁλότης τῇ τοῦ μέρους ἐπιφορᾷ, ὡς ἐν τῷ «νηῒ παρὰ πρύμνῃ». τὸ γὰρ πρύμνῃ ἑρμηνευτικόν ἐστι τοῦ νηΐ, ἵνα λέγῃ, ὅτι τὸ νηΐ οὐκ ἐπὶ ὁλότητος νοητέον ἄρτι, ἀλλ' ἐπὶ μέρους, τῆς πρύμνης δηλαδή, ἐν ᾗ τὰ ὅπλα ἐφορεῖτο τῷ βασιλεῖ.

3.11 οἱ δὲ πλείους τῶν ἑρμηνέων ἀντίπτωσιν τὸ σχῆμά φασι, ἵνα λέγῃ νηὸς παρὰ πρύμνῃ. Ὅρα δὲ τὸ «τιθήμενον», ὡς τοῦ μέτρου ἐπιτάξαντος ἐφύλαξε τὸ η τοῦ τίθημι ἐνεστῶτος, καὶ οὐκ ἔτρεψεν αὐτὸ τῷ λόγῳ τῶν εἰς μι . (v. 35) Ὅτι φιλόφρονος ἤθους τὸ «τῷ δ' ἀσπάσιος γένετ' ἐλθών». (v. 37) Ὅτι ὡς νεώτερος ἀδελφὸς ὁ Μενέλαος ἠθεῖον προσφωνεῖ τὸν παλαιότερον ἀδελφόν, εἰπὼν «τίφθ' οὕτως, ἠθεῖε, κορύσσεαι;» Καὶ ἔστιν ἡ λέξις συγγενική, ὡς καὶ ἀλλαχοῦ δηλοῦται πλατύτερον. δῆλον δὲ ὡς οἱ μεθ' Ὅμηρον τὸν ἠθεῖον, ὥσπερ δὴ καὶ τὸν κατὰ συγγένειαν θεῖον, ἐπὶ ἑτέρου σημαινομένου ἔταξαν, τοὺς ἐνθέους οὕτω καλοῦντες. (v. 38) Ὅτι καὶ ἐνταῦθα, καὶ ἐν τοῖς ἑξῆς δέ, ἐπίσκοπον λέγει τὸν στελλόμενον εἰς πολεμίους κατάσκοπον. Φησὶ γάρ· «Τρώεσσιν ἐπίσκοπον», καὶ «νήεσσιν ἐπίσκοπον», ὃν οἱ ὕστερον πευθῆνα ἐκάλεσαν, ἐξ Ὁμήρου λαβόντες τὴν ἀφορμήν, ὡς αὐτίκα ῥηθήσεται. λέγεται δὲ καὶ σκοπὸς ὁ αὐτός. ἐρεῖ γὰρ «σκοπὸν Ἕκτορος», ὡς τῆς ἐπι προθέσεως πλεοναζούσης ἐν τῷ ἐπίσκοπος, καθὰ καὶ ἐν τῷ ἐπιβουκόλος καὶ τοῖς ὁμοίοις. Καὶ τὸ ἔργον αὐτοῦ ἐνταῦθα μὲν σκοπιάζειν ἄνδρας δυσμενεῖς, μετ' ὀλίγα δὲ διασκοπιᾶσθαι καὶ πυθέσθαι, ἀφ' οὗ ὁ ῥηθεὶς πευθήν παρωνόμασται. (v. 41) Ὅτι δὲ καὶ τολμηρὸς ὁ τοιοῦτος εἶναι ὀφείλει, δηλοῖ τὸ «μάλα κεν θρασυκάρδιος εἴη», ὡς κινδύνοις δηλαδὴ ἐπιτολμῶν. τοιοῦτος τοίνυν εἴη ἂν καὶ Ὀδυσσεύς, ὁ κατὰ τὸν ποιητὴν τλήμων, ὁ τῷ Διομήδει συσκοπιάσων ἐνταῦθα εἰς τὸν νύκτερον δόλον, οὐ μὴν κατά τινας δειλὸς ἂν κρίνοιτο, εἰ καί ποτε ἐν καιρῷ εὐλαβεῖται κίνδυνον. (v. 37 s.) Σημείωσαι δὲ ὅτι τὸ παρέργως ὑπό τινος ἐν λόγῳ παραρριφὲν ἔργον ἂν γένοιτό ποτε τῷ σπουδαίῳ.

3.12 ἰδοὺ γὰρ ὁ Μενέλαος ἰδὼν νύκτωρ τὸν ἀδελφὸν ἔνοπλον, παραρρίπτει ἐπαπορῶν, μή ποτέ τινα ἑταίρων ὀτρύνῃ Τρώεσσιν ἐπίσκοπον, τὸ δὲ ὕστερον καὶ εἰς ἔργον προβαίνει, αὐτοῦ δὴ τοῦ σοφοῦ Νέστορος εἰς τοῦτο παρακαλέσαντος. Καὶ ἔστι κἀντεῦθεν δῆλον, ὡς οὐκ ἀδύνατον τὸ αὐτὸ νόημα εἰς διαφόρους ἀνελθεῖν. Σκοπητέον δέ, εἰ τὸν Ὁμηρικὸν ἐπίσκοπον καὶ σκοπὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔστι καὶ ὀπτῆρα εἰπεῖν. ὃ δὴ παρὰ τῷ Σοφοκλεῖ κεῖται. (v. 39) Ὅτι δυσχέρειαν δηλοῖ πράξεως τὸ «δείδω, μὴ οὔ τίς τοι ὑπόσχηται τόδε ἔργον». καὶ ὅρα τὸ «ὑπόσχηται», σαφῶς ἑρμηνευθὲν καὶ κοινῶς, ὡς τοῦ στεύεσθαι καὶ τοῦ ὑφίστασθαι ποιητικωτέρων ὄντων. Ἔστι δ᾽ ἐνταῦθα ἔργον, ὃ οὐκ ἂν ὑπόσχηταί τις, τὸ νύκτωρ σκοπιάσαι. (v. 40 s.) Ἐπάγει γὰρ «ἄνδρας δυσμενέας σκοπιαζέμεν οἶος ἐπελθὼν νύκτα δι᾽ ἀμβροσίην». Καὶ ὅρα τὸ οἶος. ἀληθῶς γὰρ ὀκνηλὸν ἐν τοιούτοις ἔργοις τὸ μονῆρες. διὸ ἐν τοῖς ἑξῆς Ἑλληνικοὶ μὲν δύο σκοποὶ σταλέντες εὐοδοῦνται, ὁ δὲ Τρωϊκὸς Δόλων εἷς ὢν οὐ παλιννοστεῖ. καὶ ἔστι στρατηγικὸν παράγγελμα καὶ τὸ μὴ ἕνα τινὰ ἐν τοῖς καιριωτάτοις σκοπιάζεσθαι. δῆλον δὲ ὡς πάνυ δεξιῶς ἐν τούτοις ὁ ποιητὴς προέκθεσιν θεωρεῖ τῆς γενησομένης τῶν κατασκόπων ἀποστολῆς. (v. 43—5) Ὅτι ὁ θέλων τὴν ἀπό τινος συμβουλήν, ὅτε τις αὐτῷ εἰς ἐχθρὸν ἐκ φίλου μεταβληθείη, ἐρεῖ ἂν τὸ «χρεὼ βουλῆς ἐμὲ καὶ σὲ κερδαλέης», ὦ δεῖνα, «ἥ τίς κεν ἐρύσεται ἠδὲ σαώσει, ἐπεὶ ἡ τοῦ δεῖνος ἐτράπετο φρήν». Ἔστι δὲ τὸ μὲν «ἐμὲ καὶ σέ» ἢ ἀντίπτωσις ἀντὶ τοῦ ἐμοὶ καὶ σοί, ἢ ἐλλειπτικὸν κατὰ πρόθεσιν, ἵνα λέγῃ, ὅτι χρεία βουλῆς εἰς ἐμὲ καὶ σέ. (v. 44) Τὸ δὲ «ἥ τις ἐρύσεται» τὴν κερδαλέην ἑρμηνεύει βουλήν. κερδαλέα γὰρ ἡ σωστική, ὡς ἐρύουσα, ἤγουν φυλάσσουσα, καὶ διὰ τοῦτο ἐπικερδής, ὥσπερ αὖ πάλιν τὸ «σαώσει» ἑρμηνεία ἐστὶ τοῦ ἐρύσεται. ταὐτὸν γὰρ εἰς νοῦν τὸ ἐρύειν καὶ τὸ σαώζειν. Ὅρα δὲ ὡς ἡ πρὸ βραχέων ἀμύμων μῆτις ἡ ἀλεξίκακος ἑρμηνευθεῖσα, κερδαλέη βουλὴ ἐνταῦθα ἐρρέθη καὶ οἵα τε σαώζειν. καί εἰσι τὰ τοιαῦτα πάνθ᾽ ὅμοια κατά τινα ἐπίχυσιν λέξεων.

3.13 (v. 45) Τὸ δὲ «Διὸς ἐτράπετο φρήν», οὕτω γὰρ ἡ Ὁμηρικὴ ἔχει λέξις, συντελεῖ τι εἰς τὸ «στρεπτοὶ καὶ θεοὶ αὐτοί». (v. 46) Ὅτι τὸ «ἀποδέξασθαι θυσίαν» οὕτω φράζει περιφραστικῶς ὁ ποιητὴς ἐνταῦθα «Ἑκτορέοις ἄρα μᾶλλον ἐπὶ φρένα θῆκεν ἱεροῖς θεός», ὅ ἐστι ταῖς τοῦ δεῖνος προσέσχε θυσίαις. ἱερὰ γὰρ τὰ ἱερευόμενα λέγει. τοῦτο δὲ ὅτι καλλιερεῖν λέγεται, καὶ ἀλλαχοῦ γέγραπται. Ἕκτωρ δὲ ἐνταῦθα ὁ καλλιερῶν. ἔνθα ὅρα καὶ ὅτι οὐ μόνον ἄνδρες δωρητοί, ἀλλὰ καὶ οἱ τοῦ μύθου θεοί, οὐ μόνον ἐπὶ ἱεροῖς τιθέντες τὴν φρένα, ἀλλὰ καὶ τιμὴν ἐθέλοντες, κατὰ τὸ «οἵ σε θεὸν ὣς τιμήσουσιν». (v. 47—9) Ὅτι τοσοῦτον μέγας ὁ Ἕκτωρ δοκεῖ, ὥστε εἰπεῖν τὸν βασιλέα, ὡς «οὔ πω ἰδόμην οὐδ᾽ ἔκλυον αὐδήσαντος ἄνδρα ἕνα τοσσάδ᾽ ἐπ᾽ ἤματι μέρμερα μητίσασθαι, ὅσα Ἕκτωρ ἔρρεξε Διῒ φίλος υἷας Ἀχαιῶν». (v. 50) Εἰ δέ τις λέγει τὸν Ἕκτορα διὰ ταῦτα ὑπερτίθεσθαι καὶ αὐτοῦ τοῦ Ἀχιλλέως, ἴστω ὅτι λύει τὸ ἄπορον ὁ βασιλεύς, προσθεὶς τὸ αὔτως, ἤτοι οὕτως ἁπλῶς, «οὔτε θεᾶς», φησίν, «υἱὸς φίλος οὔτε θεοῖο». Ἀχιλλεὺς μὲν γὰρ καὶ τοιαῦτα καὶ μείζω δράσας οὐκ ἂν ἐκπλήξοι τινά. ἐκ θεᾶς γάρ. ὁ Ἕκτωρ δὲ ἁπλῶς ἀνήρ. (v. 51 s.) Εἶτα καὶ παραφράζων καὶ ἑρμηνεύων τὸ ῥηθέν, περὶ ὧν ὁ Ἕκτωρ ἠνδραγαθήσατο, φησὶ «ἔργα δ᾽ ἔρεξ᾽, ὅσα φημὶ μελησέμεν Ἀργείοις δηθά τε καὶ δολιχόν». (v. 52) Οἷς ἐπάγει κομματικῶς τὸ «τόσα γὰρ κακὰ μήσατ᾽ Ἀχαιούς», ὃ πάνυ γοργῶς παραφρασθὲν ταὐτόν ἐστι τῷ «τοσσάδ᾽ ἐπ᾽ ἤματι μέρμερα μητίσασθαι» καὶ ἑξῆς, καὶ τῷ «ἔργα δ᾽ ἔρεξε» καὶ ἑξῆς. καὶ ὅρα ὅτι ἀγωνιῶν ὑπὸ θαύματος ὁ βασιλεὺς ταὐτολογεῖ, καὶ οὐ μόνον ἐν ἐννοίαις, ἀλλὰ καὶ κατὰ λέξιν, ἐν τῷ «δηθά τε καὶ δολιχόν». Τὰ δὲ ῥηθέντα Ὁμηρικὰ ἔπη καὶ εἰς πάντα στρατιώτην καὶ στρατηγὸν ἁρμόσουσιν ἡρωϊκῶς ἀνδραγαθήσαντα (v. 47) Ἰστέον δὲ ὅτι ἐν τῷ «οὐδ᾽ ἔκλυον αὐδήσαντος» λείπει τὸ τινός, ἵνα ᾖ τὸ τέλειον «οὐδ᾽ ἔκλυόν τινος εἰπόντος», ὥσπερ καὶ ἐν τῷ ἔρρεξεν υἷας Ἀχαιῶν, καὶ ἐν τῷ «κακὰ μήσατ᾽ Ἀχαιούς» λείπει πρόθεσις ἡ εἰς. Οἰκεῖος δὲ καὶ ὁ τοιοῦτος σχηματισμὸς ἀγωνιῶντι ἀνδρὶ καὶ ἐπισπερχομένῳ φράζειν. (v. 48) Τὸ δὲ «ἐπ᾽ ἤματι» πρὸς ἀκρίβειαν εἴρηται. Μητίσεται μὲν γάρ τις τοσσάδε μέρμερα, πλὴν ἐν πολλαῖς, καὶ οὐκ ἐν ἡμέρᾳ μιᾷ.

3.14 Λέγει δὲ μητίσασθαι τὸ πρᾶξαι, τὸ τέλος φράσας ἐκ τῶν πρὸ τοῦ τέλους. διὸ καὶ ἑρμηνεύων ἔφη τὸ «ὅσσ᾽ Ἕκτωρ ἔρρεξε», καὶ τὸ «ἔργα δ᾽ ἔρεξεν». ὥσπερ καὶ τὸ «ὅσα φημὶ μελησέμεν Ἀργείοις» ἑρμηνευτικόν ἐστι τοῦ μέρμερα μητίσασθαι. Μερμερίζειν γὰρ καὶ μέλεσθαι τῆς αὐτῆς ἐννοίας

εἰσί. (v. 49) Τὸ δὲ «Διῒ φίλος» ἔχει μέν τι καὶ καταβλητικὸν τῆς τοῦ Ἕκτορος ἀριστείας, ὡς μὴ ἐξ ἑαυτοῦ ἀλλὰ θεόθεν κατορθοῦντος, πλεῖον δὲ ἄλλως ἔχει τὸ σεμνόν, ὡς θεοφιλοῦς ὄντος τοῦ ἥρωος καὶ διὰ τοῦτο ἀνύοντος ὅσα καὶ θεᾶς υἱὸς ἢ θεοῖο. (v. 49—51) Ὅρα δ’ ἐν τούτοις ὅτι τε τὸ ἔρρεξε διχῶς προήγαγε, πρῶτα μὲν Ἀττικῶς ἐν δυσὶ ρ , ἔπειτα κοινῶς ἐν ἑνί, καὶ ὅτι φανερῶς ἀποφάσκει ὁ ποιητὴς μὴ θεογενῆ τὸν Ἕκτορα εἶναι, εἰ καὶ ἕτεροι ἄλλα λογοποιοῦσιν, ἐν οἷς καὶ ὁ Λυκόφρων Πτῴου πατρὸς μυθευσάμενος ἐκγενέσθαι τὸν Ἕκτορα. Σημείωσαι δὲ καὶ ὡς οὐκ ἔκρινε δεῖν ἄρτι προενεγκεῖν ὁ βασιλεὺς τὸ τοῦ Ἀχιλλέως ὄνομα, αἰνίττεται δὲ μόνον ἐκεῖνον ἐν τῷ «οὔτε θεᾶς υἱός». (v. 53—5) Ὅτι ἀλείπτου λόγος τό· ἀλλ’ ἴθι, νῦν τοὺς δεῖνα κάλεσσον, ἐγὼ δ’ ἐπὶ τὸν δεῖνα εἶμι καὶ ὀτρυνέω ἀνστήμεναι. Ἐνταῦθα δὲ παιδεύει διὰ τοῦ Ἀγαμέμνονος ὁ ποιητὴς αὐτοδιακόνους εἶναι καὶ τοὺς βασιλεῖς. τὸν μὲν γὰρ ἀδελφὸν πέμπει Αἴαντε καλέσαι καὶ Ἰδομενῆα, αὐτὸς δ’ ἐπὶ Νέστορα δῖον ἰέναι φησίν, «αἴ κ’ ἐθέλῃσιν ἐλθεῖν» καὶ ἑξῆς. βιάσασθαι γὰρ τὸν γέροντα οὐ βούλεται. (v. 56) Ὅτι τὸ τῶν φυλάκων στίφος τέλος ἱερὸν καλεῖ, ὅ ἐστι τάγμα θεῖον, ἐπειδὴ τοῖς ἄλλοις καθεύδουσιν ἄδειαν αὐτοὶ παρέχουσιν ἐγρηγορότες. ὅλως γὰρ ἱερὸν εἶναι πᾶν δοκεῖ τὸ τῶν ἀνθρώπων φυλακτικόν. οὕτω καὶ πόλεων τείχη ἱερὰ λέγει. [Καὶ Σοφοκλῆς δὲ διὰ λόγον ὅμοιόν τινα τὴν γῆν ἱερὰν ἔφη.] Οἱ μέντοι γλωσσογράφοι ἱερόν τὸ μέγα φασί, ὡς καὶ ἱερός, φασίν, ἰχθὺς ὁ μέγας. Τὸ δὲ τέλος ἑξαχῶς εὕρηται παρὰ τοῖς παλαιοῖς. Σημαίνει γὰρ τὸ στρατιωτικὸν σύνταγμα, ὡς ἐνταῦθα, καὶ τὸ τῶν πραγμάτων πέρας, καὶ τὴν ταῖς πόλεσι φοιτῶσαν πρόσοδον, καὶ τὸ ἀξίωμα, ὡς παρὰ Θουκυδίδῃ καὶ Ξενοφῶντι, καὶ παρ’ Εὐριπίδῃ δὲ ἐν τῷ «τοῖς ἐν τέλει βεβῶσι πείσομαι».

3.15 δηλοὶ δὲ καὶ δαπάνημα, ὡς Εὐριπίδης «μάτην δ’ εἰκοστὸν τόδ’ ἐκβαίῃ τέλος», καὶ τὴν μυστικὴν καὶ οὕτω τελειοποιὸν ἑορτήν, ὅθεν καὶ ἡ τελετὴ λέγεται καὶ τελεῖσθαι τὸ μυεῖσθαι καὶ τελούμενοι οἱ τὰ μυστικὰ διδασκόμενοι. Σύστοιχον δὲ τῇ τοιαύτῃ σημασίᾳ καὶ τὸ δηλοῦν τὴν θυσίαν τέλος, οὗ χρῆσις καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «τέλη ἔγκαρπα», ὃ ἀλλαχοῦ διασαφῶν ἔφη «θύματα πάγκαρπα». (v. 57—9) Ὅτι τὸ «σημαίνειν φυλάκεσσιν», ἤγουν προΐστασθαι τῶν φυλάκων, τῷ Νεστορίδῃ Θρασυμήδει μᾶλλον ἐπιτέτραπτο, καὶ τῷ Κρητικῷ Μηριόνῃ, οἳ καὶ τῶν ἄλλων ἑκατοντάρχων προεῖχον, ὡς δηλοῖ τὸ «τοῖσι γὰρ ἐπετράπομέν γε μάλιστα». Καὶ ὅρα ὅτι τε καὶ νῦν τὸ σημαίνειν δοτικῇ συντέτακται, καὶ ὡς ἀρχικὴ λέξις κἀνταῦθα τὸ ἐπιτρέπειν, ἀφ’ ἧς καὶ ὁ ἐπίτροπος. Τὸ δὲ «μάλιστα» διὰ τοὺς λοιποὺς ἑκατοντάρχους εἴρηται, καὶ αὐτοῖς μὲν γὰρ ἐπιτέτραπτο σημαίνειν, μάλιστα δὲ τοῦτο ἦν τῷ Θρασυμήδει καὶ τῷ Μηριόνῃ. (v. 61—3) Ὅτι ὑπουργικὴ ἐρώτησις τὸ «πῶς γάρ μοι μύθῳ ἐπιτέλλεαι ἠδὲ κελεύεις; αὖθι μένω, δεδεγμένος εἰς ὅκεν ἔλθῃς, ἠὲ θέω μετά σε αὖτις;» Καὶ ὅρα κἀνταῦθα τὸ μὲν αὖθι ἀντὶ τοῦ αὐτόθι ληφθέν, τὸ δὲ αὖτις ἀντὶ τοῦ πάλιν, ὅ ἐστιν ὄπισθεν, τὸ δὲ μένω καὶ θέω ἀντὶ μελλόντων τοῦ μενῶ καὶ τοῦ θεύσω, τουτέστι δραμοῦμαι. Δεδεγμένος δὲ ὁ ἀναμένων καὶ προσδεχόμενος. Ἔστι δέ ποτε ἡ λέξις καὶ πολεμική, ὡς ἐν τῷ «ἠὲ σὺ τόνδε δέδεξο», ἤγουν ἀντίστηθι νόμῳ μάχης. (v. 65) Μετὰ δὲ ταῦτα κεῖται καὶ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ τὸ «αὖθι μένειν» ἀντὶ τοῦ μένε.

3.16 ὅπου καὶ δείκνυται ἀριδήλως ὅτι τὰ ἀντὶ προστακτικῶν ἀπαρέμφατα λαμβανόμενα κατ’ ἔλλειψιν προαιρετικοῦ ῥήματος οὕτω σχηματίζονται, ὡς καὶ ἀλλαχοῦ εἴρηται. Προηγησαμένου γάρ, ὡς ἐρρέθη, τοῦ ἐπιτέλλεσθαι ῥήματος καὶ τοῦ κελεύειν, ἐν τῷ «πῶς γάρ μοι ἐπιτέλλεαι ἠδὲ κελεύεις; αὖθι μένω» καὶ ἑξῆς, ἐπάγει ὁ ἐρωτηθεὶς αὖθι μένειν, ὅπερ εἰ καὶ ἀντὶ τοῦ μένε κεῖται, ἀλλ’ ἐντελῶς οὕτω νοεῖται· ἐπιτέλλομαι καὶ κελεύω σοι αὖθι μένειν. διαδείκνυσι δὲ μάλιστα σαφῶς τὴν τοιαύτην ἔλλειψιν ὁ Ἡσίοδος. (v. 65 s.) Ὅτι ὅτε εἴπῃ ὁ βασιλεὺς τῷ Μενελάῳ «αὖθι μένειν, μή πως ἀβροτάξομεν ἀλλήλοιϊν ἐρχομένω», ἤγουν ἐρχόμενοι, «πολλαὶ γὰρ ἀνὰ στρατόν εἰσι κέλευθοι», δῆλός ἐστιν Ὅμηρος ἔμπειρος ὢν τῆς ἐν τοῖς τακτικοῖς ἀρχιτεκτονικῆς, ὡς οἱ παλαιοί φασιν. εἰς πολλὰς γὰρ ὁδοὺς τέμνει τὸ ναύσταθμον, ἵνα ταχέως

ἀπὸ τῶν σκηνῶν ἀπαντῶσι πρὸς βοήθειαν τοῖς ἔξω. Ἔστι δὲ ἀβροτάζειν ἢ τὸ βροτοῦ ἀποτυγχάνειν ἐν ὁδῷ, ἢ τὸ ἐν ἀβρότῃ, τουτέστι νυκτί, ἀποπλανᾶσθαι. Ἐν δὲ παλαιῷ κατὰ στοιχεῖον Λεξικῷ γράφει οὕτως· ἀβρόταξις· ἁμαρτία, διαμφόδησις, καὶ ἀβροτάξομεν διαμφοδήσομεν, ἁμαρτήσομεν ἀλλήλων. καὶ ὅρα τὸ διαμφοδῆσαι παρὰ τοῖς παλαιοῖς ἀντὶ τοῦ ὧδε καὶ ἐκεῖ τράπεσθαι καὶ ἀστοχῆσαι τῆς ὀρθῆς ἀμφόδου. καὶ ἔοικε παρῆχθαι τὸ διαμφοδεῖν ὁμοίως τῷ διαφωνεῖν. Κέλευθοι δὲ φανερῶς ἐνταῦθα αἱ περὶ γῆν ὁδοί. (v. 67) Ὅτι στρατηγικὸν παράγγελμα καὶ τὸ τὸν νυκτὸς περιϊόντα ἐν στρατῷ φθέγγεσθαι, ὅπουπερ ἂν ἔλθῃ, ὡς ἂν ἐπιγινωσκόμενος μὴ διδῷ ὑπονοεῖν ἔφοδον πολεμίων. Διό φησιν ὁ βασιλεὺς τῷ ἀδελφῷ «φθέγγεο δ' ᾗ κεν ἴῃσθα καὶ ἐγρήγορθαι ἄνωχθι». Καὶ ὁ Νέστωρ δὲ μετ' ὀλίγα οὕτως ἀνιστᾷ τὸν Ὀδυσσέα, καὶ πρὸς τὸν βασιλέα δὲ ἐρεῖ κατὰ σχῆμα κάλλους παρισωτικὸν «φθέγγεο, μήδ' ἀκέων ἐπ' ἔμ' ἔρχεο». Ἔνθα καί φασιν οἱ παλαιοί, ὅτι τοῦτο λέγει ὁ γέρων δεδιὼς μήποτε ὁ υἱὸς Θρασυμήδης ἐκλέλοιπε τὴν τῶν φυλάκων τάξιν, καὶ ὅτι οὔπω εἶχον πότε ἐν πολέμοις συνθήματα. εἰ γὰρ ἦσαν, διεδήλουν ἂν ἑαυτοὺς τοῖς γνωρίμοις οἱ νύκτωρ βαδίζοντες.

3.17 [Ἔστι δ' εἰπεῖν καὶ ὡς ὀκνεῖ τὴν ἡσυχῇ πορείαν τοῦ βασιλέως νύκτωρ ὁ σοφὸς γέρων, οὐ μόνον διὰ τραῦμα ἐπιβούλου τινός, ἀλλὰ καὶ ἵνα μὴ θόρυβος γένηται, ὅς ποτε μεγάλα βλάπτει τὸν στρατόν, καθὰ καὶ οἱ νύκτεροι πτυρμοὶ τῶν ἵππων δηλοῦσιν οἱ πολλοὺς βλάψαντες. Ἡ δὲ ἱστορία λέγει καὶ ὅτι Σάμιοι πλεύσαντες εἰς Σύβαριν καὶ κατασχόντες τὴν Σιρῖτιν χώραν, ἤγουν τὴν περὶ πόλιν Σῖριν, περδίκων ἀναπτάντων καὶ ποιησαμένων ψόφον ἐκπλαγέντες ἔφυγον καὶ ἀπέπλευσαν.] (v. 67) Ἰστέον δὲ ὅτι τὸ ἐγρήγορθαι τὰ πλείω τῶν ἀντιγράφων προπαροξύνουσιν ὡς Αἰολικόν. ἄλλως γὰρ παροξύνεσθαι ὀφείλει ὡς παθητικὸς παρακείμενος. ὡς γὰρ κέκοπα μέσος παρακείμενος καὶ μετὰ τῆς αὐτῆς παραληγούσης κέκοφα ἐνεργητικός, ὁμοίως καὶ κέκλοπα κέκλοφα, οὕτως οὐ μόνον ἐγρήγορα μέσος παρακείμενος Ἀττικός, ἀλλ', ὡς εἰκός, καὶ ἐγρήγορκα, οὗ παθητικὸς ἐγρήγορμαι, ἐξ οὗ τὸ ἐγρηγόρθαι κοινῶς. Ἕτεροι δὲ ἐκ τοῦ ἐγρηγορῆσθαι παρακειμένου αὐτὸ συγκεκόφθαι φασίν. Ἀπίων δὲ καὶ Ἡρόδωρός φασιν, ὡς τὸ ἐγρήγορθαι οὐκ ἐχρῆν προπαροξύνεσθαι, εἴτε συνεκόπη, ὡς εἴρηται, εἴτε ἀπὸ τοῦ ἔγρω γίνεται. μία δέ, φασίν, ἀφορμὴ αὕτη τοῦ δύνασθαι τονοῦσθαι οὕτω. Τὰ εἰς θαι , τῇ ορ συλλαβῇ παραληγόμενα, Αἰολικά εἰσι· τέτορθαι, μέμορθαι, ἔφθορθαι. ἐπεὶ οὖν καὶ τοῦ ἐγρήγορθαι ἡ παράληξις Αἰολικωτέρα ἐστί, πίπτει καὶ τόνος ὅμοιος τοῖς προκειμένοις.

3.18 [Χρὴ δ' ἐνταῦθα ἐπισημήνασθαι ὡς οὐ, καθὰ ἐκ τοῦ κλέπτω διπλοῦς λαλεῖται παρακείμενος ἐν παραληγούσῃ μιᾷ, οὕτω καὶ ἐπὶ τοῦ πέμπω γίνεται. ἀλλ' ἐκεῖ ὁ μὲν πέπομφα χρῆσιν ἔχει, ὁ δὲ καθαρὸς μέσος παρακείμενος σεσίγηται διὰ κακοφωνίαν. Ὡς γὰρ μισεῖται ὁ ἐκ τοῦ δείδω μέσος παρακείμενος δέδοιδα, δι' ὃν ἀποτελεῖ ψελλισμὸν ἐκ τῶν συχνῶν ἀφώνων, οὕτω καὶ ὁ ἐκ τοῦ πέμπω πέπομπα, δι' ὃν ποιεῖ βομβώδη κόμπον, οὗπερ ἀκούσας ὁ Κωμικὸς ἔπαιξεν ἄν, οἶμαι, καὶ εἰς αὐτὸν τὸ βομβαλοβομβάξ. Προσεπιθεωρητέον δὲ τούτοις καὶ ὅτι τὸ λέλογχα ἐν μιᾷ ταύτῃ φωνῇ καὶ τὸ οἰκεῖον σύμφωνον ἔχει καὶ τὸ τοῦ ἐνεργητικοῦ. τοῦ λέγω γὰρ ἐνεργητικὸς μὲν ὁ λέλεχα ἐν τῷ χ , μέσος δὲ ὁ λέλογα ἐν τῷ γ , σημαίνει δὲ τὸ ἐξ ἐπιλογῆς ἔσχον εἰς λάχος. Πίνδαρος, «ἀκέρδεια λέλογχε θαμινὰ κακαγόρους». οἶδε δὲ τὴν λέξιν καὶ Θεόκριτος.] Τὸ δὲ ἄνωχθι ἐκ τοῦ ἀνωγῶ περισπωμένου γενέσθαι φασίν, οὗ παρατατικὸς τὸ ἠνώγεον. ἀνωγῶ γὰρ ἀνώγημι, ὅθεν ἀνώγηθι, καὶ ἐν συγκοπῇ ἄνωχθι, τραπέντος τοῦ γ συνήθως εἰς χ , ὡς καὶ ἐν τῷ βρέγμα βρεχμός, καὶ τοῖς ὁμοίοις. Ὅτι δὲ δοκεῖ καὶ μεταπεπλάσθαι ἐκ τοῦ ἄνωγε καθ' ἕτερον προστακτικὸν τελικόν, δεδήλωται καὶ αὐτό. (v. 68) Ὅτι, ὥσπερ στρατηγῷ πρέπον, καθὰ προσεχῶς ἐρρέθη, τὸ κελεύειν ἐγρηγορέναι τοὺς ὑπ' αὐτὸν νύκτωρ, οὕτω καὶ τὸ πατρόθεν ἐκ γενεῆς ὀνομάζειν ἄνδρα ἕκαστον. δυσωπεῖ γάρ, κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ὑπόμνησις προγονικῆς ἀρετῆς καὶ πατέρων πράξεις ἐπαινούμεναι, καὶ θέλει τῇ ἐκείνων ἀναμνήσει ἕκαστος ἐξομοιοῦσθαι αὐτοῖς, οἰόμενος τὸ μὴ ἐκείνους μιμεῖσθαι καθαιρετικὸν εὐγενείας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.19 Πατρόθεν μὲν οὖν τινὰ προσφωνεῖ τις, ὡς τὸ «Λαερτιάδη», ἐκ γενεῆς δέ, ἤγουν ἐκ προγόνων, ὡς τὸ «διογενής». τὸν γὰρ ἀρχηγὸν τοῦ γένους Δία ἡ λέξις ἐκφαίνει. (v. 69) Ἔτι σώφρονος στρατηγοῦ καὶ τὸ πάντας ἐπαινεῖν. διὸ μετὰ τὸ «πατρόθεν ἐκ γενεῆς ὀνομάζων» φησὶν ὁ βασιλεὺς «πάντας κυδαίνων». Ἔτι ἀγαθῆς στρατηγίας καὶ τὸ 〈μὴ〉 μεγαλοφρονεῖν, ὅθεν ἐπάγει «μηδὲ μεγαλίζεο θυμῷ», ἤγουν μὴ ἐπαίρου τῷ κατὰ σὲ μεγαλείῳ. (v. 70) Ἀγαθοῦ δὲ ὁμοίως ἄρχοντος καὶ τὸ αὐτοδιακονεῖν. οὐκοῦν ἐπιφέρει «ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα», ὅπερ δηλαδὴ ὁ μὴ ποιῶν μεγαλίζεται θυμῷ. δυσωπητικὸν γὰρ τῶν πολλῶν ἡ βασιλικὴ αὐτουργία. καὶ τοίνυν μυριαχοῦ παρὰ τῷ ποιητῇ αὐτουργοῦσιν οἱ βασιλεῖς. Σημείωσαι δὲ ὅτι μετ' ὀλίγα ὁ βασιλεὺς ἐπὶ τῷ Νέστορι οὐ ποιεῖ κατὰ τὸ οἰκεῖον παράγγελμα, ἀλλὰ πατρόθεν μόνον προσφωνεῖ αὐτὸν Νηληϊάδην ὀνομάσας, οὐ μὴν καὶ ἐκ προγόνων. ἄλλως μέντοι προσεπιτίθησιν ἐκεῖ ἔπαινον τὸ «μέγα κῦδος Ἀχαιῶν». Νέστωρ δ' ἐν τοῖς ἑξῆς πάντα φράζει τὰ τοῦ βασιλέως ἐπὶ τῷ Ὀδυσσεῖ ἐντελῶς, πατρόθεν μὲν τὸ «Λαερτιάδη» προσειπών, ἐκ γενεῆς δὲ τὸ «διογενές», τὸ δὲ «πολυμήχανε» πρᾶξιν ἀπὸ ψυχῆς. (v. 68) Ἰστέον δὲ καὶ ὅτι δύναται καὶ ἄλλως τὸ πατρόθεν καὶ τὸ ἐκ γενεῆς ἐκ παραλλήλου δηλοῦν τὴν αὐτὴν ἔννοιαν, καὶ ὅτι ἐκ τοῦ Ὁμηρικοῦ τούτου ὀνομάζειν τὸ ἓν τῶν ὀκτὼ τοῦ λόγου μερῶν εἴρηται ὄνομα, καὶ ὅτι ταὐτὸν ὀνομαίνειν καὶ ὀνομάζειν, [οὗ χρῆσις καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «ὄνομα δ' ὠνομάζετο Ἕλενος»], καὶ ὅτι τὸ «ἄνδρα ἕκαστον» ταὐτόν ἐστι τῷ πάντας, ὡς ἐν τοῖς ῥηθεῖσι φαίνεται, καὶ ὅτι τὸ μὲν ἐκ γένους ἕκαστον ὀνομάζειν ὀνόμασι περιγράφεται, τουτέστι λέξεσι κυρίαις ἢ ἐπιθέτοις. (v. 69) Τὸ δὲ «πάντας κυδαίνειν» καὶ τὴν ἐκ πράξεων δηλοῖ τιμήν, ὁποῖα πολλὰ ἐν ταῖς ἱστορίαις εὑρίσκονται. τοιοῦτον δέ τι καὶ ἐνταῦθα τὸ «μέγα κῦδος Ἀχαιῶν». Καὶ ἄλλως δὲ ἀστείως μετὰ τὸ «ἐκ γενεῆς ὀνομάζων» ἐπῆκται τὸ «πάντας κυδαίνων».

3.20 ἐπεὶ γὰρ ἔστιν ὀνομάζειν τινὰ καὶ ψεκτικῶς, παραινεῖ τὰ πρὸς ἔπαινον ἐπιλέγεσθαι, καὶ μὴ ταῖς ἐκ γένους κατεντλεῖν δυσφημίαις τὸν προσφωνούμενον. [Ὅρα δὲ ὅτι ἐναντίαι λέξεις ἐκ τοῦ κῦδος γίνονται, ἤγουν τὸ κυδαίνειν ἐπὶ τιμῆς καὶ τὸ κυδάζειν παρὰ Σοφοκλεῖ ἐπὶ λοιδορίας ἐν ἀντιφράσει. ᾧ λόγῳ καὶ τὸ ὑμνεῖν οὐ μόνον χρηστολογίαν δηλοῖ, ἀλλά που καὶ τὸ ἀνάπαλιν ἀντιφράζει, ὡς ἑτέρωθι σαφῶς δηλοῦται.] (v. 70 s.) Ἰστέον δὲ καὶ ὅτι ψυχῆς βαρυνομένης ἐπὶ κακοπαθείᾳ τὸ «ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα, ὧδέ που ἡμῖν θεὸς ἐπὶ γεινομένοισιν ἵει κακότητα βαρεῖαν». καὶ ὅτι τὸ «γεινομένοισι» τὰ καθ' εἱμαρμένην γενεθλιακὰ παραλαλεῖ. (v. 71) Καὶ ὅτι ἀποστολιμαία φράσις τὸ «ὣς εἰπὼν ἀπέπεμπε τὸν δεῖνα εὖ ἐπιτείλας». (v. 73—9) Ὅτι Νέστωρ μὲν ὁ γέρων κοιμᾶται «παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ εὐνῇ ἐνὶ μαλακῇ, παρὰ δ' ἔντεα ποικίλα κεῖτο, ἀσπὶς καὶ δύο δοῦρε φαεινή τε τρυφάλεια, πὰρ δὲ ζωστὴρ κεῖτο παναίολος», ᾧ δὴ ὁ γεραιὸς «ζώνυτο, ὅτε εἰς πόλεμον φθισήνορα θωρήσσοιτο λαὸν ἄγων», καὶ παρ' ἡλικίαν ἀνδριζόμενος, «ἐπεὶ οὐ μὲν ἐπέτρεπε», φησί, «γήραϊ λυγρῷ», ἤγουν οὐκ ἐξεδίδου ἑαυτὸν τῷ γήρᾳ οὐδ' ἐνικᾶτο ὑπ' αὐτοῦ. τοιοῦτον γὰρ τὸ ἐπιτρέπειν, τὸ ἐξουσίαν δηλονότι διδόναι, ὡς τὸ «τοῖσι γὰρ ἐπετράπομεν φυλάσσειν», καὶ «σοὶ δ' ἐπέτρεπε πονέεσθαι», καὶ «ᾧ λαοὶ ἐπιτετράφαται», ἀντὶ τοῦ ὑπὸ ἐξουσίαν εἰσί. (v. 75) Καὶ οὕτω μὲν ὁ γέρων Νέστωρ εὐνῇ ἐν μαλακῇ εὕρηται. καὶ Φοῖνιξ δὲ ὁμοίως μαλακῶς ἐκοιμήθη, ὅπου ἐστορέσθη ἐκείνῳ κώεα καὶ ῥῆγος, ὡς γέροντι πρέπον. Διομήδης δέ γε ὁ σφριγῶν τῆς σκηνῆς ἐκτὸς εὑρεθήσεται σὺν τεύχεσιν εὕδων, ὑπεστρωμένος ῥινὸν βοός, σκληρότερον αὐτὸς εὕδων καὶ οὐ μαλακῶς κατὰ τὸν ὑποβεβλημένον κώεα καὶ ῥῆγος. Ἰστέον δὲ ὅτι καὶ ἄλλα ὁ ποιητὴς οἶδε στρωμνῆς εἴδη. Ὀδυσσέα μὲν γὰρ κατέκλινεν Εὔμαιος, ὑποβαλὼν ῥῶπας καὶ δέρμα αἰγὸς ἀγρίου, τῷ Διῒ δὲ ἡ γῆ ἐν τοῖς ἑξῆς νεοθηλέα πόαν ἀναδίδωσιν. Ὅρα δὲ ὡς τὸ παρακεῖσθαι δὶς ἐν τοῖς ῥηθεῖσι κεῖται κατὰ σχῆμα ἐπιμονῆς διὰ τὸ καίριον. Ἔφη γὰρ «παρὰ δ' ἔντεα κεῖτο», καὶ «πὰρ δὲ ζωστὴρ κεῖτο». (v. 77 s.) Καὶ ὅτι ἐξαίρετος ὁ ζωστὴρ τῷ γέροντι, εἴγε ποικίλα μὲν ἔντεα ἔφη, τὸν δὲ ζωστῆρα παναίολον, καὶ ὅτι ἐτυμολογικοῦ τρόπου τὸ «ζωστὴρ ᾧ ζώνυτο», καὶ ὅτι οὐκ

ἀσύνηθες τοῖς ὕστερον λέγειν καὶ κατὰ πτῶσιν αἰτιατικὴν τὸ «ζωστὴρ ὃν ζώνυται», ὁποῖα καὶ ἄλλα ἡ κοινὴ χρῆσις οἶδε πολλά.

3.21 Ἔστι δὲ καὶ νῦν ζωστὴρ ὁ ἔξω τὰ ὅπλα συνδέων, ὡς δηλοῖ τὸ «ᾧ ἐζώνυτο ὁ γεραιός». ζῶμα μέντοι τὸ τῇ μίτρᾳ, ὡς ἀλλαχοῦ γέγραπται, συναπτόμενον. Τὸ δὲ ζώνυτο οἱ μὲν δι’ ἑνὸς γράφοντες ν φύσιν γραφῆς τηροῦσιν, οἱ δὲ δυάζοντες τὸ ἀμετάβολον πάθος ποιοῦσι διπλασιασμοῦ. τὸ δ’ αὐτὸ γίνεται καὶ ἐν τῷ ῥωνύω, χωνύω, καὶ τοῖς ὁμοίοις. (v. 79) Τὸ δὲ «λαὸν ἄγων» τὸν παρὰ τῇ τραγῳδίᾳ λαγέταν, ὅ ἐστι λαοῦ ἡγεμόνα, παρήγαγε. Τὸ δὲ μὴ ἐπιτρέπειν γήραϊ λυγρῷ ἔπαινός ἐστι σπουδαίου γέροντος. λυγρὸν δὲ γῆρας εἰπεῖν ὅμοιον ὡς εἰ καὶ ὁμοίϊον ἔφη, ὅ ἐστι χαλεπόν. ψογερὰ γὰρ λέξις πολλαχοῦ φαίνεται καὶ τὸ ὁμοίϊον. Χαλεπότητες δὲ γήρως ἑτεροῖαί τε φαίνονται, καὶ ὁποίαν δὲ ἐκτίθεται Σοφοκλῆς φράσας οὕτω «ἀκρατές, ἀπροσόμιλον γῆρας, ἄφιλον, ἵνα», τουτέστιν ὅπου, «πρόπαντα κακὰ κακῶν ξυνοικεῖ». ὧν ἓν λέγει καὶ τὸ ὑπὸ τῶν οἰκείων ἀμελεῖσθαι τὸν γέροντα. Δριμέως δὲ ἀκρατὲς ἐκεῖνος γῆράς φησιν οὐ τὸ ἀκόλαστον, ἀλλὰ τὸ ποιοῦν πάρεσιν, ὡς μὴ ἔχειν τὸν γέροντα κρατεῖν ἑαυτοῦ. Εὐριπίδης δὲ ἄναρθρον ἂν εἴποι, λόγῳ καὶ αὐτὸς δριμύτητος κατὰ τὸ «ἄναρθρός εἰμι κἀσθενῶ μέλη». (v. 80) Ὅτι ὁ Νέστωρ κείμενος μὲν ὡς ἐφ’ ὕπνῳ, αἰσθόμενος δὲ ὡς ἔρχεταί τις εἰς αὐτόν —ἦν δὲ ὁ βασιλεύς—, ὀρθωθεὶς ἐπ’ ἀγκῶνος κεφαλὴν ἐπαείρας λαλεῖ πρὸς αὐτόν. Καὶ ὅρα οἷός ἐστι τὴν γραφικὴν ὁ ποιητής. εἴποις γὰρ ἂν ὁρᾶν ἄνδρα καμάτῳ τὰ γυῖα λελυμένον καὶ κεῖσθαι θέλοντα καὶ ὀκνοῦντα μὲν τὴν ἐξ ὕπνου ἀνάστασιν, διὰ δὲ ἀνάγκην αἰρόμενον, καὶ τῷ μὲν λοιπῷ τοῦ σώματος κείμενον, τῷ δὲ ἀγκῶνι ὀρθούμενον καὶ τὴν κεφαλὴν αἴροντα, τυχὸν δὲ καὶ αὐτὴν ὑπανέχοντα καὶ ἐπαναπαύοντα τῇ χειρί. Ὥσπερ δὲ ἐνταῦθα ὁ γέρων κείμενος ὀρθοῦται τῷ ἀγκῶνι, οὐ μὴν ὅλῳ τῷ σώματι κατὰ τὸ «ὀρθωθεὶς δ’ ἔνδυνε χιτῶνα», οὕτω τις ἀλλαχοῦ ἱστάμενος γνὺξ ὅμως ἔριπε, μέρει μὲν ὀλίγῳ πεσών, τοῖς πλείοσιν δὲ ἀνεστηκὼς ἐκεῖνος, ἀνάπαλιν τῷ ἐνταῦθα, κειμένῳ μὲν κατὰ τὸ πλεῖον, κατὰ δέ τι ὀλίγον ὀρθωθέντι. Ὅρα δὲ καὶ ὡς ῥᾷον ἀφυπνίσθη ὁ γέρων, τάχα μηδὲ κοιμώμενος, ὀλιγόϋπνος γὰρ ἡ γεροντικὴ ἡλικία.

3.22 οὕτω δὲ καὶ τὸν Ὀδυσσέα ὁ Νέστωρ ἐξ ὕπνου ἀνήγειρε, φθεγξάμενος μόνον. Διομήδης μέντοι ποδὶ κινηθεὶς ἐγείρεται. νέος τε γάρ ἐστι καὶ κέκμηκε δι’ ἡμέρας. ὅμως μέντοι καὶ ἐκεῖνος ἀφυπνισθεὶς μάλα κραιπνῶς ἀνόρουσεν. Ἰστέον δὲ ὅτι ἀπὸ τοῦ σωματικοῦ ἀγκῶνος οὐ μόνον ὀρεινοὶ ἀγκῶνες τροπικῶς λέγονται, ἀλλὰ καὶ ἰδίως τόποι τινές, ὡς κατά τι κύριον ὄνομα. Παροιμία γοῦν τις ἀγκῶνα γλυκὺν λέγει ἀπὸ τοῦ κατὰ τὸν Νεῖλον ἀγκῶνος. ἐκεῖνος δὲ γλυκὺς κατ’ εὐφημισμόν. μακρὸς γάρ ἐστι καὶ ἐργώδης. μέμνηται δὲ αὐτοῦ Πλάτων ἐν Φαίδρῳ. ὥστε τὸ γλυκὺς ἀγκών παροιμιωδῶς μοχθηρίαν τόπου ὑποδηλοῖ. (v. 82—4) Ὅτι εἰπόντος τοῦ Νέστορος «τίς δ’ οὗτος ἀνὰ στρατὸν ἔρχεαι οἶος νύκτα δι’ ὀρφναίην, ὅτε θ’ εὕδουσι βροτοὶ ἄλλοι, ἠέ τινα οὐρήων διζήμενος ἠέ τινα ἑταίρων», φασὶν οἱ παλαιοί, ὅτι οὐρῆας νῦν τοὺς φύλακας νοητέον. Ὡς γὰρ ἡνίοχος ἡνιοχεύς, υἱός υἱεύς, ὑδροχόος ὑδροχοεύς παρὰ τῷ Ἀράτῳ, πατροφόνος πατροφονεύς ἐν Ὀδυσσείᾳ, οὕτως ἐνταῦθα οὖρος οὐρεύς. οὐρῆας γὰρ ὧδε νοῆσαι τοὺς ἡμιόνους οὐ θέλουσι. καὶ ὁ λόγος αὐτοῖς εὖ ἔχει. ἄλλως γὰρ εἰπεῖν ἀδιανόητόν ἐστι. Καὶ ὅρα πάλιν τὴν Ὁμηρικὴν μέθοδον. ἐρωτᾷ μὲν γὰρ ὁ γέρων τὸ εἰκὸς γίνεσθαι, οὐκ εὐστοχεῖ δέ. ἄλλη γὰρ ἡ αἰτία τοῦ τὸν βασιλέα μόνον ἔρχεσθαι, διδάσκοντος κἀνταῦθα τοῦ ποιητοῦ δεῖν εἶναι τὸ αὐτὸ πρᾶγμα κατὰ διαφόρους αἰτίας γίνεσθαι. Τὸ δὲ «ὅτε εὕδουσιν οἱ ἄλλοι» δι’ ἀσφάλειαν ἐννοίας εἴρηται, ὡς μὴ ἁπλῶς καινὸν ὂν νύκτωρ τινὰ μόνον ἔρχεσθαι, ἀλλ’ ἐὰν πόρρω νυκτός, ἤτοι ἐν βαθείᾳ νυκτί, ὅτε πᾶσιν ὕπνου καιρός. Τὸ δὲ «ἠέ τινα οὐρήων ἠέ τινα ἑταίρων» σχῆμά ἐστιν ἐπαναφορᾶς, πολλαχοῦ φανέν. (v. 87) Ὅτι ἐν τῷ «ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν» πληροῖ αὐτὸς ὁ βασιλεύς, ὃ παρῄνεσε τῷ ἀδελφῷ, καὶ ἔστι κατὰ τὸν πρὸ μικροῦ ῥηθέντα λόγον τὸ μὲν Νηληϊάδη πατρόθεν ὀνομάσαι, ὃ καὶ ταὐτὸν τῷ ἐκ προγόνων [ἐστίν,]

εἴγε πατέρες ὀνόματι γενικῷ οἱ τοῦ γένους προκατάρξαντες. Τὸ δὲ «μέγα κῦδος Ἀχαιῶν» εἶδός τι τοῦ κυδαίνειν, ὡς καὶ προδεδήλωται. (v. 88) Ὅτι ἐρωτήσαντος τοῦ Νέστορος «τίς δ’ οὗτος ἔρχεαι οἷος», ὡς προείρηται, μέλλων ὁ βασιλεὺς εἰπεῖν ὡς ἐγώ εἰμι, ὁ δὲ περιφράζει οὕτως «εἴσεαι», τουτέστι γνώσεαι, «Ἀτρείδην Ἀγαμέμνονα» τὸν τάδε παθόντα. (v.

3.23 88—90) Λέγει δὲ ὁ βασιλεὺς ἐνταῦθα ὃ καὶ πᾶς ἂν ἐρεῖ δυστυχῶν, ὡς αὐτὸν περὶ πάντων, ἤγουν περιττότερον ἁπάντων, «θεὸς ἐνέηκε πόνοισι διαμπερές, εἰς ὅ κεν», ἤγουν ἕως, «ἀϋτμή», φησίν, «ἐν στήθεσσι μένει, καί μοι φίλα γούνατ’ ὀρώρῃ», τουτέστι κατὰ περίφρασιν, ἕως ἂν ζῶ ὑγιῶς. ταῦτα δὲ ἑρμηνευτικά εἰσι τοῦ διαμπερές. Πρὸ τούτων δὲ ἄλλως εἶπεν, ὅτι ὧδέ που ἡμῖν θεὸς γεννωμένοις ἐφίει κακότητα βαρεῖαν. (v. 91—5) Λέγει δὲ καὶ ὅτι «πλάζομαι ὧδε, ἐπεὶ οὔ μοι ἐπ’ ὄμμασι νήδυμος ὕπνος ἱζάνει, ἀλλὰ μέλει πόλεμος καὶ κήδε’ Ἀχαιῶν. αἰνῶς γὰρ Δαναῶν πέρι δείδια, οὐδέ μοι ἦτορ ἔμπεδον, ἀλλ’ ἀλαλύκτημαι, κραδίη δέ μοι ἔξω στηθέων ἐκθρῴσκει», πατάσσουσα δηλαδὴ καὶ οἷον ἐκπηδῆσαι βιαζομένη, «τρομέει δ’ ὕπο φαίδιμα γυῖα». Καὶ ὁ μὲν βασιλεὺς οὕτως ἀγωνιᾷ, λέγων καὶ ἕτερά τινα, (v. 104—7) Νέστωρ δὲ παραμυθεῖται αὐτὸν εἰπών, ὡς «οὐ δὴ Ἕκτορι πάντα νοήματα Ζεὺς ἐκτελέει, ὅσα που νῦν ἐέλπεται, ἀλλά μιν οἴω κήδεσι μοχθήσειν καὶ πλείοσιν, εἴ κεν Ἀχιλλεὺς ἐκ χόλου ἀργαλέοιο μεταστρέψει φίλον ἦτορ». Τοῦτο δὲ λέγει ὁ γέρων οἷα εἰδώς, ὡς αἱ ἄκραι τῶν εὐτυχιῶν μεταβολὰς λαμβάνουσι. Καὶ ὅρα κἀνταῦθα προαναφώνησιν, δι’ ἧς δηλοῖ ὁ ποιητὴς μὴ ἄλλως παύσεσθαι τὰ κακά, εἰ μὴ ὁ φίλος Ἀχιλλεὺς μεταβάληται τοῦ χόλου. (v. 91) Ἰστέον δὲ καὶ ὅτι ἐν τοῖς ῥηθεῖσι τὸ μὲν πλάζομαι βαρέως εἴρηται ἀντὶ τοῦ ἔρχομαι, ὡς πρὸς τὸ «τίς οὗτος ἀνὰ στρατὸν ἔρχεαι». ἄλλως γὰρ οὐ πλανᾶται ὁ βασιλεὺς εἰδὼς ὅποι ἔρχεται. οὕτω καὶ Ὀδυσσεὺς προϊὼν ἐρεῖ τῷ Νέστορι «τί ποτε ἀνὰ στρατὸν ἀλᾶσθε;» [Ἰστέον δὲ ὅτι τοῦ πλάζεσθαι πρωτότυπόν ἐστι τὸ πλῶ, καθὰ τοῦ χάζω τὸ χῶ καὶ τοῦ βάζω τὸ βῶ. αὐτὸ δὲ τὸ πλῶ συγκέκοπται ἀπὸ τοῦ πολῶ, τὸ ἀναστρέφομαι, ὃ δὴ τοῖς πλαζομένοις παρέπεται.

3.24 ] Τὸ δὲ ὧδε ἀντὶ τοῦ οὕτως καὶ νῦν, ὡς καὶ πανταχοῦ τῆς Ὁμηρικῆς ποιήσεως. (v. 93) Τὸ δὲ «Δαναῶν πέρι δείδια» ἦν μὲν εἰπεῖν «Δαναοῖς περιδείδια», ἐφράσθη δὲ ἄλλως διὰ συγγένειαν τῆς γενικῆς καὶ τῆς δοτικῆς. (v. 94) Τὸ δὲ ἔμπεδον καταχρηστικῶς εἴρηται. κυρίως γάρ, ὡς πολλαχοῦ φαίνεται, τὴν ἐν τῷ πέδῳ θέσιν ἡ λέξις δηλοῖ. Τὸ δὲ «ἀλαλύκτημαι» παθητικός ἐστι παρακείμενος Ἀττικὸς ἀπὸ τοῦ ἀλύσσω, ἔχων ἐνεστῶτα τὸ ἀλυκτῶ καθ’ ὁμοιότητά τινα τοῦ τάσσω ἄτακτος, ἀτακτῶ. καὶ ἔστι λέξις ποιηταῖς φίλη, οὐ μὴν πεζολόγοις. καὶ ἄλλως δὲ εἰπεῖν, ἀπὸ τοῦ ἀλαλύκτημί ἐστι παθητικὸς ἐνεστώς. σημαίνει δὲ τὸ δυσχεραίνειν καὶ ἀδημονεῖν. Τοῦ δὲ ῥηθέντος ἀλύσσω καὶ τὴν χρῆσιν καὶ τὴν σημασίαν περί που τὸ τέλος τῆς Ἰλιάδος ἔστιν εὑρεῖν. (v. 95) Τὸ δὲ ῥηθὲν ἐκπήδημα τῆς καρδίας ὑπερβολὴν ἔχει ἐναγωνίου πατάγου ἢ καρδιωγμοῦ. Τὸ δὲ «στηθέων» πεπλήθυνται ἡρωϊκῶς, ὡς ἀλλαχοῦ τῷ Αἴαντι τὰ πρόσωπα. Ἐν δὲ τῷ «τρομέει φαίδιμα γυῖα» παρέλκον κεῖται τὸ «φαίδιμα» καὶ εἰς οὐδὲν ἀναγκαῖον ἢ μόνον πρὸς μετρικὴν πλήρωσιν. [Ἰστέον δὲ ὅτι τοῦ «φαιδίμου» πρόκειταί τι σεσιγημένον ὄνομα δισύλλαβον, ἐξ οὗ γίνεσθαι δοκεῖ καὶ αὐτὸ κατὰ παραγωγήν, καὶ ὁ Φαίδων τὸ κύριον, καὶ ὁ φαιδηρός, ἐξ οὗ κατὰ συγκοπὴν ὁ φαιδρός, καὶ ὁ Φαῖδρος καὶ ἡ Φαίδρα τὰ κύρια.] Κομματικῶς δ’ ἐν τούτοις ὁ γέρων λαλεῖ ἐγκοπτόμενος ὑπὸ λύπης τὴν τάσιν τοῦ πνεύματος. (v.

3.25 105) Ἐν δὲ τῷ «ὅσα πού νυν ἐέλπεται» συστέλλεται τὸ «νῦν» κατὰ τὸν Ἀπίωνα διὰ τὸ μέτρον, ὡς καὶ ἐν τῷ τοῦ Πατρόκλου Ἐπιταφίῳ, ἐπὶ τοῦ «δεῦρό νυν ἠὲ τρίποδος περιδώμεθον». Ὅθεν καὶ ἔστι νοῆσαι ὡς δίχα τόνου ὀφείλει κεῖσθαι ἡ λέξις, καὶ οὐδὲ ὡς χρονικὸν ἐπίρρημα λαμβάνεσθαι, ἀλλ’ ἀντὶ παραπληρωματικοῦ συνδέσμου, ἀφ’ οὗ ἔοικε καὶ τὸ τοίνυν γενέσθαι, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, ἀπὸ τοῦ τοι συντεθειμένον καὶ τοῦ νυν , ὅπερ ταὐτόν ἐστι τῷ νυ ἀντὶ τοῦ δή. Τοῦ δὲ τοιούτου νῦν χρῆσις καὶ παρ’ Εὐριπίδῃ ἐν τῷ «σῶσόν νυν αὐτὸν μηδ’ ἔρα τοῦ πλησίον», καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «ἔρωτι μέν νυν ὅστις ἀντανίσταται πύκτης ὅπως ἐς χεῖρας,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐ καλῶς φρονεῖ». (v. 106) Τὸ δὲ «κήδεσι καὶ πλείοσι» δύναται καὶ ἐκ περισσοῦ ἔχειν τὸν και σύνδεσμον. πολλαχοῦ δὲ καὶ τοῦτο γίνεται, ὡς καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «τὰ λαμπρὰ καὶ κατ’ ὄμμα καὶ κατὰ φύσιν». ἐκεῖ γὰρ καὶ δίχα τοῦ πρώτου συνδέσμου εὐοδοῦται ὁ λόγος, νοῶν ὅτι τὰ τῇ θέᾳ λαμπρὰ καὶ κατὰ φύσιν λαμπρά εἰσι. (v. 107) Τὸ δὲ «ἐκ χόλου μεταστρέψει ἦτορ» παρεγράφη ἐκ τοῦ «Διὸς ἐτράπετο φρήν» πλὴν ὅσον ἐκεῖ μὲν ἐκ τοῦ φιλεῖν εἰς τὸ ἔμπαλιν ἡ τροπὴ τῆς φρενός, ἐνταῦθα δὲ ἐκ χόλου εἰς φιλίαν ἡ στροφὴ τῆς ψυχῆς. Ἰστέον δὲ καὶ ὅτι τὰ μὲν τῆς βασιλικῆς λύπης, ἐν οἷς καὶ τὸ τὴν καρδίαν τῶν στηθέων ἐκθρῴσκειν, εἰς πάντα μεθελκυσθήσεται ἀγωνιῶντα, τὰ δὲ περὶ Ἕκτορος παραμυθίαν ποιήσει ἐπὶ ἐχθροῦ ἀπειλαῖς, οἷον ὅτι οὐ τῷ δεῖνι πάντα νοήματα θεὸς ἐκτελέσει, ὅσα που ἐέλπεται, ἀλλά μιν οἴω κήδεσι μοχθήσειν, εἴπερ τόδε γένηται. (v. 96) Ὅτι τὸ «δραίνειν» ἀντὶ τοῦ πράττειν ἐκ τοῦ δρῶ καθ’ ὁμοιότητα τοῦ ῥῶ ῥαίνω κεῖται ἐνταῦθα ἐν τῷ «ἀλλ’ εἴ τι δραίνεις», ἤτοι δρᾷς ἢ δύνασαι δρᾶν. Καὶ σημείωσαι ὅτι ἐκ τούτου ἀδρανής ὁ μὴ δραίνειν δυνάμενος καὶ ἀδράνεια ἡ ἀσθένεια τοῦ δρᾶν. οἱ δὲ παλαιοὶ δραίνειν λέγουσι τὸ ἀγρυπνεῖν, ἤγουν ἀργὸν ὕπνου εἶναι καὶ βλέπειν. Δρῶ γὰρ τὸ βλέπω, καθὰ καὶ ἀλλαχοῦ εἴρηται. διὸ εἰπὼν ὁ ποιητής, «εἴ τι δραίνεις», ἐπάγει «ἐπεὶ οὐδέ σέ γε ὕπνος ἱκάνει». Πολλαὶ δὲ καὶ ἄλλαι παραγωγαὶ διὰ τοῦ αινω ἀπὸ ῥημάτων τῶν μὲν μιᾷ συλλαβῇ διοικουμένων, τῶν δὲ πλειονοσυλλαβούντων, οἷον χῶ, τὸ χωρῶ, χαίνω, βῶ βαίνω, μῶ, τὸ ὑπὲρ τὸ δέον προθυμοῦμαι, μαίνω, ἀλῶ ἀλαίνω, τὸ πλανῶ, ἐξ οὗ καὶ Ἄλαινος, ποταμὸς ἐπὶ πολλὴν γῆν ἀλώμενος, ὀργῶ ὀργαίνω, οἷον «οὐ γὰρ ὀργαίνειν καλόν», παρὰ Σοφοκλεῖ, παρ’ ᾧ καὶ τὸ «καὶ γὰρ ἂν πέτρου φύσιν σύ γ’ ὀργάνειας», λυσσῶ λυσσαίνω, οἷον «πατρὶ λυσσαίνων πάρει», οἰδῶ οἰδαίνω, κρούω κροαίνω, ἀπελεύσει τοῦ υ .

3.26 (v. 97—99) Ὅτι ὁ ἐπιμελόμενος φυλακῆς νυκτερινῆς ἐρεῖ ἂν τὸ «δεῦρ’ ἐς τοὺς φύλακας καταβείομεν, ὄφρα ἴδωμεν, μὴ τοὶ μὲν καμάτῳ ἀδηκότες ἠδὲ καὶ ὕπνῳ κοιμήσονται, αὐτὰρ φυλακῆς ἐπὶ πάγχυ λάθωνται». Ἔστι δὲ τὸ μὲν «ἀδηκότες» ἀντὶ τοῦ κορεσθέντες, ἐπεὶ καὶ ἆδος ὁ κόρος κατὰ τοὺς παλαιούς, ἢ καὶ ἄλλως ἀηδισθέντες. Ὅθεν δὲ ἡ τοιαύτη μετοχή, ἐκεῖθεν καὶ ἀδημονεῖν τὸ ἀλύειν καὶ ἀμηχανεῖν. Τὸ δὲ ὕπνῳ ἀντὶ τοῦ ἀγρυπνίᾳ. πλὴν οὐχ’ ἁπλῶς οὕτως ὕπνον τὴν ἀγρυπνίαν νοητέον, ἀνόητον γὰρ τοῦτό γε, ἀλλὰ τὸν μὴ παρόντα ὕπνον εἰς ἀγρυπνίαν ληπτέον. διάκειται γάρ τις ἀηδῶς ὕπνῳ, οὐ τῷ παρόντι, ἀλλὰ τῷ ἀπόντι. Οὕτω καὶ ναῦς ποτε λέγεται διὰ κυβερνήτην ὄλλυσθαι, ἀπόντα δηλαδή. (v. 99—101) Ὅτι Τρῶες μὲν ἀγρυπνοῦσι, μὴ καὶ νύκτωρ φύγωσιν οἱ Ἀχαιοί, αὐτοὶ δὲ ἄϋπνοι μένουσι «μή πως καὶ διὰ νύκτα μενοινήσωσι μάχεσθαι» οἱ Τρῶες. οὕτω δεινὸν ἡ τοῦ μέλλοντος ἄγνοια. (v. 108) Ὅτι χρήσιμον ἐπὶ φιλικῇ συμπνοίᾳ ῥηθῆναι τὸ «σοὶ δὲ μάλα ἐφέψομαι ἐγώ, ποτὶ δ’ αὖ καὶ ἐγείρομεν ἄλλους», ἤγουν πρὸς ἡμῖν ὀτρυνοῦμεν καὶ ἑτέρους. (v. 111) Ὅτι καὶ ἐν τῷ «ἀλλ’ εἴ τις καὶ τούσδε μετοιχόμενος καλέσειεν», ἤγουν τὸν Αἴαντα καὶ τὸν Ἰδομενέα, ἢ παρακελευσματικόν ἐστι τὸ ει , οἷον «ἀλλ’ ἄγε τις καὶ τούσδε καλεσάτω», ἢ ἔλλειψιν ἔπαθεν, ὡς εἴπερ ἔφη· ἤθελον εἴ τις καὶ τούτους ἐκάλεσεν. (v. 112 s.) Ὅτι τὸν μὲν Λοκρὸν Αἴαντα ταχὺν πολλαχοῦ λέγει, τὸν δὲ Σαλαμίνιον ἀντίθεον, καὶ ὅτι αἱ νῆες τοῦ μεγάλου Αἴαντος καὶ τοῦ Ἰδομενέως ἐν ἄκρῳ ἦσαν καί, ὡς ὁ ποιητὴς λέγει, ἑκαστάτω τοῦ μέσου. Διὸ καὶ ὁ Σοφοκλῆς περὶ Αἴαντός φησι, ὅτι ἐσχάτην εἶχε τάξιν, ὡς ἀνδρεῖος, καθὰ καὶ ὁ Ἀχιλλεὺς ἑτέρωθεν.

3.27 Ἰστέον δὲ ὅτι ἔοικεν ἐκ τοῦ ἑκάς, ὃ δηλοῖ τὸ πόρρω, γίνεσθαι ἕκαστον τὸ πορρώτατον, ἀπ’ αὐτοῦ δὲ τὸ ἑκαστάτω ἀντὶ τοῦ πορρωτάτω, ὅπερ ἐφερμηνεύων ὁ ποιητὴς λέγει «οὐδὲ μάλα ἐγγύς». Καὶ μήποτε καὶ τὸ ἕκαστος τὸ ἀντωνυμικὸν τοιαύτην τινὰ ἔχει μέθοδον παραγωγῆς. Ἔστι γὰρ εἰπεῖν ὡς ἡ μὲν μονὰς αὐτὴ ἐφ’ ἑαυτῆς μένουσα καὶ ὡς οἷον στρογγυλλομένη συνέστραπται, ἡ δὲ δυὰς τολμήσασα ἑκὰς αὐτῆς γέγονε τῷ μερισμῷ, διὸ καὶ τόλμα λέγεται παρὰ τοῖς σοφοῖς, καὶ διὰ τοῦτο ἐκ τοῦ τοιούτου ἑκάς τοῦ δυαδικοῦ παρῆκται τὸ ἑκάτερος ἐπὶ δύο τινῶν, τῆς δὲ τριάδος καὶ τῶν ἐφεξῆς ἀριθμῶν ἐπὶ πλέον ἑκὰς ἀποστάντων τὸ μὲν

ἑκάτερος οὐκέτι χώραν ἐν τούτοις ἔχει, ἐπενοήθη δὲ ὀνομασθῆναι τὸ ἕκαστος ἀρξάμενον μὲν ἀπὸ τριῶν, συνδιῆκον δὲ τῷ ἀπείρῳ τῶν ἀριθμῶν χύματι. καὶ τοῦτο μὲν τοιοῦτον. Σαφέστερον δὲ ἄλλως τὴν Ὁμηρικὴν περιεργάσασθαι λέξιν, πρωτότυπον μὲν ἐπίρρημα τὸ ἑκάς, παράγωγον δὲ κατὰ σύγκρισιν, ὡς εἰκός, ἑκάστερος, ὑπερθετικὸν δὲ ἑκάστατος, ἐξ οὗ τὸ ἑκαστάτω ἐπίρρημα. (v. 114 s.) Ὅτι ἐν τῷ «ἀλλὰ φίλον περ ἐόντα καὶ αἰδοῖον Μενέλαον νεικέσω οὐδ' ἐπικεύσω»—Νέστωρ δὲ τοῦτό φησιν, ἐπάγων καὶ ὅτι νῦν ὄφελε κατὰ πάντας ἀριστῆας πονέεσθαι λισσόμενος, ἐπεὶ χρειὼ ἱκάνεται οὐκέτ' ἀνεκτός—ἐκεῖνο βούλεται ὁ γέρων, ὅπερ καὶ ὁ βασιλεὺς παρῄνεσε φθάσας τῷ ἀδελφῷ, τὸ πάντας δηλαδὴ κυδαίνειν, οὗ μέρος καὶ τὸ τοὺς ἀριστέας λίσσεσθαι καὶ τὸ αὐτὸν πονεῖν καὶ αὐτουργεῖν. Ὅρα δὲ καὶ ὅτι Ἑλένη μὲν δεινόν που καὶ αἰδοῖον ἑαυτῇ τὸν Πρίαμον εἶπεν, ἔδει γὰρ αὐτὴν οἷα ξένην καὶ δεδιέναι τοὺς βασιλεῖς οἷα δεσπότας, Νέστωρ δὲ τὸν βασιλέα οὐ δεινὸν λέγει, ἀλλὰ φίλον, οὐ γὰρ δέδιεν οὐδένα. Ὁ γοῦν βασιλεὺς εἰπὼν πρὸ τούτου, ὡς ὀτρύνω ἀναστῆναι τὸν Νέστορα, ἐπήγαγεν «αἴ κε πίθηται», ἐκείνου τὸ πρακτέον ἀναρτῶν καὶ οὐκ ἐπιτάσσων. αἰδεῖται γὰρ τὴν τοῦ γέροντος ἀρετήν. (v. 118) Τὸ δὲ «χρειὼ ἱκάνεται οὐκ ἀνεκτός» προϊὼν οὕτω παραφράζει «τοῖον ἄχος βεβίηκεν Ἀχαιούς», καὶ πάλιν «μάλα γὰρ μεγάλη χρειὼ βεβίηκεν Ἀχαιούς». Τὸ δὲ ἀνεκτός Ἰωνικῶς καὶ Ἀττικῶς ἔχει ἀντὶ τοῦ ἀνεκτή καθ' ὁμοιότητα τοῦ [ἡ ἀργός καὶ τοῦ ἰατρός καὶ μάγος τέχνη, καὶ τοῦ] κλυτὸς Ἱπποδάμεια, καὶ τοῦ «ἀγγελθεῖσά μοι γενναῖος», καὶ τῶν ὁμοίων, οἷς οὐ μόνον ἀνάλογα τὸ κοινὸς κλαγγή, ἡ κοινή, καὶ μοῖρα διαιρετός καὶ γυνὴ σιγηλός καὶ μεμπτός καὶ πημονὴ λαθραῖος καὶ νόσος ἐπακτός, ἀλλὰ καὶ ἑτεροῖα, ὁποῖον τὸ τύχη σωτήρ καὶ δόκησις ἀγνώς.

3.28 (v. 114—8) Ἰστέον δὲ ὅτι τὰ τοῦ γέροντος πρὸς τὸν Μενέλαον καὶ ἑτέροις ἀξιολόγοις προσαρμόσει ποτὲ μέμψιν ἐπιδεχομένοις εὔλογον, οἷον «ἀλλὰ φίλον περ ἐόντα καὶ αἰδοῖον τὸν δεῖνα νεικέσω, εἴπερ μοι νεμεσήσεαι, οὐδ' ἐπικεύσω». ἴσως δὲ καὶ τὰ ἐφεξῆς ἔστιν ὅτε προσρηθήσεται τὸ «ὡς εὕδει, σοὶ δ' οἴῳ ἐπέτρεψε πονέεσθαι, νῦν ὄφελε πονέεσθαι» καὶ ἑξῆς. Ἔνθα ὅρα καὶ ὅτι τὸ κοινὸν μὲν νεικῶ νεικήσω ἐπὶ φιλονεικίας, ὁ ποιητὴς δὲ συνήθως αὐτῷ νεικέσω φησί, οὗ ἔμπαλιν καλῶ μὲν καλέσω κοινῶς, ποιητικῶς δὲ καλήσω. ἐρεῖ γοῦν μετ' ὀλίγα «καλήμεναι, οὓς σὺ μεταλλᾷς». [Ἀλλὰ τοῦτο μὲν οὐ πάνυ προσφυὲς ἐνταῦθα, ὡς μετὰ μικρὸν φανεῖται. χρήσιμον δὲ μάλιστα τὸ Καλήσιος κύριον, ὃ ἐκ τοῦ καλῶ καλήσω ἐφάνη παραχθέν.] Ἐκ δὲ τοῦ νεικῶ νεικέσω καὶ ὁ παρ' Ἡσιόδῳ νεικεστήρ. (v. 115) Τὸ δὲ «εἴ πέρ μοι νεμεσήσεαι» παιδεύει μὴ ἁπλῶς, ἀλλ' εὐλαβῶς καὶ μετὰ παραιτήσεως ἐπιβάλλειν ταῖς μέμψεσι, καὶ μάλιστα πρὸς τοὺς μείζονας. Ἄλλως δὲ εἰπεῖν ἐντελέστερον, σημειωτέον ὅτι ὁ συνετώτατος Νέστωρ μέλλων τοῦ Μενελάου καθαψάσθαι προσθήκαις ἐλέανε τὸν λόγον ἐπιεικέσι, φίλον τε ἀποκαλέσας ἐκεῖνον καὶ αἰδοῖον, καὶ πρὸς τὸν βασιλέα δὲ εἰπὼν τὸ «εἰ καί μοι νεμεσήσεαι, οὐκ ἐπικρύψω».

3.29 Ἐν τούτοις δὲ καὶ ἡ αἰτία τῆς μέμψεως λεαίνει τὸ τοῦ λόγου τραχύ. οὐ γὰρ δι' ἑαυτὸν ὁ γέρων, ἀλλὰ διὰ τὸν βασιλέα λαλεῖ, καὶ οὐδὲ τοῦτο ἄνευ λόγου. (v. 117) Προστίθησι γὰρ καὶ αἰτίαν τὸ «νῦν ὤφελε κατὰ πάντας ἀριστῆας πονέεσθαι» καὶ ἑξῆς. Τὸ δὲ πονέεσθαι κατὰ σχῆμα ἐπιμονῆς δὶς ἐνταῦθα εἴρηται διὰ τὸ τῆς λέξεως καίριον. ἐσχημάτισται δὲ καὶ πρὸς κάλλος ἡ τοιαύτη δίττευσις ἐν τέλει στίχων κειμένη. κεῖται δὲ καὶ μετ' ὀλίγα ἡ λέξις ἐν τῷ «οὐκ ἐθέλει πονέεσθαι». Ὅτι Νέστορος αἰτιασαμένου τὸν Μενέλαον ὡς ὑπνηλὸν καὶ μὴ ἐθέλοντα πονεῖσθαι ὁ ἀδελφὸς βασιλεὺς οὔτε καθάπαξ ἐκείνου ὑπεραπολογεῖται, ἵνα μὴ ἀντιβαίνῃ τῷ καὶ φίλῳ καὶ λογιωτάτῳ Νέστορι, οὔτε αὖ ψέγει —φιλάδελφος γάρ ἐστιν ὡς εἰκός—, ἀλλὰ δεξιῶς τὸν λόγον κιρνᾷ, καὶ τὸ δοκοῦν ἁμάρτημα τοῦ ἀδελφοῦ εἰς ἐγκώμιον πειθαρχίας ἀντιπεριϊστᾷ, λέγων ὅτι ὁ δοκῶν ἐκείνου ὄκνος εὐλάβειά ἐστι δι' ἐμέ. (v. 120—5) Φησὶ γοῦν «ὦ γέρον, ἄλλοτε μέν σε καὶ αἰτιάασθαι ἄνωγα, πολλάκι γὰρ μεθίει τε καὶ οὐκ ἐθέλει πονέεσθαι,

οὔτ’ ὄκνῳ εἴκων οὔτ’ ἀφραδίῃσι νόοιο, ἀλλ’ ἐμέ τ’ εἰσορόων καὶ ἐμὴν ποτιδέγμενος ὁρμήν. νῦν δ’ ἐμέο πρότερος ἐπέγρετο καί μοι ἐπέστη». καὶ ἐγὼ αὐτὸν ὡς νεώτερον «προῆκα καλήμεναι οὓς σὺ μεταλλᾷς», ἤγουν τοὺς ἡμῶν πορρωτέρω σκηνοῦντας. Καὶ ἰστέον ὅτι τε ὁ τόπος οὗτος αἰτίαν διδάσκει, δι’ ἣν μαλθακὸς πολεμιστὴς ἐν ἄλλοις λέγεται ὁ Μενέλαος—Ἔοικε γὰρ ὡς μεθήμων οὐ πάνυ ὀξυκίνητος εἶναι εἰς μάχην—, καὶ ὅτι τὰ Ὁμηρικὰ ταῦτα ῥηθήσεταί ποτε εἰς ἀπολογίαν δοκοῦντος ὄκνου. (v. 121) Τὸ δὲ «μεθίει» χρόνος ἐστὶν ἀντὶ χρόνου, ἤγουν παρατατικὸς ἀντὶ ἐνεστῶτος τοῦ μεθίησιν, ἐξ οὗ καὶ μεθήμων ὁ ἀμελητής. (v. 122) Τὸ δὲ «ὄκνῳ εἴκων» ἀστείως εἴρηται, ὡς τοῦ ὀκνοῦντος δουλουμένου τρόπον τινὰ τῷ ὄκνῳ. ἔνθα καὶ ὅρα, ὡς γνωματεύει ὁ ποιητής, ὅτι τὸ μὴ ἐθέλειν πονεῖσθαι ἢ διὰ ὄκνον ἐγγίνεται ἢ διὰ ἀφροσύνην, ὃ δηλοῦται διὰ τοῦ «ἀφραδίῃσιν». (v. 124) Τὸ δὲ «ἐπέστη» ἀντὶ τοῦ ἐπάνω μου ἔστη. παρὰ δέ γε τοῖς μεθ’ Ὅμηρον καὶ ἐπιμέλειαν ἡ λέξις δηλοῖ. οὕτω γάρ τις ἔργοις ἐφεστάναι λέγεται. (v. 125) Τοῦ δὲ «καλήμεναι» ποιητικοῦ ῥήματος τὸ θέμα ἢ καλαίνω ἐστὶν ἢ κάλημι, ἵνα ὡς ἐκ τοῦ τιθῶ τίθημι τὸ τιθήμεναι, οὕτως εἴη καὶ ἐκ τοῦ καλῶ κάλημι τὸ καλήμεναι.

3.30 (v. 126) Ὅτι τὸ «ἴομεν» ἐν ἄλλοις ἐκτεῖνον τὴν ἄρχουσαν κατὰ τὸ τίομεν ἐνταῦθα συστέλλει αὐτὴν ἐν τῷ «ἀλλ’ ἴομεν, κείνους δὲ κιχησόμεθα πρὸ πυλάων». (v. 127) Ὅτι τὸ ἵνα οὐ μόνον αἰτιολογικὸν δηλοῖ σύνδεσμον, ἔτι δὲ καὶ ἐνδοιαστικόν, ὡς ἐν τῷ «ἵνα μὴ ῥέξωμεν ὧδε», ἀντὶ τοῦ ἐὰν μὴ ῥέξωμεν οὕτως, ἀλλὰ καὶ ἐπίρρημα τόπου δηλωτικόν. τοῦτο δὲ διχῶς. οὐ γὰρ μόνον τὸ ὅπου κοινότερόν ἐστι ἀλλὰ καὶ ἀσυνηθέστερον τὸ ἐκεῖ. Φησὶ γοῦν ἐνταῦθα «ἵνα γάρ σφιν ἐπέφραδον ἠγερέεσθαι», ἀντὶ τοῦ ἐκεῖ αὐτοῖς εἶπον συναχθῆναι. Ὅρα δὲ καὶ τὸ ἠγερέεσθαι ἀπὸ ἐνεστῶτος τοῦ ἠγερῶ. αὐτὸς δέ γε ἀπὸ μέλλοντος παρῆκται τοῦ ἀγερῶ αὐξηθέντος, ὡς τὸ ἀπύω ἠπύω. πολλοὶ δὲ καὶ ἕτεροι ἐνεστῶτες οἱ μὲν οὕτως, οἱ δὲ ἄλλως αὔξονται, ὡς καὶ τὸ εἰῶ, ἀντὶ τοῦ καταλιμπάνω, καὶ εἰρωτῶ καὶ ἠλάσκω καὶ ὠρῶ, τὸ φυλάσσω. (v. 129 s.) Ὅτι πειθὼ συμβουλευτικὴν δηλοῖ τὸ «οὕτως οὔ τίς οἱ νεμεσήσεται οὐδ’ ἀπιθήσει, ὅτε κέν τινα ἐποτρύνῃ καὶ ἀνώγῃ». Νέστωρ δὲ τοῦτό φησι περὶ Μενελάου, μαθών, ὡς αὐτὸς ἐκεῖνος πονεῖται καλέσων τοὺς ἀρίστους, [οἳ οὐ νεμεσήσουσι μὲν τῷ Μενελάῳ, οἷα εὐλόγως πονουμένῳ εἰ καὶ παρὰ καιρόν, οὐκ ἀπειθήσουσι δὲ ὡς βασιλεῖ ὄντι.] Ὅτι δὲ τὸ ἀπιθεῖν ἀεὶ διὰ τοῦ ι παρὰ τῷ ποιητῇ ἔχει τὴν παραλήγουσαν, πολλαχοῦ δῆλον γίνεται. (v. 131—5) Ὅτι ὁ Νέστωρ νυκτὸς ἐγερθείς, ὡς ὁ βασιλεὺς ἠθέλησεν, «ἔνδυνε περὶ στήθεσσι χιτῶνα» καὶ ἑξῆς, «ἀμφὶ δ’ ἄρα χλαῖναν περονήσατο», ὅ ἐστι περόναις, ἤγουν κομβίοις, συνέδησε, «φοινικόεσσαν, διπλῆν, ἐκταδίην», ἤτοι ὡς εἰπεῖν ποδηνεκῆ καὶ αὐτήν, ὁποῖος καὶ ὁ παρ’ Ἡσιόδῳ τερμιόεις χιτών, «οὔλη δ’ ἐπενήνοθε λάχνη», ὅ ἐστιν ἐπῆν δασύτης τριχοειδής.

3.31 Χειρίζεται δὲ καὶ δόρυ ὁ γέρων εἰς μηδὲν δέον, οἷα πάλαι ποτὲ πολεμικὸς καὶ μὴ ἔχων ἀπομαθεῖν τὸ ἐσθλὸς εἶναι. Φησὶ γὰρ «εἵλετο δ’ ἄλκιμον ἔγχος» καὶ ἑξῆς. Καὶ ὅρα κἀνταῦθα ὡς μανδυοειδὴς ἡ χλαῖνα, καθὰ δηλοῖ τὸ ἐπερονήσατο, καὶ ὅτι ἀνέκαθεν τὰ φοινικᾶ τοῖς βασιλεῦσιν ἐπέπρεπον. (v. 134) Τὸ δὲ «ἐπενήνοθεν» ὅτι κεῖταί ποτε καὶ ἀντὶ τοῦ ἐπέθεε καὶ ἐπέτρεχε, καὶ ἐν τῇ β′ τῆς Ἰλιάδος ἀκριβῶς εἴρηται. Ἔνθα σημείωσαι ὡς ἀγεννεστέρα ἦν καὶ τῆς οὔλης ταύτης λάχνης ἡ ἐκεῖ ψεδνὴ τοῦ Θερσίτου λάχνη. Τὸ δὲ οὔλη βαρύνεται ἀπὸ τοῦ οὗλος λόγῳ τοιῷδε κατὰ Ἀπίωνα καὶ Ἡρόδωρον. Τὰ εἰς λος δισύλλαβα, μὴ ἔχοντα πρὸ τοῦ λ ἄλλο σύμφωνον, τῷ ο δὲ παραληγόμενα, ἢ μόνῳ ἢ ἐν διφθόγγῳ, βαρύνεται, οἷον πόλος, στόλος, δοῦλος, κοῖλος. οὕτω καὶ οὗλος, ἐξ οὗ καὶ τὸ «οὔλη δ’ ἐπενήνοθε λάχνη», καὶ οὐχ’ ὡς ἡ κοινὴ συνήθεια οὐλὸς ἄνθρωπος καὶ οὐλὴ κόμη. τὸ μοχλὸς ἔχει πρὸ τοῦ λ ἄλλο σύμφωνον, τὸ θολὸς ἐπὶ σηπίας πρὸς ἀντιδιαστολὴν τοῦ θόλου τοῦ ἐπὶ κτισμάτων ὀξύνεται. καὶ οὕτω μὲν οἱ ῥηθέντες σοφοί. Λάχνη δέ ἐστιν οὐκ αὐτόχρημα θρίξ, ἀλλὰ τρίχωσις, παρὰ τὸ λαχαίνεσθαι, ὡς ἀλλαχοῦ ἐγράφη, ὁποία καὶ ἡ τοῦ Θερσίτου ἦν. Λάχνην δὲ ἔχει καὶ ἀλώπηξ καὶ τὰ τοιαῦτα ζῷα. Ὅτι τὴν συνήθη ποικιλίαν καὶ ἐν ταῖς κατὰ τὴν ῥαψῳδίαν ταύτην ἐγέρσεσι τῶν ἡρώων

τηρεῖ Ὅμηρος, ἐκκλίνων κἀνταῦθα τὸ ὁμοειδές. Καὶ τοὺς μὲν δύο μεγάλους βασιλεῖς οἴκοθεν ὀτρυνομένους ποιεῖ, καὶ προεγερθέντα οὐ τὸν εὐρυκρείοντα, ἀλλὰ τὸν μετ' αὐτόν, τὸν δὲ Νέστορα ἔοικεν ὁ τῶν τοῦ βασιλέως ποδῶν κτύπος ἐξεγεῖραι μηδὲ ὑπνοῦντα ἴσως, ὡς καὶ προερρέθη. τὸν δὲ Ὀδυσσέα ἔσω κλισίης ὑπνοῦντα ὁ Νέστωρ ἐξ ὕπνου ἀνέγειρε φθεγξάμενος, ὁ δ' αὐτὸς καὶ τὸν Διομήδην, πλὴν οὐ φθεγξάμενος, λὰξ δὲ ποδὶ κινήσας, τοὺς δὲ ἄλλους ἕτεροι, ὡς δηλωθήσεται. ὁ δὲ βασιλεὺς μόνον ἐγείρας τὸν Νέστορα οὐκέτι πονεῖται, ἀλλὰ ἕπεται. Οὕτω δὲ καὶ τὰ φορήματα τῶν ῥηθέντων ἡρώων ἔχει ποικιλίαν γραφικήν. ὁ μὲν γὰρ βασιλεὺς δαφοινὸν δέρμα λέοντος μεγάλου περίκειται, οὕτω δὲ καὶ Διομήδης. ἐκεῖνος μέντοι καὶ ἔγχος εἷλε. Μενέλαος δὲ παρδαλέῃ καλύπτει τὸ μετάφρενον καὶ στεφάνην ἔχει περὶ τὴν κεφαλὴν καὶ δόρυ ἐν τῇ χειρί. Νέστωρ δὲ ἔχει μὲν περὶ αὐτὸν κείμενα τὰ ὅπλα ἐν τῷ καθεύδειν, ἀνεγερθεὶς δὲ χλαῖναν περονᾶται τὴν ῥηθεῖσαν καὶ ἔγχος λαμβάνει. Ὀδυσσεὺς δὲ ποικίλον ἀμφ' ὤμοισι σάκος ἔθετο.

3.32 Αἴαντα δὲ καὶ Μέγητα οὐ λέγει πῶς ἐσκευάσθησαν, ἀλλ' ἁπλῶς οὕτω φησίν, ὡς Διομήδης ἀναστήσας ἦγεν αὐτούς, μὴ θέλων ἐνδιατρίβειν οἷς οὐ πάνυ τι ἦν ἀναγκαῖον. Τὸ πᾶν γὰρ εἰπεῖν, τῶν μὲν βασιλέων δέεται ὁ ποιητὴς ἄρτι ἐφ' ᾧ δι' αὐτῶν ἀγεῖραι σύγκλητον, τοῦ δὲ Νέστορος, ἵνα τι βουλεύσηται ἀγαθόν, Ὀδυσσέως δὲ καὶ Διομήδους, ἵνα σκοποὶ γένωνται, ὡς ῥηθήσεται. διὸ τούτων καὶ μόνων πλείω λόγον θέμενος τῶν λοιπῶν οὐχ' οὕτως ἐπέστραπται. Σημείωσαι δὲ καὶ ὅτι προσπαθῶς ἔχων τῷ βασιλεῖ καὶ τῷ Νέστορι ὁ ποιητής, οἷς μὲν αὐτοὶ ποιοῦσι, πλείω χαρίζεται λόγον ἐνταῦθα, τοῖς δὲ τοῦ Διομήδους ἐπιτρέχει ἐπὶ κεφαλαίου λέγων αὐτὰ καὶ μηδέν τι ἐπισημαινόμενος περὶ ὧν ἐκεῖνος ἀνίστησι, τὰ δὲ κατὰ τὸν Μενέλαον πάντῃ σιωπᾷ, ὡς δηλωθήσεται. Ἤρκεσε γὰρ σεμνῦναι αὐτὸν τῷ προεγερθῆναι τοῦ ἀδελφοῦ κατὰ πολλὴν ἐγρήγορσιν. ὅθεν Αἴαντος καὶ Ἰδομενέως, οὓς ἀνέστησεν ὁ Μενέλαος, εἰς τοσοῦτον ὁ ποιητὴς μέμνηται, ὥστε ἀορίστως μνησθῆναι αὐτῶν ἐν τῷ «οἱ δὲ βασιλεῖς ἕποντο, ὅσοι κεκλήατο βουλήν», οἷς καὶ ὁ Αἴας καὶ ὁ Ἰδομενεὺς νοοῦνται συνεισαγόμενοι. (v. 139) Ὅτι περίφρασις τοῦ ἤκουσε τὸ περιῆλθε τὰς φρένας ἡ φωνή, ὡς δηλοῖ τὸ «τὸν δ' αἶψα περὶ φρένας ἤλυθεν ἰωή», ἀντὶ τοῦ ταχὺ ἤκουσεν. Ἔστι δὲ ἰωὴ ἡ φωνή, τουτέστιν ὁ προφορικὸς λόγος ὁ τοῦ στόματος προϊών. δοκεῖ δὲ ἡ λέξις κεῖσθαι καὶ ἐπὶ ἁπλῶς ἤχου. ὅθεν ἐν Ὀδυσσείᾳ ἰωγή, ἔνθα ἡ τοῦ ἀνέμου ἰωὴ ἄγνυται, ἤτοι κλᾶται. [Ὡς δὲ καὶ ἴαν οἱ παλαιοί φασι τὴν ἐνταῦθα ἰωήν, δηλοῦσιν οἱ τὸν Λοξίαν οὕτω καλεῖσθαι εἰπόντες παρὰ τὸ λοξὴν ἴαν, ὅ ἐστι φωνὴν πέμπειν.] (v. 141 s.) Ὅτι ἀνάκρισις νυκτερινῆς ὁδοῦ στρατιωτικῆς τὸ «τίφθ' οὕτω κατὰ νῆας ἀνὰ στρατὸν οἶοι ἀλᾶσθε νύκτα δι' ἀμβροσίην, ὅ τι δὴ χρειὼ τόσον ἵκει», τουτέστι τί δήποτε τοσοῦτον χρεία κατείληφεν. (v. 145) Ὁ δὲ πάσχων μέμψιν ἐφ' οἷς ἄκων μέν, ἀναγκαίως δὲ ὀχλεῖ, προσφυῶς ἂν ἐρεῖ τὸ «μὴ νεμέσα, τοῖον γὰρ ἄχος βεβίηκεν». (v. 146 s.) Ἐν δὲ τοῖς ἑξῆς συνετοῦ καὶ ῥητορικοῦ ἀνδρὸς δήλωσις τὸ «ὃν ἐπέοικε βουλὰς βουλεύειν» ποιεῖν τόδε ἢ τόδε, οἷον «ἢ φευγέμεν ἠὲ μάχεσθαι». βαρυνομένης δὲ ψυχῆς προθεῖναι τὸ φυγεῖν τοῦ μάχεσθαι, οἷα τῶν Ἀχαιῶν πρὸς τῇ φυγῇ ὄντων.

3.33 (v. 149) Ὅτι τοῦ Ὀδυσσέως σάκος, ὡς ἐρρέθη, ἀμφ' ὤμοισι θεμένου ἐν τῇ νυκτεγερσίᾳ, φασὶ δειλίας εἶναι δεῖγμα καὶ τοῦτο. διὰ τί γάρ, φασί, σάκος ἀμφ' ὤμοισιν ἔθετο καὶ οὐ δόρυ εἷλε; λύουσι δὲ τοῦτο πάνυ ἀστείως οἱ σοφοί, λέγοντες ὅτι Νέστορος εἰπόντος χρῆναι καὶ ἄλλον ἐγεῖραι, ὃς βουλεύσεται ἢ φεύγειν, ὡς εἴρηται, ἢ μάχεσθαι, καὶ οὕτω δειλανδρεῖν φαινομένου, Ὀδυσσεὺς σιωπωμένῃ ὑποκρίσει, ὅ ἐστιν ἀποκρίσει, χρᾶται συμβολικῶς πρὸς αὐτόν, μονονουχὶ λέγων, ὡς μενετέον καὶ μαχητέον, ἀλλ' οὐ φευκτέον. δόρυ μὲν γάρ τινες φέρουσι καὶ μὴ μαχόμενοι, ὡς καὶ ὁ τῆς Ὀδυσσείας δηλοῖ Τηλέμαχος καὶ ὁ ἐκεῖ Μέντης, ἀσπὶς δὲ μενόντων ἐστὶ καὶ μαχομένων. Οὕτω ποτὲ καὶ Ἐφεσίων στασιαζόντων περὶ χρημάτων παρελθὼν εἰς τὴν ἐκκλησίαν Ἡράκλειτος καὶ ἐπιπάσας κύλικι ἄλφιτα ἐξέπιε τὸν κυκεῶνα, σιωπῶσαν παραίνεσιν

ἐκθεὶς καὶ διδάξας, ὡς δεῖ ζηλοῦν τὴν αὐτάρκειαν. καὶ οὕτω μὲν οἱ τοιοῦτοι σοφοί. Ἔστι δὲ καὶ ἄλλως τὸ ποιηθὲν ἴδιον τῆς Ὁμήρου ποικίλης τέχνης, τοὺς μὲν ἄλλους τῶν ἡρώων σκεπάσαντος ἑτέρως πολυειδῶς, ὡς δεδήλωται, τὸν δὲ Ὀδυσσέα τῇ ἀσπίδι, ὅσγε οὐδὲ τὸ ἀφυπνίζειν αὐτοὺς καθ' ἕνα τινὰ τρόπον ἀλλὰ κατὰ διαφόρους πεποίηκεν, ὡς καὶ τοῦτο εἴρηται. (v. 150—6) Ὅτι καὶ ὁ Διομήδης ἐκτὸς ἦν κλισίης, αἴθριος δηλαδὴ κοιμώμενος ἐπὶ ῥινοῦ βοός. καὶ οἱ αὐτοῦ δὲ ἑταῖροι ἐν ὑπαίθρῳ ἐκοιμῶντο κύκλῳ αὐτοῦ—στρατιωτικὸν γὰρ τὸ αἰθριοκοιτεῖν—, ὑπὸ δὲ ταῖς κεφαλαῖς εἶχον ἀσπίδας, τοῖς αὐτοῖς δηλαδὴ ὅπλοις εἰς πόλεμόν τε ἀποχρώμενοι καὶ εἰς ἀνάπαυσιν. Τῷ Διομήδει μέντοι ὡς ἐξαίρετον ἦν τι τὸ ὑπὸ τῇ κεφαλῇ τάπητα ἔχειν, ἵνα κἂν γοῦν ἡ κεφαλὴ ἐν ἁπαλῷ μένῃ. Φράζει δ' ἐνταῦθα ὁ ποιητὴς οὕτω· «τὸν δ' ἐκίχανον ἐκτὸς ἀπὸ κλισίης σὺν τεύχεσιν», οἷα μὴ χειμερίου ὄντος, ὡς πολλαχοῦ φαίνεται, τοῦ καιροῦ. «ἀμφὶ δ' ἑταῖροι εὗδον, ὑπὸ κρασὶ δ' ἔχον ἀσπίδας· ἔγχεα δέ σφιν ὄρθ' ἐπὶ σαυρωτῆρος ἐλήλατο, τῆλε δὲ χαλκὸς λάμπεν ὥστε στεροπὴ Διός», τῷ σκιάζοντι τῆς νυκτὸς ἀντιπεριϊσταμένη, «αὐτὰρ ὅ γ' ἥρως εὗδ', ὑπὸ δ' ἔστρωτο ῥινὸν βοὸς ἀγραύλοιο, αὐτὰρ ὑπὸ κράτεσφι τάπης τετάνυστο φαεινός». Φοβερὸν δέ, φασί, ἐνταῦθα σχῆμα, εἰ οὕτως οἱ ἑταῖροι τρόπον τινὰ περιχαρακοῦσι τὸν ἡγεμόνα. δηλοῖ δὲ τοῦτο καὶ τὴν εἰς μάχην αὐτῶν ἑτοιμότητα. διὸ τοὺς Θρᾷκας μετ' ὀλίγα σκώπτων ἐκ τοῦ ἐναντίου τὰ ὅπλα φησὶν ἐπὶ χθονὶ αὐτοῖς κεῖσθαι εὖ κατὰ κόσμον, ὡς οἷον συμπεπτωκότα τοῖς ἀναπίπτουσιν. (v. 153) Ἰστέον δὲ ὅτι τὸ ἐπὶ σαυρωτήρων ὀρθὰ πεπηγέναι τὰ ὅπλα ἐξεκόπη χρόνοις πολλοῖς ὕστερον, ἔγχους νύκτωρ καταπεσόντος καὶ πτυρμὸν πολὺν στρατῷ τινι ἐμποιήσαντος.

3.34 Σαυρωτὴρ δέ ἐστι σιδήριον κοῖλον ἐξ ἄκρου ὀξύ, ᾧ ἐντιθέμενον τὸ ὀπίσω ἄκρον τοῦ δόρατος ὀρθὸν αὐτὸ κατὰ σκόλοπα, ἤγουν σταυρόν, ἑστάναι ποιεῖ πηγνύμενον κατὰ γῆς. ὅθεν καὶ τὴν κλῆσιν ἔσχεν, ὡς οἷα σταυρωτὴρ δόρατος. Οἱ δὲ παλαιοὶ οὕτω συντομώτερον γράφουσι· σαυρωτὴρ τὸ ἐν τῷ ἑτέρῳ ἄκρῳ τοῦ δόρατος ἔσχατον ὀπίσθιον σιδήρειον κέντρον. Ὁ δὲ σαυρωτὴρ καλεῖται παρ' Ὁμήρῳ καὶ οὐρίαχος, ὡς εἴ τις εἴποι τὸ οὐραῖον καὶ ἄκρον τοῦ δόρατος. οὗ παραγωγὴ ὁμοία τῷ νηπίαχος. Ἢ καὶ ἄλλως, οὐρίαχος, ἐξ οὗ ὀρούει ἰαχή, ἐάν τις, ὡς εἰκός, ὑπ' αὐτοῦ βληθείη ποτέ. Παρὰ δὲ ἑτέροις καὶ κρόσφος καλεῖται ἢ γρόσφος διὰ τοῦ γ , εἰ καὶ ἡ πλείων χρῆσις ἑλεπόλεως εἶδος οἶδε τὸν γρόσφον. ἔτι δὲ καὶ στύραξ ὁ σαυρωτὴρ ὀνομάζεται, ἐφ' οὗ δηλαδή ἔστι τὸ δόρυ στῆναι, οἱονεὶ στήραξ καὶ κατὰ τροπὴν στύραξ, ὥσπερ καὶ στῶ στήσω στῆλος καὶ στύλος. χρῆσις τούτου καὶ παρὰ Θουκυδίδῃ, εἰπόντι ἀνοῖξαί τινα τὴν πύλην ἐν Πλαταιαῖς ἀκοντίου στύρακι. [Ὅτι δὲ τῷ εἰρημένῳ στύρακι ἀντίκειται κατὰ θάτερον μέρος τοῦ δόρατος ὁ καὶ παρ' Ὁμήρῳ πόρκης, περὶ οὗ ἐρρέθη ἑτέρωθι πλατύτερον, δηλοῖ καὶ ὁ γράψας οὕτω· πόρκης ἐπιδορατίδος δακτύλιος, ἀφ' οὗ καὶ τὰ στρογγύλα καὶ κρικώδη πορκώδη λέγεται. καὶ τοῦτο μὲν τοιοῦτον.] Τὸ δὲ «ἐπὶ σαυρωτῆρος» προσηγορικῷ λόγῳ ἀντὶ τοῦ ἐπὶ σαυρωτήρων. οὐ γὰρ εἷς ἅπασιν ἦν σαυρωτήρ.

3.35 ἢ προσλογιστέον τῇ ἐννοίᾳ ἔξωθεν τὸ ἕκαστον, ἵνα λέγῃ ὅτι τὰ ἔγχεα ὀρθὰ ἕκαστον ἐπὶ σαυρωτῆρος ἐλήλατο. Τὸ δὲ «ἐλήλατο» δηλοῖ μὲν τὸ ἐπεπήγει. καὶ ἔστιν ἡ λέξις σύστοιχος τῷ «τεῖχος ἤλασε». πυργηδὸν γὰρ οἷον καὶ τὸ ὀρθὸν ἔγχος ἀνέστηκε. καὶ ἄλλως δὲ τὸ ἐλᾶν ἐνταῦθα τὴν εἰς ὕψος ἀνάτασιν δηλοῖ, ὡς καὶ ἐπὶ τῆς ἐλάτης τοῦ φυτοῦ. (v. 154) Ἡ δὲ λαμπηδὼν τῆς αἰχμῆς ἀρετὴν δηλοῖ ὅπλου. διὸ ἐπιμελητέα ἦν τοῖς ἥρωσι καὶ ἡ τῶν ὅπλων σμῆξις, ὡς δηλοῖ καὶ τὸ «θωρήκων τε νεοσμήκτων». Τοῦτο δὲ συντελεῖ καὶ εἰς γνῶσιν τοῦ πυρός, ὅπερ ἐν τοῖς φθάσασιν ἐκ τῶν ὅπλων τοῦ Διομήδους ἀνήπτετο. εἰ γὰρ ὡς ἀστραπὴ τῆλε ὁ χαλκὸς τοῦ ἔγχους ἔλαμπε, τοιοῦτόν τι καὶ τὸ ἐκεῖ δαιόμενον πῦρ νοηθήσεται. (v. 155) Τὸ δὲ «στρῶμα τοῦ βοός» εὐνὴ οὐ μαλακὴ κατὰ τὰς ἤδη ῥηθείσας γεροντικάς, ἀλλὰ νέῳ ἥρωϊ στρατιώτῃ πρέπουσα. εἰ δὲ οἱ ἐν Ὀδυσσείᾳ μνηστῆρες ἐπικάθηνται μόνον βοῶν ῥινοῖς, ἄλλως ἁπαλῶς εὕδοντες, τρυφῆς ἐκεῖνα παίγνια, ταῦτα δὲ σπουδαίας μάχης σκευαί. Ἀγραύλου δὲ βοὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ δέρμα ὅτι τε, ὡς εἰκός, ἀπὸ λείας πεπόρισται καὶ εἰς ἔνδειξιν τοῦ καὶ στερεῶς ἔχειν διὰ τὴν ἀπὸ γυμνασίας πυκνότητα. Ἐν τούτοις δὲ ὅρα καὶ ὅτι ἀμφιβολίας σχῆμά ἐστιν ἐν τῷ τὸν Διομήδην ἐκτὸς εἶναι κλισίης σὺν τεύχεσιν, ἄδηλον γὰρ εἴτε παράκειται αὐτῷ τὰ ὅπλα εἴτε ἐνδέδυται αὐτά, καὶ ὅτι εἰπὼν περὶ τῶν ἀμφὶ τὸν Διομήδην, ὡς ὑπὸ κρασὶν ἔχον ἀσπίδας, ἐπὶ Διομήδους φησίν, ὅτι ὑπὸ κράτεσφι τάπης τετάνυστο. Καὶ ἐπλήθυνε, καθὰ πρὸ ὀλίγου ἡρωϊκὰ στήθη ἐν τῷ «κραδίη ἔξω στηθέων», καὶ ἀλλαχοῦ τῷ Αἴαντι τὰ πρόσωπα διὰ μεγέθους μεγαλοπρέπειαν, οὕτω καὶ τῷ Διομήδει τὴν κεφαλήν. ὅθεν καὶ τετανύσθαι φησὶ τὸν τάπητα συμμετρούμενον τῷ πολλῷ τῆς κεφαλῆς. Ἐν τούτοις δὲ ὅρα καὶ τὴν ὑπο πρόθεσιν συνήθως τῷ ποιητῇ συνταχθεῖσαν δοτικαῖς. (v. 156) Φαεινὸς δὲ ὁ ῥηθεὶς τάπης, ἐπείπερ ἐχρῆν λαμπρὸν αὐτὸν εἶναι τῷ ἥρωϊ. ὅπερ οὐ τρυφὴν κατηγορεῖ, ἀλλὰ μεγαλοπρεπές τι καὶ αὐτὸ ὑποδηλοῖ. Σημείωσαι δὲ ὅτι ὁ τάπης καὶ νῦν ἐπὶ προσκεφαλαίου ἐλήφθη. ὅλως γὰρ οἱ τάπητες δοκοῦσιν ὑποκεῖσθαι τοῖς ἀνακεκλιμένοις. Ὅθεν καὶ ἡ λέξις παρὰ τὸ πατεῖσθαι παρῆκται. πάτης γάρ τις ὁ τάπης ἐστὶ κατὰ μετάθεσιν, ὁποίαν πάσχει καὶ ὁ ταπεινός ἐκ τοῦ πάτου παραγόμενος. (v. 157—9) Ὅτι τὸν Διομήδην, κοιμώμενον βαθὺν ὕπνον διὰ τοὺς μεθ’ ἡμέραν κόπους, παραστὰς ὁ Νέστωρ ἀνήγειρε «λὰξ ποδὶ κινήσας, ὤτρυνέ τε νείκεσέ τ’ ἄντην», ὅ ἐστιν ἐφιλονείκησεν ἀντικρὺ καί, ὅ φασι, κατὰ πρόσωπον «ἔγρεο, Τυδέος υἱέ, τί πάννυχον ὕπνον ἀωτεῖς», ὃ δὴ ῥαθύμῳ ἀνδρὶ ἐπιλεχθήσεται.

3.36 (v. 162) «Ὁ δ’ ἐξ ὕπνου μάλα κραιπνῶς ἀνώρουσεν», [οὐκ ἔχων εἰπεῖν παροιμιακῶς καὶ αὐτὸς τὸ «ὥστ’ οὐχ’ ὕπνῳ γ’ εὕδοντά μ’ ἐξεγείρεις», ὃ κεῖται παρὰ τῷ Σοφοκλεῖ.] Καὶ ὅρα ὅτι λείπει κἀνταῦθα λέξις. τὸ γὰρ πληρέστατον οὕτως ἂν ἦν· ὤτρυνεν εἰπὼν «ἔγρεο, Τυδέος υἱέ». (v. 158) Λὰξ δὲ κινεῖ ὁ γέρων τὸν ἥρωα, ὀνειδίζων τρόπον τινὰ τὸ ἀφυλάκτως ὑπνοῦν, καὶ ὡς ἐντεῦθεν οὕτως ἂν ἀνωϊστὶ καὶ πολέμιος ἐπιστὰς αὐτὸν ἔβλαψεν. Ἔστι δὲ τὸ λάξ, ὡς καὶ ἐν Ὀδυσσείᾳ, ποιότητος ἐπίρρημα, καὶ δηλοῖ τὸ ληκτικῶς, ἤγουν τῷ λήγοντι μέρει τοῦ ποδός, ὅ ἐστι τοῖς δακτύλοις ἢ καὶ τῷ πέλματι. καὶ ἔστι τὸ ποδί ἐφερμηνευτικὸν τοῦ λάξ, τεθὲν πρὸς πλείω σαφήνειαν. Ὡς γὰρ ἐκ τοῦ λήγω λήξω λήξ καὶ λάξ, καθὰ καὶ προδεδήλωται, οὕτω καὶ πούς ἀπὸ τοῦ παύσω. ταὐτὸν δὲ λήξω καὶ παύσω εἰπεῖν. ἄλλως μέντοι ἤρκει πρὸς αὐτοτελῆ ἔννοιαν καὶ μόνον τὸ λάξ, ὡς δηλοῖ τὸ «λὰξ ἔνθορ’ ἀφραδίῃσιν». Ἰστέον δὲ ὅτι τὸ «λὰξ κινήσας» παρήγαγεν ἐν τῇ τραγῳδίᾳ τὸ λαξπάτητον περὶ οὗ καὶ αὐτοῦ προείρηται. Ἔστι δὲ καὶ ἄλλως λὰξ κατὰ τοὺς παλαιοὺς ἀντὶ τοῦ τῷ ὑποκάτω μέρει τῶν τοῦ ποδὸς δακτύλων. καθ’ ἑτέρους δὲ τὸ μόνῳ τῷ μεγάλῳ δακτύλῳ τοῦ ποδός. (v. 159) Τὸ δὲ «ἀωτεῖς» τί τε δηλοῖ καὶ ὅπως ἐτυμολογεῖται, καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν ἀκριβέστερον εἴρηται.

3.37 [Νῦν δὲ ῥητέον ἐπιτόμως, ὅτι τῷ ἀωτεῖν οὐκ ἔγκειται τὸ ὦς ὠτός κατά τινας διὰ τὸ τοὺς κοιμωμένους μὴ χρῆσθαι ὠτίοις εἰς ἀκοήν, ἀλλὰ τὸ ἄωτον, ὅπερ ἐστιν ἄνθος, ἵνα ᾖ ἀωτεῖν ὕπνον τὸ ἀπανθίζειν. τοῦτο δὲ διὰ τὸ καθ’ ὕπνον ἡδὺ καὶ οἷον ἀνθηρόν, αὐτὸ δὲ διὰ τὸ δοκεῖν ἀνθεῖν καθ’ ὑγίειαν τοὺς πάννυχον ὕπνον εὕδοντας. ὡς ὅ γε μὴ τοιοῦτος ὕπνος, ἀλλὰ περικεκομμένος καὶ ἔμφροντις, οὐκ ἂν ἀωτεῖσθαι κυρίως λέγοιτο.] Καὶ οὕτω μὲν ὁ γέρων Νέστωρ πρὸς τὸν Διομήδην. ἐκεῖνος δὲ ταχύ, καθὰ ἐρρέθη, ἀναπηδήσας, ὡς ἔπρεπε, φησὶν ἅπερ ἁρμόττει παντὶ φερεπόνῳ γέροντι (v. 164 et 167) «Σχέτλιός ἐσσι, γεραιέ· σὺ μὲν πόνου οὔ ποτε λήγεις». ὅπερ παραφράζων κατωτέρω φησὶ «σὺ δ’ ἀμήχανός ἐσσι, γεραιέ», ὅ ἐστιν ἀνίκητος, ἀνένδοτος, καθ’ οὗ οὐκ ἔστι τι μηχανήσασθαι. ταῦτα δὲ λέγει μὲν ὁ Διομήδης ἀληθῶς. τοιοῦτος γὰρ ὁ Νέστωρ. κατὰ δὲ τοὺς παλαιοὺς εἰώθασι καὶ ἄλλως οἱ ἀμελείας κρινόμενοι πολυπονίαν τοῖς αἰτιωμένοις ἀντεγκαλεῖν, τῷ ἐκείνων ἐπαίνῳ τοὺς οἰκείους ἀπαλείφοντες ψόγους, ὡς μὴ αὐτῶν πονούντων ἧττον τοῦ δέοντος, ἀλλ’ ἐκείνων περαιτέρω τοῦ δυνατοῦ καὶ ὑπὲρ φύσιν φιλοπονούντων. (v. 169) Σημείωσαι δὲ ὅτι ὁ γέρων συναινέσει καὶ αὐτὸς τοῖς τοῦ Διομήδους λόγοις, εἰπὼν «ναὶ δὴ ταῦτά γε πάντα φίλος κατὰ μοῖραν ἔειπες» καὶ ἑξῆς. Γίνεται δὲ τοῦτο οὐ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μόνον διὰ τὴν ἀλήθειαν τῶν λαληθέντων, ἀλλὰ καὶ ὑπενδιδόντος τοῦ γέροντος διὰ τὸν οἰκεῖον ἔπαινον, ἐπειδὴ μαλακὸν οὐ μόνον ὁ ὕπνος κατὰ τὸν ποιητήν, ἀλλ’ ἤδη καὶ ὁ ἔπαινος. μαλακὸν γὰρ ποιεῖ καὶ αὐτὸς ὡς τὰ πολλὰ καὶ διαχαυνοῖ τὸν φιλέπαινον, χαίροντα φύσει τοῖς ὑπὲρ ἑαυτοῦ λόγοις. (v. 166) Ὅρα δ’ ἐνταῦθα ὅτι τε ἀμήχανος οὐχ’ ὡς ἐν ἄλλοις ὁ ἀπορῶν καὶ μὴ ἔχων τί μηχανήσεται, ἀλλ’, ὡς ἐρρέθη, ὁ ἀνίκητος, κατὰ πόλιν ἀπολιόρκητον μηχαναῖς ἑλεπόλεων, ὃ δὴ καὶ ἐπὶ Ἥρας που λέγεται, ὅπου καὶ τὸ κακομήχανον ἡ λέξις δηλοῖ.

3.38 (v. 164) Καὶ ὅτι τὸ «σχέτλιος» οὐχ’ ὑβριστικὴ λέξις, ἀλλὰ καρτερίας, ὅ ἐστι φερεπονίας, σημαντική, ἵνα δηλοῖ τὸν ἀνασχέσθαι καὶ τλῆναι δυνάμενον. διὸ καὶ εἰς ἑρμηνείαν ἐπῆκται τὸ «σὺ μὲν πόνου οὔποτε λήγεις», ὡς ὅμοιον ὂν φάναι σχέτλιον καὶ οὔποτε λήγοντα πόνου. Οἱ δὲ παλαιοὶ καὶ ταῦτά φασι· σχέτλιός ἐστι μὲν καὶ ὁ ἄξια ποιῶν ἀγανακτήσεως, ὅθεν καὶ τὸ σχετλιάζειν. Λέγεται δὲ οὕτω καὶ ὁ καρτερικός, ἤγουν σχετικὸς καὶ ὑπομενετικὸς καί, ὡς εἰπεῖν, οὔποτε πόνου λήγων, καὶ ὁ ἐπέκεινα δὲ τοῦ δέοντος εἴς τι ὁρμῶν καὶ πάνυ δραστήριος, ὃν ἔδει σχέσθαι καὶ τλῆναι. Ἢ καὶ ἄλλως, σχέτλιος ὁ ἐφεκτικὸς καὶ τλητικὸς καὶ μὴ εὐμετακίνητος καὶ εὐπειθής. διὸ καὶ Αἴας τὸν Ἀχιλλέα σχέτλιον εἰπὼν νηλῆ λέγει ἐκεῖνον. Ἣ δὲ νεωτέρα χρῆσις ἐκαινοτόμησε, σχέτλιον ἑρμηνεύσασα τὸν ἄδικον, ὅπερ ἐνταῦθα οὐκ ἂν προσαρμόττοι. οὐ γὰρ ἂν λόγον ἔχοι ἄδικα λέγειν τὸν Νέστορα. εἰπεῖν γὰρ ἀκριβῶς, ἐλεημόνως προσέφη ὁ Διομήδης τὸν γέροντα σχέτλιον, παθαινόμενος, οὐ μὴν ὑβρίζων.

3.39 καὶ τοῦτο δηλοῖ αὐτὸς ὁ Νέστωρ μετ’ ὀλίγα ἐν τῷ «εἴ μ’ ἐλεαίρεις». [Ἰστέον δὲ καὶ ὅτι ἐν διαφόρῳ σημασίᾳ ταὐτότης ἐτυμολογίας ἐστὶ τῷ σχετλίῳ καὶ τῇ ἐχέτλῃ. σχέτλιός τε γὰρ παρὰ τὸ σχέσθαι καὶ τλῆναι, ὡς εἴρηται, καὶ ἐχέτλη δέ, ἧς ἔχεται τλητικῶς τις διὰ τὸ κατ’ αὐτὴν ἐπίπονον.] (v. 160) Ἐν τούτῳ δὲ τῷ τόπῳ κεῖται καὶ ἀΐειν τὸ εἰδέναι, ἢ γενικῶς τὸ αἰσθάνεσθαι. καὶ θρωσμὸς ὁ ὑψηλὸς τόπος καὶ γήλοφος, ὁ οἷον ἀναθρῴσκων καὶ μὴ κατὰ πεδιάδα κείμενος. Φησὶ γὰρ «οὐκ ἀΐεις, ὡς Τρῶες ἐπὶ θρῳσμῷ πεδίοιο κάθηνται ἄγχι νεῶν». (v. 161) Ὁ καὶ ἑρμηνεύων ἐπάγει «ὀλίγος δέ τε χῶρος ἐρύκει», ὡς ταὐτὸν ὂν τοπικῶς τὸ ἄγχι καὶ τὸ ὀλίγον εἶναι τὸν μεταξὺ τόπον, ὡς εἴπερ ἐπὶ μεταιχμίου τοῦτο εἶπε, πλὴν ὅσον τὸ μὲν ἄγχι μία λέξις ἐστί, τὸ δὲ ἐφεξῆς αὐτοῦ περιπέφρασται. ὅπερ πρὸ ὀλίγου καὶ ἄλλως ἔφρασεν, εἰπὼν «δυσμενέες ἄνδρες σχεδὸν εἵαται». (v. 160) Σημείωσαι δὲ ὅτι ἔχει τι λεληθυίας ἀστειότητος τὸ «Τρῶες ἐπὶ θρῳσμῷ πεδίοιο κάθηνται», ἵνα λέγῃ ὡς οἷον ἀντιθετικῶς, ὅτι ἐκάθηντο ἔνθα τὸ πεδίον ἀνέθρῳσκε. Δύναται δὲ καὶ ἄλλως θρωσμὸς λέγεσθαι, ἐφ’ οὗπερ οὐχ’ ἁπλῶς βαίνει τις ὡς ἐπὶ πεδιάδος, ἀλλ’ ἀναθρῴσκων. Ἰστέον δὲ καὶ ὡς εἰς ὄνομα οἱονεὶ κύριον τοῦ ῥηθέντος γεωλόφου κεῖται ὁ ῥηθεὶς Τρωϊκὸς θρῳσμός. εἰ δὲ καὶ ὁ αὐτός ἐστι τῇ ἀλλαχοῦ Καλλικολώνῃ, ζητῆσαι ἄξιον. Δῆλον δὲ ὡς οὐκ ἐξ αὐτοῦ δὴ τοῦ θρῴσκω γίνεται ὁ θρωσμός. αὐτὸς μὲν γὰρ ὄνομά ἐστι ῥηματικὸν ἐκ τοῦ τέθρωσμαι παθητικοῦ παρακειμένου, τὸ δὲ θρῴσκω καὶ ὅλως τὰ διὰ τοῦ σκ ἐκφερόμενα θέματα μέχρι μόνου παρατατικοῦ κλίνονται καὶ οὐ προβαίνουσιν ἐπέκεινα.

3.40 Ἔστιν οὖν θόρω, τὸ πηδῶ, καὶ ἐν συγκοπῇ θρῶ κατὰ τρίτην συζυγίαν, οὗ μέλλων θρώσω, καὶ ἡ λοιπὴ καθεξῆς κίνησις, ἐξ ἧς ὁ θρῳσμός. (v. 165—7) Κεῖται δ’ ἐνταῦθα καὶ τὸ «ἔπειτα» περιττὸν ἐν τῷ «οὔ νυ καὶ ἄλλοι ἔασι νεώτεροι υἷες Ἀχαιῶν, οἵ κεν ἔπειτα ἕκαστον ἐγείρειαν πάντῃ ἐποιχόμενοι», ὅπερ λεχθῆναι οἰκεῖον ἐπὶ τῶν ὀφειλόντων ἀναγκαίως ἐγείρειν τινάς. φανερῶς γὰρ ἐν τούτοις τὸ ἔπειτα περιττὴν ἔχει παραπλήρωσιν, ὡς καὶ τὸ ἔχειν ἐν τῷ «τό γε νῦν ἔχον», καὶ ἄλλα πολλά, περὶ ὧν καὶ προγέγραπται. Σημείωσαι δὲ καὶ ὅτι πάνυ δεξιῶς ὁ Νέστωρ τὸν μὲν Ἀγαμέμνονα ἐθάρσυνε τεταπεινωμένον καὶ καταπεπληγμένον ὑπὸ τῆς συμφορᾶς καὶ εὔελπιν ἔθετο, τὸν Διομήδην δὲ ἀμελοῦντα καὶ καθεύδοντα ἐκφοβεῖ. δεῖ γάρ, φασίν, τὸν ἔχοντα νοῦν τοὺς μὲν πεφοβημένους θαρσύνειν, τοὺς δὲ θαρροῦντας συστέλλειν τῷ φόβῳ, ἵνα μήτε τῷ δέει τις ἐκπλήττοιτο μήτε τῷ θάρσει ἀπαράσκευος γίνοιτο. (v. 170 s.) Ὅτι εὔπαιδι καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολυλάῳ ἄρχοντι πρέπει λεχθῆναι τὸ τοῦ Νέστορος, ἤγουν τὸ «εἰσὶ μέν μοι παῖδες ἀμύμονες, εἰσὶ δὲ λαοὶ καὶ πολέες, τῶν κέν τις ἐποιχόμενος» ποιήσειεν ἂν τόδε τι. (v. 172) Ἀναγκαίας δὲ χρείας δηλωτικὸν τὸ «ἀλλὰ μάλα μεγάλη χρειὼ βεβίηκεν Ἀχαιούς». (v. 173) Ὅτι παροιμιῶδες τὸ «νῦν γὰρ δὴ πάντεσσιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς», ἀντὶ τοῦ· νῦν ἐν κινδύνῳ ἐστὶ τὰ καθ’ ἡμᾶς καὶ οἷον ἐπ’ αὐτῇ τῇ ὀξύτητι καὶ τομῇ τοῦ ξυροῦ. Σοφοκλῆς δὲ παραφράζων αὐτὸ εἶπε «ξυρεῖ γὰρ ἐν χρῷ». ἐλήφθη δὲ ἡ παροιμία ἐκ τραυμάτων, ἃ τομῆς ἤδη δέονται. ἐπεὶ δὲ ὁ ξυρὸς ὡς τὰ πολλὰ ὄργανόν ἐστιν ἢ σαρκῶν τομῆς ἢ τριχῶν, ἐνενοήσαντο μεταλαβόντες οἱ νεώτεροι ἐπὶ κινδύνων ἐξ αὐτοῦ παροιμίας ἑτέρας δύο, ποτὲ μὲν πήματα λέγοντες τομῶντα τὰ τομῆς δεόμενα, ποτὲ δὲ τριχὸς φάσκοντες ἠρτῆσθαι τὰ πράγματα. Ἐξ οὗ παραποιήσας Θεόκριτος ἔφη τὸ «θρὶξ ἀνὰ μέσον». τὸ μέντοι «ξυρὸς εἰς ἀκόνην» ἑτέραν παρὰ τὰ ῥηθέντα ἔχει ἔννοιαν. (v. 174) Ὅτι δὲ κινδυνώδης ἔννοια τὸ ἐπὶ ξυροῦ ἵστασθαι ἀκμῆς, δηλοῖ Ὅμηρος ἐπαγαγὼν «ἢ μάλα λυγρὸς ὄλεθρος Ἀχαιοῖς ἠὲ βιῶναι», ὁποῖά τινα καὶ τὰ ἐπικινδύνως ξυρώμενα.

3.41 ὅτι δὲ ἦν τις ξυρὸς καὶ κεφαλὰς τέμνων, αἱ ἱστορίαι δηλοῦσιν. (v. 173 s.) Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ «ἐπὶ ξυροῦ ἵσταται» λείπει ὄνομα, ἵνα λέγῃ ὅτι ἐπὶ ξυροῦ ἀκμῆς ἵσταται τὰ ἡμέτερα, ἤγουν τὰ τῶν Ἀχαιῶν, καὶ ὅτι κἀνταῦθα δηλοῦται ὁμοιότης ἀπαρεμφάτων καὶ ὀνομάτων ἐν τῷ «ἢ μάλα λυγρὸς ὄλεθρος ἠὲ βιῶναι». Καὶ γὰρ καὶ ὁ ὄλεθρος δύναται ἀπαρεμφάτως φρασθῆναι, οἷον ὅτι ἀνάγκη ὀλοθρευθῆναι, καὶ τὸ βιῶναι δὲ ἶσον δύναται ὀνόματι, ὡς ἵνα εἴπῃ ὅτι σήμερον ὄλεθρος ἢ βίος τοῖς Ἀχαιοῖς. (v. 175 s.) Ὅτι οἶδεν ὁ ποιητὴς καὶ τὴν φύσιν τοῦ παρὰ φιλοσόφοις ἐνδόξου λήμματος. ἐνταῦθα γὰρ τοῦ Διομήδους δόξαντος οἰκτείρειν τὸν γέροντα τοῦ πρὸ τῶν νεωτέρων πόνου, λαβὼν τὸν ἐκείνου λόγον ὁ γέρων ὡς ἀληθῆ, ὁρμᾶται ἐκ τοῦ ἐκείνῳ δοκοῦντος ὡς ὁμολογουμένου λήμματος, καὶ στέλλει εἰς Αἴαντα καὶ Μέγητα εἰπὼν «ἄνστησον ἐκείνους, σὺ γάρ ἐσσι νεώτερος, εἴ μ’ ἐλεαίρεις», τουτέστιν ἐπειδὴ ἐλεεῖν με φῄς. Ἔνθα ὅρα καὶ τὴν ὀνοματικὴν ἐπίχυσιν. τὸ γὰρ ἐγείρειν καὶ ἀνεγείρειν, ἃ πρὸ τούτου ἐρρέθη, ἀνιστᾶν ἐνταῦθά φησιν ἐν τῷ «Αἴαντα ἄνστησον», καὶ «τοὺς δὲ ἀνστήσας ἄγεν». τὸ δὲ «Αἴαντα ἄνστησον» πρὸ τούτων ἄλλως ἔφρασε «κάλεσον» εἰπών. Τὸ δὲ ἄγειν καὶ ἐνταῦθα ταὐτόν ἐστι τῷ προάγειν καὶ ὁδηγεῖν, ἐξ οὗ καὶ ὁ λοχαγὸς καὶ τὰ ὅμοια. (v. 179) Ὅρα δ’ ἐν τούτοις καὶ τὸ μάλα κραιπνὸν τοῦ Διομήδους. Μενέλαος μὲν γὰρ ἤδη ἔσταλται καλέσων Αἴαντα καὶ Ἰδομενέα, φθάνει δὲ Διομήδης καλῶν τὸν ταχὺν Αἴαντα, ὡς τοῦ Μενελάου τυχὸν εἰς τὸν μέγαν ἐσταλμένου Αἴαντα. εἰ δὲ Μενέλαος ἐποίησε τὸ κελευσθέν, σιωπᾶται κατὰ σχῆμα σύνηθες τῷ ποιητῇ, ὃς καὶ αὐτὸ ἐσίγησε τὸ ἐπανελθεῖν τὸν Μενέλαον. (v. 180) Ὅτι μιχθῆναι καὶ ἐνταῦθα τὸ ἁπλῶς ὁμοῦ γενέσθαι κατ’ ἐντυχίαν, οἷον «οἳ δ’ ὅτε δὴ φυλάκεσσιν ἐν ἀγρομένοισιν ἔμιχθεν». (v. 181 s.) Ὅτι τοὺς τῶν φυλάκων ἡγήτορας οἱ ἀμφὶ τὸν βασιλέα οὐχ’ εὕδοντας εὗρον, «ἀλλὰ ἐγρηγορτὶ σὺν τεύχεσιν εἵατο», ἤγουν ἐκάθηντο, ἕκαστος. Ἀνακεκλίσθαι μὲν γὰρ οὐκ ἤθελον, μὴ καὶ κατενεχθῶσιν εἰς ὕπνον, τὸ δὲ ἵστασθαι κάματον αὐτοῖς ἔξω καιροῦ ἐνεποίει εἰς οὐδὲν δέον. ὅθεν καθήμενοι ποιοῦσι τὸ μέσον ἀνακλίσεώς τε καὶ στάσεως. (v. 183—8). Παραβάλλει δὲ αὐτοὺς καὶ πρὸς κύνας φύλακας ποιμνίων, οἷς ὀξυηκόοις τε οὖσι καὶ νύκτωρ ἀκροασαμένοις θηρὸς καὶ προσδοκῶσι τὴν αὐτοῦ ἔφοδον ἔπεισιν ἀγρυπνεῖν, ὡς εἶναι κύνας μὲν ὥσπερ τοὺς Ἀχαϊκοὺς φύλακας, ποίμνιον δὲ τοὺς ἐν νυκτὶ φυλασσομένους Ἀχαιούς, θῆρα δὲ τὸν Ἕκτορα, ὃν ἐξαίρων κρατερόφρονα καλεῖ. Ἔχει δὲ ἡ παραβολὴ οὕτως «ὡς δὲ κύνες περὶ μῆλα δυσωρήσονται ἐν αὐλῇ, θηρὸς ἀκούσαντες κρατερόφρονος, ὅς τε καθ’ ὕλην ἔρχεται δι’ ὄρεσφι, πολὺς δ’ ὀρυμαγδὸς ἐπ’ αὐτῷ ἀνδρῶν ἠδὲ κυνῶν, ἀπό τέ σφισιν ὕπνος ὄλωλεν, ὣς τῶν νήδυμος ὕπνος ἀπὸ βλεφάροισιν ὀλώλει, νύκτα φυλασσομένοισι κακήν».

3.42 Καὶ ὅρα ὡς ἡ παραβολὴ αὕτη ὅλη ὅλῳ προσαρμόττει τῷ παραβαλλομένῳ πράγματι, ὡς ἀνωτέρω ἔκκειται, καὶ ὅτι οὐχ’ ἁπλῶς οἱ φύλακες, ἀλλ’ οἱ τούτων ἡγήτορες ἐγρηγορότες εὕρηνται, οἷα πιθανῶς καὶ αὐτοὶ κληθησόμενοι συμμητιάασθαι, ὡς ἐν τοῖς ἑξῆς δηλοῦται, ὅπου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ φύλακές τινες συναγείρονται τοῖς κεκλημένοις νῦν εἰς βουλήν, οὓς πάντως καὶ ἐγρηγορέναι χρή. οὐ γὰρ τὸν ἁπλῶς ἀλλὰ τὸν βουληφόρον ἄνδρα εὐλαβεῖσθαι τὸν μακρὸν ὕπνον χρεών. Ὅρα δὲ καὶ τὸν σχηματισμὸν τοῦ «ἀλλ' ἐγρηγορτὶ ἐκάθηντο». ἦν μὲν γὰρ ἀκόλουθον φάναι, ὡς οὐχὶ εὕδοντας εὗρον ἀλλὰ καθημένους, ὁ δὲ ἄλλως ἔφρασεν, οὔτε σολοικίσας, καὶ σχηματίσας δὲ καινότερον. (v. 183) Μῆλα δὲ καὶ νῦν ὡς ἐκ μέρους τὰ ἁπλῶς θρέμματα λέγει. Τὸ δὲ δυσωρεῖν παρῆκται μὲν ὁμοίως τῷ ἀρκυωρεῖν, ὃ ἐν τοῖς Περὶ προνοίας κεῖται παρὰ τῷ Αἰλιανῷ, ἔχει δὲ ὁμοιότητα συνθέσεως καὶ πρὸς τὸ πολυωρεῖν. Δηλοῖ δὲ τὸ δυσφυλακτεῖν, ἤγουν κακοπαθεῖν ἐν τῷ φυλάσσειν, ὡς ὁ ποιητὴς ἑρμηνεύει παραφράσας ἐν τῷ «νύκτα φυλασσομένοισι κακήν». τὸ μὲν γὰρ δυς ἐπὶ κακοῦ, ὠρεῖν δὲ τὸ φυλάσσειν. ὥστε ταὐτὸν δυσωρεῖν καὶ νύκτα κακὴν φυλάσσεσθαι ἤγουν φυλάσσειν. Τῆς δὲ ῥηθείσης αὐλῆς παράγωγον ἡ ποιμενικὴ αὖλις καὶ ἔπαυλις καὶ τὸ αὔλιον. (v. 184) Τὸ δὲ «καρτερόφρονος» εὐγενεῖς ὑπογράφει κύνας, οἷς ἔργον περιφρονεῖν μὲν τὰ φαῦλα θηρία, ἐπιστρέφεσθαι δὲ τῶν κρατερῶν. ὁποῖοι καὶ οἱ παρ' Ἰνδοῖς κύνες, οὓς ἄλλοι τε ἱστοροῦσι καὶ ὁ σοφὸς Θεμίστιος, γράψας, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, κύνα Ἰνδὸν λέοντι μὲν ἐπεξιέναι καὶ παρδάλει, λύκους δὲ ὑπερορᾶν καὶ ἀλώπεκας. (v. 185) Ὁ δὲ ὀρυμαγδός ἐνταῦθα κυριολεκτεῖται εἰς δήλωσιν ὀνοματοποιηθὲν τοῦ ἐν ὄρεσι θορύβου.

3.43 καθ' ὕλην γὰρ ὑπόκειται τὰ τῆς παραβολῆς. ὃ καὶ ὁ ποιητὴς ἑρμηνεύων φησὶν «ἐν ὄρεσφι». διὸ καί πως παρηχητικῶς ἐσχημάτισται τὸ «ἐν ὄρεσφι πολὺς ὀρυμαγδός». (v. 186) Τὸ δὲ «ἀπόλωλεν ὕπνος» σώφρων ἐστὶν ὑπερβολή. δηλοῖ γάρ, ὡς οὐδ' εἴπερ ὑπνῶσαι βουληθεῖεν, δυνήσονται διὰ τὸ δυσεύρετον τοῦ ἤδη ἀπολωλότος ὕπνου. Γέγηθε δὲ τῇ λέξει ταύτῃ ὁ ποιητής, διὸ καὶ δὶς αὐτῇ ἐχρήσατο, πρῶτον μὲν φράσας γοργότερον, εἶτα καὶ περιφράσας, ὡς γέγραπται ἀνωτέρω. (v. 188 s.) Ὅτι προσοχὴν φυλάκων δηλοῖ τὸ «πεδίονδε γὰρ αἰεὶ τετράφατο, ὅτε τινῶν ἀΐοιεν ἰόντων». ὃ καὶ αἴτιον ἀγρυπνίας γίνεται. (v. 190) Ὅτι προμηθευτικὸν τὸ «τοὺς δ' ὁ γέρων γήθησεν ἰδὼν θάρσυνέ τε μύθῳ». (v. 192 s.) Ὅτι ἀποδεξάμενος τοὺς φύλακας ὁ γέρων Νέστωρ τῆς ἐγρηγόρσεως θαρσύνει αὐτοὺς εἰπὼν «οὕτω νῦν, φίλα τέκνα, φυλάσσετε, μηδέ τινα ὕπνος αἱρείτω, μὴ χάρμα γενώμεθα δυσμενέεσσι». Καὶ ὅρα ὅπως τε βραχυλογεῖ ἐν καιρῷ ὁ ἐν ἄλλοις πλατὺς ῥήτωρ, καὶ ὡς τὸ πάντας κυδαίνειν καὶ μὴ μεγαλίζεσθαι πραγματικῶς δεδίδαχεν. Οὐ γὰρ πέπονας οὐδὲ φίλους ἑταίρους ἤ τι τοιοῦτον τοὺς φύλακας καλεῖ, ἀλλὰ φίλα τέκνα, ὃ καὶ Θρασυμήδην ἂν προσεῖπε, τὸν οἰκεῖον υἱὸν τὸν καὶ αὐτὸν συνεπιστατοῦντα τοῖς φύλαξι. Καὶ ὅρα τὸ «φίλα τέκνα φυλάσσετε» παρηχήσει ἐοικός, ἣν Ὅμηρος μὲν οὐκ ἐπετηδεύσατο, ἄλλοι δὲ πρὸ ἔργου ἔσχον, ἐν οἷς καὶ ὁ γράψας τὸ «Φυλέα φίλον θεοῖς», ὡς καὶ ἀλλαχοῦ δηλοῦται πλατύτερον. τοιούτου δέ πως τύπου σὺν ἄλλοις πολλοῖς δεδηλωμένοις καὶ τὸ «τί κοινὸν κυνὶ καὶ βαλανείῳ». Τὸ δὲ «μὴ χάρμα γενώμεθα» ἔμφασιν ἔχει ἐτυμολογικὴν τῆς χάρμης, ὡς τῶν δυσμενῶν χάρμα πασχόντων, εἰ κρατοῦσι μάχης, ἢ χάρμη ἂν εἰκότως διὰ τοῦτο λέγοιτο. Ἔχει δέ τι καὶ ἐλλειπτικὸν ὁ τοιοῦτος λόγος. λείπει γὰρ τὸ ὑπνώσαντες, ἵνα ᾖ τὸ πλῆρες· μὴ καὶ ὑπνώσαντες ἐπίχαρτοι γενώμεθα τοῖς ἐχθροῖς.

3.44 (v. 194) Ὅτι ὑπὲρ γεροντικὴν προθυμίαν ὁ Νέστωρ ἑαυτὸν ἐρεθίζων πρῶτος τάφροιο διέσσυτο, ἵνα τῇ τόλμῃ δηλαδὴ καὶ τοὺς φύλακας καὶ τοὺς ἅμα ἑπομένους θαρρύνῃ καὶ τοὺς μετὰ μικρὸν δὲ σταλησομένους εἰς κατασκόπευσιν. οὐ γὰρ ἦν ἀνδρῶδες τὸν ἄλλους εἰς κίνδυνον στέλλοντα ἐντὸς αὐτὸν τάφρου συστέλλεσθαι καὶ μὴ προϊέναι τολμᾶν. (v. 195 s.) Ὅρα δὲ ὡς γέροντος πονουμένου ὀκνοῦσι μὴ οὕτω ποιεῖν ἀναγκαίως καὶ οἱ νεώτεροι. Νέστορος γὰρ διελθόντος, ὡς ἐρρέθη, τὴν τάφρον, καὶ οἱ λοιποὶ «ἅμ' ἕποντο Ἀργείων βασιλῆες, ὅσοι κεκλήατο βουλήν», οὐ μὴν ἅπαντες, ὅτι μηδὲ ἅπασιν τὸ πρᾶγμα ἔγνωσται. [Ἔστι δὲ τὸ μὲν «κεκλήατο» ὑποκρουστικὸν τοῦ τῆς συγκλήτου ὀνόματος, τὸ δὲ «βουλήν» ἐλλειπτικόν. λέγει γὰρ «ὅσοι κέκληντο εἰς βουλήν».] (v. 198—200) Ὅτι παραδηλῶν ὁ ποιητὴς πόσον τε ἐγγὺς νηῶν αὖλιν ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἕκτωρ ἔθετο, καὶ εἰς ὅσον οἱ περὶ τὸν Νέστορα βουλευταὶ παρεξῆλθον τῆς τάφρου, ἔτι δὲ καὶ ὡς κατὰ κράτος ὁ Ἕκτωρ ἐνίκησε, φησὶ «τάφρον δ' ἐκδιαβάντες ὀρυκτὴν ἑδριόωντο ἐν καθαρῷ, ὅθι δὴ νεκύων διεφαίνετο χῶρος πιπτόντων, ὅθεν αὖτις ἀπετράπετο ὄβριμος Ἕκτωρ ὀλλὺς Ἀργείους, ὅτε δὴ περὶ νὺξ ἐκάλυψε», τὴν γῆν δηλαδὴ καὶ τὰ περὶ γῆν. τοῦτο γὰρ νῦν τῇ Ὁμηρικῇ φράσει ἐλλέλειπται, περιφραζούσῃ τὸ νὺξ ἐγένετο. Καὶ ὅρα εἶδος προαναφωνήσεως καινοτέρας, ἣν ἐνταῦθα σιωπηρῶς ὁ ποιητὴς ἐσχημάτισε, διδοὺς νοεῖν ὅτι ὁ οὕτω δαμασάμενος τοὺς Ἀχαιοὺς Ἕκτωρ, καὶ ὥσπερ ἐκεῖνοι τὴν Τροίαν πόρρωθεν, οὕτω μᾶλλον αὐτὸς ἐγγύθεν περικαθίσας τὸ τοῦ ναυστάθμου τεῖχος, οὐκ ἂν εἰς αὔριον τοῦ γενναίως πολιορκεῖν ἀπόσχοιτο. Ὅτι δὲ ὀρυκτὴ τάφρος κατὰ τοὺς παλαιοὺς ἡ χειρόκμητος πρὸς διαστολὴν τῶν ἄλλως χαραδρουμένων τόπων, καὶ ὅτι τὸ «ὅθι νεκύων πιπτόντων διεφαίνετο χῶρος» ἑρμηνευτικόν ἐστι τοῦ «ἐν καθαρῷ» καὶ ἀλλαχοῦ δηλοῦται. (v. 200) Τὸ δὲ «ἀπετράπετο» διαφορὰν ἔχει τινὰ πρὸς τὸ ἁπλῶς τρέπεσθαι. αὐτὸ μὲν γὰρ ἀκούσιόν ἐστιν ὡς τὰ πολλὰ ἐν πολέμῳ, Ἕκτωρ δὲ ἀβίαστος ἀπετράπετο οἷα καὶ νικῶν, εἰ μὴ ἄρα καὶ αὐτὸν ἡ νὺξ ἄκοντα ἔτρεψε. Τὸ δὲ ἀποτραπέσθαι μετ' ὀλίγα καὶ ἂψ ἀναχωρῆσαι ὁ ποιητὴς ἐρεῖ.

3.45 (v. 204—11) Ὅτι οὐ προστακτικῶς κατὰ τοὺς ἀτέχνους στρατηγούς, ἀλλ' ὑποθετικῶς ἐν εἴδει συμβουλῆς ὁ Νέστωρ καὶ ἀπροοιμιάστως, ἐξ αὐτοῦ τοῦ πράγματος ἀρξάμενος—οὐ γὰρ προοιμίου νῦν ἀλλ' ὀξυλαβείας ἔδει τῷ καιρῷ—λέγει «ὦ φίλοι, οὐκ ἂν δή τις ἀνὴρ πεπίθοιτο ἑῷ αὐτοῦ θυμῷ τολμήεντι μετὰ Τρῶας μεγαθύμους ἐλθεῖν, εἴ τινά που δηΐων ἕλοι ἐσχατόωντα, ἤ τινά που καὶ φῆμιν ἐνὶ Τρώεσσι πύθοιτο», καὶ οὕτω μάθοι τί ποτε βουλεύονται οἱ πολέμιοι. (v. 214—6) Ἐφ' οἷς ὁ γέρων καὶ ἔπαθλον ἐκφωνεῖ, λέγων ἐν σχήμασιν ἀσυνδέτοις «ταῦτά κε πάντα πύθοιτο καὶ ἂψ εἰς ἡμέας ἔλθοι ἀσκηθής. μεγα κέν οἱ ὑπουράνιον κλέος εἴη πάντας ἐπ' ἀνθρώπους, καί οἱ δόσις ἔσσεται ἐσθλή· ὅσσοι γὰρ νήεσσιν ἐπικρατέουσιν ἄριστοι, τῶν πάντων οἱ ἕκαστος ὄϊν δώσουσι μέλαιναν, θῆλυν, ὑπόρρηνον», ὅ ἐστιν ἔγκυον ἢ καὶ ἤδη γεννήσασαν, ὕπαρνον, ῥῆνες γάρ οἱ ἄρνες, ἣν καὶ σεμνύνων λέγει «τῇ μέν», ἤγουν ταύτῃ, «κτέρας οὐδὲν ὁμοῖον». Τῷ ὄντι γάρ, φασί, θαυμάσιον ἀνδρὶ φιλοκάλῳ ἀγέλη μελάνων θρεμμάτων διὰ τὸ σπάνιον, καὶ τὸ χρῶμα δὲ τῆς ἀγέλης σύμβολον τῆς ἐν μελαίνῃ νυκτὶ κατορθώσεως, καὶ ἡ διὰ τὴν θηλυγονίαν δέ, φασίν, ἐπιμονὴ τοῦ γένους ἐπὶ μήκιστον ἐκτείνει τὸ κλέος τῆς πράξεως. (v. 217) Λέγει δὲ ὁ Νέστωρ καὶ ὅτι ὁ τοιοῦτος αἰεὶ ἐν δαίτῃσι καὶ εἰλαπίνῃσι παρέσται, ὃ καὶ αὐτὸ λόγου ἦν ἄξιον παρὰ τοῖς παλαιοῖς. διὸ καὶ ὁ βασιλεύς που ἀναμιμνήσκει τινὰ εἰπὼν ὡς, εἰ καὶ οἱ λοιποὶ δαιτρὸν πίνουσιν, ἀλλὰ σοὶ πλέων τὸ δέπας ἕστηκε πιεῖν ὥσπερ ἐμοί, καὶ τῷ Ἕκτορι δέ που φίλος τις εὕρηται εἰλαπιναστής. καὶ τοιαῦτα μὲν τὰ τοῦ Νέστορος. (v. 220—3) Ἐπὶ δὲ τούτοις πάντων ἀκὴν γενομένων σιωπῇ, ὁ Διομήδης εἰπών, ὅτι «Νέστορ, ἔμ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ ἀνδρῶν δυσμενέων δῦναι στρατὸν ἐγγὺς ἐόντων», ἐπάγει «ἀλλ' εἴ τίς μοι ἀνὴρ ἕποιτο καὶ ἄλλος, μᾶλλον θαλπωρὴ καὶ θαρσαλεώτερον ἔσται». (v. 225—7) Καὶ οὕτως ἀναδεξάμενος μὲν τὸν ἀγῶνα, ζητήσας δὲ καὶ τὸν συναγωνισόμενον, ἐπάγει αἰτίαν τῆς ζητήσεως γνωμικὴν ταύτην «σύν τε δύ' ἐρχομένω καί τε πρὸ ὃ τοῦ ἐνόησεν ὅππως κέρδος ἔῃ· μοῦνος δ' εἴ πέρ τε νοήσει, ἀλλά τέ οἱ βράσσων τε νόος, λεπτὴ δέ τε μῆτις», τουτέστι σύνδυο ἐρχομένων, ἢ δύο συνερχομένων ἀνδρῶν, τάχα ἂν οὗτος πρὸ τούτου νοήσῃ τι δέον, μόνος δέ, ἤγουν εἷς, κἂν τυχόν τι νοήσῃ, ἀλλὰ καὶ ὁ νοῦς αὐτῷ βραχὺς καὶ ἡ μῆτις λεπτή. Καὶ ἔστι τὸ πρᾶγμα ὅμοιον σχοίνων πλοκῇ. κἀκεῖ γὰρ ἄλλος ἄλλῳ ἐπισυμπλεκόμενος ἄρρηκτός ἐστιν, ὁ εἷς δὲ οἷα λεπτότερος θᾶττον ῥήγνυται.

3.46 λέγει δὲ καὶ ἡ παροιμία «εἷς ἀνὴρ οὐδεὶς ἀνήρ». διὸ καὶ ὁ Δόλων μόνος εἰς κατασκοπὴν μετ' ὀλίγα σταλεὶς κινδυνεύσει. καὶ ἡ συμβουλὴ δὲ κοινὴν βουλήν τινα δηλοῖ διὰ τῆς συν προθέσεως. καὶ τοιαῦτα μὲν ταῦτα. (v. 204) Ὅρα δὲ ὡς ὁ Νέστωρ εἰπὼν «οὐκ ἂν δή τις ἀνὴρ πεπίθοιτο ἑῷ αὐτοῦ θυμῷ» εἰς κοινὸν ἔρριψε τὸν λόγον, οὐκ ἐπιλεξάμενος ἕνα τινά. ἢ γὰρ ἂν

καὶ ἐκεῖνον τὸν ἕνα ἐλύπησεν ὡς εἰς κίνδυνον παραβάλλων, καὶ τοὺς ἄλλους δὲ ὡς ἀτόλμους παρευδοκιμουμένους κατῄσχυνε. διὸ αὐθαίρετον ἔριν ἐν τοῖς ἐφεξῆς τοῖς ἀριστεῦσιν ἐνέθετο. Καὶ ἄλλως δέ, οἱονεὶ λέγει, ὡς οὐκ ἔστι τις ἀνάγκη ποθὲν οὐδὲ πεισθήσεται ὁ τοιοῦτος ἑτέρῳ τινί, ἀλλ’ ἑαυτῷ διὰ τὸ πάντῃ ἑκούσιον. ᾧ καὶ ὁ Διομήδης ἐπιστήσας φησὶν «ἐμὲ ὀτρύνει κραδίη» καὶ τὰ ἑξῆς. Τὸ δὲ «ἑῷ αὐτοῦ» ἶσόν ἐστι συνθέτῳ ἀντωνυμίᾳ τῇ ἑαυτοῦ, διαλελυμένως ῥηθέν, ὡς καὶ ἀλλαχοῦ πεποίηται. (v. 220) Τοῦ δὲ «ἑῷ θυμῷ πεπίθοιτο» ἑρμηνευτικὸν τὸ «ἔμ’ ὀτρύνει κραδίη», ἤγουν ἐγὼ πείθω ἐμαυτόν. (v. 205) Τὸ δὲ «τολμήεντι» δηλοῖ, ὡς οὐ μόνον ἀνδρίας, ἀλλὰ καὶ τόλμης μάλιστα τὸ ἔργον δέεται, δι’ ἣν Ὀδυσσεὺς ὡς τὸν λόχον τοῦτον τολμήσας τλήμων λέγεται. Διὰ τοῦτο καὶ ὁ Μενέλαος φθάσας δεδιέναι εἶπε «μή ποτε οὔ τις ὑπόσχηται τοῦτο ἔργον», καὶ τὸν τολμήσοντα ἐξεθείασεν, εἰπὼν «μάλα ἂν θρασυκάρδιος εἴη». Καὶ Ἕκτωρ δὲ ἐν τοῖς ἑξῆς ὁμοίως λέγει μέγα δῶρον δώσειν ἀνδρί, ὃς ἂν τλαίη νηῶν ἐγγὺς ἐλθεῖν. (v. 205) Μεγαθύμους δὲ τοὺς Τρῶας οὐχ’ ἁπλῶς ἐπωνόμασεν, ἀλλὰ στρατηγικῶς τὸν λόγον ἀσφαλιζόμενος, ἵνα ἐκφοβήσῃ τοὺς ὑπὲρ τὸ δέον ἀνδριζομένους, οἱονεὶ λέγων ὡς, ἐπείπερ οἱ Τρῶες μεγάθυμοι, χρὴ τὸν κατασκοπήσοντα ἑαυτῷ θαρρεῖν ὡς ἀξιομάχῳ. διὸ καὶ ὁ βασιλεύς, ὡς ῥηθήσεται, δέδοικε περὶ τῷ ἀδελφῷ, μὴ οὐ μεγάθυμος ὢν τολμήσῃ γενέσθαι κατάσκοπος. οὐ γὰρ τόλμης μόνης χρεία ἐν τοῖς τοιούτοις, ἀλλ’, ὡς εἴρηται, καὶ ἀνδρίας, ἣν ἐνέφηνε τὸ μεγάθυμον, ταὐτὸν δὲ εἰπεῖν μεγαλόψυχον. (v. 206) Τὸ δὲ «εἴ τινά που ἕλοι» ἀντὶ τοῦ ὅπως τινὰ κατάσχῃ. καὶ ἔστιν ἐν πολλῇ χρήσει τὸ σχῆμα. εἰώθαμεν γάρ, ὡς καὶ προδεδήλωται, λέγειν· εἴ πως τόδε γένηται ἀντὶ τοῦ ὅπως. Σοφοκλῆς δὲ τὸ εἴ που εἰς τὸ ἐάν που μεταλαβὼν καθ’ ὁμοίαν ἔννοιαν φράζει τὸ «φίλτροις ἐάν πως τήνδ’ ὑπερβαλούμεθα, μεμηχάνηται τοὖργον», ἤγουν ἐμηχανησάμεθα τόδε, ὅπως τόδε τι ἀνύσωμεν.

3.47 Ὅρα δ’ ἐνταῦθα καὶ ὡς τὸ «τινά που» δὶς εἶπεν ὁ ποιητὴς ἐν τῷ «εἴ τινά που δηΐων», καὶ ἐν τῷ «ἤ τινά που καὶ φῆμιν», οὐκ ἐντραπεὶς οὐδὲ νῦν τὴν καίριον ταυτολογίαν. Τὸ δὲ «ἐσχατόωντα» παραμυθία ἐστὶ τῆς κινδυνώδους ἐπιχειρήσεως, ὡς μὴ χρεὼν δῆθεν ὂν τὸν κατάσκοπον τοῦ βάθους γενέσθαι, ἀλλὰ τοῖς ἄκροις καὶ ἐξωτέρω τοῦ στρατοπέδου ἐπιβαλεῖν. Εἰ καὶ ὁ Διομήδης ἀγήνορι θυμῷ δῦναι λέγει τὸν δυσμενῆ στρατόν, ὅπερ ταὐτόν ἐστι τῷ «ἤθελεν Ὀδυσσεὺς καταδῦναι ὅμιλον Τρώων», καὶ τῷ «κατέδυ Τρώων πόλιν εὐρυάγυιαν», μονονουχὶ λέγων ὁ Διομήδης, ὡς οὐ τοῖς ἐσχάτοις τοῦ στρατοῦ ἐγχειρήσω, ἀλλὰ τῶν βαθυτέρων γενήσομαι. (v. 207) Τὸ δὲ «φῆμιν» φανερῶς διὰ τοῦ ι γράφεται ἀπὸ τοῦ φημίζω φημίσω, καθὰ τὸ αὖλιν ἐκ τοῦ αὐλίζω. τὸ μέντοι διὰ τοῦ η γραφόμενον οὐ τὴν ἁπλῶς ἀνθρωπίνην δηλοῖ λαλιάν, ἀλλά τινα θειοτέραν δηλωτικὴν τοῦ μέλλοντος, ὁποία καὶ ἡ ὄττα καὶ ἡ κληδὼν καὶ ἡ ὀμφή, καθὰ δηλοῖ σαφῶς καὶ ἡ Ὀδύσσεια, ἐν ᾗ καὶ δήμοιο φῆμις τὸ ἐκ τοῦ λαοῦ ὄνειδος. (v. 208—10) Διὸ καὶ ὁ ποιητὴς ἑρμηνεύων τὴν ἐνταῦθα φῆμιν τὴν διὰ τοῦ ι γραφομένην τίς δή ποτέ ἐστιν, ἐπάγει «ἅσσα τε μητιόωσι μετὰ σφίσιν, ἢ μεμάασιν αὖθι μένειν παρὰ νηυσὶν ἀπόπροθεν, ἠὲ πόλινδε ἂψ ἀναχωρήσουσιν, ἐπεὶ δαμάσαντό γ’ Ἀχαιούς», μονονουχὶ λέγων, ὡς τοῦτό ἐστι νῦν φῆμις τὸ πυθέσθαι, ἃ βουλεύονται οἱ Τρῶες. (v. 211) Διὸ καὶ ἐπιφέρει «ταῦτά κε πάντα πύθοιτο» καὶ ἑξῆς, ὡς προέκκειται. [(v. 210) Ὅρα δ’ ἐν τοῖς ῥηθεῖσι καὶ ὅτι τὸ «ἂψ ἀναχωρήσουσιν» ἀσφαλῶς ἐσχημάτισται πρὸς ῥῆμα πληθυντικόν.

3.48 Ἦν γὰρ οὕτω φράσαι· ἆρα μεμάασιν αὖθι μένειν ἢ ἂψ ἀναχωρῆσαι.] (v. 211) Τὸ δὲ «πύθοιτο» ἀρχὴ καὶ αὐτὸ τοῦ πευθῆνα τὸν ἐπίσκοπον λέγεσθαι, καθὰ καὶ προγέγραπται. καὶ ἐν τοῖς ἑξῆς δέ φησιν ὁ Ἕκτωρ· τίς ἂν τλαίη νηῶν σχεδὸν ἐλθεῖν ἔκ τε πυθέσθαι, καὶ ὁ Δόλων ὡσαύτως. Τὸ δὲ «ἂψ ἔλθοι» πρὸς ἀκρίβειαν ἐννοίας κεῖται. οὐ γὰρ χάρις τῷ κατασκόπῳ, εἰ μόνον ἀπέλθῃ, ἀλλὰ καὶ εἰ ὀπίσω ἔλθῃ, τουτέστιν, εἰ ἐπανέλθῃ, ὅπερ ὅμοιόν ἐστι τῷ ἀνωτέρω ῥηθέντι παρὰ τοῦ ποιητοῦ, τῷ ἂψ ἀναχωρῆσαι. Ἀκριβέστερον δὲ εἰπεῖν, οὔτε ἐλθὼν ὁ κατάσκοπος δίχα τοῦ πυθέσθαι λήψεται γέρας οὔτε μὴ ἂψ ἐλθών. οὐ γὰρ ψιλῆς χρεία ἐγχειρήσεως, ἀλλὰ τελείας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πράξεως. (v. 211 s.) Τὸ δὲ «εἰς ἡμέας ἔλθοι ἀσκηθής» εἰς ἐντέλειαν τοῦ αὐτοῦ λόγου καὶ αὐτὸ συμβάλλεται. ὡς γὰρ οὐ χάρις τοῦ κατασκοπῆσαι, εἰ μὴ καὶ ἐπανέλθῃ ὁ κατάσκοπος, οὕτως οὐκ εὔχαρι οὐδὲ τὸ ἐπανελθεῖν μὲν εἰς τοὺς ἀποστείλαντας, τυχὸν δὲ βληθέντα ἢ τρωθέντα, ὡς οὕτω μὴ πάνυ διαρθρωθῆναι τὴν κατασκόπησιν. Τὸ δὲ «ἀσκηθής» ἐστι μὲν λέξις οὐκ εὔχρηστος τῇ καταλογάδην γραφῇ, δηλοῖ δὲ τὸν ἀβλαβῆ. ἀπ’ αὐτοῦ δὲ κατὰ ἐναλλαγὴν ἀφώνου ἀνακύπτει ὁ ἀσκητής. τὸ δὲ τῆς λέξεως ἔτυμον ζητητέον ἀλλαχοῦ. (v. 213) Τὸ δὲ «πάντας ἐπ’ ἀνθρώπους» διασαφητικόν ἐστι τοῦ ὑπουρανίου κλέους, δηλοῦν ὡς οὐ δήπου καὶ ἐν ταῖς ἀοικήτοις κλεϊσθήσεται, ἀλλ’ ὅπου ἄνθρωποι. Ἐσθλὴν δὲ δόσιν λέγει τὴν τοῦ ῥηθέντος ἐπάθλου, διότι κἂν μικρὸν δοκῇ τὸ δῶρον τῷ εἰς τὸν νύκτερον δόλον ἀποθαρρήσαντι, ἀλλὰ τρόπον ἄλλον μέγα κατὰ τοὺς παλαιοὺς ὡς ἐκ μεγίστης προφάσεως, καὶ ὁ λαμβάνων δὲ μέγας, ὡς παρὰ τῶν ἰδίων ἑκόντων γέρας λαμβάνων, οὐκ αὐτὸς ἀπαιτήσας, ὅπερ ὁ Δόλων ποιεῖ, οὐ λαβὼν ὑπόσχεσιν ἀλλ’ ἀπαιτήσας αὐτός.

3.49 (v. 214) Τὸ δὲ «ὅσσοι γὰρ νήεσσιν ἐπικρατέουσιν ἄριστοι» παρῳδήσας ὁ ποιητὴς ἐν Ὀδυσσείᾳ οὕτω γράφει ἐπὶ τῶν μνηστήρων «ὅσσοι γὰρ νήσοισιν ἐπικρατέουσιν ἄριστοι», αὐτὸς ἐν τοῖς ἑαυτοῦ διδάσκων καὶ ὅπως χρὴ παρῳδεῖν. (v. 215) Τὸ δὲ «ἕκαστος δώσουσιν» Ἀττικῶς συντέτακται, ἐπεὶ τὸ ἕκαστος πολλούς τινας δηλοῖ κατὰ διαιρετικὴν ἔννοιαν. καὶ ἔστι ταὐτὸν ἕκαστον καὶ πάντας εἰπεῖν. (v. 216) Οἱ δὲ ἄρνες οὐ μόνον ῥῆνες, ὡς ἐρρέθη, λέγονται, ἀλλὰ καὶ μᾶλλον ἀρῆνες, ὅθεν οἱ ἄρνες ἐν συγκοπῇ. διὸ καὶ ἀρηνοβοσκὸς ὁ προβατοβοσκὸς κατὰ Παυσανίαν, ἐκ μέρους δηλαδή. ἐν δὲ ἀνωνύμῳ ῥητορικῷ Λεξικῷ καὶ ἐρενοβοσκὸς ὁ αὐτὸς φέρεται διὰ τοῦ ε . Ἰστέον δὲ ὅτι, ὥσπερ διχῶς φέρεται στάχυς καὶ ἄσταχυς καὶ σταφίς καὶ ἀσταφίς, οὕτω καὶ ῥήν καὶ ἀρήν, πλὴν ὅσον τὸ ἄσταχυς καὶ τὸ ἀσταφίς Ἀττικὰ ὄντα ἐκ πλεονασμοῦ ἔχει τὸ α , ἐν δέ γε τῷ ἀρήν δοκεῖ φυσικῶς κεῖσθαι τὸ α παρὰ τὴν ἀράν, ὃ δηλοῖ τὴν εὐχήν. Τὸ δὲ «ταύτῃ οὐδὲν κτέρας ὁμοῖον», [ἀναλογικῶς, καθὰ καὶ ἀλλαχοῦ δηλοῦται, εἰ καὶ οἱ Ἀττικοὶ προπαροξυτόνως ὅμοιον λέγουσιν,] ὑπερβολικῶς εἶπεν ὁ καλὸς ῥήτωρ Νέστωρ, οὐκ ἀληθῶς λέγων, ἀλλὰ πιθανῶς αὔξων τὸ μικρόν. οὐδὲ γὰρ ἡ τοιαύτη ὄϊς ὑπὲρ πᾶν ἂν εἴη κτῆμα. Σκοπητέον δὲ καὶ μήποτε φιλόζῳος ὢν ὁ Διομήδης ἐγείρεται πρὸς τὸ τοιοῦτον κτῆμα. ζῴοις γὰρ ἔοικε γεγηθέναι ἤπερ κειμηλίοις. ἵπποις τε γὰρ χαίρει, ὡς οἴδαμεν. καὶ νῦν καινοπρεπὲς ἀριστεῖον ἀκούσας τὴν ῥηθεῖσαν ὑπόρρηνον μέλαιναν ὄϊν τὴν ἐξ ἑκάστου τῶν ἀρίστων, θαρρεῖ καὶ δι’ αὐτὴν ἴσως τὸν μέγαν κίνδυνον. Ἡ μέντοι τύχη ἀνελπίστως καὶ ἕτερον μέγα ἐπιφιλοτιμήσεται ζωϊκὸν φίλτατον γέρας, τοὺς καλοὺς ἵππους τοῦ Ῥήσου ἐν τοῖς ἐφεξῆς. (v. 214) Ἐνταῦθα δὲ καὶ ζήτημα πολιτικὸν ἐκκύπτει τοῖς σοφισταῖς κατὰ ῥητόν, οἶμαι, καὶ διάνοιαν, ἐκ τοῦ «ὅσσοι ἄριστοι».

3.50 ζητήσεως γὰρ ἄξιον εἴτε τοὺς βασιλεῖς μόνους νοητέον ἀρίστους εἴτε σὺν αὐτοῖς καὶ τοὺς ἡγεμόνας καὶ μέδοντας, ὡς ἐν τοῖς ἑξῆς τοὺς ἀρίστους ὁ ποιητὴς ἑρμηνεύει εἰπών· «κικλήσκετο», [ἤγουν ἐκάλει, προσεκαλεῖτο,] «πάντας ἀρίστους, ὅσσοι Τρώων ἡγήτορες ἠδὲ μέδοντες». καὶ ἔστιν ἡ ἀμφιβολία ἐξ ὁμωνυμίας. Σημείωσαι δὲ καὶ σχῆμα ἐν τούτοις τὸ κατὰ τὸ σιωπώμενον. καὶ γὰρ σιγᾷ τοῦ λοιποῦ τὴν τῆς ὑποσχέσεως δόσιν ὁ ποιητὴς εἰς τέλος ἂν πάντως ἐλθοῦσαν. οὐ γὰρ δήπουθεν ἐψεύσαντο οἱ Ἀχαιοὶ τὴν ὑπόσχεσιν. ὥστε συνακτέον καὶ ἐκ τούτου, ὡς τὰ μὴ ἀναγκαῖα παραλείπει λέγειν ὁ ποιητής. (v. 216) Τὸ δὲ «κτέρας» κατὰ πολυωνυμίαν ταὐτόν ἐστι τῷ κτέαρ καὶ κτῆμα. [(v. 217) Τοῦ δὲ «δαίτῃσιν» εὐθεῖα οὐ συνήθης ἡ δαίτη, ἑλομένου τοῦ ποιητοῦ σκληρότερον οὕτω φράσαι. ἄλλως γάρ, εἴπερ ἤθελεν, εἶχε κοινότερον εἰπεῖν «ἐν δαίτεσσιν».] Ἡ δὲ εἰλαπίνη πόθεν παράγεται, δεδήλωται καλῶς ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Ἐν δὲ τῷ «παρέσται» λείπει τὸ ἡμῖν ἢ ἄλλο τι ὅμοιον σιγηθὲν διὰ λόγου ἀσφάλειαν. εἰκὸς γὰρ πολλὰς δαῖτας καὶ εἰλαπίνας προβαίνειν, αἷς οὐκ ἂν ὁ τοιοῦτος παρῇν. (v. 220) Τὸ δὲ «θυμὸς ἀγήνωρ» οὐκ ἔχει ψόγον. οὐ γὰρ ἂν εἰς οὐδὲν δέον ὁ Διομήδης ἑαυτοῦ

καταλέγοι, ὁ καὶ τῷ Ὀδυσσεῖ μετ’ ὀλίγα πρόφρονα καρδίαν καὶ θυμὸν ἀγήνορα μαρτυρόμενος. (v. 224) Τὸ δὲ «σύν τε δύ’ ἐρχομένω» σολοικοφανῶς ἔχει καὶ εἴρηται ἀλλαχόθι περὶ αὐτοῦ. καὶ εἶχε μὲν ὁ ποιητὴς ἀπροσκόπτως εἰπεῖν· σύν τε δύ’ ἐρχομένων, ὅδε πρὸ τούτου ἐνόησεν, εἵλετο δὲ καὶ νῦν τῷ ἐναγωνίῳ τῆς ἐννοίας ὡς οἷα σχεδιάζων συνεξαλλάξαι τὸ σχῆμα καινότερον. ἐπεὶ γὰρ οἱ σύνδυο ἐρχόμενοι οὐχ’ ἕν τι δρῶσιν ἐξ ἀνάγκης καὶ τὸ αὐτό, ἀλλ’ ὁ μὲν προνοεῖ, ὀξύτερον, ὡς εἰκός, διατεθείς, ὁ δὲ ὕστερον ἐπινοεῖ, ἤρξατο μὲν κἀνταῦθα ἀπὸ εὐθείας σχεδιαστικῶς, ὡς οἷα μέλλων ἕν τι ἔργον εἰπεῖν ἀμφοτέρων, γνοὺς δὲ ὡς οὐ δύναται, ἀφίησιν ἀναγκαίως καὶ νῦν τὸ ὀρθὸν τῆς συντάξεως καὶ πλαγιάζει καινοπρεπέστερον. Ἦ γὰρ οὐκ εἴποις ἂν σολοικίζειν ἐμφανῶς τὸν εἰπόντα· σύν τε δύ’ ἐρχόμενοι οὗτος πρὸ τούτου νοεῖ, ὡς καὶ εἴ τις εἴπῃ· οἱ δύο Αἴαντες ὁ ἕτερος μείζων ἦν; ναὶ πάντως, πλὴν ἀλλ’ ὁ μὲν Σκύθης, ὁ τὸν τοῦ ἵππου χρεμετισμὸν ἀρίστης μουσικῆς ὑπερθέμενος, δίδωσι τῆς βαρβάρου γνώμης δίκας τοῖς παλαιοῖς, ὁ δὲ οὕτω συμβαρβαρίζειν ἑλόμενος τῷ ποιητῇ μᾶλλον ἤπερ εὐθυρρημονεῖν ἀφελῶς εἴη ἂν ῥητόρων ἄριστος.

3.51 Τὸ δὲ «πρὸ ὃ τοῦ ἐνόησεν» οὐδ’ ἂν ἔχοι μίμησιν πρός τινος, τά τε ἄλλα καὶ τῆς καιριωτάτης γοργότητος ἕνεκεν, ἔτι δὲ καὶ τῆς εὐκαίρου στρυφνῆς δυσφραδείας διὰ τὸ τῶν συνερχομένων δύο προσώπων ἀόριστον. καὶ ἔστι τοιαύτη τις φράσις κεκλασμένη τῷ ῥυθμῷ καὶ ἐν τοῖς ἐφεξῆς που, ἐν τῷ «οὔτε ὃ τὸν δύναται ὑποφεύγειν οὔθ’ ὃ διώκειν», περὶ οὗ ἐκεῖσε κατὰ καιρὸν ῥηθήσεται. Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ «σύν τε δύο» τοῦ τέ συνδέσμου λείψαντος τὸ ἀπομεῖναν σύνδυο γράφουσιν οἱ Ἀττικοὶ καθ’ ὁμοιότητα τοῦ σύντρεις. καὶ ὅτι τὸ γνωμικὸν τοῦτο εἰς παροιμίαν πεσὸν καὶ ὅ φασι καταμαξευθέν, οὐδὲ προφέρεται πολλάκις ὅλον, ἀλλ’ ἀρκοῦνται οἱ παλαιοὶ μόνον εἰπόντες τὸ «σύν τε δύο» καὶ πλέον οὐδέν, ὡς αὐτίκα τοῦ ἀκροατοῦ συνεπινοοῦντος καὶ τὸ λειπόμενον. Ὁποῖόν τι καὶ ὁ Παραβάτης ποιεῖ ἔν τινι τῶν αὐτοῦ ἐπιστολῶν, ἀρξάμενος οὕτως «τὸν ἐσθλὸν ἄνδρα», καὶ μηδέν τι πλέον πρὸς τελείαν σύνταξιν προσθείς, ὡς πρὸς εἰδότα λαλῶν. ἦν δὲ τὸ πλῆρες ἐκεῖ «τὸν ἐσθλὸν ἄνδρα χρὴ κλύειν τῶν ἐν τέλει». (v. 225) Τὸ δὲ «ὅπως κέρδος ἔῃ» ὅμοιόν ἐστι τῷ· ὅπως ἂν εἴη κερδαλέον. (v. 226) Τὸ δὲ «βράσσων» ἅπαξ μὲν ἐνταῦθα εἴρηται τῷ ποιητῇ, δηλοῖ δὲ κατὰ τοὺς Γλωσσογράφους τὸν βραδὺν ἢ τὸν βραχύν, ἀπὸ τοῦ βραδύς βραδίων βράσσων, ἢ ἀπὸ τοῦ βραχύς βραχίων βράσσων, ὡς ἐλαχύς ἐλαχίων ἐλάσσων, παχύς παχίων πάσσων.

3.52 Κατὰ δὲ ἑτέρους βράσσων ὁ βρασσόμενος καὶ οὐχ’ ἑστηκὼς ἐφ’ ἑνὸς διὰ τὴν ἀγωνίαν, καὶ μετήνεκται ἡ λέξις ἀπὸ τῶν βρασσομένων ὑδάτων. Εἴτε δὲ βραχὺς εἴτε βραδὺς εἴτε βρασσόμενος ἐκεῖνος ὁ εἷς, τοιοῦτος τῷ ποιητῇ ὁ ῥηθεὶς περὶ ἐκείνου λόγος, συνεξομοιωθεὶς τῷ πράγματι, ὡς καὶ ἐν ἄλλοις πολλοῖς φαίνεται γίνεσθαι. Τὸ δὲ «λεπτὴ μῆτις», ἤγουν ἀσθενής, ἢ ἐκ μεταφορᾶς εἴληπται σχοίνων ἀδρανῶν, ὡς πρὸ βραχέων εἴρηται, ἢ καὶ ἀπὸ λειποσάρκων καὶ οὕτως ἰσχνῶν σωμάτων, ἃ ὡς ἐπὶ πολὺ ἀσθενέστερα τῶν παχυτέρων εἰσίν. Ἰστέον δὲ καὶ ὅτι ἐν τοῖς ῥηθεῖσι στρατηγικὴ ἀνάκρισις περὶ νικησάντων ἐχθρῶν τὸ «ἅσσα μητιόωσι μετὰ σφίσι» καὶ ἑξῆς, ὡς προγέγραπται, καὶ ὅτι τὸ μὲν «μέγα ἂν αὐτῷ ὑπουράνιον κλέος εἴη πάντας ἐπ’ ἀνθρώπους» μεγίστην δόξαν δηλοῖ. (v. 222 s.) Ζήτησις δὲ ἀγαθοῦ συνοδοιπόρου τὸ «εἴ τίς μοι ἕποιτο καὶ ἄλλος, μᾶλλον θαλπωρὴ καὶ θαρσαλεώτερον ἔσται». Ἔνθα ὅρα τὸ θαλπωρή καὶ θαρσαλεώτερον, συγγενῶς ἔχοντα ἐκ πολυωνυμίας, καθότι θαλπωρὴ μὲν ἐκ τοῦ θάλπω, θάρσος δὲ καὶ θαρσαλέος ἐκ τοῦ θέρω θέρσω. ἀμφοῖν δὲ μία σημασία, τοῦ τε θάλπειν δηλαδὴ καὶ τοῦ θέρειν. (v. 227—231) Ὅτι εὐαρεστηθεὶς ὁ ποιητὴς ἐνταῦθα καιριωτάτῳ ῥήματι τῷ ἐθέλειν ἑξάκις αὐτῷ ἐχρήσατο κατ’ ἐπιμονὴν συναπτῶς, πλὴν οὐ μονοειδῶς, ἀλλὰ κατὰ διαφόρους χρόνους καὶ ἀριθμούς, οἷον «οἳ δ’ ἔθελον Διομήδεϊ πολλοὶ ἕπεσθαι, ἠθελέτην Αἴαντε δύο, ἤθελε Μηριόνης, μάλα δ’ ἤθελε Νέστορος υἱός, ἤθελε δὲ Μενέλαος, ἤθελε δ’ ὁ τλήμων Ὀδυσσεὺς καταδῦναι ὅμιλον Τρώων». (v. 232) Εἶτα ἑρμηνεύων,

τί δηλοῖ τὸ ὁ τλήμων, φησὶ «αἰεὶ γάρ οἱ» καὶ οὐ νῦν μόνον, «ἐνὶ φρεσὶ θυμὸς ἐτόλμα». διὸ μετ' ὀλίγα καὶ πολύτλαν αὐτὸν καλεῖ, ὡς καὶ ἐν τοῖς πρὸ τούτων. Δῆλον δ' ὅτι παρὰ τοῖς ὕστερον τλήμων καὶ ὁ ἐλεεινὸς λέγεται. ὅθεν καὶ τὸ «ἔλεξε πάντων τλημονέστατον λόγον». Τὸ δὲ «ἐτόλμα» καὶ δήλωσίς ἐστι τοῦ τολμήεντα τὸν Ὀδυσσέα εἶναι, ὁποίου χρεία εἰς τὴν τῶν προκειμένων κατασκόπευσιν. Σημείωσαι δὲ ὅτι τὸ «ἐθέλω», καθὰ καὶ ἀλλαχοῦ ἐφάνη, οὐ μόνον παρὰ τῷ ποιητῇ τρισυλλάβως προφέρεται ἀεί, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις τὸ πλέον μετὰ τοῦ ε , ὡς καὶ Αἴλιος Διονύσιος παρασημειοῦται. Ὅθεν, φησί, καὶ ἐθελοντὴς ὁ αὐθαιρέτως τι ποιῶν.

3.53 ἐκαλοῦντο δὲ καὶ ἐθελονταὶ διδάσκαλοι, δραμάτων δηλαδή, ὅτε τις μὴ λαβὼν χορὸν μηδὲ χορηγητὴν ἔχων ἑαυτῷ τὰ πάντα παρεῖχε. Ἰστέον δὲ καὶ ὅτι τὸ μάλα ἐθέλειν διὰ τιμὴν τοῦ πατρὸς Νέστορος κατά τι ἐξαίρετον τῷ Νεστορίδῃ ἐπιλέλεκται, καὶ ὅτι μάλιστα τὸν Ὀδυσσέα ἐσέμνυνε, τλήμονα εἰπὼν καὶ ἑξῆς, ὡς τά τε ἄλλα καὶ τὰ τοιαῦτα τλητικόν τε καὶ ἐνεργέστατον. δι' οὗ καὶ ἐνέφηνεν ὁ ποιητὴς ὡς αὐτὸν ἐπιλέξεται εἰς ὀπαδὸν τῷ Διομήδει. Ὅρα δὲ ὅτι τοῖς μὲν ἄλλοις τοῦ ἐθέλειν ῥήμασι τὸ ἕπεσθαι μόνον κατὰ κοινοῦ προσήρμοσεν, εἰς δὲ τὸ «ἤθελεν Ὀδυσσεύς» μεῖζόν τι ἔφη, τὸ καταδῦναι Τρώων ὅμιλον. (v. 234) Ὅτι τὸ «Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ» ταὐτόν ἐστι τῷ φέρων χάριν, ὅπερ ἐν τῇ πρὸ ταύτης ῥαψῳδίᾳ κεῖται. τῆς αὐτῆς δὲ σημασίας ἐστὶ καὶ τὸ ἦρα φέρων, ὡς προδεδήλωται. Ὅρα δὲ ὅτι Νέστωρ μὲν δημαγωγικῶς «ὦ φίλοι» εἶπεν, οὐκ ἂν δή τις ποιήσῃ τάδε, ὁ δὲ βασιλεύς, ἰδιάσας ἕν τι πρόσωπον, ἀκολούθως φησὶ «Διόμηδες, ἐμῷ κεχαρισμένε θυμῷ», τουτέστι φίλε. Ἕκτωρ μέντοι μεγαλιζόμενος διὰ τὸ βαρβαρικὸν τύραννον οὐδὲν τοιοῦτον ἐν τοῖς ἑξῆς ἐρεῖ, ἀλλὰ ἁπλῶς ἐρωτήσει «τίς ἄν μοι ὑποσχόμενος τελέσειεν;» (v. 235—9) Ὅτι εἰς ἐπιλογὴν βοηθοῦ κρείττονος ἐκ πολλῶν, καὶ μάλιστα εἴπερ εὐγενεῖς εἰσιν οἱ ἐπικουρεῖν ἐθέλοντες, χρήσιμον τὸ «τὸν μὲν δὴ ἕταρόν γ' αἱρήσεαι, ὅν κ' ἐθέλησθα φαινομένων τὸν ἄριστον, ἐπεὶ μεμάασί γε πολλοί. μηδὲ σύ γ' αἰδόμενος σῇσι φρεσὶ τὸν μὲν ἀρείω καλλείπειν, σὺ δὲ χείρονα ὀπάσεαι, αἰδοῖ εἴκων, ἐς γενεὴν ὁρόων μηδ' εἰ βασιλεύτερός ἐστι». Ὁ βασιλεὺς δὲ ταῦτα τῷ Διομήδει λέγει δέει τῷ ἐπὶ τῷ ἀδελφῷ. (v. 240) Φησὶ γὰρ «ὣς ἔφατ'· ἔδδεισε δὲ περὶ ξανθῷ Μενελάῳ», οἷα, ὡς ἐρρέθη, ἐθέλοντι καὶ αὐτῷ, ὑπεκκλέπτων οἷον ἐκεῖνον τοῦ κινδύνου. Διδάσκει δ' ἐν τούτοις ὁ ποιητής, ὅτι πολλάκις ἡ αἰδὼς τὸν μὴ βουλευόμενον ὀρθῶς ἐκκρούει τοῦ συμφέροντος, καὶ ὅτι δεῖ τὸν ἐθέλοντά τι γενναῖον ποιεῖν τοὺς πρὸς τὰ ἔργα χρησίμους ἐπιλέγεσθαι, οὐ μὴν τοὺς πλουσίους ἢ εὐγενεῖς. (v. 235) Ὅρα δὲ ὅτι τε διαφέρει τὸ ἐθέλειν τοῦ αἱρεῖσθαι, ὡς δηλοῖ καὶ τὸ «ἕταρον αἱρήσεαι ὅν κ' ἐθέλησθα».

3.54 τοῦτο μὲν γὰρ ἀντὶ τοῦ «ὃν ἂν βούλῃ καὶ ἐπιθυμῇς», ἐκεῖνο δὲ ἀντὶ τοῦ προκρινεῖς. οὕτω δὲ καὶ ἕτερον τοῦ ἑλέσθαι, τὸ προκρῖναι καὶ ἐπιλέξασθαι. (v. 237 s.) Καὶ ὅτι τὸ «σύ» ἐνταῦθα δὶς εἶπεν, ὧν τὸ δεύτερον κατὰ τὸ παρέλκον. ἤρκει γὰρ καὶ ἅπαξ ῥηθῆναι. σχεδιασμοῦ δὲ καὶ τοῦτο ἔμφασις. τὸν ὅμοιον τρόπον καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «ὥστ' εἴ τις δύο ἢ καὶ πλείους τις ἡμέρας λογίζεται, μάταιός ἐστι» περιττεύει τὸ δεύτερον ἀόριστον ὄνομα. Τὸ δὲ «ὀπάσσεαι» ἦν καὶ ἀπαρεμφάτως εἰπεῖν πρὸς ἀκολουθίαν τοῦ καλλείπειν. ἔστι δὲ νῦν ὀπάζεσθαι οὐ τὸ παρέχειν, ἀλλὰ τὸ προσλαμβάνεσθαι εἰς ὀπαδόν. Τὸ δὲ «αἰδοῖ εἴκων» παράφρασις ἢ περίφρασίς ἐστι τοῦ αἰδόμενος. διὸ καὶ ὥσπερ ἐκεῖ πρόκειται τὸ σύ ἐν τῷ «μὴ σύ γ' αἰδόμενος», οὕτω καὶ ἐνταῦθα «σὺ δὲ αἰδοῖ εἴκων», κατά τι σχῆμα ἐπαναφορᾶς. (v. 240) Τὸ δὲ «ἔδδεισε περὶ Μενελάῳ» δημοκοπεῖται. δῆλον γὰρ ὡς τὰ τῷ δέει σύστοιχα ῥήματα τὴν περι πρόθεσιν δοτικῇ συντάσσουσιν, οἷον τὸ δειλιᾶν, τὸ δεδιέναι, τὸ δείδω, ἐφ' ὧν ἡ περι πρόθεσις ὡς ἰσοδυναμοῦσα τῇ ἐπι τὴν δοτικὴν ἔχει σύνταξιν. (v. 242—7) Ὅτι πολλῶν, ὡς ἐρρέθη, ἐθελόντων ἕπεσθαι τῷ Διομήδει, αὐτὸς πεισθεὶς οἷς ὁ εὐρυκρείων εἶπε, τὸν ἀρείω προκρίνει Ὀδυσσέα, εἰπὼν πάνυ πεπαιδευμένως «εἰ μὲν δὴ ἕταρόν γε κελεύετε ἔμ' αὐτὸν ἑλέσθαι», ὡς ὑμεῖς μή, καθὰ δηλαδὴ

ὡς ἐπὶ πολὺ γίνεσθαι εἴωθε, ἐπιλεγόμενοι, «πῶς ἂν ἔπειτ᾽ Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην, οὗ πέρι μὲν πρόφρων κραδίη καὶ θυμὸς ἀγήνωρ ἐν πάντεσσι πόνοισι, φιλεῖ δέ ἑ Παλλὰς Ἀθήνη. τούτου γε ἑσπομένοιο καὶ ἐκ πυρὸς αἰθομένοιο ἄμφω νοστήσαιμεν, ἐπεὶ περίοιδε νοῆσαι». Ἃ δὴ δραστήριον καὶ φρόνιμον ἄνδρα χαρακτηρίζει, καὶ τὸ τοῦ Διομήδους δὲ ἦθος ὑπεμφαίνει κατὰ τοὺς παλαιοὺς φιλότιμον καὶ σὺν ἀσφαλείᾳ φιλοκίνδυνον.

3.55 Ἐν δὲ τοῖς ῥηθεῖσιν ὅρα καὶ τὸ σεμνὸν καὶ εὐπαίδευτον τοῦ ἥρωος. αὐταρκῶν γὰρ ἑαυτῷ τὰ εἰς ἀνδρίαν οὐχ᾽ ὡς ἀνδρειότερον τῶν ἄλλων ἐπιλέγεσθαι τὸν Ὀδυσσέα φησίν, ἀλλ᾽ ὡς φίλον Ἀθηνᾷ, ἤγουν ὡς φρονιμώτερον, ὃ καὶ οἱ ἄλλοι ἂν ὁμολογήσαιεν Ἕλληνες, καὶ οὐδὲ ὁ Νέστωρ ἀκούων δυσχερανεῖ. Διομήδης γὰρ οὐχ᾽ ἁπλῶς φρόνησιν, ἀλλ᾽ ἔμπρακτον φρόνησιν ἐπιλέγεται, ὁποία ἡ τοῦ Ὀδυσσέως ἐστίν. ὁ μέντοι Νέστωρ ἄκρατος αὐτόχρημα σύνεσις ἦν ἀνδρίας ψιλή. ἀφθονήτως οὖν διὰ σοφίαν φησὶν αἱρεῖσθαι τὸν Ὀδυσσέα, ᾗς ἅπαντες εἴκουσι τῷ Ὀδυσσεῖ. Ἔτι μὴν ὁ Διομήδης καὶ ὡς θεοφιλῆ πρὸ τῶν ἄλλων αἱρεῖται τὸν Ὀδυσσέα. τοῦτο γὰρ αἰνίττεται καὶ ἐν τῷ «Ὀδυσσῆος θείοιο», καὶ ἐν τῷ «φιλεῖ δέ ἑ Παλλὰς Ἀθήνη». Ὅτι δὲ τοιοῦτος ὁ Ὀδυσσεύς, ἀλλαχόθεν τε δῆλον, καὶ ἐκ τοῦ, ὡς ἐν Ὀδυσσείᾳ λέγεται, ἀναφανδὰ ὑπὸ θεῶν φιλεῖσθαι αὐτόν. Καὶ σημείωσαι ἐν τούτοις ὅτι ἀληθὴς ὁ ἐν τοῖς κινδύνοις ἔπαινος τὰ πολλὰ ὡς παρωθούμενος πᾶσαν αἰδῶ, καὶ ὅτι αἱρετώτερον ἀνδρίας ἐν κινδύνοις ἡ φρόνησις, καὶ ὅτι ἐν πολλοῖς τὴν ἀνδρίαν τῇ φρονήσει ὁ ποιητὴς ἀναγκαίως συζεύγνυσι καὶ ξυνωρίδα ταύτην τοῖς Ἕλλησιν ἐξαρτύει σωτήριον, ὡς ὅτε τὴν Ἀθηνᾶν εἰς τὸ τοῦ Διομήδους ἀνήγαγεν ἅρμα, αὐτὴν τὴν φρόνησιν πεποιηκὼς τῇ ἀνδρίᾳ συμβαίνουσαν, καὶ ὅτε τὸν Νέστορα ἡνιοχοῦντα τῷ αὐτῷ πεποίηκε τὸν ἐν ἥρωσι φρονιμώτατον. καὶ ἐν ταῖς Λιταῖς δὲ ὁ μὲν τῶν πρέσβεων ἀνδρεῖος, ὁ δὲ λοιπὸς ἐπὶ συνέσει λαμπρός. καὶ νῦν δὲ ὁ Διομήδης τὸν Ὀδυσσέα ὡς τοιοῦτον ἐπιλέγεται. Ὅλως γὰρ τὰ ἐν πολέμοις σεμνὰ δυσὶ ταύταις ἀρεταῖς, ἀνδρίᾳ καὶ φρονήσει, κατεργάζονται. (v. 243) Ὅρα δὲ καὶ ἐνταῦθα ἐρώτησιν ἁπλῆν δοκοῦσαν ἔχειν τὸ ἄλυτον ἐν τῷ «πῶς ἂν [ἔπειτ᾽ Ὀδυσῆος λαθοίμην». ὡς γὰρ μὴ δυνατὸν ὂν λαθέσθαι ἠρώτηται. Σημείωσαι δέ, ὅτι συμβάλλεταί τι ἐνταῦθα τὸ «θείοιο», οἷα μὴ ἐξὸν ὂν ὥσπερ θεοῦ, οὕτως οὐδὲ θείου ἀνδρὸς λαθέσθαι. καὶ τὸ «λαθοίμην» δὲ συντελεῖ τι ὁμοίως. οὐ γὰρ εἶπε, πῶς ἂν ἑλοίμην τινὰ πρὸ τοῦ Ὀδυσσέως, ἵνα μὴ καὶ φθόνον ὑποκινήσῃ κατὰ τοῦ ἥρωος, ἀλλὰ μετριώτερον ἔφη· πῶς ἂν λαθοίμην τοῦ ἑτάρου.

3.56 Ἰστέον δὲ καὶ ὅτι καὶ ἐν τῷ στίχῳ τούτῳ κεῖται ἀργὸν μὲν τὸ] ἔπειτα, δι᾽ ἑνὸς δὲ ς τὸ Ὀδυσῆος. (v. 244) Τὸ δὲ «ἀγήνωρ» ἀριδήλως καὶ ἐνταῦθα ἔπαινον δηλοῖ. οὐ γὰρ ἄν, ὡς καὶ προείρηται, ψέγοι τὸν Ὀδυσσέα εἰπὼν ἀγήνορα ὁ οὕτως αὐτὸν ἐξαίρων, ὥσπερ οὐδὲ ἑαυτὸν ἔψεγε πρὸ ὀλίγων εἰπὼν «ἐμὲ ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ», ὅπερ καὶ ὁ Δόλων ἐν τοῖς ἑξῆς ἐρεῖ ἐπὶ ἀνδρίᾳ ἑαυτὸν συνιστῶν. (v. 246) Τὸ δὲ «τούτου γ᾽ ἑπομένοιο» τῷ ἐξ ἀσυνδέτου ἀποστατικῷ σχήματι ἐνδιάθετον φαίνει τῷ Διομήδει τὸν λόγον κατά τι θαῦμα ἐκπληκτικόν. Πῦρ δὲ αἰθόμενον πρὸς διαστολὴν εἶπεν. Εἰσὶ γὰρ πολλὰ πυρὰ μὴ αἰθόμενα, ὡς τὸ τῆς μάχης καυστηρὸν καὶ δάϊον, ἐξ οὗ καὶ δαΐς λέγεται, καὶ τὸ τοῦ θράσους καὶ θάρρους, ἅπερ ἐκ τοῦ θέρω θέρσω παράγεται, καὶ τὸ παρὰ τοῖς ῥήτορσι καρδιακὸν πῦρ, ὅ ἐστι τὸ κατὰ διάθεσιν ζέον. Οἱονεὶ γοῦν λέγει, ὡς οὐ μόνον τὰ τοιαῦτα πυρὰ φευξούμεθα ἑπομένου τοῦ Ὀδυσσέως, τὰ κατὰ μεταφορὰν δηλαδὴ οὕτω καλούμενα, ἀλλὰ καὶ ἐξ αὐτοῦ νοστήσομεν τοῦ αὐτόχρημα πυρός, εἴπερ εἰς αὐτό πως ἐμπεσούμεθα, τὸ καινότατον. εἰ γὰρ θεῖος ὡς ἐρρέθη, ὁ Ὀδυσσεύς, οὐδ᾽ ἂν καταναλωθείη ῥᾶον πυρί. Ἐν τούτοις δὲ ὅρα καὶ τὰ πάρισα, τὸ «πάντεσσι πόνοισι» καὶ «ἑπομένοιο» καὶ «αἰθομένοιο», ἐπορχουμένου οἷον τοῦ ἥρωος τῇ φράσει διὰ τὸ ἐγκωμιαστικὸν εἶδος. (v. 247) Τὸ δὲ «περίοιδε νοῆσαι» λεληθότως εἰς ἶσον, εἰ μὴ καὶ μεῖζον τοῦ Νέστορος ἄγει τὸν Ὀδυσσέα. εἰ γὰρ περίοιδε νοῆσαι, ἤγουν περιττῶς οἶδε νοεῖν, οὐκ ἄν τις ῥᾳδίως τοῦ οὕτω

περιττοῦ νοεῖν ἔχοι τὸ μεῖζον. Ἐνταῦθα δὲ καὶ ὡς ἐπιστήμην ὑποβάλλει γνῶναι τὴν νόησιν. τὸ γὰρ οἶδε καὶ τὸ εἰδέναι καὶ τὰ τοιαῦτα ἐπιστημονικαὶ λέξεις εἰσί.

3.57 Κἀκεῖνο δὲ ἰστέον ὅτι τὰ εἰς τὸν Ὀδυσσέα ταῦτα παραφρασθέντα πλατὺν ἐξαρτύσουσιν ἔπαινον ἀνδρὸς ἡρωϊκοῦ. (v. 249 s.) Ὅτι Χίλων ἢ κατά τινας Πιττακὸς ὁ σοφὸς θρυλούμενον ἀπόφθεγμα ἔφη τὸ «μηδὲν ἄγαν», καὶ ἔστι καλῶς ἀοίδιμον. Πρὸ δέ γε αὐτοῦ καὶ τοῦτο παρέδωκεν ὁ ποιητής, ἐν οἷς ὁ παρ' αὐτῷ λόγιος Ὀδυσσεὺς ἔργοις μᾶλλον ἢ λόγοις τὴν ἀρετὴν ἐπιδείκνυσθαι θέλων πρὸς τὸν Διομήδην ἐπαινοῦντά φησι «Τυδείδη, μήτ' ἄρ με μάλ' αἴνεε, μήτε τι νείκει», μάλα δηλαδή. καὶ αἰτίαν τοῦ λόγου ἐπάγει τὸ «εἰδόσι γάρ τοι ταῦτα μετ' Ἀργείοις ἀγορεύεις». περιττὸς γὰρ ὁ ἐν ἐπηκόῳ τῶν φίλων ἔπαινος, δεῖ δὲ πρὸς ἀγνοοῦντας ἐπαινεῖν. αὐτὸς οὖν Ὀδυσσεὺς ἐν ἀγνοοῦσι περιαυτολογῶν φησι «εἰμὶ Ὀδυσσεὺς Λαερτιάδης, ὃς πᾶσιν ἀνθρώποισι δόλοισι μέλω καί μευ κλέος οὐρανὸν εὐρὺν ἱκάνει». ἐθέλει δὲ καὶ ὁ ἐν Ὀδυσσείᾳ Ποσειδῶν βωμὸν σχεῖν δι' Ὀδυσσέως παρ' ἀνθρώποις, οἳ οὐκ ἴσασι θάλασσαν καὶ διὰ τοῦτο οὐδὲ Ποσειδῶνα θαλάσσιον. Σημειοῦνται δὲ ἐνταῦθα οἱ παλαιοὶ καί, ὅτι ὁ σπουδαῖος θέλει μὲν εὐφημίαν, οὐκ ἀνέχεται δὲ αὐτῆς. Ὅτι δὲ φύσει χαίρουσιν οἱ πλείους τοῖς εἰς ἑαυτοὺς ἐπαίνοις, δηλοῖ καὶ ὁ μετὰ θάνατον στεφανοῦσθαι τὸν ἑαυτοῦ τάφον ἐθέλων τῆς διὰ μακροῦ χάριτος ἕνεκα, ἔτι δὲ καὶ ὁ μήτε χρυσὸν ἐν δόμοις αὐτῷ εἶναι θέλων μήτε Ὀρφέως κάλλιον ὑμνεῖν μέλος, εἰ μὴ ἐπίσημος εἴη τὴν τύχην. Ὡς δὲ καὶ ἠρέμα φιλονεικούμενός τις ἀνέξεταί ποτε, καὶ ὁ Διομήδης μὲν ἐδήλωσέ που φθάσας, παρίστησι δὲ αὐτὸ καὶ ὁ εἰπὼν «ἔλεγχ' ἐλέγχου». Ἰστέον δὲ ὅτι τε χρήσιμον ἐν τῇ ῥηθείσῃ γνώμῃ τοῦ ποιητοῦ εἰς μὲν τὸ «μή με μάλ' αἴνεε» τὸ «βάρος τι κἂν τῷδ' ἐστιν αἰνεῖσθαι λίαν», εἰς δὲ τὸ «μήτε τι νείκει» τὸ «τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικ' ᾖ, δάκνει», καὶ ὅτι τὸ αἰνεῖν ὁμώνυμός ἐστι λέξις. Ἐν γοῦν τῷ Αἰλίου Διονυσίου Λεξικῷ γράφεται οὕτως· αἰνεῖν, τὸ ἀναδεύειν καὶ ἀνακινεῖν κριθὰς ὕδατι φύροντα. Φερεκράτης «νῦν ἐπιχεῖσθαι τὰς κριθὰς δεῖ, πτίττειν, φρύγειν, ἀναβράττειν, αἰνεῖν». Παυσανίας δὲ ἐν τῷ κατ' αὐτὸν ῥητορικῷ Λεξικῷ οὐ διὰ διφθόγγου γράφων αἰνεῖν ἀλλὰ διὰ μόνου τοῦ α διχρόνου φησίν· ἀνεῖν 〈ἐν〉 ἐκτάσει ἔχει τὸ α , δηλοῖ δὲ τὸ πτίσσειν, ὡς Ἀριστοφάνης ἐν Εἰρήνῃ δηλοῖ, καὶ Φερεκράτης δέ φησι· «νῦν δ' ἐπικεῖσθαι τὰς κριθὰς δεῖ, πτίσσειν, φρύγειν, ἀποβράττειν, ἄνειν, ἀλλέξαι, μάξαι, τὸ τελευταῖον παραθεῖναι».

3.58 Λέγει δὲ καὶ ὅτι διαφέρει τὸ πτίσσειν τοῦ ἄνειν. τὸ μὲν γὰρ πτίσσειν γίνεται, ἵνα τὸ πτισσόμενον ἀπολίποι τὸ πιτυρῶδες ἄχυρον, τὸ δὲ ἄνειν ἐπὶ ξηρῶν, ὥσπερ καρύων, ἵνα τὸ ἀχυρῶδες αὐτῶν περικαὲν ἀφαιρεθείη. Ὅτι δὲ ἐκ τοῦ πτίσσειν καὶ ἄνειν τῶν εἰρημένων ἡ πτισσάνη σύγκειται, ἐν τῇ δʹ ῥαψῳδίᾳ προγέγραπται. Ἐν ἄλλοις δὲ φέρεται καὶ ταῦτα· αἰνεῖν, τὸ ἀναβράττειν ἀληλεσμένον σῖτον, καὶ πτισσάνη παρὰ τὸ πτίσσειν καὶ αἰνεῖν. οἱ δέ· τὸ ἀναποιεῖν ταῖς χερσὶ τὸν σῖτον ὕδατι ῥάναντας. ἴσως δὲ ἀπὸ τοῦ, ὡς εἴρηται, πτίσσειν γίνεται καὶ πίσον τὸ ὄσπριον, ὃ καὶ πίσσος λέγεται. [Ὅτι δέ φαμεν αἰνεῖν καὶ τὸ συγκατατίθεσθαι, ὃ δὴ καὶ συναινεῖν λέγεται, καὶ ἄλλως δὲ αἰνεῖν κατ' εὐφημισμοῦ σχῆμα τὸ ἔρρειν ἐᾶν, ὡς τὸ «νῆ' ὀλίγην αἰνεῖν», ἀντὶ τοῦ ἔρρειν ἔα τὴν μικρὰν νῆα, οἶδεν ἡ ὀρθὴ μάθησις.] (v. 251) Ὅτι τὴν ὥραν ὑποδεικνὺς Ὅμηρος, καθ' ἣν οἱ Ἑλληνικοὶ σκοποὶ στέλλονται, φησὶν «ἀλλ' ἴομεν, μάλα γὰρ νὺξ ἄνεται, ἐγγύθι δ' ἠώς». (v. 252 s.) Εἶτα καὶ ἄλλως τὸ αὐτὸ φράζων φησὶν «ἄστρα δὲ δὴ προβέβηκεν», εἶτα καὶ πλατύτερον ἐφερμηνεύων φησὶν «παρῴχηκε δὲ πλέω νὺξ τῶν δύο μοιράων, τριτάτη δ' ἔτι μοῖρα λέλειπται». Σημείωσαι δὲ ὅτι ἐν τούτοις μίαν ἔννοιαν τετραχῶς μετεποίησεν Ὅμηρος. εἰπὼν γὰρ «μάλα νὺξ ἄνεται», ἤγουν τελειοῦται, ἐπήγαγε διασαφητικῶς «ἐγγύθι δ' ἠώς», εἶτα ὁμοίως «ἄστρα δὲ δὴ προβέβηκε», καὶ πάλιν «παρῴχηκε δέ», καὶ ἑξῆς. Οὕτω πολυτελὴς ἐν πολλοῖς τὴν φράσιν ἐστίν, ἐν καιρῷ μέντοι οὐκ αἰδεῖται καὶ ταὐτολογῶν ἀπαραποιήτως. μετ' ὀλίγα τοίνυν τὸ «ὅπλοις ἐνὶ δεινοῖσιν ἐδύτην» δὶς λέγει, δηλῶν ὅτι πῇ μὲν ποικιλτέον τοὺς λόγους, πῇ δὲ τὰ αὐτὰ λαλητέον. Ἰστέον δὲ καὶ ὅτι τριφύλακτον κατὰ τοὺς

παλαιοὺς ὁ ποιητὴς βούλεται εἶναι τὴν νύκτα, ὅ ἐστι τριῶν φυλακῶν, τριμερῆ ποιῶν αὐτήν, καθὰ καὶ τὴν ἡμέραν, ὅτε εἴπῃ «ἔσσεται ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ».

3.59 Ὅρα δὲ καὶ ὅτι φιλοσοφεῖ κἀνταῦθα ὁ πολυμήχανος, ὁ ἐν Ὀδυσσείᾳ Πλειάδας ὁρῶν καὶ Ὑάδας καὶ τὰ ἑξῆς ἄστρα, καὶ ἐκ τῶν ὑπὲρ γῆν νυκτερινῶν ζῳδίων τὴν ὥραν καταμανθάνει, καὶ ἐκ βαλβίδων, ὅ φασιν, αὐτῶν τὴν σοφίαν ἐκφαίνει, δι᾽ ἣν αὐτὸν ὁ Διομήδης ἑταρίζεται. Ἔτι δὲ φιλοσοφεῖ καί, ὡς κυκλοφορίαν οὐρανοῦ ὑποδηλῶν, ἐκ τοῦ τὰ μὲν ἀνίσχειν τῶν ἄστρων, τὰ δὲ καταδύεσθαι. Ὁ δὲ νοῦς τοῦ χωρίου ἀμφίβολός ἐστι κατὰ τριπλῆν ἔννοιαν. ἄδηλον γὰρ εἴτε τῶν δύο μοιρῶν τὴν πλέω μοῖραν παρῴχηκεν ἡ νύξ, ὡς λείπεσθαί τι καὶ αὐτῶν τῶν δύο μοιρῶν καὶ τὸ ὅλον τριτημόριον, ἢ αἱ δύο ὅλαι μοῖραι παρῴχοντο καὶ σὺν αὐταῖς μέρος τι καὶ τῆς τρίτης, ὡς μὴ ὅλην αὐτὴν περιλείπεσθαι, ἢ παρῴχηκε τὰ πλέω, ἤγουν ἡ νὺξ μόνων τῶν δύο μοιρῶν, τὸ δὲ ἔλαττον, τουτέστιν ἡ ὅλη τρίτη μερίς, λέλειπται. Τὸ δὲ «πλέω», εἰ μὲν δίχα τοῦ ν γράφεται, δηλοῖ ἄν, ὡς ἡ νὺξ κατὰ πλέω μοῖραν τῶν δύο παρῆλθεν, ἢ καθ᾽ ὑπερβατόν, ὅτι ἄστρα τὰ πλέω τῶν ἀφ᾽ ἑσπέρας ὑπὲρ γῆν ὄντων τὰ τῶν δύο μοιρῶν ᾤχετο. εἰ δὲ μετὰ τοῦ ν γράφεται, λέγοι ἄν, ὅτι παρῴχετο πλέων νὺξ τῶν δύο μοιρῶν. Ἄριστος δὲ κατασκόποις ὁ τοιοῦτος καιρός, ὅτε εἰκὸς ἐκφροντίζειν τοὺς τῶν ἀπ᾽ ἐναντίας φύλακας καὶ ἀνίεσθαι. διὸ συγκροτῶν Ὅμηρος τὴν τοιαύτην βουλὴν ποιεῖ καὶ τοὺς Τρῶας τηνικαῦτα βουλευσαμένους ὅμοια, ὡς ἐν τοῖς ἑξῆς φανήσεται.

3.60 (v. 251) Ἰστέον δὲ ὅτι τε τὸ «ἴομεν» ἐνεστῶτος ὁριστικοῦ δίκην συστέλλει τὴν παραλήγουσαν, καὶ ὅτι τοῦ νύξ ἄνεται, ὅ ἐστι τελειοῦται, διασαφητικόν ἐστι τὸ «ἐγγύθι δὲ ἠώς», ἤγουν ὄρθρος, καὶ ὅτι πρωτότυπον τοῦ ἀνύω τὸ ἄνω κείμενον καὶ ἐν Ὀδυσσείᾳ, καὶ ὅτι Ὅμηρος μέν, ὡς ἐν ῥητορικῷ εὕρηται Λεξικῷ, τῶν δύο φησί, ἀκολούθως δηλαδὴ τῇ Ἀτθίδι καὶ τῇ κοινῇ, Ἴωνες δὲ γενικὴν μὲν δυῶν, δοτικὴν δὲ δυσίν, ἀφ᾽ ἧς τὴν δύεσιν Αἰολεῖς ἐπεξέτειναν. Ἔτι Ὅμηρος τῶν Ἀττικῶν δύω λεγόντων ἐπὶ δυϊκῆς σχέσεως καὶ τὴν πλαγίαν δυοῖν ἀποδιδόντων, ἔστι δὲ ὅτε καὶ δυεῖν, ἀλλ᾽ αὐτὸς οὐ μεταβάλλει τὰς πτώσεις, ἐπεὶ μηδὲ τῷ δύω δυϊκῶς χρῆται, ἤγουν κατὰ ἀναλογίαν δυϊκοῦ τελικοῦ, ἀλλὰ ποιητικῶς κατὰ ἐπέκτασιν μέτρου. οὐ γὰρ μόνον «Ἀτρείδα» φησὶ «μάλιστα δύω κοσμήτορε λαῶν», καὶ «υἷε δύω Μέροπος Περκωσίου», καὶ «ἐν δὲ δύω ποίησε πόλεις», καὶ «δύω χρυσοῖο τάλαντα», ἀλλὰ καὶ ἐπὶ γενικῆς χρῆται τῷ δύω «πέτρη τε ξύνεσίς τε δύω ποταμῶν ἐριμύκων», καὶ ἐπὶ δοτικῆς «δινωτὴν φορέεσκε δύω κανόνεσσ᾽ ἀραρυῖαν». Λέγει δὲ τὸ αὐτὸ Λεξικὸν καί, ὅτι τὸ δυοῖν καὶ ἐπὶ δοτικῆς παρὰ Ἀττικοῖς, οἷον «δυοῖν γυναικοῖν εἷς ἀνὴρ οὐ στέργεται». ἐν ἑτέρῳ δὲ τόπῳ φησὶ καί, ὅτι δύο καὶ ἐν τῷ ω δύω, ἤγουν δύο διὰ τοῦ ο μικροῦ καὶ δύω κατὰ ἔκτασιν, Ἀττικοὶ λέγουσιν ἑκατέρως, δυοῖν τε ἐπὶ γενικῆς καὶ δοτικῆς, τὸ δὲ δυεῖν σπάνιον παρὰ τοῖς παλαιοῖς, ἔστι δ᾽ ὅμως παρὰ Θουκυδίδῃ. λέγουσι δὲ καὶ τῶν δύο καὶ τοῖς δύο. τὸ δὲ δυσί βάρβαρον, φησί, καὶ κατὰ χρῆσιν Ἀττικὴν καὶ κατὰ λόγον γραμματικόν. λέγει δὲ καί, ὅτι νεωτέρων τὸ γράφειν δυεῖν. οὐδὲν γὰρ δυϊκὸν εἰς ειν λήγειν φασὶν οἱ ἀναλογικοί. Ὅμηρος δέ, φησί, ἐπὶ μὲν ὀρθῆς δύο λέγει, οὕτω «δύο δ᾽ αἰὲν ἔχον πατρώϊα ἔργα», ἐπὶ δὲ γενικῆς «τῶν δύο μοιράων», ἐπὶ δὲ αἰτιατικῆς «τὰς δύο χαλκείας», ἐπὶ δὲ κλητικῆς κατὰ ἔκτασιν «δεῦτε δύω μοι ἕπεσθον».

3.61 (v. 254 et 272) Ὅτι ταὐτολογεῖ καὶ ἐνταῦθα, εἰπὼν ἐν δυσὶ τόποις, ὡς καὶ προεδηλώθη, τὸ «ὅπλοις ἐνὶ δεινοῖσιν ἐδύτην», ὅ ἐστιν ὡπλίσθησαν. οὕτω δὲ δὶς ἐρεῖ καὶ τὸ «ἀμφὶ δέ οἱ κυνέην κεφαλῆφιν ἔθετο». τοῦτο δὲ παραφράσας μετ᾽ ὀλίγα παρεποίησεν ἐξ αὐτοῦ τὸ «Ὀδυσῆος πύκασε κάρη ἀμφιτεθεῖσα». Γέγονε δὲ καὶ νῦν ἡ ταὐτολογία ἢ πρὸς ἔνδειξιν σχεδιασμοῦ, ἢ διότι παραδέδοται, ὡς οὐκ ἐξ ἀνάγκης μεταποιεῖν χρὴ τὰ φρασθέντα καλῶς. Καὶ ὅρα τὸ «ἐδύτην», οὗ καθ᾽ ὁμοιότητα νοητέον καὶ τὸ «δυσμενέων δῦναι στρατόν», καὶ «καταδῦναι Τρώων ὅμιλον», ἵνα ὥσπερ τὰ ὅπλα, οὕτω καὶ οἱ πολέμιοι κύκλῳ ἀμπέχωσι τὸν ἀριστέα καὶ οἷον ἐνδύωσι. Ταῦτα δὲ συντελεῖ καὶ εἰς τὸ «λάϊνον ἕσσο χιτῶνα». ὡς γὰρ δύεταί τις ὅμιλον

Τρώων καὶ πόλιν Τρώων καὶ ὅπλα, οὕτω καὶ λίθους, ὧν ἐντὸς γίνεται. Ὅρα δὲ καὶ ὅτι ἐπὶ πολεμικῶν τευχέων καὶ νῦν τὰ ὅπλα κεῖται, δεινὰ λεχθέντα, ὡς δεινοῦ πολέμου ὄργανα ὄντα, πρὸς διαστολὴν ἑτεροίων ὅπλων τῶν καθ’ ἑτέρας τέχνας, [ὧν τὰ ὅπλα οὐχ’ οὕτω δεινά. Ὅρα δὲ ὡς τὴν τῶν ὅπλων δεινότητα οἷον ἐγάνωσε γλυκύτητι κάλλους τοῦ ἐκ τῶν παρίσων, ἅπερ εἰσὶ τὸ «ὅπλοισι δεινοῖσι».] (v. 271) Τὸ δὲ «πύκασε κάρη ἀμφιτεθεῖσα» διαστέλλει καὶ αὐτό. ἔστι γὰρ καὶ ἑτέρα τις κυνῆ, οὐ πυκάζουσα πολέμου νόμῳ κάρη, ἀλλὰ πρὸς ἑτεροίαν διεσκευασμένη φυλακήν, ὁποία τις καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «ἡλιοστερὴς κυνῆ πρόσωπα Θεσσαλίς νιν ἀμπέχει», ὅ ἐστι σκέπει τὴν αὐτῆς κεφαλὴν κυνῆ σκιάζουσα τὸν ἥλιον, ὡς μὴ κατακαίειν τὸ πρόσωπον. εἴη δ’ ἂν ἴσως αὕτη κατὰ τὸν παρ’ Ἡσιόδῳ ἀσκητὸν πῖλον, πλὴν ὅσον ἐκεῖνος μὲν κοινότερον ἐπινενόηται, ἵνα ὄμβρος οὔατα μὴ καταδεύῃ, ταύτην δὲ ὡς ἐξαίρετον ἐσκεύαζον Θετταλοὶ κατὰ ἡλίου καίοντος [πυκάζουσαν, ὅ ἐστι σκέπουσαν. ἐπὶ τοιαύτης γὰρ σημασίας τὸ πυκάζειν κυριολεκτεῖται.] (v. 255—271) Ὅτι καὶ τὸν ὁπλισμὸν τῶν κατασκόπων παραδιδοὺς Ὅμηρος, ἵνα καὶ δι’ αὐτοῦ ποικιλίαν χρησίμην ἐνυφάνῃ τῇ ποιήσει, ἄλλως τε καὶ διὰ παρενθέσεως δὲ ἱστοριῶν, φησί, ὅτι τῷ Διομήδει μὲν ὁ Θρασυμήδης ἔδωκε φάσγανον ἄμφηκες, τὸ δὲ ἑὸν παρὰ νηῒ λέλειπτο, «καὶ σάκος, ἀμφὶ δέ οἱ κυνέην κεφαλῆφιν ἔθηκε ταυρείην, ἄφαλόν τε καὶ ἄλοφον, ἥ τε καταῖτυξ κέκληται, ῥύεται δὲ κάρη θαλερῶν αἰζηῶν.

3.62 Μηριόνης δ’ Ὀδυσῆϊ δίδου βιὸν ἠδὲ φαρέτρην καὶ ξίφος, ἀμφὶ δέ οἱ κυνέην κεφαλῆφιν ἔθηκε, ῥινοῦ ποιητήν», ἤγουν πεποιημένην ἐκ δέρματος, «πολέσι δ’ ἔντοσθεν ἱμᾶσιν ἐνδέδετο στερεῶς, ἔκτοσθε δὲ λευκοὶ ὀδόντες ἀργιόδοντος ὑὸς θαμέες ἔχον ἔνθα καὶ ἔνθα, εὖ καὶ ἐπισταμένως, μέσσῃ δ’ ἐνὶ πῖλος ἀρήρει. τήν ῥά ποτ’ ἐξ Ἐλεῶνος Ἀμύντορος Ὀρμενίδαο ἐξέλετο Αὐτόλυκος, πυκινὸν δόμον ἀντιτορήσας, Σκάνδειαν δ’ ἄρα δῶκε Κυθηρίῳ Ἀμφιδάμαντι». Ἀμφιδάμας δὲ τῷ Κρητικῷ Μόλῳ «δῶκε ξεινήϊον εἶναι, αὐτὰρ ὅ», τουτέστιν ὁ Μόλος, «Μηριόνῃ δῶκεν ᾧ παιδί», τουτέστι τῷ ἰδίῳ υἱῷ, «φορῆναι. δὴ τότ’ Ὀδυσσῆος πύκασε κάρη ἀμφιτεθεῖσα», ἤγουν πυκινῶς καὶ στερεῶς ἐκάλυψε τὴν τοῦ ἥρωος κεφαλήν. Καὶ ὅρα καινήν τινα περιπέτειαν πράγματος, πυκάζει γὰρ νῦν προγονικὴ περικεφαλαία τὴν Ὀδυσσέως κεφαλήν, ἐλθοῦσα διὰ πολλῶν. ἣν πάλαι μὲν ὁ κλέπτης πάππος Αὐτόλυκος ὑφείλετο, νῦν δὲ ὁ Μηριόνης εἶχε κτησάμενος ἐκ διαδοχῆς. Ὅρα δὲ καὶ ὡς, καθά που τὸ τοῦ βασιλέως γενεαλογικῶς ἐξέθετο σκῆπτρον, οὕτω κἀνταῦθα τὴν τοῦ Μηριόνου κυνέην, καὶ ὅτι, ὥσπερ ἐκεῖ τῇ λέξει τοῦ ἔδωκεν ἐπλεόνασεν, οὕτω καὶ ἐνταῦθα διὰ τὸ καίριον, καὶ ὅτι ποικιλίαν ἱκανὴν καὶ ὁ παρὼν ἔχει τόπος, ὡς εἴρηται, τόπους τε ἐκτιθείς· τὸν Ἐλεῶνα, τὴν Σκάνδειαν, τὰ Κύθηρα, καὶ ἡρωϊκῶν μεμνημένος προσώπων, καὶ περικεφαλαίας διαφόρους ἐκτιθείς, ὧν ἡ ἑτέρα ξενίζουσα, καὶ οὕτως ἀνεγείρας τὸ τῆς ἀφηγήσεως ὕπτιον, καὶ τὸν ἀκροατὴν ἀφυπνίσας οἷον εἰς ἐναγώνιον. καὶ οὕτω μὲν ταῦτα. Τοῦ δὲ χωρίου τὰ κατὰ μέρος τοιαῦτα. (v. 256) Φάσγανον μὲν ἀναγκαίως ἤτοι ξίφος, ὡς Ὅμηρος ἑρμηνεύει, ἑκάτερος τῶν κατασκόπων λαμβάνει ἐκ φυλάκων, βιὸν δὲ μόνος Ὀδυσσεύς, ὡς προμηθὴς τοῦ μέλλοντος καὶ εἰδὼς αὐτὸν μάλιστα χρήσιμον ἐν τοῖς κατὰ νύκτα δόλοις. ὁ γὰρ Διομήδης ἴσως ἀπαξιοῖ τὸ ἑκηβόλον ὅπλον οἷα σταδαῖος ὁπλίτης καὶ ἀγχέμαχος. εἰ δὲ δειλιῶν Ὀδυσσεὺς τόξον χειρίζεται, καθά τινες ἐσημειώσαντο, ἐκείνοις ἂν εἴη τοῦτο γνωστόν. Ὅτι δὲ καὶ προκατασκευὴ τοῦτο τῆς ἐν Ὀδυσσείᾳ τοῦ ἥρωος τοξείας, ὡς καὶ ὀϊστεύειν εἰδότος εὖ μάλα, καθὰ καὶ αὐτός φησί που περὶ ἑαυτοῦ, σεσημείωται καὶ αὐτὸ τοῖς παλαιοῖς. Ἀλλότρια δὲ περιδύονται ὅπλα πιθανῶς οἱ σκοποί, ὅτι μὴ ᾔδεισαν εἰς κινδυνῶδες ἔργον σταλήσεσθαι οἷα κατάσκοποι, ἀλλ’ ὡς εἰς βουλὴν ἐξῄεσαν. (v. 257) Ἐν δὲ τῷ «καὶ σάκος» προσυπακουστέον, ὡς τὸ ἑὸν παρὰ νηῒ λέλειπτο. καθὰ γὰρ τὸ φάσγανον, οὕτω καὶ τὸ σάκος ἐλείφθη ἐν ταῖς ναυσί.

3.63 Τὸ δὲ «κυνέην ταυρείην» φράσιν ἔχει ἀφελείας ἀρχαϊκῆς. οὔτε γὰρ ἡ κυρίως κυνέη ταυρείη ἂν εἴη, οὔτε ἡ ταυρείη κυνέη, ὅτι μηδὲ ταὐτὸν ταῦρος καὶ κύων. ὑπάγεται γοῦν καὶ τὸ τοιοῦτον τῷ

σχηματισμῷ τοῦ «νέκταρ ἐῳνοχόει», καὶ «ἵπποι ἐβουκολοῦντο», καὶ τῶν ὁμοίων, περὶ ὧν ἐν ἄλλοις εἴρηται. Ἰστέον δὲ ὅτι, καθάπερ ἡ μὲν περικεφαλαία γενικόν τι ὄνομα, εἰδικὸν δὲ ἡ κυνέη, διαστελλομένη τῆς ἀπὸ χαλκοῦ ὡς αὐτὴ ἀπὸ κυνείας οὖσα δορᾶς, οὕτω διὰ τὸ πολὺ καὶ ἀρχαῖον τῆς χρήσεως ὡς εἰς γένος μὲν ἡ κυνέη ἀπετάχθη, εἴδη δὲ αὐτῆς ἡ ἐνταῦθά τε ταυρείη καὶ ἡ ἀλλαχοῦ ἰκτιδέη κυνέη καὶ ἡ ἐν Ὀδυσσείᾳ αἰγείη κυνέη καὶ ἡ πρὸ βραχέων δηλωθεῖσα ἡλιοστερής. Ἡ δὲ τοιαύτη φράσις καὶ πολυμάθειαν ἔχει. δηλοῖ γάρ, ὡς καὶ ταύρου δορὰ καὶ ἴκτιδος καὶ αἰγὸς περικεφαλαίαν ἀπαρτίζειν δύναται, καθὰ τὴν ἀρχὴν καὶ ἡ τοῦ κυνός. Τὸ δὲ «κεφαλῆφιν ἔθηκεν» ἀφελῶς μὲν ἔχει, ὡς μὴ τοῦ Διομήδους αὐτὴν φορήσαντος, ἀλλ’ ἑτέρου θεμένου αὐτῷ περὶ τὴν κεφαλήν, εὐτυχεῖ, ὅ φασι, χειρί, ὃ δὴ καὶ ἐπὶ Ὀδυσσέως γίνεται. ἀρχὴ δέ ἐστι τοῦ τὴν κυνέην περικεφαλαίαν λέγεσθαι. (v. 258) Ἄφαλον δὲ καὶ ἄλοφον ταυρείην ὁ Διομήδης φορεῖ, ὡς ἄν, φασί, ἔχοι λανθάνειν. οὐ μόνον γὰρ ἀλαμπὴς ἡ τοιαύτη, ἀλλὰ καὶ χθαμαλή, ὡς μὴ ἔχουσα λόφον ἤτοι τρίχωσιν. διὸ καὶ καταῖτυξ καλεῖται παρὰ τὸ κάτω τετύχθαι. Ἡ δὲ ἄφαλος, ἧς ἡ ἄρχουσα ἐκτείνεται, κατὰ τὸ ἀκάματος καὶ ἀθάνατος, εἴη ἄν, φασί, ἐξ ἀνάγκης καὶ ἄλοφος. Φάλος γάρ ἐστι μικρὸς ὀμφαλός, οὗ ἐκδεῖται ὁ λόφος. Οἱ δὲ περὶ Ἀπίωνα καὶ Ἡρόδωρον οὕτω φασί· φάλοι, ὀμφαλοὶ ἀσπίσι μικραῖς παραπλήσιοι, καὶ κεῖνται κατὰ τὸ μέτωπον, ὑπερέχοντες τῶν ὀφρύων, ἀποσκιάζοντες τὴν τοῦ ἡλίου αὐγήν, οἷαι τῶν Παλλαδίων καὶ τῶν Κορυβάντων αἱ κόρυθες. δηλοῖ δὲ καὶ Ὅμηρος λέγων «τὸν δ’ ἔβαλε κόρυθος φάλον, ἐν δὲ μετώπῳ πῆξε». Τὸ δὲ «καταῖτυξ» συστέλλει τὴν λήγουσαν κατὰ τοὺς παλαιούς, καθὰ καὶ τὸ κῆρυξ. Ἰστέον δὲ καὶ ὅτι διάφορα περικεφαλαιῶν εἰσιν εἴδη, ὡς καὶ προείρηται, παρὰ τῷ ποιητῇ, οἷον ἡ τρυφάλεια, ἡ ἀμφίφαλος, ἡ τετράφαλος, ἡ πρὸ μικροῦ ῥηθεῖσα στεφάνη, ἡ νῦν λεχθεῖσα καταῖτυξ, ἔτι δὲ καὶ ἡ, ὡς ἂν εἴποι τις, ὀδοντωτή, ἥτις τὴν τοῦ Ὀδυσσέως ἐπύκασε κεφαλήν, ναὶ μὴν καὶ ἡ τὸν Δόλωνα σκεπάσασα κτιδέη κυνέη, καὶ ἡ κυρίως λεγομένη κυνέη, καὶ ἡ ταυρείη, καὶ ἡ αἰγείη, καὶ ἡ ἁπλῶς ῥινοῦ τινος ποιητή.

3.64 Τινὲς δὲ καὶ τὴν ῥηθεῖσαν σκάνδειαν περικεφαλαίας εἶδος ἐνόησαν. τὸ δ’ ἐστὶν οὐ τοιοῦτον, ὡς ῥηθήσεται. (v. 259) Τὸ δὲ «ῥύεται κάρη» ἔπαινος μέν ἐστι περικεφαλαίας, εἴληπται δὲ πρὸς ἀκρίβειαν ἐννοίας, ἵνα μή τις οἴοιτο τὴν ταυρείην ἀλυσιτελῆ διὰ τὸ ἐκ δέρματος πεποιῆσθαι. Τὸ δὲ «θαλερῶν αἰζηῶν» εἰς ἔνδειξιν πρόσκειται τοῦ νέοις πρέπειν τὸν πόλεμον, οἷς καὶ κλέος τὸ ἐν μάχῃ πεσεῖν, ὥς που ἐν τοῖς ὕστερον ὁ Ὁμηρικὸς ῥητορεύσει Πρίαμος. ὅθεν καὶ ὁπλότερον ἡ ποίησις τὸν νέον λέγει, ὡς ὅπλοις προσήκοντα. Τὸ δὲ «θαλερῶν» ἔοικε πρὸς διαστολὴν εἰρῆσθαι τῶν μηκέτι τοιούτων, ἀλλ’ ἤδη φθινόντων, οἷος ὁ παρὰ Ἡσιόδῳ τεσσαρακονταετὴς αἰζηός. (v. 262) Τὸ δὲ «ῥινοῦ ποιητήν» ἐπίτηδες διὰ λόγου ποικιλίαν ἀσαφῶς ἔχει. ἡ μὲν γὰρ ταυρείη ὥρισται οἵου δέρματος, αὕτη δὲ οὐ δηλοῦται ποίου ἐστίν, οἱ δὲ ἔντοσθεν αὐτῆς ἱμάντες οὐχ’ οὕτω διὰ τὸ δυσδιάλυτον ἦσαν ἐκεῖ, ἀλλ’ ἵνα μᾶλλον συνδέωσι τοὺς ἔκτοσθεν κατὰ τὴν ἐπιφάνειαν ὀδόντας, τῶν ἄκρων ἐνιεμένων ἐντός, εἰς ὃ καὶ χρεία ἦν τοῦ, ὡς εἴρηται, εὖ καὶ ἐπισταμένως ἔχειν, ἔξω μὲν ἐρειδομένων ἐγγὺς ἀλλήλων τῶν ὀδόντων, ἐντὸς δὲ δεσμουμένων στερεῶς. (v. 263) Τὸ δὲ «λευκοὶ ὀδόντες ἀργιόδοντος ὑός» ἔχει ἀδολεσχίαν τινὰ σχεδιαστικήν. ἤρκει γὰρ ἢ λευκοὺς ὀδόντας εἰπεῖν ὑὸς ἢ ὀδόντας ἀργιόδοντος ὑός. εἰ γὰρ λευκοὺς ὀδόντας ἐρρέθη ὁ ὗς ἔχειν, περιττῶς ἀργιόδους πάλιν ἐλέχθη, καὶ εἰ ἀργιόδους, παρέλκει τὸ λευκοὺς ἐπ’ αὐτοῦ ὀδόντας εἰπεῖν. δοκεῖ δὲ ὅμως εἰρῆσθαι τὸ λευκοὶ ὀδόντες πρὸς ἑρμηνείαν τοῦ ἀργιόδοντος ὑὸς διὰ σαφήνειαν πλείονα. Δῆλον δὲ ὅτι καινή τις ἦν θέα ἡ τοιαύτη κυνέη στεγανουμένη ὀδόντων πυκνότητι καὶ τῇ ἐκεῖθεν λευκότητι γεγανωμένον στίλβουσα καὶ τῷ ἀσυνήθει ἐκπλήττουσα. (v. 265) Ὁ δὲ περὶ μέσην αὐτὴν ἡρμοσμένος πῖλος ἐκώλυε τὰ τῶν ὀδόντων ἄκρα ἐντὸς προκύπτοντα λυπεῖν τὴν κεφαλήν. Ἰστέον δὲ καὶ ὅτι πάσῃ μὲν περικεφαλαίᾳ κατὰ τοὺς παλαιοὺς συμβέβηκε πῖλον ἔχειν ἐντός, οἱ δὲ νεώτεροι ὡς ἴδιόν τι ἀκούσαντες ἐνταῦθα τὸ τοῦ πίλου ἔπεισαν τοὺς ζωγράφους πιλίον περιτιθέναι τῷ Ὀδυσσεῖ. καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦτο πρῶτος, φασίν, ἐποίησεν Ἀπολλόδωρος ὁ σκιαγράφος. Τὸ δὲ «εὖ καὶ ἐπισταμένως» τῆς αὐτῆς μὲν ἐννοίας εἰσί, φιλοσοφώτερον δὲ τοῦ ἐπισταμένως ἐστὶ τὸ εὖ.

3.65 δῆλον δὲ ὅτι τὸ εὖ τῶν τεχνιτῶν τὸ ἐπισταμένως ἐστίν, ἤγουν τὸ ἐπιστημόνως, ἐνεργεῖν. (v. 266) Περὶ δὲ Ἐλεῶνος καὶ Ἀμύντορος καὶ ἐν τῇ πρὸ ταύτης μὲν ῥαψῳδίᾳ εἴρηται. νῦν δὲ ἀναμνηστέον ὡς ἐν βραχεῖ, ὅτι Ἐλεὼν μὲν τόπος Βοιωτίας, ὡς ἐν τῷ Καταλόγῳ γέγραπται, Ἀμύντωρ δὲ Ὀρμενίδης ὁμώνυμος τῷ πατρὶ τοῦ Φοίνικος. τινὲς δὲ τοῦτον αὐτὸν ἐκεῖνον εἶναι ἐνόμισαν. Δῆλον δ' ὅτι ὅθεν ὁ Ἀμύντωρ, ἤγουν ἐκ τοῦ ἀμύνειν, ἐκεῖθεν καὶ ὁ παρὰ τοῖς ὕστερον Ἀμύντας καὶ ὁ Ἀμυνίας τὰ κύρια, ἔτι δὲ καὶ ὁ ἀμυνίας θυμὸς παρὰ τῷ Κωμικῷ. (v. 267) Αὐτόλυκος δέ, υἱὸς Ἑρμοῦ καὶ Τηλαύγης θυγατρὸς Ἑωσφόρου, δῶρον ἔχων παρὰ τοῦ πατρὸς Ἑρμοῦ, οἷα ἐφόρου τῆς κλεπτικῆς, οὐ μόνον τὸ κλέπτειν ἀλλὰ καὶ τὸ ἀμείβειν τὰς τῶν κλεπτομένων ζῴων ἰδέας. Ἀντιτορῆσαι δὲ τὸ μὴ ἁπλῶς ἀλλ' ἀντικρὺ καί, ὡς εἰπεῖν, διαμπὰξ τρυπῆσαι. καὶ ἔστι τὸ τορῆσαι πρωτότυπον τοῦ τρῆσαι, ἀφ' οὗ καὶ τὸ τρύειν, ὅθεν ἡ τρυτάνη καὶ τὸ τρύπανον. Ὡς δὲ κλέπτης ὁ Αὐτόλυκος, καὶ ὡς πανουργότερος αὐτοῦ ὁ Σίσυφος, καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δεδήλωται. ἀφ' ὧν ἀμφοτέρων δοκεῖ συμβολήν τινα σχεῖν πανουργίας ὁ Ὀδυσσεύς. Εἰ δὲ ὁ τοιοῦτος Αὐτόλυκος παρακινδυνεύσας εἰς κλοπὴν ῥινοῦ ποιητὴν ἐνοσφίσατο κυνέην, συλλογιστέον ἀξίαν ἐκείνην λόγου εἶναι πολλοῦ. διὸ οὐκ εἶπεν ὡς ὑφείλετο, λέξις δὲ αὕτη κυριολεκτουμένη ἐπὶ κλεπτῶν, καθὰ καὶ τὸ ὑφαιρεῖσθαι, ἀλλ' ἐξείλετο αὐτήν, ὅ ἐστιν ὡς ἐξαίρετόν τι ἔλαβε.

3.66 (v. 268) Τὸ δὲ Σκάνδειαν λείπεται προθέσεως, ἵνα ᾖ κατὰ Σκάνδειαν. τινὰ δὲ τῶν νεωτέρων ἀντιγράφων καὶ οὐ πάνυ ἀκριβῶν Σκανδείᾳ γράφουσιν ἀντὶ τοῦ ἐν τῇ Σκανδείᾳ. Ἔστι δὲ ἡ Σκάνδεια ἐπίνειον Κυθήρων κατὰ τὸν τὰ Ἐθνικὰ γράψαντα, καθ' ὁμοιότητα τοῦ Ἀθύρα, ὃν ὁ αὐτὸς ἐπίνειόν φησι περὶ τὸ Βυζάντιον. Τὰ δὲ Κύθηρα νῆσος, φασί, πρὸς τῇ Κρήτῃ, ἔχουσα πόλιν ὁμώνυμον, ἀπό τινος Κυθήρου κληθεῖσαν. ἧς παρώνυμος, ὡς ἀλλαχοῦ δηλοῦται, δοκεῖ εἶναι καὶ ἡ Κυθέρεια. ἱστορεῖται δὲ καὶ Πορφυροῦσσα ἡ τοιαύτη νῆσός ποτε κληθῆναι διὰ τὸ κάλλος τῶν ἐν αὐτῇ πορφυρῶν. Καὶ ἔστι πιθανὸν τὸν Κυθήριον ἄνδρα τῷ ἐκ τῆς ἐγγὺς Κρήτης νήσου Μηριόνῃ δοῦναι ξένιον. Ὁ δὲ Μόλος τὸ κύριον ἐκ τοῦ μολεῖν γίνεται, ὅθεν καὶ ὁ Μούλιος, καὶ δηλοῖ τὸν ὁρμητικόν. ἐπὶ μέντοι τοῦ κατὰ μάχην μώλου ἄλλος λόγος ἐκτείνει τὴν παραλήγουσαν. (v. 270) Τὸ δὲ «φορῆναι» ὡς ἐκ τοῦ φοραίνω ἢ φόρημι γίνεται, προείρηται, ἄτριπτον δέ ἐστι γραφῇ πεζῇ. συνηθέστερον δὲ αὐτοῦ τὸ φορεῖν καὶ ἔτι πλέον τὸ φέρειν, ἐξ οὗ φορά καὶ φόρος καὶ φορός, ἀφ' ὧν τὸ φορῶ, οὐκ ἐκτεῖνον οὐδ' αὐτὸ τὴν ἄρχουσαν, ὥσπερ οὐδὲ τὸ τρέμω τρόμος τρομῶ, ἐξ οὗ τὸ τρομέοντο, κατὰ τὸ τρέπω τρόπος τρωπῶ, στρέφω στρόφος στρωφῶ διὰ τὸ μηδὲ αὐτὸ συζυγίας δευτέρας εἶναι. Ἔτι τὸ μὲν φορῆναι μονάζει καὶ οὐκ ἔχει συστοιχίαν τινά, τὸ δὲ φέρειν εἰς πλάτος κινεῖται μόνον κατὰ ἐνεστῶτας καὶ παρατατικούς, βάθος δὲ οὐκ ἔχει οὐδέν, ὅτι μηδὲ μέλλοντα. Τὸ δὲ φορῶ τὸ καὶ ἐπὶ ἐνδύσεως καὶ βαστάγματος πολυκίνητόν ἐστι. ἔχει γὰρ καὶ μέλλοντα, ἐξ οὗ ἐν τοῖς ἑξῆς τὸ «οἷα ὅπλα οὐδεὶς ὤμοισι φόρησε», καὶ παρακείμενον ἐνεργητικόν, καὶ σύνθετα ῥήματα τὸ συμφορεῖν ἀντὶ τοῦ συνάγειν καὶ τὸ παραφορεῖν χάλικας ἀντὶ τοῦ παρακομίζειν καὶ τὸ διαφορεῖν τό τε παρὰ ἰατροῖς καὶ τὸ κωμικόν, [καὶ τὸ ἐπιφορεῖν χῶμα ἢ μάλιστα χοῦν, ἐξ οὗ τὰ ἱστορούμενα μεγάλα χώματα, καὶ τὸ ἀνωφορεῖσθαι καὶ τὸ δυσφορεῖν ἀντὶ τοῦ δυσανασχετεῖν, καὶ τὸ ἀνάπαλιν αὐτοῦ εὐφορεῖν καὶ τὸ «εὐφόρησε χώρα» καὶ «πόλις εὐφόρησεν ἀγαθῶν ἀνδρῶν».

3.67 ] Ἔχει δὲ καὶ παράγωγον τὸ φορύω, ἀφ' οὗ φορυτός, τὸ πλῆθος. Ἔτι δὲ ἔχει καὶ ὀνοματικὰς παραγωγάς. ἐκ τῶν τοιούτων γὰρ καὶ οἱ παρ' Ὁμήρῳ κηρεσσιφόρητοι, οὓς κῆρες φοροῦσιν, ἤτοι φέρουσι, καὶ ὁ παροιμιώδης περιφόρητος Ἀρτέμων, καὶ ὁ φορητὸς καὶ ὁ ἀφόρητος, καὶ οἱ παιζόμενοι ἀφόρητοι βλαῦται, οἳ δηλοῦσι καινοεργά τινα ὑποδήματα, καὶ ὁ κατ' αἴνιγμα μεταφορητὸς οἶκος, ὃς δηλοῖ τὸ πλοῖον, καὶ ἕτερα. (v. 273) Ὅτι ἐν τῷ «ἔβησαν ἰέναι, λιπέτην δὲ

κατ’ αὐτόθι πάντας ἀρίστους», ἢ ταὐτολογία ἐστίν, ὡς ταὐτὸν ὂν εἰπεῖν τὸ ἔβησαν ἀπελθεῖν καὶ τὸ ἀφῆκαν αὐτόθι πάντας, ἢ μᾶλλον λέγει ὅτι ἀπῆλθον οἱ δύο μόνοι, ἵνα ᾖ περίφρασις ἐμφαντικὴ τοῦ «μόνοι» τὸ «κατέλιπον αὐτόθι πάντας». ταῦτα δ’ ἐν τοῖς περὶ Δόλωνος παραφράσας συντόμως ὁ ποιητής φησι «βῆ δ’ ἰέναι ἀπὸ στρατοῦ». (v. 274—7) Ὅτι τῷ Ὀδυσσεῖ καὶ τῷ Διομήδει νυκτὸς ἐπιοῦσι κατὰ Τρώων «δεξιὸν ἧκεν», ἤγουν ἔπεμψεν, «ἐρῳδιὸν ἐγγὺς ὁδοῖο Παλλὰς Ἀθηναίη· τοὶ δ’ οὐκ ἴδον ὀφθαλμοῖσιν, ἀλλὰ κλάγξαντος ἄκουσαν νύκτα δι’ ὀρφναίην. χαῖρε δὲ τῷ ὄρνιθι» ὁ διὰ σοφίαν μάλιστα καὶ ἐπικριθεὶς καὶ νοήσας Ὀδυσσεύς, τουτέστι τῷ σημαντικῷ τοῦ μέλλοντος οἰωνῷ. ἀγαθὸν γὰρ σημεῖον τοῖς ἐνεδρεύουσιν ὁ ἐρῳδιός, ὥς φησιν Ἕρμων. Ἰστέον δὲ ὅτι τὸ ἀκουσθῆναι μὲν τὸν ὄρνιν μὴ ὁραθῆναι δέ, δηλοῖ ὡς καὶ οἱ ἥρωες οὗτοι ὄψει μὲν πολεμίων οὐχ’ ὑποπεσοῦνται, ἔκπυστα δὲ δράσουσιν εἰς αὐτούς.

3.68 Εἰ δὲ μὴ σοφὸς ἦν Ὀδυσσεύς, ἐκώλυσεν ἂν ὁ τοιοῦτος ὄρνις αὐτὸν ὑποπτήξαντα μήποτε φωραθῶσι καὶ οὐ λάθωσι, καθάπερ οὐδὲ ὁ κλάγξας ἐρῳδιὸς ἔλαθε. Νυκτὸς δὲ ἀγρεύει ὁ ἐρῳδιὸς ἐν ὕδασι καὶ ἕλεσι καὶ ἁρπακτικός ἐστι. διὸ οὐ γλαῦκα ἡ Ἀθηνᾶ ἐπιπέμπει τὴν αὐτῇ ἀνακειμένην, ἀλλ’ ἐρῳδιόν, οἰκεῖον ὄντα τοῖς περὶ Σκάμανδρον ἑλώδεσι τόποις. Ζώπυρος δὲ ἀντὶ τοῦ Παλλάς πελλὸν γράφει, ὡς ἂν εἴη ὁ φανεὶς οἰωνὸς δηλωτικὸς ἁρπαγῆς. τρία γάρ φησι γένη ἐρῳδιῶν· πελλός, ὃς καὶ ἔστιν ἅρπαξ, πύγαργος, ὃς ἐν συνουσίαις αἱμορραγεῖ δι’ ὀφθαλμῶν, καὶ τρίτος ὁ ἀφροδίσιος. Σημείωσαι δὲ καὶ ὅτι κατὰ τὴν ἐν τοῖς χρησμοῖς ἀμφιβολίαν οὕτω λοξότητά τινα ἔχει καὶ ὁ παρὼν ὄρνις. ἦν γὰρ τὸν μὴ ἐπιστήμονα ὑποπτεῦσαι καί, ὅτι καθάπερ ὁ οἰωνὸς κλάγξας οὐ τεθέαται, οὕτω καὶ αὐτοὶ ἀκουσθήσονται μὲν γνωσθέντες τοῖς πολεμίοις, οὐχ’ ὁραθήσονται δέ, ἀλλὰ φεύξονται ἀφανεῖς μηδὲν μέγα δράσαντες. (v. 277- 282) Διὸ καὶ ὁ Ὀδυσσεύς, ὑποδεδιὼς ἴσως διὰ τὸ ῥηθὲν ὑπόλοξον, ἀρᾶται πάλιν αὐτοὺς ἐπὶ νῆας εὐκλεῖας, ἤγουν εὐκλεέας, ἀφικέσθαι, ῥέξαντας μέγα ἔργον, κοινοποιησάμενος αὐτὸς τὴν εὐχὴν διὰ τὸ φιλάλληλον. Ἔνθα καὶ ἑρμηνεύων, τί λέγει μέγα ἔργον, ἐπάγει «ὅ κεν Τρώεσσι μελήσει», δηλῶν ὡς μέγα ἔργον οἶδεν ἄρτι, δι’ οὗ μερίμνας οἱ ἐχθροὶ ἕξουσι. Δεύτερος δὲ μετ’ αὐτὸν εὔχεται Διομήδης ἀφελέστερον ὑπὲρ ἑαυτοῦ μόνου, ὡς ῥηθήσεται, ὑπισχνεῖται δὲ καὶ θυσίαν. Ὁ μέντοι βάρβαρος Δόλων οὐκ εὔξεται, ὡς οὐδὲ ἐν τοῖς πρὸ τούτων ὁ Πάρις. διὸ καὶ δυσπραγήσει. (v. 281) Ἰστέον δὲ ὅτι τὸ κατὰ συναίρεσιν «εὐκλεῖας» ἀντὶ τοῦ εὐκλεεῖς καὶ ἐν Ὀδυσσείᾳ κεῖται. καὶ οὕτω μὲν ταῦτα. (v. 274) Τὸ δὲ δεξιόν, ὅτι πρὸς ἀγαθοῦ εἶναι τοῖς παλαιοῖς ἐδόκει, ὥσπερ τὸ ἀριστερὸν ἀνάπαλιν ἀπαίσιον ἐκρίνετο, καθωμιλημένον ἐστί. Τὸ δὲ «ἐγγὺς ὁδοῖο» μὴ παρεκταθῆναι σημαίνει τὸ δεξιὸν ἔργον τοῖς ἥρωσιν. Ἀθηνᾶ δὲ πέμπει τὸ ῥηθὲν δεξιὸν σημεῖον, τουτέστιν ἔμφρων γνῶσις. Εἰ μὴ γὰρ ἐμεσολάβει σοφία ἡρωϊκή, οὐκ ἂν ὁ τοιοῦτος ἐρῳδιὸς ἐνοήθη ὄρνις εἶναι, ὁποῖον ἄλλοι τέ φασι καὶ ὁ εἰπὼν «δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ», ἤγουν τὸ μαντικὸν σύμβολον, [ἔτι δὲ σὺν ἄλλοις καὶ Σοφοκλῆς ἐν τῷ «ὄρνιθι αἰσίῳ», τουτέστιν εὐτυχεῖ, ταὐτὸν δὲ εἰπεῖν ἐναισίμῳ, κατὰ τὸ «ἐναίσιμα σήματα φαίνων», ἤγουν αἰσίους οἰωνούς, εἴτ’ οὖν ὄρνιθας.

3.69 Ἶσον γὰρ οἰωνὸν τοιοῦτον εἰπεῖν καὶ ὄρνιν καὶ σῆμα καὶ σύμβολον καὶ συμβόλαιον δὲ τετρασυλλάβως. ὡς δὲ καὶ οἱ σύμβολοι ἀρσενικῷ γένει οἱ ἐν συναντήμασι οἰωνοὶ τοιοῦτοί εἰσιν, εὔδηλόν ἐστι.] (v. 276) Τὸ δὲ «νύκτα δι’ ὀρφναίην» δοκεῖ μὲν ἀδόλεσχον εἶναι, ὡς οἱονεὶ φάμενον νύκτα διὰ νυκτερινήν, ἔχει δὲ ἀληθῶς διαστολὴν ἀκριβῆ. Νὺξ μὲν γὰρ ἄλλως καὶ ἡ διὰ νεφῶν καὶ ὁμίχλης καὶ κόνεως ἐπιπρόσθησις τοῦ ἡλιακοῦ φωτός, ὡς πολλαχοῦ φαίνεται διὰ χρήσεων, νὺξ δὲ ὀρφναίη κυρίως ἡ μετὰ δύσιν ἡλίου, μεθ’ ἣν ἡ ὄρφνη παρρησιάζεται. (v. 277) Τὸ δὲ «χαῖρε δὲ τῷ ὄρνιθι Ὀδυσσεύς» οἱ μὲν κατ’ ἔκθλιψιν γράφουσι· χαῖρε δὲ τῷ ὄρνιθ’ Ὀδυσεύς, πρὸς ἀπαρτισμὸν ἀπαθῆ δακτύλου. οἱ δὲ παλαιοὶ ἐντελῶς, ὡς προέκκειται, γράψαντες παράγουσιν αὐτό, καθά που καὶ προεγράφη, εἰς ἔνδειξιν συνιζήσεως δύο βραχειῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συλλαβῶν τῆς θι καὶ τῆς ο εἰς μίαν βραχεῖαν. ὃ δὴ σπάνιον μέν, φασίν, εὕρηται δ’ ὅμως, ὁποῖον καὶ τὸ «ἀλλὰ τεὸν οὔ ποτε θυμὸν ἐνὶ στήθεσσιν ἔπειθον». (v. 278—80) Ὅτι φιλοσόφως ὁ Ὀδυσσεὺς λέγει, ὡς ἡ Ἀθηνᾶ οἷα θεὰ αἰεὶ ἐν πᾶσι πόνοις παρίσταται αὐτῷ καὶ οὐ λανθάνει αὐτὴν κινύμενος, ὅ ἐστι κατὰ νοῦν κινούμενος καὶ διαλογιζόμενος. οὕτω γὰρ οἱ ἀκριβέστεροι τῶν παλαιῶν λέγουσι. Χρήσιμον δέ ποτε καὶ πρὸς εὐεργέτην λεχθῆναι παρῳδηθὲν τὸ «κλῦθί μευ, ὅς τέ μοι αἰεὶ ἐν πάντεσσι πόνοισι παρίστασαι οὐδέ σε λήθω κινύμενος· νῦν αὖτέ με μάλιστα φῖλαι». Οὕτω δὲ καὶ μετ’ ὀλίγα τὸ «νῦν μοι ἐθέλων ἢ ἐθέλουσα παρίστασο καί με φύλασσε». Ἰστέον δὲ ὅτι ἐξ ὧν Ὀδυσσεὺς ἐνταῦθα λέγει λαβὼν καὶ ὁ παρὰ τῷ Σοφοκλεῖ Ὀδυσσεὺς λέγει παραφραστικῶς περὶ Ἀθηνᾶς τὸ «αἰεὶ πάντα τά τ’ οὖν πάρος τά τ’ εἰσέπειτα σῇ κυβερνῶμαι χειρί». (v. 280) Τὸ δὲ «κινύμενος» παράγωγόν ἐστι ἀπὸ τοῦ κινῶ κινύω κίνυμι, [οὗ χρῆσις καὶ ἐν τῷ «κίνυντο φάλαγγες».

3.70 ] Ἐκ δέ γε τοῦ κινύω παράγεται τὸ κινύσσω, ἀφ’ οὗ κίνυγμα τὸ ἀέριον εἴδωλον [κατὰ τὸ αἰθύσσω αἴθυγμα, πτύσσω πτύγμα, νύσσω νύγμα, ἐξ οὗ καὶ ἡ νυγμή, ὡς πτύγμα πτυγμή καὶ ἀποβολῇ τοῦ ταῦ πυγμή, καὶ ξύσμα ξυσμή.] Τὸ δὲ «φῖλαι» ἀντὶ τοῦ ἀγάπησον χρόνου μέσου ἀορίστου πρώτου κατὰ πολλὰ τῶν παλαιῶν ἀντιγράφων ὡς ἀπὸ τοῦ φίλημι ῥήματος, ὅθεν μέσος πρῶτος ἀόριστος ἄρρητος ἐφιλάμην, οὗ προστακτικὸν φῖλαι. Πολλὰ μέντοι τῶν ἀντιγράφων ψιλογραφοῦσιν αὐτὸ ἀπὸ τοῦ φίλεε κατὰ ἔκθλιψιν τῆς ληγούσης εἰς τὸ ἐπαγόμενον Ὁμηρικῶς α , ἐν τῷ «νῦν αὖτε μάλιστά με φίλε’ Ἀθήνη». Ὅτι δὲ ἐκ τοῦ, ὡς ἐρρέθη, ἐφιλάμην καὶ τρίτον ἐστὶ πρόσωπον τὸ ἐφίλατο, ἀλλαχοῦ δηλοῦται. (v. 281) Τὸ δὲ «δὸς ἀφικέσθαι» κἀνταῦθα εὐχή ἐστιν ἐντελής, ὡς εἶναι δῆλον, ὅτι ἐν τῷ «ὦ Ζεῦ, νικῆσαί με», καὶ ἐν τῷ «μὴ πρὶν ἠέλιον δῦναι», καὶ ἐν τοῖς τοιούτοις λείπει τὸ δός προστακτικὸν πρὸς ἐντέλειαν νοήματος. (v. 284—91) Ὅτι καὶ ὁ Διομήδης θεοκλυτῶν εὔχεται τῇ Ἀθηνᾷ οὕτω «σπεῖό μοι», τουτέστιν ἐφέπου μοι, «ὡς ὅτε πατρὶ ἅμ’ ἕσπεο Τυδέϊ δίῳ ἐς Θήβας, ὅτε πρὸ Ἀχαιῶν ἄγγελος ἤει. τοὺς δ’ ἄρ ἐπ’ Ἀσωπῷ λίπε χαλκοχίτωνας Ἀχαιούς, αὐτὰρ ὃ μειλίχιον μῦθον φέρε Καδμείοισι κεῖσε, ἀτὰρ ἂψ ἀπιὼν μάλα μέρμερα μήσατο ἔργα σὺν σοὶ δῖα θεά, ὅτε οἱ πρόφρασσα παρέστης», τουτέστι προμηθὴς τὰ ὑπὲρ ἐκείνου φραζομένη καὶ ἐθέλουσα, ὡς αὐτὸς ἑρμηνεύει ἐπαγαγὼν «ὣς νῦν μοι ἐθέλουσα παρίστασο». Καὶ ὅρα πάλιν ἐπεμβολὴν ἱστορίας παλαιᾶς, ἣν καὶ ἐν τῇ δʹ ῥαψῳδίᾳ ἐξέθετο, καὶ ὡς ταύτην καταμερίσας ἐκεῖ μὲν ἐπλάτυνεν, ἐνταῦθα δὲ ἀπεστένωσε τεχνικῶς, οἷα καὶ πολυρρημονεῖν καίρια εἰδὼς καὶ αὖ πάλιν βραχυλογεῖν· ἐκεῖ μὲν γὰρ ἐν εἴκοσι καὶ τρισὶ στίχοις τὴν ἱστορίαν εἶπεν, ἐνταῦθα δὲ διὰ τὸ ἀπροσκορὲς ἐν μόνοις τέσσαρσιν, εἰωθὼς ἀφανίζειν πολλαχοῦ τὸν ἐν λόγοις κόρον τῷ πολυειδεῖ τῆς μεταχειρίσεως.

3.71 [(v. 286) Ἰστέον δὲ ὅτι ἐν τῷ «πρὸ Ἀχαιῶν ἄγγελος ἤει», ἡ προ πρόθεσις ἢ ἀντὶ τῆς ὑπερ νοεῖται, ἵνα λέγῃ ὅτι ὑπὲρ Ἀχαιῶν ἐπρέσβευεν, ἢ τοπικῶς, ἵνα δηλοῖ ὅτι προώδευε τῶν Ἀχαιῶν, καὶ Ὁμηρικῶς εἰπεῖν, πρὸ ὁδοῦ ἐγίνετο, ἀφ’ οὗ ὁ φροῦδος γίνεται.] (v. 288) Μειλίχιον δὲ μῦθον λέγει τὸν εἰρηνικὸν καὶ τὰς λιτάς, ἃς ἤκουον, ὡς ἐκεῖ δηλοῦται, οἱ Θηβαῖοι, δοῦναι κλειτοὺς ἐπικούρους. (v. 289) Μάλα δὲ μέρμερα ἔργα, ὅσα τε ἐντὸς Θηβῶν ἔδρασεν ὁ Τυδεὺς ἀεθλεύων καὶ νικῶν, καὶ ὅσα ἔξω εἰς τοὺς πεντήκοντα κούρους, ὡς ἐκεῖ γέγραπται. Καὶ ἔστιν ὁ τοιοῦτος λόγος τῷ Διομήδει ἀντιθετικός. λέγει γὰρ ὡς ἐλθὼν μὲν ὁ Τυδεὺς μείλιχα τοῖς Θηβαίοις ἐλάλει, ἀπιὼν δὲ δεινὰ ἐβουλεύσατο, οἷα καρδιώξας ἐφ’ οἷς οὐδὲν ἤνυσε πρεσβεύσας εἰς αὐτούς. καὶ οὕτω μὲν ὁ ποιητὴς τὴν ῥηθεῖσαν ἱστορίαν ἐστενολέσχησεν. (v. 292—4) Ὁ δὲ Διομήδης καὶ βοῦν ὑπισχνεῖται ῥέξειν, ἤνιν, εὐρυμέτωπον, ἀδμήτην, χρυσωθεῖσαν τὰ κέρατα, ὁποία τις καὶ ἐν Ὀδυσσείᾳ ἐξήγηται θύοντος Νέστορος. Ὅρα δὲ εἰ αὐτίκα νῦν ἡ εὐχὴ τῷ Διομήδει τελεῖται. εἰ γὰρ καὶ μὴ αὐτὴ Ἀθηνᾶ ἕπεταί οἱ, ἀλλ’ ἔχει τὸν τῇ Ἀθηνᾷ φίλον, ὡς αὐτὸς ἔφη, Ὀδυσσέα ἐφεπόμενον. (v. 290) Ἰστέον δὲ καὶ ὅτι, ὥσπερ ἐν τῷ «πρόφρασσα» ἡ προ ἀντὶ τῆς ὑπερ εἴληπται, οὕτω καὶ ἐν τῷ «πρὸ Ἀχαιῶν», ὡς εἴρηται. τοιοῦτον δὲ σὺν ἄλλοις καὶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«πρὸ παίδων καὶ γυναικῶν». (v. 287) Τὸ δὲ «Ἀχαιούς» οὐ πάνυ ἀναγκαστικῶς ἐπῆκται, κεῖται γὰρ ἐν τῷ προηγουμένῳ ἔπει τὸ «πρὸ Ἀχαιῶν». διὸ ἀρκοῦν ἦν εἰπεῖν μόνον τὸ «τοὺς δ' ἐπ' Ἀσωπῷ λίπε». Χαλκοχίτωνες δὲ οἱ ἀλλαχοῦ χαλκεοθώρηκες. ἔγνωσται γὰρ ὡς χιτῶνι ἀναλογεῖ τῷ ἐξ ὑφάνσεως ὁ πολεμικὸς θώραξ. (v. 288) Τὸ δὲ «Καδμείοισιν» ἑτερωνύμως ἔχει πρὸς τὴν αὐτῶν πόλιν τὰς Θήβας, κατ' εὐθὺ δὲ ἂν αὐτοὺς ὠνόμασεν, εἰ Θηβαίους εἶπε. (v. 292) Τὴν δὲ ἦνιν, ὃ δηλοῖ ἐνιαυσιαίαν, ἐν ἐκτάσει τῆς ληγούσης οἴδασιν οἱ παλαιοί. (v. 297 s.) Ὅτι Διομήδης καὶ Ὀδυσσεὺς εὐξάμενοι πρῶτον, εἶτα ἔβησαν ἀπελθεῖν «ὥστε λέοντε δύω διὰ νύκτα μέλαιναν, ἂν φόνον, ἂν νέκυας, διά τ' ἔντεα καὶ μέλαν αἷμα».

3.72 Καὶ ὅρα συντομίαν τῆς τε παραβολῆς καὶ τοῦ λοιποῦ λόγου, τεχνασθεῖσαν πρὸς ὁμοιότητα τῆς τῶν ἡρώων ἐπείξεως καὶ ἐντρεχείας. Ὅρα δὲ καὶ τὸ κάλλος τῆς φράσεως, ἐπισκιρτῶντος οἷον τοῦ ποιητοῦ καὶ τῇ τῶν κατασκόπων εὐψυχίᾳ συνεξορμῶντος καὶ μιμουμένου τὸ ἐκείνων εὐθαρσὲς καὶ εὐκίνητον. Οἱ δὲ παλαιοί φασιν καί, ὅτι ἐπαινεῖται τοῦ Ξενοφῶντος τὰ τοιαῦτα «ἐπεὶ δ' ἔληξεν ἡ μάχη, παρῆν ἰδεῖν τὴν μὲν γῆν αἵματι πεφυρμένην, νεκροὺς δὲ κειμένους, δόρατα παρατεθραυσμένα, ἐγχειρίδια γυμνὰ κολεῶν, τὰ μὲν χαμαί, τὰ δὲ σώμασιν ἐμπεπηγότα». ταῦτα δὲ συλλαβών, φασίν, Ὅμηρος ἑνὶ στίχῳ ἀπήγγειλεν. οἱ δ' αὐτοὶ λέγουσι καὶ ὅτι νοητέον κατὰ τὸ σιωπώμενον, ὡς ἐσβέσθησαν τὰ πυρὰ τοῖς Τρωσὶ διὰ τὸ ἤδη, ὡς ἐρρέθη, ἐγγύθι τὸν ὄρθρον εἶναι. εἰ γὰρ ἀνήπτοντο τὰ πολλὰ ἐκεῖνα, ὡς προδεδήλωται, καὶ κατέλαμπον τὰς νῆας, οὐκ ἂν ἐτόλμησαν οἱ κατάσκοποι, καὶ τολμήσαντες δὲ οὐκ ἂν ἔλαθον. Ὅτι τὴν αὐτὴν ὥραν, ἣν Ἀχαιοὶ κατασκόπους ἐπελέγοντο, ἐβουλεύσαντο καὶ οἱ Τρῶες ὅμοια, ὡς εἰκός, καὶ στέλλουσι τὸν Δόλωνα. ἐλθεῖν γὰρ εἰς διαφόρους ὁμοῦ τὸν αὐτὸν λογισμὸν οὐκ ἀδύνατον, ὡς καὶ ἐν τοῖς φθάσασι δέδεικται. (v. 299—312) Φησὶ γοῦν «οὐδὲ μὲν οὐδὲ Τρῶας ἀγήνορας εἴασεν Ἕκτωρ εὕδειν, ἀλλ' ἄμυδις κικλήσκετο», ἤγουν ἐκίκλησκε, «πάντας ἀρίστους». ποίους ἐκείνους; «ὅσσοι», φησίν, «ἔσαν Τρώων ἡγήτορες ἠδὲ μέδοντες. τοὺς ὅ γε συγκαλέσας πυκινὴν ἠρτύνετο βουλήν», κατὰ τὴν τῶν Ἀχαιῶν. «τίς κέν μοι τόδε ἔργον ὑποσχόμενος τελέσειε δώρῳ ἐπὶ μεγάλῳ; μισθὸς δέ οἱ ἄρκιος ἔσται. δώσω γὰρ δίφρον τε», ὃς μέρος ὢν ὅλον ἅρμα δηλοῖ, «δύο τ' ἐριαύχενας ἵππους, οἵ κεν ἀριστεύωσιν», ἢ «ἄριστοι ἔωσι, θοῇς ἐπὶ νηυσὶν Ἀχαιῶν, ὅς τις κεν τλαίη, οἷ τ' αὐτῷ κῦδος ἄροιτο, νηῶν ὠκυπόρων σχεδὸν ἐλθέμεν ἔκ τε πυθέσθαι, ἠὲ φυλάσσονται νῆες θοαὶ ὡς τὸ πάρος περ, ἢ ἤδη χείρεσσιν ὑφ' ἡμετέρῃσι δαμέντες φύξιν βουλεύουσι οὐδ' ἐθέλουσι νύκτα φυλασσέμεναι καμάτῳ ἀδηκότες αἰνῷ». (v. 313) Σιγώντων δὲ καὶ ἐνταῦθα πάντων, ὡς καὶ ἐν τοῖς φθάσασιν, προπηδᾷ ὁ Δόλων, ὡς δηλωθήσεται, καθὰ καὶ ἐκεῖ ὁ Διομήδης. Καὶ σημείωσαι ὅτι τὴν αὐτὴν ἔννοιαν διττολογήσας ὁ ποιητὴς διαφόρως ἐπὶ Ἀχαιῶν ἔφρασε καὶ ἐπὶ Τρώων. Ἐκεῖ μὲν [γὰρ καταδημαγωγεῖ ὁ γέρων ῥήτωρ τοὺς συμβουλευτάς, «ὦ φίλοι» προσειπών, ἐνταῦθα δὲ ὁ Ἕκτωρ οὐδὲν τοὺς συγκεκλημένους προσφωνεῖ.

3.73 Καὶ ἐκεῖνος μὲν εὐειδῶς ἐρωτᾷ καὶ σεμνῶς ἐν ἀποφάσει τε καὶ σεμνώματι τοῦ κατασκόπου, εἰπὼν «οὐκ ἂν δή τις ἀνὴρ ἑαυτὸν πείσοι θυμῷ τολμήεντι ἐλθεῖν», καὶ τὰ ἑξῆς. ἔνθα καὶ τὸ ἔργον τοῦ σκοπεύματος μέγα εἶναι ἐμφαίνει. Ἕκτωρ δὲ καὶ ἁπλοϊκῶς ἐρωτᾷ καὶ οὐδὲ τὸ ἔργον ἐξαίρει, εἰπὼν «τίς κέν μοι τόδε ἔργον ὑποσχόμενος τελέσειε;» καὶ ἐκεῖ μὲν] ἄλλως οἱ ἄριστοι συνεκλήθησαν, ἐνταῦθα δὲ ἄλλως, ὡς καὶ εὐθὺς ῥηθὲν φανήσεται. καὶ ὧδε μὲν πάντες οἱ ἄριστοι κικλήσκονται, ἐκεῖ δὲ ὀλίγοι. καὶ ἐνταῦθα μὲν ὁ Ἕκτωρ ἄλλως βασιλικώτερον δοκεῖ συγκαλεῖν τοὺς ἀρίστους, Ἀγαμέμνων δὲ δι' ἑαυτοῦ. κατέβαλε γάρ, φασίν, ἡ δυστυχία τὸ τοῦ βασιλέως ἀξίωμα. καὶ Νέστωρ μὲν ἐκεῖ, ὃ αὐτὸς ἔχει καὶ οἱ ἄλλοι, ἐπαγγέλλεται τῷ Διομήδει καὶ μέτριον, τῷ δὲ Δόλωνι ὁ Ἕκτωρ μέγα καὶ ὃ οὐκ ἔχει. καὶ Νέστωρ μὲν τὸ ἀριστεῖον δόσιν ἐσθλὴν ὠνόμασεν ἐντίμως, Ἕκτωρ δὲ οὐ μόνον δῶρον, ἀλλὰ καὶ μισθόν, οὐ τιμίως ἑρμηνεύσας. καὶ ὁ μὲν ἐσχατόωντά τινα ἑλεῖν ἐθέλει προμηθευτικῶς, Ἕκτωρ δὲ νηῶν σχεδὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐλθεῖν ὀτρύνει. Καὶ τὸ κεφάλαιον δὲ τῆς τιμῆς καὶ τῶν δώρων μετατέτακται. Νέστωρ μὲν γὰρ μετὰ τὸ μέγα ὑπουράνιον κλέος ἐκτίθεται τὴν ἐσθλὴν δόσιν τοῦ μέλανος ποιμνίου, Ἕκτωρ δὲ τὰ δῶρα προεκθείς, ἤγουν τὸ ἅρμα καὶ τοὺς ἀρίστους ἵππους, εἶτα ἐπάγει τὸ «οἵ τ' αὐτῷ κῦδος ἄροιτο». Εἰσὶ δὲ καὶ ἕτεραι πολλαὶ διαφοραὶ ἀμφοτέροις τοῖς λόγοις, ὡς ἔστι τῷ σκεπτομένῳ κατανοεῖν, ἐν αἷς καὶ ἡ τῶν δώρων ὑπόσχεσις. τοῦ Νέστορος μὲν γάρ, εἰ καὶ μικροπρεπὴς ἐδόκει, ἀλλὰ καὶ ἀστεία ἦν, ὡς ἐδηλώθη, καὶ ἀσφαλής. διὸ καὶ δόσις ἐσθλὴ ἐλέχθη. τῷ Ἕκτορι δὲ μέγα μὲν τὸ δῶρον, οὔτε δὲ εὔλογον οὔτε ἀνεπισφαλές. ἀλλότρια γὰρ ὑπισχνεῖται, ὡς εἴρηται, καὶ ὧν οὐκ αὐτὸς κύριος. Σημειωτέον δὲ καὶ ὅτι τὰ τῶν Ἑλληνικῶν κατασκόπων πλατύνας ὁ ποιητὴς διὰ πολλῶν ἐπὶ τῶν Τρώων πάνυ συνέτεμε, μὴ θελήσας δαψιλῆ ῥητορείαν τοῖς βαρβάροις ἐπιμαρτύρασθαι. καὶ ὅτι Νέστωρ μὲν ἐπέκεινα τῆς ἐσθλῆς δόσεως καὶ τοῦ ὑπουρανίου κλέους καὶ τὰς εἰς ἀεὶ δαῖτας καὶ εἰλαπίνας ὑπέσχετο, Ἕκτωρ δὲ οὔ, ὡς οἷα φειδόμενος, καὶ μεγαλοπρεπὴς μὲν ὢν ἐν τοῖς μὴ ἐπ' αὐτῷ, ἐν δὲ τοῖς οἰκείοις γλισχρότατος.

3.74 Ὅρα δὲ καὶ ὡς δωρητοὶ καὶ παραρρητοὶ γενόμενοι οἱ κατάσκοποι οὕτως κατεπιχειροῦσι τῶν φοβερῶν. εἰ δὲ δύο μὲν ὄντες οἱ τῶν Ἀχαιῶν ἀνύσουσί τι μέγα, εἷς δὲ ὢν ὁ τῶν Τρώων πεσεῖται, ἀλλὰ τοῦτο τῇ τε Ἑλληνικῇ συνέσει ἐπιγραπτέον, καὶ τῇ τῆς παροιμίας δὲ ἀληθείᾳ, καθ' ἣν εἷς ἀνὴρ οὐδεὶς ἀνὴρ λέγεται. (v. 299) Ἰστέον δὲ καὶ ὅτι τὸ «οὐδὲ μὲν οὐδὲ Τρῶας εἴασεν Ἕκτωρ» ὅμοιόν ἐστι κατὰ σχῆμα τῷ «οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱός», καὶ τοῖς ὁμοίοις, ὅσα ἐκ δύο ἄρχονται ἀποφάσεων. (v. 300) Τὸ δὲ «ἄμυδις» ὅτι Αἰολικόν ἐστι καὶ διὰ τοῦτο ψιλοῦται, κἂν δηλοῖ τὸ ὁμοῦ, καὶ ὡς καθ' ὁμοιότητα τοῦ ἄλλυδις ἐσχημάτισται, ἀλλαχοῦ δηλοῦται. Τὸ δὲ «κικλήσκετο» σύστοιχόν ἐστι τῷ συγκαλέσας. οὐκ ἐξ αὐτοῦ δέ, ἀλλὰ μάλιστα ἐκ τοῦ συγκαλεῖν παρῆκται ἡ σύγκλητος. Ἐνεργητικῶς δὲ εἶπε τὸ συγκαλέσας, ὡς καὶ τὸ φύξιν βουλεύουσι, τῆς μεθ' Ὅμηρον συνηθείας παθητικῶς λεγούσης καὶ συγκαλέσασθαι καὶ βουλεύσασθαι. πολλὰ δὲ καὶ ἕτερα οὕτω δέδεικται διφορούμενα, ὧν ἐστι καὶ τὸ αὐδᾶν, λεγόμενόν ποτε καὶ παθητικῶς οἷον «ποικίλως αὐδωμένου», καὶ τὸ οἰκτίζειν δὲ κείμενον παρὰ Σοφοκλεῖ παθητικῶς ἡ Ἀτθὶς φράζει, καὶ τὸ κηκίειν δὲ κατὰ πάθος πέφρασται ἐν τῷ «αἱμάδα κηκιομένην», ὃ μετ' ὀλίγα «κηκῖον αἷμα» ἐρρέθη. οὕτω καὶ ἐν θυμῷ βάλλεαι τὸ βάλλεις, καὶ γράφου δὲ φρενῶν ἔσω καὶ γράφε, καὶ ἐναυλίζειν τὸ ἐναυλίζεσθαι, ὡς δηλοῦται ἐν τῷ «ὡς ἐναυλίζοντί τῳ», καὶ «ποθουμένῃ φρενί», τῇ κοινότερον ποθούσῃ, καὶ «εὖ σκοπουμένοις», τοῖς καὶ σκοποῦσι, καὶ «μέγα τι σθένος ἐκφέρεται νίκας», ἤτοι ἐκφέρει, καὶ «δέδοικα τάσδ' ὁρωμένη», ὡς καὶ ὁρῶσα. (v. 302) Τὸ δὲ «πυκινὴν ἠρτύνετο βουλήν» ἐξακουστέον πάντως καὶ ἐπὶ τῆς Ἑλληνικῆς, εἰ καὶ διὰ συντομίαν σεσίγηται ἐκεῖ. οὐ γὰρ δήπου αὕτη μὲν πυκινὴ ὁμοία οὖσα τῇ Ἑλληνικῇ, ἐκείνη δὲ οὐ πυκινή. (v. 303) Τὸ δὲ «ὑποσχόμενος τελέσειεν» ἀκριβῶς πέφρασται, ὡς πολλῶν πολλάκις ὑπισχνουμένων μέν, μὴ τελούντων δέ. καὶ ἔστι τοῦτο ἀσφαλέστερον τοῦ «δείδω μὴ οὔ τίς τοι ὑπόσχηται τόδε ἔργον», ὅπερ εἶπε φθάσας ὁ Μενέλαος.

3.75 Δῆλον δὲ καὶ ὅτι τὸ «τίς ἂν τελέσειε» γοργότερόν ἐστι τῶν τοῦ Νέστορος. ἐκεῖνος γὰρ περιφράζων τὸ τελέσειεν ἔφη «ταῦτά τε πάντα πύθοιτο, καὶ ἂψ ἐς ἡμέας ἔλθοι ἀσκηθής». οὕτω καὶ τὸ τῆς τιμῆς κεφάλαιον Νέστωρ μὲν πλατύτερον ἔφρασεν ἐν τῷ «μέγα κέν οἱ ὑπουράνιον κλέος εἴη πάντας ἐπ' ἀνθρώπους», κλέος εἰπὼν οὐ τὴν ἁπλῶς φήμην, ἀλλὰ τὴν κυδίστην. (v. 307) Ἕκτωρ δὲ ἐστενολέσχησεν, εἰπὼν «οἵ τ' αὐτῷ κῦδος ἄροιτο», ἤγουν ἑ αὐτὸν κυδανεῖ, ὅ ἐστι συνθέτως ἑαυτόν. ἔνθα τὸ «ἄροιτο» ὑψωτικὴ λέξις οὖσα οὐρανίου τινὸς καὶ αὐτὴ κύδους ἐστὶν ἐνδεικτική, ταὐτὸν δ' εἰπεῖν, ὑπουρανίου κλέους, προσκυροῦντος μὲν οὐρανῷ, οὐχ' ὑπὲρ αὐτὸν δὲ ἠρμένου. (v. 304 s.) Τὸ δὲ «δώρῳ ἐπὶ μεγάλῳ» καὶ τὸ «δώσω γάρ» ἐτυμολογικὸν τρόπον φαίνει. ἐκ τοῦ δώσω γὰρ τὸ δῶρον παράγεται. Ὁ δὲ ἄρκιος μισθός, δι' οὗ μισθαρνῶν ὁ Δόλων ἐστί, τοῦ μεγάλου δώρου ἑρμηνευτικὸν εἶναι δοκεῖ, ὡς καὶ προδεδήλωται. ἔχει δέ τι σμικροπρεπείας, εἰ μὴ βασιλικῶς καὶ ὑπὲρ τὸ ἄρκιον δοθήσεται τῷ οὕτω κινδυνεύσοντι, ἀλλὰ

τῇ κατὰ τὸ ἀρκοῦν ἰσότητι ψεύδεται τὸ μεγαλοπρεπές. τοῦ δὲ «μισθὸς ἄρκιος» σεμνότερον τὸ μέγα δῶρον, αὐτὸ δὲ ἶσόν ἐστι τῷ «δόσις ἐσθλή», ὅπερ ὁ Νέστωρ ἔφη. Μισθὸς δὲ κατὰ τοὺς παλαιοὺς μίσους ἀπόθεσις. φιλεῖται γὰρ ὁ μισθαποδότης ὡς φύσει δίκαιος. ἐθέλουσι δὲ οἱ μεθ' Ὅμηρον μισθὸν λέγειν τὸ δῶρον, ᾧπερ στοιχεῖ ὁ στρατευόμενος, διὸ καὶ μισθοφορὰ παρ' αὐτοῖς ἡ ὑπὲρ τοιούτων δώρων δημοσία συνεισφορά. κοινότερον μέντοι ὥσπερ μισθωτοὶ οἱ μὴ προῖκα δουλεύοντες, ἀλλὰ διὰ δώρων λῆψιν, οὕτω καὶ μισθὸς ὁ διδόμενος αὐτοῖς ἐπὶ ἐλευθερίας ἀπεμπολήσει. (v. 305) Τὸν δὲ δίφρον ὅτι ὁ αὐτὸς τῷ ἅρματί ἐστιν, ἑρμηνεύσει ἐφεξῆς ὁ Δόλων ἐν τῷ «ἵππους τε καὶ ἅρματα, οἳ φορέουσι Πηλείωνα». Ἐριαύχενες δὲ ἵπποι κατά τι ἐξαίρετον πρὸς διαστολὴν ἡμιόνων καὶ ὄνων. οὗτοι γὰρ οὐ τοιοῦτοι. [Εἰ δὲ καὶ δουλιχόδειροι οἱ τοιοῦτοι, ἀλλ' αὐτὸ οὐχ' ἵπποις, κύκνοις δὲ καὶ τοιούτοις ὄρνισιν ἀποκεκλήρωται.] Ἐπὶ εὐγενῶν δὲ ὁμοίως ἵππων καὶ τὸ ὑψαυχενεῖν. καὶ ἄλλως δὲ εἰπεῖν, ἐριαύχενες οἱ μακροτράχηλοι ἢ ὑψαύχενες καὶ γαῦροι τὴν χαίτην. (v. 307) Τὸ δὲ «ὅς τις ἂν τλαίη» παράφρασίς ἐστι τοῦ «πεπίθοιτο αὐτοῦ θυμῷ τολμήεντι», δι' ὀλίγου φρασθέν, ὥσπερ καὶ τὸ «οἱ αὐτῷ κῦδος ἄροιτο» παραπέφρασται πάνυ στενῶς, ὅθεν προείρηται, ὥσπερ αὖ πάλιν τὸ «ἐπεὶ δαμάσαντο Ἀχαιούς» δι' ὀλίγου προφρασθὲν ἄλλως ἐνταῦθα παραπέφρασται ἐν τῷ «ἤδη χείρεσσιν ὑφ' ἡμετέρῃσι δαμέντες».

3.76 Ἔνθα καὶ ὅρα τὴν ὑπο πρόθεσιν δοτικῇ συντεταγμένην συνήθως. οὕτω τὰ ἐνταῦθα ἐν πολλοῖς σύμφωνα μὲν τοῖς πρὸ βραχέων Ἑλληνικοῖς, ἄλλως δὲ κατὰ ποικιλίαν τεχνικὴν διάφορα. Τὸ δὲ «κῦδος ἄροιτο» φιλεῖ πολλαχοῦ λέγειν ὁ ποιητής, ὡς ἐν τοῖς ἑξῆς φανήσεται, τοῦ αἴρειν ὄγκον τινὰ δηλοῦντος καὶ ὕψωσιν, καθὰ καὶ ἀνωτέρω δεδήλωται. Ἐπεμβέβληται δὲ περιβλητικῶς τὸ «οἵ τ' αὐτῷ», ἤγουν ἑαυτῷ, «κῦδος ἄροιτο», καὶ διακόπτει τὸ ἐφεξῆς τῆς συντάξεως ὂν τοιοῦτον «ὅς τις ἂν τλαίη νηῶν σχεδὸν ἐλθεῖν», ὧν μέσον πεσὸν τὸ «ἑαυτῷ κῦδος ἄροιτο» περιβολὴν ἐποίησε τῇ ἐπεμβλητικῇ διακοπῇ. (v. 312) Τὸ δὲ «νύκτα φυλασσέμεναι» τὰς τῆς νυκτὸς ἐποίησε λέγεσθαι φυλακάς. Τὸ δὲ «ἀδηκότες» ἀντὶ τοῦ ἀηδισθέντες, ὡς ἀπὸ τοῦ ἀηδῶ καὶ κατὰ συναίρεσιν ἀδῶ, ἐξ οὗ καὶ τὸ ἀδημονεῖν, ὡς καὶ προγέγραπται. Ἐπὶ πᾶσι τούτοις θεωρητέον ὅτι σκοπὸν θέμενος Ὅμηρος μελετῆσαι τὸ ἐξ ἀμφοῖν στρατοῖν κεφάλαιον τῶν κατασκόπων οὐ πολλοῖς νοήμασι φύσει διοικονομούμενον ἤνυσε τὸ σκοπηθέν, ὡς οὐκ ἂν ἦν βέλτιον. πλοῦτον μὲν οὖν οὐκ ἔχει λαλιᾶς διαφόρου ἐν ἀμφοῖν, τοῖς αὐτοῖς δὲ ἐνδιατρίψας ἑκατέρωθι ἐπλάτυνε μὲν γλαφυρώτερον τὸν λόγον τοῦ Νέστορος, ἀπεστένωσε δὲ βραχύ τι τὰ τοῦ Ἕκτορος, οἷα μὴ κατὰ τὸν γέροντα οἵου τε ὄντος λαλεῖν. διὸ οὕτω γράψαι κυρώσας οὐ τῷ ῥήτορι Ἀντήνορι περιέθετο τὰ κατὰ τὸν Τρωϊκὸν κατάσκοπον, ὃς δὴ Ἀντήνωρ δημογέρων καὶ αὐτὸς ὢν Τρωϊκὸς ἐοικὼς τέττιγι, κάλλιον εἶχεν, ὡς εἰκός, ῥητορεῦσαι ἤπερ ὁ Ἕκτωρ, ἀλλὰ νεωτέρῳ τούτῳ στρατηγῷ τὸ τοιοῦτον προσέπλασε σκέμμα, ἵνα ὥσπερ κατὰ πρόσωπα, οὕτω καὶ κατὰ φράσιν τὴν δι' αὐτῶν διαφοράν τινα σχοίη τὸ ῥηθὲν κεφάλαιον ἐπ' ἀμφοῖν τοῖν μεροῖν. Ὅτι καὶ ἐνταῦθα συνήθει χρᾶται σχήματι διηγήματος ὁ ποιητής, ἀρχόμενος ἀπὸ ῥήματος ὑπαρκτικοῦ, ὡς καὶ ἐν τῷ «ἦν δέ τις ἐν Τρώεσσι Δάρης ἀφνειὸς ἀμύμων». (v. 314—17) Φησὶ γὰρ «ἦν δέ τις ἐν Τρώεσσι Δόλων, Εὐμήδεος υἱὸς κήρυκος θείοιο, πολύχρυσος, πολύχαλκος, ὃς δή τοι εἶδος μὲν ἔην κακός, ἀλλὰ ποδώκης.

3.77 αὐτὰρ ὅ», ἤγουν οὗτος, «μοῦνος ἔην μετὰ πέντε κασιγνήτῃσιν», ὅ ἐστιν, ὡς ἐπὶ ἄλλων λέγει, τηλύγετος ἐν πέντε ἀδελφαῖς. οὐ ἀνάπαλιν, ὡς ἐν ἀντιστροφῇ, ἀλλαχοῦ ποιεῖ τὸν Ἰδομενέα τηλύγετον ἐν μάχῃ εἰπών, ὅ ἐστι μόνον, ὡς εἴπερ ἀντέστρεφε τὸ μόνος καὶ τὸ τηλύγετος. καὶ ἔστιν ἀληθῶς τὸ τηλύγετος, εἴπερ πως καινότερον ἐτυμολογηθείη, ταὐτόν ποτε τῷ μεμονωμένος εἴτ' οὖν μόνος. εἰ γὰρ τηλύγετος ῥηθείη ὁ τῶν ἄλλων ἁπλῶς τῆλε γενόμενος, καὶ μεμονωμένος ἂν ὁ τοιοῦτος εἴη. ὃ καὶ Ἰδομενεὺς ἔπαθεν ἐν μάχῃ μονωθείς. ὅμως μέντοι οὐχ' ἁπλῶς ἀεὶ ταὐτίζονται τὸ μόνος καὶ τὸ τηλύγετος, ἀλλ' εἴ που ἐπὶ μοναδικῆς γεννήσεως.

ἀλλὰ τοῦτο μὲν τοιοῦτον. Τὸ δὲ ῥηθὲν διήγημα ἐκτίθησιν ὁ ποιητὴς μάλιστα, ἵνα δείξῃ οἷος ὢν ὁ Δόλων οἵοις ἐπιχειρεῖ καὶ οἵων ἀριστείων ἐρᾷ, καὶ οὐ τοσοῦτον, ἵνα γνωρίσῃ αὐτόν, ὅτι μηδὲ ἄσημος ἦν καὶ ἀφανής. τοῖς γὰρ ὑπὸ Ἕκτορος κληθεῖσιν ἀρίστοις εἰς βουλὴν συγκατείλεκτο, καὶ οἶδε τοῦτον καὶ ὁ Διομήδης, ὃς καὶ ἐξ ὀνόματος καλέσει αὐτόν. Ἐπαινεῖται δὲ καὶ ἐνταῦθα τῆς ἐμπεριβόλου συντομίας ὁ ποιητής. Ἐν ὀλίγῳ γὰρ διὰ πιθανότητα τὸ κύριον ὄνομα τοῦ κατασκόπου ἐδήλωσε, τὸ γένος, τὴν τύχην, τὴν ἐκ πατρὸς τέχνην, τὴν μορφήν, τὴν ὠκύτητα. Φασὶ δὲ οἱ παλαιοὶ καί, ὅτι τὸ μὲν κήρυκος γενέσθαι υἱὸν τὸν Δόλωνα εὐπειθῆ τε αὐτὸν τῷ Ἕκτορι τίθησι, καὶ εὔελπιν δέ, ὡς ἐὰν ἁλῷ, αἰδέσονται οἱ ἐχθροὶ αὐτὸν οἷά τι θεῖον γένος. ἄσυλοι γὰρ οἱ κήρυκες. ὁ δὲ πλοῦτος ἐλπίδας αὐτῷ ὑποτείνει, ὡς εἰ μὴ αἰδοῦς τύχοι διὰ τὸ γένος, λύτρα δοὺς λελύσεται. διὸ καὶ ἁλοὺς λέγει «ζωγρεῖτε, αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι, ἔστι γὰρ ἔνδον χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος», προβαλόμενος εἰς πειθὼ τὸ θέλειν τε πολλὰ δοῦναι καὶ τὸ δυνήσεσθαι. Ἔνθα σημείωσαι ὅτι τῷ ἀνωτέρω μνημονευθέντι χρυσῷ καὶ χαλκῷ, ἐν τῷ «πολύχρυσος, πολύχαλκος», συνεπινοεῖται καὶ σίδηρος, ὡς ὁ Δόλων ἐν τοῖς κατ' αὐτὸν διασαφεῖ. Τὸ μέντοι ποδώκη τὸν Δόλωνα εἶναι εἰς σωτηρίας αὐτῷ ἐχέγγυον ἐδόκει. θαρρεῖ γὰρ φυγεῖν φωραθείς. καὶ ὅρα οἷον ἄνδρα ὁ ποιητὴς τοῖς μὴ φίλοις αὐτῷ βαρβάροις πιθανῶς εἰς κατασκοπὴν ἐπελέξατο, οὐκ ἀρετῇ πεποιθότα στρατιωτικῇ, δι' ἧς γενναῖόν τι ἀνύσει, ἀλλ' ἑτέροις τισί, δι' ὧν δυστυχήσας οὐδὲ ἐπανακάμψει τοῖς ἑαυτοῦ. Ἔχει δέ τι ἀστεῖον καὶ τὸ «Δόλων Εὐμήδεος υἱός», ὡς δέον μὲν ὂν εὖ μήδεσθαι, αὐτοῦ δὲ τῷ δόλῳ καὶ μόνῳ θαρρήσαντος.

3.78 (v. 315) Ὅτι δέ, ὡς εἰκός, κῆρυξ ἦν κατὰ τὸν πατέρα καὶ ὁ Δόλων, ἡ παλαιὰ συνήθεια δηλοῖ. σύνηθες γὰρ τοῖς παλαιοῖς, ὡς ἱστορεῖ καὶ Ἡρόδοτος, τὰς πατρῴας τέχνας διαδέχεσθαι. αὐλητέω γάρ, φησίν, αὐλητὴς καὶ μαγείρου μάγειρος καὶ κῆρυξ κήρυκος. Ὅτι δὲ θεῖος ἅπας κῆρυξ παρὰ τοῖς παλαιοῖς, πολλαχοῦ δηλοῦται, καὶ πρῶτον ἔνθα Διὸς ἐρρέθησαν οἱ κήρυκες ἄγγελοι. Πάντως δὲ εἰκὸς καὶ θείους καὶ ἱεροὺς εἶναι τοὺς μὴ μόνον Ἑρμαϊκῶς κηρύσσοντας κατὰ τὸ «Ἑρμοῦ τήνδε πομπεύω τέχνην βέβαιον», ὅπερ ὁ παρὰ τῷ Σοφοκλεῖ κῆρυξ Λίχας φησίν, ἀλλὰ καὶ δημηγορίαις καὶ εἰρηναίαις ἐξυπηρετουμένους πρεσβείαις καὶ πολέμων λύσεσι καὶ ὅλως μέσους γινομένους εἰς πᾶν καθῆκον, καὶ οὕτως ἱεροὺς Διΐ τε τῷ καὶ τὰ τοιαῦτα ἐφορῶντι καὶ λογίῳ Ἑρμῇ, ἐξ οὗ δοκοῦσι κατάγεσθαι. (v. 316) Τὸ δὲ κακός δηλοῖ μὲν τὸν δύσμορφον, ἀντίκειται δὲ τῷ καλῷ ὡς αἰσχρός, καθὰ δηλοῖ καὶ τὸ «διὰ καλῶν γὰρ ὀμμάτων αἴσχιστα Τροίαν εἷλεν». Ὅρα δὲ καὶ μαρτυρίαν τοῦ οὐ πᾶσι πάντα τὸν θεὸν διδόναι οὔτε κακὰ οὔτε καλά. εἰ γοῦν καὶ εἶδος κακὸς ὁ Δόλων, ἀλλὰ ποδώκης. Ὅτι Ἕκτωρ μὲν ἁπλῶς καὶ ἀορίστως ἐπὶ ἄλλῳ τινί, καθὰ εἴρηται, μεγάλῳ δώρῳ, εἴτε καὶ ὡς αὐτὸς ἔφη μισθῷ, ἐθέλει στεῖλαι κατάσκοπον ταῖς ναυσίν, ὅπερ ἦν δίφρος καὶ δυὸ ἐριαύχενες ἵπποι, οἳ ἀριστεύουσιν ἐπὶ νηυσὶν Ἀχαιῶν, ὁ δὲ Δόλων τὸ ἅρμα ζητεῖ καὶ τοὺς ἵππους τοῦ Ἀχιλλέως, ὑψώσας τὸ μέγα δῶρον, καὶ τοὺς ἀρίστους ἵππους αὐτὸς ὁρίσας ὡς οἷον ἑρμηνευτικῶς καὶ ὄντως μεγάλα ζητήσας, ὡς καὶ Ὅμηρος ἐν τοῖς ἑξῆς παρασημηνάμενος ἐπικρίνει, ὅπου Ὀδυσσεὺς ἐπιμειδήσας ἐρεῖ «ἦ δὴ μεγάλων δώρων ἐπεμαίετο θυμός, ἵππων Αἰακίδαο», καὶ τὰ ἑξῆς. Ὁ Ἕκτωρ μέντοι ὑπισχνεῖται καί, ὡς ἐζητήθη, ἀνασχὼν τὸ σκῆπτρον ὀμνύει. (v. 319—327) Ἔχει δὲ τὰ τοῦ Ὁμήρου οὕτως «Ἕκτορ, ἔμ' ὀτρύνει κραδίη καὶ θυμὸς ἀγήνωρ», ὃ δὴ καὶ Διομήδης φθάσας εἶπε, «νηῶν ὠκυπόρων σχεδὸν ἐλθέμεν ἔκ τε πυθέσθαι. ἀλλ' ἄγε μοι τὸ σκῆπτρον ἀνάσχεο καί μοι ὄμοσσον ἦ μὲν τούς», ἤγουν τούτους, «ἵππους τε καὶ ἅρματα ποικίλα χαλκῷ δωσέμεν, οἳ φορέουσιν ἀμύμονα Πηλεΐωνα, σοὶ δ' ἐγὼ οὐχ' ἅλιος σκοπὸς ἔσσομαι οὐδ' ἀπὸ δόξης. τόφρα γὰρ ἐς στρατὸν εἶμι διαμπερές, ὄφρ' ἂν ἵκωμαι νῆ' Ἀγαμεμνονέην, ὅθι που μέλλουσιν», ἤγουν ἐοίκασιν, «ἄριστοι βουλὰς βουλεύειν ἢ φευγέμεν ἠὲ μάχεσθαι». οὕτως ὁ Δόλων εἶπε. (v. 328—

32) Καὶ ὁ Ἕκτωρ ἐν χερσὶ σκῆπτρον λάβε καί οἱ ὄμοσσεν· «ἴστω νῦν Ζεὺς αὐτὸς μὴ μὲν τοῖς ἵπποισιν ἀνὴρ ἐποχήσεται ἄλλος Τρώων, ἀλλά σέ φημι διαμπερὲς ἀγλαϊεῖσθαι.

3.79 ὣς φάτο, καί ῥ' ἐπίορκον ἀπώμοσε, τὸν δ' ὀρόθυνε». Φασὶ δ' ἐνταῦθα οἱ παλαιοὶ μωρότερον εἶναι τοῦ αἰτήσαντος Δόλωνος τὸν ὀμόσαντα Ἕκτορα ὡς ἤδη καὶ τοὺς Ἀχαιοὺς ἑλόντα καὶ τοῦ· Ἀχιλλέως περιγενόμενον καὶ διαιροῦντα τὰ λάφυρα. Αἰτιῶνται δὲ καὶ ὡς τοῦ Νέστορος οὐ ῥιψοκινδύνως βουληθέντος τὸν Ἑλληνικὸν κατάσκοπον ἑλεῖν τινα τῶν ἐν βάθει τοῦ Τρωϊκοῦ στρατοπέδου, ἀλλ', ὡς ἐρρέθη, ἐσχατόωντα καὶ μεμονωμένον τῶν ἄλλων, Ἕκτωρ νηῶν σχεδὸν ἐλθεῖν ἐθέλει καὶ πυθέσθαι, κινδύνῳ παραβάλλων τὸν κατασκοπήσοντα. οὗ τὸ αὔθαδες ὑπεραναβαίνων ὁ Δόλων οὐχ' ἁπλῶς εἰς τὰς νῆας ἐλθεῖν μεγαλαυχεῖ, ἀλλὰ καὶ εἰς αὐτὴν τὴν βασίλειον σκηνήν, ὡς οὐχὶ κινδυνεύσων, φασίν, ἀλλ' ἐπικηρυκεύσων. Σημειοῦνται δὲ καὶ ὡς ὁ μὲν Διομήδης οὔτε ᾐτήσατο δωρεὰν οὔτε ἠλαζονεύσατο ποιῆσαί τι μέγα, εὐχῇ δὲ χρησάμενος θεοῖς ἐπέτρεψεν ἑαυτόν, ὁ δὲ Δόλων αἰτεῖ μὲν ἀδύνατα, ὑπισχνεῖται δὲ πράξειν ὑπέρογκα. καὶ Διομήδης μὲν ἔλαβε συνεργὸν διά τε τὸ ἄλλως νεμεσητὸν καὶ τὸ τοῦ πράγματος ἐπικίνδυνον, διὸ καὶ εὐδοκιμεῖ. ὁ δὲ Δόλων τὸ πρᾶγμα μόνος θαρρεῖ. διὸ καὶ θαυμαστέον, πῶς οὐ προσεῖπεν αὐτὸν ὁ ποιητὴς διὰ ταῦτα νήπιον. Ἔστι δέ, φασί, καὶ ἄπιστος ὁ Δόλων οἷα βάρβαρος. ὅθεν οὐ τρόποις ἀγαθοῖς τὰς πίστεις, ἀλλὰ τῷ διὰ σκήπτρου ὅρκῳ ἐθέλει βεβαιοῦν, καὶ οὐ πιστεύει τὴν δόσιν ὅρκου δίχα. Διομήδης μέντοι οὐδὲ προφέρει τὴν δόσιν ὅλως ἐν μνήμῃ. Ἔτι παρασημαίνονται καὶ ὅτι ὡς ἐν πλούτῳ πολλῷ τεθραμμένος ὁ Δόλων ἄνανδρός ἐστι καὶ δειλὸς καὶ ῥιψοκίνδυνος καί, ὡς εἰπεῖν, θρασύδειλος, ὃς διὰ δειλίαν οὐ μόνον οὐκ ἀνύει τὰ προτεθέντα, ἀλλὰ καὶ προδότης γίνεται τῶν αὐτοῦ, ὡς ἐφεξῆς φανήσεται. ἐπιλέγουσι δὲ συχνὰ τοῖς τοιούτοις οἱ παλαιοί, ὅτι καὶ τοιοῦτος ὢν ὁ Δόλων τῶν Ἀχιλλέως ἵππων ἐρᾷ καὶ οἷος ὢν οἷα θέλει. παρασημειοῦνται δὲ τὸν Δόλωνα καὶ ζηλωτὴν ἱπποτροφίας καὶ φίλιππον τὸ ἦθος, ὃς ἐνταῦθά τε τοῦτο δείκνυσι καὶ ἐν τοῖς ἑξῆς δέ, ὅπου περιττῶς ἐπαινεῖ πρὸς Διομήδην τοὺς τοῦ Ῥήσου ἵππους. τοῦτο δὲ ποιεῖν δοκεῖ μάλιστα διὰ τὸ τὸν Διομήδην εἰδέναι φίλιππον, ᾧ καὶ πορίζει τοὺς νεήλυδας ἵππους, φιλούμενον λάφυρον, εἴπως ὁ Διομήδης περιποιήσοιτο αὐτὸν ὡς τοῦ φιλουμένου πρόξενον, εἰ καὶ ὁ Διομήδης ὡς ἀγεννῆ ἀντεραστὴν αὐτὸν ἀναιρεῖ.

3.80 Φασὶ δὲ καὶ ὅτι Ἕκτορος εἰπόντος τοὺς ἀρίστους τῶν Ἑλληνικῶν ἵππων δοῦναι αὐτῷ, αὐτὸς ἐκ συλλογισμοῦ τοὺς τοῦ Ἀχιλλέως αἰτεῖ, ἄγων οὕτω πως ἑαυτὸν εἰς ἶσον τῷ Ἀχιλλεῖ. Ἔστι δὲ τοιοῦτός τις ὁ συλλογισμός· σὺ τοὺς ἀρίστους ἔφης δώσειν, ἄριστοι δὲ οἱ τοῦ Ἀχιλλέως. τοὺς τοῦ Ἀχιλλέως ἄρα δώσεις. λαβὼν γὰρ ὡς λῆμμα τὸν τοῦ Ἀχιλλέως λόγον τὸν λέγοντα, ὅτι τοὺς ἀρίστους δώσω, προστίθησιν αὐτὸς παρ' ἑαυτοῦ πρότασιν ὁμολογουμένην τό· ἄριστοι δὲ οἱ τοῦ Ἀχιλλέως. καὶ οὕτω πλέκει ὁ βάρβαρος οὐκ εὔπλοκον ἀλλ' αὐτῷ δοκοῦντα συλλογισμόν. (v. 321) Τὸ δὲ «ἀνάσχεο» ἀλλαχοῦ μὲν ἀνοχὴν ὑπομενετικὴν δηλοῖ, ὡς τὸ «ἀνάσχεο κηδομένη περ», καὶ πρὸ ὀλίγων τὸ «ἀνὰ δὲ σχέο», ἐνταῦθα δὲ ἀντὶ τοῦ ἀνάτεινον εἴληπται. (v. 322) Ἅρματα δὲ ποικίλα χαλκῷ τὰ τοῦ Ἀχιλλέως λέγει ὁ Δόλων, ὡς τοιαῦτα ἐκεῖνα ἐκ πυκνῆς πείρας εἰδώς. Καὶ ὅρα ὅτι ὥσπερ ὅπλων, οὕτω καὶ ἅρματος ἐπεμελοῦντο πρὸς κάλλος οἱ ἥρωες. καὶ τὸ μὲν τοῦ Ἀχιλλέως οὕτω σωφρόνως καλλύνεται, τὸ μέντοι τοῦ Ῥήσου ἐν τοῖς ἑξῆς ἁβρότερον ἔχει. χρυσῷ γὰρ καὶ ἀργύρῳ εὖ ἤσκηται, οὗ καὶ τὰ τεύχη χρύσεα, καθά που καὶ τὰ τοῦ Γλαύκου. (v. 323) Τὸ δὲ «οἳ φορέουσιν» ἔχει τι καινοπρεπές. φορέουσιν μὲν γὰρ καὶ οἱ ἕλκοντες ἵπποι, φορέουσι δὲ καὶ ἅρματα τὰ ἑλκόμενα. Ὅμηρος δὲ πρὸς τὸ ἔμψυχον καὶ ἕλκον ἔκρινεν ἀποδοῦναι τὸ «οἳ φορέουσιν». αὐτὸ δὲ τὸ φορέουσι τὸ παρὰ τοῖς μεθ' Ὅμηρον φορεῖον παράγει. φορέει γὰρ καὶ ἐκεῖνο, ἤτοι ἀνέχει, τοὺς ἐν αὐτῷ, καθὰ καὶ τὸ ἅρμα τὸν ἀναβάτην. (v. 324) Ἐν δὲ τῷ «οὐχ' ἅλιος σκοπὸς ἔσσομαι» γράφουσιν οἱ περὶ Ἡρόδωρον, ὅτι εὕρομεν ἐν πολλοῖς εἰς τὸ χ ἀπόστροφον. Τοῦτο δὲ παρεσημειωσάμεθα, ὡς ἂν φανείη ὅτι ἐν τῷ «οὐχ' ἅλις» καὶ «οὐχ' οὕτως» καὶ τοῖς ὁμοίοις, ἀμφιβόλως εἶχον οἱ παλαιοί, οἱ μὲν μετὰ ἀποστρόφου καὶ

δασείας ποιούμενοι τὴν γραφήν, οἱ δὲ τὸ μὲν πάθος, ἤγουν τὴν ἀπόστροφον, μὴ προσιέμενοι, μόνον δὲ πνευματίζοντες. Τὸ δὲ «οὐδ' ἀπὸ δόξης» ἀντὶ τοῦ οὐ πόρρω τῆς περὶ ἐμοῦ ὑπολήψεως, κεῖται δὲ τοιοῦτόν τι καὶ ἐν Ὀδυσσείᾳ.

3.81 Καὶ λέγει μὲν ὁ Δόλων αὐτὸ διὰ τὸ ποδῶκες, ὁ δὲ φιλόκαλος θαυμάσεται τῆς δεξιότητος τὸν ποιητὴν οὕτω φράσαντα. τῷ ὄντι γὰρ εἰ οὕτως ἄφρων καὶ ἀγεννὴς ὁ Δόλων, οὐκ ἀπὸ δόξης τοιαύτης τῆς περὶ αὐτοῦ διαπράξεται. [Ἰστέον δὲ ὅτι, ὥσπερ κλέος παρὰ τῷ ποιητῇ οὐ κοινότερον ἡ τιμή, ἀλλὰ ἡ φήμη παρὰ τὸ κλύω, ἵνα, φασίν, ᾖ κλύος καὶ τροπῇ κλέος διὰ τὸ ἀκουστὸν εἶναι, οὕτω καὶ δόξα οὐ κατὰ τοὺς ὕστερον ἐπὶ τιμῆς, ἀλλὰ ἔννοια κατὰ ψυχὴν καὶ δόκησις καὶ οἴησις.] (v. 325) Τὸ δὲ «ἐς στρατὸν εἶμι» πάνυ στενῶς φρασθὲν ὅμοιόν ἐστι τῷ «ἀνδρῶν δυσμενέων δῦναι στρατὸν ἐγγὺς ἐόντων», ὃ φθάσας ἐπὶ Διομήδους περιφραστικῶς εἶπεν ὁ ποιητής. οὕτω δὲ καὶ τοῦ βουλεύειν ἢ φεύγειν ἢ μάχεσθαι περίφρασις ἦν πρὸ ὀλίγων ἐν στίχοις τέτρασι τὸ «ἠὲ φυλάσσονται νῆες θοαί» καὶ τὰ ἑξῆς. (v. 328) Ὅρα δὲ καὶ ὅτι διὰ τοῦ σκήπτρου γίνεται καὶ νῦν ὅρκος, καθὰ καὶ ἐν τῇ α' ῥαψῳδίᾳ πεποίηται. καὶ ἔστι τοῦτο σεμνὸν καὶ Ὁμηρικῇ ποιήσει πρέπον. ὁ μέντοι εἰπὼν «ἴστω Ζεὺς ὅρκιον δέ μοι ξίφος», ἄλλως ἐποίησε δι' ἑτεροίαν οὐκ ἀνεύλογον περιπέτειαν. (v. 325 s.) Τοῦ δὲ «διαμπερές» τοπικῶς ἐπιρρηθέντος ἐφερμηνευτικὸν τὸ «ὄφρ' ἂν ἵκωμαι νῆα» τὴν τοῦ Ἀγαμέμνονος, ἔνθα οἱ βουλευταί. ὁ γὰρ ἐκεῖσε ἱκόμενος διαμπερὲς τοῦ Ἀχαιϊκοῦ στρατοῦ ἵκετο. (v. 331) Τὸ δέ γε «διαμπερὲς ἀγλαϊεῖσθαι» χρονικῶς εἴληπται ἀντὶ τοῦ διόλου, ὅ ἐστι διὰ ζωῆς ὅλης. ἑτεροῖα δὲ ταῦτα πρὸς τὸ βάλλειν ἢ πλήττειν διαμπερές, καὶ πρὸς τὸ «κλήρῳ πεπάλαχθε διαμπερές». (v. 330) Ἐν δὲ τῷ «μὴ μὲν τοῖς ἵπποις ἀνὴρ ἐποχήσεται ἄλλος» λέγει μὲν κατά τινα βραχεῖαν ἔλλειψιν, ὅτι ἴστω θεός, ὡς οὐ δὴ ἐποχήσεται αὐτοῖς ἀνὴρ ἕτερός τις τῶν Τρώων. οὕτω γὰρ ἂν εἴη ἀσόλοικον, σολοικοφανὲς ἄλλως ὄν. τὸ γὰρ κοινὸν οὕτω· ἴστω νῦν Ζεὺς μὴ δὴ αὐτοῖς ἄνδρα ἐποχήσεσθαι ἄλλον Τρώων.

3.82 Σημειωτέον δὲ αὐτὸ εἰς σαφήνειαν τοῦ κειμένου ἐν τῇ τ ῥαψῳδίᾳ «μὴ μὲν ἐγὼ Βρισηΐδι χεῖρας ἐπενεγκεῖν». δῆλον γὰρ ἐκ τούτου, ὅτι καὶ ἐκεῖ λείπει τι πρὸς ἐντελῆ τῆς ἐννοίας σαφήνειαν, οἷον ὅτι ἴστω γῆ καὶ ἥλιος, ὡς οὐ δὴ ἐγὼ ἠθέλησα ἢ ἐτόλμησα κούρῃ Βρισηΐδι χεῖρ' ἐπενεῖκαι. Τοῦτο δὲ τὸ τοῦ Ἕκτορος καὶ ἐσχηματισμένως εἴρηται. ὁ μὲν γὰρ πρῶτος στίχος ἀγάλλει ἀκροατὴν φιλέλληνα ὡς ἀληθιζομένου τοῦ Ἕκτορος. ἀληθῶς γὰρ οὐκ ἄλλος τις αὐτοῖς μετὰ τὸν Ἀχιλλέα ἐποχήσεται οὔτε Τρώων οὔτε Ἑλλήνων. ὁ δὲ δεύτερος στίχος ἠχρείωσε τὴν ἔμφασιν, ὁ λέγων τὸ «ἀλλὰ σέ φημι ἀγλαϊεῖσθαι». ὅτι δὲ πολλὰ καὶ οὕτω σχηματίζονται πρὸς λεληθυῖαν ἔμφασιν, δηλοῖ καὶ Ἑρμογένης ἐν τῷ «καὶ τοῦ μοιχοῦ λαβόμενος ἐβόων, ὦ πάτερ, σὺ δὲ ἦς». Μέχρι γὰρ ὧδε ὁ λέγων μοιχὸν τὸν πατέρα δηλοῖ φανερῶς, ἡ δὲ προσθήκη τοῦ «οὐδαμοῦ» ἐν τῷ «σὺ δὲ ἦς οὐδαμοῦ» ἐσκίασε τὸ τῆς σαφηνείας φῶς. ἀλλὰ τοῦτο μέν, ἵνα μὴ ὁ υἱὸς παρανόμως εἰς πατέρα ὑβρίζῃ, τὸ δὲ Ὁμηρικόν, ἵνα μὴ κακοζήλως ὁ ποιητὴς παίζῃ ἐκκαλύπτων διὰ τοῦ ὀμνύοντος Ἕκτορος ὅπερ ἐκεῖνος οὔτε ἐγίνωσκεν οὔτε εἰπεῖν προέθετο. (v. 332) Τὸ δὲ «ἐπίορκον ἀπώμοσε» γράφουσί τινες ἐπώμοσεν, ἀστείως ποιοῦντες. ἡ μὲν γὰρ ἀπώμοσις, τουτέστιν ἡ ἄρσις, τὸ οὐδεὶς ἐποχήσεται ἄλλος, ἀληθής. Ἀχιλλεὺς γὰρ μόνος. ὃ καὶ Ὀδυσσεὺς μετ' ὀλίγα ἐρεῖ. ἡ δὲ θέσις, ἤγουν ἡ ἐπώμοσις, ψευδής, τὸ ἀλλὰ σὺ ὁ Δόλων. ὥστε ἀπώμοσεν μὲν ὁ Ἕκτωρ ἀληθῶς, ἐπώμοσε δὲ ψευδῶς. δῆλον δὲ καὶ ἐκ τῶν τῆς Ὀδυσσείας, ὅτι ἐπομνῦναι μὲν τὸ καταφατικῶς ὀμνῦναι, οἷον· νὴ τὸ θεῖον ποιήσω τόδε, ἀπομνῦναι δὲ τὸ ἀποφατικῶς ὁρκωμοτεῖν, οἷον· μὰ τὸ θεῖον οὐ ποιήσω τόδε τι. ἐνταῦθα οὖν ὁ Ἕκτωρ ἄμφω ποιεῖ, ἀπομνύμενος μὲν διὰ τὴν ἄρσιν, ἐπομνὺς δὲ διὰ τὴν θέσιν. [Ἰστέον δὲ ὅτι, καθὰ ἐν τῷ Ἑπτὰ ἐπὶ Θήβας, καὶ ἐν τῷ «ἥκεις ἐφ' ἡμᾶς», καὶ ἐν τῷ «δαιμονίη, τί μοι ἐπέχεις», ἡ ἐπι πρόθεσις ἐναντιωματικῶς λαλεῖται ἀντὶ τῆς κατα , οὕτω καὶ ἐν τῷ ἐπίορκος καὶ τοῖς ἐξ αὐτοῦ.

3.83

ἐπιορκεῖν γὰρ τὸ κατὰ ὅρκου γίνεσθαι τῷ ψεύδει καὶ μὴ κατ’ ἀλήθειαν οἰκειοῦσθαι αὐτῷ.] (v. 334) Ὅτι ῥινόν, ἤγουν δέρμα, πολιοῦ, ὅ ἐστιν λευκανθίζοντος, λύκου ἐνδύει ὁ ποιητὴς τὸν Δόλωνα, ἐπίτηδες καὶ αὐτὸ ὡς ἄφρονα, ἵνα καὶ δι’ αὐτοῦ ὑπολεύκου ὄντος κατάφωρος ὁ ἀνόητος γένηται. τεφρῶδες γὰρ τὸ χρῶμα τοῦ λύκου καὶ οὐ βαθὺ προβεβλημένον τὸ μέλαν. ὅθεν καὶ τὸ τῆς νυκτὸς μέρος τὸ ἤδη προσκυροῦν τῇ ἡμέρᾳ ἀμφιλύκη λέγεται νύξ, ἣν ἡ ἀπεριμέριμνος ἰδιωτεία λυκόφως λέγει. Ἴσως δὲ καὶ ᾠκείωται ἡ λυκέη τῷ δολιευομένῳ. διὸ παρὰ Αἰλίῳ Διονυσίῳ κεῖται τὸ λυκοφιλίως ἀντὶ τοῦ ὑπόπτως, ὑπούλως, ὃς φέρει καὶ Μενάνδρου χρῆσιν ταύτην «λυκοφίλιοι μέν εἰσιν αἱ διαλλαγαί». Δῆλον δὲ ὡς ἡ ῥηθεῖσα ἀμφιλύκη καὶ ἐκ τοῦ λύγη γίνεται, ὃ σημαίνει κατὰ τοὺς παλαιοὺς τὴν σκιάν, προσλαβὸν δὲ τὸ η ποιεῖ τὴν ἠλύγην, ὃ δηλοῖ σκέπην, σκιάν. ἐξ οὗ ἐπηλυγασάμενος παρὰ Πλάτωνι ὁ προβαλόμενος καὶ ἐπισκιασάμενος. ὅτι δὲ καὶ νυκτερινοὶ κύνες λέγονται οἱ λύκοι, ἔστιν εὑρεῖν ἐν τοῖς παλαιοῖς. (v. 333 s.) Ἔστι δὲ ἡ περὶ Δόλωνος Ὁμηρικὴ φράσις αὕτη· «αὐτίκα δ’ ἀμφ’ ὤμοισιν ἐβάλλετο καμπύλα τόξα, ἕσσατο δ’ ἔκτοσθε ῥινὸν πολιοῖο λύκοιο». Καὶ ὅρα ὅτι κἀνταῦθα ἕσσατό φησι δέρμα λύκου, ὡς καὶ πρὸ τούτων ἐπὶ τοῦ βασιλέως «ἕσσατο δέρμα λέοντος». δηλοῖ δὲ καὶ νῦν τὸ ἐπεκάθισεν ἑαυτῷ, περιέθετο. (v. 335) Διὸ καὶ ἐπὶ περικεφαλαίας αὐτὸ λέγει, ἐπαγαγὼν εὐθὺς τὸ «κρατὶ δ’ ἐπὶ κτιδέην κυνέην», ἕσσατο δηλαδή, ὅ ἐστι περιέθετο, καθὰ καὶ ἐπὶ Μενελάου εἶπεν, ὅτι στεφάνην ἐπὶ τῇ κεφαλῇ ἐθήκατο πρὸς ὁμοιότητα τοῦ «ἀμφ’ ὤμοις ἐβάλετο τόξα». ταὐτὸν γὰρ εἰπεῖν ἐβάλετο καὶ ἐθήκατο. ἴσως δὲ καινὸν οὐδὲν καὶ ἀντὶ τοῦ ἐνδύσασθαι νοῆσαι τὸ ἕσασθαι, εἴγε τὴν λέξιν τοῦ ἐνδύεσθαι καὶ ἐπὶ πανοπλίας τίθησιν ὁ ποιητής, ὡς ἐδήλωσε τὸ «ὅπλοισιν ἐνὶ δεινοῖσιν ἐδύτην».

3.84 Ἰστέον δὲ καὶ ὅτι τὸ δέρμα τοῦ λύκου λυκέην ὁ ποιητὴς ἐρεῖ μετ’ ὀλίγα πρὸς ὁμοιότητα τοῦ παρδαλέην καὶ τῶν ὁμοίων, καὶ ὅτι τοὺς ἐν τῇ νυκτεγερσίᾳ ἥρωας καινοτρόπως ὁ ποιητὴς ὡπλισμένους ἱστόρησεν, ὡς καὶ προδεδήλωται, τὸν Δόλωνα, τὸν Διομήδην, τὸν Ὀδυσσέα, τοὺς βασιλεῖς, τοὺς λοιπούς. καὶ ὅτι τοῦ ποιητοῦ εἰπόντος «κρατὶ δ’ ἐπὶ κτιδέην», ὡς ἐρρέθη, «κυνέην», φασὶν οἱ Ὑπομνηματισταί, ὅτι ἴκτις ἐστὶ ζῷον ὅμοιον κυνιδίῳ Μελιταίῳ, ὀρνιθοφάγον, τοῖς σμήνεσιν ἐπηρεάζον, ἔχον τὸ αἰδοῖον οἷον ὀστοῦν, καὶ ἰᾶται στραγγουριῶντας. τὸν δὲ Ὅμηρον ἀφελεῖν φασὶ τὸ ι , δέον εἰπεῖν ἰκτιδέην κυνέην. Ἰστέον δὲ ὅτι ἐνταῦθα μὲν ἐν τῷ «ἐπὶ κτιδέην» ἀμφίβολόν ἐστιν εἴτε μετὰ συναλιφῆς τῆς προθέσεως ῥητέον ἰκτιδέην τετρασυλλάβως εἴτε τρισυλλάβως κτιδέην ἀσυναλείπτως. ὅτε δὲ ἐν τοῖς ἑξῆς ἐρεῖ «τοῦ δ’ ἀπὸ μὲν κτιδέην κυνέην εἵλετο», τὴν ἀμφιβολίαν διέκρινεν ὁ ποιητὴς φανερῶς γράψας κτιδέην ἐν τρισὶ συλλαβαῖς, ὡς ἔφασαν οἱ Ὑπομνηματισταί. Οἱ δὲ καὶ πανοῦργον τὴν ἴκτιν τὸ ζῷον ἱστοροῦσι καὶ μεῖζον μὲν γαλῆς καὶ δασύτερον, ἄλλως δὲ παραπλήσιον. οἱ δὲ ἀγρίαν λέγουσιν εἶναι γαλῆν. καὶ ἑτέρωθεν δὲ εἰκασμὸς τοῦ ζῴου συνάγεται τοιοῦτος. Ταρτησία, φασί, γαλῆ ὅμοιόν τι ἴκτιδι. Εἰ δὲ καὶ ταὐτὸν ἴκτις αὕτη βαρυτόνως καὶ ἰκτίς ὀξυτόνως ἡ παρὰ τῷ Κωμικῷ μεμνημένῳ ἰχθυοφάγου ἰκτίδος, οὐκ ἀναγκαῖον ἄρτι ζητεῖν. Ἐλλιπῶς δὲ εἴρηται τὸ «κρατὶ δ’ ἐπὶ κτιδέην κυνέην». ῥήματος γὰρ ἀπὸ κοινοῦ λείπεται ἢ προηγησαμένου ἀνωτέρω, οἷον ἐβάλετο ἢ ἕσσατο, ἢ ἐπαγομένου. Ἐπάγει γὰρ «ἕλε δ’ ὀξὺν ἄκοντα», ἵνα ᾖ «κτιδέην ἕλεν». Ἰστέον δὲ καὶ ὅτι, ὅπερ ἐπὶ τοῦ «κυνέην ταυρείην» ἐγράφη, καὶ ἐνταῦθα ἔστιν εἰπεῖν. εἰ γὰρ κτιδέη, πῶς κυνέη; καὶ ἐὰν κυνέη, πῶς κτιδέη; ἔστι δὲ τοῦτο εὐλογώτερον ἐκείνου. ἐπεὶ γὰρ ἡ ἴκτις κυνιδίῳ κατά τινας ἔοικεν, ἐγγὺς ἂν εἴη καὶ ἡ ἰκτιδέη κυριολεκτεῖσθαι εἰς κυνέην. Δῆλον δὲ ὅτι πρὸς ὁμοιότητα τῆς παλαιφάτου κυνέης καὶ ἡ κτιδέη λέγεται. ἀμφότεραι γὰρ ἐκ τῶν καλυπτόντων δερμάτων καλοῦνται, ἡ μὲν τοῦ κυνείου, ἡ δὲ τοῦ ἰκτιδείου. (v. 336 s.) Ὅτι σχῆμα προαναφωνήσεως τὸ «οὐδ’ ἄρ ἔμελλεν» ὁ Δόλων «ἐλθὼν ἐκ νηῶν ἂψ Ἕκτορι μῦθον ἀποίσειν».

3.85

ἀγωνιῶντι γὰρ ἀκροατῇ καὶ μάλιστα τῷ φιλέλληνι προλαλεῖ τὸ ἀποβησόμενον. οὕτω δὲ προαναφωνητικῶς καὶ τὸν Ἕκτορα ἐπίορκον ὀμόσαι εἶπεν, ἐφ' οἷς περὶ τῶν Ἀχιλλέως ἵππων ὤμοσε τῷ Δόλωνι. (v. 338) Ὅτι παραφράζων τὸ «λιπέτην δὲ κατ' αὐτόθι πάντας ἀρίστους», ὅπερ ἐπὶ τῶν Ἑλληνικῶν κατασκόπων ἐρρέθη, φησὶ περὶ τοῦ Δόλωνος «ἀλλ' ὅτε δὴ ἵππων τε καὶ ἀνδρῶν κάλλιπεν ὅμιλον». (v. 339) Ὅτι τοὺς μὲν Ἑλληνικοὺς ἐπισκόπους ἀπερχομένους διὰ παραβολῆς τε ἐσέμνυνεν, εἰκάσας λεόντοιν αὐτοὺς καὶ ἐπωρχήσατο διὰ τῆς φράσεως τῇ ἐκείνων πορείᾳ εἰπὼν «ἂν φόνον, ἂν νέκυας» καὶ ἑξῆς. τὴν μέντοι τοῦ ἀγεννοῦς Δόλωνος πορείαν ἐπιτρέχων οὕτω φησὶ «ἔβη ἂν ὁδὸν μεμαώς». (v. 339—43) Ὅτι πρῶτος Ὀδυσσεὺς προνοητικώτατα ᾔσθετο τὸν Δόλωνα ἐρχόμενον, καὶ στοχαζόμενος, οἷα εἰκός, ἔφη «οὗτός τοι, Διόμηδες, ἀπὸ στρατοῦ», τῶν Τρώων δηλαδή, «ἔρχεται ἀνήρ, οὐκ οἶδ' ἢ νήεσσιν ἐπίσκοπος ἡμετέρῃσιν ἤ τινα συλήσων νεκύων κατατεθνειώτων». (v. 344—7) Εἶτα καὶ συμβουλεύει «ἀλλ' ἐῶμέν μιν πρῶτα παρεξελθεῖν πεδίοιο τυτθόν, ἔπειτα δέ κ' αὐτὸν ἐπαΐξαντες ἕλοιμεν καρπαλίμως. εἰ δ' ἄμμε», ἤγουν ἡμᾶς, «παραφθαίῃσι πόδεσσιν, ἀεὶ πρὸς νῆας» αὐτὸν συνέλαυνε. Καὶ ὅρα τὸ ἐνεργὲς τῆς τοῦ Ὀδυσσέως φρονήσεως. αὕτη τε γὰρ ἡ βουλὴ εὐπετῶς ἔσχεν αὐτῷ, καὶ ἡ αἰτία δὲ τῆς τοῦ Δόλωνος ὁδοῦ εὐστόχηται, ὑπενοήθη δὲ καὶ τὸ ποδῶκες τοῦ ἐπισκόπου, ὡς εἰκὸς ὂν τοιοῦτον εἶναι αὐτόν. (v. 347 s.) Διὸ καὶ τῷ Διομήδει ἐπιτρέπει εἰπὼν «αἰεὶ ποτὶ νῆας» ἢ «προτὶ νῆας, ἀπὸ στρατόφιν», ἤγουν ἀπὸ τοῦ Τρωϊκοῦ στρατοῦ, «προτιειλεῖν» τὸν ἄνδρα, ἤγουν εἴλει καὶ στρέφε, «ἔγχει ἐπαΐσσων, μή πως προτὶ ἄστυ ἀλύξῃ». Ἐνταῦθα δὲ τυχὸν μὲν κολακεύει Ὀδυσσεὺς ἐν δέοντι τὸν Διομήδην ὡς ἑαυτοῦ ποδωκέστερον, τυχὸν δὲ οὐδὲ θαρρεῖ πάνυ οὐδ' ἐνταῦθα τὸν ὠκὺν δρόμον, ὃ καὶ ἐν Ὀδυσσείᾳ ποιεῖ ἀεθλεύων, ἔνθα δεδοικέναι φησὶ οἴοισι πόδεσσι μή τις αὐτὸν παρέλθῃ. οὔκουν ᾔσχυνεν Ὀδυσσεὺς τῷ Διομήδει τὴν ἐπιλογήν, ἐξ αὐτῆς, ὅ φασι, πρώτης γραμμῆς ἀγαθὰ ποιήσας, ὃς καὶ νῦν πρῶτος ᾔσθετο τοῦ πολεμίου ἐπιόντος, καθὰ καὶ ὁ Νέστωρ ἐν τοῖς ἑξῆς πρῶτος τοῦ τῶν ἵππων κτύπου ἀκούσει ἐπανιόντων τῶν κατασκόπων. καὶ οὐκ ἔστιν οὐδὲ τοῦτο κατὰ τοὺς τὸν Ὀδυσσέα ψέγοντας σημεῖον δειλίας, ἀλλὰ προνοίας, ὁποία καὶ ἡ κατὰ τὸν Νέστορα.

3.86 καὶ ἐν τοῖς ἑξῆς δὲ τὸν Ῥῆσον ὁρᾷ καὶ τοὺς ἐκείνου ἵππους. καὶ ἔστιν ἀληθῶς αὐτὸς ἐπίσκοπος, ἤγουν σκοπευτὴς ἀκριβής. ὅτι γὰρ ἡ ἐπι πρόθεσις καὶ ἀκρίβειάν τινα σημαίνει καὶ ἐπίτασιν ἐνεργείας, δηλοῖ καὶ τὸ ἐπιόψομαι, ὡς ἀλλαχοῦ εἴρηται, ἔτι δὲ καὶ τὸ «ἐπιδραμέτην», κατωτέρω ῥηθὲν ἀντὶ τοῦ μᾶλλον καὶ συντονώτερον ἔδραμον. Ἐν δὲ τοῖς εἰρημένοις ὅρα καὶ ὅτι ἐν συνήθει σχήματι ἀπορίας βιωτικῷ τε καὶ περιουσιάζοντι τὴν ποίησιν ἐκτίθεται ὁ ποιητὴς τὰς ὡς ἐπὶ πολὺ αἰτίας τῆς νυκτερινῆς ἔξω τοῦ στρατοπέδου πορείας τῶν στρατιωτῶν, μονονουχὶ λέγων ὡς ἢ διὰ κατασκόπησιν τοῦτο γίνεται τὴν πρὸ ἔργου ἄρτι τῷ Δόλωνι ἢ διὰ λάφυρα. Οὕτω καὶ μετὰ ταῦτα ἐρωτῶν ὁ Διομήδης τὸν Δόλωνά φησι «πῇ δὴ ἐπὶ νῆας ἀπὸ στρατοῦ ἔρχεαι οἶος» ἐν νυκτί; «ἤ τινα συλήσων νεκύων; ἤ ς' Ἕκτωρ προέηκε διασκοπιάασθαι ἕκαστα» καὶ ἑξῆς. Ἔνθα ὅρα καὶ ὡς περιέφρασε τὸν ἐπίσκοπον, οὐκ αὐτὸν ἀλλὰ ἔργον αὐτοῦ εἰπὼν τὸ διασκοπιᾶσθαι ἕκαστα. τὸ δὲ συλήσων ἀντὶ τοῦ ἐκδύσων κατὰ τοὺς παλαιούς, ἤγουν σῦλα καὶ λάφυρα ληψόμενος. [Ἰστέον δὲ ὅτι ἐκ τοῦ τοιούτου συλᾶν εἴληπται καὶ τὸ ἐπὶ τοῦ κλέπτειν, ἐπειδὴ ὥσπερ ὁ ἐν μάχῃ συλῶν μετὰ δέους ὑφαιρεῖται τὰ σκῦλα, οὕτω πως καὶ ὁ κλέπτων. ἀμφότεροι γάρ, καθὰ καὶ οἱ λησταί, παραβάλλουσι κινδύνῳ τὰς σφῶν κεφαλάς.] Τοῦ δὲ «νεκύων κατατεθνειώτων» ὅτι θατέρα λέξις περιττῶς κεῖται, πολλαχοῦ φαίνεται, καί που κεῖται καὶ αἰτία τῆς τοιαύτης ἐν φράσει στοιβῆς. Ὁ δὲ παλαιὸς ἀστεῖος ἐκεῖνος, ὁ τοὺς χλωροὺς ἀνθρώπους νεκροὺς ὀνομάσας, εἴποι ἂν ἐντεῦθεν λαβεῖν τὴν ἀρχήν, ὡς τῶν τοιούτων παρ' αὐτῷ νεκρῶν οὐ τεθνεώτων. Ἱστορεῖ γάρ τινα ὁ Ἀθήναιος βαρὺν δοκοῦντα, ὅτι ἔσκωπτε τόπον τινὰ ὡς νοσερόν, φάναι πρὸς τοὺς αἰτιωμένους ἐποίκους, ὡς καὶ πῶς ἂν πόλιν ἐρεῖ νοσώδη,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔνθα καὶ οἱ νεκροὶ περιπατοῦσιν; [Εἶεν δ’ ἂν πρέποντες ἐννοίᾳ τοιαύτῃ κατὰ τούς, ὡς εἴρηται, χλωροὺς καὶ οἱ παρ’ ἄλλοις διὰ τὸ κατ’ ὄψιν ὠχρὸν πύξινοι.] (v.

3.87 344) Τὸ δὲ «παρεξελθεῖν πεδίοιο» Ὁμηρικώτερόν ἐστι γραφόμενον «παρὲξ ἐλθεῖν» ἐν δυσὶ μέρεσι λόγου, ὁμοίως τῷ «παρὲξ ὁδοῦ», ὃ μετ’ ὀλίγα εἰρήσεται. (v. 346) Τὸ δὲ «παραφθαίῃ πόδεσσιν», ἀντὶ τοῦ προδράμῃ, νικήσει, παρέλθῃ. χωρὶς δέ γε προθέσεως τὸ ἁπλῶς φθάσαι ἡ λέξις δηλοῖ, ὅ ἐστι προλαβεῖν. ἐρεῖ οὖν μετ’ ὀλίγα «μή τις φθαίῃ» ἐπευξάμενος βαλεῖν. (v. 347 s.) Ὅρα δὲ καὶ ὡς μιᾷ ποιητικῇ προθέσει φιλητῶς ἐνέμεινεν ἐν τῷ «προτὶ νῆας» ἢ «ποτὶ νῆας», καὶ «προτιειλεῖν», καὶ «προτὶ ἄστυ ἀλύξῃ». (v. 349 s.) Ὅτι Διομήδης καὶ Ὀδυσσεὺς τὸν Τρωϊκὸν κατάσκοπον γνόντες «παρὲξ ὁδοῦ ἐν νεκύεσσι κλινθήτην», ἵνα δηλαδὴ πεδοῖ κείμενοι λάθωσι τὸν Δόλωνα συναναμεμιγμένοι τοῖς νεκροῖς. «ὃ δ’ ἄρ ὦκα παρέδραμεν ἀφραδίῃσι». Καὶ ὅρα ὅτι νῦν οὐκ ἐπὶ ψόγῳ εἶπε τὴν ἀφραδίαν ὡς ἐπὶ ἀφροσύνης καὶ κακονοίας, ἀλλ’ ἁπλῶς οὕτως ἐπὶ ἀγνοίας καὶ ἀντὶ τοῦ ἀπρονοήτως. τὸ δὲ ὦκα τῆς μαρτυρηθείσης τῷ Δόλωνι ἔνδειξίς ἐστιν ὠκύτητος. Περὶ δὲ τοῦ παρέξ πολλαχοῦ γέγραπται, ὅτι τε βραχεῖαν δηλοῖ διάστασιν. σημαίνει γὰρ διὰ μὲν τῆς παρα ἐγγύτητα, διὰ δὲ τῆς ἐξ ἀπόστασιν, καὶ ὅτι διφορεῖται κατὰ τὴν σύνταξιν, ἐνταῦθα μὲν γενικῇ συνταχθέν, ὡς καὶ ἐν ἄλλοις, μετ’ ὀλίγα δὲ αἰτιατικῇ ἐν τῷ «παρὲκ νόον ἤγαγεν Ἕκτωρ». (v. 352 s.) Ὅτι τὰς ἡμιόνους προφερεστέρας εἶναι τῶν βοῶν ἕλκειν κατὰ νειὸν ἄροτρον γεωργικώτατα λέγει ὁ ποιητής. Φασὶ γὰρ οἱ ἔμπειροι, ὡς ἐν μὲν τῇ πρώτῃ τῆς γῆς ἐργασίᾳ βοῶν δεῖ σχολαιοτέρων ὄντων καὶ γενναιοτέρων, ὡς ἂν βαθεῖα γένηται ἡ τομή, ἐν δὲ τῇ νειῷ ἤδη προεσχισμένῃ χρήσιμον τὸ τῶν ὀρέων γένος μᾶλλον ὡς ὀξύτερον. τοιοῦτον γὰρ τὸ ὀρικὸν ζεῦγος, ὥσπερ αὖ τὸ τῶν βοῶν ἰσχυρότερον. Προφέρει δὲ τὸν λόγον τοῦτον ὁ ποιητής, μετρῶν ὅσον διάστημα τῶν Ἑλληνικῶν κατασκόπων ἦν πρὸς τὸν Δόλωνα, ὅτε διώκοντες ἤγγισαν αὐτῷ. Φησὶ γὰρ «ἀλλ’ ὅτε δή ῥ’ ἀπέην ὅσσον τ’ ἐπὶ οὖρα πέλονται ἡμιόνων. αἳ γάρ τε», ἤγουν αὗται, «βοῶν προφερέστεραί εἰσιν ἑλκέμεναι νειοῖο βαθείης πηκτὸν ἄροτρον. τὼ μέν», ἤγουν οὗτοι, «ἐπιδραμέτην», καὶ ἑξῆς. (v. 351) Εἰσὶ δὲ οὖρα ἢ προπαροξυτόνως ἐπίουρα τὰ ὁρμήματα ὡς ἀπὸ τοῦ ὀρούειν, ἢ τὰ μεταξὺ διαστήματα, ὡς ἀπὸ τοῦ οὖρος, ὁ περιορισμός, κατὰ γένους μεταπλασμόν, [ὁποίου τρόπου ἐστὶ καὶ τὰ δάκτυλα καὶ τὰ ταρσά καὶ τὰ λύχνα καὶ τὰ πεσσά δέ, ὡς τὸ «καὶ πεσσὰ πεντάγραμμα καὶ κύβων βολαί».

3.88 ] Ἔστι δὲ ὁ μὲν πρὸς ἡμιόνους εἰκασμὸς τοῦ Δόλωνος, ὁ δὲ πρὸς βόας τῶν διωκόντων Ἑλληνικῶν ἡρώων, εὐγενέστερος ὢν οὗτος πάντως ἐκείνου. (v. 352) Προφερέστεραι δὲ αἱ ταχύτεραι καὶ ἔμπροσθεν φερόμεναι. (v. 353) Βαθεῖαν δὲ λέγει νειὸν τὴν ἢ ὀφείλουσαν ἢ δυναμένην εἰς βάθος σχίζεσθαι. Πρωτότυπον δὲ αὐτῆς τὸ νεᾶν, οὗ χρῆσις παρ’ Ἡσιόδῳ ἐν τῷ «θέρεος δὲ νεωμένη οὔ ς’ ἀπατήσει». ἐξ οὗ καὶ παρὰ Σοφοκλεῖ ἀνανεώσασθαι λόγους τὸ ἀνακινῆσαι, εἰπεῖν δὲ καιριώτερον, ἀναπολῆσαι. Ἀρότρου δὲ πηκτοῦ μνεία καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν, ὅπερ ἐστὶν ἢ τὸ εὐπαγὲς καὶ στερεὸν ἢ ἄλλως τὸ καθ’ Ἡσίοδον, ὃ ἀντιδιαστέλλεται πρὸς τὸ αὐτόγυον. ἐνθυμητέον δ’ ἐνταῦθα καὶ τὸ πηκτῶν κλιμάκων ἀντὶ τοῦ εὐπαγῶν, ὃ κεῖταί που παρ’ Εὐριπίδῃ. δῆλον δ’ ὡς ὁ πλεονασμὸς τοῦ ρ ἐν τῇ ληγούσῃ τοῦ «ἄροτρον» διέστειλεν οὕτως αὐτὸ ἐκ τοῦ ἀρότου, ὃς οὐ μόνον τὸ τοῦ ἀροτριᾶν ἔργον δηλοῖ, ἀλλὰ καὶ τὸν ἐνιαυτὸν παρὰ Σοφοκλεῖ, προπαροξυνόμενον ἀναλόγως τῷ ἄμητος. (v. 354—6) Ἰστέον δὲ καὶ ὅτι τέως μέν, ὅσον ἐρρέθη, ὁ ποδώκης Δόλων διΐσταται τῶν διωκόντων καὶ ποιεῖ τὴν τοῦ πράγματος περιπέτειαν ἐναγώνιον, ἐφεξῆς δέ, ἐπείπερ «οἳ μὲν ἐπιδραμέτην», ὡς εἴρηται, «ὃ δ’ ἄρ ἔστη δοῦπον», φησίν, «ἀκούσας—ἔλπετο γὰρ κατὰ θυμὸν ἀποστρέψοντας ἑταίρους ἰέναι πάλιν Ἕκτορος ὀτρύναντος», —ἄλλως μετρεῖ ὁ ποιητὴς τὸ μεταξὺ τῶν κατασκόπων διάστημα. (v. 357—9) Φησὶ γὰρ «ἀλλ’ ὅτε δή ῥ’ ἄπεσαν», οἵ τε διώκοντες καὶ ὁ διωκόμενος, «δουρηνεκὲς ἢ καὶ ἔλασσον, γνῶ ῥ’ ἄνδρας δηΐους» ὁ Δόλων, «λαιψηρὰ δὲ γούνατ’ ἐνώμα φευγέμεναι· τοὶ δ’ αἶψα διώκειν ὡρμήθησαν». (v. 360—4) Εἶτα ἐπιπλέκων παραβολὴν λέγει «ὡς δ’ ὅτε καρχαρόδοντε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δύω κύνε εἰδότε», ἤγουν ἴδμονες, «θήρης ἢ κεμάδα ἠὲ λαγωὸν ἐπείγετον ἐμμενὲς αἰεὶ χῶρον ἀν' ὑλήεντα, ὃ δὲ προθέησι μεμηκώς», οὕτω τὸν Δόλωνα Διομήδης καὶ Ὀδυσσεὺς «λαοῦ ἀποτμήξαντε διώκετον ἐμμενὲς αἰεί». (v. 357) Ἰστέον δὲ ὅτι «δουρηνεκές» λέγει τὸ εἰς ὅσον δόρυ φέρεται, ἵνα δηλοῖ βολὴν δορός, ἢ ὅσον μῆκος δουρός.

3.89 διὸ μετ' ὀλίγα ἐπαΐσσων ὁ Διομήδης φησὶ «ἠὲ μένε ἠέ σε δουρὶ κιχήσομαι», ὅπερ καὶ αὐτὸ διχῶς νοεῖται, ἢ ὡς ἐπαφεὶς τὸ δόρυ περιγενήσομαί σου ἢ αὐτοσχεδὸν τύψας ἕλω σε, ὡς εἰ καί τις ἰχθὺν τριαίνῃ πλήξας κιχήσεται. δοκεῖ δὲ καὶ ἄλλως ἀστείως αὐτὸ εἰρῆσθαι, ἵνα λέγῃ ὡς, ἐπεὶ οὐ δύναμαι κιχήσασθαί σε ποσί, κιχήσομαί σε δουρί. Πρὸς ὁμοιότητα δέ τινα τοῦ διηνεκές καὶ ποδηνεκές συντέθειται τὸ δουρηνεκές, καὶ ἔτι τοῦ κεντρηνεκές. λέγεται γὰρ ἵππος κεντρηνεκὴς ὁ εὐπειθὴς κέντροις. κέντρα δέ φαμεν, ἃ καὶ ἐγκεντρίδας οἱ παλαιοί, ἤγουν τὰ περὶ τὰς πτέρνας, οἷς, φασίν, ἐλαύνονται ἵπποι. καὶ κλέπταις δὲ ἦσαν ἐγκεντρίδες τινές. Κόροιβος οὖν τοιαύτας ἔχων ἀνερριχᾶτο κλεπτικῶς διὰ τῶν τοίχων, ἐλέγετο δὲ καὶ ἰχθύκεντρον κατὰ Παυσανίαν τρίαινα, ᾗ ἐπὶ μεγάλων ἰχθύων χρῶνται. (v. 357) Τὸ δὲ «ἄπεσαν», ἤγουν ἀπῆσαν, διΐσταντο, οὐ τοὺς διώκοντας μόνους δηλοῖ, ἀλλὰ καὶ τὸν διωκόμενον. οὐ γὰρ αὐτοὶ μόνον ἀπῆσαν ἐκείνου, ἀλλὰ καὶ αὐτὸς ἐκείνων κατὰ τὸ «ἀλλ' ὅτε δή ῥ' ἀπέην», ὁ Δόλων δηλαδή. Ἔνθα ὅρα καὶ ὅτι λείως δυνάμενος ὁ ποιητὴς φράσαι «ἀλλ' ὅτε δὴ ἀπέην», προέκρινε τραχυφωνῆσαι διὰ τῆς τοῦ ῥα ἐπενθέσεως, ὡς καὶ ἐν τῷ «ἀλλ' ὅτε δή ῥ' ἄπεσαν», καὶ ἐν τῷ «γνῶ ῥ' ἄνδρας δηΐους». Τὸ δὲ «δουρηνεκὲς ἢ καὶ ἔλασσον» τὸ φιλάληθες τῆς ἱστορίας δηλοῖ, ὡς ἔστιν ὅτε καὶ ἐνδοιαζούσης πιθανῶς. (v. 358 s.) Ἐκ δὲ τοῦ «λαιψηρὰ γούνατα ἐνώμα» φεύγειν, παραπέφρασται τὸ ἀντίθετον τὸ «τοὶ δ' αἶψα διώκειν ὡρμήθησαν», οὗ τὸ ἐπίρρημα τὸ αἶψα πρωτόθετόν ἐστι τοῦ λαιψηρά. Θρασύδειλος δέ, ὡς καὶ προερρέθη, ὁ Δόλων, ὃς μετὰ θάρσους τὸν ἆθλον ὑποδὺς εἶτα φεύγει κατὰ κράτος τοὺς πολεμίους ἰδών. οὕτως οὐδὲν οἶδε συντελεῖν ἀρετὴ σώματος, εἰ μὴ ψυχικῷ καλῷ συζευγνύοιτο. τί γὰρ ὤνησεν ἡ τῶν ποδῶν ὠκύτης μόνη τὸν Δόλωνα, ἥτις οὐδ' ἐν γυμνασίῳ δίχα εὐβουλίας ἔχει τὸ ἐνεργόν. ἔοικεν οὖν καὶ αὐτὸς ὁ Δόλων καταγινώσκειν ἑαυτοῦ τὸ μὴ δεῖν κατάσκοπον σταλῆναι, ὃς τῶν πολεμίων ἐπιδιωκόντων ἔστη δοῦπον ἀκούσας. «ἔλπετο γάρ», ὡς εἴρηται, «ἀποστρέψοντας ἑταίρους ἰέναι Ἕκτορος ὀτρύναντος». ἴσως δὲ οὐ μόνον ἔλπεται τοῦτο, ἀλλὰ καὶ εὔχεται. τυχὸν δὲ καὶ τοῦ Ἕκτορος ψεῦδος καταγινώσκει ὁ Δόλων, ὡς οἷα μεταμεληθέντος ἐπὶ τῇ ὑποσχέσει τοῦ μεγάλου δώρου, ὅπερ μεγάλα δῶρα πληθύνων ἐρεῖ Ὀδυσσεύς.

3.90 Λαιψηρά δὲ ἢ ἐπιρρηματικῶς, ἵνα λέγῃ ὡς λαιψηρῶς ἐνώμα τὰ γόνατα, ἢ ὀνοματικῶς τὰ λαιψηρὰ γούνατα. ποδώκης γὰρ ὁ Δόλων. (v. 360) Ἐν δὲ τῷ «δύω κύνε» πλεονάζει τὸ δύω, καθὰ καὶ ἐν τῷ «δύω κοσμήτορε Ἀχαιῶν». Τὸ δὲ «εἰδότε θήρης» σημείωσαι, ὡς τοῦ εἰδέναι καὶ γενικῇ συνταχθέντος καὶ ἐπὶ ἀλόγων ζῴων τεθέντος λόγῳ γλυκύτητος. (v. 361) Κεμάς δὲ κατά τινα γλῶσσαν τὸ τῆς ἐλάφου, φασί, γέννημα, ἧς ἡ ἐτυμολογία εἰρήσεται. Τοῦ δὲ λαγωός ὅτι πρωτότυπον ὁ λαγός διὰ τοῦ ο μικροῦ ἔχων τὴν λήγουσαν ὀξυτόνως, οὗ πρὸς διαστολὴν Λάγος τὸ κύριον, πολλοῖς ἀρέσκει τῶν παλαιῶν. πλεονάζει δὲ πρὸ τῆς ληγούσης τὸ μέγα ω , καθὰ καὶ ἐν τῷ κολωός. καὶ αὐτοῦ γὰρ προϋπόκειται δισύλλαβον ὄνομα, ὅπερ ὁ κόλος βοῦς καὶ τὸ κόλον δόρυ δηλοῖ. Γίνεται δὲ παρὰ τὸ λάειν, ὅ ἐστι βλέπειν, ὁ λαγός. τὸ δὲ λέγειν ὅτι λαγὼς παρὰ τὸ λα ἐπιτατικὸν γίνεται καὶ τὸ ὦς ὠτός, τὸ ὠτίον, ἐξ οὗ δῆθεν ὁ λαγωός, δοκεῖ ἔχειν ἀντιλογίαν διὰ τὴν ὀξυτόνησιν. ἐχρῆν γὰρ ἢ περισπᾶσθαι τὴν τούτου λήγουσαν διὰ τὸ ὦς, ἢ ἀλλὰ βαρύνεσθαι διὰ τὴν σύνθεσιν κατὰ τὸ φῶς ἄφως καὶ λειψίφως, ἤδη δὲ καὶ λυκόφως. [Δοκεῖ δὲ Ἀττικοῖς φίλος εἶναι ὁ ἐν δυσὶ συλλαβαῖς λαγώς, οὗ καὶ ἡ ἑνικὴ γενικὴ τοῦ λαγώ, καθὰ δηλοῖ ὁ γράψας τὸ «λαγὼ βίον ζῇς ὁ πρὶν ἄτρομος λέων», καὶ πληθυντικὴ εὐθεῖα οἱ λαγῴ. ἐκ δὲ τοῦ τοιούτου λαγώς καὶ κρέα λαγῷα παρὰ τῷ Κωμικῷ. μνηστέον δὲ νῦν σοφοῦ εἰπόντος ἐπὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βασιλεῖ περιελκομένῳ δώροις ὑπό τινος λαγῳοφθάλμου τὸ «ἕλκει λαγὼς λέοντα χρυσίνῳ βρόχῳ».

3.91 ] καὶ τοῦτο μὲν τοιοῦτον. Τὸ δὲ «ἐπείγετον ἐμμενὲς αἰεί» διασαφεῖ ὁ ποιητὴς ἔν τε τῷ «αἶψα διώκειν ὡρμήθησαν», καὶ κατωτέρω ἐν τῷ «διώκετον ἐμμενὲς αἰεί», ἐν οἷς καὶ τὴν ταὐτολογίαν ὅρα, καὶ ὡς οὐ μόνον ἐπείγειν τὸ ἐπισπεύδειν καὶ ἐρεθίζειν, ἀλλ' ἰδοὺ καὶ τὸ διώκειν πολεμικῶς. (v. 362) Ἐν δὲ τῷ «ὃ δὲ προθέησι», τουτέστιν ὁ λαγωός, ὅρα ὅτι προτετίμηται τῆς κεμάδος ὁ λαγωὸς εἰς σύνταξιν κατὰ γένους τιμιότητα, ὡς πολλαχοῦ γίνεται. Τὸ δὲ μηκᾶσθαι, ἀφ' οὗ μέσος παρακείμενος ὁ μεμηκώς, ὑποτρίζειν τινὲς ἡρμηνεύκασι. καὶ ἔστι μίμημα φωνῆς οὐ μόνον αἰγῶν, ὡς πολλαχοῦ φαίνεται, ἀλλὰ καὶ ἐλάφου συλληπτικῶς καὶ λαγωοῦ, ἣν ἀφίησιν οἷον κλαυθμόν τινα, ὅταν διωκόμενος κατάληπτος γίνηται. καὶ ἴσως ἐκ τοῦ τοιούτου ῥήματος καὶ ἡ κεμὰς ὠνόμασται οἱονεὶ κημὰς κατὰ μετάθεσιν καὶ κατὰ συστολὴν κεμάς, ἣν ὁ τὰ μεθ' Ὅμηρον γράψας ἐν δυσὶ μ γράφει διπλάσας τὸ ἀμετάβολον. εἰ δὲ ἀπεμφαίνει τοῦτο, ζητητέον τὸ ἀκριβὲς ἑτέρωθεν. (v. 364 s.) Ἀποτμῆξαι δὲ λαοῦ τὸ πόρρω ἀπαγαγεῖν, οὗ ἀνάπαλιν τὸ μιγῆναι, οἷον «ἀλλ' ὅτε δὴ τάχ' ἔμελλε μιγήσεσθαι φυλάκεσσιν», ἤγουν ἑνωθῆναι. αἱ δὲ λέξεις αὗται καὶ πολεμικαί ποτέ εἰσιν, ὡς δηλοῖ τὸ «ἀποτμῆξαι κεφαλήν», καὶ τὸ «μιγῆναι ἔγκασι φωτός». (v. 365) Ὅρα δὲ τὸ «μιγήσεσθαι», οὗ ἐνεστὼς μιγῶ. [Εἰ μὴ ἄρα μᾶλλον ἐκ τοῦ ἐμίγην δευτέρου παθητικοῦ ἀορίστου γίνεται πρὸς ὁμοιότητα τοῦ πρώτου, ἵνα ᾖ ὡς ἐμίχθη μιχθήσεσθαι, οὕτως ἐμίγη μιγήσεσθαι.] (v. 365—77) Ὅτι φεύγοντος ἐπικρατῶς τοῦ Δόλωνος—ποδώκης γὰρ ἦν, ὡς προείρηται—καὶ μέλλοντος ἤδη μιγήσεσθαι, ὡς ἐρρέθη, τοῖς Ἑλληνικοῖς φύλαξιν, ὁ Διομήδης μένος καὶ νῦν θεόθεν λαβών, «ἵνα μή τις Ἀχαιῶν χαλκοχιτώνων φθαίη ἐπευξάμενος βαλέειν, ὁ δὲ δεύτερος ἔλθῃ», προσέφη «δουρὶ ἐπαΐσσων· ἠὲ μένε, ἠέ σε δουρὶ κιχήσομαι», ὡς καὶ αὐτὸ προδεδήλωται, «οὐδέ σέ φημι δηρὸν ἐμῆς ἀπὸ χειρὸς ἀλύξειν αἰπὺν ὄλεθρον». Ἔφη δὴ «καὶ ἔγχος ἀφῆκε», κατὰ τὸ «ἅμ' ἔπος ἅμ' ἔργον». «ἑκὼν δ' ἡμάρτανε φωτός.

3.92 δεξιτερὸν δ' ὑπὲρ ὦμον ἐϋξόου δουρὸς ἀκωκὴ ἐν γαίῃ ἐπάγη, ὃ δ' ἂρ ἔστη» λαθόμενος τῆς θρασύτητος, τάρβησέν τε βαμβαίνων, «ἄραβος δὲ διὰ στόμα», ἤγουν κατὰ στόμα, «γίνετ' ὀδόντων χλωρὸς ὑπαὶ δείους· τὼ δ' ἀσθμαίνοντε κιχήτην, χειρῶν δ' ἁψάσθην». (v. 378—81) Ὁ δὲ ποιεῖ τὰ τοῦ ἀγεννοῦς καὶ δειλοῦ. «Δακρύσας γὰρ ἔπος ηὔδα· ζωγρεῖτε, αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι. ἔστι γὰρ ἔνδον χαλκός τε» καὶ ἑξῆς, ὡς προγέγραπται. Τῶν δὲ εἰρημένων πολλὰ προσαρμόζουσι λογογραφικαῖς ὑποθέσεσι. Τὸ γοῦν «ἵνα μή τις φθαίη» καὶ ἑξῆς, προμάχου τινὸς ποιήσοι ἂν ἔπαινον, ὥσπερ καὶ τὸ «ἠὲ μένε» καὶ ἑξῆς. Τὸ δὲ «οὐδέ σέ φημι δηρόν» καὶ ἑξῆς, ταπεινὸν θροήσει ἄνδρα πρός τινος δυνατοῦ λαληθέν. Τὸ δὲ «ἑκὼν δ' ἡμάρτανε φωτός» εἰς ἐπιείκειαν ῥηθήσεταί ποτε πολεμιστοῦ. καὶ τὰ ἐφεξῆς δὲ ὁμοίως χρήσιμα ἔσονται. Φασὶ δ' ἐνταῦθα οἱ παλαιοί, ὅτι ἐνεργείας μεστὸς ὁ Διομήδης ἐφ' οἷς ποιεῖ. ἐπαινοῦσι δὲ καὶ τὸν Ὀδυσσέα, ὅτι μὴ ἀφῆκε βέλος ἐκ τόξου. τὸ μὲν γὰρ δόρυ ἐπὶ ἐκφοβήσει ἀφεθὲν ὑπὸ τοῦ Διομήδους οὐ λανθάνει διὰ τὸ μέγεθος, ὁ δὲ ὀϊστὸς μάτην ἂν ἀφείθη. ἐλάνθανε γάρ, εἰ μὴ τυχὸν ἐρροίζησεν. (v. 368) Ἰστέον δὲ ὅτι τὸ «ἐπευξάμενος βαλέειν» ἐναλλαγὴν ἔχει μερῶν λόγου, ὁποία ἐστὶν ἔν τε ἄλλοις, καὶ ἐν τῷ «χασσάμενος πελεμίχθη». κἀνταῦθα γὰρ τὸ ὀρθὸν τοιοῦτον· μή τις φθαίη βαλὼν ἐπεύξασθαι ἤτοι καυχήσασθαι. Εἰπεῖν δὲ ἄλλως κάλλιον, ἐν τῷ «φθαίη ἐπευξάμενος βαλέειν» τρεῖς αὗται λέξεις ἀπροσκόπως δύνανται καὶ εἰς ῥήματα καὶ εἰς μετοχὰς μεταληφθῆναι, οἷον «μή τις φθάσας ἐπεύξηται βαλεῖν», καὶ πάλιν «μή τις φθαίη ἐπεύξασθαι βαλών», καὶ «μή τις φθαίη ἐπευξάμενος βαλεῖν», ὃ δὴ ἔφη ὁ ποιητής. Τὸ δὲ «δεύτερος ἔλθῃ» ἐφερμηνευτικόν ἐστί πως τοῦ φθαίη. δῆλον γὰρ ὡς, εἴ τε φθαίη, οὐκ ἂν δεύτερος ἔλθοι, καὶ ὃς δὲ ἔλθοι δεύτερος, πάντως οὐκ ἔφθη. (v. 374) Τὸ δὲ «ἐν γαίῃ ἐπάγη» πάνυ θαυμασίως πέπλασται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.93 εἰ γὰρ ἔπεσε περὶ γῆν τὸ δόρυ, ἔλαθεν ἂν τὸν δειλὸν καὶ οὐκ ἂν ὑποδεδιὼς ἐστάθη, παγὲν δὲ εἰς γῆν καὶ ἐφ' ὁποσονοῦν ὀρθούμενον κατά τι φυτὸν ἢ σκόλοπα ἐθεάθη καὶ ἔστησε τὸν ταχὺν φεύγειν θρασύδειλον. Ἰστέον δὲ καὶ ὅτι τὸ «ἔστη τάρβησέν τε» καὶ ἑξῆς, χαρακτήρ ἐστιν ἀνθρώπου πάνυ δειλιάσαντος ἐν κινδύνῳ, καὶ ὅτι οὐχ' ἁπλῶς ἔστη ὁ ποδώκης Δόλων, ἀλλὰ τοῦ τάρβους αὐτὸν οἷον πεδήσαντος. (v. 374 s.) Καὶ ὅτι τὰ συνεχισθέντα τῇ παραθέσει τὸ ταρβῆσαι καὶ τὸ βαμβαίνειν καὶ ὁ ἄραβος, τὰ ἐξ ὀνοματοποιΐας, τραχεῖαι λέξεις καὶ σκληραί, πλεονάσασαι καιρίως ἐν τόπῳ φοβερῷ καὶ μὴ ἐπιδεχομένῳ κάλλους ῥητορικοῦ ἱλαρότητα, ὧν τὸ μὲν ταρβεῖν ταὐτόν ἐστι τῷ τεταράχθαι τὴν βοήν, οὗ ἀνάπαλιν τὸ εὐρυβόαν εἶναί τινα καὶ βοὴν ἀγαθόν. Τὸ δὲ βαμβαίνειν, ὅ ἐστι συγκρούειν τοὺς ὀδόντας, ἀπὸ τοῦ κατὰ στόμα ψόφου κατὰ τοὺς παλαιοὺς ἐσχημάτισται. καὶ ἔστι, φασί, δυσερμήνευτον. συμβαίνει δὲ τοῖς ῥιγοῦσι καὶ τοῖς ὑποπτήσσουσι καὶ θέλουσι μὲν λαλῆσαί τι, ἀπορουμένοις δὲ καὶ ὑποτρέμουσι καὶ οὕτω τοὺς ὀδόντας συρρήσσουσιν. ὅτι δὲ καὶ ὁ Δόλων ὑπέτρεμε, δηλοῖ μετ' ὀλίγα τὸ «ὑπὸ δ' ἔτρεμε γυῖα». Ἰστέον δὲ ὅτι ἐν ῥητορικῷ τινὶ Λεξικῷ φέρεται βαμβαλίζειν τὸ τρέμειν ὑπὸ ψύχους, ἐν δὲ ἑτέρῳ, ὅτι βαμβαίνων μὲν βήματα βάλλων, κατὰ βῆμα πορευόμενος καὶ παπταίνων, βαμβαλίζων δὲ ῥιγῶν, ἀπολλύμενος. Ὁ δὲ ἄραβος καὶ αὐτὸς τῶν βαμβαινόντων ἐστὶν ἀποτέλεσμα. (v. 376) Τὸ δὲ «χλωρὸς ὑπαὶ δείους» πρὸς διαστολὴν εἴρηται [οὐ μόνον τοῦ κατὰ ἥβην καὶ νεότητα χλωροῦ καὶ ἐνίκμου, οὐ μὴν αὔου καὶ γεροντικῶς ἀλίβαντος, ᾧ δὴ χλωρῷ σύστοιχον καὶ τὸ χλωρὸν γόνυ παρὰ Θεοκρίτῳ καὶ ὁ ἐν Ὀδυσσείᾳ διερὸς πούς, ἀλλὰ καὶ] τῶν ἄλλως ἢ ὑπὸ νόσου χλωρῶν ἢ κατά τινα φυσικὴν κρᾶσιν, καθ' ἣν ἔσκωπται, ὥς που προγέγραπται, τὸ «οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν» εἰς χλωρότητα δηλαδὴ κεχρωσμένων κατὰ φύλλα. Δῆλον δὲ ὡς ὅμοιόν τί ἐστι χλωρὸν ὑπὸ δέους εἰπεῖν καὶ ὠχρόν, ὥστε καὶ ὅτε εἴπῃ Ὅμηρος δέος χλωρόν, τὸ ὠχροποιὸν λέγει.

3.94 [Ἄλλως μέντοι πρὸς ἀκρίβειαν ἀκατάχρηστον ὁ ὠχρὸς οὐκ ἂν ὀρθῶς πάνυ λέγοιτο χλωρός, κατὰ τὸ ἐν χλωρότητι χρυσίου, ἀλλὰ μάλιστα ὁ πυξοειδῶς κεχρωσμένος, ἀφ' οὗ πύξινός τις ἔσκωπται ἄνθρωπος παρὰ τοῖς παλαιοῖς, καὶ ἄλλως δὲ φράσαι, ὁ κατὰ χρυσοῦν χρῶμα βεβαμμένος τὴν ὄψιν, ὃν καὶ τοῦ χρυσοῦ γένους ἄνθρωπον σκώψοι ἄν τις εὐφυῶς. Χρήσιμα δὲ εἰς νοῦν τοιοῦτον καὶ ἡ καθωμιλημένη ὤχρα, καὶ τὸ ῥηθῆναι ὠχρὸν εἶναι τὸν χρυσὸν διὰ τὸ πολλοὺς ἔχειν τοὺς ἐπιβουλεύοντας.] Ἡ Ὁμηρικὴ δὲ Μοῦσα ὁρᾷ καὶ τήν, ὡς εἰκός, ὑπὸ δέους χλωρότητα τοῦ Δόλωνος καὶ τὸ ἐξ ἐκείνου, ὡς εἰκός, δάκρυον. οἱ γὰρ κατάσκοποι διὰ τὴν νύκτα οὐχ' ὁρῶσιν αὐτά. Γίνεται δὲ χλωρὸς ἀπὸ τοῦ χλόη κατὰ κρᾶσιν τοῦ ο καὶ η , ὁποίαν πάσχει καὶ ἡ σιωπὴ καὶ τὸ δῶμα καὶ ἐν Ὀδυσσείᾳ τὸ βωστρεῖν καὶ παρὰ Ἡροδότῳ τὸ βωθεῖν. Τὸ δὲ «ἀσθμαίνοντε» τὸ πολὺ τοῦ τάχους δηλοῖ τοῦ Δόλωνος, εἴγε καὶ μόλις αὐτὸν ἱστῶσι τοῦ δρόμου οἱ ἥρωες καὶ ἀσθμαίνοντες δὲ καταλαμβάνουσι. Τὸ δὲ «κιχήτην» ἐκ τοῦ κιχησάτην συγκέκοπται. τινὲς δὲ διὰ διφθόγγου τὴν τῆς λέξεως ταύτης ἔγραψαν παραλήγουσαν κατὰ τὸ ποιείτην καὶ τὰ ὅμοια. (v. 377) Τὸ δὲ ἅψασθαι χειρῶν προμηθείας ἐστὶ στρατιωτικῆς, οὐ μόνον ἵνα μὴ φύγῃ ὁ Δόλων, ἀλλὰ καὶ ἵνα μὴ παραξιφίδα τυχὸν φορῶν ἑλκύσῃ κατ' αὐτῶν, ἴσως δὲ καὶ ἵνα εἰς δεξίωσιν τοῦτο νοήσας θαρρήσῃ σωθῆναι καὶ οὕτως ἐξείπῃ τὴν ἐφ' οἷς ἂν ἐρωτηθείη ἀλήθειαν. Τὸ δὲ δακρῦσαι πάνυ μὲν καὶ αὐτὸ ἀγεννές, θρασυδείλου δὲ ἴδιον. (v. 378 s.) Περὶ δὲ τοῦ ζωγρεῖν δεδήλωται ἀλλαχοῦ, ὥσπερ καὶ περὶ τοῦ πολύκμητος σίδηρος. (v. 378—81) Ἰστέον δὲ καὶ ὅτι πλούτου δηλωτικὸν τὸ «ἔστιν ἔνδον χαλκός τε χρυσός τε» καὶ τὸ ἑξῆς, καὶ ὅτι τὸ ζωγρεῖν ὑφερμηνεύων ὁ ποιητὴς ἐπήγαγε τὸ «ὧν ὑμῖν χαρίσαιτο ἂν ὁ πατὴρ πολλά, εἴ κεν ἐμέ», τὸν Δόλωνα δηλαδή, «ζωὸν πεπύθοιτο», ἤγουν ζωγρηθέντα ὑφ' ὑμῶν.

3.95 (v. 382 s.) Ὅτι οὐκ ἀπόβλητόν ἐστι σπουδαίῳ ἀνδρὶ τὸ κατὰ καιρὸν σοφίσασθαι καὶ οὕτω πως ψεύσασθαι. Ὀδυσσεὺς οὖν ἐνταῦθα δοκεῖ ψεύδεσθαι, εἰπὼν μὲν τῷ Δόλωνι ὅτι «θάρσει, μηδέ σοι θάνατος καταθύμιος ἔστω», ὅ ἐστιν ἐν ἐνθυμήσει καὶ κατὰ διάνοιαν, οὐκ ἀντιπράξας δὲ τῷ

Διομήδει ἀναιροῦντι αὐτόν. Καὶ ὅρα τὴν τοῦ λόγου δεξιότητα μέσως εἰρημένου. οὐ γὰρ ὤμοσεν ἢ ἀπεφήνατο ὡς οὐ τεθνήξῃ, ἀλλὰ προστακτικῶς εἶπε· θάρσει, μηδὲ ἐνθυμοῦ θάνατον, ὅπερ οὐδεμίαν εἶχε πληροφορίαν ζωῆς. αὐτὸς μέντοι οὐκ ἀναιρεῖ αὐτόν, ἴσως μὲν διὰ τὴν ἁπλῶς ἐν ψιλῷ λόγῳ συνθήκην, τάχα δὲ καὶ διότι λόγου ὅλως τῷ Δόλωνι ἐκοινώνησε, μάλιστα δὲ ὅτι τὰ μὲν εἰς χεῖρα τῷ Διομήδει ἀνατίθησι, τὰ δὲ εἰς λόγους ἑαυτῷ. Ὅρα δὲ καὶ ὡς ἡ πολλὴ δειλία ἐξέκρουσε τὸν Δόλωνα τοῦ φρονεῖν. ὁ γὰρ εἰς μηδὲν δέον ἀπαιτήσας ὀμόσαι τὸν Ἕκτορα εὐκόλως ἐνταῦθα καὶ δίχα ὅρκου πείθεται τῷ ἐχθρῷ, λέγοντι «θάρσει» καὶ ἑξῆς. (v. 385—9) Ὅτι ἐρωτήσεις ἐνταῦθα παρὰ τοῦ Ὀδυσσέως πρὸς τὸν Δόλωνα γοργαὶ διὰ τὸ κατεπεῖγον τοῦ καιροῦ τοιαῦται «πῇ δ’ οὕτως ἐπὶ νῆας ἀπὸ στρατοῦ ἔρχεαι οἶος νύκτα δι’ ὀρφναίην», τὴν καὶ προρρηθεῖσαν, ἧς διασαφητικὸν τὸ «ὅτε θ’ εὕδουσι βροτοὶ ἄλλοι. ἤ τινα συλήσων», φησί, «νεκύων», ὡς καὶ προεγράφη, «ἤ ς’ Ἕκτωρ προέηκε διασκοπιᾶσθαι ἕκαστα, ἤ σε αὐτὸν θυμὸς ἀνῆκεν», ὅπερ ἐστὶ περίφρασις τοῦ ἢ σὺ προεθυμήθης. (v. 405—9) Μετ’ ὀλίγα δὲ ἔτι γοργότερον φράζων φησὶ κατ’ ἐρώτησιν «ἀλλ’ ἄγε μοι εἰπέ· ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα ποιμένα λαῶν; ποῦ δέ οἱ ἔντεα κεῖται ἀρήϊα, ποῦ δέ οἱ ἵπποι; πῶς δ’ αἱ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί, ἅσσα τε μητιόωσι μετὰ σφίσιν», ἀντὶ τοῦ τίνα βουλεύονται; (v. 409) Διὸ καὶ ψιλοῦται τὸ «ἄσσα» κατὰ τοὺς παλαιούς, ὡς τοῦ δασυνομένου μὴ τὸ τίνα δηλοῦντος, ἀλλὰ τὸ ἅτινα, καθὰ καὶ ἀλλαχοῦ δηλοῦται. Δῆλον δὲ ὅτι τὸ ῥηθὲν ἄσσα, Ἀττικοὶ διὰ δύο τ ἐκφέρουσι, καὶ ὅτι τὸ ἅσσα ἀντὶ τοῦ ἅτινα, ὃ καὶ αὐτὸ Ἀττικῶς ἅττα λέγεται, ἀναγκαίως δασύνεται ὡς ἀπὸ τοῦ ἅ ὑποτακτικοῦ ἄρθρου καὶ τοῦ σα , ὃ δηλοῖ τὸ τινά γλώσσῃ Μεγαρέων, καθά φασιν οἱ παλαιοί. Ἰστέον δὲ καὶ ὅτι οὐ πάνυ εὕρηται χαίρων ὁ ποιητὴς τῇ προφορᾷ τοῦ τ ἀντὶ τοῦ ς κατὰ τοὺς ὕστερον Ἀττικούς, οἳ Ὁμήρου σήμερον λέγοντος τήμερον αὐτοί φασιν, ὡς καὶ τὴν κοινῶς σύρβην τύρβην λέγουσι, καὶ τὸ σεῦτλον τεῦτλον.

3.96 Αἴλιος δὲ Διονύσιος ἱστορεῖ τοὺς Κωμικοὺς μάλιστα ἐκκλίνειν πᾶν τὸ ἔχον σιγμὸν καὶ ἐξήχησιν καὶ ψόφον, ἃ τῇ τραγῳδίᾳ μάλιστα ἂν ἁρμόττοι. διὸ καὶ διασύροντες τοὺς τραγικοὺς ὡς μὴ τοιούτους προσπαίζουσιν ἐν τῷ «ἔσωσας ἡμᾶς ἐκ τῶν σιγμάτων Εὐριπίδου». λέγει δὲ καὶ ὅτι Περικλέα φασὶ πρῶτον ἐκκλῖναι τὸν διὰ τοῦ ς σχηματισμὸν τοῦ στόματος ὡς ἀπρεπῆ καὶ πλατύν, γυμναζόμενον ἀεὶ πρὸς κάτοπτρον, καὶ ὅτι Θετταλοὶ καὶ Κιτιεῖς, οὐχ’ οἱ κατὰ Φοινίκην, ἀλλ’ οἱ περὶ Κύπρον, ὧν πόλις Κίτιον, κληθεῖσα οὕτω, φασίν, ἀπὸ Κιτίου γυναικός τινος, θάλατταν ἔλεγον καὶ πίτταν καὶ καρδιώττειν καὶ Ματταλίαν, καὶ τοιαῦτα ὅσα οὐδαμοῦ Ἀττικὰ νομίζονται, ἀλλὰ τῶν γειτόνων, φησί, Βοιωτῶν, τῷ μήτε Ὅμηρον μήτε τραγικοὺς μήτε Θουκυδίδην ἢ Πλάτωνα κεχρῆσθαι αὐτοῖς. Ἐν δὲ τῷ τέλει τοῦ λόγου φησὶν ὁ αὐτὸς οὕτω· καὶ Ὅμηρος δὲ ποιητὴς ὢν καὶ ῥαψῳδῶν προσεῖχεν ἄλλως τῷ ὄγκῳ. διὸ καὶ ἀρχόμενος τῆς ποιήσεως οὐκ ἰωνίζει οὐδὲ θεή λέγει, ἵνα μὴ συστείλας τὰ χείλη στενὸν τὸν ὄγκον ποιοίη. (v. 406 s.) Ὅρα δὲ ὡς ἐν τῇ δευτέρᾳ συστοιχίᾳ τῶν τοῦ Ὀδυσσέως ἐρωτήσεων, ἃς ἐχρῆν ἐρωτηθῆναι κατάσκοπον, εἴ τις ἐξακριβολογοῖτο δεόντως αὐτόν, περὶ Ἕκτορος πρῶτον ἐρωτᾷ ὁ ἥρως. ἴσως γὰρ ὥσπερ ὁ Δόλων τῆς βασιλικῆς σκηνῆς, οὕτως αὐτοὶ τῆς τοῦ Ἕκτορος ἐφίενται. ἐρωτᾷ δὲ καὶ περὶ τῶν ἐκείνου ὅπλων, μέγα ἡγούμενος εἰ καὶ τοιοῦτόν τι ἀνύσουσι καὶ λαθόντες ὑφέλωνται, εἰ καὶ ἡ εὔπλαστος ἄκρα δειλία τοῦ Δόλωνος ἕτερόν τι μεῖζον ποιεῖ ἀνῦσαι αὐτούς. (v. 424 s.) Προϊὼν δὲ ὁ Ὀδυσσεὺς μίαν τινὰ ἐπὶ ταῖς ῥηθείσαις ἐρώτησιν περὶ τῶν ἐπικούρων ἐρωτᾷ, τὴν ἀναγκαιοτάτην λαβὼν ἀφορμὴν ἐκ τῶν τοῦ Δόλωνος ἀποκρίσεων, μεθ’ ἣν παύει τοὺς πλείονας λόγους. Ἰστέον γὰρ ὅτι τὰ μὲν ἀνδρεῖα, ὡς καὶ ἀνωτέρω ἐρρέθη, ὁ Διομήδης πράττει, ἔνθα δὲ λόγον δοῦναι χρὴ τῷ πολεμίῳ καὶ αὖθις ἀπαιτῆσαι ἀπ’ αὐτοῦ, τῷ σοφῷ ἐκεῖνος παραχωρεῖ Ὀδυσσεῖ καὶ γίνεται τῷ μὲν Ὀδυσσεῖ χεὶρ οἷον ὁ Διομήδης δραστικωτάτη, τῷ δὲ Διομήδει ὁ Ὀδυσσεὺς λόγος ἔμπρακτος. (v. 385) Ἰστέον δὲ ὅτι ἐν τῷ «πῇ δ’ οὕτως» ὁ δε σύνδεσμος ἀντὶ τοῦ δη συνήθως εἴληπται. (v. 386) Τὸ δὲ «βροτοὶ ἄλλοι» πρὸς

διαστολὴν εἴρηται ἢ τῶν νῦν ἐγρηγορότων τριῶν ἀνδρῶν ἢ καὶ ἁπλῶς τῶν ἐν τῇ μάχῃ ἀγρυπνούντων ἐπὶ φυλακῇ. (v. 387—9) Ἐν δὲ τῷ «ἤ τινα συλήσων, ἢ Ἕκτωρ σε προέηκεν, ἤ σε θυμὸς ἀνῆκεν», ἡ συνήθης τῷ ποιητῇ μέθοδος πλατύνει τῇ τοῦ ἐρωτῶντος ἀπορητικῇ ἀγνοίᾳ τὴν ποίησιν, ὡς μυριαχοῦ γίνεται δεξιώτατα.

3.97 (v. 388) Τὸ δὲ «διασκοπιᾶσθαι» συνῄρηται ἐκ τοῦ σκοπιάασθαι. (v. 408) Ἐν δὲ τῷ «φυλακαί τε καὶ εὐναί» φυλακὰς μὲν λέγει τὰς τῶν ἐν ἐγρηγόρσει, εὐνὰς δὲ τὰς τῶν ὑπνούντων. (v. 407) Ἐν δὲ τῷ «ποῦ δέ οἱ ἔντεα κεῖται ἀρήϊα, ποῦ δέ οἱ ἵπποι» ἀπὸ κοινοῦ νοεῖται τὸ κεῖνται, ἵνα λέγῃ· ποῦ δὲ τῷ Ἕκτορι οἱ ἵπποι κεῖνται, ὅ ἐστι κέκλινται, ἤγουν περιέχονται, ὡς πολλαχοῦ δηλοῦται. Ἢ καὶ ἄλλως, λείπει ῥῆμα ὑπαρκτικόν, ἵνα ᾖ· ποῦ δὲ οἱ ἵπποι εἰσίν. Ἀρήϊα δὲ ἔντεα πρὸς διαστολὴν ἑτεροίων ἐντέων εἴρηται, [ὁποῖα καὶ τὰ συμποτικά, κατὰ τὸ «οἳ δ’ ἀπεκόσμεον ἔντεα δαιτός».] (v. 391) Ἔτι ἰστέον καὶ ὅτι ἐν τοῖς ῥηθεῖσι κεῖται ψόγος βλαπτικῆς ὑποσχέσεως τὸ «πολλῇσί μ’ ἄτῃσι παρὲκ νόον ἤγαγεν» ὁ δεῖνα, ἤγουν παρεξήγαγέ με τοῦ λογισμοῦ βλαπτικαῖς ὑποσχέσεσι. (v. 391—3) Τοιαῦται γὰρ αἱ τοῦ Ἕκτορος πρὸς Δόλωνα, ὃς δέον ἑαυτὸν αἰτιᾶσθαι ὡς μέγα δῶρον αἰτήσαντα, ὁ δ’ ἀλλὰ τὸν Ἕκτορα ὡς αἴτιον ὑπομέμφεται διὰ τὴν τοῦ αἰτηθέντος δώρου ὑπόσχεσιν, λέγων ὡς «πολλῇσί μ’ ἄτῃσι παρὲκ νόον ἤγαγεν Ἕκτωρ, ὅς μοι Πηλείωνος ἀγαυοῦ μώνυχας ἵππους δώσειν κατένευσε» καὶ ἑξῆς. Ἔνθα ὅρα τὸ «κατένευσεν», ἐξ οὗ συνηγορεῖται τὸ προρρηθὲν «ἐπίορκον ἐπώμοσεν», ὡς κάλλιον ὂν οὕτω γράφειν ἤπερ ἀπώμοσεν. ὅμοιον γάρ τι τὸ ἐπώμοσε καὶ τὸ κατένευσε. Ὅρα δὲ καὶ ὅτι οὐδὲ οἱ πολέμιοι αἰδοῦνται δι’ ἐπαίνου ἄγειν τὰς τῶν ἐχθρῶν ἀρετάς. Ἕκτωρ τε οὖν πολλαχοῦ τὸν Ἀχιλλέα ἐπαινεῖ, καθὰ καὶ αὐτὸς ἐκεῖνον, καὶ ὁ Δόλων δὲ ἀμύμονα τὸν Ἀχιλλέα εἰπὼν πρὸ βραχέων ἐνταῦθα καὶ ἀγαυὸν λέγει αὐτόν. (v. 391) Περὶ δὲ τοῦ «παρὲκ νόον ἤγαγεν», ὅτι ταὐτόν ἐστι τῷ παρὲξ νόου, ἤγουν ἐκτὸς λογισμοῦ, καὶ ὅτι τὸ παρέξ καὶ διὰ τοῦ ξ γράφεται καὶ διὰ τοῦ κ , καὶ πότε ταῦτα γίνεται, καὶ ὅτι τὸ τοιοῦτον ἐπίρρημα διφορεῖται κατὰ σύνταξιν, καὶ ἀλλαχοῦ σαφῶς δεδήλωται. (v. 394) Ὅτι θοὴν ὁ ποιητὴς νύκτα καὶ νῦν λέγει ἢ τὴν τῶν ζῴων καταθετικὴν εἰς ἀνάπαυλαν, ἀπὸ τοῦ θέω θῶ, τὸ τίθημι, ἢ τὴν ταχεῖαν, ὡς ἀπὸ τοῦ θέω, τὸ τρέχω. ἀνεπαισθήτως γὰρ τοῖς ὑπνοῦσιν ἀπερχομένη δοκεῖ ταχυτέρα τῆς ἡμέρας εἶναι. ἢ μάλιστα φιλοσόφως, τὴν κωνοειδῆ καὶ εἰς θοόν, ὅπερ ἐστὶν εἰς ὀξύ, λήγουσαν.

3.98 ἐπεὶ γάρ, φασίν, ὁ φωτίζων ἥλιος μείζων ἐστὶ τῆς φωτιζομένης γῆς, κωνοειδὴς γίνεται ἡ αὐτόθεν σκιά, ὅ ἐστιν ἡ νύξ. Καθόλου γάρ, εἰ τὸ φωτίζον μεῖζον τοῦ φωτιζομένου, κωνοειδὴς ἀποτελεῖται σκιά, ὥσπερ ἐὰν ἀνάπαλιν, καλαθοειδής, ἐὰν δὲ ἄμφω ἴσα, κυλινδροειδής. Ὁ δέ γε Κράτης καὶ ἐν τῇ τοιαύτῃ φιλοσοφίᾳ τὸ θοή ἐπὶ ταχείας τίθησι, λέγων ὡς ἡ νὺξ σκιὰ τῆς γῆς οὖσα ἰσοταχῶς κινεῖται τῷ ἡλίῳ, διώκουσα οἷον καὶ διωκομένη. διὸ θοὴν εἰπὼν ἄρτι νύκτα μετ’ ὀλίγα νῆες θοαί φησιν, εἰς ἔνδειξιν τοῦ ταὐτοσήμου τῶν λέξεων ἐπί τε νυκτὸς ἐπί τε νηῶν. Ἰστέον δὲ καὶ ὅτι ὁ φιλόμηρος Σοφοκλῆς τὸ θοή μεταλαβὼν «αἰόλα νύξ» λέγει οὐ μόνον κατὰ τὸ ἐν ἄστροις ποικίλον αὐτῆς, καθ’ ὃ καὶ ποικιλείμων παρ’ Αἰσχύλῳ λέγεται, ἀλλὰ καὶ κατὰ τὰς ῥηθείσας Ὁμηρικὰς ἐννοίας. (v. 395) Ὅτι ἀγαθοῦ κατασκόπου ἐν μάχῃ ἔργον τὸ «ἀνδρῶν δυσμενέων σχεδὸν ἐλθέμεν, ἔκ τε πυθέσθαι» τάδε τινά. Ἔστι δὲ κἀνταῦθα τὸ σχεδόν ἀντὶ τοῦ ἐγγύς, ἀκριβέστερον δὲ εἰπεῖν, ἐχομένως, ὃ καὶ σχέδην λέγεται. (v. 400—4) Ὅτι Δόλων μέν, ὡς ἐρρέθη, ἄτας πολλὰς ὠνόμασε τὸ ὑπεσχημένον δῶρον ὑπὸ τοῦ Ἕκτορος, τοὺς Ἀχιλλέως ἵππους δηλαδὴ καὶ τὰ ἅρματα, Ὀδυσσεὺς δὲ κατὰ βαρύτητα ἤθους μειδήσας καὶ τὸ μὲν ἅρμα σιωπήσας, τοὺς δὲ ἵππους μεγάλα δῶρα καλέσας καὶ οὕτω τὸ δῶρον πληθυντικῶς μεγεθύνας, σκώπτει τὸν Δόλωνα εἰπὼν «ἦ ῥά νύ τι μεγάλων δώρων ἐπεμαίετο θυμός», ἤγουν ζητητικῶς ἐπεθύμει, «ἵππων Αἰακίδαο δαΐφρονος. οἳ δ’ ἀλεγεινοὶ ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ’ ὀχέεσθαι ἄλλῳ γ’ ἢ Ἀχιλῆϊ, ὃν ἀθανάτη τέκε μήτηρ». Καὶ ὅρα ὡς κἀνταῦθα εὐμεθόδως μνείαν συνήθως τοῦ Ἀχιλλέως ὁ ποιητὴς παρέρριψε, καὶ ταύτην σεμνὴν διὰ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θεῖον γενεαλόγημα, καὶ ὅτι τὸ «ὃν ἀθανάτη τέκε μήτηρ» οὐχ' ἁπλῶς ἐρρέθη, ἀλλ' ἵνα διασταλθείη τῶν ἁπλῶς θνητῶν ἀνδρῶν ὁ Ἀχιλλεύς. (v.

3.99 401) Τὸ δὲ ἐπιμαίεσθαι νῦν μὲν ἀντὶ τοῦ ἐφίεσθαι κεῖται καὶ γενικῇ συντάσσεται, οἱ δὲ μεθ' Ὅμηρον καὶ μετὰ αἰτιατικῆς αὐτὸ τάσσουσι, λαμβάνοντες ἀντὶ τοῦ ζητεῖν, ὡς δηλοῖ καὶ τὸ «μαιόμενοι βιότοιο κακὴν καὶ ἀεικέα θήρην». (v. 403) Τὸ δὲ ὀχεῖσθαι ἄλλως μὲν κοινότερον ἐνέργειαν δηλοῖ λαμβανόμενον ἐπὶ τοῦ ἡνιοχεῖν ἢ ἐπιβαίνειν, ἐνταῦθα δὲ πάθος δηλοῖ ληφθὲν ἀντὶ τοῦ ἡνιοχηθῆναι. Ἰστέον δὲ καὶ ὅτι θρασέος καὶ ἀλκίμου ἵππου ἔπαινος τὸ εἶναι ἀλεγεινὸν ἀνδρὶ τῷ τυχόντι δαμασθῆναι καὶ ὀχέεσθαι, ὥς που καὶ ὁ Βουκεφάλας Ἀλέξανδρον μόνον ἤθελε φέρειν ἔποχον. (v. 404) Τὸ δὲ «ἄλλῳ ἢ Ἀχιλῆϊ» ἀντίκειται τῇ τοῦ Ἕκτορος ἐπιορκίᾳ τῇ λεγούσῃ, ὡς οὐκ ἐποχήσεται τοῖς τοῦ Ἀχιλλέως ἵπποις ἄλλος Τρώων ἀλλὰ ὁ Δόλων. Ἐν τούτοις δὲ ὅρα καὶ ὅτι μνημονικὸς ὁ Δόλων αὐτὰ ἐκεῖνα Ὁμηρικῷ ἔθει φράσας ταὐτολογικῶς τῷ Ὀδυσσεῖ, ὅσα παρήγγελται ὑπὸ τοῦ Ἕκτορος. οὕτω δὲ ταὐτολογεῖ καὶ Ὀδυσσεὺς πρὸς Δόλωνα εἰπὼν αὐτολεξεὶ τὰ τοῦ Νέστορος περὶ κατασκόπου. [Ὅρα δὲ ἐν τῷ «ἄλλῳ γ' ἢ Ἀχιλῆϊ» καὶ τὴν μετὰ συναλιφῆς ἐπένθεσιν τοῦ γε συνδέσμου, ἐμφατικὴν οὖσαν, ὡς οἴδασιν οἱ συνετοί, οὐ μὴν εἰκῇ καὶ δίχα λόγου γενομένην παραπληρωματικῶς.] (v. 405) Ὅτι εἰ καὶ πολλοῖς ἀπηγόρευται εὑρῆσθαι παρὰ τῷ ποιητῇ κοινότερον τὸ λέγειν ἀντὶ τοῦ λαλεῖν, ἀλλ' ἐνταῦθα, ὥσπερ καὶ ἀλλαχοῦ, συνηγορεῖται τὸ καὶ οὕτως ἔχειν παρ' αὐτῷ τὴν τοιαύτην λέξιν, ἐν τῷ «ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον», ὃ ἀλλαχοῦ ἀτρεκέως ἀγόρευσον λέγει, καὶ τῷ «ἐγώ τοι ταῦτα μάλ' ἀτρεκέως καταλέξω», τουτέστιν ἀπαγγελῶ. (v. 413) Καὶ ὅρα καὶ νῦν τὴν τοῦ Δόλωνος δειλίαν. Ὀδυσσεὺς μὲν γὰρ ἀπαιτεῖ ἀτρεκέως εἰπεῖν, ὁ δ' ὑπισχνεῖται οὐχ' ἁπλῶς ἀλλὰ μάλ' ἀτρεκέως καταλέξαι.

3.100 (v. 414 s.) Ὅτι τοῦ τῆς Ἰλίου οἰκιστοῦ Ἴλου κατὰ μέσον, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, πεδίον τεθαμμένου ἀρχαίῳ ἔθει διὰ τό, ὡς εἰκός, ἐντεῦθεν εὐμνημόνευτον τοῦ ταφέντος παρὰ τῷ ἐκείνου σήματι βουλὰς βουλεύει ὁ Ἕκτωρ σὺν τοῖς ἀμφ' αὐτόν, «ὅσοι», φησί, «βουληφόροι εἰσίν». οὓς φθάσας ὁ ποιητὴς ἀρίστους εἶπε Τρώων ἡγήτορας ἠδὲ μέδοντας. ποιεῖ δὲ τοῦτο ὁ Ἕκτωρ ἢ τιμῶν τὸν τῆς Ἰλίου πολιστὴν πρόγονον ἢ καὶ ὡς διατειχίσματι τῷ σήματι χρώμενος. Ἴσως δὲ οὐκ ἀγαθὸς οἰωνὸς οὐδ' ἐνταῦθα τὸ πρὸς τάφῳ καθήμενον τὸν ἄρχοντα βουλεύειν τὰ τῆς μάχης. οὐ γὰρ αἴσια ἐκ τῶν μνημάτων οἰωνίζοντο οἱ παλαιοί. Καλεῖ δὲ καὶ θεῖον τὸν Ἶλον, ἐπεὶ καὶ τὸ αὐτοῦ πόλισμα ἱερόν, καθότι καὶ ἅπαν τεῖχος καθ' Ὅμηρον. (v. 416) Ἐνταῦθα δὲ κεῖται καὶ ὁ φλοῖσβος οὐκ ἐπὶ θαλασσίου ἀλλὰ τοῦ ἁπλῶς λαϊκοῦ θορύβου. Φησὶ γὰρ «βουλὰς βουλεύει θείου παρὰ σήματι Ἴλου νόσφιν ἀπὸ φλοίσβοιο». (v. 417) Κεῖται δὲ καὶ τὸ ῥύεται καὶ τὸ φυλάσσει ὡς ἔχοντά τινα διαφοράν. Φησὶ γὰρ «οὔ τις κεκριμένη ῥύεται στρατιὴ οὐδὲ φυλάσσει». τὸ δέ ἐστιν οὐ τοιοῦτον, ἀλλ' ἀληθῶς μὲν ταὐτὸν τὸ ῥύεται καὶ τὸ φυλάσσει, ὁ δὲ Δόλων δοκεῖ συγχέαι τὴν φράσιν δειλαινόμενος, (v. 415) ὃς καὶ παρηχεῖ ἐν τῷ «βουλὰς βουλεύει», ἀκαίρως καλλωπίζων τὸν λόγον ὅτε οὐκ ἐχρῆν. (v. 414) Συμβάλλεται δέ τι ἐτυμολογικῶς τῇ τοιαύτῃ παρηχήσει καὶ τὸ «ὅσοι βουληφόροι». (v. 415) Ὅρα δὲ κἀνταῦθα τὸ «βουλεύει» λεχθὲν ἐνεργητικῶς. Ὅτι ἐρωτηθεὶς ἤδη ὁ Δόλων ποῦ ὁ Ἕκτωρ, πῶς δὲ αἱ τῶν Τρώων φυλακαὶ καὶ εὐναί, ἅσσα τε μητιόωσι, περὶ τούτου μὲν οὐδὲν ἔφη, περικοπεὶς ὑπὸ ἐρωτήσεως δι' Ὀδυσσέως, περὶ δὲ Ἕκτορος εἰπών, ὡς μετὰ τῶν βουληφόρων βουλεύει, καθὰ προσεχῶς δεδήλωται, καὶ περὶ τῶν φυλακῶν, ὡς οὔ τις αὐτὰς κεκριμένη ῥύεται στρατιά, εἶτα μέλλων διασαφῆσαι, τίνες μὲν φυλάττουσι, τίνες δὲ εὐνάζονται ὡς καὶ εἰς ὕπνον εὕδειν, ἀντὶ τοῦ εἰπεῖν, ὡς φυλάσσουσι τὸν στρατὸν μόνοι ὅσοι Τρῶες ἰθαγενεῖς, ἤγουν ἐγχώριοι, λέγει ὡς οἷον κατ' αἴνιγμα περιφραστικῶς οὕτω (v.

3.101 418) «ὅσσαι γὰρ Τρώων πυρὸς ἐσχάραι» καὶ ἑξῆς, ἀντὶ τοῦ ὅσοι οἰκήτορες Τροίας. Ἑστία γὰρ καὶ ἱστία καὶ ἐσχάρα πυρὸς τὰ αὐτά εἰσιν, ὥστε τὸ ἔχειν ἐσχάρας ταὐτὸν ἂν εἴη τῷ ἔχειν ἑστίας,

ἤγουν ὡς ἀπὸ μέρους, οἰκίας. ἔχοντες οὖν ἐσχάρας οἱ ἐφέστιοι, καθὰ καὶ Πορφυρίῳ δοκεῖ, τουτέστι πολῖται, ὥσπερ ἐκ τοῦ ἐναντίου ἀνέστιος ὁ ἄπολις καὶ φυγάς. Τὸ δὲ ἐσχάρα κατὰ τοὺς παλαιοὺς ὡς ὁμώνυμον σημαίνει πολλά. λέγεται γὰρ οὕτω καὶ ὁ βωμός, ὡς παρ' Εὐριπίδῃ ἐν Ἡρακλεῖ, δηλοῖ δέ, φασίν, ἡ λέξις καὶ ῥύπον καὶ καυθὲν ἕλκος καὶ τὴν κυρίως δὲ λεγομένην ἐσχάραν τὴν μὴ ἔχουσαν ὕψος ἀλλ' ἐπὶ γῆς οὖσαν ἢ κοίλην. ὅθεν καὶ τὰ ἐν σώματι κοῖλα ἕλκη ἐσχάραι ἰατρικῶς καλοῦνται. ἡ δὲ κωμῳδία καὶ τὸ γυναικεῖον μόριον οὕτω καλεῖ. Γίνεται δὲ ἡ κατ' οἶκον Ὁμηρικὴ ἐσχάρα ἴσως παρὰ τὸ ἔχειν ἀράς, ὅ ἐστι τὰ δι' ὧν ἀρῶνται τῷ θείῳ οἱ τοῦ οἴκου. ἱερὸν γάρ τι χρῆμα ἡ ἐσχάρα, ἤγουν ἡ ἑστία, ὡς καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται. (v. 418—22) Ἰστέον δὲ ὅτι ἐν τῷ «ὅσαι γὰρ Τρώων πυρὸς ἐσχάραι, οἷσιν ἀνάγκη, οἵ τε», ἤγουν οὗτοι, «ἐγρηγόρασι φυλασσέμεναί τε κέλονται ἀλλήλοις· ἀτὰρ αὖτε πολύκλητοι ἐπίκουροι εὕδουσι· Τρωσὶ γὰρ ἐπιτραπέουσι φυλάσσειν· οὐ γάρ σφιν παῖδες σχεδὸν εἵαται οὐδὲ γυναῖκες», ὡς πρὸ αὐτῶν μάχεσθαι κατὰ τοὺς Τρῶας, δύναται καὶ ἄλλως τὸ «Τρώων πυρὸς ἐσχάραι» ἐπὶ τῆς ἔξω φυλακῆς τῶν Τρώων νοηθῆναι, ἵνα λέγῃ ὁ Δόλων, ὅτι ὅσα μὲν πυρὰ Τρωϊκὰ νύκτωρ ἐφαίνοντο τοῖς Ἀχαιοῖς, ἐκεῖνα καὶ φυλακὰς ἔχουσι, τὰ δὲ τῶν ἐπικούρων ἀφύλακτά εἰσιν.

3.102 οὐ γάρ τις, ὡς ἀνωτέρω ἐρρέθη, κέκριται στρατιὰ φυλάσσειν, ἀλλ' ὁ οἴκοθεν πρόθυμος τοῦτο ποιεῖ. κέλονται γάρ, φησίν, ἀλλήλοις οὗτος καὶ ἐκεῖνος καὶ ἄλλος συγκεχυμένως, οὐ μὴν κεκριμένοι ὡρισμένοι τινές. Τοῦτο δὲ νοῦν ἐμβάλλει τῷ Ὀδυσσεῖ ἀπαγορεῦσαι μὲν ὁρμῆσαι κατὰ Τρώων μεγαθύμων τῶν ἐγρηγορότων, εἴ τινά που ἕλοι, τραπέσθαι δὲ κατὰ τῶν ἐπικούρων, καὶ μάλιστα εἴ πού τινες ἔσχατοι κατὰ τὴν βουλὴν τοῦ Νέστορος. Καὶ ὅρα ὡς ἀστρατήγητον τοῖς Τρωσὶ τὸ ἐπικουρικόν. οὐ γὰρ αὐτοὶ φυλάσσουσιν ἑαυτούς, ἀλλ' ἑτέροις ἐπιτρέπουσι. κατασκευάζεται δὲ τὸ ἀστρατήγητον οὕτως· εἰ γὰρ ὁμοῦ πάντες οἱ ἐπίκουροι φυλάσσουσι, δυοῖν ἔσται τὸ ἕτερον. ἢ γὰρ τυχὸν ἀπορρᾳθυμήσουσι κοπιάσαντες, καὶ ἔσται τις οὕτω αὐτοῖς ἐκ τῶν πολεμίων ἐπιβουλή, ὃ καὶ γέγονεν, ἢ διαμείναντες ἄϋπνοι ἕωθεν ἔσονται ἀσθενεῖς. ἐχρῆν γοῦν αὐτοὺς κεκριμένην ἑαυτοῖς ἐπιστῆσαι φύλακα στρατιάν. Οἱ δὲ παλαιοί φασι καί, ὅτι συμπαθεῖς οἱ Τρῶες καὶ ἐκ τῶν οἴκοι τὴν συμπάθειαν ἔχοντες ὑπερπονοῦσι καὶ τῶν ἀλλοτρίων ἐφ' ὅσον δυνατόν, οὐκ ἐξ ἐπιταγῆς μέντοι ἀλλὰ ἑκόντες. ἐντεῦθεν καὶ οἱ νομοθέται γυναικονόμους ἐν ταῖς πόλεσιν ὥρισαν, οὐ τοὺς ἀγάμους, ἀλλ' ἤδη γάμου πεπειραμένους, καὶ παιδονόμους δὲ ἔταξαν, οὐ τοὺς ἄπαιδας, ἀλλ' οἷς παῖδες ἐγένοντο, ἵνα οἷς αὐτοὶ ἔχουσι συμπαθοῦντες ἐπιμέλωνται καὶ τῶν ἐπιτετραμμένων αὐτοῖς. ὅθεν ἔστιν αἰτιάσασθαι τοὺς Τρῶας, οἳ τοὺς ἐπικούρους ἐπιτετραμμένους αὐτοῖς ἀφυλάκτους εἴασαν. (v. 418) Ἰστέον δὲ ὅτι τὸ «οἷσιν ἀνάγκη» εἴς τε τὸ «χρειοῖ ἀναγκαίῃ» συντελεῖ. καὶ ἀναγκαίους πολεμιστὰς τοὺς ἐφεστίους Τρῶας λέγει, ἄλλον μέντοι τρόπον παρὰ τοὺς ἐν Ὀδυσσείᾳ, ἐν ᾗ κεῖνταί τινες γέροντες ἀναγκαῖοι πολεμισταί. (v. 419) Ὅρα δὲ καὶ τὸ «κέλονται». Τρῶες μὲν γὰρ ἀναγκαίως ἀλλήλοις κέλονται, οὐ μὴν οὕτω καὶ οἱ ἐπίκουροι, ἀλλ' ἐπιτρέπουσιν ἑαυτοὺς τοῖς Τρωσὶν εἰς φυλακήν, κατὰ τὸ «σοὶ δὲ χρὴ ταῦτα μέλειν νύκτας τε καὶ ἦμαρ», ὃ δήπου ὠνειδίσθη πρὸς ἐπικούρου ὁ Ἕκτωρ, διὰ τὸ μὴ ἔχειν δῆθεν τὸ ἀναγκάζον ἑαυτοὺς ἀγρυπνεῖν, ἄφρονες, οἷς οὐδὲν μέλει τοῦ ζῆν, ἀλλ' εὕδουσιν ἀφύλακτοι καὶ ἀπεριμέριμνοι, ἐπεὶ οὔ σφιν ἐγγὺς τὰ φίλτατα, ὡς οἷα παρ' οὐδὲν τιθέμενοι ἑαυτούς. (v. 420) Τὸ δὲ πολυκλήτους εἶναι τοὺς ἐπικούρους καί, ὡς ἀλλαχοῦ ἔφη, ἄνδρας πολλέων ἐκ πολίων, δηλοῦται μὲν σαφῶς ἐν τῷ Καταλόγῳ τῶν νεῶν, ἀφορμὴ δὲ νῦν γίνεται τῷ ποιητῇ ἐνταῦθα τοῦ εὐθὺς μνησθῆναι μετ' ὀλίγα ἐπικούρων τινῶν, Καρῶν δηλαδὴ καὶ Παιόνων καὶ Λελέγων καὶ Καυκώνων καὶ Πελασγῶν, Λυκίων τε καὶ Μυσῶν καὶ Φρυγῶν καὶ Μηόνων, περὶ ὧν καὶ ἐν τῇ Βοιωτίᾳ γέγραπται καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ δέ, περὶ δὲ Καυκώνων καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν.

3.103 (v. 422) Ὅρα δὲ καὶ περὶ ὧν χρὴ κινδυνεύειν ἀνθρώπους πολεμουμένους. οὐ γὰρ περὶ χρημάτων ἀλλὰ παίδων καὶ γυναικῶν, ὧν μὴ παρόντων τοῖς ἐπικούροις ἀκήδεστοι εὕδουσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτοί, οὔκουν δὲ καὶ οἱ Τρῶες, οἷς παρακάθηνται σχεδὸν τὰ φιλούμενα. [Ἰστέον δὲ ὅτι ἐν τῷ «οὐ παῖδες οὐδὲ γυναῖκες» δόξοι ἂν τοὺς παῖδας οὐκ ἔξω λόγου προθεῖναι, ἀλλ' ὅτι τελικὸν αἴτιον αὐτοὶ τοῦ γάμου, καὶ δι' αὐτοὺς τῷ βίῳ τὸ τῶν γυναικῶν ἐπεισόδιον.] (v. 421) Τὸ δὲ «ἐπιτραπέουσιν» ἐκ τοῦ τραπῶ δευτέρου ἐνεργητικοῦ μέλλοντος ἀνῆκται εἰς ἐνεστῶτα πρώτης συζυγίας τῶν περισπωμένων, ὁμοίως τῷ τραπέουσιν, ὅπερ ἐν Ὀδυσσείᾳ δίχα προθέσεως ἐπὶ πατήσεως εἴρηται σταφυλῶν, ἐξ ὧν τὸ γλεῦκος. Φυσικὸς δὲ αὐτῶν ἐνεστὼς τὸ τρέπω. (v. 425) Ὅτι διειπεῖν κατὰ περιττότητα προθέσεως τὸ διασαφῆσαι εἰς μάθησιν. Φησὶ γὰρ «δίειπέ μοι, ὄφρα δαείω». (v. 424) Κεῖται δ' ἐνταῦθα καὶ τὸ «μεμιγμένοι» ἀντὶ τοῦ συγκεχυμένως καὶ ἀναμὶξ κείμενοι, ὃ ἀνάπαλιν ἔχει πρὸς τὸ κεκριμένοι. Φησὶ γὰρ Ὀδυσσεὺς «πῶς γὰρ νῦν Τρώεσσι μεμιγμένοι εὕδουσιν», οἱ ἐπίκουροι δηλαδή, «ἦ ἀπάνευθεν;» πρὸς ὅπερ ὁ Δόλων ἀποκρινάμενος εἶτα συμβουλεύει κρεῖττόν τι τῷ Ὀδυσσεῖ, ἐχθρὸς ὠφέλιμος αὐτῷ φανεὶς διὰ δειλίαν καὶ τὸ φιλόζῳον. [Οὕτω δὲ καὶ πᾶς ὡς ἐπίπαν προδότης πλείους χορηγεῖ μεθόδους ὧν βουλεύονται οἱ πολυπραγμονοῦντες αὐτόν.

3.104 ποιεῖ δὲ τοῦτο ἐκεῖνος ἢ φόβου ὑπαγορεύοντος, ὡς ἐνταῦθα γίνεται, ἢ μίσους ἢ κέρδους ἢ εὐνοίας ἢ ἑτέρου τοιοῦδέ τινος πάθους ψυχῆς.] (v. 428—31) Ὅτι ἐννέα τὰ προσεχῶς εἰρημένα ἔθνη ἐνταῦθα πρὸς ὄνομα ἐκθέμενος ὁ ποιητὴς τὰ μὲν τέσσαρα, οὕτω δόξαν αὐτῷ, ψιλῶς ἐξέθετο, τὰ δὲ πέντε μετὰ σεμνῶν ἐπιθέτων· Παίονες ἀγκυλότοξοι, δῖοι Πελασγοί, Μυσοὶ ἀγέρωχοι, Φρύγες ἱππόδαμοι καὶ Μῄονες ἱπποκορυσταί. (v. 430) Ἐν αὐτοῖς δὲ μέμνηται καὶ Θύμβρης, ἔνθα ἔλαχον ἄρτι σκηνοῦσθαι οἱ Λύκιοι, εἰπὼν «πρὸς Θύμβρης δ' ἔλαχον Λύκιοι», ἣν ὁ τὰ Ἐθνικὰ συγγράψας πόλιν Τρῳάδος φησί, κτισθεῖσαν ὑπὸ Δαρδάνου ἐπὶ Θύμβρῳ τινὶ φίλῳ αὐτοῦ. εὐθεῖα δὲ ταύτης ἡ Θύμβρα. Λέγει δὲ ὁ αὐτὸς καὶ ποταμὸν αὐτόθι Θύμβριν, ἀφ' οὗ Ἀπόλλωνος Θυμβραίου ἱερόν, ἐν ᾧ ἐτοξεύθη Ἀχιλλεύς. λέγεται δέ, φησί, καὶ διὰ τοῦ ζ , Ζυμβραῖος, ἔτι δὲ καὶ Θύμβριος ἢ κατὰ Ἑλλάνικον Δύμβριος διὰ τοῦ δ . Ὅτι δὲ καὶ Ῥώμης ποταμὸς Θύμβρις, ὁ καὶ Τίβερις, λέγει καὶ ὁ Περιηγητής. Ἰστέον δὲ ὅτι τὸ «πρὸς Θύμβρης», ὥσπερ καὶ ἀνωτέρω τὸ «πρὸς μὲν ἁλὸς Κᾶρες», ἐλλειπτικῶς ἐρρέθη, ἵνα λέγῃ ὅτι πρὸς τῷ μέρει τῆς ἁλὸς καὶ πρὸς τὸ μέρος τῆς Θύμβρης, ἢ ἐγγὺς ἁλὸς καὶ ἐγγὺς Θύμβρης. ἄλλως γὰρ οὐκ εὔθετον συντάξαι αὐτὰ κατὰ τὸ «πρὸς σοῦ εἰμι» καὶ τὰ τοιαῦτα, εἰ μὴ ἄρα καὶ αὐτὸ εἴληπται ἀντὶ τοῦ ἐγγὺς σοῦ εἰμι. [Δοκεῖ δὲ ἡ ῥηθεῖσα Θύμβρα μὴ ἔχειν Ἑλληνίδα ἐτυμολογίαν. εἰ δέ τις αὐτὴν εἰδείη ὅθεν γίνεται, εἴσεται ἴσως καὶ τὰ παρὰ τῷ Κωμικῷ θύμβρα πόθεν παρῆκται, ἀφ' ὧν θυμβρεπίδειπνον ἐκεῖνος ἔφη τὸν εὐτελῶς ἐθέλοντα ζῆν καὶ ἀπέριττον.] (v. 430) Τὸ δὲ «ἔλαχον» κληρωτὴν ἐμφαίνει τοῖς ἐπικούροις τὴν ῥηθεῖσαν κατάθεσιν διὰ τὸ πάντῃ ἀφιλόνεικον. Ἐπεμερίσθη δὲ τὸ ῥῆμα τοῦτο κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα πᾶσι τοῖς ῥηθεῖσιν ἔθνεσιν.

3.105 (v. 429) Ὅτι δὲ οἱ Λέλεγες ἀπὸ τοῦ λέγω, τὸ συνάγω, παρήχθησαν. συνειλεγμένοι γάρ, φασίν, ἦσαν ἀπὸ πολλῶν ἐθνῶν, καὶ ὅτι Καρικὸν ἦσαν ἔθνος, ὅθεν καὶ Λελέγων πόλις ἡ τῶν Καρῶν μητρόπολις ἐλέγετο, (v. 428) καὶ ὅτι ἀγκυλότοξοι οὐ μόνον οἱ χρώμενοι ἀγκύλοις τόξοις, ἤγουν στρεβλοῖς, ἀλλὰ καὶ οἱ ἀγκύλην καὶ τόξον μεταχειριζόμενοι—ἀκοντίου δὲ εἶδος ἡ ἀγκύλη—, (v. 431) καὶ ὅτι Μῄονες, οἱ καὶ Μαίονες καὶ Λυδοί, ἐπρώτευον κατὰ τὸ ἱππεύειν. ὅθεν καὶ παροιμία τὸ παρὰ Λύδιον ἅρμα ἐπὶ τῶν πολὺ ὀπίσω λειπομένων, καὶ ὅτι Μυσοὶ καὶ Θρᾷκες οἱ μὲν Ἀσιανοί, οἱ δὲ περὶ Εὐρώπην, ταῦτα δὴ πλατύτερον δηλοῦνται ἀλλαχοῦ. (v. 432) Ὅτι μέμψις καὶ ἐπιδιόρθωσις ἐρωτήσεως τὸ «ἀλλὰ τιὴ ἐμὲ ταῦτα διεξερέεσθε ἕκαστα;» Δόλωνος δὲ τοῦτο λόγος, μέλλοντος εἰπεῖν κατὰ τῶν ὁμοφύλων χαρτά τινα τῷ Ὀδυσσεῖ καὶ τῷ Διομήδει ὡς οὐκ ἂν αὐτοὶ ἤλπισαν. (v. 434—7) Ὅτι ἐπέρρεον ὡς ἑκάστοτε τῇ Τροίᾳ ἐπίκουροι, ὡς ἀλλαχοῦ τε δηλοῦται καὶ ἐνταῦθα δέ. Θρᾷκες οὖν ἄρτι νεωστὶ ἦλθον ἐπικουρήσοντες, οἳ καὶ ἔσχατοι ἄλλων ἔκειντο καὶ διὰ τοῦτο εὐεπιβούλευτοι ἦσαν, ὡς ὁ Δόλων καταμηνύει εἰπὼν «Θρήϊκες

οἵδ’ ἀπάνευθε νεήλυδες ἔσχατοι ἄλλων· ἐν δέ σφιν Ῥῆσος βασιλεύς, πάϊς Ἠϊονῆος. τοῦ δὴ καλλίστους ἵππους ἴδον ἠδὲ μεγίστους· λευκότεροι χιόνος, θείειν δ’ ἀνέμοισιν ὁμοῖοι». (v. 437) Ἔνθα φασὶν οἱ παλαιοὶ ὅτι τῶν δύο τούτων ὑπερβολῶν τὴν μὲν ὑπερθετικῶς ἐξέθετο, λευκότεροι χιόνος εἰπών, τὴν δὲ καθ’ ὁμοίωσιν προήγαγεν ἐν τῷ «ἀνέμοις ὁμοῖοι», τῷ μὲν ἀδυνάτῳ εἰκάσας, τοῦ δὲ δυνατοῦ μεῖζον ἀποφήνας τὸ συγκρινόμενον. χιόνος μὲν γάρ ἐστί τι λευκότερον—Νέστωρ οὖν ἐν τοῖς ἑξῆς ἀκτίνεσιν ἐοικέναι αὐτοὺς ἡλίου φησίν—, ἀνέμου δὲ θᾶσσον οὐδὲν τῶν ὑπ’ οὐρανὸν σωμάτων, ὥστε ἀνέμοις μὲν καὶ ἡλίῳ ἐοίκασι, χιόνος δὲ λευκότεροί εἰσι. Σημείωσαι δὲ καί, ὅτι τῷ θαυμασίῳ τῆς ξυνωρίδος καὶ τὸ σχῆμα τῆς φράσεως συνεξήλλακται. εἰπεῖν γὰρ δυνάμενος ὁμοιοπτώτως καλλίστους ἵππους καὶ μεγίστους λευκοτέρους χιόνος, θείειν δ’ ἀνέμοισιν ὁμοίους, καὶ τοῦ μέτρου ἐπιδεχομένου τὴν τοιαύτην σύνταξιν, ὅμως ὁ ποιητὴς κατὰ πτῶσιν εὐθεῖαν καινῶς ἐσχημάτισεν, ἐξομοιώσας τὸ ξενίζον τοῦ λόγου σχῆμα τῇ καινοπρεπείᾳ τοῦ πράγματος καὶ θαυμαστικῶς τῇ μεταβάσει τοῦ σχήματος ἰδίᾳ τὸν τοῦ ζεύγους ἐκφωνήσας ἔπαινον καὶ συμμεταμορφώσας τὸν λόγον τῷ πράγματι καὶ καλῶς εἰπὼν τὸ καλὸν καὶ σχήματι καινοπρεπεῖ ἐξαγγείλας καινότητα πράγματος, ὡς ἂν ὁ ἀκροατὴς ἐπιστραφείη τῷ λόγῳ, καθάπερ ὁ Διομήδης τῷ πράγματι.

3.106 Λείπει δὲ ἐν τῷ «λευκότεροι χιόνος» τὸ εἰσίν, ὡς καὶ ἐν τῷ «φημὶ κατανεῦσαι Κρονίωνα ἀστράπτων ἐπιδέξια». καὶ ἐκεῖ γὰρ τὸ ἐντελὲς οὕτως· ἀστράπτων ἦν ὁ Κρονίων ἐπιδέξια. χρᾶται δὲ κατὰ τοιοῦτον λόγον καὶ ὁ Νέστωρ ἐπὶ τοῦ αὐτοῦ πράγματος ἐν τοῖς ἑξῆς ὁμοίῳ σχήματι, εἰπὼν «ὅππως τοὺς ἵππους ἐλάβετον, αἰνῶς ἀκτίνεσσιν ἐοικότες ἠελίοιο», εἰσὶ δηλαδή. ἄλλως δέ γε ὤφειλεν ἐοικότας εἰπεῖν κατὰ πτῶσιν καὶ αὐτὸς αἰτιατικήν. ἀρετὴ δὲ ἵππων οὐ μόνον τὸ καλλίστους εἶναι, οὐδὲ μόνον τὸ μεγίστους, ἀλλ’ ὁμοῦ ἑκάτερα. Ὅρα δὲ καί, ὅπως ὁ κινδυνεύων Δόλων ἐφ’ ἵππων δωρεᾷ τοσοῦτον ἀπέσχε τοῦ λαβεῖν ἐκείνους, ὥστε καὶ τοὺς ἐν τῷ Τρωϊκῷ στρατοπέδῳ καλλίστους ἵππους προδίδωσιν. (v. 438—41) Ὁ δ’ αὐτὸς καὶ ὡς περὶ χρυσὸν ἐπτοημένος καὶ διὰ τοῦτο τὰ περὶ τὸν Ῥῆσον περιέργως ἐπιτετηρηκὼς ἐπαινεῖ μετὰ τοὺς ἵππους καὶ τὰ ὅπλα καὶ τὸ τοῦ Ῥήσου ἅρμα, εἰπὼν «ἅρμα δέ οἱ χρυσῷ καὶ ἀργύρῳ εὖ ἤσκηται», τουτέστιν ἐπιστημόνως. τὸ γὰρ εὖ τῶν τεχνῶν τὸ ἐπίστασθαί ἐστι. «Τεύχεά τε», φησί, «χρύσεια πελώρια, θαῦμα ἰδέσθαι, ἤλυθ’, ἔχων· τὰ μὲν οὔ τι καταθνητοῖσιν ἔοικεν», ἤγουν πρέπει, «ἄνδρεσσι φορέειν, ἀλλ’ ἀθανάτοισι θεοῖσι». ὃ δὴ περίφρασίς ἐστι τοῦ τεύχεα θεῖα. Καὶ ὅρα τὰ συχνὰ πάρισα, τὸ καλλίστους καὶ μεγίστους, καὶ τὸ λευκότεροι καὶ ὁμοῖοι, καὶ τὸ τεύχεα χρύσεια πελώρια, καὶ τὸ θνητοῖσιν ἄνδρεσσιν, ἀθανάτοισι θεοῖσι. μεστοῦται γὰρ ὁ καλὸς τόπος σχήμασι καλοῖς ἐπίτηδες. Ἰστέον δὲ ὅτι τὸ μὲν «καλλίστους ἵππους», καὶ ἑξῆς, ἔπαινος ἵππων, καὶ μάλιστα λευκῶν, ἅρματος δὲ τὸ χρυσῷ καὶ ἀργύρῳ εὖ ἠσκῆσθαι, ὅπλων δὲ τὸ «τεύχεα χρύσεα», καὶ ἑξῆς. (v. 434) Τὸ δὲ «οἵδ’ ἀπάνευθε» πρὸς τὴν τοῦ Ὀδυσσέως ὁ Δόλων εἶπεν ἐρώτησιν, πυθομένου, εἴπερ μεμιγμένοι Τρώεσσιν εὕδουσιν ἢ ἀπάνευθεν οἱ ἐπίκουροι. Τοῦ δέ γε «ἀπάνευθε» διασαφητικὸν τὸ «ἔσχατοι ἄλλων», οἷς καὶ χρὴ ἐγχειρῆσαι κατὰ τὴν βουλὴν τοῦ Νέστορος. Τὸ δὲ «οἵδε» ἴσως μὲν καὶ δακτύλῳ ἀφελῶς δεικνὺς ὁ Δόλων φησίν, εἰ καὶ νὺξ ἦν, μάλιστα δὲ ἀναφορικῶς. ἀναφέρει γὰρ πρὸς τὴν ἐν ἑαυτῷ εἴδησιν περὶ τῶν Θρᾳκῶν. Τὸ δὲ «νεήλυδες» πάνυ χρήσιμον τοῖς κατασκόποις. εὐεπιχείρητοι γὰρ πάντως οἱ τοιοῦτοι ἐπίκουροι, κατάκοποί τε ὄντες, ὡς εἰκός, καὶ οἷοι βαθὺ νύκτωρ ὑπνοῦν καὶ οὐδὲ εἰδότες τι τῶν κατὰ Τροίαν.

3.107 (v. 435) Ἐρεθίζει δὲ τοὺς ἥρωας καὶ τὸ «Ῥῆσος βασιλεύς». φιλοτιμήσονται γὰρ ἀριστεῦσαι κατὰ τοιούτου ἀνδρός. ποιεῖ δὲ τοῦτο καὶ πιθανὰ τὰ ὑπὲρ τῶν ἵππων καὶ τοῦ ἅρματος καὶ τῶν τευχέων. βασιλεὺς γὰρ ἔχοι ἄν, ὡς εἰκός, τοιαῦτα. (v. 436) Τὸ δὲ «ἴδον» εἰς τὸ ἀληθῆ λέγειν λυσιτελεῖ τῷ Δόλωνι. οὐ γάρ, φησίν, ἤκουσα ἢ ἐπυθόμην, ἀλλ’ αὐτὸς ἴδον. (v. 439) Τεύχεα δὲ κατὰ τοὺς πλείους μὲν ἐκ τοῦ τεύχω κατὰ κοινὴν ἐτυμότητα, καινότερον δέ πως ὁ Ἴστρος

παράγει. φησὶ γὰρ τὰ πολεμικὰ τεύχη οὕτω κληθῆναι ἀπὸ Τευχίου, Εὐβοϊκοῦ τόπου, ἐν ᾧ, φησί, κατεσκευάσθησαν ὑπὸ Κυκλώπων. Τίνες δὲ οἱ Κύκλωπες οὗτοι, καὶ ὅτι οὐχ' οἱ ἐν τῇ Ὀδυσσείᾳ ἱστορούμενοι, καὶ ὅτι καὶ χαλκὸς ἐν Εὐβοίᾳ ποτὲ ὠρύχθη πολύς, ὅθεν καὶ τὸ ἐκεῖσε ὄρος ἡ Χαλκίς, οὐ τοῦ νῦν λόγου ἐστίν. (v. 435) Ἰστέον δὲ καὶ ὅτι τὸν ῥηθέντα Ῥῆσον Ὅμηρος μὲν Ἠϊονέως ἱστορεῖ, ὡς δεδήλωται, οἱ νεώτεροι δὲ Στρυμόνος τοῦ κατὰ Θρᾴκην φασὶ ποταμοῦ καὶ Εὐτέρπης Μούσης υἱόν. λέγουσι δὲ καὶ χρησμὸν ἀποκεῖσθαι αὐτῷ, εἰ τῆς ἐν Τροίᾳ βοτάνης φάγοιεν οἱ ἵπποι αὐτῷ καὶ τοῦ ἐκεῖσε πίοιεν ὕδατος, ἀπρόσμαχον αὐτὸν ἔσεσθαι. τὰ δ' οὐκ ἐγένετο. ἅμα γὰρ κατέλαβε, καὶ αὐτονυχὶ ἀνῃρέθη ὑπὸ Διομήδους ὑπνώττων ἀφύλακτος. Πίνδαρον δέ πού φασιν ἱστορεῖν, ὅτι μίαν ἡμέραν πολεμήσας μεγάλα κακὰ τοῖς Ἀχαιοῖς ἐνεδείξατο. (v. 439) Τὸ δὲ «πελώρια» συλλογιστικῶς εὐμεγέθη τὸν Ῥῆσον εἶναι ὑποδηλοῖ. Κἀκεῖνο δὲ ἰστέον, ὡς ὁ μῦθος οὐ μόνον τὴν ῥηθεῖσαν Μοῦσαν Εὐτέρπην μητέρα ποιεῖ, ἀλλὰ καὶ ἑτέρας. Καλλιόπης μὲν γὰρ ἢ Κλειοῦς Ὀρφεύς, Λῖνος δὲ Τερψιχόρης, Θαλείας Παλαίφατος, Ἐρατοῦς Θάμυρις, Μελπομένης καὶ Ἀχελῴου Σειρῆνες, Πολυμνίας Τριπτόλεμος. (v. 442—5) Ὅτι ὁ μὲν Δόλων ζωγρηθῆναι θέλων μέθοδον τοῖς Ἑλληνικοῖς κατασκόποις ὑποτείνει διαγνώσεως, ἤγουν τοῦ πειραθῆναι ἠὲ κατ' αἶσαν ἐκεῖνος ἔειπεν ἐν αὐτοῖς ἠὲ καὶ οὐκί, τὸ νηυσὶν αὐτὸν πελάσαι, ἢ ἀλλὰ δήσαντας λιπεῖν αὐτόθι νηλέϊ δεσμῷ. (v. 446—53) Διομήδης μέντοι τὸν ἄνδρα ὑπόδρα ἰδών, ὡς ἡ Μοῦσα καθορᾷ, ἔφη «μὴ δή μοι φύξιν γε Δόλων ἐμβάλλεο θυμῷ, ἐσθλά περ ἀγγείλας, ἐπεὶ ἵκεο χεῖρας ἐμεῖο», ἢ μᾶλλον χεῖρας ἐς ἁμάς, ἤγουν ἡμετέρας.

3.108 «εἰ μὲν γάρ κέ σε νῦν ἀπολύσομεν ἠὲ μεθῶμεν, ἦ τε καὶ ὕστερον εἶσθα θοὰς ἐπὶ νῆας Ἀχαιῶν ἠὲ διοπτεύσων ἢ ἀντίβιον πολεμίξων. εἰ δέ κ' ἐμῇς ὑπὸ χερσὶ δαμεὶς ἀπὸ θυμὸν ὀλέσσῃς, οὐκέτ' ἔπειτα σὺ πῆμά ποτ' ἔσσεαι Ἀργείοισι». Καὶ ὅρα ὅπως προμηθὴς τοῦ μέλλοντος καὶ ἐν τοῖς σμικροτάτοις ὁ συνετός, καὶ ὅτι ὁ προδότης, ὡς καὶ ὁ Δημοσθένης που θεωρεῖ, ὑπ' αὐτῶν ἐκείνων μεμίσηται, οἷς τοὺς οἰκείους προδέδωκε, καίτοι ἐσθλὰ τοῖς πολεμίοις ποιήσας. καὶ εἰκότως. ὁ γὰρ τοῖς ἑαυτοῦ τοιοῦτος τίς ἂν τοῖς ἀλλοτρίοις γένοιτο; Καὶ ὅτι ἐκ τούτων ὁρμώμενός τις διαλεκτικῶς ἂν ἐπαγωνίσοιτο, ὡς οὐ πᾶς ὁ ἐσθλὰ ποιῶν ἤδη καὶ ἀγαθός. ὁ γὰρ Δόλων οὐ τοιοῦτός ἐστιν ἐσθλά περ ἀγγείλας. καὶ ὅτι οὐ πᾶς ὁ ὠφελῶν τινα εὐλόγως ἂν φιλοῖτο. καὶ γὰρ ὁ Δόλων λυσιτελεῖ μὲν τοῖς ἐπισκόποις, οὐ φιλεῖται δέ. (v. 445) Ὅρα δὲ ἐν τοῖς ῥηθεῖσι τὸ «κατ' αἶσαν», οὐ μοῖραν δηλοῦν οὐδὲ τὸ κοινῶς λεγόμενον αἴσιον, ἐξ οὗ καὶ τὸ αἰσυμνᾶν καὶ ὁ αἰσυμνήτης, ἀλλὰ τὸ πρέπον καὶ ἀληθὲς ἤ τι τοιοῦτον. (v. 447) Καὶ ὅτι φύξις ἢ ἀπὸ τοῦ φεῦξις γίνεται ἀποβολῇ τοῦ ε δι' εὐφωνίαν, ὃ πολλαχοῦ γίνεται, καθὰ καὶ τὸ ἐρυθαίνειν μετ' ὀλίγα ἐρεῖ ἐκ τοῦ ἐρευθαίνειν, ἢ ἀπὸ τοῦ φύγω φύξω, οἷα τοῦ φύγω μετενεχθέντος εἰς ἐνεστῶτα. Τὸ δὲ «ἐμβάλλεο θυμῷ» ταὐτὸν τῷ ἔνθου εἰς νοῦν. [Καὶ ἔοικε πρὸς τὸ «μή σοι θάνατος καταθύμιος ἔστω».] (v. 448) Τὸ δὲ «ἐσθλὰ ἀγγείλας» ταὐτόν ἐστι τῷ καταλέξας, ὅπερ πρὸ ὀλίγων ὁ Δόλων εἶπε.

3.109 (v. 449) Τὸ δὲ «ἀπολύσομεν» περιττὴν ἔχει τὴν πρόθεσιν καὶ αὐτό, καθά που καὶ τὸ ἀπομηνίσομεν. δηλοῖ δὲ τὸ λύτρα λαβόντες ἀφήσομεν, καὶ οὕτω διαφέρει τὸ λῦσαι τοῦ ἁπλῶς ἀφεῖναι δωρεὰν ἤτοι μεθεῖναι καθ' Ὅμηρον. οὕτω δ' ἂν καὶ τὸν Δόλωνα μεθῆκεν Ὀδυσσεύς, εἴπερ ἐτίμησεν οἷα κήρυκος υἱόν. (v. 450) Τὸ δὲ «εἶσθα» οὐ μόνον διὰ τοῦ η γράφεται συνήθως ἐν ἄλλοις ὡς ῥῆμα ὑπαρκτικόν, ἀλλ' ἰδοὺ καὶ διὰ διφθόγγου ἐνταῦθα, καὶ δηλοῖ τὸ ἔρχῃ, ἤγουν ἀντ' αὐτοῦ κατὰ μετάληψιν χρόνου τὸ ἔλθῃς, ἀπὸ τοῦ εἶμι εἶς. χρῆσις δὲ αὐτοῦ καὶ ἐν Ὀδυσσείᾳ. (v. 451) Διοπτεύειν δὲ τὸ κατασκοπεῖν. ὅθεν καὶ τὸν τοῦτο ποιοῦντα διοπτῆρα στρατοῦ ἐρεῖ, ὃς καὶ ἀσυνθέτως ὀπτὴρ λέγεται. ἐκ τούτου δὲ καὶ Ζεὺς διόπτης, ὡς δηλοῖ τὸ «ὦ Ζεῦ διόπτα καὶ κατόπτα». Τὸ δὲ «ἀντίβιον πολεμίξων» πολέμιον μὲν εἶναι δηλοῖ καὶ τὸν κατάσκοπον, πλὴν οὐκ ἀντίβιον ἀλλ' ὑπούλως καὶ λαθρηδόν, εἰκὸς δὲ τὸν αὐτὸν καὶ πολεμιστὴν εἶναι. Ἐνταῦθα δὲ ὅρα τὸ «διοπτεύσων» καὶ «πολεμίξων», τὰ γοργὰ πάρισα, δι' ὧν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καλλωπίζει εὐκαίρως ὁ Διομήδης, χαίρων ἐφ’ οἷς ἀνδραγαθεῖ κατὰ τοῦ Δόλωνος. (v. 453) Τὸ δὲ «οὐκέτι σὺ πῆμά ποτ’ ἔσσεαι» δύο ἐνεργειῶν τοῦ Δόλωνος ἔχεται διὰ τοῦ ποτέ ἐπιρρήματος. λέγει γὰρ ὁ ἥρως ὅτι οὔτε διοπτεύων πημανεῖς τοὺς Ἀργείους οὔτε πολεμῶν. (v. 454—6) Ὅτι ὁ μὲν Δόλων πτοηθεὶς τὸν Διομήδην «ἔμελλε γενείου χειρὶ παχείῃ ἁψάμενος λίσσεσθαι», ὅ ἐστι περιφραστικῶς ἱκετεῦσαι, «ὃ δ’ αὐχένα μέσσον ἔλασσε φασγάνῳ ἀΐξας, ἀπὸ δ’ ἄμφω κέρσε τένοντε», ταχὺ ἀνελών. τοῦτο γὰρ δηλοῖ τὸ ἀΐξας, ἵνα μὴ φθάσαντα γονυπετῆσαι ὡς ἱκέτην αἰδέσηται. καὶ ἐχρῆν μὲν δεσμῷ νηλέϊ δῆσαι τὸν Δόλωνα, κατὰ ἐκεῖνον εἰπεῖν τὸν Δόλωνα, ὡς ἂν ἔχῃ δεῖξαι τοῖς Ἀργείοις τὸ θήραμα. δέδιε δέ, μή ποτε κραυγάσας ἐκ τῆς πεδιάδος μηνύσῃ τοὺς πολεμίους τοῖς Τρωσίν. Ὅρα δὲ καὶ ὅτι οὐ πάντα ἐκ τοῦ Δόλωνος πολυπραγμονοῦσι μαθεῖν, ἃ φθάσαντες ἐπετράπησαν, τυχὸν μὲν ἐκλαθόμενοι διὰ τὸ ἐναγώνιον, μᾶλλον δὲ ὡς ἤδη μαθόντες, ὃ ἤθελον. ἐβούλοντο μὲν γὰρ μαθεῖν, ἐὰν οἱ Τρῶες μενοῦσι παρὰ ναυσὶν ἢ ἐς Τροίαν ἀναχωρήσωσι. τοῦτο δὲ ἤδη γινώσκουσιν. ὁ γὰρ στείλας Ἕκτωρ τὸν διοπτεύσοντα, εἰ αἱ νῆες φυλάσσονται, πάντως οὐκ ἀναχωρεῖ, ἀλλὰ μένει.

3.110 Ὅρα δὲ καὶ ὅτι οὐδὲν πρὸς ἀνδρίαν καθόλου ἡ τῶν ἀκρωτηρίων μεγαλειότης. τί γὰρ ὄφελος ἡ παχεῖα χεὶρ τῷ Δόλωνι; (v. 456) Τένοντες δὲ καὶ ἐνταῦθα τὰ ὄπισθεν τοῦ τραχήλου παχέα νεῦρα. (v. 457) Ἐν τούτοις δὲ καὶ τὸ «φθεγγομένου δ’ ἄρα τοῦ γε», ἤγουν τοῦ Δόλωνος, «κάρη κονίῃσιν ἐμίχθη», ἤγουν εἰς γῆν ἔπεσεν ἡ κεφαλὴ ἐκείνου, ἀρξαμένου μὲν φωνὴν ἀφιέναι, μήπω δὲ διασαφήσαντος τὸ λεγόμενον, γράφεται μὲν «φθεγγομένη δ’ ἄρα τοῦ γε κάρη». οὐχ’ Ὁμηρικὴ δὲ ἡ φράσις. οὐ γὰρ ἔστι θηλυκῶς ἡ κάρη παρ’ Ὁμήρῳ. Δηλοῖ δὲ ὅμως ἡ τοιαύτη γραφή, ὅτι τὸ πνεῦμα μέχρι τοῦ στόματος ἀνελθὸν καὶ πληρῶσαν αὐτὸ ἐξεχύθη, καίτοι τμηθείσης τῆς κεφαλῆς, ὥστε ἔτι κινουμένης τῆς γλώττης δοκεῖν τὴν κεφαλὴν κάτω κειμένην φθέγγεσθαι. οὕτω, φασί, καὶ σωλῆνα μεστὸν ὕδατος εἰ διατέμοι τις, ἡ μὲν ἐκ τῆς πηγῆς ἐπίρροια εἴργεται, ὃ δὲ ἐντός ἐστι τοῦ σωλῆνος ἐκχεῖται. (v. 460—4) Ὅτι τὴν ῥηθησομένην τοῦ Δόλωνος πανοπλίαν ἑλὼν Ὀδυσσεὺς εὔξατό τε καὶ ἀνέθηκεν αὐτὴν Ἀθηνᾷ, οὐ γλαυκώπιδι, οὐδὲ ἀτρυτώνῃ, ἀλλὰ ληΐτιδι, ὡς συνεφαψαμένῃ τοῦ ληΐσασθαι, εἰπὼν «χαῖρε θεὰ τοῖσδεσι» καὶ ἑξῆς. (v. 465 s.) Εἶτα ἔθηκεν ἀνὰ μυρίκην αὐτά, ἐκεῖ που καθ’ ὁδὸν πεφυκυῖαν. (v. 458—63) Φράζει δ’ ἐνταῦθα ὁ ποιητὴς οὕτω «τοῦδ’ ἀπὸ μὲν κτιδέην κυνέην κεφαλῆφιν ἕλοντο, καὶ λυκέην», τὰ προρρηθέντα, «καὶ τόξα παλίντονα καὶ δόρυ μακρόν· καὶ τά γ’ Ἀθηναίῃ ληΐτιδι δῖος Ὀδυσσεὺς ὑψός’ ἀνέσχεθε χειρὶ καὶ εὐχόμενος ἔπος ηὔδα», [ἵνα καὶ ὡς ἀρητὴρ τῷ Διομήδει χρήσιμος εἴη, οὐ διὰ δειλίαν ἀλλὰ διὰ προμήθειαν.] «Χαῖρε θεὰ τοῖσδεσι· σὲ γὰρ πρώτην ἐν Ὀλύμπῳ ἐπιβωσόμεθα». (v. 463—8) Εἶτα καὶ περὶ τῶν ἐφεξῆς εὐχόμενος λέγει «ἀλλὰ καὶ αὖτις πέμψον ἐπὶ Θρῃκῶν ἀνδρῶν ἵππους τε καὶ εὐνάς», διὰ τὸν Ῥῆσον δηλαδή. οἷς ἐπιφέρει καὶ ὅτι «ἀπὸ ἕθεν», ἤγουν ἀφ’ ἑαυτοῦ, τὰ τοιαῦτα ὅπλα «ὑψός’ ἀείρας θῆκεν ἀνὰ μυρίκην· δέελον δ’ ἐπὶ σῆμα ἔθηκε, συμμάρψας δόνακας μυρίκης τ’ ἐριθηλέας ὄζους, μὴ λάθοι αὖτις ἰόντε», ἤγουν ἐπανιόντας, «θοὴν διὰ νύκτα μέλαιναν».

3.111 (v. 467) Φασὶ δὲ οἱ παλαιοί, ὅτι τροπαίου σχῆμα ἐνταῦθα μιμεῖται ὁ ποιητὴς τῇ τῶν δονάκων καὶ ὄζων συνδέσει, ὅπερ οἱ ὕστερον τῇ χρήσει διήρθρωσαν, τρόπαια μετὰ τὰς νίκας ἱστῶντες, ὅπου τῶν πολεμίων περιγένοιντο, καὶ ταῦτα ἢ ἐξ ὅπλων σωρείας ἢ ἐκ λίθων, οἷς καὶ γράμματα ἐνεκόλαπτον, ἢ καὶ ἐξ οἱασοῦν ἀναστηλώσεως, ὡς εἶναι τὸ ἱστᾶν τρόπαιον περιφραστικῶς ἶσον τῷ νικᾶν, ὡς ἐκ τοῦ τῆς μάχης ἀποτελέσματος, [καθ’ ἣν ἐτρέποντό τινες, ἵνα ᾖ ὡς κεφαλή κεφάλαιον, οὕτω τροπή τρόπαιον, ὅπερ ἀνίστατο Διῒ τροπαίῳ, οὗ εὐθεῖα ὁ τροπαῖος κατὰ τὸ ἀστραπή ἀστραπαῖος.] Μανδάκῃ δὲ ἔοικεν ὁ ῥηθεὶς δεσμὸς τῶν φυτῶν, ὃς δὴ μανδάκης κυρίως, ὥς φησι καὶ ὁ Χοιροβοσκὸς Γεώργιος, δεσμὸν χόρτου δηλοῖ κατά τινα γλῶσσαν. καὶ φυλάσσεται ἡ τοιαύτη λέξις παρὰ τοῖς κατὰ Θρᾴκην. Ὅρα δὲ τὰ πάρισα, τὸ κυνέην, κτιδέην, λυκέην, ἐν χωρίῳ ἐπιχυθέντα, ὃ καλλωπίζων διὰ τοὺς ἥρωας χαίρει ὁ ποιητής. (v. 459) Περὶ δὲ

παλιντόνων τόξων, ὡς διαφοράν τινα τόξου δηλοῖ τὸ παλίντονον, προείρηται. φαίνονται δὲ τοιαῦτα πολλὰ καὶ παρὰ τοῖς νῦν ἔθνεσι. (v. 460) Τὸ δὲ «ληΐτιδι» ἴσως μὲν ὅμοιόν ἐστι τῇ ἀγελείᾳ, εἴπερ ἐκείνη γίνεται παρὰ τὸ ἄγειν λείαν. [Ἧς μέρος καὶ τὰ λάφυρα εἴτ' οὖν σκῦλα, ἐξ ὧν σκυλήτρια παρὰ Λυκόφρονι Ἀθηνᾶ.] Εἰ δὲ ἀγελεία λέγεται Ἀθηνᾶ παρὰ τὸ ἄγειν λεὼν ἢ παρὰ τὸ ἄγη ἐλαύνειν, διαφέρει οὕτως ἡ ληΐτις καὶ ἡ ἀγελεία. (v. 461) Τὸ δὲ «ὑψόσε ἀνέσχεθεν», ἤγουν ἀνέτεινε, παρακατιὼν ἄλλως φράζει ἐν τῷ «ὑψόσε ἀείρας», ὡς εἶναι ταὐτὸν ἁπλῶς τὸ ἀνασχέθειν καὶ τὸ ἀείρειν. Εἰ καὶ ἄλλως νῦν τὸ μὲν ἐπὶ τῇ Ἀθηνᾷ ὑψόσε ἀνασχέθειν χρὴ νοῆσαι ὑψηλοτέραν σχεῖν ἀνάτασιν χειρῶν, τὸ δὲ ὑψόσε ἀεῖραι ταπεινοτέραν, εἰς ὅσον ἦν καὶ τὸ τῆς μυρίκης ὕψος. Ἔστι δὲ τὸ οὕτως ὑψόσε ἀνασχεῖν σύμβολον τοῦ μή τινι ἐπιγείῳ, ἀλλ' οὐρανίῳ ἀνατιθέναι τὰ ῥηθέντα ὅπλα. διὸ ἴσως καὶ ὡς μὴ ἔχων ἀναρτῆσαί που συνήθως αὐτὰ λόγῳ ἀναθήματος ἀνὰ μυρίκην ἔθηκεν, ὡς ἂν μὴ πελάζοιεν γῇ. (v. 466) Ἔνθα καὶ ὅρα τὸ «ἔθηκεν ἀνὰ μυρίκην», ἐξ οὗ κατὰ ἀναστροφὴν τῆς ἀνα προθέσεως εἰλῆφθαι δοκεῖ τὸ ἀνατιθέναι παρὰ τοῖς ὕστερον καὶ τὸ ἐξ αὐτοῦ ἀνάθημα. (v. 461) Τὸ δὲ «ἀνέσχεθε χειρί» οὐ πρὸς διαστολήν τινα κεῖται, ἀλλ' εἰς ἔνδειξιν τοῦ μεγάλα εἶναι τῷ Ὀδυσσεῖ ὡς ἀνδρείῳ τὰ τῆς χειρὸς ἀκρωτήρια, εἴγε μιᾷ χειρὶ τὰ τοσαῦτα δραξάμενος ἀνέσχεθεν.

3.112 εἰ δὲ γράφεται «χερσίν», ἀργεῖ τὸ τοιοῦτον παρατήρημα. (v. 462) Τὸ δὲ «τοῖσδεσιν», εἰ μὲν ἀπὸ τοῦ τοῖσιν, ὅ ἐστι τούτοις γίνεται, καινῶς ἔχει τὴν μέσην λέξιν παρεισπεσοῦσαν, εἰ δὲ ἀπὸ τοῦ τοῖσδε, πάντῃ οὕτω καινόσχημόν ἐστι τὸ μὴ μόνον τὸ ι ἐπεκτατικῶς τεθῆναι, ἀλλὰ ὅλην τὴν σι συλλαβήν. αἴτιον δὲ ἡ δοτικὴ τῶν πληθυντικῶν ἀεὶ πρὸ τοῦ τελικοῦ αὐτῆς ι τὸ ς φιλοῦσα ἔχειν ἢ δυνάμει ἢ ἐνεργείᾳ. ἰστέον δὲ ὅτι τοῦ πλεονάζειν ἐνίοτε καὶ τὴν σι συλλαβὴν δεῖγμα παράγουσί τινες οὐκ ἀκριβὲς καὶ τὸ λάβῃ λάβῃσι, λάχῃ λάχῃσι καὶ τὰ ὅμοια. ἡ δὲ ἐν τῇ τοιαύτῃ λέξει περισπωμένη οὐκ ἂν διὰ τὴν ἐφεξῆς δισυλλαβίαν εὐλόγως εἰς ὀξὺν μεταπέσοι τόνον, ἵνα ᾖ προπαροξύτονον κατὰ τὸ ἀνδραπόδεσσιν. οὐ γὰρ κατὰ φύσιν ἐνταῦθα οὔτε τὸ δε οὔτε τὸ σι . διὸ νικᾷ ὁ τοῦ ἄρθρου τῆς δοτικῆς τῶν πληθυντικῶν περισπασμός. (v. 463) Τὸ δὲ ἐπιβώσεσθαι ὅτι ἐκ τοῦ βοήσεσθαι κέκραται, πολλαχοῦ δεδήλωται. (v. 466) Ἐν δὲ τῷ «θῆκεν ἀνὰ μυρίκην, δέελον δ' ἐπὶ σῆμα ἔθηκε» κύκλου σχῆμα φαντάζεται. εἰ δὲ ἦν «ἔθηκεν ἀνὰ μυρίκην» καθαρῶς ἂν ἦν κύκλος ῥητορικός, λήγοντος τοῦ στίχου ὅθεν ἤρξατο. Ἐνταῦθα δὲ ὅρα καὶ τὴν ἀνα πρόθεσιν, τὴν ἄνω μὲν δηλοῦσαν σχέσιν, συντασσομένην δὲ μετὰ αἰτιατικῆς, οὐ μὴν μετὰ δοτικῆς, ὡς ἐν τῷ «ἅρματα δ' ἂν βωμοῖσιν ἔθηκε», καὶ ὅτι τὸ ἔθηκεν ἐν μὲν τῷ «ἀνὰ μυρίκην» τοπικῶς κεῖται, ἐν δὲ τῷ «σῆμα ἔθηκε», τὸ ἐποίησε δηλοῖ. Δέελον δὲ τὸ δῆλον κατὰ διάλυσιν, ἐξ αὐτοῦ δέ, ὡς καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται, τὸ εὐδείελον ἐπενθέσει τοῦ ι .

3.113 [Τὸ δὲ ἐνταῦθα κείμενον σῆμα δηλοῖ ἐναργῶς, ὅτι καὶ ὁ τάφος σῆμα λέγεται οἷα σημαίνων καὶ αὐτός τι, τὸ κεῖσθαι δηλαδὴ ἐκεῖσε νεκρόν.] (v. 467) Δόνακες δὲ εἶδος καλάμου, λεπτοὶ καλαμίσκοι, οὓς οἱ μεθ' Ὅμηρον καλοῦσι δονάκια, παρὰ τὸ ῥᾷον δονεῖσθαι, [δι' οὓς καὶ ποταμός που ἐν τοῖς ἑξῆς δονακεύς. Δῆλον δὲ ὡς οἱ δόνακες καλάμων μὲν λεπτότεροί εἰσιν, ὀρόφων δὲ ἁδρότεροι, καὶ δοκοῦσιν ἐκ δονάκων μὲν σύριγγες γίνεσθαι, αὐλοὶ δὲ ἐκ καλάμων.] Συλλογιστέον δὲ ὡς ἐν ἕλει ᾤδευον οἱ κατάσκοποι. ἐν γὰρ τοιούτοις τόποις οἱ δόνακες φύονται, καθὰ καὶ ἡ μυρίκη. ὑδροχαρὴς γὰρ καὶ αὐτή, φυλάσσουσα τὴν κλῆσιν καὶ νῦν, εἰ καὶ κατά τι βαρβαρικῶς παραφθείρεται. ἐδήλου δὲ πρὸ τούτου καὶ ὁ ἐρῳδιὸς τὸ ἔρχεσθαι τοὺς κατασκόπους διὰ τόπων ἑλωδῶν. (v. 468) Ἐν δὲ τῷ «μὴ λάθοι ἰόντας» λείπει σύνδεσμος αἰτιολογικός, ἵνα λέγῃ κατὰ τὸ πλῆρες· ὄφρα μὴ λάθοι ἤ τι τοιοῦτον. καὶ ἔστι τὸ σχῆμα σύνηθες καὶ τοῖς κοινότερον φράζουσι. Τὸ δὲ «νύκτα μέλαιναν» οὐκ ἀργῶς ἐρρέθη οὐδὲ πρὸς μόνην πιθανὴν αἰτιολογίαν τοῦ ἐπὶ μυρίκης ἀναγκαίως τεθῆναι τὴν τοῦ Δόλωνος πανοπλίαν, ἵνα μὴ λάθῃ, ἀλλὰ καὶ πρὸς παρασημείωσιν τοῦ χρῆναι τοιαύτας νύκτας ἐπιτηρεῖσθαι τοῖς ἐθέλουσι σκοπιᾶσθαι τὰ τῶν πολεμίων. (v. 470) Ὅτι τέλος καὶ ἐνταῦθα τὸ στρατιωτικὸν τάγμα ἐν τῷ

«Θρηίκων ἀνδρῶν τέλος ἷξον ἰόντες». καὶ ἔστιν ἡ λέξις ἀξιωματική, ὡς δῆλον καὶ ἐκ τοῦ «τοῖς ἐν τέλει βεβῶσι πείσομαι». ὅτι δὲ πολυώνυμον τὸ τέλος, λέγουσι σαφῶς οἱ παλαιοί. Δῆλον δὲ ὅτι τὸ «ἷξον», ἤγουν κατέλαβον, φυσικῶς ἔχει τὴν ἐν τῇ ἀρχούσῃ περισπωμένην ὡς χρονικῶς ἐκταθέν.

3.114 ἄλλως γὰρ ὤφειλε τὸ δίχρονον ὀξύνεσθαι ὡς θέσει μακρὸν διὰ τὸ κεῖσθαι πρὸ συμφώνου διπλοῦ. παρατατικοῦ δὲ χρόνου τὸ ἷξον, ὡς ἀπὸ μέλλοντος τοῦ ἴξω ἀναβιβασθέντος εἰς ἐνεστῶτα. (v. 471—5) Ὅτι καλὰ καὶ τοῖς τοῦ Ῥήσου τὰ ὅπλα, ὡς καὶ τῷ αὐτῶν ἡγεμόνι, καὶ ὅτι στρατιωτικῶς παρέκειτο καὶ αὐτοῖς εὕδουσιν αὐτά, ὡς καὶ πρὸ ὀλίγων γέγραπται. Φησὶ γοῦν Ὅμηρος οὕτω περὶ τούτων «οἳ δ’ εὗδον καμάτῳ ἀδηκότες, ἔντεα δέ σφιν καλὰ παρ’ αὐτοῖσιν», ἤγουν ἐγγὺς αὐτῶν, «χθονὶ κέκλιτο εὖ κατὰ κόσμον τριστοιχεί, παρὰ δέ σφιν ἑκάστῳ δίζυγες ἵπποι. Ῥῆσος δ’ ἐν μέσῳ εὗδε, παρ’ αὐτῷ δ’ ὠκέες ἵπποι, ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσι δέδεντο». Καὶ ὅρα τὸ τοῦ Ῥήσου προμηθές. ἐν μέσῳ γὰρ ἔκειτο διὰ τὸ ἀσφαλὲς οἷα βασιλεύς, ὅθεν καὶ ἔργον ἦν ἀναιρεθῆναι αὐτόν, τριστοιχεὶ κύκλῳ φυλαττόμενον. Διὸ νοοῦσιν οἱ παλαιοί, ὅτι τέσσαρας ἐξ ἑκάστου στίχου ἀνελὼν ὁ Διομήδης, ἤγουν ἄνδρας δώδεκα, καὶ γέφυραν οἷον πολέμου ποιήσας διέβη εἰς τὸν Ῥῆσον καὶ οὕτως αὐτὸν ἀνεῖλε τρισκαιδέκατον καὶ τῶν αὐτοῦ ἵππων ἐκυρίευσε. (v. 472 s.) Τὸ δὲ «κατὰ κόσμον» ἑρμηνεία εἶναι δοκεῖ τοῦ εὖ, ὥσπερ καὶ τοῦ «παρὰ δέ σφιν» διασαφητικόν ἐστι τὸ «ἑκάστῳ». ταὐτὸν γάρ ἐστι τὸ παρ’ αὐτοῖς καὶ τὸ παρὰ ἑκάστῳ. [Ὅμοια δ’ ἀλλήλοις κατὰ σχῆμα τὸ παρ’ αὐτοῖς καὶ τὸ παρὰ δέ σφιν καὶ τὸ παρ’ αὐτῷ, καὶ δηλοῦται ἐγγύτης ἐν τοῖς τρισὶ κατὰ τὸ παρ’ ἀλλήλοις κεῖσθαι.] (v. 473) Δίζυγες δὲ ἵπποι ἀντὶ τοῦ δύο ὑπὸ ἕνα ζυγόν, δι’ ὧν ἀποτελεῖται ξυνωρίς. (v. 471—3) Τὸ δὲ «ἔντεα παρ’ αὐτοῖς χθονὶ κέκλιται», καὶ «παρ’ ἑκάστῳ δίζυγες ἵπποι», καὶ «παρ’ αὐτῷ δ’ ὠκέες ἵπποι», θέσιν ἀκολουθητικὴν ἔχει, ὁποίαν τὸ «ποῦ οἱ ἔντεα κεῖται, ποῦ δέ οἱ ἵπποι», περὶ οὗ πρὸ ὀλίγων γέγραπται. Τὸ δὲ «ἵπποι» δὶς ἐν τέλει στίχων κείμενον κάλλος ποιεῖ παρισωτικόν. (v. 475) Ἐπιδιφριὰς δὲ μέρος ἢ τοῦ δίφρου ἢ τῆς τοῦ ἅρματος ἄντυγος, περὶ ἣν περατοῦται ὁ δίφρος. Σημείωσαι δὲ ὡς καλὰ μὲν τοῖς Θρᾳξὶ τἄλλα, τὸ δὲ ἀφυλάκτως ὑπνοῦν ἐν τοιούτῳ καιρῷ οὐκ ἂν ἐπαινοῖτο. δεινὸν γὰρ σφάλλειν τοῦ ὀρθοῦ καὶ τὸ βραχὺ φαῦλον. (v. 476—8) Ὅτι καὶ τοὺς ἵππους τοῦ Ῥήσου λάμποντας, ὡς εἰκός, νύκτωρ τῇ ἡλιώδει λευκότητι προπάροιθεν ὁ Ὀδυσσεὺς ἰδών, οὐ διὰ δειλίαν πάντως, ἀλλὰ προμήθειαν, τῷ Διομήδει ἔδειξε, καὶ χαίρων ἀγάλλει τὸν λόγον περικαλλεῖ σχήματι, ἀντιστροφῇ δηλαδὴ πολυπτώτῳ τῇ κατὰ κόμμα, εἰπὼν «οὗτός τοι Διόμηδες ἀνήρ, οὗτοι δέ τοι ἵπποι, οὓς νῶϊ πίφαυσκεν», ἤγουν πρὸς ἡμᾶς ἔφασκε, «Δόλων, ὃν ἐπέφνομεν ἡμεῖς».

3.115 Καὶ ὅρα κἀνταῦθα περιττὴν λέξιν τὸ ἡμεῖς, ἤρκει γὰρ καὶ μόνον τὸ ἐπέφνομεν. ἐποιήθη δὲ οὕτως, ἵνα τῷ οἷον διπλασιασμῷ τοῦ νοήματος κοινωνὸν ἑαυτὸν δείξῃ τῷ Διομήδει τοῦ καὶ τὸν Δόλωνα ἀνελεῖν. ὃ καὶ ἐκεῖνος ἐνέφηνε δεξιῶς ἐν τῷ «ἐπεὶ ἵκεο χεῖρας ἐς ἀμάς», ἤγουν τάς τε ἐμὰς τάς τε τοῦ Ὀδυσσέως, ὡς ἂν ἐκ τούτου κοινωνὸς εἴη καὶ τῶν ἐφεξῆς φόνων ὁ Ὀδυσσεὺς καὶ τῆς λοιπῆς ἀριστείας, καὶ μὴ ὁ Διομήδης μεῖζόν τι φρονήσῃ ἐξιδιούμενος πράξεις τινάς. Ὅρα δὲ ὅτι κἀνταῦθα ἐλλιπῶς ἔφρασεν Ὅμηρος. μετὰ γὰρ τὸ «Διομήδεϊ δεῖξε» λείπει μετοχὴ τὸ εἰπών ἤ τι τοιοῦτον, ἵνα λέγῃ, ὡς ἔδειξε τῷ Διομήδει εἰπὼν «οὗτός τοι Διόμηδες ἀνήρ». (v. 479) Ὅτι τὸ ἀνδρίζου, ὦ Διόμηδες, ἢ ἐνέργει περιφράζων φησὶν «ἀλλ’ ἄγε δὴ πρόφερε κρατερὸν μένος», ἤγουν φανέρου, διάδηλον ποίει. ὅθεν καὶ παρὰ τοῖς μεθ’ Ὅμηρον λόγος προφορικός, ὁ εἰς φανερὸν προαγόμενος καὶ μὴ κατὰ τὸν ἔνδον ἐνδιάθετον ἀφανὴς ὤν. (v. 479 s.) Τὸ δὲ ἐφεξῆς, ἤγουν τὸ «οὐδέ τί σε χρὴ ἑστάμεναι μέλεον», ἐρεθισμὸς μέν ἐστι καὶ αὐτὸ εἰς ἔργον, καταρριπτεῖ δέ πως τὸ τοῦ Διομήδους ὑψηλόφρον, ὡς οἷα ὀκνοῦντος ἐπὶ τῷ Ῥήσῳ καὶ τοῖς αὐτοῦ, ὃ δὴ κατὰ τὴν τραγῳδίαν φιλεῖ πάσχειν ἀνὴρ πρᾶγμα πράσσων μέγα. Διὸ οὐ μόνον ἐπάγει τὸ «ἀλλὰ λύε ἵππους», ἀλλὰ καὶ τὸ «ἢ σύ γε ἄνδρας ἔναιρε, μελήσουσι δέ μοι ἵπποι»,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μονονουχὶ λέγων, ὡς οὐκ ἀγεννῶς ἀπέχομαι τοῦ φονεύειν, ἀλλὰ πρῶτα μέν φημι, ὅτι κἂν μὴ ἐξεφώνησα διὰ τὸ ἄκομπον, ὅμως ἑτοίμως ἔχω αὐτὸς ἐναίρειν ἄνδρας, εἰ σὺ θέλεις τοὺς ἵππους λύειν, εἶθ' ὅτι σοὶ αὖθις ἑκόντι παραχωρῶ τοῦ ἔργου τούτου διὰ τὸ ἐμὲ πρὸς ἄλλοις ἀναγκαίοις εἶναι. πάνυ γὰρ ἑαυτὸν ὁ ἥρως συνήγαγε καὶ πρὸς τοῖς πράγμασιν ὅλος γέγονεν, ὡς ἂν ἔργοις πιστώσηται, ὅτι καλῶς ὑπὸ τοῦ Διομήδους ἐξελέγη. (v. 482—4) Ὅτι δὲ ὁ Διομήδης ἔοικεν ἑστάναι μέλεος οἷα, ὡς εἰκός, ὑποταραχθείς, δηλοῖ καὶ τὸ «ὣς φάτο, τῷ δ' ἔμπνευσε μένος Ἀθήνη», ἡ τοῦ Ὀδυσσέως δηλαδὴ παρακινήσασα σύνεσις, «κτεῖνε δ' ἐπιστροφάδην, τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι γαῖα».

3.116 οὐ γὰρ ἄλλως ὁ Διομήδης ἐναίρειν ἄνδρας ἤρξατο, εἰ μὴ Ὀδυσσεὺς ὀνειδίσας ἠρέθισε προφέρειν κρατερὸν μένος, ὅπερ ἐστὶ φονεύειν τοὺς πρὸ ποδῶν. (v. 480) Ἰστέον δέ, [ὅτι τε μέλεος ὁ μάταιος λέγεται, καὶ ἐξ αὐτοῦ μέλεον τὸ μάταιον, παρὰ τὸ μέλεσθαι, ὅ ἐστι φροντίδα ἔχειν. Δῆλον γὰρ ὅτι ὁ διηνεκῶς ἔμφροντις καὶ διὰ τὸ οὕτω μέλεσθαι ἀεὶ μέλλων ἀπρακτεῖ καί, κατὰ τὸν ποιητὴν εἰπεῖν, ματᾷ, ὅ ἐστι μάτην ζῇ. ἐπεὶ τὸ μέλλων ἶσον ἀπραξίᾳ ἐστίν, οὗπερ αἴτιον τὸ πάντοτε μέλεσθαι, ἀφ' οὗ ὁ μέλεος. (v. 481) Καὶ ὅτι] εὕρηται εἰς σκῶμμα παλαιὸν ἐπὶ φαύλων ἀνθρώπων ἰατροῦ τε καὶ ἱπποϊα[τροῦ ἐκφωνηθεὶς ὁ ῥηθεὶς Ὁμηρικὸς στίχος τὸ «ἢ σύ γε ἄνδρας ἔναιρε, μελήσουσι δέ μοι ἵπποι», ὡς τοῦ ἱπποϊα]τροῦ ἀναθέντος μὲν τῷ ἀδελφῷ τὸ τοὺς ἄνδρας Ἄϊδι προϊάπτειν, ἑαυτῷ δὲ ὑποκατασχόντος τὸ τοὺς ἵππους ὀλοθρεύειν. (v. 483) Τὸ δὲ «ἐπιστροφάδην» ἀντὶ τοῦ ἐνεργῶς, εὐτόνως, σπουδαίως, ἐπεστραμμένως, ὧδε καὶ ὧδε, διὰ τὴν διάφορον θέσιν τῶν κτεινομένων. Ἀεικὴς δὲ στόνος ὁ ἐξ αἰκίας, ἄορι θεινομένων δηλαδή, ἢ ὁ μὴ πρέπων τοιούτοις ἀνδράσιν, οἳ οὐκ ἂν οὕτως ἔπαθον, εἰ ἐφυλάσσοντο. (v. 485—7) Ὅτι τὸν Διομήδην παραβολικῶς ἐκφαίνων ὁ ποιητής, ὅπως ἀνῄρει τοὺς Θρᾷκάς φησιν «ὡς δὲ λέων μήλοισιν ἀσημάντοισιν ἐπελθὼν αἴγεσσιν ἢ ὀΐεσσι κακὰ φρονέων ἐνορούσει, ὣς μὲν Θρήϊκας ἄνδρας ἐπῴχετο Τυδέος υἱός». Καὶ ὅρα ὡς ταὐτὸν ἐνταῦθα νοεῖ τὸ φονικῶς ἐνορούειν καὶ τὸ ἐποίχεσθαι. (v. 485) Μῆλα δὲ εἰ καὶ πάντα νοεῖται ἀλλαχοῦ τὰ θρέμματα, ὅμως ἐνταῦθα ἐπὶ αἰγῶν καὶ προβάτων τὴν λέξιν ὁ ποιητὴς ἐμερίκευσε. τοιαῦτα μὲν γὰρ πυκνὰ λέων βλάψοι ἄν, βόας δὲ οὐκ ἂν οὕτω. Ὅρα δὲ καὶ τὰ τέσσαρα πάρισα, τὸ μήλοισι, τὸ ἀσημάντοισι, τὸ αἴγεσσι, τὸ ὀΐεσσιν, οἷς ἀγλαΐζει τὴν ἡρωϊκὴν παραβολὴν ὁ ποιητής. Ἀσήμαντα δὲ λέγει τὰ ἀπροστάτευτα καὶ ἀποίμαντα, οἷς δηλαδὴ οὐκ ἦν ὁ σημαίνων, [ἤγουν σημεῖόν τι ποιῶν ἢ νοῶν σωτηριῶδες τῷ ποιμνίῳ. ἐξ οὗ δὴ σημαίνειν καὶ οἱ στρατηγοῦντες λαοῦ σημάντορες λέγονται, ἤδη δὲ καὶ οἱ ἄλλως ἄρχοντες, οἷς τέθειται σημεῖά τινα, καθ' ἃ καὶ σημαίνειν λέγονται, ταὐτὸν δ' εἰπεῖν ἄρχειν ἢ ἀρχεύειν ἢ ἀνάσσειν.

3.117 ] (v. 486) Σημείωσαι δὲ καὶ τὸ «κακὰ φρονέων», ὡς τοῦ φρονεῖν ἀφελῶς καὶ οὕτω γλυκέως ἐπὶ ἀλόγου ζῴου τεθέντος, ὅπερ μετ' ὀλίγα ἐπὶ Ὀδυσσέως ἐρεῖ ἐν τῷ «τὰ φρονέων κατὰ θυμόν». (v. 489—92) Ὅτι Διομήδους ἐνεργοῦντος περὶ τοὺς Θρᾷκας, ὃν ἂν ἐκεῖνος «ἄορι πλήξειε παραστάς, τὸν δ' Ὀδυσσεὺς μετόπισθε λαβὼν ποδὸς ἐξερύσασκε, τὰ φρονέων κατὰ θυμόν, ὅπως καλλίτριχες ἵπποι ῥεῖα διέλθοιεν». (v. 492 s.) Εἶτα διασαφῶν τὸ «ῥεῖα διέλθοιεν» ἐπάγει «μηδὲ τρομεοίατο θυμῷ νεκροῖς ἀμβαίνοντες». Μεθ' ὃ δηλῶν τὸ τοῦ τρόμου τοῖς ἵπποις αἴτιόν φησιν «ἀήθεσσον γὰρ ἔτ' αὐτῶν», τουτέστιν ἀήθεις ἦσαν καταπατεῖν νεκρούς. Ποιητικὴ δὲ λέξις τὸ ἀηθέσσειν καὶ δυσέλκυστος εἰς λόγον πεζόν, καινὴ δὲ καὶ ἡ μετὰ γενικῆς αὐτοῦ σύνταξις. (v. 492) Ἰστέον δὲ [ὅτι τε τὸ «τρομεοίατο», καθὰ καὶ τὸ τρομέονται, ἀπορίαν ἔχει λελυμένην ἀλλαχοῦ, διὰ τί μὴ ἐκτείνουσι τὴν ἄρχουσαν, ἵνα ᾖ ὡς στρέφω στρόφος στρωφῶ, νέμω νόμος νωμῶ, τρέπω τρόπος τρωπῶ, οὕτω καὶ τρέμω τρόμος τρωμῶ διὰ τοῦ ω μεγάλου, ἀλλὰ διὰ τοῦ ο μικροῦ. καὶ ὅτι ὁμοίας ἀπορίας ἐστὶ καὶ τὸ δέμω δόμος δομῶ δομήσω, καὶ] ὅτι οὐ μόνον Ἰωνικῶς, ἀλλὰ καὶ Ἀττικῶς κατὰ τοὺς παλαιοὺς ἀναύξητόν ἐστι τὸ ἀήθεσσον διὰ τὴν κακοφωνίαν τῆς αὐξήσεως τοῦ ἠήθεσσον. οὕτω δὲ καὶ ἀηδίζω ἀήδιζον ἔλεγον διὰ τὴν αὐτὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰτίαν. Τὰ γὰρ [δύο] η κακοφώνως ἔχουσιν, ὡς καὶ ἡ τῆς ει διφθόγγου ἀλλεπαλληλία καὶ τὰ συχνὰ ἰῶτα, καθὰ δηλοῖ καὶ τὸ «Ἴριδι δίῃ.» σεσηρέναι γὰρ τὰ χείλη ποιεῖ τὸ ἐν τοῖς τοιούτοις ἀλλεπάλληλον. (v. 493) Ὅρα δὲ καὶ τὸ ἀναβαίνειν δοτικῇ συνταχθὲν ἐν τῷ «νεκροῖς ἀμβαίνοντες», ὃ καὶ ἀλλαχοῦ ἡ κατὰ μόνας ἀνα πρόθεσις ποιεῖ, ὡς προδεδήλωται, εἰ καὶ ἐν τῷ «ἀνὰ μυρίκην» ἄλλως ἔχει, ὡς πρὸ ὀλίγων εἴρηται.

3.118 Προμηθὴς δὲ καὶ ἐνταῦθα τοῦ μέλλοντος ὁ Ὀδυσσεὺς καὶ λίαν τῷ Διομήδει λυσιτελὴς καὶ οὐκ αἰσχύνων τὴν ἐκείνου ἐπιλογήν. (v. 495) Ὅτι δώδεκα Θρᾷκας τούς, ὡς ἐρρέθη, νεήλυδας ἀνελὼν ὁ Διομήδης τρισκαιδέκατον τὸν βασιλέα Ῥῆσον μελιηδέα θυμὸν ἀπηύρα, ὅ ἐστι περιφραστικῶς ἀνεῖλεν ἀσθμαίνοντα. (v. 496 s.) «Κακὸν γάρ», φησίν, «ὄναρ κεφαλῆφιν ἐπέστη τὴν νύκτα Οἰνείδαο πάϊς», τουτέστιν ὁ τοῦ Τυδέως Διομήδης, «διὰ μῆτιν Ἀθήνης», ἤγουν κατὰ τὴν ἔμφρονα βουλὴν τῶν ἐν Ἀχαιοῖς βουληφόρων. Ἰστέον δὲ ὅτι ἐν τῷ «κακὸν γὰρ ὄναρ κεφαλῆφιν ἐπέστη τὴν νύκτα» ἀστείως μὲν ὁ ποιητὴς καὶ γλυκέως ἔφρασεν, ἤδη δὲ καὶ ἀσφαλῶς, διὰ τὸ καὶ ὑπνοῦντα βαθὺ τὸν Ῥῆσον καὶ ἐν νυκτὶ δὲ τῷ κακῷ ἐντυχεῖν. ἄλλως μέντοι ἀναπτυσσόμενον τολμηρὸν καὶ οὐκ ἀσφαλές ἐστι τὸ νόημα. τὸ μὲν γὰρ ὄναρ ὁρᾶται ὑπὸ τοῦ ὀνειροπολοῦντος, ἐνταῦθα δὲ ὁ οἷον ὀνειροπολούμενος Διομήδης οὐχ' ὁρᾶται, ἀλλ' αὐτὸς τὸν Ῥῆσον ὁρᾷ. εἰ μὴ ἄρα ἡ Μοῦσα πάντα εἰδυῖα οἶδεν, ὅτι καὶ ἐν ὀνείρῳ ταῦτα τῷ Ῥήσῳ ἐφαίνοντο. τοῦτο δὲ λύει μὲν ἀπορίαν, ἀφανίζει δὲ τὴν χάριν τοῦ νοήματος. Ἵνα οὖν εἴποι τις τὸ ἀκριβές, ἐπιφωνηματικόν ἐστι τὸ τοιοῦτον, ἔχον μὲν καὶ ἀσφάλειαν διὰ τὸν ὕπνον καὶ τὸ τῆς ὥρας νύκτερον, ἔχον δὲ καὶ τόλμαν, ὡς εἴρηται, ὅσπερ ἐστὶ νόμος ἐπιφωνήματος ῥητορικοῦ. (v. 495) Θυμὸν δὲ μελιηδέα εἰπεῖν καὶ φίλον ἦτορ ὁμοίως ἔχει. καὶ ὅρα ὡς οὐ μόνον οἶνος μελιηδὴς καὶ πυρὸς μελιηδής, ἀλλ' ἰδοὺ καὶ θυμός, ἤγουν ψυχή. θυμὸς μέντοι ὁ κατὰ ὀργήν, εἰ καὶ γλυκίων μέλιτος καταλειβομένου τῷ θυμουμένῳ, ἀλλ' οὐκ ἂν ῥηθείη συνθέτως μελιηδής, ὅτι μηδ' ἁρμόττει κακῷ τούτῳ πικροποιῷ τοιοῦτον ἐπίθετον. τὸ δὲ «ἐπέστη τὴν νύκτα», ἤγουν νύκτωρ, κοινῶς τέτριπται εἰς ὁμιλίαν. Ἀττικοὶ δὲ νυκτός φασι. (v. 498 s.) Ὅτι ἐν τῷ «τόφρα δ' ἂρ ὁ τλήμων Ὀδυσεὺς λύε μώνυχας ἵππους, σὺν δ' ἤειρεν ἱμᾶσι» τὸ τλήμων, περὶ οὗ καὶ προείρηται, οὐ μόνον ἐπαινῶν ὁ ποιητὴς λέγει, ἀλλὰ καὶ συμπαθῶν τῷ ἥρωϊ ὡς τλησιπόνῳ. κοινὸν δὲ πάντως καὶ τῷ Διομήδει τὸ τοιοῦτον καλόν. ἐξὸν γὰρ ἀμφοτέροις ἑλοῦσι τὸν Δόλωνα ἐπανελθεῖν ἀκινδύνως, ἵνα τοῖς Ἀχαιοῖς ἐκεῖνος ἐξείπῃ ἅσσα οἱ Τρῶες μητιόωσιν, οἱ δὲ πάνυ μεγάλου ἑτέρου ἔργου ἐγένοντο.

3.119 Δηλοῖ δὲ τὸ μεγαλεῖον τῆς ἐνταῦθα πράξεως καὶ ἡ ἐφεξῆς ποιητικὴ πλάσις. ποιεῖ γὰρ τὸν Νέστορα οὐκ ἐρωτῶντα τοὺς κατασκόπους τί ἔχουσι μαθόντες, ἀλλὰ ὅπως τοὺς ἵππους ἔλαβον καὶ τὰ ἑξῆς. (v. 499) Τὸ δὲ «ἤειρεν» ἀντὶ τοῦ συνέπλεκεν εἴρηται. Ἀείρειν γὰρ νῦν τὸ ὁμοῦ εἴρειν καὶ συμπλέκειν, ἐξ οὗ καὶ τὸ τέτρωρον καὶ ἡ ξυνωρὶς καὶ ὄαρ ἡ γυνή, ὡς ἐν ἄλλοις ἐρρέθη. Σημείωσαι οὖν ὅτι τῶν ἵππων τοῦ Ῥήσου συναερθέντων ὡς εἰς σχῆμα ξυνωρίδος προνοητικῶς διὰ τὸ μὴ ἂν ἴσως κατ' ἰδίαν εἰθίσθαι θέειν, ἄμφω ἐπέβησαν ὅ τε Διομήδης καὶ Ὀδυσσεὺς κελητίζοντες. καὶ δῆλον ἐκ τοῦ εἰκότος. εἰ γὰρ μόνος ὁ Διομήδης ἵππων ἐπεβήσατο κατὰ τὴν Ὁμηρικὴν φράσιν, πῶς εἶχεν Ὀδυσσεὺς ὁδεύων πεζῇ εἰς νῆας τοῖς ἵπποις συνθέειν, οἳ ἐπέτοντο κατὰ τὸν ποιητήν. εἰ μὴ ἄρα ποδήνεμος ἦν καὶ ἀρβυλόπτερος κατὰ τὸν ποιούμενον Περσέα, καὶ ποσὶν Ἁρπύιαις ἶσος κατὰ τὸν εἰπόντα. διὰ τί δὲ καὶ μετ' ὀλίγα χαμᾶζε θορὼν ὁ Διομήδης ἐν χερσὶ τῷ Ὀδυσσεῖ ἐτίθει τὰ ἔναρα φόρτον τῷ πεζῷ, δέον ὂν μᾶλλον ἀνελόμενον αὐτὰ τὸν πεζὸν Ὀδυσσέα καὶ τῷ ἱππότῃ Διομήδει χειρίσαντα, ὁδοιπόρον αὐτὸν εἶναι κοῦφον καὶ εὐσταλῆ. μάλιστα δὲ φαίνεται ὁ λόγος ἀληθής, ἐξ ὧν ὕστερόν φησιν ὁ ποιητής, ὡς οἱ μὲν κατέβησαν ἐπὶ χθόνα. (v. 513) Οὐκοῦν καὶ ἀμφότεροι τῶν ἵππων ἐπέβησαν, ὥστε ἐν τῷ «καρπαλίμως τῶν ἵππων ἐπεβήσατο» ὁ Διομήδης συνεπινοητέον καὶ τὸν Ὀδυσσέα κατὰ σχῆμα συλλήψεως. Ἔχει δὲ καὶ πάλιν ἀπορίαν. Εἰ γὰρ τῆς ξυνωρίδος ὁ μὲν ἕτερος ἵππος ἦν ὑπὸ τῷ

Ὀδυσσεῖ, ὁ δὲ λοιπὸς ἐπὶ τῷ Διομήδει, πῶς ἐν χερσὶν Ὀδυσσέως θεὶς τὰ ὅπλα εἶτα ἐπεβήσατο ἵππων καὶ οὐχὶ ἵππου; ἐρεῖ δέ τις ἴσως καὶ πρὸς τοῦτο ἢ ὡς ἡ δευτέρα φράσις τοῦ κελητισμοῦ τῇ πρώτῃ συνεξηκολούθησεν, ἢ ὅτι καὶ τυχὸν τέτρωρον ἦν τὸ τοῦ Ῥήσου, ὡς δύο μὲν ἵππους εἶναι τῷ Διομήδει, δύο δὲ τῷ Ὀδυσσεῖ. σφάλμα γὰρ ἀντιγράφων αἰτιάσασθαι οὐκ ἔστιν, ὅτι μηδὲ παρεσημήναντο οἱ παλαιοὶ τοιοῦτόν τι. ἀλλὰ ταῦτα μὲν ἐν τοῖς ἑξῆς (v.

3.120 499—501) Ἐνταῦθα δὲ λέγει ὁ ποιητής, ὅτι τοὺς ἵππους τοῦ Ῥήσου λύσας Ὀδυσσεὺς «ἐξήλαυνεν ὁμίλου τόξῳ ἐπιπλήσσων, ἐπεὶ οὐ μάστιγα φαεινὴν ποικίλου ἐκ δίφρου νοήσατο χερσὶν ἑλέσθαι». Καὶ ὅρα ὅπως ὁ συνετώτατος ἐναγώνιος ὢν οὐκ ἔσχε πάντων τῶν δεόντων ἐφικέσθαι. τὴν γὰρ μάστιγα οὐκ ἐνόησεν ἑλέσθαι. μικρὸν δὲ πάντως τὸ μὴ νοηθέν. τῶν μέντοι καιριωτάτων οὐδὲν ἐνέλιπεν. Ἰστέον δὲ ὅτι τὸ ἐπιπλήσσειν καὶ κόπτειν λέγεται. (v. 513) Φησὶν οὖν Ὀδυσσεὺς μετ' ὀλίγα «κόψε δ' Ὀδυσσεὺς τόξῳ». Ἔτι δὲ καὶ μαστίζειν, ἀφ' οὗ καὶ ἡ μάστιξ. (v. 530) Ἐρεῖ γοῦν «μάστιξε δ' Ὀδυσσεύς». (v. 500) Καιριωτάτη δὲ νῦν λέξις τὸ ἐπιπλήσσειν, ὅ ἐστι πλήσσειν, ἀφ' οὗ καὶ τὸ λόγοις ἐπιπλήσσειν εἴληπται. πάσχει δὲ καὶ ἑτεροίας συνθέσεις τὸ πλήττειν, ὁποία καὶ ἡ τοῦ ἐκπλήττειν καὶ ἡ τοῦ καταπλήττειν, ὅθεν ὁ καταπλήξ, καὶ τοῦ ἐμπλήττειν, ἀφ' οὗ ἐν Ὀδυσσείᾳ τὸ ἐμπλήγδην ἐπίρρημα, καὶ ὁ ἀμφιπλὴξ δὲ ἀπὸ ἄλλης γέγονεν ὁμοίας συνθέσεως, ὡς καὶ ὁ παρὰ τῷ Κωμικῷ παραπλὴξ ἄνθρωπος, ἤγουν ὁ ἀπῳδὸς καὶ παράμουσος, ἐκ μεταφορᾶς τῶν παρὰ τὸ δέον πλησσομένων χορδῶν, καὶ αἱ παραπλῆγες δὲ ἀκταὶ παρὰ τῷ ποιητῇ, ὅ ἐστιν αἱ ἐκ πλαγίων πληττόμεναι κύμασι. Φαεινὴ δὲ μάστιξ οὐ μόνον ἡ στιλπνή, ἀλλὰ κατὰ τοὺς παλαιοὺς καὶ ἡ λεπτή, ὡς τοῦ φαεινοῦ καὶ τοῦτο σημαίνοντος, καθὰ καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν γέγραπται. (v. 501) Ὅρα δὲ καὶ τὸ «νοήσατο» σχηματισθὲν παθητικῶς. (v. 502 s.) Ὅτι Διομήδης μὲν μερμήριζε μένων, ἵνα τι κύντερον ἔρδοι, ῥοίζησε δ' ἄρα Ὀδυσσεὺς πιφαύσκων Διομήδεϊ δίῳ, ὅ ἐστι δηλῶν, καὶ τῷ ῥοίζῳ σημεῖον διδοὺς τοῦ ἀναχωρῆσαι, ὁ δὲ Ἀθηνᾶς καὶ νῦν ἐγγύθι σταθείσης καὶ τὰ ἐξ Ὀδυσσέως ἢ καὶ τὰ ἐν ἑαυτῷ ὑποθεμένης ὑπήκουσεν. (v. 509—11) Ἔστι δὲ ὁ τῆς Ἀθηνᾶς λόγος οὗτος «νόστου δὴ μνῆσαι νῆας ἐπὶ γλαφυράς, μὴ καὶ πεφοβημένος ἔλθῃς, μή πού τις καὶ Τρῶας ἐγείρῃσι θεὸς ἄλλος», ὃ δὴ καὶ γίνεται. Προαναφώνησις γάρ τις καὶ τοῦτό ἐστιν. (v. 515—7) Ἀπόλλων γὰρ μετ' ὀλίγα ὡς ἴδεν Ἀθηναίην μετὰ Τυδέος υἱὸν ἕπουσαν, ἤγουν μεθέπουσαν καὶ ἀμφέπουσαν τὸν Διομήδην, «τῇ κοτέων», ἤγουν αὐτῇ ἐγκοτῶν, ποιεῖ τὰ ῥηθησόμενα. Ἔνθα καὶ ὅρα ὅτι ἄλλως μὲν βλαπτομένους τοὺς Τρῶας Ἀπόλλων ὁρῶν ἠνείχετο, ἡνίκα δὲ ὑπὸ Ἀθηνᾶς, τότε δὴ ζηλοτυπῶν ἐρεθίζεται εἰς ἄμυναν.

3.121 καὶ πάσχουσιν τοῦτο οἱ ἀντιλαμβανόμενοι ὡς ἐπὶ πολύ, τότε βοηθοῦντες μᾶλλον, ὅτε τις τῶν αὐτοῖς ἐχθρῶν ἀναφανῇ τοῖς βοηθουμένοις προσεπικείμενος. Πιθανῶς δὲ ὁ ποιητὴς ἐμνήσθη Ἀπόλλωνος, ἵνα τε μὴ ἀποστερήσῃ θείας ἐπικουρίας μηδὲ τὸ Τρωϊκὸν φῦλον, καὶ ὅτι καὶ ἀκόλουθον ἦν, [ὡς] εἰκός, οὕτω γενέσθαι. Οὐδὲν δέ τι ἀνύει μέγα ἡ τοῦ Ἀπόλλωνος ὁρμή, ὡς τοῦ ποιητοῦ φιλέλληνός τε ὄντος καὶ ἐν τοῖς τοιούτοις τὸ πλεῖον τῇ φρονήσει Ἀθηνᾷ προσνέμοντος. καὶ τοιαῦτα μὲν ταῦτα. (v. 503—6) Ὃ δὲ ἐμερμήριζεν ὁ Διομήδης, τοιοῦτον ἦν «ἢ ὅ γε δίφρον ἑλών», τὸν τοῦ Ῥήσου, «ὅθι ποικίλα τεύχε' ἔκειτο, ῥυμοῦ ἐξερύοι», ἑλκυστικῶς δηλαδή, «ἢ ἐκφέροι ὑψόσε ἀείρας, ἢ ἔτι τῶν πλεόνων Θρᾳκῶν ἀπὸ θυμὸν ἕλοιτο», ὃ δὴ καὶ κύντερον ἦν. Τούτων δὲ οὐδέτερον τοῖς κατασκόποις συνέφερε διὰ τὸ ἤδη περατοῦσθαι τὴν νύκτα καὶ μὴ καιρὸν εἶναι πλείονος διατριβῆς, ἀλλὰ σπουδαίου νόστου. (v. 515) Ἰστέον γὰρ ὅτι πρὸς ἀλήθειαν ἡ τοῦ Ἀπόλλωνος ἐνταῦθα ἐμφάνεια παρουσίαν ἡλίου δηλοῖ, ὡς ἐν τῷ τέλει τοῦ γράμματος τούτου φαίνεται, ἀφυπνίζουσαν μὲν τὸν τοῦ Ῥήσου ἀνεψιὸν μετὰ κόρον ὕπνου, στρέφουσαν δὲ τοὺς κατασκόπους ἀναγκαίως ἐπὶ τὰς νῆας, Ὀδυσσέως ἐπίφρονι βουλῇ, ἣν τῷ ῥοίζῳ ἐκεῖνος ἐσήμανε, προϊδόμενος ἀνατολὴν ἡλίου τῇ, ὡς εἰκός, ἐν τοῖς ἄστροις καὶ νῦν θεωρίᾳ. καὶ οὕτω μὲν τοῦτο. (v. 503) Περὶ δὲ τοῦ μερμηρίζειν ἀλλαχοῦ μὲν ἄλλα ἐγράφη,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνταῦθα δὲ μόνον τοῦτο ῥητέον, ὅτι ἐκ τούτου ἀπομερμηρίσαι παρὰ τοῖς παλαιοῖς τὸ ἀποδαρθεῖν, ὡς τοῦ κοιμωμένου μηδὲν μεριμνῶντος. εἰ δέ τις τόλμαν ἔσχε θεῖναι τὸ ἀπομερμηρίζειν καὶ ἐπὶ τοῦ θανεῖν, ἀσφαλῶς ἂν ἐτόλμησεν. ἐπεὶ καὶ ἡ κοινὴ γλῶσσα ἐντεῦθεν ἴσως λαβοῦσα λέγει ἀπομεριμνᾶν τὸ θνῄσκειν. (v. 502) Ἰστέον δὲ ὡς, ἐπεὶ τὸ ῥοιζῆσαι σύνθημα φανερῶς ἦν τοῦ Ὀδυσσέως πρὸς τὸν Διομήδην, οὐκ ἀσφαλῶς εἶπον οἱ λέγοντες μὴ εἶναι συνθήματα τοῖς ἥρωσιν. [Οὐκ ἄδηλον δὲ ὅτε τε κυρίως ῥοῖζος ὁ κατὰ τὸ ῥῶ ἦχος λέγεται, καθὰ καὶ σιγμὸς ὁ κατὰ τὸ ς , καὶ ζεῖν καὶ ζέειν ὁ κατὰ τὸ ζ , καὶ βόμβος ὁ κατὰ τὸ β , ὁμοίως δὲ καὶ ἄλλα τινὰ καθ’ ἕτερα στοιχεῖα.

3.122 καὶ ὅτι ὁ ῥοῖζος καὶ ῥοῖβδος λέγεται Αἰωλικώτερον, ὅτε τραχύτερος ὁ ἦχος, κατὰ τὸ «πτερῶν γὰρ ῥοῖβδος οὐκ ἄσημος ἦν». ὅθεν καὶ τὸ ῥοιβδεῖν καὶ ἀναρροιβδεῖν.] Τὸ δὲ πιφαύσκειν δηλοῖ μέν, ὅτι ὡς οἷον ἀντὶ λαλιᾶς ἦν τὸ ῥοίζημα, γίνεται δὲ ἀπὸ τοῦ φάσκειν κατὰ ἀναδιπλασιασμὸν καὶ ἐπένθεσιν τοῦ υ . (v. 503) Τὸ δὲ «κύντερον» κυρίως μὲν ἀναίδειαν δηλοῖ, ὁποίαν ἔχοι ἂν καὶ κύων, ὡς ἀλλαχοῦ δηλοῦται, νῦν δὲ δεινὸν καὶ θρασὺ ἔργον σημαίνει. (v. 504 s.) Τὸ δὲ «δίφρον ἑλὼν ῥυμοῦ ἐξερύοι» ὅμοιόν ἐστι τὴν φράσιν τῷ «τὸν δ’ Ὀδυσσεὺς λαβὼν ποδὸς ἐξερύσασκε». Τὸ δὲ «ἐκφέροι» φανερῶς ἐπὶ ἀψύχου καὶ ἐνταῦθα κεῖται, ἀφ’ οὗ καὶ ἐκφορὰ ἡ ταφή. Ἦν δὲ δεξιότης πολλή, ἐὰν τὰ τεύχεα συνεξέφερεν ὁ ἥρως ὡς ἐν παρέργῳ καὶ συναπήγαγεν ὅλα τὰ τοῦ Ῥήσου σκυλεύσας. (v. 506) Ἐν δὲ τῷ «τῶν πλεόνων Θρηκῶν» ἢ περισσὸν τὸ ἄρθρον ἢ ἐμφαντικόν ἐστι τοῦ ἐθέλειν τὸν Διομήδην τοὺς πλείονας τῶν Θρᾳκῶν ἀνελεῖν, ὃ δὴ οὐκέτι κύντερον, ἀλλὰ καὶ κύντατον ἦν. (v. 508) Ἡ δὲ τῆς Ἀθηνᾶς πρὸς τὸν Διομήδην ἐγγύθεν λαλιά, ἡ σύνεσίς ἐστιν ἡ τῷ Διομήδει ἐγγενομένη ἐκ τοῦ προσεχῶς τὸν Ὀδυσσέα ῥοιζῆσαι. τὴν γὰρ αἰτίαν ἐκεῖνος βαθύτερον διανοησάμενος ἐπαύσατο ὧν ἐποίει [ἀγχινοίας λόγῳ, οὗ δηλωτικὸν τὸ ἐγγύθεν, ὃ ταὐτόν ἐστι τῷ ἄγχι, ἐξ οὗ σύγκειται ἡ ἀγχίνοια, σκέψις οὖσα τοῦ δέοντος ἐν ἀκαρεῖ χρόνῳ, ἤγουν ἐκ τοῦ ἐγγύς.] (v. 511) Τὸ δὲ «μή που καὶ Τρῶας ἐγείρῃσι θεός» καὶ εἰς παροιμίαν ἔπεσεν ἀντὶ τοῦ· μήποτε τὸν ὑπὸ σοῦ βλαπτόμενον ἐπεγείρῃ σοι ὁ θεός. (v. 515) Κεῖται δ’ ἐν τῷ τόπῳ τούτῳ καὶ ἀλαοσκοπιή, ἡ ματαία κατασκόπευσις, ὡς καὶ ἐν Ὀδυσσείᾳ.

3.123 Φησὶ γὰρ «οὐδ’ ἀλαοσκοπιὴν εἶχεν Ἀπόλλων», ὡς καὶ αὐτοῦ κατασκοποῦντος, οὐχ’ ἁπλῶς, ἵνα μή τι πάθωσιν οἱ Τρῶες, ἀλλ’ ἵνα μὴ ὑπό τινος τῶν κρειττόνων. Ἔστι δὲ ἀλαός ἐν τούτῳ οὐχ’ ὁ μηδ’ ὅλως βλέπων—πῶς γὰρ ἂν ὁ τοιοῦτος ἔχοι σκοπιάν; —, ἀλλὰ ὁ κακῶς λάων, ὅ ἐστι βλέπων, καὶ ἑτέρως δὲ εἰπεῖν, τὸ «οὐδ’ ἀλαοσκοπιὴν εἶχε» ταὐτόν ἐστι τῷ οὐκ ἐκοιμᾶτο ἐν τῷ φυλάσσειν. (v. 509) Ἰστέον δὲ ὅτι τὸ μὲν «νόστου δὴ μνῆσαι, μὴ καὶ πεφοβημένος ἔλθῃς» ἀναστολή ἐστι θρασύτητος, τὸ δὲ «οὐδ’ ἀλαοσκοπιὴν εἶχεν» ἀκριβῆ δηλοῖ φυλακήν. Τὸ δὲ νόημα τοῦτο προκλητικόν ἐστι τῶν ἐφεξῆς. εὐθὺς γὰρ εὐτάκτως προάγων τὸν λόγον φησὶν ὁ ποιητής, ὡς ὁ Ἀπόλλων ἥλιος ἀφύπνισε τοὺς Θρᾷκας καὶ τοὺς λοιπούς. (v. 519—25) Ὅτι Ῥήσου ἀνεψιός τις ἐσθλὸς ἐξ ὕπνου, ὡς εἰκός, ἀνορούσας, «ὡς ἴδε χῶρον ἐρῆμον, ὅθι ἔστασαν ὠκέες ἵπποι, ἄνδρας τ’ ἀσπαίροντας ἐν ἀργαλέῃσι φονῇσιν, ᾤμωξέν τ’ ἂρ ἔπειτα φίλον τ’ ὀνόμηνεν ἑταῖρον. Τρώων δὲ κλαγγή τε καὶ ἄσπετος ὦρτο κυδοιμὸς θυνόντων ἄμυδις», ὃ δὴ πολλοῦ θορύβου ἐστὶ δηλωτικόν, χρήσιμον ὂν παραπλακῆναί ποτε καὶ εἰς λόγον πεζόν, «θηεῦντο δὲ μέρμερα ἔργα, ὅσα ἄνδρες ῥέξαντες ἔβησαν». Καὶ ἰστέον ὅτι μέχρι θάμβους ἱστῶσιν οἱ Τρῶες τὰ καθ’ ἑαυτοὺς μὴ ἐπιδραμόντες τοῖς ἀνδράσιν. οὕτω γὰρ τοὺς κατασκόπους ἐξαίρων ὠνόμασεν ὁ ποιητὴς ἐν τῷ «ὅσα ἄνδρες ῥέξαντες», ὡς αὐτῶν μὲν ἀνδρισαμένων, γυναικιζομένων δέ πως τῶν ἐν μάχῃ τοιαύτῃ μαλακῶς ὑπνούντων. Ποιοῦσι δὲ οὕτως οἱ Τρῶες τάχα μὲν εὐθυβολώτερον, οἷα εἰδότες, ὡς οὐδὲν ἀνύσουσι διὰ πολλά, τυχὸν δὲ καὶ διὰ βάρβαρον ἦθος, ὅπερ διαγράφει καὶ Εὐριπίδης, ἐν οἷς αἰτιᾶται τοὺς Τρῶας, ὡς μὴ τοῖς φίλοις προσφερομένους καθάπερ ἐχρῆν. ὀκνοῦσι γὰρ ἴσως ὑπερκινδυνεῦσαι τῶν νεηλύδων, ὧν οὐδὲν αὐτοὶ ἀπώναντο. καὶ εἰ τοῦτο, ἄρα συντέθηκε κατὰ τὴν παροιμίαν ἡ ἐκ τῶν Τρώων χάρις τῷ Ῥήσῳ. (v. 520)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Προπερισπᾶται δὲ καὶ ἐνταῦθα τὸ «ἐρῆμος», καθὰ καὶ ἀλλαχοῦ, καθ’ ὁμοιότητα τοῦ ἑτοῖμος. (v. 521) Φονὰς δὲ λέγει περιεκτικῶς τοὺς τόπους ἔνθα οἱ φόνοι τῶν κειμένων. Γίνεται δὲ ἡ φονή ἐκ τοῦ φόνος, καθὰ ἐκ τοῦ χόλου ἡ χολή. (v. 522) Ὅτι δὲ τὸ ὀνομαίνειν δηλοῖ μὲν τὸ καλεῖν ἐξ ὀνόματος, διαφέρει δὲ τοῦ ἐξονομάζειν, ἀλλαχοῦ ἐδηλώθη σαφῶς.

3.124 [(v. 524) Τοῦ δὲ «θηεῦντο», τουτέστιν ἐθαύμαζον, ποιητικοῦ ῥήματος, κοινὸν μὲν τὸ θηοῦντο, κατὰ τὸ ἐποιοῦντο, παράγωγον δὲ τὸ θηητόν. πρωτόθετον δὲ αὐτοῦ ἡ θέα καὶ τὸ θεᾶσθαι, καθὰ καὶ τοῦ θάμβους, θάμβος γὰρ κυρίως, ὃ διὰ θέας ἐμβιβάζεται εἰς ψυχήν. ἄλλως γὰρ οὐκ ἂν οὔτε θηεῖσθαι οὔτε θαμβεῖσθαι λέγοιτ’ ἄν τις κυριολεκτικῶς, εἰ μὴ θεώμενος ἐκπλήττοιτο.] Τὸ δὲ «μέρμερα» δηλοῖ μὲν πολλὴν ἔννοιαν ἐν μιᾷ λέξει, ἐκφέρεται δὲ διὰ τῶν δύο ε , ὡς εὐθετούμενον εἰς δάκτυλον. τὸ μέντοι μερμηρίζειν ἀεὶ διὰ τοῦ η λέγεται χάριν σπονδείου. τὸ γὰρ μερμερίζειν διὰ τὸ ἀμφίμακρον ἀσυντελές ἐστι τοῖς ἡρωΐζουσιν. (v. 530 s.) Ὅτι ἐν τῷ «ἐπέτοντο οἱ ἵπποι νῆας ἐπὶ γλαφυράς, τῇ γὰρ φίλον ἔπλετο θυμῷ» περιττὸν καὶ εἰς οὐδὲν χρειῶδες τὸ «τῇ γὰρ φίλον ἔπλετο θυμῷ», ἤγουν ἐκεῖ γὰρ ἤθελον οἱ ἐλαύνοντες. Καὶ σημείωσαι τοῦτο, ἵνα εὖ εἰδῇς, ὡς οὐ μόνον λέξεις ἐκ περισσοῦ μυριαχοῦ πρὸς ἀπαρτισμὸν ἔπους τίθενται, ἀλλὰ καὶ λόγοι ὅλοι ἀφελέστερον. Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι πρὸς ἔνδειξιν ἡ τοιαύτη ἔννοια κεῖται τοῦ εὐπειθεῖς καὶ εὐηνίους τοὺς τοῦ Ῥήσου τούτους ἵππους εἶναι καὶ μὴ πλαζομένους ὅπῃ τύχῃ, ἀλλ’ ἀπευθυνομένους ἔνθα φίλον τοῖς ἐλαύνουσι. Σημείωσαι δὲ ὡς παρ’ Ὁμήρῳ μὲν ἐνταῦθα φίλα φρονεῖτον ἀλλήλοιν Διομήδης καὶ Ὀδυσσεύς, οἱ δὲ παλαιοὶ δόλον οὐκ ἀγαθὸν ἐν ἑτέρῳ καιρῷ προσπλάττουσιν Ὀδυσσεῖ κατὰ τοῦ συναεθλεύσαντος ἥρωος, φάμενοι ὅτι Διομήδης καὶ Ὀδυσσεὺς τὸ Παλλάδιον κλέψαντες νυκτὸς ἐκ Τροίας ἐπανῄεσαν, ἑπόμενος δὲ Ὀδυσσεὺς ἐβουλήθη ἀποκτεῖναι τὸν Διομήδην, κλέψαι τὸν τούτου φόνον προθέμενος, καὶ δὴ καὶ ξίφος ἐγύμνωσεν, οὗ τὴν σκιὰν ἐν τῇ σελήνῃ ὁ Διομήδης ἰδὼν ἐπιστραφεὶς καὶ βιασάμενος τὸν Ὀδυσσέα ἔδησε καὶ προάγειν ἐποίησε παίων τῷ αὐτοῦ ξίφει. ὅθεν καὶ παροιμία διεδόθη τὸ «Διομήδειος ἀνάγκη», ἐπὶ τῶν βίᾳ ἐγχειρούντων ἔργοις, καὶ μάλιστα ὅτε τις ἁλοὺς ἐπίβουλος βίαν πάσχει ἐνεργεῖν τι τῶν μὴ θελητῶν. Καίτοι τινὲς τὴν τοιαύτην παροιμίαν ἀπὸ τοῦ Θρᾳκὸς Διομήδους φασὶν ἐκπεσεῖν, ὃς ἠνάγκαζε τοὺς ξένους αἰσχραῖς οὔσαις ταῖς αὐτοῦ θυγατράσι μίγνυσθαι, ἃς καὶ ἵππους ὁ παλαιὸς λόγος ἀλληγορεῖ, εἶτα καὶ ἀνῄρει τοὺς μὴ ἐθέλοντας γαμβροὺς ὁ αὐτὸς πενθερός, γαμβροκτόνος ὢν καὶ αὐτὸς κατὰ τὸν Οἰνόμαον.

3.125 (v. 532—4) Ὅτι ὁ Νέστωρ ἀγωνιῶν ὑπὲρ τῶν κατασκόπων καὶ μονονουχὶ συναποδημῶν ἐκείνοις τῇ ψυχῇ ὡς οἷα πρῶτος γνώμην εἰσενεγκὼν ἐκπεμφθῆναι τοὺς τῶν Ἀργείων ἀρίστους εἰς κατασκοπὴν καὶ οὕτω προσεκτικώτερον διατιθέμενος προαισθάνεται αὐτῶν ἐπανερχομένων καί φησι «ὦ φίλοι, ψεύσομαι ἦ ἔτυμον ἐρέω· κέλεται δέ με θυμός», ὃ πᾶς ἐρεῖ ἂν ὁ μέλλων εἰπεῖν τι στοχαστικῶς. (v. 535) Εἶτα ἐπάγει «ἵππων μ’ ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει», ὅπερ χρήσιμον ῥηθῆναι εἰς ἐλπιζομένην μάχης διασκευὴν καὶ εἰς ἐπέλευσιν πολεμίων ἱππικῶν. (v. 536 s.) Εἶτα καὶ εὔχεται τοὺς πεμφθέντας κατασκόπους ἥκειν, ἐλάσαντας ἐκ Τρώων ἵππους, ὧν ὁ κτύπος ἀκούεται. (v. 538 s.) Ἐφ’ οἷς καὶ τὸ ἀνάπαλιν εὐλαβούμενος οἷα πολλὰ τοιαῦτα μαθὼν «ἀλλ’ αἰνῶς δείδοικα», φησί, «κατὰ φρένα, μή τι πάθωσιν Ἀργείων οἱ ἄριστοι ὑπὸ Τρώων ὀρυμαγδοῦ», καὶ εἰς κίνδυνον τοιούτων ἀνδρῶν ἀποβαίη τὰ τῆς συμβουλῆς. Καὶ σημείωσαι ὅπως ἐν τῷ «ψεύσομαι ἢ ἀληθῶς ἐρῶ» ἐνεχυράζει τὴν γνώμην τῶν ἀκροατῶν, ὡς ἄν, φασίν, ἐπιτυχὼν μὲν ἐπαινεθῇ, ἀποτυχὼν δὲ μὴ ἐλεγχθῇ, καὶ ὅτι οὐ πάντῃ καταφρονητέον τοῦ γήρως, ὅπου καὶ συνέσει πλεονεκτεῖ καὶ αἰσθήσεων ὀξύτητι διὰ προσοχήν. (v. 540) Ἐπὶ δὲ πᾶσι τούτοις φησὶν ὁ ποιητής, ὡς «οὔ πω πᾶν εἴρητο ἔπος, ὅτ’ ἂρ ἤλυθον αὐτοί». ὅπερ χρήσιμον παρῳδηθῆναι μὲν ὅτε τις εὐθὺς ἀληθεύσει ἐφ’ οἷς εἶπε στοχασάμενος, ἀπαραποιήτως δὲ ῥηθῆναι ἐπὶ τῶν ἀναφανέντων ἅμα τῇ περὶ αὐτῶν μνήμῃ. Ζητητέον δὲ ὡς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐὰν οὔπω πᾶν εἴρητο ἔπος, τί δή ποτέ ἐστι τὸ ἐλλεῖπον τῇ τοῦ ἔπους ὁλότητι. καὶ ῥητέον, ὅτι ἔοικεν ὁ Νέστωρ καὶ ἄλλο τι πλέον, ὧν εἶπε, μέλλειν εἰπεῖν, οἷον μετὰ τὸ «ὀρυγμαγδοῦ» εἰκὸς ἦν ἐπαχθῆναι τὸ φεύγοντες ἢ τὸ διωκόμενοι ἢ τοιοῦτόν τι. Μάλιστα δὲ νοητέον, ὡς ἡ μὲν Ὁμηρικὴ Μοῦσα ἐντελῶς εἶπε διὰ τὸν ἀκροατὴν τὸ πᾶν ἔπος, ὁ δὲ Νέστωρ οὐχ' οὕτως, ἀλλ' ἔτι αὐτοῦ λαλοῦντος τὸ ῥηθὲν νόημα ἦλθον οἱ ἥρωες. (v. 538 s.) Ἰστέον δὲ ὅτι τὸ «αἰνῶς δείδοικα κατὰ φρένα, μή τι πάθωσιν Ἀργείων οἱ ἄριστοι» φόβον δηλοῖ τὸν ὑπὲρ ἀνδρῶν ἀγαθῶν. (v. 541 s.) Ὅτι ἐπανελθόντων τῶν ἡρώων οἱ Ἕλληνες «χαρέντες δεξιῇ τε ἠσπάζοντο ἔπεσσί τε μειλιχίοισιν», ὅπερ ἐπὶ πάσης ἐπιθυμητῆς ἐπανόδου προσήκει λέγεσθαι. Καὶ ὅρα ὅτι καὶ νῦν, ὡς καὶ ἐν Ὀδυσσείᾳ, τὸ περιπλέκεσθαι καὶ οἷον εἰς ἑαυτὸν σπᾶσθαι ἀσπάζεσθαι λέγεται, καὶ δεικνύουσι τὸ ἔργον ἔτι καὶ νῦν σὺν ἄλλοις ἔθνεσι καὶ Ἴβηρες. περὶ δὲ τῆς διὰ δεξιῶν χειρῶν ἅψεως καὶ τῆς οὕτω δεξιώσεως εἴρηται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν.

3.126 Σημείωσαι δὲ καὶ ὅτι, ὥσπερ ἐν Ὀδυσσείᾳ κεῖται τὸ «μύθῳ ποτιπτύσσεσθαι», οὕτω καὶ ἐνταῦθα τὸ ἔπεσσι μειλιχίοις ἀσπάζεσθαι. [Ἰστέον δὲ ὅτι τὸ «δεξιῇ τ' ἠσπάζοντο» συνίζησιν ἔπαθε λόγῳ προκεφάλου στίχου. εἰ δὲ γράφεται «δεξιῇ ἠσπάζοντο», ἀπαθής ἐστιν ὡς δάκτυλος ὁ πρῶτος ποὺς τοῦ ἔπους.] (v. 544—6) Ὅτι μεμνημένος ὁ Νέστωρ οἷα ὁ Διομήδης εἶπεν εἰς ἔπαινον τοῦ Ὀδυσσέως καὶ ἅμα τιμῶν ἀφθονήτως τὸν καὶ γέροντα καὶ ἀριστέα καὶ ῥήτορα, οὐ τὸν Διομήδην ἀλλὰ τὸν Ὀδυσσέα ἐρωτᾷ μετὰ καὶ ἐπαίνου «εἰπὲ ἄγε, ὦ πολύαινε Ὀδυσσεῦ, μέγα κῦδος Ἀχαιῶν, ὅππως τούσδ' ἵππους λάβετον καταδύντε ὅμιλον Τρώων, ἤ τις ὑμῖν πόρε θεὸς ἀντιβολήσας». (v. 547) Εἶτα εἰπὼν αὐτοὺς ἀκτῖσιν ἐοικέναι ἡλίου, ὡς ἤδη προείρηται, κατασκευάζει, ὡς οὐ μάτην ἐκολάκευσε τοὺς ἥρωας ἐπὶ θεοφιλείᾳ, θεοσδότους εἶναι τοὺς ἵππους πλασάμενος. (v. 548—50) Καὶ ἅμα καὶ ἑαυτὸν ἀνεπαχθῶς ἐπαινεῖ, λέγων οὕτως «αἰεὶ μὲν Τρώεσσιν ἐπιμίσγομαι οὐδέ τί φημι μιμνάζειν παρὰ νηυσὶ γέρων περ ἐὼν πολεμιστής, ἀλλ' οὔ πω τοίους ἵππους ἴδον οὐδ' ἐνόησα», ἐξ ἀκοῆς δηλαδὴ μαθών. (v. 551 s.) Ἐξ ὧν συναγαγὼν καὶ πάλιν φησὶν οἴεσθαι θεόν τινα δοῦναι ἀντιάσαντα διὰ τὸ καὶ ἀμφοτέρους ἐκεῖθεν φιλεῖσθαι· Ἀμφοτέρω γάρ, φησί, σφῶϊ φιλεῖ θεός. (v. 554—8) Ὅτι δὲ οὐ κολακείαν ἁπλῶς ὁ γέρων εἶπεν ἐπὶ ἔργῳ ἀδυνάτῳ γενέσθαι, ὡς ἀδύνατον δῆθεν ὂν θεόθεν δοθῆναι ἵππους, δηλώσει Ὀδυσσεύς, ἐν οἷς ἐπαίνῳ ἀνταμειψάμενος τὸν Νέστορα καὶ εἰπὼν «ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν», ἐπιφέρει «ῥεῖα θεός γ' ἐθέλων καὶ ἀμείνονας ἠέ περ οἵδε ἵππους δωρήσοιτο, ἐπειὴ πολὺ φέρτεροί εἰσιν. ἵπποι δὲ οἵδε νεήλυδες», καὶ τὰ ἑξῆς. (v. 559—63) Ἐν οἷς, ὡς καὶ ἀλλαχοῦ ἐποίησε, ποιεῖται ἀνακεφαλαίωσιν τῶν προρρηθέντων, ἣν καὶ σημείωσαι. Τὰ γὰρ κατὰ τὸν διοπτῆρα τοῦ στρατοῦ Δόλωνα καὶ τὸν Ῥῆσον καὶ τοὺς αὐτοῦ ἵππους ἐν μόνοις στίχοις ἓξ ἐκεφαλαιώσατο. καὶ ἐν τούτοις μὲν ταῦτα. Ὅτι δὲ ἡ ποίησις καὶ θεοσδότους οἶδεν ἵππους, ὡς ὁ μῦθος συγκροτεῖ, πολλαχοῦ δεδήλωται.

3.127 τοιοῦτοι γὰρ οἱ Τρώϊοι ἵπποι καὶ οἱ τοῦ Ἀχιλλέως καὶ οἱ τοῦ Οἰνομάου καὶ ἄλλοι. (v. 547) Ἡ δὲ τῆς τῶν ἵππων λευκότητος παραβολὴ τῷ γέροντι σεμνοτέρα τῆς παρὰ τῷ Δόλωνι, [ᾧ συνέπεσε κατὰ νόημα, ὡς μυριαχοῦ εἴωθε γίνεσθαι], μάλιστα δὲ σαφεστέρα. ἐβούλετο μὲν γὰρ ἴσως καὶ ἐκεῖνος ἀκτῖσιν ἡλίου τὸ ἐκείνων λευκὸν εἰκάσαι, οὐ διεσάφησε δέ, ἀλλ' ἠρκέσθη λευκοτέρους χιόνος εἰπών. ἄλλως δὲ εἰπεῖν, Ὁμηρικῆς δεινότητος καὶ τὸ διαφόροις μὲν ὑπερβολαῖς γνωρίσαι τὸ πρᾶγμα, τὴν κρείττω δὲ ἀναθεῖναι τῷ λογίῳ Νέστορι. Ἰστέον δὲ ὅτι ὁμώνυμον καὶ τὸ ἀκτίς. Παυσανίας γοῦν φησιν, ὅτι ἀκτὶς καὶ οἰκέτου ὄνομα καὶ ἀγγείου δέ, ἐφ' οὗ οἱ ὀβολοὶ ῥιπτοῦνται. Οὕτω δὲ καὶ αἴγλη οὐ μόνον ἡ λαμπηδών, ἀλλὰ καὶ ποπάνου εἶδος κατὰ Παυσανίαν, καὶ θυσία τις πεμπομένη εἰς Δελφοὺς καὶ κυβευτικὸς βόλος. Ἕτερος δέ τίς φησιν, ὅτι αἴγλη ὄνομα κυβευτικοῦ βόλου φαύλου. (v. 546) Ὅρα δὲ καὶ ὅτι ὁ Νέστωρ, ὅπερ ἐκ τοῦ βασιλέως ἔλαβεν, ἀντιδίδωσι τῷ Ὀδυσσεῖ. Ἐξ ἐκείνου γὰρ ἀκούσας, «ὦ Νέστορ, μέγα κῦδος Ἀχαιῶν», ἔφη αὐτὸς πρὸς Ὀδυσσέα τὸ αὐτό. (v. 555) Ὀδυσσεὺς δὲ αὖθις μετ' ὀλίγα ὁμοίως

ἀντιφωνεῖ τῷ γέροντι, ὅπερ ἤκουσεν ἀπ’ αὐτοῦ. εὖ δὲ καὶ ἀπαιτεῖ ὁ ῥήτωρ λόγον ἐκ τοῦ ῥήτορος, ὡς τῆς πράξεως ἀνηκούσης τῷ Διομήδει. (v. 545 s.) Τὸ δὲ «καταδύντες ὅμιλον Τρώων, ἤ τις πόρε θεός» καινότερον ἐσχημάτισται. τὸ γὰρ κοινὸν τοιοῦτον ἂν ἦν· πῶς τοὺς ἵππους ἐλάβετε; καταδύντες εἰς βάθος τοῦ στρατοῦ, —ὡς ἐπὶ βάθους γὰρ τὸ καταδύνειν λέγεται—ἢ ἐκ θεοῦ λαβόντες; (v. 548—50) Τὸ δὲ «αἰεὶ μὲν Τρώεσσιν ἐπιμίσγομαι» καὶ ἑξῆς, κατασκευαστικόν τέ ἐστι τοῦ μηδέποτε λήγειν πόνου τὸν γέροντα, ὃ φθάσας ὁ Διομήδης εἶπε πρὸς αὐτόν, καὶ τὸν λόγον δὲ αὐτοῦ βεβαιοῖ, ὡς ἐπ’ ἀληθείᾳ οὐ κολακικός ἐστιν. ἐπάγων γὰρ ὁ γέρων αἰτίαν τῆς αὐτοῦ ἀπορίας εὔλογόν φησιν ἐνδημεῖν μὲν ἀεὶ τῷ πολέμῳ, οὔπω δὲ τοιούτους ἵππους ἰδεῖν ἐκεῖ. οὔκουν ἄρα ἐκ Τρώων τούτους ἔσχετε, ἀλλ’ ἐκ θεοῦ ἐλάβετε, ὡς δυναμένου καὶ τὰ τοιαῦτα δωρεῖσθαι. Τὸ δὲ «οὐδέ τί φημι μιμνάζειν» διασαφητικόν ἐστι τοῦ «αἰεὶ Τρώεσσιν ἐπιμίσγομαι». εἰ γὰρ μὴ ἐν νηυσὶ μιμνάζει, τοῖς πολεμίοις μίσγεται. Σημείωσαι δ’ ἐνταῦθα, ὅτι ὁ φιλαλήθης γέρων ἐπιμίσγεσθαι μὲν ἀεὶ τοῖς Τρωσὶν ἔφη καὶ οὐ μιμνάζειν εἰς ἄδειαν, οὐ μὴν καὶ ἀριστεύειν.

3.128 ἐψεύσατο γὰρ ἂν οὕτω φάμενος. (v. 549) Τὸ δὲ «γέρων πολεμιστής» ἶσόν ἐστι τῷ ἐν Ὀδυσσείᾳ ἀναγκαίῳ πολεμιστῇ. γέροντες γὰρ καὶ οἱ ἐκεῖ ῥηθέντες ἀναγκαῖοι πολεμισταί. (v. 551) Τὸ δὲ «θεὸν ἀντιάσαντα» ἶσόν ἐστι τῷ ἀντιβολήσαντα, ὅπερ ἀνωτέρω κεῖται. (v. 556) Τὸ δὲ «ἀμείνονας ἠέ περ οἵδε» περίφρασιν ἔχει. τὸ μὲν γὰρ ἁπλοῦν καὶ κοινὸν ἦν εἰπεῖν ἀμείνονας τούτων, τὸ δὲ ἀμείνονας ἤπερ οὗτοι περιπέφρασται. (v. 557) Ἐν δὲ τῷ «ἐπεὶ πολὺ φέρτεροί εἰσι» διπλῆ ἐκκύπτει ἔννοια. Ἢ γὰρ ὅτι δύνανται τῶν τοῦ Ῥήσου ἵππων καὶ ἕτεροι φέρτεροι εἶναι, εἰ καὶ αἰνῶς, ὅ ἐστι λίαν, ἀκτῖσιν ἐοικότες εἰσὶν ἡλίου, ἢ ἐπεὶ πολὺ φέρτεροι οἱ θεοί, ἵνα τὸ θεός ὡς προσηγορικὸν ἀναλυθείη εἰς πληθυσμὸν κατά τι σχῆμα καινόν. Ἐν δὲ τῇ ῥηθείσῃ ἀνακεφαλαιώσει σημείωσαι, ὡς ἀνέστρεψεν ἐμπεριβόλως τὴν διήγησιν ὁ λαλῶν αὐτὴν ῥήτωρ Ὀδυσσεὺς καὶ ἀπὸ τοῦ τέλους ἀρξάμενος, ἤτοι τῶν ἵππων, ἀνατρέχει εἰς τὰ πρεσβύτερα, ἐπισυνάπτων τὸν Ῥῆσον καὶ τοὺς αὐτοῦ, εἶτα τὸν Δόλωνα καὶ τὸν στείλαντα Ἕκτορα. (v. 558—63) Φησὶ γάρ, ὅτι ἵπποι οὗτοι νεήλυδες «Θρηΐκιοι, τὸν δέ σφιν ἄνακτα ἀγαθὸς Διομήδης ἔκτανε, πὰρ δ’ ἑτάρους δυωκαίδεκα πάντας ἀρίστους, τρισκαιδέκατον δὲ σκοπὸν εἵλομεν», ὃν διοπτῆρα στρατοῦ εἶναι Ἕκτωρ τε προέηκε καὶ ἄλλοι Τρῶες. (v. 560) Ἔνθα καὶ ὅρα τὸ «πάντας ἀρίστους», ἀμαρτύρως παραρριφὲν εἰς ἀπαρτισμόν τε στίχου καὶ εἰς σέμνωμα τῆς ἡρωϊκῆς πράξεως. Ὅρα δ’ ἐνταῦθα καὶ ὅτι πρὸ βραχέων μὲν Ὅμηρος τὸν Δόλωνα προτάξας, εἶτα τοὺς δώδεκα Θρᾷκας ἱστορήσας, τρισκαιδέκατον ἔταξε τὸν Ῥῆσον εἰπὼν «ὃν τρισκαιδέκατον μελιηδέα θυμὸν ἀπηύρα», ὡς εἶναι τὸν Δόλωνα ἐκεῖ τεσσαρεσκαιδέκατον. Ἐνταῦθα δὲ Ὀδυσσεὺς πρῶτον εἰπὼν περὶ Ῥήσου, εἶτα μνησθεὶς τῶν δώδεκα Θρᾳκῶν, τρισκαιδέκατον τὸν Δόλωνα τίθησιν ἀφεὶς τὸν Ῥῆσον νοεῖσθαι τεσσαρεσκαιδέκατον. (v. 562) Τὸ δὲ «διοπτῆρα στρατοῦ» πρὸς σαφήνειαν ἐτέθη τοῦ σκοπὸν εἵλομεν. οὐ γὰρ ἁπλῶς ὁ σκοπὸς καὶ διοπτήρ ἐστι στρατοῦ. πολλὰ γὰρ καὶ ἡ τοιαύτη λέξις δηλοῖ ὡς ὁμώνυμος. (v. 563) Τὸ δὲ «καὶ ἄλλοι Τρῶες», ἐστοχασμένως φησὶν ὁ Ὀδυσσεύς, ὡς εἰκὸς ὂν οὕτω γενέσθαι.

3.129 ἀληθῶς μέντοι οὐ γέγονεν. Ἕκτωρ γὰρ τὸν σκοπὸν προέηκε πείσας δώροις καὶ εἰς ἄτην ἐμβαλών, ὡς ὁ Δόλων αἰτιᾶται, εἰ μὴ ἄρα καὶ οἱ ἄλλοι τότε ἀκὴν γενόμενοι σιωπῇ συγκαταθέσθαι δοκοῦσι τῇ τοῦ Ἕκτορος ἀποστολῇ. (v. 564 s.) Ὅτι εἰς ταὐτὸν Ὅμηρος ἄγει τὸ καγχαλᾶν καὶ τὸ χαίρειν ἐν τῷ «τάφροιο διήλασεν» Ὀδυσσεὺς «ἵππους καγχαλόων, ἅμα δ’ ἄλλοι ἴσαν χαίροντες Ἀχαιοί». ἔστι δ’ ὅμως τὸ «καγχαλόων» ἐπιτατικώτερον τοῦ χαίρειν, ὅγε καὶ ἐκ τοῦ χαλᾶν τῇ ἐκλύσει παράγεται. Ὅρα δὲ ὡς χαροποιὸν ἡ νίκη, οὐ τῷ ἀνδραγαθήσαντι μόνον, ἀλλὰ καὶ τοῖς ἑταίροις, οἳ κοινοῦνται τὰ φιλικά. (v. 567—9) Ὅτι τοὺς ἵππους μὲν τοῦ Ῥήσου ὁ φίλιππος Διομήδης ἔσχεν. οὐ γὰρ ἔπρεπον τῷ Ἰθακησίῳ νησιώτῃ, οὗ ἡ πατρὶς αἰγίβοτος, οὐχ’ ἱππήλατος, ὡς καὶ ὁ υἱὸς αὐτοῦ Τηλέμαχος ἐν Ὀδυσσείᾳ δηλοῖ, ὁ καὶ

παραιτησάμενος ἐκεῖ διὰ τοῦτο φιλικὴν δόσιν ἵππων. (v. 570 s.) Ὀδυσσεὺς δὲ τὰ τοῦ Δόλωνος ἔχει ὅπλα, οἷς ὁ Διομήδης αὐτὸν ἐδεξιώσατο χαμᾶζε θορών. Οὕτως οἴδασιν ἀλλήλοις εἴκειν οἱ ἄριστοι, οὐ μεγαλείῳ ὕλης, ἀλλὰ πρεσβείῳ φιλίας τὸ πλέον διδόντες. μήποτε δὲ οὐδὲν οὐδ' ὅλως ἐκέρδησεν Ὀδυσσεύς, ὡς μηδὲ φιλοκτήμων ἀλλὰ φιλότιμος. Διομήδης μὲν γὰρ ἤδη ἔχει τοὺς νεήλυδας Θρηϊκίους ἵππους, Ὀδυσσεὺς δὲ τὰ τοῦ Δόλωνος λάφυρα ἀναθήσει τῇ Ἀθηνᾷ. Φησὶ γάρ, ὡς ἔθηκεν Ὀδυσσεὺς αὐτὰ ἐν τῇ νηΐ, ὄφρα ἱερὸν ἑτοιμασαίατο Ἀθήνῃ, ἤτοι ἑτοιμάσαιντο αὐτὰ ὁ Διομήδης τε καὶ αὐτὸς ἱέρωμα τῇ Ἀθηνᾷ ἐν καιρῷ. εἰ δὲ τὸ ὑπεσχημένον μέλαν ποίμνιον ἄμφω ἐδάσαντο, οἶδεν οὐδείς. Ἰστέον δὲ ὅτι καὶ ἐν τούτοις πυρὸν μελιηδέα ἔδειν τοὺς ἵππους φησί. (v. 567—9) Φράζει γὰρ ἵππων ἐπιμέλειαν οὕτω «ἵππους μὲν δὴ κατέδησαν ἐϋτμήτοισιν ἱμᾶσι φάτνῃ ἐφ' ἱππείῃ, ὅθι καί» ἄλλοι ἵπποι «ἕστασαν ὠκύποδες μελιηδέα πυρὸν ἔδοντες», περὶ οὗ προϊστόρηται. Ἡ δὲ ἱππεία φάτνη πρὸς διαστολὴν ἐρρέθη τῆς τῶν λοιπῶν ζῴων. (v. 572—9) Ὅτι Ὀδυσσεὺς καὶ Διομήδης ἱδρῶ πολλὸν ἀπενίζοντο θαλάσσῃ ἐσβάντες, «κνήμας τε ἰδὲ λόφον ἀμφί τε μηρούς. αὐτὰρ ἐπεί σφιν κῦμα θαλάσσης ἱδρῶ πολλὸν νίψεν ἀπὸ χρωτὸς καὶ ἀνέψυχθεν φίλον ἦτορ, ἔς ῥ' ἀσαμίνθους βάντες ἐϋξέστας λούσαντο. τὼ δέ», ἤγουν οὗτοι, «λοεσσαμένω καὶ ἀλειψαμένω λίπ' ἐλαίῳ δείπνῳ ἐφιζανέτην, ἀπὸ δὲ κρητῆρος Ἀθήνῃ πλείου ἀφυσσάμενοι λεῖβον μελιηδέα οἶνον». Καὶ ὅρα ὅτι τε καλῶς ἤδη ἐπέσχεν [ὡς προνούστερος] ὁ Ὀδυσσεὺς τὸν Διομήδην τοῦ πλείω δρᾶν διὰ τὸ τελειοῦσθαι, ὡς προσεσημείωται, τὴν νύκτα. ταχὺ γοῦν μετὰ τὴν ἐπανέλευσιν τῶν κατασκόπων ἡμέρα γέγονεν, ὡς καὶ δειπνεῖν ἄρτι αὐτούς. καὶ ὅτι δὶς εἶπεν ἐνταῦθα τὸ «ἱδρῶ πολλόν» ταὐτολογῶν συνήθως, ἔνθα μὴ καιρὸς ἁβρύνειν τοὺς λόγους.

3.130 (v. 572) Περὶ δὲ τοῦ ἀπονίζεσθαι, ὃ καὶ νίπτεσθαι λέγεται, ὡς δηλοῖ τὸ «νίψεν ἀπὸ χρωτός», φασὶν οἱ παλαιοί, ὡς οἱ Ταραντῖνοι τὰ εἰς ζω λήγοντα ῥήματα βαρύτονα διὰ δύο σίγμα προφέρουσιν, οἷον σαλπίζω σαλπίσσω, λακτίζω λακτίσσω, φράζω φράσσω, ὅπερ ἡ Κόριννα φράττω λέγει Βοιωτικῶς. πάλιν δὲ τὰ παρ' ἡμῖν διὰ δύο σίγμα αὐτοὶ διὰ τοῦ ζ προφέρουσι, τὸ πλάσσω πλάζω λέγοντες καὶ τὸ ἀνάσσω ἀνάζω. καὶ τὸ νίπτω οὖν παρ' Αἰολεῦσι νίσσω λεγόμενον, ὡς πέπτω πέσσω, οἱ Ταραντῖνοι μεταθέσει τῶν δύο σίγμα εἰς τὸ ζ νίζω λέγουσι. (v. 573) Λόφος δὲ ἐνταῦθα ὁ ἄνω τένων, ἤτοι ὁ περὶ τράχηλον. ὅθεν καὶ τὸ καταλοφάδια ἐν Ὀδυσσείᾳ, καὶ παρὰ Σοφοκλεῖ τὸ «ὑπὸ ζυγῷ νῶτον εὐλόφως φέρειν», ὡς λόφου ἐν τοῖς ζῴοις ὄντος τοῦ κατὰ τὸν τράχηλον μέρους, ᾧ ἐπίκειται ὁ ζυγός. [(v. 574) Ἐν δὲ τῷ «κῦμα θαλάσσης νίψεν» ὅρα ὅτι τε οὐ μόνον χεῖρες νίπτουσι καὶ ἄνθρωποι ἀλλὰ καὶ ὕδατα, καὶ ὅτι ῥύπου μὲν ἀποθετικὸν τὸ ἐν θαλάσσῃ νιφθῆναι, καὶ ἀναψυχῆς δέ τινος αἴτιον. θεραπευτικώτερον δὲ εἰς σῶμα τὸ λουτρὸν κατασκευασθὲν ὑπὸ θεραπόντων κατὰ τὸ σιωπώμενον. Ἐνταῦθα δὲ σοφός τις γράφει, ὅτι κόπον μὲν θαλάττῃ λούοντες ἐθεράπευον, ἣ μάλιστα νεύροις πρόσφορος, ἀναχαλῶντες δὲ ταῖς ἐμβάσεσι τὰς τῶν μυῶν συντάσεις, εἶτα ἐπήλειφον λίπα, πρὸς τὸ μὴ ῥανθέντος ὕδατος κατεσκληρυμμένα γίνεσθαι τὰ σώματα. Οἱ γοῦν ἀπὸ τῆς σκοπῆς, φησίν, ἐπανελθόντες ἱδρῶ πολλὸν ἀπενίζοντο θαλάσσῃ καὶ ἑξῆς, καὶ οὕτως ἀναψύξαντες ἐς ἀσαμίνθους βάντες λούσαντο καὶ ἀλειψαμένω δείπνῳ ἐφιζανέτην.] (v. 575) Τὸ δὲ «ἀνέψυχθεν ἦτορ» τὴν ἀπὸ καμάτου καὶ ἱδρῶτος ἀνάκλησιν τοῦ ζωτικοῦ δηλοῖ, ὅπερ ἐν ἄλλοις θυμηγερέειν φησίν.

3.131 [Εἰ δὲ περιττῶς ἐνταῦθα κεῖσθαι δοκεῖ τὸ ἦτορ, ὡς ἀρκοῦν ὂν τὸ «ἀνέψυχθεν» αὐτὸ δὴ καὶ μόνον, ἀλλ' ἔστιν εἰπεῖν ὅτι πρὸς διαστολὴν αὐτὸ ἐγράφη ψύχους καὶ ψύξεως τῆς κατὰ σῶμα, ἵνα σαφὴς οὕτως ἡ ἔννοια ἐς τὸ παντελὲς εἴη καὶ ἀκατάγνωστος.] Ἰστέον δὲ ὅτι κυρίως ἀναψύχειν, ὡς καὶ ὑπελαλήθη, τὸ ἀνακτᾶσθαι ψυχὴν ἤδη κινδυνεύουσαν οἴχεσθαι, οὗ ἀνάπαλιν ἀποψύχειν τὸ ἀπὸ ψυχῆς γίνεσθαι λειποθυμοῦντα ἢ καὶ θνῄσκοντα. τὸ δέ γε ἐναποψύχειν ὡς οὐκ εὔφημόν ἐστιν, οἶδεν Ἡσίοδος. (v. 576) Τὸ δὲ «ἔς ῥ' ἀσαμίνθους» ἐπίτηδες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ αὐτὸ τραχυφωνεῖται διὰ τῆς ἐπενθέσεως τοῦ ῥα . Ἦν γὰρ ἄλλως φυλάξαι τὸ μέτρον ἐν φωνῇ λείᾳ εἰπόντα· εἰς ἀσαμίνθους βάντες εὐξέστας, περὶ ὧν ἡ Ὀδύσσεια δηλοῖ. ἔνθα δηλοῦται καὶ ὅτι μετὰ λουτρὸν ἐλαίῳ ἠλείφοντο οἱ παλαιοί, καὶ ὅτι τὸ λίπα ἀποκοπὴν ἔπαθεν ἐκ τοῦ λιπαροῦ. Τὸ δὲ εὐξέστας ποιητικόν ἐστιν. ἦν δὲ ἀσφαλὲς καὶ εὐξέστους εἰπεῖν, ὡς καὶ τὰς εὐποιήτας εὐποιήτους, καὶ τὴν ἀσβέστην φλόγα ἄσβεστον. (v. 578) Τὸ δὲ ἐφιζάνειν διελύθη ἐν τῷ ἐπὶ βλεφάροις ἵζανεν. [Ἔχοι δ' ἂν ἐνταῦθά τις κωμικευόμενος μνησθῆναι τοῦ «κάθιζ' ἐπὶ κώπην», ἤγουν ἅψαι τῆς κώπης ὥστε κωπηλατεῖν. εἰ γὰρ ἐκεῖνο ἔσκωπται, ὡς δηλωτικὸν δῆθεν ὂν τοῦ ἐπικάθισον τῇ κώπῃ, πολλῷ πλέον τὸ δείπνῳ ἐφιζάνειν. ἔσται γάρ ποτε δείπνῳ ἐφιζάνειν καὶ τὸ ἄνω τοῦ δείπνου καθίζεσθαι κατά γε ἀκολουθίαν φράσεως. Ἄλλως μέντοι σπουδαίως οὔτε τὸ ἐπὶ κώπην καθῆσθαι οὔτε τὸ ἐπὶ δεῖπνον ἱζάνειν ἔχει τι παικτικόν. δηλοῦσι γὰρ τὸ καθέσθητι διὰ κωπηλασίαν καὶ διὰ τὸ δειπνῆσαι. (v. 578 s.) Τὸ δὲ ἀπὸ κρατῆρος πλείου λείβειν ἀπάρχεσθαι λοιβῆς τῆς ἐκ τοῦ δείπνου δηλοῖ καὶ μὴ ἐν δευτέρῳ τοῦ δειπνεῖν αὐτὴν τίθεσθαι. Τοῦ δὲ «ἀφυσάμενοι», ὅ ἐστιν ἀντλήσαντες, ἔστι καὶ ἐνεργητικὴ χρῆσις ἐν τῷ «ἤφυσε χαλκός», καὶ ἐν τῷ «πλοῦτον ἀφύξειν». Ἐκ δὲ τούτων δῆλον, ὅτι διφορεῖται ὁ μέλλων τοῦ ἀφύσσειν.

3.132 ἀφύξω τε γὰρ ὡς ἁρπάξω, καὶ ἀφύσω, ὡς ἁρπάσω, ἐξ ὧν τὸ ἀφύξειν καὶ τὸ ἤφυσε καὶ τὸ ἀφυσάμενος. Μελιηδὴς δὲ οἶνος ὡς καὶ πυρὸς πρὸ ὀλίγων καὶ ἀλλαχοῦ θυμός, ὅ ἐστι ψυχή. ΕΚ ΤΩΝ ΤΗΣ ΛΑΜΒΔΑ Ὅτι ἐν τῇ λάμβδα ῥαψῳδίᾳ ὁ βασιλεὺς ἀποκινδυνεύων ἀριστεύει, διὸ καὶ Ἀγαμέμνονος ἀριστεία κατὰ πεζὴν φράσιν τὸ γράμμα τοῦτο ἑρμηνεύεται.

3.133.(t) ἡ δὲ ἔμμετρος αὐτοῦ ἐπιγραφὴ αὕτη· λάμβδα δ' ἐνὶ προμάχοισι μίγη βασιλεὺς Ἀγαμέμνων. Τὰ μέντοι πρὸ τούτου ὁ τοιοῦτος βασιλεὺς ἀσφαλέστερον μᾶλλον διὰ τὴν ἡγεμονίαν ἢ φιλοκινδυνώτερον ἠγωνίζετο, θαρρῶν ἔτι τοῖς πράγμασι καὶ διὰ τοῦτο μὴ προπετῶς ἐπὶ κινδύνους φερόμενος. Καὶ σημειοῦνται οἱ παλαιοὶ ἐνταῦθα πραγμάτων ἀντιστροφήν. Διομήδης τε γὰρ ὀνειδισθεὶς ὑπὸ τοῦ βασιλέως ἠρίστευσε, καὶ ὁ βασιλεὺς αὖθις ὑπὸ Διομήδους ἔναγχος τὰ ὅμοια παθὼν ἀριστεύσει τὰ μέγιστα, καὶ οὕτως ἀνταπεδόθη τὸ ἶσον τοῖς ἥρωσιν. εἰς τοσοῦτον δὲ ὁ βασιλεὺς εὐδοκιμήσει, ὡς κινδυνεῦσαι τοὺς Τρῶας «ὑπὸ πτόλιν αἰπύ τε τεῖχος ἵξεσθαι», εἰ μὴ ὁ Ζεὺς ἐκώλυσε. τύχαις γάρ, οὐ γνώμαις, ἐλείποντο τῶν Τρώων οἱ Ἕλληνες. τρίτην δὲ τοῦ πολέμου ἡμέραν ταύτην σημειοῦνται οἱ παλαιοί. (v. 1 s.) Ὅτι περίφρασις ποιητικὴ τὸ «Ἠὼς δ' ἐκ λεχέων παρ' ἀγαυοῦ Τιθωνοῖο ὤρνυτο, ἵνα ἀθανάτοισι φόως φέρῃ ἠδὲ βροτοῖσιν». ἔστι δὲ ὁ νοῦς τῆς περιφράσεως, ὡς ἡμέρα ὑπὸ ἡλίου γέγονε. τὸν δὲ μῦθον τοῦτον καὶ ὁ Λυκόφρων ἐν καταρχῇ τῆς αὐτοῦ ποιήσεως ἐκτίθεται. Δῆλον δὲ ὅτι μίαν ὑπόνοιαν ἀλληγορικὴν ἔχουσιν ὁ Τιτὰν Ἀπόλλων καὶ ὁ Τιθωνός, ὃς καὶ αὐτὸς ἀλληγορεῖται εἰς ἥλιον. ἄμφω γὰρ ἐκ τοῦ τιταίνω, ἵνα καὶ ὁ Τιθωνὸς εἴη Τιτωνὸς διὰ τὸ πανταχοῦ τὸ αὐτοῦ φῶς ἐν ἡμέρᾳ τιταίνεσθαι. ἀὴρ γὰρ ὑπὸ ἡλίου πεφωτισμένος ἡ ἡμέρα ἐστί. Φασὶ δὲ Ἱερώνυμόν τινα ἱστορεῖν, ὅτι Τιθωνὸς ἀδελφὸς Πριάμου ἐς βαθὺ γῆρας ἐλάσας καὶ ζῆν μηκέτι ἐθέλων ᾐτήσατο παρὰ τῆς Ἠοῦς θάνατον, συνοικῶν αὐτῇ κατὰ ἔρωτα.

3.134 ἡ δὲ ἀδυνατοῦσα—ἤδη γὰρ ἐνεγράφη τοῖς ἀθανάτοις ὁ Τιθωνός— εἰς τέττιγα μετέβαλεν αὐτόν, ὡς ἂν ἥδοιτο τῆς αὐτοῦ φωνῆς ἐς τὸ διηνεκὲς ἀκούουσα. Ἕτεροι δέ φασι τὴν Ἠῶ ἐρασθεῖσαν τοῦ Τιθωνοῦ ἁρπάσαι αὐτὸν καὶ ἐντείλασθαι ζητῆσαι, ὅπερ ἂν βούλοιτο ἀγαθόν, τὸν δὲ προελέσθαι ἀθανασίαν καὶ λαβεῖν μὴ προσεπιζητήσαντα καὶ τὸ ἀεὶ νέον. ἐπεὶ δὲ γηράσοι, τότε δὴ μαθεῖν, ὡς ἀτελῆ ἐζήτησεν, εἶχε γὰρ ἀθάνατον κακὸν τὴν τοῦ γήρως κάκωσιν. ὅθεν αἰτῆσαι τὴν εἰς ἄλογα μετάστασιν καὶ πολλὰ λιτανεύσαντα τυχεῖν τοῦ μεταπεσεῖν εἰς τέττιγα. Διὸ καὶ ψυχρὸς ὁ τέττιξ, ὡς ἐκ Τιθωνοῦ τοῦ πεμπέλου, καὶ πολύφωνος διὰ τὰς πολλὰς λιτὰς τοῦ Τιθωνοῦ, περὶ οὗ, ὥσπερ δὴ καὶ τοῦ κατ' αὐτὸν ἔρωτος, εἴρηται καὶ ἀλλαχοῦ. Ἡ δὲ παροιμία ἐπὶ δυστυχῶν γερόντων τίθησι τὸ τοῦ Τιθωνοῦ ὄνομα, ὡς δηλοῖ ὁ εἰπὼν γέροντα «ἄνδρα Τιθωνὸν

σπαράττων καὶ ταράττων καὶ κυκῶν». Ἔστι δὲ τὸ μὲν ἠώς, ὡς καὶ ἀλλαχοῦ δεδήλωται, διαλέκτου Ἰώνων, τὸ δὲ ἕως Ἀττικῶν, Δωριέων δὲ τὸ ἀώς, Αἰολέων δὲ τὸ αὔως. Ἠοῦς δὲ λέχος τῆς κατὰ ἀλληγορίαν αἱ ὑπὸ γῆν τοῦ ἡλίου διατριβαί, καθ' ἃς μηκέτι λάμπουσα δοκεῖ ὡς ἐν ὕπνῳ ἀναπαύεσθαι κατὰ λέχος, ἐξ οὗ αὖθις ἐγειρομένη φέρει φῶς. καὶ ἄλλως δὲ λέχος Ἠοῦς λέγεται τὸ κατὰ νύκτα, οὐ κατ' αὐτήν, ἀλλ' ἐπεὶ ἄνθρωποι τηνικαῦτα ὡς ἐπὶ πολὺ λέγονται, ἤτοι κοιμῶνται. οὕτω δὲ καὶ ἐκ λεχέων ἐγείρεται διὰ τὸ αὐτοὺς μετὰ νύκτα τοῦτο ποιεῖν. διὸ καὶ ἠλέκτωρ ὁ ἥλιος, ὡς μὴ ἐῶν ἐν λέκτρῳ κεῖσθαι, καὶ ὄρθρος δὲ καὶ ἦρ ἡ τῆς ἡμέρας ἀρχὴ διὰ τὸ ὀρθοῦν καὶ αἴρειν εἰς ἔργον. Τὸ δὲ «ὤρνυτο» ἐτυμολογία τοῦ τῆς Ἠοῦς ὄρθρου ἐστί, καθ' ὃν εἰς ἔργον ὀρνύμεθα, ἤτοι ὀρθούμεθα. ταὐτὸν γὰρ ὀρθοῦσθαι καὶ ὄρνυσθαι. καὶ ἄλλως δὲ τὸ ῥῆμα οἰκεῖον τῇ καθ' ἥλιον ἡμέρᾳ διὰ τὸ τὸν ἥλιον ἐκ ταπεινοτέρων ὑψοῦσθαι αἰρόμενον, διὸ καὶ αὔξεσθαι μέχρι μεσημβρίας ἡ ἡμέρα λέγεται. Ἀθανάτους δὲ κἀνταῦθα τὰ ὑπὲρ γῆν στοιχεῖά φησιν, οἷς φῶς ἐκ τοῦ ἡλίου φέρεται, καθὰ καὶ τοῖς ζῴοις, ὧν ἐνταῦθα οἱ βροτοὶ ὡς ἐκ μέρους εἰσὶ δηλωτικοί. Τὸ δὲ «φόως φέρῃ» συντίθησι μὲν τὴν παρὰ τοῖς μεθ' Ὅμηρον φωσφόρον, δηλοῖ δὲ σωματικώτερον ὡς ἔν τινι ζωγραφίᾳ λαμπαδηφορεῖν ὑπουργικῶς τὴν μυθικὴν Ἠῶ τοῖς θεοῖς καὶ ἐξανιστᾶν τοῦ ὕπνου αὐτούς, ἔποχον οὖσαν κατὰ τὸν μῦθον ἢ ξυνωρίδι ἵππων καθ' Ὅμηρον Λάμπου καὶ Φαέθοντος ἢ τῷ Πηγάσῳ κατὰ τοὺς νεωτέρους.

3.135 Δῆλον δὲ ὅτι ἐκ τοῦ φῶς γίνεται κατὰ πλεονασμὸν τὸ φόως, ἐξ οὗ καὶ τὸ Ξενοφόων, Κτησιφόων καὶ τὰ ὅμοια. Ἰστέον δὲ ὅτι οὐ μόνον τὸν Τιθωνὸν ἀλλὰ καὶ ἄλλους ἡ Τροία ἤνεγκε καλούς, τουτέστι διαφέροντας ἐπὶ κάλλει, Γαννυμήδην, Ἀγχίσην, Βουκολίωνα. θεοειδὴς δὲ καὶ Ἀλέξανδρος, ἔτι δὲ καὶ Δηΐφοβος παρὰ τῷ ποιητῇ, καὶ Πριάμῳ δὲ ὄψις ἀγαθή, καὶ ταῦτα γέροντι ὄντι, καὶ Ἕκτορος δὲ «ἐθηήσαντο φυὴν καὶ εἶδος» οἱ Ἕλληνες, καὶ ταῦθ' ὅτε νεκρὸς ἔκειτο. Καὶ μήποτε διὰ τοῦτο καὶ κάλλους ἐρασταὶ οἱ ἐν τῇ Τροίᾳ διὸ τὴν καλὴν Ἑλένην ἁρπάσαντες τὴν οἰκουμένην ἐκύκησαν. (v. 3 s.) Ὅτι ποιητικώτερον σωματοποιῶν Ὅμηρος τὴν ἔριν φησὶ «Ζεὺς δ' Ἔριδα προΐαλλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν ἀργαλέην, πολέμοιο τέρας μετὰ χερσὶν ἔχουσαν», ἤγουν σημεῖόν τι ἐγκεχειρισμένην εἰδωλοπεποιημένον, οἷον βέλος ἢ ξίφος ὡς ἐν σχήματι ὁπλιτικῷ, ἢ ἄλλο τι τερατῶδες. οὐ γὰρ ἁπλῶς ἔρις ἦν αὕτη, ἀλλ' ἔρις ἐπὶ πολέμῳ. Ἕτεροι δὲ πολέμοιο τέρας περιφραστικῶς τὸν πόλεμον ἐνόησαν, ἵνα λέγῃ, ὅτι ἔχουσα σὺν ἑαυτῇ τὸν πόλεμον. Εἰσὶ δὲ καὶ ἄλλως πολέμου τέρατα αἱ μεγάλαι πρὸς πόλεμον συσκευαί, αἱ τῶν στρατηγῶν ἐμβοήσεις καὶ τὰ λοιπά. διὸ καὶ ἐπὶ τῇ τοῦ Ὀδυσσέως ἡ Ἔρις ἔστη μεγακήτεϊ νηΐ καὶ ἐβόησεν, ὡς ῥηθήσεται. Ὅρα δὲ τὸ «ἀργαλέην» πρὸς διαστολὴν τεθὲν τῆς ῥᾴονος ἔριδος, ὥσπερ καὶ τὸ πολέμοιο τέρας ἔχουσαν διασταλτικῶς ἐρρέθη πρὸς ἑτέρας ἔριδας, ἀργαλέας μέν, οὐ πολεμικὰς δέ. Ἀσφαλῶς δὲ οὐκ ἔφη κακὴν τὴν τοιαύτην Ἔριν ὁ ποιητής. οὐ γὰρ ἦν τοιαύτη, ἀλλ' ἀργαλέη, ὡς αὐτός φησιν, ἤτοι ἐργώδης, ἢ ἀλεγεινὴ διὰ τὰ ἐκ μάχης δεινά. Ἰστέον δὲ ὅτι μυθικῶς μὲν σωματοειδὴς ἐνταῦθα πολεμικὴ δαίμων ἡ Ἔρις, ὡς εἴρηται, πρὸς δὲ ἀλήθειαν Ἔρις νοεῖται νῦν ὁ Ἑλληνικὸς ἐρεθισμὸς πρὸς μάχην.

3.136 οἱ γὰρ νύκτωρ δειλοὶ καὶ φεύγειν ἕτοιμοι καὶ τὴν ἔριν ἀπορρίψαντες νῦν ἀναλαμβάνουσι ταύτην καὶ ὅλοι τοῦ πολέμου γίνονται, ἀλλήλοις κατὰ ζῆλον οὐ φαῦλον ἐρίζοντες. Ἰστέον δὲ καί, ὅτι πᾶσα ἔρις ἀφορῶσα εἰς μέγα κακὸν λεχθείη ἂν καὶ αὐτὴ «ἀργαλέη πολέμοιο τέρας μετὰ χερσὶν ἔχουσα». (v. 5 s.) Ὅτι ἡ τοῦ Ὀδυσσέως ναῦς, ἣν καὶ μεγακήτεα λέγει, τουτέστι μεγάλην κατά τι κῆτος, ἐν μεσσάτῳ ἔσκεν, ἤγουν ἐν μεσαιτάτῳ ἦν τοῦ ναυστάθμου, καθὰ καὶ προεδηλώθη. τοῦτο δὲ ᾠκονόμητο διὰ τὸ πολύχρηστον τοῦ ἥρωος, καὶ ἵνα μέσος ὢν ῥᾳδίως ἔχῃ τοῖς ἑκατέρωθεν ἐπαρκεῖν ἔν τε συμβουλαῖς καὶ ἑτέροις ἔργοις. οὕτω καὶ ἡ καρδία μέσην λαχοῦσα θέσιν ζωογονεῖ ὁμαλῶς τῷ ἰσορρόπῳ τῆς διαστάσεως. (v. 7—9) Αἱ μέντοι τῶν ἀνδρειοτάτων Αἴαντός τε καὶ Ἀχιλλέως κλισίαι ἐν ἐσχάτῳ ἵσταντο. Φησὶ γὰρ «οἳ ἔσχατα», ἤγουν εἰς τὰ ἄκρα, «νῆας ἐΐσας εἴρυσαν, ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν». Ὧν ἦν χρεία

μάλιστα τοῖς ἐν τῷ ἄκρῳ, ἵνα μήτε αὐτοὶ ταῖς τῶν ἐχθρῶν ἐφόδοις βλάπτωνται καὶ τὸ μέσον δὲ συντηρῶσι δεδιότων τῶν ἐχθρῶν τὴν κύκλωσιν. διὸ καὶ τοὺς ἐν τοῖς στρατεύμασι προμαχοῦντάς τε καὶ οὐραγοῦντας ἀνδρείους εἶναι χρεών. Τὴν τοιαύτην δὲ Ὁμηρικὴν τῶν νηῶν στάσιν δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ «σκηναῖς ναυτικαῖς Αἴαντος, ἔνθα τάξιν ἐσχάτην ἔχει». (v. 5) Ἰστέον δὲ [ὅτι τε τὸ «μεγακήτης» ἐκ τοῦ κῆτος κατὰ τὸ μέγεθος εὐμεγέθης καὶ ἦθος εὐήθης ἐσχημάτισται, οὐ μὴν κατὰ τὸ γένος εὐγενής, βέλος ὀξυβελής, ὧν ἑτεροία ἡ τοῦ ὀξέος τόνου αἰτία. (v. 6) Καὶ ὅτι τὸ «ἐν μεσσάτῳ» ἐλλειπτικῶς ἐρρέθη. λείπει γὰρ τὸ τόπῳ. πρωτότυπον δὲ αὐτοῦ τὸ μέσος. Ὡς γὰρ τρίτος τρίτατος καὶ τὰ ὅμοια, οὕτω καὶ μέσσος μέσσατος. Ναῦς δὲ μεγακήτης ἀσφαλῶς ἐρρέθη οὐ διὰ μόνον μέγεθος ἀλλ’ ὅτι καὶ περὶ θάλασσαν πονεῖται. (v. 9) Τοῦ δὲ «ἠνορέῃ» τοιοῦτόν ἐστι τὸ κατὰ παραγωγὴν σκευώρημα· ἦνωρ ἤνορος ἄρρητον ὄνομα, ἐξ οὗ Ἀντήνωρ καὶ ῥηξήνωρ καὶ ἀγήνωρ. Ἐκεῖθεν κτητικὸν ἠνόρειος, καὶ ἀπελεύσει τοῦ ι ἠνόρεος, καὶ θηλυκὸν ἠνορέη ἰσχύς, ἡ τοῦ ἀνέρος, καὶ κατὰ ἔλλειψιν ὁμοίαν τῷ λυκέη, παρδαλέη καὶ τοῖς τοιούτοις, ἠνορέη ἁπλῶς ἡ ἀνδρία. (v. 10—2) Ὅτι στᾶσα ἐπὶ τῆς ῥηθείσης τοῦ Ὀδυσσέως νηὸς ἡ Ἔρις γεγωνέμεν, ἤγουν ὥστε ἐξάκουστον βοᾶν, ἐκεῖθεν ἀμφοτέρωσε, ἤγουν κατὰ τὸν ποιητὴν ἐπ’ Αἴαντος κλισίας ἠδ’ ἐπ’ Ἀχιλλῆος, οἳ ἔσχατα ἐνεώλκησαν τὸν κατ’ αὐτοὺς στόλον, [«ἤϋσεν», ἤγουν] ἐφώνησε «μέγα τε δεινόν τε ὄρθια, Ἀχαιοῖσι δὲ μέγα σθένος ἔμβαλ’ ἑκάστῳ κραδίῃ ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι».

3.137 Δηλοῖ δὲ ἡ τοιαύτη τῆς Ἔριδος βοὴ τὰ τῶν στρατηγῶν κατ’ ἔριν ἀγαθὴν ἐγκελεύσματα, ὑφ’ ὧν εἰς πόλεμον οἱ Ἀχαιοὶ θήγονται ὡς οἷον παρακονώμενοι. (v. 15) Ὃ καὶ ὡς ἀπὸ μέρους ἐφερμηνεύων ἐπάγει «Ἀτρείδης δ’ ἐβόησε» καὶ τὰ ἑξῆς. (v. 11) Τὸ δὲ «ὄρθια» εἴρηται μὲν Ἀττικῶς ἀντὶ τοῦ ὄρθιον, ὁποῖα καὶ ἄλλα τοιαῦτα προγέγραπται, ἑρμηνεύεται δὲ ὑπὸ τοῦ «μέγα τε δεινόν τε». τοιοῦτος γὰρ ὁ παρὰ τοῖς μουσικοῖς ὄρθιος νόμος, ἤγουν τρόπος ἐκεῖνος ᾠδῆς εἰς πόλεμον ἐρεθιστικός. Τιμόθεος οὖν ὄρθιον ᾄσας τοσούτου τὸν Ἀλέξανδρον Ἄρεος ἔπλησεν, ὡς εἰς τὰ ὅπλα εὐθὺς ἐκεῖνον ἀναπηδῆσαι. (v. 13 s.) Σαφέστερον δὲ Ὅμηρος ὑποδηλῶν, οἷόν τι ὁ ὄρθιος νόμος, ἐπιφέρει «τοῖσι δ’ ἄφαρ πόλεμος γλυκίων γένετ’ ἠὲ νέεσθαι φίλην ἐς πατρίδα γαῖαν». Τοῦτο δὲ καὶ ἀλλαχοῦ οἱ αὐτοὶ ἔπαθον λόγοις ὀτρυνθέντες δεινοῦ ῥήτορος. Γλυκαίνει δέ πως τὴν μάχην τοῖς Ἀχαιοῖς ὁ κατὰ Τρώων θυμός. γέμουσι γὰρ τούτου, ὃν ἐν ἄλλοις γλυκύτερον μέλιτος καταλείβεσθαι Ὅμηρος λέγει ἐν τοῖς τοῦ θυμουμένου στήθεσιν. Ἄναρθρος δέ, ἤτοι ἀγράμματος, ἡ ῥηθεῖσα βοὴ τῆς κατὰ μῦθον Ἔριδος, καθάπερ εἰ καὶ σάλπιγγος ἦν. ἴσως δὲ καὶ ἀπλατῆ βοὴν ἐφώνησε, καθὰ καὶ ὁ βασιλεύς, περὶ οὗ φησίν «Ἀτρείδης δ’ ἐβόησεν ἰδὲ ζώνυσθαι ἄνωγεν». οὐδὲν γὰρ οὐδ’ αὐτὸς ἐλάλησε διεξοδικόν, ὅτι μηδὲ ἐχρῆν παρὰ καιρόν. Σημείωσαι δὲ ὅτι τὴν τοῦ βασιλέως ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ ἀριστείαν πάνυ σεμνύνων Ὅμηρος ἀντὶ κήρυκος μὲν αὐτὴν τὴν Ἔριν προάγει βοῶσαν καὶ ὀτρύνουσαν εἰς μάχην τοὺς Ἀχαιούς, ἀντὶ δὲ σάλπιγγος ἤ τινος ἄλλου τοιούτου ὀργάνου βροντώσας ποιεῖ τὴν Ἥραν καὶ τὴν Ἀθηνᾶν, καὶ βοὴν δὲ ἄσβεστον γενέσθαι λέγει καὶ κυδοιμὸν ἐγερθῆναι κακὸν καὶ δρόσους αἱματοέσσας ὑψόθεν κατενεχθῆναι καὶ πανοπλίαν δὲ τῷ βασιλεῖ περιτίθησιν ἔξαλλον, καὶ ὅλως εἰπεῖν, μυρίαν ποιητικῶς τερατείαν τεχνᾶται, ἐμφῆναι θέλων ὡς μέγας ἔσται, καθὰ καὶ φανεῖται, ὁ σήμερον πόλεμος.

3.138 Ὅρα δὲ καὶ ἐνταῦθα οἷον ὁ λόγος, ὃς τοὺς Ἕλληνας ἐρεθίσας θανεῖν ἑτοίμους ἐποίησε, καὶ ὅτι προθυμίας ἄκρας τῆς εἰς μάχην δηλωτικὸν τὸ μέγα θάρσος, ὡς ἐρρέθη, ἔχειν καὶ γλυκὺν κρίνειν τὸν πόλεμον. (v. 11) Τὸ δὲ «Ἀχαιοῖσιν ἑκάστῳ» σύνηθες Ὁμήρῳ σχῆμα, ταὐτὸν ὂν τῷ Ἀχαιῶν ἑκάστῳ. (v. 15) Ὅτι ὥσπερ ἀπὸ κύρυθος κορύσσω καὶ ἱπποκορυσταί καὶ ἀπὸ θώρακος τὸ θωρήσσω, καὶ ἀπὸ ἀσπίδος οἱ ἀσπισταί, καὶ ἀπὸ αἰχμῆς τὸ αἰχμάζειν καὶ οἱ αἰχμηταί, καὶ ἀπὸ κνημῖδος εὐκνήμιδες, ὡς ἐκ μέρους ἐν τοῖς τοιούτοις δηλουμένης τῆς ὅλης ὁπλίσεως, οὕτω καὶ ἀπὸ ζώματος τοῦ συναπτομένου ἢ συρραπτομένου τῷ στατῷ θώρακι ἢ τῇ μίτρᾳ, ὡς

προδεδήλωται, ζώνυσθαί φησιν Ὅμηρος νῦν τὸ ὁπλίζεσθαι, εἰπὼν «Ἀτρείδης δ' ἐβόησεν ἰδὲ ζώνυσθαι ἄνωγεν Ἀργείους», ἑαυτὸν δηλαδὴ προθεὶς παράδειγμα. (v. 16) Ἐπάγει γὰρ «ἐν δ' αὐτὸς ἐδύσατο νώροπα χαλκόν», ἤγουν λαμπρόν, ὡς πολλαχοῦ φαίνεται. (v. 16—8) Εἶτα διασαφῶν ἐνδιασκευῶς τὸ «ἐδύσατο χαλκόν» φησὶ «κνημῖδας μὲν πρῶτον» καὶ ἑξῆς, ὡς ἐν ἄλλοις ποιεῖ. Ἔνθα καὶ ἀργύρεα ἐπισφύρια οὐ ποδῶν μέρος, ἀλλὰ μέρη κνημίδων τὰ περὶ τὰ σφυρά. ἄλλως γὰρ ἐπὶ ἀνδρὸς ἥρωος εἰπεῖν ἐπισφύρια ἀργυρᾶ οὐ σεμνόν ἐστι, πρέπει δὲ μᾶλλον τοῦτο εἰς ἀργυρόπεζαν Θέτιν καὶ εἴ τις ἑτέρα τοιαύτη. οὕτω δὲ καὶ ἑλίκωπες Ἀχαιοὶ οὐ διὰ τὸ ἑλικόν, ἤτοι μέλαν τὸ ἐν ὀφθαλμοῖς—κόραις γάρ φασι γυναιξὶν αὐτὸ πρέπον ἐπίθετον—, ἀλλὰ διά τι ἄλλο, γραφὲν ἑτέρωθι. [(v. 16) Ἰστέον δὲ ὡς εἰ καὶ νώροπα κοινότερον χαλκὸν λέγουσιν οἱ παλαιοὶ τὸν λαμπρότατον διὰ τὸ στερεῖν τοῦ ὁρᾶν τὴν ὄψιν τῇ ἐξ αὐτοῦ ὡς οἷον ἀστραπαίᾳ στιλπνότητι, ἀλλ' ἡ σκωπτικὴ παράχρησις δύναται καὶ ἄνθρωπον ἐμφῆναι τὸν παρ' ἄλλοις ἰλλόν, εἴτ' οὖν παραβλῶπα καὶ στραβόν, διὰ τὸ ἐστερῆσθαι τοῦ κατὰ ὅρασιν ὀπτικοῦ, ἵνα ᾖ νῶροψ μὲν χαλκὸς ὁ ἀποστερῶν τοῦ ὁρᾶν, νῶροψ δὲ ἄλλως ἀνὴρ ὁ ἐστερημένος τοῦ ὁρᾶν. Ἡ δὲ τὰ τοιαῦτα νομοθετήσασα βλασφημία, ἧς καὶ ἐν τῇ δ′ ῥαψῳδίᾳ μνήμη κεῖται, καὶ τὸν ἐπαινετῶς ἀρρενωπὸν ἀρρενῶπα ἔφη παρονομήσασα ψογερῶς καὶ οὕτω σκώψασα τὸν ἀνδρόγυνον καί, ὡς εἰπεῖν, ἀρρενοπίπην πρὸς ὁμοιότητα τοῦ παρθενοπίπης καὶ πυρροπίπης.

3.139 οὕτω δὲ καὶ Αἰσχύλου μάχλον, φασίν, ἄμπελον εἰπόντος τὴν ῥεομένην, ἡ Κωμῳδία μάχλον εἶπε τὸν ὑπὸ καταφερείας δίυγρον. καὶ Πανὸς δὲ λεγομένου τοῦ κατὰ κλῆσιν δαιμονίαν, ἕτεροι ἀπ' ἐκείνου Πᾶνά φασι τὸν καταφερῆ καὶ συνουσιαστικόν, ὅθεν παρὰ Καλλιμάχῳ τὸ «πᾶν τρύπανον αἰπολικόν».] (v. 20) Ὅτι ὁ Κινύρας κοινῶς ἢ Δωρικῶς ἢ καθ' Ὅμηρον Ἰωνικῶς ὁ Κινύρης Θείαντος ἦν κατά τινας παῖς, βασιλεὺς Κύπρου ζάπλουτος, ὃς παριόντας τοὺς Ἀχαιοὺς ἐξένισεν, ὑποσχόμενος καὶ ἐν Ἰλίῳ πέμψειν τὰ ἀναγκαῖα. φασὶ δὲ αὐτὸν ἀμελήσαντα ἐπικατάρατον γενέσθαι ὑπὸ Ἀγαμέμνονος καὶ αὐτὸν μὲν ἀπολωλέναι ᾠδικῶς ἁμιλλώμενον τῷ Ἀπόλλωνι ὡς οἷα μουσικῆς τεχνίτην. διὸ καὶ Κινύρης ἐκλήθη παρωνύμως τῇ κινύρᾳ. τὰς δὲ θυγατέρας αὐτοῦ πεντήκοντα οὔσας ἁλέσθαι εἰς θάλασσαν καὶ εἰς ἀλκυόνας μεταπεσεῖν. Ἄλλοι δέ φασιν αὐτὸν ἐν Πάφῳ ὀμόσαντα Μενελάῳ πέμψειν πεντήκοντα ναῦς, μίαν μόνην ἀποστεῖλαι, τὰς δὲ λοιπὰς ἐκ γῆς πλάσαντα πέμψαι καὶ γηΐνους ἄνδρας ἐν αὐταῖς, καὶ οὕτω σοφίσασθαι τὸν ὅρκον, ὀστρακίνῳ στόλῳ δεξιωσάμενον. [Παραπηκτέον δὲ τῇ εἰρημένῃ Κυπριακῇ ξενίᾳ τῶν Ἀχαιῶν καὶ τὴν Δηλιακήν, ἣν καὶ ὁ Λυκόφρων ἱστορεῖ, πάνυ λαμπροτέραν οὖσαν τῆς ἐν Κύπρῳ. αὕτη μὲν γὰρ εἰς ἅπαξ γέγονεν, ὁ δὲ ἐν τῇ Δήλῳ ξενίσας τὸ Πανελλήνιον οὐκ ἠρκέσθη δαψιλευσάμενος οἴκοι τὰ εἰς τὸν Ξένιον ἐπὶ μετρίῳ καιρῷ, ἀλλ' ἤθελε παρακατασχεῖν τοὺς Ἀχαιοὺς καὶ εἰς δέκα περιπλομένους ἐνιαυτοὺς καὶ διδόναι ὡς οἷον ἔκ τινος θαλάσσης ἀντλεῖν τὸν ἐκείνου πολύρρουν πλοῦτον ἡσυχῇ μένοντας. Κατὰ δέ τινας καὶ ἐς αὐτὴν Τροίαν τὸ τοιοῦτον ἐκείνοις ζωογόνον ῥεῦμα μετωχέτευσε, δοὺς αὐτοῖς τὰς θυγατέρας τὴν Οἰνώ, τὴν Σπερμὼ καὶ τὴν Ἐλαΐδα, ὧν ἦσαν τρόφιμοι τὸ πᾶν στράτευμα, χορηγεῖν δυναμένων τεραστίως τὰ τρέφοντα, ὡς 〈ὁ〉 μῦθός φησιν.

3.140 ] (v. 21) Ἰστέον δὲ ὅτι οὐ φαίνεται εἰδὼς Ὅμηρος ξενίαν Κινύρου, ἀλλὰ σέβας μόνον τὸ ἐξ ἀκοῆς. «Πεύθετο γάρ», φησί, «Κύπρονδε μέγα κλέος» καὶ ἑξῆς. οἵα δὲ ἡ Κύπρος εἰς πλοῦτον καὶ λοιπὴν εὐδαιμονίαν, αἱ ἱστορίαι δηλοῦσιν. ὅτι δὲ καὶ Ἄμασις πρῶτος ἀνθρώπων Κύπρον κατεστρέψατο εἰς φόρου ἀπαγωγήν, Ἡρόδοτος ἱστορεῖ, ἐξ οὗ ἔστι νοῆσαι καὶ ὅτι ὁ Κινύρης Ἰωνικῆς διαλέκτου ἐστίν, ἐπεὶ καὶ ὁ κυματίας ποταμὸς κυματίης παρ' ἐκείνῳ εἴρηται. καὶ ταῦτα μὲν τοιαῦτα. (v. 20—3) Ὅμηρος δέ φησιν, ὅτι ὁ Κινύρης θώρακα ἔδωκε τῷ βασιλεῖ «ξεινήϊον εἶναι. πεύθετο γὰρ Κύπρονδε μέγα κλέος, οὕνεκ' Ἀχαιοὶ εἰς Τροίην νήεσσιν ἀναπλεύσεσθαι ἔμελλον, τοὔνεκά οἱ τόν», ἤγουν τοῦτον, «δῶκε χαριζόμενος βασιλῆϊ», καὶ δώροις οὕτως οἰκειούμενος τὴν Ἑλληνικὴν φιλίαν καὶ οὐ δήπου διδοὺς εἰς ποινὴν ἀστρατείας, ὡς ὁ τῷ

Ἀγαμέμνονι ὑποτελῶν Σικυώνιος Ἐχέπωλος τὴν ὑμνουμένην Αἴθην τὴν τοῦ Ἀγαμέμνονος ἵππον ἐξ ἀνάγκης αὐτῷ ὡς οἰκείῳ βασιλεῖ δέδωκεν, ἵνα μὴ στρατεύσηται. (v. 24) Εἶτα ἐκφράζων ὁ ποιητὴς τὸν τοιοῦτον θώρακα, ὁποῖος ἂν καὶ ἦν, εἴτε ἁλυσειδωτὸς εἴτε ἐκ φολίδων, τοῦτο γὰρ οὐ παρασημαίνεται, λέγει ὅτι τούτου δέκα οἶμοι, τουτέστιν οἷον ζῶναι, ὁδοί, ῥάβδοι ὀρθαί, «ἔσαν μέλανος κυάνοιο, δώδεκα δὲ χρυσοῖο καὶ εἴκοσι κασσιτέροιο· κυανέοι δὲ δράκοντες ὀρωρέχατο ποτὶ δειρὴν τρεῖς ἑκάτερθεν», ἤγουν οἱ ὅλοι ἕξ, «ἴρισιν ἐοικότες», τῷ κυρτώματι δηλαδή, «ἅς τε Κρονίων ἐν νέφεϊ στήριξε τέρας μερόπων ἀνθρώπων». Ἔνθα φασὶν οἱ παλαιοί, ὡς διδάσκει ὁ ποιητὴς μηδὲ τὰ τυχόντα κατὰ τὸ αὐτόματον γίνεσθαι, εἴγε καὶ τοῦτο τὸ περὶ τὸν ἀέρα πάθος, ἡ ἶρις, οὐχ’ οὕτως εἰκῇ συμπίπτει, ἀλλὰ σημαίνει τι τῶν μελλόντων, ὡς καὶ ἐν ἄλλοις δεδήλωται. Ἰστέον δὲ καὶ ὅτι Ξενοφάνους περὶ τῆς ἴριδος ἐν ἡρωϊκοῖς ἔπεσιν οὕτω φράζοντος «ἥν τ’ ἶριν καλέουσι, νέφος καὶ τοῦτο πέφυκε πορφύρεον καὶ φοινίκεον καὶ χλωρὸν ἰδέσθαι», οἱ ἀκριβέστεροι ὁρμώμενοι ἐκ τοῦ «ἐν νέφεϊ ἐστήριξε» φασὶν οὐ νέφος εἶναι τὴν ἶριν, ἀλλὰ πάθος περὶ νέφος. πάντως γὰρ ἄλλο ἐστὶ τὸ στηριζόμενον καὶ ἄλλο τὸ ἐν ᾧ στηρίζεται.

3.141 Ἔστι γὰρ κατὰ τοὺς παλαιοὺς ἡ ἶρις πάθος περὶ τὸν ἀέρα, ἐξ ἡλιακῶν ἀκτίνων τὴν αἰτίαν ἔχουσα, ὑγρῷ νέφει ἐμφαινομένη. καὶ τοιαῦτα μὲν ταῦτα. (v. 20) Ἐν δὲ τῷ «δῶκε ξένιον» καιριωτάτη λέξις τὸ «δῶκε». διὸ καὶ νῦν ἐπιμένει δὶς αὐτὴν εἰπών. [Τὸ δὲ «δῶκε ξεινήϊον εἶναι» ἢ ἔλλειψιν ἔχει τοῦ ὥστε, ἵνα λέγῃ ὅτι ἔδωκεν ὥστε ξένιον εἶναι, ἢ περιττότητα τοῦ εἶναι, ἧς χρῆσις οὐ μόνον τὸ ἑκὼν εἶναι παρὰ τοῖς παλαιοῖς, ἀλλὰ καὶ τὸ «χρηστὴν ἡμῖν τὸ τήμερον εἶναι τὴν γαλήνην ἐστόρεσε».] (v. 21) Τὸ δὲ μέγα κλέος τοῦ Ἑλληνικοῦ στόλου ὑποδηλοῦται διὰ τοῦ φθάσαι τοὺς Κυπρίους δῶρα πέμψαι οὐ μετὰ τὸ εἰς Τροίαν πλεῦσαι, ἀλλ’ ὅτε ἀναπλεύσεσθαι ἔμελλον. (v. 22) Καὶ ὅρα τὸ «ἀναπλεύσεσθαι». ἀνάπλους γάρ, ὡς καὶ προεδηλώθη, ὁ ἀπὸ Ἑλλάδος ἐπὶ τὸν Ἑλλήσποντον πλοῦς, καὶ ἀναβάσει ἐοικὼς διὰ τὸν ἐκεῖθεν κατάρρουν. [Τὸ δὲ «μέγα κλέος» ὅτι τὸν παρὰ τοῖς ὕστερον Μεγακλῆν συντίθησι, καθὰ καὶ τὸ εὐρὺ κλέος τὸν Εὐρυκλέα, δῆλόν ἐστι.] Τὸ δέ γε «νήεσσιν ἀναπλεύσεσθαι» ἢ ἐκ περιττοῦ ἔχει τὸ νήεσσιν ἢ βούλεται μεγάλας ἐνταῦθα νῆας νοεῖσθαι, δι’ ὧν ἦν πλεῦσαι τοσοῦτον πέλαγος, ὡς ἐντεῦθεν τὰς σχεδίας καὶ τὰς ἁλιάδας μὴ ἁπλῶς νῆας, ἀλλὰ μετά τινος προσθήκης λέγεσθαι, οἷον μικρὰς νῆας ἢ τοιοῦτόν τι, ὥσπερ ἄλλαι μακραὶ λέγονται ἢ φορτηγοὶ ἢ ἄλλως ὁπωσοῦν. (v. 23) Τὸ δὲ «χαριζόμενος» γενικόν ἐστι τοῦ δωρεῖσθαι. —πᾶν γὰρ δῶρον χάρις ἐστί —καὶ ὡς ὑπὸ γένος αὐτὴν ἀνάγεται. (v. 24) Αἱ δὲ ῥηθεῖσαι ῥάβδοι ἢ ζῶναι μία παρὰ μίαν ἐοίκασι κεῖσθαι, πλεοναζουσῶν τῶν ἐκ κασσιτέρου τῷ μεταξὺ κεῖσθαι, καὶ οὕτω τῇ παραβολῇ τῶν χρωμάτων πολὺς ὁ κόσμος ἐγίνετο ξενίζων τὸν θεατήν.

3.142 (v. 24—6) Τῶν δὲ δώδεκα τοῦ χρυσοῦ ῥάβδων αἱ μὲν δέκα συνεπεμερίζοντο ταῖς κυανέαις, ὡς εἰκός, αἱ δὲ δύο περὶ τὰ προστέρνια παρενεβέβληντο, ὡς ἂν εἴη πλείων ἡ στιλπνότης τοῦ χρυσοῦ πρόσθεν. Τὰς δὲ κασσιτερίνας οἴμους σίδηρον νοητέον ἀλειφόμενον κασσιτέρῳ εἰς ἀργύρου σχῆμα, ὡς καὶ τὰς κυανέας ἔγκαυσιν ἐχούσας ἢ χείμευσιν μέλαιναν τὴν διὰ κυάνου. ἴσως δὲ καὶ αἱ χρυσαῖ σίδηρος ἦσαν χρυσῷ συγκαλυπτόμενος. (v. 24) Τὸ δὲ «οἶμος» βαρύνεται κανόνι τοιῷδε. Τὰ εἰς ος δισύλλαβα μονογενῆ ἀπὸ τῆς οι ἀρχόμενα φιλεῖ βαρύνεσθαι, ὅτε πρὸ τῆς ος σύμφωνον ἢ σύμφωνα ὑπάρχει, οἷον οἶκος, οἶτος, οἶμος, οἶκτος, οἶστρος. Τὸ Οἰός—δῆμος δέ ἐστιν Ἀττικῆς—ὀξυτόνως οὐκ ἔχει σύμφωνον πρὸ τοῦ ος . Ὁ δὲ ῥηθεὶς Οἰός ἔοικε καὶ Οἴη λέγεσθαι. Διὸ καὶ ὁ ἐκ τοῦ τοιούτου δήμου Οἴηθεν ἐλέγετο καθ’ ὁμοιότητα τοῦ Ἀθήνηθεν καὶ Θήβηθεν. εἰ δὲ ἴσως ἄλλος δῆμός ἐστιν ὁ Οἰὸς καὶ ἄλλος ἡ Οἴη, ζητητέον ἑτέρωθεν. (v. 26) Κύανος δὲ εἶδός τι χρώματος μέλανος, ἐξ οὗ τὸ κυάνειον, καὶ ὑφαιρέσει τοῦ διχρόνου κυάνεον, καὶ ἐν συναιρέσει κυανοῦν, τοιοῦτον δὲ καὶ τὸ χρῶμα τοῦ οὐρανοῦ ἀναγκαίως κατὰ τοὺς Φυσικούς, ὁπηνίκα ἐστὶ πάντῃ ἀνέφελος.

3.143 Τὸ δὲ «ὀρωρέχατο» Ἰωνικόν, ἔστι μὲν ὅμοιον τῷ ἐπεπλέχατο καὶ τοῖς ὁμοίοις, δηλοῖ δὲ τὸ ἐτέταντο. Καὶ ἔστι σχῆμα δεινὸν καί, ὡς εἰπεῖν, τεράστιον, καταχάσκοντες δειρῆς κυάνεοι δράκοντες. ὡς γὰρ ἐπὶ ἁρπαγῇ ἔχασκον συντεινόμενοι. ἐοίκασι δὲ καὶ ἐπικυρτοῦσθαι τοὺς αὐχένας οἱ τοιοῦτοι δράκοντες κατά τινα κυκλικὴν καμπήν. (v. 27) Διὸ καὶ ἴριδι ἕκαστος αὐτῶν ἔοικε τοῦτό γε. οὐ γὰρ δήπου κατὰ τὸ χρῶμα. κυάνεοι γὰρ αὐτοί, ἡ δὲ ἶρις οὐ τοιαύτη, ὡς εἴρηται. Ἧς νῦν ἡ ἄρχουσα συνέσταλται, πρὸς διαστολὴν ἴσως τῆς μυθικῆς ἀγγέλου Ἴριδος, ἐκείνης γὰρ τὸ κατάρχον ι ἐκτείνεται. [Τοῦτο δὲ διὰ τὸ δίσημον γίνεται τῶν διχρόνων. διὸ ἐν τῷ «ἴρισιν ἐοικότες» ἡ μὲν ἄρχουσα συνέσταλται, ἡ δὲ μετ’ αὐτὴν δευτέρα ἐκτείνεται μεταθέσει χρόνου, ὁποία τις γίνεται καὶ ἐν τῷ Κρονίων Κρονίονος. τινὲς μέντοι τὴν παραλήγουσαν τοῦ «ἴρισι» θέσει μακρὰν ποιοῦσι, διπλάζοντες ἐνταῦθα τὸ σίγμα.] (v. 28) Τὸ δὲ «τέρας μερόπων ἀνθρώπων» οὐ συνήθως πέφρασται. Διὸς μὲν γὰρ τέρας αἱ ἴριδες ὀρθῶς ἂν ῥηθεῖεν, ἀνθρώπων δὲ οὐκ ἄν. μάλιστα δὲ ἀντιπτωτικῶς τέρας ἀνθρώποις εἰσίν. [(v. 26) Ἐν τούτοις δὲ προσθετέον εἰπεῖν καί, ὡς ἡ ποτι πρόθεσις ποτὲ μὲν φωνήεντος ἐπαγομένου ἐκθλίβει ἀναλόγως τὸ ι , ὡς δῆλον ἐκ τοῦ ποταίνιον, τοῦ ἀλλαχοῦ ῥηθέντος, καὶ ἐκ τοῦ πότωπον, τὸ πρόσωπον, ποτὲ δὲ καὶ συμφώνου ἐπιφερομένου τὸ αὐτὸ πάσχει, ὡς δηλοῦται ἐν τῷ «πὸτ τῶ Διός», ὅ ἐστι πρὸς τοῦ Διός.] Καὶ τοιοῦτος μὲν ὁ θώραξ τῷ βασιλεῖ, ἄλλως μὲν ἐν τῇ βῆτα ῥαψῳδίᾳ σεμνότερον διασκευασθέντι, ἐνταῦθα δὲ καινότερον ὡπλισμένῳ. (v. 29—31) Τὸ δὲ ξίφος αὐτὸ μὲν ἥλοις χρυσέοις παμφαίνει. Τὸ δὲ κουλεὸν ἦν «ἀργύρεον, χρυσέοισιν ἀορτήρεσσιν ἀρηρός», ὅ ἐστι χρυσοῦς ἔχον ἀορτῆρας, ἤγουν ἀναφορεῖς, καὶ ὡς ἄν τις εἴπῃ δημοτευόμενος, βαστάγια ἢ κρεμαστῆρας, ἀπὸ τοῦ ἀείρω.

3.144 ἐξ οὗ καὶ πήρας ἀορτήρ. (v. 32) Τὴν δὲ ἀσπίδα τοῦ βασιλέως ἀμφιβρότην λέγει, πολυδαίδαλον, θοῦριν, καλήν. Ἔνθα σημείωσαι ὅτι τε, ὥσπερ ἀλλαχοῦ θοῦρις ἀλκή ἡ θοῦρόν τινα ποιοῦσα, ὅ ἐστιν ὁρμητίαν, οὕτω καὶ ἀσπὶς θοῦρις, καθὰ καὶ «θοὸς ζυγὸς εἰρεσίας» παρὰ Σοφοκλεῖ ὁ μὴ αὐτὸς ὢν ταχύς, ἀλλ’ αἴτιος τοῦ ἐπιταχύνεσθαι νῆα κωπηλάταις. (v. 33) Καὶ ὅτι τὸ «καλήν» ἐφερμηνευτικόν ἐστι τοῦ πολυδαίδαλον. τὸ γὰρ πολυδαίδαλον εἴη ἂν καὶ καλόν. Τὰ δ’ ἐφεξῆς διεξοδικώτερον δηλοῦσι κατὰ διασκευήν, πῶς καὶ πολυδαίδαλος ἦν καὶ καλὴ ἡ ἀσπίς. (v. 33—5) Φησὶ γὰρ «ἣν πέρι μέν», ἤγουν περὶ ἣν δή, «κύκλοι δέκα χάλκεοι ἦσαν, ἐν δέ οἱ ὀμφαλοί», ὅ ἐστι βοῦλλαι, «ἦσαν ἐείκοσι κασσιτέροιο λευκοί, ἐν δὲ μέσσοισιν ἔην μέλανος κυάνοιο», ὀμφαλὸς δηλαδή. Ταῦτα δὲ μίμημα τοῦ κόσμου εἶναί φασιν οἱ περὶ τὸν Κράτητα. Διὸ πολυδαίδαλός τε εἴρηται διὰ τὴν τῶν κοσμικῶν εἰδῶν ποικιλίαν καὶ τὴν τῶν χρόνων καὶ τῶν καιρῶν, καὶ ἀμφιβρότη δέ, ἐπεὶ τοὺς βροτοὺς περιείληφεν. οἱ δὲ κύκλοι δηλοῦσι τούς τε παραλλήλους, τὸν ἀρκτικόν, τὸν θερινὸν τροπικόν, τὸν ἰσημερινόν, τὸν χειμερινὸν τροπικὸν καὶ τὸν ἀνταρκτικόν, καὶ τοὺς ἀνακεκραμένους κολούρους, καὶ τοὺς δύο λοξούς, τὸν γαλαξίαν καὶ τὸν ζῳδιακόν, ναὶ μὴν καὶ τὸν ὁρίζοντα, οὓς καὶ χαλκοῦς λέγει, ὡς καὶ τὸν οὐρανὸν χάλκεον. οἱ ὀμφαλοὶ δέ, φασί, τοὺς ἀστέρας αἰνίττονται. καὶ τοιαῦτα μὲν οἱ Ἀλληγορηταί, λέγοντες καὶ ὅτι καλῶς οὐρανοῦ φέρει μίμημα ἡ τοῦ βασιλέως ἀσπίς, ὃν φθάσας Ὅμηρος ὄμματα καὶ κεφαλὴν ἴκελον ἔφη τῷ Ὀλυμπίῳ Διΐ. (v. 36 s.) Ὁ δέ γε ποιητὴς τὰ ἑαυτοῦ ποιῶν λέγει περὶ τῆς ἀσπίδος καὶ ταῦτα «τῇ δ’ ἐπὶ μὲν Γοργὼ βλοσυρῶπις ἐστεφάνωτο», ἤγουν κύκλῳ ἦν, «δεινὸν δερκομένη, περὶ δὲ Δεῖμός τε Φόβος τε».

3.145 Δηλοῖ δὲ διὰ τούτων συμβολικῶς τὸ κατὰ θέαν γοργὸν καὶ δέους ποιητικὸν καὶ φοβερὸν τοῦ ἥρωος, ὡς ἐν ἀλληγορίας λόγῳ, καθὰ καὶ ἐπὶ τῆς αἰγίδος τῆς Ἀθηνᾶς ἐποίησεν. Ἢ καὶ ἄλλως κατὰ τοὺς παλαιούς, τὸ γοργότητος καὶ φόβου πεπληρῶσθαι τὴν ἀσπίδα. Μυθικῶς γὰρ δαιμόνιά τινα ἡ Γοργὼ καὶ ὁ Δεῖμος καὶ ὁ Φόβος, ἅπερ ὁ ποιητὴς περὶ τὴν ῥηθεῖσαν ἀσπίδα χορεύειν φησίν. Ἄρης οὖν αὐτόχρημα ὁ βασιλεύς, εἴγε καὶ αὐτὸν ὁ Δεῖμος καὶ ὁ Φόβος, οἱ τοῦ Ἄρεος ὀπαδοί, ἀμφέποντες περιτρέχουσι καί πως ὑπασπισταὶ αὐτοῦ γίνονται. Εἴ τι δὲ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἕτερον περὶ Γοργοῦς καὶ Δείμου καὶ Φόβου φασὶν οἱ παλαιοί, καὶ ἀλλαχοῦ μὲν σποράδην δηλοῦνται, οὐκ ἂν δὲ εἴη παρέλκον καὶ νῦν εἰπεῖν, ὅτι δαιμόνιόν τι πλάττεται ἡ Γοργὼ καταπληκτικὸν καὶ ἐκ μόνης ὄψεως, περὶ ἧς δηλοῖ καὶ ἡ Ὀδύσσεια. διὸ καὶ βλοσυρῶπιν αὐτὴν λέγει ὁ ποιητὴς καὶ δεινὰ δερκομένην. οἱ δὲ μεθ' Ὅμηρον καὶ Γοργόνα λέγουσι αὐτήν, οὐ κατὰ τὴν Σαπφώ, ἀλλὰ κατὰ τὴν τρυγόνα κλίνοντες, καὶ ἀπολιθοῦσθαι ὑπ' αὐτῆς τοὺς αὐτὴν ἰδόντας φασί. [Τοῦτο δὲ ἢ διὰ κάλλος ἀμύθητον ἐκπλῆττον τοὺς θεωμένους καὶ καθιστῶν ὡσεὶ καὶ ἀνδριάντας ἀκινήτους ἢ καὶ διὰ φόβον. λέγονται γὰρ αἱ Γοργόνες καὶ φοβεραὶ εἶναι οὕτως, ὡς δοκεῖν καὶ ἀπολιθοῦν μικροῦ δεῖν ὑπὸ δέους τοὺς ἐκείναις ἐμβλέποντας. Τὸ δὲ ἡ Γοργώ καὶ ἡ Γοργών ἔχει ὁμοιούμενα τὸ ἡ ἀηδών καὶ ἡ ἀηδώ, ὅθεν γενικὴ μὲν τὸ ἀηδοῦς, κλητικὴ δὲ τὸ ὦ ἀηδοῖ, ἔτι δὲ καὶ τὸ ἡ χελιδών καὶ ἡ χελιδώ, ἧς κλητικὴ τὸ ὦ χελιδοῖ. μήποτε δὲ καὶ Ὅμηρος οἶδε τὴν τῆς Γοργόνος κλίσιν ἐν τῷ Γοργονείη κεφαλή, καὶ ἐν συγκοπῇ Γοργείη. ἀπὸ γάρ τοι τοῦ ἡ Γοργώ Γοργῴα ὤφειλεν εἶναι, καθάπερ ἐκ τοῦ ἡ Λητώ γίνεται Λητῴα, κατὰ τὸ «κὰκ τοῦδε μηνίσασα Λητῴα κόρη».

3.146 Γνωστὸν δὲ τοῖς εἰδόσιν, ὅτι κατὰ τὸ Γοργών καὶ Γοργώ, ἀηδών καὶ ἀηδώ, χελιδών καὶ χελιδώ, οὕτω καὶ εἰκών καὶ εἰκώ, ἐξ οὗ εἰκοῦς τὰς εἰκόνας ἔφη ὁ Κωμικὸς πρὸς ἀναλογίαν τοῦ ἡ Σαπφώ τᾶς Σαπφοῦς.] (v. 35) Ὅρα δὲ ὅτι τε οὐ μάτην τὸ «λευκοί» προσέθηκεν ἐν τῷ «ὀμφαλοὶ κασσιτέρου», ἀλλ' ἵνα δηλώσῃ τὸ ἄκρατον αὐτοῦ καὶ κυάνῳ ἀμιγές. [καὶ ὅτι τὸν κασσίτερον καὶ κασσίτηρον διὰ τοῦ η οἱ μεθ' Ὅμηρόν φασι, καὶ ὅτι ἐν τῇ προκειμένῃ τῶν βασιλικῶν ὅπλων διασκευῇ καὶ εἴκοσι τρισυλλάβως ἔφη ὁ ποιητὴς καὶ τετρασυλλάβως ἐείκοσι.] (v. 33—6) Καὶ ὅτι ἐπιμένει ὑπαρκτικοῖς ῥήμασι, τῷ ἦσαν καὶ ἔην καὶ ἦν. (v. 36) Καὶ ὅτι τὸ βλοσυρόν φανερῶς δι' ἑνὸς ς γράφεται, περὶ οὗ ἀλλαχοῦ ἀκριβέστερον εἴρηται, [ἀφ' οὗ ἡ βλοσυρῶπις γίνεται συντεθεῖσά τε κατὰ τὴν γλαυκῶπιν καὶ τὸ αὐτὸ δηλοῦσα νόημα κατὰ τοὺς ἀλληγοροῦντας]. Καὶ τοιαύτη μὲν καὶ ἡ βασιλικὴ ἀσπίς. (v. 38—40) «Τῆς δ' ἐξ ἀργύρεος», φησί, «τελαμὼν ἦν», ὅ ἐστιν ἱμάς, ἀναφορεύς, «αὐτὰρ ἐπ' αὐτῷ κυάνεος ἐλέλικτο δράκων», προσφυῶς καὶ αὐτός. οὐ γὰρ ἦν δράκοντα χρυσοῦν πλάσασθαι ἢ ἀργυροῦν. Δοκεῖ δὲ οὐ τετανὸς διηνεκῶς εἶναι, ἀλλὰ ἑλικτὸς κατὰ σχῆμα ἕρψεως, ὡς δηλοῖ τὸ «ἐλέλικτο». «Κεφαλαὶ δέ οἱ», φησίν, «ἦσαν τρεῖς ἀμφιστεφέες», ἤγουν κατὰ κύκλον καμπτόμεναι, ἢ ἀμφιστρεφέες, ὅ ἐστιν ἀλλήλαις συμπεπλεγμέναι, «ἑνός», φησίν, «αὐχένος ἐκπεφυυῖαι», [ὃ δὴ ἀνάπαλιν ἔχοι ἂν πρὸς τὸ ἐμπεφυυῖαι, ὡς ἡ Ὀδύσσεια δηλοῖ.] Καὶ οἱ μὲν παλαιοὶ μίμημα τοῦ κόσμου καὶ ταῦτα εἶναί φασιν αἰνιττομένου τοῦ ποιητοῦ. Ὅμηρος δὲ καὶ ἄλλως τοῦ μικροῦ τούτου ἐπαινετέος πάνυ ἐστίν. οὐδὲ γὰρ ἦν ἄλλῳ τινὶ σχήματι καταποικῖλαι τὸν τελαμῶνα εἰς στενὸν συνηγμένον καὶ εἰς μῆκος συρόμενον, εἰ μὴ τῷ τοῦ δράκοντος, ὃς δολιχὸς ἕλκεται καὶ στενός.

3.147 (v. 41 s.) Οὕτω δὲ καὶ τὴν βασιλικὴν ὅλην ἀσπίδα σὺν καὶ τῷ κατ' αὐτὴν τελαμῶνι περιεργασάμενος ὁ ποιητής, εἶτα περιτίθησιν αὐτῷ καὶ κυνέην ἀμφίφαλον «τετραφάληρον ἵππουριν. δεινὸν δέ», φησί, «λόφος καθύπερθεν ἔνευε». (v. 43—5) Δίδωσι δὲ καὶ δύο ἄλκιμα δοῦρα, «ὀξέα», ὧν ὁ χαλκὸς τῆλε ἀπ' αὐτόφιν οὐρανὸν εἴσω ἔλαμπεν. (v. 45 s.) Ἐφ' οἷς οὐ μόνον ἀνδρεῖον, ἀλλὰ καὶ θεοφιλῆ τὸν βασιλέα παραδεικνὺς ἐπάγει· «ἐπὶ δ' ἐγδούπησαν Ἀθηναίη τε καὶ Ἥρη, τιμῶσαι βασιλῆα πολυχρύσοιο Μυκήνης». Ἐνταῦθα δέ τις εἰπὼν τὸ «τῆλε δὲ χαλκὸς ἀπ' αὐτῶν οὐρανὸν εἴσω ἔλαμπεν» ὅμοιον εἶναί πως τῷ πρὸ ὀλίγου ῥηθέντι τῷ «τῆλε δὲ χαλκὸς ἔλαμπεν ὥστε στεροπὴ Διός», ἤτοι ἀέρος, θαρρήσοι ἂν φάναι καὶ ὅτι τολμήσας ἤδη ὁ ποιητὴς ἀστραπῇ παρεικάσαι τὴν τοῦ ὅπλου αὐγὴν καὶ ῥᾷον παραδεχθεὶς τερατεύεται προσφυῶς ἐνταῦθα καί τινα οἷον ταύτην ἐν μάχῃ βροντήν, εἰπὼν «ἐπὶ δ' ἐγδούπησαν» καὶ ἑξῆς, ὡς προέκκειται, ὡς τοῦ τῆς βροντῆς δούπου τῇ ἀστραπῇ συντρέχοντος. Ἔνθα καὶ ὅρα ὅπως τὸ τῆς βασιλικῆς ὁπλίσεως χωρίον οὐ μόνον καλὸν τῇ ἐκφράσει, ἀλλὰ καὶ φοβερὸν καὶ σεμνὸν δέ, οἷς οὐδὲν ἀφελῶς φράζει, ἀλλὰ τὰ πλείω τερατωδέστερον, καὶ οὐ

κοινῶς, ἀλλὰ ποιητικώτερον. Δοκεῖ δὲ ὁ μὲν τῆς Ἥρας δοῦπος βοὴν μεγάλην ἀερίαν σημαίνειν, ὁποία τις καὶ ἡ τῆς Ἔριδος κατὰ τὸ «βοὴ δ’ οὐρανὸν ἶκε». διὸ μετ’ ὀλίγα καὶ ὁ ἀὴρ Ζεὺς κυδοιμὸν ὦρσε κακόν. ὁ δὲ τῆς Ἀθηνᾶς τὸν ἐκ φρονήσεως στρατηγικῆς καὶ ἐγκελεύσεως γινόμενον ἐπίτηδες ἐπὶ ἐρεθισμῷ πολὺν ἦχον, οἷα εἰκός, καὶ τήν, ὡς ὁ ποιητὴς ἐρεῖ, ἄσβεστον βοήν. (v. 41) Ἰστέον δὲ καὶ ὅτι τὸ «τετραφάληρον» διασαφητικόν ἐστι τοῦ ἀμφίφαλον. ἡ γὰρ ἀμφοτέρωθεν ἔχουσα φάλους, ἤγουν ἐκ δεξιῶν καὶ ἀριστερῶν, καὶ αὖθις ἔμπροσθεν καὶ ὄπισθεν, κατὰ μὲν τὰς δύο συζυγίας τὴν ἔμπροσθεν ὄπισθεν καὶ τὴν δεξιοαριστεράν, λεχθείη ἂν ἀμφίφαλος, κατὰ δὲ τὴν καθέκαστον τετράδα εἴη ἂν τετραφάληρος. ἡ δὲ τοιαύτη καὶ λοφωτή ἐστιν, εἴγε κατά τινας οἱ φάλοι πρὸς λόφου ἐχρησίμευον ἔκδεσιν, ὡς ἐν τῇ πρὸ ταύτης ῥαψῳδίᾳ εἴρηται. (v. 42) Διὸ καὶ ἐπήγαγεν «ἵππουριν». εἶτα πλέον σαφηνίζων φησὶ «δεινὸν δὲ λόφος ἔνευεν».

3.148 ὅτι δὲ δεινὸν ὁ τοιοῦτος νεύει λόφος, προδεδήλωται ἐν τοῖς περὶ Ἀστυάνακτος. (v. 43) Ἄλκιμα δὲ δοῦρα, ὅ ἐστιν ἀλκιμοποιά, τὰ πολεμικά, πρὸς διαστολὴν ἑτέρων ξύλων τῶν ἁπλῶς, ὡς τὸ «ἑκατὸν δέ τε δούρατ’ ἀμάξης», ὅ ἐστι ξύλα. Εἶτα σαφέστερον φράζων φησὶ «κεκορυθμένα χαλκῷ», τουτέστιν ἄνω περὶ τὴν ὡσανεὶ κεφαλὴν τὴν ἀπ’ ἐναντίας τῷ κάτω σιδηρέῳ οὐριάχῳ, φοροῦντα σίδηρον, ὡς οἷα καί τινα κόρυθα. (v. 44) Ὀξέα δὲ τὰ τοιαῦτά φησι πρὸς διαστολὴν τῶν ἐσφαιρωμένων δοράτων, ἐκεῖνα γὰρ οὐ προφαίνει τὴν ὀξύτητα. Ἐνταῦθα δὲ σημείωσαι καὶ ὅτι ἐνδοξότερον ἐπὶ βασιλέως νῦν εἶπεν ὁ ποιητὴς ἤπερ ἐπὶ τοῦ Διομήδους ἀλλαχοῦ. ἐκεῖ μὲν γὰρ εἶπεν ὅτι ἔλαμψεν ὁ χαλκὸς ὡς ἀστραπὴ πατρὸς Διός, ἤτοι ἀέρος, περὶ τὰ κατώτερα δηλαδή, ἐνταῦθα δέ, ὅτι τῆλε χαλκὸς οὐρανὸν εἴσω ἔλαμπεν, ὡς καὶ ἄνω τῆς τοιαύτης λαμπηδόνος ἀνατρεχούσης ἕως καὶ εἰς οὐρανόν. (v. 45) Τὸ δὲ «ἐγδούπησαν» μεσολαβοῦν ἔσχε τὸ γ διὰ τραχύτητα φωνῆς. πάντως γὰρ οὐκ ἔστι φυσικόν. οὔτε γὰρ ὁ γδοῦπος ἐν ἁπλότητι εὕρηται οὔτε γδουπῶ ῥῆμα. συνθέτως μέντοι ἐρίγδουπος λέγεται. οὐχ’ οὕτω δὲ τραχύφωνον τὸ γδουπεῖν ὡς τὸ βροντᾶν, ἔχει δὲ ὅμως τραχύτητος ἰδιότητα καὶ ὁ γδοῦπος, καθὰ καὶ ὁ κτύπος καὶ ὅσα τοιαῦτα. (v. 46) Περὶ δὲ Μυκήνης, καὶ πῶς πολύχρυσος λέγεται, καὶ ὡς ἠφάνισται τῷ μακρῷ χρόνῳ ἐς τοσοῦτον, ὡς μηδὲ ἴχνος αὐτῆς φαίνεσθαι, προδεδήλωται ἱκανῶς. Σημείωσαι δὲ ὅτι οὐκ ἂν οὕτω πολὺν ἀνάλωσε λόγον ὁ ποιητὴς εἰς τὴν βασιλικὴν ὅπλισιν, εἰ μὴ μεγάλα τινὰ ἔμελλεν ἱστορήσειν περὶ αὐτοῦ. ἐπεὶ μηδὲ ἐχρῆν αἰσχῦναι ἀρετὴν ὅπλων ἔργων φαυλότητι. καὶ ἔστι κἀνταῦθα μάλιστα οἰκεῖον εἰπεῖν, ὡς ἐσθλὰ ἐσθλὸς ἔδυνε. καὶ ἔοικε μὲν καὶ ἄλλοτε τὰ τοιαῦτα τεύχεα πεφορηκέναι ὁ βασιλεύς, Ὁμήρῳ δὲ νῦν ἤρεσεν οὕτως αὐτὸν λαμπρῶς ὁπλίσαι, ὁπηνίκα ἔμελλεν ἀνδραγαθίαις ἐλλάμψεσθαι. Πολλαχοῦ δὲ εἴωθεν ὁ ποιητὴς κατά τινα διαλείμματα φιλοτιμεῖσθαι γραφῆς καινότητας, ἐξεγείρων μεθόδοις τοιαύταις τὸ οἷον ὑπνηλὸν καὶ ὕπτιον τῆς ἀφηγήσεως, ὅσγε καὶ νῦν ἐν τοῖς κατὰ τὸν Κινύραν καὶ τοῖς ἑξῆς θαυμασίαν οἵαν δαιταλουργίαν ῥητορείας ἐσκεύασεν, ἱστορήσας εὐμεθόδως παλαιόν τι, οὐ μὴν ἐκ τοῦ δεκάτου ἔτους, ἐκφράσας καινότερον ὡς οὐδαμοῦ ἐν τοῖς πρὸ τούτων, τερατευσάμενος, ἀλληγορίας ἐμφήνας, καλλιρρημονήσας, εἴτ’ οὖν εἰς κάλλος φράσας, καὶ ὅλως εἰπεῖν, ἀλλοιώσας τὸν ἀκροατὴν ἐξ ὧν πολεμικῶς τὰ πρὸ τούτων ἤκουσεν.

3.149 (v. 47—50) Ὅτι οὐ πάντες ἔφιπποι τῆς τάφρου ἐξήλασαν ἐπὶ πόλεμον. οἱ γοῦν περὶ τὸν βασιλέα πεζοὶ ἐξῆλθον, ἐπιτάξαντες πρότερον τὰ περὶ εὐκοσμίας ἵππων. Φησὶ γοῦν «ἡνιόχῳ μὲν ἔπειτα ἑῷ ἐπέτελλεν ἕκαστος ἵππους εὖ κατὰ κόσμον ἐρυκέμεν ἐπὶ τάφρῳ, αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες ῥώοντο», ἤγουν ἐρρωμένως ἐκινοῦντο «ἄσβεστος δὲ βοὴ γένετο ἠῶθι πρό». (v. 47) Ἔστι δὲ ἐπιτέλλειν τὸ μετὰ ἑτέρας προθέσεως λεγόμενον ἐντέλλεσθαι, ὅ ἐστιν εἴς τι τέλος ἔργου προκαλεῖσθαι, λέγεται δέ ποτε παθητικῶς καὶ αὐτὸ ἐπιτέλλεσθαι. ἀπὸ δ’ αὐτοῦ σπανίως μὲν ἐπιτολή ἡ ἐντολή, ὡς ἐπὶ πολὺ δὲ ἐπιστολή πλεονασμῷ τοῦ ς , ἐπεὶ καὶ αὐτὸ τὸ ἐπιτέλλειν ἐπιστέλλειν εὑρίσκεται. (v. 48) Τοῦ δὲ «ἐρυκέμεν» πρωτόθετον τὸ ἐρύειν, ὅ ἐστιν

ἑλκύειν. ὡς γὰρ ἐπὶ πολὺ ἐρύονται ἵπποι καὶ τὰ τοιαῦτα ἐν τῷ κωλύεσθαι. [Σαφέστερον δὲ εἰπεῖν, τὰ ὁπωσοῦν ἐρυόμενα, ἤγουν ἑλκόμενα, ζῷα ἐπέχονται τοῦ θέειν ἄνετα. ἴσως δὲ καὶ παρὰ τὸ ἐρύω, τὸ φυλάσσω, γίνεται τὸ ἐρύκω, οὗ παράγωγον τὸ ἐρυκάκω καὶ ἐρυκακέω, ὧν χρῆσις πολλαχοῦ.] (v. 49) Περὶ δὲ πρυλέων, ὅ ἐστι πεζῶν, προγέγραπται. Τὸ δὲ «θωρηχθέντες» διασαφητικόν ἐστι τοῦ «σὺν τεύχεσι» καὶ ὡς οἷον ταὐτολογεῖ. (v. 50) Ἐν δὲ τῷ «βοὴ ἄσβεστος», εἰ μὲν ἐπὶ κραυγῆς νοήσει τις τὴν βοήν, οὐκ ἀγαθή ἐστιν ἡ τροπή, ἐὰν δὲ μάχη νοηθείη ἡ βοή, ἔχεται λόγου. καυστειρὸς γὰρ καὶ πυρόεις ὁ πόλεμος, ὅθεν καὶ δηΐς, ἡ μάχη, παρὰ τὸ δαίω, τὸ καίω. διὸ καλῶς ὁ ἐπὶ πολὺ ἐκκαιόμενος πόλεμος ἄσβεστος ἂν βοὴ λέγοιτο.

3.150 Τοῦ δὲ «ἠῶθι πρό», ἤγουν ἐκ πρωΐας, ὁ σχηματισμὸς κατὰ τὸ «Ἰλιόθι πρό», καὶ «οὐρανόθι πρό». (v. 52—5) Ὅτι κυδοιμόν, ὡς ἀνωτέρω ἐρρέθη, ὄρσας κακὸν ὁ Ζεὺς καθῆκεν ὑψόθεν ἐέρσας, ὅ ἐστι δρόσους, «αἵματι μυδαλέας ἐξ αἰθέρος», δι' ὧν ἐδήλου πολὺν ὄλεθρον καὶ χύσιν αἵματος ἔσεσθαι Τρώων τε καὶ Ἑλλήνων. Φησὶ γοῦν «οὕνεκ' ἔμελλε πολλὰς ἰφθίμους κεφαλὰς Ἄϊδι προϊάψειν», ὅπερ παρῴδηται ἀπὸ τοῦ «πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψε». (v. 55) Καὶ ὅρα τὸ κεφαλάς, χρήσιμον ὂν εἰς τὸ «Τεῦκρε φίλη κεφαλή», καὶ «τοίην γὰρ κεφαλὴν ποθέω», ὡς ἀδιάφορον ὂν ψυχὴν εἰπεῖν ἢ κεφαλήν. τοῦτο δὲ διὰ τὸ δοκεῖν ἐν κεφαλῇ ἱδρῦσθαι τὸ τῆς ψυχῆς θειότατον. Ἰστέον δὲ ὡς τοιαῦτα ἐρεῖ Ὅμηρος καὶ ἐν τοῖς ἑξῆς, ὅπου τὸν Σαρπηδόνα ὁ Πάτροκλος ἀναιρεῖ, ἔνθα τὸ ἐέρσας αἵματι μυδαλέας ψιάδας αἱματοέσσας ἐρεῖ. Φασὶ δὲ οἱ παλαιοὶ οὐ μόνον τέρας εἶναι τοῦτο, ἀλλὰ καὶ ἄλλως εἰκότως καὶ κατὰ φύσιν γενέσθαι. ἐπεὶ γὰρ ἔπληθον αἵματος οἱ περὶ Τροίαν τόποι, ἀναγκαίως καὶ αἱ δρόσοι αἱματώδεις εἰσὶν ὡς ἐκ τῶν ἐκεῖ οὖσαι ἀναθυμιάσεων. καὶ τοῦτο μὲν τοιοῦτον. Λέγεται δὲ ὑπ' ἄλλων καί τι καινότερον. περὶ γὰρ τὰ Ἀρμένια ὄρη καὶ χιόνες, φασίν, ἐρυθραὶ καταρρήγνυνται διὰ τὸ ἐκ μιλτώδους γῆς ἀναθυμιάσεις τοιαύτας ἀναφερομένας ὅμοιον ἀποτελεῖν τὸν πίπτοντα νιφετόν. καὶ τοιόνδε μὲν καὶ τοῦτο. Τεθεώρηται δὲ οὐ πρὸ πολλοῦ καὶ τῆς Μακεδόνων γῆς περὶ τὸν εἴτε Ἄξιον εἴτε Βαρδάριον καταρραγεῖσα ὕφαιμος ἁδρὰ χάλαζα, [σημαίνουσα, ὡς ἔοικε, δεινά. ὧν ἡ πεῖρα μετ' οὐ πολὺ κατήραξεν ἐπ' ἀπωλείᾳ τῆς γείτονος πόλεως.] Ὡς δὲ καὶ ποταμοί ποτε ἔρρευσαν αἵμασιν, ἱστόρηται καὶ αὐτό. [Οὕτω δὲ καὶ ὅτι οὐ μόνον εἰς αἷμα χρῴζονται ὕδατα πολλάκις, ὡς καὶ τὸ ὕδωρ τῆς ἐν Βαβυλῶνι, φασί, λίμνης ἐρυθρὸν ἐπί τινας ἡμέρας γίνεται, ἀλλὰ καὶ εἰς ἑτεροίας χρόας. αὐχμῶν γοῦν, φασί, γενομένων ποτὲ περὶ τὸν Νεῖλον ἐρρύη τὸ ὕδωρ ἰῶδες καὶ ἦν φαῦλον καὶ αὐτὸ τέρας. πολλοὶ γὰρ τῶν Αἰγυπτίων ἀπώλοντο. Καὶ τὸ τοῦ Βορυσθένους δέ, φασί, κατά τινας χρόνους ἰοβαφὲς ὁρᾶται. Εἰ δέ τισιν ὕδασι καὶ πράσιον ὦπται συμβεβηκὸς χρῶμα, ἀλλ' αὐτὸ οὐ σημεῖον, πάθος δὲ ἀπὸ γῆς φυμάτων τοιουτοχρόων.] (v. 53) Ἰστέον δὲ ὡς, εἰ κατὰ κοινὴν ἐτυμολογίαν ἔρση, ἡ δρόσος, γίνεται ἀπὸ τοῦ ἄρδω, ἄρσω, ὡς τὰ περὶ γῆν ποτίζουσα, ἢ ἀπὸ τοῦ ἐν τῇ ἔρᾳ σεύεσθαι, ψιλοῖτο ἂν καὶ αὐτὴ καὶ ἡ ἀπ' αὐτῆς κατὰ πλεονασμὸν γινομένη ἐέρση.

3.151 πρὸς ὅπερ ἀντιφωνεῖ τὸ «λωτόν θ' ἑρσήεντα», καὶ τὸ «χωρὶς δ' αὖθ' ἕρσαι», ὡς ἐν Ὀδυσσείᾳ κεῖται. ἀπὸ τούτων γὰρ δασύνεσθαι ἡ ἔρση δείκνυται. διὸ ἔστιν εἰπεῖν ὡς ἀπὸ τοῦ ῥέζω, τὸ πράττω, γίνεται κατὰ μετάθεσιν ἔρζω, καὶ ἐξ αὐτοῦ ἕρση καὶ ἐέρση, ἡ ἀνυστικὴ καὶ δραστική, ἵνα οὕτω δασύνοιντο διὰ τὴν θεματικὴν δασεῖαν. (v. 54) Μυδαλέαι δὲ αἱ δίυγροι ὡς ἀπὸ τοῦ ὕδατος, ὅθεν καὶ τὸ μυδᾶν. (v. 56—60) Ὅτι καὶ τῶν Τρωϊκῶν ἡγεμόνων τοὺς μὲν δίχα ἐπιθέτων προάγει, τοὺς δὲ μετὰ ἐπιθέτων, τὸν μὲν Ἕκτορα μέγαν ὀνομάζων, ἀμύμονα δὲ τὸν Πολυδάμαντα, δῖον δὲ τὸν Ἀγήνορα, τὸν δὲ Ἀκάμαντα ἠΐθεον, ἐπιείκελον ἀθανάτοισι, περὶ δὲ Αἰνείου περιφραστικῶς λέγων, ὅτι Τρωσὶ θεὸς ὣς τίετο δήμῳ, ἤγουν τῷ δήμῳ τῶν Τρώων, οὐ μὴν τοῖς βασιλεῦσιν. οἱ μὲν γὰρ τοῦ δήμου ὡς καὶ ἀγαθὸν καὶ εὐγενῆ καὶ ἀνδρεῖον ἐτίμων αὐτόν, τῷ δὲ βασιλικῷ γένει ζηλοτυπία τις ὑπῆν πρὸς αὐτόν, οἷα μετὰ τοὺς Πριαμίδας βασιλεύσειν ἐλπιζόμενον, ὡς ἐν τοῖς ἑξῆς φανήσεται. Ὅρα δὲ περὶ τοῦ ῥηθέντος Ἀκάμαντος,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι καθ' Ὅμηρον ἠΐθεος ὢν ἔτι, ὅμως μετὰ τῶν ἀριστέων ἦν. Τοῦ δὲ τόπου τούτου ἡ ἔννοια ἐλλιπῶς ἔχει ῥήματος. εἰπὼν γὰρ «Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο, Ἕκτορά τ' ἀμφὶ μέγαν» καὶ ἑξῆς, τέσσαρας ὅλους στίχους ἀφῆκεν ἔκτοσθεν νοῆσαι τὸ «ἦσαν», οἷον· Τρῶες δὲ ἦσαν ἐν τῷ δεῖνι τόπῳ ἀμφὶ τοὺς δεῖνα. ἴσως δὲ καὶ ἐκ τῶν ἀνωτέρω γραφέντων ἢ τὸ ἐκοσμήθησαν εἴληπται κατὰ κοινοῦ ἐκ τοῦ «ἐπὶ τάφρῳ κοσμηθέντες» ἢ τὸ ἐθορύβησαν ἐκ τοῦ «ἐν δὲ κυδοιμὸν ὦρσε κακὸν Κρονίδης». (v. 61) Ὅτι Ἕκτωρ ἐν πρώτοις ἔφερεν ἀσπίδα πάντοσε ἴσην, ἤγουν προεμάχετο ἐν σταδαίᾳ μάχῃ. παρακατιὼν δὲ παραφράζει τὸ ἐν πρώτοις φέρειν ἀσπίδα, εἰπὼν τὸν Ἕκτορα μετὰ πρώτοισι φαίνεσθαι. ἔνθα πρώτους λέγει, οὓς ἀλλαχοῦ προμάχους ἔφη. (v. 62—6) Ὅτι τὸν Ἕκτορα ἐπ' ἄλλοτε ἄλλῳ μέρει ὀξέως ἐπιφαινόμενον καὶ ὅτε μὲν προμαχοῦντα καὶ οὕτω προφαινόμενον, ὅτε δὲ ἄλλως ἀποκρυπτόμενον καὶ οὕτω μὴ ὁμοῦ πᾶσι φαινόμενον πανταχοῦ, ἔτι δὲ καὶ τῷ ὁπλισμῷ ἐλλαμπόμενον, ἀστραπῇ τε εἰκάζει καὶ ἀστέρι, ὃς ποτὲ μὲν φαίνεται, ποτὲ δ' ὑπονέφελος γίνεται.

3.152 Φησὶ γὰρ «οἷος δ' ἐκ νεφέων ἀναφαίνεται οὔλιος ἀστὴρ παμφαίνων, τοτὲ δ' αὖτις ἔδυ νέφεα σκιόεντα, ὣς Ἕκτωρ ὅτε μέν τε μετὰ πρώτοισι φάνεσκεν, ἄλλοτε δ' ἐν πυμάτοισι κελεύων· πᾶς δ' ἄρα χαλκῷ λάμπεν ὥς τε στεροπὴ πατρὸς Διὸς αἰγιόχοιο». ὃ καὶ ἐπὶ τῆς τοῦ Διομήδους αἰχμῆς φθάσας εἶπεν ὁ ποιητής. Ἔνθα ὅρα ὡς τὸν μὲν Ἑλληνικὸν βασιλέα εἰς πλάτος διεξοδικῶς ἐξέφρασεν ὁ ποιητής, ὅπως ὡπλίζετο, ἐπὶ δὲ Ἕκτορος ἠρκέσθη παραβολῇ βραχυτάτῃ τῇ κατὰ τὴν ἀστραπὴν δηλῶσαι τὸ λαμπρὸν τῆς ὁπλίσεως, ἅμα καὶ διδάσκων μὴ χρῆναι ἀεὶ γραφικῶς ἐμπλατύνεσθαι, ἀλλὰ καὶ ἐπιτροχάδην ὅτε δέοι λαλεῖν. Ὅρα δὲ καιρίαν λέξιν ἐπὶ ἀστέρων τὸ φαίνεσθαι, διὸ καὶ ἐπιμόνως εἴρηται «ἀναφαίνεται» καὶ «παμφαίνων» καὶ «φάνεσκεν». (v. 62) Οὔλιος δὲ ἀστὴρ κατά τινας, ὥς που καὶ ἐν τοῖς ἑξῆς, ὁ τοῦ κυνός, ὡς φθοροποιὸς διὰ τὰ ὑπὸ κύνα ὀλέθρια καύματα. Οἱ δὲ κομήτην τοῦτον ἀστέρα νοοῦσιν, ὃς φθορὰν ὑποσημαίνει φανείς, οἱ δὲ τὸ οὔλιον αὔλιον γράφουσιν, ὅ ἐστιν ἕσπερον, ὃς δηλαδὴ εἰς αὖλιν ἄγει τὰ ζῷα, τουτέστιν αὐλίζεσθαι ποιεῖ. Διαφορὰν δὲ ἀστέρος καὶ ἄστρου, τὴν καὶ ἀλλαχοῦ δηλουμένην, Ἐρρένιος Φίλων φησὶν ἐν τῷ Περὶ διαφόρων σημαινομένων λέγων, ὡς ἀστὴρ μὲν ἕκαστος τῶν ἐν τῷ ζῳδίῳ, καθ' ὅ φαμεν τὴν ἄρκτον ἐξ ἀστέρων τόσων συγκεῖσθαι, ἄστρον δὲ τὸ ὅλον ζῴδιον τὸ ἐκ πολλῶν ἀστέρων συνεστώς. (v. 63) Τὸ δὲ «ἔδυ νέφεα» ἐντελῶς ῥηθὲν δηλοῖ, ὅτι τὸ «ἔδυ» ἁπλῶς οὕτω λεγόμενον ἐλλιπῶς ἔχει, οἷον «ἔδυ ὁ ἥλιος». λείπει γὰρ ἐνταῦθα τόπος, ἵνα τὸ πλῆρες εἴη· ἔδυ ὁ ἥλιος τὴν γῆν ἢ κατὰ γῆς ἢ ὑπὸ γῆν. (v. 64) Τὸ δὲ ὁτέ ἀντὶ τοῦ ποτέ οἱ ἀρχαῖοι παροξυτόνως φασίν, ὡς καὶ ἐν τῇ ῥω φανεῖται ῥαψῳδίᾳ. [(v. 65) Τὸ δὲ «ἄλλοτε δ' ἐν πυμάτοισι» φανερῶς παριστᾷ, ὡς καὶ ἐν τῷ «μετὰ πρώτοισι φάνεσκεν» ἡ μετα πρόθεσις τῇ εν ἰσοδυναμεῖ.] Τὸ δὲ «κελεύων» ἀσφαλῶς κεῖται, ἵνα λέγῃ, ὅτι οὐ διὰ δειλίαν πύματος ὁ Ἕκτωρ ἐφαίνετο, ἀλλ' ὀτρύνων στρατηγικῶς τοὺς ὄπισθεν οἷα οὐραγός. [Ἰστέον δὲ ὅτι τὸ κελεύειν οὐ μόνον ἐπιτακτικὸν ἔστιν εἰπεῖν, ἀλλὰ καὶ γενικώτερον ὀτρυντικὸν ἢ ἐπισπευστικὸν ἢ ἐρεθιστικόν. διὸ καὶ οἱ Μηχανικοὶ κελεύειν λέγονται, ὅτε τὰ οἰκεῖα τεχνῶνται, ὁμοίως δὲ καὶ οἱ ναυτικοί, ὡς δηλοῖ καὶ ὁ Κωμικὸς ἐν τῷ «κατακέλευε δή».

3.153 ] Τὸ δὲ «πᾶς χαλκῷ ἔλαμπεν» ἀντὶ τοῦ ὅλος. πολλαχοῦ δὲ οὕτω φράζει ὁ ποιητής, εἰ καὶ κυρίως τὸ πᾶς ἐπὶ πλήθους λαμβάνεται καὶ οὐκ ἐπὶ μιᾶς συνεχοῦς ὁλότητος. Ὅρα δὲ καὶ ὡς πάνυ καίριον τὸ τῆς παραβολῆς. καθὰ γὰρ ἀστὴρ ἐκ νεφέων παμφαίνων αὖθις ἔδυ νέφεα, οὕτω καὶ ὁ Ἕκτωρ ποτὲ μὲν ὡς οἷα νέφει τινὶ ἐκρύπτετο τῇ τοῦ στρατοῦ πυκνότητι δυόμενος εἰς βάθος καὶ ὀτρύνων αὐτούς, ἢ καὶ οὐραγῶν καὶ διὰ τοῦτο τοῖς Ἀχαιοῖς μὴ φαινόμενος πρὸς καιρόν, ποτὲ δὲ ἀνεφαίνετο, ὅτε δηλαδὴ πρόμαχος ἦν, [οὐ λαμπόμενος ἔξωθέν ποθεν, ἀλλ' αὐτὸς λάμπων χαλκῷ καθάπερ εἰ καὶ ἥλιος φωτί.] (v. 66) Ὅρα δὲ καὶ ὅτι τὴν ἐκ τοῦ ἀστέρος παραβολὴν βραχύ τι πλατύνας τὴν τῆς στεροπῆς ἐπέτεμεν, ἵνα μὴ ῥητορεύσῃ μονοειδῶς, καὶ ὅτι τὸ «Διὸς αἰγιόχοιο» οὐ μάτην δοκεῖ ῥηθῆναι, ἀλλ' εἰς δεῖξιν τοῦ ἐν καιρῷ μάλιστα στεροπῆς αἰγίοχον

τὸν Δία εἶναι. (v. 67—71) Ὅτι οὐκ ἀεὶ μέν, πολλάκις δὲ ὅμως καιροῦ οἱ πάλαι θερισταὶ ἀπὸ περάτων ἀρχόμενοι ληΐου, ὅτε ἴσως μέγα τε εἴη ἐκεῖνο καὶ εὔκαρπον καί, ὡς ὁ ποιητὴς λέγει, μάκαρος ἀνδρὸς καὶ διὰ τοῦτο εὐτυχοῦς, ἐτελεύτων εἰς τὰ μέσα, ἔριν ἀγαθὴν ταύτην ἱστῶντες καὶ ἁμιλλώμενοι τάχιον συντελέσαι τὸ ἔργον. Τοιούτοις θερισταῖς παραβάλλει νῦν τοὺς ἐξ ἀντιπροσώπου μαχομένους ὁ ποιητὴς λέγων «οἳ δ’ ὥς τ’ ἀμητῆρες ἐναντίοι ἀλλήλοισιν ὄγμον ἐλαύνουσιν ἀνδρὸς μάκαρος κατ’ ἄρουραν πυρῶν ἢ κριθῶν, τὰ δὲ δράγματα ταρφέα πίπτει, ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ’ ἀλλήλοισι θορόντες δῄουν, οὐδ’ ἕτεροι μνώοντ’ ὀλοοῖο φόβοιο», ἀλλὰ δηλαδὴ κατὰ τοὺς ῥηθέντας θεριστὰς ἐχώρουν ἀλλήλοις ἀντιμέτωποι. Καὶ ἔστιν καὶ ἡ παραβολὴ αὕτη ἁρμόττουσα ὅλη ὅλῳ τῷ πράγματι, ἐναντίοι γὰρ ἀλλήλοις καὶ οἱ θερισταὶ καὶ οἱ μαχηταί, καὶ ὥσπερ ἐκεῖ συχνὰ πίπτει δράγματα, οὕτως ἐνταῦθα συχνοὶ νεκροί. (v. 72) Ὅτι δὲ ἡ λεχθεῖσα παραβολὴ ἐνέργειαν ἴσην παραδηλοῖ ἀμφοῖν τοῖν στρατοῖν, μεταλαβὼν ὁ ποιητὴς εὐθὺς ἐπιφέρει «ἴσας δ’ ὑσμίνη κεφαλὰς ἔχον», ὅ ἐστιν ἰσοψύχως ἐμάχοντο, καί, ὡς κεῖται ἀλλαχοῦ, «ἕνα θυμὸν εἶχον». ἤδη γὰρ πρὸ βραχέων ὅμοιον εἶναι ἐρρέθη κεφαλὴν εἰπεῖν καὶ ψυχήν. Ἐπεὶ δὲ ἡ ῥηθεῖσα παραβολὴ οὐδὲν ἐλάλει ἄγριον καὶ πολέμῳ οἰκεῖον, ἐπάγει ἑτέραν εὐθὺς ταύτην «οἳ δὲ λύκοι ὣς θῦνον», τουτέστιν οὐχ’ ἁπλῶς οὕτως ἐναντίοι ἀλλήλοις ἦσαν κατὰ τοὺς ἀμητῆρας, ἀλλ’ ὡς οἱ λύκοι πρὸς τὰ ζῷα, καθ’ ὧν ἐναντίοι ὁρμῶσιν. Ἐπίτομος δὲ αὕτη παραβολή, ἐπενεχθεῖσα τῇ τῶν ἀμητήρων, διεξοδικωτέρᾳ οὔσῃ, καθὰ καὶ πρὸ ὀλίγων τῇ τοῦ ἀστέρος τὴν τῆς στεροπῆς ἐπήνεγκε, μεστώσας ἐπίτηδες καὶ τὸν παρόντα τόπον παραβολαῖς διὰ συνήθη ἐνάργειαν.

3.154 (v. 68) Ὄγμος δὲ ὁ προαροτριαθεὶς τόπος καὶ ἀνοιγεὶς ἑλκυσμῷ ἀρότρου, ὡς ἀπὸ τοῦ οἴγω οἶγμος καὶ ὄγμος κατὰ τοὺς παλαιούς, ἢ ἐκ τοῦ ἕλκω ὅλγμος, καὶ ἀποβολῇ τοῦ λ ὄγμος, ἢ καὶ ἀπὸ τοῦ ἄγω ἄγμος καὶ ὄγμος ἡ ἐπίστιχος ἀγωγή. Σημαίνει γάρ, φασίν, ἐπίστιχον καὶ αὐλακώδη φυτείαν. Βαρύνεται δὲ κανόνι τοιούτῳ. τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ, ἀρχόμενα ἀπὸ τοῦ ο καὶ ἔχοντα δύο σύμφωνα, βαρύνεται· ὄκνος, ὄμβρος, ὄσσος, ὄρθρος, ὄρφνος, ὄλβος, ὅλμος. οὕτω γοῦν καὶ ὄγμος. Καὶ ὅρα δὲ καὶ ὅτι ἐπὶ βαδίσεως θεριζόντων ἐνταῦθα τὸ ἐλαύνειν τέθειται, γινόμενον ἀπὸ τοῦ ἐλάω πλεονασμῷ τοῦ υ καὶ ἐπενθέσει τοῦ ν . Πεποίηται δὲ ἡ λέξις αὕτη κατὰ Ἡρακλείδην διαλέκτοις τρισί, Βοιωτῶν μὲν γὰρ τὸ ἐλάω, καθὰ καὶ τὸ πεινάω καὶ διψάω καὶ τὰ ὅμοια, Αἰολέων δὲ ἡ προσέλευσις τοῦ υ , ὡς καὶ ἐν τῷ ψαύω, χραύω, αὔω, Δώριος δὲ ὁ πλεονασμὸς τοῦ ν , καθὰ καὶ ἐν τῷ δύνω καὶ θύνω. (v. 72) Τὸ δὲ ἴσας ὑσμίνη κεφαλὰς ἔχειν μετηνέχθη μὲν τροπικῶς ἀπὸ ἀνθρώπων ἐχόντων ἰσότητα μεγέθους. ἔστι δὲ ἀλληγορία ῥητορικὴ καὶ δηλοῖ, ὡς οὐδεὶς τῷ τέως ὑπερεῖχε μαχόμενος, ἀλλ’ ἰσοκέφαλος οἷον μέχρι τινὸς ἡ μάχη ἦν διὰ τὸ ἀνυπέροχον καὶ ἰσοπαλές. ἀμφοτέρων γάρ, ὡς ἐρεῖ, τὰ βέλεα ἥπτετο, πίπτε δὲ λαός. εἰπεῖν δὲ καὶ ἄλλως, λέγει ὁ ποιητής, ὅτι κατὰ μὲν τὰ σώματα ὑπερεῖχον ἄλλοι ἄλλων, τῇ δὲ ὑσμίνῃ ἴσας εἶχον κεφαλάς, ἤγουν, ὡς ἐρρέθη, ψυχάς. καὶ νῦν μὲν οὕτως, ἐν δὲ τοῖς ἑξῆς ἄλλως αὐτὸ φράσει δίχα τροπῆς καὶ σαφέστερον εἰπὼν «κατὰ ἶσα μάχην ἐτάνυσε Κρονίων».

3.155 Καὶ νῦν μὲν ἰσορροποῦσιν οἱ πρὸ μικροῦ τὸ ἔλαττον φερόμενοι, μικρὸν δὲ ὅσον περιέσονται τῶν Τρώων ἀναμαχησάμενοι καὶ τὴν ἧτταν ἀναπαλαίσαντες καὶ ἀρετῇ τὸ μεῖζον ἀπενεγκάμενοι, εἰ καὶ τὰ ἐκ τύχης ἀντιστατεῖ, καὶ οὕτω διὰ μέσης τῆς νῦν ἰσότητος μεταβάντες ἐπὶ τὸ μεῖζον ἐκ τοῦ πρώην ἐλάττονος. ἔχει δὲ τὸ ἀσφαλὲς ἡ τροπὴ ἐκ τοῦ «ὑσμίνῃ», οὐ γὰρ κατὰ μέγεθος ἴσας εἶχον κεφαλάς, ἀλλὰ κατὰ ὑσμίνην. Ἰστέον δὲ καὶ ὅτι καθ’ ὁμοιότητα τῆς τῶν λύκων ἐνταῦθα γοργοτάτης παραβολῆς καὶ μετ’ ὀλίγα ἐρεῖ «ὦρτο λέων ὣς Ἀτρείδης», καὶ «μεμαὼς ὥς τε λίς», ἀναλόγως τῇ τοῦ καιροῦ ἐντρεχείᾳ συντέμνων καὶ τὰς παραβολὰς καὶ τῇ τῶν ἔργων περισπερχείᾳ συντρέχων τῷ λόγῳ τεχνικῶς. (v. 68) Τὸ δὲ «ἀνδρὸς μάκαρος» εἰς ἦθος παιδεύει, ὡς τοῖς τοιούτοις καὶ τῆς γῆς λίαν εὐφορούσης καὶ οὕτω θεριζομένης ὑπὸ πολλῶν ἀμητήρων καινότερον. (v. 69) Πυρῶν δὲ καὶ κριθῶν ἡ παραβολὴ ἐμνήσθη οὐ μόνον διὰ

τὸ τῶν σπερμάτων τούτων εὔχρηστον καὶ πολύχρηστον, ἀλλὰ καὶ ὅτι τοιούτοις ἐνευθηνοῦνται οἱ μάκαρες, οἳ καὶ ὄλβιοι, ὡς καὶ ἐν ἄλλοις δηλοῦται, λέγονται, ὡς ἐν ὀλαῖς, ὅ ἐστι κριθαῖς, τοῦ βίου ὄντος αὐτοῖς. Ἐξ ὧν ὀλῶν ὡς μέρους καὶ τἆλλα νοοῦνται γεώργια. Δράγματα δέ, ὧν ἡ χεὶρ δράττεται ἐν τῷ θερίζεσθαι. εἰ δ᾽ αὐτὸ μὲν διὰ τοῦ γ , ἡ δὲ ἐκ τοῦ αὐτοῦ ῥήματος γινομένη δραχμὴ διὰ τοῦ χ γράφεται, ὁμοίωμα τούτοις πρὸς τὸ βρέγμα καὶ τὸν βρεχμόν καὶ τἆλλα ὅσα τοιαῦτα. [Τὸ δὲ «ταρφέα» καιριώτατα ἐνταῦθα κεῖται. πυκνά τε γὰρ καὶ συχνὰ τὰ πίπτοντα δράγματα, καὶ οἷα δὲ τρέφειν. ἐξ οὗ καὶ τὸ τάρφος, ἤγουν δάσος, γίνεται καὶ τὸ ταρφύ, ὅπερ ἐστὶ δασύ.

3.156 (v. 70) Τὸ δὲ «ἐπ᾽ ἀλλήλοισι θορόντες» ἢ καθ᾽ ὑπερβατὸν ἀντὶ τοῦ ἐπεμπηδήσαντες ἀλλήλοις, ἢ καὶ ἑτέρως ἀντὶ τοῦ κατ᾽ ἀλλήλων ὁρμήσαντες, κατὰ μετάληψίν τε προθέσεως καὶ ἀντίπτωσιν. ἔνθα καὶ σημειωτέον τὴν ἐπι πρόθεσιν ληφθεῖσαν ἐπὶ ἐναντιώσεως. καὶ ἔστι χρήσιμον καὶ τοῦτο εἰς τὸ «δαιμονίη, τί μοι ἐπέχεις», ἀντὶ τοῦ κατ᾽ ἐμοῦ ἔχεις, καθ᾽ οἷον λόγον καὶ ἐχθρῷ ἐπιχαίρει τις. (v. 71) Τὸ δὲ «οὐδ᾽ ἕτεροι μνώοντο φόβου» ἐγγύς ἐστι τοῦ ἑρμηνεύειν τί ἐστι τὸ ἴσας ὑσμίνη κεφαλὰς ἔχειν. εἰ γὰρ μηδέτεροι φεύγουσιν, ἐπίσης ἄρα δοκοῦσι μάχεσθαι καὶ οὐ κατὰ ἑτεραλκῆ τινα νίκην. διὸ κατὰ ἄρσιν καὶ θέσιν σχηματίσας ὁμοίας ἐννοίας φησίν· οὐδ᾽ ἕτεροι ἔφευγον, ὡς οἷον ὑποκύψαντες, ἀλλ᾽ ὄρθιοι τὰς κεφαλὰς ἐν ἰσότητι μάχης ἦσαν. [Ἀναγκαίως δὲ τὸ «οὐδ᾽ ἕτεροι» ἐνταῦθα δέχεται ἀπόστροφον. Οὐ γὰρ λογίζεται ὡς ἕν, ἀλλὰ τέμνεται ἰδίᾳ ὁ σύνδεσμος. Φησὶ γὰρ ὅτι οὐδὲ ἐμέμνηντο φυγῆς θάτεροι διὰ τὸ ἑτεραλκὲς τῶν ἑτέρων.] (v. 73—7) Ὅτι κατὰ σχῆμα προεκθέσεως ἀναφωνῶν ὁ ποιητής, ὡς ἐν τοῖς παροῦσιν οὐ παρενθήσει μυθικὰ ἐπεισόδια, καὶ ἅμα αἰνιττόμενος ὡς ἡ ῥηθεῖσα ἐκ τῶν ἀμητήρων παραβολὴ καὶ ἡ τῶν κεφαλῶν ἰσότης ἐξ Ἔριδος ὥρμηνται μάλα πολλῆς οὔσης ἄρτι κατὰ τὴν μάχην, φησὶν «Ἔρις δ᾽ ἆρ ἔχαιρε πολύστονος εἰσορόωσα. οἴη γὰρ θεῶν παρετύγχανε μαρναμένοισιν. οἱ δ᾽ ἄλλοι οὔ σφιν πάρεσαν», ἤγουν παρῆσαν, «θεοί, ἀλλὰ ἕκηλοι ἐν [σφοῖσιν», ἤγουν ἰδίοις,] «μεγάροις ἐκάθηντο, ἔνθα ἑκάστῳ δώματα καλὰ τέτυκτο κατὰ πτύχας Οὐλύμποιο». Ταῦτα δὲ παραφρασθέντα ἢ παρῳδηθέντα δύνανται προσαρμόττειν ἐνδόξοις προσώποις, ἃ ἐν καιρῷ ἔριδος ἔξω κινδύνου κάθηνται ἡσυχάζοντα. Καὶ ὅρα καὶ νῦν ὅτι τὴν ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ Ἔριν οὐκ εἰς ποιότητα λαμβάνει ὁ ποιητής, ἀλλὰ σωματοειδῆ τινα πλάττει. οὐ μόνον γοῦν ἵσταται, ὡς ἐρρέθη, ἐν νηῒ καὶ μέγα καὶ δεινὸν βοᾷ, ἀλλὰ καὶ χαίρει τοῖς μαχομένοις, οἷα μὴ μόνον πολύστονος, ἀλλ᾽ ἤδη καὶ φιλόστονος. [Φαύλης δὲ τὰ τοιαῦτα ἔριδος ἐπίθετα. ἡ γάρ τοι ἀγαθὴ ἔρις ἀρετὴ οὖσα οὐκ ἂν τοιαύτη λέγοιτο, εἰ καὶ κάματοι ἐπακολουθοῦσιν αὐτῇ, οὓς γλυκεῖς κρίνουσιν οἱ κατ᾽ ἀρετὴν ἐρίζοντες.] Τὸ δὲ «ἔνθα ἑκάστῳ δώματα» καὶ ἑξῆς, ἑρμηνευτικόν ἐστι τοῦ «ἐν μεγάροις», ἵνα δηλώσῃ Ὀλύμπια ταῦτα εἶναι καὶ μὴ ἁπλῶς μέγαρα.

3.157 οἷα δὲ ταῦτα καὶ ὅτι Ἡφαιστότευκτα, ἐν ἄλλοις δηλοῦται. (v. 78—81) Ὅτι πάντεσ[, οἱ τοῖς Ἀχαιοῖς δηλαδὴ συμμαχοῦντες θεοί,] «ᾐτιόωντο Δία, οὕνεκ᾽ ἄρα Τρώεσσιν ἐβούλετο κῦδος ὀρέξαι. τῶν μὲν ἄρ οὐκ ἀλέγιζε πατήρ, ὃ δὲ νόσφι λιασθείς», ὅ ἐστι χωρισθείς, «τῶν ἄλλων ἀπάνευθε καθέζετο κύδεϊ γαίων». τοῦτο δὲ περὶ παντὸς ἂν λέγοιτο δυνατοῦ, ὃς τὰ δοκοῦντά οἱ ποιῶν ὀλίγα τῶν λοιπῶν ἐπιστρέφεται. Καὶ ὅρα τὸ «ἐβούλετο κῦδος ὀρέξαι Τρωσί» χρησιμεῦον καὶ αὐτὸ εἰς τὸ «Διὸς δ᾽ ἐτελείετο βουλή». Τὸ δὲ πατήρ ἐν ἁπλότητι ῥηθέν, ὡς καὶ πρὸ βραχέων ἐν τῷ «πατρὸς Διός», ἐλλιπῶς ἔχει, τὸ δὲ πλῆρες ἐν τῷ «πατὴρ ἀνδρῶν τε θεῶν τε». (v. 82 s.) Ὅτι γοργοτάτη καιρία διασκευὴ μάχης τὸ «εἰσορόων χαλκοῦ τε στεροπὴν ὀλλύντας τ᾽ ὀλλυμένους τε». (v. 84) Ὅτι καὶ νῦν, ὡς καὶ ἀλλαχοῦ, εἴς τι αὐξήσεως εἶδος τίθησιν ὁ ποιητὴς καὶ τὴν ἐξ ἀνατολῆς καὶ ἠοῦς, ὅ ἐστι πρωΐας, ἀνάβασιν τοῦ ἡλίου, ὡς δηλοῖ τὸ «ὄφρα μὲν ἠὼς ἦν καὶ ἀέξετο ἱερὸν ἦμαρ», ὡς ἔκτοτε φθίνοντος τοῦ ἤματος. διὸ καὶ ἡλίου φθίνασμα τὴν δύσιν ἔφη τις ποιητής. καὶ ἀναλογεῖν δὲ φθινάδι ὥρᾳ τὰ πρὸς δύσιν λέγεται ὥσπερ χειμερινῇ τὰ τῆς νυκτός, ἐαρινῇ δὲ τὰ ἑῷα. ὅθεν καὶ ἦρ ὁ ὄρθρος ὁμοφώνως τῇ ὥρᾳ. Ἱερὸν δὲ ἦμαρ κατὰ μὲν

Πορφύριον τὸ μέχρι μεσημβρίας διὰ τὰς καὶ ἑτέρωθι δηλωθείσας τηνικαῦτα θυσίας. δύναται δὲ καὶ ἡ ὅλη νοηθῆναι ἡμέρα, καθὰ καὶ Ἡσίοδος τὰς νύκτας λέγει μακάρων εἶναι. εἰ γὰρ ἱερὸν κνέφας φησί που Ὅμηρος, πολλῷ πλέον τοιοῦτον τὸ ἦμαρ διὰ πολλὰ αἴτια. Ὅρα δὲ ὡς οὐ μετρεῖ ὥραις τὴν ἡμέραν, ἀλλὰ τῇ τοῦ ἡλίου ἄλλως ἁπλούστερον κινήσει, ὡς καὶ ἀλλαχοῦ ἐν τῷ «ἠὼς ἢ δείλη ἢ μέσον ἦμαρ», ἐξ οὗ ἡ μεσημβρία παρὰ τοῖς ὕστερον σύγκειται. ὡρῶν γάρ, φασί, μέτρησις οὔπω ἠκρίβωτο, ὡς καὶ αὐτίκα φανεῖται, (v. 86—90) ἐν οἷς ὁ ποιητὴς ἀπὸ δρυτόμου ἐνταῦθα σημειούμενος τὴν μεσημβρινὴν ὥραν, καθ’ ἣν μάλιστα κορέννυται κόπου ὁ δενδροτομῶν, φράζει οὕτως «ἦμος δὲ δρυτόμος περ ἀνὴρ ὡπλίσατο δεῖπνον οὔρεος ἐν βήσσῃσιν, ἐπεί τ’ ἐκορέσσατο χεῖρας, τάμνων δένδρεα μακρά, ἅδος τέ μιν ἵκετο θυμόν, σίτου τε γλυκεροῖο περὶ φρένας ἵμερος αἱρεῖ, τῆμος Δαναοί», καὶ τὰ ἑξῆς.

3.158 Καὶ τοιαύτη μὲν ἡ τοῦ ποιητοῦ φράσις. (v. 86) Τὸ δὲ δρυτόμος ἐκ μέρους τοῦ δρυός, ὃς τίμιος ἐδόκει τοῖς παλαιοῖς διὰ τὰς πρεσβυτάτας καὶ παλαιφάτους βαλανηφόρους δρύας, τὸν ἁπλῶς ξυλοκόπον καὶ ὑλοτόμον δηλοῖ, ὥσπερ καὶ δρυμά καὶ δρυμών οὐ μόνον ὁ δρύας ἔχων τόπος, ἀλλὰ καὶ λοιπὰ δένδρα. καὶ δρυοκολάπτης, ὁ πᾶν ξύλον κολάπτων ἐπὶ ἀνευρέσει οὗ ζητεῖ. ὁ δ’ αὐτὸς τρόπος καὶ ἐπὶ [τοῦ προειρημένου] δρυφάκτου καὶ ἐπὶ δρυκάρπων, ἅπερ εἰσὶ ξύλων καρποὶ καὶ τῶν ὁμοίων. διὸ καὶ ὁ ποιητὴς δρυτόμον εἰπὼν ἐπάγει «τάμνων δένδρεα», οὐ μὴν δρῦς μόνους, ὡς εἶναι ταὐτὸν τὸ τάμνειν δένδρεα καὶ τὸ δρυτομεῖν καὶ τὸ δενδροτόμον καὶ δρυτόμον. [Ἰστέον δὲ ὅτι, ὥσπερ δρῦς ἅπαν δένδρον, ἤδη δὲ καὶ πεύκη, ὡς καὶ Εὐριπίδης δηλοῖ ἐν τῷ «τὴν ἐν Ἴδῃ πεύκην», οὕτω καὶ δόρυ οὐ μόνον ἰδίως λόγῳ μέρους τὸ πολεμικὸν ξύλον, ἀλλὰ καὶ ἅπαν, ὡς δῆλον ἐκ τοῦ «δούρατα μακρὰ ταμών», καὶ «ὅς τ’ εἶσι διὰ δουρὸς ὑπ’ ἀνέρος», καὶ «οὐ γάρ πω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης».] Τὸ δὲ «ὡπλίσατο» ἀντὶ τοῦ ἐσκεύασεν. ὅπλα γὰρ οὐ τὰ πολεμικὰ μόνον, ἀλλὰ καὶ τὰ παντὸς ἔργου καὶ ἁπάσης τέχνης ὄργανα. Ὅρα δὲ καὶ μέχρι πότε βούλεται ὁ ποιητὴς διήκειν τὸ δεῖπνον. ἕωθεν γὰρ ἄχρι καὶ μέσης ἡμέρας, ὅτε καὶ ὁ δρυτόμος μάλιστα κάμνει τάμνων δένδρεα οὐχ’ ἁπλῶς, ἀλλὰ καὶ μακρά. Ὅτι δὲ τὸ δεῖπνον ἀορισταίνει, δῆλον. ὧδε μὲν γὰρ τὸ περὶ μεσημβρίαν δηλοῖ, ἀλλαχοῦ δὲ πολλαχοῦ τὸ πρωΐθεν, ἐν δὲ τῷ τέλει τῆς Κ ῥαψῳδίας τὸ ἅμα τῇ ἕῳ, ἔνθα δειπνῆσαι εἰπὼν τοὺς κατασκόπους, ἐπάγει «Ἠὼς δ’ ἐκ λεχέων» καὶ τὰ ἑξῆς. ἴσως δὲ δεῖπνον ἄρτι τὸ περὶ μεσημβρίαν, διότι τηνικαῦτα δεῖ, τουτέστιν ἐλλείπει, τοῦ πονεῖν ὁ ἐργάτης, κορεννύμενος τὰς χεῖρας κατὰ τὸν ποιητὴν καὶ ἅδος πάσχων. οὗπερ ἀνάπαλιν δεῖπνον τὸ ἑωθινόν, ἐπεὶ τότε, ὡς καὶ ἄλλοθι δηλοῦται, δεῖ, ὅ ἐστι χρεία ἐστί, πόνου τοῖς ἐργατικοῖς.

3.159 (v. 87) Τὸ «χεῖρας» ἔλλειψιν προθέσεως ἔχει, ἵνα ᾖ, ὅτι ἐκορέσατο κατὰ χεῖρας, πρὸς διαστολὴν τοῦ κατὰ ψυχὴν ἢ προθυμίαν. κατ’ αὐτὰ γὰρ ἴσως οὐκ ἐκορέσατο. ἔχει δὲ καὶ τὸ «κορέσσατο» ἔλλειψίν τινα, ἵνα λέγῃ, ὡς ἐκορέσατο κόπου ἢ πόνου, ἢ μᾶλλον τοῦ δενδροτομεῖν. οὔκουν ἐπὶ μόνων βρωμάτων τὸ κορέσασθαι. κόρος γὰρ κοπή τίς ἐστιν, ὡς ἡ ἐτυμολογία δηλοῖ, διὸ ἐγκόπτει ἐπὶ βρώσεως μὲν τὸ φαγεῖν, ἐπὶ δὲ ἐργατῶν τὸν ἐν ἔργοις κάματον. Ὕπεστι δ’ ἐνταῦθα καί τι ἀστεῖον τοιοῦτον. κορεσάμενος γὰρ χεῖρας ὁ δρυτόμος ὁπλίζεται καὶ ἄλλως γαστέρα κορέσασθαι. οὐκ ἐξετύπωσε δὲ τὸ τοιοῦτον ὁ ποιητὴς νόημα, ἵνα μὴ ἀφῇ λαλεῖν σεμνῶς, ἀστεϊσάμενος οὐ κατὰ καιρόν. (v. 88) Τὸ δὲ «ἅδος», ὅ ἐστι κόρος, ἡρμήνευται ἤδη διὰ τοῦ κορέσσατο, ζητητέον δ’ αὐτοῦ τὸ γένος. Σημείωσαι δὲ ὅτι τε ψιλοῦται ἡ τῆς λέξεως ταύτης ἄρχουσα, καὶ ὅτι ἐν ἑνὶ δέλτα γράφεται καὶ ὅτι συστέλλεται τὸ κατάρχον α , εἰ καὶ ἐν τῷ «καμάτῳ ἀδηκότες», ἤτοι κορεσθέντες, ἐκτείνεται τὸ ἐν ἀρχῇ τῆς μετοχῆς δίχρονον. ὥστε τὸ ἅδην, ὅ ἐστι δαψιλῶς, οἷα συστοιχοῦν τούτοις καλῶς ἂν δι’ ἑνὸς δέλτα ἐκφέροιτο, ἐπεί τοι καὶ τὸ ἀδηκότες οὕτω γράφεται. [Καὶ τὸ ἀδημονεῖν δέ, οὗ πρωτότυπον ἀδήμων ἀδήμονος, ὁ ἐκ λύπης ὡς οἷα καί τινος κόρου, ὃς ἅδος λέγεται, ἀναπεπτωκώς.] (v. 89) Τὸ δὲ «περὶ φρένας», ἤγουν περισσῶς τὰς φρένας, «ἵμερος αἱρεῖ» πρὸς ὁμοιότητά τινα εἴρηται τοῦ κορέσσατο χεῖρας.

ὁ γὰρ δρυτόμος καμάτου μὲν κατὰ χεῖρας κορέννυται, βρώσεως δὲ κατὰ φρένας ἱμείρεται. Εἰς δὲ τὸ μετὰ κάματον ἐφίεσθαι τροφῆς τὸν δρυτόμον παραπηγνύουσιν οἱ παλαιοὶ καὶ τὴν κατὰ Σωκράτην ἱστορίαν, ὃς πολλά ποτε περιπατήσας ἑσπέρας πρὸς τὸν πυθόμενον «τί τηνικάδε, ὦ Σώκρατες;» ἔφη ὄψον ζητεῖν. καὶ ὁ μὲν ἀκούσας ᾤετο τὸν φιλόσοφον προσόψημά τι ἐθέλειν, ὁ δὲ ἐδήλου, ὡς κοπιῶ, ἵνα ἡδέως φάγοιμι.

3.160 ἔστι γὰρ ὄντως ὁ γυμναστικὸς πόνος βρώσεως ὄψον, καὶ οὐδὲν οὕτως ἡδὺ ὄψον ὡς τὸ μετὰ πόνον φαγεῖν. τοῦτο οὖν καὶ Ὅμηρος ἐνδεικνύμενός φησι τὸν δρυτόμον γλυκὺ σῖτον προσφέρεσθαι μετὰ κάματον, διδάσκων μετὰ πόνους ἐμφορεῖσθαι σιτίων πρὸς τὸ εὐόρεκτον. (v. 90) Ὅτι ἔπαινος Ἑλλήνων τὸ «σφῇ ἀρετῇ ῥήξαντο φάλαγγας», εἰ καὶ ἄλλως δηλαδὴ ἡ τύχη ἐκώλυε. λέγει δὲ ῥήξασθαι τὸ διακόψαι συνασπισμὸν ἀντιμάχων, ὅπερ ὁ κατορθῶν δι᾽ ἀνδρίας ῥηξήνωρ κατὰ τοὺς παλαιοὺς ἦν. Ἔστι δὲ τὸ «σφῇ ἀρετῇ» ὅμοιον πρὸς τὸ ὑπὲρ αἶσαν καὶ ὑπὲρ μόρον, ἤγουν ὑπὲρ τὸ πεπρωμένον. Ζεὺς μὲν γὰρ Τρώεσι βούλετο νίκην, Ἕλληνες δὲ νικῶσιν ἄρτι τῇ κατὰ αὐτοὺς ἀνδρίᾳ. Ἐνταῦθα δὲ δηλοῖ ὁ ποιητὴς καί, ὡς σωτήριον ἐν τοῖς δεινοῖς τὸ φιλάλληλον. φησὶ γάρ, ὅτι «Δαναοὶ ῥήξαντο φάλαγγας, κεκλόμενοι ἑτάροισι κατὰ στίχας». καὶ τοῦτό ἐστιν, ὃ ἐν ἄλλοις λέγει «συμφερτὴ δ᾽ ἀρετὴ πέλει ἀνδρῶν». (v. 91 s.) Ἱστορεῖ δὲ καὶ ὅτι πρῶτος ὁ βασιλεὺς ἕλεν ἄνδρα τὸν δεῖνα. οὐδὲ γὰρ ἐχρῆν τὸν οὕτω σεμνῶς φρασθέντα μὴ μέγα τι ποιῆσαι. (v. 94) Κεῖται δ᾽ ἐν τούτοις καὶ τὸ σπουδαίως πεζεῦσαι καταπηδῆσαι ἵππου. Φησὶ γὰρ «ἐξ ἵππων κατεπάλμενος ἀντίος ἔστη». Αἰολικῶς δὲ ψιλοῦται τὸ κατεπάλμενος. (v. 95) Λέγει δὲ καὶ μετώπιον ἢ τὸ μέτωπον καθ᾽ ὁμοιότητα τοῦ ἐνώπιον ἢ τὸ μεσόφρυον, ὡς καὶ μεταμάζιον τὸ μεταξὺ τῶν μαζῶν, καὶ μεταίχμιον τὸ μεταξὺ δύο στρατῶν. Φησὶ γὰρ «μετώπιον ὀξέϊ δουρὶ ἔνυξε». Καθὰ δὲ τὸ ἴχνος ἴχνιον οὐκ ἔστι παρ᾽ Ὁμήρῳ ὑποκοριστικόν, οὕτως οὐδὲ τὸ μετώπιον. Σημειοῦνται γὰρ οἱ παλαιοί, ὡς καὶ ἐν Ὀδυσσείᾳ εἴρηται, μὴ εἶναι παρ᾽ Ὁμήρῳ ὑποκορισμὸν διὰ τὸ μεγαλοπρεπὲς τῆς κατ᾽ αὐτὸν ποιήσεως, εἰ μὴ ἄρα, φασίν, ἐν τῷ «μάλα γὰρ μέγα θηρίον ἦεν», ὅπερ ἐκ τῆς ὑποκοριστικῆς χθαμαλότητος ἐγήγερται διά τε τοῦ μάλα καὶ διὰ τοῦ μέγα. (v. 96) Μέμνηται δ᾽ ἐνταῦθα καὶ στεφάνης ὁ ποιητής, ὥς που καὶ πρὸ τούτων, εἰπὼν «δορὶ νύξεν, οὐδὲ στεφάνη οἱ δόρυ σχέθε χαλκοβάρεια». Ἔνθα ὅρα ὡς ἡ τῆς συνθέσεως φύσις ἴσχυσε προπαροξῦναι καὶ τὸ βαρεῖα, καθὰ καὶ τὸ δασεῖα, μετὰ σύνθεσιν. ἔφη γάρ που κυνέην ἱπποδάσειαν. ταῦτα δ᾽ ἴσως διὰ τὸ καὶ τὰ ἀρσενικὰ αὐτῶν προπαροξυνθῆναι ὁμοίως τῷ τραχύς ἄτραχυς, ὀξύς κάτοξυς, θῆλυς ἄθηλυς.

3.161 ὡς γὰρ αὐτά, οὕτω καὶ χαλκόβαρυς, ὡς εἰκός, καὶ ἱππόδασυς. ὅθεν χαλκοβάρεια καὶ ἱπποδάσεια ὁμοίως τῷ ἡμίσεια, θήλεια. (v. 96—8) Ἰστέον δὲ καὶ ὅτι γενναίαν πληγὴν δηλοῖ δόρατος τὸ «ἔνυξεν οὐδὲ στεφάνη δόρυ σχέθεν, ἀλλὰ δι᾽ αὐτῆς ἦλθε καὶ ὀστέου, ἐγκέφαλος δὲ ἔνδον ἅπας πεπάλακτο, δάμασσε δέ μιν μεμαῶτα». (v. 99 s.) Ὅτι σκώπτων τινὰς ὁ ποιητὴς συμβολικῶς ἅμα καὶ ἀστείως ἐπὶ σκιατραφίᾳ φησίν, ὅτι τοὺς μὲν ἀνελὼν ὁ βασιλεὺς «λίπεν αὖθι στήθεσι παμφαίνοντας, ἐπεὶ περίδυσε χιτῶνας». τοιούτων γὰρ ἀνδρῶν ἴδιον ἡ πολλὴ οὕτω λευκότης θαλαμευομένων καὶ γυναικιζομένων ὡς τὰ πολλά. Περιδύειν δὲ τὸ ὅλον ἐκδύειν δηλοῖ, πάντως δὲ ὕπτιοι κεῖνται οἱ οὕτω στήθεσι παμφαίνοντες. Σημείωσαι δὲ ὅτι, ὥσπερ ταπεινὸν τὸ παμφαίνειν στήθεσιν, οὕτω λαμπρὸν τὸ παμφαίνειν ὅπλοις. διὸ καὶ Ἕκτωρ χαλκῷ λάμπει ὡς ἀστραπή, καὶ τῷ στρατῷ δὲ ἀστραπὴ χαλκοῦ ἀπεπάλλετο, καθὰ εἶπε πρὸ βραχέων ὁ ποιητής. (v. 104 s.) Ὅτι φανερῶς καὶ ἐνταῦθα δίδωσιν ὁ ποιητὴς διαφορὰν ἡνιόχου καὶ παραιβάτου ἐν τῷ «ὃ μὲν ἡνιόχευεν, ὃ δὲ παρέβασκεν», ἀφ᾽ οὗ καὶ ὁ ἐπὶ τοῦ στρατιωτικοῦ ἅρματος παραιβάτης, ᾧ ἐῴκει παρὰ τοῖς μεθ᾽ Ὅμηρον ὁ ἐν τοῖς γάμοις λεγόμενος πάροχος. Φησὶ γὰρ Παυσανίας, ὅτι ἐν γάμοις τρεῖς ἐπὶ ἁμάξης ἐκάθηντο, μέση ἡ νύμφη, ἑκάτερθε δὲ ὁ νυμφίος καὶ ὁ πάροχος, φίλος οὗτος ἢ συγγενὴς ὁ μάλιστα τιμώμενος καὶ ἀγαπώμενος. Ἔνθα σημείωσαι ἐπὶ οἵου σημαινομένου ὁ πάροχος ἔκειτο. οὐ γὰρ ἐπὶ τοῦ νῦν συνήθους, ὃς ἐκ τοῦ παρέχειν γίνεται, ἀλλ᾽

ἐπὶ τοῦ, ὡς εἴρηται, παροχουμένου καὶ ὡσανεὶ παραιβάτου. Ἰστέον δὲ ὅτι νῦν μὲν ὁ βασιλεὺς τῶν Ἀχαιῶν ξυνωρίδας τινὰς ἵππων ζημιοῖ τῇ πτώσει τῶν ἐπ' αὐτοῖς ὀχουμένων, προϊὼν δὲ πολλοὺς ἵππους κενὰ ὄχεα κροταλίζειν ἀφίησιν, ἐμπίπτων αὐτοῖς ὡς πῦρ ὕλῃ δασείᾳ κατὰ τὸν ποιητήν. Εἰσὶ δὲ οὓς νῦν ἀναιρεῖ κατὰ συζυγίας· Βιήνωρ καί τις Ὀϊλεὺς Τρωϊκός, ὁμώνυμος τῷ πατρὶ τοῦ Λοκροῦ Αἴαντος, ἔτι δὲ Ἶσος καὶ Ἄντιφος, υἱοὶ Πριάμου, καὶ Πείσανδρος καὶ Ἱππόλοχος, υἱοὶ Ἀντιμάχου.

3.162 (v. 101) Ἐν οἷς ὅρα ὅτι ὁ Ἶσος μὲν ἅπαξ ἐρρέθη ἐν τῷ «βῆ ῥ' Ἶσόν τε καὶ Ἄντιφον ἐξεναρίζων», ὁ δὲ Ἄντιφος τρίς. καὶ ἔοικε σιωπᾶν τὸν Ἶσον ὁ ποιητὴς διὰ τὴν ἐξ ὁμωνυμίας ἀσάφειαν. οὔτε γὰρ ὄγκον ἡ λέξις ἔχει καὶ πάνυ δὲ ἂν ἐπλάνα τὸν ἀκροατήν, εἰπών· Ἶσος ἡνιόχευε, καὶ Ἶσον ἔβαλε δουρί. διὸ καὶ ἐπιτηδευσάμενος ἅπαξ αὐτὸν εἰπεῖν τοῦ λοιποῦ σιωπᾷ, γνωρίζων αὐτὸν ἐκ τοῦ συζυγοῦντος Ἀντίφου. (v. 102—4) Φησὶ γὰρ «υἷε δύω Πριάμοιο, νόθον καὶ γνήσιον· ὁ μὲν νόθος ἡνιόχευεν, Ἄντιφος αὖ παρέβασκε». (v. 108 s.) Καὶ πάλιν «τὸν μὲν ὁ βασιλεὺς ἔβαλε δουρί, Ἄντιφον αὖ παρὰ οὖς ἔλασε ξίφει, ἐκ δ' ἔβαλ' ἵππων», ἤγουν ἐξέρριψε τοῦ ἅρματος, ὃ μετ' ὀλίγα «ἀφ' ἵππων ὦσε» φησίν. (v. 101) Ὅρα δ' ἐν τοῖς ῥηθεῖσι καὶ ὅτι τὸ «αὐτὰρ ὃ βῆ ῥ' Ἶσόν τε καὶ Ἄντιφον ἐξεναρίζων» σχεδικῆς τερθρείας καὶ τοῦ κατὰ αὐτὴν λαβυρίνθου κεῖται λεληθότως ἀφορμὴ τοῖς ὕστερον, ὁποῖα καὶ ἄλλα παρὰ τῷ ποιητῇ, τεθέντα μὲν ἀπραγματεύτως κατὰ συνθήκην συνήθη, παρελκυσθέντα δὲ τοῖς γραμματικοῖς εἰς μίμησιν. προβέβληται μὲν γὰρ ἐνταῦθα ἐν τῷ «βῆ ῥ' Ἶσον» Ῥήσου δῆθέν τινος ἀπήχησις, ὁποῖος ὁ προϊστορηθεὶς Θρᾷξ ἥρως. ὁ δὲ ὀρθὸς νοῦς ἐν δυσὶ μέρεσι λόγου διαλελυμένως νοεῖ τὸ «βῆ ῥ' Ἶσον» ἤγουν ἔβη δὴ τὸν Ἶσον ἐξεναρίζων. οὐ ζηλωτέα οὖν ἡ τοιαύτη φράσις ἐν λόγῳ πεζῷ. τὸ μέντοι μέτρον ἐνευκαιρεῖ καὶ τοιούτοις, ποτὲ μὲν κατ' ἀνάγκην τινά, ποτὲ δὲ χάριν ὄγκου, ὡς καὶ ἐνταῦθα. δυνάμενος γὰρ ὁ ποιητὴς εἰπεῖν «αὐτὰρ ὃ βῆ Ἶσον ἐξεναρίζων», ἐπενέβαλε τὸν ῥα σύνδεσμον συναλειπτικῶς πρὸς θεραπείαν τε χασμῳδίας οὐκ εὐγενοῦς καὶ ἵνα τῷ ῥοίζῳ τοῦ ἀμεταβόλου ὀγκώσῃ τὴν φράσιν διὰ σεμνότητα. (v. 102 s.) Ἔτι ἰστέον καὶ ὅτι καὶ ἐν τῷ «υἷε δύω, νόθον καὶ γνήσιον, ἄμφω εἰν ἑνὶ δίφρῳ ἐόντας» παρέλκει τὸ δύω συνήθως. καὶ χωρὶς γὰρ αὐτοῦ νοεῖται τὸ δυϊκὸν ἐκ τοῦ υἷε καὶ τοῦ νόθον καὶ γνήσιον, ἅπερ ἀντίκεινται καὶ πρὸς διαστολὴν ἀλλήλων λέγονται. Τὸ δὲ «ἄμφω εἰν ἑνὶ δίφρῳ» ἔχει τι ἀντιθετικὸν κατὰ τὸ δύο περὶ ἕνα. Ἐν δὲ τῷ «ὁ μὲν νόθος ἡνιόχευε» τὸ σχῆμα καὶ ἀσυνδέτως ἔχει καὶ ἐξήλλακται διὰ ποικιλίαν. ἦν δ' ἂν τὸ κοινὸν καὶ ὀρθὸν οὕτω· δύω ἐν ἑνὶ δίφρῳ ἐόντας, τὸν μὲν ἡνιοχεύοντα, τὸν δὲ παραβάσκοντα.

3.163 Τὸ δὲ ἡνιοχεύειν ἐκ τοῦ ἡνιοχέειν γίνεται πλεονασμῷ τοῦ υ Αἰολικῶς, ὡς καὶ τὸ ζητέω ζητεύω παρ' Ἡσιόδῳ καὶ ὅσα τοιαῦτα. ἐκ δὲ τοῦ ἡνιοχεύειν καὶ ἡ ἡνιοχεία καὶ ὁ ἡνιοχεὺς γίνεται. (v. 104—6) Ὅτι καὶ νῦν Ὅμηρος Ἀχιλλέως τε μνήμην συνήθως παρεντιθεὶς καὶ ἱστορίαν παλαιοτέραν τῆς τοῦ Ἀχιλλέως μήνιδος παρεμβάλλων, δι' ἧς τόν τε Ἀχιλλέα σεμνύνει καὶ τὴν ποίησιν καταποικίλλει, λέγει δύο τινὰς Πριαμίδας ὑπὸ τῷ βασιλεῖ πεσεῖν ἐν ἑνὶ ὄντας, ὡς προσεχῶς εἴρηται, δίφρῳ, «οὕς ποτ' Ἀχιλλεὺς Ἴδης», φησίν, «ἐν κνημοῖσι δίδη μόσχοισι λύγοισι ποιμαίνοντ' ἐπ' ὀΐεσσι λαβὼν καὶ ἔλυσεν ἀποίνων». Καὶ τοῦτο μὲν οὕτω πλατύτερον ἐρρέθη. μετ' ὀλίγα δὲ πάνυ γοργῶς φράζει οὕτως «ὅτ' ἐξ Ἴδης ἤγαγε πόδας ὠκὺς Ἀχιλλεύς». Ἔνθα σημείωσαι ὡς οὕτω θερμῶς ἐξέχεται τοῦ Ἀχιλλέως ἡ Ὁμηρικὴ Μοῦσα, ὡς μὴ ἐθέλειν ἐν τῇ κατ' ἐκεῖνον μνήμῃ ῥᾳδίως ἀποσχέσθαι αὐτοῦ. ἐν τούτοις γοῦν ὁ ποιητὴς εἰπὼν ἀνδραγάθημά τι Ἀχίλλειον, εἶτα τοῦ βασιλέως μνησθείς, πάλιν εὐθὺς μετὰ πέντε στίχους μέμνηται τῆς αὐτῆς τοῦ Ἀχιλλέως ἀνδραγαθίας ἐπὶ βραχὺ καὶ αὖθις ἐπισυνάπτει τὸ βασιλικὸν ἀρίστευμα, εἰκάζων καὶ διὰ παραβολῆς τὰ κατὰ τοὺς ῥηθέντας Πριαμίδας. (v. 113—121) Φησὶ γὰρ «ὡς δὲ λέων ἐλάφοιο ταχείης νήπια τέκνα ῥηϊδίως συνέαξε λαβὼν κρατεροῖσιν ὀδοῦσιν, ἐλθὼν εἰς εὐνήν, ἁπαλόν τέ σφ' ἦτορ ἀπηῦρα. ἣ δ' εἴ πέρ τε τύχῃσι μάλα σχεδόν, οὐ δύναταί

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σφιν χραισμεῖν· αὐτὴν γάρ μιν ὑπὸ τρόμος αἰνὸς ἱκάνει· καρπαλίμως δ’ ἤϊξε διὰ δρυμὰ πυκνὰ καὶ ὕλην, σπεύδους’, ἱδρώουσα, κραταιοῦ θηρὸς ὑφ’ ὁρμῆς, ὣς ἄρα τοῖς οὔ τις δύνατο χραισμῆσαι ὄλεθρον Τρώων, ἀλλὰ καὶ αὐτοὶ ὑπ’ Ἀργείοισι φέβοντο», καθὰ καὶ μήτηρ ἔλαφος παροῦσα μὲν τῷ φόνῳ τῶν νεογνῶν, μὴ ἔχουσα δὲ ἀμύνειν, ἀλλὰ καὶ μᾶλλον φεύγουσα. Καὶ οὕτω μὲν ἐμβραδύνει τοῖς ὑπὸ τῷ βασιλεῖ πίπτουσιν ὁ ποιητής, [οἷα] λόγου πλείονος ἀξίοις, ἀποσεμνύνων καὶ οὕτως αὐτόν. ὃ δὴ καὶ ἐφεξῆς ποιήσει εὐθὺς ἐπὶ τῶν τοῦ Ἀντιμάχου παίδων, καίτοι δυνάμενος ἐν ὀλιγίστῳ δηλῶσαι ὡς ἀνῃρέθησαν, καθὰ καὶ ἐπὶ ἑτέρων μυρίων ποιεῖ. (v. 105) Κνημοὶ δὲ Ἴδης οἱ μετὰ τοὺς πρόποδας ἐκ μεταφορᾶς τῶν ζωϊκῶν μετὰ πόδας κνημῶν, ὡς καὶ προδεδήλωται. εἰ δέ τινες δασεῖς τόπους ἑρμηνεύουσι τοὺς κνημούς, καλῶς φασι καὶ αὐτοί, ὡς τῶν ταπεινοτέρων τόπων ἐν τοῖς ὄρεσι δασυτέρων ὄντων διὰ τὸ ἐκεῖ συλλείβεσθαι τὰ ὕδατα. Τὸ δὲ «δίδη» δηλοῖ μὲν τὸ ἐδέσμει, ἔστι δὲ ὅμοιον τῷ ἵστη.

3.164 ὡς γὰρ αὐτὸ ἀπὸ τοῦ ἱστῶ ἵστημι, οὕτω τὸ δίδη ἀπὸ τοῦ διδῶ δίδημι, ὅπερ οὕτω φράζεται πρὸς διαστολὴν τοῦ διδῶ δίδωμι, ὃ δηλοῖ τὸ δωροῦμαι. [Ἰστέον γὰρ ὅτι, ὥσπερ ἐκ τοῦ δῶ δώσω, ἐξ οὗ τὸ δῶρον, γίνεται τὸ δίδωμι, οὕτως ἐκ τοῦ δῶ, οὗ μέλλων δήσω καὶ δέσω, παρῆκται τὸ δίδημι.] Μόσχους δὲ λύγους τοὺς ἁπαλοὺς δηλοῖ καὶ τρυφερούς. Καί φασιν οἱ περὶ Ἀπίωνα καὶ Ἡρόδωρον ἀπὸ τῶν ἔτι ἁπαλῶν βοῶν, ὅ ἐστι μόσχων, μετηνέχθαι τὴν λέξιν ἐπὶ τὰ τρυφερὰ καὶ λυγώδη φυτά. δῆλον δὲ ὅτι ἐκ τούτου καὶ τὸ μοσχεύειν, ἡ γεωργικὴ λέξις, ἐστίν. Οἱ δ’ αὐτοὶ καὶ λύγον φασὶν οὐχ’ ἁπλῶς τὸν τοῦ τυχόντος δένδρου ἁπαλὸν κλάδον, ἀλλὰ φυτὸν ἱμαντῶδες καὶ ἁπαλόν, ὃ καὶ οἶσον καλοῦσιν, ἐξ οὗ καὶ οἰσόκαρπον, τὸ κατά τινας ἀγνόκοκκον, ἐπεὶ ὁ λύγος καὶ ἄγνος καλεῖται οἱονεὶ ἄγονος. ὁ γὰρ αὐτοῦ καρπός, φασίν, ἐσθιόμενος ἀφανιστικός ἐστι τῆς γονῆς, διὸ καὶ οἱ ἱερεῖς κόμας τοῦ φυτοῦ τούτου ὑπετίθεντο τῇ στρωμνῇ ὡς φυσικήν τινα δύναμιν εἰς τὸ ἁγνεύειν ἐχούσας. Ἐκ δὲ τοῦ τοιούτου λύγου καὶ τὸ λυγίζειν [καὶ οἱ κωμῳδούμενοι ἐν φαύλαις ὀρχήσεσι λυγισμοί.] Λέγεται δὲ λυγέα ἰδιωτικῶς, ἧς οἱ ἁπαλοὶ ἀκρέμονες καὶ μᾶλλον αἱ παραφυάδες καὶ εἰς πλέγμα συστρέφονται καὶ εἰς δεσμοὺς κατά τινας σχοίνους τε καὶ ἱμάντας. Ὅρα δὲ ὅπως ἀγεννῶς τοὺς Πριαμίδας ὁ ἀστεῖος Ἀχιλλεὺς ἐδέσμησεν. οὐ γὰρ ἱμᾶσιν ἀλλὰ λύγοις, ὑφ’ ὧν καὶ βόες συνδούμενοι ἕλκονται ἰλλάσιν, ὥς πού φησιν ὁ ποιητής, [ἤγουν συνεστραμμένοις δεσμοῖς, ὡς ἀπὸ τοῦ ἴλλω ῥήματος, ἐξ οὗ καὶ ἰλλὸς ὁ στραβός, ἢ ἀπὸ τοῦ εἰλῶ, ἀφ’ οὗ καὶ ἴλη ἡ τάξις καὶ τὰ παρ’ αὐτήν.

3.165 ] (v. 106) Ποιμαίνουσι δὲ κἀνταῦθα παῖδες εὐγενεῖς, ἐπεὶ κατὰ τὴν ἱστορίαν ἔθος τοῖς παλαιοῖς κατὰ τὴν πρώτην ἡλικίαν βουκολεῖν ἢ ἱπποφορβεῖν ἢ ποιμνίοις ἐπιστατεῖν καρτερίας καὶ ἀσκήσεως χάριν, τὴν ἀνθρωπικὴν ποιμαντικὴν ἀσκουμένοις ἐν τῇ τῶν ἀλόγων ἐπιμελείᾳ, δι’ ἣν καὶ ποιμένες λαῶν ἐλέγοντο. Κυριολεκτεῖται δ’ ἐνταῦθα τὸ ποιμαίνειν ἐπὶ προβάτων, ἐπεὶ καὶ ποιμὴν κυρίως ὁ τῶν ὀΐων ἐπιμελητής, παρὰ τὸ ὄϊς καὶ τὸ μῶ, τὸ ζητῶ, ὡς οἷον ὀϊμήν τις ὢν ἤγουν ὄϊς ζητῶν, καὶ ἐν συναιρέσει οἰμήν, καὶ πλεονασμῷ ποιμήν, καθ’ ὁμοιότητα τοῦ ἤγανον πήγανον, ὃ ἐν τῷ μεγάλῳ Ἐτυμολογικῷ κεῖται. [Ἔτι δὲ καὶ τοῦ μῆλα ἦλα, ὡς καὶ ἀλλαχοῦ σεσημείωται, ἴσως δὲ καὶ τοῦ γίννος ἴννος, ὧν τὸ μὲν παρὰ Ἀριστοτέλει κεῖται καί τισιν ἄλλοις, τὸ δὲ ἐν τῷ κατὰ στοιχεῖον μεγάλῳ βιβλίῳ τοῦ Σουΐδα, δηλοῦντα ζῴδια, οἷον ὄνους ἤ τινα τοιαῦτα εὐτελέστατα.] Καὶ τὰ «ἄποινα» δὲ ἐνταῦθα καὶ τὸ «ἔλυσε» πάνυ κυρίως εἴρηνται, δι’ ὧν δηλοῦνται λύτρα ἐκ φόνου. τὸ δὲ ἔλυσεν ἀποίνων ἐλλειπτικῶς μὲν εἴρηται ἀντὶ τοῦ ἀπέλυσε διὰ δώρων καθ’ ὁμοιότητα τοῦ ὠνήσατο χρυσοῦ καὶ ἐδούλευσε μισθοῦ καὶ ἐπώλησε πολλοῦ. χρηματίζεσθαι δὲ τοὺς Ἀχαιοὺς δηλοῖ ἐξ ὧν ἐλῃΐζοντο καὶ τὴν περιουσίαν συνιστᾷ, ἣν ἐν τοῖς πρὸ τούτου ἐκ Τροίας περιεῖναι εἶπεν αὐτῷ Ἀχιλλεύς. Ἐν δὲ τῷ χωρίῳ τούτῳ κεῖνται καὶ καλλοποιά τινα τὸ «ἐπὶ ὀΐεσσι λαβών», καὶ «ὑπὲρ μαζοῖο βάλε», καὶ «ἐκ δ’ ἔβαλ’ ἵππων».

3.166

παρηχοῦσι γάρ πως αἱ τοιαῦται λέξεις, καὶ γίνεται οὕτω κοινῶς κάλλος φράσεως, ἰδίως δὲ ἐν τῷ «λαβὼν καὶ βάλε». ἀναγραμματισθὲν γὰρ τὸ λαβεῖν ποιεῖ τὸ βαλεῖν. (v. 109) Αὐτὸ δὲ τὸ «ἔκβαλεν ἵππων» ἐμφαίνει βάθος τι τὸν δίφρον ἔχειν, οὗ ἐξεβλήθη ὁ Ἄντιφος, τὸ δ᾽ αὐτὸ καὶ ἐν ἄλλοις φαίνεται. (v. 114) Τὸ δὲ «συνέαξεν», ὅ ἐστι συνέκλασε, συνέτριψε, δηλοῖ ὅπως οἶδεν ὁ λέων δάκνειν κραταιῶς κρατεροῖς ὀδοῦσι. (v. 115) Τὸ δὲ «ἐλθὼν εἰς εὐνήν» τὸ πάντῃ ἀβοήθητον τῶν, ὡς ἐρρέθη, κειμένων δηλοῖ. ὡς γὰρ νεβροὶ ἐν εὐνῇ κείμενοι ῥᾳονές εἰσιν εἰς ἐπιβουλήν, οὕτω καὶ οὗτοι. Ἐν δὲ τῷ «ἁπαλὸν ἦτορ» φασὶν οἱ παλαιοί, ὅτι Ἀντίπατρος ὁ ἰατρὸς συλλογίζεται τὴν ψυχὴν τῷ σώματι συνδιατίθεσθαι, ὡς καὶ συναύξεσθαι αὐτῷ καὶ συμμειοῦσθαι, ἁπαλοῦ μὲν ὄντος τοιαύτην οὖσαν, τελείῳ δὲ ὄντι συντελειουμένην καὶ συμφθίνουσαν φθίνοντι. [Ἰστέον δὲ ὅτι ἐκ μεταφορᾶς τῆς κατὰ τὸ ἁπτὸν σῶμα, ἐξ οὗ παρῆκται καὶ ὁ ἁπαλός, οὐ μόνον ἦτορ ἁπαλόν, ἀλλὰ καὶ ἁπαλαὶ φρένες. ὡς δὲ αὐτά, οὕτω καὶ τὸ μαλακόν πολύτροπόν ἐστιν. οὐ γὰρ μόνον τὸ κοινὸν καὶ σύνηθες ἀλλὰ καὶ ἑτέρως μαλακόν τε κῶμα καὶ πῦρ δὲ μαλακὸν τὸ μὴ ἐξαρθὲν εἰς ἀξιόλογον φλόγα ὡς ταχὺ σκληρύνειν τὰ πελάζοντα, καὶ ἀὴρ δὲ μαλακὸς κατὰ τὸν εἰπόντα τὸ «περὶ Αἴγυπτον ὅπου μαλακώτερος ὁ ἀήρ», καὶ λόγοι δὲ μαλακοί, οἱ προσηνεῖς, ὧν ἀνάπαλιν οἱ σκληροί, ὧν πρὸς ὁμοιότητα καὶ σκληρὰ τροπή παρὰ τοῖς ῥήτορσιν ἡ καὶ ἀτηρά, καὶ λέξεις σκληραὶ αἱ τραχεῖαι καὶ ἀντικείμεναι ταῖς λεγομέναις λείαις. λέγεται δέ τινα καὶ ὕδατα σκληρά, οἷον τὰ ἄγονα, ὁ δὲ ἁπαλὸς οἶνος καθωμίληται.] (v. 117) Τὸ δὲ «αὐτήν μιν» οὐ σύνθετον ἀντωνυμίαν δηλοῖ ὡς τὸ «αὐτόν μιν πληγῇσι δαμάσας», ἀντὶ τοῦ ἑαυτόν. ἐκ παραλλήλου δὲ συνήθως κεῖνται κατά τινα στοιβὴν αἱ δύο ἀντωνυμίαι πρὸς ἔμφασιν τοῦ μηκέτι τέκνων φροντίζειν ἀλλὰ μόνης ἑαυτῆς. καὶ ἄλλως δὲ εἰπεῖν, τὸ «αὐτήν μιν» ταὐτόν ἐστι τῷ «αὐτὴν ἐκείνην» κατά τινα τρόπον ἐξοχῆς. (v. 118) Τὸ δὲ «διὰ δρυμὰ πυκνὰ καὶ ὕλην» περιφραστικῶς κεῖται ἀντὶ τοῦ κατὰ τὸ δάσος.

3.167 Ἔνθα ὅρα ὅτι τε τὸ δρυμά μεταπλασμὸν ἔπαθε γένους, ὡς καὶ τὸ κέλευθον καὶ τὸ ζυγόν καὶ τὸ ναύσταθμον καὶ τὸ κουλεόν, καὶ ὅτι ταὐτὸν δρυμόν καὶ ὕλην εἰπεῖν, ὡς καὶ πρὸ ὀλίγων εἴρηται, [καὶ ὅτι ὡς τὸ δρυμόν καὶ ὁ δρυμός καὶ τὰ ἄλλα, οὕτω διγενὲς καὶ τὸ μόρον, καὶ ἀρσενικὸν μὲν αὐτοῦ ἐν τῷ «πρῶτον μὲν ὄψει λευκὸν ἀνθοῦντα στάχυν, ἔπειτα φοινίξαντα στρογγύλον μόρον», ὃ δηλοῖ συκαμίνου καρπόν. τοῦ δὲ οὐδετέρου χρῆσις ἐν τῷ «τὰ δὲ συκάμινα, ἃ καὶ μόρα λέγεται», καὶ «τὸ μόρον τὸ βατῶδες ξηρανθείσης τῆς σφαίρας τῆς συκαμινώδους», καὶ ἑξῆς. καὶ σημείωσαι, ὅτι καὶ τὰ τῆς βάτου μόρα λέγεται δι᾽ ὁμοιότητα.] (v. 119) Τὸ δὲ «σπεύδουσα, ἱδρώουσα» τῷ ἀσυνδέτῳ καὶ γοργῷ τοῦ σχήματος τὸ περισπερχὲς τῆς φευγούσης ἐλάφου δηλοῖ. ὅμοιον σχῆμα καὶ ἑξῆς ἐν τῷ «βῆ δὲ Ἶρις εἰς Ἴλιον, εὗρεν υἱὸν Πριάμοιο». [Ζητητέον δὲ ἢ διά τι τὸ ἱδρώουσα μὴ γράφεται κατὰ τὸ ἡβώωσα ἢ τὸ ἀνάπαλιν.] Κραταιὸν δὲ θῆρα τὸν λέοντα ὡς οἷα βασιλέα φησί. (v. 120) Τὸ δὲ «χραισμῆσαι ὄλεθρον» ἐντελῶς εἴρηται, ὥστε ἀνωτέρω ἐν τῷ «οὐ δύναται χραισμεῖν» λείπει τὸ ὄλεθρον. (v. 121) Τὸ δὲ «ὑπ᾽ Ἀργείοισιν» ἀντιπτωτικῶς εἴρηται ἀντὶ τοῦ ὑπὸ τῶν Ἀργείων. (v. 123—5) Ὅτι Ἀντήνωρ μέν, καθὰ προϊστόρηται, φίλος ἦν Ἕλλησιν ὡς πρόξενος, Ἀντίμαχος δὲ διὰ δωροληψίαν ἔχθιστος, ὃς δὴ «μάλιστα χρυσόν», φησίν, «Ἀλεξάνδροιο δεδεγμένος ἀγλαὰ δῶρα, οὐκ εἴα Ἑλένην δόμεναι ξανθῷ Μενελάῳ». καὶ τοῦτο μὲν φορητότερον αὐτὸς λέγει ὁ ποιητής, ὁ δὲ βασιλεύς φησι προϊών, ὅτι ὁ Ἀντίμαχός «ποτε ἐν Τρώων ἀγορῇ Μενέλαον ἄνωγεν ἀγγελίην ἐλθόντα σὺν ἀντιθέῳ Ὀδυσσῆϊ αὖθι κατακτεῖναι, μηδὲ ἐξέμεν ἂψ ἐς Ἀχαιούς». τοῦ τοιούτου τοίνυν Ἀντιμάχου τοὺς υἱοὺς ὁ βασιλεὺς ἔλαβε σήμερον ἐν ἑνὶ καὶ αὐτοὺς δίφρῳ ἐόντας, καθὰ καὶ τοὺς προσεχῶς εἰρημένους Πριαμίδας. (v. 126—32) «Ὁμοῦ δ᾽ ἔχον», φησίν, ἤγουν ἤλαυνον, «ὠκέας ἵππους. ἐκ γάρ σφεας χειρῶν φύγον ἡνία σιγαλόεντα. τὼ δέ», ἤγουν οἱ ἵπποι, «κυκηθήτην· ὃ δ᾽ ἐναντίον ὦρτο λέων ὥς, Ἀτρείδης· τὼ δ᾽ αὖτ᾽ ἐκ δίφρου γουναζέσθην· ζώγρει

Ἀτρέος υἱέ, σὺ δ’ ἄξια δέξαι ἄποινα, πολλὰ δ’ ἐν Ἀντιμάχοιο δόμοις κειμήλια κεῖται χαλκός τε» καὶ ἑξῆς, ὡς καὶ ὁ Δόλων φθάσας ἔφραζε.

3.168 Καὶ αὐτοὶ μὲν οὕτως ἀγεννῶς κλαίοντες ἔλεγον μειλιχίοις ἐπέεσσιν, ὅπερ οὐδεὶς Ἑλλήνων ποιήσας εὕρηται—τοιοῦτοι γὰρ ὡς τὰ πολλὰ οἱ πλουτοτραφεῖς—, «ἀμείλικτον δ’ ὄπ’ ἄκουσαν». (v. 138—42) Ἡ δὲ ἦν τοιαύτη· «εἰ μὲν δὴ Ἀντιμάχοιο δαΐφρονος υἱέες ἐστόν, ὅς ποτε» ἐν Τρωσὶν ἄνωγε τὰ πρὸ βραχέων ῥηθέντα, «νῦν μὲν δὴ τοῦ πατρὸς ἀεικέα τίσετε λώβην», ἤγουν τὴν μετὰ αἰκίας ποινήν, ἣν ἐκεῖνον ἔδει παθεῖν. (v. 143—7) Καὶ αὐτίκα «τὸν μὲν ἀφ’ ἵππων ὦσε χαμᾶζε δουρὶ βαλὼν πρὸς στῆθος», ὅπερ πρὸ ὀλίγου «ἐξέβαλεν ἵππων» ἔφη, τὸν δὲ ἕτερον «χαμαὶ ἐξενάριξε χεῖρας ἀπὸ ξίφεϊ τμήξας ἀπό τ’ αὐχένα κόψας, ὅλμον δ’ ὣς ἔσσευε κυλίνδεσθαι δι’ ὁμίλου», ἤγουν ἀφῆκε κυλίεσθαι ἐν μέσῳ οἷα ὅλμον, ὃς λίθος ἐστὶ στρογγύλος κυλινδροειδὴς ἢ σκεῦος κοῖλον ἐκ λίθου ἢ καὶ ξύλου, ἐν ᾧ πτίσσονται κοπτόμενα ὄσπρια ἢ ἕτερά τινα. ᾧ εὐφυῶς εἰκάζει ὁ ποιητὴς τὸ ἀπὸ τραχήλου μέχρις αἰδοίων κύτος τοῦ σώματος δίχα τῶν χειρῶν, ὃ καὶ θώρακά τινες καλοῦσιν, ἕτεροι δὲ κορμὸν ἰδιωτικῶς. Καὶ ὅρα καὶ ἐν τούτοις, ὅπως ἱστορίαν δεξιῶς παρέπλεξε τὴν περὶ ἀγγελίας Μενελάου καὶ Ὀδυσσέως, οὐ τοῦ δεκάτου ἔτους, ἀλλὰ τῆς τοῦ πολέμου ἀρχῆς οὖσαν. καὶ ὡς οὐ μάτην ὁ βασιλεὺς ἔφη τοὺς παῖδας τὴν τοῦ πατρὸς τῖσαι λώβην. τὸν μὲν γὰρ ἕνα οὐκ ἔχει ποινηλατῆσαι ὡς ἅμα βληθέντα καὶ θανόντα, τὸν δὲ λοιπὸν οἰκείως τῷ τοῦ πατρὸς ἀδικήματι κολάζει, κεφαλήν τε ἀποτεμών, ὡς αὐτὴν τὴν τοῦ πατρὸς Ἀντιμάχου τὴν φθεγξαμένην ἐν τῇ Τρωϊκῇ ἀγορᾷ γνώμην κατὰ τῶν πρέσβεων οὐκ ἀγαθήν, καὶ χεῖρας αἷς τὸν χρυσὸν ἔλαβεν ἐκεῖνος. Ἢ συντομώτερον εἰπεῖν κατὰ τοὺς παλαιούς, οἰκεία ἡ κόλασις κατὰ τοῦ λαλήσαντος ἄδικα ἡ τοῦ υἱοῦ κεφαλή, κατὰ τοῦ λαβόντος χρυσὸν αἱ χεῖρες. Οὕτω καὶ Ποδῆς εἰλαπιναστής, Ἕκτορος παράσιτος, ποιεῖταί που τιτρωσκόμενος οἰκείως ὑπὸ Μενελάου κατὰ γαστέρα, ὡς καὶ Πάνδαρος, φασί, διὰ τὸ ἐπιωρκηκέναι, κατὰ γλώσσης. Λέγουσι δὲ οἱ παλαιοὶ καί, ὅτι Νεμέσεως ἔργον τὸ τοὺς παῖδας τοῦ ἀδικήσαντος περιπεσεῖν τῷ τοῦ ἀδικηθέντος ἀδελφῷ, ὃς διὰ φιλαδελφίαν οἰκτρῶς κολάζει τοὺς ἐπιβούλους τοῦ ἀδελφοῦ. οἱ δ’ αὐτοὶ καὶ τὴν δίκην θαυμάζοντες, ὡς τὸν πατέρα τῶν κληρονόμων παίδων ἐστέρησε, δι’ οὓς ἐκεῖνος οὐκ ἐν δίκῃ συνήγαγε τὸν χρυσόν, φασὶ καί, ὡς ἀνόητοι οἱ παῖδες, ὑπομιμνήσκοντες τὸν βασιλέα χρυσοῦ, ὃν ὁ πατὴρ κατὰ Μενελάου ἔλαβε.

3.169 (v. 138) Σημειοῦνται δὲ καί, ὅτι δαΐφρονα ὁ βασιλεύς, ὡς καὶ πρὸ αὐτοῦ ὁ ποιητής, καλεῖ τὸν Ἀντίμαχον, εἰρωνευόμενος ἐν βαρύτητι καὶ καταφερόμενος αὐτοῦ, εἴγε δαΐφρων ὤν, ἤτοι συνετός, φαύλην γνώμην εἰσήνεγκεν, ἢ καὶ ἄλλως δαΐφρων ὤν, τουτέστιν ἀνδρεῖος, ἐδόκει γενναῖόν τι ποιεῖν κτείνων τὸν ἐπὶ εἰρήνῃ ἐλθόντα. τὸ δὲ «μάλιστα» κατὰ τὸ εἰκὸς κεῖται, ὡς καὶ ἄλλων μὲν ἐν Τροίᾳ δῶρά τε λαβόντων Ἀλεξάνδρου καὶ κωλυόντων, μάλιστα δὲ τοῦ Ἀντιμάχου. (v. 124) Τὸ δὲ «δῶρα δεδεγμένος» συντεθὲν τὴν δωροδοκίαν ποιεῖ. ταὐτὸν δὲ πάντως ἐνταῦθα χρυσὸν εἰπεῖν καὶ δῶρα, πρὸς ἑρμηνείαν γὰρ ἐπῆκται τὸ δῶρα. Τὸ δὲ «ἀγλαὰ δῶρα» καὶ ἔπαινον χρυσοῦ ἔχει καὶ πλῆθος δὲ αὐτοῦ ἐμφαίνει τῷ πτωτικῷ πληθυσμῷ. (v. 128) Τὸ δὲ «ἐκ χειρῶν φύγον» ἀστείως τὸ πολὺ τοῦ φόβου δηλοῖ, δι’ ὃν ἀκρατεῖς ἡνίων ἦσαν οἱ ἐπὶ τοῦ δίφρου. τοῦτο δὲ καὶ συλληπτικοῦ σχήματός ἐστιν. οὐ γὰρ οἱ δύο εἶχον τὰ ἡνία, οὐδ’ ἀμφοτέρους ἐκ χειρῶν αὐτὰ ἔφυγον, ἀλλὰ τῷ ἑνὶ συνεκδοχικῶς, εἶτ’ οὖν κατὰ σύλληψιν, συνεπινοεῖται καὶ ὁ ἕτερος. Ὅρα δὲ καὶ ὡς νῦν μὲν διὰ φόβον ἐκ χειρῶν φεύγει τὰ ἡνία, ἑτέρωθι δὲ ἄλλως ἔπος φεύγει ἐκ στόματος. γλυκὺ δ’ ὁμοίως ἐν ἀμφοῖν τὸ φεύγειν ὡς ἐπί τινων ἐμψύχων λεχθέν. (v. 130) Τὸ δὲ «γουναζέσθην» οὐ κυριολεκτεῖται οὐδ’ ἐνταῦθα. οὐ γὰρ δήπουθεν γούνων ἥπτοντο οἱ ἐκ δίφρου λαλοῦντες, εἰ μὴ ἄρα τῇ κατὰ νοῦν μόνῃ προθυμίᾳ. διὸ καὶ ὁ ποιητὴς ἐπιστήσας διασαφεῖ τὴν λέξιν, ἐπαγαγὼν «ζώγρει» καὶ ἑξῆς, μονονουχὶ ἑρμηνεύων ὡς γουναζέσθην, ὅ ἐστι γουναστικῶς καὶ ἱκετευτικῶς ἔλεγον «ζώγρει, Ἀτρέος υἱέ». εἰ μὴ ἄρα εἴπῃ τις λείπειν ἐνταῦθα μετοχήν τινα, οἷον φάμενοι ἢ εἰπόντες «ζώγρει». Σημείωσαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δ’ ἐνταῦθα καὶ ὅτι στίχου ὁλοσπονδείου κειμένου τοῦ «Ἀτρείδης, τὼ δ’ αὖτ’ ἐκ δίφρου γουναζέσθην», τὰ τοιαῦτα ἔπη εὐτελῆ φασιν εἶναι οἱ παλαιοὶ τῇ τῆς στιχοποιΐας κατασκευῇ διὰ τὸ ὀλιγοσύλλαβον. δωδεκασύλλαβοι γὰρ ἐξ ἀνάγκης εἰσί, τούς γε μὴν ὁλοδακτύλους ἢ πολυδακτύλους μεγαλοπρεπεστέρους κρίνουσι.

3.170 δῆλον δ’ ὅτι σπάνιοι παρὰ τῷ ποιητῇ οἱ ὁλοσπόνδειοι, ὁποῖος καὶ ἐν Ὀδυσσείᾳ ἐκεῖνος «τὼ δ’ ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοϊν». [(v. 129) Τὸ δὲ «κυκηθήτην», ὅ ἐστιν ἐταράχθησαν, μετήνεκται. κυρίως γὰρ κυκᾶν ἐπὶ ὑγρῶν, ὡς καὶ ἐν τοῖς ἑξῆς που φανεῖται, καὶ οὐχ’ ἥκιστα ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν.] Τὸ δὲ «ὦρτο λέων ὥς» συντέμνει τὴν παραβολικὴν ὁμοιότητα νῦν ἀναλόγως τῇ σπουδῇ τοῦ ἥρωος, διὰ τὸ ἤδη φθάσαι πρὸ βραχέων πλατῦναι τὴν ἐκ τοῦ λέοντος παραβολήν. (v. 131) Τὸ δὲ ἄξιον ὅτι καὶ ἀντάξιον Ὅμηρος λέγει, προδεδήλωται, οἱ δὲ ὕστερον Ἀττικοὶ ἄξιον καὶ τὸ εὐώνον εἶπον, καθὰ δηλοῖ καὶ ὁ Κωμικός. σημαίνει δέ ποτε ἡ λέξις καὶ τιμιότητα, ὡς δῆλον καὶ ἐκ τῶν ἐν ἀξίαις, ὅ ἐστι τῶν ἐν ἀξιώμασι. τοιοῦτον δέ τι καὶ 〈τὸ〉 τῆς παροιμίας τὸ ἐξ ἀξίου ξύλου καὶ ἀπάγξασθαι. Γίνεται δὲ τὸ ἄξιον ἐκ τοῦ ἄγω ἄξω, οἱονεὶ τὸ ἐπαγωγὸν ὡς ἡδύ. ὡς δὲ καὶ ὄνομα ποταμοῦ ὁ Ἄξιος, οὐκ ἄδηλόν ἐστι. (v. 132) Τὸ δὲ «πολλὰ δ’ ἐν Ἀντιμάχοιο δόμοις κειμήλια κεῖται» γράφεται καὶ «πολλὰ δ’ ἐν ἀφνειοῦ πατρὸς κειμήλια κεῖται», ῥηθὲν κατ’ ἔλλειψιν Ἀττικῶς ἀντὶ τοῦ ἐν τῷ οἴκῳ τοῦ πατρός. ἐτυμολογικοῦ δὲ τρόπου καὶ νῦν τὸ κειμήλια κεῖται. (v. 137) Τὸ δὲ ἀντιθετικῶς ῥηθὲν «ἀμείλικτον» διὰ μέτρον ἐγράφη, ἄλλως γὰρ ἦν ἀμείλιχον εἰπεῖν πρὸς ἀκολουθίαν τοῦ «μειλιχίοις». (v. 140) Ἀγγελίαν δὲ τὴν ἐξ ἀποστολῆς πρεσβείαν λέγει, ὡς καὶ ἐν τῇ ε′ ῥαψῳδίᾳ. ἡ δ’ αὐτὴ καὶ ἐξεσία παρὰ τῷ ποιητῇ ἀλλαχοῦ, ἀπὸ τοῦ ἐξίημι ῥήματος, ὅ ἐστιν ἐκπέμπω, ἐπεὶ ἐκπέμπονται οἱ στελλόμενοι πρέσβεις. ὅθεν ἐξεῖναι τὸ ἐκπέμψαι, ὅπερ ἐξέμεν ἐνταῦθα λέγει ὁ ποιητὴς κατὰ παραγωγὴν συνήθη τοιαύτην. Ἵημι, οὗ δεύτερος ἀόριστος ἧν, ἡ μετοχὴ αὐτοῦ εἵς ἕντος, ἀπαρέμφατον εἶναι μετὰ δασείας, ὡς κεῖται καὶ παρὰ τῷ Κωμικῷ ἐν Βατράχοις, ἐξ οὗ τὸ ἀφεῖναι καὶ μεθεῖναι.

3.171 τοῦτο τὸ εἶναι κατὰ ἐπένθεσιν Δωρικὴν τῆς με συλλαβῆς γίνεται εἵμεναι, καὶ Ἰωνικῇ ἀπελεύσει τοῦ ι ἕμεναι, καὶ μετὰ προθέσεως ἐξέμεναι, καὶ κατὰ ἀποκοπὴν Αἰολικὴν ἐξέμεν. (v. 140) Τὸ δὲ «σὺν ἀντιθέῳ Ὀδυσῆϊ» ἀμφιβολίαν παρεισάγει. ἄδηλον γὰρ εἴτε λέγει, ὡς ὁ Μενέλαος εἰς ἀγγελίην ἦλθε σὺν Ὀδυσσεῖ, εἴτε ὅτι Ἀντίμαχος συνεβούλευε κτεῖναι τὸν Μενέλαον σὺν τῷ Ὀδυσσεῖ. (v. 141) Τοῦ δὲ «αὖθι», τουτέστιν αὐτόθι, «κατακτεῖναι» διασαφητικὸν τὸ «μηδὲ ἐξέμεν ἄψ», αὐτοῦ δὲ πάλιν τὸ «ἐς Ἀχαιούς». ὁ γὰρ αὐτόθι ἐν Τροίᾳ φονευθεὶς οὐκ ἐξεπέμφθη ἄψ, ὅ ἐστιν ἔμπαλιν, εἰς Ἀχαιούς. (v. 138 et 142) Τὸ δὲ «εἰ μὲν δὴ Ἀντιμάχου υἱοί ἐστε», καὶ «νῦν μὲν δὴ τοῦ πατρὸς τίσετε λώβην», σχεδιαστικῶς ταὐτολογεῖ τοῖς αὐτοῖς συνδέσμοις. ἄλλως γὰρ οὐκ ἂν σκεψάμενος ῥήτωρ ἕλοιτ’ ἂν οὕτω γράψαι, δυνατὸν ὂν εἰπεῖν «ἦ τ’ ἂν δὴ τοῦ πατρὸς τίσετε λώβην» ἢ τοιοῦτόν τι. (v. 143) Τὸ δὲ «ἀφ’ ἵππων ὦσε χαμᾶζε» ἀντὶ τοῦ ἀπὸ τοῦ ἅρματος, οὗ μέρος οἷον οἱ ἵπποι. ἐκεῖθεν γὰρ πάντως ὕπτιος εἰς γῆν ἔπεσεν ὁ δουρὶ βληθεὶς τὸ στῆθος. Τὸ δὲ «ἀπόρουσε» καὶ «ἐξενάριξε» καὶ «χεῖρας ἀποτμήξας» καὶ «αὐχένα ἀποκόψας» περικαλλῶς παρισώθη ἁβρυνομένου τοῦ ποιητοῦ, ἐφ’ οἷς τὸ κακὸν γένος ἔπαθεν. (v. 147) Ὁ δὲ ἀνωτέρω ἑρμηνευθεὶς ὄλμος, οὗ πολλαχοῦ χρῆσις, γίνεται παρὰ τὸ ὄλλειν καὶ μειοῦν τὰ ἐν αὐτῷ πτισσόμενα. περὶ τοῦ τοιούτου ὄλμου λόγος ἦν, ὡς οἱ κοιμώμενοι ἐν αὐτῷ μαντικοὶ ἐγίνοντο. Παυσανίας οὖν φησιν παροιμιακῶς· ἐν ὄλμῳ ἐκοιμήσω, ἤγουν μαντικὸς ἐγένου. διὰ τί δὲ βαρύνεται, ἐν τοῖς περὶ τοῦ ὄγμου δηλοῦται.

3.172 Τὸ δὲ «ἔσσευεν» ἀλλοπαθῶς εἴρηται ἀντὶ τοῦ κινηθῆναι ἐποίησε, καὶ ὡς εἰπεῖν, παρώρμησε. Τὸ δὲ «κυλίνδεσθαι» τοῦ κυλίνδω ἐξώρμηται βαρυτόνου θέματος. τὸ γὰρ κυλινδεῖσθαι τῶν μεθ’ Ὅμηρόν ἐστιν, ὥσπερ καὶ τὸ καλινδεῖσθαι, οἷς ὅμοιον τὸ ἀλινδεῖσθαι, [ἀφ’ οὗ ἡ ἀλινδήθρα, ὅπερ ἐστὶ κονίστρα. Προϋπάρχει δὲ ἀμφοῖν τὸ ἁλίζειν, ὧν χρῆσις παρὰ τῷ Κωμικῷ ἐν τῷ «ἀλινδήθρας ἐπῶν», ἤγουν κονίστρας, παλαίστρας, καὶ ἐν τῷ «τὸν ἵππον ἐξαλίσας», ἤγουν

κυλισθῆναι ποιήσας.] (v. 128) Ἰστέον δὲ καὶ ὅτι φόβον μὲν ἡνιόχου δηλοῖ τὸ «ἐκ χειρῶν φύγον ἡνία» καὶ ἑξῆς. (v. 136) Ἀνδρὶ δὲ δυσωποῦντι μὲν ἱλαρῶς, ἀκούσαντι δὲ δεινά, ἐπιλεχθήσεται τὸ «ὣς ὃ μὲν κλαίων προσηύδα μειλιχίοις» καὶ ἑξῆς. (v. 138 et 142) Παῖδες δὲ ἀντὶ ἐχθροῦ πατρὸς τιμωρούμενοι ἀκούσειαν ἂν εὐφυῶς τὸ «εἰ μὲν δὴ Ἀντιμάχου υἱοί ἐστε, νῦν μὲν δὴ τοῦ πατρὸς ἀεικέα τίσετε λώβην». (v. 148 s.) Ὅτι ἀνδρίας παραστατικὸν τὸ «τοὺς μὲν ἔας', ὃ δ' ὅθι πλεῖσται κλονέοντο φάλαγγες ἐνόρουσε.» (v. 150—3) Πολέμου δὲ δεινότητα φράζει τὸ «πεζοὶ μὲν πεζοὺς ὄλεκον φεύγοντας ἀνάγκῃ, ἱππεῖς δ' ἱππῆας, ὑπὸ δέ σφισιν ὦρτο κονίη ἐκ πεδίου, τήν», ἤγουν ἥντινα, «ὦρσαν ἐρίγδουποι πόδες ἵππων χαλκῷ δηϊόωντες», ἤτοι δαίοντες, μερίζοντες, κόπτοντες, ἐπειδὴ καὶ ἡ κονία καὶ ἡ κόνις ἐκ τοῦ καίνω καὶ κατὰ συγκοπὴν κνῶ, τὸ κόπτω, γίνεσθαι λέγεται, ἀφ' οὗ καὶ κνῆστις ἡ διακοπτικὴ μάχαιρα. (v. 150) Τὸ δὲ «φεύγοντας ἀνάγκῃ» διὰ τοὺς μὴ οὕτω φεύγοντας εἴρηται. τοιοῦτοι δὲ σὺν ἄλλοις καὶ οἱ προσποίητοι τὴν φυγήν, καὶ οἱ μὴ προτροπάδην αὐτὴν ποιούμενοι, καὶ οἱ κατὰ ἀπάτην δὲ φεύγοντες. (v. 151) Τὸ δὲ «ὦρτο κονίη» συντίθησι παρὰ τοῖς ὕστερον τὸν κονιορτόν. (v. 152) Τὸ δὲ «ὦσαν» κυριολεκτεῖται νῦν, ὡς καὶ ἐν Ὀδυσσείᾳ τὸ «λᾶαν ἄνω ὤθεσκεν». Ὅρα δὲ καὶ ὅτι τὸ ἐρίγδουποι καὶ ἐπὶ ποδῶν ἵππων λέγεται. [Εἰ δὲ τὸ σεμνὸν τοῦ ἐριγδούπου Διὸς εἰς πόδας ἵππων κατήνεκται, ὑπερλαλείτω ἑαυτῆς ἡ ποίησις.] (v. 153) Χαλκὸν δὲ νῦν λέγει τὰ σεληναῖα τὰ ὑπὸ τοῖς ποσὶ τῶν ἵππων, οἷς διακόπτονται εἰς πλέον τὰ πατούμενα. (v. 153 s.) Ὅτι περὶ τοῦ βασιλέως εἰπὼν ἐπαινετικῶς, ὡς αἰὲν ἀποκτείνων ἕπετο Ἀργείοισι κελεύων, προϊών φησιν ἐντελέστερον, ὅτι ἔφεπεν αἰὲν ἀποκτείνων τὸν ὀπίστατον, ὅπερ συγκέκοπται ἐκ τοῦ ὀπισθότατον.

3.173 αὐτὸ δὲ τὸ «ἕπετο Ἀργείοισι κελεύων» μετ' ὀλίγα οὕτω φράζει «ἕπετο σφεδανὸν Δαναοῖσι κελεύων», ἤγουν σπευδανόν, σπευστικόν, καὶ «ὃ δὲ κεκληγὼς ἕπετο αἰεί». (v. 155—8) Εἶτα παραδεικνὺς καὶ διὰ παραβολῆς τὸ τοῦ ἥρωος ἐνεργόν φησιν «ὡς δ' ὅτε πῦρ ἀΐδηλον ἐν ἀξύλῳ ἐμπέσῃ ὕλῃ, πάντῃ τ' εἰλυφόων ἄνεμος φέρει, οἱ δέ τε θάμνοι πρόρριζοι πίπτουσιν ἐπειγόμενοι πυρὸς ὁρμῇ, ὣς ἄρ ὑπ' Ἀτρείδῃ Ἀγαμέμνονι πίπτε κάρηνα Τρώων φευγόντων». (v. 159—62) Ἐφ' οἷς διασκευάζων καὶ τά, ὡς εἰκός, ἐντεῦθεν συμβαίνοντά φησι «πολλοὶ δ' ἐριαύχενες ἵπποι κείν' ὄχεα κροτάλιζον ἀνὰ πτολέμοιο γεφύρας, ἡνιόχους ποθέοντες ἀμύμονας. οἳ δ' ἐπὶ γαίῃ κείατο», ἤγουν ἔκειντο, «γύπεσσι πολὺ φίλτεροι ἢ ἀλόχοισιν» ὅπερ ἐλλιπῶς ῥηθὲν ἔχει τι καὶ ἀστειότητος, λέγοντος τοῦ ποιητοῦ ὡς πολὺ φίλτεροι νῦν ἦσαν τοῖς οἰωνοῖς ἢ ταῖς ἀλόχοις, ὁπηνίκα ἔζων. Καὶ ἔστι κατὰ τοὺς παλαιοὺς ἀρχαιοπρεπὴς ἡ φράσις αὕτη καὶ ἀστεία μετὰ σεμνότητος, παραμιγνύντος κἀνταῦθα τοῦ ποιητοῦ τοῖς πικροῖς ἀστειότητα νοήματος, ᾧ συνεπιπλέκει καὶ σχῆμα κάλλους τὸ κατὰ ἐπαναφορὰν κομματικήν, ἐπορχούμενος οἷον τῷ ῥυθμῷ καὶ συγκροαίνων τῷ Ἕκτορι σῳζομένῳ καὶ συνεξαλλόμενος ἐκείνῳ τὴν μάχην ἐκκλίνοντι. (v. 163 s.) Φησὶ γὰρ «Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεὺς ἔκ τε κονίης ἔκ τ' ἀνδροκτασίης ἔκ θ' αἵματος ἔκ τε κυδοιμοῦ». καὶ ὅρα τὸ «ὕπαγεν» ἀντὶ τοῦ ὑπεξῆγεν. Ἰστέον δέ, ὡς, εἰ καὶ λίαν καὶ ἐνταῦθα καὶ ἐν τοῖς ἑξῆς ὁ ποιητὴς τὸν βασιλέα σεμνύνει, ὅμως οὐδὲ τοῦ πιθανοῦ ἀπέχεται, ἀλλ' εἰπών, ὅτι «ὅθι πλεῖσται κλονέοντο φάλαγγες, τῇ ῥ' ἐνόρουσεν», ἤγουν ἐνταῦθα δὴ ὥρμησεν, ἐπήγαγεν «ἅμα δ' ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί», καὶ πάλιν «αἰὲν ἀποκτείνων ἕπετο Ἀργείοισι κελεύων», καὶ «σφεδανὸν Δαναοῖσι κελεύων», δι' ὧν δηλοῖ, ὡς ἐποίει μὲν μεγάλα ὁ βασιλεύς, οὐκ ἄνευ μέντοι τῶν ὑπ' αὐτόν, ὧν τοῖς ἐθνικοῖς ἐγκροαίνων Ἀχαιούς τε καὶ Ἀργείους καὶ Δαναοὺς ἐνταῦθα ὠνόμασε. καὶ οὕτω μὲν τοῦτο. (v. 155) Ἀΐδηλον δὲ καὶ νῦν πῦρ, τὸ οἱονεὶ ἄστατον καί, ὡς εἰπεῖν, ἀΐζηλον καὶ μὴ ἵζον καὶ μένον ἐπὶ ἑνὸς τόπου, ὅτε δηλαδὴ ἄνεμος εἰλυφόων φέρει, τραπέντος τοῦ ζ εἰς δ , ὡς καὶ ἀλλαχοῦ πολλαχοῦ γίνεται, καθὰ προεσημάνθη.

3.174 ἔνθα παραπηκτέον καὶ τὸ κατὰ μὲν Ὦρον τὸν γραμματικὸν ζήτρειον προπαροξυτόνως, κατὰ δὲ ἑτέρους ζητρεῖον προπερισπωμένως, ὃ δηλοῖ, φασί, δούλων δεσμωτήριον, ἤγουν μύλωνα, ἐκεῖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ ἐδεσμοῦντο οἱ δοῦλοι. αὐτὸ γὰρ κατά τινας παρὰ τὸ δεῖν, ὅ ἐστι δεσμεύειν, καὶ τὸ τρεῖν, ἤγουν φοβεῖσθαι, συντεθὲν εἰς δήτρειον, ζήτρειον γέγονε, μεταπεσόντος τοῦ δ εἰς ζ . Οὕτω δέ, φασί, καὶ ζεῖρα ἐξ ὁμοίας τροπῆς ἐγένετο, συγκειμένη καὶ αὐτὴ παρὰ τὸ δεῖν, ἤτοι δεσμεῖν, καὶ τὸ εἴρειν. σημαίνει δέ, φασί, ζώνην καὶ χιτῶνα καὶ χλαμύδα, ἣν μέχρι καὶ ἐς ἄρτι παραφθείροντες οἱ Λυκιακοὶ ἡμίζαρον λέγουσιν. Ἄξυλος δὲ ὕλη ἡ δασεῖα καὶ πολύξυλος κατὰ ἐπίτασιν, ἢ κατὰ Πορφύριον, ἀφ’ ἧς οὐδεὶς ἐξυλεύσατο, ἣν ξύλοχον λέγει ἐν ἄλλοις διὰ τὴν ἐν αὐτῇ πυκνὴν τῶν ξύλων συνέχειαν. εἴη δ’ ἂν πάντως καὶ ἡ ἀξύλευτος πολύξυλος, εἰσαγούσης τῆς στερήσεως ἐπίτασιν καί, ὡς εἰπεῖν, πλουτιζούσης τῇ ἐνδείᾳ. Τὸ δὲ «ἐμπέσῃ» τόν[, ὡς εἰκός,] κατὰ τύχην ἐμπρησμὸν τῆς ὀρεινῆς ὕλης δηλοῖ. (v. 156) «Εἰλυφόων» δὲ κατὰ παραγωγὴν ὁ εἰλῶν καὶ στρέφων πανταχοῦ, ἢ καὶ κατὰ σύνθεσιν ὁ ἐνταῦθα καὶ ἐκεῖ εἰλῶν τὸ φαῖνον πῦρ, ἢ καὶ ἄλλως, ὁ εἰλῶν καὶ φαίνειν ποιῶν, τοῦτο δὲ καὶ εἰλυφάζειν λέγεται. Τὸ δὲ «ἄνεμος φέρει» γράφεται καὶ ἄνεμος στρέφει. καὶ ἔστιν ἡ γραφὴ αὕτη προσφυεστέρα τῷ εἰλυφόων. Θάμνος δὲ ἀρσενικῶς μὲν ἐνταῦθα εἴρηται, εἶδος δέ ἐστι χαμαιζήλου φυτοῦ καὶ πολυκλάδου, παρὰ τὸ θαμά ἐτυμολογούμενος.

3.175 οὐ γὰρ μονοστέλεχος κατὰ τὸ δένδρον ἄνεισιν, ἀλλὰ πυκνὸς ὁ θάμνος καὶ πολυστέλεχος εὐθύς ἐστιν ἐκ ῥιζῶν. θάμνοι δὲ ῥᾶον οὕτω πυρὶ πίπτουσιν. οὐ γὰρ δήπου μεγάλα δένδρα. ἡ δὲ πτῶσις διὰ τὸν ἄνεμον καὶ διὰ τὸ πολὺ πῦρ ἐξικμάζον τὴν συνεκτικὴν τῶν λεπτῶν θάμνων ὑγρότητα. [Ἴσως δὲ οὐ κυριολεκτεῖται τὸ πίπτειν ἐνταῦθα, οὐ γὰρ θάμνους, ἀλλὰ δένδρα ὁ ἄνεμος βλάπτει ῥίπτων αὐτῇσι ῥίζῃσιν, ἀλλ’ ἔστι πίπτειν ἐν τούτοις τὸ ταπεινοῦσθαι πυρὶ καὶ ἀπόλλυσθαι μεταφορικῶς. διὸ οὐδὲ τὸ πρόρριζοι ταὐτὸν ἂν εἴη τῷ σύρριζοι, ἀλλ’ ὥσπερ τὸ πρὸ θυρῶν ἐστιν ἀντὶ τοῦ ἐγγὺς ἔξω θυρῶν, οὕτω καὶ τὸ πρὸ ῥιζῶν, ἐξ οὗ συνετέθη τὸ πρόρριζον.] (v. 157) Τὸ δὲ «ἐπειγόμενοι» ὡς ἐπὶ ἐμψύχων μὲν τῶν θάμνων εἴρηται, πιπτόντων ἐν τῷ ὠθεῖσθαι καὶ οἷον ἐπείγεσθαι. ἀμφιβολίαν δὲ ἔχει, εἴτε παθητικῶς ἑρμηνευθήσεται, εἴτε κατ’ ἐνέργειαν. Τοῦ δὲ ἐπείγω ἡ διὰ διφθόγγου γραφή, δυσχερῆ αἰτιολογίαν ἔχουσα, παραδίδοται ὑπὸ τῶν τεχνικῶν οὕτω γράφεσθαι διὰ τὸ δοκεῖν ἐξ αὐτοῦ γίνεσθαι τὸ οἴγω, ὅ ἐστιν ἀνοίγω. διὸ καὶ ὡς ἀναφαινομένου ἐνταῦθα τοῦ ο σὺν τῷ ι φαίνεται τὸ ἐπείγω προέχειν τὸ ε μετὰ τοῦ ι , ἵνα ᾖ ἐπείγειν καὶ ἔπειξις τὸ οἴγειν οἷόν τινα ὄγμον, ὁδόν, εἰς ἔργον. (v. 158) Ὅρα δὲ καί, ὡς μετὰ δοτικῆς ἡ ὑπο κἀνταῦθα κεῖται πρόθεσις ἐν τῷ «ὑπ’ Ἀτρείδῃ», ὡς καὶ μετ’ ὀλίγα ἐν τῷ «ἔκπεσον ἵππων Ἀτρείδεω ὑπὸ χερσίν». Ἐν δὲ τῷ «ἔπιπτε κάρηνα Τρώων» ἢ ἄνδρας ὑπερέχοντας νοητέον, οὓς κεφαλὰς τῶν ἀρχομένων καλεῖν εἰώθαμεν, ἢ περιφραστικῶς τοὺς Τρῶας, κατὰ τὸ «Τεῦκρε, φίλη κεφαλή». (v. 159) Τὸ «ἐριαύχενες» δὲ ὅτι ἔπαινός ἐστιν ἵππων, καὶ οἷαί τινες αἱ τοῦ πολέμου γέφυραι, καὶ ἀλλαχοῦ δεδήλωται. [Ἰστέον δὲ ὅτι τε ταὐτὸν ἐριαύχενα εἰπεῖν καὶ δουλιχόδειρον, εἰ καὶ τὸ μὲν ἵπποις, τὸ δὲ κύκνοις δεδόσθαι δοκεῖ, καὶ ὅτι τῷ ἐριαύχενι ὁ βυσσαύχην ἀντίκειται.

3.176 ἄλλως μέντοι τροπικώτερον ὁ βυσσαύχην ψόγον δηλοῖ. σημαίνει γὰρ τὸν ἐπιβουλευτικόν, ὥς φασιν οἱ παλαιοί. καὶ ἴσως φυσιογνωμονικῶς ἐρρέθη ὡς ἀπὸ ζῴων, ὅσα λοχῶντα ἢ ἄλλως θυμούμενα σιμοῦσι τοὺς αὐχένας ἐν τῷ μέλλειν ἐμπηδᾶν.] (v. 160) Κενὰ δὲ ὄχεα ὡς ἐπί τινος ἀγγείου περιοχῆς εἴρηται, μὴ ἐχούσης τι ἔνδον στεγόμενον. Τὸ δὲ «κροταλίζειν» ὠνοματοπεποίηται, καθὰ καὶ τὸ κροτεῖν, οὗ παράγωγον τὸ κροταλίζειν. Ἔστι γὰρ κροτῶ, ἀφ’ οὗ κροτίζω, ὡς νεμεσῶ νεμεσίζω, καὶ πλεονασμῷ κροταλίζω, καθ’ ὁμοιότητα τοῦ ἐγγυαλίζω. ἐκ δὲ τοῦ κροταλίζειν καὶ κρόταλον, οὗ χρῆσις καὶ παρὰ τῷ Κωμικῷ. σκεύη δέ τινα τὰ κρόταλα, ἐξ ὀστράκου τυχὸν ἢ ξύλου ἢ χαλκοῦ, ἃ ἐν χερσὶ κροτούμενα θορυβεῖ. ἀπ’ αὐτῶν δὲ καὶ ὁ στωμύλος καὶ παρὰ τὸ δέον ἐν λαλιαῖς ὀχληρὸς εἰς κρόταλον παροιμιάζεται. (v. 161) Τὸ δὲ «ἡνιόχους ποθέοντες» ὡς ἐπὶ λογικῶν καὶ ἐμφρόνων τῶν ἵππων εἴρηται. τοιοῦτον δὲ καὶ τὸ «γύπεσσι πολὺ φίλτεροι», περὶ οὗ ἔστιν εἰπεῖν καί, ὅτι καθ’ Ὅμηρον οἱ ἄρτι πεφονευμένοι πολὺ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μᾶλλον φιλοῦνται ὑπὸ γυπῶν ἤπερ ὑπὸ τῶν ποτε ἀλόχων. αἱ μὲν γὰρ οὐκ ἂν θέλοιεν ἰδεῖν τούτους νεκρούς, οἱ δὲ χαίρουσι κειμένους βλέποντες. (v. 166) Ὅτι σῆμα, ὡς καὶ προδεδήλωται, Ἴλου (47) παλαιοῦ Δαρδανίδαο κατὰ μέσον τὸ πεδίον ἦν, ὅπου τὴν προσεχῆ νύκτα βουλὰς ἐβούλευεν Ἕκτωρ, ὡς ὁ Δόλων κατεμήνυσεν. (v. 166—8) Ἐνταῦθα παρ' ἐρινεόν, Ἀγαμέμνονος διώκοντος, φεύγουσι Τρῶες, ἱέμενοι, τουτέστιν ἐφιέμενοι, πόλεως. Καὶ ὅρα πολέμου τε ἀδηλίαν καὶ ὡς ἀμφιρρεπὴς ὁ κατ' αὐτὴν Ἄρης ἐστὶ καὶ ἀλλοπρόσαλλος καὶ τὸν «κτανέοντα κατέκτα». —ὁ γὰρ αὐτὸς τόπος πρὸ ὀλίγου μὲν εἶχε τοὺς Τρῶας περὶ τῆς τῶν Ἑλλήνων σκεπτομένους φυγῆς, νῦν δὲ τοῖς Τρωσὶν ὑφήπλωται φεύγουσι—, καὶ ὡς οὐκ ἀγαθὸς ἦν οἰωνός, καθὰ καὶ ἀλλαχοῦ ἐγράφη, τὸ παρὰ νεκροῦ βουλεύεσθαι μνήματι. Ὅτι δέ, καθάπερ ἐν Ὀδυσσείᾳ ὁ ἀσφοδελός, οὕτω κἀνταῦθα ὁ ἐρινεὸς περιεκτικοῦ τύπου ἐστίν—οὐ γὰρ ἕν τι φυτὸν ἡ λέξις ἐνταῦθα δηλοῖ, ἀλλὰ τόπον ἐρινεώδη—, καὶ ὅτι ἐξ αὐτοῦ ἀναβατὸν ἦν τὸ Τρωϊκὸν τεῖχος, προδεδήλωται.

3.177 (v. 168 s.) Ὅτι δραστηριότητα φράζει στρατιωτικὴν τὸ «ὃ δὲ κεκληγὼς ἕπετο αἰεί, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους». (v. 171 s.) Σύγχυσιν δὲ στρατιᾶς δηλοῖ τὸ «ἔνθ' ἄρα δὴ ἵσταντο καὶ ἀλλήλους ἀνέμιμνον. οἳ δ' ἔτι κὰμ μέσον πεδίον φοβέοντο». (v. 179—81) Ἀριστέως δὲ φραστικὸν τὸ «ἔφεπεν αἰὲν ἀποκτείνων τὸν ὀπίστατον, οἳ δὲ φέβοντο· πολλοὶ δὲ πρηνεῖς τε καὶ ὕπτιοι ἔκπεσον ἵππων» ὑπὸ χερσὶ τοῦ δεῖνος, «περὶ πρὸ γὰρ ἔγχεϊ θῦε». Περὶ Ἀγαμέμνονος δὲ ταῦτα. (v. 172—8) Ὃν καὶ διὰ παραβολῆς ὁ ποιητὴς σεμνύνων φησίν, ὅτι φοβέοντο ὑπ' αὐτῷ οἱ Τρῶες «βόες ὥς, ἅς τε λέων ἐφόβησε μολὼν ἐν νυκτὸς ἀμολγῷ, πάσας· τῇ δέ τ' ἰῇ», ἤγουν μιᾷ δέ, «ἀναφαίνεται αἰπὺς ὄλεθρος· τῆς δ' ἐξ αὐχένα ἔαξε λαβὼν κρατεροῖσιν ὀδοῦσι πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει, ὣς Ἀτρείδης ἔφεπε κτείνων», ὡς ἀνωτέρω ἐλέχθη, «οἳ δὲ φέβοντο», ὅ ἐστιν ἔφευγον. ὃ φοβέοντο ἔφη ἀνωτέρω, φιλοτιμησάμενος φράσιν διάφορον, ἧς χάριν καὶ τὸ κατὰ μέσον πεδίον ἐν τοῖς ἀνωτέρω μὲν ἔφη «μέσσον κὰπ πεδίον παρ' ἐρινέον», ὑποκαταβὰς δὲ «κὰμ μέσον πεδίον φοβέοντο». (v. 172 s.) Ὅρα δὲ ὅτι θηλυκῶς κἀνταῦθα εἶπε τὰς βόας ὡς καὶ τὰς ὄϊς καὶ τὰς ἵππους. ἁπλῶς δὲ πᾶσαν ἀγέλην ἐκθηλύνουσιν Ἴωνες τῇ προφορᾷ. (v. 168) Ἰστέον δὲ καὶ ὅτι τὸ «κεκληγώς» ἄναρθρον δηλοῖ φωνήν, ἐξ ἀετοῦ πρεπόντως τῷ βασιλεῖ ἐνταῦθα ληφθὲν ἢ τοιοῦδέ τινος. καὶ οὐκ ἔστι κατὰ τὸ κελεύειν, ἐκεῖνο γὰρ παρακέλευσιν ἐδήλου τὴν δι' ἀνθρωπίνης φωνῆς. (v. 169) Τὸ δὲ «λύθρον» μιασμὸν δηλοῖ τὸν ἐξ αἵματος, καὶ γίνεται ἀπὸ τοῦ λύω, ἀφ' οὗ καὶ λῦμα, τὸ κάθαρμα, καὶ ἄλλως δὲ φράσαι, λύθρον ἐστὶν ἀκαθαρσία αἵματος μετὰ κόνεως, δεομένη λύματος, ἤγουν καθάρσεως. γράφεται δὲ διὰ τοῦ θ πρὸς διαστολὴν τοῦ λύτρου, ὃ ἐπὶ αἰχμαλώτων τίθεται. Περὶ δὲ τοῦ «παλάσσετο», εἴτ' οὖν ἐμολύνετο, ἐξ οὗ καὶ ὁ πηλός, καὶ τίνες ἄαπτοι χεῖρες, προδεδήλωται. (v. 173) Ἀμολγὸς δὲ νυκτός, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, καθ' ὃν οὐδεὶς μολεῖ ἢ μογεῖ, ἢ ὅτε ἀμέλγονται ζῷα ἐκ νομῆς ἐλθόντα ἢ εἰς νομὴν ἀπιόντα, ἢ καὶ τὸ ἀκμαῖον καὶ μέσον τῆς νυκτός, ὡς βούλονται νοεῖν καὶ οἱ τὴν παρ' Ἡσιόδῳ ἀμολγαίην μάζαν ἑρμηνεύοντες.

3.178 Ἰστέον δὲ ὅτι τε εἰ νοηθείη ἀμολγὸς κατὰ στέρησιν τοῦ μολεῖν, ἀντιθετικὸς οὕτω τρόπος ἐνταῦθα ἐμφαίνεται, ἵνα λέγῃ ὅτι μολὼν ὁ λέων, ὅτε οὐδεὶς μολεῖ, καὶ ὅτι Παυσανίας φησίν, ὡς ἀμολγοὶ ἐλέγοντο καὶ οἱ ἀμέλγοντες τὰ κοινὰ ῥήτορες καὶ διαφοροῦντες τὰ δημόσια. οἱ δ' αὐτοί, φασί, καὶ μοργοὶ ἢ ἀμοργοὶ ἐκ τοῦ ἀμέργειν ἤγουν καρπολογεῖν, οἷον «ὁ μέν τις ἀμπέλους τρυγῶν ἄν, ὁ δ' ἀμέργων ἐλάας». (v. 178) Τὸ δὲ πάσας μὲν φέβεσθαι, μίαν δὲ ὄλλυσθαι, ἄριστα δηλοῖ τὴν ἐν πολλοῖς ἀριστείαν τοῦ ἑνός, ὃς τρέπει μὲν πολλούς, ἕκαστον δὲ δεδιότα περὶ ἑαυτῷ. καὶ ἔστι τοῦτο ἀληθῶς αἴτιον καθόλου τῆς προτροπάδην φυγῆς. (v. 175) Τὸ δὲ «αὐχένα ἔαξεν» ἰδιότης καὶ νῦν λέοντος, ὃς βοὸς δραξάμενος καταγνύει πρῶτον τὸν αὐχένα δέει τῶν κεράτων, εἶτα λαφύσσει. ὅπερ ὀνοματοποιΐας τρόπῳ τὸ ῥαγδαίως καταπίνειν δηλοῖ, γενόμενον ἐκ τοῦ λάπτω λάψω λέλαφα, ὅθεν καὶ λάφυρον, ὥσπερ ἐκ τοῦ λέλαπα μέσου

παρακειμένου, ἢ τοῦ ἔλαπον δευτέρου ἀορίστου, γίνεται λαπάρα καὶ λάπαθον καὶ λαπάζειν, ὃ διὰ τοῦ α ὡς ἐπὶ πλέον λέγεται ἀλαπάζειν. οὕτω δὲ ἴσως καὶ ἀπὸ τοῦ λέλαμμαι ἡ Λάμια. (v. 178) Ὁ δὲ αἰεὶ κτεινόμενος ὀπίστατος εἰς στίχας κορυφοῦται, οἷς καθ' Ἡσίοδον εἰπεῖν σμικρὸν ἐπὶ σμικρῷ κατατίθεται τὸ πίπτον. διὸ μετ' ὀλίγα στίχας ἀνδρῶν ἐναίρειν ὁ βασιλεὺς λέγεται, ὅπου καὶ ὁ ποιητὴς Μούσας ἐπικαλεῖται εἰπεῖν ὅπερ αὐτὸς ἐθέλει. Γίνεται δὲ ὀπίστατος ἤ, ὡς προερρέθη, ἐκ τοῦ ὀπισθότατος κατὰ συγκοπήν, ἢ μᾶλλον ἐκ τοῦ ὀπίσω, ὀπίστερος, καὶ τὸ ὑπερθετικὸν ὀπίστατος. (v. 179) Ἐν δὲ τῷ «πρηνεῖς τε καὶ ὕπτιοι» πρηνεῖς μὲν κεῖνται πάντως οἱ φεύγοντες, ὕπτιοι δὲ οἱ ἀντιστάντες τῷ βασιλεῖ. οὕτω γάρ τις καὶ πρὸ βραχέων βληθεὶς τὸ στῆθος ὕπτιος ἔπεσε. (v. 180) Τὸ δὲ «περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν» ἀντὶ τοῦ περισσῶς προώρμα τῶν ἄλλων δόρατι προμαχόμενος. (v. 183) Ὅτι ἀλλαχοῦ μὲν πολυπίδακα τὴν Ἴδην λέγει διὰ τὸ πολύϋδρον τοῦ ὄρους, ὡς ἐκεῖ ἐρρέθη, ἐνταῦθα δὲ καθ' ὅμοιον λόγον πιδήεσσαν, οἱονεὶ πιδακόεσσαν, κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ α εἰς η .

3.179 Φησὶ γὰρ «Ἴδης ἐν κορυφῇσι καθέζετο πιδηέσσης, οὐρανόθεν καταβάς», ὁ Ζεὺς δηλαδή. ὃς καὶ εἰς τὸν ἀνωτάτω αἰθέρα ὑπονοεῖται, καὶ εἰς τὸν πρὸς τοῖς ὄρεσιν, ἤδη δὲ καὶ εἰς τὸν περιπέζιον, καὶ οὐ μόνον, ἀλλὰ καὶ εἰς τὸν ὑπὸ γῆν, ὡς πολλαχοῦ φαίνεται. (v. 184) Ὅτι ἀστραπὴν οἷά τι βέλος ἔχειν ὁ Ζεὺς ἐν χερσὶ λέγεται, ὡς καὶ εἰς ἀέρος φύσιν ἀλληγορούμενος. διὸ οὕτως ἡ μετάληψις καὶ τὸν κεραυνὸν αὐτῷ δίδωσι καὶ τὰς αἰγίδας, καὶ τερπικέραυνον αὐτὸν καλεῖ καὶ αἰγίοχον. Μυθικῶς μέντοι καθάπερ ἡ Ἶρις πολέμοιο τέρας μετὰ χερσὶν εἶχε πρὸ τούτων, οὕτω καὶ ὁ Ζεὺς νῦν ἔχει στεροπὴν μετὰ χερσὶ καθὰ καί τι βέλος. ᾧ λόγῳ καὶ ἐγχεικέραυνον αὐτὸν ἡ λυρικὴ Μοῦσα καλεῖ, [ὡς οἷα καὶ δόρατι χρώμενον αὐτῷ, καθὰ δηλοῖ καὶ ὁ φράσας ὅτι ἐναγκοινεῖται ὁ Ζεὺς κεραυνόν, ὡς ἐν σχήματι αἰχμητοῦ πολεμησείοντος.] (v. 185) Ὅτι ἄγγελος κἀνταῦθα Διός, ἤγουν ἀέρος, ἡ Ἶρις, καὶ χρυσόπτερος δέ, ὡς μὴ μόνον λαμπρά, ἀλλὰ καὶ ὠκεῖα. ὧν λαμπρότητος μὲν ἐμφαντικὸν ὁ χρυσός, ὠκύτητος δὲ τὸ πτερόν. διὸ καὶ ταχεῖαν αὐτὴν ἡ ποίησις καλεῖ καὶ ποδήνεμον. (v. 185 s.) Ἔστι δὲ ὁ περὶ αὐτῆς καὶ νῦν Ὁμηρικὸς λόγος οὗτος «Ἶριν δ' ὤτρυνε χρυσόπτερον ἀγγελέουσαν, βάσκ' ἴθι Ἶρι ταχεῖα» καὶ ἑξῆς. Ὅτι τῇ λεγομένῃ προπαρασκευῇ καὶ προεκθέσει καὶ ὑποσχέσει καὶ προαναφωνήσει χρῆται καὶ ἐνταῦθα ἐκφανέστατα ὁ ποιητής, προεκτιθέμενος ἐν ὀλιγίστῳ καὶ προαναφωνῶν εἰς ψυχαγωγίαν φιλοπευθοῦς ἀκροατοῦ τὰ ἐν τοῖς ἑξῆς ῥηθησόμενα. (v. 187—94) Πλάττει οὖν τὸν Διὰ λέγοντα τῷ Ἕκτορι διὰ τῆς Ἴριδος οὕτω «ὄφρ' ἂν μὲν θύνῃ ἐν προμάχοις», ἤγουν προμάχηται ὁ βασιλεύς, «ἐναίρων στίχας ἀνδρῶν, τόφρα» ὁ Ἕκτωρ ἀναχωρείτω, «τὸν δ' ἄλλον λαὸν ἀνώχθω μάρνασθαι». Ἐπειδὰν δὲ «ἢ δουρὶ τυπεὶς ἢ βλήμενος ἰῷ εἰς ἵππους ἅλεται» ὁ βασιλεύς, τότε δοθήσεται κράτος τῷ Ἕκτορι «κτείνειν, εἰς ὅ κε νῆας ἀφίκηται, δύῃ τ' ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ», ἤγουν ἐπέλθῃ νύξ. (v. 191) Καὶ ὅρα καὶ νῦν ἀρίδηλον διαφορὰν τοῦ τυπῆναι καὶ τοῦ βληθῆναι, σεσημειωμένην καὶ ἀλλαχοῦ. Ἰστέον δὲ ὅτι ὁ Ἕκτωρ ἄρτι διὰ τὸ ἐπὶ τῷ βασιλεῖ δέος ἀργὸς ἑστὼς ἔν τε ἅρμασι καὶ ἵπποισι κολλητοῖς, ὡς οἷα τεθαμβημένος, μήτ' αὐτὸς πολεμῶν μήτε τοῖς φεύγουσιν ἐγκελευόμενός τι, ὀψὲ δέ ποτε Διὸς ἀγγελίαν λαβών, ὅ ἐστιν εἰς νοῦν ἐλθών—Ζεὺς γὰρ μυριαχοῦ καὶ ὁ νοῦς—, κρίνει δέον εἶναι ὑποείκειν τῆς μάχης καὶ φυλάξασθαι τὸν κίνδυνον, συννοούμενος, ὡς εἰκός, οὐκ ἐπὶ μακρὸν ἀνθέξειν τὸν βασιλέα μαχόμενον, τῷ δ' ἄλλῳ λαῷ ἐγκελεύεται μάχεσθαι.

3.180 καὶ ταῦτ' ἦν, ἃ διὰ τῆς Ἴριδος ὁ Ζεὺς ἐμήνυσεν Ἕκτορι. (v. 192) Τὸ δὲ ἅλεται ἀπὸ αὐθυποτάκτου μέσου ἀορίστου ἀνήχθη ὡς εἰς ἐνεστῶτα, διὸ καὶ τῷ ε παραλήγεται, εἰ καὶ δι' ἑνὸς λ γράφεται. ἄλλως δέ γε ἅληται λέγεται κοινῶς τε καὶ Ἀττικῶς. (v. 194) Πῶς δὲ ἱερὸν τὸ κνέφας πρὸ ὀλίγων εἴρηται. τινὲς δέ φασι κνέφας ἱερὸν τὸ βαθὺ καὶ μέγα σκότος, ἐπεὶ καὶ ἐπὶ μεγάλου πολλάκις τὸ ἱερὸν τίθεται, ὡς ἀλλαχοῦ δηλοῦται. (v. 189) Ὅρα δὲ ὡς ἐπὶ Ἕκτορος μὲν τὸ φεύγειν ἀναχωρεῖν Ὅμηρος εἶπε σεμνῶς φράσας, ἐπὶ δὲ τοῦ βασιλέως ἔτι σεμνότερον εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἵππους ἅλεσθαι. πεζὸς γὰρ μαχόμενος, εἶτα βληθείς, ἀναχωρήσει ἀναβὰς εἰς ἅρμα, οὐχ᾽ ἁπλῶς, ἀλλὰ συντόνως. ἅλλεται γάρ. (v. 196 s.) Ἐνταῦθα δὲ κεῖται καὶ σχῆμα γοργὸν ἀσύνδετον τὸ «βῆ δὲ ὠκέα Ἶρις εἰς Ἴλιον, εὗρεν υἱὸν Πριάμοιο Ἕκτορα», ἵνα ἡ ὠκεῖα πέτεσθαι καὶ ὠκέως φράζοιτο. (v. 198) Ἐν δὲ τῷ «ἅρμασι κολλητοῖς» λείπει τὸ εὖ, ὡς καὶ ἐν τῷ τάφρος ὀρυκτή κατά τινας, καὶ ἐν τῷ δῶμα ποιητόν, ὃ ἐντελῶς ῥηθὲν εὖ ποιητόν ἶσόν ἐστι τῷ εὔπηκτον μέγαρον. (v. 201) Ἐν τούτοις δὲ κεῖται καὶ Δωρικὴ ἀντωνυμία τὸ τεΐν ἀντὶ τοῦ σοί, ὁποῖον παρ᾽ ἄλλοις καὶ τὸ ἐμίν ἀντὶ τοῦ ἐμοί, ἀσυντελῆ ταῦτα λόγῳ πεζῷ. (v. 211—6) Ὅτι ἀντιπαρατάξεως ἐκφραστικὸν τὸ «ἐξ ὀχέων», εἴποι δ᾽ ἄν τις καὶ ἐξ ἵππων, «σὺν τεύχεσιν ἆλτο χαμᾶζε· πάλλων δ᾽ ὀξέα δοῦρα κατὰ στρατὸν ᾤχετο πάντη ὀτρύνων μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν. οἳ δ᾽ ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν», οἱ δ᾽ ἀντίμαχοι «ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας. ἀρτύνθη δὲ μάχη, στὰν δ᾽ ἀντίοι», ὃ ἀνωτέρω ἐναντίοι ἔσταν ἔφη. Καὶ ὅρα ὡς ἰσχύων ὁ ποιητὴς παρισώσεις ποιῆσαι ἀπὸ τοῦ ὀτρύνειν καὶ καρτύνειν καὶ ἀρτύνειν, ὃ πλεονασμῷ τοῦ ν ἀπὸ τοῦ ἀρτύειν γίνεται, οὐκ ἠθέλησε διὰ τοῦ τοιούτου σχήματος προσπαίζειν ἐναγωνίῳ δυσχερείᾳ πράγματος. (v. 216) Ἀρτύνεσθαι δὲ μάχην λέγει τὸ τοὺς στρατιώτας, ὡς ἔφη, στῆναι καὶ οὕτως ἄρτιον καὶ ἀραρότα γίνεσθαι τὸν στρατόν.

3.181 τὸ γὰρ φεύγειν οὐ μάχην ἀρτύει, ἀλλὰ φυγὴν ἔχει καὶ δίωξιν. (v. 213) Τὸ δὲ «ἔγειρεν» ὡς ἐπί τινος ὑπνοῦντος ἢ κειμένου φησὶν ἢ μάλιστα καθημένου, ὁποῖός που καὶ ὁ Ἄρης πλάττεται. (v. 218—20) Ὅτι ἀκμαιοτέραν ποιῶν τὴν προσοχὴν τῷ ἀκροατῇ ὁ ποιητὴς καὶ ἅμα θαυμάζων τὸν βασιλέα τῆς ἀριστείας, ὃς ἀρτυνθείσης νῦν, ὡς ἐρρέθη, τῆς μάχης πρῶτος ὤρουσεν, ἔθελε δὲ πολὺ προμάχεσθαι ἁπάντων, ὃ δὴ ἀριστέως ἔπαινός ἐστιν, ἐρωτᾷ ὡς ἐρῶν καινότερόν τι οὐ μίαν Μοῦσαν ὡς ἐν ἀρχῇ τοῦ βιβλίου, ἀλλὰ τὰς ὅλας, καί φησιν· «ἔσπετε νῦν μοι Μοῦσαι, Ὀλύμπια δώματ᾽ ἔχουσαι, ὅς τις δὴ πρῶτος Ἀγαμέμνονος ἀντίον ἦλθεν ἢ αὐτῶν Τρώων ἢ ἐπικούρων. [Ἔνθα τὸ «αὐτῶν» ἐξοχήν τινα δηλοῖ, ἐπειδὴ καὶ τὸ πᾶν τοῦ πολέμου τοῖς Τρωσὶν ἔγκειται. (v. 221—30) Εἶτα ἐν σχήματι ἀποστατικῷ ἐπάγει ὡς οἷα ἐμπνευσθεὶς ὑπὸ Μουσῶν ἢ καὶ ὡς ὑποφητεύων αὐταῖς. «Ἰφιδάμας Ἀντηνορίδης, ἠΰς τε μέγας τε», ἀντίος δηλαδὴ τοῦ βασιλέως ἦλθεν, «ὃς τράφη ἐν Θρῄκῃ ἐριβώλακι μητέρι μήλων. Κισσῆς τόν γ᾽ ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα, μητροπάτωρ, ὃς τίκτε Θεανὼ καλλιπάρῃον. αὐτὰρ ἐπεί ῥ᾽ ἥβης ἐρικυδέος ἵκετο μέτρον, αὐτοῦ μιν κατέρυκε, δίδου δ᾽ ὅ γε», ἤγουν οὗτος, «θυγατέρα ἥν», ἀδελφὴν δηλαδὴ Θεανοῦς, τῆς τοῦ Ἰφιδάμαντος μητρός. «γήμας δ᾽ ἐκ θαλάμοιο μετὰ κλέος ἵκετ᾽ Ἀχαιῶν». ὃ δὴ κλέος καὶ τοῖς περὶ Κινύραν ἐν Κύπρῳ ἤκουστο. ἦλθε δὲ σὺν δυοκαίδεκα, φησί, «νηυσίν, αἵ οἱ ἕποντο». τὰς μὲν περί που τὴν Λαμψακηνῶν ἀφῆκε χώραν—αὐτόθι γὰρ ἡ Περκώπη, πόλις οὖσα Τρῳάδος—, αὐτὸς δὲ πεζὸς ὢν εἰς Ἴλιον εἰληλούθει. Καὶ νῦν μὲν ἄχρι τούτων ὁ Ὅμηρος τὴν ἱστορίαν ἱστᾷ, μετ᾽ ὀλίγα δὲ καὶ ἕδνα λέγει διὰ πιθανότητα ἱστορικήν, ὧν τὰ μὲν δέδωκεν ὁ Ἰφιδάμας τῇ γυναικί, Τροίηθεν δηλαδὴ ἔχων αὐτὰ ἐκ τῶν πατρῴων, τὰ δ᾽ ὑπέστη, τουτέστιν ὑπέσχετο. Καὶ ὅρα ὅπως ἱστορίαις κἀνταῦθα Ὅμηρος πυκάζει τὴν ποίησιν ποικίλαις, ἐκκλίνων τὸ ὁμοειδὲς διὰ τὸ προσκορές, ἐν αἷς καὶ τοπογραφεῖ καὶ γενεαλογεῖ καὶ πολλὰ ἕτερα κατορθοῖ, μερίζων διαφόροις τόποις αὐτάς. (v. 222 s.) Ἰστέον δὲ ὅτι τὸ «τράφη ἐν Θρῄκῃ» τοπικῶς μὲν σαφὲς ὄν, ἀοριστaῖνον δὲ κατὰ τὸ θρεψάμενον πρόσωπον, διασαφεῖ ὁ ποιητὴς ἐπαγαγὼν «Κισσῆς τόν γ᾽ ἔθρεψεν».

3.182 ἐπεὶ δὲ καὶ τὸ ἔθρεψεν ἀσαφῶς ἔχει—τρέφει γὰρ καὶ ὁ ἁπλῶς ἐμβρωματίζων κατὰ ξενίαν ἢ καὶ ἄλλως ἐκ παρόδου τινά—, ἑρμηνεύει τὴν λέξιν διὰ τοῦ «τυτθὸν ἐόντα», ἵνα λέγῃ ὅτι ἐκ μικροῦ ἀνεθρέψατο. Ἐστάλη γάρ, ὡς εἰκός, ὁ Ἰφιδάμας ἐκ Τροίας εἰς Θρᾴκην ἔτι νεώτατος ὤν, καθὰ καὶ Πολύδωρος εἰς Πολυμήστορα, ἵνα ἐν εἰρηνικοῖς χωρίοις ἐκτρέφηται. Τὸ δὲ «μητέρι μήλων» ὅμοιον ὡσεὶ καὶ πολύμηλον ἔφη τὴν Θρᾴκην, καθά που καὶ τὸν Ὀρχομενόν, τοιαύτη γὰρ ἦν καὶ αὐτή. Εἰ δέ τις, ὥς που καὶ ἀλλαχοῦ ἐτέθη, καὶ χώρα, ἐν ᾗ πολλὴ ὀπώρα τὰ μῆλα φέρεται,

μητέρα μήλων ἐρεῖ, ὁποία καὶ ἡ τῶν Παφλαγόνων, ἀστείως ἂν προσενεχθείη τῷ ἀκροατῇ ἐκ τοῦ Ὁμηρικοῦ κήπου δρεψάμενος. ὁ δὲ μητέρα γῆν τινα εἰπὼν καλῶς ἂν καὶ μαστὸν αὐτῇ δώσει, ὡς ἐν τῷ «οὖθαρ ἀρούρης». (v. 223) Τὸ δὲ «Κισσῆς» πάθος ἔχει συναιρέσεως. ἀπὸ γὰρ τοῦ Κισσέας συνείληπται, φασίν, ὁμοίως τῷ Ἑρμέας Ἑρμῆς, Ποδέας Ποδῆς. Εἴτε δὲ ὁ τοιοῦτος Κισσέας ὁ αὐτός ἐστι τῷ Κισσεῖ, οὗ Εὐριπίδης μέμνηται, εἴτε καὶ ἕτερος, ὅθεν καθ' ἕτερον σχηματισμὸν ἡ τοιούτου Κισσέως Κισσηῖς θυγάτηρ Κισσῆς λέγοιτ' ἂν κατὰ συναίρεσιν ἐν προ 〈σ〉 γεγραμμένῳ τῷ ι , ὁμοίως τῷ Νηρηῖς Νηρῆς καὶ τοῖς ὁμοίοις, οὐ καιρὸς ἄρτι πολυπραγμονεῖν. Μητροπάτωρ δὲ ὁ πρὸς μητρὸς πάππος. διὸ ἑρμηνεύων φησὶ «ὅς τίκτε Θεανώ». εἰ γὰρ Ἰφιδάμας υἱὸς ἦν Ἀντήνορος καὶ Θεανοῦς, τίκτει δὲ Κισσέας τὴν Θεανώ, μητροπάτωρ πάντως ἐστὶν οὕτως, ὡς ἐρρέθη, τῷ Ἰφιδάμαντι. ὁ δὲ μήτρως ἄλλως λέγεται καθ' ὁμοιότητα τοῦ πάτρως. Θεανοῦς δὲ τῆς ἐνταῦθα κειμένης ἐμνήσθη που καὶ πρὸ τούτων ὁ ποιητής. (v. 225) Ἐν δὲ τῷ «ἥβης μέτρον» τὸν καίριον γάμον δηλοῖ, ὅτε δηλαδὴ φίλτατος ἂν εἴη τῇ νύμφῃ ὁ γαμέτης καὶ ἡδὺς ἐν τοῖς στρώμασιν, οὗπερ κατὰ τὸν Ὅμηρον χαριεστάτη ἡ ἥβη καὶ ἡδεῖα, ὡς τὸ τῆς λέξεως δηλοῖ ἔτυμον. ἀπὸ τοῦ ἥδω γὰρ ἡ ἥβη κατὰ τοὺς παλαιούς. Μέτρον δὲ τὴν ἡλικίαν λέγει, καθ' ἣν χρονικῶς μετρεῖται τὰ ἡλικιούμενα ζῷα. δῆλον δὲ καὶ ὅτι τὸ «ἥβης ἐρικυδέος ἵκετο μέτρον» περίφρασίς ἐστι τοῦ ἥβησεν. Ἐνταῦθα δὲ σημειοῦνται οἱ παλαιοὶ καί, ὅτι ὅμοιος ὁ γάμος τοῦ τε Διομήδους καὶ τοῦ νεήλυδος τούτου Ἰφιδάμαντος, ἀμφότεροι γὰρ μητρὸς ἔγημαν ἀδελφάς. Ὅρα δὲ καὶ ἐν τῷ «ἐπεί ῥ' ἥβης» τὴν τοῦ ῥα συνδέσμου παρένθεσιν, οὐκ ἀναγκαίαν οὖσαν, ὅτι μὴ μόνον διὰ θεραπείαν σεσηρότος χασμήματος.

3.183 (v. 227) Τὸ δὲ «ἐκ θαλάμοιο» δηλοῖ μὲν τὴν εἰς Τροίαν ἐξ ὑπογύου μετὰ γάμον αὐτίκα ἔλευσιν, ἄγει δέ πως τὸν Ἰφιδάμαντα εἰς ὅμοιόν τι τῷ ἐν τῇ Βοιωτίᾳ ἱστορουμένῳ Πρωτεσιλάῳ. [Ὅτι δὲ θάλαμος καὶ ὁ κοιτὼν λέγεται, καθωμίληται.] (v. 228) Αἱ δὲ ιβ' νῆες καὶ δύναμιν καὶ πλοῦτον τῷ Κισσέᾳ μαρτύρονται καὶ παραλίαν εἶναι τὴν ὑπ' αὐτὸν χώραν δηλοῦσι. Τὸ δὲ «αἵ οἱ ἕποντο» δεσπότην τῶν ιβ' νηῶν εἶναι δηλοῖ τὸν νέηλυν, ἵνα λέγῃ, ὅτι σὺν ιβ' νηυσὶν οἰκείαις. [(v. 229) Ἡ δὲ Περκώπη αὕτη ἑτέρα ἐστὶ παρὰ τὴν διὰ τοῦ τ , ὡς ἀλλαχοῦ κεῖται, γραφομένην Περκώτην, περὶ ἧς ἱστόρηται ὅτι, καθὰ Κῦρος ὁ μέγας Πυθάρχῳ τῷ Κυζικηνῷ φίλῳ ὄντι πόλεις ἑπτὰ ἐχαρίσατο, ὧν μία καὶ ἡ Ὁμηρικὴ Πήδασος, οὕτω καὶ τῷ Θεμιστοκλεῖ Πέρσης βασιλεὺς τὴν εἰρημένην Περκώτην καὶ τὴν Παλαίσκηψιν δέδωκε στρωμνῆς χάριν καὶ ἱματισμοῦ, κελεύσας ἐκείνῳ στολὴν φορεῖν βαρβαρικήν. Δοκεῖ δὲ ἡ δεδηλωμένη Παλαίσκηψις διαστολὴν ἔχειν πρὸς νεωτέραν Σκῆψιν, ἧς ὁ πολίτης Σκήψιος.] (v. 230) Τὸ δὲ «εἰληλούθει» καὶ πρὸ αὐτοῦ τὸ «εἰλήλουθα», ὅσαις κατὰ τὸν Ἀλεξανδρέα Ἡρακλείδην διαλέκτοις πεποίηται, προδεδήλωται σαφῶς. Ἐν τούτοις δὲ σημείωσαι, ὡς οὐδὲν ὤνησεν οὔτε νῦν τὸν Ἰφιδάμαντα οὔτε μετ' ὀλίγα τὸν ἀδελφὸν Κόωνα, εἴπερ Ἀντήνορος παῖδές εἰσι, τοῦ, ὡς δεδήλωται, προξένου τῶν Ἀχαιῶν καὶ διὰ τοῦτο φίλου. πολέμιοι γὰρ ἐπεξιόντες τῷ βασιλεῖ τῶν ἴσων μετέχουσι, καὶ τοῦ φιλεῖν ἐπίπροσθεν τὸ πολεμεῖν θέμενοι ἀντιπολεμοῦνται, ὃ καὶ Γλαῦκος, εἰ τῷ Διομήδει ἀντισταίη, πάθοι ἄν. καὶ ῥίπτειν ἐθέλοντες πίπτουσι, καὶ οὐδὲ ὁ ἀνελὼν αὐτοὺς παρανομεῖ. οὐ γὰρ μιαρός, φασίν, ὁ ἐν πολέμῳ φόνος. Σημείωσαι δὲ ὡς τὸ κατὰ τὴν γενεαλογίαν τοῦ Ἰφιδάμαντος χωρίον ἀσάφειάν τινα ἔχει, οὐ μόνον διὰ τὸ συντόμως φρασθῆναι, ἀλλὰ καὶ διὰ τὴν τῶν πραγμάτων περιβολῆς νόμῳ μετάταξιν. Τὸ δέ γε κατὰ φύσιν ἔχει οὕτως. Ἀντήνορος τοῦ Τρωϊκοῦ γυνὴ ἡ Θεανὼ ἐκ Θρῄκης. ταύτης πατὴρ ὁ Κισσῆς, οἰκῶν ἐν Θρᾴκῃ, πρὸς ὃν σταλεὶς ὁ ἔγγονος Ἀντηνορίδης Ἰφιδάμας ὡς μητροπάτορα καὶ τραφεὶς ἐκεῖ, ἔγημε θυγατέρα ἐκείνου. (v. 233—7) Ὅτι διὰ πιθανότητα πλάττων ὁ ποιητὴς τὸν βασιλέα καὶ ἀποτυγχάνοντά ποτέ φησιν «Ἀτρείδης μὲν ἥμαρτε, παραὶ δέ οἱ ἐτράπετ' ἔγχος. Ἰφιδάμας δέ», ὁ προσεχῶς ἱστορηθείς, «κατὰ ζώνην θώρηκος ἔνερθε νύξεν, ἐπὶ δ' αὐτὸς ἔρεισε βαρείῃ χειρὶ πιθήσας. οὐδ' ἔτορε ζωστῆρα παναίολον, ἀλλὰ πολὺ πρὶν ἀργύρῳ ἀντομένη μόλιβος ὣς ἐτράπετ' αἰχμή». (v. 238—40) Ἐφ' οἷς

τὸ βασιλικὸν ἄτρεστόν τε καὶ γενναῖον ὑποδεικνύς φησι «καὶ τό γε χειρὶ λαβών» ὁ βασιλεύς, «ἕλκ' ἐπὶ οἷ», ἤγουν εἷλκεν ἐφ' ἑαυτῷ, «μεμαὼς ὥς τε λίς, ἐκ δ' ἄρα χειρὸς σπάσατο» καὶ ἑξῆς.

3.184 Καὶ ὅρα ὅπως ἠρέμα προβιβάζει τὸν λόγον ὁ ποιητὴς εἰς τὸ τὸν βασιλέα τῆς μάχης ἀπαγαγεῖν. Ἰφιδάμας μὲν γάρ, εἰ καὶ μὴ κρατερῶς, ἔτρωσε δ' ὅμως, ὁ δὲ ἀδελφὸς Κόων εὐθὺς μετ' αὐτὸν ἔνυξε δουρὶ ἐνεργέστατα. Σημείωσαι δὲ καὶ ὅτι οὐ μικρὸν εἰς δυστυχίαν μάχης ὅπλων ἀμέλεια. ἰδοὺ γὰρ δόρυ οὐκ εὖ ἐστομωμένον οὐδὲν ὤνησε τὸν ἔχοντα, ζώνη μέντοι βασιλική, ἀργύρῳ οὐ μόνον κοσμουμένη, ἀλλὰ καὶ στερεουμένη, ὠφέλησε τὸν βασιλέα. (v. 233) Ἰστέον δὲ ὅτι τὸ «παρετράπετο ἔγχος» ἐφερμηνευτικόν ἐστι τοῦ «ἅμαρτε». (v. 237) Τὸ μέντοι «ἐτράπετο αἰχμή» οὐ τοιοῦτόν ἐστιν, ἀλλ' ἀντὶ τοῦ ἐκάμφθη κεῖται. τέτραπται δὲ μεταφορικῶς τὸ «παρετράπετο ἔγχος» ἐκ τῶν ἐν ὁδῷ παρατρεπομένων τῆς κατ' εὐθεῖαν ἀτραπιτοῦ. (v. 235) Τὸ δὲ «ἔρεισε βαρείῃ χειρὶ πιθήσας» ἀντὶ τοῦ ὤθησε τὸ ἔγχος θαρρήσας τῇ ῥωμαλεότητι. καὶ ἔστι τὸ ἔρεισεν ἐπίτασις τοῦ ἔνυξεν, ὃ ἰσοδυναμεῖ τῷ οὔτησεν, ἔτρωσε. (v. 236) Τὸ δὲ «ἔτορε» δεύτερός ἐστιν ἀόριστος, συγκοπεὶς ἀπὸ τοῦ ἐτόρησε, κατὰ τὸ ἐχραίσμησεν ἔχραισμεν, ἐδούπησεν ἔδουπεν, ἐκτύπησεν ἔκτυπεν. [Ὠνοματοπεποίηται δὲ τὸ «ἔτορεν» ὥσπερ καὶ τὸ θέμα αὐτοῦ, ἐξ οὗ κατὰ συγκοπὴν τὸ τρῶ τρήσω. ἀπὸ δὲ τοῦ τορεῖν καὶ φώνημα τορόν, καὶ τορύνη σκεῦος μαγειρικόν, καὶ τόρος ὁ καὶ τόρνος, ὅθεν καὶ ῥῆμα τορεύω, καὶ ἕτερον τορνῶ, ὡς τὸ «τορνώσαντο δὲ σῆμα».

3.185 ἴσως δὲ καὶ ἡ Τορώνη κύριον, ᾗ πόλις Θρᾳκικὴ ὁμώνυμος, περιᾳδομένη καὶ νῦν.] (v. 236) Ζωστήρ δὲ κατὰ πολυωνυμίας λόγον ὁ αὐτὸς τῇ ἀνωτέρω ῥηθείσῃ ζώνῃ, ἣν καὶ θωρακοζώνην φασί τινες, λέγοντες ὅτι ἔνυξεν εἰς τὰ κάτω τῆς θωρακοζώνης. Παναίολος δὲ ζωστὴρ ὁ ῥηθεὶς τῇ κατὰ τὸν περὶ αὐτὸν ἄργυρον ποικιλίᾳ. (v. 237) Τὸ δὲ «μόλιβος ὥς» τῇ παραβολικῇ συντομίᾳ τὸ ἀχρεῖον δηλοῖ τῆς βαφῆς τοῦ σιδήρου, ἤτοι τῆς ἐπιδορατίδος, ἣ μολίβου δίκην ἐτράπη, ὡς ἐρρέθη, ἐν τῷ ἀπαμβλυνθῆναι. Τὸ δὲ «ἀργύρῳ ἀντομένη» γλυκέως εἴρηται ὡς ἐπὶ ἐμψύχου τινός. Ὅτι δὲ τοῦ ἀντομένη βαρύτονον θέμα τὸ ἄντω, καὶ ὅτι ὁ μόλιβος καὶ διὰ τοῦ δ ἔστιν οὗ γράφεται, πολλαχοῦ δηλοῦται, [καθὰ καὶ ἡ τροπὴ τοῦ ι εἰς υ ἐν τῷ μόλυβδος καὶ μολύβδαινα, ὡς καὶ ἐν τῷ ἁλυβδήσασα, ὃ κεῖται παρὰ τῷ Λυκόφρονι.] (v. 239) Τὸ δὲ «ἕλκεν ἐπὶ οἷ» ἀντιπτωτικῶς εἴρηται ἀντὶ τοῦ εἷλκεν ἐφ' ἑαυτόν. Εἰς δὲ τὸ «ἕλκεν ὥστε λίς» φασὶν οἱ παλαιοὶ ὡς οἱ λέοντες ὑφαρπάζουσι τῶν κυνηγετῶν τὰ δόρατα καὶ λανθάνουσιν ἐπισπώμενοι τὸν σφαγέα. καὶ τοῦτο δηλοῦν φαίνεται καὶ ὁ ποιητὴς ἐν τῷ εἰπεῖν πάνυ γοργῶς, ὅτι καθὰ λέων ἕλκει δόρυ, οὕτω καὶ τῷ Ἰφιδάμαντι ἐπίσπαστρον οἷον εἰς ὄλεθρον τὸ οἰκεῖον δόρυ γέγονεν. ἀφραίνει ἄρα ὁ ῥηθεὶς πρωθήβης, μὴ ἀφιεὶς τὸ δόρυ, ἀλλ' ἐφελκόμενος δι' αὐτοῦ εἰς θάνατον. Τὸ δὲ λίς κατὰ μὲν Ἀρίσταρχον, ὥς φασιν οἱ περὶ Ἀπίωνα καὶ Ἡρόδωρον, ὀξύνεται, συνεξομοιούμενον τῷ χαρακτῆρι τοῦ κίς κιός, ἔτι δὲ καὶ τῷ τίς καὶ θίς καὶ ῥίς, εἰ καὶ διαφόρως ταῦτα κλίνεται πρὸς τὸ λίς.

3.186 ὁ Αἰσχρίων δέ, φασί, περισπᾷ διὰ τὸ καὶ τὴν αἰτιατικὴν περισπᾶσθαι. ὡς γὰρ μῦς μῦν, δρῦς δρῦν, οὕτω καὶ λῖς λῖν. εἰ δὲ μηδὲν τῶν εἰς ις περισπᾶται, ἀλλ' ὁ Αἰσχρίων τοῦτο ἐποίει, ἐκφεύγων θηλυκὸν ἐπίθετον ὀξύτονον τὸ «λὶς πέτρη», ἐν Ὀδυσσείᾳ ῥηθέν. καὶ οὕτω μὲν ἐκεῖνος τὸ λίς, ὁ λέων, περιέσπα πρὸς διαστολὴν τοῦ ἐπιθετικοῦ, ἀλλ' ἡ παράδοσίς, φασί, τῷ Ἀριστάρχῳ πείθεται. (v. 241—5) Ὅτι ἐν τῷ «ὣς ὃ μὲν αὖθι πεσὼν κοιμήσατο χάλκεον ὕπνον οἰκτρὸς ἄπο μνηστῆς ἀλόχου, ἀστοῖσιν ἀρήγων, κουριδίης, ἧς οὔτι χάριν ἴδε, πολλὰ δ' ἔδωκε. πρῶθ' ἑκατὸν βοῦς δῶκεν, ἔπειτα δὲ χίλι' ὑπέστη», αἶγας ὁμοῦ καὶ ὄϊς, «τά οἱ ἄσπετα ποιμαίνοντο» χάλκεον μὲν ὕπνον ἢ τὸν ἐκ σιδήρου φησὶ ἢ τὸν στερρὸν διὰ τὸ ἀνέγερτον, ὥς που καὶ χάλκεον ἔφη δεσμὸν καὶ οὐρανόν, ἢ καὶ τὸν οὐ μαλακόν, ὁποῖον καὶ τὸ ἀλλαχοῦ μαλακὸν κῶμα, ἀλλὰ σκληρόν. (v. 242) Τὸ δὲ «οἰκτρός», ὅ ἐστιν οἴκτου ἄξιος, δηλοῖ ὡς οἰκτίζεται τὸν Ἰφιδάμαντα καὶ ὁ ποιητής, οὕτω νέον καὶ ἀπὸ θαλάμου ἐξ ὑπογύου, ὡς ἐρρέθη,

μετὰ κλέος Ἀχαιῶν ἐλθόντα διὰ τὸ φύσει φιλοπόλεμον. τοιοῦτοι γὰρ οἱ νέοι, ὡς καὶ Πίνδαρος δηλοῖ λέγων «γλυκὺς ἀπείρῳ πόλεμος. πεπειραμένων δέ τις ταρβεῖ προσιόντα». Φαίνεται δ' ἐν τοῖς πρὸ τούτου ὁ ποιητὴς καὶ τὸν Πρωτεσίλαον ὁμοίως οἰκτισάμενος. Ἀστοῖς δὲ ἀρήγων, τοῖς ἑαυτοῦ δηλαδή, τοῖς Τρωσίν. αὐτοὶ γὰρ ἀστοὶ τῷ Ἰφιδάμαντι, εἰ καὶ ἀσαφῶς ἔχειν δοκεῖ διὰ τὸ τῆς μετρικῆς συνθήκης ὑπερβατόν. (v. 243) Τὸ γὰρ «κουριδίης» οὐ συντάσσεται τοῖς ἀστοῖς, ἀλλ' ὑπερβατῶς μετὰ τὸ «ἄπο μνηστῆς ἀλόχου» ὕστερον ἐπίτηδες κεῖται, ἵνα εὐθὺς ἐπισυνάψῃ συνεχῶς τὴν περὶ τῆς ἀλόχου ἱστορίαν. Τὸ δὲ «ἧς οὔτι χάριν ἴδε» συλλαμβάνεται μέν τι καὶ πρὸς τὸ ἐν τοῖς ἑξῆς που ῥηθησόμενον χαριέστατον τῆς ἥβης, βοηθεῖ δὲ καὶ εἰς τὴν τραγικὴν τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασμάτων χάριν. Μάλιστα δὲ χάρις ἐνταῦθά ἐστι ἐκ τεκνοποιΐας καὶ μακρᾶς συμβιώσεως καλόν, ὧν στερηθεὶς ὁ Ἰφιδάμας, ὡς πρὸ ὥρας θανών, ἡμιτελῆ τὸν δόμον καὶ αὐτὸς ἔλιπεν. [Ἰστέον δὲ ὅτι τὸ «ἧς χάριν», τοῦτο δὴ τὸ Ὁμηρικόν, ἐνάγει νοεῖν, ὅτι τὸ χάριν ἀντὶ τοῦ ἕνεκεν ὄνομα ὂν ἐπιρρηματικὸν ἐντεῦθέν ποθεν εἴληπται. ὁ γὰρ εἰπών, ὅτι σοῦ χάριν τάδε ποιῶ ἢ ὑπομένω, δηλοῖ πάντως τὸ διὰ σὴν χάριν, ἵνα σοι χαρίσωμαι.

3.187 διαφέρει δὲ τὸ τοιοῦτον αἰτιολογικὸν τοῦ ἕνεκεν, ὅτι αὐτὸ μὲν ἐπὶ μόνων χαρίτων τίθεται τῶν ὑπέρ τινων, τὸ δὲ ἕνεκεν ἁπλῶς αἰτιολογεῖ πλατύτερον, οἷον ἕνεκά σου ὁπλίζομαι, ἤγουν κατὰ σοῦ, ὡς πολεμήσων σοι, οὐ μὴν χάριν σοῦ.] Τὸ δὲ «ἔδωκε» δὶς ῥηθὲν ἐν τέλει ἐννοιῶν κατὰ σχῆμα κάλλους ἀνάγει καὶ τὰ ἕδνα εἰς τὸ δῶρον καθάπερ εἴς τι γένος. (v. 244) Τὸ δὲ «ἑκατὸν βοῦς ἔδωκεν» ἐξηγητικόν πώς ἐστι τοῦ γυνὴ ἀλφεσίβοια, αἱ γὰρ τοιαῦτα ἕδνα λαμβάνουσαι εἶεν ἂν ἀλφεσίβοιαι. [Ὅτι δὲ οὐ ταὐτὸν τὸ ἑκατὸν βοῦς καὶ τὸ ἑκατόμβοιον, πολλαχοῦ φαίνεται. οὕτω δὲ οὐδὲ ἡ ἑκατόμβη ταὐτίζεται τούτοις.] Ἐν δὲ τῷ τόπῳ τούτῳ δηλοῦται καί, ὡς ἐν οὐ πολυτιμήτοις τισὶ παρὰ τοῖς παλαιοῖς ἦν ἡ τῶν ἕδνων μεγαλοπρέπεια. ἐν θρέμμασι γὰρ ὡς τὰ πολλά. [Θρέμματα δ' ἔφαμεν ἄρτι τὰ τετράποδα, οὐ μὴν ἑτεροῖά τινα, ὁποῖον καὶ αἱ περιστεραί, ἃς ὁ Λιβάνιος θρέμμα φησὶ δεινὸν καταδουλώσασθαι νέους.] (v. 244 s.) Τὸ δὲ «χίλια ὑπέστη», ἤγουν ὑπέσχετο, «αἶγας ὁμοῦ καὶ ὄϊς» καινοπρεπῶς μὲν ἐσχημάτισται, λόγου δὲ ὅμως ἔχεται. τὸ γὰρ χίλια, ὥσπερ καὶ τὸ πολλά, οὐδετέρως λεχθὲν ὡς πρὸς γενικόν τι νοεῖται τὸ ζῷα ἢ θρέμματα ἢ κτήματα. διὸ καὶ ἐλλειπτικῶς εἰρῆσθαι δοκεῖ, ὡς ἐν τῷ χίλια λείποντος τοῦ ζῷα ἢ τοιούτου τινός, καθὰ καὶ ἐν τῷ «πολλὰ δ' ἔδωκε», καὶ ἐν τῷ «τά οἱ ἄσπετα ποιμαίνοντο». ἔστι δὲ καὶ Ἀττικὸν τὸ κατὰ γένους ὑπαλλαγὴν εἰπεῖν χίλια αἶγας ὁμοῦ καὶ ὄϊς, ἃ ἐποιμαίνοντο. Ἐν δὲ τῷ ἐποιμαίνοντο οὐ μόνον τὸ κυριολεκτούμενον αἱ ὄϊς, ἀλλὰ καὶ βόες καὶ αἶγες συνεισάγονται καταχρηστικῶς, [ἤδη δὲ καὶ συνεκδοχικῶς, ἤγουν κατὰ σύλληψιν, ὡς τῇ ποιμάνσει συλλαμβανομένου καὶ τοῦ βουκολεῖν καὶ αἰπολεῖν.] Ὅρα δ' ἐν τούτοις καὶ τὸν Τρωϊκὸν ἐν ζῴοις περιουσιασμόν, εἴπερ ὁ Ἰφιδάμας τοσαῦτα εἶχεν, ὧν μέρος τὰ ῥηθέντα πολλὰ ἕδνα. εἰ δὲ καὶ νῆες Θρᾳκικαὶ τοῖς Τρωσὶν ἐπικουρίαν ἔστελλον, σημείωσαι ὡς οὐκ ἠσχολοῦντο θαλασσοκρατεῖν οἱ Ἀχαιοί, ἑνὸς καὶ μόνου γινόμενοι τοῦ περὶ τὴν Τροίαν πονεῖσθαι διὰ τὸ ἀπὸ χρησμοῦ δέκατον ἔτος τῆς ἁλώσεως.

3.188 (v. 247) Ὅτι λαφυραγωγοῦ ἀριστέως τὸ «βῆ δὲ φέρων ἂν ὅμιλον Ἀχαιῶν τεύχεα καλά». (v. 248) Ὅτι καθὰ καὶ ἀλλαχοῦ ἐφάνη, ὥσπερ τὸ κορυφαῖος, οὕτω καὶ τὸ δῖος καὶ τὸ ἀριδείκετος διὰ τὴν φύσιν τῆς αὐτῶν σημασίας γενικῇ συντάσσονται ὡς οἷα ὑπερθετικά. Φησὶ γοῦν «Κόων ἀριδείκετος ἀνδρῶν», ὥσπερ καὶ «δῖα γυναικῶν», τέτριπται δὲ καὶ τὸ «κορυφαῖος τῶνδέ τινων». ἡ γὰρ ἐπίτασις τοῦ ἀρι μορίου, καὶ ἡ παρωνυμία τῆς ἐξεχούσης κορυφῆς καὶ τοῦ εὐρυμέδοντος Διός, δύναμιν ὑπερθετικὴν τοῖς ῥηθεῖσιν ὀνόμασιν ἐπορίσαντο. Σεμνύνει δὲ Ὅμηρος τὸν Κόωνα εἰπὼν ἀριδείκετον ἐπὶ αὐξήσει τοῦ κατὰ τὸν βασιλέα ἔργου, ὃς τὸν οὕτω μέγαν ἔρριψεν. [Ἰστέον δὲ ὅτι τὸ μὲν ἀριδείκετος καὶ κορυφαῖος καὶ δῖος εὔλογον ἔχουσι τὴν ὑπερθετικὴν μετὰ γενικῆς σύνταξιν, ἐν δὲ τῷ «νικᾷ γὰρ ἡ ἀρετή με τῆς ἔχθρας πολύ» καινῶς τὸ πολὺ ἀντὶ τοῦ πλέον ληφθὲν γενικῇ συντέτακται. τὸ δέ γε «μεταβολὴ πάντων γλυκύ»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλοῖόν τι παρὰ ταῦτά ἐστιν.] (v. 248—56) Ὅτι κινδυνεύει ὁ πρεσβυγενὴς Ἀντηνορίδης Κόων διὰ τὸν ἀδελφὸν Ἰφιδάμαντα. ὡς γὰρ ἐνόησε τὸν ἀδελφὸν πεσόντα, «κρατερόν ῥά ἑ», ἤγουν αὐτόν, «πένθος ὀφθαλμοὺς ἐκάλυψεν», ὅ ἐστι περιφραστικῶς ἀντὶ τοῦ ἐλυπήθη, «στῆ δ' εὐρὰξ σὺν δουρὶ λαθὼν Ἀγαμέμνονα δῖον», καὶ κλέψας οὕτω τὴν νίκην, «νύξε δέ μιν κατὰ χεῖρα μέσην ἀγκῶνος ἔνερθε», κατὰ δέ τινας ὕπερθεν, «ἀντικρὺ δὲ διέσχε φαεινοῦ δουρὸς ἀκωκή. ῥίγησε δ' ἄρ' ἔπειτα» ὁ βασιλεύς, «ἀλλ' οὐδ' ὣς ἀπέληγε μάχης ἠδὲ πτολέμοιο, ἀλλ' ἐπόρουσε Κόωνι ἔχων ἀνεμοτρεφὲς ἔγχος».

3.189 (v. 257—61) Καὶ ὁ μὲν Κόων «Ἰφιδάμαντα κασίγνητον καὶ ὄπατρον ἕλκε ποδός», ἐπιβοώμενος πάντας ἀρίστους. ἤδη γὰρ αὐτὸν ὑποτρέχει δειλία καὶ οὐ θαρρεῖ μόνος ἕλκειν. ὁ δὲ βασιλεὺς ῥίψας καὶ αὐτὸν ἐπ' Ἰφιδάμαντι «κάρη ἀπέκοψε παραστάς», ἤγουν ἔτεμε τὴν αὐτοῦ κεφαλὴν θεὶς ἄνω τοῦ Ἰφιδάμαντος, καὶ ὥσπερ ἐπιξήνῳ μακελλικῶς τῷ ὑποκειμένῳ νεκρῷ χρησάμενος. καὶ οὕτω κακὸν ἐπὶ κακῷ κεῖται, τὸ παροιμιῶδες, καὶ ἔχει ἀστεϊσμόν τε καὶ βαρύτητα ἡρωϊκὴν ἡ πρᾶξις αὕτη. (v. 262 s.) Εἶτα συμπληρῶν Ὅμηρος τὸ νόημά φησιν· ὡς οἱ μὲν Ἀντηνορίδαι ὑπὸ τῷ βασιλεῖ «πότμον ἀναπλήσαντες ἔδυν δόμον Ἄϊδος εἴσω», ὁ δὲ ἐποίει τὰ ῥηθησόμενα. Ἔστι δὲ τὸ «πότμον ἀναπλήσαντες» ἀντὶ τοῦ ἐντελῶς θανόντες καὶ μὴ κατὰ ἡμιθανεῖς διατεθέντες, ἢ καὶ ἄλλως ἀντὶ τοῦ τὴν τύχην πληρώσαντες. εὐποτμίαις γὰρ καὶ δυσποτμίαις οἱ τεθνεῶτες οὐχ' ὑπόκεινται, οὕτω καὶ μοῖραν ἀναπλῆσαι βιότου τὸ πληρῶσαι τὴν ζωήν. τὰ δὲ τοιαῦτα περίφρασίς ἐστι τοῦ θανεῖν. Ὅρα δὲ ἐν τοῖς ῥηθεῖσι καὶ ὡς ἀτυχίαν μὲν ἐνταῦθα, οὐ μὴν ἀνανδρίαν ἔστι τοῦ βασιλέως αἰτιάσασθαι, ὃς ἀριστεύων ἐκ πλαγίου τιτρώσκεται λεληθότως, οὐ μὴν προτροπάδην φεύγων κατὰ νώτων, ἀλλ' οὐδὲ κατὰ στέρνου, ὧν οὐδέτερον ἡρωϊκῆς ἦν ἀνδρίας. Σημειοῦνται δὲ οἱ παλαιοί, ὡς τὴν ἀριστερὰν ἐβλήθη χεῖρα ὁ βασιλεύς, ἀπὸ τοῦ ἐν τῷ ἐπιταφίῳ ἀγῶνι ἐθέλειν ἀθλῆσαι ἄκοντι. οὐ γὰρ ἂν ἀκοντίσειν ἠθέλησεν ἐναγώνια, εἰ τὴν δεξιὰν ἐτέτρωτο, πλὴν εἰ μή που ἦν ἀμφιδέξιος. (v. 251) Τὸ δὲ «εὐράξ» δηλοῖ μὲν τὸ ἐκ πλαγίου, γίνεται δέ, φασίν, ἀπὸ τοῦ πλευράξ. Ὀξύνεται δὲ κανόνι τοιούτῳ. τὰ εἰς αξ ἐπιρρήματα ὀξύνεται πλὴν τοῦ ἅπαξ. Ἢ καὶ ἄλλως καθολικώτερον· τὰ εἰς ξ λήγοντα ἐπιρρήματα ὀξύνονται· ἀπρίξ, ὑποδράξ, διαμπάξ, πύξ, γνύξ, πλὴν τοῦ ἅπαξ καὶ πέριξ.

3.190 τὸ παρέξ διφορεῖται, καὶ παρ' Ὁμήρῳ μὲν ὀξύνεται, παρὰ δὲ τοῖς ὕστερον βαρύνεται. Ἰστέον δὲ ὅτι καθ' Ἡρακλείδην διαλέκτου Ἰωνικῆς καὶ Αἰολικῆς ἐστι τὸ εὐράξ. Ἡ γὰρ τῶν Ἰώνων καὶ Αἰολέων, φησί, διάλεκτος τὰ πρῶτα σύμφωνα αἴρειν εἴωθεν, ἄν τε ἓν ᾖ, ἄν τε καὶ δύο τύχῃ, ἓν μὲν ὡς ἐπὶ τοῦ λαιψηρός αἰψηρός, πήγανον ἤγανον, δεινόν αἰνόν, δύο δὲ ὡς ἐπὶ τοῦ πλάνη. ἀπελθόντων γὰρ τῶν ἐξ ἀρχῆς δύο συμφώνων γίνεται ἄνη καὶ κατὰ ἀντίθεσιν τοῦ ν εἰς τὸ λ ἄλη. οὕτω δὲ καὶ ἐκ τοῦ πλανᾶ[σθαι, φησί, τὸ ἀλᾶσθαι, καὶ ἐκ τοῦ φθείρω δὲ ἀπελθόντων τῶν ἐν ἀρχῇ κειμένων δασέων τὸ ἔρρω φησὶ γίνεσθαι] καθ' ὁμοιότητα τοῦ κείρω κέρρω Αἰολικοῦ. ὁμοίως οὖν καὶ ἐκ τοῦ πλευράξ ἀφῄρηνται τὰ κατάρχοντα δύο σύμφωνα, καὶ λέλειπται τὸ εὐράξ, ὃ κεῖται καὶ παρὰ Λυκόφρονι. [Τοῖς δὲ τὸ κατ' ἀρχὴν ἓν σύμφωνον ἀποβάλλουσι συντακτέον καὶ τὸ σῦς ὗς, σμικρός μικρός, καὶ τἄλλα ὅσα ἑτέρωθι κεῖται, ἐν οἷς καὶ τὸ σιαγών ὑαγών τὸ καινότατον, καὶ τὸ σμάραγδος μάραγδος, οἷον «μάραγδον εἶναι ταῦτ' ἔδει καὶ σάρδια». ὅτι δὲ τὴν εἰρημένην ὑαγόνα κατὰ ἀναλογίαν φασὶν εἶναι ἀπὸ τοῦ ὗς ὑός, εἴσεται ὁ τῷ εἰπόντι περιτυχών.] (v. 253) Τὸ δὲ «διέσχε» καὶ νῦν ἀντὶ τοῦ διέσχισε, διῆλθε, διήλασε. τοιοῦτον καὶ τὸ «διασχὼν τὴν νεφέλην», καὶ κεῖται ἡ λέξις παρὰ πολλοῖς. Ὁ δὲ Κωμικὸς δίχα προθέσεώς φησιν «οὐκ ἔσχον τὴν γαστέρα», ἤγουν ὀπτωμένην οὐκ ἔσχασα, καὶ ἔστι τοῦτο πρωτότυπον τοῦ σχάζω. Ἔχει δὲ πολλὴν διαφορὰν τὸ ἔσχον καὶ τὸ διέσχον. τὸ μὲν γὰρ ἁπλῶς δηλοῖ σχίσμα, τὸ δὲ διασχεῖν πλέον τι σημαίνει. τὸ διαμπερὲς γάρ. διὸ καὶ ὁ ποιητής φησιν «ἀντικρὺ δὲ διέσχε». Φαεινὸν δὲ δόρυ τὸ δι' ἐπιμέλειαν ἠκονημένον καὶ ἐσμηγμένον καὶ διὰ τοῦτο λαμπρόν.

3.191 (v. 254) Τὸ δὲ «ῥίγησεν» ὡς διαφέρει τοῦ ἐρρίγωσεν, ἀλλαχοῦ εἴρηται. (v. 255) Ὅρα δ' ἐνταῦθα τὸ γενναῖον τοῦ βασιλέως, εἰ καὶ ῥιγήσας μετὰ πληγὴν ὅμως οὐκ ἀπέληγε μάχης. ῥιγῆσαι μὲν γὰρ ἐπὶ πληγῇ ἀνθρώπινον, ἀνδρεῖον δὲ τὸ ὑποστῆναι καὶ οὕτω μάχην. Τὸ δὲ «μάχης ἠδὲ πτολέμοιο», εἴτε διαφοράν τινα ὑποδηλοῖ τοῦ μάχεσθαι καὶ πολεμεῖν, εἴτε ταὐτίζονται, προδεδήλωται. Ὁ δὲ πτόλεμος Κυπρίων καὶ Ἀττικῶν λέξις καθ' Ἡρακλείδην ἐστί, καθὰ καὶ ἡ πτόλις, ὧν ἴδιον παρεντιθέναι ῥήμασι καὶ ὀνόμασι τὸ τ . ἔνθεν, φησί, καὶ ἡ ἄνακτος καὶ νυκτὸς γενικὴ ἔχει τὸ τ . τῶν αὐτῶν δὲ καὶ τὸ ἀνύω ἀνύτω, καὶ ἀρύω ἀρύτω, ἐξ οὗ καὶ ἡ παρὰ τῷ Κωμικῷ ἀρύταινα. (v. 256) Ἀνεμοτρεφὲς δὲ ἔγχος τὸ τραφὲν καὶ ἐγγυμνασθὲν τὰς ἶνας ἀνέμῳ καὶ διὰ τοῦτο στερρὸν καὶ οὐκ εὔθραυστον, ἀλλὰ εὔτονον, ὁποῖα τὰ ἐν εὐηνέμοις χωρίοις τρεφόμενα φυτά. διὸ καὶ ἡ τοῦ Ἀχιλλέως μελία κατὰ τὸν ποιητὴν Πηλίου ἐκ κορυφῆς τέτμηται, ὅπου μάλιστα ἦν ἀνέμοις εὐγύμναστος. Ἕτεροι δὲ ἀνεμοτρεφὲς ἔγχος νοοῦσι τὸ οἷον ἀνεμοτρεπὲς καὶ ἀντιτασσόμενον ἀνέμοις διὰ στεριφότητα, καὶ οὐ τοιοῦτον οἷον ἂν ἐξαπίνης ἄνεμος βόθρου τ' ἐκστρέψῃ καὶ τανύσῃ ἐπὶ γῆν, ὃ περὶ ἔρνους νεοθηλοῦς λέγει που ὁ ποιητής. Ἄλλοι δὲ ἀνεμοτρεφές φασι τὸ κοῦφον καὶ εὐκίνητον. [Καὶ τοιοῦτον μὲν τὸ ἀνεμοτρεφὲς ἔγχος. κῦμα δέ που ἀνεμοτρεφές, ὅπερ ἀνέμῳ αὔξεται τρεφόμενον, ἤγουν πηγνύμενον καὶ συνιστάμενον, ὡς κορυφοῦσθαι καὶ μὴ δίκην ἐπιπέδου ὡς ἐν νηνεμίᾳ ἡπλῶσθαι.] (v. 257) Ἐν δὲ τῷ «κασίγνητον καὶ ὄπατρον» γενικὴ μὲν λέξις ὁ κασίγνητος, εἰδικὴ δὲ ὁ ὄπατρος, λεχθεῖσα πρὸς διαστολὴν τῶν μὴ τοιούτων. δύναται δὲ καὶ ἐκ περισσοῦ κεῖσθαι ὁ και σύνδεσμος. Ἔστι δὲ ὄπατρος ὁ ὁμόπατρος, ἀντιδιαιρούμενος τῷ ὁμομητρίῳ. Εἰ δὲ ὤφειλεν οὕτω δασύνεσθαι ἡ ἄρχουσα ἐκ τοῦ ὁμοῦ, ἀλλὰ ψιλοῦται ἄλλως, διότι τὸ ο πρὸ τοῦ π οὕτω πάσχει, εἰ μὴ κατὰ ἀναφορικὴν ἔννοιαν εἴη, σεσημειωμένου τοῦ ὁπλή καὶ ὅπλον καὶ τῶν παρ' αὐτά. ἀναφορικὰ δέ εἰσι τὸ ὁποῖος, ὁπόσος, ὁπηλίκος καὶ τὰ τοιαῦτα.

3.192 παραδείγματα δὲ τοῦ κανόνος, ὀπιπεύω, ὀπή, ὀπώρα, ὀπάων, παρὰ τὸ ἕπω τὸ δασυνόμενον. οὕτως Ἀπίων καὶ Ἡρόδωρος. τὸ δὲ λέγειν ὡς ἡ συγκοπὴ ἐψίλωσεν αὐτὸ οὐ πάνυ ἀσφαλές, οὐ γὰρ πάντα δι' αὐτὴν ψιλοῦνται, ἀλλ' ἔστιν ἃ μένουσι δασυνόμενα, ὡς καὶ τὸ ἑστήκαμεν ἕσταμεν. (v. 264 s.) Ὅτι ἀνδρικοῦ στρατιώτου ἔργον τὸ «αὐτὰρ ὅ», ἤγουν οὗτος, «τῶν ἄλλων ἐπεπωλεῖτο στίχας ἀνδρῶν ἔγχεΐ τ' ἄορί τε μεγάλοισί τε χερμαδίοισι». Καὶ ὅρα τὸ «μεγάλοισι», δι' οὗ ὑψοῦται τὸ ταπεινὸν τῆς τῶν χερμαδίων ὑποκορίσεως, ὃ καὶ ἡ Ὀδύσσεια ποιεῖ ἐν τῷ «μάλα γὰρ μέγα θηρίον ἦεν». Ὡς δὲ τὸ ἐπιπωλεῖσθαι καὶ ἡ ἐπιπώλησις καὶ ὅλως τὸ πωλεῖται, ὡς τὸ «πωλεῖταί τις δεῦρο γέρων ἅλιος», μεγεθύνεται παρὰ τῷ ποιητῇ, δῆλόν ἐστιν. (v. 264—6) Ὅτι ὄφρα μὲν τῷ βασιλεῖ «αἷμα ἔτι θερμὸν ἀνήνοθεν», ἤτοι ἀνεφέρετο, «ἐξ ὠτειλῆς», ἣν ὑπὸ Κόωνος ἔπαθεν, «ἐπεπωλεῖτο στίχας ἀνδρῶν», ἤτοι μετήρχετο τοὺς πολεμίους «ἔγχεΐ τε» καὶ ἑξῆς, ὡς προσεχῶς ἐρρέθη. Ἔνθα ὅρα τὸ μένος καὶ τὸ θάρσος τοῦ ἥρωος. (v. 267 s.) «Αὐτὰρ ἐπεί», φησί, «τὸ μὲν ἕλκος ἐτέρσετο, παύσατο δ' αἷμα, ὀξεῖαι δ' ὀδύναι δῦνον μένος Ἀτρεΐδαο», διὰ τὸ ἤδη φλεγμαίνειν τὸ τραῦμα καὶ οὕτω νύττεσθαι αὐτὸν ὑπὸ ἐγκοπτικῆς ἀλγηδόνος, ὡς οἷα ὑπὸ κέντρου ὀξέος τινός. καὶ ἔστι καιριωτάτη λέξις ἐνταῦθα τὸ ὀξεῖα καὶ δυσμετάληπτος, ἤγουν δυσερμήνευτος, καὶ μόνοις τοῖς πεπειραμένοις τοιούτου νύγματος δῆλον τὸ ταύτης καίριον γίνεται. (v. 269—72) Εἶτα διδάσκει παραβολικῶς, ποίᾳ ὀξύτητι ἔοικεν ἡ τοιαύτη ὀδύνη, ὅτι δηλαδὴ τῇ ἐν ταῖς ὠδῖσι τῶν τικτουσῶν, ἣν καὶ βέλος ὀξὺ καλεῖ καὶ δριμύ, ἔτι δέ πως καὶ πικρὸν ἐν τῷ πικρὰς ὠδῖνας εἰπεῖν. Φησὶ γὰρ «ὡς δ' ὅτ' ἂν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα δριμύ, τό τε», ἤγουν ὅπερ, «προϊεῖσι μογοστόκοι Εἰλείθυιαι Ἥρης θυγατέρες πικρὰς ὠδῖνας ἔχουσαι, ὣς ὀξεῖαι ὀδύναι δῦνον μένος Ἀτρεΐδαο». Καὶ ὅρα ὅτι τε ἀποδεξάμενος τὸ «ὀδύναι δῦνον» δὶς αὐτῷ ἐχρήσατο, περὶ οὗ ἐφεξῆς ῥηθήσεται, καὶ ὅτι κύκλου σχῆμά τι ὁ τόπος ἔχει. ὁ γὰρ πρὸ τῆς παραβολῆς στίχος καὶ ἡ παραβολικὴ ἀπόδοσις παρὰ μίαν λέξιν ταὐτίζονται κατὰ πάντα, οἷα τοῦ ποιητοῦ ἐπίτηδες τὴν πικρὰν ἐνταῦθα ἔννοιαν γλυκάναντος σχήμασι καλοῖς.

αἴτιον δ’ ὅτι οὔτε τὸ δριμὺ οὔτε τὸ πικρὸν οἰκεῖον ταῖς ὠδῖσιν, ὡς τὸ ὀξύ φασιν οἱ παλαιοί. διὸ ἐκ τοῦ ὀξεῖαι ἀρξάμενος Ὅμηρος εἰς αὐτὸ πάλιν κατέληξε διὰ τὸ τῆς λέξεως καίριον.

3.193 (v. 266) Τὸ δὲ «ἀνήνοθεν» ἀγωγὴν μὲν ἔχει, ὁποίαν ἐν τῇ βῆτα ῥαψῳδίᾳ τὸ ἐνήνοθεν. ἐκ τοῦ ἔθω γὰρ ἢ ὤθω γίνεται, ταὐτὸν δέ ἐστι τῷ ἀνηκόντιζεν, ὅπερ ἀλλαχοῦ κεῖται. (v. 267) Ἕλκος δὲ φιλοσόφως λέγει οὐ τὸ ἤδη ἔμπυον, ἀλλὰ τὴν τῆς συνεχείας λύσιν, διὰ τὸ παρειλκύσθαι τῆς κατὰ φύσιν θέσεως. διότι δὲ τὰ παρελκυσθέντα οὐ πελάζει, διὰ τοῦτο ἐτόλμησέ τις καὶ ἄπελος τὸ ἕλκος εἰπεῖν διὰ στέρησιν τοῦ πελάζειν. Τέρσεσθαι δὲ τὸ ξηραίνεσθαι καὶ τέρσω τὸ ξηραίνω, ἐξ οὗ τὸ τερσαίνειν καὶ ὁ τῶν τυροποιούντων ταρσός, καλαθίσκος δηλαδή, ἐν ᾧ τυρὸς τέρσεται, καὶ ὁ τοῦ ποδός, [κατὰ δέ τινας καὶ ἡ τῶν Κιλίκων Ταρσός. Ὅτι δὲ ὁ τῆς τυροποιΐας ταρσὸς καὶ ταρρὸς λέγεται κατὰ τὸ πυρσός πυρρός καὶ τὰ ὅμοια, δηλοῖ ὁ Κωμικὸς ἐν τῷ «ἀπὸ ταρροῦ τοὺς θεοὺς ὑπερφρονεῖς».] Τὸ δὲ «παύσατο δ’ αἷμα» ἑρμηνεία ἐστι τοῦ ἐτέρσετο. Οὕτω καὶ Ταρσὸς ἡ πόλις ἐκλήθη, ὡς καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ δηλοῦται, παυσαμένης τῆς τῶν ὑδάτων ἐπιρροίας ἐπ’ αὐτήν. Εἰ δὲ καί, ἄλλως εἰπεῖν, πρωθύστερον κἀνταῦθα σχῆμά ἐστι, καὶ προηγεῖται μὲν φύσει τὸ «παύσατο αἷμα», ἕπεται δὲ τὸ «ἐτέρσετο ἕλκος», οὐκ ἂν εἴη τὸ «παύσατο αἷμα» ἐφερμηνευτικὸν τοῦ «ἕλκος ἐτέρσετο». (v. 268) Τὸ δὲ «ὀδύναι δῦνον» οὐ μόνον παρήχησίς ἐστι σώφρων, ἀλλὰ καὶ ἐτυμολογία τῆς ὀδύνης, οὕτω λεγομένης διὰ τὸ εἰς βάθος δύνειν. Ὅρα δὲ ὡς τὸ μὲν δύνειν ἐκτείνει τὴν παραλήγουσαν, τὸ δὲ ἐξ αὐτοῦ ἡ ὀδύνη βραχείᾳ παραλήγεται. Καιρία δὲ λέξις ἐπὶ τῶν τοιούτων ἡ ὀδύνη, διὸ ἐπιμένει καὶ αὐτῇ, ὡς ἐρρέθη, ὁ ποιητής. (v. 269) Τὸ δὲ «ὠδίνουσαν» παρακείμενον ταῖς ὀδύναις παρήχησιν ἐμφαίνει παρερριμμένην ἁπλῶς οὕτω καὶ εἰκῇ καὶ ἀπραγματεύτως εἰς ὁμοιότητα μόνης ἐξηχήσεως, οὐ μὴν καὶ γραφῆς, ὁποῖαι καὶ ἄλλαι καινόφωνοι προεγράφησαν.

3.194 ἴσως δὲ καὶ ἐτυμολογικῶς παράκεινται ταῖς ὀδύναις αἱ ὠδῖνες. δοκεῖ γὰρ ἐκ τῆς ὀδύνης γίνεσθαι ἡ ὠδὶν κατὰ ἔκτασιν τῆς ἀρχούσης καὶ τροπὴν τοῦ υ εἰς ι . Ἔστι δὲ κυρίως ὠδίνειν τὸ ἐπὶ τόκῳ ἀλγεῖν. εἰ δέ ποτε καὶ τὸ γεννᾶν οὕτω λέγεται, ἀπὸ τοῦ παρακολουθοῦντος λέγεται, ἤγουν ἐκ τῶν ὠδίνων, αἳ ταῖς τικτούσαις ἕπονται. ἡ δὲ τοῦ Σοφοκλέους Τέκμησσα ἐν τῷ «ὥστε μ’ ὠδίνειν τί φής» τὸ ὑπερβολικῶς λυπεῖσθαι ὠδίνειν εἰποῦσα ἔχει συγγνώμην ὡς γυναικικῶς ἐκ πείρας φράσασα. Τὸ δὲ «βέλος ἔχῃ» κάτοχον ὀδύναις βούλεται εἶναι τὴν ὠδίνουσαν, καὶ οὐκ ἔστι φράσαι κάλλιον. ἐντεῦθεν καὶ θυμῷ κάτοχος λέγεταί τις καὶ λύπῃ καὶ Ἄρεϊ καὶ τοῖς ὁμοίοις. Δῆλον δ’ ὅτι σωματικώτερον ἡ ποίησις ὄργανόν τι ταῖς Εἰλειθυίαις δίδωσι τηλεβόλον, ἐξ οὗ βέλος ὀξὺ ταῖς τικτούσαις προΐεται ὡς ἐκ τόξου ὀϊστός, ἵνα ὥσπερ ἡ Ἔρις εἶχέ τι τέρας πολέμου ἐν χερσὶ καὶ ὁ Ζεὺς δὲ ἀστραπήν, οὕτω καὶ τὰς ὠδῖνας αἱ Εἰλείθυιαι, ἃς καὶ προϊεῖσι βέλους δίκην κατὰ τῶν τικτουσῶν. (v. 270) Ἔστι δὲ τὸ «προϊεῖσιν» ὅμοιον τῷ τιθέασι τιθεῖσιν. ὡς γὰρ ἐκεῖνο τῇ πληθυντικῇ δοτικῇ ὁμοφωνεῖ τῆς οἰκείας μετοχῆς, οὕτω καὶ τοῦτο. Τὸ δὲ «μογοστόκοι Εἰλείθυιαι» παροξύνεται ὁμοίως τῷ πρωτοτόκοι γυναῖκες ὡς ἐνέργειαν δηλοῦν τὴν κατὰ τῶν τικτουσῶν. τὰ γὰρ τοιαῦτα τῶν συνθέτων, ὥς φασιν οἱ παλαιοί, ἐνέργειαν ὑπισχνούμενα, παροξύνονται, εἰ μὴ κανὼν ἄλλος κωλύει, χωρὶς τοῦ ἱππόδαμοι. αὐτὸ γὰρ ἄντικρυς τῷ κανόνι μάχεται. ἐνεργητικὸν γὰρ ὂν καὶ κανόνα μὴ ἔχον κωλύοντα προπαροξύνεται. Πλεονασμὸν δὲ τοῦ ς ἡ μογοστόκος ἔχει, ὡς ἂν οὕτως εὐχρηστηθείη πρὸς μέτρον. οὕτω καὶ ἐν τῷ θέσφατον καὶ θεσπέσιον καὶ θεόσδοτον καὶ τοῖς ὁμοίοις τὸ ς δι’ ὁμοίαν αἰτίαν ἐπλεόνασε. (v. 271) Θυγατέρες δὲ Ἥρας γαμηλίου μυθικῶς αἱ μογοστόκοι Εἰλείθυιαι ὡς ἐπιστατοῦσαι τόκοις καὶ ἐν τῷ ποιεῖν τὰ ἔμβρυα εἰς φῶς ἐλεύθειν μόγους ταῖς τικτούσαις ἐκ τῶν ὀδυνῶν ἐπάγουσαι, ὡς εἰ καὶ βέλη ἔπεμπον.

3.195 καὶ ἴσως τοιούτῳ λόγῳ τοξικὴ καὶ ἡ Ἄρτεμις ὡς τοῖς τόκοις οὕτως ἐπιστατοῦσα καὶ αὐτή. διὸ καὶ λοχεία ἐπονομάζεται. Λέγονται δὲ Εἰλείθυιαι παρὰ τὸ ἐλεύθειν, ὡς εἴρηται. διὸ καὶ γράφεται ἡ μὲν ἄρχουσα διὰ διφθόγγου, ὡς ἐπεντεθέντος τοῦ ι εἰς τὴν τοῦ ἐλεύθω καταρχήν. ἡ

δὲ μετὰ τὴν ἄρχουσαν ἔχει τοιοῦτον δίφθογγον καὶ αὐτὴν ἐκ τοῦ ἐλεύθω μεταθέσει τοῦ διχρόνου υ συνήθως εἰς τὸ ι δίχρονον. ἡ δὲ παραλήγουσα τὸ διὰ τοῦ υ καὶ ι δίφθογγον ἔχει, διότι τὰ εἰς α θηλυκὰ ἐθέλουσιν ὡς τὰ πολλὰ τῷ ι παραλήγεσθαι ἢ μόνῳ ἢ μετὰ καὶ ἄλλου φωνήεντος κατὰ λόγον διφθόγγου, μόνῳ μέν, ὡς κοιλία καρδία καὶ ἄλλα μυρία, μετὰ δὲ ἄλλου φωνήεντος, ἢ τοῦ α , ὡς μαῖα γαῖα, ἢ τοῦ ε , οἷον εὐσέβεια Ἀδράστεια, ἢ τοῦ μικροῦ ο , οἷον εὔροια σύρροια, ἢ μετὰ τοῦ ω μεγάλου, ὁποῖον ἡ ᾧα τοῦ ἐνδύματος, ἢ μετὰ τοῦ υ , ὡς ἐν τῷ μυῖα καὶ Ἅρπυια, οἷς συντρέχει καὶ τὸ Εἰλείθυια, ὡς μὴ δυνατὸν ὂν μετὰ τοῦ ο ἐνταῦθα συγκροτηθῆναι τὴν δίφθογγον. οὐ γὰρ προϋπόκειται τῆς Εἰλειθυίας ὄνομα, ᾧ ἔγκειται ο μικρόν, ἵνα ἐκεῖθεν ἡ οι δίφθογγος γεννηθῇ, ὥσπερ ἡ σύρροια ἔχει τὸ ῥόος προϋποκείμενον καὶ τὸ νόος ἡ ἔννοια καὶ τὸν βόα ἡ Εὔβοια καὶ τὸν χρόα ἡ εὔχροια.

3.196 ἐξ ἀνάγκης οὖν τὸ Εἰλείθυια συνεξηκολούθησε τῷ κυνάμυια, Ὠρείθυια, Ἅρπυια. [Διασταλτέον δὲ τοῦ εἰρημένου κανόνος τὸ μῶα καὶ τὸ πᾶα, ὧν σημασία τὸ μοῦσα, πᾶσα. ταῦτα γάρ, καὶ εἴ τι δὲ ἕτερον κατ’ αὐτά, οὐ παραλήγονται τῷ ἰῶτα τῆς παλαιοτάτης Δωρίδος ὄντα.] Καὶ οὕτω μὲν ὁ γέρων μῦθος καὶ ἡ πρεσβυτάτη γραμματικὴ μαιοῦνται τὴν Εἰλείθυιαν. ἡ δὲ φιλοσοφία ἐκδεξαμένη τελεσφορεῖ πρὸς ἀλήθειαν, λέγουσα θυγατέρας Ἥρας τὰς Εἰλειθυίας, ἐπειδὴ τηνικαῦτα τὸ βρέφος εἰς φῶς ἐλεύθει, ὅταν τὰ ἐκ τῆς Ἥρας αὐτὸ προκαλέσηται. τότε γὰρ τὸ ἔμβρυον ἐκκύπτει πρὸς γέννησιν ἱκανῶς ἔνδον θαλαμευθέν, ὅταν καὶ ὁλκῆς ἀέρος καὶ τῆς ἔξω ζωῆς ἐξ ἀνάγκης προσδέηται. εἶεν ἂν οὖν Εἰλείθυιαι, ὡς μὲν ἓν ἀνθ’ ἑνὸς φράσαι, ἐλεύσεις, σαφέστερον δὲ εἰπεῖν, αἱ εἰς φῶς ἐλεύσεις καὶ προαγωγαὶ τῶν κυοφορουμένων. οὐ μόνον δὲ πληθυντικῶς Εἰλείθυιαι παρ’ Ὁμήρῳ, ἀλλὰ καὶ ἑνικῶς, ὡς τὸ «ὅθι σπέος Εἰλειθυίας». Σημείωσαι δὲ καί, ὅτι διαφερόντων φύσει τοῦ πικροῦ καὶ τοῦ ὀξέος ὅμως ἀμφοτέρων ἔμφασιν αἱ ὠδῖνες ἔχειν λέγονται. [Ἰστέον δὲ καὶ ὡς οἱ μεθ’ Ὅμηρον ῥήτορες τὸ δριμὺ μετεσκεύασαν εἰς ἡδύ τι, ἐννοίας δριμείας λέγοντες, ἐν αἷς γλυκύτης ἐπιτείνεται, καὶ λέξεις δὲ δριμείας ὁμοίως.] (v. 274—9) Ὅτι ἀναχωρεῖ τῆς μάχης ὁ βασιλεὺς ἐλαύνων νηυσὶν ἐπὶ γλαφυραῖς, οὐχ’ ἁπλῶς, ἀλλὰ διαπρύσιον ἐγκελευσάμενος τοῖς ἀρίστοις νηυσὶν ἀμύνειν φύλοπιν ἀργαλέην. ἐπεί, φησίν, οὐκ ἐμὲ θεὸς εἴασε πανημέριον πολεμίζειν. Καὶ ὅρα κατὰ τοὺς παλαιούς, ὡς οὐ τὸ τραυματισθῆναι τὸν βασιλέα λυπεῖ, ἀλλ’ ὅτι πανημέριος κεκώλυται μάχεσθαι. ἀναφωνεῖ δὲ τοῖς ἀρίστοις τὸ τῆς ὑποχωρήσεως αἴτιον, ἵνα μὴ κακόν τι, φασί, μέγα περὶ αὐτοῦ ὑπονοήσαντες τὴν τάξιν λύσωσι. (v. 274) Καὶ ὅρα τὸ ἐπὶ νηυσὶν ἐλαύνειν συνήθως τῷ Ὁμήρῳ ῥηθέν, ἀντὶ τοῦ ἐπὶ νῆας, ὡς καὶ προϊών φησιν «ἵμασεν ἵππους ἐπὶ νῆας γλαφυράς».

3.197 ἡ δὲ ῥηθεῖσα ἔννοια καὶ μετ’ ὀλίγα ἐπὶ Διομήδους ἀπαραλλάκτως αὐταῖς λέξεσιν ἐν δυσὶ καὶ ἐκεῖ στίχοις κεῖται. (v. 277) Τὸ δὲ «νηυσὶν ἀμύνετε φύλοπιν» ἐντελῶς καὶ νῦν πέφρασται, ἄλλως δέ γε ἤρκει καθ’ ἑαυτὸ ἐλλιπῶς καὶ μόνον τὸ ἀμύνετε οἷα σύνηθες γεγονός. (v. 274) Κεῖται δὲ ἐν τούτοις καὶ τὸ «ἤχθετο κῆρ» πρὸς διαστολὴν σωματικοῦ ἄχθους. (v. 280—3) Ἐν τούτοις δὲ καὶ τοὺς τοῦ βασιλέως ἵππους σεμνολογῶν Ὅμηρος ἐπὶ ταχυτῆτι καὶ δρόμῳ ἐναγωνίῳ φησὶν «ἡνίοχος δ’ ἵμασσε καλλίτριχας ἵππους· τὼ δ’ οὐκ ἄκοντε πετέσθην· ἄφρεον δὲ στήθεα, ῥαίνοντο δὲ νέρθε κονίῃ, τειρόμενον βασιλῆα μάχης ἀπάνευθε φέροντες». (v. 282) Καὶ ὅρα τὸ «ἄφρεον» ὡς ἀπὸ θέματος τοῦ ἀφρέω, ἐξ οὗ τὸ ἀφρίζω, καθὰ καὶ ἐκ τοῦ ὁπλέω τὸ ὁπλίζω. (v. 281) Τὸ δὲ «πετέσθην» ἐπὶ ἁπλῶς ἵππων λεγόμενον διὰ τὸ πάνυ πολὺ τοῦ τάχους, οὗ χάριν καὶ ἡλίῳ ἵππος ἀνάκειται καθ’ Ἡρόδοτον, τὸν τοῦ πτερωτοῦ Πηγάσου μῦθον συγκροτεῖ παρὰ τοῖς μεθ’ Ὅμηρον. [Συντελεῖ δὲ καὶ εἰς τὴν τοῦ ἵππου ἐτυμολογίαν. ἵππος γὰρ λέγεται παρὰ τὸ ἵπτασθαι ποσί. διὸ καὶ ἐν δυσὶ πι γράφεται, οὐ μὴν ἐν ἑνὶ κατὰ τὸ ἶπος, ἡ παγὶς τῶν μυῶν.] (v. 282) Σημείωσαι δὲ καὶ τὸ «ῥαίνοντο» οὐκ ἐπὶ ὑγροῦ ἀλλὰ κόνεως ῥηθέν. [(v. 275) Τίς δὲ ἡ διαπρύσιος βοὴ καὶ πόθεν γίνεται, δεδήλωται ἀλλαχοῦ.] (v. 284—90) Ὅτι Ἕκτωρ, ὡς ἐνόησε τὸν βασιλέα νόσφι κιόντα, ἐνεκελεύσατο τοῖς περὶ αὐτὸν συνήθως ἀνδρείους τε

εἶναι καὶ μνησθῆναι ἀλκῆς, ἧς ἐξελάθοντο, σεμνολογήσας καὶ τὸν βασιλέα ἐν τῷ εἰπεῖν, ὡς οἴχεται ἀνὴρ ὤριστος, ἐμοὶ δὲ μέγα εὖχος ἔδωκε θεός, οὐχ' ὅτι αὐτὸς τὸν βασιλέα ἔβλαψέ τι, ἀλλ' ὅτι αὐτὸς ἀνδραγαθήσει τοῦ τηλικοῦδε βασιλέως ἀπελθόντος. Πιστὸς δὲ ὁ διὰ τὸν βασιλέα λόγος τοῦ πολεμίου προσειπόντος ἐκεῖνον ὑπερθετικῶς μετὰ καὶ ἄρθρου τὸν ἄριστον ἄνδρα. Εἶτα ἐπάγων ὁ Ἕκτωρ ἀξίωσιν ὀτρυντικὴν εἰς ἔριν φησὶν «ἀλλ' ἰθὺς ἐλαύνετε μώνυχας ἵππους Δαναῶν, ἵνα ὑπέρτερον εὖχος ἄρησθε», νικήσαντες δηλαδή. (v. 291) Καὶ οὕτως εἰπὼν «ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου». Ἐνεργὸς γὰρ παρὰ τῷ ποιητῇ καὶ δραστήριος καὶ τῷ ὄντι ἀνυστικὸς πᾶς λόγος στρατηγικὸς διδάσκοντι τοῖς ἄρχουσιν ὑπακούειν. (v. 284) Τὸ δὲ «νόσφι κιόντα» εὐφήμως ῥηθὲν ἐπὶ ἀναχωρήσεως ταὐτόν ἐστι τῷ οἰχόμενον, διὸ ἐπήγαγε τὸ «οἴχετ' ἀνὴρ ὤριστος». ἡ δὲ λέξις αὕτη καὶ ἐν ἄλλοις κεῖται. Τὸ δὲ «νόσφι» μάχης ἄνευθεν ἀνωτέρω ἔφη.

3.198 Τὸ δὲ εὖχος ὡς καίριον δὶς εἴρηται, ταὐτὸν ὂν τῷ κῦδος. διὸ ἐνταῦθα μὲν «εὖχος ἄρησθε» φησὶν «ὑπέρτερον», ἀλλαχοῦ δὲ «ἠράμεθα μέγα κῦδος». (v. 289 s.) Ἐν δὲ τῷ «ἵππους Δαναῶν» τὸ μέτρον ταράσσει τὴν σαφήνειαν. τὸ γὰρ ὀρθόν· ἀλλὰ τοὺς ἵππους ἡμῶν ἐλαύνετε ἰθὺς Δαναῶν, ἀντὶ τοῦ ἐπ' εὐθείας καὶ ἀντικρύ, ὅπερ ἀλλαχοῦ καὶ δίχα τοῦ ς ἰθὺ λέγεται. (v. 292—8) Ὅτι «ὡς ὅτε πού τις θηρητὴρ κύνας ἀργιόδοντας σεύῃ ἐπ' ἀγροτέρῳ συῒ καπρίῳ ἠὲ λέοντι, ὣς ἐπ' Ἀχαιοῖσι σεῦε Τρῶας μεγαθύμους Ἕκτωρ Πριαμίδης βροτολοιγῷ ἶσος Ἄρηϊ. αὐτὸς δ' ἐν πρώτοισι μέγα φρονέων ἐβεβήκει», ὅ ἐστι περιφραστικῶς προεμάχετο, «ἐν δ' ἔπες' ὑσμίνῃ ὑπεραέϊ ἶσος ἀέλλῃ, ἥ τε καθαλλομένη ἰοειδέα πόντον ὀρίνει». Καὶ ὅρα, ὡς οὐκ ἄλλως ὁ Ἕκτωρ ἠρίστευσεν, εἰ μὴ ὁ Ἀγαμέμνων ᾤχετο. καὶ ὅτι οὐκ ἐπὶ ἀνδρίᾳ τοὺς Τρῶας, ἀλλὰ θρασύτητι ἐξαίρει. οὐ γὰρ αὐτοὶ λέοντες ἢ ἀγρότεροι σύες, ἀλλὰ ταῦτα μὲν οἱ φεύγοντες Ἀχαιοί, οἱ Τρῶες δέ, ὡς καὶ ἐν τοῖς ἑξῆς μετ' ὀλίγα ἑτέρα δηλώσει παραβολὴ «κύνες ἀναιδεῖς». (v. 293) Ἀργιόδοντες δὲ οἱ ὀξυόδοντες, οἷς ἀργοὶ ὀδόντες, ὅ ἐστι ταχεῖς, θοοί, καὶ μεταληπτικῶς ὀξεῖς. (v. 293) Σεύειν δὲ τὸ παρακινεῖν καὶ παρορμᾶν, ἤδη δὲ καὶ ὀρίνειν. καιρία δὲ αὕτη λέξις ὡς ἐν ποιήσει, διὸ καὶ δὶς ἐνταῦθα κεῖται. Τὸ δὲ «ἐπ' ἀγροτέρῳ συΐ» ἀσφαλὲς ἦν καὶ κατὰ αἰτιατικὴν εἰπεῖν ἀγρότερον σῦν, ὅ ἐστιν ἄγριον, ὅν, ὡς καὶ προεδηλώθη, συνθέτως οἱ νεώτεροι σύαγρόν φασιν ὡς ὄναγρον. ὥσπερ δὲ Αἰτωλός Αἰτώλιος ἐπὶ τοῦ αὐτοῦ σημαινομένου καὶ ἄμφω, οὕτω καὶ κάπρος κάπριος, ὁ πρὸς θήλειαν σῦν διαστελλόμενος. (v. 294) Τὸ δὲ «ἐπ' Ἀχαιοῖσι σεῦε Τρῶας», ἀντὶ τοῦ ἐφώρμησε τοῖς Ἕλλησι καὶ κατ' αὐτῶν ἐκίνησε. πολλαχοῦ γὰρ ἡ ἐπι πρόθεσις ἰσοδυναμεῖ τῇ κατα . (v. 296) Πρώτους δὲ κἀνταῦθα τοὺς πρωταγωνιστὰς καὶ προμάχους λέγει. Τὸ δὲ «μέγα φρονέων» μετ' ὀλίγα καὶ ἐπὶ κάπρων ἐρεῖ κατὰ ἰδέαν γλυκύτητος. (v. 297 s.) Ἡ δὲ κατὰ τὴν ἄελλαν παραβολὴ [πάνυ σεμνοτέρα οὖσα ἤπερ ἡ κατὰ τοὺς Τρῶας] τὸ τοῦ Ἕκτορος ὀξυκίνητον εἰς μάχην παραδηλοῖ [καὶ τὴν ἄνωθεν ἐκ Διὸς ὑπὲρ αὐτοῦ ῥοπήν, δι' ἥν, ὡς ἐκεῖθεν καθαλλόμενος, οὐ φορητὸς ἐνσκήπτει τοῖς Ἀχαιοῖς.

3.199 ] Τὸ δὲ ἐνέπεσεν ἀντὶ τοῦ ἐνέβαλε, συνέμιξε, καὶ ἐν τοῖς ἑξῆς δὲ ὁμοίως καθ' ὑπερβατὸν κείσεταί τι τοιοῦτον. τὸ μέντοι μετ' ὀλίγα «ἐν νήεσσι πέσον Ἀχαιοί» οὐ τοιοῦτόν ἐστιν, ἀλλ' ἀντὶ τοῦ ἀπέθανον λέγεται. Ἄελλαν δὲ ὑπεραέα οὐ μόνον τὴν ἄγαν πνέουσαν λέγει, ἀλλὰ καὶ τὴν ὕπερθεν, ὅ ἐστιν ὑψόθεν, ὁποῖός τις καὶ ὁ βορρᾶς ἐξ ὑψηλοῦ καταπνέων καὶ αὐτός. Ἢ καὶ ἄλλως εἰπεῖν, ὑπεραής, ἡ ἄνωθεν ὡς ἐν καθέτῳ καθαλλομένη, ὅ ἐστι καταφερομένη τῆς γῆς, σφοδρὰ οὖσα καὶ ἀπαραφύλακτος, ὁποῖοί τινες καὶ οἱ στρόβιλοι. διὸ καὶ τὸ ἐνέπεσε θαυμασίως εἴρηται καὶ τὸ καθαλλομένη. [Τὸ δὲ ἶσος οὐδ' ἐνταῦθα ποσότητα δηλοῖ, ἀλλὰ πολλὴν ὁμοιότητα, εἴληπται γὰρ φανερῶς ἀντὶ τοῦ ὅμοιος.] Πόντος δὲ ἰοειδὴς οὐ μόνον ὁ μέλας καὶ ἄνθους ἴου εἶδος ἔχων, ἀλλὰ καὶ ὁ πλατὺς καὶ ἀνεπιπρόσθητος τῇ ὄψει, δι' οὗ ἔστιν ἰέναι ἀκωλύτως τὸ βλέπειν, ὡς ἔν τινι παραβολῆς νοήματι δηλοῖ ὁ ποιητής. Ἐκ δέ γε τοῦ ῥηθέντος ἄνθους τοῦ χαμαιΐου καὶ νεφέλη κατά τινα ποιητὴν ἕτερον ἰοειδής, ἤτοι μέλαινα. (v. 299 s.) Ὅτι ἐπὶ μὲν Ἀγαμέμνονος ἀριστεύοντος Μούσας ῥητῶς ἐκάλεσεν εἰς ἀφήγησιν τῶν πιπτόντων,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθὰ προγέγραπται, ὡς ἐπὶ μεγάλῳ τινὶ ἔργῳ. ἐνταῦθα δ’ ἐπὶ Ἕκτορος ἑαυτὸν ἐρωτᾶν δοκῶν ὁ μουσοτραφὴς ποιητής φησιν «ἔνθα τίνα πρῶτον, τίνα δ’ ὕστατον ἐξενάριξεν Ἕκτωρ, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκε», τουτέστιν, ὅτε κατὰ τὸ εἱμαρμένον εὐτυχῶς ἔσχε. Τοῦτο δὲ λέγει καταβάλλων τὸ τοῦ Ἕκτορος τρόπαιον καὶ τρόπον τινὰ οὐ φύσει λέγων αὐτὸν ἀριστεύειν, ἀλλὰ νόθοις ἐκ τοῦ μοιριδίου ἀγλαΐζεσθαι ἀριστεύμασιν. (v. 301—3) Ὅρα δὲ καὶ ὅτι ἀκριβῶς φιλέλλην ὢν ὁ ποιητὴς τοὺς μὲν ὑφ’ Ἕκτορος ἀναιρουμένους Ἀχαιοὺς ἐπιτρέχει ὡσεὶ καὶ τυχόντας ἀνθρώπους καὶ οὐ πολυλογεῖ ἐπ’ αὐτοῖς, ἀλλὰ μόνον ἐξονομάζει αὐτούς, ὡς ἂν τῇ βραχυλογίᾳ τὸ τῶν Ἑλλήνων ὄνειδος ἐπικρύπτοιτο, ἐπὶ δέ γε τοῦ Ἑλληνικοῦ βασιλέως πολὺν λόγον κατέτεινεν, ἄλλα τέ τινα ποιῶν καὶ γενεαλογῶν δὲ τοὺς ὑπ’ ἐκείνῳ πίπτοντας, οἷον τοὺς Πριαμίδας, τοὺς Ἀντηνορίδας, τοὺς Ἀντιμαχίδας. (v. 303) Ἐν οἷς ὅρα καὶ ὅτι ἀναιρεῖ μὲν καὶ ὁ Ἕκτωρ ἡγεμόνας ἐνταῦθα πλὴν οὐ σύνδυο κατ’ ἐκεῖνον, ἵνα κἀν τούτῳ ποικιλίαν τινὰ ἔχῃ ἡ ποίησις. οὐ γὰρ καθ’ ἕνα ὁ βασιλεύς, ἀλλὰ τοὺς πλείους κατὰ ξυνωρίδας ἀνεῖλε, καὶ αὐτοὺς ἀδελφούς. εἰ δὲ καὶ ἡγεμόνων ἐννέα πεσόντων ὑπὸ τῷ Ἕκτορι ἕνα μόνον ὁ ποιητὴς μετ’ ἐπιθέτου προήγαγεν εἰπὼν «μενεχάρμην Ἱππόνοον», εἴη ἂν οὐδὲ τοῦτο δηλωτικὸν τοῦ περιφανεῖς τοὺς πεσόντας εἶναι.

3.200 Ὧν ἐστι καὶ Δόλοψ, ὁμωνυμῶν τῷ παρ’ Ἕλλησιν ἐθνικῷ, καὶ Ὀφέλτιος τετρασυλλάβως πρὸς διαστολὴν ἴσως τοῦ Ὀφέλτης, ὃ τοπικόν ἐστιν, ὡς καὶ παρὰ Λυκόφρονι, καὶ Αἴσυμνος, ἐξ οὗ συγκρότησίς τίς ἐστι τῷ αἰσυμνήτης. ὁ δὲ Ἀγέλαος τῷ ἐν Ὀδυσσείᾳ μνηστῆρι ὁμωνυμεῖ, ὁ δὲ Ὦρος τῷ παρὰ τοῖς μεθ’ Ὅμηρον Ἀπόλλωνι, ὁ δὲ Ἀσαῖος οὐκ ἂν ἔχοι τὴν αὐτὴν παραγωγὴν Ἀσίῳ τῷ Τρωϊκῷ. ἡ ἆσις μὲν γὰρ ἴσως παράγει τὸν Ἄσιον ἢ ὁ Ἄσιος λειμών, ἡ ἄση δὲ τὸν Ἀσαῖον. (v. 299) Σημείωσαι δὲ καὶ ὅτι τὸ «τίνα πρῶτον, τίνα δ’ ὕστατον» ἀπειρίαν τινὰ ὑποδηλοῖ, ὡς μήτε ἀρχῆς μήτε πέρατος ὑπεμφαινομένων τῷ τῶν πιπτόντων ἀριθμῷ, καὶ ὡς ταὐτόν ἐστι κατ’ ἀλληγορίαν τὸ τὸν ποιητὴν τῆς Μούσης πυθέσθαι καὶ τὸ ἑαυτὸν ἐρωτῆσαι, εἴπερ Μοῦσα ἡ παρὰ τῷ ποιητῇ γνῶσις ὑπονοεῖται, καὶ ὅτι πλείων ἡ τοῦ Ἕκτορος ἀριστεία κατά τε τῶν ἡγεμόνων καὶ τοῦ ὁμίλου, εἰ καὶ Ὅμηρος τῇ μεθόδῳ σεμνότερον τὸν βασιλέα ποιεῖ. δῆλον γὰρ ὡς ἡγεμόνας μὲν ὁ Ἕκτωρ οὐκ ἐλάττους τῶν ὑπὸ τῷ βασιλεῖ πεσόντων ἀναιρεῖ, πληθὺν δὲ πλείονα. Εἰ δὲ χρὴ καὶ ἄλλως ἀκριβέστερον ἐπιβαλεῖν, εἰς μὲν τὴν τῶν ἀρίστων ἀναίρεσιν μᾶλλον τὸν βασιλέα σεμνύνει ὁ ποιητὴς ἤπερ τὸν Ἕκτορα. τοὺς μὲν γὰρ τοῦ βασιλέως διερρητόρευσε καὶ πλατικῶς ἔφρασε, τοὺς δὲ ὑφ’ Ἕκτορι πεσόντας ἡγεμόνας γοργότατα ἔφρασε πρὸς μόνον ὄνομα, ἐπὶ δέ γε τῆς πληθύος μᾶλλον ἐσέμνυνε τὸν Ἕκτορα, εἴπερ ἐπὶ μὲν τοῦ βασιλέως εἶπεν ἁπλῶς ὅτι ἐπεπωλεῖτο στίχας ἀνδρῶν ἔγχεϊ καὶ ξίφει καὶ χερμαδίοις μὴ προσθεὶς καί, εἰ ἐφόνευσέ τινας, (v. 305) ἐπὶ δὲ τοῦ Ἕκτορος ἔφη, ὅτι πληθὺν εἷλεν, ἤγουν ἀνεῖλεν, «ὡς ὅτε νέφεα Ζέφυρος στυφελίζει» καὶ ἑξῆς, ὡς μετ’ ὀλίγα κεῖται. σεμνὼ οὖν ἄμφω τὼ ἄνδρε καὶ οὐκ ἔστι ῥᾳδίως δοῦναι θατέρῳ τὴν κατὰ θατέρου ἐνταῦθα ὑπεροχήν. (v. 299) Ἰστέον δὲ καὶ ὅτι τὸ «ἔνθα τίνα πρῶτον, τίνα δ’ ὕστατον ἐξενάριξεν Ἕκτωρ» σεμνότερόν ἐστι κατ’ ἔννοιαν τοῦ «τίς δὴ πρῶτος Ἀγαμέμνονος ἀντίον ἦλθεν». (v. 305—9) Ὅτι ἡγεμόνας μὲν Δαναῶν ἠριθμημένους τινὰς εἷλεν, ὅ ἐστιν ἀνεῖλεν, ὁ Ἕκτωρ, ἐννέα γάρ, ὡς προσεχῶς δεδήλωται, «αὐτὰρ ἔπειτα πληθύν, ὡς ὁπότε νέφεα Ζέφυρος στυφελίξει, ἀργεστᾶο Νότοιο βαθείῃ λαίλαπι τύπτων, πολλὸν δὲ τρόφι κῦμα κυλίνδεται, ὑψόσε δ’ ἄχνη σκίδναται ἐξ ἀνέμοιο πολυπλάγκτοιο ἰωῆς.

3.201 ὣς ἄρα πυκνὰ καρήατα ὑφ’ Ἕκτορι δάμνατο λαῶν». Καὶ ὅρα ὅπως τε τὸ δεινὸν τῆς παραβολικῆς ἐννοίας τραχείαις διόλου ὁ ποιητὴς ἔφρασε λέξεσι, καὶ ὅτι, καθάπερ εἰ ἐκ θαλάσσης ἦν ἡ παραβολή, κύμασιν ἂν ἐμέτρει τὸ τῆς πληθύος πυκνόν, οὕτως ἄνωθεν λαβὼν παραβολήν, ἐκεῖθεν καὶ τὸ πλῆθος ἐμέτρησε, παραβαλὼν αὐτὸ νεφῶν πυκνότητι. (v. 305) Ἰστέον δὲ ὅτι τὸ «στυφελίξει» ποιητικὴ μὲν λέξις ἐστίν, ἐκ τῶν κάτω δὲ ἄνω μετῆκται. δηλοῖ

δὲ τὸ στρυφνῶς ἢ ἐστυμμένως, ὅ ἐστι στυφέως, ἑλίσσειν. (v. 306) Τὸ δὲ «ἀργέσταο», εἰ μέν ἐστι κύριον ἀνέμου, προπαροξύνεται, ὡς τὸ Ἀτρείδαο, Αἰήταο, ἀπὸ εὐθείας τῆς, ὁ Ἀργέστης, εἰ δὲ ἐπίθετον Νότου ἐστί, προπερισπᾶται ὡς ἀπὸ τοῦ ἀργεστής. καὶ δηλοῖ τὸν ταχὺν ἢ τὸν λευκὸν Νότον, ὃν καὶ συνθέτως οἱ σοφοὶ Λευκόνοτόν φασι. Παρασημειοῦνται δὲ οἱ παλαιοί, ὡς οὐ δύναται παρ' Ὁμήρῳ τὸ ἀργέστης ἀνέμου κύριον εἶναι, οὐ μόνον διὰ τὸ κακοσύντακτον, ἀλλὰ καὶ διὰ τὸ τέσσαρας ἀνέμους εἰδέναι μόνους τὸν Ὅμηρον, Νότον, Εὖρον, Βορέαν καὶ Ζέφυρον. Ὁ δὲ Γεωγράφος φανερῶς ἄνεμον καὶ τὸν Ἀργέστην οἶδεν, ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη. φησὶ γοῦν ὅτι ἐναντίος ὁ Ἀργέστης τῷ Εὔρῳ ἀπὸ χειμερινῶν ὄντι ἀνατολῶν. ἀλλαχοῦ δὲ ἀπ' ἐναντίας τοῖς ἐνταῦθα λεχθεῖσιν εἰς ταὐτὸν ἄγει Ζεφύρῳ τὸν Ἀργέστην, λέγων δυσαῆ Ζέφυρον λέγεσθαι τὸν ὑφ' ἡμῶν καλούμενον Ἀργέστην. ὑφ' οὗ τὰ συναγόμενα νέφη, ἀσθενῆ ὄντα, ὁ Ζέφυρος εἴωθε διασκιδνάναι. Ὅρα δὲ ὥσπερ ἐπὶ νεφῶν τὸ στυφελίζειν, οὕτω τὸ τύπτειν ἐπὶ λαίλαπος ἐλέχθη ἐμπιπτούσης ὕδατι βιαίως, ἣν βαθεῖάν φησιν ἢ ὡς βυσσόθεν ταράσσουσαν τὸ τυπτόμενον, ἢ μᾶλλον οἷα πολὺν ἀέρα ταράττουσαν καὶ εἰς βάθος ἱκνουμένην αὐτοῦ. (v. 307) Πολλὸν δὲ κῦμα τὸ μέγα, οὐ γὰρ ἐπὶ ἀριθμοῦ νῦν κεῖται ἡ λέξις ἀλλ' ἐπὶ μεγέθους, ὁποῖον καὶ τὸ «πολλὸς γάρ τις ἔκειτο», ἀντὶ τοῦ μέγας. Τὸ δὲ «τρόφι» ἀντὶ τοῦ τρόφιμον, ἤτοι στάσιμον, πεπηγός, ὡς καὶ τοῦ τρέφειν, καθὰ καὶ προεδηλώθη, ἐπὶ τοιαύτης τιθεμένου σημασίας, ἐπειδὴ συνέχει τὸ σῶμα καὶ συμπήγνυσιν ἡ τροφή.

3.202 Ἀποκοπὴν δὲ ἔχει τὸ τρόφι ἐκ τοῦ τρόφιμον ὡς ἀπὸ τοῦ κρίμνου τὸ κρῖ. Ἄλλως γὰρ οὐδὲν ὄνομα οὐδέτερον Ἑλληνικὸν εἰς ἰῶτα λήγει δίχα τοῦ μέλι καὶ τοῦ τί. [Πρόσκειται τὸ Ἑλληνικὸν διὰ τὸ πέπερι καὶ τὸ σίνηπι καὶ τὸ σέσελι καὶ τὸ κόμμι καὶ τὸ κοῖφι. ταῦτα γὰρ οὐχ' Ἑλληνικά, ξενικὰ δέ, ὥς φασιν οἱ παλαιοί.] Ἰστέον δὲ καὶ ὅτι οἱ μεθ' Ὅμηρον ῥήτορες ἄλλως τρόφιμον καὶ τρόφιν τὸν ὑπό τινος ἐκτραφέντα φασίν, ὃν καὶ θρεπτόν τινες ὀνομάζουσι. τοιοῦτον τὸ λόγου εἰπεῖν τινα ἢ Μουσῶν τρόφιμον καὶ «ἱερὸν τρόφιν Ἐννοσιγαίου» καὶ τὰ τοιαῦτα. [Εἰσὶ δὲ αὐτὰ ἐλευθέρων, δοῦλοι μέντοι τραφέντες ἐν οἰκίαις δεσποτῶν οὐ τρόφιμοι καλοῦνται, ἀλλὰ δεσπόσυνοι ἢ δεσπόσιοι, ὡς ὑπὸ τῶν παλαιῶν παραδέδοται.] Τὸ δὲ «κυλίνδεται» σύνηθες ἐπὶ κυμάτων λέγεσθαι, ἅπερ ὁ τῷ Ζεφύρῳ οἰκεῖος Βορρᾶς κινεῖ. ἐκεῖνος γὰρ ταῦτα κυλίει, ὥσπερ ὁ Νότος ὠθεῖ, καθὰ δηλοῖ καὶ ἡ Ὀδύσσεια. Πρωτότυπον δὲ κυλίνδρου τὸ κυλίνδειν ἐστίν. Ἀεὶ δέ, ὡς καὶ προεφάνη, τὸ κυλίνδω παρ' Ὁμήρῳ βαρύνεται, καθὰ καὶ τὰ τούτου σύστοιχα. τῶν τινες δὲ μεθ' Ὅμηρον κυλινδῶ περισπωμένως λέγοντες ἀκόλουθον καὶ τὴν ἐξ αὐτοῦ ποιοῦνται κίνησιν. Ἄχνη δὲ καὶ νῦν τὸ λεπτότατον τοῦ κύματος, ἤγουν ὁ ἀφρός, ἐκ τοῦ α στερητικοῦ καὶ τοῦ ἔχειν, ἡ μὴ συνεχὴς ἀλλὰ σκορπιζομένη, ὡς δηλοῖ τὸ «ὑψόσε δ' ἄχνη σκίδναται». [Ἀναλογοῦσι δὲ πρὸς τὸ ἄχνη ἡ πάχνη, ἡ λάχνη, σὺν ἄλλοις δὲ καὶ ἡ μυσάχνη, ταὐτὸν δ' εἰπεῖν, ἡ μυσαρά, ὡς ἀπὸ τοῦ μυσάττω, οὗ παρακείμενος μεμύσαχα, ὅθεν μυσάχνη πλεονασμῷ συνήθει τοῦ νυ .] (v. 308) Πολύπλαγκτος δὲ ἄνεμος ὁ μὴ ἀεὶ μένων ἐν ταὐτῷ. διὸ καὶ τοὺς κατὰ νοῦν ἀστάτους ἀνεμιαίους φαμέν.

3.203 Ἐκ δὲ τῆς ἐνταῦθα ἰωῆς, ὅ ἐστι πνοῆς, ᾗ καὶ αὐτῇ δύναται συμβιβάζεσθαι τὸ πολύπλαγκτος, γίνεται ἡ ἐν Ὀδυσσείᾳ ἰωγή. Σημείωσαι δὲ καὶ ὅτι ἐν τῇ ῥηθείσῃ παραβολῇ δεξιῶς ὁ ποιητὴς νέφεσιν εἴκασε τοὺς Ἀχαιούς, οἳ τῷ βασιλεῖ μὲν οἷά τινι Νότῳ θετέον ἢ ἑτέρῳ τινὶ ἀνέμῳ συνάγονται πυκνούμενοι, ὡς ἂν εἴη ἐκεῖνος καὶ νεφεληγερέτης τρόπον τινὰ καὶ ὅμοιος καὶ κατὰ τοῦτο Διΐ, Ζεφύρῳ δὲ ὥσπερ τῷ ὑψόθεν δυναμουμένῳ καὶ ἐκ τῆς ὑψηλῆς Τροίας ἰόντι Ἕκτορι σκεδάννυνται. Διὸ καὶ ἐν τοῖς ἑξῆς πῆμα τοῖς Ἕλλησι κυλίνδεσθαι λέγεται ὁ Ἕκτωρ, ὃν πρὸ βραχέων ἀέλλῃ εἴκασεν ὑπεραέϊ ὑψόθεν καθαλλομένῃ κατά τινα, ὡς προερρέθη, Βορρᾶν. ἐξ ὑψηλοῦ γὰρ πνέει καὶ αὐτός, καθὰ καὶ ὁ Ζέφυρος ὁ καί, διὰ τὸ ἀντιπνέειν τῷ Νότῳ, σκεδάζων ἅπερ ἐκεῖνος νέφη συνήγαγε. (v. 309) Τὸ δὲ «πυκνὰ καρήατα δάμνατο ἀνδρῶν» περίφρασίς ἐστι τοῦ «πολλοὶ ἐφονεύοντο». Τοῦ δὲ καρήατα εὐθεῖα τὸ κάρηαρ. (v. 310—2) Ὅτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπὶ κινδύνου καλῶς ἔχει ῥηθῆναι τὸ «ἔνθα κε λοιγὸς ἔην καὶ ἀμήχανα ἔργα γένοντο, εἰ μή» ὁ δεῖνα τόδε πεποίηκεν, οἷον εἰ μὴ Τυδείδην Ὀδυσσεὺς ἠρέθισεν εἰπὼν τὰ ῥηθησόμενα. Ὅτι πρὸ ὀλίγων μὲν ἐνέπεσεν ὁ Ἕκτωρ τῇ ὑσμίνῃ ἀέλλῃς δίκην, ἐνταῦθα δέ φησιν Ὅμηρος, ὡς μικροῦ ἂν ἐν νήεσι πέσον φεύγοντες Ἀχαιοί, εἰ μὴ τῷ Διομήδει ἐνεκελεύσατο ἀνδρίσασθαι ὁ Ὀδυσσεύς. Καὶ σημείωσαι, ὡς καὶ προεδηλώθη, δύο ταῦτα σημαινόμενα τοῦ ἐμπεσεῖν, τὸ μὲν δραστικόν, ὡς ἐπὶ Ἕκτορος, τὸ δὲ κατὰ πάθος φόβου, ὡς νῦν ἐπὶ τῶν φευγόντων Ἀχαιῶν. (v. 313) Ὅτι Ὀδυσσεὺς τῷ Διομήδει κέκλετο ἀμῦναι φεύγουσι τοῖς Ἀχαιοῖς, εἰπὼν «Τυδείδη, τί παθόντε λελάσμεθα θούριδος ἀλκῆς», εἰς ὃ δηλαδὴ καὶ ἔστιν ἀκοῦσαί ποθεν ἡμᾶς τὸ «μνήσασθε θούριδος ἀλκῆς», (v. 314 s.) «ἀλλά γε δεῦρο πέπον, παρ’ ἔμ’ ἵστασο. δὴ γὰρ ἔλεγχος ἔσσεται, εἴ κεν ἕλῃ νῆας κορυθαιόλος Ἕκτωρ». καὶ δείκνυται καὶ νῦν συμφερτὴν εἶναι τὴν τῶν ἀνδρῶν ἀρετήν. Καὶ ὅρα ὅτι τε πρὸ καιροῦ μὲν ἀλογίστως ὁρμῶντα τὸν Διομήδην καὶ τοῖς ἐκ Διὸς κεραυνοῖς ἀντιβαίνοντα ὁ σοφὸς Νέστωρ ἀνέκοπτεν, ἐνταῦθα δὲ ὀκνοῦντα τὴν μάχην ὁ συνετὸς Ὀδυσσεὺς παρορμᾷ, καὶ ὅτι ἀνταπεδόθη τὸ ἶσον. ὡς γὰρ πρὸ τούτου τῷ Διομήδει ἐδέησε τοῦ Ὀδυσσέως, οὕτω νῦν Ὀδυσσεὺς ἐρεθίσας εἰς μάχην ἐκεῖνον προσεταιρίζεται. συζεύγνυται δὲ κἀνταῦθα ἀνδρία καὶ φρόνησις. Κομανὸς δέ, φασί, λέγει καθ’ ὑπεροχὴν ἐπαινεῖσθαι τὸν Ὀδυσσέα ἐνταῦθα ὑπὸ τοῦ ποιητοῦ, εἴγε ὡς ἥττονι τῷ Διομήδει ἐπιτάσσει.

3.204 Ἰστέον δὲ καὶ ὅτι τὸ μὲν «τί παθόντε λελάσμεθα» καὶ ἑξῆς, ἐρεθισμός ἐστιν εἰς ἔργον σπουδαῖον. (v. 317 s.) Τὸ δὲ «ἤτοι ἐγὼ μενέω καὶ τλήσομαι, ἀλλὰ μίνυνθα ἡμῶν ἔσσεται ἦδος», ὅπερ ὁ Διομήδης πρὸς τὸν Ὀδυσσέα φησί, ῥηθήσεταί ποτε ἐπὶ τῶν ἑτοίμων μὲν βοηθεῖν, οὐ θαρρούντων δέ τι ἀνῦσαι, καὶ μάλιστα εἰ τὸ θεῖον κωλύει. οὗ δηλωτικὸν τὸ «ἐπεὶ θεὸς Τρωσὶ δὴ βούλεται δοῦναι κράτος». τὸ δὲ σχῆμα προαναφώνησις τῶν μελλόντων ἐστί. Διδάσκει δὲ ὁ λόγος, ὡς χρή τινα πράττειν τὰ παρ’ ἑαυτοῦ, εἰ καὶ τὰ τῆς τύχης ἀπ’ ἐναντίας χωρεῖ. (v. 313) Ὅρα δὲ καὶ ὡς ὁ συνετὸς Ὀδυσσεὺς οὐκ ἀπαρακαλύπτως ὠνείδισε τὸν ἑταῖρον, ἀλλὰ κατὰ κοινότητα. οὐ γὰρ εἶπε «Τυδείδη, τί δὴ παθὼν ἐπιλέλησαι ἀλκῆς», ἀλλὰ τί παθόντες λελάσμεθα, ὃ δὴ λειότερον τῆς ἰδιαιτάτης ἐστὶν ἐπιτιμήσεως. καὶ ἄλλως δὲ καλῶς ἔχει τὸ «τί παθόντε λελάσμεθα», καθότι ἄμφω τοῦτο ἔπασχον. (v. 317) Καὶ ὅτι μὲν ἀνεχώρει ὁ Διομήδης, αὐτὸς ἐκεῖνος βεβαιοῖ ἐν τῷ «ἤτοι ἐγὼ μενέω καὶ τλήσομαι», οἷα νῦν γε μὴ μένων, ἀλλὰ ἀναποδίζων. ὅτι δὲ καὶ ἀμφότεροι ἀνεχώρουν τῆς μάχης, δηλοῖ μετ’ ὀλίγα τὸ «ὤλεκον Τρῶας πάλιν ὁρμένω», τουτέστιν ὀπίσω ὁρμήσαντες καὶ ἀντὶ νώτων τὰ στέρνα δείξαντες. χάρις δ’ ἐνταῦθα πλείων τῷ Ὀδυσσεῖ, ἑαυτόν τε καὶ τὸν Διομήδην προκαλεσαμένῳ ἀναμαχήσασθαι. (v. 314) Ἔλεγχος δὲ ἐπὶ αἰσχύνης νῦν τέθειται, καθὰ καὶ ἡ ἐλεγχεία ἐν τῷ «ἐλεγχείην καταχεύει». καὶ τὸ ἐλέγχειν δὲ ἀντὶ τοῦ αἰσχύνειν ἐν τῷ «μὴ σύ γε μῦθον ἐλέγξῃς». (v. 317) Τὸ δὲ «τλήσομαι» παρετυμολογεῖ πως τὸν τλήμονα, ἵνα λέγῃ ὁ Διομήδης, ὅτι ἔσομαί σοι ὅμοιος τῷ τλήμονι Ὀδυσσεῖ. [Τὸ δὲ «μενέω καὶ τλήσομαι» ἢ ἐκ παραλλήλου ταὐτὸ νοοῦσιν, ἢ διαφοράν τινα ἔχουσιν. ἔστι γὰρ μεῖναι μέν τινα, μὴ τλῆναι δέ. πολλοὶ γὰρ μένουσι μὲν πρὸ κακοῦ τινος, ἐπελθὸν δὲ τλῆναι οὐ δύνανται, μάλιστα δὲ τοιοῦτοι, ὅσοι κατὰ τὸν Πάτροκλον θελχθέντες ἵστανται πάσχοντες, τάλανες μὲν ἀληθῶς ἐκεῖνοι, τλήμονες δὲ οὔ.] (v. 318 s.) Δύσελπις δὲ ὁ Διομήδης ἐστίν, οὐχ’ ὅτι τὸν Ἕκτορα δέδιεν, ἀλλ’ ὅτι ὁ Ζεύς, ὅ ἐστιν ἡ μοῖρα, Τρωσὶ βούλεται δοῦναι κράτος. Ἔνθα ὅρα καὶ τὸ «Ζεὺς Τρωσὶ δὴ βούλεται δοῦναι κράτος ἠέ περ ἡμῖν». συντελεῖ γάρ τι καὶ αὐτὸ εἰς τὸ «Διὸς δ’ ἐτελείετο βουλή. (v. 322) Ὅτι πίπτει ἐνταῦθα ὑπὸ τῷ Ὀδυσσεῖ Μολίων τις ὁμώνυμος τῷ παλαιῷ Ἑλληνικῷ ἥρωϊ, καὶ Ἱππόδαμος δέ τις καὶ Ὑπείροχος, ἢ φερωνύμως πρὸς ἀλήθειαν ὄντες τοιοῦτοι, ἢ καὶ ἐξ ἐπιθέτων εἰς κύρια ἑλκόμενοι κατὰ πλάσμα, ὁποῖα, ὡς εἰκός, καὶ ἕτερά εἰσι πολλὰ παρὰ τῷ ποιητῇ ἀνιστόρητα ὀνόματα τῆς κοινότητος.

3.205

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(v. 323) Ὅτι περιφράζων τὸ ἀνεῖλόν φησιν «ἐπεὶ πολέμου ἀπέπαυσαν». (v. 324—6) Ὅτι ὡς πρὸ βραχέων κυσὶ τοὺς Τρῶας, κάπρῳ δὲ τοὺς Ἕλληνας εἴκασεν, οὕτω πως καὶ νῦν ποιεῖ. Φησὶ γὰρ περὶ Διομήδους καὶ Ὀδυσσέως «τὼ δ' ἂν ὅμιλον ἰόντε κυδοίμεον, ὡς ὅτε κάπρω ἐν κυσὶ θηρευτῇσι μέγα φρονέοντε πέσητον», ἤγουν ἐμπέσωσιν, ὡς προγέγραπται, «ὣς ὤλεκον Τρῶας πάλιν ὀρμένω», τουτέστιν, ὡς καὶ αὐτὸ ἐρρέθη, ἐκ τοῦ φεύγειν στραφέντες, ὃ δὴ καὶ σῦς ἐν τῷ φεύγειν διωκόμενος ποιεῖ. Ἀνάπαλιν δὲ ἡ παραβολὴ αὕτη πέφρασται τῇ πρὸ ὀλίγων ῥηθείσῃ. ἐκεῖ μὲν γὰρ οἱ Τρῶες ὡς κύνες ἐπὶ συῒ καπρίῳ, ἐνταῦθα δὲ οἱ ἥρωες ὡς κάπροι ἐν κυσί. Καὶ ἄλλως δὲ εἰπεῖν, διαφορὰ τῆς παραβολῆς ταύτης πρὸς ἐκείνην, ὡς ἐκεῖ μὲν θηρητὴρ κύνας ἐποτρύνει τῷ ζῴῳ, ἐνταῦθα δὲ κάπροι διωκόμενοι κυσὶν ἐμπίπτουσι, καὶ ἐκεῖ μὲν κάπρος καὶ λέων, ἐνταῦθα δὲ δύο μόνοι κάπροι. ἔχει δέ τι καὶ σαφέστερον τῶν ἐκεῖ τὸ θηρευτὰς κύνας εἰπεῖν. τοιοῦτοι γὰρ κάπρους διώκουσιν, ὅπερ ἐκεῖ ἀξυμφανῶς διὰ τοῦ θηρητῆρος ἐσήμαινεν, ὡς τοῦ τοιούτου τοιούτους κύνας ἄγοντος. (v. 324) Ἐκεῖ δὲ σαφέστερον τὸ «συῒ ἀγροτέρῳ καπρίῳ» ἤπερ ἐνταῦθα τὸ ἁπλῶς κάπρους εἰπεῖν. Ὅρα δὲ καὶ ὡς κάπριον ἐκεῖ τρισυλλάβως εἰπὼν δισυλλάβως ἐνταῦθα τὴν λέξιν προήγαγε, καὶ ὅτι τὸ κυδοίμεον ὡς ἀπὸ θέματος τοῦ κυδοιμῶ. ποιητικὴ λέξις αὕτη οὐ πάνυ ἑλκυστέα εἰς λόγον πεζόν. (v. 325) Καὶ ὅτι τὸ μέγα φρονεῖν, ὡς καὶ προεσημειώθη, ἐπὶ ἀλόγων ἄρτι ζῴων ἔθετο κατὰ ἰδέαν γλυκύτητος, εἰ μή τις αὐτὸ ἴσως πρὸς τὸν Ὀδυσσέα καὶ τὸν Διομήδην συμβιβάσει ἐν ὑπερβατῷ σχήματι. (v. 327) Ὅτι Ὀδυσσέως καὶ Διομήδους ὑπομεινάντων τὴν μάχην, ἥτις αὐτοῖς ἄρτι ἐγκέκλιται μόνοις, «Ἀχαιοὶ ἀσπασίως φεύγοντες ἀνέπνεον Ἕκτορα δῖον». Τὸ δὲ ἀσπασίως προσφυῶς ἔχει καὶ πρὸς τὸ ἀνέπνεον καὶ πρὸς τὸ φεύγοντες τὸν Ἕκτορα. τὸ δὲ ἀνέπνεον ἐπιλιπούσης πνοῆς ἀνάληψιν δηλοῖ, ὡς καὶ ἡ ἀναψυχὴ ψυχῆς ἀνάκτησιν ἐκ λειποθυμίας. οὕτω καὶ Ἕκτωρ μετ' ὀλίγα ἐκφυγὼν καιρίαν πληγὴν ἄμπνυτο, τοιοῦτον καὶ τὸ «Τρῶες ἀνέπνευσαν κακότητος». (v. 328) Ὅτι ἄνδρας δήμου τοὺς τῆς κοινότητος λέγει πρὸς διαστολὴν τῶν ἡγεμόνων. οἱ δὲ τοιοῦτοι καὶ ὁμίλου ἄνδρες καὶ πληθύος λέγοιντο ἂν κατὰ τὸ «μίκτο δ' ὁμίλῳ», καὶ «ἐξέλασεν ἐς πληθύν», καὶ «πληθὺν ταρβήσας», ἃ μετ' ὀλίγα κεῖνται παρὰ τῷ ποιητῇ. Δῆλον δ' ὡς καὶ ἐν τοῖς τοιούτοις εἰσί τινες ἀγαθοί. (v. 328 s.) Διὸ καὶ Ὅμηρος ἐνταῦθά φησιν «ἀνέρε δήμου ἀρίστω υἷε δύω Μέροπος Περκωσίου».

3.206 [Ἰστέον δὲ ὅτι τοῦτο διχῶς ἔστιν ἀναγνῶναι. ἢ γὰρ ἀνέρε δήμου μετὰ ὑποστιγμῆς, κατὰ τὸ «ὃν δ' ἂν δήμου τ' ἄνδρα ἴδοι», ἢ ἀνέρε κατὰ μόνας, εἶτα δήμου ἀρίστω, ἤγουν ἀρίστους οὐκ ἐν βουλευταῖς ἀλλ' ἐν δημόταις. Ὅτι δὲ δῆμος καὶ ὁ δημότης καινότερον λέγεται, φανεῖται ἐν τῷ «οὐ μὲν ἔοικε δῆμον ἐόντα παρὲξ ἀγορεύειν».] (v. 329—32) Ὅτι ὁ ῥηθεὶς Περκώσιος Μέροψ «περὶ πάντων ᾔδεε μαντοσύνας», ἤγουν μαντικώτατος ἦν, «οὐδὲ ἑοὺς παῖδας ἔασκε στείχειν ἐς πόλεμον φθισήνορα. τὼ δέ οἱ οὔ τι πειθέσθην· κῆρες γὰρ ἄγον μέλανος θανάτοιο». (v. 333 s.) Οὓς καὶ ἐσκύλευσε Διομήδης, «θυμοῦ», φησί, «καὶ ψυχῆς κεκαδών», ὅ ἐστι περιφραστικῶς ἀνελών. Διδάσκει δέ, φασίν, ὁ ποιητὴς διὰ τούτων μήτε πατράσι δεῖν εἶναι ἀπειθεῖν μήτε μαντικῆς καταφρονεῖν θανάτῳ κολάσας τοὺς ἀπειθοῦντας. (v. 329) Ὅρα δέ, ὥς που καὶ προερρέθη, τὸ Μέροψ ὡς ἐξ ἐπιθέτου κοινοῦ κυριολογεῖται. ὅθεν ληφθείσης ἀρχῆς τοῖς μεθ' Ὅμηρον καὶ Ὀλυμπιονίκης τις κατὰ κυριωνυμίαν ἐκλήθη Ἄνθρωπος. οὕτω καὶ Παίων τις μετ' ὀλίγα εὕρηται τὸ ἐθνικὸν ἰδιωσάμενος ὄνομα. Τὸ δὲ «περὶ πάντων» ἀντὶ τοῦ ὑπὲρ πάντας, περιττότερον πάντων μάντεων. εἰπεῖν γὰρ ὡς περὶ πάντων πραγμάτων ὁ Μέροψ ἐμαντεύετο, οὐκ ἂν εἴη οὔτε Ὁμηρικὸν οὔτε σπουδαῖον. (v. 332) Τὸ δὲ «κῆρες θανάτου» ἢ πρὸς ἐντέλειαν φράσεως εἴρηται—ἄλλως γὰρ ἡ κὴρ ἐλλιπῶς ἔχει μονάζουσα—ἢ καὶ πρὸς διαστολήν. εἰσὶ γὰρ καὶ κῆρες νόσου καὶ ἑτέρων κακῶν. (v. 334) Ἐν δὲ τῷ «θυμοῦ καὶ ψυχῆς κεκαδών», ὅ ἐστι στερήσας, μᾶλλον δὲ ὑποχωρῆσαι ποιήσας, ἐκ παραλλήλου ταὐτὸ δηλοῖ ὁ θυμὸς καὶ ἡ ψυχή. Τὸ δὲ «κεκαδών» ἀχρεῖον μέν ἐστι λόγῳ πεζῷ, χρόνου δέ ἐστιν ἀορίστου δευτέρου ἐκ τοῦ χάζω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔχαδον χαδών, καὶ Ἰωνικῶς κεκαδών, ὡς τὸ λελαχών καὶ λελαβών καὶ τὰ ὅμοια. (v. 336) Ὅτι τὸ «ἴσας δ’ ὑσμίνῃ κεφαλὰς εἶχον» παραφράζων ἅμα καὶ διασαφῶν γοργῶς ὁ ποιητὴς ἐνταῦθά φησιν «ἔνθα σφιν κατὰ ἶσα μάχην ἐτάνυσε θεός», καθὰ καὶ προείρηται. Καὶ ὅρα ὅτι, ὥσπερ ἐκεῖ μετὰ τὴν ἰσότητα, ἥτις ἦν τὸ μηδετέρους μεμνῆσθαι φόβου, ὡς ὁ ποιητὴς ἡρμήνευσεν, ἡ τῶν Τρώων ἧττα γέγονεν, οὕτως ἐνταῦθα τῆς μάχης εἰς ἶσα τανυσθείσης εἶτα μετ’ ὀλίγα φευξοῦνται Ἀχαιοί.

3.207 (v. 337) Σημείωσαι δὲ ὅτι τὸ κατὰ ἶσα τανυσθῆναι τὴν μάχην ἐφερμηνεύων εὐθὺς ὁ ποιητὴς ἐπάγει «τοὶ δ’ ἀλλήλους ἐνάριζον». οἱ γὰρ ἀλλήλους ἐναρίζοντες αὐτοὶ καὶ μάχην κατὰ ἶσα τετανυσμένην ἔχουσι, καὶ τὰς κεφαλὰς οἱ τοιοῦτοι ἐξισοῦνται κατὰ λόγον φιλόσοφον, εἴτε ἄνισοι πρὸς ἀλλήλους ἔφθασαν εἶναι εἴτε καὶ ἶσοι. τῇ γὰρ ἑκατέρωθεν ἀφαιρέσει τῶν ἴσων κεφαλῶν φυλάττεται ἐν ὁμοιότητι ἡ πρώην ἀναλογία τῶν στρατευμάτων. καὶ ἔστι πως καὶ τοῦτο ὁμοίϊος [ἤγουν ὅμοιος] πόλεμος, τὸ ἀλλήλους ἐναρίζειν καὶ μὴ ἑτεραλκῶς ἔχειν. Αὐτὸ γὰρ ἄνισον καὶ οὐχ’ ὅμοιον οἷα νίκης ἔργον. Τὸ δὲ «ἐτάνυσεν» ὡς ἐκ μεταφορᾶς εἴρηται σχοινίου, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ὅπου πεῖραρ πολέμου ἐπαλλάσσεται κατά τινα σχοίνου πέρατα. (v. 341 s.) Ὅτι ἐπὶ πεζῷ προμάχῳ πεσόντι ἐρεῖ τις τὸ «πεζὸς θῦνε διὰ προμάχων εἵως», ἤγουν ἕως, «φίλον ὤλεσε θυμόν». Ὅμηρος δέ γε ψεκτικῶς αὐτὸ λέγει περὶ τοῦ Παιονίδου Ἀγαστρόφου, ὃς δέον ὂν φυγεῖν οὐκ εἶχεν ἵππους. (v. 339—42) «Οὐ γάρ οἱ ἵπποι ἐγγύς», φησίν, «ἔσαν προφυγεῖν, ἀάσατο δὲ μέγα θυμῷ. τοὺς μὲν γὰρ θεράπων ἀπάνευθεν ἔχεν, αὐτὰρ ὃ πεζὸς θῦνε» καὶ ἑξῆς, ὡς ἐξετέθη. (v. 338) Ἰστέον δὲ ὡς ἐν μὲν τῷ «ἀγάννιφον Ὄλυμπον» φυλάττεται τὸ ἀμετάβολον τοῦ ἄγαν ἐπιρρήματος, ἤδη δέ πως καὶ ἐν τῷ «ἀγάρροον Ἑλλήσποντον», ὁ δέ γε Ἀγάστροφος τὸ κύριον, ὡς εὐφωνεῖσθαι θέλων, ἀπέβαλεν αὐτό, γινόμενος καὶ αὐτὸς ἐκ τοῦ ἄγαν ὡς οἱονεὶ ἄγαν εὔστροφος. Εἰ μὴ ἄρα ἐκ τοῦ ἀγάω γίνεται ἢ ἐκ τοῦ ἀγαίω, τὸ ἐκπλήττω, ἀποβολῇ τοῦ ἰῶτα. [Τοιοῦτον δέ τι νοητέον καὶ ἐπὶ τοῦ Ἀγαμέμνων καὶ Ἀγαμήδης καὶ τῶν ὁμοίων.] Ὅρα δ’ ἐν τοῖς περὶ τοῦδε τοῦ Ἀγαστρόφου πλοκὴν γραφῆς. μνησθεὶς γὰρ ὁ ποιητὴς αὐτοῦ νῦν ὡς οὐτηθέντος, εἶτα εἰπών τι περὶ Ἕκτορος, καὶ μετὰ στίχους πολλοὺς φάμενος, ὡς τὸν Ἀγάστροφον ὁ Διομήδης ἐξενάριξε σκυλευτικῶς καὶ εὐθὺς ἐπισυνάψας τέσσαρα ἔπη περὶ τοῦ Πάριδος, ἐπάνεισιν αὖθις εἰς τὸ σκύλευμα τοῦ Ἀγαστρόφου, ὃ ἐνεργῶν ὁ Διομήδης βάλλεται ὑπὸ Πάριδος. (v. 343—8) Ὅτι ἐπεὶ Ἕκτωρ ὀξὺ νόησεν, ὦρτο δὲ κεκληγὼς ἑπομένων καὶ Τρώων, «ἰδὼν ῥίγησε βοὴν ἀγαθὸς Διομήδης, αἶψα δ’ Ὀδυσσῆα προσεφώνεεν ἐγγὺς ἐόντα· νῶϊν δὴ τόδε πῆμα κυλίνδεται ὄβριμος Ἕκτωρ.

3.208 ἀλλ’ ἄγε δὴ στέομεν καὶ ἀλεξώμεσθα μένοντες». ὃ δὴ πᾶς ἂν εἴποι ἑταιριζόμενός τινα κατὰ κοινοῦ ἐχθροῦ. Καὶ ὅρα καὶ νῦν ἀνταπόδοσιν ἀσφαλείας. Ὀδυσσέα γὰρ φθάσαντα ὀτρῦναι αὖθις ὁ Διομήδης ἀντερεθίζει πρὸς μάχην. (v. 345) Τὸ δὲ «βοὴν ἀγαθός» δεξιῶς παράκειται τῷ «ἐρρίγησεν», ἵνα μὴ δι’ ἀνανδρίαν ὁ ἀγαθὸς μάχεσθαι Διομήδης ῥιγῆσαι φαίνοιτο, ἀλλ’, ὡς ἐρρέθη, διὰ τὴν πρὸ ὀλίγου ῥηθεῖσαν βουλὴν τοῦ Διός. Ἰστέον δὲ ὅτι σαφήνεια ἐν τοῖς ἑξῆς τοῦ ῥιγῆσαι φαίνεται τὸ «ῥίγιον αἴ κεν ἁλώω», ῥηθὲν παρὰ Διομήδους, καὶ ὅτι τὸ «ἰδὼν ῥίγησε» γράφοντές τινες «ἰδὼν ἐνόησε» φασίν, ὡς οὐ διὰ δειλίαν πρῶτος εἶδεν ὁ ἥρως ἐπελθόντα τὸν Ἕκτορα, διὰ προσοχὴν δὲ καιριωτάτην, ὡς οὐδὲ Ὀδυσσεὺς δειλός ἐστι, τὸν Δόλωνα καὶ τὸν Ῥῆσον προσκεψάμενος. (v. 347) Περὶ δὲ τοῦ κυλίνδεται εἰ καὶ προερρέθη, ὅμως οὐ περιττὸν εἰπεῖν καὶ νῦν, ὡς ἀστείως ἔχει ἄρτι ῥηθὲν ὡς ἐπὶ κύματος, ὃ κυλίει Βορρᾶς ὑψόθεν καταπνέων. καὶ γὰρ καὶ Ἕκτωρ ἐξ ὑψηλοτέρων ἔρχεται, ὡς καὶ προδιείληπται, εἴπερ ἠνεμόεσσα ἡ Τροία ἐστί, καὶ ἄλλως δέ, ὑψόθεν ὡς οὐρανόθεν ἐκ Διὸς ἐπιών. οὕτω πάντοθεν ἀσφαλὲς τὸ νόημα. Σημείωσαι οὖν, ὅτι ἀέλλῃ τὸν Ἕκτορα φθάσας εἰκάσαι ὑπεραέϊ καὶ ἑρμηνεύσας τὴν ἄελλαν ταύτην ἐν τῷ εἰκάσαι Ζεφύρῳ, ὑφ’ οὗ κῦμα κυλίνδεται, λαβὼν ἐντεῦθεν ἀρχὴν μετέλαβε τὸ κῦμα κυλίνδεται εἰς τὸ πῆμα κυλίνδεται, μονονουχὶ λέγων, ὅτι τὸ

παραβολικῶς κυλιόμενον κῦμα τὸ τοῖς Ἀχαιοῖς ἐπικυλιόμενον πῆμα δηλοῖ. [(v. 348) Τὸ δὲ «στέομεν» πρωτότυπος ἐνεστὼς ποιητικῶς κατὰ τὸ ποιέομεν καὶ τὰ ὅμοια. ἐξ οὗ ἐπενθέσει τοῦ υ στεύω, παθητικὸν στεύομαι στεύεται, καὶ συγκοπῇ στεῦται, ὅπερ ἐστὶν ὑφίσταται, ἤγουν ὑπισχνεῖται, ὡς πολλαχοῦ ἐφάνη.] (v. 349—53) Ὅτι συστήσας εἰς θάρρος ἑαυτὸν ὁ Διομήδης καὶ ἀφεὶς ἔγχος ἔβαλε τὸν Ἕκτορα καταστοχαζόμενος «κεφαλῆφιν, ἄκρην κὰκ κόρυθα· πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός, οὐδ' ἵκετο χρόα καλόν. ἐρύκακε γὰρ τρυφάλεια τρίπτυχος αὐλῶπις, τήν οἱ πόρε Φοῖβος Ἀπόλλων». (v. 354—6) Καὶ ὁ Ἕκτωρ πολὺ ἀνεχώρησεν. Ὦκα γάρ, φησί, «ἀπέλεθρον ἀνέδραμε, μίκτο δ' ὁμίλῳ», καὶ σκοτωθείς—τοῦτο γὰρ δηλοῖ τὸ ὀφθαλμοὺς κελαινὴ νὺξ ἐκάλυψεν—«ἔστη γνὺξ ἐριπὼν καὶ ἐρείσατο χειρὶ παχείῃ γαίης», ἤγουν ἐπὶ γῆς. (v. 359 s.) Μετὰ δὲ μικρὸν ἐν ὅσῳ Διομήδης ᾤχετο λήψεσθαι τὸ ἀφεθὲν δόρυ, «τόφρα Ἕκτωρ ἄμπνυτο, καὶ ἂψ ἐς δίφρον ὀρούσας ἐξέλασεν ἐς πληθύν» καὶ ἀπῆλθε, παρὰ βραχὺ πελάσας θανάτῳ. Καὶ λαλεῖ μὲν ὁ Διομήδης τὰ εἰρησόμενα.

3.209 Ἕκτωρ δ' οὐκ ἐπιστρέφεται, ἀγαπῶν εἰ καὶ σέσωσται. (v. 350) Ἰστέον δ' ὅτι τὸ ἔβαλεν ἑρμηνεύων ὁ ποιητής, ὡς μὴ δηλοῦν ἁπλῶς βέλους ἄφεσιν ἀλλὰ καὶ ἐπιτυχίαν φησὶν «οὐδ' ἀφάμαρτε», στοχασάμενος γὰρ τῆς κεφαλῆς ἔτυχεν. Οὕτω καὶ μετ' ὀλίγα ἐρεῖ «βάλεν, οὐδ' ἅλιον βέλος ἔκφυγε χειρός». οὕτω καὶ τὸ «πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός» διασαφῶν ἐπήγαγε τὸ «οὐδ' ἵκετο χρόα καλόν», ὁμοίως καὶ τὸ «μίκτο δ' ὁμίλῳ» ἑρμηνεύει ἐν τῷ «ἐξέλασεν ἐς πληθύν». Τὸ δὲ καταστοχαζόμενος τιτυσκόμενος λέγει, ὡς οὐκ ἂν φωνήσοι Καλλιόπη πεζική. Οὗ θέμα, ὡς καὶ προδιείληπται, ἀμετάβατον εἰς μέλλοντα τύκω, καὶ πλεονασμῷ τύσκω, καὶ ἀναδιπλασιασμῷ τιτύσκω. Τὸ δὲ «κεφαλῆφιν» ὁμωνυμίαν ἔφηνε. βάλλεται γάρ τις κεφαλῆφιν οὐ μόνον, ὅταν αὐτὴν ἐκείνην βληθῇ, ἀλλὰ καὶ ὅτε τὸ περὶ αὐτήν, ὡς ἐνταῦθα ἡ κυνέη. (v. 351) Τὸ δὲ «ἄκρην κατὰ κόρυθα» πρὸς πιθανότητα εἴρηται. εἰ γὰρ περὶ τὸ κύτος ἐνέσκηψε, διέσχεν ἂν τὸ δόρυ, ὡς ἀντερειδούσης ἔσωθεν τῆς τοῦ Ἕκτορος κεφαλῆς. Τὸ δὲ «πλάγχθη χαλκός» ἀντὶ τοῦ ἐξεκρούσθη καὶ διεξέπεσε τοῦ σκοποῦ. γλυκέως δὲ εἴρηται τὸ «πλάγχθη» ὡς ἐπί τινος ἐμψύχου. (v. 353) Τρίπτυχος δὲ ἡ τρεῖς πτύχας ἤτοι θέσεις ἔχουσα καὶ ὡς εἰπεῖν τριθέλυμνος διὰ στερρότητα πρὸς ἀσφάλειαν. ἔστι δὲ ἡ ταύτης παραγωγὴ ὁμοία πως πρὸς τὸ δίπτυχα, οἷον «δίπτυχα ποιήσαντες». Αὐλῶπις δὲ ἡ ὡς εἰς αὐλὸν ἀνήκουσα, ὅ ἐστιν εἰς στενὸν καὶ μακρὸν ἀπολήγουσα. κεῖται γάρ ποτε καὶ ἐπὶ τοιούτου ὁ αὐλός, ὡς ἐν τῷ «αὐλὸς ἀνὰ ῥῖνας παχὺς ἦλθε». [Πάνυ δὲ κατακέχρηται, εἰ καὶ τροπικῶς, ὁ αὐλὸς ἐνταῦθα, καθὰ καὶ ἐν τῷ αὖλαξ. καὶ αὐτὴ γὰρ διὰ τὸ στενοεπίμηκες ἐκ τοῦ αὐλοῦ παρωνόμασται. καὶ μὴν αὐτὴ ἔχει τι καὶ κοιλότητος ἐκ τῆς τοῦ ἀρότρου τομῆς καί πως ἐγγίζει τῷ αὐλῷ διὰ τοῦτο μᾶλλον ἤπερ ἡ αὐλῶπις τρυφάλεια, εἰ μὴ ἄρα καὶ αὐτῇ βοηθεῖ εἰς τροπὴν ἡ κατ' αὐτὴν κοιλότης. ὁ μέντοι ῥηθεὶς «παχὺς αὐλὸς ἀνὰ ῥῖνας» σκληρότερον τέτραπται.] Τὸ δὲ «τήν οἱ πόρε Φοῖβος Ἀπόλλων» θεόθεν εἶναι καὶ τὰ καλὰ ὅπλα δηλοῖ. Καὶ παρῴδηται τὸ «τρυφάλεια» καὶ ἑξῆς ἐκ τοῦ κατὰ τὸν Κάλχαντα στίχου, ὃς θεόσδοτον ἐκείνῳ τὴν μαντικὴν εἶναι δηλοῖ. Ὅρα δ' ἐνταῦθα ὡς τῆς κυνέης ἀποσιωπηθείσης ἀνεπλήρωσε τὸ αὐτῆς Ὅμηρος ὄνομα τρισὶν ἐπιθέτοις εἰπὼν «τρυφάλεια τρίπτυχος αὐλῶπις».

3.210 (v. 354) Πέλεθρον δὲ ἤτοι πλέθρον μέτρον γῆς ποδῶν ρκʹ. ὅθεν ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ἀπέλεθρον τὸ μὴ ὑποπῖπτον πελέθρῳ κατὰ στέρησιν, ἢ τὸ πολυπέλεθρον κατ' ἐπίτασιν. Τὸ δὲ «ἀνέδραμε» ταὐτὸν ἐνταῦθα τῷ ἀνεπόδισεν, ἀνεχώρησε, καὶ οὐ κοινῶς ἀντὶ τοῦ ἀνέβη κατὰ τὸ «ὃ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος». Τὸ δὲ «μίκτο δ' ὁμίλῳ» ἀστείως ἔχει. Διομήδης μὲν γὰρ ἑνὶ τῷ Ὀδυσσεῖ ἔμικτο καὶ οὕτω τὸν Ἕκτορα ἔβλαψεν εἰς κίνδυνον, Ἕκτωρ δὲ οὐκ ἔχει σωθῆναι, εἰ μὴ τῷ ὁμίλῳ μιχθεὶς ἐξελάσει εἰς πληθὺν ἀναδραμών. καὶ ἄλλως δὲ μυκτηρίζει, ἐὰν ὁ ἄριστος καὶ ὅλων Τρώων ἐξέχων οὕτως ἀγεννῶς ὁμίλῳ ἐμίγη. (v. 355) Τὸ δὲ «στῆ δὲ γνὺξ ἐριπών», ὡς μέσον ἐστὶ πτώσεως καὶ στάσεως καὶ ἀλλαχοῦ δηλοῦται. Τὸ δὲ «χειρὶ παχείῃ» ἐνταῦθα μάλιστά

ἐστι καίριον. ἐχρῆν γὰρ τοιαύτῃ χειρὶ τὸν πίπτοντα ἥρωα ἐπερείσασθαι, καθὰ καί τι βάρος κίονι στερρῷ. (v. 356) Νὺξ δὲ καὶ νῦν συνήθως Ὁμήρῳ ἡ μὴ κατὰ πᾶσαν γῆν, ἀλλ' ἡ καλύπτουσα τοῦδέ τινος ὄψιν σκότωσις. λέγεται δέ ποτε οὕτω καὶ ἡ ἐκ νεφῶν περὶ ἥλιον ζόφωσις. [Ὅλως δὲ εἰπεῖν, νὺξ παρὰ τῷ ποιητῇ οὐ μόνον ἡ σωματικὴ δαίμων τοῦ μύθου, ἀλλὰ καὶ ἡ κοινῶς οὕτω λεγομένη, ἔτι δὲ καὶ ἡ σκοτεινὴ ἐκ νεφῶν κατάστασις ἐν ἀέρι, ναὶ μὴν καὶ ὁ τῶν ὀμμάτων σκοτισμός, ὡς καὶ ἐν τῷ περὶ Κιμμερίων λόγῳ κεῖται.] (v. 361—6) Ὅτι Διομήδης φεύγοντος, ὡς ἐρρέθη, τοῦ Ἕκτορος δουρὶ ἐπαΐσσων προσέφη «ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον· ἦ τέ τοι ἄγχι ἦλθε κακόν· νῦν αὖτέ ς' ἐρύσατο θεός, ᾧ μέλλεις εὔχεσθαι, ἰὼν ἐς δοῦπον ἀκόντων. ἦ θήν ς' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας, εἴ που καὶ ἔμοιγε θεὸς ἐπιτάρροθός ἐστι». Ταῦτα δὲ εἴποι ἂν ἅπας ἡττώμενος μέν, ἀναπαλαῖσαι δὲ ὅμως ἐλπίζων καὶ καταβαλεῖν τὸν ἀντίπαλον. Καὶ ὅρα ὅπως καιρίως ὁ Διομήδης ἀνθυβρίζει τὸν ἧν ὅτε ὑβρίσαντα. Ἕκτωρ μὲν γάρ ποτε κακὴν γλήνην προσεῖπεν αὐτόν, ὁ δὲ ἄρτι φεύγοντα ἐκεῖνον ἰδὼν κύνα ὠνόμασεν, οὐ λυσσητῆρα καὶ δραστήριον, ὁποῖος ἐν ἄλλοις φαίνεται, ἀλλ' ἐξ ἐκείνων δηλαδή, οἳ πτώσσουσιν ὑπὸ λέοντι. (v. 363) Τὸ δὲ «ἐρύσατο» οὐκ αὔξησιν ἔχει ὡς ἀπὸ τοῦ ῥύω, ἀλλὰ φυσικῶς ἐρρέθη ἐκ τοῦ ἐρύω, τὸ φυλάσσω. (v. 364) Τὸ δὲ «μέλλεις εὔχεσθαι» στοχαστικῶς εἴρηται, οὐ γὰρ εἶπεν ᾧ εὔχῃ, ἀλλ' ᾧ μέλλεις, ἤγουν ἔοικας, εὔχεσθαι.

3.211 ἄλλος γὰρ ἄλλῳ θεῶν αἰειγενετάων καὶ ῥέζει καὶ εὔχεται. δύναται δὲ εἶναι καὶ ἀντὶ τοῦ ὀφείλεις, ὡς καὶ ἑτέρωθι. Δοῦπος δὲ ἀκόντων ἐκ μέρους ἡ ἁπλῶς μάχη, μέρους δὲ τοῦ ἐν ὅπλοις πάντως κρείττονος. ἐπαινετέοι γὰρ μάλιστα οἱ αἰχμηταί, ταὐτὸν δ' εἰπεῖν ἀκοντισταί. ἔστι δὲ δοῦπος ἀκόντων ὁ πόλεμος πρὸς διαστολὴν ἄλλων δούπων. (v. 365) Τὸ δὲ «ἐξανύω» ἀντὶ μέλλοντος τοῦ τελειώσω, δηλοῖ γὰρ τὸ εἰς τελευτὴν ἀγάγω. (v. 366) Τὸ δὲ «ἐπιτάρροθος» ὅτι πλεονασμὸν ἔχει τῆς ταρ συλλαβῆς—ἐπίρροθος γὰρ ὁ σπουδαῖος ἐπίκουρος καὶ μετὰ ῥόθου βοηθῶν—καὶ ἀλλαχοῦ δηλοῦται. (v. 367) Ὅτι τὸ «ἐπιείσομαι» ἀντὶ τοῦ ἐπιπορεύσομαι, ἐπελεύσομαι, ἀπὸ ἐνεστῶτός ἐστι τοῦ εἴω, καθὰ καὶ πρὸ βραχέων τὸ «ὅθι καταείσατο γῆς», ἤγουν ὅπου γῆς τὸ τοῦ Διομήδους δόρυ κατῆλθεν. ἐκ δὲ τοῦ τοιούτου εἴω, οὗ καὶ χρῆσις προσεσημείωταί που, καὶ τὸ ᾔειν ἀντὶ τοῦ ἦλθον, μέσος ὑπερσυντέλικος ἀπὸ τοῦ ᾔϊα μέσου παρακειμένου. Ἰστέον δὲ ὅτι ἐν τῷ «νῦν αὖ τοὺς ἄλλους ἐπιείσομαι, ὃν ἂν κιχείω», —Λέγει δὲ αὐτὸ Διομήδης—σχήματι συνήθει ἐμερίκευσεν Ὅμηρος τὸ καθόλου, καὶ ἔστιν ὅμοιον τῷ «ἀνθρώπους τίνυσθον, ὅς τις ἐπίορκον ὀμόσσει». τὸ μέντοι κοινὸν οὕτω «τῶν ἄλλων, ὃν ἂν κιχείω, καὶ «ἀνθρώπων, ὃς ἐπίορκον ὀμόσει». πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα παρὰ τῷ ποιητῇ. (v. 369—72) Ὅτι «Ἀλέξανδρος Ἑλένης πόσις ἠϋκόμοιο» ἐπὶ τῷ Διομήδει σκυλεύοντι τὸν προειρημένον Ἀγάστροφον «τόξα τιταίνετο, στήλῃ κεκλιμένος», ὅ ἐστι περιεχόμενος καὶ κρυπτόμενος «ἀνδροκμήτῳ ἐπὶ τύμβῳ Ἴλου Δαρδανίδαο παλαιοῦ δημογέροντος». Καὶ ὅρα ὅτι καὶ νῦν Ὅμηρος μνήμην τῆς ἡρωΐδος Ἑλένης παραρριπτεῖ. Σημειοῦνται γάρ οἱ παλαιοί, ὡς πολλάκις τῷ τοῦ Ἀλεξάνδρου ὀνόματι εἰς οὐδὲν κατεπεῖγον καὶ τὴν Ἑλένην προστίθησιν, ἀναμιμνήσκων τῆς αὐτοῦ ἀσελγείας τοὺς ἀκροατάς, ἢ καὶ θέλων συχνὰ μεμνῆσθαι αὐτῆς τὸν ἀκροατήν, ὡς καὶ τοῦ Ἀχιλλέως. οὐ γὰρ ἔχει Ὅμηρος μὴ φιλεῖν καὶ αὐτήν, οὐχ' οὕτω τοῦ γένους οὐδὲ τοῦ κάλλους οὐδὲ τῶν λοιπῶν, ἃ τὴν Στησιχόρειον παλινῳδίαν πεποίηκε, ἀλλὰ καὶ ὅτι μετάμελον ἐκείνη σωφρόνως πάσχει, ἐφ' οἷς οὐκ εὖ πεποίηκε, καὶ ὅτι ἀφορμὴ ἐπιδείξεως αὕτη μεγάλης τῷ ποιητῇ γέγονε συγκροτήσασα τηλικαύτην πραγματείαν αὐτῷ.

3.212 Ὅρα δὲ καὶ ὡς ὑπεξαγαγὼν ὁ ποιητὴς τὸν βασιλέα διὰ τοῦ Κόωνος ἀπάγει νῦν καὶ τὸν Διομήδην διὰ τοῦ Πάριδος, εἶτα τὸν Ὀδυσσέα διὰ τοῦ Σώκου, καὶ ἄλλως τοὺς λοιπούς. καὶ οὕτω τῶν ἀρίστων ἀπόντων, ῥᾴων ἡ νίκη τῷ Ἕκτορι γίνεται πελάσαντι κατὰ τὴν βουλὴν τοῦ Διὸς ταῖς ναυσί. (v. 370) Τόξα δὲ πληθυντικῶς καὶ νῦν τὸ κατωτέρω ἑνικῶς τόξον, ὥσπερ ἀλλαχοῦ τὸ ἅρμα ἅρματα. [Τὸ δὲ «τιταίνω» πρωτότυπόν ἐστι τοῦ Τιτάν Τιτᾶνος, τοῦ τε κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μῦθον λαμβανομένου καὶ τοῦ κατὰ σκῶμμα, ὅπερ ἐνέφηνε καὶ ὁ κατὰ τοὺς παλαιοὺς εἰπεῖν ἄστυτος γέρων ἢ Ἀστυάναξ, ὃς δηλαδὴ οὐκ εἶχε στύεσθαι τριέμβολον, καθὰ παίζει ὁ Κωμικός. εἰ γὰρ ἐκεῖνος οὐκ εἶχε τανύσαι, ὁ ἄρα τανύσαι δυνάμενος κατὰ τὸν νοῦν ἐκείνου εἴη ἂν Τιτάν.] (v. 371) Τὸ δὲ στήλῃ περιέχεσθαι κρύβδην τὸν Πάριν ἄοπλον ἐλλοχῶντα ἔχει τι κατὰ τοὺς παλαιοὺς ἀστεῖον σκῶμμα, εἰ νεκρὸν ἀντὶ ἀσπίδος προβέβληται, καὶ ὡς οἷά τις τὰ εἰς μάχην ἄψυχος παρὰ νεκροῦ στήλῃ ἑστὼς ποιεῖ, ἅπερ ποιεῖ. Ὅτι δὲ πρὸ τούτου καὶ ὁ Ἕκτωρ ὑπὸ τῇ αὐτῇ ἦν προγονικῇ στήλῃ, προϊστόρηται. Ἀνδρόκμητος δὲ στήλη ἡ ἐπὶ ἀνδρὶ οὐ ζῶντι, ἀλλὰ καμόντι, ὅ ἐστι θανόντι. εἰπεῖν γὰρ περὶ ἣν ἄνδρες ἔκαμον, ἀβαθές ἐστι καὶ ἀπερινόητον. ἔχει δὲ ἀμφιβολίαν εἴτε στήλῃ ἀνδροκμήτῳ συντακτέον εἴτε ἀνδροκμήτῳ ἐπὶ τύμβῳ. Στήλη δὲ κυρίως ἡ ἐκ λίθου ὡς ἀπὸ τοῦ στῶ στήσω καὶ τοῦ λᾶς ὁ λίθος, ὁ ἐκ λίθου δηλαδὴ ἀνεστηκὼς ἀνδριάς.

3.213 [Ἐκ δὲ τῆς τοιαύτης στήλης οὐ μόνον στηλίτης ἄρρητον ὄνομα, ἐξ οὗ στηλιτεύειν σκωπτικῶς τὸ στήλαις ἐγγράφειν τὰ κατά τινων, ἀλλὰ καὶ ὁ στῦλος τροπῇ ὁποία γίνεται καὶ ἐν τῷ ἅλμη ἁλμυρός, καὶ τηρῶ τυρός.] Τὸ δὲ «κεκλιμένος», ἀντὶ τοῦ περιεχόμενος, ὡς καὶ ἐν τῷ «λίμνῃ κεκλιμένος Κηφισίδι», ἢ ἀντὶ τοῦ κρυπτόμενος. διὸ βαλὼν τὸν Διομήδην ἐκ λόχου ἀνεπήδησεν ἐκφήνας ἑαυτόν. (v. 372) Δημογέρων δὲ Ἶλος οὐχ' ἁπλῶς γέρων τοῦ δήμου, ἤγουν ὁ τυχὼν γέρων, κατὰ τὸ «δῆμον ἐόντα», ἤγουν δημότην καὶ ἕνα τῶν πολλῶν καὶ «δήμου ἀρίστους», ἤγουν ὁμίλου, ἀλλὰ κατὰ τοὺς ἀλλαχοῦ ἐπὶ τοῦ Τρωϊκοῦ ὄντας τείχους. Ἐλέγοντο γὰρ οὕτω καὶ οἱ βασιλεῖς ὡς παρὰ τοῦ δήμου γέρας ἔχοντες, ἤγουν παρὰ τῷ δήμῳ γεραροί. καὶ ἔστιν ἡ λέξις αὕτη οὐ ταπεινή, ἀλλὰ σεμνὴ καὶ βασιλική, ὡς δηλοῦσι καὶ οἱ ἐν τῇ γάμμα ῥαψῳδίᾳ δημογέροντες. Ὅρα δὲ καὶ ὅτι Διομήδης καὶ Ὀδυσσεὺς ἕως καὶ παρ' Ἴλου σῆμα τοὺς Τρῶας ἐτρέψαντο, ἔνθα καὶ Ἀγαμέμνων πρὸ ὀλίγου αὐτοὺς ἀνέστειλε. Τὸ δ' ἐντεῦθεν δυστυχοῦσιν Ἀχαιοὶ Διομήδους βληθέντος, ὡς καὶ ἐκεῖ τοῦ βασιλέως τρωθέντος. (v. 373—5) Φράζει δὲ ὁ ποιητὴς τὸ τοῦ Διομήδους δυστύχημα οὕτω «ἤτοι ὃ μέν», ἤγουν ὁ Διομήδης, «θώρηκα Ἀγαστρόφου ἰφθίμοιο αἴνυτο», τουτέστιν ἀφῃρεῖτο, «ἀπὸ στήθεσφι παναίολον ἀσπίδα τ' ὤμων καὶ κόρυθα βριαρήν». Ἀλέξανδρος δὲ προθέμενος ἀριστεύοντα τὸν Διομήδην βαλεῖν «τόξου πῆχυν ἀνεῖλκε καὶ βάλεν, οὐδ' ἄρα μιν ἅλιον βέλος ἔκφυγε χειρός, ταρσὸν δεξιτεροῖο ποδός· διὰ δ' ἀμπερὲς ἰὸς ἐν γαίῃ κατέπηκτο· ὃ δὲ μάλα ἡδὺ γελάσας ἐκ λόχου ἀμπήδησε καὶ εὐχόμενος ἔπος ηὔδα· βέβληαι οὐδ' ἅλιον βέλος ἔκφυγεν· ὡς ὄφελόν τοι νείατον ἐς κενεῶνα βαλὼν ἐκ θυμὸν ὀλέσσαι», ἢ μᾶλλον ἑλέσθαι. «οὕτω κεν καὶ Τρῶες ἀνέπνευσαν κακότητος, οἵ τέ σε πεφρίκασι λέονθ' ὡς μηκάδες αἶγες». Καὶ ὅρα ὅπως ἀνόητος ὁ Πάρις κατὰ τοὺς παλαιοὺς οὕτως εἰκῇ ἐκκαλύπτων τοῖς πολεμίοις τὰ τῶν πολιτῶν ἐλαττώματα, ὅτι δηλαδὴ τὸν Διομήδην ὑπερλίαν πεφρίκασι, καὶ ὡς ἀσχημονεῖ ἐφ' οἷς οὐδέν τι μέγα πράξας μεγάλα φρονεῖ, ὃς ἀλλαχοῦ τε φευγόντων Ἀχαιῶν ὀϊστεύσας ἵππον βάλλει μόνον, καὶ αὐτὸν τοῦ πρεσβυτάτου Νέστορος, καὶ νῦν δὲ λοχήσας καὶ βαλὼν ἕνα τινὰ οὐ μόνον οὐκ ἀναιρεῖ, ἀλλ' οὐδ' ἐν καιρίῳ βάλλει.

3.214 Δῆλον δ' ὅτι ὡς τὰ πολλὰ τῷ σκυλευμῷ ἀπεχθάνεται ὁ ποιητής. οὐ μόνον γὰρ νῦν ὁ Διομήδης δι' αὐτὸν τιτρώσκεται, ἀλλὰ καὶ μετ' ὀλίγα ὁ Εὐρύπυλος, πρὸ δ' αὐτῶν ὁ βασιλεὺς φέρων ἀν' ὅμιλον τὰ τοῦ Ἰφιδάμαντος ὅπλα τιτρώσκεται ὑπὸ τοῦ ἀδελφοῦ Κόωνος. καὶ Ἐλεφήνωρ δὲ πρὸ τούτων ἐν τῇ τῆς μάχης καταρχῇ σκυλεύων πίπτει. ὅθεν καὶ ὁ σοφὸς Νέστωρ συμβουλὴν εἰσήγαγε μήτινα ἐνάρων ἐπιβάλλεσθαι, ἵνα ὕστερον ἥσυχοι συλᾶν ἔχωσιν αὐτά. (v. 373 s.) Ὅρα δὲ Ὁμηρικὸν θέλημα καὶ ἐν τῷ «θώρηκα παναίολον» καὶ «κόρυθα βριαρήν». αὐτὰ γὰρ σὺν ἐπιθέτοις ἐκθεὶς τὴν ἀσπίδα ψιλῶς ἔφρασε. (v. 375) Τόξου δὲ πῆχυς ἢ περιφραστικῶς τὸ τόξον ὅλον, ὅπερ χεὶρ οἷον τῷ τοξότῃ ἐστίν, ἢ τὸ ἄνω καὶ τὸ κάτω τῆς τοῦ τόξου λαβῆς, ἤγουν κέρατα ἐξ ὧν τὸ τόξον συμβέβληται, ἀφ' ὧν πάλιν τὸ ὅλον τόξον δηλοῦται. Εἴρηται δὲ καὶ τοῦτο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεταφορικῶς κατά τινα ὁμοιότητα τῶν ἀνθρωπίνων πήχεων. ὡς γὰρ ὁ ἡμέτερος πῆχυς εἰς τὸ πλατὺ τῆς χειρὸς τελευτᾷ, οὕτως ἑκάτερα τοῦ τόξου τὰ μέρη τὸ θέναρ τῆς κρατούσης χειρὸς καὶ τοὺς δακτύλους ἔχουσιν ἀντερείδοντας ὅτε καιρὸς μεταχειρίσεως, [ὡς εἶναι πῆχυν οἱονεὶ τῆς χειρὸς τοῦ τοξότου τὸ ἄνω κυρτὸν τοῦ τόξου καὶ τὸ κάτω. καὶ ἄλλως δέ, εἴγε δάκτυλοι τόξου τολμηθῶσι λεχθῆναι τὰ περὶ ἑκατέραν κορώνην, εἶεν ἂν πήχεις τὰ μετὰ τοὺς δακτύλους τούτους.] Τὸ δὲ ἀνεῖλκεν ἢ περιττὴν ἔχει τὴν πρόθεσιν. οὐ γὰρ πάνυ δηλοῖ τὸν ἄνω ἑλκυσμόν, ὡς ὅτε τις ἱμονιᾷ ὕδωρ ἀνέλκει ἢ ἰχθὺν ἀγκύστρῳ, ἢ καὶ ἠρεμαίαν τινα δηλοῖ ἄνω ἕλκυσιν ὡς οἷα μὴ κατακύψαντος τοῦ Πάριδος ἐν τῷ ἑλκυσμῷ. μάλιστα δὲ ἀνέλκει ὡς ἄνωθεν ἐκ τοῦ τύμβου διοϊστεύσας κατὰ Διομήδους ταπεινοτέρου ὄντος, διὸ καὶ ὁ τοῦ ποδὸς ταρσὸς ἐκείνου βέβληται. Καὶ ἄλλως δέ, ὃς μὲν λόχον ἐσίζεται ἀνδρῶν, ἕλκει τόξον, ὃς δὲ λόχου ἀναπηδήσει κατὰ τὸν Πάριν, ἀνέλκειν αὐτὸ λέγοιτ’ ἄν. (v. 376) Τὸ δὲ «καὶ βάλεν οὐδ’ ἄρα μιν ἅλιον βέλος ἔκφυγεν» ἀποδεξάμενος τῆς φράσεως ὁ ποιητὴς ἢ καὶ ὡς ἐν σχεδιασμῷ διττολογῶν, παρακατιὼν πάλιν ὁμοίως ἔφρασεν ἐν τῷ «βέβληαι οὐδ’ ἅλιον» καὶ ἐφεξῆς, ὡς ἀνωτέρω κεῖται, οὐκ ἀπαξιώσας πλάσαι τὸν Πάριν λαλοῦντα, ὡς καὶ αὐτὸς δὴ Ὅμηρος ἔφρασεν, ἀλλὰ δείξας κἀνταῦθα, ὡς δυνατόν ἐστι τὴν αὐτὴν καὶ ἔννοιαν καὶ φράσιν εἰς διαφόρους ἔρχεσθαι. (v. 377) Ταρσὸς δὲ ποδὸς τὸ κάτω πλατύ, ἀπὸ τοῦ τέρσω, τὸ ξηραίνω.

3.215 τοιοῦτον γὰρ τὸ μέρος ὀστῶδες ὄν. ὅτι δὲ καὶ ἐπὶ πτέρυγος ὀρνέων ἡ λέξις αὕτη κεῖται καὶ ἐπὶ μέρους τριήρεων, σημαίνει δέ ποτε καὶ πόλιν καὶ τάλαρον δὲ τυρῷ χρήσιμον, ἐν ἄλλοις εἴρηται. ὧν πάντων πρὸς διαστολὴν πέφρασται ταρσὸς ποδός. Δεξιτερὸς δὲ πλάττεται ποὺς πρὸς ἱστορικὴν πιθανότητα. Γίνεται δὲ τὸ δεξιτερόν ἀπὸ τοῦ δεξιά πλεονασμῷ τοῦ τ , ἵνα ἐξομοιωθῇ πρὸς τὸ ἀντίθετον ἀριστερόν. ὡς γὰρ ἐκ τοῦ ἀρίστου ἀριστερόν, οὕτως ἐκ τοῦ δεξιοῦ δεξιτερόν. (v. 378) Τὸ δὲ «ἐν γαίῃ κατέπηκτο» ἑρμηνεία ἐστὶ τοῦ διαμπερές, τὸ γὰρ ἄνω μὲν ἐνσκῆψαν, καταπηχθὲν δὲ εἰς γῆν, διαμπερὲς βέβληκε. Τὸ δὲ «μάλα ἡδὺ γελάσας» ὡς ἐν λόγῳ σκώμματος κεῖται. οὐ γὰρ μειδιᾷ ἡρωϊκῶς καί, ὡς εἰπεῖν, κατὰ τὸν Αἴαντα βλοσυροῖς προσώποις, ἢ καὶ ὡς Ὀδυσσεὺς πρὸ μικροῦ ἐπὶ Δόλωνος, ἀλλὰ ἐκλύτως γελᾷ. Καὶ ὅρα τὴν αὔξησιν. οὐ γὰρ μειδήσας ἔφη, ἀλλὰ γελάσας, καὶ οὐχ’ ἁπλῶς γελάσας, ἀλλὰ καὶ ἡδὺ γελάσας, καὶ οὐ μόνον, ἀλλὰ καὶ μάλα ἡδύ, καγχαλόων ὁ ἄφρων ἐφ’ οἷς, ὡς ἐρρέθη, οὐδὲν μέγα ἤνυσε. τί γὰρ μέγα, εἴπερ ἐκ λόχου ἕνα τοῦτον βαλὼν οὐ μόνον οὐκ ἀνεῖλεν, ἀλλ’ οὐδὲ ἐν καιρίῳ ἔβλαψεν; (v. 379) Ἐν δὲ τῷ «ἐκ λόχου ἀμπηδήσας» ἑρμηνεύεται τὸ «στήλῃ κεκλιμένος», ὅπερ ἦν περιεχόμενος ὡς οἷον ἑτέρα στήλη ἔμψυχος τῇ παλαιᾷ συνιστάμενος. Ἴσως δὲ καὶ αὐτὸ τοῦτο κεκλιμένος ἐν αὐτῇ κατὰ νόμον λόχου, ὡς δηλοῖ τὸ ἀνεπήδησε διὰ τῆς ἀνα προθέσεως. ὁ γὰρ ἀναπηδῶν ἐξ ὑφιζήσεως ἀναπηδᾶν ἔοικε. [Δοκεῖ δὲ τὸ «ἐκ λόχου ἀμπήδησε» καὶ ὡς οἷον ἐτυμολογικόν τι τοῦ λόχου εἶναι. ὁ γὰρ ἀναπηδήσας δῆλον ὅτι ἐλέγετό πως, ἤγουν ἔκειτο ἢ ἐκάθητο, ὡς παρῆχθαι τὸν λόχον ἐκ τοῦ τοιούτου ῥήματος, ἵνα ᾖ λοχᾶν τὸ ὑποκαθῆσθαι ἐνεδρευτικῶς.] (v. 380) Τὸ δὲ «βέβληαι οὐδ’ ἅλιον βέλος ἔκφυγεν» ἐλλιπῶς ἔχει τοῦ χειρός, οἷα τοῦ Πάριδος ἐπιτρέχοντος οἷς λέγει. ἀνωτέρω δ’ ἐντελῶς ἔχει τὸ «οὐδ’ ἄρα μιν ἅλιον βέλος ἔκφυγε χειρός». Τὸ δὲ «ὡς ὄφελόν τοι» καὶ ἑξῆς, ὁμολογία ἐστὶ τοῦ Πάριδος, ὡς προθεμένου μὲν ἀνελεῖν τὸν ἥρωα, οὐκ εὐστοχήσαντος δέ, ὥς που καὶ ἄλλοτε φευγόντων Ἑλλήνων ἵππον ἐρρέθη ἀντὶ ἀνδρὸς βαλεῖν οὐκ ἐπιτυχῶς. (v. 381) Τὸ δὲ «ἐξελέσθαι θυμόν» ἢ ἀντὶ τοῦ ἁπλῶς ἐκβαλεῖν καὶ ἀφελεῖν, ἢ καὶ ἀντὶ τοῦ τὸ ἐξαίρετον ἐν ἀνθρώποις λαβεῖν. Εἰ δὲ γράφεται «ἐκ θυμὸν ὀλέσσαι» συγκροτεῖ τὴν γραφὴν Εὐριπίδης ἐν τῷ «Ἕκτορός τ’ ἀπόλλυται ψυχή». (v. 382) Τὸ δὲ «καὶ Τρῶες» ἢ περιττὸν ἔχει τὸν σύνδεσμον ἢ κοινοποιεῖται καὶ αὐτὸ τὴν κακότητα. Τὸ δὲ «ἀνέπνευσαν» πολλὴν ἀγωνίαν τῶν Τρώων δηλοῖ κακῶς διακειμένων, ὡς μηδὲ δύνασθαι ἀναπνεῦσαι, καθὰ πρὸ μικροῦ Ἕλληνες φεύγοντες ἀνέπνεον.

3.216

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(v. 383) Καὶ ἡ ῥηθεῖσα δὲ παραβολὴ τὸ «φρίσσουσιν ὡς λέοντα αἶγες» πάνυ πολλὴν ἑρμηνεύει ἀγωνίαν Τρωϊκήν. Ἔστι δὲ καὶ νῦν τὸ ἀνέπνευσαν ἀντὶ τοῦ ἀνεζωώθησαν, πνοὴν πάλιν σχόντες, καθὰ καὶ προγέγραπται. [Τὸ δὲ «κακότητος» ἀσφαλείας χάριν κεῖται, ἵνα λέγῃ ὅτι εἰς καθαρὰν ἀναπνοὴν κατέστησαν οἱ κακῶς ἔχοντες. ἄλλως γὰρ καὶ οἱ εὐτυχῶς ζῶντες ἐξ ἅπαντος ἀναπνέουσι.] Τὸ δὲ «λέοντα ὡς μηκάδες αἶγες» γοργῶς ἐφράσθη, ὡς ὁ καιρὸς ἐπεμέτρει. Τὸ δὲ «μηκάδες» μίμημα ὂν φωνῆς ἁρμόζει οὐ μόνον ἐπὶ αἰγῶν, ἀλλὰ καὶ ἐπὶ κεμάδος, ὡς προερρέθη, καὶ λαγῳοῦ. (v. 384—95) Ὅτι καὶ βληθεὶς ὁ Διομήδης ὑπὸ Πάριδος καὶ ἀκούσας, ἃ ἤκουσεν, ὅμως γενναῖα φρονεῖ καὶ τὸ ἐκείνου καταβάλλει φρόνημα λαλήσας ἑαυτοῦ ἄξια. εἰ δὲ ὕστερον ὑποχωρεῖ τῆς μάχης, καινὸν οὐδέν, ἤχθετο γὰρ κῆρ ἐπειγούσης ὀδύνης. Φησὶ γοῦν ὁ ποιητὴς «τὸν δ᾽ οὐ ταρβήσας προσέφη κρατερὸς Διομήδης· τοξότα λωβητήρ, κέρᾳ ἀγλαὲ παρθενοπῖπα· εἰ μὲν δὴ ἀντίβιον σὺν τεύχεσι πειρηθείης, οὐκ ἄν τοι χραίσμῃσι βιὸς καὶ ταρφέες ἰοί. νῦν δέ μ᾽ ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι αὔτως. οὐκ ἀλέγω, ὡς εἴ με γυνὴ βάλοι ἢ πάϊς ἄφρων. κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος οὐτιδανοῖο. ἦ τ᾽ ἄλλως ὑπ᾽ ἐμεῖο καὶ εἴ κ᾽ ὀλίγον περ ἐπαύρῃ, ὀξὺ βέλος πέλεται καὶ ἀκήριον αἶψα τίθησι. τοῦ δὲ γυναικὸς μὲν ἀμφίδρυφοί εἰσι παρειαὶ παῖδες δ᾽ ὀρφανικοί. ὃ δὲ αἵματι γαῖαν ἐρεύθων πύθεται, οἰωνοὶ δὲ περὶ πλέες ἠὲ γυναῖκες». ὃ παράφρασις διασαφητική ἐστι τοῦ ἐν ἄλλοις ῥηθέντος, ὡς οἱ ἐν πολέμῳ κείμενοι οἰωνοῖς ἦσαν φίλτεροι ἠὲ γυναιξί. Καὶ τοιοῦτον μὲν τὸ κατὰ τὸν Διομήδην χωρίον, ἐν ᾧ μεγαλόφρων ὁ ἥρως φαίνεται καὶ ἀληθῶς κρατερός, ὃς οὔτε πληγὴν τὸ περὶ αὐτὸν τραῦμα καλεῖ, καὶ ἐν ἀκμῇ δὲ τοῦ πάσχειν ὢν πειραθῆναι σὺν τεύχεσιν ἐθέλει τοῦ πολεμίου, καὶ τρόπον τινὰ προκαλεῖται τὸν βαλόντα εἰς τὸν κατὰ συστάδην πόλεμον, ὡς οἷα λογισμὸν καὶ αὐτὸς ἔχων ὁποῖον ὁ ῥηθησόμενος Ἀγαμέμνων παρὰ τῷ Σοφοκλεῖ. Τῶν δὲ τοῦ ῥηθέντος χωρίου νοημάτων τὸ «εἰ μὲν δὴ ἀντίβιον πειραθείης, οὐκ ἄν τοι χραίσμῃ βιός» ῥηθείη ἂν παρά τινος πρὸς τὸν πόρρωθεν λοιδοροῦντα ἢ ἄλλως κακουργοῦντα. Ὁ δὲ ὑβριζόμενος πρός τινος ἢ βλαπτόμενος, μὴ ἐπιστρεφόμενος δέ, εἴποι ἂν τὸ «οὐκ ἀλέγω ὡς εἴ με γυνὴ βάλῃ ἢ πάϊς ἄφρων· κωφὸν γὰρ βέλος» καὶ ἑξῆς, ὃ δὴ καὶ ὡς γνωμικόν ἐστι.

3.217 Τὸ δὲ «ἀμφίδρυφοι παρειαί» καὶ ἑξῆς, οἰκεῖον ἐπὶ ἀνδρὸς ἀριστέως ἐν μάχῃ πεσόντος, ᾧ γυνή τε ἦσαν καὶ παῖδες. καὶ τοιαῦτα μὲν ταῦτα. (v. 385) Τὸ δὲ «τοξότα λωβητήρ» οὐχ᾽ ἁπλῶς ὕβρις ἐστί. τοξότης γὰρ καὶ Ἀπόλλων καὶ Ἄρτεμις καὶ τῶν ἡρώων οἱ κράτιστοι, Ἡρακλῆς, Ἴδας, Εὔρυτος, καὶ κατὰ Τροίαν Φιλοκτήτης, Τεῦκρος, Μηριόνης. ἀλλ᾽ ὑφ᾽ ἓν νοητέον «τοξότα λωβητήρ», ἵνα λέγῃ ὦ φαῦλε τοξότα, [ταὐτὸν δὲ εἰπεῖν, ὦ ἀχρειῶν τὴν τοξικήν, καὶ κατὰ τὸν λόγιον Κωμικὸν φάναι, «λωβητὰ τέχνης», τῆς εἰρημένης δηλαδή.] Τοιαῦτα δὲ καὶ ἕτερα παρὰ τῷ ποιητῇ προεφάνη ἐν παραθέσει λέξεων ἔχοντα τὴν ὑφέν. Τινὲς δὲ ἰδίᾳ λέγοντες τὸ «τοξότα» φασὶν οὐκ ἐν γενναίοις τίθεσθαι τοὺς παλαιοὺς τὸν τοξότην. διὸ καὶ ᾔδεσαν μὲν τοξεύειν οἱ ἄριστοι, προετιμῶντο δὲ τὴν σταδαίαν μάχην. ὁ γοῦν Ὀδυσσεὺς διὰ πάσης τῆς Ἰλιάδος τόξον ἅπαξ χειρίζεται κατὰ τὴν νυκτεγερσίαν. Τὸ δὲ «κέρᾳ ἀγλαέ» οἱ μὲν ἀντὶ τοῦ τόξοις ἀγλαϊζόμενε, ἵνα λέγῃ κέρατα τοὺς προρρηθέντας πήχεις τοῦ τόξου, οἵπερ εἰσίν, ὡς ἐδηλώθη, συμβεβλημένα κέρατα. Οἱ δέ φασι τὸ «κέρα ἀγλαέ», ἀντὶ τοῦ κάλλιστε τὴν τρίχα, καὶ τοῦτο οὐχ᾽ ἁπλῶς, ἀλλ᾽ ἐπὶ ἀπάτῃ παρθένων. ἄλλως γὰρ καθ᾽ αὑτὸ οὐδὲ τὸ κομᾶν κακόν, ὡς οὐδὲ τὸ τοξεύειν, εἴγε καὶ οἱ Ἕλληνες καρηκομόωντες γράφονται καὶ ὁ Ἀπόλλων ἀκερσεκόμης καὶ τὸ τῶν γυναικῶν δὲ ἠΰκομον εἰς ἐπαίνου λόγον ἐστὶν αὐταῖς. Διὸ καθάπερ τὸ «τοξότα λωβητήρ», οὕτω καὶ τοῦτο ὑφ᾽ ἓν ἀναγινώσκουσι «κέρα ἀγλαὲ παρθενοπῖπα», ἤγουν κομῶν ἐπὶ τῷ παρθένους ὑπάγεσθαι. ὅτι δὲ καλὴ κόμη τῷ Ἀλεξάνδρῳ καὶ ἐπαφρόδιτος προμεμαρτύρηται. Οἱ δὲ ταῦτα οὕτω λέγοντές φασι καί, ὡς κέρας ἐστὶν ἡ ἐμπλοκὴ τῶν τριχῶν, καθὰ παρ᾽ Ἀθηναίοις ὁ κρωβύλος, ὃς τῶν εὐγενῶν καὶ ἰθαγενῶν ἦν δεῖγμα. Ἡρῳδιανὸς δὲ λέγει, ὅτι κέρας ἐπὶ τριχὸς μάλιστα ἐπὶ βοῶν καὶ ἄλλων θηρίων λέγεται. καὶ ἕτεροι δὲ σπανίως

φασὶν ἐπὶ τριχὸς ἀνθρώπου τὸ κέρας λέγεσθαι, κυρίως δὲ κόμην καὶ τρίχα καὶ πλοχμὸν καὶ ἔθειραν. Οἱ δὲ περὶ Ἡρόδωρον καὶ Ἀπίωνα καὶ τοιαῦτά φασιν· ἐμπλοκῆς τι γένος εἰς κέρατος τύπον ἀνεπλέκοντο οἱ παλαιοί, καὶ διὰ τοῦτο οὕτως ἐκάλουν αὐτό. καὶ ἄλλα δὲ ἦσαν τριχῶν κοσμήματα. ὁ γοῦν Σώφρων φησί που, «κορώνας ἀναδούμενοι», καὶ Ἀθηναῖοι τέττιγας ἀνεπλέκοντο, καὶ παρ' Ὁμήρῳ πλοχμοί τινες χρυσῷ καὶ ἀργύρῳ ἐσφήκωντο.

3.218 Ἀριστοτέλης δέ, φασί, κέρᾳ ἀγλαὸν εἶπεν ἀντὶ τοῦ αἰδοίῳ σεμνυνόμενον, ἐπὶ τοιούτου σημαινομένου τὴν λέξιν ἐκεῖνος νοήσας. Καὶ ἔοικεν ὁ σκορπιώδης τὴν γλῶσσαν Ἀρχίλοχος ἁπαλὸν κέρας τὸ αἰδοῖον εἰπὼν ἐντεῦθεν τὴν λέξιν πορίσασθαι. Παρθενοπίπης δὲ ὁ τὰς παρθένους ὀπιπτεύων, ὅ ἐστιν ἐπιτηρῶν οἷα γυναιμανής, ὡς προέσκωπται, ὡς καὶ γυναικοπίπης ὁ τὰς γυναῖκας. πρὸς ὃ παίζων ὁ Κωμικὸς πυρροπίπην σκώπτει τινὰ ὡς ὀπιπτεύοντα τοὺς πυρρούς. Τινὲς δέ φασιν καὶ ὅτι παρθενοπίπην τὸν Πάριν εἰπὼν πικρῶς κατηγόρησεν, εἴπερ μὴ μόνον γυναιμανής ἐστιν, ἀλλὰ καὶ μέχρι τῶν κατακλείστων παρθένων τῇ ἀπάτῃ φθάνει. Ἕτεροι δὲ παρθενοπῖα γράφουσιν, ὅ ἐστι παρθένοις ἐοικὼς τὴν ὄψιν. ἐπαφρόδιτος γὰρ ὁ Πάρις, ὡς εἴρηται, καί, ὡς ὁ ποιητής φησι, θεοειδής. (v. 386) Τὸ δὲ «εἰ μὲν δὴ ἀντίβιον σὺν τεύχεσι πειρηθείης» καὶ ἑξῆς, παραφράζων ὁ φιλόμηρος Σοφοκλῆς ἐν τοῖς τοῦ Ἀγαμέμνονος πρὸς τὸν Τεῦκρόν φησι τὸ «μέγ' ἄν τι κομπάσειας ἀσπίδ' εἰ λάβῃς». ὃς καὶ τὸν τοξότην ἐξευτελίζων Ὁμηρικῷ ζήλῳ, ἦν δὲ ὁ τοξότης ὁ Τεῦκρος, φησὶν «ὁ τοξότης ἔοικεν οὐ σμικρὰ φρονεῖν», οὐ λωβητῆρα τοξότην προσειπών, ἀλλ' ἀρκοῦν εἰς ὕβριν λογισάμενος τὸ μόνον τοξότην ἐκεῖνον προσειπεῖν. (v. 387) Τὸ δὲ «ταρφέες ἰοί» οὐ μόνον σκωπτικῶς πλῆθος δηλοῖ, ὡς οἷα θάμνων τινῶν τούτων ταρφέων προσπεφυκότων τῷ Πάριδι, ἀλλὰ καὶ τὴν εἰς τὸ τοξεύειν ἐμφαίνει γοργότητα, ὡς πυκνοτοξότου ὄντος τοῦ Πάριδος. Ἐπεὶ δὲ τοῦ ταρφέος ἡ ἐτυμολογία ἐκ τοῦ τρέφειν ἐστίν, εἴποι ἄν τις ἀστείως ἐνταῦθα, ὡς τῶν ταρφέων ὀϊστῶν ἡ μὲν ἐκφώνησις θρεπτική, τὸ δὲ ἔργον φθοροποιόν, ὁποῖόν τι καὶ ἐπὶ τοῦ βιοῦ φασιν οἱ παλαιοί, ὡς τῇ μὲν προφορᾷ τὸ βιοῦν δηλοῦντος, ἀποτέλεσμα δὲ ἔχοντος τὸ θανατοῦν.

3.219 δῆλον δὲ ὅτι πολλοὶ ἐκ τοῦ βιοῦ παράγουσι τὸν βίον, ὡς τῶν ἀρχαίων ἐκ τοῦ τοξεύειν ζώντων. (v. 388) Ἐν δὲ τῷ «ἐπιγράψας» οὐ πληγὴν τὸ τραῦμα εἰπών, ἀλλ' ἐπιγραφήν, ψεύδεται καιρίως ὁ ἀριστεύς. γέγονε μὲν γὰρ ἡ κατ' αὐτοῦ βολὴ διαμπερὲς τὸν τοῦ ποδὸς διασχοῦσα ταρσὸν καὶ τὸ βέλος ἐν γαίῃ κατέπηκτο. αὐτὸς δ' ἐπιγραφῆναι λέγει τὸν ταρσόν, ὅ ἐστι ξέσιν παθεῖν ἐπιπολῆς, ὅθεν καὶ οὐκ ἀλέγειν φησὶ τῆς βολῆς, ἐπικρύπτων τῷ ἐχθρῷ τὸ οἰκεῖον δυστύχημα καὶ λανθάνειν καθάπαξ βουλόμενος. διὸ καὶ τοῦ Ὀδυσσέως ἔμπροσθεν στάντος, ὡς ῥηθήσεται, ἐξέλκει τὸ βέλος. καὶ Διομήδης μὲν οὕτως οὐκ ἀληθεύει, Ἀλέξανδρος μέντοι, ὡς καὶ προείρηται, ἀνοήτως ἀληθεύει, τὰ τῶν οἰκείων ἐκκαλύπτων κακά. Ἰστέον δὲ ὅτι τὸ καὶ προδηλωθὲν γράφειν, ὅ ἐστι ξέειν, ἐξ οὗ καὶ τὸ γράβδην ἐπίρρημα, ἔστι μὲν ὀνοματοποιΐα, παράγεται δέ, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ἀπὸ τραχυφώνου ῥήματος τοῦ γρῶ, τὸ ἐσθίω, ἐξ οὗ καὶ ἡ παρὰ τῷ Λυκόφρονι γρώνη πέτρα καὶ ἡ γραῦς καὶ ἡ τοῖς ζῴοις φίλη γράστις. λειότερον δὲ αὐτοῦ τὸ γλάφειν, ὡς ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν εἴρηται σαφῶς. [Ἐκ δὲ τοῦ γράφειν καὶ ἄλλα μὲν παράγονται, ὡς καὶ προπέφανται, σὺν ἐκείνοις δὲ καὶ ὁ κατάγραπτος, ἤγουν, ὡς ἡ κοινὴ ὁμιλία λαλεῖ, γραμμιστός, ὃ καὶ αὐτὸ ἐκ τοῦ γράφειν γίνεται καθὰ καὶ ὁ γραπτός καὶ ἡ ἐν Ὀδυσσείᾳ Ὁμηρικὴ γραπτύς. Χρῆσις δὲ τοῦ κατάγραπτος παρὰ Ἀθηναίῳ ἐν τῷ ἀτταγᾶς, μείζων πέρδικος, ὅλος κατάγραπτος τὰ περὶ τὸν νῶτον, κεραμεοῦς τὴν χροίαν, ὑποπυρρίζων, κονιστικός, πολύτεκνος, σπερμολόγος. ὅτι δὲ ἐκ τοῦ εἰρημένου γράφειν καὶ ἡ γραμμὴ γίνεται καὶ ὁ ἐξ αὐτῆς διαγραμμισμός, δῆλόν ἐστιν. οὕτω δὲ καὶ ἡ εὐγραμμία, οἷον «ψιλαὶ Περσικαὶ ἀκριβῆ τὴν εὐγραμμίαν τῶν ἐνυφασμένων ἔχουσαι ζῴων.] Τὸ δὲ «εὔχεαι αὔτως» πρὸς διαστολὴν κεῖται αὐχημάτων ἑτέρων, ἃ μὴ μάτην γίνεται. (v. 389) Τὸ δὲ «οὐκ ἀλέγω» ἀσυνδέτως ῥηθὲν κατὰ θυμὸν ἐνταῦθα καὶ ἀγωνίαν οὕτω προήνεκται. ἐκ γυναικὸς δὲ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παιδὸς φαυλίζει ὁ Διομήδης τὴν βολήν, καθά που καὶ ὁ Νέστωρ τὴν τοῦ Ὀδυσσέως συμβουλήν, ὡς προγέγραπται.

3.220 (v. 390) «Κωφὸν δὲ βέλος», ὡς εἴπερ ἔμψυχον ἦν, καθὰ ἔθος Ὁμήρῳ ποιεῖν, τὸ μὴ ἔχον αἴσθησιν, ἢ καὶ ἄλλως, οὗ οὐκ ἄν τις αἴσθησιν λάβῃ ἁπτικήν. γέγονε γὰρ κατὰ τοὺς παλαιοὺς ἡ μεταφορὰ ἐκ τῶν κατὰ τὴν ἀκοὴν εἰς τὴν ἁφήν. καὶ ἄλλως δέ, εἰ καλῶς ἵπποι λέγονται πληγῆς ἀΐειν, τουτέστιν αἰσθάνεσθαι, ὀρθῶς λέγοιτ' ἂν ἐξ ἐναντίου βέλος κωφὸν τὸ ἀνεπαισθήτως ἐπελθὸν καὶ δίχα ῥοίζου, ὡς μηδὲ ἀκουσθῆναι μηδὲ ἀέρα κινῆσαι πολύν. τούτῳ δὲ τῷ λόγῳ καὶ κῦμά που λέγει κωφόν. [Ἔνθα σημειοῦνται οἱ παλαιοί, ὅτι κωφὸν οὐδέποτε Ὅμηρος ἐπὶ ἐμψύχου τίθησι.] Τὸ δὲ «οὐτιδανοῖο» εἰς ψόγον ἀνανδρίας ὁ ἀνδρεῖος Διομήδης φησίν, ὡς τοῦ ἀνάλκιδος ἤδη καὶ οὐτιδανοῦ ὄντος. καὶ ἄλλως δέ, ὁ μὲν ἄναλκις εἴη ἄν τις, ὁ δὲ οὐτιδανὸς οὔτις ἐστίν, ὡς μηδέν τι ὤν. Πλεονάζειν δὲ δοκεῖ ἡ δα συλλαβὴ ἐν τῷ οὐτιδανός. εἰ δὲ καὶ ἐκ τοῦ οὖτις οὔτιδος παρωνόμασται, εἰδείη ἂν Ὅμηρος ὁ τὸν ἐν Ὀδυσσείᾳ Οὖτιν παρονομάσας. (v. 391) Τὸ δὲ «εἴ κ' ὀλίγον», ἀντὶ τοῦ ἐὰν ὀλίγον, διασαφεῖ [καὶ αὐτὸ] τὴν τοῦ ἐάν συνδέσμου σύνθεσιν φανερῶς, ὃς ἀπὸ τοῦ ει γέγονε καὶ τοῦ αν , τοῦ ἰσοδυναμοῦντος τῷ κεν , εἰαν , καὶ ἀπελεύσει τοῦ ἰῶτα ἐάν. ὁ αὐτὸς δὲ καὶ ὁ αἴκε σύνδεσμος τῷ εἴκεν, ὥστε ταὐτὸν τὸ ἐὰν καὶ εἴκεν καὶ αἴκεν. Τὸ δὲ «ἐπαύρῃ» δηλοῖ μὲν τὸ ἐπαπολαύσει, ψαύσει, γεύσεται. πλὴν εἰ μὲν ἐπὶ βέλους ἡ λέξις κεῖται ὡς οἷα τοῦ κατὰ τὸν Πάριν βέλους ἀψύχου ὄντος, γλυκέως εἴρηται ὡς ἐπὶ ἐμψύχου, καθάπερ Ὁμήρῳ σύνηθες, ὅτε καὶ τὸ ἄλλως ἐκτείνεται ὡς ἐπίρρημα. εἰ δὲ ἐπὶ ἀνθρώπου ἡ λέξις ληφθῇ, ἔχει μέν τι καὶ τόλμης ὁ νοῦς κατὰ τὸ ἀπολαύειν κακοῦ ὁμοίως τῷ «ἐπαύρωνται βασιλῆος». συστέλλεται δὲ καὶ τὸ ἄλλος ὡς ἀντωνυμία, ἵνα λέγῃ ὅτι καὶ μὴν ἄλλως, εἰ καὶ ὀλίγον ἐπαύρῃ, ὀξὺ τὸ βέλος ἐστί, οὐ μὴν δηλαδὴ ἀμβλύ, καθὰ τὸ τοῦ Ἀλεξάνδρου.

3.221 οὕτω γὰρ ὁ Διομήδης αὐτὸ λογίζεται. Καὶ ἄλλως δὲ βέλος ὀξὺ τὸ καίριον καὶ βλαπτικόν, ὡς καὶ πρὸ ὀλίγων βέλος ὀξὺ τὸ τῶν ὠδίνων ἐρρέθη. (v. 392) Διὸ εἰπὼν «βέλος ὀξὺ πέτεται», ἐπάγει πρὸς ἑρμηνείαν τὸ «καὶ ἀκήριον αἶψα τίθησιν», ἤγουν ὀξέως θανατοῖ. ὁ ἀκήριος γὰρ ἴσος εἶναι τῷ νεκρῷ δέδεικται, καὶ τὴν αὐτὴν ἐτυμολογίαν ἔχει, στέρησις γὰρ ἐν ἀμφοτέροις ψυχῆς. Ἐν δὲ ῥητορικῷ Λεξικῷ φέρεται, ὡς ὁ ἀκήριος οὐ μόνον ἄψυχος, ἀλλὰ καὶ ἄνοσος, ὑγιής, ἀθάνατος, μὴ ὑποκείμενος δηλονότι κηρί, ὁποῖος καὶ ὁ ἀκήρατος, ὁ ἐστερημένος δηλαδὴ κηρὸς καὶ ἄτης. ὁμώνυμος οὖν λέξις τὸ ἀκήριος, τὸ μέντοι ἀκηράσιον ποτὸν ἄλλης ἑρμηνείας ἐστί. (v. 393) Τὸ δὲ «ἀμφίδρυφοι» πάθους ὑπερβολή, ὅτε οὐ μία παρειὰ δρύπτεται, ἀλλ' ἀμφότεραι. ἀπὸ δρυῶν δὲ τὸ δρύπτω, ὅ ἐστι ξύλων, ἃ λέπονται τοῦ φλοιοῦ. (v. 395) Τὸ δὲ «πλέες» Ἰωνικὴ συγκοπὴ τοῦ ο καὶ τοῦ νῦ ἐκ τοῦ πλέονες. τὸ μέντοι κοινὸν τὸ πλείους τὸ νῦ μόνον ἐξέθλιψεν, εἶτα συνεῖλε τὸ λειφθέν, ὡς καὶ τὸ μείζους καὶ κρείττους καὶ τὰ λοιπά. Τὸ δὲ «περὶ πλέες» λείπεται ἀντωνυμίας, δηλοῦν τὸ περὶ αὐτὸν πλέονες οἰωνοί. (v. 396—400) Ὅτι Ὀδυσσεὺς ἄλλο μέν τι συντελέσαι οὐ φαίνεται τῷ προκληθέντι Διομήδει, ὅτε δ' ὑπ' Ἀλεξάνδρου ἐβλήθη, «ἐγγύθεν ἐλθὼν ἔστη πρόσθεν. ὃ δ' ὄπισθε καθεζόμενος βέλος ὀξύ», ἢ ὠκύ, «ἐκ ποδὸς εἷλκεν, ὀδύνη δὲ διὰ χροὸς ἦλθ' ἀλεγεινή». Καὶ οὕτως ἐς δίφρον ἀνορούσας ἐπὶ νηυσὶν ἤλαυνεν, ἤγουν ἐπὶ νῆας, οὐκ ἄλλως ἀπελθών, εἰ μὴ κατεπονήθη τῇ ὀδύνῃ, ὡς δηλοῖ ἐπαχθὲν τὸ «ἤχθετο γὰρ κῆρ», ὀδυνώμενος μέν, οὐ ταρβήσας δέ, ὡς προείρηται. ἔχει δέ τινα γλυκύτητα, εἰ καὶ ἀμυδράν, τὸ «εἷλκε» καὶ τὸ «ἦλθεν» ἀλλήλοις παρακείμενα.

3.222 (v. 401 s.) Ὅτι Διομήδους οἰχομένου οἰώθη Ὀδυσσεύς, ὅπερ ἑρμηνεύων ὁ ποιητὴς ἐπάγει «οὐδέ τις αὐτῷ Ἀργείων παρέμιμνε», διὸ μεμόνωται. Εἶτα αἰτίαν ἐπάγων φησὶν «ἐπεὶ φόβος ἔλλαβε πάντας», ἤγουν φυγή. Ἐν τούτοις δὲ διασαφεῖται καὶ τὸ «οἰώθη δὲ μάχη», τὸ προγραφέν, ὅ ἐστιν αὐτὴ μόνη γέγονεν οὐδενὸς ἄλλου τῶν κατ' αὐτὴν δαιμόνων παρόντος, ὥσπερ καὶ Ὀδυσσεὺς οὐ πάντων μονοῦται, τῶν γὰρ Τρώων πάντως οὐκ ἐμονοῦτο, ἐπεὶ μηδὲ ἔφευγον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλὰ μάλιστα ἤγγιζον αὐτῷ. μόνων οὖν μονοῦται τῶν φίλων Ἑλλήνων, ὡς τῶν ἄλλων Δαναῶν, καθὰ μετ’ ὀλίγα ἐρεῖ, φοβηθέντων. (v. 403—6) Ἐφ’ οἷς ἐπάγει κατὰ σχῆμα λόγου, οἷον καὶ ἐν Ὀδυσσείᾳ κεῖται, ὅπου Ὀδυσσεὺς κινδύνῳ θαλασσίῳ ἐναπείληπτο, ὅτι «ὀχθήσας δ’ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν· ὤμοι, ἐγὼ τί πάθω; μέγα μὲν κακὸν αἴ κε φέβωμαι πληθὺν ταρβήσας, τὸ δὲ ῥίγιον, αἴ κεν ἁλώω μόνος», καὶ τὰ ἑξῆς. (v. 407—10) Εἶτα ἐπιρρωνύων ἑαυτὸν καὶ πείσας μένειν, ἐπάγει γνωμικῶς «ἀλλὰ τιή μοι ταῦτα φίλος διελέξατο θυμός; οἶδα γὰρ ὅτι κακοὶ μὲν ἀποίχονται πολέμοιο, ὃς δέ κ’ ἀριστεύῃσι μάχῃ ἔνι, τὸν δὲ μάλα χρεὼ ἑστάμεναι κρατερῶς, ἤ τ’ ἔβλητ’ ἤ τ’ ἔβαλ’ ἄλλον». Ὃ δὴ κόμμα διά τε τὰς ἐκθλίψεις καὶ διὰ τὴν ἐπένθεσιν τοῦ τε συνδέσμου πολλὴν δυσφράδειαν ἔχει, ἐπιτετηδευμένην μέντοι διὰ τραχυφωνίαν ποιητικήν. ἄλλως γὰρ εἶχεν εἰπεῖν «ἢ ἔβλητ’ ἢ ἔβαλ’ ἄλλον». (v. 411—3) Τοῖς δὲ ῥηθεῖσιν ἐπάγει ὁ ποιητὴς καὶ ὅτι ἕως Ὀδυσσεὺς ταῦθ’ ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν, «τόφρα δέ», ἤγουν ἐν τοσούτῳ δή, ἐπῆλθον οἱ Τρῶες, «ἔλσαν δ’ ἐν μέσσοισι μετά σφισι πῆμα τιθέντες», τουτέστιν ἤλασαν ἢ εἴλησαν, ὅ ἐστι συνέκλεισαν μέσον τὸν ἥρωα, ὡς μηδέ, εἰ θέλει, ὑποχωρεῖν ἐξεῖναι αὐτῷ. Διδάσκει δέ, φασίν, ἐνταῦθα ὁ ποιητής, ὡς οὐ μανιωδῶς ὁρμητέον ἐπὶ τὰ δεινά, ἀλλὰ σκεψαμένους πρότερον καὶ κρίναντας δέον εἶναι τὸ μεῖναι. Καὶ ὅρα καὶ νῦν πραγματικῶς τλήμονα τὸν Ὀδυσσέα, ὃς πάντων φευγόντων μένει, καὶ ὅτι τὸ μὲν φυγεῖν μέγα κακὸν ἔφη, ῥίγιον δὲ τὸ ἁλῶναι μονωθέντα, μεῖζον τοῦτο ἐκείνου θέμενος ὡς καὶ ἐπικινδυνότερον. (v. 405) Ἀναλογία δὲ τοῦ «ἁλώω» κατὰ τὸ ἱδρώω καὶ ὅσα τοιαῦτα.

3.223 (v. 406) Ἐν τούτοις δὲ κεῖται καὶ τὸ «Κρονίων» μετὰ ἐκτάσεως τῆς παραληγούσης. φησὶ γὰρ «τοὺς δ’ ἄλλους Δαναοὺς ἐφόβησε Κρονίων». (v. 407) Ὅρα δὲ καὶ τὸ «διελέξατο» μήποτε ἀντὶ τοῦ εἶπε κεῖται, εἰ καί τινες ἀπεῖπον τὴν τοῦ λέγειν χρῆσιν εἶναι παρὰ τῷ ποιητῇ. τὸ γὰρ «διελέξατο θυμός» οὐκ ἂν ἔχοι τις εἰπεῖν, ὡς οὐκ ἔστιν ἶσον τῷ «εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν», ἤγουν διελογίσατο. (v. 404) Ἰστέον δὲ ὅτι τὸ «ὤμοι ἐγώ» καὶ ἑξῆς, μεταποιηθὲν οἷον «μέγα μὲν κακόν, αἴ κε τόδε γένηται, ῥίγιον δέ, ἐὰν τόδε», εἴποι ἂν ὁ ἐν κινδύνῳ διχογνωμονῶν. εἰ δὲ στήσει τὴν διχόνοιαν εἰς ἕν, ἐρεῖ ἂν προσφυῶς τό· ἀλλὰ τί μοι ταῦτα φίλος διελέξατο θυμός; ποιητέον τόδε τι. (v. 407) Ἔστι δὲ τὸ «φίλος θυμός» ὅμοιον τῷ φίλον ἦτορ καὶ φίλη χείρ καὶ φίλα γυῖα καὶ φίλα γούνατα. (v. 408) Τὸ δὲ «οἶδα» Αἰολικῶς πεποιῆσθαι ὁ Ἡρακλείδης φησί, ὡς καὶ τὸ δέδοικα, λέλοιπα, πέποιθα. τὰ γὰρ κοινὰ τῇ διὰ τοῦ ε καὶ ι διφθόγγῳ παραλήγεσθαι βούλεται. Ὁ δὲ σύνδεσμος ἐν τῷ «οἶδα γὰρ ὅτι κακοί» καὶ ἑξῆς, δοκεῖ μὲν παρέλκειν, συμβιβάζεται δὲ ὅμως δι’ ἐλλείψεως. εἰπὼν γὰρ Ὀδυσσεὺς «ἀλλὰ τί μοι ταῦτα» καὶ ἑξῆς, καὶ κατὰ νοῦν σιωπηρῶς οἷον ἐνθυμηθεὶς ὡς ἀνάγκη μένειν, ἐξεφώνησε γνωμικῶς τὸ «οἶδα γάρ» καὶ τὰ ἑξῆς. Κακοὺς δὲ τοὺς δειλοὺς καὶ νῦν ἔφη παρὰ τὸ χάζεσθαι, ὅπερ ἐναντίον ἐστὶ τῷ ἑστάναι κρατερῶς. (v. 409) Αὐτὸ γὰρ ἔργον ἐστὶν ἀριστέως, οὗ περίφρασις τὸ «ὃς ἀριστεύει ἐν μάχῃ». (v. 410) Τὸ δὲ «ἔβλητο ἢ ἔβαλεν ἄλλον» σημείωσαι ὡς οὐ τὴν πόρρωθεν εἰδικῶς μόνην δηλοῦσι βολὴν κατὰ κυριολεξίαν, ἀλλὰ γενικῶς πᾶσαν αἰτίαν τραύματος. ὁ γὰρ κρατερῶς ἑστὼς ἐν μάχῃ οὐ μόνον βάλλει οὐδὲ μόνον τύπτει, ἀλλ’ ἁπλῶς ἕλκος ἐμποιεῖ τοῖς ἐχθροῖς, ὅπως ἂν δύναιτο. (v. 413) Τὸ δὲ «μετά σφισι πῆμα τιθέντες» [ἀμφίβολον ἔχει ἔννοιαν. δηλοῖ γὰρ ἢ ὅτι ἔλσαν ἔν σφισι τὸν Ὀδυσσέα πῆμα τιθέντες αὐτῷ, ἢ ὅτι ἔλσαν αὐτὸν πῆμα τιθέντες] σφίσιν αὐτοῖς. Καὶ ἔστι σεμνὸς ὁ λόγος οὗτος καὶ ὑψηλός, ὡς κρεῖττον ὂν τοῖς Τρωσὶν ἀφεῖναι αὐτὸν ἀκύκλωτον εἰς διέκδυσιν ἤπερ κύκλῳ περιλαβεῖν καὶ κακὸν ἑαυτοῖς ἐπίσπαστον φυλάξαι ἄφυκτον.

3.224 πολλοὺς γὰρ ἀνεῖλε τῶν κυκλωσάντων. (v. 414—20) Ὅτι κἀνταῦθα ὁ τὴν γλῶτταν πολύστροφος ποιητὴς ἀπὸ κυνῶν καὶ κάπρου παραβολὴν φράζων φησὶ «ὡς δ’ ὅτε κάπριον ἀμφὶ κύνες θαλεροί τ’ αἰζηοὶ σεύωνται, ὃ δέ τ’ εἶσι βαθείης ἐκ ξυλόχοιο θήγων λευκὸν ὀδόντα μετὰ γναμπτῇσι γένυσσιν, ἀμφί τ’ ἀΐσσονται, ὑπαὶ δέ τε κόμπος ὀδόντων γίνεται, οἳ δὲ

μένουσιν ἄφαρ δεινόν περ ἐόντα, ὥς ῥα τότ’ ἀμφ’ Ὀδυσῆα Διῒ φίλον ἐσσεύοντο Τρῶες». Καὶ προσαρμόττει καὶ ἡ παραβολὴ αὕτη ὅλη τῷ πράγματι, καὶ μάλιστα κατὰ τὸ «ἀμφαΐσσονται», ὃ ταὐτόν ἐστι τῷ κύκλῳ ὁρμῶσιν, οὗ πρὸς ὁμοιότητα εἶπε καὶ τὸ «ἀμφ’ Ὀδυσῆα ἐσεύοντο». [(v. 414) Παράγωγον δὲ τοῦ κάπρος τὸ κάπριος, ὡς καὶ τοῦ Αἰτωλός καὶ μείλιχος τὸ Αἰτώλιος καὶ μειλίχιος. Ὡς δὲ καπρᾶν ἐκ τοῦ κάπρου λέγεται τὸ ἀσελγαίνειν, ὅθεν καὶ γυνὴ καπρῶσα ἡ ἀσελγής, δηλοῦσιν οἱ παλαιοί. διὸ καὶ τῇ Ἀφροδίτῃ ὗς ἐθύετο καὶ μάλιστα παρ’ Ἀργείοις, παρ’ οἷς καὶ ἑορτὴ Ἀφροδίτης τὰ Ὑστήρια. Ἱστορεῖται δὲ καὶ εἶδος ἰχθύος εὐδοκιμοῦντος ἐν Ἄργει κάπρος εἶναι, ὡς δηλοῖ καὶ τὸ «ἐξ Ἀττικῆς γλαυκίσκον, ἐξ Ἄργους κάπρον». ὅτι δὲ τὸ καπρᾶν καὶ καπρῴζειν λέγεται, δηλοῦται ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν.] Τὸ δὲ «θαλεροί» τὸ γενναῖόν τε τοῦ καπρίου ἐμφαίνει, ὡς τοιούτων δεομένου ἀντιμάχων, καὶ διδάσκει ὡς νεωτέροις ᾠκείωται τὰ τοιαῦτα μᾶλλον ἤπερ γέρουσι. (v. 415) Τὸ δὲ «ξυλόχοιο» φανερῶς θηλυκὸν ἐνταῦθα, ὡς δηλοῖ τὸ βαθείης. (v. 416) Λευκὸν δὲ ὀδόντα φησὶν οὐ πρὸς διαστολήν, ἀλλ’ ὅτι ὀδόντος ἀπαθοῦς ἴδιον ἡ λευκότης, [παρ’ ἣν καὶ ἀργιόδους λέγεται σῦς, ὡς πολλαχοῦ φαίνεται, οὗ τῶν ὀδόντων λευκὴ προλάμπει χρόα, οὐ μὴν καὶ ἑτεροία τις, ὃ δὴ πάσχειν ἡ μαργαρῖτις οἶδε λίθος, περὶ ἧς φέρεται, ὅτι τε καὶ ἀρσενικῶς προφέρεται καὶ ὅτι ἀπὸ τοῦ μαίρειν γίνεται, καθὰ καὶ ὁ παρὰ Μενάνδρῳ δίχα τοῦ ς μάραγδος, καὶ ὅτι ἡ μέν ἐστι χρυσοειδὴς σφόδρα, ὥστε μὴ ῥᾴδιον εἶναι διαγνῶναι αὐτήν, εἰ παρατεθῇ χρυσίῳ, ἡ δὲ ἀργυροειδής, ἡ δὲ τελείως λευκή, ὁμοία ἰχθύων ὀφθαλμοῖς. γίνεται δέ, φασίν, ἐν σαρκὶ ὀστρέου, καθὰ ἐν ὑείοις κρέασιν αἱ χάλαζαι. ἀφ’ ὧν ῥῆμα τὸ χαλαζᾶν, ἃς δὴ χαλάζας ὀρόβους οἱ ἰδιῶταί φασι. διαφέρει δέ, φασίν, εἰς διαύγειαν καὶ καθαρότητα καὶ μέγεθος ὁ ἐκ τῆς ἐμβυθίου πίννης μάργαρος.

3.225 ὡς δὲ καὶ ἑτεροῖον ὄστρακον χαλαζᾷ κατὰ τὸν Κωμικὸν εἰπεῖν χαλάζαις τοιαύταις, καὶ ὅτι βέρβερι παρὰ Ἰνδοῖς ἐκεῖνο καλεῖται ἀλλαχοῦ δηλοῦται σαφῶς. καὶ τοῦτο μὲν οὕτω.] Τὸ δὲ «γναμπτῇσι γένυσιν» ἐτυμολογία ἐστὶ τοῦ γαμφηλαί, ἵνα ἐμφήνῃ, ὡς αἱ γένυς καὶ γαμφηλαί εἰσι, καὶ ἔστι καὶ τοῦτο γοργότητος μέθοδος. [Ἐκ τοῦ γνάμπτω δὲ ἡ γναμπτή, ὅ ἐστιν ἡ καμπτή. Ὃ δὴ γνάμπτω πλεονασμὸν ἔσχε τοῦ μῦ πρὸς διαστολὴν τοῦ γνάπτω, ὡς βάπτω, τοῦ καὶ κνάπτω λεγομένου, ὧν ἐκ τοῦ γνάπτω μὲν τὸ γναφεύειν κοινότερον καὶ ὁ γναφεύς, ἐκ δὲ τοῦ κνάπτειν τὸ κναφεύειν καὶ ὁ κναφεὺς τῶν ὑφαινομένων ἢ πλεκομένων, ἤδη δὲ καὶ ὁ ὁμώνυμος αὐτῷ ἰχθύς. Ἱστορεῖται γὰρ ἰχθὺς κναφεύς, οὗ τὸ ἐκ τῆς ἑψήσεως ὑγρόν φασι πάντα σπῖλον καθαίρει.] (v. 417) Τὸ δὲ κτύπον, ὃν ὁ κάπρος ἀποτελεῖ θήγων ὀδόντα, πάνυ ἐπιτυχῶς ὀνοματοποιήσας κόμπον εἶπεν. ἐντεῦθεν δὲ κατὰ μεταφορὰν καὶ ἐπὶ φλυαρίας ἀλαζονικῆς ὁ κόμπος καὶ τὸ κομπάζειν καὶ τὸ κομπεῖν λέγεται. Ἐπαινεῖται δ’ ἐνταῦθα πρὸς τῶν παλαιῶν καὶ ἡ φράσις τοῦ θήγων λευκὸν ὀδόντα ἐν γένυσι καὶ ἑξῆς. φασὶ γὰρ ὡς οὐκ ἐπὶ τὸ δακεῖν ὁρμᾷ, ἵνα διὰ τοῦτο ἀναστέλλῃ τὰς γένυς ἀλλὰ παρατρίβει αὐτάς, μόνῃ τῇ ἐμβολῇ ἀμυνόμενος. τινὲς δὲ καὶ τὸ «ἀμφί τ’ ἀΐσσονται» οὐκ ἐπὶ τῶν κυνῶν καὶ τῶν αἰζηῶν ἐνόησαν, ἀλλ’ ἐπὶ τῶν γενύων, ἴσως δὲ τοῦτο οὐ πάνυ ὀρθῶς. σκοπητέον δέ, εἴπερ οἱ τὰ τοῦ Ὁμηρικοῦ καπρίου ποιοῦντες ὀδοντομάχαι σύες ἐλέγοντο παρὰ τοῖς παλαιοῖς. Τῶν δὲ ὀδόντων κοινὴ μὲν εὐθεῖα ὁ ὀδούς, εὕρηται δὲ καὶ ὁ ὀδών. ἐξ οὗ καὶ προόδων κατὰ Παυσανίαν ὁ τοὺς ὀδόντας ἐξωτέρω ἔχων τοῦ δέοντος, καὶ ὁ χαυλιόδων, καὶ ὁ ἀμφόδων, καὶ ὁ χαλκόδων, καὶ τὰ τοιαῦτα. Ἰακὸν δέ φασιν ὁ ὀδών, ὅθεν καὶ ὀδόντισμα διάλεκτος αὐλητικὴ ἢ κροῦμά τι.

3.226 (v. 418) Τὸ δὲ «ἄφαρ» ὅτι τε ἀπὸ τοῦ ἅπτω γίνεται, ἤγουν ἐκ τοῦ ἐκεῖθεν ἧφα παρακειμένου, καὶ ὅτι ὡς Αἰολικὸν ψιλοῦται, καὶ ὅτι τέσσαρα σημαινόμενα δηλοῖ, ἔστιν εὑρεῖν παρὰ τοῖς παλαιοῖς. (v. 419) Τὸ δὲ «Διῒ φίλον» ἀναφωνεῖ δεξιῶς, ὡς οὐ πεσεῖται ἄρτι Ὀδυσσεὺς διὰ τὸν φίλον Δία. (v. 424) Ὅτι πρότμησιν οἱ μὲν αὐτόν φασι τὸν ὀμφαλόν, ὡς οἱ περὶ Παρμενίσκον, διὰ τὸ πρῶτον τέμνεσθαι γεννωμένου τοῦ βρέφους, ἢ ἐπεὶ κατ’ αὐτὸν εἰς δύο τέμνεται μέσος ὁ ἄνθρωπος. Ἕτεροι δέ, ὡς καὶ οἱ περὶ Ἀρίσταρχον, πρότμησίν φασι τὸν ἀπὸ τῆς ἥβης τόπον ἄχρι

τοῦ ὀμφαλοῦ, ὃν καὶ ἦτρον καλοῦμεν. Ὁ δὲ Θρᾷξ Διονύσιος τὴν ὀσφὺν οὕτω καλεῖ, ὅν φασιν οἱ παλαιοὶ ἐκπίπτειν τοῦ ὀρθοῦ, διότι οὐδαμοῦ ὀσφὺν ὁ ποιητὴς τιτρώσκει, ἐπειδὴ θεοῖς ἱέρωται ὡς ζωογονίας αἰτία καὶ σπέρματος. (v. 423—5) Ἔστι δὲ ἡ λέξις τῶν ἅπαξ εἰρημένων τῷ ποιητῇ, εἰπόντι ὡς ἔνυξέ τινα Χερσιδάμαντα Ὀδυσσεὺς «δουρὶ κατὰ πρότμησιν, ὃ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ», τουτέστιν ἀγκῶνι κατά τινας, μάλιστα δὲ καθ' ἑτέρους τῷ πλατεῖ τῆς χειρός, ἤγουν τῇ δρακί. κρεῖττον γάρ, φασί, τὴν δράκα οὕτω νοεῖν, ἔνθα περιάγονται τὰ ὀστᾶ τῶν δακτύλων ἢ ἄγνυνται κατὰ τὰς σκυταλίδας καμπτομένων. ἀγκῶνι γὰρ οὐδεὶς δράττεται. [(v. 423) Ἰστέον δὲ ὅτι ὁ Χερσιδάμας, καθὰ καὶ ὁ Πολυδάμας καὶ ὁ Ἀδάμας καὶ ὁ Ἀκάμας καὶ ὁ Ἀθάμας, κανόνι βαρύνεται τοιούτῳ. Τὰ εἰς ας λήγοντα ἐκτεταμένον ὑπὲρ δύο συλλαβὰς ὅτε ἔχει τὸ α παραλῆγον, βαρύνεται. παρὰ τὸν ὀρθὸν οὖν, φασίν, λόγον περισπῶσιν οἱ Ἀττικοὶ τὸ ἀτταγᾶς, ὃς ἀτταγὴν κοινότερον λέγεται, κλινόμενος ἀτταγῆνος. διὸ καὶ τὸ παλαιὸν ἀτταγαὶ μὲν Ἀττικῶς, ἀτταγῆνες δὲ κοινῶς.] (v. 426—37) Ὅτι καὶ Ὀδυσσεὺς ἀδελφοῖς στρατιώταις ἐπιχειρήσας ἐν μάχῃ ὅμως οὐ κατὰ τὸν βασιλέα κατορθοῖ, ἀλλὰ βλάπτεται βληθείς. οὔτασε μὲν γὰρ δουρὶ Χάροπα Σώκου εὐηγενέος αὐτοκασίγνητον. «τῷ δ' ἐπαλεξήσων ἦλθε Σῶκος ἰσόθεος φώς, στῆ δὲ μάλ' ἐγγὺς ἰών», καὶ εἰπὼν «ὦ Ὀδυσσεῦ πολύαινε, δόλων ἆτε ἠδὲ πόνοιο, σήμερον ἢ δοιοῖσιν ἐπεύξεαι Ἱππασίδῃσι τοιώδε ἄνδρε κατακτείνας καὶ τεύχε' ἀπούρας» καὶ ἑξῆς, «οὔτησε κατ' ἀσπίδα», καὶ τὸ ἔγχος διὰ τῆς ἀσπίδος ἐλθὸν καὶ διὰ τοῦ θώρακος ἐρεισθέν, ἃ καὶ ἀλλαχοῦ κεῖνται, «πάντα ἀπὸ πλευρῶν χρόα ἔργαθεν», ἤγουν ἀπεῖρξεν, ἀπήγαγεν, ἀπεκόλλησε τῶν πλευρῶν τὴν ἐπιπολήν, οἷα μὴ προκύψαν εἰς βάθος.

3.227 (v. 437 s.) Διὸ καὶ ἐπάγει, ὡς οὐκ εἴασεν ἡ Ἀθηνᾶ μιχθήμεναι ἔγκασι φωτός. ἴσως γὰρ κατὰ Ἀθηνᾶν, ὅ ἐστι σύνεσιν, σχηματίσας ἑαυτὸν ὁ Ὀδυσσεὺς καὶ παρεκκλίνας οἷα καὶ δόλων ἆτος, ὅ ἐστιν ἀκόρεστος, κατὰ τὸν τοῦ Σώκου λόγον, οὐκ εἴασεν ἐμβαθῦναι ταῖς πλευραῖς τὸ ἔγχος. (v. 439—45) Γνῶ δ' Ὀδυσσεύς, ὅ, ἤγουν ὅτι, «οὔ οἱ βέλος κατὰ καίριον ἦλθεν, ἂψ δ' ἀναχωρήσας Σῶκον πρὸς μῦθον ἔειπεν· ἆ δεῖλ' ἦ», ἤγουν ὦ δειλὲ ὄντως, «μάλα δή σε κιχάνεται αἰπὺς ὄλεθρος. ἤτοι μέν ῥ' ἐμέ», ἤγουν ἐμὲ μὲν δή, «ἔπαυσας ἐπὶ Τρώεσσιν», ἤγουν κατὰ Τρώων, «μάχεσθαι. σοὶ δ' ἐγὼν ἐνθάδε φημὶ φόνον καὶ κῆρα μέλαιναν ἤματι τῷδ' ἔσεσθαι, ἐμῷ δ' ὑπὸ δουρὶ δαμέντα εὖχος ἐμοὶ δώσειν, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ». (v. 446—55) Καὶ γέγονεν οὕτω. καὶ ὁ μὲν Σῶκος φύγαδε αὖτις ὑποστρέψας ἐβεβήκει, Ὀδυσσεὺς δὲ «μεταστρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν ὤμων μεσσηγύς, διὰ δὲ στήθεσφιν ἔλασσε», καὶ ἐπευξάμενός φησιν «ὦ Σῶκε, Ἱππάσου υἱὲ δαΐφρονος ἱπποδάμοιο, φθῆ σε τέλος θανάτοιο κιχήμενον οὐδ' ὑπάλυξας. ἆ δειλέ», ὡς καὶ ἀνωτέρω κεῖται, «οὐ μὲν σοί γε πατὴρ καὶ πότνια μήτηρ ὄσσε καθαιρήσουσι θανόντι περ, ἀλλ' οἰωνοὶ ὠμησταὶ ἐρύουσι περὶ πτερὰ πυκνὰ βαλόντες. αὐτὰρ ἐπεί κε θάνω, κτεριοῦσι με δῖοι Ἀχαιοί». Καὶ ὅρα τὸ ἐπαγωγὸν τῆς ἐντίμου ταφῆς, οὗ χάριν οἱ πλείους θαρροῦσι τὸν θάνατον, καὶ ὅτι οὐδ' ἐν τοῖς δεινοῖς οἱ ἀνδρεῖοι, ὡς πολλαχοῦ φαίνεται, ἀπέχονται τοῦ βαρέως ἀστεΐζεσθαι. Ὀδυσσεὺς οὖν πολλὰ νῦν ἀστεῖά φησι. (v. 445) Τὸ γοῦν «εὖχος ἐμοὶ δώσειν, ψυχὴν δέ» τῷ Ἅιδη, ἀστείως εἴρηται ὡς ἐπὶ δωρεᾶς ἐπιτελευτίου. (v. 451) Ὁμοίως καὶ τὸ «φθῆ σε τέλος θανάτοιο κιχήμενον». λέγει γάρ, ὡς εἰ καὶ ὠκὺς ἦσθα φυγεῖν, ἀλλ' ὁ θάνατος κατέλαβέ σε. διὸ καὶ σαφηνίζων ἐπάγει «οὐδ' ὑπάλυξας». (v. 454) Οὕτω δὲ καὶ τὸ «περὶ πτερὰ πυκνὰ βαλόντες» περιμάχητον αὐτὸν ἔσεσθαι δηλοῖ τοῖς κρεωφάγοις οἰωνοῖς, ὡς ἐπ' αὐτῷ κατακοπτομένους πτερὰ πυκνὰ ῥίπτειν κατὰ ἔριν, ἅ, καθὰ καί τις χυτὴ γῆ, ἀφοσιώσονται τῷ Σώκῳ κειμένῳ ταφήν.

3.228 Τοῦτο δὲ καὶ ἄλλως σχηματίζει γραφικῶς, οἰωνοὺς πονουμένους περὶ σαρκοφαγίαν, οἳ περιβάλλουσι τὸ σπαραττόμενον ἁπλοῦντες τὰ πτερὰ οὐχ' οὕτω πρὸς τὸ καλύψαι, ὅσον πρὸς ἀντέρεισιν, ἵνα μὴ καταπίπτοιεν. Ὑπογράφει δ' ἐν τούτοις καὶ θρασύδειλον ὁ ποιητὴς τὸν Σῶκον, ὃς ἔβη μὲν γενναῖόν τι δράσων καὶ δὴ καὶ πεποίηκεν, ἀπειλῇ δὲ μόνῃ τραυματίου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνδρὸς εἰς φυγὴν ὥρμησε. καὶ ἐντρέχειαν δὲ τοῦ Ὀδυσσέως δηλοῖ, ὃς ἀκμὴν ἐμπεπηγότος ταῖς πλευραῖς τοῦ δόρατος ἔρριψε τὸν πολέμιον, καὶ ἀταραξίαν δὲ πολλὴν τοῦ ἥρωος παραδίδωσιν, ὃς καὶ τὸ ἔγχος μετ' ὀλίγα ἔξω χροὸς εἷλκε καὶ ἀσπίδος, καὶ πληγεὶς διέγνω ὡς τὸ βέλος οὐ κατὰ καίριον ἦλθεν, ὅπερ ἀλλαχοῦ οὕτως ἔφρασεν «οὐκ ἐν καιρίῳ ὀξὺ πάγη βέλος». Ἀχιλλεὺς μέντοι ἐν τοῖς ἑξῆς μηδὲν δεινὸν παθὼν ὅμως τὸ ἡφαιστότευκτον σάκος ἀφ' ἑαυτοῦ ἔσχετο, ταρβήσας ἐπὶ ἔγχει ἀφεθέντι κατ' αὐτοῦ. Ὅτι δὲ φιλάδελφος ὁ Σῶκος, καθὰ καὶ πρὸ μικροῦ ὁ Κόων, καὶ ὅτι ἀλαζών, ὡς δηλοῖ τὸ «ἐπεύξεαι τοιώδε ἄνδρε κατακτείνας», δῆλον ἤδη ἐστί. (v. 431) Κεῖται δ' ἐνταῦθα καὶ φήμη ἀγαθή, ὁποίαν ζητήσας ὁ Ὀδυσσεὺς θεόθεν ἐν τῷ τῆς μνηστηροκτονίας καιρῷ ἔλαβεν ὑπὸ γραὸς δουλίδος ῥηθεῖσαν, ὡς ἐκεῖ δηλοῦται. Κἀνταῦθα γὰρ τὸ «σήμερον δοιοῖς ἐπεύξεαι ἀδελφοῖς» εὐτυχῶς τῷ Ὀδυσσεῖ ὁ Σῶκος προὐβάλετο τοῦ λόγου. αὐχήσει γὰρ Ὀδυσσεὺς ἀμφοτέρους ἀνελών. καὶ τοιαῦτα μὲν ταῦτα. (v. 427) Τὸ δὲ «εὐηγενέος», ἀντὶ τοῦ εὐγενοῦς, πλεονασμὸν ἔχει τοῦ η , καθὰ σὺν ἄλλοις καὶ τὸ ἐπήβολος καὶ ἐπηετανός καὶ ὑπερήφανος. Ὁ δὲ Σῶκος ὁμωνυμεῖται τῷ Ἑρμῇ. ἀναπτύσσεται δὲ ἡ λέξις αὕτη ἀπὸ τοῦ σῴζειν, ἢ καὶ ἄλλως ἀπὸ τοῦ σωκῶ, ὃ παρὰ τῷ Σοφοκλεῖ ἀντὶ τοῦ ἰσχύω κεῖται, ἢ παρὰ τὸ σάειν οἶκον, ὅ ἐστι σῴζειν, ὅπερ οὐκ ἀποδέχονται οἱ παλαιοί, ὡς μηδὲ προσγράφοντες τὸ ἰῶτα ἐν τῷ Σῶκος. (v. 430) Τὸ δὲ «πολύαινε» ἢ ἐπὶ ἐπαίνῳ εἴρηται—πιστὸς δὲ ὁ ἐκ τῶν πολεμίων ἔπαινος, εἰ μή που πρὸς εἰρωνείαν λαλεῖται, —ἢ ἀντὶ τοῦ στωμύλε, μυθολόγε.

3.229 Αἶνος γὰρ ἔστιν οὗ καὶ ὁ μυθώδης λόγος, ὡς καὶ παρ' Ἡσιόδῳ «αἶνον βασιλεῦσιν ἐρέω», ἤτοι μυθώδη παραίνεσιν. Περὶ οὗ δὴ αἴνου καὶ τοιαῦτά φασιν οἱ παλαιοί. Αἶνος καὶ παροιμία διαφέρουσι, καθὸ ὁ μὲν αἶνος λόγος ἐστὶ μυθικὸς ἐκφερόμενος ἀπὸ ἀλόγων ζῴων ἢ φυτῶν πρὸς ἀνθρώπων παραίνεσιν, ὥς φησι Λούκιλλος ὁ Ταρραῖος ἐν πρώτῳ Περὶ παροιμιῶν· ἀπὸ μὲν ἀλόγων, ὡς παρὰ Ἀρχιλόχῳ «αἶνός τις ἀνθρώπων ὡς ἄρ' ἀλώπηξ καὶ ἀετὸς ξυνωνίην ἔθεντο», καὶ Ἡσίοδος «νῦν δ' αἶνον βασιλεῦς' ἐρέω. ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα», ἀπὸ δὲ φυτῶν, ὡς παρὰ Καλλιμάχῳ «ἄκουε δὴ τὸν αἶνον, ἔν κοτε Πύλῳ δάφνην» καὶ τὰ ἑξῆς. καὶ ἔστιν ὁ αἶνος ἐξηπλωμένη παροιμία. καὶ οὕτω μὲν καὶ τοῦτο κατεστρωμένον οὕτω ῥητῶς ἐν τοῖς Ἐρεννίου Φίλωνος. Ἆτος δὲ ὁ ἀκόρεστος ἀπὸ δύο ἄλφα τοῦ α στερητικοῦ καὶ τοῦ ἆσαι, τὸ κορέσαι, κέκραται, λέξις οὐ χρηστὴ μὲν πεζογραφοῦσιν, ἀξιωθεῖσα δὲ νῦν λόγου διὰ τὸ ἐν τῇ παρεκβολῇ κεῖσθαι. Τὸ δὲ «δόλων ἆτε ἠδὲ πόνοιο» σχῆμα μὲν ἔχει ὅμοιον τῷ μόθου ἢ μάχης ἢ πολέμου ἀκόρεστος, δεδίχασται δὲ κατὰ νοῦν καὶ αὐτό. ἢ γὰρ ἐπαινεῖ τὸν Ὀδυσσέα, ὅς που ὁμολογεῖ δόλοισι μέλεσθαι, ἢ ψέγει κατὰ τὸ «καὶ σὺ κακοῖσι δόλοισι κεκασμένε». οὕτω δὲ καὶ τὸ «πόνοιο» διχῇ νοεῖται. δηλοῖ γὰρ ἢ τὸν ἐνεργέστατον, [ὡς ἔχειν ἀκοῦσαί ποθεν καὶ αὐτὸν τὸ «σὺ μὲν πόνου οὔποτε λήγεις»], ἢ τὸν ἄλλως πονηρὸν καὶ περιπόνηρον. (v. 431) Τὸ δὲ «σήμερον ἐπεύξεαι» προϊὼν παραφράζει «ἤματι τῷδε εὖχος δώσεις». (v. 432) Τὸ δὲ «τοιώδε ἄνδρε» ἀρετὴν μεγάλην ὑπολαλεῖ. καὶ ἔστι σύνηθες Ὁμήρῳ καὶ οὕτως ἀορίστως ἐπαινεῖν, ὡς δηλοῖ καὶ τὸ «τοιόνδε τοσόνδε τε λαόν». Τὸ δὲ «τεύχε' ἀπούρας», ὅ ἐστιν ἀφελόμενος, περίφρασίς ἐστι τοῦ σκυλεύσας. (v. 438) Τὸ δὲ «ἔγκασι» καινῶς καὶ αὐτὸ μεταπέπλασται ἀπὸ τοῦ ἐγκάτοις, ὡς ἀλλαχοῦ τὸ προσώπασιν ἀντὶ τοῦ προσώποις.

3.230 (v. 441) Ἐν δὲ τῷ «ἆ δειλέ», ὅ ἐστιν «ὦ δείλαιε», κλητικὸν ἐπίρρημά ἐστι τὸ ἆ ἢ μᾶλλον προσφωνητικόν. διαφέρει δὲ τῆς διὰ τοῦ ω προσφωνήσεως, ὅτι τοῦτο μὲν ψυχῆς ἀπαθοῦς, τὸ δὲ ἆ πάθος ταραχῶδες δηλοῖ ψυχικόν, ὡς ἔστιν εὑρεῖν πολλαχοῦ, οἷον ἢ σχετλιασμὸν ἢ ὄνειδος ἢ ἀγανάκτησιν, ὡς ἐνταῦθα, ἢ ἔλεον, ὡς κατωτέρω ἐν τῷ «ἆ δειλέ, οὐ μέν σοί γε πατήρ» καὶ ἑξῆς. διὰ γὰρ τὸ καίριον δεδίσσευται νῦν ἡ τοιαύτη πρόσρησις. Ἰστέον δὲ ὅτι εὕρηται παρὰ τοῖς παλαιοῖς τὸ α καὶ μετὰ δασέος τόνου καὶ ὀξείας προφερόμενον. καὶ κεῖται ἐν Ἐπιλογῇ λέξεων ἀρχαίᾳ, ὅτι ἃ ἃ δασυνθὲν γέλωτα δηλοῖ. οὕτω καὶ βᾶ ἐπίρρημα παρὰ Ἑρμίππῳ, ὅπερ εἰώθαμεν ἀντεμβοῶντες λέγειν, ὡς καὶ τοῦτό φασιν οἱ παλαιοί. Καὶ ταῦτα μὲν πρός τι, τουτέστιν ἀπό

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τινος φωνοῦντος πρός τινα ἕτερον. Εἰσὶ δὲ καί τινες μιμητικαὶ φωναὶ αὐταὶ κατὰ αὐτοὺς τοὺς φωνοῦντας, ὡς τὸ ἀρῦ ἐπίφθεγμα, φασί, κωπηλατῶν, καὶ τὸ ὢ ὄψ φθέγμα τῶν ἀφιέντων τινὰς ἅμα τρέχειν, καὶ τὸ ὢ ὄπ ναυτικόν, πολλὰ δὲ καὶ ἄλλα, ἐν οἷς καὶ τὸ μᾶ παρὰ Θεοκρίτῳ, καὶ τὸ ψό ποιμενικόν, καὶ τὸ βή, περὶ οὗ ἀλλαχοῦ δηλοῦται, καὶ τὸ χύρρε συβοτικόν, ὡς ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δεδήλωται, [καὶ τὸ φίττα δηλωτικόν, φασί, τάχους, οἷον «φίττα μαλιάδες», «φίττα ῥοιαί». —Νυμφῶν δέ, φασί, ταῦτα ἐπωνυμίαι—, ἔτι δὲ καὶ τὸ σίττα, οἷον «σίττ' ἀμνίδες».] (v. 443) Τὸ δὲ «σοὶ δ' ἐγώ φημι φόνον» καὶ ἑξῆς, οὐ διστακτικῶς ἀλλ' ἀξιωματικῶς εἴρηται κατ' ἀπόφανσιν, ὃ καὶ ἐν ἄλλοις γίνεται.

3.231 (v. 445) Τὸ δὲ «κλυτοπώλῳ», καθὰ καὶ ἀλλαχοῦ δηλοῦται, ἢ ἀντὶ τοῦ εὐίππῳ διὰ τὸ πανταχοῦ φθάνειν τὸν θάνατον, ἢ οὗ κλυτὴ ἡ ἐπιπώλησις, ἤγουν ἐπέλευσις, διὰ τὸ ἐξάκουστον τῶν θρηνούντων ἐπιθανάτια. (v. 446) Τὸ δὲ «φύγαδε» καθ' ὁμοιότητά ἐστι τοῦ οἴκαδε, καὶ μεταπέπλασται ἐκ τῆς φυγῆς, ἵνα ᾖ φυγήν φύγα, ὡς ἰωκήν ἰῶκα. Τὸ δὲ «ὑποστρέψαι» ὅτι ταὐτόν ἐστι τῷ μεταστρεφθῆναι, τὸ Ὁμηρικὸν ὕφος δηλοῖ, ὥσπερ καὶ ὅτι μετάφρενόν ἐστι τὸ μεσσηγὺς ὤμων, ὅ τις πλήξας διὰ στήθεσφι τὸ βέλος ἤλασε. (v. 450) Τὸ δὲ «ὦ Σῶκε, Ἱππάσου υἱέ» καὶ ἑξῆς, ὡς προέκκειται, ἔπαινός ἐστι τοῦ κειμένου, ῥηθεὶς οὐκ ἐξ ὀρθοῦ παρὰ τοῦ ἀνδρείου ῥήτορος Ὀδυσσέως, ἀλλὰ κατά τινα σαρκασμόν. (v. 453) Τὸ δὲ «ὄσσε», περὶ οὗ ἱκανῶς ἐν ἄλλοις δηλοῦται, οὐχ' ὥρισται κατὰ τὸ γένος, ὡς καὶ αὐτὸ προείρηται. φέρεται γὰρ ἐν ῥητορικῷ Λεξικῷ, ὅτι ὄσσος ὁ ὀφθαλμὸς ἀρσενικῶς ἐν τῇ τραγῳδίᾳ, παρ' Ὁμήρῳ δὲ οὐδετέρως. Τὸ δὲ «καθαιρήσουσιν» ἀντὶ τοῦ καθελοῦσι τὰ βλέφαρα καὶ οὕτω μῦσαι ποιήσουσι τοὺς ὀφθαλμοὺς καλύψαντες. Ὅλον δὲ τὸ «οὐ σοὶ πατὴρ καὶ μήτηρ θανόντι ὄσσε καθαιρήσουσι, ἀλλ' οἰωνοὶ ὠμησταὶ ἐρύουσι» καὶ παραφράζει ἅμα καὶ σαφηνίζει τὸ «οἰωνοῖς φίλτεροι ἠὲ γυναιξί», καὶ τὸ «οἰωνοὶ περὶ πλέες ἠὲ γυναῖκες», πλὴν ὅσον ἀντὶ γυναικῶν γονεῖς ἐνταῦθα κεῖνται. (v. 454) Τὸ δὲ «ὠμησταί» ὁ μὲν Τυραννίων ἐβάρυνεν ὡς σύνθετον ἐκ τοῦ ὠμὰ ἐσθίειν, Ἀρίσταρχος δὲ ὀξύνει κανόνι τοιούτῳ. Τὰ εἰς στης τῷ η παραληγόμενα, ἔχοντα πρὸ τοῦ τ τὸ σίγμα, ὑπὲρ δύο συλλαβάς, ὀξύνονται, ἑρπηστής, ὀρχηστής, [ὠμηστής.] Ὅτι δὲ ὠμηστὴς ἐκ τοῦ ὠμὰ ἐσθίειν γίνεται, τραπέντος Ἰωνικῶς τοῦ δασέος θ εἰς ψιλὸν τὸ τ , Ὅμηρος μετ' ὀλίγα δηλοῖ θῶας εἰπὼν ὠμοφάγους, ὃ ταὐτόν ἐστι τῷ ὠμηστάς. [Τὸ δὲ «πτερά» ἢ συστολὴν ἔπαθεν ἐκ τοῦ πτῶ, πτήσω, καθὰ καὶ τὸ ἰδιωτικῶς λεγόμενον πτενόν, ἢ παρῆκται κατὰ τὸ ἐν Ὀδυσσείᾳ ξερόν, ἵνα ᾖ ὥσπερ ξέω ξερόν, οὕτω καὶ πέτω πετερόν καὶ ἐν συγκοπῇ πτερόν.

3.232 Ἐξ οὗ δὴ πέτω καὶ ποτήρια ἐκπέταλα λέγεται τὰ καὶ πλατέα καί, ὡς εἰκός, κοῦφα δι' ἐλαφρότητα, ἔτι δὲ καὶ πέτηλα τὰ φύλλα. ἐξ ὧν εἴπερ γίνεται τὰ πτίλα, ἔχοι ἂν πολλὴν ἀπορίαν ἡ διὰ τοῦ ἰῶτα γραφὴ τοῦ πτίλου.] (v. 457) Τὸ δὲ «ἔξω χροὸς εἷλκεν» ἀργίαν δηλοῖ τῇ χρονικῇ παρατάσει. οὐ γὰρ εἰκὸς εὐχερῶς οὕτως ἐξελκυσθῆναι τὸ βέλος ἐληλαμένον διὰ χροὸς καὶ ἀσπίδος. ἄλλως μέντοι ἠδύνατο «εἷλξεν» εἰπεῖν. Ἔτι ἰστέον καὶ ὅτι ἐκ τῶν ῥηθέντων τὸ μὲν «ἆ δειλέ, ἦ μάλα δή σε κιχάνεται αἰπὺς ὄλεθρος» στρατιώτου θυμικοῦ ἐστιν ἀπειλή. Ἀριστέως δὲ λόγος πρὸς ἀντίπαλον τὸ «εὖχος ἐμοὶ δώσεις, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ». (v. 452) Ἰστέον δὲ καὶ ὅτι τὸ «δειλός», ὁ δεδιὼς τὰς ἴλας, ὁ καὶ φύξηλις, ἐξ οὗ καὶ ἡ δειλία καὶ τὸ δειλαίνεσθαι, παρὰ τοῖς μεθ' Ὅμηρον μάλιστα ἐπλεόνασεν. ἀφ' οὗ σύνθετα πρὸς ἄλλοις καὶ ὁ θρασύδειλος καὶ ὁ χερσαῖος κροκόδειλος, ὃς κρόκον δεδιὼς δι' αὐτοῦ ἀποσοβεῖται τῶν σίμβλων, ὥς φασιν οἱ εἰδότες, ἔτι δὲ καὶ ὁ ἔνυδρος κροκόδειλος, τὰς κρόκας δειλιῶν αὐτός, ὅ ἐστι τὰς αἰγιαλίτιδας ἄμμους, αἳ λέγονται καὶ κροκάλαι. χαίρει γὰρ τῇ καθ' ὕδωρ διαίτῃ μάλιστα. εἰ δὲ καὶ ὁ κροκύδειλος προπαροξυτόνως ἢ κροκυδειλός ὀξυτόνως, μικρὸν αὐτός, φασί, ζωΰφιον παρ' Ἱππώνακτι, τοιαύτην τινὰ ἐτυμολογίαν ἔχει, εἰδεῖεν ἂν οἱ παλαιοί. (v. 458—60) Ὅτι τοῦ ἔγχους ἑλκυσθέντος τῷ Ὀδυσσεῖ ἐκ τῶν αὐτοῦ πλευρῶν αἷμα ἠκοντίσθη, ὃ καὶ ἐθάρρυνε κατ' αὐτοῦ τοὺς Τρῶας. Φησὶ γὰρ «αἷμα δέ οἱ σπασθέντος ἀνέσσυτο, κῆδε δὲ θυμόν.

Τρῶες δὲ μεγάθυμοι ἐπεὶ ἴδον αἷμ' Ὀδυσῆος, κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῷ πάντες ἔβησαν». Καλῶς οὖν, φασί, Λυκοῦργος ἐνομοθέτησε Λακεδαιμονίοις ἐσθῆτα φοινικῆν ἐν πολέμῳ φορεῖν, ὡς ἂν εἰ τρωθείη τις, λανθάνῃ διὰ τὸ τῆς τοιαύτης χλαμύδος ὁμόχρουν πρὸς αἵματος ἐρυθρότητα. (v. 458) Ἐν δὲ τῷ «σπασθέντος» λείπει πρόθεσις, ὡς δηλοῖ πρὸ ὀλίγων ῥηθὲν τὸ «ἐκ δ' ἄρα χειρὸς σπάσατο», ἤγουν ἐξέσπασε. Τὸ δὲ «κῆδεν» ἐνεργητικῶς ῥηθὲν ἀντὶ τοῦ ἔβλαπτε καὶ ἐλύπει κεῖται, ἀφ' οὗ καὶ κῆδος ἡ βλάβη.

3.233 Ἰστέον δὲ ὅτι ἐν ἄλλοις τὴν ἐκ τραύματος ἀνάδοσιν τοῦ αἵματος ἄλλως φράζει, οἷον «αἷμα δ' ἀνεκήκιε», καὶ «αἷμα δ' ἀνηκόντιζε», καὶ «αἷμα θερμὸν ἀνήνοθεν ἐξ ὠτειλῆς». (v. 462—4) Ὅτι τῶν Τρώων, ὡς ἐρρέθη, ἐπελθόντων, ὀπίσω ἀνεχάζετο Ὀδυσσεύς. «τρὶς μὲν ἔπειτ' ἤϋσεν», ὅ ἐστιν ἐβόησεν, «ὅσον κεφαλὴ χάδε φωτός». —εὐρυβόας γὰρ καὶ αὐτὸς καὶ ὄπα μεγάλην ἐκ στήθεος πέμπων, ὡς ἀλλαχοῦ εἴρηται. —«Τρὶς δ' ἄϊεν ἰάχοντος ἀρηΐφιλος Μενέλαος», καὶ τάχυ τὸν μέγαν Αἴαντα προσεφώνει ἐγγὺς ἐόντα. Οὐ γὰρ ἦν αὐτὸς ἀξιόμαχος μόνος ἀντιστῆναι τοσούτοις, ὁ καὶ ἄλλως μαλθακὸς πολεμιστής. (v. 465—71) Ἡ δὲ προσφώνησις, μεθ' ἣν ἡ ἀξιώσις πατρόθεν ἐκ γενεῆς, ὡς ὑπὸ τοῦ ἀδελφοῦ βασιλέως παρήγγελται. Φησὶ γὰρ «Αἶαν διογενές, Τελαμώνιε, κοίρανε λαῶν, ἀμφί μ' Ὀδυσσῆος ταλασίφρονος ἵκετο φωνὴ τῷ ἰκέλη, ὡς εἴ περ αὐτὸν βιῴατο μοῦνον ἐόντα Τρῶες ἀποτμήξαντες ἐνὶ κρατερῇ ὑσμίνῃ. ἀλλ' ἴομεν καθ' ὅμιλον, ἀλεξέμεναι γὰρ ἄμεινον. δείδω μή τι πάθησιν ἐνὶ Τρώεσσιν», ἢ μετὰ Τρώεσσι, «μονωθείς, ἐσθλὸς ἐών, μεγάλη δὲ ποθὴ Δαναοῖσι γένηται». Καὶ οὕτω μὲν ὁ Μενέλαος. (v. 472—86) Αἴας δὲ μηδὲν ἀμειψάμενος διὰ τὸ τοῦ καιροῦ κατεπεῖγον, οἷα μηδὲ λαλεῖν μακρὰ εἰδώς, ὡς ἡ πρεσβεία ἔδειξε, πείθεται εἰς ἔργον. Καὶ Μενέλαος μὲν ἦρχεν, «ὃ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς. εὗρον ἔπειτ' Ὀδυσῆα Διῒ φίλον. ἀμφὶ δ' ἄρ αὐτὸν Τρῶες ἕπονθ' ὡς εἴ τε δαφοινοὶ θῶες ὄρεσφιν ἀμφ' ἔλαφον κεραὸν βεβλημένον, ὅν τ' ἔβαλ' ἀνὴρ ἰῷ ἀπὸ νευρῆς. τὸν μέν τ' ἤλυξε πόδεσσι φεύγων, ὄφρ' αἷμα λιαρὸν καὶ γούνατ' ὀρώρῃ. αὐτὰρ ἐπεὶ δὴ τόν γε δαμάσσεται ὠκὺς ὀϊστός, ὠμοφάγοι μιν θῶες ἐν οὔρεσι δαρδάπτουσιν ἐν νέμεϊ σκιερῷ, ἐπί τε λῖν ἤγαγε δαίμων σίντην, θῶες μέν τε διέτρεσαν, αὐτὰρ ὃ δάπτει. ὥς ῥα τότ' ἀμφ' Ὀδυσῆα δαΐφρονα ποικιλομήτην Τρῶες ἕπον πολλοί τε καὶ ἄλκιμοι, ὃ δὲ ἀΐσσων ἠμύνετο ἔγχει νηλεὲς ἦμαρ. Αἴας δ' ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον, στῆ δὲ παρέξ. Τρῶες δὲ διέτρεσαν ἄλλυδις ἄλλος». (v. 487 s.) Καὶ Ὀδυσσέα μὲν «Μενέλαος ἀρήϊος ἔξαγ' ὁμίλου χειρὸς ἔχων, εἵως θεράπων σχεδὸν ἤλασεν ἵππους. Αἴας δὲ Τρώεσσιν ἐπάλμενος» ἐποίει, ἃ ἑφεξῆς λέγει ὁ ποιητής. Καὶ ὅρα ὅτι σῶστρα Ὀδυσσεὺς ὀφείλει τῷ Αἴαντι κινδύνου περισωσαμένῳ αὐτόν, ὡς καὶ ὁ Διομήδης ἐν τοῖς πρὸ τούτων ὀφειλέτης ἦν χαρίτων τῷ Νέστορι. Ὅρα δὲ καὶ τὴν παραβολὴν μὴ μόνον οὐ δι' ὅλου ἡρμοσμένην τῷ πράγματι, οὗ χάριν παρελήφθη, ἀλλὰ καὶ πάντῃ ἐναντιουμένην ἐν μέρει, τουτέστι κατὰ τὸ ἀκροτελεύτιον αὐτῆς τὸ «αὐτὰρ ὃ δάπτει».

3.234 Τὰ μὲν γὰρ λοιπὰ καλῶς ἔχει. ἔλαφος μὲν γὰρ οἷον ὁ βληθεὶς Ὀδυσσεύς, θῶες δὲ περὶ αὐτὸν οἱ Τρῶες, λέων δὲ ὁ Αἴας, οὗ ἐλθόντος οἱ θῶες φεύγουσι καὶ σῴζεται Ὀδυσσεύς, οὐ μὴν ὑπὸ τοῦ λέοντος δάπτεται. (v. 481) Οὐκοῦν διὰ τὸ τῆς ἱστορίας ἐντελὲς ἐνταῦθα πρὸς ἀναπλήρωσιν συνήθη παραβολικῆς ἐννοίας κεῖται περιττῶς τὸ «αὐτὰρ ὃ δάπτει»; Ἐπεὶ οὐ πᾶσα παραβολὴ ὅλη διόλου κολλᾶται τῷ πράγματι, ἀλλ' ἔστιν ὅτε καί τινα ἔχει ἀνόμοια, ὧν ἀμελητέον ἐπιλεγομένους μόνα τὰ ὅμοια. ὡς καὶ ἐνταῦθα τὸ μὲν «αὐτὰρ ὃ δάπτει» οὐ προσλογιστέον τῷ πράγματι, μόνον δὲ συμβιβαστέον τὸ ὡς θῶας ἀπελαύνει λέων ἐπιφανείς, οὕτω τοὺς Τρῶας Αἴας. Δῆλον δὲ ὡς οὐ διὰ δειλίαν ἐλάφῳ εἰκάζεται Ὀδυσσεύς, ὥς που Ἀλέξανδρος, ἀλλὰ διὰ πάθους ὁμοιότητα, καθ' ἣν πρὸ βραχέων ὁ αὐτὸς καὶ κάπρῳ εἰκάσθη, ὃν κυκλοῦσι κύνες τε καὶ θαλεροὶ αἰζηοί, ὅτε οὔπω τρωθεὶς κατεπονεῖτο τῇ ῥύσει τοῦ αἵματος. Ἔχει δὲ καὶ ἐθάδα πολυμάθειαν ἡ ῥηθεῖσα παραβολὴ ἐξ ἱστορίας ζωϊκῆς βληθέντος τε ζῴου ἰδιότητα ἱστοροῦσα, τὸ μετὰ τὴν βολὴν εἰς δάσος, εἴ που καὶ παρατύχοι, φεύγειν καὶ τὸ τοὺς θῶας δαφοινούς τε

εἶναι καὶ ἐχθροὺς λέοντι οὓς λυκοειδῆ ζῷα εἶναί φασιν οἱ παλαιοί. διὸ καὶ τὴν τῶν λυκοπανθήρων κλῆσιν ἐντεῦθεν ἴσως εὗρον οἱ πολλοί. καὶ Ἀριστοτέλης μὲν θῶας πολεμίους εἶναι λέοντι ὕστερον ἱστόρησε, πρὸ δὲ ἐκείνου Ὅμηρος οἶδεν αὐτό. Πάνυ δὲ καὶ φίλος ἀγαθὸς καὶ προσεκτικὸς ἐν τοῖς ῥηθεῖσιν ὁ Μενέλαος, εἴπερ τρὶς ἰάχοντος Ὀδυσσέως καὶ ἤκουσε καὶ οὕτως ἐνδιαθέτως ἐπεστράφη. οὐκ ἐστέρηται δὲ οὐδὲ τοῦ μένος καὶ θάρσος ἔχειν, διὸ καὶ ἀρηΐφιλον αὐτὸν ἔφη ὁ ποιητὴς καὶ ἀρήϊον. Ἀφθόνητος δὲ καὶ ὁ Αἴας, εἴπερ ἐπαίνους τοῦ Ὀδυσσέως ἐκ Μενελάου ἀκούσας οὔτε ἀντιφωνεῖ καὶ ἅμα ἕπεται βοηθήσων. (v. 461) Ἰστέον δὲ ὅτι τὸ «ἐξοπίσω ἀναχάζεσθαι» φθάσας ὁ ποιητὴς ἀναχωρεῖν εἶπε, καὶ ὅτι ἐκ περισσοῦ κεῖται τὸ ὀπίσω. ἤρκει γὰρ ἀντ’ αὐτοῦ ἡ ἀνα πρόθεσις, κειμένου δὲ τοῦ ἐξοπίσω περιττεύει ἡ ἀνα . εἰπεῖν δὲ καὶ ἄλλως, περιτταὶ καὶ αἱ δύο προθέσεις εἰσί. Τοῦ δὲ «αὔειν», ὅ ἐστι φωνεῖν, ἡ διάλυσις, ἤγουν τὸ ἀΰειν, ἐξ οὗ ἡ ἀϋτή, γεννητικόν ἐστι τοῦ ἤϋσεν, ὃ εὐθὺς ἐπήγαγεν ἐν τῷ «τρὶς ἤϋσε».

3.235 (v. 462) Τὸ δὲ «κεφαλὴ χάδεν», ἀντὶ τοῦ ἐχώρησε, χρόνου ἀορίστου δευτέρου ῥῆμα ἐκ τοῦ χῶ, χάζω, τὸ χωρῶ, καθὰ παράγεται καὶ τὸ χάζω, τὸ ὑποχωρῶ. Κεφαλὴ δὲ φωτὸς περιφραστικῶς ἀντὶ τοῦ ἀνήρ, ἵνα λέγῃ, ὅσον ἐχώρει ἀνὴρ εὐρυφωνότερος ὢν γυναικός. δύναται δὲ καὶ ἄλλως ἐπ’ αὐτῆς δὴ κεφαλῆς εὐοδωθῆναι ἡ ἔννοια, ὡς καὶ τῆς περὶ στόμα εὐρύτητος καὶ ἑτέρας ποιᾶς διαθέσεως συλλαμβανομένης εἰς τὸ μεγαλόφωνον. [(v. 463) Τὸ δὲ «ἄϊεν», οὗ θέμα τὸ ἀΐω, τουτέστιν ἀκούω, ὀνόματος Πυθαγορικοῦ ἐστὶ παραγωγόν, ὥσπερ καὶ τὸ ἀκούειν. ὡς γὰρ ἐξ αὐτοῦ ὁμακόϊον τὸ ἄθροισμα τῶν ἀκροωμένων, οὕτω καὶ ὁμάϊον τὸ αὐτὸ παρὰ τὸ ὁμοῦ ἀΐειν, ὅπερ ἐστὶν ἀκούειν.] (v. 465) Τὸ δὲ «Αἶαν διογενές» καὶ ἑξῆς, Ὅμηρος τῷ Μενελέῳ εἰπεῖν ἀναθεὶς τὸν κρείττω ἔπαινον ἑαυτῷ ἐταμιεύσατο ἐν τῷ «ἕσπετο ἰσόθεος φώς», ὃ φθάσας καὶ περὶ Σώκου εἶπε. (v. 466) Ταλασίφρονα δὲ Ὀδυσσέα εἰπεῖν, ὡς καὶ ἐν τῇ Ὀδυσσείᾳ, ταὐτόν ἐστι τῷ τλήμονα. ἴσως δὲ καὶ κατὰ διπλόην ἐπαίνου τλήμονα καὶ φρόνιμον ἡ λέξις ἄνδρα δηλοῖ καθ’ ὁμοιότητα τοῦ δαΐφρων, ὅτε δάϊον σημαίνει καὶ φρόνιμον. κατεπύκνωσε δὲ αὐτὸν ἐπίτηδες ὡς ἀριστέα ἐνταῦθα ἐπαίνοις ὁ ποιητής, ταλασίφρονά τε καλέσας καὶ ἐσθλὸν καὶ μάλα ποθεινὸν Ἀχαιοῖς καὶ δαΐφρονα καὶ ποικιλομήτην. [(v.

3.236 467) Τὸ δὲ «τῷ ἰκέλη», εἰ μὲν ἀρσενικοῦ γένους ἐστί, λέγοι ἄν, ὅτι τούτῳ, ἤγουν τοιούτῳ, Ὀδυσσεῖ ὁμοία ἦν ἡ φωνή, ὡς εἴπερ μόνος ὢν ἔπαθε βίαν. εἰ δὲ οὐδετέρως προῆκται, νοεῖ ὡς τοιούτῳ πράγματι ἔοικεν ἡ φωνή, καθάπερ ἂν εἴ τινες τὸν Ὀδυσσέα βιάζοιντο.] Τὸ δὲ «βιῴατο» δευτέρας συζυγίας εἶναι ῥῆμα φαίνεται, τὸ κοινὸν γὰρ βιῷντο, ὡς βοῷντο. ἐμφαίνει δὲ ἀλλόκοτόν τινα φωνῆς τρόπον ἐκβοῆσαι τὸν Ὀδυσσέα, δι’ ἧς ἡ βία ἐξεφάνη. Ἔνθα καὶ ὅρα πραγματικῶς, ὡς δεῖ τοὺς στρατηγούς, ἤδη δὲ καὶ πάντας τοὺς ἐν τῇ μάχῃ, βοὴν ἀγαθοὺς εἶναι αὐτῶν τε χάριν καὶ ἑτέρων. διὸ καὶ ἔσπευδον οἱ παλαιοὶ μεγάλα φωνεῖν, ὡς δηλοῖ καὶ ὁ περὶ Περσῶν ἱστορήσας, ὅτι τε ἀπαιτοῦσι λόγον ἑκάστου μαθήματος καὶ ὡς μεγαλοφωνίαν ἀσκοῦσι. (v. 468) Τὸ δὲ «μόνον ἐόντα» ἶσον ἐστὶ τῷ μονωθέντα, ὡς δηλοῖ καὶ τὸ «ἐν Τρώεσσι μονωθείς». εἰς ταῦτα δὲ συντελεῖ καὶ τὸ «Τρῶες ἀποτμήξαντες». δῆλον γάρ, ὡς ἀποκοπεὶς τῶν ἑαυτοῦ μεμόνωται. Τὸ δὲ «κρατερῇ ὑσμίνῃ» παρατετηρημένως ἐρρέθη, ὡς τοῦ Ὀδυσσέως μὴ ἂν ἄλλως ἐκ δειλανδρίας φωνήσαντος, εἰ μὴ κρατερὰ ἦν ἡ μάχη. (v. 469) Τὸ δὲ «ἀλλ’ ἴομεν καθ’ ὅμιλον» καὶ ἑξῆς, φίλος ἂν εἴποι ἐρεθίζων ἑαυτὸν ἀμῦναι καταπονουμένῳ ἑταίρῳ. Ἔστι δὲ «καθ’ ὅμιλον» τὸ μέσον τοῦ τῶν μαχομένων ὄχλου. (v. 473) Τὸ δὲ Ὀδυσῆα Διῒ φίλον ἀστείως κεῖται ἀντὶ τοῦ τῷ μοιριδίῳ φίλον καὶ μὴ δυστυχῆ κατὰ τὸν ἔλαφον, ᾧ ἐπὶ λῖν ἤγαγε δαίμων, ὅ ἐστιν οὐκ ἀγαθή τις τύχη. λίαν γὰρ εὐτυχῶς τῷ Ὀδυσσεῖ ὁ Μενέλαός τε φωνοῦντος ἀκούει καὶ ὁ Αἴας ἐγγὺς ὢν καλεῖται καὶ τὴν μάχην θαρρεῖ. (v. 474) Τὸ δὲ «Τρῶες» καὶ «θῶες» ὁμοιοκαταληκτοῦνται κατὰ καιρίαν παρίσωσιν. Τὸ δὲ «ἀμφὶ αὐτὸν ἕποντο» ἢ ἀντὶ τοῦ ἀμφηκολούθουν, ἢ ἀντὶ τοῦ ἀμφεῖπον, ὃ ταὐτόν ἐστι τῷ «ἀμφεπένοντο». διόπερ ὑποκαταβὰς ἔφη «ἀμφ’ Ὀδυσῆα Τρῶες ἕπον», ἤγουν ἀμφεῖπον ἐκεῖνον. (v. 475) Τὸ δὲ «ὃν ἔβαλεν ἀνὴρ ἰῷ»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἑξῆς, οὐ πρὸς σαφήνειαν ἐπῆκται τοῦ βεβλημένον—αὐτὸ γὰρ πάνυ σαφές—, ἀλλ' ἵνα καὶ τὸ βέλος δηλωθῇ, ὡς εἰκός, ἤγουν ὁ ἰός, καὶ ὡς κυνηγετικῶς τὸ ζῷον βέβληται καὶ οὐ πρὸς ἄμυνάν τινα οἷα βλαπτικόν. ἴσως δὲ καὶ πρὸς διαστολὴν κεῖται διασαφητικῶς, ἐπείπερ ἐνίοτε γενικῶς λέγεται πολλαχοῦ τὸ βάλλειν ἁπλῶς ἀντὶ τοῦ πλήττειν.

3.237 (v. 476) Τὸ δὲ «ἀπὸ νευρῆς» περισσὸν καὶ αὐτό, καθὰ καὶ πρὸ ὀλίγου τὸ ἐξοπίσω, ἤρκει γὰρ καὶ αὐτοῦ δίχα εἰπεῖν, «ὃν ἔβαλ' ἀνὴρ ἰῷ». σχεδιασμοῦ δὲ καὶ ταῦτα ἴδια. (v. 477) Ἐν δὲ τῷ «ὄφρ' αἷμα» λείπει τὸ «ἐστίν» ἢ «ἔνεστιν». Αἷμα δὲ λιαρόν, ὃ πρὸ ὀλίγου θερμὸν εἶπεν ἐν τῷ «ὄφρα αἷμα ἔτι θερμόν». [Ἰστέον δὲ ὅτι πολλῶν ὄντων κατὰ τὸ χλιαρόν λιαρόν, πήγανον ἤγανον, ὡς ἀλλαχοῦ κεῖται, τακτέον σὺν αὐτοῖς καὶ τὸ σμῖλαξ, καὶ δίχα δὲ τοῦ ς μῖλαξ, οἷον «ἐστεφανοῦτο μίλακι καὶ ἀμπέλῳ καὶ κισσῷ», ἔτι δὲ καὶ τὸ σμύραινα καὶ μύραινα δὲ ὡς ἐπὶ πολύ, καὶ τὸ καπάνη, ἀπάνη, ὅ ἐστιν ἀπήνη. Θετταλοὶ γάρ, ὡς ἐν τοῖς τοῦ Ἀθηναίου φέρεται, τὰς ἀπήνας καπάνας ἔλεγον. ὅθεν καὶ καπανικὰ παρ' αὐτοῖς τὰ ἁμαξιαῖα, ὡς δηλοῖ, φησίν, Ἀριστοφάνης ἐν τῷ «Λυδῶν δεῖπνα καὶ Θετταλῶν, ὧν τὰ Θετταλικὰ πολὺ καπανικώτερα». τοῦτο δὲ ἐρρέθη ὡς τῶν Θετταλῶν μεγάλα κρέα τεμνόντων. ὅθεν ἔφη τις καὶ χειροβαρὲς σαρκὸς ὑείας Θετταλότμητον κρέας. Ὅτι δὲ πολυφάγοι οἱ Θετταλοί, διαβεβόηται, ἀφ' ὧν καὶ Θετταλικὴ ἔνθεσις ἡ μεγάλη τροφή.] Τὸ δὲ «ὀρώρῃ» οὐχ' ὑπερσυντέλικος, ἀλλὰ παρακείμενος κἀνταῦθα ὑποτακτικὸς ἐκ τοῦ ὄρωρα. (v. 479) Τὸ δὲ «ὠμοφάγοι» ὡς ταὐτόν ἐστι τῷ ὠμησταί, πρὸ βραχέων εἴρηται. Τὸ δὲ «δαρδάπτειν» παράγωγόν ἐστι τοῦ ἐξ ἁπλοῦ τοῦ δάπτειν, ὃ κατωτέρω αὐτοῦ κεῖται. παρῆκται δὲ καθ' ὁμοιότητα τοῦ μαίρω μαρμαίρω καὶ τῶν ὁμοίων. (v. 480) Νέμος δὲ σκιερόν πρὸς διαστολὴν λειμῶνος, αὐτὸς γὰρ ἡλίῳ ἔκκειται ὡς ἐπὶ πολύ. τόπος δέ ἐστι δασὺς τὸ νέμος, ἐπιτήδειος εἰς νομήν. [Ἰστέον δὲ ὅτι ἐκ τῆς πρωτοτυπίας τοῦ σκιεροῦ, ὅπερ ἐστὶν ἡ σκιά, γίνεται καὶ ἡ σκιάς, ἧς ὑποκοριστικὸν τὸ σκιάδιον. Γράφει γοῦν τις, ὅτι ἀγάλματι Διονύσου πομπεύοντι περιέκειτο καὶ σκιὰς ἐκ κισσοῦ καὶ ἀμπέλου.

3.238 ] Τὸ δὲ «λῖν» οἱ μὲν περὶ Ἀρίσταρχον ὀξύνουσιν ὡς καὶ τὴν ὀρθήν, ἤδη γὰρ δεδήλωται ὅτι τὸ λίς ὠξύνετο παρ' αὐτοῖς. Ἕτεροι δὲ περισπῶσι, κανονίζοντες, ὡς πᾶσα αἰτιατικὴ μονοσύλλαβος εἰς νυ λήγουσα περισπᾶται· μνᾶν, μῦν, δρῦν, κλεῖν, καίτοι τῆς εὐθείας τούτου ὀξυνομένης, ὀξύνεται γὰρ ἡ κλείς. Τινὲς δὲ ἐτόλμησαν ἐνταῦθα τὸ λῖν δισυλλάβως εἰπεῖν, [λέγοντες, ὅτι τὸ πλῆρες λῖνά ἐστι Δωρικῶς, ὡς τὸν θῖνα, ὥστε κατ' αὐτοὺς δικατάληκτόν ἐστιν ὁ λίν καὶ ὁ λίς.] Ὅτι δὲ ἐκ τοῦ λάω, τὸ βλέπω, γίνεται, ὥσπερ ὁ λέων, οὕτω καὶ ὁ λίς κατὰ τὸν γραμματικὸν Ὦρον ὡς ὀξυδερκής, καὶ ὅτι, ὥς φησι Μανέθων ἐν τοῖς πρὸς Ἡρόδοτον, οὐ καθεύδει ὁ λέων, ὅπερ ἀπίθανον—οὐ γὰρ ἂν ἀεὶ ἐγρηγόροι—ἀλλὰ κατὰ δορκάδα τὴν ἐκ τοῦ δέρκω παρηγμένην καὶ κατὰ λαγὼν τὸν ἐκ τοῦ λάω, ἀνεῳγότας καθεύδων ἔχει τοὺς ὀφθαλμούς, οἱ παλαιοί φασιν. Εἰ δὲ προαναφαινομένου τοῦ ἄλφα ἐν τῷ λάειν, ὅθεν καὶ ἀλαός, ὁ τυφλός, τὸ λίς καινότερον διὰ τοῦ ι γράφεται, ὑπερλαλείτωσαν οἱ, ὡς ἐρρέθη, τὸν λῖν ἐτυμολογήσαντες. (v. 481) Τὸ δὲ «σίντην» ἤρεσεν Ὁμήρῳ οἰκειῶσαι τῷ λέοντι διὰ τὸ αὐτοῦ βίαιον, ᾧ λόγῳ καί τινες ἄνδρες ἐλέγοντο καθ' Ὅμηρον Σίντιες, ἄλλως ἐκεῖνοι κλινόμενοι, ὁμοία δέ τις ἔννοια καὶ λῃστὴν τὸν Σίνιν παρήγαγε. Τὸ δὲ «διέτρεσαν» δὶς ἐν τοῖς ῥηθεῖσι κείμενον τὴν μετὰ δέους φυγὴν δηλοῖ. [Ἰστέον δὲ ὅτι ἐμφαντικώτερον δειλίας τὸ διέτρεσαν ἤπερ τὸ ἔτρεσαν. ἡ γὰρ δια πρόθεσις καὶ σκεδασμὸν δηλοῖ τῶν τρεσάντων. Φύσις γὰρ αὕτη τῆς προθέσεως ταύτης πολλαχοῦ, διχασμὸν ὑποδηλούσης καὶ σκεδασμὸν καὶ διαίρεσιν, ὡς δῆλον καὶ ἐκ τοῦ «διασχὼν τὴν νεφέλην» καὶ ἐκ τοῦ διαφωνεῖν, ὅπερ ἐστὶν ἐναντιοῦσθαι κατὰ φωνὴν καί, ὡς εἰπεῖν, ἀντιλογεῖν ἢ ἀμφιλογεῖν.

3.239 ὅμοιον δέ τι καὶ τὸ διείπασθαι καὶ τὸ «δίειπέ μοι ὄφρα δαείω», ἤγουν εἰς πλάτος λάλησον, ὡς διαιρεῖσθαι τὸ ἔπος εἰς πολλὰ μέρη λόγου. οὕτω καὶ τὸ διακρίνειν μερισμὸν δηλοῖ σαφέστερον ἤπερ τὸ κρίνειν, καὶ τὸ διανέμειν μᾶλλον τοῦ νέμειν. Τοῦ δὲ δάπτειν δοκεῖ προϋπεῖναι ἄρρητον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θέμα τὸ δῶ, ἵνα ᾖ ὡς βῶ βάπτω, ῥῶ ῥάπτω, οὕτω καὶ δῶ δάπτω. ἐκ δὲ τοῦ τοιούτου δῶ καὶ τὸ δαίω, ἤγουν μερίζω, ἐξ αὐτῶν δὲ καὶ τὸ δακεῖν καὶ ὅσα τοιαῦτα.] (v. 485) Τὸ δὲ τοῦ Αἴαντος σάκος ὡς μέγα ἦν, καθωμίληται, καὶ ὅτι εὐρύ. ὅθεν καὶ προϊών φησιν «εὐρὺ γὰρ ἀμφ᾽ ὤμοισιν ἔχει σάκος». ἐξ οὗ καὶ Εὐρυσάκης αὐτῷ παῖς ὠνόμασται. τὸ δὲ καὶ πύργον αὐτὸ εἰπεῖν ὑπερβολῆς τρόπος ἐστὶν ἐμφαίνων συλλογιστικῶς καὶ τὸ τοῦ ἥρωος μέγεθος, ὃς διὰ τοῦτο καὶ ἕρκος λέγεταί που Ἀχαιῶν. (v. 486) Ὅρα δὲ καὶ τὸ παρέξ, ἀπολύτως τε ῥηθὲν δίχα τινὸς συντάξεως, καὶ μετὰ τοῦ ξι καὶ ταῦτα συμφώνου ἐπιφερομένου, οὐ μὴν διὰ τοῦ κ ὡς ἐν τῷ «παρὲκ νόον ἤγαγε». σημαίνει δὲ καὶ ἐνταῦθα ἡ λέξις τὸ ὀλίγον τι ἐκτός, ἄλλως δὲ ὅμως ἐγγύς, ὡς δηλοῖ τὸ «Αἴας δ᾽ ἐγγύθεν ἦλθε» καὶ ἑξῆς. (v. 488) Χειρὸς δὲ τὸν Ὀδυσσέα ἔχει Μενέλαος, καθά που καὶ αὐτὸν βληθέντα ὁ βασιλεὺς ἀδελφός. Καὶ ὅρα καὶ νῦν ὅπως εὐμεθόδως τοὺς ἀριστεῖς ἀπάγει τῆς μάχης ὁ ποιητὴς πιθανολογῶν τὴν Ἑλληνικὴν ἧτταν. πρῶτα μὲν γὰρ τὸν πρώτιστον Ἀγαμέμνονα, εἶτα τὸν Διομήδην, ἄρτι δὲ τὸν Ὀδυσσέα, ἐφεξῆς δὲ καὶ ἑτέρους, καθὰ δηλωθήσεται, ὡς μὴ ἄλλως δυνατὸν ὂν καταπονηθῆναι τοὺς Ἀχαιούς, εἰ μὴ προέπαθον οἱ ἀριστεῖς. (v. 489 s.) Ὅτι ἐν τῷ Αἴας «εἷλε Δόρυκλον, Πριαμίδην νόθον υἱόν» δοκεῖ ἀδολεσχία τις εἶναι τὸ υἱόν. ἔγκειται γὰρ ὁ υἱός δυνάμει ἐν τῷ Πριαμίδης καὶ συννοεῖται. φασὶ γὰρ οἱ παλαιοί, ὅτι τοῖς μὲν κτητικοῖς προστίθεται καθ᾽ ἑρμηνείαν τὸ ὑπὸ κτῆσιν ἐρχόμενον, οἷον Αἰάντειος τὸ κτητικόν, ᾧ δεῖ προσθεῖναι τὸ οἶκος ἢ υἱός ἤ τι τοιοῦτον, ἐν δὲ πατρωνυμικοῖς [οὐχ᾽ οὕτως, ἀλλ᾽] ἐμπεριέχεται τὸ γέννημα τῇ τοῦ πατρὸς φωνῇ, ὥστε ὁ λέγων Πριαμίδην Πριάμου φησὶν υἱόν. διόπερ ὁ ἐπαγαγὼν καὶ εἰπὼν Πριαμίδην νόθον υἱόν, δὶς τρόπον τινὰ λέγει τὸ αὐτὸ καὶ ἀδολεσχεῖ, ὡς οἷα εἰπὼν Πριάμου υἱὸν υἱόν.

3.240 Τοιοῦτόν τι δεδήλωται εἶναι καὶ τὸ «Ἀτρεΐδα δὲ μάλιστα δύω κοσμήτορε λαῶν», ὅμοιον δέ τι ἔστι νοῆσαι καὶ ἐν τῷ «μεγαλήτορα θυμόν», καὶ ἄλλα δὲ τοιαῦτα παρατετήρηνται. Οἱ δέ γε παλαιοὶ ἐν τῷ «Πριαμίδην νόθον υἱόν» τελείαν στίζοντες εἰς τὸ «Πριαμίδην» τὸ «νόθον υἱόν» ἐπανάληψίν τινα εἶναί φασι πρὸς σαφήνειαν, ὡς ἂν δηλωθῇ, ὅτι οὐ γνήσιος ἦν Πριαμίδης. (v. 490 s.) Ἐνταῦθα δὲ κεῖται καὶ σχῆμα κάλλους ἐπαναστρεπτικὸν διὰ ποιητικῆς λέξεως ἐν τῷ «Πάνδοκον οὖτα, οὖτα δὲ Λύσανδρον», κοσμοῦντος κομματικῶς Ὁμήρου τὴν ἀριστείαν τοῦ μεγάλου Αἴαντος. ὡς δὲ τὸ «οὖτα» συστέλλει τὴν λήγουσαν, ἀποκοπὴν παθὸν ἐκ τοῦ οὔτασε, πολλαχοῦ δηλοῦται. Κεῖται δ᾽ ἐν τούτοις καὶ Πυλάρτης κύριον, ὅπερ ἐν ἄλλοις Ἅιδου ἐστὶν ἐπίθετον. (v. 492—7) Ὅτι ὡς πρὸ τούτων τὸν Διομήδην, οὕτω καὶ νῦν τὸν Αἴαντα πλήθοντι ποταμῷ εἰκάζει ποιοῦντι δεινά. Καὶ συγκλείει τὴν παραβολὴν εἰς τὸ οὕτω κλονεῖν τότε τὸν Αἴαντα ὅσοις ἐνέπιπτε, δηλῶν ὅτι νῦν ἀναγκαίως εἰς μάχην ἑαυτὸν ὁ Αἴας ἀνάπτει, τὸν ἄλλον καιρὸν οὐκ εὐκίνητος ἢ ὀξυκίνητος ὤν. διὸ καὶ προστέθειται τὸ «τότε». ἔστι γὰρ ἡ προσθήκη πρὸς τὰ πρὸ τούτου, ὅτε ὁμαλῶς καὶ οἷον νωθρότερον ὁ Αἴας ἐμάχετο. Ἔχει δὲ ἡ παραβολὴ οὕτω «ὡς δ᾽ ὅτε πλήθων ποταμὸς πεδίονδε κάτεισι χειμάρρους κατ᾽ ὄρεσφιν, ὀπαζόμενος Διὸς ὄμβρῳ, πολλὰς δὲ δρῦς ἀζαλέας, πολλὰς δέ τε πεύκας ἐσφέρεται, πολλὸν δέ τ᾽ ἀφυσγετὸν εἰς ἅλα βάλλει, ὣς ἔφεπε κλονέων πεδίον», ἤτοι κατὰ τὴν πεδιάδα, «τότε φαίδιμος Αἴας, δαΐζων ἵππους τε καὶ ἀνέρας». Ὁ προσφυὲς ἐπὶ ἀριστεύματι πεζομάχου τινός. (v. 492 s.) Ὅρα δὲ ὅτι ἐπὶ χειμάρρου ἔθετο τὸ πλήθων ποταμός. ὁ μὲν γὰρ ἀέναος οὐ δέεται τοῦ πλήθειν, ὁ δὲ χείμαρρος, κενὸς ὢν ἐν ἀνομβρίᾳ, πλήθει, τουτέστι πλήρης γίνεται, ὅτε Διός, ὅ ἐστιν ἀέρος, ὄμβρον καταρρίψαντος εἰς τὰς πεδιάδας ἀναχεθῇ ἐξ ὀρέων ῥέων. Ἔστι δὲ γενικὸν μέν τι ὁ ποταμός, εἰδικὸν δὲ ὁ χειμάρρους, ὃς γίνεται μὲν ἐκ τοῦ χειμάρροος. ἐξ οὗ κατὰ συγκοπὴν καὶ ἀνάδοσιν τόνου ὁ χείμαρρος, ἑρμηνεύει δὲ τὸ πλήθων ποταμός. τοιοῦτος γάρ, ὡς ἐρρέθη, ὁ χείμαρρος. Δῆλον δ᾽ ὅτι καὶ πλοίου περὶ τὸ ἔδαφος πάσσαλος χείμαρρος λέγεται, ὁ ἰδιωτικώτερον καλούμενος ἴβδης, ὃς ἐξαιρούμενος ὅτε ὁρμίζεται, οὐκ ἐᾷ ἐκεῖνο πύθεσθαι Διὸς ὄμβρῳ κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἡσίοδον. Αἴλιος δὲ Διονύσιος συντόμως οὕτω φησί· χειμάρρους τρῆμα νεὼς ἢ θηλυκῶς τρήμη ὡς πλήμη, ὅθεν ἡ ἀντλία ἐκρεῖ.

3.241 Τὸ δὲ «ὀπαζόμενος» ἀντὶ τοῦ ἐπειγόμενος, ὅ ἐστι κατόπιν ἐλαυνόμενος τῷ ἐξ ἀέρος ὄμβρῳ. (v. 494) Δρῦς δὲ ἀζαλέας ἢ ἁπλῶς εἶπε τὰς ἐκ τοῦ παρατυχόντος ἐκσπασθείσας καὶ χρόνῳ ἀφαυανθείσας καὶ οὕτω εὑρεθείσας ἐλαφρὰς χειμάρρῳ παρασύρεσθαι, ἢ τὰς ἐκ προνοίας ἀνθρωπίνης, ὡς εἰκός, ὃ δὴ πολλαχοῦ γίνεσθαι οἴδαμεν, παραβληθείσας μετὰ ὑγρὰν ὑλοτομίαν ἐγγὺς χειμάρρου, ἵνα ὅτε ξηρανθῶσι, κατασύρῃ αὐτὰς ὅπῃ χρεών. καὶ ἔστι καὶ τοῦτο χρηστομάθεια βιωτικὴ ἐν παραβολῇ. Ἰστέον δὲ ὡς ἤρκει μὲν εἰπεῖν δρῦς ἀζαλέας εἰς δήλωσιν ξύλου παντός, ὡς καὶ προδεδήλωται, ὁ δὲ ποιητὴς καὶ πεύκας προσθέμενος ὅμως καὶ οὕτω πᾶν ξύλον ὡς ἐκ μέρους ἐδήλωσε, καὶ μάλισθ’ ὅτι τοιούτων ξύλων μέλησις τοῖς προνοουμένοις ὕδατι πιστεύειν αὐτὰ ὥστε κατασυρῆναι. (v. 495) Τὸ δὲ «ἐσφέρεται» πλήθοντος χειμάρρου ἔργον, ὃς ὑπερχυθεὶς καὶ ἁρπάσας εἰσφέρει πολλὴν ὕλην. Τὸ δὲ «ἀφυσγετόν» Τυραννίων μὲν βαρύνει ὡς τὸ ἀτρύγετος, Ἀρίσταρχος δὲ ὀξύνει ὡς τὸ Ἰαπετός. δηλοῖ δὲ ἡ λέξις τὸν ἰλυώδη συρφετόν, ὠνοματοπεποιημένον ὡς ἀπὸ τοῦ ἀφύσσω, ὃ καὶ αὐτὸ ὀνοματοποιΐας τρόπος ἐστί. Τὸ δὲ «εἰς ἅλα βάλλει» βούλεται οὐ μόνον ἐκβολὴν κατὰ τὴν μακρὰν χρῆσιν, ἀλλὰ καὶ εἰσβολὴν ποταμοῦ λέγεσθαι τὸν τόπον, ἔνθα τὸ ποτάμιον ὕδωρ εἰς θάλασσαν ἐρεύγεται, ὃς δὴ τόπος διὰ τοῦτο καὶ στόμα ποταμοῦ καὶ στόμιον λέγεται. [Ὀρθότατα δὲ πέφρασται ὡς πεύκας μὲν φέρεται, ἤγουν φέρει, ἀφυσγετὸν δὲ βάλλει εἰς ἅλα ὁ ποταμός. πεῦκαι μὲν γὰρ φορτίου δίκην ἐπ’ αὐτοῦ ὀχοῦνται, ἀφυσγετὸς δὲ οὐχ’ οὕτω φέρεται, ἀλλὰ δι’ ὅλου αὐτοῦ ἀναμὶξ ἥκων ῥιπτεῖται εἰς θάλασσαν.] (v. 496) Τὸ δὲ «φαίδιμος Αἴας» δύναται μὲν καὶ μετὰ τοῦ τότε νοηθῆναι, ἵνα λέγῃ ὅτι ὁ τότε φαίδιμος Αἴας, δύναται δὲ καὶ αὐτὸ καθ’ αὑτὸ εἶναι, ἵνα νοηθείη ὅτι ἔφεπε τότε κλονέων ὁ ἀεὶ περιφανὴς Αἴας. Τὸ δὲ «ἔφεπεν» ἔστι μὲν νοῆσαι καὶ ἀντὶ τοῦ ἐδίωκεν ἁπλῶς ἀκολουθῶν, ὡς καὶ πρὸ ὀλίγου ἀμφ’ Ὀδυσῆα ἕπον Τρῶες, κάλλιον δὲ ἐπὶ βλάβης νοῆσαι τὴν λέξιν.

3.242 φέρεται οὖν ἐν παλαιῷ κατὰ στοιχεῖον Λεξικῷ, ὅτι ἕπειν Ἴωνές φασι τὸ κακοῦν καὶ περιελαύνειν, ὡς τὸ «Τρῶες ἕπον πολλοί τε καὶ ἄλκιμοι». (v. 497 s.) Ὅτι καθὰ ὁ Ἄρης ἀλλαχοῦ ἐπ’ ἀριστερὰ μάχης ἐνήργει, οὕτω κἀνταῦθα ὁ Ἕκτωρ «μάχης ἐπ’ ἀριστερὰ μάρνατο πάσης». (v. 499) Εἶτα ἑρμηνεύων τὰ τῆς μάχης νῦν ἀριστερά φησιν «ὄχθας πὰρ ποταμοῖο Σκαμάνδρου», δηλῶν, ὡς μάχης ἀριστερὰ τοὺς περὶ Σκάμανδρον τόπους ἔφη, ὃ καὶ ἐσχατιὰν πολέμου δυσηχέος ἐρεῖ. (v. 499 s.) Τούτοις δὲ ἐπιπλέκει εὐθὺς καὶ ἃ ἐγίνετο ἐκεῖ ὁμιλοῦντος Ἕκτορος τοῖς ἀριστεῦσι, διασκευὴν ἐν ὀλίγῳ φράζων μεγάλου πολέμου ταύτην «ἔνθα μάλιστα ἀνδρῶν πίπτε κάρηνα, βοὴ δ’ ἄσβεστος ὀρώρει», ὃ καὶ πρὸ τούτων ἐγράφη. (v. 502 s.) Εἶτα ἐπάγει στρατηγικὸν ἔπαινον τὸ αὐτὸς «μὲν μετὰ τοῖσιν ὁμίλει μέρμερα ῥέζων ἔγχεΐ τε ἱπποσύνῃ τε», ἤγουν τῇ τοῦ ἱππεύειν ἀρετῇ, «νέων δ’ ἀλάπαζε φάλαγγας». Ἔστι δὲ καὶ νῦν ὁμιλεῖν κυριολεκτικῶς τὸ ὁμοῦ ταῖς στρατιωτικαῖς ἴλαις γίνεσθαι, ὡς καὶ μετ’ ὀλίγα ἐν τῷ «ὁμιλέομεν Δαναοῖσιν». οὗ περίφρασις τὸ «δῦναι ὅμιλον». (v. 504—7) Ὅτι ἐξαίρων ὁ ποιητὴς καὶ τὸν ἰατρὸν Μαχάονα ὡς φερωνύμως ἀριστέα φησὶν «οὐδ’ ἄν πω χάζοντο κελεύθου δῖοι Ἀχαιοί, εἰ μὴ Ἀλέξανδρος, Ἑλένης πόσις ἠϋκόμοιο, παῦσεν ἀριστεύοντα Μαχάονα ποιμένα λαῶν, ἰῷ τριγλώχινι βαλὼν κατὰ δεξιὸν ὦμον», ἔνθα βληθεὶς οὐκέτι ἀριστεύειν εἶχε. (v. 504) Καὶ ὅρα τὸ «κελεύθου», δηλοῦν οὔτε τὴν διὰ θαλάσσης, ἀλλ’ οὐδὲ τὴν ἁπλῶς ὁδόν, τὴν κατὰ πόλεμον δέ. Τὸ δὲ «οὐδ’ ἄν πω χάζοντο» καθ’ ὑπερβατὸν ἀντὶ τοῦ «οὔπω δὲ ἂν χάζοντο». Καὶ σημείωσαι ἐν τῷ «οὐδ’ ἄν πω» τὸ πω , δίχα τόνου τεθὲν ἐγκλιτικῶς. ὅθεν συνακτέον ὡς οὐκ ἂν ἀλόγως τὸ πώποτε προπαροξύνοιτ’ ἄν, ὡς καὶ ἐν ἄλλοις παρεσημάνθη. (v. 506) Ὁ δὲ Μαχάων ἐκτείνει τὴν παραλήγουσαν. διὸ καὶ συστέλλει ἐν ταῖς πλαγίαις τὸ ο . Καθόλου γάρ, φασί, τὰ εἰς ων βαρύτονα ὑπὲρ δύο συλλαβὰς διχρόνῳ παραληγόμενα, εἰ μὲν βραχὺ τὸ δίχρονον ἔχουσι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φυλάττουσι τὸ ω καὶ ἐπὶ γενικῆς, οἷον Ἀμφιτρύωνος, Δευκαλίωνος, εἰ δὲ μακρῷ διχρόνῳ παραλήγονται, συστολὴν πάσχει τὸ ω τῆς εὐθείας ἐν τῇ γενικῇ, οἷον Ἰξίονος, Μαχάονος, Ἰάσονος. (v. 508 s.) Ἰστέον δὲ καὶ ὅτι πάνυ τὸν Μαχάονα ἐφίλουν οἱ Ἀχαιοί, ὡς ἐνταῦθα δηλοῖ ὁ ποιητής. διὸ καί, καθὰ πρὸ βραχέων Ὀδυσσεὺς περὶ τῷ Αἴαντι, οὕτω νῦν περὶ τῷ ἰατρῷ δείσαντες «μένεα πνέοντες Ἀχαιοί, μή πως πολέμοιο μετακλιθέντος», ἤτοι ῥέψαντος καὶ τροπὴν δεξαμένου, ἕλοιεν αὐτόν, οἱ Τρῶες δηλαδή, οὓς ἐπισπεύδων τῇ φράσει ἐσίγησεν ὁ ποιητής, ἔσπευσαν καταγαγεῖν ἐς τὰς νῆας.

3.243 ἐφιλεῖτο δὲ ὡς μὴ μόνον τοὺς πολεμίους ἀναιρῶν, ἀλλὰ καὶ τοὺς ὑπ' ἐκείνων βλαπτομένους ἀνακομιζόμενος ἰατρικῶς. Ἔτι ἰστέον καὶ ὅτι τὸ «περίδδεισαν μένεα πνέοντες Ἀχαιοί» ἐσχημάτισται μὲν ἀντιθετικῶς, δηλοῖ δέ, ὡς μένος πνέοντες ὅμως ἔδεισαν περὶ τῷ ἥρωϊ. Ὅτι εὐμεθόδως ἐνταῦθα κατὰ συμβουλὴν Ἰδομενέως ἀπέρχονται τῆς μάχης Νέστωρ τε ὁ πρὸ βραχέων εἰς αὐτὴν ἐλθὼν καὶ Μαχάων, οὗτος μὲν βληθείς, ὡς ἐρρέθη, καὶ μηκέτι πολεμεῖν ἔχων, ἐκεῖνος δὲ ἀπάγων αὐτὸν ἐς νῆας, ἵνα καὶ οὕτως ἐνδεὴς εἴη ἀριστέων ἡ κατὰ τοὺς Ἀχαιοὺς μάχη. (v. 512 s.) Κεῖται δ' ἐνταῦθα καὶ τὸ παραβαίνειν, οὔτε ἐπὶ ὁπλίτου, καθὰ σύνηθες, οὔτε ἐπὶ ἡνιόχου, ἀλλ' ἁπλῶς ἐπὶ τοῦ ἀναβῆναι εἴς τινος ἅρμα καὶ παρ' ἐκείνῳ εἶναι. οὕτω γὰρ ὁ Μαχάων ἄρτι βεβλημένος παραβαίνει ἐν τῷ τοῦ Νέστορος ἅρματι, ὡς δηλοῖ τὸ «ἄγρει, σῶν ὀχέων ἐπιβήσεο, πὰρ δὲ Μαχάων βαινέτω», καὶ «πὰρ δὲ Μαχάων βαῖνεν». εὐθὺς δὲ ἐν τῷ «ἐς νῆας δὲ τάχιστα ἔχε μώνυχας ἵππους» ἔχειν τὸ ἐλαύνειν ἐστί. καὶ σημείωσαι ὅτι κατὰ τὸ «ἔπεχε σκοπῷ τόξον», οὕτω νοεῖται καὶ τὸ «ἐς νῆας ἔχε ἵππους». (v. 514 s.) Ὅτι τὸ «ἰητρὸς γὰρ ἀνὴρ πολλῶν ἀντάξιος ἄλλων ἰούς τ' ἐκτάμνειν ἐπί τ' ἤπια φάρμακα πάσσειν» οἱ πλείους μὲν γνωμικῶς νοοῦσι, τινὲς δὲ μερικῶς αὐτὸ εἰρῆσθαί φασι καὶ οὐ καθόλου κατὰ τὴν τῆς γνώμης φύσιν, λέγοντες· ἰητρὸς γάρ ἐστιν ὁ προσεχῶς ῥηθεὶς Μαχάων, ἀνὴρ πολλῶν ἀντάξιος διὰ τὰ καὶ τά. [Ἴσως δὲ οὕτω τὸν Μαχάονα σεμνολογεῖ ὁ ποιητής, ἐπειδὴ τοῖς μὴ σοφοῖς ἡ τῶν ἰατρῶν, φασί, βαθύτης καὶ λεπτολογία φορτικὴ ἐδόκει καὶ ἐγγὺς τοῦ μὴ φρονεῖν. ἀξύνετα γὰρ λαλοῦσι τοῖς μὴ φρονοῦσιν. οὕτω δὲ ὁμοίας ἁλίσκονται ἀβελτηρίας παρὰ τοιούτοις ἀνδράσι καὶ οἱ γραμματικοί, ὡς δηλοῖ Ἀθήναιος ἐν τῷ «εἰ μὴ ἰατροὶ ἦσαν, οὐδὲν ἂν ἦν τῶν γραμματικῶν μωρότερον».] Ὅρα δὲ ὅτι περὶ τραύματα εἶχεν ὁ καλὸς οὗτος Ἑλληνικὸς ἰατρός, διαίτης δὲ οὐ μέμνηται ὁ ποιητής. Φασὶ γὰρ τὸ χειρουργικὸν καὶ φαρμακευτικὸν οὔπω εὑρῆσθαι παρὰ τοῖς παλαιοῖς, τοῦ δὲ διαιτητικοῦ Ἱπποκράτην μὲν κατάρξαι, Ἡρόδικον δὲ συντελέσαι καὶ Πραξαγόραν καὶ Χρύσιππον. τινὲς δὲ τὸν Μαχάονα μὲν χειρουργεῖν ἐθέλουσι, Ποδαλείριον δέ, στρατιώτην ὄντα καὶ αὐτόν, ὡς ἀλλαχοῦ δηλώσει ὁ ποιητής, ἀσκεῖν τὰ περὶ δίαιταν.

3.244 τεκμήριον δὲ ὁ βασιλεὺς εἰς θεραπείαν τοῦ Μενελάου βληθέντος καλέσας τὸν Μαχάονα, οὐ μὴν τὸν Ποδαλείριον. μαρτυρεῖ δὲ καὶ τὰ ἱστορούμενα ἔπη τὰ ἐπὶ τῇ Τρωϊκῇ πορθήσει, ἐν οἷς φέρεται περὶ Ποδαλειρίου καὶ Μαχάονος, ὡς ἄμφω μὲν Ποσειδῶνος ἦσαν, «ἕτερον δ' ἑτέρου κυδίον' ἔθηκεν», ὁ Ποσειδῶν δηλαδή, «τῷ μὲν κουφοτέρας χεῖρας πόρεν ἔκ τε βέλεμνα σαρκὸς ἑλεῖν τμῆξαί τε καὶ ἕλκεα πάντ' ἀκέσασθαι, τῷ δ' ἄρ' ἀκριβέα πάντ' ἐνὶ στήθεσσιν ἔθηκεν ἄσκοπά τε γνῶναι καὶ ἀναλθέ' ὀΐσασθαι, ὅς ῥα καὶ Αἴαντος πρῶτος μάθε χωομένοιο ὄμματ' ἀστράπτοντα βαρυνόμενόν τε νόημα». Φασὶ δὲ τὸν ποιητὴν καὶ διὰ τὸ ἀπρεπὲς σιγῆσαι τὴν κατὰ δίαιταν θεραπείαν. τί γάρ, φασίν, ἔδει παραβαλεῖν πυρέττοντά τινα ἥρωα ἢ προποτιζόμενον ἢ κενούμενον τὴν γαστέρα. κωμικώτερα γὰρ ταῦτα. γελοῖος οὖν, φασί, καὶ Διονύσιος, ᾧ πεποίηται νοσῶν Ἡρακλῆς καὶ Σιληνὸς κλύζειν αὐτὸν πειρώμενος. Ἰστέον δὲ καὶ ὅτι τὸν ἰητῆρα οἱ μεθ' Ὅμηρον ἰητρόν τε λέγουσι καὶ ἰατρόν, καὶ ὅτι οὐ μόνον κατὰ γένος ἀρρενικὸν ἰατρός, ἀλλὰ καὶ θηλυκῶς. Φησὶ γοῦν Αἴλιος Διονύσιος ἰατρὸν γυναῖκα, Ἄλεξις δὲ ἰάτριαν. ἡ δὲ ἰατρίνη οὐχ' Ἑλληνικόν, φησί. παρὰ δὲ τοῖς Τεχνικοῖς κεῖται καί, ὅτι ὁ μὲν Ὦρος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐχ’ Ἑλληνικὴν λέξιν τὴν ἰατρίνην εἶναί φησιν, Ἀλέξανδρος δὲ ὁ Κοττυαεύς, πρὸς ἀκρίβειαν λαλῶν, μὴ Ἀττικὴν εἶναι αὐτὴν λέγει. (v. 515) Τὸ δὲ «ἰοὺς ἐκτάμνειν» κινδυνώδεις βολὰς δηλοῖ, οὐ γὰρ ἐξ ἀνάγκης πάντες ἰοὶ ἐκτέμνονται, ἀλλ’ οἱ πλείους ἐξέλκονται σῶοι. εἰ μὴ ἄρα διὰ τοῦ ἰοῦ τὸ ἐξ αὐτοῦ τραῦμα δηλοῦται. καὶ ὅμως οὐδὲ πᾶν τραῦμα ἐκτάμνεται. Τὸ δὲ «ἤπια», εἰ καὶ ἀπὸ τοῦ ἥδω γίνεται κατά τινας, ἀλλὰ ψιλοῦται, ὡς καὶ ἡ συναλιφὴ δηλοῖ τὸ «ἐπί τ’ ἤπια φάρμακα», καὶ ἴσως μὲν ὡς Αἰολικόν, ἴσως δὲ καὶ καθ’ ὁμοιότητα τοῦ ἠπεροπευτής, ἠπεδανός, ἠπύτα κῆρυξ καὶ τῶν ὁμοίων. εἰ δέ τις φιλονεικοίη γράφων, «ἐπί θ’ ἥπια», ἵνα δασύνῃ τὸ ἥπιος, ἴστω πρὸς τὴν τῶν παλαιῶν ἀντιγράφων ἀκρίβειαν ἀπομαχόμενος, αἰδείσθω δὲ καὶ τὸ «ὀδύναι κατηπιόωντο βαρεῖαι».

3.245 Ὅρα δὲ καὶ τὸ φάρμακα πάσσειν. δηλοῖ γὰρ οὐκ ἀλείμματα, πάσματα δὲ ἀπὸ ῥιζῶν ἢ ὅλως φυτῶν τρίψεως, ὡς καὶ ἀλλαχοῦ φανήσεται. Ὅτι δὲ καὶ πατρῴα τέχνη τῷ Μαχάονι τὸ ἰατρεύειν, καὶ ὅτι εὐγενὴς ὁ ἀνήρ, ἢ καὶ κατὰ μῦθον θεῖον γένος ὡς Ἀσκληπιάδης, δηλοῖ μετ’ ὀλίγα ὁ ποιητής, εἰπὼν αὐτὸν «Ἀσκληπιοῦ υἱόν, ἀμύμονος ἰητῆρος». [Καινὸν δ’ οὐδὲν θεογενῆ, ὡς ἂν Σοφοκλῆς εἴποι, νομισθῆναι τὸν Μαχάονα καὶ πρὸ αὐτοῦ τὸν πατέρα τὸν Ἀσκληπιόν. τὸ γὰρ τῆς ἰατρικῆς χρήσιμον τοιούτους νοεῖσθαι ὑπέβαλε τοὺς ἰητῆρας. Μενεκράτης οὖν, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ὁ Συρακούσιος, Ζεὺς ἤθελεν ἐπιλέγεσθαι, ὡς οἷα μόνος αἴτιος τοῦ ζῆν διὰ τὸ εὖ ἰατρεύειν. ὃς καὶ Φιλίππῳ ἐπιστείλας προέγραψε «Μενεκράτης Ζεὺς Φιλίππῳ χαίρειν», καὶ ἀλαζονευσάμενος σὺν ἄλλοις ῥήμασι καὶ ὅτι Ζεὺς ἐγὼ ἀνθρώποις βίον παρέχων, ἐσκώφθη εὐφυῶς, ἐπιστείλαντος Φιλίππου καὶ προσφωνήσαντος ὡς μελαγχολῶντα τὸ «Φίλιππος Μενεκράτει ὑγιαίνειν», ἤγουν φρονεῖν. Ἔπαιξε δὲ κατ’ αὐτοῦ ὁ βασιλεὺς καὶ ἐν δείπνῳ τὸ περιᾳδόμενον, οὐ παραθεὶς ἐδώδιμα, καθὰ τοῖς ἄλλοις, ἀλλὰ θυμιῶν διὰ τῶν παίδων καὶ σπένδων ὅσα καί τινι θεῷ. Καὶ θεραπεύων δέ, φασίν, ἱερὰς νόσους ἠνάγκαζε τοὺς ὑγιαζομένους κατατίθεσθαι, ὡς ὑπακούσονται αὐτῷ οἷα δοῦλοι περισωθέντες. καὶ τοίνυν ἠκολούθουν, ὁ μέν τις Ἡρακλέους σκευὴν ἔχων καὶ καλούμενος Ἡρακλῆς, ἄλλος δὲ χλαμύδα εἶχε καὶ κηρύκειον καὶ πτερὰ ὡς Ἑρμῆς, καί τις θεραπευθεὶς Ἀπόλλων ἦν. ἐν δὲ τοῖς καὶ Ἀσκληπιοῦ τις ἀναλαβὼν στολὴν συμπεριεφθείρετο, φασίν. αὐτὸς δ’ ὁ Ζεύς, πορφύραν ἠμφιεσμένος καὶ στέφανον χρυσοῦν φορῶν καὶ σκῆπτρον κρατῶν, περιήει μετὰ τοῦ θείου χοροῦ. καὶ οὕτω μὲν ταῦτα.] (v. 518) Ὡς δὲ ὁ μῦθος θεοῖς ἐντάττει τὸν Ἀσκληπιόν, καὶ ὡς Ἤπιος τὰ πρῶτα καλούμενος Ἀσκληπιὸς μετεκλήθη, καὶ διὰ τί τοῦτο, καὶ ὡς καινότερον ὀξύνεται ὁ Ἀσκληπιός ἐν τῇ συνθέσει, ὁ πρὸ ταύτης ἐν τῷ Ἤπιος ὀξυτονούμενος, ἀλλαχοῦ δεδήλωται. Περὶ δὲ τοῦ «ἀμύμονος» φασὶν οἱ παλαιοί, ὡς τὸ τοιοῦτον ἐπίθετον θνητοῖς ὁ ποιητὴς ἐπιλέγει. διὸ καὶ τὸν παρήορον Πήδασον, τὸν τοῦ Ἀχιλλέως ἵππον, ὡς θνητὸν ἀμύμονα λέγει, διαστέλλων αὐτὸν τῶν ζυγιτῶν, οὓς ὁ μῦθος ἀθανάτους ληρεῖ.

3.246 Ὅρα δὲ ὅτι τὸ «Ἀσκληπιοῦ υἱός» καὶ ἑξῆς, ἐξὸν ὂν προσκολληθῆναι τοῖς ἄνω, ὅμως μεμέρισται κατωτέρω, ἴσως μὲν κατὰ σχεδιασμόν, μάλιστα δὲ κατ’ ἔθος Ὁμήρου, εἰωθότος διαφόροις τόποις μερίζειν τὰς ἱστορικὰς ἀκολουθίας. [(v. 519 s.) Ὅτι ἐν τῷ «μάστιξε δ’ ἐλάαν, τὼ δ’ οὐκ ἄκοντε πετέσθην νῆας ἐπὶ γλαφυράς. τῇ γὰρ φίλον ἔπλετο θυμῷ» τὸ μὲν πετέσθην ὑπερβολῆς τρόπῳ τάχος ἵππων δηλοῖ, ὧν καὶ τοὔνομα παρὰ τὸ ἵπτασθαι ποσί, τὸ δὲ «οὐκ ἄκοντε» ἀρετή ἐστιν ἵππων. οὐ γὰρ ἀτεχνῶς κεντρηνεκέες εἰσίν, ἀλλ’ εἰ καὶ μαστίζονται, ὅμως ἄλλως ἀκέντητον δέμας ἔχειν δοκοῦσι κατά γε τὸ εὐψύχως θέειν. Τὸ δὲ «τῇ γάρ», ἤγουν ἐνταῦθα, «φίλον ἔπλετο θυμῷ» εὐπειθεῖς ἐμφαίνει τοὺς ἵππους εἶναι, ὡς εὐστοχοῦντας τοῦ ποθουμένου τῷ ἡνιοχοῦντι, καὶ ἅμα καὶ τεχνίτην εἶναι ἡνιοχείας ὑποσημαίνει τὸν γέροντα, ὡς ἀπευθύνοντα τὸ ἅρμα ὅποι φίλον αὐτῷ. Καὶ ὅρα ὡς τὸ ῥηθὲν κόμμα δεξιῶς ὁ ποιητὴς παρέθετο, νοῦν τε ἔχον ἀγαθὸν καὶ ἀναπληροῦν ἔπους ὁλότητα. Δῆλον δ’ ὅτι τὸ «μάστιξε δ’ ἐλάαν» παρῴδησε Διογένης, παρωσάμενος μὲν προκειμένας ἐλάας, ἤγουν καρποὺς ἐλαίας,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἁψάμενος δὲ ὄψου πολυτελοῦς.] (v. 521 s.) Ὅτι δηλῶν Ὅμηρος, ὡς καὶ ἐπὶ ἡνιόχου λέγεται τὸ παραβεβηκέναι, φησὶ «Κεβριόνης Ἕκτορι παρβεβαώς». καὶ φαίνεται οὐκ ἀλλόκοτόν τι εἶναι παραβάτην καὶ τοῦτον κληθῆναι, ἴσως μὲν διότι καὶ αὐτὸς καθ' ἑαυτὸν ὁ Κεβριόνης παραβάτης ἦν ἐν ἅρματι ἄλλῳ στρατιωτικῶς, εἰ καὶ νῦν διὰ τὸν Ἕκτορα ἡνιόχευε, μάλιστα δὲ διότι ὁ ἐν πολέμῳ ἀγαθὸς ἡνίοχος οὐδὲν ἂν ἐλάττων εἴη παραιβάτου. ὥσπερ οὖν καὶ ὁ παραιβάτης κρείττων ἂν εἴη, ἐὰν καὶ ἡνιοχεῖν εἰδείη. διὰ τοῦτο γάρ, ὡς ἀλλαχοῦ εἴρηται, καὶ ἐπαλλάσσουσιν ἀλλήλοις τὰ ὀνόματα ὡς ἐνδεχόμενα συνυπάρχειν. καὶ νῦν μὲν ὁ ἡνίοχος παραβεβηκέναι λέγεται, ἐν δὲ ἄλλοις ὁ Ἕκτωρ ἐν παραιβάταις ἄριστος ὢν ὅμως, ὡς καὶ ἱππόδαμος, θρασὺς ἡνίοχος λέγεται. (v. 524) Ὅτι ἐσχατιὰν φανερῶς ἐνταῦθα ὁ ποιητὴς τὸ ἁπλῶς ἔσχατον μέρος λέγει ἐν τῷ «ὁμιλέομεν Δαναοῖς ἐσχατιῇ πολέμοιο». οὔκουν ἐπὶ ἀγροτικῆς μόνης ἐσχατιᾶς κυριολεκτεῖται κατὰ τοὺς ὕστερον, καὶ μάλιστα τῆς ἀπῳκισμένης, ὡς ἐκείνοις δοκεῖ. (v. 524—30) Ὅτι φράσις ἐναγωνίου πολέμου τὸ «οἳ δὲ δὴ ἄλλοι ὀρίνονται ἐπιμὶξ ἵπποι τε καὶ αὐτοί», ὁ δεῖνα δέ, ὡς ἐνταῦθα ὁ Αἴας, «κλονέει, εὖ δέ μιν ἔγνων· εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος. ἀλλὰ καὶ ἡμεῖς κεῖσε ἵππους ἰθύνομεν, ἔνθα μάλιστα ἱππῆες πεζοί τε κακὴν ἔριδα προβαλόντες ἀλλήλους ὀλέκουσι, βοὴ δ' ἄσβεστος ὄρωρεν», ἡ καὶ προρρηθεῖσα. (v. 529) Ὅρα δέ, ὅτι τὸ «ἱππῆες πεζοί τε» ἶσόν ἐστι τῷ ἀνωτέρω ῥηθέντι «ἵπποι τε καὶ αὐτοί».

3.247 (v. 525) Τὸ δὲ «ὀρίνονται» ταὐτόν ἐστι τῷ κλονοῦνται, ὡς δηλοῖ ἐπαχθὲν τὸ «Αἴας δὲ κλονέει», ἵνα νοῆται καὶ νῦν ὡς ὁ κλονέων ὀρινομένους κλονεῖ, ὅ ἐστι κλονουμένους. (v. 526) Ἐν δὲ τῷ «εὖ δέ μιν ἔγνων» καὶ ἑξῆς, ὅρα ὡς ἀπὸ τῆς ἀσπίδος ὁ ἥρως γνωρίζεται, καθά που καὶ ἄλλοι ἐκ τῶν ὅπλων εἰσὶν ἐπίσημοι, ὡς καὶ ὁ Νέστωρ ἐκ τῆς χρυσῆς ἀσπίδος. (v. 529) Τὸ δὲ «ἔριδα προβαλόντες», ἀντὶ τοῦ [προρρίψαντες,] προθέμενοι, ἐκφήναντες, καὶ ἐκ τοῦ δυνάμει προαγαγόντες εἰς ἐνέργειαν. (v. 532 s.) Ὅτι σπουδῆς ἡνιοχικῆς δηλωτικὸν τὸ «ἵμασε καλλίτριχας ἵππους μάστιγι λιγυρῇ». (v. 532 s.) Τί δὲ ὄφελος τῆς λιγυρᾶς μάστιγος, ἐμφαίνει ἐπάγων «οἳ δὲ πληγῆς ἀΐοντες ῥίμφα ἔφερον ἅρμα». Ἐκφοβεῖ γὰρ ἵππους μάστιξ λιγὺ κλάζουσα. Πάνυ δὲ γοργὸν τὸ «πληγῆς ἀΐοντες», οἷα ξυνεξακουομένου τῇ ἀκοῇ καὶ τοῦ ἐκ τῆς πληγῆς ἄλγους. Σημείωσαι δὲ ὅτι ἐν ῥητορικῷ Λεξικῷ εὕρηται ῥητῶς ταῦτα· λιγαίνειν τὸ τύπτειν, ὥσπερ ἡμεῖς, φησί, τὸ ξαίνειν. ἀφ' οὗ κατ' ἄλλον Λεξιγράφον ξάνιον τὸ κτένιον. εἴη ἂν οὖν λιγυρὰ μάστιξ καὶ τὸ κατ' αὐτὴν λιγὺ ὅμοιά τινα πρὸς τὸ τοιοῦτον λιγαίνειν. (v. 534—7) Ὅτι ἀλλαχοῦ περὶ ἀνδρῶν εἰπών, ὡς ἔβησαν «ἂν φόνον ἂν νέκυας διά τ' ἔντεα καὶ μέλαν αἷμα», ἐνταῦθα οὕτω φράζει περὶ ἵππων «στείβοντες νέκυάς τε καὶ ἀσπίδας. αἵματι δ' ἄξων νέρθεν ἅπας πεπάλακτο καὶ ἄντυγες αἳ περὶ δίφρον, ἃς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον, αἵ τ' ἀπ' ἐπισσώτρων», τῶν καὶ ἀλλαχοῦ κειμένων. (v. 537—9) Θάρσους δὲ ἀνδρείου δηλωτικὸν τὸ «ὃ δέ», οἷον ὁ Ἕκτωρ, «ἵετο δῦναι ὅμιλον ἀνδρόμεον, ῥῆξαί τε μετάλμενος, ἐν δὲ κυδοιμὸν ἧκε κακόν, μίνυνθα δὲ χάζετο δουρός», οἷα δηλαδὴ ταχὺ ἐπιφανεὶς εἰς μάχην. (v. 534) Ἰστέον δὲ ὅτι ἐν τῷ «στείβοντες νέκυας» καὶ ἑξῆς, ὡς εἴρηται, σχῆμά ἐστι συλλογισμός. ἔνθα γὰρ τοιαῦτα γίνεται, συλλογιστέον, ὅσοι ἔκειντο νεκροί. ἐμφαίνεται γὰρ τὸ πλῆθος ἐκ τοῦ μὴ γῆν στείβεσθαι, ἀλλὰ νεκροὺς καὶ ὅπλα. Στείβειν δὲ καὶ νῦν τὸ πατεῖν, ἐξ οὗ καὶ στίβος ὁ πάτος, ἤγουν ἡ ὁδός, καὶ στιβὰς κυρίως ἡ πεπιλημένη καὶ οἷον καταπεπατημένη στρωμνή. (v. 535) Τὸ δὲ «αἳ περὶ δίφρον» διαστέλλει αὐτὰς τῶν περὶ τοὺς τροχούς. (v. 536) Ῥαθάμιγγες δὲ ποιητικῶς λεπταὶ σταγόνες, μικροὶ αἱματηροὶ θρόμβοι, παρὰ τὸ ῥᾷον θαμίζειν. καὶ τοιοῦτον μὲν αἱ ῥαθάμιγγες, ὧν ἴσως ῥῆμα τὸ ῥαθαμίζειν, ἕτερον παντελῶς ὂν παρὰ τὸ ῥαθαπυγίζειν.

3.248 ἐκεῖνο γὰρ οὐκ ἀπέοικε τοῦ «λὰξ ποδὶ κινεῖν» ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται. Ἔστι γάρ, φασί, σκινθαρίζειν μὲν τὸ τῷ μέσῳ δακτύλῳ παίειν μυκτῆρά τινος, ῥαθαπυγίζειν δὲ τὸ σιμῷ τῷ ποδὶ τὸν γλουτὸν παίειν. οὗ χρῆσις παρὰ τῷ Κωμικῷ ἐν τῷ «τὰς πρεσβείας ἀπελαύνεις ἐκ τῆς πόλεως ῥαθαπυγίζων».] (v. 537 s.) Τὸ δὲ «δῦναι ὅμιλον ῥῆξαί τε» πρωθύστερον σχῆμά ἐστι. δεῖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ πρῶτον ῥῆξαι ὅμιλον, εἶτα δῦναι αὐτόν. Τὸ δὲ «ὅμιλον ἀνδρόμεον ῥῆξαι» ῥηξήνορα ἑρμηνεύει ἄνδρα, τὸ ῥῆξαι γὰρ καὶ τὸ ἀνδρόμεον τὴν τοῦ ῥηξήνορος χορηγοῦσι σύνθεσιν. Ὅρα δὲ ὡς οὐ μόνον ἀνδρόμεον ἐν Ὀδυσσείᾳ κρέας, ἀλλ' ἰδοὺ καὶ ἀνδρόμεος ὅμιλος. (v. 540—2) Ὅτι καθὰ πρὸ μικροῦ ὁ Ἀγαμέμνων, οὕτω νῦν ὁ Ἕκτωρ τὰς τῶν ἀνδρῶν στίχας ἐπεπωλεῖτο «ἔγχεΐ τ' ἄορί τε μεγάλοισί τε χερμαδίοισιν. Αἴαντος δ' ἀλέεινε μάχην Τελαμωνιάδαο», εἰδὼς ἑαυτόν, κἂν ἄλλως τῇ εὐτυχίᾳ ἐξῄρετο. Καὶ ὅμως ὁ ποιητὴς τρέψει ἀναγκαίως εὐθύς, καθὰ καὶ τοὺς ἄλλους, οὕτω καὶ τὸν τηλικοῦτον Αἴαντα εἰς εὐσχήμονα φυγήν, ὡς δηλωθήσεται. (v. 541) Ὅρα δὲ καὶ ἐνταῦθα καίρια πάρισα ἐν τῷ «ἔγχεϊ» καὶ «ἄορι» καὶ «μεγάλοισι χερμαδίοισι», καλῶς τὸ καλὸν φράζοντος τοῦ ποιητοῦ. οὕτω δὲ πάρισα μετ' ὀλίγα καὶ τὸ «τύπτουσι ῥοπάλοισι, βίη δέ τε νηπίη αὐτῶν». Τὸ δὲ «μεγάλοις» ἔχει τι καὶ αὐτὸ συλλογισμοῦ. μεγάλη γὰρ χεὶρ ἡ τὸ μέγα χωροῦσα χερμάδιον. (v. 542) Τὸν δὲ νῦν Τελαμωνιάδην ἀναλύων ὁ ποιητὴς μετ' ὀλίγα Τελαμώνιον υἱὸν λέγει. (v. 544—7) Ὅτι σεμνύνων τὴν τοῦ Αἴαντος φυγὴν ὁ ποιητὴς οὔτε προτροπάδην αὐτὸν ποιεῖ φεύγοντα, καὶ οὐδὲ ὑπὸ ἀνδρὸς ἀλλὰ Διὸς τραπέντα. Φησὶ γοῦν «Ζεὺς δὲ πατὴρ Αἴαντι ὑψίζυγος ἐν φόβον ὦρσε. στῆ δὲ ταφών. ὄπιθε δὲ σάκος βάλεν ἑπταβόειον», ἤγουν ἑπτάβυρσον, ἑπτάπτυχον, τὸ πολυλάλητον. «τρέσσε δὲ παπτήνας ἐφ' ὁμίλου, θηρὶ ἐοικὼς ἐντροπαλιζόμενος ὀλίγον γόνυ γουνὸς ἀμείβων». (v. 548—57) Εἶτα πλατύνων τὸ «θηρὶ ἐοικώς» καὶ ἅμα καὶ ἑρμηνεύων, ὅτι θῆρα τὸν λέοντα κατ' ἐξοχὴν εἶπεν, ἐπάγει παραβολὴν ταύτην «ὡς δ' αἴθωνα λέοντα βοῶν ἀπὸ μεσαύλοιο ἐσσεύοντο», τουτέστι μετῆλθον, ἐδίωξαν, «κύνες τε καὶ ἀνέρες ἀγροιῶται, οἵ τέ μιν οὐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἑλέσθαι, πάννυχοι ἐγρήσσοντες, ὃ δὲ κρειῶν ἐρατίζων ἰθύει, ἀλλ' οὔ τι πρήσσει· θαμέες γὰρ ἄκοντες ἀντίοι ἀΐσσουσι θρασειάων ἀπὸ χειρῶν καιόμεναί τε δεταί, τάς τε τρεῖ ἐσσύμενός περ. ἠῶθεν δ' ἀπὸ νόσφιν ἔβη τετιηότι θυμῷ. ὣς Αἴας τότε ἀπὸ Τρώων τετιημένος ἦτορ ἤϊε», τουτέστιν ἀπῄει, «πολλ' ἀέκων». διὰ τί; «περὶ γὰρ δίε νηυσὶν Ἀχαιῶν», ἤγουν περιττῶς ἐδεδίει ὑπὲρ τῶν νηῶν. Καὶ ὅρα καὶ ταύτην τὴν παραβολὴν παρ' ὀλίγον ὅλην ὅλῳ ἡρμοσμένην τῷ πράγματι. δίχα γὰρ τοῦ ἐπαφιεμένου πυρὸς τῷ λέοντι τὰ λοιπὰ ἥρμοσται, καὶ μάλιστα καθότι ἐκεῖνος καὶ οὗτος τετιημένῃ ψυχῇ ἀπέρχονται.

3.249 Σημείωσαι δὲ καὶ ὅτι οὐχ' ἁπλῶς εἴκασε τὸν Αἴαντα λέοντι, ἀλλὰ πεινῶντι. [Τὸ γὰρ «κρειῶν ἐρατίζων» ταὐτόν ἐστι τῷ πεινῶν».] Ὃν ἀνδρῶν πολυχειρία μόλις ἐξεφόβησε, καὶ ὅτι σωτήριος Ἀχαιοῖς ἡ τοῦ Αἴαντος ἀναχώρησις, φεύγουσιν ἐν ἀδείᾳ. ἦν γὰρ τότε, ὡς ῥηθήσεται, τοὺς μὲν Τρῶας κωλύων ἐμπίπτειν ταῖς ναυσί, τοὺς δὲ Ἕλληνας ἀναχωρεῖν προτρεπόμενος. (v. 558—63) Καὶ ὅτι δευτέραν ἐπιφέρων παραβολὴν τὸν λέοντα Αἴαντα ὄνῳ εἰκάζει, ὃν ληΐῳ ἐπιθέμενον μόλις παῖδες πολλὰ τύψαντες ἐξήλασαν μετὰ κόρον. Παρείληπται δὲ κατὰ τοὺς παλαιοὺς ὁ μὲν λέων πρὸς τὸ γενναῖον τῆς πράξεως, ὁ δὲ πληγῶν ἐθὰς ὄνος πρὸς τὴν ὑπομονήν. φονεύει μὲν γὰρ ὁ Αἴας ὡς λέων, ὑποχωρεῖ δὲ ὀκνῶν ὡς ὄνος, περιφρονῶν τοὺς Τρῶας ὡς παῖδας, ὥστε παραλαμβανομένων ὡς ἐπὶ πολὺ τῶν παραβολῶν, ὥς φασιν οἱ παλαιοί, τριῶν ἕνεκεν, αὐξήσεως, ἐνεργείας, σαφηνείας, ἡ μὲν τοῦ λέοντος παραβολὴ δι' αὔξησιν παρείληπται, ἡ δὲ τοῦ ὄνου καὶ τὴν ἡρωϊκὴν ἐνέργειαν παρασημαίνει καὶ διασαφεῖ δὲ τὸ τοῦ ἥρωος βέβαιον καὶ ἀνένδοτον. Καὶ ἄλλως δέ, ἡ μὲν πρώτη παραβολὴ λέοντι τὸν Αἴαντα εἴκασεν ἐπιθυμοῦντι μὲν κρεῶν, οὐδὲν δὲ πράξαντι, ἡ δὲ δευτέρα ὄνῳ ἐξελαθέντι μέν, πλὴν ἐπειδὰν ἐκορέσατο. Ἔχει δὲ ἡ κατὰ τὸν ὄνον παραβολὴ οὕτως «ὡς δ' ὅτ' ὄνος παρ' ἄρουραν ἰὼν ἐβιήσατο παῖδας νωθής, ᾧ δὴ πολλὰ περὶ ῥόπαλ' ἀμφὶς ἐάγη, κείρει τ' εἰσελθὼν βαθὺ λήϊον· οἱ δέ τε παῖδες τύπτουσι ῥοπάλοισι, βίη δέ τε νηπίη αὐτῶν. σπουδῇ τ' ἐξήλασαν ἐπεί τ' ἐκορέσσατο φορβῆς· ὣς τότ' ἔπειτ' Αἴαντα μέγαν Τελαμώνιον υἱὸν Τρῶες καὶ ἐπίκουροι νύσσοντες ξυστοῖσι μέσον σάκος αἰὲν ἕποντο». Καὶ τοιαύτη μὲν καὶ ἡ παραβολὴ αὕτη, ληφθεῖσα πρὸς τὸ τοῦ ἥρωος νωθὲς εἰς φυγήν, ὥσπερ ἡ πρὸ αὐτῆς πρὸς τὸ ἐκείνου θρασὺ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνδρεῖον εἴληπται. (v. 566—8). Τὰ δὲ ἐφεξῆς γραφησόμενα κέκραται κατὰ τὰς ῥηθείσας παραβολάς. Τὸ μὲν γὰρ μεμνῆσθαί ποτε ἀλκῆς τὸν Αἴαντα ὑποστρεφθέντα, λεοντῶδές ἐστι. Τὸ δὲ αὖθις τροπᾶσθαί που φεύγειν, ὡς μετ' ὀλίγα ῥηθήσεται, καὶ ὄνος ἂν πάθοι. (v. 544) Τῶν δὲ ῥηθέντων τὸ μὲν «ὑψίζυγος», καθὰ καὶ ἀλλαχοῦ δηλοῦται, τὸ τοῦ Διός, ἤγουν τῆς εἱμαρμένης, ἀμφιρρεπὲς δηλοῖ, ὡς ἀπὸ τῶν ταλαντιαίων ζυγῶν, ἃ τιταίνει ὁ τοιοῦτος Ζεύς, ὡς ἐν ἄλλοις φράζει ὁ ποιητής. (v. 545) Τὸ δὲ ταφών οὐχ' ἁπλῶς δειλίαν κατηγορεῖ τοῦ Αἴαντος, ἀλλὰ θάμβος ἐκείνου δηλοῖ καὶ οἷον θελκτικὴν ἔκ 〈σ〉 τασιν, ὃς καὶ σάκος ὄπιθε βάλλει, ὅ ἐστι τίθησιν ἢ ῥίπτει, φυλάττων τὸ μετάφρενον.

3.250 [Δίχα δὲ τοῦ σίγμα κἀνταῦθα, ὡς καὶ ἐν ἄλλοις τὸ «ὄπιθεν».] (v. 546) Τρέσσε δὲ τὸ τρόμον ἔπαθε. Παπταίνειν δὲ τὸ πάντῃ διαπεταννύειν, ἤγουν ὧδε καὶ ἐκεῖ, τὴν θέαν. (v. 547) Ἐντροπαλιζόμενος δὲ ὁ συχνὰ ἐπιστρεφόμενος, ὡς μετ' ὀλίγα ἑρμηνεύσει ὁ ποιητής, καὶ προνοούμενος, μὴ ἐκ τῶν ὄπισθεν πάθοι πληγήν. ἢ ὁ εἰς ἑκάτερα τρεπόμενος, ἤγουν στρεφόμενος, εἴς τε τὸ φεύγειν καὶ εἰς τὸ ὁρμᾶν. οὕτω δέ φασι καὶ τὸν λέοντα φεύγειν μετὰ φρονήματος, ὃς καὶ αὐτὸς ὀλίγον γόνυ γουνὸς ἀμείβει οὐκ ἐπιτρέπων ἑαυτὸν τοῖς ποσίν. Ἔστι δὲ ἀμείβειν γόνυ γουνὸς τὸ βραχὺ προποδίζειν καὶ μὴ μακρὰ βιβάζειν κατὰ τοὺς ἢ θρασέως διώκοντας ἢ ἀμεταστρεπτὶ φεύγοντας. Φύσει δὲ στάσιμος ὁ Αἴας καὶ οὐ ποδώκης διὰ τὸ πάνυ πολὺ τοῦ μεγέθους, διὸ καὶ ὄνῳ εἴκασται καὶ βουγάϊός που σκώπτεται. Σημείωσαι δὲ καὶ ὅτι τὸ μὲν προϊέναι ἠρέμα ὀλίγον γόνυ γουνὸς ἀμείβειν εἶπεν Ὅμηρος, τὸ δὲ οὕτως ἀναποδίζειν ἐπὶ σκέλος χωρεῖν ἢ ἀνάγειν εἶπον οἱ μετ' αὐτόν, ἤγουν ἠρέμα ὀπίσω χωρεῖν. ἐν δὲ κατὰ στοιχεῖον Λεξικῷ καὶ ὀπισαμβῶ εὕρηται ἡ εἰς τοὐπίσω ἀναχώρησις. (v. 548) Αἴθων δὲ λέων, ὡς πολλαχοῦ δηλοῦται, ὁ διάπυρος. εἴ τί που δὲ καὶ ἄλλο χρήσιμον εἰς τοῦτο, προείρηται. [Παρὰ δὲ τοῖς παλαιοῖς φέρεται καὶ ταῦτα· αἴθων βοῦς, καὶ σίδηρος αἴθων, καὶ ἄνθρωπος δέ ποτε, καὶ λέων. ἐρρέθη δὲ ἰδίως Αἴθων καὶ Ἐρυσίχθων ὁ Μυρμιδόνος διὰ τὸ εἶναι, φασί, βορᾶς ἄπληστος, καὶ αἴθειν, ὅ ἐστι κατακαίειν. ὅθεν καί τις ἕτερος πολυφάγος κεραυνὸς ἐκαλεῖτο, ἐπεὶ κατά τινα ποιητὴν ἀβάτους ἐποίει τὰς τραπέζας κατασκήπτων αὐταῖς τῇ γνάθῳ. Ὅρα δὲ ὡς αἴθωνες μὲν οἱ εἰρημένοι, αἶθοψ δὲ οὐδεὶς αὐτῶν λέγοιτ' ἄν, ἀλλὰ τοὔνομα τοῦτο οἴνῳ μέλανι ἐπιτίθεται πρὸς ἔπαινον. δυναμικώτατος γάρ, φασίν, ὁ μέλας οἶνός ἐστι, καὶ μένων ἐν ταῖς ἕξεσι τῶν πινόντων πλεῖστον χρόνον, ὁ δὲ λευκὸς ἀσθενής ἐστι καὶ λεπτός, ὁ μέντοι κιρρός, ξηραντικὸς ὤν, πέττει ῥᾷον. Ὡς δὲ μέλας οἶνος παρὰ Χίοις πρώτοις ἐγένετο, οἳ καὶ φυτεύειν καὶ θεραπεύειν τοιαύτας ἀμπέλους πρῶτοι ἐπέβαλον, μαθόντες παρὰ Οἰνοπίωνος υἱοῦ Διονύσου, καὶ τοῖς ἄλλοις ἀνθρώποις μετέδωκαν, Θεόπομπος, φασίν, ἱστορεῖ.

3.251 ] Μέσαυλον δὲ ἡ καὶ αὐλὴ καὶ ἔπαυλις καὶ αὖλις. λέγεται δὲ καὶ ἐπὶ ἀνθρωπίνης οἰκήσεως, ὡς δηλοῖ τὸ «ὅτε οἱ μέσαυλον ἵκοντο». οἱ δὲ παλαιοὶ σημειοῦνται, ὡς Ἀττικοὶ μὲν τὴν μέσην θύραν μέσαυλόν φασι, μάλιστα μὲν οὖν τὴν μέσην δυοῖν αὐλαῖν, ὥς φησιν Αἴλιος Διονύσιος, ἣν καὶ μέταυλον αὐτὸς λέγει πρὸς ὁμοιότητα τοῦ μεθόριον καὶ μεταίχμιον. παρὰ δὲ τῷ ποιητῇ μέσαυλος ἐπὶ ἀγροικικῆς λέγεται κατοικίας ἤτοι ἐπαύλεως ἢ μάνδρας. ἐπὶ δὲ μὴ τοιούτου καταλύματος τάξις αὕτη, ὡς καὶ ἀλλαχοῦ φαίνεται, ἑρκίον, αὐλή, αἴθουσα, πρόδομος, δόμος, καὶ τὸ ἐνδοτάτω, θάλαμος. ἦν δέ, φασί, καὶ μεσαύλιον, κροῦμά τι μεταξὺ τῆς αὐλῆς αὐλούμενον. (v. 549) Τὸ δὲ «ἀγροιῶται» ἀπὸ τοῦ ἀγρόται γίνεται κατὰ διπλῆν ἐπένθεσιν τοῦ τε ι καὶ τοῦ ω μεγάλου, δοκεῖ δὲ ὑποκρίνασθαι τοῦτο ἀναλογίαν τῶν προπαραληγομένων μόνῳ τῷ ι οἷον Στρατιώτης, Ἀμβρακιώτης, Μασσαλιώτης. [(v. 550) Ἐν δὲ τῷ «οὐκ εἰῶσιν» ἀναγκαία εἰς μέτρον ἡ τοῦ ι ἐπένθεσις, ὡς καὶ ἐν τῷ εἰρύω καὶ εἰρωτῶ καὶ τοῖς ὁμοίοις.] Τὸ δὲ «βοῶν ἐκ πῖαρ ἑλέσθαι», ἤγουν ἐκλέξασθαι, ἰδιότητα θηρίων ἐμφαίνει, ὡς ἐπιλεγομένων τὸ ἐν τοῖς ἀγρευομένοις πιότερον, καθὰ δηλοῖ καὶ τὸ «μήλων αἱρεύμενος», ἤγουν τὸ ἐξαίρετον ἁρπάζων.

(v. 551) Τὸ δὲ «ἐγρήσσειν» ἐκ τοῦ ἔγρω παράγεται, ὡς ἐκ τοῦ ῥῶ τὸ ῥήσσω, αὐτὸ δὲ τὸ ἔγρω ἐκ τοῦ ἐγείρω συγκέκοπται.

3.252 ἀγρυπνούντων δὲ τὸ «παννύχιοι ἐγρήσσοντες». Τῷ δὲ ἐρατίζειν σύστοιχα ὁ ἐρατός καὶ ὁ ἐρατεινός, ὡς καὶ τοῦ ἰθύειν ὁ ἰθύς καὶ τὸ ἰθύ καὶ ἡ ἰθεῖα καὶ τὸ ἰθύνειν καὶ ὁ ἰθαγενής καὶ τὸ κύριον ὁ Ἰθαιμένης. (v. 553) Θρασείας δὲ χεῖρας λέγει τὰς τῶν ἀφιέντων κατὰ τοῦ λέοντος. (v. 554) Δεταὶ δὲ δεσμοὶ δᾴδων, τουτέστιν λαμπάδων, ἃς ὁ λέων πτοεῖται. Τοῦ δὲ τοιούτου φόβου φασὶν αἴτιον τὸ ἔνθερμον αὐτοῦ καὶ οἷον πυρῶδες, διὸ καὶ δέδιε τὸ πῦρ. διὰ τοῦτο δέ, φασίν, οὐδὲ μύει κοιμώμενος, ὡς δὲ Δημόκριτός φησιν, οὐδὲ τικτόμενος. μόνος γάρ, φασί, γεννᾶται ὁρῶν. διὰ δὲ τὴν τοιαύτην θερμότητα καὶ αἴθων, ὡς προσεχῶς ἐρρέθη, καλεῖται, καὶ οὐ μόνον, ἀλλὰ καὶ διότι τὰ ὀστᾶ αὐτοῦ πάνυ πυκνὰ καὶ στερρὰ ὄντα πῦρ ἀφιᾶσι τῇ προστρίψει, καθὰ καὶ τὰ πυρεῖα. Οὐχ' ἁπλῶς δὲ αἱ λαμπάδες δεταί, ἀλλὰ ὁμοῦ αἱ καιόμεναι δεταί. ἄλλως γὰρ κατὰ τοὺς παλαιοὺς δεταὶ αἱ συνδεδεμέναι φρυγανίδες, αἳ ῥᾳδίως ἐξαπτόμεναι καὶ ἐπιρριπτόμεναι φοβοῦσι τὸν λέοντα. (v. 555) Τὸ δὲ «ἠῶθεν» ἰδιότητα θηρίων δηλοῖ, ἅπερ ὁλονύκτια παρρησιασάμενα μεθ' ἡμέραν οἴχονται. (v. 557) Τὸ δὲ «πόλλ' ἀέκων» ἀντὶ τοῦ λίαν πάνυ ἀκουσιαζόμενος, ὡς μὴ ἀρκοῦν ὂν εἰπεῖν ἀέκων, εἰ μὴ προστεθείη καὶ τὸ πολλά. οὗ αἴτιον τὸ περὶ ταῖς ναυσίν, ὡς εἴρηται, δεδιέναι. τοῦτο δὲ καὶ προκλητικόν ἐστι τῆς τοῦ ὄνου παραβολῆς. ὃς γὰρ πόλλ' ἀέκων ἔβη ἐκ μάχης, δοκεῖ νωθρεύεσθαι κατὰ ὄνον τοῦτό γε. (v. 558) Ὄνος δὲ κοινῶς μὲν τὸ ζῷον, [τό τε χερσαῖον καὶ ὁ ἰχθύς, ὁ καὶ ὀνίσκος καὶ βάκχος.] Ἡ δὲ ὁμωνυμία καί τι σκεῦος αὐτὸ οἶδε παρὰ τοῖς Ἀριστοτελικοῖς. καὶ ἔστιν ἀπ' αὐτοῦ ὀνεύειν ῥῆμα, περὶ οὗ Αἴλιος Διονύσιος γράφων φησίν· ὤνευον παρὰ Θουκυδίδῃ τὸ ἐκίνουν καὶ περιῆγον.

3.253 ὄνος γὰρ τοῦ μύλου τὸ κινούμενον, καὶ αἱ τοιαῦται μηχαναὶ ὄνος. (v. 559) Τὸ δὲ νωθής, ὥσπερ τὸ ταχὺς ἐπὶ ἵππου, οὕτως αὐτὸ ἐπίθετον οἰκεῖον ὄνῳ, ὡς ἀργῷ φύσει καὶ ἐστερημένῳ τοῦ θέειν. ἐξ οὗ ὥσπερ ὁ νωθής, [οὕτω πως] καὶ ὁ νωθρὸς γίνεται, ὡς ἐστερημένοι τοῦ θορεῖν, ὅ ἐστι πηδᾶν. [Ἰστέον δὲ ὅτι καὶ ἕτερα μὲν ὀνόματα ἐκ τοῦ νωθής παράγονται, ἐν δὲ τοῖς καὶ κωμικὴ λέξις ὁ νώθουρος, ἤγουν ὁ νωθὴν ἔχων τὴν οὐράν, φασίν, ἐν τῷ συγγίνεσθαι. οὕτω γὰρ ἔλεγον τὸ κατ' ἄνδρας αἰδοῖον. ὁ δὲ τοιοῦτος ἀνὴρ καὶ ἄστυτος ἐλέγετο, καθὰ καὶ οἶκος ἄστυτος ὁ μὴ ἔχων ἄνδρα, ὃς ἔχοι ἂν λέγειν τὸ «στύομαι τριέμβολον», ἀλλὰ μᾶλλον τὸ Ἀστυάναξ γέγονα. ἡ δὲ εἰρημένη οὐρὰ καὶ ἀπομύζουριν παρήγαγε γυναῖκα τὴν αἰσχροποιόν, παρὰ τὸ μυζοῦν, ἤγουν θηλάζειν, οὐράν. εἰ δὲ καὶ πανδοσία ἡ τοιαύτη ἐλέγετο πρὸς παίγνιον τῆς Πανδώρας, καὶ βορβορόπη δὲ ὡς ἀκάθαρτος, παρὰ τὸν βόρβορον καὶ τὴν ὀπήν, ἄλλου ταῦτα λόγου.] Παρακείμενον δὲ τὸ «νωθής» μετὰ τὸ «παῖδας», «ἐβιήσατο» γάρ, φησί, «παῖδας νωθής», φιλοῖτο ἂν ὑπὸ τῶν ἐκδιδόντων ἄρτι τοὺς σχεδικοὺς γρίφους ὡς ἀπατήλιον τοῖς παισί. (v. 559) Τὰ δὲ ῥόπαλα καιρία λέξις, διὸ καὶ δὶς αὐτῇ χρᾶται. γίνεται δὲ παρὰ τὸ ῥέπω διὰ τὸ μὴ ὀρθὰ εἶναι, [ἀλλά που κατὰ τὸν ἐν τῇ Τραγῳδίᾳ «σκολιὸν σκίπωνα χειρός».] ἐντεῦθεν καὶ τὴν καλαύροπα οἱ παλαιοί, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, παράγουσι, [καὶ τὸ τῆς θύρας ῥόπτρον, περὶ οὗ ἑτέρωθι δηλοῦται,] καὶ τὸ ῥοικὸν δὲ λαγωβόλον. παρείληπται δὲ τὰ ἐαγότα ῥόπαλα πρὸς ἔνδειξιν τῆς πολλῆς τοῦ ὄνου νωθείας. Τὸ δὲ «ἀμφὶς ἐάγη» ἀντὶ τοῦ κύκλῳ, πάντοθεν, [οὕτω που] καὶ ἐν τοῖς ἑξῆς τὸ «πολλοὶ ὄρχατοι ἀμφίς», ἀντὶ τοῦ ὧδε καὶ ἐκεῖ καὶ μὴ περὶ ἕνα τόπον. (v. 560) Τὸ δὲ κείρει λήϊον, ἀντὶ τοῦ εἰς κόρον ἐσθίει, ὃς δὴ κόρος ἐκ τοῦ τοιούτου κείρειν γίνεται. (v. 562) Διὸ καὶ ἐπῆκται τὸ «ἐπεὶ κορέσσατο φορβῆς». ἐκ τούτου δὲ καὶ τὸ κεραΐζειν, ὅπερ ἐπί τε ἄλλων καὶ ἐπὶ λέοντος δέ που εἴρηται. (v. 560) Βαθὺ δὲ λήϊον τὸ ὑψηλὸν καὶ εὐτραφεῖς ἔχον στάχυας. Ἰστέον δὲ ὅτι τὸ λήϊον, τρέψαν μὲν τὸ η εἰς α καὶ συναιρεθέν, λαῖον εὕρηται παρὰ Θεοκρίτῳ.

3.254 ἄλλως δὲ κατὰ συναίρεσιν λῇον αὐτὸ παραδιδόασιν οἱ τεχνικοί. [Εἰκὸς δὲ καὶ τὸ Λάϊος τὸ κύριον ἐκ τούτου παρωνομάσθαι.] (v. 559—61) Τὸ δὲ «παῖδες τύπτουσι ῥοπάλοις» διὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σαφήνειαν εἴρηται τοῦ «ᾧ πολλὰ περὶ ῥόπαλα ἐάγη», ἵνα μὴ ὑπ' ἀνδρῶν ὁ ὄνος ἐνταῦθα νοηθείη ῥοπαλίζεσθαι, ἀλλ' ὑπὸ παίδων τῶν καὶ ἐν τῇ ἀρχῇ τῆς παραβολῆς κειμένων. οὕτω καὶ πρὸ ὀλίγων ἔλαφον βεβλημένον ὁ ποιητὴς εἰπὼν ἡρμήνευσε τὸ σαφὲς ἔτι σαφέστερον εἰπὼν «ὃν ἔβαλεν ἀνὴρ ἰῷ ἀπὸ νευρῆς» καὶ ἑξῆς. (v. 561) Τὸ δὲ «νηπίη» ἐν ἄλλοις μὲν ἡλικίας ὄνομα, ἐνταῦθα δὲ ἀδυναμίαν δηλοῖ, ἵνα λέγῃ ὅτι ἡ τῶν παίδων βία οὐ κατὰ τὴν τοῦ ὄνου ἦν ἰσχύν—ἐκεῖνος γὰρ γενναίως ἐβιήσατο παῖδας—, ἀλλὰ νηπία ἐστίν, ὅ ἐστιν ἀσθενὴς καὶ νηπίοις πρέπουσα, ὃ δὴ ἑτέρωθι «νηπιέη» ἔφη λόγῳ κτητικῷ. (v. 562) Τὸ δὲ «σπουδῇ ἐξήλασαν» ἀντὶ τοῦ ἐν δυσχερείᾳ ἐδίωξαν, ὅθεν ἀλλαχοῦ ἀσπουδεὶ ἔφη τὸ δίχα πολλῆς ἀγωνίας καὶ δυσχερείας. Φορβὴν δὲ τὴν τῶν ἀλόγων λέγει τροφήν, [ὡς τῆς ἡμέρου ἀποκληρωσαμένης μάλιστα τὸ βρῶσις καὶ ἐδητύς καὶ ἐδωδή. πρωτότυπον δὲ φορβῆς τὸ φέρβειν, ἐξ οὗ καὶ γῆ φορβάς καὶ Φόρβας κύριον καὶ ἄλλα, ὧν ἑτέρωθι κεῖται δήλωσις.] (v. 564) Ξυστὰ δὲ καὶ νῦν τὰ δόρατα ἀπὸ τοῦ περὶ αὐτὰ δευτέρου πόνου. τμηθέντα γάρ, εἶτα τὸ μὲν πρῶτον ἐκδέρονται, ὅθεν καὶ δόρατα λέγονται, τὸ δὲ δεύτερον ξύονται δι' ἐλαφρότητα καὶ ὀρθότητα. ἴσως δὲ ξυστὰ λέγονται καὶ ὡς αὐτὰ μόνα τῶν πολεμικῶν πλείονος δεόμενα ξέσεως ἢ καὶ ὡς εὔξεστα. [Πρωτότυπον δὲ τοῦ ξυστοῦ τὸ ξύειν, ἀφ' οὗ καὶ τὸ ξύλον καὶ ἡ ξυσμή. τοῦ δὲ τοιούτου ἔχεται καὶ παροιμία τὸ ξύειν τὸν ἀντιξύοντα. ἐκ τοῦ ξύω δὲ ξύσω καὶ ξύς καὶ πλεονασμῷ τοῦ ο ὀξύς, ὁ θυμικός, οὗ σύνθετον πάροξυς, οἷον «οὐ μάχιμος οὐ πάροξυς οὐδὲ βάσκανος».

3.255 ] (v. 565) Τὸ δὲ «αἰὲν ἕποντο» εὐφήμως εἴρηται ἀντὶ τοῦ ἐδίωκον. (v. 566—8) Ὅτι ὁ μέγας Αἴας «ἄλλοτε μὲν μνησάσκετο θούριδος ἀλκῆς αὖτις ὑποστρεφθεὶς καὶ ἐρητύσασκε φάλαγγας Τρώων, ὁτὲ δὲ τρωπάσκετο φεύγειν» ἢ φεύγων. (v. 569) Εἶτα διασαφῶν τὸ «ἐρητύσασκε φάλαγγας Τρώων» φησὶ «πάντας δὲ προέεργε θοὰς ἐπὶ νῆας ὁδεύειν». Ἔνθα τὸ «πάντας» κολλητέον ἢ εἰς τὰ «προέεργεν», ἵνα λέγῃ ὅτι πάντας Τρῶας εἶργεν εἰς νῆας ὁδεύειν, ἢ μετὰ τοῦ «ὁδεύειν» συντακτέον αὐτό, ἵνα ᾖ ὁ νοῦς, ὡς εἶργεν ἐπιέναι πάντας ταῖς ναυσίν, ὃ καὶ κρεῖττον. εἴργεσθαι γὰρ ἄλλως ἐκ τῶν νηῶν οὔ τινας Τρῶας ἀλλὰ πάντας ὑφ' ἑνός, ἀπίθανον. (v. 570 s.) Ἐπὶ δὲ τούτοις φησὶν ὁ ποιητὴς περὶ Αἴαντος τὸ «αὐτὸς δὲ Τρώων καὶ Ἀχαιῶν θῦνε μεσηγύ, ἱστάμενος», οὐ μὴν δηλαδὴ φεύγων. (v. 571—4) Εἶτα μεγεθύνων κακὸν τὸ περὶ τὸν ἥρωά φησι «τὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν ἄλλα μὲν ἐν σάκεϊ μεγάλῳ πάγεν ὄρμενα πρόσσω, πολλὰ δὲ καὶ μεσσηγὺ πάρος χρόα λευκὸν ἐπαυρεῖν ἐν γαίῃ ἵστατο λιλαιόμενα χροὸς ἆσαι». Καὶ ταῦτα μὲν διεξοδικῶς νῦν περὶ Αἴαντός φησιν ὁ ποιητής. ἀλλαχοῦ δὲ ἐπιφωνηματικῶς φράζων φησὶ «σάκος δ' ἀνεδέξατο πολλά». Τὸ δὲ ῥηθὲν ὅλον χωρίον οἰκεῖον ἐπὶ ἀριστέως μεγάλῳ ἐναπειλημμένου κινδύνῳ. Ὅρα δὲ τὰ πάρισα τὸ «μνησάσκετο» καὶ «τρωπάσκετο», ποιητικὰ μὲν ὄντα, πρέποντα δὲ ὡς καλὰ τῷ λαμπρῷ Αἴαντι. (v. 567) Τὸ δὲ «αὖτις ὑποστρεφθείς», ἤγουν μεταστρεφθείς, ὡς μετ' ὀλίγα φησί, διασαφητικόν ἐστι τοῦ ἐντροπαλιζόμενος. ὃ φθάσας ἔφη ὁ ποιητής, λέοντος ὂν ἴδιον. ἐκείνου γὰρ τὸ ἄλλοτε μὲν ὑποστρέφεσθαι πρὸς ἔνστασιν, ὁτὲ δὲ φεύγειν. Ὅρα δὲ ὡς ὑποστρεφθεὶς ὁ Αἴας γενναῖον μὲν εἶχε ποιεῖν οὐδέν, εὐώδου δὲ μόνον τοὺς Ἀχαιοὺς εἰς φυγήν, ἐρητύων φάλαγγας Τρώων, ὡς προέκκειται, [οὐ μὴν ῥηγνὺς αὐτάς, ὅτι μηδὲ δύναται ἄρτι ῥηξήνωρ εἶναι.] (v. 568) Ὅτι δὲ τὸ τρωπᾶν ἐκτείνει τὴν ἄρχουσαν ὡς τὸ στρωφᾶν καὶ τρωχᾶν, δηλοῦται σαφῶς ἀλλαχοῦ.

3.256 ἐκ δὲ τοῦ ῥηθέντος «τρωπάσκετο» τὸ προτροπάδην φεύγειν παρὰ τοῖς ὕστερον. (v. 572) Τὸ δὲ «σάκεϊ μεγάλῳ» συλλογιστικῶς εἴρηται, δηλοῦν τὸν αὐτὸ φέροντα μέγαν Τελαμώνιον υἱόν. Τὸ δὲ «ὄρμενα πρόσσω» πρὸς ἀσφάλειαν μὲν ἐρρέθη τῆς τῶν δοράτων ἐμπήξεως, οὐ γὰρ ἂν ἐνεπήγνυντο μὴ πρόσω ἱέμενα. πέφρασται δὲ τερατωδέστερον ὡς ἐπὶ ἐμψύχων, καθὰ καὶ τὸ «χρόα ἐπαυρεῖν» καὶ τὸ «ἵσταντο» καὶ τὸ «λιλαιόμενα χροὸς ἆσαι», περὶ ὧν εἰ καὶ ἀλλαχοῦ δηλοῦται πλατύτερον, ἀλλὰ καὶ νῦν εἰπεῖν ἀρκέσει, ὡς οὐχ' ἁπλῶς Ὅμηρος ψυχοῦν ἐθέλει τὰ βέλη, ἀλλὰ τὰ τῶν στρατιωτῶν ἐπὶ τὰ ὅπλα μετάγει, καὶ ἅπερ ἐκεῖνοι βούλονται, ταῦτα τοῖς

ὅπλοις περιτίθησι. (v. 573) Χρόα δὲ λευκόν κατὰ φύσιν λέγει ἐκ τοῦ πλεονάζοντος, λευκὸς γὰρ ὁ ἔσω χροῦς ὡς τὰ πολλά. συμφωνεῖ δὲ τῇ λέξει ταύτῃ καὶ ὁ λειριόεις χροῦς, ὃν ὁ Ἕκτωρ ἐπισκώπτει τῷ Αἴαντι, [καὶ μάλιστα ἡ κατὰ τὸν Μενέλαον λευκότης, οὗ οἱ μηροὶ πρὸς ἐλέφαντος ὀστᾶ εἰκάσθησαν, εἰ καὶ ἄλλως τὸ λευκὸν ἐλοιδορεῖτο τοῖς παλαιοῖς. Ὅθεν, φασί, καὶ Ἄλεξις ὁ κωμικὸς λευκόπυγον ἔφη τὸν ἄνανδρον, οὗ ἔμπαλιν μελαμπύγους τοὺς ἀνδρείους ἔλεγον. ὅθεν καὶ παροιμία τὸ «οὔπω μελαμπύγῳ ἐνέτυχες», ὁποῖός τις ἐν ἱστορίαις φέρεται καὶ ὁ Ἡρακλῆς. καὶ τοιάδε μὲν καὶ τάδε.] Εἰ δὲ γράφεται «χρόα χαλκὸν ἐπαυρεῖν», ἀργεῖ τὰ τοῦ λευκοῦ. [(v. 571) Ἰστέον δὲ ὅτι τε τὸ «θρασειάων ἀπὸ χειρῶν» οὐδ' αὐτὸ ψόγον ἔχει διττολογηθὲν ἐν τοῖς εἰρημένοις. ἥ τε γὰρ παραβολὴ τοῦ λέοντος ἔχει αὐτὸ καὶ ὁ περὶ τῶν Τρώων λόγος. (v. 567) Καὶ ὅτι τὸ «ὑποστρεφθείς» εὐχρηστότερόν ἐστιν Ὁμήρῳ τοῦ ὑποστραφείς, πρός τε χρείαν μέτρου καὶ πρὸς ὄγκον φράσεως, καθὰ καὶ τὸ βλαφθείς τοῦ βλαβείς. τοιοῦτον δέ τι καὶ τὸ βαφθείς. προκρίνεται γάρ που καὶ αὐτὸ τοῦ βαφείς, ὡς δηλοῖ καὶ ὁ γράψας τὸ «ἅλμῃ ἀπεβάφθη».] (v. 575—7) Ὅτι ὡς ἐνόησεν Εὐρύπυλος πυκινοῖσι βιαζόμενον βελέεσσι τὸν Αἴαντα, «ἔστη παρ' αὐτὸν ἰών», οὐκ ἐπίκλητος, ἀλλ' αὐτόματος ἐλθὼν βοηθός. οὐ γὰρ Αἴαντι πρέπει προκαλεῖσθαι τὸν ἐπικουρήσοντα, ὅπερ Ὀδυσσεύς που ποιεῖ καὶ Μενέλαος. καὶ Ἀχαιοὶ δὲ μετὰ μικρὸν ἐπὶ τῷ Αἴαντι συνασπίσαντες οὐκ αὐτοῦ καλέσαντος ἦλθον. (v. 586—90) Οὕτω δὲ στὰς ὁ Εὐρύπυλος, εἶτα βληθείς, ὡς ἐφεξῆς εἰρήσεται, καὶ οὕτω καὶ αὐτὸς τῆς μάχης ἀπιών, «ἤϋσεν», ὅ ἐστιν ἐβόησε, «διαπρύσιον, Δαναοῖσι γεγωνώς· ὦ φίλοι, στῆτ' ἐλελιχθέντες καὶ ἀμύνετε νηλεὲς ἦμαρ Αἴαντι, ὃς βελέεσσι βιάζεται· οὐδέ ἕ φημι φεύξεσθαι ἐκ πολέμοιο δυσηχέος».

3.257 (v. 590 s.) Διπλάζων δὲ τὴν ἀξίωσιν παραφραστικῶς ἐπάγει «ἀλλὰ μάλ' ἄντην ἵστασθ' ἀμφ' Αἴαντα», εἰπὼν ἄντην στῆναι, ὅπερ ἀνωτέρω ἐλελιχθῆναι εἶπεν. οὕτω φιλάλληλοι μὲν οἱ Ἕλληνες, ἀνδρεῖος δὲ ὁ Αἴας καὶ μεγαλόφρων καὶ φιλοκίνδυνος. (v. 589) Ὅρα δὲ ὅτι τε βέλη συνήθως λέγει καὶ νῦν τὰ ἐπαφιέμενα δόρατα, καὶ ὅτι παθητικῶς τὸ βιάζεσθαι φράζει, ὃ παρὰ τοῖς ὕστερον καὶ ἐνεργητικῶς λαμβάνεται, καὶ ὅτι ἀρεσθεὶς τῇ φράσει τοῦ «βιάζεσθαι βέλεσι» δὶς τὸ τοιοῦτον ἔφη νόημα. (v. 575) Τὸ δὲ «ὡς ἐνόησε» καὶ ὑποκαταβὰς πάλιν φησὶν ἐν τῷ «τὸν δ' ὡς οὖν ἐνόησεν Ἀλέξανδρος» καὶ ἑξῆς. (v. 579) Πρὸ δ' αὐτοῦ εἰπόντος Ὁμήρου, ὡς ὁ Εὐρύπυλος ἔβαλέ τινα ἧπαρ ὑπὸ πραπίδων, τουτέστι φρενῶν, —ταὐτὸ γὰρ πραπίδες καὶ φρένες, τὸ μὲν ποιητικῶς, τὸ δὲ κοινῶς φραζόμενον— φασὶν οἱ παλαιοί, ὅτι φρένες οὐ μόνον ἡ δύναμις, καθ' ἣν νοοῦμεν, ἀλλὰ καί τι σπλάγχνον, ὡς καὶ ἀλλαχοῦ προεδηλώθη, ὅπερ διάφραγμα οἱ περὶ Πλάτωνα πρῶτοι ὠνόμασαν. Ἔστι δὲ νευρώδης ὑμὴν τὰ σπλάγχνα διεζωκώς, ᾧ ὡς νευρώδει συμπάσχει φλεγμαίνοντι καὶ ὁ ἐγκέφαλος καὶ παραφρονεῖν ποιεῖ, πηγὴ ὢν τοῦ νευρώδους, ὡς ἀρτηριῶν ἡ καρδία, καὶ τὸ ἧπαρ φλεβῶν. Ἕτεροι δέ φασιν, ὅτι φρένες εἰσὶν αἱ διεζωκυῖαι τὸν ὑπὸ τῷ πνεύμονι καὶ τῇ καρδίᾳ τόπον, ὃς διάφραγμα λέγεται, ἄλλοι δὲ οὕτω· φρένες τὸ διάζευγμα. ἔστι δὲ ἐπίπλους διαιρῶν τὸν θώρακα τοῦ πνεύμονος. ὅτι δὲ ὑποκάτω τῶν φρενῶν τὸ ἧπαρ, δηλοῖ, φασίν, ὁ ποιητὴς εἰπὼν «ἧπαρ ὑπὸ πραπίδων». (v. 581—6) Ἰστέον δὲ ὅτι καὶ ὁ Εὐρύπυλος δυστυχεῖ ἄρτι ἐν τῷ σκυλεύειν ὃν βέβληκεν. ὡς γὰρ ἐνόησεν αὐτὸν Ἀλέξανδρος σκυλεύοντα, ἔβαλεν ὀϊστῷ, καὶ ἡ βολὴ συνέπεσε κατὰ μηρὸν δεξιόν «ἐκλάσθη δὲ δόναξ, ἐβάρυνε δὲ μηρόν». διὸ ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο καὶ αὐτὸς καὶ ἤϋσε διαπρύσιον τὰ προειρημένα. Καὶ ἰδοὺ πάλιν μονοῦται ὁ Αἴας, μᾶλλον δ' εἰπεῖν ἡ μάχη, τῶν Ἑλληνικῶν ἀριστέων, ἵνα ἡ κατὰ κράτος τῶν Ἀχαιῶν τροπὴ πιθανολογηθείη.

3.258 χάζεται γοῦν καὶ ὁ Εὐρύπυλος. μετ' ὀλίγα δὲ καὶ οἱ ἐκ προκλήσεως τοῦ Εὐρυπύλου βοηθήσαντες τῷ Αἴαντι Ἀχαιοὶ «νηυσὶν ἐπὶ γλαφυραῖς ἐεργμένοι ἰσχανόωνται», ἤγουν ἐπέχονται. καὶ οὕτω πιθανῶς ἡ πρὸς τῷ ναυστάθμῳ τειχομαχία συνίσταται, ἣν πρὸ ἔργου μάλιστα τίθεται ὁ ποιητής, ἵνα μὴ τοσοῦτον ἀρτύσας καὶ ἱστορήσας πόλεμον ἀμαθῆ τε τοιᾶσδε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μάχης ἐάσῃ τὸν φιλομαθῆ ἀκροατὴν καὶ οὐδ’ αὐτὸς ἰδέᾳ τοιαύτῃ ἐνευδοκιμήσῃ γραφῆς. (v. 584) Δόναξ δὲ ὁ τοῦ βέλους ἄτρακτος, εἴτε ἀπὸ κάλου ἐσκεύασται, ὅ ἐστι ξύλου, ὅτε καὶ κυρίως κῆλον τὸ βέλος λέγεται, εἴτε, ὥς τινές φασιν, ἐκ καλαμίσκου στεριφοτάτου, ὁπηνίκα καὶ δόναξ κατὰ κυριολεξίαν ὀνομάζεται. [Καινὸν δὲ οὐδέν, εἰ δόναξ βέλους λέγεται καὶ ὁ ξύλινος ἄτρακτος ἀπὸ παλαιᾶς εὑρέσεως καὶ χρήσεως, καθ’ ἣν καὶ ὁ ὑστεροφανὴς σίδηρος τὸ παλαίφατον τοῦ χαλκοῦ ἔχει ὄνομα, καὶ ὁ καννάβινος κάλως τὸ τοῦ παλαιγενοῦς σχοίνου, ὡς ἀλλαχοῦ σεσημείωται πλατύτερον. ἐπεὶ καὶ τὸ κεράμεον, ὃ σκεύεσιν εὐτελέσι τοῖς ἐκ χοὸς ἐπελέγετο, ὕστερον καὶ τοῖς ἐκ τιμιωτέρας ὕλης προσήρμοζε. Κλεοπάτρα γοῦν, φασίν, ἡ μεγάλη, ἐφ’ ἧς ἡ τῶν Αἰγυπτίων κατελύθη βασιλεία, ἐκδιαιτηθεῖσα ὡς ἀντὶ τῶν πάλαι κεραμέων σκευῶν πολυτελεστέροις χρῆσθαι καὶ τοὔνομα οὐ δυναμένη ἀλλάξαι, ἀργυροῦν καὶ χρυσοῦν ἀπεκάλει κεράμιον. Τοιοῦτον δὲ καὶ Πτολεμαίου τὸ «δεῖπνα Ῥωμαϊκῶς κατεσκευασμένα κεράμῳ χορηγούμενα ἀργυρῷ». Ὅτι δὲ ἐκ τοῦ κυριολεκτικῶς λεγομένου δόνακος δονακεὺς ποταμὸς λέγεται τύπῳ περιεκτικῷ τινι, δηλώσει ἐν τοῖς ἑξῆς που Ὅμηρος. ὁ δ’ αὐτὸς καὶ δονακώδης ἂν ῥηθείη κατὰ Βακχυλίδην, ὅς που δονακώδεα τὸν Νεῖλον ἔφη.] (v. 583) Ἐν τούτοις δὲ κεῖται καὶ τὸ «εἵλκετο» ἀντὶ τοῦ εἷλκεν, οἷον «αὐτίκα τόξον εἵλκετ’ ἐπ’ Εὐρυπύλῳ καί μιν βάλεν». ἔνθα ὅρα καὶ τὸ ἐπ’ Εὐρυπύλῳ ἀντὶ τοῦ κατὰ Εὐρυπύλου.

3.259 (v. 587—91) Ἰστέον δὲ καὶ ὅτι ἄμυναν συνασπιστικὴν φράζει τὸ «ὦ φίλοι, στῆτ’ ἐλελιχθέντες» καὶ ἑξῆς, ὡς προεγράφη, ἕως τοῦ «ἀλλὰ μάλ’ ἄντην ἵστασθε», ὃ παράφρασίς ἐστι τοῦ στῆτε, ὡς προείρηται. ἦν δ’ ἂν ἐνταῦθα καὶ κύκλος, εἴπερ ἀντὶ τοῦ ἵστασθε στῆτε εἴρηκε. [(v. 584) Τὸ δὲ «βάρυνε μηρόν» ἔχοι ἂν ἴσως διαφορὰν πρὸς τὸ «ὀξεῖαι ὀδύναι δῦνον» τὸν δεῖνα.] (v. 592—4) Ὅτι συνασπισμοῦ κατάστημα τὸ «οἳ δὲ παρ’ αὐτὸν πλησίοι ἔστησαν, σάκε’ ὤμοισι κλίναντες, δούρατ’ ἀνασχόμενοι». Καὶ ὅρα καὶ νῦν τὸ «πλησίοι» ἀπὸ εὐθείας τῆς ὁ πλησίος, ὅθεν καὶ τὸ «πλησίαι ἥστην». Τὸ δὲ «κλίναντες» ἀντὶ τοῦ ἐγκλίναντες, ἐρείσαντες. Τὸ δὲ «ἀνασχόμενοι», ὅ ἐστιν ἀνατείναντες, καὶ ἐνεργητικῶς ἀνασχόντες λέγεται. [(v. 592) Ἰστέον δ’ ἐν τούτοις καὶ ὅτι Εὐρύπυλος μὲν προπαροξυτόνως τὸ κύριον, τὸ μέντοι ἐπίθετον ἄλλως. εὐρυπυλής γάρ, ὡς δῆλον ἐκ τοῦ «εὐρυπυλὲς Ἄϊδος δῶ». οὕτω που καὶ «ἄτερπος ὀϊζύς» εὑρέθη ἡ καὶ ἀτερπής. εὕρηται δὲ καὶ ἐκ τῆς αὐδῆς οὐ μόνον ἄναυδος, ἀλλὰ παρείλκυσται καὶ ὁ ἀναυδὴς ἐκεῖθεν, οὗ πληθυντικὸν οἱ ἀναυδεῖς παρά τινι Κωμῳδῷ, οἷον «πρώτιστα μὲν πάντες ἀναυδεῖς τότ’ ἐπέστησαν».] (v. 595) Ὅτι ὁ Αἴας, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων, «στῆ», ἤγουν ἔστη, «μεταστρεφθείς», ἀντιπρόσωπος δηλαδὴ τοῖς Τρωσί, ὡς καὶ ἐντεῦθεν πιστοῦσθαι τὸ Σοφόκλειον τὸ «καὶ μέγας ὀρθοῖτο ὑπὸ σμικροτέρων». ἰδοὺ γὰρ ὁ Αἴας ὑπὸ τοιούτων ἑταίρων βοηθεῖται. Καὶ ὅρα ὅτι καίτοι καταστασιαζόμενος ὑπὸ Διός, ὅμως τῆς κατὰ φύσιν ἀρετῆς ὁ ἥρως οὐκ ἐξίσταται, ποτὲ μὲν μέσος ἱστάμενος, ὡς προγέγραπται, καὶ ἀποτειχίζων τοὺς Τρῶας οἷά τι ἕρκος ἢ ἔρυμα, ποτὲ δὲ ἀνθιστάμενος εἰς πόλεμον, καὶ οὕτως εὐκαιρίαν κινδύνου φυγῆς διδοὺς τοῖς Ἀχαιοῖς. Τοὺς γὰρ πλείστους τῶν ἀριστέων ἤδη ἀπαγαγὼν ὁ ποιητής, ἐν οἷς καὶ τοὺς συνετωτάτους Ὀδυσσέα τε καὶ Νέστορα, τὸν γοῦν Αἴαντα φυλάττει τέως ἕως τῆς τοῦ Πατρόκλου ἐξόδου, αὐτοῦ δ’ ἐξελθόντος ἐκεῖ τὸν λόγον ἀπασχολεῖ. Πάτροκλον δὲ ἀνελὼν αὖθις ἀναλαμβάνει τὸν Αἴαντα, εἶτα τὸν κορυφαῖον Ἀχιλλέα τοῦ μηνίειν ἀναστήσας ἐν τοῖς κατ’ ἐκεῖνον τὴν Ἰλιάδα συμπληροῖ. Ἔθνος δὲ ἑταίρων ἁπλῶς τὸ πλῆθος λέγει, ὡς καὶ ἐν ἄλλοις ποιεῖ. Τὸ δὲ «ἵκετο ἔθνος ἑταίρων» ἀνωτέρω «τῶν δ’ ἀντίος ἤλυθεν» ἔφη, ὅ ἐστιν ἀντιπρόσωπος τοῖς Ἀχαιοῖς.

3.260 εἰ καὶ ἐν ἄλλοις μάχιμόν ἐστι τὸ ἀντίον ἐλθεῖν. (v. 596) Ὅτι καὶ νῦν τὸ «μάρναντο δέμας πυρὸς αἰθομένοιο», ἐν ᾧ φανερῶς τὸ δέμας οὐκ ἐπὶ ἐμψύχου κεῖται, ἐλλιπῶς τε πέφρασται καὶ περιπέφρασται ἀντὶ τοῦ ὥσπερ ἂν πῦρ μάχοιτο. καὶ νῦν μὲν οὕτω γοργῶς. ἀλλαχοῦ δὲ καὶ παραβολὰς ἐκ τούτου ποιεῖ, ὡς καὶ ὅτε πῦρ ἀΐδηλον ἐμπεσὸν ἀξύλῳ ὕλῃ ποιεῖν εἶπε τὰ συνήθη

τῷ πυρί. Αἰθόμενον δὲ πῦρ καὶ ἐνταῦθα ὡς καὶ ἐν ἄλλοις πρὸς διαστολήν, ἵνα μὴ νοηθείη πῦρ ἢ ἀλαμπὲς κατὰ τὰ ὑποσμυχόμενα ἢ καὶ ἄλλως τροπικῶς, ὁποίου πυρὸς καὶ ἡ καρδία ἑστία λέγεται, καὶ ὁποίῳ πυρὶ λάμπονται οἱ τοῦ θυμουμένου ὀφθαλμοί, καὶ οἷον πῦρ ἡ γυνή ἐστιν ἡ ἄτερ δαλοῦ εὕουσα, οὐδὲ ὁποῖον τὸ δήϊον πῦρ, ἐξ οἵου ἴσως πυρὸς αἰθομένου ὁ Διομήδης νοστῆσαι θαρρεῖ, ἑταιρισάμενος τὸν Ὀδυσσέα ἐν τῇ νυκτεγερσίᾳ, ἀλλὰ τερατωδέστερον τὸ αὐτόχρημα πῦρ τὸ ἀφανίζον πάντα, οἷς ἂν ἐμπέσῃ. (v. 597 s.) Ὅτι καὶ ἐνταῦθα φανερῶς τὸ φέρειν καὶ τὸ ἄγειν ταὐτίζων ὁ ποιητής φησι «Νέστορα δ’ ἐκ πολέμοιο φέρον Νηλήϊαι ἵπποι ἱδρῶσαι, ἦγον δὲ Μαχάονα». [Ἔστι δὲ οὐχὶ ἄκρατον ἐνταῦθα τὸ φέρειν. ὁ γὰρ νοῦς, ὅτι ἐξέφερον μάχης αἱ ἵπποι τὸν Νέστορα. τῷ δὲ τοιούτῳ ἐκφέρειν ἀντιπαράκειται τὸ ἐκφορεῖν, ἢ πλοίου γόμον, οὗ χρῆσις παρὰ τοῖς παλαιοῖς, ἢ ἄλλο τι.] Ἰστέον δὲ ὅτι, ὥσπερ τοὺς ἵππους τοῦ Αἰνείου Τρωΐους ἔφη ὁ ποιητής, οὐχ’ ὡς αὐτοῦ ὄντας τοῦ Τρωός, ἀλλ’ ὡς ἐξ ἐκείνων τῶν ἀρχαίων ἵππων κατάγοντας, οὓς ἐκ Διὸς ὁ Τρὼς ἔλαβεν ὁ τοῦ Νηλέως ἀρχαιότερος, οὕτω καὶ Νέστορος ἵππους Νηληΐους ἔφη, τοὺς ἐκ τῆς Νηλέως ἀγέλης κατὰ διαδοχήν. οὐ γὰρ δήπου ἄλλως αὐτοῦ δὴ ἐκείνου τοῦ Νηλέως ἵπποι ἔτι τῷ πεμπέλῳ περιῆσαν Νέστορι. [Ἐπεὶ μηδὲ οἷόν τε ζῆν τοσαετεῖς ἵππους, εἴγε κατὰ τὴν παλαιὰν ἱστορίαν ἄρρην μὲν ἵππος ζῇ ἔτη πέντε καὶ τριάκοντα, θήλεια δὲ πλείω τῶν τεσσαράκοντα. ἐβίω δέ τις, φασί, καὶ πέντε πρὸς τοῖς ἑβδομήκοντα. οἱ δὲ ταῦτα φυλοκρινοῦντές φασι καὶ μέλισσαν ἔτη ἓξ ἢ καὶ ἑπτὰ ζῆν.] Τὸ δὲ «ἱδρῶσαι» ἢ κατὰ διάθεσιν εἴρηται δευτέρας συζυγίας τῶν περισπωμένων ἢ ἐκ τοῦ ἱδρώουσαι συγκέκοπται. [Ἱδρὼς δὲ καὶ ἱδρῶσαι κυρίως ἐπὶ ζῴων κεῖται.

3.261 ὁ δέ γε τὰς πηγὰς γῆς ἱδρῶτας εἰπὼν τροπικῶς εἶπεν, ὥσπερ καὶ ὁ τὸν οἶνον εἰπὼν «Βρομιάδος ἱδρῶτα πηγῆς», ἀμπέλου δηλαδή, καὶ τὸν ἰξὸν δὲ δρυὸς ἱδρῶτα, ὡς τὸ «δρυὸς ἱδρὼς καὶ θαμνομήκης κλάδος»]. (v. 599—601) Ὅτι ὁ φιλοπόλεμος Ἀχιλλεὺς καὶ ἀπόμαχος ὢν ὅμως εἱστήκει «ἐπὶ πρύμνῃ μεγακήτεϊ νηῒ εἰσορόων πόνον αἰπὺν ἰῶκά τε δακρυόεσσαν», καὶ οὕτω τῇ θέᾳ γοῦν τῆς μάχης ἐχόμενος. ἦν γὰρ αὐτῷ, καθά που ἐρρέθη, ἔρις φίλη πόλεμοί τε μάχαι τε. Καὶ ὅρα ὡς καὶ νῦν ἀνέμνησεν ἡμᾶς τοῦ Ἀχιλλέως, οὐχ’ ἁπλῶς, ἀλλ’ ὡς θεατοῦ τῆς μάχης καὶ τῇ θέᾳ οἷον ὀργῶντος εἰς αὐτήν. Ἐντεῦθεν δὲ ὡς οἷον προκαταστατικῶς ἄρχεται καταβολή τις ὑποτεθῆναι τοῦ παύσασθαι μὲν τὸν Ἀχιλλέα τῆς μήνιδος, κακῶς δὲ γενέσθαι τοῖς Τρωσί. Οἰκτίζεται γὰρ ἐφ’ οἷς ὁρᾷ ὁ καλὸς ἥρως, καὶ τέως μὲν στέλλει τὸν ἑταῖρον Πάτροκλον, ἐφ’ οἷς ἄρα καὶ στέλλει, ὡς δηλωθήσεται. ὁ δὲ ἀπελθὼν ξυρός, ὅ φασιν, ἀκόνῃ ἐντυγχάνει τῷ Νέστορι καὶ θήγεται λόγοις ὑπ’ αὐτοῦ εἰς μάχην παροξυνθείς, ὡς καὶ αὐτὸ εἰρήσεται, καὶ πείθει τὸν Ἀχιλλέα σταλῆναι τοῖς Ἀχαιοῖς αὐτὸς ἐπίκουρος, καὶ τυχών, οὗ ἤθελε, περιπίπτει, οἷς μὴ ἤθελε. πίπτει γὰρ καὶ οὕτως ἀνιστᾷ τὸν Ἀχιλλέα εἰς μάχην καὶ γίνονται πράξεις πολλαί τε καὶ ἡρωϊκαὶ πρέπουσαι τῷ τε φράζοντι ποιητῇ καὶ τῷ ποιοῦντι Ἀχιλλεῖ. (v. 600) Ὅρα δὲ καὶ ὧδε τὸ «μεγακήτεϊ νηΐ» συντελοῦν εἰς τὸ Λακεδαίμονα κητώεσσαν, ὡς οἶδεν ὁ νοῶν τεχνικῶς. καὶ ἄλλως δὲ οἰκεῖον μεγακήτεα ὀνομάσαι τὸν θαλάσσιον τοῦτον ἵππον κατὰ τὸ «αἵ θ’ ἁλὸς ἵπποι». ὅτε δὲ καὶ τὸν Κίλικα Ὀππιανὸν μάθῃ τις νῆα ἱστοροῦντα ἐξομοιωθεῖσαν ξιφίᾳ κατὰ τὴν ναυπηγίαν, τότε δὴ ἄλλως ἐκεῖ προσαρμόσει τῇ νηῒ ἐκείνῃ τὸ μεγάκητες. [Ὅτι δὲ ἵππος καὶ θαλάσσιός ἐστιν, ἱστόρηται. οὕτω δὲ καὶ θαλάσσιος βοῦς, οὐ μὴν μόνον χερσαῖος, πρὸς ὃν παίζων τις κατὰ Κλέωνος κιθαρῳδοῦ, ὃς ἐπεκαλεῖτο βοῦς, εἶπεν «ὄνος λύρας ἐλέγετο, νῦν δὲ βοῦς λύρας».] (v. 601) Τὸ δὲ ἰῶκα, ὃ δηλοῖ τὴν ἐν μάχῃ δίωξιν, μεταπέπλασται. ὡς γὰρ φυγήν φύγα, ἐξ οὗ τὸ φύγαδε ὡς τὸ οἴκαδε, οὕτω καὶ ἰωκήν ἰῶκα.

3.262 ὅμοια δὲ καὶ τὸ κνίδην κνίδα καὶ παρ’ Ἡσιόδῳ τὸ κρόκην κρόκα. (v. 602—4) Ὅτι τοὺς Ἀχαιοὺς διωκομένους, ὡς εἴρηται, ἰδὼν ὁ Ἀχιλλεὺς αἶψα ἑταῖρον «Πατροκλῆα προσέειπε φθεγξάμενος παρὰ νηός», ἤγουν ἐκ νηός. «ὃ δὲ κλισίηθεν ἀκούσας»—οὐ γὰρ ἔτυχεν ἔξω συμπαρεῖναι—«ἔκμολεν ἶσος Ἄρηϊ, κακοῦ δ’ ἄρα οἱ πέλεν ἀρχή». Ὃ δὴ γοργότατα φράσας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προαναφωνητικῶς εἶπεν Ὅμηρος. ἡ γὰρ ἔξοδος αὕτη, ταὐτὸν δ’ εἰπεῖν, τὸ ἐκμολεῖν, αἰτία τῷ Πατρόκλῳ θανάτου, περιπεσόντι δεινῷ ῥήτορι τῷ Νέστορι, ὃς καὶ ὑπὲρ τὸν ὑμνούμενον Τυρταῖον εἰς μάχην ἐρεθίζειν εἰδὼς ἔπεισε τὸν Πάτροκλον πεσεῖν ὡς ἔπεσεν. Ἐν οἷς ὅρα καὶ ὅπως δεξιώτατα ὁ ποιητὴς τὸ πλάσμα μετεχειρίσατο. οὔτε γὰρ δευτέρας λιτὰς πέμπει τῷ Ἀχιλλεῖ, ὅπερ ἐκεῖνος φαίνεται θέλων, ὅτε ἐρεῖ «νῦν οἴω περὶ γούνατ’ ἐμὰ στήσεσθαι Ἀχαιοὺς λισσομένους», ἀλλ’ οὐδὲ αὐτόματον ἐξάγει τὸν Ἀχιλλέα, δραμὼν δὲ τὴν μέσην λιτάζεται διὰ τοῦ φιλτάτου Πατρόκλου καὶ πείθει δι’ αὐτοῦ, οὗ καὶ ἐξελάσαντος καὶ πεσόντος ἐγείρει τὸν Ἀχιλλέα εὐμηχάνως εἰς πόλεμον. τέως γε μὴν ἤδη ἐν τούτοις ἔληξε τὸ πολὺ τῆς ὀργῆς τῷ Ἀχιλλεῖ ὀλοφυρομένῳ τοὺς Ἀχαιούς, ὡς ὁ Νέστωρ μετ’ ὀλίγα ἐρεῖ. ἔλεος γὰρ τῶν Ἑλλήνων ὕπεισιν αὐτὸν ἠρέμα. διὸ καὶ στελεῖ τὸν Πάτροκλον, ἐν οἷς δείκνυται καὶ ὡς δραστηριώτερον τῆς τῶν δεινῶν ἀφηγήσεως ἡ τοῦ κακοῦ θέα, καθὰ καὶ ἡ τραγῳδία δηλοῖ ἐν τῷ «τῶν πραχθέντων τὰ μὲν ἄλγιστα ἄπεστιν, ἡ γὰρ ὄψις οὐ πάρα». Ἰδοὺ γάρ, Ἀχιλλεὺς πρέσβεων μὲν ἀκούσας ἀφηγησαμένων δεινά, ἐφ’ οἷς ἐδυστύχουν Ἀχαιοί, οὐκ ἔπαθε τὴν ψυχήν, ἰδὼν δὲ κακῶς πάσχοντας εἱλκύσθη πρὸς οἶκτον καὶ γέγονεν αὐτῷ ἡ τοῦ κινδύνου θέα οἷά τις ἐλέου εἰσβολή. οὕτω δὲ καὶ Πάτροκλος ἐν τοῖς ἑξῆς οὐχ’ οὕτω πείθεται Νέστορι ποικίλως καθομιλήσαντι, ὅσον ὑπὸ τῆς τοῦ δεινοῦ θέας πεισθεὶς εἰς ἱκεσίαν τοῦ Ἀχιλλέως οὕτω προσερεθίζεται. Ἰστέον δὲ ὅτι τὸ «Πατροκλῆα προσέειπεν» οὐ λόγον δηλοῖ διεξοδικόν, ἀλλ’ ἀντὶ τοῦ ἐκάλεσεν εἴρηται. (v. 606) Διὸ ἐρεῖ ὁ Πάτροκλος «τίπτε με κικλήσκεις Ἀχιλλεῦ; τί δέ σε χρεὼ ἐμεῖο» τὸ πολλαχοῦ κείμενον. ταῦτα δὲ δύναται πᾶς λέγειν κληθεὶς πρός τινος καὶ ἀκούσας. (v. 604) Ἄρεϊ δὲ ἶσον ὁ ποιητὴς αὐτὸν λέγει, σεμνύνων ὡς τοῖς Ἕλλησι χρησιμεύσοντα καὶ διὰ τοῦτο ἀξίᾳ μεγάλῃ φιλοτιμούμενος, καθὰ καὶ τὸν Πάριν πρὸ βραχέων θεοειδῆ ἔφη, ὅτε τὸν Εὐρύπυλον ἔβαλεν. Ἀχιλλεὺς μέντοι οὐδὲν τοιοῦτον προσφωνεῖ, ἀλλὰ δῖον τὸν Πάτροκλον λέγει καὶ Διῒ φίλον, ὃ ταὐτόν ἐστι πάλιν τῷ δίῳ καὶ ἑαυτῷ κεχαρισμένον.
3.263 (v. 608) Φησὶ γὰρ «δῖε Μενοιτιάδη, τῷ ’μῷ κεχαρισμένε θυμῷ», ἤγουν φίλτατε. Ἰστέον δὲ ὅτι, ὥσπερ ὁ συνετὸς ἢ βασιλικὸς ἀνὴρ ἀτάλαντος Διῒ λέγεται, οὕτω καὶ ὁ ἀνδρεῖος ἶσος Ἄρεϊ, [ὡς ταὐτὸν ὂν ἶσόν τε εἰπεῖν καὶ ἀτάλαντον. Ἔστι δὲ καὶ πάνυ σεμνὸν καὶ ἐμφαντικώτατον ἐν τοῖς τοιούτοις τὸ ἶσον ἤπερ τὸ ὅμοιον. δίδωσι γὰρ νοεῖν ὡς, εἴπερ ἡ σύνεσις ἢ ὁ Ἄρης, συνελόντα δ’ εἰπεῖν, αἱ ποιότητες σταθμῷ ὑπέκειντο ταλαντευόμεναι, ἶσος ἂν ἦν ὁ δεῖνα τῷ δεῖνι κατὰ σύνεσιν ἢ ἀνδρείαν καὶ τὰ ὅμοια.] (v. 609 s.) Ὅτι ἀνάγκης καὶ κατεπείξεως τὸ «νῦν οἴω περὶ γούνατ’ ἐμὰ στήσεσθαι λισσομένους Ἀχαιούς· χρειὼ γὰρ ἱκάνεται οὐκέτ’ ἀνεκτός». Ἐρεῖ δὲ αὐτὸ ὁ ἐλπίζων ἱκετευθῆναί ποθεν κατ’ ἀνάγκην. Ἀττικὸν δὲ τὸ ἀνεκτός ἀντὶ τοῦ ἀνεκτή, ὁποῖα καὶ ἕτερα πολλὰ δεδήλωται. Τὸ δὲ «περὶ γούνατα στήσεσθαι» περιφραστικῶς ἀντὶ τοῦ γουνάσεσθαι. ἄλλως γὰρ οἱ ἱκέται οὐχ’ ἵστανται περὶ γούνατα, κάμπτονται δὲ μᾶλλον, ὡς δῆλον ἐκ τοῦ γονυπετεῖν καὶ ἐκ τῆς γονυκλισίας καὶ ἐκ τοῦ ποτνιᾶσθαι, ὃ παρὰ τὸ πέτειν, ὅ ἐστι πίπτειν, γίνεται, ἔτι δὲ καὶ ἐκ τοῦ προσπίπτειν, ὃ καὶ αὐτὸ γουνασμόν τινα σημαίνει. Σημείωσαι δὲ ὅτι ἀναθεὶς ὁ ποιητὴς τὸν τοιοῦτον νοῦν τῷ Ἀχιλλεῖ ἐμφαίνει δύνασθαι καὶ δευτέραν πρεσβείαν ἄρτι στεῖλαι εἰς Ἀχιλλέα. καὶ δὴ καὶ ἐποίησεν ἂν οὕτω, εἰ μὴ τὸ μονοειδὲς ἐξέκλινε, προτιμώμενος τὸ ἑτέρως πως ἐξαγαγεῖν τὸν ἥρωα εἰς μάχην καὶ μὴ διὰ πρεσβείας κοινῆς, ἣν φθάσας ἐκεῖνος ἀπεδοκίμασεν. (v. 612) Ὅτι φανερὰ μὲν διαφορὰ τοῦ βεβλῆσθαι καὶ τοῦ οὐτάσθαι, ὡς καὶ ὅτε μετὰ βραχέα λέγει· βέβληται ὁ δεῖνα, οὔτασται δὲ ὁ δεῖνα. ἐνταῦθα μέντοι Ἀχιλλέως εἰπόντος «ὅντινα τοῦτον ἄγει βεβλημένον ἐκ πολέμοιο», γενικῶς νοητέον τὴν τοῦ βεβλῆσθαι λέξιν ἀντὶ τοῦ ἁπλῶς πεπλῆχθαι. πόθεν γὰρ στοχασάμενος ἔγνω Ἀχιλλεὺς καὶ τὸ τῆς πληγῆς εἶδος, ὅτι δηλαδὴ βέβληται ὁ Εὐρύπυλος, οὐ μὴν οὔτασται. οὕτω δὲ καὶ πρὸ ὀλίγου ἔλεγεν Ὀδυσσεύς, ὡς ὁ ἐν πολέμῳ ἱστάμενος «ἢ ἔβλητο ἢ ἔβαλεν ἄλλον». Εἰ μὴ ἄρα ὁ Ἀχιλλεὺς ἀστείως οἷα φεύγοντα τὸν Εὐρύπυλον βεβλῆσθαι λέγει, ὡς τοῦ μὲν ἡττημένου τὸν περὶ ψυχῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θέοντος καὶ διὰ τοῦτο κατ' ἐπίτασιν φεύγοντος, τοῦ δὲ αὐτὸν διώκοντος ἐξ ἀνάγκης πόρρωθεν βάλλοντος. Ἰστέον δὲ ὅτι κήδεται τοῦ Μαχάονος ὁ Ἀχιλλεύς, οὗ χάριν καὶ στέλλει πιθανῶς τὸν Πάτροκλον, ἢ διότι ἄμφω Θετταλοί, ἢ καὶ ὅτι ὁ τοῦ Μαχάονος πατὴρ Ἀσκληπιὸς αὐτῷ, φασί, παρὰ τῷ διδασκάλῳ Χείρωνι συνεφοίτησε.

3.264 (v. 613 s.) Διὸ καὶ εἰπών, ὅτι τά γ' ὄπισθε Μαχάονι πάντα ἔοικεν, ὡς ὁ ὁπλισμὸς ἴσως ἐδήλου, ἐπάγει «τῷ Ἀσκληπιάδῃ». (v. 614 s.) Ἐνταῦθα δὲ κεῖται καὶ τὰ ὄμματα ὡς ἀναγκαιότατον μέρος ἐπὶ τοῦ ὅλου προσώπου. ἐπιφέρει γὰρ «αὐτὰρ οὐκ ἴδον ὄμματα φωτός· αἱ ἵπποι γάρ με παρήϊξαν», ἤγουν ταχὺ παρῆλθον, ὡς δηλοῖ ἐπαχθὲν τὸ «πρόσσω μεμαυῖαι». Τοῦτο δὲ διὰ πιθανότητα προσετέθη. εἰ γὰρ καὶ ἐκ τῶν ἔμπροσθεν ὁ Μαχάων ἔγνωστο, οὐκ ἦν χρεία σταλῆναι τὸν Πάτροκλον, καὶ οὕτως ἤργει τὸ τοῦ πλάσματος καίριον. (v. 611) Κεῖται δ' ἐν τοῖς ῥηθεῖσι καὶ τὸ «ἔρειο», ἀντὶ τοῦ ἐρώτησον, ἐκ τοῦ ἔρεο πλεονασμῷ τοῦ ἰῶτα διὰ μέτρον. Φησὶ γὰρ «ἀλλ' ἴθι νῦν Πάτροκλε, Νέστορ' ἔρειο, ὅν τινα τοῦτον ἄγει». (v. 619) Ὅτι τὸ «αὐτοὶ μὲν ἀπέβησαν ἐπὶ χθόνα πολυβότειραν», περιφραστικῶς ἀντὶ τοῦ ἐπέζευσαν, κατέβησαν τοῦ ἅρματος. καὶ νηὸς δέ τις ἀποβαίνειν λέγεται. καὶ οὕτω μὲν ἀποβῆναι ἀπολύτως ἐνταῦθα τὸ καταπεζεῦσαι ἐξ ἵππων τινὰ καὶ ἀντὶ ἱππότου γενέσθαι πεζόν, ἐντελὲς δὲ ἀλλαχοῦ τὸ «ἐξ ἵππων ἀπέβησαν». (v. 621 s.) Ὅτι ψύχεσθαι μὲν καὶ ἀναψύχειν καὶ τὸ πρὸς ἄνεμον. Φησὶ γοῦν «οἳ δὲ ἱδρῶ ἀπεψύχοντο χιτώνων στάντε ποτὶ πνοίην παρὰ θῖν' ἁλός». Τερσαίνεσθαι μέντοι τὸ ἐν ἡλίῳ ξηραίνεσθαι, ὡς καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται. Τὸ δέ γε ἐναποψύχειν ἄλλο τι παρὰ Ἡσιόδῳ δηλοῖ, ὅθεν καὶ ἀπόψυξις, ἡ ἀποπνευμάτωσις, ὡς Παυσανίας δηλοῖ. (v. 622) Τὸ δὲ «στάντε ποτὶ πνοήν» σαφηνείας χάριν κεῖται, ἵνα μὴ ἐπὶ λοετροῦ τινος νοηθείη τὸ ἀπεψύχοντο, [οἵῳ δὴ λουτρῷ πρὸ τούτων ἐχρήσαντο οἱ τῆς Δολωνείας ἥρωες ἀναγκαίως διὰ τὸν ἐκ τῆς ὁδοιπορίας κόπον, ἀναψύξαντες τὸν ἐκ θερμότητος ἐκείνης κόπον διὰ τοῦ καταιονηθῆναι ψυχρῷ ὕδατι. Τὴν δὲ τοῦ θερμοῦ ἀγαθότητα δηλοῖ καὶ ὁ εἰπών, ὡς πάντες οἱ θερμοὶ ἄρτοι τῶν ἐψυγμένων εἰσὶν εὐοικονομητότεροι, καὶ τὸ «οἱ δ' ἐψυγμένοι πλήσμιοι καὶ δυσοικονομητότεροι», ὅπερ ἐστὶ δύσπεπτοι. Ἔνθα ὅρα καὶ τὸ «ἐψυγμένοι» θεματικὸν ῥῆμα ὂν τῶν τε ἀνωτέρω ἐκκειμένων καὶ ἑτέρων μυρίων. δηλοῖ δὲ ἡ λέξις τοὺς ψυχροὺς ἄρτους ἐκ τοῦ ψύχω, ἐξ οὗ καὶ τὸ «ἔψυχον τὸν οἶνον» οἱ ἀρχαῖοι, καὶ τὸ «ψῦξον τὸν οἶνον», καὶ τὸ «ἀπεψύγη ἡ ἀγάπη», ἔτι δὲ σὺν ἄλλοις καὶ τὸ ψυχεῖον περιεκτικὸν κατὰ τὸ «ἐν Κιμώλῳ τῇ νήσῳ ψυχεῖα κατεσκεύασται θέρους ὀρυκτά».] Τὸ δὲ «παρὰ θῖν' ἁλός», ὡς ἐκεῖθεν, οἷα εἰκός, αὔρας ἰούσης τινός.

3.265 Θὶν δὲ ἁλὸς λέγεται πρὸς διαστολὴν θινῶν τῶν τε ἄλλων καὶ τῶν κατὰ ἄμμους, αἳ κεῖνται ἐν μεσογαίοις, ὃ δὴ μάλιστα περί που τὰ τῆς Λιβύης νότια γίνεται. (v. 624) Ὅτι Ἑκαμήδη, γυνὴ Τενεδία, θυγάτηρ Ἀρσινόου, ὑπ' Ἀχιλλέως ληϊσθεῖσα, ἐξῃρέθη τῷ γέροντι Νέστορι, οὐχ' ὅτι ἀνδρεῖος ἦν ὁ τριγέρων, ἀλλὰ διότι εὐδοκίμει κατὰ βουλήν, ὥστε σοφίας ἡ γυνὴ αὐτῷ ἐδόθη ἔπαθλον. διὸ καὶ οἰκείως τῷ ἐπάθλῳ τὸ ὄνομα κεῖται τῇ γυναικί. αὕτη μὲν γὰρ Ἑκαμήδη παρὰ τὸ ἕκαθεν μήδεσθαι, ἤγουν βουλεύεσθαι, ὅπερ ἐστὶ πρέπον σοφῷ, καὶ ὁ πατὴρ Ἀρσίνοος διὰ τὸ μετάρσιον τοῦ νοῦ, οἱονεὶ ὁ ὑψηλόνους, ὁποῖον εἶναι δεῖ τὸν σοφόν. καὶ ἐν τῷ ἐπιταφίῳ δὲ τοῦ Πατρόκλου ἀγῶνι ἀρετῆς ἀπρακτούσης ἔπαθλον ὁ σοφὸς Νέστωρ λήψεται, ὥς που καὶ ὁ Θεμίστιος ἐπισημαίνεται, εἰ καὶ Ἰσοκράτης λέγει, ὅτι τὰ γυμνικὰ τιμῶντες οἱ Ἕλληνες σοφίας γέρας οὐ προετίθεντο. (v. 625—7) Ἔστι δὲ ἃ περὶ Ἑκαμήδης ὁ ποιητὴς λέγει ταῦτα «τοῖσι δὲ τεῦχε κυκειῶ ἐϋπλόκαμος Ἑκαμήδη, τὴν ἄρετ' ἐκ Τενέδοιο γέρων, ὅτε πέρσεν Ἀχιλλεύς, θυγατέρ' Ἀρσινόου μεγαλήτορος, ἥν οἱ Ἀχαιοὶ ἔξελον, οὕνεκα βουλῇ ἀριστεύεσκεν ἁπάντων», αὐτὸς δηλαδὴ ὁ Νέστωρ, οὐ δήπου γὰρ ἡ Ἑκαμήδη. Τὶς δὲ ὁ κυκεὼν καὶ ἐξ οἵων εἰδῶν συνέκειτο καὶ εἰς οἷον δέπας ἐκυκήθη καὶ οἵα τράπεζα ἐφ' ἧς ἐτέθη, μετ' ὀλίγα ῥηθήσεται. Ἔστι δὲ τὸ μὲν ἀπαθὲς κυκεών, οὐ ψεκτὴ αὕτη λέξις, ἀλλ' ὥσπερ κρατὴρ διὰ τὸ συγκιρνᾶσθαι, οὕτω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κυκεὼν διὰ τὰ ἐν αὐτῷ κυκώμενα εἴδη, καθὰ φανεῖται. ἡ δὲ τούτου ἐνταῦθα αἰτιατικὴ τὸ κυκειῶ δύο ἔπαθεν, ἐπένθεσίν τε τοῦ ι καὶ ἀποκοπὴν τῆς τελευταίας συλλαβῆς. Ὅρα δὲ τὸ «τεῦχε κυκειῶ», γενικῶς λεχθέν. μετ’ ὀλίγα δὲ ἀντὶ τοῦ τεῦχεν ὥπλισεν ἐρεῖ κατὰ λέξιν καὶ αὐτὸ γενικήν, ἐν μέσῳ δὲ ἀμφοῖν εἰπὼν κύκησε προσφυέστερον ἔφη καὶ οὐ κατὰ πλάτος γένους τοσοῦτον. (v. 625) Τοῦ δὲ «ἄρετο» ἑρμηνεία κατωτέρω τὸ «ἥν οἱ Ἀχαιοὶ ἔξελον», ἵνα λέγῃ ὡς οὐκ αὐτὸς ἁπλῶς ἔλαβεν, ἀλλ’ οἱ Ἀχαιοὶ μὲν ἐξεῖλον, αὐτὸς δὲ διδομένην ἔλαβε. Τὸ δὲ «γέρων» ἀναγκαίως διασταλήσεται, ἵνα μὴ ἀποτελέσῃ, ὡς οἱ παλαιοί φασιν, ἀδιανόητον ἀμφιβολίαν μὴ διασταλὲν ἐκ τοῦ «Ἀχιλλεύς».

3.266 γέρων γὰρ Νέστωρ, οὐ μὴν γέρων Ἀχιλλεύς. οὕτω καὶ ἐν Ὀδυσσείᾳ εἰς τὸ «ἐς Τεμέσην μετὰ χαλκόν», ἀναγκαίως μετὰ τὴν ες πρόθεσιν διαστολὴ ἔσται, ἵνα μὴ ἀλλόκοτόν τι νοηθείη. Τὸ δὲ γέρων ἐνταῦθα μέν, ὡς καὶ ἀλλαχοῦ, εἰς δεῖξιν κεῖται φρονήσεως, διὸ καὶ ἐπάγει, οὕνεκα βουλῇ ἀριστεύεσκε. ποτε δὲ ἔλεον ὑποσημαίνει, ὡς ὅτε Ἀχιλλεὺς τῷ Πριάμῳ φησὶ «καί σε γέρον τὸ πρὶν ἀκούομεν ὄλβιον εἶναι», καὶ «τῷ σε γέρον πλούτῳ καὶ υἱάσι φασὶ κεκάσθαι», ἑτέρωθι δὲ τὸν ἁπλῶς ἔντιμον δηλοῖ. καὶ βαρυνόμενος δέ τις ἐκφωνεῖ ποτε αὐτὸ σκωπτικῶς, ὡς Ἀγαμέμνων που τὸν Χρύσην προσφωνεῖ. [Οἱ δὲ παλαιοὶ παρασημειοῦνται, ὅτι ἑνικῶς μὲν γέρων ἐπὶ ἡλικίας, οἷον «γέρων περ ἐὼν πολεμιστής», καὶ «ὦ γέρον, ἦ μάλα δή σε νέοι τείρουσι μαχηταί». πληθυντικῶς δὲ πῇ μὲν ἐπὶ ἡλικίας, ὡς ἐν τῷ «πολιοκροτάφους τε γέροντας», πῇ δὲ ἐπὶ τιμῆς, οἷον «κίκλησκε δὲ γέροντας ἀριστῆας». ἔτι δὲ ἐφιστῶσι καὶ ὡς Μενελάου δίχα, τοῦ διὰ γυναικὸς οὕτω λαμπρᾶς ἔρωτα ἐστρατευμένου, οἱ ἄλλοι παλλακαῖς ἐχρῶντο πάντες καὶ αὐτὸς ὁ πέμπελος Νέστωρ, οὕτω δὲ καὶ ὁ Φοῖνιξ. οὐ γάρ, φασίν, ἦσαν ἐκλελυμένοι τοῖς σώμασιν ἐν νεότητι διὰ μέθης καὶ ἀφροδισίων καὶ ἀπεψίας τῆς ἐξ ἀδηφαγιῶν. εἰκότως οὖν ἔρρωνται τῷ γήρᾳ.] Ὅρα δὲ ὡς κἀνταῦθα δεξιῶς μνήμην τοῦ φίλου Ἀχιλλέως Ὅμηρος ἔθετο, οὐχ’ ἁπλῶς ἀλλὰ μετὰ ἐπαίνου ἱστορήσας ὑπ’ αὐτοῦ πορθηθῆναι τὴν Τένεδον. (v. 627) Τὸ δὲ «ἔξελον» συνήθως ἀντὶ τοῦ κατ’ ἐξαίρετον ἔδωκαν ὡς ἐξαιρέτῳ κατὰ τὴν βουλήν. Ὅτι ἐκ τῶν ἐναγωνίων καὶ σκυθρωπῶν μεταβαίνων ὁ ποιητὴς ἐπὶ τὸ ἱλαρώτερον κατὰ κρᾶσιν ἰδεῶν αὐτῷ ἀρέσκουσαν, ὡς ἂν ὁ ἀκροατὴς ἀναπνεύσῃ μὴ πολέμους ἀεὶ ἀκούων, ἐκθήσεται μὲν μετ’ ὀλίγα καὶ ἱστορίαν μακρὰν διὰ τοῦ Νέστορος, νῦν δὲ τράπεζαν ἱστᾷ καὶ δαῖτα σκευάζει διὰ τῆς ῥηθείσης γυναικὸς ἐκ πολέμου ἐλθοῦσι τῷ Νέστορι καὶ τῷ Μαχάονι, ὡς ἐν ἀκινδύνῳ ἤδη καθεστῶσι. (v. 628—32) Καί φησιν ὅτι ἡ Ἑκαμήδη σφῶϊν, ἤγουν αὐτοῖς, «πρῶτον μὲν ἐπιπροΐηλε τράπεζαν καλὴν κυανόπεζαν, ἐΰξοον, αὐτὰρ ἐπ’ αὐτῇ χάλκειον κάνεον, ἐπὶ δὲ κρόμυον ποτῷ ὄψον ἠδὲ μέλι χλωρόν, παρὰ δ’ ἀλφίτου ἱεροῦ ἀκτήν, πὰρ δὲ δέπας περικαλλές, ὃ οἴκοθεν ἦγ’ ὁ γεραιός».

3.267 (v. 633—5) Ὃ καὶ ἐκφράζων Ὅμηρος ἐπάγει «χρυσείοις ἥλοισι πεπαρμένον· οὔατα δ’ αὐτοῦ τέσσαρα ἔσαν, δοιαὶ δὲ πελειάδες ἀμφὶς ἕκαστον χρύσειαι νεμέθοντο, δύο δ’ ὑπὸ πυθμένες ἦσαν». (v. 636 s.) Εἶτα καὶ τὸ μέγεθος τοῦ ποτηρίου ἱστορῶν φησιν «ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης πλεῖον ἐόν, Νέστωρ δ’ ὁ γέρων ἀμογητὶ ἄειρεν». (v. 638—41) Εἶτα καὶ τὸ ἔτυμον ἀναπτύσσων τοῦ κυκεῶνος καὶ τὸ χρήσιμον δὲ τοῦ τοιούτου ποτηρίου ἱστορῶν φησιν «ἐν τῷ ῥά σφιν», ἤγουν ἐν τούτῳ δὴ αὐτοῖς, «κύκησε γυνὴ εἰκυῖα θεῇσι», [ταὐτὸν δ’ εἰπεῖν, θεοειδὴς ἢ θεοείκελος,] «οἴνῳ Πραμνείῳ, ἐπὶ δ’ αἴγειον κνῆ τυρὸν κνήστι χαλκείῃ, ἐπὶ δ’ ἄλφιτα λευκὰ πάλυνε, πινέμεναι δ’ ἐκέλευσεν, ἐπεί ῥ’ ὥπλισε κυκειῶ». καὶ τοιοῦτον μὲν τὸ Ὁμηρικὸν τουτὶ χωρίον. τὰ δὲ κατ’ αὐτὸ ἔχει οὕτω. (v. 628) Τὸ μὲν προΐηλεν οὐχ’ ὡς ἀλλαχόθι οὕτω καὶ νῦν τὸ ἁπλῶς προέπεμψε σημαίνει, ἀλλὰ τὸ προέτεινε κατὰ τὸ «χεῖρας ἴαλλον», ἢ τὸ προέθηκεν, ὅπερ καὶ τῷ μέλιτι προσαρμόζει καὶ τῷ κρομύῳ καὶ τῷ ἀλφίτῳ. εἰ μὴ ἄρα τὴν τράπεζαν Ἑκαμήδη μὲν προὔπεμψε, θεράπων δέ τις προέθετο. Πρωτότυπον δὲ τοῦ ἰάλλω τὸ ἰῶ, τουτέστι πέμπω, καθὰ καὶ τοῦ ἀχάλλω τὸ ἄχω πλεονασμῷ τοῦ ς , ὅθεν καὶ τὸ ἄχος καὶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄχνυσθαι, καὶ τοῦ θάλλω τὸ θέω θῶ, ἐξ οὗ καὶ ἄνθος ἐκ τοῦ ἀναθέειν συγκοπέν, καὶ τοῦ ἀγάλλω τὸ ἀγάω ἀγῶ, καὶ τοῦ ἐπὶ βλάβῃ σφάλλω τὸ σφῶ, ἐκ τοῦ φῶ γεγονὸς αὐτό, ἀφ' οὗ προσελεύσει τοῦ ς καὶ τὸ σφάζω καὶ τὸ σφαδάζω καὶ ὁ σφυγμός. οὕτω δὲ καὶ τοῦ ψάλλω πρόεστι τὸ ψῶ, ἐκεῖνο δὲ αὖθις προϋπόκειται τοῦ ψηλαφῶ. ψηλαφᾶν γὰρ κυρίως τὸ ψάλλειν ἐπαφώμενον χορδῶν, ταὐτὸν δ' εἰπεῖν, ψῶντα χειρί. Τράπεζα δὲ δι' εὐφωνίαν ἀφῄρηται τῆς φύσει καταρχούσης συλλαβῆς. τετράπεζα γὰρ τὸ ταύτης ἐντελὲς διὰ τὸ ἐξ ἀρχῆς τετράπουν αὐτῆς, εἰ καὶ ὕστερον συνετμήθη εἰς τριποδίαν, πρὸς ὃ καὶ πέπαικται τὸ «οἴμοι, πῶς ἂν εὕροιμι τρίπουν τράπεζαν;

3.268 » Ὡς δὲ τὸ εὔφωνον τῆς προφορᾶς πολλὰς ἐπιτέμνει λέξεις, δηλοῖ σὺν ἄλλοις μυρίοις καὶ ὁ τὸ τετράδραχμον εἰπὼν τέτραχμον. [Οὕτω δὲ καὶ ἡ συνεκτικὴ τῶν ζῴων φύσησις εἰς τὸ φύσις συγκέκοπται.] (v. 629) Τὸ δὲ «κυανόπεζαν» μετὰ τοῦ τράπεζαν ἔχει μέν τι κάλλους διὰ τὸ ὁμοιοκατάληκτον, δηλοῖ δὲ οὐ μόνον τὴν ἀπὸ κυάνου ἔχουσαν τοὺς πόδας, καθὰ καὶ ἀργυρόπεζα λέγεται ἡ ἐξ ἀργύρου, ἀλλὰ καὶ τὴν ἔχουσαν κυανέαν τὴν πέζαν, ὅ ἐστι τὸν ἔξω κύκλον, καθά φασιν οἱ παλαιοί. αἱ μέντοι κρουπέζαι παρὰ Παυσανίᾳ, ὃ δηλοῖ, ὡς ἐκεῖνός φησι, Βοιώτια ὑποδήματα ξύλινα, ἐκ τῆς κατὰ τοὺς πόδας πέζης γίνονται, ὡς καὶ ἡ ἀργυρόπεζα Θέτις καὶ ἕτερα τοιαῦτα, [ἐν οἷς καὶ ὅτι ἐκ τῆς πέζης, ἀφ' ἧς ἡ ἀργυρόπεζα, γίνεται καὶ τὸ διάπεζον φόρημα, οἷον ἄγαλμα Διονύσου, ἱμάτιον ἔχον πορφυροῦν διάπεζον καὶ ἐπ' αὐτοῦ κροκωτόν.] Τὸ δὲ «ἐΰξοον» διασαφητικόν ἐστι τοῦ καλήν, καλὴ γὰρ ἦν ὡς ἐΰξοος. (v. 630) Τὸ δὲ κρόμυον λέγει ποτῷ ὄψον διὰ τὸ διψητικοὺς ποιεῖν τοὺς προσιεμένους αὐτό, καθὰ καὶ τὰ τραγήματα, καὶ θερμὸν ὂν ὀχλεῖν εἰς ποτὸν πλεῖον. Καὶ ἔστιν ἀστεῖος ὁ λόγος. ἰχθύες μὲν γὰρ καὶ κρέας ὄψον εἰσὶν ἄρτῳ, ἐπεὶ δι' αὐτῶν πλείω καὶ ἡδύτερον τὸν ἄρτον προσιέμεθα, [ὁ δὲ ἅλς καὶ ἄρτῳ καὶ τοῖς ἄλλοις ἐδεστοῖς], κρόμυα δὲ καὶ τραγήματα ὄψον ἂν εἰκότως λέγοιντο τῷ κατὰ γένος οὐδέτερον ποτῷ. ὁ γὰρ πότος, τὸ ἀρσενικόν, συμποσιακὴ ἄλλως λέξις ἐστίν. [(v. 638 s.) Ὅρα δὲ ὡς Ὅμηρος τὸν οἶνον ἐν ἄλλοις ἐκλύειν λέγων καὶ ἀπογυιοῦν ἐνταῦθα μέθοδον παραδίδωσι τοῦ πλείω πίνειν, τεχνίτην τούτου παραδιδοὺς τὸν σοφὸν Νέστορα καὶ τὸν ἰατρὸν δηλαδὴ Μαχάονα, πρὸ δὲ αὐτῶν τὴν Ἑκαμήδην, ἣ μαθοῦσα, ὡς εἰκός, ἐκ τοῦ σοφωτάτου γέροντος τῷ ἰατρῷ Μαχάονι ἀπερίττῳ, οἷα εἰκός, ὄντι δι' εὐταξίαν βίου, ἔτι δὲ καὶ ἀφλεγμάντῳ διὰ τὸ μὴ πλησμίως τρυφᾶν, οὔτε τὸ κακόχυμον τοῦ κρομύου προσελογίσατο, καὶ οἶνον δὲ προσέφερε, ταῖς φλεγμοναῖς ἐναντιώτατον ὄντα, καὶ αὐτὸν Πράμνειον, ὃν ἴδμεν, φασί, παχὺν καὶ πολύτροφον.

3.269 καὶ ἡ προσφορὰ οὐ διψήσεως, φασίν, ἄκος, ἀλλ' ἐμφορήσεως ἕνεκεν, καὶ ταύτης, ὁποία καὶ τῷ Νέστορι προσήρμοττεν ὑγιαίνοντι καὶ οὐ πίνοντι οἶνον, ἀλλὰ στρατιωτικῶς διαιτωμένῳ, καί που καὶ αὐτῷ εὐχομένῳ πίνειν καὶ παίζειν καὶ τὰ δίκαια φρονεῖν. Ἀλλὰ περὶ μὲν τῶν τοιούτων καὶ μετ' ὀλίγα εἰρήσεται. ἐνταῦθα δὲ νῦν μνηστέον, ὅτι περιᾴδεται ἐν κρομύοις τὸ Σαμοθρᾴκιον παρὰ Ἀντιφάνει, καθὰ καὶ τὸ Κύπριον νᾶπυ καὶ τὸ Μιλήσιον κάρδαμον καὶ ὁ Ὑμήττιος θύμος καὶ τὸ Τενέδιον ὀρίγανον.] Ἑτέρως δὲ ὄψον ἁπλῶς φασιν οἱ παλαιοὶ πᾶν τὸ συνάμα σιτίοις ἐσθιόμενον. καὶ γίνεται, φασίν, ἡ λέξις παρὰ τὸ ὀψέ, διότι οὐχὶ ἕωθεν ἀλλ' ὀψὲ τοιαύτας τροφὰς προσεφέροντο, ἢ μᾶλλον, ὅτι ὀψὲ καιροῦ εἰς χρῆσιν ἦλθεν ἀνθρώποις ἡδονῆς χάριν τὸ ὄψον. τὰ πρὸ τούτου γὰρ ἁπλοϊκῶς ἔζων. [Τὸ δὲ εἰπεῖν ὡς ἐκ τοῦ ἕψειν γίνεται τὸ ὄψον, οὐ πάνυ εὐοδοῦται, τά τε ἄλλα, καὶ ὅτι τὸ μὲν ἕψω δασύνεται, τὸ δὲ ὄψον ψιλοῦται. γίνεται δὲ ἐκ τοῦ ἕψειν μᾶλλον ἑψητός, ἔδεσμά τι λεπτῶν ἰχθύων, ἀφύης τυχὸν ἢ ἀθερίνης ἢ τριγλίδων, ὥς φασιν οἱ παλαιοί, ἢ σηπιδίων καὶ καρκινιδίων, ὃς δὴ ἑψητὸς πληθυντικῶς, φασί, λέγεται ὡς ἐπὶ πολύ. ἑψητοὶ γάρ, φασίν, ἰχθύδια ὑπολειπόμενα ἐν διώρυξιν, ὅταν ὁ Νεῖλος ὑποπαύηται τῆς πληρώσεως.] Ἰστέον δὲ καὶ ὡς οἱ ὕστερον ἐπὶ μόνου ἰχθύος τὴν λέξιν ὥρισαν, ὡς καὶ ὁ Ἀθήναιος παρασημαίνεται. ὅθεν καὶ τὸ ὀψάριον, καθάπερ καὶ τέμαχος, ὡς καὶ ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Κωμικὸς δηλοῖ, ἐπὶ μόνων τμημάτων ἰχθυηρῶν παρὰ τοῖς παλαιοῖς ἰδιάζεται. [Ὀψαρίου δὲ πολλαὶ χρήσεις ἐπὶ ἰχθύος παρὰ τοῖς παλαιοῖς. δῆλον δὲ ὅτι καὶ ἐπὶ τοῦ ἁπλῶς προσοψήματος, ταὐτὸν δ' εἰπεῖν κοινῶς προσφαγίου, τὸ προσόψημα λέγεται ὑποκοριστικῷ τύπῳ.] Δῆλον δὲ ὅτι ἀπὸ τοῦ ὄψου καὶ παροψὶς τὸ τρύβλιον λέγεται.

3.270 [Παρὰ μέντοι τῷ Πλάτωνι ποικίλον ὄψον ἡ παροψίς, ὥστε καὶ σκεῦος ἡ παροψὶς καὶ ποιὸν ὄψον. ἐκεῖθεν δὲ καὶ ῥῆμα ὀψᾶσθαι, ὡς βᾶσθαι, καὶ εὐοψία ἡ τῶν ὄψων εὐπορία, καὶ ἡ ἀνάπαλιν ἀνοψία κατὰ τὸ «δεινῶς πάνυ τὴν ἀνοψίαν φέροντας». φαύλη δὲ σύνθεσις ὄψου οὐ μόνον τὸ ἀσυμμέτρως ὀψωνεῖν κατὰ τὸν κωμῳδούμενον ὀψωνεῖν τὰς Νηρηΐδας διὰ τὸ πολυτελὲς τῆς τῶν ἰχθύων ἐξωνήσεως, ἀλλὰ καὶ τὸ ὀψοφαγεῖν, ὅπερ ἐστὶ παρὰ τὸ δέον ὄψοις χρᾶσθαι, οὗ ἕνεκεν ἤρεσεν ὀψονόμους Ἀθήνησιν αἱρεῖσθαι ὑπὸ τῆς βουλῆς δύο ἢ τρεῖς. Δῆλον δὲ ὅτι τοῦ ὀψοφάγου ἐπίτασις ὁ ὀψοφαγίστατος, οἷον «ὀψοφαγίστατος καὶ βλακίστατος», ἃ δὴ λέγεται κεῖσθαι παρὰ Σοφοκλεῖ, ἐν οἷς ὅρα διπλῆν ὑπέρθεσιν. τὸ γὰρ «ὀψοφάγιστος καὶ βλάκιστος» ἐπετάθη πάλιν διὰ τοῦ τατος . τοιαῦτα δὲ καὶ τὸ λαγνίστατος λαλίστατος κλεπτίστατος. Ὅτι δὲ τοῦ ἰχθύος ἐκνικήσαντος ὄψου λέγεσθαι διὰ τοὺς ἐπιμανῶς ἐσχηκότας περὶ τοιαύτην ἐδωδὴν ὀψοφάγοι ἐλέγοντο οἱ περὶ τὴν ἰχθυοπωλίαν ἀναστρεφόμενοι, οὐ μὴν οἱ βουθοῖναι καθ' Ἡρακλῆν, ὅς, φασί, τοῖς βοείοις κρέασιν ἐπήσθιε σῦκα χλωρά, οὐδὲ οἱ φιλόσυκοι, ὁποῖος ἦν Πλάτων ὁ φιλόσοφος, οὐδὲ οἱ κατὰ τὸν Ἀρκεσίλαν φιλοβότρυες, ὁ Ἀθήναιος γράφει λέγων καί, ὅτι βρώσεως ἥδυσμα τὸ ὄψον, καὶ ὅτι κυρίως ὄψον τὸ πυρὶ σκευαζόμενον εἰς ἐδωδήν. ἤτοι γὰρ ἕψον ἐστί, φησίν, ἢ παρὰ τὸ ὀπτᾶσθαι ὠνόμασται. Εἰ δὲ πρὸς τὸ εἶναι τὸ ὄψον ἐκ τοῦ ἕψειν ἐναντιοῦσθαι τὸ πνεῦμα δοκεῖ, ἐνθυμητέον ὡς οὕτω ἕπω μὲν τὸ ἀκολουθῶ δασύνεται, ὀπαδὸς δὲ ὁ ἐξ αὐτοῦ γενόμενος ψιλοῦται. προσλογιστέον δὲ καὶ ὅτι τὸ μὲν ἅμα δασύνεται, ἄμια δὲ ἰχθύς, ὠνομάσθαι δοκοῦσα παρὰ τὸ ἅμα ἰέναι ταῖς ὁμοειδέσι, ψιλοῦται. συναγελαστικὸν δὲ καὶ ἡ ἄμια, ὅθεν διὰ τὸ καινὸν τοῦ πνευματισμοῦ Ἀθήναιος ψιλοῖ τὸ κατάρχον α ὡς στερητικόν. οὐ γὰρ κατὰ μίαν φέρονται, ἀλλ' ἀγεληδὸν ἵενται.

3.271 Ἔτι πρὸς τοῖς εἰρημένοις περὶ ὄψου ἰστέον καὶ ὅτι ὄψον ποτῷ καὶ ὄψον σίτῳ οἱ μὲν ἄλλοι θεωροῦσιν ἐν βρώμασι, Σωκράτης δὲ ἄλλως αὐτὰ ἐκαρύκευεν, ὃς διαπεριπατῶν, φασίν, ἑσπέρας βαθείας πρὸ τῆς οἰκίας πρὸς τοὺς πυνθανομένους «τί τηνικάδε, ὦ Σώκρατες», ἔλεγεν ὄψον εὑρίσκειν πρὸς τὸ δεῖπνον, αἰνιττόμενος ὅτι ὄψον δείπνῳ τὸ γυμνάσιον, παρασκευάζον ἡδεῖαν τὴν τροφήν. Ἔτι γνωστέον καὶ ὅτι, ἐπεὶ πρὸς ἥδυσμα, ὡς προερρέθη, βρώσεως ἐπινενόηται τὸ ὄψον, οὐ κατὰ τὸν ἄρτον, οὐ μὴν οὐδ' εἰς πλεῖον χρηστέον αὐτῷ, ἵνα μὴ ἀκούσῃ ποθὲν ὁ τοῦτο ποιῶν τὸ «ὦ παρόντες, τίς ὑμῶν τῷ μὲν ἄρτῳ ὡς ὄψῳ χρῆται, τῷ δ' ὄψῳ ὡς ἄρτῳ», ὅπερ ἔφη Σωκράτης πρός τινα χρώμενον ἀμέτρως τῇ ἐποψήσει. Καὶ ὅρα τὴν ἐπόψησιν τὴν αὐτὴν οὖσαν τῷ ὄψῳ καὶ τῷ προσοψήματι. Ὅτι δὲ καὶ τὸ ἐπιμανῶς ἔχειν πρὸς τὸ κατ' ἰχθύας ὄψον οὐ τῶν παλαιῶν ἦν ἀνδρῶν, ἀλλὰ τοῖς μεθ' Ὅμηρον ἐπεχωρίασε, δηλοῖ, φασίν, ὁ Γαδαρεὺς Μελέαγρος, τὸν Ὅμηρον εἰπὼν Σύρον ὄντα, κατὰ τὰ ἐκείνῳ πάτρια ἰχθύων ἀπεχομένους ποιῆσαι τοὺς ἀρχαίους, ἥρωας δηλαδή. ἑτεροίων γάρ τινων λόγος ἄρτι οὐδείς, ὧν ἐν τοῖς μάλιστα τὸ τῶν ἰχθυοφάγων γένος.] (v. 631) Μέλι δὲ χλωρὸν ἢ τὸ ὠχρὸν ἢ τὸ ὑγρὸν ἢ τὸ πρόσφατον, ἤτοι νεοτρύγητον. [Πολλὴ δὲ ἡ χρῆσις τοῦ μέλιτος παρὰ τοῖς παλαιοῖς, εἴγε καὶ Ἀριστόξενος ὁ Κυρηναῖος φιλόσοφος θρίδακα ἐν κήπῳ οἰνομέλιτι ποτίζων ἑσπέρας καὶ ὑπὸ τὴν ἕω λαμβάνων χλωροὺς ἔχειν ἔλεγε πλακοῦντας. ὡς δὲ καὶ τρόφιμον τὸ μέλι, Πυθαγόρας μαρτυρεῖ, ὃς εὐτελέστατα διαβιοὺς πολλάκις μέλιτι μόνῳ ἠρκεῖτο. Μέλη δὲ διὰ τοῦ ἦτα κατὰ θῆλυ γένος ποτηρίου εἶδος ἦν, ὡς ἐν τοῖς Ἀθηναίου φέρεται, καὶ ἴσως παρὰ τὸ μέλος, ὃ δηλοῖ τὴν ᾠδήν, ἐπεὶ καὶ ᾠδός παρὰ τῷ αὐτῷ ποτήριόν τι.] Ἀλφίτου δὲ ἀκτή οὐ μόνον περιφραστικῶς ὁ ἄρτος, ὃν καὶ ἄλφιτα καλὰ μετ' ὀλίγα φησίν, ἀλλὰ καὶ μάλιστα τὸ ἄλευρον, παρὰ τὸ ἄγω, τὸ κλῶ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.272 διὸ καὶ κάταγμα ἑρμηνεύουσι τὴν ἀκτὴν οἱ παλαιοί. λέγοιτο δ’ ἂν οὕτω καὶ κλάσμα. καὶ ἔστιν οὕτω κρεῖττον νοῆσαι ἤπερ ἐπὶ ἄρτου, ὡς δηλοῖ κατωτέρω καὶ τὸ «ἐπὶ δ’ ἄλφιτα λευκὰ πάλυνεν», ὅ ἐστιν ἐπέπασεν, ἀφ’ οὗ καὶ πάλη καὶ παιπάλη καὶ τὸ παίπαλον, ὡς ἀλλαχοῦ εἴρηται. Ἔνθα ὅρα ὅτι καὶ ἄλφιτον ἑνικῶς εἶπε καὶ ἄλφιτα πληθυντικῶς. Ὅτι δὲ καὶ οὐχ’ ἁπλῶς ἄλφιτον τὸ ἄλευρον, ἀλλὰ κυρίως τὸ κρίθινον, πολλοὶ λέγουσιν, ὁμοίως καὶ ὡς ἀκτὴ ἡ δωρεά, ἣν δηλαδὴ ἄγεταί τίς ποθεν, ἢ καὶ ὡσανεὶ μακτὴ ἀπὸ τοῦ μάττειν, ὅθεν καὶ ἡ μάζα καὶ ἡ μάκτρα. [Ὡς δὲ καὶ ἀπὸ τοῦ προῆχθαι ἤγουν προτετιμῆσθαι τῶν ἄλλων τροφῶν ἡ τῆς Δήμητρος ἐρρέθη ἀκτή, καὶ ἀλλαχοῦ δεδήλωται. δύναται δὲ οὕτω λεχθῆναι καὶ διὰ τὸ κατ’ αὐτὴν ἐπαγωγόν.] Ἰστέον δὲ καὶ ὡς οἱ μὲν ἀλφίτου ἱεροῦ γράφουσιν ἀκτήν, οἱ δὲ ἱερὸν ἀκτὴν Ἀττικῶς καθ’ ὁμοιότητα τοῦ κλυτὸς Ἱπποδάμεια, καὶ «χρειὼ ἱκάνεται οὐκέτ’ ἀνεκτός», καὶ ὅτι ἀλλαχοῦ «Δημήτερος ἀκτήν» λέγει, καὶ ὡς ἔνιοι ἀρσενικῶς τὸν ἱερὸν ἀκτὴν λέγουσιν. [Ἀληθῶς γὰρ διφορεῖται κατὰ γένος τὸ ἀκτήν, καὶ προφέρεται μὲν καὶ ἀρσενικῶς ὁ ἀκτής κατὰ τὸ ταρακτής, ὃ κεῖται παρὰ Λυκόφρονι. μάλιστα δέ, φασί, κατὰ γένος θῆλυ λέγεται ἡ ἀκτή, ὡς δηλοῖ σὺν ἄλλοις καὶ Εὐριπίδης ὁ γλυκὺς εἰπὼν «καίτοι τί δεῖ, πλὴν δυοῖν μόνων, Δήμητρος ἀκτῆς πώματός θ’ ὑδρηχόου, ἅπερ πάρεστι καὶ πέφυχ’ ἡμᾶς τρέφειν;» ἤγουν τί χρεία περιουσιασμοῦ πλὴν ἄρτου καὶ ὕδατος, δι’ ὧν ἔστι τρέφεσθαι.] Ἱερὸν δὲ τὸ ἄλφιτον, ὡς καὶ ἀλωὴ ἱερά, διὰ τὸ ζωοποιὸν τῶν ἐκεῖθεν τρεφομένων. δῆλον δὲ ὡς καὶ ἐπὶ ἄρτου τὸ ἄλφιτον καὶ ἐπὶ πάσματος λέγεται, ὡς καὶ ἐνταῦθα φαίνεται καὶ ἀλλαχοῦ δεδήλωται.

3.273 ἐξ αὐτοῦ δὲ καὶ ἀλφιτόχρως κεφαλὴ κατὰ τοὺς παλαιοὺς ἡ πολιά. ἦν δέ, φασί, καὶ ἀλφίτων στοὰ ἐν Ἀθήναις, ἐν ᾗ καὶ ἡ τοῦ Ζεύξιδος ἀνέκειτο Ἑλένη. Γίνεται δὲ ἄλφιτον, ὡς καὶ ἐν Ὀδυσσείᾳ φαίνεται, ἢ παρὰ τὸ ἀλῶ, τὸ ἀλήθω, καὶ τὸ φῶ, τὸ φονεύω, τὸ οἱονεὶ πεφασμένον ἐν τῷ ἀλήθεσθαι. διὸ καὶ μυλήφατον λέγεται. ἢ παρὰ τὸ ἄλφω, τὸ εὑρίσκω, καὶ τὸ ἴτης, ὁ πτωχός, τὸ τοῖς ἴταις εὑρισκόμενον. ἄλφιτον γάρ, φασί, κυρίως κρίθινον πίτυρον. τινὲς δὲ ἁπλούστερον ἄλφιτόν φασι τὸ ἐκ πεφρυγμένων κριθῶν, παρὰ τὸ ἀλφῶ τὸ πρῶτον ἐφευρεθέν. Προεύρηται γὰρ τῶν σπορίμων ἡ κριθή. διὸ καὶ οὕτω κέκληται, ὡς πολλαχοῦ λέγεται, οἷα τῇ αὐτῆς χρήσει διακρίνασα τῶν ἀγρίων ζῴων τὸν ἄνθρωπον. [Δοκεῖ δὲ ἡ τοῦ ἀλφίτου γραφὴ κατὰ τὸ ἀκόνιτον εἶναι. ὡς γὰρ ἐκ τοῦ κονῶ, τὸ ἐνεργῶ, ἀκόνιτον φάρμακον, καθ’ οὗπερ οὐκ ἔστιν ἐνεργῆσαί τι διὰ τὸ ἐκείνου δραστήριον, οὕτω καὶ παρὰ τὸ ἀλφῶ, ὡς ἐρρέθη, τὸ ἄλφιτον. τοιαύτη δέ τις παραγωγὴ ἐκ τοῦ μονῶ καὶ δωρῶ καὶ κτῶ παρήγαγε καὶ τὸν παρὰ Λυκόφρονι Μόνιτον καὶ τὸν Θεοδώριτον καὶ τὸν Ἐπίκτιτον τὰ κύρια. (v. 632) Δέπας δὲ περικαλλὲς οὐ τὸ ἁπλῶς ἀλλὰ λίαν καλὸν διά τε τὴν κατ’ αὐτὸ τιμίαν ὕλην καὶ τὸ περιττὸν τῆς κατασκευῆς. εἰ δὲ μὴ ἐς τὸ πᾶν χρύσεον ἦν τὸ ποτήριον, ἀναληπτέον εἰς νοῦν ὅτι κατὰ τὴν παλαιὰν ἱστορίαν σπάνιος μὲν ἦν παρ’ Ἕλλησιν ὁ ἄργυρος, ὁ δὲ χρυσὸς καὶ πάνυ.

3.274 διὸ Φίλιππος, ὁ τοῦ μεγάλου Ἀλεξάνδρου πατήρ, φιάλιον χρυσοῦν ἔχων ἀεὶ τοῦτ’ εἶχε κείμενον εἰς τὸ προσκεφάλαιον. καὶ τὴν Ἀτρέως δὲ χρυσῆν ἄρνα φιάλην ἀργυρᾶν φασι γεγονέναι, ἧς ἐν μέσῳ χρυσοῦν ἦν ἀρνίον. καὶ ὁ τῆς Ἐριφύλης δὲ ὅρμος ἐξηκούσθη διὰ τὴν τότε σπάνιν τοῦ χρυσοῦ. καινὸν γὰρ ἦν τότε ἰδεῖν ἀργυροῦ ποτήριον, ἐκ ποτηρίων δὲ χαλκῶν ἔπινον οἱ σφόδρα ὄλβιοι. συληθέντος δέ, φασί, τοῦ Πυθικοῦ ἱεροῦ ὑπὸ Φωκικῶν τυράννων, ἐν οἷς καὶ Φάϋλος καὶ Φάλαικος δοκοῦσιν εἶναι, ὁ χρυσὸς ἐπέλαμψε παρ’ Ἕλλησιν, εἰσεκώμασε δὲ καὶ ὁ ἄργυρος. ὕστερον δὲ τοῦ μεγίστου Ἀλεξάνδρου τοὺς ἐκ τῆς Ἀσίας ἀνελομένου θησαυρούς, ὄντως ἀνέτειλεν ὁ κατὰ Πίνδαρον εὐρυσθενὴς πλοῦτος. Ταῦτα ὁ Ἀθήναιος, λέγων καί, ὅτι ἀνάργυρός ποτε καὶ αὐτὸς ἦν ὁ Πύθιος, ἔτι δὲ καὶ ἄχρυσος, ἕως τὰ ἐν Δελφοῖς ἀργυρᾶ καὶ χρυσᾶ ἀναθήματα ὑπὸ τοῦ πρώτου βασιλέως Λυδῶν Γύγου ἀνετέθησαν. ἅπερ ὕστερον οἵ τε εἰρημένοι Φωκικοὶ τύραννοι καὶ σὺν αὐτοῖς Ὀνόμαρχος ἐξεκόμισαν εἶτ’ οὖν ἐξεφόρησαν, προσθετέον δ’ ὅτι καὶ διεφόρησαν. Ἔτι ἰστέον καί, ὅτι σπουδὴν εἶχον οἱ παλαιοὶ περὶ τὰ πολυτελῆ ποτήρια ὡς

λόγου ἄξια. διὸ καὶ ἐν Ἀχαΐᾳ Δημήτηρ, φησί, ποτηριοφόρος ἐτιμᾶτο, καὶ ὅτι ὡς οἷα φιλοδεπαστὴς ὁ γέρων Νέστωρ ἐν τῷ Ἐπιταφίῳ γέρας πρὸς τοῦ βασιλέως φιάλην εὐτυχεῖ τιμίαν εἰς ἔπαθλον ἀρετῆς, ὡς εἴρηται, καὶ ὅτι συντελεῖ τι ἐς τὸ «ἐπὶ δ' ἄλφιτα λευκὰ πάλυνε» καὶ τὸ «οἶνον ἀπαλφιτίζοντες ἔπινον», ὃ δὴ παρὰ τῷ Ἀθηναίῳ κεῖται.] (v. 632) Τὸ δὲ «οἴκοθεν» πλούσιον ἀνέκαθεν ἐκ προγόνων εἶναι δηλοῖ τὸν μὴ ἐκ Τροίας γέρας κτησάμενον τὸ ῥηθὲν δέπας, ἀλλ' ἐξ Ἑλλάδος ἔχοντα. Εἰς δὲ τὸ ποτήριον τοῦτο πολλοὶ τοῖς παλαιοῖς ἐχέθησαν λόγοι. καὶ πέπλησται νέκταρος φιλοσοφίας. διὸ καὶ δοκεῖ ἐπισημήνασθαι Ὅμηρος οἴκοθεν αὐτὸ ἄγειν τὸν γεραιὸν καὶ μὴ Τρωϊκὸν εἶναι λάφυρον, ὡς μὴ ἂν τῶν Τρώων οἵων τε ὄντων τοιαῦτα σοφίζεσθαι. καὶ τοίνυν γέγονεν εἰς αὐτὸ ποικίλος λογομαχίας κυκεών, καὶ ὅσα μὲν εἰς πλάτος ἐρρέθη, περιττὸν ἀνακυκᾶν. Ὡς ἐν βραχεῖ δὲ εἰπεῖν, τοιαῦτά τινα ἐδοξάσθη περὶ αὐτοῦ.

3.275 Τῶν ποτηρίων τινὰ μὲν ἕνα, φασίν, ἔχει πυθμένα, [τὸν φυσικὸν καὶ συγκεχαλκευμένον τῷ ὅλῳ, ὡς τὰ κυμβία, φασί, καὶ τὰ τὴν ἰδέαν φιαλώδη,] τινὰ δὲ δύο, ἕτερον ἐξ ἑτέρου κατὰ τοὺς παλαιούς, ἤγουν ἕνα, εἰς ὃν περατοῦται τὸ ποτήριον, καὶ ἕτερον πρόσθετον, ἀπὸ ὀξέος ἀρχόμενον καὶ λήγοντα εἰς πλατύτερον, ἐφ' οὗ ἵσταται τὸ ἄνω ποτήριον. τοιοῦτον, φασί, καὶ τὸ τοῦ Νέστορος ποτήριον. (v. 635) Διὸ καὶ Ὅμηρός φησι «δύο δ' ὑπὸ πυθμένες ἦσαν», ἵνα λέγῃ ἐν δυσὶ μέρεσι λόγου, ὅτι ὑπὸ τῷ [συνθέτῳ] ποτηρίῳ δύο ἦσαν πυθμένες, ὁ φύσει καὶ ὁ πρόσθετος. Καὶ μὴν ἄλλοι ὡς ἓν μέρος λόγου τὸ ὑποπυθμένες ἀναγινώσκουσι, λέγοντες ὅτι δύο πελειάδες ὑποπυθμένες, ὅ ἐστιν ὑπὸ τὸν πυθμένα, ἦσαν τὸ ποτήριον ὑπανέχουσαι. ἔδει δὲ ἴσως ἐν τῇ τοιαύτῃ ἀναγνώσει προπαροξύνεσθαι διὰ τὴν σύνθεσιν τὸ ὑποπύθμενες, ὡς τὸ ἐριαύχενες, εἰ καὶ ἄλλως πάλιν ἡ αὐτὴ ἔννοια ἐν δυσὶ λόγου μέρεσι σῴζεται, ἵνα λέγῃ ὅτι δύο περιστεραὶ ὑπὸ πυθμένες' ἦσαν, ἤγουν πυθμένεσιν, ἐκθλιβομένου τοῦ ι τῆς δοτικῆς. Αἱ δὴ πελειάδες καὶ νεμέθεσθαι λέγονται διὰ τὸ τῆς πλαστικῆς ἔντεχνον, ὡς δοκοῦσαι κατὰ νομῆς λόγον ἐπικύπτειν. [Ἰστέον δὲ ὅτι Ἀθήναιος τὴν περὶ τῆς διπύθμενος κύλικος ἔννοιαν οὕτω φράζει. Τῶν ποτηρίων τινὰ μὲν ἕνα πυθμένα ἔχει, ὡς ἐρρέθη, τινὰ δὲ δύο, ὡς τὰ ᾠοσκύφια, περὶ ὧν ἐκεῖνος γράφει, καὶ τὰ καρχήσια, καὶ αἱ Σελευκίδες, καὶ εἷς μὲν πυθμὴν ὁ κατὰ τὸ κύτος συγχαλκευθεὶς τῷ ἀγγείῳ, ἕτερος δὲ ὁ πρόσθετος, ἀπὸ ὀξέος ἀρχόμενος καὶ καταλήγων εἰς πλατυτέραν στάσιν, ὁποῖον, φησί, καὶ τὸ τοῦ Νέστορος. καὶ ἄλλως δέ, φησί, δύο πυθμένας ἔστιν ὑποθέσθαι, τὸν μὲν οἷον τὸν ὅλον φέρειν ὄγκον τοῦ ποτηρίου, ἔχοντα κατὰ μείζω κυκλοειδῆ περιγραφὴν ἔξαρσιν ὕψους σύμμετρον, τὸν δὲ κατ' ἐλάττω κύκλον συνεχόμενον ἐν κύκλῳ μείζονι, καὶ τὰ ἑξῆς, ἐν οἷς κώθωνι παρεοικέναι τὸ τοιοῦτον ἔκπωμα φαίνεται. Ὁ δ' αὐτὸς τὸ παρὰ τοῦ εἰρημένου Διονυσίου τοῦ Θρᾳκὸς λεγόμενον σκευασθῆναι ποτήριον σκύφον εἶναι λέγει, παρακειμένως ἔχοντα τὰ ὦτα καθάπερ αἱ δίπρῳροι τῶν νεῶν, περὶ δὲ τὰ ὦτα τὰς περιστεράς.] Ἕτεροι δὲ διαπλάττουσι τὸ ῥηθὲν ποτήριον κατὰ τοὺς νῦν κώθωνας, ὧν δύο οἷόν εἰσι πυθμένες, ἥσσων ὑπὸ μείζονος περιεχόμενος, ἤγουν ὁ μὲν ἐν μείζονι περιοχῇ κατωτάτω, ὁ δὲ ἐλάττων ἀνωτέρω.

3.276 ἔνθα σφηκοῦταί πως ὁ κώθων σφιγγόμενος καί, ὡς εἰπεῖν, πνιγόμενος, ὅπου καὶ κοσκινοειδεῖς πολλάκις ἠθμοὶ ὡς οἷόν τινες πυθμένες γίνονται. Διονύσιος δὲ ὁ Θρᾷξ, ὡς Ἀθήναιος ἱστορεῖ, τὴν Νεστορίδα ταύτην [ἐν Ῥόδῳ] κατεσκεύασε κύλικα, συνενεγκάντων αὐτῷ τῶν μαθητῶν τὸ ἀργύριον, ὑποθεὶς μὲν κάτω βάσιν δύο ῥοπάλια πλάγια διὰ μήκους, ἃ καὶ εἶναι τοὺς παρ' Ὁμήρῳ δύο πυθμένας, ἄνω δὲ ἐπιστήσας τὸ ποτήριον. καί φασιν ἐν Καπύῃ πόλει Καμπανῶν ἀνακεῖσθαι [Ἀρτέμιδι] ποτήριον ἐν τοιούτῳ σχήματι, ὃ λέγεσθαι εἶναι τοῦ Νέστορος. Οἱ δὲ τριηροειδὲς τὸ ποτήριον εἶπον εἶναι καί, ἰδιωτικῶς εἰπεῖν, χελανδοειδές, ἐπεὶ καὶ ἄκατος παρὰ τοῖς παλαιοῖς φιάλη πλοιοειδής, καί πως περὶ τὰ μέσα συναγόμενον καὶ στενούμενον φαντασίαν ἔχειν δύο πυθμένων. διὸ καὶ τεσσάρων ὤτων δεῖσθαι διακειμένων, φασί, κατὰ σχῆμα διπλοῦ ω ἤτοι μεγάλου. συνηρτημένα γὰρ ἀλλήλοις κυκλοτερῆ δύο ἐξ ἑνὸς μέρους καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δύο ἑτέρωθεν, εἶτα διΐσταντο εἰς πλάγιον, ἵνα εὐρύτεραι ὦσιν αἱ τοῦ ποτηρίου λαβαί, καὶ οὕτως ἀπετέλουν τὸ σχῆμα τοῦ μεγάλου ω . ἢ καὶ ἄλλως, οὔατα τῷ ποτηρίῳ τέσσαρα ἦσαν οὕτω, δύο μὲν ἄνω ἐξ ἀμφοῖν τοῖν μεροῖν, ἄλλα δὲ δύο πάλιν ἀμφοτέρωθεν κατὰ μέσον τὸ κύρτωμα. Οἱ δὲ περὶ Ἀρίσταρχον αὐτὸ τὸ ποτήριον ω μέγα εἶναί φασιν, ὁποῖον ἴσως τὸ κατὰ δύο υ ἐσχηματισμένον, ἐξ οὗ διπλοῦ ὄντος κατὰ διάμετρον ἔδει πίνειν.

3.277 δεδιπλασμένον γὰρ ἦν, φασί, τὸ ποτήριον καὶ οἱονεὶ ἐκ δύο σύνθετον καὶ διὰ τοῦτο δύο πυθμένας ἔχον καὶ ὦτα τέσσαρα. τὰ γὰρ ἁπλᾶ μονοπύθμενά τέ εἰσι καὶ ἄμφωτα. Ὥσπερ δὲ τὸ ποτήριον, οὕτω καὶ τὰς περὶ αὐτὸ πελειάδας πολυλογοῦντες οἱ παλαιοὶ οἱ μὲν περιστεράς φασιν ἐντετορευμένας, ὡς εἰκός, εἶναι ταῖς τοῦ ποτηρίου λαβαῖς ἐπικυπτούσας, ὡς εἴρηται, καὶ δοκούσας οἷον τῷ σχήματι νέμεσθαι, καὶ αὐτὰς ἢ τέσσαρας, μίαν δηλαδὴ καὶ μόνην ἰδίᾳ περὶ ἕκαστον τῶν τοῦ ποτηρίου τεσσάρων ὤτων, ἐὰν διεστῶτα ἦσαν ἀλλήλων πάντῃ τὰ ὦτα κατὰ τὸν Ἀρίσταρχον, ἢ δύο μὲν ἐπικαθημένας τῇ τῶν δύο ὤτων συναρτήσει, ἑτέρας δὲ δύο ἐν τῇ λοιπῇ τῶν ὤτων συγκολλήσει. Ἢ τοίνυν οὕτω τέσσαρας εἶναι, ἢ ὀκτὼ καθ' ἑτέρους, ὡς τεσσάρων μὲν ὄντων, δύο δὲ πελειάδων ἀμφὶς ἕκαστον, ἤγουν ἀμφὶ ἓν ἕκαστον, ἐπικαθημένων. εἰ δὲ καὶ ὑπὸ τὸν πυθμένα νοηθεῖεν δύο πελειάδες εἶναι, καθά τινες βούλονται, καὶ προστεθεῖεν αὗται ἢ ταῖς τέσσαρσιν ἢ ταῖς ὀκτώ, εἶεν ἂν καθ' ἕτερον λόγον ἢ ἓξ αἱ τοῦ ποτηρίου πελειάδες ἢ δέκα, ὥστε ἀμφίβολον εἶναι τὴν τῶν πελειάδων τούτων ἀγέλην, ὅση τις ἂν εἴη τὸν ἀριθμόν. Τινὲς δὲ τὰς πελειάδας ταύτας κόρας νοοῦσιν, [εἴτε ἀνθρωποειδεῖς εἴτε ὀρνιθοφυεῖς αὐτὰς εἶναί τις βούλοιτο,] ἄστροις πεποικιλμένας ἄλλοις τε καὶ ταῖς Πλειάσιν, αἳ λέγονται καὶ Πελειάδες ὑπό τινων, ὡς ἐν πολλοῖς φαίνεται. διὸ οὐκ ὤκνησάν τινες ἐνταῦθα πελειάδας αὐτὸ τὸ ἄστρον τὰς Πλειάδας νοῆσαι, κατασκευάζοντες τὸν λόγον διὰ πολλῶν, οἳ καὶ τὸ ὅλον ποτήριον εἰς τὸν κόσμον ἀλληγοροῦσιν, ὡς καὶ Ἀσκληπιάδης ὁ Μυρλεανός, ἤγουν ὁ ἐκ τῆς Φρυγιακῆς Μυρλείας τῆς νῦν Ἀπαμείας, ἀνασκευάσας οἷον τὸ Ὁμηρικὸν ποτήριον καὶ τὸ τῆς ὕλης πάχος μετασκευάσας καὶ μεταγαγὼν εἰς ἀλληγορίας λεπτότητα, διά τε τὸ σφαιροειδές, φησί, τοῦ ποτηρίου, οἷος καὶ ὁ κόσμος, καὶ τὸ τῶν ἥλων χρυσοειδές, καθὰ καὶ οἱ ἀστέρες, καὶ τἄλλα οἷα πολλὰ λέγει ἐκεῖνος, ἃ καὶ ὁ βουλόμενος ἀναλεγέσθω ἐκεῖθεν.

3.278 Σωματικῶς μέντοι εἴπερ χρύσεοι τῷ ποτηρίῳ ἧλοι, καὶ πελειάδες χρύσειαι, καὶ αὐτὸ δὲ οὐχ' ἁπλῶς καλὸν κατὰ τὴν ἐΰξοον τράπεζαν, ἀλλὰ περικαλλές, χρύσεον, ὡς εἰκός, καὶ αὐτὸ ὅλον εἶναι δόξοι ἂν ἴσως, [ἤγουν ἀλλὰ] μηδέν τι ἔχον χαλκοῦ κατὰ τὸ κάνεον, ὅπερ ὑπόκειται τῷ κρομύῳ καὶ τοῖς αὐτῷ ἐφεξῆς, πολυτελέστερον ὂν ἐκεῖνο ἤπερ οἱ τῶν κρεῶν πίνακες ἐν Ὀδυσσείᾳ, [ὧν ὑποκόρισμα παρὰ τοῖς ὕστερον οὐ μόνον τὸ κοινῶς πινάκιον, ἀλλὰ καὶ ὁ πινακίσκος καὶ τὸ πινακίσκιον, ὥσπερ καὶ τοῦ κάνεον τὸ κανίσκιον, οἷον «τὰ δὲ κανίσκια ἦν ἅπαντα χρυσᾶ», ὡς γράφει Ἀθήναιος. (v. 633) Ἰστέον δὲ ὅτι τε τὸ χρύσειον καὶ χρύσεον οἶδε λέγεσθαι, ὡς τὸ «χρυσέῳ ἀνὰ σκήπτρῳ», καὶ ὅτι τὸ «χρυσείοις ἥλοις», ὥσπερ καὶ τὸ «πελειάδες χρύσειαι», δηλοῦσι μὴ ὁλόχρυσον εἶναι τὸ προκείμενον δέπας. τί γὰρ ἐχρῆν παγχρύσου ὄντος ἐπισημήνασθαι χρύσεα εἶναι τούς τε ἥλους καὶ τὰς πελειάδας, ὅπου τὸ πᾶν ἦν χρυσοῦν; οὐκοῦν ἀργυρέου τοῦ λοιποῦ ὑποκειμένου διάφοροι πρὸς αὐτὸ ἦσαν οἱ ἧλοι καὶ αἱ πελειάδες, τὰ χρύσεα; καὶ ὅτι ἡ Νεστορὶς ἢ ἔξω εἶχε τοὺς χρυσοῦς ἥλους ἐμπεπαρμένους τέχνῃ ἐμπαιστικῇ κατὰ τὸ Ἀχίλλειον σκῆπτρον καὶ τὸ βασίλειον ξίφος, ὡς ἐν τοῖς τοῦ Ἀθηναίου κεῖται, ἢ ἐξοχὴ ἦν τις ὀλίγη τοῖς κολαπτῆρσιν ἐπηρμένη καὶ κεφαλίδας ἥλων ἐμφαίνουσα, οὐ προσκειμένας ἔξωθεν διὰ τὸ ἡλῶσθαι, ἀλλὰ προεχούσας ὀλίγον τι μετεώρους ἔξω τῆς ἐπιφανείας καὶ ἐοικυίας ἐμπεπαρμένοις. Ὁ δὲ Ἀθήναιος λέγει καί, ὅτι ὕστερον ἡ τρυφὴ καὶ πόδας ἐκόσμει χρυσέοις ἥλοις, εἰς τοσοῦτον δηλαδὴ τὸ τίμιον ταπεινώσασα. ἑταῖρος γοῦν τις Ἀλεξάνδρου, Ἄγνων καλούμενος, χρυσοῦς ἥλους ἐν ταῖς κρηπῖσι καὶ τοῖς ὑποδήμασιν ἐφόρει. ἔνθα σημείωσαι καὶ ὅτι διαφέρουσιν ἀλλήλων κρηπῖδες καὶ ὑποδήματα.

3.279 Αἱ δὲ πελειάδες τὸ ζῷον, ὧν πρωτόθετον ἡ πέλεια, δοκοῦσι παρὰ τὸ πελόν ἢ πελιόν γενέσθαι, δι' οὗ δηλοῦται τὸ μέλαν, ἀφ' οὗ καὶ ὁ πελαργὸς κεχρωσμένος κατά τε τὸ τοιοῦτον πελὸν καὶ τὸ ἀργόν, ὅπερ ἐστὶ λευκόν. μέλανα γὰρ αὐτὸν καὶ λευκὰ πτερὰ πυκάζουσιν. Ὡς δὲ διαφορά τίς ἐστι τοῦ αὐτόχρημα μέλανος πρὸς τὸ πελιὸν ἤτοι πελιδνόν, ἑτεροιοῦνται γάρ πως, δῆλον ἐκ τοῦ «μύκητες ἀνοίκειοι οἱ μέλανες καὶ πελιοὶ καὶ σκληροί».] Τὰ δὲ οὔατα τὸ πρωτότυπόν ἐστι τοῦ ὦτα, ἐκεῖθεν γὰρ τὰ ὦτα κατὰ ἔκθλιψιν καὶ κρᾶσιν. οὕτω δὲ καὶ τὸ ὧς ἐκ τοῦ οὖας, ἀφ' οὗ παρὰ τοῖς παλαιοῖς ἑτερούας ὁ μόνωτος. [Εὔλογος δὲ πάντως κἀνταῦθα ἡ ἀπέλευσις τοῦ υ στοιχείου, ὡς καὶ ἐν τῷ τοὺς Μενελάους τοὺς Μενέλεως, πλὴν ἐκεῖ μὲν διὰ μόνην καλλιφωνίαν, ἐπὶ δὲ τοῦ οὔατα ὦτα διὰ εὐόδωσιν κράσεως. Εἴη δὲ ἂν διὰ τὰ ῥηθέντα οὔατα ὠτῶεν τὸ τοῦ Νέστορος δέπας, ὥς που καὶ λέβητες ὠτώεντες, ἔτι δὲ καὶ οὐατόεν, καθὰ καὶ Σιμωνίδης «οὐατόεντα σκύφον» ἔφη. οὕτω δὲ πάντως καὶ «θὴρ οὐατόεις» παρὰ Καλλιμάχῳ ὁ ὄνος ἐκ τῆς αὐτῆς λέξεως. αὐτὸς μέντοι οὐ διὰ τὸ ἔχειν ἁπλῶς ὦτα, μεγάλα δέ, ὁποίῳ λόγῳ καὶ ὁ λαγὼς τοιοῦτος ἂν λέγοιτο, ἐπεὶ καὶ παρὰ τὴν ἐπίτασιν τοῦ ὠτὸς ἐτυμολογεῖται πρός τινων. εἰπεῖν μέντοι οὐατόεντα θῆρα τὸν τὰ ὦτα κινοῦντα, οὐδὲν ἴδιον ζῴου, ἀλλὰ κοινὸν ἅπασιν, ὅσα ἔχουσιν ὦτα, δίχα γε ἀνθρώπων. αὐτοῦ γὰρ μόνου ἴδιον μὴ κινεῖν τὰ ὦτα, εἰ καί τις τῶν τοῦ ὑστέρου γένους ἀνὴρ ἱερὸς ἱστόρηται θάτερον τοῖν ὠτίοιν ὑποκινῶν. εἰ δὲ Ἡρακλεῖ ἔσθοντι «βρέμει μὲν ὁ φάρυγξ ἔνδοθι» κατ' Ἐπίχαρμον, «ἀραβεῖ δ' ἁ γνάθος, ψοφεῖ δ' ὁ γομφίος, τέτριγε δ' ὁ κυνόδων, σίζει δὲ ταῖς ῥίνεσσι, κινεῖ δ' οὔατα», δοτέον κίνησιν ὤτων τῷ παμφάγῳ Ἡρακλεῖ, ὃς καὶ τὰ κᾶλα καὶ τοὺς ἄνθρακας κατέπινε, καθά τις ἕτερος ἔσκωψεν.

3.280 Ἰστέον δὲ ὅτι περὶ τῶν τῆς Νεστορέης κύλικος τεσσάρων οὐάτων ἐν τοῖς τοῦ Ἀθηναίου γλαφυρότερον φέρεται ταῦτα. Ἡ Νεστορὶς ὦτα δύο εἶχεν ἄνω, καθὰ καὶ τὰ ἀλλὰ ποτήρια, καὶ ἕτερα δύο μικρὰ ἑκατέρωθεν κατὰ μέσον τὸ κύρτωμα, παρόμοια, φησί, Κορινθιακαῖς ὑδρίαις. κατὰ δὲ ἑτέρους, φησίν, ἐκ μιᾶς οἷον ῥίζης τῷ πυθμένι προσκυρούσης καθ' ἑκάτερον οὖς, τὸ ἔνθεν δηλαδὴ καὶ ἔνθεν, ῥάβδοι ἦσαν δισχιδεῖς οὐ πολὺ ἀλλήλων διεστῶσαι. αὗται μέχρι τοῦ χείλους ἑκατέρωθεν διήκουσαι τοῦ ποτηρίου καὶ μικρὸν μετεωριζόμεναι καὶ τὸ σχίσμα διόλου τηροῦσαι πρὸς τὸ ἀπολῆγον τῆς ἐρείσεως συμφύονται. καὶ γίνονται οὕτω τέσσαρα ὦτα τῇ διασχίσει, καὶ ἔστιν αὐτὸ ἴδιον μάλιστα τῶν λεγομένων, φησί, Σελευκίδων. Ὁ δ' αὐτὸς Ἀθήναιος δηλοῖ καὶ τὰς ἐντετορευμένας τῷ ποτηρίῳ πελειάδας οὐ περιστεράς τινας εἶναι, ἀλλὰ τὸ κράτιστον ἐν τοῖς ἀπλανέσιν ἄστροις, ᾧ τεκμαίρονται τὰ περὶ ζωήν οἱ ἄνθρωποι. τοῦτο δέ ἐστι Πλειάδες, ἃς Ὅμηρος ποιητικῷ νόμῳ πελειάδας ἔφη, αἳ δὴ κατὰ τὸν Ἄρατον ὀλίγαι μέν εἰσι καὶ ἀφεγγέες, ὀνομασταὶ δέ. πρὸς ἃς καὶ σπόρος καὶ ἄμητος γίνεται καὶ καρπῶν γενέσεως ἀρχή τε καὶ συναίρεσις, ὡς δηλοῖ καὶ Ἡσίοδος. Τὰς δὲ τοιαύτας πελειάδας δύο ὑποθετέον καθ' ἕκαστον τῶν ὤτων, ἤγουν δύο μὲν ἐν ταῖς ἑκατέρωθι συμμίξεσιν ἄνω τῶν εἰρημένων διασχίσεων, ἑτέρας δὲ δύο ἐν ταῖς κάτω συναφείαις τῶν ὑπολήξεων. Καὶ κατασκευάσας πιθανῶς τοὺς τοιούτους λόγους ἐπάγει, ὅτι καὶ ἄλλαι δύο ἦσαν ὑποπυθμένιοι πελειάδες, ἤγουν ὑποκείμεναι τῷ πυθμένι, ὡς εἶναι τὰς πάσας ἓξ κατ' ἀριθμὸν τὸν τῆς οὐρανίας Πλειάδος, περὶ ἧς Ἄρατός φησιν «ἑπτὰ δ' ἐκεῖναι ἐπιρρήδην καλέονται, ἓξ οἷαί περ ἐοῦσαι». ὅθεν καὶ ἡ κοινοτέρα γλῶσσα Ἑξάστερον αὐτὰς ὀνομάζει. καὶ τοιαῦτα μὲν καὶ ταῦτα ὡς ἐν βραχεῖ.] (v. 635) Ὁ δὲ πυθμὴν καὶ πύνδαξ ἐλέγετο παρὰ τοῖς μεθ' Ὅμηρον. ὅθεν παροιμία τὸ «ἀπυνδάκωτος οὐ τραπεζοῦται κύλιξ», ἤγουν ἀπυθμένιστος. Σοφοκλῆς δὲ καὶ τὴν λαβὴν τοῦ ξίφους πύνδακα εἴρηκεν, ὥς φησι Παυσανίας. Αἴλιος δὲ Διονύσιος καὶ αὐτὸς πύνδακα τὸν πυθμένα εἰπὼν λέγει καί, ὅτι πτερνίδες τὰ πυθμένια τῶν λεκανίων. τοῦτο δὲ ἴσως ἀπὸ τῆς πτέρνης ἐν ἐσχάτῳ κειμένης. Ἀπὸ τοῦ πύθω δὲ ὁ πυθμήν, ὅ τε ἐν φυτοῖς ὅ τε ἐν σκεύεσι διὰ τὴν ἐκεῖσε σῆψιν. ἐκ τοῦ πύθω γάρ, τὸ σήπω, πυθμήν. (v. 636) Ἐν δὲ τῷ «ἄλλος μὲν μογέων ἀποκινήσασκε» καὶ ἑξῆς,

οἱ μὲν τὴν τοῦ ποτηρίου ὁλκὴν αἰτιῶνται καὶ τὸ τῆς ὕλης βάρος αὐτῆς καθ’ αὐτήν, οὗ ἕνεκεν δυσβάστακτος ἦν, οἱ δὲ τὸ τῆς ἄρσεως δυσμεταχείριστον.

3.281 κατὰ διάμετρον γάρ, φασίν, αὐτὸ ἐχρῆν αἴρεσθαι τῶν ὤτων, ὡς προσεχῶς ἐλέχθη. καὶ τὸ «ἄλλος δέ» οἱ μὲν περὶ γερόντων φασὶν εἰρῆσθαι ὁμοίων τῷ Νέστορι. οὐ γὰρ δήπου καὶ τῷ Ἀχιλλεῖ ἢ τῷ Αἴαντι δυσβάστακτον ἦν τὸ τοῦ κυκεῶνος τοῦτο ποτήριον. [Τινὲς δὲ εἰπόντες «ἀλλ’ ὃς μέν», ἤγουν οὗτος ὁ Μαχάων, «μογῶν ἀπεκίνει τὸ δέπας», καὶ οὕτω καινοτομήσαντες τὴν γραφὴν οὐ δοκοῦσιν ἀποδεκτέοι τά τε ἄλλα καὶ ὅτι δὲ μακρὰν ἀφέστηκε τοῦ Μαχάονος ἡ αὐτοῦ ἀντωνυμία τὸ «ὅς». ἔτι δὲ καὶ διότι ἢ οὐ τέτρωται ὁ Μαχάων, καθά τινες ἐπαγωνίζονται, ἢ ἀλλ’ οὐχ’ οὕτως ὥστε καὶ μογεῖν ἐς τοσοῦτον. τὸ δὲ εἰπεῖν «ἄλλος μέν», ἤγουν ὁ Μαχάων, οὐδ’ αὐτὸ φιλεῖται. ὤφειλε γὰρ μὴ εἰπεῖν ἄλλος, ἀλλ’ ἕτερος. δύο γὰρ οὗτοι πίνουσιν, ἐπὶ δὲ δύο οἰκεῖον οὐ τὸ ἄλλος, ἀλλὰ τὸ ἕτερος. Ὅτι δὲ Σωσίβιος ὁ καλούμενος λυτικὸς ἐξελών, φασίν, ἀπὸ τοῦ μέσου τὸ γέρων καὶ λύσας τὸ ἄπορον, ἵνα λέγῃ, ὡς ἄλλος μὲν γέρων μογέων ἀποκινήσασκε καὶ ἑξῆς, σκώμματι περιέπεσε, δηλοῖ ὁ Ἀθήναιος.] Οἱ δὲ ἁπλῶς οὕτω νοοῦσι τὸ ἄλλος πρὸς ἀντιδιαστολὴν τοῦ τυχόντος ὡς δυσχερὲς ὂν παντὶ ἐκεῖθεν ἐκ τοῦ ῥᾴστου πιεῖν διὰ τὴν ῥηθεῖσαν τοῦ ποτηρίου διπλόην καὶ τὴν κατὰ διάμετρον ἄρσιν. Νέστορι μέντοι εὐχερὲς διὰ τὸ ἐκ πείρας εὐμεταχείριστον καὶ τὴν ἐκ συνηθείας ἐμπειρίαν. τὰ γὰρ ἄχθη, φασίν, οὐχ’ οὕτως οἱ ἰσχυροί, ὡς οἱ ἔμπειροι φέρουσι. Φασὶ δὲ καὶ τὴν τοῦ πίνειν δυσχέρειαν προμηθῶς ἐπιτετηδεῦσθαι τῷ ποτηρίῳ, ἵνα σωφρόνως καὶ ἐφεκτικῶς, οὐ μὴν ἀπεριμερίμνως καὶ ἀθρόως ἐπιχαίνοντες ἐκεῖθεν πίνοιεν. (v. 637) Βούλεται οὖν συμβολικῶς λέγειν ὁ ποιητής, ὡς ὁ γέρων Νέστωρ παντὸς ἐγκρατέστερόν τε καὶ σωφρονέστερον τὸ ποτήριον σὺν τῷ ποτῷ ἐβάσταζεν. [Εἰ καὶ ἄλλοι φασίν, ὡς πλεῖστον ἔπιε τῶν ἡρώων ὁ τριγέρων Νέστωρ, καὶ αὐτοῦ Ἀγαμέμνονος, ὃν ὡς πολυπότην ὁ Ἀχιλλεὺς ἐπιπλήττει. διό, φασί, καὶ μόνου τούτου τὸ ποτήριον Ὅμηρος ἡρμήνευσεν ὡς τὴν Ἀχιλλέως ἀσπίδα. ἐστρατεύετο γὰρ μετ’ αὐτοῦ, ὅσγε καὶ μεγίστης μάχης ἐνεστηκυίας οὐκ ἀπείχετο καθ’ Ὅμηρον τοῦ πίνειν.

3.282 καὶ τοιαῦτα μὲν ἄλλοι. ἐθέλων δέ τις τὸ τοῦ σοφωτάτου γέροντος ποτήριον σεμνύνειν, οὐκ ἄν, φασίν, ἁμάρτῃ λέγων αὐτὸ φιάλην Ἄρεος, ὥσπερ αὖ πάλιν ὁ σκωπτικὸς φρέαρ, φασίν, εὐφυῶς ἐρεῖ αὐτὸ ἀργυροῦν διὰ τὸ μέγεθος. Λέγει δὲ ὁ ταῦτα γράψας καὶ ὅτι προσφυῶς τῷ γέροντι Νέστορι ἐν τῷ ἐπιταφίῳ ἀγῶνι φιάλη περιῆλθε δῶρον ἐξ Ἀχιλλέως, οἷα εἰδότος τὸ περιώνυμον αὐτοῦ ποτήριον, ᾧ ἐκεῖνος ὡς φιλοτοιοῦτος ἔχαιρε. Σημείωσαι δ’ ἐν τούτοις καὶ τὸ ὁ τριγέρων Νέστωρ, χρήσιμον ὂν εἰς τὸ «τῷ δ’ ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων ἐφθίατο».] Ἐν δὲ τοῖς τοῦ Ὁμήρου ὅρα καὶ τὸ «ἄειρεν». ἄλλος μὲν γὰρ μόγις καὶ ἀπεκίνει τὸ ποτήριον [πεπλησμένον ἐκ τῆς τραπέζης διὰ τὸ καὶ εὐρυχανδὲς εἶναι κατὰ μέγα κύτος καὶ βαρὺ τὴν ὁλκήν, Νέστωρ δ’ ὁ γέρων, φιλοπότης, φασίν, ὤν, συνεχεῖ συνηθείᾳ βαστάζειν διδαχθείς,] ἀμογητὶ αὐτὸ γέμον ἄειρεν, ὅ ἐστιν ἐκούφιζε. (v. 638) Τὸ δὲ «κύκησε» τὸ ῥῆμά ἐστιν, ἀφ’ οὗ παράγεται ὁ κυκεών. οὕτω δὲ κυριολεκτεῖται, ὡς μὴ χρείαν εἶναι προσθήκης τοῦ τί ἐκύκησεν. ὡς εἶναι δῆλον ὅτι κυκᾶν κυρίως τὸ κυκεῶνα ποιεῖν, ὃς ἐνταῦθα φαίνεται συνεστάναι ἀπὸ οἴνου καὶ τυροῦ καὶ λοιπῶν τῶν ῥηθησομένων. Ὁ δὲ ἐν Ὀδυσσείᾳ τῆς Κίρκης κυκεὼν ἐτυμολογεῖται μὲν ὁμοίως. εἰ δὲ γοητείαις ἐκεῖνος κατακερασθεὶς εἰς χοίρους μεταλλάσσει τοὺς πίνοντας, οὐδὲν πρὸς τὰ νῦν. ὁ γὰρ κατὰ τὸν σοφὸν Νέστορα τῆς Ἑκαμήδης οὗτος κυκεὼν οὔτε τῆς φύσεως ἐξιστᾷ, καὶ τὸ σῶμα δὲ ἀνακτώμενος εἰς φιλολογίαν προκαλεῖται τὸν πίνοντα. (v. 642 s.) Ἐρεῖ γοῦν ὁ ποιητής, ὅτι πιόντες μύθοισι τέρποντο πρὸς ἀλλήλους ἐνέποντες. ἔνθα καὶ ὅρα τὸ «ἐνέποντες» ἀδιπλασιάστως δι’ ἑνὸς νυ ὀρθῶς γραφόμενον. Δῆλον δ’ ὅτι ὁ κατὰ κυριολεξίαν ῥηθεὶς Ὁμηρικὸς κυκεὼν καὶ τὸ κυκᾶν μετηνέχθη παρὰ τοῖς ὕστερον εἰς λέξιν μαγειρικὴν καὶ εἰς πραγματικόν τινα τάραχον καὶ εἰς τοιαῦτά τινα. καὶ ὅτι, εἰ καὶ μεταξὺ

βρωτοῦ καὶ ποτοῦ ὁ κυκεὼν εἶναι δοκεῖ, ἀλλὰ μᾶλλον οἷα ζωμός τις ῥοφητὸς ἦν. διό φησι «πινέμεναι δ' ἐκέλευσε», καὶ «πίνοντε ἀφέτην πολυκαγκέα δίψαν».

3.283 [Ἀθήναιος δὲ λέγει ὅτι, εἰ καὶ ὁ προειρημένος Μυρλεανὸς τὸ τοῦ Νέστορος ποτήριον δεκτικὸν εἶναί φησι τῆς ἑτέρας τροφῆς, ἤγουν τῆς ὑγρᾶς, ἀλλ' οἱ ἀκριβέστεροι ἀμφοτέρων αὐτὸ δεκτικὸν ἔφασαν εἶναι τῶν τροφῶν, ὡς δηλοῖ καὶ Ὅμηρος. (v. 642) Πολυκαγκέα δὲ δίψαν λέγει] τὴν ξηροποιόν, καθὰ καὶ ξύλα κάγκανα ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται τὰ ξηρὰ καὶ ἐπιτήδεια καίεσθαι. περίφρασις δέ ἐστι τοῦ ἀπεδίψησαν τὸ ἀφέτην τοιάνδε δίψαν, καὶ ἔστιν ὅμοιον τῷ «ἐξ ἔρον ἕντο». ὡς γὰρ ἐκεῖ τὸ ἐξέντο ἀπὸ τοῦ ἕω, τὸ πληρῶ, ἦν, οὕτω καὶ ἐνταῦθα τὸ ἀφέτην, καὶ ὡς ἐκεῖ τὸ «ἐξ ἔρον ἕντο ἐδητύος» ταὐτὸν ἦν τῷ οὐκέτ' ἤθελον φαγεῖν, οὕτω καὶ ὧδε τὸ «ἀφέτην δίψαν» ἀντὶ τοῦ οὐκέτι πιεῖν ἤθελον. [Ἔστιν οὖν οὐκ ἀπεικὸς εἰπεῖν, ὅτι τε ἐν τῷ «ἀφέτην δίψαν» ἡμίσευται ἡ ἔννοια τοῦ «πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο». πόσιος γὰρ ἔρον οἱ ἥρωες ἐνταῦθα ἕντο. καὶ ὅτι ἰσοδυνάμων ὄντων τοῦ ἐξέντο καὶ τοῦ ἀφέτην, δόξοι ἂν οὐκ ἀνεύλογον εἶναι φάναι, ὅτι καὶ τὸ ἀφέτην ἐκ τοῦ ἀφιέναι φαίνεται παρῆχθαι καὶ τὸ ἐξέντο, εἰ καὶ ἄλλως προείρηται. Ἰστέον δὲ ὅτι καὶ ἄλλως οὐ βρώσιμος ὁ κυκεών, ἐπεὶ δέπας εἶχεν αὐτόν, ὅπερ ἐστὶ ποτήριον, κύλιξ, τὸ δὲ ἐν τοιούτῳ ἀγγείῳ οὐκ ἂν εἴη βρωτόν.] Ἐκτείνει δὲ τὴν ἄρχουσαν συνήθως καὶ τὸ «πινέμεναι» καὶ τὸ «πίνοντε». (v. 638 s.) Τὸ δὲ «κύκησε» κατωτέρω περιφράσας ὁ ποιητὴς ἔφη «ὥπλισε κυκεῶ», συγκεράσασα δηλαδή, ὡς καὶ προερρέθη, αὐτὸν κατὰ τοὺς παλαιοὺς ἐκ μέλιτος χλωροῦ καὶ ἀλφίτου ἐπιπαττομένου, ὡς ἐρρέθη, εἰ καί τινες αὐτὸ ψωμὸν καθαρὸν νοοῦσι, καὶ ἀπὸ αἰγείου τυροῦ καὶ κρομύου, ἔτι δὲ καὶ οἴνου Πραμνείου. Μέλας δὲ οὗτος ἦν, καλούμενος οὕτως ἢ ὅτι πραΰνει μένος ἢ ὅτι παραμεμένηκε παλαιωθείς. οἱ δέ φασι πέτραν ἢ ὄρος οἰνοφόρον ἐν Ἰκάρῳ τῇ νήσῳ εἶναι, Πράμνην καλουμένην, ἐν ᾗ πρῶτον ἔφυ ἄμπελος, ἀφ' ἧς ὁ οἶνος Πράμνειος. καίτοι τούτῳ τῷ λόγῳ διὰ τοῦ ἰῶτα ὤφειλεν ἔχειν τὴν γραφήν, ὡς ὁ Σάμιος καὶ ὁ Θάσιος, οἷα τοπικόν.

3.284 νῦν δὲ οὕτω στερεῶς ἔχει τῆς διὰ διφθόγγου γραφῆς, ὥστε καὶ Πράμνιος ὑπό τινων λέγεται, ὡς χρύσεος χρύσειος καὶ τὰ τοιαῦτα. [Καὶ οὕτω μὲν ἄλλοι στενῶς. ἐν δὲ τοῖς Ἀθηναίου φέρεται τάδε πλατύτερον. Γίνεται κατά τινας ἐν Ἰκάρῳ τῇ νήσῳ ὁ Πράμνιος, γένος τι οἴνου, καὶ ἔστιν οὔτε γλυκὺς οὔτε παχύς, ἀλλ' αὐστηρὸς καὶ σκληρός. τινὲς δέ φασιν, ὅτι ἐν Ἰκάρῳ Πράμνιος πέτρα καὶ παρ' αὐτῇ ὄρος μέγα, ἐξ οὗ Πράμνειος οἶνος ὁ καὶ φαρμακίτης. ἐκαλεῖτο δὲ ἡ ἄμπελος ἡ τοῦτον φέρουσα ὑπὸ τῶν ξένων μὲν ἱερά, ὑπὸ δὲ τῶν Οἰνοέων—πόλις δὲ ἡ Οἰνόη ἐν τῇ εἰρημένῃ νήσῳ, —Διονυσιάς. Δίδυμος δέ, φασί, Πράμνιον οἶνον λέγει ἀπὸ πραμνίας, οὕτω καλουμένης ἀμπέλου. τινὲς δὲ ἰδίως τὸν μέλανα, ἔνιοι δὲ ἐν τῷ καθόλου πάντα τὸν πρὸς παραμονὴν ἐπιτήδειον, ὡς οἱονεὶ παραμένειον, οἱ δὲ τὸν ἁπλῶς πραΰνοντα τὸ μένος, προσηνεῖς γὰρ οἱ πιόντες, ἄλλοι δέ φασι περὶ τὴν Ἐφεσίαν χώραν εἶναι ὀρείαν κώμην, τὴν πρότερον μὲν καλουμένην Λητοῦς, νῦν δὲ Λατωρείαν ἀπὸ Λατωρείας Ἀμαζόνος, ἐν ᾗ γίνεσθαι τὸν Πράμνιον οἶνον. Ὅρα δ' ἐν τούτοις τὸ οἶνος σκληρός, ὃ πρὸ βραχέων ἐρρέθη. ἤρεσε γὰρ τοῖς μεταφέρουσιν οὐ μόνον ἐπὶ ναστῶν τιθέναι τὸ σκληρόν, ἀλλὰ καὶ ἐπί τινων μὴ τοιούτων. καὶ ὁ μὲν σκληρὸς λόγος καὶ ἡ σκληρὰ ψυχὴ καὶ ὅσα τοιαῦτα οὐκ ἐκπλήττουσι, σκληρὸν δὲ ὕδωρ εἰπεῖν ἢ οἶνον ξενίζει πολλούς. λέγονται γοῦν ὕδατα σκληρὰ κρηναῖά τινα, ὥσπερ καὶ ὄμβρια ἐν Σικυῶνί τε καὶ Ἀθήνῃσι χρήσιμα εἰς οἶνον, συνᾴδοντα τῷ τεθαλαττωμένῳ. ἀκολούθως δὲ τῷ σκληρῷ οἴνῳ τέτραπται καὶ ὁ ἁπαλός, οἷον Ταραντῖνοι οἶνοι καὶ οἱ ἀπὸ τοῦ κλίματος τούτου πάντες ἁπαλοί εἰσι. καὶ ἴσως ἐκ τῶν τοιούτων εἰλήφασι νοῦν καὶ οἱ λέγοντες οἶνον ἐνάπαλον. Ὁμοίῳ δὲ τρόπῳ καὶ τὸ λιπαρὸν τροπικῶς ἐπιπολάσαν κρηδέμνοις καὶ γυναιξὶ λιπαροζώνοις, ὧν ἀνάπαλιν ἔχει τὸ «θρὶξ ἀλιπής», καὶ οἴνῳ προσήρμοσε.

3.285 λέγει οὖν ὁ Δειπνοσοφιστής, ὅτι ὁ δεῖνα οἶνος ταχὺ ἀκμάζει καὶ λιπαρώτερός ἐστι τοῦ δεῖνος οἴνου, καὶ ὅτι ὁ δεῖνα οἶνος ἀλιπὴς ὢν καὶ λίαν ψαφαρὸς μόλις πεπαίνεται. Σημείωσαι δὲ ἐν

τοῖς προσεχῶς εἰρημένοις καὶ τὸν τεθαλαττωμένον οἶνον τὸν καὶ ἀλλαχοῦ ῥηθέντα, περὶ οὗ φησιν ὁ αὐτὸς σοφιστής, ὅτι οἱ ἐπιμελέστερον τεθαλαττωμένοι οἶνοι ἀκραίπαλοί τέ εἰσι καὶ κοιλίαν λύουσιν, ὁποῖος ὁ Κῷος καὶ ὁ Ῥόδιος καὶ ὁ Μύνδιος. Συντελεῖ δὲ ὁ τεθαλαττωμένος οἶνος εἰς τὴν κατὰ θαλάττης φυγὴν τοῦ Διονύσου, ἣν ἔπαθε διὰ τὸν Θρᾷκα Λυκοῦργον, ὥς που ἔφθασεν εἰπεῖν ὁ ποιητής. δῆλον γὰρ ὅτι κατὰ θεραπείαν μύθου Διόνυσος πεσὼν εἰς θάλασσαν οἶνός ἐστι κεκραμένος αὐτῇ καὶ οὕτω τεθαλαττῶσθαι ῥηθείς. Ἀλλὰ τοῦτο μὲν εἰς τὸ παλαιοῦσθαι οἶνον χρήσιμον. εἰς δὲ τὴν ἐπὶ τραπέζης καὶ πότου προσένεξιν ἑτεροῖον ὕδωρ χρηστόν. διὸ νύμφαι μυθεύονται τιθηνοὶ Διονύσου εἶναι, οὐ μόνον αἱ κατ’ ἀμπέλους θεωρούμεναι καὶ κατὰ σταφυλάς, ἐφ’ αἷς ἡδὺ τὸ τοῦ παρῳδοῦ Μάτρωνος εἰπόντος «πίονα μῆλα ῥοαί τε σταφυλαί τε θεοῦ Βρομίοιο τιθῆναι», ἀλλὰ καὶ αἱ τοῖς κατὰ κρᾶσιν ὑγροῖς ἐπιστατοῦσαι, ὧν μέρος ἔστιν οὗ καὶ τὰ λιμναῖα. Λίμναι γοῦν, φασί, τόπος ἐν Ἀττικῇ καὶ Λιμναῖος ἐκεῖθεν Διόνυσος εἰς σύμβολον τοῦ ὅτι μιχθὲν τὸ γλεῦκος ὕδατι πίνεται κεκραμένον. διὸ καὶ αἱ πηγαὶ νύμφαι καὶ τιθῆναι Διονύσου, ἐπεὶ τὸν οἶνον αὔξει τὸ ὕδωρ κιρνάμενον. δεῖγμα δὲ τοῦ εἶναι καὶ κατὰ Θεόφραστον τροφοὺς Διονύσου τὰς νύμφας καὶ ἐκ τοῦ ὑγροῦ, ὃ πλεῖστον αἱ ἄμπελοι χέουσι τεμνόμεναι καὶ οἷον δακρύουσαι κατὰ φύσιν. καὶ ὧδε μὲν ταῦτα ἔχοντα κείσθω. Ὁ δὲ Πράμνειος οἶνος, ἐξ οὗ εἰς τὰ προκείμενα ὁ λόγος ἐρρύη, τοπικῷ μὲν λόγῳ τὴν διὰ τοῦ ἰῶτα γραφὴν ἀπαιτεῖ. εἰ δὲ διὰ τῆς ει διφθόγγου γράφεται, ἐκ τοῦ μένεος ἂν εἴη πλεονασμῷ τοῦ ι . Πράμνειος γάρ, καθὰ εἴρηται, ὡς καὶ πραϋντικὸς μένεος. λέγεται δὲ καὶ ὅτι, ὥσπερ ἐκ τῆς Πράμνου Πράμνιος, οὕτω καὶ Βίβλινος οἶνος ἀπὸ τόπου ὁ παρ’ Ἡσιόδῳ. Βιβλία γάρ, φασί, χώρα Θρᾴκης, ἐξ ἧς ἦν ἐκεῖνος. Τοιούτων δὴ καὶ τούτων ὄντων ἰστέον ὅτι ὁ ῥηθεὶς κυκεὼν κρᾶμα ἔχων, ὁποῖον ἐρρέθη, ῥηθείη ἂν κτητικῷ λόγῳ ἢ μετουσιαστικῷ οὐκ αὐτόχρημα οἶνος, οἴνινος δέ. καὶ εὕρηται καὶ τῆς τοιαύτης λέξεως χρῆσις ἐν τῷ «μήθ’ ὕδατος πηγὴν μήτ’ οἴνινον ὄξος συμμίξῃς».

3.286 ἔνθα σημειωτέον τὸ οἴνινον ὄξος πρὸς διαστολὴν ῥηθὲν ὄξους ἑτεροίου. ὡς γὰρ διαφέρει ὁ κυρίως οἶνος ἑτέρων, οὕτω καὶ ὄξος οἴνινον τῶν ἑτέρωθεν. οἶνος γοῦν ἐκ φοινίκων γλυκὺς μετρίας ἡμέρας, εἶτα ἐκτροπίας. καὶ ἰδοῦ ὄξος φοινίκινον. Εἰκὸς δὲ καὶ ἐν τῷ λωτῷ τοιοῦτόν τι γίνεσθαι, ὁμοίως δὲ καὶ ἐν τῷ ζύθει, περὶ οὗ φέρεται, ὅτι παρὰ Κελτοῖς οἱ μὲν πλουτοῦντες οἶνον πίνουσιν ἄκρατον ἐν τῷ συνευωχεῖσθαι παραμιγνύντες ἐνίοτε καὶ ὀλίγον ὕδωρ, παρὰ δὲ τοῖς ὑποδεεστέροις ζύθος πύρινον μετὰ μέλιτος ἐσκεύασται, παρὰ δὲ πολλοῖς καὶ αὐτὸ καθ’ αὐτό. Καὶ ὅρα τὸ ζύθος πύρινον διαστελλόμενον τοῦ ἐξ ὀλῶν, ὅ ἐστι κριθῶν, παρονομαζομένου ζύθους, ὃ καὶ αὐτὸ ὑποκορίζεταί πως τὸν Διονυσιακὸν οἶνον παρὰ ἔθνεσιν, οἷς οὐκ ἔστιν οἶνος, ὃς δὴ κρίθινος οἶνος πῖνος μὲν κατά τινας, βρῦτος δὲ καθ’ ἑτέρους ἐκαλεῖτο, ὡς ἐν τοῖς πρὸ τούτων γέγραπται, ὅπου καὶ ἀπὸ ῥιζῶν οἶνον γίνεσθαι δεδήλωται.] (v. 639) Τὸν δὲ τυρὸν ὅτι ξηρὸν γάλα ἔφη τις, δῆλον ἐκ τῶν παλαιῶν, καὶ ὡς ἐξ αὐτοῦ τὸ τυρεύειν ἐπὶ στροφῆς κακομηχάνου πραγμάτων, καὶ ἡ τύρβη ἡ καὶ διὰ τοῦ ς σύρβη. (v. 640) Κνῆστις δὲ ἰδίως ἡ τυροτόμος μάχαιρα, ἣν ὁ Κωμικὸς συνθέτως τυρόκνηστιν λέγει, Ὁμήρου διαλελυμένως κατὰ τρόπον ἐτυμολογίας εἰπόντος «αἴγειον κνῆ τυρὸν κνήστι χαλκείῃ». Καὶ γίνεται ἀπὸ τοῦ κνάω κνῶ, τὸ κόπτω, ἐξ οὗ καὶ τὸ κναίνω καὶ ἀποβολῇ τοῦ νῦ καίνω καὶ τὸ κνήθω, ὡς ἀλῶ ἀλήθω, καὶ τὸ κνίζω ὡς πολεμῶ πολεμίζω, ὃ δὴ κνίζω καὶ τὴν κνίδην ποιεῖ, ἣν μεταπλάσας κνίδα λέγει ὁ Ὀππιανός, παρ’ ᾧ καὶ κνῆστις ἡ κνησμονή.

3.287 Τέως γε μὴν ἡ Ὁμηρικὴ κνῆστις κλίνεται κνήστιος Ἰωνικῶς, ὡς καὶ ἡ λῆστις καὶ ἡ μνῆστις, ὅθεν ἡ δοτικὴ κνήστιϊ καὶ κατὰ κρᾶσιν κνήστι διὰ μακροῦ τοῦ ι . τινὲς δὲ καὶ διὰ διφθόγγου γράφουσιν ἐκ τοῦ κνῆστις κνήστεως Ἀττικῶς, [ὃν δὴ Ἀττικισμὸν πολλαὶ πάσχουσι καὶ τῶν διὰ τοῦ δος κλινομένων γενικῶν. οὕτω γὰρ οὐ μόνον Ἄμαστρις Ἀμάστριδος, ἀλλὰ καὶ Ἀμάστρεως, ὁμοίως καὶ σεμίδαλις σεμιδάλιδος καὶ σεμιδάλεως, καὶ δῆρις δὲ δήρεως, ἡ μάχη. Τὸ δὲ ῥηθὲν

κνῶ καὶ καίνω καὶ τοιαύτην σκευωρίαν ἔχει. κῶ τὸ κεῖμαι, καὶ ἐξ αὐτοῦ κνῶ, ἀφ' οὗ κναίω καὶ ἀποκναίω. ἐγκόπτονται γὰρ ἔργου καὶ οἱονεὶ κεῖνται ἀργοὶ οἱ ἀποκναιόμενοι. τοῦ δὲ κναίω ἀναστραφέντος γίνοιτ' ἂν ἐξ αὐτοῦ τὸ καίνω. τοῦ δέ γε κνίζειν χρῆσις παρά τε ἄλλοις καὶ παρὰ τῷ Κωμικῷ, ἔνθα παίζων παρηχεῖ τὸν διὰ τοῦ ἦτα γραφόμενον κνησμὸν ἐκ τοῦ κνίζειν, ἔτι δὲ καὶ παρὰ τῷ εἰπόντι ὅτι τὰ συκόμορα μὲν κοινῶς, μόρα δὲ παρὰ μόνοις Ἀλεξανδρεῦσι, παρ' οἷς καὶ τὸ δένδρον μορέη, ἐπὶ βραχὺ κνίσαντες σιδηρίῳ ἐῶσιν ἐπὶ τοῦ φυτοῦ καὶ αὐτὰ ὑπὸ τοῦ ἀνέμου κινούμενα ἐντὸς ἡμερῶν τριῶν ἔκτοτε πέπονα καὶ εὐώδη γίνονται. Ὅτι δὲ καὶ λάχανα κνηστὰ ἐκαλοῦντο τὰ συγκοπτὰ ἐκ τοῦ κνῶ κνήσω, τὸ κόπτω, καὶ κνηστὸς δὲ ποιός τις ἄρτος παρὰ Ἴωσι διὰ τὸ κνᾶσθαι, ὡς εἰκός, καὶ οὕτω διαδίδοσθαι, ἐν τοῖς τοῦ Ἀθηναίου δηλοῦται, παρ' ᾧ καὶ ὁ κοπτὸς τυρὸς καὶ ὁ τμητὸς ὁ αὐτὸς ἂν εἴη τῷ κνηστῷ.

3.288 ἐν ἐκείνῳ δὲ διασαφεῖται καί, ὅτι ἡ ἐν ἁπλότητι μὲν κνῆστις, συνθέτως δὲ τυρόκνηστις, μαγειρικὸν σκεῦος ἦν, καθά, φησί, καὶ ἡ ζωμήρυσις καὶ οἱ ὀβελίσκοι καὶ ἡ κρεάγρα καὶ ἡ θυεία καὶ ὁ στελέος καὶ αἱ κοπίδες καὶ ἡ κύβηλις καὶ ἡ χύτρα, ἡ καὶ κακκάβη, οἷον «ἐν κακκάβᾳ ζεούσᾳ», Δωρικῶς, ἢ καὶ ἀρσενικῶς κάκκαβος λέγεται, οἷον «κάκκαβον λέγω, σὺ δ' ἂν ἴσως εἴποις λοπάδα», τὴν καὶ σίττυβον, ὡς δηλοῖ ἐπαχθὲν τὸ «ἐμοὶ δὲ τοὔνομα οὐ διαφέρει εἴτε κάκκαβον ὀνομάζουσί τινες εἴτε σίττυβον». Πρὸς δὲ τούτοις σημείωσαι καὶ ὅτι Δωριέων κνῆν λεγόντων καὶ τὸ ξύειν δι' αὐτὸ ἡ Ἀττικῶς κνῆστις ξυήλη ἐλέγετο Δωρικῶς, οἷον «καὶ περὶ τὴν ζώνην μαχαίριον ὅσον ξυήλη». ἔνθα νοητέον ὅτι καὶ Αἰολικὸν ἴσως ἡ ξυήλη, διὸ καὶ βαρύνεται ἄλλως ἤπερ ἡ θηλή καὶ ἡ χηλή καὶ ἡ θυηλή καὶ ἡ γαμφηλή. Μνεία δὲ τοῦ καθ' Ὅμηρον «κνῆ» κείσεταί που καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. ὅπερ ὅτι τινὲς τῶν Ἀρισταρχείων ἐκδόσεων κνέε τυρὸν λέγουσι κατὰ διάλυσιν τοῦ κνῆ, ὁ Ἀλεξανδρεὺς Ἡρακλείδης φησίν, ἐξ οὗπερ οἴσεταί τις μὴ δευτέρας συζυγίας εἶναι τὸ κνῆ. αἱ γὰρ τῶν παρῳχημένων εἰς δύο εε διαλύσεις πρώτης εἶναι συζυγίας φαίνονται.] Ὅρα δὲ καὶ ὡς οὐ τυρὸν ἁπλῶς, ἀλλὰ αἴγειον ὁ κυκεὼν ἐδέχετο, οὗ τὴν αἰτίαν ὁ θέλων ζητείτω. Σημείωσαι δὲ καὶ ὅτι φασί τινες οὐ καλῶς τὸν Ἀσκληπιάδην Μαχάονα, καὶ ταῦτα ἰατρὸν ὄντα, τῷ κυκεῶνι ἀπαραφυλάκτως χρᾶσθαι, συνεστῶτι ἔκ τε μέλανος οἴνου καὶ τυροῦ ἐπικεκνησμένου καὶ ἀλφίτου. φλεγματώδη γὰρ ταῦτα, φασί, καὶ τοῖς τραυματίαις πολέμια. ἡ δὲ λύσις τῆς τοιαύτης ἀπορίας πολλαχῶς πρόεισιν.

3.289 οἱ μὲν γὰρ παραδοξότερον ἐπιχειροῦντες μηδὲ πεπλῆχθαι, [ὡς προερρέθη,] ὅλως τὸν Μαχάονα, φασὶ μηδὲν εἶναι τὴν ἀπορίαν πρὸς τὰ γινόμενα. τί γὰρ ἀπορητέον τοιαῦτα, ἔνθα ὑγιῶς ἔχουσιν οἱ πίνοντες; οἱ δέ τινες ἐπιπολῆς γενέσθαι νοοῦντες τὴν τοῦ Μαχάονος πληγὴν μηδὲν οὕτω παρὰ τέχνην φασὶ ποιεῖν τὸν Μαχάονα. τί γάρ, εἰ κυκεῶνι χρᾶται ὁ σχεδὸν μηδὲ τραυματίας διὰ τὸ τῆς πληγῆς ἐπιπόλαιον, [καὶ μάλιστα διὰ τὸ σῶφρον τῶν πινόντων ἡρώων, οἳ οὐδὲ τῆς ἁπλῆς, φασί, διαίτης ἀπλήστως ἀπέλαυον, ἀλλ' ὡς οἱ κράτιστοι τῶν ἰατρῶν ἀφῄρουν τὰς ἡδονάς. ὅθεν οὐδὲν θαυμαστὸν τοὺς οὕτω τεθραμμένους ἀφλεγμάντους εἶναι καὶ σώματα καὶ ψυχάς.] Ἔτι δὲ καὶ οἱ παλαιοὶ τῶν ἡρώων ἠγνόουν, φασί, τὰ κατὰ τὴν δίαιταν, οὔπω διαρθρωθέντα εἰς ἀκριβές, ἄλλως τε καὶ οὕτως ἀνδρεῖα σώματα ἔχοντες, ὡς καὶ τοὺς τραυματίας ἀγωνίζεσθαι. Ἕτεροι δέ φασιν ὡς, εἰ καὶ κατὰ βάθος θετέον γεγονέναι τὴν πληγήν, οὐδ' οὕτως ἀδόκιμον τὸ τοῦ κυκεῶνος πόμα. ῥύσις γάρ, φασίν, αἵματος λειποθυμίαν ποιεῖ. μέλας δὲ οἶνος παχύνων τοὺς χυμοὺς τὴν ἐπὶ τὸ τραῦμα συστέλλει τοῦ αἵματος ἐπίρρυσιν, ὅθεν ὡς τὸ ὑγρὸν εἴργων καὶ κοιλιακοῖς ὑπ' ἐνίων προσήγετο. τυρὸς δέ, φασί, βρεχόμενος γαλακτοῦται καὶ γίνεταί πως τῷ γάλακτι συγγενής, ἀφ' οὗ ἐκ πρώτης γενέσεως τὸ σῶμα πήγνυται. παχύνει δέ, φασί, καὶ τὸ ἄλφιτον τὰ ὑγρά, ὡς ἐκ πεφρυγμένης κριθῆς. Τὸ δὲ κρόμυον, [εἰ καὶ μὴ εὔχυμόν ἐστιν, ὡς δηλοῖ καὶ ὁ γράψας ὅτι πεποιθότες τῇ γυμναστικῇ βοηθείᾳ οἱ ἥρωες καὶ τοῖς κακοχυμωτάτοις κρομύοις ἐχρῶντο, ὅμως χρησιμεύει ἐν τοῖς προκειμένοις], ἐπεὶ ὡς διουρητικὸν μάχεται τῇ φλεγμονῇ. διὸ καὶ τοῖς κυνοδήκτοις αὐθωρὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσάγεται. φασὶ δὲ αὐτὸ ἁρμόζειν καὶ πρὸς τὰ μὴ καλὰ ὕδατα ὡς ἀλεξιφάρμακον. Ἄλλοι δὲ λέγουσι καὶ ὅτι συνήθης ἡ τοιαύτη τροφὴ τοῖς ἥρωσιν, ἡ τοῦ κυκεῶνος δηλαδή, καὶ μόνον ἐπὶ ἀναψύξει λαμβανομένη, οὐ μὴν ἐπὶ θεραπείᾳ, ὡς εἶναι κακοπαθείας αὐτὴν παραμύθιον, οὐ μὴν φάρμακόν τι νοσήλιον. διὸ καὶ εἰώθει πίνειν κυκεῶνος ὁ Νέστωρ. ὅθεν καὶ εἴθισται ἀμογητὶ τὸ ῥηθὲν αἴρειν ποτήριον. καὶ ἄλλως δὲ ἀρίστου, φασίν, ἰατροῦ, ἰᾶσθαι μὴ μεταποιοῦντα τὴν συνήθη δίαιταν, ἵνα μὴ ἐνδεῶς σχοίη τὸ σῶμα, ὅπουγε ἐν τῇ δι’ ἔνδειαν ἐπιπτώσει τῶν νόσων καὶ οἶνον καὶ κρέα προσφέρονταί τινες ἀναπληροῦντες τὸ λεῖπον τῆς φύσεως. (v. 644—6) Ὅτι Πάτροκλος μὲν θύραις ἐφίστατο «ἰσόθεος φώς. τὸν δὲ ἰδὼν ὁ γεραιός» Νέστωρ «ἀπὸ θρόνου ὦρτο φαεινοῦ», θωπευτικῶς αὐτὸν ὑπαγόμενος, «ἐς δ’ ἄγε χειρὸς ἑλών, κατὰ δ’ ἑδριάασθαι ἄνωγε», ταῦτα δὴ ἅπερ, ὡς μετ’ ὀλίγα ὁ ποιητὴς ἐρεῖ, ἐποίησε πρίν ποτε καὶ Ἀχιλλεὺς εἰς τὸν Νέστορα τοῦτον καὶ εἰς τὸν Ὀδυσσέα, ὅτε στρατολογοῦντες εἰς Φθίαν ἀφίκοντο.

3.290 Τὰ δὲ τοιαῦτα εἰς γέροντας ἐκ νέων καθήκοντα πράττεσθαι, εἰ νέος ἐκ γερόντων πάσχει, πάνυ ἐκτετίμηται καὶ πρεσβεῖον μέγα ἤρατο τιμῆς. (v. 644) Ἐν δὲ τῷ «ἰσόθεος φώς» σεμνύνει τὸν Πάτροκλον ὁ ποιητής, καθὰ καὶ πρὸ ὀλίγου ἐν τῷ «ἶσος Ἄρηϊ», διὰ τὸ χρησιμεύσειν αὐτῷ. σαφέστερον δὲ πάντως τοῦ ἀντίθεος τὸ ἰσόθεος. (v. 647 s.) Ὅτι σπεύδοντος καὶ μὴ θέλοντος καθεσθῆναι τὸ «ἀναίνετο εἶπέ τε μῦθον· οὐχ’ ἕδος ἐστὶ γεραιὲ διοτρεφές, οὐδέ με πείσεις» ὃ Πάτροκλος ἔφη πρὸς Νέστορα. Καὶ σημείωσαι ὅτι ἕδος ἐνταῦθα οὔτε ἔδαφος οὔτε ἡ καθέδρα αὐτή, ἀλλ’ ἔχει τι ὁ λόγος ἐλλείψεως, ἵνα ᾖ ὅτι οὐ νῦν καίριον ἡ καθέδρα. ὅτι δὲ ἕδος λέγεται καὶ τὸ ἵδρυμα καὶ ἄγαλμα, ὁ Παυσανίας φησίν. (v. 649) Ὅτι ἐν τῷ «αἰδοῖος, νεμεσητός, ὅ», ἤγουν ὅς, «με προέηκε πυθέσθαι» τόδε τι, ἃ δὴ τῷ Ἀχιλλεῖ ὁ Πάτροκλος ἐπιμαρτύρεται, νεμεσητός ἐστι κατὰ τοὺς παλαιοὺς ἢ ὁ ἑκάστῳ τὸ δέον ἀπονέμων, ὅθεν καὶ Νέμεσις ἥ τε τοῦ μύθου καὶ ἡ ἀλληγορουμένη, ἢ ὁ ἑτοιμομεμφὴς ἢ φιλομεμφὴς καὶ μεμψίμοιρος. (v. 653 s.) Ἐν δὲ τῷ «εὖ δὲ σὺ οἶσθα, γεραιὲ διοτρεφές, οἷος ἐκεῖνος, δεινὸς ἀνήρ· τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο», —Πάτροκλος δὲ καὶ ταῦτά φησι πρὸς Νέστορα—δηλοῖ ὁ ποιητὴς τῇ αἰδοῖ δέος ἀκολουθεῖν, ὡς καὶ ἐν τῷ «αἰδοῖός τέ μοί ἐσσι δεινός τε». τοῦτο γὰρ δηλοῖ τὸ φθάσαι αἰδοῖον αὐτὸν εἰπεῖν, εἶτα ἐπαγαγεῖν καὶ δεινόν. Τὸ δὲ «ἀναίτιον αἰτιόῳτο» ἔοικεν ἐφερμηνευτικὸν εἶναι τοῦ νεμεσητός. (v. 649) Ἰστέον δὲ ὅτι κατὰ τὰς ῥηθείσας ἐννοίας νεμεσητὴς μᾶλλον ὤφειλεν ὁ νεμεσῶν Ἀχιλλεὺς γράφεσθαι καθ’ ὁμοιότητα τοῦ καθηγητής, διαιτητής, ποιητής, ταρακτής παρὰ Λυκόφρονι, καὶ τῶν τοιούτων, ἃ δηλοῦσιν ἐνέργειαν. τὸ γὰρ νεμεσητός, καθὰ καὶ τὸ μεμπτός καὶ ποιητός καὶ τὰ ὅμοια, πάθους ἐστὶ δηλωτικόν. ἴσως δὲ ὥσπερ λαλητὸν ζῷον ὁ ἄνθρωπος ὡς λαλοῦν, οὕτω καὶ νεμεσητὸς Ἀχιλλεὺς ὁ νεμεσῶν. δύναται δὲ καὶ κατὰ πάθος νεμεσητὸς νοηθῆναι ὡς νεμέσεως ἄξιος διὰ τὸ καὶ ἀναίτιον αἰτιάασθαι. Ἰστέον δὲ καὶ ὅτι τὸ «εὖ οἶσθα οἷος ἐκεῖνος» καὶ ἑξῆς ῥηθείη μὲν ἂν περὶ παντὸς αὐθεκάστου τὸ ἦθος καὶ ὀξέος εἰς τὸ μέμφεσθαι, ἢ δὲ ἁπλοϊκῶς εἴρηται πρὸς ἀλήθειαν.

3.291 πολλοὶ γὰρ τόποι τὸν Ἀχιλλέα δεινὸν ὑπογράφουσιν, ὡς καὶ ὅπου κατὰ τοῦ Πριάμου ἐν τῷ τέλει τῆς τοῦ μεγάλου ω′ ῥαψῳδίας ἀγριαίνεται. ἢ καὶ ψεύδεται ἴσως ὁ Πάτροκλος ἐπίτηδες, ἵνα ῥᾷον ἀπαλλαγείη τοῦ γέροντος Νέστορος. ἀνατρέπει δὲ ὅμως τὴν τοιαύτην ἔννοιαν τὸ «εὖ οἶσθα». πῶς γὰρ ψεύδεται ὁ εἰδέναι τοῦτο εἰπὼν καὶ τὸν Νέστορα; δεινὸς ἄρα ὄντως ὁ Ἀχιλλεύς. διὸ οὐδ’ ἂν εἴη μεμπτέος ὁ ἁπλοῦς καὶ φιλαλήθης Πάτροκλος τὸ τοῦ ἑταίρου Ἀχιλλέως πάθος οὐκ ἐπικρύπτων, ἀλλὰ πρὸς εὖ εἰδότα λέγων τὸν Νέστορα. (v. 656—68) Ὅτι ἡ τοῦ Νέστορος ἐνταῦθα πρὸς τὸν Πάτροκλον εἰς βοήθειαν ἐρεθιστικὴ δημηγορία τοιαύτη τίς ἐστι «τί ποτε ὧδ’ Ἀχιλλεὺς ὀλοφύρεται υἷας Ἀχαιῶν, ὅσσοι δὴ βέλεσι βεβλήαται; οὐδέ τι οἶδε πένθεος ὅσσον ὄρωρε κατὰ στρατόν· οἳ γὰρ ἄριστοι ἐν νηυσὶ κέαται βεβλημένοι οὐτάμενοί τε. βέβληται μὲν ὁ Τυδεΐδης κρατερὸς Διομήδης, οὔτασται δ’ Ὀδυσεὺς δουρικλυτὸς ἠδ’

Ἀγαμέμνων. τοῦτον δ’ ἄλλον ἐγὼ νέον ἤγαγον ἐκ πολέμοιο, ἰῷ ἀπὸ νευρῆς βεβλημένον. αὐτὰρ Ἀχιλλεύς, ἐσθλὸς ἐών, Δαναῶν οὐ κήδεται οὐδ’ ἐλεαίρει. ἦ μένει εἰς ὅ κε δή», ἤγουν ἕως, «νῆες θοαὶ ἄγχι θαλάσσης Ἀργείων ἀέκητι πυρὸς δηΐοιο θέρωνται, αὐτοί τε κτεινώμεθα ἐπισχερώ;» (v. 668 s.) Εἶτα συνήθως ὁ γέρων περιαυτολογῶν ἐπάγει πάνυ ἐνδόξως τὸ «οὐ γὰρ ἐμὴ ἴς ἐστιν οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσι», μονονουχὶ λέγων, ὡς οὐκ ἂν Ἀχιλλέως ἐδεήθην, ἐὰν ἐγὼ ἡβῶν ἦν. (v. 670—82) Καὶ εὐθὺς πρὸς πίστωσιν τῆς ἑαυτοῦ ἀρετῆς ἐπάγει «εἴθ’ ὣς ἡβώοιμι. βίη τέ μοι ἔμπεδος εἴη, ὡς ὁπότ’ Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη ἀμφὶ βοηλασίῃ, ὅτ’ ἐγὼ κτάνον Ἰτυμονῆα ἐσθλὸν Ὑπειροχίδην, ὃς ἐν Ἤλιδι ναιετάεσκε, ῥύσια ἐλαυνόμενος· ὃ δ’ ἀμύνων ᾗσι βόεσσιν ἔβλητ’ ἐν πρώτοισιν ἐμῆς ἀπὸ χειρὸς ἄκοντι, κὰδ δ’ ἔπεσε, λαοὶ δὲ περίτρεσαν ἀγροιῶται. ληΐδα δ’ ἐκ πεδίου συνελάσαμεν ἤλιθα πολλήν, πεντήκοντα βοῶν ἀγέλας, τόσα πώεα οἰῶν, τόσα συῶν συβόσια, τός’ αἰπόλια πλατέ’ αἰγῶν, ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα, πάσας θηλείας, πολλῇσι δὲ πῶλοι ὑπῆσαν». Ἐν οἷς ὅρα ὅτι τε λογοειδῶς καὶ σαφῶς τὰ κατὰ τὴν λείαν ἀπαριθμεῖται, καὶ ὡς οὐκ ἂν εἶπέ τις ἄλλως οὐδὲ ἐν λόγῳ πεζῷ, καὶ ὅτι καλλωπίζει δι’ ἐπαναφορᾶς [καὶ παρισώσεως] ἐν τῷ «τόσα πώεα, τόσα συβόσια, τόσα αἰπόλια», καὶ ὅτι κυριολεκτεῖ, ὡς καὶ ἐν Ὀδυσσείᾳ, ἐν τῷ βοῶν ἀγέλη, οἰῶν πῶϋ, συῶν συβόσια, αἰγῶν αἰπόλια. εἰ δέ τις ἀγέλην εἴπῃ προβάτων ἢ πῶϋ βοῶν ἢ ἄλλην τινὰ ποιήσει ἐπάλλαξιν, οὐ κυριολεκτεῖ.

3.292 Καὶ ὅτι τὸ συβόσια ἐκτείνει διὰ μέτρον τὴν παραλήγουσαν, ἵνα δακτυλισθῇ ὁ τρίβραχυς πούς. ἄλλως γὰρ μόνον τὸ σῦς ἐκτείνεται, τὰ δὲ μετ’ αὐτὸ πάντα συστέλλεται. (v. 682—8) Εἶτα ἐπαναλαβὼν ὁ Νέστωρ λέγει καί, ὡς «τὰ μὲν ἠλασάμεσθα Πύλον Νηλήϊον εἴσω ἐννύχιοι προτὶ ἄστυ· γεγήθει δὲ φρένα Νηλεύς, οὕνεκά μοι τύχε πολλὰ νέῳ πόλεμόνδε κιόντι. κήρυκες δὲ λίγαινον ἅμ’ ἠοῖ φαινομένηφι τοὺς ἴμεν», ἤγουν τούτους 〈τοὺσ〉 Πυλίους ἐλθεῖν, «οἷσι χρέος ὠφείλετο ἐν Ἤλιδι δίῃ. οἳ δὲ συναγειρόμενοι Πυλίων ἡγήτορες ἄνδρες δαίτρευον· πολέσι γάρ», ἤγουν πολλοῖς, «Ἐπειοὶ χρεῖος ὄφελλον». (v. 689—95) Ἐφ’ οἷς ὁ ῥήτωρ καταστατικῶς ἀναπαύων τὸν λόγον καὶ ἱστορίαν δὲ παρεμβάλλων ἑτέραν φησὶ «ὣς ἡμεῖς παῦροι κεκακωμένοι ἐν Πύλῳ ἦμεν. ἐλθὼν γάρ ῥ’ ἐκάκωσε βίη Ἡρακληείη τῶν προτέρων ἐτέων, κατὰ δ’ ἔκταθεν», ἢ ἔκτανεν, «ὅσσοι ἄριστοι. δώδεκα γὰρ Νηλῆος ἀμύμονες υἱέες ἦμεν. τῶν οἶος λιπόμην, οἳ δ’ ἄλλοι πάντες ὄλοντο. ταῦθ’ ὑπερηφανέοντες Ἐπειοὶ χαλκοχίτωνες ἡμέας ὑβρίζοντες ἀτάσθαλα μηχανόωντο». Καὶ ὅρα ὡς τὴν τοιαύτην μερίσας ἱστορίαν, καθὰ καὶ ἐν ἄλλαις ποιεῖ, ἐν μὲν τῇ α ῥαψῳδίᾳ παρελάλησεν αὐτὴν ἐν βραχυτάτῳ, ἔνθα δύο γενεὰς μερόπων ἀνθρώπων φθίσθαι εἶπε τῷ Νέστορι, ἐνταῦθα δὲ τὴν ὑπὸ Ἡρακλέους κάκωσιν τῶν Πυλίων σαφῶς ἐξέθετο. οὕτω δὲ καὶ τῶν Ἀκτοριώνων ἐπ’ ὀλίγον ἐνταῦθα μνησθεὶς διὰ τοῦ Νέστορος ἐπὶ πλέον αὐτῶν διὰ τοῦ αὐτοῦ ἐν τοῖς ἑξῆς που μεμνήσεται. καὶ περὶ τοῦ Ἑλληνικοῦ δὲ τείχους φθάσας εἰπεῖν, ἃ εἶπεν, ἐν τῇ ἐφεξῆς ῥαψῳδίᾳ πάλιν ἐρεῖ τὰ δοκοῦντα. καὶ οὕτω μὲν καὶ τοῦτο. (v. 696—8) Ἐχόμενος δ’ ὁ Νέστωρ τῆς τῶν ἐφεξῆς διηγήσεώς φησι «ἐκ δ’ ὁ γέρων», ἤγουν ὁ Νηλεύς, «ἀγέλην τε βοῶν καὶ πῶϋ μέγα οἰῶν εἵλετο κρινάμενος». καὶ ἐφερμηνεύων, τί τὸ μέγα πῶϋ, φησί «τριηκόσι’ ἠδὲ νομῆας», ἵνα ἡ τῶν βοῶν ἄρτι ἀγέλη καὶ τὸ πῶϋ ἀνὰ ἑκατὸν πεντήκοντα ἔχωσι ζῷα, καὶ μὴ μόνα πεντήκοντα, ὥς που ἀλλαχοῦ εὑρίσκεται. καὶ νῦν μὲν ἠρκέσθη μέγα εἰπὼν προσθέμενος καὶ αἰτίαν τὸ ἐποφείλεσθαι τῷ Νηλεῖ χρεῖος μέγα ἐν Ἤλιδι δίῃ, μετ’ ὀλίγα δὲ λέγει, ὡς ἐξέλετο ἄσπετα πολλά, μεγεθύνας ἐπὶ πλέον τὸ πρᾶγμα. (v. 700—2) Διευκρινῶν δὲ καὶ τί τὸ μέγα χρέος, φησὶ «τέσσαρες ἀθλοφόροι ἵπποι αὐτοῖσιν ὄχεσφιν ἐλθόντες μετ’ ἄεθλα· περὶ τρίποδος γὰρ ἔμελλον θεύσεσθαι· τοὺς δ’ αὖθι ἄναξ ἀνδρῶν Αὐγείας κάσχεθεν», ὅ ἐστι κατέσχε, «τὸν δ’ ἐλατῆρ’ ἀφίει ἀκαχήμενον ἵππων».

3.293 (v. 703—5) Τούτοις δὲ ὁ ῥήτωρ ἐπιτιθεὶς κεφαλαιωτικὴν κορωνίδα καὶ συμπληρωτικήν, μεθ’ ἣν ἐποίσει τὰ ἐφεξῆς τοῦ διηγήματος, λέγει «τῶν», ἤγουν τούτων, «ὁ γέρων ἐπέων κεχολωμένος

ἠδὲ καὶ ἔργων ἐξέλετ’ ἄσπετα πολλά· τὰ δ’ ἄλλα ἐς δῆμον ἔδωκε δαιτρεύειν, μή τίς οἱ ἀτεμβόμενος κίοι ἴσης», τουτέστι μηδεὶς ἀπέλθοι στερούμενος τῆς ἰσομοιρίας, ἧς ὡς μάλιστα ἐκήδοντο οἱ παλαιοὶ διὰ τὸ ἐν ἰσότητι δίκαιον. (v. 706—39) Καὶ «ἡμεῖς μὲν τά», ἤγουν ταῦτα, «ἕκαστα διείπομεν ἀμφί τε ἄστυ ἔρδομεν ἱρὰ θεοῖς. οἳ δὲ τρίτῳ ἤματι πάντες ἦλθον ὁμῶς αὐτοί τε πολεῖς καὶ μώνυχες ἵπποι πασσυδίῃ· μετὰ δέ σφι Μολίονε θωρήσσοντο, παῖδε ἔτι ἐόντε, οὔπω μάλα εἰδότε θούριδος ἀλκῆς. ἔστι δέ τις Θρυόεσσα πόλις, αἰπεῖα κολώνη, τηλοῦ ἐπ’ Ἀλφειῷ, νεάτη Πύλου ἠμαθόεντος. τήν», ἤγουν ταύτην τῶν Πυλίων οὖσαν, «ἀμφεστρατόωντο διαρραῖσαι μεμαῶτες. ἡμῖν δὲ Ἀθήνη ἄγγελος ἦλθε θέουσα» θωρήσσεσθαι, ἔννυχος, οὐδὲ ἀέκοντα τὸν κατὰ Πύλον λαὸν ἄγειρεν, «ἀλλὰ μάλα ἐσσυμένους πολεμίζειν. οὐδέ με Νηλεὺς εἴα θωρήσσεσθαι, ἀπέκρυψε δέ μοι ἵππους. οὐ γάρ πώ τί μ’ ἔφη ἴδμεν», ἤγουν εἰδέναι, «πολεμήϊα ἔργα. ἀλλὰ καὶ ὧς ἱππεῦσι μετέπρεπον ἡμετέροισι καὶ πεζός περ ἐών, ἐπεὶ ὡς ἄγε νεῖκος Ἀθήνη. ἔστι δέ τις ποταμὸς Μινυήϊος, εἰς ἅλα βάλλων ἐγγύθεν Ἀρήνης, ὅθι μείναμεν ἠῶ δῖαν ἱππῆες Πυλίων, τὰ δ’ ἐπέρρεεν ἔθνεα πεζῶν. ἔνθεν πανσυδίῃ σὺν τεύχεσι θωρηχθέντες, ἔνδιοι ἱκόμεσθα ἱερὸν ῥόον Ἀλφειοῖο». ἔνθα Διῒ καὶ Ἀλφειῷ καὶ Ποσειδάωνι καὶ Ἀθηνᾷ ῥέξαντες «ἱερὰ καλά», ἤγουν βοῦν μὲν ἀγελαίην τῇ Ἀθηνᾷ, ταῦρον δὲ Ποσειδῶνι, ταῦρον δὲ Διῒ καὶ Ἀλφειῷ, «δόρπον ἔπειθ’ ἑλόμεσθα κατὰ στρατὸν ἐν τελέεσσι, καὶ κατεκοιμήθημεν ἐν ἔντεσιν οἷσιν ἕκαστος ἀμφὶ ῥοὰς ποταμοῖο». καὶ οἱ μὲν Ἐπειοὶ ἀμφίσταντο «ἄστυ διαπραθέειν μεμαῶτες· ἀλλά σφιν προπάροιθε φάνη μέγα ἔργον Ἄρηος. εὖτε γὰρ ἠέλιος φαέθων ὑπερέσχεθε γαίης, συμφερόμεσθα μάχῃ». πολέμου δὲ κροτηθέντος «πρῶτος ἐγὼν ἕλον ἄνδρα, κόμισα δὲ μώνυχας ἵππους, Μούλιον αἰχμητήν, γαμβρὸς δ’ ἦν Αὐγείαο», ὃς δηλαδὴ τοὺς τοῦ Νηλέως ἵππους ἀφείλετο. (v. 740 s.) Παρεισάγων δὲ διὰ πολυμάθειαν τῷ λόγῳ καὶ ἑτέραν ἱστορίαν ἐπιφέρει «πρεσβυτάτην δὲ θύγατρ’ εἶχε ξανθὴν Ἀγαμήδην, ἣ τόσα φάρμακα ᾔδη ὅσα τρέφει εὐρεῖα χθών». (v. 742—59) Μεθ’ ὃ πάλιν τῆς τοῦ διηγήματος ἀκολουθίας γενόμενός φησιν ἐπαναληπτικῶς «τὸν μὲν ἐγὼ προσιόντα βάλον δουρί», προαρπάσας δηλαδὴ τὴν βολὴν κατὰ σπουδήν, «ἤριπε δ’ ἐν κονίῃσιν. ἐγὼ δ’ ἐς δίφρον ὀρούσας», ἤδη γὰρ καὶ ἱππότης ἦν ἐκ πεζοῦ, «ἔστην μετὰ προμάχοισιν, ἀτὰρ μεγάθυμοι Ἐπειοὶ ἔτρεσαν ἄλλυδις ἄλλος, ἐπεὶ ἴδον ἄνδρα πεσόντα ἡγεμόνα ἱππήων, ὃς ἀριστεύεσκε μάχεσθαι.

3.294 αὐτὰρ ἐγὼν ἐπόρουσα κελαινῇ λαίλαπι ἶσος, πεντήκοντα δ’ ἕλον δίφρους, δύω δ’ ἀμφὶς ἕκαστον φῶτες ὀδὰξ ἕλον οὖδας ἐμῷ ὑπὸ δουρὶ δαμέντες. καὶ νύ κεν Ἀκτορίωνε Μολίονε παῖδε ἀλάπαξα, εἰ μή σφωε πατήρ» Ποσειδῶν «ἐκ πολέμου ἐσάωσε καλύψας ἠέρι πολλῇ. ἔνθα θεὸς Πυλίοισι μέγα κράτος ἐγγυάλιξε. τόφρα γὰρ οὖν ἑπόμεσθα δι’ ἀσπιδέος πεδίοιο κτείνοντές τ’ αὐτοὺς ἀνά τ’ ἔντεα καλὰ λέγοντες, ὄφρ’ ἐπὶ Βουπρασίου πολυπύρου βήσαμεν ἵππους, πέτρης τ’ Ὠλενίης καὶ Ἀλεισίου ἔνθα κολώνη κέκληται. ὅθεν αὖτις ἀπέτραπε λαὸν Ἀθήνη». ὃ διασαφῶν ἐπιφέρει «ἔνθ’ ἄνδρα κτείνας πύματον λίπον». (v. 758—61) Εἶτα τὸ αὐτὸ σαφέστερον ἐφερμηνεύων φησὶν «αὐτὰρ Ἀχαιοὶ ἂψ ἀπὸ Βουπρασίου» εἰς Πύλον ἐχώρουν. «πάντες δ’ εὐχετόωντο θεῶν Διῒ Νέστορί τ’ ἀνδρῶν», ὅπερ σαφὴς ἑρμηνεία τοῦ καὶ ἰσόθεον φῶτα τὸν Νέστορα εἶναι. (v. 762) Στήσας δὲ ὁ Νέστωρ ἐνταῦθα τὸ διήγημα καὶ συμπληρώσας πάνυ γοργῶς ἐν τῷ «ὣς ἔον εἴ ποτ’ ἔην γε μετ’ ἀνδράσιν», μηχανᾶται λοιπὸν λαλεῖν τὰ εἰς πειθὼ τοῦ Πατρόκλου. (v. 762—93) Καὶ πρῶτον εἰπὼν ὅτι «αὐτὰρ Ἀχιλλεὺς οἶος τῆς ἀρετῆς ἀπονήσεται», καὶ ὅτι αὐτὸν «οἴω πολλὰ μετακλαύσεσθαι, ἐπεί κ’ ἀπὸ λαὸς ὄληται», λέγει «ὦ πέπον, ἦ μὲν σοί γε Μενοίτιος ὧδ’ ἐπέτελλεν ἤματι τῷ, ὅτε ς’ ἐκ Φθίης Ἀγαμέμνονι πέμπεν, νῶϊ δέ», ἤγουν ἡμεῖς, «ἔνδον ἐόντες, ἐγὼ καὶ δῖος Ὀδυσσεύς, πάντα μάλα ἐν μεγάροις ἠκούομεν ὡς ἐπέτελλε. Πηλῆος δ’ ἱκόμεσθα δόμους λαὸν ἀγείροντες κατ’ Ἀχαιΐδα πουλυβότειραν», ἢ «καλλιγύναικα», [ὃ δὴ καὶ Ἡσίοδος τῇ Εὐβοϊκῇ Χαλκίδι ἐπέθετο, καὶ Νυμφόδωρος, φασί, Τενέδῳ τῇ Τρωϊκῇ νήσῳ, καλλιγύναικας αὐτὰς εἰπόντες.] Ἔνθα «ἥρωα Μενοίτιον εὕρομεν ἔνδον» καὶ σὲ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀχιλλέα. Πηλεὺς δὲ πίονα μηρί᾿ ἔκηε βοὸς τῷ Διῒ «αὐλῆς ἐν χόρτῳ. ἔχε δὲ χρύσειον ἄλεισον, σπένδων αἴθοπα οἶνον ἐπ᾿ αἰθομένοις ἱεροῖς. σφῶϊ μέν», ἤγουν ὑμεῖς, σύ τε καὶ ὁ Ἀχιλλεύς, «ἀμφὶ βοὸς ἕπετον κρέα. νῶϊ δ᾿ ἔπειτα», ἤγουν ἡμεῖς, «στῆμεν ἐνὶ προθύροισι, ταφὼν δ᾿ ἀνόρουσεν Ἀχιλλεύς, ἐς δ᾿ ἄγε χειρὸς ἑλὼν κατὰ δ᾿ ἑδριάασθαι ἄνωγε, ξείνιά τε παρέθηκεν ἅ τε ξείνοις θέμις ἐστίν. αὐτὰρ ἐπεὶ τάρπημεν ἐδητύος ἠδὲ ποτῆτος, ἦρχον ἐγὼ μύθοιο κελεύων ὑμᾶς ἕπεσθαι. σφὼ δὲ μάλα ἠθέλετον, οἳ δ᾿ ἄμφω πόλλ᾿ ἐπέτελλον. Πηλεὺς μὲν ἐπέτελλ᾿ Ἀχιλλῆϊ αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων», σοὶ δὲ ὁ πατὴρ ἐπέτελλε Μενοίτιος «τέκνον ἐμόν, γενεῇ μὲν ὑπέρτερός ἐστιν Ἀχιλλεύς, πρεσβύτερος δὲ σύ ἐσσι, βίῃ δ᾿ ὅ γε πολλὸν ἀμείνων. ἀλλ᾿ εὖ οἱ φάσθαι πυκινὸν ἔπος ἠδ᾿ ὑποθέσθαι», ἢ ἠδ᾿ ἐπακοῦσαι, «καί οἱ σημαίνειν, ὃ δὲ πείσεται εἰς ἀγαθόν περ. ὣς ἐπέτελλ᾿ ὁ γέρων, σὺ δὲ λήθεαι. ἀλλ᾿ ἔτι καὶ νῦν ταῦτ᾿ εἴποις Ἀχιληϊ δαΐφρονι, αἴ κε πίθηται. τίς δ᾿ οἶδεν, εἴ οἱ σὺν δαίμονι θυμὸν ὀρίνῃς παρειπών;

3.295 ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου». Ταῦτα εἰπὼν διὰ τοῦ Νέστορος ὁ ποιητὴς καὶ μὴ θέλων ἐλέγξαι καὶ τὴν τούτου ῥητορικήν, οὔπω γὰρ ἐξαγαγεῖν εἰς μάχην ἐθέλει τὸν Ἀχιλλέα, ποιεῖ τὸν Νέστορα συμβουλεύοντα τὸ ἄλλως ἀγαθὸν τοῖς Ἀχαιοῖς, προαναφωνῶν ἅμα καὶ τὰ ἐφεξῆς τῆς μάχης. (v. 794—803) Φησὶ γοῦν ὁ γέρων «εἰ δέ τινα φρεσὶν ᾗσιν», ἤγουν ἰδίαις, «θεοπροπίην ἀλεείνει, ἀλλὰ σέ περ προέτω, ἅμα δ᾿ ἄλλος λαὸς ἑπέσθω Μυρμιδόνων, αἴ κέν τι φόως Δαναοῖσι γένοισθε», ἢ γένηαι. «καί τοι τεύχεα καλὰ δότω πόλεμόνδε φέρεσθαι, αἴ κέ σε τῷ ἴσκοντες», ἤγουν εἴ πως εἰκάζοντές σε αὐτῷ, «ἀπόσχωνται πολέμοιο Τρῶες, ἀναπνεύσωσι δ᾿ Ἀχαιοὶ τειρόμενοι· ὀλίγη δέ τ᾿ ἀνάπνευσις πολέμοιο. ῥεῖα δέ κ᾿ ἀκμῆτες κεκμηῶτας ἄνδρας ἀϋτῇ ὤσαισθε προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων». Καὶ τοιαῦτα μέν τινα τὰ [τῆς λαλιᾶς] τοῦ γέροντος πρὸς Πάτροκλον. οἷα δ᾿ ὡς ἐν μέρει τὰ κατ᾿ αὐτὴν αὐτίκα νῦν δηλωθήσεται. Καὶ πρῶτον ἐκεῖνο ἰστέον, ὅτι δίχα τῶν ἐν τῷ μέσῳ πολυσχημόνων ἱστοριῶν καὶ τοπογραφιῶν καὶ λοιπῆς ποικιλίας, δι᾿ ἧς τὸ ἀφηγηματικὸν ἀνορθοῦται ὕπτιον, ἔχει καὶ νοήματα πολλὰ ἡ Ὁμηρικὴ αὕτη λαλιά, οἷς οἱ πρὸς τὸν Ἀχιλλέα σταλέντες πρέσβεις οὐδ᾿ ὅλως ἐχρήσαντο. οὐκ ὀλίγα δὲ ταύτῃ ἔγκεινται καὶ ὧν ἐκεῖνοι πρὸς τὸν Ἀχιλλέα ἐλάλησαν, ἐν παραφράσει μέντοι καὶ ἑτεροίαις τισὶ μεθόδοις καὶ σχήμασιν. Οἷον Ὀδυσσεὺς μὲν ἔλεγεν ἀπειλεῖσθαι τὸν Ἕκτορα κατακαύσειν τὰς τῶν Ἀχαιῶν νῆας, Νέστωρ δὲ ἀπορεῖ, ἐὰν ὁ Ἀχιλλεὺς μένῃ ἕως ἂν θοαὶ νῆες ἄγχι θαλάσσης καίωνται. καὶ ἐκεῖ ἀορίστως τείρεσθαι πολέμῳ οἱ τῶν Ἀχαιῶν υἱοὶ λέγονται, Νέστωρ δὲ ἐξ ὀνόματος καταλέγει τοὺς ἀρίστους, τοὺς μὲν οὐτάσθαι λέγων, τοὺς δὲ βεβλῆσθαι, ἀναμιμνήσκει τε καὶ αὐτὸς ὁμοίως τῷ Ὀδυσσεῖ παραινέσεων πατρικῶν, πλὴν ὅσον ἐπιτρέχει μὲν τὰ περὶ τὸν Ἀχιλλέα, πλατύτερον δὲ φράζει πρὸς ἀληθείας ἔνδειξιν τοὺς πρὸς Πάτροκλον πατρικοὺς λόγους. ἔνθα προστίθησι καὶ καιρὸν καὶ τόπον καὶ σχῆμα τιμῆς καὶ εἶδος ἱερείου καὶ ποτηρίου, ἐν ᾧ δηλαδὴ τόπῳ καὶ ὅτε καιροῦ καὶ ὧν τότε χρησιμευόντων αἱ παραινέσεις ἐγένοντο. προβάλλεται δὲ καί, ὥσπερ ἐκεῖ ὁ Αἴας τὸ ὑπωρόφιον, οὕτω καὶ ὁ Νέστωρ ὧδε πρὸς τῇ διὰ χειρὸς δεξιώσει καὶ τὴν ξενίαν οὐχ᾿ ἁπλῶς γενομένην, ἀλλ᾿ οἷον ἔνορκον καὶ ἐπὶ μάρτυρι θεῷ.

3.296 ἐν θυσίας γὰρ καιρῷ. καὶ ξενίων δὲ ἀναμιμνήσκει κατὰ θέμιν γενομένων, μονονουχὶ λέγων εἴς τε Θέμιν εἴς τε Δία ξένιον τούτους ἁμαρτεῖν, εἰ περιορῶσι τοὺς ξένους. καὶ ὁ μὲν Αἴας ἐκεῖ νηλεῆ λέγει τὸν Ἀχιλλέα, ὁ δὲ Νέστωρ ἐνταῦθά φησιν, ὡς ἐσθλὸς ἐὼν Ἀχιλλεὺς οὐκ ἐλεαίρει Δαναούς. τὸ δὲ μὴ ἐλεαίρειν ἀνηλεοῦς ἐστι. ἔτι ὁ Νέστωρ καὶ κατὰ τὸν ἐκεῖ Φοίνικα διήγημα ἐνταῦθα κατατείνει μακρὸν σεμνότερον ἤπερ ἐκεῖνος. ὁ μὲν γὰρ ἀνδραγαθίαν Μελεάγρου ἐξέθετο, ὁ Νέστωρ δὲ συνήθως οἰκεῖον ἀνδραγάθημα περιηγεῖται, ἐν ᾧ λέγει καὶ ὅτι παρὰ γνώμην τοῦ οἰκείου πατρὸς ἠρίστευσεν, ὡς ἂν καταιδέσῃ τὸν Ἀχιλλέα διὰ τοῦ διηγήματος, εἴπερ αὐτὸς μὲν τοῦ πατρὸς Πηλέως ἀκούσας κελεύοντος αἰὲν ἀριστεύειν ἀπειθεῖ, Νέστωρ δὲ καὶ τοῦ πατρὸς κωλύσαντος ἀνδραγαθεῖ. Ἅμα δὲ καὶ βούλεται ὁ δεινὸς ῥήτωρ πλαγίως πως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐμφῆναι χρῆναι τὸν Πάτροκλον βοηθῆσαι τοῖς ὁμοφύλοις, κἂν ὁ Ἀχιλλεὺς μὴ ἐᾷ. κἀγὼ γάρ, φησίν, οὕτω πεποίηκα τὸν πατέρα λαθὼν καὶ ἄκοντος ἐκείνου ἀνδραγαθήσας ἰσόθεος ἔδοξα μετὰ τὸν Δία τιμώμενος. Τὸ δὲ ἐγγὺς νηῶν καὶ τείχεος αὖλιν θέσθαι τοὺς Τρῶας, ὡς ἐν ταῖς Λιταῖς ἐρρέθη, καὶ τὸν Ἕκτορα δὲ σεύεσθαι νῆας ἐμπρήσειν μαλεροῦ πυρός, καὶ αὐτὰ νῦν ὑπελάλησεν ὁ Νέστωρ πάντα ἐν τῷ «νῆες πυρὸς θέρωνται». ἐκεῖνο δὲ ἐνταυθοῖ, ὡς καὶ προερρέθη, ἐνδοξότατον, τὸ εἰπεῖν ὡς, εἴπερ ἡβῶν αὐτὸς ἦν, οὐκ ἂν τοιαῦτα ἐγένετο. Ὅλως δὲ θαύματος ἀξία ἡ τοῦ γέροντος ὁμιλία, δι᾽ ἧς οὕτω κατεπᾴδει τοῦ καλοῦ καὶ ἐνηέος Πατρόκλου, ὡς δι᾽ αὐτοῦ ἀνῦσαι τὴν μεγίστην ἐπικουρίαν τοῖς Ἀχαιοῖς. Ἐχρῆν μὲν οὖν συνεκπεμφθῆναι τὸν Νέστορα τοῖς πρὸ τούτων πρέσβεσιν, οὐκ ἐποίησε δὲ τοῦτο ἡ Ὁμηρικὴ Μοῦσα, ὡς ἂν ἐπὶ μᾶλλον αὐξήσῃ τὴν τοῦ Νέστορος σοφίαν, ὃς νῦν καὶ μόνος καὶ μηδὲ ἀμέσως ὁμιλήσας τῷ Ἀχιλλεῖ καὶ μηδὲ εἰδότος τινὸς τὴν ἀπ᾽ αὐτοῦ συμμαχίαν βραβεύσει τοῖς Ἀχαιοῖς. εἰ δὲ τότε συνεπρέσβευσε, μὴ πείσας μὲν ἠλέγχετο μὴ σοφὸς ὤν, πείσας δὲ οὐκ ἂν μέγα τι ἐδόκει ποιῆσαι τά τε ἄλλα καὶ διὰ τὴν αὐτοπρόσωπον ὁμιλίαν καὶ ὅτι μηδὲ μόνος ἦν. (v. 656) Τὸ δὲ «τί ποτε Ἀχιλεὺς ὀλοφύρεται υἷας Ἀχαιῶν» ἐνδείκνυται μὲν καὶ σύνεσιν τοῦ Νέστορος, οὕτω στοχασαμένου πρὸς ἀλήθειαν τοῦ κατὰ τὸν Ἀχιλλέα ἤθους, ὃς οἰκτισάμενος τοὺς Ἀχαιοὺς ἐξέστειλε τὸν Πάτροκλον. [Δηλοῖ δὲ καὶ μηδέν τι πρὸς τὴν ὄψιν εἶναι τοῖς λυπουμένοις τὰ ἄλλα. μονονουχὶ γὰρ νοῶν καὶ ὁ Νέστωρ κατὰ τὸν Τραγῳδόν, ὅτι τῶν πεπραγμένων «τὰ μὲν ἄλγιστ᾽ ἄπεστιν, ἡ γὰρ ὄψις οὐ πάρα», λέγει, ὅτι τί ποτε ὀλοφύρεται ἡμᾶς ὁ ἥρως, ἐφ᾽ οἷς οὐκ οἶδε τί πεπόνθαμεν, οἷα μηδὲ αὐτοψεὶ θεασάμενος.

3.297 ] Ἐνταῦθα δὲ τὸ Ἀχιλλεύς καὶ Ἀχαιῶν παρηχοῦσι κατὰ τὴν ἀρκτικὴν προφοράν, ἐγγυτάτω παρακείμενα. Τοῦ δὲ ὀλοφύρεσθαι διασαφητικὸν τὸ «πένθεος ὅσσον ὄρωρε». δῆλον γὰρ ἐντεῦθεν, ὡς ὀλοφύρεσθαι τὸ πενθεῖν εἶπε. [(v. 657 s.) Φανερὸν δ᾽ ὅτι καθὰ ταὐτὸν εἰπεῖν μέγα κλέος καὶ μέγα κλέους, ὡσαύτως καὶ μεγάλη δόξα καὶ μέγα δόξης Ἀττικῶς, οὕτω καὶ μέγα πένθος καὶ μέγα πένθεος.] Τὸ δὲ «βελέεσσι βεβλήαται» τρόπος μέν ἐστιν ἐτυμολογικός, ἀπαρατηρήτως δὲ καὶ αὐτὸ εἴρηται καὶ γενικώτερον. τὸ μέντοι ἀκριβὲς καὶ εἰδικὸν κατωτέρω κεῖται ἐν τῷ «βεβλημένοι οὐτάμενοί τε», καὶ «βέβληται μὲν ὁ δεῖνα, οὔτασται δὲ ὁ δεῖνα», καὶ ἐν τῷ «ἰῷ ἀπὸ νευρῆς βεβλημένον», περὶ οὗ προδεδήλωται ὡς ἐκ περισσοῦ ἔχει τὸ «ἀπὸ νευρῆς». Τὸ δὲ «πένθεος» ἢ μετὰ τοῦ οἶδε συντάσσεται, ἵνα λέγῃ συνήθως ὅτι οὐκ οἶδεν, ἤτοι εἴδησιν ἔχει, πένθεος, ἢ μετὰ τοῦ ὅσσον, ἵνα ᾖ, ὅτι οὐκ οἶδεν ὅσον τι μέρος πένθους ὄρωρε κατὰ στρατόν. Καὶ ὅρα τὸ «κατὰ στρατόν». οὐ γὰρ ἰδικόν τι τὸ πένθος ἀλλὰ κοινόν. Τὸ δὲ «ὅσον πένθεος», καὶ «οἱ γὰρ ἄριστοι» καὶ ἑξῆς, παιδεύει χρῆναι τοὺς πολλοὺς πενθεῖν ἐπὶ ταῖς τῶν ἀρίστων δυσπραγίαις. (v. 660 s.) Τὸ δὲ βεβλῆσθαι καὶ τὸ οὐτάσθαι ὡς διαφέρουσιν, ἀδόλεσχος ἂν ἀνὴρ ἐπὶ πλέον εἰσέτι δηλώσειεν. [Τὸ δὲ «ὁ Τυδείδης» ἐνδιάθετόν τι δηλοῖ κατ᾽ ἐξοχὴν καὶ διὰ τοῦ ἄρθρου. ἤδη γὰρ ὁ μέγας Νέστωρ προσπαθῶς ἔχει τῷ ἥρωϊ διὰ τὰ φθάσαντα.] Ἐν δὲ τῷ «ἠδ᾽ Ἀγαμέμνων» ὅρα τὴν τοῦ Νέστορος δεξιότητα. Διομήδην γὰρ καὶ Ὀδυσσέα ἐπιθέτοις σεμνύνας τὸν βασιλέα ψιλῶς προάγει, ὡς ἐχθρὸν τῷ Ἀχιλλεῖ, ὃς ἐν καρὸς αἴσῃ ἐκεῖνον ἐτίμα τὸν μάλα τῷ Πατρόκλῳ φίλτατον. (v. 663) Ἐν δὲ τῷ «τοῦτον δ᾽ ἄλλον ἐγὼ νέον ἤγαγον ἐκ πολέμοιο» ὑποδιαστολὴ ἀναγκαίως κεῖται μετὰ τὸ ἐγώ, ἵνα κἂν γοῦν οὕτω νοηθείη ἀντὶ τοῦ νεωστὶ ἤγαγον, οὐ μὴν τοῦτον ἄλλον νέον, ἤγουν ἡβῶντα, ἀκμάζοντα.

3.298 (v. 665) Τὸ δὲ «ἐσθλὸς ἐών» ἀναγκαίως ὡς οἷά τι λῆμμα ὑπόκειται. εἰ μὲν γὰρ κακὸς ἦν, εἶχεν ἂν ἐπ᾽ αὐτῷ λόγον τὸ ἀνηλεές. ἐπεὶ δὲ ἐσθλός ἐστιν, οὐκ εὖ ποιεῖ μὴ ἐλεῶν. Τὸ δὲ «οὐ κήδεται οὐδ᾽ ἐλεαίρει» πρὸς ἀκρίβειαν ἐννοίας πέφρασται. τὸ γὰρ κήδεται σημαίνει ποτὲ καὶ τὸ βλάπτεται, προσκειμένου δὲ τοῦ «οὐδὲ ἐλεαίρει» φανερῶς τὸ φροντίζειν ἡ λέξις δηλοῖ. Καὶ ἄλλως δὲ εἰπεῖν, καθολικώτερον τοῦ ἐλεαίρειν τὸ κήδεσθαι. κήδεται μὲν γὰρ ὁ ἐλεῶν, οὐ μὴν ἐξ ἀνάγκης καὶ ἀνάπαλιν. ἔλεος γάρ ἐστι τῶν ἐν κακοῖς, κηδόμεθα δὲ οὐ μόνον τῶν ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συμφοραῖς, ἀλλὰ καὶ τῶν ἄλλως κηδίστων ἡμῖν. αὐτὸ δὲ τὸ «ἐσθλὸς ἐὼν οὐ κήδεται οὐδ' ἐλεεῖ» παιδεύει χρῆναι τοὺς ἐσθλοὺς ὠφελητικοὺς εἶναι, ὡς καὶ προσεχῶς ἐρρέθη, ἵνα συλλογίζηται ὁ γέρων οὕτως· ἀνδρῶν ἐσθλῶν ἐστι τὸ κήδεσθαι καὶ ἐλεεῖν, ἐσθλὸς δὲ ὁ Ἀχιλλεύς. ὀφείλει ἄρα κήδεσθαι καὶ ἐλεεῖν. μάλιστα δὲ πρὸς τὸ νῦν προκείμενον οὕτω· οἱ ἐσθλοὶ κήδονται καὶ ἐλεοῦσιν. Ἀχιλλεὺς δὲ οὐ κήδεται οὐδὲ ἐλεεῖ. οὔκουν οὐδὲ ἐσθλός ἐστι. (v. 666) Τὸ δὲ «ἄγχι θαλάσσης» τὸ τοῦ πυρὸς ὑπογράφει λαῦρον, οἷα τοσοῦτον βοροῦ ὄντος, ὡς μὴ μόνον περὶ τὸ τεῖχος ἀλλὰ καὶ ἄγχι θαλάσσης ἐπινεμήσεσθαι τὰς νῆας. (v. 667) Τὸ δὲ «Ἀργείων ἀέκητι» πρὸς διαστολὴν ἑτεροίου πυρὸς εἴρηται, ὁποῖα τὰ ἑκουσίως αὐτοῖς ἀναπτόμενα καὶ θέροντα μὴ πρὸς ὄλεθρον. Τὸ δὲ «πυρὸς δηΐου» διαστέλλει κἀνταῦθα τὸ μάχιμον πῦρ τοῦ ἄλλως ἐξ ἐπιβουλῆς. Τὸ δὲ «πυρός», ἤγουν διὰ πυρὸς θέρωνται, ὅ ἐστιν καίωνται, ἀπὸ τοῦ παρακολουθοῦντος αὐτὸ τὸ πρᾶγμα δηλοῖ εὐφημότερον. τοῖς γὰρ καιομένοις ἕπεται τὸ πολλῷ πρότερον θέρεσθαι. πρὸς ὁμοιότητα δὲ τούτου ἔγραψε καὶ ὁ εἰπὼν «πυρώσω πόλιν», ἤτοι καύσω. τοιούτου δὲ παρακολουθητικοῦ δηλαδὴ τρόπου καὶ τὸ «κάπνισάν τε κατὰ κλισίας» ἤγουν ἀνῆψαν πῦρ. [Καὶ ἄλλως δέ, τὸ πυρὸς θέρωνται διαστολὴν ἔχει πρὸς τὸ θέρεσθαι ἄλλως, οἷον ἢ πυρὸς μὴ δηΐου ἀλλά, ὡς εἰκός, πανηγυρικοῦ, ἢ διὰ ἡλίου καυσοῦντος, ὅθεν καὶ τὸ είληθερεῖσθαι, καὶ ὕδωρ δὲ είληθερές.] (v. 668) Τὸ δὲ «κτεινώμεθα» βαθύτερόν τι τοῦ φαινομένου νοεῖ. οὐ γὰρ μόνον ἑαυτὸν ὁ Νέστωρ συμπεριλαμβάνει τοῖς θανουμένοις, περιπαθέστερον, ὃν ἔδει φιλεῖσθαι ὡς ξεῖνον, καθὰ δεδήλωται, ἀλλὰ καὶ αὐτὸν συμπεριείληφε τὸν Πάτροκλον, ἤδη δὲ καὶ τοὺς Μυρμιδόνας. καὶ λεληθότως παραδηλοῖ, ὡς οὐ δυνατὸν τῶν Ἀχαιῶν παθόντων, ἃ βούλεται ὁ Ἀχιλλεύς, μὴ κακῶς καὶ τοὺς Μυρμιδόνας παθεῖν καί που καὶ αὐτὸν τὸν Ἀχιλλέα. διὸ ἔφη καὶ οἴεσθαι τὸν Ἀχιλλέα πολλὰ μετακλαύσεσθαι ἀπολομένου τοῦ λαοῦ.

3.299 Τὸ δὲ «ἐπισχερώ» ὀξυτονεῖται μὲν ὁμοίως τῷ ἰώ, σημαίνει δὲ τὸ κατὰ τάξιν καί, ὡς εἰπεῖν, ἐχομένως καὶ ἐφεξῆς καὶ συναπτῶς καὶ συνεχῶς. ὡς γὰρ ἐκ τῆς ἐπι προθέσεως καὶ τοῦ ἔχω καὶ ἔξω γίνεται τὸ συνεχῶς καὶ τὸ ἐφεξῆς, οὕτως ἐκ τῆς αὐτῆς προθέσεως καὶ τοῦ σχέω σχῶ σύγκειται τὸ ἐπισχερώ, ποιητικὴ λέξις, κειμένη καὶ ἐν Ὀδυσσείᾳ καὶ παρὰ Θεοκρίτῳ καὶ ἑτέροις. Ἶς δὲ ἰνός ἡ δύναμις μεταφορικῶς, κυρίως γὰρ ἐπὶ νεύρων ἡ λέξις τίθεται καὶ ἐπὶ νευρωδῶν. ἰνίον γοῦν λέγεται νεῦρον ὄπισθεν τοῦ τραχήλου τεῖνον, καθῆκον ἀπὸ κεφαλῆς εἰς αὐχένα. οὕτω δὲ κατὰ μεταφορὰν καὶ ἰνᾶσθαι παρὰ Αἰλίῳ Διονυσίῳ τὸ καθαίρεσθαι καὶ ἐκκενοῦσθαι, καὶ ὑπέρινος ὁ ὑπερκεκαθαρμένος διὰ τὸ κατὰ οἷον ἶνας λεπτύνεσθαι. λέγονται δέ που καὶ αἵματος ἶνες κατά τινα ὁμοιότητα. ὁ μέντοι ἴννος ἕτερος ἴσως ὢν παρὰ τὸν Ἀριστοτελικὸν γίννον, ἄδηλον εἰ ἐκ τοιούτου τινὸς γίνεται. Τοῦτο δὲ μόνον οἴδαμεν περὶ αὐτοῦ ἔκ τινος παλαιοῦ, εἰπόντος ὅτι ἴννος ὁ ἐξ ἡμιόνου καὶ θηλείας ἵππου, προστίθησι δὲ ἐκεῖνος καὶ ὅτι ζῇ δὲ ἡμίονος πεντήκοντα ἔτη. ὅτι δὲ Ἶς καὶ ὄνομά ἐστι ποταμοῦ, ὡς καὶ Ἡρόδοτος οἶδε καί τις δὲ Φύλαξ ἱστορικός, παρεσημειώσαντο οἱ Τεχνικοί. (v. 669) Τὸ δὲ «γναμπτοῖσι μέλεσσι» κατ' ἀκολουθίαν εἴρηται τῆς ἰνός. κατὰ ἶνας γὰρ καμπτομένων ἡ ζωϊκὴ ἐνέργεια δείκνυται. τὸ δέ γε ἐν μέλεσι τετανὸν ἀπρακτεῖν τὸ ζῷον ποιεῖ, ὡς καὶ ὁ ἐν Ὀδυσσείᾳ μακρὰ κολυμβήσας Ὀδυσσεὺς ὑποδηλοῖ. καὶ ἄλλως δὲ εἰπεῖν, γναμπτὰ μέλη τὰ τῶν ζώντων λέγει, τὰ γὰρ τῶν τεθνεώτων οὐ κάμπτεται. (v. 670) Τὸ δὲ θέλειν ἡβᾶν, φύσει ὂν αἱρετόν, σύνηθες βούλημά ἐστι καὶ τῷ γηραιῷ Νέστορι, ὡς καὶ ἐν τῇ τοῦ Αἴαντος καὶ Ἕκτορος μονομαχίᾳ δεδήλωται.

3.300 Τὸ δὲ «βίη τέ μοι ἔμπεδος εἴη» πρὸς ἀκρίβειαν ἐννοίας πρόσκειται. οὐ γὰρ ἀρκεῖ τῷ γέροντι μόνον ἡβῆσαι, εἰ μὴ καὶ τὴν παλαιὰν ἐκείνην ἀναλήψεται νεοτήσιον βίαν. οὐδὲ γὰρ οὐδὲ τῷ Τιθωνῷ ῥρέθη ἂν εἰς ἥβην ἀνακάμψαι, εἰ μὴ καὶ ἐνδύναμος εἶναι ἤμελλε. (v. 671) Τὸ δὲ ἡμῖν ἐν τῷ «Ἠλείοις καὶ ἡμῖν νεῖκος ἐτύχθη», ἀναφορικῶς εἴρηται ἀντὶ τοῦ Ἠλείοις καὶ τοῖς τότε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πυλίοις. οὐ γὰρ ἔφθασεν ὄνομα εἰπεῖν ὁ ποιητής, πρὸς ὃ ἐπήγαγε τὸ ἡμῖν. ἄλλως δὲ καὶ σεμνόν τι ὁ λόγος ἔχει καὶ ὑπεροχικόν, εἰ μόνος ὁ Νέστωρ ἐν ἑαυτῷ τοὺς ὅλους Πυλίους διαδείκνυσιν. Ὅτι δὲ οἱ Ἠλεῖοι καὶ Ἐπειοὶ λέγονται ὥσπερ καὶ οἱ Πύλιοι Ἀχαιοί, ἐν τοῖς προσεχῶς προγραφεῖσι δεδήλωται. πόθεν δὲ παρῆκται τὰ τοιαῦτα ὀνόματα, εἴρηται ἀλλαχοῦ. (v. 672) Τὸ δὲ «ἀμφὶ βοηλασίῃ» ἔχει μὲν τὴν ἀμφι πρόθεσιν δοτικῇ συνταχθεῖσαν συνήθως τῷ ποιητῇ, καὶ εἴληπται ἀντὶ τοῦ «περὶ βοηλασίης», δηλοῖ δὲ ἀπὸ μέρους καὶ ἑτέρων ζῴων ἀπέλασιν κατὰ τὸ Ὁμηρικὸν ἐδάφιον. διάλυσις δέ που ἦν βοηλασίας τὸ «οὐ γὰρ πώποτ᾽ ἐμὰς βοῦς ἤλασαν», ὅθεν ἡ βοηλασία σύγκειται. καιρία δὲ λέξις καὶ ἐν τοιούτοις ἡ ἀπέλασις. διὸ προϊὼν φησιν «ῥύσια ἐλαυνόμενος», καὶ ληΐδα συνηλάσαμεν, καὶ «τὰ μὲν ἠλασάμεθα εἰς Πύλον», ἐκ τούτων δὲ καὶ ὁ ἡνίοχος ἐλατήρ. Ἔνθα ὅρα ὡς, εἰ καὶ ἐλάσαι οὐ μόνον τὸ ἡνιοχῆσαι, ἀλλὰ σὺν ἄλλοις καὶ τὸ χαλκεῦσαι σίδηρον καὶ τὸ ἐκτεῖναι τεῖχος καὶ τὸ ληΐσασθαι, ὅμως ἐλατὴρ ὁ ἡνίοχος μόνος καὶ οὐδὲν ἄλλο παρά γε τῷ ποιητῇ. ὁ δέ γε Κωμικὸς καί τι πέμματος εἶδος οἶδε τὸν ἐλατῆρα, ὡς ἐν τοῖς Ἱππεῦσι δηλοῖ, αἰνιττόμενος ἐκεῖ δύνασθαι τὴν λέξιν καὶ ἐπὶ κωπηλάτου λέγεσθαι. (v. 674) Τὸ δὲ ῥύσια πάνυ καιρίως ἐνταῦθα ῥηθὲν δηλοῖ τὰ ἀντί τινων ῥυόμενα, ὅ ἐστιν ἑλκόμενα, καὶ ἀντὶ τῶν προαρπασθέντων ἁρπαζόμενα, ὥστε ῥύσια ἐλαύνειν ὁ Νέστωρ λέγει τὸ ἐρυσιάζειν καὶ λαμβάνειν ἀνθαρπάγματα, ἤγουν ἐνέχυρα χρέους. Ὅτι δὲ τὸ ἐλαυνόμενος ἀντὶ τοῦ ἐλαύνων εἴληπται δῆλον, καθὰ καὶ τὸ ἐπέτελλε παθητικῶς εἶπεν ὁ ποιητὴς ἐν τῷ «πατὴρ ἐπετέλλετο Πηλεύς».

3.301 οὕτω δὲ καὶ ληΐδα συνελάσαμέν φησιν ἐνεργητικῶς καὶ ἠλασάμεσθα παθητικῶς. Τὸ δὲ «ὃ δ᾽ ἀμύνων βόεσσιν ἔβλητο»— θηλυκὸν δὲ κἀνταῦθα Ἰωνικῶς τὸ «βόεσσιν»—ἄλλως μὲν οὐκ ἀναγκαίως, πρὸς δὲ σαφήνειαν πρόσκειται, ἵνα ἐν τῷ «ὃς ἐν Ἤλιδι ναιετάασκε ῥύσια ἐλαυνόμενος» τὸ ῥύσια ἐλαυνόμενος μὴ προσνοηθείη κατὰ τὴν σύνταξιν τοῦ λόγου τῷ Ἰτυμονεῖ, ἀλλὰ τῷ Νέστορι, ὡς αὐτοῦ μὲν ῥυσιάζοντος, τοῦ δὲ Ἰτυμονέως ὑπὲρ τῶν αὐτοῦ ἀμύνοντος. (v. 675) Τὸ δὲ «ἐν πρώτοισι» ταὐτὸν τῷ ἐν προμάχοισι. Τὸ δὲ «ἄκοντι» διαστολὴν ἔχει πρὸς τὴν διὰ λίθου ἢ ὀϊστοῦ βολήν. (v. 676) Φιλαλήθης δὲ κἀνταῦθα ὁ Νέστωρ, οὐκ ἀποκρυψάμενος, ὡς ἀγροιῶται ἦσαν οἱ περὶ τὸν Ἰτυμονέα, οὐ μὴν στρατιῶται, ὡς οἱ μετὰ ταῦτα πεσόντες ὑπὸ τῷ Νέστορι. (v. 678) Ληΐδα δὲ ὑποκοριστικῶς ἢ μάλιστα παρωνύμως τὴν λείαν εἰπόντος Ὁμήρου ληϊδίην ἐντεῦθεν Ὀππιανός φησι τὴν αἰχμάλωτον, ὁ δὲ Λυκόφρων ληΐτιν. (v. 679) [Ἐν δὲ τῷ «συῶν συβόσια καὶ αἰπόλια αἰγῶν» πρῶτα μὲν ῥητέον ὡς, εἰ καὶ ἀσφαλῶς διὰ σαφήνειαν ἔφρασεν ὁ ποιητής—διὸ καὶ ὁ χείριστος Παραβάτης οὕτω που ῥητῶς ἔγραψεν ἐν τοῖς ἑαυτοῦ—, ὅμως περιττῶς ἄλλως ἁπλῶς ἐν τούτοις κεῖσθαι δοκεῖ τὸ συῶν καὶ τὸ αἰγῶν. Οὐ γὰρ ἂν ἐρεῖ τις βοῶν συβόσιον ἢ προβάτων αἰπόλιον. Προσθετέον δ᾽ ἀναγκαίως ἐνταῦθα καὶ τὰ τοῦ γραμματικοῦ Ἀριστοφάνους, ἔχοντα οὕτω πως. Αἰπόλων καὶ συβοτῶν καὶ τῶν ἄλλων γένος ὁ νομεύς. οὕτω δὲ καὶ ποιμένων, οἳ καὶ προβατεῖς καλοῦνται καὶ μηλάται. τὸ δὲ κατ᾽ αὐτοὺς πλῆθος ποίμνιον, ὅπερ Ὅμηρος πῶϋ καλεῖ. μῆλα δὲ εἰ καὶ κοινότερον τὰ κατὰ τὸ πῶϋ, ἀλλ᾽ ὁ ποιητὴς καὶ τὰς αἶγας οὕτω καλεῖ, οἷον «μῆλ᾽ ὄϊές τε καὶ αἶγες ἰαύεσκον», καὶ πάλιν «μῆλον ἀγινεῖ, ζατρεφέων αἰγῶν ὅστις φαίνεται ἄριστος». καὶ ἡμεῖς δέ, φησί, μηλωτὴν καλοῦμεν καὶ τὴν αἰγείαν δοράν, τὴν δὲ τῶν προβάτων τινὲς οἰέην, ὅθεν ἡ ᾤα συνήλειπται, οἷον «ὥρα μάττειν ἐπὶ τοῖς ἱεροῖς καὶ τὴν ᾤαν περιδεῖσθαι περὶ τὴν ὀσφῦν». δοκεῖ δέ μοι, φησίν, ὁ ποιητὴς ἐν τῷ «κειμήλιά τε πρόβασίν τε» καὶ τὴν τῶν ἄλλων τετραπόδων βοσκημάτων κτῆσιν πρόβασιν καλεῖν, οὐ μὴν μόνων τῶν κοινῶς λεγομένων προβάτων.

3.302 εἶτα φησιν, ὡς καὶ Πίνδαρός που τὰς τοῦ Διομήδους ἵππους πρόβατα καλεῖ, τὴν φάτνην αὐτῶν λέγων προβάτων τράπεζαν. οὕτω δέ που, φησί, καὶ ἐπὶ τοῦ Πηγάσου ποιεῖ. προφέρει δὲ καὶ Σιμωνίδου χρήσεις, ἐν αἷς βοῦν ἄρρενα ὁτὲ μὲν ταῦρον, ὁτὲ δὲ μᾶλον, ἤγουν μῆλον, ὁτὲ δὲ πρόβατον ἐκεῖνος ὀνομάζει, καί τινα χρῆσιν ἑτέραν ταύτην «μῆλα, βόας κεραοὺς καὶ ὄϊς καὶ

πίονας αἶγας». Σοφοκλῆς δέ, φησί, δόξειεν ἄν που καὶ τὰ θηρία πάντα μῆλα καλεῖν. τὸν γοῦν Ἀχιλλέα τραφῆναί φησιν ἐν τῷ Πηλίῳ πᾶν μῆλον θηρῶντα.] (v. 681) Ὅτι δὲ εὐδαίμων ἱπποτροφία ἡ πολλὰς θηλείας πωλοτρόφους ἔχουσα, πολλαχοῦ δηλοῦται. Δῆλον δὲ ὅτι τὸ «πάσας θηλείας» χάριν σαφηνείας κεῖται, ἵνα μὴ καὶ ἄρρενες πολλοὶ ἀναμὶξ νοοῖντο. τὸ γὰρ «ἵππους ξανθάς» οὐκ ἤρκει μόνον αὐτὸ πρὸς θήλεος γένους παράστασιν, ὡς τοῦ ποιητοῦ κατὰ θηλυκὸν γένος πολλαχοῦ συλληπτικῷ τρόπῳ ἑκάτερα τὰ γένη προάγοντος, οἷον ἐν τῷ· αἱ ἵπποι, αἱ βόες, αἱ ὄϊς, καὶ τοῖς ὁμοίοις. Τὸ δὲ «πωλοὶ ὑπῆσαν» πάνυ κυρίως ἔχει κατὰ τὸ ὑποτρέχειν τὰς μητέρας τὰ τοιαῦτα ζῳΐδια ἐν τῷ θηλάζειν. (v. 682) Νηλήϊον δὲ κτητικῶς τὴν Πύλον εἶπεν, ἐπεί, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, τοῦ κρατοῦντος ἡ πόλις κατὰ τὴν τραγῳδίαν νομίζεται. (v. 683) Τοῦ δὲ ἐννύχιοι, ὡς καὶ τοῦ παννύχιον εὕδειν, καὶ τοῦ «παννυχίη πεῖρε κέλευθον», πρωτότυπον τὸ ἔννυχος, κατὰ τὸ κάπρος κάπριος, Αἰτωλός Αἰτώλιος, αἰζηός αἰζήϊος. ἡ δὲ χρῆσις τοῦ ἔννυχος προέκκειται ἐν τῷ «θέουσα ἔννυχος». Τὸ δὲ «προτὶ ἄστυ» ἰσοδυναμεῖ μὲν τῷ πρὸς τῷ ἄστεϊ, ἐπῆκται δὲ πρὸς ἐπιδιόρθωσιν τοῦ Πύλον εἴσω. οὐ δήπου γὰρ ἔσω Πύλου τῆς πόλεως εἰσήχθη ὅλη τοσαύτη ληΐς, πολλή τε οὖσα, καὶ οὐδὲ ὄντων τέως τῶν ἐπιτρεχόντων καὶ φοβούντων, ἀλλ' ἔξω που, ὡς εἰκός, ἐγγυτάτω ἀφείθη νέμεσθαι. (v. 684) Τὸ δὲ «τύχε πολλά» ἀντὶ τοῦ προσεγένοντο εὐτυχῶς καὶ κατὰ συγκυρίαν ἀγαθήν. Καὶ σημειοῦνται οἱ παλαιοί, ὅτι τὸ μὲν ῥῆμα τοῦ τυχεῖν οἶδεν Ὅμηρος, τύχην δὲ οὐκέτι, τὸ ἐκ τοῦ τοιούτου ῥήματος ὄνομα, ὥσπερ καὶ τὸ λέγειν εἰδὼς λόγον, φασίν, οὐκ οἶδεν.

3.303 οὕτω δὲ καὶ γράψαι μὲν οἶδεν, ὡς προδεδήλωται, οὐκέτι δὲ καί τι ἐξ αὐτοῦ ὄνομα, οἷον γράμμα ἢ γραφήν. τὸ γλάφω μέντοι ἐν Ὀδυσσείᾳ εἰδὼς οἶδε καὶ ὄνομα ἐξ αὐτοῦ τὸ γλαφυρόν. Τὸ δὲ «νέῳ κιόντι» ὡς εἰς θαῦμα παρασημειοῦται ὁ γέρων, εἰ νέος ὢν καὶ ὀλίγων ἐτῶν κληρονομήσας ὅμως πολλὰ [ἐκ πολέμου] ἐκτήσατο. (v. 685) Λιγαίνειν δὲ καὶ ἐνταῦθα οὐ τὸ ὑμνεῖν, ἀλλὰ τὸ ὀξὺ βοᾶν, ὅπερ ἀρετὴ κηρύκων ἐστί. Τὸ δὲ «ἅμα ἠοῖ φαινομένῃ», ὅ ἐστι λαμπομένῃ, φαεινούσῃ, περιφράζων ἐν τοῖς ἑξῆς ἔφη «εὖτε ἠέλιος φαέθων ὑπερέσχεθε γαίης», ἤγουν ὑπερανέσχεν, ἀνέτειλεν. Ἰστέον δὲ ὅτι τὸ ἅμα μὲν χρονικὸν οἱ παλαιοί φασι παρὰ τῷ ποιητῇ, τὸ δὲ ὁμοῦ τοπικόν, οἷον Σόλων ἅμα μὲν ἐγένετο Ἀναχάρσιδι τῷ σοφῷ Σκύθῃ ὡς τὸν αὐτὸν χρόνον ἀκμάσας, ὁμοῦ δὲ οὐκέτι. οὐ γὰρ ἐν τῷ αὐτῷ ἐγεννήθη τόπῳ. λέγει δὲ καὶ Ὅμηρος «ἔνθα δ' ἅμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν», ἤγουν ἐν τῷ αὐτῷ χρόνῳ, καὶ «αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμ' ἡγεμόνεσσιν ἕκαστοι», καὶ «οἳ δ' ἅμα πάντες ἐφ' ἵπποισι μάστιγας ἄειραν». καὶ οὕτω μὲν χρονικὸν τὸ ἅμα, τόπον δὲ δηλοῖ τὸ ὁμοῦ ἐν τῷ «τῇ ὁμοῦ ἐτρεφόμην», καὶ «ὁμοῦ πίνακάς τε νεῶν καὶ σώματα φωτῶν», ἤγουν ἐν τῷ αὐτῷ τόπῳ, καὶ «ὁμοῦ δ' ἔχον ὠκέας ἵππους», δύο τινές, «εἰν ἑνὶ δίφρῳ ἐόντες». ἔσθ' ὅτε δὲ τὸ ὁμοῦ καὶ ἐπὶ χρονικοῦ, φασίν, ἐπιρρήματος τίθεται, ὡς τὸ «εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς», καθά φησιν Ἀσκληπιάδης. εἰ μὴ ἄρα τις εἴπῃ καὶ ἐνταῦθα τὸ ὁμοῦ ἀντὶ τοῦ ἐν τῷ αὐτῷ τόπῳ, ἤγουν ἐν τῇ Τροίᾳ. Καὶ Παυσανίας δὲ εἰπὼν καὶ αὐτὸς τὸ μὲν ἅμα χρονικόν, τὸ δὲ ὁμοῦ καὶ χρονικὸν καὶ τοπικόν, παρατίθησι καὶ ὅτι ἁμάμηλις σῦκον τὸ ἅμα μήλῳ ἀνθοῦν, καὶ μῆλον ἁμάσυκον τὸ ἅμα σύκῳ ἀνθοῦν. Ἕτεροι δὲ εἰπόντες ἁμάμηλιν τοὺς ἀπίους παρὰ Ἀττικοῖς λέγεσθαι, φασὶ καὶ ἁμαδρυάδας νύμφας, αἳ ἅμα δρυσὶ γίνονται καὶ ἀπογίνονται. εἰς δὲ τὸ ὁμοῦ χρονικὸν χρήσιμον καὶ τὸ «πόλις δ' ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων». (v. 686) Τοῦ δὲ «ἴμεν» τὸ ἀπαθὲς ἰέναι, ὅθεν ποιητικῶς ἰέμεναι, καὶ ἀποκοπῇ ἰέμεν, καὶ συγκοπῇ ἴμεν. οὐ γὰρ ἔστιν εἰπεῖν ὡς τὸ ἰῶτα καὶ ε τοῦ ἰέμεν ἐκράθη εἰς ι μακρόν, βραχὺ γάρ ἐστιν ὡς ἐν μέτρῳ δακτυλικῷ. (v. 689) Ὅρα δὲ νῦν μὲν τὸ ἴμεν τεθὲν διὰ τοῦ ἰῶτα ἀντὶ τοῦ ἐλθεῖν, μετὰ δὲ δύο στίχους ἐν τῷ κεκακωμένοι ἦμεν, ἀντὶ τοῦ ὑπήρχομεν, διὰ τοῦ η .

3.304 καὶ γίνεται οὕτω ψευδοπαρήχησις λεληθυῖα, οὐ μὴν ἀναιδὴς κατὰ τὸ «ἔδδεισαν οὐδέ τ' ἔδησαν». Ἔνθα ὅρα καὶ ὡς τὸ ἐκεκακώμεθα περιέφρασε κατὰ κανόνα γραμματικὸν διὰ μετοχῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ῥήματος τοῦ κεκακωμένοι ἦμεν, οἰκείων ὄντων καὶ ἀμφοτέρων ὑπερσυντελίκῳ τοιούτῳ. (v. 686) [Τὸ δὲ «Ἤλιδι δίῃ», καθὼς καὶ ἀλλαχοῦ δηλοῦται, καὶ τὸ «Ἴριδι δίῃ», εἰ καὶ δεσμεῖται διὰ μέσων τρισὶ συμφώνοις, ὅμως ὑποσεσηρέναι τῇ ἐκφωνήσει τὰ χείλη ποιεῖ. θεραπεία δὲ τοῦ πάθους ἐν μὲν τῷ «Ἴριδι δίῃ» ὁ καὶ ἐν τοῖς τοιούτοις ἀκατέργαστος σχεδιασμός, ἐν δὲ τῷ «Ἤλιδι δίῃ» καὶ τὸ μὴ ἄκρατα κεῖσθαι τὰ ἰῶτα, ἀλλὰ μεσολαβεῖσθαι πρός τινα θεραπείαν τοῦ σεσηρέναι φαύλως ὑπὸ τοῦ κατάρχοντος καὶ λήγοντος η . Οὕτω καὶ τὸ Ἰλίεια, ἑορτὴ δὲ αὐτὰ ἦσαν ἐν Ἰλίῳ, γράφεσθαι μὲν ὤφειλε κατὰ τὴν παραλήγουσαν διὰ τοῦ ἰῶτα τῷ λόγῳ τοῦ Ὀλύμπια καὶ Πύθια, πρὸς βραχεῖαν δέ τινα διαφορὰν πλεονάσαντος τοῦ ε τὴν διὰ τῆς ει διφθόγγου ἔσχε γραφήν. Ὡς δὲ καὶ ἐν ἄλλοις τὸ τῶν στοιχείων ἀλλεπάλληλον διακόπτεται, δηλοῦται καὶ ἐν τῷ τεμένιος, ὅπερ ἐχρῆν μὲν διὰ τῆς ει διφθόγγου γραφῆναι κατὰ τὸ τέγος τέγειος καὶ ἐπιτέγειος, ἐξέπεσε δὲ τοῦ ε , οὐ λόγῳ κανόνος, ἀλλ' ἵνα μὴ ἐπαλληλίζοιτο τὰ τρία ε . Περὶ δὲ τῆς τῶν Ἰλιείων ἑορτῆς γέγραπταί τι καὶ ἐν τοῖς πρὸ τούτων οὐκ ἀνάκριβες.] (v. 687) Τὸ δὲ «Πυλίων ἡγήτορες» πρὸς ἀκρίβειαν πιθανότητος κεῖται. οἱ γὰρ τοιοῦτοι περιουσιαζόμενοι ζῴοις καὶ ἀπολέσαντες αὐτὰ δαιτρεύοιεν ἂν ἐπανασωθέντα ὡς ὀφειλόμενοι χρέος. (v. 688) Δαιτρεύειν δὲ φανερῶς νῦν τὸ ἁπλῶς μερίζειν λόγῳ δασμοῦ. δὶς δὲ κεῖται ἐν τοῖς ῥηθεῖσι διὰ τὸ καίριον. εἰ δὲ ὡς ἐπὶ πολὺ ἐπὶ κρεάτων ἡ λέξις νοεῖται, ὅθεν καὶ δαιτρὸς ὁ μερίζων αὐτὰ τοῖς δαινυμένοις, ἔχει προσφυές τι κἀνταῦθα ἡ λέξις πρὸς τὸ τοιοῦτον, καθότι ἐπὶ ζῴων ἐλέχθη τῶν δυναμένων οὕτω δαιτρεύεσθαι. ἐνθυμητέον δ' ἐνταῦθα καὶ τὸ «δαιτρὸν πίνειν», ὅπερ ἀλλαχοῦ κεῖται. Τὸ δὲ «χρέος ὀφείλετο», καὶ τὸ «χρεῖος ὄφελλον» τὸν χρεωφειλέτην συντιθέασι.

3.305 τῆς αὐτῆς δὲ ἐννοίας ὄντα τό τε ὀφείλειν καὶ τὸ ὀφέλλειν διαφέρει κατά τε προφορὰν καὶ καθ' ὃ οὐκ ἀεὶ ἐπὶ χρέους τὸ ὀφέλλειν, ἀλλὰ καὶ ἐπὶ ἁπλῶς αὐξήσεώς τινος. ὅτι δὲ τὸ μὲν χρεῖος ἀεὶ συστέλλει τὴν λήγουσαν, τὸ δὲ χρέος διφορεῖται κατ' αὐτήν, δηλοῦται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Ὅρα δὲ καὶ ὅτι κυριολεκτούμενον ἐπὶ χρέους εὑρὼν τὸ ὀφείλεσθαι τρὶς αὐτὸ ἐν τῷ διηγήματί φησι «χρέος ὀφείλετο ἐν Ἤλιδι», καὶ «Ἐπειοὶ χρεῖος ὄφειλον», καὶ «χρεῖος μέγ' ὀφείλετο». (v. 690) Τὸ δὲ «ἐλθὼν ἐκάκωσε βίη Ἡρακληείη» περιφραστικῶς εἴρηται ἀντὶ τοῦ ὁ Ἡρακλῆς ἐλθών, ἵνα γένηται καὶ ἐνταῦθα ἡ σύνταξις οὐ πρὸς τὸ θηλυγενὲς τῆς φωνῆς, ἀλλὰ πρὸς τὸ ἄρρεν σημαινόμενον, ὅπερ ἐστὶν ὁ Ἡρακλῆς. ἴσως δὲ καὶ Ἀττικόν ἐστιν, ὅμοιον τῷ «Ἀθηναίη ἀκέων ἦν», ἀντὶ τοῦ ἀκέουσα, τοιοῦτον καὶ ἐν Ὀδυσσείᾳ τὸ «ψυχὴ Τειρεσίου χρύσεον σκῆπτρον ἔχων». [Αἴτιον δὲ τῆς καινοτροπίας τοῦ «ἐλθὼν βίη Ἡρακλείη» τὸ θαῦμα τοῦ γέροντος, ὃς ὤκνησεν ἁπλοϊκῶς εἰπεῖν δίχα σεμνώματος τὸ Ἡρακλῆς.] Σημείωσαι δὲ τήν τε ἐπεμβολὴν τῆς κατὰ τὸν Ἡρακλέα ταύτης ἱστορίας ἐπεντεθεῖσαν διά τε τὸ πολυειδέστερον τῆς ἱστορίας, ἵνα λιπαίνοιτο καὶ οὕτω συνήθως ὁ λόγος, καὶ ἅμα ἵνα τῇ τοῦ διηγήματος διατριβῇ ὁ Πάτροκλος ἐπέχηται ἀναγκαίως, ἕως ἂν τὸ ἀπευκταῖον ἰδὼν παθήναιτο καὶ δράμοι πρεσβεύσων εἰς Ἀχιλλέα ὑπὲρ τῶν Ἀχαιῶν. Τοῦτό τε οὖν σημείωσαι, ὡς ἐρρέθη, καὶ ὅτι τοῦτό ἐστι τὸ φύσει πρῶτον τοῦ εἰρημένου διηγήματος. Πρῶτον γὰρ ἐκάκωσεν Ἡρακλῆς τὴν Πύλον, εἶτα ὑπερηφάνουν οἱ Ἐπειοὶ ληϊζόμενοι. ἐν οἷς καὶ ὁ Αὐγείας ὁ τοὺς ἀεθλοφόρους τοῦ Νηλέως ἵππους ἀφελόμενος, ἐφ' οἷς ἡ τοῦ Νέστορος βοηλασία ἐκ τῶν Ἐπειῶν. οὐδὲ γὰρ οὐδ' ἐνταῦθα ὁ ποιητὴς προέθετο κατὰ φύσιν ἀφηγήσασθαι, ὅπερ ποιεῖ καὶ ἐν τῷ «ὅτε σε ἐκ Φθίης Μενοίτιος Ἀγαμέμνονι πέμπε». καὶ αὐτόθι γὰρ πρῶτον τὸ «Πηλῆος ἱκόμεσθα δόμους» καὶ τὰ ἑξῆς, ἐν οἷς καὶ ἡ τοῦ Πατρόκλου ἀποστολὴ πρὸς τοὺς βασιλεῖς. Φιλεῖ γὰρ ἐξ ἀναστροφῆς ἄνω κάτω τιθέναι τὰ πράγματα καὶ παραβύειν εἰς τὸ μέσον τὴν ἀρχήν.

3.306 καί φασιν οἱ Τεχνικοί, ὅτι τὸ ἐν τοῖς ἐπιμηκεστέροις τῶν διηγημάτων ἀπ' ἀρχῆς εὐτάκτως ἐπὶ τὴν ἀφήγησιν ἰέναι ἀμβλυτέραν καθίστησι τὴν ἀκρόασιν, τὸ δὲ ἐκ τῶν πρακτικωτέρων ἄρχεσθαι ἡδύτερόν τε καὶ ἐναγωνιώτερον, ὡς καὶ ἐνταῦθα ἐκ τῆς μονομαχίας ἤρξατο καὶ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βοηλασίας ὁ Νέστωρ, ἐν οἷς τὸ τοῦ διηγήματός ἐστι δραστήριον. Τοῦτο δὲ τὸ μεθόδευμα καὶ τὴν Ἀχιλλέως μῆνιν, ὡς καὶ προτεθεώρηται, καταρχὴν τῆς Ἰλιάδος ἔθετο. Οἱ δὲ παλαιοὶ ἐπαινοῦσιν ἐν τῷ διειλημμένῳ διηγήματι ὅλῳ τοῦ Νέστορος καὶ τὰς συχνὰς ἀρχάς, οἷον τὸ «ὣς ἡμεῖς κεκακωμένοι ἐν Πύλῳ ἦμεν», καὶ «ταῦθ᾽ ὑπερηφανέοντες Ἐπειοί», ἤγουν διὰ τοῦτο ὑπερφρονοῦντες ὕβριζον, καὶ «τούτων ὁ γέρων κεχολωμένος ἐξείλετο πολλά», καὶ «ἡμεῖς μὲν τὰ ἕκαστα διείπομεν», καὶ «ἔστι δέ τις Θρυόεσσα πόλις», καὶ «ἔστι δέ τις ποταμός», καὶ ἕτερα. Καί φασιν, ὅτι αἱ πυκναὶ τῶν διηγημάτων περιγραφαὶ προσοχὴν ἐμποιοῦσι καὶ τὴν ὑπτιότητα τοῦ λόγου ἐξαιροῦσι, καὶ ὅλως ἐν ταῖς διηγήσεσι τὸ πολύαρχον καινίζει τε τὴν ἀκοὴν καὶ τὸ ὁμοειδὲς ἀνακόπτει καὶ σαφήνειαν προβάλλει καὶ ἀκοὴν ἀναπαύει καὶ προσοχὴν ἐμποιεῖ. θαυμάζουσι δὲ καὶ τοῦ Νέστορος, εἴπερ μνησθεὶς Ἡρακλέος, ὃς τήν τε πατρίδα Πύλον ἐπόρθησε καὶ τοὺς ἀδελφοὺς δὲ ἀνεῖλεν, οὐδέν τι περὶ αὐτοῦ ἀπόφημον φθέγγεται. καὶ ἴσως μὲν κατὰ τὸν εἰπόντα νικᾷ καὶ τοῦτον ἡ ἀρετὴ τῆς ἔχθρας πολύ. Οἱ δὲ παλαιοί φασι δεξιῶς τὸν Νέστορα πρὸς ἑκατέραν τύχην ἁρμόσασθαι. ἐπεὶ γὰρ δεινὰ δράσας ὁ Ἡρακλῆς ὅμως καὶ Νέστορος καὶ Νηλέως ἐφείσατο, κατὰ δέ τινας καὶ τὴν ἀρχὴν ὕστερον τῆς Πύλου τῷ Νέστορι παρέδοτο, διὰ τοῦτο οὔτε βλάσφημόν τι λέγει ὁ γέρων δι᾽ αὐτὸν οὔτε μὴν ἐπαίνου ἐχόμενον, τοῦτο μὲν διὰ τὴν τῶν ἀδελφῶν ἀπώλειαν, ἐκεῖνο δὲ διὰ τὴν εὐεργεσίαν. οὕτω καὶ Χρύσης ἀπολαβὼν τὴν παῖδα σιγᾷ, οὔτε ἐπαινεῖν ἔχων τὴν τοῦ βασιλέως πρᾶξιν διὰ τὸ τῆς ἀποδόσεως οὐχ᾽ ἑκούσιον, οὔτε βλασφημεῖν ἐθέλων διὰ τὸ ἔχειν ἤδη τὸ ποθούμενον. Εἷλε δὲ κατά τινας τὴν Πύλον ὁ Ἡρακλῆς ὡς μὴ προσδεχθεὶς ὑπὸ τοῦ Νηλέως, ὅτε τὸν καὶ ἐν Ὀδυσσείᾳ δηλούμενον τοῦ Ἰφίτου φόνον παρ᾽ αὐτῷ καθήρασθαι ἤθελε. τοῦτο δὲ τοῖς ἀκριβεστέροις οὐκ ἀρέσκει, διότι τε, φασίν, οὐκ οἶδεν Ὅμηρος φονέα καθαιρόμενον ἀλλὰ ἢ ποινὴν τίνοντα ἢ φυγαδευόμενον, ὡς πρὸ ὀλίγου εἴρηται, καὶ διότι ἐὰν ἡ Πύλος πορθῆται διὰ τὰ Ἰφίτου καθάρσια, συνάγοιτο ἂν ὁ Ὀδυσσεὺς τοῦ Νέστορος γηραιότερος, εἴπερ ὁ Νέστωρ μὲν νεώτατος μετὰ θάνατον Ἰφίτου ἐν Γερήνοις ἦν ἐκτρεφόμενος—διὸ καὶ Γερήνιος λέγεται—, Ὀδυσσεὺς δὲ ἀκμάζων τῷ Ἰφίτῳ ζῶντι προεπεξενώθη, ὡς ἐν Ὀδυσσείᾳ δηλοῦται, καὶ ξένιον ἐξ ἐκείνου τόξον ἔλαβε.

3.307 Ἕτεροι δὲ αἰτίαν τῆς ἁλώσεως τῆς Πύλου εἶπον τὴν τοῦ Περικλυμένου καθ᾽ Ἡρακλέος ὑπερηφανίαν, ἑνὸς τῶν δώδεκα παίδων τοῦ Νηλέως, ὧν ἀνδρειότερος μὲν αὐτὸς ὁ Περικλύμενος, πρεσβύτερος δὲ ὁ Χρόμιος, ὁ Νέστωρ δὲ συνετώτερος. Ἄλλοι δέ, διότι Ὀρχομενίοις οἱ Πύλιοι ὡς συγγενεῖς κατὰ Θηβαίων τῶν Ἡρακλέος πατριωτῶν ποτε συνελάβοντο. Ἀγίας δὲ ἱστορεῖ, διότι Νηλεὺς ἀφείλετο τῶν Γηρυόνου βοῶν, ἃς Ἡρακλῆς ἀπήλασεν ἆθλον μέγαν ἀνύσας, Τελέσαρχος δέ, διότι τὰ χρύσεα μῆλα καὶ τὸν Ἱππολύτης τῆς Ἀμαζόνος ζωστῆρα καὶ τὰς Διομήδους ἵππους ἄγοντα τὸν Ἡρακλέα ἐκώλυσεν ὁ Νηλεὺς προσβῆναι τῇ πόλει. καὶ τοῦτο μὲν οὕτω. Τινὲς δέ φασι καί, ὅτι Χλῶρις ἡ Νηλέως γυνὴ τῶν υἱῶν αὐτῆς ἀπολωλότων ὑφ᾽ Ἡρακλέος ἀγχόνῃ ἐχρήσατο, καὶ ὅτι παῖδες ἑπτὰ ἦσαν τῷ Νέστορι ἐκ Μνησιόχης τῆς Ἀμφιδάμαντος, οἳ καὶ ὀνόματα τῶν τοιούτων ἐκτίθενται. (v. 691) Τὸ δὲ «τῶν προτέρων ἐτέων» εἴληπται μὲν παραφραστικῶς ἀντὶ τοῦ πάλαι, λείπεται δὲ τῆς ἐπι προθέσεως Ἀττικῶς. Τὸ δὲ «κατὰ δ᾽ ἔκταθεν», ἢ ἔκτανεν, «ὅσσοι ἄριστοι» διασαφεῖ τὴν κάκωσιν Ἡρακλέος, ἣν ἐκάκωσε τοὺς ἐν Πύλῳ, καθὰ πρὸ βραχέων ἐρρέθη. Τῷ δὲ Νηλεύς Νηλέως Νηλῆος ἀντιπαράκειται κύριον ὁ Νείλεως ἀνήρ, ἥρως περίκλυτος, οὗ καὶ ἀποικία τις περιᾴδεται. τούτου ἡ μὲν ἀναλογία τῆς κλίσεως κατὰ τὸν Μενέλεων, ἡ δὲ γραφὴ τῆς ἀρχούσης ἐοικυῖα εἶναι ἀπὸ τοῦ Νεῖλος, ὅμως ἐστὶ μὲν ὡς καὶ ὁ Νηλεύς, ἔτρεψε δὲ Βοιωτικῶς τὸ η εἰς δίφθογγον, ἵνα πάντῃ ἀσυνέμπτωτα εἶεν ἡ τοῦ Νηλέως γενικὴ καὶ ὁ Νείλεως. [Εἰκὸς δὲ καὶ τῆς Νηλέως γενικῆς ἀναδραμούσης εἰς εὐθεῖαν αἰτιατικὴν ταύτης εἶναι τὸν Νείλεων Βοιωτιακῶς ἅμα καὶ Αἰολικῶς, ἵνα βοιωτιάζηται μὲν ἡ ἄρχουσα κατὰ τὴν ἐκ τοῦ η στοιχείου μετάπτωσιν εἰς τὴν ει δίφθογγον, αἰολίζηται δὲ ἡ προπαροξυτόνησις.

3.308 ] (v. 697) Τὸ δὲ «κρινάμενος», ἑρμηνεία ἐστὶ τοῦ «ἐκ δ' ὁ γέρων εἵλετο», ἤγουν ὁ γέρων ἐξείλετο, καὶ τοῦ «ἐξέλετο ἄσπετα πολλά». ἐκλέξασθαι γὰρ καὶ κρίνασθαι τὸ αὐτὸ δηλοῦσι, καθὰ καὶ τὸ ἐπίλεκτος καὶ ἔκκριτος. Τὸ δὲ «τριηκόσια» ἐλλιπῶς ἔχει τοῦ ζῷα. (v. 698) Τὸ δὲ «Ἤλιδι δίῃ», ὃ δὶς ἐν τοῖς ῥηθεῖσι κεῖται, κακοφωνίαν μέν, [ὡς καὶ προερρέθη,] ἔχει κατὰ τοὺς ῥήτορας τῇ προφορᾷ, καθὰ καὶ τὸ «Ἴριδι δίῃ», διὰ τὸ ποιεῖν σεσηρέναι ἀπεστιγγρωκότα τὰ χείλη, σεμνύνει δὲ τῷ ἐπιθέτῳ τοὺς Ἠλείους ὡς δίους, ἵνα μέγα τι ὁ γέρων ἐνδείξηται ἀνῦσαι κατὰ μεγάλων. διὸ καὶ χαλκοχίτωνας Ἐπειοὺς ἔφη καὶ μεγαθύμους δὲ ἐν δυσὶ τόποις τοῦ διηγήματος, [ταὐτὸν ὂν Ἐπειοὺς καὶ Ἠλείους εἰπεῖν. περὶ ὧν ὅτι καὶ μέθυσοι καὶ ψεῦσται ἦσαν, δηλοῖ καὶ ὁ κωμικὸς Ἔφιππος, εἰπὼν «Ἦλις καὶ μεθύει καὶ ψεύδεται. οἷος ἑκάστου οἶκος, τοίη καὶ συνάπασα πόλις». Ὅτι δὲ τὰ καὶ ἐν τῷ Καταλόγῳ μνημονευθέντα Ὀλύμπια οὐκ ἀεὶ μεγάλους τινὰς εἶχον ἀγωνιζομένους, δηλοῖ ὁ πρῶτος τὸν Ὀλυμπιάσιν ἀναδησάμενος ἀγῶνα, Κόροιβος ὁ Ἠλεῖος, οὐ μεγάλης τέχνης ἄνθρωπος ὤν, ἀλλὰ μάγειρος, ὡς ἐν τοῖς τοῦ Ἀθηναίου κεῖται. Καὶ ὅρα καὶ ἄλλον τοῦτον Κόροιβον παρὰ τοὺς καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν τεθειμένους.] (v. 699) Ἐν δὲ τῷ «τέσσαρες ἀθλοφόροι ἵπποι», οὓς φθόνου φασὶν αἰτίᾳ κατασχεῖν τὸν Αὐγείαν, οἱ μὲν τέτρωρον φαντάζονται, οἱ δὲ δύο ξυνωρίδας νοοῦσιν, ἑκατέραν ἕνα ἔχουσαν ἐλατῆρα. τετρώρῳ γάρ, φασίν, οὐ χρῶνται οἱ παρ' Ὁμήρῳ ἥρωες. Λέγουσι δὲ καὶ ὡς, εἰ καὶ περὶ τρίποδος οἱ τοιοῦτοι ἵπποι ἔμελλον ἐν Ἤλιδι θεύσεσθαι, οὐκ ἤδη νοητέον τοῦ τῶν Ὀλυμπίων ἀγῶνος μεμνῆσθαι τὸν Ὅμηρον, μηδὲ γὰρ εἰδέναι αὐτά, λέγειν δὲ περί τινος ἐγχωρίου ἀγῶνος χρηματικοῦ, οὐ μὴν στεφανίτου κατὰ τὰ Ὀλύμπια.

3.309 οὔτε γὰρ ἐνταῦθα οὔτε ἀλλαχοῦ, φασί, οἶδε στέφανον ὁ ποιητής, οὐκ ἐν νίκῃ, οὐκ ἐν θυσίᾳ, οὐκ ἐν συμποσίῳ. Κατὰ μέντοι ἑτέρους οὐκ ἀπίθανον εἰδέναι τὸν ποιητὴν τὰ Ὀλύμπια, κἂν εἰ μὴ πρὸς λέξιν ὀνομάζῃ αὐτά. τὸν Ἡρακλῆν γὰρ πάντως οἶδε καὶ πολλαχοῦ μέμνηται αὐτοῦ, ὃν ἄλλοι τε καὶ ὁ Πίνδαρος δὲ ἱστοροῦσι τοῖς Ὀλυμπίοις προκαταβαλέσθαι τὰς ἀρχάς, περὶ ὧν Ὀλυμπίων φέρεται καὶ ἱστορία τοιαύτη τις. Αὐγείας Ἡρακλεῖ τὴν τῶν αὐτοῦ βοῶν κόπρον καθήραντι οὐκ ἐδίδου ἀπαιτοῦντι τὸν μισθόν, ὃς ἦν δεκάτη τῶν βοῶν, λέγων οὐχ' ἑκόντα ποιῆσαι τὸ ἔργον, ἀλλ' ἐπιταγέντα ὑπὸ Εὐρυσθέως. καθίζουσιν οὖν κριτὴν αὐτοῖς τῆς δίκης αἱρετὸν Φυλέα τὸν τοῦ Αὐγείου υἱόν. ὁ δὲ καταψηφίζεται τοῦ πατρός. ἀγανακτεῖ ἐπὶ τούτοις Αὐγείας, καὶ ἐκβάλλει τὸν υἱόν. Ἡρακλῆς δὲ ἐπιστρατευσάμενος πορθεῖ τὴν Ἦλιν καὶ μεταπεμψάμενος ἐκ Δολιχίου τὸν Φυλέα δίδωσι αὐτῷ τὴν τοῦ πατρὸς βασιλείαν, καὶ τὸν στρατὸν διὰ τὴν ἐκ πολέμου ὀλιγανδρίαν συγκατακλίνει ταῖς τῶν τετελευτηκότων γυναιξί, καὶ τὸν Ὀλυμπικὸν διαθέμενος ἀγῶνα πρῶτος αὐτὸς τῶν ἀγωνισμάτων ἅπτεται. Πρὸς δὲ τούτοις ἱστορεῖται καί, ὅτι τὴν ἀρχὴν Πισᾶται τοῦ ἀγῶνος ἐπεμέλοντο, ἐπεὶ δὲ τοῖς Μεσσηνίοις αὐτοὶ κατὰ Λακεδαιμονίων συνεμάχησαν, καθελόντες ὕστερον αὐτοὺς οἱ Λακεδαιμόνιοι παρέσχον τὴν τοῦ ἀγῶνος ἀρχὴν τοῖς Ἠλείοις, οἳ κατὰ Μεσσηνίων τοῖς Λάκωσι συνεμάχησαν. Καὶ ὅλως πειρῶνται συναγαγεῖν ἐπεγνῶσθαι τῷ ποιητῇ τὸν Ὀλυμπικὸν ἀγῶνα, εἰ καὶ μὴ νῦν αὐτοῦ ἐκείνου μέμνηται ῥητῶς. Ἀθλοφόροι δὲ καὶ νῦν ἵπποι οἱ νικηταί, καὶ διαλελυμένως φάναι κατὰ τὸν ποιητήν, «οἳ ἀέθλια», ὅ ἐστι κατὰ πρωτοτυπίαν ἄεθλα, «ποσὶν ἤραντο», ταὐτὸν δ' εἰπεῖν, ἔφερον. Τὸ δὲ «αὐτοῖσιν ὄχεσφιν» Ἀττικὸν ἀντὶ τοῦ σὺν αὐτοῖς ἅρμασι. (v. 700 s.) Τὸ δὲ περὶ τρίποδος θέειν καί τινων τοιούτων μικροπρεπῶν ἐπάθλων καινὸν οὐδέν. νίκη γὰρ ἦν τὸ τέλος, οὐ κτήματα, ὡς καὶ οἱ στεφανῖται δηλοῦσιν ἀγῶνες. [Οἷον δέ τι πρὸς ἔφεσιν ἡ νίκη αὐτὴ καθ' αὑτὴν καὶ δίχα τοῦ χρηματίζεσθαι, οἴδασιν οἱ φιλότιμοι, παρ' οἷς ξυνωρὶς οἷον ἔζευκται νίκης καὶ τῆς ἐπ' αὐτῇ τιμῆς, ἧς ἐπιβαίνοντες φέρεσθαι δοκοῦσι μετάρσιοι ὡς εἰς οὐρανόν. διὸ καὶ ὁ μῦθος τὴν Νίκην οὐ μόνον χρυσαῖν πτερύγοιν ἐκόσμησε διὰ τὸ κατ' αὐτὴν καὶ πολυτίμητον καί, ὡς εἰπεῖν, μετεωροπόρον, ἀλλὰ καὶ τῇ Ἀθηνᾷ εἰς ταὐτὸν ἤγαγεν, ὡς δηλοῖ καὶ ὁ γράψας τὸ «Ἀθηνᾶ ἡ Νίκη».

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.310 τοῦτο δὲ αἴνιγμα ἦν τοῦ τὴν φρόνησιν νικητικὴν εἶναι, κατὰ τὸ «οἱ γὰρ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ». Διό, φασίν, ἐν Ἀλεξανδρείᾳ Πτολεμαῖος ὁ Φιλάδελφος, πομπικὴν θέαν διασκευάσας, ἐποίησε καὶ Ἀλέξανδρον χρυσοῦν ἐφ' ἅρματος ἐλεφάντων ἀληθινοῦ φερόμενον, Νίκην καὶ Ἀθηνᾶν ἐξ ἑκατέρου μέρους ἔχοντα, πρὸς αἴνιγμα τοῦ καὶ συνετὸν αὐτὸν εἶναι καὶ νικητήν. Ὁ δὲ μῦθος λέγει τοῦ Ἔρωτος εἶναι τὰ τῆς Νίκης πτερά, οὗ φησιν ὑπὸ θεῶν ἀπεψηφισμένου ἀποκοπῆναι τὰ πτερὰ καὶ δοθῆναι τῇ Νίκῃ φορεῖν, ὡς καὶ ἐν τῇ ξῖ ῥαψῳδίᾳ ῥηθήσεται.] Τὸ δὲ «περὶ τρίποδος γὰρ ἔμελλον θεύσεσθαι» κατὰ τὸ παρέλκον κεῖσθαι δοκεῖ πρὸς μόνην ψιλὴν ἱστορίαν, ἴσως δὲ καὶ ἐφερμηνευτικόν ἐστι τοῦ ἄεθλα, ἵνα μὴ πληθυντικῶς ῥηθέντα Ὁμηρικῷ ἔθει οὕτω καὶ νοηθεῖεν, ἀλλὰ κατά τι ἓν μέγα. τοιοῦτον γάρ τι ἄεθλον τὸ κατὰ τὸν τρίποδα, ὡς δηλοῖ καὶ Ἡσίοδος. (v. 702) Τὸ δὲ «κάσχεθεν», ἤτοι κατέσχεν, ὤφειλε μὲν συγκοπὲν τρέψαι τὸ τ εἰς τὸ ἐπαγόμενον σίγμα, οὐκ ἔσχε δέ, διότι οὐκ ἐθέλει πρὸ συμφώνου κείμενον διπλοῦσθαι τὸ ς , ἀλλὰ πρὸ φωνήεντος, ὡς δηλοῖ τὸ σύσσιτος καὶ σύσσωμος, κατὰ δέ τινας καὶ τὸ πασσυδίῃ. ὅθεν τὸ δύστηνος ἐξώθησε τὸ ἓν σίγμα. οὕτω δὲ καὶ τὸ σύσκηνος καὶ τὰ ὅμοια. Ἐν τούτῳ δὲ τῷ τόπῳ καὶ σχῆμα κεῖται τὸ κατὰ σιωπήν. Αὐγείας γὰρ οὐ μόνον ἔργοις ἔβλαψεν, ἀλλὰ καὶ λόγοις, ὡς εἰκός, ἐλύπησε, κἂν ὁ ποιητὴς αὐτοὺς ἐσιώπησε. (v. 703) Φησὶ γοῦν «ἐπέων κεχολωμένος ἠδὲ καὶ ἔργων». (v. 704) Τὸ δὲ «ἄσπετα πολλά» τῆς αὐτῆς πρὸς ἐπίτασιν ἐκ παραλλήλου ἐννοίας εἰσίν, ὡς καὶ τὸ ἀθέσφατα πολλά, καὶ ὁμοιοῦται πρὸς τὸ «ληΐδα ἤλιθα πολλήν». (v. 705) Τοῦ δὲ ἀτέμβεσθαι παραγωγὴ τὸ εἰς ἄτην ἐμβαίνειν. Τὸ δὲ ἴσης λείπεται τοῦ μερίδος ἢ μοίρας, διὸ ἐξ ἀνάγκης, ὡς εἴρηται, εἰς ἰσομοιρίαν ἑρμηνεύεται. (v. 707) Τὸ δὲ «ἔρδομεν ἱερά», ὥσπερ καὶ τὸ «ἔνθα Ἀλφειῷ ῥέξαντες», δηλοῖ, ὡς καὶ μετὰ πόλεμον καὶ πρὸ πολέμου δὲ ἀναγκαίως θυσίαι ἐγίνοντο.

3.311 Ἔλλειψιν δ' ἔχει τὸ ἱερά, λείπει γὰρ τὸ ζῷα ἢ θύματα ἢ κρέα. διὸ εἰπὼν μετ' ὀλίγα «ἐπ' αἰθομένοις ἱεροῖσιν», ἐπάγει τὸ «ἀμφὶ βοὸς κρέα». (v. 707 s.) Τὸ δὲ «πάντες ἦλθον» τοῦ πανσυδίῃ ἐστὶν ἑρμηνευτικόν. διὸ καὶ προϊὼν λέγει, ὅτι ἐμείναμεν οἱ ἱππεῖς ἐγγύθεν Ἀρήνης, ἐπέρρεον δὲ οἱ πεζοί· ἔνθεν πανσυδίῃ θωρηχθέντες ἱκόμεθα. Ὅτι δέ τινες ἐν δυσὶ σς γράφουσι τὸ πασσυδίῃ, καὶ πρὸ ὀλίγων ἐδηλώθη, περὶ δὲ Μολιόνων μετ' ὀλίγα ῥηθήσεται. (v. 711) Τὸ δὲ «ἔστι τις πόλις» ἀρχὴ διηγήματος φίλη τῷ ποιητῇ, πραγματευομένῳ ἐκ τοιούτων ῥημάτων ἔστιν οὗ ἄρχεσθαι, οἷον «ἔστι πόλις Ἐφύρη», ἔστι δέ τις ποταμός», «ἦν δέ τις ἐν Τρώεσσι Δάρης». Ἰστέον δὲ ὅτι περὶ τοῦ «ἔστιν» οὕτω φασὶν οἱ παλαιοί. Τοῦ ἔστιν ἡ πρώτη ὀξύνεται, ἐπειδὰν ἀποφαινώμεθα περί του ὡς ὑπάρχει, οἷον «ἔστι πόλις Ἐφύρη» καὶ τὰ τοιαῦτα. ὅταν δέ, φασί, πρὸς ἐρώτησιν ἀποκρινώμεθα, τὴν ὑστέραν ὀξυτονητέον. Τὴν δὲ Θρυόεσσαν πόλιν ὁ τὰ Ἐθνικὰ γράψας Θρύον λέγει ἀπὸ τῶν ἐν αὐτῇ φυομένων ὁμωνύμως τῷ φυτῷ κληθεῖσαν, καὶ τὸν πολίτην αὐτῆς Θρυΐτην, κατὰ δὲ παραγωγὴν ἀπὸ τοῦ φυτοῦ καὶ Θρυόεις ἡ αὐτὴ πόλις καὶ ὁ πολίτης Θρυούντιος. ἡ δ' αὐτὴ καὶ θηλυκῶς Θρυόεσσα καὶ ὁ πολίτης Θρυουσσαῖος καὶ Θρυούσιος. κεῖται δέ, φησίν, ἡ πόλις παρὰ τὸν Ἀλφειόν. λέγει δέ που καὶ ὁ ποιητὴς δισυλλάβως Θρύον Ἀλφειοῦ πόρον, ὡς ἐκεῖ περατοῦ ὄντος τοῦ ποταμοῦ. Τὸ δὲ Κολώνη ὡς κύριον τόπου λαμβάνεται, διὸ καὶ βαρύνεται, ὡς τὸ Καλλικολώνη, μᾶλλον δέ, ὡς Μηθώνη, Κορώνη, Μεθώνη, Μυκήνη. εἰ δὲ ἦν παρώνυμον ἐκ τοῦ κολωνός, ὡς κοινὸν ὠξύνετο ἄν. ἡ δὲ κολώνη καὶ λόφος ἂν λέγοιτο, καὶ βουνὸς δέ, ὅπερ Ἡρόδοτος μὲν Λιβύων λέξιν εἶναί φησιν, Αἴλιος δὲ Διονύσιος λέγει, ὅτι Φιλήμων ἐπισκώπτει τὸ ὄνομα ὡς βάρβαρον. λόφον γὰρ καλοῦσιν. ἕτεροι δέ, ὅτι βουνὸν Φιλήμων ἐν Νόθῳ ὡς σύνηθες τίθησιν, ἄλλοθι δὲ ὡς ξενικὸν ἐπισκώπτει.

3.312 ἐκ δὲ τοῦ κολώνη παράγωγον καὶ πόλις Κολώνεια, κατά τε ἄλλα, καὶ κατὰ τὸ Θεσσαλονίκη Θεσσαλονίκεια. δηλοῦσι δὲ ὑψηλὸν τόπον αἱ λέξεις, διὸ καὶ αἰπεῖα ἐρρέθη Κολώνη. Σημείωσαι δὲ ὅτι αὕτη μὲν ἡ πολιτικὴ Κολώνη τῶν Πυλίων ἦν, ἣν καὶ διὰ τὰ ληϊσθέντα πορθοῦσιν Ἠλεῖοι, ἡ δὲ ἐφεξῆς κολώνη ἑτέρα τις εἶναι δοκεῖ, εἰς ἣν διώξαντες τοὺς ἐπελθόντας Ἠλείους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱ Πύλιοι καὶ ἀρκεσθέντες τῇ νίκῃ αὖτις ἀπέτραπον τὸν λαόν. (v. 713) Ἐν δὲ τῷ «τὴν ἀμφεστρατόωντο» καὶ ἑξῆς, διπλῆ ἔννοια. ἢ γὰρ ἀμφὶ ταύτην ἐστράτευον, ἢ ταύτην διαρραῖσαι θέλοντες ἐστρατεύοντο. (v. 714 s.) Ἀθηνᾶ δὲ ἄγγελος ἐλθεῖν ἐπὶ πολέμῳ λέγεται, διότι, ὡς εἰκός, κατὰ σύνεσιν ἐπράχθη τὰ τῆς τοιαύτης μάχης, καὶ οὐ πρὸς μόνον θράσος. οὕτω καὶ μετ' ὀλίγα τὸν λαὸν αὖτις ἀπέτρεπεν Ἀθήνη, ὡς μὴ μόνον τῆς μάχης ἀλλὰ καὶ τοῦ νόστου συνετῶς τοῖς Πυλίοις γενομένου. τῆς δ' αὐτῆς ἐννοίας δηλωτικὸν καὶ τὸ «ἐπεὶ ὣς ἄγε νεῖκος Ἀθήνη». (v. 717—9) Κωλύει δὲ ὁ Νηλεὺς θωρήσσεσθαι τὸν Νέστορα, οὐ μόνον ὡς μήπω εἰδότα πολεμεῖν καὶ κατὰ τοῦτο ἐοικότα τοῖς Μολίοσιν, οἱ παῖδες ἔτι ὄντες οὔπω μάλα εἰδότες, ἤγουν εἰδήμονές εἰσιν, ἀλκῆς, ἀλλὰ καὶ διὰ τὴν φθάσασαν εὐτυχίαν ἐν τῇ βοηλασίᾳ. δέδοικε γὰρ τὸ σφαλερὸν τῆς εἰς ἄγαν εὖ πιπτούσης τύχης, ἣ καὶ αὐτὴ σφαλερὰ κατὰ τὰς ἄγαν εὐεξίας ἐστί. (v. 716 s.) Τὸ δὲ «οὐδ' ἀέκοντα λαὸν ἄγειρε» καὶ ἑξῆς, προθυμίαν δηλοῖ στρατιωτικήν. [Ἔνθα ὅρα, ὅτι τε πρὸς σαφήνειαν τοῦ «οὐδ' ἀέκοντα», νοήματος ἀορίστου, ἐπῆκται τὸ «ἀλλὰ μάλ' ἐσσυμένους», καὶ ὡς Ἀττικῶς τῷ προσηγορικῷ ἑνικῷ πληθυσμὸς ἐπηνέχθη. εἰπὼν γὰρ οὐκ ἀέκοντα λαὸν ἡρμήνευσε πληθυντικῶς διὰ τοῦ μάλ' ἐσσυμένους.] (v. 719) Τὸ δὲ «οὐ γάρ πώ τί μ' ἔφη» καὶ ἑξῆς, ἀντὶ τοῦ οὔτι γάρ πω, ἤγουν οὐδαμῶς ἔτι, με ἔφη τοιόνδε εἶναι. Τὸ δὲ «πολεμήϊα ἔργα» οὐ διελύθη ἀπὸ διφθόγγου ὡς τὸ χαλκήϊον καὶ τὰ τοιαῦτα, ἀλλά, ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη, πλεονασμὸν ἔχει τοῦ η ὡς καὶ τὸ οἰήϊον καὶ τὰ ὅμοια. Ὅρα δὲ ὡς τὸ μὲν «ἴδμεν», ἤγουν εἰδέναι, «ἔργα» αἰτιατικὴν σύνταξιν ἔσχε, τὸ δὲ «εἰδότε ἀλκῆς» γενικήν. (v. 720) Τὸ δὲ μεταπρέπειν ἐστὶ μὲν ταὐτὸν τῷ ἐκπρέπειν, οὐκ ἔχει δὲ ὄνομα, ὡς ἐκεῖθεν γίνεται ὁ ἐκπρεπής, ὃς ὁ αὐτός ἐστι τῷ ἀριπρεπεῖ. (v. 722) Ὁ δὲ Μινυήϊος ποταμός, ὡς ὁ Γεωγράφος φησίν, Ἄνιγρος καλεῖται, βαθὺς καὶ ὕπτιος, ἀβρώτους ἔχων ἰχθύας. τὸ δ' ἐντεῦθεν λουτρὸν ἀλφοὺς καὶ λεύκας καὶ λειχῆνας ἰᾶται. ὠνόμασται δὲ Μινύειος τετρασυλλάβως τύπῳ κτητικῷ καὶ διαλύσει καὶ ἐκτάσει Μινυήϊος ἀπὸ Μινυῶν, τῶν μετὰ Χλώριδος τῆς μητρὸς Νέστορος αὐτόθι ἐλθόντων ἐκ τοῦ Μινυείου Ὀρχομενοῦ, οἳ τῶν Ἀργοναυτῶν ὄντες ἀπόγονοι, οὓς Μινύας ὁ Λυκόφρων λέγει, ἐκ Λήμνου μὲν εἰς Λακεδαίμονα ἐξέπεσον, ἐκεῖθεν δὲ εἰς Τριφυλίαν, καὶ ᾤκησαν περὶ Ἀρήνην τὴν ἐν τῷ Ὁμηρικῷ Καταλόγῳ.

3.313 Διττὴ δὲ Ἀρήνη παρὰ τῷ Ἐθνογράφῳ, ἡ μὲν Μεσσήνης, ἡ δὲ Τριφυλίας. ὁ πολίτης αὐτῶν Ἀρηναῖος. Ἰστέον δὲ ὅτι ὁ ῥηθεὶς ποταμὸς καὶ Μινύας τρισυλλάβως λέγεται. Ὅρα δὲ καὶ τὸ «εἰς ἅλα βάλλων», ἀντὶ τοῦ ἐκ κρημνοῦ καταπίπτων εἰς θάλασσαν, ὡς οἱ παλαιοί φασιν, ἢ καὶ ὡς ἐκ μήκους οἷον βάλλων τοξότου δίκην εἰς αὐτήν, ὡς εἶναι ὀρθὸν λέγειν εἰσβάλλειν ποταμὸν καὶ εἰσβολὴν ποταμοῦ, εἰ καὶ οἱ μεθ' Ὅμηρον ἐκβολάς τε λέγουσι ποταμῶν καὶ ἐκβάλλειν ποταμοὺς εἰς θάλασσαν, ὃ ταὐτόν ἐστι τῷ ἀπερεύγεσθαι. Τὸ δὲ «εἰς ἅλα» διαστέλλει ποταμῶν ἀφανιζομένων ἐν τῷ καταβάλλεσθαι εἰς χάσματα. (v. 723) Ἐν δὲ τῷ «ἐμείναμεν ἠῶ δῖαν ἱππῆες Πυλίων» τῇ προθυμίᾳ ὁ Νέστωρ ἦν ἱππεύς. πῶς γὰρ ἂν ἄλλως ἱππεὺς εἴη ὁ πεζὸς ἐών, εἰ καὶ ἄλλως μετέπρεπεν ἱππεῦσιν. ὃ πολὺν ἔπαινον ἔχει Νέστορος, εἰ καὶ νέος ὢν οὕτως ἠνδρίζετο. (v. 724) Τὸ δὲ «ἐπέρρεεν ἔθνη πεζῶν» ἀντὶ τοῦ πάνυ πολλοὶ ἤρχοντο κατὰ σπουδὴν καί, ὡς εἰπεῖν, ὑγροί, καὶ ἄλλως δὲ καθ' Ὅμηρον «ὑγρῷ ποδί», ὅ ἐστιν ὑγιεῖ. ταὐτὸν γὰρ τὸ ἐν Ὀδυσσείᾳ «διερῷ ποδί», καὶ τὸ «ὑγρῷ καὶ ὑγιεῖ». καὶ ἡ ὑγεία γὰρ καὶ ὁ ὑγιὴς ἐκ τοῦ ὑγροῦ ἐτυμολογεῖται κατὰ τοὺς παλαιούς, ὡς οἷον ὑγρεία τις καὶ ὑγρiής, οὗ τὸ ἐναντίον ἡ νέκρωσις ἀλίβαντας ποιεῖ καὶ αὐαίνει, ἐξ οὗ καὶ ὁ παρὰ τῷ Κωμικῷ Αὐαίνου λίθος ἐν Ἅιδου πέπλασται, εἰπόντος που καὶ τὸν πάνυ γελῶντα ἀπαφαυανθῆναι γελῶντα, ὅπερ ὁ ποιητὴς γέλῳ ἐκθανεῖν λέγει. Ὅρα δὲ καὶ ὅτι τὸ «τὰ δ' ἐπέρρεεν ἔθνεα πεζῶν» ὅμοιόν πώς ἐστι τῷ «ἔθνε' ἀγείρετο μυρία νεκρῶν». εἰ δὲ δοκεῖ σκληρῶς ἴσως εἰρῆσθαι τὸ «ἐπέρρεον ἔθνεα», τουτέστιν συχνὰ δίκην ῥεύματος ἤρχοντο, ἀλλ' ἔχει τὸ ἀσφαλὲς ἡ λέξις οὐ μόνον ἐκ τοῦ «ἱππόθεν ἐκχύμενοι», ὃ ἐν Ὀδυσσείᾳ κεῖται, ἀλλὰ καὶ ἐκ τοῦ παρακεῖσθαι ποταμῷ.

3.314 εἰπὼν γὰρ «ἔστι τις ποταμός», ἐπήγαγε μετ᾽ ὀλίγα τὸ «τὰ δ᾽ ἐπέρρεεν ἔθνεα πεζῶν». (v. 726) Ἔνδιοι δέ, ὡς καὶ ὁ Γεωγράφος ἑρμηνεύει, οἱ κατὰ μεσημβρίαν, ὅτε δηλαδὴ ἐνδεῖ καὶ οὐκέτι αὔξεσθαι δοκεῖ ἀλλὰ φθίνει ἡ ἡμέρα. ὅθεν καὶ δείλη ἡ ἐνδέουσα τῆς ἕλης. καὶ κεῖται ἡ λέξις καὶ ἐν Ὀδυσσείᾳ. Σημειοῦνται δὲ οἱ παλαιοὶ ἐνταῦθα καὶ τὴν καιρικὴν ἀλήθειαν, φάμενοι τὴν ἐξ Ἀρήνης ὁδὸν ἐς Ἀλφειὸν ἐκ πρωΐας ἕως καὶ εἰς μεσημβρίαν εἶναι. Φησὶ γοῦν καὶ ὁ Γεωγράφος, ὅτι νυκτερεύσαντες ἔνδιοι πρὸς τὸν Ἀλφειὸν ἀφικνοῦνται. Τινὲς δὲ τὸ ἔνδιοι ἀντὶ τοῦ ἱδροῦντες, ὡς οἷον ἐνίδιοι, παρὰ τὸ ἶδος καὶ τὸ ἰδίειν, καὶ ἐν συγκοπῇ ἔνδιοι. ἴσως δὲ καὶ παρὰ τὸν ὑγρὸν Δία, ὅ ἐστιν ἀέρα. ὅθεν καὶ τὸ διαίνειν καὶ τὸ «διέμενος» δὲ παρὰ τῷ Κωμικῷ. ἀκολούθως δὲ ἐκ τοῦ τοιούτου ἔνδιος καὶ ὁ διερός, ὁμοίως τῷ τρόμος τρομερός καὶ τοῖς ὁμοίοις. Ἱερὸς δὲ ῥόος ὁ τοῦ Ἀλφειοῦ ἢ ὅτι ἔχει τι ἐξαίρετον καὶ αὐτός, ἀλφοὺς ἰᾶσθαι, ὡς καὶ ἐν ἄλλοις δεδήλωται, ἢ ἐν τῷ καθόλου διὰ τὴν τοῦ ὕδατος ἀρετήν, δι᾽ ἣν καὶ ὁ Λυρικὸς ἄριστον τὸ ὕδωρ φησίν, ὡς ἐκεῖ γράφουσιν οἱ Ὑπομνηματισταί. Δῆλον δὲ ὅτι ἔνθα τι σεμνόν, ἐκεῖ ὡς ἐπὶ πολὺ καὶ τὸ ἱερὸν ἐκφωνεῖται. τείχεα γοῦν ἱερὰ καὶ ἱερὰ ἀλωὴ καὶ ἱερὸς ἰχθὺς καὶ ἱερὸν ὀστοῦν. [Ὁ μέντοι ἱερὸς ὄφις πλεῖόν τι ἔχει φρίκης ἤπερ σεμνότητος, ὡς ἀλλαχοῦ φανεῖται.] (v. 728) Θυσία δὲ Ἀλφειῷ προσφυὴς ὡς ποταμῷ ταῦρος, καθὰ καὶ Ποσειδῶνι, ὡς πλεισταχοῦ φαίνεται. κάλλους δ᾽ ἐπαναφορικὸν σχῆμα εἰς ὡραϊσμὸν τῆς κατὰ θυσίαν φράσεως τὸ «ταῦρον δ᾽ Ἀλφειῷ, ταῦρον δὲ Ποσειδῶνι». (v. 729) Θύεται δὲ καὶ τῇ Ἀθηνᾷ βοῦς ἀγελαία, ἤτοι ἀδάμαστος, ἄφετος, καὶ καθ᾽ Ὅμηρον ἀδμήτη, περὶ ἧς ἐν ἄλλοις εἴρηται. Οἱ δὲ παλαιοὶ λέγουσιν οὕτω συντόμως, ὡς οἰκεῖος ὁ ταῦρος ποταμίῳ ῥεύματι τά τε ἄλλα καί, ὅτι βίαιός ἐστι τοῖς κέρασιν ἀναβάλλων τὴν γῆν. [Ἐξ οὗ καὶ ταυρηδόν ἐπίρρημα παρὰ τῷ Κωμικῷ ἀντὶ τοῦ ἀγρίως, καθὰ καὶ ἐκ τοῦ κύκλος τὸ κυκληδόν, οἷον «καὶ περιβλέψας κυκληδὸν τὸ πλῆθος ἔφη».

3.315 Δοκεῖ καὶ ῥῆμα ἐκ τοῦ ταύρου εἶναι τὸ ταυροῦν, ὅθεν καὶ γυνὴ ἀταυρώτη, ἡ ἄζυξ καὶ μὴ ὑπὸ ἀνδρὶ γενομένη, ὡσεὶ καὶ δάμαλις ὑπὸ ταύρῳ. ἦν δὲ καὶ ποταμοῦ ὄνομα Τροιζηνίου Ταῦρος, ἐξ οὗ καὶ ὕδωρ Ταύριον παρὰ Σοφοκλεῖ, παρ᾽ ᾧ, φασί, καὶ κρήνη τις ὑόεσσα καλεῖται. Ὅτι δὲ καὶ κύριον ὄνομα ὁ Ταῦρος οὐ μόνον ὁ κατὰ Κρήτην ἰατρὸς ἐκεῖνος, ἀλλὰ καὶ ἄλλοι ὀνομαστοί, δῆλον ἐκ τῶν παλαιῶν. ταῦρος δὲ καί τι σωματικόν, ἐξ οὗ οἱ Κωμικοὶ τὸν λάσταυρον ἤγουν λασιόταυρον, ληροῦσι.] (v. 730) Τέλη δὲ καὶ ἐνταῦθα τὰ στρατιωτικὰ λέγει τάγματα. δῆλον δὲ ὅτι πολυσήμαντον τὸ τέλος ἐστί. τέλος γάρ, φασίν, ἀνάλωμα καὶ τάξις καὶ ἀρχὴ καὶ γάμος. καὶ ἐκ μὲν τοῦ δηλοῦντος τὸ ἀνάλωμα γίνεται ἀτελῆ κατὰ Παυσανίαν τὰ ἀδάπανα, ὡς καὶ πολυτελῆ τὰ πολυδάπανα. ἐντεῦθεν δὲ καὶ εὐτελὴς ὁ φειδωλός, φασί, καὶ ὀλιγοδάπανος, ὡς πολυτελὴς ὁ πολυδάπανος. ἐκ δὲ τοῦ σημαίνοντος τάξιν, ἤδη δὲ καὶ ἀρχήν, αἱ μυστικαὶ τελεταὶ καὶ τὸ τελεῖσθαι ἀντὶ τοῦ μυεῖσθαι καὶ ἡ κατ᾽ ἀρετὴν τελειότης καὶ οἱ κατ᾽ αὐτὴν τέλειοι καὶ οἱ ἐν τέλει, τουτέστιν οἱ ἀρχικοὶ καὶ τάσσοντες, ἤτοι κοσμήτορες, ὡς τὸ «τοῖς ἐν τέλει βεβῶσι πείσομαι». ἐκ δὲ τοῦ λοιποῦ τέλους, ὃ σημαίνει τὸν γάμον, τὰ προτέλεια, ὧν χρῆσις μὲν μόνη παρὰ Αἰλίῳ Διονυσίῳ, ἑρμηνεία δὲ παρὰ Παυσανίᾳ, εἰπόντι, ὅτι προτέλεια ἡ πρὸ τῶν γάμων θέα, ἴσως τὰ λεγόμενα θεώρητρα. ἐκεῖθεν δὲ καὶ τέλειοι οἱ γεγαμηκότες καὶ τελειωθῆναι τὸ γῆμαι. Δῆλον δὲ ὅτι καὶ τὸ παντὸς πράγματος πέρας τέλος λέγεται, ἀφ᾽ οὗ καὶ ἡ τελευτὴ προσλαβοῦσα τὸ υ πρὸς διαφορὰν τῆς τελετῆς, καὶ τὸ τελευτᾶν ῥῆμα, ὡς τὸ «τελευτήσῃς τε καὶ ἕρξῃς», καὶ τὸ τελεοῦν, ὡς τὸ «τῇ νῦν ὁρμῇ τελεωθέν», καὶ τὸ τελειοῦν καὶ ὁ ἐν τοῖς τοιούτοις τέλειος καὶ ἡ συντέλεια καὶ τὸ παντελές, ἤδη δὲ καὶ ἡ λυσιτέλεια.

3.316 [Δοκεῖ δὲ ἀπὸ σεμνοτάτης λέξεως τῆς τοῦ τέλλειν τὸ τέλος γίνεσθαι, ὁποῖον ἂν ἐκεῖνο εἴποι τις. προανατέλλει γάρ πως ἁπάσης πράξεως ὁ κατὰ τέλος σκοπός, καὶ αὐτοῦ ἕνεκα τὰ πρὸ αὐτοῦ.] (v. 731) Τὸ δὲ «ἐν ἔντεσι κατακοιμᾶσθαι» στρατιωκὸν ἔθος ἐναγώνιον. (v. 734) Μέγα δὲ ἔργον Ἄρεος τὸν σύντονον λέγει πόλεμον, ὡς καὶ μετ᾽ ὀλίγα εἰρήσεται. (v. 735) Ἐν δὲ τῷ «εὖτε ἠέλιος φαέθων ὑπερέσχε γῆς», ἤγουν ἀνέτειλε, φασὶν οἱ παλαιοί, ὅτι ὁπηνίκα ὁ ποιητὴς ἀφ᾽

ἑαυτοῦ λέγει τὸ τοιοῦτον νόημα, ἐξ ἀκαλαρρείταο βαθυρρόου Ὠκεανοῦ φησιν ἀνατέλλειν τὸν ἥλιον. Τὸ δὲ «φαέθων» πρὸς διαστολὴν κεῖται τῆς ἀμφιλύκης, ἴσως δὲ καὶ τῆς κροκοπέπλου, ὅτε οὔπω φαέθων, ἤτοι λαμπρός, ἐξ ἀνατολῆς φωσφορεῖ ὁ ἥλιος. ἐντεῦθεν δὲ καὶ Φαέθων πέπλασται Ἡλίου υἱός. Τὸ δὲ ὑπερέχειν οὐ μόνον οὕτω λέγεται, ἀλλὰ καὶ ἀνέχειν καὶ ἀνίσχειν, ἔτι δὲ καὶ ἐξέχειν. κωλάριον οὖν τι παροιμιῶδες Αἴλιος Διονύσιός φησιν ὑπὸ παίδων λέγεσθαι, δηλοῦν ἐξέχειν, ὅ ἐστιν ἐπιτεταλκέναι τὸν ἥλιον. Ἀριστοφάνης· λέξεις ἄρ' ὥσπερ τὰ παιδία «ἔξεχ', ὦ φίλ' ἥλιε», ἤγουν ἀνατεῖλαι. (v. 736) Συμφέρεσθαι δὲ μάχῃ τὸ συμβάλλειν εἰς πόλεμον καὶ συνάγεσθαι, ἀφ' ὧν συμβολή τε ὁ πόλεμος, καὶ τὸ «ξυνάγομεν Ἄρηα», καὶ «συμφερτὴ ἀνδρῶν ἀρετή», ὅ ἐστι συνοιστὴ κατὰ τοὺς παλαιούς, εἰπεῖν δὲ ἰδιωτικώτερον, συνακτή. ἐκ δὲ τοῦ ῥηθέντος ῥήματος καὶ τὸ κοινῶς λεγόμενον συμφέρον εἴτ' οὖν συνοῖσον γίνεται.

3.317 εἰ δέ τις εἴποι καὶ τὴν κακὴν συμφορὰν ῥηθῆναι ἀπὸ τοῦ πολεμικῶς ἐπ' ὀλέθρῳ συμφέρεσθαι, οὐκ ἄν τι ἄσκοπον εἴπῃ. (v. 737) Εἰς δὲ τὸ «Πυλίων καὶ Ἐπειῶν ἔπλετο νεῖκος» σημείωσαι, ὅτι τοὺς ἀκαίρους καλλωπισμοὺς τοῦ λόγου ἐκκλίνων ὁ ποιητὴς ποιεῖ οὕτω κἀνταῦθα. ὡς γὰρ ἐξ ἀρχῆς ἔφη «ὁπότε Ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη», ἤγουν Ἠλείοις καὶ Πυλίοις, μεταλαβὼν τὸ Πυλίοις εἰς τὸ ἡμῖν, οὕτω κἀνταῦθα μετέλαβε λόγῳ πολυωνυμίας τοὺς Ἠλείους εἰς τοὺς Ἐπειούς, καὶ ἀντὶ τοῦ εἰπεῖν Πυλίων καὶ Ἠλείων ἔπλετο νεῖκος, Πυλίων ἔφη καὶ Ἐπειῶν, μὴ ἐθελήσας ἐπιβούλως καλλωπίζειν ἐν ἀγωνίας καιρῷ. (v. 738) Τὸ δὲ «κόμισα μώνυχας ἵππους» ἀντὶ τοῦ ἐκ λείας ἔσχον κοινότερον πέφρασται. τὸ γὰρ Ἀττικὸν ἐκομισάμην. [Ἄλλο δὲ πάντως τοῦτο τὸ κομίζειν παρὰ τὸ «κόμισον δέ μοι ἵππους». ἐκεῖνο γὰρ ἐπιμελείας ἐστὶ δηλωτικόν, ἐξ οὗ καὶ κομιδή, ἡ ἐπιμέλεια, καὶ ἐπίρρημα σημασίας ὁμοίας ὀνοματικὸν ἀπὸ δοτικῆς τὸ κομιδῇ ἀντὶ τοῦ ἐπιμελῶς, λίαν. τῆς ἐκεῖθεν δὲ συστοιχίας καὶ τὸ ἱπποκομεῖν καὶ ὁ ὀρεωκόμος καὶ ἄλλα μυρία.] (v. 739) Τὸν δὲ Μούλιον παρεσημειώσατο Νέστωρ γαμβρὸν εἶναι Αὐγείου εἰς ἔνδειξιν περιπετείας ἀστείας τοῦ ἐκεῖθεν ἱππεὺς αὐτὸς γενέσθαι, ὅθεν ὁ πατὴρ Νηλεὺς ἐστερήθη τῶν ἵππων. (v. 740 s.) Ἰστέον δὲ καὶ ὅτι Νέστορος τοῦ τῶν ἱστοριῶν χορηγητοῦ τῷ ποιητῇ τὴν Ἀγαμήδην πολυφάρμακον ἱστορήσαντος ὁ παλαιὸς λόγος τοιαύτην καὶ τὴν Μήδειαν παραδίδωσι καὶ τὴν Θῶνος γυναῖκα τὴν Αἰγυπτίαν, ἧς ἐν Ὀδυσσείᾳ Ὅμηρος μέμνηται. Ὅτι δὲ πολυφάρμακος ἡ κατὰ τὴν Ἦλιδα χώρα, δηλοῖ ὁ εἰπών, ὡς Μήδεια ἐξ Ἀθηνῶν φυγοῦσα Αἰγέως φόβῳ, διότι τῷ Θησεῖ αὐτὴ ἐκέρασε φάρμακον, οἰκήσασά τε τὴν πλησίον Ἤλιδος Ἔφυραν, ἔνθα που καὶ ὁ Αὐγείας ἦν, πολυφάρμακα ἐποίησε τὰ ἐκεῖ. Ἀρριανὸς δὲ καὶ Κροκοδίκην τινὰ ἱστορεῖ οὐδὲν ἧττον γυναῖκα γοητεύτριαν. οὐκ ἀπέοικε δὲ τούτων οὐδὲ ἡ λογοποιουμένη Κίρκη. Ἐν δὲ τῷ «ἣ τόσα φάρμακα ᾔδη ὅσα τρέφει χθών» φάρμακα μὲν μέσως ἔφη τά τε ἀγαθὰ καὶ τὰ μὴ τοιαῦτα. Τὸ δὲ «ᾔδη» ὁμοφωνῆσαν, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, τῷ πρώτῳ αὐτοῦ προσώπῳ τῷ ᾔδεα ᾔδη, ἐστέρηται τοῦ νυ .

3.318 τὸ μέντοι εἰρήκειν εἰρήκη λέγοντες Ἴωνες ὡς ἀπὸ τοῦ εἰρήκεα, ὡσαύτως δὲ καὶ τὸ εἱστήκειν εἱστήκη ὡς ἀπὸ τοῦ εἱστήκεα, ὅμως τὰ τούτων τρίτα καινότερον σὺν τῷ νῦ προῆγον ἀπὸ τοῦ εἰρήκεεν εἱστήκεεν, καθὰ καὶ τὸ «ἤσκειν εἴρια καλά» ἀπὸ τοῦ ἤσκεεν. τοιούτῳ δὲ λόγῳ κεῖται καὶ παρὰ τῷ Κωμικῷ τὸ «ᾔειν» ὁ δεῖνα ἀντὶ τοῦ ἦλθε. Τὸ δὲ «ὅσα τρέφει χθών» τήν τε τραφερὴν ἐτυμολογεῖ, καὶ πρὸς διαστολὴν δὲ φαρμάκων ἑτεροίων εἴρηται, καὶ ὑπερβολὴν δέ τινα ἔχει, καθότι οὐκ ἂν ἡ Ἀγαμήδη πάντα φάρμακα εἰδείη, [ἐπεὶ μηδὲ δυνατόν. Ἧς δὴ Ἀγαμήδης τὴν ἱστορίαν πάνυ γοργῶς ἐπεισοδιάσας ὁ ποιητὴς μέθοδον δίδωσιν, ὅπως χρὴ ἐπελευστικῶς παραπλέκειν τοῖς πρὸ ἔργου καὶ καιριωτέροις τὰ πάρεργα.] (v. 742) Χαλκῆρες δὲ δόρυ τὸ χαλκῷ ἀρηρός. (v. 745) Τὸ δὲ «ἔτρεσαν» καὶ νῦν ἀντὶ τοῦ ἔντρομοι ἔφυγον. Τὸ δὲ «ἐπεὶ ἴδον ἄνδρα πεσόντα» ἑρμηνεύων ὁ ποιητὴς ἐπάγει «ὃς ἀριστεύεσκε μάχεσθαι», δηλῶν ὡς ἄνδρα τὸν ἀριστέα εἶπεν, ἤτοι τὸν ἀνδρεῖον. ὅτι δὲ τοιαύτη στρατιᾶς κεφαλὴ πεσοῦσα συγκαταφέρει τὸ λοιπὸν σῶμα τοῦ στρατοῦ, δῆλον. (v. 747) Τὸ δὲ «κελαινῇ λαίλαπι ἶσος»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παραβολὴ σύντομος, δηλωτικὴ ὀξέος καὶ συντόνου δρόμου, ἣν πλατῦναι οὐκ ἐπέτρεπεν ὁ καιρός. (v. 749) Τὸ δὲ «ὀδὰξ ἕλον οὖδας» ἔχει τι ἀστεῖον ἀντιθετικὸν σχῆμα, ἵνα λέγῃ ὡς ἐγὼ μὲν δύο ἀμφὶς ἕκαστον, ἤγουν ἀμφὶ ἕκαστον δίφρον, ἄνδρας ἕλον, αὐτοὶ δὲ οὐκ ἐμὲ ἀλλὰ τὸ οὖδας ἕλον δάκνοντες ὑπὸ σφαδασμοῦ. μέγα οὖν ἔργον ἀληθῶς Ἄρεος, ὡς προερρέθη, τὸ ὑφ’ ἑνὶ νέῳ πολεμιστῇ ἑκατὸν ἄνδρας πεσεῖν. (v. 748) Ὅτι δὲ ὁ δίφρος καὶ διώχης κατὰ Παυσανίαν ἐκαλεῖτο ἀπὸ τοῦ δύο ἔχειν, καθὰ καὶ δίφρος ἀπὸ τοῦ δύο φέρειν, καὶ ὅτι τὸν τοιοῦτον διώχην καὶ δίεδρον ἐκάλουν, εἴρηται καὶ ἀλλαχοῦ. (v. 750) Τὸ δὲ «Ἀκτορίωνε Μολίονε παῖδε» διαφωνεῖται παρὰ τοῖς παλαιοῖς. Οἱ μὲν γὰρ καὶ ἄμφω τὰς λέξεις πατρωνυμεῖσθαί φασιν, ἵνα λέγῃ Ἀκτορίωνας μὲν ἀναμφιλέκτως τοὺς Ἀκτορίδας, ὅ ἐστιν υἱοὺς Ἄκτορος, Μολίονας δὲ ἢ πατρωνυμικῶς καὶ αὐτὸ οἷα Μόλου ὄντας πατρὸς τοῦ καὶ Ἄκτορος.

3.319 διὸ καθὰ Ῥωμαϊκῷ ἔθει Ἄκτωρ Μόλος ἀσυνδέτως ὁ πατὴρ κατὰ διωνυμίαν, οὕτω καὶ οἱ αὐτοῦ παῖδες Ἀκτορίωνε Μολίονε. Ἢ μητρωνυμικῶς ἀπὸ μητρὸς Μολιόνης, ἵνα κλίνοιντο ἀπὸ τοῦ Μολιονίδης Μολιονίων, ὡς Πριαμίδης Πριαμίων, καὶ ἐν συγκοπῇ Μολίων, μάλιστα δέ, ὡς Ὑπεριονίδης Ὑπεριονίων Ὑπεριονίωνος, καὶ ἐν συγκοπῇ Ὑπερίονος, καὶ λέγοιντο καθάπερ διὰ πατέρα τὸν Ἄκτορα Ἀκτορίωνε, οὕτω καὶ διὰ τὴν μητέρα Μολιόνην Μολίονε, ἤγουν Μολιονίδαι ἢ Μολιονίωνε, τουτέστι Μολιόνης υἱοί. Ὅπερ οὐκ ἀρέσκει τοῖς παλαιοῖς, σημειουμένοις κἀνταῦθα μὴ σχηματίζεσθαι παρ’ Ὁμήρῳ ἐκ μητέρων πατρωνυμικά. καὶ οὕτω μέν τινες. Ἕτεροι δὲ τὸ Μολίωνε κατ’ ἐπίθεσιν, ἤγουν ἐπιθετικῶς, νοοῦσιν, ἵνα ἡ λέξις δηλοῖ τοὺς μαχίμους καὶ ὁρμητικούς, οὐ παρὰ τὸν μῶλον, ἀλλὰ παρὰ τὴν ἐν μάχῃ μόλυνσιν, ἐξ ἧς ἐν ἐκτάσει ὁ μῶλος γίνεται, ἢ παρὰ τὸ μόλω ῥῆμα, ἐξ οὗ καὶ Μούλιος ὁ ῥηθεὶς τοῦ Αὐγείου γαμβρός, καὶ Μόλος ὁμώνυμος τῷ Μόλῳ Ἄκτορι, ὁ τοῦ Μηριόνου πατήρ, καὶ Μόλωνες οἱ παρὰ τῷ Κωμικῷ, ὅ τε ἥρως καὶ ὁ σκωπτόμενος.

3.320 καὶ οὕτω μὲν τὰ κατὰ τὰς δύο ταύτας λέξεις. Οἷοι δὲ οἱ Ἀκτορίωνες, καὶ ὡς ὁ μῦθος εἰς ἓν συναλείφει σῶμα τούτους, παρηλλαγμένην αὐτοῖς φύσιν πλάττων καὶ συνάγων συντίθησιν, οὐκ ἀποστερῶν αὐτοὺς τῶν μερῶν τῶν δύο σωμάτων, καὶ ὡς ἀκαταγωνίστους ποιεῖ τερατώδεις τινὰς ὑποκειμένους καὶ ἄμφω ἐν ἑνὶ σώματι καθ’ Ἡσίοδον, εἰ καί τινες δύο ἑκατέρους ἔχειν σώματά φασι, δηλοῦσιν ἕτεροι. Ἐπιτεμὼν δέ τις ὅμως τὰ τῶν πολλῶν ἐρεῖ, ὅτι Κτέατος καὶ Εὔρυτος, περὶ ὧν καὶ ἐν τῷ Ἐπιταφίῳ τοῦ Πατρόκλου γέγραπται, Ἄκτορος υἱοὶ λέγονται τοῦ καὶ Μόλου. διὸ καὶ Ἀκτορίωνες λέγονται καὶ Μολίονες, ὡς προσεχῶς εἴρηται. φιλάδελφοι δὲ ἱστοροῦνται, καὶ μιᾷ ψυχῇ ἐν δυσὶ σώμασι διοικούμενοι. ὁ δὲ μῦθος εἰς ἓν συνάπτων αὐτούς, ὃς δὴ καὶ τῷ Πλάτωνι περὶ ἀνδρὸς καὶ γυναικὸς λόγον τινὰ ἐνδέδωκεν ὅμοιον, διφυεῖς πλάττει τῷ σώματι, ἕως πλευρῶν συνημμένους, ὡς καὶ ὑπὸ μιᾷ ζώνῃ ἅμα ζώνυσθαι, δυάζων αὐτοῖς τὰς κεφαλὰς καὶ ὄμματα ὑπανοίγων τέσσαρα καὶ χεῖρας τοσαύτας προτείνων καὶ πόδας ὑποβάλλων ἴσους, ὡς διὰ ταῦτα καὶ τοῖς γυμνικοῖς αὐτοὺς ἀγῶσι μάλιστα ἐνευδοκιμεῖν. Παρά τινων δὲ ἱστορεῖται καί, ὅτι αὐτὸς Ἡρακλῆς συμμαχούντων αὐτῶν τῷ Αὐγέᾳ εἰς τὸ ἐμφανὲς μὴ ἔχων περιγενέσθαι λοχήσας ἀνεῖλεν καὶ οὕτω τὴν Ἦλιν ἐπόρθησεν. ὅθεν καί φασι διὰ τὸ τηνικαῦτα τοῦ πολέμου δύσεργον καὶ εἰς παροιμίαν ἐκπεσεῖν τὸ πρὸς δύο οὐδὲ Ἡρακλῆς. Ὅτι δὲ καὶ ὁ Ἡρακλῆς ἐνιαχοῦ ἀγῶνα πολὺν εἶχε διὰ τὸ τοῦ Ἐνυαλίου ξυνόν, αἱ ἱστορίαι δηλοῦσιν. ὃν καὶ ἡ Θρᾴκη παρὰ βραχὺ δυσπραγήσαντα εἶδεν ὑπὸ λῃστοῦ, ὡς ἐν τοῖς τοῦ Πινδάρου δηλοῦται.

3.321 Καὶ ἄλλως δέ ποτε δίχα πολέμου ἐδυστύχησεν εἴς τινα βολήν, ἀφ’ ἧς παροιμία τὸ «βέβληται βαλών». ἐν Ὀλυμπίᾳ γάρ, φασίν, ἀνδριάντα ἰδὼν καὶ νομίσας ληστρικόν τινα εἶναι ἄνδρα ἐπαφῆκε λίθον, ὃς ἀναστραφεὶς βέβληκε τὸν Ἡρακλῆν. Παλαιὸς δέ τις οὕτω συντομώτατα φράζει πλήξαντα καὶ πληγέντα τὸν Ἡρακλέα, ἐπεὶ μεταξὺ Πίσης καὶ Ἤλιδος Δαιδάλειον ἀνδριάντα ἀγνοήσας ὡς ἄνδρα ἔπληξε λίθῳ, ὁ δὲ ἀντικρούσας ὀπίσω ἔπληξεν αὐτόν. (v. 750—

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2) Σημείωσαι δὲ ὅτι ὁ σοφὸς Νέστωρ ὑπιδόμενος τὸ ἀπίθανον, ὡς μὴ εὐχερὲς ὂν κατὰ τοιούτων ἡττήτων ἀνδρῶν ἀριστεῦσαι αὐτὸν καὶ ταῦτα οὔ τί πω εἰδότα πολεμεῖν, οἳ καὶ Ἡρακλεῖ ἀντέστησαν, ἐτόλμησε μὲν εἰπεῖν, ὡς ἀλάπαξεν ἂν καὶ αὐτούς, εἰ μὴ πατὴρ Ποσειδῶν ἐκ πολέμου ἔσωσε συσταλέντας ἢ καὶ φυγόντας. —τοῦτο γὰρ δηλοῖ τὸ «καλύψας ἠέρι πολλῇ», ὅ ἐστιν ἀφαντώσας ἐν ἀορασίᾳ—, ἐθεράπευσε δὲ τὸν ἀλαζόνα λόγον δὶς παρασημηνάμενος παῖδας ἔτι αὐτοὺς εἶναι, ἀγαθοὺς μὲν εἰς μάχην, οὔπω δὲ ἀκαταγωνίστους, οἷα μηδὲ μάλα εἰδότας πολέμοιο διὰ νεότητα. Δῆλον δὲ ὅτι τε ὁ μῦθος λόγῳ μόνῳ Ἀκτορίωνας τοὺς ῥηθέντας ἀδελφοὺς λέγει, Ποσειδῶνος ἄλλως ὄντας, δι' οὗ αἰνίττεται τὸ ἐν αὐτοῖς ὑγρὸν καὶ θυμῶδες καὶ ἄγριον. τοιοῦτοι γὰρ οἱ ἐκ Ποσειδῶνος, ὡς καὶ ἡ Ὀδύσσεια δηλοῖ. καὶ ὅτι τὸ μὲν «Ἀκτορίωνε» συστέλλει φύσει κανονικῶς τὸ προπαραλῆγον δίχρονον, διὸ καὶ ἐκτείνει τὴν παραλήγουσαν, τὸ δὲ Μολίονε ἐκτείνει μὲν τὸ τῆς προπαραληγούσης ι κατὰ χρόνου μετάθεσιν, συστέλλει δὲ τὸ παραλῆγον ο κατὰ τὸν καὶ ἐν τοῖς τοιούτοις κανόνα, ὁμοίως τῷ Κρονίονος ἐν τῷ «οὐκ ἂν ἔγωγε Κρονίονος ἆσσον ἱκοίμην», καὶ ὅτι τὸ μὲν Ἀκτορίωνε ὁλοκλήρως ἔχει, τὸ δὲ Μολίονε δυοῖν λέλειπται συλλαβῶν καθ' ὁμοιότητα τοῦ Ἀνθεμίδης, ὃ δηλοῖ υἱὸν Ἀνθεμίωνος. (v. 754) Ἐν δὲ τῷ «τόφρα γὰρ οὖν» ἀργὸν κεῖται τὸ οὖν, ὡς πολλαχοῦ γίνεται, κατά τινα παραπλήρωσιν. Ἐν δὲ τῷ «δι' ἀσπιδέος πεδίοιο» ἢ ἀσπιδὲς τρισυλλάβως νοητέον πεδίον τὸ περιφερὲς δίκην ἀσπίδος πάντοσε ἴσης, ἢ σπιδὲς κατά τινας δισυλλάβως τὸ ἐκτεταμένον καὶ πλατύ, ὡς ἀπὸ τοῦ σπίζω, τὸ ἐκτείνω, ἐξ οὗ, φασί, καὶ σπιθαμή, παρὰ τὸ θαμὰ σπίζεσθαι, ὅ ἐστιν ἐκτείνεσθαι, ἐν τῷ μετρεῖν τοὺς ἄκρους δακτύλους, καὶ ἀσπίς, ἡ μὴ πλέον τοῦ μετρίου μεμηκυσμένη ἢ κυρίως ἡ κυκλοειδὴς καὶ μὴ εἰς μῆκος ἐκτεταμένη.

3.322 Ὅτι δὲ πᾶν πλατὺ πεδίον καὶ μὴ εὐπεριόριστον κατὰ τὴν τοῦ ἀσπιδέος γραφὴν περιφερὲς εἶναι δοκεῖ ὡς κύκλου ἐναπολαμβανομένου τῇ θέᾳ διὰ τὸ δυστέκμαρτον τοῦ πέρατος, ἡ ὄψις ἐδοκίμασε. συνηγορεῖ δὲ τῇ τοῦ σπιδέος γραφῇ καὶ τὸ παρ' Αἰσχύλῳ σπίδιον πεδίον, ὅ ἐστι μακρόν, κατὰ τοὺς παλαιούς. (v. 755) Τὸ δὲ «ἀνά τ' ἔντεα καλὰ λέγοντες» ἢ ἁπλῶς εἴρηται ὡς δέον ὂν πᾶν ὅπλον καλὸν ἐξ ἐπιμελείας εἶναι, ἢ πλῆθος λαφύρων δηλοῖ, ὡς μὴ ὅπλων ἁπλῶς οὕτω λαμβανομένων, ἀλλὰ τῶν καλῶν ἐπιλεγομένων. Δῆλον δὲ ἐκ τοῦ «ἀνά τ' ἔντεα» καὶ ὅτι ψιλοῦται καθ' Ὅμηρον τὰ ἔντεα, εἰ καὶ οἱ μεθ' Ὅμηρον δασύνουσιν, ὡς ὁ αὐθέντης, ὅ ἐστιν αὐτοφόντης, δηλοῖ, καθὰ εἴρηται ἀλλαχοῦ. (v. 756) Τὸ δὲ «ἐπὶ Βουπρασίου βήσαμεν ἵππους» ἀντὶ τοῦ ἕως εἰς Βουπράσιον ἠλάσαμεν. Βουπράσιον δέ, περὶ οὗ καὶ ἐν τῇ Βοιωτίᾳ γέγραπται, ἀξιόλογος, φασί, κατοικία Ἤλιδος, ἠφανίσθη δὲ ὕστερον. Ἐκλήθη δὲ ἀπὸ ἄρχοντος Βουπρασίου. (v. 757) Προσεχῆ δὲ τῷ Βουπρασίῳ καὶ τὰ ἐφεξῆς χωρία, ὧν πέτρα μὲν Ὠλενία, ἧς φασι μεμνῆσθαι καὶ Ἡσίοδον ἐν τῷ «ᾤκεε δ' Ὠλενίην πέτρην», δοκεῖ ἀπὸ Ὠλένου καλεῖσθαι, πόλεως Ἀχαΐας, αὐτὴ δὲ ἀπὸ Ὠλένου ἀρχηγοῦ, υἱοῦ Ἀναξιθέας, μιᾶς τῶν Δαναΐδων κατὰ τὸν τὰ Ἐθνικὰ γράψαντα. δεδήλωται δὲ περὶ ταύτης καὶ ἐν τοῖς εἰς τὴν Βοιωτίαν. Ἀλήσιον δὲ ἀπό τινος Ἀλησίου, ἑνός, φασί, τῶν τῆς Ἱπποδαμείας μνηστήρων. ἦν δὲ καὶ Ἁλήσιον, φασί, πεδίον Ἠπειρωτικόν, κληθὲν ἀπὸ πηγνυμένου ἐκεῖ πολλοῦ ἁλός. τὸ μέντοι Ὁμηρικὸν ἔοικεν ὡς ἀπὸ τῆς ἄλης ψιλοῦσθαι. τινὲς γὰρ τὸν ῥηθέντα Ἀλήσιον ἀπόγονόν φασι, ὡς καὶ ὁ τὰ Ἐθνικὰ γράψας ἱστορεῖ, ἑνὸς τῶν ἐξ Ἀσίας εἰς Πελοπόννησον κατά τινα πλάνην ἀφικομένων. διείληπται δὲ καὶ περὶ τούτου ἐν τοῖς τῆς Βοιωτίας. Ἡ δὲ γραφὴ τῆς προπαραληγούσης τοῦ Ἀλησίου διφορεῖται.

3.323 ὁ μὲν γὰρ τὰ Ἐθνικὰ γράψας κατὰ στοιχεῖον διὰ τοῦ η οἶδεν αὐτήν, ὁ δὲ Ἐτυμολόγος διὰ διφθόγγου, ἀπὸ τοῦ ἀλέω, φησί, τὸ ἀλήθω. Ἡ δὲ κατ' αὐτὸ σύνταξις διττή. ἢ γὰρ στιχθέντος τοῦ Ἀλησίου λέγει τὸ «ἔνθα Κολώνη κέκληται», ἢ ἄλλως συναπτῶς καθ' ὑπερβατόν φησιν οὕτω· καὶ ἔνθα Ἀλεισίου κολώνη κέκληται, πρὸς διαστολὴν τῆς προρρηθείσης Κολώνης. (v. 759) Ἐν δὲ τῷ «ἄνδρα κτείνας πύματον λίπον» οὐ λέγει μὲν τίνα ἔλιπε, δηλοῖ δὲ ὅτι τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κτάμενον ἔλιπεν ἢ τὴν μάχην ἔλιπε. Καὶ ὅρα ὡς καιρίως ἐπὶ ἐλλείψει πράξεως καὶ ἐλλειπτικῷ ἐχρήσατο σχήματι. Ἰστέον δὲ ὡς ἐντεῦθεν ἡ κοινὴ γλῶσσα λαβοῦσα λέγει ἐπὶ πολέμων καὶ αἰκιῶν καὶ τῶν τοιούτων, ὅτι ὁ δεῖνα ὅλων ὕστερον ἕνα ἔρριψε καὶ ὅλων ὕστερον μίαν πληγὴν ᾐκίσατο. Πύματον δὲ ἢ τὸν ἔσχατον λέγει, ὃν ἀλλαχοῦ εἶπεν ὀπίστατον, κατὰ τὸ «πυμάτας ὤτρυνε φάλαγγας», ἢ μεθ’ ὃν οὐκέτι ἄλλον ἀνεῖλεν, ὡς τὸ «πύματον ὡπλίσατο δόρπον». (v. 760) Τὸ δὲ «πάντες εὔχοντο θεῶν Διῒ Ἕκτορι τ’ ἀνδρῶν» ἢ ἀντὶ τοῦ εὐφήμως εἶχον καὶ εὐχαρίστως ἐμοί τε καὶ Διΐ, ἢ ἀντὶ τοῦ ἐπεκαλοῦντο ἡμᾶς εἰς ἐπικουρίαν, εἴ τί που κακὸν παραπέσῃ ἀλεξικάκου ἀμύνης δεόμενον. (v. 762) Ἐν δὲ τῷ «ὣς ἔον εἴ ποτ’ ἔην», ὃ δὴ πάντως ἐπίτηδες οὕτω διχῶς ἐφράσθη πρὸς ἔνδειξιν πολυγλωττίας, τὸ μὲν «ἔον» ῥῆμά ἐστι τῆς ἐών μετοχῆς, ἐξ οὗ καὶ τὸ «πῶς ἂρ ἔοι τάδε ἔργα», τὸ δὲ «ἔην» τὸ ἐντελές ἐστι τοῦ ἦν. Ἰστέον δὲ ὅτι τὸ κοινὸν ἦν οὐ μόνον ἔον καὶ ἔην ὁ ποιητὴς γράφει, ὡς ἐνταῦθα, ἀλλὰ καὶ ἤην καὶ ἦον. ἐρεῖ γοῦν μετ’ ὀλίγα «ἀγορή τε θέμις τε ἤην», καὶ «νόος γε μὴν ἔμπεδος ἦεν». λέγεται δὲ καὶ ἔα, ὡς ἐν Ὀδυσσείᾳ «τοῖος ἔα», καὶ ἐν συναιρέσει δὲ ἦ κατὰ τοὺς παλαιοὺς Ἀττικούς, ὡς ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν εἴρηται, ἐκταθὲν δὲ τὸ ἔα ἦα γίνεται. Ὅρα δὲ ὅτι ὁμοιοσχήμονά πως καὶ ἡ εἰσβολὴ τοῦ διηγήματος καὶ τὸ πέρας. ἀρξάμενος γὰρ ὁ γέρων ἔφη «εἴθ’ ὣς ἡβῴοιμι» καὶ ἑξῆς, ἐν δὲ τῷ τέλει «ὣς ἔον, εἴ ποτ’ ἔην γε μετ’ ἀνδράσιν», ὅτε ἥβων δηλαδή.

3.324 ἐπιεικὲς δὲ τὸ «εἴ ποτε ἔην». οὐ γὰρ ἐνδοιαστέον, εἰ ἀνδρεῖος ἦν ὁ τοιαῦτα κατωρθωκώς. (v. 763) Τὸ δὲ «οἶος τῆς ἀρετῆς ἀπονήσεται» μέγα ὄνειδος, εἰ μήτε τοὺς ζῶντας Ἀχιλλεὺς ὠφελήσει μήτε ζῆλον ἀφήσει τοῖς εἰς ἔπειτα. Πρὸς διαστολὴν δὲ ὁ Νέστωρ ἑαυτοῦ ταῦτα ἔφη, ὅς, καθὰ τὸ ῥηθὲν διήγημα ἐδήλωσεν, ὄνασθαι τῆς ἑαυτοῦ ἀρετῆς τοὺς συμφυλέτας πεποίηκεν. Ἰστέον δὲ ὅτι ἐντεῦθεν ὁ Πάτροκλος, ὡς οἷα ἐκ διδασκάλου πορισάμενος ἐπιχείρημα καὶ παραφράσας, αἰναρέτην ἐν τοῖς ἑξῆς τὸν Ἀχιλλέα καλέσει, ὅ ἐστιν ἐπὶ κακῷ τὴν ἀρετὴν ἔχοντα. ἐρεῖ δὲ καὶ «τίς ἄλλος ὀνήσεται ἐκ σοῦ;» [Ὅτι δὲ τὸ ὀνεῖν καὶ ὀνίσκειν λέγεται κατὰ παραγωγήν, δηλοῖ καὶ ὁ γράψας, ὅτι ὀνείατα λέγεται παρὰ τὸ ὀνίσκειν ἡμᾶς. ἀναλογία δὲ τούτου κατὰ τὸ ῥύω ῥυΐσκω, τελῶ τελίσκω, κύω κυΐσκω, γεγωνῶ γεγωνίσκω, καὶ ὅσα τοιαῦτα, ὧν πρὸς ὁμοιότητα παραλαλεῖται καὶ τὸ γινίσκεσθαι.] Ὅπως δὲ ὁ Ἀχιλλεὺς μετακλαύσεται, ἐπειδὰν ὁ λαὸς ὄληται, προείρηται. Εἰπεῖν δὲ ἔστιν εἰς τοῦτο καί, ὅτι λυπεῖται πᾶς ὁ ἔχων ἀρετὴν περί τι, ὅτε τὸ ὑποκείμενον ἀπόληται, ὡς καὶ Ἀχιλλεὺς πάθοι ἂν ὀλομένου τοῦ λαοῦ, ὑπὲρ ὧν κινδυνεύειν ἐχρῆν. [(v. 765) Τὸ δὲ «ὦ πέπον» οὐ ψογερόν, ὥστε δηλοῦν ἄνδρα ἔκλυτον, φιλίαν δὲ σημαίνει ἐνδιάθετον. καὶ εἴρηται μὲν ἱκανῶς ἤδη περὶ τῆς λέξεως ταύτης καὶ τῶν κατ’ αὐτήν. ἄρτι δὲ οὐ περιττὸν εἰπεῖν ὅτι ἐκ τοῦ πέπτειν ἤγουν πέττειν, ὅθεν ὁ πέπων καὶ ἡ πεπαιτέρα γίνεται, γυνὴ δηλαδὴ μήτε πάνυ γεραιὰ μήτε μὴν ἔτι ἀκμαία. χρῆσις δὲ τῆς λέξεως ἐν τῷ «νέᾳ παλαιᾷ, μεσοκόπῳ πεπαιτέρᾳ».] Τὸ δὲ ἐπιτέλλειν, ὃ καὶ παθητικῶς ἐπιτέλλεσθαί φησι, καιρωτάτη λέξις ἐστί, διὸ καὶ πολλάκις αὐτῇ ὁ ῥήτωρ Νέστωρ χρᾶται ἐνταῦθα. (v. 766) Τὸ δὲ «Ἀγαμέμνονι πέμπε» πάνυ δεινῶς εἶπεν ὁ Νέστωρ, διδάσκων τὸν Πάτροκλον, ὡς οὐ προσθήκη τῆς τοῦ Ἀχιλλέως ἐστὶ συμμαχίας, ἀλλ’ ἐφ’ ἑαυτοῦ σύμμαχος ἐπέμφθη τῷ βασιλεῖ, καί πως ἠρέμα βούλεται πείθειν τῷ Ἀγαμέμνονι μᾶλλον αὐτὸν ἀκολουθεῖν καὶ μὴ πάνυ συντρέχειν ἢ προσ〈έχειν〉 τῷ Ἀχιλλεῖ τὸν νοῦν.

3.325 (v. 768) Τὸ δὲ «πάντα μάλα ἠκούομεν» ἀπαιτεῖ καὶ τὸν τότε παρόντα καὶ ἀκούοντα Πάτροκλον μεμνῆσθαι ὁμοίως τούτοις τῶν τότε λεχθέντων καὶ φυλάσσειν αὐτά. Ὅρα δὲ καὶ ὅτι κἂν ἡ Ἥρα πολλὰ καμεῖν ἐν τοῖς πρὸ τούτων αὐχῇ λαὸν ἀγείρουσα, ὡς δεδήλωται, ἀλλὰ πρὸς ἱστορίαν Ὀδυσσεὺς καὶ Νέστωρ τῷ τοιούτῳ ὑπούργησαν λειτουργήματι λαὸν ἀγείραντες, Ἥρας μέντοι συνεφεπομένης, τουτέστιν Ἡραίας, ὅ ἐστι βασιλικῆς μεγάλης ἀξίας, ὑφ’ ἧς ἐπιτραπέντες ἐποίουν ἃ ἐποίουν. (v. 770) Τὸ δὲ «Ἀχαιΐδα πουλυβότειραν» δεξιῶς ἐρρέθη, ὡς ἐκ τοιαύτης γῆς πολυανθρώπου δηλαδὴ δυνατὸν ὂν ἀγείρειν λαόν. δῆλον δὲ ὅτι ὡς ἀρίστοις τῷ

Ὀδυσσεῖ καὶ τῷ Νέστορι ἀνετέθη τὰ τῆς στρατολογίας. (v. 774) Αὐλῆς δὲ χόρτον οἱ μὲν τὸν περιορισμόν φασι καὶ τὴν περιοχήν, οἱ δὲ τὸ χώρημα τῆς αὐλῆς, ὃ καὶ μέσαυλον ἀλλαχοῦ εἶπε. καί φασιν οἱ Ἐτυμολόγοι, ὅτι χόρτοι οἱ τροχαλοί, ἐπεὶ ἀπὸ χόρτου κατεσκευάζοντο. κάλλιον δὲ εἶπον ἕτεροι ὅτι, εἰ μὲν χόρτος νοηθῇ τὸ κατὰ χρῆσιν ἀρχαίαν κύκλῳ περίφραγμα, λέγεται οὕτω διὰ τὸ μὴ ἑρκίοις ἀλλὰ χόρτοις τὸ παλαιὸν φράττεσθαι τὰς αὐλάς, ἢ φυομένοις ἐπίτηδες ἢ καὶ ξηροῖς τιθεμένοις. εἰ δὲ τῆς αὐλῆς τὸ χώρημα χόρτος λέγεται, εἴη ἂν τοῦτο διὰ τὸ ὡς ἐπὶ πολὺ τὰς μεγάλας αὐλὰς χόρτοις ἐν καιρῷ θάλλειν ἐξ αὐτομάτου. Σημείωσαι δὲ ὅτι, ὥσπερ τὸ αὐλῆς χόρτος ἐκ τῆς παλαιᾶς χρήσεως ἐλαλήθη, οὕτω καὶ αἱμασιὰ πάλαι μὲν δοκεῖ ἐξ ἀκανθῶν εἶναι, δι' ὧν αἱμάσσεται χείρ, ὕστερον δὲ καὶ τὸ ἁπλῶς ἐκ χαλίκων τειχίον αἱμασιὰ ἐλέγετο. φασὶ γοῦν οἱ παλαιοί, ὅτι αἱμασιὰ ἐκ χαλίκων οἰκοδόμημα, τειχίον, θριγκός, καὶ ἕτερα τοιαῦτα, περὶ ὧν δηλοῦται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Καινὸν δὲ οὐδὲν χόρτον αὐλῆς λέγεσθαι τὴν περιοχὴν ἀπὸ χόρτου κατὰ ἀρχαϊσμόν, εἴγε καὶ τὸ χορτάζεσθαι κυρίως μὲν ἐπὶ ὑποζυγίων παρὰ τὸν χόρτον, τίθεται δὲ καὶ ἐπὶ ἀνθρώπων, ὡς καὶ Αἴλιος Διονύσιος παρασημαίνεται.

3.326 Ἄλεισον δὲ ὅτι κυρίως τὸ μὴ λεῖόν ἐστι ποτήριον, ἀλλαχοῦ δεδήλωται. ὥστε ἄλειόν ἐστι τὸ ἀπαθές, οἱονεὶ τὸ μὴ λεῖον ἀλλὰ τραχὺ τοῖς ἐμπαίσμασιν, ἐπενθέσει δὲ τοῦ ς γέγονεν ἄλεισον, καὶ οὕτως οὐ παρρησιάσεται ἡ τοῦ ι γραφὴ ἐν τῷ ἄλεισον, ὡς ἐν τῷ λισσόν, οὗ χρῆσις ἐν τῷ «λισσὴ δ' ἀναδέδρομε πέτρη». εἰ δέ γε ἀπὸ τοῦ ἀλές γίνεται, ὅ ἐστιν ἀολλὲς καὶ ἄθρουν, ἵνα ᾖ ἄλεισον, ἐξ οὗ ἔστι πιεῖν ἀλὲς καί, ὡς οἷον εἰπεῖν, ἀμυστί, κατὰ τὸ δέπας, ὃ ἄμυστις λέγεται, εἴη ἂν τότε ἡ ει δίφθογγος ἄμαχος, ὡς τοῦ ε προαναφανέντος, εἶτα τοῦ ι πλεονάσαντος ἐν αὐτῷ. (v. 775) Τὸ δὲ «σπένδων ἐπ' αἰθομένοις ἱεροῖς» πρὸς διαστολὴν εἴρηται σπονδῆς ἑτεροίας, ὁποῖαι πολλαὶ καὶ δίχα θυσιῶν ἐγίνοντο. [Τὸ δὲ «αἴθοπα οἶνον» μετὰ τοῦ αἰθομένοις ἱεροῖς παρήχησίν τινα ἐμφαίνει, ἤδη δὲ καὶ ἐτυμολογικοῦ ἐστι τρόπου, ὡς παρὰ τὸ αἴθω, τὸ καίω, ἐξ οὗ καὶ ὁ αἶθοψ οἶνος. Ὁ μέντοι μῦθος ἄλλο τι περὶ αὐτοῦ βούλεται. λέγεται γάρ που Εὐριπίδης εἰπεῖν ἕνα εἶναι τῶν ἵππων Ἡλίου Αἴθοπα, πεπαίνοντα ὀρχάτους ὀπωρινούς, ἐξ οὗ βροτοὶ καλοῦσιν οἶνον αἴθοπα.] Τὸ δὲ «αἰθόμενα ἱερά» διαστέλλεται τῶν ἔτι περιαγομένων καὶ σφαζομένων καὶ δερομένων καὶ μιστυλλομένων. (v. 776) Τὸ δὲ «ἀμφὶ βοὸς ἕπετον κρέα», ὅ ἐστιν ἐνηργεῖτε καί, ὡς εἰπεῖν, ἀμφείπετε, συντομωτάτη ἐστὶν ἐπιτομὴ τῆς ἐν ἄλλοις πολλαχοῦ ἐκτιθεμένης θυτικῆς διασκευῆς, ὁποία πρὸ τῶν ἄλλων ἐν τῇ ἄλφα ῥαψῳδίᾳ ἔκκειται.

3.327 [Ἀκόλουθον δὲ κἀνταῦθα τὸ νόημα τῷ κατὰ τοὺς ἥρωας ἐθισμῷ. κρεωφάγοι γὰρ ἦσαν, εἰ μή τι παρενέπεσε τὸ πρὸς βίαν κωλῦον. ἐκεῖθεν δὲ κατέβη τὸ ἔθος καὶ εἰς τοὺς ὕστερον. Λακεδαιμονίοις γοῦν, φασί, πρὸς μίμησιν ὀψοποιοὶ ἦσαν κρέως σκευασίας, ἄλλου δ' οὐδενός.] (v. 777) Τὸ δὲ «ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς» καὶ φθάσαν ἐρρέθη ἐν ταῖς Λιταῖς ὡς ἴδιόν τι τοῦ Ἀχιλλέως ὄν. (v. 779) Ἐν δὲ τῷ «ξείνια παρέθηκεν» ἀορίστως λέγει καὶ οὐκ εἰδοποιεῖ διὰ τὸ μὴ ἀναγκαῖον εἶναι μετρεῖν αὐτὰ ἔξω καιροῦ εἰς οὐδὲν δέον, εἰ καὶ ἄλλως ἐχρῆν ὁμοίως τοῖς ἀνωτέρω λεπτολογῆσαι καὶ αὐτά. (v. 780) Τὸ δὲ «τάρπημεν ἐδητύος ἠδὲ ποτῆτος», ὅ ἐστιν ἐκορέσθημεν, ἢ μᾶλλον ἡδύνθημεν διὰ τοῦ φαγεῖν καὶ πιεῖν, παράφρασίς ἐστι σαφὴς τοῦ «πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο». (v. 781) Τὸ δὲ «ἦρχον ἐγὼ μύθοιο» σεμνῶς ἔφη ὁ γέρων, ὡς τοῦ Ὀδυσσέως δηλαδὴ ὢν λογιώτερος. οἱονεὶ γοῦν ἀξιοῖ καὶ νῦν αὐτὸς πεῖσαι ἐξελθεῖν εἰς μάχην. Τὸ δὲ «κελεύων [ὔμμ' ἄμμιν ἕπεσθαι» σκληρόν ἐστι καὶ τῇ φράσει καὶ τῇ συναλιφῇ. ὁ γοῦν τὰ σχεδικὰ γριφεύων μάμμην ἂν παρακούσοι ἐνταῦθα οἷα τῶν τοιούτων ἐθάς. αὐτὸ δὲ] τὸ κελεύων φανερῶς οὐ δεσποτικὴ λέξις ἐστί. φιλικῶς γάρ, οὐ μὴν ὡς δεσπότης ἐκέλευεν ὁ Νέστωρ Ἀχιλλεῖ καὶ Πατρόκλῳ εἰς μάχην ἕπεσθαι. ἰσοδυναμεῖ γοῦν, ὡς καὶ ἐν ἄλλοις, τὸ κελεύειν τῷ ἀξιοῦν. οὕτω δὲ καὶ τὸ σημαίνειν κατωτέρω τοιοῦτόν τι δηλοῖ, ἐπειδὴ σημεῖα τῶν νοουμένων τὰ λεγόμενα. Ἰστέον δὲ ὅτι ἀπὸ τοῦ κέλω γίνεται κελέω καὶ κελεύω, ὡς βούλω βουλεύω, καὶ ἔστι πιθανῶς εἰπεῖν ὡς ἐκ τοῦ τοιούτου κέλω ἢ κελέω γίνεται καὶ ἵππος κέλης ὁ

ἄζευκτος, καὶ μᾶλλον τὸ πλοῖον οἱ κέλητες, ἐπεὶ τὸ κελεύειν καὶ ἐπὶ πλοίων λέγεται, ὡς τὸ «κατακέλευε δή» παρὰ τῷ Κωμικῷ.

3.328 εἰ δὲ καὶ οἱ κελέοντες ἐκ τοῦ τοιούτου ῥήματος γίνονται ἢ ἀπὸ τοῦ κέλλειν, ἐξ οὗ καὶ τὸ ὀκέλλειν κατὰ πλεονασμόν, οὐκ ἔστιν ἀσφαλῶς εἰπεῖν. Χρῆσις δὲ τῶν κελεόντων παρά τε ἄλλοις καὶ παρὰ Παυσανίᾳ, ὅς φησιν, ὅτι κελέοντες οἱ ἱστόποδες καὶ τὰ λεπτὰ καὶ πηνοειδῆ τῶν ξύλων. λέγει δὲ καὶ Αἴλιος Διονύσιος, ὅτι κελέοντες οἱ ἱστόποδες καὶ πάντα τὰ μακρὰ ξύλα. [(v. 782) Τὸ δὲ «μάλα ἠθέλετον» προθυμίαν ἄκραν δηλοῖ, οὐ γὰρ ἁπλῶς ἤθελον, ἀλλὰ μάλα ἤθελον. Ἰστέον δὲ ὅτι τοῦ ἐθέλειν ῥήματος ὄντος μέσου, ἤγουν μήτε μόνως ψεκτοῦ μήτε αὖ ἐπαινετοῦ, ἀλλ’ ἐν μεσότητι κειμένου ἀμφοῖν, καὶ ὁ ἐθελοντής, τὸ ἐξ ἐκείνου δηλαδὴ ὄνομα, μέσως ἔχει, καθὰ καὶ ὁ ἑκοντής. καὶ οὕτω μὲν κατὰ τὸ κοινῶς σύνηθες. Θηβαῖοι δέ, πολλὰ ἰδίως ὀνομάζοντες, καί, ὥς φασιν οἱ παλαιοί, καινουργοῦντες κατὰ τὰς φωνάς, παιγνιώδη λέξιν οἴδασι τοὺς ἐθελοντάς. λέγεται γὰρ ὅτι ἐκ τοῦ δέκω Ἰωνικοῦ γίνεται δείκω, ἐξ οὗπερ οὐ μόνον ἀριδείκετος καὶ δεικανῶ, ἀλλὰ καὶ δείκηλον. ὅθεν δεικηλισταὶ παρὰ Λάκωσιν κωμικοί, λέγοντες τοιάδε τινά· ἐὰν ἐπιχώριος ἰατρὸς εἴπῃ· τρύβλιον δότε πτισσάνης, καταφρονοῦμεν, ἐὰν δὲ πτισσάνας, θαυμάζομεν, ὡς δηλαδὴ δωρίζοντα, καὶ εἰ μὲν σευτλίον, παρείδομεν, εἰ δὲ τευτλίον, ἀσμένως ἠκούσαμεν.

3.329 δεικηλισταὶ οὖν οἱ τοιοῦτοι, ὡς εἴ τις εἴποι σκευοποιοὶ καὶ μιμηταί. Σικυώνιοι δὲ φαλλοφόρους αὐτούς φασιν, οἱ δὲ αὐτοκαυδάλους τε καὶ ἰάμβους, Ἰταλοὶ δὲ φλύακας, Θηβαῖοι δὲ ἐθελοντάς.] (v. 783) Σημείωσαι δὲ καὶ ὅτι, καθὰ τὸ «ἔδδεισεν ὁ γέρων» φιλῶν τὸ γῆρας ἔφη ὁ ποιητὴς καὶ σεμνύνων τῇ λέξει τὸν ἱστορούμενον, οὕτω καὶ ἐνταῦθά φησι «Πηλεὺς μὲν παιδὶ γέρων ἐπέτελλεν», καὶ ἐπέτελλεν ὁ γέρων Μενοίτιος. [Ἔστι δὲ καὶ ἀντιθετικὸν τὸ «παιδὶ γέρων ἐπέτελλε».] (v. 784) Τὸ δὲ «αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων» ἱστορεῖται χρησιμεῦσαι σοφῷ τινι ἐν προσφωνήσει ἀρχοντικῇ. ὁ μὲν γὰρ ἄρχων ἤρετο τὸν σοφόν, τί ἂν ἐξ ἐκείνου θέλοι, ὁ δὲ εἴτε φιλοσόφως διατεθεὶς εἴτε καὶ ἄλλως αὐτάρκης ὢν ᾔτησε μὲν οὐδέν, τὸν δὲ ῥηθέντα στίχον ἐξεφώνησε, μονονουχὶ φάμενος τούτου καὶ μόνου δεῖσθαι, τοῦ τὸν φίλον στρατηγὸν εὐτυχεῖν. ὁ δὲ ὑπείροχος πρὸ ὀλίγων κύριον ἦν, οὗ υἱὸς ὁ Ὑπειροχίδης Ἰτυμονεύς. (v. 786) Τὸ δὲ «γενεῇ ὑπέρτερος» ἀντὶ τοῦ εὐγενείᾳ. Καὶ σημείωσαι τὴν λέξιν. οἱ δὲ παλαιοί φασιν, ὅτι Ἴωνες ὑπέρτερον τὸν νεώτερον λέγουσιν, ὡς λέγειν ἐνταῦθα τὸν Νέστορα, ὅτι νεώτερος μὲν ὁ Ἀχιλλεύς, σὺ δὲ πρεσβύτερος, ὥστε ἐκεῖνον μᾶλλόν σοι πειστέον, οὐ μὴν τὸ ἀνάπαλιν. (v. 788) Τὸ δὲ φάσθαι καὶ ὑποθέσθαι καὶ σημαίνειν εἰσὶ μέν πως ἰσοδύναμα ὡς ἐν ταυτολογίᾳ, διὸ καὶ παράκεινται, λαμβάνονται δὲ ἀντὶ προστακτικοῦ. Καὶ τὸ μὲν ὑποθέσθαι τὸ ῥῆμά ἐστιν, ἐξ οὗ ὑποθήκη λέγεται ἡ παραίνεσις. (v. 789) Τὸ δὲ σημαίνειν πραΰν ὑποδηλοῖ τὸν Ἀχιλλέα, εἴπερ ὁ τηλικοῦτος μετὰ τὸν διδάσκαλον Φοίνικα καὶ τοῦ Πατρόκλου σημαίνοντος ἀνέξεται. Ἐκ δὲ τοῦ φάσθαι καὶ ἡ ῥηθησομένη παραίφασις, οἷς σύστοιχον καὶ τὸ παρειπεῖν μετ’ ὀλίγα ἐν τῷ «θυμὸν ὀρίνης παρειπών». Τὸ δὲ «πείσεται εἰς ἀγαθόν» ἔπαινος Ἀχιλλέως ἐστὶν ὡς στερεοῦ καὶ μὴ ἁπλῶς πειθομένου, εἰ μὴ ἐπ’ ἀγαθῷ. Ὅρα δὲ καὶ ὡς Ὀδυσσεὺς μὲν ἐν ταῖς Λιταῖς τὸν Ἀχιλλέα παραινέσεων ἀναμιμνήσκων πατρικῶν εἰς πλάτος, ὡς καὶ πρὸ ὀλίγων ἐρρέθη, ἐξετίθει αὐτάς, Νέστωρ δ’ ἐνταῦθα μέμνηται μὲν τοῦ τοιούτου κεφαλαίου ὁμοίως, πλὴν ἐν στίχῳ ἑνὶ διὰ τὸ προειλῆφθαι τὴν τοιαύτην ἐκεῖ μέθοδον, ἃ δὲ ὁ Μενοίτιος τῷ υἱῷ Πατρόκλῳ ὑπέθετο, πλατυλογεῖ, ὅτι καὶ ἐνδέχεται διὰ τὸ παρεῖναι τὸν Πάτροκλον.

3.330 (v. 790) Τὸ δὲ «σὺ λήθεαι» καὶ ἑξῆς ὀνειδισμός τέ ἐστιν ἅμα καὶ ἐρεθισμός, ὡς μὴ τοῦ Πατρόκλου κατέχοντος τὸ πατρικὸν διδασκάλιον, ἄρτι δὲ ἀναμιμνησκομένου, ἵνα νῦν γοῦν αὐτὸ ἀναλήψεται ἐνθυμηθείς, ὡς οὔτε ὁ ἑταῖρος Ἀχιλλεὺς αἰὲν ἀριστεύει ὡς ἐπὶ τοσοῦτον μηνίων, οὔτε αὐτὸς ὑποτίθεταί τι σημαίνων πυκινὸν ἔπος. οὕτω δὲ καὶ ἀνωτέρω ἐν τῷ «μάλα ἠθέλετον» λήθην ὀνειδίζει τῆς πάλαι προθυμίας, καθ’ ἣν τότε μὲν μάλα ἤθελον, νῦν δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τηλικοίδε ὄντες ὀκνοῦσι τὸν πόλεμον καὶ κεῖνται ἀπόμαχοι. [Τὸ δὲ «ἀλλ’ ἔτι καὶ νῦν» περιττὸν ἔχει καὶ τὸ ἐτι καὶ τὸν και σύνδεσμον, δηλοῖ γὰρ τό· ἀλλὰ νῦν ταῦτα εἴποις.] (v. 792) Τὸ δὲ σχῆμα τοῦ «τίς οἶδεν εἰ τότε γένηται» καὶ ἐν τῷ τέλει τῆς π′ ῥαψῳδίας κεῖται. Τὸ δὲ «σὺν δαίμονι» ἀντὶ τοῦ σὺν ἀγαθῇ τύχῃ. (v. 793) Παραίφασις δέ, ὥσπερ καὶ παρειπεῖν, οὐδὲν ἄλλο ἐστὶν ἢ φάσθαι πυκινὸν ἔπος, ὡς προείρηται. γνωμικὸν δὲ τὸ «ἀγαθὴ παραίφασίς ἐστιν ἑταίρου». ἔνθα προσληπτέον ἀπὸ κοινοῦ τὸ ἀγαθοῦ. οὐ γὰρ ἡ τοῦ τυχόντος ἑταίρου παραίφασις ἀγαθή ἐστιν, ἀλλ’ ἡ τοῦ ἀγαθοῦ. τοιοῦτον καὶ τὸ «ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι πατρός». προσνοητέον γὰρ καὶ ἐκεῖ τὸ «ἀγαθὸν παῖδα», ἄλλως γὰρ οὐδὲν ἀγαθὸν κατοιχομένῳ πατρὶ παῖς οὐκ ἀγαθός. ὁμοίου σχήματος καὶ τὸ «οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους». καὶ ἐκεῖ γὰρ ἀπὸ κοινοῦ νοεῖται τὸ δεινά ἐν τῷ εἰργασμένους, ἵνα λέγῃ ὡς οὐ δεινὸν δεινὰ πάσχειν τοὺς δεινὰ εἰργασμένους. (v. 795) Τὴν δὲ θεοπροπίην ἑρμηνεύων ἐν περιφράσει ἐπήγαγε τὸ «καί τινά οἱ πὰρ Ζηνὸς ἐπέφραδε μήτηρ», μονονουχὶ λέγων, ὅτι θεοπροπία ἐστὶ φράσις τις ἐκ Διός, Πανομφαίου δηλαδή. (v. 797) Τὸ δὲ «φόως γένηαι» ἀντὶ τοῦ ὠφελήσῃς, ὡς τῶν ἡττωμένων ὑπὸ σκότῳ δι’ αἰσχύνην δοκούντων εἶναι. διὸ παρατετηρημένως ὁ ποιητὴς ἔφη οὐχ’ ἁπλῶς «αἴ κεν φῶς γένοιο», ἀλλὰ «αἴ κεν τι φόως». οὐ γὰρ ἁπλῶς φῶς ἡ ὠφέλεια ἢ ἡ νίκη ἢ ἡ ἐπικουρία, ἀλλά τι φῶς καὶ ὡσανεὶ φῶς. (v. 798—800) Λέγει δ’ ἐνταῦθα ὁ ποιητὴς προαναφωνητικῶς διὰ τοῦ Νέστορος καί, ὡς οὐ μόνον αὐτὸς ὁ Ἀχιλλεὺς ἀλλὰ καὶ εἰκασμὸς αὐτοῦ τοὺς Τρῶας ἔχει ἐκφοβεῖν. ὅθεν καὶ ἀξιοῖ βοηθῆσαι διὰ Πατρόκλου τὸν Ἀχιλλέα τοῖς Ἕλλησι μὴ κινδυνεύοντα. ἐν οἷς ἅμα καὶ κολακεύει σωφρόνως τὸν Ἀχιλλέα, εἴπερ τὰ ἐκείνου ὅπλα καὶ μόνον ὀφθέντα ἀριστεύσει φαντάσαντα τὸν Ἀχιλλέα.

3.331 σεμνὸν δὲ καὶ τῷ Πατρόκλῳ τὸ εἰς Ἀχιλλέα τυπωθῆναι καὶ οὕτω νόθῳ Ἀχιλλεῖ φανέντι μέγα στῆσαι τρόπαιον, ἵνα τῷ τῆς ὁπλίσεως εἰκασμῷ ἄλλος φανήσεται Ἀχιλλεὺς κατὰ φιλίας ὅρον, ὃς τὸν φίλον τινὶ ἄλλον αὐτὸν εἶναί φησι. Τὸ δὲ «ἴσκοντες» ποιητικὴ μέν ἐστι λέξις καὶ αὐτὸ καθὰ καὶ ἄλλαι, καὶ οὐκ εὔλαλος τῷ καταλογάδην γράφοντι. Γίνεται δὲ ἀπὸ τοῦ εἴδω, εἴσω, ἐνεστὼς εἴσκω, καὶ διαλύσει ἀναγκαίᾳ ἐΐσκω, ἵνα μονοφθογγῆται ἀναλόγως ἡ παραλήγουσα, καὶ ἀφαιρέσει ἴσκω, ἐξ οὗ καὶ τὸ «ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα». (v. 801) Τὸ δὲ «ὀλίγη ἀνάπνευσις πολέμοιο» οὐ μόνον πρὸς ἕν τι τὸ σήμερον, ἀλλὰ καὶ ἐν τῷ καθόλου δύναται λέγεσθαι, διότι ἡ τῶν κατὰ κράτος νικωμένων ἀνάπαυσις παρὰ μικρὰν γίνεται ῥοπὴν καὶ ἀνδρὸς ἑνὸς ἐπιφάνεια κατὰ τοὺς παλαιοὺς ἢ φόβου ὑπόνοια μεγάλην ὡς τὰ πολλὰ μεταβολὴν ἐνειργάσατο. Τοῦ δὲ ἀνάπνευσις ῥῆμα ὂν τὸ ἀναπνεῦσαι ἀνωτέρω αὐτοῦ ἐτυμολογικῷ τρόπῳ κεῖται, περὶ οὗ ἀλλαχοῦ εἴρηται. (v. 802 s.) Τὸ δὲ «ῥεῖα δὲ ἀκμῆτες κεκμηότας ἄνδρας ὤσαισθε» κεφάλαιόν ἐστιν ὃ καλεῖται δυνατόν. κατασκευάζει γὰρ ὁ γέρων, ὅτι ῥᾷον οἱ Τρῶες νικηθήσονται, ἀξιῶν καὶ οὕτω ἀκινδύνως τὸν Ἀχιλλέα βοηθῆσαι τοῖς Ἀχαιοῖς. [Ὅρα δὲ τὸ ἀκμῆτες καὶ τὸ κεκμηότες, ἐν οἷς, καθὰ καὶ ἐν τοῖς ὁμοίοις, κοινότερον φυλάσσεται τὸ κ πρὸ τοῦ μ μετὰ τὴν συγκοπήν. Ἀττικὸς δὲ ἀνὴρ ἀγμῆτες ἂν εἶπε καὶ κεγμηότες διὰ τοῦ γάμμα κατὰ τὸ ἐοίκαμεν ἔοιγμεν παρὰ Σοφοκλεῖ, καὶ κατὰ τὸ δοξῶ δόγμα.] Τὸ δὲ «ὤσαισθε» κυριολεκτεῖται καὶ νῦν. κάτωθεν γὰρ ἐκ τῶν νηῶν ἐπὶ τὴν ἠνεμόεσσαν φεύγοντες Ἴλιον οἱ Τρῶες ὀρθῶς ὠθεῖσθαι λεχθήσονται κατὰ τὸ «λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον». [Εὐκτικῶς δὲ γράφεται τὸ «ὤσαισθε», ὡς δηλοῖ Πάτροκλος ἐν τοῖς ἑξῆς τὰ τοῦ Νέστορος πρὸς Ἀχιλλέα λαλῶν καὶ παρῳδῶν ὡς ἐν μεταποιήσει τὸ ὤσαισθε εἰς τὸ πρῶτον αὐτοῦ τὸ ὠσαίμεθα.

3.332 Ἰστέον δὲ ὅτι ὠθεῖν κυρίως μὲν τὸ ῥηθέν ἐστι, λέγεται δὲ καὶ ἄλλως κοινότερον τὸ βιαίως ἀποκινεῖν. οὕτω γάρ τις ὠθεῖν καὶ ἀντωθεῖν λέγεται καὶ προωθεῖν καὶ ἐξωθεῖν. τοιούτου δὲ ῥήματος προῆκται καὶ τὸ ὠστίζεσθαι, ὃ καὶ παρὰ τῷ Κωμικῷ κεῖται, καὶ ὁ ὠθισμός. ἐκ τοιαύτης δὲ σημασίας καί τις κωμικὸς Μαρωνείτης κατὰ βροντῆς παίξας ἔφη τὸ «ἐξέωσε βροντὴν ἠλέματον, ὁκοίην ἀροτὴρ γέρων χαλᾷ βοῦς», παίξας εἰς τὴν βροντὴν καὶ αὐτός, ὡς ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀριστοφάνης ἐν Νεφέλαις.] Ἐν τούτοις δὲ λέγεται κεφαλαιωδῶς πρὸς τῶν παλαιῶν καὶ ταῦτα, ὡς διὰ μὲν τῶν ἰδίων, τουτέστι διὰ τῶν οἰκείων, διηγημάτων εἰς ζῆλον ὁ Νέστωρ ὅμοιον προκαλεῖται τὸν Πάτροκλον, ἀναμνήσας δὲ τῆς παλαιᾶς θυσίας ὀνειδίζει πικρῶς καὶ ἀδικεῖν φησιν αὐτόν τε καὶ τὸν Ἀχιλλέα, τῆς βασιλικῆς συμμαχίας ἀφισταμένους, ἥν, ὡς καὶ προϋπελαλήθη, ἐπὶ θεοῦ μάρτυρος ἐποιήσαντο, εἴπερ τότε φιλοφρονησάμενοι περιορῶσι νῦν τοὺς ξένους ἀναιρουμένους. Οἷς δὲ λέγει περὶ Μενοιτίου καὶ Πηλέως, παραβαίνειν αὐτοὺς ὑποθήκας πατρικὰς ὑποφαίνει ὡς τρόπον τινὰ μισοπάτορας. αὔξει δὲ καὶ τὸ τοῦ Ἀχιλλέως φιλότιμον, ἐκείνῳ τὸ πᾶν ἀνατιθείς, οὐ μόνον τοῦ μὴ κινδυνεῦσαι, ἀλλὰ καὶ τοῦ περιγενέσθαι τῶν Τρώων τοὺς Ἀχαιούς. δείκνυσι δὲ καὶ εὐχερεστάτην τὴν χάριν, εἰ καὶ μόνος Ἀχιλλέως εἰκασμὸς τὴν νίκην ἀπεργάσεται. Διδάσκει δέ, φασίν, ἐν τούτοις ὁ ποιητὴς καὶ μηδὲ ῥᾳδίως οὕτω τῶν πραγμάτων ἀπέχεσθαι, ἀλλὰ διαφόρως προσλιπαρεῖν εἴτ’ οὖν προσμένειν ταῖς πράξεσιν. ἰδοὺ γάρ, ὁ Νέστωρ μηδὲν ἀνύσας τὸ πρῶτον, οἷς ἐβουλεύσατο περὶ τῶν πρέσβεων, ἑτέρᾳ μεθόδῳ ταύτῃ πρεσβείας διὰ τοῦ Πατρόκλου χρησάμενος ἤνυσε. Σιγηλὸν δέ, φασί, καὶ ἐνηῆ τὸν Πάτροκλον καὶ μειλίχιον κἀνταῦθα ὁ ποιητὴς ὑποτίθεται καὶ αἰδήμονα. ὅς, καὶ ταῦτα ἐπειγόμενος, ἀνέχεται μακρολογοῦντος τοῦ Νέστορος, καὶ ἀκούσας πολλὰ οὐδὲν ἀντιφθέγγεται, ἀλλὰ καταπεισθείς, —ὤρινε γάρ, φησίν, αὐτῷ θυμὸν ἐνὶ στήθεσσιν ὁ Νέστωρ — ἔβη θέειν ἐπ’ Ἀχιλλέα ποιήσων τὰ τῆς πρεσβείας. Ἔτι πρὸς τοῖς εἰρημένοις ἰστέον καί, ὡς πολλοὶ τόποι τῆς ἐκτεθειμένης Νεστορέης ἀφηγήσεως χρησιμεύουσιν εἰς πεζοῦ λόγου παραπλοκάς, οἷον ἐπὶ δυστυχίᾳ πολέμου ῥητέον τὸ (v.
3.333 657—9) «οὐδέ τι οἶδε πένθεος, ὅσσον ὄρωρε κατὰ στρατόν. οἱ γὰρ ἄριστοι κείαται βεβλημένοι οὐτάμενοί τε». (v. 668—70) Γέροντι δὲ ἀνακαλουμένῳ τὴν πάλαι ἀκμὴν οἰκεῖον τὸ «οὐ γὰρ ἐμὴ ἲς ἔσθ’ οἵη πάρος» καὶ ἑξῆς, ὁμοίως καὶ τὸ «εἴθ’ ὣς ἡβώοιμι βίη τέ μοι ἔμπεδος εἴη, ὡς ὁπότε» τόδε ἐποίησα. (v. 675 s.) Ἀριστέως δὲ πτῶσιν λαλεῖ τὸ «ἔβλητ’ ἐν πρώτοισιν ἀπὸ χειρὸς ἄκοντι, κὰδ δ’ ἔπεσε, λαοὶ δὲ περίτρεσαν». (v. 693) Φυγὴν δὲ ἐκ μεγάλης τροπῆς φράζει τὸ «τῶν οἶος λιπόμην, οἳ δ’ ἄλλοι πάντες ὄλοντο». (v. 707 s.) Κοινὴν δὲ ἐπέλευσιν ἐχθρῶν δηλοῖ τὸ «οἳ δὲ πάντες ἦλθον ὁμῶς, αὐτοί τε πολεῖς καὶ μώνυχες ἵπποι». (v. 713) Πολιορκητικὸν δὲ τὸ «τὴν δ’ ἀμφεστρατόωντο διαρραῖσαι μεμαῶτες», ἔνθα διπλῆ σύνταξις· ἢ γὰρ τὴν δ’ ἀμφεστρατόωντο ἢ ἀμφεστρατόωντο τήνδε διαρραῖσαι θέλοντες. (v. 716 s.) Προθυμίαν δὲ στρατιωτῶν παριστᾷ τὸ «οὐδ’ ἀέκοντα λαὸν ἄγειρεν, ἀλλὰ μάλα ἐσσυμένους πολεμίζειν». Ἔνθα καὶ Ἀττικῶς ἀπεδόθη τὸ ἐσσυμένους πρὸς τὸ λαόν. (v. 734) Πολέμου δὲ μεγάλου παραστατικὸν τὸ «ἀλλά σφι προπάροιθε φάνη μέγα ἔργον Ἄρηος». (v. 755) Τροπῆς δὲ πολέμου δηλωτικὸν τὸ «κτείνοντές τ’ αὐτοὺς ἀνά τ’ ἔντεα καλὰ λέγοντες», ἤγουν ἀναλεγόμενοι πανοπλίας. Καὶ ἄλλα δὲ ἄλλως πολυειδῶς παραπλακήσονται. (v. 806 s.) Ὅτι περί που τὰς τοῦ Ὀδυσσέως νῆας ἦν τοῖς Ἀχαιοῖς ἀγορή τε θέμις τε. ἐκεῖ δὲ αὐτοῖς καὶ θεῶν τετεύχατο βωμοί, ὡς ἂν ὁ σοφὸς πᾶσιν ἐπιστατῇ τοῖς τε ἀνθρωπίνοις τοῖς τε θείοις. (v. 809—13) Ὅτι εἰπόντος Ὁμήρου ὡς Εὐρύπυλος βεβλημένος κατὰ μηρὸν ὀϊστῷ ἀντεβόλησε Πατρόκλῳ «σκάζων ἐκ πολέμου, κατὰ δὲ νότιος ῥέεν ἱδρὼς ὤμων καὶ κεφαλῆς, ἀπὸ δ’ ἕλκεος ἀργαλέοιο αἷμα μέλαν κελάρυζε, νόος γε μὲν ἔμπεδος ἦεν», θαυμάζουσι τὸν λόγον τῆς συντομίας οἱ ῥήτορες ὡς διὰ βραχέων πολλὰ δηλώσαντα. καμάτου μὲν γὰρ σημεῖον ἱδρώς, τραύματος δὲ αἷμα, τὸ δὲ σκάζειν ἀλγηδόνος γινόμενον ἐκ τοῦ κῶ, τὸ κεῖμαι, κάζω κατὰ παραγωγὴν καὶ πλεονασμῷ τοῦ ς σκάζω. δοκεῖ γὰρ ὁ σκάζων ἐθέλειν κεῖσθαι τῇ εἰς πτῶμα παρεκκλίσει. (v. 811) Νότιον δὲ ἱδρῶτά φασιν οἱ Ὑπομνηματισταὶ τὸν ἐκ τοῦ νοσεῖν τὸ σῶμα τὸν οἱονεὶ νόσιον, οἱ δὲ τὸν πάνυ τὸ σῶμα ὑγραίνοντα, ἐκ τοῦ Νότου ἀνέμου ὄντος ὑγροῦ. καὶ ἔστιν ἐκ τούτων ἀστεΐσασθαι Ἀττικὴν νόσον εἶναι τὸν Νότον ὡς οἷα τοῦ ς μεταληφθέντος Ἀττικῶς εἰς τὸ ταῦ. (v. 813) Τὸ δὲ κελαρύζειν δαψίλειαν τοῦ ῥέοντος αἵματος δηλοῖ, ὡς οὐχ’ ἁπλῶς καταρρέοντος, ἀλλὰ καὶ μετά τινος ποιοῦ ἤχου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.334 τὸ δὴ τοιοῦτον αἷμα καὶ ἀνακοντίζοι ἄν, ὅπερ ἀλλαχοῦ φησιν ὁ ποιητής. Τὸ δὲ «νόος γε μὲν ἔμπεδος ἦν» οὐ μάτην ὡς ἐπὶ στίχου συμπληρώσει κεῖται, ἀλλὰ δεινῶς ἐγράφη. ἐπεὶ γὰρ αἵματος μὲν πολλὴ ῥύσις λειποθυμίαν ἐμποιεῖ καί που ἐντεῦθεν καὶ ἀλλοφροσύνην, τὸν δὲ Εὐρύπυλον ἐθέλει ὁ ποιητὴς νήφειν, ἐφ' οἷς μετ' ὀλίγα ἐρεῖ, προαναφωνεῖ ὡς οὔπω ἡ τοῦ αἵματος ῥύσις αὐτὸν κατεπόνησεν. (v. 809) Ὅρα δὲ τὸ «βεβλημένος», ὅτι καὶ αὐτὸ οὐχ' ἁπλῶς καὶ εἰκαίως παρερρίφη ἀλλ' ὡς ἐπίσημόν τι νῦν τοῦ ἥρωος. διὸ καὶ μετ' ὀλίγα πάλιν φησὶ «τὸν δ' Εὐρύπυλος βεβλημένος ηὔδα». καὶ ἔστι σεμνώματος ἄξιος ὁ Εὐρύπυλος καί τινος δὲ οἴκτου, εἴπερ ὁ μὲν Μαχάων τὸν ὦμον βεβλημένος πολλῆς ἐπιμελείας τυγχάνει καὶ ἐφ' ἅρματος κομίζεται, ὁ δὲ Εὐρύπυλος οὐδὲ τὸν ὑπανέχοντα ἔχει ἀλλὰ σκάζει, αὐτὸς βαδίζων. (v. 828) Διὸ καὶ οἰκτίζεται αὐτὸν ὁ Πάτροκλος εἰπόντα «ἀλλ' ἐμὲ μὲν σάωσον ἄγων ἐπὶ νῆα» καὶ ἑξῆς. Τὸ δὲ «βεβλημένος ἀντεβόλησεν» ἔχει τι παρηχήσεως. (v. 815—8) Ὅτι Νέστωρ μὲν στοχαζόμενος εἶπεν, ὡς ὀλοφύρεται τοὺς Ἀχαιοὺς Ἀχιλλεύς, Πατρόκλῳ δὲ αὐτὸς ὁ ποιητὴς τὸ τοιοῦτον πάθος ἐπιμαρτύρεται. ὀλοφυρόμενος γὰρ πρὸς Εὐρύπυλον λαλεῖ, ὅσα τις εἴποι ἂν περί τινων, οἷς ἐν ἀλλοτρίᾳ γῇ ἀπέκειτο πεσεῖν «ἆ δειλοί» καὶ ἑξῆς, «ὡς ἄρ' ἐμέλλετε τῆλε φίλων καὶ πατρίδος αἴης ἄσειν», ὅ ἐστι κορέσειν, «ἐν Τροίῃ ταχέας κύνας ἀργέτι δημῷ», τουτέστι λευκῇ πιμελῇ, ἀπὸ τοῦ ἀργής ἀργῆτος ἀργῆτι κατὰ συστολὴν τῆς παραληγούσης, τοῦτο δὲ πρὸς διαστολὴν ἴσως τοῦ «ἀργῆτι κεραυνῷ». δηλοῦται δ' ἐνταῦθα τὸ εὐγυμνάστους εἶναι τοὺς Ἀχαιοὺς καὶ διὰ τοῦτο εὐλιπεῖς, ὥς που καὶ πόδας ὁ ποιητὴς λέγει λιπαρούς. χαρακτηρίζει δὲ καὶ ὁ Κωμικὸς τοὺς γυμναζομένους διὰ σώφρονος λιπαρότητος. [(v. 817) Ἰστέον δὲ ὅτι τὸ μὲν πατρίς παρονομασθὲν ἐκ τοῦ πατρός—οὐ δήπου γὰρ ὑποκεκόρισται, ὅτι μηδὲ οἶδεν Ὅμηρος τοιαῦτα—σεμνῶς ἔχει, τὸ μέντοι παρὰ τοῖς ὕστερον πατρίδιον φανερῶς ὑποκορίζει κωμικώτερον, οἷον «αὗται», ἤγουν αἱ ἑταιρίδες, «βιάζονται εἰσελθοῦσαι τοὺς μὲν γέροντας ὄντας ἐπικαλούμεναι πατρίδια», ὅπερ ἐστὶ πατέρων ὑποκορισμός, «τοὺς δ' ἀπφάρια, τοὺς νεωτέρους». Λέγει δὲ ἀπφάρια κατὰ μέν τινας τὰ ἀδέλφια, μάλιστα δὲ τά, ὡς εἰπεῖν, πατέρια. ἀπφὺς γὰρ Δωρικῶς ὁ πατήρ, ἀφ' οὗ δηλαδή τις ἔφυ.

3.335 ] (v. 816) Τὸ δὲ «ἆ δειλοί» καὶ ἐνταῦθα οἶκτον ἐμφαίνει τῷ κλητικῷ ἐπιρρήματι ὅμοιον ὂν τῷ «ὦ δείλαιοι». (v. 820 s.) Ὅτι τὴν τοῦ Νέστορος ὁ Πάτροκλος ὑποπτεύων δεινότητα, μήποτε οὐκ ἀληθῶς ἀλλὰ πιθανῶς τὸν ὑπὲρ Ἑλλήνων ὡς κινδυνευόντων λόγον μετεχειρίσατο, ἐρωτᾷ τὸν Εὐρύπυλον «ἦ ῥ' ἔτι που σχήσουσι πελώριον Ἕκτορ' Ἀχαιοί, ἢ ἤδη φθίσονται ὑπ' αὐτοῦ δουρὶ δαμέντες». (v. 823 s.) Καὶ ἀκούει, ὡς «οὐκέτι διογενὲς Πατρόκλεις ἄλκαρ Ἀχαιῶν ἔσσεται, ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέονται», τουτέστι πρὸς αὐταῖς ἀναιρεθήσονται ταῖς ναυσίν. Ἕτεροι δὲ τοῦτο περὶ τῶν Τρώων νοοῦσι, ὡς αὐταῖς ἐμπεσοῦνται ταῖς ναυσὶν οἱ Τρῶες, ὅ ἐστι προσρήξουσι, διώκοντες τοὺς Ἕλληνας. (v. 825—7) «Οἳ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι, κεῖνται», ὡς καὶ προεδηλώθη, «βεβλημένοι οὐτάμενοί τε χερσὶν ὑπὸ Τρώων. τῶν δέ», φησί, «σθένος ὄρνυται αἰέν». ὃ δάκοι ἂν τὸν Πάτροκλον, εἴπερ ἀκούσας τοῦ Νέστορος χρῆναι τὸν ἀγαθὸν στρατηγὸν αἰὲν ἀριστεύειν, αὐτὸς μὲν οὐχ' οὕτω ποιεῖ, ἀνέχεται δὲ τῶν Τρώων ἀνδριζομένων ἀεί. (v. 821) Ὅρα δὲ τὸ «ἤδη φθίσονται». Εἰ γὰρ καὶ τὸ «ἤδη σολοικιῶ» ἀπηγόρευταί τισιν ὡς βάρβαρον, ἀλλὰ καὶ ἐνταῦθα μέλλοντι τὸ «ἤδη» συντέτακται. Οὐκ ἐκ τοῦ φθίνω δὲ τὸ φθίσονται, ὡς οὐδὲ ἡ φθίσις καὶ ὅσα τοιάδε, ἀλλ' ἐκ τοῦ φθιω. ['Ιστέον δὲ ὡς ἐνταῦθα μὲν οὕτω γράφεται διὰ διχρόνου τὸ φθίσονται, ἐν μέντοι τῷ «φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα» ἑτέρως διὰ τοῦ ἦτα ἔστιν ἡ γραφή, ὡς ἀπὸ τοῦ φθῶ φθήσω, τὸ προλαμβάνω, ἵνα ᾖ τὸ μὲν φθιῶ ἐκ τοῦ φῶ, τὸ φονεύω, καθὰ καὶ τὸ φθίνω, καὶ τὸ σφάζω, ἐξ οὗ τὸ σφαδάζω, καὶ τὰ ὅμοια, τὸ δὲ φθήσω καὶ φθάσω καὶ φθάνω καὶ ὅσα τοιαῦτα ἐκ τοῦ φῶ, τὸ λάμπω, πλεονασμῷ καὶ αὐτὰ τοῦ θῆτα.

3.336

Eulogikon public reading copy · View original HTML at eulogikon.org

] (v. 831 s.) Ὅτι Πάτροκλος μὲν πρὸς Ἀχιλλέως δεδίδακται τὴν ἰατρικήν, ὡς ὁ Ὁμηρικὸς Εὐρύπυλος λέγει, Ἀχιλλέα δὲ «Χείρων ἐδίδαξε, δικαιότατος Κενταύρων». τοῦτο δ’ οὐχ’ ὑπερθετικῶς εἴρηται, ὡς τῶν μὲν ἄλλων Κενταύρων δικαίων ἁπλῶς ὄντων, αὐτοῦ δὲ δικαιοτάτου, ἀλλὰ ἀπολύτως οὕτως ὡς ἐν ἁπλῷ σχήματι, οἷον δίκαιος ἐν Κενταύροις, ὡς καὶ Ζεὺς θεῶν ὀλοώτατος ἀντὶ τοῦ ὀλοὸς ἐν θεοῖς. Ἐπαφρόδιτος δέ, φασί, τὸ δικαιότατος Κενταύρων ἀντὶ τοῦ φιλοξενώτατος νοεῖ. δίκαια γάρ, φησίν, τὰ ξένια. [Ἐνθυμητέον δ’ ἐνταῦθα καὶ ὑστερογενῆ ἀστείαν ὑπέρθεσιν ταύτην· Φασηλῖται Παμφυλίων μοχθηρότατοι, Σιδῆται δὲ τῶν ἐν τῇ οἰκουμένῃ, ἔτι δὲ καὶ τὸ ὀλοώτατος ὀδμή, ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται.] (v. 828—32) Ἔχει δὲ ἡ τοῦ Εὐρυπύλου φράσις ἱκετευτικῶς πρὸς Πάτροκλον πεποιημένη οὕτω «ἀλλ’ ἐμὲ μὲν σὺ σάωσον», ὡς προεγράφη, «ἄγων ἐπὶ νῆα μέλαιναν, μηροῦ δ’ ἔκταμ’ ὀϊστόν, ἀπ’ αὐτοῦ δ’ αἷμα κελαινὸν νίζ’ ὕδατι λιαρῷ, ἐπὶ δ’ ἤπια φάρμακα πάσσε, ἐσθλά, τά σε προτί φασιν Ἀχιλλῆος δεδιδάχθαι», ὃν ὁ ῥηθεὶς Χείρων ἐδίδαξε. περὶ δὲ τῆς νῦν ζητηθείσης ἰατρείας μετ’ ὀλίγα εἰρήσεται. [(v. 831) Ὅρα δὲ τὸ «προτί φασιν Ἀχιλλῆος δεδιδάχθαι», οὗ ἡ ὑπέρβασις οὐ μόνον κατὰ τὸ «τὰ δὲ λείψεται ἄλγεα λυγρά», ὅ δή φησιν Ἡσίοδος, ἀλλὰ καὶ κατὰ τὸ «πρὸς ἄλλος ἄλλου ἐτύπτετο», καὶ κατὰ τὸ «τὴν αὐτὸς ἐμαυτοῦ ὁδὸν ἤνυον» καὶ «κατ’ ἄλλος ἄλλο μέρος».] (v. 834 s.) Ὅτι περί τινος δυνατοῦ μὲν ὠφελῆσαι, περιστατηθέντος δὲ δεινῶς, ῥηθήσεται τὸ «οἴομαι τὸν δεῖνα, ἕλκος ἔχοντα, χρηΐζοντα καὶ αὐτὸν ἀμύμονος ἰητῆρος κεῖσθαι». περὶ Μαχάονος δὲ ὁ ποιητικὸς Εὐρύπυλος τοῦτό φησιν. (v. 833—6) Ἔνθα καὶ τὸν Ποδαλείριον πολεμικὸν εἶναι λέγει, φράζων οὕτως «ἰητροὶ μὲν γὰρ Ποδαλείριος ἠδὲ Μαχάων, τὸν μὲν ἐνὶ κλισίῃσιν ὀΐομαι ἕλκος ἔχοντα» καὶ ἑξῆς, ὡς ἀνωτέρω ἐρρέθη, «ὃ δ’ ἐν πεδίῳ Τρώων μένει ὀξὺν Ἄρηα», ὡς οἷα μενεπτόλεμος διὰ τὸ ἐν μάχῃ σταδαῖον. Τοῦτο δὲ καινότερον πέφρασται· τὸ μέντοι ὀρθὸν καὶ κοινὸν οὕτω «τὸν μὲν οἴομαι κεῖσθαι, τὸν δὲ μάχεσθαι».

3.337 εἰπὼν δὲ ἐν τούτοις ὁ ποιητὴς τὸ «ἰητροὶ Ποδαλείριος ἠδὲ Μαχάων», τοὺς ἐξόχους εἶπεν. ἄλλως γὰρ πολλοὶ ἐν Ἀχαιοῖς ἰατροί, ὡς δηλοῖ τὸ «τοὺς μὲν ἰητροὶ πολυφάρμακοι ἀμφεπένοντο». ἦν δὲ καὶ Ἀχιλλεύς, ὡς ἐρρέθη, τοιοῦτος, ἤδη δὲ καὶ Πάτροκλος. Ἰστέον δὲ καὶ ὅτι τὸ «οἴομαι τὸν δεῖνα ἰατρὸν ἕλκος ἔχοντα κεῖσθαι χρήζοντα καὶ αὐτὸν ἰητῆρος» δοκεῖ καὶ παροιμίᾳ δοῦναι ἀρχὴν τῇ «ἄλλων ἰατρὸς αὐτὸς ἕλκη ἔχων» καὶ τοῖς τοιούτοις. παιδεύει δὲ καὶ καινὸν εἶναι δέεσθαί τινα ἐπικουρίας, ἐφ’ οἷς πρῴην ἄλλοις ἐβοήθει. (v. 836) Ὀξὺς δὲ καὶ νῦν Ἄρης ἢ ὁ ταχὺς ἢ ὁ τμητικός, ἐκ μεταφορᾶς τῶν ὀξέων βελῶν, ἢ ὁ ἐνθουσιώδης. ὀξεῖς τε γὰρ λέγονται οἱ θυμικώτεροι, καὶ ὁ Ἄρης δὲ κακὸν ὁμοίως ἐστὶ μαινόμενον. ὅρα δὲ καὶ ὡς οὐκ ἀπεδέξατο δὶς εἰπεῖν Ὅμηρος ἰητρόν, ἀλλ’ ἀντ’ αὐτοῦ ἰητῆρα ἔθηκεν. (v. 838) Ὅτι τὸ «πῶς ἂρ ἔοι τάδε ἔργα; τί ῥέξομεν;» πᾶς εἴποι ἂν ἀμφιβάλλων ἐπὶ πρακτέοις. (v. 839 s.) Ἐνταῦθα δὲ Πάτροκλος αὐτό φησι, διστάζων τίνα σωστέον, Εὐρύπυλον τὸν ἕνα ἢ τὸ πᾶν πλῆθος τῶν Ἀχαιῶν, καθὰ Νέστωρ, φησίν, ἐπέτελλεν, οὗρος Ἀχαιῶν, ὅ ἐστι φύλαξ, [ἔφορος, ὁ ἐν ἄλλοις ἐπίουρος.] Καὶ νικᾷ ὁ ἔλεος ὁ ἐπὶ τῷ Εὐρυπύλῳ. οἰκονομεῖ δὲ ὁ ποιητὴς τοῦτο διὰ πιθανότητα, ἵνα παραμείνας ὁ Πάτροκλος ἐμβραδύνῃ, ἕως τειχομαχία δεινὴ γένηται καὶ ὁ μέγας κίνδυνος ὁ πρὸ ὀφθαλμῶν ἐρεθίσῃ μᾶλλον αὐτὸν ἱκετεῦσαι τὸν Ἀχιλλέα. οὐ γὰρ οὕτω πείθει λόγος ἐν τοῖς τοιούτοις οἰκτίζεσθαι, ὡς ἡ τῶν γινομένων θέα, καθὰ καὶ προείρηται. Ἰστέον δὲ ὅτι τὸ «πῶς τ’ ἂρ ἔοι τάδε ἔργα» ἐντελῶς ἄρτι ῥηθέν, ἐν τοῖς ἑξῆς ἐλλιπῶς ἐρεῖ ἡ Ἥρα ἐν τῷ «πῶς κ’ ἔοι», ἤγουν «πῶς ἂν εἴη τάδε τινά;» Ἔστι δὲ καὶ νῦν τὸ ἔοι εὐκτικὸν δευτέρου ἀορίστου ἐκ τῆς ἐών ἐόντος μετοχῆς. [Δῆλον δ’ ὅτι τὸ «τί ῥέξομεν;» ἐπιτέμνει ταὐτολογικῶς κομματικώτερον τὸ «πῶς ἂρ ἔοι τάδε ἔργα;»] (v. 842 s.) Ὅτι τὸ «ὑπὸ στέρνοιο λαβὼν ἦγεν» ἐς κλισίην Πάτροκλος Εὐρύπυλον, ἀντὶ τοῦ ἐπὶ τῷ στήθει αὐτὸν ἀγκαλισάμενος. (v. 843—8) Ἔνθα θεράπων μὲν ὑπέχευε βοείας, Πάτροκλος δ’ ἐκτανύσας τὸν Εὐρύπυλον «ἐκ μηροῦ τάμνε μαχαίρῃ ὀξὺ βέλος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιπευκές, ἀπ’ αὐτοῦ δ’ αἷμα κελαινὸν νίζεν ὕδατι λιαρῷ, ἐπὶ δὲ ῥίζαν βάλε πικρὴν χερσὶ διατρίψας, ὀδυνήσατον», ὃ ἑρμηνεύων ἐπάγει κομματικῶς «ἥ οἱ ἁπάσας ἔσχ’ ὀδύνας».

3.338 (v. 848) Εἶτα καὶ τοῦτο σαφηνίζων ἐπιφέρει «τὸ μὲν ἕλκος ἐτέρσετο», τὴν λέξιν, ἤγουν τὸ ὀδυνήφατον, ἑρμηνεύσας κόμμασιν ἐφεξῆς δυσί, καθὰ καὶ τὸ «ἕλκος ἐτέρσετο» διεσάφησεν ἐπαγαγὼν τὸ «παύσατο δ’ αἷμα». (v. 843) Τὸ δὲ «βοείας» κοινῶς μὲν εἰπεῖν βύρσας δηλοῖ, ἄλλως δὲ ἐλλιπῶς ἔχει. λείπει γὰρ συνήθως τὸ δοράς, ἵνα εἴη τὸ πλῆρες βοείας δοράς. ἡρωϊκὴ δὲ καὶ αὕτη στρωμνὴ ἔχουσα τρυφερόν τι, τήν, ὡς εἰκός, ἐξ ἐπιμελοῦς βυρσοδεψήσεως μαλακότητα, ἧς δηλωτικὸν ὡς ἐπὶ ὑγροῦ τινος ῥηθὲν τὸ «ὑπέχευεν». ἄλλως γὰρ ἠδύνατο εἰπεῖν «ὑπέθηκεν». (v. 844) Εἰς δὲ τὸ «ἐκτανύσας» φασὶν οἱ παλαιοὶ δεῖν εἶναι βελουλκεῖν ἐν οἵῳ τις σχήματι τέτρωται. ἱστορεῖται οὖν, ὅτι ἰατρὸς βέλος ἐξέλκων, ὡς οὐχ’ ὑπήκουεν, ἐπύθετο τοῦ παθόντος, ἐν οἵῳ σχήματι συνηνέχθη τὸ τραῦμα. τοῦ δὲ εἰπόντος ἱππεύοντι αὐτῷ ἐπενεχθῆναι τὸ βέλος, ἀνακαθίσας ἐκεῖνος τὸν τραυματίαν τὸ βέλος ἐξείλκυσε. Τέμνεται δὲ μαχαίρᾳ τὸ βέλος, οἷα τῆς πληγῆς διαμπερὲς γενομένης. (v. 845) Τὸ δὲ περιπευκὲς ἐπίτασις μέν ἐστι τοῦ ἐχεπευκές, προτετίμηται δὲ νῦν τοῦ ἐχεπευκές διὰ μετρικὸν δακτυλισμόν. (v. 846) Λιαρῷ δὲ ὕδατι νίζεται τὸ τραῦμα, τουτέστιν εὐκράτῳ. τὸ μὲν γὰρ θερμόν, φασίν, εἰ καὶ πραΰνει τὰς ἀλγηδόνας, ἀλλὰ αἵματός ἐστιν ἀγωγόν, τὸ δ’ αὖ ψυχρὸν φρίκην ἐμποιεῖ. ἄριστον οὖν καὶ ἐνταῦθα τὸ μέσον. (v. 830) Ὅρα δὲ καὶ ὅτι Εὐρύπυλος μὲν ἀνωτέρω τὰ ἄλλα καὶ αὐτὸς εἰδώς, τὴν ἐκτομὴν δηλαδὴ τοῦ ὀϊστοῦ καὶ τὴν τοῦ αἵματος ἀπόνιψιν δι’ ὕδατος λιαροῦ, ὅμως ἐπεὶ μὴ τέχνην εἶχεν, ἤπια φάρμακα ἐζήτησεν ἐπιπασθῆναι. ἴδιον γάρ, φασί, τοῖς κάμνουσιν ἐπιτάττειν ἐθέλειν τοῖς ἰατροῖς, ἃ χρὴ πράττειν. (v. 846 s.) Πάτροκλος μέντοι εὖ εἰδὼς οὐ φάρμακον ἤπιον, ἀλλὰ ῥίζαν βάλλει, ὅ ἐστιν ἐπιτίθησι, πικρήν, καὶ ταύτην χερσὶ διατρίψας, οὐ μὴν λειάνας ὀργάνοις τισίν. ἔδει γάρ, φασίν, ἁδρομερὲς ἐπὶ ἐμφράξει τοῦ τραύματος εἶναι τὸ ἐπιτιθέμενον καὶ οὐ λεπτόν, ἵνα μὴ τοῦ αἵματος κελαρύζοντος καὶ ἀποτύπτοντος τὸ λεπτὸν ἀπρακτῇ τὸ φάρμακον.

3.339 Τὴν δὲ τοιαύτην ῥίζαν οἱ μὲν Ἀχίλλειαν ἐκάλεσαν, οἱ δὲ ἀριστολόχειαν, ἣν καὶ ἴσχαιμον λέγουσι. διὸ καὶ ὁ ποιητὴς ἔφη, ὡς οὐ μόνον τὰς ὀδύνας ἔσχεν, ἀλλὰ καὶ τὸ αἷμα ἔπαυσεν. Σημείωσαι δὲ καὶ ὅπως ἐπεμελοῦντο τῆς ῥιζοτομικῆς οἱ παλαιοί, καὶ ὅτι συνετοῦ ἀνδρός ἐστιν ἀεὶ πρὸ χειρῶν οἷον ἔχειν τὸ χρήσιμον. ἰδοὺ γὰρ καὶ Πάτροκλος συμπεριφέρει τὴν ῥίζαν ὡς χρησιμεύσουσαν, εἴ που ἐξαπίνης περιτύχοι τραυματίᾳ τινί, ὁποῖος αὐτῷ συνέκυρσεν ὁ Εὐρύπυλος. Τὸ δὲ «πικρήν» οἱ μὲν ἀπὸ τῆς πεύκης παράγουσιν ἀποβολῇ τοῦ ε καὶ τροπῇ τοῦ διχρόνου εἰς δίχρονον, οἱ δὲ ἀπὸ τοῦ Πίκου, ἡρωϊκοῦ παλαιοῦ ὀνόματος, ὡς ἀγλευκοῦς ὄντος, ἵνα ᾖ πικηρόν καὶ ἐν συγκοπῇ πικρόν. Τὸ δὲ «διατρίψας» πάνυ κυριολεκτεῖται, ἀλλοῖον ὂν παρὰ τὸ διατρῖψαι τοπικῶς ἢ χρονικῶς. Τὸ δὲ «ὀδυνήφατον» πρὸς ὁμοιότητα παρῆκται τοῦ προσφάτου νεκροῦ. φῶ γὰρ φάζω, τὸ φονεύω, ἐξ οὗ καὶ ὀδυνήφατον φάρμακον καὶ πρόσφατος νεκρός καὶ ἀρηΐφατος. εἶεν δὲ ἂν ὁμοιοδύναμα τὸ φᾶσθαι, ὅ ἐστι φονεῦσαι, ὀδύνην, καὶ τὸ ἀκέσασθαι ὀδύνην. διὸ καὶ ταὐτόν ἐστιν ὀδυνήφατον εἰπεῖν καὶ ἀκεσώδυνον. ΕΚ ΤΩΝ ΤΗΣ ΜΥ Ὅτι πρὸς μὲν ἡρῷον μέτρον ἐπιγραφὴ τῆς ῥαψῳδίας ταύτης αὕτη· μῦ δὲ μάχη πρὸς τεῖχος, ὃ δ’ ἔκθορε φαίδιμος Ἕκτωρ.

3.340.(t) ἄλλως δὲ διὰ μιᾶς λέξεως ἐπιγράφεται—Τειχομαχία γάρ—, οὕτω προτιτλωσάντων τῶν παλαιῶν. (v. 1—6) Ὅτι χάριν σαφηνείας, ἧς δι’ ὅλου στοχάζεται Ὅμηρος εὐκρινῶν τὰ ποιούμενα, κεῖνται καὶ ἐνταῦθα ἔννοιαι δύο, μία μὲν ἀνακεφαλαιωτικὴ καὶ συμπληρωματικὴ τῶν προσεχῶς ῥηθέντων. —Φησὶ γὰρ «ὣς ὃ μέν», ἤγουν ὁ Πάτροκλος, «ἰᾶτο Εὐρύπυλον βεβλημένον, οἳ δ’ ἐμάχοντο Ἀργεῖοι καὶ Τρῶες ὁμιλαδόν»—, ἑτέρα δὲ ἀναφωνητικὴ καὶ ὑποσχετικὴ τῶν ἐφεξῆς αὕτη· «οὐδ’ ἄρ ἔμελλε τάφρος ἔτι σχήσειν Δαναῶν καὶ τεῖχος ὕπερθεν εὐρύ, τό», [ἤγουν ὅπερ,] «ποιήσαντο νεῶν ὕπερ, ἀμφὶ δὲ τάφρον ἤλασαν», καὶ ἑξῆς. (v. 3) Ἔστι

δὲ «μάχεσθαι ὁμιλαδόν» τὸ κατὰ πλῆθος καὶ ἀναμὶξ καί, ὅ φασι, κατὰ ἴλας, οὐ μὴν μονομαχικῶς καί, ὡς ἂν ποιητὴς εἴποι, μονάξ. (v. 4) Τὸ δὲ «σχήσειν» ἀντὶ τοῦ ἐπισχεῖν ἢ ἀνέξεσθαι. (v. 4 s.) Τὸ δὲ «τεῖχος εὐρύ» προκατασκευάζει τὴν ἐν τοῖς ἑξῆς τειχομαχίαν, ὡς τοιούτου τείχους ἀγαθοῦ ὄντος τοῖς μαχησομένοις ἐπ' αὐτοῦ. μετ' ὀλίγα δὲ τὸ μέγα τεῖχος Ἀχαιῶν τὰς τρεῖς διαστάσεις δηλοῖ, τὴν μηκικήν, τὴν κατὰ εὖρος καὶ τὴν εἰς ὕψος, καθ' ἃς μέγα τὸ τεῖχος. [Τὸ δὲ ὕπερθεν, εἰ μὴ συντάσσεται μετὰ τοῦ εὐρύ, ἵνα δηλοῖ τεῖχος οὐ μόνον πλατὺ ἐν τοῖς θεμελίοις, ἀλλὰ καὶ ἕως ἄνω, διαστέλλεται πάντως πρὸς τὴν ἔνερθεν τάφρον διὰ τὸ βάθος, αὐτὸ ὕπερθεν ὂν διὰ τὸ ἀντικείμενον τῷ βάθει ὕψος. δοκεῖ δὲ καὶ τὸ ἐπαγόμενον «νεῶν ὕπερ» τοιοῦτόν τι σημαίνειν.

3.341 ] Τὸ δὲ «ποιήσαντο» ταὐτὸν τῷ ἐσκεύασαν, καὶ ἔστιν ἡ λέξις κοινὴ μέν, καιριωτάτη δέ, πολλαχοῦ κειμένη καὶ ἐνεργητικῶς καὶ παθητικῶς. Τὸ δὲ «ὕπερθε» καὶ τὸ «ὕπερ» ἔχουσί τι κάλλους ἐγγὺς παρακείμενα. Τάφρον δὲ ἐλάσαι τί ἐστι, δηλοῦται ἀλλαχοῦ. Ὅτι ἐν τῷ γράμματι τούτῳ τὴν πεδιάδα μάχην ὁ ποιητὴς ἐπὶ τειχομαχίαν μετάγει, ὡς ἂν μηδὲ τοιαύτην ἰδέαν πολέμου ἀφήσει ἀλογογράφητον, οὗ χάριν καὶ τὴν τειχοποιΐαν φθάσας ἀνέπλασεν ἐν τῷ τέλει τῆς ἦτα ῥαψῳδίας, αὐτὸς τὸ τεῖχος ἐγείρας, ὡς καὶ προερρέθη, αὐτὸς καὶ ἀφανίσας καὶ καταρρίψας, ὡς παντελῶς πλάσμα ὂν αὐτοῦ, συναφανίζων τοῖς ἐρειπίοις καὶ τὸν ἐς ὕστερον ἔλεγχον καὶ χαλῶν αὐτὸ διά τε Ποσειδῶνος καὶ Ἀπόλλωνος, ἤγουν διὰ σεισμοῦ, ὡς εἰκός, καὶ κατακλυσμοῦ, ὧν τοῦ μὲν αἴτιος ὁ σεισίχθων καὶ ἐννοσίγαιος Ποσειδῶν, τοῦ δὲ ὁ νεφεληγερέτης ἥλιος. σημειοῦνται δέ τινες χαριέντως ἐντεῦθεν, ὡς οὐ μετὰ πολὺ τῶν Τρωϊκῶν γέγονεν ὁ ποιητής. εἰ γὰρ μὴ τοῦτο, εἶπεν ἄν, φασίν, ὃ καὶ ἄλλως ἦν εἰκὸς ὑπονοεῖν, ὅτι καὶ μήκει χρόνου τὸ τεῖχος ἠφάνισται, ὡς αὐτοσχεδίως ᾠκοδομημένον, καὶ οὐκ ἂν οἷον αἰτήματι οὕτως ἐργώδει ἐχρήσατο τῷ ὅτι Ποσειδῶν καὶ Ἀπόλλων ἠφάνισαν αὐτό, ποταμῶν ὀκτὼ στόματα τρέψαντες εἰς ἓν καὶ ἀγαγόντες ἐπ' αὐτὸ ἐφ' ἡμέρας ἐννέα, καὶ τοῦ Διὸς ἅμα συνεχῶς ὕοντος καὶ Ποσειδῶνος ἀναμοχλεύοντος τὰ θεμέλια καὶ ἀμάθῳ τὸν τόπον καλύπτοντος, ὡς ἂν αἰγιαλὸς τὸ πᾶν γένηται καὶ μηδὲ ἴχνος μείνῃ τοῦ ὅλου τείχους. (v. 6) Ἐκτίθεται δὲ καὶ αἰτίαν τοῦ τοιούτου δῆθεν ἀφανισμοῦ τὸ μὴ δοῦναι τοὺς Ἀχαιοὺς θεοῖς ἑκατόμβας, ὅτε τειχίζειν κατήρξαντο, ἀλλὰ θεῶν ἀέκητι γενέσθαι, γυμνάζων τοὺς ἀκροατὰς εἰς εὐσέβειαν καὶ παραινῶν πάντα σὺν θεῷ πράττειν. Σημείωσαι δὲ ὅπως καὶ τὸ περὶ τοῦ τείχους τοῦτο εἴτε ἱστόρημα εἴτε ἁπλῶς νόημα δυσίν, ὡς καὶ πρὸ ὀλίγου ἐρρέθη, κατεμέρισε ῥαψῳδίαις, ἐν μὲν τῇ η' Ποσειδῶνος μὲν γογγύσαντος, Διὸς δὲ ἐπιτρέψαντος τὸν τοῦ τείχους ἀφανισμόν, ἐνταῦθα δὲ καὶ τοῦ τρόπου προαναφωνουμένου, καθ' ὃν ἐκ θεομηνίας ἀφανὲς ἔσται χρόνῳ ὕστερον τὸ τεῖχος ὑπὸ Ποσειδῶνός τε καὶ Ἀπόλλωνος καὶ τῆς αἰτίας δὲ σαφέστερον ἐκτιθεμένης καὶ τοῦ χρόνου δὲ δηλουμένου σαφῶς καὶ τοῦ πράγματος λαλουμένου πρὸς ἐνάργειαν.

3.342 (v. 6—9) Φησὶ γάρ, ὡς ἐπεὶ οὐ «θεοῖσι δόσαν κλειτὰς ἑκατόμβας» Δαναοί, «ὄφρα σφιν τὸ τεῖχος νῆάς τε θοὰς καὶ ληΐδα πολλὴν ἐντὸς ἔχον ῥύοιτο, θεῶν δ' ἀέκητι τέτυκτο ἀθανάτων», διὰ τοῦτο «οὔ τι πολὺν χρόνον ἔμπεδον ἦεν». (v. 10—33) Εἶτα ἐπάγει ἀσυνδέτως τὸ «ὄφρα μὲν Ἕκτωρ ζωὸς ἔην καὶ μήνι' Ἀχιλλεὺς καὶ Πριάμοιο ἄνακτος ἀπόρθητος πόλις ἔπλεν», ὅ ἐστιν ἔπελε, «τόφρα δέ», ἤγουν ἐν τοσούτῳ δή, «καὶ μέγα τεῖχος Ἀχαιῶν ἔμπεδον ἦεν», ἤτοι ἁπλῶς ἐν τῷ πέδῳ ἑστώς. «αὐτὰρ ἐπεὶ κατὰ μὲν Τρώων θάνον ὅσσοι ἄριστοι, πολλοὶ δ' Ἀργείων οἱ μὲν δάμεν, οἱ δὲ λίποντο, πέρθετο δὲ Πριάμοιο πόλις δεκάτῳ ἐνιαυτῷ, Ἀργεῖοι δ' ἐν νηυσὶ φίλην ἐς πατρίδα ἔβησαν, δὴ τότε μητιόωντο Ποσειδάων καὶ Ἀπόλλων τεῖχος ἀμαλδῦναι ποταμῶν μένος εἰσαγαγόντες, ὅσσοι ἀπ' Ἰδαίων ὀρέων ἅλαδε προρέουσι, Ῥῆσός θ' Ἑπτάπορός τε Κάρησός τε Ῥοδίος τε Γρήνικός τε καὶ Αἴσηπος δῖός τε Σκάμανδρος καὶ Σιμόεις, ὅθι», τουτέστι μεταξὺ Σκαμάνδρου καὶ Σιμόεντος, «πολλὰ βοάγρια καὶ τρυφάλειαι κάππεσον ἐν κονίησι καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡμιθέων γένος ἀνδρῶν. τῶν», ἤγουν τούτων πάντων, «ὁμόσε στόματα ἔτραπε Φοῖβος Ἀπόλλων, ἐννῆμαρ δ’ ἐς τεῖχος ἵει ῥόον, ὗε δ’ ἄρα Ζεὺς συνεχές, ὄφρα κε θᾶσσον ἁλίπλοα τείχεα θείη. αὐτὸς δ’ ἐννοσίγαιος ἔχων χείρεσσι τρίαιναν ἡγεῖτο, ἐκ δ’ ἄρα πάντα θεμείλια κύμασι πέμπε φιτρῶν καὶ λάων, τά», ἤγουν ἅπερ, «θέσαν μογέοντες Ἀχαιοί, λεῖα δ’ ἐποίησε παρ’ ἀγάρροον Ἑλλήσποντον. αὖτις δ’ ἠϊόνα μεγάλην ψαμάθοισι κάλυψεν», ἤγουν ἐσκέπασε, «τεῖχος ἀμαλδύνας ποταμοὺς δ’ ἔτρεψε νέεσθαι κὰρ ῥόον, ᾗ περ πρόσθεν ἵεν καλλίρροον ὕδωρ». (v. 34 s.) Εἶτα καθιστῶν συμπληρωτικῶς τὸ νόημά φησιν «ὣς ἂρ ἔμελλον ὄπισθεν», ἤγουν ὕστερον χρόνῳ, «Ποσειδάων καὶ Ἀπόλλων θησέμεναι. τότε δ’ ἀμφὶ μάχη» καὶ ἑξῆς. Καὶ οὕτω μὲν ὁ ποιητὴς φράζει τὸν ἐσόμενον τοῦ ψευδοτείχους ἀφανισμόν. Θαυμάσεται δὲ τὴν φράσιν καὶ τὴν ὅλην τοῦ διηγήματος διάθεσιν ὁ συνετὸς ἀκροατὴς τά τε ἄλλα καί, ὅτι ὡς ἐν εἰκόνων τύπῳ διαζωγραφεῖ ὄρη τε Τρωϊκὰ διάφορα, καὶ ποταμοὺς ἐκεῖθεν ἐκκύπτοντας ἀπὸ διαφόρων, ὡς εἰκός, πιδάκων, καὶ Ἀπόλλωνα πονούμενον εἰς ἓν αὐτοὺς στόμα συναγαγεῖν καὶ Δία βρέχοντα καὶ Ποσειδῶνα τριαινοῦχον ἡγούμενον τοῖς ποταμοῖς καὶ τὴν ὁδὸν αὐτοῖς εὐρύνοντα καὶ τὰ ἐμποδὼν ἐκριζοῦντα καὶ εἰς θάλασσαν ἐκπέμποντα, εἴτε λίθοι ἐκεῖνα εἴτε ξύλα, καὶ θάλασσαν προκειμένην, εἰς ἣν οἱ ποταμοὶ ἐξέβαλλον ἱέμενοι κατὰ ῥοῦν, εἶτ’ αὖθις ἀνάρρουν τρεπόμενοι καὶ εἰς τὰ σφέτερα ἕκαστος ἀναχαιτιζόμενοι.

3.343 Τὰ δὲ κατὰ μέρος τοῦ τοιούτου Ὁμηρικοῦ χωρίου τοιαῦτα. (v. 9) Τὸ «ἔμπεδον ἦεν» δὶς ἐνταῦθα εἶπε διὰ τὸ τῆς φράσεως καιριώτατον. (v. 10) Ἐν δὲ τῷ «ὄφρα Ἕκτωρ ζωὸς ἦν καὶ μήνιεν Ἀχιλλεύς» ὑποδηλοῖ δύο πρόσωπα εἶναι τὰ τὴν Ἰλιάδα μάλιστα συνέχοντα, τὸν Ἀχιλλέα τε καὶ τὸν Ἕκτορα. (v. 11) Τὸ δὲ «Πριάμοιο πόλις» δὶς καὶ αὐτὸ εἶπεν, ἐγκαθίζων τῇ μνήμῃ τοῦ ἀκροατοῦ τὸ τὴν πόλιν, καθὰ καὶ προείρηται, τοῦ κρατοῦντος νομίζεσθαι. Τὸ δὲ «ἔπλεν» ὁμοίως ἔπαθε τῷ «περιπλομένων ἐνιαυτῶν» καὶ τῷ «ἔπλετο». (v. 13) Τὸ δὲ «κατὰ μὲν Τρώων θάνον ὅσσοι ἄριστοι», καθάπερ καὶ τὸ «διά τε σκόλοπας καὶ τάφρον ἔβησαν», καὶ ὅσα ἄλλα τοιαῦτα προεδηλώθη, κατὰ σχῆμα προφέρονται, ὃ λέγεται Ἰακὴ διαίρεσις. ὑπερβατὸν δὲ αὐτὸ εἰπεῖν γραμματικοῖς μὲν θελητόν, τεχνικοῖς δὲ ῥήτορσιν οὐκ ἀρέσκει. (v. 14) Τὸ δὲ «οἳ μὲν δάμεν, οἳ δὲ λίποντο» σεμνύνει πως τοὺς Ἀχαιούς, εἴπερ Τρώων μὲν θάνον ὅσοι ἄριστοι, Ἀργείων δὲ οἳ μὲν δάμεν, οἳ δὲ λίποντο. ἔνθα καὶ ταὐτὸν σημαίνει τὸ θάνον καὶ τὸ δάμεν, ὅ ἐστιν ἐδαμάσθησαν. (v. 17) Τὸ δὲ «δὴ τότε» Μιλησίων ἐστὶν ἀναστροφὴ κατὰ τοὺς παλαιούς, τὸ δὲ κοινόν «τότε δή». Ἐν τούτοις δὲ σημείωσαι καί, ὅτι εὐμεθόδως ἐν μὲν τῇ πρὸ ταύτης ῥαψῳδίᾳ τινὰ παρενέθετο τῶν πρὸ τοῦ Τρωϊκοῦ πολέμου, τὴν στρατολογίαν δηλαδὴ καὶ τὰ ἐπ’ αὐτῇ, ἐνταῦθα δὲ κατὰ σχῆμα προαναφωνήσεως τὸ τέλος τοῦ πολέμου γοργῶς καὶ ὡς ἐν κεφαλαίῳ ἐκτίθεται καί τινα τῶν μετ’ αὐτό, ἤγουν ἅλωσιν Τροίας δεκάτῳ ἐνιαυτῷ καὶ νόστον Ἑλλήνων καὶ τείχους ἀφανισμόν, ποιῶν οὕτω συνήθως, ἵνα κἂν ἀπὸ τῆς Ἀχιλλέως μήνιδος τῇ Ἰλιάδι κατεβάλετο τὰς ἀρχάς, ὅμως μηδὲ τῶν παρασπιζόντων ἄκρων ὦμεν ἀνήκοοι, τουτέστι τῶν πρὸ τῆς μήνιδος καὶ τῶν μετ’ αὐτήν. (v. 18) Τὸ δὲ «ἀμαλδῦναι» δὶς ἐρρέθη καὶ αὐτὸ διὰ τὸ ὡς ἐν ποιητικῇ φράσει καίριον. δηλοῖ δὲ τὸ ἀφανίσαι καὶ προγέγραπται περὶ αὐτοῦ. Τὸ δὲ «ποταμῶν μένος εἰσαγαγόντες» ἀντὶ τοῦ εἰς ἓν ἀγαγόντες ἀριδήλως ἐπὶ ἀψύχων τὸ ἄγειν τίθησιν, εἰ μή τις βιαίως καὶ μυθικῶς νοήσει τὴν λέξιν ὡς ἐπὶ τοῦ «Λαοδίκην εἰσάγουσα», ἵνα ᾖ αὐτοὶ ἐκεῖνοι εἰσελθόντες καὶ τοὺς ποταμοὺς ἐποτρύνοντες εἰς ῥεῦμα ῥαγδαῖον, καθὰ ἐμφαίνει κατωτέρω τὸ «Ἀπόλλων ἐς τεῖχος ἵει ῥόον».

3.344 (v. 19) Ἰδαῖα δὲ ὄρη ἢ αὐτὴν τὴν Ἴδην σεμνύνων πληθυντικῶς ὠνόμασεν, ὡς καὶ μετ’ ὀλίγα «ἐς τεῖχος ἵει ῥόον» εἰπών, εἶτα εὐθὺς «ἁλίπλοα τείχεα» φησί, πληθύνων τὸ ἓν τεῖχος πρὸς μεγέθους ἔνδειξιν. ἢ τὰ τῆς Ἴδης ἄκρα οὕτω κατὰ τοὺς παλαιοὺς εἶπεν, οἷον τὸ Λεκτόν, τὴν Φαλάκραν, τὸ Γάργαρον, [τὸ Σίγειον, ἐν ᾧ καὶ πόλις ὁμώνυμος, καθὰ καὶ ἐν Γαργάροις, ὡς ἀλλαχοῦ σαφῶς δηλοῦται. ἐξ οὗ δὴ Σιγείου γέγονε σκῶμμα μνημονευόμενον τοιόνδε. Ἑταίρα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τις ἀστεία, ὡς εἰκός, βαρυνθεῖσα κατά τινος ἀδολέσχου πλατέως διηγουμένου, ὡς ἀφ’ Ἑλλησπόντου ἥκοι, ἤρετο τὸν ἀδολέσχην, πῶς ἐκεῖθεν ἥκων εἰς τὴν πρώτην οὐκ ἦλθε πόλιν τῶν ἐκεῖ. τοῦ δὲ πυθομένου «εἰς ποίαν ἐκείνην;» «εἰς Σίγειον» ἔφη, σκώπτουσα ὅτι μὴ σιγᾷ ἐκεῖνος, ὡς οἷα τοῦ Σιγείου παραλαλοῦντος σιγήν.] Τὸ δὲ «ἅλαδε προρέουσιν» ἢ ὡς ἴδιον ἁπλῶς ποταμοῦ καὶ νῦν εἴρηται διὰ τὸ ὡς ἐπὶ πολὺ τοὺς ποταμοὺς ἐκεῖ ῥέειν, ἢ πρὸς διαστολὴν τῶν βυθιζομένων καὶ οὕτως ἀφαντουμένων. δι’ ἑνὸς δὲ ῥῶ γράφεται τὸ προρέουσι κατὰ φύσιν, ἄλλως γὰρ διπλάζειν τὸ ῥῶ στοιχεῖον Ἀττικόν ἐστιν. (v. 20—2) Ἐν δὲ τῷ κατὰ τοὺς ποταμοὺς τόπῳ σημείωσαι, ὡς οὐ μόνον πολυπῖδαξ ἡ Ἴδη, ὡς πολλαχοῦ δηλοῦται, ἀλλὰ καὶ πολυπόταμος. Τὸ δὲ Ῥῆσος Ἑπτάπορός τε καὶ οἱ ἑξῆς, πρὸς τὸ προσεχὲς ἀπεδόθησαν, ἤγουν πρὸς τὸ ὅσσοι προρέουσιν. ἄλλως δὲ εἶχον καὶ κατὰ αἰτιατικὴν προενεχθῆναι, οἷον ποταμῶν μένος εἰσαγαγόντες Ῥῆσόν θ’ Ἑπτάπορόν τε καὶ τὰ ἑξῆς. Ἰστέον δὲ καὶ ὅτι ὁ μὲν Ῥῆσος, ὁ τῷ προδεδηλωμένῳ Θρᾳκικῷ ἥρωϊ ὁμώνυμος, Ῥοΐτης ἐκαλεῖτο κατά τινας. περὶ οὗ λέγεται καὶ ὅτι ὁ Ῥῆσος ποταμὸς ἀπὸ Καλῆς Πεύκης ῥέει, ἥτις Ἀδραμυτίου ἀπέχει σταδίους ἐγγύς που διακοσίους. Ὁ δὲ Ἑπτάπορος, ὁ καὶ Πολύπορος κατὰ τὸν Γεωγράφον, ἑπτάκις διαβαίνεται ἐν τοῖς περὶ καλὴν Πεύκην χωρίοις, ὥστε φερωνύμως ὠνόμασται. εἰς τοσαύτας γὰρ ἑλισσόμενος ἀξιολόγους καμπὰς πολλάκις διαπερᾶται, καθὰ καὶ ὁ Φᾶσις πλεονάκις τοῦτο πάσχει, καὶ ὁ Μαίανδρος δέ, ὡς ἐν τοῖς τοῦ Περιηγητοῦ δηλοῦται, καὶ ὁ Τάρσιος δὲ κατὰ τὸν αὐτὸν Γεωγράφον περὶ Ζέλειαν εἴκοσι διαβάσεις ἔχει τῇ αὐτῇ ὁδῷ, ὁ δὲ ἐκ Νικομηδείας εἰς Νίκαιαν κδʹ, καὶ ὁ ἐκ Τυάνων εἰς Σόλους οεʹ. λέγεται δέ τις καὶ ἐπὶ τὰ ἐπέκεινα Σινώπης ἑξηκοντάπορος εἶναι ποταμός. Τὸν δὲ Κάρησον, ὃς ἐμβάλλων εἰς τὸν Αἴσηπον ὕστερον Πίδυς ἐκλήθη, ὀξυτόνως προφέρουσιν οἱ Κυζικηνοί, ἀκολούθως δέ, φασί, τοῖς Κυζικηνοῖς γράφει καὶ ὁ Τυραννίων.

3.345 οὐ πάντως δὲ ἐπικρατεῖ ἡ τῶν ἐθνῶν χρῆσις. φέρεται γὰρ κανὼν τονικὸς τοιοῦτος· Τὰ εἰς σος ὑπὲρ δύο συλλαβὰς τῷ η παραληγόμενα ἔχοντα καὶ ἕτερον ς ὀξύνεται· Ἁλικαρνασσός, Λυκαβησσός, Ταρτησσός, Λυρνησσός. τὸ Κάρησος, μὴ δισσὸν ἔχον τὸ ς , ἐξηλλάγη κατὰ Ἀρίσταρχον, εἰ καὶ ὁ Τυραννίων οὐ βούλεται. ἀπὸ δὲ τοῦ Καρήσου ποταμοῦ καὶ χώρα τις Καρησηνὴ λέγεται, ἣν ὁ ἰδιωτισμὸς Κερασηνήν φησιν. ὁ δὲ Γεωγράφος λέγει, ὅτι Καρησηνὴ ὀρεινὴ ἀπὸ Καρήσου ποταμοῦ, ὃς νῦν, φησί, καλεῖται Ῥοΐτης, δοκεῖ δὲ ἐμβάλλειν εἰς τὸν Γράνικον. Ὁ δὲ Ῥοδίος ποταμὸς παροξυτόνως προφέρεται, ὡς ὁ Ὀδίος καὶ ὁ Δολίος καὶ ὁ Τυχίος καὶ τὰ ὅμοια τριβράχεα κύρια. ὅτε μέντοι προπαροξύνεται ἡ λέξις, ἐθνικόν ἐστι τότε τῆς νήσου Ῥόδου. Φασὶ δὲ Ἀπίων καὶ Ἡρόδωρος, ὅτι ἔοικεν ὁ Ῥοδίος ποταμὸς παρὰ τὸν ῥόον ὠνομάσθαι, πλεονάσαντος τοῦ δ , ὡς καὶ ἐν τῷ πῖδαξ, πῖαξ γὰρ παρὰ τὸ πιεῖν, καὶ ἐν τῷ πόρδαλις καὶ πάρδαλις, παρὰ τὸ προάλλεσθαι γὰρ καὶ παράλλεσθαι, καὶ ἐν ἄλλοις δὲ πολλοῖς τοῖς δηλωθεῖσιν ἀλλαχοῦ. Καλεῖται δέ, φασίν, ὁ ῥηθεὶς Ῥοδίος Δάρδανος καὶ ῥέει ἀπὸ τόπου ἀπέχοντος καλῆς Πεύκης σταδίους ἑξήκοντα. Ὁ δὲ Γρήνικος διὰ τί μὲν οὕτως ἐπὶ Ὁμήρου ἐκαλεῖτο, ἀλλαχόθεν ζητητέον. φαίνεται δὲ τὴν αὐτοῦ φερωνυμίαν ἐπὶ Ἀλεξάνδρου ἐκβᾶσαν ἐπισφραγισθῆναι. ἐν Γρανίκῳ γάρ, φασί, συμβαλὼν Ἀλέξανδρος ἐνίκησε τοὺς Δαρείου σατράπας κατὰ κράτος, καὶ ἐφάνη ὡς οἷα γραικόνικος διὰ τὴν ἐκεῖ τῶν Γραικῶν νίκην. οὓς ἡ μὲν συνήθεια, καὶ Σοφοκλῆς δέ που, κατὰ τοὺς παλαιούς, καὶ ὁ Λυκόφρων δὲ διὰ τοῦ ἐν ἀρχῇ γ προφέρουσιν ἐπὶ Ἑλλήνων, οἱ βάρβαροι δὲ Ῥαικούς φασι δίχα τοῦ γ , ὡς ἐν παλαιῷ εὕρηται ῥητορικῷ Λεξικῷ. Ῥέει δέ, φασί, Γρήνικος διὰ τοῦ τῆς Ἀδραστείας πεδίου, ὃς προπαροξύνεται κατὰ τὸ Ἑλλάνικος, Ξένικος, Ἀριστόνικος, ἤδη δὲ καὶ Καΐκος ποταμός.

3.346 ὅθεν κατὰ τὸν Τεχνικὸν ἄνεμος καικίας, ὡς ἐκεῖθεν πνέων. Αἰσήπου δὲ καὶ ἀλλαχοῦ μνεία γέγονε, Σκαμάνδρου δὲ καὶ Σιμόεντος μυριαχοῦ. Νῦν δὲ οὕτω καὶ μόνον ἐν βραχυτάτῳ ἀναμνηστέον, ὡς ὁ μὲν Σκάμανδρος καὶ Ξάνθος λέγεται, κληθεὶς Σκάμανδρος ὡς ὑπὸ Ἡρακλέος, καθὰ καὶ ἀλλαχοῦ ἐρρέθη, ἀναφανθεὶς ἐν δίψης καιρῷ καὶ κάματον ἀνδρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παραμυθησάμενος. ὃν καὶ τιμᾷ ὁ ποιητὴς δῖον εἰπών—τοὺς γὰρ ἄλλους ἐπιθέτων δίχα παρέδραμε—διὰ τὸ χρησιμώτατον γενέσθαι τοῖς Ἕλλησι. διὸ καὶ ὁ φιλόμηρος Σοφοκλῆς καὶ τὰς αὐτοῦ ῥοὰς εὔφρονας τοῖς Ἀργείοις φησίν. ὁ δὲ Σιμόεις τῶν ἄλλων, ὥς φασι, σμικρότερος. Σημείωσαι δὲ καί, ὅτι ἐνταῦθα τὸ ὕπτιον τῆς ἁπλῆς διηγήσεως ἐξαιρῶν ἠρέμα ὁ ποιητὴς δι' ἐξαλλαγῆς ἑτέρας ἱστορικῆς καὶ παρασημειωσάμενος ἐν βραχεῖ, ὡς περὶ Σκάμανδρον καὶ Σιμόεντα βαρεῖς ἐγένοντο πόλεμοι, εἶτα πάλιν γίνεται τοῦ διηγήματος. (v. 22) Βοάγρια δὲ οἱ μέν φασι λάφυρα τὰ ἐκ βοῆς, ἤγουν μάχης, ἀγειρόμενα, οἱ δὲ εἶδος ἀσπίδος φασὶ παρὰ τὸ εἰς βοὴν ἀγείρεσθαι, ἢ βόεια γέρρα, ὅ ἐστι δέρα, ἢ ἐκ βοῶν ἀγρίων γινόμενα. ἔχει δέ τινα κοινωνίαν πρὸς τὴν τοιαύτην λέξιν καὶ τὸ ἀνδράγρια, ὃ δηλοῖ τὰ ἀπὸ ἀνδρῶν ἀγρεύματα, σκῦλα, ἀσπίδας. τὰ μέντοι ζωάγρια ἕτερα τούτων εἰσίν, ὡς ἐν ἄλλοις δηλοῦται. καθυπάγεται δὲ τῇ τοιαύτῃ παραγωγῇ καὶ τὸ μοιχάγρια. (v. 23) Ὅρα δὲ καὶ ὅτι πρῶτος Ὅμηρος τοὺς ἥρωας ἡρμήνευσεν εἰπὼν «ἡμιθέων γένος ἀνδρῶν», οἷς ἐκληρώθη δι' ἀρετὴν τὸ οὕτω σεμνωνυμεῖσθαι, καθὰ καὶ ἑτέροις τὸ θεοῦσθαι, διὰ σοφίαν τυχὸν ἢ εὕρεσιν χρησίμου τινὸς ἢ ἄλλο τι ἀγαθόν, ὡς καὶ προδεδήλωται. (v. 24) Στόμα δὲ ποταμοῦ καὶ οἱ μεθ' Ὅμηρον πάντες ἐκ τούτου παραλαβόντες φασίν, ὡς καὶ αὐτὸ προεφάνη, δι' οὗ ἐκβάλλειν καὶ ἐρεύγεσθαι ποταμὸς εἰς θάλασσαν λέγεται.

3.347 ἐκ δὲ τοῦ στόματος καὶ τὸ στόμιον παρωνόμασται. Ἰστέον δὲ ὅτι τὸ «τῶν», ἤγουν τούτων, «πάντων ὁμόσε στόματ' ἔτραπεν Ἀπόλλων» προσαρμόσοι ἄν ποτε ἀστείως ἀνδράσι φαύλοις στωμυλλομένοις ἐπὶ ἀπωλείᾳ τινῶν. (v. 25) Τὸ δὲ «ἐννῆμαρ» τινὲς δι' ἑνὸς γράφουσι νῦ καὶ δασύνουσιν. ὧν καὶ ὁ Μαλλώτης ἐστίν, ἤγουν ὁ ἀπὸ Μαλλοῦ πόλεως, ὡς ἄτοπον ὄν, φησίν, Ἕλληνας μὲν τὸ τεῖχος ἡμέρᾳ μιᾷ κτίσαι, ὡς προϊστόρηται, Ἀπόλλωνα δὲ καὶ Ποσειδῶνα καὶ Δία δι' ἐννέα ἡμερῶν ἀφανίσαι αὐτό. ἀνατρέπονται δὲ ὑπὸ τῶν παλαιῶν πολλαχῶς οἱ οὕτω γράψαντες. Δῆλον δὲ ὅτι σεισμῷ, οἷα εἰκός, καὶ κατακλυσμῷ, καθὰ καὶ πρὸ βραχέων ἐρρέθη, τὸ Ἑλληνικὸν τεῖχος ὑπονοεῖται ἀφανισθῆναι ὕστερόν ποτε. ὧν τοῦ μὲν σείειν δῆλον ὡς ὁ ἐνοσίχθων αἴτιος, παρ' ἣν αἰτίαν καὶ ὁ σεισμὸς γακίνας προσερρέθη, τοῦ δὲ κατακλύζειν ὁ Ζεύς, ὡς εἴρηται, ἥλιος, ὕων ἄνωθεν καὶ οὐχ' ἁπλῶς ἀλλὰ συνεχὲς διὰ τοῦ ἀέρος Διὸς καὶ τῇ πλημύρᾳ τρέπων ὁμόσε τὰ τῶν ποταμῶν στόματα. (v. 24) Ἐν οἷς σημειωτέον τὸ «ὁμόσε ἔτραπεν», ἐξ οὗ λαβόντες οἱ μεθ' Ὅμηρον ὁμόσε χωρεῖν φασί τινας, ἤγουν συμβάλλειν κατὰ μάχην ἢ ἁπλῶς ἔριν τινά. [Ψυχρὸς δέ τις ῥήτωρ ἢ καὶ ἄλλως παιγνήμων οὐκ ἂν ὀκνήσοι τοὺς οὕτως ὁμόσε τραπέντας ποταμοὺς ὁμοτρόπους εἰπεῖν πρὸς ἀναλογίαν τοῦ ἄτροπος καὶ τῶν ὁμοίων.] (v. 25) Ἔστι δ' ἐν τῷ ἐννῆμαρ σημειώσασθαι καὶ τὴν συνήθη Ὁμήρῳ φιλίαν πρὸς τὸν ἐννέα ἀριθμόν. [Τὸ δὲ «ἵει ῥόον» συντίθησι τὸν ἀλλαχοῦ ἱερὸν ἰχθῦν, ὃς ἵεται κατὰ ῥοῦν, ὥς τινές φασι.] Τοῦ δὲ ὕειν πρωτότυπον δοκεῖ τὸ ὦ, ἤτοι πέμπω, ἐξ οὗ παράγωγον ὕω ὁμοίως τῷ χῶ χύω, θῶ θύω, καὶ τοῖς τοιούτοις. Ἐντελῶς δὲ πέφρασται τὸ «ὗε δ' ἄρα Ζεύς», πολλοῖς γὰρ ἀρκεῖ μόνον λέγειν τὸ ὕει, βρέχει, ἀστράπτει, τοῦ Διὸς διὰ τὸ ἀρίδηλον σιγωμένου.

3.348 [Ἐκ δὲ τοῦ εἰρημένου ὕειν λέγεται καὶ τὸ μεθύειν τετράφθαι, ἵνα ᾖ μεθύειν τὸ μετὰ τροφὴν ὕεσθαι, ὅπερ ἕτερός τις τέγγεσθαι εἶπεν ἐν τῷ «τέγγε πνεύμονας οἴνῳ». ἔχει δὲ τὸ εὔλογον ἡ ῥηθεῖσα τροπὴ καὶ ἐκ τοῦ βρέχειν, ὃ καὶ αὐτὸ ἐπὶ τοῦ πίνειν εὕρηται ῥηθέν, Ἀντιφάνης «δεῖ γὰρ φαγόντας δαψιλῶς βρέχειν», Εὔβουλος «βεβρεγμένος ἥκω καὶ κεκωθωνισμένος.» ὃ καὶ ἑρμηνεύων ἐπάγει «πέπωκας οὗτος». καὶ μὴν τινες μεθύειν εἶπον τὸ μετὰ τὸ θύειν οἴνῳ χρᾶσθαι, ὡς εἰκὸς ὂν ἐν ἑορταστικῇ ἀδείᾳ οὕτω ποιεῖν] (v. 26) Τὸ δὲ «ἁλίπλοα» προπαροξύνεται ὡς ἀπὸ τοῦ πλέω, καθὰ καὶ τὸ ἄπλοος καὶ τὰ ὅμοια πρὸς ἀποφυγὴν τοῦ διπλόος τριπλόος καὶ τῶν ὁμοίων παροξυτόνων, ἃ δηλοῖ ποσότητα μὴ ἀπὸ τοῦ πλέειν ὄντα. Σημείωσαι δὲ ὡς οὐ μόνον πολὺ τὸ ἐννῆμαρ πρὸς τὸ ἁλίπλοα γενέσθαι τὰ τείχη, ἀλλὰ καὶ μᾶλλον ταχύ. διὸ καὶ Ὅμηρος ἐπεσημήνατο ἐννῆμαρ ἵεσθαι τὸν ῥοῦν, ὄφρα θᾶσσον ἁλίπλοα τὰ τείχη γένοιτο. (v. 27) Τρίαιναν δὲ ὁ μῦθος οἰκειοῖ τῷ ἐννοσιγαίῳ Ποσειδῶνι, ἢ διότι τρίτον τῇ θέσει τὸ ὕδωρ μετὰ

αἰθέρα, διὸ καὶ Ἀμφιτρίτην αὐτῷ συζεύγνυσι, καὶ υἱὸν Τρίτωνα δίδωσιν, ἢ διότι τριττὴ ἡ φύσις τῶν ὑδάτων, τὰ ἁλμυρά, τὰ γλυκέα, καὶ τὰ μικτά, ἢ διότι σεισμῶν εἴδη τρία, ὧν καὶ οἱ χασματίαι καὶ οἱ βρασματίαι. Δῆλον δέ, ὡς ἐξαίρετός τις ἡ ῥηθεῖσα τοῦ μύθου τρίαινα καὶ οὐ κατὰ τὴν κοινήν, ἣν ἰχθύκεντρον ἑρμηνεύουσιν οἱ παλαιοί. Τὸ δὲ «ἔχων χείρεσσι» πρὸς διαστολὴν ἐγράφη τοῦ κτηματικῶς ἄλλως ἔχειν κατά τι κειμήλιον. (v. 28) Τὸ δὲ «ἐξέπεμπε θεμέλια κύμασιν» ἀστείως εἴρηται ὡς ἐπί τινος ἀποστολῆς ἢ πομπῆς πανηγυρικῆς. (v. 29) Ἔχει δέ τι γλυκύτητος καὶ τὸ ἐπαγόμενον τὸ «ἃ θέσαν μογέοντες Ἀχαιοί», ἵνα λέγῃ ὅτι ἐφ' οἷς ἐπόνησαν Ἀχαιοί, ὁ Ποσειδῶν ἀναμοχλεύων ἔχαιρεν. παραλαλεῖ δὲ καί τινα ἐτυμολογίαν ἐν τῷ θέσαν, παρὰ τὸ θέσθαι γὰρ τὸ θεμέλιον. (v. 29) Τὸ δὲ «φιτρῶν καὶ λάων» Ἀμαθουσίων γλώσσης ἐστίν, ὥς φασιν οἱ παλαιοί.

3.349 Κύπριοι δὲ οἱ Ἀμαθούσιοι. γίνεται δὲ ὁ μὲν φιτρός, ὅ ἐστιν ὁ κορμός, παρὰ τὸ φυτόν. οἱονεὶ γὰρ φυτηρός καὶ τροπῇ καὶ συγκοπῇ φιτρός. ἐκ φυτῶν γὰρ οἱ κορμοί. ἢ παρὰ τὸ φῖτυ, ὡς καὶ ἀλλαχοῦ φανεῖται. [Δοκεῖ δὲ ποιητικὴ μὲν λέξις εἶναι ὁ φιτρός, κοινοτέρα δὲ ὁ κορμός, ὡς δῆλον καὶ ἐκ τοῦ «ὧν οἱ μὲν ἔφερον ὀδόντας, ἐλεφάντων δηλαδή, ἑξακοσίους, ἕτεροι δὲ ἐβένου κορμοὺς διακοσίους». δῆλον δ' ὅτι δένδρον ἄξιον λόγου καὶ ὁ ἔβενος, εἰ καὶ ὕστερον οἱ μὴ εὐποροῦντες ἐκαπήλευσαν τὰ ἐς ἐβένου σκεύη, πλασάμενοι τὸ μὴ ὄν.] Οἱ δὲ λᾶες παρὰ τὸ λάας λάαος λᾶος. [Οὗ γενικὴ πληθυντικὴ ἐντελὴς λαάων καὶ κεκραμένη λάων. οὕτω καὶ κράατος, οὗ δοτικὴ κράατι ὡς τὸ «σῷ κράατι τίσεις», ἤγουν τῇ σῇ κεφαλῇ ἀποδώσεις, καὶ ἀκολούθως γενικὴ πληθυντικὴ ἁπλῆ κραάτων, καὶ κατὰ κρᾶσιν κράτων.] Οἰκοδομικῆς δὲ ἀκριβείας τὸ τοῖς οἰκοδομήμασι καὶ μάλιστα τοῖς τοιούτοις κορμοὺς συναναμίγνυσθαι διὰ πλείω ἐξόρθωσιν καὶ συνδετικὴν ἀσφάλειαν. (v. 30) Τὸ δὲ «λεῖα ἐποίησε» πιθανότης ἐστὶ τοῦ μηδὲν εὑρίσκεσθαι ὅλως ἄρτι λείψανον τοῦ τοσούτου Ἑλληνικοῦ τείχους. Ὡς δὲ ἀγάρροος ὁ Ἑλλήσποντος, καὶ μάλιστα ἐν τοῖς στενοῖς, καὶ ὡς τὰ τοῦ ναυστάθμου περί τι μέρος αὐτοῦ ἦσαν, ὃ καὶ πλατὺς Ἑλλήσποντος ἐλέγετο συνάπτων τῷ Αἰγαίῳ, πολλαχοῦ δεδήλωται. (v. 32) Τὸ δὲ «ἀμαλδύνας» ὅμοιόν φασιν ὡς εἰ καὶ ὁμαλύνας ἔφη, τοιοῦτον γὰρ τὸ λεῖα ἐποίησε. (v. 33) Τὸ δὲ κατὰ ῥοῦν τραπῆναι τοὺς ποταμοὺς ταὐτόν ἐστι τῷ ἔνθα πρώην ῥέοντες ἐπορεύοντο. ὅθεν καὶ παροιμία εἴληπται τὸ κατὰ ῥοῦν τὰ πράγματα φέρεσθαι, ὅ ἐστι μὴ ἀνακόπτεσθαι ὡς παρεκνεύειν ὧδε κἀκεῖ, ἀλλ' εὐροεῖν τινι τὰ τῆς τύχης. οὗ τὸ ἔμπαλιν ἀνάρρουν χωρεῖν ἐστιν. Ἐν δὲ τῷ «ὅπου ἵεν καλλίρροον ὕδωρ» τὸ μὲν ὕδωρ ἐκτείνει τὸ υ , τὸ δὲ «ἵεν» ἢ ψιλοῦται κείμενον ἀντὶ τοῦ ἐπορεύετο ὕδωρ, ἐκ τοῦ ἴον, οὗ καὶ μετοχὴ τὸ ἰών, ἢ δασυνόμενον ἀντὶ τοῦ ἔπεμπον οἱ ποταμοὶ νοεῖται.

3.350 γένεσις δὲ αὐτοῦ ἀπὸ τοῦ ἱείς ἱέντος ἀποβολῇ τῆς τος , ὡς τὸ βληθέντος ἔβληθεν καὶ τὰ ὅμοια. περὶ ὧν σαφῶς προείρηται πολλῶν ὄντων. Ἰστέον δὲ ὅτι τὰ ῥηθέντα ἐπεμβαλὼν Ὅμηρος εἰς χρῆμά τι δαιδάλεον ἐν τῷ εἰς τὸν μέλλοντα χρόνον καταβῆναι, εἶτα τῶν προκειμένων γενέσθαι μέλλων, ἐπάγει καταστατικῶς τὸ «ὥς ἄρ ἔμελλον ὄπισθε Ποσειδάων καὶ Ἀπόλλων θησέμεναι· τότε δ' ἀμφὶ μάχη ἐνοπή τε δεδήει τεῖχος ἐΰδμητον, κανάχιζε δὲ δούρατα πύργων βαλλόμενα», ὅπερ ἀμφιβολίας ἐστὶ σχῆμα. δηλοῖ γὰρ ὡς ἢ κανάχιζε τὰ πολεμικὰ δόρατα κατὰ πύργων βαλλόμενα, ἢ ὅτι τὰ ἐν τοῖς πύργοις ξύλα ἐκανάχιζεν ἐν τῷ βάλλεσθαι. ὅτι δὲ καὶ ἐκ τοιούτων, ὡς εἰκός, τὸ τεῖχος συνεκροτήθη, δηλοῦται ἐν τῷ φιτρῶν καὶ λάων, ὃ προσεχῶς εἴρηται. (v. 35) Τὸ δὲ «μάχη δεδήει περὶ τεῖχος», ὅ ἐστιν ἀνήπτετο, σημειωτέον ὡς χρήσιμον εἴς τε τὸ δηΐς καὶ εἰς τὸ καυστειρὰ μάχη καὶ εἰς τὸ πυρὶ ἐν τοῖς ἑξῆς που τὸ Ἀχαιϊκὸν τεῖχος περιλάμπεσθαι. Ἰστέον δὲ ὡς, εἰ καὶ δύναται κατὰ δοτικὴν πτῶσιν ῥηθῆναι, ὅτι δεδήει τὸ τεῖχος τῇ μάχῃ καὶ τῇ ἐνοπῇ, ἀλλ' οὐκ ἀρέσκει ὅλως τοῦτο τοῖς παλαιοῖς. ταὐτὸν δὲ καὶ νῦν μάχη καὶ ἐνοπή. (v. 37 s.) Ὅτι ἐν τῷ «Ἀργεῖοι δὲ Διὸς μάστιγι δαμέντες νηυσὶν ἔπι γλαφυρῇσιν ἐεργμένοι», ἢ ἐελμένοι, «ἰσχανόωντο» τὴν θεομηνίαν Διὸς λέγει μάστιγα ὁ ποιητής, θαυμάζων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ παράδοξον, ἐὰν οἱ πολιορκοῦντες Ἕλληνες ὑπὸ τῶν πολιορκουμένων Τρώων εἴργωνται ἄρτι, «Ἕκτορα δειδιότες, κρατερὸν μήστωρα φόβοιο», καὶ οἱ τὴν Ἑλένην ἀπαιτοῦντες καὶ ποινὴν προσαπαιτοῦντες ὑπὲρ αὐτῆς περὶ αὐτὴν ζωὴν κινδυνεύουσι. Μήποτε δὲ ὁ τοῦ Ὁμήρου ζηλωτὴς Σοφοκλῆς ἐντεῦθεν τὸν παρ' αὐτῷ Αἴαντα ὡς θεομηνίᾳ περιπεσόντα μαστιγοφόρον ἐπέγραψε. Τὸ δὲ «ἐεργμένοι ἰσχανόωντο» οὐ μόνον καθείρξει ἐοικέναι δηλοῖ τὸ ἀλήμεναι καὶ ἔλσαι, ὡς προδεδήλωται, τοὺς Ἀχαιοὺς περὶ νῆας, ἀλλὰ καὶ συνοχῇ τινι καὶ ἐποχῇ, ὧν τὸ μὲν διὰ τοῦ ἐερμένοι ἢ ἐελμένοι, τὸ δὲ διὰ τοῦ ἰσχανόωντο ἐμφαίνεται.

3.351 (v. 39) Τὸ δὲ «μήστωρα φόβοιο», ὃ πολλαχοῦ κεῖται, ταὐτόν ἐστι τῷ τεχνίτην φυγῆς. (v. 40) Ὅτι ὁ Ἕκτωρ «ὡς τὸ πρόσθεν ἐμάρνατο ἶσος ἀέλλῃ». Καὶ ὅρα τὸ «πρόσθεν». ἀναφέρει γὰρ ἐκεῖ, ἔνθα πρὸ τούτων ὑπεραέϊ αὐτὸν εἴκασεν ἀέλλῃ. Νέστωρ δὲ πρὸ μικροῦ καὶ αὐτὸς κελαινῇ ποτε λαίλαπι ἶσος ἐποροῦσαι εἶπε τοῖς Ἠλείοις. καὶ αὕτη μὲν σύντομος παραβολὴ διὰ τὰ κατεπείγοντα. (v. 41—50) Εὐθὺς δὲ χάριν πανηγυρικῆς σεμνότητος πλατεῖαν ἑτέραν συγκολλᾷ, ἣν καὶ κοσμεῖ ἐξ ἀρχῆς τρισὶ παρίσοις, καί φησιν «ὡς δ' ὅταν ἔν τε κύνεσσι καὶ ἀνδράσι θηρευτῇσι κάπριος ἠὲ λέων στρέφεται σθένεϊ βλεμεαίνων, οἵ δέ τε πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες ἀντίοι», ἢ ἀντίον, «ἵστανται καὶ ἀκοντίζουσι θαμειὰς αἰχμὰς ἐκ χειρῶν, τοῦ δ' οὔ ποτε κυδάλιμον κῆρ ταρβεῖ οὐδὲ φοβεῖται», ὁ θὴρ δηλαδή, οὐ μὴν τὸ κῆρ αὐτοῦ, «ἀγηνορίη δέ μιν ἔκτα, ταρφέα τε στρέφεται στίχας ἀνδρῶν πειρητίζων, ὅππῃ τ' ἰθύσει, τῇ τ' εἴκουσιν», ἤγουν ἐνταῦθα ὑποχωροῦσι, «στίχες ἀνδρῶν, ὣς Ἕκτωρ ἀν' ὅμιλον ἰὼν ἐλίσσεθ' ἑταίρους τάφρον ἐποτρύνων διαβαίνειν». Καὶ ὅρα ὡς ἐν τῇ παραβολῇ συχνοῖς κόμμασι τὸ ἐναγώνιον τῆς θήρας μιμητικῶς ἐνέφηνε, καὶ ὅτι τὸν κάπρον ἢ τὸν λέοντα ὑπὸ ἀγηνορίας πεσεῖν οὐδὲν εἰς τὴν παραβολὴν συντελεῖ. οὐ γὰρ ὁμοίως καὶ ὁ Ἕκτωρ νῦν ἀναιρεῖται ὡς ἀγήνωρ, ἀλλὰ κατὰ τοὺς παλαιοὺς ἄλλως οὕτω ποιητικὸς αὐτὸ κόσμος λαβὼν ἔχει. τοιοῦτόν τι καὶ ἐπὶ τοῦ Ὀδυσσέως πρὸ ὀλίγων ἐποίησεν, ἔνθα τοὺς μὲν Τρῶας θῶας εἶπε, τὸν δὲ τῷ Ὀδυσσεῖ ἐπικουροῦντα Αἴαντα εἴκασε λέοντι, τὸν δὲ Ὀδυσσέα ἐλάφῳ, ὃν θώων φυγόντων δάπτει ὁ λέων. καὶ ἐκεῖ γὰρ μάτην τὸ «ὁ δὲ λέων δάπτει» παρέρριπται διὰ μόνον τὸ πλῆρες τοῦ λόγου καὶ τὸ τῆς ἱστορίας ἐντελές, εἰ καὶ τῇ παραβολῇ ἐστιν ἀσυντελές. μυρίαι δὲ καὶ ἄλλαι τοιαῦται παραβολαί. τὸ γὰρ ὅλον εἰπεῖν, σπάνιαι τῶν παραβολῶν ὅλαι δι' ὅλου προσαρμόζουσι τῷ πράγματι. (v. 42) Κάπριος δὲ καὶ νῦν παράγωγόν ἐστι τοῦ κάπρος, ὡς ὁ Αἰτώλιος τοῦ Αἰτωλός. Βλεμεαίνειν δὲ καὶ ὧδε τὸ γαυριᾶν περιβλεπόμενον καὶ ἐπαίρεσθαι ἢ ἐπιρρώνυσθαι καὶ οἷον βρέμειν, ἢ τὸ ὀργίζεσθαι κατά τινας, ὅθεν ἀβλεμής, φασίν, ὁ ἀόργητος, καθ' ἑτέρους δὲ εἰπεῖν, ἄνορμος, οὐ πεποιθώς, ἄτολμος, ἀσθενής, οἷς ἅπασιν ἐναντίος ὁ βλεμεαίνων.

3.352 (v. 43) Τὸ δὲ «πυργηδὸν ἀρτύναντες» ἀντὶ τοῦ δίκην πύργου συντάξαντες ἢ ἀρηρότες κατὰ πύργον, ὃ δήπου φησὶν ὁ ποιητής. δῆλον γὰρ ὡς ὅθεν τὸ ἀρηρότες, ἐκεῖθεν γίνεται καὶ τὸ ἀρτύναντες, ἀπὸ τοῦ ἀρῶ γάρ. Πύργος δὲ νῦν ἐρρέθη διάταξις στρατιωτικὴ τετραγωνοειδὴς κατὰ πλινθίον συντεταγμένη, πύκνωμα πολὺ ἔχουσα ἐν τῷ τοὺς μὲν προστάτας εἶναι, τοὺς δὲ κατὰ νώτου αὐτοῖς τετάχθαι, τοὺς δὲ καὶ τριστάτας ἵστασθαι καὶ εἰσέτι τυχὸν ἐπὶ πλέον. ῥηθήσεται δὲ περὶ τούτου καὶ ἐν τοῖς ἑξῆς. Τὸ δὲ «σφέας αὐτούς» ἀντὶ συνθέτου ἀντωνυμίας εἴρηται τοῦ ἑαυτούς. ἐρεῖ δὲ καὶ μετ' ὀλίγα ἀμυνόμενοι σφῶν αὐτῶν ἀντὶ τοῦ ὑπὲρ ἑαυτῶν. σύνθετον γὰρ ἀντωνυμίαν οὐκ οἶδεν ὁ ποιητής, ὡς καὶ προδεδήλωται. (v. 45) Τὸ δὲ «ἐκ χειρῶν» παρελκόντως κεῖται, οὐ γὰρ ἔστιν ἄλλως ἢ διὰ χειρῶν ἀκοντίζειν. Ὅρα δὲ καὶ ὅτι κυδάλιμον κῆρ [σεμνῶς] ἐπὶ θηρὸς εἶπε, καὶ ὅτι φανερὰ διαφορὰ παρὰ τῷ ποιητῇ τάρβους καὶ φόβου. ταρβεῖ μὲν γὰρ ὁ ἁπλῶς κατὰ ψυχὴν δειλιῶν, φοβεῖται δὲ ὁ καὶ φεύγων. (v. 46) Καὶ ὅτι θράσους ἐνδεικτικόν, ὥσπερ ἀλλαχοῦ τὸ «ἑή τέ μιν ὤλεσεν ἀλκή», οὕτω καὶ ἐνταῦθα τὸ «ἀγηνορίη δέ μιν ἔκτα» ὅπερ ἐπὶ Ἕκτορος ἄλλως φράζει «φθίσει σε τὸ σὸν μένος». Μεμφόμενος δὲ τὰς ὑπερβολάς φησι ταῦθ' ὁ ποιητής. μέτρῳ γὰρ πανταχοῦ χρηστέον τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλεονεκτήμασι διὰ τὸ μηδὲν ἄγαν. Ἐκ δὲ τοῦ ἰθύω ἰθύσω, τὸ ὁρμῶ, καὶ τὸ ἰθύ γίνεται καὶ τὸ ἰθύς μετὰ τοῦ ς ἐπίρρημα καὶ τὰ τοιαῦτα. (v. 49) Τὸ δὲ «ἐλίσσετο» ἀμφεβλήθη. τινὲς μὲν γὰρ ἐδάσυναν, νοοῦντες αὐτὸ ἀντὶ τοῦ εἱλίσσετο, ἐστρέφετο, τινὲς δὲ ἐψίλωσαν ὡς ἐπὶ παρακλήσεως. (v. 50—4) Ὅτι γραφικῶς ὁ ποιητής, τουτέστιν ὡς ἔν τινι ζωγραφίᾳ ἐπὶ τῆς τάφρου τοὺς τοῦ Ἕκτορος ἵππους ἱστᾷ, καὶ λέγει ὡς Ἕκτωρ μὲν ἤθελε διαβαίνειν, «οὐδέ οἱ ἵπποι τόλμων ὠκύποδες, μάλα δὲ χρεμέτιζον ἐπ’ ἄκρῳ χείλεϊ», ἢ δισυλλάβως «χείλει, ἑσταότες», καὶ ἄλλως δὲ «χείλει ἐφεσταότες».

3.353 «ἀπὸ γὰρ δειδίσσετο τάφρος εὐρεῖα, οὔτ’ ἂρ ὑπερθορέειν σχεδὸν οὔτε περῆσαι ῥηΐδίη» οὖσα, τὸ μὲν πρῶτον ὡς εὐρεῖα, τὸ δὲ δεύτερον ὡς βαθεῖα, καὶ διὰ τοῦτο οὐκ εὐπέρατος, ὅ ἐστιν οὐκ εὐδιάβατος. κατὰ γὰρ τοὺς παλαιοὺς εἰπεῖν, πηδᾶν μὲν τὸ τῆς τάφρου εὖρος κωλύει, διαβῆναι δὲ εἴργει τὸ πλάτος. (v. 51) Ὅρα δὲ τὸ «ἐτόλμων» αὐτὸ καθ’ αὑτὸ κείμενον δίχα ῥήματος ἀπαρεμφάτου. δῆλον δὲ ὡς ἐξ αὐτοῦ τολμήεις καὶ τολμηρός, ὁ θαρσαλέος. (v. 53 s.) Τὸ δὲ «οὐ περάσαι ῥηΐδίη» προϊὼν καταφατικῶς φράζει λέγων «μάλ’ ἀργαλέη περάαν», ὃ καὶ ἐπὶ θαλάσσης ποτὲ λεχθήσεται. (v. 54 s.) Τῆς δὲ τοιαύτης ἀργαλεότητος τὸ αἴτιον λέγων φησὶ «κρημνοὶ γὰρ ἐπηρεφέες περὶ πᾶσαν ἕστασαν ἀμφοτέρωθεν», τουτέστιν ὀφρύες τινὲς ἐπὶ τὰ ἔσω κοιλαινόμεναι, ὡς οἷον ἠρέμα σπηλαιοειδεῖς ἢ ὀροφωταί. τοιοῦτον γάρ τι δηλοῖ τὸ ἐπηρεφέες, ὡς ἂν μὴ ἔχοι τις δι’ αὐτῶν καταβαίνειν ἢ ἀναβαίνειν. (v. 55—9) «Ὕπερθε δέ», φησί, «σκολόπεσσιν ὀξέσιν ἀρήρει, τούς», ἤγουν οὕς, «ἕστασαν υἷες Ἀχαιῶν πυκνούς», ὥστε μὴ μεσάζεσθαι, καὶ μεγάλους ὥστε μὴ ὑπερβαίνεσθαι. ὧν ἀμφοτέρων συλληπτικὸν τὸ «δηΐων ἀνδρῶν ἀλεωρήν. ἔνθ’ οὔ κεν», ἤγουν ἔνθα οὐκ ἄν, «ῥέα ἵππος ἐΰξοον», ἢ ἐΰτροχον, «ἅρμα τιταίνων ἐσβαίη· πεζοὶ δὲ μενοίνεον εἰ τελέουσι». (v. 59) Καὶ ὅρα τὸ τελέουσιν, ἐξ οὗ τέλη τὰ τάγματα, ὡς τῶν ἐν μάχῃ ἔργων ἐπιτελεστικά. [Τέλος γὰρ δηλαδὴ καὶ ἡ τοιαύτη τάξις, ὡς ἐν ἄλλοις δηλοῦται. ὅτι δὲ τέλος καὶ ὁ φόρος, δηλοῖ σὺν ἄλλοις καὶ Ἀθήναιος, παρ’ ᾧ καί τις τόπος ἀτελὴς εἶναι ἱστορεῖται. Δῆλον δ’ ὅτι τέλος καὶ ἡ θυσία. Εὐριπίδης «θεοῖσι μικρὰ θύοντας τέλη».

3.354 ὅθεν καὶ αἱ τελεταὶ θυσίας ἔχουσαι καὶ μυστικάς τινας παραδόσεις. ἔτι δὲ τέλος καὶ ἡ δαπάνη, ὅθεν καὶ τελεῖν τὸ δαπανᾶν, καὶ πολυτελεῖς οἱ πολλὰ ἀναλίσκοντες, καὶ εὐτελεῖς οἱ ὀλίγα. εἰκὸς δὲ καὶ τοὺς κοινῶς καλουμένους εὐτελεῖς οὕτω λέγεσθαι ὡς μικρᾶς ἂν δαπάνης ἐσομένης ἐπ’ αὐτοῖς, εἴ τις αὐτοὺς λόγου πρίαιτό τινος κατὰ τὸν εἰπόντα.] Καὶ οὕτω μὲν ἐνταῦθα πλατὺ ἐξέφρασε, μετ’ ὀλίγα δὲ συντομώτατα φράζων φησίν «ἣ δὲ μάλ’ ἀργαλέη περάαν. σκολόπες γὰρ ἐν αὐτῇ ὀξέες ἑστᾶσιν». (v. 55) Εἰσὶ δὲ σκόλοπες, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ὀρθὰ ξύλα καὶ ὀξέα, ἃ καὶ σταυροὺς ἐκάλουν, ἐξ οὗ κατὰ παραφθορὰν λέξεως τὰ σταύαρα, ἐφ’ οὓς οἱ κρεμασθέντες ἀνεσταυρῶσθαι καὶ ἀνεσκολοπίσθαι ἐλέγοντο. [Ἡ δὲ περίφρασις ἀναπηγνύειν ἐπὶ ξύλου τὰ τοιαῦτα λέγει. Ἄλεξις «ἀναπήξαιμι ἂν αὐτὸ ἐπὶ τοῦ ξύλου λαβών».] (v. 51) Ἰστέον δὲ καὶ ὅτι τὸ τοὺς ἵππους μὴ ἁπλῶς ἀλλὰ καὶ μάλα χρεμετίζειν καὶ τὸ ἐπ’ ἄκρῳ χείλει ἑστάναι τὴν ἄγαν προθυμίαν ἐκείνων δηλοῖ ὡς ἐντετριμμένων πολέμοις καὶ συνήθως ὀργώντων εἰς μάχην καὶ αὐτῶν κατὰ τὸν Ἕκτορα. (v. 52) Τὸ δὲ «ἀπὸ γὰρ δειδίσσετο» ἐφερμηνευτικόν ἐστι τοῦ οὐκ ἐτόλμων. (v. 53) Περῆσαι δὲ τὸ ἐφεξῆς βηματίσαι δίχα πηδήματος, οὗ ἀνάπαλιν ἔχει τὸ ὑπερθορεῖν. (v. 54) Ὅρα δὲ καὶ ὅτι κρημνοὺς ἔφη τάφρου ὡς ἐκ μεταφορᾶς τῶν ἐν ὄρεσι. (v. 59) Τὸ δὲ «εἰ τελέουσιν» οἱ μεθ’ Ὅμηρον εἴ πως τελέσουσί φασι. ταὐτίζεται δὲ ἐν ἀμφοῖν ὁ ει σύνδεσμος πρὸς τὸ ὅπως αἰτιολογικὸν κατὰ μετάληψιν συνδέσμου εἰς σύνδεσμον. Ὅτι τὴν ἄγαν ὁρμὴν ἄρτι τοῦ Ἕκτορος εἰς θρασύτητα χαρακτηρίζων ὁ ποιητής, ἣν οὐκ ἂν φιλοίη ἀνὴρ συνετός, πλάττει τὸν Πολυδάμαντα μεμφόμενον καὶ λαλοῦντα τῷ Ἕκτορι, ἃ δὴ οὐδ’ ἐκεῖνος ἐξαθερίσει. (v. 60—3) Φησὶ γάρ «δὴ τότε Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς· Ἕκτορ καὶ ἄλλοι Τρῶές τε καὶ ἐπίκουροι, ἀφραδέως», ὅ ἐστιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνοήτως, ἀβούλως, «διὰ τάφρον ἐλαύνομεν ὠκέας ἵππους», ἢ κατά τινας, οὐ μέντοι καλῶς, «ἐλαύνετε μώνυχας ἵππους», «ἣ δὲ μάλ' ἀργαλέη περάαν» καὶ ἑξῆς, [ὡς προείρηται.] Τεχνικῶς δὲ κοινοποιεῖται τὸν λόγον ὁ ῥήτωρ Πολυδάμας ἐν τῷ «ἀφραδέως ἐλαύνομεν», ἐμπεριλαβὼν καὶ ἑαυτόν, ἵνα μὴ ἐλαύνετε εἰπὼν καὶ τὸν Ἕκτορα ὑβρίζειν δόξας ἐκτραχύνῃ καθ' ἑαυτοῦ, ὃν ἐνταῦθα ὁ ποιητὴς ἔφη θρασύν.

3.355 (v. 60) Τὸ δὲ «Ἕκτορα ἔειπε παραστάς» ἀντὶ τοῦ προσεῖπεν. ἄλλως γὰρ Ἕκτορι ὤφειλεν εἶναι κατά τε τὸ εἶπε καὶ τὸ παραστάς. (v. 62—6) Ἰστέον δὲ ὅτι ἀφραδέως ὁ Πολυδάμας εἰπών, ὡς ἐρρέθη, ἐλαύνειν διὰ τάφρον, προσεπειπὼν δὲ καὶ ἀργαλέην αὐτὴν εἶναι διὰ τοὺς ἐν αὐτῇ, ὡς καὶ αὐτὸ προείρηται, σκόλοπας καὶ τὸ περὶ αὐτοὺς τεῖχος, «ἔνθ' οὔ πως ἔστι», φησί, «καταβήμεναι οὐδὲ μάχεσθαι ἱππεῦσιν», ἀλλὰ δηλονότι πεζοῖς. «στεῖνος γάρ», φησίν, «ὅθι τρώσεσθαι ὀΐω». (v. 67—9) Εἶτα παιδεύων δεῖν εἶναι ἐν ἀγαθοῖς ὄντα τινὰ καραδοκεῖν καὶ τὰ ἔμπαλίν φησιν «εἰ μὲν γὰρ δὴ πάγχυ κακὰ φρονέων ἀλαπάζει θεός, Τρώεσσι δὲ βούλετ' ἀρήγειν, ἦ τ' ἂν ἔγωγ' ἐθέλοιμι καὶ αὐτίκα τοῦτο γενέσθαι». ὃ δὴ εὐχή ἐστιν ἐπὶ συντόμῳ ἐκπληρώσει τοῦ ἐφετοῦ. (v. 70—4) Εἶτα ἑρμηνεύων τὸ «ἐθέλοιμι τοῦτο» φησὶ «νωνύμους», ἢ νωνύμνους, «ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς· εἰ δέ χ' ὑποστρέψωσι, παλίωξις δὲ γένηται ἐκ νηῶν καὶ τάφρῳ ἐνιπλήξομεν ὀρυκτῇ, οὐκ ἔτ' ἔπειτ' ὀΐω οὐδ' ἄγγελον ἀπονέεσθαι ἄψορρον προτὶ ἄστυ ἑλιχθέντων ὑπ' Ἀχαιῶν». Προνοεῖται γὰρ ὡς ἔμφρων τοῦ μέλλοντος καὶ οἶδε τὸ τοῦ Ἄρεος ἀλλοπρόσαλλον καὶ τὸ τῆς εὐτυχίας πρόσκαιρον. (v. 66) Τῶν δὲ ἐν τοῖς ῥηθεῖσι λέξεων στεῖνος μέν ἐστι τὸ μεταξὺ τῆς τάφρου καὶ τοῦ τείχους στενοχώρημα, βαρυνόμενον κανόνι τοιούτῳ. Τὰ εἰς ος οὐδέτερα βαρύνεται, νάπος, νέμος, κλῖτος, τεῖχος. οὕτω οὖν καὶ στεῖνος. Τρώσεσθαι δὲ τὸ βλαβήσεσθαι, οὗ ἐνεστὼς ἐν Ὀδυσσείᾳ «οἶνος σὲ τρώει μελιηδής». Ἴωνες δέ, φασί, τρῶμα λέγουσι τὴν τροπήν, οὗ ἡ παραγωγὴ κατὰ τὸ κῶ κῶμα, βρῶ βρῶμα.

3.356 (v. 68) Τοῦ δὲ «Τρώεσσι βούλετο νίκην» [ἢ μάλιστα «Τρώεσσι δὲ βούλετ' ἀρήγειν»] ἀναγκαία ἡ προσθήκη, ἵνα μὴ τὸ «κακὰ φρονέων ἀλαπάζει Ζεύς» λοξῶς ῥηθὲν ἐπιρρέπῃ καὶ τοῖς Τρωσί. (v. 70) Νώνυμοι δὲ εἴτε νώνυμνοι οἱ ἐστερημένοι τοῦ ὀνομάζεσθαι ἢ ὑμνεῖσθαι, ὅ ἐστιν οἱ ἀνώνυμοι ἢ ἀκλεεῖς. (v. 71) Παλίωξις δὲ ἡ ἀνάπαλιν δίωξις, τῶν διωκομένων ὑποστραφέντων εἰς διώκοντας. ὃ διασαφεῖ ὁ ποιητὴς ἐν τῷ «ὑποστρέψωσι», καὶ ἐν τῷ «ἐκ νηῶν», καὶ ἐν τῷ «ἑλιχθέντων ὑπ' Ἀχαιῶν». (v. 72) Ἐμπλῆξαι δὲ τάφρῳ τὸ ἐμπελάσαι ἢ τὸ ἀκουσίως ἐγκροῦσαι καί, ὡς εἰπεῖν, ἐμπαῖσαι, ἤ, ὡς πολλαχοῦ φησιν ὁ ποιητής, ἐμπεσεῖν. (v. 73) Τὸ δὲ «οὐδ' ἄγγελον ἀπονέεσθαι ἄψορρον» παροιμιῶδές ἐστιν, ὅτε πανωλεθρίας που γενομένης οὐδ' ὁ μηνύσων τὰ σκυθρωπὰ ὑπολέλειπται. οἱ δὲ μεθ' Ὅμηρον καὶ σκυθρωπῶν καὶ σκυθρωπότητος ἄγγελον τὸν τοιοῦτόν φασιν. οἱ δ' αὐτοὶ ἐφ' ὁμοίοις δεινοῖς παροιμιάζονται καὶ τὸ «μηδὲ πυρφόρον ὑπολείπεσθαι». Ὅτι ἐνταῦθα μὲν τάχιστα πείθεται τῷ Πολυδάμαντι ὁ Ἕκτωρ, συμβουλεύοντι ἀποβῆναι τῶν ἵππων καὶ πεζοὺς μάχεσθαι, ἐν δὲ τοῖς ἑξῆς καίτοι θεοπρόπιόν τι λέγοντι βαρὺς ἐπιτίθεται καὶ ἀπειλεῖται, λέγων καὶ ἐξολωλέναι θεόθεν τὰς φρένας αὐτῷ. οὕτω δεινὸν ἡ τύχη τὰς τῶν ἀνθρώπων γνώμας μεταποιεῖν. Καὶ ἄλλως δέ, εὐμετάβολος ὁ Ἕκτωρ καὶ πρὸς ἐναντιότητα θελημάτων καὶ λόγων εὐμετάπτωτος, ὃς καὶ τὸν μέγαν Αἴαντα εὐλογήσας αὖθις κακολογεῖ, ὡς ὁ ποιητὴς ἱστορεῖ. (v. 75—9) Φράζεται δὲ τὰ τοῦ Πολυδάμαντος οὕτω «ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες· ἵππους μὲν θεράποντες ἐρυκόντων», ἤγουν ἐπεχέτωσαν, «ἐπὶ τάφρῳ, αὐτοὶ δὲ πρυλέες σὺν τεύχεσι θωρηχθέντες Ἕκτορι πάντες ἑπώμεθ' ἀολλέες· αὐτὰρ Ἀχαιοὶ οὐ μενέουσιν, εἰ δή σφιν ὀλέθρου πείρατ' ἐφῆπται».

3.357 καὶ οὕτω μὲν Πουλυδάμας. (v. 80 s.) Ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων, καὶ αὐτίκα πρῶτος αὐτὸς ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε, καὶ μετ' αὐτὸν οἱ ἄλλοι. καὶ γίνεται τὰ ἐφεξῆς ῥηθησόμενα κατὰ τὴν τοῦ Πουλυδάμαντος βουλήν. (v. 77) Πρυλέες δὲ οἱ ἐν μάχῃ πεζοὶ κατὰ γλῶσσαν Γορτυνίων, ὥς φασιν οἱ παλαιοί. ἡ δὲ τῆς λέξεως παραγωγὴ προγέγραπται. νῦν δὲ τοσοῦτον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥητέον ὡς, εἰ μὲν ὀξύτονος ἡ ταύτης εὐθεῖα, ἑτέρου τοῦτο λόγου, εἰ δὲ βαρύτονος, συνηγορηθείη ἂν ἐντεῦθεν εἶναι τὸ παρὰ Λυκόφρονι κύριον ὄνομα ἐν τῷ «τῶν αὐθομαίμων συγκατασκάπτην Πρύλιν». οὕτω καὶ Ἱππότης ἐν Ὀδυσσείᾳ κύριον ὄνομα ὁμώνυμον τῷ ἱππεύοντι. (v. 78) Τὸ δὲ ἀολλέες, [ὃ παρισοῖ μετὰ τοῦ πρυλέες,] ἕτερόν ἐστι τοῦ πάντες, ἵνα λέγῃ ὅτι καὶ πάντες ἑπώμεθα καὶ ὁμοῦ πεπυκνωμένοι. (v. 80) Τὸ δὲ ἅδεν ἀντὶ τοῦ ἤρεσεν, ἡδὺς ἔδοξε. συστέλλει δὲ τὴν ἄρχουσαν, καὶ ἐξ αὐτοῦ γίνεται καὶ ἅδος, ὁ κόρος, καὶ ἅδην τὸ δαψιλῶς. διὸ καὶ ψιλοῦται παρὰ πολλοῖς. ἔοικε δὲ τὸ «ἅδεν» Αἰολικὸς εἶναι δεύτερος ἀόριστος τοῦ ἥδω ῥήματος, ἴσως δὲ καὶ τοῦ ἁδεῖν ὡς τοῦ κτυπεῖν τὸ ἔκτυπεν. (v. 86—9) Ὅτι μετὰ τὴν τοῦ Πουλυδάμαντος δημηγορίαν οἱ Τρῶες «διαστάντες, σφέας αὐτοὺς ἀρτύναντες, πένταχα κοσμηθέντες ἅμα ἡγεμόνεσσιν ἕποντο» ἄλλοις μὲν ἄλλοι, Ἕκτορι δὲ καὶ Πολυδάμαντι «οἳ πλεῖστοι καὶ ἄριστοι ἔσαν». καὶ ἐφερμηνεύων τὸ ἄριστοί φησι «μέμασαν δὲ μάλιστα τεῖχος ῥηξάμενοι ἐπὶ νηυσὶ μάχεσθαι». Σημείωσαι δὲ ὅτι διδάσκων μὴ ἐπὶ φαυλότητος νοῆσαί τινος τὸ «διαστάντες» ἡρμήνευσεν αὐτὸ οὐ μόνον διὰ τοῦ φθάσαι πρὸ τούτων εἰπεῖν εὖ κατὰ κόσμον ἡνιόχῳ ἐπιτέλλειν ἕκαστον, ἀλλὰ καὶ διὰ τοῦ ἀρτύναντες ἑαυτοὺς καὶ διὰ τοῦ κοσμηθέντες. Δῆλον δὲ ὡς ἡ δια πρόθεσις δηλοῖ μὲν διχασμόν τινα μάχιμον, ὡς καὶ ἐν τῷ «διαστήτην ἐρίσαντε», καὶ ὅτε δὲ διαζύγιόν φαμεν τὸν ἀπὸ τοῦ ἑνωτικοῦ κατὰ γάμον ζυγοῦ δυασμόν.

3.358 σημαίνει δὲ ὅμως ἐν πολλοῖς καὶ διάκρισιν, ἤτοι ἁπλῶς χωρισμόν, ὡς ἐν τῷ «εὖ διαβάς», ἤγουν διαστήσας τὰ σκέλη, ὥς πού φησιν ὁ ποιητής, καὶ νῦν ἐν τῷ «οἳ δὲ διαστάντες», φιλικῶς δηλαδή, ὡς δηλοῖ τὸ ἀρτύναντες, ὃ λέγει ἀντιθετικῷ σχήματι, ὅτι καὶ διαστάντες τοπικῶς ὅμως ἀραρότως εἶχον. Ὅρα δὲ καὶ ἐν τοῖς ῥηθεῖσι τρεῖς μετοχὰς ἀσυνδέτους ὁμοῦ κειμένας, τὸ «οἳ δὲ διαστάντες», τὸ «σφέας αὐτοὺς ἀρτύναντες», ὃ δὴ καὶ πρὸ ὀλίγων εἶπε κατὰ ἀνεκλόγιστον συνήθη ταὐτολογίαν, καὶ τὸ «πένταχα κοσμηθέντες». γοργότητος δὲ τοῦτο σχῆμα, συνεπισπεύδοντος οἷον τοῦ ποιητοῦ διὰ τῆς ἀσυνδέτου φράσεως τῇ τῶν πραγμάτων ἄρτι ὀξύτητι. (v. 90) Τὸ δὲ «ῥηξάμενοι» δῆλον ὅτι καὶ ῥήξαντες κοινότερον λέγεται. (v. 87) Ἰστέον δὲ ὅτι διακοσμοῦνται οἱ Τρῶες πένταχα, ἢ διότι πέντε ἦσαν ἴσως αἱ τοῦ Ἑλληνικοῦ τείχους πύλαι, ἢ μάλιστα ἵνα, φασίν, ἀνὰ δύο ἡγεμονίαι μέσον δορυφοροῖεν ἐπ' ἀσφαλείᾳ τὸν Ἕκτορα. ἑκάστη δὲ τῶν πέντε τάξεων τρεῖς εἶχεν ἡγεμόνας, ὡς εἶναι τοὺς πάντας δεκαπέντε, οὓς καὶ ὀνομάζει ὁ ποιητὴς κατὰ λόγον τινὰ ἡρωϊκὸν καὶ ἐνταῦθα στενολεσχῶν ὡς ἐπὶ νεαρῷ μάχης ἐγχειρήματι, καὶ λέγει ὡς ἅμα μὲν Ἕκτορι ἀμύμων Πολυδάμας ἦν καὶ ὁ πρὸ μικροῦ ἡνιοχῶν τῷ Ἕκτορι Κεβριόνης. (v. 91—3) Καὶ ὅρα ὡς οὐ περιοπτέον ἐν καιρῷ τοὺς ἀρίστους, εἰ καὶ ὑποδεῶς ἔχουσι διὰ τὸ ὑπηρετικόν. Ἕκτωρ γὰρ εἰς συστράτηγον ἑταιρίζεται τὸν αὐτοῦ ἡνίοχον, καταλιπὼν παρ' ὄχεσφιν ἄλλον Κεβριόναο χείρονα. τῶν δ' ἑτέρων—οὕτω δὲ λέγει τὴν δευτέραν τάξιν ὁ ποιητὴς δι' εὐχρηστίαν μέτρου—Πάρις ἦρχε καὶ Ἀλκάθοος καὶ Ἀγήνωρ. Ἔνθα ὅρα τὴν τῆς φράσεως συντομίαν. μόνης γὰρ τῆς δευτέρας τάξεως τοὺς τρεῖς κοσμήτορας δι' ἑνὸς ἔφρασε στίχου ὁ ποιητής, ἐπὶ δὲ τοῖς λοιποῖς πλατύτερον γράφει, οὕτως ἀρέσαν αὐτῷ διὰ τὸ ἐν ἅπασι πολυειδὲς τῆς αὐτοῦ γραφῆς. (v. 94 s.) Τῶν δὲ τρίτων Ἕλενος ἦρχε καὶ Δηΐφοβος θεοειδής, Πριαμίδαι. Τρίτος δὲ ἦν Ἄσιος ἥρως. (v. 96 s.) Ὃν καὶ ἐπαναλαβὼν ὡς ἄξιόν τινος λόγου πλείονος διὰ τὸν πολὺν φανητιασμόν, ἵνα ἐγγραφῇ οὕτω τῇ ψυχῇ τοῦ ἀκροατοῦ καὶ ἐπισημανθῇ τὰ κατ' αὐτὸν ὡς καινά τινα τοῦ ποιητοῦ περὶ αὐτοῦ ἱστορήσοντος, ἐπάγει «Ἄσιος Ὑρτακίδης» καὶ τὰ ἑξῆς ἀπαραλλάκτως ὡς ἐν τῇ Βοιωτίᾳ κεῖνται, ἤγουν ὅτι τε Ἀρίσβηθεν ἥκει ἀπὸ Σελλήεντος ποταμοῦ, καὶ ὡς μεγάλοι αὐτῷ ἵπποι καὶ αἴθωνες, ὅ ἐστι μέλανες ἢ εὐκίνητοι ἢ πυρροί.

3.359 (v. 99 s.) Τῶν δὲ τετάρτων ὁ Ἀγχίσου ἦρχεν Αἰνείας, καὶ οἱ Ἀντηνορίδαι Ἀρχέλοχος καὶ Ἀκάμας, μάχης εὖ εἰδότε πάσης. (v. 101—4) «Σαρπηδὼν δὲ ἡγήσατ' ἀγακλειτῶν ἐπικούρων, πρὸς δ' ἕλετο» καὶ τὸν αὐτανέψιον Γλαῦκον καὶ τὸν νέηλυν ἀρήϊον Ἀστεροπαῖον τὸν ἀμφιδέξιον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὗτοι γάρ, φησίν, αὐτῷ ἔδοξαν διακριδὸν εἶναι ἄριστοι τῶν ἄλλων μετά γε αὐτόν. «ὃ δ’ ἔπρεπε καὶ διὰ πάντων», τουτέστι διαπρεπὴς ἦν ἐν ἅπασι. Καὶ ὅμως προσεταιρίζεται καὶ ἑτέρους εἰς μάχην ὀρθωσόμενος καὶ αὐτὸς μέγας ὑπὸ βαιῶν, ὡς ἂν ἡ τραγῳδία ἐρεῖ. Ὅρα δὲ ὅτι ποικίλος κἀνταῦθα ὢν ὁ ποιητὴς ἐπὶ μὲν Σαρπηδόνος τὸ ἡγήσατο εἶπε, προσθέμενος ὅτι προσείλετο διακριδὸν τὸν δεῖνα καὶ τὸν δεῖνα, ἐπὶ δὲ τοῦ Αἰνείου τὸ ἄρχειν ἔφη, ἐπιφέρων ὅτι ἅμα τούτῳ οἱ δεῖνα, ἐπὶ δὲ Ἑλένου καὶ Δηϊφόβου ἐσίγησε τὸ ῥῆμα, λαβὼν αὐτὸ ἄνωθεν ἀπὸ κοινοῦ καὶ ἐπαγαγὼν οὐ δύο, καθὰ ἐπὶ Αἰνείου καὶ Σαρπηδόνος, ἀλλ’ ἕνα μετὰ ὑπαρκτικοῦ ῥήματος. τρίτος γάρ, φησίν, ἦν Ἄσιος ἥρως. ἐπὶ δὲ τῶν δευτέρων τὸ ἄρχειν ἔθετο, οὐ διελὼν καὶ αὐτούς, ἀλλὰ κοινώσας ἑνὶ στίχῳ, καθὰ καὶ προερρέθη. τὴν δὲ πρώτην τάξιν ἑτεροίως ἔφρασεν οὔτε ῥῆμα θέμενος ἡγεμονικόν, ἀλλὰ καὶ τὸν τρίτον τὸν Κεβριόνην πλεῖον διαστήσας ἐκ τῶν δύο συστρατήγων. εἰπὼν γὰρ ὡς οἱ πλεῖστοι ἅμα Ἕκτορι ἦσαν καὶ Πολυδάμαντι, μετὰ τρεῖς στίχους τοῦ Κεβριόνου μέμνηται. (v. 94) Θεοειδῆ δὲ τὸν Δηΐφοβον λέγει, ὁποῖόν τι ἐπ’ οὐδενὸς τῶν ἄλλων ἔφη, διὰ τὸ ἐπισημάνσεως ἄξιον εἶναι τά τε ἄλλα καὶ ὅτι μετὰ τὸν Ἀλεξάνδρου θάνατον τὴν Ἑλένην αὐτὸς ἀγαγόμενος ὑπὸ Μενελάου θνῄσκει ἐν τῇ τῆς Τροίας ἁλώσει, τριακονταετής, φασίν, ὤν. τὸ δὲ σῶμα αὐτοῦ μυθεύεται ῥιφὲν ἄταφον μεταβεβλῆσθαι εἰς βοτάνην λεγομένην ἀκέφαλον, ἥν φασιν ἀγαθὴν εἶναι τοῖς σπληνικοῖς πρὸς λύχνον αἱρομένην καὶ διδομένην μετὰ ὕδατος. (v. 95) Ἐν δὲ τῷ «Ἄσιος ἥρως», καὶ μετ’ ὀλίγα «Ἄσιος ὄρχαμος ἀνδρῶν», καὶ ἐφεξῆς ἐν τῷ «ἐπερχόμενον μέγαν Ἄσιον», καὶ «Ἄσιον ἀμφὶ ἄνακτα», ἔστι τι μυκτῆρος ποιητικοῦ, ὡς τοῦ τοιούτου ὀφειλέτου μὲν ὄντος φρονεῖν, μὴ τοιούτου δὲ ἀποβάντος. διὸ παρεμπλέκει τοῖς τοιούτοις μετ’ ὀλίγα ἐπιθέτοις τὸ «νήπιος», ὃς τῶν ἄλλων βουλῇ Πολυδάμαντος ἀμωμήτοιο πειθομένων αὐτὸς οὐκ ἤθελε πεζὸς ἀλλὰ σὺν ἵπποις πελάσαι ταῖς ναυσίν, ὀκνῶν, οἶμαι, ὁ μέγας ἑαυτὸν ταπεινῶσαι τῇ ἐκ τῶν ἵππων ἀποβάσει.

3.360 (v. 96) Ἡ δὲ Ἀρίσβη, περὶ ἧς εἴρηται καὶ ἐν τῇ Βοιωτίᾳ, πόλις φασὶ Τρωϊκή, Μιτυληναίων ἄποικος, μεταξὺ Περκώτης καὶ Ἀβύδου, ἔχουσα ποταμὸν Σελλήεντα, πατρὶς Ἀσίου, κληθεῖσα οὕτως ἀπὸ Ἀρίσβης, θυγατρὸς μὲν Τεύκρου τοῦ Κρητός, γυναικὸς δὲ Δαρδάνου. ἦν δέ, φασί, καὶ ἐν Λέσβῳ Ἀρίσβα πόλις ἀπὸ Ἀρίσβης, θυγατρὸς Μάκαρος ἢ Μέροπος, ἣν πρώτην ὁ Πάρις ἔσχε γυναῖκα. (v. 98) Ὁ δὲ μνημονευθεὶς Ἀγχίσης Κάπυος ἦν, ὡς ἐν τοῖς ἑξῆς που γενεαλογεῖ ὁ ποιητής, καὶ Ἀφροδίτης, ὃς ἔτη ὀγδοήκοντα ζήσας ἀποίχεται. ἐδείκνυτο δέ, φασί, τάφος αὐτοῦ ἐν τῇ Ἴδῃ, καὶ ἐτίμων αὐτὸν οἱ ἐκεῖ ποιμένες καὶ βουκόλοι κατὰ πᾶν φθινόπωρον τὸν τάφον αὐτοῦ στέφοντες. νεώτεροι δέ τινες ἐν Σικελίᾳ φασὶ τετελευτηκέναι αὐτόν. (v. 101) Περὶ δὲ Σαρπηδόνος ἀπορήσαντές τινες, διὰ τί αὐτὸς ἄρχει Λυκίων καὶ οὐ Γλαῦκος, ἐπεὶ ὁ μὲν ἐξ ἀρρένων, Ἱππολόχου γὰρ υἱός, Σαρπηδὼν δὲ Λαοδαμείας ἀδελφῆς Ἰσάνδρου καὶ Ἱππολόχου τῶν Βελλεροφόντου υἱῶν, λύουσι λέγοντες ὅτι κατὰ τιμὴν Λαοδαμείας γέγονεν. ἀμφισβητούντων γὰρ τῶν ἀδελφῶν περὶ βασιλείας καὶ προκλήσεως οὔσης διατοξεῦσαι δακτύλιον ἐπικείμενον στήθει παιδὸς ὑπτίου, ἡ ἀδελφὴ τὸν αὐτῆς εἰς τοῦτο ἔδωκε παῖδα. [(v. 102) Ὅτι δὲ Γλαῦκοι διάφοροι, πολλαχοῦ δηλοῦται. Λύκιος μὲν γὰρ ὁ ἐνταῦθα ῥηθείς. Ἦν δέ τις καὶ ἕτερος ὁ παρὰ Λυκόφρονι παρωνύμως Γλαύκων, οὗ γλυκύπικρος θάνατος περιᾴδεται. πίθῳ γάρ, φασίν, ἐναπεπνίγη μέλιτος. Περιφέρεται δὲ ἐν ἀοιδαῖς καὶ ὁ Ἀνθηδόνιος Γλαῦκος, οὗ μνεία τις ἐν τῷ Καταλόγῳ τέθειται τῶν νεῶν. Ἔστι δέ τις καὶ ἰχθὺς καλούμενος γλαῦκος, οὗπερ ἔκκριτος ἡ κεφαλὴ καὶ μάλιστα οἱ ὀφθαλμοί. Τοῦ δὲ ἀρήϊος πρωτότυπον τὸ ἄρειος, ὅπερ ἐστὶ πολεμικός. ἐξ οὗ καὶ κύριον παρὰ τοῖς ὕστερον Ἄρειος διὰ διφθόγγου, ὁ κατὰ τῆς ἀληθείας φερωνύμως Ἀρεϊκός. παρὰ δὲ τοῖς παλαιοῖς φέρεται καὶ διὰ τοῦ ἰῶτα κύριον ψάλτου τινὸς ὁ Ἄριος, περὶ οὗ λέγεται ὅτι Στρατόνικος ὁ κιθαρῳδὸς πρὸς Ἄριον τὸν ψάλτην, ὀχλοῦντά τι αὐτῷ, ἔφη τὸ «ψάλλ’ ἐς κόρακας», ὅπερ ἐστὶ παρῳδία τοῦ «βάλλ’ ἐς κόρακας», καθάπερ αὖθις αὐτὸ παρῴδηται ἀπὸ τοῦ «βάλλ’ ἐς μακαρίαν», περὶ ὧν δὴ παροιμιῶν ἐν ἄλλοις δεδήλωται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.361 ] (v. 103) Τὸ δὲ διακριδόν, ἤγουν κατ᾽ ἐπίκρισιν, ἐμφαίνει καὶ τὸ «πρὸς δ᾽ ἕλετο Γλαῦκον» δεῖν εἶναι μὴ ἁπλῶς νοεῖν ἀντὶ τοῦ προσελάβετο, ἀλλὰ ὡς ἐξαίρετον ἐπιλέγδην μετὰ διακρίσεως. ὥσπερ δὲ ἀπὸ τοῦ παρακλίνειν τὸ παρακλιδόν, οὕτω καὶ ἐκ τοῦ διακρίνειν τὸ διακριδόν. ὁμοιοσχημονεῖ δὲ τούτοις καὶ τὸ νοσφιδόν ἐκ τοῦ νοσφίζειν. (v. 104) Ἰστέον δὲ καὶ ὅτι τὸ πρέπειν συγκοπὴ τοῦ περιέπειν ἐστίν, ἐξ οὗ διαπρεπής καὶ ἐκπρεπής, ὁ ἄξιος τιμητικῶς περιέπεσθαι. (v. 105) Ὅτι πεζικὸν φράζων συνασπισμόν φησιν «οἳ δ᾽ ἐπεὶ ἀλλήλους ἄραρον τυκτῇσι βόεσσιν», ὅ ἐστι τετεχνιτευμέναις βύρσαις, οὐ μὴν ζώοις βουσίν, ἀλλ᾽ οὐδ᾽ ἁπλῶς βοείαις, αἳ ὑποστρώννυνται. Ἰστέον δὲ ὅτι ὃν τρόπον λέγει βῶν τὴν ἀσπίδα, οὕτω καὶ βοῦν, τυκτὴν πάντως καὶ ἐκείνην καὶ ταύτην, ὅ ἐστι τευκτήν, τεχνητήν. ἀπὸ γὰρ τοῦ τεύχω καὶ ἡ τέχνη παράγεται, ὥσπερ καὶ τὸ τυκτόν. τοῦτό τε γὰρ τευκτόν ἐστι κατὰ τὸ πλῆρες, καὶ ἡ τέχνη δὲ τεύχνη ὁμοίως. ἴσως δὲ καὶ ὥσπερ πύλαι ποιηταί καὶ τράπεζα ξεστή καθ᾽ ὑπακοὴν τοῦ εὖ, οὕτω καὶ νῦν τυκταὶ βόες αἱ εὔτυκτοι. τὰς δὲ ῥηθείσας τυκτὰς βόας καὶ βόας αὔας μετ᾽ ὀλίγα ἐρεῖ ὁ ποιητής. ἔνθα νοητέον ὡς ταὐτόν ἐστι βῶν ἀζαλέην εἰπεῖν καὶ βοῦν αὔην πρὸς διαστολὴν τῆς ὄντως καὶ φύσει, τουτέστι τῆς ζώσης βοός. ἐκείνη γὰρ οὔτε ἀζαλέη οὔτε αὔη, ἀλλὰ ὑγρά, ἐπεὶ καὶ ἔμψυχος. Τὸ δὲ «ἀλλήλους ἄραρον βόεσσιν» ὅμοιον μέν ἐστι τῷ «σκολόπεσσιν ὀξέσιν ἀρήρει», ὃ περὶ τῆς τάφρου εἴρηται, συντελεῖ δὲ εἰς ἐτυμολογίαν καὶ ἑρμηνείαν τοῦ «σφέας αὐτοὺς ἀρτύναντες», ὃ πρὸ ὀλίγων γέγραπται. (v. 107) Ἐνταῦθα δὲ κεῖται καὶ τὸ «ἐν νηυσὶ πεσεῖσθαι», πάλιν ἢ περὶ Δαναῶν ὡς κατακεισομένων ἐν αὐταῖς ταῖς ναυσὶν ἢ περὶ Τρώων ὡς ἐμπληξόντων αὐταῖς. (v. 105—7) Φησὶ γὰρ «οἳ δ᾽ ἐπεὶ ἀλλήλους ἄραρον», ὡς ἐρρέθη, ἔβησαν «ἰθὺς Δαναῶν λελιημένοι· οὐ γὰρ ἔφαντο σχήσεσθαι ἀλλ᾽ ἐν νηυσὶ μελαίνῃσι πεσέεσθαι». τοῦτο δὲ καὶ μετ᾽ ὀλίγα πάλιν οὕτω ῥητῶς κεῖται ἀπαραποίητον.

3.362 (v. 106) Τὸ δὲ «λελιημένοι» ποιητικὴ καὶ αὕτη λέξις, ἀχρεία λόγῳ πεζῷ, ἐσχηματισμένη ὁμοίως τῷ τετιημένοι, ἀμφιβολίαν ἔχει τινά. ἢ γὰρ ἐξ ὀρθοῦ ἐλλιπῶς νοεῖται, ἵνα δηλοῖ τὸ ἐπιθυμοῦντες μάχης, ἢ μετὰ τῶν Δαναῶν κολλᾶται, ὡς ἂν λέγῃ, ὅτι ἐπεθύμουν τῶν Δαναῶν οἱ Τρῶες. ἔχει δὲ καὶ τοῦτο ἔλλειψιν. δῆλον γὰρ ὡς Δαναῶν λελιημένοι εἰσὶν ὥστε ἀνελεῖν αὐτούς. (v. 113—7) Ὅτι κεῖται καὶ ἐνταῦθα προαναφώνησις τῶν ἐφεξῆς ἱστορηθησομένων ἐν τῷ «νήπιος οὐδ᾽ ἂρ ἔμελλε κακὰς ὑπὸ Κῆρας ἀλύξας ἵπποισι καὶ ὄχεσφιν ἀγαλλόμενος», ὁ προρρηθεὶς Ἄσιος δηλαδή, «παρὰ νηῶν ἂψ ἀπονοστήσειν προτὶ Ἴλιον ἠνεμόεσσαν. πρόσθε γάρ μιν μοῖρα δυσώνυμος ἀμφεκάλυψεν ἔγχεϊ Ἰδομενῆος». Καὶ ὅρα κἀνταῦθα τὸ νήπιος ἐπὶ προσώπου ἀναφωνηθὲν οὐκ εὖ ἔχοντος τοῦ φρονεῖν, σημαντικώτατα καὶ νῦν χρησαμένου, φασί, τοῦ ποιητοῦ τῷ ὀνόματι τούτῳ. καὶ ἐφεξῆς δὲ τοὺς περὶ τὸν Ἄσιον διὰ τὴν αὐτὴν αἰτίαν νηπίους ἐρεῖ. (v. 108—12 et 118 s.) Ἄφρων δὲ ὁ Ἄσιος, διότι οὐ κατὰ τοὺς ἄλλους Τρῶας καὶ ἐπικούρους βουλῇ Πουλυδάμαντος ἀμωμήτοιο ἐπείσθη, ὥστε αὖθι λιπεῖν ἵππους τε καὶ ἡνίοχον θεράποντα, ἀλλὰ μόνος αὐτὸς ἀπειθὴς διεκπεσών, σὺν αὐτοῖς πελάσας τῷ τείχει, νηῶν ἐπ᾽ ἀριστερὰ ἵππους καὶ ἅρμα διήλασεν, ὅπου, φασίν, Ἰδομενεὺς καὶ Αἴας ἐνεώλκουν περὶ τὸ Ῥοίτειον ἀκρωτήριον. Ἔνθα καὶ ἡ κατὰ τὸν Ἀρίσταρχον ἱππήλατος ἦν πύλη, ὡς καὶ ὁ ποιητὴς δηλοῖ εἰπὼν «ὅπου Ἀχαιοὶ ἐκ πεδίου νίσσοντο σὺν ἵπποισι καὶ ὄχεσφιν». Ἰστέον δὲ ὅτι οὐ μόνος ὁ Ὑρτακίδης, ἀλλὰ καὶ ἕτερός τις ἔοικεν Ἄσιος εἶναι περὶ Τροίαν, ὡς δηλοῖ μετ᾽ ὀλίγα τὸ «Ἀσιάδην Ἀκάμαντα». ὅτι δ᾽ ὀψέ ποτε πεζεύσας Ἐπιμηθέως λόγῳ ὑπὸ Ἰδομενέως πίπτει βληθεὶς ὁ ῥηθεὶς μέγας Ἄσιος, ἐν τοῖς ἐφεξῆς ἱστορήσει ὁ ποιητής. Καὶ ἔχει τοῦτο λαβὼν ἐκεῖνος βαρβαρικῆς ἀπειθείας ἐπίχειρον, διδάξας, καθά φασιν οἱ παλαιοί, ὡς παρὰ τὸν καιρὸν αἵ τινων χρήσεις βλαβεραί εἰσιν ἤπερ ὠφέλιμοι, καὶ δείξας παιδαριώδη ἑαυτόν, εἴπερ ἐν τοιούτῳ καιρῷ καὶ τόπῳ ἀγλαϊζόμενος ἅρματι καὶ ἵπποις ἐλλάμπεται. (v. 114) Τὸ δὲ «παρὰ νηῶν» ἀντὶ τοῦ ἀπὸ νηῶν εἴρηται.

3.363

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ γὰρ παρα , ὥς φασιν οἱ παλαιοί, κυρίως ἐπὶ ἐμψύχων ἐστί. (v. 116) Μοῖρα δὲ δυσώνυμος πρὸς διαστολὴν τῆς ἀγαθῆς καί, ὡς ἂν Πίνδαρος εἴποι, εὐωνύμου, καθ' ἣν μοιρηγενής που ὁ Ἀγαμέμνων λέγεται ἀντὶ τοῦ εὐδαίμων. καὶ ἄλλως δὲ εἰπεῖν, μοῖρα δυσώνυμος, ᾗ οὐκ ἂν πρέποι συντεθῆναι τὸ εὖ, ἵνα ἐξ αὐτῆς εὐμοιρία λεχθείη, ἀλλ' ὅθεν ὁ ἄμμορος γίνεται, ὅ ἐστι κακόμοιρος. [Ταὐτὸν δὲ εἶναι δοκεῖ δυσώνυμον εἰπεῖν καὶ κακὴν δὲ καὶ οὐκ ὀνομαστήν. οὕτω γὰρ καὶ τὸ «Κακοΐλιον οὐκ ὀνομαστήν» ὅμοιόν ἐστι τῷ δυσώνυμον Ἴλιον.] (v. 119) Τὸ δὲ «ὅπου Ἀχαιοὶ ἐκ πεδίου νίσσοντο» παρεμφαίνει τι καὶ αὐτὸ τῆς τοῦ Ἀσίου ἀφροσύνης. ἴσως γὰρ συνεισελθεῖν ᾠήθη τοῖς τοιούτοις καὶ αὐτὸς διώκων. (v. 120) Ὅρα δ' ἐν τούτοις καὶ τὸ «διήλασεν». οὐ γὰρ συνήθως ἡ λέξις κεῖται, ὡς ἐν τῷ ξίφος ἢ ἔγχος διήλασεν, ἀλλ' ἁπλῶς ἀντὶ τοῦ ἤλασεν, ὥς που καὶ τὸ εἰπεῖν διειπεῖν λέγει, οἷον «δίειπέ μοι ὄφρα δαείω». (v. 120 s.) Ὅτι ἐν τῷ «οὐδὲ πύλαις εὗρεν» ὁ Ἄσιος «ἐπικεκλιμένας σανίδας καὶ μακρὸν ὀχῆα» πύλαι μὲν κατὰ συνήθειαν Ὁμηρικὴν αὐτὸς ὁ τῆς εἰσόδου τόπος, σανίδες δὲ αἱ θύραι, ὀχεὺς δὲ ὁ μοχλός. Ὅρα δὲ καὶ τὸ ἐπικεκλιμένας, οἷα συντελοῦν εἰς τὸ «ἠμὲν ἐπιθεῖναι πυκινὸν νέφος ἠδ' ἀνακλῖναι». Εἰσὶ δὲ ἐπικεκλιμέναι αἱ συγκεκλεισμέναι, αἷς ἀνάπαλιν ἔχουσιν αἱ ἀναπεπταμέναι, ὡς εὐθὺς κατωτέρω κεῖται. (v. 122) Ὅτι προμηθείας στρατηγικῆς καὶ τὸ ἀναπεπταμένας νῦν ἔχειν τὰς τοῦ Ἀχαϊκοῦ τείχους πύλας, ὡς ἂν οἱ ἐκ τοῦ πολέμου φεύγοντες σῴζοιντο. ὃ καὶ ἐν τοῖς μετὰ ταῦτα γενήσεται, ὅτε Ἀχιλλεὺς κατὰ κράτος νικᾷ. ἐρεῖ γὰρ ἐκεῖ ὁ Πρίαμος «πεπταμένας ἐν χερσὶ πύλας ἔχετε, εἰς ὅ κε λαὸς ἔλθῃ». Ἐκ μεταφορᾶς δὲ τῶν τιταινόντων ὀρνίθων τὰς πτέρυγας ἐν τῷ ἵπτασθαι τὸ ἀναπεπταμένας εἴληπται, καὶ φανεῖται τοῦτο καὶ ἐν τῇ ω' ῥαψῳδίᾳ. (v. 124) Ὅτι τὸ «ἰθὺς φρονέων» Ἄσιος «ἵππους ἔχεν», ἤγουν ἤλαυνεν, ἀντὶ τοῦ θαρρυνόμενος ἐπὶ τὰ ἀντικρὺ καὶ προϊέναι θέλων, ᾧπερ ὅμοιον ἐν τοῖς ἑξῆς τὸ «οἳ δ' ἰθὺς πρὸς τεῖχος ἔκιον», καὶ τὸ «ἀντικρὺ μεμαώς», καὶ τὸ «πρόσω ἰέναι», καὶ τὸ «ἴθυσαν ἐπὶ τεῖχος».

3.364 ἀλλαχοῦ δὲ σαφέστατα λέγει «οἳ δ' ἰθὺς φρόνεον, μέμασαν δὲ μάχεσθαι». (v. 125) Ὅτι ἐν τῷ «ἕποντο ὀξέα κεκλήγοντες» ῥῆμα προϋπόκειται, ὡς πολλαχοῦ ἐφάνη, τὸ κεκλήγω. Συρακουσίων δέ, φασί, τοῦτο γλώσσης. τοιοῦτον δὲ καὶ τὸ «πεπλήγοντες», ἐξ οὗ ἔοικεν εἶναι τὸ πεπλήγετο, μετ' ὀλίγα ῥηθησόμενον ἐν τῷ «καὶ ὢ πεπλήγετο μηρώ». (v. 128) Ὅτι Λαπίθαι, ὡς καὶ ἐν τῇ α' ῥαψῳδίᾳ ἐρρέθη, γένος ἦν ἡρωϊκὸν ἐν Θεσσαλίᾳ, Κενταύροις πολέμιον, ἀπό τινος Λαπίθου, υἱοῦ Ἀπόλλωνος, καὶ Στίλβης νύμφης ἔχοντες τὴν τοῦ γένους ἀρχήν, ὧν κατάγονται Λεοντεὺς καὶ Πολυποίτης ὁ Πειριθόου τοῦ ᾀδομένου υἱός. (v. 128—36) Φησὶ γὰρ αὐτοὺς ὁ ποιητὴς «υἷας ὑπερθύμους Λαπιθάων αἰχμητάων, οἵ», φησί, «προπάροιθε πυλάων ὑψηλάων ἕστασαν, ὡς ὅτε τε δρύες οὔρεσιν ὑψικάρηνοι, αἵ τ' ἄνεμον μίμνουσι καὶ ὑετὸν ἤματα πάντα, ῥίζῃσι μεγάλῃσι διηνεκέεσ' ἀραρυῖαι· ὡς ἄρα τοί», ἤγουν οὗτοι, «χείρεσσι πεποιθότες ἠδὲ βίῃφι μίμνον ἐπερχόμενον μέγαν Ἄσιον οὐδ' ἐφέβοντο». Καὶ σημείωσαι ὡς ὑπερβάλλων ἐστὶν ὁ τῶν τοιούτων Λαπιθῶν ἔπαινος, εἴγε τοσούτων ἐχθρῶν ἐπιφορὰν δύο μόνοι ὄντες ἀποκρούσονται. διὸ καὶ πρὸς σύας εἰκασθήσονται, οἳ ἄνδρας πολλοὺς καὶ κύνας γενναίως δέχονται. Ἰστέον δὲ ὅτι Λαπίθης ἔοικε γίνεσθαι παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ ἔπιθον, χρόνου δευτέρου ἀορίστου. εἰπεῖν γὰρ «ᾧ λαοὶ πείθονται» οὐκ ἐᾷ τὸ μέτρον, οἷα συστέλλον τὴν τῆς λέξεως ἄρχουσαν. Ὅρα δὲ καὶ ὅτι τὸ «Λαπιθάων αἰχμητάων», ὥσπερ καὶ τὸ «πυλάων ὑψηλάων», καὶ τὸ «οὔρεσι μίμνουσι», καὶ τὸ «ῥίζῃσι μεγάλῃσι» σῶφρον ἔχουσι κάλλος καὶ μέτριον διὰ τῶν ὁμοιοτελεύτων, ὡραΐζοντος τοῦ ποιητοῦ τὸν λόγον διὰ τοὺς καλοὺς ἥρωας. (v. 131) Τὸ δὲ «ὑψηλάων» πρὸς διαστολὴν τῶν πυλίδων λέγεται. (v. 133) Τὸ δὲ «μίμνουσι» χρήσιμον τῇ ἀποδόσει τῆς παραβολῆς. ὡς γὰρ δρύες ἄνεμον καὶ ὑετὸν μίμνουσιν ἐν ὄρει, οὕτως αὐτοὶ ἔμιμνον ἐπερχόμενον μέγαν Ἄσιον, πλὴν οὐχ' ὡς ἐρριζωμένοι, ἀλλ' ὡς κινεῖσθαι μὲν δυνάμενοι, σταδαῖοι δὲ μαχηταί. διὸ ἐπήγαγεν «οὐδὲ φέβοντο». Τὸ δὲ «ἤματα πάντα» κεῖται μὲν παρελκόντως, οὐ γὰρ οὕτω καὶ οἱ Λαπίθαι ἀεὶ μίμνουσι, δηλοῖ δὲ τὸ τῶν δρυῶν

πολυχρόνιον. (v. 134) Διηνεκεῖς δὲ ῥίζαι αἱ διὰ πολλοῦ τόπου ἐνηνεγμέναι καὶ τεταμέναι καὶ οὕτως αἴτιαι ταῖς δρυσὶ τοῦ μίμνειν ἄνεμον καὶ ὑετὸν ἤματα πάντα, ἤγουν ἐς διηνεκὲς χρόνου.

3.365 (v. 137 s.) Ὅτι τὸ ἀνατεῖναι τὰς ἀσπίδας ἐν μάχῃ ὑψόσε ἀνασχεῖν λέγει. φησὶ γάρ «βόας αὔας ὑψόσε ἀνασχόμενοι». τί δὲ δηλοῖ τὸ βόας αὔας, πρὸ ὀλίγων εἴρηται. (v. 139) Ὅτι ἐνταῦθα ὁ ποιητὴς μέμνηται Ὀρέστου τινὸς Τρωϊκοῦ ἐν τῷ «Ἄσιον ἀμφὶ ἄνακτα καὶ Ὀρέστην». Τὸ δὲ ἄνακτα κεῖσθαι δοκεῖ καὶ πρὸς διαστολὴν ἑτέρου τινὸς Ἀσίου προρρηθέντος, οὗ υἱὸς Ἀκάμας Ἀσιάδης, ὡς λέγει συναπτῶς αὐτίκα ὁ ποιητής, ἔνθα κεῖται καὶ Οἰνόμαος ὁμωνυμῶν τῷ παλαιῷ Ἑλληνικῷ ἥρωϊ. Ἐν τούτοις δὲ χρᾶται, ὡς καὶ ἀλλαχοῦ, τῷ ἕως ἀντὶ τοῦ τέως καὶ πρὸς τὸ παρόν. (v. 141—5) Φησὶ γὰρ ὡς οἱ Λαπίθαι «ἕως μέν», ἤγουν πρὸς ὥρας τινάς, ὤρνυον Ἀχαιοὺς ἀμύνασθαι περὶ νηῶν. ἐπεὶ δὲ Τρῶας ἐνόησαν ἐπεσσυμένους τῷ τείχει, αὐτὰρ Δαναῶν γένετ' ἰαχή τε φόβος τε, τότε δὴ ἐξορμήσαντες πυλῶν πρόσθεν ἐμάχοντο, ὡς ῥηθήσεται. (v. 145—52) Ὅτι ἀπὸ δρυῶν εἰκονίσας τοῖς Λαπίθαις τὴν στάσιν, εἶτα τὴν αὐτῶν ὁρμήν τε καὶ πρὸς τὰ βέλη καρτερίαν ἄλλως εἰκάζει εἰπὼν «ἐκ δὲ τὼ ἀΐξαντε πυλάων πρόσθε μαχέσθην, ἀγροτέροισι σύεσσιν ἐοικότε, τώ τ' ἐν ὄρεσσιν ἀνδρῶν ἠδὲ κυνῶν δέχαται κολοσυρτὸν ἰόντα, δοχμώ τ' ἀΐσσοντε περὶ σφίσιν ἄγνυτον ὕλην, πρυμνὴν ἐκτάμνοντες, ὑπαὶ δέ τε κόμπος ὀδόντων γίνεται, εἰς ὅ κέ τίς τε βαλὼν ἐκ θυμὸν ἕληται. ὣς τῶν κόμπει χαλκὸς ἐπὶ στήθεσσι φαεινὸς ἄντην βαλλομένων· μάλα γὰρ κρατερῶς ἐμάχοντο». (v. 150) Καὶ ὅρα ὅτι τε κἀνταῦθα τὸ «ἕως τις βαλὼν ἀπὸ θυμὸν ἕληται» περισσὸν κεῖται, οὐδέν τι συντελοῦν εἰς τὸ πρᾶγμα. οὐδέτερος γὰρ τῶν Λαπιθῶν πίπτει. καὶ ὅτι μέλλων εἰπεῖν τὸν χαλκὸν κομπεῖν, ἤγουν ἠχεῖν κατὰ ἰδιότητα ἤχου, καὶ εἰδὼς τὸν κόμπον ἐπὶ συῶν, καθὰ καὶ ἀλλαχοῦ δηλοῦται, κυριολεκτούμενον, προεθεράπευσε τὴν λέξιν τῇ τῶν συῶν παραβολῇ, καὶ οὕτω συνεβίβασεν αὐτὴν ἐκ παραβολικῆς ὁμοιότητος, ὥσπερ καὶ μετ' ὀλίγα εὐθὺς τὸ ῥέειν ἐπὶ βελῶν μέλλων εἰπεῖν προθεραπεύει αὐτὸ τῇ τῶν νιφάδων παραβολῇ, τρόπον τινὰ λέγων, ὡς εἴπερ νιφάσι χεομέναις ἐοίκασι τὰ βαλλόμενα χερμάδια, δοτέον εἰπεῖν καὶ ὅτι ἔρρεον, ὡς ὁμοίων ὄντων τοῦ χέειν καὶ ῥέειν, ὧν τὸ μὲν χέεσθαι, ἀφ' οὗ ἡ χιών, οἰκεῖον νιφάδι διὰ τὸ ἀψοφώτερον. (v. 159) Τὸ δὲ ῥέειν οἰκεῖον λίθοις διὰ τὸ τοῦ ἤχου τραχύτερον. Ἐπαινοῦνται δὲ καὶ οἱ τῆς παραβολῆς ταύτης στίχοι, ὡς τῷ ψοφώδει τῆς τῶν λέξεων προφορᾶς ἐμφαίνοντες τὸ τῆς ὑποθέσεως μέγεθος. δίχα γὰρ τῆς ἄλλης τραχυφωνίας τὸ πυκνὸν σίγμα ἐν τῇ καταρχῇ τῆς παραβολῆς καὶ ὁ ἐκεῖθεν σιγμὸς ἐν τῷ «ἀγροτέροισι σύεσσιν» ἀηδῶς ἔχει κατὰ τὴν προφοράν.

3.366 τοιαύτη γὰρ ἡ σιγματικὴ ἀπήχησις, ὡς δηλοῖ μάλιστα παρ' Εὐριπίδῃ τὸ «ἔσωσά ς' ὡς ἴσασιν Ἑλλήνων ὅσοι», καὶ ἑξῆς. διὸ καθὰ δηλοῦται ἀλλαχοῦ πλατύτερον, καὶ ἡ Κωμῳδία μετὰ τὴν εὕρεσιν τῆς χρήσεως τοῦ τ ἀντὶ τοῦ ς ἐπισημαίνεται χαίρειν, ὡς ἀπαλλαγεῖσα τῶν σιγμάτων Εὐριπίδου. Κολοσυρτὸς δὲ κυρίως, οὗ καὶ παρὰ τῷ Κωμικῷ χρῆσις, κτύπος ὁ ἀπὸ κάλων, ἤγουν ξύλων, συρομένων ἐν ὄρει. Ἕτεροι δὲ τὴν ἐκ φρυγάνων συρομένων αἰρομένην κόνιν οὕτω καλοῦσι. κόλα γάρ, φασί, τὰ φρύγανα. (v. 148) Τὸ δὲ δοχμοὺς ἀΐσσειν καὶ τὴν ὕλην πρυμνόθεν ἀγνύειν κατὰ θυμὸν συῶν ἴδιον. Δοχμὸς δὲ παρὰ τὸ δέχω, φασί, γίνεται, ἵνα δηλοῖ τὸν εὐχώρητον. τοιοῦτοι γὰρ ἐν ταῖς εἰσόδοις οἱ εἰσιόντες δόχμιοι. Δοχμὴ μέντοι θηλυκῶς ὁ παλαιστής, ἤγουν τὸ τετραδάκτυλον, φασί, τῆς χειρός, ἀπὸ τοῦ δέχεσθαι καὶ αὐτό. Ὅτι δὲ καὶ βαρύνεται ἡ δόχμη ὁμοίως τῷ στάθμη, λόχμη, ὄχθη, δηλοῦται σαφῶς ἀλλαχοῦ. (v. 149) Τὸ δὲ κομπεῖν καὶ ἐπὶ σκευῶν ἤχου λέγεται. κομπεῖν γοῦν χύτραν ἢ λοπάδα φησὶν ὁ Λαέρτης ἐν τοῖς τῶν σοφιστῶν Βίοις. ἔνθα καὶ ζητεῖται, καθὰ καὶ παρὰ τῷ Κωμικῷ, τίς ἡ τῆς χύτρας καὶ τῆς λοπάδος διαφορά. Ὅτι δὲ πολὺς ὁ τῶν Λαπιθῶν ἔπαινος, εἴπερ ὡς δύο σύες πολλῶν κυνηγετῶν ἔφοδον οὕτως ὑπομένουσι τοὺς πολεμίους καὶ αὐτοὶ καὶ ἐν ἐπισφαλεῖ κινδύνῳ τῶν ἄλλων φυγόντων ἀνδρίζονται, προεπεσημάνθη. Ἰστέον δὲ καὶ ὅτι ἐκ τοῦ ἐνταῦθα κυριολεκτουμένου κομπεῖν τὸ κομπάζειν παρῆκται, ὃ παρὰ τοῖς ὕστερον στωμυλίαν δηλοῖ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στομφασμὸν περιαυτολογικόν, καθὰ καὶ τὸ κομπεῖν παρὰ Σοφοκλεῖ ἐν τῷ «τοσόνδ' ἐκόμπει μῦθον», ὡς οἷα δηλαδὴ κομπορρήμων. (v. 153) Ἔτι ἰστέον καὶ ὡς ἀξιόπιστον καὶ οὐκ ἀπίθανον δοκεῖ τὸ τὴν στενὴν δίοδον φυλάττειν μόνους αὐτούς, συλλαμβανόντων καὶ τῶν ἀπὸ τοῦ τείχους ἄνωθεν. Ἐπάγει γὰρ «λαοῖσι καθύπερθε πεποιθότες ἠδὲ βίῃφι», ὡς εὐθὺς ὁ ποιητὴς ἐρεῖ (v. 154—6), ὅτι οἱ λαοὶ «χερμαδίοισιν ἐϋδμήτων ἀπὸ πύργων ἔβαλλον ἀμυνόμενοι» ὑπὲρ τῶν κατ' αὐτούς, ἤγουν καθ' Ὅμηρον εἰπεῖν, «σφῶν τ' αὐτῶν καὶ κλισιάων νηῶν τ' ὠκυπόρων».

3.367 (v. 156—60) Τοὺς δὲ λίθους συντόνως φερομένους καὶ πληκτικῶς νιφάσι παραβάλλει εἰπών, ὅτι «νιφάδες ὡς πῖπτον ἔραζε, ἅς τ' ἄνεμος ζαὴς νέφεα σκιόεντα δονήσας ταρφειὰς κατέχευεν ἐπὶ χθονὶ πουλυβοτείρῃ. ὣς τῶν ἐκ χειρῶν βέλεα ῥέον», ὡς καὶ πρὸ βραχέων ἀκριβῶς παρεσημάνθη «ἠμὲν Ἀχαιῶν ἠδὲ καὶ ἐκ Τρώων». Καὶ νῦν μὲν οὕτω φησί, προϊὼν δὲ πλατύνει ταύτην τὴν παραβολὴν καὶ αὐξάνει κοιμίσας τὸν ἄνεμον. (v. 156) Καὶ ὅρα ὅτι τὸ μὲν νιφάδες συστέλλει τὴν ἄρχουσαν, τὸ δὲ νίφειν ῥῆμα ἐν τοῖς ἑξῆς ἐκτείνει αὐτήν. (v. 157) Ζαὴς δὲ ἄνεμος ὁ βίαιος καὶ ὑπὲρ τὸν δυσαῆ, καὶ εἴη ἂν ὁ τοιοῦτος ζάλη, ὅ ἐστι μεγάλη ἄελλα. ὀξύνεται δὲ ὁ ζαής καὶ ὁ δυσαής ᾧ λόγῳ καὶ ὁ φιλοψευδής, περὶ οὗ μετὰ βραχέα ῥηθήσεται. Ἐκ δὲ τοῦ «νέφεα δονήσας» δοκεῖ συγκεῖσθαι τὸ δνοφερόν, ὅτε σκότος δηλοῖ ἐοικὸς νέφει δονουμένῳ. σκιόεντα δὲ νέφη λέγειν οὐδὲν ἧττον καίριον τοῦ λέγειν ὄρη ἢ μέγαρα σκιόεντα. (v. 160 s.) Ὅτι σφοδρότητα καὶ πλῆθος λίθων ἀφέσεως δηλοῖ μετὰ τὴν ῥηθεῖσαν παραβολὴν καὶ τὸ «κόρυθες δ' ἀμφ' αὖον ἀΰτευν», ἤγουν ἀΰτεον, ὅ ἐστιν ἐβόων, «βαλλόμεναι μυλάκεσσι, καὶ ἀσπίδες ὀμφαλόεσσαι», ἤτοι κυκλοτερεῖς ἢ πολλοὺς ἔχουσαι ὀμφαλοὺς χυτούς. Αὖον δὲ βοᾶν διαστέλλεται τῆς τῶν ὑγρῶν βοῆς, ἐκείνη γὰρ ἑτεροία ἐστί. γενικὴν δὲ ἀοριστίαν ἔχει τὸ βοᾶν αὖον, δηλοῦν κτυπεῖν, δουπεῖν, βομβεῖν, καὶ τοιαῦτά τινα, μᾶλλον δὲ καί τι τούτων τραχύτερον, οὗ μὴ ῥᾳόνος ὄντος ἐν σχεδιασμῷ ταχὺ εὑρεθῆναι γενικῶς εἶπε τὸν ὑποκείμενον ἦχον αὔην βοήν, ὅπερ ἐμφαντικώτερόν ἐστι τοῦ ξηρὰν ἢ τοιοῦτόν τι εἰπεῖν. Τὸ δὲ «αὖος» σημειῶδές ἐστι τοῖς παλαιοῖς, ὡς μονῆρες καὶ μὴ πῖπτον ὑπὸ ἀναλογίαν. μόνον γάρ ἐστι δισύλλαβον κοινὸν εἰς ος καθαρὸν τῇ αυ διφθόγγῳ παραληγόμενον. Τὸ δὲ «ἀΰτευν» εἶχε μὲν ἀΰτουν εἶναι κοινότερον ὡς τὸ ἐποίουν, προετιμήθη δὲ ὅμως δι' ὄγκον φωνῆς τὸ ποιητικώτερον. Μύλακες δὲ λίθοι μυλοειδεῖς, ὅ ἐστι στρογγύλοι, ἴσως δὲ καὶ μυλίαι οἱ αὐτοὶ παρὰ τοῖς παλαιοῖς.

3.368 (v. 162) Ὅτι βαρυνομένου ἤθους τὸ «δὴ ῥὰ τότε ᾤμωξέν τε καὶ ὣ πεπλήγετο μηρώ», περὶ οὗ καὶ προείρηται. [Ὅπερ ἀστείως ἂν εἴποι τις καὶ ἐπί τινος χωλοῦ ἀμφιγυήεντος, ὃς δοκεῖ ἀμφοτέρους πεπλῆχθαι τοὺς μηρούς.] Ἄσιος δὲ οὕτω ποιεῖ ἀχθόμενος κακῶς ἑαυτῷ κατὰ Ἀχαιῶν. (v. 163) Κεῖται δ' ἐνταῦθα καὶ τὸ ἀλαστεῖν, ὅ ἐστι δεινοπαθεῖν, ὡς ἐπὶ ἀλάστοις πάθεσι, καθὰ καὶ ἐν Ὀδυσσείᾳ. ὅθεν καὶ ὁ ἀλάστωρ. ἐπάγει οὖν «καὶ ἀλαστήσας ἔπος ηὔδα». (v. 164) Ὅτι τὸ «πάτερ ἦ ῥά νυ καὶ σὺ φιλοψευδὴς ἐτέτυξο πάγχυ μάλα» λέγοιτο ἂν πρός τινα μέγαν, μὴ τελειοῦντα τὰς ὑποσχέσεις. Ἄσιος δὲ πρὸς Δία τοῦτό φησι. (v. 164—6) Καὶ ὅρα κἀνταῦθα μωρίαν τοῦ καὶ μεγάλου καὶ ἥρωος. οὐ γὰρ φιλοψευδῆ τὸν Δία καλεῖ, διότι ἐκεῖνος αὐτῷ ὑποσχόμενος ἔψευσται, ἀλλ' ὅτι, φησίν, «οὐκ ἔγωγε ἐφάμην ἥρωας Ἀχαιοὺς σχήσειν ἡμέτερόν γε μένος καὶ χεῖρας ἀάπτους», τὸ τῆς ἐλπίδος αὐτὸν ψευσθῆναι εἰς Διὸς ἀπάτην ἀνάγων, ὁποῖα τὰ τῶν ἀφρόνων, καὶ μονονουχὶ δοξάζων, ὡς, ὅπερ ἐφάμην, ἔφατο καὶ ὁ Ζεύς, καὶ τὸν Δία συλλαλεῖν αὐτῷ ἀξιῶν. Ἴσως δὲ καὶ ἄλλως ἀνόητος ὁ Ἄσιος. τὰ γὰρ ἐν τῷ τέλει τῆς θῆτα ῥαψῳδίας γενόμενα τέρατα ὑπὲρ ἑαυτοῦ νοῆσαι δοκεῖ, καὶ ταῦτα κρίνει Διὸς ὑποσχέσεις, οὐ διακρίνας καλῶς. Εἰ γὰρ τὸν Ἕκτορα κλεῖσαι ὁ Ζεὺς ἐβούλετο, ὡς ἐρεῖ μετ' ὀλίγα ὁ ποιητής, καὶ ὁ Ἕκτωρ δὲ δηλώσει εἰπών, ὅτι αὐτὸς ὁ Ζεὺς ὑπέσχετό μοι καὶ κατένευσεν, ἀλλ' οὐκ ἤδη καὶ εἰς τὸν Ἄσιον διαβέβηκε τὰ τῶν ὑποσχέσεων. (v. 173 s.) Ὃ καὶ ὁ ποιητὴς ἐπισημειώσεται μετὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βραχέα ἐν τῷ «ὣς ἔφατο, οὐδὲ Διὸς πεῖθε φρένα ταῦτ᾿ ἀγορεύων· Ἕκτορι γάρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι». Σημειοῦνται δὲ κἀνταῦθα οἱ παλαιοί, ὡς ἑτοίμως ἔχουσιν οἱ δυστυχοῦντες οὐ μόνον ἄλλως δυσανασχετεῖν, ἀλλά που καὶ τὸ θεῖον καταμέμφεσθαι. οὕτω γὰρ καὶ ὁ Ἄσιος, ἐπεὶ μὴ ἔσχεν εὐπετῶς ποιῆσαι τὸ προτεθὲν καὶ εἰς φυγὴν τρέψαι τοὺς δύο Λαπίθας, οὐ μόνον ᾤμωξε καὶ ὡς ἐπὶ θαύματι δὲ μεγάλῳ ἐπλήξατο τοὺς μηρούς, ἀλλὰ καὶ φιλοψευδῆ τὸν Δία ἐκάλεσεν, ὅ ἐστιν ἀπατεῶνα, ψεύδειν εἰδότα, ἤγουν ἀπατᾶν. Ἰστέον δὲ ὅτι τὰ εἰς ης ὑπὲρ μίαν συλλαβὴν ὀξύτονα κατὰ τοὺς παλαιοὺς καὶ ἐν τῇ συνθέσει ὀξύνονται, οἷον σαφής ἀσαφής, ἀθλητής φιλαθλητής, ἐραστής ἀντεραστής, ψευδής φιλοψευδής, χωρὶς τοῦ ἀληθής—τούτου γὰρ τὸ σύνθετον φιλαλήθης—, καὶ τὸ κριτής δέ, φασίν, ἐν τῷ ξενοκρίτης μεταβολὴν τόνου ἔπαθεν, ὥσπερ καὶ τὸ ὀνειροκρίτης.

3.369 (v. 165) Τὸ δὲ «πάγχυ μάλα» πάνυ λίαν Ἀττικὸς ἂν εἴποι ἀνὴρ κατὰ σημασίαν παράλληλον, ὁποῖαι δηλοῦνται πολλαχοῦ. (v. 166) Τὸ δὲ «οὐ γὰρ ἔγωγ᾿ ἐφάμην ἥρωας Ἀχαιοὺς σχήσειν ἡμέτερον μένος» παραπέφρασται ἀπὸ τοῦ «ἔφαντο γὰρ οὐκέτ᾿ Ἀχαιοὺς σχήσεσθαι», ὥστε τὸ αὐτὸ ῥῆμα, ὡς καὶ ἀλλαχοῦ φαίνεται, καὶ σχήσειν ἐνεργητικῶς καὶ σχήσεσθαι παθητικῶς λέγεται. (v. 167—72) Ὅτι ὁ Ἄσιος οἶδε μὲν τὴν τῶν Ἀχαιῶν ἀρετὴν καὶ ἥρωας ἀποκαλεῖ ἀξιόπιστα λέγων—τοιοῦτος γὰρ ὁ ἐκ τῶν πολεμίων ἔπαινος—, κατασπᾷ δὲ ἄλλως τὸ ἐκείνων ἀξίωμα διὰ ταπεινοτάτης παραβολῆς, ὃς οὐ θηρίοις ἀνδρείοις ἀλλὰ θυμικοῖς μέν, σμικροτάτοις δὲ ζῴοις αὐτοὺς εἰκάζει καὶ εὐτελέσιν, εἰπὼν «οἳ δ᾿ ὥς τε σφῆκες μέσον αἰόλοι ἠὲ μέλισσαι οἰκία ποιήσονται ὁδῷ ἔπι παιπαλοέσσῃ, οὐδ᾿ ἀπολείπουσι κοῖλον δόμον, ἀλλὰ μένοντες ἄνδρας θηρητῆρας ἀμύνονται περὶ τέκνων, ὣς οἵ γε», ἤγουν οὗτοι, «οὐκ ἐθέλουσι πυλάων καὶ δύο ἐόντε χάσασθαι». Καὶ ὅρα ὅτι μερικεύσας τὸν λόγον ὁ Ἄσιος κατέβη ἐκ τῶν Ἀχαιῶν, οὓς ἥρωας προσεχῶς ἔφη, εἰς τοὺς Λαπίθας, διορθούμενος οἷον ἑαυτὸν ὡς μὴ καλῶς τῇ παραβολῇ τῶν σφηκῶν κατὰ πάντων χρησάμενον τῶν Ἀχαιῶν. Ἴσως δὲ τὸ «οὐ γὰρ ἔγωγ᾿ ἐφάμην ἥρωας Ἀχαιούς» οὐδὲ κοινῶς εἶπεν, ἀλλὰ περὶ μόνων τῶν Λαπιθῶν, ὡς ἡ τῆς παραβολῆς ἀπόδοσις ἐδήλωσεν, οἷς καὶ ἐπέχει μάλιστα. (v. 170) Σημείωσαι δὲ καί, ὅτι ὥσπερ καὶ ἐν ἄλλαις παραβολαῖς, οὕτω καὶ ἐνταῦθα κεῖταί τι ἀπεμφαῖνον. τὸ γὰρ «ἀμύνονται περὶ τέκνων» οὐδὲν συντείνει πρὸς Ἑλληνικὴν ὁμοιότητα. οἱ γὰρ Ἀχαιοὶ οὐχ᾿ ὑπὲρ τέκνων ἀμύνονται, ἀλλὰ διὰ τὴν Ἑλένην, μᾶλλον δὲ ἄρτι ὑπὲρ τῶν νεῶν, ὡς καὶ ὁ ποιητὴς ἐρεῖ «οἳ δὲ καὶ ἀχνύμενοί περ ἀνάγκῃ νηῶν ἠμύνοντο». Ἰστέον δέ, ὡς οὐ μόνον σφῆκες ὑπὲρ τέκνων ἀμυντικοί, διὸ καὶ παροιμία τὸ «σφηκίαν ἐκίνησας». ἤγουν βλάβην ἤγειρας κατὰ σεαυτοῦ, ἀλλὰ καὶ μέλισσαι ὁμοίως ἀμύνονται. ὅθεν πεπαροιμίασται τὸ «εἰς μελίττας ἐκώμασας» ἐπὶ τῶν παραδόξως κακουμένων, ὥς φησι Παυσανίας. (v. 167) Ἀπὸ δὲ τῶν σφηκῶν οὐ μόνον σφηκίσκοι ἀριθμητικὸν σχῆμα, ἀλλὰ καὶ ξύλα μικρὰ εἰς ὀξὺ συνηγμένα, καὶ σφηκώδεις οἱ λαγαροὶ τοῖς σώμασι καὶ συνεζωσμένοι, ἐπεὶ καὶ οἱ σφῆκες ἔχουσιν ἐντομὴν κατὰ τὸ μέσον, δι᾿ ἣν καὶ καλοῦνται οὕτως ὡς ἀπὸ τοῦ σφάζω σφάξω, ἐξ οὗ καὶ ἡ διασφὰξ ἐπὶ σχισμάτων λεγομένη, ὡς καὶ ὁ Ὀππιανὸς δηλοῖ σαφέστατα καὶ ὁ τὸ θῆλυ μόριον οὕτω καλέσας.

3.370 ἐκεῖθεν δὲ καὶ ὑποσφὰξ κοιλότης, ὁμοία καὶ αὐτή, ὁποίαν πάσχουσι τὰ σφαζόμενα, ἔνθα γίνεται ἡ σφαγή. Αἰόλοι δὲ τὰ μέσα οἱ σφῆκες ἢ ὡς εὐκίνητοι διὰ τὴν ἐντομὴν καὶ τὴν ἐκεῖθεν πτέρωσιν ἢ διότι παμφάγοι ὄντες ποικίλοι καὶ ἐπίξανθοι τὴν χρόαν εἰσίν. οὐ μὴν αἱ μέλισσαι τοιαῦται, οὔτε γὰρ παμφάγοι ἐκεῖναι οὔτε ποικίλαι κατὰ τοὺς σφῆκάς εἰσιν. [Ἰστέον δὲ ὡς ἡ ζωϊκὴ ἱστορία λέγει περὶ μελίσσης, ὅτι οὔτε αὐτὴ ὦπται οὔτε κηφὴν ὀχεύοντες. ὅθεν οὐδ᾿ ἔστι διϊδεῖν πότερα αὐτῶν ἄρρενα ἢ θήλεα. Ἔνθα ὅρα τὸ διϊδεῖν, ὁμοίως φρασθὲν τῷ διειπεῖν, οἷον «δίειπέ μοι ὄφρα δαείω», καὶ τῷ διείπασθαι. Ἰστέον δ᾿ ὅτι καὶ Μέλισσά τις ἦν κύριον ὄνομα, ἣν ἐπαινῶν τις ἔφη, ὡς μεγέθει μὲν τῶν τότε γυναικῶν ἦν βραχύ τι καταδεεστέρα, φωνῇ δ᾿ ὁμιλίᾳ τε κεχορηγημένη.] (v. 168) Ὅρα δὲ καὶ ὅτι τὸ οἰκία καὶ τὸ δόμον ἐπὶ σμηνῶν εἴρηκε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιητικώτερον. οὕτω καὶ ἐπὶ αἰετοῦ μετ᾽ ὀλίγα τὴν καλιὰν ἐρεῖ φίλα οἰκία, ὥσπερ καὶ ἐν Ὀδυσσείᾳ. [Ἰστέον δὲ ὅτι ἐν τούτοις μὲν δόξαιεν ἂν ὑποκορισμὸς εἶναι τῶν οἴκων τὰ οἰκία. ὅτε δὲ Ἄιδου οἰκία εὐρώεντα ἐρεῖ, ἀλλ᾽ ἐκεῖ οὐκ ἔστιν ὑποκόρισμα νοῆσαι, ἀλλὰ φανερὰν παρωνυμίαν.] Παιπαλόεσσα δὲ ἡ ξηρὰ καὶ ἀποτελοῦσα πάλην. Πάλη δὲ κυρίως κατὰ Αἴλιον Διονύσιον λεπτότατον ἄλευρον καὶ τέφρα. Φερεκράτης Ἴπνῳ «ἀνέπλησα τὼ ᾽φθαλμὼ πάλης φυσῶν τὸ πῦρ». ἡ δὲ τοιαύτη πάλη ἀναδιπλασιασθεῖσα κατὰ τὴν λαίλαπα καὶ κατὰ τὸ παιφάσσειν ἀποτελεῖ τὴν παιπάλην.

3.371 (v. 175) Ὅτι τὸ πολλὰς εἶναι πύλας τῷ Ἑλληνικῷ τείχει, ὁποίας ἂν καὶ ἐκδέχοιτό τις αὐτάς, ἀρίδηλον ἄρτι ἐκ τοῦ «ἄλλοι δ᾽ ἀμφ᾽ ἄλλῃσι μάχην ἐμάχοντο πύλῃσιν». [Ἔνθα παρίσωσις ἀπράγμων τὸ «ἄλλῃσι πύλῃσιν».] (v. 176) Ὅτι ἀνάγκην ἔχων ὁ ποιητὴς καταλέγειν ἄνδρας πίπτοντας καὶ τρόπους πολλοὺς ἀναιρέσεων καὶ λόγους, οὓς ἔλεγον ἂν οἱ ποιοῦντες καὶ πάσχοντες, καὶ ἄλλα μυρία πολυμερῆ συμπτώματα τύχης φησὶν «ἀργαλέον δέ με ταῦτα θεὸν ὣς πάντ᾽ ἀγορεῦσαι». καὶ ὅρα καὶ τὴν ἐν τούτοις τοῦ ποιητοῦ ποικιλίαν. ἀλλαχοῦ μὲν γὰρ ἐπὶ δυσχερείᾳ διασκευῆς τὰς Μούσας ἐπικαλούμενος ἐπιχειρεῖ τι λέγειν, ἐν ἄλλοις δὲ ἑαυτὸν ἐρωτῶν λαλεῖ τὰ δοκοῦντα, νῦν δ᾽ ἀπαγορεύει δυνηθῆναι εἰπεῖν ἐνδιασκεύως αὐτὸς τὰ πάντα. (v. 177—9) Ὅθεν ἐπάγει συντόμως καὶ ἐπιφωνηματικῶς τὸ «πάντῃ γὰρ περὶ τεῖχος ὀρώρει θεσπιδαὲς πῦρ λάϊνον, Ἀργεῖοι δὲ καὶ ἀχνύμενοί περ ἀνάγκῃ νηῶν ἠμύνοντο». Λέγει δὲ πάντῃ περὶ τὸ λαΐνον τεῖχος πῦρ εἶναι ἢ διὰ τὸ τοὺς λίθους τοῦ τείχους τῇ συγκρούσει πῦρ ἀποσπινθηρίζειν ἐν τῷ βάλλεσθαι σώμασι στερεοῖς τοῖς τῶν βελῶν, καὶ ἔχει ὁ λόγος ἔμφασιν. συλλογιστέον γὰρ οἷαι καὶ ὅσαι βολαί, δι᾽ ὧν ὡς διὰ πυρείων τινῶν πῦρ ἀνάπτεται. ἢ ὅτι καὶ ἐκομίζετο πῦρ κατὰ τῶν νηῶν, ὥς που ὁ Ἕκτωρ ἐγκελεύεται. Καὶ ἔοικεν ἐπιμωκᾶσθαι παροιμιωδῶς τοῖς Τρωσὶ κατὰ τοὺς παλαιοὺς ὁ ποιητής, εἰ οὕτω θυμομαχοῦσιν, ὡς καὶ λάϊνον ὂν τὸ τεῖχος ἐπιχειρεῖν ἐμπιπρᾶν. Ἕτεροι δὲ πῦρ ἐνταῦθα τὸ θερμὸν εἶπον τῆς μάχης τῆς ἀσβέστου καὶ καυστειρᾶς, οὐ μόνον κατὰ τὸ «ἀμφὶ μάχη ἐνοπή τε δεδήει τεῖχος», ὃ πρὸ ὀλίγων ἔφη ὁ ποιητής, ἀλλὰ καὶ κατὰ τὸ «ἐμάχοντο δέμας πυρός», ὡς εἶναι σχῆμα καὶ τοῦτο ἐπιφωνηματικόν, ἔχον μὲν καὶ τόλμαν κατ᾽ ἰδιότητα τοῦ κυρίως ἐπιφωνήματος—πῶς γὰρ ἂν εἴη πῦρ αὐτόχρημα τὸ κατὰ μάχην ἔνθερμον; —, ἔχον δὲ καὶ ἀσφάλειαν ἤτοι παραμυθίαν τινὰ ἐκ τῆς κατὰ τὸ αἷμα θυμικῆς ζέσεως, δηλοῦν δὲ καὶ τὰ πάντα δεινὰ ἐν ὀλιγίστῳ διὰ τοῦ τοσούτου πυρός, ὅπερ ἡ σφοδρότης ἀνῆπτε τῶν πανταχοῦ τοῦ τείχους βολῶν. Εἰ δέ τις μὴ καθ᾽ ὑπέρβασιν ἐρεῖ τεῖχος λάϊνον, ἀλλὰ κατ᾽ εὐθὺ συντάξας εἴπῃ θεσπιδαὲς πῦρ λάϊνον, ἤγουν μὴ ἀπὸ ὕλης εὐεξάπτου, ἀλλ᾽ ἐκ λίθων ἀποπαλλόμενον, κατὰ λόγον μὲν ἐπιφωνήματος νοεῖ τι καὶ αὐτός, σκληρότερον μέντοι καὶ τραγικώτερον.

3.372 (v. 179 s.) Ὅτι προαναφωνῶν ἢ καὶ ἄλλως δεξιῶς προκατασκευάζων Ὅμηρος, ὡς οὐκ ἔστι μὴ ἐν τοῖς ἑξῆς δαιμονιώδη ἐπεισόδια τῇ ποιήσει παρεισκυκληθῆναι διὰ σεμνότητα, λέγει ὅτι ἐπὶ τοῖς γινομένοις «ἀκαχείατο», ἤγουν ἤχθοντο, «θεοὶ πάντες, ὅσοι Δαναοῖς ἐπιτάρροθοι ἦσαν». διὸ δίχα τῶν ἄλλων καὶ ἡ Ἥρα ἐν τοῖς ἐφεξῆς μηχανήσεταί τι ὑπὲρ τῶν Ἀχαιῶν. Ἰστέον δὲ ὡς οὐ μόνον ἀκάχω ῥῆμα βαρύτονον, ἀλλὰ καὶ ἀκαχῶ, οὗ παθητικὸς ὑπερσυντέλικος ἀκαχήμην, πληθυντικὸν δὲ τρίτον ἀκάχηντο, καὶ κατὰ διάλυσιν Ἰωνικὴν ἀκαχέατο, καὶ ἐνθέσει τοῦ ι ἀκαχείατο. εἰ δὲ μὴ φιλεῖ τὴν λέξιν ταύτην πεζογράφος ἀνήρ, οὐδὲν Ὁμήρῳ μέλον ἰάζοντι. (v. 183 et 186) Ὅτι σώφρονι μὲν παρηχήσει ὁ ποιητὴς καὶ ἐνταῦθα χρᾶται ἐν τῷ «δουρὶ βάλεν Δάμασον, δάμασε δέ μιν μεμαότα», πλὴν οὐκ ἐγγὺς θέμενος τὰς παρηχούσας λέξεις, ἀλλὰ προειπὼν μὲν τὸ Δάμασον, μετὰ δὲ δύο στίχους ἐπαγαγὼν τὸ «ἐδάμασεν». (v. 188 s.) Κεῖται δ᾽ ἐν τούτοις καὶ ἰσοκαταλήκτων ὀνομάτων γλυκύτης, ἔνθα υἱόν τινος Ἀντιμάχου ἱστορεῖ Ἱππόμαχον, πάρισα γὰρ ὁ Ἀντίμαχος καὶ ὁ Ἱππόμαχος. (v. 191 et 193) Ἱστορεῖ δέ τινα καὶ Ἀντιφάτην, ὁμώνυμον Λαιστρυγόνι ἀνδρί, καὶ Μένωνα δέ, ὃς ἔμπαλιν τῷ Μέμνονι φυλάττει τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ω καὶ ἐπὶ γενικῆς. [(v. 187) Ἔτι δὲ καὶ Ὄρμενον, Τρωϊκὸν καὶ αὐτὸν ἄνδρα, ὁμώνυμον τῇ παθητικῇ μετοχῇ τοῦ ὄρω, τὸ διεγείρω. δοκεῖ δὲ καὶ τοπικὸν ὄνομα εἶναι τὸ Ὄρμενον, οὗ παράγωγον τὸ Ὁμηρικὸν Ὀρμένιον. Ἐλέγετο δέ, φασίν, ὄρμενος καὶ ὁ τῆς κράμβης ἀσφάραγος παρὰ Ἀττικοῖς διὰ τὸ ἐξορούειν καὶ βλαστάνειν, ἤγουν ὁ ἀπὸ τῆς κράμβης ἐξηνθηκώς. ὅθεν καὶ ἐξορμενίζω ῥῆμα, Σοφοκλῆς «κἀξορμενίζειν οὐκ ἐπισχολάζεται βλάστη».

3.373 τουτέστιν οὐ σχολὴν ἡ βλάστη ἔχει, ἀλλὰ δηλονότι ὁρμᾷ εἰς αὔξην κατὰ τὰ ἐξορμενίζοντα φυτά. Σημείωσαι δὲ ὡς εἰ καὶ ὁ ῥηθεὶς ὄρμενος, ὁ τῆς κράμβης, ἀσφάραγος ἡρμήνευται διὰ τοῦ φι , ἀλλ’ ἔστι καὶ διὰ τοῦ πι ἀσπάραγος, φυτὸν ἕλειον καὶ ὄρειον. τῶν δὲ τοιούτων τινὲς καὶ σπαρτοί, φασίν. οἳ καὶ εὐμεγέθεις γίνονται. Ἐν δὲ Γαιτουλίᾳ φασί, τῇ κατὰ Λιβύην, πάχος μὲν αὐτῶν Κυπρίου καλάμου, μῆκος δὲ ποδῶν δώδεκα, ἐν δὲ τῇ παρωκεανίτιδι πάχος μὲν μεγάλων ναρθήκων μῆκος δὲ περὶ πήχεις εἴκοσι. λέγεται δὲ Κρατῖνος καὶ Θεόπομπος καὶ τοὺς τοιούτους ἀσφαράγους γράφειν διὰ τοῦ φι . περὶ δὲ τοῦ ζωϊκοῦ ἀσφαράγου ἐν τοῖς ἑξῆς που δηλωθήσεται.] (v. 194) Ὅτι πολλῶν τινων ἀναίρεσιν οὕτω φράζει «πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ». Αἰολικὸν δὲ τὸ ἀσσυτέρους, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. ἄλλως δὲ εἰπεῖν, ἀριστέως ἐνεργείας ἐνταῦθα φράζων ὁ ποιητὴς ἐν ποικιλίαις ῥημάτων αὐτό τε εἶπε τὸ προρρηθέν, καὶ ὡς ὁ δεῖνα τόνδε τινὰ ἐξενάριξε, καὶ «βάλε δουρί», καὶ «ἐπαΐξας δι’ ὁμίλου πλῆξεν αὐτοσχεδίην». πολλαχοῦ δὲ οὕτω πολυτρόπως ποικίλλεται ὁ ποιητής. (v. 196—8) Ὅτι Πουλυδάμαντι καὶ Ἕκτορι «κοῦροι ἕποντο, οἳ πλεῖστοι καὶ ἄριστοι ἔσαν, μέμασαν δὲ μάλιστα τεῖχος τε ῥήξειν καὶ ἐνιποήσειν πυρὶ νῆας». ἄρχεται δ’ ἐντεῦθεν ἠρέμα προαρτύειν τὴν τειχομαχίαν, ἧς προοίμια ἤδη προκατατίθεται. (v. 200—9) Ὅτι κἀνταῦθα χάριν τε ποικιλίας Ὅμηρος καὶ ἅμα τῇ ἐξαλλαγῇ διαναπαύων τὸν ἀκροατὴν οἰωνοσκοπητικὸν θεώρημα παρενείρει τῷ λόγῳ ἐναγώνιον, ἔχον καί τι διαλεκτικῆς δεινότητος. φησὶ γὰρ ὅτι τοῖς Τρωσὶν «ὄρνις ἐπῆλθε περησέμεναι μεμαῶσι» τὴν τάφρον, «αἰετὸς ὑψιπέτης ἐπ’ ἀριστερὰ λαὸν ἐέργων, φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον, ζωόν, ἔτ’ ἀσπαίροντα, καὶ οὔπω λήθετο χάρμης. κόψε γὰρ αὐτὸν ἔχοντα κατὰ στῆθος παρὰ δειρήν, ἰδνωθεὶς ὀπίσω, ὃ δ’ ἀπὸ ἕθεν ἧκε χαμᾶζε ἀλγήσας ὀδύνῃσι, μέσῳ δ’ ἐνὶ κάββαλ’ ὁμίλῳ, αὐτὸς δὲ κλάγξας πέτετο πνοιῇς ἀνέμοιο. Τρῶες δ’ ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν κείμενον ἐν μέσσοισι Διὸς τέρας». Δηλοῖ δ’ ἐν τούτοις ὁ μὲν τοῦ ὄφεως ἐγκρατὴς ἀετός, ὁ τοῦ Διὸς ἱερός, ὡς καὶ ἐν τοῖς μετὰ ταῦτά που ῥηθήσεται, τοὺς ἄρτι ἐκ Διὸς νικῶντας Τρῶας, ὁ δὲ κατεχόμενος δράκων, ὁ καὶ πελώριος καὶ τῷ οἰκείῳ αἵματι φοινήεις, τοὺς τραυματίας μεγαθύμους Ἀχαιούς.

3.374 ὃς καὶ ἐν τῇ βῆτα ῥαψῳδίᾳ εἰς σύμβολον ἐρρέθη τῶν Ἑλλήνων, οἳ καὶ ἐχόμενοι καὶ οἷον ἀσπαίροντες ὅμως οὔπω λήθονται χάρμης, ἀλλὰ μετὰ μικρὸν ἐκ παλιώξεως, ὡς ὁ Πολυδάμας ὑπενόησεν, ὑποστραφέντες κόψουσι κατὰ στήθη, τουτέστιν ἐν ἀντιπροσώπῳ μάχῃ, τοὺς Τρῶας. οἳ καὶ κακὸν προσλαβόντες ἐντεῦθεν καὶ ἀλγήσαντες καὶ αὐτοὶ κατὰ τὸν ἀετὸν φεύξονται ὅποι τύχοι καὶ οὐδ’ ἐν κόσμῳ μετὰ συνήθους βοῆς, ἀλλὰ μετὰ ἑτεροίας κλαγγῆς. καὶ ὥσπερ ὁ ἀετὸς ἐπέτετο πνοιαῖς ἀνέμου, τουτέστι τῷ λαχόντι πνέειν ἀνέμῳ ἐπιτρέψας ἑαυτόν, οὕτω καὶ Τρῶες ἀτάκτοις ῥιπαῖς ἑαυτοὺς δόντες παλιννοστήσουσι καὶ οὐδέν τι τελέουσιν, ὡς καὶ ὁ Πολυδάμας κρινεῖ σαφέστατα. (v. 217—26) Ἐρεῖ γὰρ ὡς «εἰ ἐτεόν γε Τρωσὶν ὅδ’ ὄρνις ἐπῆλθε περησέμεναι μεμαῶσιν αἰετὸς ὑψιπέτης ἐπ’ ἀριστερὰ λαὸν ἐέργων, φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον, ζωόν· ἄφαρ δ’ ἀφέηκε πάρος φίλα οἰκία ἱκέσθαι, οὐδ’ ἐτέλεσσε φέρων δόμεναι τεκέεσσιν ἑοῖσιν. ὣς ἡμεῖς, εἴ πέρ τε πύλας καὶ τεῖχος Ἀχαιῶν ῥηξόμεθα σθένεϊ μεγάλῳ, εἴξουσι δ’ Ἀχαιοί, οὐ κόσμῳ παρὰ ναῦφιν», ἤγουν ἐκ νηῶν, «ἐλευσόμεθα αὐτὰ κέλευθα», ἤτοι τὴν ὁδόν, ἣν ἀταράχως ἤλθομεν, ἀλλὰ δηλαδὴ πτησόμεθα [οἱονεὶ] καὶ αὐτοὶ πνοιαῖς ἀνέμοιο. πολλοὺς γάρ», φησί, «Τρώων καταλείψομεν» καὶ ἑξῆς. (v. 228 s.) Ἐφ’ οἷς καὶ αὐχῶν σεμνῶς ὁ Πολυδάμας ὡς εὖ διακρίνας τὸ τέρας καὶ ἐπιστημόνως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπάγει «ὧδέ χ' ὑποκρίνοιτο θεοπρόπος, ὃς σάφα θυμῷ εἰδείη τεράων καί οἱ πειθοίατο λαοί». Καὶ σημείωσαι ὅτι ἐν ἑπτὰ ἔπεσιν ἐκτεθειμένου τοῦ τέρατος ὁ Πολυδάμας λύων συντέμνει αὐτὸ τεχνικῶς ἐν στίχοις τέτρασι, διδάσκοντος τοῦ ποιητοῦ καὶ διὰ τούτων, ὅπως χρὴ ταὐτολογεῖν ἐν μήκει νοημάτων καὶ βραχύτητι. (v. 200) Ὄρνις δὲ καὶ νῦν συνήθως ἀντὶ τοῦ οἰωνός, ἤτοι σημαντικὸς τοῦ μέλλοντος. δύναται δὲ καί, ὥσπερ ἐν τῷ βοῦς ταῦρος τὸ μέν ἐστι γενικόν, τὸ δὲ εἰδικόν, οὕτω καὶ ἐνταῦθα τὸ μὲν ὄρνις γενικῷ λόγῳ τεθῆναι, τὸ δὲ αἰετός εἰδικῶς. Τὸ δὲ «ἐπῆλθε» νῦν μὲν ἀντὶ τοῦ ἁπλῶς ἦλθε, παρὰ δὲ τοῖς ὕστερον τὸ κατά τινος ἐλθεῖν ἡ λέξις δηλοῖ. (v. 201) Τὸ δὲ «ὑψιπέτης» βαρύνεται κατὰ Ἀρίσταρχον πρὸς διαστολὴν τοῦ ὑψιπετής, ὃ δηλοῖ τὸν ἐξ ὕψους πεσόντα. οἱ δὲ περισπῶντες αὐτὸ ἐκ τοῦ ὑψιπετήεις ὡς τιμήεις τιμῆς, αἰγλήεις αἰγλῆς [Αἰολικῶς] πιθανῶς μὲν ποιοῦσιν, ἐπικρατεῖ δὲ ὅμως ἡ τοῦ Ἀριστάρχου γραφή. [Ὥσπερ δὲ ὑψιπέτης βαρυτόνως, οὕτω καὶ εὐπέτης ὁ εὖ πετόμενος, οὕτω δὲ ἴσως καὶ προπέτης ὁ προπετόμενος, καὶ περιπεζίως εἰπεῖν, ὁ προαλής.

3.375 εὐπετὴς μέντοι ὁ εὖ πίπτων, ἤγουν συμβαίνων, ὅθεν καὶ εὐπετὲς πρᾶγμα τὸ εὔκολον, καὶ προπετὴς δὲ ὁ θρασὺς καὶ τῶν ἄλλων ἔμπροσθεν πίπτειν ἐθέλων τῇ τάξει.] Τὸ δὲ «ἐπ' ἀριστερὰ λαὸν ἐέργων» ἀντὶ τοῦ ἀφορίζων ἐπὶ τὰ ἑαυτοῦ ἀριστερὰ τὸν λαόν, τὸν Τρωϊκὸν δηλαδή, ὥστε δεξιὸς ἦν τοῖς Ἀχαιοῖς καὶ διὰ τοῦτο αἴσιος αὐτοῖς. (v. 202) Φοινήεις δὲ κἀνταῦθα δράκων ἢ ὁ μέλας ἢ ὁ φόνῳ, ἤγουν αἵματι, βεβαμμένος ἢ ὁ φόνιος. [Τὸ δὲ φέρων, εἰ καὶ μὴ νεκρὸς ὁ δράκων, ὅμως καιρίως ἔχει, διότι φέρεται, φόρτος δηλαδή τις ὢν τῷ αἰετῷ διὰ τὸ κατ' αὐτὸν πέλωρον.] (v. 203) Τὸ δὲ «καὶ οὔπω λήθετο χάρμης» ἀλλοιωθὲν τῇ συντάξει ἔχει τι καινοτέρου σχηματισμοῦ. τὸ γὰρ κοινὸν μετοχὴν ζητεῖ, ἵνα εἴη ζωὸν ἀσπαίροντα καὶ οὔπω ληθόμενον χάρμης. (v. 204) Τὸ δὲ «ἔκοψε» παρ' ἄλλοις μὲν ἐπὶ τοῦ τύπτειν καὶ ἁπλῶς κρούειν κεῖται, ὡς δηλοῖ καὶ τὸ «τίς ἐσθ' ὁ κόπτων τὴν θύραν» ταὐτὸν δ' εἰπεῖν, θυροκρουστῶν. ἐνταῦθα δὲ πληγὴν δηλοῖ τὴν μετὰ τραύματος, ὅθεν καὶ τὸ ἐν πολέμῳ κατακοπῆναί τινας παρὰ τοῖς μεθ' Ὅμηρον, καὶ παρὰ τῷ Κωμικῷ δὲ ἐν Ὄρνισι, [Τὸ δὲ «ποτὶ δειρήν» Ἀττικὸς μὲν ἀνὴρ εἴποι ἂν πρὸς τῇ δειρῇ,] δηλοῖ δὲ πληγὴν στήθους γενομένην ἐν ἄκρῳ πρὸς τῇ δειρᾷ.

3.376 (v. 205) Τὸ δὲ «ἰδνωθείς» ἐπὶ μὲν Θερσίτου καὶ ἄλλως ἐρρέθη, ἐνταῦθα δὲ ἰδνωθῆναι τὸ δονηθῆναι τὸ ἰνίον, ἤγουν τὸ ὄπισθεν τῆς κεφαλῆς, ἢ ὀδυνηθῆναι καὶ οὕτω στραφῆναι καὶ καμφθῆναι διὰ τὸ τοῦ δράκοντος ὑγρόν. (v. 206) Τὸ δὲ «ἀλγήσας ὀδύνῃσι» πρὸς διαστολὴν κεῖται τοῦ ἄλλως ἀλγεῖν κατά τι λύπης εἶδος. Τὸ δὲ «ἐνικάββαλεν» ἀντὶ τοῦ κατέρριψε. (v. 207) Τὸ δὲ «κλάγξαι» κλαυθμὸν οἷόν τινα τοῦ δράκοντος νῦν ὑποδηλοῖ, ὡς ἀπὸ τοῦ κλῶ, ἐξ οὗ καὶ τὸ κλαίω παράγεται. Τὸ δὲ «πνοιῇς ἀνέμοιο» ἀντὶ τοῦ πρὸς ἄνεμον πνέοντα. (v. 208) Ἐν δὲ τῷ «ἐρρίγησαν ὅπως ἴδον αἰόλον ὄφιν» στιχηρόν ἐστι πάθος, ὃ λέγεται καὶ μυουρία, διὰ διχρόνου τοῦ κατὰ τὴν ἀρχήν, καὶ μειουρία διὰ τῆς ει διφθόγγου, ὡς ἐν τῷ τέλει πυρριχισθέντος τοῦ στίχου καὶ συστολὴν παθόντος κατὰ μυὸς οὐρὰν ἢ κατὰ μείωσιν οὐραίου, ἤτοι τέλους ἄκρου. Ὥσπερ ἔμπαλιν ἀκέφαλος λέγεται στίχος ὁ περὶ τὴν ἀρχὴν καὶ οἱονεὶ κεφαλὴν συσταλείς, ὁποῖον καὶ τὸ «ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο». Αἴτιον δὲ τοῦ ῥηθέντος μυουρισμοῦ ἡ τῆς ἕκτης χώρας ἐν τοῖς ἔπεσιν ἀδιαφορία. Ἕτεροι δὲ τὴν ὀξεῖαν τάσιν ἐκτατικὴν εἰδότες ἀπ' αὐτῆς φασι προστεθῆναί τι χρόνου τῇ τοῦ ο φυσικῇ βραχύτητι ὡς εἰς τροχαίου ἀπάρτισιν.

3.377 ἄλλοι δὲ ὄπφιν μετέγραψαν, οἷα ὀκνοῦντες διπλάσαι τὸ φ διὰ τὸ οὐχ' Ἑλληνικὸν τῆς γραφῆς. ἀνὴρ γὰρ Ἕλλην οὐ διπλάζει τὰ δασέα, ὑφαιρουμένου τοῦ ὀφφικίου, αὐτὸ δὲ οὐ γλώσσης Ἑλλήνων ἐστί. διὸ καὶ τὸ κὰπ φάλαρα ἀντὶ τοῦ κατὰ φάλαρα, περὶ οὗ καὶ προείρηται, καὶ τὸ κάτθανεν ἀντὶ τοῦ κατέθανεν, ὀφείλοντα διὰ δύο γράφεσθαι δασέων τῶν φ καὶ τῶν θ , οἷον κὰφ φάλαρα καὶ κάθθανεν, ὅμως δι' ἀντιστοίχων αὐτοῖς ψιλῶν συμφώνων γράφεται, ἵνα μὴ εὑρεθείη ἐν Ἑλληνικῇ λέξει δασέος διπλασμός. [Συντελεῖ δὲ εἰς τὴν γραφὴν τοῦ ὄπφιν καὶ τὸ σκύπφον, ὃ κεῖται παρὰ Ἀνακρέοντι, ὥς φησιν Ἀθήναιος, ἔτι δὲ καὶ τὸ «πλήσας δ' ἀργύρεον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκύπφον φέρε, δῶκε δ’ ἄνακτι», ὃ κεῖσθαι λέγει ἐν τῇ καθ’ Ἡσίοδον Μελαμποδίᾳ.] Εἰσὶ δὲ οἳ καὶ ἔμφασίν τινα ἔχειν εἶπον τὸ τοῦ στίχου τοιοῦτον πάθος. καὶ γὰρ ἐγχωροῦν εἰπεῖν, «Τρῶες δ’ ἐρρίγησαν ὅπως ὄφιν αἰόλον εἶδον», ὅμως Ὅμηρος τὸν Ἑλληνικὸν ἐμφαίνει φόβον καὶ τὴν συστολὴν καὶ τὴν εἰς τὸ ταχὺ φεύγειν ῥοπὴν τῇ συστολῇ τοῦ μέτρου καὶ τῷ τάχει τοῦ ἔπους εἰς βραχείας τελευτῶντος συλλαβάς. ταχέα μὲν γὰρ εἰς ἐκφώνησιν τὰ βραχέα φωνήεντα μουσικὸς ἂν εἴποι ἀνήρ, ἐμβραδύνει δὲ εἰς προφορὰν τὰ μακρά. [Ὅτι δὲ ἡ μυουρία τῶν ἐπῶν καὶ τὸ ἀκέφαλον καὶ τὸ λαγαρόν, καὶ εἴ τι δὲ ἄλλο στιχηρὸν πάθος, ἀφροντιστὶ συνέπεσε διὰ τὸ μεμελοποιῆσθαι πᾶσαν τὴν Ὁμηρικὴν ποίησιν, ἐν τοῖς τοῦ Ἀθηναίου καὶ αὐτὸ δηλοῦται. ὅς φησι καὶ ὅτι ἀκέφαλοι μέν εἰσιν οἱ ἐν ἀρχῇ τὴν χωλότητα ἔχοντες, λαγαροὶ δὲ οἱ ἐν μέσῳ, μύουροι δὲ οἱ ἐπὶ τῆς ἐκβολῆς. ἔνθα σημείωσαι καὶ ὅτι ἐκβολὴν ἔφη τὴν λήγουσαν ὡς ἐκ μεταφορᾶς τῶν ποταμίων ἐκβολῶν. Τὸ δὲ φοβερὸν τοῦ ὄφεως καὶ τήν, ὡς ἐρρέθη, ἐπ’ αὐτῷ συστολὴν καὶ δειλίαν, ἣν ἐμποιεῖ, δηλοῖ καὶ ὁ ἐτυμολογήσας τὸν ὄφιν οὐκ ἀπὸ τοῦ ὄπτω ὄψω ὦφα, συνήθως, ἀλλ’ ἐκ τοῦ ὄφ ἐπιφωνήματος, ὃ κατὰ πνεύματος ἀθρόαν εἰσπνοὴν ἐγγίνεται τοῖς ἢ ἀλγοῦσιν ἢ φόβον παθοῦσι. Μυουρισμοῦ δὲ χρῆσις τοῦ διὰ μόνου διχρόνου καὶ παρὰ τῷ Περιηγητῇ. Ἰστέον δὲ καὶ ὅτι τὸ μύουρον ἢ μείουρον δύναιτ’ ἂν καὶ κόλουρον λέγεσθαι, ὡς κεκολουσμένον οὐρᾶς, καθά που προγέγραπται.

3.378 ] (v. 209) Τὸ δὲ «Διὸς τέρας», ἀντὶ τοῦ εἱμαρμένης ἢ ἀέρος, ὅθεν ὁ δράκων κατέπεσεν. Ἰστέον δὲ ὅτι τὸ Διὸς τέρας ἀρχὴν ἐνδέδωκε τοῦ ὕστερον διοσημίας τὰ τοιαῦτα λέγεσθαι. [Ἐπεὶ καὶ ἀντὶ σημείου τὸ τέρας ἐνταῦθα κεῖται κατὰ τὴν ἐν τῇ β′ ῥαψῳδίᾳ τεθειμένην παρατήρησιν.] (v. 218) Τὸ δὲ «περησέμεναι μεμαῶσι» προσυπακούειν ἀπαιτεῖ τάφρον τὴν πρὸ βραχέων ῥηθεῖσαν. (v. 221) Ὅτι δὲ φίλα οἰκία τὴν τοῦ ἀετοῦ λέγει καλιάν, πρὸ ὀλίγων ἐρρέθη. ἐντεῦθεν δὲ εἴληπται καὶ ἐπὶ θαλαττίας διατριβῆς τὸ οἰκεῖν, ὡς δηλοῖ ὁ σημειωσάμενος τὸ «ὁ κύματ’ οἰκῶν ὄρνις ἡρμήνευσεν ἄν». (v. 222) Τὸ δὲ «οὐδ’ ἐτέλεσσεν» ἀρχὴν καὶ αὐτό τινα ἐνδίδωσι τοῖς μεθ’ Ὅμηρον τοῦ ἀποτελεσματικὴν καλέσαι καὶ τὴν περὶ τοὺς τοιούτους ὄρνις ἐπιστήμην. Τὸ δὲ «τεῖχος ῥηξόμεθα» εὖ κεῖται, καιρία γὰρ λέξις, ὥσπερ ἐπὶ φάλαγγος στρατιωτικῆς, οὕτω καὶ ἐπὶ τείχους καὶ πυλῶν τὸ ῥῆξαι. διὸ πολλαχοῦ τῇ λέξει ταύτῃ κατ’ ἐπιμονὴν χρᾶται ὁ ποιητής, ποτὲ μὲν ἐνεργητικῶς, ποτὲ δὲ παθητικῶς, οἷον καὶ τὸ «βίῃ ῥήγνυσθαι μέγα τεῖχος πειρήτιζον», καὶ «ἔλποντο τεῖχος Ἀχαιῶν ῥήξειν», καὶ «τείχεος ἐρρήξαντο πύλας καὶ μακρὸν ὀχῆα», καὶ «τεῖχος ἐπαΐξαι διά τε ῥήξασθαι ἐπάλξεις», καὶ «πύλας ἐπειρῶντο βίῃ ῥήξαντες εἰσελθεῖν», καὶ «οὐκ ἐδύναντο τεῖχος ῥηξάμενοι θέσθαι κέλευθον», καὶ «ὦ Τρῶες, ῥήγνυσθε τεῖχος Ἀχαιῶν», καὶ «ἔρρηξεν ἀμφοτέρους θαιρούς». (v. 225) Τὸ δὲ «οὐ κόσμῳ παρὰ ναῦφιν ἐλευσόμεθα» εὐφήμως ὁ Πολυδάμας ἔφρασεν. ἄλλως γὰρ βούλεται εἰπεῖν, ὡς ἀκόσμως φευξόμεθα καὶ οὐκ εὐτάκτως εἰς Τροίαν παλιννοστήσομεν. (v. 228) Τὸ δὲ ὑποκρίνασθαι κἀνταῦθα, ὡς καὶ πρὸ τούτων τὸ ἀποκρίνασθαι, δηλοῖ ὅπερ μεθ’ Ὅμηρον εὕρηται λέγεσθαι. ἔχει δέ τι περὶ τούτου καὶ τὰ εἰς τὴν Ὀδύσσειαν. τινὲς δὲ τὸ ὑποκρίνεσθαι εἰς ταὐτὸν ἄγουσι τῷ εἰπεῖν τὰ ἐκ θεοῦ. Τὸ δὲ «ὃς θυμῷ εἰδείῃ» θυμόσοφον ἄνδρα ὑπολαλεῖ, ὁποῖον ἴσως καὶ ἑαυτὸν ὁ Πολυδάμας εἶναι βούλεται. (v. 229) Ὅρα δὲ καὶ ὅτι τὸ εἰδέναι γενικῇ συνέταξε συνήθως, εἰπὼν «εἰδείῃ τεράων», ἤγουν εἴδησιν ἔχοι καὶ ἐπιστήμην, ὡς καὶ πείθειν τοὺς ἀκούοντας λαούς. Ἰστέον δὲ καὶ ὅτι οὐχ’ ὡς ἁπλῶς φρόνιμος, ἀλλ’ ὡς καὶ τὰ τοιαῦτα τεχνίτης ὁ Πολυδάμας πέπλασται διακρίνων τὸ τέρας.

3.379 Φασὶ γὰρ Πάνθοον τὸν Πολυδάμαντος πατέρα Δελφὸν εἶναι, Τρῶας δέ ποτε θεοπρόπους ἐλθόντας αὐτόσε καὶ χρησμὸν περί τινων ἀναγκαίων λαβόντας ἀγαγεῖν αὐτὸν πρὸς Πρίαμον ἐξηγητὴν τοῦ χρησμοῦ, καὶ οὕτως αὐτὸν ἐν Τροίᾳ καταμεῖναι, γήμαντα τὴν Κλυτίου Προνόμην, ἐξ ἧς ὁ Πολυδάμας. ἦν οὖν ἐκ διαδοχῆς πατρικῆς μαντικός. διὸ καὶ εὐστόχως λύει τὰ τοῦ τέρατος. Σημείωσαι δὲ ὡς ἐπαινετὴ καὶ ἡ πρὸ τῆς λύσεως τοῦ τέρατος δημηγορία τῷ Πολυδάμαντι, ὃς οὐχ’ ὡς πρῴην κεχαρισμένα συμβουλευσόμενος, ἀλλ’ ἀποθύμιόν τι τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἕκτορι μέλλων εἰπεῖν καὶ ὑποπτεύων ὡς οὔτε πείσει, ἀλλὰ καὶ λυπήσει τὸν θρασὺν ἄρχοντα—θρασὺν γὰρ Ἕκτορα κἀνταῦθα ἐπίτηδες ἔφη ὁ ποιητής—θωπευτικῶς αὐτὸν προϋπέρχεται καὶ προδιορθώσεως χρώμενος σχήματι προλαμβάνει τὴν τοῦ βασιλέως ἐπίπληξιν, ὑπομαλάσσων αὐτόν. (v. 211—4) Καὶ πρῶτα εἰπὼν ὀνειδιστικῶς καὶ ὑποπίκρως, ὡς «ἀεὶ μέν πώς μοι ἐπιπλήσσεις ἐσθλὰ φραζομένῳ»—πικρὸν γάρ τινι τὸ ἀκοῦσαι, ὡς ἀεὶ ἐναντιοῦται ἀγαθαῖς συμβουλαῖς—, εἶτα ἐπάγει γνωμικῶς καὶ πιθανῶς κατά τινα κολακείαν καὶ ἅμα ἐπίτηδες εὐτελίζων ἑαυτὸν τὸ «ἐπεὶ οὐδὲ μὲν οὐδὲ ἔοικε δῆμον ἐόντα παρὲξ ἀγορευέμεν οὔτ’ ἐνὶ βουλῇ οὔτε ποτ’ ἐν πολέμῳ, σὸν δὲ κράτος αἰὲν ἀέξειν». (v. 215) Καὶ οὕτω καταμαλάξας ἀντιπαραστατικῶς λόγοις οὐ πρὸς ἀκρίβειαν ἀλλὰ κολακικώτερον ἐπιφέρει ἐνδοιαστικῶς καὶ ἐπιεικῶς τὸ δῆθεν ὑπότραχυ τῆς συμβουλῆς, προειπὼν καί, ὅτι νῦν αὖτ’ ἐξερέω, οὐχ’ ὥσπερ ἐστὶν ἄριστον, ἀλλ’ ὥς μοι δοκεῖ εἶναι ἄριστον ἢ ἄριστα. (v. 216—8) Τίς δὲ ἡ συμβουλή; «μὴ ἴομεν Δαναοῖσι μαχησόμενοι περὶ νηῶν. ὧδε γὰρ ἐκτελέεσθαι ὀΐομαι, εἰ ἐτεόν γε Τρωσὶν ὅδ’ ὄρνις ἐπῆλθε», καὶ τὰ ἑξῆς, ὡς προγέγραπται. Καὶ ὅρα ὅτι οὐδὲ εἶπεν ὡς ὧδε ἐκτελεσθήσεται, ἀλλὰ ἐκτελεσθῆναι ὀΐομαι, οὐδ’ ὅτι ἀληθῶς ἐπῆλθε τοῖς Τρωσὶν ὁ ὄρνις, ἀλλ’ ἐνδοιαστικῶς, εἰ ἐτεὸν ἐπῆλθεν. ὀκνεῖ γὰρ ἀποφήνασθαι τὸ ἀληθές, οἷα μηδὲ πείσεσθαι τὸν Ἕκτορα εἰδώς. (v. 228 s.) Διὸ καὶ ἐν τῷ τέλει τῆς δημηγορίας ἐπεσημήνατο, ὡς οὕτω ἂν ὑποκριθείη θεοπρόπος ἀνὴρ ἐπιστήμων, ᾧ λαοὶ πείθονται, ὑπεμφαίνων ὡς αὐτὸς μὲν οὐδὲν ἐνδοιάζει, ἀλλ’ εὖ εἰδὼς κρίνει, σχηματίζει δὲ ὅμως ἐνδοιαστικῶς, ἐπεὶ οὐχ’ ἕξει τὸν πεισθησόμενον. (v. 211) Ἰστέον δὲ ὅτι ἐν τῷ «ἀεὶ μέν πώς μοι ἐπιπλήσσεις», εἰ μὲν ἐγκλίνεται τὸ πως , ἐπιεικῶς ἐρρέθη, εἰ δὲ περισπᾶται, θαυμαστικῶς ἔχει. Τὸ δὲ «ἐπιπλήσσεις ἀγοραῖς» διαστολὴν δηλοῖ ἑτεροίας τινὸς πλήξεώς τε καὶ ἐπιπλήξεως.

3.380 εἴη δ’ ἂν τοιαύτη ἐπίπληξις πλῆξις ἀέρος κατά τινος ἐν λόγοις. (v. 212 s.) Τὸ δὲ «οὐδὲ μὲν οὐδὲ ἔοικε» τῇ διπλῇ ἀποφάσει ἀποτροπὴν τελείαν δηλοῖ τοῦ χρῆναι τὸν δημότην ἀντιλέγειν τῷ κρατοῦντι. Δῆμον γὰρ τῷ τοῦ ὅλου ὀνόματι λέγει τὸν ἕνα τοῦ δήμου καὶ διὰ τοῦτο ταπεινόν. Ὅτι δὲ οὐδὲ παρ’ Ἕλλησιν ἐχρῆν τοὺς δημότας ἀντιλέγειν τοῖς βασιλεῦσιν ὡς χώραν ἔχειν τὴν ἐφ’ ἅπασιν ἰσηγορίαν, ἐδήλωσε καὶ Ὀδυσσεύς, ἔνθα τοὺς μὲν ἡγεμόνας χρηστολογεῖ, ὃν δὲ ἂν τοῦ δήμου ἴδοι ἄνδρα βοῶντα, σωφρονίζει ῥάβδῳ ἐλάσας. Δῆλον δὲ ὅτι τε ἐπιεικῶς ὁ Πολυδάμας ψεύδεται δῆμον ἑαυτὸν λέγων ὁ μὴ τοιοῦτος ὢν ἀλλὰ τοῖς ἔξοχα ἀρίστοις συγκατειλεγμένος, καὶ ὅτι τὸν ἐνταῦθα ῥηθέντα δῆμον δημότην οἱ μεθ’ Ὅμηρον λέγουσι, παρ’ οἷς καί, ὅτι ὥσπερ φυλέτης καὶ πολίτης καὶ θιασώτης καὶ λοχίτης καὶ ἐθνίτης καὶ δαιταλεύς, οὕτω σχετικὸν καὶ ὁ δημότης κατὰ παρώνυμον κοινωνίαν. Δηλοῖ γὰρ Ἀττικῶς τὸν τοῦ αὐτοῦ δήμου μετέχοντα. καὶ Ἴωνες δὲ δημότας φασὶ τοὺς δημοτικούς. ἐπεὶ δὲ εὐτέλειά τις τῷ δήμῳ συνυπακούεται, ἤγουν τῷ ῥηθέντι δημότῃ ἀνδρί, δοκεῖ ἐντεῦθεν δημοῦσθαι ῥηθῆναι παρὰ τῷ φιλοσόφῳ Πλάτωνι τὸ παίζειν, ὡς ἑρμηνεύει Αἴλιος Διονύσιος. [Δῆλον δὲ ὅτι ἐκ τοῦ δημότης γίνεται Δωρικῇ τροπῇ τοῦ η εἰς α καὶ ἐπενθέσει τοῦ ι ἐν τῇ παραληγούσῃ ὁ Δαμοίτης, τὸ κύριον παρὰ Θεοκρίτῳ.] Τῷ δὲ «παρὲξ ἀγορεύειν» δηλοῖ τὸ παρὰ τὸ δέον ἢ τὸ παρὰ τὸ κελευόμενον, [ἵνα καὶ ἡ παρα καὶ ἡ ἐξ ἡ μὲν τὸ παρατετράφθαι τῆς ὀρθῆς, ἡ δὲ τὸ ἔξω αὐτῆς εἶναι δηλοῖ. δύναται δὲ καὶ τὸ ἐσχηματισμένως ἡ λέξις σημαίνειν, ἵνα συνήθως ἡ μὲν παρα ἐγγύτητα ἑρμηνεύοι ἡ δὲ ἐξ διάστασιν, ὅπερ ἴδιόν ἐστι τῶν ἐσχηματισμένων, ἐν οἷς καὶ ἐγγίζει ὁ λόγος φαινομένως τῇ ἀληθείᾳ, καὶ αὖ πάλιν ἔξω που αὐτῆς ἕστηκε τῇ διπλόῃ τῶν νοημάτων. Καὶ ἔστι καὶ οὕτω δεξιὰ ἡ λέξις,] ἐπιτετηδευμένης κἀνταῦθα τῷ ῥήτορι τῆς ἀμφιβολίας, κεῖται δὲ διὰ τοῦτο καὶ δίχα τινὸς συντάξεως. Ἰστέον γὰρ ὅτι οὐ μακρὰν ἐσχηματισμένου ἐστὶ καὶ ἡ τοῦ Πολυδάμαντος αὕτη δημηγορία. οὐ γὰρ ὡς φρονεῖ λαλεῖ, ἀλλὰ σχηματίζει διὰ τὸ θρασὺ τοῦ ἄρχοντος.

3.381

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτίκα, εἰ μὴ ἔοικε δῆμον ἐόντα ἀγορεύειν, διὰ τί δημογορία τὸ πρᾶγμα καλεῖται. καὶ ἄλλως δὲ δοκεῖ μὲν ἑαυτὸν δῆμον ὁ Πολυδάμας λέγειν, αἰνίττεται δὲ παντὶ ἂν τῷ δήμῳ ἀρέσειν ἃ λέγει. Καὶ τὸ παρὲξ δὲ ἀπολύτως λεχθὲν ἄδηλον, εἰ οὕτως ἢ οὕτως νοητέον, ὡς προσεχῶς ἐρρέθη, καὶ τὸ ἀεὶ δὲ αὔξειν τὸ τοῦ Ἕκτορος κράτος οὐκ εὖ ἔχει. Παρὰ γοῦν τοῖς Ἀχαιοῖς παρρησία τοῖς ἡγεμόσι πρὸς τὸν βασιλέα πολλή. Διομήδης μὲν γάρ πού φησι «Ἀτρείδη, σοὶ πρῶτα μαχήσομαι ἀφραδέοντι», καὶ Ὀδυσσεὺς «οὐλόμενε, ὤφελες ἀεικελίου στρατοῦ ἄλλου ἀνάσσειν». Ἕκτωρ δὲ ὁ θρασὺς βαρβαρικώτερον διακείμενος ἀποστρέφεται τὴν ἰσηγορίαν, ἐπιπλήσσων ἄρτι τῷ Πολυδάμαντι, καὶ ταῦτα ἐσθλὰ φραζομένῳ καὶ οὐδὲ δήμῳ ἐόντι, ὡς εἴρηται, ἀλλὰ τῶν ἀριστέων καὶ μεδόντων [καί, ὡς εἰπεῖν, δημογερόντων. ὧν καὶ ἡ κλῆσις σεμνὴ καὶ τὸ ἔργον λαμπρόν, ὡς καὶ ἡ γάμμα ῥαψῳδία ἐδήλωσεν.] Ἐσχημάτισται δὲ ὁμοίως, ὡς ἐρρέθη, καὶ τὸ «ὥς μοι δοκεῖ», καὶ τὸ «ἐκτελέεσθαι ὀΐω», καὶ τὸ «εἰ ἐτεόν». (v. 217) Καὶ ὅρα τὸ ἐκτελέεσθαι, χρησιμεῦον ἔνθα καὶ τὸ «οὐδ᾽ ἐτέλεσεν», ὡς πρὸ βραχέων εἴρηται. (v. 214) Ἐν δὲ τῷ «σὸν κράτος ἀέξειν» τὸ μὲν κράτος συλλαμβάνεταί τι τοῖς ὕστερον τὴν βασιλείαν κράτος λέγουσι, τῇ δὲ αὐξήσει τοῦ κράτους ἀντίκειται μείωσις καὶ ἡ κοινότερον λεγομένη ὑπόπτωσις. (v. 216) Τὸ δὲ «μαχησόμενοι περὶ νηῶν» ἀκριβῶς πρόσκειται. οὐ γὰρ ἁπλῶς ὁ ῥήτωρ ἀποτρέπει μάχεσθαι Ἀχαιοῖς, ἀλλὰ τὸ περὶ νηῶν μαχήσεσθαι μέμφεται ὡς πάνυ κινδυνῶδες. (v. 223) Τὸ δὲ «εἴ πέρ τε πύλας ῥηξόμεθα» λίαν δεινῶς κεῖται. οἱονεὶ γὰρ λέγει ἄδηλον εἶναι ὥσπερ εἰ ἐτεὸν Τρωσὶν ὅδ᾽ ὄρνις ἐπῆλθεν, οὕτω καὶ εἴπερ πύλας καὶ τεῖχος Ἀχαιῶν ῥηξόμεθα. (v. 224) Τὸ δὲ «σθένεϊ μεγάλῳ» τὸν ἀλλαχοῦ μεγασθενῆ συντίθησιν. (v. 230 s.) Ὅτι οὕτω θρασὺς ὁ Ἕκτωρ, ὡς καὶ ὑπόδρα ἰδεῖν τὸν σοφὸν Πολυδάμαντα καὶ αὐτὰ ἐκεῖνα εἰπεῖν ὡς ἐκ διδασκάλου πρὸς μάθησιν ἀπογραψάμενον, ὅσα καὶ ὁ ἄφρων Ἀλέξανδρος φθάσας ἔφη τῷ εἰς ἀγαθὸν συμβουλεύοντι, «Πουλυδάμα, σὺ μὲν οὐκέτ᾽ ἐμοὶ φίλα ταῦτ᾽ ἀγορεύεις». καὶ οὐκ ἐπαινεῖ [οὐδ᾽ αὐτὸς] τὸν Πολυδάμαντα ὡς εὖ εἰπόντα, ψέγει δὲ ὡς μὴ φίλα αὐτῷ ἀγορεύοντα. (v. 233—40) Εἶτα καὶ νομίσας ἴσως ἀληθῶς ἐνδοιάσαι τὸν Πολυδάμαντά φησιν «οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι. εἰ δ᾽ ἐτεὸν δὴ τοῦτον ἀπὸ σπουδῆς ἀγορεύεις», ἤτοι [σπουδαίως,] ἀπὸ σκέψεως καὶ κρίσεως, «ἐξ ἄρα δή τοι ἔπειτα θεοὶ φρένας ὤλεσαν αὐτοί, ὃς κέλεαι Ζηνὸς μὲν ἐριγδούποιο λαθέσθαι βουλέων, ἅς τέ μοι αὐτὸς ὑπέσχετο καὶ κατένευσε.

3.382 τύνη δέ», ἤγουν σύ, Δωρικῶς, ὡς καὶ ἀλλαχοῦ κεῖται, «οἰωνοῖσι τανυπτερύγεσσι κελεύεις πείθεσθαι, τῶν οὔ τι μετατρέπομαι», ὅ ἐστιν ἐπιστρέφομαι, «οὐδ᾽ ἀλεγίζω, εἴτ᾽ ἐπὶ δεξι᾽ ἴωσι πρὸς ἠῶ τ᾽ ἠέλιόν τε, εἴτ᾽ ἐπ᾽ ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα». Λέγει δὲ ταῦτα ὁ Ἕκτωρ οὐ τὴν μαντικήν, φασίν, ἀναιρῶν, ἀλλὰ τὴν γνώμην τοῦ Διὸς προτιμῶν. διὸ καὶ πάνυ σεμνὸς αὐτῷ ὁ λόγος καὶ ὑπέρφρων καὶ οὐδὲν ἔχων ταπεινόν. ὁ μέντοι συνετὸς καὶ θεὸν τιμήσει καὶ οἰωνοῖς, φασί, πείσεται. Σημειοῦνται δ᾽ ἐνταῦθα οἱ παλαιοὶ καὶ ὅτι τῇ εἰς ἄτοπον ἀπαγωγῇ φιλοσόφως χρᾶται ὁ Ἕκτωρ. προϋπόκειται μὲν γὰρ ὡς ὁμολογούμενον, ὅτι πειστέον Διῒ ἐπιτάττοντι ἐπελθεῖν ταῖς ναυσίν, ὁ δὲ οἰωνὸς δοκεῖ προτρέπειν ἀναχωρεῖν. εἰ γοῦν ἀναχωρητέον, ὡς δοκεῖ τῷ Πολυδάμαντι, οὐ πειστέον ἄρα τῷ Διΐ. (v. 241 s.) Διὸ ἐπάγει «ἡμεῖς δὲ μεγάλοιο θεοῦ πειθώμεθα βουλῇ, ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει». οὐ γὰρ Διὸς μὲν ἐπιληστέον τοῦ μεγάλου, πειστέον δὲ ὀρνέοις τοῖς μὴ τοιούτοις. Ταῦτα δὲ διαλεκτικῶς ὡς ἀμφοτερόγλωσσος μεταχειρίζεται ὁ ποιητής, διδάσκων ὡς παντὶ λόγῳ λόγος παλαίει. διὸ καὶ ταῖς ἐπιστημονικωτάταις τῶν τεχνῶν ὑποκάθηταί τις ἀντιλογία, ὡς καὶ νῦν ὁ Ἕκτωρ κατεπιχειρεῖ τῆς οἰωνοσκοπητικῆς. καὶ ἀλλαχοῦ δέ τις λέγει παρὰ τῷ ποιητῇ, ὅτι «ὄρνιθες δέ τε πολλοὶ ὑπ᾽ αὐγὰς ἠελίοιο φοιτῶσιν, οὐδέ τε πάντες αἰνέσιμοι.» καὶ ὁ φιλόμηρος δὲ Σοφοκλῆς ποιεῖ τὴν Ἰοκάστην καθ᾽ ὁμοιότητά τινα τοῦ Ἕκτορος τραχυνομένην κατὰ τῆς μαντικῆς καὶ ἀνατρέπειν πειρωμένην αὐτήν. (v. 217 s.) Ἰστέον δὲ ὅτι δοκεῖ ὁ Πολυδάμας αὐτὸς ἐνδοῦναι λαβὴν ἀντιλογίας τῷ Ἕκτορι, ἐν οἷς ἔφη τὸ «ὧδε γὰρ ἐκτελέεσθαι ὀΐομαι, εἰ ἐτεόν γε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τρωσὶν ὅδ’ ὄρνις ἐπῆλθεν». ἐντεῦθεν γὰρ λαβὼν ἀφορμὴν ὁ Ἕκτωρ, ὡς ἐνδοιάζοντος δῆθεν τοῦ ῥήτορος, ἀντιλαλεῖ. Ἰστέον δὲ ὅτι οὐχ’ ὥσπερ Αἴας Αἴαντος ὦ Αἶαν, ἀποβολῇ τῆς τος συλλαβῆς, οὕτω καὶ ὦ Πολυδάμαν. Παραδιδόασι γὰρ οἱ Τεχνικοὶ τὰ λήγοντα εἰς μας ἀρσενικὰ τοιαῦτα δίχα τοῦ νῦ προφέρειν τὴν κλητικήν· ὦ Ἀκάμα, ὦ Πουλυδάμα.

3.383 (v. 235) Τὸ δὲ «Ζηνὸς βουλέων» ὅμοιόν ἐστι τῷ Διὸς βουλῇ, ὃ ἐν τῇ ἄλφα ῥαψῳδίᾳ κεῖται. Ὑπόσχεσις δὲ Διὸς καὶ κατάνευσις κἀνταῦθα ἡ διὰ τῶν φθασάντων ἐξ αἰθέρος τεράτων σημείωσις τοῦ μέλλοντος. διὸ πρὸς ἔμφασιν τούτου ἔφη «Ζηνὸς ἐριγδούποιο». (v. 239 s.) Ἐν δὲ τῷ «εἴτ’ ἐπὶ δεξιὰ πρὸς ἠῶ τε ἠέλιόν τε, εἴτ’ ἐπ’ ἀριστερὰ ποτὶ ζόφον», οἱ μὲν τοῦ δεξιὰ ἐφερμηνευτικὸν ἐδέξαντο τὸ πρὸς ἠῶ καὶ ἥλιον, δεξιὰ νοοῦντες τὰ ἑῷα, ἤτοι ἀνατολικά, τοῦ δ’ ἐπ’ ἀριστερὰ ἑρμηνείαν εἶπον τὸ πρὸς ζόφον, ἀριστερὰ λέγοντες τὰ δυτικά. Ἕτεροι δὲ δεξιὰ μὲν εἶπον τὰ νότια, ἀριστερὰ δὲ τὰ βόρεια, λέγοντες καὶ πρὸς τῇ ἄρκτῳ τυχεῖν εἶναι νῦν τὴν στάσιν τῷ Ἕκτορι ὡς εἰς τὸν Βορρᾶν αὐτὸν ἀφορᾶν. ὥστε τῷ λόγῳ τούτῳ τὰ τέσσαρα σημεῖα τοῦ κόσμου ἐνταῦθα ἐκκεῖσθαι παρὰ τῷ ποιητῇ, δεξιά, ὅ ἐστι κατὰ τὴν δευτέραν ἐξήγησιν νότια, ἀριστερά, τουτέστι βόρεια, καὶ ἠῶ καὶ ζόφον, ἤγουν ἀνατολὴν καὶ δύσιν, καὶ ἰδοὺ ὁμοῦ τὰ τέσσαρα ἐν στίχοις δυσίν. Ἰστέον δὲ ὅτι νῦν μὲν ἐν δυσὶ μέρεσι λόγου κεῖται τὸ «ἐπὶ δεξιά», ὥσπερ καὶ ὅτε δηλοῖ τὸ ἐκ τῶν δεξιῶν ἄρχεσθαι, οἷον «ὄρνυσθε δ’ ἑξείης ἐπὶ δεξιὰ πάντες ἄριστοι», ὅτε δὲ ἀντὶ τοῦ ἐπιδεξίως ληφθῇ, προπαροξύνεται, φασίν, ὁμοίως τῷ «ἐνδέξια πᾶσιν ἐκίρνα». [Ὁμοίῳ δὲ τόνῳ καὶ ἐπιδέξια λέγονται σώματος μέρη τὰ καὶ ἐπιτήδεια, ἤγουν τὰ καιρώτατα.] (v. 243) Τοῖς δὲ ῥηθεῖσιν ἐπάγει γνωμικῶς ὁ Ἕκτωρ καὶ τὸ «εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης», παιδεύων μὴ δεῖν μισοπάτριδα εἶναί τινα. Ὁ δὲ νοῦς [τῆς πιθανῆς ταύτης γνώμης] τοιοῦτος· πολλῶν ἐπιφαινομένων τανυπτερύγων καὶ οὕτω πετομένων, ὅποι νεύσαιεν, οἰωνῶν, εἷς ἄριστος, ὁ ἀμύνειν τῇ πατρίδι ὑποτιθεὶς ἢ δηλῶν ἢ σημαίνων ἤ τι τοιοῦτον. ἐλλειπτικῶς γὰρ εἴρηται. δύναται δὲ νοηθῆναι καὶ ὅτι εἷς οἰωνὸς ἄριστος, αὐτὸ τοῦτο τὸ ἀμύνειν τῇ πατρίδι, ἵνα εἴ τί ποθεν ἴδοι ἢ αὐτὸς ἔχοι προθυμίαν ἐπὶ ἀμύνῃ πατρίδος, ἡγοῖτο τοῦτον οἰωνόν, ἤτοι σύμβολον ἀγαθοῦ τινος. [Τὸ δὲ τοιοῦτον γνωμικὸν παλαιός τις παρῳδήσας παικτικώτερον ἔφη τὸ «εἷς οἰωνὸς ἄριστος ἀμύνασθαι περὶ δείπνου». δύναται δὲ ὁμοίῳ τρόπῳ αὐτὸ καὶ ἐπὶ ἑτέρων πλειόνων οὕτω μεταποιεῖσθαι.] Ἐπὶ δὲ τούτοις καὶ ὑποπτεύων ὁ Ἕκτωρ, ὡς διὰ δειλίαν ὁ Πολυδάμας συμβουλεύει ἀναχώρησιν, ὀνειδίζει λέγων, ὃ δὴ καὶ πᾶς τις εἴποι ἂν πρὸς ἄναλκιν ἄνδρα κωλύοντα μάχεσθαι.

3.384 (v. 244—7) Φησὶ γὰρ «τίπτε σὺ δείδοικας πόλεμον καὶ δηϊοτῆτα», ὧν μία σημασία, «εἴ περ γάρ τ’ ἄλλοι γε περικτεινώμεθα πάντες νηυσὶν ἐπ’ Ἀργείων, σοὶ δ’ οὐ δέος ἐστὶν ἀπολέσθαι, οὐ γάρ τοι κραδίη μενεδήϊος οὐδὲ μαχήμων». Ἔστι δὲ τὸ μενεδήϊος ἶσον τῷ μενεπτόλεμος. (v. 248—50) Εἶτα ὑπεραναβὰς ὁ Ἕκτωρ τὸ ὑπόδρα τὸν Πολυδάμαντα ἰδεῖν ἀπειλεῖ καὶ ὅτι «εἰ δὲ σὺ δηϊοτῆτος ἀφέξεαι ἠέ τιν’ ἄλλον παρφάμενος ἐπέεσσιν ἀποστρέψεις πολέμοιο, αὐτίκα ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσεις». Καὶ νῦν μὲν ὁ Ἕκτωρ βαρβαρόθυμος καὶ θρασύς, εἰ τῷ τοιούτῳ οὕτω προσφέρεται, κινδύνῳ δ’ ἐν τοῖς ἑξῆς περιπεσὼν μεμνήσεται τοῦ Πουλυδάμαντος [ἐπιμηθῶς,] καὶ τὴν ἐξ αὐτοῦ ἐλεγχείην εὐλαβηθεὶς μενεῖ τὴν μάχην καὶ πεσεῖται. (v. 249) Τὸ δὲ «παρφάμενος» οὐχ’ οὕτως ἀντὶ τοῦ παραινέσας ἢ παραπείσας, ὡς ἀντὶ τοῦ παραλογισάμενος πιθανότητι λόγων, ὁποῖόν τι δῆθεν ὁ Πολυδάμας καὶ ἐπὶ Ἕκτορι προέθετο ποιῆσαι, ὡς αὐτὸς οἴεται. Ὅρα δὲ καὶ τὸ ὑπομενετικὸν τοῦ σοφοῦ. ἀμείβεται γὰρ οὐδὲν ὁ συνετὸς Πολυδάμας τὸν θρασὺν ἀπειλητῆρα, ἴσως μὲν ὑποδεδιώς, (v. 251 s.) τυχὸν δὲ καὶ ὅτι φωνήσας ταῦτα ὁ Ἕκτωρ εὐθὺς ἡγήσατο, οἳ δ’ ἅμ’ ἕποντο ἠχῇ θεσπεσίῃ. (v. 252—7) Ὅτι πρὸς τοῖς ἄλλοις οἷς ἐδυστύχουν Ἕλληνες, καὶ τοιοῦτόν τι, ὡς εἰκός, προσεπεγένετο «Ζεὺς τερπικέραυνος ὦρσεν ἀπ’ Ἰδαίων ὀρέων ἀνέμοιο θύελλαν, ἥ ῥ’ ἰθύς», ἤγουν ἥτις δὴ κατ’ εὐθύ, «νηῶν κονίην φέρεν, αὐτὰρ Ἀχαιῶν θέλγε νόον, Τρωσὶ δὲ καὶ Ἕκτορι κῦδος ὄπαζε. τοῦ περ δὴ

τεράεσσι πεποιθότες ἠδὲ βίῃφι ῥήγνυσθαι μέγα τεῖχος Ἀχαιῶν πειρήτιζον». Ὁ παραφράζων ἐν τοῖς ἑξῆς φησιν «ἔλποντο δὲ τεῖχος Ἀχαιῶν ῥήξειν», καὶ πάλιν «πειρῶντο βίῃ ῥήξαντες εἰσελθεῖν». (v. 255) Ὅτι δὲ τὸ θέλγειν οὐκ ἐπὶ ἡδονῆς κεῖται παρὰ τῷ ποιητῇ, ὡς ἡ ὕστερον ἔχει χρῆσις, δῆλον μὲν καὶ νῦν φανερῶς, καὶ ἐν ἄλλοις δὲ πολλαχοῦ ὁ ποιητὴς αὐτὸ παριστᾷ. ὅλως γὰρ φυσικῆς ἐνεργείας ἔκστασιν τὸ θέλγειν δηλοῖ, ὡς φανεῖται καὶ ἐν οἷς ὁ Πάτροκλος πείσεται, ἵνα ᾖ θέλγειν τὸ οὗ θέλει τις ἀπάγειν. Ζεὺς δὲ ἐγείρειν ἀνέμου ἐνταῦθα θύελλαν λέγεται καὶ κονίην φέρειν ἰθὺς νηῶν, ἢ ὁ εἰς εἱμαρμένην ἐκλαμβανόμενος, ἢ μᾶλλον ὁ ἀήρ. (v. 252) Διὸ καὶ Ζεὺς ἐρρέθη τερπικέραυνος, οὗ καὶ τὰ ῥηθέντα τέρατα καὶ τὸ εἰς τὸν Ἕκτορα κῦδος νικῶντα διὰ τὸ ἐπισκοτεῖσθαι τοὺς Ἀχαιούς. (v. 253) Ἀπὸ Ἰδαίων δὲ ὀρέων ὄρνυται ἀνέμου θύελλα διὰ τὸ ἐκείνων καὶ πολυπίδακον καὶ πολυπόταμον, ὡς αὐτὸς ὁ ποιητὴς ἱστορεῖ.

3.385 (v. 254) Ὅρα δὲ καὶ ὅπως ἔχων εἰπεῖν «θύελλαν, ἣ ἰθὺς νηῶν κονίην φέρεν», εἵλετο πάλιν, ὡς αὐτὸς φιλεῖ, διὰ τοῦ ῥὰ συνδέσμου θεραπεῦσαι συναλειπτικῶς τὸ χάσμημα. (v. 256) Τὸ δὲ «ἠδὲ βίῃφι» ἀμφιβόλως ἔχει. ἢ γὰρ τὴν τοῦ Διὸς βίαν δηλοῖ, ἢ τὴν τῶν Τρώων. (v. 258—60) Ὅτι ἐν τῷ «κρόσσας μὲν πύργων ἔρυον καὶ ἔρειπον ἐπάλξεις, στήλας τε προβλῆτας ἐμόχλεον, ἃς ἄρ Ἀχαιοὶ πρώτας ἐν γαίῃ θέσαν ἔμμεναι ἔχματα πύργων» κρόσσαι μὲν κατά τινας αἱ ἄκραι τῶν πύργων καὶ οἷον κόρσαι καὶ κεφαλαί. διὸ καὶ ἐξοχὰς αὐτὰς καλοῦσι καὶ κεφαλίδας οἱ παλαιοί, ἃς καὶ καθεῖλκον οἱ Τρῶες, καθαιροῦντες εἰς γῆν. μέμνηται δὲ αὐτῶν καὶ μετ’ ὀλίγα ὁ ποιητὴς ἐν τῷ «κροσσάων ἐπέβαινον». Ἀρίσταρχος δὲ πολεμικὰς κλίμακας ὑποτρόχους τὰς κρόσσας νοεῖ, ἤτοι μηχανὰς κλιμακώδεις. Τινὲς δέ φασιν, ὅτι κρόσσαι λίθοι ἐπὶ κορυφῆς τοῦ τείχους προνεύοντες, ἐφ’ ὧν καὶ ἐπάλξεις ἦσαν. διὸ καὶ συγκαταπίπτουσιν αἱ ἐπάλξεις ταῖς κρόσσαις. Οἱ δέ τινές φασιν, ὅτι κρόσσαι αἱ τῶν πύργων ἐξοχαί, ὡς καὶ κροσσοὺς ἱματίων φαμέν. Ἄλλοι δὲ οὕτω φασίν· κρόσσαι ὄργανα πρὸς τειχομαχίαν ἐπιτήδεια, ἔχοντα ἔνδον ἀνάβασιν καλυπτομένην, ἕως ἂν εἰς τοὺς πύργους ἀνέλθῃ ὁ τειχομαχῶν. οἱ δὲ τοιοῦτοι καὶ τὸ «κρόσσας μὲν πύργων ἔρυον» οὕτω νοοῦσιν, ὅτι τὰς κρόσσας, ὅ ἐστι τὰς τοιαύτας κλίμακας, κατὰ τῶν πύργων ἔρυον. ὅπερ οἱ μὴ ἀποδεχόμενοί φασι μὴ εἰδέναι τὸν ποιητὴν τὴν τοιαύτην μηχανήν, ἄλλως τε καὶ τοῦ τείχους ταπεινοῦ, φασίν, ὄντος, ὡς ἡ τοῦ Σαρπηδόνος δεικνύει προσβολή, ὃς ἔπαλξιν λαβὼν χερσὶ στιβαραῖς κατέρριψεν. [Ἐν δὲ τοῖς τοῦ Ἀθηναίου φέρεται χρῆσις ὁμοία τοῖς ἐνταῦθα κειμένη παρὰ Ἀγαθοκλεῖ Βαβυλωνίῳ αὕτη «καὶ οἱ Κυζικηνοὶ ἐξορμήσαντες ἐπ’ αὐτὸν ἐβοηδρόμουν, πρόκροσσοι φερόμενοι ἐπὶ τὸν κίνδυνον». Καὶ ἴσως μὲν δηλοῖ τροπικώτερον ἐκεῖ τὸ «πρόκροσσοι» βαθμηδόν, κλιμακηδόν, κατὰ στίχας, κατὰ ἐπαλληλίαν, εὐτάκτως, ἴσως δὲ μᾶλλον τὸ ἐπὶ κλιμάκων ἢ μετὰ κλιμάκων πολεμικῶν, ἃς ἐξανίστων κατ’ ἐκείνου, ἔνθα ἐφυλάττετο.

3.386 ] (v. 258) Ἐπάλξεις δὲ οἱ προμαχῶνες, ἐφ’ ὧν ἐστι τοῖς ἄνωθεν μαχομένοις τὸ ἀλαλκεῖν, ἤτοι βοηθεῖν. παρὰ γὰρ τὸ ἄλκω ἄλξω γίνεται. Κατέβαλον δὲ ταύτας οἱ Τρῶες γυμνοῦντες τὸ τεῖχος τῶν ἐν αὐταῖς κρυπτομένων μαχητῶν. (v. 262—4) Διὸ ἀναγκαίως οἱ Ἀχαιοὶ ἀναπληροῦσι τὸ λεῖπον εὐθὺς ῥινοῖσι βοῶν, ἤγουν ἀσπίσι, φράξαντες ἐπάλξεις, ἤτοι τὰ διάκενα τῶν ἐπάλξεων, ὅτε καὶ βάλλον ἀπ’ αὐτάων δηΐους ὑπὸ τεῖχος ἰόντας καὶ ἀναμοχλεύοντας. (v. 259) Στῆλαι δὲ προβλῆτες, ἃς καὶ ἔχματα πύργων εἶπε, τὰ ἐξέχοντα τῶν θεμελίων, ἢ αὐτοὶ οἱ θεμέλιοι, ἐφ’ ὧν τὸ τεῖχος ἵσταται. (v. 260) Φησὶ γὰρ «ἃς Ἀχαιοὶ πρώτας ἐν γαίῃ θέσαν». ὧν τὸ χρήσιμον δεσμὸς τείχους, διὸ Τρῶες αὐτὰς αὖ ἐρύοντες ἔλποντο τεῖχος Ἀχαιῶν ῥήξειν. Ἕτεροι δὲ στήλας προβλῆτάς φασι τὰς λεγομένας ἀντήρειδας, ἃς οἱ μὲν διὰ διφθόγγου γράφουσιν ἐν τῇ τρίτῃ συλλαβῇ μετὰ τὴν ἄρχουσαν κατὰ τοὺς σημειωσαμένους τὸ κλείς καὶ τὸ ἀντήρεις, οἱ δὲ διὰ τοῦ ι κατὰ τὸν στιχίσαντα «κρήμνη σεαυτὴν ἐκ μέσης ἀντήριδος», ἤτοι μεσόδμης. τέως γε μὴν προβλῆτες κατά τινας αἱ λεγόμεναι καὶ ἀντήριδες, οἷα τὰ λεγόμενα ἰκριώματα, ἃ ἔξωθεν ἐπ’ ἀσφαλείᾳ τείχους πρῶτα τίθενται, ἤτοι πρόκεινται καὶ προβέβληνται, ἀντερείδοντα. περὶ ὧν

τινες καὶ οὕτω φράζουσι. στῆλαι προβλῆτες, πλάκες μεγάλαι πρὸ τοῦ τείχους, [προβεβλημέναι τοῦ ἐδάφους καὶ συνηρμοσμέναι ἀλλήλαις ὑπὸ πόδα τοῦ τείχους] ἀντὶ ἐρύματος. καὶ ἴσως τοιαύτην στήλην καὶ ὁ Ἕκτωρ μετ' ὀλίγα βαλὼν τὰς πύλας ἔρριψε. (v. 258) Τὸ δὲ «ἐμόχλεον» πρωτότυπόν ἐστι τοῦ ἐμόχλευον, ἑρμηνεία δὲ αὐτοῦ κατωτέρω τὸ «αὖ ἔρυον», ὁ δὴ σκοπός ἐστιν ἐνταῦθα τῆς μοχλεύσεως τοῖς Τρωσί. (v. 261) [Καὶ ὅρα τὸ ῥηθὲν «αὖ ἔρυον» πολλὴν διαφορὰν ἔχον πρὸς τὸ αὖ ἔρυσαν ἢ αὐέρυσαν τὸ θυτικόν, περὶ οὗ προδεδήλωται.

3.387 ] (v. 260) Ἔχματα δὲ πύργων οὐ μόνον τά, ὡς ἐρρέθη, ἐξέχοντα, ἀλλὰ καὶ αἱ συνοχαί, ὡς καὶ ἐν τῷ «πέτρης ἀναιδέος ἔχματα», καὶ «ἁμάρης ἐξ ἔχματα βάλλων». γίνεται δὲ τὸ μὲν ἔχμα ἐκ τοῦ ἔχω, ἀφ' οὗ καὶ ξυνοχή καὶ συνοχμὸς ὁδοῦ ὁ στενωπός, καὶ πλεονασμῷ Ἀττικῷ συνεοχμός, καὶ νεοχμόν, τὸ ἔχον νεότητα. παρὰ δὲ τὸ ἔχμα ἐχμάζειν, τὸ κωλύειν καὶ ἐπέχειν, καὶ ἐχμάσαι, κατασχεῖν, ἑλεῖν, ὡς ἐν ῥητορικῷ εὕρηται Λεξικῷ. τοῦτο δὲ παρ' Εὐριπίδῃ διὰ τοῦ ο κεῖται ἐν τῷ «μέσον μ' ὀχμάζεις ὡς βάλῃς εἰς Τάρταρον». (v. 263) Τὸ δὲ «ῥινοῖς βοῶν» σαφέστερον τοῦ «βόας αὔας» καὶ «βῶν ἀζαλέην» καὶ τῶν ὁμοίων. Τοῦ δὲ «φράξαντες» οὐκ ἔστι καιριωτέραν λέξιν εἰπεῖν, ἀφ' ἧς, ὡς πολλαχοῦ ἐρρέθη, καὶ ὁ παρὰ τοῖς μεθ' Ὅμηρον κατάφρακτος. (v. 265—8) Ὅτι «ἀμφοτέρω Αἴαντε κελευτιόωντ' ἐπὶ πύργων πάντοσε φοιτήτην μένος ὀτρύνοντες Ἀχαιῶν. ἄλλον μειλιχίοις, ἄλλον στερεοῖς ἐπέεσσι νείκεον, ὅν τινα πάγχυ μάχης μεθιέντα», ἤγουν ἀμελοῦντα, «ἴδοιεν». ὁ δὴ φθάσας ὁ ποιητὴς περὶ Ὀδυσσέως καὶ Ἀγαμέμνονος πλατύτερον ἔφρασε, δεινὸς ὢν ἐπὶ τῶν αὐτῶν ἐννοιῶν στρέφεσθαι οὕτω καὶ οὕτω πολυτρόπως. (v. 269—71) Καὶ οἱ μὲν Αἴαντες ἐνταῦθά φασιν «ὦ φίλοι Ἀργείων ὅς τ' ἔξοχος ὅς τε μεσήεις ὅς τε χερειότερος, ἐπεὶ οὔ πω πάντες ὁμοῖοι ἀνέρες ἐν πολέμῳ, νῦν ἔπλετο ἔργον ἅπασι. καὶ δ' αὐτοὶ τόδε που γινώσκετε». Ταῦτα δὲ καὶ πᾶς τις ἂν εἴποι ἐν κινδυνώδει πολέμῳ ἐρεθίζων τινὰς εἰς ἔργον. Καὶ οὕτω μὲν οὗτοι ἁπλοϊκώτερον καὶ πρὸς ἀλήθειαν ἀνεμέσητον. Τοῦ γὰρ στρατοῦ πάντως οἱ μὲν ἄριστοι, οἱ δὲ ἀβληχροί, οἱ δὲ μέσοι. [Καὶ ἔστι μὲν καὶ αὐτὸ κρᾶμα μειλιχίου ἤθους καὶ στερεοῦ. μειλίχιον μὲν γὰρ λίαν τὸ «ὅς τε ἔξοχος», ἐπ' ἔλαττον δὲ τὸ «ὅς τε μεσήεις», ἔνθα ἡ παραγωγὴ τοῦ μεσήεις ἐκ τοῦ μέσος, στερεὸν δὲ τὸ «ὅς τε χερειότερος». ἐν οἷς καὶ κάλλος ποιεῖ ἐπαναφορικὸν τὸ «ὅς τε» τρὶς τεθέν. Φορητὸν δὲ ὅμως τὸ ῥηθὲν κρᾶμα διὰ τὸ πανάληθες καὶ πᾶσι γνωστόν. (v. 272) Καὶ αὐτοὶ γάρ, φασί, «τόδε που γινώσκετε», ὃ καὶ αὐτὸ ἔχει τι βαρύτητος. Οὐ γὰρ ἁπλῶς ἔφασαν, ὡς καὶ αὐτοὶ τοῦτο γινώσκετε, ἀλλά που, ἤγουν ἴσως, ὡς εἰκὸς ὄν τινας ἀγνοεῖν διὰ τὸ φίλαυτον. καὶ οὕτω μὲν οἱ Αἴαντες.] Ἰδομενεὺς δὲ ἐν τοῖς ἑξῆς κρητίζων σιγᾷ τὴν τοῦ στρατοῦ ἀνισότητα, οἰκονομικῶς εἰς ἰσότητα πάντας ἄγων, ἵνα μή τις ἀνανδρίαν προφασίζηται.

3.388 Φησὶ γὰρ «οὔ τις ἀνὴρ αἴτιος, ὅσσον ἔγωγε γινώσκω. πάντες γὰρ ἐπιστάμεθα πολεμίζειν, οὔ τέ τινα δέος ἴσχει, οὔ τέ τις ὄκνῳ εἴκων ἀναδύεται πόλεμον». Ἐν οἷς σημείωσαι, ὅπως ὁ ποιητὴς πρὸς καιροὺς ἐναντίοις χρᾶται νοήμασιν. Αἴαντες μὲν γὰρ διαφορὰν οἴδασι στρατοῦ, Ἰδομενεὺς δὲ πάντας ἴσους, εἰ καὶ μὴ οἶδεν, ἀλλὰ οἰκονομικῶς λέγει. (v. 272—6) Φασὶ δὲ οἱ Αἴαντες καί, ὅτι «μή τις ὀπίσσω τετράφθω ποτὶ νῆας ὁμοκλητῆρος ἀκούων», τουτέστι τοῦ ἀλαζόνος Ἕκτορος, ὅς, ὡς εἰπεῖν, ἀπειλή ἐστιν αὐτόχρημα, «ἀλλὰ πρόσω ἵεσθε», ὅπερ ἐναντίον ἐστὶν [ἀντιθετικῶς] τῷ ὀπίσω τετράφθαι, «καὶ ἀλλήλοισι κέλεσθε, αἴ κε θεὸς δῴησιν Ὀλύμπιος δηΐους προτὶ ἄστυ δίεσθαι», ὅ ἐστι διῶξαι. (v. 265) Ἰστέον δὲ ὅτι τὸ «κελευτιόωντε» ἀντὶ τοῦ ἐγκελευόμενοι κεῖται, ὃ μετ' ὀλίγα διασαφῶν φησι «προβοῶντε μάχην ὤτρυνον». οὔκουν ἀκριβὲς κελευθιόωντας ἐπὶ πύργων Αἴαντας εἰπεῖν. [(v. 266) Τὸ δὲ «φοιτήτην» ἀναλόγως μὲν κοινότερον διὰ τοῦ η ἔχει τὴν παραλήγουσαν ὡς ἐκ τοῦ φοιτάω φοιτῶ. εἰ δὲ κατά τινα τῶν ἀντιγράφων διὰ διφθόγγου γράφεται φοιτείτην ὡς τὸ κομείτην, ζητητέον εἴ που εὕρηται φοιτέω, ὡς κομέω καὶ ποιέω, ἵνα ἐκεῖθεν ἡ δίφθογγος ᾖ.] (v. 267) Ἐν δὲ τῷ «ἄλλον μειλιχίοις» λείπει διὰ συντομίαν ῥῆμα, ἢ τὸ ὤτρυνον ἀπὸ κοινοῦ, ἢ ἕτερόν τι τοιοῦτον. ἴσως δὲ καὶ ἐκ τοῦ

«νείκεον» χρὴ ἀντιλαβεῖν συνήθως τὸ ἐξ ἀναλόγου πρέπον ῥῆμα, ἵνα ὥσπερ τὸν μεθήμονα νείκεον στρατηγικῶς, οὕτω τὸν μὴ τοιοῦτον εὐλογοῖεν μειλιχίοις ἔπεσι. διπλῆ δὲ ἡ ἔλλειψις ἐν τῷ «ἄλλον μειλιχίοις». τὸ μὲν γὰρ «μειλιχίοις» λείπεται ῥήματος, ὡς ἐρρέθη, τὸ δὲ «ἄλλον» ἀπαιτεῖ νοεῖν ἐξ ἐναντίου τὸν μὴ μεθήμονα, ἵνα λέγῃ, ὡς οἱ Αἴαντες τὸν μὲν ἐπιμελῆ εὐλόγουν, τὸν δὲ μεθιέντα νείκεον. καὶ ἔστι πάνυ γοργὸν [ἐξ ἀοριστίας] τὸ χωρίον. (v. 270 s.) Τὸ δὲ «οὐ πάντες ὁμοῖοι ἄνδρες ἐν πολέμῳ» γνωμικῶς ἐρρέθη. ἔνθα ἐπαινοῦσιν οἱ παλαιοὶ τὴν προσθήκην τοῦ «ἐν πολέμῳ», λέγοντες, ὅτι πρὸς τὴν ἐνεστῶσαν κατάστασιν τοῦτο πρόσκειται.
3.389 νῦν μὲν γὰρ πάντες ὅμοιοι καὶ χρήσιμοι ἐπίσης ὡς ἀπὸ τείχους ἀμυνόμενοι, ὅπου καὶ γυναῖκές ποτε τοῦτο ποιοῦσιν, οὐ μὴν καὶ ἐν αὐτῷ ἁπλῶς πολέμῳ πάντες ὅμοιοι. Καὶ σημείωσαι, ὡς καὶ ἐντεῦθεν ἔστι συμβιβάσαι τὴν δοκοῦσαν διαφωνίαν ἐν τοῖς προσεχῶς ῥηθεῖσι λόγοις τῶν τε Αἰάντων καὶ τοῦ Ἰδομενέως. Ἔχει δέ τι καὶ ἄλλως ἀστεῖον ἡ ῥηθεῖσα γνώμη. ἔοικε γὰρ νοεῖν ὡς, εἰ καὶ ὁ πόλεμος ὁμοίϊος λέγεται, ἀλλ' οὐχ' οὕτω καὶ οἱ ἐν πολέμῳ. [Τὸ δὲ «οὔπω» δοκεῖ ἔχειν τι ἀστειότητος. οἱονεὶ γὰρ λέγει ὅτι, καθάπερ οὔπω ἀνέκαθεν μέχρι καὶ νῦν οἱ ἄνδρες πάντες ὅμοιοι ἀλλήλοις εἰσὶ κατά τινα τέχνην, εἰ καὶ ἄλλως ἐπίσης ἔχουσι τὸ ὁμοειδές, οὕτως οὐδὲ ἐν τῷ πολέμῳ εἰσὶν ὅμοιοι, ὡς καὶ ὑμεῖς οἴδατε. ὃ δὴ γνωμικῆς ἐννοίας ἐστὶν ἀρετή, γνωστῆς οὔσης ἅπασι διὰ τὸ ἀληθές.] Τὸ δὲ «νῦν ἔπλετο ἔργον» ἔλλειψιν καὶ αὐτὸ ἔχει καιρίαν διὰ τὴν σπουδὴν τοῦ λέγοντος, διὸ μετ' ὀλίγα «μέγα ἔργον» ἐρεῖ. ἐντελέστερον μέντοι ὁ Νέστωρ πρὸ βραχέων ἄδειαν ἔχων τοῦ λαλεῖν μέγα ἔργον Ἄρηος ἔφη. (v. 276) Ὅρα δὲ ὡς καὶ ἐνταῦθα παρέρριψε ψευδοπαρήχησιν τὸ «δηΐους προτὶ ἄστυ δίεσθαι». (v. 278—87) Ὅτι πρὸ ὀλίγων μὲν ἐν δυσὶ στίχοις τὴν τῶν πολλῶν λίθων ἄφεσιν νιφάσιν εἴκασεν, ἃς ἄνεμος νέφη δονήσας χέει, νῦν δὲ τῇ αὐτῇ χρησάμενος αὖθις παραβολῇ καὶ οὕτω ταὐτολογῶν ὅμως ἀλλοιοῖ τὴν ταὐτότητα, οὐ μόνον πλατύτερον ἐνταῦθα διασκευάσας ἐν ἐννέα στίχοις, ἀλλὰ καὶ κατὰ ἐπαύξησιν πράγματος. ἐκεῖ μὲν γὰρ ἄνεμος νέφη δονεῖ, ὡς ἂν ἡ συντονία δηλωθείη τῆς τῶν βελῶν ἀφέσεως, ἐνταῦθα δὲ τοῦ Διὸς οὐχ' ἁπλῶς νίφοντος, ἀλλὰ τὰ οἰκεῖα ἐπιδεικνυμένου βέλη, κοιμῶνται οἱ ἄνεμοι. καὶ οὕτω νιφάδες χιόνος πίπτουσι συχναὶ καὶ δηλοῦται τὸ τῶν βελῶν πλῆθος διὰ τῶν τοιούτων τῆς χιόνος νιφάδων. διὸ καὶ χειμέριον ὑποτίθεται ἦμαρ, ἐν ᾧ αἱ νιφάδες πολλαὶ καταπίπτουσι. Φράζει δὲ οὕτως «τῶν δ' ὥς τε νιφάδες χιόνος πίπτουσι θαμειαὶ ἤματι χειμερίῳ, ὅτε τ' ὤρετο Ζεὺς νιφέμεν ἀνθρώποισι πιφαυσκόμενος τὰ ἃ κῆλα, κοιμίσας δ' ἀνέμους χέει ἔμπεδον, ὄφρα καλύψει ὑψηλῶν ὀρέων κορυφὰς καὶ πρώονας ἄκρους καὶ πεδία λωτεῦντα καὶ ἀνδρῶν πίονα ἔργα, καί τ' ἐφ' ἁλὸς πολιῆς κέχυται λιμέσι τε καὶ ἀκταῖς, κῦμα δέ μιν προσπλάζον ἐρύκεται, ἄλλα τε πάντα εἰλῦται», ἢ εἰλύαται, «καθύπερθ', ὅτ' ἐπιβρίσει Διὸς ὄμβρος· ὣς τῶν ἀμφοτέρωθε», ἢ ἀμφοτέρωσε, «λίθοι πωτῶντο θαμειαί».
3.390 (v. 288 s.) Καὶ ἑρμηνεύων τὸ «ἀμφοτέρωθε» φησὶ «αἳ μὲν ἄρ ἐς Τρῶας, αἳ δ' ἐκ Τρώων ἐς Ἀχαιοὺς βαλλομένων· τὸ δὲ τεῖχος ὑπὲρ πᾶν δοῦπος ὀρώρει». Καὶ ὅρα ὅτι τε θηλυκῶς εἶπε τὸ λίθοι, καὶ ὅτι ἐλλειπτικῶς ἔχει τὸ «αἳ μὲν ἐς Τρῶας». λείπει γὰρ τὸ ἐξ Ἀχαιῶν, ἵνα ᾖ αἱ μὲν ἐξ Ἀχαιῶν ἐς Τρῶας, αἱ δ' ἐκ Τρώων ἐς Ἀχαιούς. (v. 278) Ὅρα δὲ καὶ τὸ «νιφάδες χιόνος» ἐντελῶς ῥηθέν, ὥστε ὅτε νιφάδας μόνον εἴπῃ τις, ἐλλείπει τὸ χιόνος, ὥσπερ καὶ ὅτε μὲν Ἰλιάδα εἴπωμεν ἐλλιπῶς φαμεν οὕτω τὴν Τροίαν, ὅταν δὲ Ἰλιάδα Τροίαν, ἐντελῶς, ὡς παρ' Εὐριπίδῃ κεῖται. Τὸ δὲ «θαμειαί» κοινὸν καὶ προσφυὲς καὶ ταῖς νιφάσι καὶ ταῖς πέτραις. Καὶ τοῦτο μόνον ἐστὶ τὸ συνεκτικὸν τῆς παραβολῆς, ἡ τῶν νιφάδων πυκνότης, τὰ δὲ λοιπὰ κόσμος ἄλλως ἐστὶ καὶ ἐν φανητιασμῷ ἐπίδειξις φράσεως, ὁποῖα τὰ τῶν παραβολῶν. [(v. 279) Τὸ δὲ «ἤματι χειμερίῳ» διαστολήν τινα ἔχει πρὸς ἑτεροίους καιρούς. ὦπται γὰρ καὶ φθινοπώρου καὶ ἔαρος νίφων ἀήρ, σπανιώτατα μέντοι, καὶ οὐδὲ εἰς δαψίλειαν. Τὸ δὲ «μητίετα Ζεύς» τὸ ἔλλογον τῆς προνοίας δηλοῖ οὐ μάτην καὶ εἰκῇ τὸν ἀέρα κινούσης νίφειν συχνὰ καὶ πολλὰ ἐν χειμῶνι. (v. 280) Τὸ δὲ «ἀνθρώποις» εὖ κολλᾶται καὶ μετὰ τοῦ ἀνθρώποις καὶ μετὰ τοῦ πιφαυσκόμενος.] Τὸ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«πιφαυσκόμενος» πεζολογοῦντι μὲν ἄχρηστον, δηλοῖ δὲ οὐ μόνον τὸ λέγων, ὡς ἐν ἄλλοις ἀπὸ τοῦ φῶ, τὸ λέγω, ἀλλὰ καὶ τὸ ἐπιδεικνύμενος ἐκ τοῦ φῶ, τὸ φαίνω, ἐξ οὗ φάσκω καὶ ἀναδιπλασιασμῷ καὶ ἐπενθέσει τοῦ υ πιφαύσκω. Ἀστείως δὲ τὴν ἄνωθεν ἐν χειμῶνι μάλιστα κατασκήπτουσαν νιφοβολίαν ἐπίδειξιν λέγει Διός, ὡς οἷα ἐκηβολοῦντος. δῆλον δὲ ὅτι Διός, ἤγουν ἀέρος, βέλη οὐ μόνον νιφάδες, ἀλλὰ καὶ κεραυνοὶ καὶ εἴ τι ἄλλο τοιοῦτον ἀέριον πάθος, ἐν οἷς καὶ χάλαζα. ὅθεν καὶ τὸ χαλαζοβολεῖν. (v. 281) Τὸ δὲ «κοιμήσας ἀνέμους» καὶ ὅσα τοιαῦτα, οἱ μὲν μεθ' Ὅμηρον ὡς ἀπὸ τοῦ κοιμίζω κινοῦσιν, ὁ δὲ ποιητὴς καὶ οἱ κατ' αὐτὸν ἐκ τοῦ κοιμῶ.

3.391 καὶ δηλοῖ Σοφοκλῆς γράψας «κοιμῶ τόδ' ἕλκος». [Τινὰ μέντοι τῶν ἀντιγράφων ἀκολούθως τῷ κοινῷ καὶ ὑστερογενεῖ κοιμίσσας ἔχουσι διὰ τοῦ ι ἐν δυσὶ σίγμασιν ὡς ἐκ τοῦ κοιμίζω. Ἰστέον δὲ ὅτι τὸ «κοιμήσας ἀνέμους» συγκροτεῖται εἰς τροπὴν καὶ ὑπὸ τοῦ «ὄφρα εὕδει μένος ἀνέμων».] Τὸ δὲ χέει ἐτυμολογία χιόνος ἐστίν. ἐκ τοῦ χέειν γὰρ ἡ χιών, ὥσπερ καὶ ὁ χειμών, [εἰ καὶ ὁ μὲν χειμὼν εὐλόγως φυλάξας τὸ ε τοῦ θέματος προσέλαβε τὸ ι , ἡ δὲ χιὼν κατ' ἄλλην ἀναλογίαν ἐξέπεσε τοῦ θεματικοῦ ε . Τὸ δὲ «ἔμπεδον» τὸ ἀτίνακτον δηλοῖ τῆς τῶν νιφάδων καταφορᾶς ἐν τῷ τοὺς ἀνέμους καθεύδειν, [ἢ καὶ τὸ ἐν τῷ πέδῳ, ἤγουν ἁπλῶς τῇ γῇ, ἧς μάλιστα νῦν δεῖται ἡ παραβολή. ἐν γῇ γάρ, οὐ μὴν ἐν ἁλί, εὐσήμαντος ἡ χιών.] (v. 282) Τὸ δὲ πρώονας ἐξ εὐθείας μέν ἐστι τῆς πρώων, συστέλλει δὲ τὸ τελικὸν ω τῆς εὐθείας, ἵνα δάκτυλος ἀπαρτισθῇ, ὡς μηδὲ κανόνος κωλύοντος. Πρὼν δέ ἐστι τὸ πρωτότυπον καὶ κλίνεται πρωνός ὡς κλωνός. δηλοῦσι δὲ οἱ πρῶνες κατὰ Παυσανίαν ὄρους ἐξοχάς, λόφους, καὶ γίνεται, φησίν, ἀπὸ τοῦ προῶσθαι. Διονύσιος δὲ ὁ Περιηγητὴς πρηῶνάς φησι. (v. 283) Πεδία δὲ καὶ νῦν λωτεῦντα τὰ ἔχοντα λωτόν, βοτάνην δηλαδὴ αὐτοφυῆ, οὐ μὴν δένδρον κατὰ τὸ ἐν Λωτοφάγοις. Φασὶ δὲ οἱ παλαιοί, ὡς Ἀρίσταρχος μὲν πεδία γράφει λωτοῦντα, ὅ ἐστι λωτόεντα κατὰ κρᾶσιν κοινὴν τοῦ ε καὶ ο εἰς τὴν ου δίφθογγον, ἡ δὲ Μασσαλιωτικὴ ἔκδοσις λωτεῦντα, κραθέντος τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον.

3.392 Ὅτι δὲ λωτὸς καὶ αὐλός τις λέγεται, δηλοῦται μὲν καὶ ἐν ῥητορικῷ Λεξικῷ, δηλοῖ δὲ αὐτὸ καὶ ὁ γράψας «λωτοῦ κατὰ πνεύματα μέλπει». τοῦτο δέ τινες διὰ τοῦ ο μικροῦ ἔγραψαν ἔχοντες, οἶμαι, ἀφορμὴν τῆς τοιαύτης γραφῆς καὶ τὸ λόταξ λόταγος, ὅπερ αὐλητὴν δηλοῖ. (v. 283) Τὸ δὲ «ἀνδρῶν πίονα ἔργα» διέσταλται πρὸς τὸ πεδία λωτεῦντα. ἐκεῖνα γὰρ οὐκ ἀνδρῶν ἔργα, φύσεως δὲ αὐτοματιζούσης τοῖς ζῴοις τροφήν. (v. 284) Τοιοῦτον δέ τι καὶ τὸ «λιμέσι τε καὶ ἀκταῖς». ὁ γὰρ μή ἐστι λιμήν, ἐκεῖνο διασταλὲν ἀκτή ἐστι. (v. 285) Τὸ δὲ «κῦμα προσπλάζον ἐρύκεται», ἤγουν ἐρύκει, πρὸς ἀσφάλειαν εἴρηται, ἵνα μηδέν τι τῶν δεόντων ῥηθῆναι παραλίπῃ. Ἐχρῆν γὰρ παρασημήνασθαι, ὡς δίχα τοῦ κατὰ θάλασσαν κλύσματος τὰ ἄλλα νίφεται. (v. 285 s.) Διὸ καὶ συντόμως καὶ ἐπιφωνηματικῶς ἐπήγαγε τὸ «ἄλλα τε πάντα εἰλῦται», ἤγουν κεκάλυπται, ἐκ τοῦ εἰλύαται κατὰ κρᾶσιν. διὸ καὶ προπερισπᾶται. [(v. 286) Τὸ δὲ «ἐπιβρίσει» ἀκριβῶς ἔχει. εἰ γὰρ καὶ κουφότερον δοκεῖ ὄμβρου ἡ χιών, ἀλλὰ καὶ αὐτὴ ἐκ βρίθους φέρεται κάτω.] Διὸς δὲ ὄμβρον φιλοσόφως ἀπὸ τῆς ὕλης τὴν νιφάδα τῆς χιόνος καλεῖ. ὕλη γὰρ χιόνος ἐστὶν ὑγρὸν εἰς ὄμβρον συναχθέν. (v. 287) Τὸ δὲ «πωτῶντο» οὐκ ἀρέσκει τισὶ νοεῖν ἀντὶ τοῦ ἐπέτοντο —Σκληρὸν γὰρ δοκεῖ καὶ αὔθαδες ἐπὶ πετρῶν εἰπεῖν τροπικῶς τὸ πέτεσθαι—, ἀλλὰ μᾶλλον ἀντὶ τοῦ ἔπιπτον. ἔφη γοῦν ἀνωτέρω, ὅτι νιφάδες πίπτουσι. Καὶ οὕτω μέν τινες, οἳ καὶ διὰ τοῦ ω μεγάλου τὴν ἄρχουσαν γράφουσι πρὸς διαστολὴν τοῦ ποτῶ, ὃ δηλοῖ τὸ πέτομαι, ὡς τὸ «ἔνθα καὶ ἔνθα ποτῶνται». Ὅτι δὲ δύναται νοηθῆναι ἡ λέξις καὶ ἀντὶ τοῦ ἐπέτοντο, δηλοῖ ἐν τῇ ἑξῆς ῥαψῳδίᾳ, ἔνθα λίθον ὕψι ἀναθρῴσκοντα πέτεσθαι λέγει.

3.393 καλὸν οὖν εἰπεῖν ὅτι κατά τινα ἐπάλλαξιν ὡς ἐπὶ νιφάδων εἶπε τὸ πίπτειν, οὕτως ἐπὶ πετρῶν τὸ πέτεσθαι διὰ τὴν παραβολικὴν ὁμοιότητα, καὶ ὅτι ἐξετάθη τὸ πωτῶ ἐκ τοῦ πέτω κατὰ ἀναλογίαν τινὰ πρὸς ὁμοίωσιν τοῦ στρέφω στρόφος στρωφῶ, νέμω νόμος νωμῶ, πέλω πόλος

πωλῶ, τρέπω τρόπος τρωπῶ, τρέχω τρόχος τρωχῶ. οὕτω γὰρ πέτω ποτὸς πωτῶ. χρῆσις δὲ τοῦ ποτός ἐν Ὀδυσσείᾳ, ἔνθα ποτὴν αἴθυιάν φησιν ὁ ποιητής, ἧς πάντως ἀρσενικὸν ὁ ποτός, ἤγουν ὁ πετόμενος. Εἰ δὲ δοκεῖ ἀντιπίπτειν τὸ «ἔνθα καὶ ἔνθα ποτῶνται», νοητέον διφορεῖσθαι κατὰ γραφὴν τὸ ποτῶ, καθάπερ καὶ τὸ τροχῶ. καὶ αὐτὸ γὰρ οὐ μόνον μεγεθύνει τὴν ἀρχήν, ἀλλὰ καὶ σμικρύνει, ὡς δηλοῖ καὶ τὸ τροχάζω ἐξ αὐτοῦ παραχθέν. οὐκ ἄχαρι δὲ εἰπεῖν καί, ὅτι ἐπὶ τῆς κούφης χιόνος τὸ ἐπιβρῖσαι εἰπὼν ἐν τῷ «ὅτ' ἐπιβρίσει Διὸς ὄμβρος» ἐτόλμησεν ἄλλως εἰπεῖν ἐπὶ λίθων τὸ πέτεσθαι. (v. 289) Τὸ δὲ «βαλλομένων» ἄνω κολλητέον εἰς τὸ «ὣς τῶν λίθοι πωτῶντο». Τὸ δὲ «τεῖχος ὑπὲρ πᾶν δοῦπος ὀρώρει» ἀντὶ τοῦ εἰς τὰ ὕπερθε τοῦ τείχους κτύπος ἦν. (v. 290—3) Ὅτι ἀρξάμενος [εὐμεθόδως] μεγεθύνειν τὸν Σαρπηδόνα, ὡς ἂν μέγαν ἄνθρωπον δόξῃ καταβαλεῖν ὁ Πάτροκλος ἐν τοῖς ἑξῆς ἀνελὼν αὐτόν, φησὶ «οὐδ' ἄν πω Τρῶες καὶ φαίδιμος Ἕκτωρ τείχεος ἐρρήξαντο πύλας καὶ μακρὸν ὀχῆα, εἰ μὴ ἂρ υἱὸν Σαρπηδόνα Ζεὺς ὦρσεν ἐπ' Ἀργείοισι λέονθ' ὣς βουσὶν ἕλιξι». (v. 291) Καὶ ὅρα καὶ νῦν τὸ «τείχεος ἐρρήξαντο πύλας». ἐφάνη γὰρ χαίρων τῇ τοιαύτῃ φράσει ὁ ποιητὴς καὶ οὐκ ἔχει καιριωτέραν λέξιν τοῦ ῥῆξαι. (v. 293) Τὸ δὲ «ὡς λέοντα βουσί» νῦν μὲν γοργῶς ἐρρέθη ὡς ἐν προαναφωνήσει, μετ' ὀλίγα δὲ καὶ πλατεῖαν χορηγήσει παραβολήν. [Ἕλικες δὲ κἀνταῦθα βόες ἢ οἱ μέλανες, καθότι καὶ ἑλικὸν ὕδωρ τὸ μέλαν, καθὰ καὶ ἀλλαχοῦ ἐρρέθη, ἢ οἱ εὖ ἑλισσόμενοι ἐν ταῖς ὅποι δέον καμπαῖς, ὡς ἀπὸ τοῦ ἑλίσσω, ἐξ οὗ καὶ ἕλιξ ἡ ἁπλῶς συστροφή, ἐπὶ ὁδοῦ τυχὸν ἢ ὕδατος ἢ καμπτῆρος, ἔτι δὲ καὶ ἕλιξ ἀμπέλου τὸ λεπτότατον οἷά τι νῆμα, ᾧ δράττεται ὅσα καὶ χειρὶ τῶν παραπεφυκότων.

3.394 λέγεται δὲ ἕλιξ καί τι μηχανῆς εἶδος, ὃ πρῶτος εὑρὼν Ἀρχιμήδης εὐδοκίμησε, φασί, δι' αὐτοῦ.] (v. 294—7) Ὅτι τὴν τοῦ Σαρπηδόνος ἀσπίδα σεμνύνων φησὶν «αὐτίκα δ' ἀσπίδα μὲν πρόσθ' ἔσχετο πάντος' εἴσην, καλὴν χαλκείην ἐξήλατον, ἣν ἄρα χαλκεὺς ἤλασεν, ἔντοσθε δὲ βοείας ῥάψε θαμειὰς χρυσείαις ῥάβδοισι διηνεκέεσσι περὶ κύκλον», τουτέστι τὰς βύρσας συνέρραψε χρυσαῖς ῥαβδοειδέσι ῥαφαῖς πρὸς τῷ τέλει τῆς ἀσπίδος. Ἕτεροι δὲ ῥάβδους τοὺς κανόνας ἐνόησαν, οἷς αἱ ἀσπίδες τότε ἀνείχοντο, καθὰ ἐδηλώθη ἐν τοῖς περὶ τῆς Νεστορέης ἀσπίδος, διὰ τὸ μήπω εὑρῆσθαι τά, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, καρικοεργέα ὄχανα, ὅ ἐστι τοὺς πόρπακας, οὓς Αἴλιος Διονύσιος ἑρμηνεύων φησί· πόρπαξ, τὸ ἐντὸς τῆς ἀσπίδος πρόσθημα, δι' οὗ τὴν χεῖρα διεῖρον. τοῦτο δὲ καθ' ὁμοιότητα τῆς πόρπης, ἀφ' ἧς καὶ ἐπιπόρπημα κατὰ τοὺς παλαιοὺς ἡ τῶν κιθαρῳδῶν ἐφαπτίς, ἣν οἱ Δωριεῖς ἐπιπόρπαμά φασιν. Ἰστέον δὲ ὅτι δοκεῖ μὲν οὐ καλῶς ῥάβδους τοὺς ῥηθέντας κανόνας νοηθῆναι. οὐ γὰρ οἰκεῖον εἰπεῖν ἐπὶ κανόνων τὸ ῥάπτεσθαι καὶ ταῦτα διηνεκῶς περὶ κύκλον. [Πλὴν εἴ τις ἀνεπιβούλως ἐπιβαλεῖ, ἔχοι ἂν νοῆσαι τὰς ἐντὸς βύρσας διά τινος ἠπητηρίου κύκλῳ συρραφῆναι, ὡς προφαίνειν ἔξω τῆς κατὰ τὴν ἀσπίδα περιφερείας ῥάβδους ὀρθὰς κύκλῳ συνεχεῖς προφαινομένας εἰς κόσμον διὰ τὸ ἀπὸ χρυσέου, ὡς εἰκός, ῥάμματος παρειλκύσθαι τὰς τοιαύτας ῥάβδους.] (v. 295) Τὸ δὲ «χαλκείη» δέδωκε τοῖς μεθ' Ὅμηρον ἐπίχαλκον ἀσπίδα εἰπεῖν πρὸς διαστολήν, φασί, τῆς πέλτης. ἡ γὰρ πέλτη οὔτε ἴτυν ἔχει, καὶ αἰγὸς ἢ οἰὸς περιέσταλται δέρμα. Τὸ δὲ «ἐξήλατον» οἱ μὲν ἐδάσυναν διὰ τὸν ἓξ ἀριθμόν, ἵνα δηλοῖ τὴν ἑξαθέλυμνον ὡς ἓξ ἐλάσματα ἔχουσαν. εἰ δὲ τοῦτο, εἴη ἂν καὶ τῆς ἑπταβοείου ἐμβριθεστέρα, ἔτι δὲ καὶ τῆς τοῦ Ἀχιλλέως, πέντε καὶ μόνας πτύχας ἐχούσης ἀπὸ στερεᾶς ὕλης, αὐτὴ ἓξ ἔχουσα ἐλάσματα καὶ ἔτι βοείας ἐντός, καὶ ταύτας οὐ μίαν ἢ δύο, ἀλλὰ θαμειάς. Ὁ μέντοι Νικάνωρ, φασίν, ἐψίλωσεν ὡς ἔχουσαν ἔξωθεν ἔλασμα χαλκοῦ βύρσαις ἐπικείμενον, ὃ καὶ Ὁμήρῳ ἀρέσκειν φαίνεται, ἐτυμολογικῶς ἐπαγαγόντι τὸ «ἣν ἄρα χαλκεὺς ἤλασεν, ἔντοσθε δὲ βοείας ἔρραψε».

3.395 τοῦ γὰρ ἔντοσθεν ἀντικειμένου τῷ ἔξωθεν, ἐκτὸς ἄρα ἦν τὸ χάλκειον ἔλασμα. Τὸ δὲ «βοείας» ἐλλιπῶς καὶ νῦν ἔχει τοῦ δοράς ἢ βύρσας. (v. 297) Ἡ δὲ ῥάβδος εἰ μὲν ἀπὸ τοῦ ποιεῖν ῥᾷον βαδίζειν γίνεται, διὸ καὶ προπερισπᾶσθαι δοκεῖ, ἴστωσαν οἱ παραδόντες. οἱ δὲ πλείους τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παλαιῶν ἀπὸ τοῦ ῥαπίζειν αὐτὴν παράγουσι, διὸ καὶ παροξύνουσι. [Τὸ δὲ «ῥάψε» καὶ τὸ «ῥάβδοις», οὐ μακρὰν ἀλλήλων κείμενα, ἔχουσί τι κάλλους διὰ τὸ ταὐτόφωνον τῆς ἐν ἀμφοῖν καταρχῆς.] (v. 297) Τὸ δὲ διηνεκέεσσι τί δηλοῖ, ἐρρέθη ἐν τῷ «ῥίζαις διηνεκέεσσιν ἀραρυῖαι». (v. 298) Ἐν τούτοις δὲ καὶ ἀμφιδέξιον ὁ ποιητὴς ἐμφαίνει τὸν Σαρπηδόνα, δύο δοῦρε τινάσσειν αὐτὸν εἰπών. (v. 299—306) Ὅτι λέοντι ἁπλῶς καὶ συντόμως πρὸ ὀλίγων Ὅμηρος εἰκάσας τὸν Σαρπηδόνα ἐνταῦθα διασκευάζει καὶ οἵῳ λέοντι ἔοικεν, ὅτι δηλαδὴ πάνυ πεινῶντι καὶ διὰ τοῦτο θανατῶντι. Καί φησιν ἔβη ἐλθεῖν «ὥς τε λέων ὀρεσίτροφος, ὅς τ' ἐπιδευὴς δηρὸν ἔῃ κρεῶν, κέλεται δέ ἑ θυμὸς ἀγήνωρ μήλων πειρήσοντα καὶ ἐς πυκινὸν δόμον ἐλθεῖν· εἴ περ γάρ χ' εὕρῃσι παραυτόφι βώτορας ἄνδρας σὺν κυσὶ καὶ δούρασι φυλάσσοντας περὶ μῆλα, οὔ ῥά τ' ἀπείρητος μέμονε σταθμοῖο δίεσθαι», ἤγουν διωχθῆναι, «ἀλλ' ὅ γε ἢ ἥρπαξε μετάλμενος ἠὲ καὶ αὐτὸς ἔβλητο ἐν πρώτοισι θοῆς ἀπὸ χειρὸς ἄκοντι», καὶ ἑξῆς. Καὶ ἔστιν ἡ παραβολὴ αὕτη σχεδὸν ὅλη προσαρμόζουσα ὅλῳ τῷ πράγματι. (v. 299 s.) Τῶν δὲ τῆς παραβολῆς τὸ μὲν «ὀρεσίτροφος» εἰς ἐπίτασιν θράσους τέθειται, οὐ γὰρ τοιοῦτοι καὶ οἱ κατ' οἶκον θρεπτοὶ τιθασσοί. Τὸ δὲ «ὃς ἐπιδευὴς δηρὸν ἔῃ», ἤγουν ὑπάρχῃ, «κρεῶν» ὅμοιον περιφραστικῶς τῷ «μάλα πεινάων», ὁποίῳ λέοντι καὶ ὁ Μενέλαός που εἴκασται. (v. 301) Τὸ δὲ «μήλων πειρήσοντα» ὁμοιοῦται πρὸς τὸ «ἀνδρῶν πειρητίζων», ὅπερ ἐπὶ τοῦ κατὰ Ἕκτορα λέοντος φθάσας εἶπεν ὁ ποιητής. Μῆλα δὲ ἁπλῶς κἀνταῦθα τὰ θρέμματα. Τὸ δὲ «ἐς πυκινὸν δόμον ἐλθεῖν» ἀντὶ τοῦ μὴ ὅτι γε νεμομένοις ἐπιθέσθαι ζῴοις, ἀλλὰ καὶ οἴκῳ ἐπιχειρῆσαι, ὁποῖός τις ἐν λιμῷ καὶ ὁ παρὰ τῷ Ἀράτῳ μονόλυκος λύκος. [(v. 302) Τὸ δὲ «βώτορες» ἔκτασιν μὲν ἔχει τοῦ βοτήρ, ἔστι δὲ ὅμως ἀναλογώτερον ἐκείνου, ὡς πρὸς ἀναλογίαν ῥηματικοῦ ὀνόματος γενομένου ἀπὸ τρίτης συζυγίας περισπωμένων ἀπαθοῦς.

3.396 ] (v. 303) Τὸ δὲ «δούρασι» δούρεσσι γράφουσιν οἱ ἀκριβέστεροι καθ' ὁμοιότητα τοῦ ἐν Ὀδυσσείᾳ κτεάτεσσι καὶ τοῦ «βοτοῖσι πάντεσσιν», ὃ ἐν τοῖς ἑξῆς που κεῖται. [Τούτῳ δὲ συνεξέδραμε καὶ τὸ ὑδάτεσσιν ἀντὶ τοῦ ὕδασι παρὰ Νικάνδρῳ ἐν Γεωργικοῖς, οἷον «ὑδάτεσσιν ἀειναέεσσι νοτίζοις».] (v. 304) Τὸ δὲ «οὐκ ἀπείρητος» ἐξ ἀποφάσεως τοῦ «μήλων πειρήσοντα» εἴληπται. Σταθμός δὲ καὶ νῦν ἀγροτικὴ ἔπαυλις, ζῳοστάσιον. (v. 305) Τὸ δὲ ἁρπάζειν τοῖς καρχάροις πᾶσιν εἰς κυριολεξίαν ᾠκείωται. (v. 306). Τὸ δὲ «ἔβλητο ἐν πρώτοισι» καὶ ἑξῆς, [ἐν οἷς κεῖται καὶ ἐπὶ χειρὸς τὸ θοόν, ἤγουν τὸ ταχύ, οἷον «θοῆς ἀπὸ χειρός», ὡς ἐπὶ προμάχου μὲν ἀριστέως πεποίηται, παρῴδηται δὲ ἐκ τοῦ «ἔβλητ' ἐν πρώτοισιν ἐμῆς ἀπὸ χειρὸς ἄκοντι».] (v. 310—21) Ὅτι Σαρπηδὼν εἰς μάχην ἐρεθίζων τὸν συγγενῆ καὶ συστράτηγον Γλαῦκόν φησι «Γλαῦκε, τίη δὴ νῶϊ», τουτέστιν ἡμεῖς «τετιμήμεσθα μάλιστα ἕδρῃ τε κρέασίν τε ἰδὲ πλείοις δεπάεσσιν ἐν Λυκίῃ, πάντες δὲ θεοὺς ὣς εἰσορόωσι, καὶ τέμενος νεμόμεσθα μέγα Ξάνθοιο παρ' ὄχθας καλόν, φυταλιῆς καὶ ἀρούρης πυροφόροιο. τῷ νῦν χρὴ Λυκίοισι μετὰ πρώτοισιν ἐόντας ἑστάμεν ἠδὲ μάχης καυστειρῆς ἀντιβολῆσαι, ὄφρα τις ὧδ' εἴπῃ Λυκίων πύκα θωρηκτάων· οὐ μὰν ἀκλειεῖς Λυκίην κατακοιρανέουσιν ἡμέτεροι βασιλῆες, ἔδουσί τε πίονα μῆλα οἶνόν τ' ἔξαιτον μελιηδέα, ἀλλ' ἄρα καὶ ἲς ἐσθλή, ἐπεὶ Λυκίοισι μετὰ πρώτοισι μάχονται». (v. 322—8) Καὶ στήσας ὧδε τὴν ἠθοποιΐαν ἐπάγει ἀσυνδέτως ὡς ἀπ' ἄλλης ἀρχῆς νόημα γενναῖον τοῦτο «ὦ πέπον, εἰ μὲν γὰρ πόλεμον περὶ τόνδε φυγόντες αἰεὶ δὴ μέλλοιμεν ἀγήρω τ' ἀθανάτω τε ἔσεσθαι, οὔτε κεν αὐτὸς ἐνὶ πρώτοισι μαχοίμην οὔτε κε σὲ στέλλοιμι», [ὡς ὑποστράτηγον δηλαδή,] «μάχην ἐς κυδιάνειραν· νῦν δ' ἔμπης γὰρ Κῆρες ἐφεστᾶσιν θανάτοιο μυρίαι, ἃς οὐκ ἔστι φυγεῖν βροτὸν οὐδ' ὑπαλύξαι, ἴομεν ἠέ τῳ εὖχος ὀρέξομεν ἠέ τις ἡμῖν». Καὶ ὅρα ὡς εὐγενὴς ἡ τοῦ Σαρπηδόνος αὕτη γνώμη, ἐν ᾗ καὶ τοιαῦτα ῥητορεύουσιν οἱ παλαιοί, ὡς τὸ μὲν ἀποθανεῖν κοινὸν ἀποφαίνει πάντων, τὸ δὲ μετ' εὐκλείας θανεῖν τῶν ἀγαθῶν μόνον ἴδιον, καὶ τὴν παραυτίκα σωτηρίαν οὐκ ἀπαλλαγὴν θανάτου δοξάζει ἀλλὰ μικρὰν χρόνου ἀναβολὴν ἀκλεῆ, καὶ διδάσκει μὴ προσίεσθαι χρόνου μῆκος δυσκλεές. «τί γάρ», φασί, «παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει», τοῦτο δὴ

τὸ Σοφόκλειον. Ταῦτα παραφράζων καί τις τῶν τὰ θεῖα σοφῶν ἔφη τὸ «κἂν μὴ νῦν ἀποθάνωμεν, τεθνηξόμεθα πάντως». Αἰδήμων δέ, φασίν, ὁ Σαρπηδὼν καὶ εὐγνώμων καὶ μεγαλόψυχος. αἰδεῖται μὲν γὰρ τιμαῖς μὲν μάλιστα πλεονεκτεῖν τῶν ἄλλων καὶ πρῶτος εἶναι, ἀνδραγαθίαις δὲ μειονεκτεῖν, καὶ θεῶν ἐν μοίρᾳ τεταγμένος μηδὲ εἰς ἄνδρα λογίζεσθαι ἀγαθόν.

3.397 εὐγνωμονεῖ δὲ ὁμολογῶν τὰς τιμὰς τῶν πολιτῶν. μεγαλόψυχος δὲ ὢν καταφρονεῖ θανάτου διδάσκων, ὡς οὐ δεῖ μὴ προκινδυνεύοντας βασιλέας τιμᾶσθαι. Ὅρα δὲ καὶ νῦν ὡς ἐν προεδρίᾳ καὶ συμποσίοις καὶ τοῖς τοιούτοις μετρίοις ἡ τῶν ἀρίστων ἦν τιμή. (v. 310) Ἰστέον δὲ καὶ ὅτι πολλῶν ὄντων ὀνομάτων, ἃ πρὸς διάφορον σημασίαν διαφόρως τονοῦνται, τοῦ τοιούτου τρόπου ἐστὶ καὶ ὁ Γλαῦκος τὸ κύριον, διαστελλόμενος τοῦ ἐπιθετικῶς λεγομένου γλαυκοῦ κατὰ τὸ προπερισπᾶσθαι. [Ἀκόλουθον δὲ τῷ γλαυκῷ καὶ τῷ Γλαύκῳ καὶ ἡ γλαυκὴ θάλασσα καὶ ἡ Γλαύκη τὸ κύριον.] Ὅμοιον καὶ κοινός τὸ ἐπίθετον καὶ Κοῖνος κύριον, καὶ φαιδρός καὶ Φαῖδρος, ὁ καὶ παρὰ Πλάτωνι, καὶ Κάκος δὲ ὁ ᾀδόμενος Ἰταλὸς λῃστὴς τόνῳ διενήνοχε τοῦ κακοῦ. ὁμοίως καὶ Λάγος ὁ Ἀλεξανδρεὺς τοῦ ζῴου τοῦ λαγοῦ. εὕρηται γὰρ καὶ τοιαύτη κλίσις τοῦ ζῴου. οὕτω καὶ Ἄργης, εἷς τῶν παρ' Ἡσιόδῳ Κυκλώπων, τοῦ ἀργής, ὁ κεραυνός, καὶ λάρος τὸ ζῷον τοῦ λαρός, ὁ ἡδύς, καὶ οὖρος ἄνεμος τοῦ οὐρός, ὁ ὑπὸ τὰς νῆας, ὡς τὸ «οὐροὺς ἐξεκάθαιρον». καθ' ὅμοιον δὲ τρόπον καὶ ὁ Ἄρατος τὸ κύριον τοῦ ἀρατός, ὁ ὑπὸ ἀρὰν ἤτοι ἐπάρατος. καὶ τῆς ἁρπαγῆς δὲ ἤτοι διαρπαγῆς ἡ ἁρπάγη, σκεῦος αὕτη ᾧ κάδους ἀνέλκομεν. ὁμοίως καὶ θαλάμαι μὲν βαρυτόνως ζωϊκαὶ καταδύσεις, θαλαμαί δὲ τόποι ἱεροὶ Διοσκούρων, ὡς Αἴλιος Διονύσιος παρεσημειώσατο. Ἔχει δὲ παρασημειώσεις τοιαύτας καὶ ὁ Φιλόπονος, ἐν αἷς καὶ ὅτι γελοῖος μὲν ὁ καταγέλαστος προπερισπωμένως, γελοιός δὲ ὀξυτόνως ὁ γελωτοποιός, καὶ Δολίχη μὲν πόλις Πιερίας, δολιχή δὲ ἡ μακρά, καὶ ζωή μὲν ἡ τοῦ ζῴου σύστασις, ζώη δὲ τὸ ἐπάνω τοῦ μέλιτος, φησίν, ἐφιστάμενον καὶ τοῦ γάλακτος, ὃ καλεῖται γραῦς, καὶ θάμβος μὲν ἡ ἔκπληξις, θαμβός δὲ κατὰ ὀξεῖαν τάσιν ὁ ἐκπλαγείς, καὶ Μύλλος μὲν κύριον, μυλλός δὲ ὁ διεστραμμένος τὴν ὄψιν, καὶ Ῥίπη μὲν πόλις, ῥιπή δὲ ἢ πνοή, καὶ Ῥόδιος μὲν τὸ ἐθνικόν, Ῥοδίος δὲ ποταμὸς Τρῳάδος καθ' Ὅμηρον, καὶ σίμος μὲν ἰχθύς, σιμὸς δὲ τὸ ἐπίθετον, καὶ σταφύλη μὲν τεκτονικὸν σκεῦος βαρυτόνως, ὡς καὶ ἐν τῇ Βοιωτίᾳ δεδήλωται, σταφυλή δὲ ὁ καρπὸς καὶ ἡ περὶ τὸ στόμα δὲ κιονίς, καὶ ἅλις μὲν αὐτάρκως, ἁλίς δὲ ἡ ἁλμυρίς, ὅθεν ἔοικε γίνεσθαι καὶ ἅλς, καὶ Ἄκρις μὲν πόλεως ὄνομα καὶ ὄρους ἐξοχή, ἀκρίς δὲ ζωΰφιον.

3.398 Τοιούτου δὲ πάντως τρόπου καὶ ἀσφόδελος μὲν τὸ φυτόν, ἀσφοδελός δὲ ὁ τόπος αὐτοῦ, καὶ ὀρός μὲν ὀξυτόνως δι' ἑνὸς ρ ἡ τοῦ γάλατος ὑποστάθμη καθ' Ὅμηρον —οὕτω γὰρ ἐκεῖνος γράφει—, ὄρος δὲ οὐ μόνον γῆς ὑψηλὸν συνήθως ἐπανάστημα, ἀλλὰ καὶ ὁ περὶ τοὺς γλουτοὺς τόπος, ὅν τινες ταῦρόν φασιν, ὡς Ἐρέννιος Φίλων ἐν τῷ Περὶ διαφόρων σημαινομένων. ὅθεν καὶ τῶν ὀρνέων ὁ τόπος, φησὶν οὗτος, οὐροπύγιον καλεῖται ὡς ὄρος ὢν τῆς πυγῆς καὶ οἷον ὀροπύγιον, ὅπερ ὑποστέλλουσι τὰ ἄλογα ζῷα ἐν τῷ εὐλαβεῖσθαι. ὅθεν ἐκ τοῦ παρακολουθοῦντος ὀρωδεῖν, τὸ φοβεῖσθαι, καὶ ἐπὶ ἀνθρώπων, ἐπεὶ καὶ αὐτῶν οἱ εὐλαβούμενοι περί τι ἀνασπᾶν εἰώθασι τὸ αἰδοῖον. Ὅτι δὲ τὸ τοιοῦτον ὀρωδεῖν οἱ ὕστερον διὰ δύο ρ γράφουσι, καθὰ καὶ τὸν πρωτότυπον αὐτοῦ ὄρον, δῆλόν ἐστι, καθὰ καὶ ὅτι τοῦ Ὁμηρικοῦ ὀροῦ οἱ μεθ' Ὅμηρον ἐδίπλωσαν τὸ ἀμετάβολον, ποιοῦντες τὰ σφίσιν ἀρεστά. Ὁμοίως δῆλον καὶ ὅτι τὸ ὀρρωδεῖν καὶ ἀρρωδεῖν ἔγραψαν πρὸς ὁμοιότητα τοῦ ἀσταφίς ὀσταφίς.

3.399 Ὁ δὲ ῥηθεὶς Ἐρέννιος ἄλλο τι λέγων φησίν, ὅτι ἀρρωδεῖν κατὰ στέρησιν λέγεται τὸ μὴ ὀρρωδεῖν, ἤτοι εὐλαβεῖσθαι, ἀλλὰ καταφρονεῖν καὶ τεθαρρηκέναι. Ἔτι τῶν διαφόρως τονουμένων ἐστὶ καὶ ὁ ἐπὶ τῶν ὑγρῶν ἀφρός καὶ ὁ Ἄφρος τὸ ἐθνικόν, καὶ ὁ ἐπὶ οἰκημάτων θόλος, ὡς καὶ ἐν Ὀδυσσείᾳ, καὶ ὁ τῆς σηπίας θολός, καὶ ὁ κατὰ πάθος κυρτός καὶ ὁ τῶν ἁλιέων κύρτος, καὶ ὁ τοπικὸς γύρος ἢ ἁπλῶς κύκλος, καὶ ὁ τοὺς ὤμους γυρός, ναὶ μὴν καὶ ἡ κατ' ἐνέργειαν πρωτοτόκος γυνὴ καὶ ἡ παθοῦσα τὸν τόκον πρωτότοκος παῖς καὶ ὅσα τῆς συστοιχίας

ταύτης εἰσίν. Ἔτι διαφόρου ὥσπερ σημασίας οὕτω καὶ τόνου ὁ Κάρπος τὸ κύριον καὶ ὁ τῆς χειρὸς καρπός καὶ ὁ ἐσθιόμενος, καὶ Πύρρος ὁ Ἠπειρώτης καὶ ὁ τοῦ Ἀχιλλέως καὶ πυρρός ὁ ξανθός, καὶ μυρία μὲν τὰ ἁπλῶς πολλά, μύρια δὲ τὰ ἐν δέκα χιλιάσι, καὶ ἴλλος μὲν ὁ ὀφθαλμός, ἰλλός δὲ ὁ στραβός, καὶ Ξάνθος μὲν τὸ κύριον καὶ ποταμός, ξανθός δὲ ὁ κατὰ τρίχας πυρρός, καὶ βροτός μὲν ἄνθρωπος, βρότος δὲ μολυσμὸς ἐξ αἵματος, καὶ Τύρος μὲν πόλις, τυρός δὲ τὸ πεπηγὸς γάλα, καὶ Λεῦκος μὲν κύριον, λευκός δὲ τὸ ἐπίθετον, οὗ θηλυκὸν λευκή, ἄλλως τονουμένη παρὰ τὴν λεύκην τὸ φυτόν, καὶ Βόηθος μὲν κύριον, βοηθὸς δὲ ὁ σύμμαχος, καὶ φροντίς μὲν ἡ μέριμνα, Φρόντις δὲ κύριον θηλυκὸν μὲν ἐν Ἰλιάδι, ἄρρεν δὲ ἐν Ὀδυσσείᾳ. οὕτω δὲ καὶ ἐπὶ χρόνου μὲν ὀξύτονον ὁ καιρός, ἄλλως δὲ περισπωμένως καῖρος τὸ μίτωμα, καὶ τόρος μὲν ἐργαλεῖον τεκτονικὸν ὁ καὶ τόρνος, τορός δὲ ὁ σαφής, ἐξ οὗ καὶ διάτορος. Καὶ ταῦτα μὲν οὕτω [βραχέα ἐκ μάλα μυρίων. (v. 310) Τὸ δὲ τιή ἀντὶ τοῦ διὰ τί ὀξύνουσι μὲν οἱ ὕστερον, ὡς καὶ ἀλλαχοῦ δεδήλωται, οἱ δὲ παλαιοὶ βαρύνουσι παροξύνοντες. Ἡ δὲ Κωμῳδία καὶ ἄτονον αὐτὸ οἶδεν ἐν τῷ εἰπεῖν τιτιτίδή.

3.400 ] (v. 311) Ἕδρην δὲ τὴν προεδρίαν φησί. Τοῖς δὲ κρέασι καὶ οἱ ἄρτοι ἔνεισι καὶ εἴ τι δὲ ἄλλο κολακεύει γεῦσιν. Ἐν δὲ τῷ «δεπάεσσι» σημειωτέον, ὅτι καθ' Ὅμηρον μὲν δέπας ἁπλῶς τὸ ποτήριον, παρὰ δὲ τοῖς παλαιοῖς εὕρηται, ὅτι δέπας οἰνήρυσις, κοτύλη, οἰνοχόη, καὶ ὅτι οἰνιαστήρια σπονδὴ τελουμένη τῷ Ἡρακλεῖ ὑπὸ τῶν ἐφήβων πρὶν ἀποκείρασθαι. [Ἐν δὲ τῷ «πλείοις δεπάεσσιν» ἐνθυμητέον καὶ τὸ «σὸν δὲ πλεῖον δέπας αἰεὶ ἕστηχ', ὥσπερ ἐμοί». Ἐν γὰρ τοῖς συμποσίοις οἱ κοῦροι διακονούμενοι τοῖς μὲν ἐντιμοτάτοις ἀεὶ πλῆρες παρεῖχον τὸ ποτήριον, τοῖς δ' ἄλλοις ἐξ ἴσου διένεμον. Ὡς δὲ καὶ φιλοπόται δοκοῦσιν εἶναι οἱ ἐν Λυκίᾳ, δηλοῦσιν αἱ παρώνυμοι ἐκεῖθεν Λυκιουργεῖς φιάλαι, καὶ ἄλλως δὲ Λυκιουργοὶ ἐπίχρυσοι λεγόμεναι. Εἰ γὰρ καὶ λέγεται καλεῖσθαι οὕτω ἀπὸ Λύκωνος τεχνίτου τινὸς ἢ ἐπινοητοῦ αὐτῶν, ὡς καὶ Κονώνιοι ἀπὸ Κόνωνος, ἢ κατά τινας Λυκίου, Βοιωτίου ἀνδριαντοποιοῦ, ἀλλὰ ὁ ῥήτωρ Ἀθήναιος ἐπιπλήττει τοῖς οὕτω λέγουσι, φάμενος ὅτι ὁ σχηματισμὸς τῶν τοιούτων ὀνομάτων οὐκ ἄλλοθεν γίνεται ἀλλὰ ἀπὸ πόλεων ἢ ἐθνῶν. Ἀριστοφάνης γοῦν ἐν Εἰρήνῃ «Ναξιουργής» φησὶ «κάνθαρος», καὶ Κριτίας «κρήνη Μολοσσιουργής». τοιοῦτον δὲ καὶ τὸ Χιουργὴς καὶ Κορινθιουργής, ὥστε κατ' αὐτὸν καὶ Λυκιουργὴς φιάλη ἡ ἐν Λυκίᾳ ἢ παρὰ Λυκίοις εἰργασμένη.] (v. 312) Τὸ δὲ «θεοὺς ὣς εἰσορόωσι» λαοῦ τε πολὺ σέβας δηλοῖ καὶ βασιλέων θείαν διαγωγήν. [Παιδεύει δὲ καὶ ὡς θείους καὶ ἀγχιθέους ἡγητέον τοὺς ἀγαθοὺς βασιλεῖς, οὗπερ αἴνιγμα καὶ τὸ διογενεῖς καὶ Διῒ φίλους αὐτοὺς λέγεσθαι.] (v. 313) Τέμενος δὲ καὶ νῦν τὸ ἁπλῶς ἀποτετμημένον καὶ ἀφωρισμένον ἰδίᾳ χωρίον, οὗ καλὸν ἐνταῦθα καὶ τὸ παρὰ ποταμὸν εἶναι. Ἀγαθὴ δὲ ἡ περὶ τὸν Λύκιον Ξάνθον γῆ, ὃς λέγεται μὲν ὕστερον Σίρμις κληθῆναι, νῦν δὲ τὴν ἀρχαίαν κλῆσιν τηρεῖ.

3.401 Σημείωσαι δὲ ὅτι παρὰ τοῖς μεθ' Ὅμηρον τὸ τέμενος οὐκ ἐπὶ κοινοῦ τόπου, ἀλλὰ ἱεροῦ κεῖται, ὥσπερ καὶ τὸ ἄλσος, καὶ ἐδόκει ἄμφω ταὐτόν τι σημαίνειν, καὶ ἦν ἄσυλον. ὅθεν καθ' Ἡρόδοτον Κλεομένης ἱερὸν ἄλσος ἐμπρήσας ἐν Ἐλευσῖνι ἐμάνη καὶ καταχορδεύσας ἑαυτὸν ἀπέθανεν. ἴσως δὲ οἱ λέξιν ἱερὰν θέντες τὸ τέμενος ἐξ Ὁμήρου τὴν ἀρχὴν ἔσχον, ὃς θεοῖς ἐνταῦθα εἰκάσας ἔχει τοὺς τὸ ῥηθὲν τέμενος νεμομένους. [Εἰπὼν γὰρ «πάντες δὲ θεοὺς ὣς εἰσορόωσιν» ἐπήγαγεν εὐθὺς «καὶ τέμενος νεμόμεσθα», πρέπον δηλαδὴ τοῖς θεοεικέλοις καὶ θεοειδέσιν. Ἔνθα αἱ δύο ἀρκτικαὶ λέξεις τοῦ «νεμόμεθα» παρακείμεναι ἀναστρόφως ταῖς δύο ληγούσαις τοῦ «τέμενος» κάλλος τι παραφαίνουσιν, ὁποῖον καὶ τὸ «ἔνειμε» προκείμενον τοῦ «ἔμεινε».] (v. 314) Φυταλιὰ δὲ κατὰ τοὺς παλαιοὺς χωρίον δενδρόφυτον, οὗπερ ἀνάπαλιν ἄρουρα ἡ γυμνὴ φυτῶν ἄροσις εἴτ' οὖν ψιλή. Ἐξ ἧς δὴ λέξεως καὶ ψιλῖται οἱ [ἐν μάχῃ] γυμνῆτες καὶ ψιλίζεσθαι τὸ ψιλοῦσθαι, ὡς ἐν ῥητορικῷ εὕρηται Λεξικῷ. λέγεται δὲ καὶ κῆπος ἡ ῥηθεῖσα φυταλιά, ὁμώνυμος δὲ καὶ ἡ λέξις αὕτη. κῆπος γὰρ οὐ μόνον φυταλιά, ἀλλὰ καὶ καλλωπισμὸς κόμης

κατὰ Αἴλιον Διονύσιον καὶ κουρᾶς διάθεσις τῶν ἐν κεφαλῇ τριχῶν. Θουκυδίδης δὲ κήπιόν φησι, Κωμικοὶ δὲ κηποκόμαν τὸν κῆπον κειρόμενον, ὥσπερ ἕτερον σκαφιόκουρον, καὶ ἔστι καὶ παρὰ τῷ Κωμικῷ ἡ λέξις τοῦ σκάφιον κείρεσθαι. ἡ δὲ πυροφόρος ἄρουρα τὴν ἁπλῶς σπερματοφόρον ὡς ἐκ μέρους δηλοῖ. (v. 315) Τὸ δὲ «τῷ νῦν χρὴ μετὰ πρώτοις ὄντας ἑστάναι» φανερῶς ἐλλέλειπται. τὸ μὲν γὰρ ὅλον ἦν τοιοῦτον· Γλαῦκε, τί δήποτε θείας παρὰ Λυκίοις εἰλήχαμεν ὡς θεοὶ τιμάς; ἢ πάντως διὰ τὸ δοκεῖν καὶ ἶνα ἔχειν ἐσθλὴν ὁποίαν οἱ πρόμαχοι. διὸ ἐν πρώτοις μαχητέον. ὁ δὲ Σαρπηδὼν ἀγωνιῶν καὶ διὰ τοῦτο σιγήσας τὴν αἰτίαν τῆς τιμῆς ἠρκέσθη μόνην τῷ τέως εἰπὼν τὴν ἀξίωσιν, οἷα τὴν αἰτίαν τῇ τῶν Λυκίων ἠθοποιΐᾳ κατωτέρω ταμιευσάμενος. Τὸ δὲ «μετὰ πρώτοισιν ἐόντας» καὶ τὸ «μετὰ πρώτοισι μάχονται» καὶ τὸ «ἐνὶ πρώτοισι μαχοίμην» ταὐτολογοῦνται διὰ τὸ καίριον.

3.402 [(v. 316) Τὸ δὲ «μάχης ἀντιβολῆσαι» συνήθως καὶ νῦν εἴληπται ἀντὶ τοῦ ἄντην βαλεῖν, ὅπερ ἐστὶν ἐπιτυχεῖν. (v. 317) Πύκα δὲ θωρηκταί εἰσιν οἱ πεπυκνωμένοι τῇ θωρήξει. τοιοῦτοι δὲ οἱ παρὰ τοῖς ὕστερον λεγόμενοι κατάφρακτοι, στερρῶς τῇ πανοπλίᾳ πυκαζόμενοι.] (v. 318) Τὸ δὲ «οὐ μὰν ἀκλειεῖς» συγκριτικῶς ἔχει. λέγει γάρ, ὡς οὔτε ἀκλεεῖς ἡμῖν οἱ βασιλεῖς, οἵγε καὶ ὁμολογοῦσι τετιμῆσθαι μάλιστα ὑφ' ἡμῶν, ἀλλὰ καὶ αὐτοὶ ἀντισηκοῦσιν ἐσθλοὶ ὄντες κατὰ ἶνα καὶ προμαχόμενοι. Οὐ μόνον δὲ διὰ διφθόγγου παρὰ τοῖς παλαιοῖς ἡ παραλήγουσα τοῦ «ἀκλειεῖς», πλεονασμῷ τοῦ ι , ἀλλὰ καὶ διὰ τοῦ η κατὰ τροπὴν τοῦ ε τοῦ ἐν τῷ «ἀκλεεῖς», ὡς πολλὰ τῶν ἀκριβῶν ἀντιγράφων ἔχει. Γέγονε δὲ ἡ τοιαύτη τροπὴ καὶ ἐν τῷ κληΐζω, ἀφ' οὗ κατὰ συναίρεσιν παρὰ τῷ Κωμικῷ τὸ «κλῇσον» ἀντὶ τοῦ κλέϊσον. (v. 320) Ἐν δὲ τῷ «οἶνόν τε μελιηδέα» ὑπακουστέον ἀναλόγως τὸ πίνουσι. μῆλα μὲν γάρ, ὅ ἐστι θρέμματα, ἐσθίεται, οἶνος δὲ πάντως πίνεται. τοιοῦτον καὶ πρὸ ὀλίγου τὸ «ἄλλον μειλιχίοις, ἄλλον στερεοῖς ἐπέεσσι νείκεον». μειλιχίοις γὰρ φιλοφρονεῖταί τις, οὐ μὴν φιλονεικεῖ. ὅμοιον καὶ τὸ «δουρὶ δ' ἀκοντίζω ὅσον οὐκ ἄλλος τις ὀϊστῷ». ὀϊστῷ γὰρ οὐδεὶς ἀκοντίζει, ἀλλὰ βάλλει. καὶ «ποῦ δέ οἱ ἔντεα κεῖται, ποῦ δέ οἱ ἵπποι», λείπει γὰρ τὸ ἵστανται. καὶ «Κυκλώπων ἐς γαῖαν ἐλεύσσομεν, αὐτῶν τε φθογγήν». νοητέον γὰρ ἐξ ἀναλόγου κἀνταῦθα τὸ φθογγὴν ἠκούομεν. Τοῦ δὲ «ἔδουσι πίονα μῆλα οἶνόν τε ἔξαιτον», ὃ ἐκ τοῦ ἐξαίρετον συγκέκοπται, παράφρασις γοργὴ πρὸ ὀλίγου τὸ «τετιμήμεθα κρέασιν ἠδὲ πλείοις δεπάεσσιν». ἄμφω δὲ ἀνελλιπῶς πέφρασται καὶ οὐ κατὰ τὸ «δήμια πίνουσιν», ᾧ συννοεῖται καὶ ἡ δημοσία βρῶσις, οὐδὲ κατὰ τὸ «δώροις τρύχω καὶ ἐδωδῇ», ᾗ συνεξακούεται καὶ ἡ πόσις. [Ἰστέον δὲ ὡς, εἰ καὶ δοκεῖ τὸ ἔξαιτον ἐκ τοῦ αἰτεῖσθαι παρῆχθαι, ἢ ἀπὸ τοῦ αἴτους, ἤγουν ἐνδιαιτήματος, ὃ παρὰ τῷ Πινδάρῳ κεῖται ἐν τῷ «Διὸς αἴτει πανδόκῳ», ἤγουν ἄλσει κοινῷ, ἀλλὰ ἡ πλείων ἀρέσκεια ἐκ τοῦ ἐξαιρεῖσθαι παράγει καὶ συγκόπτει αὐτό.

3.403 Ἔστι δὲ τὸ τοιοῦτον ἐξαιρεῖσθαι τὸ ἐκλέγεσθαι καὶ ἐπέκεινα τῶν ἄλλων αἱρεῖσθαι. λέγεται μέντοι ἐξαιρεῖσθαι καὶ τὸ ἐκβάλλειν, ὅθεν καὶ λίθος ἐξαιρέσιμος ὁ ἀπὸ τοίχου ἐκβληθείς, καὶ ἡ σύστοιχος αὐτῷ ἐξαίρεσις, οἷον «ἐπέδειξε πάντα τὰ ἐντοσθίδια μετὰ τῆς ἐξαιρέσεως». ἀλλὰ ταῦτα μὲν ἀβαθῆ καὶ ἁπλούστερα, καθὰ καὶ τὸ ἐξελεῖν καὶ ἐξελέσθαι, διχῇ ὁμοίως καὶ αὐτὸ νοούμενον. τὸ μέντοι ἐπαναιρεῖσθαι βαθύτερόν ἐστιν, ὃ κεῖται παρὰ Ἡροδότῳ ἐν τῷ περὶ λαγῶν εἰπόντι, ὡς ἐπικυΐσκει λαγὼς μόνος πάντων θηρίων, καὶ τὸ μὲν δασὺ τῶν τέκνων ἐν τῇ γαστρί, τὸ δὲ ψιλόν, τὸ δὲ ἄρτι ἐν τῇσι μήτρῃσι πλάσσεται, τὸ δ' ἐπαναιρέεται, τουτέστιν ἐπαναλαμβάνεται καὶ ἐπὶ τοῖς πρὸ αὐτοῦ τελεωτέροις κυήμασι σπερματικῶς συλλαμβάνεται.] (v. 317) Ὅρα δὲ καὶ νῦν τὴν ἀπὸ τοῦ ὄχλου τῶν Λυκίων ἠθοποιΐαν, στενὴν οὖσαν ἔθει Ὁμηρικῷ, καὶ ὅτι τὸ τῆς ἠθοποιΐας γνώρισμα, τό «τίνας ἂν εἴποι λόγους ὁ δεῖνα;» πολλαχοῦ παραδιδοὺς τοῖς μετ' αὐτὸν Ὅμηρος, ἔφη κἀνταῦθα τὸ «ὧδέ τις εἴπῃ». (v. 323) Τὸ δὲ «ἀγήρω τε ἀθανάτω τε» ἀστείως συνέζευκται, ὡς μηδὲ ὂν ἀγαθὸν ἀθάνατόν τινα εἶναι, εἰ μὴ καὶ ἀγήρως εἴη, ὡς ὁ τοῦ Τιθωνοῦ μῦθος δηλοῖ. (v. 322—5) Ἰστέον δὲ ὅτι τὸ «εἰ μὲν δὴ μέλλοιμεν», ἤγουν

ἐμέλλομεν, περισωθέντες ἀγήρω ἔσεσθαι καὶ τὰ ἑξῆς, σχῆμά ἐστιν, ὃ παρὰ τοῖς παλαιοῖς λέγεται μετρία συγχώρησις, ἐν ᾧ συγχωρῶν τὸ μὴ δεῖν κινδυνεύειν, εἴπερ ἦν μὴ θνῄσκειν, κατασκευάζει ὡς, ἐπεὶ δὲ θανεῖν ἀνάγκη, κινδυνευτέον εὐκλεῶς. ἄλλως δὲ κοινότερον εἰπεῖν, ἀντιθετικόν ἐστι σχῆμα τό· εἰ μὲν ἐμέλλομεν ἀεὶ ζῆν, οὐκ ἂν ἐμαχόμεθα, ἐπεὶ δὲ ἄφυκτον ὁ θάνατος, μαχητέον ἐπὶ ἐλπίδι ἀγαθῇ. (v. 326) Ὅμηρος δὲ ἀντὶ τοῦ ἐπεί συνδέσμου τὸν ἰσοδύναμον ἔθετο εἰπὼν «νῦν δ' ἔμπης γὰρ κῆρες ἐφεστᾶσι θανάτου μυρίαι», τουτέστιν ἐπάνω καὶ κατὰ κεφαλῆς ἡμῶν ἑστᾶσιν ὡς κηριτρεφέων, ἢ καὶ ἄλλως καθ' ἡμῶν ἵστανται, ὡς τῆς ἐπι προθέσεως καὶ τοιαύτην ὑποβαλλούσης πολλαχοῦ ἔννοιαν.

3.404 [(v. 327) Τὸ δὲ «φυγεῖν» καὶ τὸ «ὑπαλύξαι», τὴν αὐτὴν σημασίαν ἐκ παραλλήλου κείμενα ἔχουσιν, ὡς καὶ τὸ κατακοιρανέειν καὶ τὸ βασιλεύειν, ὧν μνεία τις ἀνωτέρω κεῖται.] (v. 328) Τὸ δὲ «ἴομεν» ὑπερβιβασμὸν καὶ νῦν ἔπαθε χρόνου, καὶ τὴν μὲν ἄρχουσαν ἐκτείνει, συστέλλει δὲ τὴν παραλήγουσαν ὡς ἐνεστὼς ὁριστικός, ὃ παρ' ἡμῖν ἀνάπαλιν ἔχει, ὡς αὐθυπότακτον χρόνου ἀορίστου δευτέρου ἐνεργητικοῦ. [Τὸ δὲ «ἠέ τῳ εὖχος ὀρέξομεν ἠέ τις ἡμῖν» παράφρασις μέν ἐστι τοῦ «ἢ ἡμεῖς ῥίψομέν τινα ἢ ἡμᾶς τις», πάνυ δὲ σεμνῶς πέφρασται. μεγεθύνει γὰρ καὶ τούσδε τοὺς βασιλεῖς, εἰ τοιοῦτόν τινα ῥίψουσιν, ὃς αὐτοῖς εὖχος δώσει, καὶ τὸν ἴσως δὲ αὐτοὺς τοιούτους ὄντας ῥίψοντα, ἐφ' οἷς εὖχος ἐκεῖνος ἕξει.] (v. 330) Ὅτι τοὺς Λυκίους σεμνολογῶν φησι· βήτην Σαρπηδὼν καὶ Γλαῦκος «Λυκίων μέγα ἔθνος ἄγοντε». διὸ καὶ ἀπ' αὐτῶν ὡς ἀξιολόγου λαοῦ πάντας τοὺς Τρώων ἐπικούρους, ὡς ἔγνωσται, Λυκίους καλεῖ, τῷ μεγάλῳ μέρει συνεκφωνῶν καὶ τοὺς λοιπούς, οἷς καὶ τὸν Λύκιον Σαρπηδόνα πᾶσι στρατηγὸν ἐφιστᾷ. Ἐκ δὲ τοῦ «ἄγοντε» ἀγοὶ Λυκίων οἱ ἀνωτέρω βασιλεῖς, διὸ καὶ προϊὼν ἐρεῖ «ἔβρισαν Λυκίων ἀγοί». (v. 331 s.) Ὅτι ἐν τῷ Μενεσθέως πρὸς πύργον ἦλθον Λύκιοι «κακότητα φέροντες», ὃς καὶ ἰδὼν ἐκείνους ἐρρίγησε, πύργον οἱ μὲν τὴν πολεμικὴν τάξιν νοοῦσι, περὶ οὗ προείρηται, οἱ δὲ μέρος μάλιστα τοῦ τείχους οὕτω συνήθως καλούμενον παρὰ τὸ ὑπεράνω, φασί, γῆς εἶναι, ἤγουν ὑπερῆρθαι γῆς. Πετεῶο δὲ υἱὸς ὁ ῥηθεὶς Μενεσθεύς, περὶ οὗ ἱκανῶς προγέγραπται. τούτου κῆρυξ ὁ μετ' ὀλίγα δηλωθησόμενος Θοώτης, ἐν τῷ «ἄγε δῖε Θοῶτα θέων Αἴαντε κάλεσον», ὃ δὴ τρόπος ἐτυμολογίας ἐστίν, ὡς τοῦ Θοώτου ἐκ τοῦ θέειν κληθέντος, ὅπερ οἰκεῖον κήρυκι ὄνομα διὰ τὸ τάχος, ὡς τὸ Εὐρυβάτης διὰ τὴν βοήν, [καὶ τὸ Ἠπύτης ἢ Ἠπυτίδης παρὰ τὸ ἠπύειν.] Ἔνθα καὶ τρὶς κεῖται τὸ «θέων» διὰ τὸ τῆς λέξεως καίριον.

3.405 (v. 333) Ἰστέον δὲ ὅτι καὶ ἐν τούτοις κεῖται τόπος ἀμφίβολος ἐξ ὑποδιαστολῆς, τὸ «πάπτηνε δ' ἀνὰ πύργον Ἀχαιῶν, εἴ τιν' ἴδοιτο ἡγεμόνων». ἢ γὰρ πάπτηνεν ἀνὰ πύργον τοῦ τείχους ὁ Μενεσθεύς, εἴ που ἴδοι Ἀχαιῶν τινα, ἢ πάπτηνεν ἀνὰ πύργον Ἀχαιῶν, ἤγουν ἀνὰ παράταξιν πυκνήν, εἴ πως ἴδοι τῶν τινα ἡγεμόνων. Δῆλον δ' ὅτι ζήτησιν ἐπικουρίας φράζει τὸ «πάπτηνε δ' ἀνὰ πύργον» καὶ ἑξῆς ἕως τοῦ «ἡγεμόνων ὅς τις οἱ ἀρὴν ἀμύνῃ». (v. 335) Ὅτι τοὺς δύο Αἴαντας πολέμου ἀκορήτους λέγει, ὅ ἐστιν ἀκορέστους. καὶ νῦν μὲν οὕτω συντόμως ἔφρασεν, ἀλλαχοῦ δὲ καὶ διασκευάζων εἰς πλάτος τὸν νοῦν τῆς λέξεως ταύτης ἐπί τινων ἑτέρων ἐρεῖ «πάντων μὲν κόρος ἐστὶ καὶ ὕπνου καὶ φιλότητος» καὶ ἑξῆς, τούτοις δὲ [μάχης] οὔ. (v. 337) Ὅτι τὸ γέγωνα καὶ γεγωνεῖν καὶ γεγωνέναι καὶ ὅσα τούτοις σύστοιχα οὐχ' ἁπλῶς ἐπὶ τοῦ βοᾶν Ὅμηρος τάσσει, ἀλλ' ἐπὶ τοῦ ἀκούεσθαι, ἢ μᾶλλον ἐπὶ τοῦ μέγα καὶ ἐξάκουστον βοᾶν καί, ὡς εἰπεῖν, γνωστόν, ὡς μυριαχοῦ φαίνεται. ἀπὸ γὰρ τοῦ γνώω τὰ τοιαῦτα ῥήματα γίνεται. φησὶ γοῦν ἐνταῦθα «ἀλλ' οὔ πώς οἱ ἔην βώσαντι γεγωνεῖν», τουτέστιν οὐκ ἦν τῷ Μενεσθεῖ δυνατὸν βοήσαντι ἀκουσθῆναι. Σημειοῦνται δὲ οἱ παλαιοὶ διφορεῖσθαι τὸ ῥῆμα καὶ παρὰ μὲν τῷ ποιητῇ περισπᾶσθαι, ὡς δηλοῖ τὸ γεγωνεῖν καὶ τὸ ἐγεγώνεον καὶ τὸ γεγωνέμεν, οἱ δὲ μετὰ τὸν ποιητὴν καὶ βαρυτόνως, φασίν, αὐτὸ ἔκλιναν. Ἔστι γὰρ τὸ γέγωνα οἱονεὶ γέγνωα μέσος παρακείμενος ἐκ τοῦ γνώω. τούτου ὑποτακτικὸν γεγώνω βαρύτονον, ἐξ οὗ ὡς θέματος αἱ βαρύτονοι κινήσεις, ἀπ' αὐτοῦ δὲ τὸ γεγωνῶ καὶ αἱ κατ' αὐτὸ κλίσεις. Οἱ δὲ παλαιοὶ καὶ γεγωνίσκειν φασὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ φθέγγεσθαι ἐξάκουστον. ἐλέγοντο δὲ καὶ γεγωνοκῶμαι γυναῖκες αἱ κώμας ἐμπιπλῶσαι βοῆς, καὶ γεγωνὸν δὲ φθέγμα παρ’ αὐτοῖς τὸ λαμπρόν. Φίλων δὲ καὶ ἀρσενικὸν οἶδε γένος τοῦ γεγωνοῦ λόγου, ὅ ἐστι τοῦ τρανοῦς καὶ προφορικοῦ, ὅθεν δηλαδὴ καὶ τὸ γεγωνότερον ἐπίρρημα, ὡς καὶ ἀλλαχοῦ δεδήλωται. [Περὶ δὲ γεγωνοκώμης φέρεται καὶ ὅτι λέγεται οὕτω διὰ τὸ ἐν ταῖς κώμαις, τουτέστι ταῖς ἀμφόδοις, γεγωνίσκειν, ἢ περιβόητος εἶναι. Τὸ δὲ «βώσαντι» ἐκ τοῦ βοήσαντι κέκραται, ὡς καὶ ὁ βῶξ ἰχθὺς ἐκ τοῦ βόηξ. εὕρηται γὰρ καὶ διὰ τοῦ ἦτα καὶ οὐ μόνον διὰ τοῦ α βόαξ, ὡς καὶ προδεδήλωται.] (v. 338—40) Ὅτι πολέμου μεγάλου ἐνδεικτικὸν τὸ «τόσος γὰρ κτύπος ἦεν, ἀϋτὴ δ’ οὐρανὸν ἷκε βαλλομένων σακέων τε καὶ ἱπποκόμων τρυφαλειῶν καὶ πυλέων· πάσας γὰρ ἐπῴχετο», ὁ κτύπος δηλαδή, ἢ «ἐπῴχατο», ἤγουν ἐπεπορεύθησαν οἱ Τρῶες, ἢ μᾶλλον «ἐπῴχατο», ὅ ἐστι δι’ ὀχέων, ἤτοι μοχλῶν, ἠσφαλίσαντο κλείσαντες οἱ Ἀχαιοί.

3.406 Καὶ ὅρα κἀνταῦθα ὡς πολλαὶ ἦσαν πύλαι τῷ Ἑλληνικῷ τείχει, ἃς Τρῶες ἐπειρῶντο βίῃ ῥήξαντες εἰσελθεῖν. (v. 340) Ἰστέον δὲ ὅτι τὸ «ἐπῴχατο» σημαίνει ποτὲ ἐν ἄλλοις καὶ τὸ ἀνεῳγμέναι ἦσαν, ἀπὸ τοῦ ᾦκτο, ὡς τέτευκτο τετεύχατο Ἰωνικῶς, φασί, καὶ Ἀττικῶς. τοιαύτης δὲ σκευωρίας καὶ ὁ τούτου παρακείμενος τὸ ἐπῴχαται ἀπὸ τοῦ ᾦκται. (v. 341) Τὸ δὲ «ῥήξαντες» πάνυ καιριολεκτεῖται ἐνταῦθα. (v. 342—50) Ὅτι Μενεσθεὺς αἶψα στέλλει τὸν ἐν Ἀθηναίοις κήρυκα Θοώτην, περὶ οὗ ἐρρέθη, καλέσαι «ἀμφοτέρω μὲν μᾶλλον» Αἴαντε, «ὃ γάρ», ἤγουν τοῦτο, «ὄχ’ ἄριστον ἁπάντων εἴη, ἐπεὶ τάχα τῇδε τετεύξεται αἰπὺς ὄλεθρος. ὧδε γὰρ ἔβρισαν Λυκίων ἀγοί, οἳ τὸ πάρος περ ζαχρηεῖς τελέθουσιν ἀνὰ κρατερὰς ὑσμίνας. εἰ δέ σφιν καὶ κεῖθι πόνος καὶ νεῖκος ὄρωρεν, ἀλλά περ οἶος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας, καί οἱ Τεῦκρος ἅμ’ ἑσπέσθω τόξων εὖ εἰδώς». Ὃ καὶ γενήσεται, ὅτε καὶ πρῶτος ὁ τοιοῦτος Αἴας ἀριστεύσει, οὐκ αἰσχύνας τὴν τοῦ Μενεσθέως ἐλπίδα, ὃς ἤθελε μὲν τοὺς δύο διὰ τὴν ἑκατέρων ἀνδρίαν, ἀνάγκης δὲ οὔσης τὸν κρείττω ἐπελέξατο διὰ τὸ αὐτοῦ ἄλκιμον. (v. 345) Σημείωσαι δέ, ὡς ἐκ τοῦ «τάχα τετεύξεται», ἀντὶ τοῦ ταχὺ γενήσεται, καὶ ἐκ τῶν ὁμοίων λαβόντες οἱ μεθ’ Ὅμηρον ὠνόμασαν τὸν μετ’ ὀλίγον μέλλοντα. ταὐτὸν γὰρ τὸ μετ’ ὀλίγον μέλλειν καὶ τὸ ταχὺ τετεύξεσθαι. (v. 342) Ἡ δὲ τοιαύτη ἔννοια ποιεῖ ἀστεῖον καὶ τὸ «αἶψα δὲ κήρυκα προΐει Θοώτην». τὸ γὰρ αἶψα καὶ ὁ Θοώτης σύστοιχα τῷ τάχα. ἐχρῆν οὖν ταχὺ σταλῆναι ταχύν τινα κατὰ τοῦ ταχέος κακοῦ. (v. 346) Τὸ δ’ «ἐπέβρισαν», ὥς φασιν οἱ παλαιοί, ἐπεζάρησαν οἱ Ἀρκάδες φασίν. ὅθεν παρ’ Εὐριπίδῃ τὸ «ὡς δ’ ἐπεζάρει Σφίγξ». Εἰ δὲ καὶ ζέρεθρον τὸ βάραθρον οἱ αὐτοί φασιν, οὐ πάνυ δῆλον, εἰ μὴ ῥητῶς που εὑρεθείη παρασημανθὲν ὑπό τινος γλωσσογράφου. ἀκολούθως δὲ τῷ ἐπέβρισαν ἐρρέθη καὶ τὸ ζαχρηεῖς. σημαίνει γάρ, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, τοὺς βαρεῖς καὶ ἐμβριθεῖς καὶ οὐ φορητοὺς ἀπὸ τοῦ ἄγαν χράειν, ὅ ἐστιν ἐπιπίπτειν, κατὰ τὸ «μητέρι μοι μνηστῆρες ἐπέχραον».

3.407 ἀγαθὴ δὲ λέξις εἰς ἐπιμονὴν τὸ ἐπέβρισαν, διὸ καὶ προϊὼν χρᾶται αὐτῇ. (v. 353) Ὅτι τὸ «στῆ δ’ ἂρ ἐπ’ Αἰάντεσσι κιών», ὁ ῥηθεὶς Θοώτης, καινότερον ἔχει τὴν ἐπι πρόθεσιν δοτικῇ συντεταγμένην εἴτε μετὰ τοῦ στῆ συμβιβάζεται εἴτε μετὰ τοῦ Αἰάντεσσιν. τινὰ δὲ τῶν ἀντιγράφων κάλλιον ἔχουσι τὸ «στῆ δὲ παρ’ Αἰάντεσσι». (v. 368 s.) Ὅτι ὁ μέλλων συμμαχῆσαί τισι καὶ αὖθις ταχὺ ἀποκαταστῆναι εἰς τὸ ἐξ ἀρχῆς καλῶς ἂν εἴποι τὸ τοῦ Αἴαντος, τὸ «αὐτὰρ ἐγὼ κεῖσε εἶμι καὶ ἀντιόω πολέμοιο, αἶψα δ’ αὖτις ἐλεύσομαι, ἐπὰν εὖ τοῖς ἐπιτείλω», ἢ «ἐπαμύνω». (v. 371) Ὅτι ἐν τῷ «καὶ Τεῦκρος ἅμα ἦεν», ὅ ἐστιν ἐπορεύετο, «κασίγνητος καὶ ὄπατρος», περισσῶς κεῖσθαι δοκεῖ ὁ και σύνδεσμος. περὶ δὲ τῆς τῶν τοιούτων λέξεων ὁμοῦ θέσεως προγέγραπται, ὡς ἐχρῆν. Σημείωσαι δὲ ὅτι τὸ ῥηθὲν «ἦεν» πάνυ συντελεῖ καὶ εἰς τὸ κανόνισμα τοῦ ᾔειν ὑπερσυντελίκου, ὃς δηλοῖ τὸ ἦλθον. ὡς γὰρ ἐνταῦθα τὸ ἦεν ἀπὸ τοῦ ἤϊεν, οὕτω καὶ ἠΐειν καὶ συναιρέσει ᾔειν προσγραφομένου τοῦ ι . (v. 372) Ὅτι Πανδίων τις ὁμώνυμος τῷ πάλαι Ἀττικῷ ἥρωϊ ἐνταῦθα φέρει Τεύκρου καμπύλα τόξα, οἷς ὁ Τεῦκρος βαλεῖ Γλαῦκον

ἐπεσσύμενον τεῖχεος. Φέρει δὲ ὁ ῥηθεὶς τὰ τοῦ ἥρωος τόξα οὐ διὰ μαλακίαν, ἀλλ’ ὅτι ἔοικεν ἑτεροίως ὁ Τεῦκρος ὡπλίσθαι. ἐν γοῦν τοῖς ἑξῆς οὐ τόξοις χρώμενον αὐτὸν παρεισάγει Ὅμηρος, ἀλλὰ ὁπλίτην ἄλλως. καὶ ἔστι κἀνταῦθα παράδειγμα τῶν κατὰ τὸ σιωπώμενον παρὰ τῷ ποιητῇ γινομένων. (v. 374) Ὅτι ἐπικουρίας ἀναγκαίας δηλωτικὸν τὸ «ἐπειγομένοισι δ’ ἵκοντο» (v. 375 s.) Ὅτι ὁπηνίκα οἱ Αἴαντες ἐπὶ τὸν τοῦ Μενεσθέως πύργον ἵκοντο, τηνικαῦτα ἴφθιμοι Λυκίων ἡγήτορες ἐπὶ ἐπάλξεις βαῖνον ἐρεμνῇ λαίλαπι ἶσοι. παραβολὴ δὲ κἀνταῦθα συντομωτάτη, οἰκείως τοῖς φραζομένοις, ὡς καὶ ἐπὶ Νέστορος πρὸ τούτων, καὶ ἄλλου δέ τινος. (v. 377) Λέγει δὲ ὁ ποιητὴς καὶ ὅτι συνεβάλοντο μάχεσθαι, ὅπερ ἐνεργητικῶς εἶπε πρὸ ὀλίγου ἐν τῷ «σὺν δ’ ἔβαλον Λαπίθαι».

3.408 ἀπὸ τούτων δὲ καὶ ἡ κατὰ πόλεμον συμβολή. Ἡ δὲ ἐνταῦθα ἐρεμνὴ λαῖλαψ διὰ τὸν ἐν τοῖς ὁπλίταις μέλανα σίδηρον νέφος ἐν τοῖς πρὸ τούτων που εἴρηται. Ὡς δὲ τὸ συνεβάλοντο νόησίν τινα σημαίνει παρὰ τοῖς μεθ’ Ὅμηρον, δηλοῖ τὸ «συνεβάλετο τὸν χρησμόν», ἤγουν ἐνόησεν. (v. 379) Ὅτι καὶ Σαρπηδὼν λέγεται ὀξυτόνως, ὡς πολλαχοῦ φαίνεται, οὗ ἡ κλητικὴ ὁμοία, καὶ Σαρπήδων βαρυτόνως, οὗ γενικὴ Σαρπήδοντος πολλαχοῦ, ὡς καὶ ἐνταῦθα «Σαρπήδοντος ἑταῖρον» κατὰ τὸ λέοντος, καὶ κλητικὴ Σαρπῆδον μετὰ συστολῆς, ὡς τὸ ὦ λέον. ἔστι δὲ στοχάσασθαι Αἰολικῶς βαρυτονηθῆναι τὸ Σαρπήδων Σαρπήδοντος. (v. 380—6) Ὅτι ὁ Αἴας βάλλει ἄνωθέν τινα «μαρμάρῳ ὀκρυόεντι, ὅ ῥα», ἤγουν ὃς δή, «τείχεος ἐντὸς κεῖτο μέγας παρ’ ἔπαλξιν ὑπέρτατος. οὐδέ κέ μιν ῥέα χείρεσσιν ἀμφοτέραις», ἢ χειρί γε τῇ ἑτέρῃ, «ἔχοι», τουτέστι κρατοίη ἢ φέροι «ἀνὴρ οὐδὲ μάλ’ ἡβῶν, οἷοι νῦν βροτοί εἰσιν· ὃ δ’ ἂρ ὑψόθεν ἔμβαλ’ ἀείρας, θραῦσε δέ οἱ», ἢ θλάσσε, «τετράφαλον κυνέην, σὺν δ’ ὀστέ’ ἄραξε πάντ’ ἄμυδις κεφαλῆς· ὃ δ’ ἂρ ἀρνευτῆρι ἐοικὼς κάππες’ ἀφ’ ὑψηλοῦ πύργου, λίπε δ’ ὀστέα θυμός». (v. 380) Ἰστέον δὲ ὅτι ἐν τῷ «μαρμάρῳ» λείπει τὸ λίθῳ. διὸ καὶ ἀρσενικῶς εἴρηται, ὡς δηλοῖ τὸ «ἔκειτο μέγας ὑπέρτατος». Δῆλον δ’ ὅτι λίθου εἶδος ὁ μάρμαρος, ὡς καὶ ὁ πῶρος καὶ ὁ μυλίας καὶ εἴ τις ἄλλος. (v. 381) Ὑπέρτατος δὲ ὁ τοῦ αὐτόθι σωροῦ τῶν λίθων ὑπερκείμενος. τούτου δὲ συγκοπὴ ὁ ὕπατος. (v. 383) Τοῦ δὲ ἐνέβαλεν οὐκ ἔστι καιριωτέραν λέξιν εὑρεῖν, οὔτε τὸ ἐπαφῆκεν οὔτε τὸ ἐπέρριψεν οὔτ’ ἄλλο τι. Τὸ δὲ «ἀείρας» ἀντὶ τοῦ μετεωρίσας τὴν χεῖρα, ἵνα βιαιοτέρα γένηται ἡ πληγή. (v. 382) Διὸ καὶ χείρεσσιν ἀμφοτέραις αὐτὸν ἔχει κατὰ Ἀρίσταρχον, ὃς μέμφεταί, φασί, τοὺς γράψαντας «χειρί γε τῇ ἑτέρῃ», ὡς οὐδέν τι μέγα εἰπόντας περὶ τοῦ Αἴαντος. (v. 384) Τετράφαλος δὲ καὶ νῦν ἡ ἔχουσα τέσσαρας φάλους ἢ φάληρα. φάληρα γὰρ οὐ μόνον παραγναθίδες ἵππων καὶ χαλινά, ἀλλὰ καὶ τὰ ἐπὶ τῇ περικεφαλαίᾳ κόσμια. [Τοῦ δὲ συνάραξεν οὐκ ἔστι καιριωτέραν εὑρέσθαι λέξιν, ἧς ἀρετὴ καὶ τὸ τραχύφωνον, οἰκεῖον ὂν τῇ τῶν ὀστῶν θλάσει καὶ θραύσει. ἐξ αὐτῆς δὲ καὶ οἱ καταράκται. δοκεῖ δὲ γίνεσθαι ἀπὸ τοῦ Ἄρης, ὁ σίδηρος.] (v.

3.409 385) Ἀρνευτῆρα δὲ λέγει τὸν κυβιστητῆρα, ὡς καὶ ἀλλαχοῦ, παρὰ τοὺς ἄρνας, οἳ ἐν τῷ προϊέναι ὡσανεὶ κυβιστῶσι τὸν ἀέρα κυρίττοντες. Ἕτεροι δὲ τὸν δελφῖνά φασιν ἀρνευτῆρα, ὁ γὰρ ἄρρην δελφὶς ἐπὶ κεφαλήν, φασίν, ἵεται γαλήνης οὔσης. (v. 386) Τὸ δὲ «λίπε δ’ ὀστέα θυμός» δηλοῖ καὶ ἐν τοῖς ὀστέοις τῶν ζώντων ψυχικόν τι πνεύμα παρεσπάρθαι, ὡς καὶ ὁ φιλόσοφος, φασί, Ποσειδώνιος λέγει ἐν τῷ Περὶ ψυχῆς. Ἰστέον δὲ ὡς, εἰ καὶ μετ’ ὀλίγα τὸν Ἕκτορα ἐρεῖ μείζονα λίθον βαλεῖν κατὰ τῶν Ἑλληνικῶν πυλῶν, ἀλλ’ ὅμως τὴν τοῦ ἥρωος ἐκεῖ καταβάλλει γενναιότητα διὰ τοῦ εἰπεῖν, ὅτι τῷ Ἕκτορι ἐλαφρὸς ἐκ τοῦ Διὸς ὁ λίθος ἐγένετο, οἷα τοῦ μὲν Αἴαντος φύσει τὸ τῆς ἀνδρίας ἁπλοῦν αὐχοῦντος, Ἕκτορος δὲ ἐκ Διὸς θέσει τὸ διπλάζον ἐν τοῖς τοιούτοις ἔχοντος. (v. 383) Ὅρα δὲ τὸ «οἷοι νῦν βροτοί» δηλοῦν, ὡς καὶ ἐν ἄλλοις, τὸ μεταχρόνιον τοῦ ποιητοῦ, ὡς μὴ κατὰ τὸν Τρωϊκὸν πόλεμον ὄντος. (v. 387—91) Ὅτι ὁ Τεῦκρος Γλαῦκον κρατερὸν «ἰῷ ἐπεσσύμενον βάλε τείχεος ὑψηλοῖο, ᾗ ῥ’ ἴδεν», ἤγουν ὅπου δὴ ἐθεάσατο, «γυμνωθέντα βραχίονα, παῦσε δὲ χάρμης. ἂψ δ’ ἀπὸ τείχεος ἆλτο λαθών, ἵνα μή τις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀχαιῶν βλήμενον ἀθρήσειε καὶ εὐχετόῳτο», τουτέστιν εὔχοιτο καὶ κατακαυχῷτο, «ἐπέεσσι». Καὶ ὅρα ὅτι εὐγενῶς καὶ ὁ Γλαῦκος αἰδούμενος ἐπικρύπτει τὴν πληγήν, καθά που καὶ ὁ Διομήδης βληθεὶς πρὸ τούτων διαμπερὲς ἐπιγραφῆναι εἶπε τὸν ταρσόν, συγκρύπτων καὶ αὐτὸς τὸ τραῦμα, ἵνα μὴ εἰς τέλος ὁ Πάρις αὐχήσοι κατ' αὐτοῦ. Σημείωσαι δὲ καὶ ὅτι κἀνταῦθα σχῆμά ἐστι σιωπῆς. ὡς μὲν γὰρ ὁ Πανδίων ἔφερε τὰ τοῦ Τεύκρου τόξα, εἶπεν Ὅμηρος, ὡς δὲ καὶ ὁ Τεῦκρος ἔλαβεν αὐτά, ἐσίγησεν, ἀρκεσθεὶς εἰπεῖν μόνον τὸ ἀποτέλεσμα, ὡς ἔβαλε τὸν Γλαῦκον ὀϊστῷ, λαβὼν δηλαδὴ πρότερον τὰ τόξα. (v. 388) Τὸ δὲ «ἐπεσσύμενον τείχεος» ἀντὶ τοῦ κατεπεμβαίνοντα τοῦ τείχους. (v. 389) Τὸ δὲ «ἧ ῥ' ἴδε» τί ἂν δέοιτο τοῦ ῥα συνδέσμου, εἰ μὴ ὁ ποιητὴς προσπαθῶς εἶχε τῇ ἐξ αὐτοῦ τραχυφωνίᾳ; (v. 394—6) Ὅτι οὐ Κάλχας μόνον Θεστορίδης, ἀλλὰ καί τις Ἕλλην Ἀλκμάων, ὃν ἐνταῦθα Σαρπηδὼν ἀμύνων τῷ Γλαύκῳ «δουρὶ τυχήσας ἔνυξεν, ἐκ δ' ἔσπασεν ἔγχος, ὃ δ' ἑσπόμενος πέσε δουρὶ πρηνής. ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ». (v. 395) Καὶ ὅρα τὸ «ἑσπόμενος δουρί» γλυκέως καὶ αὐτὸ λεχθέν, ὡς εἴπερ ὁ Ἀλκμάων ἑκὼν ἐπηκολούθει ἐμψύχῳ τινί. Καὶ ἔστιν ἐντεῦθεν ληφθὲν τὸ «καὶ ἡ χεὶρ τοῦ νεκροῦ ἐπηκολούθησεν», ὅ φησι Ξενοφῶν. (v. 396) Βράχε δὲ τὰ ὅπλα ἄλλως μέν, μάλιστα δὲ διὰ τὸ ὑψόθεν καταπεσεῖν.

3.410 [Εἴη δ' ἂν ἐνεστὼς τὸ τοιοῦτον ῥῆμα, ἵνα τῇ διὰ τοῦ ἄλφα προφορᾷ διαφέρει τοῦ βρέχειν, ὃ πρωτοθέτως ἐπὶ ὑετοῦ λεγόμενον ἐκεῖθεν καὶ ἐπὶ τοὺς πέρα τοῦ μετρίου οἰνοποτοῦντας μετήνεκται, ὡς ἐν ἄλλοις δηλοῦται.] (v. 397—405) Ὅτι Σαρπηδὼν κάτωθεν διὰ τὸ τοῦ τείχους, ὡς προερρέθη, ταπεινὸν «ἔπαλξιν ἑλὼν χερσὶ στιβαρῇσι ἕλκεν, ἣ δ' ἕσπετο πᾶσα διαμπερές, αὐτὰρ ὕπερθε τεῖχος ἐγυμνώθη, πολέεσσι δὲ θῆκε κέλευθον. τὸν δὲ Αἴας καὶ Τεῦκρος ὁμαρτήσαντες», ἤγουν ὁμοῦ ἀραρότες καὶ συνασπίσαντες, «ὃ μὲν ἰῷ βεβλήκει τελαμῶνα περὶ στήθεσσι φαεινὸν ἀσπίδος ἀμφιβρότης, Αἴας δ' ἀσπίδα νύξεν ἐπάλμενος. ἣ δὲ διαπρὸ ἤλυθεν ἐγχείη». Ἐν μέσῳ δὲ τούτων κεῖται τὸ «ἀλλὰ Ζεὺς κῆρας ἄμυνε παιδὸς ἑοῦ, μὴ νηυσὶν ἐπὶ πρύμνῃσι δαμείη». Τοῦτο δὲ προαναφώνησίς ἐστιν ἐπὶ παραμυθίᾳ φιλέλληνος ἀκροατοῦ, ὡς εἰ καὶ μὴ νῦν πρὸς ταῖς ναυσίν, ἀλλαχοῦ γοῦν ἐν τῇ πεδιάδι πεσουμένου τοῦ Σαρπηδόνος. ἐπίτηδες γὰρ ὁ ποιητὴς αὔξει ὥσπερ τὰ τοῦ Ἕκτορος ἐν τῇ ἄρτι τειχομαχίᾳ, οὕτω καὶ τὰ τοῦ Σαρπηδόνος, ὡς καὶ προεδηλώθη, διά τε τὸν Ἀχιλλέα διά τε τὸν Πάτροκλον, ὡς ἂν οἱ ὕστερον ἀνελόντες Πάτροκλος μὲν Σαρπηδόνα, Ἕκτορα δὲ Ἀχιλλεύς, δοκοῖεν μεγαλεῖον ἀνδραγαθίας ἐνδείξασθαι. (v. 405—7) Ὅρα δὲ οὐ μόνον τὴν φιλάδελφον σύμβασιν Αἴαντος καὶ Τεύκρου, ἀλλὰ καὶ τὴν τοῦ Σαρπηδόνος ἐπὶ οἰκείῳ κακῷ πολλὴν ἀνδρίαν καὶ παραμονήν, ὃς ὑπὸ τοιούτων βληθεὶς καὶ νυχθεὶς οὐ φεύγει προτροπάδην, ἀλλὰ βραχύ τι ἀναχωρεῖ. Φησὶ γὰρ «στυφέλιξε δέ μιν μεμαῶτα, χώρησε δ' ἄρα τυτθὸν ἐπάλξιος, οὐδ' ὅ γε πάμπαν χάζετο, ἐπεί οἱ θυμὸς ἔλπετο κῦδος ἀρέσθαι». Σημείωσαι δὲ ὅτι οὐκ ἠναντίωται πρὸς τὸ ταπεινὸν εἶναι τὸ τεῖχος, εἰ φθάσας ὁ ποιητὴς ἐν δυσὶ τόποις ὑψηλὸν αὐτὸ εἶπεν, ἐν τῷ «κάππες' ἀφ' ὑψηλοῦ πύργου», καὶ ἐν τῷ «ἐπεσσύμενον βάλε τείχεος ὑψηλοῖο». Εἰκὸς γὰρ τῆς τοῦ λοιποῦ τείχους πτέρυγος ταπεινοτέρας οὔσης, ὑψηλοὺς εἶναι, ὡς καὶ προδεδήλωται, τῶν τινας πύργων. (v. 398 s.) Ὅρα δὲ καὶ τὸ «ἔπαλξις ἕσπετο», ὡς ἐπὶ ἐμψύχου καὶ αὐτὸ ῥηθέν, ὡς εἴπερ ἐπιταχθεῖσα ἠκολούθησε κατὰ τὸν ἀνωτέρω ῥηθέντα νεκρόν. Ἔστι δὲ τοῦτο γλυκύτερον τοῦ «ὃ δ' ἑσπόμενος δουρὶ ἔπεσεν». ἐκεῖ γὰρ ὁ ἀκολουθήσας Ἀλκμάων, ἐξ οὗ καὶ ὁ Ἀλκμὰν καὶ ὁ Ἀλκμαίων, ἄνθρωπος ἦν.

3.411 (v. 399) Γλυκὺ δὲ καὶ τὸ γυμνωθῆναι ἐπὶ τοῦ τείχους ῥηθέν. κυρίως γὰρ ἐπὶ σώματος, ὡς τὸ «γυμνώθη βραχίονα» ὁ Γλαῦκος, καὶ «γυμνώθη ῥακέων Ὀδυσσεύς». γύμνωσις γὰρ ἡ τῶν γυίων μόνωσις. Κέλευθος δὲ καὶ νῦν ἀριδήλως, ὡς καὶ κατωτέρω, ἡ ἁπλῶς ὁδός, οὐ μὴν ἡ ἐφ' ὑγρᾶς. (v. 400) Τὸ δὲ «Αἴας καὶ Τεῦκρος», ὁ μὲν ἐποίησε τόδε, ὁ δὲ τόδε, σύνηθες Ὁμήρῳ σχῆμα. μὴ ἔχων γὰρ μηδ' ἐνταῦθα κοινὸν ῥῆμα ἐπιφωνῆσαι ἀμφοῖν διὰ τὸ τοῦ ἔργου διάφορον, ὁ μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ βεβλήκει, ὁ δὲ ἔνυξεν, ἀνέλυσε τὴν δυϊκὴν εὐθεῖαν εἰς δύο ἑνικὰς καὶ οὕτως ἀμφοτέροις ἀπέδωκεν ἰδίᾳ τὸ οἰκεῖον ἔργον, Τεύκρῳ μὲν τὸ βεβληκέναι τὸν Σαρπηδόνα, Αἴαντι δὲ τὸ νύξαι. (v. 401) Καλῶς δὲ τὴν βολὴν τοῦ περὶ τὸ στῆθος τελαμῶνος τῷ Τεύκρῳ δέδωκε καὶ οὐ τῷ Αἴαντι, ὃν εἴωθε Τελαμωνιάδην καλεῖν, ἵνα μηδὲ ἔμφασιν ὑποτείνῃ ὑποκένου παρηχήσεως διὰ τῆς τοῦ τελαμῶνος ὑπὸ τοῦ Τελαμωνιάδου βολῆς. (v. 409—12) Ὅτι ἐρεθισμὸς ὑπὸ στρατηγοῦ μόνου προκινδυνεύοντος εἰς πόλεμον τὸ ὑπὸ Σαρπηδόνος ἐνταῦθα πρὸς Λυκίους λεχθέν «ὦ οἱ δεῖνα, τί τ᾽ ἂρ ὧδε μεθίετε θούριδος ἀλκῆς; ἀργαλέον δέ μοί ἐστι καὶ ἰφθίμῳ περ ἐόντι μούνῳ ῥηξαμένῳ θέσθαι παρὰ νηυσὶ κέλευθον· ἀλλ᾽ ἐφομαρτεῖτε· πλεόνων δέ τοι ἔργον ἄμεινον». τοῦτο δὲ γνωμικῶς ἐρρέθη. καὶ ἔστιν ὅμοιόν τι καὶ παρ᾽ Ἡσιόδῳ, ἔνθα τὴν τῶν πλειόνων παίδων ἐπιθήκην μείζονα λέγει. (v. 411) Ὅρα δὲ καὶ τὸ «ῥηξαμένῳ» γοργῶς λεχθέν, οὐ γὰρ εἶπε τεῖχος ῥηξαμένῳ ἢ πύλας ἢ λαόν, ἀλλὰ σιωπήσας ἀφῆκε ταῦτα νοεῖσθαι οὐ μόνον διὰ σπουδὴν λόγου, ἀλλὰ καὶ σεμνότερον καὶ ἐμφαντικώτερον. ἐντελῶς δὲ μετ᾽ ὀλίγα φράσει ἐν τῷ «τεῖχος ῥηξάμενοι», ὡς καὶ πρὸ ὀλίγων «πύλας ῥήξαντες», καὶ ἐν τοῖς ἑξῆς «ῥήγνυσθε τεῖχος». δῆλον δὲ ὡς ὁ τοιαῦτα ποιῶν καὶ μᾶλλον ὁ λαὸν ῥηγνὺς ῥηξήνωρ λέγεται. (v. 413—6) Κεῖται δ᾽ ἐν τούτοις καὶ τὸ «ἐπέβρισαν» πάλιν ἐπὶ Λυκίων, καὶ τὸ καρτῦναι ἀντὶ τοῦ κρατῦναι, πυκνῶσαι, στερεῶσαι. Φησὶ γὰρ «οἳ δὲ ἄνακτος ὑποδδείσαντες ὁμοκλὴν μᾶλλον ἐπέβρισαν βουληφόρον ἀμφὶ ἄνακτα. Ἀργεῖοι δ᾽ ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας τείχεος ἔνδοθεν». Δοκεῖ δὲ ἄλλως ἐνταῦθα κεῖσθαι τὸ ἔβρισαν ἤπερ πρὸ ὀλίγου. ἐκεῖ μὲν γὰρ ἀπολύτως καὶ ἁπλῶς ἐρρέθη, ὡς ἔβρισαν οἱ Λύκιοι, ἐνταῦθα δὲ «ἔβρισαν ἀμφὶ ἄνακτα», ἤγουν μετὰ τῆς συνήθους βαρύτητος ἦλθον εἰς τὸν Σαρπηδόνα. κατὰ τῶν Ἀχαιῶν μέντοι αὐτοῖς καὶ νῦν ἡ βαρύτης. (v. 421—3) Ὅτι θέλων δηλῶσαι τὴν συστάδην ἀμετακίνητον μάχην Ἀχαιῶν τε καὶ Τρώων ἐπὶ μεσολαβοῦντι ὀλίγῳ μεταιχμίῳ, τῇ τοῦ τείχους δηλαδὴ περιγραφῇ, καὶ οὐδὲ ὅλου τείχους —ἐπάλξεις γὰρ μόναι διεῖργον αὐτούς—, εἰκάζει τὰ δύο στρατεύματα δύο ἀνδράσι μαχομένοις ἀμφὶ ὀροθεσίοις καί φησι «μέγα δέ σφισι φαίνετο ἔργον», τὸ σταδαῖον δηλαδὴ τῆς μάχης καὶ ἰσοπαλές.

3.412 (v. 417—24) Ὁ ἑφερμηνεύων ἐπάγει «οὔτε γὰρ ἴφθιμοι Λύκιοι Δαναῶν ἐδύναντο τεῖχος ῥηξάμενοι θέσθαι παρὰ νηυσὶ κέλευθον, οὔτε ποτ᾽ αἰχμηταὶ Δαναοὶ Λυκίους ἐδύναντο τείχεος ἂψ ὤσασθαι, ἐπεὶ τὰ πρῶτα πέλασθεν, ἀλλ᾽ ὥς τ᾽ ἀμφ᾽ οὔροισιν», ἤγουν περὶ ὅρων γηδίου, «δύ᾽ ἀνέρε δηριάασθον μέτρ᾽ ἐν χερσὶν ἔχοντες ἐπιξύνῳ ἐν ἀρούρῃ, ὥ τ᾽ ὀλίγῳ ἐνὶ χώρῳ ἐρίζητον περὶ ἴσης, ὣς ἄρα τοὺς διέεργον ἐπάλξιες». Καὶ ἔστι θαυμασία καὶ ἀμίμητος ἡ παραβολὴ τά τε ἄλλα καὶ διὰ τὸ ὀλίγιστον τοῦ μεταξὺ χωρίου, ὅ ἐστι μεταιχμίου, ὃ φέρει πολλὴν ὁμοιότητα πρὸς ἐπιμήκη καὶ στενὸν γηδίου περιορισμόν. (v. 422) Μέτρα δέ φασιν ἐνταῦθα οἱ παλαιοὶ τὰς τὴν γῆν μετρούσας ἀκαίνας, αἷς τὰ πολεμικὰ ἐοίκασιν ἀκόντια, ὥσπερ αὖ πάλιν αἱ διείργουσαι τὸν στρατὸν ἐπάλξεις ἀναλογοῦσι λίθοις, οἳ ἐνιαχοῦ τίθενται ἔμμεναι οὖρον ἀρούρης. Κάμακες δέ τινες αἱ ῥηθεῖσαι ἄκαιναι, στερίσκουσαι τοῦ καίνεσθαι τοὺς ἐρίζοντας περὶ γῆς, οἷς δι᾽ αὐτῶν ἡ ἴση εὑρίσκεται. (v. 423) Τὸ δὲ «περὶ ἴσης» δηλοῖ μὲν τὴν ἰσομοιρίαν, ἐμφαίνει δὲ καί, ὅτι νοῦν ἡ παραβολὴ αὕτη ἔχει ὁποῖον καὶ τὸ «ἐπὶ ἶσα τὴν μάχην τανυσθῆναι», καὶ τὸ «ἴσας ὑσμίνη κεφαλὰς ἔχειν», πλὴν ὅσον ἐκεῖνα μὲν ἀνεξέργαστα, ἐνταῦθα δὲ διὰ παραβολῆς ὁ ἐκεῖ νοῦς ἐπεξείργασται. (v. 419) Ὅρα δὲ τὸ «ἐδύναντο» δὶς ῥηθὲν διὰ τὸ καίριον. ἐρεῖ δὲ αὐτὸ καὶ μετ᾽ ὀλίγα, ὅπερ οἱ ὕστερον ἐκτείνοντες οὐκ ἀναλόγως τὴν ἄρχουσαν «ἠδύναντο» φασίν, ὡς καὶ ἀλλαχοῦ σεσημείωται. (v. 421) Τοῦ δὲ «δηριάασθον» ἑρμηνεία τὸ «ἐρίζητον». (v. 422) Ἐπίξυνον δὲ ἄρουραν ἢ τὸν ὅρον ἔστι νοεῖν, περὶ οὗ ἡ δῆρις, ὅ ἐστιν ἡ ἔρις, ἢ καὶ τὴν ἐπιμεριζομένην γῆν, ἵνα ἐκ κοινότητος ἰδιάσῃ τοῖς ἐρίζουσι. (v. 423) Τὸ δὲ «ὀλίγῳ ἐνὶ χώρῳ» τὸ καιριώτατόν ἐστι τῆς παραβολῆς, πρὸς ὃ καὶ μόνον αὐτὴ παρείληπται. (v. 425 s.) Ὅτι καὶ ἐνταῦθα φανερῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διαφορά ἐστιν ἀσπίδος καὶ λαισηΐου. Φησὶ γὰρ «οἳ δ’ ὑπὲρ ἐπάλξεων δῄουν, ἢ δηΐουν, «ἀλλήλων ἀμφὶ στήθεσσι βοείας ἀσπίδας εὐκύκλους λαισήϊά τε πτερόεντα», ὅ ἐστιν ἐλαφρά.

3.413 Καί εἰσι κατὰ τοὺς παλαιοὺς λαισήϊα τὰ ἐν τῇ λαιᾷ φερόμενα Ἀμαζονικά, ἐξ ἀκατεργάστων ὄντα βυρσῶν. ὅτι δὲ καὶ παρὰ τὸ λάσιον οὕτω καλοῦνται, ἀλλαχοῦ εἴρηται. Τὸ δὲ «βοείας ἀσπίδας» ἔοικε πρὸς διαφορὰν ἑτέρων εἰρῆσθαι, ἄβυρσος γοῦν ἡ τοῦ Ἀχιλλέως. Ἡ δὲ ἱστορία καὶ λινέας ἀσπίδας οἶδε καὶ πλεκτάς, καὶ ἰτέας δέ τινας ἀσπίδας Αἴλιος Διονύσιος ἱστορεῖ φέρων καὶ χρῆσιν ἐξ Ἀριστοφάνους ταύτην «ἀνὴρ πεδήτης ἰτέαν ἐνημμένος». ὅτι δὲ καὶ ἡ πέλτη ἀσπὶς ἦν δέρματι κεκαλυμμένη αἰγὸς ἢ οἰός, προείρηται. εἰ δὲ τὸ εὐκύκλους ἐνταῦθα μόναις ταῖς ἀσπίσι προσλογισθείη, οὐ μὴν καὶ τοῖς λαισηΐοις, εἴη ἂν ἡ πέλτη, αὐτὸ δὴ τοῦτο λαισήϊον, οὔτε ἴτυν ἔχουσα καὶ δέρμασι περιεσταλμένη, ὡς δεδήλωται. (v. 427—9) Ὅτι προθέμενος εἰπεῖν ὡς τῶν μαχομένων πολλοὶ μὲν οὐτάζοντο φεύγοντες, πολλοὶ δὲ καὶ ἱστάμενοι ἀντιπρόσωποι, σχηματίζει ἐν περιφράσει καινότερον καί φησι «πολλοὶ δ’ οὐτάζοντο κατὰ χρόα νηλέϊ χαλκῷ, ἠμὲν ὅτῳ στρεφθέντι μετάφρενα γυμνωθείη μαρναμένων, πολλοὶ δὲ διαμπερὲς ἀσπίδος αὐτῆς», τουτέστιν, [ὁ μέν τις τὰ μετάφρενα στρέψας ἐν τῷ μάχεσθαι καὶ γυμνώσας, πολλοὶ δὲ καὶ διὰ τῆς ἀσπίδος σκεπούσης τὰ ἔμπροσθεν. καὶ ἔστι τὸ σχῆμα ὅμοιον ὡς καὶ εἴ τις μέλλων εἰπεῖν, ὅτι πολλοὶ ἔθνῃσκον, οἱ μὲν φαῦλοι, οἱ δὲ ἐσθλοί, εἴπῃ ὡς πολλοὶ ἔθνῃσκον, καὶ ὅσοις φαύλως εἶχεν ἡ ψυχή, πολλοὶ δὲ καὶ σπουδαίως ζῶντες. προσφυῶς δὲ τῷ ὑποκειμένῳ ταράχῳ καὶ τὴν φράσιν ὁ ποιη]τὴς καινῷ σχήματι συνετάραξε. Σημείωσαι δὲ ὅτι δοκεῖ μὲν ὁ ποιητὴς ἀπὸ πληθυντικοῦ τοῦ «πολλοὶ οὐτάζοντο» μεταβῆναι εἰς ἑνικὸν τὸ «ὅτῳ στρεφθέντι», ἔστι δὲ ὅμως καὶ τὸ τοιοῦτον δυνάμει πληθυντικόν. ὡς γὰρ τὸ τίς, ἀόριστον ὄνομα, καθότι ἀορισταίνει, τοῦτον καὶ ἐκεῖνον καὶ ἄλλον δηλοῖ καὶ ὁμοῦ πλῆθος ἤτοι πολλούς, οὕτω καὶ τὸ ὅτῳ ἀντὶ τοῦ ᾧτινι. ἀόριστον γὰρ καὶ τὸ ὅστις, καθὰ καὶ τὸ τίς. (v. 427) Τὸ δὲ «νηλέϊ χαλκῷ» ὡς ἐπὶ ἐμψύχου φανερῶς καὶ νῦν καὶ πανταχοῦ. οὗ γὰρ ἕξις ἐλεεῖν, ἐκεῖ καὶ στέρησις τοῦ αὐτοῦ, καθὰ καὶ ἐπὶ τοῦ νωδοῦ καὶ τοῦ τυφλοῦ καὶ τῶν ὁμοίων νοεῖται. χαλκὸς δὲ μὴ πεφυκὼς ἐλεεῖν οὐκ ἂν κυρίως οὐδὲ νηλεὴς λέγοιτο. (v. 430 s.) Ὅτι σὺν τοῖς ἀνωτέρω ῥηθεῖσι πολὺν φόνον δηλοῖ καὶ τὸ «πάντῃ δὴ πύργοι καὶ ἐπάλξιες αἵματι φωτῶν ἐρράδατ’ ἀμφοτέρωθεν», ἤγουν «ἀπὸ Τρώων» φησὶ «καὶ Ἀχαιῶν».

3.414 Ὡς γὰρ οἱ ἀμφ’ οὔροις, ὡς ἐρρέθη, μαχόμενοι περὶ τὸ ὁροθέσιον χέοιεν ἂν αἵματα, εἰ τραυματίζονται, οὕτω καὶ Ἀχαιοὶ καὶ Τρῶες, οὓς αἱ ἐπάλξεις καὶ μόναι διεῖργον, τὸ τεῖχος ἂν μιαίνοιεν αἵματι πίπτοντες. καὶ ἔστι τοῦτο μὲν ἐπίτασις τοῦ «πολλοὶ δ’ οὐτάζοντο», ἐκεῖνο δὲ τοῦ ῥηθέντος ἀνωτέρω, ἤγουν τοῦ «ἐδῄουν ἀλλήλων ἀμφὶ στήθεσσι βοείας ἀσπίδας». Ἀκμάζει γὰρ ὅσον καὶ ὅσον προϊὼν καὶ ἐν τοῖς τοιούτοις ὁ ποιητὴς καὶ μεγεθύνει τὸ ἔργον, ἵνα πιθανολογηθῇ ἡ τοῦ τείχους ῥῆξίς τε καὶ ὑπέρβασις. Καὶ σημείωσαι ὅτι διὰ τὸ οὕτω πολὺ τοῦ φόνου φθάσας ὁ ποιητὴς ἀργαλέον εἶπεν αὐτῷ εἶναι τὰ τοιαῦτα πάντα εἰπεῖν. φάναι μὲν γὰρ ἐν τῷ καθόλου καὶ ἀορίστως, ὅτι ἐδῄουν ἀμφὶ στήθεσσιν ἀσπίδας καὶ πολλοὶ οὐτάζοντο καὶ πανταχοῦ οἱ πύργοι αἷμα εἶχον, ῥᾴδιόν ἐστιν, μερικεῦσαι δὲ τὰ πάντα καθ’ ἕκαστον, εἰσάγαν δυσχερές. (v. 431) Τὸ δὲ θέμα τοῦ «ἐρράδατο» Ἰωνικοῦ ῥήματος ῥάζω φασὶν οἱ παλαιοί, ὅπερ τὸ ῥαίνω δηλοῖ, ἐξ οὗ καὶ ἐν Ὀδυσσείᾳ τὸ «ῥάσατε δ’ ὕδωρ». καὶ γίνεται ἐκ τοῦ ἔρραστο ἑνικοῦ τρίτου προσώπου παθητικοῦ ὑπερσυντελίκου ἀποβολῇ τοῦ ς καὶ πλεονασμῷ τῆς δα συλλαβῆς, ὁμοίως τῷ ὠνόμασται ὠνομάδαται, ἐρήρεισται ἐρηρέδαται. (v. 433) Ὅτι τὸ τῶν μαχομένων ἰσοπαλὲς καί, ὡς εἰπεῖν, ἀτάλαντον ἐν ἄλλοις μὲν ἄλλως ἔφρασεν, ὡς καὶ πρὸ ὀλίγου δεδήλωται, νῦν δὲ ἑτεροίως λέγων σαφέστερον παραβάλλει ταλαντούχῳ γυναικὶ τὰ στρατεύματα καί φησιν, ὡς οὐκ ἐδύναντο φόβον Τρῶες ποιῆσαι Ἀχαιῶν, «ἀλλ’ ἔχον ὥς τε τάλαντα γυνὴ χερνῆτις ἀληθής, ἥ τε σταθμὸν ἔχουσα καὶ εἴριον ἀμφὶς ἀνέλκει ἰσάζουσα, ἵνα παισὶν ἀεικέα μισθὸν ἄρηται· ὣς μὲν τῶν ἐπὶ ἶσα μάχη τέτατο πτόλεμός τε». Καὶ ὅρα τὸ «μάχη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πόλεμός τε» ἢ ὡς διάφορα καὶ νῦν τεθέντα ἢ καὶ ὡς ταὐτοδύναμα, καὶ ὅτι εἰπὼν «ἐπὶ ἶσα», οὗ ἕνεκα τὸ τάλαντον εὕρηται, παρεσημήνατο κατὰ τοῦτο καὶ μόνον τὴν παραβολὴν ἁρμόττειν τοῖς νῦν τοῦ πολέμου ἔργοις, τὰ δὲ λοιπὰ εἰς τὸ παντελὲς ἀπεμφαίνειν. οὐδὲν γάρ τι ὅλως κοινὸν ἕτερον τῷ κατὰ τὴν ἔριθον γυναῖκα ἔργῳ καὶ τῷ οὕτω μεγάλῳ πολέμῳ (v. 437 s.) Ἐπάγει [δὲ ὁ ποιητὴς τῷ ἶσα τὰ τῆς μάχης εἶναι τὸ «πρίν γ' ὅτε δὴ Ζεὺς κῦδος ὑπέρτερον Ἕκτορι δῶκε Πριαμίδῃ ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν». Τότε γὰρ οὐκ ἐπὶ ἶσα τὰ τῆς μάχης τέταται, ἀλλὰ τῶν τοῦ Διὸς ταλάν]των βρισάντων τὸ μὲν κάτω δυστυχῶς ῥέπει, ὡς καὶ ἀλλαχοῦ λογογραφεῖ ὁ ποιητής, τὸ δὲ ἄνω αἴρεται καὶ ὑπέρτερον γίνεται, ὡς τοῦ μὲν Ἕκτορος ὑψωθέντος καὶ κῦδος ἄνωθεν λαβόντος ὑπέρτερον, τῶν Ἑλλήνων δὲ κάτω που μενόντων καὶ εἰς γῆν ταπεινουμένων.

3.415 ποικίλως οὖν ὁ ποιητὴς ὥσπερ τὰ ἄλλα, οὕτω καὶ τὰς τῆς μάχης φράζει ῥοπάς. (v. 433) Τάλαντα δὲ νῦν μὲν τὸ ὄργανον, [οὗ πάθος τὸ τάλαν εἶναι διὰ τὴν τοῦ βάρους ὁλκήν.] Ἀλλαχοῦ δὲ καὶ τὰ ἐν αὐτῷ σταθμιζόμενα, [δι' ὧν τάλας ἐστὶν ὁ σταθμός, οἷα πάσχων βάρος ἐξ αὐτῶν.] Χερνῆτις δὲ ἡ διὰ χειρῶν νήθουσα, ἔριον τυχόν, ἀφ' οὗ καὶ ἡ ἔριθος. ταύτης δέ ἐστι καὶ ἀρσενικόν. Φασὶ γοῦν οἱ παλαιοί· χερνήτης, λάτρις, χειροτέχνης, ἀπὸ χειρὸς ζῶν. καὶ πάλιν· χερνήτης, πένης, χειρόβιος. Ἐπαινεῖται δὲ ἡ τοῦ ζυγοῦ παραβολὴ ἐνταῦθα ἐπὶ ἰσότητι, οὗπερ οὐδὲν ἀκριβέστερον εἰς ἰσότητα. ὁμοίως ἐπαινεῖται καὶ ὡς οὔτε δέσποιναν εἰσάγει ταλαντεύουσαν—αὐτὴν γὰρ οὐ πολλὰ λυπεῖ τὸ παρὰ βραχὺ ἶσον— οὔτε θεράπαιναν. οὐδὲ γὰρ αὐτὴ λίαν ζητεῖ τἀκριβές. ἡ μέντοι ἀληθὴς χερνῆτις πάνυ τοῦτο ποιεῖ, οὔτε ἀποστερῆσαι θέλουσα, ὑπόκειται γὰρ ἀληθής, οὔτε αὐτὴ τοῦτο παθεῖν, πένησσα γάρ. (v. 434) Ὥσπερ δὲ τάλαντον τό τε ὄργανον καὶ τὸ ταλαντευόμενον, οὕτω καὶ σταθμός. νῦν μέντοι ὥσπερ τὸ τάλαντον, οὕτω καὶ ὁ σταθμὸς ὀργανικῶς νοεῖται. [Καὶ ὑπάγεται λόγῳ πολυωνυμίας τὸ τάλαντον καὶ ὁ σταθμός καὶ τὰ παρὰ τοῖς ὕστερον, ἡ τρυτάνη καὶ ὁ ζυγός. δόξοι δὲ ἂν τάλαντα πληθυντικῶς εἰπεῖν τὰς δύο πλάστιγγας τοῦ σταθμοῦ, ὧν ἐστι καὶ τὸ τάλαν διὰ τὰ ἐπιτιθέμενα βάρη αὐταῖς. Γίνεται δὲ τῶν ῥηθεισῶν πέντε λέξεων τὸ μὲν τάλαντον, ὅθεν ἐρρέθη, τρυτάνη δὲ παρὰ τὸ τρύεσθαι, σταθμός δὲ παρὰ τὴν στάσιν, ἱστᾷ γὰρ ἐν ἰσότητι τὰς ὁλκὰς καθιστῶν τὸ ἄνισον, ζυγός δὲ κατὰ μεταφοράν, ὡς τῶν πλαστίγγων ἑνὶ κανόνι καθὰ ζυγῷ συνηγμένων, πλάστιγγες δὲ διὰ τὸ κατ' αὐτὰς πλάτος.

3.416 (v. 434) Τὸ δὲ «σταθμὸν ἔχουσα» οὐ συστοιχεῖ τῷ «ἀλλ' ἔχον», ὅπερ ἀνωτέρω κεῖται. τοῦτο μὲν γὰρ σωματικὴν δηλοῖ ἐπαφήν, ἐκεῖνο δὲ ψυχικὴν ἀντοχήν. Ἰστέον δὲ ὅτι ὁ σταθμὸς ἐνταῦθα οὐ τάλαντον δηλοῖ ὁλικῶς, ἀλλά τινα ὁλκὴν ὄγκου, πρὸς ὃν ἀντισηκοῦσι τὰ σταθμώμενα, ὁποῖος καὶ ἡ λίτρα καὶ τὰ τοιαῦτα.] Εἴριον δὲ εἶπεν οὐχ' ὅτι μὴ καὶ λίνον ἡ χερνῆτίς ποτε ταλαντεύει, ἀλλ' ὡς ἐκ μέρους, ὃ πρῶτον ἡ ἀνθρωπικὴ εὗρε χρεία. προπαροξύνει δὲ Ὅμηρος ἀεὶ τὸ εἴριον ὡς λείριον. [Διὰ τί δὲ παρὰ τοῖς ὕστερον παροξύνεται, δηλοῦται ἀλλαχοῦ.] Τὸ δὲ ἀνέλκειν καιριωτάτη λέξις ἐνταῦθα, ἧς ἀνάπαλιν καθέλκειν τὸ κάτω ῥέπειν, ὡς δηλοῖ καὶ ὁ Κωμικὸς ἐν Βατράχοις. τῷ δὲ τοιούτῳ ῥήματι ᾠκείωται καὶ ἡ τῶν σταθμιζομένων ὁλκή, οἷον χρυσοῦ καὶ τῶν ὁμοίων. (v. 435) Καιρίως δὲ πέφρασται καὶ τὸ ἰσάζουσα κατὰ κοινοτέραν διάλεκτον, [ἧς ἐστι καὶ τὸ μονάζω ἐκ τοῦ μονῶ, καὶ τὸ πετάζω ἐκ τοῦ πετῶ.] Τὸ δὲ «ἀεικέα μισθόν» δηλοῖ μὲν μισθώτριαν καὶ τὴν χερνῆτιν εἶναι, εὐτελίζει δ' ἐν τῷ καθόλου τὸ τοῦ μισθοῦ χρῆμα, ὡς ἀνελεύθερον ὂν μισθαρνεῖν. [Διόπερ Ἀθηναῖοι μεταλαβόντες τὸ μισθός εἰς θαῦμα, θαυμάζειν φασὶ τὸ διδόναι μισθόν, ὡς δηλοῖ καὶ παρὰ τῷ Κωμικῷ τὸ «χρὴ γὰρ ἀποθαυμάσαι τι τὸν διδάσκαλον», ὅπερ εὐφήμως ἐρρέθη ἀντὶ τοῦ μισθὸν δοῦναι, ὅπερ γίνεται τοῖς μισθὸν λαμβάνουσι, ταὐτὸν δ' εἰπεῖν μισθαρνοῦσιν. Ὅτι δὲ ἀεικὴς ὁ μισθός, δῆλον καὶ ἐκ τῆς ἐτυμολογίας αὐτοῦ. γίνεται γάρ, φασί, μισθὸς παρὰ τὸ μῖσος καὶ τὸ θῶ, τὸ τίθημι, οὗ δηλαδὴ μισητὴ ἡ θέσις, καὶ διὰ τοῦτο καὶ ἀεικής, διὰ τὸ δουλοποιὸν καὶ οἷον αἰκιστικόν, ὅπερ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκ τοῦ ἀεικοῦς κιρνώμενον παράγεται. Τῷ δὲ μισθῷ οἰκεῖον καὶ τὸ αἴρεσθαι. εἰ γὰρ καὶ μισητῶς τοῖς μισθαρνοῦσι τίθεται, ἀλλ’ ὅμως ἀναγκαίως αἴρεται, καθότι καὶ ἀντίκειται τὸ τίθεσθαι καὶ τὸ αἴρεσθαι. διόπερ ὀρθῶς ἔφη τὸ «ἀεικέα μισθὸν ἄρηται». Ἴσως δὲ καὶ πρὸς ὁμοιότητα τοῦ ἀνέλκει ἔφη τὸ ἄρηται, ἵνα ᾖ ὅτι ἀνέλκει, τουτέστιν αἴρει τάλαντα, ἵνα μισθὸν ἄρηται, ἀφ’ ὧν, ἤγουν ἐκ τοῦ μισθός καὶ τοῦ αἴρειν, δοκεῖ γίνεσθαι τὸ μισθαρνεῖν, ὃ καὶ ἄλλως οὕτω λέγεται παρὰ τὸ μισθὸν ἄρνυσθαι, ἤγουν ἀντικαταλλάσσεσθαι.

3.417 ] Φασὶ δὲ τὸν ποιητὴν τὰ καθ’ ἑαυτὸν ἐμφαίνοντα ἐπὶ τῇ ἑαυτοῦ διασκευάσαι μητρὶ τὰ ῥηθέντα, ἣν ἐπαινεῖ μὲν ὡς ἀληθῆ, ὡς δὲ ἀεικῶς ζῶσαν οἰκτίζεται. Ἱστορεῖ γὰρ ἐν τοῖς περὶ Ὁμήρου Ἡρόδοτος οὕτω τὴν Κρηθηΐδα ἐργαζομένην ἀποτρέφειν τὸν ποιητήν. (v. 437 s.) Τὸ δὲ «Ἕκτορι Πριαμίδῃ» μυστικῶς εἴρηται, ἤτοι συμβολικῶς καὶ ἐμφαντικῶς, ἵνα εἴπῃ, ὅτι ἐκύδαινεν ὁ Ζεὺς τὸν Ἕκτορα οὔτε ὡς υἱὸν κατὰ τὸν Σαρπηδόνα οὔτε ὡς ἐξ ἑτέρου θεοῦ, ἀλλ’ ἁπλῶς οὕτω, μὴ θεῖον ἀλλὰ Πριαμίδην ὄντα, καὶ ὡς ὁ ποιητὴς ἀλλαχοῦ ἔφη «αὔτως οὔτε θεοῦ ὄντα οὔτε θεᾶς». (v. 438) Τὸ δὲ «ἐσήλατο» καὶ περὶ τοῦ Σαρπηδόνος ἐν τοῖς ἑξῆς ἐρεῖ ὁ ποιητής, ἀλλ’ ἐκεῖ μὲν ὁ Πορφύριος τὸ ἐσήλατο ἀντὶ τοῦ ἐσάλευσε νοεῖ, ἐνταῦθα δὲ ἀντὶ τοῦ εἰσεπήδησεν. ἀληθῶς γὰρ πρῶτος ἐνταῦθα ὁ φαίδιμος Ἕκτωρ ἔσθορε ῥήξας τὰς πύλας, ὡς μετ’ ὀλίγα ὁ ποιητὴς ἐρεῖ πρὸς αὐτῷ τῷ ἔργῳ. νῦν γὰρ προαναφωνήσεως λόγῳ ἔφη τὸ «τεῖχος ἐσήλατο πρῶτος». (v. 440 s.) Ὅτι ἐρεθισμὸς στρατηγικὸς τὸ «ὄρνυσθε ἱππόδαμοι Τρῶες, ῥήγνυσθε δὲ τεῖχος Ἀργείων καὶ νηυσὶν ἐνίετε θεσπιδαὲς πῦρ», ἃ δὴ σκοπὸς τῆς ἄρτι τειχομαχίας ἐστίν. (v. 442) Ὅτι τὸ «ὣς ἔφατο ἐποτρύνων, οἳ δὲ οὔασι πάντες ἄκουον», ἁπλοϊκῶς εἴρηται κατὰ συνήθειαν Ὁμηρικὴν καὶ ἀφελῶς ἐν καταφάσει ἀληθεῖ, ἐπεὶ πᾶς ὁ ἀκούων ὠτίοις ἀκούει, ὡς καὶ ὁ ὁρῶν ὀφθαλμοῖς ὁρᾷ. διὸ καὶ προϊὼν ἐρεῖ «μέγα θαῦμα τόδ’ ὀφθαλμοῖσιν ὁρῶμαι». Ἢ τοίνυν ἁπλῶς οὕτως αὐτὸ ἐρρέθη, ἢ ἀντὶ τοῦ αὐτήκοοι τοῦ λόγου ἐγένοντο καὶ οὐ διὰ μέσου κήρυκος ἤκουσαν, ὡς ὁ Αἴας πρὸ ὀλίγων διὰ τοῦ Θοώτου. οὕτω δὲ καὶ ὀφθαλμοῖς ὁρᾷ τις ἀντὶ τοῦ αὐτόπτης γίνεται. (v. 443 s.) Ὅτι ἀνδραγαθία πολιορκητῶν τὸ «ἴθυσαν δ’ ἐπὶ τεῖχος ἀολλέες· οἳ μὲν ἔπειτα κροσσάων ἐπέβαινον ἀκαχμένα δούρατ’ ἔχοντες». Τίνες δὲ αἱ κρόσσαι, δηλοῦται ἀλλαχοῦ. (v. 445—50) Ὅτι Ἕκτωρ «ἁρπάξας λᾶαν ἔφερεν, ὅς ῥα πυλάων ἑστήκει πρόσθεν, πρυμνὸς παχύς, αὐτὰρ ὕπερθεν ὀξὺς ἔην. τὸν δ’ οὔ κε δύ’ ἀνέρε δήμου ἀρίστω ῥηϊδίως ἐπ’ ἄμαξαν ἀπ’ οὔδεος ὀχλίσειαν, οἷοι νῦν», [ὡς καὶ προεγράφη,] «βροτοί εἰσιν· ὃ δέ μιν ῥέα πάλλε καὶ οἷος. τόν οἱ ἐλαφρὸν ἔθηκε Ζεύς», ὡς μὴ φύσει ἐξ οἰκείας ἀνδρίας ἐλαφρισθέντα, καθὰ ἐν τοῖς τοῦ Αἴαντος προσεσημείωται. Καὶ ὅρα ὅπως ἐνταῦθα παρέφρασε βάρος λίθου, διὰ πλειόνων αὐτὸ φράσας ἤπερ ἐν τοῖς κατὰ τὸν Αἴαντα.

3.418 προείρηται δέ τι οὐκ ἀνάκριβες περὶ τοιούτου λίθου καὶ ἐν τῷ «στήλας προβλῆτας ἐμόχλεον». (v. 445) Τὸ δὲ «ἁρπάσας» ἡρωϊκὴν δηλοῖ ἐντρέχειαν. (v. 446). Τὸ δὲ πρυμνός ἀντὶ τοῦ ἔσχατος πρὸς τοῖς θεμελίοις. Ἕτεροι δὲ ὑφὲν ἀνέγνων, πρυμνοσπαχύς, ἵνα λέγῃ ὅτι τὰ ἔσχατα καὶ κάτω παχύς. διὸ ἐπάγει «αὐτὰρ ὕπερθεν ὀξύς». τοῦτο δὲ πρὸς πιθανότητα, ἵνα τῷ μὲν πάχει λαμβάνηται, τῷ δὲ ὀξεῖ ἀράξῃ τὰς πύλας ἐνεργῶς, καθ’ ὧν μετὰ μικρὸν ἀφεθήσεται. (v. 447) Τὸ δὲ «ἀνέρε δήμου», ὥσπερ καὶ τὸ «ὃν ἂν εὕρῃ δήμου ἄνδρα», περίφρασίς ἐστι δημότου. ταὐτὸν γὰρ ἄνδρα δήμου εἰπεῖν καὶ δῆμον, ὡς δηλοῖ τὸ «οὐ γὰρ ἔοικε δῆμον ἐόντα παρὲξ ἀγορεύειν». (v. 448) Τὸ δὲ «ἐπ’ ἄμαξαν» ψιλοῦσθαι σημαίνει τὴν ἅμαξαν Ἰωνικῶς, διότι καὶ ἀπὸ τοῦ ἅμητον ἄγειν ἐτυμολογεῖται κατά τινας. ὡς δὲ καὶ ἐδασύνετο Ἀττικῶς, καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δεδήλωται. Ὅτι δὲ ὑποκοριστικὸν τῆς ἁμάξης ἡ ἁμαξίς, ὃ δηλοῖ μικρὸν ἁμάξιον ποιούμενον εἰς παίγνιον τοῖς παισί, δηλοῦσιν οἱ παλαιοί. (v. 451—3) Ὅτι οὕτως ἀβαρῶς καὶ ἀνεπαχθῶς ὑπὸ Ἕκτορος φέρεται ὁ ῥηθεὶς δυσβάστακτος λίθος, «ὡς ὅτε ποιμὴν ῥεῖα φέρει πόκον ἄρσενος οἰὸς χειρὶ λαβὼν ἑτέρῃ, ὀλίγον τέ μιν ἄχθος ἐπείγει, ὣς Ἕκτωρ ἰθύς» καὶ ἑξῆς. Καὶ ὅρα ὅτι οὐχ’ ἁπλῶς πόκον ἀλλὰ ἄρσενος οἰὸς παρέλαβεν ἐν τῇ παραβολῇ κατὰ τὴν τῶν παλαιῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρατήρησιν διὰ τὸ ῥυπωδέστερον καὶ τραχύτερον ὄντα τὸν τοιοῦτον λίθου παρεοικέναι χρώματι, ἔτι δὲ καὶ διὰ τὸ μείζονα εἶναι τοῦ θήλεος τὸν τοῦ ἄρσενος πόκον. Ἰστέον δὲ ὡς οἱ μεθ' Ὅμηρον οὐ θέλουσιν ἄρσενα γράφειν διὰ τοῦ ς , ἀλλὰ διὰ τοῦ ρ ἄρρενα, λέγοντες ὅτι τὸ ς ὑποτεταγμένον τῷ ρ οἱ Ἀττικοὶ ρ ποιοῦσιν, οἷον ἄρσεν ἄρρεν. οὕτω δὲ καὶ θαρρεῖν καὶ πόρρω ἐκ τοῦ πόρσω καὶ μυρρίνη καὶ ἐπὶ κόρρης, ἤτοι κόρσης, καὶ ταρρός ἐκ τοῦ ταρσός, ὡς τὸ «ταρσοὶ μὲν τυρῶν βρῖθον». Αἴλιος δὲ Διονύσιος λέγει καί, ὅτι ἀρρηνικόν, οὐχὶ ἀρσενικόν, τὸ τῶν γραφέων παρὰ Ἀττικοῖς φάρμακον. Ὁ μέντοι Στράβων ἀρσενικὸν ὀνομάζει αὐτό, ἱστορῶν καὶ ὄρος εἶναι, ἀφ' οὗ λαμβάνεται τὸ τοιοῦτον ἀρσενικόν, ὅπερ ἰδιωτικῶς ἀρσενίκιον λέγεται.

3.419 Σημείωσαι δὲ ὅτι πάνυ πιθανῶς ἐπέτεινεν Ὅμηρος τὴν τοῦ βαρυτάτου λίθου ἐλαφρότητα, ὡς ἂν εὔπλαστος ἡ δι' αὐτοῦ δόξῃ κρατίστη ἐνέργεια. εἰ γὰρ ὁ τοσοῦτος λίθος ἐλαφρὸς οὕτω κατὰ τὴν παραβολὴν γέγονε τῷ Ἕκτορι, πιθανὴ ἂν εἴη εὖ μάλα ἡ δι' αὐτοῦ τῶν πυλῶν ῥῆξις, ἄλλως τε καὶ τοῦ λίθου εἰς ὀξὺ λήγοντος, ὡς ἐρρέθη, καὶ τοῦ Ἕκτορος μάλα ἐγγύς τε ἐλθόντος καὶ τὰ σκέλη διαστήσαντος καὶ οὕτως ἀσφαλῶς ἐρεισαμένου, ὡς ῥηθήσεται. (v. 453 s.) Ἰστέον δὲ ὅτι ἐν μὲν τοῖς πρὸ τούτων ἔδοξε φανῆναι σανίδας μὲν ἄλλο τι, ἕτερον δὲ τὰς πύλας ῥηθῆναι, νῦν δὲ ἐν τῷ «ὣς Ἕκτωρ ἰθὺς σανίδων φέρε λᾶαν ἀείρας, αἵ ῥα πύλας εἴρυντο πύκα στιβαρῶς ἀραρυίας» ταὐτὸν μὲν σανίδες καὶ πύλαι, σαφεστέρα δὲ ὅμως λέξις τὸ πύλαι. ὁ μὲν γὰρ πύλας εἰπὼν καὶ σανίδας ἐνέφηνεν, ὁ δὲ σανίδας φάμενος οὐκ ἤδη καὶ πύλας. διὸ καὶ παρακατιὼν ἐρεῖ τὰς πύλας μὲν βληθείσας ἠχῆσαι, τὰς σανίδας δὲ διατμαγῆναι. Καί εἰσι πύλαι, ὡς ἐνταῦθα ἔοικεν ὁρίσασθαι Ὅμηρος, σανίδες πύκα στιβαρῶς ἀραρυῖαι. (v. 455 s.) Ἐπιμένων δὲ ὁ ποιητὴς τῇ ἐκφράσει τῶν πυλῶν ἐπάγει «δικλίδας, ὑψηλάς, δοιοὶ δ' ἔντοσθεν ὀχῆες εἶχον ἐπημοιβοί», ὅ ἐστι μετὰ τὸν ἕνα ὁ ἕτερος, «μία δὲ κληῒς ἐπαρήρει». (v. 457—66) Ἐφ' οἷς γραφικῶς διαζωγραφῶν καὶ ἐκφράζων ἔργον, ὅπερ ἂν ποιήσοι ἀνὴρ τοσοῦτον λίθον ἀβαρῶς μὲν φέρων, στερρῶς δ' ἐπαφείς, φησὶ «στῆ δὲ μάλ' ἐγγὺς ἰὼν καὶ ἐρεισάμενος βάλε μέσσας, εὖ διαβάς, ἵνα μή οἱ ἀφαυρότερον βέλος εἴη», ὃ δηλαδὴ νῦν ὁ Ἕκτωρ ἔβαλε, «ῥῆξε δ' ἀπ' ἀμφοτέρους θαιρούς, πέσε δὲ λίθος εἴσω βριθοσύνῃ, μέγα δ' ἀμφὶ πύλαι μύκον, οὐδ' ἄρ ὀχῆες ἐσχεθέτην, σανίδες δὲ διέτμαγεν ἄλλυδις ἄλλῃ λᾶος ὑπὸ ῥιπῆς», ἢ ὑπαὶ ῥιπῆς, «ὃ δ' ἄρ ἔσθορε φαίδιμος Ἕκτωρ νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια, λάμπε δὲ χαλκῷ σμερδαλέῳ τὸν ἕεστο περὶ χροΐ. δοιὰ δὲ χερσὶ δοῦρ' ἔχεν. οὐκ ἄν τις μιν ἐρυκάκοι ἀντιβολήσας νόσφι θεῶν, ὅτ' ἐσᾶλτο πύλας, πυρὶ δ' ὄσσε δεδήει». οὕτω συνετράχυνε τοῖς πολεμικοῖς ἔργοις καὶ τὴν φράσιν ὁ ποιητὴς καὶ ἅμα καὶ σεμνῶς ἔγραψεν οὐδὲν ταπεινὸν εἰπών, ὡς οἷα τῷ Ἕκτορι συνεξαγριούμενος κατὰ τὴν γραφήν. Ἰστέον δὲ ὅτι παρασημειοῦνται οἱ παλαιοὶ ἐνταῦθα, ὡς πανταχόθεν ὁ ποιητὴς ἐκίνησε τὴν τῆς μάχης ἐνέργειαν ἢ τὴν τοῦ λόγου ἐνάργειαν, ἐκ τοῦ βαλόντος ἥρωος, ἐκ τοῦ μεγάλου λίθου, ἐκ τῶν ὑψηλῶν πυλῶν καὶ ἀκριβῶς ἠσφαλισμένων, ἐκ τῶν διαρριπτουμένων σανίδων, ἐκ τοῦ ἐκεῖνον εἰσπηδῆσαι καὶ φοβερὸν βλέπειν, ἐκ τῆς τῶν ὅπλων λαμπηδόνος καὶ ἐφεξῆς ἐκ τῶν ὑπερβαινόντων τὸ τεῖχος, ἐκ τῶν κατ' αὐτὰς τὰς πύλας εἰσχεομένων, ἐκ τῆς φυγῆς τῶν Δαναῶν.

3.420 καὶ ὅλως μέγα τὸ πρᾶγμα παριστᾷ τῇ πολλῇ δυνάμει τοῦ λόγου. (v. 454) Ἐν τούτοις δὲ τὸ μὲν «πύκα» καὶ «στιβαρῶς» ἢ τῆς αὐτῆς ἐννοίας εἰσὶν ἢ πυκινότητος μέν, ἤγουν συνέσεως, τὸ πύκα, πυκνώσεως δὲ στερρᾶς τὸ στιβαρῶς, οὗ πρωτόθετον στείβω, τὸ καταπατῶ, ἐξ οὗ καὶ ἡ στιβάς. αἱ δὲ ἀραρυῖαι πύλαι τὸν πυλάρτην Ἅιδην ἀλλαχοῦ συντιθέασι. (v. 455) Δικλίδες δὲ ἴσως μὲν καὶ αἱ δὶς κλειόμεναι ὡς ὑψηλαί, τουτέστιν ὑπὸ δύο ὀχέων, ὡς δηλοῖ τὸ «ὀχῆες ἐσχεθέτην», μάλιστα δὲ ὥσπερ δίζυγες ἵπποι, οἱ ἀγόμενοι δύο ὑφ' ἕνα ζυγόν, οὕτω καὶ πύλαι δικλίδες, αἱ ἀγόμεναι δύο ὑπὸ μίαν κλεῖδα, ὅ ἐστιν αἱ δίθυροι. διὸ καὶ Ὅμηρος λέγει «μία δὲ κληῒς ἐπαρήρει». Δῆλον δὲ ὡς, εἰ καὶ ἐκ τοῦ κλείς γέγονε τὸ δικλίς, ἀλλ' ἀποβολῇ τοῦ ε τὴν διὰ τοῦ ι ἔχει γραφήν, ὡς καὶ τὸ κιγκλίς. Αἱ δὲ ὑψηλαὶ πύλαι καὶ ἱππήλατοί εἰσιν, οὐ μὴν κατὰ τὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πυλίδας. Ὀχεὺς δὲ ὁ μοχλός, ἡ νῦν λεγομένη σειρά, ἤγουν σέρα, ὁμοίως τῷ ζειά ζέα καὶ δειρή δέρη. καὶ γίνεται παρὰ τὸ ἔχω, ὁ τὰς θύρας συνέχων. διὸ καὶ ὁ ποιητὴς τρόπῳ ἐτυμολογίας ἔφη «ἔντοσθεν ὀχῆες εἶχον», καὶ «οὐδ' ἂρ ὀχῆες ἐσχεθέτην», οἷα ψευσάμενοι τὴν κλῆσιν. (v. 458) «Διαβάς» δὲ ὁ διαστήσας, ὡς ἐρρέθη, τὰ σκέλη, τουτέστι τὴν βάσιν, πρὸς ἀντέρεισιν. ὅθεν καὶ ὁ ποιητὴς πρὸς ἑρμηνείαν τοῦ ἐρεισάμενος ἔφη τὸ «εὖ διαβάς». Ἀττικὴ δὲ ἡ λέξις. φησὶ δὲ καὶ ὁ Κωμικός «τοσόνδε δ' αὐτοῦ βῆμα διαβεβηκότος». Γίνεται δὲ τῷ Ἕκτορι τὸ βέλος οὐκ ἀφαυρόν, οὐ μόνον διὰ τοῦ μάλα ἐγγὺς ἐλθεῖν καὶ εὖ διαβάντα ἐρείσασθαι, ἀλλὰ συμβάλλεται πρὸς τοῖς ἤδη ῥηθεῖσι καὶ ἡ ῥώμη τῶν χειρῶν καὶ ἡ βριθοσύνη τοῦ λίθου καὶ ἡ κατὰ μέσας τὰς πύλας αὐτοῦ βολή. Σημείωσαι δ' ἐνταῦθα καὶ ὅτι τρισὶν ἐννοίαις, τῷ «ἔστη μάλ' ἐγγύς», καὶ τῷ «ἐρεισάμενος βάλε», καὶ τῷ «εὖ διαβάς», μίαν ἐπήγαγεν αἰτίαν τὸ «ἵνα μὴ ἀφαυρὸν βέλος εἴη».

3.421 πάντως γὰρ διὰ τοῦτο καὶ ἐγγὺς τῶν πυλῶν ὁ Ἕκτωρ ἔστη καὶ ἠρείσατο καὶ τοὺς πόδας διέστησεν, ἵνα τὸ βέλος ἰσχυρὸν γένηται. Οὕτω καὶ Σοφοκλῆς ἐν Αἴαντι δυσὶν ἐννοίαις μίαν αἰτίαν ἐπάγει, ἔνθα λέγει ὡς οὔτε κωλύειν ἔχω σε τοῦ λαλεῖν, οὔτε συγχωρεῖν τοιαῦτα παθόντα κακά. (v. 459) Θαιρὸς δὲ νῦν μὲν στρόφιγξ θύρας. ἐν δὲ ῥητορικῷ Λεξικῷ εὕρηται καὶ ὅτι θαιρὸς ὁ ἄξων παρὰ Σοφοκλεῖ. (v. 460 s.) Περὶ δὲ τοῦ μύκον καὶ τοῦ ἄλλυδις προδεδήλωται. δῆλον δὲ ὅτι ἀλλαχοῦ μὲν τὸ πύλαι μύκον ἦχον ἁπλῶς ἐδήλου πυλῶν ἀνοιγομένων, ἐνταῦθα δὲ θραυομένων ὑπὸ λίθου βολῆς καὶ οὕτω ποιόν τι ἠχούντων. (v. 463) Νυκτὶ δὲ ἀτάλαντος ὁ ἥρως τὰ ὑπώπια διὰ τὴν δεινότητα, ὡς καὶ ὁ Ἀπόλλων νυκτί που ἐῴκει διὰ τὴν σκυθρωπότητα. Ὑπώπια δὲ λέγει τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς ἁπλῶς μέρη, τὴν πρόσοψιν. καὶ οὕτω μὲν ὁ ποιητής, οἱ δὲ ὕστερον ὑπώπιά φασι τὰς περὶ τοὺς ὀφθαλμοὺς πληγάς, ἐξ ὧν ὡς ἐκ μέρους καιριωτάτου καὶ τὸ ὑπωπιάζειν καὶ σώματος ὑπωπιασμὸς μεταφορικῶς ὁ κατὰ σύντηξιν. Ὅτι δὲ ὑπώπια αἱ περὶ ὀφθαλμοὺς πληγαὶ μεθ' Ὅμηρον, δῆλον καὶ ἀπὸ σκώμματος παλαιοῦ. παθόντος γάρ τινος πρόσκομμα καὶ ἐρωτηθέντος, τί τοῦτο, καὶ ἀμαθῶς εἰπόντος, ὡς ὑπώπιον πάθοι, ἀκούσας τῶν τις καὶ ἀστείων καὶ ἔσω λόγου, καὶ τὴν κεφαλὴν ἐς νέωτα ταινίαις διαλαβών, ὅ ἐστι φασκίαις, καὶ ἐρωτηθεὶς τί πάθοι, πρόσκομμα ἔφη, καὶ οὕτω τοῖς ἀκροαταῖς ἐκίνησε γέλωτα, ὡς ἐπίσης γελοῖον ὂν ὑπώπια φάναι παθεῖν περὶ πόδας καὶ πρόσκομμα περὶ πρόσωπον.

3.422 ὧν ἐπὶ ποδῶν μὲν κυριολεκτεῖται τὸ πρόσκομμα, ἐπὶ προσώπου δὲ τὸ ὑπώπιον, ὃ παρῆκται καθ' ὁμοιότητα τοῦ ἐνώπιον, μετώπιον, ἔτι δὲ καὶ παρώπιον, τὸ καὶ ἀντήλιον. τὸ δὲ ἦν δέρμα περὶ τὰς ὄψεις τῶν ἵππων, ὥς φησιν Αἴλιος Διονύσιος, ὅπερ οἱ θεωρικοὶ πάρωπον λέγουσι. Ἰστέον δὲ ὅτι, ὥσπερ γελοῖον καταγαγεῖν εἰς πόδας τὸ ὑπώπιον, οὕτω καὶ τὸ ἀναγαγεῖν εἰς ὀφθαλμοὺς τὸ ῥαιβόν. Ῥαιβοὶ μὲν γὰρ οἱ ἐρραισμένοι τὴν βάσιν, καὶ ῥαιβοὶ πόδες οἱ ἀπ' ἐναντίας τοῖς βλαισοῖς, ῥαιβότης δὲ ἐπὶ ὀφθαλμοῦ ἄνω ποιεῖ, ὅ φασι, τὰ κάτω. (v. 462—6) Σημείωσαι δὲ ὅτι νυκτὶ ἀτάλαντον εἰπὼν τὸν Ἕκτορα, ὅπερ οὐ πρὸς ἐπαίνου ἦν τῷ ἥρωϊ, ἐννοίαις ἑτέραις τὴν τοιαύτην φωτίζει νύκτα, φαίδιμόν τε αὐτὸν εἰπὼν καὶ λάμπειν χαλκῷ καὶ σμερδαλέον καθ' ἑτέραν γραφήν, καὶ πυρὶ ὄσσε δεδηέναι, ἤγουν πυρὶ τοὺς ὀφθαλμοὺς αὐτῷ καίεσθαι. Καὶ θαυμάζουσιν οἱ παλαιοί, ὡς ἐναντίαις εἰκόνων ὁμοιότησι κοσμεῖ τὸν Ἕκτορα, τὸν αὐτὸν ζοφώδη τε εἰπὼν καὶ λαμπρόν, καὶ τὴν τῶν ὑπωπίων νύκτα περιαστράψας παραβολικῶν εἰκόνων φωτί. Δύο δὲ δοῦρα χερσὶν ἔχει, καθὰ καὶ πρὸ ὀλίγου ὁ Σαρπηδών. (v. 465) Τὸ δὲ «οὐκ ἄν τίς μιν ἐρυκάκοι» ἐπιφωνηματικῶς ἐρρέθη ἐπὶ πᾶσιν ἐκφωνηθὲν κομματικῶς καὶ πολλὴν ἔννοιαν ἐν ὀλιγίστῃ φράσει δηλοῦν. (v. 466) Τὸ δὲ «νόσφι θεῶν» καὶ ὡς ἐν σχήματι προαναφωνήσεως κεῖται. διὸ πιθανῶς μετ' ὀλίγα τὸν Ποσειδῶνα ἀντεπεξάγει βοηθοῦντα τοῖς Ἀχαιοῖς. Τὸ δὲ «ἐσᾶλτο πύλας» ὅμοιόν ἐστι τῷ «ἐσήλατο τεῖχος Ἀχαιῶν», ὃ προγέγραπται. (v. 467 s.) Ὅτι Ἕκτωρ μὲν «κέκλετο Τρώεσσιν ἑλιξάμενος καθ' ὅμιλον τεῖχος ὑπερβαίνειν, τοὶ δ' ὀτρύνοντι πείθοντο» καὶ νῦν, ὡς ἀεὶ ἐποίουν. Καὶ ὅρα ὡς Λύκιοι μὲν πρὸ

μικροῦ «ἄνακτος ὑποδείσαντες ὁμοκλὴν μᾶλλον ἐπέβρισαν», Τρῶες δ’ ὀτρύνοντι Ἕκτορι πεισθέντες μεγάλα ἔδρασαν.

3.423 καὶ ἔοικε βαρύτερον ἄρχειν τῶν Λυκίων ὁ Σαρπηδών, τοῖς Ἕλλησι μέντοι ὁ βασιλεὺς ἠπίως προσφερόμενός που ἄλλα τε παραινεῖ καὶ ἀλλήλους αἰδεῖσθαι κατὰ κρατερὰς ὑσμίνας. οὐ μὴν οὐδὲ ὁ Ἕκτωρ πάντῃ τούτου ἀπέοικεν, εἰ καί ποτε πρὸς ἕνα τινὰ οἷον Πάριν ἢ Πολυδάμαντα καταφέρεται βαρύς. (v. 469 s.) Ἐνταῦθα δὲ ὁ ποιητὴς ἑρμηνεύων τὸ «πίθοντο» φησὶ «αὐτίκα δ’ οἳ μὲν τεῖχος ὑπέρβασαν, οἳ δὲ κατ’ αὐτὰς ποιητὰς ἐσέχυντο πύλας», ἤγουν ὑγρότερον καὶ σπουδαιότερον εἰσῆλθον, ἵνα δηλοῖ καὶ νῦν ἡ λέξις τὴν ῥᾳονα διὰ τῶν πυλῶν εἴσοδον καὶ οἷον πρόχυσιν, ὡς τοῦ τείχους ἔχοντός τι πρόσαντες διὰ τὸ προσίστασθαι τῇ εἰσόδῳ. (v. 470 s.) Ἐφ’ οἷς ἐπάγων τὸ μεῖζον κακόν φησι «Δαναοὶ δ’ ἐφόβηθεν» οὐχ’ ἁπλῶς, ἀλλὰ «νῆας ἀνὰ γλαφυράς, ὅμαδος δ’ ἀλίαστος ἐτύχθη». Καὶ ἐν τούτοις κατέστησε τὴν τοῦ τείχους ἅλωσιν, Σαρπηδόνος μὲν ὑποβαλομένου ἀρχάς, Ἕκτορος δὲ τελειώσαντος. καί πως ἑάλω ἤδη τὸ ναύσταθμον, εἰ καὶ ἡ παλίωξις ἀναστρέψει τὸ κακόν. (v. 469) Σημείωσαι δὲ ὅτι τὸ μὲν ὑπερβαίνειν καὶ τὸ ὑπέρβασαν οὐκ ἔχει τινὰ ψόγον ἐνταῦθα, ἡ δὲ ἐκ τοῦ τοιούτου ῥήματος ὑπερβασία λέξις ἐστὶν ἀεὶ ἐπίψογος, καθὰ δηλοῖ καὶ τὸ «ὑπερβασίαι δ’ ἀλεγειναί». Ἔστι δὲ τὸ ὑπέρβασαν οὐκ ἐκ τοῦ ὑπερβαίνειν, ἀλλ’ ἐκ τοῦ πρωτοτύπου βῶ, ἐξ οὗ καὶ ἡ βάσις καὶ ἡ ὑπερβασία. (v. 471) Ἀλίαστος δὲ ὅμαδος ἢ ὃν οὐκ εἶχον διεκφυγεῖν οἱ Ἀχαιοί, ἢ ὁ πολυλίαστος, ὁ εἰς πολὺν δηλαδὴ φόβον παρακινῶν. ΕΚ ΤΩΝ ΤΗΣ ΝΥ Ὅτι ἐπὶ ταῖς ναυσὶ μάχη ἐπιγράφεται ἡ προκειμένη ῥαψῳδία, ἡρωϊκῶς μέντοι οὕτω· νῦ δ’ ἐπὶ νηυσὶ μάχη, Δαναοῖς ἤμυνε Ποσειδῶν.

3.424.(t) (v. 1—3) Ὅτι «Ζεὺς ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσε, τοὺς μὲν ἔα παρὰ τῇσιν», ἤγουν παρ’ αὐταῖς, «πόνον τ’ ἐχέμεν καὶ ὀϊζὺν νωλεμέως, αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ», τουτέστιν ἀλλαχοῦ τὴν θέαν ἔτρεψεν, ἀφεὶς ἐκείνους μάχεσθαι, ὅπερ παρῳδηθέν ποτε ῥηθείη ἂν καὶ ἐπὶ τῶν ἁπλῶς εἰς ἔριν ὑποκινησάντων τινάς, εἶτα μὴ ἐπιστρεφομένων αὐτῶν, καὶ σκῶμμα δ’ ἄν ποτε στραβότητος ὀφθαλμῶν εἴη τὸ πάλιν τρέπειν αὐτούς, [ὃ δὴ καὶ τὸν παλίντροπον συντίθησιν.] Ἐφερμηνευτικὸν δὲ τοῦ «πάλιν τρέπεν ὄσσε» μετ’ ὀλίγα τὸ «ἐς Τροίην δ’ οὐκέτι τρέπεν ὄσσε». Ἰστέον δὲ ὅτι τὸ «ὄσσε πάλιν τρέψαι» ὄσσε πάλιν κλῖναι λέγει ἀλλαχοῦ, καὶ ὅτι εἶχε μὲν ἐξαγαγεῖν Ὅμηρος εἰς μάχην ἤδη τὸν Ἀχιλλέα, ὅμως ἀναβάλλεται τοῦτο καὶ εἰσέτι, τόν τε πόλεμον ἐπὶ πλέον αὔξων, καὶ μῆκος καὶ ποικιλίαν πλείονα τῇ ποιήσει τεχνώμενος. Ἡ δὲ τοῦ Διὸς στροφὴ πρὸς τὰ ῥηθησόμενα Εὐρωπαῖα ἔθνη καιρικήν τινα δηλοῖ τῆς ὑπὲρ τῶν Τρώων πεπρωμένης μοίρας ἀργίαν καὶ ἄνεσιν καὶ ἀποστροφὴν καὶ τὸ μηκέτι αὐτὴν ἐπεντρανίζειν οἷον τῷ ναυστάθμῳ ἀλλὰ πρὸς βραχεῖαν ῥοπὴν ἀνεῖναι τοῖς Τρωσὶ τὴν τῆς ἀνδραγαθίας ἐπίτασιν, ὡς τῶν Ἀχαιῶν, οἷα εἰκός, διὰ τὸ κινδυνεύειν ἐπὶ τοῖς ἀναγκαιοτάτοις ἀγωνιζομένων σπουδαιότερον οἰκείᾳ καὶ νῦν ἀρετῇ καὶ ὑπὲρ αἶσαν, ἄλλως τε καὶ ἐντὸς συνεληλαμένων τοῦ τείχους καὶ τοῦ κινδύνου ταῖς ναυσὶν αὐταῖς ἐπηρτημένου καὶ ἑκάστου διανοουμένου, ὡς Ἕκτωρ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει καρτερῶς, ἔρρηξε δὲ πύλας καὶ μακρὸν ὀχῆα, ταῦτα δὴ ἃ μετὰ ταῦτά που ῥηθήσεται. Προσέτι δέ, ὥσπερ πρὸ τούτων αἰδὼς ἦν τοῖς Τρωσὶν ἐν χερσὶ πεσεῖν γυναικῶν φεύγοντας, οὕτω καὶ νῦν τοῖς Ἕλλησιν ἐπιγίνεται λογισμός, μέχρι τίνος καὶ ποῖ φευξούμεθα ἢ ἕως καὶ εἰς αὐτὴν ὠσθῶμεν τὴν θάλασσεν;

3.425 καὶ γέγονεν ὁ λογισμὸς οὗτος αὐτοῖς ῥωστικὸς εἰς τὸν πόλεμον, καὶ τοῦτό ἐστι τὸ τὸν θαλάσσιον Ποσειδῶνα μετ’ ὀλίγα φανέντα διαναστῆσαι τοὺς Ἀχαιοὺς εἰς πόλεμον ὡς οἷα εἰδωλοποιηθέντα καὶ οὕτω πως διὰ λαλιᾶς ἐρεθίσαντα. ἐρεῖ γὰρ ὡς Ἀργείους ἐκεῖνος ὤτρυνε, βαθείης ἐξ ἁλὸς ἐλθών. (v. 1) Ἰστέον δὲ ὅτι τε τὸ «ἐπεὶ οὖν» ταὐτόν ἐστι τῷ ἐπειδή, ἀργὸν γὰρ κεῖται τὸ «οὖν», καὶ ὅτι σύνηθες τῷ ποιητῇ ἐκφωνεῖν κατ’ ἐξαίρετον ἰδίᾳ τῶν Τρώων τὸν Ἕκτορα, ὡς καὶ νῦν ἐν τῷ «Τρῶάς τε καὶ Ἕκτορα». (v. 2) Τὸ δὲ «πόνον ἔχειν καὶ ὀϊζύν» ἢ

ταὐτοσήμως λέγεται, ὡς καὶ ἐν ἄλλοις, ἢ διαφορὰν ἔχει, ὡς τοῦ πόνου, ἤγουν τῆς ἐνεργείας, εἰ καὶ μὴ πάντοτε, ἀλλὰ νῦν γοῦν ἔχοντος καὶ οἰζύν. Ὅτι χωρογραφικήν τινα νῦν ἐπιτομὴν ἐκτίθεται ὁ ποιητὴς Θρᾳκῶν τε μεμνημένος, ὧν πέρας εἴτε καὶ ἀρχὴ ὁ Ἑλλήσποντος, οὓς καὶ ἱπποπόλους λέγει—φίλιππον γὰρ ἔθνος οἱ Θρᾷκες—καὶ Μυσῶν ἀγχεμάχων, τῶν ἐν Μακεδονίᾳ τε καὶ Ἴστρῳ, καὶ ἀγαυῶν Ἱππημολγῶν, ἐφ᾽ ὧν, ὥς φασιν οἱ παλαιοί, ἄδηλον εἴτε τὸ «ἀγαυῶν» ἔθνους ἐστὶν ὄνομα, τὸ δὲ «ἱππημολγῶν» ἐπιθέτως λέγεται, ἢ καὶ ἔμπαλιν τὸ μὲν «ἀγαυῶν» ἐπίθετον, ἶσον τῷ εὐειδῶν, τὸ δὲ «ἱππημολγῶν» κλῆσις ἐθνική, ὃ καὶ κάλλιον. Θρυλεῖται γὰρ ἐν ἱστορίαις ἔθνος Ἱππημολγοί. περὶ Σκυθίαν δὲ τὸ τοιοῦτον ἔθνος, δηλαδὴ τὸ τῶν ἀγαυῶν Ἱππημολγῶν, οὓς καὶ γαλακτοφάγους καλεῖ καὶ ἀβίους καὶ δικαίους, εἰπὼν «αὐτὸς δέ», ὡς εἴρηται, «πάλιν τρέπεν ὄσσε φαεινὼ νόσφιν, ἐφ᾽ ἱπποπόλων Θρῃκῶν καθορώμενος αἶαν, Μυσῶν τ᾽ ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν γλακτοφάγων ἀβίων τε δικαιοτάτων ἀνθρώπων», γλακτοφάγους μὲν προσειπών, ὅ ἐστι κατὰ ἐντέλειαν γαλακτοφάγους, ὡς ἱππημολγοὺς καὶ ἀπὸ γάλακτος τρεφομένους καὶ γαλακτοπότας πρός τινων δι᾽ αὐτὸ λεγομένους, ἀφ᾽ ὧν καὶ ἱππάκης κατὰ Αἴλιον Διονύσιον βρῶμα Σκυθικὸν διὰ γάλακτος ἱππείου σκευαζόμενον. Ἀβίους δὲ ἢ ὅτι ὀλιγόβιοι—εὐτελεῖς γάρ εἰσι καὶ ἁπλοῖ τὴν δίαιταν—ἢ διότι ἅμα βίῳ πορεύονται ὡς ἁμαξόβιοι.

3.426 Νομάδων γὰρ ἐνταῦθα μέμνηται κατὰ τὸν Γεωγράφον ὁ ποιητής, ὃς καὶ Θρᾳκῶν καὶ Μυσῶν μνήμην τῶν πρὸς τῷ Ἴστρῳ ἐνταῦθα λέγει θέσθαι τὸν ποιητήν, ἱστορῶν Μυσοὺς καὶ πέραν τοῦ Ἴστρου. Καὶ ἄλλως δέ, ἀβίους τοὺς ἅμα βίῳ, τουτέστι τόξῳ, τοξόται γάρ, ἢ ὅτι βίαν οὐκ οἴδασιν, ἐλεύθεροι γάρ, ἢ ὅτι ἄοικοι διὰ τὸ Σκυθικὸν νομαδικόν, ἐξ ὧν εἶναί φασι καὶ Ἀνάχαρσιν, ἢ ὅτι μακρόβιοι κατ᾽ ἐπίτασιν τοῦ α , ἢ πολύβιοι, ὅ ἐστι πολυδύναμοι, ἀνδρεῖοι γάρ. καὶ οὕτω μὲν Ἄβιοι. Δικαιότατοι δὲ καὶ οὐχ᾽ ἁπλῶς δίκαιοι, διότι κοινὰ ἔχουσι πάντα, καὶ ὅτι τοὺς ὁδίτας τρέφοντες ἄλλος ἄλλῳ διαπέμπονται. αὐτόματον δὲ ἡ γῆ φέρει βίον αὐτοῖς, καὶ οὐδὲν ζῷον ἐσθίουσιν. εἰσὶ δέ, φασί, καὶ ἀνεπίμικτοι καὶ οὐκ ἠθέλησαν συστρατεῦσαι Ἀμαζόσι κατὰ τῆς Ἀσίας. Αἰσχύλος δέ, φασί, αὐτοὺς Γαβίους λέγει. φασὶ δὲ καὶ πάντων Σκυθῶν ὑποκυψάντων Ἀλεξάνδρῳ μόνους Ἀβίους οὐχ᾽ ὑπεῖξαι, χρόνῳ δὲ ἐπισκεψαμένους ὡς ἀγαθὸς ἐκεῖνος βασιλεύς, ἐπικηρυκεύσασθαι πρὸς αὐτόν. Ἀρριανὸς δέ φησιν, ὅτι οἰκοῦσι τὴν Ἀσίαν οἱ Ἄβιοι Σκῦθαι αὐτόνομοι διὰ πενίαν καὶ δικαιότητα. Ὅτι δὲ ἀμφίβολον εἴτε Ἀσιανὰ τὰ ῥηθέντα ἔθνη παρὰ τῷ ποιητῇ εἴτε καὶ Εὐρωπαῖα—ἐπαμφοτερίζουσι γάρ, ὡς καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ δηλοῦται—οὐκ ἔστι ῥᾳδίως ἐπαγωνίσασθαι. Καὶ οὕτω μὲν ἕτεροι, ὁ δὲ Γεωγράφος φησίν, ὅτι οἱ παρ᾽ Ὁμήρῳ Ἄβιοι οὕτω λέγονται διὰ τὸ χωρὶς εἶναι γυναικῶν. ἀπέχονται δὲ ἐμψύχων μέλιτι χρώμενοι καὶ γάλακτι καὶ τυρῷ. διὸ καὶ καλοῦνται θεοσεβεῖς καὶ καπνοβάται. Ἢ Ἄβιοί, φησίν, ὡς ἀνέστιοι καὶ ἁμάξοικοι. λέγει δὲ καὶ νομάδας αὐτοὺς καὶ εὐτελεῖς καὶ αὐτάρκεις, πάντα κοινὰ ἔχοντας καὶ γυναῖκας καὶ τέκνα. ἄμαχοι δέ εἰσι καὶ ἀνίκητοι, οὐδὲν ἔχοντες ὑπὲρ οὗ δουλεύσουσι. (v. 5) Περὶ δὲ τῶν Ἱππημολγῶν ἱστορεῖ καὶ ὅτι κρέασι χρῶνται ἱππείοις, τυρῷ τε ἱππείῳ καὶ γάλακτι καὶ ὀξυγάλακτι, ὃ καὶ ὄψημά ἐστιν αὐτοῖς. καὶ τοῦτο μὲν εἰς τὸ γαλακτοφάγους εἶναι. (v. 6) Δικαιοτάτους δέ φησι, διότι ἐπιτρέψαντες τὴν γῆν γεωργοῖς αὐτοὶ ἔχουσι τὰ ὄρη, τάξαντες ἐκείνοις φόρους μετρίους εἰς τὰ ἐφήμερα καὶ ἀναγκαῖα τοῦ βίου, μὴ διδόντων δέ, πολεμοῦσιν.

3.427 [Ὅτι δὲ καὶ Γερμανοὶ προσφέρονται ἄριστα ἤγουν ἄριστον, ὅ ἐστι βρῶμα, κρέα μεληδὸν ὠπτημένα, καὶ ἐπιπίνουσι τὸν οἶνον ἄκρατον, Ποσειδώνιος ἱστορεῖ. Εἰ δὲ τὸ ἄκρατον οὐ μόνον ἐπὶ οἴνου ἀλλὰ καί τινων ἑτέρων λέγεται, δηλοῖ, φασί, καὶ Σώφρων, ὕδωρ εἰπὼν ἄκρατον εἰς τὴν κύλικα. Λέγονται δέ ποτε καὶ οἱ Κένταυροι γάλακτι μάλιστα χαίρειν. Πίνδαρος οὖν φησιν, ὅτι «ἐπεὶ Φῆρες δάεν ῥιπὰν μελιηδέος οἴνου, ἀπὸ μὲν λευκὸν γάλα χερσὶ τραπεζᾶν ὤθεον. αὐτόματοι δ᾽ ἐξ ἀργυρέων κεράτων πίνοντες ἐπλάζοντο». Ἀλλὰ ταῦτα μὲν Ποσειδώνιος καὶ

Πίνδαρος]. Τοῦ δὲ Γεωγράφου καὶ ταῦτα. Ἁμάξοικοι, ζῶντες ἀπὸ θρεμμάτων καὶ γάλακτος καὶ τυροῦ μάλιστα ἱππείου, θησαυρισμὸν οὐκ εἰδότες οὐδὲ καπηλείαν πλὴν ἢ φόρτον ἀντὶ φόρτου. δικαιότατοι δέ, φησίν, ὡς μὴ ζῶντες ἐν συμβολαίοις καὶ ἀργυρισμῷ, ἀλλὰ κοινὰ πάντα ἔχοντες πλὴν ξίφους καὶ ποτηρίου. [Ὅτι δὲ τρόφιμον καὶ τὸ γάλα, δηλοῖ ὁ γράψας, ὅτι Φιλῖνός τις περιᾴδεται μήτε ποτῷ χρήσασθαί ποτε μήτε ἐδέσματι ἄλλῳ ἢ μόνῳ γάλακτι. Καὶ πολλὰ δέ, φησίν, ἔθνη γαλακτοποτοῦντα ζῇ. μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ τὰ ὑποτίτθια, διοικούμενα γάλακτι. πολλὰ δέ, φησί, καὶ τῶν ἄλλων ἐστὶ τρόφιμα, ὡς καὶ πτισσάνη καὶ οἶνος, ἔτι δὲ καὶ τὸ ὕδωρ. Τρέφονται γοῦν τινα ζῷα ἐξ αὐτοῦ μόνου, ὥσπερ οἱ τέττιγες. Ὁ δὲ ταῦτα δηλώσας λέγει καί, ὅτι Ἀγχίμολος καὶ Μόσχος, Ἠλεῖοι σοφισταί, ὑδροποτήσαντες πάντα τὸν βίον καὶ μόνα σῦκα προσφερόμενοι, οὐδενὸς ἧττον διέκειντο ἐρρωμένοι τοῖς σώμασι, τὸν δὲ ἱδρῶτα αὐτῶν οὕτως εἶναι δυσώδη ὡς πάντας αὐτοὺς ἐκκλίνειν ἐν τοῖς βαλανείοις. Ἄρτος δέ, φησί, μετὰ μέλιτος Πυθαγορικῶν ἦν τροφή, καὶ οἱ αὐτὰ προσφερόμενοι ἀεὶ ἐπ' ἀρίστῳ ἄνοσοι διετέλουν. Ὡς δὲ καὶ Λίβυες οἱ νομάδες οὐδὲν ἄλλο κέκτηνται οὐδ' αὐτοὶ ἀλλ' ἢ κύλικα καὶ μάχαιραν καὶ ὑδρίαν, ἡ τοῦ Ἑλλανίκου ἱστορία δηλοῖ. Δῆλον δὲ καί, ὡς οἱ γλακτοφάγοι ἐκ τοῦ γάλακτος παράγονται, οὐ μὴν ἐκ τοῦ γλάγους, καὶ ὅτι οὐ μόνον γάλα γάλατος, καὶ πλεονασμῷ δὲ τοῦ κ γάλακτος, ἀλλὰ καὶ ἰσοσυλλάβως τὸ γάλα τοῦ γάλα, ὡς ἡ παλαιὰ δηλοῖ παράδοσις.] (v. 4) Ἰστέον δὲ ὅτι καὶ τὸ «νόσφιν ἐπὶ τὴν τῶν Θρᾳκῶν γῆν καθορώμενος», ἤγουν καθορῶν, διασαφητικόν ἐστι τοῦ «πάλιν τρέπεν ὄσσε».

3.428 (v. 5) Ἀγχέμαχοι δὲ κατὰ τροπὴν γίνεται ἀπὸ τοῦ ἄγχι ἢ τοῦ ἀγχοῦ. ἄγχε γὰρ ἐπίρρημα ποῦ ἂν εἴη; Σημείωσαι δὲ ὡς, εἰ μέν τις τὰ βορειότερα τῆς Εὐρωπαίας Θρᾴκης ἐν τοῖς εἰρημένοις νοήσει καὶ τοὺς βαθυτέρους ἐν Εὐρώπῃ Μυσούς, ἐξ ὧν δύναται ὄψις καὶ εἰς τὰ Σκυθικὰ εὐθὺς μεταβῆναι, ὧν μέρος οἱ Ἱππημολγοί, εὐοδοῦται τὸ νόημα, οὐ μὴν καὶ ἑτέρως. οὔτε γὰρ Ἴδηθεν ὁ Ζεὺς τοὺς μὴ πόρρω Θρᾷκας καὶ Μυσοὺς καθορᾷ, οὔτ' ἂν ἐξ ὀρθοῦ πάλιν τρέπειν τοὺς ὀφθαλμοὺς λέγοιτο. Ὁ γὰρ ἐκ τῆς Ἴδης τὴν μικρὰν βλέπων Φρυγίαν, περὶ ἣν καὶ ἡ Τροία, βλέποι ἂν ἐξ εὐθείας καὶ τὰ περὶ Θρᾴκην, καὶ οὐδ' ἂν διέλαθεν αὐτὸν ὁ Ποσειδῶν ἐκ τῆς Θρηϊκίης Σάμου βοήθειαν ἐξαρτύσας τοῖς Ἀχαιοῖς. (v. 7) Ὅτι τὸ «ἐς Τροίην οὐ πάμπαν» Ζεὺς ἔτρεπεν ὀφθαλμούς, ἀντὶ τοῦ οὐδ' ὅλως. τοῦτο δέ, ἵνα πιθανῶς παρεισοδιάσῃ τὸν μυθικὸν Ποσειδῶνα θαρρήσαντα διὰ τὸ μὴ βλέπεσθαι. (v. 8 s.) Εἶτα μυθικὴν αἰτίαν ἀποδιδοὺς τοῦ ἀλλαχοῦ τὸν Δία τρέψαι τὴν θέαν, φησί· οὐ γὰρ ἀθανάτων τινὰ ἔλπετο ἐλθόντα ἀρήξειν τοῖς μαχομένοις, ὡς οἷα δηλαδὴ ἀπειλησάμενος ἐκεῖνα τὰ δεινότατα. (v. 12) Ὅτι ὥσπερ διαλελυμένως κατὰ Ἴωνας ἄκρη πόλις ἡ ἀκρόπολις, οὕτω καὶ Σάμος Θρηϊκίη ἐνταῦθα ἡ παρὰ τοῖς ὕστερον Σαμοθρᾴκη, ἣν καὶ ὡς ὀρεινὴν ὑλήεσσαν λέγει καὶ ὑψηλὴν δέ, εἴπερ ἐκ τῶν ἐκεῖσε ἄκρων ἐφαίνετο πᾶσα μὲν Ἴδη, πάντα δὲ τὰ κατὰ Τροίαν. (v. 11—6) Διὸ καὶ ὁ Ποσειδῶν «θαυμάζων ἧστο πτολεμόν τε μάχην τε ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης Θρηϊκίης. ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη, φαίνετο δὲ Πριάμοιο πόλις καὶ νῆες Ἀχαιῶν», ὅτε καὶ «ἐλέαιρεν Ἀχαιοὺς Τρωσὶ δαμναμένους, Διῒ δὲ κρατερῶς ἐνεμέσσα», ὃ δὴ καὶ αἴτιόν ἐστι τοῦ καὶ παρὰ τὴν τοῦ Διὸς βουλὴν βοηθῆσαι αὐτὸν τοῖς Ἀχαιοῖς. Ἰστέον δὲ ὅτι τε [Ἰώνων ἰδιότης ποιεῖ τὴν εἰρημένην διάλυσιν, καθ' ἣν καὶ τὸ κοκκύμηλον διαλύσας ὁ Νίκανδρος μῆλόν φησιν, ὃ κόκκυγος καλέουσι, καὶ ὅτι ὑψηλοτέραν τινὲς εἶπον τοῦ Ἄθω τὴν ἄκραν τῆς Σάμου, καὶ ὅτι] ὡς τὸν Δία ὁ ποιητὴς ἔν τινι ἄκρᾳ τῆς Ἴδης, οὕτω καὶ τὸν Ποσειδῶνα ὑψοῦ τῆς εἰρημένης κορυφῆς ἀντικαθίζει, ὡς ἂν ἐκ μετεώρου θεῶνται τὸν πόλεμον. διὸ τὸν Δία στραφέντα ἑτέρωθι ὁ Ποσειδῶν ἐκ μετεώρου ἰδὼν ὡς ἀπὸ σκοπιᾶς βοηθεῖ τοῖς Ἀχαιοῖς, οὐ γὰρ ἀλαοσκοπιὴν εἶχεν, ὃ πολλαχοῦ κεῖται, ὡς καὶ τὸ «πόλεμόν τε μάχην τε». Καὶ ὅρα ὅτι καὶ ἐν μύθοις φευκτικὸν μὲν ἡ τύραννος βία τοῖς φρονοῦσιν, ἄλλως δὲ εὐλαβῶς καταστρατηγεῖν ἀλλήλους οὐ μωμητόν. Ποσειδῶν οὖν ἄρτι τοῦ Διὸς πρὸς ἄλλοις ὄντος καιροφυλακήσας καὶ

λαθὼν ἀμύνει τοῖς Ἕλλησι, καὶ Ἀθηνᾶ δὲ ἐν τῇ νυκτεγερσίᾳ ἐβοήθησέ τι λαθοῦσα τοὺς ἐπικουροῦντας τοῖς Τρωσὶ δαίμονας.

3.429 ἡ δ’ αὐτὴ ὁμοίως λαθοῦσα τὸν Ὀδυσσέα ἐπανάγει, ὅτε Ποσειδῶν μετεκίαθεν εἰς Αἰθίοπας. (v. 12 s.) Ἰστέον δὲ ὅτι Θρηϊκίη λέγεται ἡ Σάμος αὕτη πρὸς διαστολὴν ἑτέρας τῆς Ἰωνικῆς, ἤδη δὲ καὶ τῆς ἐν Ὀδυσσείᾳ Κεφαλληνιακῆς, καὶ ὅτι ἡ Θρᾳκικὴ αὕτη κατὰ τὸν Γεωγράφον Σάμος καλεῖται διὰ τὸ ὕψος. σάμοι γάρ, φησί, τὰ ὕψη, ὡς καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ δηλοῦται. Θρηϊκίη δὲ ἡ τοιαύτη ἢ διὰ τὸ ἀντιπαρακεῖσθαι τῇ κατὰ Θρᾴκην χέρσῳ, ἢ ἀπό τινων Θρᾳκῶν οἰκησάντων ἐκεῖ ποτε. Λέγει δὲ ὁ Γεωγράφος καί, ὅτι Σάμιοι ἐκ Μυκάλης πολλοὶ ᾤκησαν ἐν αὐτῇ, ἐρημωθείσῃ κατὰ ἀφορίαν καρπῶν, ὥστε καὶ οὕτω κληθῆναι Σάμον. Ἄλλοι δὲ περὶ τῆς τοιαύτης μετοικίας φασίν, ὅτι Σάμιοι ἐξ Ἰωνίας μετὰ διακοσιοστὸν ἔτος τὸ Τρωϊκὸν καὶ μικρόν τι πρὸς εἰς τὴν Σαμοθρᾴκην μετῴκησαν, ὡς μὴ ἂν διὰ τοὺς τοιούτους Σαμίους κληθῆναι Σαμοθρᾴκην, ἀλλὰ μάλιστα διὰ τὰς πρώτας δύο αἰτίας. Ἱστορεῖ δὲ ὁ Γεωγράφος καὶ Μελίτην πρότερον τὴν Σαμοθρᾴκην καλεῖσθαι καὶ πλουσίαν δὲ εἶναι. Κίλικες γάρ, φησί, πειραταὶ προσπεσόντες λάθρᾳ τὸ ἐν Σαμοθρᾴκῃ ἐσύλησαν ἱερὸν καὶ ἀπήνεγκαν τάλαντα πλείω χιλίων. Τὸ δὲ «ἐφαίνετο» καιρία λέξις, διὸ καὶ ἐπιμείνας δὶς αὐτὴν συνεχῶς ἔφη ὁ ποιητής. (v. 16) Τὸ δὲ «ἐνεμέσσα» ἐπίκρισίς ἐστιν Ὁμηρική, ὡς μὴ μάτην χολουμένου τοῦ Ποσειδῶνος, ἀλλὰ κατὰ νέμεσιν, ἡ δικαία μέμψις ἐστίν. (v. 17) Ὅτι τῷ ἐξ ὑψηλοῦ αἴφνης ταπεινωθέντι ἢ ἑκοντὶ συγκαταβάντι πρέπει τὸ «αὐτίκα δ’ ἐξ ὄρεος κατεβήσετο». (v. 18) Ταχυτῆτος δὲ δηλωτικὸν τὸ «κραιπνὰ ποσὶ προβιβάς». εἰ δέ τις ἐξ ἀρετῆς εἰς τὸ ἔμπαλιν ὑποκαταβαίη, καλὸν εἰπεῖν τὸ ὅλον οὕτω «αὐτίκα δ’ ἐξ ὄρεος κατεβήσετο παιπαλόεντος κραιπνὰ ποσὶ προβιβάς». (v. 18 s.) Ὅτι ποιητικῆς διασκευῆς ἴδιον τὸ εἰπεῖν ὡς Ποσειδῶνος ἰόντος «τρέμεν οὔρεα μακρὰ καὶ ὕλη», τὸ ὀρεινὸν δηλαδὴ δάσος, «ποσσὶν ὑπ’ ἀθανάτοισιν».

3.430 Ἐνοσίχθων γὰρ κατὰ τὸν μῦθον ὁ Ποσειδῶν. Ὀλίγον δέ τι προϊὼν καὶ ἄλλα ἐρεῖ περὶ αὐτοῦ τεράστια ἐφ’ ἵππων ἰόντος διὰ θαλάσσης. Τὸ δὲ «ἔτρεμεν» ὡς ἐπὶ ἐμψύχων καὶ αἰσθανομένων τῶν ὀρέων λέγει. (v. 20) Ἐπάγει δὲ καὶ ὅτι «τρὶς μὲν ὀρέξατ’ ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ», ἤγουν κατὰ δ’ ὄρεγμα ποδῶν, ἤτοι κατὰ βῆμα τέταρτον, ἦλθεν εἰς τὸ τῆς ὁδοῦ τέλος. (v. 21) Ὃ καὶ ἑρμηνεύων φησὶν «Αἰγάς, ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης χρύσεα μαρμαίροντα τετεύχαται ἄφθιτα αἰεί». ἔπαινος δὲ ταῦτα οἴκου λαμπροῦ. λέγει δ’ ἐνταῦθα καὶ ἱπποστάσια εἶναι τῷ Ποσειδῶνι, ἐκφράζων καὶ τοὺς αὐτοῦ ἵππους, ὡς ῥηθήσεται. Ἰστέον δὲ ὅτι Ὁμήρου τέσσαρα βήματα θεῖα ἐνταῦθα μετρήσαντος ἐπὶ τοπικοῦ διαστήματος ὁ Πίνδαρος τὸ τοιοῦτον τέρας μεγαλοφυέστερον, οἷος ἐκεῖνος, ἐγχειρήσας ὑπερβαλέσθαι, ὅπου φησὶ περὶ Ἀπόλλωνος ὡς βήματι ἐν πρώτῳ κιχὼν παῖδα ἐκ νεκροῦ ἅρπασε, κατηγορίαν ἔσχε ψεύδους ψυχροῦ. (v. 20) Τὸ δὲ «ὀρέξασθαι» οὐ μόνον ἐπὶ χειρῶν, ὡς πολλαχοῦ ἐφάνη, ἀλλ’ ἰδοὺ καὶ ἐπὶ ποδῶν συντόνου τάσεως καὶ διαστάσεως ἢ ἐκτάσεως. διὸ ἐκ τοῦ τοιούτου ὀρέγω καὶ ἡ ὀργυιὰ κατὰ συγκοπήν. Ἰστέον δὲ ὅτι τὸ μὲν πρῶτον ὀρέγεσθαι διασαφεῖται τῷ χερσὶν ὀρέγεσθαι, τὸ δὲ δεύτερον εἴη ἂν ποσὶν ὀρέγεσθαι, ὡς δηλοῖ νῦν τὸ «τρὶς μὲν ὀρέξατο ἰών». (v. 21) Αἰγὰς δὲ ἢ τὰς ἐν Εὐβοίᾳ λέγει, ἔνθα μυθεύεται τὸ κατὰ τὰς ἐφημέρους ἀμπέλους, αἵ, φασίν, ἕωθεν ἀνθοῦσαι πρὸς μεσημβρίαν πεπαίνουσι βότρυας, ἑσπέρας δὲ ἄκρατον χορηγοῦσι δαψιλῆ τῷ χορῷ τῶν τελουμένων τῷ Διονύσῳ ἢ τῶν Μαινάδων, ὁσάκις ἀναλίσκονται, φασί, τοσαυτάκις ἐνδαψιλευόμεναι. ἢ κατὰ Νικόστρατον Αἰγὰς νοητέον νῆσον περὶ τὸ Αἰγαῖον, περὶ ἧς παραδοξολογία φέρεται, ὡς οἱ προσορμιζόμενοι ἐκεῖ νυκτὸς ἀφανεῖς γίνονται, διὸ μηδὲ προσπελάζειν τινά, ὡς εἶναι καίριον κἀνταῦθα τὸ Σοφόκλειον εἰπεῖν «οὐκ ἐνθάδ’ οἱ πλοῖ τοῖσι σώφροσι βροτῶν». Ἕτεροι δέ φασιν Αἰγὰς ἐνταῦθα λέγειν τὸν ποιητὴν τὰς ἐν Πελοποννήσῳ, ἤτοι Ἀχαϊκάς, ἔνθα καὶ Ποσειδῶνος ἑορτὴν ἄγεσθαι καὶ τὰ Διονύσια ὀργιάζεσθαι, ὅπου καὶ συστάντος τοῦ χοροῦ, φασίν, εἰς τὰ ὄργια συμβαίνει τὸ προρρηθὲν τῶν ἐφημέρων ἀμπέλων

τέρας. Ὁ δὲ Γεωγράφος φησίν, ὅτι περὶ τὴν τῶν Ἀχαιῶν εἰσιν ἄλλαι Αἰγαί, αἵτινες καὶ ἑνικῶς λέγονται ἡ Αἰγά, ἔνθα καὶ πόλις τὸ Αἴγιον, ἧς οἱ πολῖται Αἰγιεῖς, ὅπου μῦθος τὴν Αἶγα τῷ Διῒ μαζὸν ἐπισχεῖν, ἣν ὁ Ἄρατος Ὠλενίαν φησὶν ἀπὸ Ὠλένης ἢ Ὠλένου ἐγχωρίας πόλεως. δηλοῦται δὲ καὶ ἀλλαχοῦ περὶ τοιούτων Αἰγῶν τοπικῶν.

3.431 Ἰστέον δὲ ὅτι ἀπὸ τῆς κατὰ τὸν Ὀλύμπιον Δία αἰγὸς καὶ μάλιστα τῆς κατὰ τὴν Ἀμάλθειαν φέρεται καὶ παροιμία τὸ «αἲξ οὐρανία», ὁμοία τῷ «λευκὴ ψῆφος» κατὰ Παυσανίαν. ὡς γὰρ ἡ Ἀμάλθεια, φησί, τροφὸς ἦν τοῦ Διός, οὕτω καὶ ἡ τοιαύτη ψῆφος ἔτρεφε τοὺς δωροδοκοῦντας δικαστάς. ἢ καὶ ἄλλως, ὥσπερ ὁ τὸ τῆς Ἀμαλθείας Αἰγὸς ἔχων κέρας πάντ' εἶχεν, οὕτω καὶ οἱ κυαμεύοντες, φησί, τὰς ἀρχὰς καὶ τἆλλα ἀργυριζόμενοι. Διὸ καὶ αἲξ οὐρανία ἔοικε λέγεσθαι οἱονεὶ θεία καὶ ὑψοῦσα τοὺς δικαστάς, ὅσοι δῶρα ἐλάμβανον. [Ὅτι δὲ ὁ μῦθος οὐρανώσας κατηστέρισε τὴν τοῦ Διὸς αἶγα, καὶ ὡς τὸ κατ' αὐτὴν κέρας μεγαλόδωρον ἦν, ἐξ οὗ καὶ Ἡρακλῆς ἔσχεν ἀγαθά, πολλοὶ καὶ πολλαχοῦ δηλοῦσιν. Οὕτω δὲ καὶ περὶ τῆς ζωογόνου παρ' Ἀττικοῖς λευκῆς ψήφου, ὁμοίως δὲ καὶ περὶ κέρατος, ὡς οὐ μόνον τὸ ζωϊκόν ἐστιν, ἀλλά που καὶ τοπικὸν τροπικῶς, ὡς δῆλον ἐκ τοῦ «ὑψικέρατα πέτραν», καὶ «κέρατα ποταμῶν», ἤτοι καμπαί. καὶ ἐπὶ ἰσχύος δὲ τὸ κέρας, καὶ ἐπὶ πολεμικῆς ἐκτάξεως κέρας δεξιὸν καὶ ἀριστερόν. ἐδηλώθη δὲ κέρας καὶ τριχῶν ἐμπλοκὴ καὶ συμποσίου δέ τι σκεῦος, ἐπεὶ κέρασι βοῶν οἱ παλαιοὶ καὶ πρῶτοι ἔπινον. ὅθεν καὶ Διόνυσος, φασί, κερατοφυὴς ἐπλάττετο καὶ ταῦρος ἐκαλεῖτο καὶ ἐν Κυζίκῳ ταυρόμορφος ἵδρυτο. καὶ ἐκ τοιούτου δὲ κέρατος καὶ τὸ μῖξαι οἶνον ὕδατι κεράσαι φαμὲν καὶ κρατῆρα τὸ εἰς τοῦτο δεξιὸν ἀγγεῖον ὡς οἷον κερατῆρα. ἐκαλεῖτο δέ, φασί, τὰ τοιαῦτα κέρατα ῥυτά. Ὠνομάζετο δέ τι σεμνῶς τοιοῦτον ποτήριον καὶ κέρας Ἀμαλθείας, παρενεχθὲν ἀπὸ τοῦ θρυλλουμένου τοῦ κατὰ τὴν μυθικὴν αἶγα. Ἄλλῳ δὲ τοιούτῳ ποτηρίῳ κλῆσις ἦν ἐνιαυτός, ἴσως διὰ τὸ μεγαλεῖον εἶναί τι καὶ ἐπιτελεστικόν, ἐπεὶ καὶ τελεσφόρος ὁ ἐνιαυτὸς λέγεται. Μεγάλα δέ, ὡς εἰκός, τινα τῶν κεράτων ὡς ἐκ μεγάλων βοῶν, ὁποῖοι οἱ παρὰ Παίοσι καὶ Μολοττοῖς, ἐξ ὧν ἐκπώματα ἐποίουν περιαργυροῦντες καὶ χρυσοῦντες τὰ χείλη, ὧν ἡ εὐρύτης ἐχώρει, φασί, καὶ τέσσαρας χοᾶς, ἤγουν χοέας, τοὺς παρὰ Ἀττικοῖς. [Χρῆσις δὲ συμποσιακῶν κεράτων παρά τε Ξενοφῶντι, ὡς καὶ ἀλλαχοῦ ἐγράφη, καὶ παρὰ Αἰσχύλῳ ἐν τῷ «ἀργυρηλάτοις κέρασι χρυσᾶ στόμια προβεβλημένοις», καὶ παρὰ Πινδάρῳ, ἔνθα λέγει τοὺς φῆρας, ἤγουν θῆρας, Κενταύρους, ἐξ ἀργυρέων κεράτων πίνειν.

3.432 ἦν δὲ ἄρα ἡ τῶν τοιούτων κεράτων χρῆσις οὐ πενητευτικόν, εἴγε καὶ βασιλεῖς οὕτως ἔπινον. Φίλιππος γοῦν, φασίν, ὁ βασιλεὺς κέρατι προὔπινεν οἷς ἐφιλοφρονεῖτο.] (v. 20—38) Ἰστέον δὲ ὡς δυνάμενος ὁ ποιητὴς εὐθὺς ἀπὸ Σαμοθρᾴκης τὸν Ποσειδῶνα εἰς τὸ ναύσταθμον τῶν Ἀχαιῶν ἀγαγεῖν, ὅμως οὐ ποιεῖ οὕτω, ἀλλὰ στρέφει αὐτὸν εἰς τὰς Εὐβοϊκὰς ἢ Ἀχαϊκὰς Αἰγάς, κἀκεῖθεν ἔφιππον ἄγει αὐτὸν εἰς Ἴμβρον καὶ Τένεδον, ὅθεν πεζὸς εἰς Τροίαν ἄπεισι. Τοῦτο δὲ ποιεῖ πρός τε καινοτροπίαν πλάσματος καὶ ὡς ἂν εὐμεθόδως οὕτω τὰ διὰ μέσου λογογραφήσῃ πρός τε ἱστορίαν καὶ τερατείαν ποιητικήν. τὸ γάρ τοι ἀπὸ Σαμοθρᾴκης εὐθὺς αὐτὸν βοηθῆσαι τοῖς Ἕλλησιν, εἰ καὶ ἀπερίεργον καὶ σαφές, ἀλλ' οὖν ἀτεράτευτον καὶ οὐκ ἄξιον μεγαλοφροσύνης ποιητικῆς. Ἔτι δὲ καὶ μιμεῖταί πως οὕτω τὸν Δία ὁ Ποσειδῶν, καὶ ὥσπερ ἐκεῖνος πάλιν τρέψας τοὺς ὀφθαλμοὺς ποιεῖ τὰ δοκοῦντά οἱ, οὕτω καὶ αὐτὸς ἐκ τῆς κατὰ Θρᾴκην Σάμου πάλιν τρέψας ἑαυτὸν ποιεῖ ἃ βούλεται. (v. 22—6) Ὅτι καὶ ἀλλαχόθι μὲν ὁ ποιητὴς τὰ δαιμόνια πράγματα κοσμεῖ χρυσῷ τῷ δοκοῦντι ἀφθίτῳ διὰ τὸ ἀνίωτον, τιμῶν τὰ ἐκείνων ὕλῃ τῇ παρ' ἡμῖν ἀξιουμένῃ, καὶ ἐνταῦθα δὲ τὰ τοῦ Ποσειδῶνος ὁμοίως ἀποσεμνύνει, μεταλλείαν ὅλην μύθου ἀνασκαλεύων ἐπ' αὐτῷ, καθά που πρὸ τούτων καὶ ἐπὶ τῷ Διΐ. Μόνους γὰρ τοὺς ἵππους αὐτῷ χαλκόποδας εἰπὼν καὶ τὸν ἄξονα χάλκεον ἐκ χρυσοῦ τὰ ἄλλα ποιεῖ, τά τε δώματα, ὡς προεγράφη, καὶ ἵππους ὠκυπέτας χρυσέαις ἐθείραις κομόωντας, ἃ δὴ ἔπαινος ἵππων ἐστί. «χρυσὸν δέ, φησίν, αὐτὸς ἔδυνε περὶ χροΐ, γέντο δέ», τουτέστιν εἵλετο, «ἱμάσθλην,

χρυσείην, εὔτυκτον», καὶ ἀμφὶ τοῖς τῶν ἵππων δὲ ποσὶ προϊὼν πέδας ἔβαλε χρυσείας, οὗπερ ἡ τοῦ Διὸς Ἥρα οὐκ ἔτυχεν. Ἵππους δὲ ὁ μῦθος αὐτῷ δίδωσιν Ἐριώλην καὶ Γλαῦκον ἢ Ἐγκέλαδον καὶ Σθένοντα, τοῦτο μὲν διὰ τὸ σθεναρὸν τοῦ Ἐννοσιγαίου, παρ' ὃ καὶ Δυναμένη μία τῶν Νηρηΐδων πέπλασται, Ἐγκέλαδον δὲ διὰ τὸν κελάδοντα πόντον, Γλαῦκον δὲ διὰ τὴν γλαυκὴν θάλασσαν, ἧς καὶ δαίμονα Γλαῦκον οἶδεν ἡ ποίησις τὸν Ἀνθηδόνιον καὶ Γλαύκην Νηρηΐδα.

3.433 Ἐριώλην δὲ διὰ τοὺς ὑγρὸν ἀέντας ἀνέμους, ὧν καὶ ἡ σφοδρὰ καὶ καταιγιδώδης ἐριώλη, ἧς μέμνηται καὶ ὁ Κωμικός. (v. 23) Ἰστέον δὲ ὅτι χαλκόποδες ἵπποι οὐ μόνον οἱ στερεόποδες ἀλλὰ καὶ οἱ ἠχόποδες. λέγει δέ που καὶ ἐριγδούπους πόδας ἵππων καὶ ὑψηχέας ἵππους, ὧν ὑψοῦ ὁ ἦχος ἥκει τῶν ποδῶν. Ὅτι δὲ ἠχητικὸς ὁ χαλκός, ἐξ οὗ καὶ οἱ ἵπποι, ὡς ἐρρέθη, χαλκόποδες οἱ ἠχόποδες, δηλοῖ μὲν καὶ τὸ ἤνοπα λέγεσθαι χαλκόν, ὅ ἐστιν ἔμφωνον. Δηλοῖ δὲ καὶ ἡ καθ' Ἡρόδοτον ἱστορία ἐκείνη, λέγουσα ὅτι Βαρκαῖος χαλκεύς—Λιβυκὴ δὲ πόλις ἡ Βάρκη—ὑπόνομον ἐκ μηχανῆς πολεμίων ἐν τῇ κατ' αὐτὸν πόλει ὀρυγέντα δι' ἀσπίδος ἐπιχάλκου ἐφράσατο. περιφέρων γάρ, φησί, αὐτὴν ἐντὸς τοῦ τείχους προσίσχε τῷ δαπέδῳ. καὶ τὰ μὲν ἄλλα ἦν κωφά, ἔνθα δὲ ἐγεωρύχουν οἱ πολέμιοι, ἤχει ὁ χαλκὸς τῆς ἀσπίδος, καὶ οὕτως ἀντορύξαντες οἱ Βαρκαῖοι καὶ ἐντυχόντες τοῖς πολεμίοις ἀπέκτειναν αὐτούς. Ἡ γοῦν ἐνάργεια ἠχητικώτερον τῶν λοιπῶν ὑλῶν κατέλαβε τὸν χαλκόν, ὅθεν καὶ κύων χαλκεόφωνος, παρεοικὼς τὸν ἦχον χαλκῷ, εἴ τις ἐξακριβοῖτο. (v. 25) Τὸ δὲ «γέντο» ἀχρεῖον μὲν τοῖς πεζογραφοῦσιν. ἐπεὶ δὲ ἡ Παρεκβολὴ καὶ αὐτὸ ἔχει, ἰστέον ὅτι Δωρικὴ μέν ἐστιν ἡ λέξις, γίνεται δὲ ἀπὸ τοῦ ἕλετο κατὰ συγκοπὴν ἕλτο, ὡς ἥλατο ἅλατο ἆλτο, καὶ τροπῇ Δωρικῇ ἔντο, καθὰ καὶ τὸ Φίλτις κύριον Φίντις παρὰ Πινδάρῳ κεῖται, καὶ τὸ φίλτατος δὲ φίντατος εὕρηται Δωρικῶς, προσθήκῃ δὲ τοῦ γ γέγονε γέντο, ἀπόθετον εἰς μόνην ποίησιν οὐδὲν ἧττον τοῦ γέντα, ὃ δηλοῖ Θρᾳκιστὶ τὰ κρέα, ὡς οἱ τὰ τῶν γλωσσῶν ἱστορήσαντές φασι. [Ταῖς δὲ εἰρημέναις Δωρικαῖς λέξεσιν ἀκολουθοίη ἂν καὶ τὸ Ἀθήλη Ἀθήνη καὶ τὸ γάνος, ὡς ἐκ τοῦ γάλα, καὶ εἴ τι τοιοῦτον. ἀνάπαλιν δέ γε ταύταις Ἀττικῶς τὸ νίτρον, ἐξ οὗ λίτρον, ὅθεν τὸ ψευδόλιτρον παρὰ τῷ Κωμικῷ, ἔτι δὲ καὶ τὸ νεογιλόν, ὡς ἐκ τοῦ νεογινόν, ὅθεν συγκέκοπται τὸ νεογνόν.

3.434 ] (v. 27—30) Ὅτι τερατολογῶν Ὅμηρος καὶ τὴν διφρηλασίαν τοῦ Ποσειδῶνός φησι «βῆ δ' ἐλάαν ἐπὶ κύματα, ἄταλλε δὲ κήτε' ὑπ' αὐτῷ πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν ἄνακτα, γηθοσύνῃ δὲ θάλασσα διΐστατο· τοὶ δ' ἐπέτοντο ῥίμφα μάλα». Εἶτα ἑρμηνεύων, ὡς ἐπέτοντό φησιν «οὐδ' ὑπένερθε διαίνετο χάλκεος ἄξων». Καὶ ὅρα, ὡς τερατωδέστεροι οὗτοι τῶν ἐφεξῆς που, οἳ ἐπὶ ῥηγμῖνος, ὅ ἐστιν ἐπιφανείας θαλάσσης, καὶ ἀνθερίκων ἄφετοι σκιρτῶντες ἔθεον. Ἰστέον δὲ καὶ ὅτι ὡς ὑπὸ δεσπότῃ τῷ Ποσειδῶνι τά τε κήτεα ἀτάλλει, τουτέστι σκιρτᾷ, καὶ ἡ θάλασσα διΐσταται ὁδοποιοῦσα οἷον αὐτῷ. τῷ μέντοι Ἑρμῇ ἐν Ὀδυσσείᾳ διὰ θαλάσσης ἰόντι οὐδὲν τοιοῦτον ποιοῦσιν. οὐ γὰρ ἐπιστατεῖ θαλάσσης ὁ Ἑρμῆς. Σημείωσαι δὲ καὶ ὅτι οὐδὲν καινόν, ἐὰν ὁ ποιητής, ᾧ καὶ τερατολογεῖν δέδοται, τοιαῦτα λέγῃ, ὅπουγε Καλλισθένης τὸ Παμφύλιον πέλαγος Ἀλεξάνδρου παριόντος, εἰ καὶ μὴ γηθόσυνον διαστῆναι, ὡς ἐν ὁδοποιΐᾳ, ἀλλ' ἐξυπαναστῆναι λέγει αἰσθόμενον οἷον τῆς ἐκείνου πορείας καὶ οὐδ' αὐτὸ ἀγνοῆσαν τὸν ἄνακτα, ἵνα ἐν τῷ ὑποκυρτοῦσθαί πως δοκῇ προσκυνεῖν. (v. 28) Τὸ δὲ «πάντοθεν» προπαροξύνεται κανόνι τοιούτῳ. Τὰ εἰς θεν τῷ ο παραληγόμενα ἐν τούτοις μόνοις προπαροξύνονται· οἴκοθεν, ἔνδοθεν, ἄλλοθεν, ἑκάστοθεν, ἀπόπροθεν, ἔκτοσθεν, πάντοθεν, τὰ δ' ἄλλα πάντα παροξύνονται, οἷον ποντόθεν τὸ ἐκ πόντου, Αἰνόθεν τὸ ἐξ Αἴνου πόλεως καὶ τὸ ἐξ αἰνοῦ πράγματος, οἷον «αἰνόθεν αἰνῶς», θεόθεν, Ἀβυδόθεν, οἰόθεν ἐκ τοῦ οἶος, ὁ μόνος, πατρόθεν, καὶ ὅσα τοιαῦτα. Τὸ δὲ «κευθμῶν» ἀπὸ εὐθείας ἐστὶ τῆς ὁ κευθμός, ὡς δρυμός, σταθμός, βαθμός. τοὺς δὲ εἰπόντας αὐτὸ συγκεκόφθαι ἐκ τοῦ κευθμώνων εὖ ποιοῦντες οὐκ ἀποδέχονται οἱ παλαιοί. (v. 29) Τὸ δὲ «γηθοσύνῃ» ἐνταῦθά τινες εἶπον ἀντὶ τοῦ χαίρουσα, ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ ἀρσενικοῦ τοῦ ὁ γηθόσυνος, οἱ δ' ἀκριβέστεροι τῶν παλαιῶν φασι μὴ ἀνάγκην εἶναι τοῦτο γενέσθαι, λέγοντες ὅτι ἰδοὺ δικαιόσυνος μὲν Ζεὺς εὕρηται, δικαιοσύνη δὲ ἐπ' οὐδενὸς ὀνόματός ἐστιν ἐπίθετον, ἀλλὰ μόνον πρᾶγμα σημαίνει, τουτέστιν ἕξιν ψυχικήν.

3.435 [Προσθετέον δὲ καὶ ὅτι δεσπόσυνος μὲν εὕρηται παρ' Εὐριπίδῃ, οὐ μὴν δὲ καὶ δεσποσύνη.] Οὔκουν ἐξ ἀνάγκης, εἴπερ ἀρσενικῶς λέγεται ὁ γηθόσυνος ἐν τῷ «γηθόσυνος χάρμῃ», ἔσται καὶ ἡ γηθοσύνη θηλυκὸν ἐξ αὐτοῦ, ὡς οὐδὲ τοῦ πίσυνος ἔσται θηλυκὸν ἡ πισύνη, οὐδὲ ἡ θαρσύνη τοῦ θάρσυνος. φασὶ δὲ καὶ ὅτι τὰ διὰ τοῦ οσυνη θηλυκὰ οὐκ ἐπίθετά εἰσι παρὰ τῷ ποιητῇ, ἀλλ' οἷον κυρίων σημαντικὰ πραγμάτων καὶ ἐνεργημάτων τινῶν, ὁποῖον τὸ κερδοσύνη, δρηστοσύνη, παλαισμοσύνη, πλαγκτοσύνη, [τοξοσύνη,] βριθοσύνη, ὅμοιον δὲ καὶ τὸ ταρβοσύνη καὶ ὅσα τοιαῦτα πραγμάτων κατηγορικὰ καὶ παθημάτων δηλωτικά. Ὅρα δὲ καὶ τὸ «γηθοσύνῃ διΐστατο» πρὸς διαστολὴν τοῦ ἄλλως διΐστασθαι, ὁποῖον καὶ τὸ «διαστήτην ἐρίσαντε», ὅ τινες μεταγράψαντες καὶ ἄλλως ἑρμηνεύσαντες ἠχρείωσαν. εὕρηται γὰρ ἐκεῖνο ἐν οὐκ ἀγαθοῖς ἀντιγράφοις γραφὲν «διὰ στήτην ἐρίσαντο» τουτέστι διὰ γυναῖκα ἤρισαν, ὡς καὶ προδεδήλωται. (v. 30) Τὸ δὲ «ἐπέτοντο ῥίμφα», διαλυτικὴ ἑρμηνεία ἐστὶ τοῦ ὠκυπέτα. οἱ γὰρ ὠκυπέται ῥίμφα μάλα πέτονται, οἱ δ' αὐτοὶ καὶ εὔσκαρθμοι, ὡς εἰρήσεται. Τὸ δὲ μὴ διαίνεσθαι τὸν ἄξονα συμπέτεσθαί τε δηλοῖ καὶ τὸ ἅρμα τοῖς ἵπποις, καὶ σθεναροὺς δὲ εἶναι τοὺς ἵππους ἐμφαίνει τοιοῦτον ἅρμα κουφίζοντας, οὗ καὶ ἄξων χάλκεος. ταῦτα δὲ ὕδατος αἰνίττεται τάχος, ὅτε κατὰ πρανοῦς φέρεται ἢ ὑπ' ἀνέμων ἐλαύνεται. Σημειωτέον δὲ καὶ ὅτι οὐκ εἶπεν ὡς οἱ τροχοὶ οὐκ ἐδιαίνοντο, ἵνα μὴ ἀπιθάνως εἴπῃ. αὐτοὶ γὰρ ἐπιπολῆς, ὡς εἰκός, τοῦ ὕδατος ἐστρέφοντο, καθάπερ εἰ καὶ ἐπὶ γῆς, οὐκ ἐβυθίζοντο δέ. ὅθεν ὁ ἄξων ἀδίαντος ἔμενε. Σημείωσαι δὲ ὅτι ἀπὸ τοῦ ἄξονος καὶ τῶν ἐχόντων αὐτὸν εἴτε ἁρμάτων εἴτε ἁμαξῶν ἀμφαξονεῖν λέγεται παροιμιακῶς τὸ μὴ πορεύεσθαι κατ' ὀρθόν. τίθεται δὲ κατὰ Παυσανίαν ἡ λέξις καὶ ἐπὶ τῶν τὰ γόνατα ἀσθενούντων καὶ ἐκκλωμένων. (v. 31) Ὅτι «εὔσκαρθμοι ἵπποι», καθά που καὶ εὔσκαρθμος Μύριννα, οἱ εὐκίνητοι παρὰ τὸ εὖ σκαίρειν. Φησὶ γὰρ «τὸν δέ», ἤγουν τὸν Ποσειδῶνα, «ἐς νῆας ἐΰσκαρθμοι φέρον ἵπποι». (v. 32—8) Ὅτι χρᾶται καὶ νῦν συνήθει σχήματι διηγήσεως ὁ ποιητὴς εἰπὼν «ἔστι δέ τι σπέος εὐρὺ βαθείης βένθεσι λίμνης μεσσηγὺς Τενέδοιο καὶ Ἴμβρου παιπαλοέσσης», ἔνθα τοὺς ῥηθέντας ἵππους ἔστησε Ποσειδῶν «λύσας ἐξ ὀχέων, παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ ἔδμεναι, ἀμφὶ δὲ ποσσίν», ὡς καὶ προεγράφη, «πέδας ἔμβαλε χρυσείας, ἀρρήκτους, ἀλύτους», ὃ δὴ ἀρετή ἐστι δεσμοῦ, «ὄφρ' ἔμπεδον αὖθι μένοιεν νοσήσταντα ἄνακτα».

3.436 Καὶ ὅρα, ὡς ἡ Ὁμηρικὴ Μοῦσα καὶ τὰ κατὰ βυθοῦ περιεργάζεται, ὑπεμφαίνουσα τὸ πολύ τε βάθος τῆς ἐκεῖ θαλάσσης, καὶ τὸ μέχρι τῶν δηλουμένων νήσων ὡς πρὸς Βορρᾶν τὴν τοῦ Αἰγαίου πελάγους ἀναπαύεσθαι πλατύτητα. διὸ καὶ πέδας ἐκεῖ τοῖς ἵπποις ὁ Ποσειδῶν περιτίθησιν, ὡς αὐτόθι παυομένου μὲν τοῦ Αἰγαίου πελάγους, ἀρχομένου δὲ τοῦ Ἑλλησπόντου, ὃς μικρὸν ὅσον ἀποστενοῦται εἰς θαλάσσης πορθμόν, οὐ κατὰ τὴν τοῦ Αἰγαίου χύσιν εὐρυνόμενος, ἀλλ' οἷον σφιγγόμενος καὶ πεδούμενος. Ἴσως δὲ μᾶλλον τὸ περὶ Τένεδον καὶ Ἴμβρον στῆναι τοὺς τοῦ Ποσειδῶνος ὠκυπέτας καὶ εὐσκάρθμους καὶ ῥίμφα μάλα πετομένους ἵππους αἴνιγμά ἐστι τοῦ μέχρις ἐκεῖ περατοῦσθαι τὸν ἀγάρροον Ἑλλήσποντον, ὡς δοκεῖ τοῖς μεθ' Ὅμηρον. Περὶ δὲ Ἴμβρου καὶ Τενέδου ἱκανῶς ἐρρέθη καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. (v. 33) Ἰστέον δὲ ὅτι κατὰ τοὺς παλαιοὺς καὶ Τρίοδος ἐκαλεῖτο ἡ Τένεδος, ὡς μέση κειμένη Αἰγαίου τε καὶ Ἑλλησπόντου καὶ μέλανος κόλπου τοῦ πρὸς τῇ Αἴνῳ, καὶ ὅτι οὕτω λαλεῖ ὁ ποιητὴς τὰ κατὰ τοὺς ῥηθέντας ἵππους, ὡς εἴπερ ἦσαν ἀμφίβιοι καὶ αὐτοὶ κατὰ τοὺς θαλαττίους δαίμονας, οἷς καὶ τὰ καλὰ δώματα ὑπόβρυχα πλάττονται καὶ ἡ λοιπὴ τρυφή. (v. 32) Λίμνη δὲ συνήθως παρὰ τῷ ποιητῇ ἡ θάλασσα διὰ τὸ μὴ ἀπορρέειν κατὰ ποταμούς, ἀλλὰ λίαν μένειν, ὃ καὶ τὴν ἁπλῶς λίμνην καὶ τὸν λιμένα δὲ ποιεῖ. (v. 35 s.) Τὸ δὲ «εἶδαρ ἔδμεναι» τρόπος ἐτυμολογίας ἐστίν. ἀπὸ

γὰρ τοῦ ἔδω τὸ εἶδαρ. Οὕτω δὲ καὶ τὸ «ἀμφὶ ποσσὶ πέδας», ἐκ γὰρ τῶν ποδῶν αἱ πέδαι κατὰ τροπὴν τοῦ ο εἰς ε . Ὅτι δὲ τὸ παραβαλεῖν εἶδαρ ταὐτόν ἐστι τῷ παραθεῖναι, καὶ ὡς ἐξ αὐτοῦ συντέθειται τὸ κοινῶς λεγόμενον παράβλημα, καὶ ἀλλαχοῦ δηλοῦται. (v. 39—41) Ὅτι οἱ Τρῶες «φλογὶ ἶσοι», ὅ ἐστιν ὅμοιοι, «ἀολλέες ἠὲ θυέλλῃ Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτες ἕποντο, ἄβρομοι, αὐΐαχοι». Ταῦτα δὲ πρὸς τὸ εὐκίνητον καὶ ἠχητικὸν τοῦ ἔθνους καὶ ἀλόγως ὁρμητικόν. διὰ τοῦτο γὰρ οὐ λέουσιν ἢ λύκοις αὐτοὺς ἢ τοιούτοις τισὶν εἴκασε. καὶ τὸν Ἕκτορα δὲ μετ’ ὀλίγα φλογὶ παρεικάζει. (v. 41) Δηλοῖ δὲ τὸ «ἄβρομοι, αὐίαχοι» τὸ ἅμα βρόμῳ, ἅμα ἰαχῇ, ὧν βρόμος μὲν ἐπὶ φλογός, ἰαχὴ δὲ ἐπὶ θυέλλης.

3.437 Αἰολικὴ δὲ ἡ τοῦ υ ἐπένθεσις ἐν τῷ αὐίαχοι, ὡς καὶ ἐν τῷ ἀγάω ἀγαός ἀγαυός καὶ ἀγαυρός, καὶ ἄρρηκτος, αὔρηκτος. οὕτω δὲ καὶ τὸ παρ’ Ὁμήρῳ «ἕωθεν ἐνικλᾶν» εὔωθεν λέγεται, εἰ μή τι ἄρα ἐκεῖνο ἐκ τοῦ εἴωθε τροπὴν ἔπαθε τοῦ ι εἰς υ . Ἰστέον δὲ [ὅτι τε εἶχε μὲν ὁ ποιητὴς εἰπεῖν ἀΐαχοι ἐκτάσει τῆς ἀρχούσης, ὁποία γίνεται καὶ ἐν τῷ ἀθάνατος καὶ ἀκάματος, προέκρινε δὲ τοῦ κοινοῦ καὶ χασμώδους τὸ καὶ ποιητικώτερον καὶ ἀχάσμητον. Καὶ] ὅτι βρόμος κυρίως ἐπὶ ἀνέμου καὶ ἐπὶ πυρός, ἐφ’ ὧν καὶ τὸ βρέμειν. Παυσανίας δὲ βρόμον λέγει καὶ σπέρμα λεπτῇ κριθῇ ὅμοιον, τὸ κοινῶς δηλαδὴ λεγόμενον βρόμιον. τὸ μέντοι βρωμᾶσθαι, ὃ καὶ ἐκτείνεται, φησὶν ὁ αὐτὸς ἐπὶ ἀρσένων ὄνων τίθεσθαι ὅτε λιμώττουσιν, ἵνα ᾖ, φησί, βρωμᾶσθαι τὸ βρώμης, ὅ ἐστι τροφῆς, δεῖσθαι. Ὅρα δ’ ἐν τοῖς ῥηθεῖσι τὸ σύντομον τῶν παραβολῶν, τῆς φλογὸς καὶ τῆς θυέλλης, ἔτι δὲ καὶ τὸ τῶν ἀποδόσεων, τοῦ βρόμου δηλαδὴ καὶ τῆς ἰαχῆς, ἔβρεμον μὲν γὰρ ὡς πῦρ, ἴαχον δὲ ὡς ἄνεμος. (v. 41 s.) Ὅτι ἐξ Ὁμήρου λαβόντες οἱ ὕστερον ἐπὶ μόνων ἀγαθῶν τὴν ἐλπίδα τιθέασι, φάμενοι ὡς οὐδέποτέ τις ἐλπίζειν κακὰ λέγεται. πανταχοῦ γοῦν ἀγαθόν τι τὴν ἐλπίδα εἰδώς φησι κἀνταῦθα περὶ Τρώων, ὡς «ἔλποντο νῆας Ἀχαιῶν αἱρήσειν κτενέειν τε παρ’ αὐτόφι πάντας Ἀχαιούς». ἡ μέντοι παρὰ τῷ Ἡσιόδῳ ἐλπὶς ἄλλως δοκεῖ ἔχειν παρὰ τὸ Ὁμηρικόν, εἴπερ κακῶν καραδοκίαν ἐκείνη δηλοῖ. (v. 43 s.) Ὅτι ἐν τῷ «ἀλλὰ Ποσειδάων γαιήοχος, ἐννοσίγαιος, Ἀργείους ὤτρυνεν», ὡς πρὸ ὀλίγων ἐρρέθη, ἀστείως ἀντέθηκε τὰ ἐπίθετα. ὁ γὰρ αὐτὸς καὶ συνέχει γαῖαν ὡς ἀσφάλιος, καὶ διασείει ὡς ἐννοσίγαιος. (v. 45) Ὅτι ἐν τῷ τὸν Ποσειδῶνα εἰκασθῆναι τῷ Κάλχαντι δέμας καὶ ἀτειρέα φωνὴν ἕνα τῶν ἐννέα κηρύκων ἐστοχάσαντό τινες εἶναι τὸν Κάλχαντα, ὡς καὶ προερρέθη, οὗ νῦν ἡ φωνὴ ἀτειρὴς παρασημειοῦται. ἔοικε δ’ ἐν τούτοις ὁ Κάλχας μεγαλοφώνως ἐξονειδίσαι, εἰ τῇ θαλάσσῃ πιστεύσουσιν ἑαυτοὺς φεύγοντες οἱ Ἀχαιοὶ καὶ οὕτως ἐντρέψαι καὶ εἰς ἀντιπαράταξιν στρέψαι.

3.438 διὸ Ποσειδῶν λέγεται ἐλθὼν ἐξ ἁλὸς καὶ ὁμοιωθεὶς Κάλχαντι θαρρῦναι τοὺς Ἕλληνας, ὡς καὶ προεδηλώθη. (v. 47 s.) Ὅτι ἀνδρείων ἔπαινος πρὸς τοὺς Αἴαντας ῥηθὲν τὸ «ὑμεῖς μέν τε σαώσετον λαὸν Ἀχαιῶν ἀλκῆς μνησάμενοι μηδὲ κρυεροῖο φόβοιο», τουτέστιν ἀκράτως ἀνδρισάμενοι καὶ μὴ ἐνδοιαστικῶς ἔχοντες εἰς νοῦν, ὡς ἢ στῆναι ἢ φυγεῖν. ἢ καὶ ἄλλως, ἀλκήεντες φανέντες διόλου καὶ μὴ πρὸς ὥραν τινά, ὡς ἀνδρίσασθαι πρὸς ὀλίγον, εἶτα φυγεῖν. (v. 49 s.) Ὅτι πάνυ ἐξαίρων ὁ τοῦ μύθου Ποσειδῶν τὸν Ἕκτορά φησι πρὸς τοὺς Αἴαντας, ὡς «ἄλλῃ μέν», ἤγουν ἀλλαχοῦ καὶ ἐντελῶς εἰπεῖν ἐν ἄλλῃ τάξει ἢ μερίδι ἢ φάλαγγι, «ἔγωγ’ οὐ δείδια χεῖρας ἀάπτους Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ», τουτέστιν ὁμιλαδόν, παμπληθεί, ὃ δὴ καὶ μετ’ ὀλίγα κείμενον τὴν τῶν ὅλων Τρώων δηλοῖ διὰ τοῦ Ἑλληνικοῦ τείχους ἔξωθεν ἄνοδον καὶ ἔσω κάθοδον ὡς πρὸς τὰς νῆας, πάνυ γοργῶς φρασθέν. (v. 51—4) Εἶτα ἐπάγει ἐφεξῆς «ἕξουσι γάρ», ἤτοι κωλύσουσιν, «ἅπαντας ἐϋκνήμιδες Ἀχαιοί. τῇ δὲ δή», ἤγουν ἐνταῦθα, «αἰνότατον περιδείδια μή τι πάθωμεν, [ᾗ ῥ’ ὅ γε», ἤγουν] ἔνθα ὅδε, «ὁ λυσσώδης φλογὶ ἴκελος ἡγεμονεύει Ἕκτωρ». Δῆλον δὲ ὡς διαβάλλει τοῖς ἐχθροῖς τὸν Ἕκτορα ὁ Ποσειδῶν, λυσσώδη αὐτὸν καὶ φλογερὸν προσειπών, ἐπαγαγὼν καὶ τὸ «ὃς Διὸς εὔχεται ἐρισθενέος πάϊς εἶναι». ψεύδεται οὖν ἡγεμονικῶς καὶ οἰκονομικῶς ἐρεθίζων τοὺς Ἀχαιούς, ἵνα καὶ αὐτοὶ ἀντιστάντες εἶεν οὕτω φῶτες ἰσόθεοι. ὥρμηται δὲ ἡ διαβολὴ ἐκ τοῦ «τιοίμην ὡς

τίεται Ἀθηναίη καὶ Ἀπόλλων», ὅπερ ηὔξατό που Ἕκτωρ. [(v. 49) Ὅρα δὲ ὅτι τε τὸ «ἄλλῃ μὲν οὐ δείδια, τῇ δέ» ἀντίκειται συνδετικῶς ἀλλήλοις, ὡς τὸ «ἀλλαχοῦ μὲν οὐ δειλιῶ, ταύτῃ δέ», ἤγουν ἐνταῦθα. (v. 53) Καὶ ὅτι τὸ «ᾗ ῥ᾽ ὅ γε» θεληματικῶς ῥοίζου χάριν παρενέβαλε τὸν ῥα σύνδεσμον, οὐ μὴν κατά τι ἀναγκαῖον, ὡς δηλοῖ τὸ «ἢ ὅ γε δίφρον ἑλών», ὅπερ ἀνεμεσήτως ἐν τῇ κ′ ῥαψῳδίᾳ χασμᾶται ἄρροιζον.] (v. 55) Ὅτι τὸ κοινῶς λεγόμενον «ὁ θεὸς ὁδηγήσειε» «θεὸς ἐνὶ φρεσὶ ποιήσειε» λέγει ὁ ποιητής, ὅπερ ἐστὶ θήσοι εἰς νοῦν. ταὐτὸν γὰρ ἐν πολλοῖς τὸ θεῖναι καὶ τὸ ποιῆσαι.

3.439 (v. 55 s.) Φησὶ γοῦν «σφῶϊν δ᾽ ὧδε θεὸς ἐνὶ φρεσὶ ποιήσειεν αὐτώ θ᾽ ἑστάμεναι κρατερῶς», ἤγουν ὑμᾶς τοὺς Αἴαντας, «καὶ ἀνωγέμεν ἄλλους». Δῆλον δ᾽ ὅτι ἀρετὴν ἀγαθοῦ στρατηγοῦ ὑπογράφει τὸ αὐτόν τέ τινα ἑστάμεναι κρατερῶς καὶ κελεύειν ἄλλοις. (v. 57 s.) Εἶτα εἰς πάνυ πλέον θαρρύνων τοὺς ἥρωας ὁ μυθικὸς Ποσειδῶν ἐπάγει, ὡς οὕτως ἂν καὶ «ἐσσύμενόν περ ἐρωήσαιτ᾽ ἀπὸ νηῶν, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει», ὃ ταὐτόν ἐστιν ἐνταῦθα τῷ ὑπὲρ αἶσαν. ταὐτὸν γὰρ αἶσα καὶ Ζεὺς Ὀλύμπιος. Ὑπερβολικῶς δὲ καὶ σεμνῶς εἴρηται, ὡς οἱ Αἴαντες καὶ ἐσσύμενόν περ διώξουσι τὸν Ἕκτορα, εἰ καὶ ὁ Ζεὺς αὐτὸς ἐγείρει. Ὅρα δὲ τὸ «ἐρωήσαιτε ἀπὸ νηῶν» ἀλλοπαθῶς λεχθέν. δηλοῖ γὰρ οὐχ᾽ ὅτι αὐτοὶ ἐρωήσαιτε ἀλλὰ τὸν Ἕκτορα εἰς ἐρωὴν κινήσοιτε διώξαντες. (v. 59—61) Ὅτι Ποσειδῶν σκηπανίῳ ἀμφοτέρω τὼ Αἴαντε κεκοπὼς «πλῆσε μένεος κρατεροῖο, γυῖα δὲ θῆκεν ἐλαφρὰ πόδας καὶ χεῖρας ὕπερθεν». Προσυπακουστέον δὲ εἰς τὸ πόδας τὸ ἔνερθεν, ἐλλιπῶς γὰρ εἴρηται διὰ συντομίαν. ὑποκαταβὰς οὖν ἐρεῖ ἐντελῶς «ἔνερθεν πόδες καὶ χεῖρες ὕπερθεν». Δῆλον δὲ ὅτι παρὰ τὰ γυῖα, ὃ τὰς χεῖρας ἰδίᾳ δηλοῖ πολλαχοῦ, γίνεται καὶ ἐγγύη, ἡ ὡσανεὶ ἐν χερσὶ τιθεῖσα τὸ κατεγγυηθέν, καὶ τὸ ἐγγυαλίζω, ἤγουν ἐν χερσὶ τίθημι, καὶ τὸ ὑπόγ υ ον, ὃ καὶ ἐξ ὑπογυίου λέγεται, τὸ ἐγγύς, φασί, προσδόκιμον ἢ παραυτίκα γεγονὸς καί, ὡς εἰπεῖν, πρόχειρον ἢ μᾶλλον ὑποχείριον, ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται. Ἰστέον δὲ ὅτι πᾶσα θεία ῥάβδος παρ᾽ Ὁμήρῳ δρᾷ μέγα τι καινόν, οἷον ἡ τῆς Ἀθηνᾶς εἰς Ὀδυσσέα, ποτὲ μὲν νέον ποιοῦσα, ποτὲ δὲ γέροντα, ἡ τοῦ χρυσορράπιδος Ἑρμοῦ ἐπὶ τοῖς ἐγρηγορόσιν ἢ καθεύδουσιν, ἡ τῆς Κίρκης κατὰ τῶν πινόντων κυκεῶνα. οὕτω δὴ κἀνταῦθα τὸ τοῦ Ποσειδῶνος σκηπάνιον, ἤτοι σκῆπτρον, ἐρεθίζει τεραστίως τοὺς Αἴαντας. (v. 59) Γλώσσης δέ, φασί, Κυρηναίων τὸ σκηπάνιον. Εἴτε δὲ κεκοπὼς γράψει τις, εἴτε κεκοφώς, ὡς τὸ κεκλοφώς, ἄμφω ἀνάλογα. καὶ Ἀρίσταρχος ἀρέσκεται ταῖς δυσὶ γραφαῖς. ἐπὶ ἁπλῶς δὲ κρούσεως ἐνταῦθα τὸ κεκοπώς, καθὰ καὶ τὸ «τίς ὁ κόπτων τὴν θύραν», δηλοῖ δέ ποτε καὶ σωματικὴν τομήν. Ὁ δὲ δράκων ἐν τοῖς πρὸ τούτων ἔκοψεν ἀετὸν κατὰ τὴν δειρὴν κατ᾽ ἀμφοτέρας τὰς σημασίας τῆς λέξεως (v.

3.440 62—5) Ὅτι ὁποῖος μέν τις ὁ Ποσειδῶν εἰς Ἀχαιοὺς ἦλθεν, οὐ λέγει ὁ ποιητὴς ἀσχολήσας ἑαυτὸν εἰς ἄλλα τινὰ τῶν ἐκείνου, ἀπιόντα δὲ οὕτω φράζει «αὐτὸς δ᾽ ὥς τ᾽ ἴρηξ ὠκύπτερος ὦρτο πέτεσθαι, ὅς ῥά τ᾽ ἀπ᾽ αἰγίλιπος πέτρης περιμήκεος ἀρθεὶς ὁρμήσει πεδίοιο», ἤγουν διὰ τῆς πεδιάδος, «διώκειν ὄρνεον ἄλλο, ὣς ἀπὸ τῶν ἤϊξε Ποσειδάων». (v. 64) Καὶ ὅρα τὸ «ὄρνεον ἄλλο», τουτέστιν ἕτερον τῷ εἴδει, ἀλλόφυλον. ἐμφαίνει γάρ, φασίν, ὁ ποιητὴς τὸν ἱέρακα τῶν ὁμοφύλων μὴ ἅπτεσθαι. οὕτω φασὶ καὶ ἐν τῷ «ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι» τὸ «ἄλλοι» ἀντὶ τοῦ ἑτεροειδεῖς πρὸς τὸν δελφῖνα, κῆτος ὄντα, οὐ μὴν ἰχθῦν. (v. 62) Τὸ δὲ ἴρηξ Ἰωνικῶς ψιλοῦται, εἰ καὶ τὸ ἱέραξ δασύνεται. πέτραις δὲ ὡς ἐπὶ πολὺ τὰ τοιαῦτα ἐπικαθῆσθαι ὄρνεα ἡ ἐνάργεια φαίνει. (v. 63) Τὸ δὲ περιμήκης βαρύνεται κανόνι τοιούτῳ. Τὰ εἰς ης σύνθετα γενόμενα παρ᾽ οὐδέτερον εἰς ος τῷ η παραληγόμενον βαρύνεται· κῆτος μεγακήτης, μῆκος περιμήκης, ἦθος κακοήθης. Τὸ λαθικηδής καὶ οἰνοπληθής οὐκ ἀπὸ τοῦ κῆδος καὶ πλῆθος, ἀλλὰ παρὰ ῥῆμα τὸ κήδω καὶ πλήθω γεγόνασι. (v. 65) Τὸ δὲ «ἤϊξε» ταὐτόν ἐστι τῷ ῥᾷον ἀπῆλθεν, ὡς δηλοῖ μετ᾽ ὀλίγα ὁ Λοκρὸς Αἴας, εἰπὼν γνῶναι τὸν Ποσειδῶνα ῥεῖα ἀπιόντα. (v. 68—70) Ὅτι ἐν τῷ «Αἶαν, ἐπεί τις θεῶν, οἳ Ὄλυμπον ἔχουσι, μάντει εἰδόμενος κέλεται μάχεσθαι, οὐδ᾽ ὅ γε

Κάλχας ἐστί» καὶ ἑξῆς, χωλὸν τὸ ἔπος, μὴ ἔχον ἀπόδοσιν. ἕπτα γὰρ ὄντων τῶν καθεξῆς ἐπῶν, οἵαν ἄν τις ἐρεῖ ἀπόδοσιν, ἀλόγιστός ἐστιν. ἤγουν ὁ ταῦτα λέγων Λοκρὸς Αἴας τεταραγμένος ὢν οὐ κρατεῖ τῆς φράσεως, ἢ μέλλων ἀποδοῦναι ὅμως ὑποβλήδην ὑπὸ τοῦ Τελαμωνίου ἐγκόπτεται, συνάψαντος τὸν οἰκεῖον λόγον καὶ παραφράσαντος τὰ τοῦ Λοκροῦ, ἅπερ ἐπίτηδες πεποίηται, ἵνα τῇ προσωπικῇ μιμήσει ἐκφαίνηται ἡ ποιητικὴ ἀρετή. Τινὲς μέντοι δύο στίχους κρεμάσαντες, εἶτα τὴν ἔννοιαν πληροῦσιν ἀποδοτικῶς, ἵνα εἴπῃ· Αἶαν, ἐπεί τις θεός, εἰκασθεὶς μάντει, κελεύει μάχεσθαι, οὐχ᾽ οὗτος Κάλχας ἐστίν. ἔχει δὲ καὶ πάλιν ἡ ἔννοια οὐδὲν γενναῖον, ἀλλ᾽ ἔστιν ἀληθῶς ἡ φράσις χωλεύουσα.

3.441 Λέγει δ᾽ ἐν τούτοις Κάλχαντα καὶ θεοπρόπον οἰωνιστήν, ὡς εἴ τις εἴποι μάντιν οἰωνοπόλον, γενικοῦ μὲν ὄντος ὀνόματος τοῦ θεοπρόπος, ὡς καὶ τοῦ μάντις, εἰδικοῦ δὲ τοῦ οἰωνιστής. (v. 71 s.) Ὅτι τὸ «ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων ῥεῖ᾽ ἔγνων ἀπιόντος, ἀρίγνωτοι δὲ θεοί περ», ὅπερ ὁ μικρὸς Αἴας περὶ Ποσειδῶνός φησι, χρήσιμον ἔσται ποτὲ παρῳδηθὲν εἴς τινα θείαν ἐνάργειαν καὶ ἐνέργειαν ἐκ μικρᾶς ἀφορμῆς μέγα τι ἐνδειξαμένην. καὶ γάρ τοι καὶ ὁ ῥηθεὶς Αἴας ἐκ μόνων ἰχνῶν ἔγνω παρουσίαν θεοῦ, ὡς οἷα τοῦ Ποσειδῶνος ἐν τῷ ταχὺ ἀπιέναι καὶ κοῦφα θέειν ἢ μηδὲ ἴχνη ἐντυποῦντος ὡς χαράξεις ποδῶν τὴν γῆν ἀπομάξασθαι, ἢ καὶ πλατὺ διαβαίνοντος, ὡς πολὺ διεστάναι ἀλλήλων τὰ ἴχνη καὶ μὴ κατὰ βῆμα ἀνθρώπου, ἢ καὶ ὡς λίαν ταχὺ καὶ ἀχρόνως ἴχνος ἐπὶ ἴχνει ποιοῦντος. Τὸ δὲ εἶναι τὸ θεῖον ἀρίγνωτον οὐχ᾽ ἁπλῶς ἐρρέθη, ἀλλ᾽ ὅτε δηλαδὴ ἐνέργημά τι οἰκεῖον ἐκφήνῃ, ὅπερ οὐ κατὰ τὰ ἀνθρώπινά ἐστιν. (v. 71) Ἰστέον δὲ ὅτι ἐν τῷ «ἴχνια δὲ ποδῶν ἠδὲ κνημάων» περιττῶς κεῖσθαι δοκεῖ τὸ κνημάων. ἴχνη γὰρ αἱ κνῆμαι οὐ τυποῦσιν, εἰ μὴ ἄρα ὅτι ἐρείδουσαι τῷ βάρει βαθύνουσι τὰ ἴχνη, καθὰ καὶ βραχίων τῇ χειρὶ συνεργάζεται τὰ κοιλώματα. (v. 73—5) Ὅτι σημεῖον τοῦ θεόθεν εἰς μάχην ἐρεθισθῆναι ὁ Λοκρὸς Αἴας ἑαυτῷ πορίζει τοιοῦτον «καὶ δ᾽ ἐμοὶ αὐτῷ», φησί, «θυμὸς ἐνὶ στήθεσσι φίλοισι μᾶλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεσθαι, μαιμώωσι δ᾽ ἔνερθε πόδες καὶ χεῖρες ὕπερθεν». Καὶ ὅρα συχνὰ ἐνταῦθα πάρισα, τά τε ἄλλα καὶ τὸ ἔνερθεν καὶ ὕπερθεν. καὶ ταῦτα μὲν ὁ Λοκρός. (v. 76—9) Ὁ δὲ μέγας παραφράζων δεξιῶς τὸ τελευταῖον ἔπος καὶ τὰ λοιπὰ δὲ ἄλλως φράζων ἐπάγει «οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι χεῖρες ἄαπτοι μαιμῶσι, καί μοι μένος ὤρορε, νέρθε δὲ ποσσὶν ἔσσυμαι ἀμφοτέροισιν». (v. 79 s.) Εἶτα τὸ κεφάλαιον τοῦ θάρσους δεικνὺς ἐπάγει «μαιμώω δὲ καὶ οἶος Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτι μάχεσθαι». Ταῦτα δὲ πάντα θάρσους εἰσὶ χαρακτῆρες καὶ οἷα λέγεσθαι ὑπὸ θαρσαλέων ἀνδρῶν. (v. 73) Ἰστέον δὲ [ὅτι τε τὸ «ἐμοὶ αὐτῷ» συνήθως Ὁμήρῳ πέφρασται ἀντὶ τοῦ ἐμαυτῷ, ἐπεὶ μηδὲ οἶδε σύνθετον ἀντωνυμίαν, καὶ ὅτι τὸ «οἶος Ἕκτορι μάχεσθαι», ὅπερ διαλελυμένως μονομαχίαν παραλαλεῖ, ἐπὶ μὲν τῷ Λοκρῷ νοηθῆναι μικροπρεπῶς ἔχει· τί γὰρ μέγα, εἴπερ ὁ τοσοῦτος Αἴας μόνος δίχα τοῦ Λοκροῦ μαχεῖται μόνῳ τῷ Ἕκτορι;] Ἔστι δὲ ἀληθῶς μεγαλοπρεπές, εἰ μόνος ἐκ πάντων Ἀχαιῶν ὁ Τελαμώνιος ἀντικαταστταίη τῷ νῦν τηλικούτῳ Ἕκτορι. καὶ ὅτι χρόνου μετάθεσιν καὶ νῦν πέπονθε τὸ ὤρορεν, ὡς τοῦ μεγάλου ω τῆς παραληγούσης μεταπεπτωκότος εἰς τὴν ἄρχουσαν. Καὶ ὅτι ὁ μὲν Τελαμώνιος ὡς νωθὴς καὶ πολὺ μετέχων ἰδίας ἀνδρίας οὐ ταχὺ κατὰ τοὺς παλαιοὺς τῆς τοῦ Ποσειδῶνος ἐπικουρίας αἰσθάνεται, ὁ δὲ Λοκρὸς πρῶτος. οὔτε γὰρ πάνυ ἀνδρεῖος, ἀλλὰ καὶ ὀξύτερος ἐπισημήνασθαι, ὃς καὶ τὴν τοῦ Ποσειδῶνος ἀπέλευσιν τοῦ μεγάλου Αἴαντος μὴ γνόντος αὐτὸς ἐσημειώσατο, καθὰ προσεχῶς ἐρρέθη.

3.442 (v. 77) Ὅρα δὲ ἐν τῷ «περὶ δούρατι χεῖρες μαιμώωσι» τὴν περι πρόθεσιν δοτικῇ συνταχθεῖσαν, οὐχ᾽ ἁπλῶς μέντοι, ἀλλὰ διὰ τὸ εἰλῆφθαι ἀντὶ ἐπιτάσεως. δηλοῖ γὰρ τὸ περισσῶς. [Ἄλλως δ᾽ ἄν τις «δουρὸς μαιμῶσιν» εἶπε «χεῖρες» κατὰ τὸ «καὶ πῶς ἐπέσχε χεῖρα μαιμῶσαν φόνου;»] (v. 80) Τὸ δὲ «Ἕκτορι Πριαμίδῃ» καὶ ἐνταῦθα καὶ ἐν τοῖς πρὸ τούτου καὶ εἴ που δὲ ἀλλαχόθι οὕτω κεῖται, παρέλκει πρὸς μέτρου τε ἀναπλήρωμα καὶ εἰς σέμνωμα δὲ τοῦ γέροντος Πριάμου. (v. 82) Ὅτι ἐν τῷ «χάρμῃ γηθόσυνοι, τήν σφιν θεὸς ἔμβαλε θυμῷ»—περὶ δὲ τῶν Αἰάντων ὁ λόγος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἰκεῖος ὢν ἐπὶ θαρραλέων στρατιωτῶν λέγεσθαι—ἔοικε τὸ γηθόσυνοι ἐτυμολογία τις εἶναι τῆς χάρμης. Γεγηθέναι γὰρ καὶ χαίρειν ταὐτά εἰσιν, ὥστε λέγοιτο ἂν ἡ μάχη χάρμη οὐ μόνον κατὰ ἀντίφρασιν, ἀλλὰ καὶ κυρίως, ἐπεὶ χαίρουσιν οἱ ἀνδρεῖοι ἀμυνόμενοι. διό τινες οὐδὲ τὴν μάχην αὐτὴν χάρμην φασίν, ἀλλὰ τὴν εἰς μάχην προθυμίαν. καὶ ἄλλως δέ, ἡ μάχη μετὰ θυμοῦ, ὁ δὲ θυμὸς μέλιτος γλυκίων καταλειβομένου τῷ θυμουμένῳ γίνεται. Εἴη ἂν οὖν καὶ διὰ τοῦτο ἡ μάχη χάρμη λεγομένη, τουτέστι χάρμα τι καὶ χαρὰ διὰ τὴν ῥηθεῖσαν οἷον γλυκύτητα, ὥσπερ καὶ τὸ βρῶμα βρώμη λέγεται ποιητικώτερον. (v. 84—8) Ὅτι πολλοὶ Ἀχαιοὶ τὴν μάχην ἀφέντες «παρὰ νηυσὶν ἀνέψυχον φίλον ἦτορ», ἤγουν ἀνελάμβανον τὴν ψυχήν. «Τῶν», ἤγουν ὧν «ἅμα τ’ ἀργαλέῳ καμάτῳ φίλα γυῖα λέλυντο, καί σφιν ἄχος κατὰ θυμὸν ἐγίνετο δερκομένοισι Τρῶας, τοί», ἤγουν οἵ, «μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ», καθὰ προείρηται, οὓς καὶ εἰσορόωντες Ἀχαιοὶ «ὑπ’ ὀφρύσι δάκρυα λεῖβον». Καὶ ὅρα τὸ τοῦ λόγου πάνυ περιπαθές, οὗπερ αἰτία τὸ ἄκρον τοῦ κινδύνου. (v. 89) «Οὐ γὰρ ἔφαν», φησί, «φεύξεσθαι ὑπ’ ἐκ κακοῦ». (v. 85) Ἰστέον δὲ ὅτι ἐν τῷ «καμάτῳ φίλα γυῖα λέλυντο» ἔκλυσιν μελῶν καὶ τὸν πολὺν κάματον ὁρίζεται. κακουργεῖ γὰρ ὁ κάματος περὶ τὸν ζωτικὸν σύνδεσμον, διὸ καὶ οἱ τεθνεῶτες καμόντες λέγονται. [Ὥστε λυσιμελὴς καθὰ ὁ ὕπνος καὶ ὁ θάνατος, οὕτω καὶ ὁ κάματος. Τὸ δὲ «φίλα γυῖα» φίλη φράσις Ὁμήρῳ, καθὰ πρὸς ἄλλοις πολλοῖς καὶ τὸ «φίλαι χεῖρες» καὶ «φίλον κῆρ».] (v. 95—8) Ὅτι πρὸ ὀλίγων ὁ Ποσειδῶν εἰπὼν τοῖς Αἴασιν, ὡς ὑμεῖς «σαώσετε λαὸν Ἀχαιῶν, ἀλκῆς μνησάμενοι μηδὲ κρυεροῖο φόβοιο», ὁ αὐτὸς νῦν ἑτέρους τινὰς καταδημαγωγῶν λέγει παραφράζων ἐκεῖνα, ὅτι «ὔμμιν ἔγωγε μαρναμένοισι πέποιθα σαωσέμεναι νέας ἁμάς», ἤγουν ἡμετέρας, «εἰ δ’ ὑμεῖς πολέμοιο μεθήσετε λευγαλέοιο, νῦν δὴ εἴδεται ἦμαρ ὑπὸ Τρώεσσι δαμῆναι».

3.443 Καὶ ὅρα τὸ ὑπὸ Τρώεσσι, δοτικῇ γὰρ κἀνταῦθα ἡ ὑπο συντέτακται πρόθεσις. Τὸ δὲ «εἴδεται ἦμαρ» ἀρχή ἐστι τοῦ λεχθῆναι τὴν ἡμέραν εἰδῶ. (v. 95 s.) Ἄρχεται δ’ ἐνταῦθα τῷ Ποσειδῶνι ὁ λόγος ὁ τοὺς ἀριστεῖς ὀτρύνων ὀπίσω τοῦ στρατοῦ ὄντας οὕτω «αἰδὼς Ἀργεῖοι κοῦροι νέοι, ὔμμιν ἔγωγε πέποιθα» καὶ ἑξῆς. Καὶ ὅρα ὅτι ἀγωνιῶν καὶ ἐλλιπῶς καὶ νῦν λέγει ἐν τῷ «αἰδὼς Ἀργεῖοι» διὰ συντομίαν προοιμίῳ πρέπουσαν, καὶ ταὐτολογίᾳ χρᾶται ἐν τῷ «κοῦροι νέοι», καὶ περιττολογεῖ ἐν τῷ «ἔγωγε πέποιθα». οὐ πάνυ γὰρ ἀναγκαίως ἐνταῦθα τέθειται τὸ ἔγωγε, τὸ γὰρ πέποιθα καὶ χωρὶς αὐτοῦ τὴν τοῦ πρώτου προσώπου ἰσχὺν ἔχει. ὅμως δὲ κατ’ ἐξοχὴν ἄλλως καὶ διαστολὴν ἐρρέθη, ὡς ἂν λέγῃ, ὅτι κἂν μὴ οἱ ἄλλοι ἀλλ’ ἐγὼ πέποιθα. ὁμοίως δὲ σχηματίσει καὶ κατωτέρω ἐν τῷ «ἔγωγε ἔφασκον». Ἰστέον δὲ ὅτι καὶ ἄλλως τὸ «κοῦροι νέοι» διπλασιάζεται κατὰ σχῆμα ἐπιμονῆς πρός τε ὑπόμνησιν τῆς ἐν νεότητι ἀκμῆς, ἣν οἱ Ἀργεῖοι ῥᾳθυμοῦντες ἄρτι αἰσχύνουσι, καὶ ἅμα κατὰ μέθοδον διπλασιάζουσαν ἐν προοιμίοις τὰ ὀνόματα, ὅπερ εἰς τέχνην παραδεδώκασιν οἱ μεθ’ Ὅμηρον. [Δοκεῖ δὲ καὶ διασταλτικὴν ἐπιστασίαν ἔχειν ὁ ῥηθεὶς τῶν λέξεων διπλασιασμός, ἐφιστῶντος τοῦ συμβούλου ὅτι οὐ πρὸς γέροντας ὁ λόγος, ὧν οὐδὲν δεῖται ἡ μάχη, ἀλλὰ πρὸς κούρους βριαρόχειρας, οὓς οὐδὲν κωλύει ζαχρηεῖς ἐν πολέμῳ εἶναι.] Τὴν δὲ ἔλλειψιν τοῦ «αἰδὼς Ἀργεῖοι», ἔνθα βούλεται εἰπεῖν, ὡς αἰδώς ἐστιν ἢ αἰδὼς ἔστω, διασαφεῖ μετ’ ὀλίγα τὸ «ἐν φρεσὶ θέσθε ἕκαστος αἰδῶ». καὶ οὕτω μὲν ταῦτα. (v. 100 s.) Ὁ δὲ Ποσειδῶν πλατύνων ἀναγκαίως τὴν δημηγορίαν διὰ τὸ τῆς μάχης, ὡς αὐτὸς ἔφη, λευγαλέον—πάνυ γὰρ βαρὺς ὢν ὁ πόλεμος ἐδεῖτο τῶν ἐρεθιζόντων εἰς αὐτόν—ἐπάγει καὶ ταῦτα ὀνειδιστικώτερον καὶ δριμύτερον «ὢ πόποι, ἦ μέγα θαῦμα τόδ’ ὀφθαλμοῖσιν ὁρῶμαι, δεινόν, ὃ οὔποτ’ ἔγωγε τελευτήσεσθαι», ἤγουν ἀποτελεσθῆναι, «ἔφασκον».

3.444 τοῦτο δὲ οἰκεῖον ἐπὶ ἀνελπίστῳ κακῷ λέγεσθαι. (v. 101—4) Εἶτα ἐκτιθέμενος ὁποῖον ἐκεῖνο τὸ μέγα, τὸ δοκοῦν πρὶν ἀναποτέλεστον, ὃ μὴ ἁπλῶς ὡς θαῦμα ἐκπλήττει, ἀλλὰ καὶ δεινόν ἐστιν, οὐ διανοίᾳ ἐν τῷ μὴ ὁρᾶσθαι φανταζόμενον, ἀλλ’ αὐτοψεὶ φαινόμενον, καθὰ καὶ πρὸ τούτων οὔασιν ἀκούειν ἐρρέθη τὸ γενέσθαι αὐτήκοον, φησὶ «Τρῶας ἐφ’ ἡμετέρας ἰέναι νέας, οἳ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάρος περ φυζακινῇς ἐλάφοισιν ἐοίκεσαν, αἵ τε καθ’ ὕλην θώων πορδαλίων τε λύκων τ’ ἤϊα πέλονται, αὔτως ἠλάσκουσαι ἀνάλκιδες οὐκ ἐπὶ χάρμῃ», τουτέστι πάνυ ἀσθενεῖς. ἐκ παραλλήλου γὰρ τῆς αὐτῆς ἐννοίας δηλωτικὰ καὶ τὸ «ἀνάλκιδες» καὶ τὸ «οὐκ ἐπὶ χάρμῃ». Ἐν οἷς σημείωσαι, ὅτι τε τὸ ἐφ’ ἡμετέρας ἰέναι νέας νόημά ἐστιν ἐκ θαλάσσης πεπορισμένον καὶ λογισμὸς ὁ μάλιστα τοὺς Ἀχαιοὺς εἰς μάχην στήσας ἐκ τοῦ φεύγειν, οὗ χάριν, ὡς προερρέθη, καὶ ὁ θαλάσσιος Ποσειδῶν αὐτοῖς πέπλασται συμμαχεῖν, καὶ ὅτι ἐν τῷ «Τρῶας ἐπὶ τὰς νῆας ἰέναι» τοιαῦτά τινα κατὰ τοὺς παλαιοὺς παθητικῶς ἐμφαίνει ὁ Ποσειδῶν, τοὺς βαρβάρους ἐπὶ τὰς τῶν Ἑλλήνων, τοὺς δειλοὺς ἐπὶ τὰς τῶν γενναίων, τοὺς ὀλίγους ἐπὶ τὰς τῶν πλειόνων. (v. 105—7) Εἶτα καὶ ἀναμιμνήσκει, ὡς οἱ «Τρῶες τὸ πρίν γε μένος καὶ χεῖρας Ἀχαιῶν μίμνειν οὐκ ἐθέλεσκον ἐναντίον οὐδ’ ἠβαιόν· νῦν δ’ ἕκαθεν πόλιος κοίλῃς ἐπὶ νηυσὶ μάχονται», οἱ μηδὲ τοῦ τείχους τολμῶντες προκύψαι ὅτε Ἀχιλλεὺς προεμάχετο. (v. 108—10) Ἐφ’ οἷς εἰδὼς ὁ Ποσειδῶν, ὡς οἱ πολλοὶ παρὰ τὰς ἀτυχίας μεμψιμοιροῦσι τοῖς ἄρχουσι καταδημαγωγεῖ τοὺς ἀκούοντας πρὸς ἀρέσκειαν οὐ μὴν πρὸς ἀλήθειαν, λέγων γενέσθαι ταῦτα «ἡγεμόνος κακότητι μεθημοσύνῃσί τε λαῶν, οἳ κείνῳ ἐρίσαντες» τὴν κακὴν δηλαδὴ ἔριν «ἀμυνέμεν οὐκ ἐθέλουσι νηῶν», ἤγουν περὶ νηῶν ἢ ὑπὲρ νηῶν, «ἀλλὰ κτείνονται ἀν’ αὐτάς». Καὶ ὅρα ὡς πλεονάζει τῇ μνήμῃ τῶν νεῶν διὰ τὸ ἀνωτέρω ῥηθὲν αἴτιον εἰς ἐρεθισμὸν τῶν Ἀχαιῶν. (v. 111—5) Εἶτα λαλῶν ὑπὲρ τοῦ βασιλέως ὡς ἐν δισταγμῷ καὶ ἀντιπαραστατικῶς φησιν «ἀλλ’ εἰ δὴ καὶ πάμπαν ἐτήτυμον», ἤγουν ἀληθῶς, «αἴτιός ἐστιν ἥρως Ἀτρείδης, οὕνεκ’ ἀπητίμησε» τὸν τοῦ Πηλέως. —καὶ ὅρα ὡς καὶ νῦν εὐφυῶς καὶ συνήθως ἀνάμνησιν Ἀχιλλέως παρενέβαλεν—«ἡμέας γ’ οὔ πως ἔστι μεθιέναι πολέμοιο, ἀλλ’ ἀκεώμεθα θᾶσσον». (v. 115—22) Καὶ ἐπαγαγὼν ἐξ ἀφορμῆς τοῦ «ἀκεώμεθα» γνωμικὸν γοργότατον διὰ τὸ κατεπεῖγον τῆς ὥρας τὸ «ἀκεσταί τοι φρένες ἐσθλῶν», τουτέστιν εὐδιόρθωτοι. —ῥᾷον γὰρ ἐπανορθοῦνται οἱ σπουδαῖοι τὸ ἁμαρτηθέν—, ἐπιφέρει «ὑμεῖς δ’ οὐκέτι καλά», ἤγουν καλῶς, «μεθίετε θούριδος ἀλκῆς, πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν.

3.445 οὐδ’ ἂν ἔγωγε ἀνδρὶ μαχεσσαίμην, ὅς τις πολέμοιο μεθείη λυγρὸς ἐών, ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι. ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μεῖζον τῇδε μεθημοσύνῃ, ἀλλ’ ἐν φρεσὶ θέσθε ἕκαστος αἰδῶ καὶ νέμεσιν· δὴ γὰρ μέγα νεῖκος ὄρωρε». Καὶ ἔστιν αὕτη δευτέρα τῆς δημηγορίας ἀξίωσις. πρώτη δὲ ἦν τὸ «ἀλλ’ ἀκεώμεθα θᾶσσον». (v. 123 s.) Ἐφ’ οἷς ἀναμιμνήσκει καὶ ὡς «Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει καρτερός, ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα». Καὶ ὅρα ὅτι πρὸ τούτων ὀχῆας εἰπὼν νῦν ἑνικῶς ὀχῆα εἶπε, καὶ αὐτὸν μακρὸν τρόπῳ συλλογισμοῦ. δηλοῖ γὰρ οὕτω πυλῶν μέγεθος. (v. 101) Ἰστέον δὲ ὅτι τὸ «ἐφ’ ἡμετέρας ἰέναι νῆας» ἀντὶ τοῦ κατὰ τῶν ἡμετέρων νηῶν. ὃ καὶ σημείωσαι ὡς πολλαχοῦ χρήσιμον. οὕτω καὶ ἐπίρρητος παρὰ τοῖς ὕστερον, καθ’ οὗ ῥηθείη ἂν πολλά, καὶ ἐπίκλημα τὸ κατέγκλημα, καὶ ἐπέχειν ἐν Ὀδυσσείᾳ τὸ κατά τινος ἔχειν, ὃ καὶ ἐνέχειν λέγεται. (v. 102) Τὸ δὲ φυζακινόν ἐπίθετόν ἐστιν ἐλάφων κοινὸν διὰ τὸ ἑτοίμους αὐτὰς εἶναι εἰς φύζαν ἤγουν εἰς φυγήν. Τὸ δὲ «ἐοίκεσαν» Ἰωνικόν ἐστι, τὸ μέντοι Ἀττικόν, ἤδη δὲ καὶ κοινόν, ἐῴκεσαν. (v. 103) Τὸ δὲ θώων παρ’ ἡμῖν μὲν σεσημείωται ὡς ἀπὸ δισυλλάβου ἑνικῆς γενικῆς ὀξυτόνου βαρυνόμενον. θώς γὰρ θωός θώων, καθάπερ καὶ Τρώων, δμώων, λάων, δᾴδων, πάντων. Πάμφιλος δέ τις, ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται, περισπωμένως ἀνεγίνωσκε καὶ τὰ τοιαῦτα. Κἀκεῖνο δὲ ἰστέον, ὡς περὶ θώων ἱστοροῦντες οἱ παλαιοί φασι καί, ὅτι ζῷον ὁ θὼς ὑαίνῃ παραπλήσιον, οὗ ἡ βάδισις μετὰ ἅλματος. ὃ τεχθὲν ἅμα βαδίζει. πλανώμεθα οὖν οἱ τοὺς ἀγεννεῖς καὶ καρποφάγους λυκοπάνθηρας εἰς τοιούτους θῶας νοοῦντες, οἳ καὶ πρὸς λέοντα θρασύνονται. Ὅτι δὲ ἡ πόρδαλις παρ’ Ὁμήρῳ διὰ τοῦ ο παρὰ τὸ πορεύεσθαι ἁλλομένη, ἵνα ᾖ πρόαλις καὶ μεταθέσει καὶ πλεονασμῷ τοῦ δ πόρδαλις, καὶ ὡς ἡ ταύτης δορὰ διὰ τοῦ α λέγεται ἀεὶ παρδαλέη, ἑτέρωθι σεσημείωται, ὥσπερ καὶ τὸ πόθεν ἤϊα, τὰ κυρίως μὲν ἐφόδια ἢ ἄχυρα, ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἐν Ὀδυσσείᾳ φαίνεται, ἄλλως δὲ ἁπλῶς βρώματα, λέξις αὕτη φορτικὴ λογογράφοις, ἀλλαχοῦ δηλοῦται.

3.446 ῥητέον δὲ καὶ νῦν ὅτι τὰς τροφὰς ἤϊα λέγει ὁ ποιητὴς παρὰ τὸ εἴω, τὸ πορεύομαι, τὰ αἴτια τοῦ ζῆν καὶ προϊέναι, ὡς διϊκνούμενα ὅλου τοῦ σώματος, ὅθεν καὶ δαὶς ἔϊση, καὶ ναῦς δὲ ὁμοίως ἔϊση κατά τινας ἡ πορευτικὴ καὶ ταχεῖα. Καὶ ἄλλως δέ, ἤϊα τὰ βρώματα παρὰ τὸ ἔω, τὸ ὑπάρχω, ὡς αἴτια τοῦ εἶναι. (v. 104) Τοῦ δὲ αὔτως πλανᾶσθαι τὰς ἐλάφους ἑρμηνεία τὸ ἀνάλκιδες, ὡς τῶν ἐλάφων διὰ τὸ ἄναλκι μάτην οὕτω πλανωμένων. Τοῦ δὲ «ἠλάσκειν» πρωτότυπον τὸ ἀλῶ ἀλάσω καθ’ ὁμοιότητα τοῦ θνῶ θνήσω θνήσκω, βάσω βάσκω, τὸ λέγω, δάσω δάσκω καὶ ἀναδιπλασιασμῷ διδάσκω, καὶ τῶν ὁμοίων. (v. 106) Τὸ δὲ «οὐκ ἐθέλεσκον» ἀντὶ τοῦ οὐκ ἐδύναντο. σύνηθες δὲ Ὁμήρῳ καὶ οὕτω λαμβάνειν τὴν τοιαύτην λέξιν, ὡς καὶ προδεδήλωται, κατωτέρω δέ γε τὸ «ἀμυνέμεν οὐκ ἐθέλουσιν» ἄλλως εἴληπται. (v. 107) Τὸ δὲ «κοίλαις ἐπὶ νηυσίν» ἑρμηνεία ἐστὶ τοῦ «ἕκαθεν πόλιος». (v. 112) Τὸ δὲ «ἥρως Ἀτρείδης» ἐμφαίνει μὴ ἀληθῶς τὸν Ποσειδῶνα καταλέγειν τοῦ βασιλέως. οὐ γὰρ ἂν ἥρωα ἐκάλει τὸν ἐπίρρητον. τοῦτο δὲ καὶ διὰ τῆς ἀντιπαραστάσεως ὑποδηλοῖ. (v. 113) Τὸ δὲ «ἀπητίμησε» περιττὴν ἔχει καὶ αὐτὸ κειμένην τὴν πρόθεσιν, ὡς καὶ τὸ ἀπομηνίσας καὶ ἕτερα, περὶ ὧν προείρηται, ἐν οἷς καὶ τὸ ἀπελωβήθη παρὰ Σοφοκλεῖ. (v. 114) Ὅρα δὲ καὶ τὸ «ἡμέας γ’ οὔ πως ἔστι» τραχυφωνηθὲν καὶ [στιχηρὸν συνιζήσεως] πάθος ἔχον τῇ ἐπενθέσει τοῦ γε συνδέσμου ποιητικώτερον, καὶ ταῦτα ἐξὸν ὂν εἰπεῖν δακτυλικῶς «ἡμέας οὔπως ἔστι». Τὸ δὲ μεθιέναι ὅτι γενικὴν φιλεῖ παρὰ τῷ ποιητῇ σύνταξιν, οὐκ ἔστιν ἀμφιβαλεῖν, οὐδ’ ὅτι ἐξ αὐτοῦ ἡ μεθημοσύνη, λέξεις αὗται καίριαι ποιηταῖς.

3.447 διὸ ἐν τοῖς νῦν εἰρημένοις τέσσαρα μὲν κεῖνται τοιαῦτα σύστοιχα ῥήματα, τὸ μεθήσετε, τὸ μεθιέμεναι, τὸ μεθιέτε, καὶ τὸ μεθείη, δὶς δὲ ἡ μεθημοσύνη. (v. 115) Τὸ δὲ ἀκεῖσθαι ὅτι καὶ ἐπὶ ἀνυφαινομένων ἱματίων λέγεται, ὅθεν καὶ γυναῖκες ἀκέστριαι, καὶ ἐπὶ νηῶν δὲ περιποιουμένων, δῆλον καὶ ἐκ τῶν εἰς τὴν Ὀδύσσειαν. (v. 117) Τὸ δὲ «πάντες ἄριστοι ἀνὰ στρατόν» βαρὺ ὄνειδος ἀριστεῦσιν, εἰ τοιοῦτοι καὶ τοσοῦτοι ὄντες μεθίενται. ἴσως δὲ καὶ κολακείαν τὸ τοιοῦτον ἔχει τινά. [Ὃ καὶ σημείωσαι ὡς δέον ὂν ἐν καιρῷ καὶ κολακεύειν τοὺς ἄλλως ὀκνοῦντας πείθεσθαι, ὡς εἴπερ ἑτεροῖος καιρός, οὐκ ἂν ὤκνησεν εἰπεῖν καὶ ὁ Ποσειδῶν κατὰ τοὺς Αἴαντας «ὦ φίλοι, ὅς τ’ ἔξοχος, ὅς τε μεσήεις, ὅς τε χερειότερος», τοῦτο δὴ τὸ πρὸς ἀλήθειαν. ἀληθῶς γὰρ τοιοῦτοι ἀνὰ στρατόν, οὐ μὴν πάντες ἄριστοι.] (v. 118) Τὸ δὲ «μαχεσαίμην» ἀντὶ τοῦ ὀνειδιστικῶς λαλήσω ἢ μέμψομαι, οὐ γὰρ κυριολεκτεῖται ἡ λέξις ἐνταῦθα, καιριώτερον δὲ εἰπεῖν, ἀντὶ τοῦ νεμεσήσω, διὸ ἐπήγαγεν «ὑμῖν δὲ νεμεσσῶμαι», οὗπερ ἡ διφόρησις δήλη. καὶ νεμεσῶ γὰρ καὶ νεμεσῶμαι καθ’ ὁμοίαν σημασίαν λέγεται. (v. 120) Πέπονες δὲ νῦν οὐχ’ οὕτως οἱ φίλοι, ὡς οἱ ἔκλυτοι, καθὰ καὶ ἀλλαχοῦ κεῖται. τοιοῦτοι γὰρ οἱ μεθιέντες. Τὸ δὲ «κακὸν μεῖζον» προαναφωνητικῶς ἐρρέθη διὰ τὴν πλείω φυγὴν καὶ τὸ κατὰ τῶν νηῶν πῦρ. Αἰδοῦς δὲ καὶ νεμέσεως ἡ μὲν αἰδὼς ἐξ ἡμῶν αὐτῶν, ἡ δὲ νέμεσις ἐξ ἄλλων, πρὸς οὓς τὴν αἰδῶ ἔχομεν [ἐν ὀφθαλμοῖς οὖσαν, κατὰ τὸ «αἰδὼς ἐν ὀφθαλμοῖς». ὅπερ σημείωσαι διὰ τὴν ἐπιχωριάζουσαν τοῖς ἄρτι παράχρησιν. Ἀριστοτέλους γὰρ φιλοσοφώτατα παραδομένου οἰκητήριον αἰδοῦς εἶναι τοὺς ὀφθαλμούς, οἱ μετ’ αὐτὸν παρήγαγον τὸ νόημα εἰς παροιμίαν ἀστείαν τὴν «αἰδὼς ἐν ὀφθαλμοῖς», ἤγουν αἰδούμεθα οἱ πολλοὶ τῶν ἀνθρώπων οὐκ ἀεί, ἀλλ’ ἕως ἄν τινας βλέπωμεν.] εἴρηται δὲ περὶ αὐτῶν καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. (v. 123) Τὸ δὲ «βοὴν ἀγαθός», ὅ ἐστι μάχην ἢ κραυγήν, ὅθεν καὶ τὸ αὐτοβοεί ἐπίρρημα γίνεται, ὀνειδιστικῶς ἔχει, ὡς τοῦ μὲν Ἕκτορος πολεμιστοῦ ὄντος ἀγαθοῦ, τῶν δὲ Ἑλλήνων ἄρτι οὐ τοιούτων ὄντων. (v. 125) Ἐνταῦθα δὲ καὶ τὸ «κελευτιόων» κεῖται, δηλοῦν σαφῶς ὡς ἐπὶ δημηγορίας ὀτρυντικῆς λέγεται. Φησὶ γὰρ ἐν σχήματι συμπληρωτικῷ «ὥς ῥα κελευτιόων γαιήοχος ὦρσεν Ἀχαιούς».

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.448 [Καὶ ὅρα ὡς οἱ μὲν ὕστερον κελευστόν οἴδασι διὰ τοῦ σίγμα, ὡς δῆλον καὶ ἐκ τοῦ αὐτοκέλευστον, οἱ δ' αὐτοὶ καὶ γνωστόν φασιν, Ὅμηρος δὲ ὥσπερ γνωτόν, οὕτω καὶ κελευτιόων δίχα τοῦ σίγμα λέγει.] (v. 126—8) Ὅτι «ἀμφὶ Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες καρτεραί, ἃς οὔτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθών», ἤγουν συνελθών, «οὔτε κ' Ἀθηναίη λαοσσόος», οἱ τῇ μάχῃ ἐπιστατοῦντες, ἀλλὰ δηλονότι θαυμάσειεν, ὁ μὲν Ἄρης τῆς ἀνδρίας καὶ τοῦ θάρσους, ἡ δὲ Ἀθηνᾶ τῆς συνέσεως. Ἐπίκρισις δὲ [εὐειδὴς διὰ τὴν ἀπόφασιν] τὸ σχῆμα, εἰδότος τοῦ ποιητοῦ, ὡς ἄριστα διασκευάσει τὰ κατὰ τὴν ναυμαχίαν. (v. 128—33) Εἶτα καὶ ἐκφράζων τὴν τοιαύτην σύνταξιν εὐτέχνως τε συγκεκροτημένην καὶ ἀνδρείως φησὶν «οἱ γὰρ ἄριστοι κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνῳ· ἀσπὶς ἄρ ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ, ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι νευόντων». Εἶτα καὶ ἐπιφωνηματικῶς δηλῶν ἐν κόμματι τὸ εἶδος τῆς παρατάξεώς φησιν «ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι». πάνυ γὰρ πολλὴ ἡ τοιαύτη πυκνότης. διὸ καὶ ὁ ποιητὴς αὐτὴν ἐπισημηνάμενός φησιν ὑποκαταβὰς καὶ ὅτι ὁ Ἕκτωρ πυκιναῖς ἐνέκυρσε φάλαγξι. Καὶ ἐῴκει, φασίν, ἡ τάξις αὕτη πύργῳ. διὸ καὶ Ἕκτωρ μετ' ὀλίγα φησὶ «μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες», ὅ ἐστιν ἀσφαλῶς διὰ τῆς πυκνώσεως. Εἰκάζεται δὲ πύργῳ ἡ τοιαύτη σύνταξις, ἴσως μὲν διὰ τὴν ἐρείδουσαν ἐπάλλαξιν τῆς τε τῶν ὅπλων συνθέσεως καὶ τῆς τῶν στρατιωτῶν στάσεως ἐοικυῖαν λίθων συνθέσει, δι' ὧν πύργος γίνεται, ἴσως δὲ καὶ διὰ τὸ ἐν ἑτερομήκει τετραγώνῳ, τουτέστιν, ὡς καὶ ἀλλαχοῦ ἐγράφη, ἐν πλινθίου σχήματι, ἐπιστοιβασθῆναι τὴν σύνταξιν. Φασὶ γὰρ οἱ παλαιοὶ οὕτω πως διατετάχθαι αὐτούς. οἱ μὲν πρωτοστάται κατὰ τὸ μέτωπον προβεβλημένα εἶχον τὰ δόρατα, κατόπιν δὲ οἱ δευτεροστάται κατὰ δεξιὰ πλευρὰ τῶν πρωτοστατῶν παραβεβλημένοι δόρατα μείζω δυσὶ πήχεσι, καὶ οἱ τρίτοι ὀπίσω ἔτι παρ' ἀμφοτέρους μείζοσι δόρασι τὴν αὐτὴν τάξιν πληροῦντες, ὥστε τρεῖς ἀκμὰς ἔχειν τὰ τοῦ μετώπου προεξέχοντα δόρατα. τέταρτοι μέντοι καὶ πέμπτοι τὰς αἰχμὰς εἶχον ὀρθάς, ὡς ἂν εἴ που κενωθείη ἡ τάξις, αὐτοὶ τὸ λεῖπον ἀναπληροῖεν. καὶ ἦν, φασίν, οὕτως ἡ τάξις ἀμφίστομος. Ἰστέον δὲ ὅτι ἐν τῇ τοιαύτῃ τάξει συνέφραττον μὲν οἱ στρατιῶται φαλαγγηδὸν ἐν τῷ ἵστασθαι, εἰς μάχην μέντοι συμβάλλοντες διέλυον τὴν φάλαγγα. πῶς γὰρ ἦν ἄλλως ὁρμᾶν αὐτοὺς καὶ ὑποχωρεῖν καὶ σκυλεύειν, εἴπερ ἐπὶ σχήματος μένοντες ἀεὶ ἐν τῷ αὐτῷ ἦσαν ἀμετακινήτως πυκνώματι;

3.449 ἐφυλάττετο οὖν ἡ πυργοειδὴς σύμφραξις, ὅτε μόνον ἀνάγκη στάντας τὴν μάχην ἀναδέχεσθαι. Ἑρμόλυτος δὲ ὁ τακτικός φησιν, ὅτι Λυκοῦργος μὲν ἐνομοθέτησε Λακεδαιμονίοις ὕστερον τὸν τοιοῦτον συνασπισμόν, Λύσανδρος δὲ ὁ Λάκων ἐν ἔργοις αὐτὸν ἐδίδαξε, καθὰ καὶ Ἐπαμινώνδας Θηβαίους καὶ Χαρίδημος Ἀρκάδας τε καὶ Μακεδόνας. Ὅρα δ' ἐν τῷ ῥηθέντι χωρίῳ καὶ τὰ συχνὰ κόμματα καὶ τὸ ἐν αὐτοῖς ἀσύνδετον, τὸ δόρυ δουρί, σάκος σάκεϊ, ἀσπὶς ἀσπίδα, κόρυς κόρυν, συντροχάζοντος τοῦ λόγου τῇ τοῦ ἔργου σπουδῇ. (v. 126) Φάλαγξ δὲ οὐ μόνον στρατιωτικὸν σύστημα, ὅπερ καὶ μόνον τῆς λέξεως ταύτης οἶδε σημαινόμενον ὁ ποιητής, ἀλλὰ καὶ ὁ ἀράχνης παρὰ τοῖς ὕστερον, οὐ μόνον ὁ μείζων, ἀλλὰ καὶ ὁ ὑποκοριζόμενος εἰς φαλάγγιον, ὡς δηλοῖ καὶ Ξενοφῶν ἐν τοῖς κατ' αὐτὸν Ὑπομνημονεύμασι. Τῆς δὲ τοιαύτης φάλαγγος συχναὶ μὲν αἱ χρήσεις, Αἴλιος δὲ Διονύσιος παράγει τοιαύτην ἐκ τοῦ Κωμικοῦ Πλάτωνος «ἐοίκασιν ἡμῖν οἱ νόμοι τοῖσι λεπτοῖς ἀραχνίοις, ἃ τοῖσι τοίχοις ἡ φάλαγξ ὑφαίνει». Τὴν δὲ τοιαύτην ἔννοιαν οἱ πλείους εἰς τὸν Σκύθην ἀνάγουσιν Ἀνάχαρσιν. Ἰστέον δὲ ὅτι ἐν μὲν τῷ «Ἀτρεΐδα δύο», καὶ τοῖς ὁμοίοις, ἐκ περισσοῦ παράκειται τὸ δύο, ἐνταῦθα δὲ τὸ δοιοὺς καλῶς κεῖται μετὰ τοῦ Αἴαντας διὰ τὸ πληθυντικῶς καὶ μὴ πρὸς δυάδα σαφῶς ἐσχηματίσθαι αὐτούς. τοιοῦτον δὲ καὶ τὸ «δοιοῖς ἐπεύξεαι Ἱππασίδαισι». (v. 127 s.) Τὸ δὲ «οὔτ' ἂν Ἄρης ὀνόσαιτο οὔτ' Ἀθηνᾶ» σεμνότερόν ἐστι τοῦ ἐν τῇ δ' ῥαψῳδίᾳ, ἔνθα ἔφη, ὡς οὐκ ἄν τις ἔργον ἀνὴρ ὀνόσαιτο μετελθών, καὶ ἑξῆς. ἐκεῖ μὲν γὰρ οὐκ ἄν τινα θνητὸν μέμψασθαι τὸ ἔργον

φησίν, ἐνταῦθα δὲ ἀθανάτοις ἀμεμφῆ τὰ κατὰ τοὺς Αἴαντας εἶναι λέγει. ἐπαινεῖ δὲ ὁ ποιητὴς ἐκεῖ μὲν τὸ τηνικαῦτα τοῦ πολέμου δραστήριον, ἐν ᾧ πολλοὶ Τρώων καὶ Ἀχαιῶν ἔπεσον, ἐνταῦθα δὲ μόνην τὴν κατὰ τοὺς Αἴαντας παράταξιν, σεμνύνων κατ’ ἐξαίρετον τούτους τοὺς ἥρωας. Λαοσσόος δὲ τί ποτέ ἐστιν, ἑτέρωθι δηλοῦται σαφῶς. (v. 129) Τὸ κρινθέντες, ὥσπερ που καὶ τὸ κλινθέντες, φυσικῶς μὲν οὐκ ἐκβάλλει τὸ ἀμετάβολον, ἀσυνήθως δὲ ὅμως τῇ κοινῇ χρήσει. αὐτὴ γὰρ κριθέντες καὶ κλιθέντες φράζει. ἐξοχὴ δὲ κἀνταῦθα Ἕκτορος τὸ «Τρῶάς τε καὶ Ἕκτορα».

3.450 (v. 130) Τὸ δὲ «φράξαντες» τοὺς μεθ’ Ὅμηρον φρακτικοὺς καὶ καταφράκτους ὁπλίτας παρήγαγε. Δηλοῖ δὲ ἡ λέξις τὸ πυκνῶσαι, ἀφ’ οὗ καὶ οἱ τῶν γηδίων φραγμοί. Προθέλυμνον δὲ σάκος τὸ πυκνὸν καὶ ἀλλεπάλληλον καὶ ἐν ᾧ ἐστι τὸ ἄλλο πρὸ ἄλλου τεθεῖσθαι. (v. 131) Ἐν δὲ τῷ «ἀσπὶς ἀσπίδ’ ἔρειδε» καὶ ἑξῆς, ἐξαλλαγή ἐστι σχήματος. τὸ μὲν γὰρ ἀκόλουθον τῆς συντάξεως ἦν «φράξαντες δόρυ δουρί, [ἀσπίδα ἀσπίδι,] σάκος σάκεϊ, κόρυν κόρυθι, ἄνδρα δὲ ἀνδρί», ὁ δὲ ποιητὴς μετὰ τὸ σάκος σάκεϊ ἀλλοιοῖ τὸ σχῆμα διὰ τὸ σαφέστερον, ἤδη δὲ καὶ ποικιλίας χάριν, καὶ ἀντὶ τοῦ φράξαι λαβὼν τὸ ἐρείδειν, μεταλαβὼν δὲ καὶ τὸ σάκος εἰς ἀσπίδα, καὶ οὕτω ταὐτολογήσας φησὶν «ἀσπὶς ἀσπίδ’ ἔρειδε» καὶ ἑξῆς. δῆλον γὰρ ὡς ταὐτὰ μὲν τὸ ἔφραξαν σάκος σάκεϊ καὶ τὸ ἀσπὶς ἀσπίδ’ ἔρειδε, σαφέστερον δὲ τοῦτο ἐκείνου. Ὅτι δὲ τὸ φράξαι καὶ τὸ ἐρεῖσαι σύντροχά εἰσιν ἀλλήλοις, δηλοῖ καὶ φραγμὸς ὁ πύκνωσιν ξύλων ἔχων τῶν μὲν ὀρθῶν, τῶν δὲ ἐγκαρσίων, ἐρειδόντων πρὸς ἄλληλα. Ἰστέον δὲ καὶ ὅτι ἡ κόρυς ἐκίνησε καὶ τὴν τοῦ κράνους παραγωγήν. ὡς γὰρ αὕτη ἐκ τοῦ κάρα, οὕτως ἐκεῖνο ἐκ τοῦ κρανίου. (v. 132) Τὸ δὲ «ἱππόκομοι κόρυθες» κανονικῶς προπαροξύνεται οὕτω. Τὰ εἰς η λήγοντα θηλυκά, συντεθέντα καὶ μεταβαλόντα τὸ τέλος εἰς ος , προπαροξύνονται, οἷον φωνή ἄφωνος, αὐδή ἄναυδος, κόμη ἱππόκομον. τὸ δὲ ἱπποκόμος, ὃ δηλοῖ τὸν ἐπιμελητὴν τῶν ἵππων, οὐ παρὰ τὴν κόμην γέγονεν, ἀλλὰ τὸ κομεῖν τῇ τοιαύτῃ λέξει ἔγκειται, ὡς δηλοῖ Ὅμηρος εἰπὼν «Νεστορέας ἵππους θεράποντε κομείτην». [Δῆλον δ’ ὅτι κόμη οὐ μόνον ἐπὶ ἀνθρώπου, ἀλλὰ καὶ ἐπὶ ἵππου, ἀφ’ ἧς καὶ ἡ ἱππόκομος κόρυς. εἰκὸς δὲ καὶ διὰ τὴν ἐπὶ κεφαλῆς ἀνθρωπίνης κόρυν σεμνολογεῖσθαι εἰς κόμην τὴν τρίχα, ἐξ ἧς ἵπποι καλλίτριχες.] Φάλοι δὲ κατά τινας τῶν παλαιῶν συρίγγιά τινα ἐπὶ τῶν μετώπων, εἰς ἃ καθίεντο οἱ λόφοι. καὶ ἔστι μὲν ἀμήχανον κόρυθας ψαύειν ἀλλήλων φάλοις, νευόντων δὲ τῶν φορούντων αὐτὰς γένοιτ’ ἂν ποτε ἡ τοιαύτη ψαῦσις, καὶ μάλιστα ἐν πολλῇ πυκνότητι. εἴρηται δὲ περὶ φάλων καὶ ἀλλαχοῦ. (v. 134) Ὅτι τὸ «ἔγχεα δ’ ἐπτύσσοντο θρασειάων ἀπὸ χειρῶν σειόμενα» εὐλύγιστα εἶναι δηλοῖ τὰ τοιαῦτα ἔγχεα, ὡς καὶ μικροῦ δεῖν πτύσσεσθαι, ὅ ἐστι διπλοῦσθαι ἐν τῷ ἀμπεπαλόμενα σείεσθαι.

3.451 Ὅτι δὲ πτύσσειν λέγεται τὸ διπλοῦν, δῆλον καὶ ἐκ τοῦ «πτύξασα καὶ ἀσκήσασα χιτῶνα». [Τοῦ δὲ τοιούτου πτύσσειν παράγωγον καὶ ἡ πτύξ καὶ ἡ τραγικὴ πτυχή καὶ περιπτυχή καὶ τὸ πύκα δέ, ὅπερ ἐστὶ πυκνῶς, ἐξ οὗ καὶ ὁ πύξος πυκνότατος ὤν. τοῖς γὰρ πυκνουμένοις ἐπιπίπτειν στεγανῶς δοκεῖ τὰ μόρια ὡς μὴ ἔχειν ἀραίωσιν. Ἐξ οὗ δὴ πίπτειν δοκεῖ εἶναι τὸ πτύσσειν κατὰ παραγωγήν, ἵνα ᾖ ὡς ὄρω ὀρύσσω, ἀμῶ ἀμύσσω, οὕτω καὶ πτῶ πτύσσω. ἐπιπίπτει γὰρ ἀλλήλοις τὰ διπλούμενα. ὅθεν καὶ πτύχες ὀστρέων καὶ πτύγμα πέπλου καὶ πτυχίον ἐπὶ βίβλου καὶ ὅσα τοιαῦτα.] (v. 135) Ὅτι τὸ «ἰθὺς φρονέων», ὅπερ ἀλλαχοῦ φησιν ὁ ποιητής, διασαφῶν ἐνταῦθα καὶ εἰπὼν ὁμοίως «οἳ δ’ ἰθὺς φρόνεον» ἐπάγει ἑρμηνεύων «μέμασαν δὲ μάχεσθαι», οἱονεὶ λέγων ὡς ταὐτόν ἐστιν εἰπεῖν ἰθὺς φρονεῖν καὶ προθυμεῖσθαι εἰς ἀντιπρόσωπον μάχην. ὁ γὰρ μὴ φρονῶν ἰθύς, ὅ ἐστιν ἀντικρὺ καὶ πρὸς εὐθύ, ἐκεῖνος ἢ πλαγιάζει ἢ ὀπίσω τρέπεται. τὰ δὲ τοιαῦτα οὐκ ἔστι μάχεσθαι. σαφεστέρα δὲ ἑρμηνεία τοῦ ἰθὺς φρονεῖν τὸ ἀντικρὺ προθυμεῖσθαι, ὃ μετ’ ὀλίγα φράζει ὁ ποιητὴς ἐν τῷ «ἀντικρὺ μεμαώς». (v. 136) Ὅτι τὸ «Τρῶες δὲ προὔτυψαν ἀολλέες» ἀντὶ τοῦ προέκρουσαν, προενέβαλον εἰς πόλεμον. καὶ ἐχρῆν οὕτω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γενέσθαι. οἱ γὰρ Ἀχαιοὶ οὐκέτι ὁρμῶσιν, ἀλλ' ἱστάμενοι μένουσι τοὺς προκρούσοντας. (v. 136—48) Ὅτι σεμνύνων παραβολικῶς τὸν Ἕκτορα ὡς αὐτὸν μόνον ἀνδραγαθιζόμενον κατ' ἐξαίρετόν φησιν «ἦρχε δ' ἄρ Ἕκτωρ ἀντικρὺ μεμαώς, ὀλοοίτροχος ὣς ἀπὸ πέτρης, ὅν τε κατὰ στεφάνης ποταμὸς χειμάρροος ὤσει, ῥήξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἔχματα πέτρης· ὕψι δ' ἀναθρῴσκων πέτεται, κτυπέει δέ θ' ὑπ' αὐτοῦ ὕλη, ὃ δ' ἀσφαλέως θέει ἔμπεδον, ὄφρ' ἂν ἵκηται ἰσόπεδον, τότε δ' οὔ τι κυλίνδεται ἐσσύμενός περ· ὣς Ἕκτωρ εἵως μὲν ἀπείλει μέχρι θαλάσσης ῥεῖα δ' ἐλεύσεσθαι κλισίας καὶ νῆας Ἀχαιῶν, κτείνων. ἀλλ' ὅτε δὴ πυκινῇς ἐνέκυρσε φάλαγξιν, στῆ ῥα μάλ' ἐγχριμφθείς· οἳ δ' ἀντίοι υἷες Ἀχαιῶν νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν ὦσαν ἀπὸ σφείων», ἤγουν ἀπ' αὐτῶν. Εἶτα διασαφῶν τὸ ὦσαν ἐπάγει «ὃ δὲ χασάμενος πελεμίχθη», ὃ πολλαχοῦ κεῖται.

3.452 Καὶ σημείωσαι καὶ ταύτην τὴν παραβολὴν προσφυῶς ἔχουσαν οἷς παρελήφθη. οὐ μόνον γὰρ ὑψόθεν ἐκ Διός, ἀλλὰ καὶ ἐξ Ἰλίου ἠνεμοέσσης καταρραγεὶς ὡς ὀλοοίτροχος ὁ Ἕκτωρ ἄτρομος καὶ ἄτρεπτος θέει δεινὰ ποιῶν, ἕως γενόμενος τοῦ ναυστάθμου ἵσταται καὶ οὐκέτι πῆμα τοῖς Ἀχαιοῖς κυλίνδεται, ὅπερ ἀλλαχοῦ ἐρρέθη περὶ αὐτοῦ. Σημείωσαι δὲ [πρῶτα μὲν τὴν ὅλην φράσιν ἕως τοῦ «ἐσσύμενός περ» ἐν ἑπτὰ ἔπεσι λίαν σκληρῶς ἐκτεθειμένην καὶ ῥοιζοῦσαν, ὡς οὐκ ἂν τραχύτερον φράσοι τις, ἀναλόγως τῇ ὑποκειμένῃ τῆς ὑποθέσεως δεινότητι, ὡς μὴ πρέπον ὂν ἐν πράξεσι πενθίμοις καλλιλογεῖν, εἶτα καὶ ὅτι διχῶς ἔφρασεν ὁ ποιητὴς ἐν τούτοις τὸ αὐτὸ νόημα, τὸ μὲν συντομώτατα καὶ διὰ τοῦτο ἀσαφῶς, τὸ δὲ ἐνδιασκεύως διὰ σαφήνειαν. Τὸ γὰρ «ὀλοοίτροχος ὣς ἀπὸ πέτρης» ὅλη ἐστὶ παραβολὴ ἀσαφὴς διὰ συντομίαν καὶ ἀδιάσκευος. ὅθεν διὰ σαφήνειαν ἐνδιασκεύως εὐθὺς ἔφρασε τὸ «ὃν κατὰ στεφάνης» καὶ τὰ ἑξῆς, μεταχειρισάμενος τὸ παχὺ τῆς κατὰ τὸν ὀλοοίτροχον γοργῆς παραβολῆς καὶ οἷον λατομήσας καὶ ἀπολεπτύνας εἰς τὸ σαφέστερον. Καλῶς δέ, φασί, τὴν βάρβαρον καὶ ἄλογον τοῦ Ἕκτορος ὁρμὴν ἀψύχῳ εἴκασε βάρει κυλινδομένῳ αὐτομάτως. ἑτεροκίνητος γάρ πως καὶ ὁ Ἕκτωρ ὡς ἐκ Διὸς ἔχων ἄνωθεν τὰς ῥοπὰς τοῦ νικᾶν. (v. 137) Ἰστέον δὲ ὅτι ἐν τοῖς ῥηθεῖσι τὸ μὲν «ἀντικρὺ μεμαώς» ὅμοιόν ἐστι τῷ «ἰθὺς φρονεῖν», ὃ πρὸ ὀλίγου ἐγράφη, τὸ δὲ ὀλοοίτροχος ἔχει μὲν πλεονασμὸν τοῦ ἰωτα , [ὅμοιον πρὸς τὸ ὁδοιδόκος καὶ ὁδοιπόρος, οὐ διὰ μέτρον, ἀλλὰ πρὸς ἀποφυγὴν τῶν ἀλλεπαλλήλων ο χάριν εὐφωνίας μόνης.] Καὶ εἰ μὲν ψιλοῦται κατά τινας, δηλοῖ τὸν ὀλοὸν ἐν τῷ τρέχειν, εἰ δὲ καθ' ἑτέρους δασύνεται, σημαίνει τὸν ὅλον τροχοειδῆ καὶ πανταχόθεν ἀστήρικτον. Δημόκριτος δέ, φασί, τὸ κυλινδροειδὲς σχῆμα οὕτω καλεῖ, λαβὼν ἴσως ἀρχὴν ἐκ τοῦ «οὔ τι κυλίνδεται ἐσσύμενός περ». Ἡρόδοτος δὲ τετρασυλλάβως ὀλοίτροχον πέτρον λέγει, ὃς λειαίνεται κατασυρόμενος ἐν τῇ πρὸς ἄλλους προστρίψει, λέγων που καὶ ὅτι προσιόντων τῶν βαρβάρων πρὸς τὰς πύλας ὀλοιτρόχους ἀφίεσαν. Ἐλλιπῶς οὖν εἴρηται παρὰ τῷ ποιητῇ ὀλοοίτροχος. λείπει γὰρ τὸ λίθος ἢ πέτρος, νοούμενον κατὰ κοινοῦ ἐκ τοῦ ὡς ἀπὸ πέτρης. τὸ γὰρ τῆς πέτρας ἀποτμηθὲν λίθος πάντως ἐστί. Πέτραν δὲ λέγει τὸ ὄρος, ἐξ οὗ ὡς ἐν ὑποθέσει ὀλοοίτροχος ὄμβρῳ πολλῷ, οἷα εἰκός, ἀπορραγεὶς ἵεται κατὰ γῆς.

3.453 Καὶ ἔστι πιθανὸν τὸν τροχοειδῆ καί, ὡς εἴρηται, ἀστήρικτον καὶ σημείοις ὀλίγοις ἄνω βεβηκότα διὰ τὸ οἷον σφαιροειδὲς ταχὺ ἀπορραγῆναι τοῦ πρὸς τῇ ῥηθείσῃ πέτρᾳ ἔχματος. ὁ γὰρ ἄλλως κατὰ πλατὺ ἐπίπεδον ἐχόμενος τῆς ὀρεινῆς πέτρας λίθος οὐκ ἂν ῥᾳδίως οὔτε ἀποκινηθείη αὐτῆς οὔτε πετόμενος κατακυλισθείη εἰς γῆν. (v. 138) Στεφάνην δὲ ἢ τὴν τοῦ ὄρους ἐξοχήν φησιν ἢ κατά τινας τὴν πλατύτητα. ὅθεν καὶ ἡ κοινὴ φράσις στεφαναίαν τινὰ πέτραν καλεῖ. Τὸ δὲ «ποταμὸς χειμάρροος» παρακείμενόν τε καὶ νῦν ἔχει τῷ γένει τὸ εἶδος, ὁμοίως τῷ βοῦς ταῦρος καὶ τοῖς ὁμοίοις, καὶ ἐντελῶς δὲ πέφρασται. ὅτε μέντοι μόνον χειμάρροος λεχθῇ, λείπει τότε τὸ ποταμός. Ἐκ δὲ τοῦ χειμάρροος, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, κραθέντος μὲν ὁ χειμάρρους γίνεται, ἀποκοπέντος δὲ ὁ χείμαρρος. Τὸ δὲ «ὤσει» τὴν προκειμένην κατα πρόθεσιν οἰκειωσάμενον γίνεται καταώσει, τουτέστι καταρρίψει, καὶ ἔχει ἔμπαλιν πρὸς τὸ «λάαν ἄνω

ὤθεσκεν», ἐξ οὗ σύγκειται τὸ ἀνωθεῖν, ἀντικείμενον πρὸς τὸ κατωθεῖν, ὧν γενικώτερον τὸ ὠθεῖν καὶ προωθεῖν. (v. 139) Τοῦ δὲ «ῥήξας», ὅ ἐστιν ἀποκόψας, οὐκ ἔστιν οὐδ' ἐνταῦθα καιριωτέραν λέξιν εὑρεῖν. Τὸ δὲ «ἀσπέτῳ ὄμβρῳ» ὑπογραφήν τινα τοῦ χειμάρρου παραλαλεῖ. χείμαρρος γάρ ἐστιν ἀσπέτου ὄμβρου ῥεῦμα, ὁτεδήποτε γινομένου, καὶ οὐ μόνον ἐν χειμῶνι. Τὸ δὲ «ἀναιδέος», καθὰ καὶ ἐν ἄλλοις δηλοῦται, ἀφελῶς καὶ οὕτω γλυκέως ὡς ἐπὶ ἐμψύχου εἴρηται, καθά που καὶ ἐπὶ σιδήρου τὸ ἀνηλεής. ἐψύχωσε γὰρ ἐνταῦθα τὴν πέτραν ὥσπερ καὶ τὸν ὀλοίτροχον, ἀναθρῴσκοντα εἰπὼν αὐτὸν καὶ πετόμενον καὶ θέοντα καὶ ἐσσύμενον. ἐμψύχων γὰρ καὶ τὰ τοιαῦτα. Ἔχματα δὲ αἱ τοῦ ὀλοοιτρόχου λίθου συνοχαί, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, πρὸς τὴν πέτραν, τὸ ὄρος. Γίνεται δὲ ἀπὸ τοῦ ἔχω, τὸ συνέχω, καὶ δηλοῖ συνοχήν, ἣν ῥήξας ὁ πολὺς ὄμβρος κατέρρηξε τὸν ὀλοοίτροχον. προϋπάρχει δὲ αὐτοῦ ὁ ἐχμός, ἐξ οὗ τὸ ἔχμα, ὁμοίως τῷ δεσμός δέσμα ἐν Ὀδυσσείᾳ, καὶ βρεχμός βρέγμα.

3.454 ἔστι δὲ ὁ μὲν ἐχμὸς ἄχρηστος, ὁ δὲ ἐξ αὐτοῦ συνεοχμὸς χρηστός που τῷ ποιητῇ. (v. 141) Τὸ δὲ «θέει» ἔχει τι ἀστειότητος τῆς κατὰ ἰδέαν γλυκύτητος, εἴπερ ἄλλως μὲν λίθος λέγεται παρὰ τὸ λίαν τεθεῖσθαι ὡς ἄψυχος καὶ βαρύς, ὁ δὲ ὑποκείμενος ὀλοοίτροχος λίαν θέει. Ἀκόλουθον δὲ τῷ θέειν καὶ τὸ ἀσφαλέως, ἐπεὶ κυρίως ἀσφαλέως θέειν λέγεταί τις, ὅτε ἀπροσκόπτως τρέχει. Νοητέον δὲ ὅτι τὸ μὲν ὕψι ἀναθρῴσκειν καὶ τὸ μὴ ἀσφαλέως θέειν, ἴσως δὲ καὶ τὸ πέτεσθαι καὶ κτυπεῖν [καὶ τὸ ἐσσύμενος] πάθη τοῦ ὀλοοιτρόχου μάλιστά εἰσιν, ὅτε κυλίνδεται ἀπορραγεὶς τῆς πέτρας. Τὸ δέ γε ἀσφαλέως θέειν ἔχει, ὅτε τοῦ ἰσοπέδου γένηται καὶ οὐκέτι κυλίνδεται. [Ἐν οἷς τὸ πέτεσθαι συντελεῖ πάντως, ἔνθα καὶ πρὸ τούτων εἴρηνται λίθοι πέτεσθαι θαμειαί.] Τὸ δὲ «θέει ἔμπεδον ἕως ἵκηται ἰσόπεδον» σῶφρον ἔχει κάλλος τῇ παρισώσει τοῦ ἔμπεδον ἰσόπεδον. (v. 143) Τὸ δὲ «εἵως μέν», καθὰ καὶ ἐν τῇ πρὸ ταύτης ῥαψῳδίᾳ, οὐ συνήθως εἴληπται ἀλλ' ἀντὶ τοῦ τέως καὶ μέχρι τινός. Ἰστέον γὰρ ὅτι τὸ ἕως δηλοῖ μὲν καὶ τὸ ἄχρις οὗ, οἷον· ἕως ἂν σὺ τόδε τι ποιήσῃς, μενῶ. λαμβάνεται δὲ ὡς νῦν καὶ ἐπὶ τοῦ τέως, καὶ πλεονασμῷ τοῦ ι γίνεται εἵως, ὡς καὶ τὸ τέως τείως. εὕρηται δέ ποτε παρὰ τῷ ποιητῇ καὶ ἀντὶ τοῦ ὡς, ὃ δηλοῖ τὸ ὅπως, πλεονάσαντος Ἀττικῶς τοῦ ε . (v. 146) Τὸ δὲ «μάλα ἐγχριμφθείς» ταὐτὸν μέν ἐστι τῷ «ἐν χρῷ τοῖς πολεμίοις γενόμενος». Γίνεται δέ, ὥσπερ ἐκ τοῦ ῥῶ τὸ ῥίπτω, οὕτω καὶ αὐτὸ ἐκ τοῦ χειρῶ χρῶ χρίπτω, καὶ πλεονασμῷ συνήθει δι' εὐφωνίαν χρίμπτω ὁμοίως τῷ σκίμπτω, ὃ παρὰ Πινδάρῳ κεῖται, ἀφ' οὗ ὁ σκίμπους. Πολὺ δὲ θάρσος δηλοῖ Ἕκτορος τὸ μάλα ἐγχριμφθέντα τοῖς ἐναντίοις στῆναι, ὥσπερ αὖ πάλιν ἀνδρίαν δείκνυσι τῶν ἀντιπάλων τὸ ὦσαι βιαίως αὐτὸν ἀπὸ σφείων, ὡς εἴρηται. (v. 147) Ἐν δὲ τῷ «νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι» τὸ μὲν κάλλος τῶν παρισώσεων ἱλαρύνει τὸ ἐν τοῖς ἔργοις σκυθρωπόν.

3.455 Ἀμφίγυα δὲ λέγει ἔγχη ἢ τὰ ἀμφοτέρωθεν ἐπάγοντα γόον ἀπό τε τῆς ἔμπροσθεν αἰχμῆς καὶ τοῦ ἐν τῷ πέρατι σιδηρέου στύρακος, ὡς οἱονεὶ ἀμφίγοα, καὶ Αἰολικῶς ἀμφίγυα, ἢ τὰ ἀμφοτέρωθεν [γυιῶσαι, ὅ ἐστι βλάψαι, δυνάμενα ὡς ἀμφίστομα, ἢ τὰ ἀμφοτέρωθεν] ἐνεργὰ καὶ πρακτικά, παρὰ τὰ γυῖα, ὃ καὶ χεῖρας δηλοῖ, ὡς πρὸ ὀλίγων εἴρηται. γυῖα γὰρ ὡσανεὶ δόρατος ὁ πρὸς τοῖς ἄκροις ἐνεργὸς σίδηρος. τὰ μέντοι ναυμάχα οὐκ ἀμφίγυα κατὰ τοὺς παλαιούς, ἀλλὰ κατὰ στόμα μόνον ἐκεκάλυπτο χαλκῷ μὴ ἔχοντα στύρακα. ἄλλοι δὲ ἀμφίγυα εἶπον τὰ ἀμφοτέροις γυίοις, ὅ ἐστι χεροῖν ἀμφοῖν, τοῖς τῶν πολεμίων ἐπερειδόμενα σώμασι. (v. 148) Τοῦ δὲ «σφείων» πρόεστι τὸ σφέων, ὡς τοῦ τείως καὶ εἵως τὸ τέως καὶ ἕως, αὐτοῦ δὲ πάλιν προϋπάρχει τὸ σφῶν. (v. 144) Ἐν δὲ τῷ «ῥεῖα δ' ἐλεύσεσθαι» εἰς οὐδὲν δέον κεῖται ἀγλευκῶς ὁ δε σύνδεσμος ἀντὶ τοῦ δή, [ἴσως δὲ καὶ κατὰ τὸ οἶκονδε.] (v. 145) Ἐν δὲ τῷ «κτείνων» ἐκ κοινοῦ νοητέον τὸ Ἀχαιούς, ἵνα μὴ ἄλλως ὁ σχεδιασμὸς κλισίας καὶ νῆας ἐρεῖ κτείνεσθαι. (v. 149) Ὅτι εὐρυβόαν ὑπογράφει στρατηγὸν τὸ «ἤϋσε δὲ διαπρύσιον γεγωνώς», ὃ περὶ Ἕκτορος εἴρηται. Τί δὲ τὸ διαπρύσιον, καὶ ὅθεν κανονίζεται ἡ γεγωνώς μετοχή, προδεδήλωται. Νῦν δὲ τοσοῦτον ῥητέον, ὡς ἀσυνήθως τοῖς πάλαι γράφουσι, παρ' οἷς εὕρηται λόγος γεγωνός, ὁ προφορικός, ὃς

κλίνεται γεγωνοῦ, ὡς οἰωνός οἰωνοῦ. ἐκ τοῦ τοιούτου δὲ ὀνόματος ἀναντιρρήτως καὶ γεγωνότερον, τὸ τρανέστερον. (v. 151—4) Ὅτι στρατὸν φοβούμενον θαρρύνοι ἂν στρατηγὸς ἀνδρεῖος καὶ θεοφιλὴς εἰπὼν τὸ τοῦ Ἕκτορος «παρμένετε, οὔ τι δηρὸν ἐμὲ σχήσουσιν ἐχθροί, καὶ μάλα πυργηδὸν σφέας αὐτούς», ἤγουν ἑαυτούς, «ἀρτύναντες, ἀλλ’ οἴω χάσονται ὑπ’ ἔγχεος, εἰ ἐτεόν με ὦρσε θεός». Παρῴδηται δ’ ἐνταῦθα καὶ τὸ «ἐχθροί» καὶ τὸ «θεός». τὸ γὰρ Ὁμηρικὸν «Ἀχαιοί» ἐστὶ καὶ «θεῶν ὥριστος» Ζεύς, ἤγουν ὁ ἄριστος, οὗ χρῆσις καὶ ἐν τῷ «λοῖσθος ἀνὴρ ὥριστος ἐλαύνει». (v. 152) Πυργηδόν δὲ τί ἐστι, πρὸ βραχέων εἴρηται, ὡς καὶ περὶ τοῦ ἀρτύνειν. (v. 153) Τοῦ δὲ «οἴω» οὐκ ἔστι χρῆσις παρὰ τοῖς πεζογραφοῦσιν, οἴομαι δέ φασιν αὐτοί. (v. 156—8) Ὅτι Δηΐφοβος, [οὗ ἐτυμολογία τὸ τοὺς δηίους κινεῖν εἰς φόβον, ἤγουν εἰς φυγήν,] «μέγα φρονέων ἐβεβήκει, πρόσθεν δ’ ἔχεν ἀσπίδα πάντος’ ἐΐσην, κοῦφα ποσὶ προβιβὰς καὶ ὑπασπίδια προποδίζων», τουτέστιν εὐρύθμως ἐντὸς τῆς ἀσπίδος βαίνων καὶ οὐ προβάλλων τὰ ἴχνη, ἀλλ’ ὑπ’ αὐτὴν τὸ σῶμα κρύπτων.

3.456 Ἐξ οὗ συλλογιστέον κατὰ τοὺς παλαιοὺς ὡς οὔτε ἀμφιβρότην εἶχεν ἀσπίδα οὔτε πλαγίαν κατεῖχεν αὐτήν, ἣν μετ’ ὀλίγα καὶ ταυρείην ἀσπίδα ἐν δυσὶ τόποις φησί. Ἕτεροι δὲ τὸ «ὑπασπίδια προποδίζων» ἀντὶ τοῦ ἐνόπλια οἷον ὀρχούμενος. (v. 160) Ὅτι τὸ «καὶ βάλεν οὐδ’ ἀφάμαρτεν» ἔμπαλιν μὲν ἔχει πρὸς τὸ «ἤμβροτες οὐδ’ ἔτυχες», ἐκ παραλλήλου δὲ ταὐτὸν δηλοῖ, ὡς τὸ «βάσκ’ ἴθι» καὶ τὰ τοιαῦτα. (v. 161 s.) Ὅτι τὸ διήλασε γενικῇ συντάσσει ἐν τῷ «τῆς δ’ οὔ τι διήλασεν», ἤγουν τῆς τοῦ Δηϊφόβου ἀσπίδος, «ἀλλὰ πολὺ πρὶν ἐν καυλῷ ἐάγη δολιχὸν δόρυ». Λέγει δὲ καυλὸν τὸ καθιέμενον ξύλον εἰς τὴν ἐπιδορατίδα, ἤγουν εἰς τὸ κοῖλον αὐτῆς. (v. 168) Τὸ τοῦ Μηριόνου δὲ οὕτως ἐκολούσθη δόρυ, ὃς καὶ ἄπεισιν «οἰσόμενος δόρυ μακρὸν, ὅ οἱ κλισίῃφι λέλειπτο». παρὼν γὰρ τῇ μάχῃ ὅμοιος ἦν μὴ παρόντι ἄοπλος ὤν. ἄπεισι δὲ αὐτὸς καὶ οὐ στέλλει ἕτερον διὰ σπουδήν, ἐπεὶ οἱ πεμπόμενοι οὐχ’ ὁμοίως ταχύνουσι. Σημείωσαι δὲ ὅτι οὐκ εἰς τὴν ἑαυτοῦ κλισίην ὁ Μηριόνης ἐλθὼν οἴσεται δόρυ, οὐ γὰρ αὐτὴ σχεδὸν ἦν ἑλέσθαι, ἀλλὰ εἰς τὴν τοῦ ἑταίρου Ἰδομενέως, ὡς ἐν τοῖς ἑξῆς φαίνεται. κοινὰ γὰρ τὰ τῶν φίλων. Διαφορὰν δὲ τοῦ οἴσων καὶ οἰσόμενός φασιν οἱ παλαιοί, ὅτι τὸ μὲν οἴσων ἀπ’ ἄλλου εἰς ἄλλον κινεῖ τὴν ἐνέργειαν τοῦ χρησίμου, τὸ δὲ οἰσόμενος ἑνὶ προσώπῳ ἐμπεριγράφει αὐτήν, οἷον· ἄπεισί τις δόρυ οἰσόμενος ἑαυτῷ, οἴσων δὲ ἑτέρῳ τινι. πολλάκις δὲ καὶ ἐν τοῖς ἑξῆς τὸ οἰσόμενος ἐρεῖ ὁ ποιητής. (v. 165 s.) Ὃς λέγει καί, ὡς ἐχώσατο αἰνῶς ὁ Μηριόνης, «ἀμφότερον, νίκης τε καὶ ἔγχεος, ὃ ξυνέαξε». λυπεῖ γὰρ ὅπλον ἀγαθὸν κενὸν ἀπελθόν, οὐχ’ ὡς χρῆμα, ὥσπερ τι δὲ μέλος καίριον ἀργῆσαν. Ὅρα δ’ ἐνταῦθα ὅτι καὶ ὁ βαλών Μηριόνης καὶ ὁ βληθεὶς Δηΐφοβος ἔπαθον τὴν ψυχήν. ὁ μὲν γὰρ χώσατο, τουτέστι συνεχέθη, λυπηθεὶς ὡς μὴ νικήσας, Δηΐφοβος δὲ ἔδεισε μὴ καιρίως βέβληται. (v. 161) Ἰστέον δὲ ὅτι, καθὰ τὸ διελάσαι, οὕτω καὶ τὸ διαδῦναι γενικῇ συντάσσεται, ὡς δηλοῖ καὶ ὁ τοίχων διαδυόμενος ἄνεμος. (v. 166) Τὸ δὲ «ἀμφότερον» ἐπιρρηματικῶς κἀνταῦθα κεῖται καθ’ ὁμοιότητα τοῦ «ἀμφότερον, βασιλεύς τ’ ἀγαθὸς κρατερός τ’ αἰχμητής», καὶ τῶν τοιούτων. (v. 171—6) Ὅτι ὥσπερ ἐν Ὀδυσσείᾳ Αἰγύπτιός τις εὕρηται ὄνομα κύριον ὁμωνυμοῦν τῷ ἐθνικῷ, οὕτω κἀνταῦθα Ἴμβριος ἀνὴρ Πριάμου γαμβρὸς οὐκ ἀπὸ νήσου Ἴμβρου, ἀλλὰ κατὰ κυριωνυμίαν, ὡς εὐθὺς φανεῖται. Πήδαιον γὰρ τόπος οὐκ ἐπίσημος περί που τὰ κατὰ Τροίαν, ἔνθα ἔναιε καθ’ Ὅμηρον ὁ προσεχῶς ἱστορηθεὶς Ἴμβριος, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν, ὃς «κούρην Πριάμοιο νόθην ἔχε Μηδεσικάστην.

3.457 αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον, ἂψ ἐς Ἴλιον ἦλθε. μετέπρεπε δὲ Τρώεσσιν», ὅ ἐστι διαπρεπὴς ἦν, ὃ παρεφράσθη ἐκ τοῦ «ἔπρεπε καὶ διὰ πάντων». «Ναῖε δέ», νῦν δηλαδὴ ἐν τῷ καιρῷ τοῦ πολέμου, «πὰρ Πριάμῳ. ὃ δέ μιν τίεν ἶσα τέκεσσιν». (v. 178—80) Οὗτος ἔπεσε «μελίη ὥς, ἥ τ’ ὄρεος κορυφῇς ἕκαθεν περιφαινομένοιο, χαλκῷ ταμνομένη, τέρενα χθονὶ φύλλα πελάσσῃ», [ὡς οἷα καί τινας κόμας ἀγαθάς, ὁποίας οἰκτίζεταί που ἐν τοῖς ἑξῆς ἡ ποίησις.] (v. 177 s.) Ἔρριψε δὲ αὐτὸν ὁ μέγας Αἴας νύξας ὑπ’ οὔατος, ἤγουν ὑπὸ τὸ οὖς, ἔγχεϊ μακρῷ. Περιπαθῶς δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ παραβολὴ ἔχει καὶ οἷον συναχθόμενος φράζει ὁ ποιητὴς κατὰ τοὺς παλαιούς, οἵ φασι καὶ ὅτι σπάνιόν ἐστι μελίαν ἐν πεδίῳ φυομένην εὑρεῖν. (v. 173) Ἡ δὲ ῥηθεῖσα Μηδεσικάστη πρὸς ὁμοιότητα τῆς Ἰοκάστης δόξοι ἂν λέγεσθαι. Ἰοκάστη τε γὰρ ἡ κοσμουμένη ἰότητι, τουτέστι βουλῇ, καὶ Μηδεσικάστη ὁμοίως ἡ καζομένη μήδεσιν, ὅ ἐστι βουλεύμασι. τοιούτου δέ τινος τρόπου καὶ ἡ Ἀγαμήδη καὶ ἡ Μήδεια καὶ ὅσαι τοιαῦται. παρατηρητέον δὲ αὐτὸ καὶ εἰς ὁμοιότητα τοῦ κηρεσσιφορήτους. [(v. 179) Ἰστέον δὲ ὅτι ἐκ τοῦ περιφαίνεσθαι, ὅπερ ἐστὶ πέριξ φαίνεσθαι λόγῳ περιωπῆς, οὗ μετοχὴ τὸ «περιφαινομένοιο», γίνεται κοινῶς μὲν τὸ περιφανές, ἄλλως δὲ ὁ παρὰ τῷ Σοφοκλεῖ περίφαντος ἀνήρ. (v. 180) Τὸ δὲ «τέρενα χθονὶ φύλλα πελάσσῃ» περίφρασίς ἐστι τοῦ «πέσῃ».] Ὅρα δὲ καὶ νῦν τὴν τῆς ἱστορίας ἐπεμβολὴν ἐπεντεθεῖσαν συνήθως πιθανότητός τε χάριν καὶ ποικίλματος γραφικοῦ. τοιοῦτον γὰρ τὸ περὶ τόπου καὶ γένους καὶ τῶν τοιούτων ἱστορεῖν ἐν τοῖς περὶ τῶν πιπτόντων λόγοις. ἔστι δὲ καὶ ἄλλως εὔκαιρον τὸ πρᾶγμα καὶ εὐμέθοδον. οὐ γὰρ ἔξω πίπτει καιροῦ τὸ ἐν τοῖς ἑκάστῳ συμπίπτουσι παραδιηγεῖσθαί τι περὶ αὐτῶν. [(v. 181) Ὅτι τοῦ ἔβραχε πολλαχοῦ τῆς ποιήσεως κειμένου χρῆσις κἀνταῦθα ἐν τῷ «ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ». δῆλον δ’ ὅτι διαφόρων ὄντων τοῦ βρέχειν καὶ βράχειν, ἐκείνου μὲν εὕρηται καὶ μέλλων καὶ λοιπὴ κλίσις, ἧς καὶ τὸ «ἐβρέχθη ἡ γῆ», ὃ καὶ ἐβράχη λέγεται κοινότερον. τοῦ μέντοι βράχειν ζητητέον εἴπερ ἐστὶ μετάβασις κλίσεως ἐξ ἐνεστῶτος εἰς λοιποὺς χρόνους.] (v. 182) Ὅτι τὸ σκυλεῦσαι ἀπὸ τεύχεα δῦσαί φησι, περιφράζων τὸ συλᾶν, ᾧ μυριαχοῦ χρᾶται ἡ ποίησις.

3.458 (v. 185) Ὅτι Ἀμφίμαχον ἐνταῦθα Ἕκτωρ ἀναιρεῖ Κτεάτου υἱὸν Ἀκτορίωνος, Ποσειδῶνος υἱωνόν. καὶ χολοῦται μὲν δι’ αὐτὸν ὁ Ποσειδῶν, οὐδὲν δέ τι ποιεῖ σφοδρὸν τῷ τέως αὐτίκα πρὸς ἄμυναν ἀξίαν σεμνότητος, ἣν αὐτῷ πλάττει ὁ ποιητής. εἰπεῖν δὲ μᾶλλον ἀκριβῶς, ἐχολώθη μὲν εὐθὺς ὁ Ποσειδῶν υἱωνοῖο πεσόντος, οὐκ ἔσχε δὲ ὁ ποιητὴς αὐτίκα ἱστορῆσαι τί ἐποίησε χολωθεὶς ὁ Ποσειδῶν. διηγησάμενος δὲ ἀναγκαίως ὅπως ἥρθη καὶ ἐσκυλεύθη ὁ Ἴμβριος, εὐθὺς λέγει ἅπερ ἐποίησε χολωθεὶς ὁ Ποσειδῶν, καὶ οὕτω μετὰ τὴν ὑπὲρ Ἀμφιμάχου ἐκδίκησιν ὑπὸ τῶν Αἰάντων ἔκκειται καὶ ἡ τοῦ πάππου Ποσειδῶνος, ὀτρύναντος Δαναούς. τοῦ τῶν Μολιόνων δὲ γένους ἦν ὁ εἰρημένος Ἀμφίμαχος, περὶ ὧν καὶ ἐν τοῖς ἑξῆς δηλωθήσεται. (v. 187) Ὅτι τὸ «βράχε τεύχεα», ὃ φθάσας ἔγραψεν, «ἀράβησε τεύχεα» ἐνταῦθά φησιν. (v. 191) Ὅτι χροῦς μὲν οὐχ’ εὕρηται παρὰ τῷ ποιητῇ, ἀλλὰ χρώς, καὶ οἶδεν ἀκολούθως καὶ τὴν τούτου αἰτιατικήν «χρῶτ’ ἀπονιψαμένη», τὰς δὲ ἄλλας κινήσεις ὡς ἀπὸ τοῦ χροῦς χροός ποιεῖ, οἷον «χρυσὸν ἔδυνε περὶ χροΐ», καὶ «οὔ πῃ χροὸς εἴσατο», τουτέστιν οὐδαμοῦ τοῦ κατὰ Ἕκτορα χρωτὸς διῆλθε τὸ τοῦ Αἴαντος δόρυ. καὶ τὰ σύνθετα δὲ ὡς ἀπὸ τοῦ χροῦς συντίθησιν, οἷον «μελαγχροιὴς γένετο», καὶ «δέρμα ἐΰχροές», καὶ «μελανόχροος οὐλοκάρηνος», καὶ «ταμεσίχροα χαλκόν». (v. 191 s.) Ὅτι πανοπλίτην κατὰ τὸν Ἕκτορα ὑπογράφει τὸ «πᾶς δ’ ἄρα χαλκῷ σμερδαλέῳ κεκάλυπτο». ἔστι δὲ καὶ νῦν τὸ πᾶς ἀντὶ τοῦ ὅλος. Ἔνθα ὅρα ὅτι σμερδαλέον σίδηρον ἔφη κυριολεκτῶν τὸν ἐκπλήττοντα ἐν τῷ βλέπεσθαι. (v. 193) Ἀριστείαν δὲ καθ’ ἑνός τινος διαγράφει τὸ «ὦσε δέ μιν σθένεϊ μεγάλῳ, ὃ δ’ ἐχάσσατ’ ὀπίσσω». Ἕκτωρ δὲ τοῦτο πάσχει ὠσθεὶς ὑπὸ Αἴαντος. Ὅτι τοὺς Αἴαντας ὑψοῦ ἔχοντας τὸν ἀνωτέρω ῥηθέντα Ἴμβριον καὶ συλῶντας οὕτω καινότερον τὰ ἐκείνου ὅπλα εἰκάζει πρὸς λέοντας, οἳ αἶγα ἐκ κυνῶν ἁρπάξαντες φέρουσι. (v. 197—200) Φησὶ γὰρ «Αἴαντε δὲ ὥστε δύ’ αἶγα λέοντε κυνῶν ὑπὸ καρχαροδόντων ἁρπάξαντε φέρητον ἀνὰ ῥωπήϊα πυκνὰ ὑψοῦ ὑπὲρ γαίης μετὰ γαμφηλῇσιν ἔχοντες». Καὶ δηλοῖ πολλὴν εὐτονίαν λεόντων τούτων, εἰ μηδὲν τοῦ φερομένου παραφέρεται κάτω, ἀλλ’ ὑψοῦ ὅλον αἴρεται. Ζηνόδοτος δέ, φασίν, αἰτιᾶται τὴν παραβολήν, λέγων ὡς λέοντες οὐ συμμαχοῦσιν ἀλλήλοις. διὸ οὐδὲ γράφει ἐκεῖνος αἶγα, ἀλλὰ αἶγε δυϊκῶς, ὡς ἂν ἑκάτερος τῶν λεόντων αἶγα φέρῃ. Ἰστέον δὲ ὅτι διὰ τῆς τοιαύτης μεταγραφῆς ὁ Ζηνόδοτος ἀχρειοῖ τὴν περὶ ἑνὸς νεκροῦ ὑπὸ δύο φερομένου παραβολήν, δυάζων αὐτὸς τὰς αἶγας καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξαλείφων τὴν εἰκόνα τῆς ἡρωϊκῆς πράξεως καὶ ἀτέχνως ἀπαιτῶν ὅλην ὅλῳ ἐξ ἀνάγκης προσαρμόσαι τῷ πράγματι τὴν παραβολήν, ὅπερ σπανίως γίνεται.

3.459 οὔκουν καὶ περὶ συμμαχίας ἡ τῆς παραβολῆς ὁμοιότης, ἀλλὰ περὶ μόνης ἄρσεως ἑνὸς σώματος ὑπὸ δύο τινῶν. Καί φασιν οἱ παλαιοί, ὅτι νοητέον ὡς ἑνὸς ἁρπάσαντος λέοντος συναρπάζει ἕτερος ὑπαντώμενος, καὶ ἑκάτερος ἄγει ἄγραν ἑαυτῷ. Αἰσχύλος δέ, φασί, μιμησάμενος ἔφη που «εἷλκον ἄνω λυκηδόν, ὥς τε διπλόοι λύκοι νεβρὸν φέρουσι». Τοὺς δὲ ὡς νεκροφόρον χλευάζοντας τὴν ἡρῴαν ταύτην δυάδα περιφρονητέον καὶ ῥητέον ὡς ἀστεΐζονταί πως οἱ Αἴαντες, τῶν Τρώων ἐμβριθῶς καταπαίζοντες καὶ ἐν μετεώρῳ τὸν ἐχθρὸν ἐκδύοντες. (v. 202—5) Διὸ καὶ τὴν τοῦ νεκροῦ τούτου «κεφαλὴν ἁπαλῆς ἀπὸ δειρῆς κόψεν», ἤτοι ἀπέκοψεν, «Ὀϊλιάδης κεχολωμένος Ἀμφιμάχοιο» τοῦ προρρηθέντος, «ἧκε δέ μιν σφαιρηδὸν ἑλιξάμενος δι᾽ ὁμίλου, Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσιν». Ὃ δὴ χαριέντως οὕτω συνέπεσεν εἰς ἔλεγχον τοῦ μὴ δεόντως αὐτὸν μάχεσθαι. καὶ ἔστιν ἀστεῖον τὸ σύμπτωμα ἐπ᾽ ὀνειδισμῷ καὶ λύπῃ ἐχθροῦ. Ποιεῖ δὲ τοῦτο οὐχ᾽ ὁ μέγας, ἀλλ᾽ ὁ λοιπὸς Αἴας, ἐπειδὴ νεωτέρῳ ἔπρεπε τὸ ἔργον καὶ θερμοτέρῳ τὸν τρόπον, καὶ οὐκ ἦν ἡ πρᾶξις κατὰ τὴν τοῦ Τελαμωνίου μεγαλοπρέπειαν. ὠμὸν μὲν οὖν φασι τὸ ἔργον καὶ οὐχ᾽ Ἑλληνικόν, οὕτω νεκρὸν σῶμα λυμαίνεσθαι καὶ κωφὴν γῆν αἰκίζεσθαι. πλὴν συγγνωστέον τῷ ὑπὲρ φίλου ἀγανακτοῦντι, ὅς, ὡς ἐρρέθη, κεχολωμένος ἦν Ἀμφιμάχοιο. καὶ Ἀγαμέμνων δὲ Ἀντιμάχου παῖδα ἐν τοῖς ἔμπροσθεν τοῦ αὐχένος ἀπέτεμε καὶ τῶν χειρῶν. θεμέλιοι δὲ Ὁμηρικῆς ἀπολογίας ταῦτα πρὸς τὴν ἐν τοῖς ἐφεξῆς τοῦ Ἀχιλλέως ὠμότητα, ὃς δι᾽ ὀργὴν εἰς Ἕκτορα παρανομεῖ τὰ δεινότατα. (v. 199) Ἰστέον δὲ ὅτι τε ἀγρίου αἰγὸς ἡ παραβολὴ μέμνηται, ὑπὸ κυνῶν ἐν ὄρει ἑαλωκότος, καὶ ὅτι καὶ νῦν τὸ ἁρπάξαι κυρίως ἐλέχθη ἐπὶ λεόντων, καὶ ὅτι ταὐτὸν ῥωπήϊα καὶ ῥῶπας εἰπεῖν, καὶ ὅτι ῥωπήϊα μὲν παρὰ τοῖς παλαιοῖς δρυμοῦ φρύγανα, ἢ καὶ ἄλλως λεπτά τινα φυτὰ εὐλύγιστα παρὰ τὸ ῥέπειν. ἔστι γὰρ ὥσπερ βλέπω βλέψω βλέψ, καὶ βλὼψ κατὰ ἔκτασιν, ἐξ οὗ ὁ παραβλώψ, οὕτω καὶ ῥέπω ῥέψω ῥώψ, ἐξ οὗ τὰ ῥωπήϊα. Ῥῶπος μέντοι λεππὸς καὶ εὐτελὴς φόρτος, ὡς δὲ Αἴλιος Διονύσιος λέγει, καὶ ποικίλος, γέλγην δέ, φησίν, αὐτὸν ἔλεγον οἱ παλαιοί. ὅθεν καθὰ ὁ ῥωποπώλης, οὕτω καὶ ὁ γελγοπώλης.

3.460 ἡ δὲ λέξις τοῦ ῥώπου παρά τε Δημοσθένει καὶ ἑτέροις, κεῖται δὲ καὶ παρὰ τῷ Στράβωνι. ἐκ τούτου δὲ καὶ ῥωποπερπερήθρα τις προσερρήθη ἐπὶ χυδαιότητι καὶ φλυαρίᾳ σκωπτόμενος, οὗ ἡ παραγωγὴ κατὰ τὸ δακτυλήθρα καὶ τὰ ὅμοια. φέρεται δὲ καὶ ῥῆμα τὸ ῥωπίζειν, ὃ δηλοῖ τὸ σύμμικτα καὶ συμπεφυρμένα ποιεῖν. (v. 200) Τὸ δὲ «ὑπὲρ γαίης» ἑρμηνευτικόν ἐστι τοῦ ὕψου. Τὸ δὲ «μετὰ γαμφηλῇσιν» ἀντὶ τοῦ ἐν σιαγόσι. πρόθεσις γὰρ καὶ νῦν ἐλήφθη ἀντὶ προθέσεως. (v. 202) Ἁπαλὴ δὲ καὶ νῦν δειρὴ ἢ κατὰ ἀντίφρασιν ἡ σκληρὰ διὰ τὸ ὀστῶδες, ἢ ἐσκιατραφημένη καὶ ἀγύμναστος. (v. 204) Τὸ δὲ σφαιρηδόν ἀντὶ τοῦ δίκην σφαίρας, [ὁποία τις ἡ κεφαλή,] ὥσπερ καὶ πυργηδόν τὸ δίκην πύργου καὶ λυκηδόν τὸ κατὰ λύκους. Τούτων δὲ καὶ τῶν τοιούτων ἀλλοιότερόν τι παρὰ τῷ Ἁλικαρνασεῖ Διονυσίῳ τὸ γνωμηδόν, οἷον «εἰ συγχωρητέον ταῖς γυναιξί, γνωμηδὸν ἐπυνθάνοντο». [(v. 203) Ἰστέον δὲ ὅτι ἐν τῷ «κόψεν Ὀϊλιάδης», τουτέστιν ὁ τοῦ Ὀϊλῆος υἱὸς Αἴας, οὐ πάνυ προσεκτέον ἀντιγράφοις παλαιοῖς, τυποῦσι τὴν λη συλλαβὴν διὰ τοῦ ι στοιχείου, εἰ μὴ ἄρα τολμήσει τις εἰπεῖν, ὡς ὁ Ὀϊλεὺς εὕρηται καὶ Ὀΐλιος τετρασυλλάβως, ἵνα ᾖ ὡς Δέξιος Δεξιάδης, οὕτω καὶ Ὀΐλιος Ὀϊλιάδης. Ἔστιν οὖν ἐκ τοῦ Ὀϊλεύς ὡς Πηλεύς Ὀϊληιάδης ὡς Πηληιάδης, καὶ συγκοπῇ τοῦ ι Ὀϊλιάδης. εἰ μὴ ἄρα τοῦ η συγκοπέντος ἐλείφθη τὸ ἰῶτα.] (v. 207) Ὅτι υἱωνὸν Ποσειδῶνος ὁ ποιητὴς εἰπὼν ἐνταῦθα τὸν πρὸ βραχέων ἱστορημένον Ἀντίμαχον τὸν υἱὸν Κτεάτου τοῦ Ἀκτορίωνος, μέθοδον συντομίας ὑπέφηνεν.

3.461 ἐκεῖ μὲν γὰρ Ἄκτορος υἱὸς ὁ Κτέατος, ἑνὸς τῶν Μολιόνων, ὧν ἐν τῇ πρὸς Πάτροκλον λαλιᾷ ἐμνήσθη ὁ Νέστωρ, ἐνταῦθα δὲ ὁ αὐτὸς Ἀκτορίδης Κτέατος Ποσειδῶνος ἀναφαίνεται υἱός,

εἴπερ ὁ υἱὸς αὐτοῦ Ἀμφίμαχος υἱωνὸς εἶναι τῷ Ποσειδῶνι λέγεται. ὥστε γοργῶς εἰπεῖν ἀμφιπάτριος ὁ Κτέατος. Ποσειδῶνός τε γὰρ καὶ Ἄκτορος ὁ αὐτός. Ὅτι πιθανότητος ἐργαστικὸν τοῖς ῥήτορσι καὶ μίμησις ἀληθείας ἐστὶ καὶ τὸ μὴ πᾶν πρόσωπον φράζειν ἐξ ὀνόματος ὡρισμένως καὶ ὡς εἰδότας, ἀλλ' ἔστιν οὗ καὶ ἀοριστaίνειν τὸν λόγον. ὃ δὴ ποιεῖ Ὅμηρος ἔν τε τῷ «ὧδε δέ τις εἴπεσκε» καὶ ἐν ἄλλοις. (v. 210—4) Κἀνταῦθα δὲ λέγει, ὡς Ἰδομενεὺς Ποσειδῶνι ἀντεβόλησεν «ἐρχόμενος παρ' ἑταίρου», ὅ ἐστιν ἀπὸ ἑταίρου, ὃν νέον ἐκ πολέμοιο κατ' ἰγνύην βεβλημένον ἑταῖροι ἔνεικαν, ἤγουν πολέμου ἐξήγαγον, «ὃ δ' ἰητροῖς ἐπιτείλας» τὰ κατ' αὐτὸν ἐποίει ἃ ἤθελε. Τὸ γὰρ ὄνομα τοῦ τοιούτου μὴ προσθεὶς πολυλογίας ἀφορμὴν ἐνδέδωκε τοῖς ζητοῦσι Γραμματικοῖς, τίς ἂν εἴη οὗτος ὁ ἑταῖρος, οἷον κύριον ἢ ἐπίθετον, καὶ εἰ ἐπίθετον, περὶ τίνος τῶν Ἀχαιῶν ὁ λόγος ἐστί. καὶ αὐτοὶ μὲν οὕτω, ὁ δέ γε ποιητὴς ἐξωμολογήσατο ἤδη φανερῶς χαλεπὸν εἶναι πάντα φράζειν αὐτόν. (v. 212) Ἰγνύη δὲ τὸ κατόπιν ἤτοι ὀπίσω μέρος τοῦ γόνατος, ὅπερ καὶ ἀγκύλη λέγεται. γίνεται δὲ παρὰ τὸ ἱκνεῖσθαι, ἱκνύη τις οὖσα, ἐπεὶ καμπτομένης αὐτῆς ἱκνούμεθα. Εἰ δὲ ψιλοῦται ἡ ἄρχουσα τῆς ἰγνύης, οὐ καινόν. λείπει γὰρ τὸ κ τὸ τὴν δασεῖαν προκαλούμενον, [καθὰ καὶ ἐν τῷ ἴχνος καὶ ἴχνιον.] Οὕτω καὶ τὸ ἰχθύς ζητεῖ μὲν δασύνεσθαι, γίνεται γὰρ παρὰ τὸ ἱκέσθαι καὶ θύειν, ὅ ἐστιν ὁρμᾶν, πολυκίνητον γὰρ ζῷον ὁ ἰχθύς. ἀλλὰ μεταβληθὲν τὸ ψιλὸν κ εἰς δασὺ τὸ χ μετέτρεψε τὴν δασύτητα τοῦ πνεύματος εἰς τὸ ἔμπαλιν. (v. 213) Ἐν δὲ τῷ «ἰητροῖς ἐπιτείλας», ἤγουν ἐντειλάμενος, δηλοῖ ὡς οὐ μόνον Ποδαλείριος καὶ Μαχάων ἰατροὶ ἐν Ἀχαιοῖς, ἀλλὰ κατὰ ἔθνη, ὡς εἰκός, ἦσαν καὶ ἄλλοι. φησὶ δὲ καὶ ἀλλαχοῦ «ἰατροὶ πολυφάρμακοι ἀμφεπένοντο». (v. 216—8) Ὅτι ὁ Θόας πάσῃ, τουτέστιν ὅλῃ, «Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι Αἰτωλοῖσιν ἄνασσε, θεὸς δ' ὣς τίετο δήμῳ». Λέγει δὲ ταῦτα ὁ ποιητής, οὐχ' ὡς ἄγνωστα—ἔφθη γὰρ εἰπὼν ἐν τῷ Καταλόγῳ περὶ τούτων—, ἀλλ' ὅτι πολλὰ διττολογεῖ πολλαχοῦ πρός τε ἀνάμνησιν καὶ πρὸς εὑρεσιλογίαν πλατυσμοῦ καὶ ποικιλίαν γραφῆς.

3.462 Ἰστέον δὲ ὅτι Αἰτωλοὶ λέγονται, ὡς καὶ προϊστόρηται, ἀπὸ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος, Ἠλείου τὸ γένος, ὃς Ἆπιν ἀνελὼν ἀκουσίως τὸν Φορωνέως καὶ φυγὼν μετέδωκε ταύτῃ τῇ χώρᾳ τῆς ἀπ' αὐτοῦ παρωνυμίας. ἴσχει δὲ κατά τινας παῖδα Πλευρῶνα, οὗ παῖδες Κούρης καὶ Καλυδών, καὶ ἐκ τούτων τῶν τριῶν ἔθνος μὲν οἱ Κουρῆτες, πόλεις δὲ ἡ Πλευρὼν καὶ ἡ Καλυδών. (v. 218) Τὸ δὲ «θεὸς ὣς τίετο δήμῳ» ἀγαθὸν βασιλέα ἐν ὁμοίοις ὑπηκόοις εἶναι δηλοῖ τὸν Θόαντα. (v. 219 s.) Ὅτι πρὸς τοὺς μάτην λόγοις ἐκφοβοῦντας λεχθήσεται τὸ «ποῦ τοι ἀπειλαὶ οἴχονται, ἅς» τοῖς δεῖνα οἱ δεῖνα ἀπείλεον; Περὶ τῶν Ἀχαιῶν δὲ ὁ λόγος ἐκ Ποσειδῶνος πρὸς Ἰδομενέα. Ἔνθα σημείωσαι ὅτι, ὅπερ ἐν ἄλλοις πλατέως ἐρρέθη, ὅτε οἱ Ἕλληνες ὠνειδίζοντο ὡς ἐν Λήμνῳ πίνοντες καὶ ἀπειλούμενοι κενὰ τοῖς Τρωσί, τοῦτο ἐνταῦθα διὰ τὸ κατεπεῖγον τοῦ καιροῦ ἐν ὀλίγῳ ἐφράσθη. (v. 222—7) Ὅτι ὁ ἐν κινδύνοις πολέμου ἢ ἄλλως δεινοῖς τισιν ἑαυτοῦ ἢ ἑτέρων ὑπεραπολογούμενος ὡς οὐ διὰ κακίαν οἰκείαν πασχόντων ἐρεῖ ἅπερ ἐνταῦθα τῷ Ποσειδῶνί φησιν ὁ Ἰδομενεὺς «οὔ τις ἀνὴρ νῦν αἴτιος, ὅσσον ἔγωγε γινώσκω· πάντες γὰρ ἐπιστάμεθα πολεμίζειν» ἢ τόδε τι ἄλλο ποιεῖν, «οὔτε τινὰ δέος ἴσχει ἀκήριον οὔτε τις ὄκνῳ εἴκων ἀνδύεται», ἤγουν ἀναδύεται, «πόλεμον κακόν, ἀλλά που οὕτω μέλλει θεῷ ὑπερμενέϊ φίλον εἶναι νωνύμνους», ἢ νωνύμους, «ἀπολέσθαι» τοὺς δεῖνα. Καὶ σημείωσαι ὅτι σοφώτατα ὁ ποιητὴς ἐνταῦθα ἐξέθετο πᾶν αἴτιον, οὗ ἕνεκα φεύγομεν τὰ δεινά. εἰσὶ δὲ τρία αἴτια, ἀπειρία καὶ δέος καὶ ὄκνος. διὸ κατατολμῶν ἐνταῦθα Ἰδομενεὺς τῶν δεινῶν καὶ φιλοκίνδυνος ἐν δέοντι ὧν ἀποφάσκει καὶ τὰ τρία, τὴν μὲν ἀπειρίαν ἐν τῷ «πάντες ἐπιστάμεθα». ὁ γὰρ ἐπιστάμενος οὐκ ἂν εἴη νηΐς, ὅ ἐστιν ἄπειρος. τὰ δὲ λοιπὰ δύο ἐν τῷ «οὔτε δέος ἴσχει τινά, οὔτε τις ὄκνῳ εἴκει». (v. 222 s.) Τὸ δὲ «ὅσσον ἔγωγε γινώσκω» οἱ μεθ' Ὅμηρον ὅσα ἐμὲ εἰδέναι φασί. (v. 224) Δέος δὲ ἀκήριον τὸ ἀψυχοποιόν. φθάσας μέντοι ὁ ποιητὴς ἐν ἄλλοις καὶ τὸν νεκρὸν ἀκήριον ἔφη, ὡς ταὐτὸν ὂν οὕτω ἢ οὕτω εἰπεῖν διὰ τὸ τῆς ἐτυμολογίας ὅμοιον. Νεκρὸς γὰρ καὶ

ἀκήριος ἄμφω παρὰ τὸ ἐστερῆσθαι κῆρος, ὅ ἐστι ψυχῆς, γίνεται. (v. 225) Τὸ δὲ ἀναδύεσθαι κατὰ τοὺς παλαιοὺς ἀπὸ ζῴων εἴληπται, ἃ προθύμως μὲν ἔχοντα δύεται ὑπὸ ζυγόν, μὴ προθυμούμενα δὲ ἀναδύεται. καὶ ἄλλως δὲ ἔστιν εἰπεῖν, ὡς δύεσθαι μὲν καὶ καταδῦναι ὅμιλον τὸ θαρρεῖν εἰς μάχην δηλοῖ καὶ οὕτως εἰς βάθος αὐτῆς χωρεῖν, ἀναδύεσθαι δὲ τὸ ἄλλως ἀναχωρεῖν, ὁμοίως τοῖς καθ᾽ ὑδάτων δυομένοις ζῴοις. (v. 227) Τὸ δὲ «νωνύμνους» ἢ ἐν τῷ τέλει πλεονασμὸν ἔχει τοῦ νυ , ὡς καὶ προερρέθη, —ἔδει γὰρ εἶναι νωνύμους, ἤτοι ἀνονομάστους—ἢ κατά τινας τὸ πρὸ αὐτοῦ νυ παρενέπεσε.

3.463 νωνύμνους γάρ, φασίν, εἰπεῖν βούλεται, ὅ ἐστιν ἀθρηνήτους. λέγουσι γὰρ παρ᾽ Ἀνακρέοντι ἐπὶ θρήνου κεῖσθαι τὸν ὕμνον. (v. 228 s.) Ὅτι ἀγαθοῦ στρατηγοῦ ἔπαινος τό· ἀλλὰ ὦ δεῖνα, «καὶ γὰρ τὸ πάρος μενεδήϊος ἦσθα, ὀτρύνεις δὲ καὶ ἄλλον, ὅθι μεθιέντα ἴδηαι», τουτέστιν ἴδῃς. (v. 230) Ταῦτα δὲ ἐφερμηνεύων ἢ καὶ ἄλλως παραφράζων ὁ ποιητὴς ἐπάγει· «τῷ», ἤγουν διό, «νῦν μήτ᾽ ἀπόληγε, κέλευέ τε φωτὶ ἑκάστῳ». ὁ γὰρ μενεδήϊος οὐκ ἂν ἀπολήγοι καὶ ὁ ὀτρύνων ἄλλους κελεύοι ἂν φωτὶ ἑκάστῳ. Δῆλον δὲ ὡς ταὐτὸν μενεδήϊόν τινα εἰπεῖν καὶ μενεχάρμην καὶ μενεπτόλεμον, [οἷς ἐναντίον ὁ φυζακινὸς καὶ μάλιστα ὁ φύξηλις.] (v. 232—4) Ὅτι ἐνδιάθετος λόγος ἐπὶ τῶν ἐν δεινοῖς ῥᾳθυμούντων τὸ «μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειεν, ἀλλ᾽ αὖθι», τουτέστιν αὐτόθι, «κυνῶν μέλπηθρα γένοιτο, ὅς κεν ἐπ᾽ ἤματι τῷδε ἑκὼν μεθίησι μάχεσθαι». (v. 234) Καὶ ὅρα τὸ «ἐπ᾽ ἤματι τῷδε» ἀσφαλῶς ῥηθέν. εἰ γὰρ καὶ ἄλλοτε, ἀλλ᾽ οὐχὶ καὶ σήμερον. Ὅρα δὲ καὶ τὸ ἑκών. οὐδεὶς γὰρ οὕτω μεθίησιν. Εἰ δὲ Ἀγαμέμνων καὶ Νέστωρ καὶ Ὀδυσσεὺς ἀμελοῦσιν, ἀλλ᾽ οὔτι που ἑκόντες. διὸ οὐδὲ πίπτουσιν ὑπὸ τὴν ἀράν. (v. 233) Μέλπηθρα δὲ ἀντὶ τοῦ παίγνια. μετὰ κόρον γὰρ οἱ κύνες ἐμπηδῶσί τε τῷ λοιπῷ τοῦ νεκροῦ καὶ τὰς σάρκας διασπῶντες οἷον σφαιρίζουσι, καί πως τὰ συνήθη μέλποντες ἐφυλακτοῦσι, σκιαμαχίαν ταύτην θήρας ὑπεμφαίνοντες καὶ τὴν φαντασίαν εἰς κυνηγέσιον ἐρεθίζοντες. (v. 235—7) Ὅτι πρὸς ὁμαιχμίαν ἐρεθιστικὸν τὸ «ἀλλ᾽ ἄγε τεύχεα δεῦρο λαβὼν ἴθι. ταῦτα δ᾽ ἅμα χρὴ σπεύδειν, αἴ κεν ὄφελός τι γενώμεθα καὶ δύ᾽ ἐόντε». Ποσειδῶν δὲ Θόαντι ὁμοιωθείς φησι καὶ ταῦτα πρὸς Ἰδομενέα, καθὰ καὶ τὰ προσεχῶς ἀνωτέρω κείμενα, ἐπάγων καὶ γνωμικὸν τοῦτο «συμφερτὴ δ᾽ ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν», ὅπερ ἀπὸ τοῦ ἐλάττονος εἴληπται, δηλοῦν ὡς καὶ οἱ μάλα δειλοὶ ἀλλήλοις συμφερόμενοι καὶ εἰς ἓν ἐρχόμενοι γενναῖα δρῶσι. (v. 238) Νῶϊ δέ, φησίν, ἤγουν ἡμεῖς, «καί κ᾽ ἀγαθοῖσιν ἐπιστάμεθα πολεμίζειν», οὐ λυγροὶ δηλαδὴ ὄντες. Τὸν μὲν οὖν ἕνα ἡ παροιμία εἰς οὐδὲν ἄγει, ἄρχεται δὲ τὸ καλὸν ἐκ τῶν δύο, κατὰ τὸ «σύν τε δύ᾽ ἐρχομένω», καθὰ καὶ νῦν φαίνεται ἐν τῷ «ὄφρα ὄφελος γενώμεθα καὶ δύ᾽ ἐόντε», καὶ ὡς ἐπὶ Ὀδυσσέως καὶ Διομήδους προεδείχθη καὶ ἐπὶ ἄλλων πολλῶν. Ἰστέον δὲ ὡς νομίσοι ἄν τις οὐ καλῶς ἔχειν τὴν Ὁμηρικὴν ταύτην γνώμην.

3.464 μᾶλλον γὰρ χρῆναι εἰπεῖν «συμφερτὴ δ᾽ ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα ἐσθλῶν», ἵνα λέγῃ κατὰ ἐπιχείρημα τὸ ἀπὸ μείζονος, ὡς οὐδ᾽ αὐτοὶ ἀρετᾶν οἱ ἀγαθοὶ δύνανται, εἰ μὴ συνάγοιντο εἰς ἕν, ὡς ἂν ἐντεῦθεν συννοῆται ὡς, εἴπερ τῶν ἀγαθῶν ἡ ἀρετὴ συμφερτή, πολλῷ πλέον ἡ τῶν λυγρῶν. νῦν δ᾽ ἀνάπαλιν εἰπών, ὡς καὶ τῶν ἀχρείων ἡ ἀρετὴ συμφερτή ἐστι, δοκεῖ διὰ τὸν και σύνδεσμον γελοῖόν τι εἰπεῖν. ἐπὶ μὲν γὰρ τῶν ἀγαθῶν ἀνδρῶν καλῶς κείσεται ὁ σύνδεσμος—συμφερτὴ γὰρ καὶ αὐτῶν τῶν ἀγαθῶν ἡ ἀρετή—, ἐπὶ δὲ τῶν λυγρῶν οὐκ ἀναγκαῖος ὁ και σύνδεσμος. ἀρκεῖ γὰρ μᾶλλον ἁπλῶς οὕτω εἰπεῖν, ὅτι συμφερτή ἐστιν ἡ τῶν λυγρῶν ἀρετή, ὡς καθ᾽ ἑαυτοὺς μὴ δυναμένων τῶν λυγρῶν ἀνδρίζεσθαι. καὶ οὕτω μὲν ἄν τις ἀπορήσῃ. Λύεται δὲ τὸ ἄπορον ὡς οἷον λέγοντος τοῦ ποιητοῦ, ὅτι στέρονται μὲν ὅλως ἀρετῆς οἱ λυγροὶ ἐν τῷ θεωρεῖσθαι καθ᾽ ἕνα, ἐστὶ δέ τις ὅμως καὶ αὐτῶν ἀρετή, ἐὰν συμφερτὴ γένοιτο, ὅ ἐστι συμφορητὴ καὶ συνάξιμος ἐκ πολλῶν, καὶ ὡς οἱ παλαιοί φασι συνοιστή. Ὥστε χωρὶς ἄρθρου νοητέον τὸ ἀρετή, καὶ ῥητέον οὕτω· ἀρετὴ πέλει καὶ τῶν λυγρῶν, πλὴν συμφερτή, ἅμα σπευδόντων κατὰ τὸν ποιητήν. Ἕτεροι δὲ ἀπὸ κοινοῦ νοοῦντες ἀρετή καὶ τὴν λέξιν οὕτω

δισσεύοντές φασιν, ὅτι καὶ ἡ τῶν λυγρῶν ἀρετή, συμφερτὴ γενομένη, ἀρετὴ ὄντως ἐστίν. εἰ δὲ τοῦτο, πολλῷ πλέον ἡ τῶν ἀγαθῶν. διὸ ἐπήγαγε τὸ «ἥμεῖς δὲ καὶ ἀγαθοῖς πολεμήσομεν», ὡς προερρέθη. Ἀρετὴν δὲ νῦν τὴν ἀνδρίαν φησί. Τὸ δὲ «ἐπιστάμεθα μάχεσθαι» εὖ εἰδότας μάχης τοὺς τοιούτους δηλοῖ. [Φυσικοῦ δὲ κάλλους ἡ παρίσωσις τοῦ συμφερτή καὶ τοῦ ἀρετή.] (v. 239) Ὅτι λόγου ἐμπράκτου τὸ «ὣς εἰπὼν ὃ μὲν αὖτις ἔβη ἂν πόνον ἀνδρῶν», ἤγουν ἔνθα ἐπονοῦντο οἱ ἄνδρες, ὅπως ἂν καὶ νοηθείη ὁ πόνος. (v. 242—5) Ὅτι ὁ Ἰδομενεὺς ὁπλισάμενος ἔβη ἐλθεῖν «ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίδης χειρὶ λαβὼν ἐτίναξεν ἀπ’ αἰγλήεντος Ὀλύμπου, δεικνὺς σῆμα βροτοῖσιν, ἀρίζηλοι δέ οἱ αὐγαί». Ἡ δὲ παραβολὴ αὕτη πρός τε ὅπλων λαμπρότητά ἐστιν, ὡς ἡ ἀπόδοσις δηλοῖ, λέγουσα «ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσιν», ἔτι δὲ καὶ πρὸς τὸ τάχος τοῦ φοροῦντος, ἔλαμπε γάρ, φησί, θέοντος, καὶ πρὸς τὸ εἰς μάχην δὲ ἐμπύριον. καὶ πολέμου γὰρ ἔστιν οὗ σημεῖον ἡ ἀστραπή. Τὸ δ’ ἐτίναξε καιριωτάτη λέξις, καὶ οὐκ ἄν τις φράσῃ κάλλιον.

3.465 ὡς οἷα δὲ βέλος αὐτὴν ἀφίησι, διό φησι «χειρὶ λαβὼν ἐτίναξε». (v. 244) Τὸ δὲ «δεικνὺς σῆμα βροτοῖς» ἑτέρως ἔφρασε πρὸ τούτων, εἰπὼν «πιφαυσκόμενος βροτοῖσι τὰ ἃ κῆλα», ὡς ἐκεῖ ἐρρέθη. [Δῆλον δ’ ὅτι σωματικῶς πλάττεται ὁ Ζεὺς ἀφιέναι τὴν ἀστραπήν, ὅτε τι ποιεῖ διοσημίας χάριν, καθὰ δόρυ ἢ λίθον ἤ τι ἄλλο βέλος. ἡ δέ γε ἀλληγορία τὰ τοιαῦτα Διῒ ἀέρι ἀποκληροῖ. (v. 246) Ὅτι μάχης μὲν ἀντιβολῆσαι τὸ ἄντην βαλεῖν καὶ ὡς εἰπεῖν τυχεῖν, ἀνδρὶ δὲ ἀντιβολῆσαι κατὰ σύνταξιν δοτικὴν ἢ ἑτεροίῳ τινὶ τὸ συναντῆσαι, ὡς καὶ ἐνταῦθα ὁ Μηριόνης Ἰδομενεῖ ἀντεβόλησεν.] (v. 249 et 255) Ὅτι εἰς οὐδὲν δέον, ἁπλῶς δ’ οὕτω χάριν φιλίας, ἄλλα τε μυριαχοῦ ἐπαινετικὰ ἐξ ἑτέρων εἰς ἑτέρους λέγεται, καὶ ἐνταῦθα δὲ Ἰδομενεὺς μὲν τὸν ἑταῖρον Μηριόνην οὕτω προσφωνεῖ «Μηριόνη, Μόλου υἱέ, πόδας ταχύ, φίλταθ’ ἑταίρων», ὁ δ’ αὖθις ἐκεῖνον «Ἰδομενεῦ, Κρητῶν βουληφόρε χαλκοχιτώνων». Ἐπαινεῖται δὲ τὸ τοῦ Ἰδομενέως ἔπος οὐ μόνον ὡς γοργόν, ἀλλὰ καὶ ὡς ἐν σμικρῷ γραφῆς ὄγκῳ πολλὰ περιέχον· τὸ κύριον, τὸ γένος, τὴν σωματικὴν ἀρετὴν καὶ τὴν ἄκραν φιλίαν. (v. 250—2) Ὅτι ὁ ἐκ πολέμου παρὰ καιρὸν εἴξας ἀκούσοι ἄν ποτε ἐκ τοῦ ἐντυχόντος τὸ «τίπτ’ ἦλθες πόλεμόν τε λιπὼν καὶ δηϊοτῆτα; ἠέ τι βέβληαι, βέλεος δέ σε τείρει ἀκωκή, ἠέ τευ ἀγγελίης μετ’ ἔμ’ ἤλυθες», ἤγουν ἕνεκά τινος ἀγγελίας εἰς ἐμὲ ἦλθες; (v. 252 s.) Ἐνεργοῦς δὲ στρατιώτου λόγος τὸ «οὐδέ τι αὐτὸς ἧσθαι ἐνὶ κλισίῃσι λιλαίομαι, ἀλλὰ μάχεσθαι». (v. 250) Τὸ δὲ «πόλεμόν τε καὶ δηϊοτῆτα» ταὐτὸν τῷ «πόλεμόν τε μάχην τε», ὃ πολλαχοῦ κεῖται. [(v. 251) Τὸ δὲ «βέβληαι» ἢ συλληπτικῷ τρόπῳ καὶ τρῶσιν δηλοῖ τὴν ἐκ τοῦ ἐγγύς, ἢ καὶ ἄλλως, τὸν Μηριόνην σεμνύνει, ὡς μὴ ἂν τολμήσοντός τινος ἀντιστῆναί οἱ ὡς καὶ σχέδην τύψαι, ἀλλὰ πόρρωθεν βαλόντος.] (v. 257 s.) Ὅτι σχῆμα καινὸν τὸ εἰπεῖν «ἔγχος κατεάξαμεν, ὃ πρὶν ἔχεσκον, ἀσπίδα Δηϊφόβοιο βαλὼν ὑπερηνορέοντος». Ὤφειλε γὰρ ὁ πρὸς τὸν Ἰδομενέα τοῦτο εἰπὼν Μηριόνης ἢ κατέαξα εἰπεῖν, οἷον ὅτι τὸ ἔγχος κατέαξα βαλὼν τὴν τοῦ ἐχθροῦ ἀσπίδα, ἢ ἄλλως ὅτι τὸ ἔγχος κατεάξαμεν βαλόντες τὴν ἀσπίδα. Αἰτία δὲ τῆς καινῆς ταύτης συντάξεως τοιαύτη. καθὸ μὲν γὰρ κοινὰ τὰ τῶν φίλων, προσεταιρίζεται καὶ τὸν Ἰδομενέα ὁ Μηριόνης ἐν τῷ «κατεάξαμεν», κοινοποιούμενος τὴν βολήν, ὃς καὶ ἐκ τῆς τοῦ Ἰδομενέως σκηνῆς ἔγχος ἕτερον λήψεται, ὡς εἴπερ Ἰδομενεὺς ἐκεῖνο κατέαξε. καθὸ δὲ τῇ ἀληθείᾳ Μηριόνου μόνου ἦν τὸ ἔργον, διὰ τοῦτο «βαλών» λέγει ἑνικῶς καὶ οὐ βαλόντες. εὖ δὲ καὶ τὸ «κατεάξαμεν» μόνον εἰπεῖν πληθυντικῶς, οὐ μὴν καὶ ὃ πρὶν εἴχομεν, ἀλλ’ ὃ πρὶν εἶχον ἐγώ. τὸ μὲν γὰρ ἔχειν ἔγχος οὐκ ἔστι σημεῖον ἐξ ἀνάγκης ἀνδρείου, τοῦτο γὰρ ἂν καὶ θεράπων καὶ δορυξόος ποιήσῃ. τὸ δὲ ἐν πολέμῳ κατάξαι ἀρετήν τινα παραδηλοῖ. διόπερ ὁ Μηριόνης οὐ τοῦ ἔχειν δόρυ, ἀλλὰ τοῦ ἐν μάχῃ κατᾶξαι κοινωνὸν ποιεῖται τὸν ἀνδρεῖον φίλον, εἰπὼν «κατεάξαμεν».

3.466 Εἰ δὲ καὶ περὶ ἑαυτοῦ καὶ Δηϊφόβου ἴσως κατά τινας τὸ «κατεάξαμεν» ὁ Μηριόνης φησίν, ἑτέρου τοῦτο λόγου. δοκοῦσι γὰρ ἀμφότεροι κατᾶξαι τὸ βέλος, ὅ τε βαλὼν αὐτὸ Μηριόνης καὶ

ὁ τὴν ἀσπίδα ἔχων Δηΐφοβος, ἐν ᾗ τὸ ἔγχος ἐάγη. Ὑπερηνορέοντα δὲ Μηριόνης φησὶ τὸν Δηΐφοβον, σεμνύνων ἑαυτόν, εἰ τοξότης ὢν ὅμως τοιούτῳ ἀνδρὶ ἐτόλμησε μετ' αἰχμῆς ἀντιστῆναι. (v. 260—3) Ὅτι καυχᾶται Ἰδομενεὺς χαίρων καὶ διὰ τοῦτο ἐπορχούμενος οἷον καὶ τῷ μετ' ἐπιθέτων καὶ παρίσων κάλλει τῆς φράσεως, ὡς δούρατά τ' ἐστὶν αὐτῷ καὶ ἀσπίδες ὀμφαλόεσσαι καὶ κόρυθες καὶ θώρηκες λαμπρὸν γανόωντες, ἤγουν γάνος ἐμποιοῦντες τῷ βλέποντι. «οὐ γὰρ οἴω», φησίν, «ἀνδρῶν δυσμενέων ἑκὰς ἱστάμενος πολεμίζειν», ἀλλὰ δηλονότι ἀγχέμαχός εἰμι μαχητής. Λέγει δὲ μετὰ ἁπλότητος ἡρωϊκῆς καὶ ὅτι «δούρατα [δέ», ἤγουν δή,] «αἴ κ' ἐθέλησθα, καὶ ἓν καὶ εἴκοσι δήεις», ὅ ἐστιν εὑρήσεις, «ἑσταότα ἐν κλισίῃ πρὸς ἐνώπια παμφανόωντα, Τρώϊα», ὡς λάφυρα δηλαδή. διὸ καὶ ἐπάγει «τὰ κταμένων ἀποαίνυμαι», ὡς ἔναρα, ὁ δὴ μετ' ὀλίγα ὁ Μηριόνης ἐρεῖ, συντεμὼν τὸ τοῦ Ἰδομενέως περιφραστικόν. καὶ εἶχε μὲν εἰπεῖν καὶ ἄλλον ἀριθμὸν ὁ Ἰδομενεύς, ἠρκέσθη δὲ ἀφελῶς καὶ ἀσκέπτως, ὡς ἐν σχεδιασμῷ εἰπὼν «καὶ ἓν καὶ εἴκοσι». (v. 261) Τὸ δὲ «παμφανόωντα» ἢ πρὸς τὸ ἐνώπια κολλητέον ἢ πρὸς τὸ δόρατα, ὁποῖον καὶ τὸ «ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφανόωντα». καὶ οὕτω μὲν ὁ Ἰδομενεύς. (v. 266—71) Μηριόνης δὲ συντομώτατα καὶ αὐτὸς φράζων φησίν· καί τοι ἐμοὶ πόλλ' ἔναρα Τρώων. εἶτα προστίθησιν ἁπλοϊκῶς οὕτω κατὰ ἀφέλειαν καὶ αὐτὸς πλατύτερον μὲν ἤπερ Ἰδομενεύς, ἀπεστενωμένον δὲ ἄλλως ἔπαινον ἑαυτοῦ, λέγων «οὐδὲ γὰρ οὐδ' ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆς, ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν ἵσταμαι, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο», τουτέστιν ὅτε πόλεμος ἐγείρεται. Καὶ σημείωσαι ὅτι Ἰδομενεὺς μὲν τὸ περὶ τῶν ὅπλων πλατύνας ἀπεστένωσε τὸ οἰκεῖον σέμνωμα, Μηριόνης δὲ ἀνάπαλιν ποιεῖ. καί εἰσι ταῦτα Ὁμηρικαὶ μέθοδοι πρὸς μῆκος λόγου καὶ βραχύτητα. Ὅρα δὲ καὶ ὡς οἱ ἥρωες οὗτοι ἐπιτέμνουσι τοὺς οἰκείους ἐπαίνους καὶ οὐκ ἐθέλουσι μακρὰ περιαυτολογεῖν ἔξω καιροῦ, ὅπερ ὁ Τεῦκρός που ἐποίησεν ἀφηγούμενος ἀγνοοῦντι τῷ βασιλεῖ ὅσων Τρώων κατετοξάσατο. Αἰτία δὲ τῆς συντομίας ταύτης, ἣν καὶ αὐτὸς Ὅμηρος τεχνικῶς θεωρεῖ, τὸ πρὸς εἰδότα δηλαδὴ λέγειν. (v. 272 s.) Φησὶ γὰρ ὁ Μηριόνης «ἄλλον πού τινα μᾶλλον λήθω μαρνάμενος, σὲ δὲ ἴδμεναι αὐτὸν οἴω». Καὶ ὅρα τὸ «οἴω» τοῦτο, ἑτεροῖον ὂν παρὰ τὸ «οὐ γὰρ οἴω δυσμενέων ἑκὰς ἱστάμενος πολεμίζειν», ὃ δὴ ὁ Ἰδομενεὺς ἔφη.

3.467 ἐκεῖνο γὰρ πάνυ ἀφελὲς ἤπερ τοῦτο. οὐ γὰρ ἐθέλει ἐκεῖνος ἀξιωματικῶς ὑπὲρ ἑαυτοῦ εἰπεῖν ὁμοίως τῷ Μηριόνῃ «οὐδὲ γὰρ οὐδ' ἐμέ φημι ἐπιλελῆσθαι ἀλκῆς», ἀλλ' ἐνδοιάζει ἐπιεικῶς ὡς μὴ γαῦρος τὸ ἦθος κατὰ τὸν Μηριόνην καὶ φιλότιμος. ὅπερ Ἰδομενεὺς αἰσθόμενος, τὸ φιλότιμον δηλαδὴ τὸν Μηριόνην εἶναι, πλατὺ ἐγκώμιον εὐθὺς κατατείνει αὐτοῦ μετ' ὀλίγα, καὶ ὁ Μηριόνης ἡδέως ἀκούων ἵσταται. (v. 292) Ἐφ' οἷς αἰσθόμενος ὁ ποιητὴς ὡς μέμψοιτο ἄν τις τοὺς ἥρωας ἀργοὺς ἑστῶτας καὶ εἰς οὐδὲν δέον τοιαῦτα λαλοῦντας, ἐρεῖ «μηκέτι ταῦτα λεγώμεθα» καὶ ἑξῆς. Εὐριπίδης μὲν οὖν τὴν Ἑκάβην ἠθικευομένην πλάσας καὶ φιλοσόφως προβαλλομένην ἀπορίαν καὶ λύουσαν ἐν τῷ «ἆρ' οἱ τεκόντες διαφέρουσιν ἢ τροφαί», εἶτα καταγνοὺς ἀκαιρίαν τῆς τοιαύτης φιλοσοφίας τοῦ λόγου ἐπήνεγκεν Ὁμηρικῷ δῆθεν ζήλῳ τὸ «ταῦτα μὲν δὴ νοῦς ἐτόξευσε μάτην». Ἀλλ' ἐὰν μάτην, διὰ τί, ὦ Εὐριπίδη, ὅλως ἐτόξευσεν; Ὁμήρῳ δὲ οὐ μάτην ἐνταῦθα λελάληταί τι, εἰ καὶ ἀφελῶς διὰ μίμησιν καίριον. (v. 293) Ὅθεν οὐδὲ καταγινώσκει ἑαυτοῦ, ἀλλ' ἐρεῖ «μή τις ἡμῖν νεμεσήσῃ ὑπερφιάλως», ὅ ἐστιν ὑπὲρ τὸ δέον. οὐ γὰρ ἁπλῶς λαλοῦσιν ἃ μὴ χρή, ἀλλὰ πολλὰ καμόντες λόγοις ἀναψύχουσι φίλον ἦτορ, καθὰ καὶ ἕτεροι πρὸ αὐτῶν, βραχεῖαν εὑρόντες πολέμου ἄδειαν. (v. 268) Ὅρα δὲ ὅτι τὸ «ἔναρα Τρώων» ἀνωτέρω ἄλλως ἔφρασεν Ἰδομενεὺς εἰπὼν «Τρώϊα, τὰ κταμένων ἀποαίνυμαι», ὅ ἐστιν ἀφαιροῦμαι, ὡς καὶ ἀλλαχοῦ τεθὲν ἡρμήνευται. τοῦτο δὲ ὁρισμός ἐστιν ἐνάρων, ὅ ἐστι λαφύρων. ἔναρα γάρ ἐστιν, ἅ τις κταμένων ἀποαίνυται. (v. 270) Ἐν δὲ τῷ «μάχην ἀνὰ κυδιάνειραν ἵσταμαι» ἦν εἰπεῖν καὶ δι' ἀπαρεμφάτου, ἵνα ἔλεγεν· οὐδὲ γὰρ ἐμέ φημι λελῆσθαι ἀλκῆς, ἀλλὰ μαχόμενον ἵστασθαι. εἵλετο δὲ σχηματίσαι καινότερον. (v. 271) Τὸ δὲ «ὀρώρηται»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ὄρωρα παρακειμένου ἤρτηται, ἀναχθέντος εἰς ἐνεστῶτα τὸν ὀρώρω. Τὸ δὲ «νεῖκος πολέμοιο» πρὸς διαστολὴν ἑτέρων νεικέων εἴρηται. [(v. 269) Ἰστέον δὲ ὅτι τε τὸ λελῆσθαι ἀλκῆς, ὥσπερ καὶ τὸ μεμνῆσθαι ἀλκῆς, φράσις ἐστὶ συνήθης Ὁμήρῳ, καὶ ὅτι σεμνότερόν ἐστι τοῦ δειλιᾶν τὸ λανθάνεσθαι ἀλκῆς. Δῆλον γὰρ ὡς ὁ μὲν δειλιῶν στέρησιν ἀνδρίας πάσχει, ὁ δὲ λαθόμενος ἀλκῆς μνήσεταί ποτε αὐτῆς. καὶ ὅτι τὸ «οὐδὲ γὰρ οὐδ᾽ ἐμέ φημι» κάλλος τε ἔχει διὰ τῶν εὐειδῶν ἀποφάσεων καὶ σεμνότητι κέκραται καὶ ἐπιεικείᾳ. ἐπαινῶν γὰρ σεμνῶς ἑαυτὸν ὁ Μηριόνης ὅμως ὑπολαλεῖ, ἐπικριτικῶς μέντοι, ὡς εἰ καὶ μή τινες ἄλλοι, ἔγωγ᾽ οὖν φημι οὐκ ἄναλκις εἶναι.

3.468 (v. 272) Τὸ δὲ «ἄλλον πού τινα λήθω» οὐκ ἂν ἔχοι ἀμφιβολίαν, ὅτι διστακτικὸν καὶ διὰ τοῦτο ἀνόξυντον ἔχει τὸ που , ταὐτὸν δὲ εἰπεῖν βαρύτονον ἐν τῇ συνεπείᾳ. εἰ δὲ τοῦθ᾽ οὕτως ἔχον ἐστί, καλῶς ἄρα ἡ ἐγκλιτικὴ ἀκολουθία ὀξύνει αὐτὸ πρὸς ὁμοιότητα τοῦ πώποτε. εἰ δέ τις αὐτὸ περισπᾶν ἐθέλει, μὴ φειδέσθω τοῦ γραφικοῦ μέλανος.] (v. 275) Ὅτι πρὸς τὸν παρὰ τοῖς εἰδόσιν ἐθέλοντα περιαυτολογεῖν εἴπῃ ἄν τις οἰκείως τὸ τοῦ Ἰδομενέως πρὸς τὸν Μηριόνην «οἶδ᾽ ἀρετὴν οἷός ἐσσι, τί σε χρὴ ταῦτα λέγεσθαι», τουτέστι μετρεῖν καὶ ἀπαριθμεῖσθαι τὰ οἰκεῖα καλά. Τῷ γὰρ λέγειν ἐπὶ τοῦ λαλεῖν οὐ χρᾶσθαί φασί τινες τὸν ποιητήν, ἀλλ᾽ ἀντ᾽ αὐτοῦ τῷ μυθεῖσθαι ἢ τῷ εἰπεῖν. διὸ οὐδὲ λόγοσ[, φασί,] κεῖται παρ᾽ αὐτῷ, ἀλλὰ μῦθος. καὶ μὴν πολλαχοῦ ἐφάνη καὶ ἐπὶ τοῦ διαλέγεσθαι ἡ λέξις κειμένη, ὡς καὶ μετ᾽ ὀλίγα ἐν τῷ «ἀλλ᾽ ἄγε μηκέτι ταῦτα λεγώμεθα». Ἀρετὴν δὲ καὶ ἐνταῦθα, ὡς καὶ μετὰ βραχέα, τὴν ἀνδρίαν φησίν. οἶδε δὲ καὶ τὴν εὐδαιμονίαν ἀρετὴν καλουμένην, ὅθεν καὶ τὸ «ἀρετῶσι δὲ λαοὶ ὑπ᾽ αὐτοῦ». Ὁ δὲ Ἰδομενεὺς ἐπάγει ἐπαινῶν τὸν Μηριόνην πλατύτερον, ὡς ἐρρέθη, καὶ ὅτι οὐχ᾽ ἁπλῶς ἐν πολέμῳ τῷ ἐκ κοινοῦ δεξιός ἐστιν, ἀλλὰ καὶ ὅτε λόχος καθίζεται, ὡς αὐτίκα εἰρήσεται. (v. 276 s.) Ἰστέον δὲ ὅτι τε μακρὸν ἐνταῦθα κεῖται ὑπερβατὸν ἐν τῷ «εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι ἐς λόχον», ἡ γὰρ τοῦ νοήματος ἀπόδοσις μετὰ δέκα κεῖται στίχους. ἔχει δὲ ὁ τόπος ἔπαινον, ὡς ἐρρέθη, Μηριόνου. καὶ ὅτι κἂν ὁ Μηριόνης ὤκνησεν εἰς πολὺ περιαυτολογῆσαι, ἀλλ᾽ Ἰδομενεὺς ἀναπληροῖ τὸ λεῖπον, αὐτὸς μακρὸν λαλήσας ἔπαινον ἐνδιάσκευον, ὃν καὶ σημείωσαι.

3.469 τὸ μὲν γὰρ νόημα πάντη εὐπερίγραπτον, ὅτι δηλαδὴ ὁ Μηριόνης καὶ ἐν λόχῳ ἄριστος. ὁ δὲ πλατυσμὸς αὐτοῦ ἐν στίχοις ἑκκαίδεκα διείληπται, διασκευάσαντος τοῦ ποιητοῦ ἀρχετυπικῶς ὡς ἐν τύπῳ χαρακτῆρος, ὁποίους δή τινας ὕστερον καὶ Θεόφραστος ἐξετυπώσατο, οἷος μὲν ὁ ἄλκιμος ἐν καιρῷ λόχου, οἷος δὲ ὁ δειλός. (v. 276—87) Φησὶ γὰρ «εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι ἐς λόχον, ἔνθα μάλιστ᾽ ἀρετή», ὅ ἐστιν ἀνδρία, «διαείδεται ἀνδρῶν, ἔνθ᾽ ὅ τε δειλὸς ἀνὴρ ὅς τ᾽ ἄλκιμος ἐξεφαάνθη· τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ, οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύεται ἐν φρεσὶ θυμός, ἀλλὰ μετοκλάζει καὶ ἐπ᾽ ἀμφοτέρους πόδας ἵζει, ἐν δέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει κῆρας ὀϊομένῳ, πάταγος δέ τε γίνεται ὀδόντων· τοῦ δ᾽ ἀγαθοῦ οὔτ᾽ ἂρ τρέπεται χρὼς οὔτε τι λίην ταρβεῖ, ἐπειδὰν πρῶτον ἐσίζηται λόχον ἀνδρῶν, ἀρᾶται δὲ τάχιστα μιγήμεναι ἐν δαΐ λυγρῇ· οὐδέ κεν ἔνθα», τουτέστιν ἐνταῦθα, «τεόν γε μένος καὶ χεῖρας ὄνοιτο». (v. 288—91) Καὶ ἕως ὧδε πληρώσας τὸ νόημα τοῦ, ὡς καὶ ἐν λόχῳ ἄριστος εἶ, ὦ Μηριόνη, ἐπάγει ἕτερον ἔπαινον «εἴ περ γὰρ καὶ βλεῖο πονεύμενος ἠὲ τυπείης, οὐκ ἂν ἐν αὐχέν᾽ ὄπισθε πέσοι βέλος οὐδ᾽ ἐνὶ νώτῳ, ἀλλά κεν ἢ στέρνων ἢ νηδύος ἀντιάσειε πρόσσω ἱεμένοιο μετὰ προμάχων ὀαριστύν». (v. 292 s.) Ἐνταῦθα δὲ λόγου ἐλθών, ἐπείπερ οἶδεν οὐκ ἐν καιρῷ τοιαῦτα λαλεῖν κατὰ τὸ «μήτ᾽ ἄρ με μάλ᾽ αἰνέε», καὶ ὅτι καὶ παρθένου καὶ ἠϊθέου τὸ οὕτω λαλεῖν ἐφ᾽ οἷς οὐ δεῖ, ὡς ἀλλαχοῦ ἐρεῖ ὁ ποιητής, παύει τὸν λόγον, ἐπισημηνάμενος ἀφελῶς λαλῆσαι, οὐ μὴν σταθερῶς, καί φησιν «ἀλλ᾽ ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὣς ἑσταότες, μή πως τις ὑπερφιάλως νεμεσήσῃ», δόξας ὑποκλέπτειν ἡμᾶς τὴν φυγήν, ἐπεὶ καὶ ἄλλως οὐχ᾽ οὕτω χρὴ ἑστάναι, ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κυδιάνειραν ἵστασθαι, ὡς πρὸ βραχέων εἴρηται. Καὶ ὅρα ὅπως ἦθος φιλικὸν ὑπέγραψεν Ὅμηρος καὶ ἐνταῦθα. ἐχθροῖς μὲν γὰρ στρυφνῶς, φίλοις δὲ ἀφελέστερον προσφερόμεθα, ὡς ἐνταῦθα Ἰδομενεὺς μικροῦ καὶ ὡς νήπιος τῷ ἑτέρῳ διαλέγεται. (v. 277) Ὅρα δὲ καὶ οἷόν τι ὁ λόχος, ὃς ἐξ ὀλίγων συνειλεγμένος ταράσσει μὲν διὰ τοῦτο τοὺς δειλούς, ἐκφαίνει δὲ τοὺς ἀλκίμους, οἳ τῷ λόχῳ ἐγγυμνασάμενοι καὶ μονομαχεῖν ἕλοιντο ἄν. Ἰστέον δὲ ὅτι [τε λόχος διττῶς λέγεται, αὐτό τε γὰρ τὸ ἔργον, ἤγουν τὸ λοχᾶν, καὶ τὸ τάγμα δὲ τῶν ἀνδρῶν τὸ τόσον, ἐξ οὗ ὁ λόχος ἀπαρτίζεται, καὶ ὅτι] τὸ «λεγοίμεθα πάντες ἄριστοι», ὅ ἐστιν ἐπιλεγοίμεθα, τὸ ῥῆμά ἐστιν, ἐξ οὗ παράγεται ὁ λόχος. ἐν λόχῳ γὰρ ἔκκριτοι ἐπιλέγονται, καὶ οὐχ᾽ ἁπλῶς ἀλλὰ πάντες. ἐκεῖ γὰρ οὐ τοσοῦτον ποσότητος χρεία, ὅσον ποιότητος τῆς κατ᾽ ἀνδρίαν.

3.470 [Διὸ καί τι ἐτυμολογίας ἔχει τὸ λεγοίμεθα ἐς λόχον.] Ποιεῖ δέ τι κάλλος τὸ λεγοίμεθα μετὰ τοῦ λέγεσθαι, ὃ ἀνωτέρω προέκκειται. Τὸ δὲ «μάλιστα διαείδεται» δηλοῖ ὡς καὶ ἐν τῷ ἑτέρῳ μὲν πολέμῳ διαφανεῖς οἱ ἄριστοι, μάλιστα δὲ ἐν τῷ λόχῳ. οὐ γὰρ ἐπισκοτοῦνται τῷ ὄχλῳ, ἀλλ᾽, ὡς εἰπεῖν, διαείδονται, ὅ ἐστιν ὡς ἐν ἡμέρᾳ διαφαίνονται οὐ μετὰ πλήθους ὄντες. περιττὴ δὲ ἡ δια πρόθεσις ἐν τῷ διαείδεται, καθὰ καὶ ἐν τῷ διειπεῖν καὶ ἐν ἄλλοις. (v. 278) Τὸ δὲ «ἔνθα ὅ τε δειλὸς καὶ ὁ ἄλκιμος ἐξεφαάνθη» διασαφητικόν ἐστι τοῦ «ἔνθ᾽ ἀρετὴ διαείδεται ἀνδρῶν». τὸ μὲν γὰρ ἐξεφαάνθη ταὐτὸν τῷ μάλιστα διαείδεται. ἡ γὰρ ἐξ πρόθεσις ἐπίτασιν δηλοῖ, ὁποίαν καὶ τὸ μάλιστα. ἄλκιμος δέ ἐστιν ὁ τὴν κατ᾽ ἀνδρίαν ἀρετὴν ἔχων. Κακὸν δὲ τὸν δειλὸν ἔφη ὡς ἀπὸ τοῦ χάζω, τὸ ὑποχωρῶ καὶ ἀναποδίζω. οὐκοῦν ἀγαθὸν ἀντιθετικῶς ἐφεξῆς τὸν ἀνδρεῖόν φησι; Τὸ δὲ «τρέπεται χρὼς ἄλλυδις ἄλλῃ» ἀντὶ τοῦ ἄλλοτε ἄλλως, πολύχρωμος δηλονότι γινόμενος κατὰ τὰς τῶν πολυπόδων βαφάς. (v. 280) Τὸ δὲ «ἀτρέμας ἧσθαι» γλυκέως ἐπὶ ψυχῆς κεῖται ἀντὶ τοῦ βεβαίως μένειν. Τὸ δὲ «μὴ ἐρητύεσθαι ἐν φρεσὶ θυμόν» ταὐτόν ἐστι τῷ μὴ κατέχεσθαι, ἀλλά που ἔξω στηθέων ἐκθρῴσκειν, ὅπερ ἀλλαχοῦ πού φησιν ὁ ποιητής. λέγει οὖν ὅτι οὐκ ἐπέχεται τῷ δειλῷ ἡ ψυχὴ ὥστε ἀτρέμας ἧσθαι, ὡς εἴρηται. (v. 281) Τοῦ δὲ μετοκλάζειν πρωτότυπον τὸ κλῶ, ἐξ οὗ πλεονασμῷ καὶ παραγωγῇ τὸ ὀκλάζειν, ὅθεν καὶ δίφρος ὀκλαδίας παρὰ τῷ Κωμικῷ. Τὸ δὲ ἵζει καὶ ἵζεταί φησιν ἐνταῦθα, διχῶς προενεγκών. Σημείωσαι δὲ ὅτι τε τὸ «ἐπ᾽ ἀμφοτέρους ἵζει πόδας» ἐφερμηνευτικόν ἐστι τοῦ μετοκλάζει, ὅ ἐστι κλᾶται, ὃ πάσχει καὶ ὁ καθίζων. καὶ ὅτι τοὺς οὕτως ἵζοντας ἐπ᾽ ἀμφοτέρους πόδας καὶ γονυκρότους τηνικαῦτα δριμέως ἐστὶ προσειπεῖν, καθὰ καὶ οἱ παλαιοὶ δηλοῦσιν, ἐν οἷς φασιν, ὅτι γονύκροτοι οἱ βλαισοί. Ἀνακρέων δὲ κέχρηται καὶ ἐπὶ δειλῶν. εὐτράπελος δὲ ἀνὴρ θήσοι ἂν τὴν λέξιν ταύτην ποτὲ καὶ εἰς ὁμοιότητα τοῦ «λὰξ ἰσχίῳ ἐνάλλεσθαι». (v. 283) Τὸ δὲ «κῆρας ὀϊομένῳ» διδάσκει μὴ χρῆναι τὸν λοχῶντα φαντάζεσθαι κῆρας, ἀλλ᾽ ἀγαθὴν ἐλπίδα προβεβλῆσθαι. (v. 282) Τὸ δὲ πατάσσειν, περὶ οὗ ἐν ἄλλοις εἴρηται, καὶ ὁ ἐξ αὐτοῦ πάταγος παρήχησίν τε ἔχει καὶ τρόπον ἐτυμολογικόν. Εἴη δ᾽ ἂν ἐνταῦθα ταὐτὸν πατάσσειν καὶ βαμβαίνειν εἰπεῖν, ὡς δηλοῖ ὁ τῶν ὀδόντων πάταγος. [Παρῆκται δὲ ὀνοματοποιΐας λόγῳ ἐκ τοῦ πάτου.

3.471 ] (v. 284) Τὸ δὲ «τοῦ δ᾽ ἀγαθοῦ οὔτ᾽ ἂρ τρέπεται χρώς» καὶ τὸ ἑξῆς κατὰ τὸ ἐκ τοῦ ἐναντίου κεφάλαιον εἴρηται. ἔμπαλιν γὰρ ἔχει τοῦτο πρὸς τὸ «τοῦ κακοῦ τρέπεται χρώς». Ἐκ τοῦ χροῦς δὲ ἴσως ὁ χρὼς κατὰ τὸ Μοῦσα Μῶσα. εἰ δὲ μὴ περισπᾶται κατὰ τὸν χροῦν, αἰτιατέον τὸν χαρακτῆρα τῶν εἰς ως ὀξυτόνων. Τὸ δὲ «οὐ λίαν ταρβεῖ» τινὲς μὲν ἀντὶ τοῦ οὐδ᾽ ὅλως, ὁμοίως τῷ οὐ πάμπαν, ἕτεροι δὲ ἁπλούστερον ἀντὶ τοῦ οὐ πάνυ κατὰ τὸν τῆς ἀνδρίας κανόνα. ταρβήσει μὲν γάρ ποτε καὶ ὁ ἀνδρεῖος, οὐ λίαν δέ, κατὰ τὸ «μηδὲν ἄγαν». (v. 285) Τὸ δὲ «ἐπειδὰν πρῶτον ἐσίζηται λόχον ἀνδρῶν» ἀσφαλῶς καὶ αὐτὸ πρόσκειται. πρὶν μὲν γὰρ τὸν λόχον θαρρῆσαι, ταρβήσοι ἂν ὁ συνετὸς διὰ τὸ ἄδηλον τοῦ τε τῶν πολεμίων ποσοῦ καὶ ποιοῦ καὶ τοῦ κατὰ τὴν μάχην τέλους, ἐπὰν δὲ πρῶτον, ὅ ἐστι καθάπαξ, ἐσίζηται λόχον καὶ τοῦ ἔργου γένηται, τότε δὴ καὶ εὔξεται μάχην. ἄκαιρος γὰρ τοῦ λοιποῦ ὁ φόβος καὶ βλαπτικός. Ἰστέον δὲ ὅτι τὸ «ἐσίζηται λόχον» γέγονέ τισιν ἀφορμὴ ἐτυμολογῆσαι τὸν λόχον οὐ μόνον, ὡς ἐρρέθη,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ τοῦ ἐπιλέγεσθαι, ἀλλὰ καὶ ἀπὸ τοῦ λέγω, τὸ κάθημαι καὶ κεῖμαι, ὡς τῶν λοχώντων οὕτω ποιούντων ὡς ἐπὶ πολὺ πρὸ τοῦ καιρίου ἔργου καὶ ἐπικρυπτόντων ἑαυτοὺς ἄλλον τρόπον ἤπερ ὁ πρὸ ὀλίγων μετοκλάζων καὶ ἐπὶ πόδας ἵζων [Ὅθεν καὶ ἔγκρυμμα τὸν λόχον ὁ τοῦ δήμου ἄνθρωπος λέγει. κρύπτονται δὲ πάντως οἱ μὴ τετανοὶ ἑστῶτες, ἀλλ' ἀναγκαίως ἐν τῷ συνιζάνειν συστέλλοντες ἑαυτοὺς ὡς μὴ προφαίνεσθαι. Εἰ δὲ τὸ οὕτω λέγεσθαι, ἀφ' οὗ ὁ λόχος, ταὐτόν ἐστι τῷ ἵζειν καὶ τῷ ἕζεσθαι, καλῶς ἄρα καὶ ἐνέδρα ὁ λόχος, ὡς ἀπὸ τοῦ ἕζω ἡρμήνευται. οὕτω δὲ καὶ λοχᾶν τὸ ἐνεδρεύειν.] (v. 287) Ἐν δὲ τῷ «χεῖρας ὄνοιτο» λείπει ὄνομα, οἷον τὸ τίς, ἢ τὸ ὁ θέλων ὀνόσασθαι. οὕτω δὲ ἐλλιπῶς ἐφράσθη διὰ τὸ τοῦ λέγοντος ἐναγώνιον καὶ τὸ μιγῆναι ἐν δαῒ λυγρῇ. οὐ γὰρ χρὴ νοεῖν μιγῆναι τῇ μάχῃ, ἐμποδίζει γὰρ εἰς τοῦτο ἡ ἐν πρόθεσις, ἀλλ' ὅτι ἠρᾶτο μιγῆναι τοῖς Τρωσὶν ἢ τοῖς πολεμίοις ἐν τῇ δαΐδι, ἐξ ἧς ἀποκέκοπται τὸ δαΐ. [Σημείωσαι δὲ τὸ ὄνοιτο, ἤγουν μέμφοιτο, ἐκ βαρυτόνου θέματος κινηθὲν ἀρρήτου τοῦ ὄνω. εἰ γὰρ ἦν ἐκ τοῦ ὀνῶ ὀνόσω, ἦν ἂν περισπωμένως ὀνοῖτο, κατὰ τὸ ὁμοίμην ὁμοῖο ὁμοῖτο.] (v. 288) Ἐν δὲ τῷ «βλεῖο ἢ τυπείης» φανερὰ διαφορὰ τοῦ βάλλειν καὶ τύπτειν, ὡς καὶ ἀλλαχοῦ. Διὰ διφθόγγου δὲ γράφεται τὸ «βλεῖο», οἷα εὐκτικὸν μέσου ἀορίστου δευτέρου ἀπὸ τοῦ βλῆμι ἀχρήστου ῥήματος, οὗ δεύτερος ἀόριστος ἔβλην, μέσος δὲ ἐβλέμην, καὶ εὐκτικὸν βλείμην βλεῖο, οὐ προσιτὰ ταῦτα λόγῳ πεζῷ.

3.472 Ἰστέον δὲ ὅτι ἐντελέστερον ἔφη νῦν ὁ Ἰδομενεὺς ἀμφότερα εἰπὼν καὶ τὴν βολὴν καὶ τὴν τυπὴν ἤπερ πρὸ ὀλίγου τὸ ἓν μόνον εἰπὼν ἐν τῷ «τίπτ' ἦλθες λιπὼν πόλεμον; ἢ βέβληαι;» καὶ χρὴ καὶ ἐκεῖ συνεπινοῆσαι λόγῳ συνεκδοχικῷ, ἤτοι συλληπτικῷ, καὶ τὸ ἕτερον, ἤγουν τὸ τέτυψαι, ἵνα εἴπε· βέβλησαι ἢ τέτυψαι. Τὸ δὲ «πονεύμενος» κατὰ φιλίαν ποιητικὴν ἐφράσθη. οὐκ εὐηρεστήθη γὰρ κοινότερον εἰπεῖν πονούμενος. (v. 289) Τὸ δὲ «ἐν αὐχένι πέσοι βέλος» καλῶς μὲν πέφρασται καὶ αὐτό, οὐχ' ἧττον δὲ καλὸν καὶ τὸ συνθέτως εἰπεῖν «ἐμπέσοι αὐχένι». Σημείωσαι δὲ ὅτι αὐχὴν οὐ μόνον ἐπὶ ζῴων λέγεται ἀλλὰ καὶ ἐπὶ καρπῶν, ὡς δηλοῖ ὁ οὕτω γράψας· ἔσμα φησὶν Ἀριστοτέλης, Θεόφραστος δὲ μίσχον, ἔστι δὲ ὁ αὐχὴν τοῦ καρποῦ τῶν ἀκροδρύων. (v. 290) Ὅτι δὲ ἀγεννὲς μὲν ἡ κατὰ νώτου πληγή, ἐπαινετὸν δὲ ἡ ἐκ τῶν ἔμπροσθεν, προδεδήλωται ἱκανῶς. Ἰστέον δὲ καὶ ὅτι ἔχει τι ἀφελοῦς ἁπλότητος καὶ τὸ «στέρνων ἢ νηδύος ἀντιάσειεν». εἰκὸς γὰρ καὶ ἄλλως τὸν ἀριστέα βληθῆναι καὶ κατὰ πρόσωπον ἢ χεῖρας ἢ ἀλλαχοῦ που τῶν ἔμπροσθεν. ὁ δὲ τὸ ὡς ἐπὶ τὸ πλεῖστον εἶπεν. οὐ μακρὰν δὲ τοιαύτης γλυκύτητος οὐδὲ τὸ ἀντιάσειεν. εἴρηται γὰρ ὡς ἐπὶ ἐμψύχου καθ' ὁμοιότητα τοῦ «ἀντιόων ταύρων» καὶ ἑξῆς. (v. 291) Τὸ δὲ «πρόσω ἱεμένου» πρὸς διαστολὴν κεῖται τοῦ ἄλλως ἔμπροσθεν βαλλομένου ἐν τῷ ἀπρακτεῖν, ὃς οὐκ ἂν εἴη ἀγαθός. Ὀαριστὺς δὲ ἡ ἁπλῶς ὁμιλία, ταὐτὸν δ' εἰπεῖν συνουσία, ὡς καὶ ἀλλαχοῦ φαίνεται. Δῆλον δὲ ἐκ παρασημειώσεως παλαιᾶς καὶ ὅτι ὄαρος λόγος, ὁμιλία, παιδιὰ ἢ παιδεία παροξυτόνως. καὶ ἄλλως δέ, προμάχων ὀαριστύς, ὅ ἐστιν ὁμιλία, καθ' ἣν καὶ ὅμιλος ἂν ῥηθείη προμάχων τῶν ἑκατέρωθεν, καὶ ὁμιλαδόν ἐπίρρημα. [Συγγενὴς δὲ τοῖς τοιούτοις λέξις καὶ ἡ μῖξις, καθ' ἣν προεγράφη τὸ μιγήμεναι ἐν δαῒ λυγρῇ. Γίνεται δὲ ἡ ὀαριστὺς καὶ ὁ ἐν Ὀδυσσείᾳ δὲ ὀαριστής, ἤγουν ὁμιλητής, καὶ ὁ πρὸ βραχέων ὄαρος, καὶ ὁ παρὰ Πινδάρῳ δὲ Ὀαρίων καὶ κατὰ κρᾶσιν Ὠρίων, ὅθεν καὶ ἡ ξυνωρὶς καὶ τὸ τέτρωρον καὶ ὧρες αἱ γυναῖκες, περὶ ὧν ἀλλαχοῦ δηλοῦται σαφέστατα. δῆλον γὰρ ὅτι προϋπόκειται τούτων καὶ τῶν τοιούτων τὸ ἀείρω, οὗ χρῆσις ἐν τῷ «σὺν δ' ἤειρεν ἱμᾶσι».] (v. 292) Νηπύτιος δέ, οὗ χρῆσις καὶ παρὰ τῷ Κωμικῷ, ὁ μὴ φρονῶν, ἀλλ' ἐστερημένος τοῦ πεπνῦσθαι καὶ πινυτότητος, ἤγουν φρονήσεως.

3.473 τολμήσῃ δ' ἄν τις εἰπεῖν ἐντεῦθεν συγκεκόφθαι καὶ τὸν νήπιον ὅτε ἐπὶ ἄφρονος λέγεται. Ἀντιτίθησι δὲ ὁ Κωμικὸς τῷ νηπυτίῳ τὸν τρίβωνα, ὅς ἐστιν ἐντριβὴς περὶ πράγματα, ὃν ἄλλοι φασὶ καὶ τριβακόν. (v. 294) Ὅτι τὸ ἕλε, ὅ ἐστι λάβε, παθητικῶς νῦν φράζει ἐν τῷ «ἀλλὰ σύ γε ἕλευ ὄβριμον ἔγχος». (v. 296) Τὸ δὲ εἵλετο μετὰ προθέσεώς φησιν εἰπὼν «ἀνείλετο χάλκεον

ἔγχος», ὁ Μηριόνης δηλαδή, ἐκ τῆς κλισίας Ἰδομενέως τοῦ ἑταίρου, ἐπεὶ καὶ κοινά, ὡς ἐρρέθη, τὰ τῶν φίλων. (v. 295—7) Ἐνταῦθα δὲ Μηριόνης μὲν θοῷ ἀτάλαντος Ἄρηϊ λέγεται, Ἰδομενεὺς δὲ μέγα πτολέμοιο μεμηλώς, καθά πού τις ἕτερος μέγα πλούτοιο μεμηλώς. Διὸ ἐφεξῆς αὐτίκα παραβολὴν σεμνὴν ὁ ποιητὴς προσαρμόσει αὐτοῖς, δαιμονίως καθά που τὸν βασιλέα, οὕτω νῦν τοὺς τῶν Κρητῶν ἀρχηγοὺς εἰκάζων. (v. 298—304) Φησὶ γὰρ «οἷος δὲ βροτολοιγὸς Ἄρης πόλεμόνδε μέτεισι, τῷ δὲ Φόβος φίλος υἱὸς ἅμα κρατερὸς καὶ ἀταρβὴς ἕσπετο, ὅς τ' ἐφόβησε ταλάφρονά περ πολεμιστήν· τὼ μὲν ἂρ ἐκ Θρῄκης Ἐφύρους μέτα», ἤγουν εἰς Ἐφύρους, «θωρήσσεσθον ἠὲ μετὰ Φλεγύας μεγαλήτορας, οὐδ' ἄρα τώ γε ἔκλυον ἀμφοτέρων, ἑτέροισι δὲ κῦδος ἔδωκαν· τοῖοι Μηριόνης τε καὶ Ἰδομενεύς, ἀγοὶ ἀνδρῶν, ἤϊσαν», ἤγουν ἤρχοντο, εἰς μάχην, Ἰδομενεὺς μὲν ἴσως τύπον φέρων Ἄρεος, Μηριόνης δὲ Φόβου, ὡς νεώτερος. Καὶ ὅρα, ὡς καὶ τὴν τοιαύτην παραβολὴν ποικίλως ἤρτυσεν ὁ ποιητής, οἷα ἐθὰς ὢν δαιδάλλειν πολυμαθέστερον τὰς παραβολάς, πῇ μὲν ἰδιότητι ζῴων, πῇ δὲ παθήμασι φυσικοῖς, ἔστι δὲ οὗ καὶ ἠθικοῖς παραγγέλμασι, πολλαχοῦ δὲ καὶ ἑτέροις πράγμασιν, οἷς ἐν βίῳ χρῶνται ἄνθρωποι, ἐνιαχοῦ δὲ καὶ ἱστορίαις, καθὰ καὶ ἐνταῦθα τὴν Θρᾴκην Ἄρεος οἰκητήριον εἶναι δηλοῖ διὰ τὸ τῶν Θρᾳκῶν δηλαδὴ φιλόμαχον. Φιλοπολέμους δὲ καὶ τοὺς Ἐφύρους καὶ τοὺς Φλεγύας ἱστορεῖ. διὸ καὶ χαίρειν αὐτοῖς τὸν Ἄρην φησὶν ἐκ Θρῄκης εἰς αὐτοὺς ἰόντα. οὗ καὶ τὸ ἀλλοπρόσαλλον ἐνταῦθα δεικνὺς λέγει αὐτὸν οὐκ ἀμφοῖν τοῖν μεροῖν ἐν τοῖς ῥηθεῖσιν ἀκούειν, ἀλλ' ἑτέροις κῦδος διδόναι, ὅ ἐστιν ἑτεραλκέα νίκην, ὡς ποτὲ μὲν τούτοις, ποτὲ δὲ ἐκείνοις χαριζόμενον. (v. 299) Ὅρα δ' ἐνταῦθα καί, ὡς ἀριδήλως ὁ Φόβος υἱὸς Ἄρεος πλάττεται, εἰ καὶ ἀλλαχοῦ ἐν τῷ «ἵππους κέκλετο Δεῖμόν τε Φόβον τε ζευγνύναι» ὁ γραμματικὸς Ἀντίμαχος ἵππους Ἄρεος τὸν Δεῖμον καὶ τὸν Φόβον νοεῖ.

3.474 (v. 299 s.) Σημείωσαι δὲ καὶ τὸ «Φόβος ἀταρβής» καὶ τὸ «ὃς ἐφόβησε ταλάφρονα». οὐ γὰρ ἁπλῶς φόβῳ εἰκάζοιτ' ἂν ὁ Μηριόνης, ὅτι μηδὲ φύζηλις ἦν, ἀλλὰ τῷ τοῦ φεύγειν αἰτίῳ, τουτέστι τῷ θάρσει ἢ τῷ ἀνδρισμῷ τῷ φεύγειν ποιοῦντι. διττὸς γὰρ ὁ φόβος, ὅ τε τοῦ φεύγοντος καὶ ὁ ἐκ τοῦ κατόπιν διώκοντος, τοῦ μέν, ὡς πάσχοντος φόβον, ἤγουν φυγήν, διὰ τάρβος, τοῦ δέ, ὡς ποιοῦντος καὶ ἀταρβοῦς καὶ ἀεὶ κατ' ἐνέργειαν φοβοῦντος, οὐ μήν ποτε καὶ φοβουμένου ἕτερον. ὃς καὶ Ἄρεος υἱὸς μυθεύεται σωματωδέστερον καὶ ἑπόμενος αὐτῷ ἑτεροῖον φόβον ὁμώνυμον τοῖς μαχομένοις ἀποτελεῖ τὸν ἐκ τοῦ φέβεσθαι παρονομαζόμενον, ὃν ἡ δειλία γεννᾷ. διὸ καὶ ὁ ποιητὴς ἑρμηνεύων ἔφη «Φόβος κρατερὸς καὶ ἀταρβής, ὃς ἐφόβησε ταλάφρονά περ πολεμιστήν». ἐξ οὗ διασαφεῖται ὁ ἐν ἄλλοις ἀταλάφρων σαφέστατα. Ὅτι δὲ φιλεῖται τῷ τῶν Θρᾳκῶν ἔθνει ὁ πόλεμος, δηλοῖ καὶ ὁ εἰπών, ὡς περὶ Θρᾴκην ὁ Ἄρης καλός. ἔνθα εἰ στίζονται, εὐγενὲς τοῦτο κρίνουσι, καὶ γῆν μὲν ἐργάζεσθαι ἄτιμον οἴονται, ζῆν δὲ ἀπὸ πολέμου καὶ λῃστείας κάλλιστον. (v. 301 s.) Περὶ δὲ Ἐφύρων καὶ Φλεγυῶν εἴρηται μέν τι καὶ ἐν τῇ Βοιωτίᾳ, νῦν δὲ ἐκεῖνα ἰστέον, ὅτι οἱ Ἔφυροι, ὅ ἐστιν οἱ Κραννώνιοι, ἢ οἱ ἐξ Ἐφύρης τῆς Ἠπειρωτικῆς Θεσπρωτοί, μάχιμοι ἐτύγχανον καὶ δραστήριοι. Ὁμοίως δὲ καὶ οἱ Φλεγύαι, ὅμοροι τοῖς Ἐφύροις ὄντες ἢ κάτοικοι τῆς ἐν Φωκίδι Γυρτώνης ἢ περὶ τὴν Δαυλίδα τῆς Φωκίδος, ἀσεβεῖς ἄνδρες καὶ λῃστρικοί, οἳ καὶ τὸν ἐν Πυθοῖ ναὸν ἐπόρθησαν. καὶ τὰς Θήβας δὲ διὰ τὸ ἐξ αὐτῶν δέος τετειχίσθαι ὑπ' Ἀμφίονος καὶ Ζήθου φασίν. ὧν θανόντων ἁλῶναί τε πάλιν τὴν πόλιν ὑπὸ Φλεγυῶν Εὐρυμάχου βασιλεύοντος καὶ ἔρημον μεῖναι αὐτὴν μέχρι Κάδμου. οὕτω δὲ ἦσαν βίαιοι καὶ ὑβρισταί, ὥστε καὶ τὸ ὑβρίζειν, φασί, δι' αὐτοὺς παρὰ Φωκεῦσι φλεγυᾶν λέγεσθαι. μῦθος δέ ἐστι ταρταρωθῆναι αὐτοὺς ὑπ' Ἀπόλλωνος Θηβαίοις ἐπιχειροῦντας. Λέγονται δὲ οὐ μόνον Φλεγύαι ἀπὸ εὐθείας τῆς Φλεγύας, ὡς ὁ Μινύας, ἀλλὰ καὶ Φλέγυες ἀπὸ τοῦ Φλέγυς Φλέγυος, ὡς νέκυος. Πολλῶν δὲ οὐσῶν Ἐφυρῶν, ὡς καὶ ἐν τῇ Βοιωτίᾳ καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δηλοῦται, τῶν μὲν ἄλλων τὸ ἐθνικὸν Ἐφυραῖος λέγεται. ἔστι δέ τις κώμη Αἰτωλικὴ Ἔφυρα, ἧς τὸ ἐθνικὸν Ἔφυρος, ὥς φησιν ὁ τὰ Ἐθνικὰ γράψας, παρ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ᾧ καὶ Φλεγύα εὕρηται πόλις Βοιωτίας ἀπὸ Φλεγύου, υἱοῦ Ἄρεος, ἧς, φησίν, ὁ πολίτης Φλεγύας καὶ Φλεγυεὺς καὶ Φλεγύης καὶ Φλέγυς.

3.475 φαίνεται δὲ παρ’ αὐτῷ καὶ οὐ μόνον ἰσοσυλλάβως κλίνεσθαι Φλεγύας Φλεγύου, ἀλλὰ καὶ περιττοσυλλάβως Φλεγύαντος. καὶ τοῦτο μὲν οὕτω. Μήποτε δέ, ὥσπερ ἐκ τοῦ Κέρκυρα Κερκυραῖος γίνεται κατὰ ἀποκοπὴν Κέρκυρ Κέρκυρος, οὕτω καὶ Ἔφυρα Ἐφυραῖος, ὅθεν Ἔφυρ Ἔφυρος, καὶ ἀπ’ αὐτοῦ κατὰ ἀναδρομὴν γενικῆς εἰς εὐθεῖαν ὁ Ἔφυρος, οὗ πληθυντικὸν οἱ Ἔφυροι. Ὅτι δὲ ἦν καὶ Ἐφύρη ἡ καὶ Κραννὼν λεγομένη, ἀφ’ ἧς οἱ ῥηθέντες Κραννώνιοι, ἡ ἱστορία λέγει. ἐν ᾗ δύο μόνους ἀεὶ κόρακας εἶναί φασιν, οἳ ὅταν ἴσους αὑτοῖς ἐκνεοττεύσωσιν, ἀφιπτάμενοι οἴχονται. Ἐν δὲ τοῖς τοῦ Γεωγράφου δηλοῦται Ἐφύρους μὲν λέγεσθαι τοὺς Κραννωνίους, Φλεγύας δὲ τοὺς Γυρτωνίους, οὕτω πρότερον καλουμένους ἀπὸ Φλεγύου, ἀδελφοῦ Ἰξίονος. Γυρτῶνα δὲ πόλιν λέγει Μαγνῆτιν πρὸς ταῖς τοῦ Πηνειοῦ ἐκβολαῖς. Ῥήτωρ δέ τις, κατὰ στοιχεῖον συντάξας ἅπερ ἐπόνησε, λέγει καὶ ὅτι φλεγύας ξανθὸς ἀετός, κατὰ γλῶσσάν τινα, ὡς ἔοικεν. Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ «εἰς Ἐφύρους ἢ Φλεγύας θωρήσσεσθον» ἄδηλον εἴτε κατ’ ἀλλήλων εἰσὶν οἱ τοιοῦτοι μάχιμοι εἴτε καὶ κατά τινων ἑτέρων πλησιοχώρων αὐτοῖς. [Ἰστέον δέ, ὡς καθ’ ὁμοιότητα τοῦ Ἐφύρη Ἔφυρος φέρεται καὶ παρὰ τοῖς ἄρτι ἐκ τοῦ γέφυρα εἴτ’ οὖν Ἰωνικῶς γεφύρη Γέφυρος, λόγῳ τοιούτῳ. Ἔχει καθιστοροῦσα ἡ τοῦ Πέλοπος νῆσος γυναῖκα ἐπιφανοῦς ἀνδρὸς εἰς ἐννέα εὐθυβολήσασαν βρέφη καθ’ ἕνα τοκετόν.

3.476 καὶ ἡ μὲν μήτηρ πυθμενικῶς οἷον ὑπεξεῖλε δύο μόνα νεογνά, τὰ δὲ λοιπὰ εὐλαβηθεῖσα μὴ καὶ τεκεῖν σκωφθείη, καθὰ καὶ ὗς θήλεια, ἐξέδοτο θεραπαίναις, εἴ πως ἔκ τινος ἐγχωρίου γεφύρας καταρρίψασαι βυθίσαιεν εἰς παραρρέοντα ποταμόν. καὶ οὕτω μὲν αὐτὴ πλοῦτον γένους ὑπέκλεπτε τῷ ἀνδρί, ὄντι ἐκδήμῳ. ὡς δὲ αἱ μὲν ἀμφίπολοι ἀπῄεσαν διακονήσουσαι τῇ τῆς δεσποίνης ἀπανθρωπίᾳ, ὁ δὲ ἀνὴρ εὐτυχῶς τοῖς βρέφεσιν ἐπανήει καὶ πυθόμενος τὰ τοῦ φόρτου, ὡς ἔμαθε τὴν φορτικὴν συγκυρίαν, ἀνεσώσατο τὰ νεογιλὰ καί, ὡς οἷον εἰπεῖν, ἀνελάβετο ἐκ Κωκυτοῦ ἢ Ἀχέροντος ἢ Στυγός. καὶ ἀναδοὺς αὐτὰ τροφοῖς ἀγέλην τέκνων περιεποιήσατο. καὶ ὡς περιεγένοντο ἕως καὶ εἰς αὔξην ἐκεῖνοι, Γέφυροι ἐπεκλήθησαν καί που περίεισιν αἱ ἐξ ἐκείνων διαδοχαὶ κηρύττουσαι τὸ θαυμάσιον. εἰ γὰρ καὶ πενταδύμους οἶδε τὸ καθ’ ἡμᾶς γένος φύντας, ὧν εἷς καὶ εἰς ἀξίαν προήχθη οὐκ ἄσημον, ἀλλὰ τὸ τῶν εἰρημένων Γεφύρων οὐκ ἔχει πλείω τεραστίαν ὑπερβολήν.] (v. 305) Τοῦ δὲ «ἤϊσαν» τὸ θέμα εἴω, ἐξ οὗ καὶ ὑπερσυντέλικος ἠΐειν ἀντὶ τοῦ ἦλθον. ὥσπερ δὲ τὸ ἤϊσαν συναιρεθὲν γίνεται ᾖσαν, οὕτω καὶ τὸ ἠΐειν ᾔειν σὺν προσγραφῇ τοῦ ἰῶτα. ἐν Ὀδυσσείᾳ δὲ καὶ παρατατικὸς κεῖται μετὰ προσγραφῆς ὁμοίας ἐν τῷ «ᾔομεν ἀνὰ δρυμά». ἔστι δὲ καὶ ἀόριστος τοῦ εἴω ἤϊα. δῆλον δὲ ὡς καὶ τὸ ἐΐω συναιρεθὲν εἴω γίνεται, οὗ χρῆσις ἐν τῷ «ἐγκίκρα ὡς εἴω», ἤγουν κίρνα ὅπως πορευθῶ. τούτου δεύτερος ἀόριστος ἐνεργητικὸς ἴον, οὗ μετοχὴ ἰών, ὡς λείβω ἔλιβον λιβών, λείπω ἔλιπον λιπών. (v. 307—9) Ὅτι κατὰ σχῆμα συντομίας ἐνταῦθα εἰς τρία διαιρεῖ τὸ πᾶν τοῦ στρατοῦ λέγων «πῇ μέμονας καταδῦναι ὅμιλον; ἢ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ ἢ ἀνὰ μέσσους ἢ ἐπ’ ἀριστερόφιν». Ἐντεῦθεν δὲ παρὰ τοῖς ὕστερον ἡ τοῦ στρατεύματος τάξις ἐκ τῶν δύο κεράτων καὶ τῆς μεσότητος σύγκειται. Ἀπερίεργα δὲ πάρισα τὸ δεξιόφιν καὶ τὸ ἀριστερόφιν, ὡς καὶ ἐν τοῖς ἑξῆς τὸ «μακροῖσι ξυστοῖσι» καὶ «νήεσσι θοῇσι» καὶ «πελέκεσσι νεήκεσσιν».

3.477 Ἰστέον δὲ ὅτι πάνυ κινδυνῶδες τὸ καὶ ἐν δεξιοῖς καὶ ἀνὰ μέσους καὶ ἐπ’ ἀριστερὰ ἐθέλειν ἐλθεῖν τινα ἐπὶ συμμαχίᾳ, ὡς πανταχοῦ χρείας οὔσης. (v. 309 s.) Διὸ καὶ ὁ ποιητὴς ἐπισημαίνεται εἰπὼν «ἐπεὶ οὔ ποθι ἔλπομαι οὕτω δεύεσθαι πολέμου καρηκομόωντας Ἀχαιούς», ὅ ἐστιν οὐδαμοῦ οἶμαι ἀπολεμήτους εἶναι. Τοῦτο δὲ ἀφελῶς καὶ γλυκέως εἴρηται. τίς γὰρ ἂν ἄλλως πολέμου δεύοιτο ἐθέλων κακὸν τοιοῦτον, ὅπερ οὐδεὶς ἂν ἐθέλοι. Λέγει οὖν, ὡς πανταχόθεν οἱ Ἀχαιοὶ πολεμούμενοι ἀνενδεῶς ἔχουσι τοῦ πολεμεῖσθαι, οὐδαμοῦ ἀκινδύνως ἔχοντες. (v. 307) Ἐνταῦθα δὲ κεῖται καὶ Δευκαλίδης συγκοπὲν ἐκ τοῦ Δευκαλιωνίδης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Δευκαλίωνος γάρ, οὐ μὴν Δευκάλου, υἱὸς ὁ Ἰδομενεύς. (v. 313 s.) Ὅτι Τεῦκρος «ἄριστος Ἀχαιῶν ἦν τοξοσύνῃ, ἀγαθὸς δὲ καὶ ἐν σταδίῃ ὑσμίνῃ». καὶ ὅρα τὴν παρίσωσιν τοῦ τοξοσύνη καὶ ὑσμίνη, πρέπουσαν ἐγκωμιαστικῷ εἴδει. Δῆλον δὲ ὡς ἄριστος ὁ Τεῦκρος ἦν Ἀχαιῶν τοξότης τῶν νῦν ὄντων ἐν Τροίᾳ. ἄλλως γὰρ ὁ ἀπόδημος Φιλοκτήτης πάντων ὑπερέχει τῇ τοξείᾳ. Τὸ δὲ τοξοσύνη ὁμοίως τῷ μαντοσύνη καὶ τοῖς τοιούτοις ἐσχημάτισται. Σημείωσαι δὲ τὸ «ἀγαθὸς δὲ καὶ ἐν σταδίῃ ὑσμίνῃ». τοξοτῶν μὲν γὰρ ἄριστος, οὐ μὴν καὶ σταδαίων μαχητῶν, ἀγαθὸς δὲ ἄλλως καὶ ἐν τῇ τοιαύτῃ μάχῃ. ἐν μέσαις δὲ ἄρτι ναυσὶν ἀμύνει ὁ Τεῦκρος ἅμα τοῖς δυσὶν Αἴασιν. (v. 315) Ὅτι καὶ ἐνταῦθα κεῖται τὸ ἅδην ἀντὶ τοῦ δαψιλῶς δι᾽ ἑνὸς δ καὶ συστολῆς τοῦ α . Φησὶ γὰρ «οἵ μιν ἅδην ἐλόωσιν», ἤγουν δαψιλῶς καὶ εἰς κόρον οἱ Αἴαντες καὶ Τεῦκρος διώξουσι «καὶ ἐσσύμενον πολέμοιο Ἕκτορα, καὶ εἰ μάλα καρτερός ἐστι». Ταῦτα δέ, ὡς καὶ πολλὰ τῶν ἐφεξῆς, εἰς ἄνδρα παρῳδηθήσονται ἀριστέα. κεῖται δέ τις ἐν Ὀδυσσείᾳ ὁμοία ἔννοια ἐν τῷ «ἅδην ἐλάαν κακότητος». (v. 317—20) Τοὺς δὲ ῥηθέντας ἥρωας ἐπὶ πλέον ἐξαίρων ὁ ποιητὴς μετὰ τὸ εἰπεῖν ὡς ἀπελάσουσιν ἐκεῖνοι τὸν Ἕκτορα, καὶ εἰ μάλα καρτερός ἐστιν, ἐπάγει ἀσυνδέτως οὕτω διὰ τοῦ Ἰδομενέως, ὃς ἐπ᾽ ἀριστερὰ τῶν νηῶν ἐν τοῖς ἑξῆς ἀμυνεῖ, «αἰπύ οἱ ἐσσεῖται μάλα περ μεμαῶτι μάχεσθαι κείνων νικήσαντι μένος καὶ χεῖρας ἀάπτους νῆας ἐνιπρῆσαι, ὅτε μὴ αὐτός γε Κρονίων ἐμβάλῃ αἰθόμενον δαλὸν νήεσσι θοῇσιν». (v. 321—3) Εἶτα ὑπερτιθεὶς τὸν μέγαν Αἴαντα συγκριτικῶς καὶ ἀξιωματικῶς ἐπάγει «ἀνδρὶ δέ κ᾽ οὐκ εἴξειε μέγας Τελαμώνιος Αἴας, ὃς θνητός τ᾽ εἴη καὶ ἔδοι Δημήτερος ἀκτὴν χαλκῷ τε ῥηκτὸς μεγάλοισί τε χερμαδίοισιν». (v. 324 s.) Ἐφ᾽ οἷς καὶ ὡρισμένην ἐπιφέρων σύγκρισιν λέγει «οὐδ᾽ ἂν Ἀχιλλῆϊ ῥηξήνορι χωρήσειεν ἔν γ᾽ αὐτοσχεδίῃ, ποσὶ δ᾽ οὔ πως ἔστιν ἐρίζειν».

3.478 Καὶ σημείωσαι ὅτι διὰ τοῦτο πλεοναζόντως τε καὶ διαφερόντως ποδώκη καὶ ποδάρκη καὶ πόδας ταχὺν καὶ ὠκὺν ὁ ποιητὴς πολλαχοῦ τὸν Ἀχιλλέα καλεῖ ὡς καὶ ἐν πολέμῳ διώκτην ποδωκέστατον, καθὰ καὶ ἐν τοῖς ἑξῆς δηλωθήσεται. [Ὡς δὲ ἀρετῆς εἶδος τῆς κατὰ σῶμα καὶ τὸ ποδῶκες, οὐκ ἄδηλόν ἐστι. καὶ οἱ Βορεάδαι γοῦν, Ζήτης καὶ Κάλαϊς, δι᾽ αὐτὸ πτερωτοὶ πλάττονται. οὕτω δὲ καὶ ὁ Περσεὺς τὰ κάτω ἀρβυλόπτερος οὖν εἴρηται.] Ὅρα δὲ καὶ ὅτι πάλιν ἐπιτηδείως μνήμην τοῦ Ἀχιλλέως παρεισωδίασε, καὶ ὅτι οὐχ᾽ ὑπερέθηκε τοῦ Ἀχιλλέως τὸν μέγαν Αἴαντα, εἰς ἶσον δέ πως ἀμφοτέρους ἤγαγεν, οὐκ εἰπών, ὅτι νικήσειεν ἂν καὶ ἐν αὐτοσχεδίῃ μάχῃ τὸν Ἀχιλλέα, ἀλλ᾽ ὅτι οὐκ ἂν ἐκείνῳ χωρήσειεν, ἤγουν ἐκχωρήσειε, καὶ ὡς ἐπὶ Αἴαντος ἀνωτέρω εἶπεν «εἴξειεν», ἀλλὰ τὸ ἐκείνου βίαιον μόνος ὑπομενεῖ. Ἀληθὴς δὲ ὁ τοῦ Αἴαντος ἔπαινος ὑπὸ τοῦ τοιούτου ἀνδρὸς ἐν καιρῷ τοιούτῳ ἀπαθῶς λεγόμενος. Λέγει δὲ ταῦτα περὶ τοῦ Αἴαντος ὁ ποιητὴς ἐθέλων συστῆσαι αὐτὸν καὶ ἐπὶ μᾶλλον ἄρτι ἐγγράψαι τῇ τοῦ ἀκροατοῦ ψυχῇ ὡς ἐν τοῖς ἑξῆς μόνον τῶν ἄλλων Ἀχαιῶν τὴν ναυμαχίαν ἀρτύσοντα καὶ ταῖς Τρωϊκαῖς ἐμβολαῖς ἐξαρκέσοντα. (v. 315) Ὅρα δὲ ὅτι ἐν τῷ «οἵ μιν ἅδην ἐλόωσι» προτάξας ὡς ἐν σχεδιασμῷ τὴν μιν ἀντωνυμίαν εἶτα διορθωτικῶς ἐπήγαγε τὸ Ἕκτορα. καὶ ἔστι καὶ τὸ τοιοῦτον σχῆμα καινόν. (v. 316) Ἰστέον δὲ καὶ ὅτι ὁ μάλα καρτερὸς κρείττων ἐστὶ τοῦ ἁπλῶς μεμαῶτος μάχεσθαι, καὶ ὅτι ἄμφω ταῦτα πάνυ γοργῶς ἐπιμαρτύρεται τοῖς Αἴασιν ἐν τῷ «κείνων μένος καὶ χεῖρας ἀάπτους», καὶ ὅτι τεχνικῶς ἄμφω τοὺς Αἴαντας ὕπερθεν τοῦ Ἕκτορος θέμενος ἐν τῇ πρὸς Ἀχιλλέα συγκρίσει οὐκ ἀμφοτέρους ἀλλὰ μόνον τὸν μείζονα ἐσέμνυνεν Αἴαντα. (v. 319) Τὸ δὲ «ὅτε μὴ αὐτός γε Κρονίων», καθὰ καὶ τὸ «ὅτι μὴ αὐτός γε» ἀρχαϊκά εἰσι, λαμβανόμενα ἀντὶ τοῦ «εἰ μὴ αὐτός γε». Ὁ δὲ Κρονίων καὶ ἐνταῦθα διὰ μέτρον ἐκτείνει τὴν παραλήγουσαν. (v. 320) Ὁ δὲ αἰθόμενος δαλὸς πρὸς διαστολὴν κεῖται νοουμένου πυρός, ὃ καὶ παρ᾽ Ἡσιόδῳ κεῖται ἐν τῷ «εὔει ἄτερ δαλοῦ». (v. 322) Δήμητρος δὲ ἀκτὴν τὴν ἀπὸ σίτου καὶ τῶν σιτωδῶν λέγει τροφήν, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. καὶ γίνεται ἀπὸ τοῦ ἄγω, ἤτοι κλῶ καὶ συντρίβω, μυλήφατος γὰρ σῖτος χρήσιμος εἰς τροφήν, ἵνα ᾖ ἀκτὴ Δήμητρος τὸ κλάσμα

τοῦ ἄρτου, ἢ ἀπὸ τοῦ ἄγω, τὸ φέρω, ὃν ἡ Δημήτηρ ἄγει. μάλιστα δὲ κατὰ τοὺς παλαιοὺς ἀπὸ τοῦ ἄγω, τὸ προάγω καὶ προτιμῶ, ἡ προαχθεῖσα καὶ προτιμηθεῖσα τῶν ἄλλων.

3.479 Λείπει δὲ ἐνταῦθα τὸ δωρεάν, ὡς ἂν εἴη τὸ πλῆρες τοῦ λόγου Δημήτερος ἀκτὴν δωρεάν, ὡς καὶ ἐν τῷ ξυστόν λείπει τὸ δόρυ καὶ ἐν τῷ διπλόη συννοεῖται ἡ χλαῖνα καὶ ἐν τῷ ἔν γ᾽ αὐτοσταδίῃ λείπει ἡ μάχη, ὡς δηλοῖ τὸ «ἐν σταδίῃ ὑσμίνῃ». πλῆρες ὂν αὐτό. καὶ ὁ ἑανὸς δὲ ἔχει τὸν πέπλον ἐλλείποντα. οὕτω δὲ καὶ ἐν τῇ Ἀττικῇ Ποικίλῃ ἐλλείπει ἡ στοά, καὶ ἐν τῷ βροτός λείπει τὸ ἀνήρ, καὶ ἐν τῷ χείμαρρος λείπει τὸ ποταμός. ἄλλοι δὲ ἀρσενικῶς λέγουσι τὸν ἀκτήν. Τινὲς δὲ ἀκτήν φασι τὸ οἱονεὶ ἐξέχον τῶν ἄλλων σπορίμων ἐκ μεταφορᾶς τῆς θαλαττίας ἀκτῆς, ἥτις ἐξέχει τοῦ ὕδατος. Ἰστέον δὲ καὶ ὅτι ἤρκει καὶ μόνον τὸ «ὃς θνητὸς εἴη», τὸ δὲ «καὶ ἔδοι Δημήτερος ἀκτήν» ἀφελῶς ἐκ περισσοῦ πρόσκειται. (v. 323) Τὸ μέντοι «χαλκῷ ῥηκτὸς καὶ χερμαδίοις» οὐ περιττῶς κεῖται, ἀλλ᾽ ὡς τοῦ μακροῦ χρόνου ἐνέγκοντος καὶ τοιοῦτον ἄνθρωπον, ὁποῖος ᾄδεται ὁ Καινεύς, ὡς ἐν τῇ α′ ῥαψῳδίᾳ γέγραπται. Τοιοῦτος δὲ καὶ παρά γε τοῖς μεθ᾽ Ὅμηρον καὶ ὁ μέγας Αἴας, ἄτρωτος λεγόμενος τἆλλα, δίχα γε τῆς πλευρᾶς, ὡς καὶ ὁ Λυκόφρων ἱστορεῖ. (v. 322) Τὸ δὲ «καὶ ἔδοι» παρασήμως ἐσχημάτισται. ἦν γὰρ τὸ κοινότερον εἰπεῖν «καὶ ἔδων Δημήτερος ἀκτήν». (v. 326) Ὅτι τὸ «ἐπ᾽ ἀριστερὰ ἔχε στρατοῦ» χρήσιμον εἰς τὸ «δαιμονίη, τί μοι ἐπέχεις; «κἀνταῦθα γὰρ τὸ ἐπ᾽ ἀριστερὰ ἔχειν, ὅ ἐστιν ἐλαύνειν, κατ᾽ ἐκεῖνο εἴρηται. (v. 327) Ὅτι τὸ «εἴδομεν ἠέ τῳ εὖχος ὀρέξομεν ἠέ τις ἡμῖν» θάρρος μὲν ἔχει τοῦ εἰπόντος Ἰδομενέως, δηλοῖ δὲ τὸ «ἢ βλάψομέν τινα πολεμοῦντες ἢ βλαβησόμεθα», γοργότερον δὲ εἰπεῖν, ἢ νικήσομεν ἢ νικηθῶμεν. Ἀσύνηθες δὲ τοῖς μεθ᾽ Ὅμηρον τὸ ῥηθὲν εἴδομεν. ἐνεστὼς γάρ ἐστι δύσχρηστος ἀντὶ τοῦ αὐθυποτάκτου δευτέρου ἀορίστου ἐνεργητικοῦ. (v. 328 et 330) Ὅτι παραβολῇ μυθικῇ καὶ ἐνταῦθα, ὡς καὶ πρὸ ὀλίγων, ἐπὶ Μηριόνου χρησάμενος, γοργοτάτῃ μέντοι, τῇ «ἀτάλαντος Ἄρηϊ» ἐπήγαγεν εὐθὺς ἐπὶ Ἰδομενέως αἰσθητὴν τὸ «φλογὶ ἴκελος». ὃ καὶ ἐπὶ Ἕκτορος ἀλλαχοῦ κεῖται. ἐν τῇ β′ δὲ ἐπὶ τοῦ βασιλέως ἄμφω ἐποίησε, θεοῖς τε νοητῶς εἰκάσας καὶ αἰσθητῶς βοῒ ἐκεῖνον. (v. 331) Ὅρα δὲ καί, ὡς τὸν Ἰδομενέα φλογὶ ἴκελον ἀλκὴν εἰπὼν ἐπάγει τὸ «σὺν ἔντεσι δαιδαλέοισιν», ὑποδηλῶν ἐκ τῶν ὅπλων εἶναι τὸ φλογερὸν τῷ ἥρωϊ, καθά που καὶ τῷ Διομήδει, φαεινῶν, ὡς εἰκός, ὄντων.

3.480 [(v. 332) Ὅτι τὸ κέλω, ἤγουν κελεύω, συγκοπὲν εἰς τὸ κλῶ, οὐκ ἔμεινεν οὕτω, ἵνα μὴ συνεμπίπτῃ θέματι, ἐξ οὗ γίνεται τὸ κλᾶν, ὡς τὸ «ἕωθεν ἐνικλᾶν, ὅττι νοήσω», ἀναδιπλασιασθὲν δὲ γέγονε κέκλω, οὗ μυρία χρῆσις. ὅθεν καὶ τὸ «κεκλόμενοι καθ᾽ ὅμιλον ἐπ᾽ αὐτῷ πάντες ἔβησαν». ἔνθα ὅρα τὸ «ἐπ᾽ αὐτῷ», ἤγουν κατ᾽ αὐτοῦ, τοῦ Ἰδομενέως δηλαδή.] (v. 333) Ὅτι τῶν μαχομένων πρὸ τῶν νηῶν «ὁμὸν ἵστατο νεῖκος ἐπὶ πρύμνῃσι νέεσσι», τουτέστιν ὁμοῦ ποιοῦν εἶναι αὐτούς. (v. 334—7) Ἐπεὶ δὲ ὑποδύσκολος ἡ λέξις, ἐπάγει παραβολὴν εὐθὺς ἐπὶ σαφηνείᾳ «ὡς δ᾽ ὅθ᾽ ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν», ὅ ἐστι κατεπείγουσιν, «ἄελλαι ἤματι τῷ, ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθους, οἵ τ᾽ ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὁμίχλην, ὣς ἄρα τῶν ὁμός᾽ ἦλθε μάχη». διὸ καὶ νεῖκος ὁμὸν ἔφη τὸ τοιοῦτον. Δηλοῖ δὲ διὰ τῆς παραβολῆς τὸ συμπεφυρμένον τοῦ πολέμου καὶ τήν, ὡς αὐτός φησιν, ὁμόσε ἐλθοῦσαν μάχην καὶ τὸ πάντας ἔρχεσθαι ἄμυδις, ὡς μετ᾽ ὀλίγα ἐρεῖ, ἤγουν ὁμοῦ συνέρχεσθαι καὶ ἀναμὶξ γίνεσθαι τὰ τοῦ στρατοπέδου ἄκρα, ὅπερ καὶ ἐπιμὶξ κτείνεσθαι λέγει ἀλλαχοῦ. Ἰστέον δὲ ὅτι δύναται τρόπον ἄλλον τὸ ὁμὸν νεῖκος ὅμοιον εἶναι τῷ ἴσῃ μάχῃ, ὅπερ ἑτέρωθι ὁ ποιητὴς εἶπεν ἐν τῷ «ἴσας ὑσμίνῃ κεφαλὰς ἔχον». Ὅρα δὲ καὶ ὅτι τὰς μὲν ἀέλλας ὡς οἷά τι πρόσωπον εἴληφε, τοὺς δὲ θερινοὺς ἀνέμους καθά τι ὄργανον, ὑφ᾽ οὗ αἱ ἄελλαι σπέρχουσι τὰ κινούμενα, κόνιν τυχὸν ταῦτα ἢ ἀκάνθας ἢ θάμνους ἤ τι τοιοῦτον. διχῶς δὲ ἐνταῦθα τὸ αὐτό, καὶ κόνις καὶ κονίη. (v. 335) Ὅτι δὲ ἡ μὲν τοιαύτη κόνις διὰ καθαροῦ τοῦ ος κλίνεται, οἷον «κόνιος δεδραγμένος», ἡ δὲ περὶ τὰς τρίχας τῆς κεφαλῆς ἡ φθειροποιὸς διὰ τοῦ δ κόνις κόνιδος, δηλοῦσι τὸ μὲν Ἴωνες καὶ Ἀττικοί, τὸ δὲ Ἀριστοτέλης [ἐκ τῆς τῶν φθειρῶν ὀχείας γίνεσθαι τὰς κόνιδας λέγων] ἐν τῇ Περὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ζῴων ἱστορίᾳ. (v. 336) Σημείωσαι δὲ καὶ ὅτι ἀλλαχοῦ παραβολικῶς ὁμίχλῃ βαθείᾳ τὴν πολλὴν εἰκάσας κόνιν, νῦν θαρρῶν κονίης ὁμίχλην φησίν, ὡς τὸ τῆς τροπῆς σκληρὸν ἤδη προθεραπεύσας ἐν ἐκείνῃ τῇ παραβολῇ. Τὸ δὲ «ἱστᾶσιν ὁμίχλην» καιριώτερον τοῦ ἐγείρουσιν. [Ἀκόλουθον δὲ τῷ ἱστᾶσι καὶ τὸ μεγάλην, ἵνα λέγῃ ὅτι οὐ μόνον πλατεῖαν, ἀλλὰ καὶ ὑψηλὴν ἀνιστῶσι κόνιν.] (v. 337) Ὅρα δὲ καὶ ὅτι ἐκ τοῦ «ὁμόσε ἦλθεν ἡ μάχη» λαβόντες ἀρχὴν οἱ Ἀττικοὶ ἐπὶ παρασκευῆς πολεμικῆς ἢ καὶ ἄλλης ἐναντιωματικῆς τὸ ὁμόσε τιθέασι, λέγοντες· ὁμόσε ἦλθεν ὁ δεῖνα τῷ δεῖνι, τουτέστιν ἀντικατέστη ὡς εἰς πόλεμον, καὶ ὁμόσε ἦλθε τοῖς λόγοις ἢ ταῖς ἀντιλογίαις.

3.481 (v. 333) Σκοπητέον δὲ ἐν τῷ «ὁμὸν ἵστατο νεῖκος», καὶ «ὁμόσε ἦλθεν ἡ μάχη» μήποτε ὁπηνίκα ὁ ποιητὴς ὁμοΐον λέγει τὸν πόλεμον, ἐντεῦθεν καὶ ἐκεῖνο τὸ ὅμοιον εἴληπται, ὡς ὁμοίου λεγομένου πολέμου, ὅτε συναναμιγῶσιν ἀλλήλοις οἱ ἀντίμαχοι. Ὅρα δὲ λέξεων συστοιχίαν ἐν τῷ ὁμὸν νεῖκος καὶ ἄμυδις ἱστᾶσι καὶ ὁμόσε ἦλθε μάχη. δὶς δὲ κεῖται τὸ ἄμυδις. (v. 339—44) Ἐν τούτοις δὲ καὶ ἐκφράζων ὁ ποιητὴς ἑτοιμασίαν πολεμικήν φησιν «ἔφριξε δὲ μάχη φθισίμβροτος ἐγχείῃσι μακρῇς, ἃς εἶχον ταμεσίχροας· ὄσσε δ’ ἄμερδεν αὐγὴ χαλκείη κορύθων ἀπὸ λαμπομενάων θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν ἐρχομένων ἄμυδις· μάλα κεν θρασυκάρδιος εἴη, ὃς τότε γηθήσειεν ἰδὼν πόνον, οὐδ’ ἀκάχοιτο». Καὶ συλλογιστέον ὡς, ἐὰν ὁ ἰδὼν ἀκάχοιτο, τί ἂν δρῴη ὁ καὶ πολεμῶν; ἐννοητέον δὲ αὖθις καὶ ὡς θρασυκάρδιοι ὁ Ἰδομενεὺς καὶ ὁ Δηΐφοβος, οἳ μετ’ ὀλίγα ἐν καιρῷ τοιούτῳ σαρκάζοντες ἀστεΐζονται. (v. 339) Φρίσσειν δὲ καὶ νῦν τὸ μετὰ πυκνώσεως ὀρθοῦσθαι, ὃ πάσχουσιν ἐν παρατάξει μὲν πολέμου τὰ δόρατα, ἐν δὲ ληΐῳ στάχυες, ἐν δὲ σώματι τρίχες. ὧν ἐστι καὶ ἡ τοῦ κάπρου λοφιά. φρίσσει γὰρ καὶ ὁ κάπρος τῇ λοφιᾷ, ὡς ἀκάνθαις ἐχῖνος καὶ λέων χαίτῃ καὶ θάλασσα κύμασιν. Ὅρα δὲ ὡς καὶ τὴν τοῦ φρίσσειν λέξιν ἐνταῦθα ἐπὶ τῆς μάχης ὡς ἐπί τινος σώματος ἀνεπεξέργαστον τέθεικεν οἷα φθάσας ἐν ἄλλοις διὰ παραβολῆς ἑρμηνεῦσαι τί ποτε ἡ λέξις τοῦ φρίσσειν βούλεται. Ἰστέον δὲ καὶ ὡς, εἰ μὴ προσέκειτο τὸ ἐγχείῃσιν, οὐκ ἂν ἦν μὴ μέμψασθαι τῆς ἀσαφείας τὸν ποιητήν, αὐτὸ μόνον τὸ φρίσσειν ἐπὶ μάχης θέμενον. (v. 340) Ἀμέρδειν δὲ τὸ ἀμαυροῦν καὶ ἀποστερεῖν τοῦ μέρδειν, ὅ ἐστι τοῦ βλέπειν. οὗ τὸ ἐναντίον ζμέρδειν διὰ τοῦ ζ παρὰ τοῖς ἀρχαίοις, ὅ ἐστιν ἄγαν βλέπειν ἐν τῷ μερίζειν τὰς ὀπτικὰς ἀκτῖνας.

3.482 ὅθεν σμερδνόν κυρίως τὸ τῇ ὄψει καταπληκτικόν. Ὅτι δὲ οὐ μόνον τὸ σμέρδειν, ἀλλὰ καὶ ἕτεραι πολλαὶ λέξεις διὰ τοῦ ἐν ἀρχῇ προεφέροντο ζ , καὶ ὡς ἐκ τοῦ ζα ἐπιτατικοῦ μορίου τὸ τοιοῦτον ζ δοκεῖ εἶναι ἐν τῷ σμικρόν καὶ ἐν τῷ σμέρδειν καὶ ἐν τῷ σμερδνῷ, καὶ ὡς ἐκ τοῦ μερίζω γίνεται, ἀλλαχοῦ ἱκανῶς δεδήλωται. Σημείωσαι δὲ ὅτι τοῦ «ὄσσε δ’ ἄμερδεν αὐγὴ χαλκείη» συνέστραπται σφιγκτῶς ἡ ἔννοια ἐν τῷ «νῶροψ χαλκός». πάντως γὰρ νῶροψ χαλκός, οὗ ἡ αὐγὴ ἀμέρδει ὄσσε, ὡς ἀποστερεῖν τοῦ ὁρᾶν, ἐξ οὗ ὁ νῶροψ γίνεται. (v. 341) Τὸ δὲ «αὐγὴ χαλκείη» τολμηρόν φασιν ἐνταῦθα εἶναι οἱ παλαιοί. οὐ γὰρ παραβολικῶς εἶπεν, ὡς ἐν ἄλλοις «χαλκὸς ἐλάμπετο ἴκελος αὐγῇ πυρός» ἤ τι τοιοῦτον, ἀλλὰ μονονουχὶ ἐφλόγωσε τὰ ὅπλα, ἡλίου ἤ τινα τοιαύτην λαμπηδόνα προσπλάττων αὐτοῖς. Ἐπαινεῖται δὲ καὶ ἡ φράσις ἐνταῦθα, ποικίλως φράζοντος τοῦ ποιητοῦ τὴν κατ’ εἶδος διαφορὰν τῶν ὅπλων ἐν τῷ τὰ μὲν λαμπόμενα φάναι, τὰ δὲ νεόσμηκτα, τὰ δὲ φαεινά, ἐξ ὧν πάντων πολλὴ ἡ αὐγή. ἐν οἷς διδάσκει καὶ λαμπηδόνος ὅπλων ἐπιμελεῖσθαι τοὺς στρατιώτας. (v. 343) Τὸ δὲ «ἐρχομένων» ἀρσενικοῦ γένους ἐστί, λεχθὲν περὶ τῶν πολεμούντων, εἰ καὶ ἡ συνθήκη τῆς φράσεως εἰς οὐδέτερον φαντάζει αὐτό. (v. 344) Τὸ δὲ «οὐδ’ ἀκάχοιτο» ἀσφαλῶς εἴρηται. οὐ γὰρ ἀρκεῖ πρὸς φρίκην μόνον τὸ μὴ γηθῆσαι, εἰ μή τις καὶ ἀκάχοιτο, ὥστε καὶ ἐν τῷ «οὐδ’ ἄρα τώ γε ἰδὼν γήθησεν Ἀχιλλεύς» οὐκ ἀρκεῖ μόνον τὸ οὐκ ἐγήθησεν εἰς παράστασιν σαφῆ τοῦ «ἀλλ’ ἐλυπήθη». Οὐκ ἀργὸν δ’ ἐν τούτοις οὐδὲ τὸ «ἰδών». ὁ γὰρ τοιοῦτος, ἤγουν ὁ ἰδών, ἀκάχοιτο ἂν ἐπὶ τοῖς τότε οὕτω φοβεροῖς. τὸ γὰρ ἐν τοῖς τοιούτοις ἄλγιστον κατὰ τὴν Τραγῳδίαν ἡ ὄψις ἐστίν, ὡς καὶ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῖς χαρτοῖς ἔμπαλιν ἡ αὐτή ἐστι τὸ ἥδιστον. ὁ μέντοι ἀκροατὴς τοῦ Ὁμήρου θαυμάσοι ἂν μόνον ἐπὶ τοῖς ἄρτι ἱστορουμένοις, οὐ μὴν καὶ πάνυ λυπηθείη ἄν, τὸ δ' ἀκριβὲς εἰπεῖν, καὶ γηθήσοι ἂν τῇ Ὁμηρικῇ φράσει ἀγαλλιώμενος.

3.483 (v. 345) Ὅτι τὸ «ἀμφὶς φρονεῖν» ἐναντίον ἐστὶ τῷ ὁμὰ φρονεῖν, ὅπερ συνθέτως ὁμοφρονεῖν λέγεται καὶ τὸ ἐξ αὐτοῦ ὄνομα ἐν Ὀδυσσείᾳ ὁμοφροσύνη. ἔτι τὸ ἀμφὶς φρονεῖν ὅμοιόν ἐστι τῇ παρὰ τοῖς παλαιοῖς διθυμίᾳ, ὅ ἐστι διχοστασίᾳ, καὶ, ὡς εἰπεῖν, διψυχίᾳ. τοῦτο δὲ ἀνάπαλιν ἔχει πρὸς τὸ «ἕνα θυμὸν ἔχοντες». τὸ δὲ ἀμφὶς φρονέειν ἀλλαχοῦ ἀμφὶς φράζεσθαι ἔφη. (v. 345—51) Ἑρμηνεύων δ' ἐνταῦθα ὁ ποιητὴς τὴν ῥηθεῖσαν λέξιν φησί· τὼ δ' ἀμφὶς φρονέοντε ἦσαν, Ζεὺς μὲν διὰ κῦδος Ἀχιλλέως Τρωσὶ βουλόμενος νίκην, κατὰ τὸ «Διὸς δ' ἐτελείετο βουλή», Ποσειδῶν δέ, ὀροθύνων Ἀργείους. (v. 346) Κεῖται δ' ἐνταῦθα καὶ τὸ «τετεύχατον ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν ἄλγεα λυγρά», πρὸς ὁμοιότητα τοῦ «αὐτοὺς δ' ἑλώρια τεῦχε». (v. 348—50) Ὅτι καὶ ἐνταῦθα Ὅμηρος προαναφωνεῖ πρὸς παραμυθίαν φιλέλληνος ἀκροατοῦ, λέγων, ὡς οὐ πάμπαν Ζεὺς «ἤθελε λαὸν ὀλέσθαι Ἀχαϊκὸν Ἰλιόθι πρό, ἀλλὰ Θέτιν κύδαινε καὶ υἱέα κρατερόθυμον», οὗ πάλιν δὶς ἐνταῦθα τὴν μνήμην τῷ ἀκροατῇ δεξιῶς ἀνήγειρεν. Ἔνθα ὅρα καὶ ὅτι ὡς ἐν σχεδιασμῷ ἀνωτέρω εἰπὼν «κυδαίνων Ἀχιλλῆα πόδας ὠκύν», ὑποκαταβὰς ἔφη διορθωτικῶς «Θέτιν κύδαινε καὶ υἱέα κρατερόθυμον», προθεὶς τὴν Θέτιν, δι' ἣν καὶ Ἀχιλλεὺς κυδαίνεται. Ἰστέον δὲ ὅτι κοινότερον μὲν οἱ ὕστερον ὡς ἀπὸ τῆς Ἀχαΐας Ἀχαϊκὸν λέγουσιν, οἱ δὲ παλαιοὶ ῥήτορες Ἀχαιϊκόν φασι δεῖν γράφειν διὰ τῶν δύο ι , ὡς καὶ ἀρχαιϊκόν, φασί, καὶ γενναιϊκὸν καὶ δικαιϊκόν. (v. 351 s.) Ὅτι οὐδ' ἐνταῦθα στοιβὴ μάτην οὕτω κεῖται προθέσεων ἐν τῷ «Ποσειδῶν Ἀργείους ὀρόθυνε μετελθὼν λάθρῃ ὑπεξαναδὺς πολιῆς ἁλός», ἀλλ' ἐν τῷ «ὑπεξαναδύς» ἡ μὲν ὑπο πρόθεσις ἢ τὸ κρύφα δηλοῖ ἢ τὸ ὑποκάτω, ἡ δὲ ἐξ τὸ ἐκτὸς τοῦ ὕδατος, ἡ δὲ ἀνα τὸ ἄνω γενέσθαι καὶ παντελῶς ἀπηλλάχθαι τοῦ ὑγροῦ, γενόμενον πρὸς τῇ γῇ τῇ ὑπερκειμένῃ τῆς θαλάσσης. Ἰστέον δὲ ὅτι ἐνταῦθα χρὴ νοῆσαι κατὰ τὸ σιωπώμενον ὡς ἔδυ κατὰ θαλάσσης ὁ Ποσειδῶν ἐρεθίσας πρὸ ὀλίγων τοὺς Ἀχαιοὺς εἰς μάχην, νῦν δὲ αὖθις ὑπεξανέδυ.

3.484 (v. 352 s.) Ὅτι τὸ «ἤχθετο γὰρ Τρωσὶ δαμναμένους» ὁμοίως ἐσχημάτισται τῷ «τίς ἂν τάδε γηθήσειε», περὶ οὗ ἀλλαχοῦ δηλοῦται. λείπει γὰρ ἐν ἀμφοῖν ἢ τὸ βλέπων ἢ ἡ δια πρόθεσις. περὶ Ποσειδῶνος δὲ ὁ λόγος τῷ ποιητῇ ὡς δυσανασχετοῦντος, ἐφ' οἷς κακῶς οἱ Ἀργεῖοι πρὸς Διὸς ἔπασχον. (v. 354—7) Ὅτι πολλαχοῦ καὶ ἐν τοῖς μύθοις παιδευτικὸς ὢν Ὅμηρος καὶ νῦν ὁμοίως ποιεῖ. Φησὶ γὰρ οὕτω «ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος», Ποσειδῶνί τε καὶ Διΐ, «ἠδ' ἴα πάτρη», ἤγουν καὶ μία πατρίς, «ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδη». διὸ καὶ «ἀμφαδίῃ μὲν ἀλεξέμεναι ἀλέεινε, λάθρῃ δ' αἰὲν ἔγειρε κατὰ στρατόν», ἐπεὶ τῷ Διῒ κρατερῶς ἐνεμέσσα. Καὶ νῦν οὖν λάθρᾳ, ὡς εἴρηται, θαλάσσης ὑπεξαναδὺς Ἀργείους ὀρόθυνε. Καὶ διδάσκει διὰ τοῦ μύθου χρῆναι ὑπεξίστασθαι τοὺς νεωτέρους τοῖς σοφωτέροις καὶ πρεσβυτέροις τῶν ἀδελφῶν καὶ αἰδεῖσθαι αὐτούς. ὅτι δὲ οἱ πρεσβύτεροι πλείω οἴδασιν ὡς πολυπειρότεροι, δηλοῖ καὶ τὸ «ἐγὼ δὲ νοήματι προβαλοίμην, ἐπεὶ πρότερος γενόμην», ἔτι δὲ καὶ ὁ ἐν Ὀδυσσείᾳ γήραϊ κυφὸς καὶ πολλὰ εἰδώς. Φιλοσόφως δὲ ὁ ποιητὴς γένος μὲν ὁμὸν τῷ Διῒ καὶ τῷ Ποσειδῶνί φησι διὰ τὸ κατ' ἀλληγορίαν ἐν αὐτοῖς ὁμογενὲς εἴτ' οὖν ὁμοειδές, μίαν δὲ πάτρην τὴν ἀρχέγονον ὕλην, ἧς ἐξώρμηνται. δῆλον δὲ ὡς ἐκ τοῦ ὁμὸν γένος συντέθειται τὸ ὁμογενές, καὶ ὅτι πρωτότυπον τῆς πατρίδος ἡ πάτρη. ἐν τούτοις δὲ τὸ μὲν «ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη» ἐπὶ συγγενῶν καὶ πατριωτῶν λέγοιτο ἄν, ἑξῆς δὲ τὸ «πρότερος γεγόνει καὶ πλείονα ᾔδη» γηραιοτέρῳ οἰκεῖον καὶ λογιωτέρῳ ἢ φρονιμωτέρῳ τινῶν. (v. 356) Τὸ δὲ «ἀμφαδίῃ» ἐλλειπτικῶς καὶ αὐτὸ εἴρηται. λείπει γὰρ τὸ μάχῃ, ἵνα δηλοῖ τὸ ἐν φανερᾷ μάχῃ. ταύτης δὲ τῆς δοτικῆς ἡ αἰτιατικὴ ἀμφαδίην, ὅθεν τὸ σύνηθες ἐπίρρημα. ἀντίκειται δὲ τὸ ἀμφαδίῃ πρὸς τὸ λάθρῃ, ὡς δηλοῖ καὶ Ὅμηρος, καθὰ καὶ τὸ κρύφα καὶ τὸ φανερῶς. (v. 357) Ἐν δὲ τῷ «ἔγειρε κατὰ στρατόν» ἢ περιττὴ πρόθεσις κεῖται ἢ ἔλλειψιν ὁ νοῦς ἔχει, ἵνα ᾖ· ἔγειρε κατὰ στρατὸν τοὺς ἀναπίπτοντας. (v. 358—

Eulogikon public reading copy · View original HTML at eulogikon.org

60) Ὅτι παραδηλῶν ὁ ποιητὴς τὸ ἰσόρροπον καὶ δυσαπάλλακτον τοῦ νῦν πολέμου καὶ ἀδιάλυτον, καὶ ὡς οὐ δυνατὸν παύσασθαι τὴν ἄρτι μάχην, χρᾶται παραβολῇ ἀλληγορικῇ, λέγων ὅτι Ζεὺς καὶ Ποσειδῶν «ἔριδος κρατερῆς καὶ ὁμοιΐου πολέμοιο πεῖραρ ἐπαλλάξαντες ἐπ’ ἀμφοτέροισι τάνυσαν ἄρρηκτόν τ’ ἄλυτόν τε, ὃ πολλῶν γούνατ’ ἔλυσεν». Ἡ δὲ μεταφορὰ γέγονεν εἰς τὴν μάχην ἀπὸ τῶν ἐν τοῖς σχοίνοις ἢ τοῖς ἱμᾶσι δεσμῶν, ἃ δήσαντές τινες ἐξ ἄκρων, εἶτα διαστάντες, τανύουσιν ὡς ἂν ὁ δεσμὸς πυκνωθεὶς καὶ σφιγχθεὶς ἀσφαλισθῇ.

3.485 Παλαιὸς δὲ τίς φησιν οὕτω· πεῖραρ ἐπαλλάξαντες ἀντὶ τοῦ μάχην παρατείναντες, ἀπὸ τῶν ἐπιπλεκομένων σχοινίων κατὰ τὰ πέρατα. Ὅρα δὲ ὡς καὶ αὐτὸ τὸ σχῆμα τῆς παραβολῆς ὁμοίως τοῖς πράγμασιν ὁ ποιητὴς ἐπήλλαξε καὶ συστρέψας συνέδησεν. οὐ γὰρ ἰδίᾳ μὲν ἔθηκε τὴν εἰκόνα τῆς παραβολῆς, ἰδίᾳ δὲ τὸ εἰκονιζόμενον, ὡς ἐπὶ τῶν ἄλλων ποιεῖ παραβολῶν, ἀλλὰ συνέχεεν αὐτὰ καὶ οὕτω λαλεῖ ὡς ἐὰν οὐ περὶ μάχης, ἀλλὰ περί τινος ἁπλῶς δεσμοῦ ἔλεγε. διὸ καὶ ἀλληγορικὴ ἡ παραβολή, μᾶλλον δ’ αὐτόχρημα ῥητορικὴ ἀλληγορία, τῇ συνδέσει τῆς ἔριδος καὶ τοῦ πολέμου δηλοῦσα τὸ ἄλυτον τῆς τοῦ πολέμου συμπλοκῆς, ἵνα νοηθεῖεν σωματικῶς ἄμφω δεθέντα, ἡ ἔρις δηλαδὴ καὶ ὁ πόλεμος, τανυσθῆναι καὶ οἷον ἐπιρριφῆναι τοῖς μαχομένοις μέρεσι. καὶ ἑτέρως δὲ εἰπεῖν, ῥητορικῶς ὁ τόπος ἠλληγόρηται, ὡς μεταφέρων ἐπὶ τὴν μάχην τὰ κατὰ κυριολεξίαν ἴδια τοῦ τῶν σχοίνων δεσμοῦ, τὸ πεῖραρ, ὅ ἐστι τὸ πέρας, τὴν κατὰ δεσμὸν ἐπάλλαξιν, τὸν τανυσμόν, τὸ ἄρρηκτον, τὸ ἄλυτον, ἵνα λέγῃ τρόπον τινα ὡς ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν τὸν πόλεμον τῇ ἔριδι συνέδησαν, τὸ πέρας τῆς ἔριδος καὶ αὖ τὸ τοῦ πολέμου πέρας ὁμοῦ λαβόντες καὶ πρὸς ἄλληλα ἐπαλλάξαντες, ὡς οἱ τὰ ἅμματα τόδε ἐπὶ τόδε ποιοῦντες, ὥς φασιν οἱ παλαιοί, [ὡς ἂν οὕτως αἰνιχθείη, ὅτι τὰ μέσον δύο ἄκρα τῶν ἐριζόντων ἄρτι ἐπὶ πολέμῳ οὕτως ὁμόσε ἦλθον καὶ οἷον δι’ ἀλλήλων ἐχώρησαν, ὡς δοκεῖν συνδεδέσθαι ἱμάντων ἢ σχοινίων στερρῶν δίκην, οἷς τὰ πέρατα δεσμωτικῶς ἑνωθέντα οὔτε λύονται οὔτε ῥήγνυνται, εἴπερ τείνονται, ἀλλ’ ἐπὶ μᾶλλον πυκνοῦνται εἰς ἄλυτον καὶ ἄρρηκτον, τὸ μὲν διὰ τὸ σφίγμα τοῦ δεσμοῦ, τὸ δὲ διὰ τὴν στερρότητα τῶν συνδεθέντων. Δοκεῖ γοῦν αἴτημα προκεῖσθαί τι τοῖς Ὁμηρίδαις, ἵνα νοοῖεν τὴν ἐν τοῖς Τρωσὶ καὶ τοῖς Ἀχαιοῖς ἔριν καὶ μάχην οὕτω συναφθῆναι καὶ κατὰ τῶν πολεμούντων ταθῆναι, ὡς μήτε αὐτὰς ἔχειν λύεσθαι ἢ ῥήγνυσθαι μήτε τοὺς πολεμοῦντας δύνασθαι ἢ κατὰ εἰρήνην ἀπολύεσθαι ἢ κατὰ ῥώμην ῥηγνύεσθαι, ἀλλὰ μένειν συνημμένους ἐφ’ ἑνὸς ὡς ἐν δεσμῷ διὰ τὸ ἰσοπαλές.

3.486 ] Ἔστι δὲ τὸ ἐπαλλάξαντες ἀντὶ τοῦ συνάξαντες, συνδήσαντες, συνάψαντες, ὅθεν, φασίν, ὁ μουσικὸς Ἀριστόξενος πλεονάζει τῇ τοιαύτῃ λέξει, ἐπηλλαγμένα λέγων τὰ συνημμένα. Δῆλον δὲ ὅτι τὸ πέρας καὶ τὸ ἐπαλλάξαι καὶ τὸ τανύσαι καὶ τὸ ἄρρηκτον καὶ τὸ ἄλυτον ἐπὶ ἁμμάτων κυριολεκτοῦνται, καὶ ὅτι ὥσπερ οὐ μόνον πεῖραρ ποιητικῶς ἀλλὰ καὶ πέρας, ἐξ οὗ ἡ κλίσις τοῦ πέρατος καὶ πείρατος, οὕτω νοητέον καὶ ἐπὶ τοῦ «φρείατα μακρὰ νάουσι», καὶ ὅτι ἐπαλλάξαι τὸ συνδῆσαι λέγεται διὰ τὴν τῶν περάτων ἐπαλλαγὴν ἐν τῷ οὕτω καὶ οὕτω εἰς δεσμὸν κάμπτεσθαι. ποιητὴς δ’ ἂν εἴποι γνάμπτεσθαι, ὅθεν καὶ ἀναγνάμψαι δεσμὸν ἐν Ὀδυσσείᾳ τὸ ἀναλῦσαι. Σημείωσαι δὲ καὶ ὅτι ἡ μὲν ἐκ τῆς κόνεως πρὸ ὀλίγου παραβολὴ σύγχυσιν μάχης ἐδήλου καὶ τὸ ἁπλῶς δι’ ἀλλήλων ἥκειν τοὺς μαχομένους, ἐνταῦθα δὲ καὶ τὸ ἀλύτως οἷον συνδεδέσθαι αὐτοὺς ἐμφαίνεται. Ἰστέον δὲ καὶ ὅτι τὸ ἀσφαλὲς ἡ ῥηθεῖσα παραβολὴ ἔχει ἀπὸ τῆς πρὸ μικροῦ ῥηθείσης, ἔνθα ὁμόσε εἶπε τὴν μάχην ἐλθεῖν. ἡ γὰρ ὁμόσε ἐλθοῦσα δῆλον ὅτι συγκέχυται καὶ διὰ τοῦτο ἐπήλλακται. διὸ οὐδ’ ἀπεικὸς κατὰ τὸ πρὸ ὀλίγων ὁμὸν νεῖκος, οὕτω καὶ ὁμοίϊον ἐνταῦθα ῥηθῆναι πόλεμον τὸν οὕτως ὁμόσε ἐλθόντα. ὁ δὲ νῦν ἄρρηκτος πόλεμος οὐδ’ ἂν ἔχοι τινὰ ῥηξήνορα οὐδὲ κυριολεκτηθείη ἂν ἐπ’ αὐτοῦ τὸ ἐρράγη πόλεμος. (v. 360) Τὸ δὲ «ἄλυτον» καὶ τὸ «πολλῶν γούνατ’ ἔλυσεν» ἀντιθετικῶς ἐρρέθη. ἀντίκειται γὰρ τῷ ἀλύτῳ τὸ λυόμενον. (v. 361) Ὅτι μεσαιπόλιον ἐνταῦθα τὸν Ἰδομενέα ἱστορεῖ καὶ ὅμως δυνάμενον τοὺς ἐναντίους φοβεῖν. [Ἔστι δὲ μεσαιπόλιος ὁ μήπω πάντῃ πολιός, ἀλλ’ ὑπερβὰς μὲν τὸν ἀκμαῖον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παραγγείλας δὲ καὶ εἰς ὑπέρακμον ἢ καὶ ὠμογέροντα καὶ μέσως πως ἔχων τῶν πολιῶν, ὡς οἷα μιξόθριξ κατὰ τὸ ὑποπόλιον. Παραγωγὴ δὲ αὐτοῦ, ὡς ἀλλαχοῦ τέθειται, κατὰ τὸ Πυλαιμένης καὶ τιθαιβώσσειν καὶ Ἰθαιμένης καὶ ἰθαιγενὴς καὶ Κλυταιμνήστρα καὶ ὅσα τοιαῦτα.

3.487 ] (v. 363—9) Ὅτι κἀνταῦθα Ὅμηρος ἱστορίαν ψυχαγωγικῶς παρενείρων λέγει ὡς Ὀθρυονεὺς Καβησόθεν ἔνδον ἐὼν νέον πολέμου μετὰ κλέος ἤλθεν, «ᾔτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην Κασάνδρην, ἀνάεδνον, ὑπέσχετο δὲ μέγα ἔργον, ἐκ Τροίης ἀέκοντας ἀπωσέμεν υἷας Ἀχαιῶν. τῷ δ' ὁ γέρων Πρίαμος ὑπέσχετο καὶ κατένευσε δωσέμεναι», τὸ τῆς ἀλαζονείας πέρας καραδοκῶν. «ὃ δὲ μάρνατο ὑποσχεσίησι πιθήσας» ταῖς τοῦ Πριάμου. Βαρβαρικὸν δέ, φασί, τὸ ἐπὶ μισθῷ στρατεύειν καὶ χωρὶς ὑποσχέσεως μὴ συμμαχεῖν. οὐκ ἔμφρονος δὲ ἀνδρὸς οὐδὲ τὸ μὴ ὡς βασιλικήν, ἀλλ' ὡς εἶδος ἀρίστην τὴν Κασάνδραν ζητεῖν, ὅπουγε καὶ οἱ ἀκολαστότατοι μνηστῆρες παρ' Ἕλλησιν ἕνεκα τῆς κατὰ Πηνελόπην ἀρετῆς ἐριδαίνουσι καὶ οὐ διὰ κάλλος ἁπλῶς. (v. 363) Κάβησος δὲ πόλις Ἑλλησποντὶς ἢ Θρᾴκης τῆς κατὰ τὸν Αἷμον, οἱ δὲ Καππαδοκίας φασὶ τὰ λεγόμενα Κάβησα, τινὲς δὲ Λυκίας, οἳ καὶ Λύκιον τὸν Ὀθρυονέα φασὶ καὶ Σαρπηδόνος ἀδελφόν. Τὸ δὲ [«ἔνδον ἐόντα» διαστολὴν ἔχει πρὸς τοὺς ἄλλως ὄντας ἔξωθεν τῆς Καβήσου, ἤγουν ἐκ τῆς περιχώρου, οὐ μὴν ἔνδοθεν κατὰ τὸν Ὀθρυονέα. (v. 365) Τὸ δὲ] «εἶδος ἀρίστην» τινὲς τῶν παλαιῶν εἶπον ἀντὶ τοῦ ἀρίστην κατὰ σοφίαν, εἶδος νοήσαντες τὴν τῆς μαντικῆς εἴδησιν. ὅθεν, φασί, καὶ ὁ ᾀδόμενος μάντις Πολύειδος, ὁ κατὰ τὴν γραφὴν τῆς παραληγούσης διφορούμενος, ἐκ τοιαύτης σημασίας τὴν κλῆσιν εἴληφε. (v. 366) Τὸ δὲ ἀνάεδνον τὴν Κασάνδραν ζητεῖν, ὅ ἐστι μὴ δόντα ἕδνα πρὸς ἐκείνην, ὥς φασιν οἱ παλαιοί, γλίσχρου ἤθους καὶ χρημάτων ἥττονος. οὐδὲ γὰρ οἱ ἄδικοι μνηστῆρες ἕδνων δίχα ἐγχειροῦσι τῷ ἔρωτι. Ἕτεροι δὲ «ἀνάεδνον» τὴν ἄπροικόν φασι διὰ τὸν πρὸς ἐκείνην ἔρωτα, ὡς ἕδνων λεγομένων οὐ μόνον τῶν ἀπὸ ἀνδρὸς πρὸς γυναῖκα πρὸ τοῦ γάμου δωρεῶν, ἀλλά ποτε καὶ αὐτῆς τῆς γυναικείας προικός, ὥς που καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται, ἧς δίχα ζητεῖ τὴν Κασάνδραν κατὰ ἔρωτα Ὀθρυονεύς. διὸ καὶ ἑεδνωτὰς παρακατιὼν ἐρεῖ τοὺς πενθεροὺς ὁ ποιητὴς ὡς ἕδνα διδόντας τοῖς γαμβροῖς. [Γίνεται δὲ τὸ ἀνάεδνον ἐκ τοῦ ἕδνον, καὶ κατὰ στέρησιν ἄεδνον, καὶ ἐν ἐπιτάσει ἀάεδνον, ἤγουν λίαν ἄπροικον, καὶ ἐπενθέσει τοῦ νυ πρὸς κωλύμην χάσμης ἀνάεδνον.

3.488 τοιοῦτον καὶ τὸ γνωστόν, ἄγνωστον, ἀάγνωστον, καὶ διὰ τοῦ νυ , ἀνάγνωστον, ὡς δηλοῖ ὁ γράψας «μηδὲν ἐθέλειν ἔχειν καλὸν ἀνάγνωστον», ἤγουν λίαν ἄγνωστον, ἑτεροῖος αὐτὸς ὢν πρὸς τὸν εἰπόντα «λάθε βιούς». Δῆλον δ' ὅτι ἕδνον μὲν ἁπλοῦν ἐστιν, ἔεδνον δέ, ἀφ' οὗ καὶ οἱ ἑεδνωταί, πρόσθεσιν ἔχει κατὰ τὸ ἔρση ἐέρση.] Τὸ δὲ «μέγα ἔργον», ὃ καὶ ἀλλαχοῦ ἐπὶ μάχης ἐρρέθη, προαναφωνητικῶς νῦν κεῖται, ὡς τοῦ Ὀθρυονέως μὴ ἀνύσοντος τὸ οὕτω μέγα. (v. 368) Ὅρα δὲ καὶ τὸ «ὁ γέρων Πρίαμος», ἠθικῶς ῥηθέν. σύνεσιν γὰρ αὐτῷ μαρτυρεῖ, ἐπεὶ καὶ φρονίμου ἦν ἐννοήσασθαι, ὡς ἢ πίπτει Ὀθρυονεὺς καὶ γέγονεν οὐδὲν ἢ διώκει τοὺς Ἕλληνας καὶ ἄξιός ἐστι ληφθῆναι γαμβρός. (v. 371) Ὅτι τὸ μὲν «μακρὰ βιβάσθων» ἐν ἄλλοις ῥηθὲν σύντονον ἁπλῶς κίνησιν σημαίνει, ἐνταῦθα δὲ τὸ ὕψι βαίνειν ἄλλο τι δηλοῖ. Φησὶ γοῦν «καὶ βάλεν ὕψι βιβάντα τυχών», ἤγουν πηδῶντα ἐνθουσιωδῶς, ἴσως δὲ καὶ κατά τι ὀρχήσεως εἶδος ἐνόπλιον. (v. 371—3) Τὴν δὲ ῥηθεῖσαν βολὴν γενναίαν εἶναι ὁ ποιητὴς ἱστορῶν ἐπάγει «οὐδ' ἤρκεσε θώρηξ χάλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐν γαστέρι πῆξε. δούπησεν δὲ πεσών». (v. 374) Ὅτι πατὴρ ὢν Ὅμηρος καὶ κωμῳδίας, καθὰ καὶ τῶν ἄλλων ῥητορικῶν εἰδῶν, ἐν Ὀδυσσείᾳ μὲν πλεονάζει καὶ ἀφειδέστερον ἢ καὶ αὐθαδέστερον χρᾶται αὐτῇ, οἷα καὶ χορηγούντων αὐτῷ τῶν ἐκεῖ προσώπων ὕλην γελοιασμοῦ διὰ τὸ τῆς ποιήσεως ἐκείνης ἠθικώτερον, ἡ δὲ Ἰλιὰς πολὺ ἔχει τὸ ἡρωϊκὸν καὶ σεμνὸν καὶ οὐκ ἔστιν ἐν αὐτῇ γελᾶν, καὶ μᾶλλον κατὰ τοὺς πολέμους, καὶ μάλιστα νῦν, ἔνθα ἔφη θρασυκάρδιον εἶναι τὸν γηθήσοντα. Ὅμηρος μέντοι τεχνικῶς μιγνύων τὰ ἄμικτα παραρρίπτει καὶ ἐνταῦθά τινας ἀστεϊσμοὺς ἐκ μεγαλαυχίας ἡρωϊκῆς, οἳ τοῖς μὲν

ἀκροαταῖς ἔξω βελῶν ἑστῶσι παρασύρουσι τὰ χείλη πρὸς μειδίαμα ὑπανοίγοντες, αὐτοῖς δὲ τοῖς τότε μαχομένοις ὑπανῆπτε τὸν θυμὸν ἐπὶ πλέον καί, ὡς ὁ ποιητής φησιν, ἄχος ἐγίνετο καὶ θυμὸν ὄρινεν, ὅ ἐστιν ἐβάρυνε τὴν ψυχήν. (v. 374—82) Ἰδομενεὺς οὖν ἄρτι τὸν Ὀθρυονέα βαλὼν ὕψι, ὡς ἐρρέθη, βιβάντα καὶ κτείνας, λέγει ἐπευχόμενος «Ὀθρυονεῦ, πέρι δή σε βροτῶν αἰνίζομαι ἁπάντων, εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις, ὅσ' ὑπέστης Πριάμῳ, ὃ δ' ὑπέσχετο θυγατέρα ἥν. καί κέ τοι ἡμεῖς ταῦτά γ' ὑποσχόμενοι τελέσαιμεν, δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδος ἀρίστην, Ἄργεος ἐξαγαγόντες ὀπυιέμεν, εἴ κε σὺν ἄμμιν Ἰλίου ἐκπέρσῃς εὖ ναιόμενον πτολίεθρον. ἀλλ' ἕπευ, ὄφρ' ἐπὶ νηυσὶ συνώμεθα ποντοπόροισιν ἀμφὶ γάμῳ, ἐπεὶ οὔ τοι»[, ὡς ἐρρέθη,] «ἐεδνωταὶ κακοί εἰμεν», ἤγουν ἐσμέν.

3.489 (v. 383 s.) Καὶ οὕτως εἰπὼν καὶ κατακύψας ποδὸς εἷλκε τὸν Ὀθρυονέα κατὰ κρατερὴν ὑσμίνην, ὡς ἂν δῆθεν ἕποιτο εἰς τὰς νῆας. καὶ ὁ μὲν οὕτω χαριέντως καὶ λέγει καὶ ποιεῖ σαρκάζων καὶ δάκνων τοὺς ἀκροατὰς Τρῶας τῷ σκώμματι, τὸ δὲ πρᾶγμα ἐκμαίνει τὸν προδεδηλωμένον μέγαν Ἄσιον καὶ ἀμύνει. (v. 384—91) Φησὶ γοῦν «τῷ δ' Ἄσιος ἦλθεν ἀμύντωρ», ἢ ἦλθ' ἐπαμύντωρ, «πεζὸς πρόσθ' ἵππων», οἳ ἔπνεον κατ' ὤμων. καὶ βληθεὶς λαιμὸν ὑπ' ἀνθερεῶνα παρὰ Ἰδομενέως πίπτει καὶ αὐτός, «ὡς ὅτε τις δρῦς ἤριπεν ἢ ἀχερωῒς ἠὲ πίτυς βλωθρή, τήν τ' οὔρεσι τέκτονες ἄνδρες ἐξέταμον πελέκεσσι νεήκεσι νήϊον εἶναι». Καὶ οὕτω μὲν ἐνταῦθα ὁ ποιητὴς τοῖς σκυθρωποῖς ἱλαρότητα συναναμίγνυσιν, ἐμβριθείας οὐκ ἀπηλλαγμένην, ἐν δὲ τῇ βῆτα καθαρῶς ἱλαρύνεται καὶ τὸ κωμικὸν ἀπαρακαλύπτως ἐμφαίνει κατακερτομῶν εἰς τὸν γελοῖον Θερσίτην, ἐφ' ᾧ καὶ οἰκτρὰ παθόντι πάντες ἱλαρυνθέντες νόμῳ κωμῳδικῷ ἡδὺ ἐγέλασαν. καὶ τοῦτο μὲν τοιοῦτον. (v. 413- 6) Τοῦ δὲ ἀνωτέρω ῥηθέντος εἴδους, ἤγουν τοῦ πρὸς ὀργὴν χαριεντισμοῦ, ἐστὶ καὶ ὁ ἐν τοῖς ἑξῆς τοῦ Δηϊφόβου λόγος, ἐν ᾧ ἐρεῖ ὡς οὐ μὴν ἄτιτος, ὅ ἐστιν ἄτιμος ἢ ἀτιμώρητος, «κεῖται Ἄσιος, ἀλλά ἕ φημι εἰς Ἄϊδός περ πυλάρταο κρατεροῖο ἰόντα γηθήσειν κατὰ θυμόν, ἐπεί ῥά οἱ ὤπασα πομπόν», τουτέστιν ὁδηγόν, ὡς εἰς ἀσυνήθη ὁδόν, τὸν Ὑψήνορα, ὃν ἀνεῖλε δηλαδὴ ὁ Δηΐφοβος. τῆς δ' αὐτῆς ἰδέας ἐστὶ καὶ ὁ μετὰ ταῦτα κατά τινα μέθοδον ἀμοιβαίαν λόγος τοῦ Ἰδομενέως ἀνελόντος τρεῖς Τρῶας, εἶτα ἐρωτῶντος ἐν εἰρωνείᾳ τὸν Δηΐφοβον, εἰ καλῶς οἱ Ἕλληνες χρῶνται τῇ λογιστικῇ καὶ ὀρθῶς στοχάζονται ἀντάξιον εἶναι τρεῖς ἀντὶ ἑνὸς πεσεῖν. (v. 445—7) Ἐρεῖ γὰρ ἔκπαγλον ἐπευξάμενος καὶ μακρὸν ἀΰσας «Δηΐφοβε, ἦ ἄρα δή τι ἐΐσκομεν ἄξιον εἶναι τρεῖς ἑνὸς ἀντιπεφάσθαι, ἐπεὶ σύ περ εὔχεαι αὔτως», ἤγουν ἁπλῶς οὕτως ἢ μάτην. ὅπερ καὶ θεραπεία ἐστὶ τοῦ τοιούτου ἐρωτηματικοῦ ἀστεϊσμοῦ. οἱονεὶ γάρ φησιν ὡς οὐκ ἂν Ἰδομενεὺς ἐκερτόμει, εἰ μὴ Δηΐφοβος ἠλαζονεύετο. (v. 448) Οἷς ἐκεῖ ἐπάγει βαρέως Ἰδομενεὺς καὶ τὸ «δαιμόνιε, ἀλλὰ καὶ αὐτὸς ἐναντίος ἵστασ' ἐμεῖο», οἱονεὶ λέγων ὡς, εἰ μὴ ἄξιον τρεῖς ἑνὸς ἀντιπεφάσθαι, ἐλθὲ καὶ αὐτὸς πεσούμενος τέταρτος. Εὑρήσει δέ τις καὶ ἄλλα τοιαῦτα προϊὼν οὐκ αὐτόχρημα γελοιαστικά, ὁποῖα δ' ἄν τις εἴποι ἀνὴρ πάσχων, ὡς εἰπεῖν, θυμόγελων. Ὅρα δὲ ὡς οἱ πολέμιοι ἐν Τροίᾳ τὰ ἑκατέρων περιειργάζοντο [ἀπό τε συνήθων πευθήνων καὶ] ἀπ' αὐτομόλων καὶ ἀπὸ αἰχμαλώτων, ὡς εἰκός. ἐντεῦθεν γὰρ πάντως καὶ Ἰδομενεὺς τὴν τοῦ Ὀθρυονέως οἶδεν ἀλαζονείαν καὶ τὴν τοῦ Πριάμου ὑπόσχεσιν, καὶ οὐδὲν ἀπεικὸς πεφημίσθαι τὸν Ὀθρυονέα τοῖς Τρωσὶ μὲν ἐπὶ νίκης ἐλπίδι, τοῖς δὲ Ἀχαιοῖς ἐπὶ ἀβελτερίᾳ.

3.490 (v. 375 s.) Σημείωσαι δὲ καὶ ὅτι τὰ κατὰ Ὀθρυονέα καὶ Πρίαμον καὶ Κασάνδραν φθάσαντα πρὸ βραχέων πλατύτερον ῥηθῆναι ἀπεστένωσε τεχνικῶς ὁ ποιητὴς ἐπὶ Ἰδομενέως ἐν οὐδὲ ὅλοις δυσὶ στίχοις, εἰπὼν «ὅσσα ὑπέστης Πριάμῳ, ὃ δ' ὑπέσχετο θυγατέρα ἥν». καὶ οὕτω μὲν καὶ ταῦτα. (v. 374) Τὸ δὲ αἰνίζομαι ὁμοίως παρῆκται τῷ πολεμίζω, προκαλίζω, νεμεσίζω. (v. 375) Τὸ δὲ «τελευτήσεις» ταὐτόν ἐστι τῷ τελέσεις, ὥσπερ καὶ τὸ ὑπέστης ὅμοιον τῷ ὑπέσχου. ὅθεν διὰ τὴν ἰσοδυναμίαν ἐπήγαγεν «ὑποσχόμενοι τελέσαιμεν», ὡς εἴπερ εἶπεν· ὑποστάντες τελευτήσομεν. προετιμήσατο δὲ τοῦ ὑπέστης τὰ ἐκ τοῦ ὑποσχέσθαι διὰ σαφήνειαν, τρὶς μὲν

εἰπὼν τὸ ὑπέσχετο δίχα γε τοῦ ὑποσχόμενοι καὶ ὑποσχεσίῃσιν, ἅπαξ δὲ τὸ ὑπέστης. (v. 378) Τὸ δὲ «δοῖμεν» γεννητικόν ἐστι τοῦ δοῖεν ἀποβληθέντος τοῦ μ . τοιοῦτον δὲ καὶ τὸ γνοῖεν καὶ εἶεν καὶ τὰ τοιαῦτα. Τὸ δὲ ὀπυίειν οἱ μὲν παλαιοὶ παρὰ τὸ διὰ ὀπῆς ὕειν γίνεσθαί φασιν, ὡς καὶ ἐν ἄλλοις δηλοῦται. Ἔστι δὲ εἰπεῖν καὶ ὅτι παρὰ τὴν ὄπιν, ὃ δηλοῖ τὴν ἐπιστροφήν, γίνεται καὶ τὸ υἱός, ἐπειδὴ ὁ γάμος ὀπίζεται, ὅ ἐστιν ἐπιστρέφεται, τεκνοποιΐας, τῷ τοῦ υἱοῦ ὀνόματι ὡς ἐκ μέρους συνεπινοουμένης καὶ θυγατρός. διὸ οὐδὲ εἶχε μέλλοντα τὸ ὀπυίειν παρὰ τοῖς παλαιοῖς, διὰ τὸ μηδέποτε μετὰ τὴν υι δίφθογγον εὑρίσκεσθαι σύμφωνον. (v. 379 s.) Τὸ δὲ «σὺν ἡμῖν Ἴλιον ἐκπέρσῃς» ἀστείως ἔχει ὡς οἷον κεφάλαιον ὂν ἐκ τοῦ δυνατοῦ. δοκεῖ γὰρ λέγειν, ὅτι τοῖς μὲν Τρωσὶ μέγα ἔργον ὑπέσχου καὶ οὐ δυνατὸν τὸ μόνος ἐκ Τροίας ἀπῶσαι τοὺς Ἀχαιούς, ἡμεῖς δὲ ῥᾷόν τι ἐθέλομεν, τὸ σὺν ἡμῖν ἐκπορθῆσαι τὴν Ἴλιον. (v. 381) Τὸ δὲ [«ἕπευ» εἶχε μὲν καὶ ἕπου ῥηθῆναι κοινότερον, προετιμήθη δὲ ἄλλως ὡς ποιητικώτερον. βαρέως δὲ ῥηθὲν ἔχει τι καὶ γλυκύτητος ἀφελοῦς κατὰ τὸ «ἡ χεὶρ τοῦ νεκροῦ ἐπηκολούθησε». νεκρῷ γὰρ ἐνταῦθα ἐπεφωνήθη τὸ «ἀλλ' ἕπευ ὦ Ὀθρυονεῦ», ὡς εἰ καὶ ζῶν ἦν. Τὸ δὲ] «συνώμεθα» ἐστὶ μὲν ποιητικὴ λέξις, δηλοῖ δὲ τὸ συνθώμεθα, μᾶλλον δὲ συμβῶμεν, ἀπὸ τοῦ συνιέναι. καὶ γίνεται ἀπ' αὐτοῦ ἡ συνημοσύνη, ὃ δηλοῖ συνθήκην καὶ συμβίβασιν. Τὸ δὲ «ἀμφὶ γάμῳ», ἤγουν περὶ γάμου, καινότερον ἔχει τὴν ἀμφι πρόθεσιν συντεταγμένην δοτικῇ. (v. 385 s.) Ὅρα δὲ καὶ ὡς ὀψὲ μὲν φρονεῖ τὸ δέον ὁ ῥηθεὶς Ἄσιος, οὐ μὴν εἰς τὸ παντελές. οὐδὲ γὰρ ἔξω τοῦ τείχους τοὺς ἵππους ἀφίησιν, ἀλλ' αὐτὸς μὲν πεζὸς πρὸ αὐτῶν ἔρχεται, τοὺς δὲ πνέοντας, ὡς ἐρρέθη, κατ' ὤμων εἶχεν ἡνίοχος θεράπων.

3.491 οὐ γὰρ ἀποστῆναι ἐθέλει τῶν ἵππων πάνυ ἐπτοημένος περὶ αὐτούς. Τὸ δὲ «πνέειν κατ' ὤμων» ταὐτόν ἐστι τῷ καταπνέειν τὰ μετάφρενα, ὅπερ ἀλλαχοῦ ὁ ποιητὴς ἐπὶ ἀνδρῶν τρεχόντων οὕτω φράζει «κὰδ δ' ἄρα κεφαλῆς ἔχεεν ἀϋτμένα», ὃ δηλοῖ τὴν ἐκ τοῦ στόματος πνοήν. (v. 388) Ἐν δὲ τῷ «λαιμὸν ὑπ' ἀνθερεῶνα» δηλοῦται ὡς μετὰ τὸν ἀνθερεῶνα εὐθὺς ὁ λαιμός. [Ἰστέον δὲ ὅτι λαιμὸς ὁμωνύμως τῷ μέρει τοῦ σώματος λέγεται καὶ τὸ παρὰ τοῖς ὕστερον ἰδιωτικῶς φράσει ζωγραφικῇ λαιμίον λεγόμενον. Λέγεται γὰρ ὅτι κατὰ τὴν ἐν μέσῃ Πελοποννήσῳ Μεγάλην Πόλιν, ἣν καὶ κρομυοφόρον ἡ ἱστορία οἶδε, κατὰ τὸν τοῦ Ἀπόλλωνος θρόνον ἦν ἀπομεμιμημένος διὰ γραφῆς λαιμός, ἔχων γυναικὸς μορφήν. δοκεῖ δὲ ἐκεῖνος ὁ λαιμὸς ἐπίσημος γενέσθαι, εἴπερ ἱστορίας ἠξίωται.] (v. 389) Τὸ δὲ «ἤριπε» καιρία λέξις ὡς ἐν ποιήσει, διὸ καὶ δισσεύει αὐτήν. Θέμα δὲ αὐτῆς τὸ ἐρείπω. καὶ γίνεται ἐκεῖθεν μὲν τὸ ἐρείπιον, ἐκ ταύτης δὲ τὸ ἐριπῶ ὁμοίως τῷ ἔτυχον τυχῶ, ἔτυπον τυπῶ, ἔστιβον στιβῶ, ἐξ οὗ καὶ ἡ ἀστίβητος, ἔστιχον στιχῶ, ἐξ οὗ τὸ «ἐστιχόωντο». Ἀχερωΐδα δὲ τὴν λεύκην καλεῖ ὡς ἀπὸ τοῦ Ἀχέρων, ὃς ἦν ἐν Ἅιδου ποταμὸς κατὰ τὸν καὶ ἐν Ὀδυσσείᾳ κείμενον μῦθον. Φασὶ γὰρ Ἡρακλέα ἐκεῖ διὰ τὸν Κέρβερον κατελθόντα καὶ ἰδόντα τὸ φυτὸν καὶ τῆς εὐφυίας θαυμάσαντα στεφανώσασθαί τε καὶ ἀναγαγεῖν καὶ ἡλίῳ δεῖξαι. Ὡς ἄκαρπος δὲ ἡ ἀχερωῒς τῷ Ἅιδῃ ἀνάκειται. διὸ καὶ ἰτέαι καὶ αἴγειροι τὸν τῆς Περσεφόνης πληροῦσι λειμῶνα. Ἕτεροι δὲ ἀντὶ τοῦ ἀχερωΐς ἀχελωΐς γράφουσιν, ὡς ἂν τις εἴποι ὑδατοτρεφής, ὡς Ἀχελῴου λεγομένου παντὸς ὕδατος, καθὰ καὶ ἐν τοῖς ἑξῆς που ῥηθήσεται. καὶ νοοῦσιν, ὡς αὐτοὶ βούλονται, ἀχελωΐδα τὴν αἴγειρον ὡς ὕδασι χαίρουσαν, ᾗ καλῶς εἰκάζεται ὁ καθ' Ὅμηρον μέγας Ἄσιος. (v. 390) Βλωθρὴ δὲ πίτυς, ὥς φασιν οἱ παλαιοί, κατὰ Τυρρηνοὺς μὲν ἡ ηὐξημένη ἢ εὐαυξής, ὑψηλὴ δὲ κατὰ Βοιωτοὺς ἀπὸ τοῦ μολεῖν εἰς αἰθέρα, μολοαιθρή τις οὖσα, καὶ ἐν συγκοπῇ καὶ ἐκβολῇ μὲν τοῦ μῦ, ἀντιβολῇ δὲ συνήθει τοῦ β διὰ τὸ εὔφωνον, βλωθρή.

3.492 Ἀρκάδες δὲ βλωθρὴν τὴν ἁπαλήν φασι, Μάγνητες τὴν φλοιοβαρῆ, Δρύοπες τὴν τραχεῖαν, Καρύστιοι τὴν σκληράν. παρατετηρημένως δέ, φασίν, Ὅμηρος καὶ οἰκείως ἑκάστοις τὰς κλήσεις ἐπιτιθεὶς λέγει δρῦς ὑψικόμους, ἰτέαν ὠλεσίκαρπον, πίτυν βλωθρήν, μελίης ταναήκεας ὄζους, αἰγείρους ὑδατοτρεφέας, τανύφλοιον κράνειαν. (v. 391) Τὸ δὲ «νεήκεσιν» οἱ

μὲν ἀντὶ τοῦ νεωστὶ ἠκονημένοις, οἱ δὲ τοῖς ἔχουσι νέαν ἀκήν, ὅ ἐστιν ἀκωκὴν καὶ ὀξύτητα. Διό, φασί, καὶ ὤφειλεν ὀξύνεσθαι κανόνι τοιούτῳ. Τὰ εἰς η λήγοντα θηλυκά, ποιοῦντα ἐκ συνθέσεως ἀρσενικὰ εἰς ης ἐπιθετικά, ὀξύνονται, ὅταν ἔχωσιν οὐδετέρου παρασχηματισμὸν καὶ τὴν γενικὴν περατουμένην εἰς ους , οἷον τύχη εὐτυχής. διότι τὸ μὲν οὐδέτερον εἰς ες , ἡ δὲ γενικὴ εἰς ους , πύλη εὐρυπυλής, διότι εὐρυπυλές τὸ οὐδέτερον ἐν Ὀδυσσείᾳ, καὶ ἡ γενικὴ εὐρυπυλοῦς. ἐχρῆν οὖν, φασίν, ὀξύνεσθαι καὶ τὸ νεήκης, ἔχει γὰρ θηλυκόν τε τὴν ἀκὴν προϋπάρχον καὶ οὐδέτερον εἰς ες καὶ γενικὴν εἰς ους . ἀλλ’ ἡ παράδοσις βαρύνει αὐτὸ κατὰ συνεκδρομὴν τοῦ εὐμήκης καὶ μεγακήτης καὶ τῶν τοιούτων. Βαρύνεται δὲ ὁμοίως καὶ ξυρήκης ὁ ξυρήσιμος καὶ κουριῶν, ὥς φησιν Αἴλιος Διονύσιος. Τὸ δὲ νήϊον διὰ πολυπειρίαν ἔγκειται τῇ παραβολῇ, ὡς ἂν εἴη γνωστὸν τὴν πίτυν εἶναι καὶ ναυσὶ χρήσιμον. εἰ δ’ ἴσως καθάπερ ἐπὶ δρυός, οὕτω καὶ ἐπὶ ἀχερωΐδος χρὴ νοῆσαι τὸ νήϊον εἶναι, εἴη ἂν τοῦτο καλὸν εἰς ναυτιλίας ψόγον διὰ τὸ κακοσύμβολον, οἷα τῆς νηὸς ἀχερωΐδι συγκροτουμένης τῇ παρωνυμουμένῃ τῷ Ἀχέροντι. Ἀναγκαίως δὲ πρὸ τοῦ νήϊον κείσεται ὑποδιαστολή, ἵνα μή τις οἴηται τοῦ νυ ᾠκειωμένου τῇ ὄπισθεν συλλαβῇ λείπεσθαι μετ’ αὐτὴν τὸ ἤϊον εἶναι, ὅ ἐστι βρῶμα ἢ ἄχυρον. (v. 392 s.) Ὅτι Ἄσιος ὑπὸ Ἰδομενέως βληθεὶς καὶ πεσών, ὡς ἐρρέθη, «πρόσθ’ ἵππων καὶ δίφρου κεῖτο τανυσθείς», κατὰ δρῦν μακρὰν δηλαδὴ ἢ πίτυν, τὰς ἐν τῇ ῥηθείσῃ παραβολῇ, «βεβρυχώς», ὡσεὶ καὶ λέων ἴσως ἢ καὶ κατά τινα τραχεῖαν ἐρυγὴν ταύρου ἐρυγμήλου, «κόνιος δεδραγμένος αἱματοέσσης», ἤτοι ἀπρὶξ ἐχόμενος τῆς γῆς, χερσὶν ἢ ὀδοῦσι.

3.493 Καὶ ἔστι, φασί, τοῦτο ἐναργὲς εἴδωλον ἥρωος ἐν αὐτῷ τῷ θυμῷ τὴν ψυχὴν ἀφιέντος καὶ διὰ τοῦτο βρυχωμένου, ὡς εἴρηται, καὶ ἐν τῷ σφαδάζειν δραττομένου γῆς πεφυρμένης τῷ αὐτοῦ αἵματι. καὶ οὐδὲν αὐτὸν οἱ ἵπποι ὤνησαν, οἳ καταπνέοντες τῶν ὤμων εἵποντο. καὶ ἴσως ἐμπαίζων ὁ ποιητὴς εἶπε τὸ «πρόσθεν ἵππων καὶ δίφρου ἔκειτο». ἐχρῆν γὰρ μὴ ἵππους ἀλλ’ αἰχμητὰς ἄνδρας ἔχειν ἐφεπομένους, οἳ καὶ ἀμφιβάντες περιεσώσαντο ἂν αὐτὸν κινδυνεύοντα. [(v. 393) Ὅτι δὲ βεβρυχέναι λέγεται κατὰ ὀνοματοποιΐαν καὶ ἐπὶ ὕδατος ἀντὶ τοῦ βλύζειν ἢ βρύειν κατὰ τὸ «ἀναβέβρυχεν ὕδωρ», ἐκ πηγῆς δηλαδή, φανεῖται ἀλλαχοῦ.] Καλεῖ δὲ καὶ τὸν δίφρον τοῦ Ἀσίου προϊὼν εὐεργέα περιέργως. αὐτός τε γάρ, φασί, μέγας καὶ οἱ ἵπποι αὐτῷ καλοὶ καὶ ὁ δίφρος εὐεργής. (v. 394) Ὅτι καὶ ὁ τοῦ Ἀσίου ἡνίοχος ἀλαζὼν ἔοικέ τις καὶ ἀνόητος εἶναι, ἀκαταμάχητον τὸν δεσπότην οἰόμενος. διὸ πεσόντα ἰδὼν ἔπαθε τὰς φρένας. Φησὶ γὰρ «ἐκ δέ οἱ ἡνίοχος πλήγη φρένας, ἃς πάρος εἶχεν». (v. 395—401) Ὅπερ ἐφερμηνεύων ἐπάγει· οὐδ’ ἐτόλησε δηΐων χεῖρας ἀλύξας ἵππους στρέψαι, οἷα δὴ ἐκπληγεὶς φρένας, ἀλλ’ Ἀντίλοχος «δουρὶ μέσον περόνησε τυχών. οὐδ’ ἤρκεσε θώρηξ χάλκεος» καὶ ἑξῆς, ὡς ἐπὶ Ὀθρυονέως εἶπε ταὐτολογικῶς, καὶ τοὺς ἵππους ἐξήλασε Τρώων εἰς Ἀχαιούς. Σημείωσαι δὲ ὅτι τὸ «ἐξεπλήγη φρένας» καὶ τὸ «οὐδ’ ἐτόλμησεν ἵππους στρέψαι» οὐδὲν ἄλλο ἐστὶν ἢ θελχθῆναι τὸν ἡνίοχον, ὃ δὴ λέγειν εἴωθεν ἐπὶ τῶν τοιούτων ὁ ποιητής, ὡς καὶ μετ’ ὀλίγα δηλωθήσεται. Ὁ δὲ τοιαῦτα πάσχων καὶ βλαβῆναι φρένας λεχθείη ἂν καὶ ἐκπλαγεὶς στῆναι, ὡς τὸ «τὸν δ’ ἄτη φρένας εἷλε, στῆ δὲ ταφών», ὅπερ που ἐρεῖ ἐπὶ Πατρόκλου. (v. 394) Ἰστέον δὲ ὅτι τε τὸ ἐκπλήγη ποιητικῶς πέφρασται. τὸ γὰρ κοινὸν ἐξεπλάγη λέγεται παρὰ τοῖς μεθ’ Ὅμηρον, καὶ ὅτι ἔκ τινος τοιαύτης ἐννοίας παρῆχθαι δοκεῖ καὶ τὸ «ἐκπαγλότατ’ ἀνδρῶν», ἵνα δηλοῖ τὸν ἐκπληγέντα τὰς φρένας, καὶ ὅτι φρένας οὐ τὸ σωματικὸν λέγει μέρος, ἀλλὰ τὸ ἐκεῖθεν ἐνέργημα. φρένας μὲν γὰρ τὸ μόριον ἔχει ὁ ἡνίοχος, οὐ φρονεῖ δὲ ὡς πάρος. (v. 395 s.) Καὶ ὅτι τὸ οὐκ ἐτόλμησε δηΐων χεῖρας ἀλύξας ἵππους στρέψαι, ἀνέστραπται ὁμοίως τῷ «ὃ δὲ χασάμενος πελεμίχθη». ὡς γὰρ ἐκεῖ ὀρθὸν τὸ «πελεμιχθεὶς χάσατο», οὕτω καὶ ἐνταῦθα εἰπεῖν χρή, ὡς οὐκ ἐτόλμησεν ἵππους στρέψας ὑπαλύξαι τοὺς ἐχθρούς. (v. 397) Τὸ δὲ «μέσον περόνησεν» ἐκ μικροπρεποῦς πράγματος μέγα τι δηλοῖ. ἀπὸ γὰρ τῆς κατὰ περόνην διελάσεως ἡ κατὰ τὸ δόρυ ἐνταῦθα τέτραπται. (v. 404

s.) Ὅτι ἐνταῦθα μὲν Ἰδομενεὺς ἠλεύατο βολὴν δόρατος κρυβεὶς ὑπὸ τὴν ἀσπίδα καὶ ὑπ' αὐτῇ συστραφείς.

3.494 Φησὶ γάρ, ὅτι τε κρύφθη ὑπ' ἀσπίδι πάντοσε ἴσῃ καὶ ὅτι ὑπ' αὐτῇ πᾶς, ἤτοι ὅλος, ἐάλη, ὅ ἐστι συνειλήθη, συνεστράφη. (v. 408—10) Τὸ δ' «ὑπέρπτατο χάλκεον ἔγχος, καρφαλέον δέ οἱ ἀσπὶς ἐπιθρέξαντος ἄϋσεν ἔγχεος» καὶ μιμεῖται, φασί, διὰ τοῦ «ἄϋσεν» ἐλαφρὸν μὲν ψόφον ἀσπίδος, ἐπὶ πολὺ δὲ παραταθέντα. Καὶ οὕτω μὲν Ἰδομενεὺς ἐκκλίνει τὴν βολήν, ἕτερος δέ που κατακύπτει, τὸ δ' ἐξόπισθεν δόρυ μακρὸν ἐνσκήπτει τῇ γῇ. Ἕκτωρ δέ που ἀλεύατο, «ἕζετο γὰρ προϊδών». ἄλλος δέ τις «ὕπαιθα λιάσθη καὶ ἀλεύατο κῆρα λικριφὶς ἀΐξας». οὕτω πόριμος καὶ ἐν τούτοις ὁ ποιητής. ἀλλαχοῦ μέντοι ἁπλῶς οὕτω φησὶν «ἄντα ἰδὼν ἀλεύατο», μὴ προσθεὶς καὶ τὸν τρόπον τῆς ἀποφυγῆς. [(v. 405) Τὸ δὲ «ὑπ' ἀσπίδι» Ἀττικὸν καὶ αὐτό, τὸ μέντοι κοινὸν ὑπ' ἀσπίδα.] (v. 408) Τὸ δὲ «ἐάλη» ποιητικὴ καὶ τοῦτο λέξις, ἀσυντελὴς τοῖς γράφουσι καταλογάδην, γίνεται ἀπὸ τοῦ εἶλον, οὗ παθητικὸς ἀόριστος Ἰωνικὸς ἅλην, καὶ ἐξ αὐτοῦ πλεονασμῷ τοῦ ε τὸ ἐάλη. ἢ κοινῶς, ἥλην ἥλης ἥλη, καὶ διαλύσει ἐάλη ὡς ἐάγη, ὃ συγγενές ἐστι τῷ ἐκρύφθη οἷα συντελοῦν εἰς κρύψιν. (v. 409) Τὸ δὲ «καρφαλέον ἄϋσεν», ἤγουν ξηρόν, ὅπερ προϊὼν σαφέστερον φράζει ἐπὶ θώρακος εἰπών, ὅτι αὖον ἄϋσεν, ἐναργεστάτην ὀνομασίαν φασὶν οἱ παλαιοί, ὡς τοῦ δόρατος πληγὴν μὲν οὐ ποιήσαντος, ἐπιπολῆς δὲ δραμόντος καὶ ξηρόν τι ψοφήσαντος. Ἐν τούτοις δὲ τὴν ἀσπίδα τοῦ Ἰδομενέως δινωτήν τε λέγει καὶ κανονωτήν. (v. 406 s.) Φησὶ γὰρ «ἣν ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῷ δινωτὴν φορέεσκε, δύο κανόνεσσ' ἀραρυῖαν». Οὐ γὰρ ἐχίαζον, φασίν, αὐτὴν ὀχάνοις, ὡς νῦν γίνεται, ἀλλ' ἦσαν ἀντὶ πόρπακος οἱ κανόνες, οὓς χρυσοῦς εἶχεν ἡ τοῦ Νέστορος ἀσπίς.

3.495 Καὶ ἄλλως δὲ κατὰ τοὺς παλαιούς, ἐπεὶ οὐ πόρπακας εἶχον αἱ ἀσπίδες, ἀλλὰ τελαμώνων ἤρτηντο, διὰ τοῦτο πρὸς τὸ κατευθύνειν αὐτὰς ἐχρῶντο δυσὶ κανόσι. Τινὲς δὲ τοὺς κανόνας ῥάβδους ἡρμήνευσαν καὶ ῥαφάς. (v. 405) Ὅρα δὲ τὸ κρύφθη, φιλητὸν ὂν τῇ ποιήσει μᾶλλον ἤπερ τὸ κρύβη. οὕτω δὲ καὶ τὸ βλαφθεὶς καὶ στρεφθεὶς καὶ θρεφθεὶς προτιμότερα τοῖς ποιηταῖς τοῦ βλαβεὶς καὶ στραφεὶς καὶ τραφεὶς εἶναι δηλοῦνται ἀλλαχοῦ διά τε μέτρου χρῆσιν καὶ ὅτι κάλλιον παρ' αὐτοῖς ἡ καίριος τραχυφωνία τῆς ἁπλῶς ἐν προφορᾷ λόγου λειότητος. (v. 407) Δινωτὴ δὲ ἡ πάντοσε ἴση, τουτέστι περιφερής, ὡς εἴπερ ἦν τορευτή. Δῖνος γὰρ ὁ τόρνος, [ἐξ οὗ καὶ τὸ δινῶ δινήσω ἐν πρώτῃ συζυγίᾳ τῶν περισπωμένων, καὶ ἐν τρίτῃ τὸ δινῶ δινώσω, καθὰ καὶ ἀλλαχοῦ δηλοῦται.] (v. 408) Τὸ δὲ «ὑπέρπτατο» σφοδρὰν δηλοῖ δόρατος ἄφεσιν, καθ' ἣν ὑπερπετασθῆναι τῆς ἀσπίδος λέγεται ὡς εἰ καὶ πτερόεν βέλος ἦν. [Φανερὸν δ' ὅτι καὶ πτάσθαι λέγεται κατὰ χρόνον μέσου ἀορίστου πρώτου, ἐξ οὗ τὸ ἔπτατο, καὶ πτέσθαι δὲ ὡς τυπέσθαι, οὗ προϋπόκειται τὸ ἐπτόμην καὶ ἀνεπτόμην.] (v. 409) Ὅτι δὲ τοῦ τρέχω ἐνεστῶτος ὁ μέλλων θρέξω ἐστί, καὶ ὡς πολλαχοῦ ἡ τούτου χρῆσις, ἔκδηλόν ἐστιν. (v. 410) Ὅτι ἐπιτυχίαν βολῆς δηλοῖ τὸ «οὐδ' ἅλιον ἔγχος βαρείης χειρὸς ἀφῆκεν, ἀλλ' ἔβαλε» τὸν δεῖνα. (v. 414—6) Ὅτι ἐν τῷ «οὐ μὰν ἄτιτος κεῖται Ἄσιος» καὶ ἑξῆς ἕως τοῦ «ἐπεί ῥά οἱ ὤπασα πομπόν», ἤγουν συνοδοιπόρον, ὡς προγέγραπται—Δηΐφοβος δὲ σαρκαστικῶς τοῦτο ἔφη βαλὼν Ὑψήνορά τινα ἑταῖρον Ἀντιλόχου—κρατερὸς μὲν ὁ Ἅιδης ἐρρέθη διὰ τὸ βίαιον, πυλάρτης δὲ διὰ τὸ δυσεξίτητον, [ἔτι δὲ καὶ διὰ τὸ δυσόρατον, ὅθεν καὶ Ἀΐδης, ὃν οὐκ ἔστιν ἰδεῖν.

3.496 τοιοῦτον γὰρ αἱ ἀραρυῖαι πύλαι, οὔτε ἔσωθεν φυκταὶ οὔτε ἔξωθεν ὁραταὶ τά γε ἐντός.] Ἡ δὲ ἁπλότης τοῦ πυλάρτου ἦν ἐν τῷ «πύλας στιβαρῶς ἀραρυίας». (v. 413) Ὅτι δὲ τοῖς ἥρωσιν ἔθος ἦν ἐν τοῖς κατὰ πόλεμον δεινοῖς βαρέως σαρκάζειν, πρὸ ὀλίγων καὶ αὐτὸ εἴρηται. Ἐν τούτοις δὲ καὶ ταὐτολογεῖ ὁ ποιητὴς εἰπὼν ἐπί τε Δηϊφόβου ἐπί τε Ἰδομενέως τὸ «ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας». (v. 419 s.) Ὅτι πολλάκις ἡ λύπη ἐμποδὼν καὶ εἰς τὰ πρὸ ἔργου γίνεται, καθὰ δηλοῖ ὁ ποιητὴς καὶ ἐν τῷ «ἀλλ' οὐδ' ἀχνύμενός περ ἑοῦ ἀμέλησεν ἑταίρου», ὁ Ἀντίλοχος δηλαδή, «ἀλλὰ θέων περίβη». οὗ διασαφητικὸν εὐθὺς ἐπενεχθὲν τὸ «καί οἱ σάκος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμφεκάλυψεν», ἵνα ᾗ καὶ νῦν περιβῆναι τὸ στῆναι περί τινα πεσόντα ἐπὶ σκέπῃ αὐτοῦ. Ἰστέον δὲ ὅτι οὐ μόνον τὸ πολεμικὸν σκεῦος, ἀλλὰ καὶ ὁ κοινὸς λεγόμενος σάκκος δι' ἑνὸς κάππα προεφέρετο παρ' Ἀθηναίοις, καθά φησιν Αἴλιος Διονύσιος. ὅθεν καὶ σακεύειν, φησί, τὸ ὑλίζειν, ὡς Ἡρόδοτος, χρήμαθ' ὑποσακιζόμενοι, καὶ ὑποσακίζειν τῆς ὁδοῦ τὸ προκόπτειν καὶ ὑφαιρεῖσθαι. τοῦτο δὲ ἴσως καὶ ἀπὸ τοῦ κατὰ μικρὸν ἐκκενουμένου σάκου. (v. 421—3) Ὅτι νεκροφορίαν φράζει τὸ «τὸν μὲν ἔπειτα ὑποδύντε δύο ἐρίηρες ἑταῖροι φερέτην βαρέα στενάχοντε». [Κυριολεκτεῖται δὲ καὶ ἐνταῦθα ὡς μάλιστα τὸ φέρειν ἐπὶ νεκροῦ λεχθέν, οὗ καὶ ἡ κλίνη φέρτρον, ἀλλοῖόν τι οὖσα παρὰ τὸ φορεῖον. Κεῖται δ' ἐν τούτοις καί τις Ἐχίος καὶ ἕτερος Ἀλάστωρ, Ἑλληνικὰ κύρια ὀνόματα.] (v. 424—6) Ὅτι πάνυ πολλὴν προθυμίαν καὶ ὁρμὴν ἐν μάχῃ δηλοῖ τὸ «Ἰδομενεὺς δ' οὐ λῆγε μένος μέγα, ἵετο δ' αἰεὶ ἤέ τινα ἐρεβεννῇ νυκτὶ καλύψαι ἢ αὐτὸς δουπῆσαι, ἀμύνων» τοῖς ἑαυτοῦ. Καὶ ὅρα ὅτι τὸ κτεῖναι νυκτὶ καλύψαι φησίν, ὅπερ ἀλλαχοῦ εἶπεν Ἄϊδι προΐαψεν, ὡς ταὐτὸν ὂν μεταφορικῶς νύκτα τε καὶ Ἅιδην εἰπεῖν. Ἰστέον δὲ ὡς τὸ [μὲν «καί οἱ σάκος ἀμφεκάλυψε» σκέπην δηλοῖ, τὸ δὲ «νυκτὶ καλύψαι» θανατηρὰν σημαίνει ἐπίκρυψιν.

3.497 οὐ μὴν καὶ τὸ «ἠέρι καλύψαι», τοιοῦτόν ἐστιν, ἀλλὰ δήλωσιν ἔχει τοῦ πρὸς ὥραν ἀόρατον γενέσθαι τινά. (v. 424) Τὸ δὲ] «ἔληγε μένος» οἱ μεθ' Ὅμηρον ἔληγε μένους ἐροῦσιν ἄν, τοιαύτῃ συντάξει χαίροντες. [Ἔστι δὲ τὸ μὲν «ἔληγε μένος» ἀντὶ τοῦ ἔπαυσε, τὸ δὲ «ἔληγε μένους» ἀντὶ τοῦ ἐπαύσατο».] (v. 426) Τὸ δὲ δουπῆσαι παρακολούθημα τοῦ ἐν μάχῃ θανεῖν. ἐντεῦθεν δὲ ἡ κοινὴ γλῶσσα ἐπὶ ζῴων εἴληφε τὸ ψοφεῖν, οἷς ὅμοιον καὶ τὸ «δεδουπότος Οἰδιπόδαο». [Ὕπεστι δέ τι καὶ σεμνότητος ἐν τοῖς τοιούτοις τῇ λέξει τοῦ δουπεῖν. ἐμφαίνει γὰρ σωμάτων μέγεθος. τῶν γὰρ τοιούτων ἐστὶ τὸ ἀποτελεῖν δοῦπον, ὅτε καταρριφῶσι. δῆλον δὲ ὡς ὁ ἁπλῶς δοῦπος ἐπιταθεὶς τὸν ἐρίγδουπον σεμνότερον συντίθησιν.] (v. 427—33) Ὅτι ὁ τοῦ Αἰσυήτου υἱὸς ἥρως Ἀλκάθοος γαμβρὸς ἦν Ἀγχίσαο ἐπὶ πρεσβυτάτῃ θυγατρὶ τῇ Ἱπποδαμείᾳ, «ἣν περὶ κῆρι φίλησεν», [ἤγουν περισσῶς ἐφίλησεν, οὐ χείλεσιν ἀλλὰ ψυχῇ,] «πατὴρ καὶ πότνια μήτηρ», ἡ κατὰ τοὺς παλαιοὺς Ἐριῶπις, «ἐν μεγάρῳ· πᾶσαν γὰρ ὁμηλικίην», ἤγουν κατὰ πάσας τὰς ὁμήλικας, «ἐκέκαστο κάλλεϊ καὶ ἔργοισιν ἰδὲ φρεσί. τοὔνεκα καί μιν γῆμεν ἀνὴρ ὥριστος ἐνὶ Τροίῃ εὐρείῃ». Καὶ ὅρα ὅτι παιδεύει ὁ ποιητής, ὡς καὶ γονεῦσι πρὸς παῖδας πλείων ἡ εὔνοια δι' ἀρετὴν ἤπερ διὰ φύσιν. καὶ Ἱπποδάμειαν γὰρ οἱ αὐτῆς διὰ τὰς ἀρετὰς φιλοῦσιν. Ὅρα δὲ καὶ ὡς ἐν οὐδὲ ὅλῳ ἑνὶ στίχῳ πᾶσαν ἐξέθετο γυναικὸς ἀρετήν, εἰπὼν κάλλει καὶ ἔργοις καὶ φρεσί, συντόμως φράσας ἤπερ ἐν τῇ α' ῥαψῳδίᾳ, ἐπειδὴ ὅπερ εἶπεν ἐκεῖ δέμας καὶ φυήν, ἐνταῦθα κάλλος ἔφη, συνελὼν ἐκεῖνα τὰ δύο ἐν λέξει μιᾷ. (v. 433) Σημείωσαι δὲ καὶ ὅτι ἐνταῦθα μετὰ τὸ «ὥριστος ἐνὶ Τροίῃ εὐρείῃ» ὑποτάσσουσί τινες προσγράφοντες στίχους τούτους «πρὶν Ἀντηνορίδας τραφέμεν καὶ Πανθόου υἷας, Πριαμίδας θ' οἳ Τρωσὶ μετέπρεπον ἱπποδάμοισιν, ἕως ἔθ' ἥβην εἶχεν, ὄφελλε δὲ κούριον ἄνθος», ἵνα ᾖ ὁ Ἀλκάθοος ἄριστος πρὶν γενέσθαι τοὺς ῥηθέντας. Ὅτι δὲ, καθὰ προεσημειώθη, ἐν πολλοῖς ἔπη Ὁμηρικὰ ἐκ τῶν ἀντιγράφων λείπουσι, πολλοὶ τῶν παλαιῶν καὶ λέγουσι καὶ ἀποδεικνύουσιν. (v. 435) Ὅτι τὸ θέλγειν πανταχοῦ παρὰ τῷ ποιητῇ, [ὡς καὶ προερρέθη,] ἐκτροπήν τινα δηλοῖ καὶ μετάθεσιν τοῦ κατὰ φύσιν διὰ φόβον ἢ λύπην ἢ ἡδονὴν ἢ ἕτερόν τι πάθος ὑπερβάλλον, καὶ ὃς ἂν ἐνεὸς μείνῃ παθών τι τοιοῦτον, ὁ τοιοῦτος θέλγεσθαι λέγεται, καὶ ἐκ τοῦ τοιούτου θέλγειν καὶ Τελχῖνας, ὡς καὶ ἐν Ὀδυσσείᾳ ἐρρέθη, πλάττουσιν οἱ μῦθοι δαίμονάς τινας κακοποιοὺς καὶ οὐκ ἐπὶ καλῷ θέλγοντας.

3.498 ὅθεν καὶ νῦν εἰπὼν Ὅμηρος, ὡς ἐδάμασεν ὑπὸ τῷ Ἰδομενεῖ τὸν Ἀλκάθοον Ποσειδῶν, «θέλξας ὄσσε φαεινώ», ἐφερμηνεύει λέγων «πέδησε δὲ φαίδιμα γυῖα». (v. 436—9) Τοῦτο δὲ ἀναπτύσσων εἰς πλείω σαφήνειαν ἐπιφέρει «οὔτε γὰρ ἐξοπίσω φυγέειν δύνατο οὔτ' ἀλέασθαι», [τῇ εἰς πλαγιόν τι δηλαδὴ ἐκκλίσει] «ἀλλ' ὥς τε στήλην ἢ δένδρεον ὑψιπέτηλον ἀτρέμας ἑσταότα στῆθος μέσον οὔτασε δουρὶ ἥρως Ἰδομενεύς». Καὶ ἔστι τὸ τοιοῦτον θέλγειν ἤ, ὥς που ἐγράφη,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντὶ τοῦ ἀπάγειν τινὰ οὗ ἐθέλει, ἢ τὸ εἰς ὃ θέλει ὁ ἐχθρὸς ἄγειν. τὸ δὲ ἦν ἐνταῦθα τὸ μεταβαλεῖν τῆς ὀξυωπίας καὶ στήσειν ἀκίνητον ὡς τρόπον τινὰ τῆς ψυχῆς νεκρῷ, φασίν, ἐνοικούσης τῷ σώματι. λέγει δὲ καὶ ἀλλαχοῦ «οὐδέ μ᾽ ἔθελξε», καὶ Κίρκη δὲ πρὸς Ὀδυσσέα φησὶ «ὡς οὔ τι πιὼν τάδε φάρμακ᾽ ἐθέλχθης», ἤτοι τοῦ κατὰ φύσιν μετέστης. δοκεῖ δὲ καὶ πρὸ ὀλίγου ὁ τοῦ Ἀσίου ἡνίοχος, ὅπου ἐξεπλήγη φρένας, τοιοῦτόν τι παθεῖν, ὡς καὶ προερρέθη, ἐκ πολλῆς δειλίας καὶ ἐκπλήξεως, εἰ καὶ Ὅμηρος τὴν τοῦ θέλγειν λέξιν ἐκεῖ οὐκ ἐξεφώνησε. (v. 437) Σημείωσαι δὲ ὅτι ἐπὶ μὲν τοῦ Ἀσίου καὶ ὡρισμένως εἶπε δρῦν καὶ ἀχερωΐδα καὶ πίτυν, αἷς ὅμοιος ὁ Ἄσιος ἔπεσεν, ἐνταῦθα δ᾽ ἐπὶ Ἀλκαθόου ἠρκέσθη δένδρον εἰπὼν ὑψιπέτηλον, πλὴν οὐ κείμενον ἀλλὰ ἑστώς, προσθέμενος καὶ στήλην, καὶ στίχῳ ἑνὶ δύο ἐμπεριγράψας παραβολάς, ὧν ἡ ἐκ τῆς στήλης προσφυεστέρα τῷ ὑποκειμένῳ προσώπῳ τε καὶ πράγματι. [Ἐν δὲ τῷ «ὑψιπέτηλον» καὶ πρὸ αὐτοῦ ἐν τῷ «πέτηλον» σημειῶδες ὅτι τὸ μὲν ἐκ τοῦ πέτω γινόμενον πέτηλον διὰ τοῦ ἦτα γράφεται, τὸ δὲ ἐκ τοῦ συγκεκομμένου πτῶ παράγωγον πτίλον τὴν διὰ τοῦ ἰῶτα γραφὴν ἀπηνέγκατο. Ὅτι δὲ τὰ πέτηλα φυλάττει τὴν κλῆσιν ταύτην εἰς ἔτι παρά τισι, δηλοῦσι τὰ παρὰ τοῖς Λυκίοις πετήλια.] (v. 436) Ὅρα δ᾽ ἐν τοῖς ῥηθεῖσι καὶ τὸ «ἐξοπίσω», περιττὴν ἔχον τὴν πρόθεσιν, καὶ τὸ «ἀτρέμας», φανερῶς ὂν ἐπίρρημα. (v. 439 s.) Ὅτι τελικὸν αἴτιον θώρακος τὸ κατὰ ὀλέθρου βοηθεῖν, ὡς δῆλον ἐκ τοῦ «ῥῆξε δέ οἱ ἀμφὶ χιτῶνα χάλκεον, ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἤρκει ὄλεθρον». [Ἔστι δὲ τὸ πρόσθεν χρονικὸν ἀντὶ τοῦ κατὰ τὸν πρότερόν ποτε χρόνον.] (v. 441) Ὅτι ὥσπερ πρὸ μικροῦ ἀσπὶς ἄϋσεν ἐπιθρέξαντος ἔγχεος, οὕτω καὶ νῦν ῥαγεὶς χιτὼν χάλκεος αὖον ἄϋσεν, ὥστε καὶ ἐπὶ ἀψύχων λέγεται τὸ ἄϋσεν. Ἰστέον δὲ ὅτι τὸ ῥήσσειν καὶ ἐρείκειν λέγεται.

3.499 διὸ τὸν ῥαγέντα τοῦτον χιτῶνα ὑποκαταβὰς ἐρείκεσθαι λέγει, εἰπὼν «αὖον ἄϋσεν ἐρεικόμενος περὶ δουρί». Ποιητικὴ δὲ λέξις τὸ ἐρεικόμενος καὶ τὸ αὐτοῦ θέμα τὸ ἐρείκω, ἐξ οὗ φυτόν τε ἐρείκη, ὃ παραφθείροντες οἱ χυδαῖοι ἐρείχην φασί, καὶ ὄσπρια ἐρεικτὰ τὰ σχιστά, ὁποῖον ὁ κύαμος. Παυσανίας δὲ καὶ ἐρεικτὸν πυρὸν λέγει τὸν μὴ εἰς ἄλευρα ἀληλεσμένον, ἀλλ᾽ ὥστε δύο ἐξ ἑνὸς γεγονέναι, ὃν ἄνθρωπος κοινὸς εἴποι ἂν ἁδράλεστον. (v. 442—4) Ὅτι εἰπὼν Ὅμηρος ὡς στῆθος μέσον οὔτασε, «δόρυ δ᾽ ἐν κραδίῃ ἐπεπήγει, ἥ ῥά οἱ ἀσπαίρουσα καὶ οὐρίαχον πελέμιξεν ἔγχεος», ἤγουν τὸ ἕτερον ἄκρον τοῦ δόρατος ἐκράδανε, περὶ οὗ καὶ ἀλλαχοῦ ἐρρέθη, διδάσκει ποῦ τε ἡ καρδία κεῖται καὶ ὅτι ὁρμῶν ὁ σίδηρος ἐπὶ τὰ πρόσω ἀνεκρούσθη τῷ παλμῷ τῆς καρδίας. (v. 443) Οὐρίαχος δέ, ὡς καὶ προδεδήλωται, τὸ ἀντικείμενον τῇ αἰχμῇ καὶ οἷον οὐρὰ δόρατος, ὃ καὶ στύραξ λέγεται καὶ σαυρωτήρ. (v. 444) Τὸ δὲ ἐπαγόμενον, τὸ «ἔνθα δ᾽ ἔπειτ᾽ ἀφίει μένος ὄβριμος Ἄρης», οἱ μὲν κἀνταῦθα ἐφερμηνευτικὸν εἶπον εἶναι τοῦ οὐρίαχος, ἵνα δηλοῖ τὸν ἐν τῷ ἑτέρῳ ἄκρῳ τοῦ δόρατος Ἄρην, ἤγουν σίδηρον, ἔνθα τελευτῶν αὐτός, ἤγουν πληρούμενος, ἀφίησιν, ὅ ἐστι παύει, τὸ ἑαυτοῦ μένος. Οἱ δὲ περὶ τῆς αἰχμῆς τοῦτο νοοῦντές φασιν «ἔνθα», τουτέστι περὶ τὴν παλλομένην καρδίαν, ἀφῆκε τὸ μένος ὁ σίδηρος, ἤγουν ἔστη τῆς προσωτέρω ὁρμῆς. ἢ καὶ ἄλλως, ἔνθα ὁ σίδηρος ἐποίησε τὸν τετρωμένον ἀφεῖναι τὸ ψυχικὸν μένος, ἤγουν θανεῖν. Ὅτι ἔκπαγλον ἐπευξάμενος ὁ Ἰδομενεὺς ἐνταῦθα ἐφ᾽ οἷς ἠρίστευσε, καὶ ἐρωτήσας εἴπερ ἄξιον τρεῖς ἑνὸς ἀντιπεφάσθαι, ὡς πρὸ βραχέων εἴρηται, εἶτα καὶ τὸν Δηΐφοβον, ὡς καὶ αὐτὸ προερρέθη, ἀντίον αὐτοῦ στῆναι προκαλεσάμενος, γενεαλογεῖ ἑαυτόν, ἵνα ἔργοις αὐτοῖς ἀνδρεῖος ἀναδειχθεὶς συστήσῃ, ὡς καὶ εὐγενής ἐστιν οὐδὲν ἔλαττον τῶν ἀμφὶ τὸν Πρίαμον. (v. 448—53) Φησὶ γὰρ «δαιμόνι᾽, ἀλλὰ καὶ αὐτὸς ἐναντίος ἵστας᾽ ἐμεῖο, ὄφρα ἴδῃ», ἤγουν θεάσῃς, «οἷος Ζηνὸς γόνος ἐνθάδ᾽ ἱκάνω. ὃς πρῶτον Μίνωα τέκε Κρήτῃ ἐπίουρον», ὅ ἐστι φύλακα, ὡς προδεδήλωται, ταὐτὸν δ᾽ εἰπεῖν βασιλέα. «Μίνως δ᾽ αὖ τέκεθ᾽ υἱὸν ἀμύμονα Δευκαλίωνα, Δευκαλίων δ᾽ ἐμὲ τίκτε, πολέεσς᾽ ἄνδρεσσιν ἄνακτα, Κρήτῃ ἐν εὐρείῃ». (v. 453 s.) Εἶτα καὶ ἐκφοβῶν τὸν ἀντίπαλόν φησιν «νῦν δ᾽ ἐνθάδε νῆες ἔνεικαν σοί τε κακὸν καὶ πατρὶ καὶ ἄλλοισι Τρώεσσιν», ὅπερ ἐπὶ μεγάλου παρῳδηθήσεταί ποτε κακοῦ. Καὶ ὅρα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς καὶ ἐνταῦθα Ἰδομενεὺς ἁπλοϊκῶς οὕτω ἀντικρὺ τοῦ ἐχθροῦ ἑστὼς τὴν ἑαυτοῦ γενεαλογίαν σεμνολογεῖ, ἐρωτηθεὶς ὑπ' οὐδενός, ὥς που ὁ Γλαῦκος ὑπὸ Διομήδους, ἀλλ' αὐθαιρέτως περιαυτολογῶν οὐ μόνον εἰς ἔκπληξιν τοῦ ἀνθισταμένου, ἀλλὰ καὶ διότι ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ φιλόλαλον ἀφελῶς τὸ ἦθος τοῦ Ἰδομενέως πλάττεται.

3.500 (v. 452) Ἰστέον δὲ καὶ ὡς, εἰ Δευκαλίων πατὴρ τῷ Ἰδομενεῖ, ἄρα Δευκαλιωνίδης αὐτός, ὥστε ὅπου Δευκαλίδην εἶπεν αὐτόν, κατὰ συγκοπὴν ἐκ τοῦ Δευκαλιωνίδης τοῦτο ἔφη. (v. 450) Καὶ ὅτι πρῶτον Μίνωα τεκεῖν λέγεται Ζεὺς οὐχ' ἁπλῶς ἐν ἅπασιν υἱοῖς, ἀλλ' ἐν τῷ κατὰ τὸν Μίνωα φύλῳ τῷ κατὰ βάθος. εἰ γὰρ καὶ πάντων τῶν τοιούτων πατὴρ ὁ Ζεύς, ἀλλὰ κυρίως πρώτου τοῦ Μίνωος, τῶν δὲ ἐφεξῆς ὡς πρόγονος. Ὅρα δὲ καὶ ὡς διχῶς ἔφη «τέκετο υἱόν» παθητικῶς καὶ «Μίνωα τέκεν» ἐνεργητικῶς. (v. 453) Εὐρεῖα δὲ Κρήτη διὰ τὸ τῆς νήσου εὐμέγεθες οἰκειότερον ἤπερ πρὸ ὀλίγων ἐρρέθη τὸ «ἐνὶ Τροίῃ εὐρείῃ», πλὴν εἰ μὴ ἄρα τοῦτο διὰ χώραν ὅλην ἐλέχθη τὴν κατὰ Τροίαν, οὐ μὴν δι' αὐτὴν μόνην τὴν Τρωϊκὴν πόλιν. πάντως δὲ ὁ χώρας εὐρείας ἄναξ καὶ πολέεσσιν ἄνδρεσσιν ἀνάσσει. (v. 455—7) Ὅτι Δηϊφόβῳ βουλευσαμένῳ ἤ τινά που Τρώων ἑταρίσσαιτο μεγαθύμων κατὰ Ἰδομενέως ἂψ ἀναχωρήσας ἢ πειρήσαιτο καὶ οἶος, δοάσσατο, ἤγουν ἔδοξε, κέρδιον εἶναι βῆναι ἐπ' Αἰνείαν. κρίνει γὰρ καὶ αὐτὸς καλὸν εἶναι τὸ «σύν τε δύο», ὅπερ ἀλλαχοῦ εἶπεν ὁ ποιητής. Καὶ ὅρα τὸ ἑταρίσαιτο καὶ πειρήσαιτο, ἔτι δὲ καὶ τὸ εἶναι καὶ βῆναι, σχήματα κάλλους ὄντα διὰ τὸ παρισοῦν. Ἔστι δὲ ἑταρίσασθαι νῦν μὲν τὸ εἰς βοηθὸν προσλαβεῖν, ἐπεὶ καὶ ἑταῖρος ἔστιν ὅτε ὁ ὑπουργῶν, ὡς καὶ ἡ Ὀδύσσεια δηλοῖ. οὕτω γὰρ ναύτης ἑταῖρος τῷ διαπλωϊζομένῳ, ἔτι δὲ καὶ ἄνεμος. ἁπλῶς μέντοι ἑταιρίζεσθαι τὸ φιλιοῦσθαι. διχῶς δὲ λέγεται καὶ αὐτό, κατά τε πάθος, ὡς ἐνταῦθα, καὶ κατ' ἐνέργειαν, ὡς ἐν τῷ τέλει τῆς Ἰλιάδος, οἷον «σοὶ γὰρ φίλτατόν ἐστιν ἀνδρὶ ἑταιρίσαι». Τὸ δὲ «δοάσατο» ἀποβολὴν ἔπαθε τοῦ κ ἐκ τοῦ δοκῶ δοκάζω, καθὰ καὶ ῥοδαλὸν ἐρεῖ που ποταμὸν δονακῆα, ἤτοι κραδαλόν, ὅ ἐστιν εὐκράδαντον διὰ τοὺς ἐκεῖ δόνακας. καὶ αὐτόθι γὰρ κατά τινας τὸ κ ἐκλέλοιπε. Τινὲς δὲ δοάσασθαί φασι τὸ μετὰ δοιήν, ὅ ἐστιν ἀμφιβολίαν καὶ ἐνδοιασμόν, κρῖναί τι καὶ τυπῶσαι, ὡς ἂν εἴη διοιάσασθαι, καὶ ἀποβολῇ τοῦ ι δοάσασθαι. (v.

3.501 459—61) Ὅτι τὸν Αἰνείαν Δηΐφοβος ἑταρίσασθαι, ὡς προερρέθη, ἐθελήσας οὐ προμαχοῦντα εὗρεν ἀλλ' ὕστατον ὁμίλου ἑσταότα. διὰ τί δὲ τοῦτο; ἆρα διὰ δειλίαν; οὐχί. ἀλλ' ὡς οὐραγοῦντα; οὒ μὲν οὖν οὐδὲ τοῦτο, ἀλλὰ διὰ λύπην βαθεῖαν. «Αἰεὶ γάρ», φησίν, «Πριάμῳ ἐπεμήνιε δίῳ, οὕνεκ' ἄρ ἐσθλὸν ἐόντα μετ' ἀνδράσιν οὔ τι τίεσκεν». Ὑπωπτεύετο γὰρ ὡς βασιλειῶν. ὑπῆν δέ, φασί, καὶ χρησμός, ἁλούσης τῆς Ἰλίου Αἰνείαν βασιλεῦσαι, καθὰ καὶ ὁ ποιητὴς ἐρεῖ ἐν τοῖς ἑξῆς. Τινὲς δὲ φθόνῳ μὴ τιμᾶσθαί φασι τὸν Αἰνείαν ὑπὸ Πριάμου, ἐπεὶ θεὸς ὣς τίετο δήμῳ. ἄλλοι δὲ μισεῖσθαί φασιν αὐτόν, ὡς τῆς μητρὸς αὐτοῦ Ἀφροδίτης ἐκμηνάσης τὸν Ἀλέξανδρον εἰς τὸν τῆς Ἑλένης ἔρωτα. Ὅρα δὲ ὡς ἀεὶ δακνηρὸν ἦν τὸ ἐσθλόν τινα ὄντα ἐν ἀνδράσι μὴ τιμᾶσθαι. Ἐσθλὸς δὲ Αἰνείας, ὡς καὶ γένους τὰ πρῶτα ἔχων καὶ ἀνδρίᾳ προέχων. (v. 461) Τὸ δὲ, «ἀεὶ ἐπεμήνιε» παρατεταμένον θυμὸν εἶναι τὴν μῆνιν δηλοῖ διὰ τοῦ αἰεί ἐπιρρήματος. (v. 465—7) Ὅτι ὁ πρὸ ὀλίγων δηλωθεὶς Ἀλκάθοος ὁ τῷ Ἀγχίσῃ γαμβρὸς δόμοις ἔνι τυτθὸν ἐόντα τὸν Αἰνείαν ἔθρεψεν, ᾧ καὶ ὀφείλων τροφεῖα, εἰπεῖν δὲ καθ' Ὅμηρον θρέπτρα, καὶ κῆδος φυλάσσων, ἔβη ἐπαμῦναι πεφονευμένῳ ὑπὸ Ἰδομενέως. καὶ αὐτὸς μὲν ἐπῆλθεν, (v. 470) «ἀλλ' οὐκ Ἰδομενέα φόβος λάβε τηλύγετον ὥς», ἤγουν ὡς γέροντα καὶ ἤδη τῆλε γενόμενον, τουτέστι πόρρω ἡλικίας ἥκοντα. μεσαιπόλιον γὰρ φθάσας εἶπεν αὐτόν. Ἕτεροι δὲ τηλύγετον ἐνταῦθα εἶπον τὸν μεμονωμένον, ὡς καὶ προεγράφη. διὸ καὶ προϊὼν ἐρεῖ «καί μοι οἴῳ ἀμύνετε». Εἴληπται δὲ ἡ λέξις μεταληπτικῶς ἐκ τῶν μονογενῶν τέκνων, καὶ ἔστιν ὅμοιον τῷ «Τυδείδης αὐτός περ ἐὼν προμάχοισιν ἐμίχθη». Καὶ ὅρα ὅτι φόβος, φησίν, αὐτὸν οὐκ ἔλαβεν, ἤγουν οὐκ ἐθέλησε φυγεῖν. ἄλλως μέντοι ὅτι δέδιεν ἐκεῖνος αἰνῶς τὸν Αἰνείαν, ὁμολογήσει μετὰ μικρόν. ἴσως δὲ καὶ ἔφυγεν ἄν, εἴπερ εἶχεν, οὐκ εἶχε δὲ ὑπὸ γήρως, ὡς μετ' ὀλίγα δηλώσει Ὅμηρος. (v.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

463 s.) Ἰστέον δὲ ὅτι Ὅμηρος εἰπὼν ἐνταῦθα, ὡς χρὴ «γαμβρῷ ἀμυνέμεναι, εἴ πέρ τί σε κῆδος ἱκάνει», τριχῇ τὸ κῆδος νοεῖν ἀφίησι, λύπην δηλαδὴ τὴν ἐπὶ τῷ γαμβρῷ, καὶ φροντίδα, καὶ οἰκειότητα κηδεστικήν, ὅ ἐστι τὴν κατὰ συμπενθερίαν. (v. 471—5) Ὅτι ἔμενε τὸν Αἰνείαν Ἰδομενεύς, «ὡς ὅτε τις σῦς οὔρεσιν ἀλκὶ πεποιθώς, ὅς τε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν χώρῳ ἐν οἰοπόλῳ, φρίσσει δέ τε νῶτον ὕπερθεν. ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον· αὐτὰρ ὀδόντας θήγει, ἀλέξασθαι μεμαὼς κύνας ἠδὲ καὶ ἄνδρας». Καὶ ὅρα ὡς πολλάκις χρησάμενος τῇ ἀπὸ συὸς παραβολῇ ὁ ποιητὴς ἀεὶ εὐπορεῖ ἑτεροτρόπου φράσεως, ποικίλην καὶ αὐτὸς πανδαισίαν τοῖς φιλομαθέσιν ἐξ ἑνὸς ζῴου τούτου δαιτρεύων, καὶ ἐκπλήττων κατὰ τὸν ἱστορούμενον φίλον δειπνοκλήτορα ἐπὶ τοῦ μεγάλου Ἀλεξάνδρου, ὃς ἐκ τοιούτου ζῴου πολλὰ παραθεὶς τῷ βασιλεῖ καρυκεύματα τότε δεξιὸς ἔδοξε.

3.502 Τῶν δ' ἐνταῦθα λέξεων περὶ μὲν τοῦ ἀλκί καὶ τοῦ φρίσσει προερρέθη. (v. 472) Κολοσυρτὸς δὲ ὁ μετὰ κολῳοῦ, ὅ ἐστι θορύβου, ἐπισυρμός, ἢ κυρίως, ὡς καὶ προείρηται, ὁ ἐν ὄρει κάλων, ὅ ἐστι ξύλων, ἑλκυσμὸς καὶ ὁ ἐξ αὐτῶν θόρυβος, ἢ κτύπος γινόμενος ἐν τῷ κόλα σύρεσθαι ξύλα, ἤγουν κολοβωθέντα, ὡς εἰκός, τομαῖς καὶ πελεκήμασι. Τινὲς δὲ τὸν μέγαν θόρυβον οὕτω νοοῦσι. κόλον γὰρ παρ' αὐτοῖς τὸ μέγα, ἐξ οὗ καὶ κολόκυμα τὸ μέγα κῦμα, καὶ ὁ μεγάλην δέ, φασίν, ἀφὴν ἔχων κόλαφος καλεῖται, ἀφ' οὗ ῥῆμα κολαφίζειν. Ἰστέον δὲ ὅτι τὸ κόλον οὐ μόνον ἐπὶ μεγάλου τινὸς λαμβάνεται, ἀλλὰ καὶ τὸ κολοβὸν δηλοῖ καὶ μὴ ἔχον ὁλότητα, ὅθεν καὶ κόλος βοῦς, καὶ ἵνα τις εἴπῃ τὸ αὐτὸ συνθέτως, ὁ κολοβός, καὶ κόλον δόρυ ἐν τοῖς ἑξῆς, οὗ ἀποτέτμηται καὶ ἡ αἰχμὴ καὶ ὁ καυλός, καὶ κολόκυμα καθ' ἑτέρους τὸ κωφὸν κῦμα, ὃ ἐκολούσθη ὡς ἀνέμου δίχα κινούμενον, καὶ κολώνη καὶ κολώνεια καὶ κολωνὸς δέ, τὰ λήγοντα μὲν εἰς ὀξύ, μὴ ἀκριβῶς δὲ ἀπωξυμμένα, ἀλλ' ἔχοντά τι καὶ πλάτους ἐν τῇ κορυφῇ. (v. 473) Οἰοπόλος δὲ χῶρος κἀνταῦθα ὁ ἔρημος, ἐν ᾧ οἶός τις, ὅ ἐστι μόνος, πολεῖ, ἢ ἔνθα οἰῶν πώεα πολοῦσι βοσκόμενα. [Ἔνθα σημείωσαι ὡς, εἰ καὶ τὸ πωλεῖν καὶ πωλεῖσθαι, ὅ ἐστιν ἀναστρέφεσθαι, ὁ ποιητὴς ἐκτείνει, ἀλλὰ τὰ ἐκεῖθεν, οἷον οἰωνοπόλος, ὀνειροπόλος, οἰοπόλος, ἱπποπόλος, οἷον «ἱπποπόλων Θρᾳκῶν», καὶ ὅσα τοιαῦτα, ἐν τῷ ο μικρῷ γράφεται. τὸ μέντοι εὔπωλος γῆ ἑτεροίαν παρὰ τὰ ῥηθέντα ἔχει σύνθεσιν, διὸ οὐδὲ γράφεται κατ' αὐτά.] (v. 473) Τὸ δὲ «φρίσσει νῶτον ὕπερθεν» οἱ μεθ' Ὅμηρον φρίσσει φασὶ λοφιάν. (v. 474) Τὸ δὲ «πυρὶ λάμπετον», [ἐξ οὗ σύνθετον ὁ Πυριλαμπής,] ὅμοιον μέν ἐστι τῷ «πῦρ ὀφθαλμοῖσι δεδορκώς», ἤγουν ὡς πῦρ, τολμηρότερον δὲ εἴρηται τοῦ «πυρὶ λαμπετόωντι ἐΐκτην».

3.503 πυρὶ γὰρ αὐτόχρημα λάμπειν λέγει νῦν τοὺς ὀφθαλμοὺς τοῦ συός. Θήγειν δὲ ὀδόντας ἐν τῷ θυμοῦσθαι ἴδιον μάλιστα συός. Ἔστι δὲ θήγειν ὀδόντας τὸ εἰς θοὸν ἄγειν, ἤγουν εἰς ὀξύ. τὸν δὲ ἐντεῦθεν κτύπον φθάσας κόμπον ἔφη. (v. 476) Κεῖται δ' ἐνταῦθα καὶ παρήχησις σώφρων ἐν τῷ «ὣς μένεν Ἰδομενεύς», ἢ καὶ ἐτυμολογία, ὡς καὶ τοῦ Ἰδομενέως ἐκ τοῦ μένειν ἐτυμολογουμένου. τί δὲ τὸ μένειν, ἐδήλωσεν ἐπαγαγὼν «οὐδ' ὑπεχώρει». (v. 471 et 476) Ὅρα δὲ ὡς ἐν τῇ ῥηθείσῃ παραβολῇ καὶ ἀπολύτως ἔφη τὸ ἔμενεν, οἷον «ἀλλ' ἔμενεν ὡς ὅτε σῦς», καὶ συντεταγμένως. ἡ γὰρ ἀπόδοσις «ὣς μένεν Ἰδομενεὺς Αἰνείαν» φησί. (v. 481—4) Ὅτι Ἰδομενεὺς ἀληθευτικὸς ὢν ὁμολογεῖ δεδιέναι τὸν Αἰνείαν, εἰπὼν «δεῦτε φίλοι, καί μ' οἴῳ», ἤγουν καί μοι τῷ μόνῳ καί, ὡς προρρέθη, τηλυγέτῳ, «ἀμύνατε· δείδια δ' αἰνῶς Αἰνείαν ἐπιόντα πόδας ταχύν, ὅς μοι ἔπεισιν, ὃς μάλα καρτερός ἐστι μάχῃ ἔνι φῶτας ἐναίρειν, καὶ δ' ἔχει ἥβης ἄνθος, ὅ τε κράτος ἐστὶ μέγιστον». Καὶ ὅρα ὡς ἐγκωμιάζει φιλαλήθως τὸν ἐχθρὸν ἥρωα. (v. 485 s.) Εἶτα δεικνύων, ὅτι διὰ τὴν νεότητα τοῦ Αἰνείου δέδιεν ἐκεῖνον, φησὶ «εἰ γὰρ ὁμηλικίη γε γενοίμεθα τῷδ' ἐνὶ θυμῷ, αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος ἠὲ φεροίμην», τουτέστι τότε ἂν ἐν ἀμφιβόλῳ πεσεῖται τὰ τῆς νίκης, ὡς νῦν γε οὐκ ἔστιν ἀμφιβαλεῖν, ὅτι κρείσσων ὁ Αἰνείας. [Μέσως δὲ ἔχει τὸ φέροιτο, δύναται γάρ ποτε καὶ φέροι λέγεσθαι, ὡς μυριαχοῦ φαίνεται.] (v. 478 s.) Φίλοι δὲ καλούμενοι πρὸς τοῦ Αἰνείου εἰς ἄμυναν Ἀσκάλαφος, ὁ τοῦ Ἄρεος, Ἀφαρεύς, οὗ ἡ παραγωγὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκ τοῦ ἄφαρ, ὅ ἐστιν εὐθέως, ἵνα δηλοῖ τὸν σύντομον ὁμοίως τῷ Ἀφάρεως, ἔτι δὲ Δηΐπυρός, συγκείμενος παρὰ τὸ δήϊον πῦρ, καὶ Μηριόνης καὶ Ἀντίλοχος. οὐ γὰρ ἐξαρκεῖ μόνος ὁ Ἰδομενεὺς ἀντιβῆναι τῷ τηλικούτῳ Ἕκτορι, ὃν οὐχ' ἁπλῶς, ἀλλὰ αἰνῶς δέδιεν, ὅ ἐστι λίαν, ὡς μάλα καρτερόν. (v. 481 s.) Ἰστέον δὲ ὅτι ἔχει τι παρηχήσεως τὸ «δείδια αἰνῶς Αἰνείαν» κατὰ τὸ αἰνῶς καὶ τὸ Αἰνείαν. Τὸ δὲ «πόδας ταχύν» οὐ μάτην Ἰδομενεὺς παρεσημήνατο, ἀλλὰ διότι αὐτὸς οὐ τοιοῦτος ἦν. ἐρεῖ γὰρ ὑποκαταβαίνων ὁ ποιητὴς οὐκ ἔμπεδα γυῖα ποδῶν αὐτῷ εἶναι καὶ τὰ ἑξῆς. Τὸ δὲ «ὅς μοι ἔπεισι» παρέλκει. ἀρκεῖ γὰρ τὸ «δείδια Αἰνείαν ἐπιόντα». σχεδιασμοῦ δὲ καὶ τοῦτο ἔργον, ἐν ᾧ ἀπαρατήρητος ἡ γραφή. διὸ καὶ τὸ «ὅς» δὶς ἔθετο συναπτῶς «ὅς μοι ἔπεισιν», «ὃς μάλα», ὥσπερ καὶ πρὸ ὀλίγων ἐν τῷ περὶ Ὀθρυονέως λόγῳ τὸ δη ἐπίρρημα ὁμοίως ἐδίσσευσεν, εἰπὼν «περὶ δή σε αἰνίζομαι, εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις».

3.504 (v. 484) Ὅρα δὲ καὶ ὡς ἐπαινεῖ τὴν ἥβην, ἄρτι μὲν γνωμικῶς κράτος αὐτὴν εἰπὼν μέγιστον, ἐν δὲ τοῖς μετὰ ταῦτά που καὶ χαριεστάτην προσειπὼν τὴν τοῦ πρωθήβου. λέγεται δὲ καὶ ἐπὶ κτηνῶν ἡ ἥβη. φησὶ γοῦν Ἡσίοδος «ἥβης μέτρον ἔχοντες», καὶ ἐπὶ φυτῶν δέ. ἡμερίδες γὰρ ἐν Ὀδυσσείᾳ ἡβώωσαι. λέγεται δὲ ἥβη οὐ μόνον ἐπὶ ἡλικίας, ἀλλὰ καὶ τὰ περὶ τὸ αἰδοῖον, καὶ χρόνος ἥβης, ὅτε τὰ ἐκεῖ τριχοῦνται. τὸ δὲ ἥβης ἄνθος ἀφορμὴ ἐστι τοῦ ἔρνεϊ βρύοντι ἀπεικασθῆναί τινα παρὰ τῷ ποιητῇ. (v. 485) Ὁμηλικίη δὲ καὶ νῦν ἡ ὁμοία ἡλικία. Τὸ δὲ «τῷδ' ἐνὶ θυμῷ» ἀντὶ τοῦ ἐν ταύτῃ τῇ προθυμίᾳ, ἣν δηλαδὴ ἄρτι ἔχω. Ἰστέον δὲ καὶ ὅτι οὐ μόνον Ἰδομενεὺς πόδας ταχὺν τὸν Αἰνείαν ἔφη, ἀλλὰ καὶ ὁ ποιητὴς ὀλίγον τι πρὸ αὐτοῦ βοῇ θοόν αὐτὸν ὠνόμασεν. [Εἰ μή τι ἄρα βοηθόον ἐκεῖνο συνθέτως τις ὑφὲν ἀναγνῶναι θελήσῃ πρὸς ὁμοιότητα τοῦ «βοηθόον ἅρμα τιταίνων»] (v. 487 s.) Ὅτι τὸ «οἳ δ' ἄρα πάντες ἕνα φρεσὶ θυμὸν ἔχοντες πλησίοι ἔστασαν» λεχθείη ἂν ἐπὶ ὁμονοίας συμμαχικῆς. εἰ δὲ προστεθείη καὶ τὸ «σάκεα ὤμοισι κλίναντες», ἤγουν ἐγκλίναντες, ἐπιθέντες, πελάσαντες, ἐπὶ τῶν ἐν μάχῃ ὁμοφρονούντων ὁ λόγος ῥηθήσεται. τῆς δὲ τοιαύτης ὁμονοίας πόρρω τὸ ἀμφὶς φρονεῖν, ὅπερ ἀλλαχοῦ ἔφη ὁ ποιητής. ἐκ δὲ τοῦ ἕνα φρεσὶ θυμὸν ἔχειν ἐπενοήθη τοῦ ὁμοθυμαδόν ἡ σύνθεσις. Τὸ δὲ πλησίοι ἀπὸ εὐθείας τῆς ὁ πλησίος κέκλιται. (v. 489—91) Ὅτι καὶ Αἰνείας εὐλαβούμενος τὸ τῆς τύχης ἐν μάχῃ ἄδηλον προσεταιρίζεται τὸν Δηΐφοβον, τὸν Πάριν καὶ τὸν Ἀγήνορα, «οἵ οἱ ἅμ' ἡγεμόνες Τρώων ἔσαν». (v. 492 s.) Ὅτι φθάσας εἰκάσαι που κτίλῳ τὸν Ὀδυσσέα κατὰ μόνον τὸ ἡμέρως ὧδε καὶ ἐκεῖ τοῦ στρατοῦ ἰέναι καθ' ἡσυχίαν, ἐνταῦθα παραβολὴν ἑτεροίαν ἀπὸ τοῦ κτίλου πορίζεται εἰπών, ὅτι τοῖς ῥηθεῖσι Τρωϊκοῖς ἡγεμόσι «λαοὶ ἕποντο ὡς εἴ τε μετὰ κτίλον ἕσπετο μῆλα πιόμεν' ἐκ βοτάνης· γάνυται δ' ἄρα τε φρένα ποιμήν». ὃ καὶ μάλιστα χρησιμώτατον τῇ παραβολῇ. (v. 494 s.) Διό φησιν «ὣς Αἰνείᾳ θυμὸς ἐνὶ στήθεσσι γεγήθει, ὡς ἴδε λαῶν ἔθνος ἐπισπόμενον ἑοῖ αὐτῷ». Ἔστι δὲ τὸ λαῶν ἔθνος περίφρασις τοῦ λαός. Τὸ δὲ «πιόμενα ἐκ βοτάνης» ἀντὶ τοῦ μετὰ βόσκησιν. καὶ ἔστι, φασίν, ὅμοιον τῷ «ἐξ ἀρίστου παρέσομαι», ἀντὶ τοῦ μεθὸ ἀριστήσω, καὶ τῷ «ἐκ νυκτῶν ἄνεμοι χαλεποί», ἀντὶ τοῦ μετὰ τὰς νύκτας.

3.505 (v. 493) Τὸ δὲ «πιόμενα» ὤφειλε μὲν εἶναι πιούμενα, ἤγουν πιεῖν μέλλοντα, μετὰ καὶ συστολῆς τῆς ἀρχούσης, ἔπαθε δὲ καὶ αὐτὸ χρόνου ἐναλλαγήν, ἀναχθὲν εἰς ἐνεστῶτα, καθὰ καὶ τὸ ἴομεν, ὡς πολλαχοῦ ἐφάνη. καὶ ἄλλα δέ τινα χρονικὴν μετάθεσιν πάσχουσιν, ὁποῖον πολλαχοῦ καὶ τὸ ὤρορεν, ἔνθα τὴν μὲν ἄρχουσαν ἐκτείνει, συστέλλει δὲ τὴν παραλήγουσαν. οὕτω δὲ καὶ τὸ Κρονίωνος κανονικῶς μὲν συστέλλει τὴν προπαραλήγουσαν, ἐκτεῖνον τῇ φυλακῇ τοῦ ω τὴν παραλήγουσαν, κατὰ δὲ χρόνου μετάθεσιν ἔχει καὶ ἀνάπαλιν. τοιοῦτόν τι πάσχει καὶ ἡ Σιδών, παρὰ μὲν τοῖς ὕστερον διὰ βραχέος διχρόνου καὶ μεγάλου ω τὰς πλαγίας ἔχουσα, παρὰ δὲ τῷ ποιητῇ ἀνάπαλιν. [Οὕτω καὶ τὸ ἴφθιμος ἔπαθεν, ἐκ τροχαϊκοῦ μὲν φύσει ἐπιρρήματος γεγονός, ἐναλλάξαν δὲ τὸν χρόνον, καὶ σχὸν τὴν μὲν ἄρχουσαν θέσει μακράν, τὴν δὲ μετ' αὐτὴν αὐτοέκτατον.] Σημείωσαι δὲ ὅτι τὸ «πιόμενα ἐκ βοτάνης» καὶ ἑξῆς, ὡς προβατεὺς εἶπε κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς παλαιοὺς ὁ ποιητής. πιαίνεται γὰρ ποτῷ τὰ θρέμματα, ὃ χαίρειν τὸν ποιμένα ποιεῖ. διὸ καὶ τὸ πῶϋ δοκεῖ τισιν ἀπὸ τοῦ πῶ παρωνομάσθαι, τὸ πίνω. Δοκεῖ δὲ καὶ μᾶλλον ὑγιαίνειν τὰ ζῷα ποτοῦ ὀρεγόμενα. ὅθεν θέρους οἱ ποιμένες ἅλας αὐτοῖς παραβάλλουσιν, ὥς τινές φασιν, μέδιμνον τοῖς ἑκατόν. Ὅρα δὲ καὶ ὅτι τὸ γάνυται φανερῶς δι' ἑνὸς νυ προφέρεται. (v. 495) Τὸ δὲ «ἑοῖ» πλεονασμὸν ἔχει τοῦ ε . ταὐτὸν γὰρ εἰπεῖν οἷ αὐτῷ καὶ ἑοῖ αὐτῷ. κατὰ θέσιν μέντοι παράλληλον καὶ οὐκ ἰσοδυνάμως τῇ ἑαυτῷ συνθέτῳ ἀντωνυμίᾳ. (v. 496—8) Ὅτι ἀντιπροσώπου μάχης δηλωτικὸν τὸ «οἳ δ' αὐτοσχεδὸν ὡρμήθησαν μακροῖσι ξυστοῖσιν», [ὡς μὴ πόρρωθεν ἀκοντίσοντες, ἀλλ' ὀρεκταῖς μελίαις ἐκ τοῦ ἄγχιστα μαχησόμενοι,] «περὶ στήθεσσι δὲ χαλκὸς σμερδαλέον κονάβιζεν», ὅ ἐστιν ἤχει, «τιτυσκομένων καθ' ὅμιλον ἀλλήλων». (v. 499—501) Ἀνδρείων δὲ ἔπαινος τὸ «ἄνδρες ἀρήϊοι, ἔξοχοι ἄλλων, ἀτάλαντοι Ἄρηϊ, ἵεντ' ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῷ».

3.506 Περὶ Αἰνείου δὲ καὶ Ἰδομενέως ταῦτα, οἳ δύο ἄνδρες ἀρήϊοι—οὗ περίφρασις τὸ «ἀτάλαντοι Ἄρηϊ, ἔξοχοι ἄλλων», τῶν περὶ αὐτοὺς δηλαδή—ὥρμησαν κατ' ἀλλήλων. (v. 498) Τὸ δὲ τιτύσκεσθαι ὅτι δηλοῖ μὲν τὸ καταστοχάζεσθαι, φιλεῖται δὲ τῇ ποιήσει μόνῃ, οὐ πρὸ πολλῶν ἐδηλώθη. (v. 501) Τὸ δὲ «ταμέειν χρόα» συντίθησι τὸν πολλαχοῦ ταμεσίχροα σίδηρον. (v. 502) Ὅτι τὸ «Αἰνείας ἀκόντισεν Ἰδομενῆος» ἐνδεῶς ἔχει τῆς κατα προθέσεως, ὡς καὶ ἀνωτέρω τὸ «τιτυσκομένων ἀλλήλων». κατ' ἀλλήλων γὰρ καὶ ἐκεῖ τὸ ἐντελές. (v. 504 s.) Ὅτι βολὴν ἄπρακτον φράζων φησὶν «αἰχμὴ δὲ κραδαινομένη κατὰ γαίης ᾤχετο, ἐπεί ῥ' ἅλιον», ἤγουν ματαίως, «στιβαρῆς ἀπὸ χειρὸς ὄρουσε». τὸ δὲ κραδαίνειν κραδάειν μετ' ὀλίγα φησὶν ἐν τῷ «ὀξὺ δόρυ κραδάων». Ὅτι δὲ κυρίως αἰχμὴ ἡ τοῦ σιδήρου ὀξύτης ἐν δόρατι, δηλοῖ καὶ ὁ Κίλιξ ποιητής, αἰχμὴν ἀγκίστρου εἰπὼν τροπικῶς τὴν τοῦ στόματος ὀξύτητα. (v. 505) Ὅρα δὲ καὶ ἐν τῷ «ἐπεί ῥ' ἅλιον», ὅτι ἔχων εἰπεῖν «ἐπεὶ ἅλιον», ὅμως ἐφίλησεν ὑπὲρ τὴν λειοφωνίαν τὸν τοῦ ῥα συνδέσμου ῥοῖζον διὰ τὸ τραχύτερον καὶ οὕτω ποιητικώτερον. πάνυ γὰρ χαίρει τῷ τοιούτῳ συνδέσμῳ ἡ Ὁμηρικὴ ποίησις. (v. 507) Ὅτι ἐν τῷ «ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ' ἔντερα χαλκὸς ἤφυσε» γύαλον θώρακος τὸ κατ' αὐτὸν κύτος λέγει, καθὰ καὶ τὰ κεκοιλωμένα ἄντρα γύαλα καλοῦνται, ὡς παρὰ Σοφοκλεῖ «ὦ κοίλης πέτρας γύαλον». Καὶ φασί τινες τὴν πολλὴν τοῦ θώρακος καὶ πλατεῖαν κοιλότητα οὕτω καλεῖσθαι πρὸς διαστολὴν τῆς ἐν ταῖς χερσὶ καὶ τῷ τραχήλῳ στενότητος. (v. 508) Ἀφύσσειν δὲ καὶ νῦν τὸ ἀπαντλεῖν καὶ ἐκκενοῦν, ἐξ οὗ, φασί, καὶ τὸ λαφύσσειν. γίνεται δέ, φασίν, ἢ ἐκ τοῦ ὕω, τὸ βρέχω, οὗ στέρησις τὸ ἀφύσσειν, ἵνα ᾖ ἀφύσσειν κυρίως τὸ ἱστᾶν τὸ ἐπιρρέον, ἢ ἐκ τοῦ φυσᾶν, ἐξ οὗ, φασί, καὶ ἡ φύσις, ὡς οἷον φύσησις, ἵνα εἴη ἀφύσσειν ἀφύσσητον καὶ κενὸν ἐᾶν τὸ ὑποκείμενον, ἐκ μεταφορᾶς τῶν ἀσκῶν, ἢ διὰ τὸ στερεῖν τοῦ κατὰ φύσιν ἔχειν. Ἀστείως δὲ ὁ ποιητὴς τὴν ἐκ κοιλίας χύσιν τῶν ἐντέρων ἐξαντλήσει ἀπείκασεν. οὕτω δὲ καὶ πλοῦτον ἀφύσσειν ἀλλαχοῦ εἶπε τὸ ὡς ἔκ τινος ὑγρὸν κοιλότητος ἐξαντλεῖν. Ὅτι τῷ Ἰδομενεῖ, ὃν ὁ ποιητὴς φθάσας μεσαιπόλιον ἱστόρησεν, οὐκέτι εὖ εἶχε τὰ γυῖα ὡς ἢ δραμεῖν εἰς ἀφεθὲν ἴδιον βέλος ἢ ἐκκλῖναι τὸ ἀλλότριον ἢ καὶ φυγεῖν τροπῆς γενομένης. (v.

3.507 512—5) Φησὶν οὖν «οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι, οὔτ' ἂρ ἐπαΐξαι μεθ' ἑὸν βέλος οὔτ' ἀλέασθαι. τῷ ῥα», ἤγουν διὸ δή, «καὶ ἐν σταδίῃ μὲν ἀμύνετο νηλεὲς ἦμαρ, τρέσαι δ' οὐκέτι ῥίμφα πόδες φέρον ἐκ πολέμοιο». (v. 509—11) Διὸ καὶ ῥίψας τινὰ βολῇ δόρατος «ἐκ μὲν νέκυος δολιχόσκιον ἔγχος ἐσπάσατο, οὐδ' ἂρ ἔτ' ἄλλα δυνήσατο τεύχεα καλὰ ὤμοιϊν ἀφελέσθαι, ἐπείγετο γὰρ βελέεσσιν». Ὃ δὴ ἐπιφωνηματικῶς ἐρρέθη, μακρὰν ἔννοιαν ἐν ὀλιγίστῳ δηλοῦν. (v. 516 s.) Τοῦ δέ, φησί, «βάδην ἀπιόντος», οὐ γὰρ ποδώκης, ὡς εἴρηται, ἦν, «ἀκόντισε δουρὶ φαεινῷ Δηΐφοβος, δὴ γάρ οἱ ἔχεν κότον ἐμμενὲς αἰεί». Καὶ ὅρα τὸ αἰεί ἁπλῶς οὕτω νῦν κατὰ τοὺς παλαιοὺς παραρριφὲν ἐπὶ ὀλιγίστου χρόνου κατὰ συνήθειαν Ἀττικήν, ὥσπερ καὶ τὸ πάλαι καὶ τὸ ποτέ παρὰ τοῖς ἀττικίζουσιν οὐκ ἐπὶ μακροῦ χρόνου ἀεὶ τίθενται. Ἕτεροι δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀκολουθοῦντες τῇ Σιμωνίδου καὶ Ἰβύκου ἱστορίᾳ φασίν, ὡς ἀληθῶς ἀεὶ ἐνεκότει τῷ Ἰδομενεῖ Δηΐφοβος ὡς ἀντεραστῇ. ἤρα γάρ, φασί, καὶ αὐτὸς τῆς Ἑλένης. Σημείωσαι δὲ ὅτι ἐφ' οἷς ἀμβλὺς ὁ Ἰδομενεύς, ὀξὺς ἐπ' αὐτοῖς ὁ ἑταῖρος Μηριόνης, ὃς μετ' ὀλίγα αἰγυπιοῦ δίκην ἐφάλλεται τῷ βληθέντι, ὡς ῥηθήσεται. (v. 510) Ἰστέον δὲ ὅτι τὸ μὲν «ἔγχος ἐσπάσατο» καὶ ἐνεργητικῶς φασιν οἱ μεθ' Ὅμηρον, ἐξέσπασε γὰρ λέγουσι, τὸ δὲ «δυνήσατο» μονάζει, μὴ ἔχον συστοιχίαν ὁμοίαν. (v. 511) Τὸ δὲ «ἐπείγετο βελέεσσι» γλυκέως ὡς ἐπὶ ἐμψύχων εἴρηται τῶν βελῶν ἀντὶ τοῦ ἠναγκάζετο ὑπ' αὐτῶν καὶ κατεσπεύδετο φυγεῖν. [ἀλλαχοῦ δὲ σαφέστερον εἶπε τὸ «βιάζετο γὰρ βελέεσσι».] (v. 512) Τὸ δὲ «γυῖα ποδῶν» ἐντελῶς εἴρηται, ὥστε ὅταν εἴπῃ γυῖα τὰς χεῖρας ἢ τοὺς πόδας, προσυπακουστέον ἐκεῖ τὸ χειρῶν καὶ ποδῶν. [Ἔχει δέ τι ψευδοπαρηχήσεως ἐνταῦθα τὸ ἔμπεδα καὶ τὸ ποδῶν. οὕτω δ' ἑξῆς καὶ τὸ «ἔγχος ἔσχε».] (v. 514) Τὸ μέντοι «ἐν σταδίῃ», ἀλλ' αὐτὸ ἐλλιπῶς πέφρασται, λείπει γὰρ τὸ μάχῃ, ὡς καὶ προδεδήλωται. Νηλεὲς δὲ ἦμαρ κατ' ἐξοχὴν τὸ θανάσιμον λέγει. (v. 515) Τρέσαι δὲ τὸ κατὰ δειλίαν φυγεῖν, ταὐτὸν δ' εἰπεῖν, μετὰ δέους τραπῆναι. Τὸ δὲ «οἱ πόδες ἔφερον» συντονίαν καὶ νῦν δρόμου συνήθως δηλοῖ. (v. 516) Τὸ δὲ «δουρὶ φαεινῷ» παρέλκει ἐν τῷ «ἀκόντισε δουρὶ φαεινῷ». ἤρκει γὰρ καὶ μόνον τὸ ἀκόντισε. (v. 517) Τὸ δὲ «ἐμμενὲς αἰεί» τὸν κότον συνιστᾷ. κότος γὰρ κυρίως ὁ ἐχόμενός τινι ἐμμενὲς αἰεὶ καὶ οὕτως ἀποκείμενος. Τὸ δὲ τοιοῦτον ἐμμενές καὶ εἰς ἐτυμολογίαν συντελεῖ τῆς ὁμοφύλου τῷ κότῳ μήνιδος, ἐκ τοῦ μένειν γὰρ καὶ ἡ μῆνις καὶ τὸ ἐμμενές. (v. 518 s.) Ὅτι Ὅμηρος μὲν ἀεί, ὡς καὶ ἐνταῦθα ἐν τῷ «Ἀσκάλαφον, υἱὸν Ἐνυαλίοιο», Ἄρεος ἐπίθετον οἶδε τὸν Ἐνυάλιον, οἱ δὲ παλαιοί φασι καὶ ὅτι Ἐνυάλιος Κρόνου καὶ Ῥέας υἱός.

3.508 ἔστιν οὖν καὶ κύριον ὁ Ἐνυάλιος, ὡς καὶ ἐν ἄλλοις κεῖται πλατύτερον. (v. 520) Ὅτι τὸ «δι' ὤμου ὄβριμον ἔγχος ἔσχεν» ἀντὶ τοῦ διέσχισε, διῆλθε τοῦ ὤμου. ὅτι δὲ Ἀττικοὶ τὸ ἔσχον καὶ ἐπὶ τοῦ σχάσαι τιθέασιν, ὡς καὶ ὁ Κωμικὸς ἐν Νεφέλαις δηλοῖ, προερρέθη. (v. 521) Ὅτι ἐν τῷ «οὐδ' ἄρα πώ τι πέπυστο βριήπυος ὄβριμος Ἄρης», ἤγουν οὔπω ἔμαθεν, ὡς ὁ παῖς αὐτῷ Ἀσκάλαφος κεῖται, βριήπυον τὸν Ἄρην φησὶν ὡς μεγαλόφωνον, ὅπερ ἀλλαχοῦ προκατεσκεύασεν, εἰπὼν αὐτὸν βοῆσαι ὡς ἐννεάχιλοι ἢ δεκάχιλοι. καὶ τοῦτο μὲν μυθικῶς, ἄλλως δὲ βριήπυος λέγεται διὰ τὰς ἐν μάχῃ βοάς, ὅθεν καὶ βοὴ καὶ φύλοπις καὶ ἀϋτὴ ὁ πόλεμος λέγεται. [Δῆλον δ' ὅτι τὸ ἠπύειν, ἤγουν φωνεῖν, ἐξ οὗ καὶ ὁ διὰ τοῦ η Ἠπυτίδης ἢ κατὰ κυριολεξίαν ἢ πατρωνυμικῶς, καὶ διὰ τοῦ α λέγεται ἀπύειν. ὅθεν καὶ τὸν κήρυκα ἀπύτην ἔφη τις τῶν παλαιῶν, οὐ κατὰ κύριον ἀλλ' ἐπιθετικῶς.] (v. 523—5) Ὅτι ὁ μυθικὸς Ἄρης ἐν «ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσιν ἧστο Διὸς βουλῇσιν ἐελμένος», ἤγουν εἰλόμενος, ὅ ἐστιν ἐκκλειόμενος τοῦ πολεμεῖν, «ἔνθα περ ἄλλοι ἀθάνατοι θεοὶ ἦσαν ἐεργόμενοι πολέμοιο». Καὶ ὅρα ὡς ἠδύνατο κάλλος τι ποιεῖν καὶ τὸ ἐελμένος καὶ ἐεργμένος ἀλλήλοις παρακείμενα, εἴγε τέως ἐγράφετο ἐεργμένοι πολέμοιο, ὁποῖον καὶ ἐν Ὀδυσσείᾳ τὸ ἐρηρέδαται καὶ ἐληλέδαται καὶ τὰ ὅμοια. Σημείωσαι δὲ ὅτι τὸ εἰλόμενος, τὸ ῥηθέν, καὶ τὴν ἐξούλης δίκην παράγει παρ' Ἀττικοῖς, κροτουμένην ἐφ' οἷς ἐκκλείεταί τις ὧν εἶχε. (v. 523) Χρύσεα δὲ νέφη τὰ αἰθέρια, χρυσίζειν οἷον δοκοῦντα ὡς τῷ αἰθέρι προσκυροῦντα καθαρωτάτῳ ὄντι καὶ ἀνεφεῖ. Ἰστέον δὲ ὅτι καὶ ὁ φιλοσοφῶν ἢ ὁ ἐν ὄρει μονάζων δι' ἀρετὴν λέγοιτ' ἂν ἐν ἄκρῳ Ὀλύμπῳ καθῆσθαι ὑπὸ χρυσέοις νέφεσι διὰ τὸ τῆς ἀρετῆς ἢ φιλοσοφίας λαμπρόν τε καὶ ὑπερύψηλον. Ὅτι τὸν τοῦ Ἄρεος υἱὸν Ἀσκάλαφον κτείνει διὰ τοῦ Δηϊφόβου ὁ ποιητής, οὐδέν τι περὶ αὐτοῦ καλὸν ὅλως εἰπὼν οὐδὲ σεμνύνας, καὶ ταῦτα Ἕλληνα ὄντα, ὁ πολλὰ καὶ ποικίλα περὶ πολλῶν ἄλλων εἰρηκώς. ποιεῖ δὲ τοῦτο οὐ μόνον διὰ τὸ πιθανόν, ἵνα μὴ δοκῇ χαρίζεσθαι τοῖς Ἕλλησιν, ἀλλὰ καὶ περιφρονῶν τοὺς ἀρετῆς δίχα ἐπὶ μόνῳ γένει σεμνυνομένους, ὁποῖος ἴσως καὶ ὁ Ἀσκάλαφος.

3.509 Σκοπητέον δὲ οἷος ἔσται ὁ Ἄρης τὸν τοῦ υἱοῦ μαθὼν θάνατον. πάντως γὰρ ὁπλισθήσεται, ὥς φασιν οἱ παλαιοί, ἐπὶ τοὺς φίλους Τρῶας ὡς τοῦ παιδὸς αὐθέντας, ὅ ἐστιν αὐτοφόντας, καὶ φανήσεται καὶ οὕτως ἀλλοπρόσαλλος καὶ τὸ ἦθος ἀκαταστατῶν, ὅς, καθὰ καὶ ἀλλαχοῦ κεῖται,

πρὶν μὲν ὑπέσχετο βοηθῆσαι κατὰ Τρώων Ἀχαιοῖς, ἐψεύσατο δέ, νῦν δὲ αὖθις ὁρμήσει κατὰ Τρώων, ὡς ἐν τοῖς ἑξῆς δηλωθήσεται. (v. 526—8) Καὶ οὕτω μὲν ἔπεσεν Ἀσκάλαφος μηδὲν γενναῖον δράσας, πεσὼν μέντοι περιμάχητος ἀπέβη, οὗ πήληκα φαεινὴν Δηΐφοβος ἥρπασεν ὀξυλαβείᾳ χρησάμενος. τοῦτο γὰρ ἡ ἁρπαγὴ δηλοῖ, οὐ γὰρ εἶχε σκυλεύειν ἐν ἀδείᾳ. (v. 528- 32) «Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηϊ δουρὶ βραχίονα», τὸν τοῦ ἁρπάσαντος, «τύψεν ἐπάλμενος, ἐκ δ᾽ ἄρα χειρὸς αὐλῶπις τρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα. Μηριόνης δ᾽ ἐξαῦτις ἐπάλμενος αἰγυπιὸς ὣς ἐξέρυσε πρυμνοῖο βραχίονος ὄβριμον ἔγχος». Καὶ ὅρα τὴν καὶ προρρηθεῖσαν ὀξύτητα τοῦ Μηριόνου καὶ γοργότητα, πολλὴν οὖσαν, ᾗ ἀνάλογον καὶ ἡ παραβολὴ συντέτμηται γοργῶς τὸ «αἰγυπιὸς ὥς». δεξιῶς δὲ ὁ ποιητὴς τῷ Ἰδομενεῖ, ὃς διὰ γῆρας οὔτε ἐπιδραμεῖν εἶχεν ἐν μάχῃ οὔτε φυγεῖν, ὑποστρατηγοῦντα τοιοῦτον ὀξὺν ἑταῖρον συνέζευξεν, ἀναπληροῦντα τὸ ἐκείνου ἔλλειμμα. (v. 529) Ἐν δὲ τῷ «βραχίονα τύψε» φασὶν οἱ παλαιοί, ὡς ὁ Κομανὸς βραχίονα τὴν χεῖρα νοεῖ ἁπλῶς ἐνταῦθα, καὶ θηλυκῶς τὴν λέξιν προάγει τὴν βραχίονα λέγων, ὡς εἶναι τοῦτο διαστολὴν τῆς βραχίονος τῆς ἄλλης πρὸς τὸ μέρος αὐτῆς τὸν βραχίονα. ἔοικε δὲ ὁ Κομανὸς τὴν τοιαύτην λαβὼν ἔννοιαν ἐκ τοῦ μετ᾽ ὀλίγα τὸν ποιητὴν εἰπεῖν «κατὰ δ᾽ αἷμα νεουτάτου ἔρρεε χειρός». (v. 530) Τὸ δὲ βομβεῖν ὠνοματοπεποιημένον ὂν καὶ ἐπὶ λίθου ἀφειμένου ἐν Ὀδυσσείᾳ κεῖται. βομβεῖν δέ τις ῥήτωρ φησὶ καὶ βροντήν. καὶ ὁ βομβυλιὸς δὲ ἐκ τῆς τοιαύτης παρῆκται λέξεως, ζωΰφιον ὢν αὐτὸς βομβητικὸν ἐν τῷ πέτεσθαι, κουλεόπτερον. τίς δέ ἐστιν ἡ αὐλῶπις, προδεδήλωται. (v. 532) Τὸ δὲ ἐξέρυσεν, ὃ μετ᾽ ὀλίγα ἐκ χειρὸς εἴρυσε λέγει, ἐστὶ μὲν ταὐτὸν τῷ ἐξείλκυσεν, οὐκ ἂν δὲ διαφέροι οὐδὲ τοῦ «ἐσπάσατο δολιχόσσκιον ἔγχος». ἐκεῖνό τε γὰρ ἐπὶ βαθυτέρας πληγῆς τῆς κατὰ γαστρὸς εἴρηται, μετενεχθὲν ἀπὸ τῶν ἐκσπωμένων φυτῶν, καὶ τοῦτο βαθεῖάν τινα πληγὴν σημαίνει, ὡς δῆλον ἐκ τοῦ «πρυμνοῖο βραχίονος».

3.510 οὐ γὰρ ἂν ἴσως εἴη ἐπιπολῆς πληγὴ ἡ ἐν πρυμνῷ βραχίονι. (v. 533—5) Ὅτι τὸ διαλαβεῖν εἴτ᾽ οὖν χερσὶ λαβέσθαι μέσου τινὸς καὶ ὑπερεῖσαι πονοῦντα οὕτω φράζει ὁ ποιητής «Δηΐφοβον δὲ Πολίτης περὶ μέσσῳ χεῖρε τιτήνας ἐξῆγε πολέμοιο δυσηχέος, ὄφρ᾽ ἵκεθ᾽ ἵππους». τοῦτο δὲ καὶ εἰς τραυματίαν λεχθήσεται μαχητὴν ἀντιληφθέντα πρός τινος, ὡς καὶ ἐφεξῆς τὸ «οἵ τόν γε φέρον βαρέα στενάχοντα τειρόμενον, κατὰ δ᾽ αἷμα νεουτάτου ἔρρεε χειρός». (v. 533) Πριαμίδης δὲ καὶ ὁ ῥηθεὶς Πολίτης, οὗ ἐκτέταται ἡ παραλήγουσα, [ὁμώνυμος τῷ ἁπλῶς τοπικῷ κατά τινα ἴσως ἐξοχήν.] (v. 541—4) Ὅτι σχῆμά τινος πίπτοντος ἐν πολέμῳ διαγράφων φησίν· ἔνθ᾽ Αἰνείας λαιμὸν τύψε τοῦ δεῖνος. «ἐκλίνθη δ᾽ ἑτέρωσε κάρη, ἐπὶ δ᾽ ἀσπὶς ἑάφθη καὶ κόρυς», ὅ ἐστιν ἠκολούθησε ἀπὸ τοῦ ἕπω, ἵνα ὥσπερ ἀπὸ τοῦ εἰλῶ γίνεται τὸ ἑάλη, οὕτω καὶ ἀπὸ τοῦ ἕπω τὸ ἑάφθη. δοκεῖ δὲ συντελεῖν ἐνταῦθα καὶ τὸ τοῦ Ἡροδότου, εἰπόντος περί τινων, ὡς περιέφθησαν τρηχέως κατειληθέντες εἰς τὸν Παρνασόν. ἐκ τοῦ περιέπω γὰρ ἐκεῖ τὸ περιέφθησαν. Ὁ δὲ ποιητὴς μετὰ τὸ «ἀσπὶς ἑάφθη καὶ κόρυς» ἐπιφέρει «ἀμφὶ δέ οἱ θάνατος χύτο θυμοραϊστής». Ἔνθα τὸ μὲν χύτο τὴν σύντομον δηλοῖ τοῦ ὅλου σώματος νέκρωσιν, προσαρμόζον καὶ ὕπνῳ, καθὰ δηλοῖ τὸ «νήδυμος ἀμφιχυθείς», ἐπεὶ καὶ ἀδελφὰ νοεῖν ὁ μῦθος οἶδε τὸν ὕπνον καὶ τὸν θάνατον. Τὸ δὲ θυμοραϊστής δι᾽ ἑνὸς μὲν γέγραπται ρ φυσικῶς διὰ τὸ μέτρον, ὡς δίχα γε αὐτοῦ ἡ σύνθεσις διπλασιάζει τὸ ρ Ἀττικῶς. δηλοῖ δὲ ἢ ψεκτικῶς τὸν τοῦ θυμοῦ ῥαΐστην, ὥσπερ καὶ κυνοραϊσταὶ λέγονται τὰ τῶν κυνῶν φθαρτικὰ ζωΰφια, ἢ καὶ ἄλλως, δι᾽ οὗ ῥᾴων γίνεται ἡ ψυχὴ λυθεῖσα τοῦ κατὰ σῶμα δεσμοῦ. (v. 546—8) Ὅτι ἐν τῷ «ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν, ἥ τ᾽ ἀνὰ νῶτα θέουσα διαμπερὲς αὐχέν᾽ ἱκάνει, τὴν ἀπὸ πᾶσαν ἔκερσε» κύκλος παρ᾽ ὀλίγον τὸ σχῆμα τῆς φράσεως, καταλῆξαν ἐκ τοῦ «πᾶσαν ἔκερσεν» εἰς τὸ αὐτό, ὅπερ ἐστὶ κύκλου ἴδιον ῥητορικοῦ κάλλος ποιοῦντος. ἦν δ᾽ ἂν ἀκριβῶς κύκλος, εἴπερ καὶ ἐν τῷ τέλει τοῦ σχήματος τὸ τῆς φλεβὸς ἐξεφωνήθη ὄνομα. ὅτι δὲ μὴ γέγονε τοῦτο, ἀφείθη τὸ σχῆμα εἶναι ἀντιστροφὴ ῥητορικὴ γινομένη, ὅτε δύο κῶλα νοημάτων ἢ καὶ πλείονα εἰς τὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὰς περαιοῦνται λέξεις, οἷον «ἐκεῖνά τε γὰρ παρ' ὑμῶν καὶ ταῦτα παρ' ὑμῶν», ὡς καὶ ἐνταῦθα δὶς κεῖται τὸ «πᾶσαν ἔκερσεν» ἐν δυεῖν ἐννοιῶν τέλει.

3.511 (v. 548 s.) Ἑξῆς δὲ ἐπαχθὲν τὸ «ὃ δ' ὕπτιος ἐν κονίῃσι κάππεσε» παρίσωσιν τῇ ἀντιστροφῇ συνέπλεξε, κάλλους καὶ αὐτὴν οὖσαν, παρισοῖ γὰρ τὸ ἔκερσε καὶ κάππεσε. Σημείωσαι δὲ ὅτι φανερῶς ἐμελέτησεν ὁ ποιητὴς ἐνταῦθα κάλλος λόγου θέσθαι. ἄλλως γὰρ τί ποτε ἐν οὕτω βραχείᾳ ἐννοίᾳ τῇ περὶ φλεβὸς εἶπεν ἐπαναληπτικῶς τὸ «τὴν ἀπὸ πᾶσαν ἔκερσεν». ἐν γὰρ σχοινοτενέσιν ἐννοίαις ἀναγκαίως χρεία ἐπαναλήψεων, οὐ μὴν ἐν οὕτω γοργαῖς. (v. 546) Φλέβα δέ, φασί, λέγει τὴν καλουμένην κοίλην ἢ νωτιαίαν, ἐκ δεξιῶν τῆς ῥάχεως ἀπὸ τοῦ ἥπατος ἀνιοῦσαν καὶ κατὰ τὸ διάφραγμα χωροῦσαν ἐπὶ τὴν καρδίαν καὶ ἀπ' αὐτῆς ἐπὶ τὸν τράχηλον. (v. 548 s.) Ὅτι πίπτει τις καὶ νῦν «ὕπτιος ἐν κονίῃσιν, ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσας». καὶ δῆλον ὡς ἐν σχήματι πίπτει ἱκετεύοντος, ὥσπερ ἕτερός τις ἐν καιρῷ θυμοῦ πεσὼν βρυχᾶται, κόνιος δεδραγμένος, καί τις ἀσπαίρων σφαδάζει, καὶ ἄλλος ἄλλο τι ποιεῖ, ὧν ἡ Ὁμηρικὴ Μοῦσα ἐπινοεῖ. (v. 551—3) Ὅτι Τρῶες «περισταδὸν ἄλλοθεν ἄλλος οὔταζον σάκος εὐρὺ παναίολον», τὸ τοῦ Ἀντιλόχου, «οὐδὲ δύναντο εἴσω ἐπιγράψαι», [ὅ ἐστιν ἐπιξέσαι, ὡς καὶ προδεδήλωται,] «τέρενα χρόα νηλέϊ χαλκῷ». Ῥηθείη δ' ἂν τοῦτο καὶ ἐπὶ ἑτέρου ἀριστέως πολεμίοις ἐναποληφθέντος, (v. 554—9) ὥσπερ καὶ τό· τὸν δεῖνα θεὸς «ἔρυτο καὶ ἐν πολλοῖσι βέλεσσιν. οὐ μὲν γάρ ποτε ἄνευ δηΐων ἦν, ἀλλὰ κατ' αὐτοὺς στρωφᾶτο, οὐδέ οἱ ἔγχος ἔχ' ἀτρέμας, ἀλλὰ μάλ' αἰεὶ σειόμενον ἐλέλικτο· τιτύσκετο δὲ φρεσὶν ἤ τευ ἀκοντίσαι ἠὲ σχεδὸν ὁρμηθῆναι», ὃ προϊὼν ἐγγύθεν ὁρμηθῆναι καὶ ἐγγύθεν ἐλθεῖν φησιν. (v. 559) Καὶ σημείωσαι ὅτι ἀκοντίζειν οὐ τὸ τύπτειν δόρατι ἐκ τοῦ σχεδόν, ὃ καὶ σχέδην που λέγεται, ἀλλὰ τὸ ἀφιέναι κατά τινος. (v. 551) Ἰστέον δὲ ὅτι τὸ περισταδόν ἀνάλογόν ἐστι κατὰ παραγωγὴν τῷ παρασταδόν καὶ ἀποσταδόν. (v. 556) Τὸ δὲ «οὔ ποτε ἄνευ δηΐων ἦν» διασαφεῖ Ὅμηρος ἐπαγαγὼν τὸ «ἀλλὰ κατ' αὐτοὺς στρωφᾶτο», ὥσπερ καὶ τὸ «οὐδέ οἱ ἔγχος ἔχ' ἀτρέμας», ἤγουν εἶχεν ἀτρεμεί, τουτέστιν ἠτρέμει καὶ ἡσύχαζε, διὰ τοῦ «ἀλλὰ μάλα αἰεὶ σειόμενον ἐλέλικτο». περικαλλεῖς δὲ καὶ αὗται ἔννοιαι διὰ τὸ κατὰ ἄρσιν καὶ θέσιν ἐν αὐταῖς σχῆμα, ὅπερ ἐστὶ τὸ οὐ τόδε ἀλλὰ τόδε. Συχνῆς δὲ ἐνεργείας τὸ «μάλα αἰεὶ σειόμενον ἐλέλικτο». (v. 559) Τὸ δὲ «ἤ τευ ἀκοντίσαι» κατὰ τὸ «ἀκόντισεν Ἰδομενῆος» συντέτακται. (v. 558) Τῇ δὲ κινήσει τοῦ τιτύσκεσθαι πάνυ χαίρει ἡ Ὁμηρικὴ Καλλιόπη. μυριαχοῦ γὰρ αὐτῇ χρᾶται. (v. 562 s.) Ὅτι τὸ «ἀμενήνωσε δέ οἱ αἰχμὴν Ποσειδάων βιότοιο μεγήρας» ἀφορμὴ γέγονεν Ἡροδότῳ καὶ ἄλλοις τοῦ εἰπεῖν φθόνον εἶναι καὶ παρὰ θεοῖς καὶ φθονερὸν εἶναι τὸ θεῖον.

3.512 Σαλαμινίων δέ, φασί, λέξις ἐστὶ τὸ μεγαίρειν. Τὸ δὲ ἀμενήνωσεν ἀντὶ τοῦ ἀμενηνὸν ἐποίησε καὶ ἠχρείωσεν, ὡς εὐθὺς δηλωθήσεται. (v. 560 s. et 564 s.) Ὅτι καθὰ ὁ Μηριόνης, οὕτω πως ἐνταῦθα δυστυχεῖ καὶ Τρωϊκός τις Ἀδάμας, πλὴν ὅσον ἐκεῖ μὲν ἐν καυλῷ ἐάγη ἔγχος, νῦν δὲ τοῦ Ἀδάμαντος τὸ τοῦ Ἀντιλόχου σάκος οὐτάσαντος, τὸ μὲν τοῦ δόρατος αὐτοῦ μεῖνεν ὥστε σκῶλος πυρίκαυστος. —ποῦ δὲ αὐτοῦ; ἐν σάκει, φησίν, Ἀντιλόχοιο—, τὸ δ' ἥμισυ κεῖτο ἐπὶ γαίης, θραυσθὲν δηλαδὴ καὶ οὕτως, ὡς ἐρρέθη, ἀμενηνωθέν. (v. 564) Σκῶλος δὲ πυρίκαυστος εἶδος σκόλοπος, ὃν ἀποξύναντες ἀγρόται πυρακτοῦσιν, ὡς ἂν τὸ ἄκρον ἐξικμασθὲν καὶ πιληθὲν καὶ οἷον βαφὲν εἴη ἀντὶ βέλους, περονᾶν δυνάμενον ὡς οἷον αἰχμή. οὕτω που καὶ Ὀδυσσεὺς ἐλάϊνον μοχλὸν κατὰ Κύκλωπος ἀποξύνας ἐπυράκτωσεν. Ἕτεροι δὲ εἶδος ἀκάνθης τὸν σκῶλόν φασιν, ἥτις πυρωθεῖσα εὔτονος γίνεται. ἅπαξ δὲ νῦν ἡ λέξις εἴρηται. Ἐκ δὲ τοῦ τοιούτου σκώλου καὶ τὸ σκῶλον ἐπὶ ἐμποδίου οἱ μεθ' Ὅμηρον ἔθεντο κατὰ γένους μεταπλασμόν, [ὃς πολλαχοῦ δηλούμενος ἔχει σὺν ἄλλοις περὶ αὐτὸν καὶ τὸν τοῦ μύρου ἀλάβαστρον, οὗ κοινότερον οὐδετέρως τὸ ἀλάβαστρον, ἔτι δὲ καὶ τὸν ναῦλον, ὃν ὁ μὲν Κωμικὸς ἀρσενικῶς προάγει, οἷον «ἀπόδος τὸν ναῦλον», ἄλλοι δὲ κατὰ γένος οὐδέτερον, οἷον «λαλῶν τὰ ναῦλα καὶ δάνει' ἐρυγγάνων». ὁμοίως καὶ τὸν ζυγόν, οὗπερ οὐδέτερον τὸ ζυγόν, ὡς δῆλον σὺν ἄλλοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἐκ τοῦ «βαδίζουσιν αἱ σηπίαι κατὰ ζυγά».] (v. 567—9) Ὅτι ἔβαλέ τινα δουρὶ Μηριόνης «αἰδοίων τε μεσηγὺ καὶ ὀμφαλοῦ», τουτέστι περὶ τὸ ἦτρον, «ἔνθα μάλιστα γίνεται Ἄρης», τουτέστι πληγὴ καὶ τραῦμα, «ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσι», διὰ τὸ νευρῶδες εἶναι δηλονότι τὸ ἦτρον καὶ ὀδυνᾶσθαι τῇ πληγῇ. ὅθεν φασὶν ὡς οἱ διακεντοῦντες τοὺς ὑδερικοὺς οὐ κεντοῦσι κατωτέρω τοῦ ὀμφαλοῦ, ἵνα μὴ γίγνωνται σπασμοί. (v. 567) Τὸ δὲ «ἔβαλε δουρί» κατωτέρω παραποιῶν «ἔνθα οἱ ἔγχος ἔπηξε» φησίν. Ἐν τούτοις δὲ σημείωσαι ὅτι, ὥσπερ ὁ Σαρπηδὼν φθάσας ἔνυξέ τινα, εἶτα ἐξέσπασεν ἔγχος, «ὃ δ᾽ ἑσπόμενος περὶ δουρὶ πίπτει», οὕτω καὶ ὧδε Μηριόνου περί τινος ἦτρον ἔγχος πήξαντος, (v. 570—3) ὁ πληγεὶς «ἑσπόμενος περὶ δουρὶ ἤσπαιρεν, ὡς ὅτε βοῦς τόν τ᾽ οὔρεσι βουκόλοι ἄνδρες ἰλλάσιν οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσιν, ὣς ὃ τυπεὶς ἤσπαιρε μίνυνθά περ οὔ τι μάλα δήν».

3.513 Καὶ ὅρα ὅτι ἀδιαφόρως καὶ κατὰ παράχρησιν ἐνταῦθα κεῖσθαι δοκεῖ ἢ τὸ βληθῆναι δουρὶ ἢ τὸ τυπῆναι. —εἰ γὰρ κυρίως ἐβλήθη, πῶς ἐτύπη, καὶ αὖ πάλιν εἰ ἐτύπη, πῶς ἐβλήθη; —διαφορᾶς ἐν ἄλλοις φανερᾶς οὔσης τοῦ τύπτειν τε καὶ τοῦ βάλλειν. (v. 569) Ἰστέον δὲ ὅτι ἐν τῷ καθόλου φησὶν ὀϊζυροὺς τοὺς βροτοὺς ὑπερπαθῶν τῆς ἐν αὐτοῖς ἀσθενείας. δύναται δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἐν πολέμῳ πασχόντων νοεῖσθαι. (v. 570) Τὸ δὲ «ἑσπόμενος περὶ δουρί» ἔχει τι ἀστείας ἀνταποδόσεως. Μηριόνης τε γὰρ μετασπόμενος ἀπιόντα βάλε δουρὶ τὸν ἄρτι βληθέντα, καὶ αὐτὸς ἑσπόμενος περὶ δουρὶ ἀσπαίρει. (v. 572) Ἰλλάδες δέ, φασί, κατ᾽ Ἴωνας δεσμοὶ ἐξ ἱμάντων ἢ λύγων, ἀπὸ τοῦ εἰλῶ ἢ ἴλλω, τὸ συστρέφω, ὡς ἐν εἴδει στρεβλώσεως. λέγεται γὰρ καὶ ἐπὶ τοιαύτης σημασίας τὸ εἱλεῖν, ὡς δηλοῖ καὶ Παυσανίας εἰπών· εἱλάειν· στρεβλοῦν, πιέζειν. μάλιστα δὲ ἐπὶ ὑγρῶν οἰκεία ἡ λέξις, οἷον σταφυλῶν κατ᾽ αὐτὸν ἢ ἐλαιῶν, καὶ εἱλεῖν τὸ συνάγειν, φησίν, εἰς ταὐτὸ σταφυλάς. Ἕτερος δὲ τεχνικός φησιν· εἱλεῖν ἐκπιέζειν ἐλαίας ἢ στέμφυλα. [Ἰστέον δὲ ὅτι ἰλλάδες οὐ μόνον αἱ νῦν Ὁμηρικῶς εἰρημέναι, ἀλλὰ παρὰ τοῖς ὕστερον καί τινες κίχλαι. ἰλλὰς γάρ, φασίν, εἶδος κίχλης. Τρία δὲ γένη κιχλῶν, ὧν ἡ πρώτη καὶ μεγίστη κίσσῃ πάρισος, ὡς καὶ παρὰ τῷ Ἀθηναίῳ κεῖται, καλεῖται δὲ ἰξοφάγος αὐτή, ἐπείπερ ἰξὸν ἐσθίει, ἑτέρα δὲ ὀνομαζομένη τριχάς, ἴση τῷ κοσσύφῳ, τρίτη δὲ ἐλαχίστη τῶν ἄλλων ἰλλὰς λεγομένη, κατὰ δέ τινας τυλάς, συναγελαστικὴ καὶ νεοττεύουσα κατὰ τὰς χελιδόνας.] Τὸ δὲ «βίῃ» διασαφητικόν ἐστι τοῦ οὐκ ἐθέλοντα. (v. 571) Ὅρα δὲ καὶ ὅτι τὸ ἀσπαίρειν ἐπὶ βοὸς εἶπε σπωμένου καὶ οὐκ ἐθέλοντος ἕπεσθαι τοῖς ἄγουσιν. ἐντεῦθεν δὲ ἡ λέξις μετήνεκται εἰς τοὺς ἐν τῷ θνήσκειν ἀσπαίροντας.

3.514 ἐξ οὗ καὶ τὸ σπαρίζειν, εὐχρηστότερον ὂν τοῦ σκαρίζειν παρὰ τοῖς παλαιοῖς. [Ἰστέον δὲ ὅτι τὸ σπαίρειν καὶ τὸ σπαρίζειν οὐκ ἀνάγκην ἔχει ἐφέλκεσθαι τὸ ἄλφα φύσει. γίνεται γὰρ ἀμφότερα ἐκ τοῦ σπῶ. οὐκοῦν τῷ ἀσπαίρειν ἢ ἐπίτασιν δηλοῦν ἢ καὶ ἄλλως πλεονάζον προσῆλθε τὸ α ; οὕτω δὲ πλεονασμὸς τοῦ α ἐστὶ καὶ ἐν τῷ ἄσταχυς, στάχυς γὰρ τὸ κοινόν, καὶ ἐν τῷ ἀσταφίς, σταφὶς γὰρ τὸ ἀπλεόναστον, ἡ ἄλλως καὶ ὀσταφίς. ὅμοιον καὶ τὸ ἀπαμείρεται ἀντὶ τοῦ μερίζει, ἀπὸ τοῦ μείρω, καὶ τὸ ἄνηστις ἐκ τοῦ νῆστις, ὡς παρὰ Κρατίνῳ, καθὰ γράφει Ἀθήναιος «οὐ γάρ τοι σύ γε πρῶτος φοιτᾷς ἐπὶ δεῖπνον ἄνηστις».] (v. 573) Τὸ δὲ «οὔ τι μάλα δήν» ἐφερμηνευτικόν ἐστι τοῦ μίνυνθα, ἀμφοῖν δὲ αὖ τὸ «ὄφρα οἱ ἔγχος ἀνεσπάσατο ἐγγύθεν ἐλθὼν ἥρως Μηριόνης», ὅπερ ἐπὶ Ἰδομενέως ἔγχος ἀνέσπασεν ἔφη ἐνεργητικῶς. (v. 575) Εἰς πλεῖον δὲ διασαφεῖται τὰ εἰρημένα ἐν τῷ «τὸν δὲ σκότος ὄσσε κάλυψε». δῆλον γὰρ ὡς οὐκ ἐπὶ πολὺ ὁ τυπεὶς ἤσπαιρεν, ἐπεὶ ἀνασπασθέντος ταχὺ ἀναγκαίως τοῦ δόρατος εὐθὺς τέθνηκεν. Ἐκ δὲ τοῦ μίνυνθα καὶ τοῦ οὐ μάλα δήν ὁ μινυνθάδιος καὶ ὁ οὐ δηναιός, ὁποῖον ἀλλαχοῦ τὸν θεομαχοῦντά φησιν. (v. 576—9) Ὅτι τὸ τοῦ Ἑλένου ξίφος Θρηΐκιον μέγα καλεῖ, εἰπὼν «Δηΐπυρον δ᾽ Ἕλενος ξίφει σχεδὸν ἤλασε κόρσην Θρηϊκίῳ μεγάλῳ· ἀπὸ δὲ τρυφάλειαν ἄραξεν. ἡ μὲν ἀποπλαγχθεῖσα χαμαὶ πέσε, καί τις Ἀχαιῶν μαρναμένων μετὰ ποσσὶ κυλινδομένην ἐκόμισε». Καὶ ὅρα ὡς ἀορίστως εἶπε κἀνταῦθα διὰ πιθανότητα, οὐκ ὀνομάσας τίς ἦν ὁ

κομισάμενος τὴν τρυφάλειαν. (v. 576) Ἡ δὲ κόρση ὅτι καὶ κόρρη λέγεται, ἱκανῶς ἔγνωσται. ἀφ' οὗ καὶ κατὰ κόρρης καὶ ἐπὶ κόρρης δὲ κατὰ Αἴλιον Διονύσιον πληγὴ τυχὸν ἢ ῥάπισμα λέγεται τὸ εἰς σιαγόνα καὶ κρόταφον. Κόρρην δέ, φησί, καὶ κόρσην Ἀττικοὶ τὴν ὅλην κεφαλὴν σὺν τῷ αὐχένι λέγουσι. διὸ καὶ προπηλακισμὸς ἰσχυρός, φασί, τὸ ἐπὶ κόρρης καὶ μείζων τοῦ κονδύλου. Ἀπὸ τῆς κόρσης δὲ εὕρηται ἐν ῥητορικῷ Λεξικῷ καὶ δίκορσον ἀντὶ τοῦ δικόρυφον, δικραές, δικέφαλον. εἴρηται δὲ ἴσως τὸ δικραὲς εἰς ὅμοιον τῷ δίκρανον. (v. 577) Εἰς δὲ τὸ «ξίφεϊ μεγάλῳ» φασὶν οἱ παλαιοί, ὡς μόνοι ἐν βαρβάροις οἱ Θρᾷκες μεγάλοις ξίφεσι χρῶνται. τινὲς δὲ ῥομφαίαν τὸ τοιοῦτον ξίφος ἐνόησαν. Καλῶς δὲ παρεσημήνατο μέγα εἶναι τὸ ξίφος, ἵνα πιθανὸν δόξῃ τὸ δι' αὐτοῦ ἀπαραχθῆναι σὺν τῇ ῥηθείσῃ κόρσῃ καὶ αὐτὴν τὴν τρυφάλειαν.

3.515 Ἀράσσειν δὲ γίνεται μὲν ἀπὸ τοῦ Ἄρης, ὁ σίδηρος, δηλοῖ δὲ τὴν ῥᾳδίαν καὶ ἄπονον ἐκκοπήν. (v. 578) Ἀποπλαγχθῆναι δὲ ἀστείως ἐρρέθη νῦν τὸ πόρρω πεσεῖν τοῦ οἰκείου τόπου καὶ ἐκτιναχθῆναι, καθὰ καὶ μετ' ὀλίγα ἐπὶ ὀϊστοῦ φησὶ τὸ «πολλὸν ἀποπλαγχθείς». Ὅτι ὁ προσεχῶς μεγάλῳ ξίφει χρησάμενος Ἕλενος αὐτίκα νῦν τόξον κατὰ Μενελάου μεταλαμβάνει ποικίλος ὤν, ὡς εἰκός, τὴν ὁπλιτικήν. (v. 582 s.) Φησὶ γάρ, ὡς Μενέλαος μὲν ἔβη «ἐπαπειλήσας Ἑλένῳ ἥρωϊ ἄνακτι ὀξὺ δόρυ κραδάων. ὃ δὲ τόξου πῆχυν ἀνεῖλκεν», ὅ ἐστιν, ὡς καὶ προεδηλώθη, τόξον περιφραστικῶς. οὕτω γοργὸς καὶ περισπερχὴς ὁ Πριαμίδης οὗτός ἐστιν πολυειδῶς τῇ μάχῃ χρώμενος. (v. 584—7) «Τὼ δέ», φησίν, ἤγουν οὗτοι, «ὁμαρτήτην. ὃ μὲν ἔγχεϊ ὀξυόεντι ἵετο ἀκοντίσαι, ὃ δ' ἀπὸ νευρῆφιν ὀϊστῷ. Πριαμίδης μὲν ἔπειτα κατὰ στῆθος βάλεν ἰῷ θώρηκος γύαλον», τὸ καὶ προγραφέν, «ἀπὸ δ' ἔπτατο πικρὸς ὀϊστός». (v. 588—92) Πρὸς ὃ παραβολὴν ποιῶν φησιν «ὡς δ' ὅτ' ἀπὸ πλατέος πτυόφιν μεγάλην κατ' ἀλωὴν θρῴσκωσι κύαμοι μελανόχροες ἢ ἐρέβινθοι πνοιῇ ὑπὸ λιγυρῇ καὶ λικμητῆρος ἐρωῇ, ὣς ἀπὸ θώρηκος Μενελάου πολλὸν ἀποπλαγχθεὶς ἑκὰς ἔπτατο πικρὸς ὀϊστός». καὶ οὕτω μὲν ᾠΐστευσεν Ἕλενος. (v. 593—7) Μενέλαος δὲ τὴν τοξοφόρον ἔβαλε χεῖρα. «ἐν δ' ἄρα τόξῳ ἀντικρὺ διὰ χειρὸς ἐλήλατο χάλκεον ἔγχος. ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων χεῖρα παρακρεμάσας. τὸ δ' ἐφέλκετο μείλινον ἔγχος», ὡς οἷά τι ἐφόλκιον. οὕτω γὰρ εἰπεῖν δίδωσιν ἡ τοῦ «ἐφέλκετο» λέξις. Καὶ ὅρα ὡς γραφικῶς οἷον φράζει τὸ πρᾶγμα ὁ ποιητὴς ὡς οἷα ἑωρακὼς αὐτός. Σημείωσαι δὲ καὶ τὸ ἀφελὲς καὶ γλυκὺ τοῦ «παρακρεμάσας» καὶ τοῦ «ἐφέλκετο». ταῦτα δὲ καὶ ἐνάργειαν ἔχουσι δηλοῦντα τὸ καίριον τῆς βολῆς, ὑφ' ἧς ὡς ἄψυχόν τι παρακρέμαται ἡ χεὶρ ἐφελκομένη τὸ ἔγχος. Ὅρα δὲ τὴν ποιητικὴν ἐπίνοιαν καὶ εὑρεσιλογίαν καὶ ἐν τῷ πρὸ τούτων μὲν ἐπὶ Σαρπηδόνος τῷ μηρῷ τὸ δόρυ παρασύρεσθαι, ὃ καὶ βαρύνει ἐκεῖνον, Ἑλένου δ' ἐνταῦθα τὴν χεῖρα τὸ δόρυ ἐφέλκεσθαι. [(v. 582) Ἰστέον δὲ ὅτι ἄναξ καὶ ἄνακτες οὐ μόνον ἐπὶ βασιλείας ὡς καὶ ἐνταῦθα ἐν τῷ «Ἑλένῳ ἥρωϊ ἄνακτι», ἀλλὰ ἐδήλου μὲν ἡ λέξις καὶ ἄλλα τινά, ὡς ἑτέρωθι γέγραπται. Καί τι δέ, φασί, τάγμα ἔνδοξον ἐν Κύπρῳ ἄνακτες ἐκαλοῦντο, πρὸς οὓς ἀνεφέρετο, φασίν, ἑκάστης ἡμέρας πρὸς τῶν ὠτακουστούντων, ὅ τι ἂν ἀκούσωσιν.

3.516 ἐπὶ διορθώσει δὲ τοῦτο ἦν τῶν κατὰ τὴν νῆσον. οἱ δὲ τοιοῦτοι ὠτακουσταὶ εἶεν ἂν καὶ πευθῆνες ὡς ἀπὸ τοῦ πεύθω, οὗ παράγωγον ἡ πύστις, οἷον «στείλας ἐπὶ τῆς Αἰολίδος κατὰ πύστιν ἅμα καὶ οἰκισμὸν τῆς χώρας». ἀνάλογον δὲ πάντως τῷ πεύθω πύστις καὶ τὸ κεύθω κύστις, ἡ κεύθουσα ἔσω ὑγρὸν φυσικόν.] (v. 584) Τὸ δὲ «ὁμαρτήτην» οἱ μὲν ἐπίρρημα νοοῦσιν ἀντὶ τοῦ ὁμοῦ, ἕτεροι δὲ ῥῆμα κρειττόνως φασὶν ἀντὶ τοῦ ἠκολούθησαν κατὰ τὴν βολήν. οἱ δέ φασι τριπλῆν ἐνταῦθα εἶναι γραφήν· ἁμαρτήδην καὶ ὁμαρτήδην καὶ διὰ τοῦ ταῦ ὁμαρτήτην, ἐν πᾶσι δὲ δηλοῦσθαι τὸ ὁμοῦ. εἰ δὲ καὶ ἔστι ῥῆμα τὸ ὁμαρτήτην παραληγόμενον τῷ ἦτα, ἐκ τοῦ ὁμαρτησάτην συγκέκοπται. Τὸ δὲ «τὼ δ' ἄρ, ὃ μὲν ἔγχεϊ ὀξυόεντι ἵετο ἀκοντίσαι, ὃ δὲ τοξεῦσαι» σχῆμα προεπιζεύξεώς ἐστι κατὰ τοὺς παλαιούς. φθάνει γὰρ ἐπιζεῦξαι τοὺς ποιοῦντας, εἶτα διαιρεῖ αὐτοὺς καθ' ἕνα, καὶ τοῦτο μὲν ἐν δυϊκῷ ἀριθμῷ. μετ' ὀλίγα δὲ πληθυντικῶς

προεπιζευγνύει ἐν τῷ· οἳ δέ, Ἀτρείδης μὲν ἅμαρτε, Πείσανδρος δὲ οὔτασε. μυρία δὲ τοιαῦτα παρά τε τῷ ποιητῇ καὶ παρ’ ἄλλοις. Τὸ δὲ ὀξυόεν ἔγχος ὀξὺ δόρυ ἀνωτέρω ἔφη. (v. 585) Ἐν δὲ τῷ «ἀπὸ νευρῆφιν ὀϊστῷ» προσυπακουστέον τὸ ἔβαλεν, ὃ κατωτέρω κεῖται. οὐ γὰρ δήπου ὡς ὁ Μενέλαος δόρατι, οὕτως ἀκοντίζει τις καὶ διὰ νευρᾶς. καὶ ἔστι τὸ σχῆμα σύλληψις. [Τὸ δὲ «ἀπὸ νευρῆφιν» εἰ καὶ νοεῖται κοινότερον ἀντὶ τοῦ ἀπὸ νευρᾶς, ἀλλ’ οὐκ ἂν ἔχοι καὶ ἀπὸ γενικῆς γενέσθαι τοῦ νευρῆς ἀποβολῇ τοῦ ς . εἴη δὲ ἂν μάλιστα ὡς ἐπίρρημα ἔχον περιττὴν συνήθως τὴν ἀπο πρόθεσιν, ἵνα ᾖ, ὡς βίῃ βίῃφι, οὕτω καὶ νευρῇ νευρῆφι, καὶ μετὰ προθέσεως «ἀπὸ νευρῆφι».

3.517 ] (v. 586) Ἐν δὲ τῷ «Πριαμίδην μὲν ἔπειτα κατὰ στῆθος βάλεν» ἀργὸν οὕτω κεῖται τὸ ἔπειτα ἀντὶ τοῦ δή κατὰ τοὺς παλαιούς, οὐ μὴν ὑστεροχρονίαν δηλοῖ. (v. 584) Ἁμαρτήδην γὰρ ἢ ὁμαρτήδην, ὅ ἐστιν ἅμα καὶ ὁμοῦ ἀφῆκαν, Ἕλενος ὀϊστὸν καὶ δόρυ Μενέλαος, καθά που καὶ Σαρπηδὼν καὶ Γλαῦκος δόρατα. ἔνθα δὲ τὸ ἅμα, ἐκεῖ χώραν οὐκ ἔχει τὸ μετέπειτα. Ἐν δ’ ἄρα τῷ «Φοῖνιξ μὲν πρῶτον, αὐτὰρ ἔπειτα Αἴας» ἀριδήλως τὸ ἔπειτα τὸ μετὰ ταῦτα δηλοῖ. ἐν πολλοῖς δὲ καὶ ἄλλοις τῶν Ὁμηρικῶν τὸ ἔπειτα οὕτω δισήμαντον εὕρηται. Ἐν δὲ τῷ «ἀπὸ δ’ ἔπτατο» καὶ ἑξῆς, κύκλος ἐσχημάτισται παρ’ ὀλίγον. εἰπὼν γὰρ «ἀπὸ δ’ ἔπτατο πικρὸς ὀϊστός», εἶτα ἐπεμβαλὼν τὴν εἰρημένην παραβολὴν ἐπάγει μετὰ τέσσαρας στίχους «ἑκὰς ἔπτατο πικρὸς ὀϊστός». τοιοῦτον δέ τι καὶ πρὸ ὀλίγου ἐσημειώθη σχηματισθὲν ἐν τῷ περὶ φλεβός. καλὸν δὲ δὶς ῥηθὲν τὸ «ἔπτατο» ἐπὶ πτερόεντος ὀϊστοῦ. (v. 588—90) Ἡ δὲ ῥηθεῖσα παραβολὴ πάνυ ἀστεία. Τὸν γὰρ οὐκ εὐστόχως βληθέντα ὀϊστὸν οὐδὲ λίαν τοῦ σκοποῦ τυχόντα οὐδὲ βέλος κρίνει ἐκ χειρὸς καὶ τόξου ἀφεθέν, ἀλλὰ κυάμῳ ἢ ἐρεβίνθῳ εἰκάζει, οὐ πεμφθέντι κατά τινος, ἀλλὰ πτύου ἀποτιναχθέντι καὶ ἀέρα μόνον τύψαντι, πτύου δέ, οὐ δι’ οὗ γῆν ἀναρρίπτουσιν, ἀλλὰ λικμητικοῦ ἀναβάλλοντος τὰ ἠλοημένα, τοῦ καὶ εἰς τύπον ἐσχηματισμένου χειρὸς δακτύλων. διὸ τῇ ἐκ τοῦ βασιλικοῦ θώρακος ἀποπλανήσει τοῦ ὀϊστοῦ, ἥτις κατὰ τὴν ἐκ τῆς χειρὸς τοῦ Ἑλένου ἄπρακτον συνδιανοεῖται βολήν, δόξοι ἂν ὁ ποιητὴς μυκτηρίζειν ὡς οἷον ἀπὸ ξυλίνης καὶ ὁμωνύμως λεγομένης χειρὸς εἰκῇ ἀφειμένου τοῦ βέλους, εἶτα εἰς ἀέρα μάτην ἀντιπαλθέντος, ὃ καὶ κυάμῳ εἴκασεν ἢ ἐρεβίνθῳ διὰ τὸ τῶν σπερμάτων τούτων ἁδρότερον. οὐ γὰρ ἔδει βέλος ἡρωϊκὸν σίτῳ ἤ τινι τοιούτῳ σπορίμῳ βραχυτάτῳ παρεικάσαι. (v. 592) Ἰστέον δὲ ὅτι ἐνταῦθα μὲν ἐπὶ βέλους ψαύσαντος μέν, ἀπρακτήσαντος δέ, τὸ πέτεσθαι εἶπεν, ἐν δὲ τῷ «καθ’ ὅμιλον ἐπιπτέσθαι μενεαίνων» ἐπὶ βέλους ἀφεθέντος καὶ μήπω βαλόντος. δῆλον δὲ ὡς ἄλλο τὸ ἐπιπτέσθαι, καὶ ἄλλο τὸ ἀποπτέσθαι.

3.518 Θαυμάζουσι δ’ ἐν τούτοις οἱ παλαιοὶ τὸν ποιητὴν καὶ ὡς πρᾶγμα ταπεινὸν τὸ κατὰ κυάμους καὶ ἐρεβίνθους καὶ ἔννοιαν εὐτελῆ ἐπιθέτοις τε ὑψώσας ἐσέμνυνεν, ἐπικαλύπτων τὸ ταπεινόν, καὶ λέξεσι μεμεγεθυσμέναις ἐπῆρε καὶ ταῖς ἐν τῷ τέλει παρισώσεσιν ἐξωράϊσε, τῷ «πνοιῇ» καὶ «λιγυρῇ» καὶ «ἐρωῇ». (v. 588) Τὸ δὲ «πτυόφιν» ληφθὲν καθ’ ἑρμηνείαν ἀντὶ πτύου κατὰ πτῶσιν γενικήν, σύνταξιν καινὴν οὕτω παρείλκυσε τὸ «ἀπὸ πλατέος πτυόφιν». Ὅτι δὲ τὸ πτύον καὶ πτέον ἔλεγον οἱ Ἀττικοὶ ὕστερον, Αἴλιος Διονύσιός φησιν, ἕτερος δέ τις λέγει· πτέον οἱ ἄλλοι, πτύον δὲ Σοφοκλῆς, ἀκολουθῶν δηλαδὴ τῷ ποιητῇ. Μεγάλην δὲ ἀλωὴν λέγει ἢ τήν, ὡς εἰκός, τοιαύτην οὖσαν ἢ τὴν πολυχώρητον καὶ διὰ τὸ κυκλικὸν σχῆμα μεγάλην. Ψιλοῦται δὲ ἡ ἀλωή, ὡς καὶ ἡ Ὁμηρικὴ δηλοῖ συναλιφὴ ἐν τῷ «κατ’ ἀλωήν», παρὰ τὸ ἀλοίω ἢ ἀλοῶ ἐκταθέντος τοῦ ο εἰς μέγα ω . ἡ μέντοι ἅλως ὡς ἀπὸ τοῦ ἅλις ἢ ἁλίζω δασύνεται. (v. 589) Σημείωσαι δὲ καὶ ὅτι Ὁμήρου εἰπόντος κύαμοι μελανόχροες γράφουσιν οἱ παλαιοί, ὅτι τοὺς κυάμους ὡς μέλανας οὐκ ἐσθίουσιν οἱ ἱερεῖς, οἷς καὶ λόγον φασὶν εἶναι ἱερὸν τοιοῦτον «ἶσόν τοι κυάμους τε φαγεῖν κεφαλάς τε τοκήων», διὰ τὸ «ψυχῆς αἰζηῶν βάσιν ἔμμεναι ἠδὲ ἀνάβαθμον ἐξ Ἀΐδαο, ὅταν αὐγὰς εἰσανίωσιν». Οἱ δέ φασιν, ὅτι ἐπὶ Κρόνου ἄρτος ἐξ αὐτῶν ἐγίνετο τοῖς ἀνθρώποις, ὕστερον δὲ μὴ γεύεσθαι αὐτῶν ἐπετράπη, ἵνα μηδ’ ὅλως μνήμη τοῦ Κρόνου φυλάττοιτο. Ὡς δέ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱ κύαμοι καὶ πύαμοι ἐλέγοντο διὰ τοῦ πι , ὅθεν καὶ πυανεψιὼν μὴν ἀπὸ τῶν τοιούτων πυάμων, δεδήλωται ἀλλαχοῦ. Ἰστέον δὲ ὡς, εἴπερ διὰ τὸ περὶ κύαμον βραχὺ μέλαν ἐπιθετικῶς οἱ κύαμοι καλοῦνται μέλανες, ἐστὶ καὶ τοῦτο παράδειγμα σαφὲς τοῦ ἀπὸ μέρους καλεῖσθαι τὸ πᾶν. [Παρὰ τὸ κύειν δὲ αἷμα σύγκεινται οἱ κύαμοι, ὧν ἡ κλῆσις ἔτι σῴζεται πολλαχοῦ τῶν Ἑῴων, οἳ κυάμιά φασιν αὐτοὺς ὑποκορίζοντες. Ὅτι δὲ καὶ ἄγριοι κύαμοι γλυκύτεροι μὲν τῶν ἡμέρων, βραχεῖς δέ, ἡ πεῖρα μέχρι καὶ νῦν δείκνυσιν ἐνιαχοῦ.

3.519 Δῆλον δ' ἐκ τῶν παλαιῶν καὶ ὅτι συνθέτως θερμοκύαμοι λέγονται, οἱ καὶ ἀσυνθέτως θέρμοι λεγόμενοι, ὧν ἴδιον μὴ ἐμφύειν ζῷα διὰ πικρότητα καὶ δριμύτητα. κατὰ γὰρ Θεόφραστον θέρμος καὶ ὄροβος καὶ ἐρέβινθος μόνα τῶν χεδροπῶν οὐ ζῳοῦται διὰ τὴν ῥηθεῖσαν αἰτίαν. Ὅτι δὲ καὶ Αἰγύπτιος ἐλέγετό τις κύαμος, οὗ ῥίζαι παρὰ Νικάνδρῳ ἐν Θηριακοῖς τὰ ὑπ' Ἀλεξανδρέων καλούμενα κολοκάσια, ὧν παρώνυμος Ἀθηνᾶ Κολοκασία ἐν Σικυῶνι, καὶ ὅτι τὸ φυτόν, οὗ ἡ ῥηθεῖσα ῥίζα καὶ ὁ κύαμος, κιβώριον ἐκαλεῖτο, ἱστορεῖ Ἀθήναιος. Εἰ δὲ καὶ ἔτνος ὁ κύαμος λέγεται, ἀλλὰ τοῦτο μὲν ὡς οἷον κατ' ἐξοχὴν διὰ τὸ τοῦ ὀσπρίου ἀπολαυστικόν. ἐκ τοῦ ἔω γάρ, τὸ πληρῶ καὶ ἀπολαύω, τὸ ἔτνος, ἄλλως δὲ τὸ ἔτνος ἐπὶ ἑψητῶν ὀσπρίων λέγεται γενικώτερον, ὡς δῆλον καὶ ἐκ τοῦ «ἔτνος κυάμινον». πρὸς διαστολὴν γὰρ αὐτὸ εἴρηται. Ἔφιππος δὲ τραγήμασιν ἐντάττων κυάμους καὶ ἐρεβίνθους συναριθμεῖ καὶ χόνδρον, πυρόν, μέλι, σησαμίδας καὶ κανναβίδας. Ἐρεβίνθων δὲ μνεία καὶ παρὰ Ξενοφάνει ὡς χρηστῶν ὄντων ἐν συμποσίῳ. φησὶ γὰρ «πίνοντα γλυκὺν οἶνον ὑποτρώγοντ' ἐρεβίνθους». Μέμνηται δ' αὐτῶν καὶ ὁ ἀριθμήσας οὕτω· ὦχρος, λάθυρος, φηγός, βολβός, τέττιξ, ἐρέβινθος, ἀχράς. Δῆλον δ' ὅτι ὦχρος μὲν καὶ λάθυρος ὄσπρια ὡς καὶ ἐρέβινθος, φηγὸς δὲ βάλανοι φήγινοι οἷαι τρώγεσθαι, βολβὸς δὲ κρόμυόν τι ἄγριον, οὗ χρῆσις καὶ παρὰ τῷ Κωμικῷ, πολὺς δὲ αὐτὸς καὶ ἐν Ἀττικῇ, τέττιξ δὲ βρώσιμόν τι καὶ αὐτό, ὃ καὶ σημείωσαι. ἀχρὰς δὲ ἀπίους σημαίνει ἀγρίους κυρίως. Ἔτι ἐρεβίνθων μνεία καὶ παρὰ τῇ Σαπφοῖ ἐν τῷ «χρύσειοι ἐρέβινθοι ἐπ' ἀϊόνων ἐφύοντο». λέγει δέ, φασί, χρυσέους ἐκείνη ἐρεβίνθους τοὺς κατὰ πύξον ὠχρούς, οὓς δηλοῖ καὶ ὁ εἰπών, ὡς κρείττους οἱ λευκοὶ τῶν μελάνων καὶ οἱ πυξοειδεῖς.

3.520 ἐλέγοντο δέ τινες ἐρέβινθοι καὶ κρεῖοι, ἴσως ὡς μεγάλοι, ὁμωνύμως τῷ μυθευομένῳ Κρείῳ. Ποσειδῶν δέ, φασίν, εὗρεν ἐρεβίνθους. Ἔνθα δὲ ὁ Κωμικὸς λέγει τὸ «ἐρεβίνθου δραττόμην», παίζει πρὸς ἀνδρὸς μόριον, οὗ τὸ ἑτερογενὲς κριθὴν ἔφη τις. ὅτι δὲ οὐ μόνον φηγοῦ βάλανοι, ἀλλὰ προσφυέστατα καὶ φοινίκων, τέτριπται εἰς εἴδησιν. Ἐλέγετο δέ, φασί, καὶ Διὸς βάλανος τὸ Ποντικὸν κάρυον, ὃ καὶ Ἡρακλεωτικὸν ἐκαλεῖτο. καὶ Εὐβοϊκὰ δέ, φασί, κάρυα κάστανα καὶ Σαρδιανὰ βάλανοι ἐκαλοῦντο. καὶ τοιάδε μὲν καὶ ταῦτα.] (v. 592) Τὸ δὲ «πολλὸν ἀποπλαγχθεὶς ἑκὰς ἔπτατο» καὶ τὴν βολὴν βιαίαν εἶναι δηλοῖ καὶ τὸν θώρακα τοῦ βασιλέως πάνυ στερρόν. ὅτι δὲ τὸ ἀποπλαγχθῆναι πολλαχοῦ καὶ ἐπὶ ὅπλων κεῖται, δεδήλωται καὶ ἐν τῷ «πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός». (v. 594) Τὴν δὲ τοξοφόρον χεῖρα περιφράζων φησὶν «ἥ ῥ' ἔχε τόξον». τοῦτο δὲ ἀμφιβόλως ἔχει. ἢ γὰρ κατ' εὐθεῖαν νοητέον· ἥτις χεὶρ εἶχε τὸ τόξον. ἢ ἐπιρρηματικῶς ὡς ἐκ δοτικῆς· ἔνθα εἶχε τὸ τόξον ὁ Ἕλενος. σφοδρὸν δὲ τὸ τῆς βολῆς, εἰ τὴν χεῖρα διασχὸν τὸ ἔγχος ἠλάθη καὶ διὰ τοῦ κρατουμένου τόξου. (v. 596) Τὸ δὲ «ἂψ δ' ἑτάρων» καὶ ἑξῆς ὁ στίχος ὅλος ἐν πολλοῖς τόποις κεῖται, καθὰ καὶ ἕτεροι, οἷα μὴ ὀκνοῦντος τοῦ ποιητοῦ τὸ ἔλλογον ταὐτολόγημα. (v. 598—600) Ὅτι τὴν τοῦ Ἑλένου χεῖρα βληθεῖσαν ἐθεράπευσεν ὁ ἀδελφὸς Ἀγήνωρ οὕτω· ἔγχος μὲν ἐκ χειρὸς ἔρυσεν «αὐτὴν δὲ ξυνέδησεν ἐϋστρόφῳ οἰὸς ἀώτῳ σφενδόνῃ, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν». Λέγει δ' ἐνταῦθα ὁ Σχολιαστής, ὅτι ἐρίοις πάλαι τὰ κῶλα τῆς σφενδόνης συνέπλεκον καὶ οὐ νεύροις ὡς ὕστερον, ἵνα τοῦ ἐρίου ὑπενδιδόντος διατείνοιντο αὐτὰ ἐν τῇ ἀπορρίψει. (v. 599) Σημείωσαι δὲ ὅτι, ὡς ἐν περιφράσει ἄωτον οἰὸς εἰπὼν ἁπλῶς τὸ ἔριον, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, προσέθετο τὸ εὔστροφον, ἵνα μὴ ἄωτον οἰὸς ἄρτι νοήσωμεν τὸ ἀκατέργαστον ἔριον. ὡς ἂν δὲ αὖ πάλιν μὴ τὸ ἁπλῶς ἐξ ἐρίου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νῆμα νοηθείη, ἐπήγαγε τὸ εἶδος τὴν σφενδόνην, ἥτις καὶ αὐτὴ εὔστροφον οἰὸς ἄωτον οὖσα, ὡς δεδήλωται, ἔχει εἰς διαφορὰν εἰδικὴν τὸ πετροβολεῖν, ἵνα ᾖ σφενδόνη εὔστροφον οἰὸς ἄωτον πετροβόλον. [Ἐτυμολογία δὲ αὐτῆς τὸ σπεύδειν, ἀφ᾽ οὗ καὶ τὸ σφεδανόν, ἐπισπεύδει γὰρ οἷον αὐτὴ καὶ κατεπείγει τὴν τῶν λίθων ἄφεσιν.

3.521 ] Ἰστέον δὲ ὅτι ἐν τοῖς ἑξῆς που εἰπὼν «τόξοις καὶ εὐστρόφῳ οἰὸς ἀώτῳ» οὐ προστίθησιν ἐκεῖ καὶ τὸ σφενδόνη, ὡς ἤδη ἑρμηνευθέν. Ὅτι δὲ ἀπὸ τοῦ ἄω [τὸ φιλητὸν καὶ πολύχρηστον τῷ Πινδάρῳ] ἄωτον γίνεται προσλήψει συλλαβῆς, ὡς εἴδω εἴδωλον, δηλοῦται καὶ αὐτὸ ἐν ἄλλοις. (v. 600) Ὅρα δὲ ὡς πολλάκις ὀργάνων παράχρησις διά τινας ἀνάγκας γίνεται, εἴγε καὶ ἡ ῥηθεῖσα σφενδόνη ἐνταῦθα εἰς ἕλκους σύνδεσμον ἐχρησίμευσε. θεράποντος δὲ ὅπλον αὕτη, οὐ μὴν ἥρωος, οὐδὲ γὰρ ἐχρῆν. δῆλον δ᾽ ὅτι καὶ σφενδονήτας εἶχεν ὁ Τρωϊκὸς πόλεμος. Θαυμαστέος δὲ ὁ ποιητὴς τῆς τε πολυπειρίας τῆς τε χρηστομαθείας, πολλὰ παρενείρων τῇ ποιήσει ἐπέκεινα τῶν προκειμένων ἄξια. [Εἰ δὲ ἡ τοῦ Ἑλένου χεὶρ τῇ σφενδόνῃ περιδεθεῖσα τεθεράπευται, εἴτε καὶ προσεδεήθη ἑτέρας ἰατρείας ὕστερον, τί χρὴ ζητεῖν.] (v. 602) Ὅτι κεῖται παρατατικὸς ἐνταῦθα τοῦ ἐΐω ῥήματος. φησὶ γὰρ «Πείσανδρος δ᾽ ἰθὺς Μενελάου ἤϊεν», ὅ ἐστιν ἐπορεύετο. (v. 604) Ἐπῆκται δὲ μετ᾽ αὐτὸ καὶ τὸ «ἐπ᾽ ἀλλήλοισιν ἰόντες», ἤγουν κατ᾽ ἀλλήλων. (v. 602 s.) Ὅτι καὶ ἐνταῦθα κεῖται ἀποστροφῆς σχῆμα ἐν τῷ «τὸν δ᾽ ἄγε μοῖρα κραταίη θανάτοιο τέλοσδε, σοὶ Μενέλαε δαμῆναι». προσφωνήσει δὲ ἡ Ὁμηρικὴ Μοῦσα καὶ τὸν Πάτροκλον ἐν τοῖς ἑξῆς πολλάκις οἷα ἐπιστρεφομένη τοιούτων προσώπων ὡς ἀξίων λόγου. (v. 605) Ὅτι ἀστοχίαν βολῆς φράζει τὸ «Ἀτρείδης μὲν ἅμαρτε, παραὶ δέ οἱ ἐτράπετ᾽ ἔγχος», ἤγουν οὐ κατ᾽ εὐθὺ ἦλθεν, ἀλλ᾽ εἰς πλάγιον ἐστράφη. καὶ ἔστι τοῦτο ἐφερμηνευτικὸν τοῦ «ἥμαρτεν». (v. 606—9) Ὅτι καὶ ἑτέρου δόρατος καυλὸς ἐνταῦθα κλᾶται. «Πείσανδρος γὰρ σάκος Μενελάου οὔτασεν, οὐδὲ διαπρὸ δυνήσατο χαλκὸν ἐλάσσαι. ἔσχετο γὰρ σάκος εὐρύ, κατεκλάσθη δ᾽ ἐνὶ καυλῷ ἔγχος». (v. 608) Καυλός δὲ καὶ νῦν τὸ ἄκρον ξύλον, ὃ ἐνίεται τῇ αἰχμῇ. (v. 609) Ὁ δὲ τοῦτο δυστυχήσας «φρεσὶν ᾗσι», φησί, «χάρη καὶ ἔλπετο νίκην». μυκτηρίζων δὲ τοῦτο λέγει ὁ ποιητής, ὥστε οἰκεῖον ῥηθῆναι αὐτὸ ἐπὶ τῶν ἐκπεσόντων νίκης ἐλπιζομένης. (v. 610—3) Ὅτι Πείσανδρος ὁ Τρωϊκὸς τοῦ ἔγχους αὐτῷ κλασθέντος, ὡς προσεχῶς εἴρηται, ἐπεὶ Ἀτρείδης ἐρυσάμενος ξίφος ἆλτο ἐπ᾽ αὐτῷ, «ὑπ᾽ ἀσπίδος εἵλετο καλὴν ἀξίνην εὔχαλκον ἐλαΐνῳ ἀμφὶ πελέκκῳ, μακρῷ, ἐϋξέστῳ, ἅμα δ᾽ ἀλλήλων ἐφίκοντο», αὐτὸς δηλαδὴ καὶ ὁ Μενέλαος. (v. 614—9) Καὶ «ὃ μὲν κόρυθος φάλον ἤλασεν ἱπποδασείης, ἄκρον ὑπὸ λόφον αὐτόν», Μενέλαος «δὲ προσιόντα μέτωπον ἤλασε», δηλαδὴ ξίφει, «ῥινὸς ὑπὲρ πυμάτης, λάκε ὀστέα, τὼ δέ οἱ ὄσσε πὰρ ποσσὶν αἱματόεντε χαμαὶ πέσον ἐν κονίῃσιν, ἰδνώθη δὲ πεσών· ὃ δὲ λὰξ ἐν στήθεσι βαίνων» ἐσκύλευσέ τε καὶ εἶπε τὰ ῥηθησόμενα. (v. 612) Ὅρα δὲ ὅτι ἀξίνην φέρει ὁ Πείσανδρος καινότερον ὁπλιζόμενος, ὥσπερ καὶ ἕτερός τις σφενδόνῃ ἐχρήσατο, καὶ ἄλλος μεγάλῳ ξίφεϊ.

3.522 Βαρβαρικὸν δὲ τὸ ἀξίναις μάχεσθαι καὶ πελέκεσσι, διὸ Τρῶές που ὀξέσι πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο. καλὴ δὲ ἡ ῥηθεῖσα ἀξίνη διὰ τό, ὡς εἰκός, κατακεκροτῆσθαι εἰς κάλλος. Τὸ δὲ ἐλάϊνον ἢ ἀπὸ τοῦ ἐλαία γέγονεν ἀποθέσει τοῦ ι τῆς διφθόγγου, ἢ ἀπὸ τοῦ ἐλάα Ἀττικοῦ, ὡς δηλοῖ καὶ ἡ παρὰ τῷ Κωμικῷ χρῆσις καὶ ὁ κατὰ Διογένην ἀστεϊσμὸς τοῦ «μάστιξε δ᾽ ἐλάαν», ἤγουν ἀπερράπισεν ἀπωσάμενος τὴν ἐλαίαν. [Κρεῖττον δὲ τὸ πρῶτον. ἐλάα γάρ, ὡς καὶ ἀλλαχοῦ παρεσημάνθη, οὐ τὸ δένδρον ἀλλ᾽ ὁ καρπὸς αὐτοῦ.] Τεχνικῶς δὲ πέλεκκον ἐλάϊνον τῇ ἀξίνῃ χορηγεῖ ὁ ποιητής, ὥς που καὶ τῷ σκεπάρνῳ, οἷα καὶ τῶν τοιούτων εὖ εἰδὼς αὐτὸς καὶ ἡμῖν ἐκ παρέργου πολυπειρίας χάριν εἴδησιν διδούς. οὐ γὰρ δήπου μάτην οὐδὲ τὰ τοιαῦτα παρασημαίνεται. Πέλεκκον δὲ οὐδετέρως ὁ στειλειός, τουτέστιν ἡ λαβὴ τοῦ πελέκεως ἤτοι τῆς ἀξίνης, διπλασιασθέντος τοῦ κ ὡς καὶ ἐν τῷ ἡμιπέλεκκα. ἐκεῖνά γε μὴν οὐ στειλειοὺς δηλοῖ, ἀλλὰ μικρούς τινας πελέκεας. Καινότερον δὲ καὶ ἐνταῦθα ἡ ἀμφὶ πρόθεσις δοτικῇ σύγκειται ἐν τῷ «ἀμφὶ πελέκκῳ», ὃ μακρὸν μὲν λέγεται ὡς μὴ σκεπάρνου ὂν ἀλλὰ ἀξίνης, ἐΰξεστον δὲ διὰ

τὸ καλὴν τὴν ἀξίνην εἶναι ὡς εὖ ἠσκημένην. (v. 613) Τὸ δὲ «ἀλλήλων ἐφίκοντο» ἀντὶ τοῦ καθίκοντο καὶ ἴψαντο, οἷα τῆς ἐπι προθέσεως ἀντὶ τῆς κατα ἐπὶ ἐναντιώσει κειμένης καὶ ἐνταῦθα. εἰ δὲ γράφεται ἀφίκοντο, λείπει ἡ κατα πρόθεσις, καὶ δηλοῖ ὡς ὁμοῦ κατ' ἀλλήλων ὥρμησαν. καὶ ἔστιν ὅμοιον τῷ «ἐπαΐσσοντα νεῶν», ἤγουν ὁρμώμενον κατὰ τῶν νεῶν, ὅπερ ἐν τοῖς ἑξῆς κεῖται. (v. 614 s.) Ἐν δὲ τῷ «κόρυθος φάλον ἄκρον ὑπὸ λόφον αὐτόν» δηλοῖ φανερῶς ὑποκεῖσθαι καὶ ἐγγυτάτω εἶναι τῷ λόφῳ τοὺς φάλους. οὕτω δὲ καὶ ἐν τῷ «μέτωπον ῥινὸς ὑπὲρ πυμάτης» περατοῦσθαι δηλοῖ τὸ μέτωπον πρὸς τῇ ἀρχῇ τῆς ῥινός. Ἀπὸ δὲ τοῦ λόφου καὶ λοφεῖον, οὐ μόνον παρὰ τῷ Κωμικῷ, ἀλλὰ καὶ παρ' ἑτέροις, οἵ καί φασιν ὅτι λοφεῖον θήκη λόφου περικεφαλαίας. (v. 616) Ἀπὸ δὲ τῆς ῥινὸς παρὰ Παυσανίᾳ ἔνρινον, [ἴσως δὲ] καὶ ἔρρινον, διὰ δύο ρ , ἄρωμα ᾧ τὰς ῥῖνας, φησίν, ἐνεχρίοντο.

3.523 [Ἰστέον δὲ ὡς οἱ τὴν ῥῖνα μύτιν καλέσαντες οὐ φαύλως οὕτως ὠνόμασαν. Ἔστι γὰρ καὶ τῆς λέξεως ταύτης χρῆσις παρὰ τοῖς παλαιοῖς, ἐπὶ θαλασσίων μέντοι. Ἀριστοτέλης γοῦν φησι τὴν σηπίαν ἔχειν τὸ μὲν ὄστρακον ἐν τῷ νώτῳ, ἐν δὲ τῇ μύτιδι τὸν θολόν. αὕτη δέ, φησίν, κεῖται παρὰ τὸ στόμα αὐτὸ κύστεως τόπον ἐπέχουσα. ἴσως δὲ ἡ αὐτὴ μύτις καὶ μυκτὴρ ὑπ' αὐτοῦ λέγεται ἐν τῷ «αἱ σηπίαι καὶ αἱ τευθίδες νέουσιν ἅμα καὶ συνεπόμεναι τὰ στόματα καὶ τὰς πλεκτάνας ἐφαρμόττουσι καταντικρὺ ἀλλήλαις. ἐφαρμόττουσι δὲ καὶ τὸν μυκτῆρα εἰς τὸν μυκτῆρα». εἰ δέ, καθὰ ὁ μυκτὴρ καὶ ἡ μύξα ἐκ τοῦ μύζειν λέγεται, οὕτω μεταφορικῶς καὶ ἡ μύτις, ἤδη δὲ καὶ ὁ μυξῖνος—κεφάλου δέ, φασί, μικροῦ εἶδος οὗτος—, εὑρητέον εἴ πού ἐστιν ἄλλοθι. χρῆσις δὲ μυξίνου καὶ ἐν τῷ λευκίσκων πλείονα εἴδη, κέφαλοι, κεστρεῖς, μυξῖνοι, χελλῶνες οἱ καὶ βάκχοι. εἰκὸς δὲ τοὺς μυξίνους, εἴπερ λέγονται γενικῶς λευκίσκοι ὡς οἷα λευκοί, παρὰ τὴν γλαγόεσσαν γίνεσθαι μύξαν, ἣ κεῖται παρὰ τῷ Ὀππιανῷ.] Λακεῖν δὲ οὐχ' ἁπλῶς τὸ φωνεῖν ἢ λαλεῖν, ὡς οἱ Τραγικοὶ διθυραμβικώτερον χρῶνται καὶ ὁ Κωμικὸς παίζει ἐν τῷ «ὁ Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων», ἀλλὰ ποιόν τινα ἦχον ἀψύχων σωμάτων ἡ λέξις δηλοῖ. ὅθεν καὶ ἡ ἐν ἱματίοις ἢ σαρκίοις λακὶς ὠνοματοπεποίηται. καὶ νῦν μὲν ἐπὶ ὀστέων τὴν λέξιν ὁ ποιητὴς ἔθηκε, προϊὼν δέ που ἐπὶ ξίφους αὐτὸ θήσει ἐν τῷ «λάκε περὶ χροῒ χαλκὸς ἀτειρής». (v. 617) Ἐν δὲ τῷ «ὄσσε αἱματόεντα» ἢ αἱματόεντε, γράφεται γὰρ ἀμφοτέρως, εἰ μὲν αἱματόεντα ἐρεῖ τις, ἀριδήλως οὐδετέρου γένους εἶναι παριστᾷ τὸ ὄσσε, εἰ δὲ διὰ τοῦ ε αἱματόεντε, ἀμφίβολον αὖθις μένει τὸ γένος. Ὅρα δ' ἐνταῦθα τὸ βίαιον τῆς πληγῆς, εἰ παρὰ γῆν πίπτουσιν οἱ ὀφθαλμοὶ δι' αὐτὴν τῆς οἰκείας ἕδρας ἐξωσθέντες. (v. 618) Τὸ δὲ «ἰδνώθη πεσών» ταὐτόν ἐστι τῷ «ἰδνωθεὶς ἔπεσεν», ὡς καὶ τὸ «κάμε τεύχων» ὅμοιόν ἐστι τῷ «καμὼν ἔτευξε», [καὶ τὸ «χασσάμενος πελεμίχθη» ὡμοίωται τῷ «πελεμιχθεὶς ἐχάσσατο».] Ἰδνωθῆναι δὲ καὶ νῦν τὸ συγκαμφθῆναι καὶ συγκαθεσθῆναι. καὶ γίνεται ἡ λέξις ἐκ τοῦ ἕζω, καθὰ καὶ ἀλλαχοῦ ἐδηλώθη, ἀφ' οὗ τὸ ἕδω, οἷα φιλιουμένων τοῦ ζ καὶ δ .

3.524 πλεονασμῷ δὲ τοῦ νῦ παρακολουθεῖ αὐτίκα καὶ τροπὴ τοῦ ε εἰς ι , καὶ γίνεται ἕδω ἰδνῶ, ὡς πέλω πιλνῶ, σκεδῶ σκιδνῶ καὶ ἄλλα μυρία. Ἰδνῶ γοῦν τὸ συστέλλομαι καὶ οἷον συνιζάνω. οὕτω καὶ ὁ Θερσίτης ἰδνοῦται, ὄφις δὲ ἄλλως ἰδνώθη πρὸ ὀλίγων, ὡς ἐκεῖ ἐδηλώθη. (v. 618 s.) Ὅτι Μενέλαος λὰξ ἐν στήθεσι βαίνων καὶ σκυλεύσας τὸν εἰρημένον Πείσανδρον λαλεῖ τι πρὸς τὸν ἤδη νεκρὸν ὡς ἐν ἠθοποιΐᾳ κατὰ ἦθος ἀφελές. ἔνθα καὶ τὸ ἐν δημηγορίᾳ λιγὺ τοῦ Μενελάου δηλοῦται, καὶ ὡς ἐπιτροχάδην ἔχει ἀγορεύειν, τουτέστιν ἐπιτρέχων τὰ πολλὰ καὶ λέγων τὰ καίρια. ἔστι δὲ καὶ καταφορά, ἐν οἷς λέγει, πολλὴ διὰ τὸ ὑπερπαθεῖν ἐφ' οἷς πάνυ πολλὰ ἠδίκηται. (v. 620 s.) Λέγει δ' ἐπὶ τῷ νεκρῷ τοιαῦτα «λείψετέ θην», ἤγουν καταλείψετε δή, «οὕτω γε νέας Δαναῶν ταχυπώλων Τρῶες ὑπερφίαλοι, δεινῆς ἀκόρητοι ἀϋτῆς». (v. 622—9) Ἐπεὶ δὲ τοῦτο οὐ πάνυ ἦν ψογερόν, [οὐ γὰρ πάνυ μωμητὸν τὸ ἐν καιρῷ δέοντι ἀκόρητόν τινα εἶναι μάχης,] ἐπάγει «ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς, ἣν ἐμὲ λωβήσασθε κακαὶ κύνες, οὐδέ τι θυμῷ Ζηνὸς ἐριβρεμέτεω χαλεπὴν ἐδδείσατε μῆνιν, ξεινίου, ὅς τέ ποτ' ὔμμι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διαφθέρσει πόλιν αἰπήν. οἵ μευ κουριδίην ἄλοχον καὶ κτήματα πολλὰ μὰψ οἴχεσθε ἀνάγοντες, ἐπεὶ φιλέεσθε παρ’ αὐτῇ νῦν αὖτ’ ἐν νηυσὶ μενεαίνετε ποντοπόροισι πῦρ ὀλοὸν βαλέειν, κτεῖναι δ’ ἥρωας Ἀχαιούς». (v. 630—2) Ἐφ’ οἷς ἀποκαθιστῶν τὸ νόημα, τὸ «λείψετε οὕτω νῆας», καὶ παραφράσας αὐτὸ ἐν τῷ εἰπεῖν «ἀλλά ποθι σχήσεσθε καὶ ἐσσύμενοί περ Ἄρηος» ἐπάγει μετὰ πάθους, ἠθικῶς καὶ ἐμψύχως ἀποτείνων ἐν σχήματι ἀποστροφῆς τὸν λόγον ὡς πρὸς παρόντα τὸν Δία, καὶ ὡς εἰκός, δυσανασχετῶν κατά τινα λόγον νεμέσεως «Ζεῦ πάτερ, ἦ τέ σέ φασι περὶ φρένας ἔμμεναι ἄλλων ἀνδρῶν ἠδὲ θεῶν, σέο δ’ ἐκ τάδε πάντα πέλονται». (v. 633—9) Καὶ οὕτω σεμνῶς ὡς ἐν θεολογίᾳ φράσας ἐπιφέρει τὸ δυσχερὲς καί φησιν «οἷον δὴ ἄνδρεσσι χαρίζεαι, ὑβριστῇσι Τρωσίν, ὧν μένος αἰὲν ἀτάσθαλον, οὐδὲ δύνανται φυλόπιδος κορέσασθαι καὶ ὁμοιΐου πολέμοιο. πάντων μὲν κόρος ἐστὶ καὶ ὕπνου καὶ φιλότητος μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο. τῶν πέρ τις καὶ μᾶλλον ἐέλδεται ἐξ ἔρον εἷναι ἢ πολέμου», τουτέστιν, ὧν μᾶλλόν τις ἐπιθυμεῖ κορεσθῆναι. πόλεμος γὰρ οὐδεὶς ἐπιθυμητός. Εἶτα κατακλείων τὸ νόημα ταὐτολογικῶς εἰς τὸ ἐξ ἀρχῆς φησι «Τρῶες δὲ μάχης ἀκόρητοι ἔασιν», ὃ φθάσας εἶπε «Τρῶες ὑπερφίαλοι δεινῆς ἀκόρητοι ἀϋτῆς». Καὶ ὅρα ὅτι τετράκις ἔφρασε τὸν αὐτὸν νοῦν, ἄνω μὲν ἐν στίχῳ ἑνί, ἐν ᾧ δεινῆς ἀκορήτους ἀϋτῆς ἔφη τοὺς Τρῶας, κατωτέρω δὲ μετὰ στίχους δώδεκα, ἐν δυσὶ παρά τι ὀλίγον, ὅπου καὶ τὸ μένος αὐτοῖς αἰὲν ἀτάσθαλον ἔφη, μὴ δυναμένοις κορέσασθαι πολέμου, καὶ συναπτῶς εὐθὺς ἐν στίχοις ὑπὲρ τοὺς τρεῖς «πάντων κόρος ἐστὶ καὶ ὕπνου καὶ φιλότητος» καὶ ἑξῆς, καὶ ἐν τῷ τέλει κομματικῶς «Τρῶες μάχης ἀκόρητοι ἔασι».

3.525 καὶ ἔστι δριμεῖα ἡ τοῦ τρίτου ἐπιχειρήματος ἐπίτασις, εἴπερ τῶν μὲν ἡδέων κόρος ἐστίν, οἱ δὲ Τρῶες τῆς δεινῆς μάχης οὐ κορέννυνται, ἧς οὐδὲ τὴν ἀρχὴν αἱρήσεταί τις γεύσασθαι. Ὅρα δὲ ὅτι βαρυνόμενος ὁ Μενέλαος ὅμως οὐδὲν αὐτὸς κατὰ ἄλλους ἐσάρκασε πρὸς ἀστεϊσμόν, ἀλλ’ ἠρκέσθη βαρέως εἰπὼν «λείψετε οὕτω νέας Δαναῶν» καὶ «ἀλλά ποθι σχήσεσθε Ἄρηος», ἔτι δὲ καὶ κατενεχθεὶς ὑβριστικῶς. (v. 622) Τὸ δὲ «οὐκ ἐπιδευεῖς» θαυμασίως ἔχει. ἐπεὶ γὰρ ταὐτὸν τὸ οὐκ ἐπιδευεῖς τῷ ἀνενδεεῖς, ἤγουν πλήρεις καὶ κεκορεσμένοι, φησὶ κατά τι ἀντιθετικὸν σχῆμα, ὅτι οἱ Τρῶες μάχης τέ εἰσιν ἀκόρητοι καὶ λοιπῆς δὲ κακίας κεκορεσμένοι καὶ ἀπροσδεεῖς. ἔστι δὲ περίφρασις τοῦ λωβηταὶ καὶ αἰσχροί τὸ «λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς». (v. 623) Τὸ δὲ «ἣν ἐμὲ λωβήσασθε», ἤγουν καθ’ ἣν ἐβλάψατέ με, πίστις ἐστὶ τοῦ εἰς πλάτος ῥηθέντος λόγου ἐκ μερικοῦ τοῦ κατ’ αὐτὸν πάθους. πάντως γὰρ οὐκ ἐπιδευεῖς λώβης οἱ καὶ τοῦτον λωβησάμενοι. δῆλον δ’ ὡς Ἀττικὸν τὸ «λώβης ἣν λωβήσασθε». Τὸ δὲ «κακαὶ κύνες» Ἰωνικῶς μὲν ἔχει τῆς κατὰ γένος θηλυκὸν φράσεως, ἴσως δὲ καὶ ὡς διὰ τὸ Τρωϊκὸν ἐκτεθηλυμμένον οὕτως ἐσχημάτισται. δηλοῖ δὲ ἢ τοὺς κατωφερεῖς καὶ λάγνους, ὁποῖος ὁ Πάρις, ἢ τοὺς ἀναιδεῖς, ὁποῖος ὁ Ἕκτωρ, ἢ καὶ ἄλλως, τοὺς ἀνάνδρους, εἴγε κακοὶ οἱ δειλοί. κάκη γὰρ οὐ μόνον ἡ κακία κατὰ τοὺς περὶ Πλάτωνα, ἀλλὰ καὶ ἡ δειλία, ἐξ οὗ κακὸς ὁ δειλός, καὶ κακίζεσθαι τὸ δειλιᾶν, ὡς τὸ «ἐπεὶ οὔ ἑ κακιζόμενόν γε κατέκτα».

3.526 ἐξ αὐτοῦ δὲ τὸ κακκᾶν συνήθως ἐπὶ παιδίων, ἐπεὶ καὶ τοῖς δειλιῶσιν ἕπεται τοιοῦτόν τι πάσχειν, ὃ καὶ ἐξιδίειν σεμνῶς ἡ Κωμῳδία φησίν, [ἀρχὴν λαβοῦσα ἐξ Ὁμηρικοῦ χωρίου τοῦ «ἴδιον ὡς ἐνόησα», ἤγουν ἵδρωσα ἐξ ἀγωνίας. καὶ] ἄλλως δέ, κακαὶ κύνες οἱ Τρῶες ὡς βλάπτοντες τοὺς Ἀχαιούς, ἐφ’ οἷς αὐτοὶ οὐκ ὠφεληθήσονται. ἐξ οὗ λόγου καὶ παροιμία τὸ «ἡ κύων ἐπὶ φάτνης», ἐπὶ τῶν μήτε χρωμένων μήτε ἄλλοις διδόντων. (v. 624) Τὸ δὲ «ἐριβρεμέτεω» τραχὺ ὂν ἐπίθετον καὶ ὑπόδεινον, οἰκείως παράκειται τῇ χαλεπῇ τοῦ Διὸς μήνιδι. Ἐν δὲ τῷ «Ζηνὸς μῆνιν ξεινίου» ἀσεβείας ἁλίσκεσθαι καὶ αἰσχροκερδείας τοὺς Τρῶας δηλοῖ καὶ ἐπιτείνει τὴν αὐτῶν ἀδικίαν. οἳ φιληθέντες, ὅ ἐστι φιλοφρονηθέντες, παρὰ τῆς Ἑλένης Δία τε τὸν ξένιον, εἴποι δ’ ἄν τις καὶ ὡς Δία τὸν φίλιον, εἶτα ἠδίκησαν, τήν τε ξεινοδόκον ἁρπάσαντες καὶ κτήματα, ἤγουν χρήματα, πολλά. φασὶ γὰρ ὡς μετὰ πολυτελοῦς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σκευῆς, ὡς ἐπὶ θυσίαν ἥκουσα, ἡρπάγη. [Ἰστέον δ’ ἐν τούτοις ὅτι τε τὸ «μῆνιν Ζηνός», ἤγουν Διός, «ξεινίου» ἐλέγχει τὸν νοήσαντα παρ’ Εὐριπίδῃ τὸ «πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία» τρόπῳ ἀναστροφῆς ἀντὶ τοῦ διαπέφευγας, ὡς οὐκ ὀρθῶς ἐπέβαλεν. ὁ μὲν γὰρ ἔφη ἀπολύτως χρῆναι εἰπεῖν τὸν ἐμὸν ἱκέσιον, ἤγουν τὸν ἱκετευτικόν μου λόγον, ὡς ἰδιωτικὸν ὂν εἰπεῖν Δία ἱκέσιον. ἐνταῦθα δὲ φαίνεται ὡς, εἴπερ ἄψογόν ἐστι τὸ εἰπεῖν οὐκ ἐδείσατε Δία ξένιον, οὕτως οὐδ’ ἐκεῖ τὸ φάναι πέφευγας Δία ἱκέσιον. καλὸν μὲν γὰρ καὶ τό· οὐκ ἔδεισας τὸν ξένιον ἢ τὸν φίλιον ἢ τὸν ἱκέσιον ἐλλειπτικῶς, ὀρθὸν δὲ οὐδὲν ἧττον καὶ τὸ συνάψαι Δία ξένιον, Δία φίλιον, Δία ἱκέσιον. Ἐκεῖνος δὲ ὁ παλαιὸς συνεκρότησε καὶ τὴν ἐν τῷ πέφευγας Δία ἀναστροφὴν διὰ τοῦ καρδία. οἱονεὶ γάρ, φησί, κᾶρ δία, ἤγουν διὰ τὸ κῆρ. οὕτω δέ, φησί, καὶ σκιάδιον τὸ σκιὰν δία, ἤγουν διὰ σκιάν. Καὶ μὴν καὶ τοῦτο ἀντιλέγεται ὡς καὶ διὰ διφθόγγου ὂν παρὰ τὸ τῇ σκιᾷ διδόναι ἄδειαν, καὶ οὐδὲ ἡ δια ἀναστρέφεται, ὡς μὴ συμπέσῃ τῇ αἰτιατικῇ τοῦ Διός.] (v. 625) Τὸ δὲ «ὅς ποτε ὔμμι διαφθέρσει πόλιν» προβολή ἐστιν ἀγαθῆς ἐλπίδος, ἣν ὁ ἀδικηθεὶς Μενέλαος προΐσχεται.

3.527 ἅμα δὲ καὶ ὑπολαλεῖται δεξιῶς ἡ τῆς Τροίας ἅλωσις τῷ φιλέλληνι ἀκροατῇ. Ἡ δὲ τοῦ «ὔμμι» ἐνταῦθα ψίλωσις καὶ ὀξυτόνησις καὶ ἡ ἐν αὐτῷ διπλόη τοῦ μυ καὶ ἡ ἐκκοπὴ τοῦ ν Αἰολέων εἰσίν. Ἐν δὲ τῷ «πόλιν αἰπήν», [ἤγουν ὑψηλὴν τὴν διὰ τοῦτο καὶ ἠνεμόεσσαν, ὡς πολλαχοῦ δεδήλωται,] σημείωσαι ὅτι προϋπόκειται ἀρσενικὸν ὁ αἰπός, ὅθεν οὐδέτερον τὸ αἰπόν, ἐξ οὗ τὸ αἰπὰ ῥέεθρα. (v. 626) Εἰς δὲ τὸ «κουριδίην ἄλοχον» φασὶν οἱ παλαιοί, ὡς οὐκ ἄρα οἶδεν ὁ ποιητὴς κατὰ τοὺς νεωτέρους τὴν τῆς Ἑλένης ὑπὸ Θησέως ἁρπαγὴν οὐδὲ τὸ ἐκ Θησέως καὶ αὐτῆς γενέσθαι τὴν Ἰφιγένειαν, ἥγε κουριδίη τῷ Μενελάῳ ἐστὶ γυνή. (v. 627) Τὸ δὲ «μὰψ οἴχεσθε ἀνάγοντες» πρὸς διαστολὴν εἴρηται τῶν Ἑλληνικῶν πράξεων. οἰχήσονται μὲν γὰρ καὶ Ἀχαιοί ποτε ἄγοντες ἐκ Τροίας κτήματα καὶ γυναῖκας, οὐ μὰψ δέ, ἀλλ’ ἀμυνόμενοι ἐφ’ οἷς ἔπαθον. ἔτι δὲ καὶ ἄλλως εἰπεῖν, ἁρπάζουσι μὲν ἄρτι καὶ Ἀχαιοί, ἀλλ’ ἀμυντικῶς, Ἀλέξανδρος δὲ ἐπιξενωθεὶς μὰψ ἥρπασεν. Ἀνάγοντες δὲ ἢ ἁπλῶς ἐκ λιμένος ἀναπλέοντες, ἢ καὶ ὅτι ἀνάπλους ὄντως ἐστὶν ὁ ἐκ Πελοποννήσου πλοῦς εἰς τὴν Τροίαν, ὡς καὶ ἐν ἄλλοις ἐρρέθη, διὰ τὸν τοῦ Ἑλλησπόντου κατάρρουν. (v. 628 s.) Τὸ δὲ «νῦν αὖτ’ ἐν νηυσὶ μενεαίνετε πῦρ βαλεῖν» ἡ αἰτία ἐστί, δι’ ἣν οὕτω τῶν Τρώων ὁ ἐνηὴς Μενέλαος καταφέρεται, δηλοῦσα καὶ ὡς πάντῃ ἀδίκως θρασύνονται, εἰ μετὰ τὴν ἁρπαγὴν καὶ τὴν εἰς ξένιον Δία παραιβασίαν εἶτα καὶ οὕτω θαρροῦσι κατὰ τῶν ζητούντων τὰ οἰκεῖα. ὃ καὶ δυσχερὲς εἶναι δηλῶν φησι «κτεῖναι δ’ ἥρωας Ἀχαιούς» μεγαλοφρόνως εἰπὼν τοῦτο, ὡς μὴ εὐχερὲς ὂν τοὺς ἥρωας οὕτω ῥᾷον πεσεῖν ὑπὸ Τρωσί. (v. 630) Διὸ ἐπάγει «ἀλλά ποθι σχήσεσθε Ἄρηος», ὃ καὶ αὐτὸ ἀγαθῆς ἐλπίδος ἐστὶ προβολή. Ἐνταῦθα δὲ καὶ πῦρ ὀλοὸν πρὸς ἀντιδιαστολὴν εἴρηται τοῦ ἐν γάμοις καὶ θυσίαις καὶ πυρσοῖς καὶ δόρποις. αὐτὰ μὲν γὰρ σωτήρια, τὸ δ’ ἐκ τῶν Τρώων ὀλέθριον. Ἥρωας δὲ Ἀχαιούς, ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη, τοὺς ὅλους Ἕλληνας λέγει, ἀποσεμνύνων αὐτοὺς διὰ τὸ ὑπὲρ ἀγαθοῦ μάχεσθαι. (v. 631) Ἐν δὲ τῷ «Ζεῦ πάτερ» καὶ ἑξῆς, φρονιμώτατον καὶ αἴτιον πάντων τὸ θεῖον δοξάζει. Τὸ δὲ «φασὶ περὶ φρένας» καὶ ἑξῆς, μίγμα ἐστὶν ἐννοίας σεμνῆς καὶ τραχείας. σεμνολογεῖ μὲν γὰρ τὰ περὶ θεοῦ, αἰτιᾶται δὲ αὐτὸν ὡς ὑβρισταῖς, εἰ καὶ μὴ πᾶσιν, ἀλλά γε τοῖς Τρωσὶ χαριζόμενον.

3.528 Εἰ δὲ ἐνδοιαστικὸν ὂν τὸ φασίν ἐνδοιαστικῶς προάγει τὴν σεμνὴν ἔννοιαν, ἔστιν εἰπεῖν ὡς οὐ μόνον πολιτικώτερον ὁ λόγος οὕτως ἐσχημάτισται, ἀλλὰ καὶ βαρυνομένην ψυχὴν ὑποδηλοῖ. δυνατὸν δὲ καὶ ἄλλως τὸ φασί μὴ ἐνδοιασμὸν ἔχειν, ἀλλὰ κοινὴν δόξαν δηλοῦν τοῦ τοιοῦτον εἶναι τὸ θεῖον. Ἰστέον δὲ καὶ ὅτι τὸ «περὶ φρένας ἔμμεναι ἄλλων», καὶ «σέο δ’ ἐκ τάδε πάντα πέλονται» οἰκεῖά εἰσι λεχθῆναι καὶ πρὸς συνετὸν καὶ πολυδύναμον ἄρχοντα. Τὸ δὲ «περὶ φρένας» εἶχεν εἰπεῖν καὶ περὶ φρεσίν, κατὰ τὸ «οἱ περὶ μὲν βουλῇ Δαναῶν ἐστε». (v. 633 s.) Ὑβριστὰς δὲ τοὺς Τρῶας καλεῖ, ὡς καὶ λάγνους, καθὰ ἐδήλωσεν ἡ τῆς Ἑλένης ἁρπαγή, καὶ

λώβης δὲ καὶ αἴσχεος οὐκ ἐπιδευεῖς, καὶ ὡς μένος αἰὲν ἀτάσθαλον ἔχοντας. ἔνθα καὶ ὅρα τὸ αἰέν, ψεκτὸν ὂν ὁμοίως τῷ «αἰεὶ γάρ τοι ἔρις φίλη». Δοκεῖ δὲ καὶ ὁρίζεσθαι τοὺς ὑβριστὰς ἐνταῦθα ὁ ποιητής, ἵνα εἶεν ὑβρισταί, ὧν μένος αἰὲν ἀτάσθαλον. (v. 634 s.) Τὸ δὲ «οὐδὲ δύνανται φυλόπιδος κορέσασθαι» ἐπίτασίς ἐστι τοῦ «ἀκόρητοι ἀϋτῆς». οὐ γὰρ ἁπλῶς ἀκόρητοι, ἀλλὰ μηδὲ δυνάμενοι κορέσασθαι, εἰ καὶ θέλουσιν. ὥσπερ γὰρ ὁ ἀγαθὸς ἑτεροῖος εἶναι ῥᾷον οὐκ ἔχει, «ἐπεὶ μάθεν ἔμμεναι ἐσθλός», οὕτω καὶ ὁ αἰεὶ ἀτάσθαλος οὐ δύναται μὴ τοιοῦτος εἶναι. εἴποι δ᾽ ἄν τις καὶ ὡς ἐπὶ ἀψύχων τινῶν εἰρῆσθαι τὸν λόγον, ὅμοιον ὡς καὶ εἴ τις εἴποι μὴ δύνασθαι τὴν θάλασσαν κορέσασθαι γλυκέος ὕδατος ἢ τὸ πῦρ ὕλης, ἣν δαπανᾷ, ἢ τὸν πολεμικὸν σίδηρον αἵματος. Ὅρα δὲ καὶ τὸ «φυλόπιδος» οὐκ ἀπολύτως ῥηθέν, ἀλλὰ μετὰ προσθήκης φυλόπιδος πολέμοιο. νοητέον οὖν ἐντεῦθεν, ὡς τοιοῦτόν τι καὶ ἡ βοὴ καὶ ἡ ἀϋτή. οὐδὲ γὰρ αὐτὰ τὴν μάχην αὐτόθεν δηλοῖ ἀνελλιπῶς, ἀλλὰ μετὰ προσθήκης, ἵνα εἶεν «βοὴ μάχης» καὶ «ἀϋτὴ πολέμου». Σημείωσαι δὲ ὅτι κορέσασθαι μὲν λέγει ὁ ποιητής, τὸ δὲ ἐξ αὐτοῦ σύνθετον οὐ λέγει ἀκόρεστος, ἀλλὰ ἀκόρητος, ἐκ τοῦ κορῶ κορήσω. καὶ μὴν οὐδὲ τὸ ἀκόρεστος εἰς οὐδὲν τῷ μέτρῳ λυμαίνεται, φιλεῖ δὲ ὅμως Ὅμηρος [μὴ] οὕτω φράσαι. Ἰστέον δὲ καὶ ὅτι Ἀττικοὶ ἀκόρητόν φασι τὸ ἀκαλλώπιστον καὶ ἀφιλοκάλητον, ὡς δηλοῖ καὶ ὁ Κωμικὸς ἐν τῷ «βίον ἀκόρητον εἰκῇ κείμενον». [Τοῦ δὲ τοιούτου ἀκορήτου θέμα τὸ κορῶ, ἐξ οὗ ἐκκορεῖν Ἑλλάδα ἡ Κωμῳδία λέγει τὸ ἐκκενοῦν καὶ καθαίρειν, ὡς εἰ καὶ ἐσαροῦτο κατὰ τὰς φιλοκαλουμένας οἰκίας.

3.529 ] (v. 636) Τὸ δὲ «πάντων μὲν κόρος» καὶ ἑξῆς, πεπόρισται τῷ (132) ποιητῇ ἐκ τοῦ «οὐδὲ δύνανται φυλόπιδος κορέσασθαι». (v. 637) Ἀμύμονα δὲ ὀρχηθμὸν λέγει διαστέλλων τῆς φαύλης ὀρχήσεως. ἐκείνης γὰρ οὐδὲ προσάψασθαί τις ὅλως ἕλοιτο σωφρονῶν, ἣν καὶ Πρίαμος διαβάλλει ὀνειδίζων τοὺς παῖδας ὡς ψεύστας τε καὶ ὀρχηστάς. [Εἰκὸς δὲ καὶ ἐν τῷ καθόλου ἀμύμονα λεχθῆναι τὸν ὀρχηθμόν. εἰ γὰρ καὶ μὴ γλυκερός ἐστι κατὰ τὴν μολπήν, ἀλλ᾽ οὖν ἄψογος τοῖς ὀρχουμένοις, οἷα αἱρετὸς ὤν, εἰ καὶ κόπον ἔχει.] Φασὶ δὲ τῆς ἐπαινετῆς ὀρχήσεως εὑρετὰς οἱ μὲν τὴν Ἀθηνᾶν, οἱ δὲ τοὺς Διοσκούρους, τῆς δὲ κωμικωτέρας καὶ σατυρικῆς τὸν Πᾶνα ἢ τὸν Διόνυσον. Ἰστέον δὲ ὅτι ἐπαινετῆς ὀρχήσεως εἴδη οὐ μόνον τὰ ἐν τοῖς περὶ Κουρήτων ἱστορηθέντα, ἀλλὰ καὶ τὸ τραγικόν, ὃ περισπούδαστον ἦν τοῖς Τραγῳδοῖς, ὡς παροιμιακῶς δηλοῖ καὶ τὸ «σχῆμα καὶ τριώβολον». Φρύνιχον γάρ, φασί, τὸν τραγῳδιοποιὸν οὕτω σπουδάσαι περὶ τραγικὴν ὄρχησιν, ὥστε τῷ καινὸν σχῆμα εὑρόντι διδόναι τριώβολον. καὶ οὕτω μέν τινες τὴν παροιμίαν συνεβίβασαν ταύτην. Οἴδαμεν δὲ ἐκ τῶν Ἰαμβλίχου καὶ ὅτι ἀπὸ Πυθαγόρου εἴληπται αὕτη, ὃς μαθητῇ δεξιῷ μέν, ὀκνηρῷ δὲ εἰς μάθησιν, καθ᾽ ἕκαστον μαθηματικὸν σχῆμα τριώβολον ἐδίδου, ἐξωνούμενος οὕτω τὴν τοῦ παιδευομένου μάθησιν. [Ἰστέον δὲ ὅτι τε ἀναλόγως τῷ εἰρημένῳ τριωβόλῳ κεῖται παρὰ τοῖς παλαιοῖς καὶ τετρώβολον, στρατιωτικός τις μισθός. Ὡς δὲ ταὐτόν ποτε ἦν ὀβελὸς καὶ ὀβολός, δηλοῖ καὶ ὁ ὀβελίας ἄρτος, ὃν εὗρε, φασί, Διόνυσος, λεγόμενον οὕτως, ἐπεὶ ὀβολοῦ ἐπιπράσκετο, κατὰ δὲ ἄλλους, ὡς ἐν ὀβελίσκοις ὀπτώμενος.] (v. 638) Τὸ δὲ εἶναι ἐν τῷ «ἐξ ἔρον εἶναι» κανονίζεται μὲν ἀπὸ τοῦ ἕω καὶ ἕημι, τὸ πληρῶ, ἐξ οὗ καὶ τὸ «ἐξ ἔρον ἕντο», καὶ δασύνεται ὡς καὶ τὸ ἕντο, σημαίνει δὲ τὸ κορεσθῆναι καὶ ἐκπλῆσαι τὸν τοῦ κόρου ἔρωτα. ἔστι δὲ καὶ παρὰ τῷ Κωμικῷ μετὰ πνεύματος δασέος τὸ εἶναι, δηλοῖ δὲ ἐκεῖ τὸ ἀφεῖναι καὶ πέμψαι. Τὸ δὲ «ὧν τις καὶ μᾶλλον ἐέλδεται ἔρον ἐκπλῆσαι» τεχνικὴν ἔχει θεωρίαν, ὡς τοῦ ποιητοῦ ἑρμηνεύοντος, ὅτι ἐκ τοῦ μᾶλλόν ἐστι νῦν ἡ ἐπιχείρησις. εἰ γὰρ τῶν ἐφετῶν ἐστι κόρος, πολλῷ πλέον τοὺς Τρῶας ἐχρῆν πολέμου ταχὺ κορέννυσθαι, οὗπερ οὐδεὶς ἐφίεται. καὶ ἄλλως δέ, ὁ λόγος ἐνδείκνυται εἶναί τινα ἐφετά, ὧν οὐκ ἂν εὔξαιτό τις κόρον σχεῖν, ὁποῖόν τι καὶ ἡ σπουδαία γνῶσις τοῖς ἀγαθοῖς.

3.530 Τὸ δὲ «ἐέλδεται» καὶ ἡ τούτου ὅλη ῥηματικὴ κίνησις πάσχει ἔστιν οὗ ἀφαίρεσιν τοῦ ἀρκτικοῦ ε , ὡς πολλαχοῦ ἔστιν εὑρεῖν. (v. 640 s.) Ὅτι συλῆσαι ἔντεα κἀνταῦθα τὸ σκυλεῦσαι. Φησὶ γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«ἔντε' ἀπὸ χροὸς αἱματόεντα συλήσας». Πόθεν δὲ τὸ σκυλεῦσαι, δηλοῦται παρὰ τοῖς παλαιοῖς, ὅπου ἀδέψητον βοέην φησὶν ἡ ποίησις. ἔνθα, ὡς ἐν ὀλιγίστῳ εἰπεῖν, σκῦλον τὸ δέρμα λέγεται, ἀφ' οὗ ἴσως καὶ σκυλεύειν, κυρίως τὸ ἐν πολέμῳ βύρσας, ὅ ἐστι βοείας ἀσπίδας, λαμβάνειν, ἐξ οὗ ὡς ἀπὸ μέρους καὶ ἐπὶ πάσης πολεμικῆς σκευῆς τὸ σκυλεύειν ἐλέχθη. [Οὗπερ ἡ ἀναλογία κατὰ τὸ ξύλον ξυλεύω, ἀφ' οὗ καὶ ἡ ξυλεία, ὡς δηλοῖ ὁ γράψας τὸ «πεντήκοντα πλοίων πεντηρικῶν ξυλεία».] Δοκεῖ δὲ Αἰολικὸν εἶναι τὸ σκῦλον, ὡς φαίνεται ἀπὸ ῥητορικοῦ Λεξικοῦ, ἐν ᾧ κεῖται καὶ ὅτι ἀποσκολύπτειν τὸ ἀφαιρεῖν τὸ δέρμα, ὅθεν καὶ τὸ σκυλεύειν μεταφορικῶς. Τὰ δὲ αἱματόεντα ἔντεα βροτόεντα λέγει ἀλλαχοῦ διὰ τὸν ἐκ τοῦ αἵματος βρότον. (v. 643) Ὅτι εὐμενής μὲν τὸ παρὰ τοῖς ὕστερον κύριον, περιᾴδεται δὲ ἐκεῖνος, φυλάσσει τὸν τόνον τοῦ ἐπιθέτου καινότερον, ὡς δοκεῖ τοῖς παλαιοῖς, ὁ δὲ παρ' Ὁμήρῳ Πυλαιμένης, οὗ ἡ παραγωγὴ ὁμοία, [ὡς ἐρρέθη,] τῷ μεσαιπόλιος, βαρύνεται πρὸς διαστολὴν ἐπιθέτου, ἵνα μή τις ἴσως νοήσῃ τὸν ἐν Πύλαις μένοντα. (v. 644 s.) Τούτου υἱὸς Ἁρπαλίων, ὅς, φησί, «πατρὶ φίλῳ ἕσπετο πολεμίζων ἐς Τροίην, οὐδ' αὖτις ἀφίκετο πατρίδα γαῖαν». ὃ δή ποτε λεχθείη ἂν περὶ ὁμοίου παιδὸς μὴ νοστήσαντος. (v. 646 s.) Ὅτι ἀγεννῆ τρῶσιν δηλοῖ τὸ «μέσον σάκος οὔτασε δουρὶ ἐγγύθεν, οὐδὲ διαπρὸ δυνήσατο χαλκὸν ἐλάσαι». Ἁρπαλίων δέ, ὁ ῥηθεὶς προσεχῶς, οὕτως οὔτασεν. Ἔστι δὲ διαπρὸ χαλκὸν ἐλάσαι τὸ διασχεῖν τὰ φορούμενα ὅπλα ὡς καὶ εἰς βάθος πλῆξαι. (v. 648 s.) Δειλοῦ δὲ ἀνδρὸς ὑπογραφὴ τὸ «ἐχάζετο πάντοσε παπταίνων, μή τις χρόα χαλκῷ ἐπαύρῃ». Ἔνθα ὅρα ὅτι τὸ σιδήρῳ πλῆξαι συμβολικῶς καὶ ἀστείως ὁ ποιητὴς χρόα χαλκῷ ἐπαυρεῖν ἔφη, τουτέστιν ἀπολαῦσαι καὶ γεύσασθαι χροὸς διὰ χαλκοῦ, ὡς εἴπερ ἔμψυχος ὢν ὁ χαλκὸς ἀπήλαυε.

3.531 τούτου δὲ θεραπεία ὅτι καὶ ξίφους στόμα λέγομεν, διόπερ ὁ δάκνων μὲν ὀδοῦσιν ἀπολαύει καὶ στόματι, ὁ δὲ τιτρώσκων τινὰ σιδήρῳ ἐπαυρίσκεται τοῦ βαλλομένου χροός. (v. 651 s.) Ὅτι δηλῶν ὁ ποιητὴς ἀντικεῖσθαι γλουτῷ κύστιν[, περὶ ὧν ἀλλαχοῦ εἴρηται,] φησὶν «ἔβαλε γλουτὸν κατὰ δεξιόν· ὀϊστὸς δὲ ἀντικρὺ κατὰ κύστιν ὑπ' ὀστέον ἐξεπέρησεν». (v. 653—5) Ὁ αὐτὸς δὲ Ἁρπαλίων τοῦτο φεύγων ἔπαθεν, ὃς αὐτίκα ἑζόμενος κατ' αὖθι φίλων ἐν χερσὶν ἑταίρων θυμὸν ἀποπνείων, ὥς τε σκώληξ ἐπὶ γαίῃ κεῖτο ταθείς. Καὶ ὅρα τὸ ταπεινὸν τῆς παραβολῆς. δηλοῖ γὰρ οὐδὲν εὐγενὲς τοῦ πεσόντος. οὐ γὰρ σφαδάζει, οὐ βέβρυχεν, οὐ διαπεταννύει χεῖρας, οὐ παντὶ μετώπῳ γῆν τύπτει, οὐ γαῖαν εἷλεν ἀγοστῷ, ἀλλὰ παρεθεὶς σκώληκος δίκην ταθεὶς κεῖται, οὗ κἄν τις θίγῃ, ἀκινητίζει, οὐ μὴν ὡς ὅτε δρῦς ἢ ἀχερωῒς ἢ πίτυς βλωθρὴ τανυσθείς. Φαίνεται δὲ καὶ σφηκώδης ὁ Ἁρπαλίων οὗτος εἶναι καὶ ἀλιπὴς καὶ τετανός, τοῦτο γὰρ ὑποβάλλει νοεῖν ἡ τοῦ σκώληκος παραβολή. (v. 655) Οὗπερ ἄλλως διαστέλλων τὸν κείμενόν φησιν «ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν», ὡς τοῦ σκώληκος ἀναίμονος ὄντος. Δῆλον δὲ ὡς ταπεινοτέρα ἡ τοιαύτη παραβολὴ πάνυ καὶ τῆς ἀλλαχοῦ κατὰ τὴν μήκωνα. οὐ γὰρ οὕτως ἀγεννὴς ὁ πρὸς ἐκείνην παραβληθεὶς ὡς ὁ εἰκασθεὶς πρὸς σκώληκα. [Ἐν τούτοις δὲ σημείωσαι, ὅτι Ὁμήρου κατὰ τὴν εἰρημένην ἔννοιαν πεποιηκότος παραβολὴν ἀπὸ σκώληκος Ἀναξίλας ἄλλως μεταχειρισάμενος τὰ κατὰ τὸν σκώληκα ἔσκωψεν ἐντεῦθεν ἐκείνους, εἰπὼν ὅτι οἱ κόλακες τῶν ἐχόντων οὐσίας εἰσὶ σκώληκες. «εἰς οὖν ἄκακον ἀνθρώπου τρόπον εἰσδὺς ἕκαστος ἐσθίει καθήμενος, ἕως ἂν ὥσπερ πυρὸν ἀποδείξῃ κενόν. ἔπειθ' ὃ μὲν λέμμ' ἐστίν, ὃ δ' ἑτεροδακνεῖ». καὶ οὕτω μὲν αὐτός. Εὐφυὲς δὲ καὶ τὸ ἀπὸ κόλλης παρὰ τῷ Δειπνοσοφιστῇ σκῶμμα κατὰ κολάκων. Φησὶ γὰρ ὡς ἡ κολακεία ἔχει τὴν ἐπωνυμίαν ἀπὸ τοῦ προσκολλᾶσθαι ταῖς ὁμιλίαις. πάντα γὰρ ὑποδύεται ὡς δή τις ὑποστατικὸς νωταγωγῶν τῷ τῆς ψυχῆς ἤθει καὶ οὐ βαρυνόμενος. Ἔνθα ὅρα τὸ ὑποστατικός, χρήσιμον ὂν εἰς τὸ Ὁμηρικὸν «στεῦται», ἤγουν ὑπισχνεῖται, ὑπίσχεται, ὑφίσταται, δίκην δηλαδή τινος κίονος ὑπανίσχοντος τὸ ἐπικείμενον. Ὅρα δὲ καὶ τὸ προσκολλᾶσθαι, ἀφ' οὗ δοκεῖ παρῆχθαι ὁ κόλαξ. καὶ οὕτω μὲν καθεστάσθω καὶ ταῦτα.] (v. 656—8) Λέγει δ' ἐνταῦθα ὁ ποιητὴς [περὶ Ἁρπαλίωνος] καὶ ὅτι «τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν Παφλαγόνες μεγαλήτορες ἀμφεπένοντο», ὃ καὶ εἰς ἑτέρους παρῳδοῖτο ἄν ποτε ἀγαθοὺς συμμάχους, [καὶ εἴς τινας δὲ ἀλλοίους, καθὰ δηλωθήσεται κατωτέρω,] καὶ ὡς οἱ τοιοῦτοι ἑταῖροι αὐτὸν ἐς δίφρον ἀνέσαντες, ἤγουν ἀνακαθίσαντες καὶ ἀναθέντες, ἀπῆγον εἰς Τροίαν ἀχνύμενοι.

3.532 Οὐδένα δέ, φασί, τῶν ἀποθανόντων οὕτως ἐξάγει ὁ ποιητής. διὸ καὶ ἀθετοῦσί τινες τὸν στίχον, οὐκ εὖ ποιοῦντες. ἀφαιροῦνται γάρ, φασί, τοῦ ποιητοῦ τὸ κάλλιστον τῆς ποιήσεως, ἤγουν τὴν καινοτροπίαν τῆς πλάσεως καὶ τὸ ἀκμαῖον καὶ ποικίλον καὶ ἀνομοειδές. (v. 655) Τὸ μέντοι «δεῦε δὲ γαῖαν» παρέλκει, οὐκ ἀναγκαίως κείμενον διὰ μόνην ἀναπλήρωσιν στίχου καὶ συνήθη λόγου διασκευήν. (v. 658 s.) Ὅτι Ὁμήρου εἰπόντος, ὡς Πυλαιμένης ἀμφεπένετο καὶ αὐτὸς τὸν υἱὸν Ἁρπαλίωνα πεσόντα «δάκρυα λείβων, ποινὴ δ’ οὔ τις παιδὸς ἐγίνετο τεθνειῶτος», τινὲς Πυλαιμένεα νοήσαντες τὸν ἐν τῇ ε′ ῥαψῳδίᾳ πεφονευμένον ἀρχὸν Παφλαγόνων εἶπον ἐνταῦθα χρῆναι νοεῖν τὴν ψυχὴν τοῦ πατρὸς Πυλαιμένους τῷ υἱῷ ἕπεσθαι, οἷα μήπω ταφέντος καὶ διὰ τοῦτο ὑπὲρ γῆν ἔτι ὄντος κατὰ τὴν ἐν Ὀδυσσείᾳ Ἑλληνικὴν δόξαν, ἣν παραδηλοῖ καὶ ὁ παρὰ τῷ Εὐριπίδῃ Πολύδωρος. διὸ οὐδὲ ποινὴ παιδὸς ἐξ αὐτοῦ ἐγίνετο ἐπαμύναντος, οἷα μηδὲ ζῶντος. Ζηνόδοτος δὲ οὐ Πυλαιμένην, ἀλλὰ Κυλαιμένην γράφει τινά, τῇ λυθείσῃ λύσει μὴ ἀρεσκόμενος. Ἄλλοι δὲ ὁμωνυμίαν κἀνταῦθα αἰτιῶνται, ὡς ἑτέρου τούτου Πυλαιμένους ὄντος παρ’ ἐκεῖνον τὸν ἀναιρεθέντα, παρασημειούμενοι καὶ ἄλλας πολλὰς ὁμωνυμίας παρὰ τῷ ποιητῇ, οἷον Σχεδίους δύο, Εὐρυμέδοντας δύο, Ἀδράστους τρεῖς, Ὀφελέστας δύο, καὶ ἕτερα τοιαῦτα. Ἰστέον δὲ ὡς εἶχεν ὁ ποιητὴς λῦσαι τὸ ἀμφίβολον ἐν τῷ «υἱὸς Πυλαιμένεος βασιλῆος Ἁρπαλίων», εἰ προσέθηκε καὶ τίνων ἦν βασιλεύς, εἴτε Παφλαγόνων εἴτε καὶ ἑτέρων. τότε γὰρ ἦν ἂν δῆλον, εἴτε περὶ τοῦ Παφλαγονικοῦ Πυλαιμένους φησὶν εἴτε περὶ ἑτέρου τινός. (v. 656) Τὸ δὲ περὶ Παφλαγόνων ἔπος [τὸ «τὸν μὲν Παφλαγόνες μεγαλήτορες ἀμφεπένοντο», οὗ μνεῖα κεῖται καὶ ἀνωτέρω,] εἴποι τις ἂν ἀστείως καὶ ὅτε θόρυβός τινι γένηται ὑπὸ στωμύλων ἀνδρῶν, οἳ λόγοις παφλάζουσι, [λαβὼν ἀφορμὴν ἐκεῖνος ἐκ τοῦ Κωμικοῦ, ὃς τὸν Ἀττικὸν Κλέωνα ὡς κεκράκτην καὶ στωμύλον Παφλαγόνα ἔσκωψεν.

3.533 ] (v. 660—2) Ἔοικε δὲ καὶ ἐρωτικὸς ὁ Ἁρπαλίων εἶναι, διὸ καὶ ὁ Πάρις εὖ περὶ τὸν αὐτὸν εἶχε. «ξεῖνος γάρ οἱ ἔην», φησί, «πολέσιν μετὰ Παφλαγόνεσσιν». ὅθεν καὶ ἐπαμύνει αὐτῷ. «μάλα γάρ», φησί, «θυμὸν ἀποκταμένοιο χολώθη». (v. 663—70) Ὅτι ἦν τις «Εὐχήνωρ Πολυΐδου μάντιος υἱός, ἀφνειός τ’ ἀγαθός τε, Κορινθόθι οἰκία ναίων, ὅς ῥ’ εὖ εἰδὼς κῆρ’ ὀλοὴν ἐπὶ νηὸς ἔβαινε. πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύϊδος νούσῳ ὑπ’ ἀργαλέῃ φθίσθαι οἷς ἐν μεγάροισιν, ἢ μετ’ Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι. τῷ ῥ’ ἅμα τ’ ἀργαλέην θωὴν ἀλέεινεν Ἀχαιῶν νοῦσόν τε στυγερήν, ἵνα μὴ πάθῃ ἄλγεα θυμῷ». Καὶ ὅρα εἰς νόσου ψόγον, ὡς ὁ Εὐχήνωρ προτιμᾶται πολέμῳ πεσεῖν ἤπερ ὑπὸ νόσου τακῆναι καὶ δεινὰ ἐκεῖθεν παθεῖν, ἄλλως τε καὶ ἵνα μὴ θωὴν κατάθηται ζημιωθεὶς ἐπὶ ἀστρατίᾳ, ἀλλὰ δηλαδὴ μείνῃ ἀθῷος, ὃ γλισχρότητά τινα ὑποφαίνει καὶ κιμβικείαν ἤθους. ἐπαινετέοι δ’ ὅμως αὐτὸς μέν, ἐπεὶ τὸν θάνατον εἰδὼς ἦλθεν, ὁ δὲ πατήρ, ὅτι οὐκ ἐκώλυσε. (v. 669) Σημείωσαι δὲ ὅτι ἀρχαιότατον ἦν ζημιοῦσθαι τοὺς ἀστρατεύτους, καὶ οὐχ’ ἁπλῶς, ἀλλὰ ἀργαλέην θωήν, καὶ ὅτι οὐχ’ ὅμοιος τῷ Ἀχιλλεῖ ὁ Εὐχήνωρ, εἴγε καὶ αὐτὸς εἰδώς, ὡς θανεῖται, ἦλθεν εἰς Τροίαν, ἐκείνῳ μὲν γὰρ μὴ ἐλθόντι ζῆν ἦν ἐπὶ μακρόν, Εὐχήνορι δὲ τὰ τοῦ θανάτου ἄφυκτα κἂν οἴκοι ἔμεινεν. Ἐπιτυχῶς δὲ τὴν μὲν θωὴν ἀργαλέην εἶπεν ὡς ἁπλῶς ἐργώδη διὰ ζημίαν καὶ ἀτιμίαν, τὴν δὲ νόσον στυγερὰν διὰ τὸ θανάσιμον. παρὰ τὴν ἐν Ἅιδου γὰρ Στύγα γίνεται τὸ στυγερόν. (v. 663) Ὅρα δὲ ὅτι τε καὶ εἰς τὸ παρὸν διήγημα συνήθως εἰσέβαλεν ὁ ποιητὴς ἀπὸ ῥήματος ἀρξάμενος ὑπαρκτικοῦ «ἦν δέ τις Εὐχήνωρ», καὶ ὅτι τεχνικῶς ἀνέστρεψε καὶ τουτὶ τὸ διήγημα, προθεὶς μὲν τὸ ὕστερον τὸ «ὃς εὖ εἰδὼς κῆρα ἐπὶ νηὸς ἔβαινε», τὰ δὲ πρῶτα ὕστερα θείς, τὸ «πολλάκι γάρ οἱ ἔειπε γέρων» καὶ τὰ ἑξῆς. Ὅτι δὲ τὸ Πολύϊδος τὸν σοφὸν ἐπὶ μαντείᾳ δηλοῖ, γέγραπται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐ πρὸ πολλοῦ. διφορεῖται δὲ ἡ τούτου παραλήγουσα διὰ ἰῶτα μὲν μακροῦ γραφομένη παρὰ τὸ ἰδεῖν, διὰ διφθόγγου δὲ παρὰ τὸ εἶδος, ὃ δηλοῖ μαντικὴν ἐπιστήμην, ὡς προδεδήλωται. [(v. 664) Τὸ δὲ «ἀφνειός τ' ἀγαθός τε» δίδωσιν ἐφιστᾶν οὐκ ἀεὶ τῷ πλούτῳ ἐφέπεσθαι ἀρετήν, καθ' ἣν ἀγαθός τις λέγεται. Εἰ δέ ποτε τῷ πλούτῳ καθὰ κῦδος, οὕτω καὶ ἀρετὴ ὀπηδεῖ, τὸ Ἡσιόδειον, ἐπαινετὸς ἂν εἴη ἀνὴρ ἐκεῖνος ὁ ταῦτ' ἔχων, ὁποῖος καὶ ὁ Εὐχήνωρ ἐνταῦθα παραδίδοται ὁ ἐκ Κορίνθου. ἧς ἄλλα μὲν μυρία σεμνὰ περιᾴδεται, ὧν ἔνια καὶ ἐν τῷ Καταλόγῳ τῶν νεῶν ἔκκειται ἐν βραχεῖ, ὁ δὲ κατ' αὐτὴν οἶνος οὐ πάνυ τι εὐλογεῖται, οἷα σκληρός, φασί.

3.534 παράγεται οὖν Ἄλεξις γράφων οὕτω «οἶνος ξενικὸς παρῆν. ὁ γὰρ Κορίνθιος βασανισμός ἐστι». Ταύτης τῆς πόλεως περιώνυμος καὶ ὁ Ἀκροκόρινθος, ὃς ἤλεγξέ ποτε φιλόσοφον ὀφρὺν βρενθυομένην ἀτελεσφόρητα. Ἱστορεῖται γὰρ ὁ τοῦ Σωφρονίσκου φιλόσοφος ὁ καὶ δοξάσας καὶ διαμιλληθεὶς πρὸς Ζήνωνα, ὅτι ὁ σοφὸς πάντως ἂν εἴη καὶ στρατηγὸς ἀγαθός, πιστευθῆναι μὲν ὑπ' Ἀντιγόνου τὸν Ἀκροκόρινθον, καταστρατηγηθῆναι δὲ ὑπὸ τοῦ Σικυωνίου Ἀράτου.] (v. 663) Γενεαλογία δὲ τοῦ Εὐχήνορος αὕτη. Μελάμποδος υἱὸς ὁ ἐν Ὀδυσσείᾳ Μάντιος, οὗ Κλεῖτος, οὗ Κοίρανος, οὗ Πολύϊδος, οὗ Εὐχήνωρ καὶ Κλεῖτος, οἳ Θήβας ἑλόντες σὺν τοῖς Ἐπιγόνοις εἶτα εἰς Τροίαν ἔρχονται, καὶ θνήσκει μὲν Εὐχήνωρ ὑπ' Ἀλεξάνδρου. (v. 665) Σημείωσαι δὲ τὸ «εὖ εἰδὼς κῆρα». οὐ γὰρ ὥσπερ τόξων εὖ εἰδὼς καὶ πολέμων εὖ εἰδὼς κατὰ γενικὴν σύνταξιν, οὕτω καὶ νῦν. ἐκεῖνο μὲν γὰρ καὶ πάντα τὰ κατ' ἐκεῖνο ἐπιστήμην δηλοῦσι καὶ ἔχουσι τὸ εἰδώς κείμενον ἀντὶ τοῦ ἐπιστήμην ἔχων καὶ ὢν ἐπιστήμων, ἐνταῦθα δὲ ἡ σημασία οὐ τοιαύτη. οὐ γὰρ περὶ τέχνης καὶ ἐπιστήμης ὁ λόγος, ἀλλ' εἴδησις μόνη δηλοῦται ψιλή. Δῆλον δὲ ὅτι, ὥσπερ φῶ φωνή, ζῶ ζωή, ῥῶ ῥωή καὶ ἐρωή κατὰ πρόσληψιν συλλαβῆς, οὕτω καὶ θῶ θωή, ἡ κατατιθεμένη ζημία, ἣν ὁ μὴ πάσχων ἀθῷος λέγεται, ὅ τινες μὲν προπαροξύνουσι τῶν παλαιῶν, ἵνα ᾖ ὥσπερ φωνή ἄφωνος, οὕτω καὶ θωή ἄθῳος. ἕτεροι δὲ προπερισπῶσιν, ὡς καὶ ἡ συνήθεια κρατεῖ, κατὰ συνεκδρομὴν τοῦ Ἀθῴου Διός, ὅς ἐστιν ὁ ἐν τῷ Ἄθῳ ὄρει τιμώμενος.

3.535 οὗ ὁ τόνος ἀνάλογος. ὡς γὰρ Μίνως Μινῷος, ἥρως ἡρῷος, οὕτως Ἄθως Ἀθῷος. (v. 670) Τὸ δὲ «ἵνα μὴ πάθῃ ἄλγεα» μεγαλοψυχίαν τῷ Εὐχήνορι καὶ φιλοτιμίαν μαρτύρεται, εἴπερ τοῦ μὴ παθεῖν ἄλγεα [διὰ νόσου καὶ θωῆς] προέθετο τὴν εὐγενῆ τῆς ζωῆς ἀπόθεσιν. (v. 671) Ὅτι γνάθος καὶ γναθμός καὶ σιαγών καὶ γαμφηλή ταὐτά τινα κατὰ πολυωνυμίαν εἰσί. χρῆσις δὲ γναθμοῦ καὶ ἐνταῦθα ἐν τῷ «ἔβαλεν ὑπὸ γναθμοῖο καὶ οὔατος», ἤγουν κατωτέρω τούτων, «ὦκα δὲ θυμός» καὶ ἑξῆς. (v. 671 s.) Ἰστέον δὲ ὅτι τὸ «ὦκα δὲ θυμὸς ᾤχετ' ἀπὸ μελέων» καὶ ἑξῆς τὸ «στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν» ὀξύτητα θανάτου δηλοῖ, ὁποία τις γίνεται καὶ τοῖς ὑπὸ γναθμὸν καὶ οὖς βληθεῖσιν. Ὅρα δὲ ὡς καὶ νῦν ἀρσενικῶς ὁ σκότος ἐγράφη. οὕτω γὰρ οἶδεν Ὅμηρος, εἰ καὶ παρὰ τοῖς ὕστερον διφορεῖται, ὁμοίως τῷ ὁ ὄνειδος καὶ τὸ ὄνειδος. Σημείωσαι δὲ ὅτι κατὰ Παυσανίαν καὶ τὰς χρίσεις σκότη ἐκάλουν οἱ ζωγράφοι, ὅθεν ἀπεσκοτωμένα, φησί, τὰ ἐζωγραφημένα καὶ κεχρωσμένα ἐλέγετο. (v. 678) Ὅτι στρατηγοῦ ἔπαινος, ἔτι δὲ καὶ βοηθοῦ ἀγαθοῦ ἔν τε λόγοις ὀτρυντικοῖς καὶ ἔργοις τό· ὤτρυνε στρατὸν ἢ λαόν, «πρὸς δὲ σθένει αὐτὸς ἄμυνε». Περὶ Ποσειδῶνος δὲ ὁ λόγος, ὃς καὶ ὤτρυνε καὶ ἐνήργει, καθὰ καὶ ἐν Ὀδυσσείᾳ ἡ ἀνθρωπίνως φαινομένη Ἀθηνᾶ εὔχετο καὶ αὐτὴ πάντα τελεύτα. (v. 679—81) Ὅτι Ἕκτωρ εἶχε, τουτέστιν ἐπεῖχε, καὶ ἐπέμενεν ἐνστατικῶς ὅπου «τὰ πρῶτα πύλας καὶ τεῖχος ἐσᾶλτο», ἤγουν εἰσεπήδησε, «ῥηξάμενος Δαναῶν πυκινὰς στίχας ἀσπιστάων», οἷα δηλονότι ῥηξήνωρ, ἔνθα πρὸς τῷ τείχει Αἴαντός τε νέες καὶ Πρωτεσιλάου. Ἐπίτηδες δὲ τοιοῦτον τόπον ὁ ποιητὴς ἐπελέξατο, ὡς ἂν διὰ μὲν τὰς νῆας τοῦ Πρωτεσιλάου ἀκόσμως ἐχούσας, ὡς ἐστερημένας τοῦ ἀρχηγοῦ, ἀνδραγαθήσῃ ὁ Ἕκτωρ—ἔφθη γὰρ ἠδὴ πάλαι θανεῖν ὁ Πρωτεσίλαος—, διὰ δὲ τὸν γειτνιῶντα Αἴαντα μηδὲν ἀνύσῃ μέγα ὁ αὐτὸς Ἕκτωρ.

3.536 (v. 682 s.) Λέγει δὲ καὶ ὡς αὐτόθι τεῖχος ἐδέδμητο χθαμαλώτατον, ὡς καὶ τοῦ ἄλλου μὲν χθαμαλοῦ ἴσως ὄντος, τοῦ δὲ ἐκεῖ ὡς μάλιστα. τοῦτο δὲ ἴσως γέγονε διὰ τὸ τοὺς ἐγγὺς αὐτόθι

Αἴαντας ἀνδρείους εἶναι καὶ ἀντὶ ἀσφαλείας τείχους ἀρκεῖν. (v. 683 s.) Λέγει δὲ καὶ ὡς ἐκεῖ μάλιστα ζαχρηεῖς ἐγίνοντο, τουτέστι χρειώδεις ἢ μᾶλλον ἄγαν βαρεῖς, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, αὐτοί τε καὶ ἵπποι, διά τε τὴν τοῦ τείχους χθαμαλότητα καὶ διὰ τὸ ἀντιφιλοτιμεῖσθαι, ὡς εἰκός, πρὸς τοὺς Αἴαντας. Ἐν δὲ τῷ «αὐτοί τε καὶ ἵπποι» δύναται τὸ αὐτοί καὶ τοῖς Ἀχαιοῖς καὶ μάλιστα τοῖς Τρωσὶ συμβιβάζεσθαι, εἰ καὶ μὴ κεῖται φανερῶς Τρώων μνεία ἐν τοῖς ῥηθεῖσιν. (v. 685—7) Ὅτι μνησθεὶς ἐνταῦθα ὁ ποιητὴς διαφόρων ἐθνῶν, οἳ τὸν Ἕκτορα τοῦ τείχους ἀπεῖργον καὶ «σπουδῇ», φησίν, «ἐπαΐσσοντα νεῶν ἔχον», καὶ εἰπὼν «ἔνθα δέ», ἤγουν ἐνταῦθα δή, «Βοιωτοὶ καὶ Ἰάονες ἑλκεχίτωνες Λοκροὶ καὶ Φθῖοι καὶ φαιδιμόεντες Ἠπειοί», καὶ μέλλων ἰδίᾳ περὶ ἑκάστου αὐτῶν εἰπεῖν, ἵνα κατάλογον βραχὺν καὶ ἐνταῦθα ποικίλον ποιήσηται, καί τινας ἱστορίας παρεμβαλεῖ, καὶ οὕτω τὴν διηγηματικὴν ὑπτιότητα ἐκφύγῃ τῇ τοιαύτῃ ὑπαλλαγῇ, συνέχεε τὴν προεκθετικὴν τάξιν καὶ οὐκ ἐχρήσατο εὐτάκτως αὐτῇ, ὅπερ ἂν ποιήσῃ τις ὁπηνίκα στοχάζεται σαφηνείας, ἀλλὰ πρώτους μὲν ἔθετο τοὺς ἐν τῇ ἐκθέσει δευτέρους Ἰάονας, εἶτα διέβη εἰς τοὺς τελευταίους Ἐπειούς, ἀπὸ δὲ αὐτῶν εἰς τοὺς τετάρτους Φθίους ἀνέδραμεν, ὧν ἦρχον οὓς λέγει, εἶτα ἐμνήσθη ἐπ' ὀνόματος μόνου τῶν Βοιωτῶν ἐν τῷ εἰπεῖν, ὡς Φθῖοι μετὰ Βοιωτῶν ἐμάχοντο, τελευταῖον δὲ λαλεῖ περὶ Λοκρῶν. Καὶ σημείωσαι τὴν μετάταξιν, καὶ ὡς οὐκ ἀεὶ τῇ τῶν προεκθέσεων τάξει ἐξ ἀνάγκης ἐμμένομεν. τοῦτο δὲ ἢ διὰ μέτρου γίνεται ἀνάγκην ἢ δι' ἄλλο τι χρειῶδες. [Ὅρα δὲ ὡς καὶ τῶν ἐνταῦθα ὀλίγων ἐθνῶν προὔθηκε τοὺς Βοιωτούς, ὁποίῳ λόγῳ καὶ ἐν τῷ Καταλόγῳ τῶν νεῶν, περὶ ὧν, εἰ καὶ προεγράφη, ὅμως οὐ περιττὸν δηλῶσαι καὶ νῦν, ὅτι ἀνδρεῖοι μὲν τὸ ἔθνος καὶ εὐγενεῖς, εἶχον δέ τινα καὶ σκωπτόμενα. Καὶ ἡ μὲν Βοιωτία ὗς, ἡ παρὰ Πινδάρῳ, σιγάσθω νῦν. Ὡς δὲ καὶ ἐπολυφάγουν, καθὰ καὶ οἱ Θετταλοί, λεγέτω Εὔβουλος, παρ' ᾧ φησί τις Βοιωτός, ὅτι «πονεῖν ἄμμες καὶ φαγεῖν ἀνδρικοί», καὶ ἄλλος «κτίζω Βοιωτῶν πόλιν, ἀνδρῶν ἀρίστων ἐσθίειν δι' ἡμέρας», καὶ πάλιν «Θήβαζ' ἦλθον, οὗ τὴν νύχθ' ὅλην τήν θ' ἡμέραν δειπνοῦσιν».

3.537 Ἐρατοσθένης δὲ λέγει Πέμπελον ἄνδρα οὕτω καλούμενον, ἐρωτηθέντα τί αὐτῷ δοκοῦσιν εἶναι Βοιωτοί, εἰπεῖν «τί γὰρ ἄλλο ἢ τοιαῦτα ἐλάλουν, οἷα ἂν καὶ τὰ ἀγγεῖα φωνὴν λαβόντα, πόσον ἕκαστος χωρεῖ». Καὶ Πολύβιος δὲ ἱστορεῖ, ὅτι μετὰ τὰ Λευκτρικά, ἤγουν μετὰ τὴν ἐν Λεύκτροις μάχην, ἐν οἷς μεγάλην ἔλαβον δόξαν, ἀνέπεσον ταῖς ψυχαῖς καὶ ἐμέριζον συσσιτίοις τὸ πλέον τῆς οὐσίας καὶ πολλοῖς τῶν Βοιωτῶν ὑπῆρχε δειλινὰ τοῦ μηνὸς πλείω τῶν εἰς τὸν μῆνα διατεταγμένων ἡμερῶν. Ὅτι δὲ καὶ κατέπεσον ὕστερον ἧς εἶχον ἀνδρίας, δηλοῖ ὁ γράψας, ὅτι Βοιωτῶν τινες τῶν Ἀρναίαν κατοικησάντων παρέδωκαν ἑαυτοὺς Θετταλοῖς καθ' ὁμολογίαν, ἐφ' ᾧ οὔτε ἐξάξουσιν αὐτοὺς ἐκ τῆς χώρας οὔτε ἀποκτενοῦσιν, αὐτοὶ δέ, ἤγουν οἱ Βοιωτοί, τὴν χώραν αὐτοῖς ἐργαζόμενοι τὰς συντάξεις ἀποδώσουσι. καὶ ἐκλήθησαν τότε μὲν μενέσται, ὕστερον δὲ πενέσται, καὶ πολλοὶ τῶν κυρίων αὐτῶν εἰσιν εὐπορώτεροι. Ὅτι δὲ δουλικὰ ὀνόματα σὺν ἄλλοις οἱ μενέσται ἢ πενέσται, οἱ λάτρις, οἱ ἄζοι, οἱ ἑρκῖται, οἱ μνῷται, οἱ σίνδρωνες, οἱ Εἵλωτες, οἱ ἀφέται, οἱ νεοδαμώδεις, οἱ κλαρῶται, οἱ οἰκέται, δηλοῦται ἀλλαχοῦ σαφέστερον.] Ἰστέον δὲ ὅτι τε τὸ ἔνθα τρὶς ἐν τοῖς τόποις τούτοις κεῖται, ἤγουν δὶς μὲν ἐν καταρχῇ στίχων, ἅπαξ δὲ περί που τέλος, (v. 685) καὶ ὅτι τὸ Ἰάονες συστέλλει τὴν παραλήγουσαν διὰ τὴν τῆς προπαραληγούσης ἔκτασιν ὁμοίως τῷ Ἰάσονος καὶ ὅσα τοιαῦτα, καὶ ὅτι ἐνταῦθα οἱ μὲν τοὺς Ἰάονας ἄλλους εἶναί φασι παρὰ τοὺς Ἴωνας, καί εἰσιν αὐτοὶ ἐν Πελοποννήσῳ. καὶ δῆλον, φασίν, ἐξ ἐπιγράμματος, ὃ περὶ στήλην τινὰ γέγραπται εἰς τόπου διορισμόν, ἐπὶ θάτερα μὲν ἔχον οὕτω «τάδ' οὐ Πελοπόννησος ἀλλ' Ἰάονες», ἑτέρωθεν δὲ «τάδ' ἐστὶ Πελοπόννησος, οὐκ Ἰάονες». (v. 689) Ἕτεροι δὲ Ἰάονας τοὺς Ἀθηναίους νοοῦσιν, ἐξ αὐτοῦ Ὁμήρου ἐντεῦθεν λαβόντες ἀφορμάς, εἰπόντος «οἳ μὲν Ἀθηναίων προλελεγμένοι», οὓς δηλαδὴ ἀνωτέρω Ἰάονας ἑλκεχίτωνας εἶπεν, Ἀθηναίων οὐ μνησθεὶς ἐν τῇ ἐκθέσει πρὸς ὄνομα. μέχρι γάρ, φασί, τῆς Περικλέους στρατηγίας ποδήρεις εἶχον χιτῶνας, φοροῦντες καὶ τέττιγας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λέγει δ' ἐνταῦθα καὶ ὁ Γεωγράφος ἑλκεχίτωνας παρὰ τὸ ἐφέλκεσθαι τοὺς πέπλους, ὡς ζήλου τινός, φησίν, ὄντος τοῖς Ἕλλησι θηλυστολεῖν, ὅθεν καὶ Κουρῆτες, οἷα στελλόμενοι ὡς αἱ κόραι. Ἕτεροι μέντοι ἑλκεχίτωνας εἶπον τοὺς ἕλκος ποιοῦντας ἐν τοῖς τῶν πολεμίων χιτῶσιν, ὡς ἀπὸ τοῦ ἑλκῶ περισπωμένου ῥήματος. Ἡ δὲ διάλυσις τοῦ Ἰάονες Βοιωτῶν, φασίν, ἐστίν.

3.538 (v. 686) Ὅτι δὲ Φθιῶται μὲν οἱ ὑπ' Ἀχιλλεῖ, Φθῖοι δὲ οἱ ὑπὸ Πρωτεσιλάῳ καὶ Φιλοκτήτῃ, καὶ περὶ Βοιωτῶν δὲ καὶ Λοκρῶν καὶ Ἐπειῶν προϊστόρηται. Ὡς δὲ καθάπερ ὁ δῖος καὶ ὁ Χῖος, οὕτω καὶ ὁ Φθῖος ἐκτείνει τὸ παραλῆγον δίχρονον διὰ κρᾶσιν, δηλοῖ τὸ «Λοκροὶ καὶ Φθῖοι» καὶ ἑξῆς. ἔνθα ἡ τῶν Φθίων παραλήγουσα μετὰ τοῦ και συνδέσμου σπονδεῖον ἀποτελεῖ. Τὸ δὲ «φαιδιμόεντες» ἢ παράγωγόν ἐστιν ἐκ τοῦ φαίδιμος ἢ σύνθετον κατά τινας ἐκ τοῦ φαίδιμα ἔχειν ἔντεα, ὅ ἐστι λαμπρὰν πανοπλίαν. (v. 687) Τὸ δὲ «σπουδῇ» οἰκείως ἔχει καὶ πρὸς τὸ «ἐπαΐσσοντα», ἵνα λέγῃ τὸν Ἕκτορα κατὰ σπουδὴν ὁρμᾶν, καὶ πρὸς τὸ «ἔχον», ἵνα νοῇ ὅτι σπουδῇ ἐκώλυον οἱ ἀριστεῖς τὸν Ἕκτορα. Καὶ τὸ «νεῶν» δὲ διχῇ βαίνει πρός τε τὸ «ἐπαΐσσοντα» καὶ πρὸς τὸ «ἔχον». νοεῖται γὰρ καί, ὡς ὁ Ἕκτωρ σπουδῇ ἐπαΐσσει κατὰ νηῶν, καὶ ὡς οἱ Ἀχαιοὶ ἐκ τῶν νηῶν ἐπεῖχον τὸν Ἕκτορα. οὐκ ἀσπουδεὶ μέντοι οὐδὲ ταῦτα πάντα γίνονται. τούτου γὰρ δηλωτικὸν τὸ «σπουδῇ» καὶ τὰ ἑξῆς. (v. 687 s.) Ἐν τούτοις δὲ καὶ τὸν Ἕκτορα κατὰ σύντομον παραβολὴν φλογὶ εἰκάζει διὰ τὸ μὴ δύνασθαι τοὺς τοσούτους περιγενέσθαι αὐτοῦ. Φησὶ γὰρ «οὐδὲ δύναντο ὦσαι ἀπὸ σφείων φλογὶ ἴκελον Ἕκτορα δῖον». [(v. 689) Οἱ δὲ Ἀθηναῖοι ὅτι καὶ Ἴωνες ἐκαλοῦντο, καὶ Ἰάονες δέ, ὡς προεγράφη, καὶ Ἀττικοὶ καὶ Ἀκταῖοι δέ, ἐπεὶ καὶ ἡ χώρα Ἀκτὴ καὶ Ἀκταία, δῆλόν ἐστι. Ψέγονται δὲ ὡς ἅπασι χαλεποί, καθὰ αἱ ἱστορίαι δηλοῦσιν. Ἴδιον γάρ, φασίν, οἷον αὐτοῖς φθονεῖν, προπηλακίζειν, ἐξοστρακίζειν, θανατοῦν, καὶ μάλιστα τοὺς ἀρίστους, καὶ μαρτυροῦσι τῷ λόγῳ Ἀριστείδης, Σωκράτης, Ἀλκιβιάδης, καὶ ἕτερος μυρίος ὁρμαθός. Ἔπαινος δὲ τῆς τῶν Ἀθηναίων χώρας ἐν τοῖς τοῦ Ἀθηναίου τοιοῦτος «ὄψει χειμῶνος μέσου σικύους, βότρυς, ὀπώραν, στεφάνους ἴων, κονιορτὸν ἐκτυφλοῦντα, ὥστ' οὐκέτ' οὐδεὶς οἶδε πηνίκ' ἐστὶ τοῦ 'νιαυτοῦ». εἶτά τινος εἰπόντος, ὅτι «μέγιστον ἀγαθόν εἴπερ ἔστι δι' ἐνιαυτοῦ ὅτου τις ἐπιθυμεῖ λαβεῖν», ἀντιτίθησί τις, ὡς «κακὸν μὲν οὖν μέγιστον, εἰ μὴ γὰρ ἦν, οὐκ ἂν ἐπεθύμουν οὐδ' ἂν ἐδαπανῶντο».

3.539 Ὅτι δὲ περιᾳδόμεναι ἦσαν ἐν τοῖς Ἀθήνησιν ἀγαθοῖς καὶ ἰσχάδες αἱ ἐκεῖθεν, ἄλλοθέν τε δηλοῦται, καὶ ἐκ τοῦ «εἰσέβαινον ἰσχάδες, τὸ παράσημον τῶν Ἀττικῶν».] Τὸ δὲ «προλελεγμένοι» ἀντὶ τοῦ ἐπιλέγδην προτεταγμένοι ὡς πρωτοστάται, εἰ καὶ ἐν τῇ προεκθέσει δεύτεροι κεῖνται. τοῦτο δὲ διὰ τὸ ὑπὸ βασιλεῖ τῷ Μενεσθεῖ τετάχθαι, ὃς ἄριστος τάξαι μάχην ἐν τῇ Βοιωτίᾳ μεμαρτύρηται. (v. 691 s.) Ἰστέον δὲ καὶ ὅτι ἐν τοῖς ῥηθεῖσι κεῖνται ὀνόματα δύο τριβράχεα στρατηγῶν, οἱ δέ εἰσι Στιχίος Ἀθηναῖος καὶ Δρακίος Ἐπειός (v. 693), καὶ ὅτι ἐν τῷ «πρὸ Φθίων μενεπτόλεμος Ποδάρκης», ὃ καὶ αὐτὸ ἐν τοῖς εἰρημένοις κεῖται, οὐ πάνυ μὲν δῆλον, ποῖον κύριον καὶ ποῖον ἐπίθετον. ἀστεία δὲ ἡ τῶν ὀνομάτων παράθεσις διὰ τὸ ἐσχηματίσθαι πως ἀντιθετικῶς. ἐμφαίνει γὰρ ὡς ἄλλως μὲν ποδώκης ἦν ὁ ῥηθεὶς τῶν Φθίων ἡγεμών, ἐν μέντοι τῇ μάχῃ μόνιμος καὶ στάσιμος, [υἱὸς ὢν Ἰφίκλου τοῦ Φυλακίδαο, οὗ μνεία τῷ ποιητῇ καὶ ἐν ἄλλοις.] Ἱστορεῖ δ' ἐνταῦθα καὶ Μέδοντα πρὸ Φθίων τετάχθαι, νόθον Ὀϊλείδην, τέσσαρσιν ἔπεσιν ἐμπεριγράψας αὐτόν, ἃ καὶ ἐν τῇ ἑξῆς ἀπαραποιήτως κεῖνται ῥαψῳδίᾳ, ὡς ἐκεῖ φανεῖται. [Ἔγνωσται γὰρ ὡς οὐ φείδεται ὁ ποιητὴς οὐδὲ αἰδεῖται καιρίως ταὐτολογῶν. (v. 693—7) Κεφάλαιον δὲ τῶν τεσσάρων στίχων, ὅτι Λοκρὸς ὢν ὁ ῥηθεὶς Μέδων, νόθος υἱὸς Ὀϊλῆος θείοιο, ᾤκει ἐν Φυλάκῃ φυγὼν τὴν πατρίδα διὰ φόνον ἀνδρός, ὃς ἦν γνωτός, ἤγουν ἀδελφός, μητρυιῆς Ἐριώπιδος, ἣν εἶχεν Ὀϊλεύς. Ἔνθα ὅρα τὸ Ἐριῶπις κύριον ταὐτοσήμαντον ὂν τῷ βοῶπις, οὐκ ἀπεοικὸς δὲ οὐδὲ τοῦ Εὐρώπη κυρίου ὀνόματος.] (v. 701—8) Ὅτι ὁ Λοκρὸς Αἴας «οὐκέτι πάμπαν», τουτέστιν οὐδ' ὅλως, «ἵστατο ἀπ' Αἴαντος Τελαμωνίου οὐδ' ἠβαιόν, ἀλλ' ὥς τ' ἐν νειῷ βόε οἴνοπε πηκτὸν ἄροτρον ἶσον θυμὸν ἔχοντε τιταίνετον, ἀμφὶ

δ’ ἄρα σφι πρυμνοῖσιν κεράεσσι πολὺς ἀνακηκίει ἱδρώς. τὼ μέν τε ζυγὸν οἶον ἐΰξοον ἀμφὶς ἐέργει, ἱεμένω κατὰ ὦλκα, τέμνει δέ τε τέλσον ἀρούρης, ὣς τὼ παρβεβαῶτε μάλ’ ἕστασαν ἀλλήλοις». Καὶ ὅρα τὸ συμφερτὸν τῆς ἀρετῆς ὡς ἐν ἄλλοις, οὕτω καὶ ἐν τῇ κατὰ τοὺς Αἴαντας ὁμαιχμίᾳ, καὶ ὡς μετὰ μεγάλων κατὰ Σοφοκλῆν καὶ βαιοὶ ἄριστ’ ἂν ὀρθοῖντο. Αἰτία δὲ τῆς τοιαύτης τῶν Αἰάντων, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, συμπνοίας οὐ μόνον ἡ κατὰ τὴν ὁμωνυμίαν συνοχή, ἀλλὰ καὶ μάλιστα τὸ ψιλοὺς εἶναι τοὺς Λοκροὺς καὶ δεῖσθαι τοῦ τῶν Σαλαμινίων προβλήματος. (v. 713—8) «Οὐ γάρ σφιν σταδίῃ», φησίν, «ὑσμίνῃ μίμνε φίλον κῆρ. οὐ γὰρ ἔχον κόρυθας χαλκήρεας ἱπποδασείας, οὐδ’ ἔχον ἀσπίδας εὐκύκλους καὶ μείλινα δοῦρα, ἀλλ’ ἄρα τόξοισι καὶ ἐϋστρόφῳ οἰὸς ἀώτῳ Ἴλιον εἰς ἅμ’ ἕποντο πεποιθότες.

3.540 οἷσιν ἔπειτα ταρφέα βάλλοντες Τρώων ῥήγνυντο φάλαγγας», προβαλλόμενοι τοὺς ὁπλίτας Σαλαμινίους. (v. 719—22) «Οἳ μὲν γὰρ πρόσθε σὺν ἔντεσι», φησί, «δαιδαλέοισι μάρναντο Τρωσίν τε καὶ Ἕκτορι. οἳ δ’ ὄπιθε βάλλοντες ἐλάνθανον, οὐδέ τι χάρμης Τρῶες μιμνήσκοντο, συνεκλόνεον γὰρ ὀϊστοί», οὓς ἀφίεσαν οἱ Λοκροί. τούτοις δὲ συνεπινοητέον κατὰ σχῆμα συλλήψεως, ὡς καὶ λίθοι συνεκλόνουν τοὺς Τρῶας οἱ ἐκ τῶν σφενδονητῶν. ἐΰστροφον γὰρ οἰὸς ἄωτον ἡ σφενδόνη, ὡς καὶ προδεδήλωται. (v. 709—12) Λέγει δ’ ἐν τούτοις ὁ ποιητὴς καί, ὅτι τῷ μεγάλῳ μὲν Αἴαντι «πολλοί τε καὶ ἐσθλοὶ λαοὶ ἕπονθ’ ἕταροι, οἵ οἱ σάκος ἐξεδέχοντο, ὁππότε μιν κάματός τε καὶ ἱδρῶς γούναθ’ ἵκηται», τῷ δὲ μικρῷ οὐχ’ ἕποντο Λοκροί. προλελεγμένοι μὲν γὰρ κἀνταῦθα πρωτοστατοῦσιν οἱ Σαλαμίνιοι, ὄπισθεν δ’ αὐτῶν ἦσαν οἱ Λοκροί. Ὅρα δὲ τὴν ῥηθεῖσαν παραβολὴν κατὰ πολλὰ τῷ παραβαλλομένῳ ἁρμόττουσαν, κατὰ τὸ «ἶσον θυμὸν ἔχειν», κατὰ τὸ σπουδαίως ἐνεργεῖν, ὥστε καὶ ἱδροῦν, καὶ κατὰ τὸ βραχὺ εἶναι τὸ εἶργον αὐτοὺς ἀπ’ ἀλλήλων. γοργότερον δὲ εἰπεῖν, πρὸς τρία ἡ παραβολή, πρὸς ὁμοψυχίαν τῶν δύο ἡρώων, πρὸς τὸ σύμπονον καὶ τὴν σύστασιν, εἰς ἣν καὶ συγκλείει τὴν παραβολήν. (v. 702) Τῶν δὲ τῆς παραβολῆς τὸ μὲν «ἵστατ’ ἀπ’ Αἴαντος» ἀντὶ τοῦ ἀφίστατο τοῦ Αἴαντος. (v. 703) Νειὸς δὲ ἡ ἄρτι νεαζομένη γῆ, κατὰ δὲ τοὺς παλαιοὺς εἰπεῖν, ἀνανεουμένη. ἄλλως γάρ, εἰ προενεώθη, οὐκ ἂν οὕτως ἱδροῖεν οἱ βόες. Οἴνοπες δὲ βόες οἱ οἰνώδεις ἰδεῖν καὶ διὰ τοῦτο μέλανες, καθότι καὶ πόντον οἴνοπά φαμεν τὸν μέλανα. Πηκτὸν δὲ καὶ νῦν λέγει ἄροτρον ὡς τὸ αὐτόγυον, οἷα εἰκός, οὐκ εἰδώς, ἢ καὶ ὡς τὸ εὐποριστότερον λέγων, ἴσως δὲ καὶ τὸ πρωτοπαγὲς ἢ μᾶλλον εὐπαγές. (v. 704) Τὸ δὲ «ἶσον θυμὸν ἔχοντες», εἰ καὶ ἐπὶ βοῶν ἐρρέθη, ὅμως οὐκ ἀπέοικε τοῦ ἕνα θυμὸν ἔχοντες, ὃ φθάσας εἶπεν ἐπὶ ἀνδρῶν. ὡς ἐκ μεταφορᾶς δὲ σταθμοῦ ἔφη τὸ «ἶσον θυμόν». ἄλλως μέντοι ὅμοιον ἐχρῆν θυμὸν κατὰ κυριολεξίαν εἰπεῖν. Τὸ δὲ «τιταίνετον» κεῖται μὲν ἀντὶ τοῦ ἕλκουσι, δηλοῖ δὲ συντονίαν ἑλκυσμοῦ. (v. 705) Ἐν δὲ τῷ «πρυμνοῖς κεράεσσιν ἀνακηκίει ἱδρώς» ἢ τοὺς πολλαχοῦ γῆς κεραελκέας δηλοῖ ταύρους, οἷς διὰ τὸν περὶ κεφαλὴν κάματον ἱδροῦσι τὰ ἐκεῖ, ἢ καὶ ἄλλως παραδηλοῖ, φασίν, ὅτι συμπαθεῖ τοῖς ποσὶ τὰ κέρατα τῇ διατάσει τῶν νευρῶν. διὸ μετὰ κάματον ἤλειφον αὐτὰ κηρῷ ἢ ἐλαίῳ ἢ πίσσῃ.

3.541 Πρυμνὰ δὲ κέρατα αἱ ῥίζαι τῶν κεράτων, οὐ δήπου γὰρ τὰ ἄνω ἱδροῖ. Τὸ δὲ ἀνακηκίειν, ὃ ἀλλαχοῦ ἐπὶ αἵματος ἔφη, δηλοῦν ἁπλῶς τὸ ἀναδίδοσθαι καὶ ἔξω περὶ τὸν χροῦν ἐπιπολάζειν, παρὰ τὸ κίειν γίνεται, ἵνα ᾖ ἀνακίειν, καὶ διπλασιασμῷ ἀνακακίειν, καὶ τροπῇ ἀνακηκίειν. ἐκ τούτου δὲ καὶ ἡ κηκὶς παρὰ Σοφοκλεῖ, ὁμωνυμοῦσα κηκίδι τῇ κατὰ τὸν Γεώργιον εἰς τὸ τεχνικὸν συντελούσῃ μέλαν, ἣν κηκίδιον ἡ κοινολεξία καλεῖ. (v. 706) Τὸ δὲ ζυγὸν οὐδετέρως κἀνταῦθα εἴρηται κατὰ γένους μεταπλασμόν. Ἰστέον δὲ ὡς πολλαχῶς ὁ ζυγός, διὸ καὶ τὰ ἀπ’ αὐτοῦ διάφορα. ζυγὸς γὰρ ἵππων, ὅθεν καὶ ἵππος ζύγιος, ζυγὸς βοῶν καὶ τοιούτων τινῶν, ἀφ’ οὗ τροπικῶς οἱ ὁμόζυγοι [καὶ τὸ διαζύγιον] καὶ τὸ ζυγομαχεῖν, ὅ ἐστιν ἀντερίζειν. ζυγὸς ἐπὶ σταθμοῦ, καθ’ ὃν [ζυγοστατοῦντες] λέγονται ἀδικεῖν τινες ἐν ζυγοῖς. ζυγὸς ἐπὶ νηός, ἐξ οὗ ζύγιοι ἐρέται. ἔστι καὶ σανδαλίου ζυγὸς κατὰ Παυσανίαν τὸ συνέχον τοὺς δακτύλους, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κιβωτοῦ δέ, ὡς δηλοῖ τὸ ζύγαστρον, ἡ ξυλίνη σορός, παρὰ τὸ ἐζυγῶσθαι οἷον κοίλῳ ζυγάστρῳ, ἐξ οὗ παρέφθαρται τὸ κοινολεκτούμενον σίγιστρον. καὶ θύρας δὲ ζυγὸς ὁ μοχλός, ὅθεν τὸ ἐπιζυγῶσαι θύρας. Παυσανίας δὲ οὕτω φησί· ζυγώσω ἀντὶ τοῦ καθέξω, δαμάσω. Τὸ δὲ «ζυγὸν οἷον», ἤγουν μόνον, ἐπισημασία ἐστὶ τῆς, ὡς εἴρηται, βραχυτάτης τῶν ἡρώων διαστάσεως, ἧς χάριν ἡ παραβολή. (v. 707) Τὸ δὲ «ὦλκα» ἐκ τοῦ ἄλοκα γίνεται κατὰ μετάθεσιν, εἶτα καὶ κρᾶσιν τοῦ α καὶ ο εἰς ω μέγα.

3.542 εὐθεῖα δὲ αὐτοῦ ἀπαθὴς ἡ ἄλοξ ἀπὸ τοῦ ἀλέγειν, ὅ ἐστι φροντίζειν, γινομένη. φροντὶς γὰρ γῆς καὶ μάλιστα τοῖς γεωπείναις. Δῆλον δ' ὡς ἡ ἄλοξ μεταθετικῶς κραθεῖσα εἰς τὸ ὦλξ περισπᾶται ἀναγκαίως διὰ τὴν τῆς ὀξείας καὶ βαρείας εἰς περίκλασμα σύνοδον. χρῆσις δὲ αὐτῆς καὶ ἐν Ὀδυσσείᾳ. Τέλσον δὲ ἀρούρης, ὡς καὶ ἀλλαχοῦ κεῖται, ἢ ἁπλῶς τὸ τέλος ἢ τὸ κατ' ἐπιφάνειαν πέρας. Γίνεται δὲ κατὰ μετάθεσιν ἐκ τοῦ τέλος προσλήψει εὐθὺς καὶ τοῦ νῦ. οὐ γὰρ ἦν τέλσο εἰπεῖν, ἐπεὶ μηδὲν ὄνομα οὐδέτερον εἰς ο λήγει. τὸ γὰρ ἄλλο καὶ ἐκεῖνο καὶ τὰ τοιαῦτα οὐκ ὀνόματά εἰσιν ἀλλ' ἀντωνυμίαι. (v. 708) Παραβαίνειν δὲ μάλ' ἀλλήλοις τὸ ἐγγὺς βαίνειν, ταὐτὸν δ' εἰπεῖν, ἄγχιστα ἑστάναι, ἐξ οὗ καὶ ὁ ἐφ' ἅρματος παραιβάτης γίνεται. (v. 709 s.) Τὸ δὲ «πολλοί τε καὶ ἐσθλοὶ λαοὶ ἕποντο», ἕταροι δὲ ἦσαν οἱ τοιοῦτοι, πάνυ βαρὺ δηλοῖ τὸ Αἰάντειον εἶναι σάκος, εἴγε τοσοῦτοι καὶ τοιοῦτοι αὐτῷ ἦσαν ἐκδεχόμενοι τὸ σάκος ἄλλοτε ἄλλος μετὰ κάματον, ὃς ἥπτετο αὐτοῦ ὡς μὴ πάνυ φερεπονοῦντος εἰς τοσοῦτον βάρος, εἰ καὶ βουγάϊος ἦν, εἰπεῖν καθ' Ἕκτορα. Τὸ δὲ «οὔ» ἐπίρρημα τετράκις λεχθὲν ἐν τῷ «οὐδ' ἂρ Οἰληιάδῃ Λοκροὶ ἕποντο», καὶ «οὐ γάρ σφιν σταδίῃ» καὶ ἑξῆς, καὶ «οὐ γὰρ ἔχον κόρυθας», καὶ «οὐ γὰρ ἔχον ἀσπίδας» εὐειδῆ φράσιν ἀποτελεῖ, τετραχῆ κείμενον συναπτῶς ἐν στίχων καταρχαῖς. (v. 714 s.) Τὸ δέ γε «οὐ γὰρ ἔχον κόρυθας» «οὐδ' ἔχον ἀσπίδας» καὶ ἀλλοῖον ἔχει κάλλος, φρασθὲν ἐπαναφορικῶς κατὰ τὴν τοῦ «ἔχον» ἀναδιπλασίασιν. (v. 713) Ἐν δὲ τῷ «σταδίῃ ὑσμίνῃ» τελεία μὲν ἡ φράσις τῷ ποιητῇ. ἀλλαχοῦ γὰρ σταδίην μόνην εἶπεν ἐλλειπτικῶς. Δοκεῖ δὲ τὸ «ὑσμίνη» ἐκ τοῦ μίμνειν παρετυμολογεῖν, ὡς τοῖς παλαιοῖς ἀρέσκει.

3.543 ἀπὸ γὰρ τοῦ ὑπομένειν φασὶ τὴν ὑσμίνην γίνεσθαι, ὑπομίμνην τινὰ οὖσαν. ὡς δὲ καὶ παρὰ τὸ ὕω παράγεται, ἤγουν παρὰ τὸ ἐξ αἱμάτων ὕσμα, δῆλον. πάντως δὲ ὁ ἐν ὑσμίνῃ μίμνων μενεδήϊός ἐστι καὶ μενέχαρμος καὶ μενεπτόλεμος. (v. 717) Τὸ δὲ «Ἴλιον εἰς ἅμα ἕποντο», ὅ ἐστιν εἰς Ἴλιον, ταὐτὸν κατὰ σχῆμα ἀναστροφῆς πρὸς τὸ «σέο δ' ἐκ τάδε πάντα», ἤγουν ἐκ σοῦ. (v. 721) Τὸ δὲ «οἳ δ' ὄπιθεν» ἐκβολὴν καὶ νῦν ἔχει τοῦ ς . τὸ γὰρ φυσικὸν ὄπισθεν ἦν. (v. 725—8) Ὅτι Πολυδάμας μέλλων Ἕκτορι συμβουλεύσασθαί τι καὶ δεδιὼς μὴ πάλιν ἐκεῖνος ἐκτραχυνθῇ θρασὺς ὤν, ὡς κἀνταῦθα παρασημαίνεται ὁ ποιητὴς εἰπών, ὡς Πολυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς, μεθοδεύει τὸν λόγον οὕτω δεξιώτατα «Ἕκτορ, ἀμήχανός ἐσσι παραρρητοῖσι πιθέσθαι». διὰ τί; «οὕνεκά τοι», ἤγουν σοί, «περιδῶκε θεὸς πολεμήϊα ἔργα, τοὔνεκα καὶ βουλῇ ἐθέλεις περιέμμεναι ἄλλων», ἢ περιΐδμεναι. τοῦτο δὲ πρέπει πρὸς πάντα ἀνδρεῖον μέν, οὐ κατορθοῦντα δὲ τὰ εἰς φρόνησιν. Τινὲς μέντοι ἐλεγκτικώτερον ἐν ἐρωτήσει τοῦτο ἀναγινώσκουσιν, οἷον· ἆρά γε, διότι πάνυ ἀνδρεῖος εἶ, νομίζεις ἐπακολουθεῖν καὶ τὸ πάνυ φρονεῖν; Καὶ ὅρα ὅτι ἀνόητον μὲν αὐτὸν οὐ λέγει, τὴν ἀνδρίαν δὲ εἰς ψόγον αὐτῷ περιτρέπει, ὡς αἰτίαν εἶναι λέγων αὐτὴν τοῦ μὴ πείθεσθαι τοῖς ὀρθὰ λέγουσι. Σημείωσαι δὲ ὅτι καὶ ἐκολάκευσε Πολυδάμας ἐν τούτοις τὸν Ἕκτορα, θεοφιλῆ καὶ ἀνδρεῖον αὐτὸν ὑποθέμενος, ἐν οἷς εἶπεν, ὅτι θεὸς αὐτῷ περισσῶς ἔδωκεν ἀνδρείῳ εἶναι. Καὶ οὕτω ῥητορικῶς τραχύτητά τε συνεκέρασε καὶ γλυκύτητα, τραχύτητα μέν, οἷς ὠνείδισε, γλυκύτητα δὲ τῷ εἰς ἐκεῖνον ἐπαίνῳ. ἦν γὰρ ὁ λόγος, οὐχ' ὡς πάνυ ἀνδρεῖον, οὕτω καὶ πάνυ ἀγαθὸν βουλευτὴν αὐτὸν εἶναι. (v. 729—34) Εἶτα ἐπάγει γνωμικῶς «ἀλλ' οὔ πως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι. ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα, ἄλλῳ δ' ἐν στήθεσσι τιθεῖ», ἢ τίθει. «νόον ἐσθλόν. τοῦ δέ τε πολλοὶ ἐπαυρίσκονται ἄνθρωποι, καί τε πολεῖς ἐσάωσεν», ἤτοι πολλοὺς ἀνθρώπους ἢ καὶ ἄλλως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πόλεις ἐσάωσεν—ἀμφοτέρως γὰρ γράφεται—«μάλιστα δέ κ’ αὐτὸς ἀνέγνω». Καὶ σημείωσαι ὡς ἀνωτέρω ἐπαινέσας ἁπλῶς ἐπὶ ἀνδρίᾳ τὸν Ἕκτορα ὧδε προκρίνει τῆς ἀνδρίας τὴν φρόνησιν.

3.544 διὸ ἐκείνην μηδ’ ὅλως ἐπαινέσας τὴν φρόνησιν πάνυ ἐσέμνυνεν ὠφελιμωτάτην ἀποδείξας αὐτήν. (v. 735) Εἶτα τὴν τοῦ Ἕκτορος εἰσέτι θρασύτητα ὑφορώμενος οὐκ ἐπικρίνει ἀποφαντικῶς, ὅτι ἀγαθὰ ἐρεῖ, ἀλλ’ ἐνδοιάζων φησὶν «αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστον», ἢ ἄριστα. (v. 736—44) Ἐφ’ οἷς ἀπὸ τοῦ γαρ συνδέσμου συνήθως ἀρχόμενος ὡς ἰσοδυναμοῦντος τῷ ἐπειδή, καὶ τὴν αἰτίαν ἐμπεριβόλως προτάξας τῆς ἐπαχθησομένης συμβουλευτικῆς ἀξιώσεως, καὶ εἰπὼν «πάντη γάρ σε περὶ στέφανος πολέμοιο δέδηε, Τρῶες δὲ μεγάθυμοι ἐπεὶ κατὰ τεῖχος ἔβησαν, οἳ μὲν ἀφεστᾶσι σὺν τεύχεσιν, οἳ δὲ μάχονται παυρότεροι πλεόνεσσι κεδασθέντες κατὰ νῆας», ἐπάγει ἀξίωσιν ταύτην «ἀλλ’ ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους· ἔνθεν δ’ ἂν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλὴν ἤ κεν ἐνὶ νήεσσι πολυκλήϊσι πέσοιμεν, αἴ κ’ ἐθέλοι θεὸς δόμεναι κράτος, ἤ κεν ἔπειτα πὰρ νηῶν ἔλθοιμεν ἀπήμονες». (v. 744—7) Ἐφ’ οἷς παρρησιασάμενος τὸ κινδυνῶδες τῆς μάχης ἐμφῆναι—ἤδη γὰρ καὶ τῷ Ἕκτορι ἐπῆλθε γινώσκειν τοῦτο—φησὶν «ἦ γὰρ ἔγωγε δείδω μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοὶ χρεῖος, ἐπεὶ παρὰ νηυσὶν ἀνὴρ ἆτος πολέμοιο μίμνει, ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀΐω». Καὶ ὁ Ἕκτωρ ἐπὶ τούτοις, εἰ καὶ φθάσας ἐθρασύνθη κατὰ τοῦ Πολυδάμαντος, ἀλλὰ νῦν ἀναγκαίως αὐτῷ πείθεται. (v. 748) Φησὶ γὰρ ὁ ποιητὴς «ὣς φάτο Πουλυδάμας, ἅδε δ’ Ἕκτορι μῦθος ἀπήμων». Καὶ διδάσκει ἐντεῦθεν, ὡς δεῖ τοὺς ἐχέφρονας ἑαυτοὺς ἐνδιδόναι τοῖς καιροῖς. οὕτω καὶ Ἀγαμέμνων ἐν τῇ πρὸ τούτων Ἐπιπωλήσει μεμψάμενος καὶ ἐπιπλήξας Ὀδυσσεῖ καὶ Διομήδει ὕστερον ὀνειδιζόντων ἠνέσχετο αὐτῶν. (v. 730) Ἰστέον δὲ ὅτι ἐν τῷ «ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα» προσγράφει κατὰ τοὺς παλαιοὺς ὁ Μαλλώτης Ζηνόδοτος καὶ τοῦτον τὸν στίχον «ἄλλῳ δ’ ὀρχηστύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν». Δῆλον δ’ ὡς ἀχρειοῖ τὸ ἔπος τοῦτο τὴν Ὁμηρικὴν ἔννοιαν, ἧς ὁ σκοπὸς εἷς καὶ μόνος ἀνδρίαν συγκρῖναι φρονήσει, μᾶλλον δὲ τὸν ἀνδρεῖον Ἕκτορα τῷ σοφῷ Πολυδάμαντι. διὸ καὶ ὁ λόγος τρόπον τινὰ οὕτω προάγεται· ἄλλῳ μὲν δέδοται πολέμου ἔργα, οἷον σοὶ τῷ Ἕκτορι, ἄλλῳ δὲ νοῦς ἐσθλός, ὡς νῦν ἐμοὶ τῷ Πολυδάμαντι.

3.545 ἐκ περισσοῦ γοῦν ὁ ῥηθεὶς στίχος παρεντέθειται ὡς ἂν μερικαῖς ἐννοίαις ἐπιχειρηματικώτερον πυκνωθῇ ὁ τόπος οἷα ἐλλιπής. [Δῆλον δ’ ὅτι οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἀλλαχοῦ τῆς Ὁμηρικῆς ποιήσεως παρενθέσεις εὕρηνται στίχων, ὡς οἱ παλαιοὶ σημειοῦνται. ἐν ἄλλοις δὲ ἀνάπαλιν ἐξωθοῦνται ἀθετούμενοι, ὡς καὶ αὐτὸ παραδέδοται, οὗ ἕνεκα ὁ γραφικὸς ὀβελὸς ἐξεύρηται. Ταῦτα δὲ οὐκ ἐπὶ μόνου γίνεται Ὁμήρου, ἀλλὰ καὶ ἐπὶ ἑτέρων. παρὰ Σοφοκλεῖ γοῦν, ἵνα τὸ Ζηνοδότειον ὑποδειχθῇ, προστίθεται στίχος ἐν τῷ «τὰς γὰρ ἡδονὰς ὅταν προδῶσιν ἀνδρὸς οὐ τίθημ’ ἐγώ. πλούτει τε γὰρ κατ’ οἶκον, εἰ βούλει, μέγα» καὶ τὰ ἑξῆς. ἐν τούτοις γὰρ μετὰ τὸ «οὐ τίθημ’ ἐγώ» ἔχουσι τὰ ἀκριβῆ ἀντίγραφα τὸ «ζῆν τοῦτον, ἀλλ’ ἔμψυχον ἡγοῦμαι νεκρόν», ἵνα λέγῃ ὁ Τραγικὸς ὅτι, ὅταν πρόδοτος γένηταί τινι ἡ ἡδονή, οὐ τίθημι ἐγὼ ζῆν ἔτι τὸν ἄνδρα τοῦτον, ἀλλὰ ψεύδεσθαι τὴν ζωήν, οὐ σκιὰν ἀΐσσοντα οὐδὲ «ἀέρος κίνυγμα» ἤ τοιοῦτόν τι, ἀλλ’, εἰ καὶ σκληρὸν εἰπεῖν, νεκροζῶντα. ὃ δὴ ἀστειότερον τοῦ ἡμίζῳον καὶ τῶν ἄλλων ὅσα τοιαῦτα. ἔστι δὲ ἡ ῥηθεῖσα προσθήκη ἀναγκαιοτέρα πάνυ τῆς τοῦ Ζηνοδότου ὡς βελτιοῦσα διάνοιαν.] Ἔτι ἰστέον καὶ ὡς οὐ μόνον οἰκεῖον ἔθος ποιεῖ Ὅμηρος μνησθεὶς πάλιν Ἀχιλλέως, καθὰ μετ’ ὀλίγα καὶ τῆς Ἑλένης —φιλεῖ γὰρ μεμνῆσθαι καὶ αὐτῆς, εἰ καὶ μὴ καθάπερ τοῦ Ἀχιλλέως—, ἀλλὰ καὶ προαναφωνεῖ, ὡς μετ’ οὐ πολὺ τὸν Ἀχιλλέα εἰς μάχην ἐξεγερεῖ, οὗ μνήμην εἰωθὼς Ὅμηρος παρενσπείρειν τῇ Ἰλιάδι κατά τινα ποσὰ διαστήματα ἐντεῦθεν καὶ ἐπὶ τὰ ἑξῆς φιλοτιμήσεται μάλιστα συχνότερον μεμνῆσθαι αὐτοῦ.

3.546 Ἔτι σημείωσαι καὶ ὅτι πλάττει ὁ ποιητὴς τὸν Πολυδάμαντα συμβουλεύσαντα κληθῆναι πάντας τοὺς τῶν Τρώων ἀρίστους, ἵνα συναχθέντων εἰς μάχην ταχὺ οὕτω γένηται τὸ μέγα ἔργον, ἡ

ἑτεραλκὴς νίκη κατὰ τῶν Ἀχαιῶν, μεθ’ ἣν ἀναστήσεται τοῦ μηνίειν ὁ Ἀχιλλεύς. (v. 725) Πολυδάμας δὲ φερωνύμως ἢ κατ’ ἐνέργειαν ὁ πολλοὺς δαμάζων ἐν τῷ νικᾶν. [Ὁποίου δὴ λόγου καὶ ὁ πρὸ τούτων Χερσιδάμας καὶ ὁ Ἰφιδάμας, ἤδη δέ πως καὶ ὁ Ἀμφιδάμας, ἐν ᾧ ἀμφιδεξιότητος ἔμφασις, οὐχ’ ἥκιστα δὲ σὺν ἄλλοις καὶ ὁ Ἀστυδάμας, οὗ παροιμία ἐξώρμηται τὸ σαυτὸν ἐπαινεῖς ὥσπερ Ἀστυδάμας, ἔτι δὲ καὶ ὁ Λαοδάμας.] ἢ ὁ πολλὰ δαμασθείς, ὅ ἐστι πολλοῖς πράγμασιν ἐντριβής, οὗ καθ’ ἑτεροίαν ἔννοιαν ὁ Ἀδάμας, καὶ οὐ μόνον ὁ καὶ μετ’ ὀλίγα Ὁμηρικός, τὸ κύριον, ἀλλὰ καὶ ὁ παρὰ τοῖς ὕστερον ὁμώνυμος αὐτῷ λίθος, ἑτεροιούμενοι αὐτοὶ τοῦ ἀδμὴς βοῦς καὶ τῶν τοιούτων, ὑφ’ ὧν ἀλλοία τις ἔννοια δηλοῦται. (v. 726) Τὸ δὲ «ἀμήχανος» τί δηλοῖ, ἀλλαχοῦ ἐρρέθη. Τὸ δὲ «παραρρητοῖσιν» ἢ κατὰ γένος ἀρσενικὸν νοητέον, ἵνα λέγῃ ὡς οὐ θέλεις πείθεσθαι. τοῖς παραινοῦσιν, ἢ κατὰ οὐδέτερον ἀντὶ τοῦ οὐ πείθῃ παραμυθήμασι, παραιφάσεσιν, ὃ καὶ κάλλιον. ἀλλαχοῦ γὰρ παραρρητοὺς οὐ τοὺς παραινοῦντας εἶπεν ἀλλὰ τοὺς παραινουμένους. (v. 727) Τὸ δὲ «πολεμήϊα ἔργα» πλεονασμὸν ἀναντίρρητον ἔχει τοῦ η , καὶ οὐκ ἔστιν εἰπεῖν ὡς διάλυσις ἐνταῦθα διφθόγγου γέγονε, καθὰ ἐν τῷ ἀρήϊα καὶ τοῖς τοιούτοις. ὥστε καὶ ἐν τῷ «ξυνήϊα κείμενα πολλά» δυνατὸν τοιοῦτον εἶναι πλεονασμόν, καὶ οὐκ ἐξ ἀνάγκης ἐκ τοῦ ξυνόν ξύνειον διαλέλυται. τοιοῦτον δὲ καὶ τὸ ξεινήϊον, ὅ ἐστι ξένιον. (v. 729) Τὸ δὲ μὴ δύνασθαι αὐτόν τινα πάντα ἑλέσθαι παρεφράσθη μὲν ἐκ τοῦ «ἑκὼν δ’ οὐκ ἄν τις ἕλοιτο», ἔμπαλιν ἔχον πρὸς τὸ «εἰ δέ κε μὴ δώωσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι». εἴη δὲ ἂν ἶσον τῷ μὴ εἶναι πάντα τοῖς βροτοῖς αὐτάγρετα, ὅπερ ἀλλαχοῦ λέγει ὁ ποιητής.

3.547 (v. 731) Ὀρχηστὺν δὲ λέγοι ἂν τὴν ἐπαινουμένην, [ὁποία καὶ ἡ τῶν Περσῶν, περὶ ὧν ἱστορεῖται ὅτι Πέρσαι ὥσπερ ἱππεύειν, οὕτω καὶ ὀρχεῖσθαι ἐμάνθανον, νομίζοντες ἐντεῦθεν ἐμμελῆ τινὰ λαμβάνειν γυμνασίαν τῆς τοῦ σώματος ῥώμης. Λέγονται δὲ καὶ παρὰ βασιλεῖ Ἀντιόχῳ τῷ ἐπικληθέντι Μεγάλῳ ἐν τῷ δείπνῳ πρὸς ὅπλα ὀρχεῖσθαι οὐ μόνον οἱ βασιλέως φίλοι, ἀλλὰ καὶ αὐτὸς ὁ βασιλεύς. καὶ Πολυσπέρχων δέ, φασίν, οὐδενὸς Μακεδόνων δεύτερος οὔτε τὴν στρατηγίαν οὔτε τὴν ἀξίωσιν ὠρχεῖτο, καίτοι πρεσβύτερος ὤν. Ἦν δὲ πολεμικὴ ὄρχησις καὶ ἡ πυρρίχη, ἣν ἔνοπλοι παῖδες ὠρχοῦντο, κληθεῖσα ἀπὸ Πυρρίχου, ἀνδρὸς Λάκωνος, καὶ παραμείνασα μέχρι πολλοῦ ἐν Λακεδαίμονι, καλουμένη καὶ χειρονομία. Ὅτι δὲ καὶ ἀγεννεῖς ὀρχήσεις ἦσαν, ὁποία καὶ ἡ τῶν κωμικῶν, ἀλλαχοῦ δηλοῦται.] Κίθαριν δὲ τὴν κιθαρῳδικὴν ἐπιστήμην, ὥς που καὶ τόξον τὴν τοῦ τοξεύειν τέχνην. διὸ καὶ ἐπῆκται διὰ σαφήνειαν τὸ «καὶ ἀοιδήν». τοῦτο δὲ καὶ ἄλλως ἀκριβῶς ἐπῆκται διὰ τὸ μὴ πάντα τὸν ἔχοντα κίθαριν ἔχειν καὶ ἀοιδήν. (v. 732) Τὸ δὲ «τιθεῖ», ὅ ἐστι τίθησι, «νόον» ἀρχή ἐστι τοῦ λέγειν συνθέτως νουθετεῖν. εἰ δὲ καὶ βαρυτόνως τίθει γράφεται, σημαίνει μὲν τὸ αὐτό, εἴληπται δὲ χρόνος ἀντὶ χρόνου, ἀντὶ ἐνεστῶτος δηλαδὴ παρατατικός. [Τὸ δὲ «ἐν στήθεσσι τίθεσθαι νόον» ἐμφαντικόν ἐστι τοῦ ἐν καρδίᾳ εἶναι τὸ λογιστικόν.] Καλλοποιὸν δὲ σχῆμα τὸ «ἄλλῳ» τρὶς κείμενον ἐν ἀρχῇ στίχων ἐπαναφορικῶς, ὧν ἐν μέσῳ κεῖται καὶ τὸ «ἑτέρῳ» οὐκ Ἀττικῶς, ἀλλ’ ὡς ἁπλῶς ἰσοδυναμοῦν τῷ ἄλλῳ. (v. 732 s.) Τὸ δὲ «νόον ἐσθλόν» πρὸς διαστολὴν τοῦ μὴ τοιούτου νόου εἴρηται. Τὸ δὲ «τοῦ δέ τε πολλοὶ ἐπαυρίσκονται» παρόμοιόν ἐστι τῷ «πάντες ἐπαύρωνται βασιλῆος». παράγωγον δὲ τοῦ ἐπαυρεῖν τὸ ἐπαυρίσκειν κατὰ τὸ ῥυΐσκω καὶ ὅσα τοιαῦτα. (v. 734) Τὸ δὲ «ἀνέγνω» Ἴωνες μὲν καὶ ἐπὶ πειθοῦς τιθέασιν, ὡς δηλοῖ καὶ Ἡρόδοτος ἐν τῷ «ἀναγιγνώσκεις βασιλέα στρατεύεσθαι», ἤτοι ἀναπείθεις, Ὅμηρος δὲ νῦν ἀντὶ τοῦ ἔγνω, ᾔσθετο, ἐπαυρίσκων δηλαδὴ τοῦ καλοῦ.

3.548 Καὶ ἑτέρως δέ, τὸ ἀνέγνω ἀντὶ τοῦ γνῶσιν ἔσχε καὶ σοφίαν καὶ νόησιν, ἵνα εἴη ῥηθὲν ἀστείως πρὸς σύγκρισιν ἀνδρίας, ὡς αὐτῆς μὲν τὸ σεμνὸν ἐχούσης ἄλλως ἐν τῷ σῴζειν ἑτέρους—πρακτικὴ γάρ ἐστιν ἀρετή—, τῆς δὲ νοήσεως, κἂν μή τινας ἔχῃ σῴζειν, ὅμως καὶ οὕτως αὐτάρκως ἐχούσης διὰ τὸ αὐτῆς γνωστικόν. δοκεῖ δὲ καὶ μυκτῆρά τινα ἔχειν οὕτως ἡ ἔννοια,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μονονουχὶ λέγοντος τοῦ Πολυδάμαντος ὡς, κἂν μὴ πεισθείη ὁ Ἕκτωρ ἐπὶ σωτηρίᾳ τῶν Τρώων, ἀλλ’ αὐτὸς οὐδὲν ἧττον σοφός ἐστι βουλευτὴς καὶ γνωστικός, νοῦν ἔχων ἐσθλόν, οὗ ἐστερῆσθαι νῦν ὁ Ἕκτωρ δοκεῖ. Ἔτι καὶ ἄλλως, τὸ «μάλιστα αὐτὸς ἀνέγνω» οὐ μόνον ἀντὶ τοῦ μάλιστα ἔγνω αὐτὸς τὴν σωτηρίαν ὡς ἑαυτὸν πρὸ τῶν ἄλλων σῴζων, ἀλλὰ καὶ ἀντὶ τοῦ τῆς πρώτης ἐστὶ τάξεως τῶν ἀγαθῶν ἀνδρῶν, ὡς αὐτὸς μόνος ἄνωθεν γνοὺς τὸ ποιητέον καὶ τοῖς ἄλλοις εὖ εἰπών, εἴπερ ἐκεῖνος «πανάριστος, ὃς αὐτῷ πάντα νοήσει». (v. 736) Ὅρα δὲ καὶ ὅτι στέφανον μὲν ἐνταῦθα ἔφη ὁ ποιητὴς ὡς ἐπὶ κύκλου, ἀγωνιστικὸν δὲ οὐκ οἶδε στέφανον ἢ συμποτικόν, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. Τὸ δὲ «στέφανος δέδηεν» ἦν ἂν κακόζηλον, εἰ μὴ τὸ πολέμου προσέκειτο. στέφανος μὲν γὰρ ἁπλῶς οὐκ ἐκκαίεται, ὁ δὲ τῆς καυστειρᾶς δηΐδος εἰκότως ἂν οὕτω πάσχειν λέγοιτο. (v. 740) Σημείωσαι δὲ καὶ ὅτι ἀπὸ τοῦ γάρ, ὡς εἴρηται, ἀρξάμενος ἐν τῷ «πάντῃ γὰρ στέφανος πολέμοιο» ἀποδίδωσι τὴν ἔννοιαν ἐν τῷ «ἀλλ’ ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους», οἱονεὶ εἰπὼν ὡς, ἐπειδὴ πάντῃ σε ἡ μάχη κυκλοῖ, ἀλλ’ ἀναποδίσας ποίησον τόδε τι. καὶ ἔχει διχῶς ἐνταῦθα τὸ καινὸν ἡ φράσις, ὅτι τε ἤρξατο ἀπὸ τοῦ γαρ κατὰ σχῆμα περιβολῆς, καὶ ὅτι ἡ ἀπόδοσις ἔχει τὸν ἀλλα σύνδεσμον περιττόν. σύνηθες δὲ Ὁμήρῳ οὕτω καὶ ἐν Ὀδυσσείᾳ ποιεῖν. (v.

3.549 737) Τὸ δὲ «Τρῶες μεγάθυμοι», ἐπιστατικῶς εἴρηται διὰ τὸ τοιούτους εἶναι πάντας, οἳ παυρότεροι πλεόνεσσι γενναίως μάχονται. (v. 738) Τὸ δὲ «σὺν τεύχεσι» ῥᾷον εἶναι δηλοῖ ἀναμαχήσασθαι τοὺς Τρῶας ἐνόπλους ἑστῶτας καὶ ἑτοίμους πολεμεῖν. (v. 740 s.) Τὸ δὲ «κάλει ἐνθάδε πάντας» ἕως τοῦ «ἐπιφρασσαίμεθα βουλήν» χρήσιμον εἰς ἀγυρμὸν συγκλήτου. (v. 742 s.) Σημείωσαι δὲ καὶ ὅτι τὸ «ἐν νήεσσι πέσωμεν, εἰ θέλει θεὸς δοῦναι κράτος» ἀριδήλως ἐνταῦθα κεῖται ἀντὶ τοῦ ἐμπέσωμεν, ὅ ἐστι βιαίως ἐπεισπέσωμεν, ἐπελευσόμεθα. Μήποτε δὲ καὶ εἰς φήμην τοῦτο ἀπαίσιον παρέρριπται, ὡς ἐν χρησμοῦ λοξότητι καθ’ Ὁμηρικὴν δεξιότητα, ὡς τοῦ Πολυδάμαντος μὲν ἐπ’ ἀγαθῷ εἰπόντος, τῆς δὲ τύχης ἄλλως ἀποβησομένης, ὡς πολλῶν Τρώων ἐκεῖ πεσουμένων μετ’ ὀλίγα ὑπ’ Ἀχαιῶν. Οὕτω καὶ στρατηγός τις διὰ γεφύρας εἰς πολεμίαν γῆν ἐμβαλὼν καὶ ἐπιτάξας καταλῦσαι γέφυραν, ἵνα μή τις ἀποστραφῇ, ἐλάλησε μὲν εἰς καλόν, ἵνα μή τινες τῶν περὶ αὐτὸν δειλανδρήσαντες ἀναχωρήσωσι, τὸ δ’ ἄλλως ἀπέβη. πάντων γὰρ ἡττηθέντων οὐδεὶς ἐπανεστράφη. Καὶ ἔχει πάνυ πολλὴν ῥοπὴν εἰς τοιαύτην ἔννοιαν ὁ σχηματισμὸς τῆς ῥηθείσης φράσεως καὶ κατὰ τὸ «αἴ κ’ ἐθέλῃσι θεὸς δόμεναι κράτος» καὶ ἑξῆς. ἔνθα φανερῶς καὶ ἑτέρα κειμένη κρυπτὴ διπλόη ἀμφίβολον ποιεῖ, τίσι θεὸς δώσει κράτος, εἴτε Τρωσὶν εἴτε Ἀχαιοῖς, ὥσπερ ὕστερον καὶ παρὰ Κροίσῳ ἦν ἄδηλον τὸ καταλῦσαι μεγάλην ἀρχήν, εἴτε τὴν Περσικὴν εἴτε τὴν τῶν Λυδῶν. (v. 745) Τὸ δὲ «ἀποστήσωνται τὸ χθιζὸν χρέος» τινὲς μὲν γράφουσιν ἀποτίσωνται. οὐκ ἀρέσκονται δὲ οἱ σοφοί, ἀλλὰ θέλουσιν εἶναι ἀποστήσωνται ἀντὶ τοῦ ἀποσταθμήσωσιν, ἤγουν σταθμῷ ἀποδώσουσιν ἢ λήψονται, καὶ ὅπερ ἡμεῖς χθὲς νικῶντες ἐλάβομεν, αὐτοὶ σήμερον εἰσπράξωνται. Γίνεται δὲ ἡ λέξις παρὰ τὸ ἱστᾶν, τὸ ἐπὶ τοῦ ζυγοῦ λεγόμενον, ἐξ οὗ καὶ στατὴρ τὸ νόμισμα, καὶ μεταστῆσαι τὸ ἐν ἀλλαγῇ μετασταθμῆσαι. Ἰστέον δὲ ὡς ῥητορικὴ ἀλληγορία τὸ ῥηθέν ἐστιν. λέγει μὲν γὰρ ὡς περὶ σταθμιζομένου χρέους, αἰνίττεται δὲ ἀντισήκωσιν πράξεως. (v. 746) Τὸ δὲ πρωτότυπον χρέος, ἐξ οὗ τὸ χρεῖος, ὅτι καὶ ἐκτείνεται καὶ συστέλλεται, δηλοῖ ὁ οὕτω γράψας ἐν ῥητορικῷ Λεξικῷ· χρέως Ἀττικοὶ καὶ Ἴωνες, ὡς Πλάτων καὶ Δημοσθένης, διὰ τοῦ ω δηλαδὴ μεγάλου.

3.550 λέγουσι δέ, φησί, καὶ χρέος, ἐν συστολῇ δηλονότι. καὶ τοῦτο μέν, φησί, διαφέρουσαν ἔχει γενικήν, τοῦ χρέους γάρ, τὸ δὲ χρέως τὴν αὐτήν. τὰ σύνθετα δὲ μᾶλλον διὰ τοῦ ω · ὑπέρχρεως, ἀξιόχρεως. Ἐν δὲ τῷ «ἀνὴρ ἆτος», ὅ ἐστιν ἀκόρεστος, «πολέμοιο» ὅρα, ὡς ὤκνησεν ὁ Πολυδάμας εἰπεῖν τὸ τοῦ Ἀχιλλέως ὄνομα πρός τε θεραπείαν Ἕκτορος καὶ ὅτι μισεῖ καὶ αὐτὸς τὸν ἥρωα ὡς δεινὸν πολέμιον, [ἵνα κατὰ τὸ «εἴθε ἀπ’ οὔατος ἐμοὶ γένοιτο», ἤγουν μὴ ἀκουσθείη τόδε τι, οὕτω δοκοίη διανοεῖσθαι ὁ Πολυδάμας τὸ ἀπὸ στόματος ἐμοὶ ὁ Ἀχιλλεὺς

γένοιτο, ἤγουν εἴθε μηδὲ λαλοῖτο.] (v. 748) Τοῦ δὲ «ἅδεν», ἤγουν ἤρεσε, συστέλλεται μὲν ἡ παραλήγουσα, τὸ δὲ αὐτῆς πνεῦμα οὐ πάνυ δῆλον. δύναται γὰρ καὶ δασύνεσθαι ἀπὸ τοῦ ἥδω, ἵνα δηλοῖ τὸ ἡδὺς ἔδοξε, καὶ ψιλοῦσθαι δὲ ὡς ἀπὸ τοῦ ἀδεῖν, ὅ ἐστιν ἀρέσκειν. ἀμφοτέρως δὲ τὸ τοιοῦτον ῥῆμα δεύτερός ἐστιν ἐνεργητικὸς ἀόριστος. (v. 751—3) Ὅτι βοηθοῦ σπουδαίου λόγος πρὸς συστράτηγον τὰ τοῦ Ἕκτορος πρὸς τὸν Πολυδάμαντα, ἤγουν τὸ «σὺ μὲν αὐτοῦ ἐρύκακε πάντας ἀρίστους, αὐτὰρ ἐγὼ κεῖσε εἶμι καὶ ἀντιόω πολέμοιο, αἶψα δ’ ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω», ἤγουν ἐπιτάξω, ἐντείλωμαι, ὃ δὴ καὶ ἀλλαχοῦ κεῖται. [Ὡς δὲ καὶ παθητικῶς τὸ τοιοῦτον ῥῆμα λέγεται, δῆλον καὶ ἐκ τοῦ «ἐπετείλατο Παλλὰς Ἀθήνη».] (v. 754 s.) Ὅτι εἰπὼν ὁ ποιητής, ὡς ὁ Ἕκτωρ «ὡρμήθη ὄρεϊ νιφόεντι ἐοικώς, κεκληγώς», ἐπάγει «διὰ δὲ Τρώων πέτετο καὶ ἐπικούρων», δύο μίξας παραβολὰς οὕτω γοργῶς. Καὶ ὅρα ὡς ἐκ βαρυτάτου σώματος καὶ ἀκινήτου, τοῦ ὄρους δηλαδή, εἰς πτηνὸν μετεωρίζει τὸν Ἕκτορα διὰ τοῦ «πέτετο», ἐκεῖνο μὲν διὰ τὸ μέγεθος τοῦ ἥρωος καὶ τὸ ὑπερφαίνεσθαι τῶν λοιπῶν, τοῦτο δὲ διὰ τὸ ταχὺν εἰς μάχην εἶναι καὶ κοῦφον ὁπλίτην. ὅτε δέ γε ὄρει τὸν Ἕκτορα εἰκάσας οὐκ ἐπήγαγε τὸ πέτεσθαι, οὐ πάνυ σεμνὸς ἦν ὁ λόγος, ἀλλὰ νωθρείαν τινὰ ὑπέφαινε τοῦ ἀνδρός, καθὰ καὶ Ἕκτωρ ἐν τοῖς ἑξῆς βουγάϊον τὸν Αἴαντα εἰπὼν ἀργίαν ὀνειδίζει καὶ βραδυκινησίαν τῷ ἥρωϊ. Ὅρα δὲ καὶ ἄλλως τὴν τέχνην τοῦ ῥήτορος. οὐ γὰρ ἀμέσως ἐκ τοῦ ὄρους καταβὰς ἢ μεταβὰς πτεροῖ τὸν Ἕκτορα, ἀλλὰ διὰ μέσου τοῦ «κεκληγώς», ὃ ἐπὶ ὀρνέων κυριολεκτεῖται, ἀφ’ οὗ λαβὼν ἀφορμὴν ἐπήγαγε τὸ «ἐπέτετο». (v. 756) Ὅτι εἰ καὶ οἴδασιν αἱ ἱστορίαι Ἀγαπήνορά τινα ἥρωα, ἀλλ’ ἐνταῦθα ἐπίθετόν ἐστι Πολυδάμαντος.

3.551 Κεῖται δ’ ἐν τούτοις καὶ τὸ ἀνώλεθρος διὰ τοῦ ο μικροῦ κοινότερον, οὐ μὴν Ἀττικῶς. (v. 761) Φησὶ γὰρ «τοὺς δ’ εὗρεν οὐ πάμπαν ἀπήμονας οὐδ’ ἀνολέθρους». (v. 763) Λέγει δὲ ὁ ποιητὴς καὶ τὸ «ἔκειντο ψυχὰς ὀλέσαντες», ὡς οἷά τι κτῆμα, ὅ ἐστι θανόντες. ἀφ’ οὗ λαβὼν Εὐριπίδης ἔφη τὸ «Ἕκτορός τ’ ἀπόλλυται ψυχή». (v. 764) Ἐμφαίνει δὲ καὶ διαφορὰν συνήθη τοῦ βάλλειν καὶ οὐτάζειν εἰπὼν «ἐν τείχει ἔσαν βεβλημένοι οὐτάμενοί τε». (v. 765) Φησὶ δὲ καὶ τὴν μάχην δακρυόεσσαν μυθικώτερον κατὰ σῶμα, ὡς τοιαύτην καὶ πλαττομένην τῷ μύθῳ καὶ ζωγραφουμένην οἷα μὴ ἱλαράν, ἄλλως μέντοι ὡς δακρυοποιόν. (v. 766) Μέμνηται δὲ καὶ τῆς Ἑλένης, εἰπὼν «δῖον Ἀλέξανδρον, Ἑλένης πόσιν ἠϋκόμοιο». ἔνθα λέγουσι μὲν οἱ παλαιοὶ καὶ ἄλλα, προστιθέασι δὲ καὶ ὡς ὅμοιόν τί φησιν ὁ ποιητής, ὡς εἴπερ εἶπεν ὅτι ἤθελεν ἀνὴρ εἶναι αὐτῆς. Σημειοῦνται δὲ καὶ ὡς οὐδέποτε τὸν Μενέλαον πόσιν αὐτῆς ὁ Ὅμηρος ἐκάλεσε. (v. 767) Λέγει δὲ καὶ στρατηγικὸν ἔπαινον Ἀλεξάνδρου τὸ «θαρσύνοντα ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι». (v. 769) Ὅτι καὶ νῦν ὁ Ἕκτωρ τὸν Πάριν μεμφόμενος προσέφη αἰσχροῖς ἐπέεσσιν, εἰπὼν ὡς ἐν τῇ γʹ ῥαψῳδίᾳ «Δύσπαρι, εἶδος ἄριστε γυναιμανὲς ἠπεροπευτά». (v. 770—3) Εἶτα ἐρωτήσας, ποῦ Δηΐφοβος καὶ Ἕλενος καὶ Ἀσιάδης Ἀδάμας καὶ Ἄσιος, Ὑρτάκου υἱός, ποῦ δὲ Ὀθρυονεύς, ἐπάγει ἃ καὶ ἀλλαχοῦ κεῖνται «νῦν ὤλετο πᾶσα κατ’ ἄκρης Ἴλιος αἰπεινή, νῦν τοι σῶς αἰπὺς ὄλεθρος» ἤτοι τέλειος, ἀνελλιπής. Καὶ ὅρα οἷα λαλεῖ ὁ θυμός. πρῶτα μὲν γὰρ οὐκ ἤδη κἂν οἱ πέντε κεῖνται, ὤλετο ἡ Τροία, εἶτα καὶ μεμπτέος ὁ Ἕκτωρ ἐστίν, ὃς ἀναγκάσας διαβῆναι τὸ τεῖχος γέγονεν αὐτοῖς ἀπωλείας αἴτιος, εἰ καὶ νῦν ἑτέρῳ τὴν αἰτίαν προσάπτει, ὃ δυσκολαινόντων ἴδιον. καὶ μὴν εὗρε τὸν Πάριν θαρσύνοντα ἑτάρους, ὡς ἐρρέθη, καὶ εἰς μάχην ὀτρύνοντα. (v. 775) Διὸ καὶ ἐξελέγχει αὐτὸν ἐκεῖνος λέγων «ἐπεί σοι θυμὸς ἀναίτιον αἰτιάασθαι» καὶ τὰ ἑξῆς. ἔνθα σημείωσαι ὅτι οὐδὲ τὸ τοῦ Ἀχιλλέως ἦθος ἀνόμοιον πρὸς Ἕκτορα, εἴγε καὶ αὐτὸς τάχα κεν ἀναίτιον αἰτιόῳτο, ὡς προέγνωσται. (v. 768) Ἰστέον δὲ ὅτι τε τὸ προσέφη οὐδὲ ἐνταῦθα ἔχει παρακείμενον ὄνομα, καὶ μὴν πρὸ βραχέων ἔφη συνήθως «καί μιν φωνήσας ἔπεα προσηύδα», καὶ ἔτι πρὸ αὐτοῦ ἐν τῷ «θρασὺν Ἕκτορα εἶπε παραστάς».

3.552 ἔνθα οὐ συνήθως τῇ φράσει τῇ ὕστερον συντέτακται τὸ Ἕκτορα, οὔτε πρὸς τὸ εἶπεν οὔτε πρὸς τὸ παραστάς. οἱ γὰρ μεθ’ Ὅμηρον ἐν τούτοις δοτικὴν οἴδασι σύνταξιν. (v. 769) Καὶ ὅτι τὸ «εἶδος

ἄριστε» δεῖ κἀνταῦθα συνάπτειν πρὸς τὸ «γυναιμανὲς ἠπεροπευτά» καὶ ὑφὲν ἀναγινώσκειν, ἵνα λέγῃ· ὦ καλὲ ἐπὶ μοιχείᾳ καὶ ἀπάτῃ γυναικῶν. οὐ γὰρ αὐτὸ τὸ κάλλος ψεκτὸν καθ' αὑτό. ἐρεῖ γοῦν Ἀχιλλεὺς «οὐχ' ὁράᾳς οἷος κἀγὼ καλός τε μέγας τε». (v. 771) Τὸ δὲ Ὕρτακος πρὸ δύο συλλαβῶν ἔχει τὸν τόνον κανονικῶς. Τὰ γὰρ εἰς κος τρισύλλαβα τὴν πρώτην συλλαβὴν ἔχοντα λήγουσαν εἰς ἀμετάβολον προπαροξύνονται· Λάμψακος, Ὕρτακος, Ῥύνδακος, οἷον «Ῥύνδακον ἀμφὶ βαθύσχοινον». οὕτω ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου. Καὶ σκοπητέον, εἰ καλῶς ποιοῦσιν οἱ παρὰ Λυκόφρονι τὸ Ῥύνδακος ὀξύνοντες, [οὗ ποταμοῦ ὄντος φυλάττεται μέχρι καὶ νῦν τὸ ὄνομα.] (v. 772) Ἐν δὲ τῷ «κατ' ἄκρης» λείπειν τινές φασι τὸ πόλεως, ἵνα λέγῃ «κατ' ἄκρης πόλεως», ὡς καὶ ἐν Ὀδυσσείᾳ κῦμα τὸν Ὀδυσσέα ἤλασε κατ' ἄκρης, δηλαδὴ κεφαλῆς. Ἕτεροι δὲ ἀκούσαντές που Ὁμήρου εἰπόντος κρῆθεν ἀντὶ τοῦ κάρηθεν καὶ ἐκ κεφαλῆς, νοοῦσι καὶ ἐνταῦθα μονοσυλλάβως τὸ κρής, οἱονεὶ κατὰ κάρης, ὡς ἐκεῖθεν συγκοπέν, ἤγουν κατὰ κεφαλῆς. κεφαλὴ δὲ πόλεως ἡ ἀκρόπολις. τοῦτο δὲ οἱ ὕστερον κατάκρας φασίν, οἷον· ἑάλω κατάκρας. (v. 773) Ἐν δὲ τῷ «Ἴλιος αἰπεινή», καὶ «αἰπὺς ὄλεθρος» ἔστι τι παρηχητικόν. τοιοῦτον γὰρ τὸ αἰπεινή καὶ τὸ αἰπύς. ἔχει δέ τι καὶ ἀστεῖον ἡ ἔννοια αἰνιττομένου οἷον Ἕκτορος, ὡς φερωνύμως ἡ ἠνεμόεσσα Τροία ἔχει τὸ αἰπὺ διὰ τὸν μέλλοντα αἰπὺν ὄλεθρον. Δῆλον δὲ ὅτι τὸ «νῦν ὤλετο πᾶσα κατ' ἄκρης πόλις, νῦν τοι σῶς αἰπὺς ὄλεθρος» εἰς κινδυνώδη πολιορκίαν παρῳδηθήσεται. (v. 770) Τὸ δὲ «ποῦ τοι Δηΐφοβος, ποῦ δέ τοι Ὀθρυονεύς», καὶ τὸ «νῦν ὤλετο Ἴλιος, νῦν σῶς ὄλεθρος» κάλλους εἰσὶ κατ' ἐπαναφορὰν σχήματα, ἐπίτηδες τοῦ ποιητοῦ τὸ σκυθρωπὸν τοῦ χωρίου παραμυθησαμένου σχήμασιν ἱλαροῖς. (v. 773) Τὸ δὲ «σῶς» εὕρηται, φασί, καὶ θηλυκῶς, Ἀριστοφάνης «οὕτω παρ' ἡμῖν ἡ πόλις μάλιστα σῶς ἂν εἴη». Λέγουσι δὲ καὶ σᾶ τὰ σῶα οἱ παλαιοί, παρ' οἷς καὶ σᾶ ἡ σῶα. Εὐριπίδης ἐν Ὑψιπύλῃ «εὔφημα καὶ σᾶ καὶ κατεσφραγισμένα», Ἀριστοφάνης «ἡ μάζα γὰρ σᾶ καὶ τὰ κρέα χ' ὠ κάραβος». Αἴλιος δὲ Διονύσιος εἰπών τινα καὶ αὐτὸς τοιαῦτα λέγει, ὅτι καὶ σῶοι σοῖ, καὶ σῷ δέ, φησί, μονοσυλλάβως οἱ σῶοι καὶ παρὰ Θουκυδίδῃ. (v.

3.553 775—7) Ὅτι σπουδαῖος ἀνὴρ πρὸς τὸν ἐφ' οἷς οὐ δεῖ φιλομεμφῆ τυγχάνοντα οἰκείως ἂν εἴποι τὸ τοῦ Πάριδος πρὸς τὸν Ἕκτορα «ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι, ἄλλοτε δή ποτε μᾶλλον ἐρωῆσαι πολέμοιο», ἢ τυχὸν ἔργοιο, «μέλλω, ἐπεὶ οὐδ' ἐμὲ πάμπαν ἀνάλκιδα γείνατο μήτηρ», νῦν δὲ δηλαδὴ οὔ. ὃ ἐλλέλειπται διὰ τὴν σπουδὴν τοῦ λέγοντος. (v. 778 s.) Ὅτι καὶ ἐνταῦθα τὸ ὁμιλεῖν πολεμικὴ λέξις. Φησὶ γὰρ «ἐξ οὗ παρὰ νηυσὶ μάχην ἤγειρας, ἐκ τοῦδε ὁμιλέομεν Δαναοῖς», ἤγουν ὁμόσε κατὰ πολεμικὰς ἴλας αὐτοῖς γινόμεθα. [Τὸ δὲ «μάχην ἤγειρας» ἢ ἐκ τοῦ ἐγείρω ἐστίν, ἵνα δηλοῖ ὅτι ὡς οἷον εὕδουσαν αὐτὴν ἐξανέστησας ὀτρύνας τοὺς Τρῶας, ἢ ἀντὶ τοῦ διεσπαρμένην συνῆξας ὡς ἐκ τοῦ ἀγείρω κατὰ τὸ «ξυνάγομεν Ἄρηα».] (v. 781 s.) Ὅτι ἐν τῷ «Δηΐφοβός τε βίη τε Ἑλένου οἴχεσθον μακρῇσι τετυμμένω ἐγχείῃσιν ἀμφοτέρω κατὰ χεῖρα» δοκεῖ οὐ καλῶς εἰρῆσθαι τὸ τετυμμένω. Δηϊφόβου μὲν γὰρ δουρὶ βραχίονα ὁ Μηριόνης ἔτυψεν, Ἑλένου δὲ τὴν χεῖρα ὁ Μενέλαος ἔβαλε. λύεται δὲ τὸ ἄπορον τῷ τῆς συλλήψεως, ἤτοι συνεκδοχῆς, σχήματι. συμπεριέλαβε γὰρ τῷ τετυμμένῳ Δηϊφόβῳ καὶ τὸν βεβλημένον Ἕλενον. καὶ ἐν τῇ ξ' δὲ ῥαψῳδίᾳ βεβλῆσθαι λέγεται Τυδείδης Ὀδυσσεύς τε καὶ Ἀγαμέμνων, καίτοιγε μόνος Διομήδης ἐκ προέσεως ἐκεῖ βέβληται. καὶ ἔστι καὶ αὐτὸ συνεκδοχή, τουτέστιν ὁμοία σύλληψις, συλλαμβανομένων τῷ βεβλημένῳ Διομήδει καὶ τῶν λοιπῶν. Ἢ μᾶλλον ἐκεῖ ἀντὶ γένους τοῦ πεπλῆχθαι εἴληπται τὸ εἶδος, ἡ βολή. οὐ γὰρ ἂν δύο τετυμμένοι ἑνὶ βεβλημένῳ συνεκδέχοιντο, ἵνα λέγοιντο καὶ αὐτοὶ βεβλημένοι, ἀλλὰ μᾶλλον ὁ εἷς τοῖς δυσὶν ἂν συλλαμβάνοιτο, ὡς λέγεσθαι δι' αὐτοὺς καὶ αὐτὸς τετυμμένος ἢ οὐτάμενος. αἱ γὰρ συλλήψεις, ὡς καὶ τοῦτο οἱ παλαιοί φασιν, ἢ πρὸς ἶσα ἢ πρὸς πλεονάζοντα γίνονται, οὐ μὴν πλείω ἐλάττονι συλλαμβάνεται. (v. 782) Τὸ δὲ «οἴχεσθον» σαφῶς καὶ ἐνταῦθα διαστέλλεται τοῦ λεγομένου ἐπὶ θανάτῳ. Φησὶ γὰρ ὡς οἱ μὲν ἄλλοι κατέκταθεν, Δηΐφοβος δὲ καὶ Ἕλενος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἴχονται ζῶντες. (v. 783) Διὸ ἐπάγει «φόνον δ’ ἤμυνε Κρονίων». ἐκτείνει δὲ καὶ ἐνταῦθα ὁ Κρονίων τὴν παραλήγουσαν. (v. 784—7) Ὅτι φησὶ Πάρις πρὸς Ἕκτορα, ὃ καὶ πᾶς ἂν ἐρεῖ ἐθέλων τῷ κρείττονι ἕπεσθαι «νῦν δ’ ἄρχ’ ὅππῃ σε κραδίη θυμός τε κελεύει, ἡμεῖς δὲ μεμαῶτες ἅμ’ ἑψόμεθα, οὐδέ τί φημι ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστι. πὰρ δύναμιν δ’ οὐκ ἔστι καὶ ἐσσύμενον πολεμίζειν». ὃ δὴ γνωμικῶς ἐρρέθη ὡς ἐξ ἀρχῆς τοῦ «μηδὲν ἄγαν». Ἔστι δὲ τὸ «οὐδέ τί φημι ἀλκῆς δευήσεσθαι» ὅμοιον ὡς εἰ καὶ εἶπεν ὅτι καὶ ἀλκὴν ἐνδειξόμεθα. [(v. 789) Ὅτι ἐν τῷ «βὰν δ’ ἴμεν ἔνθα μάλιστα μάχη καὶ φύλοπις ἦεν» μάχην μὲν λέγει τὸν αὐτόχρημα πόλεμον, φύλοπιν δὲ τὴν αὐτῷ παρεπομένην τῶν φύλων ὄπα, ἤγουν βοήν.

3.554 ἴσως δὲ καὶ ἐκ παραλλήλου αἱ δύο αὗται λέξεις τὸ αὐτὸ νοοῦσιν, ὡς καὶ ἐν τῇ ἑξῆς ῥαψῳδίᾳ ὁ πόλεμος καὶ ἡ ἀϋτή, ἔνθα κεῖται τὸ «πολέμοιο συνεστῶτος καὶ ἀϋτῆς».] (v. 791) Ὅτι τὰ διὰ τοῦ αιος ἔχοντα τὴν ἄρχουσαν εἰς ἀμετάβολον λήγουσαν περισπᾶσθαι θέλει, οἷον Ἑρμαῖος λόφος. —τὸ γὰρ Ἕρμαιον προπαροξυτόνως ὄρος τέ ἐστι καὶ εὐτυχὲς εὕρημα—, χερσαῖος, ὀρφναῖος, οὕτω οὖν καὶ ἐνταῦθα Ὀρθαῖος τὸ κύριον. φησὶ γὰρ «Φάλκην Ὀρθαῖόν τε». Ὅρα δὲ ὅτι ὁ μὲν εἰρημένος κανὼν προπερισπᾷ τὸν Ἑρμαῖον λόφον, ὡς καὶ ἐν Ὀδυσσείᾳ κεῖται. εἰσὶ δέ τινες, οἳ προπαροξυτόνως αὐτὸν προέφερον. (v. 791—4) Ὅτι σεμνὸν τοῖς Ἀχαιοῖς καὶ τὸ αὐτοὺς μὲν μὴ χρᾶσθαι διαδοχῇ τινι βοηθείας ἐξ Ἑλλάδος, τοῖς δὲ Τρωσὶ γίνεσθαι διαδοχὰς ἐπικούρων, οἷς καὶ ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοὶ ἠοῖ τῇ προτέρῃ Φάλκης, Ὀρθαῖος, Ἀσκάνιος καὶ ἕτεροι. (v. 793) Εἰσὶ δὲ νῦν ἀμοιβοὶ πολέμου διάδοχοι τοῖς προτέροις ἶσοι, ἢ τὸ ἀμοιβοὶ ἀντὶ τοῦ πεζοί, ἀμοιβαίᾳ ποδῶν ἐξαλλάξει ἀνύοντες τὴν ὁδόν, ἢ ἀμειβόμενοι Πρίαμον ὑπὲρ ὧν αὐτὸς ἐπεκούρησε τοῖς Φρυξί ποτε, ὡς ἐν τῇ γ ῥαψῳδίᾳ εἴρηται. καὶ ἐοίκασιν ἐντεῦθεν οἱ Ἀττικοὶ λαβόντες λέγειν χάριν ἀμοιβὸν τὴν ἀντίχαριν. Περὶ δὲ Ἀσκανίας, ἧς παρώνυμος ὁ ἐλθὼν χθιζὸς ἐπίκουρος Ἀσκάνιος ἕτερος ὢν παρὰ τὸν ἐν τῇ Βοιωτίᾳ, ἤδη προγέγραπται τὸ ἀρκοῦν. (v. 794) Τὸ δὲ «ἠοῖ τῇ προτέρῃ», [ὅπερ ἐστὶ χθές,] νῦν μὲν ἐντελῶς εἴρηται, οἱ δὲ μεθ’ Ὅμηρον προτεραίαν φασὶν Ἰωνικῶς καὶ ἐλλειπτικῶς. (v. 795—9) Ὅτι ἐπαινεῖται καὶ ἐνταῦθα παραβολὴ ἐν τοῖς μάλιστα, ἐν ᾗ ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ λέγονται οἱ Τρῶες εἰς πόλεμον ἰέναι, «ἥ ῥά θ’ ὑπὸ βροντῆς πατρὸς Διός», ἤγουν σὺν ἀερίᾳ βροντῇ, «εἶσι πέδονδε, θεσπεσίῳ δ’ ὁμάδῳ ἁλὶ μίσγεται.

3.555 ἐν δέ τε πολλὰ κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσης κυρτὰ φαληριόωντα, πρὸ μέν τ’ ἄλλ’ αὐτὰρ ἐπ’ ἄλλα», τουτέστιν ἔμπροσθεν μὲν ἄλλα, ἐπὶ δ’ αὐτοῖς ἄλλα, ὅπερ ἐξήγησίς ἐστι τοῦ πολλὰ κύματα. (v. 800 s.) Πρὸς ὅπερ ἀποδιδοὺς τὴν παραβολὴν κατὰ ὅμοια ἰσοτέλευτά φησιν «ὣς Τρῶες πρὸ μὲν ἄλλοι ἀρηρότες, αὐτὰρ ἐπ’ ἄλλοι, χαλκῷ μαρμαίροντες ἅμ’ ἡγεμόνεσσιν ἕποντο». τοῦτο δὲ λειότερόν ἐστι τοῦ «πρὸ μέν τ’ ἄλλ’, αὐτὰρ ἐπ’ ἄλλα». ἐκεῖνο γὰρ ἐπίτηδες τραχυφωνεῖται ὁμοίως τῇ ὅλῃ παραβολῇ. Περὶ ἧς φασιν οἱ παλαιοί, ὅτι τε φύσιν κυμάτων ἐνδείκνυται, ἃ ὑπὸ ἀνέμοις ἐγείρονται, καὶ τῇ τῶν λέξεων τραχύτητι τὸν ἦχον μιμεῖται. κοσμεῖ δέ, φασίν, αὐτὴν καὶ τὰ ὁμοιοκατάληκτα, τὸ πολλά, τὸ κύματα, τὸ παφλάζοντα, τὸ κυρτά, τὸ φαληριόωντα. ἔχει δὲ καὶ χάριν ἰδίαν τὰ ὀνόματα, τὸ παφλάζοντα πρὸς τὸν ἦχον, τὸ κυρτὰ πρὸς τὸ πολὺ τοῦ ὄγκου, τὸ φαληριόωντα πρὸς τὸ χρῶμα, οἱονεὶ τὰ λευκανθίζοντα τῷ ἀφρῷ καθὰ χαλκῷ μαρμαίρουσιν Ἕλληνες. Φάλιον γὰρ τὸ λευκόν, ἐξ οὗ καὶ οἱ φάλοι καὶ τὰ φάλαρα, καὶ ἡ παρὰ Λυκόφρονι φαληριῶσα σπίλος, τουτέστι λευκὴ νῆσος. Δηλοῖ δέ, φασίν, ἡ παραβολὴ τὴν πολλὴν καὶ σφοδρὰν καὶ συνεχῆ καὶ μετὰ ἤχου τῶν πολεμίων ἐπέλευσιν. Ὅτι δὲ ἡ βροντὴ καὶ τὸ μίσγεσθαι καὶ τὸ παφλάζειν καὶ ὁ φλοῖσβος ὠνοματοπεποίηνται οἰκείως τοῖς ὑποκειμένοις πράγμασι, δῆλόν ἐστι. (v. 800) Τὸ δὲ «ἀρηρότες» δοκεῖ ῥηθῆναι πρὸς τὸ «μίσγεται», ἵνα καθάπερ ἀνέμων ἄελλα θαλάσσῃ μίσγεται, οὕτω πως ἔχοιεν ἐπ’ Ἀχαιοῖς καὶ οἱ Τρῶες κατὰ τὸ ἀρηρέναι. (v. 802) Ὅτι φθάσας μὲν πλατεῖαν ἐποίησεν Ὅμηρος παραβολὴν ἐξ εἰκασίας τῆς κατὰ τὸν Ἄρην, ἐνταῦθα δὲ συγκατεπείγων τὴν φράσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῖς ἐκ πυκνῶν κυμάτων εἰκασμένοις πράγμασι λέγει οὕτω συντόμως «Ἕκτωρ δ’ ἡγεῖτο βροτολοιγῷ ἶσος Ἄρηϊ», ὡς οἷά τι πρωτόκυμα. (v. 803—8) Ὅτι ἡ τοῦ Ἕκτορος πάντοσε ἴση ἀσπὶς ῥινοῖσιν ἦν πυκινή, «πολλὸς δ’ ἐπελήλατο χαλκός, ἀμφὶ δέ οἱ κροτάφοισι φαεινὴ σείετο πήληξ», ὅθεν ἴσως καὶ κορυθαιόλος καὶ κορυθάϊξ λέγεται, «πάντῃ δ’ ἀμφὶ φάλαγγας ἐπειρᾶτο προποδίζων, εἴ πώς οἱ εἴξειαν ὑπασπίδια προβιβῶντι». Καὶ αὐτὸς μὲν οὕτω διέκειτο, «ἀλλ’ οὐ σύγχει», ἤγουν οὐ συνέχεε, «θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν», ἀλλὰ δηλονότι κοσμίως καὶ εὐκρινῶς, ὅ ἐστιν εὐτάκτως, εἶχον, εὖ διακρίνοντες ἑαυτοὺς κατὰ τὸ «Ἀχιλλεὺς στῆσεν ἐΰκρίνας», ὅπερ ἐναντίον ἐστὶ τῷ συγχέειν, καθὰ καὶ τῇ συγχύσει ἡ ἁπλῶς εὐκρίνεια.

3.556 (v. 807) Τὸ δὲ «ὑπασπίδια προβιβῶντι» ἐκ τῶν τοῦ Δηϊφόβου παρεποιήθη. ἐκεῖ μὲν γὰρ ἔφη οὕτω «κοῦφα προβιβὰς καὶ ὑπασπίδια προποδίζων», ἐνταῦθα δὲ ἐναλλάξας φησὶν «ἐπειρᾶτο προποδίζων», εἶτα ἐπάγει «ὑπασπίδια προβιβῶν». δι’ ὧν οὐ πάνυ σφοδρὰ δηλοῦται κίνησις Ἕκτορος, ὁποία τις εὐθὺς δηλοῦται κατωτέρω ἐν τῷ «μακρὰ βιβάσθων», ὅ φησιν ἐπὶ Αἴαντος. (v. 804) Ἰστέον δὲ ὅτι ὁ ἔξω ἐπεληλαμένος, ὡς ἐρρέθη, χαλκὸς ἐξήλατον ὑποβάλλει νοεῖν καὶ τὴν τοῦ Ἕκτορος ἀσπίδα, ὁποία καὶ ἡ τοῦ Σαρπηδόνος προϊστόρηται. (v. 809—12) Ὅτι τὸν Ἕκτορα Αἴας πρῶτος προκαλέσσατο, «μακρά», ὡς ἐρρέθη, «βιβάσθων», λέγων «δαιμόνιε, σχεδὸν ἐλθέ. τί ἢ δειδίσσεαι», ὅ ἐστιν ἐκφοβεῖς, «αὔτως Ἀργείους; οὔ τί τοι μάχης ἀδαήμονές εἰμεν», ἤγουν ἐσμέν, «ἀλλὰ Διὸς μάστιγι κακῇ δάμημεν Ἀχαιοί». ὅπερ εἴποιεν ἄν τινες πρὸς ἐχθρὸν ἀπειλούμενον, ὃν οὐ πτοοῦνται. (v. 815—20) Εἶτα εἰπών, ὡς «ἦ θήν πού τοι θυμός», ἤγουν ὄντως δήπου σοι ἡ ψυχή, «ἐέλπεται ἐξαλαπάξειν νῆας, ἄφαρ δέ τε χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν», ὃ καὶ παροιμιῶδές ἐστιν ἐπὶ τῶν ἑαυτοῖς θαρρούντων ἀμύνειν, ἐπάγει στοχαστικῶς καὶ ὡς ἐν σχήματι προαναφωνήσεως, ὅτι τε πολὺ φθαίη εὖ ναιομένη πόλις ὑμή, τουτέστιν ἡ ὑμετέρα, «χερσὶν ὑφ’ ἡμετέρῃσιν ἁλοῦσά τε περθομένη τε», καὶ ὅτι «σοὶ δ’ αὐτῷ φημὶ σχεδὸν ἔμμεναι, ὁππότε φεύγων ἀρήσῃ θεῷ θάσσονας ἰρήκων ἔμεναι καλλίτριχας ἵππους, οἵ σε πόλινδε οἴσουσιν κονίοντες πεδίοιο». Παρέλαβε δὲ ἱέρακας εἰς τὸν λόγον διὰ τὴν τοῦ ὀρνέου ταχυπέτειαν. Ὅρα δὲ τὸ τοῦ Αἴαντος σῶφρον. προκαλεῖται μὲν γὰρ αὐτὸς τὸν Ἕκτορα, οὐ λέγει δὲ περὶ ἑαυτοῦ ὡς οὐκ ἔστι μάχης ἀδαήμων, ἀλλὰ τοῖς Ἀχαιοῖς κοινοποιεῖται τὸν ἔπαινον. (v. 810) Ἐν δὲ τοῖς ἐκτεθειμένοις τὸ μὲν σχεδόν, ὅ ἐστιν ἐγγύς, ἐξ οὗ καὶ τὸ σχέδην ἐπίρρημα καὶ ἡ σχεδία ναῦς καὶ ὁ σχέδιος λόγος καὶ τὸ κοινῶς καλούμενον σχεδάριον, ὃ σχεδίων λόγων ἐστὶν ἐδάφιον, δὶς κεῖται διὰ τὸ καίριον.

3.557 Τὸ δὲ δειδίσσεσθαι οἱ μεθ’ Ὅμηρον καὶ παθητικῶς λέγουσιν, ἵνα, ὥσπερ ὁ αἰκιζόμενος καὶ ὁ αἰτιώμενος καὶ ὁ μεμφόμενος, οὕτω καὶ ὁ δεδισσόμενος διχῶς νοεῖται, δηλῶν ποτὲ μὲν τὸν ἐκφοβοῦντα, ποτὲ δὲ τὸν φοβούμενον. (v. 812) Διὸς δὲ μάστιγα τὴν θεομηνίαν φησίν. ὅθεν ἴσως καὶ Σοφοκλῆς λαβὼν τὸν παρ’ αὐτῷ μαστιγοφόρον Αἴαντα ἐπέγραψε. (v. 814) Τὸ δὲ «ἄφαρ» ὅτι ἐκ τοῦ ἅπτω ἅψω ἧφα γίνεται, καὶ ὅτι Αἰολικῶς ψιλοῦται, δηλοῦται καὶ ἑτέρωθι. (v. 815) Τὸ δὲ «πολὺ φθαίη ἁλοῦσα» ἔχει τι ἀφελείας κατὰ νοῦν. ἁπλοϊκῶς γὰρ οὕτως ἐρρέθη καὶ οὐ πρὸς ἄκραν ἀκρίβειαν. οὐ γὰρ μετὰ Τροίας ἅλωσιν φθάσασαν γενέσθαι εἶτα καὶ αἱ νῆες ἀλαπαχθήσονται, ἵνα οὕτω ὀρθῶς εἴπῃ ὁ Αἴας, ὅτι πολὺ πρότερον ἁλούσης τῆς Τροίας μετὰ τοῦτο καὶ αἱ νῆες κακῶς οἰχήσονται, ἀλλ’ ἡ μὲν Τροία πεσεῖται, αὐταὶ δὲ περιέσονται. (v. 813) Ὅρα δ’ ἐνταῦθα καὶ τὸ ἀλαπάζειν ἐπὶ νηῶν λεχθέν, ὥστε οὐκ ἐπὶ μόνων πόλεων ἡ λέξις κεῖται. [Κατωτέρω δ’ εὐθὺς ἐπὶ Τροίας τίθεται ἀντ’ αὐτοῦ τὰ σύστοιχα τούτῳ, ἤγουν τὸ ἁλῶναι καὶ τὸ πορθηθῆναι. ἔφη γὰρ «ἁλοῦσά τε περθομένη τε».] (v. 815) Τοῦ δὲ «ὑμή», ὅπερ εἰς ῥητορείαν οὐκ εὔχρηστον, εὕρηται καὶ αἰτιατική, ἔτι δὲ καὶ οὐδέτερον ἐν τῷ «ὑμὰ κτήματ’ ἔδοντες». (v. 816) Τὸ δὲ «ἁλοῦσά τε περθομένη τε» ταὐτὸν κατὰ παραλληλίαν δηλοῦν, ὡς καὶ τὸ «πόλεμον καὶ δηϊοτῆτα», καὶ «πόλεμόν τε μάχην τε» ἐγκαθίζει τῇ τῆς ἐννοίας παραμονῇ τὸν περὶ τῆς πατρίδος φόβον εἰς τὴν τοῦ Ἕκτορος ψυχήν. ἴσως δὲ καὶ χεῖρον τοῦ ἁπλῶς ἁλῶναι τὸ

πέρθεσθαι, εἴπερ ἐκ τοῦ πρήθω, τὸ καίω, γίνεται κατὰ τροπὴν καὶ μετάθεσιν. [(v. 817) Ἐν δὲ τῷ «σχεδὸν ἔμμεναι» διπλασθὲν Αἰολικώτερον τὸ μ διὰ χρείαν μέτρου ἐν τῷ «θάσσονας ἰρήκων ἔμεναι» ἀδιαπλασίαστον μένει διὰ τὸ ἐκ μέτρου ἀκατανάγκαστον. (v. 819) Ἔνθα τὸ «ἰρήκων» ψιλοῦται Ἰωνικῶς, καθὰ καὶ τὸ ἰρεύς.] (v. 820) Τὸ δὲ «κονίοντες πεδίοιο» θερινὸν εἶναι δηλοῖ τὸν τῆς ἄρτι μάχης καιρόν, καθὰ μυριαχοῦ φαίνεται. Ἔστι δὲ κονίειν πεδίου τὸ διὰ τῆς πεδιάδος κόνιν ἐγείρειν ἐν τῷ σπουδαίως θέειν. ἐκ δὲ τοῦ τοιούτου νοήματος καὶ τὸ ἐγκονεῖν γίνεται καὶ τὸ διακονεῖν.

3.558 (v. 821—3) Ἐπὶ δὲ τούτοις ὁ ποιητὴς ὡς οἷον ἐκ τῶν ἱεράκων ἐνθύμησιν λαβὼν ἐπάγει νόημα ὀρνιθιακὸν εἰπὼν «ὣς ἄρα οἱ εἰπόντι», τουτέστι τῷ Αἴαντι, «ἐπέπτατο δεξιὸς ὄρνις, αἰετὸς ὑψιπέτης, ἐπὶ δ᾽ ἴαχε λαὸς Ἀχαιῶν θάρσυνος οἰωνῷ». Καὶ ὅρα καὶ τὸ ὄρνις καὶ τὸ οἰωνός οὐχ᾽ ἁπλῶς ῥηθέντα, ἀλλ᾽ ὡς τοῦ μέλλοντος σημαντικά. Αἴσιον δὲ κἀνταῦθα σημεῖον τὸ δεξιόν. (v. 821) Τοῦ δὲ «ἔπτατο» ἐστὶ καὶ δεύτερος ἀόριστος ἐπτόμην, ὡς τὸ «περιχαρὴς δ᾽ ἀνεπτόμην». ἐξ οὗ καὶ τὸ πτέσθαι παρὰ Σοφοκλεῖ καὶ αὐτό, καὶ τὸ «ἐπιπτέσθαι μενεαίνων». (v. 822) Τὸ δὲ «ἴαχε λαός» πάντας τούτους ἐπιστήμονας εἶναι δηλοῖ τῆς τοιαύτης οἰωνοσκοπητικῆς. ἣν ἁπλούστερον ὁ ποιητὴς ἔφρασε καὶ γοργῶς ἐν τῷ «δεξιὸς ὄρνις», καὶ οὐχ᾽ ὡς ἀλλαχοῦ εἰς πλάτος. καὶ οὕτω μὲν ταῦτα. (v. 823—31) Ἕκτωρ δὲ διὰ τὸ εὐτυχεῖν οὔτε τοῦ οἰωνοῦ τούτου ἐπιστραφείς, ὡς οὐδὲ τοῦ πρὸ αὐτοῦ, ἐκλαθόμενος δὲ καὶ ὧν ἐν τῇ μονομαχίᾳ ἔλεγεν ἐν τῷ «Αἶαν, ἐπεί τοι δῶκε θεὸς μέγεθός τε βίην τε καὶ πινυτήν» καὶ τὰ ἑξῆς, περιπετὴς τῇ ἑαυτοῦ μαρτυρίᾳ ἐκείνῃ γίνεται, καὶ ὡς ἄγροικον ἀλαζόνα σκώπτων τὸν ἥρωά φησι «Αἶαν, ἁμαρτοεπὲς βουγάϊε, οἷον ἔειπες», καὶ εὔχεται, ὡς εἴθε τάδε τινὰ μεγάλα καὶ ὑπὲρ ἄνθρωπον αὐτῷ εἴη ῥηθησόμενα ἀγαθά, «ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισι πᾶσι μάλα, ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴ κε ταλάσεις μεῖναι ἐμὸν δόρυ μακρόν, ὅ τοι χρόα λειριόεντα δάψει». (v. 832 s.) Ἐφ᾽ οἷς ὀνειδίζων τῷ Αἴαντι ἀντὶ τοῦ προμεμαρτυρημένου ἡρωϊκοῦ μεγέθους τὴν ἄγαν πολυσαρκίαν [καὶ πιότητα, οἷς οἱ βουγάϊοι περιβρίθονται,] λέγει, ὅτι πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν «Τρώων κορέεις κύνας ἠδ᾽ οἰωνούς», ἤγουν τὰ ἁπλῶς σαρκοφάγα ὄρνεα, «δημῷ καὶ σάρκεσσιν», ὅπερ ἐπὶ πλήθους νεκρῶν ἡ Ὁμηρικὴ ἔφη Μοῦσα ἐν τῷ «ἑλώρια τεῦχε κύνεσσι καὶ οἰωνοῖς». Ἐνταῦθα δέ τις ἔχει θαυμάσαι τὴν νέμεσιν, εἴπερ λύμην σώματος ὁ Ἕκτωρ ἀπειλῶν τῷ Αἴαντι ὡς μὴ ταφησομένῳ αὐτὸς αἰκισθήσεται τὸ σῶμα ὑπ᾽ Ἀχιλλέως θανών. (v. 825—8) Ἰστέον δὲ καί, ὅτι θυμομαχῶν ὁ Ἕκτωρ, ἐφ᾽ οἷς ἐγγύς τε εἶναι τὸν τοῦ θανάτου καιρὸν αὐτοῦ ἤκουσεν ἐξ Αἴαντος καὶ ἐπὶ εὐχῇ δὲ ὠνείδισται ἀλλοκότῳ—τοιοῦτον γὰρ τὸ εὔξασθαι ἂν θάσσονας ἰρήκων γενέσθαι αὐτῷ τοὺς ἵππους—, ἐπάγει αὐτὸς εὐχήν τε ἑτέραν σεμνοτέραν καὶ καιρὸν ἕτερον πάνυ ἐγγύτερον, τὸν τῆς σήμερον ἡμέρας, καθ᾽ ἣν οἱ Ἀχαιοὶ ὀλοῦνται, εἰπὼν «αἲ γὰρ ἐγὼν οὕτω γε Διὸς πάϊς εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη», [οὐ μὴν θνητὴ Διΐ μιγεῖσα,] «τιοίμην δ᾽ ὡς τίεται Ἀθηναίη καὶ Ἀπόλλων, ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει τοῖς Ἕλλησιν».

3.559 Οὐ μάτην δὲ οὕτως εὔχεται ὁ Ἕκτωρ, ἀλλὰ συννοούμενος μεγαλοφρόνως τὸ ἐν αὐτῷ τῆς εὐτυχίας θειότατον. διὸ καὶ ὁ Ἀγαμέμνων ἐν τοῖς ἑξῆς λέγει, ὡς ὁ Ζεὺς τοὺς Τρῶας ὁμῶς μακάρεσσι θεοῖσι κυδαίνει. ἔστι δὲ ὅμως οὐ μακρὰν ἀλαζονείας καὶ φιλοτιμίας τῆς ὑπὲρ τὸ δέον ἡ ῥηθεῖσα εὐχὴ τοῦ Ἕκτορος. Σημείωσαι δὲ ὡς, εἴπερ οὕτως Ἕκτωρ ἐπιρρεπὴς ἦν παρενεχθῆναι εἰς τὸ εὔχεσθαι ἀλλόκοτα, καλῶς ἄρα καὶ ὁ Αἴας εὖ εἰδώς, ὡς εἰκός, εὐχὴν τοιαύτην ἐκείνῳ προσέπλασεν ἐν τῷ «ἀρήσῃ Διΐ πατρὶ καὶ ἄλλοις ἀθανάτοισι θάσσονας ἰρήκων εἶναί σοι τοὺς ἵππους», ὅτε φεύγεις, ὃ καὶ ἔδακε μάλιστα τὸν Ἕκτορα. καὶ τοιάδε μὲν ταῦτα. (v. 824) Τῶν δὲ τοῦ ῥηθέντος χωρίου λέξεων «ἁμαρτοεπής» μὲν ὁ ψεύστης καὶ τῶν βελτίστων λόγων ἀφαμαρτάνων, ἴσως δὲ καὶ ἀγλευκὴς τὴν φράσιν. ἢ καὶ ἄλλως, καθ᾽ ὁμοιότητά τινα, ὡς εἰκός, τοῦ ἀφαμαρτοεπής, περὶ οὗ προγέγραπται, [ὃ παραφράζει Ἀθήναιος, ἔνθα τοὺς

ἡδονικοὺς φιλοσόφους ἁμαρτολόγους φησίν, ὧν κορυφαῖος ὁ Ἐπίκουρος.] Βουγάϊος δὲ ἢ ὁ δυσκίνητος καὶ μὴ ποδώκης, ἀλλ’ οἷον βοῦς τις πονῶν περὶ γῆν, ἢ ὁ ἐπὶ βοΐ, ἤτοι ἀσπίδι, γαίων, Αἴαντος γὰρ παράσημον ἡ ἀσπίς, ἢ βοῦς ἐργάτης, ἢ αὐτόχρημα βοῦς καὶ γῆ, γῆ μὲν διὰ τὸ βαρὺ τοῦ σώματος καὶ δυσκίνητον, βοῦς δὲ διὰ τὸ ἔμψυχον μέν, πολὺ δὲ τοῦ μεγέθους. Ὅτι δὲ καθάπερ ὁ ἵππος, οὕτω δὴ καὶ ὁ βοῦς πολὺ μέγεθος παρεμφαίνει ἐν ταῖς συνθέσεσι, δηλοῖ καὶ ἡ βου ἐπίτασις ἣν ἐκ τοῦ ζῴου τούτου εἰλῆφθαι λέγουσιν. [Ἐξ ἧς ἐπιτάσεως καὶ ἡ βούβρωστις καὶ ἡ βούπεινα καὶ ὁ βούλιμος καὶ ὁ βουθοίνας καὶ ὁ βούπαις, οὗπερ ἀκολουθία τοιαύτη. Βρέφος, ὡς ὁ γραμματικὸς Ἀριστοφάνης φησί, τὸ ἄρτι γεγονὸς παιδίον, ὃν τηθὴ τρέφει· παιδάριον τὸ περιπατοῦν καὶ ἤδη λέξεως ἀντιποιούμενον· παιδίσκος ὁ τῆς ἐχομένης ἡλικίας· παῖς ὁ δι’ ἐγκυκλίων ἤδη μαθημάτων δυνάμενος ἰέναι· ὁ δὲ μετ’ αὐτὸν πάλλαξ καὶ βούπαις καὶ ἀντίπαις καὶ μελλέφηβος.

3.560 ] Οἱ δέ φασιν, ὡς Δουλιχιῶται καὶ Σάμιοι τοὺς γαλακτοφαγοῦντας καὶ μηδὲν ἰσχύοντας βουγαΐους καλοῦσιν. ἄλλοι δὲ βουκάϊε γράφουσιν, ὅ ἐστιν ἄγροικε, παραφέροντες καὶ χρῆσιν βοῦκον καὶ βουκαῖον τὸν ἄγροικον λέγουσαν παρά τε Νικάνδρῳ ἐν τῷ «βουκαῖος ὀροιτύπος» καὶ παρὰ Θεοκρίτῳ δέ. Ἰστέον δὲ ὡς καὶ ἐν Ὀδυσσείᾳ ὁ Ἶρος βουγάϊος ὑπὸ τῶν μνηστήρων προσερρέθη σκωπτικῶς, καὶ ὅτι Ἀριστάρχου γράφοντος, φασί, βουγάϊε, Ζηνόδοτος βουγήϊε γράφει, καὶ ὅτι ὁ διὰ βάρος προσρηθεὶς βουγάϊος ῥηθείη ἂν καὶ βουβάρας, ὅ ἐστι μέγας καὶ ἀναίσθητος, ὡς παρὰ Ἡρωδιανῷ ἐν τῇ μεγάλῃ Προσῳδίᾳ κεῖται, καθὰ καὶ βουκόρυζα ἡ μεγάλη κόρυζα. [Καὶ εἴη ἂν ὁ ῥηθεὶς βουβάρας προσήκων διὰ τὸ κατ’ αὐτὸν βάρος προσρηθῆναι καὶ γῆς ἐτώσιον ἄχθος. Ἐπιτυχὴς δὲ μάλιστα ἐν τοῖς ἑρμηνεῦσιν ὁ μεταλαβὼν τὸν βουγάϊον εἰς βόσκημα ἀναίσθητον.] Ὅτι δὲ καὶ εἰς ἀναισθησίας σκῶμμα λαμβάνεται ὁ βοῦς, δηλοῖ καὶ ὁ παρὰ Μενάνδρῳ βοΐδης, ὅ ἐστι πρᾷος, εὐήθης, καθ’ ὁμοιότητα τοῦ ἀμνοκῶν, ὅ ἐστι νοῶν ὡς ἀμνὸς κατὰ τὸν Κωμικόν. παροιμιάζεται δὲ ὁ βοῦς καί, ὥσπερ ἐπὶ βουγλώσσσων ἐν τῷ «βοῦν ἐπὶ γλώσσης φέρεις», οὕτω κατὰ Παυσανίαν καὶ ἐπὶ ἀχρηστίας ἐν τῷ «βοῦς ἐν αὐλείῳ κάθῃ». καὶ ταῦτα μὲν περὶ τῆς καταρχούσης λέξεως ἐν τῷ βουγάϊος, εἴτε παρὰ τὴν βου ἐπίτασιν γίνεται, εἴτε παρὰ τὸν βοῦν. εἰς δὲ τὸ ἐφεξῆς, [ἤγουν τὸ γαῖος,] χρήσιμον καὶ τὸ τοῦ Αἰλίου Διονυσίου, εἰπόντος ὅτι γεώλοφον οἱ παλαιοὶ καλοῦσι τὸν παχὺν καὶ ἀναίσθητον ἄνθρωπον, [οἷα τῆς γῆς χρησίμου φαινομένης εἰς τὸ τοιαῦτα σκώπτεσθαι τοὺς μεγαλοσωμάτους, εἰ καὶ πολὺ τὸ ἐνεργὸν ἄλλως ἔχουσιν. Ἐνθυμητέον δ’ ἐνταῦθα ὡς, εἴπερ ὁ τοσαύτης ἀρετῆς ἐπήβολος Αἴας ὁ συμμετρίας λόγῳ εὖ ἔχων μεγέθους καὶ διὰ τοῦτο μείζων καὶ μέγας ὤν τε καὶ καλούμενος, καὶ τὸ φυσικὸν καὶ ἐνεργέστατον βάρος ἐπηχθισμένος κατὰ ἀναλογίαν μελῶν καὶ μερῶν, βουγάϊος ἔσκωπται, τί ἂν ὁ σκωπτόλης ἐρεῖ κατὰ τοῦ Βυζαντίου ῥήτορος, ὃς καταγελώμενός που ἐπὶ πλούτῳ σαρκῶν ἔφη καὶ γυναῖκα πολλῷ παχυτέραν ἔχειν, ἧς ἠρεμούσης μὲν στέγεσθαι ἄμφω ἐν μιᾷ κλίνῃ, στασιαζούσης δὲ μηδὲ τὸν ὅλον αὐτοῖς οἶκον εἶναι εἰς χωρίου περιοχήν.

3.561 Τί δὲ οὐκ ἂν σκωφθείη ὁ διὰ παχύτητα μήτε ἔξυπνος γινόμενος ἐν τῷ κοιμᾶσθαι, εἰ μὴ βελόναις κεντοῖτο εἰς βάθος, μήτε ἐν τῷ ἀνθρώποις ἥκειν εἰς θέαν ἐθέλων ὅλος βλέπεσθαι, ἀλλὰ παραπετάσμασιν ὑποκλέπτων τὸ βλέπεσθαι; Τίς δ’ ἂν εἴη τά γε εἰς τὸ σκώπτεσθαι ὁμοίως; Μάγης, ὁ Κυρήνης βασιλεύς, ὃς δι’ ἀργίαν σώματος καὶ πλῆθος τροφῆς κατάσαρκος, φασί, γενόμενος, ὑπὸ τοῦ πάχους ἀπεπνίγη. Ὅτι δὲ τὰ ἐκ γῆς παρώνυμα οὐκ ἀεὶ σεμνά εἰσι, δηλοῦσι καὶ οἱ τοῦ μύθου Γηγενεῖς καὶ Γίγαντες οὐδὲν ἧττον ἢ ὁ βουγάϊος καὶ ὁ δεδηλωμένος γεώλοφος. συντελεῖ δ’ ἐνταῦθα καὶ τὸ «ὁ δ’ ἕτερος, τί ἂν τύχοιμ’ ὀνομάσας; βῶλος, ἄροτρον, γηγενὴς ἄνθρωπος». Ἀλέξιδος δέ, φασί, τοῦ κωμικοῦ ὁ λόγος. Τὸ δὲ «ποῖον ἔειπες» ἁπλοϊκῶς μὲν ἔχειν φαίνεται, καθάπτεται δέ, ὧν ὁ Αἴας εἶπε μηδὲν εἰδὼς δῆθεν μέλλον. διὸ καὶ σαρκάζων λέγει μονονουχί, ὡς εἰ καὶ ἡ ἐμὴ πόλις πρὸ τῶν Ἀχαϊκῶν νηῶν ἁλῶναι μέλλει, ἀλλ’ ἐγὼ ἔνορκός φημι, ὡς οὐκ εἰς μακρὰν ἀλλὰ σήμερον κακὸν τοῖς Ἀργείοις ἔσται. καὶ οὕτω

λόγον ἔχει ἐπαγόμενος αἰτιολογικῶς ὁ γαρ σύνδεσμος.] (v. 825) Τὸ δὲ «Διὸς πάϊς εἴην» ἀφορμήν τινα εὔλογον ἔχει τὸ διογενῆ βασιλικῶς εἶναι τὸν Ἕκτορα, εἰ καὶ μὴ πραγματικῶς, ὡς καὶ ἐξ Ἥρας τεχθῆναι. (v. 826) Τὸ δὲ «ἤματα πάντα» περίφρασίς ἐστι τοῦ αἰεί, δι' οὗ εὔχεται ὁ Ἕκτωρ τὸ ἀθάνατον. (v. 828) Τὸ δὲ «ἡμέρη ἥδε» τοῦ νῦν ἐστι διασαφητικόν. οὐ γὰρ κατὰ πλατὺ νῦν, ἀλλ', ὡς εἴρηται, σήμερον ἔσται τοῖς Ἀργείοις κακόν. ἄλλως γὰρ οἶδεν ὁ Ἕκτωρ, ὡς «ἔσσεται ἦμαρ, ὅτ' ἄν ποτε ὀλώλῃ Ἴλιος».

3.562 ὀλεῖται δέ, ὡς μηκέτι οὕτω προλάμπειν μηδὲ προφαίνεσθαι. οὗ πρὸς ὁμοιότητα πέφρασται ἀλλαχοῦ τὸ «ἠέλιος οὐρανοῦ ἐξαπόλωλε». (v. 829) Τὸ δὲ «πᾶσι» καὶ τὸ «μάλα» πανωλεθρίαν δεινὴν δηλοῖ, [μάλιστα μὲν οὖν κοινὸν ἀληθῶς ἅπασι κακόν. μόνῳ γὰρ τῷ Αἴαντι θάνατον ἀπειλεῖται ὁ Ἕκτωρ, τοῖς δ' ἄλλοις ἅπασι κακόν τι ἀπροσδιορίστως τοῖον ἢ τοῖον. Διὸ καὶ ἔλλογος εἶναι δόξοι ἂν ἡ τοῦ Ἕκτορος εὐχή, ὡς οἷον εἰπόντος οὕτω· εἴθε ἦν γενέσθαι μοι τὸ πάντῃ ἀδύνατον, ἤγουν τὸ Διὸς εἶναι παῖδα, ὡς ὁμολογουμένως ἔσται τοῖς Ἀργείοις κακὸν σήμερον. Εἰ δ' ὁ μῦθος ἐνταῦθα εἴπῃ, ὅτι Ἑκάβης μητρὸς καὶ Πτῴου πατρός, ἤγουν Ἀπόλλωνος, υἱὸς ὢν κατὰ τοὺς ὕστερον ποιητὰς ὁ Ἕκτωρ, ὅμως ἐθέλει τὸ μεῖζον, ἤγουν τὸ ἐκ Διὸς καὶ Ἥρας εἶναι, ληρείτω ἐκεῖνος τὸ δοκοῦν αὐτῷ.] Τὸ δὲ «πεφήσεαι», ὃ χρόνου μέν ἐστι μετ' ὀλίγον μέλλοντος, δηλοῖ δὲ τὸ φονευθήσῃ, ἀπὸ τοῦ φῶ φήσω γίνεται, ἀφ' οὗ καὶ τὸ φάζειν. ὅθεν καὶ τὸ πεφασμένος καὶ τὸ σφάζειν. φῶ δὲ λέγεται καὶ τὸ φαίνω, ἐξ οὗ καὶ τὸ φῶς. σημαίνει δὲ καὶ τὸ καίω, ἐξ οὗ φαΰζειν τὸ φρύγειν Ἀττικῶς κατὰ τοὺς παλαιοὺς καὶ φῷδες αἱ ἀπὸ φλογὸς φλύκταιναι, ὧν καὶ ὁ Κωμικὸς μέμνηται, καὶ φωγνύναι τὸ φρύγειν, ὅθεν ἰσχάδες πεφωγμέναι. τὸ μέντοι ῥηθὲν φαΰζειν ἀπὸ τοῦ φρύγειν τινὲς παράγουσι. Τοῦ δὲ «ταλάσσης», ὅ ἐστι τλήσῃ, θέμα ταλάω, ἐξ οὗ ἐν συγκοπῇ τὸ τλῶ τλήσω. Τοῦ δέ γε ταλάω ταλάσω ἐξώρμηται τοῦ μὲν ὁ Ταλαὸς τὸ κύριον, τοῦ δὲ ὁ τάλας, ὅθεν κατὰ ἀναγραμματισμὸν ὁ Ἄτλας.

3.563 ἐκ τοῦ ταλάσω δὲ γίνεται καὶ ταλασίφρων, ὡς καὶ ἐν Ὀδυσσείᾳ ἐρρέθη, καὶ ταλασιουργεῖν ἐπὶ γυναικῶν τὸ ἐμμένειν ἔργοις καὶ ταλασίᾳ, ἴσως δὲ καὶ ἡ παρὰ τῷ Τραγικῷ τάλις, τουτέστι μελλόγαμος παρθένος, μελλονύμφη, ὡς καὶ αὐτὴ ταλασίαν ἀσκοῦσα. (v. 830) Δόρυ δὲ μακρὸν πρὸς διαστολὴν τῶν μὴ τοιούτων, ὁποῖόν τι καὶ ἡ αἰγανέα. Λειριόεις δὲ χροῦς ἐνταῦθα σκωπτικῶς εἴρηται ὁ ἐσκιατραφημένος καὶ ἀνθηρὸς διὰ τὸ ἐκ βάρους ἀγύμναστον τοῦ ἥρωος. Λείριον γὰρ ἄνθος, ὅθεν καὶ φωνὴ λειριόεσσα, καὶ Ποδαλείριος, οὐ μόνον, ὡς καὶ ἀλλαχοῦ κεῖται, ὁ ἀνθηρόπους διὰ τὸ εὐτυχές, ἀλλὰ καὶ τὰ ἀνθοῦντα περιοδεύων. ἰατρὸς γὰρ ἦν ῥιζοτόμος τὰ πολλά, ὡς εἰκός. (v. 831) Τὸ δὲ «δάψει», ἐξ οὗ καὶ δαπταὶ παρὰ Λυκόφρονι αἱ μυῖαι καὶ τὸ δαρδάπτειν, ὡς ἐπὶ ἐμψύχου τοῦ δόρατος καὶ αὐτὸ εἴρηται. Τὸ δὲ «κορέεις» μέλλοντι ἰσοδυναμεῖ τῷ κορέσεις. (v. 834) Ὅτι τὸ ἠχεῖν καὶ ἰάχειν λέγεται κατὰ ὀνοματοποιΐαν, ἀφ' οὗ καὶ Ἴακχος οὐ μόνον ὁ ἐπὶ Διονύσῳ ἦχος, ἀλλὰ καὶ αὐτὸς ἐκεῖνος, ὁ καὶ Βάκχος ἐκ τοῦ βάζειν λεγόμενος. (v. 833—7) Διὸ φάμενος ὁ ποιητὴς «τοὶ δ' ἅμ' ἕποντο ἠχῇ θεσπεσίῃ, ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν», εἶτα ἄρχεται ἀπὸ τοῦ ἰάχειν καὶ λήγει εἰς τὴν ἠχήν, εἰπὼν «Ἀργεῖοι δ' ἑτέρωθεν ἐπίαχον οὐδ' ἐλάθοντο ἀλκῆς», ἤγουν ἤχησαν οὐχ' ὡς δειλοί, ἀλλ' ἐπὶ ἀλκῇ, «ἠχὴ δ' ἀμφοτέρων ἵκετο αἰθέρα καὶ Διὸς αὐγὰς», ὅ ἐστιν ἡλίου κατὰ τοὺς παλαιούς, δηλώσας οὕτω τὸ τῆς βοῆς μέγεθος.

3.564 Εἶτα εὐθὺς ἀνακάμπτει πάλιν εἰς τὴν ἰαχὴν ἐν τῷ «Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή». καὶ δοκεῖ καιριώτατον ἡ ἰαχὴ ἐπὶ πολέμου, ἐπὶ μέντοι θαλάσσης τὸ ἠχεῖν, ὅθεν καὶ θάλασσα ἠχήεσσα. Τὸ δὲ ἰαχή καὶ βοὴ μετ' ὀλίγα λέγεται ἐν τῷ «μείζων δὴ παρὰ νησὶ βοή». (v. 835 s.) Ἰστέον δὲ ὅτι τε τὸ «οὐδ' ἐλάθοντο ἀλκῆς» εὐψυχίας εἶναι σημεῖον δηλοῖ τὴν ἐν πολέμῳ ἰαχήν, ὅθεν καὶ «βοὴν ἀγαθοί» οἱ τοιοῦτοι, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, καὶ ὅτι διασαφητικὸν τοῦ «οὐκ ἐλάθοντο ἀλκῆς» τὸ «ἀλλ' ἔμενον Τρώων ἐπιόντας ἀρίστους». ἔνθα σημείωσαι τὸ «οὐκ ἐλάθοντο, ἀλλ' ἔμενον», ὧν τὸ μὲν τὴν λήθην παράγει, τὸ δὲ τὴν μνήμην, τὰ ἐναντία. ἐκ τοῦ μένειν γὰρ ἡ μνήμη διὰ τὸ

κατ’ αὐτὴν μόνιμον τοῦ νοητοῦ. (v. 837) Τὸ δὲ «ἠχὴ ἵκετο αἰθέρα» προϊὼν ἄλλως φράσει «ἀϋτὴ δ’ οὐρανὸν ἵκει». ΕΚ ΤΩΝ ΤΗΣ ΞΙ Ὅτι τοῦ γράμματος τούτου ἡρωΐζουσα μὲν ἐπιγραφὴ αὕτη· ξι Κρονίδην λεχέεσσι καὶ ὕπνῳ ἤπαφεν Ἥρη, πεζὴ δὲ ἥδε· Διὸς ἀπάτη.

3.565.(t) ἐν ταύτῃ γὰρ τῇ ῥαψῳδίᾳ πάσχει πρὸς Ἥρας ἀπάτην ὁ Ζεύς. (v. 1) Ὅτι ἐν τῷ «Νέστορα δ’ οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης» τὸ οὐκ ἔλαθε τὴν ἐκ προαιρέσεως ἀμέλειαν ἀποφάσκει, λέγοντος Ὁμήρου, ὡς οὐκ ἀμελῶς τῶν εἰς μάχην εἶχεν ὁ Νέστωρ, εἰ καὶ ἔπινεν. οὕτω καὶ ἐν τῷ «ἢ λάθετο ἢ οὐκ ἐνόησεν» ἐπὶ Οἰνέως, τοιοῦτος ἦν ὁ νοῦς, ὡς ἢ ἑκὼν ἠμέλησεν ἢ οὐδ’ εἰς νοῦν ὅλως ἔβαλεν. Ἀποσεμνύνει δ’ ἐνταῦθα τὸν Νέστορα ὁ ποιητής, ὡς καὶ ἐν καιρῷ ἀνέσεως πάνυ προσεκτικὸν ὄντα. κἂν γὰρ ὡς τὰ πολλὰ πρὸς ἄλλοις ἡ ψυχὴ τοῦ πίνοντος γίνηται, ὁ Νέστωρ ὅμως καὶ πίνων οὐκ ἀπέχεται τῶν σπουδαίων, ἀλλὰ παραφυλάττει τὰ τοῦ πολέμου. (v. 2 s.) Διὸ καὶ ὡς πάλαι πολέμων εὖ εἰδὼς τῇ ποιότητι τῆς βοῆς, μείζονος γινομένης, τὸ ἑτερορρεπὲς τοῦ πολέμου τεκμαίρεται. «Φράζεο» γάρ, φησίν, «δῖε Μαχᾶον, ὅπως ἔσται τάδε ἔργα· μείζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν». οὕτω που καὶ Μενέλαος τῇ βοῇ τὸν Ὀδυσσέα ἔγνω βιαζόμενον. Πίνει δὲ ὁ Νέστωρ ἐκεῖνον τὸν κυκεῶνα, ὃν Ἑκαμήδη ἐσκεύασεν. οὐκ εἰς μέθην δὲ τοῦτο ποιεῖ, οὐ γὰρ εἶχε μεθύσκειν ὁ κυκεών, εἰ καὶ οἴνου μετεῖχε. Σημειοῦνται δὲ οἱ παλαιοὶ διὰ τῆς ἐνταῦθα τοῦ Νέστορος προσοχῆς, ὡς οὐδὲν τοῖς σοφοῖς τὰ ἡδέα πρὸς τὴν τῶν σπουδαίων ἐπίσκεψιν προσίσταται. (v. 1) Δῆλον δὲ ὅτι τὸ «οὐκ ἔλαθεν» ἐκτείνει τὴν λήγουσαν λόγῳ κοινῆς συλλαβῆς. καταπεραιοῖ γὰρ εἰς μέρος λόγου κατὰ τοὺς Τεχνικούς, καὶ τὴν ἑξῆς ἔχει ἀρχομένην ἀπὸ φωνήεντος.

3.566 (v. 3) Ἰστέον δὲ ὅτι προκαταστατικόν ἐστι συμβουλῆς τὸ «φράζεο ὅπως ἔσται τάδε ἔργα». (v. 1) Τὸ δὲ «πίνοντα» ἐκτείνει τὴν ἄρχουσαν, ὡς καὶ τὸ «ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος», καὶ «οἴκῳ ἐν ἡμετέρῳ πίνοντα», οὕτω καὶ τὸ «πιόμεν’ ἐκ βοτάνης». (v. 5—8) Ὅτι τὸ «ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα οἶνον, εἰς ὅ κε» τόδε γένηται, «αὐτὰρ ἐγὼν ἐλθών» ποιήσω τόδε, εἴποι ἄν τις θερμὸς εἰς ἔργον πρός τινα ἐν τῷ ἀσθενεῖν τημελούμενον. Νέστωρ δέ φησιν αὐτὸ πρὸς Μαχάονα, ἐθέλων ἐκεῖνον οὕτω ποιεῖν, ἕως «θερμὰ λουτρὰ ἐϋπλόκαμος Ἑκαμήδη θερμήνῃ καὶ λούσει ἄπο», ἤγουν ἀπολούσει, «βρότον αἱματόεντα». ἐκεῖνος δὲ ἄλλο τι ποιεῖ εἰπὼν «αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ἐς περιωπήν». (v. 9—11) Ἧς γενόμενος διασκοπεῖται τὰ τῆς μάχης, ἑλὼν σάκος τὸ τοῦ υἱοῦ Θρασυμήδους χαλκῷ παμφαῖνον, ὁ δὲ εἶχε τὴν καλὴν τοῦ πατρὸς ἀσπίδα τὴν χρυσῆν, ἐκείνῳ μᾶλλον ἐπιπρέπουσαν. καί πώς ἐστι καὶ τοῦτο χρύσεα χαλκείων ἀλλάξασθαι. Νοητέον δὲ κατὰ τὸ σιωπώμενον ὅτι, ἐπεὶ κοινὰ τὰ τῶν φίλων, ὁ πατὴρ καὶ τοῦτο ἐπέταξεν, ἵνα εἰ μὴ τῷ σώματι τῇ γοῦν ἀσπίδι δοκοίη ὁ γέρων τῷ πολέμῳ ἐπιφαίνεσθαι. (v. 12) Ὃς ἐνταῦθα καὶ ἄλκιμον ἔγχος εἵλετο, διδάσκων ὡς ἀεὶ ἐν μάχης καιρῷ ἐπιμελητέον ὁπλίσεως διὰ τὸ τῆς τύχης ἄδηλον. (v. 6) Ὅρα δὲ ὡς καὶ ἐνταῦθα γυνὴ λουτροῖς ὑπηρετεῖ ἀνδρῶν, ὃ καὶ ἡ Ὀδύσσεια δηλοῖ, καὶ ὅτι μετὰ βρῶσιν γίνεται λουτρὰ τῷ Μαχάονι. θερμὰ δὲ λοετρὰ εἶπε τὰ μήπω ἐνεργείᾳ τοιαῦτα, ἀλλὰ μετὰ θέρμανσιν τὴν ἐν τῷ πυρί. (v. 8) Τὸ δὲ «ἐλθὼν ταχὺ ἐς περιωπὴν εἴσομαι», ὅ ἐστι γνώσομαι, ἔλλειψιν ἔχει τοῦ· τίς ἡ βοὴ ἢ ἑτέρου τινὸς τοιούτου. Περιωπὴ δέ ἐστιν, ἀφ’ ἧς τῶν πέριξ οἱ ὦπες αἰσθάνονται. (v. 9 et 11) Ὅρα δ’ ἐνταῦθα παρίσωσιν ἅμα καὶ πολυωνυμίαν συνήθη, καὶ ὑποπαρήχησιν δέ τινα ποιητικήν, ἐν τῷ «σάκος εἵλετο υἷος ἑῆος, ὃ δ’ ἔχ’ ἀσπίδα πατρὸς ἑοῖο». Τὸ μὲν γὰρ υἷος καὶ τὸ ἑῆος παρισοῦσι, τὸ δὲ ἑῆος καὶ τὸ ἑοῖο, εἰ καὶ μὴ εὐχρηστοῦνται λόγῳ πεζῷ, ἀλλὰ ποιητικώτερον καὶ πολυωνυμοῦνται καὶ παρηχοῦσι.

3.567 [Τὸ δὲ ῥηθὲν τοῦ Νεστορίδου Θρασυμήδους σάκος τετυγμένον ὁ ποιητὴς ἔφη κατὰ συνήθη φράσιν, ἶσον ὂν κατ’ ἔλλειψιν τοῦ εὖ ὀνόματι συνθέτῳ τῷ εὔτυκτον.] (v. 13—5) Ὅτι εἰπὼν Ὅμηρος ἀσαφῶς ἐν σχήματι συμπλοκῆς, ὡς «εἴσιδεν ἔργον ἀεικές» ὁ Νέστωρ «τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν», εἶτα διευκρινῶν τίνες μὲν οἱ τὸ ὀρίνεσθαι

πάσχοντες, τίνες δὲ οἱ τὸ κλονεῖν ποιοῦντες, ἐπάγει εὐθὺς ὁμοιόπτωτον αἰτιατικὴν δηλωτικὴν τῶν ποιούντων τὸ «Τρῶας ὑπερθύμους». εἶτα καὶ πρὸς πλείω σαφήνειαν τῶν κλονουμένων ἐπιφέρει «ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν», ὡς εἶναι λοιπὸν Ἀχαιοὺς μὲν ὀρινομένους, ὧν καὶ τὸ τεῖχος ἐρείπεται, ποιοῦντας δὲ κλόνον τοὺς Τρῶας, οὓς καὶ ὑπερθύμους διὰ τοῦτο εἶπεν, ὥσπερ καὶ τὸ τοὺς Ἀχαιοὺς δυστυχεῖν φθάσας ἐνέφηνεν ὡς φιλέλλην ἐν τῷ «ἔργον ἀεικές». Σημείωσαι δὲ ὡς, εἰ καὶ εἶχεν ἐντελῶς καὶ σαφέστερον ἀποδοῦναι κατὰ συζυγίαν ὁμοιόπτωτον, οἷον «Τρῶας ὑπερθύμους ἰδὲ ἰφθίμους Ἀργείους», ἀλλὰ προέκρινεν ἄλλως φράσαι καινότερον, ἵνα λέγῃ ὅτι Τρῶες μὲν ἐκλόνουν, ὠρίνοντο δὲ δηλαδὴ ἐκεῖνοι ὧν τὸ τεῖχος ἐρέριπτο, τουτέστιν ἔρριπτο, ἢ μᾶλλον κεχάλαστο, ἀπὸ τοῦ ἐρείπω. διὸ καὶ μετ' ὀλίγα «κατερήριπε τεῖχος» φησίν, ὅπερ ἐστὶ τοῦ ἐρείπω μέσος παρακείμενος, συστέλλων καὶ αὐτὸς Ἀττικῶς τὴν τρίτην συλλαβήν, ὁμοίως τῷ ἐρήριπτο καὶ τῷ ἀλήλιφε καὶ ἐρηρότηκε καὶ τοῖς ὁμοίοις. Ἔτι σημείωσαι καὶ ὅτι ἤρκει μὲν πρὸς λόγου σαφήνειαν τὸ «κλονέοντας ὄπισθεν Τρῶας». οὕτω γὰρ ἐν τῇ Ω ῥαψῳδίᾳ εἰπὼν περὶ Τρώων καὶ Ἀχαιῶν, «τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν Ἀργείους» οὐδὲν πλέον ἐπάγει, ἀφεὶς ὀρινομένους τοὺς Τρῶας νοεῖσθαι ὡς τῶν Ἀργείων κλονούντων αὐτούς.

3.568 ἐποίησε δὲ ὅμως ἐνταῦθα τὸν λόγον σαφέστατον ἡ προσθήκη τοῦ «ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν». Ἔτι ἰστέον καὶ ὅτι ἐνταῦθα μὲν οὐχ' ὁμοιοπτώτως τοῖς Τρωσὶν ἡρμήνευσε τοὺς Ἀχαιούς, ἀλλὰ περιέφρασεν ἢ παρέφρασε τὸ κατ' αὐτούς, ἀντὶ τοῦ «Ἀχαιοὺς ὀρινομένους» εἰπὼν «ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν», ἑτέρωθι δὲ οὐκ ἐξ ἀνάγκης οὕτω γίνεται, ἀλλ' ὡς ἡ φραστικὴ μέθοδος δίδωσι. [Καὶ ἄλλως δὲ εἰπεῖν, τὸ «ἐρέριπτο τεῖχος» αἰτία ἐστί, δι' ἣν λυποῦνται οἱ ὀρινόμενοι. λέγει οὖν ὅτι ὠρίνοντο οἷς τὸ τεῖχος ἐρέριπτο, ἤγουν οἱ Ἀχαιοί. ἐκ δὲ τοῦ «ὀρινομένους καὶ κλονοῦντας» νοεῖν ἔστιν ὡς ταὐτόν ἐστιν ὀρίνεσθαι καὶ κλονεῖσθαι.] (v. 16—22) Ὅτι τὸν γέροντα Νέστορα διχθάδια βουλευόμενον, ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ἢ μετ' Ἀτρείδην ποιμένα λαῶν, καὶ ἐν συννοίᾳ ὄντα καὶ τῇ σκέψει ἐμμένοντα καὶ ἐπέχοντα, πρὸς κῦμα εἰκάζει, ὃ πρὸ ἐμβολῆς ἀνέμου ἀργὸν ἕστηκε, φράζων οὕτως «ὡς δ' ὅτε πορφύρῃ πέλαγος μέγα κύματι κωφῷ ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα αὔτως οὐδ' ἄρα τε προκυλίνδεται οὐδετέρωσε, πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον», ἤγουν ἐξ ἀέρος, «ὣς ὁ γέρων ὥρμαινε, δαϊζόμενος κατὰ θυμὸν διχθάδια». Καὶ ὅρα τὸ «διχθάδια», πρὸς ὃ μάλιστα ἡ παραβολή. καὶ τὸ κῦμα γὰρ οὐδετέρωσε προκυλίνδεσθαι εἶπε, τουτέστιν οὔτε ὧδε οὔτε ἐκεῖ. δύο γάρ τινων ἀπόφασις τὸ οὐδέτερος καὶ τὸ οὐδετέρωσε. (v. 16) Πορφύρειν δὲ τὸ μελαίνεσθαι, ὅθεν καὶ κῦμα πυρφύρεον καὶ πορφύρεος θάνατος. ὅτι δὲ τὸ πορφύρειν καὶ καλχαίνειν λέγεται, ἀλλαχόθι φαίνεται. Τὸ δὲ «μέγα πέλαγος» τὸ πολύνουν ἐμφαίνει τοῦ ἥρωος. Κῦμα δὲ κωφὸν τὸ μήπω ὕπαφρον καὶ παφλάζον, ὡς καὶ ἦχον ποιεῖν ἀκουστόν, καθά που καὶ κωφὸν βέλος τὸ ἄρροιζον. κωφὰ δὲ τὰ τοιαῦτα ὡς μὴ ἐνεργοῦντα εἰς ἀκοήν, τὴν καὶ κωφεύειν ἂν δοκοῦσαν διὰ τὸ μὴ ἔχειν τῶν τοιούτων αἰσθάνεσθαι. [Ὥστε κἀνταῦθα τὸ κωφὸν μετήνεκται εἴτ' οὖν μετατέθειται ἀπὸ τοῦ μὴ ἀκούοντος ἀλλὰ κωφεύοντος εἰς τὸ ἠρεμοῦν καὶ μὴ κτυποῦν καὶ διὰ τοῦτο μηδὲ ἀκουόμενον, ἵνα ᾖ κωφὸν κῦμα ὥσπερ καὶ βέλος, ἐφ' ᾧ κωφεύοι ἄν τις οἷα μὴ ἀκούων. Δῆλον δ' ὅτι Ὅμηρος μὲν κωφὸν οὐχ' εὕρηται λέγων ἄνθρωπον, οἱ δὲ μεθ' Ὅμηρον οἴδασι καὶ ἐπὶ ἀνθρώπου τὴν λέξιν, ὥσπερ σὺν ἄλλοις μυρίοις καὶ ὁ εἰπών, ὡς «καὶ κωφοῦ ξυνίημι καὶ οὐ λαλέοντος ἀκούω».

3.569 Τὸ μέντοι εἰπεῖν τραγικῶς ὅτι πρὸς τὸ κάλλος ἐκκεκώφηνται ξίφη, τροπῆς ἐστιν οἷον Ὁμηρικῆς. ὡς γὰρ βέλος κωφόν, οὕτω καὶ ξίφος. Ἐρρητόρευσε δὲ ἄλλως αὐτὸ κυρίως ὁ καλὸς Ἀθήναιος, ἐκκεκωφημένα πρὸς τὸ περιβόητον κάλλος τῆς Ἑλένης εἰπὼν τὰ ἐξ Ἰθάκης εὐγενῆ μειράκια ἐς Μενελάου ἐλθόντα. ὧν καὶ θαυμάζει τὴν ὡς πρέπον τότε ἡσυχίαν]. Ἔστι δὲ καθ' Ὅμηρον κῦμα κωφὸν τὸ πορφῦρον αὔτως καὶ πρὸ ἀνέμων ἐγειρόμενον καὶ οὐδετέρωσε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προκυλινδόμενον. (v. 17) Ὀσσόμενον δὲ ἢ τὸ προορῶν, ὡς εἴπερ αἰσθητικὸν ἦν, [ἵνα κατ' ἀντίθεσιν ἢ τροπὴν σκληρὰν μέν, ἀστεῖαν δέ, τὸ αὐτὸ κῦμα κωφεύοι μέν, προβλέποι δέ, τὸ μὲν διὰ τὸ ἄκτυπον, τὸ δὲ διὰ τὴν τῶν ἀνέμων δήλωσιν,] ἢ τὸ προμαντευόμενον. σημεῖον γὰρ ὄντως ἀνέμου τὸ τοιοῦτον, δηλοῦν ὡς τὸ ἐν τῷ περιέχοντι ἄνω θερμὸν κινεῖ τὸν ἀέρα ἤδη καὶ λύει τὴν παρακειμένην ὑγρὰν ὕλην, ὅθεν ἄνεμος ἔσται, ὃς ἐξ ἰκμάδος καὶ τοιαύτης ὕλης τὴν σύστασιν ἔχει. ὅθεν καὶ ἴκμενος οὖρος καὶ Ζεύς, φασίν, ἴκμενος. Δῆλον δὲ ὅτι μαντική ποτε λέξις τὸ ὄσσεσθαι ἀπὸ τῆς ὄσσης, ἣν ἀεὶ ἐπὶ μαντείας τίθησι. τοιαύτη δὲ λέξις ἔστιν ὅτε καὶ ἡ ὄψ, ὡς Διονύσιος Αἴλιος παρασημειοῦται, λέγων ὄπα τὴν κληδόνα, καὶ ὀπεύεσθαι τὸ κληδονίζεσθαι. Ἀριστοφάνης Λυσιστράτῃ «ὀπευόμενος κάθηται». [Οἱ δὲ λιγέες ἄνεμοι λέγοιντ' ἂν καὶ λιγύφωνοι πρὸς ὁμοιότητα τῶν λιγυφθόγγων κηρύκων, ἔτι δὲ καὶ λιγυροί. Τὰ δὲ τῶν ἀνέμων λαιψηρὰ κέλευθα τὰς ἀνεμώκεις νεφέλας καὶ τὰς ἀελλόποδας καὶ ὅσα τοιαῦτα παρήγαγον.

3.570 ] (v. 19) Ὁ δὲ [ἐκ Διός, ἤγουν ἀέρος] κεκριμένος οὖρος ὁ αὐτός ἐστι τῇ εὐκρινεῖ αὔρᾳ, ἧς χρῆσις καὶ παρὰ Ἡσιόδῳ [ἐν τῷ «εὐκρινέες αὖραι», αἷς ἐναντίαι εἰσὶν αἱ συγκεχυμέναι καὶ ἄτακτοι, ἐπεὶ καὶ ἐναντίον τὸ εὐκρίνειν καὶ τὸ συγχέειν, ὡς καὶ πρὸ ὀλίγων εἴρηται.] Τὸ δὲ «καταβῆναι οὖρον» γλυκέως ἐρρέθη ὡς ἐπί τινος [ἐμψύχου] μεταβατικοῦ σώματος, κοινότερον μέντοι καταπνεῦσαι λέγοιτ' ἄν. Ὅτι κἀνταῦθα φιλοβασιλεὺς ὁ Νέστωρ. βουλευσάμενος γὰρ ἢ μεθ' ὅμιλον Ἀχαιῶν ἔλθοι, ὡς ἐρρέθη, ἢ μετ' Ἀτρείδην Ἀγαμέμνονα, κρίνει κέρδιον ἐπ' αὐτὸν ἐλθεῖν. ἐπεὶ δὲ οὐκ ἦν εὔπλαστον περιϊέναι τὸν γέροντα καὶ ζητεῖν ποῦ ὁ βασιλεύς, ποιεῖ ἐκεῖνον συναντῶντα τούτῳ ἐν τοῖς ἑξῆς, ὡς οὐδὲ αὐτὸν ἡσυχάζειν ἐν ταῖς σκηναῖς ἐθέλοντα. (v. 24—6) Ὅτι λακεῖν ἐνταῦθα ἐπὶ χαλκοῦ λέγει κατὰ ὀνοματοποιΐαν. Φησὶ γὰρ «οἳ δ' ἀλλήλους ἐνάριζον μαρνάμενοι, λάκε δέ σφι περὶ χροΐ χαλκὸς ἀτειρὴς νυσσομένων ξίφεσί τε καὶ ἔγχεσιν ἀμφιγύοισι». σταδαία γὰρ ἡ μάχη, καὶ τὸ ἔργον ἀγχέμαχον. Ἰστέον δὲ ὡς ἀλλαχοῦ μὲν ὀστέα ἔλακε πάσχοντα, ἐνταῦθα δὲ αὐτὸς ἔλακεν, [ὡς καὶ προείρηται,] ὁ ποιῶν χαλκός. (v. 26) Ὅρα δὲ καὶ τὸ «νυσσομένων». ἦν μὲν γὰρ εἰπεῖν νυσσομένοις, ἠθέλησε δὲ πλαγιάσαι καινότερον κατὰ γενικῆς διὰ τὸ πανταχοῦ ἀσόλοικον τοῦ πλαγιασμοῦ. τίνα δὲ τὰ ἀμφίγυα ἔγχη, προείρηται. (v. 27 et 39) Ὅτι παθητικῶς ἔστι συμβαλέσθαι εἰπεῖν ἀντὶ τοῦ συναντῆσαι. φησὶ γὰρ «Νέστορι δὲ ξύμβληντο βασιλῆες, ὅσοι βεβλήατο χαλκῷ», καὶ «ὃ δὲ ξύμβλητο γεραιός». Παρὰ δέ γε τοῖς ὕστερον ξυμβαλέσθαι ἐστὶ τὸ νοῆσαι, οἷον «συνεβάλετο τὸν χρησμόν», ἤγουν ἔγνω τί βούλεται ὁ χρησμός. Λέγουσι δὲ συμβαλέσθαι καὶ τὸ λυσιτελῆσαι. ὅθεν ἀξύμβολος ὁ εἰς μηδὲν χρήσιμος. ἔτι δὲ ξυμβαλέσθαι ἦν καὶ τὸ συνεισαγαγεῖν τι πρὸς δαπάνην, ὅθεν καὶ δεῖπνον ἀξύμβολον τὸ δωρεὰν καὶ εἰς ὃ οὐ ξυμβέβληταί τι πρὸς τοῦ κληθέντος.

3.571 Τὸ δὲ «ξύμβληντο» καὶ τὸ «βεβλήατο» ἔχουσί τι παρηχητικόν. (v. 29—31) Ἰστέον δὲ ὅτι παραδεικνὺς ἐνταῦθα Ὅμηρος πόθεν που ὁ Νέστωρ καὶ οἱ ξυμβλήμενοι, ὡς ἐρρέθη, αὐτῷ βασιλεῖς ἔρχονται, ὁ Διομήδης, ὁ Ὀδυσσεὺς καὶ ὁ Ἀγαμέμνων, ὅτι δηλαδὴ ἀπὸ τῶν πρὸς τῇ θαλάσσῃ νηῶν ἐπὶ τὰς πορρωτέρω, περὶ ἃς τὸ τεῖχος, φησὶ «πολλὸν γάρ ῥ' ἀπάνευθε μάχης εἰρύατο», τουτέστιν εἱλκυσμέναι ἦσαν, «νῆες θῖν' ἐφ' ἁλὸς πολιῆς», ἐν αἷς δηλαδὴ καθ' ἡσυχίαν ἦσαν οἱ βασιλεῖς οὗτοι. (v. 31—6) Εἶτα ἑρμηνεύων πῶς ἦσαν αἱ πρὸς τῇ θαλάσσῃ αὗται νῆες πολὺ πόρρω τῆς μάχης, φησὶν «τὰς γάρ», ἤγουν ταύτας, ὅσαι πρῶται ἤγγισαν τῇ γῇ ἐν τῷ ἐξ ἀρχῆς κατάπλῳ, «πρώτας πεδίονδε εἴρυσαν», οἱ Ἀχαιοὶ δηλαδή, οὓς διὰ τὸ πάντῃ φανερὸν ἐσίγησεν ὁ ποιητής, «αὐτὰρ τεῖχος ἐπὶ πρύμνῃσιν ἔδειμαν. οὐδὲ γὰρ οὐδ' εὐρύς περ ἐὼν ἐδυνήσατο πάσας αἰγιαλὸς νῆας χαδέειν», ὅ ἐστι χωρῆσαι καθ' ἕνα στίχον, «στείνοντο δὲ λαοί. τῷ ῥα», ἤγουν διό, «προκρόσσας ἔρυσαν, καὶ πλῆσαν [ἁπάσης», ἤγουν] ὅλης, «ἠϊόνος στόμα μακρόν, ὅσον ξυνεέργαθον», ἤγουν ὅσον περιεῖχον καὶ συνέκλειον ἔντος «ἄκραι», ἤτοι τὰ ῥηθέντα ἀλλαχοῦ ἀκρωτήρια, ἢ τὰ τοῦ ναυστάθμου κέρατα. Καὶ ἦσαν λοιπὸν αἱ μὲν τῶν νηῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νενεωλκημέναι μακρὰν τῆς μάχης θῖνα ἐφ’ ἁλὸς πολιῆς, ἔνθα καὶ αἱ τοῦ βασιλέως, ὡς δηλοῖ καὶ τὸ «νῆες δέ τοι ἄγχι θαλάσσης», ἄλλαι δὲ ἵσταντο πορρωτέρω τῆς θινὸς ἑλκυσθεῖσαι εἰς τὸ πεδίον καὶ οὖσαι πρὸς τῷ τείχει, ἃς καὶ πρώτας φησίν, ὡς τὴν ἀρχήν τε τῶν ἄλλων προκαθορμισθείσας καὶ ὡς πρώτας οὔσας τοῖς ἀπὸ τοῦ τείχους ἰοῦσιν ἐπὶ τὴν θαλάσσαν, οἷς πάντως ἔσχαταί εἰσιν αἱ πρὸς τῇ θαλάσσῃ. Ἑτέρως μέντοι πρῶται μέν εἰσιν αἱ ἄγχι τῆς θαλάσσης, ἔσχαται δὲ αἱ τοῦ τείχους ἐγγύς, μεταξὺ δὲ τῶν δύο τούτων στίχων αἱ σκηναί, τὰ ἱπποστάσια, οἱ βωμοί, αἱ ἀγοραί, καὶ εἴ τι τοιοῦτον. Ὅτι δὲ καὶ τὰς παραθαλασσίους ὁ ποιητὴς πρώτας ἔχει, δηλοῖ μετ’ ὀλίγα, εἰπὼν «νῆας, ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης», πρὸς διαστολὴν πάντως τῶν ἄλλων, αἱ ἄγχι τοῦ τείχους πρῶταί εἰσιν, ὡς εἶναι τὸ ἐλάχιστον δύο στίχους νηῶν, ἕνα τὸν πρῶτον πρὸς τῇ θαλάσσῃ, καὶ ἕτερον τὸν πρῶτον πρὸς τῷ τείχει. Ὁ μέντοι Κράτης οὐκ ἐν διστίχῳ φησὶν εἶναι τὰς ναῦς. ὅπως δὲ τοῦτο κατασκευάζει, περιττὸν ἐκθέσθαι. (v. 35) Προκρόσσας δὲ Ὅμηρος λέγει τὰς οὕτως ὡρμισμένας νῆας, ὡς κλιμακηδὸν οἷον ἱσταμένας διὰ τὸ ὑψηλὸν τοῦ τόπου.

3.572 κρόσσαι γάρ, ὡς ἐρρέθη, τειχομάχοι κλίμακες. Οἱ δὲ παλαιοὶ καὶ οὕτω φασίν· προκρόσσας τὰς ἑτέρας πρὸ ἑτέρων, ὥστε θεατροειδὲς φαίνεσθαι τὸ νεώλκιον. Ἔτι δὲ καὶ οὕτω· προκρόσσας, ἄλλας ἐπ’ ἄλλαις, ἀντιπρῴρους. Ἡ δὲ λέξις αὕτη καὶ παρὰ Ἡροδότῳ κεῖται, ὃς καὶ ἐφερμηνεύων αὐτήν φησιν «προκρόσσας ὥρμουν τὰς ναῦς, αἱ μὲν γὰρ πρὸς τὴν γῆν ὥρμεον, αἱ δ’ ἐπ’ ἐκείναις ἐπ’ ἀγκυρέων» καὶ ἑξῆς, καὶ πάλιν «αἱ πρῶται τῶν νηῶν ὥρμεον πρὸς γῆν, ἄλλαι δ’ ἐπ’ ἐκείναις ἐπ’ ἀγκυρῶν. ἅτε γὰρ τοῦ αἰγιαλοῦ ὄντος οὐ μεγάλου πρόκροσσαι ὡρμοῦντο ἐς πόντον καὶ ἐπὶ ὀκτὼ νέας». Καὶ οὕτω μὲν Ἡρόδοτος τὰς παρ’ αὐτῷ φράζει προκρόσσας, αἱ μέντοι τῶν Ἑλλήνων ἐπὶ ξηρᾶς εἶχον τὸ πρόκροσσον καὶ ὑψηλότερον ἵσταντο αἱ πρὸς τῷ τείχει. καὶ ἦν ἴσως καὶ τοῦτο ἀποσιμοῦσθαι, ὅ ἐστιν ἀπὸ σιμοῦ καὶ κοίλου τόπου ἀνῆχθαι ὑψοῦ. Κεῖται δὲ τὸ ἀποσιμοῦσθαι παρὰ τοῖς παλαιοῖς, παρ’ οἷς οὐ μόνον ἀπεσίμωσε· τὸ ὕψωσε καὶ πρὸς τὸ λαμπρότατον ἤγαγε, κατὰ Παυσανίαν, ἀλλὰ καὶ ἀποσιμῶσαι τὸ μετεωρίσαι ναῦς παρὰ Θουκυδίδῃ. (v. 30) Τὸ δὲ «πολλὸν γάρ ῥ’ ἀπάνευθεν» ὀκνοῦμεν πάλιν εἰπεῖν, ὡς ἐπίτηδες ἔχει τὸν ρα σύνδεσμον διὰ τραχυφωνίαν φίλην τοῖς ποιηταῖς. Ἀπὸ δὲ τοῦ ἐρύειν, ἀφ’ οὗ τὸ εἰρύατο καὶ τὸ εἴρυσαν καὶ τὸ ἔρυσαν, δοκεῖ παρῆχθαι καὶ ὁ παρὰ τῷ Παυσανίᾳ ἐρυσμός, λάχανον, φησίν, θερμαντικόν, οὗ τὸ σπέρμα τρίβουσαι πίνουσιν αἱ κύουσαι γυναῖκες. (v. 33) Τὸ δὲ «οὐδὲ γὰρ οὐδ’ εὐρύς περ ἐών» εὐειδὲς καὶ αὐτὸ σχῆμα διὰ τὸ διπλοῦν τῆς ἀποφάσεως. Σύνηθες δὲ Ὁμήρῳ οὕτως ἀπὸ δύο ἀρνήσεων ἄρχεσθαι, οἷον καὶ τὸ «οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱός», καὶ τὸ «οὐδὲ γὰρ οὐδέ κεν αὐτὸς ἔκφυγε», καὶ ἕτερα. (v. 34) Τοῦ δὲ «χαδέειν» ἐνεστὼς χάζω, οὗ δεύτερος ἀόριστος ἔχαδον, οὗ τρίτον πρόσωπον τὸ «οὐκ ἔχαδε στῆθος χόλον». ὅθεν μέλλων δεύτερος χαδῶ, ἐξ οὗ χαδεῖν καὶ χαδέειν τὸ χωρῆσαι κατὰ ποιητάς.

3.573 Τὸ δὲ «στείνοντο» δίδωσι νοεῖν, ὡς δυνατὸν στεῖνος εἰπεῖν καὶ τὸ ἁπλῶς στενοχώρημα, καθὰ ἐρρέθη στεῖνος καὶ τὸ μέσον τῆς τάφρου καὶ τοῦ τείχους. (v. 35) Τὸ δὲ «ἔπλησαν στόμα ἠϊόνος» πάνυ ἀστείως εἴρηται κατὰ μεταφορὰν ζωϊκοῦ στόματος, ὃ τοῖς ἐντιθεμένοις βύεται. [Δῆλον δ’ ὅτι ᾧ λόγῳ στόματα λέγεται ποταμῶν, ἔνθα ἐκεῖνοι εἰς θάλασσαν ἐρεύγονται, οὕτω καὶ στόμα θαλάσσης, ἔνθα ἐκείνη ἀποπτύει συνήθως ἄχνην. καί πως ἀλλήλας αἱ λέξεις αὗται συγκροτοῦσι πρὸς ἀσφάλειαν. στόματος γὰρ τὸ ἐξερεύγεσθαι καὶ τὸ ἀποπτύειν. Ὅτι δὲ τὸ στόμα μακρὸν ἔχει τι κάλλους κατὰ τὸ «ἦλθε θέων», καὶ τὸ «βοὴ ἦν» καὶ τὰ τοιαῦτα, οὐδ’ αὐτὸ τοῖς περὶ λόγους ἄδηλον.] (v. 36) Τὸ δὲ «ξυνεέργαθον», καὶ ὅλως εἰπεῖν, τὸ ξυνεεργάθειν ἀνάπαλιν ἔχει πρὸς τὸ ἀποεργάθειν, ὅπερ ἐν τῇ λ’ ῥαψῳδίᾳ κεῖται. (v. 28) Ἰστέον δὲ καὶ ὅτι τὸ βεβλῆσθαι τοὺς ῥηθέντας βασιλεῖς, ὡς καὶ ἀλλαχοῦ προπαρεσημειώθη, οὐ κατὰ κυριολεξίαν ἐρρέθη, ἀλλ’ ἁπλῶς ἀντὶ τοῦ παθεῖν ἕλκος. κατὰ γὰρ τὸ κύριον τῆς λέξεως Διομήδης μὲν βέβληται ὀϊστῷ ὑπὸ Πάριδος, Ὀδυσσεὺς δὲ οὔτασται ὑπὸ Σώκου, τὸν δὲ βασιλέα ἔνυξε κατὰ χεῖρα ὁ Κόων.

κατεχρήσατο οὖν τῇ λέξει τοῦ βεβλῆσθαι, ἢ καὶ γενικῶς αὐτὸ εἶπεν, ὡς τοῦ βάλλεσθαι κατὰ ἔννοιαν γενικὴν ἐπὶ παντὸς ἕλκους δυναμένου λέγεσθαι. οὕτω γὰρ καὶ μετ' ὀλίγα ὁ Νέστωρ ἐρεῖ «οὐ γάρ πως βεβλημένον ἔστι μάχεσθαι», ἤγουν ἕλκος ἔχοντα. Τινῶν δέ γε εἰπόντων σχῆμα καὶ τοῦτο εἶναι συλλήψεως, ὡς τῷ βεβλημένῳ Διομήδει συλλαμβανομένων τῶν οὐτασμένων δύο βασιλέων, οὐκ ἀρέσκονται οἱ ἀκριβέστεροι ὡς ἐν τῇ ν' ῥαψῳδίᾳ εἴρηται. διὸ μᾶλλον κάλλιον ὁ Διομήδης μετ' ὀλίγα φησὶν «ἴομεν εἰς πόλεμον οὐτάμενοί περ», συμπεριλαμβάνων ἕνα ἑαυτὸν τοῖς δυσὶν οὐταμένοις. (v. 37) Ὅτι τὸ «βασιλεῖς ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο» ἀντὶ τοῦ ὀπτικῶς ἔχοντες.

3.574 Φασὶ γὰρ οἱ παλαιοί, ὡς τὰ τοιαῦτα ῥήματα ἔφεσίν τινα δηλοῦσι καὶ τὸ ἐπιθυμητικῶς τινὸς ἔχειν. ὅθεν καὶ βρωσείω τὸ βρωτικῶς, φασίν, ἔχω, καὶ κακκείοντες οἱ κοιμητικῶς ἔχοντες. Σημειοῦνται δὲ καί, ὡς οἱ τοιοῦτοι ἐνεστῶτες οὐ προχωροῦσιν εἰς μέλλοντας. Πτολεμαῖος δὲ ὁ ἐπίκλην ἐπίθετος, οὐκ ἀποδεχόμενος τὸ ὀψείοντες, ἔγραφεν «οὐ ψαύοντες πολέμοιο», καὶ ἀρέσκει τοῖς παλαιοῖς ἔχειν λόγον καὶ τὴν τοιαύτην γραφήν. [Τὸ δὲ «ἀϋτῆς» καὶ τὸ «πολέμοιο», συνήθως παραλληλισθέντα, τὴν αὐτὴν σημασίαν ἔχουσιν. ἄλλως γὰρ οὐκ ἔστιν ἀϋτήν, ἤγουν βοήν, ὅπερ ἐστὶ φωνήν, ὄψεσθαι—ἀκουστὴ γὰρ ἡ φωνή—οὐδὲ μὴν κατὰ τὴν Πτολεμαίου γραφὴν ψαῦσαι τοιαύτης ἀϋτῆς ἔστιν.] (v. 38 s.) Ὅτι κατ' ἀνάγκην οἱ ῥηθέντες τρεῖς βασιλεῖς «ἔγχει ἐρειδόμενοι ἔκιον ἀθρόοι· ἄχνυτο δέ σφι θυμὸς ἐνὶ στήθεσσι», διὰ τό, ὡς ἐρρέθη, βεβλῆσθαι. Τὸ δὲ «ἀθρόοι» δασύνει Ἀρίσταρχος, καὶ εἴρηται περὶ τούτου ἐν τῇ τῆς Ὀδυσσείας ἀρχῇ. Σημείωσαι δὲ ὡς διὰ τὸ ἀθρόοι ἔφη τὸ ἔγχει ἑνικῶς, ἀθρόα, ὡς εἰπεῖν, συνεκφωνήσας καὶ τὰ τῶν τριῶν ἔγχεα τῷ ἑνί. ἄλλως δέ γε νοητέον, ὅτι ἐρειδόμενοι ἕκαστος τῷ οἰκείῳ ἔγχει. Ὅτι κατὰ τὸ Ἡσιόδειον τὸ «τὰ δὲ λείψεται ἄλγεα λυγρά», ἤγουν τὰ δὲ ἄλγεα ἐναπολειφθήσονται, οὕτω κἀνταῦθα καθ' ὑπέρβασιν τὸ «ὃ δὲ ξύμβλητο γεραιός», ὅπερ ἐστίν· ὁ δὲ γεραιὸς συνήντησε τοῖς βασιλεῦσι, δηλαδὴ ὁ Νέστωρ. (v. 40) Ὅτι οὕτω σχέτλιος ὁ Νέστωρ, ὥς που ἐγράφη, καὶ ἀμήχανος καὶ γήραϊ λυγρῷ οὐκ ἐπιτρέπων καὶ πόνου οὔποτε λήγων, ὥστε οἱ βασιλεῖς ἰδόντες αὐτὸν ἐπ' αὐτοὺς ἥκοντα ἐθαύμασαν, εἰ καὶ αὐτὸς τὸν πόλεμον ἔλιπε, «πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν», τουτέστιν ἐθρόησεν, ἐξεφόβησεν, ἢ ὡς ὁ Σιδώνιος καὶ ὁ Ζηνόδοτος γράφει «πῆξε», τουτέστι πεπηγέναι οἷον τῷ δέει ἐποίησε.

3.575 (v. 44—7) Διὸ καθὰ ὁ Πολυδάμας πρὸ μικροῦ δεδιέναι εἶπε, μὴ σήμερον τὸ χθιζὸν Ἕλληνες ἀποστήσωνται χρέος, οὕτω κἀνταῦθα ὁ βασιλεὺς «δείδω», φησί, «μὴ δή μοι τελέσῃ ἔπος ὄβριμος Ἕκτωρ, ὥς ποτ' ἐπηπείλης' ἐνὶ Τρώεσσ' ἀγορεύων μὴ πρὶν πὰρ νηῶν προτὶ Ἴλιον ἀπονέεσθαι, πρὶν πυρὶ νῆας ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούς», τοὺς ἐν ταῖς ναυσὶ δηλαδή, συννοουμένους πάντως αὐταῖς, εἰ καὶ ὁ βασιλεὺς ἀγωνιῶν, ὡς εἰκός, καὶ συγκεχυμένος οὐκ ἐντελῶς ἔφρασε. [Δύναται δὲ τὸ «αὐτούς» εἶναι καὶ ἀντὶ τοῦ ἡμᾶς, οὗ χρῆσις μυριαχοῦ, ὡς καὶ ἐν τῷ «ἀλλὰ καὶ αὐτοί περ πονεώμεθα».] Σημείωσαι δὲ ὅτι τε τὸ πτῆξε κατὰ ἀλλοπάθειαν ἔφη ἀντὶ τοῦ εἰς πτοίαν ἐκίνησεν, οὐ μὴν κοινότερον αὐτοπαθῶς ἀντὶ τοῦ ἐπτοήθη, καὶ ὅτι τὸ ποτέ καὶ ἐνταῦθα οὐκ εἰς μακρὸν ἀναφέρει χρόνον, ἀλλὰ τὸ χθὲς δηλοῖ, ὅτε μνημοσύνην πυρὸς γενέσθαι ὁ Ἕκτωρ ἐνεκελεύετο, εἰ πελάσει ταῖς ναυσί. τοιοῦτον καὶ τὸ ὑπὸ Διομήδους λεχθέν «οὕς ποτε ἀπ' Αἰνείαν εἱλόμην», ἤγουν πρὸ ὀλίγου. καὶ ὅτι τὸ «ὥς ποτε» δύναται καὶ διὰ τοῦ ο μικροῦ γραφῆναι ὡς ἄρθρον ὑποτακτικόν. Ὅρα δὲ κἀνταῦθα, ὡς οὐκ ἐλάνθανον τοὺς πολεμίους τὰ ἀλλήλων. ἰδοὺ γὰρ Ἀγαμέμνων οἶδεν, ἃ ὁ Ἕκτωρ χθὲς εἶπε. τὸ δὲ σχῆμα τοῦ βασιλικοῦ λόγου προαναφώνησις. προλαλεῖ γὰρ Ὅμηρος ἃ πράξει ὁ Ἕκτωρ. (v. 42 s.) Ὅτι ἀνὴρ ἔντιμος παρὰ καιρὸν ἀπόμαχος γεγονὼς ἀκούσοι ἄν ποθεν τὸ «ὦ δεῖνα, μέγα κῦδος Ἀχαιῶν, τίπτε λιπὼν πόλεμον φθισήνορα δεῦρ' ἀφικάνεις». παρῳδηθήσεται δέ ποτε καὶ ἐπὶ τοῦ ἔκ τινος ἀγῶνος ἀκαίρως ὑποχωρήσαντος. (v. 48) Ὅτι ἀλήθειαν προηγορευμένου λόγου δηλοῖ τὸ «κεῖνός θ' ὣς ἀγόρευε· τὰ δή», ἤγουν ταῦτα δέ, «νῦν πάντα τελεῖται». Ἰστέον δὲ ὅτι οὐκ ἐξ

ἀνάγκης τὸ «κεῖνος» Ἰωνικὴν ἀφαίρεσιν ἔπαθε τοῦ κατάρχοντος ε . οὐ γὰρ ἀναμφιλέκτως πρωτότυπον τὸ ἐκεῖνος, ἵνα ἐξ αὐτοῦ γένηται τὸ κεῖνος καὶ τὰ τῆς αὐτοῦ συστοιχίας, ὁποῖον καὶ τὸ κεῖθι καὶ τὸ κεῖσε, ἀλλ' ἡ ἀναλογία δισυλλαβεῖν αὐτὸ οἶδε κατὰ τὸ αὐτός, οὗτος, ἐγώ. αἱ γὰρ πρωτότυποι ἀντωνυμίαι οὐ φιλοῦσιν ὑπερβαίνειν δισυλλαβίαν ἀπαθεῖς οὖσαι. τὸ γὰρ οὑτοσί οὐκ ἀπαθές, τὸ δὲ σφωΐτερος οὐ πρωτότυπον. Ἄλλῳ μέντοι λόγῳ ἀναλογώτερον τὸ ἐκεῖνος ἐκ φωνήεντος ἀρχόμενον κατὰ τὰς πρωτοτύπους μονοπροσώπους ἀντωνυμίας, ἃς ἐκτίθενται οἱ παλαιοί. (v.

3.576 49—51) Ὅτι συχνότερον ὁ ποιητὴς ἀναγκαίως ἐκ τοῦ νῦν μεμνημένος Ἀχιλλέως—μικρὸν γὰρ ὅσον εἰς μάχην ἐξαγάγῃ αὐτόν—ποιεῖ τὸν βασιλέα σχετλιάζοντα καὶ λέγοντα «ὢ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ ἐν θυμῷ βάλλονται ἐμοὶ χόλον, ὥσπερ Ἀχιλλεύς, οὐδ' ἐθέλουσι μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσι». (v. 50) Καὶ ὅρα τὸ «βάλλονται» ἀντὶ τοῦ βάλλουσι, τιθέασι. (v. 51) Τὸ δὲ «ἐπὶ πρύμνῃσι» τεχνικῶς πέφρασται. αἱ γὰρ τοιαῦται νῆες πρὸς τῇ γῇ τὰς πρύμνας ἔχουσιν, αἱ δέ γε πρῷραι τοῦ ὕδατός εἰσιν ἐν τῷ ὅρμῳ. (v. 53) Ὅτι καὶ ἐνταῦθα ἑτοῖμα, τὰ πρόχειρα, προπερισπωμένως λέγει, εἰπὼν διὰ τοῦ Νέστορος «ἦ δὴ ταῦτά γ' ἑτοῖμα τετεύχαται». τὸ δὲ «οὐκ ἂν ἄλλως γένοιτο» οὕτω διὰ τοῦ αὐτοῦ φράζει «οὐδέ κεν ἄλλως Ζεὺς αὐτὸς παρατεκτήναιτο», ἤγουν παραποιήσειε. δηλοῖ δὲ διὰ τούτου φιλοσόφως μὴ ἂν εἶναι δυνατὸν τὸ γεγονὸς μὴ γεγονέναι. Τέτραπται δὲ τὸ «παρατεκτήναιτο» ἐκ τῶν τεκτονικῶς τεχνωμένων παραποιεῖν τὰ κατ' αὐτοὺς ἔργα. (v. 55—60) Οὕτω δὲ εἰπὼν καὶ ἐπαγαγὼν γοργὴν ἀφήγησιν ταύτην «τεῖχος μὲν γὰρ δὴ κατερήριπεν», ὡς πρὸ ὀλίγων ἐρρέθη, «ᾧ ἐπέπιθμεν», ἤγουν ἐπεποίθειμεν, ἐπιστεύομεν, «ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ», ἤγουν ἔρυμα καὶ ἀσφάλειαν, «ἔσεσθαι, οἳ δ' ἐπὶ νηυσὶ μάχονται», ἐπιφέρει τινὰ ἐφεξῆς, ἃ τὸν πανταχοῦ κίνδυνον δηλοῦσιν, εἰπὼν «οὐδ' ἂν ἔτι γνοίης, μάλα περ σκοπιάζων, ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται· ὣς ἐπιμὶξ κτείνονται», διὰ τὸ ὁμόσε τὴν μάχην ἐλθεῖν, «ἀϋτὴ δ' οὐρανὸν ἵκει». (v. 55) Ὅρα δὲ ὅτι τὸ «ᾧ ἐπέπιθμεν», εἰ μὴ διὰ δάκτυλον ἔσχε δοτικήν, εἶχε γράφεσθαι καὶ διὰ τοῦ ο μικροῦ διὰ τὸ ἔσεσθαι, ἵνα ἔλεγεν, ὡς ἐθαρροῦμεν ἔσεσθαι αὐτὸ εἶλαρ. νῦν δὲ ἐκτέταται διὰ τὸ ἐπέπιθμεν, ᾧ δηλαδὴ ἐπεποίθεισαν. (v. 56) Τὸ δὲ «ἄρρηκτον» καιριωτάτη λέξις ἐπὶ στερεοῦ τείχους. (v. 58) Σκοπιάζειν δὲ τὸ εἰς περιωπήν, ὡς προερρέθη, ἐλθεῖν κἀκεῖθέν τι κατασκοπεῖν. (v. 59) Τὸ δὲ «ὀρινόμενοι κλονέονται» γοργῶς ἐπὶ Ἀχαιῶν ἔμιξε τὸ πρὸ βραχέων ῥηθὲν «τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν».

3.577 (v. 60) Πάνυ δὲ γοργὸν οἷα καὶ ἐπιφωνηματικὸν τὸ «ὣς ἐπιμὶξ κτείνονται». λέγεται δὲ τὸ ἐπιμίξ καὶ μίγδα ποιητικώτερον, ἔτι δὲ καὶ ἀναμίξ. ὀξύνεται δέ, διότι τὰ εἰς ιξ ἐπιρρήματα ὀξύνονται, οἷον κουρίξ, ἀντὶ τοῦ ἐκ κουρᾶς, ἤτοι ἀπὸ τριχῶν, ἀπρίξ, ἐπιμίξ, σεσημείωται τὸ πέριξ. (v. 61—3) Ὅτι ἀπογνοὺς ὁ Νέστωρ τῆς διὰ χειρῶν βοηθείας τῶν βασιλέων φησίν, ὡς καὶ ἅπας εἴποι ἂν εἰς τὸ τῆς ἀνάγκης ἐφευρετικὸν ἀπιδὼν «ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα, εἴ τι νόος ῥέξει. πόλεμον δὲ οὐκ ἄμμε κελεύω δύμεναι, οὐ γάρ πως βεβλημένον ἐστὶ μάχεσθαι», ἤγουν ἕλκος ἔχοντα, εἴτε πόρρωθεν εἴτε ἐγγύς. γενικὴ γὰρ ἡ λέξις, ὡς καὶ πρὸ ὀλίγων δεδήλωται. Καὶ ὅρα ὅτι παιδεύει ὁ ποιητὴς ἐνταῦθα, ὡς καὶ ἐν τοῖς δεινοτάτοις ἔστιν ἀνασφῆλαι διὰ φρονήσεως. (v. 67) Ὅτι ἐν πολλαῖς Ὁμηρικαῖς λέξεσιν, ὡς καὶ ἐν ἄλλοις ἐτηρήθη, λείπει τὸ εὖ. καὶ ὅτε γοῦν εἴπῃ· τάφρος ὀρυκτὴ καὶ πύλας ποιητάς καὶ ἅρματα κολλητά καὶ ἄροτρον καὶ μέγαρον πηκτόν καί τι ἔργον τυκτόν, ἐν τοῖς τοιούτοις κατὰ τοὺς παλαιοὺς τὸ εὖ ἐξακούεται. διὸ καὶ νῦν ἐν τῷ «τεῖχος δ' οὐκ ἔχραισμε τετυγμένον», [ὡς καὶ πρὸ τούτων ἐν τῷ «σάκος τετυγμένον», περὶ οὗ προείρηται,] προσυπακουστέον τὸ εὖ, ἵνα ᾖ εὖ τετυγμένον καὶ ὡς εἰπεῖν εὔτυκτον. ὅπερ ἢ ἀπὸ τοῦ τεύχω γίνεται ἀπελεύσει τοῦ ε , ἵνα ᾖ τὸ ἀπαθὲς εὔτευκτον, ἢ ἀπὸ τοῦ τύκω, ἐξ οὗ καὶ τὸ «τετύκοντό τε δαῖτα» καὶ ἡ παρὰ τοῖς παλαιοῖς καὶ εἰσέτι δὲ νῦν τυκάνη, ᾗ, φασίν, ἀλοῶσιν, ἢ καὶ ἀπὸ τοῦ τύκου, ἐργαλείου οἰκοδομικοῦ, ὃ καὶ τυκίον λέγεται, ἀφ' οὗ καὶ

τυκίζειν ῥῆμα παρὰ τῷ Κωμικῷ. καὶ τοιοῦτος μὲν ὁ ῥηθεὶς τύκος. Ὁ μέντοι παρὰ τῷ Παυσανίᾳ διὰ τοῦ χ τύχος, ὡς ἐκεῖνός φησι, λιθοξοϊκόν ἐστι σιδήριον, ἀφ᾽ οὗ ἀποτυχίσαι λίθον τὸ ἀποπελεκῆσαι. (v. 67 s.) Ὅτι ἐπὶ τῇ τάφρῳ καὶ τῷ τείχει κατὰ τὸν λόγον τοῦ βασιλέως «πόλλ᾽ ἔπαθον Δαναοί», ὅτε δηλαδὴ ἐποίουν αὐτά, «ἔλποντο δὲ θυμῷ ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι», ὃ δὴ καὶ πρὸ βραχέων ὑπὸ Νέστορος εἴρηται. Ἰστέον δὲ ὅτι τὸ «ᾗ ἔπι πόλλ᾽ ἔπαθον» ὁμοίως πέφρασται τῷ «ᾧ ἔπι πόλλ᾽ ἐμόγησα». [Ἔνθα ὅρα τὸ ἔπαθον πλατύτερον ὂν τοῦ μογῆσαι.

3.578 τὸ μὲν γὰρ μογεῖν ἐπίπονον, τὸ δὲ παθεῖν καὶ ἐπὶ ἡδέων καὶ ἐπὶ μέσων λέγεται.] Ὅτι τὸ «ἤδεα» καὶ ἐνταῦθα κεῖται διαλελυμένον ἐκ τοῦ ἤδειν Ἰωνικῶς, οὗ μνήμη καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ ἦν. (v. 71—3) Φησὶ γὰρ ὁ βασιλεὺς «ἤδεα γὰρ ὅτε πρόφρων Δαναοῖσιν ἄμυνεν», ὁ Ζεὺς δηλαδή, «οἶδα δὲ νῦν ὅτι Τρῶας μὲν ὁμῶς μακάρεσσι θεοῖσιν», ἤγουν οἷα καὶ θεούς, «κυδάνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησεν», ἃ δὴ παρῳδηθήσεταί ποτε καὶ εἰς ἑτέραν τινὰ δυσπραγίαν. (v. 73) Ὅρα δὲ τὸ «ἔδησε», δι᾽ οὗ βίαν τε τοῦ Διὸς δηλοῖ καὶ παντελῆ ἀπραξίαν τῶν Ἀχαιῶν. Τὸ δὲ «κυδάνει» ὅμοιον τῷ «μελάνει δέ τε πόντος», ὅ ἐστι μελαίνεται, καὶ τῷ «ἀλλά μοι κραδίη οἰδάνει», ἤγουν οἰδαίνεται. (v. 74—9) Ὅτι ὁ βασιλεὺς ἢ μὴ ὁρῶν τὸ χρειῶδες διὰ τὴν ἐκ τοῦ λυπεῖσθαι σύγχυσιν ἢ καὶ τῶν ἀριστέων ἄρτι μόνων ἀποπειρώμενος, ὡς ἀλλαχοῦ ὅλου ἀπεπειράσατο τοῦ πλήθους, πρῶτα μὲν λαλεῖ μετὰ τὴν τοῦ Νέστορος δημηγορίαν, ὅπερ οἰκεῖον συμβούλῳ «ἀλλ᾽ ἄγεθ᾽ ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες», εἶτά φησιν, ὅτι «νῆας, ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης, ἕλκωμεν, πάσας δὲ ἐρύσομεν εἰς ἅλα δῖαν, ὕψι δ᾽ ἐπ᾽ εὐνάων ὁρμίσομεν, εἰς ὅ κεν», ἤγουν ἕως, «ἔλθῃ νὺξ ἀβρότη, ἢν καὶ τῇ ἀπόσχωνται πολέμοιο Τρῶες, ἔπειτα δέ κεν ἐρυσαίμεθα νῆας ἁπάσας». (v. 80 s.) Εἶτα αἰσθόμενος, ὡς αἰσχρὰ συμβουλεύει ὁ εἰπὼν ἀλλαχοῦ «ἰδρώσει μέν τευ τελαμὼν ἀσπίδος» καὶ τὰ ἑξῆς, καὶ εἰδὼς ὡς λειποτακτεῖ οὕτως αὐτὸς ὁ ἀπειλήσας τοῖς φυγομαχοῦσι, καὶ διὰ τοῦτο κρίνας, ὡς αἰσχρόν ἐστι δραπετεύειν τὴν μάχην, καὶ ταῦτα νυκτός, κατασκευάζει γνωμικῶς τὸ συμβουλευθέν, χρωματίζων αὐτὸ εἰς δῆθεν εὔλογον, καί φησιν· «οὐ γάρ τις νέμεσις φυγέειν κακὸν οὐδ᾽ ἀνὰ νύκτα. βέλτερον, ὃς φεύγων προφύγῃ κακὸν ἤπερ ἁλῴη», ἢ καὶ ἄλλως, «ἠὲ ἁλῴη». ὃ δὴ παράφρασίς ἐστι τοῦ «οὐ γάρ τις νέμεσις φυγέειν κακόν», διττολογήσαντος καὶ νῦν καιρίως τοῦ ποιητοῦ διὰ πιθανότητα καὶ σαφήνειαν. Ἔνθα ὅρα ὡς οὐκ εἶπεν «οὐ γάρ τις νέμεσις φυγεῖν πόλεμον» —ἀγεννέστατον γὰρ τοῦτό γε καὶ νεμεσητόν. —, ἀλλ᾽ ἐσχημάτισεν εἰπὼν «φυγέειν κακόν». διὸ οὐδὲ φεύγωμεν ἀπολύτως εἶπε καὶ σαφῶς, ὡς ἀλλαχοῦ, ἀλλ᾽ ἐν γνωμικῷ λόγῳ τὴν ἔννοιαν ταύτην παρέρριψεν, ἅμα καὶ ἀνασκευάζων διὰ τῆς γνώμης τὸ δοκοῦν τοῦ φεύγειν αἰσχρόν, ὃς καὶ τὸ κακόν ἐπίτηδες δὶς εἶπεν ἐπὶ τοῦ φευκτοῦ πολέμου, ἐξ οὗ δεῖ χάζεσθαι κατὰ τὴν ἐτυμολογίαν τοῦ κακοῦ.

3.579 Καλῶς δέ, φασί, νῦν ὁ βασιλεὺς πειρᾶται τῶν ἀριστέων. οἶδε γὰρ ὡς ἐν ἡσυχίᾳ μὲν πραγμάτων κολακικῶς εἴτε καὶ αἰδημόνως ὑποπίπτουσιν οἱ πολλοὶ τῷ ὑπερέχοντι, κινδύνου δὲ προκειμένου φόβος οὐ δεκάζει, ἀλλὰ δηλοῖ τὴν προαίρεσιν ἕκαστος, πάντα τῆς ἰδίας ἀσφαλείας ἐν δευτέρῳ τιθέμενος. οἶδε δὲ ὁμοίως ὁ βασιλεὺς καὶ ὅτι πρὸς σώφρονας λέγει, οἳ οὐκ εὐθὺς εἰς φυγὴν προπηδήσουσι. βούλεται δέ, φασί, καὶ τὸν στρατὸν ἑαυτῷ ποιῆσαι διὰ τῶν ἡγεμόνων παράκλητον, ὡς μὴ ἔχων αὐτὸς τοῦτο ποιήσειν διὰ τὸ ἀπεχθῶς ἐκείνους ἔχειν αὐτῷ οἷα τὸν Ἀχιλλέα ὑβρίσαντι καὶ τῶν παρόντων κακῶν ὄντι αἰτίῳ. Καὶ ταῦτα μὲν ὁ βασιλεύς, τευτάζων καὶ αὐτὸς κατὰ τὸ πολλάκις προτρέπειν τοὺς ὑπ᾽ αὐτὸν εἰς φυγήν, ἤγουν τῷ αὐτῷ λόγῳ προσλιπαρῶν, εἴγε τευτάζειν λέγεται κατὰ Αἴλιον Διονύσιον τὸ ἐπὶ πολὺ προσεδρεύειν τῷ αὐτῷ πράγματι. (v. 82—4) Ὀδυσσεὺς δὲ καιροῦ εὐθέτου λαβόμενος καὶ ἐκ τῶν ἐν τῇ βῆτα ῥαψῳδίᾳ οἰόμενος ὡς πεῖραν καὶ νῦν ὁ βασιλεὺς καθίησι, μεμνημένος δὲ καὶ ὡς ἐκεῖ ὁ βασιλεύς ἐπέσκηψε τοῖς ἀριστεῦσι τὸ «ὑμεῖς δὲ ἐρητύετε ἐπέεσσι», θαρρῶν παρρησιάζεται ἄρτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ καιρόν, καὶ ὑπόδρα ἰδὼν καὶ εἰπὼν «ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων», σοβαρῶς ἐπιπλήττει τῷ βασιλεῖ, οὐ λέγων δαιμόνιε οὐδὲ κύδιστε οὐδὲ ἄναξ, ἀλλὰ «οὐλόμενε», ὅ ἐστιν ὀλέθρου αἴτιε ἢ ὀλέσθαι ἄξιε. (v. 84—7) Εἶτα καὶ ἀπὸ τοῦ προσώπου τῶν παρόντων ἡρώων ἐπιχειρῶν, ὡς μὴ δέον ὂν παρὰ τοιούτοις ἀνδράσι μήτε ἄρχειν μήτε τοιαῦτα λαλεῖν, φησὶν «αἴθ' ὤφελλες ἀεικελίου στρατοῦ ἄλλου σημαίνειν, μήδ' ἄμμιν ἀνασσέμεν, οἷσιν ἄρα θεὸς ἐκ νεότητος ἔδωκε καὶ εἰς γῆρας τολυπεύειν ἀργαλέους πολέμους, ὄφρα φθιόμεσθα», ἤγουν ἕως θάνωμεν, «ἕκαστος». (v. 88 s.) Εἶτα καὶ τὸ πρᾶγμα αἰτιώμενος, ἦν γάρ τις οἷον λειποταξία, πρῶτα μὲν ἐρωτᾷ «οὕτω που δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν καλλείψειν, ἧς εἵνεκα ὀϊζύομεν κακὰ πολλά», τὸ φυγεῖν εὐφήμως Τροίαν καταλείψειν εἰπών. (v. 90 s.) Εἶτα καὶ «σίγα», φησί, «μή τις ἄλλος Ἀχαιῶν τοῦτον ἀκούσῃ μῦθον», ὡς ἀρκοῦν, εἰ καὶ πρὸς μόνους φίλους τοιαῦτα εἶπεν. (v. 91—4) Εἶτα θέλων μὲν εἰπεῖν, ὅτι μῦθον, ὃν οὐκ ἂν οὐδὲ ἰδιώτης ἢ ἄφρων εἴπῃ ἀνήρ, μὴ ὅτι γε βασιλεύς, ὁ δὲ ἄλλως πεφεισμένως οἷα πρὸς βασιλέα λαλῶν φησιν «ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο, ὅς τις ἐπίσταται ᾗσι φρεσὶν ἄρτια βάζειν, σκηπτοῦχός τε εἴῃ, καὶ οἱ πειθοίατο λαοὶ τοσσοίδε, ὅσσοις» αὐτὸς ἀνάσσεις, μονονουχὶ λέγων, ὡς εἴποι μὲν ἄν τις καὶ ἄλλος τοιοῦτον λόγον, ἀλλ' οὐκ εἰδὼς ἄρτια βάζειν, ἢ εἰδὼς μὲν ἄρτια βάζειν, οὐ σκηπτοῦχος δέ, ἀλλὰ ἰδιώτης, ἢ σκηπτοῦχος μέν, οὐκ ἔχων δὲ λαὸν εὐπειθῆ, ἢ εὐπειθῆ μέν, οὐ τοσοῦτον δέ.

3.580 (v. 95—102) Ἐφ' οἷς καὶ ἀπὸ καιροῦ ὁ Ὀδυσσεὺς ἐπιχειρῶν φησιν «νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας οἷον ἔειπες, ὃς κέλεαι πολέμου συνεσταότος καὶ ἀϋτῆς νῆας ἅλαδ' ἑλκέμεν, ὄφρ' ἔτι μᾶλλον Τρωσὶ μὲν εὐκτὰ γένηται, ἐπικρατέουσί περ ἔμπης, ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιρρέπῃ· οὐ γὰρ Ἀχαιοὶ σχήσουσι πόλεμον νηῶν ἅλαδ' ἑλκομενάων, ἀλλ' ἀποπτανέουσιν ἐρωήσουσι δὲ χάρμης. ἔνθα κε σὴ βουλὴ δηλήσεται, ὄρχαμε λαῶν», πάνυ ἠθικῶς εἰπὼν ἐν τῷ τέλει βαρέως τὸ «ὄρχαμε λαῶν». κερτομεῖ γὰρ ἄντικρυς, ὅτι σὺ ὁ βασιλεὺς πάντα συγχέεις. Καὶ τοιαῦτα μὲν καὶ τὰ τοῦ Ὀδυσσέως, οὐ παρρησιαστικὰ μόνον, ἀλλὰ καὶ γενναῖα καὶ στρατηγικά. (v. 75) Ἰστέον δὲ ὅτι διαφορὰ πολλὴ τοῦ «ἄγχι θαλάσσης» ἐστὶ καὶ τοῦ «εἰς ἅλα δῖαν». ἄρτι γὰρ αἱ μὲν τῶν νηῶν πρὸς τῷ πεδίῳ πρῶταί εἰσιν ἐγγὺς τοῦ τείχους, αἱ δὲ πρῶται ἄγχι θαλάσσης. εἰ δὲ κατὰ τὸν βασιλικὸν λόγον καὶ αὗται καὶ ἐκεῖναι καθελκυσθῶσι, τότε πᾶσαι εἰς θάλασσαν ἐρύονται. [(v. 76 et 79) Ὅρα δὲ ὅτι ἐπὶ μὲν τῶν ἄγχι θαλάσσης νηῶν πάσας δισυλλάβως ἔφη ἐρύσομεν, ἐπὶ δὲ τῶν ὅλων τρισυλλάβως «ἐρυσαίμεθα νῆας ἁπάσας», ὡς εἶναι ὑπόνοιαν, ὅτι διαφέρει τοῦ πάσας τὸ ἁπάσας, καθὰ καὶ τὸ πᾶς τοῦ ἅπας, τῷ σημαινομένῳ τῆς ἀθροίσεως, δι' ἣν καὶ δασύνεται τὸ ἅπας. δῆλον γὰρ ὡς οὐ τοσαύτη ἄθροισις μόνων τῶν ἄγχι θαλάσσης, ὁπόση τῶν ὅλων Ἑλληνικῶν νηῶν, ὧν πέπλησται ὁ ναύσταθμος. Ὅρα δὲ καὶ ὅτι ἐνεργητικῶς τε εἶπεν ἐρύσσομεν, καὶ παθητικῶς ἐρυσαίμεθα.] Τὸ δὲ ἕλκειν κοινότερόν ἐστι τοῦ ἐρύειν, ὃ καὶ ἐρύεσθαι λέγεται, ὡς δηλοῖ τὸ «ἐρύαται», καὶ τὸ «πάσας ἐρύσομεν, καὶ τὸ «ἐρυσαίμεθα νῆας ἁπάσας». ἥκει δ' ἐνταῦθα ὁ ποιητὴς δι' ἀμφοῖν, τρὶς μὲν εἰπὼν τὰ τοῦ ἕλκειν, τρὶς δὲ τὰ τοῦ ἐρύειν. Ἀπεριέργως δὲ καλλωπίζει κατὰ τὸ παρατυχὸν ὁ βασιλεὺς τὴν φράσιν παρίσοις τῷ ἕλκωμεν ἐρύσομεν ὁρμίσομεν. ἄλλως γὰρ οὐκ ἐχρῆν πρὸς κάλλος ἄρτι λαλεῖν. (v. 77) Τὸ δὲ «ὕψι ἐπ' εὐνάων ὁρμίσομεν», ὅπερ ἀλλαχοῦ «ὑψοῦ ἐν νοτίῳ» φησίν, ἐρρέθη διὰ τὰ ὑπερυψῶσθαι τὸ παραιγίαλον ὕδωρ τῆς ὑποκειμένης ψάμμου ἢ γῆς, ὅθεν καὶ ἀναγωγὴ ὁ ἀνάπλους καὶ ἀνάγεσθαι μὲν τὸ ἐξ ὅρμου ἀναπλέειν, κατάγεσθαι δὲ τὸ καταπλέειν καὶ προσορμίζεσθαι.

3.581 [Εἰπεῖν δὲ καὶ ἄλλως, τριχῇ λεγομένου. τοῦ ὕψι καὶ ὑψοῦ ἐπὶ νηῶν τοιούτων, ἑνὸς μὲν τοῦ «ὑψοῦ ἐν νοτίῳ», ἡνίκα δηλαδὴ ἔποχος ἡ ναῦς ὕδατι γένηται, ἑτέρου δὲ τοῦ «ὑψοῦ ἐν χέρσῳ» κατὰ τὰς ἐνταῦθα εἱλκυσμένας πρὸς τῷ τείχει, καὶ τρίτου τοῦ «ὑψοῦ ἐν ψαμάθοις», ὡς ἐν τῇ α' ῥαψῳδίᾳ κεῖται, τοιοῦτόν τι ἐνταῦθα τὸ «ὕψι ἐπ' εὐνάων», ὡς διὰ τὸ πρόκροσσον τῶν μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄλλων νηῶν ἐνδοτέρω μελλουσῶν εἱλκύσθαι, τοῦ δὲ τελευταίου στίχου ὁρμισθησομένου ἐν ψαμάθοις ἐπ’ εὐνάων, ἃς εἰκὸς μὴ μόνον ἀγκύρας νοεῖσθαι, ἀλλὰ καὶ τὰ ὑποκείμενα ταῖς ναυσὶν ἕρματα.] Εὐναὶ δὲ αἱ ἄγκυραι, ὡς τὴν νῆα κατευνάζουσαι μετεωριζομένην ἀφ’ ὕδατος. Ὁρμίζειν δὲ τὸ ἐπὶ ὅρμου ἱστᾶν. οὗ διαφορὰ πρὸς τὸ ὁρμεῖν ὡς τοῦ πλουτίζειν καὶ σωφρονίζειν πρὸς τὸ πλουτεῖν καὶ σωφρονεῖν. ὁρμεῖ μὲν γὰρ ναῦς, ὁρμίζει δὲ ἄλλος νῆα. ὅλον δὲ τὸ «ὕψι δ’ ἐπ’ εὐνάων ὁρμίσομεν» προκρόσσας ἐς πόντον ὁρμισθῆναι τὰς ναῦς δηλοῖ, ὁποῖόν τι Ἡρόδοτος ἔφη, ὡς προδεδήλωται. (v. 78) Τὸ δὲ «νὺξ ἀβρότη» ἐντελῶς ἐρρέθη. ὅτε γὰρ ἀβρότη μόνον ῥηθείη, λείπει τὸ νύξ. ἔστι δὲ ἀβρότη κατὰ μὲν τὸν κοινόν, ἐν ᾗ βροτὸς οὐ πρόεισιν, ὅθεν καὶ ἄβροτός, φασίν, ἐρημία παρ’ Αἰσχύλῳ, ἢ ὁπηνίκα βρότος, ἤγουν κατὰ πόλεμον μολυσμός, οὐ γίνεται, ὡς λυομένων τότε τῶν παρατάξεων διὰ τὸ ἀγαθὸν εἶναι νυκτὶ πείθεσθαι. ὅθεν καὶ ὁ δόρπος σύγκειται, ὡς τότε δηλαδὴ παυομένου τοῦ δουρός, ἤτοι τοῦ πολέμου. Καὶ ἄλλως δέ, ἀβρότη μεταληπτικῶς, ὥς που καὶ προερρέθη σαφέστερον, ἡ ἄφως κατὰ τοὺς παλαιούς, ἐν ᾗ φῶς οὐκ ἔστι.

3.582 τὸ φῶς γάρ, φασίν, ὁμόφωνόν ἐστι τῷ φώς, ἀρσενικῷ ὀνόματι, ὅπερ ἐστὶ βροτός, ὅθεν κατὰ μετάληψιν ἀβρότη ἡ ἄφως, τουτέστιν ἀφώτιστος. Καὶ ὅρα παλαιὰν τόλμαν ἐτυμολογίας ταύτης ἀχρειούσης τὰ σπουδαῖα. διθυραμβώδης γάρ ἐστι καὶ ὁμοία ἐκείνοις, ἐν οἷς Οὐδεὶς μὲν λέγεται ὁ Ὀδυσσεύς, ὡς Οὖτις ἐν Ὀδυσσείᾳ κληθείς, ἡ ποιμενικὴ δὲ σῦριγξ ἕλκος διὰ τὴν ὁμώνυμον ἐν ποσὶ σύριγγα, ἥτις ἐστὶν εἶδος ἑλκώσεως, καὶ ὅσα ἄλλα τοιαῦτα. Τὸ δὲ «ἢν καὶ τῇ ἀπόσχωνται πολέμοιο» ἐπεμβληθὲν ἔχεται λόγου διὰ τὸ ῥηθέν που ὑφ’ Ἕκτορος, ὃς ἤθελε μὴ ἀσπουδεὶ νύκτωρ φυγῇ χρήσασθαι τοὺς Ἀχαιούς. [(v. 80) Τὸ δὲ «οὐ γάρ τις νέμεσις» ἤρτηται κατὰ σχῆμα τοῦ «οὐ νέμεσις τοιῇδ’ ἀμφὶ γυναικί» τοὺς δεῖνα «πολὺν χρόνον ἄλγεα πάσχειν». εἰ δὲ καὶ ὁμοίως ἄμφω ἐσχημάτισται, ὅμως ἐκεῖνο τὸ ἐν τῇ γʹ ῥαψῳδίᾳ κείμενον πολὺ τὸ σεμνὸν ἔχει διὰ τὴν ἐπαγομένην ἀνεμέσητον ἐπὶ τῇ Ἑλένῃ ἔννοιαν. Τῆς γὰρ καλλίστης Ἑλένης παρούσης ἐν τῷ Τρωϊκῷ τείχει καὶ νικώσης πρὸς ἀλήθειαν τούς τε ἄλλους δημογέροντας καὶ τὸν βασιλέα Πρίαμον, ἐχθρόν, φασίν, ὄντα, οὐδέν τι ἀπᾷδον ἐλαλήθη, ἀλλὰ πάντα τοιαῦτα, οἷα θαυμάζεσθαι διὰ πολλὴν σεμνότητα, οὐ μὴν ὁποῖα Ἑρμῆς ἔπαιξεν ἐν Ὀδυσσείᾳ, αἱρούμενος ἀπείροσι σφιγχθῆναι στερροῖς δεσμοῖς, εἰ μόνον εὕδοι παρὰ τῇ χρυσῇ Ἀφροδίτῃ. καὶ οὕτω μὲν ἐκεῖνο τὸ «οὐ νέμεσις» ὑψηλότερον τοῦ ἐνταῦθα.] (v. 81) Τὸ δὲ «φεύγων προφύγῃ κακόν» δι’ ἐνάργειαν διπλοῦται, ἵνα δηλώσῃ, ὅτι τὸ ῥηθὲν οὐκ ἔστιν ἁπλῶς φυγεῖν, ἀλλὰ προφυγεῖν κακόν, ἤτοι φυγεῖν αὐτὸ πρὸ τοῦ ἐπελθεῖν. Τὸ δὲ «ἁλῴῃ» ἐκ τοῦ ἁλοίη γέγονε κατὰ ἔκτασιν, ὁμοίως τῷ γνοίη γνῴη, δοίη δῴη, καὶ τοῖς ὁμοίοις. (v. 83) Τὸ δὲ «ποῖόν σε ἔπος φύγεν» ἔχει τι νῦν πλεῖον τοῦ συνήθους γλυκὺ καὶ ἀστεῖον ἐν τῷ φύγεν. οἱονεὶ γάρ φησιν, ὡς ἡμεῖς μὲν οὐκ ἄν, [ὡς σὺ βούλει,] φύγοιμεν, σοῦ δὲ ἐξέφυγε λόγος οὐ χρηστός, ὃν ἐχρῆν ἔνδον καθεῖρχθαι ἀπρόϊτον. Ἕρκος δὲ ὀδόντων εἰπεῖν τὰ χείλη ἀσφαλῶς ἔχει, ἐπεὶ καὶ πύλαι στόματος λέγονται.

3.583 Ἰστέον δὲ καὶ ὡς, εἴ τις ἐξ Ὁμήρου ὁρμηθεὶς δραπέτην εἴπῃ λόγον τὸν ἀσκέπτως ἐκθορόντα τοῦ στόματος, εὐστοχήσοι ἄν, καὶ ὅτι κατὰ Αἴλιον Διονύσιον καὶ πλεκτά τινα ἐκ τριχῶν ἕρκη παρὰ τοῖς Κωμικοῖς ἐλέγοντο, καὶ ὅτι ἑρκάνη κατ’ αὐτὸν ὁ φραγμός, ἀπὸ τοῦ ἕρκους ἴσως. Πρὸς διαστολὴν δὲ πάντως ἐρρέθη τὸ ἕρκος ὀδόντων, ἐπεὶ καὶ κήπου ἔστιν ἕρκος εἰπεῖν καὶ οἴκου καὶ ἑτέρων, εἴγε καὶ ἀγκίστρου ἕρκος παρὰ Ὀππιανῷ τὸ ἄνω αὐτοῦ χάλκωμα, μεθ’ ὃ ἡ ὁρμιά. [Ἕρκος δὲ ὀδόντων ἢ περιφραστικῶς αὐτοὶ οἱ ὀδόντες μόνοι, ἢ τὰ χείλη, ἃ δὴ καθὰ τεῖχος ἐπὶ τείχει πόλεως, ὃ καὶ ἐπίτειχος λέγεται, οὕτω καὶ αὐτὰ ἕρκος ἐπὶ ἕρκει ὀδόντων εἰσί, στεγανοῦντα τὸν εἴργοντα ἔσω τὴν γλῶσσαν φραγμόν.] (v. 84) Τὸ δὲ «αἴθε» μετεποιήθη ἐκ τοῦ εἴθε τροπῇ τοῦ ε εἰς α . Δωριεῖς γάρ, ὥς φασιν οἱ Τεχνικοί, τρέπειν εἰώθασιν οὕτως τὸ τρέχω τράχω λέγοντες, καὶ τὴν Ἄρτεμιν Ἄρταμιν, καὶ τὸ κύπειρον κύπαιρον. (v. 84 s.) Ὅρα δὲ καὶ ὅτι τὸ σημαίνειν γενικῇ συνέταξεν εἰπὼν «στρατοῦ ἄλλου σημαίνειν». τὸ μέντοι ἀνάσσειν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κἀνταῦθα δὶς μετὰ δοτικῆς ἔφη. (v. 86 s.) Ἰστέον δὲ καὶ ὅτι τὸ μὲν «οἷς θεὸς ἐκ νεότητος ἔδωκε» καὶ ἑξῆς ἕως τοῦ «ἀργαλέους πολέμους» ἐπὶ πολεμιστῶν λέγοιτο ἂν ἀνδρῶν. (v. 90—2) Τὸ δὲ «σίγα, μή τις ἄλλος» καὶ ἑξῆς ἕως τοῦ «ἄρτια βάζειν» ἁρμόζει πρὸς τὸν λαλοῦντά τι, ἐφ' ᾧ δέον ἐστὶν αἰσχύνεσθαι, ὥσπερ καὶ τὸ «νῦν δέ σε ὠνοσάμην» καὶ ἑξῆς. (v. 86) Ἔστι δὲ τὸ μὲν «ἐς γῆρας» ἀντὶ τοῦ ἕως γήρως, ὁμοίως τῷ εἰς τέλος, ἀντὶ τοῦ ἕως τέλους. Τολυπεύειν δὲ τὸ ἐκτελεῖν καὶ κατεργάζεσθαι, παρὰ τὴν τολύπην, ἥτις ἐστὶ κατειργασμένον ἔριον, ὡς καὶ ἐν Ὀδυσσείᾳ κεῖται «πόλεμον τολύπευσε». (v. 87) Τὸ δὲ «φθιόμεσθα» φανερῶς ἐνταῦθα διὰ διχρόνου ἔχει τὴν ἄρχουσαν, εἰ καί τινες τὸ φθίσθαι καὶ τὸ φθισήνωρ καὶ τὰ τοιαῦτα διφορεῖν ἤθελον, ὡς τοῦ φθίω ποτὲ μὲν ἐν διχρόνῳ μόνῳ, ποτὲ δὲ ἐν διφθόγγῳ γραφομένου. (v. 89) Τὸ δὲ «ἧς ἕνεκα ὀϊζύομεν πολλὰ κακά» ὅμοιόν ἐστι τῷ «τέλος δ' οὔ πώ τι πέφανται», καὶ τῷ «ἀτελευτήτῳ ἐπὶ ἔργῳ». τὸ γὰρ «οὗ ἕνεκα» τέλος πάντως ἐστίν, ὁποῖόν τι καὶ ἡ τῆς Ἰλίου ἅλωσις, ἧς ἕνεκα ὀϊζύουσιν Ἕλληνες. Τὸ δὲ «κακὰ πολλά», κἂν ἐλλείπῃ, οὐ βλάπτει τὴν ἔννοιαν, ὡς δηλοῖ τὸ «περὶ κεῖνον ὀΐζυε», ἤτοι κακοπάθει.

3.584 (v. 90) Τοῦ δὲ σιγᾶν προηγεῖται ἡ τοῦ σίζειν ὀνοματοποιΐα, ἡ ἐν Ὀδυσσείᾳ κειμένη, ἧς μέσος παρακείμενος σέσιγα, ὅθεν τὸ σιγᾶν καὶ ὅσα ἐξ αὐτοῦ. (v. 91) Τὸ δὲ «διὰ στόμα», ἤτοι κατὰ στόμα, ἢ ἀντιπτωτικῶς διὰ στόματος ἄγοιτο, δηλοῖ μὲν τὸ προάγοιτο καὶ προφέροι, ὅθεν καὶ ὁ προφορικὸς λόγος, ὡς ἐπὶ ἐμψύχου δὲ τοῦ μύθου κείμενον ἔχει τὸ ἄγειν, ὅτι καὶ ζῶσα φωνὴ ὁ προφορικὸς λόγος πρὸς διαστολὴν τοῦ ἐν γράμμασιν. Ἀττικὸν δὲ τὸ «ἄγοιτο» ἀντὶ τοῦ ἄγοι. οὕτω καὶ παρὰ τῇ συνηθείᾳ γυναῖκά τις ἄγεται. (v. 92) Τὸ δὲ «ἐπίσταται ἄρτια βάζειν» πείθει καὶ αὐτὸ τῶν τινας παλαιῶν ἐπιστήμας εἰπεῖν τὰς ἀρετὰς καὶ ἐπιστήμην τὴν πολιτικήν. δηλοῖ δὲ φανερῶς καὶ τὸ τῆς ῥητορικῆς τέλος, ἧς ἔργον εἰδέναι ἄρτια βάζειν, ὅπερ ὁ μὴ κατορθῶν ὀνοστὸς πάγχυ φρένας ἐστίν. Ἰστέον δὲ καὶ ὅτι τοῦ ἐπίσταται τὸ δεύτερον ἐπίστασαι κατὰ τοὺς παλαιούς, ὡς καὶ τοῦ δύναται τὸ δύνασαι Ἀττικῶς, οἷον «δύνασαι δὲ πάντος' ἀκούειν», καὶ τοῦ παρίσταται τὸ παρίστασαι, οἷον «ἐν πάντεσσι πόνοισι παρίστασαι». Ἴωνες δέ, φασίν, ἐπίστεαι λέγουσι καὶ δύνεαι καὶ τὰ ὅμοια. Τὸ δὲ «ᾗσι φρεσὶν ἄρτια βάζειν» πρὸς ἀσφάλειαν ἐγράφη. οὐ γὰρ πᾶς ἄρτια βάζων καὶ ἰδίαις φρεσὶ ταῦτα βάζει. ἔστι γὰρ καὶ ἑτέρωθεν καθ' ὑποβολὴν λαβόντα εἰπεῖν. (v. 96) Τὸ δὲ «πολέμοιο καὶ ἀϋτῆς» Ὁμήρῳ συνήθης φράσις ἐστίν. [Ἔνθα ὅρα, ὡς ἐξενίκησε συνήθως ἡ τοῦ ἀρσενικοῦ σύνταξις ἐν τῷ «πολέμοιο συνεσταότος καὶ ἀϋτῆς». τὸ γὰρ «συνεσταότος» τῷ πολέμῳ κολληθὲν ἀφίησι τὴν ἀϋτὴν συνυπακούειν καὶ ζητεῖν ἐξ ἀναλόγου τὸ ἑαυτῆς.

3.585 ] (v. 98) Τὸ δὲ «ἐπικρατέουσί περ» διασαφητικόν ἐστι τοῦ μᾶλλον ἂν εὐκτὰ γενέσθαι τοῖς Τρωσίν, οἳ χαίρουσι μὲν καὶ ἄλλως ὡς κρατοῦντες. εἰ δὲ καὶ φεύγοντας οὕτω τοὺς Ἀχαιοὺς ἴδωσιν, ὑπερχαρήσονται. ἀγαθὴ δὲ λέξις νικηταῖς τὸ ἐπικρατεῖν. (v. 99) Τὸ δὲ «ὄλεθρος ἐπιρρέπῃ» ἀντὶ τοῦ κάτω βαρύνῃ. ἔχει δὲ τὴν ἀρχὴν καὶ τὸ ἀσφαλὲς ἡ λέξις ἐκ τῶν ἀλλαχοῦ κειμένων ταλάντων τοῦ Διός. (v. 101) Τὸ δὲ «ἀποπτανέουσιν» ἢ ἀπὸ τοῦ ὄπτω ὀπταίνω ἀντὶ τοῦ ἀποβλέψουσιν, ἢ ἀπὸ τοῦ πτῶ πταίνω, τὸ φοβοῦμαι, ἵνα δηλοῖ τὸ πτήξουσιν, ἢ ἀπὸ τοῦ πέτω πτῶ πταίνω, τουτέστιν οἷον πετασθήσονται φεύγοντες. καὶ ἔστιν ἐφερμηνευτικὸν αὐτοῦ πρῶτον μὲν ἀποφατικῶς τὸ «οὐ γὰρ Ἀχαιοὶ σχήσουσι πόλεμον», ἤγουν οὐκ ἀνέξονται μάχεσθαι, εἶτα καταφατικῶς «ἐρωήσουσι δὲ μάχης». ποιηταῖς δὲ ἡ λέξις ᾠκείωται, οὐ μὴν λόγῳ πεζῷ. (v. 102) Τὸ δὲ «σὴ βουλὴ δηλήσεται» ἀποτέκοι ἂν εὐγενῆ νοῦν τοιοῦτον, ὡς δηλητήριον μὲν ὥσπερ ἡ βουλὴ αὕτη τοῦ βασιλέως, ἀλεξιφάρμακον δὲ ἡ πρὸς αὐτὸ ἀντίρρησις τοῦ Ὀδυσσέως. (v. 103—8) Ὅτι ὁ βασιλεὺς εἰδώς, ὡς ἐν κινδύνῳ ἐκ παντὸς ἀνθρώπου δεκτέον παραίνεσιν, ἐπιεικῶς φέρει λοιδορηθεὶς ὑπὸ Ὀδυσσέως ἐν καιρῷ ἐπὶ πάνυ συμφέροντι, καί φησιν «ὦ Ὀδυσεῦ, μάλα πώς με καθίκεο θυμὸν ἐνιπῇ ἀργαλέῃ, ἀτὰρ οὐ μὲν ἐγὼν ἀέκοντας ἄνωγα νῆας ἅλαδε ἑλκέμεν Ἀχαιούς. νῦν δ' εἴη, ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσπῃ ἢ νέος ἠὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παλαιός, ἐμοὶ δέ κεν ἀσμένῳ εἴη». Καὶ ὅρα ὡς παρεσημειώσατο διὰ τοῦ βασιλέως ὁ ποιητής, ὅτι καταφορικὴ μάλα ὡς πρὸς βασιλέα ἡ τοῦ Ὀδυσσέως δημηγορία ἐστί, καὶ ὅτι διὰ τοῦτο οὐδὲ σεμνολογεῖ τὸν Ὀδυσσέα συνήθως, πολύμητιν εἰπὼν ἢ πολύαινον ἢ πολυμήχανον ἢ ἄλλο τι τοιοῦτον, ἀλλ' ἠρκέσθη μόνον εἰπὼν «ὦ Ὀδυσσεῦ». (v. 104) Ἰστέον δὲ ὅτι ἐν τῷ «μάλα πώς με» οὐκ ἂν εὐλόγως περισπάσῃ τις τὸν πως παραπληρωματικὸν σύνδεσμον, ἀλλ' ἐξ ὀξείας κοιμηθείσης εἰς βαρείαν ἐξέγερσις εἰς ὀξεῖαν αὖθις γενήσεται ἐγκλιτικῶς, ὁποῖόν τι καὶ ἐν τῷ πώποτε γίνεται [καὶ ἐν τῷ πώμαλα.] Τὸ δὲ καθικέσθαι, ὅ ἐστιν ἅψασθαι, οὗτος μὲν αἰτιατικῇ συνέταξεν, ὡς καὶ ἐν Ὀδυσσείᾳ, ἔνθα φησὶν «ἐπεί με καθίκετο πένθος», οἱ δὲ μεθ' Ὅμηρον γενικῇ συντάσσουσι.

3.586 Τὸ δὲ «ἐνιπῇ» δηλοῖ, ὡς ἔστι καὶ ἄλλως καθικέσθαι, ῥάβδῳ τυχὸν ἢ τοιῷδέ τινι. (v. 105) Τὸ δὲ «ἀργαλέῃ» ἐπίτασιν δηλοῖ τῆς ἐνιπῆς. ἦν γὰρ ἀγαπητὸν ἡ ἐνιπὴ μὴ καὶ τὸ ἀργαλέον ἔχουσα. (v. 107) Τὸ δὲ «τῆσδέ γ' ἀμείνονα» οὐ πρὸς ἀνάγκην οὐδὲ αὐτὸ τὸν γε σύνδεσμον ἔχει, ἀλλ' ἢ πρὸς βύσιν χασμῳδίας, ἢ διὰ τραχυφωνίαν φίλην τῇ ποιήσει. Ὡς δὲ καὶ οὐκ ἀεὶ παραπλήρωσιν ἔχει ὁ γε σύνδεσμος, ἀλλὰ καί τινας ἐμφάσεις ἰδίων ἐννοιῶν, ἴσασιν οἱ Τεχνικοί. οὕτω πως κεῖται κατωτέρω τὸ «οὐ γένος γε κακὸν καὶ ἀνάλκιδα», οὐ κατὰ ἀργίαν συνδέσμου, ἀλλ' εἰς ἔμφασιν τοῦ· εἰ μηδὲν ἄλλο, ἀλλὰ τὸ γοῦν γένος ἀγαθὸν εἶναι τὸν λαλοῦντα καὶ ἄλκιμον. [Ὃ δὴ βούλεται ὁ αὐτὸς σύνδεσμος καὶ ἐν τῷ «τῆσδέ γ' ἀμείνονα βουλήν». ταὐτὸν γάρ ἐστι τῷ «κἂν γοῦν ταύτης». οἶδε γὰρ ὁ βασιλεὺς ὡς, εἰ καὶ τἄλλα εὖ δημηγορεῖ καὶ πρὸς ἐκεῖνα οὐκ ἔχει τις ἀντιλέγειν, ἀλλ' ἡ παροῦσα μῆτις εὐκατάσειστός ἐστι. καί πως καθικνεῖται καὶ αὐτὸς τῶν ἀκροατῶν, οἱονεὶ λέγων ὡς, εἰ καὶ μὴ ἐν τοῖς κατὰ σπουδὴν λόγοις μου, ἀλλὰ νῦν γοῦν, ὅτε πρὸς μόνην ἀπόπειραν οὐκ εὐγενῶς ἐλάλησα, ὁ βουλόμενος ἀνδρισάσθω κατ' ἐμοῦ εἴτε νέος εἴτε παλαιός—ἔχει γὰρ ἀφορμὰς ἀντιλογιῶν, —ἐπείπερ οὐδὲ βούλομαι τοῖς ἀγαθὰ δημηγοροῦσιν ἀντικαθίστασθαι καὶ λέγειν κατὰ τὸν ἄφρονα Πάριν, ὡς ἔστι καὶ ἄλλον ἀμείνονα τοῦδε μῦθον εἰπεῖν καὶ τὰ ἑξῆς, ὧν ἐκεῖνος ἐλήρησε.] (v. 108) Τὸ δὲ «ἢ νέος ἠὲ παλαιός» ὅμοιόν ἐστι τῷ ἐν Ἀθήναις ἔθει, ἔνθα κατ' ἀνάγκην ποτὲ διὰ ζήτησιν τοῦ συμφέροντος ἐξελαλεῖτο ἐπ' ἀγορᾶς τὸ «ὁ βουλόμενος δημηγορείτω». Τὸ δὲ «ἐμοὶ δὲ ἀσμένῳ εἴη» περιφραστικῶς εἴρηται, ἀντὶ τοῦ χαίρω καὶ ἀσμένως ἔχω, ἐξ Ὁμήρου μὲν ἀρξάμενον ἐλλειπτικῶς σχηματισθῆναι, διαβὰν δὲ καὶ εἰς τοὺς ὕστερον. τοιοῦτον καὶ τὸ «ἐμοὶ δὲ βουλομένῳ εἴη», καὶ τὸ «ἐμοὶ δὲ χαίροντί ἐστι τόδε τι», καὶ ὅσα τοιαῦτα. Σημείωσαι δέ, ὅτι ὁ μὲν βασιλεὺς οὕτως ἐξαθερισθεὶς ἐφ' οἷς εἶπεν, ἐπιεικεύεται, Ἕκτωρ δέ, εἴπερ ἦν, ἐποίησεν ἂν δεινά, ὅς που τυραννικώτερον ἔφη «ὧδ' ἔστω, Τρῶες», κελεύων ἐκεῖνος, οὐ μὴν ἐπιεικευόμενος.

3.587 Ὅτι Διομήδης οὐ προπετευόμενος ἀλλ' ἐκ τοῦ βασιλέως λαβὼν ἐνδόσιμον ἐν τῷ «ἢ νέος ἢ παλαιός», εἰ καὶ ἐν ἄλλοις ὀψὲ μετέειπεν, ἀλλ' ἐνταῦθα προαρπάζει τὴν συμβουλὴν καί πως δριμεῖαν ἀνταπόδοσιν ἐνταῦθα καιριώτατα ποιεῖται τῷ Νέστορι. μεμψαμένου γάρ που τὸν Διομήδην τοῦ Νέστορος ὡς εὖ μὲν εἰπόντα, οὐ τέλος δὲ τῷ μύθῳ ἐπιθέντα, νῦν ὁ Διομήδης λόγοις μὲν οὐκ ἐλέγχει, πραγματικῶς δὲ ἀποδεικνύει τὸν Νέστορα τοῖς αὐτοῖς ἁλόντα. Νέστωρ μὲν γὰρ εἰπὼν πρὸ ὀλίγων «φραζώμεθα, εἴ τι νόος ῥέξει», οὐ προστίθησι τί ἂν ῥέξῃ, αὐτὸς μέντοι ἀναπληροῖ ἐνταῦθα τὸ ἐλλεῖπον. [Τὸ δ' αὐτὸ διαβαίνει καὶ πρὸς τὸν Ὀδυσσέα, εἰ καὶ μὴ καθ' ὅμοιον λόγον. καὶ γὰρ οὐδ' αὐτὸς ἔφθη ἀμείνονα μῆτιν ἐνισπεῖν, ὡς οἷα τοῦ Διομήδους προαρπάσαντος τὸ λαλῆσαι. διὸ καὶ ἔοικε δευτερολογικῶς διατεθεῖσθαι ἡ τοῦ Διομήδους δημηγορία. Ὀδυσσεὺς μὲν γὰρ προλογίσας ἠγωνίσατο κατὰ τῆς βασιλικῆς λαλιᾶς, καὶ ἀνατρέψας ἀπήλεγξε μόνον τὸ χρῆναι φυγεῖν. (v. 128—32) Διομήδης δὲ δεύτερος ἐλθὼν ἐκτίθεται ὡς οἷον ἐν δευτερολογίᾳ τὸ ποιητέον,] εἰπὼν «δεῦτε ἴομεν πόλεμόνδε» καὶ τὰ ἑξῆς. Καὶ οὕτω μὲν τέλος αὐτὸς ἐπιτίθησι τῷ τοῦ Νέστορος λόγῳ, τῷ δέ γε βασιλεῖ ἄκρως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐναντιοῦται, εἴπερ ὁ μὲν φυγεῖν συνεβούλευσεν ἅπαντας, Διομήδης δὲ καὶ αὐτοὺς τοὺς τραυματίας ἄγει πρὸς πόλεμον. Ἐν οἷς πάλιν ὅρα, ὡς ἔστιν οὗ καὶ μεγάλοι κατὰ τὸν Σοφοκλῆν ὀρθοῖντο ἂν ὑπὸ σμικροτέρων. ἀλλὰ ταῦτα μὲν μικρὸν ὕστερον. (v. 110—2) Πρὸ δὲ αὐτῶν καὶ τὴν τοῦ νοεῖν ὀξύτητα παραδεικνὺς ὁ Διομήδης καὶ προμαλάσσων τῇ προκατασκευῇ τὴν πρὸς τοιαῦτα πρόσωπα ἀντικατάστασιν, φησὶν «ἐγγὺς ἀνήρ», ὁ ζητούμενος δηλαδή, «οὐ δηθὰ ματεύσομεν, αἴ κ᾿ ἐθέλητε πείθεσθαι, καὶ μή τι κότῳ», ἢ χόλῳ, «ἀγάσησθε ἕκαστος, οὕνεκα δὴ γενεῆφι νεώτατός εἰμι μεθ᾿ ὑμῖν», ἤγουν ἐν ὑμῖν, οὐ μὴν ἁπλῶς νέος. (v. 113 s.) Καὶ οὕτω τὴν νέμεσιν παραιτησάμενος εἶτα δείκνυσι τὴν εὐγένειαν, συνιστῶν ἑαυτόν, ὡς δέον ὂν ἔνδοξον εἶναι τὸν βουλευτήν, καί φησι «πατρὸς δ᾿ ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι, Τυδέος, ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα κάλυψε». (v. 115—25) Καὶ ἐφεξῆς ἱστορεῖ τὰ κατὰ τὸν πατέρα εἰπὼν «Πορθεῖ γὰρ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο, ᾤκεον δ᾿ ἐν Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι», ταῖς προϊστορηθείσαις.

3.588 Τίνες δέ οἱ ῥηθέντες τρεῖς; «Ἄγριος ἠδὲ Μέλας, τρίτατος δ᾿ ἦν ἱππότα Οἰνεύς, πατρὸς ἐμεῖο πατήρ· ἀρετῇ δ᾿ ἦν ἔξοχος αὐτῶν», οἳ καὶ αὐτοὶ ἀμύμονες ἐρρέθησαν. «ἀλλ᾿ ὃ μὲν αὐτόθι μεῖνε», τουτέστιν ὁ Οἰνεύς, «πατὴρ δ᾿ ἐμὸς Ἄργεϊ νάσθη, πλαγχθείς· ὣς γάρ που θεὸς ἤθελεν. Ἀδρήστοιο δ᾿ ἔγημε θυγατρῶν», μίαν δηλαδὴ τὴν Δηϊπύλην, «ναῖε δὲ δῶμα ἀφνειὸν βιότοιο, ἅλις δέ οἱ ἦσαν ἄρουραι πυροφόροι. πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίς, πολλὰ δέ οἱ πρόβατ᾿ ἔσκε. κέκαστο δὲ πάντας Ἀχαιούς», ὅ ἐστι κατὰ πάντας τοὺς τότε, «ἐγχείῃ. τὰ δέ», ἤγουν ταῦτα, «μέλλετ᾿ ἀκουέμεν, ὡς ἐτεόν περ». (v. 126—32) Καὶ οὕτω συστήσας ἑαυτὸν καὶ τὸν λόγον συμπεράνας εἰς τὸ «τῷ», ἤγουν διό, «οὐκ ἄν με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες μῦθον ἀτιμήσετε πεφασμένον, ὅν κ᾿ εὖ εἴπω», ἐπιφέρει τὸ πρακτέον «δεῦτ᾿ ἴομεν πόλεμόνδε καὶ οὐτάμενοί περ ἀνάγκῃ. ἔνθα δ᾿ ἔπειτα αὐτοὶ μὲν ἐχώμεθα δηϊοτῆτος ἐκ βελέων, μή πού τις ἐφ᾿ ἕλκεϊ ἕλκος ἄρηται· ἄλλους δ᾿ ὀτρύνοντες ἐνήσομεν», ἤγουν ἐμβάλωμεν τῷ πολέμῳ, «οἳ τὸ πάρος περ θυμῷ ἦρα φέροντες ἀφεστᾶσιν οὐδὲ μάχονται». (v. 133) Καὶ οὕτω μὲν ὁ Διομήδης ἔφατο, «οἳ δ᾿ ἄρα τοῦ μάλα μὲν κλύον ἠδὲ πίθοντο». Καὶ σημείωσαι ὅπως τε εὐμεθόδως καὶ νῦν ἀνέπαυσε τὸν ἀκροατὴν ὁ ποιητὴς παρενθέσει ἐπεισοδίου ἱστορικοῦ, καὶ ὅτι πολλὰ ἔχων εἰπεῖν ἀγαθὰ ἴδια ὁ Διομήδης αὐτὰ μὲν ἀφίησιν ὡς φανερά—παρὰ πόδας γὰρ τὰ τῆς ἀνδρίας δέδεικται —, ἀνέρχεται δὲ εἰς τὰ τοῦ πατρός. καὶ καινὸν οὐδέν, εἰ τὰ ἑαυτοῦ σιγᾷ ὡς ἔκδηλα, ἵνα μὴ ταὐτολογῇ, ὅσγε καὶ τὰ τοῦ πατρὸς ἐπιτέμνει, λέγων ὅτι ταῦτα μέλλετε καὶ αὐτοὶ ἀκούειν. ὡς οὖν ταῦτα, φησί, σιωπῶ διὰ τὸ προακούεσθαι ὑφ᾿ ὑμῶν, οὕτω καὶ τὰ ἐμὰ οὐ λαλῶ διὰ τὸ εὖ γινώσκεσθαι ὑφ᾿ ὑμῶν, ἀρκούμενος μόνῃ τῇ τῆς εὐγενείας ἀποδείξει καὶ τῇ ἀναμνήσει τῆς ἀλκῆς, ἃ ἐνέφηνεν ἐν τῷ «οὐ γένος κακὸς οὐδὲ ἄναλκις εἶναι». Δῆλον δὲ ὡς Ὁμηρικῆς δεινότητος καὶ τὸ σιγῆσαι μὲν τὰ τοῦ Διομήδους, ἵνα μὴ ἀδολεσχῇ τὰ αὐτὰ πολλάκις λαλῶν, τὰ δὲ τοῦ Οἰνέως συντεμεῖν, ἵνα μηδ᾿ ἐπ᾿ αὐτοῖς μακρολογῇ ἔξω καιροῦ. (v. 113) Ἰστέον δὲ ὅτι τὸ μὲν «πατρὸς ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι» ἐρεῖ ἄν τις ἐπ᾿ εὐγενείᾳ οἰκείᾳ μεγαληγορῶν. (v. 122) Τὸ δὲ «ἀφνειὸς βιότοιο», καὶ τὰ ἑξῆς ἕως τοῦ «πρόβατα ἔσκεν» ἔκφρασίς ἐστι πλούτου ἀρχαϊκοῦ, ὃς ἐν ἀρούραις ἦν καὶ φυτοῖς καὶ προβάτοις, εἰπεῖν δὲ πλατικώτερον, θρέμμασιν.

3.589 Ἡ δὲ κατὰ τὸν Τυδέα ἱστορία τοιαύτη τίς ἐστιν. Οἰνέως καὶ Περιβοίας ὁ Τυδεύς. οὗτος Λυκωπέα καὶ Ἀλκάθουν ἀνεψιοὺς ἐπιβουλεύοντας τῷ πατρὶ Οἰνεῖ ἀπέκτεινεν ἐν ἀγρῷ καὶ σὺν αὐτοῖς ἄκων τὸν πατράδελφον Μέλανα. φεύγων δὲ τὸν φόνον ἧκεν εἰς Ἄργος καὶ καθαίρεται ὑπὸ Ἀδράστου καὶ γίνεται γαμβρὸς ἐκείνῳ ἐπὶ τῇ ῥηθείσῃ γυναικί. Καὶ ὅρα ὅτι κἀνταῦθα μερίσας, ὡς αὐτῷ σύνηθες, ὁ ποιητής, ὃ ἤθελε τῆς κατὰ τὸν Τυδέα ἱστορίας, ἐπέτεμεν. [(v. 110) Τὸ δὲ ἐγγύς οὐ μόνον τοπικὴν σημασίαν ἔχει, ἀλλὰ καὶ χρονικὴν ἐμφαίνει, ὡς δηλοῖ ἐπαχθὲν τὸ «οὐ δηθά», ἵνα λέγῃ ὅτι αὐτίκα νῦν εὕρηται ὁ λαλήσων ἀνὴρ καὶ οὐ δηθὰ ζητηθήσεται.] Τὸ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ματεύσομεν ἔλλειψιν ἔχει τοῦ ς , μαστεύειν γάρ ἐστι τὸ ζητεῖν. εἰ μή τις ἐρεῖ τοῦτο μᾶλλον εἶναι πρωτότυπον, ἐξ αὐτοῦ δὲ κατὰ πλεονασμὸν γενέσθαι τὸ μαστεύειν ὡς ἀπὸ τοῦ μῶ μάσω, ἐξ οὗ καὶ τὸ «αὐτόματος δέ οἱ ἦλθεν». εἰ δὲ τοῦθ' οὕτως ἔχει καὶ ἔστι ματεύειν, ὅρα ὡς πάνυ ἑτεροιοῦται τὸ ματεύειν τοῦ ἐν ἄλλοις εἰρημένου ματᾶν. (v. 110 s.) Τὸ δὲ «αἴ κ' ἐθέλητε πείθεσθαι» καὶ τὰ ἑξῆς, προθεραπεία τῶν ῥηθησομένων εἰσὶ καὶ παραιτητικὰ νεμέσεως ἢ μᾶλλον φθόνου. τοῦτο γὰρ δηλοῖ τὸ «χόλῳ ἀγάσησθε ἕκαστος». Ἀγῶ γὰρ οὐ μόνον τὸ σέβομαι, ἀφ' οὗ ἀγάσματα τὰ σεβάσματα, καὶ εἶδος ἀγητοί, ἀλλὰ καὶ τὸ φθονῶ καὶ μέμφομαι, οὗ παράγωγον τὸ ἀγαίω. [Τὸ δὲ «ἀγάσησθε ἕκαστος» Ἀττικόν ἐστι, κοινὸν μέντοι τὸ «ἀγάσηται ἕκαστος».

3.590 αἴτιον δὲ τῆς πληθυντικῆς συντάξεως ὁ μερισμὸς τοῦ ἕκαστος, ἤγουν τὸ αὐτός καὶ ἕτερος καὶ οὗτος καὶ ἐκεῖνος καὶ ἄλλος καὶ ἰδοὺ πάντες, ὥστε ταὐτὸν ἕκαστος εἰπεῖν καὶ πάντες. διὸ δύναται καὶ μετὰ πλήθους συντάσσεσθαι, καθὰ καὶ τὰ συλληπτικά, οἷον τὸ λαός, χορός, πλῆθος καὶ τὰ ὅμοια.] (v. 114) Χυτὴ δὲ καὶ νῦν γαῖα ἡ ἐπιχεομένη νεκροῖς. οὐ γὰρ βῶλοι αὐτοῖς ἐπιτίθενται, ἀλλὰ χοῦς, ὅς ἐστι γῆ χυτή, ἣν οὐδὲ συνέχειν ἂν ὁ γαιήοχος λέγοιτο οἷα παντελῶς ἐστερημένην ὑγροῦ. (v. 118) Τὸ δὲ «πατρὸς ἐμεῖο πατήρ» περιπέφρασται διὰ σαφήνειαν, καὶ δηλοῖ τὸν πρὸς πατρὸς πάππον. ὃς καὶ γεροντίας ἐλέγετο Λακωνικῶς, οὗπερ ὁ ἐπάνω τῷ χρόνῳ ἐπίπαππος, οὐχὶ πρόπαππος, λέγεται, ὥς φησί τις ἀποσημειωσάμενος ὀνόματα συγγενικά, ὃς λέγει καὶ ὅτι τήθη μὲν ἡ τῆς μητρὸς [καὶ τοῦ πατρὸς] μήτηρ, ἐπιτήθη δὲ ἡ ὑπὲρ αὐτήν, καθ' ὁμοιότητα τοῦ πάππου, καὶ ὅτι ἀνεψιοὶ καὶ αὐτανέψιοι οἱ αὐτοί, δηλοῦντες τοὺς ἐξαδέλφους, καὶ ὅτι θεῖος πατρὸς ἢ μητρὸς ἀδελφός, [ὁ καὶ νέννος], καὶ ὅτι ὁ πάτρως καὶ ὁ μήτρως Ἰακὰ μᾶλλον, οἵπερ εἰσὶ θεῖοι ἐκ πατρὸς καὶ μητρός, καὶ ὅτι κηδεσταὶ μὲν οἱ κατ' ἐπιγαμίαν οἰκεῖοι, συγκηδεσταὶ δὲ οἱ ἀδελφάς, φησί, γεγαμηκότες, καὶ ὅτι τηθαλαδοῦς, ὃν οἱ πολλοὶ μαμμόθρεπτον λέγουσι, παρὰ τὴν τήθην Ἀττικῶς τὴν ἀνωτέρω ῥηθεῖσαν, ἥν, ὡς δηλοῖ Αἴλιος Διονύσιος, ὀκνοῦσιν οἱ Ἀττικοὶ μάμμην καλεῖν, ὡς τῶν πολλῶν οὕτω τὴν μητέρα λεγόντων.

3.591 Λέγει δὲ ἐκεῖνος ὁ τὰ ῥηθέντα συγγενικὰ ἐκγραψάμενος καὶ ὅτι ἀπφὺς παρά γε τοῖς Ἀττικοῖς βάρβαρόν ἐστιν. Ἔστι δὲ ὁ πατήρ, ὡς δηλοῖ Θεόκριτος, ἀφ' οὗ ἔφυ τις δηλαδή, καὶ ὤφειλε μὲν εἶναι ἀφφύς τροπῇ τοῦ ψιλοῦ π τῆς προθέσεως εἰς τὸ ἐπαγόμενον φ , ἐτράπη δὲ εἰς τὸ ἀντίστοιχον τοῦ φ , ἤγουν εἰς ἑαυτό, οἷον δή τι γίνεται καὶ ἐν τῷ «κὰπ φάλαρα» καὶ «κάτθανε» καὶ τοῖς τοιούτοις. Λέγει δὲ ἐκεῖνος καὶ ἄπφαν τὴν ἀδελφήν, καὶ ἄπφιον, ὑποκόρισμα ἐρωμένης, καὶ ἄλλα τινά, περὶ ὧν ἐν ἄλλοις γέγραπται. Ὅτι δὲ καὶ ἐξανέψοι ἐλέγοντο, ὧν οἱ πατέρες ἀλλήλων ἀνεψιοί, εὕρηται καὶ αὐτὸ ἐν τοῖς παλαιοῖς. Περὶ δέ γε τήθης καὶ μάμμης καὶ οὕτω φασί τινες. Τήθην οἱ Ἕλληνες τὴν πατρὸς ἢ μητρὸς μητέρα, οἱ δὲ παλαιοὶ ἀκύρως μάμμην καὶ μαῖαν, μάμμην γὰρ Ἀττικοὶ καὶ μαμμαίαν, τὴν μητέρα καλοῦσιν, ἣν δέ οἱ πολλοὶ τήθην, τηθίδα, μαῖαν δέ, ὡς ἡμεῖς, τὴν ὑπὸ Ἰώνων ὀμφαλητόμον, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. [Ὅτι δὲ ὁ πάτρως καὶ ὁ μήτρως πατράδελφος καὶ μητράδελφος ἑρμηνεύονται, καὶ ὅτι που οἱ τῆς μητρὸς γονεῖς μήτρωες εἴρηνται, πάτρωες δὲ οἱ κατὰ πατέρα πρόγονοι, καὶ ὡς ὁ τηθαλλαδοῦς καὶ σκῶμμα εὐηθείας ἔχει, ὡς τῶν ὑπὸ τοιαύταις τεθραμμένων εἰς εὐήθειαν ἐπιδιδόντων διὰ τὸ ἀνειμένον τῆς τροφῆς. Διὸ καὶ ὁ εἰπὼν ἐρωτηματικῶς τὸ «ὀκνεῖς λαλεῖν; οὕτω σφόδρ' εἶ τηθαλλαδοῦς;» ὀνειδίζων κέχρηται τῇ λέξει, παίζων εἰς ἀνδραποδώδη τινά, φησί, καὶ οἷον γραοτρεφῆ. Εἰ δέ τινές, φησί, πλανῶνται προσηγορίαν συγγενείας εἶναι κατὰ τὸ ἀνεψιαδοῦς, ἀλλ' ἔστιν ἄλλως, ὡς εἴ τις ἔμπληκτόν τινα παίζων ἐμπληκταδοῦν ὀνοματοποιήσει ἢ τὸν μωρὸν μωροδαλλοῦν. Ἔτι δὲ καὶ ὅτι μαῖα καὶ ἡ ἁπλῶς πρεσβυτέρα γυνὴ ἐλέγετο, ἡ δ' αὐτὴ καὶ [τήθη καὶ] τηθία καὶ τηθίβιος, δηλοῦσι καὶ αὐτὰ οἱ παλαιοί, ὡς καὶ ἀλλαχοῦ παρασεσημείωται, ὅπου καὶ ὁ διπλοῦς τόνος τοῦ τήθη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.592 τινὲς γὰρ ὀξύνουσιν αὐτό, πλὴν κοινοτέρα ἡ παροξυτόνησις.] καὶ τοιαῦτα μὲν καὶ ταῦτα. Τὸ δὲ «ἀρετῇ ἦν ἔξοχος» δοκεῖ πρὸς τὸ τρίτατος ἀφορᾶν, ἵνα εἴπῃ ὡς, εἰ καὶ τρίτος ἦν ἐν ἀδελφοῖς ὁ Οἰνεύς, ἀλλ' ἀρετῇ, ὅ ἐστιν ἀνδρίᾳ, καθ' ἣν ἐγχείῃ κέκαστο, ἢ καὶ ἄλλως ἁπάσῃ ἀγαθῇ ἕξει, ὑπερεῖχε. (v. 119) Τὸ δὲ «Ἀργεϊ νάσθη» καὶ τὸ «πλαγχθείς» σεμνῶς ἐσχημάτισται. τὴν γὰρ τοῦ Τυδέος φυγὴν ἐκ τῆς πατρίδος διὰ φόνον πλάνην καλεῖ καὶ μετοικίαν εἰς Ἄργος, σιωπῶν καὶ τὴν αἰτίαν τῆς φυγῆς. οὐ γὰρ ἐχρῆν φονικὰ τοῖς τοῦ πατρὸς ἐγκαταμῖξαι διηγήματα, τὰ πρὸς ἀρετὴν δὲ μόνον ἄρτι καὶ πλοῦτον εἰπεῖν. Τοῦ δὲ «νάσθη» νάω τὸ θέμα, ἐξ οὗ καὶ ναέτης καὶ νάσασθαι τὸ οἰκῆσαι. ὡς γὰρ κλαίω κλάω, οὕτω καὶ ναίω νάω. (v. 120) Τὸ δὲ «ὣς γὰρ θεὸς ἤθελεν» οὐ μόνον αἰτίας ἐπίκρυψιν, ἀλλά τι καὶ οἴκτου ἔχει. (v. 122) Τὸ δὲ «βιότοιο» εἴρηται μὲν ἀντιπτωτικῶς ἀντὶ τοῦ βιότῳ, δηλοῖ δὲ γενικῶς πάντα τὰ εἰς βίον χρήσιμα, οἷς οὐ πάνυ συνεισακτέος χρυσὸς καὶ ἄργυρος. διὸ τὸν βίοτον σαφηνίζων ἀρούρας πυροφόρους μετρεῖ καὶ τὰ ἑξῆς. (v. 123 s.) Τὸ δὲ «πολλοὶ φυτῶν ὄρχατοι», ὅπερ κήπους παραλαλεῖ, καὶ τὸ «πολλὰ πρόβατα» ἐπιμονὴν ποιεῖ τῷ διπλασμῷ τῶν λέξεων, αἷς ἰσοδύναμον τὸ «ἅλις δέ οἱ ἔσαν ἄρουραι», καὶ τὸ ἦσαν δὲ καὶ ἔσαν καὶ ἔσκεν ἐπιμονῆς καὶ αὐτά. Ὄρχατοι δὲ ἢ παρὰ τὸ ὀρύσσω οἷον ὀρύχατοι, ἢ παρὰ τὸ ἕρκει ἠσφαλίσθαι, ἢ παρὰ τὸ ἔρχω, ἵνα ᾖ ὄρχος ἡ κατὰ τάξιν φυτεία, ὅθεν ὄρχατος προπαροξυτόνως, ὡς μέσος μέσατος.

3.593 Τὰ γὰρ ἀπὸ ὀνομάτων διὰ τοῦ τος παραγόμενα προπαροξύνονται· τρίτος τρίτατος, ἕβδομος ἑβδόματος, μυχός μύχατος, μέσατος, ὄρχατος. Πρόβατα δ' ἐνταῦθά φασί τινες τὰ τετράποδα πάντα βοσκήματα, παρὰ τὸ πρὸ τῆς πρώτης, ἤτοι τῆς ἔμπροσθεν, βάσεως ἑτέραν βάσιν ἔχειν. συμβάλλεται δ' ἐνταῦθά τι καὶ τὸ «κειμήλιά τε πρόβασίν τε». (v. 125) Τὸ δὲ «ὡς ἐτεόν περ» σύστασις λόγου διαστελλομένου πρὸς τὰ ψευδῶς ἀκουόμενα. (v. 126) Τὸ δὲ «οὐκ ἄν με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες μῦθον ἀτιμήσητε», ὃν ἂν εὖ εἴπω, ἀρίστην ἔχει συγκρότησιν καὶ πάνυ συνιστᾷ τὸν ῥήτορα. οὐ γὰρ ἀρκετὸν εἰς πειθὼ ἡ πατραγαθία, ἐστὶ δὲ αἰδέσιμον, καὶ εἴ τις εἴη οὐκ ἄναλκις. εἰ δ' ἀμφοῖν τούτοιν προσείη καὶ τὸ εὖ εἰπεῖν, ὁ ταῦτ' ἔχων εἰκότως ἀκούοιτο ἄν. (v. 127) Τὸ δὲ «πεφασμένον» οὐχ' ἁπλῶς ἀντὶ τοῦ εἰρημένον, περιττὸν γὰρ τοῦτό γε, ἀλλὰ τὸν ἀποφαντικῶς καὶ μὴ ἐνδοιαστικῶς ἀλλ' ἀξιωματικῶς ῥηθησόμενον, ὡς ἔστι πρέπον τῷ βουλευτῇ. Καὶ ἄλλως δέ, εἴπερ ἐστὶ τὸ πεφασμένον ἀντὶ τοῦ ἁπλῶς εἰρημένον, χρὴ νοῆσαι εὐθὺς ἐπηγμένον εἰς ἑρμηνείαν αὐτοῦ τὸ «ὅν κ' εὖ εἴπω», ἵνα λέγῃ ἀπὸ κοινοῦ «μῦθον πεφασμένον εὖ». (v. 128) Τὸ δὲ «ἀνάγκῃ» ἀναγκαίους πολεμιστὰς κατὰ τοὺς ἐν τῇ Ὀδυσσείᾳ καὶ τούτους δηλοῖ. πῶς γὰρ οὐκ ἂν εἶεν ἀναγκαῖοι πολεμισταί, οἳ καὶ οὐτάμενοί περ μάχονται; Ἐνταῦθα δὲ ὅρα, ὅτι καὶ τὸ «ἴομεν πόλεμόνδε καὶ οὐτάμενοι» ἔοικεν ἀντιλαλεῖσθαι ῥητορικῶς καὶ πρὸς τὸ «οὐ γάρ πως βεβλημένον ἔστι μάχεσθαι», ὃ δὴ φθάσας ὁ Νέστωρ ἐγνωματεύσατο. (v. 129 s.) Τὸ δὲ «ἐχώμεθα δηϊοτῆτος» ἢ ἀντὶ τοῦ ἐπεχώμεθα, οὗ πρὸς σαφήνειαν ἐπῆκται τὸ «ἐκ βελέων», καὶ τὸ «μή πού τις ἐφ' ἕλκεϊ ἕλκος ἄρηται», ἢ μᾶλλον ἀντὶ τοῦ ἁπτώμεθα μάχης, ὡς ἐγχωρεῖ, ἐκ βελέων, τουτέστιν ἀπόμαχοι μὲν ὄντες, κοιρανέοντες δέ, ὡς ἀλλαχοῦ ἐρρέθη, καὶ ἔτι δέ, ὀτρύνοντες, παρακαλοῦντες, συμβουλεύοντες.

3.594 Τὸ δὲ «ἐκ βελέων» σαφέστερον ἔχει ἐν τῷ «Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεύς». Οἱ δὲ μεθ' Ὅμηρον τὸ ἐκ βελέων ἔξω βελῶν φασι παροιμιακῶς. Τὸ δὲ «μή πού τις ἐφ' ἕλκεϊ ἕλκος ἄρηται» εἴη ἂν ὅμοιον παροιμίᾳ τῇ «κακὸν ἐπὶ κακῷ», ὅτε δηλαδὴ ἐπὶ προηγησαμένῃ καὶ ἑτέραν βλάβην πάθοι τινά. Ἐνταῦθα δὲ ὅρα, ὡς καὶ τὸ οὐτάσθαι καὶ τὸ βεβλῆσθαι εἰς τὸ ἄρασθαι ἕλκος ἀνήγαγε. (v. 131) Τὸ δὲ ἐνήσειν καὶ ἐπὶ πλεόντων λέγεται, ὡς δηλοῖ τὸ «ἐνήσομεν εὐρέϊ πόντῳ». (v. 132) Τὸ δὲ «θυμῷ ἦρα φέροντες» ἀντὶ τοῦ χαριζόμενοι ἑαυτοῖς. Ὅτι δὲ ἦρα τὴν χάριν λέγει καὶ τὸ ἐραστὸν δέ, [καὶ ὅτι ἐκ τοῦ ἦρ ἡ χάρις ἡ τοιαύτη λέξις γίνεται, ἢ μᾶλλον ἐκ τοῦ ἐρῶ, τὸ ἐπιθυμῶ, ἵνα ὥσπερ ἐκ τοῦ κόπτω καὶ ξέω καὶ τρυπῶ κόπανα καὶ ξόανα καὶ τρύπανα, οὕτω καὶ ἐρῶ ἤρανα καὶ κατὰ ἀποκοπὴν ἦρα], προδεδήλωται. ἐκ δὲ τοῦ θυμός καὶ

τοῦ ἦρα ἔοικε συγκεῖσθαι τὸ θυμῆρες, ὡς καὶ ἀλλαχοῦ φαίνεται. Τοῦ δὲ «ἀφεστᾶσιν» ἑρμηνεία καὶ νῦν τὸ «οὐδὲ μάχονται». Σημείωσαι δὲ καὶ ὅτι τῶν βασιλέων ἐξελθόντων καὶ φανέντων γίνεταί τι ἀγαθὸν καὶ ἀνδρίζονται οἱ τοῦ δευτέρου στίχου τῶν νεῶν καὶ ποιοῦσι τὰ δηλωθησόμενα μετὰ ταῦτα, θαρρήσαντες ἢ καὶ ὀτρυνθέντες τοῖς ἐκ τοῦ αἰγιαλοῦ ἀνελθοῦσι στρατηγοῖς. (v. 135 s.) Διὸ κἀνταῦθα ὁ θαλάσσιος Ποσειδῶν ἐπιφανῆναι λέγεται παλαιῷ φωτὶ ἐοικώς, ἐπεὶ μηδὲ νεωτερίζονται πρὸς μάχην οἱ βασιλεῖς, ἀλλὰ πρὸς φρόνησιν μόνην γηραιῷ πρέπουσαν ἀνδρὶ εὔθετοί εἰσι. καὶ τοιοῦτος ἐπιφανεὶς λέγει ἃ λέγει καὶ ποιεῖ ἃ ποιεῖ. Ἔτι πρὸς τοῖς εἰρημένοις σημειωτέον καί, ὡς πάνυ εὐμεθόδως ὁ ποιητὴς τοὺς ῥηθέντας τέσσαρας βασιλεῖς εἰς μάχην ἐξήγαγε καὶ οὐ πλειονάς τινας, διὰ τὸ ἐξαρκεῖν μόνους αὐτοὺς εἰς ὃ θέλει. Νέστωρ μὲν γὰρ προὐβάλλετο εὑρεῖν «εἴ τι νόος ῥέξει», ὁ δὲ βασιλεὺς ἐπεχείρησεν εὑρεῖν τὸ προβληθέν, Ὀδυσσεὺς δὲ ἐξήλεγξεν αὐτὸν ὡς οὐ καλῶς εὑρηκότα, Διομήδης δὲ τελειοῖ τὴν εὕρεσιν καὶ λέγει τὸ ποιητέον, καὶ οἱ λοιποὶ μάλα κλύουσι καὶ πείθονται. Ὅρα δὲ καὶ ὅτι ἐν τῷ «παλαιῷ φωτὶ ἐοικώς» ἀορίστως ἔφρασεν ὁ ποιητής, μή, ὡς ἔθος αὐτῷ, δηλώσας καὶ τίς ἦν ὁ παλαιὸς φώς, ποιῶν καὶ οὕτω καινόν τι καὶ ἀνομοειδές.

3.595 Νοοῦσι δ’ ἐνταῦθα οἱ παλαιοὶ φῶτα παλαιὸν τὸν λίαν γέροντα. (v. 137—41) Ὅτι ὁ μυθικὸς Ποσειδῶν δεξιτερὴν ἑλὼν χεῖρα τοῦ βασιλέως φησὶ «Ἀτρείδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ γηθεῖ ἐνὶ στήθεσσι φόνον καὶ φύζαν Ἀχαιῶν δερκομένου, ἐπεὶ οὔ οἱ ἔνι», τουτέστιν, ὡς καὶ προεδηλώθη, ἔνεισι, «φρένες οὐδ’ ἠβαιαί». (v. 142) Εἶτα οὐ μόνον πρὸς ἡδονὴν λέγων τῷ βασιλεῖ, ἀλλὰ καὶ δυσχεραίνων, ἐπεὶ καὶ ἀληθῶς φαυλότητος ἴδιον τὸ τοῖς τῶν πέλας ἐπιχαίρειν κακοῖς, ἐπάγει «ἀλλ’ ὃ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειεν», ὅ ἐστι κακώσειεν ἢ μωμητὸν ποιήσειε. σίπαλον γάρ τινές φασι τὸν εἰδεχθῆ. παρὰ δὲ Λυκόφρονι σίφλον κεῖται τὸ τοιοῦτον, [συγκοπῇ καὶ τροπῇ τοῦ ψιλοῦ πι εἰς δασὺ τὸ φι .] τοῦτο δὲ εἶπε διὰ τὸ κάλλιστον εἶναι τὸν Ἀχιλλέα καὶ ὑπὲρ τὸν Νιρέα, ὃ καὶ Ἀχιλλεὺς ἐπισημαίνεται, ὅπου ἐρεῖ καλός τε μέγας τε εἶναι. εὔχεται οὖν τὸν καλὸν αἴσχιστον γενέσθαι, σωφρόνως λαλῶν καὶ οὐ μέγα κακὸν αὐτῷ ἐπαρώμενος. Ἢ σιφλώσειεν ἀντὶ τοῦ ἐκλύσοι καὶ παύσοι τῆς ὁρμῆς. φλῶ γὰρ τὸ ὁρμὴν ἔχω, ὅθεν κατά τινας καὶ οἰνόφλυξ. νεωτέρων δὲ ἡ λέξις κατὰ τοὺς παλαιοὺς καὶ ἅπαξ εἴρηται. Τὸ δὲ «ἀλλ’ ὃ μὲν ὣς ἀπόλοιτο» καὶ ἑξῆς κατὰ παντὸς ἂν λεχθείη ἀξίου ἀρᾶς. Ἰστέον δὲ ὅτι ὁ εἰπὼν σιφλὸν εἶναι τὸ τῶν ἰχθύων γένος, ἐπὶ γαστριμαργίας καὶ σικχότητός τινος τὴν λέξιν ἔθετο, καὶ ὅτι σῴζεται ἡ τοῦ σιφλοῦ λέξις παρά τισι τῶν Λυκίων ἕως καὶ νῦν, [παρ’ οἷς καὶ ἀνὴρ λέγεται σιφλὸς ὁ ῥᾴθυμος καὶ οὐκ ἐνεργής. οἳ καὶ ἀπαιτηθέντες ἑρμηνείαν τοῦ σιφλοῦ φασι τοιοῦτον εἶναι τόν, ὡς ἐκεῖνοι μέν φασι, ζοφόν, κατὰ δὲ ἄλλους χυδαίους ζοχόν. τὸ δ’ ἐστὶ λογίως σομφόν, ὁποῖόν τι καὶ ὁ σπόγγος καὶ τὰ ἰδιωτικῶς λεγόμενα ζοχία.

3.596 Οἱ δ’ αὐτοὶ Λύκιοι σιφλὸν τὰ ἐντός φασι καὶ τὸν νάρθηκα, ἐπεὶ καὶ ἐκείνου τὰ ἔνδον σομφά εἰσι, τουτέστιν ἀραιὰ καὶ ἀπύκνωτα, ὡς εἶναι σιφλὸν ἐξ ἀποτελέσματος τὸν μὴ πυκνὸν καὶ στεγανὸν καὶ στερρὸν τὰ εἰς δρᾶσιν, ἀλλ’ ἀραιὸν καὶ ἀχρεῖον ὡς μαλθακὸν καὶ ἀνενέργητον καὶ χαῦνον. τοιούτου δὲ σιφλώματος, ἤγουν Λυκιακοῦ, καὶ ἡ ῥαφανὶς καὶ ἡ γογγυλίς. σιφλαὶ γὰρ καὶ αὐταί.] Δεξιῶς δὲ κἀνταῦθα μνήμη συνήθης τοῦ Ἀχιλλέως παρεμβέβληται. (v. 140) Τὸ δὲ «γηθεῖ» τὸ θέμα τοῦ γηθήσειν ἐστί. δῆλον δ’ ὅτι καὶ βαρυτόνως τὸ τοιοῦτον ῥῆμα προφέρεται, ὡς δηλοῖ καὶ τὸ γηθόμενος. (v. 143—5) Τοῖς δὲ εἰρημένοις ἐπάγει καθ’ Ὁμηρικὴν προαναφώνησιν ὁ Ποσειδῶν καὶ τὸ «σοὶ δ’ οὔ πω μάλα πάγχυ θεὸς κοτέει, ἀλλ’ ἔτι που Τρώων ἡγήτορες εὐρὺ κονίσσουσιν πεδίον», ἐν τῷ φεύγειν δηλαδή. (v. 145 s.) Ἐπεὶ δὲ προσαρμόζει καὶ τοῖς διώκουσιν οὗτος ὁ λόγος—κόνιν γὰρ καὶ αὐτοὶ διὰ τῆς πεδιάδος ἐγείρουσι—, διασαφεῖται τῇ ἐπαγωγῇ τοῦ «σὺ δ’ ἐπόψεαι αὐτοὺς φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων», αἷς ἄρτι ἤγγισαν. (v. 143) Τὸ δὲ «πάγχυ μάλα» ταὐτολογεῖται Ἀττικῶς κατὰ τὸ λίαν πάνυ. [Ἰστέον δὲ ὅτι τε τὸ «οὔπω θεοὶ κοτέουσι κατὰ σοῦ» ἢ περιττὸν ἔχει ὡς ἐν παραπληρώσει τὸν πω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σύνδεσμον, ἢ καὶ κοινότερον εἴληπται ἀντὶ τοῦ «οὔπω χρόνου πάνυ σοι τὸ θεῖον ὤργισται», ἀλλὰ νῦν μὲν ὄψει τοὺς ἐχθροὺς φεύγοντας, ἔσται δὲ καιρὸς ὅτε κακοπραγήσεις πάγχυ μάλα, περιπεσὼν οἴκαδε τοῖς ὑστάτοις κακοῖς, (v. 144) καὶ ὅτι τὸ «ἀλλ᾽ ἔτι που», ἀντὶ τοῦ ἀλλ᾽ ἴσως, διστάζων εἶπεν ὁ Ποσειδῶν, ἵνα μὴ ἀποφηνάμενος γνωσθείη ὅστις ποτέ ἐστιν.] (v. 147—9) Ὅτι ὁ Ποσειδῶν ὀτρύνων τοὺς Ἀχαιοὺς εἰς μάχην βοᾷ μέγα, καθά που καὶ Ἄρης ἀλλαχοῦ, «ὅσον τ᾽ ἐννεάχιλοι ἐπίαχον ἢ δεκάχιλοι ἀνέρες ἐν πολέμῳ, ἔριδα ξυνάγοντες Ἄρηος» καὶ προαλαλάζοντες τῇ συμβολῇ. Εἰ δὲ σιγᾶν ἔδει αὐτὸν τὴν μάχην κλέπτοντα καὶ μὴ κατὰ χιλιάδας βοᾶν, ἀλλὰ καὶ τούτου δίχα κατὰ τοὺς τὴν ἀπορίαν λύοντας ἡ τῶν στρατοπέδων ἠχὴ πρὸ μικροῦ ἵκετο αἰθέρα καὶ Διὸς αὐγάς, ὅ ἐστιν ἡλίου, ὡς εἴρηται.

3.597 Ἀρίσταρχος δέ φησιν, ὅτι Ποσειδῶν μὲν οἷα θεὸς βοᾷ, ὅσον ἄνδρες ἐννέα [ἢ δέκα], ὥς που καὶ προεγράφη, ἐννέα [ἢ δέκα] χείλη ἔχοντες, ὅ ἐστι στόματα, ἐκ μέρους τοῦ χείλους τὸ ὅλον στόμα ἐκεῖνος νοῶν. Ὀδυσσεὺς δὲ ἀλλαχοῦ βοᾷ «ὅσον κεφαλὴ χάδε φωτός». ἄνθρωπος γάρ. οὐδὲν δὲ πάντως μέγα ὁ τοῦ Ἀριστάρχου λόγος τῷ Ποσειδῶνι προσμαρτυρεῖ. ἐχρῆν γὰρ ὡς Στέντορα γοῦν φωνῆσαι αὐτόν, ὃς αὐδήσασκεν ὅσον ἄλλοι πεντήκοντα. κρεῖττον οὖν τὸ πρῶτον. (v. 150—2) Διὸ καὶ ὁ ποιητὴς λέγει θαυμαστικῶς «τόσσην ἐν στήθεσσιν ὄπα ἧκεν, Ἀχαιοῖσι δὲ μέγα σθένος ἔμβαλ᾽ ἑκάστῳ κραδίῃ», ὡς καὶ ἀλλαχοῦ κεῖται. ὃ δὴ τέλος τῆς ἐν μάχῃ ὀτρυντικῆς βοῆς. (v. 149) Τὸ δὲ «ἀνέρες» ἐκτείνει καὶ νῦν τὴν ἄρχουσαν, ἐν ἄλλοις πολλαχοῦ συστελλομένην. (v. 151) Τὸ δὲ «ἑκάστῳ» καὶ ὧδε συλληπτικὴν ἅμα καὶ ἐπιμεριστικὴν ἔννοιαν ἔχον ἶσόν ἐστι τῷ «Ἀχαιοῖς». Τοῦ δὲ «μέγα σθένος» ἐφερμηνευτικὸν τὸ «ἄληκτον πολεμίζειν ἠδὲ μάχεσθαι», ἐπαχθὲν μετὰ τὸ «σθένος ἔμβαλεν». (v. 155 s.) Ὅτι φιλοπολέμου ἤθους τό· ἔγνω τὸν δεῖνα ποιπνύοντα, ἤγουν, [ὡς πολλαχοῦ κεῖται,] πονούμενον, «μάχην ἀνὰ κυδιάνειραν, χαῖρε δὲ θυμῷ». καὶ εἴη ἂν καὶ τῷ τοιούτῳ προσώπῳ ἡ μάχη χάρμη ἀληθῶς. ἐνταῦθα δὲ καὶ αὐτοκασίγνητον καὶ δαέρα ὁ μῦθος τῇ Ἥρᾳ τὸν Ποσειδῶνά φησιν. Ἰστέον δὲ ὅτι τὸ τῆς Ἥρας ἦθος κἀνταῦθα μυθικῶς ἐκτιθεὶς ὁ ποιητὴς πλάττει αὐτὴν δυστροπευομένην συνήθως ἐπὶ τῷ, ὡς ἐρρέθη, κασιγνήτῳ καὶ δαέρι Ποσειδῶνι. (v. 156—8) Διὸ χαίρει μέν, ὡς εἴρηται, θυμῷ, ἐφ᾽ οἷς ἔγνω τὸν Ποσειδῶνα ἐπαμύνοντα τοῖς Ἀχαιοῖς, τὸν δὲ Δία ἰδοῦσα ἐκ κορυφαῖς Ἴδης ἥμενον οὐ χαίρει, «στυγερὸς δέ οἱ ἔπλετο θυμῷ». διὸ καὶ μερμηρίζει, ὅππως ἐξαπάφοιτο Διὸς νόον ἐπ᾽ ἀγαθῷ τῶν Ἑλλήνων. (v. 161—5) Καὶ εὐθὺς ἐκτίθεται ὁ ποιητὴς ἐν σχήματι προεκθέσεως τὸν τρόπον τῆς ἀπάτης, εἰπὼν «ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή» καὶ ἑξῆς. εἶτα λέγει καὶ πῶς ἐντύνει ἑαυτὴν διά τε λοιποῦ καλλωπισμοῦ καὶ διὰ περιθέσεως τοῦ κεστοῦ, μεθὸ ἐκθήσεται καὶ τὸν τρόπον τῆς ἀπάτης καὶ τὰ λοιπά. Ἐν οἷς ὅρα τὴν πιθανὴν τοῦ πλάσματος ἐπίνοιαν καὶ μεταχείρισιν καὶ ἐπαύξησιν.

3.598 εἰ γὰρ μικρόν τι στρέψαντος Διὸς τὸν ὀφθαλμὸν εἰς γῆν ἄλλην ἡττῶνται Τρῶες, πολλῷ πλέον, εἰ καὶ κοιμηθήσεται, ὡς ῥηθήσεται. Ἰστέον δὲ ὡς οὐ μάτην ὁ ποιητὴς οὐδὲ τῷ τῆς Ἥρας ἐπεισοδίῳ ἐνταῦθα χρᾶται καὶ τῷ τοῦ κεστοῦ πλάσματι καὶ τῇ τοῦ Διὸς ἀπάτῃ, ἀλλ᾽ ἵνα κεστόν τινα ποικίλον καὶ αὐτὸς τῇ τοιαύτῃ ἀφορμῇ ἐξ ἐννοιῶν διαφόρων συγκροτηθέντα ἐνθήσει τῇ οἰκείᾳ ποιήσει ἐπάγεσθαι τὸν ἀκροατὴν ἐξισχύοντα. Σκοπὸς μὲν γὰρ αὐτῷ προηγούμενος ἐρωτικὴν ἐνταυθοῖ ἐκθέσθαι διήγησιν ὡς ἐν ἰδέᾳ γλυκύτητος, τοῦτο δὲ ποιῶν οὐκ ὀλίγα οὕτω σεμνὰ κατορθοῖ, τοῖς ἀστείοις σπουδαῖα παραμιγνύς. Φυσιολογεῖ τε γάρ, ἐν οἷς περὶ Τιτάνων καὶ Κρόνου καὶ Ὕπνου ἐρεῖ, ναὶ μὴν καὶ ἐν οἷς περὶ ἀέρος φιλοσοφήσει, ἐμφαίνων τὸ αὐτοῦ δίοσμον δι᾽ εὐόδμου μύρου κινήσεως. ἔτι δὲ καὶ ἠθικούς τινας λόγους ὑποκινεῖ, ἐν οἷς περὶ Χαρίτων διαλαμβάνει, καὶ ἐν οἷς διδάσκει ὡς παραφυλακτέον τῷ σώφρονι τὰς σφοδρὰς ἡδονὰς καὶ τοὺς τῶν γυναικῶν λόχους καὶ λόγους, αἳ τὰ πολλὰ δολοφρονέουσαι φθέγγονται, εἴγε καὶ ὁ Ζεὺς ὑπὸ τοιούτων ἀπάτην πάσχει. ὑπογράφει δὲ καὶ γυναικῶν τρόπους, ὁποῖαι τοῖς ἀνδράσιν εἰσίν, εἰ μὴ συντρέχοιεν οἷς αὐταὶ βούλονται. παρεμπλέκει δὲ καὶ ἱστορίας ἔν τε τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περὶ Ἡρακλέος, ὃν μετὰ Τροίας ἅλωσιν εἰς τὴν Κῶ ἐξωσθῆναι ἀνέμοις φησί, καὶ ὅπου δὲ παίδων ὁρμαθὸν πλάττει τῷ Διΐ· τὸν Πειρίθοον, τὸν Περσέα, τὸν Μίνω, τὸν Ῥαδάμανθυν, ἱστορῶν καὶ ἐξ οἵων μητέρων ἐγένοντο. καὶ ἄλλα δὲ πολλὰ ποιεῖ ἄξια λόγου, ὧν τὰ καιριώτατα εἰρήσεται. Εἰ δέ τις τὴν τῆς Ἥρας ἀπάτην ἐπὶ τῷ Διΐ αἰνίττεσθαι εἴποι καὶ τὴν ἐκ τῶν μαθημάτων καὶ μετεωρολογίας ἐγγινομένην ἡδονὴν τοῖς ἐπιστήμοσι λογισμοῖς, οὐκ ἂν οὐδ᾽ οὕτως ἁμάρτῃ τοῦ δέοντος.

3.599 Ζεὺς μὲν γὰρ ὁ νοῦς ὁ θεωρητικὸς τῶν μαθήσεων, Ἥρα δὲ αὐτός τε ὁ ἀήρ καὶ ὅσα ἐν τοῖς ἀνωτάτω συμπτώματα καὶ τὰ ἐν τοῖς μετεώροις παθήματα. εἰς ἅπερ καθάπαξ ὁ νοῦς ἀπιδὼν καὶ τοιαύταις ἑαυτὸν ἀλυκτοπέδαις ἐνδήσας θεαμάτων, ἐνίσχεται τῷ ἔρωτι καὶ ἀεὶ τὴν ἐπιθυμίαν φέρει ἀκμάζουσαν καὶ κατὰ ἑκάστην θεωρίαν λέγει καὶ αὐτὸς οὐ πώποτε οὕτως ἔρωτι δαμασθῆναι, καὶ θέλγεται καὶ εἰς ὕπνον κατενεχθεὶς ἀπήμονα, ὃν ἔμφρονά τις ἂν εἴποι ῥᾳστώνην, οὐκέτι δύναται ἀνενεγκεῖν, ἀλλὰ σύνεστιν ἀεὶ τῇ Ἥρᾳ ταύτῃ ἐπ᾽ ἀκροτάτης κορυφῆς ὄρους, ὑπερηρμένος τῶν κάτω δηλαδὴ καὶ τῶν ἄνω μόνων γινόμενος. Ὁ δέ γε καὶ τὸν θελκτήριον κεστὸν εἰς τοιαύτην ἀλληγορίαν ἐκλαμβάνων οὐκ ἂν πόρρω πέσοι σκοποῦ, ἐν ᾧ ἦν φιλότης καὶ ἵμερος καὶ ὀαριστύς, πάρφασις νοῦν κλέπτουσα, ὡς καὶ αὐτὸ προϊών φησιν ὁ ποιητής. Φιλότης μέν, ἀφ᾽ ἧς καὶ ἡ φιλοσοφία παρονομάζεται, φιλία οὖσα σοφίας, ἵμερος δὲ ὁμοίως, ἡ τῆς σοφίας ἔφεσις, ὀαριστὺς δέ, τουτέστιν ὁμιλία, δι᾽ ἣν οἱ τὴν μάθησιν μετιόντες ὀαρισταὶ λέγονται, ὡς ὁ Μίνως ἐν Ὀδυσσείᾳ ὀαριστὴς Διός. Ἔτι δὲ καὶ ὁμιληταὶ οἱ αὐτοί, καθὰ δὴ καὶ αἱ διδασκαλίαι ὁμιλίαι. Ἥτις ὀαριστὺς καὶ κλέπτει νόον διὰ τὸ ἐν τοῖς τοιούτοις οὐ μόνον ἀληθὲς ἀεί, ἀλλ᾽ ἔστιν ὅτε καὶ πιθανολογικὸν καὶ παραλογιστικόν, καὶ μάλιστα ἐν τοῖς κατὰ διάλεξιν, ὃ δηλοῖ ἡ πάρφασις. καὶ ποικίλος δὲ ὁ τοιοῦτος διὰ τὸ τῶν μαθημάτων καὶ ἀποδείξεων πολυειδές. αὐτὸ δὲ τοῦτο ἱμὰς καὶ κεστὸς ὁ τοιοῦτος, τὸ μὲν διὰ τὰς βίβλους αἷς τὰ τῶν μαθημάτων ἐντετύπωται θεωρήματα ὕλην ἐχούσαις ὡς ἐπὶ πολὺ δέρματα ζῴων, ἐξ ὧν ποτε παρασύρονται καὶ ἱμάντες, κεστὸς δὲ διὰ τὰς ἐν αὐτῷ ἀμυχὰς τῶν γραμμῶν καὶ οἷον κεντήσεις τῶν γραμμάτων.

3.600 Ὁ δὲ κεστὸς οὗτος καὶ κατὰ στῆθος φορεῖται, ἀφ᾽ οὗ καὶ τὸ ἀποστηθίζειν παρονομάζεται. καθ᾽ ἣν ἔννοιαν καὶ τῶν τις παλαιῶν γραμματικῶν τὸν οἰκεῖον διδάσκαλον ἐζωγράφησε φέροντα ἐπὶ στήθους τὴν τραγῳδίαν, αἰνιττόμενος τὸ ἐπὶ στόματος ἐκεῖνον φέρειν καὶ ὡς εἰπεῖν ἐκστηθίζειν τὰ τραγικά, [ὃ δὴ καὶ ἀπὸ στήθους λέγειν φαμέν, πρὸς διαστολὴν τοῦ ἀπὸ μεμβράνας ἢ ἀπὸ βιβλίου.] Καὶ ταῦτα μὲν οὕτω ἐκ τῶν Ὁμηρικῶν ἐννοιῶν τε καὶ λέξεων συνηγμένα, εἰ μὴ ἴσως σπουδαῖα τοῖς γε σεμνοπροσωποῦσιν, οὔκουν οὐδὲ γελοῖα. Τὰ δὲ κατὰ μέρος τοῦ τόπου τούτου συνήθως ὑποτετάξεται. (v. 158) Καὶ πρῶτον, ὅτι γυναικεῖον ἦθος ὁ ποιητὴς καθυπογράφει ἐν οἷς λέγει, ὡς ὁ Ζεὺς τῇ Ἥρᾳ στυγερὸς ἔπλετο θυμῷ. δηλοῖ γάρ, ὡς αἱ γυναῖκες στυγοῦσι τοὺς ἄνδρας ἀποτυγχάνουσαι τῶν προθέσεων. (v. 161—5) Εἶτα ὅτι ἐν σχήματι προεκθέσεως ὑπισχνεῖται ὁ ποιητὴς ἅπερ εἰπεῖν μέλλει. τὰ δέ εἰσιν ὡς ἐν κεφαλαίῳ, τὸ τὴν Ἥραν βουλευσαμένην, «ὅπως ἐξαπάφοιτο Διὸς νόον, ἐλθεῖν εἰς Ἴδην εὖ ἐντύνασαν ἑαυτήν, εἴ πως ἱμείραιτο Ζεὺς παραδραθέειν φιλότητι ᾗ χροιῇ. τῷ δ᾽ ὕπνον ἀπήμονά τε λιαρόν τε χεύῃ ἐπὶ βλεφάροισιν ἰδὲ φρεσὶ πευκαλίμῃσιν», ὅ ἐστι συνεταῖς, ὡς πλεισταχοῦ κεῖται. εἶτα τὰ ἑξῆς, καθὰ εὐτάκτως εἰρήσεται. (v. 160) Ἰστέον δὲ ὅτι τὸ μὲν ῥηθὲν «ἐξαπάφοιτο» πρωτότυπόν ἐστι τῆς Παφίας Ἀφροδίτης. Παφία γὰρ ἀλληγορικῶς καὶ ἐκείνη, ὡς ἀπαφίσκουσα, ὅ ἐστιν ἀπατῶσα τῷ ἔρωτι. διὸ καὶ ἡ Ἥρα τῷ κεστῷ ἐκείνης τὸν Δία ἤπαφε. (v. 162) Τὸ δὲ «ἐντύνασαν ἑαυτήν» σημαίνει μὲν τὸ ὁπλίσασαν, δηλοῖ δὲ ὅπλον οἷον κατὰ ἀνδρὸς τὸ κάλλος εἶναι τῇ γυναικί. (v. 163) Τὸ δὲ ἱμείρειν ὅτι ἐκ τοῦ δηλωθέντος μυθικοῦ ἱμάντος παρῆκται, δῆλόν ἐστι.

3.601

(v. 164) Τὸ δὲ «ᾗ χροιῇ» ὑπερβατῶς νοητέον, εἴ πως ἱμείραιτο ὁ Ζεὺς ἐν τῇ χροιᾷ, [ἤγουν διὰ τῆς κατ' αὐτὴν χροιᾶς καὶ τοῦ προφαινομένου ἡδέος,] παραδραθέειν τῇ Ἥρᾳ, ὃ δὴ καὶ χρωτίζεσθαι λέγεται, ληφθὲν ἐκ τῆς χροιᾶς, ἣ ταὐτόν ἐστι τῷ χρωτί. [Καὶ ἄλλως δέ, περίφρασίς ἐστι τὸ «ᾗ χροιῇ» τοῦ ἑαυτῇ, ὡς τῆς χροιᾶς αὐτῆς ἐφελκομένης τὸν Δία εἰς τὸ παραδραθεῖν αὐτῇ.] Χροιὰν δὲ λέγει τὴν ἐπιπολῆς ἐπιφάνειαν, περὶ ἣν τὸ κάλλος, ᾗ δελεαζόμενος ὁ ἐρῶν ἐνέχεται. Ἀπήμων δὲ ὕπνος ὁ καὶ λυσιμελὴς καὶ «λύων μελεδήματα θυμοῦ». ἐντεῦθεν δὲ λαβὼν Σοφοκλῆς ὀδύνης καὶ ἀλγέων ἀδαῆ τὸν ὕπνον προσφωνεῖ. [Ὅτι δὲ ὁ ὕπνος καὶ σκῶμμα παράγει τὸ κατὰ τοῦ φιλύπνου, δηλοῖ ὁ γράψας «φίλυπνον λέγεσθαι πρόσωπον τὸ προσποιούμενον καθυπνωκέναι καὶ πάσχον».] Λιαρὸς δὲ ἢ ὁ θερμός, θερμαίνει γὰρ τὸ σῶμα, ἢ ὁ ἡδύς, παρὰ τὸ ἰαίνω πλεονασμῷ τοῦ λ , ἢ ὁ λαρός, πλεονάσαντος τοῦ ι κατὰ τοὺς παλαιούς, ἢ ὁ λίαν προσαρηρώς. (v. 165) Τὸ δὲ «χέῃ» τὸ ὑγρὸν τοῦ ὕπνου δηλοῖ, καθὸ καὶ «νήδυμος ἀμφιχυθείς» λέγεται. Τὸ δὲ «ἐπὶ βλεφάροισιν ἰδὲ φρεσί» βαθύτατον ὕπνον ἐμφαίνει, δι' οὗ καὶ φρένες ἀμβλύνονται τοῦ ὀξὺ νοεῖν. τὸ δὲ «φρεσί» προϊὼν σαφέστερον λέγει ἐν τῷ «ἔλεξα Διὸς νόον», ὅ ἐστι κατεκοίμησα τὰς φρένας τοῦ Διός. καὶ ταῦτα μὲν ἐν τούτοις. (v. 166—8) Ὁ δὲ ταῦτα εἰπὼν μῦθος καὶ θάλαμον ἡφαιστότευκτον ἀποκληροῖ τῇ Ἥρᾳ βιωτικώτερον, ὡς καὶ τοῖς ἄλλοις θεοῖς, οὗ πυκιναί, ὡς εἰκός, θύραι εἰσὶν ἡρμοσμέναι «κληῖδι κρυπτῇ, ἣν οὐ θεὸς ἄλλος ἀνῷγεν», ὃ δὴ ἀρετὴ μέν ἐστι κλειδός.

3.602 αἰνίττεται δὲ καὶ τὸ δυσκατάληπτον τῆς τῶν ἄνω θεωρίας φυσικώτερον καὶ ἠθικῶς δὲ τὸ κρυφιῶδες δεῖν εἶναι πᾶν, ὃ κατὰ τὴν ἐνταῦθα περιεργίαν τῆς Ἥρας γίνεται. (v. 169) Διὸ καὶ ἐπάγει «ἔνθα εἰσελθοῦσα θύρας ἐπέθηκε φαεινάς», καὶ μὴ βλεπομένη, ὃ δὴ θέμις γίνεσθαι, ἐντύνει ἑαυτήν, καθὰ εἰρήσεται. Ἰστέον δὲ ὡς κληῖδα κρυπτὴν λέγει ἢ τὴν ἔνδοθεν κλείουσαν τὰς θύρας καὶ οὕτω κρυπτομένην τοῖς ἔξωθεν, ἢ τὴν δυσεπιχείρητον τοῖς ἐπιβουλεύουσιν, ὁποῖα καὶ τὰ παρὰ τῷ Κωμικῷ κακοηθέστατα κλειδία. (v. 168) Διὸ καὶ ἐπήγαγε τὸ «ἣν οὐ θεὸς ἄλλος ἀνῷγεν», ἵνα λέγῃ κρυπτὴν κλεῖδα, ἣν οὐ δύναταί τις ἄλλος ἀνοίγειν. Ἰστέον δὲ ὅτι τὸ «τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγε» τὰ πλείω τῶν ἀντιγράφων «τὸν δ' οὐ θεὸς ἄλλος» γράφουσιν, ἵνα ᾖ ὁ λόγος περὶ τοῦ κατὰ τὴν Ἥραν θαλάμου, ᾧ πυκινὰς θύρας σταθμοῖσιν ἐπῆρσεν Ἥφαιστος, ἤγουν ἐφήρμοσε, παρὰ τὸ ἄρω ἄρσω Αἰολικὸν βαρύτονον, ὅθεν καὶ τὸ «ἄρσαντες κατὰ θυμόν». Τὸ δὲ «ἀνῷγε» προπερισπᾶται τῷ λόγῳ τῶν τοιούτων τροχαϊκῶν, ὡς καὶ τὸ ἀνῆγε, κατεῖχε, καὶ τὰ ὅμοια σύνθετα, ὧν ὁ τόνος καὶ ἐν συνθέσει φυλάσσεται. τὸ μέντοι ἄνωγεν ἀντὶ τοῦ ἐκέλευεν, ἐκ τοῦ ἀνώγω ῥήματος ὄν, προπαροξύνεται. (v. 169) Ὅτι εἰς τὸν ῥηθέντα θάλαμον ἐλθοῦσα ἡ Ἥρα, καὶ θύρας, ὡς ἐρρέθη, ἐπιθεῖσα, ὅ ἐστι κλείσασα, οὗ τὸ ἀνάπαλιν ἀνακλῖναι, ὅ ἐστιν ἀνοῖξαι, ἐπειδή, φασί, κλῖναι τὸ κλεῖσαι, καλλωπίζεται ἐν ἀπορρήτῳ, εἴ πως λάθῃ ἐπιποιοῦσα γυναικικῶς τῷ κάλλει καὶ μὴ ὑποβολιμαῖον ἐκ τέχνης κομμωτικῆς δοκοίη αὐτῆς τὸ καλόν, ἀλλὰ γνήσιον. Καὶ ὅρα ὡς ἀποκρυβῆς, καθὰ καὶ ἀνωτέρω προσεχῶς κεῖται, ἄξιος ὁ ἐπίθετος καλλωπισμός. (v. 170 s.) Εἶτα «ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος λύματα πάντα κάθηρεν», ὅ ἐστι πάντα τὸν ῥύπον καὶ τὴν περὶ σῶμα ἀκαθαρσίαν, ἣν χρὴ ἀπολυμαίνεσθαι, ἤγουν ἀπολούεσθαι. τὸ γὰρ λῦμα ἐντεῦθεν παράγεται, οἱονεὶ λοῦμά τι ὄν, ὡς καὶ ἀλλαχοῦ δεδήλωται. Ὅρα δὲ καὶ ὅτι οὐ μόνον τροφή ἐστιν ἡ ἀμβροσία, ἀλλ' ἰδοὺ ἐνταῦθα καὶ ὡς σμῆγμά τι παραλαμβάνεται, καθάπερ τὸ κάλλος ἀλλαχοῦ.

3.603 τῷ δέ γε Πατρόκλῳ ὡς ἄλλο τι ὑγρὸν ὑπὸ ῥῖνα ἡ ἀμβροσία ἐνστάζεται. (v. 171 s.) Καὶ οὕτω τέως ἡ Ἥρα καθηραμένη οὐχ' ὡς ξηρῷ τινι, ἀλλὰ πάντως ὑγρῷ, «ἀλείψατο λίπα ἐλαίῳ ἀμβροσίῳ, ἑδανῷ», ἤγουν εὐώδει, ἡδεῖ, ἐκ τοῦ ἥδω, ἐξ οὗ ἡδανὸς καὶ κατὰ μεταβολὴν ἑδανός. διὸ καὶ δασύνεται, ὡς καὶ τὸ ἕδνον, ὁμοίως καὶ αὐτὸ παραγόμενον. Τὰ δὲ τοιαῦτα ῥηματικὰ βραχεῖαν, φασίν, ἔχει τὴν ἄρχουσαν, πιθανός, ἑανός, τραγανός. [Ἰστέον δὲ ὅτι τε παρὰ τοῖς παλαιοῖς καὶ μύρον Ἀττικὸν ἐπαινεῖται, ὡς δηλοῖ ὁ χαρίεις Ἀντιφάνης, ἐν οἷς τὰ ἐξ ἑκάστης πόλεως

ἰδιώματα καταλέγων, καὶ εἰπὼν τὸν ἐξ Ἤλιδος μάγειρον, τὸν ἐξ Ἄργους λέβητα, τὰς ἐξ Αἰγίου αὐλητρίδας καὶ ἄλλα, ἐπάγει «μύρον ἐξ Ἀθηνῶν, ἐγχέλυς Βοιώτιαι». Καὶ ὅτι φασὶν οἱ αὐτοὶ τὴν μὲν Ἥραν σώφρονα εἶναι μυραλοιφουμένην τὰ καίρια, τοὺς δὲ Ἀθήνῃσι τρυφητὰς φαυλοτάτους, οἵπερ τοὺς πόδας ἐνήλειφον μύρῳ ἰρίνῳ ἢ ῥοδίνῳ ἢ μεγαλλίῳ τῷ ἐν Ὀδυσσείᾳ ἡρμηνευμένῳ. καὶ ὅτι τὰ ὕστερον ἐπίτριπτα μύρα ἐκώλυον οἱ φρονοῦντες εὖ. Σόλων γοῦν οὐκ ἐπέτρεπεν ἀνδρὶ μυρεψικῆς τέχνης προΐστασθαι. καὶ ὅτι οἱ ὕστερον μύρον ἐφεῦρον, ὃ ἐκάλουν παιδέρωτα, ᾧ καὶ γυναῖκες ἐχρῶντο, καὶ ὅτι καὶ τὰ στήθη ἐμύρουν οἱ τότε, διότι αὐτόθι ἦν ἡ καρδία, ὥστε καὶ τὴν κεφαλὴν διὰ τὸ κατ’ αὐτὴν τίμιον, καὶ ὅτι γυναικεῖον τὸ μυραλοιφεῖσθαι, ἄνδρας δέ, φασίν, Ὅμηρος οὔτε στεφανουμένους ἐν δαιτὶ ποιεῖ οὐδὲ μυρουμένους οὐδὲ θυμιῶντας. Λέγουσι δὲ καί, ὅτι μυρίζω μὲν οὐκ ἔλεγον οἱ πάλαι, μυρῶ δὲ μυρώσω, καὶ] ὅτι οἱ παλαιοὶ ἐλαιώδεσι μύροις ἐχρῶντο, ὡς αἱ ἱστορίαι δηλοῦσι σαφέστατα, ἐν αἷς καὶ παιδάριόν τι φέρεται τοιούτῳ μύρῳ περιχρισθὲν καὶ παιγνίου λόγῳ μικροῦ ἂν κατακαυθὲν ἐν τῷ φλόγα προσψαῦσαι αὐτοῦ κατὰ καιρὸν λούματος. Τοιοῦτον δή τι καὶ τὸ μυθικὸν τοῦτο τῆς Ἥρας ἄλειμμα, οὐχ’ ἁπλῶς ἔλαιον ὄν, ἀλλὰ κατὰ τὸν ποιητὴν τεθυωμένον.

3.604 (v. 172) Φησὶ γὰρ «τὸ ῥά οἱ», ἤγουν ὃ δὴ αὐτῇ, «τεθυωμένον ἦεν», ὡς ἄν τις εἴποι μεμυρωμένον ἢ μεμυρισμένον, ὡς ἀπὸ θύου τοῦ εὐώδους, οὗ μέμνηται καὶ ὁ Περιηγητής, ἢ παρὰ τὸ θύος, ὃ ἐν τῇ ἰῶτα ῥαψῳδίᾳ κεῖται. Ὅμηρος γὰρ μύρου χρῆσιν μὲν οἶδε, κλῆσιν δὲ ἀγνοεῖ, ὁποῖον τὸ βρένθειον καὶ ἡ ξίρις καὶ τὸ ἴρινον [καὶ τὸ ἀμαράκινον καὶ τὸ ῥόδινον καὶ τὸ ἢ μεγαλεῖον προπερισπωμένως κατὰ τοὺς πολλοὺς ἢ κατὰ τοὺς ἀκριβεστέρους μεγάλλιον προπαροξυτόνως ἐν δυσὶ λλ μετὰ παραλήγοντος ι , ἔτι δὲ καὶ τὸ κάλλος, ὡς ἐν τοῖς εἰς τὴν Ὀδυσσείαν περὶ ἀμφοτέρων εἴρηται, καὶ μὴν καὶ τὸ Αἰγύπτιον μύρον, τὸ καλούμενον μὲν μετώπιον, σκευαζόμενον δὲ κατὰ τὴν τοῦ Ἀθηναίου ἱστορίαν ἐξ ἐλαίου καὶ πικρῶν καρύων, σὺν τούτοις δὲ καὶ τὸ κινναμώμινον καὶ τὸ νάρδινον καὶ τὸ τήλινον καὶ τὸ σαμψύχινον, καὶ ἄλλα] ὅσα τοιαῦτα περιᾴδονται. (v. 173 s.) Ἐν δὲ τῷ «τοῦ», φησίν, ἤγουν οὗ ἐλαίου, «καὶ κινυμένοιο Διὸς ποτὶ χαλκοβατὲς δῶ», περὶ οὗ ἤδη γέγραπται ἀλλαχοῦ, «ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετο ἀϋτμή» φανερῶς τὸ τοῦ ἀέρος δηλοῦται δίοσμον, ὥσπερ ἄλλως ἐν ἄλλοις τὸ διαφανὲς καὶ τὸ διηχές. τοῦτο δὲ καὶ ἐπὶ ἀνδρὶ ἀγαθῷ παρῳδηθήσεταί ποτε, οὗ ἡ κατ’ ἀρετὴν νοερὰ εὐοδμία πάντα κόσμον πληροῖ. ἄλλως δὲ κοινότερον, καὶ μύρου αὐτὸ εὐγενοῦς ἐστιν ἔπαινος διϊκνουμένου ἐπὶ πολὺ ἐν τῷ ῥιπίζεσθαι. εἰ δὲ καὶ ῥοδόεντι χρίει τινά που ὁ ποιητὴς ἐλαίῳ, ἑτέρου ἐκεῖνο λόγου. [Ἰστέον δὲ ὅτι τὸ εἰρημένον ἀνωτέρω εἰς ἔπαινον μύρου, ἤγουν τὸ «τοῦ καὶ κινυμένοιο» καὶ ἑξῆς, παρεκόλλησέ τις παρῳδήσας εἴτε καὶ αὐτολεξεὶ παραπλέξας ἐπὶ λοπάδι καλουμένῃ ῥοδουντία ἢ ῥοδωνία, ὡς γράφει Ἀθήναιος, ἐπεὶ ἀναπετασθεῖσα, φησί, πάνυ πολλὴν εὐωδίαν παρέσχε τῷ συμποσίῳ.

3.605 ] (v. 175—86) Ἐνταῦθα δὲ λέγει ὁ ποιητὴς καί, ὅτι «τῷ ῥ’ ἥ γε», ἤγουν τῷ τοιούτῳ δὴ αὕτη ἐλαίῳ, «χρόα καλὸν ἀλειψαμένη ἰδὲ χαίτας πεξαμένη», ὅ ἐστιν εὐθετίσασα, κτενίσασα—κάλλους δὲ σχῆμα τὸ ἀλειψαμένη καὶ πεξαμένη—, «χερσὶ πλοκάμους ἔπλεξε φαεινούς, καλούς, ἀμβροσίους, ἐκ κράατος ἀθανάτοιο. ἀμφὶ δ’ ἄρ ἀμβρόσιον ἑανὸν ἕσατο, ὅν οἱ Ἀθήνη ἔξυς’ ἀσκήσασα, τίθει δ’ ἐνὶ δαίδαλα πολλά· χρυσείῃς δ’ ἐνετῇσι κατὰ στῆθος περονᾶτο. ζώσατο δὲ ζώνην ἑκατὸν θυσάνοις ἀραρυῖαν», ὅπερ που καὶ ἡ τῆς Ἀθηνᾶς ἔχει αἰγίς, «ἐν δ’ ἄρα ἕρματα ἧκεν ἐϋτρήτοισι λοβοῖσι, τρίγληνα, μορόεντα, χάρις δ’ ἀπελάμπετο πολλή. κρηδέμνῳ δ’ ἐφύπερθεν καλύψατο, καλῷ, νηγατέῳ· λευκὸν δ’ ἦν ἠέλιος ὥς. ποσσὶ δ’ ὑπαὶ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα». Οὕτω κατὰ Διὸς ἐπιμελῶς ὁπλίζεται πανοπλίαν ταύτην περιθεμένη ἀσίδηρον, ἄμαχον. καὶ οὐδένα, ὡς οἱ παλαιοί φασι, γυναικεῖον κόσμον ἀφῆκεν ἀργόν, οὐ τὰ νίπτρα, οὐ τὸ περίεργον ἄλειμμα, οὐ τὴν ἐμπλοκήν, οὐ τὴν περιειργασμένην ἐσθῆτα, οὐ τὸν περὶ κεφαλὴν καὶ ὦτα καὶ πόδας καλλωπισμόν. ὕστερον δὲ προσάπτει τῷ τε φυσικῷ καὶ τῷ

τεχνητῷ κάλλει καὶ ἄλλην μαγγανείαν ἐπαφρόδιτον τὴν τοῦ κεστοῦ, διδάσκων ὡς αἱ τῶν γυναικῶν ἡδοναὶ περιέργῳ τινὶ δυνάμει γίνονται τὰ πολλά, πρὸς ἣν δεῖ παρεσκευάσθαι τὸν ἔμφρονα. μία γάρ, φασί, τοῖς ἀσθενοῦσιν ὁδὸς τὸ ἡδονῇ περιγίνεσθαι τῶν μειζόνων. ἅμα δὲ καὶ διδάσκει ὁ ποιητής, ὅτι δυσχερὲς περιγενέσθαι τοῦ σοφοῦ μὴ πολλῇ καὶ τεχνικῇ τινι περιεργίᾳ. Ἐπεὶ δέ, φασί, τρία εἰσίν, οἷς περιγινόμεθά τινων, ἡ βία, ἡ πειθώ, καὶ ἡ ἀπάτη, ὁ Ζεὺς δὲ ἄμαχος ἦν διὰ τὴν ἰσχύν, πείθειν δὲ αὐτὸν οὐκ ἦν, οἷα καθάπαξ τὰ ὑπὲρ Ἀχιλλέως κατανεύσαντα, ἐπὶ τὴν ἀπάτην ἡ Ἥρα ἐξ ἀνάγκης ἀπεῖδε καὶ ἡδονῇ θηρᾶται τὸν Δία, δι' ἧς ὡς τὰ πολλὰ καὶ αὐτῆς τῶν μειζόνων οἱ ἀσθενεῖς περιγίνονται. Τοῦ δὲ χωρίου τούτου πολλὰ εἰς καλλωπισμὸν γυναικεῖον παρῳδηθήσεται καὶ παραπλακήσεται· Ὅρα δὲ ὡς ἐν οὕτω περιέργῳ καλλωπισμῷ οὐ κάτοπτρον ὁ ποιητὴς τῇ Ἥρᾳ δίδωσιν, ὡς Εὐριπίδης ταῖς Τρῳάσιν, οὐ κομμωτρίας, ὡς Ἡσίοδος τῇ Πανδώρᾳ, οὐδὲ θεραπαίνας τινὰς εἰσάγει, καθά που τῇ Κίρκῃ, ἀλλ' αὐτουργοῦσαν πλάττει αὐτήν, ἥτις καὶ τοὺς πλοκάμους αὐτὴ ἔπλεξεν.

3.606 Ὅρα δὲ καὶ ὅτι ποιητῶν ἄλλων γυμνὰς πλαττόντων, φασί, τὰς ὑπ' αὐτῶν ὡραϊζομένας πρὸς ἀπάτην, ὁ ποιητὴς ἄλλως ἐμφαίνει τὸν κόσμον καὶ τὸ κάλλος, καὶ λόγοις πλέον χρωμάτων αὐτὰ διατυποῖ, ἵνα μὴ γυμνώσας αὐτὴν εἰς αἰσχράν, φασί, ἐνάργειαν τὴν τῶν ἀκροατῶν διάνοιαν προκαλέσηται. καὶ οὕτω μὲν ὁ ποιητής. Ἄλλως δὲ οὐκ ἐν μόνοις πλάσμασι ποιητικοῖς ἐγυμνοῦντο γυναῖκες, ὡς ἂν ἡ ποίησις οὕτως ἐναγλαΐζηται τῇ συνήθει φραστικῇ, ἀλλὰ καὶ εἰς ἔθος παρὰ Δωριεῦσι τὸ πρᾶγμα παρείλκυστο. Αἴλιος γοῦν Διονύσιος δωριάζειν φησὶ τὸ παραφαίνειν καὶ παραγυμνοῦν πολύ τι τοῦ σώματος. αἱ γὰρ κατὰ Πελοπόννησον, φησί, κόραι διημέρευον ἄζωστοι καὶ ἀχίτωνες, ἱμάτιον μόνον ἐπὶ θατέρᾳ ἐπιπεπορπημέναι. Καὶ ὅρα ἐνταῦθα διαφορὰν χιτῶνος καὶ ἱματίου. Παυσανίας δὲ καὶ αὐτὸς δωριάζειν φησὶ τὸ παραγυμνοῦσθαι. Δωρικὸν γάρ, φησί, τὸ παραφαίνειν τὸ σῶμα διὰ τὸ μηδὲ ζώνας ἔχειν, τὸ πολὺ δὲ χιτῶνας φορεῖν, ἐν δὲ Σπάρτῃ καὶ τὰς κόρας γυμνὰς φαίνεσθαι. Καὶ ὅρα ὡς ὁ Διονύσιος μὲν ἀπέφησε τῶν Δωριάδων τὸ χιτωνοφορεῖν, Παυσανίας δὲ χιτῶνας φορεῖν αὐτὰς ἔφη, πλὴν οὐκ ἀεί, ἀλλ' ὡς ἐπὶ πολύ. Σημείωσαι δὲ καὶ ὅτι ὀρθῶς νῦν ὁ ποιητὴς ἐκτοπίζει τῆς Ἥρας τὴν παρθένον Ἀθηνᾶν ἐν τοῖς ἐρωτικοῖς, εἰ καὶ ἄλλως ἐν τοῖς ὑπὲρ τῶν Ἀχαιῶν εἴωθεν αὐτὴν προσεταιρίζεσθαι. ὅθεν ὁ τὰ Ἀργοναυτικὰ γράψας Ἀπολλώνιος οὐ καλῶς, φασί, τὴν Ἥραν περὶ τῆς Μηδείας ποιεῖ συσκεπτομένην τῇ Ἀθηνᾷ. καὶ τοιαῦτα μὲν καὶ ταῦτα. (v. 171) Τὸ δὲ ἀλείψασθαι καιριωτάτη λέξις ἐπὶ ἐλαίου καὶ ἐλαιωδῶν, διὸ καὶ δεδίσσευται. [Λέγεται δὲ ἀλείφεσθαι καὶ τοῖχος κονίᾳ ἢ ἑτέρᾳ ὕλῃ. ὅθεν καὶ ὁ ἀλλαχοῦ δηλωθεὶς ἀλοιμός. Ἔστι δὲ καὶ γυμναστικὴ λέξις τὸ ἀλείφειν, ἐπεὶ καὶ οἱ γυμνικοὶ ἀγῶνες εἶχον ἔλαιον, ἐξ οὗ τινες ἠλαιοῦντο, εἰπεῖν κατὰ Πίνδαρον. καὶ τὸ τοιοῦτον ἀλείφειν παράγει τὸν διδασκαλικὸν ἀλείπτην, καὶ οὐ μόνον τὸν πάλαι ποτε ἀλείφοντα ἐλαίῳ τοὺς γυμνικοὺς μαθητάς, ἀλλὰ μεταφορικῶς καὶ τοὺς ὕστερον. Ἐκ τοῦ κατ' ἔλαιον δὲ ἀλείφειν καὶ τὸ ἀλείφαρ ἀλείφατος, ἐξ οὗ παρ' Ἀθηναίῳ ἄρτος ἀλειφατίτης, ᾧπερ ἴσως καί τι πιμελῆς ἐγκαταμέμικται, καθὰ καὶ εἰς τοὺς λεγομένους τυρῶντας ἄρτους ἢ τυροῦντας τυρὸς ἐνέκειτο.

3.607 χρῆσις δὲ τοιούτου ἄρτου παρ' Ἐπιχάρμῳ ἐν τῷ «ἄρτον κριβανίτην, σταιτίτην, ἐγκρίδα, ἀλειφατίτην». ἐν οἷς ὅρα ὅτι τε εἶδος ἄρτου καὶ ἡ ἐγκρίς, καὶ ὅτι οὐ μόνον κλίβανος διὰ τοῦ λ , ὡς καὶ παρ' Ἡροδότῳ, ἀλλὰ καὶ διὰ τοῦ ρω Ἀττικῶς, ὅθεν ὁ κριβανίτης.] (v. 172) Δῆλον δὲ ὡς ἄλλο ἀμβροσία καὶ ἄλλο ἀμβρόσιον ἔλαιον. (v. 175) Ὁ δὲ καλὸς χροῦς ἱμερόεις ἀνωτέρω εἴρηται, ῥηθείη δ' ἂν ἴσως καὶ λειριόεις ὁ αὐτός. (v. 176) Τὸ δὲ πέκειν, ὡς καὶ προσεχῶς ἐδηλώθη, ἕτερόν ἐστι τοῦ πλέκειν. διὸ καὶ ὁ ποιητὴς διαστέλλων ἔφη· πεξαμένη ἔπλεξεν. ἐπὶ μέντοι προβάτων πέκειν τὸ κείρειν λέγεται, ὅθεν καὶ ὁ πόκος καὶ τὸ πέσκος, ὃ δηλοῖ τὸ πεκόμενον δέρμα, καὶ τὸ «τὸν Κριόν, ὡς ἐπέχθη», ὃ κεῖται παρὰ τῷ Κωμικῷ. Τὸ δὲ «πλοκάμους ἔπλεξε» παρονομασίαν ἐτυμολογικὴν καλοῦσιν οἱ παλαιοί, ὡς τῷ ὀνόματι συγκειμένου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥήματος ἐτυμολογικῶς, ἀφ' οὗ παρωνόμασται. Τοιοῦτον κατωτέρω καὶ τὸ «ἀμφιέσατο ἑανόν». ὡς γὰρ ἀπὸ τοῦ πλέκειν ὁ πλόκαμος, οὕτως ἀπὸ τοῦ ἕσασθαι ὁ ἑανός, πέπλος ὢν καλὸς ἕσασθαι, ὅ ἐστιν ἐνδύσασθαι. ὅμοιον δ' ἐφεξῆς καὶ τὸ «ζώσατο δὲ ζώνην», ἀφ' ἧς καὶ γυνὴ εὔζωνος. Φαεινοὺς δὲ πλοκάμους ἔφη τοὺς ὑπερξανθίζοντας. δῆλον δ' ὡς ἐπὶ γυναικῶν ὁ πλόκαμος λέγεται, καθὰ καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται. [Ἀπ' αὐτοῦ δὲ συγκοπέντος γίνεται οὐ πλογμός, κατὰ τὸ ἔοιγμεν, ὃ συνεκόπη ἐκ τοῦ ἐοίκαμεν, οὐδὲ κατὰ τὸ δόγμα τὸ ἐκ τοῦ δοκῶ, ἀλλὰ πλοχμός, οἷα τραπέντος τοῦ γ εἰς χι κατὰ τὸ ῥωγμός ῥωχμός, καὶ βρέγμα βρεχμός.] Οἱ δὲ φαεινοὶ αὐτίκα καὶ καλοί, ὅ ἐστιν ὡραῖοι, λέξις αὕτη καιρία ἐπὶ κάλλους. διὸ καὶ χρόα καλὸν ἔφη καὶ κρήδεμνον καλὸν καὶ καλὰ πέδιλα, ἐπιμείνας ἀναγκαίως τῇ λέξει. τοιοῦτον καὶ τὸ ἀμβρόσιος, ὡς πανταχοῦ φαίνεται, διὸ καὶ λίπα ἔλαιον ἀμβρόσιον ἐνταῦθά φησι καὶ πλοκάμους ἀμβροσίους καὶ ἑανὸν ἀμβρόσιον. εἴη δὲ ἂν καίριον ἐν τοῖς τοιούτοις ἀμβρόσιον εἰπεῖν μὴ μόνον τὸ θεῖον συνήθως, ἀλλὰ καὶ τὸ ἀνθηρόν. Ἀμβροσία γὰρ καὶ ἄνθος τι κατὰ Παυσανίαν, ὅς λέγει καὶ ὅτι ἀμβροσία γένος τι συνθέσεως ἐξ ὕδατος ἀκραιφνοῦς καὶ μέλιτος καὶ ἐλαίου παγκαρπίας.

3.608 (v. 177) Τὸ δὲ «κράατος» σημειῶδές ἐστιν, οὗ πάντως ἡ γενικὴ τῶν πληθυντικῶν κραάτων, καὶ κατὰ συναίρεσιν ἐξ ἀνάγκης κράτων, ὥστε οὐκ ἀλόγως τὸ κράτων, ὅ ἐστι κεφαλῶν, βαρύνεται, ἀλλὰ εὐλογώτερον ἤπερ τὸ πάντων, δμώων, Τρώων καὶ τῶν λοιπῶν, ἃ σεσημείωται. οἷον δὲ τὸ τῆς τοιαύτης λέξεως γένος, οὐ πάντῃ εὔδηλον, τοσοῦτον δὲ μόνον δῆλον, ὅτι οὐ τεθήλυνται, ὡς ἔστι συμβαλέσθαι, ὡς καὶ ἐν Ὀδυσσείᾳ, ἐκ τοῦ «σῷ κράατι τίσεις», καὶ ἐν Τραχινίαις «μέσου κρατὸς διασπαρέντος». (v. 178) Ὁ ἑανὸς δὲ παραγωγὴν ἔχει ἀπὸ τοῦ ἕω, τὸ ἐνδύομαι, ὁποίαν καὶ τὸ ἑδανόν, ὡς πρὸ βραχέων ἐρρέθη, ἀπὸ τοῦ ἥδω. ἐλλείπει δὲ ὁ πέπλος ἐν τῷ «ἑανὸν ἕσατο», καθὰ καὶ ἀλλαχοῦ ἐδηλώθη. Ἔστι δὲ ἡ λέξις αὕτη καὶ κασσιτέρῳ ἐπικειμένη, ὡς καὶ ἐν τοῖς ἑξῆς εὑρεθήσεται. λεχθήσεται γὰρ καὶ κασσίτερος ἑανός. φησὶ δέ τις ἐνταῦθα οὕτω· ἑανὸς κασσίτερος ὁ εὐδιάχυτος, καὶ ἐπιβόλαιον λιτόν, ποτὲ δὲ λεπτὸν ὕφασμα. Παυσανίας δέ, ὅτι ἑανὸς γυναικεία ἐσθὴς ποδήρης. Ἰστέον δὲ ὅτι, καθάπερ ὁ ἑανός, οὕτω καὶ τὸ ἔκκυκλον ἢ ἔγκυκλον, οὗ καὶ ὁ Κωμικὸς μέμνηται, γυναικεῖον ἦν ποτε φόρημα. Φησὶ γοῦν Παυσανίας ὅτι ἔγκυκλον περιπόρφυρον ἱμάτιον καὶ χιτὼν γυναικεῖος, ὃν ἔνδοθεν ἐνδύονται γυναῖκες, εἶτα τὸ ἔνδυμα. λέγεται δέ, φησίν, ὑπ' ἐνίων ἐπιγονατίς, διότι μέχρι γονάτων διήκει. Διαφέρει δὲ ἔγκυκλον ἐγκυκλήματος, ὅτι τὸ ἐγκύκλημα, ὃ καὶ ἐγκύκληθρον λέγεται, μηχάνημα ἦν ὑπότροχον, ὑφ' οὗ ἐδείκνυτο τὰ ἐν τῇ σκευῇ ἢ σκηνῇ.

3.609 (v. 179) Τὸ δὲ «ἔξυσε» κατὰ τοὺς παλαιοὺς ἀντὶ τοῦ ἐκέρκισε. ξύουσι γάρ, φασί, τὴν κρόκην πρὸς τὸ πυκνωθῆναι, ἢ ἐλέανεν, ἀπὸ μεταφορᾶς τῶν ξύλων, ἢ ἔγναψε μετὰ τὸ ὑφῆναι. Ἀκόλουθον δὲ καὶ τὸ «ἀσκήσασα», ἧς δὴ λέξεως ἡ κίνησις Ὁμήρῳ συνήθης οὖσα σημαίνει μὲν ἐπιμέλειαν, ὡς δηλοῖ καὶ τὸ «ἤσκειν εἴρια» καὶ τὸ ἀσκητὸν νῆμα καὶ ὁ ἀσκητής. λαμβάνεται δὲ ἢ ἀπὸ τοῦ ἀκεῖσθαι, ὡς ἐν ἄλλοις ἐδηλώθη, ἢ ἀπὸ ἀσκοῦ, ὅς εἰ καὶ μὴ ξύεται πρὸς εὐχρηστίαν, ἀλλ' ἐν χρῷ κείρεται. Δαίδαλα δὲ ἀπὸ τοῦ δαιδάλεα συγκέκοπται, καὶ εἴρηται καὶ περὶ τούτου ἀλλαχοῦ. δῆλον δὲ ὅτι τὸ δαίδαλα πολλὰ ἔχειν ποικίλον ἀσκητὸν πέπλον σημαίνει. [Καὶ ὅτι ἐκ τοῦ Κρητὸς Δαιδάλου ἢ γυναικὸς Δαιδάλης αἱ τοιαῦται λέξεις εἰσί, καὶ ὅτι πλεονάζει καὶ ἐν τοῖς τοιούτοις τὸ δεύτερον δέλτα. ἐκ τοῦ δαίω γάρ, τὸ μανθάνω, καὶ ὁ Δαίδαλος καὶ τὰ κατ' αὐτόν.] Ὅρα δὲ τὸ πολλά, δι' οὗ ἐνέφηνεν ὁ ποιητὴς δύνασθαι μὲν εἰς πλέον καὶ νῦν πολυγραφῆσαι, ἀφιέναι δὲ τοῦτο, ἵνα μὴ ῥητορείαν ἐπιστοιβάσῃ φιλοτίμως ἄκαιρον. (v. 180) Ἐνεταὶ δὲ περόνης εἶδος, χρησιμευούσης κατὰ τὸ ἰδιωτικῶς λεγόμενον τενάντιον. παρὰ τὸ ἐνίεσθαι, ὃ ἔστιν ἐμβάλλεσθαι, τῇ ἀντικειμένῃ ὀπῇ, ὥσπερ καὶ τὰ ἕρματα, ὡς ὁ ποιητὴς ἔφη, ἐνίενται εὐτρήτοις λοβοῖς. Καὶ ἔστι πως ἐτυμολογικὸν καὶ τὸ ἐνεταῖς ἐπερονᾶτο, ὡς εἰ ἔλεγε, περόναις ἐπερονᾶτο, ἢ ἐνεταῖς ἐνίετο. ταὐτὸν γὰρ κατὰ πολυωνυμίαν περόναι καὶ ἐνεταί. (v.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

181) Τοὺς δὲ θυσάνους γλῶσσα μέν τις σισύβους καλεῖ, ἡ δὲ κοινὴ κροσσούς, ἀφ’ ὧν καὶ οἱ κροσσωτοί. Κρωσσὸς μέντοι διὰ τοῦ ω μεγάλου παρὰ Παυσανίᾳ κεράμειον, κρατὴρ ὕδατος, ὑδρία. Δῆλον δὲ ὡς κύκλῳ περὶ τὴν ζώνην ἀπηώρηντο οἱ τοσοῦτοι θύσανοι, ὁποῖον δή τι καὶ μέχρι νῦν πολλαχοῦ γίνεται. (v. 182) Ἕρματα δὲ τὰ τοῖς ὠτίοις ἐνειρόμενα κόσμια παρὰ τὸ ἐνείρεσθαι. δασύνεται δὲ ἡ λέξις ὁποίῳ κανόνι καὶ τὰ τῶν νηῶν ἕρματα, ὧν ἡ ἐστερημένη ναῦς ἀνερμάτιστος λέγεται.

3.610 Διονύσιος δὲ λέγει καὶ ὅτι ἕρμα λέγεται καὶ ἡ ἐν θαλάσσῃ πέτρα. Λοβοὶ δὲ τὰ τοῦ ὠτὸς ἄκρα, ἔνθα ἐνείρεται τὸ ἐνώτιον. διὸ καὶ ἐλλόβια λέγονται ἀπὸ τοῦ λοβοῦ, ὡς ἀπὸ τοῦ ὠτὸς ἐνώτια. γίνεται δὲ ὁ λοβὸς παρὰ τὴν λαβήν. εὐλαβῆ γάρ εἰσιν αὐτὰ δι’ ἁπαλότητα. παρὰ δὲ τοῖς μεθ’ Ὅμηρον καὶ μέρος ἥπατος ὁ λοβὸς καὶ ἀγγεῖόν τι ὀσπριοδόχον. (v. 183) Τρίγληνα δὲ ἢ τὰ ἀξιοθέατα καὶ πολλῆς γλήνης ἄξια, ἤγουν θέας, ὅθεν καὶ τὸ «γλήνεα πολλὰ κεχάνδει», ἤγουν ἐχώρει, ἢ τὰ ἐκ τριῶν τινων ζῴων σύνθετα. οἱ δέ φασι τριόφθαλμα, ἃ οἱ Ἀττικοὶ τριόττια καὶ τριοττίδας καλοῦσιν. οἱ δέ τινες τριῶν ἔχοντα Χαρίτων ἐκτυπώματα. τοῦτο δὲ οὐ καλῶς. οὐ γὰρ οἶδε Χαρίτων ἀριθμὸν ὁ ποιητὴς κατὰ τοὺς ὕστερον. ἐνήγαγε δὲ τοὺς τοιούτους νοῆσαι οὕτως ἐπαχθὲν τὸ «χάρις δ’ ἀπελάμπετο». Ἰστέον δὲ ὅτι καὶ οἱ ἀξιοθέατα εἰπόντες τὰ τρίγληνα καὶ οἱ τριόφθαλμα διὰ τὴν γλήνην οὕτως ἐνόησαν, δι’ ἧς ὀφθαλμοῦ κόρη δηλοῦται, γινομένη κατὰ συγκοπὴν ἐκ τοῦ γαλήνη. Μορόεντα δὲ παρὰ τὸν μόρον, τὴν κακοπάθειαν, τὰ ἐκπεπονημένα, φασί, τῇ κατασκευῇ καὶ μεμεριμνημένα τῇ τέχνῃ. τὰς δὲ τοιαύτας λέξεις ἔστιν εὑρεῖν καὶ ἐν τοῖς ἑξῆς, κεῖνται δὲ καὶ ἐν Ὀδυσσείᾳ. (v. 184) Τὸ δὲ κρήδεμνον κεφαλῆς ἦν, φασί, κάλυμμα, παρειμένον μέχρι τῶν ὤμων κατὰ τὸ λεγόμενον πέτασον, παρὰ τὸ κάρη καὶ τὸ δέμα πλεονασμῷ τοῦ ν . καὶ ὁ κεκρύφαλος δέ, φασί, κεφαλῆς ἦν δετὸς κόσμος, ὡς ἐν τοῖς μετὰ ταῦτα φανεῖται, ὁμοίως καὶ ἡ ἀναδέσμη. (v. 185) Τὸ δὲ νηγάτεον τί δηλοῖ, καὶ ὅθεν γίνεται, ἐν τῇ βῆτα ῥαψῳδίᾳ εἴρηται. Τὸ δὲ «λευκὸν ἦν ἠέλιος ὥς» κόμμα ἐστὶν ἐπιφωνηματικόν, καθὰ καὶ τὸ «χάρις δ’ ἀπελάμπετο πολλή». ἐσχημάτισται δὲ τὸ «λευκὸν δ’ ἦν ὡς ἥλιος» διὰ ποικιλίαν. τὸ γὰρ ὀρθὸν ἦν εἰπεῖν καλῷ νηγατέῳ λευκῷ. (v. 186) Λιπαροὺς δὲ πόδας εἰπεῖν ἀνδρωδέστερόν ἐστιν.

3.611 διὸ ἐν Ὀδυσσείᾳ ἐπὶ Ἀθηνᾶς ὡς θηλείας οὐχ’ οὕτω κεῖται, ἀλλὰ «ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα». Τηλέμαχος δὲ ὑποδεῖται κατὰ τὴν ἐνταῦθα Ἥραν ποσὶν ὑπὸ λιπαροῖς πέδιλα καλά. (v. 187) Ἐν τούτοις δὲ καὶ τὸ κοσμηθῆναι περιφράζων φησὶ «πάντα περὶ χροῒ θήκατο κόσμον», ὃν δὴ χρόα χροιήν πρὸ ὀλίγων ἔφη. [Ἔνθα ὅρα τὸ «πάντα κόσμον» σωφρόνως καὶ μετρίως ῥηθὲν περὶ μόνου τοῦ προκειμένου. ἄλλως γὰρ ἀμύθητος ταῖς περιέργοις γυναιξὶν ὁ κόσμος, οὗ μέρος καὶ τὸ ἐκ ψιμμυθίου περίπλασμα καὶ ἡ νόθος τῶν παρειῶν ἐρυθρότης καὶ ἡ μέλαινα στίμμις ἢ οὐδετέρως τὸ στίμμι καὶ αἱ τρίχες, ἃς ὁ ἥλιος ἐπιποιῶν οὐκέτι χρυσοκόμαν, ἀλλὰ ἡλιοκόμαν ποιεῖ τινα λόγῳ λευκότητος καὶ πολιὸν τρόπον ἄλλον. Ἔνθα καὶ ἔστιν εἰπεῖν ὡς πολιαὶ μὲν αἱ κατὰ φύσιν ἐπαινοῦνται παρά γε τοῖς συνετοῖς, εἰ καὶ οἱ Κωμικοὶ ἀστεϊζόμενοι ἀλφιτόχροτας καὶ τοιαῦτά τινα σκώπτουσι τοὺς πολιούς. καὶ θάλασσα δὲ πολιὰ ἔχει τι χαρίεν διὰ τὸν ἐν αὐτῇ γέροντα Νηρέα καὶ τὰς ἐκ γενετῆς μυθικὰς Γραίας, εἰ καὶ ἄλλως ἀφρὸς μυθικὸς τούτοις ἐπανθεῖ. Αἱ δὲ νεοτήσιαι πολιαί, ἅς, φασί, βάπτει παρὰ ταῖς ἑταιριζομέναις παρανομία φυσικοῦ κάλλους, πάνυ γελῶνται, ὡς δηλοῖ καὶ Εὔβουλος, γράψας οὕτω περί τινων γυναικῶν «οὐ περιπεπλασμέναι ψιμμυθίῳ, οὐδ’ ὥσπερ ὑμεῖς συκαμίνῳ τὰς γνάθους κεχρισμέναι. κἂν ἐξίητε τοῦ θέρους, ἀπὸ μὲν τῶν ὀφθαλμῶν ὑδρορρόαι δύο ῥέουσι μέλανος, ἐκ δὲ τῶν γνάθων ἱδρὼς ἐπὶ τὸν τράχηλον ἄλοκα μιλτώδη ποιεῖ, ἐπὶ τῷ προσώπῳ δὲ τρίχες φορούμεναι εἴξασιν», ἤγουν ὁμοιοῦνται, «πολιαῖς, ἀνάπλεῳ ψιμμυθίου».] (v. 190) Ὅτι γηραιοῦ προσώπου ἀπαιτοῦντός τι λόγος πρὸς νεώτερον τό· ἦ ῥά νύ μοί τι πίθοιο, φίλον τέκος, ὅττι κεν εἴπω», ἢ ἀρνήσαιο; τοῦτο δὴ τὸ τῆς Ἥρας πρὸς Ἀφροδίτην. (v. 195 s.) Τὸ μέντοι νέον ἐὰν ὑπακούῃ, ἐρεῖ τὸ τῆς Ἀφροδίτης

«αὔδα ὅττι φρονέεις, τελέσαι δέ με θυμὸς ἄνωγεν, εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστίν».

3.612 Ὅτι δὲ ὁ στίχος οὗτος ἔχει σχῆμα τὸ λεγόμενον ὑστερολογίαν ἢ πρωθύστερον, προδεδήλωται σαφῶς. (v. 192) Κεῖται δ' ἐνταῦθα καὶ σχῆμα κατὰ τὸ ἀπὸ κοινοῦ καινότερον. ὀρθὸν μὲν γὰρ καὶ σαφὲς ἀπὸ κοινοῦ σχῆμα τὸ «οὔ ποτ' ἐμὰς βοῦς ἤλασαν οὐδὲ μὲν ἵππους», καὶ ὅσα τοιαῦτα. τὸ γὰρ προλαληθὲν ῥῆμα ὕστερον δεχόμεθα εὐκόλως ἐκ κοινοῦ. τὸ μέντοι «οὕνεκα ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρώεσσιν ἀρήγεις» διάφορόν ἐστι τῇ ἐξαλλαγῇ, ὡς τοῦ ἀκροατοῦ καραδοκοῦντος, πότε ἂν τὸ κοινὸν ῥῆμα ἀποδοθῇ. (v. 194) Ὅτι τὸ «πρέσβα θεά» ἐκ τοῦ πρέσβειρα συγκέκοπται. (v. 198 s.) Ὅτι Ἀφροδίτη πάντας φιλότητι δαμάζει. Φησὶ γοῦν ἡ Ἥρα πρὸς αὐτήν· «δὸς νῦν μοι φιλότητα καὶ ἵμερον, ᾧ τε σὺ πάντας δαμνᾷ ἀθανάτους ἠδὲ θνητοὺς ἀνθρώπους». Τοῦτο δὲ λεχθείη ἂν παρά τινος καὶ πρὸς ἄνδρα δεινὸν εἰπεῖν, ἵνα δοκοίη λέγειν συμβολικῶς· δός μοι τὴν σὴν λογιότητα ἢ γλῶτταν ἢ τὴν ἐν λόγοις δεινότητα, κατά τινα ὁμοιότητα τοῦ «δός μοι ὤμοιϊν τὰ σὰ τεύχεα θωρηχθῆναι». Ἰστέον δὲ ὅτι ἡ πάντας ἱμέρῳ καὶ φιλότητι δαμάζουσα Ἀφροδίτη καὶ οὐ μόνον ἀνθρώπους ἀλλὰ καὶ ἀθανάτους, ὅ ἐστι θεούς, οἳ καὶ εἰς στοιχεῖα καὶ εἰς ἀστέρας μεταλαμβάνονται, ἡ τοίνυν τοιαύτη φιλοτήσιος καὶ ἐρωτικὴ Ἀφροδίτη, εἰς ἔφεσιν ἀλληγορεῖται, καθ' ἣν πάντα τοῦ εἶναι ἐφίεται. Φασὶ δὲ οἱ παλαιοὶ διαφορὰν φιλότητος καὶ ἱμέρου, ὅτι φιλότης μέν ἐστι τῶν παρόντων, ἵμερος δὲ τῶν ἀπόντων. οὐχ' Ὁμηρικῶς δὲ οὗτοι λέγουσι. καὶ γὰρ ὁ Ζεὺς ἐρεῖ προϊὼν ὡς γλυκὺς αὐτὸν ἵμερος αἱρεῖ Ἥρας τῆς παρούσης. ἔοικε δὲ μᾶλλον ἡ μὲν φιλότης τὴν ἁπλῶς φιλίαν σημαίνειν, καὶ ποτὲ μὲν τὴν ἐπαφρόδιτον, ὡς ἐνταῦθα, ποτὲ δὲ τὴν ἄλλως ὁμονοητικήν, ὡς τὸ «φιλότητα μετ' ἀμφοτέροισι βάλωμεν», ἤτοι τοῖς Τρωσὶ καὶ τοῖς Ἀχαιοῖς. ὅθεν καὶ νῦν ἔστιν ὅτε ἀντὶ τοῦ εἰπεῖν ὦ φίλος ὦ φιλότης φαμέν, καὶ φιλοτήσιον κρατῆρα τὸν φιλικὸν λέγομεν.

3.613 καὶ τοιαύτη μὲν ἡ φιλότης. Ἵμερος δὲ κυρίως ἐπὶ ἐρωτικῆς ἐπιθυμίας, διὸ καὶ δοκεῖ ἐγκεῖσθαι τῇ λέξει τὸ ἔρος Αἰολικόν, ὡς ἂν εἴη ἵμερος ἔρος ἐξ ἱμάντος ἀφροδισίου. Ὅτι δὲ καὶ ἐπὶ τῆς ἄλλως ἁπλῶς ἐπιθυμίας ὁ ἵμερος τάττεται, ἀλλοθέν τε δῆλον καὶ ἐκ τοῦ «εἰ δέ σε καὶ Πέρσας ἰδέειν ἵμερος αἱρεῖ». [Ἔστι δὲ παρ' Ἀθηναίῳ καὶ κύριον ὄνομα Ἵμερος, εἷς τῶν Σελευκέων τυράννων. ἴσως δὲ ἀνάλογον αὐτῷ καὶ ἡ ἡρωῒς Ἱμέρα, ᾗ ὁμώνυμος πόλις Σικελική.] Φιλότητα δὲ καὶ ἵμερον ἡ Ἥρα ζητεῖ τὰ ἐν τῷ ῥηθησομένῳ κεστῷ. αὐτὸν οὖν τὸν περιέχοντα ἐθέλουσα εἰπεῖν ἔφη τὰ ἐν ἐκείνῳ, ἵνα ᾖ δῆλον εἰς τί δέεται τοῦ κεστοῦ. Σημείωσαι δέ, ὅπως ἡ Ἥρα καὶ τὴν Ἀφροδίτην ἤπαφε, καὶ ταῦτα μήπω τὸν κεστὸν λαβοῦσα. δοκεῖ γὰρ ὁ κεστὸς ἐπὶ ἔρωτι μόνῳ ἀπατᾶν, ἡ δὲ λοιπὴ πολυειδὴς ἀπάτη καὶ δίχα κεστοῦ γίνεται. Ὅτι δὲ πρὸς τοῖς ἄλλοις καὶ ἀπάτην ἀνθρωποπαθῶς οἱ ποιητικοὶ θεοὶ πάσχουσι, πολλαχόθεν δῆλον. αἰτία δὲ μυθικὴ πιθανολογεῖται τῇ Ἥρᾳ πρὸς Ἀφροδίτην, ἐφ' οἷς τὸν κεστὸν ζητεῖ, τὸ ἐθέλειν δι' αὐτοῦ καταλλάξαι Ὠκεανὸν καὶ Τηθὺν ἀλλήλοις, οἳ ἐπὶ μακρὸν χολούμενοι ἀλλήλων ἀπέχονται εὐνῆς καὶ φιλότητος. εἰς ὃ δῆθεν συντελέσει ὁ κεστός, ἵμερον ἐμβαλὼν καὶ φιλότητα διὰ παραιφάσεως, περὶ ὧν μετ' ὀλίγα εἰρήσεται. (v. 200—4) Τὰ δὲ τοῦ πλάσματος [ἐν μέτρῳ] τοιαῦτα «εἶμι γάρ», φησίν, «ὀψομένη πολυφόρβου πείρατα γαίης, Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν, οἵ», φησίν, «ἐμὲ ἐν σφοῖσι», τουτέστιν ἰδίοις, «δόμοισιν ἐῢ τρέφον», ἤγουν εὖ ἔτρεφον, «ἠδ' ἀτίταλλον, δεξάμενοι Ῥείης, ὅτε τε Κρόνον Ζεὺς γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης». (v. 205—7) Εἶτα κατὰ ἐπανάληψιν ἀναγκαίαν ὡς εὐοδοῦσαν εἰς τὰ ἑξῆς ἐπάγει «τοὺς εἶμ' ὀψομένη καί σφιν ἄκριτα νείκεα λύσω· ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ». (v. 208—10) Λέγει δὲ καί, ὡς «εἰ κείνους ἐπέεσσι παραιπεπιθοῦσα φίλον κῆρ εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι, αἰεὶ αὐτοῖς φίλη τε καὶ αἰδοίη καλεοίμην». (v. 214—7) Ἐφ' οἷς καὶ πείθει τὴν φιλομειδῆ Ἀφροδίτην, καὶ «ἀπὸ στήθεσφιν ἐλύσατο» ἐκείνη «κεστὸν ἱμάντα, ποικίλον. ἔνθα δέ οἱ θελκτήρια πάντα τέτυκτο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστύς, πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων». (v. 218—21) Τὸν δὴ τοιοῦτον ἱμάντα ἔμβαλε χερσὶ ταῖς τῆς Ἥρας, «ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε· τῆ», τουτέστι λάβε, δέξαι, «νῦν τοῦτον ἱμάντα, τεῷ δὲ ἐγκάτθεο κόλπῳ, ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται, οὐδέ σέ φημι ἄπρηκτόν γε νέεσθαι, ὅ τι φρεσὶ σῇσι μενοινᾷς».

3.614 (v. 222 s.) Ὃ καὶ ἀκούσασα Ἥρα ἐγήθησε. «μειδήσασα δ' ἔπειτα μέσῳ», ἢ ἑῷ, «ἐγκάτθετο κόλπῳ» τὸν κεστόν. Γίνεται δὲ αὐτῇ τὸ γηθῆσαι καὶ μειδῆσαι οἷα εἰς φήμην αἰσίαν καί τινα ὄρνιν ἀγαθὸν δεξαμένῃ προαναφωνητικῶς τὸν τῆς Ἀφροδίτης λόγον. οὐ γὰρ εἶπεν, ὅτι φημί σε καταλλάξαι τὸν Ὠκεανὸν καὶ τὴν Τηθύν, ἀλλὰ πρᾶξαι πᾶν ὃ μενοινᾷς. δῆλον δὲ ὡς μενοινᾷ ἡ Ἥρα τὸ ἀπατῆσαι τὸν Δία ἐπ' ἀγαθῷ τῶν Ἀχαιῶν. (v. 199) Ὅρα δὲ [ὅτι τε τὸ δαμνῶμαι δαμνᾷ, οἷον «ᾧ τε σὺ πάντας δαμνᾷ ἀθανάτους», ἤγουν δαμάζεις, πρωτότυπόν ἐστι τοῦ δάμνημι, ἀφ' οὗ τὸ δάμναται καὶ τὸ δάμνασθαι καὶ τὰ ὅμοια.] (v. 200) Καὶ ὡς, εἰ καὶ ἀπείρονα γῆν ἐν ἄλλοις ἡ ποίησις λέγει, ἀλλ' ἐνταῦθα κατὰ λόγον ἕτερον, ὃς ἐν ἄλλοις ἐρρέθη, πέρατα γῆς οἶδε. Τὸ δὲ «εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης» καί τινα τῶν ἑξῆς ἐπὶ μακρᾶς τινος ἀποδημίας ῥηθήσεταί ποτε. Τὸ δὲ πολυφόρβου ἀκριβῶς ἐρρέθη. φορβῆς γὰρ ὡς ἐπὶ πολὺ ἐπὶ ἀλόγων κειμένης, ὀρθῶς πολύφορβος ἡ γῆ, οὐ μὴν πάμφορβος. εἰ μὴ ἄρα καταχρηστικῶς φορβὴ μὲν ἡ ἁπλῶς τροφή, πολύφορβος δὲ γῆ ὡς ἐκ μέρους ἡ πάντροφος, [εἴτ' οὖν παμβῶτις κατὰ τὸν Σοφοκλῆν. Ὅτι δὲ τὸ φέρβω, ἐξ οὗ ἡ φορβή καὶ ἡ πολύφορβος, ἐκ τοῦ φέρειν βίον γίνεται, καὶ ὅτι, ὥσπερ ἐκ τοῦ βόσκω βοσκάς βοσκάδος, ὄρνεον ἧττον, φασί, νήττης, οὕτω καὶ ἀπὸ τοῦ φέρβω φορβάς φορβάδος ἐπί τε ζῴων καὶ ἐπ' αὐτῆς δὲ γῆς, ὡς τὸ «φορβάδος ἔκ τε γᾶς ἑλεῖν», δῆλον ἐκ τῶν παλαιῶν. Τοῦ δὲ «πείρατα» χρῆσις καὶ ἐν τῷ «ὀλέθρου πείρατ' ἐφῆπται», ἤγουν ἐπιδέδεται, ἐξῆπται, ἵνα λέγῃ ὅτι δέδεσθε ὡσανεὶ τῷ ὀλέθρῳ, καθά φασιν οἱ παλαιοί. Εὐθεῖα δὲ ἑνικὴ τοῦ πείρατα πεῖραρ ὡς φρέαρ, οὗ καὶ αὐτοῦ χρῆσις παρ' Ὁμήρῳ.

3.615 ] (v. 201) Γένεσιν δὲ θεῶν καλεῖ τὸν Ὠκεανὸν διὰ τὸ ἐξ αὐτοῦ ἀλληγορουμένου εἰς τὸ στοιχειακὸν ὕδωρ δοκεῖν τὰ ἄλλα στοιχεῖα γίνεσθαι. τὸ γὰρ ὕδωρ ἀρχήν τινες πάντων ἔθεντο. Ἢ καὶ ἄλλως, διὰ τὸ τὴν ὑγρὰν οὐσίαν τῆς φυσικῆς γενέσεως αἰτίαν εἶναι, ὅπουγε, φασί, καὶ τὸ σπέρμα πνεῦμά ἐστιν ὑγρῷ συγκραθέν. διὸ καὶ τοὺς ποταμοὺς ὡς κουροτρόφους ἐτίμων οἱ παλαιοὶ καὶ ὡς συστατικοὺς γενέσεως, καθὰ καὶ ὁ ποιητὴς ἐν τοῖς περὶ Ἀχιλλέως ἐρεῖ. Τὸ δὲ «θεῶν» ἢ ἀντὶ τοῦ στοιχείων, ὡς ἀπὸ τῆς θέσεως, ἢ καὶ ἀστέρων ἀπὸ τοῦ θέειν, ἢ ἀντὶ τοῦ πάντων ὡς ἀπὸ μέρους. ἐν τοῖς ἑξῆς οὖν λέγει σαφέστερον «Ὠκεανοῦ, ὃς γένεσις πάντεσσι τέτυκται». οἷα δὲ τὰ τοῦ ὕδατος σεμνά, δηλοῦσι καὶ οἱ τοῦ Πινδάρου Ὑπομνηματισταὶ ἐν τῷ «ἄριστον μὲν ὕδωρ». Ἰστέον δὲ ὅτι ὥσπερ τὸν οὐρανὸν καὶ τὴν γῆν συνδυάζει ἀλλήλοις ὁ μῦθος, τὸν μὲν ὡς γόνιμον, τὴν δὲ ὡς ἐκεῖθεν τὰς τοῦ γεννᾶν αἰτίας ἔχουσαν διὰ τὴν ἐκ τῶν μετεώρων γόνιμον χορηγίαν. διὸ καὶ ὁ μὲν ἀρσενικῶς προβάλλεται τοῖς ὀνοματοθέταις, ἡ δὲ γῆ οἷα γυνὴ θηλυκῶς σχηματίζεται, ὃ δὴ νόημα καὶ εἰς βαρβάρους ἱκνεῖται κατὰ Ἡρόδοτον, εἰπόντα ὅτι Σκύθαι ἱλάσκονται Ἱστίαν μὲν μάλιστα, εἶτα Δία καὶ Γῆν, νομίζοντες τὴν Γῆν τοῦ Διὸς εἶναι γυναῖκα, ὃς δὴ Ζεὺς κατά τινας, ὡς καὶ προδεδήλωται, καὶ εἰς οὐρανὸν ἀλληγορεῖται. Ὥσπερ οὖν, καθὰ ἐρρέθη, τὸν Δία οὐρανὸν καὶ τὴν γῆν συνευνάζει ὁ μῦθος, οὕτω καὶ τὸν Ὠκεανόν, τὴν ὑγρὰν δηλαδὴ φύσιν, καὶ τὴν Τηθύν, ὅ ἐστι τὴν κοινὴν τροφὸν γῆν, εἰς μίαν ἀλλήλοις ἄγει συζυγίαν διὰ τὴν αὐτὴν αἰτίαν. δι' ὑγρότητος γὰρ ἡ γονιμότης ἐκκαλεῖται τῆς γῆς. ὅθεν καὶ αὐτοί, ὁ μὲν εἰς ἄρρεν, ἡ δὲ ὡς εἰς θῆλυ ἐσχημάτισται. [Ἐνταῦθα δὲ καίριον μνησθῆναι καί, ὡς Εὐριπίδης ἀλληγορῶν τὸ τοῦ οὐρανοῦ καὶ τῆς γῆς συνοικέσιόν φησιν «ἐρᾷ δ' ὁ σεμνὸς Οὐρανὸς πληρούμενος ὄμβρου πεσεῖν εἰς Γαῖαν Ἀφροδίτης ὕπο. ὅταν δὲ συμμιχθῆτον ἐς ταὐτὸν οἱ δύο, φύουσιν ἡμῖν πάντα, δι' ὧν βρότειον ζῇ τε καὶ θάλλει γένος». Καί τις Αἰσχύλος, οὐχ' ὁ ἐξ Ἀθηνῶν, ἀλλ' Ἀλεξανδρεύς, ὡς ἡ κατὰ τὸν Ἀθήναιον ἱστορία δηλοῖ,

φησίν «ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι χθόνα, ἔρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν· ὄμβρος δ' ἀπ' εὐνάοντος οὐρανοῦ πεσὼν ἔκυσε γαῖαν, ἡ δὲ τίκτεται βροτοῖς μήλων τε βοσκὰς καὶ βίον Δημήτρεον».

3.616 Ἔτι ἰστέον καὶ ὅτι, καθὰ τὸν οὐρανὸν τῇ γῇ, καὶ τὸν Ὠκεανὸν τῇ Τηθύϊ,] οὕτω πως καὶ τὸν αἰθέρα Δία ὁ μῦθος τῇ Ἥρᾳ, εἴτ' οὖν τῷ ἀέρι, ὡς γυναικὶ ἄνδρα συζεύγνυσιν, ἵνα οὕτω ζωογόνος ὁ ἀὴρ μᾶλλον γίνοιτο. Ἔτι δὲ πρὸς τούτοις, ὥσπερ οὐρανὸς κατὰ τὴν ἔνδοσιν τοῦ γονίμου τῇ γῇ συναπτόμενος, ὅμως κατὰ τὸ ἄνω καὶ κάτω διΐσταται εἰσαεί, καὶ αὖ πάλιν, καθάπερ Ἥρα καὶ Ζεύς, ἀὴρ δηλαδὴ καὶ αἰθήρ, κατὰ τὴν ποιότητα τῆς θερμότητος συζευγνύμενοι καθ' ἑτέραν ποιότητα διασπῶσι τὸ φίλιον καὶ ἀλλήλων διΐστανται, κατὰ τὴν ὑγρότητα δηλαδή, ἣν ὁ ἀὴρ ἔχει, καὶ κατὰ ξηρότητα, ᾗ συνουσίωται τῷ πυρί, οὕτω καὶ ἡ ἀλληγορουμένη Τηθὺς αὕτη καὶ ὁ Ὠκεανὸς κατὰ μὲν ψυχρότητα συνδυάζονται ὡς οἷα ἐν ἀνθρωπίνῃ τινὶ συζυγίᾳ, καθότι δὲ ξηρὰ μὲν ἡ γῆ, ὑγρὸν δὲ τὸ ὕδωρ, διΐστανται καὶ ἐχθρὰ νοοῦσιν ἀλλήλοις, μῖσος ὥσπερ αἰώνιον τοῦτο φυλάσσοντες. Εἰ δὲ ὑπισχνεῖται νῦν ἡ Ἥρα, καθὰ καὶ αὐτῷ ἐρεῖ τῷ Διΐ, συμβιβάσαι καὶ εἰς ἓν συνάψαι αὐτοὺς καὶ εἰς φιλίαν συναγαγεῖν, ὄμβροις τυχὸν ἄνωθεν ἐξ ἀέρος πεμπομένοις ἢ τοιούτοις τισί, δι' ὧν ἡ ξηρότης τέγγεται, ὡς ἂν ὥσπερ τῷ ψυχρῷ, οὕτω δὴ καὶ τῷ ὑγρῷ τὴν εἰσαεὶ ἕνωσιν ἔχοιεν ἡ Τηθὺς καὶ ὁ Ὠκεανός, ἀλλ' ἐν τοῖς, ὡς εἰκός, λόγοις μόνοις αὐτῇ τὰ τῆς ὑποσχέσεως κεῖται. τὸ γὰρ αἰώνιον ἐναντίωμα τῶν στοιχείων οὐκ ἔστι λυθῆναι ὑγρότητι καιρικῇ. εἰ γὰρ καὶ ὑγραίνεται ἡ γῆ δρόσοις ἢ πλημύραις ἢ ὄμβρων ἐπικλύσεσιν εἴτε καὶ ὑπογείων ὑδάτων ἀναχύσεσιν, ἀλλὰ τοῦτο οὔτε ἀεὶ συμπίπτει καὶ οὐδ' ἐπὶ πᾶσαν τὴν γῆν. διὸ καὶ ὁ ποιητὴς ταῦτα εἰδὼς ἐνδοιάζουσαν τὴν Ἥραν ποιεῖ καὶ μέγα οἰομένην, ἐὰν ἐκείνους πείσασα φιλότητι ὁμωθῆναι ποιήσῃ, τουτέστιν ὁμοῦ γενέσθαι καὶ ὅμοια φρονῆσαι τήν τε Τηθὺν καὶ τὸν Ὠκεανόν. καὶ οὐδὲ ἐγχειροῦσαν αὐτὴν πλάττει διὰ ταῦτα τῷ πράγματι, ἀλλ' ἀποκωλυομένην τοῦ τοιούτου ἔργου ὑπὸ τοῦ Διός. καὶ οὕτω μὲν καὶ ταῦτα. (v. 202) Τὸ δὲ τὴν Ἥραν ἐν δόμοις ὑπὸ Ὠκεανοῦ καὶ Τηθύος ἐκτραφῆναι τὰς ἐκεῖθεν αἰνίττεται ἀναθυμιάσεις, αἳ καὶ αὐταὶ συμβάλλονταί τι τῷ ἀέρι, γεννηθέντι μὲν καθάπαξ ὑπὸ τῆς Ῥέας, ἤγουν ὑπὸ τῆς ἀρχεγόνου ὕλης, τῆς φερωνύμως ῥευστῆς, συγκροτουμένῳ δὲ ὡς ἑκάστοτε καὶ οἷον τρεφομένῳ ταῖς τοιαύταις ἀναθυμιάσεσι.

3.617 διὸ καὶ τροφεῖα ὥσπερ ἡ Ἥρα ὀφείλει τῷ Ὠκεανῷ καὶ τῇ Τηθύϊ, καὶ διὰ τοῦτο θέλει ἀνταποδοῦναι χάριτας διὰ τοῦ ποιῆσαι ὁμωθῆναι αὐτούς, τουτέστιν ὁμοῦ, ὡς εἴρηται, γενέσθαι καὶ ἑνωθῆναι, ἐκ τοῦ ὁμῶ ὁμώσω ῥήματος. ὅπερ οἱ παλαιοὶ ἀποδεχόμενοί φασιν, ὡς οὐκ ἄν τις εἴποι τὴν ἕνωσιν καιριώτερον ἐν λέξει μιᾷ. ἐν ἄλλοις δὲ τοῦτο περιφράζων ὁ ποιητής φησι «καὶ ὁμὸν λέχος εἰσαναβαίνειν.» [Ἐνταῦθα δ' ἔστιν εἰπεῖν, ὅτι τὸ ἐπὶ ὅρκου λεγόμενον ὀμῶ ὀμόσω πρὸς διαστολὴν τοῦ ἐνταῦθα, ὡς εἴρηται, κειμένου τῷ ο μικρῷ παραλήγεται.] (v. 201) Τὸ δὲ Ὠκεανὸν λέγεσθαι ἀπὸ τοῦ ὠκέως νάειν, ὥσπερ καὶ Ῥέαν, τὴν δ' αὐτὴν καὶ Ῥείην, ἀπὸ τοῦ ῥέειν, καθωμίληται. Τηθὺς δὲ γίνεται ἀπὸ τοῦ τήθη, ὃ δηλοῖ τὴν τροφόν. ἡ δὲ τήθη ἢ παρὰ τὸ στῆθος, ἀφ' οὗ τὸ βρέφος τρέφεται, οἱονεὶ στήθη τις οὖσα, ἢ παρὰ τὸ τῆ, ὃ δηλοῖ τὸ λάβε, ὡς πρὸ ὀλίγου ἐγράφη, καὶ τὸ θῶ, τὸ θηλάζω, κατὰ τοὺς παλαιούς, οἱονεὶ ἡ λέγουσα τῷ βρέφει «λάβε θήλασον». (v. 202) Τὸ δὲ «εὔτρεφον ἠδ' ἀτίταλλον» δοκοῦσι τὸν αὐτὸν νοῦν ἔχειν, ἵνα ᾖ εὐτρέφεσθαι τὸ μὴ τάλανα εἶναι, οὗ δηλωτικὸν ὥσπερ τὸ ἀτάλλειν, οὕτω καὶ τὸ ἀτιτάλλειν ἐστίν, ὡς πολλαχοῦ φαίνεται. Καὶ ἄλλως δέ, τὸ εὐτρέφειν διαφέρει τοῦ ἁπλῶς τρέφειν, καθότι τοῦτο καὶ δίδαξιν ἔχει ἐσθλοῦ κατὰ τὴν τραγῳδίαν. [Θέμα δὲ ἐντελὲς τοῦ εὔτρεφον τὸ εὐτρέφω, ὅμοιον ὂν τῷ εὐλογῶ καὶ τοῖς ὁμοίοις, βαρυτόνοις τε καὶ περισπωμένοις.] (v. 203) Ἡ δὲ Ῥείη ἀναλογίαν ἔχει πρὸς τὴν παρὰ τῷ Ἡσιόδῳ Θείαν. ὡς γὰρ Θέα Θείη ἐν Θεογονίᾳ, οὕτω καὶ Ῥέα Ῥείη. Περὶ δὲ Κρόνου, καὶ ὡς ἐταρταρώθη καὶ τί ταῦτα κατὰ ἀλληγορίαν δηλοῖ, ἐν τοῖς

ἐφεξῆς ῥηθήσεται, ὅπου καὶ περὶ Τιτάνων. (v. 204) Τὸ δὲ «καθεῖσεν» ἀπὸ τοῦ ἕω εἷον, τὸ κάθημαι, τροχαϊσθὲν φυλάσσει τὸν τόνον, ὡς καὶ τὸ ἀνῷγε πρὸ βραχέων καὶ τὰ ὅμοια.

3.618 [Καὶ εἶχε μὲν εἰπεῖν κάθισσε διὰ τοῦ ἰῶτα, ὡς ἐκ τοῦ καθίζω καθίσω, ἔδοξε δὲ αὐτῷ μὴ οὕτω γράψαι ἀλλ’ ἑτέρως.] (v. 205) Ἄκριτα δὲ νείκεα, ἐφ’ οἷς οὐχ’ εὕρηται κριτής. καὶ εἴη ἂν ἐντεῦθεν καὶ ἀκριτόμυθος, ὁ μὴ δεόντως κρίνων ἃ μυθεῖται. Τὸ δὲ «λύσω» δηλοῖ μὲν τὸ διακρινῶ, ἐμφαίνει δέ, ὅτι ὡς οἷα πεπεδημένοι ὄντες οἱ νείκεα ἔχοντες δέονται τοῦ λύεσθαι. (v. 206) Τὸ δὲ «ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται» καὶ ἑξῆς λεχθήσεταί ποτε καὶ ἁπλῶς ἐπὶ συνεύνων διχονοούντων. Ἔνθα ὅρα τὸ «δηρὸν χρόνον» ἀκεραίως ἐκφωνηθέν. ὅτε δέ γε μόνον δηρόν εἴπῃ, ἐλλείπει ὁ χρόνος ἐκεῖ. ἄλλως δὲ καὶ πρὸς διαστολὴν ἐρρέθη τοῦ ἁπλῶς χρόνου, ὃς καὶ ἐπὶ ὀλίγου λαμβάνεται, ὡς δηλοῖ ἐν τῇ βῆτα ῥαψῳδίᾳ τὸ «μείνατ’ ἐπὶ χρόνον». φαίνεται γὰρ ἐκεῖ χρόνον τὸν ὀλίγον λέγειν. (v. 207) Ἐν δὲ τῷ «χόλος ἔμπεσε θυμῷ» κότον ὁ χόλος δηλοῖ. οὐ γὰρ ἁπλῶς χόλος ἐκείνοις ἦν ὁ ἐπὶ τοσοῦτον, ἀλλ’ ὁ πολυετὴς χόλος καὶ τὴν μῆνιν ὑπεραναβὰς ἤδη πάντως κότος ἐστίν, ὃν ὑπεμφαίνει καὶ τὸ ἔμπεσε. εἰ γὰρ ταὐτόν τι τὸ πεσεῖν τῷ κεῖσθαι, εἴη ἂν καὶ ὁ ἐμπεσὼν χόλος κότος ὡς ἐγκείμενος. καὶ ἄλλως δέ, τὸ ἐμπεσεῖν, ὃ πολεμικὴ λέξις ἐστί, πολέμιον τὸν χόλον εἶναι δηλοῖ τοῖς πάσχουσιν. ὅθεν καὶ θυμομαχεῖν τινες λέγονται. (v. 208) Τὸ δὲ «ἐπέεσσι παραιπεπιθοῦσα» ἑρμηνεία ἐστὶ τῆς ἐν τῷ κεστῷ πειστικῆς παραιφάσεως. (v. 209) Τὸ δὲ «εἰς εὐνὴν ἀνέσαι» ἀντὶ τοῦ ἀναπεῖσαι ἢ ἀναβιβάσαι, ἀναθεῖναι, κατὰ τὸ «ἐς δίφρον δ’ ἀνέσαντες ἄγον». Τὸ δὲ «ὁμωθῆναι φιλότητι» διαστέλλει τοῦ πρὸς ἔριν τινὰς καὶ μάχην ὁμόσε γενέσθαι. (v. 210) Τὸ δὲ «φίλη καὶ αἰδοίη», γνησιώτερον πάντως τοῦ «αἰδοῖός τε δεινός τε». Ὅρα δὲ καὶ ὅτι τὸ «καλεοίμην» ἐνταῦθα συστέλλει τὴν ἄρχουσαν ἐν τῷ «φίλη τε καὶ αἰδοίη καλεοίμην», καθὰ καὶ τὸ καλός ἀεὶ ἐκτείνεται παρ’ Ὁμήρῳ. τὸ μέντοι κακός συστέλλει τὴν παραλήγουσαν. Δῆλον δὲ ὅτι καὶ συστέλλεταί ποτε τὸ καλεοίμην. Ἐνταῦθα δὲ κεῖται καὶ βιωτικὸν νόημα τὸ χρῆναι τὰς τῶν μεγάλων γυναῖκας τιμᾶσθαι. (v. 212 s.) Φησὶ γὰρ ἡ Ἀφροδίτη πρὸς τὴν Ἥραν, ὡς «οὐκ ἔστ’ οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι· Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις», ὃ περίφρασίς ἐστι τοῦ Διὸς γυνὴ εἶ. Ἔνθα τὸ «οὐδὲ ἔοικε» πάνυ ἀκριβῶς κεῖται. εἰ γὰρ καὶ ἔστιν ἀρνήσασθαι, ἀλλ’ ὅμως οὐ πρέπει.

3.619 [Τὸ δὲ «Ζηνὸς τοῦ ἀρίστου» ἄκραν ὑπεροχὴν δηλοῖ διὰ τοῦ ἄρθρου, καὶ πλέον ἤπερ τὸ «ἀνὴρ ὤριστος», ἤγουν ὁ ἄριστος. οὐ γὰρ πρόσκειταί τις γενική, οἷον τοῦ ἀρίστου τῶνδέ τινων ἢ τοῦ ἀρίστου θεοῦ, ἀλλὰ ἁπλῶς οὕτω κατ’ ἐξοχὴν ὑπερβάλλουσαν. Τὸ δὲ ἐν ἀγκοίναις ἰαύειν, ἤγουν χρονίζειν, διατρίβειν, μυστικὴ δήλωσίς ἐστι σχέσεως ἀνδρὸς πρὸς γυναῖκα, καθὰ καὶ τὸ «ἀγκὰς ἔμαρπτεν ἣν παράκοιτιν». ἐκ τοῦ ἀγκών δὲ ἀγκῶνος γίνεται ἡ ἀγκοίνη, ὡς καὶ ἐκ τοῦ θῶ ἡ θοίνη.] (v. 214) Κεστὸς δὲ οὐ κλῆσις, ἀλλ’ ἐπιθετόν ἐστι τοῦ ἱμάντος τῆς Ἀφροδίτης. διὸ καὶ ὁ ποιητὴς ὁμοῦ παραθεὶς κεστὸν ἱμάντα φησί. μετ’ ὀλίγα δὲ κατὰ μόνας ἱμάντα ἐν τῷ «τῇ τοῦτον ἱμάντα». Εἰ δὲ κρατεῖ τὸ ἐπίθετον κατὰ μόνας ὡς ἐπὶ πολύ, ὥστε κεστοῦ λεχθέντος μὴ ἐξ ἀνάγκης συνεκφωνεῖσθαι αὐτῷ τὸν ἱμάντα, τοῦτο καὶ ἐπὶ ἄλλων γίνεται. οὕτω γὰρ καὶ ἡ διπλόη ἐπιτεθεῖσα τῇ χλαίνῃ τὸ ἐκείνης ἀφήρπασε νόημα, καὶ τὸ ξυστὸν τῷ δόρατι ἐπικείμενον ὅμως λαμβάνεταί ποτε αὐτὸ μόνον ἁπλῶς ἐπὶ δόρατος. ὁμοίως καὶ ὁ ἑανὸς ἀντὶ πέπλου, καὶ ὁ βροτὸς τὸ ἐπίθετον ἀντὶ ἀνθρώπου, οὗ ἐστιν ἐπίθετον, καὶ ὁ ἀήτης ἀνέμου ὢν ἀήτης, ὡς δεδήλωται, ἀντὶ τοῦ ἁπλῶς ἀνέμου λαμβάνεται. μυρία δὲ καὶ ἄλλα τοιαῦτα, ἐν οἷς εἶναι καὶ ἡ ἡμέρα δοκεῖ. φαίνεται γὰρ ἐκ τοῦ ἥμερος θηλυκὸν εἶναι ἡ ἡμέρα, ὁμοίως τῷ φοβερός φοβερά, καὶ μάκαρος μάκαιρα, πίερος πίειρα καὶ τοῖς τοιούτοις, ἵνα ᾖ τὸ τέλειον ἡμέρα, ὅ ἐστι πραεῖα φαῦσις, ἢ ἡμέρα κατάστασις ἀέρος, ὅπερ ἡ νὺξ μὴ ἔχουσα δειδία λέγεται διὰ τὸ φοβερὸν καὶ μὴ ἥμερον. Ἐτυμολογεῖται δὲ ὁ κεστὸς παρὰ τὸ κένσαι, ὅ ἐστι κεντῆσαι. ὅτι δὲ ὁ κεστὸς ἱμάντος ἐστὶν ἐπίθετον, δῆλον μὲν καὶ ἐκ τῶν προσεχῶς εἰρημένων, δηλοῦται δὲ καὶ ἐν τῇ γ′ ῥαψῳδίᾳ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔνθα ἡ τοῦ Πάριδος περικεφαλαία πολύκεστον ἱμάντα ἔχει, ὃς εἶχεν ἐκεῖνον ἑλκόμενον. [Ἱμάντος δὲ κίνησις πολλή.

3.620 ἱμάσσειν τε γὰρ ἐξ αὐτοῦ, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, καὶ ἱμονία καὶ ἱμᾶσθαι καὶ ἀνιμᾶσθαι, καὶ σύνθετον ὁ ἱμαντελιγμός, ὃ ἦν παιδιᾶς τινος εἶδος, ἤγουν διπλοῦ ἱμάντος σκολιά τις εἴλησις, ὥς φασιν οἱ παλαιοί.] (v. 215) Τοῦ δὲ «ποικίλον» ἐφερμηνευτικὸν εὐθύς τὸ «θελκτήρια πάντα», ὧν ἕνεκεν ποικίλος ἦν ὁ κεστός, φιλότητα ἔχων καὶ ἵμερον καὶ πάρφασιν καὶ δι' αὐτὰ πολύκεστος ὢν καὶ αὐτός. Τὸ δὲ «θελκτήρια» κατὰ Ὁμηρικὸν ἔθος ἀντὶ τοῦ ἐκστατικὰ λογισμοῦ κατὰ πολλὴν ἡδονήν, οὐ μὴν κατὰ φόβον ἢ ἄλλο τι πάθος. τοιοῦτον γάρ τι τὸ ποιητικῶς θέλγεσθαι, ὡς προεδηλώθη. Περὶ δὲ φιλότητος καὶ ἱμέρου ἱκανῶς πρὸ βραχέων δεδήλωται. (v. 216 s.) Τὸ δὲ «ὀαριστὺς πάρφασις» οἱ μὲν ἐν ἀσυνδέτῳ σχήματι δύο νοοῦσι πράγματα, ἰδίᾳ μὲν ὀαριστύν, ὅ ἐστιν ὁμιλίαν—ὀαρίζειν γὰρ τὸ ὁμιλεῖν, ὥς που προγέγραπται—, ἰδίᾳ δὲ πάρφασιν, τουτέστι πειθὼ τὴν ἐξ ὁμιλίας. Ἕτεροι δὲ τὸ μὲν ἓν ὡς κύριον, τὸ δὲ ἕτερον λαμβάνουσιν ὡς ἐπίθετον, καὶ τοῦτο, ὅπως ἂν καὶ θέλοι τις. ἢ γὰρ ὀαριστὺς παραιφατικὴ ἢ παραίφασις ὀαριστική, τουτέστιν ὁμιλητική. Τὸ δὲ «ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος» σαφηνίζει ταὐτὸν εἶναι τὸ ἔνι καὶ τὸ εν δίκην προθέσεως. [Δῆλον δὲ αὐτὸ καὶ ἐκ τοῦ «ᾧ ἔνι πάντα τετεύχαται», ἤγουν ἐν ᾧ.] Τὸ δὲ «ἐν δ' ἵμερος, ἐν δ' ὀαριστύς» σχῆμα κάλλους ἐπαναφορικόν, καθά που καὶ τὸ «ἐν δ' ἔρις, ἐν δὲ κυδοιμός, ἐν δ' ὀλοὴ κήρ», [καὶ παρὰ τοῖς μεθ' Ὅμηρον τὸ «ἐν μὲν γὰρ θαλίης ἐρατὸν μέρος ἀγλαΐης τε, ἐν δὲ χοροιτυπίης, ἐν δ' ἱμερτῆς φιλότητος». Ὁ δὲ οὕτω γράψας οἴνῳ παρακολουθεῖν λέγει τὰ τοιαῦτα, ὃν ἐκεῖνος καὶ ὄναρ ἐσθλόν φησιν ἀλεξίκακον πάσῃ συνοπηδὸν ἀνίῃ, ὡς εἶναι τὸν οἶνον ἀλεξιφάρμακον πάσης ἀνίας.] (v. 217) Τὸ δὲ «ἔκλεψε νόον πύκα περ φρονεόντων» ὑποδηλοῖ [μὲν τὴν ῥηθεῖσαν πάρφασιν τὴν αὐτὴν εἶναι, ὡς καὶ προελέχθη, παραλογισμῷ, δι' ἧς ἂν ἀπάφοιτο τὸν Δία ἡ Ἥρα. Ἔστι δὲ παιδευτικὸν τοῦ δεῖν φυλάττεσθαι τὰς τοιαύτας ὁμιλίας. προπαρεσκεύασται δὲ καὶ εἰς λύσιν ἀποριῶν ἄλλων τε καὶ τούτων, πῶς ποτε ὁ τηλικοῦτος Ζεὺς ἠπάτηται, πῶς δὲ οὐκ εἰς δέον ἐρᾷ, πῶς δὲ οὐκ εἶδε τὸν ὕπνον ἐν τοῖς ἑξῆς, ὃς αὐτὸν ἀνακλίνει ἀμφιχυθεὶς νήδυμος.

3.621 ἢ δῆλον ὅτι τὸν νοῦν τῇ κατὰ τὸν κεστὸν ὀαριστύϊ παρφάσει κλαπεὶς οὐδὲν τοιοῦτον συνεῖδεν. Ὅρα δὲ ὡς Ἥρα μὲν ἁπλῶς οὕτω φιλότητα καὶ ἵμερον ἐξ Ἀφροδίτης ἐζήτησε τὰ κατὰ μῦθον ἰνδάλματα, Ὅμηρος δὲ καὶ τὸ αὐτοῖς ὑποκείμενον ἡρμήνευσε, τὸν κεστὸν ἱμάντα, καὶ πλεῖον δέ τι ἐδήλωσεν αὐτὸν ἔχειν, ὅπερ ἦν ἡ ὀαριστὺς πάρφασις. Σημείωσαι δὲ καί, ὅτι τινὲς μὲν τὰ κατὰ τὸν ῥηθέντα κεστὸν ἱμάντα γοργότατα συμβιβάσαντες αἴνιγμά φασιν αὐτὸν εἶναι τοῦ πληγῶν καὶ ἱμάντων ἄξια τοὺς φαύλως ἐρῶντας πάσχειν, οἱ δὲ καὶ πραγματικῶς νοοῦσιν, ὡς τοιούτου πάλαι ποτὲ ὄντος μαγγανεύματος εἰς ἔρωτα, ὁποῖος ὁ διαγραφόμενος οὗτος κεστός, ὃν καὶ παρήγγελλον, φασίν, οἱ διδόντες μὴ ὁρᾶσθαι, ἀλλ' ὑπὸ κόλπῳ φέρεσθαι, καθάπερ Ἀφροδίτη παραγγέλλει τῇ Ἥρᾳ, ἵνα μή, φασί, τῇ ὄψει ἀλλοιῶνται τὰ μαγγανεύματα. Ἔχει δέ τις καὶ οὕτω καταστῆσαι τὸν μῦθον ἐξ Ὁμήρου λαβὼν ἀφορμάς. ἰστέον γὰρ ὡς αὐτὸς ὁ ποιητὴς φθάσας εἰπεῖν «εἴ πως ἱμείραιτο ᾗ χροιῇ παραδραθεῖν», οὐ πάνυ ἀσαφῶς ὑπηνίξατο τὰ κατὰ τὸν κεστόν. τίνος γὰρ ἄλλου ἵμερος ἢ χροιᾶς καὶ τῆς ἐπιπολῆς τοῦ χροὸς φαντασίας καὶ τῆς προπιπτούσης εὐχροίας, ἣν ἡ τῆς ὥρας ἄνθη προβέβληται τοῖς διακόνοις ὀφθαλμοῖς; οἷς ἑλκόμενός ποτε καὶ ὁ δεσπότης νοῦς συγκατασπᾶται καὶ φαύλοις ἐφεπόμενος ὁδηγοῖς ῥέμβεται καὶ αὐτός. Τὸ τοίνυν τοῦ ἱμάντος τούτου πολύκεστον τὸ φύσει πολύτρητον τῆς τοῦ σώματος ἐπιφανείας παραλαλεῖ καὶ πολύπορον, ἢ καὶ ἄλλως, τὸ τῶν ἐρώτων πολύτροπον καὶ ποικίλον. φέρει δ' αὐτὸ ἐν στήθεσι μὲν Ἀφροδίτη, Ἥρα δὲ ὑπὸ κόλπῳ, διότι καλυπτέον τὸ πάθος τοῦ ἔρωτος καὶ ἐγκαλυπτέον ἐπ' αὐτῷ, ἢ καὶ διότι τῶν ἐρώτων οἱ ἀγαθοί, φασί, διὰ γονὴν γίνονται παίδων, οἳ παῖδες ταῖς τικτούσαις ὑπὸ κόλπῳ τε τρέφονται καὶ μαζόθεν. Ἀλληγόρηται δὲ καὶ ἄλλως οὐ πρὸ πολλῶν ὁ τοιοῦτος κεστός, ἔνθα καὶ τὰ περὶ Διὸς καὶ Ἥρας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰς φιλόσοφον θεωρίαν ἀνήγοντο. Κἀκεῖνα δὲ ῥητέον, ὅτι τε οὐ θαυμαστέον εἰ τοιοῦτον ἔχουσα κεστὸν ἡ μυθικὴ Ἀφροδίτη περιεγένετο Ἥρας καὶ Ἀθηνᾶς ἐν τῇ τοῦ Πάριδος κρίσει. ἐπηγάγετο γὰρ ἂν πάντως τὸν κριτὴν ὡς μὴ ὀρθῶς δικάσαι, ἀλλὰ δεκάσαι τὰς ψήφους δι' ἔρωτα.

3.622 καὶ ὅτι ὁ ῥηθεὶς κεστὸς φορούμενος οὐ μόνον τὸ φοροῦν πρόσωπον ἐποίει ἐράσμιον, ὡς ἐνταῦθα τῷ Διῒ τὴν Ἥραν, ἀλλὰ καὶ ἑτέροις ἀπὸ τοῦ φοροῦντος ἐνεποίει ἔρωτας. οὕτω γὰρ καὶ ἡ Ἥρα Ὠκεανὸν καὶ Τηθὺν εἰς φιλίαν συναγαγεῖν διὰ τοῦ κεστοῦ θαρρεῖ, ὁ δ' αὐτὸς καὶ τῷ Ἀλεξάνδρῳ καὶ τῇ Ἑλένῃ ἐνέθετο ἂν ἀλλήλων φιλότητα. (v. 219) Τὸ δὲ «τῆ», ὅ ἐστι λάβε, «νῦν τοῦτον τὸν ἱμάντα», συμφωνεῖ τῷ τῆς Ἥρας λόγῳ. κἀκείνη γὰρ ἀπὸ μέρους λαλοῦσα «νῦν δός μοι», ἔφη, «φιλότητα καὶ ἵμερον», ὡς μὴ τῆς δόσεως διηνεκοῦς ἐσομένης κατὰ λόγον δωρεᾶς, ἀλλὰ πρός τινα βραχὺν καιρόν. Προστακτικὸν δὲ εἶναι συζυγίας δευτέρας τῶν περισπωμένων σαφῶς ἀποφαίνονται οἱ παλαιοὶ τουτὶ τὸ «τῆ», φάμενοι ὡς ἔστι ῥῆμα τάω τῶ, ὡς ζάω ζῶ, καὶ καθὰ ἔζαον ἔζων, οὗ τρίτον ἔζη καὶ προστακτικὸν ζῆ, οὕτω καὶ ἔταον ἔτων, οὗ ἔτη τὸ τρίτον καὶ τῆ τὸ προστακτικόν. οἱ δ' αὐτοὶ προφέρουσι καὶ χρήσεις πολλὰς τοῦ ζῆ, ὅ ἐστι ζῆθι, καὶ μάλιστα ἐκ τῶν Εὐριπίδου. Τὸ δὲ τοιοῦτον τάω τῶ καὶ τὸν αἴτην παράγει κατά τινας, ὡς ἀπὸ τοῦ α ἐπιτατικοῦ καὶ τοῦ τῶ, τὸ λαμβάνω. (v. 219) Κόλπον δέ φησι τὸ ἐν τῷ στήθει πτύγμα τοῦ πέπλου, ἐν ᾧ ἔδει θεῖναι κεστόν. (v. 218) Ἐν τούτοις δὲ ὅρα καὶ τὸ «ἔκ τ' ὀνόμαζεν», ὡς ἀναντιρρήτως οὐ δηλοῖ οὐδ' ἐνταῦθα τὸ ἐξ ὀνόματος ἐκάλει, οὐδ' ὅλως γὰρ ἢ Ἥραν ἤ τι τῶν αὐτῆς ἐπιθέτων ἡ Ἀφροδίτη λαλεῖ, ἀλλ' ἔστι ταὐτὸν τῷ «εἶπε», διὸ καὶ παράκειται τὸ ἔφατο. Φησὶ γὰρ «ἔφατ' ἔκ τ' ὀνόμαζεν», ἅπερ, ὡς καὶ προδεδήλωται, ἐκ παραλλήλου δηλοῦσι τὸ διεξοδικῶς ἐλάλησεν. [Εἰ δὲ μετ' ὀλίγα ἐν τῷ ἡ Ἥρα «ἔπος ἔφατ' ἔκ τ' ὀνόμαζεν, Ὕπνε ἄναξ» δοκεῖ τὸ ἐξονομάζειν εἶναι ἀντὶ τοῦ ἐξ ὀνόματος ἐκάλεσεν, εἰποῦσα ὀνομαστὶ τὸ «ὦ Ὕπνε», ἀλλὰ καὶ ἐκεῖ οὐκ ἀπεοίκασι τὸ ἔφατο καὶ τὸ ἐξονόμαζεν. οὐ γὰρ ἁπλῶς ὠνόμηνε κλητικῶς ἡ Ἥρα τὸν Ὕπνον, ἀλλὰ τὸ μὲν Ὕπνε διὰ τὴν τῆς προσλαλιᾶς φύσιν προέθετο, τὸ δὲ πᾶν αὐτῆς φάσθαι καὶ ἐξονομάσαι ἐστίν, ἤγουν εἰς πλάτος ὁμιλῆσαι ἃ θέλει.] (v. 220) Ὅρα δὲ καὶ τὴν συντομίαν τοῦ «ᾧ ἔνι πάντα τετεύχαται», ὅπερ ἐστὶν ἐπιτομὴ τοῦ «ἔνθ' ἔνι μὲν φιλότης» καὶ τοῦ ἑξῆς τῶν δύο στίχων.

3.623 καὶ ἔστιν ὅμοιον τῷ «τὰ δ' ἀθρόα πάντα τετύχθω» ἐν Ὀδυσσείᾳ. Δῆλον δ' ὅτι τοῦ «πάντα τετεύχαται» ἐντελέστερον ἦν ἀνωτέρω τὸ «θελκτήρια πάντα τέτυκτο», καὶ ὅτι ταὐτὸν θέμα τῷ τέτυκτο καὶ τῷ τετεύχατο. τὸ τεύχω γάρ. (v. 220 s.) Τὸ δὲ «οὐδέ σέ φημι ἄπρηκτόν γε νέεσθαι, ὅ τι φρεσὶ σαῖς μενοινᾶς» ῥηθήσεταί ποτε πρὸς τὸν τευξόμενον οὗπερ αἱρεῖται, ὥσπερ πρὸς τὸν τοιαῦτα ζητοῦντα, ἐφ' οἷς οὐκ ἔστι μὴ εἰσακουσθῆναι, καλὸν ῥηθῆναι τὸ «οὐκ ἔστιν οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι», ὅπερ δύο κεφαλαίων ἐστὶν ἐνδεικτικόν, τοῦ μὲν δυνατοῦ ἐν τῷ «οὐκ ἔστι», τοῦ δὲ πρέποντος ἐν τῷ «οὐδὲ ἔοικε», διὰ τὸ τοῦ προσώπου δηλαδὴ ἔνδοξον. Ἐνταῦθα δὲ καὶ συλλογισμὸς κεῖται διὰ τοῦ ἐπαγαγεῖν «Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις». μονονουχὶ γάρ φησιν, ὅτι σὺ γυνὴ τοῦ ἀρίστου, ταῖς δὲ τῶν ἀρίστων ὑπακουστέον, σοὶ ἄρα ὑπακουστέον. Ὅτι δὲ ἡ Ἥρα χαίρει ἀκούσασα, ὡς οὐκ ἄπρακτος παλιννοστήσει ὡς οἷα κληδόνι τῷ λόγῳ πιστεύσασα, καθά που καὶ Ὀδυσσεὺς ἐν Ὀδυσσείᾳ καὶ Τηλέμαχος χαίρουσι φήμης τινὸς ἀκούσαντες καὶ κληδονισάμενοι, προσεχῶς που καὶ αὐτὸ εἴρηται. (v. 225—30) Ὅτι ἐν τῷ «Ἥρη δ' ἀΐξασα λίπε ῥίον Οὐλύμποιο, Πιερίην δ' ἐπιβᾶσα καὶ Ἠμαθίην ἐρατεινὴν σεύατο», ἤγουν ὥρμησεν, «ἐφ' ἱπποπόλων Θρῃκῶν ὄρεα νιφόεντα, ἀκροτάτας κορυφάς, οὐδὲ χθόνα μάρπτε ποδοῖϊν. ἐξ Ἄθοω δ' ἐπὶ πόντον ἐβήσατο κυμαίνοντα, Λῆμνον δ' εἰσαφίκανε πόλιν θείοιο Θόαντος». Ἐν τούτοις γοῦν καθεξῆς ὀνομάζει τὰς χώρας καὶ εὐτάκτως τῇ περιηγήσει χωρεῖ, καὶ οὐχ', ὡς ἐν τῷ Καταλόγῳ, συγχέει τὰς τάξεις τῶν τόπων. καὶ ἐν Ὀδυσσείᾳ δέ, ὅπου Φηρὰς εἶπε καὶ Ἤλιδα καὶ Ἐπειοὺς καὶ νήσους θοάς, τοὺς τόπους ὡς ἔχουσι τάξεως ἐκτίθεται.

(v. 226) Πιερίαν δὲ οἱ μὲν ἀκρώρειάν τινα εἶπον Ὀλύμπου, οἱ δὲ χώραν ἀπὸ νύμφης ὁμωνύμου, ἢ ἀπὸ Πίερος υἱοῦ Ἐλευθῆρος, οἱ δὲ πόλιν. Τὸ δὲ «Πιερίην ἐπιβᾶσα» ἢ ἀναστροφὴν ἔχει, ἵνα ᾖ «ἐπὶ Πιερίαν βᾶσα», ἢ ἀρχαϊκῶς αἰτιατικῇ συντέτακται. Ἠμαθία δὲ ἡ Μακεδονία ἀπὸ Ἀμάθου τινός. Φασὶ δὲ οἱ παλαιοὶ καί, ὅτι Μακεδὼν ὁ τοῦ Διός, ἀφ' οὗ Μακεδονία ἡ χώρα, παῖδας ἴσχει δύο, Ἄμαθον καὶ Πίερα, ἀφ' ὧν Ἠμαθία καὶ Πιερία πόλεις ἐν Μακεδονίᾳ. (v. 227) Ἱπποπόλους δὲ καὶ ἐνταῦθα τοὺς Θρᾷκας ὡς ἱππικοὺς καὶ μαχίμους φησίν, καὶ ἡ τραγῳδία δὲ φιλίππους λέγει αὐτούς, μαρτυροῦσα καὶ τῷ «νιφόεντα ὄρη», ὁποῖα καὶ τὰ κατὰ τὸν Αἷμον, ἐν τῷ χιονώδη τὴν Θρᾴκην εἰπεῖν. (v. 228) Τὸ δὲ «ἀκροτάτας κορυφάς» διὰ σαφήνειάν τε κεῖται, ἵνα δῆλον εἴη, ποῦ μυθικῶς περιεπάτει τῶν ὀρέων, καὶ πρὸς πιθανότητα δὲ τάχους.

3.624 οὕτω γὰρ ἂν διὰ τὸ τοῦ καιροῦ κατεπεῖγον ἡ Ἥρα ταχὺ κινοῖτο, μὴ περὶ φάραγγας ὀρέων καὶ λαγόνας τρίβουσα χρόνον, μήτ' ἄλλως περιοδεύουσα. διὸ καὶ ἐπάγει, ὡς οὐ χθόνα ἔμαρπτε ποσίν, ἤγουν οὐχ' ἥπτετο γῆς, ἀλλ' ἀπὸ κορυφῆς εἶχεν αὐτὴν ἑτέρα κορυφή. πρέπει δὲ τὸ τοιοῦτον ὕψος τῇ Ἥρᾳ διά τε τὸ χρῆναι οὕτω σεμνότερον αὐτὴν κινεῖσθαι, θεὰν οὖσαν κατὰ τὸν μῦθον, καὶ ὅτι ἀὴρ οὖσα κατὰ ἀλληγορίαν ὑπεραίρεσθαι τῶν ὀρέων καὶ οὐ κάτω διατρίβειν ἐθέλει κατὰ τὸν παρ' ἡμῖν λιμνάζοντα. Μάρπτειν δὲ εἰ καὶ νῦν ἐπὶ ἁφῆς τῆς διὰ ποδῶν, ἀλλ' ὡς ἐπὶ πολὺ ἐπὶ χειρῶν, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, ὅθεν καὶ εὐμάρεια κατὰ τοὺς παλαιοὺς ἡ εὐχέρεια, ἡ ῥᾳστώνη. Ἴωνες δὲ τὸ περί τινα τῶν ἀναγκαίων τῷ σώματι ἐκκρίσεων ἀσχοληθῆναι, οἷον οὐρῆσαι, φασίν, ἢ ἀποπατῆσαι, εὐχέρειαν ἐκάλουν. (v. 229) Ἄθως δὲ τὸ ὄρος ἀπὸ Ἄθω Γίγαντος, ᾧ Ποσειδῶν, φασί, τὸ ὄρος ἐπέθετο. τοῦτο δὲ Ξέρξης διώρυξέ ποτε καταπλήττων τοὺς Ἕλληνας. τριακοσίους δέ, φασί, σταδίους Λήμνου ἀπέχων ὁ Ἄθως ὅμως σκιάζει αὐτήν. ὅθεν καὶ παροιμία «Ἄθως σκιάζει νῶτα Λημνίας βοός». [Δόξειε δ' ἂν τεθῆναι ἡ παροιμία ἐπὶ τῶν ἐχόντων καὶ πόρρωθεν ἐφικνεῖσθαι ἢ καθικνεῖσθαι τῶν ταπεινοτέρων δι' ὑπεροχήν τινα, ἐπεὶ καὶ ὁ Ἄθως ὑψηλότατος ὢν εἶχεν ἐν καιρῷ περὶ δείλην σκιὰν ἀποτελεῖν ἱκνουμένην ἕως καὶ εἰς ἄγαλμα Λημνίας βοός.] Διοκλῆ δέ φασι, τὸν Ῥηγῖνον ἀρχιτέκτονα, ἐπαγγείλασθαι Ἀλεξάνδρῳ διαγλύψαι τὸν Ἄθω τοῦτον καὶ κατασκευάσαι ἀνδριάντα αὐτοῦ, θατέρᾳ μὲν χειρὶ μυρίανδρον πόλιν κατέχοντα, θατέρᾳ δὲ ποταμὸν προϊέμενον, ὡς δοκεῖν τοῖς παραπλέουσιν ὅτι σπένδει. Τὸ δὲ «Ἄθοω» προπαροξύνουσιν οἱ παλαιοί, τὸν φυσικὸν τόνον φυλάσσοντες. γέγονε γὰρ ἐκ τοῦ Ἄθω, πλεονάσαντος ἐν τῇ παραληγούσῃ τοῦ ο μικροῦ, ὡς καὶ ἐν τῷ φῶς φόως, καὶ Κῶς ἡ νῆσος, Κόως, οἷον «Κόων εὖ ναιομένην». [Καὶ ἔστι πως Ἀττικὴ καὶ ἡ τοῦ Ἄθοω προπαροξυτόνησις.

3.625 Ἀθηναῖοι γὰρ ἐν πολλοῖς ὀκνοῦσι μετατιθέναι ὑποβιβαστικῶς τὰς τῶν εὐθειῶν ὀξείας. ἐν γοῦν τῷ πόλεως ὄφεως σινήπεως οὐκ ἐταπείνωσεν ἡ μακροκαταληξία τῆς γενικῆς τὴν προπαροξυτόνησιν.] (v. 230) Ἐν δὲ τῷ «Λῆμνον πόλιν Θόαντος» ὅλον μὲν ἡ Λῆμνος, μέρος δὲ ἡ Μύριννα πόλις Θόαντος, προσληφθέντος κἀνταῦθα τοῦ μέρους τῷ ὅλῳ, καθὰ εἴωθε γράφειν ὁ ποιητής, τῶν μερικῶν μὲν πρὸς ἱστορίαν δεόμενος, τὰ ὅλα δὲ προστιθεὶς διὰ σαφεστέραν γνωριμότητα. οὕτω καὶ μετ' ὀλίγα ἐν τῷ «Ἴδην ἵκοντο Λεκτόν», ὅλον μὲν ἡ Ἴδη, μέρος δὲ τὸ Λεκτόν, ὡς καὶ τὸ Γάργαρον. Ὅτι δὲ δύο πόλεις Λήμνου Ἡφαιστιὰς καὶ Μύριννα, δῆλόν ἐστιν. (v. 231) Ὅτι ἐν Λήμνῳ ἡ Ἥρα τὸν Ὕπνον εὗρεν, ὡς μέν τινές φασι τυχαίως. διὸ καὶ ἀνύσας τὸ τῆς Ἥρας ἀξιώμα οὐκ ἐπάνεισιν εἰς Λῆμνον, ὅπερ ἐχρῆν, εἴπερ ἦν ἐκεῖσε οἰκῶν, ἀλλ' ᾤχετο ἐπὶ κλυτὰ φῦλα ἀνθρώπων, ὅπου δηλαδὴ καὶ πρὶν ἀπιόντι συνήντησεν ἡ Ἥρα. Οἱ δέ τινες γλαφυρώτερον ἐπιβάλλοντές φασιν ἀστείως τοῦτο πλάττειν τὸν ποιητὴν διὰ τὸ φιλοίνους εἶναι δοκεῖν τοὺς Λημνίους, ὡς ἀπογόνους Θόαντος, υἱοῦ Διονύσου. διὸ καὶ Εὔνηος εἰς Τροίαν οἶνον ἐκ Λήμνου πέμπει, καὶ τὰ Λήμνια δὲ κακὰ τοῖς ἐκεῖ παροιμιάζεται, οἳ κοιμώμενοι ἀνῃρέθησαν ὑπὸ γυναικῶν, οἴνου, ὡς εἰκός, προεμφορηθέντες. καὶ οἱ Ἀχαιοὶ δὲ ἐν Λήμνῳ πίνοντες κρατῆρας ἐπιστεφέας κατεκαυχῶντο Τρώων. συμπατριῶται γοῦν οἷον οἶνος καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὕπνος. Ἄλλοι δέ φασι διὰ Φιλοκτήτην ἐκεῖ διατρίβειν τὸν Ὕπνον, ὡς ἂν παύῃ τὰς ὀδύνας κατακλίνων τὸν ἥρωα. Καλεῖ δ' αὐτὸν Ὅμηρος καὶ κασίγνητον Θανάτου, εἰπὼν «ἐνθ' Ὕπνῳ ξύμβλητο», ἤγουν συνήντησεν ἡ Ἥρα δηλαδή, «κασιγνήτῳ Θανάτοιο», ἐπεὶ ἀμφότεροι ἀναπαύουσι καὶ ἀπρακτεῖν ποιοῦσιν, εἰ καὶ ὁ μὲν χωρίζει ψυχήν, ὁ δὲ συστέλλει, καὶ ὁ μὲν παντελής ἐστι στέρησις αἰσθήσεως καὶ τανηλεγὴς κατὰ τὸν ποιητήν, ὁ δὲ ἀφαίρεσις αὐτῆς καιρική. οὐδὲ γὰρ αἰσθάνεται κατ' ἐνέργειαν ὁ κοιμώμενος. Φησὶ δὲ καὶ ὁ κωμικὸς Μνησίμαχος «Ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια», ἐξ Ἀττικοῦ ἔθους λαβὼν ἐκεῖνος τὸν νοῦν, παρ' οἷς οὐ μεγάλα μόνον ἀλλὰ καὶ μικρὰ ἦσαν μυστήρια, εὑρημένα ἐπὶ τῷ Ἡρακλεῖ.

3.626 (v. 233) Ὅτι ἐν τῷ «Ὕπνε, ἄναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων»—Ἥρα δὲ τὸν Ὕπνον οὕτω προσφωνεῖ—τρόπον τινὰ οὕτω πως Ὅμηρος, ὃ ἔφη, συνάγει· ὁ ὕπνος ἐν νυκτί· ἡ νύξ, ὡς μετ' ὀλίγα ἐρεῖ, πάντων δμήτειρα· τὸ δὲ δαμάζειν ταὐτόν πώς ἐστι τῷ ἀνάσσειν· ὁ τοίνυν Ὕπνος ἄναξ πάντων. διὸ καὶ Σοφοκλῆς ἐν Αἴαντι παγκρατῆ ὡς οἷα παμβασιλέα τὸν ὕπνον καλεῖ. Ἰστέον δὲ ὡς ἐνταῦθα νῦν προσωπικῶς ῥηθὲν τὸ «Ὕπνε» καὶ ἑξῆς, οὐκ ἔχει γλυκύτητα, ὅτι μὴ κατὰ μόνον τὸ μυθικόν, παρὰ δὲ Σοφοκλεῖ πάνυ γλυκὺ τὸ «Ὕπν' ὀδύνας ἀδαής, Ὕπνε δ' ἀλγέων». ὡς λογικὸν γὰρ τὸν ὕπνον παρακαλεῖ τις ἐκεῖ ἐπὶ τὸν Φιλοκτήτην. (v. 234 s.) Ὅτι πρὸς τὸν ἦν ὅτε εὐεργετήσαντα καὶ νῦν δὲ εἰς ὅμοια δυσωπούμενον οἰκεῖον εἰπεῖν τὸ «ἦ μὲν δή ποτε ἐμεῦ ἔπος ἔκλυες ἠδ' ἔτι καὶ νῦν πείθεο· ἐγὼ δέ κέ τοι εἰδέω χάριν ἤματα πάντα». [Ἔνθα ὅρα τὸ «εἰδέω» ῥῆμα, ἶσον μὲν ὂν τῷ εἰδῶ, ὡς δοκεῖν ἔχειν πλεονασμὸν τοῦ ε κατὰ τὸ ἐρῶ ἐρέω, μάλιστα δὲ θέμα ὂν ὡς τὸ ποιέω, οὗ κρᾶμα τὸ εἰδῶ, ἀφ' οὗ τὸ «ὄφρ' εὖ εἰδῇς», καὶ «ὄφρ' εὖ εἰδῇ». τοῦ τοιούτου δὲ εἰδῶ μέλλων εἰδήσω, παρακείμενος εἴδηκα, ὅθεν εἰδηκώς μετοχή, καὶ ἐν συγκοπῇ εἰδώς. ἐκ δὲ τοῦ ἐκεῖθεν παθητικοῦ παρακειμένου εἰδήμων καὶ εἴδησις.] Τὸ δὲ «ἦ μέν» γράφεται καὶ «εἰ μὲν δή ποτε», ὃ καὶ κρεῖττον. Καὶ ὅρα, ὡς πάντοτε δεῖ χαρίτων μεμνῆσθαι καὶ μηδέποτε αὐτῶν ἐκλανθάνεσθαι. ὡς ὅ γε λανθανόμενος ἀκούσοι ἄν, ὡς οὐκ εὐγενής ἐστιν, εἴγε ἀπορρεῖ αὐτοῦ μνῆστις εὖ πεπονθότος. διὸ καὶ ὁπλοτέρας προϊὼν ἐρεῖ τὰς Χάριτας, ὡς ὀφειλούσας νεάζειν ἀεί. Ἐν τούτοις δὲ ἐπιδεξίως ἡ Ἥρα ὑπομιμνήσκει μὲν τὸν Ὕπνον, ὡς ἤδη ποτὲ ἔκλυεν αὐτῆς, καὶ προκαλεῖται πάλιν εἰς ὑπακοήν, σιωπᾷ δὲ τὰ συμβάντα τότε τῷ Ὕπνῳ, ἵνα μὴ αὐτὸς πτοηθεὶς ἀπόσχηται τοῦ ἔργου.

3.627 τί μέντοι ὁ Ὕπνος ἐρεῖ καὶ τί ποτε ἔπαθε, μετ' ὀλίγα εἰρήσεται. (v. 236 s.) Ὅτι ἡ τῆς Ἥρας πρὸς τὸν Ὕπνον ἀξίωσις αὕτη «κοίμησόν μοι Ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινώ, αὐτίκ' ἐπεί κεν ἐγὼ παραλέξωμαι φιλότητι». ὃ δὴ σαφέστερον εἴρηται τοῦ «παραδραθέειν φιλότητι ᾗ χροιῇ», ὃ πρὸ ὀλίγων εἴρηται. Ἰστέον δὲ ὅτι τὸ «κοίμησον» διὰ τοῦ η γραφὲν Αἰολικῶς ἔτρεψε τὸ ι εἰς η κατὰ τοὺς παλαιούς, οἳ καὶ τὸ ψιμύθιον ψημύθιον παρὰ τοῖς Αἰολεῦσι διὰ τοῦ η φασι γράφεσθαι. Σοφοκλῆς μέντοι κοινὴν δίδωσι νοεῖν τὴν γραφήν, ἐν οἷς λέγει «κοιμῶ τόδ' ἕλκος», καὶ Αἰσχύλος «βλέφαρα μὴ κοιμῶν ὕπνῳ». Ὅτι ἀστείως ἡ μὲν Ἥρα τῷ Ὕπνῳ δώσειν λέγει θρόνον. καταθετικὸς γὰρ ὁ ὕπνος καὶ ἀνακλιτικὸς καὶ εἰς ἀνάπαυσιν δέδοται. (v. 238—41) Φησὶ γὰρ «δῶρα δέ τοι δώσω καλὸν θρόνον, ἄφθιτον αἰεί, χρύσεον· Ἥφαιστος δέ κ' ἐμὸς πάϊς τεύξει ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει. τῷ κεν», ἤγουν ᾧ ἄν, «ἐπισχοίης λιπαροὺς πόδας εἰλαπινάζων». καὶ οὕτω μὲν ἡ Ἥρα. Ὁ δὲ Ὕπνος ἐπεὶ οὐκ ἔστι μόνιμος οὐδὲ τανηλεγὴς ὡς ὁ θάνατος, ἀλλὰ κατὰ τὴν τραγῳδίαν «λύει πεδήσας οὐδ' ἀεὶ λαβὼν ἔχει», τὸν μὲν θρόνον ὡς μὴ πάνυ πρέποντα οὐ φιλεῖ, αἱρήσεται δὲ δῶρον ἕτερον, τὴν Πασιθέην δηλαδή, πρὸς γάμον, Χαρίτων μίαν. (v. 268 s.) Ἐρεῖ γὰρ μετ' ὀλίγα ἡ Ἥρα, δυσήκοον τὸν μυθικὸν Ὕπνον βλέπουσα «ἀλλ' ἴθι, ἐγὼ δέ κέ τοι Χαρίτων μίαν ὁπλοτεράων δώσω ὀπυιέμεναι καὶ σὴν κεκλῆσθαι ἄκοιτιν». (v. 270) Καὶ αὐτὴ μὲν οὕτως ἔφη, «χήρατο δ' Ὕπνος» καὶ ἀπαιτήσας ὅρκον καὶ λαβὼν ὑπήκουσεν. Ἀλλὰ τοῦτο μὲν ἐν τοῖς ἑξῆς, (v. 243—61) πρὸ δέ γε τῶν κατὰ τὴν Πασιθέην δυσπειθήσας πρὸς πιθανότητα πλάσματος ὁ Ὕπνος λέγει «Ἥρη, πρέσβα θεά, ἄλλον μέν κεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔγωγε θεῶν ῥεῖα κατευνήσαιμι καὶ ἂν ποταμοῖο ῥέεθρα Ὠκεανοῦ, ὅσπερ γένεσις πάντεσσι τέτυκται, Ζηνὸς δ’ οὐκ ἂν ἔγωγε Κρονίονος ἆσσον ἱκοίμην οὐδὲ κατευνήσαιμ’, ὅτε μὴ αὐτός γε κελεύει. ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμή», τουτέστιν ἡ σὴ ἐσωφρόνισε συμβουλή, «ἤματι τῷ, ὅτ’ ἐκεῖνος ὑπέρθυμος Διὸς υἱὸς ἔπλεεν Ἰλιόθεν, Τρώων πόλιν ἐξαλαπάξας. ἤτοι ἐγὼ μὲν ἔλεξα Διὸς νόον αἰγιόχοιο νήδυμος ἀμφιχυθείς, σὺ δέ οἱ κακὰ ἐβουλεύσω ὄρσας’ ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας, καί μιν ἔπειτα Κόων δ’ εὖ ναιομένην ἀπένεικας, νόσφι φίλων πάντων», τῶν συμπλεόντων δηλαδή. «ὃ δ’ ἐπεγρόμενος», ἢ ἀνεγρόμενος, «χαλέπαινε, ῥιπτάζων κατὰ δῶμα θεούς, ἐμὲ δ’ ἔξοχα πάντων ζήτει· καί κέ μ’ ἄϊστον ἀπ’ αἰθέρος ἔμβαλε πόντῳ, εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν.

3.628 τὴν ἱκόμην φεύγων, ὃ δ’ ἐπαύσατο χωόμενός περ. ἅζετο γὰρ μὴ Νυκτὶ θοῇ ἀποθύμια ἔρδει. νῦν αὖ τοῦτό μ’ ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι». Καὶ ὅρα ἐν τούτοις, ὅτι ῥητορικῶς Ἥρα μὲν χάριτος ἀναμιμνήσκει παλαιᾶς τὸν Ὕπνον, εἰς δευτέραν αὐτὸν προπαρασκευάζουσα, εἰ καὶ μὴ παραγυμνοῖ αὐτὴ τὴν ἐκ τοῦ Ὕπνου χάριν διὰ τὰ ἐξ αὐτῆς τότε γεγονότα τῷ Ὕπνῳ κακά. ὧν ὅμως ὁ Ὕπνος μνείαν ποιεῖται ὡς οἷα μὴ λαθόμενος. αὐτὸς δὲ αὖ πάλιν ἀπαρνούμενος νῦν κατευνάσαι τὸν Δία τήν τε δωρεὰν ἐπιτείνει καὶ τὴν Ἥραν εἰς μνήμην ἄγει, ὧν ποτε αὐτὴν εὐηργέτησε, καὶ οὕτω δῶρα παρέλκεται. ἀναμιμνήσκει δὲ καὶ ὧν ἔπαθεν, ἵνα παρωθούμενος μὲν τὴν ἀξίωσιν συγγνωσθείη, ποιῶν δὲ δόξῃ μείζω χαρίζεσθαι. Ἔτι δὲ ὅρα καὶ οἷον δύνανται τὰ δῶρα. ὁ γὰρ οὕτω γενναίως ἐνστὰς μυθικὸς Ὕπνος ὅμως δευτέρᾳ προσβολῇ ὑποσχέσεως δώρου φιλουμένου τὸν νοῦν κλαπεὶς ὑποπεσεῖται, καὶ μάλιστα ὅτι καὶ ἡ Ἥρα πιθανῷ ἐπιχειρήματι χρήσεται συγκριτικῷ, τῷ ἀπὸ διαφορᾶς προσώπων, καθ’ ὧν τὴν τοῦ Ὕπνου χάριν αἰτεῖ, (v. 263—6) εἰποῦσα «Ὕπνε, τιὴ δὲ σὺ ταῦτα μετὰ φρεσὶ μενοινᾷς; ἢ φῂς ὣς Τρώεσσιν ἀρηγέμεν εὐρύοπα Ζῆν’, ὡς Ἡρακλῆος περιχώσατο παιδὸς ἑοῖο», μονονουχί φαμένη, ὡς οὐχ’ οὕτω Ζεὺς ἄρτι Τρώων κήδεται, ὡς τότε Ἡρακλέος, τῶν μὲν γὰρ θέσει, τοῦ δὲ φύσει ὡς παιδός, καὶ τοῖς μὲν ἁπλῶς ἀρήγει, ὑπὲρ δὲ ἐκείνου περιττῶς ἐχώσατο. καὶ οὕτως εἰποῦσα καὶ ἅμα ἐπαγαγοῦσα τήν, ὡς ἐρρέθη, τῆς Πασιθέας ὑπόσχεσιν πείθει τὸν Ὕπνον, ὥστε οὐκ ἀμήχανόν τι ἄνωγεν ἡ Ἥρα τῷ Ὕπνῳ τελέσαι κατὰ τὸν ἐκείνου λόγον, εἴπερ μηχανὴ ἐπενοήθη, δι’ ἧς τὸ ἀξιωθὲν τελεσθήσεται. Σημείωσαι δὲ καὶ ἐν τούτοις, ὅτι θεραπεία τοῦ ἐν τοῖς μύθοις ψεύδους οὐ μόνον πιθανότης πλάσματος εἰκονίζουσά τι ἀληθές, ἀλλὰ καὶ ὁμοιοτήτων παράθεσις, ἣν ἀλλαχοῦ μεθοδεύει ὁ ποιητὴς καὶ ἐν οἷς δὲ κεῖται τὸ «πολλοὶ γὰρ δὴ ἔτλημεν ἐξ ἀνδρῶν χαλεπὰ ἄλγεα· ἔτλη μὲν Ἄρης, ἔτλη δὲ ἡ Ἥρη, ἔτλη δὲ Ἀίδης», καὶ ὅπου δὲ ἡ Καλυψὼ ζηλήμονας ὡς καὶ ἐφ’ ἑαυτῇ, οὕτω καὶ ἐφ’ ἑτέροις λέγει τοὺς θεούς. Οὕτως οὖν κἀνταῦθα τὸν Ὕπνον πλάττων ἐπιβουλεύειν μέλλοντα τῷ Διῒ θεραπεύει τὸ τοῦ λόγου ἀπίθανον, ἀναφέρων τοῦτον εἰς ὁμοιότητα μύθου παλαιοῦ, ὡς ἂν μὴ εἴη τὸ ἐνταῦθα πλάσμα μονῆρες. ἦν δὲ ὁ παλαιὸς μῦθος, ὅτι καὶ ἄλλοτε τὸν Δία ἐκοίμησεν ἐπὶ τῷ Ἡρακλεῖ. Ἔτι σημείωσαι καὶ ὅτι κατὰ τοὺς παλαιοὺς ὁ κεστὸς πρὸς ἐρωτικὰ καὶ μόνα ἦν δυνατώτατος, ὡς καὶ προδεδήλωται.

3.629 Ἥρα γὰρ χρῆμα μὲν ὑποσχομένη, ὃ ἦν θρόνος, ὡς προερρέθη, οὐκ ἔπεισε τὸν Ὕπνον, ἐπὶ δὲ γάμῳ Χάριτος ὑπηγάγετο, καὶ μιᾷ τῇ τοῦ κεστοῦ μηχανῇ περιεγένετο καὶ αὐτοῦ καὶ τοῦ Διός, φιλότητι καὶ ἱμέρῳ καὶ παραιφάσει ὁμιλητικῇ. Ὅρα δὲ καί, ὡς δεξιῶς ἐνταῦθα πολυμαθείας καὶ ποικιλίας χάριν τὰ κατὰ τὸν Ἡρακλέα παρενέβαλεν, ὧν τὴν μὲν ὑπ’ αὐτοῦ ἅλωσιν τῆς Τροίας καὶ φθάσας ἱστόρησε, τὰ δὲ λοιπὰ νῦν πρώτως ἔφη, καὶ ὅτι κινδύνῳ ἔοικε περιπεσεῖν Ἡρακλῆς δεινοτάτῳ μεθὸ τὴν Τροίαν εἷλε, καὶ ἀνέμοις ἐξωσθῆναι περὶ τὴν Κῶ. Ὁ δὲ μῦθος τοὺς ἀνέμους ποιῆσαι τοῦτό φησι ὡς οἷα λογικούς τινας, ἀναπεισθέντας ὑπὸ τῆς Ἥρας. εἰ δ’ ἄλλως ὁ ἄνεμος ἀέρος ῥύσις εἶναι δοκεῖ, λέγοι ἂν κατὰ τοιοῦτον νοῦν ὁ ποιητὴς τὴν Ἥραν ὄρσαι ἀργαλέων ἀνέμων ἀήτας, ὃ θηλυκῶς Ἡσίοδος προφέρει ἐν τῷ «Νότοιο δεινὰς ἀήτας», ἵνα ᾖ εὐθεῖα ἡ ἀήτη, ὅ ἐστι πνοή. Ἰστέον δὲ καὶ ὅτι ἐν οἷς ὁ Ὕπνος πάντας μὲν κατευνάσαι

νεανιεύεται καὶ αὐτοῦ Ὠκεανοῦ ῥέεθρα, Διὸς δὲ ἐγγὺς οὐκ ἂν ἐλθεῖν λέγει οὐδὲ κατευνῆσαι, φιλοσοφία τις ἔγκειται. ἠρεμία γάρ τις ὁ Ὕπνος. ἠρεμεῖ δέ ποτε πρὸς τοῖς ἄλλοις καὶ Ὠκεανὸς τὸ ὕδωρ, καὶ οὐκ ἀεὶ ἀνέμοις δουλεύων κινεῖται, εἴγε κοιμίζεται καὶ στένων πόντος κατὰ τὸν Σοφοκλῆν γαλήνης κατευναζούσης αὐτόν. ἔχει δέ ποτε ὁμοίως ἠρεμίαν καὶ ὁ λιμνάζων ἀήρ, ἀνέμοις ὢν ἀτίνακτος. διὸ καὶ φίλος ὁ ὕπνος τῇ Ἥρᾳ, τῷ τοιούτῳ δηλαδὴ ἀέρι ὡς ἠρεμιζομένῳ ἐν καιρῷ διὰ τὸ ἐν αὐτῷ νήνεμόν τε καὶ εὔδιον. ὁ μέντοι Ζεὺς αἰθὴρ ἀεὶ ἐγρήγορε τῇ κυκλοφορίᾳ, ὃς καὶ παρὰ τὸ ἀεὶ θέειν αἰθὴρ καλεῖται. οὐκ ἂν οὖν ὑπνωτική τις ἠρεμία τοῦτον τῆς ἀεικινησίας στήσειε. διὸ καὶ αὐτὸς ὁ Ὕπνος οὐχ' ἁπλῶς ἔφη ζητεῖσθαί ποτε πρὸς βλάβην ὑπὸ Διός, ἀλλ' ἵνα ἐξ αἰθέρος ἄϊστος γένηται, ὡς μὴ ἐξὸν ὂν τοῖς οὐρανίοις ἐπιχωριάζειν αὐτόν. καὶ οὕτω μέν, ἐὰν ὁ Ζεὺς εἰς αἰθέρα νοεῖται. Εἰ δὲ καὶ ὁ τοῦ κόσμου νοῦς κατὰ Ἕλληνας λέγεται Ζεύς, οὐκ ἂν οὐδ' αὐτοῦ μάλιστα Ὕπνος περιγένοιτο καὶ ἠρεμία τοῦ ἀεὶ κινεῖσθαι, εἰ καὶ ἄλλον τρόπον ὁ εἴτε νοῦς εἴτε αἰθὴρ Ζεὺς ἠρεμίαν τινὰ ἔχειν φιλοσοφεῖται, κατ' αὐτὸ δὴ τοῦτο, τὸ ἀεὶ ἐν ὁμοιότητι εἶναι καὶ ταὐτότητι καὶ ἐν τοῖς αὐτοῖς ἐνεργήμασι κατὰ διηνεκῆ καὶ βεβαίαν καὶ ἔμπεδον καὶ σταθηρὰν μονιμότητα.

3.630 διὸ καὶ ὁ μῦθος τὸν Ὕπνον ζητεῖσθαι μέν φησιν ἐφ' ᾧ ἀπ' αἰθέρος ἀϊστωθῆναι, μὴ παθεῖν δὲ τοῦτο. (v. 248) Καὶ ὁ Ὕπνος δὲ εἶπεν, ὡς οὐκ ἂν αὐτὸν κατευνάσαιμι, ὅτε μὴ αὐτός γε κελεύει, ὡς ὑπνοῦντος δηλαδὴ καὶ τοῦ Διὸς καὶ κατά τινα ῥαστώνην πρέπουσαν αὐτῷ ἠρεμοῦντος. (v. 267) Ἔτι κἀκεῖνα ἰστέον, ὅτι Χάριτος ἐρᾶν ὁ Ὕπνος λέγεται, διότι ἐπίχαρι καὶ τὸ τοῦ Ὕπνου πάθος, καὶ ὡς ἂν Εὐριπίδης εἴπῃ φίλον θέλγητρον καὶ ἡδὺ ἐν δέοντι προσιών. Ἕτεροι δὲ τὸ Χάριτος τὸν Ὕπνον ἐρᾶν αἴνιγμά φασιν εἶναι, ὡς οὐδὲ κοιμωμένῳ ἐπιληστέον χάριτος. ἄλλοι δὲ αἰνίττεσθαί φασι τὸ συμβαῖνον ὡς ἐπὶ πολὺ περὶ τοὺς τυχόντας χαρίτων. κατὰ γὰρ τὸν Κωμικὸν παρά τισιν ἅμα τετέλεσται καὶ τέθνηκεν ἡ χάρις, ἢ καὶ οὕτως «ἅμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις», καὶ Πίνδαρος «παλαιὰ μὲν εὕδει χάρις». ὅθεν καὶ Λήθης παῖδας ἔνιοι γενεαλογοῦσι τὰς Χάριτας. (v. 276) Χαρίτων δὲ ἁπλῶς μίαν Πασιθέην φασὶ λέγεσθαι εἰς αἴνιγμα τοῦ δεῖν εἶναι πανταχοῦ θέειν καὶ μὴ κεκρύφθαι τὴν χάριν, ἀλλὰ προλάμπειν ἤματα πάντα, καὶ μηδὲ γηρᾶν ἀλλ' ἀκμάζειν ἀεὶ καὶ ὁπλοτέραν εἶναι κατὰ τὸν ποιητήν. Ἄλλως μέντοι τῷ Ὕπνῳ οἰκεία ἡ Πασιθέα διὰ τὸ πάντῃ θέειν τὸν Ὕπνον, περιϊόντα κλυτὰ φῦλα ἀνθρώπων, ἢ καὶ ὅτι τῇ πάντων θέᾳ τῶν ὄψει διοικουμένων ἐπιτίθεται. καὶ ἄλλως δὲ ἐρᾷ Πασιθέης ὁ Ὕπνος, ἐπειδὴ ὀφθαλμοῖς κεκαλυμμένοις ὁμιλεῖ καὶ οὐκ ἀναπεπταμένοις. διὸ οὐδὲ ἀπολαύειν ἔχων τῆς κατὰ τὴν θέαν χάριτος ἀεὶ ἐρωτικῶς οἷον ἐφίεται. μήτι δὲ ἄρα καὶ διότι παύει τοῦ βλέπειν, ἵνα ᾖ Παυσιθέη ἡ τῷ Ὕπνῳ φίλη Χάρις. Ὁμήρου δὲ πάντως δεξιότης καὶ τὰ περὶ τῆς Πασιθέης καὶ τοῦ θρόνου. λογισάμενος γὰρ ὡς τυχὸν μὲν θρόνον ἐρεῖ τις οἰκεῖον εἶναι τῷ Ὕπνῳ οἷα καταθετικῷ καὶ ἠρεμιστικῷ καὶ ὡς ἄν τις τολμήσας εἴποι καθεστικῷ, τυχὸν δὲ τὴν Πασιθέην, προεβάλετο μὲν ἄμφω, ἀνεπαύσατο δὲ μᾶλλον εἰς τοῦτο διὰ τὰ εἰρημένα. καὶ οὕτω μὲν ταῦτα. (v. 238) Τὸ δὲ «δῶρα δέ τοι δώσω» ἐστὶ μὲν τρόπος ἐτυμολογικός—ἐκ τοῦ δίδωμι γὰρ τὸ δῶρον —, ἀπέτεκε δὲ παροιμίαν τὴν λέγουσαν «δῶρα καὶ θεοὺς πείθει».

3.631 καὶ ὁ Ὕπνος γὰρ δώροις ὑπαχθεὶς κατατολμᾷ, ὡς ἐρρέθη. οὐ δῶρον δὲ εἶπεν, ἀλλὰ δῶρα, πληθύνας διὰ τὸ τίμιον. ἡφαιστότευκτός τε γὰρ ὁ θρόνος καὶ χρύσεος. διὸ καὶ καλὸς ὡς εὐειδής, ἔτι δὲ καὶ ἄφθιτος, ὡς μὴ δεκτικὸς φθαρτικοῦ ἰοῦ. [Εἰ δὲ ἴσως δόξει δῶρα πληθυντικῶς εἰπεῖν οἷα συναριθμουμένου τῷ θρόνῳ καὶ τοῦ θρήνυος, ἀλλ' οὔπω πληθύνει οὐδὲ ὁ δυασμός. πλήθους γὰρ ὁ τρία κατάρχει.] (v. 240) Τὸ δὲ «ἀσκήσας» φίλη λέξις εἶναι τῷ ποιητῇ δέδεικται. (v. 241) Τὸν δὲ θρῆνυν ἐξηγούμενος τίς ἂν εἴη—ἀρσενικοῦ δὲ φανερῶς ἐνταῦθα γένους ὁ θρῆνυς— ἔφη «ᾧ ἐπισχοίης πόδας». δῆλον γάρ, ὅτι ὁ θρῆνυς ὑπόκειται τοῖς ποσίν, ἤγουν ὑφίεται κατὰ τὸν ποιητήν. Φησὶ γὰρ «ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει», τουτέστιν ὑφήσει, ὑποθήσει, ὑποβαλεῖ. ὅθεν καὶ τὸ «μόσχους βουσὶν ὑφέντες». [Ἀδιάφορον δὲ εἰς νόησιν

εἴτε κεκόλληται ὁ θρῆνυς τῷ θρόνῳ εἴτε καὶ ἰδίᾳ ὑφέστηκεν.] Ὅτι δὲ θρῆνυς ἀπὸ τοῦ θρῆσαι γίνεται, ὅ ἐστι καθίσαι, ἀλλαχοῦ δηλοῦται. τινὲς δὲ ἀπὸ τοῦ θορεῖν ἄνω αὐτοῦ, τοῖς ποσὶ δηλαδή. Τὸ δὲ «ἐπισχοίης» ἀντὶ τοῦ ἐπάνω αὐτοῦ ἔχοις. Φοῖνιξ δὲ κατ’ ἄλλην ἔννοιαν οἶνον ἐπισχεῖν που ἔφη νηπίῳ ὄντι τῷ Ἀχιλλεῖ. Ἐκ τοῦ σχοῖμι δὲ τὸ σχοίην Ἀττικῶς, ὁμοίως τῷ περιπατοῖμι περιπατοίην καὶ τοῖς ὁμοίοις. Τὸ μέντοι «δαιμονίη, τί μοι ἐπέχεις», ἐν Ὀδυσσείᾳ, ἄλλο τι δηλοῖ. [Καὶ ταῦτα μὲν καινότερα. κοινότερον δὲ ἐπισχεῖν λέγεται τὸ κρατῆσαι. ὅθεν μεταφορικῶς καὶ τὸ σιγῆσαι, οἷον· ἐπίσχες ὦ οὗτος, ἀντὶ τοῦ σίγησον, ᾧ σύστοιχον καὶ τὸ ἐπέχω καὶ διασκέπτομαι. ἀντίκειται δὲ τῷ, ὡς ἐρρέθη, Ὁμηρικῷ ἐπισχεῖν τὸ ὑποσχεῖν, οἷον· ὑπέσχε κεφαλὴν ἢ χεῖρα ἀντὶ τοῦ ὑπέθετο.

3.632 ] (v. 242) Κεῖται δὲ ἐνταῦθα καὶ Ὕπνος νήδυμος, αὐτὸς δὴ ὁ κατὰ μῦθον σωματικός, ὡς ἡδὺς δηλαδή, οὐ μὴν ὡς βαθύς. βαθὺς γὰρ ὕπνος ὁ τῶν ἤδη κοιμωμένων, οὐ μὴν ὁ σωματοειδής, ὃς λέγει λέξαι Διὸς νόον νήδυμος ἀμφιχυθείς. ὥστε διττός ὁ ὕπνος, ὁ μὲν ὡς κύριον ὄνομα καὶ ὡς ποιοῦν, ὁ δὲ ὡς ἐνέργημα ὑπ’ αὐτοῦ ποιούμενον. (v. 245) Τὸ δὲ «κατευνήσαιμι» λεχθείη ἂν καὶ κοιμήσαιμι κατὰ τὸ «κοίμησόν μοι Ζηνὸς ὄσσε», ἔτι δὲ καὶ λέξαιμι κατὰ τὸ «ἔλεξα Διὸς νόον». ἐπίχυσις γὰρ κἀνταῦθα λέξεων ταὐτοδυνάμων τούτων πεφιλοτίμηται. Τὸ δὲ «ποταμοῖο ῥέεθρα Ὠκεανοῦ» ποιητικῆς ἀδείας λόγος. ἡ γὰρ ἀλήθεια Ὠκεανὸν οἶδε τὴν ἔξω θάλασσαν. διὸ καὶ ὁ ποιητὴς λίμνην που ἔφη αὐτόν. οὐ γὰρ ἠγνόει τὸ ἀληθές, εἰ καὶ ἄλλως ποιητικῶς τὰ πλείω λαλεῖ. Ὅτι δὲ καὶ ἰδίως ἦν ἐκεῖ που ἐμβάλλων ποταμὸς εἰς τὸν κυκλοῦντα τὴν γῆν θαλάττιον Ὠκεανὸν ὁμώνυμος ἐκείνῳ, παρασημειοῦνται ἐν τῇ Ὀδυσσείᾳ τινές. ὅπως δὲ γένεσις πάντεσσιν ὁ Ὠκεανός, πρὸ ὀλίγων ἠλληγόρηται. μνηστέον δὲ μόνον, ὡς πρὸ βραχέων μὲν θεῶν εἶπε γένεσιν τὸν Ὠκεανόν, ἐνταῦθα δὲ ἐκεῖνο σαφέστερον ἔφρασεν. (v. 247) Ἐν δὲ τῷ «Κρονίονος ἆσσον» ὑπερτεθέντος τοῦ χρόνου καὶ τῆς μακρᾶς ἀναπεμφθείσης εἰς τὸ δίχρονον συστέλλεται, καθὰ καὶ ἀλλαχοῦ, ἡ παραλήγουσα τοῦ Κρονίονος. (v. 248) Τὸ δὲ «ὅτε μὴ αὐτός γε κελεύει» νηφάλιον αἰνίττεται δεῖν εἶναι τὸν ἄρχοντα, ὡς κελεύειν τῷ Ὕπνῳ ἐλθεῖν, οὐ μὴν τυραννεῖσθαι ὑπ’ αὐτοῦ. (v. 249) Ἐν δὲ τῷ «ἤδη γάρ με καὶ ἄλλο» οἱ ἀκριβέστεροι ἐπίρρημα νοοῦσι τὸ ἄλλο ἐξ ἀποκοπῆς Αἰολικῆς τοῦ ἄλλοτε. ἔστι δὲ καὶ ἀντωνυμίαν αὐτὸ νοηθῆναι, ἵνα λέγῃ, ὡς ἤδη γάρ με καὶ κατὰ ἄλλο ἔργον ἡ σὴ ἐντολὴ ἐπίνυσσεν, ἤγουν ἐπαίδευσεν, ἀφ’ οὗ καὶ πινυτὸς ὁ συνετός, καὶ πινυτὴ ἡ φρόνησις, καὶ πινύσσειν τὸ φρονεῖν, καὶ ἀπινύσσειν τὸ ἀφραίνειν, ποιητικὰ ταῦτα πάντα. (v. 250) Ὅρα δὲ καί, ὅτι ὁ μὲν Ὕπνος κατ’ ἐξοχὴν ἔφη τὸ «ἐκεῖνος ὑπέρθυμος Διὸς υἱός». τοιοῦτον γάρ τι συνήθως ἐμφαίνει τὸ ἐκεῖνος. Ἥρα δὲ ὠνόμασεν Ἡρακλῆν. ἐχρῆν γὰρ οὕτω ποιῆσαι τὸν Ὅμηρον διὰ σαφήνειαν. ἴσως δὲ καὶ ἄλλως ὁ Ὕπνος ἐξονομάζειν τὸν Ἡρακλέα οὐ βούλεται, ὡς βαρυνόμενος, ἐφ’ οἷς δι’ ἐκεῖνον ἔπαθε.

3.633 (v. 252) Τὸ δὲ «ἔλεξα», ἤτοι ἐκοίμησα, εὔνασα, «Διὸς νόον» ἢ περιφραστικῶς τὸν Δία δηλοῖ, ἢ καὶ μάλιστα τὴν κατὰ νοῦν ἀργίαν τῶν ὑπνούντων. οὕτω καὶ πρὸ βραχέων ἐρρέθη χεύειν ὕπνον ἐπὶ βλεφάροισι καὶ φρεσίν. (v. 253) Ὅρα δὲ καὶ τὸ «νήδυμος» ἐνταῦθα φανερῶς κείμενον μετὰ τοῦ νυ , ἅτε μὴ κειμένης ὄπισθε λέξεως ἐφελκυστικῆς τοῦ νυ , ὡς ἦν ἐν τῷ «ἔχε νήδυμος ὕπνος», καὶ «προσεφώνεε νήδυμος Ὕπνος». εἰπὼν γὰρ «αἰγιόχοιο» ἐπήγαγε τὸ «νήδυμος ἀμφιχυθείς», ὥστε οὐκ ἔστιν ἀμφιβαλεῖν ἐνταῦθα, εἴτε ἥδυμος γραπτέον εἴτε νήδυμος. Ἰστέον δὲ ὡς οὐ μόνον τοῦ κατὰ ζῷα ὕπνου ἐπίθετον τὸ νήδυμος, ἀλλὰ καὶ τοῦ μυθικοῦ καὶ σωματοειδοῦς, ὡς δηλοῖ τὸ «προσεφώνεε νήδυμος», ὡς εἴρηται, «Ὕπνος», καὶ τὸ «ἐγὼ νήδυμος ἀμφιχυθείς». (v. 254) Τὸ δὲ «ἀργαλέων ἀνέμων ἀήτας» ἐντελῶς ἐρρέθη, ὡς καὶ προεγράφη. (v. 255) Τὴν δὲ Κῶ νῆσον οἱ μὲν ἄλλοι γράφουσι καὶ μετὰ τοῦ ν Κῶν, Ὅμηρος δὲ Κόων πλεονασμῷ συνήθει τοῦ ο , ἣν καὶ εὐναιομένην καλεῖ διὰ τὸ τῆς νήσου εὔδαιμον. [Οὗ χάριν ἐπιπολάζει παροιμία οὐ παλαιὰ τὸ «ὃν οὐ θρέψει Κῶς, ἐκεῖνον οὐδὲ Αἴγυπτος».] Ἕτεροι δὲ Κόον ἔγραψαν ἐν συστολῇ παντελεῖ διὰ δύο μικρῶν ο , καὶ ἐξ αὐτοῦ συναιροῦσι τὴν Κῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁμοίως τῷ σόον σῶν. Φασὶ δὲ τοὺς Κᾶρας οὕτω καλεῖν τὰ πρόβατα. ὅθεν καὶ ἡ νῆσος Κῶς ὡς πολυθρέμμων δι᾽ εὐβοσίαν. Μέροπες δ᾽ αὐτὴν ᾤκουν τότε, ἔθνος οὕτω καλούμενον, ἀφ᾽ ὧν καὶ Μεροπηῒς Κῶς καλεῖται. οἱ καὶ ληστήν, φασί, τὸν Ἡρακλέα νομίσαντες ἐπηρέασαν, ὁπηνίκα ὑπ᾽ ἀνέμων ἐξώσθη ἐκεῖ χόλῳ Ἥρας, ἀέρος δηλαδή, ὁ δὲ πολέμῳ περιγέγονεν αὐτῶν. Τοῦ δὲ «ἀπένεικας» θέμα μὲν τὸ ἀπενείκω, ἐξ οὗ καὶ τὸ ἀπενεῖκαι ἀπαρέμφατον, καὶ τὸ «ἀνενείκατο φώνησέν τε». Σκευωρίαν δέ τινα τοιαύτην ἔχει τὸ ῥῆμα. ἔστι θέμα πρωτότυπον χῶ, τὸ χωρῶ, ἐξ οὗ τὸ ἔχω, ὡς θέλω ἐθέλω, καὶ Ἰωνικῶς ἔκω, καὶ πλεονασμῷ εἴκω, ὡς δέχω δέκω δείκω, καὶ μετὰ προθέσεως ἐνείκω, τὸ κομίζω, ἤδη δὲ καὶ ἔχω.

3.634 ὃ γάρ τις κομίζει, πολὺ πρότερον ἐκεῖνο καὶ ὁπωσοῦν ἔχει. ἐκ δὲ τούτου τὸ ἐνέγκω τροπῇ τοῦ ι εἰς ν , ὡς καὶ ἐπὶ τοῦ αἰεί αἰέν. τὸ δὲ ῥηθὲν ἔχω συντεθὲν καὶ γεγονὸς ἐνέχω γεννᾷ μέσον παρακείμενον ἤνοχα καὶ ἐνήνοχα. εἰ γάρ τις ἐρεῖ ἀπ᾽ αὐτοῦ τοῦ ἐνέγκω ταῦτα γενέσθαι, ζητητέον οὐ μόνον ποῦ ἀπῆλθε τὸ ν , ἀλλὰ καὶ ποῦ εὑρέθη τὸ χ , δέον ὂν ἤνοκα καὶ ἐνήνοκα λέγειν, ἵνα ᾖ πρὸ τοῦ α τὸ τοῦ ἐνεστῶτος σύμφωνον. εἶτα ῥητέον καὶ ὅτι τὸ ἐνέγκω οὐκ ἔστιν ἐνεστώς, ἀλλ᾽ αὐθυπότακτον ῥῆμα. τὰ δὲ αὐθυπότακτα χρόνου ἀορίστου εἰσὶν ἢ πρώτου ἢ δευτέρου, ὥσπερ καὶ τὸ ἐνέγκω δεύτερος ἀόριστός ἐστι, καθὰ καὶ τὸ ἤνεγκον καὶ τὸ ἐνεγκεῖν, καὶ ἡ ὀξύτονος μετοχὴ τὸ ἐνεγκών. ὅθεν καὶ τὸ ἔνεγκε διὰ τοῦ ε ψιλοῦ ὡς ἐπὶ πολὺ ἔχει τὴν λήγουσαν. εἰ δὲ καὶ διὰ διφθόγγου διὰ τὸ «ἤνεγκα κἀξέσωσα», διφορεῖται γάρ, ἀλλὰ τοῦτο οὐ δικαιοῖ τὸ ἐνέγκω εἰς πρωτοτύπου ἐνεστῶτος ἀξίωμα. οἱ γὰρ ἀόριστοι οὐκ ἐνεστῶτες. ἔτι δὲ καὶ ἡ σημασία τοῦ ἐνέγκω μέλλοντός ἐστιν. οἴδαμεν δὲ καὶ ὅτι σημειῶδές ἐστιν, ὡς δύο τούτων ὁμοιοδυνάμων ῥημάτων τὸ μὲν φέρω μέλλοντα οὐκ ἔχει, τοῦ δὲ ἐνέγκω οὐκ ἔστιν ἐνεστώς, εἰ μὴ ἐκ τοῦ ἔχω περιεργασθείη, ὡς εἴρηται, ἡ τούτου παραγωγή. Ἰστέον δὲ ὅτι ἐκ τοῦ ἐνείκω δοκεῖ γίνεσθαι καὶ ὁ παρὰ Αἰλίῳ Διονυσίῳ κείμενος προὔνεικος, ἤγουν ὁ κομίζων μισθοῦ τινα ἐξ ἀγροῦ.

3.635 (v. 256) Τὸ δὲ «νόσφι φίλων πάντων» μόνην τὴν νῆα τοῦ Ἡρακλέους ἐξωσθῆναι ἀνέμοις δηλοῖ. ἄλλως δέ, τὸ «ἀπένεικας νόσφι φίλων πάντων» ταὐτόν ἐστι τῷ ἀφώρισας, ἐξώρισας. [Κάλλους δέ ἐστι τὸ «νόσφι φίλων», ὁποίου καὶ τὸ «ἦλθε θέων», καὶ τὰ ὅμοια.] Τὸ δὲ «ἐπεγρόμενος» ἀντὶ τοῦ ὕστερον ἐγερθείς. Ἰστέον δὲ ὅτι τὸ «ὃ δ᾽ ἐπεγρόμενος χαλέπαινε ῥιπτάζων κατὰ δῶμα» ῥηθείη ἂν ἐπί τινος ἐν τῷ δοκεῖν ὀκνεῖν τὰ πρῶτα ὕστερον ἀναλαβόντος θυμόν. (v. 257) Τὸ δὲ «ῥιπτάζω» ἐκ τοῦ ῥίπτω γίνεται, ὃ πολλαχῶς πίπτει παρὰ τῷ ποιητῇ. ῥίπτειν τε γὰρ λέγεται ὡς τὸ «ἑλὼν ῥίψω εἰς Τάρταρον», καὶ παραγώγως δὲ ῥιπτάζειν, ὡς ἐνταῦθα, ὁμοίως τῷ μιμνάζειν, καὶ ῥιπτάσκειν, ὡς τὸ «ὃν δὲ λάβοιμι, ῥίπτασκον». (v. 259) Νὺξ δὲ δμήτειρα θεῶν καὶ ἀνδρῶν, ᾧ λόγῳ καὶ ὁ Ὕπνος πρὸ μικροῦ ἄναξ τῶν αὐτῶν ἐρρέθη. Τὸ δὲ δμήτειρα γράφουσί τινες μήτειρα, ὅ ἐστι μήτηρ, ἀρέσκονται δὲ οἱ πλείους τῇ προτέρᾳ γραφῇ. Σῴζειν δὲ λέγεται τὸν Ὕπνον ἡ Νύξ, ἐπειδὴ φυσικώτερος ὁ νυκτερινὸς ὕπνος τοῦ μεθ᾽ ἡμέραν καὶ ὡς τὰ πολλὰ ἐν νυκτὶ γίνεται. (v. 260) Διὸ καί φησιν ὁ Ὕπνος, ὡς εἰς αὐτὴν φεύγων ἱκόμην, ὅ ἐστιν ἱκέτευσα, ὅθεν καὶ ὁ ἱκέτης γίνεται. (v. 261) Ἐν δὲ τῷ «ἅζετο Ζεὺς μὴ νυκτὶ θοῇ ἀποθύμια ἔρδοι» διδάσκει ὁ ποιητής, ὡς κρατητέον ὀργῆς ποτε τὸν σπουδαῖον διὰ αἰδέσιμον πρόσωπον, ὁποῖον καὶ ἡ Νὺξ τῷ Διῒ σεπτὴ πλαττομένη ὡς ἀρχέγονός τις καὶ αὐτὴ καὶ τιμία διὰ τὸ ἀρχικόν. Νύκτα γὰρ καὶ Χάος προϋποκεῖσθαι τῶν ὅλων ἡ Ἑλληνικὴ θεογονία βούλεται. ὅθεν καὶ ὅσιον ἦν πείθεσθαι νυκτὶ ἐν ταῖς τοῦ πολέμου συναλλαγαῖς. Τὸ δὲ «ἅζετο» δασύνεται, ὃν λόγον ἐν ἄλλοις τὸ «ἁζόμενοι Διὸς υἱόν» καὶ τὰ κατ᾽ αὐτό. ψιλοῦται δέ ποτε ἄλλως ἡ λέξις οὐ μόνον ἐπὶ τοῦ ἄζειν, τὸ ξηραίνειν, ὃ καὶ αὐτὸ προεδηλώθη, ἀλλὰ καὶ ὅτε ἆσθμά τι δηλοῖ κατὰ τὸν εἰπόντα, ὅτι ἄζειν τὸ ἀθρόως προσπνεῖν τῷ στόματι θερμόν. ἐξ οὗ ἴσως καὶ τὸ αἰάζειν γίνεται, ὅπερ οὐκ ἀεὶ τὸ θρηνεῖν δηλοῖ, ὡς ἀλλαχοῦ γέγραπται.

3.636

Ἀποθύμιον δὲ τὸ ἀκαταθύμιον, ὅπερ ἐν ἄλλοις ἀπὸ θυμοῦ φησι. Τὸ δὲ «ἔρδω» μετάθεσιν ἔπαθεν ἐκ τοῦ ῥέδδω, Βοιωτίου, φασί, ῥήματος, ὅπερ ἐκ τοῦ ῥῶ ῥέζω γέγονεν. (v. 265 s.) Ἐν δὲ τῷ «εὐρύοπα Ζῆν' ὣς Ἡρακλέος περιχώσατο» καταλήγει μὲν ὁ προηγούμενος στίχος εἰς τὴν ζη συλλαβὴν κατὰ τοὺς παλαιούς, ὡς καὶ ἀλλαχοῦ κεῖται παρὰ τῷ ποιητῇ, ὁ δὲ συνεχὴς ἄρχεται ἀπὸ τοῦ νυ συναφθέντος εἰς τὸ ως . Καὶ δοκεῖ μὲν καινή τις ἡ τοιαύτη σύνταξις, ἤγουν ἀκολουθία τῆς γραφῆς, ἐστὶ δὲ ἄλλως οὐ ξενίζουσα, ὡς ἔστι νοῆσαι ἀπὸ τῶν ἐφεξῆς. Ἰστέον γὰρ ὅτι κατὰ τοὺς παλαιοὺς πᾶν μέτρον εἰς τελείαν περαιοῦται λέξιν. τὰ δὲ μὴ ἔχοντα οὕτω, ἀλλὰ μέρος μέν τι τῆς τελευταίας λέξεως τῷ πρώτῳ στίχῳ ἀφιέντα, τὸ δὲ λοιπὸν τῷ ἐπαγομένῳ στίχῳ μερίζοντα, ἐπιλήψιμά εἰσιν. ὅπερ φασὶ ποιῆσαι τὸν Σιμωνίδην ἐν ἐπιγράμματι ἔχοντι οὕτω «ἦ μέγ' Ἀθηναίοισι φόως γένεθ' ἡνίκ' Ἀριστογείτων Ἵππαρχον κτεῖνε καὶ Ἁρμόδιον». ἐνταῦθα γὰρ ὁ μὲν πρῶτος στίχος, δακτυλικὸς ὤν, ἤτοι ἡρωϊκός, καταλήγει εἰς τὸ Ἄριστο , ὁ δὲ δεύτερος, ἐλεγεῖος ὤν, ἀπὸ τοῦ γειτων ἄρχεται. παράγουσι δὲ καὶ ἄλλο ἡρωελεγεῖον ἔπος ὅμοιον «οὗτος δή σοι ὁ κλεινὸς ἀν' Ἑλλάδα πᾶσαν Ἀπολλόδωρος, γινώσκεις τοὔνομα τοῦτο κλύων». καὶ ἐνταῦθα γὰρ ὁ μὲν προηγούμενος στίχος εἰς τὴν λο συλλαβὴν καταλήγει, ὁ δὲ μετ' αὐτὸν ἀπὸ τοῦ δω ἄρχεται. Τοιοῦτόν τι καὶ τὸν ποιητήν φασιν ἐνταῦθα παθεῖν ἐν τῷ «ᾗ φῄς ὣς Τρώεσσιν ἀρηγέμεν εὐρύοπα Ζῆν' ὡς Ἡρακλέος περιχώσατο». τῆς γὰρ αἰτιατικῆς τοῦ «εὐρύοπα Ζῆνα» ἐκθλιψάσης τὸ α , τὸ νῦ πάντως τῷ φωνήεντι τῆς ἀρχῆς τοῦ δευτέρου στίχου προσνέμεται, ὥστε αὐτὸν μὲν ἀπὸ τοῦ νῦ κατάρχεσθαι, τὸν δὲ πρῶτον στίχον καταλήγειν εἰς μόνην τὴν ζη συλλαβήν, καὶ διὰ τοῦτο μὴ περαιοῦσθαι εἰς τελείαν λέξιν τὸ τοῦ πρώτου στίχου μέτρον. Ὅτι δ' ἐν ταῖς ἐκθλίψεσι τὸ ἐναπομεῖναν σύμφωνον τῷ ἐπαγομένῳ φωνήεντι ἕπεται, δῆλον τοῖς ἀκολουθοῦσι κανόνι γραμματικῷ. Καθόλου γὰρ μεταξὺ δύο φωνηέντων ἐν μιᾷ λέξει ἢ καὶ ἐν συναλιφῇ σύμφωνον εὑρεθὲν τῷ δευτέρῳ προσνέμεται. Εἰ μέντοι τις τὸν πρῶτον στίχον οὐκ εἰς τὸ η μόνον ἀλλ' εἰς τὸ νῦ ἀπαρτίζει «Ζῆν» λέγων, εἶτα γράφων «ὡς Ἡρακλῆος» καὶ ἑξῆς, θεραπεύει μὲν τὴν καινότροπον τοῦ πρώτου στίχου κατάληξιν καὶ τὴν ὁμοίαν τοῦ δευτέρου ἀρχήν, καινοτομεῖ δὲ ὅμως τὴν ἔκθλιψιν, μὴ ἀφεὶς τὸ νῦ τῷ ἐπαγομένῳ στίχῳ ἐπακολουθεῖν.

3.637 Τὸ δέ γε ἀποκοπὴν παρεισάγειν ἐνταῦθα παράδοξον μέν ἐστιν, οὐκ ἀσύνηθες δέ. ἀποκοπέντα γὰρ τὸν Ζῆνα Ζῆν εἴποι τις ἄν, ὡς καὶ τὸν ἰχῶρα ἐν τοῖς πρὸ τούτων ἰχῶρ τινες ἔγραφον, οἷον «ἀπ' ἰχῶρ χειρὸς ὀμόργνυ», ἤδη δέ τις καὶ τὸν ἧλον ἀποκόψας ἧλ εἶπεν, ὡς δηλοῖ ὁ Γεωγράφος, οἷον «δαιμόνιος ἧλ». εἰσὶ δὲ καὶ ἄλλα τοιαῦτα. Ὅλως οὖν ὁ ῥηθεὶς Ὁμηρικὸς στίχος τὸ «ᾗ φῄς» καὶ ἑξῆς, οὐκ ἀγαθὴν ἔχει κατάληξιν, ὅπως ἄν τις αὐτὸν καὶ μεταχειρίσηται. (v. 267) Ὁπλότεραι δέ, ὡς καὶ προερρέθη, Χάριτες διὰ τὸ χρῆναι ἀεὶ νεάζειν αὐτάς, ὡς μὴ ἐπιλανθάνεσθαί τινα χαρίτων, ἀλλὰ τῇ μνήμῃ καὶ τοῖς ἔργοις εἴτ' οὖν ταῖς κατὰ ἀντίδοσιν ἀμοιβαῖς ἀνανεοῦσθαι αὐτὰς καὶ ποιεῖν ἀνακάμπτειν. διὸ καὶ οἱ ζωγράφοι πρὸς ἀλλήλας ἐπεστραμμένας αὐτὰς ἔγραφον. Μυθικῶς μέντοι ὁπλότεραι αἱ Χάριτες πρὸς διαστολὴν τῶν τοῦ μύθου Γραιῶν, αἳ πολιαὶ προήχθησαν ἐκ γενετῆς. ὧν διαφέροιεν ἂν αἱ Χάριτες διὰ τὸ ἀεὶ κάλλει νεοτησίῳ λάμπεσθαι. (v. 268) Τὸ δὲ «ὀπυιέμεν καὶ σὴν κεκλῆσθαι ἄκοιτιν» τῆς αὐτῆς ἐννοίας εἰσὶν ἐκ παραλλήλου θέσεως. καὶ τοιάδε μὲν ταῦτα. (v. 269) Περὶ δὲ Πασιθέης καὶ τοῦτο ἔστιν εἰπεῖν, ὡς οὕτω καλεῖται μία τῶν Χαρίτων, οἷα τῶν χαριζομένων ἐφιεμένων τὰ πολλὰ μὴ λανθάνειν, εἰ χαρίζοιντο, ἀλλὰ περιβλέπεσθαι. ἧς καὶ ἐρᾷ ὁ Ὕπνος, ὡς δηλαδὴ μὴ ῥᾳδίως κατισχύων αὐτῆς. ἡ γὰρ τοιαύτη οὐ κρύπτεται, οὐδὲ λήθης ὕπνος αὐτῆς περιγίνεται. Εἰ δὲ τρεῖς αἱ Χάριτες, εἰ δὲ γυμναί, καὶ διὰ τί ταῦτα, καὶ τίνα ταύταις ὀνόματα, οἱ τῆς Θεογονίας δηλοῦσιν Ἐξετασταί. (v. 244—7) Ἰστέον δὲ ὅτι ἐκ τοῦ ῥηθέντος κατὰ τὴν Ἥραν καὶ τὸν Ὕπνον χωρίου ἐπὶ μὲν ἐρεθισμοῦ τοῦ κατὰ μείζονος καὶ ἐνδόξου ἀνδρὸς παρῳδήσῃ ἄν τις τό· ἄλλον μέν κεν ἔγωγε ἀνδρῶν εὐηγενέων ῥεῖα κατευνήσαιμι, ἢ ἄλλο τι ῥῆμα προσῆκον, τοῦ δεῖνος δὲ οὐκ ἂν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔγωγε ἆσσον ἱκοίμην, ὅτε μὴ αὐτός γε κελεύοι. (v. 260 s.) Ὁ δὲ μιμνησκόμενος φυγεῖν ὀργήν τινος ἐν μεσιτείᾳ φιλουμένης γυναικὸς εἴποι ἂν τὸ «ταύτην ἱκόμην φεύγων· ὃ δ᾽ ἐπαύσατο χωόμενός περ· ἅζετο γὰρ μὴ νυκτὶ θοῇ ἀποθύμια ῥέξῃ», ὡς οἷα δηλαδὴ τῶν ἐν νυκτὶ φιλτάτων ἀσπασμάτων λαθόμενος. (v. 262) Εἰς δὲ δεύτερον ἔργον ἐπιβλαβές τις καλούμενος ἐρεῖ τὸ «νῦν αὖ τοῦτό μ᾽ ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι».

3.638 Ὅρα δ᾽ ἐν τοῖς εἰρημένοις καί, ὅτι οὐ τεχνικῶς ἀναμνήσασα τὸν Ὕπνον ἡ Ἥρα παλαιᾶς ἐξ αὐτοῦ χάριτος μικροῦ ἂν ἐβλάβη, πρὸς ὃ ἤθελεν. ἀναμνησθεὶς γὰρ ὁ Ὕπνος οἷα ἔπαθε τότε, ἀνηκουστεῖ. διὸ ἀναγκαίως ἐδέησε τῇ Ἥρᾳ δώρῳ ἀγαπητῷ πεῖσαι αὐτόν. (v. 270) Ὅτι «ἐχήρατο» μὲν λέγει ὁ ποιητὴς παθητικῶς ἐν τῷ «ὣς φάτο», ἡ Ἥρα δηλαδή, «χήρατο δ᾽ Ὕπνος». ἔφη δέ που καὶ τὸ ἐχάρη, οὗ μετοχὴ ὁ χαρείς τοῦ χαρέντος, χαίρομαι δὲ οὐ λέγει, ἀλλὰ χαίρω, οἷον «χαίρω δὲ καὶ αὐτὸς θυμῷ». ἐντεῦθεν τοῖς Ἀττικοῖς βαρβαρισμὸς ἦν τὸ εἰπεῖν χαίρομαι. Ὅτι βιωτικῶς ἀπαιτηθεῖσα ὄμνυσιν ἡ μυθικὴ Ἥρα τῷ Ὕπνῳ—ἔδει γὰρ ἐκείνῳ πίστεώς τινος ἀσφαλοῦς—, ἐθέλοντι μὲν ὑπακοῦσαι διὰ τὸν τῆς Πασιθέης ἔρωτα, «ἧς αὐτὸς ἐέλδεται ἤματα πάντα», ὀκνοῦντι δὲ διὰ τὸν τοῦ Διὸς φόβον. (v. 271—6) Ὁ δὲ ἀπῃτημένος ὅρκος τοιοῦτος «ἄγρει νῦν μοι», φησίν, ἤγουν ἄγε, ὡς καὶ ἀλλαχοῦ κεῖται, «ὄμοσσον ἀάατον Στυγὸς ὕδωρ, χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν, τῇ δ᾽ ἑτέρῃ ἅλα μαρμαρέην, ἵνα νῶϊν ἅπαντες μάρτυροι ὦσιν ἔνερθε θεοί», ἢ ὅσσοι ἔνερθε θεοί, «Κρόνον ἀμφὶς ἐόντες, ἦ μέν», ἤγουν ὄντως δή, «ἐμοὶ δώσειν Χαρίτων μίαν» καὶ ἑξῆς, ὡς προείρηται. καὶ οὕτω μὲν ὁ Ὕπνος ὀμόσαι τὴν Ἥραν ἀπαιτεῖ. (v. 277—9) Αὐτὴ δὲ ὤμνυε, φησίν, «ὡς ἐκέλευε, θεοὺς δ᾽ ὀνόμηνεν ἅπαντας τοὺς ὑποταρταρίους, οἳ Τιτῆνες καλέονται». Καὶ ὅρα ὅτι τὸ «καλέονται» συστέλλει καὶ νῦν τὴν ἄρχουσαν, καὶ ὅτι ἃ μὲν ὁ Ὕπνος ἐπλάτυνε, σιγᾷ ἐπὶ τῆς Ἥρας ὁ ποιητής, τὸν ὅρκον τῆς Στυγὸς καὶ τὸ ἅψασθαι χθονὸς καὶ ἁλός, εἰπὼν ἐν κόμματι γοργῶς τὸ «ὤμνυε δ᾽ ὡς ἐκέλευεν». Ὃ δὲ ἐκεῖνος εἶπεν ἐν ὀλιγίστῳ καὶ ἀορίστως τὸ «οἱ ἀμφὶ Κρόνον θεοί», πλατύτερον ἐπὶ τῆς Ἥρας ἔφη καὶ ὡρισμένως ἐν τῷ «τοὺς ὑποταρταρίους, οἳ Τιτᾶνες καλοῦνται». Ὄμνυσι δὲ ἡ Ἥρα συνήθως τῷ μύθῳ κατὰ τοῦ ὕδατος τῆς Στυγός, ἢ ὅτι πολέμιον θεοῖς καὶ φρικτὸν τὸ ὑγρὸν πυρώδεσιν οὖσιν, ἢ ὅτι τίμιον τὸ τοῦ ὕδατος στοιχεῖον ὡς ἀρχὴ τῶν ὅλων κατά τινας, καθὰ καὶ προερρέθη, ἢ ὅτι στυγοῦσι τὰ ἐν Ἅιδου ὡς ἀεὶ ζῶντες αὐτοί. πηγὴ γὰρ κατὰ τὸν μῦθον περὶ τὸν Ἅιδην ἡ Στύξ. διὰ δὲ τὸ τῶν ἀρχῶν τίμιον καὶ γῆς καὶ θαλάττης ἑκατέρᾳ δράττεται χειρί, ἐπεὶ πάντα ἐκ ξηροῦ καὶ ὑγροῦ ὡς ἐξ ὕλης σύγκειται. Ἡρόδοτος δέ γε τὴν ἀληθῶς Στύγα πρὸς Φενεῷ τῆς Ἀρκαδίας ῥέειν φησίν. εἴρηται δὲ περὶ ταύτης καὶ ἀλλαχοῦ, καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δέ.

3.639 [(v. 271) Τὸ δὲ «ἄγρει» παρακέλευσιν δηλοῦν κατὰ τὸ δεῦρο καὶ ἄγε καὶ φέρε, λεγόμενον δὲ καὶ πληθυντικῶς ἀγρεῖτε κατὰ τὸ ἄγετε, φέρετε, παρῆκται ἀπὸ τῶν ἀγρευτῶν. αὐτοί τε γὰρ σπεύδοντες ἀνύουσιν ὃ προτίθενται, καὶ τὸ ἄγρει ταὐτόν ἐστι τῷ σπεῦδε, ὡς ἀπὸ τοῦ ἀγρέω, ἐξ οὗ τὸ ἀγρεύω.] Τὸ δὲ ἀάατον ὕδωρ διὰ τριῶν α προφέρεται, ὧν τὰ δύο στερητικά. διὸ καὶ ὑπερστερητικόν φασι τοῦτο οἱ παλαιοὶ ὡς διπλάζον τὴν στέρησιν. ἔστι δὲ τὸ μὲν δεύτερον α στερητικὸν ἄτης, τὸ δὲ πρῶτον ἀναιρετικὸν τῆς τοιαύτης στερήσεως. ὅθεν ἀάατον τὸ μὴ στεροῦν ἄτης τοὺς ἐπιόρκους, ἀλλὰ μάλιστα αἴτιον ἄτης. τοιοῦτον καὶ τὸ ἀνάπηρος καὶ ἐν Ὀδυσσείᾳ τὸ ἀνάπυστα, ἐν οἷς δηλοῦται ὁ πεπηρωμένος καὶ τὸ πυστόν, ἤτοι ἀκουστόν, πλεονασμῷ τοῦ νῦ διὰ καλλιφωνίαν. ἄπηρος μὲν γὰρ ὁ μὴ ἔχων πήρωσιν, ἀνάπηρος δὲ ὁ ἐστερημένος τῆς τοιαύτης στερήσεως. οὕτω δὲ καὶ ἄπυστος μὲν ὁ στερηθεὶς τοῦ ἀκουσθῆναι, ἀνάπυστος δὲ ὁ ἀκουσθεὶς διὰ τὸ ἐστερῆσθαι τῆς τοῦ ἀπύστου στερήσεως. [Τοιοῦτον δέ που εἶναι προεδηλώθη καὶ τὸ ἀνάγνωστος ὁ ἐγνωσμένος. γνωστὸς γὰρ καὶ ἐν στερήσει ἄγνωστος, καὶ ἐν δευτέρᾳ στερήσει ἀναιρετικῇ τῆς τοῦ ἄγνωστος καὶ πλεονασμῷ τοῦ νυ ἀνάγνωστος, ὁ μὴ ἄγνωστος ἀλλὰ δηλονότι γνωστός.] Τινὲς δὲ διὰ τὸ ἀάτην τὴν βλάβην λέγεσθαι ἄατον μέν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φασι τὸ ἀτηρόν, ἀάατον δὲ τὸ πολυβλαβές. Ἰστέον δὲ καὶ ὅτι τὸ ἀάατος δι’ εὐρυφωνίαν οὐκ ἔσχε τὸ νυ κατὰ τὸ ἀνάπηρος καὶ ἀνάπυστος. προκρίνει γὰρ ἐν πολλοῖς ἡ ποίησις τῆς λείας φωνῆς τὸ χασμῶδες διὰ τὸ σεμνὸν καὶ ὀγκηρόν, οὗ μάλιστα ποιητικὸν τὸ α καὶ τὸ μέγα ω , καθά φασιν οἱ Τεχνικοί. ὅτι δὲ τὸ ἀνάπηρος καὶ ἀνάπυστος καὶ τὰ ὅμοια καὶ ἄλλως διαφόρως ἐτυμολογοῦνται, ζητητέον ἑτέρωθι. (v. 273) Μαρμαρέη δὲ θάλασσα κατὰ τοὺς παλαιοὺς ἢ ἡ διαφανής, τοιοῦτον γὰρ τὸ ὕδωρ, ἢ ἡ θρεπτικὴ τοῦ μαρμαίροντος, ἤγουν λαμπροῦ, ἡλίου. ἄναμμα γὰρ ἡλίῳ θάλασσα, φασὶν οἱ παλαιοί, προστιθέντες καὶ τὸ νοερόν, ἐν τῷ εἰπεῖν ἄναμμα νοερὸν τὸ ἐκ θαλάσσης ἀναπεμπόμενον. Κτητικὴ δὲ λέξις τὸ μαρμαρέη ἀπὸ τοῦ μάρμαρος λίθος. ὅθεν μαρμάρειος κτητικόν, ἐξ οὗ μαρμάρεος ἀποβολῇ τοῦ ἰῶτα, οὗ θηλυκὸν μαρμαρέη. Περὶ δὲ Χαρίτων καὶ πῶς ὁπλότεραι, καὶ περὶ Πασιθέης καὶ ὡς αὐτῆς ἀεὶ ὁ Ὕπνος ἐπεθύμει, προσεχῶς εἴρηται. εἰ δὲ καὶ τὸν περὶ Πασιθέης ὅρκον τῷ Ὕπνῳ ἡ Ἥρα ἐτέλεσεν, ἀφῆκεν εἰπεῖν που ὁ Ὅμηρος ὡς μὴ ἀναγκαῖον ὄν.

3.640 (v. 279) Ἐν δὲ τῷ «οἳ Τιτῆνες καλέονται» προσγράφουσί τινες καὶ ἕτερον στίχον τοῦτον «ὤμνυε δ’ ἐκ πέτρης καταλειβόμενον Στυγὸς ὕδωρ», ὡς δέον ὂν ἐπομώσασθαι καὶ Στύγα, καθὰ ὁ Ὕπνος ἀπήτησε. Τιτᾶνας δὲ ἡ ἀλληγορία νοεῖ τὰ ἐν ἀέρι συμπτώματα πανταχοῦ γῆς τιταινόμενα. διὸ καὶ τῷ Κρόνῳ φιλίως οἱ τοιοῦτοι Τιτᾶνες ἔχειν λέγονται, ψυχρῷ καὶ αὐτῷ ὄντι κατὰ τοὺς ἀποτελεσματικούς. τὰ τοιαῦτα δὲ πάθη πρὶν μὲν εὐτάκτως ἔχειν τὸν κόσμον, ὁπηνίκα ὁμοῦ ἦν ἅπαντα χρήματα, ἀτάκτως ἐπεπόλαζον, ὡς εἰκός, ἄνω καὶ συχνὰς ἐποίουν φθοράς, καὶ τῷ Κρόνῳ ἀμφ’ αὐτὸν ὄντες συνεβάλλοντο φθείρειν τὰ ἐξ αὐτοῦ, ὃν ὁ μῦθός φησι τεκνοφαγεῖν. ἐπεὶ δὲ κόσμος ὁ κόσμος ἐγένετο καὶ διεκρίθη τὰ πάντα καὶ ἐτάχθησαν ὧραι καὶ εὐκόσμως εἶχε τὰ ὑπὲρ γῆν, τότε δὴ καὶ οἱ ῥηθέντες Τιτᾶνες ἐξηλάθησαν ὑπὸ Διός, ἤγουν ὑπὸ ἡλίου τε καὶ αἰθέρος, καὶ οὐκέτι διηνεκῶς ἄνω τιταίνονται, στενοχωροῦνται δέ που κάτω, καὶ ὑπόγειον ἔχουσι χώραν, ὅπου καὶ ὁ Τάρταρος, ἀὴρ ἐκεῖνος ἀφώτιστος ἡλίῳ καὶ διὰ τοῦτο ψυχρότατος. διὸ καὶ ὑποταρτάριοι [ἐπὶ κολάσει] γενέσθαι σὺν αὐτῷ Κρόνῳ λέγονται, ὡς ἐκεῖ μὲν ἐν τῷ Ταρτάρῳ οὔσης ἀδιαδόχου ψυχρότητος, ἀφ’ ἧς καὶ τὸ ταρταρίζειν ἄλλως ἡ ἰδιωτικὴ παραφθείρει γλῶσσα ἐπὶ τῶν ἄγαν ῥιγούντων, ἐνταῦθα δὲ εὐκόσμως ἐν ὥρᾳ τεταγμένῃ γινομένης καὶ αὐτῆς καὶ μάλιστα ἐν χειμερίῳ καιρῷ. καὶ οὕτω μὲν Κρόνος καὶ Τιτᾶνες ὑπερβολαὶ ψυχρότητος ἄκρατοι καὶ ἄτακτοι τῶν ἄνω γεγόνασιν ὑπερόριοι. Εἰ δέ τις εἴπῃ, ὡς ἐχρῆν τὸν μῦθον καὶ τῆς ἀντιθέτου μνησθῆναι ἄκρας θερμότητος καὶ κολάσαι καὶ αὐτὴν καθὰ καὶ τὸν ψυχρὸν Κρόνον, ἴστω ὅτι ποιεῖ καὶ τοῦτο ὁ μῦθος ἐν ἄλλοις, ὅτε τὰ κατὰ τὸν πυρόεντα Τυφῶνα λαλεῖ, περὶ οὗ καὶ ἡ Βοιωτία περιέχει τινά. Ἰστέον δὲ καὶ ὡς, εἰ καὶ ὁ Κρόνος, τὴν ἀνωτάτω ζώνην κατέχων ἢ σφαῖραν μετὰ τὴν ἀπλανῆ, δοκεῖ ὑψηλότατος εἶναι, ὅτε ὑπὲρ γῆς κινεῖται, ἀλλ’ ὁ μῦθος τὰ ἑαυτοῦ λαλεῖν ἐθέλων οὐ τὴν ἄνω περιπόλησιν τοῦ Κρόνου περιεργάζεται, ἀλλὰ τὴν ὑπὸ γῆν ὅτε τῷ ἡμισφαιρίῳ συμπεριενεχθεὶς βάθιστός ἐστι καί, ὡς ὁ μῦθός φησιν, ὑποταρτάριος. [Ὅτι δὲ Ἰωνικὸν μέν ἐστιν ὁ Τιτήν τοῦ Τιτῆνος, Δωρικὸν δὲ ὁ Τιτάν, ὡς καὶ ὁ σπλάν, ἤγουν ὁ σπλήν, εἰ καὶ ἄλλως κεκοίνωται ὁ Τιτάν, καὶ ὅτι ὁ κίναιδος καὶ πειώλης Τιτὰν σκωπτικῶς λέγονται, οὗ δριμύτερον τὸ Κένταυρος, παρὰ τοῖς παλαιοῖς, ἀλλαχοῦ δεδήλωται.

3.641 ] (v. 281) Ὅτι ὁ ποιητὴς Ὕπνον καὶ Ἥραν εἰπὼν τὸ ἐπ’ αὐτοῖς δυϊκὸν ἀρσενικῶς προάγει, λέγων «τὼ βήτην Λήμνου τε καὶ Ἴμβρου ἄστυ λιπόντε», καὶ «ῥίμφα πρήσσοντε κέλευθον». ἐκνικᾷ γὰρ ἡ τοῦ ἀρσενικοῦ ἀξία εἰς σύνταξιν, ὁποῖον καὶ τὸ «Μοῦσαι καλαὶ καὶ Ἀπόλλων, οἷς ἐγὼ σπένδω». εἰ μὴ ἄρα τις καὶ τοῦτο καὶ τὰ ῥηθέντα δὲ δυϊκὰ οὐδετέρου γένους ἐρεῖ. καὶ γὰρ γίνεταί ποτε καὶ τοιαύτη σύνταξις, ὁποῖον καὶ τὸ «σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας». Ἀπέχειν δέ φασι τὴν Λῆμνον καὶ τὴν Ἴμβρον ἀλλήλων σταδίους ἑκατὸν εἴκοσι. Περὶ δὲ Ἴμβρου ὅτι νῆσος Θρᾳκική, ἔχουσα καὶ πόλιν ὁμώνυμον ὁμοίως τῇ Λήμνῳ, καὶ ὅτι Καβείρων ἱερὰ ἦν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ Ἑρμοῦ, ὃν Ἴμβρασον οἱ Κᾶρες ἐκάλουν, ἱστοροῦσιν οἱ παλαιοί. (v. 283 s.) Ὅτι Λεκτὸν μέλλων εἰπεῖν προσλαμβάνει καὶ τὴν Ἴδην συνήθως. ἔστι δὲ ὅλον μὲν ἡ Ἴδη, ὡς καὶ προδεδήλωται, μέρος δ’ αὐτῆς τὸ Λεκτόν. ἀκρωτήριον δὲ τοῦτο, καθὰ καὶ τὸ Γάργαρον. φησὶ γὰρ «Ἴδην δ’ ἱκέσθην πολυπίδακα, μητέρα θηρῶν, Λεκτόν, ὅθι πρῶτον λιπέτην ἅλα». φασὶ γὰρ τοῖς ἐκ Λήμνου καὶ Ἴμβρου ἐπὶ τὰ ἐκεῖσε ἰοῦσι τὴν ἀποβάθραν εἶναι ἀναγκαίως περὶ τὸ Λεκτόν. Ὁ δὲ τὰ Ἐθνικὰ γράψας καὶ πόλιν ἐν τοῖς ἐκεῖσε οἶδε καλουμένην Λεκτόν. (v. 285) Λέγει δὲ τερατευόμενος ὁ μῦθος καὶ ὧδε τὰ συνήθη, καὶ ὅτι περὶ τὰ ἐκεῖ τῆς Ἥρας κινουμένης «ἀκροτάτη ποδῶν ὑπεσείετο ὕλη», ὃ δὴ ἐπὶ θείων προσώπων εἴωθε ποιεῖν, ὧν κινουμένων συγκινεῖται τὰ ὑποκείμενα. Τὸ δὲ «πολυπίδακα» καὶ τὸ «μητέρα θηρῶν», περὶ ὧν προείρηται, ὄρους ἐστὶν ἔπαινος. (v. 284) Τὸ δὲ «λιπέτην ἅλα» διασαφῶν ἐπάγει «τὼ δ’ ἐπὶ χέρσου βήτην». [(v. 285) Ὅτι σεμνολογῶν ὁ ποιητὴς καὶ τὴν τοῦ Ὕπνου καὶ τῆς Ἥρας ἐπὶ χέρσου τοῦ κατὰ τὸ Λεκτὸν πρόσβασιν λέγει, ὅτι «ἀκροτάτη δὲ ποδῶν ὑπεσείετο ὕλη», ἡ κατὰ τὸ ὄρος δηλαδὴ τὸ Λεκτόν, ὡς οἷον αἰσθανομένη θείων κινημάτων καὶ τρέμουσα καὶ αὐτή. Τὸ δὲ «ἀκροτάτη» τὸ κοῦφον δηλοῖ καὶ ταχυπετὲς τῆς θείας κινήσεως, ἵνα μὴ σείηται ὑπὸ τῶν ποδῶν ἡ ὕλη διὰ σωματικὸν βάρος, ἀλλὰ διά τι δέος καὶ τρόμον.] (v. 286—91) Ὅτι ὁ Ὕπνος περί που τὸ ῥηθὲν Λεκτὸν ἔμεινε «πάρος Διὸς ὄσσε ἰδέσθαι, εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ’ ἐν Ἴδῃ μακροτάτη πεφυυῖα δι’ ἠέρος αἰθέρ’ ἵκανεν. ἔνθ’ ἧστ’ ὄζοισιν πεπυκασμένος εἰλατίνοισιν, ὄρνιθι λιγυρῇ ἐναλίγκιος, ἥν τ’ ἐν ὄρεσσι χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δέ τε κυμινδίν».
3.642 (v. 291 s.) Καὶ ὁ μὲν Ὕπνος οὕτως αὐτοῦ ἔμεινεν, «Ἥρη δὲ κραιπνῶς προσεβήσατο Γάργαρον, ἄκρον Ἴδης ὑψηλῆς», ὅ ἐστιν ἀκρωτήριον. (v. 286) Καὶ ὅρα τὸ «πάρος Διὸς ὄσσε ἰδέσθαι» ἀστείως λεχθὲν ἀντὶ τοῦ πρὶν τὸν Δία κοιμῆσαι. ἰδέσθαι γὰρ ὀφθαλμοὺς Ὕπνον οὐδὲν ἄλλο ἐστὶν ἢ κοιμηθῆναι. Ἀμφίβολον δὲ εἴτε βλέπων μὲν ὁ Ὕπνος νοηθήσεται, βλεπόμενοι δὲ οἱ ὀφθαλμοὶ τοῦ Διός, εἴτε ἀνάπαλιν διὰ τὸ πιθανῶς ἐμποδίζεσθαι τὴν τοῦ μυθικοῦ Ὕπνου ὄψιν οἷα ὄζοις πεπυκασμένον εἰλατίνοις. καὶ οὕτω μὲν ἀσαφῶς πέφρασται, ῥέπει δὲ ὅμως τὸ τῆς ῥηθείσης ἀμφιβολίας ὀρθὸν εἰς τὸ μήπω τὸν Ὕπνον ὄψιν ἐπαφεῖναι τῷ Διΐ. τοῦτο μὲν γὰρ μικρὸν ὅσον γενήσεται. ὁ Ζεὺς δὲ οὐκ ἂν ἴδοι αὐτόν. εἰ γὰρ εἶδε, συνέχεεν ἂν τὸ πᾶν. (v. 287) Ἐλάτη δὲ νῦν μὲν δένδρον, σημαίνει δέ ποτε ἡ λέξις καὶ κώπην, καὶ κύριον δὲ ὄνομα γυναικὸς ἡρωΐδος, ἀδελφῆς Ὤτου καὶ Ἐφιάλτου. Ὅρα δὲ ὡς τὴν μὲν ἐλάτην διὰ μόνου τοῦ ἐν τῇ καταρχῇ ε προέφερεν, ὃ καὶ ἐπὶ τῆς μελίας ἀλλαχοῦ γίνεται, τὸν δὲ αὐτῆς ὄζον εἰλάτινον ἔφη διὰ διφθόγγου διὰ τὸ μὴ δύνασθαι ἄλλως αὐτό, ὥσπερ οὐδὲ τὸ ἐκ μελίας μείλινον, οὐδὲ τὸ ἐξ ἐλάτης εἰλάτινον ἔγχος, εὐχρηστηθῆναι εἰς μέτρον. Τὸ δὲ «περιμήκετον» ἐφερμηνεύει διὰ τοῦ «μακροτάτη», ὥσπερ καὶ τὸ «ἔμεινε» διὰ τοῦ «ἧστο». Τὸ δὲ «ἣ τότ’ ἐν Ἴδῃ» οὐ μάτην, φασί, πρόσκειται, ἀλλ’ ὅτι νῦν ἐκεῖ ἐλάται οὐ φύονται. καὶ σημείωσαι ἐκ τούτου, ὅτι μετὰ τὰ Τρωϊκὰ ἦν ὁ ποιητής. καὶ ἄλλως δὲ λέγοι ἂν τοῦτο, ὡς οὐκ ἂν τοῖς μεθ’ Ὅμηρον τοῦ τοιούτου εὑρεθησομένου δένδρου μετὰ συχνὰ ἔτη. (v. 288) Τὸ δὲ «δι’ ἠέρος αἰθέρ’ ἵκανε» δίδωσι νοεῖν, ὡς ἐγχωρεῖ καὶ τὴν ῥηθεῖσαν ἐλάτην βλωθρὴν κληθῆναι, εἴγε βλωθρή που ἐλέχθη πίτυς πάρα τὸ εἰς αἰθέρα μολεῖν. δηλοῖ δὲ ἡ ῥηθεῖσα φράσις καὶ ὑπερκεῖσθαι τοῦ λιμνάζοντος ἀέρος εὐθὺς αἰθέρα. (v. 290) Τὸ δὲ «λιγυρῇ» ἀντὶ τοῦ λιγυφθόγγῳ. ἐκ τούτου δὲ σαφῶς ἑρμηνεύεται καὶ τὸ «μάστιγι λιγυρῇ» καὶ «λιγὺς ἀγορητής» καὶ ὅσα τοιαῦτα. (v. 291) Ἐν δὲ τῷ «ἣν χαλκίδα καλοῦσι θεοί, ἄνδρες δὲ κύμινδιν» ὑπεμφαίνει ὁ ποιητής, καθὰ καὶ ἐν ἄλλοις πρὸ τούτων, καὶ τὴν θείαν εἰδέναι διάλεκτον, ὡς μουσοτραφής. διὰ τοῦτο γὰρ τῶν διωνύμων τινὰ μεταχειριζόμενος τὸ μὲν τῶν ὀνομάτων θεοῖς, τὸ δὲ ἀνθρώποις ἀνατίθησιν, ὡς καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ φαίνεται. Ἰστέον δὲ ὡς καὶ ἐνταῦθα τὸ χαλκίς μὲν ὡς εὐφωνότερον θεῖον ὄνομα λέγει, ἀνθρώποις δὲ ὡς μὴ τοιοῦτον ἀποκληροῖ τὸ κύμινδις, ἴσως δὲ καὶ ὡς οἰκειότερον αὐτοῖς, ὧν ὁ Ὕπνος κρατεῖ.

3.643 ἔοικε γὰρ ὁ κύμινδις κρύμινδίς τις εἶναι, οἱονεὶ κρύψις τοῦ ἰδεῖν, ὅπερ Ὕπνῳ οἰκεῖόν ἐστι. διὸ καὶ τοιούτῳ ζῴῳ τὸν ὕπνον ἐμόρφωσεν, ὃ τὴν κεφαλὴν ὑπὸ τοὺς κλάδους φασὶ κρύπτειν. Τυχὸν δὲ καὶ [ψευδο]παρηχούμενον τῷ κοιμήματι τὸν κύμινδιν ἐνταῦθα παρείληφεν. ἔστι γάρ τι καὶ τοιοῦτον παρηχήσεως εἶδος, ὡς ἐν ἄλλοις τε δῆλον καὶ μάλιστα ἐν τῷ «κοίμησε δὲ κύματα δαίμων». Ἔτι δὲ ὁ κύμινδις ἢ ἡ κύμινδις—ἑκατέρως γὰρ λέγεται— οἰκεῖος Ὕπνῳ ἐστὶ καὶ ὡς εἰς ὕπνον, φασίν, εὐεπίφορος καὶ ὡς τὰ πλείω νυκτὸς φαινόμενος, καθὰ καὶ ὁ ὕπνος νυκτὶ πεφιλίωται μυθικῶς τε, ὡς ἐρρέθη, καὶ ἀλληγορικῶς. Καὶ δηλοῖ τοῦτο ἡ περὶ αὐτοῦ ἱστορία, λέγουσα, ὅτι ὁ κύμινδις ὀλιγάκις φαίνεται. οἰκεῖ γὰρ ὄρη, μέγεθος ὅσον φασσοφόνος ἱέραξ, τὴν ἰδέαν λεπτὸς καὶ μακρός. Κύμινδιν δὲ καλοῦσιν Ἴωνες αὐτόν. οὗτος ἡμέρας μὲν οὐ φαίνεται διὰ τὸ μὴ βλέπειν ὀξύ, τὰς δὲ νύκτας θηρεύει ὡς οἱ ἀετοί, καὶ μάχεται πρὸς τὸν ἀετὸν οὕτω σφοδρῶς, ὥστε πολλάκις ἄμφω λαμβάνεσθαι ζῶντας ὑπὸ τῶν νομέων, νεοττεύει δ’ ἐν πέτραις καὶ σπηλαίοις. Λέγει δὲ ἡ ἱστορία καί, ὡς μέλας ἐστί, χαλκίζων τὴν χροιάν, ὅθεν καὶ χαλκὶς λέγεται. Ὁ δὲ μῦθος λέγει Ἁρπαλύκην ταύτην εἶναι, ἣ μιγεῖσα Κλυμένῳ τῷ πατρὶ κατὰ βίαν καὶ ἑψήσασα τὸν υἱὸν Πρέσβωνα παρέθηκεν αὐτῷ, εἶτα εἰς χαλκίδα μετεβλήθη. Ἕτεροι δὲ μυθεύονται, ὡς ἐν Χαλκίδι διάγουσαν ὅτε ἄνθρωπος ἦν, καὶ συνελθοῦσαν τῷ Διΐ, ἀπωρνίθωσεν ἡ Ἥρα. [Ὅτι δὲ ὁμώνυμος λέξις ἡ χαλκίς, οὐκ ἔστιν ἀμφιβαλεῖν. καὶ νῦν μὲν ὀρνέου ἐστὶν ὄνομα, εὕρηνται δὲ καὶ πόλεις οὕτω καλούμεναι, ἡ Συριακή, ἡ Θρᾳκία, ἡ κατὰ Εὔβοιαν, περίπυστος καὶ αὐτή, ὡς ἐν τῷ Καταλόγῳ τῶν νεῶν ὑπεκρούσθη, περὶ ἣν λῆρός ἐστι δείκνυσθαι τόπον μυρρίναις θάλλοντα, ὃς Ἁρπάγιον ἐκαλεῖτο παρὰ τὸ ἐκεῖθεν ἁρπαγῆναι πρὸς Διὸς τὸ Τρωϊκὸν μειράκιον, τὸν Γανυμήδην. Δόξοι δ’ ἂν ἴσως καὶ ὁ χαλκισμός—παιδιὰ δέ τις αὕτη καί, ὡς οἱ παλαιοί φασι, κυβείας εἶδος—ἐκ τῆς χαλκίδος παρωνυμεῖσθαι, οὐκ ἔχει δ’ οὕτως, ἀλλ’ ἦν ὁ χαλκισμὸς ὀρθοῦ νομίσματος θετέον χαλκοῦ στροφὴ καὶ σύντονος περιδίνησις, μεθ’ ἣν ἔδει τὸν παίζοντα ἐπέχειν ὀρθῷ τῷ δακτύλῳ τὸ νόμισμα εἰς ὅσον τάχος πρὶν ἢ καταπεσεῖν.

3.644 καὶ ὁ τοῦτο ἀνύσας ἐκράτει τὸν χαλκισμὸν καὶ ἦν νικητής.] (v. 292) Γάργαρον δέ, τὸ καὶ ἐν ἄλλοις προδηλωθέν, οὐ μόνον ἄκρον Ἴδης, ὡς ἐρρέθη, ἀλλὰ καὶ πόλις Τρωάδος κατὰ τοὺς παλαιούς, ἣν Αἰολικήν τινές φασιν εἶναι, λέγοντες καὶ τὴν μὲν πόλιν θηλυκῶς, ἧς οἱ πολῖται Γαργαρεῖς, οὐδετέρως δὲ τὸ ἀκρωτήριον. ὅτι δὲ Γαργαρεῖς ἔθνους ὄνομα μιγνυμένου ταῖς Ἀμαζόσιν, ἡ αὐτὴ ἱστορία φησί. Περὶ δὲ τὴν ῥηθεῖσαν Αἰολικὴν Γάργαρον τὴν ἐπὶ τῇ ἄκρᾳ τῆς Ἴδης φασὶ Διότιμον τὸν Ἀδραμυτηνὸν διδάσκειν γράμματα. εἰς ὅν, φασίν, Ἄρατος εἶπεν «αἰάζω Διότιμον, ὃς ἐν πέτρῃσι κάθηται, παισὶ Γαργαρέων βῆτα καὶ ἄλφα λέγων», καὶ Γάργαρα ἄκρα. οἱ δὲ τοιοῦτοι στίχοι, καὶ χρῆσίς ἐστι τοῦ οὐδετέρως τὸ ἀκρωτήριον λέγεσθαι, καὶ τοῦ Γαργαρεῖς τοὺς τῆς Γαργάρου πολίτας ὀνομάζεσθαι. Ὅτι δὲ Γάργαρον ἢ Γάργαρα πληθυντικῶς λέγονται διὰ τὴν ἐκεῖ τῶν ὑδάτων ἀνάδοσιν κατὰ ὀνοματοποιΐαν, ὡς πολλῶν ἐκεῖ ἀναβραττομένων καί, ὡς εἰπεῖν, ἀναγαργαριζόντων, καὶ ὅτι γάργαρα διὰ τοῦτο ἁπλῶς ποιητικώτερον τὰ πολλά, ὅθεν καὶ ψαμμακοσιογάργαρα ὁ Κωμικὸς τὰ πάνυ πολλὰ ἔφη, δηλοῦσιν οἱ παλαιοί. Ὁ δὲ Γεωγράφος λέγει καί, ὅτι Γάργαρον ἐπ’ ἄκρας κεῖται, ποιούσης τὸν ἰδίως Ἀδραμυτηνὸν λεγόμενον κόλπον, τὸν κλειόμενον ὑπό τε τοῦ δεῖνος τόπου καὶ τῆς ἄκρας ἐφ’ ᾗ τὰ Γάργαρα, καὶ προσαγορευομένης Πυρρᾶς ἄκρας.

3.645 οὗ πλάτος ἀπὸ ἄκρας, φησίν, ἐπὶ ἄκραν δίαρμα ἑκατὸν εἴκοσι σταδίων. ἐντὸς δὲ αὐτοῦ πόλις, ἧς ὑπέρκειται ὄρος, ὃ καλοῦσιν Ἀλεξάνδρειαν, ὅπου τὰς θεὰς κριθῆναί φασιν ὑπὸ τοῦ Πάριδος. Καὶ ὅρα τὴν τοιαύτην Ἀλεξάνδρειαν, οὐκ ἂν τῷ μεγάλῳ Ἀλεξάνδρῳ παρωνυμουμένην, ἀλλὰ τῷ ἅρπαγι Πάριδι. Ὅτι δὲ ἐν τῷ ῥηθέντι Ἀτραμυτηνῷ κόλπῳ πολλοὶ τῶν Λελέγων ᾤκουν, προδεδήλωται. Ἰστέον δὲ καὶ ὅτι τὸ «Γάργαρον, ἄκρον Ἴδης» σαφέστερον πέφρασται τοῦ «Ἴδην Λεκτόν». (v. 294) Ὅτι ὡς εἶδε τὴν Ἥραν ὁ Ζεύς, «ὥς μιν ἔρως πυκινὰς φρένας

ἀμφεκάλυψεν, οἷον», ἀντὶ τοῦ ὥσπερ, ὅτε πρώτιστον «μιγέσθην φιλότητι, εἰς εὐνὴν φοιτῶντε φίλους λήθοντε τοκῆας». Ὅτι δὲ ἡ τῶν στοιχείων θέσις ἀέρος τε καὶ τοῦ ἀνωτέρω αἰθέρος τοῖς τοιούτοις λόγοις ἐμφαίνεται, καὶ ὡς λεληθότως ἐξ ἀναλόγου τινὸς γάμος τῇ τοιαύτῃ αὐτῶν συναφείᾳ ἐμφαντάζεται, πολλαχοῦ δεδήλωται. Ἄλλως δέ γε τὸ μὴ ἀναφανδὸν τούτους εἰς εὐνὴν φοιτᾶν τὴν ἀρχήν, ἀλλὰ φίλους λήθοντε τοκῆας, αἴνιγμά ἐστι τοῦ καὶ πρὶν ἢ εὐκόσμως διακεκρίσθαι τὰ στοιχεῖα καὶ τὴν οἰκείαν τάξιν λαχεῖν, οὕτω μὲν προῳκειῶσθαι τὸν Δία τῇ Ἥρᾳ, δυνάμει μέντοι ὡς τὰ πολλά, ὅπερ ὁ μῦθος λήθην καλεῖ, ὡς οἷον ἐπίκρυψίν τινα καὶ κλοπήν, ὡς ὕστερον ἔσχον κατὰ φύσιν ταχθέντα, ἤγουν τοῦ τὴν μὲν ὑποκεῖσθαι, τὸν δὲ ὑπερκεῖσθαι. μετὰ γάρ τοι τὴν εὐκοσμίαν καὶ τὴν ταρτάρωσιν τῶν ἠλληγορημένων Τιτάνων φανερὰ ἡ ὁμιλία καὶ ἐμφανῶς ἐναργὴς ἡ τοῦ Διὸς καὶ τῆς Ἥρας, ἣν ὁ παλαιὸς λόγος οὐκέτι εἰς κρυφαῖον, ἀλλὰ πᾶσι δῆλον γάμον θεωρεῖ.

3.646 Καλῶς δὲ τὴν δύναμιν ὁ μῦθος εἰς τὸ λανθάνειν μετέλαβε. κοινὸν γάρ πως ἐν ἀμφοῖν ποτε τὸ μὴ εἶναι. οὔτε γὰρ ἡ κατὰ τὸ εἶναί τι δύναμις [ἀεὶ] ἐνέργεια ἐστίν, οὔτε τὸ λανθάνειν ἀφίησι γνωστὸν εἶναι τὸ ὄν. καὶ ἄλλως δέ, ὥσπερ τὸ δυνάμει, οὕτω καὶ τὸ ἐν τῷ λανθάνειν ἐκφανθείη ἄν ποτε. καὶ τοιοῦτον μέν τι τοῦτο. Ὁ δὲ φλύαρος μῦθος προστίθησι τοῖς κατὰ τὸν Δία καὶ τὴν Ἥραν καὶ τοιαῦτά τινα, ὅτι ὅτε Κρόνος ἐταρταρώθη, ἐξεδόθη τῷ Διῒ παρὰ Τηθύος καὶ Ὠκεανοῦ ἡ Ἥρα, ἐγκύμων μὲν οὖσα, ὡς παρθένος δὲ ὑπονοουμένη. τεκοῦσα δὲ τὸν Ἥφαιστον προσεποιήσατο δίχα μίξεως τεκεῖν καὶ Κηδαλίωνι τῷ Ναξίῳ ἐκεῖνον παρέδωκε διδάξαι χαλκευτικήν. Ἕτεροι δὲ ἐν Σάμῳ λάθρᾳ διαπαρθενευθῆναι αὐτήν φασιν. ὅθεν Σάμιοι κατὰ ζῆλον Ἥρας λάθρᾳ τὰς παρθένους συγκοιμίζουσιν, εἶτα φανερῶς τοὺς γάμους θύουσι. καὶ τοῦτο μὲν καινοτροπίαν ἔθους ἐπισύρεται μόνην, λαγνείαν δὲ οὐκ ἔχει σαφῆ. Ἡ δὲ παρὰ τῷ Γεωγράφῳ Ταναῗτις δαίμων λίαν ἀπ’ ἐναντίας πίπτει τῇ Ἥρᾳ, ἥτις ἄλλοις τε ἐτιμᾶτο καὶ ἀνιερώσει παρθένων, φησίν, ἐπιφανεστάτων, ἔνθα καταπορνευθεῖσαι εἶτα πρὸς γάμον ἐδίδοντο, οὐδενὸς ἀπαξιοῦντος τῇ τοιαύτῃ συνοικεῖν. ἔστι δὲ ἀστείως εἰπεῖν, ὡς τοιούτοις ἐοίκασιν οὐ μόνον οἱ τὰς ἐξ Ὁμηρικῶν θεῶν ἀλλὰ καὶ οἱ τὰς ἄλλως ὑπὸ μεγιστάνων φθαρείσας λαμβάνοντες. Ἄλλοι δὲ μυθεύονται, ὅτι ἐξ Εὐρυμέδοντος, ἑνὸς τῶν Τιτάνων, ἔτεκεν ἡ Ἥρα τὸν Προμηθέα παρθένιον, γνοὺς δὲ ὁ Ζεὺς τὸν μὲν Εὐρυμέδοντα ἐταρτάρωσε, τὸν Προμηθέα δὲ ὕστερον προφάσει τοῦ πυρὸς ἐν Καυκάσῳ ἀνασκολοπίσας προσεπαττάλευσε. (v. 294) Τὸ δὲ «πυκινὰς φρένας» ἔστι μὲν σεμνότερον τοῦ ἁπλῶς νόον εἰπεῖν, ἔχει δέ τι οἴκτου, ὡς οἷα τοῦ ποιητοῦ δεινὸν ἡγουμένου, εἰ τὰς τοιαύτας φρένας δολοφρονέουσα ἡ Ἥρα ἠπάτησεν. διὸ καί φασιν οἱ παλαιοὶ χρῆναι δεδιέναι τὸ τῶν παθῶν κρατεῖν, εἰ καὶ Ζεὺς ὁ παγκρατὴς πάθει νικηθεὶς ζημιοῦται τὴν ὄνησιν, ἣν ἀγρυπνῶν περιεποιήσατο ἄν. Οἱ δ’ αὐτοὶ καὶ ἐν οἷς ἀνακοινοῦται δῆθεν ἡ Ἥρα τῷ Διῒ τὴν εἰς Ὠκεανὸν ἄφιξιν, νομοθετεῖν φασιν Ὅμηρον ταῖς γυναιξὶ ποιεῖσθαι τὰς ἐξόδους συγχωρούντων ἀνδρῶν.

3.647 [Εἰ δὲ τοιοῦτον ὁ λογοποιούμενος Ἔρως καὶ οὕτως ἀναταράττει τὰ ἐν τοῖς κατ’ αὐτὸν προσώποις καὶ δεινὰ ποιεῖ, καλῶς ἄρα ὑπομνηματογραφῶν ὁ μῦθος ἀπεψηφίσθαι ὑπὸ θεῶν ἔφη τὸν Ἔρωτα, καὶ ἀποκοπῆναι μὲν τὰ πτερά, ἵνα μὴ πέτηται εἰς οὐρανὸν πάλιν, τὰς δὲ κατ’ αὐτὸν πτέρυγας δοθῆναι τῇ Νίκῃ φορεῖν ὡς οἷα σκῦλον περιφανὲς ἀπὸ τοῦ πολεμίου. Διὸ καὶ Εὔβουλος οὐ κατὰ μῦθον μέν, ἄλλως δὲ σεμνότερον, ἀποστερεῖ πτερῶν τὸν Ἔρωτα, ὡς οὔτε κοῦφον οὔτε ῥᾴδιον ἀπαλλαγῆναι τῷ φέροντι τὴν νόσον, βαρὺν δὲ κομιδῇ. καὶ Ἄλεξις δέ, φασί, κωμικὸς ποιητὴς καὶ αὐτός, οὐ τὸν Ἔρωτα πέτεσθαι λέγει ἀλλὰ τοὺς ἐρῶντας, πολλὴν ἐκεῖνος ἐνταῦθα κρύπτων ἔννοιαν, ἧς κεφάλαια τὸ καὶ ἄλλως πέτεσθαι τοὺς ἐραστὰς ἀπὸ ἄλλων εἰς ἄλλα νοήματα καὶ ταχὺ ἐκ τούτων εἰς ἕτερα μεταπηδᾶν, καὶ τὸ ἀφραίνειν δὲ καὶ οὕτως ἀστατεῖν, ὧν ἐκ τοῦ μὲν ἀστάθμητοι λέγονται οἱ μὴ σταθεροί, ἐκ δὲ τοῦ ἑτέρου οἱ πετόμενοι.] Τὸ δὲ «ἀμφεκάλυψεν» ἐκ μεταφορᾶς ἐρρέθη δικτυωδῶν ἀρκύων, αἳ ὀρνίθων

καταπετασθεῖσαι συλλαμβάνουσιν αὐτοὺς ἔσω καὶ καλύπτουσι. τοιοῦτον καὶ μετ’ ὀλίγα τὸ «μαλακὸν περὶ κῶμα ἐκάλυψε», καὶ τὸ «νέφος ἀμφικαλύψω», καὶ μάλιστα τοῦτο, ἀφ’ οὗ καὶ εἶδος δικτύου νεφέλη, ὡς οἱ τοῦ Κωμικοῦ Ὄρνιθες δηλοῦσιν ἐν τῷ «μὰ νεφέλας, μὰ παγίδας», αἳ δὴ νεφέλαι καθ’ ὁμοιότητα τοῦ «νέφος ἀμφικαλύψω», ὅ ἐστιν ἐπιθήσω, σκεπάσω, καταπετάσω, καλύπτειν ἂν ὄρνις λεχθεῖεν. Ἔστι δ’ εἰπεῖν καὶ ὅτι καθὰ νέφος ἥλιον, οὕτω καὶ ἔρως τὸν ἐν τῷ Διῒ ἥλιον νοῦν ἀμφεκάλυψεν. (v. 298) Ὅτι πολλαχοῦ κεῖται καὶ ἐν Ὀδυσσείᾳ τὸ «τόδ’ ἱκάνειν», ὅμοιον ὂν τῷ «τῇδε ἱκάνειν».

3.648 καὶ ἔστι τοῦτο μὲν Ἀττικὸν κοινότερον, τὸ δὲ ἕτερον ποιητικώτερον. ἔλλειψιν δὲ ἔχει καὶ ἄμφω. τὸ μὲν γὰρ ποιητικὸν βούλεται εἰπεῖν ἐς τόδε τὸ δῶμα ἢ τὸ χωρίον ἱκάνειν, τὸ δὲ κοινὸν ἐν τῇδε τῇ ὁδῷ ἱκάνειν ἢ τῇ γῇ ἢ τοιοῦτόν τι. Χρῆσις δὲ τοῦ ῥηθέντος ἐνταῦθα τὸ «Ἥρη, πῇ μεμαυῖα», ἢ τίπτε μεμαυῖα, «τόδ’ ἱκάνεις;». (v. 299) Ὅτι ὁ ὀκνῶν πεζοπορεῖν εἴποι ἂν τὸ «ἵπποι δ’ οὐ παρέασι τῶν κ’ ἐπιβαίην». (v. 381—6) Ὅτι στίχοι ἓξ ἐνταῦθα κεῖνται ταὐτολογικῶς, ὡς Ὁμήρῳ σύνηθες, ἐκ τῶν ἤδη ῥηθέντων πρὸς τὸν Ὕπνον περὶ Ὠκεανοῦ καὶ Τηθύος ὀκτὼ στίχων, ὧν ἦν ἀρχὴ μὲν τὸ «εἶμι γὰρ ὀψομένη», τέλος δὲ τὸ «ἐπεὶ χόλος ἔμπεσε θυμῷ». παρειάθησαν δὲ δύο στίχοι ἐκεῖθεν ὡς μὴ ἀναγκαῖοι ἐνταῦθα παλιλλογηθῆναι. ἀντὶ δὲ τοῦ «εἶμι γάρ» κεῖται ὧδε τὸ ἔρχομαι, ἐπεὶ οὐκ ἦν ἐνταῦθα τόπος τῷ γαρ συνδέσμῳ. (v. 307) Ὅτι ὥσπερ ἀκρώρεια ἡ ἀνωτάτω τοῦ ὄρους ἐξοχή, οὕτω πρυμνώρεια πολυπιδάκου Ἴδης τὸ πρυμνόν, ἤτοι τὸ κατωτάτω, αὐτῆς ἄκρον, οἵπερ εἰσὶν ἀκριβῶς πόδες ὄρους. Ὅρα δὲ ὡς πρὸ ὀλίγων μὲν πολυπῖδαξ πολυπίδακος ἐκλίνετο, ἐνταῦθα δὲ τῆς τοιαύτης γενικῆς ἀναχθείσης εἰς εὐθεῖαν τὸ πολυπιδάκου Ἴδης προήνεκται. (v. 308) Ὅτι δέδοται τοῖς τοῦ μύθου ἵπποις καὶ διὰ θαλάσσης θέειν. Ἥρα γοῦν ψευδομένη καὶ νῦν ἀκολούθως οἷς προέθετο, φησίν, ὡς οἱ αὐτῆς ἵπποι ἐν πρυμνωρείᾳ Ἴδης ἑστᾶσιν, «οἵ με», φησίν, «οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν». εἴη δ’ ἂν Ἥρας, ὅ ἐστιν ἀέρος, ὄχημα τὰ ἐκ πρυμνωρειῶν καὶ τοιούτων τινῶν ἀναθυμιώμενα διὰ τὴν περὶ αὐτὰ ὑγρότητα. Τραφερὴ δὲ ἢ κατὰ τὸ κοινὸν ἡ τρέφουσα, τὰ κατ’ αὐτὴν δηλαδή, ὡς καὶ ἡ θάλασσα τὰ περὶ αὐτήν, ἢ καὶ ἄλλως παρὰ τὸ τρέφω, τὸ πήγνυμι, ἡ εὐπαγὴς καὶ στερρὰ καὶ διαστελλομένη οὕτω τῆς ὑγρᾶς. (v.

3.649 309—11) Ὅτι ὁ δεδιώς τινα καὶ μὴ ἔχων ἀσυντάκτως ὑποχωρῆσαι προσφυῶς ἂν εἴπῃ πρὸς ἐκεῖνον τὸ «νῦν δέ σευ εἵνεκα δεῦρο τόδ’ ἱκάνω, μή πώς μοι μετέπειτα χολώσεαι, αἴ κε σιωπῇ οἴχωμαι». Καὶ ὅρα καὶ νῦν τὸ «τόδ’ ἱκάνω», ἀντὶ τοῦ ἐνταῦθα, κατὰ τόδε δηλαδὴ τὸ χωρίον. (v. 313) Τὸ δὲ ἐφεξῆς τὸ «κεῖσε μὲν ἔστι καὶ ὕστερον ὁρμηθῆναι, νῦν δ’ ἄγε», κώλυμά ἐστι μελετωμένης ὁδοῦ. (v. 315) Ὅτι τὸ ἔρος Αἰολικὸν διὰ συνεσταλμένου τοῦ ο ἐνταῦθα κεῖται παρά γε τῷ ποιητῇ, ἀφ’ οὗ καὶ τὸν ἔρον κλίνομεν. (v. 314—6) Εἰπὼν γὰρ τῇ Ἥρᾳ ὁ Ζεύς, ὡς «ἄγ’ ἐν φιλότητι τραπείομεν εὐνηθέντε», ἐπάγει «οὐ γάρ πώ ποτε μ’ ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσε». Καὶ ὅρα ὅπως ἔφρασε βίαν ἔρωτος, καὶ ὡς οὐ μόνον ἐπὶ βρώσεως ὁ ἔρος παρὰ τῷ ποιητῇ, ἀλλὰ καὶ ἐπὶ ἄλλης ὁμιλίας, οἱ μέντοι Ἀττικοὶ τὸ ἔρως ἐκτείνουσιν. οἱ δὲ μῦθοι καὶ θεὸν αὐτὸν ἀναπλάττονται, πτεροῖς αἰρόμενον καὶ τόξῳ βάλλοντα καὶ λαμπάδι φλέγοντα. [Ὁ δὲ κωμικός, φασίν, Ἄλεξις εὐθυβολώτερον ἐπιβαλὼν λέγει «καί μοι δοκοῦσιν ἀγνοεῖν οἱ ζωγράφοι τὸν Ἔρωτα, συντομώτερον δ’ εἰπεῖν, ὅσοι τοῦ δαίμονος τούτου ποιοῦσιν εἰκόνας. ἔστι γὰρ οὔτε θῆλυς οὔτ’ ἄρσην, πάλιν οὔτε θεὸς οὔτ’ ἄνθρωπος, οὔτ’ ἀβέλτερος οὔτ’ αὖθις ἔμφρων, ἀλλὰ συνηνεγμένος πανταχόθεν ἑνὶ τύπῳ πόλλ’ εἴδη φέρων. ἡ τόλμα μὲν γὰρ ἀνδρός, ἡ δειλία δὲ γυναικός, ἡ δ’ ἄνοια μανίας, ὁ δὲ λόγος φρονοῦντος», καὶ τὰ ἑξῆς, ἃ δὴ καὶ τῇ Ἥρᾳ ἐμφαντάζονται. τολμᾷ μὲν γὰρ ἀνδρικῶς, ὕστερον δὲ δειλιᾷ. καὶ λαλεῖ μὲν πιθανὰ τῷ Διῒ ἀνδρί, οὐ μὴν πρὸς νοῦν ὀρθόν, εἰ καὶ μὴ μαίνεται αὐτὴ κατ’ ἐπιθυμίαν ἐπίσης τῷ Διΐ, ἔχουσα καὶ αὐτὴ εἰπεῖν, ὡς ἐρωτικὴ μέν εἰμι, ὁμολογῶ, ἐρωτομανὴς δὲ οὔ. ὅτι δὲ ἡ ῥηθεῖσα κατὰ μανίαν ἄνοια πολλαχοῦ τῷ ἔρωτι ἐπακολουθεῖ, δηλοῖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ ποιητὴς ἐν τῷ «δῖα ἐπεμήνατο Ἄντεια».] Τὸ δὲ «θεᾶς οὐδὲ γυναικός» οὐ κατὰ γένος θηλυκὸν ἀντιδιαιρεῖ. δῆλον γὰρ ὡς καὶ τῷ Διῒ τὰς ὑπ' αὐτῷ γινομένας ἐξ ἔρωτος γυναικικῶς συγκατακλίνει ὁ μῦθος. οὔκουν κατὰ θῆλυ γένος ἡ ἀντιδιαίρεσις αὕτη, ἀλλὰ κατὰ τὸ θεῖον καὶ ἀνθρώπινον εἶδος, ὡς ἑτεροειδῶν ὄντων τῆς τε μυθευομένης ἐν θεοῖς θεᾶς καὶ τῆς ἐν ἀνθρώποις γυναικός. (v. 316) Τὸ δὲ «θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσε», περίφρασίς ἐστι καὶ παράφρασις τοῦ «πυκινὰς φρένας ἀμφεκάλυψεν», ὥσπερ καὶ τὸ «περιπροχυθείς» καθ' ὁμοιότητα ἐρρέθη τοῦ «ἀμφιχυθείς». Ἐνταῦθα δὲ διήγησιν ἐρωτικὴν ἐκθεὶς Ὅμηρος καὶ ἱστορίας ὁμοίας ἐγκαταμίγνυσι, τῷ ἀκράτῳ μύθῳ μυθικὰ παραπλέκων σύντομα διηγήματα.

3.650 ἐν οἷς ὁ Ζεὺς δεικνὺς ἑαυτὸν ἀξιέραστον παρατίθεται πολλοὺς ἔρωτας ἑαυτοῦ, τοὺς μὲν ὁμογενεῖς, τοὺς δὲ καὶ ἐπὶ θνηταῖς γυναιξί. Ταῦτα δὲ λέγει ὡς οἷα κλαπεὶς ἤδη τὸν νοῦν ὑπὸ τοῦ κεστοῦ καὶ διὰ τοῦτο ἐφ' οἷς οὐκ ἔδει σεμνυνόμενος ἀφελῶς καὶ ἁπλούστερον. διὸ καὶ τὸ τῶν ὀδόντων ἕρκος ἀνοίξας ἀφίησι φεύγειν ἐκεῖθεν λόγους οὐκ εὐγενεῖς, ἔρωτα παθὼν ἄτοπον. Ἀνὴρ γὰρ φιλεῖν μὲν τὴν ἰδίαν ἄκοιτιν καὶ ἀγαπᾶν καὶ ὁμονοητικῶς ἔχειν πρὸς αὐτὴν ἢ εἴ τι ἄλλο τοιοῦτον, λέγοιτο ἄν, ἐρᾶν δὲ οὔ. ἔρως γὰρ τῶν μὴ ἐν ἐξουσίᾳ μηδὲ ἐφ' ἡμῖν, ἐπιθυμίας ὢν ὑπερβολὴ ἐπὶ τῶν μὴ πάνυ παρ' ἡμῖν ὄντων. εἰ δὲ παρ' Ἡροδότῳ ἐρᾶν ὁ Κανδαύλης τῆς οἰκείας λέγεται γυναικός, ἀλλὰ κακὸν ἐκεῖνος ἔπαθεν ἐντεῦθεν τὸ ἱστορηθέν. οὔκουν οὐδὲ ὁ Ζεὺς ἔνδοξόν τι πείσεται τῆς Ἥρας ἄρτι ἐρῶν ὡς ἐξ ὑπαρχῆς ποτε, ἀλλ' ἀποσφαλήσεται τοῦ οἰκείου σκοποῦ. Ὅρα δὲ καὶ ὅτι καλλωπίζων τὸ ἐρωτικὸν τοῦτο χωρίον ὁ ποιητὴς εὐειδεῖ σχήματι τῷ τῆς ἄρσεως, ἤγουν τῷ τῆς οὐ ἀρνήσεως ἀποφατικῶς, ἐννεάκις χρᾶται αὐτῷ, ποτὲ μὲν γοργότερον φράζων, ποτὲ δὲ καὶ ἄλλως. (v. 315—27) «Οὐ γάρ πώ ποτέ με», φησίν, «ἔρος περιῆλθε» τοιοῦτος, «οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο οὐδ' ὅτε περ Δανάης», καὶ τὰ ἑξῆς, ἐπίτηδες ἐπιμείνας τοιούτῳ λαμπρῷ σχήματι, ὥσπερ καὶ τῇ λέξει τοῦ «ἔτεκε». καὶ γὰρ καὶ αὐτὸ πολλάκις ὁμοιοσχημόνως φησίν, οἷον «ἣ τέκε Πειρίθοον, ἣ τέκε Περσῆα, ἣ τέκε Μίνω». καὶ τούτοις μὲν οὕτως ἐπέμεινε. Τὸ δὲ «ἠρασάμην» ἅπαξ ὡς οἷον πτωχικῶς εἰπὼν ἀφῆκεν ἑπτάκις ἐν τοῖς ἑξῆς νοηθῆναι αὐτὸ ἀπὸ κοινοῦ, ἐντραπεὶς τὸ τοῦ ἐρᾶν ὄνομα καὶ μὴ θελήσας ἐπιμεῖναι καὶ αὐτῷ, ὑπομνήσας δὲ μόνον αὐτοῦ πρὸς τῷ τέλει ἐν τῷ «ὡς σέο νῦν ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ». Οὕτω καὶ ἐπιμένειν καιρίως οἶδεν ὁ ποιητὴς καὶ αὖθις ἐλλιπῶς τοὺς λόγους προάγειν ἐν δέοντι.

3.651 Πάνυ δὲ καὶ ἐν τῷ χωρίῳ τούτῳ τῇ συνήθει ποικιλίᾳ ὁ ποιητὴς ἐπλεόνασεν, ἐπικαλύπτων τὸ αἰσχρὸν τεχνικοῖς θεωρήμασιν. Ἡ δὲ ποικιλία τοιαύτη τις, ὡς ἐκ πολλῶν ὀλίγα εἰπεῖν. θεὰς μὲν ὀλίγας ὁ Ζεὺς μετρεῖ, Δήμητραν γὰρ καὶ Λητώ, θνητὰς δὲ πλείονας, καὶ οὓς μὲν ἐγέννησαν αἱ θεαί, οὐ λέγει, οὓς δὲ ἐγέννησαν αἱ θνηταί, ἀπαριθμεῖται σαφῶς, καὶ τὰς μὲν θνητὰς ἐρωμένας ἄνευ ἐπιθέτων προάγει δίχα τῆς Δανάης, αὐτὴν γὰρ μόνην καλλίσφυρον ὀνομάζει, τὰς δὲ μὴ θνητὰς ἐπιθέτοις κοσμεῖ, καλλιπλόκαμον μὲν ἄνασσαν εἰπὼν τὴν Δήμητραν, ἐρικυδέα δὲ τὴν Λητώ. οὕτω δὲ καὶ τοὺς ἐκ τῶν θνητῶν παῖδας σὺν ἐπιθέτοις προάγει δίχα τοῦ Μίνωος, ὡς τῷ ἀδελφῷ συλληφθέντος Ῥαδαμάνθυϊ. φησὶ γὰρ «Πειρίθοον θεόφιν μήστωρ' ἀτάλαντον», περὶ οὗ καὶ ἡ ἄλφα ῥαψῳδία δηλοῖ, «Περσῆα πάντων ἀριδείκετον ἀνδρῶν», «Μίνω καὶ ἀντίθεον Ῥαδάμανθυν», «Ἡρακλῆα καρτερόφρονα», «Διόνυσον χάρμα βροτοῖσι», διὰ τὸ δοτῆρα τοῦ οἴνου γενέσθαι. Ἔτι κατ' ἀρχὰς μὲν τῶν τοιούτων διηγημάτων μίαν ἐκτίθεται μητέρα καὶ ἕνα παῖδα «οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο, ἣ τέκε Πειρίθοον, οὐδ' ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης, ἣ τέκε Περσῆα», εἶτα μίαν ἱστορεῖ δύο γεννήσασαν «οὐδ' ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο, ἣ τέκε μοι τὸν Μίνωα» [καὶ ἀποκοπῇ Μίνω] καὶ τὸν Ῥαδάμανθυν, εἶτα μητέρας ὁμοῦ δύο ἐν ἑνὶ στίχῳ τίθησι, Σεμέλην τε καὶ Ἀλκμήνην, ὧν δύο παῖδες, Ἀλκμήνης μὲν Ἡρακλῆς, Διόνυσος δὲ Σεμέλης, εἶτα δύο ἄλλας, Δήμητραν καὶ Λητώ, ἐν στίχοις δυσίν. ἐξ ὧν, ὡς καὶ προείρηται, οὐ λέγει τίνες ἐγένοντο, ἵνα μὴ λυπήσῃ, φασί, τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἥραν ἐν καιρῷ τοιούτῳ, Ἀπόλλωνος τοῦ Λητοΐδου μνησθείς, ὃς Ἀχαιοῖς ἀντιφέρεται, οὓς ἡ Ἥρα φιλεῖ. ἔτι πασῶν ὧν εἶπε δύο μέν τινας οὐ λέγει πρὸς ὄνομα. οὔτε γὰρ τὴν τοῦ Πειρίθου ὀνομάζει μητέρα, οὔτε τὴν τοῦ Μίνωος καὶ Ῥαδαμάνθυος, τὰς δὲ λοιπὰς ἐξ ὀνόματος καταλέγει. Προτίθησι δὲ τῶν ἀθανάτων τὰς θνητὰς γυναῖκας, ἵν’ εὐτάκτως προερχόμενος εἰς τὴν Ἥραν ἐν τῷ «ὡς σέο νῦν ἔραμαι», ταῖς μὴ θνηταῖς συνάψῃ αὐτήν, καὶ μὴ ὑποτάξῃ θνηταῖς γυναιξὶ τὴν ἀθάνατον, ἢ καὶ ἄλλως, ἀπὸ τῶν μικροτέρων ἐρωμένων ἐπὶ τὰς μείζους προϊών. Οἱ δὲ παλαιοὶ λέγουσιν, ὡς τοῦτο ποιεῖ ἀπὸ τοῦ δριμυτέρου καὶ μείζονος ἀρξάμενος ἔρωτος, τοῦ τῶν θνητῶν δηλαδή, καὶ κατασκευάζουσι πιθανῶς ἐκεῖνοι τὸν λόγον ὡς αὐτοῖς βουλητόν.

3.652 οἷς εἰς κατασκευὴν συμβάλλεται καὶ ἡ ἐνάργεια. πολλοὶ γὰρ ὑπαχθέντες ἔρωτι δουλίδας προτιμῶνται τῶν εὐγενῶν. Ἰστέον δὲ καὶ ὅτι κατάλογόν τινα ἡρωΐδων ἐνταῦθα, ὡς καὶ ἐν τῇ Ὀδυσσείᾳ, ποιεῖ Ὅμηρος, καὶ ταῖς περὶ αὐτῶν ἱστορίαις συντομώτατα ἐπιτρέχει, ὃ δὴ ὁ Λυκόφρων ἐκ τούτου ἐκέρδανε. ποιεῖ δὲ τὸ τοιοῦτον ἐπίτροχον Ὅμηρος τόν τε ἀκροατὴν πολυμαθῆ ποιῶν καὶ οὐδὲ πέρα τοῦ μετρίου τοῖς παρέργοις ἐμφιλοχωρῶν. Σημείωσαι δὲ καί, ὅτι τῶν παλαιῶν εἰπόντων ὡς ἡ ποιητικὴ ἕξις ἢ καὶ οὐσία συνέστηκεν ἐξ ἱστορίας καὶ διαθέσεως καὶ ἡδονῆς, καὶ ὡς τῆς ἱστορίας μέν ἐστιν ἡ ἀλήθεια, ὡς ἐν νεῶν Καταλόγῳ ποιεῖ Ὅμηρος, τῆς δὲ διαθέσεως ἐνέργεια, ὡς ὅταν μαχομένους εἰσάγῃ, μύθου δὲ ἡδονὴ καὶ ἔκπληξις, τὰ μὲν προσεχῶς πρὸ τοῦ χωρίου τούτου ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ ἀκράτως ἦσαν μῦθοι, τὰ δὲ ἐφεξῆς μετὰ τὸν τοῦ Διὸς ὕπνον διάθεσιν δραστηρίου μάχης ἔχουσι, τὰ δὲ μεταξὺ ταῦτα ἱστορίαις καὶ μύθοις κέκραται. (v. 314) Ἰστέον δὲ καὶ ὅτι τὸ «τραπείομεν εὐνηθέντε» δύναται μὴ μόνον δηλοῦν τὸ τερφθῶμεν κοινότερον, ἀλλὰ καὶ ἄλλως φιλοσοφώτερον αὐτὸ δὴ τὸ τραπῶμεν, ὡς ἀπὸ τοῦ τρέπω, οἷα τῶν κατ’ ἔρωτα παθῶν τρέπειν δυναμένων καὶ ἐξιστᾶν τῶν σπουδαιοτέρων ἐνεργειῶν. (v. 317) Τὸ δὲ «ἠρασάμην» ἀνάλογον μέν, ἀτριβὲς δὲ τοῖς λογογραφεῖν ἐθέλουσι. Τὸ δὲ «Ἰξιονίης» κτητικὸν ὄν, μὴ γραφὲν δὲ διὰ τῆς ει διφθόγγου, σημειῶδές ἐστι καὶ αὐτὸ διὰ τὴν τοῦ διχρόνου παράληξιν, καθὰ καὶ ὁ Αἰπύτιος τύμβος καὶ τὰ ἄλλα τὰ προσεσημειωμένα. ὧν τῆς γραφῆς αἴτιος ὁ ἐν τῷ ἡρωϊκῷ μέτρῳ ἀναγκαῖος δακτυλισμός. [Τῷ τοιούτῳ δὲ χαρακτῆρι, τουτέστι τῇ ἐκ τῆς ει διφθόγγου ἀπελεύσει τοῦ ε , συντακτέον πρὸς ἄλλοις οὐκ ὀλίγοις καὶ τὸ σείω, σῖτος, εἱλῶ, ἴλιγγος, εἴρω, Ἶρις καὶ Ἶρος τὸ ἐν Ὀδυσσείᾳ κύριον, ἔτι δὲ καὶ τὸ σίλουρος καὶ τὰ συκάμινα, εἴπερ ἀληθὴς ὁ εἰπών· σίλουρον μὲν ἰχθὺν αὐτὸν Αἰγύπτιον γίνεσθαι παρὰ τὸ σείειν τὴν οὐρὰν συχνά, συκάμινα δὲ διὰ τὸ σύκων ἀμείνω εἶναι.

3.653 τοῦ τοιούτου δὲ λόγου καὶ τὸ ἀλγινόεις ἐκ τοῦ ἀλγεινός, καὶ τὸ Ἰκόνιον ἐκ τῆς εἰκόνος.] (v. 318) Ὅρα δὲ ὅτι τὸν τοῦ Ἰξίονος Πειρίθοον οὐδὲν ἐκώλυσεν ἡ πατρόθεν κακία γενέσθαι μήστωρα θεοῖς ἀτάλαντον. Διόπερ ὁ μῦθος Διὸς αὐτὸν εἶπεν, ὀκνήσας εἰπεῖν Ἰξίονος. ὃν πρῶτον φόνου τοῦ μεγάλου κακοῦ κατάρξαι φασί, καὶ Ἥρας δὲ πλάττουσιν αὐτὸν ἐρασθῆναι καὶ Νεφέλῃ συνελθεῖν, ἀφ’ ἧς ὁ τῶν Κενταύρων σπορεὺς ἄθεσμος Κένταυρος, καὶ ἐν Ἅιδου δὲ τροχῷ φασι προσδεθέντα κολάζεσθαι, περὶ ὧν καὶ ἀλλαχοῦ ἐρρέθη. (v. 319) Ὅτι δὲ πολλαχοῦ χαίρει Ὅμηρος καλλισφύρους λέγειν γυναῖκας, περιεργαζόμενος τοὺς καλοὺς πόδας, ὡς καὶ ἐν τῷ ἀργυρόπεζα, καὶ ἐν τῷ τανύσφυρος, ὅ ἐστι λεπτόσφυρος, ὀρθόσφυρος, δῆλόν ἐστι. Τοῦ δὲ Ἀκρισιώνη τοιοῦτος ὁ κανών. Ἀπὸ τῶν εἰς ος καθαρῶν κυρίων ὀνομάτων γίνονται θηλυκὰ πατρωνυμικὰ διὰ τοῦ ωνη , οἷον ἐκ τοῦ Ἀκρίσιος Ἀκρισιώνη, ἡ τοῦ Ἀκρισίου, ἀπὸ δὲ τῶν μὴ καθαρῶν διὰ τοῦ ινη , ὡς Ἀδραστίνη, ἡ τοῦ Ἀδράστου. (v. 320) Περὶ δὲ τοῦ Περσέως πλατεῖα ἱστορία κεῖται παρὰ Πινδάρῳ. νῦν δὲ τοσοῦτον ῥητέον, ὅτι σεμνότερον Ἡρακλέος τὸν Περσέα Ἡρόδοτος δεικνύων φησίν, ὡς οὐκ ἔστιν ἐπωνυμία τῷ Περσεῖ οὐδεμία πατρὸς θνητοῦ, ὥσπερ τῷ Ἡρακλεῖ Ἀμφιτρύων, καὶ ὅτι τὸν τοιοῦτον Περσέα πλείω Ἡρακλέους ἀγαθὰ κατεργασάμενον οὐ τυχεῖν δόξης φασί, διότι Διόνυσον ἀνελὼν εἴς τινα λίμνην ἐνέβαλεν. οὗτος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ ὁ μῦθος οὐδὲν ἀπέοικε τοῦ κατὰ τὸν Λυκοῦργον, ὃς διώκων τὸν Διόνυσον ἠνάγκασε κατὰ θαλάσσης ἅλασθαι, [ὥς που δεδήλωται πρὸ τούτων, ἔνθα καὶ εἰς οἶνον ἀλληγορεῖσθαι τὸν Διόνυσον ἐρρέθη, ἀφ’ οὗ καὶ τὸ διονυσιάζειν συμποσιακὴ λέξις παρὰ Πλάτωνι, οἷον «πάντα τὸν βίον ἐδιονυσίαζεν», ἤγουν περὶ οἶνον ἠσχολεῖτο. Καὶ μνεία δέ τις γέγονε τῶν περὶ ἐκεῖνον, αἳ Βασσάραι μὲν ἐλέγοντο καὶ Λυδαὶ καὶ Μακέται καὶ Μιμαλλόνες, δαιμόνιά τινα, τιθῆναι αὐτοῦ—εἰς ἀμπέλους δὲ ἀλληγορικῶς μετελαμβάνοντο—τάς τε τρίχας κατακεχυμέναι καὶ ἄλλα τινὰ ποιοῦσαι φίλα τῷ οἴνῳ Διονύσῳ, κιττῷ, φασί, στεφανούμεναι καὶ ἀμπέλῳ, καὶ κατέχουσαι χερσὶν αἱ μὲν ἐγχειρίδια, αἱ δ’ ὄφεις.

3.654 τοῦτο δὲ πρὸς αἴνιγμα τοῦ καὶ θηριώδεις καὶ φονικοὺς εἶναι τοὺς μεθύοντας. Τοῦ δὲ κατ’ οἶνον, ὡς εἴρηται, Διονύσου μέμνηται, φασί, καὶ Τίμων ἐν τῷ «βαρὺν βουπλῆγα τομώτερον ἢ Λυκόοργος, ὅς ῥα Διονύσου ἀριθμοπότας ἐπέκοπτεν». Εἰ δὲ Βασσάραι μὲν αἱ εἰρημέναι τοῦ Διονύσου τροφοὶ διὰ τὸ βάσιν ἐπ’ ἀρᾷ ποιεῖσθαι διὰ τὸ μανιῶδες, Λυδαὶ δὲ ἢ τοπικῶς, καθὰ καὶ Μακέται ὡς Μακεδονικαί, ἢ καὶ ἄλλως οἷα ὑπὸ μέθης ἔκλυτοι, Μιμαλλόνες δὲ κατὰ τὴν παρὰ Λυκόφρονι ἔννοιαν, ἄλλου ταῦτα λόγου.] Τὸ δὲ «ἀριδείκετον ἀνδρῶν», ὅτι διὰ τὴν ἀρι ἐπίτασιν ἔχει τὴν κατὰ γενικὴν σύνταξιν, καὶ ἑτέρωθι δηλοῦται. (v. 321) Φοίνικος δὲ κούρη καὶ Κασιεπείας Εὐρώπη, ἧς καὶ Διὸς Μίνως καὶ Ῥαδάμανθυς, οὕτω κληθεὶς αὐτός, ἐπεί, φασίν, ἡ μήτηρ ἐμάνη, τουτέστι πάνυ ἐρωτικῶς διετέθη περὶ ῥόδα, ἅπερ ὁ αὐτὴν ἁρπάσας ταῦρος προΐσχετο. καὶ μὲν ἕτεροι κρόκον ἐκεῖνον ἔφασαν τῶν μυκτήρων προβάλλεσθαι. Περὶ δὲ τούτων, καὶ ὅτι ληστρικός τις ὁ Μίνως, εἰ καὶ ἕτεροι δίκαιον καὶ νομοθέτην αὐτὸν ἱστοροῦσιν, ὡς καὶ ὁ ποιητής, ἐν οἷς καὶ Διὸς ὀαριστὴν αὐτὸν λέγει, πολλοί τινες καὶ πολλαχοῦ καθιστοροῦσιν. ὥσπερ καὶ περὶ Ἀλκμήνης, καὶ περὶ Σεμέλης δέ, ἣν καὶ εἰς ἄμπελόν τινες, ἧς ὁ οἶνος κατασείει μέλη, ἐν τοῖς κατὰ τὴν Θεογονίαν ἀλληγοροῦσιν, ὡς καὶ τὸν Διόνυσον εἰς οἶνον τὸν ἡδύν. οὗ ἕνεκεν καὶ χαριδότης Διόνυσος, ἐξ Ὁμήρου γενομένης καὶ τῷ τοιούτῳ ἐπιθέτῳ ἀρχῆς, ὃς χάρμα βροτοῖς ἐνταῦθα ἔφη τὸν Διόνυσον.

3.655 τούτοις δὲ συλλαλεῖ καὶ τὸ γάνος ἀμπέλου ῥηθῆναι τὸν οἶνον. διφορεῖται δὲ κἀνταῦθα τοῖς ἀντιγράφοις ἡ τοῦ Διονύσου προπαραλήγουσα. (v. 324) Ὁ δὲ Ἡρακλῆς κατὰ τοὺς παλαιοὺς Ἀλκαῖος πρὶν ἐκαλεῖτο, Ἡρακλῆς δ’ ὑπὸ τοῦ Πυθίου ἐξωνομάσθη, κατὰ τὸ «Ἡρακλέην δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει. ἦρα γὰρ ἀνθρώποισι φέρων κλέος ἄφθιτον ἕξεις». Ἡ τοιαύτη δὲ ἐτυμολογία ψιλοῖ τὴν τοῦ Ἡρακλέους ἄρχουσαν, ὡς δοκεῖν Ἀττικῶς αὐτὴν δασύνεσθαι. Ἕτεροι δέ φασιν, ὅτι Πορφυρίωνος βιαζομένου τὴν Ἥραν ὁ Ἀλκαῖος αὐτῆς προκαλεσαμένης ἐβοήθησε, καὶ ἡ τοιαύτη τῆς Ἥρας κλῆσις ἐπέθετο τὴν τοῦ Ἡρακλέους φερωνυμίαν αὐτῷ, κρατερόφρονι ἀληθῶς ὄντι, ὡς αἱ ἱστορίαι δηλοῦσιν. Ὅτι δὲ ὁ δηλωθεὶς Ἡρακλῆς καὶ Ἡρακλείδης ἐκαλεῖτο, ὡς Ἀριστείδης, ἔτι δὲ καὶ Ἥρυλλος ἐν τοῖς Σατυρικοῖς, δηλοῦσιν οἱ κατὰ στοιχεῖον τὰ Ῥητορικὰ ἐκθέμενοι, παρ’ οἷς δῆλον καὶ ὡς ὑποκεκόρισται ὁ Ἥρυλλος ἐκ τοῦ Ἡρακλῆς, ὡς ἐκ τοῦ Ἀριστοκλῆς ὁ Ἀρίστυλλος παρὰ τῷ Κωμικῷ, [καὶ ἐκ τοῦ Βαθυκλῆς ὁ Βάθυλλος.] (v. 326) Ἡ δὲ Δημήτηρ ὅτι εἰς γῆν ἀλληγορεῖται, ὡς οἱονεὶ γημήτηρ οὖσά τις, ὅθεν καὶ πιθανῶς ὁ Ζεὺς καὶ αὐτῆς ἐρᾷ, ὃν τρόπον καὶ Οὐρανὸς Γῆς καθ’ ἕτερον μῦθον, καὶ ὅτι καλλιπλόκαμος λέγεται διὰ τὰς τῶν φυτῶν τροπικῶς λεγομένας κόμας, καὶ ὡς ἡ Λητὼ οὐ μόνον εἰς λήθην ἀλληγορεῖται, ἀλλὰ καὶ εἰς νύκτα τὴν τῷ ἀέρι Διῒ προσήκουσαν, ὅτε μὴ φωτὶ καταλάμπεται, οὐκ ἂν εἴη τις τῶν περὶ λόγους ἀγνοῶν. διὸ καὶ ἐρικυδὴς αὕτη ὡς καὶ τῷ Διῒ τιμία καθ’ Ὅμηρον ἁζομένῳ μὴ Λητοῖ [νυκτὶ] ἀποθύμια ἔρδοι. (v. 328) Τοῦ δὲ «ἔραμαι» κοινὸς ὁ ἐνεστώς. ἐρῶ γὰρ ἐράσω, ἵνα ᾖ παθητικὸς παρακείμενος ἀναύξητος. τοιοῦτον δὲ καὶ τὸ ἄγαμαι. εἰπεῖν γὰρ ὡς προϋπάρχει αὐτῶν τὸ ἔρημι καὶ τὸ ἄγημι ὁμοίως τῷ ἵστημι ἀμάρτυρόν ἐστι. Τὸ δὲ «καί με γλυκὺς ἵμερος αἱρεῖ» περιφραστικὴ ἑρμηνεία ἐστὶ τοῦ ἔραμαι, οὗ χρῆσις καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρὰ τῇ Τραγῳδίᾳ, οἷον «ἔραμαι κυσὶ θωὔξαι». Ὁ δὲ γλυκὺς ἵμερος, ὁποῖος ὁ τῶν συμβιούντων, πρὸς διαστολὴν τῶν μὴ τοιούτων ἱμέρων εἴρηται.

3.656 Ὅτι πολλάκις τινὲς ἀγαθὰ συμβουλεύειν δοκοῦντες ὑπούλως, εἶτα λυποῦσιν ἐν τῷ τέλει, ἐὰν λαθεῖν ἐξισχύσωσιν. (v. 329—40) Ἡ Ἥρα γοῦν δολοφρονέουσα δοκεῖ μὲν αἰδημόνως λέγειν τῷ Διῒ νεμεσητὸν εἶναι, εἰ νῦν, φησίν, «ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι Ἴδης ἐν κορυφῇσι, τὰ δὲ προπέφανται ἅπαντα», ἤγουν προφανῆ εἰσι. καὶ «πῶς ἂν ἔοι», φησίν, ἤγουν τί ἂν γένοιτο καὶ οἷον ἔσται τὸ τέλος, «εἴ τις νῶϊ θεῶν εὕδοντε ἀθρήσειε, θεοῖσι δὲ πᾶσι μετελθὼν πεφράδοι; οὐκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα νεοίμην ἐξ εὐνῆς ἀνστᾶσα, νεμεσητὸν δέ κεν εἴη. ἀλλ’ εἰ δή ῥ’ ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῷ», τὸ ἐν φιλότητι δηλαδὴ εὐνηθῆναι, ὃ νῦν ἡ Ἥρα σιωπᾷ, φειδομένη ὀλιγάκις λέγειν τὰ μὴ σεμνά, «ἔστιν τοι θάλαμος, τόν τοι φίλος υἱὸς ἔτευξεν, Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσεν», ὃ καὶ πρὸ ὀλίγων ἐγράφη. «ἔνθ’ ἴομεν κείοντες», ὅ ἐστι κοιμηθησόμενοι, «ἐπεὶ νύ τοι εὔαδεν εὐνή», ὃ διασαφητικόν ἐστι τοῦ «εἰ δὴ ἐθέλεις», καὶ τοῦ «καί τοι φίλον ἔπλετο θυμῷ». Ἐν τούτοις δὲ καὶ ἐπιπλήττειν προσποιεῖται ἡ κακομήχανος, αἰνότατον εἰποῦσα τὸν Δία καὶ ὡς ἀπηρυθριακότα μέμφεται ἐν τῷ «ποῖον τὸν μῦθον ἔειπες», καὶ ἀκκίζεται. καὶ λαλεῖ μὲν ἀγαθά, πλὴν Ὁμηρικῇ μεθόδῳ μετὰ τέχνης λαλεῖ. θέλει γὰρ ἐν θαλάμῳ κατακλεῖσαι τὸν μυθικὸν Δία, ἔνθα δῆθεν κρύψεται τὰ προφαινόμενα, ὡς ἂν ἔχῃ πάντη λανθάνειν αὐτὸν τὰ Ἑλληνικά. ὁ δὲ οὐ πείθεται, συννοούμενος, φασίν, ὡς ἅπας τόπος τῇ κατὰ νόμον συνόδῳ θάλαμός ἐστιν, ἐν ἀθέσμῳ δὲ ὁμιλίᾳ τὸν Ἄρην οὐδ’ ἡφαιστότευκτος ὢν ὁ θάλαμος ἔκρυψεν, ὡς ἐν Ὀδυσσείᾳ μεμύθευται. Ἀλλὰ τοῦτο μὲν Διὸς νοῦς, ὡς εἰκός, ὁ δὲ ποιητὴς ἐπίτηδες περὶ τὴν Ἴδην αὐτὸν κοιμᾷ, ἵνα ἐγγύτερος ὢν ἐν τοῖς κάτω τάχιον ἀφυπνισθῇ τῇ ἐκ πολέμου βοῇ καὶ καταστήσῃ τὰ πρακτέα ὅποι χρή. (v. 337) Ὅρα δὲ ὅτι τὸ «εἰ λιλαίεαι εὐνηθῆναι» παραφράζων ὁ ποιητὴς τὸ μὲν εὐνηθῆναι σιγᾷ, ὡς προσεχῶς ἐρρέθη, τὸ δὲ λοιπὸν ἑρμηνεύων περιφραστικῶς ἔφη «εἴ τοι φίλον ἔπλετο θυμῷ». Ἰστέον δὲ καὶ ὅτι πρῶτα μὲν εἰπὼν τὸ «εἰ λιλαίεαι εὐνηθῆναι» εἶτα παραφράσας αὐτὸ ἐν τῷ «ἐπεί νύ τοι εὔαδεν εὐνή» μεταξὺ ἐλλειπτικῶς ἔθετο τὸ «ἀλλ’ εἰ δὴ ἐθέλεις», τὸ εὐνηθῆναι δηλαδὴ ἢ τὴν εὐνήν, καὶ πάλιν ὁμοίως «καί τοι φίλον ἔπλετο θυμῷ», τὸ εὐνηθῆναι δηλονότι ἢ ἡ εὐνή. οὕτω πολυδύναμος πανταχοῦ φράζειν ποικίλως ὁ ποιητής. (v. 333) Τὸ δὲ «ἔοι», ὅ ἐστιν ὑπάρχοι, τοῦ ἔον ἤρτηται δευτέρου ἀορίστου, ἐξ οὗ ἐών, ὁ ὑπάρχων. [Ὁ δὲ φόβος τοῦ «θεοῖς μετελθὼν πεφράδοι» ἀσφαλῶς ἔχει ἐκ τῶν κατὰ τὴν Ὀδύσσειαν, ἔνθα γέλως ἄσβεστος ἐνῶρτο θεοῖς ἠθροισμένοις περὶ τὸν Ἄρην καὶ τὴν Ἀφροδίτην ὁμοῦ κειμένους.

3.657 ] (v. 337) Ἐν δὲ τῷ «εἰ δή ῥ’ ἐθέλεις» οὐκ ἦν ἀνάγκη παραπεσεῖν τὸν ῥα σύνδεσμον, εἰ μὴ φίλος ἦν αὐτὸς Ὁμήρῳ, καθὰ μυριαχοῦ φαίνεται. (v. 340) Τοῦ δὲ «εὔαδεν», ὅ ἐστιν ἤρεσεν, ἡδὺ ἔδοξε, προηγεῖται τὸ ἥδω, ὅθεν ἧδε, καὶ διαλύσει ἕαδε, καὶ Αἰολικῇ ἐπενθέσει τοῦ υ εὔαδε. [Διὸ καὶ ψιλοῦται κατ’ ἔθος Αἰολικόν.] (v. 332) Ἰστέον δὲ ὅτι ἐκ τῶν εἰρημένων τὸ «τὰ δὲ προπέφανται ἅπαντα» καὶ παροιμιακῶς ἐπὶ τῶν ἅπασι δήλων δύναται λέγεσθαι [καί, ὡς εἰπεῖν, ἐπὶ τῶν προφανῶν, ὧν ἡ παραγωγὴ ἐκ τοῦ προφαίνεσθαι.] (v. 335 s.) Τὸ δὲ «οὐκ ἂν ἔγωγε πρὸς δῶμα νεοίμην, νεμεσσητὸν δέ κεν εἴη» ἐρεῖ ἄν τις αἰδούμενος οἴκοι ἐπαναστρέψαι διά τι παρεμπεσόν. (v. 337) Ὁ δὲ ἐξακολουθῶν θελήματι ἄρξηται ἂν ἐκ τοῦ «ἀλλ’ εἰ δὴ ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῷ». (v. 341—3) Ὅτι δεξιῶς ἀπορήσας, ὡς ἐρρέθη, διὰ τῆς Ἥρας ὁ ποιητὴς εὐπλαστίας χάριν καὶ πιθανότητος, πῶς ἂν ἔοι τάδε γελοῖα ὄντα καὶ οὐδὲ σεμνά, λύει τὸ ἄπορον διὰ τοῦ Διός, εἰπόντος «Ἥρη, μήτε θεῶν τό γε δείδιθι μήτε τιν’ ἀνδρῶν ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφος» καὶ ἑξῆς, ὡς αὐτίκα εἰρήσεται. (v. 342) Ἰστέον δὲ ὅτι τὸ «θεῶν» εἶχε μὲν καὶ διὰ τοῦ ο μικροῦ γραφῆναι ὡς ἑνικὴ αἰτιατική, συνετάγη δὲ ἄλλως κατὰ τὸ «ἀνδρῶν», ἵνα λέγῃ κατὰ κοινοῦ, «μήτε τινὰ θεῶν μήτε τιν’ ἀνδρῶν». (v. 343—5) Ὅτι ἐν τῷ «τοῖόν τοι ἐγὼ νέφος», ὡς καὶ πρὸ βραχέων ἐγράφη, «ἀμφικαλύψω χρύσεον, οὐδ’ ἂν νῶϊ», τουτέστιν ἡμᾶς, «διαδράκοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἠέλιός περ, οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι» πυκνότητα πολλὴν ὁ Ζεὺς δηλοῖ νέφους, οὗπερ οὐδὲ ἥλιος δίεισιν. Εἰ δέ τις ἐρεῖ τὸν μυθικὸν Ὕπνον καὶ διὰ τοῦ οὕτω πυκνοτάτου νέφους ἰδεῖν, οὐ δοκοῦντα λέγει. τὸ γὰρ πάθος μόνον τοῦ ὕπνου ἐγγίνεται τῷ Διΐ, τοῦ σωματοειδοῦς Ὕπνου ἰδόντος αὐτίκα πρῶτα τὸν Δία, πρὶν ἢ τὸ νέφος ἀμφικαλυφθῆναι. (v. 344) Χρύσεα δέ, φασὶν οἱ παλαιοί, νέφη τὰ ἐν ὑψηλῷ ἀέρι, ἃ πυροειδὴς ὢν ὁ αἰθὴρ χρυσίζειν ποιεῖ. τοιαῦτα δὲ μάλιστα τὰ ἐαρινά. Φάος δὲ Ἡλίου νῦν ἔφη τὴν ὡς ἐπὶ ὀξυδερκοῦς ὀφθαλμοῦ ὀπτικὴν ἀκτῖνα.

3.658 (v. 346) Ὅτι ἐν τῷ «ἦ ῥα», τουτέστιν ἔφη δή, «καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἣν παράκοιτιν» ἐπίτηδες καὶ ἐτράχυνε τὴν φράσιν λέξεσιν, ἵνα μὴ διόλου τὸ ἡδὺ ὁ λόγος ἔχῃ καὶ λεῖον, καὶ συνέστειλεν, ἵνα μὴ ἐμβραδύνῃ καὶ παραμείνῃ σώφροσιν ἀκοαῖς ἡ ἀκρόασις. Τὸ δὲ «ἀγκάς» οἱ μὲν ἐπίρρημα νοοῦσιν, ὡς τὸ ἑκάς καὶ ἀνδρακάς. διὸ καὶ συστέλλειν φασὶ τὴν λήγουσαν, οἱ δὲ αἰτιατικὴν νοοῦσι πληθυντικὴν τὰς ἀγκάς, ἧς τὸ ὀρθὸν αἱ ἀγκαί, ὅθεν πλεονασμῷ τῆς αλ συλλαβῆς αἱ ἀγκάλαι. καὶ συστέλλεται, φασί, τὸ α Δωριέων ἔθει. Ἐκεῖνοι γὰρ τὰς ἀπὸ τῶν εἰς ες εὐθειῶν πληθυντικὰς αἰτιατικὰς συστέλλουσιν, ὡς ἀλλαχοῦ δηλοῦται. Ἰστέον δὲ ὡς, ἐπεὶ εὑρίσκεται τὸ ἀγκάζεται ἀντὶ τοῦ περιλαμβάνει κατὰ τοὺς παλαιούς, ἀγκαλίζεται, ταῖς ἀγκάλαις ἄγει, καλὸν ἂν εἴη ἀπὸ τοῦ ἀγκάζω ἀγκάσω παράγειν τὸ ἀγκάς. (v. 347—9) Ὅτι εἰπὼν Ὅμηρος «τοῖσι δέ», ἤγουν τῇ Ἥρᾳ καὶ τῷ Διΐ, «ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην», ἐπάγει ὡς ἐν ἐκφράσει τὰ κατὰ μέρος τῆς πόας «λωτόν θ' ἑρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον πυκνὸν καὶ μαλακόν, ὃς ἀπὸ χθονὸς ὑψός' ἔεργε». Καὶ ὅρα τὴν ἔκφρασιν, χρήσιμον οὖσάν ποτε εἴς τινα παραπλοκήν. Ὅρα δὲ καὶ ὅτι τεραστίως λεχεποίης νῦν αἴφνης ἐξ αὐτομάτου πέπλασται καὶ ὁ τῆς ῥηθείσης ὀρεινῆς κορυφῆς τόπος, εἴγε νεοθηλέα ποίην φύει, ἔνθα λεξάσθην Ἥρα καὶ Ζεύς. [Οἴδαμεν γὰρ ὅτι καὶ ποταμὸς λεχεποίης λέγεται, οὗ χρήσιμος ἡ ποίη, ὅπερ ἐστὶν ἡ βοτάνη, λέγεσθαι, τουτέστιν ἐγκοιμᾶσθαι, ὃ καὶ νῦν ἡ γῆ ποιεῖ κοιταζομένοις τῇ Ἥρᾳ καὶ τῷ Διΐ. (v. 350 s.) Ἐπάγει δὲ καί, ὡς «ἐπὶ δὲ νεφέλην ἕσσαντο καλὴν χρυσείην, στιλπναὶ δ' ἀπέπιπτον ἕρσαι» χρυσέῳ νέφει πρέπουσαι. ἃ δὴ καθὰ καὶ τὸ «νέφος ἀμφικαλύψω χρύσεον», οὐ μόνον ἔπαινοι εὐαερίας εἰσίν, ἀλλὰ καὶ ἐπὶ χρυσέου ὀφόφου λεχθήσεταί ποτε, καὶ ἐπὶ εὐεργεσίας δὲ πλουτοποιοῦ, ὅθεν ὁ μῦθος ὁρμηθεὶς χρυσῆν πλάττει νεφέλην ἐκ Διὸς τοῖς Ῥοδίοις πλοῦτον ἐπιβρέξασαν ἐν ταῖς γοναῖς τῆς Ἀθηνᾶς.

3.659 Γίνεται δὲ ὁ στιλπνὸς ἀπὸ τοῦ στίλπω, ὡς θάλπω θαλπνός, καὶ τέρπω τερπνός. [Ἐκ δὲ τοῦ στίλπω καὶ ὄνομα κύριον ὁ Στίλπων. ἄρρητον δὲ τὸ στίλπω, ῥητὸν δὲ ἀντ' αὐτοῦ τὸ στίλβω, ἐξ οὗ καὶ ἡ στιλβηδών. οὕτω διφορεῖται καὶ τὸ καλύπτω. φαίνεται γὰρ καὶ καλύβω εἶναι, ὡς δῆλον ἐκ τοῦ καλύβη πλὴν ὅσον τοῦ μὲν στίλπω κοινότερον τὸ στίλβω, τοῦ μέντοι καλύβω συνηθέστερον τὸ καλύπτω. αὐτὸ δὲ ὑπονοεῖται καὶ καλύσσω καλύξω λέγεσθαι, ἀφ' οὗ τὸ κάλυξ κάλυκος. ἔχει δὲ διφόρησιν ὁμοίαν καὶ τὸ βλάπτω, καθὰ παρεσημάνθη καὶ ἀλλαχοῦ. λέγεται γὰρ αὐτὸ καὶ βλάβω, ὡς τὸ «βλάβεται δέ τε γούνατ' ἰόντι». Πολλὴ δὲ καὶ ἄλλη χρῆσις τοῦ βλάβεσθαι ποιητικὴ μᾶλλον, ἔσθ' ὅτε δὲ καὶ κοινή. ἐβλάβη γάρ φαμεν, καὶ βλαβείς βλαβέντος, οἷς συμφωνεῖ καὶ ἡ βλάβη.] Οὕτω δὲ ἀνθηρογραφήσας, φασί, τὴν τοῦ Διὸς εὐνὴν Ὅμηρος, ἵνα πρὸς τούτοις τὸν νοῦν ἔχων ὁ ἀκροατὴς μηδέν τι τῶν περιέργων φαντάζηται, ῥόδον οὐκ εἶπεν, ἐπεὶ διὰ τὸ ἀκανθῶδες οὐκ εὔθετόν ἐστιν ὑπεστρῶσθαι εἰς εὐνὴν κατὰ τὰς εἰρημένας πόας. ἴσως δὲ οὐδὲ καιρὸς ἦν βλάστης ῥόδου. καὶ γὰρ οὐδὲ σύγχρονος ἡ τοῦ ῥόδου ἄνθη τῇ τοῦ κρόκου καὶ τοῦ ὑακίνθου ἐστί. (v. 347) Τὸ δὲ «ὑπὸ χθὼν φύε ποίην» δηλοῖ καθ' ὑπέρβασιν τὸ ὑπέφυε πόαν ὡς ὑπεστρῶσθαι. τῇ δὲ πόᾳ συννοητέον καὶ τὰ κατ' αὐτὴν ἄνθη, ὡς ἂν καθὰ ἡ νεφέλη στίλβει πρὸς κάλλος, οὕτω καὶ αὐτὴ ἔχῃ κολακεύειν τῇ εὐοδμίᾳ ἐπέκεινα τοῦ εἶναι στρωμνή [καί πως ἀντισηκοῖ τὴν κοινὴν ἡδονὴν πρὸς τὰ κατ' ἰδίαν τῆς Ἥρας εὐώδη χρίσματα.] (v. 348) Ἑρσήεντα δὲ λωτὸν λέγει πρὸς διαστολὴν τοῦ ἐν Ὀδυσσείᾳ λωτοῦ, ἐκεῖνος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ οὐ τοιοῦτος, δενδρώδης ὤν. (v. 349) Τὸ δὲ «πυκνὸν καὶ μαλακόν», ὃ καὶ τῷ λωτῷ καὶ τῷ κρόκῳ καὶ τῷ ὑακίνθῳ προσαρμόττει, ἀρετὴν δηλοῖ τοιαύτης αὐτοσχεδίου στιβάδος, ἣν οὐ μόνον τὸ πυκνὸν οὐδὲ μόνον τὸ μαλακὸν ἀλλ' ἄμφω ἀγαθὴν λέξασθαι ποιεῖ.

3.660 Τὸ δὲ «ἀπὸ χθονὸς ὑψός' ἔεργεν», ἤγουν διεῖργεν εἰς ὕψος ἐκ γῆς τοὺς ἀνακειμένους, καὶ ἱκανῶς ὑψηλὴν εἶναι τὴν στιβάδα δηλοῖ. (v. 350) Τὸ δὲ «νεφέλην ἕσσαντο» περικεχύσθαι αὐτοῖς ἱματίου δίκην τὸ νέφος δηλοῖ. οὕτω γὰρ οὐκ ἄν τις διαδράκοι αὐτούς. Ἐν τούτοις δὲ προσφυῶς νεφεληγερέτην τὸν Δία Ὅμηρος προειπὼν ἐν τῷ «τὴν δὲ προσέφη νεφεληγερέτα Ζεύς», ἐπήγαγεν εὐθὺς τὸ «νέφος ἀμφικαλύψω», εἶτα τὸ «ἐπὶ δὲ νεφέλην ἑέσαντο». (v. 351) Τὸ «στιλπναί» προσφυέστερον ἢ τὸ [καλὰς καὶ] χρυσᾶς δρόσους εἰπεῖν, ὡς καὶ τὸ «ἀπέπιπτον» τοῦ κατέρρεον. [Εἰ δὲ τὸ καλὸν ἀεὶ συζυγεῖ τῷ χρυσῷ, καλῶς ἄρα καὶ ταῖς ἐξ ἡλιακῆς χρυσοφανείας χρυσέαις νεφέλαις διὰ τὸ κατ' αὐτὰς διαυγὲς καὶ διαφανὲς αὐτίκα προσεφύη καὶ τὸ φυσικὸν ἐπίθετον. ἅμα γὰρ χρυσέα νεφέλη καὶ αὐτίκα καὶ καλή. οὐκ ἂν δὲ τοιαῦται λεχθεῖεν καὶ αἱ σμικροφυεῖς δρόσοι.] Ἕερσαι δὲ Ἰωνικῶς ἀπὸ εὐθείας τῆς ἑέρση, πλεονάζει δὲ τὸ ἐξ ἀρχῆς ε , ὡς δηλοῖ τὸ «ἑρσήεντα». Ἀπίων δὲ καὶ Ἡρόδωρος προπαροξύνουσι τὴν λέξιν ὡς ἀπὸ τῆς ἕερσα προπαροξυτόνου εὐθείας, οἳ καὶ τὸν Ἀσκαλωνίτην ἠλιθίως πάνυ φασὶ γράφειν παροξυτόνως ἑέρσαι ὡς Ἑλέναι. εἰ γὰρ καὶ εὕρηται, φασίν, ἑνικὸν ἑέρση, ἀλλ' ἀπὸ τοῦ ἕερσα γέγονεν, ὡς ἄελλα ἀέλλη. Ἰστέον δὲ ὅτι παραδόξως ἡ ἕρση δασύνεται ἀπὸ τοῦ ἄρδω ἄρσω γινομένη κατὰ τοὺς παλαιούς. δῆλον δὲ τὸ δασὺ τοῦ πνεύματος ἐκ τοῦ «λωτόν θ' ἑρσήεντα», ἀκολούθως δὲ καὶ τὸ ἑέρση δασύνεται. Ὅτι καὶ ἐνταῦθα ἡ ἀνα πρόθεσις κεῖται μετὰ δοτικῆς. (v. 352 s.) Φησὶ γὰρ «ὣς ὃ μὲν ἀτρέμας εὗδε πατὴρ ἀνὰ Γαργάρῳ ἄκρῳ», εἶτα ἐπάγει «ὕπνῳ καὶ φιλότητι δαμείς, ἔχε δ' ἀγκὰς ἄκοιτιν», ὃ λειότερόν ἐστι τοῦ «ἀγκὰς ἔμαρπτε», δηλοῦν καὶ ὡς ταὐτὸν εἰπεῖν μάρπτειν ἢ ἔχειν. Σημείωσαι δὲ ὅτι ἐν μὲν τῇ νῦ ῥαψῳδίᾳ τὸ τρέψαι τὸν Δία πάλιν τοὺς ὀφθαλμοὺς τῆς εἱμαρμένης ἐδήλου ἀποστροφήν τινα, ὡς μηκέτι πάνυ τι ἐφορώσης τὴν μάχην, ἀλλ' ἀνιεμένης. διὸ καὶ ἐνίκων σφῇ ἀρετῇ, τουτέστιν ἰδίᾳ ἀνδρίᾳ, Ἕλληνες, βοηθοῦντος καὶ Ποσειδῶνος, ἤγουν τῆς τῶν Ἀχαιῶν φυγῆς ἕως καὶ εἰς θάλασσαν. ἐνταῦθα δὲ ὁ τοῦ αὐτοῦ Διὸς ὕπνος παντελῆ ἄνεσιν τοῦ ὑπὲρ τῶν Τρώων μοιριδίου δηλοῖ, καὶ διὰ τοῦτο ἐπὶ πλέον νικῶσιν Ἕλληνες διὰ τὸν αὐτὸν Ποσειδῶνα, οἷα περὶ τῶν ἐσχάτων ἐν ταῖς πρὸς τῇ θαλάσσῃ ναυσὶ κινδυνεύοντες. διὸ καὶ ὁ ποιητὴς ἐπισημανεῖται, ὅτι ὁ τοῦ Διὸς ὕπνος, ἤγουν ἡ τῆς κατ' αὐτὸν εἱμαρμένης ἄνεσις καὶ οἷον ἀνάπτωσις, μᾶλλον ἀνῆκε τὸν Ποσειδῶνα ἀμύνειν Ἀχαιοῖς.

3.661 (v. 353) Ὅρα δὲ τὸ «ὕπνῳ δαμείς». ὡς γὰρ νὺξ ἐδηλώθη δμήτειρα, οὕτω καὶ ὕπνος οἶδε δαμάζειν, ὁμοίως δὲ καὶ φιλότης, ᾗ ὁ τοιοῦτος ἕπεται. [Ἐὰν δὲ οὐ πάνυ σεμνὸν ἐνταῦθα τὸ «φιλότητι», ὡς οὐδὲ τὸ «ἀγκὰς ἔμαρπτεν», ἀλλ' ὅμως οὐκ εἶχεν ἄλλως ὁ ποιητὴς φράσαι τὸν τόπον τοῦτον σεμνότερον, εἰ καὶ μυρία ἔκαμεν εὐσχημονῶν.] (v. 357—9) Ὅτι ἐρεθιστικὸν εἰς ἐπικουρίαν τὸ τοῦ Ὕπνου πρὸς Ποσειδῶνα, ἤγουν τὸ «πρόφρων νῦν» τοῖς δεῖνα «ἐπάμυνε καί σφιν κῦδος ὄπαζε μίνυνθά περ, ὄφρ' ἔτι εὕδει» ὁ δεῖνα, ὅπερ ἐστιν ἐφερμηνευτικὸν τοῦ μίνυνθα. δῆλον γάρ, ὡς ἐπ' ὀλίγον ὁ Ζεὺς κοιμήσεται. ἔχει δὲ ὁ λόγος προαναφώνησιν, ὡς τοῦ Ποσειδῶνος ἄρτι ἐπ' ὀλίγον ἀμυνοῦντος τοῖς Ἀχαιοῖς. Ὅτι δὲ τὸ πρόφρων ἐπιρρηματικὴν ἔννοιαν ἔχει, δηλοῦται ἐν ἄλλοις εἰς πλάτος. (v. 358—60) Ὅτι πάνυ γοργῶς ὡς ἐν ἀνακεφαλαιώσει ἐπιτεμὼν διὰ τοῦ μυθικοῦ Ὕπνου ὁ ποιητὴς τὰ εἰς πλάτος περὶ Ὕπνου καὶ Διὸς καὶ Ἥρας διεσκευασμένα φησὶν «εὕδει Ζεύς, ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα, Ἥρη δ' ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι». Λέγει δὲ κῶμα μὲν τὸ ἢ κοίμημα καὶ ἐν συγκοπῇ κοῖμα καὶ κῶμα, ὡς ἀγκώνη ἀγκοίνη, ἢ τὸν ἐκ τοῦ ὕπνου κάρον, ἵνα ᾖ ἐκ τοῦ κωμαίνω κῶμα, ὡς καὶ ἐκ τοῦ δειμαίνω δεῖμα. ἴσως δὲ καὶ ὥσπερ χῶ χῶμα, βρῶ βρῶμα, τρῶ τρῶμα, ζῶ ζῶμα, οὕτω καὶ κῶ, τὸ κεῖμαι, κῶμα. ἐκ δὲ τοῦ κῶ κατὰ ἑτέραν παραγωγὴν καὶ κώμη γίνεται, ὡς γνῶ γνώμη, τρῶ τρώμη, ἡ τρῶσις, βρῶ βρώμη, βρῶσις. Μαλακὸν δὲ τὸ μαλακοποιόν, ἀνίεται γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῖς κοιμωμένοις τὸ συντεταμένον καὶ στερέμνιον. (v. 361 s.) Ὅτι δημοεγέρτῃ ἀνδρὶ ἐπιλεχθήσεται τὸ «ὃ μὲν ᾤχετ' ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων», θερμῷ δὲ βοηθῷ τὸ «τὸν δ' ἔτι μᾶλλον ἀνῆκεν ἀμυνέμεναι». Ἰστέον δὲ ὅτι καὶ ἐπὶ σκωπτικοῦ ἀνθρώπου ῥηθείη ἂν τὸ πρῶτον. ὁ γὰρ μῶμος τῶν ἐνδόξων ἅπτεται, ὡς καὶ ὁ φθόνος ἐπὶ τὸν ἔχοντα ἕρπει. λέγοι δ' ἂν ἴσως κλυτὰ φῦλα ἀνθρώπων ὡς πρὸς διαστολὴν τῶν τοῦ ἀλόγου ζῴου εἰδῶν. (v. 363) Προμάχου δὲ ἴδιον τὸ «αὐτίκα δ' ἐν πρώτοισι μέγα προθορὼν ἐκέλευσεν». (v. 364—9) Ἐρεθιστικὸν δὲ κατὰ ἐχθροῦ θρασυνομένου κατά τινων δι' ὀργὴν τοῦ αὐτοῖς ἀμύνοντος τὸ «καὶ δ' αὖτε μεθίεμεν», ἤγουν ἀμελοῦμεν καὶ ἀφίεμεν, τῷ δεῖνι «νίκην, ἵνα κῦδος ἄρηται. ἀλλ' ὃ μὲν οὕτω φησὶ καὶ εὔχεται», ὅ ἐστιν αὐχεῖ, καυχᾶται, «οὕνεκα ὁ δεῖνα μένει κεχολωμένος ἦτορ.

3.662 κείνου δ' οὔ τι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι ἡμεῖς ὀτρυνώμεθ' ἀμυνέμεν ἀλλήλοισι», Ποσειδῶν δὲ ταῦτά φησι καθ' Ἕκτορος θρασυνομένου διὰ τὴν τοῦ Ἀχιλλέως μῆνιν. [(v. 364) Τὸ δὲ «νίκην» ἔχον ἐπαγόμενον τὸ «κῦδος ἄρηται» διδάσκει ὅτι καὶ νίκης τέλος ἡ τιμή ἐστιν. Ὅτι δὲ νίκη καὶ πόλεώς ἐστιν ὄνομα, ἧς παράγωγον ἡ Νίκαια κατὰ τὸ φώκη Φώκαια, ἔγνωσται τοῖς περὶ λόγους, καὶ ὅτι πολλῶν παρωνυμουμένων τῇ νίκῃ παρώνυμος αὐτῇ ἐστι καί τις ἑταίρα περιώνυμος, Νίκιον, ἢ μετὰ ἄρθρου ἡ Νίκιον ἐλέγετο σχήματι ἀρχαίῳ κατὰ τὸ ἡ Χελιδόνιον καὶ ἡ Ἀηδόνιον καὶ τὰ τοιαῦτα.] (v. 367) Ὅρα δὲ ὅτι καὶ ἐνταῦθα ὁ χόλος ἀντὶ μήνιδος κεῖται ἐν τῷ «οὕνεκα Ἀχιλλεὺς μένει κεχολωμένος ἦτορ», ὃ καὶ τὴν μῆνιν ὑπεμφαίνει ἐκ τοῦ «μένει κεχολωμένος». ἀπὸ τοῦ μένειν γὰρ ἡ μῆνις, αὐτὴ δὲ οὐδὲν ἀλλ' ἢ μένων χόλος ἐστί. Καὶ ὅτι ὁ Ποσειδῶν μεμνημένος, ὡς εἶπέ ποτ' Ἀχιλλεύς, ὅτι ποθὴ αὐτοῦ ἔσται τοῖς Ἀχαιοῖς, φησὶ τὸ «οὐ λίην ποθὴ ἐκείνου ἔσται» καὶ ἑξῆς. καὶ ἔστι καὶ τοῦτο τοῖς Ἀχαιοῖς ἐρεθιστικὸν εἰς τὴν ὑπὲρ ἀλλήλων ἄμυναν. Καὶ σημείωσαι ὡς καὶ πάλιν εἰς νοῦν ἀνασκάλλει συνήθως τὸν Ἀχιλλέα οὐκ ἀπεχόμενος αὐτοῦ ὁ ποιητής. (v. 371—7) Ὅτι ὀτρύνας ὁ Ποσειδῶν, ὡς ἐρρέθη, τοὺς Ἀχαιούς, εἶτα καὶ στρατηγικῶς ὑποτίθεται ταῦτα «ἀσπίδας», φησίν, «ὅσσαι ἄρισται ἐνὶ στρατῷ ἠδὲ μέγισται ἑσσάμενοι, κεφαλὰς δὲ παναίθῃσι κορύθεσσι κρύψαντες, χερσίν τε τὰ μακρότατ' ἔγχε' ἑλόντες ἴομεν· αὐτὰρ ἐγὼν ἡγήσομαι. οὐδέ τί φημι Ἕκτορα μενέειν μάλα περ μεμαῶτα. ὃς δέ κ' ἀνὴρ μενέχαρμος, ἔχει δ' ὀλίγον σάκος ὤμῳ, χείρονι φωτὶ δότω, ὃ δ' ἐν ἀσπίδι μείζονι δύτω», ἵνα δηλαδὴ ἀσφαλέστερον ἔχοντες οἱ ἄριστοι προθύμως κινδυνεύοιεν. Καὶ οὕτω λαμπρὰν ὁ Ποσειδῶν ἀρτύει πρὸς ταῖς ναυσὶ μάχην, εἰ καὶ ἐπ' ὀλίγον, ὡς καὶ προανεφώνησεν Ὅμηρος ἐν τῷ «ὄφρ' ἔτι εὗδε Ζεύς». Εἰ δ' ἐπισφαλὲς δοκεῖ τὸ ἐν ἀκμῇ τοιαύτης μάχης ὅπλα μετενδιδύσκεσθαι, ἀλλὰ νοητέον, φασίν, ὡς εἰς ὀλίγους ἡ συμβουλὴ ἐνηργήθη, τοὺς παντελῶς δηλαδὴ ἀνακεχωρηκότας καὶ ἱσταμένους ἀργούς.

3.663 ἄλλως γὰρ οὐκ ἂν ὡμολόγησέ τις μαχόμενος χείρων ἑτέρου εἶναι, ὅπως μὴ ἀφαιρεθείη καὶ ἄκων τὴν τῶν ὅπλων ἀσφάλειαν. οἱ δέ γε ἀφεστῶτες τῆς μάχης ῥᾷον ἂν ἀπεγυμνοῦντο διὰ τὸ πολὺ τοῦ κινδύνου, ἐπεὶ κατὰ τοὺς παλαιοὺς καὶ τῶν συμπλεόντων ἐν κινδύνῳ οἱ εὐψυχότεροι τοὺς ναύτας παρωσάμενοι αὐτόχειρες γίνονται τῶν τοῦ πλοίου σκευῶν καὶ οἱ ναῦται ἀνέχονται. διὸ καὶ οἱ λοιποὶ Ἕλληνες οἱ ἔτι μαχόμενοι, τὸ γινόμενον βλέποντες, γενναιότερον ἂν ἐμάχοντο, φιλοτιμούμενοι ἐπὶ πλέον, εἰδότες ὡς, ἐὰν καὶ αὐτοὶ ἀπόμαχοι γένωνται, ζῶντες ὑπὸ τῶν φυλετῶν σκυλευθήσονται. Σημείωσαι δὲ ὅτι καὶ νῦν διὰ τοῦ δῆθεν Ποσειδῶνος οἱ ἐκ τοῦ αἰγιαλοῦ ἀνελθόντες βασιλεῖς τὰ τοιαῦτα καὶ πείθουσι καὶ ποιοῦσι. (v. 379—82) Διὸ καὶ ὁ ποιητὴς αὐτὸ εὐθὺς ἐπισημαινόμενός φησι «τοὺς δ' αὐτοὶ βασιλῆες ἐκόσμεον», οἷα καὶ κοσμήτορες, «οὐτάμενοί περ, Τυδείδης Ὀδυσσεύς τε καὶ Ἀγαμέμνων, οἰχόμενοι δ' ἐπὶ πάντας ἀρήϊα τεύχε' ἄμειβον. ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρηα δὲ χείρονι δόσκε». Καὶ ὅρα τὸ τῆς φράσεως ταύτης καὶ σύντομον καὶ τέλειον. (v. 382) Τὸ δὲ «χείρονι δόσκε» δόσκον γράφουσιν οἱ ἀκριβέστεροι, τουτέστιν ἐδίδουν οἱ βασιλεῖς. ἄλλως γὰρ οὐκ ἦν τοῦτο γενέσθαι ὑπὸ τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τυχόντων ἐσθλῶν. Φασὶ δὲ οἱ παλαιοὶ ἀναλογίαν εἶναι τοῦτο γεωμετρικήν, τουτέστι τὴν κατὰ ποιότητα καὶ κατὰ ἀξίαν, τὸ τοῖς ἀρίστοις δηλαδὴ διδόναι τὰ πρέποντα. Ὁ δὲ στίχος οὗτος παρῳδηθήσεταί ποτε καὶ ἐπί τινων τοὺς μὲν ἀξίους εὐεργετούντων, τοῖς δὲ μικροῖς διδόντων τὰ πρέποντα. Ἐσθλὰ δὲ ὅπλα φησὶ τὰ τῇ κατασκευῇ βελτίονα καὶ οὐχ' ἁπλῶς τὰ ἐξ ὕλης τυχὸν τιμίας ἢ ἄλλως πολυτίμητα ἢ ἀξιοθέατα. Ὅρα δὲ τὴν τοῦ Ποσειδῶνος ἐν ἀρχῇ συμβουλὴν συχνοῖς παρίσοις γλυκαινομένην ἐπίτηδες, τῷ «ἀσπίδας καὶ κεφαλάς», τῷ «ἄρισται ἠδὲ μέγισται», τῷ «παναίθῃσι κορύθεσσι», τῷ «κρύψαντες καὶ ἑλόντες», ἐκφανέστατον δ' ἐν αὐτοῖς τὸ «χείρονι φωτὶ δότω» καὶ «ἐν ἀσπίδι μείζονι δύτω». καί πως τὰ τοιαῦτα καλὰ σχήματα συνεκλάμπει τοῖς ἐνταῦθα ἐσθλοῖς καὶ φαεινοῖς τεύχεσιν, ἅπερ ἀρήϊα ἔφη πρὸς διαστολὴν ἑτέρων τευχέων ὁ ποιητής. οὐχ' ἁπλῶς δὲ ἀσπίδων ἀρίστων χρεία νῦν, ἀλλὰ καὶ μεγίστων. χρὴ δὲ καὶ ἔγχη ἑλεῖν ἀκολούθως, οὐ μακρὰ οὕτως ἁπλῶς ἀλλὰ μακρότατα, ὁποῖα τὰ μετὰ βλήτρων δύο καὶ εἰκοσιπήχεα. χρήσιμα γὰρ ταῦτα μάλιστα τειχομαχίᾳ καὶ ναυμαχίᾳ καὶ ὅλως τῇ σταδαίᾳ μάχῃ καὶ μὴ πολυάϊκι.

3.664 (v. 372) Τὸ δὲ «ἑσσάμενοι» ἐπὶ ἀσπίδων φανερῶς καὶ νῦν ἀντὶ τοῦ περιθέμενοι, ὁμοίως τῷ «νεφέλην ἕσσαντο». Τὸ δὲ «παναίθη κόρυς» βαρύνεται ἢ ὡς σύνθετον. ὡς γὰρ καλός πάγκαλος, κακός πάγκακος, οὕτως αἰθός πάναιθος, οὗ θηλυκὸν ἡ παναίθη, ὡς ἡ παγκάλη. ἢ καὶ ἄλλως κανόνι τοιούτῳ· τὰ εἰς η λήγοντα θηλυκὰ δισύλλαβα ὀξυνόμενα, μὴ γινόμενα ἐν τῇ συνθέσει κύρια, μετὰ προθέσεως μὲν φυλάσσει τὸν τόνον, οἷον ἐπιτομή, ἀνατομή, ἐπιτολή, ἀνατολή, ἐπιρροή—τὸ ἀναρρόη σημειωτέον βαρυνόμενον—, μετὰ δὲ ἄλλου τινὸς ἀνάγει τὴν τάσιν, ἱστοδόκη, καπνοδόκη, ὑδρορρόη, Καλλιρόη, οἰνοχόη, παναίθη κόρυς ἡ λαμπρά. οὕτως ὁ Εὐφράνωρ, οἱ πλείους δὲ ὀξύνουσι τὴν τοιαύτην λέξιν, ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου δηλοῦται, φυλάσσοντες τὸν τοῦ ἁπλοῦ τόνον, οὗ χρῆσις παρὰ τῷ Κωμικῷ ἐν τῷ «αἰθὸς γεγένημαι». (v. 374) Τὸ δὲ «αὐτὰρ ἐγὼν ἡγήσομαι» στρατηγοῦ ἀνδρείου ἐστίν. ἄλλως γὰρ λόγοις μόνοις ἐρεθίζειν μὴ καὶ ἔργου ὡς τὰ πολλὰ κατάρχοντα εὐχερές τε καὶ οὐδὲ μέγα. (v. 376) Τὸ δὲ «μενέχαρμος» ὅμοιον μὲν τῷ μενεπτόλεμος καὶ μενεδήϊος, ἐναντίον δὲ πρὸς τὸ φύξηλις καὶ πρὸς τὸ δειλός. (v. 376) Τὸ δὲ «ὀλίγον σάκος» ἀντὶ τοῦ μικρόν καὶ ἔμπαλιν ἔχον πρὸς τὴν μεγίστην ἀσπίδα. οὕτω καὶ ὁ Κύκλωψ ὀλίγον τὸν Ὀδυσσέα ἔφη κατασμικρύνων ἐκεῖνον. Σημείωσαι δὲ καὶ ὅτι, ὥσπερ πρὸ ὀλίγων τὸ βεβλήατο γενικὴ λέξις ἦν ἐπὶ τοῦ βασιλέως καὶ τοῦ Ὀδυσσέως καὶ τοῦ Διομήδους, οὕτω καὶ ἐνταῦθα τὸ οὐτάμενοι. συμπεριελήφθη γὰρ τοῖς δυσὶν οὐταμένοις ὁ βεβλημένος Τυδείδης, οὗ τὸ ἀνάπαλιν ἐκεῖ γέγονεν. (v. 384—7) Ὅτι ἦρχε τοῖς Ἀχαιοῖς ὁ Ποσειδῶν «δεινὸν ἄορ τανύηκες ἔχων ἐν χειρὶ παχείῃ, εἴκελον ἀστεροπῇ· τῷ δ' οὐ θέμις ἐστὶ μιγῆναι ἐν δαῒ λευγαλέῃ, ἀλλὰ δέος ἰσχάνει ἄνδρας». οἰκεῖος δὲ ὁ λόγος ἐπὶ παντὸς ξιφηφόρου ἀνδρείου. (v. 388—91) Λέγει δὲ καὶ ὅτι Τρῶας δ' ἑτέρωθεν ἐκόσμει φαίδιμος Ἕκτωρ, πάνυ σεμνύνων αὐτόν, εἴπερ ἀντίπαλος τῷ Ποσειδῶνι τάττεται, αὐτὸς μὲν Τρώεσσιν, ἐκεῖνος δὲ Ἀργείοις ἀρήγων, «οἳ δὴ τότε αἰνοτάτην», φησίν, «ἔριδα πολέμοιο τάνυσαν», ἤγουν διὰ παντὸς τοῦ ναυστάθμου ἤγαγον. τὸ δὲ ῥῆμα τοῦτο καὶ προείρηται ἄλλως ὑπὸ τοῦ ποιητοῦ κάλλιον. (v. 384) Ὅρα δὲ ὅτι τὸ ἄρχειν εἰς ταὐτὸν δοκεῖ ἄγεσθαι τῷ κοσμεῖν, ἐν οἷς φησιν, ὅτι ἐν Ἀχαιοῖς μὲν ἦρχε Ποσειδῶν, Τρῶας δ' ἑτέρωθεν ἐκόσμει φαίδιμος Ἕκτωρ.

3.665 εἰ μὴ ἄρα κοσμεῖν μέν ἐστι τὸ τάττειν, ἄρχειν δὲ τὸ ἁπλῶς προηγεῖσθαι παρατάξεως. διὸ οἱ βασιλεῖς μὲν ἐκόσμεον καὶ ὁ Ἕκτωρ ἐκόσμει, Ποσειδῶν δὲ ἡγεῖται, ὡς πρὸ ὀλίγου ἐρρέθη, ἔτι δὲ καὶ ἄρχει ὁ αὐτὸς τοῖς Ἀχαιοῖς. Ὅρα δὲ καὶ ὅτι οὐ μόνον ἔγχος πρὸ τούτων, ἀλλ' ἰδοὺ καὶ ἄορ ἀστραπῇ διὰ τὸ λαμπρὸν εἰκάζεται. [Ἔτι καὶ τανύηκες τὸ τοιοῦτον ἄορ κατὰ τὸ πρὸ τούτων μακρὸν τὸ Θρηΐκιον. πρέπει δὲ προσώπῳ μεγάλῳ μακρὸν ξίφος.] (v. 386) Τὸ δὲ «οὐ θέμις ἐστίν» ἀντὶ τοῦ οὐ δυνατόν. ὅθεν καὶ τὸ ἐθέμωσεν ἐν Ὀδυσσείᾳ ἀντὶ τοῦ δυνατὸν ἐποίησεν. Ὅτι δὲ

καὶ θεμίσσειν ῥῆμά ἐστιν, ἐξ οὗ μάλιστα ἡ θέμις, καὶ ὅτι σύστοιχος ἡ θέμις καὶ ὁ θεσμός, ἤδη δὲ καὶ τὸ τέθμιον, ὅ ἐστι νόμιμον, δηλοῦσιν οἱ παλαιοί. (v. 387) Τὸ δὲ «μιγῆναι ἐν δαΐ», ὅ ἐστι ψαῦσαι ἢ πελάσαι κατὰ τὴν μάχην, πρὸς διαστολὴν εἴρηται τοῦ καθ' ἕτερον καιρὸν ποιῆσαι τοῦτο, οἷον ἐν γυμνασίᾳ ἢ πείρᾳ τινί. Τὸ δὲ «ἰσχάνει» ἀντὶ τοῦ ἴσχει, ἔχει, καὶ δηλοῦται περὶ αὐτοῦ πολλαχοῦ. παράγωγον δὲ τούτου ἐν ἄλλοις τὸ ἰσχανᾶν, ὅ ἐστιν ἐπιθυμητικῶς ἀντέχεσθαι. [(v. 389) Τὸ δὲ «ἔριδα πολέμοιο» πρὸς διαστολὴν ἑτεροίων ἐρίδων διώρισται.] (v. 392) Ὅτι τερατῶδες τὸ «ἐκλύσθη δὲ θάλασσα ποτὶ κλισίας τε νέας τε Ἀργείων», οἷον ἐκλυδωνίσθη, ὡς οἷον συναγανακτοῦσα τῷ τῆς ὑγρᾶς οὐσίας ἐπιστάτῃ Ποσειδῶνι καὶ συναγωνιῶσα. Καὶ ὅρα, ὡς δι' αὐτῆς μὲν ἰόντος τοῦ Ποσειδῶνος ἄταλλε κήτεα καὶ ἡ θάλασσα γηθοσύνῃ διΐστατο, ὄντος δὲ πρὸς τῷ αἰγιαλῷ μόνον κλύζεται. οὕτω καὶ ἐν Ὀδυσσείᾳ Κύκλωπος ἀφέντος λίθον ἐκλύσθη θάλασσα κατερχομένης ὑπὸ πέτρης, ἤγουν κλύδωνά τινα ἔπαθε διὰ τὸ τῆς πέτρας μέγεθος. (v. 394) Ὅτι ξυνελθεῖν εἰπὼν Τρῶας καὶ Ἀργείους μεγάλῳ ἀλαλητῷ, τουτέστι φωνῇ, ὡς κατωτέρω φησί, θέλει μὲν παραβολῇ πρὸς τὸν τοιοῦτον μέγαν ἀλαλητὸν χρήσασθαι, ἀφεὶς δὲ τοῦτο καινοτάταις τρισὶν ἐνταῦθα χρᾶται οὐ παραβολικαῖς ὁμοιότησιν ὁμοῦ κειμέναις, ἀλλ' ὑπερβολικαῖς ὁμοιοτήτων αὐξήσεσι, τῇ ἀπὸ θαλάσσης, τῇ ἀπὸ πυρός, καὶ τῇ ἐξ ἀνέμου, τριῶν τούτων ἐν ἀνθρώποις ἰσχυροτάτων.

3.666 (v. 394—401) Καί φησιν ἑκάστην ὑπερβολὴν δυσὶ στίχοις ἐμπεριγράφων οὕτως «οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ ποτὶ χέρσον ποντόθεν ὀρνύμενον πνοιῇ Βορέω ἀλεγεινῇ, οὔτε πυρὸς τόσσος γε ποτὶ βρόμος αἰθομένοιο οὔρεος ἐν βήσσῃς, ὅτε τ' ὤρετο καιέμεν ὕλην, οὔτ' ἄνεμος τόσσον γε ποτὶ δρυσὶν ὑψικόμοισιν ἠπύει, ὅς τε μάλιστα μέγα βρέμεται χαλεπαίνων, ὅσση», ἢ τόσση, «ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνή, δεινὸν ἀϋσάντων, ὅτ' ἐπ' ἀλλήλοισιν», ἤγουν κατ' ἀλλήλων, «ὄρουσαν». Ἰστέον δὲ ὡς ἐνταῦθά φασιν οἱ παλαιοὶ ἐπαινοῦντες τὰ ῥηθέντα, ὅτι κῦμά τε πελάγιον περιρρησσόμενον ἀποκρότῳ τόπῳ πάνυ μέγα βοᾷ πρὸς χέρσον ἀντίτυπον, καὶ βρόμος δὲ πυρὸς οὐ κατοικιδίου οὐδ' ἐν ἀκρωρείᾳ ὕλης ψιλῇ, ἀλλ' ἐν βήσσαις ὄρους ὅλου ἐμπιπραμένου μέγιστόν τι καὶ αὐτὸς βρέμει, καὶ ἄνεμος δὲ βαρύτατόν τι ἠχεῖ, ὅτε οὐ διὰ μαλακοῦ θέει ἀέρος ἀνεμποδίστως οὐδὲ τῶν ταπεινῶν ὑπερφέρεται, ἀφ' ὧν οὐδὲ πολὺς ὁ ἦχος γίνεται, ἀντιτυποῖ δὲ δρυσὶν ὑψικόμοις ἀντιτετειχισμέναις οἷον αὐτῷ, ὅτε καὶ μάλιστα μέγα βρέμεται, οὐχ' ἁπλῶς πνέων ἀλλὰ χαλεπαίνων. ἐχρήσατο μὲν οὖν Ὅμηρος ἀλλαχοῦ σποράδην καθ' ὁμοιότητα καταφατικῶς ταῖς ἀπὸ τούτων συνήθως τῶν τριῶν παραβολαῖς, οἷον ὅτε εἶπεν, ὡς «βέβρυχε μέγα κῦμα ποτὶ ῥόον», καὶ «ὡς δ' ἀναμαιμάει θεσπιδαὲς πῦρ», καὶ «ὡς δ' Εὖρός τε Νότος τε ἐριδαίνετον». ἐνταῦθα δὲ οὐκ αὐτόχρημα, ὡς ἐρρέθη, παραβολαῖς χρᾶται, ἀλλ' ὑπερβολαῖς κατὰ τοὺς παλαιούς, οἷα μὴ ἔχων πρὸς θάλασσαν ἢ πρὸς πῦρ ἢ πρὸς ἄνεμον εἰκάσαι τὸ τοῦ πολεμικοῦ ἤχου μέγεθος, καὶ οὐκέτι κατὰ θέσιν παραβολικήν, ἀλλὰ κατὰ ἄρσιν λαλεῖ ἐξ ἀφαιρέσεως, καινότερον, ὡς ἔφαμεν, τὸν λόγον μεταχειριζόμενος καὶ ἐξ ἀνομοίων καὶ ἀσυγκρίτων λαμβάνων τὴν τοῦ πράγματος ὁμοιότητα, μᾶλλον μὲν οὖν καὶ ἐμφαίνων τὴν ὁμοιότητα καὶ ὑπεραναβαίνων αὐτὴν διὰ τῆς ἀποφάσεως ἐν τῷ εἰπεῖν, ὡς οὔτε θάλασσα τόσον βοᾷ, οὔτε πυρὸς τόσσος βρόμος, οὔτ' ἄνεμος τόσον ἠπύει, ὅσον ἐφώνουν ἑκάτερος ὁ στρατός. καὶ ἐρωτήσοι μὲν ἄν τις τὸν ποιητήν, πόση τις ἦν τότε βοή, ὁ δὲ φαίη ἂν ὅσην οὐκ ἔχω εἰπεῖν. τοῦτο μόνον λέγω ὡς οἵαν οὐδ' ἂν τὰ παρ' ἡμῖν ἰσχυρότατα δύναιντο ἀποτελεῖν. Καὶ οὕτω μεγεθύνει τὸ πρᾶγμα τῇ ἀορίστῳ καὶ δυσευρέτῳ τῶν ἀρρήτων παραβολῶν ὁμοιότητι. εἰ δέ τις βούλοιτο ῥηθῆναι καὶ ποσότητα βοῆς ἔν τινι καταφάσει, μετασχηματίσας τὴν εἴτε παραβολικὴν εἴτε ὑπερβολικὴν ἀπόφασιν ἐρεῖ, ὅτι φωνὴ Τρώων ἦν καὶ Ἀχαιῶν ὑπὲρ κύματος βοήν, ὑπὲρ ἦχον ἀνέμου, ὑπὲρ βρόμον πυρός. Ἰστέον δὲ ὅτι αἱ ῥηθεῖσαι αὐξητικαὶ παραβολαί, αἱ τὴν μὲν ἰσότητα ἢ ὁμοιότητα ὑπερβαίνουσαι, δηλοῦσαι δὲ πραγμάτων ὑπερβολήν, ἐκ τοιαύτης μεθόδου γίνονται.

3.667 ὅτε μὲν ὁμοιότης ἐστὶ τοῦ προκειμένου πράγματος μετὰ τῆς παραβολῆς, τότε καταφατικῶς ἡ παραβολὴ σχηματίζεται, λεγόντων ἡμῶν ὅτι, ὥσπερ ἐκεῖνό τι γίνεσθαι εἴωθεν, οὕτω καὶ τοῦτο γίνεται, οἷον, ὥσπερ σῦς θυμωθεὶς πῦρ δέδορκεν, οὕτως ἀπαραλλάκτως καὶ ὁ δεῖνα ὅτε θυμοῦται. ἡνίκα δὲ τὸ ὑποκείμενον μεῖζον δείκνυται τοῦ παραβολικοῦ πράγματος, τότε ἀποφατικῶς τὴν παραβολὴν σχηματίζομεν, λέγοντες ὡς οὐχ' οὕτως ἐκεῖνό τι πέφυκε γίνεσθαι, ὥσπερ τοῦτο γίνεται, οἷον· οὐχ' οὕτως ὕπνος ἐκλύει τὰ μέλη, ὡς ὁ οἶνος αὐτὰ παρίησι. Τοιαῦτα τὰ ῥηθέντα Ὁμηρικά· οὐχ' οὕτω θάλασσα ἢ πῦρ ἢ ἄνεμος ἠχεῖ, ὡς ὁ νῦν μέγας πόλεμος, εἰ καὶ ἐν ἄλλῳ καιρῷ κατὰ κῦμα καὶ πῦρ καὶ ἀνέμους ἐριδαίνοντας εἶχεν ἡ μάχη τὰ εἰς ἦχον. Εἰσὶ δὲ τοιαῦται παραβολαὶ καὶ παρὰ τῷ γλυκυτάτῳ Ὀππιανῷ, ἔχει δέ τί που ὅμοιον καὶ ἡ Ὀδύσσεια. σχηματίζει δὲ καὶ ὁ Περιηγητὴς Διονύσιος οὕτω σύγκρισιν ἑορταστικήν, ἔνθα λέγει ὡς οὐχ' οὕτως οἱ δεῖνα πανηγυρίζουσιν, ὡς τὸ δεῖνα ἔθνος. Σημείωσαι δὲ ὅτι δυνάμενος εἰπεῖν ὡς οὔτε θάλασσα οὔτε πῦρ οὔτε ἄνεμος, μόνον τὸν ἄνεμον κατ' εὐθεῖαν ἔφρασε, τὰ δὲ λοιπὰ δύο κατὰ πλαγίας περιέφρασε. πλήν ἐστι καὶ ἐν αὐτοῖς ποικιλία τις. ἐν μὲν γὰρ τῷ «οὔτε θαλάσσης κῦμα» μέρος τοῦ ὅλου τὸ κῦμα, ἐν δὲ τῷ «οὔτε πυρὸς βρόμος» συμβεβηκὸς τῷ πυρὶ ὁ βρόμος. εὐειδὴς δὲ ἐπιμονὴ διὰ τὸ ἀποφατικὸν τὸ οὔτε θάλασσα οὔτε πῦρ οὔτε ἄνεμος. Ὅρα δὲ καὶ ἐπίχυσιν ἰσοδυνάμων λεξέων ἐν τῷ βοάᾳ καὶ ἠπύει καὶ ἀϋσάντων. ταὐτὸν γὰρ βοᾶν καὶ ἠπύειν καὶ ἀΰειν, ὡσαύτως καὶ τὸ φωνεῖν, ὡς «δῆλον ἐκ τοῦ «ὄσση ἔπλετο φωνή», ἤδη δὲ καὶ τὸ λαλεῖν, ὡς ὑπεμφαίνει ὁ μέγας ἀλαλητός, ἴσως δὲ καὶ τὸ βρέμειν, ὃ καὶ βρέμεσθαι λέγεται, ὡς δῆλόν ἐστιν ἐκ τοῦ «μέγα βρέμεται». (v. 399) Ἰστέον δὲ καί, ὅτι οὐ μόνον ἐπὶ ἀνέμου τὸ βρέμειν, ἀλλὰ καὶ ἐπὶ πυρὸς αἰθομένου. διὸ καὶ ὁ βρόμος ἁρμόττει αὐτῷ, ἔνθα καὶ ἀκριβῶς πρόσκειται τὸ «αἰθομένοιο». οὐ γὰρ ἁπλῶς πᾶν πῦρ βρέμει, οὐδὲ τὸ ἁπλῶς αἰθόμενον, ἀλλὰ τὸ καὶ πολλῇ ὕλῃ ἐμπεσόν. ἄνθρακες γὰρ καὶ φῶτα μικρὰ καὶ σπινθῆρες καὶ ὅσα τοιαῦτα ποῖον ἂν βρόμον ἀπηχήσωσιν; (v. 394) Ἐν τούτοις δὲ θαλάσσης μὲν κῦμα ἐρρέθη πρὸς διαστολήν. κυμαίνονται γὰρ καὶ λίμναι καὶ ποταμοί, ἀλλ' οὐχ' οὕτω. Τὸ δὲ «ποτὶ χέρσον» ἀκριβῶς πρόσκειται, ὡς ἐκεῖ μάλιστα τῶν κυμάτων ἀντιπαιομένων καὶ οὕτω πάνυ βοώντων. (v. 395) Τὸ δὲ «ποντόθεν» ἀκρίβειαν ἔχει καὶ αὐτό. χρὴ γὰρ πόρρωθεν καταπνεῖσθαι τὴν θάλασσαν, καὶ οὐδὲ ἁπλῶς ἀνέμῳ ἠρεμαίῳ, ἀλλὰ ἀλεγεινῷ, εἰ μέλλει βυσσόθεν ὀρνυμένης αὐτῆς δεινὰ βοᾶν πρὸς τῇ χέρσῳ τὸ κῦμα.

3.668 (v. 394) Τὸ δὲ «βοάᾳ» διὰ πλείονα καὶ νῦν ἤχου ἔμφασιν ἐν δυσὶν ἄλφα κεῖται. (v. 395) Τὸν δὲ Βορέαν κατὰ τὸ παρατυχὸν παρέλαβε, καὶ ἄλλοις γὰρ ἀνέμοις κυμαινομένη θάλασσα πάνυ βοᾷ. Τὸ δὲ «Βορέω» Ἰωνικόν ἐστι, συγκοπὲν ἐκ τοῦ Βορέεω, καθὰ καὶ τὸ Ἑρμείω ἐκ τοῦ Ἑρμείεω, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. (v. 396) Ἐν δὲ τῷ «πυρὸς ποτὶ βρόμος» οὐ δοκεῖ πρὸς σύνταξιν οἰκειοῦσθαι ἡ πρόθεσις, ἀλλὰ περιττῶς κεῖσθαι πρὸς μέτρου τελείωσιν. (v. 397) Τὸ δὲ «ὤρετο καίειν ὕλην» συγγενές ἐστι τῷ ὀρνυμένῳ κύματι, ἐπεὶ καὶ ἐκ τοῦ ὄρω γίνεται τὸ ὄρνυμι. (v. 398) Τὸ δὲ «δρυσὶν ὑψικόμοισιν» Ἀγαθοκλῆς, ὡς οἱ παλαιοί φασι, δρυσὶν ἰξοφόροισι γράφει. αἱ μὲν γὰρ ἄκαρποι, φησί, καὶ πλατύφυλλοι ἐρίφλοιοι καλοῦνται παρὰ Περγαμηνοῖς, αἱ δὲ λεπτόφλοιοι καὶ καρποφόροι ἡμερίδες, ὡς καὶ ὁ ποιητὴς ἐν Ὀδυσσείᾳ «ἡμερὶς ἡβώωσα». καὶ τοὺς ἐπὶ τούτων εὐανθοῦντας βότρυς σταφυλὰς καλοῦσιν, ἐξ ὧν καὶ ὁ ἰξὸς γίνεται. ἡ γὰρ ἄκαρπος δρῦς, φησί, κηκιδοφόρος ἐστίν. Ὅτι δὲ δρύες τινὲς ἡμερίδες εἰσέτι καὶ νῦν λέγονται, οἱ περὶ Θρᾴκην οἴδασιν. [Ἀλλὰ ταῦτα μὲν περὶ χερσαίων δρυῶν, τὰς δὲ θαλασσίας ὁ Μεγαλοπολίτης ἱστορεῖ Πολύβιος, λέγων, ὡς καὶ Ἀθήναιος παρασημειοῦται, περί που τὴν δυτικὴν Ἰβηρίαν δρῦς εἶναι κατὰ βάθους, ὧν τὸν καρπὸν σιτουμένους τοὺς θύννους πιαίνεσθαι. διὸ οὐκ ἄν, φησίν, ἁμάρτῃ τις λέγων ὗς θαλαττίους εἶναι τοὺς θύννους, αὐξομένους ἀπὸ τῶν ῥηθέντων βαλάνων.

3.669

Ὁ δὲ ῥηθεὶς Ἀθήναιος θυννολογῶν ἀπὸ τοῦ θύειν τε, τὸ ὁρμᾶν, ἐτυμολογεῖ τὸν Αἰολικῶς τὸ νυ διπλάζοντα θύννον, ἐπεὶ κατὰ τὴν ἐπιτολὴν τοῦ κυνὸς ὁρμητικός ἐστι διὰ τὸ οἰστρηλατεῖσθαι, καὶ τὴν πηλαμύδα θυννίδα καλεῖ, λέγων καὶ ὅτι μείζων γινομένη λέγεται θύννος, ἔτι δὲ μείζων ἀποβᾶσα ὄρκυνος, εἰς ὑπερβολὴν δ᾽ αὐξηθεῖσα κῆτος γίνεται, ὡς δηλοῖ καὶ ὁ γράψας τό· θύννος ἁλισκόμενος σπουδῇ μέγας, ὃν καλέουσιν ὄρκυνον, ἄλλοι δ᾽ αὖ κῆτος, τούτου δὲ θεοῖς χρὴ ὀψωνεῖν. λέγεται δέ, φησί, καὶ ὡς ὁ θύννος τῷ σκαιῷ ὀφθαλμῷ οὐ βλέπει. διὸ Αἰσχύλος φησιν «ὄμμα παραβαλὼν θύννου δίκην», ὃ σημειωτέον εἰς τὰς παραβλῶπας Λιτάς. δηλοῖ γὰρ στραβάς, ὡς καὶ ἐκεῖ ἐρρέθη, αὐτὰς εἶναι, οἷα, ὡς νῦν ἐγράφη, ὄμματα παραβαλλούσας. ἀλλ᾽ οἱ μὲν θύννοι οὗτοι ἐρρέτωσαν ἐς δρύας.] (v. 399) Ἠπύειν δὲ οὐ μόνον ἐπ᾽ ἀνθρώπων, ὅθεν καὶ ἠπύτα κῆρυξ, ἀλλ᾽ ἰδοὺ καὶ ἐπὶ ἀνέμου, ἀλλαχοῦ δὲ καὶ ἐπὶ πολέμου, ὡς ἔστι νοεῖν ἐκ τοῦ «βριήπυος Ἄρης». Βρέμεσθαι δέ, φασί, λέγει τὸν ἄνεμον ὁ ποιητὴς καὶ ταῦτα τῆς λέξεως κυρίως ἐπὶ πυρὸς λεγομένης, ἐπεί, φασί, καὶ αὐτὸς συγγενές τι ἔχει τῷ πυρὶ ἐκ παρατρίψεως καίων τὰ δένδρα. Γλυκύτερον δὲ τὸ «χαλεπαίνων ἄνεμος» ἤπερ τὸ «πνοιῇ ἀλεγεινῇ». [(v. 400) Τῷ δὲ ἀλαλητῷ ὄν, ὡς εἴρηται, φωνὴν ἡρμήνευσεν Ὅμηρος, καὶ ἡ ἀλαλὴ παρακεῖσθαι δοκεῖ, ὅπερ ἐστὶ στρατιωτικὸς ἀλαλαγμός, ὃν ἀλαλὰν λέγουσιν οἱ Δωριεῖς, βοὴν οὖσαν πρὸ μάχης. χρῆσις δὲ αὐτῆς ἐν τῷ «κλῦθ᾽ Ἀλαλά, Πολέμου θύγατερ, ἐγχέων προοίμιον».] (v. 402—6) Ὅτι εἰπόντος Ὁμήρου, ὡς «Αἴαντος πρῶτος ἀκόντισε φαίδιμος Ἕκτωρ ἔγχει, ἐπεὶ τέτραπτο πρὸς ἰθύ οἱ, οὐδ᾽ ἀφάμαρτε, τῇ ῥα», ἤγουν ἔνθα δή, «δύο τελαμῶνε περὶ στήθεσσι τετάσθην, ὃ μὲν σάκεος, ὃ δὲ φασγάνου ἀργυροήλου. τὼ οἱ» ἤγουν οἳ αὐτῷ τῷ Αἴαντι, «ῥυσάσθην», ὅ ἐστιν ἐφύλαξαν καὶ περιεσώσαντο, «τέρενα χρόα», ὑπονοοῦσί τινες ἄνευ θώρακος μάχεσθαι τὸν ἥρωα.

3.670 οὐ γὰρ ἄν, φασί, τοὺς τελαμῶνας μόνους εἶπε ῥύσασθαι τὸν Αἴαντα, εἰ καὶ θωρακοφόρος ἦν, ἀλλ᾽ ἐμνήσθη ἂν καὶ τοῦ θώρακος. γέγονε δέ, φασίν, ἡ βολὴ κατὰ τὴν ἀριστερὰν κλεῖν, ὅπου οἱ τελαμῶνες συμπίπτοντες ἐπεπτύσσοντο. εἰ δὲ οἱ τελαμῶνες ἐρύσαντο, καθὰ ἐρρέθη, σημείωσαι καὶ ἐκ τούτου ὅτι τρωτὸς ὅλον ἦν ὁ Αἴας τὸ σῶμα, καὶ οὐ μόνα τὰ περὶ μασχάλην κατὰ Αἰσχύλον καὶ ἄλλους. δῆλον γὰρ ὡς, εἰ μὴ αὐτοὶ ἐρύσαντο, κατηκοντίσθη ἄν. διὸ καὶ μονομαχοῦντι αὐτῷ πρὸς Διομήδην ἐν τῷ Ἐπιταφίῳ περιέδεισαν οἱ Ἀχαιοί, ὡς πολλαχοῦ δυναμένῳ πληγῆναι. ἡ δὲ ὑπόνοια τοῦ μὴ διόλου τρωτὸν αὐτὸν εἶναι ἦλθεν ἐκ τοῦ μηδέποτε παρ᾽ Ὁμήρῳ τετρῶσθαι αὐτόν. Πολὺς δὲ πάντως ὁ Αἴας, εἰ μόνος ἄρτι τῶν Ἑλληνικῶν ἀριστέων ποιήσει, ἅπερ ὁ ποιητὴς ἐρεῖ προϊὼν «μεγάλα ἔργα», καὶ ταῦτα οὐδὲ ῥοπῇ δαιμονίᾳ τινὶ ἀλλ᾽ ἐξ οἰκείας ἀρετῆς. Ἱστόρηται δὲ καὶ πηλῷ βάλλεσθαι αὐτὸν ὑπὸ Τρώων [ὡς οἷα προπηλακιζόμενον, καθά τις ἂν εἴποι τολμήσας,] εἴ πως οὕτω γοῦν βαρυνθεὶς πέσῃ, ἀποσεισάμενον δὲ τὸν πηλὸν δύο ποιῆσαι κολωνούς. φασὶ δὲ καί, ὡς οὐκ ἐβοηθεῖτο ὑπ᾽ Ἀθηνᾶς ὅλως ὁ Αἴας διά τε τὸ ἀλαζονεύσασθαι κατ᾽ αὐτῆς, ὡς δηλοῖ ὁ Σοφοκλῆς, καὶ διότι δὲ γλαῦκα τῆς οἰκείας ἀσπίδος ἐξέκοψεν, ἱερὰν οὖσαν τῇ Ἀθηνᾷ. Ἰστέον δὲ καὶ ὅτι οὐ μόνον γλαῦξ ἱέρωται Ἀθηνᾷ, ὡς καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ ἐτέθη, ἀλλὰ καί τι εἶδος ἐρῳδιοῦ, καθὰ δηλοῖ καὶ ὁ ποιητὴς ἐν τῷ «τοῖσι δὲ δεξιὸν ἧκεν ἐρῳδιὸν ἐγγὺς ὁδοῖο Παλλὰς Ἀθήνη», εἰ καὶ ἄλλως ἀφροδίσιον ὄρνεον ὁ ἐρῳδιὸς εἶναι δοκεῖ κατ᾽ ἄλλο εἶδος ἐρῳδιοῦ. Διὸ οὐ μόνον ἀπὸ τοῦ ἕλος γίνεται ἑλοιδιός, καὶ ἐκτάσει τοῦ ο εἰς ω καὶ τροπῇ τοῦ λ εἰς ρ κατὰ τὸ θλῶ θλαύω καὶ θραύω ἐρῳδιός μετὰ προσγεγραμμένου τοῦ ι ὡς ἐν ἕλεσι διάγων, εἰ καὶ Κλαυδιανός, φασίν, ὁ φιλόσοφος ἀντιλέγει, ἐν οἷς καταλέγει τῆς ὀρθογραφίας, ἀλλὰ καὶ ἀπὸ τοῦ ἔρως ἔρωτος ἐρωτίδιος, καὶ ἀποβολῇ τοῦ τ ἐρωΐδιος, καὶ συναιρέσει ἐρῴδιος, καὶ κατὰ ἀκολούθησιν τὴν ἐπὶ ὀρνέων τοῦ αἰγυπιός, χαραδριός, οὕτω καὶ ἐρῳδιὸς κατὰ τόνον ὀξύν.

3.671 Ἰστέον δὲ καὶ ὅτι ἄλλος μέν τις τελαμώνων ἐπιμνησθείς, οἳ τὸν Αἴαντα ἔσωσαν, ἴσως ἂν εὐθὺς καὶ Τελαμωνιάδην προσέφη τὸν Αἴαντα, ὡραϊσμόν τινα τῷ λόγῳ τεχνώμενος. ἢ καὶ ἄλλως

πως ἂν τὸν ἥρωα Τελαμῶνα ἐκεῖνος προσεχῶς αὐτίκα παρέρριψε γοητεύων τῇ ἐξ ὁμωνυμίας παρηχήσει τὸν ἀκροατήν, Ὁμήρῳ δὲ γελοιασμὸς δοκεῖ ὁ τοιοῦτος οὐκ ἀγαθὸς γάργαλος. διὸ καὶ τέως σιγήσας τὴν λέξιν μετὰ τέσσαρας αὐτὴν στίχους τίθησιν, εἰπὼν «τὸν μὲν ἀπιόντα μέγας Τελαμώνιος Αἴας βεβλήκει». (v. 404) Ὅρα δὲ ὡς οὐδὲ τὸ τοῦ Αἴαντος σάκος πόρπακα εἶχεν, ἀλλὰ τελαμῶνος ἤρτητο, ἴσως δὲ καὶ κανόνι μετήγετο. Κᾶρες δέ, ὡς καὶ προερρέθη, τοὺς πόρπακας εὗρον, οἵπερ ἦσαν, ὡς καὶ ἀλλαχοῦ ἐγράφη, προσθήματα ἐντὸς τῆς ἀσπίδος, δι᾽ ὧν ἡ χεὶρ διείρετο. [Ἰδοὺ δὲ φανερῶς ἐν τόπῳ ἑνὶ καὶ σάκεος καὶ φασγάνου τελαμῶνα εἶπεν, ἱμάντα τινὰ καὶ αὐτὸν ὄντα, ἐξ οὗ καὶ τελαμωνίζειν τὸ ἑλίσσειν τελαμῶνι, ὡς δηλοῖ ὁ ἱστορήσας ὅτι, ὁπηνίκα Φίλιππος τὸν ὀφθαλμὸν ἐξεκόπη ὀϊστῷ βληθεὶς ἐν πολέμῳ ὑπὸ Ἀστέρος, συμπροῆλθεν αὐτῷ καὶ Κλείσοφος, ὁ ἐκείνου παράσιτος, τελαμωνισθεὶς τὸν αὐτὸν ὀφθαλμόν. ἐτυμολογία δὲ τελαμῶνος τὸ ταλάσσειν τροπῇ τοῦ α εἰς ε . τάλας γὰρ καὶ αὐτὸς καὶ τλήμων διὰ τὸ βαστάζειν. ἑρμηνεία δὲ αὐτοῦ ἴσως μὲν καὶ τὸ ἀορτήρ, μάλιστα δὲ ἀναφορεύς. εἴη δ᾽ ἂν καὶ ἀναγωγέα εἰπεῖν τὸν αὐτὸν ὁπλιτικὸν τελαμῶνα, καὶ οὐκ ἂν ἴσως διαφέροι οὕτως ἢ οὕτως εἰπεῖν, εἴ τις σκέψεται τὴν περὶ τοῦ Ἐφεσίου Παρρασίου ἱστορίαν, δηλοῦσαν ὡς σκίπωνί τε ἐπεστηρίζετο χρυσᾶς ἕλικας ἐμπεπαισμένῳ χρυσοῖς τε ἀνασπάστοις ἐπέσφιγγε τῶν βλαυτῶν τὰς ἀναγωγάς. ὡς γὰρ ἀνάγειν καὶ ἀναφέρειν ταὐτά εἰσιν, ἐξ οὗ ἀνάγειν καὶ ἡ ἀναγωγή, οὕτως ἂν καὶ ἀναφορεύς καὶ ἀναγωγεύς. Λέγει δὲ ἡ ἱστορία βλαυτῶν ἀναγωγὰς τὰ ἰδιωτικῶς λεγόμενα καλάμια τῶν ὑποδέσεων. βλαύτης γὰρ καὶ βλαυτίον ὑποκοριστικῶς τὸ ὑπόδημα.] (v. 402 s.) Ἐν δὲ τῷ «ἀκόντισεν ἔγχει» περισσὸν δοκεῖ τὸ ἔγχει ὡς ἀρκοῦν συννοηθῆναι τῷ ἠκόντισεν. οὕτω καὶ μετ᾽ ὀλίγα «ἀκόντισε δουρὶ φαεινῷ», λέγει δὲ καὶ προϊὼν «ἀκόντιζον δὲ θαμειὰς αἰχμάς». εἰ δέ που διὰ τὸ «αἷμα δ᾽ ἀνηκόντιζε» δοκεῖ καὶ φλὲψ ἢ ἀρτηρία αἵματι ἀκοντίζειν, οὐκ ἂν εἴη οὐδὲ τὸ «ἀκόντισεν ἔγχει» περιττῶς ῥηθέν.

3.672 Τοῦ δὲ ἀκοντίζειν ἡ μετὰ γενικῆς τάξις ἐλλείψει προθέσεως μυριαχοῦ φαίνεται. ὡς γὰρ τὸ ἀκόντισεν Αἴαντος ἤγουν κατὰ Αἴαντος, οὕτω καὶ ἄλλα πολλά. Ὅρα δὲ τὸ διπλοῦν τῆς συντάξεως. ὧδε μὲν γὰρ Ἕκτωρ ἀκόντισεν, ἔγχει, ἐκεῖ δὲ Ἀχαιοὶ ἀκοντίζουσιν αἰχμάς. Τὸ δὲ «τέτραπτο πρὸς ἰθύ» ἀντὶ τοῦ ἀντικρὺ ἵστατο, ἀντιπρόσωπος, κατ᾽ εὐθύ, οὐ μὴν εὐράξ, ὅ ἐστιν ἐκ πλαγίων, ἢ ἄλλως ὁπωσοῦν. Ὅρα δὲ καὶ ὡς τὸ «ἠκόντισεν οὐδ᾽ ἀφάμαρτε» πρὸς ὁμοιότητα εἴρηται τοῦ «βάλεν οὐδ᾽ ἀφάμαρτε». (v. 404) Πλατύνει δέ, ὥσπερ ἀλλαχοῦ τὰ πρόσωπα τῷ μεγάλῳ Αἴαντι, οὕτω καὶ ὧδε τὰ στήθη διὰ τὴν πλατύτητα. τὸ μέντοι τοῦ Ἕκτορος οὐχ᾽ οὕτως ἀλλὰ στῆθος μετ᾽ ὀλίγα ἐρεῖ. (v. 406) Τὸ δὲ «τέρενα χρόα» κοινὸν ἐπίθετον χροός. οὐ γὰρ δήπου ἐπὶ σκώμματι καὶ τοῦτο ἐρρέθη, ὡς καὶ τὸ «λειριόεντα χρόα», ὅπερ ἀπὸ τοῦ Ἕκτορος φθάσας ὁ Αἴας ἤκουσεν. (v. 406 s.) Ὅτι ἐπὶ τοῦ βαλόντος οὐκ εὔσκοπα οἰκεῖον τὸ «χώσατο» ὁ δεῖνα, ὡς νῦν ὁ Ἕκτωρ, «ὅτι δή οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός». Καὶ ὅρα [ἐτώσιον βέλος, τὸ ἐν ἄλλοις ῥηθὲν ἅλιον, καὶ τὸ] «ἔκφυγεν» ἀστείως καὶ νῦν λεχθὲν διὰ τὸ μὴ θελητῶς τῷ βαλόντι ἀφεθῆναι τὸ βέλος. ἔχει δὲ ὅμοιόν τι πρὸς τοῦτο καὶ τὸ «οἷόν σε ἔπος φύγεν». Ὅρα δὲ καὶ ὡς βέλος ὠκύ οὐ μόνον ὀϊστός, ἀλλ᾽ ἰδοὺ καὶ δόρυ σφοδρῶς ἀφεθέν. (v. 408—13) Ὅτι τὸν Ἕκτορα ἑτάρων εἰς ἔθνος χαζόμενον «μέγας Τελαμώνιος Αἴας χερμαδίῳ, τά ῥα», ἤγουν ἃ δή, «πολλὰ θοάων ἔχματα νηῶν πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο, τῶν ἓν ἀείρας στῆθος ἐβεβλήκει», ἢ στῆθος βεβλήκει, «ὑπὲρ ἄντυγος ἀγχόθι δειρῆς, στρόμβον δ᾽ ὣς ἔσσευε βαλών, περὶ δ᾽ ἔδραμε πάντῃ». καὶ ὅρα ὡς ἐσχεδίασε τὴν βολὴν ὁ Αἴας βαλὼν τῷ παρατυχόντι ὀργάνῳ. Σημείωσαι δὲ καὶ ὅτι σχῆμά ἐστιν ἐνταῦθα καινὸν ἐξ ἐπαναλήψεως. εἰπὼν γὰρ «χερμαδίῳ» κατὰ πτῶσιν δοτικὴν καὶ ἐπεμβαλὼν τὸ «ἃ δὴ πολλά», τυχαίως δηλονότι, ἐν μέσῳ ἐκυλίετο, οὐκ ἐπαναλαμβάνει ὡς ἔδει ὁμοιοπτώτως, οἷον· τῷ βεβλήκει ἢ τοίῳ βεβλήκει, ἀλλὰ τὴν ἑνικὴν δοτικὴν ἐκείνην πάντῃ ἀφεὶς ποιεῖται τὴν ἐπανάληψιν πληθυντικῶς καὶ περιφραστικῶς πρὸς τὰ χερμάδια διὰ τὸ σαφέστερον, εἰπὼν «τῶν ἓν ἀείρας στῆθος βεβλήκει», τῷ τοιούτῳ δηλαδὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χερμαδίῳ. καὶ ἔστιν οὐκ ἀσύντακτος ἡ φράσις, ἀλλὰ καινοπρεπεστέρα, δυσχερῶς, ὡς ἂν εἴποι τις, φράζουσα τὸ δυσχερές. (v. 410) Οὐδετέρου δὲ γένους τὸ χερμάδιον, ὡς δηλοῖ τὸ «τά ῥα πολλὰ θοάων ἔχματα νηῶν».

3.673 διὸ καὶ «ἓν ἀείρας» γραπτέον, οὐχὶ κατά τινας «ἕνα» ἐν συναλιφῇ. Ἔχματα δὲ καὶ νῦν κρατήματα, στηρίγματα, ὑπερείσματα, ὥστε καὶ τὰ τοῦ προρρηθέντος ὀλοοιτρόχου ἔχματα, ὧν ὄμβρῳ ἀπενεχθέντων κατεσπάσθη ἐκεῖνος τῆς τοῦ ὄρους στεφάνης, τοιαῦτά τινα νοητέον λιθίδια. (v. 411) Τὸ δὲ «κυλίνδετο» στρογγυλότητα καὶ τοῦ ῥηθέντος χερμαδίου δοκεῖ κατηγορεῖν. τῶν τοιούτων γάρ ἐστι τὸ κυλίνδεσθαι. (v. 412) Τὸ δὲ «στῆθος βεβλήκει» οὐ προτροπάδην φεύγειν τὸν Ἕκτορα παριστᾷ στρέψαντα νῶτον, ἀλλ' ἀναποδίζειν καὶ πρὸς ἰθὺ καὶ αὐτὸν τετράφθαι τῷ Αἴαντι. Τὸ δὲ «ὑπὲρ ἄντυγος» ἐλλειπτικῶς ἔχει διὰ καίριον συντομίαν. λείπει γὰρ τὸ ἀσπίδος. ὡς γὰρ καινῶς ἔσχεν ἡ τῆς βολῆς φράσις, οὕτω καὶ τοῦτο διὰ τὴν τῶν συμβάντων καινοτροπίαν καὶ τὸ ἐν αὐτοῖς θορυβῶδες, οἷς καὶ ὁ λόγος συντετάρακται. Τὸ δὲ «ἀγχόθι δειρῆς» διασαφητικόν ἐστι τοῦ «ὑπὲρ ἄντυγος». ἄλλως γὰρ οὐκ ἦν δῆλον, ποῖ τῶν κατὰ στῆθος ὑπὲρ ἄντυγος ὁ Αἴας βέβληται. (v. 413) Στρόμβου δὲ δίκην ἐκίνησεν ὁ Αἴας ἢ τὸν βληθέντα Ἕκτορα, ὅπερ ἐμφαίνει ῥώμης ὑπεροχήν, ἐὰν τηλικοῦτον ἄνδρα ἔνοπλον ὁ Αἴας βαλὼν οὕτως ἐκίνησεν, ἢ μᾶλλον τὸν λίθον ὡς στρόμβον ἐκίνησε. πῶς γάρ, φασίν, ὑπὸ χερμαδίου ὁ τοσοῦτος Ἕκτωρ περιστραφείη ἄν; Στρόμβον δέ τινες μὲν ἄτρακτον νοοῦσιν ἀπὸ τοῦ στροβεῖσθαι καὶ δινούμενον περιφέρεσθαι, ἕτεροι δὲ τὴν παιζομένην βέμβικα, ἣν καὶ στρόβαν βούλονται λέγειν οἱ ἰδιωτίζοντες, ἄλλοι τὸν ῥόμβον, τινὲς δὲ λίθον στρογγύλον. καὶ οὕτω μὲν ταῦτα. (v. 414—8) Ὁ δὲ ποιητὴς θέλων δηλῶσαι καὶ τὸ ἐκ τῆς βολῆς τοῦ χερμαδίου πτῶμα τοῦ Ἕκτορος ἐπάγει παραβολὴν ταύτην «ὡς δ' ὅθ' ὑπὸ ῥιπῆς», ἢ ὑπαὶ ῥιπῆς, «πατρὸς Διός», ἤγουν ἀέρος, «ἐξερίπῃ δρῦς πρόρριζος», ὃ ταὐτόν ἐστι τῷ προθέλυμνος, «δεινὴ δὲ θεείου γίνεται ὀδμὴ ἐξ αὐτῆς, τὸν δ' οὐκ ἔχει θράσος, ὅς κεν ἴδηται ἐγγὺς ἐών, χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός, ὣς πέσεν Ἕκτορος ὦκα χαμαὶ μένος ἐν κονίῃσι».

3.674 Καὶ ἔστιν ἡ παραβολὴ κατὰ τὸ πλεῖον ἁρμόττουσα τῷ πράγματι. Κεραυνὸς μὲν γὰρ ὡσανεὶ ὁ λίθος, ὃν Αἴας ὑψόθεν ὡς μέγας ἐνέβαλε τῷ Ἕκτορι. πίπτει δὲ καὶ ὁ Ἕκτωρ κατὰ τὴν δρῦν πρόρριζός τε καὶ ὦκα καὶ χαμαί, καὶ οἱ ἐγγὺς ὄντες Τρῶες ἀθαρσεῖς μένουσι. (v. 415) Τὸ μέντοι «δεινὴ θεείου γίνεται ὀδμή» πρὸς μὲν τὸ προκείμενον καθ' Ἕκτορα πρᾶγμα εἰκῇ λαλεῖται, ἔχει δὲ ἄλλως ἱστορίαν. Συμβαίνει γὰρ τοῖς διοβλήτοις τῶν δένδρων, ὡς πολλαχοῦ φαίνεται, τὸ ὡς θείου ὄζειν αὐτά, ὃ θέειον πλεονασμῷ τοῦ ε λέγεται, ὡς δηλοῖ καὶ ἡ Ὀδύσσεια. ἀφ' οὗ καὶ ῥῆμα θεειῶσαι ἢ θειῶσαι τὸ θυμιᾶσαι. (v. 414) Τὸ δὲ «Διὸς πατρός» ἐλλέλειπται καὶ νῦν δεξιῶς πρὸς ἔμφασιν ἀλληγορίας Τὸ δέ γε πλῆρες «πατρὸς ἀνδρῶν τε θεῶν τε». (v. 417) Χαλεπὸς δὲ κεραυνός, ὡς καὶ πρὸ βραχέων χαλεπαίνων ἄνεμος. Τὸ δὲ «Διὸς κεραυνός» ἑρμηνεία ἐστὶ τοῦ «ὑπὸ ῥιπῆς Διός». ῥιπὴ γὰρ ἀέρος ὁ κεραυνός. (v. 418) Τὸ δὲ «πέσεν ὦκα» δηλοῖ ὡς πρὸς τὸ τάχος τοῦ ἡρωϊκοῦ πτώματος παρείληπται ἡ εἰρημένη παραβολή. (v. 419 s.) Εἰπὼν δὲ οὕτω πεσεῖν Ὅμηρος τὸν Ἕκτορα ἐπάγει καὶ τό, ὡς εἰκός, ἐπακολουθοῦν στρατιώτῃ πεσόντι, εἰπὼν «χειρὸς δ' ἔκβαλεν ἔγχος, ἐπ' αὐτῷ δ' ἀσπὶς ἑάφθη καὶ κόρυς, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ». τί δὲ σημαίνει τὸ ἑάφθη καὶ ὅπως γίνεται, προδεδήλωται. [Ὅρα δὲ ἐν τούτοις, ὡς ὁ μεθ' ἡμέραν ἐμπαθὴς ὕπνος τοῦ Διὸς τὸν ἄλλως ἀγρυπνητικὸν ἐν νυξὶ Δία ἤλεγξεν ἀπολωλεκότα, ὅσα βουλευσάμενος εἶχεν. οὕτω καὶ ὁ τοῦ μύθου Ἄρης ὑφ' ἡδονῆς, φασί, κρατηθεὶς ὑπὸ τῷ ἀσθενεστάτῳ Ἡφαίστῳ συνεποδίσθη. Καλῶς ἄρα ἐρρέθη, ὡς τὸ ἡδονὰς διώκειν προπετῶς λύπας ἐστὶ θηρεύειν.] (v. 420—4) Ὅτι φανερὰ διαστολὴ τοῦ οὐτάσαι καὶ τοῦ βαλεῖν κἀνταῦθα ἐν τῷ «οἳ δὲ μέγα ἰάχοντες ἐπέδραμον Ἀχαιοί, ἀκόντιζον δὲ θαμειὰς αἰχμάς· ἀλλ' οὔ τις ἐδυνήσατο τὸν Ἕκτορα κείμενον οὐτάσαι οὐδὲ βαλεῖν».

3.675

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(v. 424—6) Καὶ ἡ αἰτία τὸ «πρὶν γὰρ περίβησαν ἄριστοι», ἤγουν ὑπερέβησαν, ὑπερεμάχησαν αὐτοῦ, Πολυδάμας, Αἰνείας, Ἀγήνωρ, Σαρπηδὼν καὶ Γλαῦκος. (v. 427 s.) Εἶτα θέλων εἰπεῖν ὡς καὶ ἕτεροι, φησὶ περιφράζων «τῶν δ᾽ ἄλλων οὔ τις εὖ» τουτέστιν αὐτοῦ, «ἀκήδησεν», ἤγουν ἠμέλησεν, «ἀλλὰ πάροιθεν ἀσπίδας εὐκύκλους σχέθον αὐτοῦ». Ἔνθα φασὶν οἱ παλαιοί, ὡς οὐ πᾶσαι περιφερεῖς αἱ ἀσπίδες, ὅ ἐστι κατὰ τὸν ποιητὴν εὔκυκλοι, ἀλλ᾽ εἰσί τινες καὶ σπιδεῖς, ἤγουν ἐπιμήκεις. σπίζω γὰρ τὸ ἐκτείνω, ἀφ᾽ οὗ σπιδὴς μὲν ἡ ἐπιμήκης, ἀσπὶς δὲ ἡ μὴ πρὸς μῆκος ἐκτεταμένη ἀλλ᾽ εἰς κύκλον συνηγμένη. Φασὶ δὲ οἱ αὐτοὶ καί, ὡς παρὰ τῷ ποιητῇ ἀντιφράζεται τῇ ἀσπίδι τὸ σάκος ὡς διαφέρον δηλαδὴ πρὸς αὐτήν. Ὅτι δ᾽ ἐκ τοῦ ῥηθέντος σπίζω καὶ ἡ σπιθαμὴ γίνεται, καὶ ὅτι σπίζειν λέγεται, ἄλλως μέντοι κατὰ ὀνοματοποιΐαν, ὁ σπῖνος σπίζων ἐῷα παρὰ τῷ Ἀράτῳ, οὐκ ἄδηλόν ἐστιν. (v. 427) Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ «οὔ τις εὖ ἀκήδησε» γίνεται τὸ εὖ, ὡς καὶ προδεδήλωται, ἀπὸ τοῦ ἕο κατὰ κρᾶσιν, ὡς τὸ σέο σεῦ, ἐμέο ἐμεῦ. καί ποτε καὶ ἐγκλίνεται δίχα τόνου προφερόμενον. Ὅρα δ᾽ ἐν τοῖς ῥηθεῖσιν, ὡς ὁ τοῦ συνετοῦ Πολυδάμαντος λόγος ἀπετελέσθη καὶ ἐπ᾽ αὐτῷ τῷ Ἕκτορι. ἔφθη γὰρ εἰπών, ὡς οὐ κόσμῳ παρὰ νηῶν ἐλευσόμεθα, πολλοὺς γὰρ Τρώων καταλείψομεν. (v. 432) Καὶ τοίνυν καὶ ὁ Ἕκτωρ οὐκ εὐκόσμως ἐκ τῶν νηῶν ἔρχεται, ἀλλὰ βληθεὶς ὑπὸ Αἴαντος καί, ὡς ἐρρέθη, πεσὼν φέρεται ἐφ᾽ ἅρματος προτὶ ἄστυ, βαρέα στενάχων. (v. 428 s.) Πρὸ τούτου δὲ ἑταῖροι χερσὶν ἀείραντες ἔφερον ἐκ πόνου αὐτόν. Καὶ ἔστιν ἀστεῖον τὸ ἐκ πόνου, μέσως λεχθὲν ἐπί τε μάχης καὶ ἐπὶ ἄλγους, ἴσως δὲ καὶ ἐκ τοῦ τῶν φερόντων πόνου διὰ τὸ ἐναγώνιον. (v. 433—9) Ἐφ᾽ οἷς ὁ ποιητὴς λέγει καί, ὅτι περὶ τὸν τοῦ Ξάνθου πόρον ἐλθόντες οἱ περὶ Ἕκτορα, περὶ οὗ Ξάνθου πολλαχοῦ δηλοῦται, ἐκεῖ αὐτὸν «ἐξ ἵππων πέλασαν χθονί», ἤγουν εἰς γῆν ἔθεντο ἀνακλίναντες, «κὰδ δέ οἱ ὕδωρ χεῦαν, ὃ δ᾽ ἀμπνύνθη», ἤγουν ἀνέπνευσε, «καὶ ἀνέδρακεν ὀφθαλμοῖσι», συλλέξας ἑαυτὸν καὶ ἀναρρώσας φυσικῶς τῇ καταχύσει τοῦ ὕδατος.

3.676 «ἑζόμενος δ᾽ ἐπὶ γοῦνα», φησί, «κελαινεφὲς αἷμ᾽ ἀπέμεσσε», κἀντεῦθεν παρεθεὶς «αὖτις ἐξοπίσω πλῆτο χθονί», τουτέστιν ἐπέλασε, «τὼ δέ οἱ ὄσσε», ἢ κὰδ δέ οἱ ὄσσε, «νὺξ ἐκάλυψε μέλαινα· βέλος δέ», ὅ ἐστι βολὴ καὶ ἡ ἐντεῦθεν ὀδύνη, «ἔτι θυμὸν ἐδάμνα». Τοιοῦτον ἡ τοῦ Αἴαντος χείρ, μᾶλλον δὲ τοιοῦτον ἡ ἀλαζονεία, ἧς δίκας ὁ θρασὺς Ἕκτωρ τῷ ὀνειδισθέντι βουγαΐῳ δίδωσιν. (v. 437) Ἰστέον δὲ [ὅτι τε ἐκ τοῦ ἐμεῖν, ὅθεν ὁ ἔμετος, οὐ μόνον Ἔμεια πόλις Πελοποννησία, ὡς μετ᾽ ὀλίγα εἰρήσεται, ἀλλὰ καὶ ἐμίας, ὡς κοχλίας, ὁ ἐμετικὸς ἢ εὐεμής, καὶ ὡς] (v. 434) τὸν ῥηθέντα Ξάνθον εὐρείτην κἀνταῦθα λέγει καὶ δινήεντα καὶ Διὸς παῖδα, ἤγουν ἐξ ἀέρος ὄμβροις πλήθοντα ὡς διϊπετῆ, ὅπερ ὅμοιον περιφραστικῶς τῷ «ὃν ἀθάνατος τέκετο Ζεύς». [(v. 433) Τὸ δὲ ἐΰρρεῖος, ὅπερ ἐστὶν εὐρείτου, δοκεῖ ἀπὸ τοῦ εὖ καὶ τοῦ ῥύω, τὸ ῥέω, εἴτ᾽ οὖν ῥυΐσκω, γίνεσθαι, ἵνα ᾖ εὐρρύς εὐρρέος, ὡς ἡδύς ἡδέος, καὶ ἐπενθέσει τοῦ ι εὐρρεῖος. Εἰ δ᾽ ἴσως ἀπὸ τοῦ εὖ καὶ τοῦ ῥέος γίνεται, ὃ δηλοῖ τὸ ῥεῦμα, πρὸς ὁμοιότητα τοῦ Ἡρακλῆς Ἡρακλῆος, ἔχει ἀπορίαν διὰ τί μὴ τῷ η παραλήγεται τὸ εὐρρεῖος κατὰ τὸ Ἡρακλῆος. εἰ δέ τις ἐκ τοῦ ῥέειν αὐτὸ παραγάγῃ, ἐκπέφευγε πολυλογίαν.] (v. 436) Ὅρα δ᾽ ἐν τοῖς εἰρημένοις καὶ τὸ «ἀμπνύνθη», ὥσπερ καὶ τὸ «ἀνέδρακεν», ἐν οἷς δηλοῦται ὡς εἰς τὴν προτέραν πνοὴν ἀνέκαμψε καὶ εἰς τὸ πρῴην βλέμμα. (v. 437) Περὶ δὲ τοῦ «κελαινεφὲς αἷμα» προείρηται. (v. 438) Τὸ δὲ «πλῆτο» σύστοιχόν ἐστι τῷ «πέλασαν». ἀπὸ γὰρ τοῦ πέλω γίνεται πλῶ, καὶ ἀπ᾽ αὐτοῦ τὸ πλῆτο, οὗ τρίτον πληθυντικὸν μετ᾽ ὀλίγα ἐν τῷ «οὔδεϊ πλῆντο». (v. 439) Νύκτα δὲ τὴν ἁπλῶς ἀορασίαν καὶ νῦν λέγει, δι᾽ ἣν ἡ ὄψις ὡς ἐν νυκτὶ καθίσταται. (v. 440 s.) Ὅτι τὴν τοῦ Ἕκτορος ἀρετὴν δηλοῖ καὶ τὸ «Ἀργεῖοι δ᾽ ὡς οὖν ἴδον Ἕκτορα νόσφι κιόντα, μᾶλλον ἐπὶ Τρώεσσι θόρον, μνήσαντο δὲ χάρμης».

3.677 δῆλον γὰρ κἀνταῦθα ὡς μεγάλου ἀριστέως πεσόντος πολλὴ μεταβολὴ πολέμου γίνεται. Σεμνῶς δὲ εἴρηται τὸ «νόσφι κιόντα», οὐ μὴν ἀληθῶς. ἀρθεὶς γὰρ ὑφ᾽ ἑταίρων οὐκ αὐτὸς κιὼν ὁ Ἕκτωρ ἀπῆλθε τῆς μάχης. (v. 443—5) Ὅτι ὥσπερ Σιμοείσιός τις πρὸ τούτων ἦν παρώνυμος

ποταμῷ τῷ Σιμόεντι, καί τις ἕτερος τῷ Σκαμάνδρῳ Σκαμάνδριος, οὕτω καὶ ἐνταῦθα Σάτνιός τις ἱστορεῖται, «ὅν», φησί, «νύμφη τέκε Νηῒς ἀμύμων παρ' ὄχθας Σατνιόεντος» ποταμοῦ. (v. 444) Ὅτι τε [τὸ ἀμύμων θνητῶν προσώπων ἐπίθετον εἶναι παρασημειοῦνται οἱ παλαιοί, καθ' ἣν ἔννοιαν καὶ νύμφη Νηῒς ἀμύμων, ὡς μακρόβιος μέν, οὐ μὴν καὶ ἀθανάτη, καὶ ὅτι] ὁ μῦθος πολλοὺς ὑπὸ νύμφαις γεννᾷ, καὶ τίνες αἱ νύμφαι, οὐκ ἄδηλον ἐκ τῶν ἀλλαχοῦ εἰρημένων. (v. 444 s.) Κεῖται δ' ἐνταῦθα καὶ Ἧνοψ, κύριον ὄνομα, πατὴρ τοῦ ῥηθέντος Σατνίου, ὁμώνυμος ἤνοπι χαλκῷ. [Φησὶ γὰρ «τέκε Νηῒς Ἤνοπι βουκολέοντι παρ' ὄχθας».] (v. 447) Ὅτι ἐν τῷ «οὔτασε κατὰ λαπάρην, ὃ δ' ἀνετράπετο» ἀνατραπῆναι λέγει τὸ ἀναστραφῆναι. τίθεται δὲ ἡ λέξις καὶ ἐπὶ ἀγγείων καὶ τραπεζῶν ἄνω κάτω γινομένων, λέγεται δὲ καὶ πόλις ἀνατετράφθαι, ὅτε χαλασθείη. (v. 448) Ὅτι τὸ «ξύναγον κρατερὴν ὑσμίνην» ἀντὶ τοῦ συνέβαλλον εἰς πόλεμον. τοιοῦτον καὶ τὸ ξυνάγωμεν Ἄρηα. (v. 453) Ὅτι καὶ ἐν τῷ «Πουλυδάμας ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας» δηλοῦται δεῖν εἶναι μεγαλοφώνους εἶναι τοὺς ἡγεμόνας καί, ὡς εἰπεῖν, βοὴν ἀγαθούς. (v. 454—7) Ὅτι καὶ ἐν τοῖς παροῦσιν ὁ ποιητὴς χρᾶται σαρκασμοῖς, τουτέστι δακνηραῖς εἰρωνείαις καὶ βαρύτησιν, ὡς καὶ ἐν τῇ ν' ῥαψῳδίᾳ, ἡρωϊκῶς καὶ σεμνῶς. Πολυδάμας γὰρ βαλὼν ἔγχει τινὰ χλευάζει λέγων «οὐ μὰν αὖτ' οἴω μεγαθύμου Πανθοίδαο», τουτέστιν ἐμοῦ, «χειρὸς ἀπὸ στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα, ἀλλά τις Ἀργείων κόμισε χροΐ, καί μιν ὀΐω αὐτῷ σκηπτόμενον κατίμεν», ἤγουν κατιέναι, εἰς Ἅιδου. (v. 457) Καὶ ὅρα τὸ σκηπτόμενον ἀστείως λεχθὲν ἀντὶ τοῦ σκηριπτόμενον καὶ ὡς βακτηρίᾳ ἐπερειδόμενον. ἐκ δὲ τοῦ τοιούτου σκήπτειν τὸ σκῆπτρον γίνεται. (v. 454) Ὅρα δὲ καὶ νῦν ὅτι τὸ οἴομαι οὐ μόνον τρισυλλάβως ὀΐω, ἀλλὰ καὶ δισυλλάβως οἴω λέγει κατ' ἐνέργειαν.

3.678 (v. 455) Τὸ δὲ «χειρὸς ἀπὸ στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα» παράφρασίς ἐστι τοῦ «βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός». γλυκύτερον δὲ τοῦ ἀποπηδῆσαι τὸ ἔκφυγε. (v. 456) Τὸ δὲ ἐκόμισεν ἀστείως ἐπὶ δόρατος εἰρῆσθαι δοκεῖ ἀντὶ τοῦ ἐπιμελείας ἠξίωσεν, ὅ ἐστι κομιδῆς, οἷα δεξάμενος ἔσω αὐτὸ φιλοφρόνως καὶ μὴ ἀφεὶς ἔξω εἶναι. φιλεῖται δὲ ἡ τοιαύτη λέξις τῷ ποιητῇ, διὸ καὶ ὑποκαταβάς φησιν, ὡς ἐκόμισέ τις ἔγχος, βληθεὶς δηλαδή. τοιοῦτον καὶ τὸ «ὡς δὴ πᾶν ἐν χροῒ κομίσαιο». ἔνθα δηλοῦται ὡς διχῶς φράζεται κομίσαι τε καὶ κομίσασθαι. καὶ οὕτω μὲν ὁ Πολυδάμας. (v. 458) «Ἀργειοῖς δὲ ἄχος γένετ' εὐξαμένοιο». δάκνει γάρ, ὡς ἔφαμεν, ὁ σαρκασμός. ὅθεν καὶ τὴν κλῆσιν ἔχει ὡς οἷά τι θηρίον σαρκὶ ἐμφυέν. καὶ οὐχ' οὕτω τῇ ἀναιρέσει τοῦ κειμένου ἄχθονται, ὅσον τῇ χλεύῃ τοῦ βάλλοντος. ὅθεν καὶ μάλιστα Αἴας λυπηθεὶς ἀμύνεται. (v. 459 s.) Φησὶ γάρ· «Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε τῷ Τελαμωνιάδῃ· τοῦ γὰρ πέσεν ἄγχι μάλιστα» (v. 462—8) Καὶ δὴ Πολυδάμαντος ἀπιόντος ἀκόντισε δουρί. καὶ Πολυδάμας μὲν ἐξέκλινε τὸν θάνατον «λικριφὶς ἀΐξας, κόμισε δ' Ἀντήνορος υἱός, Ἀρχέλοχος», «ὂν ἔβαλε κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῷ, νείατον ἀστράγαλον, ἀπὸ δ' ἄμφω κέρσε τένοντε. τοῦ δὲ πολὺ πρότερον κεφαλὴ στόμα τε ῥῖνές τε οὔδεϊ πλῆντο», ἤγουν τῇ γῇ ἐπέλασαν, «ἤ περ κνῆμαι καὶ γοῦνα», οἷα κατακύψαντος καὶ οὕτω πεσόντος ἐπὶ κεφαλὴν ἅμα τῇ πληγῇ. (v. 470—4) Ἐφ' οἷς οὐκ ἔξω καιροῦ ἀντικομπάζει καὶ ὁ δεινὸς Αἴας καὶ εἰρωνευόμενος ὡς οἷα δῆθεν ἀμφιβάλλων, ἐφ' οἷς ἀκριβῶς οἶδε, καὶ θάνατον θανάτῳ ἀντιμετρῶν, καὶ ὡς ἐν ἀντελλόγῳ σταθμώμενος καὶ οὕτω παροξύνων τοὺς Τρῶάς φησι «φράζεο Πουλυδάμα καί μοι νημερτὲς ἔνισπε· ἦ δὴ οὐχ' οὗτος ἀνὴρ τοῦ δεῖνος ἀντιπεφάσθαι ἄξιος; οὐ μέν μοι κακὸς εἴδεται οὐδὲ κακῶν ἔξ», ὃ δὴ ἔπαινός ἐστιν ἀνδρὸς εὐγενοῦς καὶ ἀνδρείου, «ἀλλὰ κασίγνητος Ἀντήνορος ἢ παῖς. αὐτῷ γὰρ γενεὴν ἄγχιστα ἐῴκει». (v. 475) Εἶτα ἐπισημαινόμενος ὁ ποιητής, ὅτι ἐν εἰρωνείᾳ καὶ βαρέως ὁ Αἴας ἐνδοιάζει ἐφ' οἷς ἀκριβῶς οἶδε, φησὶν «ἦ ῥ' εὖ γινώσκων», ἤγουν ἔφη δὴ εὖ εἰδώς. ὡς καὶ ἄλλοι ἐγίνωσκον ἄλλους διὰ τάς, ὡς εἰκός, γινομένας πολλὰς ἀνοχὰς τοῦ πολέμου, ἐν αἷς ἀλλήλοις

ἐνετύγχανον, ὁποία τις ἀνοχὴ δηλοῦται καὶ ἐν τῇ τῶν νεκρῶν συλλογῇ καὶ ἐν τῇ τοῦ Ἕκτορος ταφῇ.

3.679 Εἶτα ἐπάγει, ὅτι Τρῶας δ’ ἄχος ἔλαβε θυμῷ, ὡς καὶ πρὸ μικροῦ τοὺς Ἀργείους, καὶ μετ’ ὀλίγα δὲ τοὺς μὲν Ἀργείους ἐφ’ ὁμοίῳ σαρκασμῷ ἄχος λήψεται, τοὺς δὲ Τρῶας ἐν τοῖς ἐφεξῆς ὑπὸ τρόμος ἔλλαβε γυῖα, οὐχ’ οὕτω διὰ χλεύην, ὅσον διὰ θέαν δεινήν. Ἐν οἷς ὅρα καὶ ὅτι ἐπὶ μὲν Ἀργείων δὶς κεῖται τὸ «Ἀργείοισι δ’ ἄχος γένετ’ εὐξαμένοιο», νῦν μὲν τοῦ Πολυδάμαντος, μετ’ ὀλίγα δὲ τοῦ Ἀκάμαντος, ἐπὶ δὲ Τρώων τὸ μὲν ἔλλαβε δισσολογεῖται, τὰ δὲ λοιπὰ ἑτεροιοῦνται. (v. 475 et 504) Φησὶ γὰρ «Τρῶας δ’ ἄχος ἔλλαβε θυμόν», καὶ «τοὺς δ’ ἄρα πάντας ὑπὸ τρόμος ἔλλαβε γυῖα». (v. 459 s.) Ὅρα δὲ καὶ τὸ μάλιστα δὶς ῥηθὲν κατὰ συνέχειαν ἐν τῷ «μάλιστα θυμὸν ὄρινε τῷ Τελαμωνιάδῃ· τοῦ γὰρ πέσεν ἄγχι μάλιστα». διὰ σαφήνειαν δὲ πρόσκειται τὸ «τῷ Τελαμωνιάδῃ», ὡς ἂν διασταλῇ τοῦ Ὀϊλείδου, ὡς πρὸ βραχέων ἀριστεύοντος. (v. 463) Τὸ δὲ λικριφίς ἅπαξ μέν, φασίν, ὧδε καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ εἴρηται, δηλοῖ δὲ τὸ πλαγίως καί, ὡς ἄν τις εἴποι, λέχριος, ἢ λίαν χρίμψας καὶ πλησιάσας τῇ γῇ. Τὸ δὲ «κόμισε χροΐ» ἐντελῶς ἀνωτέρω ῥηθὲν καὶ σαφῶς, ἄλλως ἐνταῦθα ἐρρέθη ψιλῶς «κόμισεν», οἷα ἐκεῖ διασαφηθέν. (v. 464) Κεῖται δ’ ἐν τούτοις καὶ θανάτου αἰτία σεμνή, θεῖον βούλημα. φησὶ γὰρ περί τινος Ἀρχελόχου, ὅτι αὐτῷ γὰρ θεοὶ βούλευσαν ὄλεθρον. ἔνθα ὅρα τὸ ἐβούλευσαν ἐνεργητικῶς προενεχθέν. (v. 465) Συνεοχμὸν δὲ κεφαλῆς εἰπεῖν καὶ συνοχὴν ταὐτόν ἐστιν, ἤγουν συγκόλλησιν, συγκράτησιν. προϋπάρχει δ’ αὐτῶν τὸ ἔχειν, ὅθεν καὶ τὸ ἔχμα, περὶ οὗ προείρηται. Προϋπόκειται δὲ τοῦ συνεοχμοῦ ὁ ὀχμός, ἐξ οὗ καὶ ὀχμάζειν, τὸ συνέχειν, ὡς τὸ «μέσον μ’ ὀχμάζεις», καὶ «πατρός ὀχμάσας δέμας». (v. 466) Ἀστράγαλον δὲ οὐ τὸν ἐν ποσὶ λέγει —τοὺς γὰρ τοιούτους, ὡς καὶ Ἀριστοτέλης φησίν, οὔτε ἄνθρωπος ἔχει οὔτε τι τῶν μωνύχων καὶ ἀκεράτων—, ἀλλὰ τὸν σπόνδυλον, ὅς ἐστι κεφαλῆς καὶ αὐχένος συνεοχμός, ἤγουν συνοχμός, πλεονάζει γὰρ τὸ ε , καὶ συνοχὴ τραχήλου καὶ κεφαλῆς, τῷ ἰνίῳ συνάπτων καὶ καλούμενος θέσις ἐγκεφάλου.

3.680 [Ἰστέον δὲ ὡς, εἰ καὶ μὴ ἐνταῦθα, ἐν γοῦν τοῖς ἑξῆς μεμνήσεταί που ὁ ποιητὴς ἀστραγάλων τῶν κατὰ πόδας. καὶ ῥηθήσεται μὲν καὶ ἐκεῖ τὸ ἀρκοῦν, οὐκ ἂν δὲ εἴη περιττὸν καὶ ἐνταῦθα δηλῶσαι ὅτι, καθάπερ ὁ σπονδύλου δηλωτικὸς ἀστράγαλος παρὰ τὸ ἀστραβὲς ἐτυμολογεῖται, οὕτω καὶ ὁ κατὰ πόδας, καὶ ὅτι ἐκ τοιούτων ἀστραγάλων καὶ τὸ ἀστραγαλίζειν καὶ μάστιγες ἀστραγαλωταί, καὶ ὅτι ἀπ’ αὐτῶν τῇ ἱστορίᾳ συμβολὴ γίνεταί τις εἰς δεῖγμα τῆς Ἀντιόχου τοῦ Ἐπιφανοῦς, φασίν, ἢ Ἐπιμανοῦς ἀφελείας εἴτε μανίας. Λέγεται γὰρ ὡς ἀδιακρίτως δωρούμενος ἐδίδου τοῖς μὲν ἀστραγάλους δορκαδείους, τοῖς δὲ φοινικοβαλάνους, ἄλλοις δὲ χρυσόν. Εἰ δὲ καὶ Ἀνάχαρσις πυθομένου τινός, εἰς τί Ἕλληνες χρῶνται τῷ ἀργυρίῳ, ἔφη ὅτι πρὸς τὸ ἀριθμεῖν, σκώπτων ἐκείνους εἰς φειδωλίαν, ἀλλ’ ὁ ῥηθεὶς Ἀντίοχος τοῦτο μὲν οὐκ ἂν ἤκουσεν, ἐφ’ οἷς ἐσκόρπιζε τὸ χρυσίον, ἐσκώφθη δὲ ἂν ἐς μεγακήτεα πόντον σπείρειν αὐτὸ ἢ κατὰ πετρῶν ἠλιβάτων, τῶν ἐπιτρίπτων δηλαδὴ κολάκων. Ἐπὶ δὲ τοῖς ζωϊκοῖς ἀστραγάλοις ἀστεῖον καὶ τὸ τοῦ Διογένους, ὃς τῶν νομισμάτων καταγνοὺς ἐν τῇ ἑαυτοῦ, φασί, πολιτείᾳ ἐνομοθέτησε νόμισμα εἶναι ἀστραγάλους.] Ἀποκέρσαι δὲ τένοντας Αἰολικῶς τὸ ἀποκεῖραι, ὅ ἐστι παντελῶς διακόψαι. (v. 467) Τὸ δὲ ῥῖνες πληθυντικῶς λέγει διὰ τοὺς αὐτόθι δύο πόρους. ἐνταῦθα δὲ ἐπισημαντέον, ὡς ἀπὸ τῶν τοιούτων ῥινῶν δοκεῖ λέγεσθαι ἐπὶ ἀπάτης τὸ ῥινᾶν, ὡς ἐκ μεταφορᾶς τῶν δι’ ὀσφρήσεως ἀπατωμένων ἢ καὶ ἀπατώντων. Ἡ δὲ χρῆσις τῆς λέξεως καὶ παρὰ Παυσανίᾳ, ὅς φησιν, ὅτι ῥινᾶν τὸ ἐξαπατᾶν. Μένανδρος «ἔγωγ’ ἐπίσταμαι ῥινᾶν». (v. 472) Ἡ δὲ ἐξ πρόθεσις λόγῳ κάλλους καὶ αὐτὴ ἐν τέλει στίχου ἐτέθη κρουστικώτερον τῷ τόνῳ, καθάπερ καὶ ἡ προ καὶ ἡ συν ἐν τῷ «Ἰλιόθι πρό», καὶ «Ἀρτέμιδι ξύν».

3.681 (v. 474) Τὸ δὲ «ἄγχιστα ἐῴκει» ἰσοδυναμεῖ μὲν τῷ «ἄγχι μάλιστα», ὃ πρὸ ὀλίγων κεῖται, ταὐτὸν δέ ἐστι νῦν τῷ σχεδόν. σύστοιχα γὰρ τὸ σχεδόν καὶ ἐγγύς καὶ ἀγχοῦ καὶ ἄγχι καὶ ἄγχι μάλιστα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἄγχιστα. ἀλλ᾿ οὕτω μὲν καὶ ὁ Αἴας μετὰ τὸν Πολυδάμαντα κατὰ εἰρωνείαν ἐπὶ τῷ υἱῷ σαρκάζει τοῦ Ἀντήνορος. (v. 476 s.) Αὐτίκα δὲ καὶ Ἀκάμας, ὁ καὶ αὐτὸς Ἀντηνορίδης, «ἀμφὶ κασιγνήτῳ βεβαώς», ἤγουν βοηθῶν τῷ ἀδελφῷ Ἀρχελόχῳ, ὅμοιόν τι ποιεῖ, Ὁμήρου τεχνικῶς τὰ σκυθρωπὰ ἱλαρύνοντος τοῖς ἀκροαταῖς, οἷς ἐν ἀστειότητι σαρκάζει, καὶ οὕτω κεραννύντος ἡδέα καὶ λυπηρά. (v. 477—81) Οὐτάσας γάρ τινα Πρόμαχον Βοιώτιον, ὃς τὸν νεκρὸν ὕφελκε ποδοῖϊν, ἤγουν λάθρᾳ ὑπέσυρε, φησὶν «Ἀργεῖοι ἰόμωροι ἀπειλάων ἀκόρητοι, οὔ θην οἴοισίν γε πόνος τ᾿ ἔσεται καὶ ὀϊζὺς ἡμῖν», ἤγουν οὐ δὴ μόνοι πονήσομεν ἡμεῖς, «ἀλλά ποθ᾿ ὧδε», ἤγουν ἀλλά που οὕτω, «κατακτανέεσθε καὶ ὔμμες». (v. 482—4) Καὶ ἐπάγων τὸ δριμύτερόν φησι «φράζεσθε ὡς ὑμῖν Πρόμαχος δεδμημένος εὕδει ἔγχει ἐμῷ, ἵνα μή τι κασιγνήτοιό γε ποινὴ δηρὸν ἄτιτος εἴη». (v. 484 s.) Καὶ ἐπιφέρει ὡς γνωμικὸν «τῷ», ἤγουν διό, «καί τις εὔχεται ἀνὴρ γνωτὸν ἐνὶ μεγάροις Ἄρεος ἀλκτῆρα γενέσθαι», ὃ δὴ παραπεποίηται ἀπὸ τοῦ «ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι ἀνδρός». (v. 479) Ἰόμωροι δέ, ἤτοι τοξόται, βαρβαρικῶς ὀνειδίζονται οἱ Ἀχαιοὶ τῷ Ἀκάμαντι, ὡς εἴπερ οὐκ ἦσαν τοιοῦτοι καὶ παρὰ Τρωσίν. Εἰσὶ δὲ καὶ νῦν, ὡς καὶ ἀλλαχοῦ, ἰόμωροι οἱ μόρον ἐμποιοῦντες ἐν ἰοῖς, ἐκτάσει τοῦ ο εἰς ω , ἢ περὶ ἰοὺς μεμορημένοι καὶ κακοπαθῶς ἔχοντες, ἢ ὀξεῖς ἰοὺς κεκτημένοι—μόρον γάρ, φασί, παρὰ Κυπρίοις τὸ ὀξύ—, ἢ πλεονασμῷ τοῦ μυ , ἵνα εἶεν ἰόωροι οἱ τῶν ἰῶν ὤραν, ἤτοι φροντίδα, ἔχοντες. Ἀπειλάων δὲ καὶ νῦν ἀκόρητοι οὐ μόνον οἱ ἀλαζόνες ἐν τῷ ἀπειλεῖσθαι δεινά, ἀλλὰ καί οἱ καυχηταί. (v. 482) Τὸ δὲ «εὕδει» ἁπλῶς μὲν ῥηθέν, δηλοῦν δὲ θάνατον, ἔχει τι δριμύτητος καὶ αὐτό, ἔτι δὲ καὶ ἀστειότητος μετὰ καὶ βαρύτητος, ὥσπερ καὶ τὸ «δεδμημένος ἔγχει», ὡς εἴπερ ἔφη «δεδμημένος ὕπνῳ», ὅθεν καὶ δμήτειρα πάντων ἐρρέθη ἡ νύξ. (v. 484) Ἄτιτος δὲ ἢ ἀνεκδίκητος ἢ μᾶλλον ἡ ἀναπόδοτος, ὡς ἐκ μεταφορᾶς τῶν ἐν πόλεσιν ἢ κώμαις ἀποτινόντων ποινὴν ὑπέρ τινος πεφονευμένου. (v. 485) Ἄρεος δὲ ἀλκτὴρ ὁ τοῦ φόνου ἐκδικητής, ὁ καὶ ἀμύντωρ πρὸ ὀλίγων ῥηθείς. Τὸ δὲ «Ἄρεος» εἰ μὲν διὰ τοῦ ω μεγάλου γράφεται—ἔστι γὰρ καὶ Ἄρευς εὐθεῖα, ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη—, ἀπαθῶς οὕτως ἔχει τὸ μέτρον, εἰ δὲ ὡς ἀπὸ τοῦ Ἄρης Ἄρεος, ἐκτείνεται ἡ λήγουσα κατὰ τροπὴν κοινῆς συλλαβῆς διὰ τὴν καταπεραίωσιν καὶ τὸ ἐφεξῆς κατάρχον φωνῆεν.

3.682 καὶ οὕτω μὲν καὶ ὁ Ἀκάμας. (v. 489—92) Ἦν δέ τις ἐν Τρωσὶν Ἰλιονεύς, «υἱὸς Φόρβαντος, πολυμήλου», ὅ ἐστιν ἐκ μέρους τῶν μήλων, πολυθρέμμονος, «ὅν ῥα μάλιστα», φησίν, «Ἑρμείας Τρώων ἐφίλει καὶ κτῆσιν ὤπασεν», ὑφ᾿ ᾧ μήτηρ μόνον τέκεν Ἰλιονῆα. (v. 493—504) Τοῦτον τότε Πηνέλεος «ὑπ᾿ ὀφρύος οὖτα κατ᾿ ὀφθαλμοῖο θέμεθλα, ἐκ δ᾿ ὦσε γλήνην, δόρυ δ᾿ ὀφθαλμοῖο διαπρὸ καὶ διὰ ἰνίου ἦλθεν, ὃ δ᾿ ἕζετο», καθὰ καί τις ἄλλος ἑτέρωθι, «χεῖρε πετάσας ἄμφω. Πηνέλεος δὲ ἐρυσσάμενος ξίφος ὀξὺ αὐχένα μέσσον ἔλασσεν, ἀπήραξε δὲ χαμᾶζε αὐτῇ σὺν πήληκι κάρη. ἔτι δ᾿ ὄβριμον ἔγχος ἦεν ἐν ὀφθαλμῷ ὃ δὲ φῆ κώδειαν ἀνασχὼν πέφραδέ τε Τρώεσσι καὶ εὐχόμενος ἔπος ηὔδα· εἰπέμεναί μοι, Τρῶες», ἤγουν εἴπατε, ὅ ἐστι θελήσατε εἰπεῖν, «ἀγαυοῦ Ἰλιονῆος πατρὶ φίλῳ καὶ μητρὶ γοήμεναι ἐν μεγάροισιν. οὐδὲ γὰρ ἡ Προμάχοιο δάμαρ ἀνδρὶ φίλῳ ἐλθόντι», τουτέστιν ἐπανελθόντι ἐκ Τροίας, «γανύσσεται», ὅ ἐστι χαρείη, ὡς ἀπὸ τοῦ γανύω, ἐξ οὗ καὶ τὸ γανύσκω παράγεται, οὐ μὴν ἐκ τοῦ γάνυμι, αὐτοῦ γὰρ οὐκ ἔστι μέλλων. καὶ ταῦτα μὲν ὁ Πηνέλεος. (v. 506 s.) «Τοὺς δ᾿ ἄρα πάντας», ἤγουν τοὺς Τρῶας, «ὑπὸ τρόμος ἔλλαβε γυῖα, πάπτηνεν δὲ ἕκαστος ὅποι φύγῃ αἰπὺν ὄλεθρον», ὃ δὴ τροπὴν φράζει στρατοῦ. Καὶ ὅρα ὡς οὐ λόγῳ μόνῳ, ἀλλὰ καὶ ἔργου βαρύτητι καταπαίζει τῶν Τρώων ὁ Πηνέλεος, καὶ ὅτι Αἴας μὲν ἄχος ἔσχε πρὸ ὀλίγου ἐπὶ Προθοήνορι πεσόντι αὐτοῦ ἔγγιστα, καὶ διὰ τοῦτο ἐλεῶν ἐβοήθησε, Πηνέλεος δέ, εἰ καὶ ὁ ποιητὴς τὸ φανερὸν οὐκ ἐξεῖπεν, ὡς ὁμοεθνεῖ τῷ Προμάχῳ βοηθεῖ. ὁ μὲν γὰρ Βοιώτιος, Πηνέλεος δὲ Βοιωτῶν ἦν ἡγεμών. Σημείωσαι δὲ καὶ ὅτι προθέμενος ὁ ποιητὴς ἐνταῦθα σαρκασμοῖς μεστῶσαι τὴν ποίησιν, ἵνα ἐξ ἀκράτου γλυκύτητος τῆς κατὰ Δία καὶ Ἥραν εἰς ἐμβριθεῖς ἀστεϊσμοὺς καταπαύσῃ τὸν λόγον, τέσσαρσι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοιαύταις ἐννοίαις καταπυκνώσας τὴν ἱστορίαν παύει τοῦ λοιποῦ τὴν τοιαύτην ἰδέαν καὶ τοῦ λοιποῦ ἀναστήσας τὸν Δία τοῦ ὕπνου ἀγριαίνει τὸ τῆς γραφῆς ἱλαρὸν καὶ τὰ αὐτῷ δοκοῦντα ποιεῖ. Σημείωσαι δὲ ὅτι τῶν ῥηθεισῶν εἰρωνειῶν ἀστεία μὲν ἡ τοῦ Πολυδάμαντος, δεινοτέρα δὲ καὶ ἡρωϊκωτέρα ἡ τοῦ Αἴαντος, ἀφελεστέρα δὲ ἡ τοῦ Ἀκάμαντος.

3.683 ἡ δὲ τοῦ Πηνελέου τοιαύτη μὲν καὶ αὐτή, ἔχει δέ τι καὶ πάθος, ἐν οἷς λέγει, ὡς εἴπατε τοῖς γονεῦσι τοῦ δεῖνος κλαίειν διὰ τάδε. (v. 489) Ὅρα δὲ καὶ ἐν τούτοις τὸν Πηνέλεον ἀπὸ συνεσταλμένης εὐθείας κλινόμενον Ὁμηρικῶς τῆς ὁ Πηνέλεος, ὡς ὁ ἔλεος, οὗ γενικὴ Πηνελέου, ἐξ οὗ τὸ «οὐχ' ὑπέμεινεν ἐρωὴν Πηνελέοιο ἄνακτος». οὗ καὶ ἡ δοτικὴ παροξύτονος ἐν τῷ «Πηνελέῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν», ὃ ἀνωτέρω κείμενον παρῴδηται ἀπὸ τοῦ «Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν». (v. 491) Ἑρμῆς δὲ φιλεῖν τὸν ῥηθέντα Φόρβαντα λέγεται ὡς πολύμηλον, αὐτὸς νόμιος ὤν, εἰς ὃν ὡς τὰ πολλὰ οἱ παλαιοὶ τὰς εὐποτμίας ἀνάγουσι. διὸ καὶ τὸ κατὰ τύχην εὑρεθὲν ἀγαθὸν ἕρμαιον ἐλέγετο, ἀφ' οὗ, εἰ χρή τι καὶ τοιοῦτον παρενεῖραι τῷ λόγῳ, μαχλάς ποτε μήτηρ καλὸν ἐραστὴν ἐπὶ τῇ θυγατρὶ καταλαβοῦσα «κοινόν, ὦ θύγατερ, ἔφη, τὸ ἕρμαιον». τὸν δ' αὐτὸν ἄλλως Ἑρμῆν καὶ ὡς στερητικὸν κλέπτην πλάττουσιν. οὐ γὰρ μόνον εὐερμεῖ τις ἐξ αὐτοῦ, ἀλλὰ καὶ δυσερμίαν ἔχει κατὰ τοὺς παλαιούς, ὡς τὰ ἐναντία ἐνθεωρεῖσθαι καὶ αὐτῷ, καθὰ καὶ ὁ Ποσειδῶν σεισίχθων τε λέγεται καὶ ἀσφάλιος, τὸ μὲν ὡς ἐνοσίχθων διὰ τοὺς σεισμούς, τὸ δὲ ὡς συνεκτικὸς τῆς γῆς, ἤτοι γαιήοχος. οὕτω καὶ ὁ Φοῖβος ἀπόλλων τε καὶ κουροτρόφος. Ὅτι δὲ ἐπιμελῶς ἐκτηνοτρόφουν οἱ παλαιοί, καὶ ὡς ἐνταῦθα ἔκειτο αὐτοῖς τὸ περιουσιάζεσθαι, καὶ ὅτι παρώνυμον τῇ κτήσει τὸ κτῆνος, καὶ ὡς μέχρι τοῦ νῦν παρὰ πολλοῖς ἡ ἐν ζῴοις περιουσία κτήματα λέγεται, δῆλόν ἐστιν. (v. 493) Ὅρα δὲ καὶ τὸ «θέμεθλα ὀφθαλμοῦ», ὃ δηλοῖ τὸ ἐν βαθυτάτῳ τροπικῶς, ὡς ἐπὶ οἰκοδομῆς ἐπιμεμελημένης λεχθέν. (v.

3.684 494) Ὧι προσφυῶς ἐπῆκται καὶ τὸ «ἐκ δ' ὦσε γλήνην». ἐξωθεῖται γὰρ τὰ οὕτω πρυμνόθεν ἐξιόντα. (v. 495) Καὶ ὅτι ἰνίον ἔφη τὸ ἑτέρωθεν ἀντικρὺ τοῦ ὀφθαλμοῦ, καὶ ὅτι χεῖρε πετάσας ἀντὶ τοῦ τοῖς φίλοις ἀναπτύξας ὡς εἰς βοήθειαν. Ἐκ πτερύγων δὲ ἀναπεπταμένων εἴληπται τὸ «χεῖρε πετάσας». (v. 497) Τὸ δὲ «ἀπήραξε» καὶ νῦν ἀντὶ τοῦ ῥᾷον καὶ ἀπόνως ἀπέκοψεν Ἄρει, ὅ ἐστι ξίφει, σιδήρῳ. Περὶ δὲ τοῦ «χαμᾶζε» λέγει καὶ Αἴλιος Διονύσιος, ὡς ἀεὶ περισπᾶται, τὸ δὲ χαμᾶθεν ὡς ἐπὶ πλεῖστον. (v. 498) Τὸ δὲ «αὐτῇ σὺν πήληκι» ἐντελῶς πέφρασται. ἦν δὲ ἂν ἄλλως Ἀττικόν, εἴπερ ἔφη, ὅτι ἀπήραξε χαμᾶζε αὐτῇ πήληκι τὴν κεφαλήν. (v. 499 s.) Τὸ δὲ «ἔτι ἔγχος ἦν ἐν ὀφθαλμῷ» ἀναγκαίως κεῖται, ἵνα οὕτω χώραν σχοίη ὁ κατὰ κώδειαν παραδειγματισμὸς τῆς κεφαλῆς. Ἐν δὲ τῷ «φῆ κώδειαν ἀνασχὼν πέφραδέ τε» Ἀρίσταρχος μὲν ῥῆμα ἐκδέχεται τὸ φῆ, οἷα τοῦ ὡς ἔξωθεν προσνοουμένου, ἵνα λέγῃ, ὅτι «ὃ δὲ ἔφη ὡς κώδειαν ἀνασχὼν πέφραδέ τε καὶ ἔπος ηὔδα», καὶ εἴη κατὰ παραλληλίαν ταὐτολογία ἐν τῷ φῆ καὶ πέφραδε καὶ ηὔδα. τοῦτο δὲ διὰ τὸ ἐν τοῖς ῥήμασι τοῦ Πηνελέου σῶφρον καὶ οὐδὲ ἔξω πάθους. ἠρκέσθη γὰρ ὁ ἥρως τῷ ἔργῳ εἰς λύπην τῶν Τρώων, ὃ πάνυ παροξυντικόν ἐστιν εἰς θυμόν, εἰ οὕτως ἀνατείνας παραδειγματίζει τοῦ πεσόντος τὴν κεφαλήν. Καὶ οὕτω μὲν Ἀρίσταρχος περὶ τοῦ «φῆ κώδειαν ἀνασχών», οἱ δὲ νεώτεροι καὶ Ζηνόδοτος τὸ φῆ ἐπίρρημά φασι παραβολικόν, οὐδέποτε ὑφ' Ὁμήρου ῥηθέν. Σημείωσαι δὲ ὅτι τε πάνυ ἀστείως ἡ τοῦ Ἰλιονέως κεφαλὴ σφαιροειδὴς ἐν ἄκρῳ μακροῦ καὶ λεπτοῦ δόρατος ἐμπεπαρμένη, ὡς ἐρρέθη, κώδειαν φαντάζει, ὅ ἐστι μήκωνα, καὶ ὡς ἐνταῦθα μὲν διὰ μιᾶς λέξεως παραβολὴν ἐνέφηνεν ἀπὸ τῆς κωδείας, ἐπὶ ἑτέρου δέ τινος πλατεῖαν διεσκεύασε παραβολήν, μήκωνα παραλαβὼν βριθομένην νοτίαις ἐαριναῖς, ὡς ἐκεῖ δηλοῦται. [Ἰστέον δὲ ὅτι ἄλλο τι παρὰ τὴν Ὁμηρικὴν κώδειαν τὴν διὰ τῆς ει διφθόγγου ἡ παρὰ τῷ Ἀθηναίῳ διὰ τοῦ υ ψιλοῦ.

3.685 ἐκεῖνος γὰρ κωδύαν φησὶ τὴν τοῦ κιβωρίου, ὅ ἐστι κολοκασίου, ὡς καὶ ἀλλαχοῦ δεδήλωται, ἧς, φησί, τὸ ἄνθος διπλάσιον ἢ μήκωνος, ταὐτὸν δ' εἰπεῖν, τῆς ἐνταῦθα κωδείας.] (v. 501) Ἐν δὲ τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«εἰπέμεναί μοι Τρῶες», ἀντὶ τοῦ εἴπατε, περιττὸν δοκεῖ τὸ μοι κεῖσθαι, ἴσως δὲ καὶ ἀντὶ τοῦ περὶ ἐμοῦ ἢ δι’ ἐμὲ νοηθήσεται. (v. 502) Τὸ δὲ «γοήμεναι» ἀπὸ τοῦ γοῶ γοαίνω γίνεται, ὡς ἀπὸ τοῦ φορῶ τὸ φοραίνω, καθὰ πολλαχοῦ φαίνεται. ἴσως δὲ καὶ ἀπὸ τοῦ γοῶ γόημι, ὡς ἱστάω ἱστῶ ἵστημι. [(v. 488) Ἰστέον δὲ καί, ὅτι ἐν τῷ εἰρημένῳ χωρίῳ κεῖται καὶ προθέσεως ἔλλειψις ὁμοία τῇ ἀκόντισεν ὁ δεῖνα τοῦ δεῖνα, ὃ προδεδήλωται. φησὶ γὰρ ὅτι Πηνέλεος ὡρμήθη Ἀκάμαντος, ἤγουν ὥρμησε κατὰ τοῦ Ἀκάμαντος.] (v. 508—10) Ὅτι καὶ ἐνταῦθα Μουσῶν ἐπίκλησις ἐν τῷ «ἔσπετε νῦν μοι Μοῦσαι, Ὀλύμπια δώματ’ ἔχουσαι, ὅς τις δὴ πρῶτος βροτόεντ’ ἀνδράγρι’ Ἀχαιῶν ἤρετο», ἢ ἤρατο, «ἐπεί ῥ’ ἔκλινε μάχην» ὁ Ποσειδῶν, προοιμιαζομένου οἷον ὡς ἀπό τινος ἀρχῆς τοῦ ποιητοῦ διὰ τὴν τῆς μάχης καινότητα, ἥτις γέγονε τῶν ἀρίστων ἀμειψάντων τὰ ὅπλα. Καὶ σημείωσαι, ὅτι μέλλων εἰπεῖν· ἔσπετέ μοι Μοῦσαι, τίς πρῶτος Ἀχαιῶν ἀνεῖλε Τρωϊκὸν ἄνδρα, ὁ δὲ τοῦτο μὲν σιγᾷ, ἐρωτᾷ δὲ ὡς παρακολουθοῦν τό· τίς πρῶτος ἐσκύλευσεν, ἵνα οὕτω μέγα δείξῃ τὸ τρόπαιον, εἰ καὶ ὡς ἐν ἀδείᾳ πολλῇ ἐσκυλεύοντο οἱ πίπτοντες. (v. 509) Λέγει δὲ βροτόεντα μὲν τὰ ἐκ βροτῶν λαμβανόμενα ἢ τὰ ἔχοντα βρότον, ἤγουν μολυσμὸν τὸν ἐξ αἵματος, ἀνδράγρια δὲ σκῦλα τὰ παρὰ ἀνδρῶν ἢ ἀπὸ ἀνδρῶν ἀγρευόμενα ἢ ἀγειρόμενα. ξένη δέ, φασίν, ἡ λέξις ἅπαξ ῥηθεῖσα. παρῆκται δὲ καθ’ ὁμοιότητα τοῦ βοάγρια, ζωάγρια, μοιχάγρια. (v. 510) Τοῦ δὲ ἤρατο ἢ ἤρετο, τοῦ μὲν τὸ πρῶτον ἠράμην, ὅθεν καὶ τὸ «ἠράμεθα μέγα κῦδος», τοῦ δὲ ἤρετο, οὗ χρῆσις καὶ ἐν τῷ «τὴν ἄρετ’ ἐκ Τενέδοιο γέρων», πρῶτον πρόσωπον ἠρόμην, ὡς καὶ τοῦ εὕρετο τὸ εὑρόμην, οἷον «ἀλλὰ ταῦθ’ ἅπαντα σοῦ θανόντος εὑρόμην». Τὸ δὲ «ἔκλινε μάχην» ἀρχὴ τοῖς μεθ’ Ὅμηρον τοῦ ἑτεροκλινῆ φάναι νίκην, ἣν ὁ ποιητὴς ἑτεραλκέα λέγει, ὡς ἐκ διαδοχῆς, φασίν, ἑτέροις ἀλκὴν περιποιοῦσαν, ἤγουν ἑνὶ τῶν δύο μερῶν.

3.686 τοιοῦτον γὰρ τὸ ἕτερον, ἀφ’ οὗ καὶ ἑτερομόλιος δίκη, ἐν ᾗ μὴ ἄμφω ἦλθον οἱ ἀντίδικοι, ἀλλ’ ἕτερος, ὅ ἐστιν ἐκ τῶν δύο ὁ εἷς. Ὅρα δὲ καὶ ποικιλίαν ἐφεξῆς ἐνταῦθα ῥημάτων ἰσοδυνάμων, καὶ κατὰ ῥήτορας εἰπεῖν, ἐπίχυσιν, καὶ τούτων πρεπόντων ποιήσει. Αἴας μὲν γάρ, φησίν, οὖτα τὸν δεῖνα, Ἀντίλοχος δὲ τοὺς δεῖνα ἐξενάριξε, Μηριόνης δὲ τούσδε τινὰς κατέκτα, Τεῦκρος δ’ ἑτέρους τινὰς ἐνήρατο, Ἀτρείδης δὲ τὸν δεῖνα οὔτασε κὰλ λαπάρην, ἤγουν κατὰ λαπάραν, ὃ διαφέρει τοῦ οὖτα κατὰ μόνον τὸ ἐντελές. ἐκεῖνο γὰρ ἀποκέκοπται, πλείστους δ’ Αἴας εἷλεν ὁ τοῦ Ὀϊλέως. (v. 511 s.) Ἐν τούτοις δὲ καὶ Ὑρτιόν τινα ἱστορεῖ, Μυσῶν ἡγεμόνα, υἱὸν Γυρτίου, παρὰ ἓν γράμμα ὁμωνυμοῦντα τῷ πατρί, [ἐξ οὗ Γυρτιάδης εἴρηται.] (v. 513—20) Φιλοτιμεῖται δ’ ἐνταῦθα καὶ ἄλλως τὸ ποικίλον. Ἀντίλοχον μὲν γὰρ καὶ τὸ αὐτοῦ ἔργον ἑνὶ περιέγραψε στίχῳ, οὕτω δὲ καὶ Μηριόνην καὶ Τεῦκρον, εἰς τὸν Τελαμώνιον δὲ δύο στίχους ἔγραψεν, εἰς δὲ τὸν Ἀτρείδην, ὃν οὐκ ἐδήλωσεν, ὁπότερος ἂν εἴη τῶν δύο, ἔοικε δὲ ὁ βασιλεὺς εἶναι, τέσσαρα ἐποίησεν ἔπη ἐμπλατυνάμενος, εἰς δὲ τὸν Λοκρὸν Αἴαντα στίχους τρεῖς, ὃν καὶ ἐσέμνυνεν, οὐ μέτρῳ τινὶ ὁρίσας τοὺς ὑπ’ αὐτῷ πεσόντας, ἀλλὰ πλείστους ἐκείνους εἰπών, (v. 521 s.) προσθεὶς καὶ αἰτίαν ταύτην «οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν ἀνδρῶν τρεσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὦρσε». Καὶ ἔστι τὸ τρεσάντων ἀντὶ τοῦ εἰς φυγὴν τραπέντων, ὡς δηλοῖ τὸ «ἐν φόβον ὦρσεν», ὅ ἐστι φυγήν. Ὅθεν καί τις ἐν Ἀθηναίοις ἐπὶ δειλίᾳ κωμῳδούμενος τρεσᾶς ἐκαλεῖτο, καθὰ καί τις ἕτερος, διάρροιαν πάσχων γαστρός, χεσᾶς ἐλέγετο. Μήποτε δὲ οὐ μέγας ὁ τοῦ Λοκροῦ Αἴαντος ἔπαινος ἐνταῦθα. οὐ γὰρ ἀνθισταμένους ἀλλὰ τρέσαντας ἔρριπτεν ἐπικαταλαμβάνων αὐτούς, εἰ καὶ τὸν περὶ ψυχῆς ἔθεον, διὰ τὸ ταχὺς εἶναι. διὸ καὶ τελευταῖον αὐτὸν ὁ ποιητὴς ἔθετο, προτάξας μὲν τὸν μέγαν Αἴαντα, ὑποτάξας δὲ τὸν μικρόν. ἴσως δὲ οὐδὲ τὸ τοῦ Σαλαμινίου ἔργον μέγα νῦν ἐστιν, οὐ γὰρ αὐτὸς τρέψας ἀναιρεῖ, ἀλλὰ τοῦ Ποσειδῶνος κλίναντος τὴν μάχην. Ὅρα δὲ καὶ ὅτι ὁ μὲν Λοκρὸς οἷα ποδώκης πλείστους φεύγοντας εἷλεν, ὁ δὲ μέγας Αἴας, ὡς βαρὺς κινεῖσθαι, ἕνα μόνον οὔτασεν, οἱ δὲ λοιποὶ ἀνὰ δύο. εἰ δὲ καὶ ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βασιλεὺς ἕνα ῥίπτει, ἀσθενῶς ἔχων ἐκ τῆς πληγῆς, ἀλλ’ ὁ ποιητὴς μεγεθύνει τῇ φράσει καὶ τὴν τοῦ ἑνὸς πτῶσιν, πλατύτερον αὐτὴν ἐξαγγείλας, ὡς εἴρηται.

3.687 Σημείωσαι δὲ καὶ ὡς ἐν μὲν τοῖς προσεχῶς φθάσασιν ἐπλάτυνε τὰς καθ’ ἕκαστα τῶν ἡρώων ἀνδραγαθίας, ἐνταῦθα δὲ τὴν μέθοδον ἐξαλλάξας ἐν ὀλιγίστῳ τοσαῦτα ἔφρασεν, ὡς οἷα τοῦ μυθικοῦ Ποσειδῶνος ἐπείξαντος τὴν μάχην ὑπὲρ τῶν Ἀχαιῶν διὰ τὸ μικρὸν ὅσον ἀφυπνισθέντα τὸν Δία μέλλειν ἄναλλα τὰ πάντα ποιεῖν. (v. 518 s.) Ἐν δὲ τοῖς ῥηθεῖσι καὶ ψυχήν τινος, ὃν Ἀτρείδης ἀνεῖλε, λέγει κατὰ οὐταμένην ὠτειλὴν ἐπειγομένην ἀπελθεῖν διὰ τὸ ἅμα τῷ ἀπορρέοντι αἵματι χωρισθῆναι αὐτήν. Τὸ δὲ «οὐταμένην ὠτειλήν» τρόπος ἐτυμολογίας ἐστί. παρὰ τὸ οὐτάζω γὰρ ἡ ὠτειλή, τὸ μὲν ω ἔχουσα Δωρικῶς, τὸ δὲ δίφθογγον κατὰ Βοιωτούς. ΕΚ ΤΗΣ ΟΥ ΡΑΨΩΙΔΙΑΣ Ὅτι ἡ μὲν φίλη τῷ ποιητῇ φράσις ἐν τῇ ἐπιγραφῇ τῆς ὑποκειμένης ῥαψῳδίας αὕτη· οὖ, Κρονίδης κεχόλωτο Ποσειδάονι καὶ Ἥρῃ, ἡ δὲ ἑτεροία μιᾷ ἐμπεριγράφεται λέξει.

3.688.(t) παλίωξις γὰρ ἐπιγράφεται διὰ τὴν τῶν Τρώων ἐπὶ τὰ ἔμπαλιν δίωξιν, ὡς φευγόντων. Ὅτι δὲ τὸ ο στοιχεῖον οὖ ἐγράφετο καθὰ καὶ τὸ ε εἶ δηλοῦσιν οἱ παλαιοί. καὶ ἡ αἰτία, ἵνα στοιχειακῶς περισπῶνται καὶ αὐτὰ ὡς μακρά. βραχέα γὰρ ὄντα οὐκ εἶχον περισπᾶσθαι. (v. 1) Ὅτι τὸ «αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν» οἱ μὲν γραμματικοὶ σχῆμα λέγουσιν ὑπερβατόν, οἱ δὲ ῥήτορες οὐκ ἀξιοῦσιν οὕτω καλεῖν αὐτό, διακεκόφθαι δέ φασι τὴν σύνταξιν ἐπίτηδες, ἵνα ἡ διακοπὴ τῆς λέξεως τὸ ταλαίπωρον καὶ δυσδιόδευτον ἐμφήνῃ τῶν τὴν τάφρον διαβαινόντων. τοιοῦτον, φασί, καὶ τὸ «κατὰ πυρὸν ἤλεσαν».

3.689 Καὶ ἐν τοῖς ἑξῆς δέ, ὅπου ἐρεῖ «ὡς δ’ ὅταν ὀξὺν ἔχων πέλεκυν ἀνὴρ βοὸς ἶνα τάμῃ διὰ πᾶσαν», ἀντὶ τοῦ διατάμῃ τὴν ἶνα, φασὶν οἱ παλαιοί, ὅτι τῇ τῆς λέξεως διακοπῇ μεμίμηται τὸ γινόμενον. οὕτω δὲ καὶ τὸ «ὥς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς» αἰτιολογοῦσι. τῇ γὰρ ἐγκοπῇ, φασί, τῆς λέξεως τὸν εἰς πολλὰ διεσπασμένον ταῦρον παρέστησεν. οὐ γὰρ τὸ μέτρον, φασίν, ἠνάγκαζεν οὕτως εἰπεῖν, ἐπείπερ ἦν καὶ οὕτω γράψαι «λέων ταῦρον κατεδηδώς». οἱ δ’ αὐτοὶ καὶ τὸ «οἳ κατὰ βοῦς ὑπερίονος Ἠελίου ἤσθιον» εἰς τοιοῦτον λόγον ἄγουσι. φέρουσι δὲ εἰς ὁμοιότητα καὶ Ἀνακρέοντος τὸ «κὰδ δὲ λοπὸς ἐσχίσθη», ἀντὶ τοῦ κατεσχίσθη τὸ ἱμάτιον. ὁμοίως καὶ τὸ «διὰ δὲ δειρὴν ἔκοψε μέσην», καὶ τὸ «σὺν δὲ γέροντι χύτο νόος», ἤγουν συνεχέθη ὁ νοῦς τῷ Πριάμῳ, τὴν ταραχήν, φασί, τῆς διανοίας μιμεῖσθαι τῇ τῆς συντάξεως διακοπῇ. (v. 4) Ὅτι ἐν τῷ «ἔμενον χλωροὶ ὑπαὶ δείους», ἤγουν ὑπὸ δέους, τὸ χλωροί ταὐτόν ἐστι τῷ ὠχροί. διὸ τὸ ὠχρὸν παράγεσθαί τινές φασιν ἐκ τοῦ χλωροῦ, μεταθέσει τοῦ ω καὶ ἀπελεύσει τοῦ λ . Ἀποτέλεσμα δὲ τοιαύτης ἐν πολέμῳ χλωρότητος φυγή. διὸ ἐπάγει «πεφοβημένοι», ἤγουν φεύγοντες. Ἰστέον δὲ ὅτι οὐ μόνον ἐπὶ ὠχρότητος ἡ χλωρότης μεταφορικῶς τίθεται διὰ τὸ χρῶμα, ἀλλὰ καὶ τὸ πρόσφατον ἔστιν ὅτε καὶ τὸ νεάζον δηλοῖ διὰ τὸ ἐν τῇ χλόῃ νεοθαλές. οὕτω γὰρ χλωρὸς τυρός, ὁ νεοπαγής, ὥσπερ αὖ πάλιν ὁ μὴ τοιοῦτος γάλα εἴρηται ξηρόν. λέγεται δὲ καὶ γόνυ χλωρόν τὸ νεαρὸν καὶ διὰ τοῦτο σθεναρὸν καὶ οὐχ’ οἷον ἔχουσιν οἱ ξηροὶ καὶ ἀλίβαντες. (v. 4—8) Ὅτι ἐν τῷ «ἔγρετο Ζεὺς Ἴδης ἐν κορυφῇσι παρὰ χρυσοθρόνου Ἥρης, στῆ δ’ ἂρ ἀναΐξας, ἴδε δὲ Τρῶας καὶ Ἀχαιούς, τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν Ἀργείους» τὴν ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ παλίωξιν δηλοῖ ὁ ποιητής. τὸν γὰρ τελευταῖον στίχον ἀπαραποιήτως καὶ ἐν τῇ ξῖ ῥαψῳδίᾳ εἰπὼν ἐκεῖ μὲν ὀρινομένους τοὺς Ἀχαιοὺς ἔφη, κλονέοντας δὲ ὄπισθεν τοὺς Τρῶας, ἐνταῦθα δὲ ἔμπαλιν διὰ τὴν παλίωξιν.

3.690 Τὸ δὲ σχῆμα ὅμοιον τῷ «οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν ὀλλύντων καὶ ὀλλυμένων». Δύο γὰρ προθεὶς ὀνόματα ὧδε «Τρῶας καὶ Ἀχαιούς» καὶ δύο αὖθις ἐκεῖ «οἰμωγὴν καὶ εὐχωλήν», ὕστερον ἀπαντᾷ ἰδίᾳ πρὸς ἑκάτερα, πλὴν ὅσον ἐκεῖ μὲν ἐντελῶς κεῖνται τὰ τέσσαρα, τὸ οἰμωγή καὶ εὐχωλή καὶ τὸ ὀλλύντων καὶ ὀλλυμένων, ἐνταῦθα δὲ τεσσάρων τούτων, τοῦ ὀρινομένους καὶ κλονέοντας καὶ Τρῶας καὶ Ἀχαιούς, σεσίγηται τὸ Τρῶας, ὥσπερ αὖθις ἐν τῇ ξῖ ῥαψῳδίᾳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔλειπεν ἐν ὁμοίῳ στίχῳ τὸ Ἀχαιούς, ἔνθα ἔφη τὸν Νέστορα ἰδεῖν ἔργον ἀεικές, τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν Τρῶας ὑπερθύμους. Σημείωσαι δὲ ὅτι οὐ καλῶς φασιν οἱ εἰπόντες ἐν τοῖς τοιούτοις σχήμασιν ἀεὶ τὸν ποιητὴν πρὸς τὸ δεύτερον ἀπαντᾶν. ἐν μὲν γὰρ τῷ «οἰμωγὴ καὶ εὐχωλὴ πέλε» πρὸς τὸ δεύτερον, ἤγουν πρὸς τὴν εὐχωλήν, ἀπήντησεν. εὐχωλὴ γάρ, ἤτοι καύχημα, ἦν τῶν ὀλλύντων. τὸ δὲ ὀλλυμένων τέταρτον κείμενον πρὸς τὸ πρῶτον ἀποδέδοται τὸ οἰμωγή. Ὁμοίως καὶ ἐν ἀρχῇ τῆς ξι ῥαψῳδίας πρὸς τὸ δεύτερον ἡ ἀπάντησις, ἤγουν πρὸς τοὺς κλονέοντας Τρῶας, ὡς ἀνωτέρω κεῖται, οὕτω δὲ καὶ ἐν τῷ «ἄρνε δύω, ἕτερον λευκὸν, ἑτέρην δὲ μέλαιναν γῇ τε καὶ ἠλίῳ», ὡσαύτως καὶ ἐπὶ ἄλλων διαφόρων. Ἐν δὲ τῷ «ἀρχοὺς αὖ νηῶν ἐρέω νῆάς τε προπάσας» κατὰ φύσιν ἐν τοῖς ἑξῆς μεμέρισται τὰ πράγματα. εὐθὺς γὰρ ἀρχόντων μνησθεὶς ἐπάγει «Βοιωτῶν μὲν Πηνέλεος καὶ Λήϊτος ἦρχε», καὶ οὕτω ποιήσας καὶ πρὸς τὸ πρότερον ἀπαντήσας εἶτα ἐπισυνείρει ἐφεξῆς καὶ τὰς νῆας. Τὸ αὐτὸ ποιεῖ καὶ ἐν τῷ «Ἀμφίμαχος καὶ Θάλπιος, υἱοί, Ἀμφίμαχος μὲν Κτεάτου, Θάλπιος δὲ τοῦ δεῖνος. Τὸ δ’ ὅμοιον καὶ ἐν τῷ «Ἀθηναίη τε καὶ Ἥρη, ἤτοι Ἀθηναίη ἀκέων ἦν». Τοιοῦτον κἀνταῦθά ἐστι τὸ «Τρῶας καὶ Ἀχαιούς, τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας». οὐ γὰρ πρὸς τὸ δεύτερον ἡ ἀπάντησις, ἀλλὰ πρὸς τὸ πρῶτον. Τρῶες μὲν γὰρ ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ ὀρίνονται, Ἀχαιοὶ δὲ κλονοῦσι. Καὶ ἔστι τὸ σχῆμα τοῦτο ἐν τῷ ἄλλως μὲν ἐνταῦθα, ἄλλως δὲ ἐν τῇ ξῖ θεωρεῖσθαι περὶ ἕνα στίχον τὸν εἰρημένον, κοινωνοῦν ἀμφοτέροις, ἤγουν τῷ, ἔνθα ἀπαντᾷ τις πρὸς τὸ δεύτερον, καὶ τῷ, ἔνθα εἰς τὸ πρῶτον ἀνέρχεται. Ὅλως γὰρ ὁ ποιητὴς δυσὶν ὀνόμασι προηγησαμένοις ἕτερα δύο κατὰ μερισμὸν συντάξεως μέλλων ἐπαγαγεῖν ποτὲ μὲν τῷ πρώτῳ τῆς προηγησαμένης συζυγίας τὸ τῆς δευτέρας πρῶτον συντάττει καὶ τῷ δευτέρῳ ἀκολούθως τὸ δεύτερον, ὡς καὶ ἀλλαχοῦ ἐφάνη. καὶ κεῖνται καὶ ἀνωτέρω παραδείγματα τούτου τό· Ἀμφίμαχος καὶ Θάλπιος, Ἀμφίμαχος μὲν τοῦ δεῖνος, Θάλπιος δὲ τοῦ δεῖνος, καὶ τὰ κατ’ αὐτό. καὶ ἔστιν ἡ τοιαύτη διάθεσις τῆς συντάξεως σαφεστέρα καὶ φυσικωτέρα πρώτῳ πρῶτον συντιθεῖσα καὶ δευτέρῳ ἐπισυνάπτουσα δεύτερον.

3.691 ποτὲ μέντοι τὸ τῆς δευτέρας συζυγίας πρῶτον τῷ δευτέρῳ τῆς πρώτης συζυγίας ἐπάγει συναπτῶς, καὶ τὸ δεύτερον τῆς αὐτῆς δευτέρας τῷ πρώτῳ τῆς πρώτης, ὡς ἔχει τὸ «οἰμωγὴ καὶ εὐχωλὴ ὀλλύντων καὶ ὀλλυμένων», καὶ τὰ ὅμοια. Καὶ ἔστι τοῦτο σαφὲς μὲν οὐ πάνυ, ἐμπερίβολον δὲ καὶ πρέπον μεγέθει ποιήσεως. εἴρηται δέ τι κρεῖττον περὶ τούτου ἐν τῇ γάμμα ῥαψῳδίᾳ. (v. 9—11) Ὅτι τὸ κεῖσθαι κατὰ τοὺς παλαιοὺς ἐπί τε τοῦ πεπτωκέναι λέγεται, ὡς ὁ Ἕκτωρ νῦν ἐν πεδίῳ κείμενος «ἀργαλέῳ εἴχετο ἄσθματι κῆρ ἀπινύσσων», ἤτοι ἀλλοφρονέων καὶ μὴ ὢν πινυτός, «αἷμ’ ἐμέων». οὕτω καὶ Τιτυὸς ἐπ’ ἐννέα κεῖτο πέλεθρα. λαμβάνεται δέ ποτε τὸ κεῖσθαι καὶ ἐπὶ τοῦ τεθάφθαι, οἷον «ἔνθα μὲν Αἴας κεῖται». νοεῖται δὲ καὶ ἐπὶ τοῦ τεθνηκέναι, οἷον «κεῖται Πάτροκλος». σημαίνει δὲ καὶ τὸ νεκρὸν ἐρρίφθαι, οἷον «κεῖται παρὰ νήεσσι νέκυς», λέγεται δὲ καὶ ἐπὶ τοῦ ἀπρακτεῖν, οἷον «κεῖται παρὰ μνηστῇ ἀλόχῳ», εὕρηται δὲ καὶ ἀντὶ τοῦ ἔστιν, οἷον «θεῶν ἐν γούνασι κεῖται». (v. 10) Σημείωσαι δὲ ὅτι τὸ μὲν ἀργαλέον ἆσθμα διαστέλλεται τοῦ ἠρεμαίου, ὅλον δὲ τὸ «ἀργαλέῳ ἔχετ’ ἄσθματι» περίφρασίς ἐστι τοῦ ἤσθμαινε. (v. 10 s.) Τὸ δὲ «κῆρ ἀπινύσσων, αἷμ’ ἐμέων» πάνυ γοργοτάτη παράφρασίς ἐστι τοῦ «ἑζόμενος δ’ ἐπὶ γοῦνα κελαινεφὲς αἷμ’ ἀπέμεσσε» καὶ ἑξῆς, ὡς οὐ πρὸ πολλοῦ ἐγράφη. Ὅτι δὲ ἐκ τοῦ ἐμεῖν καὶ πόλις Ἔμεια, περὶ ἣν Αἴγισθος ἤμεσε φαγὼν ἐξ ἐπιβουλῆς Ἀτρέως τὰ οἰκεῖα τέκνα, ἡ ἱστορία φησίν. Ὅτι ἐν τῷ «τὰ καὶ τὰ ἔπαθεν ὁ Ἕκτωρ», ὡς προερρέθη, «ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλεν Ἀχαιῶν», ὁ Αἴας δηλαδή, νοητέον ἐξ ἐναντίου τὸ «ἀλλ’ ὁ ἀνδρειότατος». Εἴωθε γὰρ ὁ ποιητὴς ἐν πολλοῖς τῇ ἀποφάσει ἀντεισάγειν τὸ ἐναντίον, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ὁποῖον καὶ τὸ «οὐδ’ ἄρα τώ γε ἰδὼν γήθησεν Ἀχιλλεύς», ἀλλὰ δηλαδὴ ἐλυπήθη, διὸ καὶ ἐδάκρυσε. τοιοῦτον καὶ ἐν τοῖς ἑξῆς τὸ «οὐκ ἐχολώσατο θυμῷ Ζεύς», ἀλλὰ δηλονότι ἐχάρη. (v. 14 s.) Ὅτι τὸ «ἦ μάλα δὴ κακότεχνος ἀμήχανε σὸς δόλος Ἥρη Ἕκτορα δῖον ἔπαυσε μάχης,

ἐφόβησε δὲ λαούς» ῥηθήσεταί ποτε παρῳδηθὲν κατά τινος τοιούτου κακομηχάνου. (v. 16 s.) Ὁμοίως καὶ τὸ «οὐ μὰν οἶδα, εἰ αὖτε κακορραφίης ἀλεγεινῆς πρώτη ἐπαύρηαι καί σε πληγῇσιν ἱμάσσω», τουτέστι πλήξω.

3.692 Ζεὺς δὲ ταῦτα ἔφη πρὸς Ἥραν, «δεινὰ ὑπόδρα ἰδών». [Ἐν οἷς τό «κακορραφίης ἐπαύρηαι» συντελεῖ τι πρὸς τὸ «ἵνα πάντες ἐπαύρωνται βασιλῆος». ὡς γὰρ τῆς κακορραφίας οἷα φαύλης ἐπαυρίσκεταί τις εἰς τὸ ἴσως πληγῆναι, οὕτω καὶ βασιλέως κακοῦ ἐκείνου εἰς τὸ δι’ αὐτὸν βλαβῆναι.] Ὅρα δὲ τὸ «κακότεχνος δόλος», ὡς ὄντος δόλου πάντως καὶ ἐπὶ καλῷ. Τὸ δὲ «ἀμήχανε», ὡς καὶ ἑτέρωθι ἐφάνη, δύο σημαίνει, τόν τε μὴ ἔχοντα μηχανήν, ἀλλὰ ἄπορον καὶ οὐ βαθὺν τὰς φρένας, καὶ τὸν δεινόν, ὡς ἐνταῦθα, καὶ δυσκατέργαστον, πρὸς ὃν οὐκ ἔστι τι μηχανήσασθαι. Σημείωσαι δὲ ἐνταῦθα καί, ὅτι πολλοὶ αὐτοὶ ἁμαρτόντες ἐπὶ τοὺς πλησίον ἄγουσι τὰς αἰτίας, καθὰ καὶ Ζεὺς ἔρωτι ἐκδοὺς ἑαυτὸν αἰτιᾶται τὴν Ἥραν ὡς κακομηχάνως ἀπατήσασαν καί, ὃ πρὸ ὀλίγου ἐρρέθη, δολοφρονέουσαν. διὸ καὶ ἀπειλεῖται πληγαῖς αὐτὴν ἱμάσσειν, ταῖς ἐκ τοῦ κεραυνοῦ ἴσως, καθὰ καὶ ὁ Ἄρης δηλώσει ἐν τῷ «εἴπερ μοι καὶ Μοῖρα Διὸς πληγέντι κεραυνῷ» καὶ ἑξῆς. Καὶ εἰ τοῦθ’ οὕτως ἔχει, καὶ ἡ τροπὴ τὸ σωφρονίσαι κεραυνῷ ἱμάσαι φησίν, ὡς ἀπὸ ἱμάντος, εἴποι τις ἄν, ὡς καὶ ὁ τῆς Ἀφροδίτης κεστὸς ἱμὰς οὐκ ἀπεικότως τοιοῦτόν τι αἰνίσσεται. οἱονεὶ γὰρ καὶ ὁ ἔρως ἱμάντος δίκην πλήττων ἐρεθίζει πρὸς ἡδονάς. (v. 16) Κακορραφία δὲ ἡ δυστροπία καὶ κακοβουλία καὶ πανουργία παρὰ τὸ κακὰ ῥάπτειν, ἤγουν συντιθέναι, κατὰ τὸ «κακὰ ῥάπτομεν ἀλλήλοισιν», οὗ προηγεῖται τὸ ὑφαίνειν, ἀφ’ οὗ τὸ «μῆτιν ὕφαινεν». ἢ καὶ ἄλλως κακορραφία ἡ τοῦ νοὸς κακοσυνθεσία, οὗ ἀνάπαλιν φρενήρης ὁ τὰς φρένας ἀραρυίας ἔχων. [Ἀλεγεινὴ δὲ ἡ ῥηθεῖσα κακορραφία διὰ τὰ κατ’ αὐτὴν ἄλγη, ὧν καὶ τὸ πληγαῖς ἱμάσσεσθαι.] Καὶ οὕτω μὲν ταῦτα. (v. 18—24) Ἐπ’ αὐτοῖς δὲ ἀναμιμνήσκει ὁ Ζεὺς μὲν τὴν Ἥραν, ὁ δὲ ποιητὴς τὸν ἀκροατὴν διὰ πιθανότητα τῆς ῥηθείσης μυθικῆς ἀπειλῆς, ὡς καὶ ἄλλοτε ὅμοια ἔπαθεν ἡ Ἥρα, καὶ λέγει «ἢ οὐ μέμνη ὅτε τ’ ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖϊν ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἴηλα χρύσεον ἄρρηκτον.

3.693 σὺ δ’ ἐν αἰθέρι καὶ νεφέλῃσιν ἐκρέμω, ἠλάστεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον, λῦσαι δ’ οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι, ῥίπτασκον τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ’ ἂν ἵκηται γῆν ὀλιγηπελέων». Ἃ καὶ λέγει πρᾶξαι κατὰ τῆς Ἥρας ὁ Ζεὺς διὰ τὸν φίλον υἱὸν Ἡρακλῆν. (v. 24—8) Φησὶ γὰρ «ἐμὲ δ’ οὐδ’ ὧς θυμὸς ἀνίει ἀζηχὴς ὀδύνῃ Ἡρακλεῖος θείοιο, τόν», ἤγουν ὅν, «σὺ ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας πέμψας ἐπ’ ἀτρύγετον πόντον, κακὰ μητιόωσα, καί μιν ἔπειτα Κόωνδε εὖ ναιομένην ἀπένεικας». (v. 29—33) Εἶτα προσιστορήσας ὁ Ζεύς, ὡς «τὸν μὲν ἐγὼν ἔνθεν ῥυσάμην καὶ ἀνήγαγον αὖτις Ἄργος ἐς ἱππόβοτον, καὶ πολλά περ ἀθλήσαντα» ἐπιφέρει «τῶν ς’ αὖτις μνήσω», ἤγουν ἀναμνήσω, «ἵν’ ἀπολήξῃς ἀπατάων, ὄφρα ἴδῃς, ἤν τι χραίσμῃ φιλότης τε καὶ εὐνή, ἣν ἐμίγης ἐλθοῦσα καί μ’ ἀπάτησας». Τοῦτο δὲ παρῳδηθήσεταί ποτε καὶ πρὸς ἀπατεῶνα πάλαι ποτὲ κακωθέντα, ἐφ’ οἷς καὶ φθάσας ἠπάτησεν. Ὅρα δ’ ἐν τοῖς ῥηθεῖσιν, ὅτι τε πάλιν ἐπιτομώτερον τῆς κατὰ τὸν Ἡρακλέα ἱστορίας ἐμνήσθη, ὡς καὶ πρὸ ὀλίγων, καὶ ὡς οὐδεὶς ἐνταῦθα χόλος ἢ λόγος ὅλως περὶ τοῦ προδηλωθέντος Ὕπνου διὰ τὸ μὴ καίριον τῆς μνήμης, καὶ ὡς τὸν μέχρι τῆς Κῶ κινδυνώδη πλοῦν τοῦ Ἡρακλέους εἰπών, καθὰ καὶ ἐν τοῖς πρὸ τούτων, ἐπιφέρει ὅπερ οὐκ ἐρρέθη ἐκεῖ «τὸν μὲν ἐγὼν ἔνθεν ῥυσάμην», ὡς εἴρηται, «καὶ πολλά περ ἀθλήσαντα», ὅ ἐστι κρατερὰν μάχην νικήσαντα. Ἦν γάρ, φασίν, ἡ νῆσος ξένοις δυσεπίβατος φόβῳ ἐπιβουλῆς, ἵνα μὴ φθονηθῇ ὡς εὖ ναιομένη. διὸ οὐδὲ τὸν Ἡρακλέα ἐδέχοντο οἱ Κῷοι ἐκεῖ ἐξωσθέντα, ἀλλὰ καὶ ἀντέστησαν καὶ κατεπολεμήθησαν, ὡς ἤδη προγέγραπται. Ὅρα δὲ καὶ ὡς εἰς τὴν αὐτὴν ἐμπεσόντες διήγησιν ὁ ἐν τῇ ξῒ ῥαψῳδίᾳ Ὕπνος καὶ νῦν ὁ Ζεύς, οὐ συνέπεσον εἰς ταὐτολογίαν. γέγονε δὲ τοῦτο κατὰ τέχνην εὐμέθοδον. οὔτε γὰρ ὁ Ζεὺς Ὕπνου ἐμνήσθη, ὃν πάλαι ποτὲ ἀϊστώσειν ἔμελλεν, οὔτε ἁλώσεως Ἰλίου, ἅπερ ὁ Ὕπνος φθάσας ἀφηγήσατο, ἀλλ’ οὐδὲ αὖ πάλιν ὁ Ὕπνος τῆς ὑπὸ τοῦ Διὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνταῦθα λεγομένης εἰς τὸν Βορέαν πειθοῦς ἐμνήσθη καὶ τῆς Ἡρακλέους εἰς Ἄργος ἀναγωγῆς. καὶ οὕτως ἐξέφυγον τὴν ἐν λόγῳ συνέμπτωσιν. Καὶ οὕτω μὲν πολλαχοῦ πολυειδὴς ὁ ποιητής ἐστι καὶ ἀσυνέμπτωτος. ὅτε δὲ καὶ ταὐτολογεῖ καὶ ἀδολεσχεῖν οὕτω δοκεῖ, οὐκ ἀσθενείας τῆς εἰς τὸ γράφειν ἐγκλητέος, ἀλλ' ἐπαινετέος τῆς μεθόδου, καθ' ἣν καὶ τοῦτο ποιεῖ. (v. 19) Σημείωσαι δὲ καὶ ὅτι ὁ δεσμὸς τῆς Ἥρας, ὁ ἀλληγορηθεὶς εἰς πλάτος τοῖς παλαιοῖς, τὴν ἄλυτον δηλοῖ τῶν στοιχείων συνάφειαν, ἧς τῶν ὡσανεὶ ποδῶν ἄκμονες οἷον ἀπηώρηνται τὰ ὑπὸ τὸν ἀέρα βαρέα δύο στοιχεῖα, ὕδωρ, φασί, καὶ γῆ, περὶ δὲ τὰς χεῖρας πολυτελὴς δεσμός, ἡ πρὸς τὸν αἰθέρα συνάφεια, καθαρὸν ὄντα καὶ ἀμιγῆ παθῶν.

3.694 ἃ δὴ τὸν περὶ γῆν ἀέρα ἐπιθολοῖ τὸν λιμνάζοντα καὶ ἀμαυροῖ ὡς τὸ ἴωμα τὸν σίδηρον, ὃς ὕλη ἐστὶ τοῖς ἄκμοσι, καὶ οὐκ ἀφίησιν εἶναι ἀνέφελον καὶ στιλπνὸν οἷα χρύσεον. Εἰς δὲ τὸν τόπον τοῦτον προσγράφουσί τινες καὶ τούτους τοὺς στίχους «πρίν γ' ὅτε δή ς' ἀπέλυσα ποδῶν, μύδρους δ' ἐνὶ Τροίῃ κάββαλον, ὄφρα πέλοιτο καὶ ἐσσομένοισι πυθέσθαι». καὶ δείκνυνται, φασίν, ὑπὸ τῶν περιηγητῶν οἱ τοιοῦτοι μύδροι, οὓς ἀνωτέρω ἄκμονας εἶπεν. Ὅρα δὲ καὶ ὡς ὁ κεστὸς οὐκ ἔχει νῦν πραΰναι τὸν Δία. οὐ γὰρ θυμοῦ, φασίν, εὐναστικὸς ὁ κεστός, ἀλλὰ ἐρώτων κινητικός. Ἴσως δὲ δόξοι ἄν τι καὶ νῦν ἐνεργεῖν ὁ κεστὸς ἱμάς, εἴπερ οὐ μέγα κακὸν διατίθεται τὴν Ἥραν ὁ Ζεὺς οὕτω χολωθεὶς ἐπὶ μεγάλοις. τῆς τε γὰρ ὑπεροχῆς τὸν οὕτω μέγαν ἡ γυνὴ ἐλαττοῖ ἀπατῶσα καὶ ταῦτα μετὰ τοσαύτας προηγησαμένας ἀπειλάς, καὶ ψεύδεσθαι δὲ ποιεῖ αὐτὸν πρός τε τὴν Θέτιδα, ᾗ τιμῆσαι τὸν υἱὸν κατένευσε, καὶ πρὸς τὸν Ἕκτορα δέ, ᾧ εὐδοκιμεῖν ὑπέσχετο, ἕως δύῃ ἠέλιος. καὶ τοιαῦτα μὲν καὶ ταῦτα. Ἰστέον δὲ ὡς ἡ μυθικὴ τῶν ἀκμόνων ἀπειλὴ ἔοικε πάλαι ποτὲ πραγματικῶς ἐν ἀνθρώποις γίνεσθαι, ἵνα τοῖς κρεμαμένοις μὴ μόνον αἱ χεῖρες ἀλγοῖεν, ἀλλὰ καὶ οἱ πόδες τῇ τῶν ἀκμόνων ὑφέσει. (v. 18) Τοῦ δὲ «μέμνῃ» πρωτόθετον τὸ μέμνησαι καὶ τὸ ἐξ αὐτοῦ μέμνηαι. Τὸ δὲ «ἐκρέμω» καιριώτερόν ἐστι τῆς ἀπαιωρήσεως καὶ τοῦ ἠερέθεσθαι. διὸ καὶ δὶς ἐνταῦθα εἶπεν αὐτό, οὐκ ἀξιώσας ἄλλως φράσαι. πρόεστι δὲ καὶ αὐτοῦ τὸ ἐκρέμασο ἐκρέμαο. [Οὐκ ἔστι δὲ ταὐτὸν κρέμασθαι εἰπεῖν καὶ κρήμνασθαι. αὐτὸ γὰρ δηλωτικόν ἐστι τοῦ κρημνίζεσθαι, οὗ χρῆσις ἔν τε ἄλλοις καὶ ἐν τῷ «νεφέλαι κρημνάμεναι», καὶ «κρήμνη σεαυτήν», ἔνθα τὸ κρήμνη κανονίζεται κατὰ τὸ ἵστη.] (v. 18) Τὸ δὲ ποδοΐïν πλεονασμὸν συνήθη ἔχει τοῦ δευτέρου ἰῶτα, ὡς καὶ τὸ ἵπποιϊν καὶ ὤμοιϊν. (v. 21) Τὸ δὲ «ἠλάστεον», ἤγουν ἐδεινοπάθουν, ὡς ἐπὶ ἀλάστοις κακοῖς προϋπόκειται, ὡς καὶ ἑτέρωθι φαίνεται, τοῦ τε ἀλάστορος καὶ τοῦ ἐπαλαστήσασα, ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται.

3.695 Τὸ δέ γε μετὰ τοῦ ρ ἠλάστρεον ἀροτρέων ἴδιον ἐν τοῖς ἑξῆς που φανεῖται, γενόμενον μὲν ἀπὸ τοῦ ἐλῶ, τὸ ἐλαύνω, [προσλαβὸν δὲ τὸ ρ πρὸς διαστολὴν ἴσως τοῦ ἐνταῦθα τεθειμένου ἠλάστεον.] (v. 22) Ὅρα δὲ καί, ὡς ἐν ἄλλοις εἰωθὼς λέγειν δεσμὸν ἄρρηκτον καὶ ἄλυτον ἐνταῦθα περιφράζει τεχνικῶς τὸ ἄλυτον ἐν τῷ «λῦσαι δ' οὐδεὶς ἐδύνατο». ἄλυτον γὰρ πάντως, ὃ οὐδεὶς λῦσαι δύναται. τοῦτο δὲ ποιεῖ ἐκκλίνειν εἰωθὼς τὸ ὁμοειδὲς τῆς γραφῆς. [Τὸ δὲ «παρασταδόν» διαστέλλει τοὺς ἄλλως δυναμένους λύειν, οἷον παρακλήσει, εὐχῇ, προθυμίᾳ.] (v. 23) Τοῦ δὲ «ῥίπτασκον» πρωτότυπον τὸ ῥίπτω, ἐξ οὗ προερρέθη καὶ τὸ ῥιπτάζω εἶναι καθ' ἑτέραν παραγωγήν. Τὸ δὲ «τεταγών», ὅπερ καὶ ἐν τῇ α' ῥαψῳδίᾳ κεῖται, οἱ τεχνικοὶ καὶ ἐκ τοῦ τῶ, τὸ λαμβάνω, παράγουσιν, ὅθεν καὶ τὸ τῆ, ὅ ἐστι δέξαι, λάβε. τῶ γάρ, φασίν, ὅθεν παράγωγον τάζω, ἐξ οὗ κατὰ τὴν προδεδηλωμένην κίνησιν τὸ τεταγών. Τὴν δὲ ῥηθεῖσαν οὐρανόθεν ῥῖψιν εἰς γῆν καὶ Ἥφαιστος ἔπαθεν. (v. 23 s.) Ὅμηρος δ' ἐνταῦθα τὸν μῦθον σιγᾷ, ἵνα μὴ ταὐτολογήσῃ. ἔχει γὰρ αὐτὸν ἡ α' ῥαψῳδία, ἔνθα εἰπὼν ὀλίγον θυμὸν ἐνεῖναι τῷ Ἡφαίστῳ ῥιφέντι, ἐνταῦθα μιᾷ λέξει ἔφρασε τὸ ὀλίγον ἔχειν θυμόν, εἰπὼν ἀντ' αὐτοῦ τὸ ὀλιγηπελέων. Ἔνθα σημείωσαι καὶ ὅτι τὸ ἀπὸ βηλοῦ ῥιφῆναι τοῦ ἀλλαχοῦ θεσπεσίου ῥηθέντος, «ὄφρ' ἂν ἵκηται γῆν ὀλιγηπελέων», χρήσιμον ἐπί τινος ὑψόθεν κατενεχθέντος καὶ μεγάλης δόξης ἐστερημένου. Ἰστέον δὲ καί, ὅτι ὁ Κράτης, ὥς φασιν οἱ παλαιοί, τὸ βηλοῦ, ὅ ἐστι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βαθμοῦ, περὶ οὗ καὶ προδεδήλωται, βαρυτόνως ἀναγινώσκει βήλου ὡς ἥλου. καινὸν δέ, φασίν, οὐδὲν ἐν οὐρανῷ βηλὸν εἶναι, ὅπου καὶ πύλαι. Δῆλον δὲ ὡς ἀπὸ τοῦ βῶ βήσω παρῆκται ὁ βηλός, ἐξ οὗ καὶ βέβηλος, κυρίως τόπος ὁ καὶ τῷ τυχόντι βάσιμος, καὶ ἀνάπαλιν ἀβέβηλος ὁ μὴ τοιοῦτος. [Προσυπακουστέον δ' ἐνταῦθα εἰς τὸ βηλοῦ ὡς ἀπὸ κοινοῦ τὸ Ὀλυμπίου, ἐπεὶ πρόκειται ἀνωτέρω τὸ «κατὰ μακρὸν Ὄλυμπον». Σέμνωμα δὲ τοῦδε τοῦ βηλοῦ τὸ θεσπέσιον, ῥηθὲν ἀλλαχοῦ, ἔνθα ἔφη τὸ «ἀπὸ βηλοῦ θεσπεσίοιο».] (v. 24) Τὸ δὲ «θυμὸς ἀνίει», ἀντὶ τοῦ ἀφίει κατά τινα λόγον ἀνέσεως, [ᾗ ἀντίκειται ἡ ἐπίτασις. ἔστι γὰρ καὶ θυμοῦ ἐπίτασις καὶ ἄνεσις.] Ὅτι δὲ ἀνιέναι καὶ τὸ ἀναπείθειν καὶ διεγείρειν λέγεται, πολλαχοῦ φαίνεται. (v. 25) Δῆλον δὲ ὡς ὁ θυμὸς ὁ μὴ ἀνιείς τινα καλῶς ἂν ἀζηχὴς λέγοιτο ὡς ἀδιεχής, ὅ ἐστι συνεχής, καθὰ δηλοῦται ἐν ἄλλοις.

3.696 Τινὲς μέντοι ἀζηχής φασι θυμός, ὁ σκληρός, ἀπὸ τοῦ ἄζην ἔχειν, ὅ ἐστι ξηρασίαν, ἵνα ᾖ ἄτεγκτος καὶ δυσμάλακτος. Ὀδύνη δὲ οὐκ ἀεὶ ἐπὶ πόνου σωματικοῦ. ἐνταῦθα γὰρ ἐπὶ λύπης κεῖται, μεγάλης μέντοι, ὁποίαν Ζεὺς λέγει παθεῖν ἐπὶ τῷ μεγάλῳ Ἡρακλεῖ, οὗ τότε περιχώσατο, καθὰ προεδηλώθη, ὃν αὐτὸς ὁ Ζεὺς ἐνταῦθα θεῖον ὀνομάζει. Ἐλλειπτικῶς δὲ πέφρασται διὰ χόλου κατέπειξιν τὸ «ὀδύνῃ Ἡρακλῆος», τὸ γὰρ ἐντελές· ἐν ὀδύνῃ τῇ ὑπὲρ Ἡρακλέος. [(v. 24) Ἰστέον δὲ ὅτι τὸ «ἐμὲ δ' οὐδ' ὧς θυμὸς ἀνίει» καὶ ἑξῆς, ὡς προγέγραπται, φέρεται καὶ ἄλλως ἔν τισιν ἀντιγράφοις «ἐμὲ δ' οὐδ' ὧς θυμὸν ἀνίει» καὶ ἑξῆς. καὶ εἰ τοῦθ' οὕτω παραδεκτέον, ἀλλοιοῦται κατά τι τὸ προειρημένον νόημα. Οὔτε γὰρ θυμὸν ἔστι νοῆσαι τὸν χόλον, ἀλλὰ δηλαδὴ τὴν ψυχήν, καὶ τὸ ἀζηχὴς δὲ τῷ «ὀδύνῃ» κολλᾶται, καὶ τὸ ὀδύνη οὐ δοτική ἐστιν ὡς πρίν, ἀλλὰ εὐθεῖα, ἵνα λέγῃ, ὅτι οὐκ ἀνίει τὴν ψυχήν μου ὀδύνη ἀζηχὴς ἡ ὑπὲρ τοῦ Ἡρακλέος. καὶ ἔχει οὐδ' αὕτη φαύλως ἡ ἔννοια, ἐν ᾗ τὸ «ἐμὲ θυμόν» ὅμοιόν ἐστι τῷ «περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε φύλλα», καὶ τοῖς ὁμοίοις, ἵνα ᾖ καὶ τοῦτο τριχῇ νοούμενον, οἷον «ἐμέ», ἤγουν τὴν ἐμὴν ψυχήν, ἢ «ἐμὲ κατὰ τὴν ψυχήν», ἢ ἀντιπτωτικῶς «ἐμοῦ τὴν ψυχήν».] (v. 26) Τὸ δὲ «ξὺν Βορέῃ πεπιθοῦσα θυέλλας» ἀμφιβολίας ἐστὶ σχῆμα. Ἄδηλον γὰρ εἴτε αὐτὴ καὶ ὁ Βορρᾶς ἀνέπεισαν τὰς θυέλλας, εἴτε αὐτὴ ἔπεισε καὶ τὸν Βορρᾶν καὶ τὰς θυέλλας. οὗ δὴ Βορρᾶ οὐκ ἐμνήσθη πρὸ τούτων, ὡς ἀορίστως εἰπὼν ἐκεῖ «ἀργαλέων ἀνέμων ἀήτας». Φασὶ δέ τινες καὶ τὸν Βορρᾶν ἐμπαθῶς ἔχειν πρὸς τὸν Ἡρακλέα, ἐπεὶ ἀνεῖλε τοὺς Βορεάδας, τὸν Ζήτην καὶ τὸν Κάλαϊν. (v. 27) Πόντος δὲ καὶ νῦν ἀτρύγετος, ὁμοίως δὲ καὶ θάλασσα, ὅθεν οὐδὲν τρυγῶμεν, ἢ ἄκαρπος παρὰ τὴν τρύγην, ἢ παρὰ τὴν τρύγα, ὃ δηλοῖ τὸν Δημητρειακὸν καρπόν, ὡς δηλοῖ τὸ «ἀδηφάγου κήλωνος ὀτρυγηφάγου».

3.697 διὸ καὶ Εὐριπίδης ἀκάρπιστά που λέγει πεδία τὴν θάλασσαν. ἔτι δὲ ἀτρύγετος καὶ ἡ βαθυτάτη καὶ ἄβυσσος, ἧς τρύγα οὐκ ἔστιν εὑρεῖν. εἰ δέ τις εἴπῃ ὡς κατὰ τὴν πρώτην ἐτυμολογίαν προσαρμόζει τὸ ἐπίθετον καὶ ἀέρι καὶ αἰθέρι, καλῶς ἐρεῖ, καὶ εὑρήσει τούτου χρήσεις πολλαχοῦ. τὸ γὰρ τρυγᾶν τῇ γῇ ἀφώρισται, τὰ δὲ λοιπὰ στοιχεῖα ἀτρύγετα. (v. 28 et 30) Ὅτι δὲ εὖ ναιομένη ἡ Κόως καὶ ὡς Ἄργος ἱππόβοτον, ἡ Πελοπόννησος, καὶ ὅτι ὥσπερ φῶς φόως, οὕτω καὶ Κῶς Κόως, προδεδήλωται. (v. 31) Τὸ δὲ μνήσω, ἤγουν εἰς μνήμην ἀγάγω, ἐν τῷ «τῶν ς' αὖτις μνήσω», γενικὴν ἔχει σύνταξιν, οὗ πρὸς ὁμοιότητα καὶ τὸ ἀναμνήσω. (v. 32) Τὸ δὲ «ὄφρα ἴδῃς» οὐκ ἀπέοικε κατ' ἔννοιαν τοῦ «ὄφρ' εὖ εἰδῇς», ὃ ἀλλαχοῦ κεῖται. καὶ τὸ ἰδεῖν γὰρ εἰς τὸ εἰδέναι συντελεῖ. (v. 33) Τὸ δὲ «ἣν ἐμίγης» προθέσεώς τε καὶ ἀντωνυμίας ἔλλειψιν ἔχει. λέγει γὰρ τό· καθ' ἣν ἐμίγης μοι. (v. 31) Τὸ δὲ «λήξῃς ἀπατάων» καὶ τὸ «καί μ' ἀπάτησας» τὸ ἀποτέλεσμά ἐστι τῆς διὰ τοῦ κεστοῦ κακομηχανίας τῆς Ἥρας, ἐφ' ᾧ μάλιστα ὁ Ζεὺς χολοῦται. (v. 34) Ὅτι ἐρρίγησεν, ὡς εἰκός, ἡ Ἥρα ἐφ' οἷς, ὡς ἐρρέθη, ὁ Ζεὺς ἠπειλήσατο. διὸ καὶ ὑπούλως μεταχειριζομένη τὸν λόγον, ὡς ἂν ἐκμειλίξηται τὸν Δία, φησὶν «ἴστω τόδε γαῖα» καὶ ἑξῆς. (v. 36—8) Ἰστέον δὲ ὅτι εἰπούσης αὐτῆς «ἴστω τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθε καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι», φασὶν

οἱ παλαιοί, ὡς διὰ τριῶν ἦν ἔθος ὀμνύειν, καὶ ὅτι Δράκων Ὁμήρου προϋποθεμένου οὕτως ἔταξε, Δία, Ποσειδῶνα, Ἀθηνᾶν, οἱ δὲ Δία, Ποσειδῶνα, Δήμητραν, ὡς Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους. ἀλλαχοῦ δέ φησιν Ὅμηρος «Ζεῦ πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον», καὶ «ἴστω Ζεὺς ξενίη τε τράπεζα ἑστίη τ' Ὀδύσσεως». ἐγίνετο δέ τι τοιοῦτον καὶ κατὰ τὰς θυσίας, ὡς ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν γέγραπται. καὶ οὕτω μὲν ταῦτα. (v. 39 s.) Ἥρα δὲ κολακεύουσα τὸν ἄνδρα ἐπάγει «σή θ' ἱερὴ κεφαλὴ καὶ νωΐτερον λέχος αὐτῶν κουρίδιον, τὸ μέν», ἤγουν ὃ δή, «οὐκ ἂν ἐγώ ποτε μὰψ ὀμόσαιμι». Καὶ ὅρα ὅπως τε τὸ νόμιμον σεμνύνει λέχος, ὅρκον καὶ αὐτὸ ποιῶν καὶ οὕτω τὰς συζυγίας εἰς ὁμόνοιαν προκαλούμενος, καὶ ὡς ὁ Ζεὺς μὲν ἁπλούστερον φιλότητα καὶ εὐνὴν ὠνόμασεν ἐν τῷ «εἴ σοι χραίσμῃ φιλότης τε καὶ εὐνή», ἡ δὲ Ἥρα σεμνοτέραις χρῆται προσηγορίαις, λέχος κουρίδιον εἰποῦσα, ἔτι δὲ καὶ εἰς ὅρκον αὐτὸ ἀναγαγοῦσα, καὶ τὸ σεμνὸν σεμνοτέρως τῷ σχήματι τοῦ ὅρκου φράσασα, ἐφ' οἷς ὁ Ζεὺς κολακευθεὶς γαληνιᾷ καὶ εἰς μειδίαμα τρέψας τὸν θυμὸν λέγει ἃ λέγει.

3.698 Ὅρα δὲ καὶ ὅρκου δεξιότητα. δέον γὰρ ὀμόσαι τὴν Ἥραν, ὅτι οὐκ ἐποίησέ τι πρὸς ἀπάτην, ὡς ᾐτιάθη πρὸς τοῦ Διός, ἡ δὲ τοῦτο μὲν οὐ ποιεῖ, ἔγνωσται γὰρ ἤδη τῷ Διΐ, καὶ οὐδὲ ὁ ποιητὴς ἐθέλει γυμνάζειν εἰς ἐπιορκίαν τοὺς ἀκροατάς, ὀμνύει δὲ ἄλλως ἀληθευτικῶς, καὶ ἐπεὶ οὐκ ἔστιν ἐπὶ τοῖς φθάσασιν ὀμόσαι, ἐπιλέγεται ὅρκον ἀπὸ τοῦ τέλους, καὶ λέγει, ὡς οὐ διὰ συμβουλὴν τὴν ἀπ' αὐτῆς ὁ Ποσειδῶν ποιεῖ, ἃ ποιεῖ, ἀλλ' οἴκοθεν ὁρμηθείς. (v. 41—4) Φησὶ γὰρ «μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων πημαίνει Τρῶάς τε καὶ Ἕκτορα, τοῖσι δ' ἀρήγει, ἀλλά που αὐτὸν θυμὸς ἐποτρύνει, τειρομένους δ' ἐπὶ νηυσὶν ἰδὼν ἐλέησεν Ἀχαιούς». Καὶ ἔστιν ὁ λόγος οὗτος ἀληθής. ἤθελε μὲν γὰρ ἡ Ἥρα βοηθηθῆναι τοὺς Ἀχαιούς, οὐκ ἐπώτρυνε δὲ ὅμως αὐτὴ τὸν Ποσειδῶνα, ἀλλ' ὁ ὕπνος οἴκοθεν τοῦτο ἐποίησεν, οὐδὲ τοῦτο τῆς Ἥρας ὑποθεμένης. αὐτῇ γὰρ ἤρκει μόνον κοιμίσαι τὸν Δία, ὡς τὸ ἐντεῦθεν ἀρετῇ οἰκείᾳ τῶν Ἑλλήνων περιγενησομένων. (v. 36 s.) Ἰστέον δὲ ὅτι ἐν τοῖς ῥηθεῖσι γῆ μὲν ὁρκωμοτεῖται διὰ τὸ κατ' αὐτὴν τίμιον ὡς κοινὴ ἑστία καὶ πάντων μήτηρ, καθὰ καὶ ἐν ἄλλοις δηλοῦται, οὐρανὸς δὲ ὡς πάντα περιειληφὼς καὶ τὰ τιμιώτατα δὲ φέρων, Στὺξ δὲ διὰ τὴν καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δηλουμένην αἰτίαν. ταύτης δὲ τὸ ὕδωρ κατείβεσθαι λέγεται, ἤγουν καταρρέειν ἐκ πέτρας, ὡς καὶ ὁ Ὀδυσσειακὸς μῦθος δηλοῖ. [Ἰστέον δὲ ὡς ἡ τροπὴ μὲν τὸν μέγιστον οὐρανὸν ταπεινοῦσα παραβύει στόματι αὐτὸν ἐν τῷ τὴν ὑπερῴαν οὐρανὸν καλεῖν, ὁ δὲ ὑποκορισμὸς καὶ ἀμφότερα τρόπον τινὰ σμικρύνει, τόν τε γὰρ κατὰ στόμα οὐρανὸν οὐρανίσκον λέγει, καὶ τοῦ ἑτέρου δὲ ὅμοιόν τι κατατολμᾶν δοκεῖ ἐν τῷ «παρ' Ἀλεξάνδρῳ, ἔνθα ἐσκήνου, ὑποτείνοντες οὐρανίσκοι διάχρυσοι ἦσαν».] (v. 37 s.) Τὸ δὲ «ὅς τε μέγιστος ὅρκος» δύναται μὲν καὶ δίχα τοῦ ς γράφεσθαι, ἵνα εἴπῃ Στυγὸς ὕδωρ, ὅπερ μέγιστός ἐστιν ὅρκος, ἔστι δὲ Ἀττικώτερον καὶ καινοπρεπὲς μετὰ τοῦ ς προενεχθὲν ἀκολούθως τῷ «μέγιστος ὅρκος», ὅμοιον ὡς καὶ εἴ τις εἴποι τάδε καὶ τάδε γέγονεν, ὅσπερ νόμος θεοῦ, ἤγουν οἷος ὁ τοῦ θεοῦ νόμος, καὶ πάλιν· τόδε καὶ τόδε συνέβη, ἥτις δίκη προνοίας ἐστὶν ἀντὶ τοῦ οἵα.

3.699 Ὁ δ' ἐπὶ τῇ κεφαλῇ ὅρκος οὐ μόνον σεμνόν, ἀλλὰ καὶ τῶν ἄλλων ἐπαγωγότερον, καὶ μᾶλλον ὅτε καὶ ἀγαθὸν αὐτῇ ἐπίκειται ὄνομα, οἷον ἱερὰ κεφαλή ἢ τιμία ἢ θεία ἢ τοῦ παντὸς ἀξία [ἢ φίλη,] ἢ εἴ τι τοιοῦτον. καὶ λέχος δὲ καλὸν εἰς ὅρκον οὐ τὸ τυχόν, ἀλλὰ τὸ ἔνθεσμον καὶ κουρίδιον, ᾧ συνυπακούεται τὸ τῆς παρθενείας σεμνόν. τὸ γὰρ τοιόνδε οὐ μάτην ὄμνυται, ὡς ὅ γε μὴ ἐπὶ τοιούτῳ λέχει ὅρκος δοκεῖ μὴ τοῦ παρόντος ἀνδρὸς ἔχεσθαι, ἀλλά τινος ἑτέρου φθάσαντος, ὅθεν καὶ μάτην ὄμνυται πρὸς τὸν ἄρτι συνόντα. (v. 39) Ἐν δὲ τῷ «νωΐτερον λέχος», ἤγουν ἡμέτερον, «αὐτῶν» δι' ἀκρίβειαν πρόσκειται τὸ αὐτῶν, ἵνα μὴ συγγενικὸν ἢ φιλικὸν ἢ ἄλλως οἰκεῖον λέχος νοηθῇ, ἀλλ' αὐτοῦ τοῦ Διὸς καὶ τῆς Ἥρας. οὐ συγκριτικὸς δὲ ὁ σχηματισμὸς τοῦ νωΐτερον, ἀλλ' ἁπλῶς παραγωγῆς ἐστι παρελκυσμός, ὁποῖον δὴ καὶ τὸ σφωΐτερος καὶ σφέτερος καὶ ἡμέτερος, ἀκολούθως δὲ καὶ τὸ χειρότερος, ὁ χείρων, καὶ ῥηΐτερον

τὸ ῥᾷον, καὶ ὅσα ἄλλα εἰκῇ φαντάζει τύπον συγκριτικόν. (v. 40) Τὸ δὲ μὰψ ὀμόσαι ταὐτὸν τῷ ἐπιορκῆσαί ἐστι. Τὸ δὲ «μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων πημαίνει» ἐσχημάτισται. ἦν γὰρ κοινότερον εἰπεῖν· ἴστω γαῖα καὶ οὐρανὸς καὶ ἑξῆς μὴ δι' ἐμὲ τὸν Ποσειδῶνα πημαίνειν τοὺς Τρῶας. ἐσχημάτισε δὲ οὕτως ὁ ποιητὴς διὰ τὸ σαφέστερον. τὸ γὰρ εἰπεῖν μὴ τὸν Ποσειδῶνα πημαίνειν τοὺς Τρῶας, ἀμφιβολίας σχῆμα ἦν. ἀσαφὲς γὰρ ἐν τοιαύτῃ φράσει εἴτε ὁ Ποσειδῶν τοὺς Τρῶας πημαίνει εἴτε αὐτοὶ ἐκεῖνον. ἄλλως μέντοι ἁπλοϊκώτερον εἰπεῖν τὸ «μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων πημαίνει» ταὐτὸν τῷ «οὐ δι' ἐμὴν βουλὴν βλάπτει». καὶ ἔστιν οὕτως ἡ φράσις πάγκοινος. (v. 42) Τὸ δὲ «τοῖσι δ' ἀρήγει» οὐκ ἀναφορικῶς εἴρηται διὰ τοὺς Ἀχαιούς. — οὐδαμοῦ γὰρ πρὸ τούτου Ἀχαιῶν Ζεὺς ἢ Ἥρα ἐμνήσθη—, ἀλλὰ μᾶλλον δεικτικῶς. ἴσως δὲ καὶ ἀγωνιῶσα οὐκ οἶδεν, ὡς οὐ γέγονε μνήμη Ἀχαιῶν, διὸ καὶ ὡς μνησθεῖσα ἔφη κατὰ λόγον ἀναφορᾶς τὸ «τοῖσι δ' ἀρήγει».

3.700 (v. 43) Ὅρα δὲ καὶ τὸ «ἀλλά που», ἀντὶ τοῦ «ἀλλ' ἴσως», ῥηθὲν ἀσφαλῶς ὑπὸ τῆς Ἥρας, οὐ μόνον ἵνα μὴ ψεύσηται, ὡς τυχὸν μὲν τοῦ Ποσειδῶνος ἀφ' ἑαυτοῦ ὀτρυνθέντος, τυχὸν δὲ καὶ τῷ ὕπνῳ προσερεθισθέντος, ὅπερ καὶ ἦν, ἀλλὰ καὶ ἵνα μὴ ἀποφαντικῶς εἰποῦσα συνειδέναι δόξῃ. (v. 44) Τὸ δὲ «τειρομένους ἰδὼν ἠλέησεν», ὅπερ ἡ Μασσαλιωτική, φασί, γραφὴ «κτεινομένους» ἔχει, ἀπολογία ὑπὲρ Ποσειδῶνός ἐστιν, ὡς οὐδ' ἐκεῖνος θρασυνόμενος ἐποίησέ τι, ἀλλ' ἐλεήσας. Ὁ δὲ τοιοῦτος λόγος τῆς Ἥρας φιλαλήθως ὑποφαίνει, ὡς δι' ἔλεον Ἀχαιῶν καὶ αὐτὴ τὸν Δία ἤπαφεν, ὃς καὶ ἱλαρύνοιτο ἂν ἀκούων οὕτω. (v. 47) Διὸ καὶ μείδησε μετ' ὀλίγα τοῦ χόλου μεθέμενος, ἐπεὶ καὶ φύσει κατὰ τὸν εἰπόντα «ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι». (v. 36) Ἰστέον δὲ ὅτι τὸ «ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθεν» ἐρεῖ ἄν τις καὶ ὅτε βιαζόμενός τι ποιεῖ, καὶ ὁπηνίκα προαναφωνῶν τι οὐκ ἔχει τὸν ὑπακούοντα, καὶ ὅτε δὲ θέλει πασὶ δῆλα εἶναι, ἃ ποιεῖ ἢ καὶ λέγει. (v. 37 s.) Μέγιστος δὲ ὅρκος καὶ δεινότατος ῥηθείη ἂν καὶ ὃν οὐκ ἄν ποτε μάτην ὀμόσῃ τις διὰ τὸ δοκοῦν αὐτῷ τίμιον, οἷον ψυχὴν ἢ κεφαλὴν ἢ εὐτυχίαν τοῦδέ τινος. (v. 45 s.) Ὅτι παραμυθεῖσθαι καὶ ἐνταῦθα τὸ παραιφάσκειν καὶ παραινεῖν, ταῦτα δὴ τὰ ἀλλήλοις συνώνυμα κατὰ πολυωνυμίαν. Φησὶ γὰρ περὶ Ποσειδῶνος ἡ Ἥρα, ὡς «αὐτάρ τοι κἀκείνῳ ἐγὼ παραμυθησαίμην τῇ ἴμεν», ἤγουν ἐνταῦθα ἐλθεῖν, «ᾗ κεν δή», ὅ ἐστιν ὅποι ἄν, «σὺ ἡγεμονεύῃς». Τοῦτο δὲ καὶ πᾶς ἂν εἴπῃ ὁ ὑπισχνούμενος ἀγαγεῖν τινα εἰς ἑτέρου θέλημα, ὡς καὶ ἐφεξῆς τὸ «καὶ εἰ μάλα βούλεται ἄλλῃ, αἶψα μεταστρέψειε νόον ἐπὶ σὸν καὶ ἐμὸν κῆρ». (v. 49—52) Εἰς ὁμόνοιαν δὲ παρῳδηθήσεται τὸ «εἰ μὲν δὴ σύ γ' ἔπειτα ἶσον ἐμοὶ φρονέουσα καθίζεις, οὕτως ἂν ὁ δεῖνα καὶ εἰ μάλα βούλεται ἄλλῃ» καὶ ἑξῆς, ὡς προσεχῶς ἀνωτέρω κεῖται. (v. 51) Ἔστι δὲ τὸ «ἄλλῃ» ἐπίρρημα δηλοῦν τὸ ἄλλως. εἴληπται δὲ κατ' ἔλλειψιν ἀπὸ τῆς ἄλλῃ δοτικῆς ἀντωνυμίας, ἵνα λέγῃ ὅτι ταχὺ μεταστραφήσεται, εἰ καὶ βούλεται πρὸς ἄλλῃ ὁδῷ ἢ βουλῇ ἢ τέχνῃ γενέσθαι. τοιούτου δὲ σχηματισμοῦ καὶ τὸ ταύτῃ ἀντὶ τοῦ οὕτως. [(v. 53) Ὅτι ἐν τῷ «ἀλλ' εἰ δή ῥ' ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις» τὸ μὲν ῥῶ χάριν σεμνοῦ ῥοίζου ἔγκειται, τὸ δὲ ἐτεὸν καὶ τὸ ἀτρεκέως τῇ ἐκ παραλλήλου θέσει ἕν τι δηλοῦσιν ἐπὶ ἀπαιτήσει ἀληθείας ἄκρας.] (v. 54—77) Ὅτι τοιαῦτα ὁ Ζεύς, ἤτοι ὁ Ὁμηρικὸς ἐνταῦθα προεκτίθεται νοῦς, λέγων διὰ τοῦ μυθικοῦ Διὸς πρὸς τὴν Ἥραν, ὡς «ἔρχεο νῦν μετὰ φῦλα θεῶν», ἤγουν ἀπέρχου ἐς θεούς, «καὶ δεῦρο κάλεσσον Ἶρίν τ' ἐλθέμεναι καὶ Ἀπόλλωνα κλυτότοξον, ὄφρα ἣ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων ἔλθῃ καὶ εἴπῃσι Ποσειδάωνι ἄνακτι, παυσαμένῳ πολέμοιο τὰ ἃ πρὸς δώμαθ' ἱκέσθαι, Ἕκτορα δ' ὀτρύνῃσι μάχην ἐς Φοῖβος Ἀπόλλων, αὖτις δ' ἐμπνεύσῃσι μένος, λελάθῃ δ' ὀδυνάων, αἳ νῦν μιν τείρουσι κατὰ φρένας, αὐτὰρ Ἀχαιοὺς αὖτις ἀποστρέψῃσιν ἀνάλκιδα φύζαν ἐνόρσας, φεύγοντες δ' ἐν νηυσὶ πολυκλήϊσι πέσωσι Πηλείδεω Ἀχιλῆος, ὃ δ' ἀνστήσῃ ὃν ἑταῖρον Πάτροκλον· τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ Ἰλίου προπάροιθε πολεῖς ὀλέσαντα αἰζηοὺς τοὺς ἄλλους, μετὰ δέ», ἤγουν ἐν αὐτοῖς δὲ ἢ σὺν αὐτοῖς, «υἱὸν ἐμὸν Σαρπηδόνα δῖον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.701 τοῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς. ἐκ τοῦ δ’ ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν αἰὲν ἐγὼ τεύχοιμι διαμπερές, εἰς ὅ κεν Ἀχαιοὶ Ἴλιον αἰπὺ ἕλοιεν Ἀθηναίης διὰ βουλάς. τὸ πρὶν δ’ οὔτ’ ἂρ ἐγὼ παύσω χόλον οὔτε τιν’ ἄλλον ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν ἐνθάδ’ ἐάσω, πρίν γε τὸ Πηλείδαο τελευτηθῆναι ἐέλδωρ, ὥς οἱ ὑπέστην πρῶτον, ἐμῷ δ’ ἐπένευσα κάρητι, ἤματι τῷ, ὅτ’ ἐμεῖο θεὰ Θέτις ἥψατο γούνων, λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον». Καὶ ὅρα ὅπως ὁ ποιητὴς τῶν δύο ἄκρων τῆς Ἰλιάδος ἐνταῦθα δραξάμενος «ἐνί» αὐτά, κατὰ τὸν εἰπόντα, «ξύνωσεν ἀγοστῷ», τὰ μὲν ἀνακεφαλαιούμενος, ὁποῖα τὰ κατὰ Θέτιν, τὰ δὲ προεκτιθέμενος, τὰ κατὰ τὴν παλίωξιν δηλαδή, ἧς πέρας ἡ πτῶσις τοῦ Ἕκτορος, οὗ ἡ ταφὴ τὴν Ἰλιάδα περατοῖ. ὑπερεκβαίνων δὲ τὰ ἄκρα προαναφωνεῖ καὶ τὴν τῆς Τροίας ἅλωσιν. Ἐν τούτοις δὲ τέως μὲν σημείωσαι, ὡς ὁ Ζεὺς καὶ ἡ Ἥρα καὶ ἡ Ἶρις καὶ ὁ Ἀπόλλων ἥλιος καὶ ὁ Ποσειδῶν τὸ Ὁμηρικὸν τοῦτο κοινοῦνται χωρίον διὰ τὸ ἀλλήλοις οἰκειοῦσθαί πως κατὰ λόγον ἀλληγορίας. Ἶρις γὰρ οὐκ ἄν, εἰ μὴ περὶ τὸν ἀνωτάτω τόπον γένοιτο ἄν, ὃς λάχος τῷ Διῒ μετ’ ὀλίγα λεχθήσεται, διὰ δὲ τοῦτο καὶ περὶ τὴν Ἥραν, ἥ ἐστιν ἀήρ, οὐδ’ ἂν δίχα Ποσειδῶνος τοῦ καθ’ ὕδωρ οὐδὲ μὴν Ἀπόλλωνος ἡλίου ἐμφανθήσεται. ἀνακλωμένη γὰρ πρὸς ἥλιον ὄψις ὑγραῖς νοτίσιν ἐμφαντάζει τὴν Ἶριν ταῖς περὶ νέφος ἀέριον. Εἶτα ἰστέον καὶ ὅτι ἐκ τοῦ τόπου τούτου ἀθετοῦνται ὡς περισσοὶ στίχοι κβʹ, λήγοντες εἰς τὸ «λισσομένη τιμῆσαι τὸν Ἀχιλλέα». Παλιλλογεῖται γάρ, φασί, περὶ τῶν ἐφεξῆς οὐκ ἀναγκαίως, καὶ οἱ στίχοι δέ, φασίν, εὐτελῶς ἔχουσι κατὰ σύνθεσιν. ἔτι δέ φασιν, ὡς ἐπίπαν ἐν ταῖς συνημμέναις συντάξεσι πρὸς τὸ δεύτερον ὁ ποιητὴς ἀπαντῶν νῦν τὴν Ἶριν πρώτην εἰπών, εἶτα τὸν Ἀπόλλωνα, πρὸς τὸ πρῶτον ἀπαντᾷ, εἰπὼν «ὄφρ’ ἣ μὲν ποιήσῃ τόδε, ὃ δὲ τόδε».

3.702 ψεῦδος δέ, φασί, καὶ τὸ «φεύγοντες ἐν νηυσὶν Ἀχιλλέως πέσωσιν». οὐ γὰρ παραγεγόνασιν οἱ Ἀχαιοὶ ἕως ἐκεῖ. ἔτι, φασίν, οὐδὲ τὸν Πάτροκλον ἀνέστησεν Ἀχιλλεὺς ἐπὶ πόλεμον, ἀλλ’ ἐκεῖνος παρεκλήτευσε, καὶ Σαρπηδόνα δέ, φασί, κρίνας νῦν ὁ Ζεὺς ἀπολέσαι, διὰ τί ἐκεῖ οἰκτίζεται; ἀσύνηθες δέ, φασί, καὶ τὸ οὐδετέρως εἰπεῖν Ἴλιον αἰπύ, θηλυκῶς γὰρ ἀεὶ λέγει, καὶ Ἀθηνᾶς δὲ διὰ βουλὰς ἁλῶναι τὴν Ἴλιον λέγει, φασίν, οὐκ ἀπροσκόπως. διὰ τί γὰρ μὴ Ἥρας βουλαῖς ἔφη ὁ Ζεύς, καὶ μᾶλλον ὅτι καὶ παρῆν τοῖς λόγοις. καὶ Ἀχιλλέα δὲ οὐδαμοῦ, φασί, πτολίπορθον εἶπεν, ἀλλὰ ποδάρκη καὶ ποδώκη καὶ πόδας ὠκύν, ὡς τὸν Ὀδυσσέα εἰωθὼς οὕτω καλεῖν διὰ τὴν Τροίας ἅλωσιν. καὶ ταῦτα μὲν οἱ ὀβελίζοντες. Οἱ δὲ ἐξηγηταὶ πρὸς ταῦτα, ὧν τὰ πλείω ἐξείληπται τῶν Ἀπίωνος καὶ Ἡροδώρου, ἐκτίθενται λύσεις ἀξιολόγους, ἅσπερ ὁ θέλων ζητείτω. ἐν αἷς κεῖται καί, ὅτι ὁ ποιητὴς ἐνταῦθα προεκτίθεται συνήθως εἰς παραμυθίαν τοῦ ἀκροατοῦ τὰ καίρια τῶν ἑξῆς ἐπεισαχθησομένων. διὸ καὶ τὴν τῆς Ἰλίου ἐν τούτοις σκιαγραφεῖ ἅλωσιν. τίς γάρ, φασί, φιλέλλην ἀνὴρ ἠνέσχετο ἂν νηῶν Ἑλληνικῶν ἐμπιπραμένων καὶ Ἀχαιῶν οὕτω φευγόντων, εἰ μὴ ἀπὸ τῶν ἄρτι λεχθέντων ἐν σχήματι προεκθέσεως ἀπέκειτο ἐν ταῖς ψυχαῖς τῶν ἐντυγχανόντων, ὡς οἱ ταῦτα κατὰ τῶν Ἀχαιῶν ποιοῦντες ἀντιπείσονται κακὰ μεγάλα μετὰ μικρόν. Φασὶ δὲ καί, ὅτι ὁ Μαλλώτης Ζηνόδοτος τὰ ἐκ τοῦ «Πάτροκλον κτενεῖ φαίδιμος Ἕκτωρ» καὶ ἑξῆς ἕως τοῦ «λισσομένος τιμῆσαι Ἀχιλλέα» Εὐριπιδείῳ λέγει ἐοικέναι προλόγῳ, ἀφελῶς προαχθέντα καὶ εἰς οὐδὲν δέον ἀφηγηματικῶς. Ὅτι δὲ οὐδὲ εὐτελεῖς οἱ τοῦ χωρίου τούτου στίχοι, ὡς οἱ ὀβελίσαντες ψηφίζονται, καὶ ὅτι ἐν τῷ «ὄφρα ἡ μὲν Ἶρις ποιήσῃ τόδε, ὁ δὲ Ἀπόλλων τόδε» οὐκ ἀήθης ἡ πρὸς τὸ πρῶτον ἀπάντησις, ὡς καὶ πρὸ ὀλίγων σαφῶς δεδήλωται, καὶ ὅτι μὴ κωλυθέντες οἱ Τρῶες ἐνέρριψαν ἂν τοὺς Ἀχαιοὺς ταῖς τοῦ Ἀχιλλέως ναυσί, διὸ καὶ δοκοῦσιν ἕως καὶ εἰς αὐτὰς φυγεῖν οἱ Ἀχαιοί, καὶ ὡς, εἰ καὶ Πάτροκλος παρεκλήτευσεν, ἀλλ’ εἰ μὴ Ἀχιλλεὺς ὥπλισεν, οὐκ ἂν ἐκεῖνος τοῖς Ἀχαιοῖς ἐβοήθησε, διὸ καὶ Ἀχιλλεὺς ἀναστήσειν ἐκεῖνον λέγεται, καὶ ὅτι βουλαῖς Ἀθηνᾶς ἡ Τροία λέγεται ἁλῶναι, τουτέστι συνέσεως, διὰ τὸν δούρειον ἵππον, ὃν Ἐπειὸς ποίησε σὺν Ἀθήνῃ, ὥς πού φησιν Ὅμηρος, καὶ ὅτι πολλὰ παρὰ τῷ ποιητῇ κεῖται ἅπαξ εἰρημένα, οἷς συνεισακτέον καὶ τὸ Ἴλιον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰπύ, καὶ τὸ πτολίπορθος Ἀχιλλεύς, οὐ διὰ τὴν Ἴλιον, ἀλλὰ διὰ τὰς τρεῖς πρὸς ταῖς εἴκοσιν, ἃς πολεμαρχῶν εἷλε, δῆλόν ἐστι.

3.703 διὸ καὶ ἐπελευστικῶς αἱ τοιαῦται τοῦ ὀβελισμοῦ λύσεις συντέτμηνται. (v. 58) Ἰστέον δὲ καὶ ὅτι ἐντρεπτικὸν ἀνδρὸς φιλέριδος τὸ «παυσαμένῳ πολέμοιο τὰ ἃ πρὸς δώμαθ’ ἱκέσθαι», (v. 60) θείας δὲ δηλωτικὸν θεραπείας τὸ «ἐμπνεύσῃσι μένος, λελάθῃ δ’ ὀδυνάων, αἳ νῦν τείρουσι κατὰ φρένας». Ἔχει δὲ τὸ ῥηθὲν χωρίον καὶ παρισώσεις ἐξ ὁμοιοτελεύτων, οὐ μόνον ἐν τῷ «νηυσὶ πολυκλήϊσι πέσωσιν», ἀλλὰ καὶ ποιητικάς, τὸ εἴπῃσιν, ὀτρύνῃσιν, ἐμπνεύσῃσιν, ἀποστρέψῃσιν, οἷς ἐν τῇ παραληγούσῃ τὸ ι προσγέγραπται. εὐαρεστεῖται δ’ ἐν τοῖς ῥηθεῖσι τῷ ποιητῇ καὶ ἡ μετ’ ἐπιθέτων προφορὰ τῶν κυρίων ὀνομάτων. Ἀπόλλωνα γοῦν κλυτότοξον καὶ Φοῖβόν φησι, καὶ Ποσειδάωνα ἄνακτα, καὶ φαίδιμον Ἕκτορα, καὶ Σαρπηδόνα δῖον, καὶ δῖον Ἀχιλλέα. τὴν μέντοι Ἀθηνᾶν οὕτω δόξαν αὐτῷ δίχα ἐπιθέτου προήγαγεν, ἀρκεσθεὶς τῷ αὐτῆς ἐπαίνῳ ἐν τῷ «Ἀθηναίης διὰ βουλάς», ἵνα οὕτως ἐκφύγῃ τὸ δι’ ὅλου ὁμοειδές, οὗ χάριν καὶ μόνον τὸν Ἀπόλλωνα δυσὶ τοῖς ῥηθεῖσιν ἐπιθέτοις ἐκόσμησε. (v. 59) Τοῦ δὲ «μάχην ἐς» ἡ ἀναστροφὴ ὁμοία τῷ «Ἀρτέμιδι ξύν» καὶ τοῖς ὁμοίοις. (v. 60) Τὸ δὲ «αὖτις» δὶς ἐν τοῖς εἰρημένοις κείμενον ἀνωτέρω μὲν ἀντὶ τοῦ ἐξ ὑπαρχῆς κεῖται, κατωτέρω δὲ ἀντὶ τοῦ ὀπίσω τοπικῶς. Τὸ δὲ «ἐμπνεύσῃσι μένος» πρὸς διαστολὴν ἑτέρας ἐμπνοίας εἴρηται, ὁποία καὶ ἡ κατὰ μόνον θάρσος καὶ ἡ κατὰ φρόνησιν [καὶ ἡ κατὰ δύναμιν δὲ ζωτικήν, καθ’ ἣν ὁ Ἕκτωρ πρὸ ὀλίγων ἀμπνύνθη κακῶς παθὼν ἐκ βολῆς χερμαδίου.] Τὸ δὲ «λέλαθα» μέσου παρακειμένου ὂν παρὰ Πινδάρῳ μὲν ἄλλως ἐρρέθη ἐν τῷ «γλυκὺ μέλος ὀφείλων ἐπιλέλαθα», ἤγουν ἐπελαθόμην, ἐνταῦθα δὲ κατ’ ἐνέργειαν ἐλέχθη ἐν τῷ «λελάθῃ ὀδυνάων», ἤγουν ἐπιλησθῆναι ποιήσειε. (v. 61) Τὸ δὲ «τείρουσι κατὰ φρένας» φιλοσόφως ἐρρέθη, ὡς τοῦ σώματος μὴ ἂν αἰσθανομένου ὀδυνῶν, εἰ μὴ διὰ ψυχῆς. (v. 62) Ἀνάλκιδα δὲ φύζαν φησίν, ἐπεὶ φευγόντων οὐκ ὄρνυται ὥσπερ οὐδὲ κλέος, οὕτως οὐδὲ ἀλκή. (v. 63) Ὅρα δὲ καὶ ὅτι διχῶς λεγομένου τοῦ ἐν ναυσὶ πεσεῖν, δηλοῖ γὰρ καὶ τὸ νικητικῶς προσβαλεῖν καὶ τὸ ἀγεννῶς πεσεῖν, ὡς καὶ προδεδήλωται, ἐνταῦθα τὸ ἐν νηυσὶ πέσωσιν ἡρμήνευσεν, εἰπὼν «φεύγοντες», ἵνα μὴ διὰ τὴν τῶν ἐννοιῶν ὁμωνυμίαν ἀσαφῶς ἔχῃ. Τινὲς δὲ τὸ «ἐν νηυσὶ πέσωσιν Ἀχιλλέως» ἀντὶ τοῦ δυσωπήσουσιν τὸν Ἀχιλλέα φασὶ καὶ προσπέσωσιν ἐκείνου εἰς παράκλησιν.

3.704 (v. 66 s.) Ἐν δὲ τῷ «ὀλέσαντα αἰζηοὺς τοὺς ἄλλους» ἐκ περιττοῦ κεῖται τὸ ἄρθρον. ἤρκει γὰρ καὶ μόνον «ἄλλους» εἰπεῖν. Σημείωσαι δὲ καὶ ὅτι τὸ «υἱὸν ἐμὸν δῖον» σαφῶς ὑποδηλοῖ δῖον κυρίως λέγεσθαι τὸν τοῦ Διὸς υἱόν. Ζεὺς γὰρ ἐνταῦθα ὁ τοῦτο εἰπών. (v. 69) Παλίωξις δὲ καὶ νῦν σαφῶς ἡ ἐκ μεταβολῆς φυγὴ μὲν τῶν διωκόντων, καταδρομὴ δὲ τῶν νικωμένων. οἱ γὰρ πρότερον φεύγοντες Ἕλληνες οὕτω παλίωξιν τῶν Τρώων ποιήσονται. (v. 70) Τὸ δὲ διαμπερές ἑρμηνεία ἐστὶ τοῦ αἰέν, ἀμφοῖν δὲ αὖθις διασάφησις τὸ «ἕως Ἀχαιοὶ Ἴλιον ἕλοιεν». (v. 75) Τὸ δὲ κάρητι οἱ μὲν συγκοπῆναί φασιν ἀπὸ τοῦ κάρηαρ καρήατος καρήατι, οἱ δὲ ἀρσενικῶς κλίνουσιν ἐκ τοῦ κάρης κάρητος, ὡς Δάρης Δάρητος. Ἐν τούτοις δὲ ἀριδήλως διασαφεῖται καὶ τὸ «Διὸς δ’ ἐτελείετο βουλή», ὃ ἐν καταρχαῖς κεῖται τῆς Ἰλιάδος. (v. 80—83) Ὅτι τάχος Ἥρας ἀμύθητον ἐπεξεργαζόμενος ὁ ποιητὴς παραβολικῶς εἰκάζει αὐτὸ ἀνδρὸς πλάνητος νόῳ ἀναπολοῦντι τόπους τούτους καὶ ἐκείνους, οὓς περιῆλθε, καὶ ἐν ἀκαρεῖ καὶ ἀχρόνως οἷον τῇ φαντασίᾳ περιϊόντι αὐτούς, λέγων «ὡς δ’ ὅτ’ ἂν ἀΐξῃ», ἢ ὡς δ’ ὅτ’ ἀναΐξῃ, «νόος ἀνέρος, ὅς τ’ ἐπὶ πολλὴν γαῖαν ἐληλουθὼς φρεσὶ πευκαλίμῃσι νοήσει, ἔνθ’ εἴην ἢ ἔνθα», τουτέστι τοὺς τόπους ἀναπολήσει, οὓς περιώδευσεν ἢ ἔνθα πρότερον ἦν, «μενοινήσειέ τε πολλά, ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη». Καὶ οὕτω μὲν ἐνταῦθα, ἐν ἄλλοις δὲ τάχος πολὺ ἐνδείξασθαι θέλων ἁπλούστερον καὶ συντομώτερον φράζει, εἰπὼν κινεῖσθαί τι «ὡσεὶ πτερὸν ἠὲ νόημα», τὴν τοῦ νόου ἐνταῦθα πλατεῖαν παραβολὴν ἐκεῖ συναλείψας εἰς ἓν ὄνομα τὸ νόημα. (v. 83) Ὅρα δὲ ὅτι καὶ ἐνταῦθα ἐνέφηνε τὸ τοῦ πτεροῦ ἐν τῷ «διέπτατο Ἥρη», ὡς οἷα ἐξισάζων τὸ

πέτασμα καὶ τὸ νόημα. (v. 80) Τὸ δὲ «ἀΐξῃ» ὀξύτητά τε δηλοῖ, ἀπ’ αὐτοῦ γὰρ ἡ αἰγίς καὶ ἡ καταιγίς, καὶ εἰς ἐτυμολογίαν δὲ συμβάλλεται τοῦ νόος, [ἐκ τοῦ νέω γὰρ ὁ νόος,] ὃ δὴ οὐ μακράν ἐστι τοῦ ἀΐσσειν. Τὸ δὲ «ἀνέρος» ἐκτείνει ἐνταῦθα τὴν ἄρχουσαν, οὐκ ἀεὶ οὕτω ποιοῦν. (v. 81) Ὅτι δὲ τὸ πολλὴν γῆν ἐπεληλυθέναι νοῦν συνάγει καὶ φρόνησιν, δηλοῖ μὲν καὶ ἐνταῦθα ὁ ποιητής, πευκαλίμας φρένας εἰπὼν τὰς τοῦ τοιούτου ἀνδρός, δηλοῖ δὲ καὶ ἐν τῷ «πολλῶν ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω», ἐξ οὗ προσεπηύξησεν Ὀδυσσεὺς τὴν σύνεσιν. Τὸ δὲ «φρὴν πευκαλίμη» οὐκ εὐχρηστεῖται μὲν οὐδ’ αὐτὸ πεζογραφοῦντι ῥήτορι.

3.705 Γίνεται δὲ παρὰ τὴν πεύκην, τὸ φυτόν, πλεονασμῷ τῆς αλ συλλαβῆς. φασὶ γὰρ οἱ παλαιοὶ ὅτι πευκάλιμαι φρένες αἱ πικραὶ καὶ συνεταί, διὰ τῆς πικρίας τὸ δυσπρόσιτον δηλοῦντες τῆς φρονήσεως καὶ μὴ πάντῃ πάντως δι’ ὅλου μελιχρὸν καὶ μειλίχιον, ἵνα οὕτως εἴη πως καὶ ἡ φρόνησις ἐχεπευκὴς ἄλλον τρόπον ἤπερ τὸ βέλος, τὸ καὶ αὐτὸ ἐχεπευκές, ἤτοι ἐχέπικρον, κατὰ τοὺς παλαιούς. ἐχρίετο γάρ, φησί, τὰ βέλη πεύκῃ. Ἴσως δὲ ἀπὸ τῆς τοιαύτης πεύκης καὶ τὸ πύκα, ὅ ἐστι συνετῶς, γίνεται, καὶ τὸ πυκινόν ἀποβολῇ συνήθως τοῦ ε . (v. 82) Τὸ δὲ «εἴην», εἰ μὲν τῇ ει διφθόγγῳ παραλήγεται καὶ εἰς η λήγει ἢ διὰ δύω η γράφεται δηλοῦν τὸ ἦν, πλεονασμὸν τῆς ει διφθόγγου ἢ τοῦ η δοκεῖ παθεῖν, ἵνα λέγῃ ὅτι ἐνταῦθα ἦν ἢ ἐνταῦθα, ὡς τῆς ει διφθόγγου πλεοναζούσης πλεοναχοῦ, εἰ καὶ τὰ μάλιστα ἐν μέσῳ λέξεων, καὶ τοῦ η δὲ πλειόνως. Εἰ δὲ ἀνάπαλιν τῷ η μὲν παραλήγεται, λήγει δὲ εἰς δίφθογγον, ἵνα δηλοῖ τὸ ἤρχετο, πλεονασμὸν ἔχει τοῦ νυ καθ’ ὁμοιότητά τινα τοῦ «ἤσκειν εἴρια καλά». Εἰ δὲ γράφεται «εἴη» χωρὶς τοῦ νῦ διὰ διφθόγγου καὶ η , σημαίνοι ἂν ἢ τὸ ὑπάρχοι ἢ τὸ πορεύοιτο ἀπὸ τοῦ εἴω, τὸ πορεύομαι, περὶ οὗ προεγράφη, ἵνα ὁ λόγος ᾖ περὶ ἀνδρὸς μενοινῶντος ἀποδημῆσαί που τῶν τόπων, οὓς πολλοὺς οἶδεν. ὁ δὲ θέλων πολυπραγμονείτω τοῦτο εἰς πλέον. τοῖς γὰρ τὰ εἰς ῥητορείαν εὔχρηστα ἐπιλεγομένοις οὐκ ἀξία τοιαύτη λέξις πλείονος διατριβῆς. Τὸ δὲ «μενοινήσειεν» ἁπλῶς ἀντὶ τοῦ κινηθείη. δοκεῖ δὲ καὶ ἐτυμολογίαν ἐκ τῆς παραβολῆς ἔχειν, ἵνα ᾖ μενοινὴ καὶ μενοινᾶν μένος νόου, δι’ οὗ ἀΐσσει νόος εἰς ἔργον. (v. 84 s.) Ὅτι τὸ «ὁμηγερέεσσι δ’ ἐπῆλθε» θεοῖς Ἥρα, ἀντὶ τοῦ ἐπεδήμησεν, ἐπέστη. οἱ δὲ μεθ’ Ὅμηρον ἐχθρῶδες οἴδασι ῥῆμα τὸ ἐπελθεῖν, ταὐτὸν ὂν τῷ κατά τινος ἐλθεῖν. δηλοῖ δέ ποτε καὶ ἀρέσκειάν τινα, οἷον «ἐπῆλθέ μοι τόδε εἰπεῖν», ἀντὶ τοῦ ἔδοξέ μοι.

3.706 (v. 85 s.) Ὅτι ὅπερ ἐν ἄλλοις εἶπεν «οἳ δ’ ἐπανέστησαν», ἤγουν τῆς καθέδρας ἀνέστησαν, ἐνταῦθα οὕτω φράζει «οἳ δὲ ἰδόντες πάντες ἀνήϊξαν». (v. 85—8) Περὶ Ἥρας δὲ ὁ λόγος, ἣ πίνοντας τοὺς Ὀλυμπίους εὑροῦσα, οἷς ὁ βίος ἀεὶ ἐν ῥᾳστώνῃ, καὶ δεξιουμένους αὐτὴν δεπάεσσιν «ἄλλους μὲν ἔασε, Θέμιστι δὲ καλλιπαρῄῳ δέκτο δέπας· πρώτη γὰρ ἐναντίη ἦλθε θέουσα», ὅπερ αἴνιγμά ἐστι τοῦ πρὸ τῶν ἄλλων θείων ἀρετῶν τὴν θέμιν προσήκειν τοῖς ἄρχουσι, καὶ μάλιστα οἷς ἡ Ἡραία, τουτέστιν ἡ βασιλική, προσήκει ζωή. (v. 87) Καλλιπάρῃον δὲ τὴν Θέμιν λέγει παιδευτικῶς, ὡς τῶν δικαίων τοιούτων ὄντων κατὰ τὸ «τοῖσι δὲ τέθηλε πόλις, λαοὶ δ’ ἀνθεῦσιν ἐν αὐτῇ». ἄνθος γὰρ οἷον προσώπου τὸ καλλιπάρῃον. (v. 88) Τὸ δὲ «θέουσα» σπουδὴν δηλοῖ δεξιώσεως. οὕτω δὲ καὶ ἀνωτέρω τὸ «ἀνήϊξαν» σπουδαίαν δηλοῖ ἀνάστασιν. (v. 90 s.) Ὅτι πρὸς πρόσωπον ἐπτοημένον ῥηθείη ἂν τὸ «τίπτε βέβηκας, ἀτυζομένῳ δὲ ἔοικας· ἦ μάλα δή ς’ ἐφόβησεν» ὁ δεῖνα. Ἔστι δὲ ἀτύζεσθαι τὸ ἐκπλήττεσθαι κατὰ τοὺς παλαιούς, τελευτᾷ δέ, φασίν, εἰς τὸ φοβεῖσθαι, παράγεται δὲ ἐκ τοῦ ἀτῶ κατὰ τὸ κλῶ κλύζω καὶ τὰ τοιαῦτα. (v. 93 s.) Ὅτι ἡ τύχη, τὰ ἤθη ὡς τὰ πολλὰ ἐξαλλάσσουσα, ποιεῖ τὴν Ἥραν, ἣ πρὸ βραχέος ἐκολάκευε τὸν Δία, τοιαῦτα νῦν λέγουσαν πρὸς τήν, ὡς ἐρρέθη, καλλιπάρῃον Θέμιν «μή με ταῦτα διείρεο», ἤγουν ἐρώτα, «οἶσθα καὶ αὐτὴ οἷος ἐκείνου θυμὸς ὑπερφίαλος καὶ ἀπηνής», ὃ δὴ κατὰ παντὸς τοιούτου προσώπου οἰκεῖον λέγεσθαι. τὸ δὲ σχῆμα τοῦ λόγου ὅμοιον πρὸς τὸ «οἶσθα καὶ αὐτὸς οἷος ἐκεῖνος δεινὸς ἀνήρ», ὅπερ ἔφη περὶ Ἀχιλλέως Πάτροκλος. τὸ δὲ «καὶ ἀναίτιον αἰτιόῳτο», περὶ Ἀχιλλέως ἐκεῖ ῥηθὲν καὶ αὐτό, ἡ Ἀθηνᾶ ἐν

τοῖς ἑξῆς περὶ Διὸς ἐρεῖ ἐν τῷ «μάρψει ὅς τ’ αἴτιος ὅς τε καὶ οὐκί». Ὅρα δὲ ἦθος γυναικεῖον, ὃ καὶ πρὸ τούτου ἐφάνη ἐν τῷ «κατὰ δ’ ἔστυγεν αὐτόν», τὸν ἄνδρα δηλαδὴ Δία. μισοῦσι γὰρ ἄνδρας γυναῖκες, εἰ μὴ πάντα πείθονται αὐταῖς. (v. 97) Τὸ δὲ «ὑπερφίαλος καὶ ἀπηνής» ἑρμηνεύων ὁ ποιητὴς ἐπάγει «οἷα Ζεὺς κακὰ ἔργα πιφαύσκεται», ὅ ἐστι φάσκει ἢ φαίνει, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. (v. 95) Ὅτι τὴν Θέμιν ἄρχειν θεοῖς δαιτὸς ἐΐσης ἡ Ἥρα θέλει, διδάσκουσα ὡς καὶ ἐν τοῖς πότοις σῴζεσθαι χρὴ τὸ δίκαιον, εἰς ὃ ἡ Θέμις ἀλληγορεῖται.

3.707 διὸ καὶ ἰσομοιρίαν ἐν ταῖς θαλίαις στοχάζονται, ἵνα μὴ ἀτασθαλίαι γίνωνται. (v. 97—9) Ὅτι κοινὴν λύπην δηλοῖ τὸ «οὐδέ τί φημι πᾶσιν ὁμῶς θυμὸν κεχαρησέμεν, εἴ πέρ τις ἔτι νῦν δαίνυται εὔφρων». Καὶ ὅρα τὸ κεχαρησέμεν ἀντὶ τοῦ χαρῆναι ἀπὸ τοῦ χαρῶ χαρήσω, ἐξ οὗ καὶ τὸ «κεχαρηότα νίκῃ». (v. 101) Ὅτι καὶ ἐνταῦθα τὸ «ὤχθησαν θεοί» ἀντὶ τοῦ ἠχθέσθησαν, ὡς καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ, παρὰ τὸ ἄχθος, ἢ ἐμετεωρίσθησαν, ὡς ἀπὸ τοῦ ὄχθου, ὃς μετέωρος ὑπερῆρται τοῦ ὑπορρέοντος ὕδατος, ἢ ἐβαρύνθησαν ὡς οἷα ὄχθων αὐτοῖς ἐπικειμένων. ἐντεῦθεν δὲ λαβὼν Σοφοκλῆς ἔφη τὸ «Οἰδίπους ὑψοῦ αἴρει θυμόν». Ὅρα δὲ καὶ ἐνταῦθα ποικιλίαν θαυμασίαν καὶ ἐξαλλαγὴν σχήματος. εἰπὼν γὰρ «ὤχθησαν δ’ ἀνὰ δῶμα Διὸς θεοί», ἐφ’ οἷς ὁ Ζεὺς κακὰ [ἔργα πιφαύσκεται, ἤγουν φαίνει, ἧς δὴ λέξεως χρῆσις καὶ ἐν τῷ «Ζεὺς πιφαυσκόμενος τὰ ἃ κῆ]λα», ἐπάγει περὶ Ἥρας «ἣ δ’ ἐγέλασσε χείλεσιν», ἄλλον τρόπον φράσας τὸ ὤχθησε. Τὸ γὰρ γελάσαι χείλεσι μόνοις καὶ μὴ χανδὸν ἢ παντὶ προσώπῳ ἀλλὰ μηδὲ ὥστε μειδιάσαι, παρασῦραι δὲ μόνον αὐτὰ κατὰ τοὺς σεσηρότας, τὸν σαρδόνιον ὑποδηλοῖ γέλων, τὸν μετὰ δηγμοῦ καρδίας βαρυνομένης, οἷς ἄχθεταί τις, ἤτοι ὀχθεῖ, ὃς δὴ γέλως καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται. (v. 102 s.) Ἑρμηνεύων δὲ ὁ ποιητὴς τί ἐστι τὸ «ἣ δ’ ἐγέλασσε χείλεσιν» ἐπάγει «οὐδὲ μέτωπον ἐπ’ ὀφρύσι κυανέῃσιν ἰάνθη», ἤγουν διεχέθη, ἐθερμάνθη, καθὰ καὶ ὕδωρ ἐν χαλκῷ ἰαίνεται πυρὶ θερμαινόμενον.

3.708 Ἰστέον δὲ ὅτι ἰαίνεσθαι, κατὰ τοὺς παλαιοὺς εἰπεῖν, τὸ τήκεσθαι, ἥδεσθαι, διαχεῖσθαι, μαλάσσεσθαι. Ὅρα δὲ ὅτι κἀνταῦθα ἔπαινος ὀφρύων τὸ κυανέας αὐτὰς εἶναι. [(v. 103) Ὅτι σημασίας μιᾶς πολλαχοῦ τὸ νεμεσῶ καὶ τὸ νεμεσῶμαι. δηλοῖ γὰρ τὸ μέμφομαί τινα. τοιοῦτον τὸ «νεμέσηθέν τ’ ἐνὶ θυμῷ», ἤγουν ἐμέμψαντο, καὶ ἐνταῦθα τὸ «πᾶσι νεμεσηθεῖσα», ἤγουν πάντας μεμψαμένη.] (v. 104—9) Ὅτι οἰκεῖον ῥηθῆναι ὑπό τινων ταπεινοτέρων περί τινος ὑπερέχοντος μέν, σκληροψύχου δὲ καὶ ἀμυντικοῦ, τὸ «νήπιοι, οἳ τῷ δεῖνι μενεαίνομεν ἀφρονέοντες· ἠέ τί μιν μέμαμεν καταπαυσέμεν ἆσσον ἰόντες ἢ ἔπει ἠὲ βίῃ· ὃ δ’ ἀφήμενος οὐκ ἀλεγίζει οὐδ’ ὄθεται· φησὶ γὰρ κάρτεΐ τε σθένεΐ τε διακριδὸν εἶναι ἄριστος. τῷ ἔχετε», τουτέστι διὸ [ἐπέχετε ἤγουν] ἀνέχεσθε, «ὅττι κεν ἄμμι», ἢ ὕμμι, «κακὸν πέμπησιν ἑκάστῳ». Περὶ Διὸς δὲ καὶ ταῦτα ἡ Ἥρα φησὶ βαρυνομένη, ὁποῖον δή τι πέπλασται μυθικῶς τὸ ἐκείνης ἦθος. [(v. 107) Τὸ δὲ «φησίν» ἢ σκωπτικῶς ἐρρέθη, ἶσον ὂν τῷ «οὐκ ἔστι σθεναρὸς ἀλλὰ λέγει», ἢ σεμνῶς ἀντὶ τοῦ θαρρούντως ἀποφαίνεται.] (v. 108) Τὸ δὲ διακριδόν, ἤγουν ἐκκρίτως, ἀναλογίας ἐστὶ τῆς τοῦ παρακλιδόν, ὃ ἐν Ὀδυσσείᾳ κεῖται, καὶ τῆς τοῦ νοσφιδόν. [(v. 109) Τὸ δὲ «ὔμμιν ἑκάστῳ» καινότερον μέν, ἶσον δὲ ὅμως ἐστὶν ἀντιπτωτικῶς καὶ ἀσφαλῶς τῷ «ὑμῶν ἑκάστῳ». (v. 106 s.) Ἰστέον δὲ καὶ ὅτι τὸ «οὐκ ἀλεγίζει οὐδ’ ὄθεται» τῆς αὐτῆς ἐννοίας ἐφίενται. (v. 108) Οὕτω δὲ καὶ τὸ «κάρτεΐ τε σθένεΐ τε» ὡς ταὐτόσημα παραλληλίζονται.] (v. 110—4) Ὅτι θέλουσα ἡ τοῦ μύθου Ἥρα συγκροῦσαι τῷ Διῒ τὸν Ἄρην, ὁποῖα τὰ ἐκείνης, ἀγγέλλει ὀλωλέναι τὸν αὐτῷ φίλτατον υἱόν, τὸν Ἀσκάλαφον, ἐν μάχῃ, «ὅν φησιν ὅν» τουτέστιν ἴδιον, «ἔμμεναι ὄβριμος Ἄρης», ὁ δὲ ἀκούσας «θαλερὼ πεπλήγετο μηρὼ χερσὶ καταπρηνέεσσιν, ὅ ἐστιν οὐχ’ ὑπτίαις, «ὀλοφυρόμενος δ’ ἔπος ηὔδα», ταῦτα δὴ ἅπερ ἴδιά ἐστι παντὸς ὑπερεκπλαγέντος ἐπὶ λυπηρῷ ἀκούσματι.

3.709 (v. 115—20) Τὸ δὲ ἔπος ἦν τοιοῦτον «μὴ νῦν μοι νεμεσήσητε τίσασθαι τὸν τοῦ υἱοῦ φόνον, εἴ πέρ μοι», φησί, «καὶ μοῖρα Διὸς πληγέντι κεραυνῷ κεῖσθαι ὁμοῦ νεκύεσσι μεθ’ αἵματι καὶ

κονίῃσι. καὶ αὐτίκα ἵππους κέκλετο Δεῖμόν τε Φόβον τε ζευγνύμεν, αὐτὸς δ’ ἔντε’ ἐδύσατο παμφανόωντα», οἷα ἐρεθισθεὶς ἀφρόνως. (v. 121—4) «Ἔνθα κ’ ἔτι μείζων τε καὶ ἀργαλεώτερος ἄλλος πὰρ Διὸς ἀθανάτοισι χόλος καὶ μῆνις ἐτύχθη», κατά γε τὸ εἰκὸς τῆς Ὁμηρικῆς πλάσεως, «εἰ μὴ Ἀθήνη, πᾶσι περιδδείσασα θεοῖσιν, ὦρτο μὲν ἐκ προθύρου», ἢ ὦρτο δι’ ἐκ προθύρου, «λίπε δὲ θρόνον, ἔνθα θάασσε», καὶ ἐσωφρόνισε τὸν Ἄρην, ποιήσασα καὶ εἰποῦσα τὰ ῥηθησόμενα. Ἐν οἷς πάλιν φανήσεται, οἷον μὲν ὁ ἀλόγιστος Ἄρης, οἷον δὲ Ἀθηνᾶ ἡ καὶ πρόνοια, ἥτις οὐ μόνον ἄλλως τὸ δέον φρονεῖ, ἀλλὰ καὶ προνοεῖ, ὁποῖα ἔσται κακὰ εἰς κοινόν, εἰ μὴ ὁ Ἄρης ἡσυχάσει. Ἐν τούτοις δὲ καὶ διαφορὰ πάλιν φαίνεται ἤθους τοῦ κατὰ Ἥραν καὶ Ἀθηνᾶν. τῇ Ἥρᾳ μὲν γὰρ οὐδὲ νῦν εὐλόγιστον τὸ χολούμενον. καὶ δῆλον ἔκ τε ἄλλων, ὧν ἔφη, καὶ ἔνθα δὲ οὐ διακριδὸν ἄριστον εἶναι τὸν Δία εἶπεν, ἀλλ’ ὅτι ἐκεῖνός φησι τοιοῦτος εἶναι. ἡ Ἀθηνᾶ μέντοι χρηστολογοῦσα οὐδέν τι κατὰ τοῦ πατρὸς Διός φησιν. ἔτι δὲ ἡ μὲν Ἥρα ὑποκινεῖ τὸν Ἄρην εἰς ἔριν τῇ ἀναμνήσει τοῦ Ἀσκαλάφου, καὶ ἐρεθίζουσα λέγει ἠθικῶς, ὅτι φησὶν ἴδιον οὐ μὴν θετὸν αὐτῷ υἱὸν εἶναι ὄβριμος Ἄρης τὸν Ἀσκάλαφον, ἐπίτηδες εἰποῦσα καὶ τὸ «φησί» καὶ τὸ «ὄβριμος», τοῦτο μὲν, ἵνα δηλώσῃ πρὸς ἰσχύος ἔχειν τὸν Ἄρην βοηθῆσαι τῷ υἱῷ, ἐκεῖνο δέ, ἵνα λέγῃ, ὡς νῦν δείξει, ἐὰν υἱός, ὥς φησιν, αὐτοῦ ὁ πεσὼν Ἀσκάλαφος, εἰ ἐπαμύνῃ αὐτῷ. ἄλλως γὰρ ἀγνοεῖται. καὶ ἔστι καὶ τοῦτο κακότεχνος δόλος τῇ Ἥρᾳ, δι’ οὗ τὸν Ἄρην ἐρεθίσασα μικροῦ ἂν κοινὸν κακὸν ἐφύτευσεν. (v. 117 s.) Ἰστέον δὲ ὅτι πᾶς ὁ παρακινδυνεύων ἐν μάχῃ εἴποι ἂν τό· ἐγχειρήσω, εἰ καὶ χρεὼν «κεῖσθαι ὁμοῦ νεκύεσσι», ὃ ἑτέρωθι νεκάδεσσιν ἐρρέθη, «μεθ’ αἵματι καὶ κονίῃσιν». ἄλλως δὲ ἁπλῶς τὸ κεῖσθαι ὁμοῦ νεκύεσσι καὶ τὸ ἑξῆς ἐπὶ πτώματι ἁρμόζει μαχίμου νεκροῦ. (v. 119 s.) Ἐπὶ δὲ καταπαύσει ὀργῆς οἰκεῖον τὸ «ἔνθα μείζων τε καὶ ἀργαλεώτερος ἄλλος χόλος καὶ μῆνις ἐτύχθη», εἰ μὴ τόδε γέγονε.

3.710 Καὶ ὅρα τὸ χόλος καὶ μῆνις, ἢ διεσταλμένα κατὰ σημασίαν, ὃ καὶ κρεῖττον εἰπεῖν, ἢ καὶ ἄλλως ληφθέντα ὡς ἰσοδύναμα, ὁμοίως τῷ «πόλεμόν τε μάχην τε», καὶ «θάνατόν τε μόρον τε». (v. 119) Ἰστέον δὲ ὅτι τὸ «ἵππους ἐκέκλετο Δεῖμόν τε Φόβον τε ζευγνύμεναι» δοκεῖ παρανοηθὲν ὑπαγαγέσθαι τινὰς εἰς τὸ ἵππους Ἄρεος τὸν Δεῖμον καὶ τὸν Φόβον εἰπεῖν, ὡς καὶ προδεδήλωται. τὸ δ’ ἐστὶν οὐχ’ οὕτως ἔχον, ἀλλ’ οἱ μὲν ἵπποι ἐνταῦθα σιγῶνται τίνες ἦσαν, ὁ δὲ Δεῖμος καὶ ὁ Φόβος, υἱοὶ Ἄρεος καὶ ὀπαδοί, κελεύονται ζεῦξαι αὐτούς. (v. 124) Τὸ δὲ «θάασσεν» ἀντὶ τοῦ ἐτέθειτο, ἐκάθητο. ἐξ οὗ καὶ θᾶκος ὁ θρόνος ὁ καὶ θῶκος, καὶ θακεῖν τὸ καθῆσθαι. [Τὸ δὲ «ἔνθα θάασσε» κάλλους τι ἔχει, ὁποῖον καὶ πρὸ ὀλίγων τὸ «ἦλθε θέουσα». (v. 123) Τὸ δὲ «περιδδείσασα θεοῖς» Ἀττικόν ἐστι καὶ αὐτό. Ἀθηναῖοι γὰρ τὸ δεδιέναι καὶ τὰ κατ’ αὐτὸ δοτικῇ συντάσσουσιν, ὅταν ἡ περι πρόθεσις προηγῆται αὐτῶν. τοιοῦτον γὰρ τὸ «ἔδεισε δὲ περὶ ξανθῷ Μενελάῳ», καὶ τὰ ὅμοια. (v. 118) Τὸ μέντοι «μεθ’ αἵματι καὶ κονίῃσι» πρόθεσιν ἔχει ἀντὶ προθέσεως. λέγει γὰρ ἐν αἵματι καὶ κονίαις.] (v. 125 s.) Ὅτι τὰ τῆς Ἀθηνᾶς ἐνταῦθα ἐπὶ τῷ Ἄρει τοιαῦτα «τοῦ δ’ ἀπὸ μὲν κεφαλῆς κόρυθ’ εἵλετο καὶ σάκος ὤμων, ἔγχος δ’ ἔστησε στιβαρῆς ἀπὸ χειρός», ἢ ἐκ χειρός, «ἑλοῦσα, χάλκεον». (v. 127—37) Καὶ οὕτως ἀφοπλίσασα τὸν στιβαρόχειρα ἡ καὶ αὐτὴ δηλαδὴ τοιαύτη, εἶτα «ἐπέεσσι καθάπτετο θοῦρον Ἄρηα», εἰποῦσα «μαινόμενε, φρένας ἠλέ, διέφθορας· ἦ νύ τοι αὔτως οὖατ’ ἀκουέμεν ἐστί, νόος δ’ ἀπόλωλε καὶ αἰδώς; οὐκ ἀΐεις ἅ τέ φησιν ἡ Ἥρα»; —ὅτι δηλαδὴ νήπιοι οἱ τῷ Διῒ μενεαίνοντες—«ἢ ἐθέλεις αὐτὸς μὲν ἀναπλήσας κακὰ πολλὰ ἂψ ἴμεν», ἤγουν ἐπανελθεῖν, «Οὔλυμπόνδε καὶ ἀχνύμενός περ ἀνάγκῃ, αὐτὰρ τοῖς ἄλλοισι κακὸν μέγα πᾶσι φυτεῦσαι; αὐτίκα γὰρ Τρῶας μὲν ὑπερθύμους καὶ Ἀχαιοὺς λείψει, ὃ δ’ ἡμέας εἶσι κυδοιμήσων ἐς Ὄλυμπον, μάρψει δ’ ἑξείης ὅς τ’ αἴτιος, ὅς τε καὶ οὐκί». (v. 142) Καὶ οὕτως ἡ Ἀθηνᾶ τὸν Ἄρην σωφρονίσασα ἱδρύει αὖθις ἐν θρόνῳ, λόγοις περιγενομένη τοῦ ἀλόγου μέν, ἐπιπειθοῦς δὲ τῷ λόγῳ, παραμυθησαμένη δὲ σεμνῶς καὶ ἐπὶ τῷ υἱῷ Ἀσκαλάφῳ διὰ τῶν μετ’ ὀλίγα ῥηθησομένων. Καὶ ὅρα ὅτι πραγματικῶς ἐν τοῖς ῥηθεῖσιν ἡρμήνευσε τὸ ἐν ἄλλοις ῥηθὲν τοῦ Ἄρεος ἀλλοπρόσαλλον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.711 Πῶς γὰρ οὐκ ἂν ἀλλοπρόσαλλος φανείη, ὃς ἀκούσας τὸν Ἕλληνα υἱὸν Ἀσκάλαφον ὑπὸ τοῦ Πριαμίδου Δηϊφόβου ἀναιρεθέντα ὁρμᾷ προπετῶς τὸν φόνον τίσασθαι τοῦ υἱοῦ καὶ τῆς συμμαχίας οὕτω τῶν Τρώων ἀποστῆναι; Καὶ ἐποίησεν ἂν ὁ ποιητὴς οὕτω, εἰ μὴ ὤκνησε καὶ φανερῶς παραδειγματίσαι τὸ τοῦ Ἄρεος ἀλλοπρόσαλλον, καὶ οὐδὲ τοῖς Ἀχαιοῖς δεῖν ἔκρινε τοιοῦτον δοῦναι σύμμαχον. ἀρκεῖ γὰρ ἡ Ἀθηνᾶ συνέσεως προϊσταμένη, Ἄρης δὲ ἀποκληρωτέος μόνοις τοῖς βαρβάροις Τρωσί. Καὶ ἄλλως δὲ εἰπεῖν, οὐ θέλει Ὅμηρος ἐπὶ πλεῖον μύθοις μεστῶσαι μαχίμοις τοὺς τόπους τούτους τά τε ἄλλα, καὶ ὅτι οὐδὲ εὔπλαστον ἂν ἦν τὸ κατὰ τὸν Ἄρην τοῦτο ἐπεισόδιον, καὶ ὅτι πάνυ θορυβῶδες ἦν ἐν θεοῖς, καθὰ καὶ ὁ ποιητὴς διὰ τῆς Ἀθηνᾶς ἐπισημαίνεται, τὸ ἐν τοιαύτῃ σπουδῇ τοῦ Διὸς προσεξευρίσκεσθαι κατ’ αὐτοῦ πολλοὺς ἐρεθισμούς. εἰπεῖν δὲ ἄλλως ἐν ὀλίγῳ τὸ πᾶν, ἐνέφηνε μὲν Ὅμηρος, ὡς καὶ ἐνταῦθα δύναται μυθικῇ τερατολογίᾳ μεστῶσαι τὴν ποίησιν, ἐθεώρησε δὲ διὰ τῆς ἐν αὐτῷ μεθοδικῆς Ἀθηνᾶς ἔξω καιροῦ τοῦτο εἶναι, οἷα ἐν τοῖς ἑξῆς μέλλων τοιαῦτά τινα διασκευάσασθαι κατὰ τὸ ἀρκοῦν. (v. 127) Ὅρα δὲ καὶ ἐν τοῖς προκειμένοις τὸ καθάπτεσθαι μετὰ αἰτιατικῆς κείμενον. καθάπτετο γάρ, φησί, λόγοις θοῦρον Ἄρηα. Τὸ δὲ «μαινόμενε» καὶ ἑξῆς ἕως τοῦ «κακὸν μέγα πᾶσι φυτεῦσαι» παρῳδηθήσεταί ποτε ἢ παραποιηθήσεται πρὸς ἄνδρα, ὃς ἐξ ἰδίας ἀνοίας κοινὰ μελετᾷ τεύχειν κακά. Ἀστείως δὲ εἴρηται τὸ «μαινόμενε» πρὸς ἐπίτασιν τοῦ «νήπιοι». δοκεῖ γὰρ ἡ Ἀθηνᾶ λέγειν, ὡς Ἥρα μὲν νήπιον ἂν ἐρεῖ τὸν Ἄρην μενεαίνοντα νῦν κατὰ Διός, ἐγὼ δὲ μαινόμενόν φημι αὐτόν, εἰ καὶ μετὰ τοιαύτην τῆς Ἥρας παραίνεσιν οὕτως αὐτὸς ἀφραίνει. (v. 135—7) Τὸ δὲ «αὐτίκα γὰρ τοὺς δεῖνα μὲν λείψει, ἡμᾶς δὲ ἥξει κυδοιμήσων, μάρψει δέ» καὶ τὸ ἑξῆς, ἐπεξελεύσεώς ποθεν δριμείας ἔνδειξις. (v. 128) Ἰστέον δὲ ὅτι τὸ «ἠλέ», ὅ ἐστι πεπλανημένε, τὰς φρένας δηλαδή, καλῶς ὀξύνεται ὡς τὸ καλέ, εἴτε ἀποκοπὴν ἔπαθεν ἐκ τοῦ ἠλεέ εἴτε συγκοπήν. γίνεται δὲ παρὰ τὴν ἄλην, ὅ ἐστι πλάνην. Ἢ καὶ ἄλλως. ἠλέ ἀντὶ τοῦ φευκτέε, ὃν πάντες ἀλεόμεθα, ὅ ἐστιν ἐκφεύγομεν, ἢ παρὰ τὴν ἀλέην, ἵνα δηλοῖ τὸν θερμὸν καὶ θρασύν. Τὸ δὲ «διέφθορας» νῦν μὲν παθητικῶς κεῖται ἀντὶ τοῦ διεφθάρης, Ἀττικοὶ δὲ καὶ ἐνεργητικῶς φασιν ἀντὶ τοῦ διέφθειρας. (v. 129) Τὸ δὲ «νόος ἀπόλωλε» διασαφητικόν ἐστι τοῦ «ἦ δή σοι αὔτως οὔατ’ ἀκουέμεν ἐστίν». ὁ γὰρ μὴ νοῶν μάτην ἔχει ὦτα εἰς ἀκοήν. καὶ ἄλλως δὲ εἰπεῖν, ἔνθα νοῦς ἀπόλωλεν, ἐκεῖ μάτην ἐστὶν ἀκούειν. καὶ σημείωσαι ὅτι Ὅμηρος ἐνδέδωκεν ἀρχὴν τῷ εἰπόντι «νοῦς ὁρῇ καὶ νοῦς ἀκούει».

3.712 (v. 132) Τὸ δὲ «ἀναπλήσας» οὐχ’ ἁπλῶς δηλοῖ τὸ ἀναπληρώσας, ἀλλὰ τὸ πολλάκις καὶ ὡς εἰπεῖν πάλιν καὶ πάλιν. ἔστι γὰρ καὶ τοιοῦτον σημαινόμενον τῆς ἀνα προθέσεως, ὡς ἡ ἀνάκρισις δηλοῖ καὶ ὁ ἀναβαπτισμὸς καὶ τὰ τοιαῦτα. ὁ γοῦν ἐκπλήσας ἓν κακόν, εἶτα πάλιν ἕτερον καὶ αὖθις ἄλλο, κυρίως ἂν λέγοιτο ἀναπλῆσαι κακὰ πολλὰ κατὰ τὸν ποιητήν. (v. 134) Τὸ δὲ «κακὸν φυτεῦσαι» οὐκ ἀπέοικε κακοζήλου. οὐ γὰρ κεῖται πρὸς τροπικὴν παραμυθίαν καὶ ἑτέρα τις λέξις γεωργική. δοτέον δὲ τοῦτο τῷ πολλῷ τῆς ποιήσεως χύματι. ὁ γὰρ ἐν σχεδιασμῷ πελαγίζων φράσοι ἄν ποτε καὶ τοιαῦτα. (v. 136) Τὸ δὲ «κυδοιμῆσαι» εἴ τις ὡς ποιητικὴν λέξιν ἐκτρέπεται, ἀλλ’ ἐκεῖνος ἐνθυμείσθω τὸ κυδοιδοπᾶν, ὃ παρ’ ἑτέροις κεῖται, τραχύτερον τούτου ὂν καὶ δυσχρηστότερον. (v. 137) Τὸ δὲ «μάρπτειν» οἱ παλαιοὶ Σχολιασταὶ κυριολεκτεῖσθαί φασιν ἐπὶ τοῦ χερσὶ συλλαμβάνειν. μάρη γάρ, φασίν, αἱ χεῖρες, ὅθεν καὶ εὐμαρές, τὸ εὐχερές, καὶ μάρνασθαι τὸ διὰ χειρὸς μάχεσθαι. οἱ τοιοῦτοι δὲ ἐν τῷ «οὐδὲ χθόνα μάρπτε ποδοῖϊν» εἴποιεν ἂν ἴσως παραχρηστικῶς ῥηθῆναι τὸ μάρπτειν. Ἰστέον δὲ καὶ ὅτι Ἀχιλλεὺς μέν που δεινὸς ἐρρέθη καὶ ἀναίτιον αἰτιάασθαι.

3.713 τὸ δὲ καὶ μάρπτειν τὸν ἀναίτιον πάνυ σφοδρόν. (v. 112) Τὸν δὲ ῥηθέντα τοῦ Ἄρεος υἱὸν Ἀσκάλαφόν φασιν εἰς Ἑβραίαν μετακομισθέντα τεθάφθαι, ἀφ’ οὗ καὶ Σαμάρειαν κληθῆναι διὰ τὸ ἐκεῖ σᾶμα τὸν Ἄρην, τουτέστι σῆμα, ποιῆσαι τῷ υἱῷ. Δοκεῖ δὲ κατὰ τὴν ἀκαλήφην παράγεσθαι καὶ ὁ Ἀσκάλαφος πλεονασμῷ τοῦ ς , ἵνα ᾖ παρὰ τὸ ἀκαλὸν καὶ τὴν ἀφὴν ἀκάλαφος

ὁ τέρην τὸν χρόα καὶ εὐαφής. ἀκαλὸν δέ, φασίν, πραΰ, μαλθακόν, ἄψοφον, ἥσυχον, ὅθεν καὶ ἀκαλαρρείτης ποταμός. (v. 139 s.) Ὅρα δὲ καὶ ὡς ἐνταῦθα μὲν ἀορίστως περὶ Ἀσκαλάφου διὰ τῆς Ἀθηνᾶς φησιν ὁ ποιητής «ἤδη γάρ τις τοῦδε βίην καὶ χεῖρας ἀμείνων ἢ πέφαται ἢ καὶ ἔπειτα πεφήσεται», τουτέστιν ἢ τέθνηκεν ἢ τεθνήξεται. ἐν δὲ τοῖς ἑξῆς ὡρισμένως ἐπὶ Πατρόκλῳ ἐρεῖ Ἀχιλλεὺς πρὸς Ἕκτορα «κάτθανε καὶ Πάτροκλος, ὅς σέο πολλὸν ἀμείνων». τοῦτο δέ ποτε καὶ εἰς παραμυθίαν χρήσιμον ἐπὶ ἀρηϊφάτῳ νεκρῷ. (v. 141) Τὸ δὲ «ἀργαλέον πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε», ὃ ἐν τῷ τέλει κεῖται τῶν λόγων τῆς Ἀθηνᾶς, εὔχρηστον ῥηθῆναί ποτε πρὸς τὸν ἐθέλοντα πᾶσι βοηθεῖν, ὅπως ἂν καὶ τύχῃ. Συνῄρηται δὲ τὸ «ῥῦσθαι» ἀπὸ τοῦ ῥύεσθαι, οὗ θέμα τὸ ῥύω, ὃ πλεονασμῷ τοῦ ε ἐρύω γίνεται, ἐπενθέσει δὲ τοῦ ι εἰρύω. (v. 142) Ὅτι παῦσίν τινα πολέμου δηλοῖ τὸ «ἵδρυσε θρόνῳ ἔνι θοῦρον Ἄρηα». (v. 143 s.) Ὅτι Ἶριν ἐνταῦθα εἰπὼν ὁ ποιητὴς ἐπάγει «ἣ θεοῖσι μετάγγελος», οὐ μόνον ἐτυμολογῶν αὐτὴν κἀνταῦθα ὡς ἀπὸ τοῦ εἴρω, τὸ ἀγγέλλω, γινομένην, ἀλλὰ καὶ πρὸς σαφήνειαν καὶ γραμματικὴν διαστολήν. εἰπὼν γὰρ ὅτι καλέσατο Ἥρη Ἀπόλλωνα Ἶρίν τε, ἐπήγαγε τὸ «ἣ θεοῖς ἄγγελος», ἵνα μὴ ἡ λεκτικὴ προφορὰ πλανήσῃ τινά, τὸ Ἶριν αἰτιατικὴν εἶναι τοῦ Ἥρη, κἀντεῦθεν φαίνοιτο καλοῦσα Ἥρη Ἥρην, ἤγουν ἡ Ἥρα ἑαυτήν. Τὸ δὲ μετάγγελος περιττὴν καὶ αὐτὸ ἔχει πρόθεσιν, καθὰ καὶ τὸ ἐπίουρος καὶ τὸ «χαλεπὴ δὲ θεοῦ ἐπιμῆνις», καὶ «ἐπιβουκόλος ἀνήρ», καὶ «τὶς ἂν καταθνητῶν ἀνθρώπων», καὶ «ἀνδρῶν κατατεθνειώτων».

3.714 Εἰ δὲ γράφεται καὶ «θεοῖσι μετ' ἄγγελος», οὐκ ἂν εἴη ἀπῳδόν, ἵνα λέγῃ, ὅτι ἐν θεοῖς ἄγγελος ἡ Ἶρις. (v. 145—8) Ὅτι ἐν ταῖς ἀγγελίαις παλιλλογεῖν εἰωθὼς ὁ ποιητὴς ὅμως ἐνταῦθα τὴν Ἥραν πάνυ βραχυλογοῦσαν ποιεῖ, ἐν οἷς τὰ ἐκ Διὸς ἀγγέλλει πρὸς Ἀπόλλωνα καὶ Ἶριν. Εἰποῦσα γὰρ ὅτι Ζεὺς ὑμᾶς εἰς Ἴδην κέλεται ἐλθεῖν ὅττι τάχιστα, οὐδέν τι πλέον προστίθησιν ἐκ τῶν πρὸς αὐτὴν ὑπὸ Διὸς εἰρημένων, ἀλλὰ μόνον ἀφ' ἑαυτῆς λέγει τὸ «αὐτὰρ ἐπὴν ἔλθητε Διός τ' εἰς ὦπα ἴδησθε, ἔρδειν», ἤγουν πράττετε, «ὅττι κεν», ἤτοι ὅπερ ἄν, «κεῖνος ἐποτρύνῃ καὶ ἀνώγῃ». Αἴτιον δὲ τῆς τοιαύτης στενολεσχίας οὐ μόνον ὅτι μεμψιμοιρεῖ τῷ Διῒ καὶ οὐδὲ μεμνῆσθαι τῶν ἐξ ἐκείνου ἐθέλει διὰ τὸ λυπηρόν, ἀλλὰ καὶ ὅτι οὐδὲ ἐνδέδωκεν αὐτῇ ὁ Ζεὺς ἀπαγγεῖλαι τὰ λαληθέντα, ἀλλὰ μόνον ἔφη «κάλεσον δεῦρο ἐλθεῖν Ἶριν καὶ Ἀπόλλωνα», τὰ δὲ λοιπὰ ὡς ἐν κοινολογίᾳ ἐλάλησε. Διὸ καὶ εὐλαβεῖται τὸ μυστηριασθὲν εἰπεῖν, ὅπουγε οὐδ' αὐτὸς ὁ Ζεὺς ἐν τοῖς ἑξῆς εἶπε τὰ προβουλευθέντα, τὸ θελητὸν δὲ μόνον εἰπὼν τῷ Ἀπόλλωνι, ἤγουν τὴν τῶν Ἑλλήνων φυγήν, τὰ ὕστερον ἐπ' αὐτοῖς ἀγαθὰ ὡς ἐπικούρῳ τῶν Τρώων ἐπέκρυψεν, εἰπὼν «ἐκεῖθεν δ' ἐγὼ φράσομαι ἔργον τε ἔπος τε», ὡς Ἀχαιοὶ ἀναπνεύσωσι πολέμοιο. Καὶ ὅρα τὴν Ὁμηρικὴν κἀνταῦθα ποικιλίαν καὶ σύνεσιν τὴν περὶ τὰ πρακτέα καὶ μή, ἐξ ὧν ὁ ἀκροατὴς τὰ εἰς βίον ῥυθμίζεται. (v. 147) Τὸ δὲ «Διὸς εἰς ὦπα ἴδησθε» διασαφητικόν ἐστι τοῦ ἔλθητε. οὐ γὰρ ἐξ ἀνάγκης τὸ πρός τινα ἐλθεῖν ταὐτόν ἐστι τῷ θεαθῆναι ἐκείνῳ. (v. 150) Ὅτι ὠκύτητα ὑπερβολικὴν δηλοῖ τὸ «τὼ δ' ἀΐξαντε πετέσθην» περὶ Ἀπόλλωνος λεχθὲν καὶ Ἴριδος. (v. 152) Ὅτι καὶ ἐνταῦθα ἡ ἀνα πρόθεσις δοτικῇ συντάσσεται ἐν τῷ «εὗρον Κρονίδην ἀνὰ Γαργάρῳ ἄκρῳ ἥμενον», ἤγουν ἄνω τοῦ Γαργάρου ἀκρωτηρίου. Ποῦ δὲ τὸ Γάργαρον καὶ διὰ τί οὕτω καλεῖται, προδεδήλωται. (v. 153) Ὅτι ἐν τῷ «ἀμφὶ δέ μιν θυόεν νέφος ἐστεφάνωτο», ἤγουν κύκλῳ περιεῖχε τὸν Δία, θυόεν λέγει τὸ εὐῶδες ἀπό τε τῶν ἐκ γῆς ἀνθέων, ὁποῖα τὰ ἐαρινά, καὶ τοῦ ὁμοίου κατὰ τὴν Ἥραν μύρου, ἵνα νέφος εὔοδμον περιστέφῃ τὸν ἀέρα Δία, τὸν κατωτέρω δηλαδὴ καὶ περὶ ἡμᾶς.

3.715 ἄλλως γὰρ κατὰ τοὺς φυσικοὺς τὰ ὀκτὼ σταδίοις ὑπερέχοντα τῆς γῆς ὕψη οὐ νεφελίζονται. Τὸ δὲ Ὁμηρικὸν τοῦτο ἐστεφανῶσθαι καὶ τῷ Διονυσίῳ ἐν τῷ κατ' αὐτὸν περιηγητικῷ προοιμίῳ ἐχρησίμευσεν. [Ἰστέον δὲ ὅτι σημειοῦνται οἱ παλαιοί, ὡς Ὅμηρος τῷ ἐκ μεταφορᾶς ὁμοιώματι σημαινόμενος εἰδέναι τὸν στέφανον οἷον ἐν τῷ «νῆσος, ἣν περὶ πόντος ἀπείρητος ἐστεφάνωται», καὶ «πάντῃ γάρ σε περὶ στέφανος πολέμοιο δέδῃεν», ὅμως οὐδέ τινας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰσήγαγεν ἐστεφανωμένους. Ὅτι δὲ θύος, ἐξ οὗ τὸ θυόεν, οὐ μόνον θυμίαμα δηλοῖ, εἰς ὃ ὑπούργουν τὰ παρὰ τοῖς παλαιοῖς θυμιατήρια, ἀλλὰ καὶ θῦμα, ὅθεν καὶ ὁ θυοσκόος, δῆλον καὶ αὐτὸ ἐκ τῶν παλαιῶν.] (v. 154—6) Ὅτι ἀποδοχὴ ἐπ' ἀγγέλοις τὸ «πάροιθεν ἐλθόντε τοῦ δεῖνος στήτην· οὐδέ σφωïν», ἤγουν οὐδ' αὐτοῖς, «ἰδὼν ἐχολώσατο θυμῷ, ὅττι οἱ ὦκα ἐπέεσσι πειθέσθην». Καὶ ὅρα τὸ «οὐκ ἐχολώσατο θυμῷ» ταὐτὸν ὂν καταφατικῶς, ὡς καὶ προεσημειώθη, τῷ ἡδύνθη, ἀπεδέξατο. (v. 159) Ὅτι παραίνεσις ἀγγέλῳ πρέπουσα τὸ «πάντα τάδ' ἀγγεῖλαι, μηδὲ ψευδάγγελος εἶναι», εἰ μὴ ἄρα δηλαδὴ ὁ λαλῶν τῷ ἀγγέλῳ μεταστρέψει τι ἐκ μετανοίας, ὡς ὁ Ποσειδῶν ποιήσει ἐν τοῖς ἑξῆς, ἢ καί τι νοήσει ὕστερον κρεῖττον. τότε γὰρ τῶν μὲν προτέρων ἐπιλήσεται ὁ ἄγγελος, ἐρεῖ δὲ ἃ ὕστερον ἤκουσεν, ἐσθλὰ τηνικαῦτα ποιῶν κατὰ τὸ «ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ». Τὸ δὲ ἀγγεῖλαι καὶ εἶναι ἀντὶ τοῦ ἀπάγγειλον εἴρηται καὶ ἀντὶ τοῦ ἔσο. Τὸ δὲ ἀγγεῖλαι καὶ τὸ ψευδάγγελος σὺν τῷ ἐτυμολογικοῦ εἶναι τρόπου ἔχει τι καὶ ἀστεῖον. ἄγγελος μὲν γὰρ ἁπλῶς παρὰ τὸ ἀγγεῖλαι, καθ' ὃ πρὸ βραχέων εἴρηται τὸ «ἥ τε θεοῖσι μετάγγελος». οὐ χρὴ δὲ τὸν ἀπολύτως ἄγγελον συντιθέναι εἰς ψευδάγγελον ἑαυτόν. (v. 161) Ὅτι ἅλα δῖαν ἢ τὴν μεγάλην λέγει κατὰ τοὺς παλαιούς, ἢ ὑγρὰν παρὰ τὸ διαίνειν, ἢ φοβερὰν παρὰ τὸ δέος ἢ παρὰ τὸ δίω, τὸ φοβοῦμαι, ὡς καὶ δῖα, φασί, Χάρυβδις, ἡ δεινή. (v. 162—8) Ὅτι τὰ ἐνταῦθα λεχθέντα ὑπὸ τοῦ Διὸς πρὸς τὸν Ποσειδῶνα ῥηθήσεταί ποτε σφοδρῶς ὑπό τινος ἀνδρειοτέρου καὶ πρεσβυτέρου πρὸς τὸν μὴ τοιοῦτον, ἐθέλοντα δὲ καταφρονεῖν τοῦ κρείττονος. Εἰσὶ δὲ τοιαῦτα «εἰ δέ μοι οὐκ ἐπέεσσιν ἐπιπείσεται ἀλλ' ἀλογήσει, φραζέσθω δή 'πειτα», ἤγουν δὴ ἔπειτα, «κατὰ φρένα καὶ κατὰ θυμόν, μή μ' οὐδὲ κρατερός περ ἐὼν ἐπιόντα ταλάσσῃ», ὅ ἐστι τλήσεται, «μεῖναι· ἐπεί ἕο», τουτέστιν αὐτοῦ, «φημὶ βίῃ πολὺ φέρτερος εἶναι καὶ γενεῇ πρότερος· τοῦ δ' οὐκ ὄθεται φίλον ἦτορ ἶσον ἐμοὶ φάσθαι», ἤγουν ἰσηγορῆσαι ἢ ἀντειπεῖν, «τόν τε στυγέουσι καὶ ἄλλοι».

3.716 Ἐν τούτοις δὲ τὸ μὲν «βίῃ πολὺ φέρτερος» δέους ἐστὶ ποιητικόν, τὸ δὲ «γενεῇ πρότερος», ἤγουν τῷ τῆς ἡλικίας χρόνῳ, αἰδοῦς. καὶ ὅρα ὅτι ἀρχικῶς ἀπὸ τοῦ δεινοτέρου ἀρξάμενος καὶ πικρῶς εἰπών, ὅμως ὑπογλυκαίνει τὴν φράσιν ἠρέμα παρίσοις τῷ φέρτερος καὶ πρότερος. (v. 162) Τὸ δὲ «ἀλογήσει» προϋπάρχον αὐτοῦ ἔχον τὸ λογίζω καὶ πρὸ αὐτοῦ τὸ λόγος ἐλέγχει τοὺς παρασημειουμένους, ὡς ὁ ποιητὴς τὸ λέγειν μὲν οἶδε, τὸ δ' ἐξ αὐτοῦ ὄνομα τὸν λόγον οὐκ οἶδε. (v. 164) Τὸ δὲ «ταλάσσῃ», ῥηθὲν καὶ πρὸ τούτων, πρωτότυπόν ἐστι τοῦ κατὰ συγκοπὴν τλῶ τλήσω. (v. 167) Τὸ δὲ «ἶσον ἐμοὶ φάσθαι» ἀπὸ τοῦ ἐλάττονος μὲν ἐπιχειρεῖ, μέγα δέ τοι δηλοῖ. εἰ μὴ γὰρ τολμητέον ἶσόν τινι φάσθαι, πολλῷ πλέον μηδὲ πρᾶξαι. Τὸ δὲ «στυγέουσιν» ἀντὶ τοῦ φρίσσουσιν, οὐ μὴν μισοῦσιν. ὀκνήσῃ γὰρ ἂν ἄρχων ὁμολογεῖν μισητὸς ἅπασιν εἶναι. [Ἐν δὲ τῷ «καὶ ἄλλοι» δοκεῖ μὲν ἐκ περιττοῦ κεῖσθαι ὁ και σύνδεσμος, ἐστὶ δ' ἄλλως εἰπεῖν, ὅτι αἰνίττεται, ὡς καὶ αὐτὸς ὁ Ποσειδῶν, καθὰ καὶ ἄλλοι, δέδιε τὸν Δία, εἰ καὶ θρασύνεταί ποτε κατ' αὐτοῦ.] (v. 170—2) Ὅτι τὴν Ἶριν κατιοῦσαν ἐκ τοῦ ὄρους τῆς Ἴδης εἰς τὸ ναύσταθμον νιφάδι ἢ χαλάζῃ εἰκάζει, εἰπὼν «ὡς δ' ὅτ' ἂν ἐκ νεφέων πτῆται νιφὰς ἠὲ χάλαζα ψυχρὴ ὑπαὶ ῥιπῆς αἰθρηγενέος Βορέαο, ὣς κραιπνῶς μεμαυῖα διέπτατο ὠκέα Ἶρις». Καὶ ὅρα τὸ πέτεσθαι καὶ ἐπὶ νιφάδος λεχθέν, ἣν σφοδρὸς ἐλαύνει ἄνεμος. ἄλλως γὰρ οὐ πάνυ προσφυὴς ἡ λέξις νιφάδι ἠρέμα κατιούσῃ. (v. 171) Αἰθρηγενὴς δὲ καὶ αἰθρηγενέτης Βορρᾶς ἢ διότι αἶθρον γίνεσθαι ποιεῖ, αἶθρος δὲ τὸ ψύχος, ὡς τὸ «αἴθρῳ καὶ καμάτῳ δεδμημένος», ἢ καὶ ἀπὸ τοῦ πλεονάζοντος, ὁ αἰθρίαν ποιῶν ἐν τῷ διασκιδνάναι τὰ καθ' ἡμᾶς ἐκ Νότου νέφη, εἰ καὶ ἄλλως ἐκ νεφέων κατάγων ποτὲ νιφάδα καὶ χάλαζαν τὸν ῥηθέντα αἶθρον ποιεῖ. (v. 172) Τοῦ δὲ «ἔπτατο» ἐστὶ καὶ μέσος δεύτερος ἀόριστος ἐπτόμην, ὅθεν τὸ πτέσθαι, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. ἀμφοῖν δὲ δοκεῖ ἐκγενέσθαι τὸ «ἐὰν πτῶμαι», ὅ ἐστι πετάσω, οὗ τρίτον τὸ «πτῆται νιφάς». (v. 174 s.) Ὅτι καὶ τὸ «ἀγγελίην τινά τοι ἦλθον δεῦρο φέρουσα» συγχέει τὴν παρασημείωσιν τοῦ ἐπὶ ἀψύχων φορτίων τὸ φέρειν λέγεσθαι. Ἐκ δὲ τοῦ Ὁμηρικοῦ τούτου τόπου τὴν ἀγγελιαφόρον οἱ ὕστερον

συνέθεντο. [Περιπέφρασται δὲ τὸ «ἀγγελίην τινά τοι ἦλθον φέρουσα» ἀντὶ τοῦ ἀγγελῶ τί σοι, τουτέστι λόγῳ προφορικῷ ἐρῶ, ἐξ οὗ καὶ Ἶρος καὶ Ἶρις, ὡς δεδήλωται.

3.717 ] (v. 176 s.) Ὅτι εἰρηνικὸν τὸ «παυσάμενόν σε κέλευσε μάχης ἠδὲ πολέμοιο ἔρχεσθαι μετὰ φῦλα» τῶν δεῖνα, (v. 179) ἀνάπαλιν δὲ τὸ «ἠπείλει καὶ κεῖνος ἐναντίβιον πολεμίζων ἐνθάδ' ἐλεύσεσθαι». Ὅτι ὁ Ποσειδῶν μὴ ἔχων ἀρνεῖσθαι τὸ βίῃ φέρτερον καὶ γενεῇ πρότερον αὐτοῦ εἶναι τὸν Δία, ὃ διὰ τῆς Ἴριδος αὐτῷ ἠγγέλθη, προβάλλεται κατὰ τῆς βίας τὸ τῆς φύσεως καὶ τοῦ γένους ὁμότιμον, εἶτα καὶ αὐτὸ τὸ δίκαιον προϊσχόμενος ἐκτίθεται τὸν ἀδελφικὸν λαχμόν, καθ' ὃν κλῆρον τὰ κατὰ κόσμον ἔλαχον οὗτός τε καὶ ὁ Ζεὺς καὶ ὁ Ἅιδης, ἐξ οὗ διδάσκει δέον εἶναι δι' ἀταραξίαν καὶ ὁμονοητικὴν εὔνοιαν κλήρῳ γίνεσθαι τὰς διανομάς, καὶ μηδένα τῆς εὐκληρίας, ἤτοι τῆς περὶ τὸν κλῆρον εὐτυχίας, φθονεῖν. (v. 185 s.) Εἰσὶ δὲ ἃ λέγει ὁ Ποσειδῶν τοιαῦτα «ὢ πόποι, ἦ ῥα», ἤγουν ὄντως δή, «ἀγαθός περ ἐὼν ὑπέροπλον ἔειπεν, εἴ μ' ὁμότιμον ἐόντα βίῃ ἀέκοντα καθέξει», ὃ δὴ παντὶ συγγενεῖ οἰκεῖον εἰπεῖν καθ' ἑταίρου βιαίου συγγενοῦς. (v. 187—99) Εἶτα ἐπάγει δικαιολογικῶς τὸ «τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμέν», ἤγουν ἐσμέν, «ἀδελφεοί, οὓς τέκετο Ῥέα, Ζεὺς καὶ ἐγώ, τρίτατος δ' Ἀΐδης ἐνέροισιν ἀνάσσων, τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς. ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεί, παλλομένων, Ἀΐδης δ' ἔλαχε ζόφον ἠερόεντα, Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι. γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος. τῷ ῥα», ἤγουν διό, «καὶ οὔ τι Διὸς βέομαι φρεσίν, ἀλλὰ ἕκηλος, καὶ κρατερός περ ἐών, μενέτω τριτάτῃ ἐνὶ μοίρῃ. χερσὶ δὲ μή τί με πάγχυ κακὸν ὣς δειδισσέσθω· θυγατέρεσσιν γάρ κε καὶ υἱάσι κέρδιον», ἢ βέλτερον, «εἴη ἐκπάγλοις ἐπέεσσιν ἐνισσέμεν, οὓς τέκεν αὐτός, οἳ ἕθεν ὀτρύνοντος ἀκούσονται καὶ ἀνάγκῃ». καὶ τοιαῦτα μὲν ὁ Ποσειδῶν. (v. 200—3) Ἐπεὶ δὲ ὁ λόγος δριμὺς ἔν τε τῷ «ὑπέροπλον ἔειπε», καὶ ἐν τοῖς μετὰ τὸ λάχος, ἐρωτᾷ ἡ μυθικὴ Ἶρις «οὕτω γὰρ δή τοι, γαιήοχε, τόνδε φέρω Διῒ μῦθον, ἀπηνέα τε κρατερόν τε, ἤ τι μεταστρέψεις; στρεπταὶ μέν τε φρένες ἐσθλῶν», οἱονεὶ λέγουσα ὡς, εἰ μὲν ἀγγείλω τὰ ἀληθῆ, τραχεῖς οἱ λόγοι, εἰ δ' αὐτὴ ἐγὼ παρατρέψω πρὸς τὸ ἱλαρώτερον, ψευδαγγέλου τοῦτό γε. οὐ χρὴ δέ, ὡς καὶ ὁ Ζεὺς παρῄνεσέ μοι, ψευδάγγελον εἶναι. (v. 204) Εἶτα καὶ ἐκφοβοῦσα γοργῶς καὶ σεμνῶς ἐπάγει «οἶσθα ὡς πρεσβυτέροισιν Ἐριννύες αἰὲν ἕπονται».

3.718 (v. 206—17) Καὶ ὁ Ποσειδῶν ἑαυτοῦ γενόμενος καὶ τὴν Ἶριν ἀποδεξάμενος ὡς μάλα τοῦτο ἔπος νημερτὲς ἢ κατὰ μοῖραν εἰποῦσαν, καὶ εἰπὼν γνωμικῶς, ὅτι «ἐσθλὸν καὶ τὸ τέτυκται», ἤγουν ἀγαθὸν καὶ τοῦτό ἐστιν, «ὅτ' ἄγγελος αἴσιμα εἰδῇ», μεταστρέφεται καί φησιν «ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει, ὅππότ' ἂν ἰσόμορον καὶ ὁμῇ πεπρωμένον αἴσῃ νεικείειν ἐθέλῃσι χολωτοῖσιν ἐπέεσσιν. ἀλλὰ νῦν μὲν νεμεσσηθεὶς ὑποείξω, ἄλλο δέ τοι ἐρέω καὶ ἀπειλήσω τό γε θυμῷ· αἴ κεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης Ἥρης Ἑρμείω τε καὶ Ἡφαίστοιο ἄνακτος Ἰλίου αἰπεινῆς πεφιδήσεται, οὐδ' ἐθελήσῃ ἐκπέρσαι, δοῦναι δὲ μέγα κράτος Ἀργείοισιν, ἴστω τοῦθ' ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται». Καὶ ὅρα ὅπως ὁ Ποσειδῶν ἐπὶ τοσοῦτον τρέπει τὸν λόγον εἰς τὸ μαλακώτερον, οὐχ' οὕτω διὰ δειλίαν ὅσον κατὰ σύνεσιν, ὥστε καὶ ἀθετεῖσθαι δι' αὐτὸ στίχους ἓξ ἀπὸ τοῦ «ἄλλο δέ τοι ἐρέω καὶ ἀπειλήσω» ἕως τοῦ «ἀνήκεστος χόλος ἔσται». ἥ τε γὰρ ἀπειλή, φασί, τοῦ Ποσειδῶνος ἀνηθοποίητος, ἀπαιτοῦσα τὸν Δία τὸ ἐξ ἀνάγκης ἐσόμενον, τὴν τῆς Ἰλίου δηλαδὴ ἅλωσιν, ἐφ' ᾗ οὐδεὶς πάντως ἀνήκεστος ἔσται χόλος. καὶ ἄλλως δέ, φασί, πρὸς τί τὰ τῆς ἀπειλῆς τῷ ἤδη καταπεισθέντι καὶ εἰπόντι, ὅτι νεμεσσηθεὶς ὑποείξω; καὶ οἱ μὲν ἀθετοῦντες τοὺς τοιούτους στίχους ποιείτωσαν τὸ ἑαυτῶν. Ὁ δὲ ποιητὴς ἦθος ἀληθῶς μιμεῖται ἐνδόξου ἀνδρὸς συνετοῦ, θυμουμένου μὲν καὶ σεμνῶς θέλοντος ἀπειλεῖσθαι, μὴ ἔχοντος δέ τι φοβερὸν ἀσφαλῶς εἰπεῖν, ἀλλ' ἐν σχήματι ἀπειλῆς μόνα τὰ πρὸς ἀσφάλειαν λέγοντος. Περὶ δὲ τῆς Ὁμήρῳ δοκούσης ἐνταῦθα τοῦ παντὸς διανομῆς φασιν οἱ παλαιοὶ τοιαῦτα. Ζεὺς μέν ἐστιν ὁ διοικῶν τὰ πάντα λόγος ἢ τὸ ἡγεμονικὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ κόσμου, παρὰ τὸ ζῆν. τοῦ ζῆν γὰρ αὐτοὺς αἴτιος. ἔλαχε δὲ τὰ ἄνω διὰ τὸ ὡσαύτως ἀεὶ ἔχον τῆς τῶν οὐρανίων διατάξεως, ἔνθα καὶ τὸν τῆς προνοίας εἱρμὸν περιγράφουσί τινες.

3.719 Ἢ Ζεὺς καὶ ἄλλως πᾶς ὁ ὑπὲρ γῆς ἀήρ, ὅ τε φωτιζόμενος ἀπὸ γῆς ἕως νεφῶν καὶ ὁ ὑπὲρ τὰ νέφη, ὃν καὶ οὐρανὸν ὀνομάζει, ὁ ἄχρι τῆς ζώνης τῶν πλανήτων, οὗ καὶ πύλας τὰ νέφη ἐν ἄλλοις εἶπεν ὁ ποιητής. πᾶς δὴ ὁ τοιοῦτος ἀὴρ Διῒ ἔλαχε διὰ τὸ αἰθέριον ἔξαρμα. καὶ τοιοῦτος μὲν ὡς ἐν ὀλίγῳ εἰπεῖν ὁ Ζεύς. Ποσειδῶν δὲ τὸ συνέχον αἴτιον τὴν θάλασσαν, ἐπεὶ πόσεως αἴτιος διὰ τοὺς ποταμοὺς καὶ τὰ λοιπὰ ὕδατα, ἃ ἐκ θαλάσσης διηθούμενα ἐκρέουσιν, ἀφ’ ἧς καὶ οἱ ὑετοὶ πότιμοι καὶ αὐτοὶ ὄντες ἄναμμα ἔχουσι. διὸ καὶ οἱ Ἀττικοὶ τὸν περὶ χειμερίους τροπὰς μῆνα Ποσειδεῶνα καλοῦσιν, ὡς Ἀνακρέων «μεὶς μὲν δὴ Ποσειδηΐων ἕστηκε, νεφέλαι δ’ ὕδατι βαρύνονται, ἄγριοι δὲ χειμῶνες παταγοῦσι». καὶ τοιοῦτος μὲν καὶ ὁ Ποσειδῶν. Ἀϊδωνεὺς δὲ καὶ Ἀΐδης ὁ ὑπὸ γῆν λέγεται ἀήρ, παρὰ τὸ ἄω, τὸ πνέω, καὶ αὐτός, καθὰ καὶ ὁ ἁπλῶς ἀήρ. οὐ γὰρ μόνον ψυχάς, φασί, συνέχει, αἵ εἰσι πνεύματα, ἀλλὰ καὶ καρποῖς αἴτιός ἐστιν αὐξήσεως, ἀφ’ ὧν τὸ ζῆν καὶ τὸ ἀναπνεῖν, οὗ ἐμφαντικὴ καὶ ἡ ὄμπνια Δημήτηρ. διὸ καὶ Ζεὺς λέγεται καταχθόνιος. Ἢ καὶ ἄλλως, Ἀΐδης ὀνομάζεται παρὰ τὸ μὴ ὁρᾶσθαι, ὃν οὐκ ἔστιν ἰδεῖν, ἢ καὶ διὰ τὸ ἀφανεῖς ποιεῖν τοὺς ὑπὸ γῆν γενομένους. Καὶ τοιοῦτοι μὲν οἱ κατ’ ἰδίαν κλῆροι τοῖς τρισὶ Κρονίδαις.

3.720 Ἡ δὲ γῆ κοινὴ πάντων καὶ ὁ περὶ αὐτὴν ὀρεινὸς Ὄλυμπος διὰ τὸ μὴ ἄκρατον αὐτὰ καθ’ αὑτὰ ἔχειν τὸ εἶναι μηδὲ τοῖς λοιποῖς στοιχείοις ἀνεπίμικτον. Ἔστι γὰρ ἐν αὐτῇ κλῆρος καὶ τῷ Ποσειδῶνι διὰ τὸ ἔχειν ὕδωρ ἐν κοιλίαις ἀχανέσιν, ἐξ ὧν καὶ σείεσθαί φασιν αὐτήν. διὸ καὶ τὸν Ποσειδῶνα γακίναν καὶ ἐννοσίγαιον καὶ ἐνοσίχθονα λέγεσθαι. μᾶλλον μὲν οὖν, διότι τὸ ὕδωρ αὐτῇ ἐμπεριέχεται, ᾗ καὶ συνεσφαίρωται, καὶ διότι δὲ ὑγρῷ συνέχεται, ὅθεν καὶ Ποσειδῶν γαιήοχος, ὡς ἄν τις εἴποι, συνεκτικὸς γῆς, γῆν συνέχων. ἀλλὰ δὴ καὶ τῷ Διῒ ἀέρι μέτεστι τῆς γῆς. αἵ τε γὰρ ἐξ ἀέρος βολαὶ ἐπὶ γῆν ἀφίενται, καὶ ἀὴρ δέ ἐστιν ὑπ’ αὐτῇ, ὡς δηλοῖ τά τε ἄλλα ἠρεμαῖα ὑπόγεια πνεύματα, ναὶ μὴν καὶ τὰ βίαια, ἐν οἷς καὶ τὰ τυφωνικά. καὶ αἰθὴρ δὲ Ζεὺς οὐκ ἀπόκληρός ἐστι τῆς γῆς. ἔχει γάρ τι καὶ πυρὸς ἡ γῆ, ὃ πολὺ πολλαχοῦ ὑποσμύχεται κατ’ αὐτήν, καὶ τοῦτο τὰ θερμὰ ἐκφαίνουσιν ὕδατα. Καὶ οὕτω μὲν κοινὴ πάντων ἡ γῆ, δι’ αὐτὴν δὲ κοινὸς καὶ τὸ ὄρος, ὁ Ὄλυμπος, ὡς ἐρρέθη. συναφὴς γάρ ἐστι καὶ αὐτὸς τῇ γῇ, καὶ οἰκητήριον πάντων θεῶν κατὰ τὸν μῦθον. Εἰ δὲ γῆν εἰπών, ἧς μέρος ὁ Ὄλυμπος, ἰδίᾳ ἐξεφώνησεν αὐτόν, πολλαχοῦ μὲν οὕτω ποιεῖ Ὅμηρος, τοῖς ὅλοις τὰ λόγου ἄξια μέρη διὰ σαφήνειαν συνεκφωνῶν. ἔστι δὲ καὶ ἐν Ὀδυσσείᾳ τοιοῦτον σχῆμα, ἔνθα χωρίζων τῆς Ἰθάκης τὸ κατ’ αὐτὴν ὄρος φησὶν «Ἰθάκην εὐδείελον, ἐν δ’ ὄρος αὐτῇ Νήριτον». καὶ τοιαῦτα μὲν καὶ ταῦτα. Ἰστέον δὲ ὅτι ἐκ τοῦ «ἀλλὰ ἕκηλος καὶ κρατερός περ ἐὼν μενέτω» ἐν τοῖς αὐτοῦ, καὶ ἑξῆς ἕως τέλους τοῦ προσεχῶς ῥηθέντος Ὁμηρικοῦ χωρίου, πολλὰ κεῖνται παρῳδηθῆναι δυνάμενα ἐπὶ προσώπων, ἃ δοκοῦσιν ὑπὸ μειζόνων πάσχειν τι παρὰ τὸ δίκαιον, ὥσπερ τὰ τοῦ λαχμοῦ χρησιμεύσειεν ἂν ἐπὶ συγγενῶν ποτε ἀνομοίως ἐχόντων ἐν διανομαῖς. (v. 185) Ὑπέροπλον δὲ οὐ μόνον τὸ θρασύ, ἀλλ’, ὥς φασιν οἱ παλαιοί, καὶ τὸ ὑπὲρ ἑαυτόν, ἐκ μεταφορᾶς τῶν μεγάλων ὅπλων καὶ μὴ ἀναλογούντων τοῖς σώμασιν, Ὅπως δ’ ἂν ἔχοι σημασίας ἡ λέξις, οὐ πρέπει ἀγαθὸν ἄνδρα ὑπέροπλα λέγειν. [Ὅρα δὲ ὡς οὐ μόνον ἔργον ὑπέροπλον, ἀλλ’ ἰδοὺ καὶ ἔπος ὑπέροπλον.] (v.
3.721 186) Τὸ δὲ «ἀέκοντα καθέξει» δοκεῖ βίας εἶναι ὁρισμός. βία γὰρ ἡ ἀκούσιος κατοχή, καὶ ἄλλως δὲ εἰπεῖν, τὸ ἀέκοντα διασαφητικόν ἐστι τοῦ βίη. (v. 187) Τὸ δὲ «τρεῖς γάρ τ’ ἐκ Κρόνου» γράφεται καὶ δίχα προθέσεως «τρεῖς γάρ τε Κρόνου» καὶ ἐξακούεται τὸ υἱοί. Κρόνος δὲ καὶ Ῥέα ὅτι εἰς χρόνον καὶ ὕλην τὴν ἀρχέγονον ἀλληγοροῦνται, δῆλον. [ἀφ’ ὧν τὰ κατὰ κόσμον, ὡς Ἑλληνικὸς λόγος ληρεῖ,] ὥσπερ καὶ τὸ παρά τισι Κρόνον τὸν κόρον, ἤτοι νέον καὶ καθαρὸν νοῦν, λέγεσθαι κατὰ ἀλληγορίαν ἠθικήν. Τὸ δὲ «οὓς τέκετο Ῥέα» δι’ εὐσυνταξίαν πρόσκειται, ἵνα μή τις παίξῃ ἐν τῷ «τρεῖς γάρ τε Κρόνου ἐσμὲν ἀδελφοί», τὸ διῃρημένον συνθεὶς καὶ εἰπὼν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι τρεῖς ἀδελφοὶ Κρόνου ὁ Ζεὺς καὶ οἱ λοιποί. προστεθὲν γὰρ τὸ «οὓς τέκε Ῥέα» διεῖλεν, ἵνα λέγῃ ὅτι τρεῖς ἐσμεν ἀδελφοί, οὓς ἔτεκε Ῥέα, ὥστε εἶναι αὐτοὺς Κρόνου υἱούς, οὗ γυνὴ Ῥέα. εἰ δὲ δοτική ἐστι τὸ Ῥέα, ἔτι καλλίων ἐστὶν ἡ προσθήκη, ἵνα λέγῃ ὅτι τρεῖς ἐσμεν ἀδελφοί, οὓς τέκεν ὑπὸ τῇ Ῥέᾳ ὁ δηλωθεὶς Κρόνος. [Ἰστέον δὲ ὅτι ὁ στίχος, οὗ ἐν τῷ τέλει κεῖται τὸ «οὓς τέκετο Ῥέα», εἰ καὶ εἰς τρίβραχυν πόδα δοκεῖ καταλήγειν, ἀλλ’ οὖν εἰς δάκτυλον λογίζεται, οἷα τοῦ ῥῶ ἐκτείνοντος τὴν πρὸ αὐτοῦ συλλαβήν, ὡς καὶ ἐν τῷ «ἄλλοι δὲ ῥινοῖς, ἄλλοι δ’ αὐτοῖσι βόεσσι». καὶ γίνεται οὕτως ὁ στίχος μακροσκελὴς κατὰ τὸ «καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα». εἰ δὲ γράφεται «οὓς τέκε Ῥέα» κατά τινα τῶν ἀντιγράφων, μυουρίζεται τὸ ἔπος κατὰ τὸ «ὡς ἴδον αἰόλον ὄφιν». εἰ δ’ ἴσως εὕρηταί που «οὓς τέκε Ῥείη» ἀπαθῶς ἔχει ὁ στίχος. χρῆσις δὲ τῆς τοιαύτης Ῥείης ἐν τοῖς πρὸ τούτων. δῆλον δὲ ὅτι ἐν διφορήσει πολλαχοῦ φαμεν καὶ τέκε καὶ τέκετο.] (v. 188) Τὸ δὲ «ἐνέροις ἀνάσσων» ἐτυμολογίαν ὑπολαλεῖ τοῦ Ἀΐδου, ὃς ἀήρ ἐστιν ἀϊδής, ὅ ἐστιν ἀφανής. οὗ ἐνδεικτικὸν τὸ «ἐνέροις ἀνάσσων», ὃ δηλοῖ τοὺς ὑπὸ ἔραν, ὅ ἐστι γῆν, ἐξ οὗ τὸ νέρτερον κατὰ ἔλλειψιν τοῦ ε , καθὰ καὶ σὺν ἄλλοις καὶ ἐκ τοῦ ἐς κόρακας τὸ σκορακίζειν γίνεται, καὶ ἐκ τοῦ ἐς κέαρ βάλλειν τὸ σκερβόλλειν, κωμικὴ αὕτη λέξις.

3.722 (v. 191) Τὸ δ’ αὐτὸ ἐνδείκνυται σαφέστερον καὶ ἐν τῷ «Ἀΐδης ἔλαχε ζόφον ἠερόεντα». ταὐτὸν γὰρ Ἀΐδης καὶ ζόφος ἠερόεις. (v. 189) Ἐν δὲ τῷ «πάντα δέδασται» ἢ συνήθως παρέλκει τὸ πάντα, ὥσπερ σὺν ἄλλοις καὶ ἐν τῷ «ἐννέα πάντα τάλαντα», ἢ ἀντὶ τοῦ τὰ πλεῖστα λέγεται. οὐ γὰρ ἀληθῶς πάντα δέδασται, εἴπερ ἡ γῆ ἔτι κοινή. Ἔμμορε δὲ τὸ ἐκ μοίρας ἔτυχεν, ὡς ἐκ τοῦ μείρω μερῶ μέμορα κατὰ μέσον παρακείμενον, καὶ ὑπερθέσει ἔμμορα. προκλητικὸν δὲ τὸ «ἔμμορε» τοῦτο τοῦ λαχεῖν, ὡς καὶ τὸ δέδασται. δασμοῦ γὰρ καὶ μοίρας ἔφεσις τὸ λαγχάνειν ἐξεῦρε. (v. 190) Τὸ δὲ λαχεῖν τρὶς εἶπεν ἐπιμείνας κἀνταῦθα διὰ τὸ τῆς λέξεως καίριον, «ἐγὼ ἔλαχον», «Ἀΐδης ἔλαχεν», «Ζεὺς ἔλαχεν». ἐπεὶ δὲ καὶ ὁ πάλος σύστοιχός ἐστι τῷ λαγχάνειν, ἐνέφηνεν αὐτὸν διὰ τοῦ παλλομένων. (v. 192) Τὸ δὲ «ἐν αἰθέρι καὶ νεφέλῃσι» διασαφητικόν ἐστι τοῦ οὐρανοῦ. (v. 193) Ἐν δὲ τῷ «γαῖα δ’ ἔτι ξυνὴ πάντων» ὑπαινίττεται μυθικῶς ὁ Ποσειδῶν, ὡς οὐ δικαίως τοῦ κοινοῦ πράγματος ἀπείργεται. (v. 194) Τὸ δὲ «βέομαι φρεσίν», ᾧ δὴ οὐκ ἂν χρήσαιτό τις πεζογραφῶν, τὸ θέμα ἐστίν, ἐξ οὗ ἡ βία παράγεται. [Δηλοῖ γὰρ τὸ βιάζομαι ἢ βιασθήσομαι. δύναται δὲ δηλοῦν καὶ τὸ βαίνω, ἵνα λέγῃ ὁ Ποσειδῶν, ὅτι οὐκ ὀφείλω βαίνειν, ὅποι ποτὲ βουλὴ ταῖς Διὸς φρεσί.] Τὸ δὲ «καὶ κρατερός περ ἐὼν μενέτω» ἐν τῇ κατ’ αὐτὸν μοίρᾳ καὶ ἑξῆς ἕως τοῦ «ἀκούσονται καὶ ἀνάγκῃ» ἀρκεῖσθαι παραινεῖ τοὺς οἰκοδεσποτοῦντας τοῖς ἑαυτῶν. (v. 197 s.) Ἔνθα καὶ τὸ ἐνίσσειν δοτικῇ συνέταξεν, εἰπὼν «θυγατράσι καὶ υἱοῖς ἐνισσέμεν», ὅ ἐστι κακολογίαν ἐπάγειν. διὸ πρόσκειται τὸ ἐκπάγλοις ἐπέεσσι. Τὸ δὲ «οὓς τέκεν αὐτός», ἐν ᾧ καὶ τὸ θῆλυ γένος αἱ θυγατέρες ἐξακούονται, ἀκρίβεια λόγου ἐστίν. οὐ γὰρ πάσῃ ἁπλῶς θυγατρὶ καὶ υἱῷ παντὶ ἐπιπλήττομεν, ἀλλὰ τοῖς ἡμῶν αὐτῶν, ὅτε χρή. ἴσως δὲ δριμέως καὶ λαγνείαν Διὸς παραλαλεῖ ὡς οἷα τέκνων ἀγέλας ἔχοντος. (v. 199) Τὸ δὲ «ἀκούσονται καὶ ἀνάγκῃ» ἐντρέπει τὸν Δία διὰ τοῦ πολιτικοῦ ἔθους ὡς υἱῶν, οὐ μὴν ἀδελφῶν, ἀνάγκῃ πειθομένων. (v. 196—8) Σημείωσαι δὲ εἰς παίδευσιν καὶ ὡς εἰπὼν ὁ Ποσειδῶν τὸ «χερσὶ δὲ μή τί με πάγχυ κακὸν ὣς δειδισσέσθω», τουτέστι μή με ὡς δειλὸν ἐκφοβείτω, καὶ ὀφείλων ἐπαγαγεῖν, ὡς οὐδὲ γὰρ ἐγὼ ἀγεννῶς ἔχω πρὸς ἔνστασιν ἤ τι τοιοῦτον, ὅμως αὐτὸ μὲν ἐσίγησεν ἐπιεικῶς, ἔτρεψε δὲ τὸν λόγον ἀσφαλέστερον εἰς τὸ χρῆναι τὸν Δία τοῖς αὐτοῦ τέκνοις ἀπειλεῖσθαι χειρῶν ἐπιβολήν.

3.723 (v. 201) Ἐν δὲ τῷ «οὕτω γὰρ δή τοι, γαιήοχε,» σκοπητέον, εἰ μὴ παρέλκει ὁ γαρ σύνδεσμος. οὐδὲν γὰρ αἰτιολογεῖ. (v. 202) Τὸ δὲ «φέρω Διῒ μῦθον» οὐδὲ νῦν ἐπὶ ἀψύχου φορτίου τίθεται, ἀλλ’ ἁπλῶς ἐπὶ τοῦ ἄγειν, ἐξ οὗ καὶ ὁ ἄγγελος. [Τὸ δὲ «ἀπηνέα τε κρατερόν τε» τεχνικὸς χαρακτήρ ἐστι τοῦ κατὰ τὸν Ποσειδῶνα λόγου.] (v. 203) Τὸ δὲ «μεταστρέψεις» ἀντὶ τοῦ μεταθήσεις, μεταποιήσεις. ἡ δὲ μεταφορὰ ἐκ σωμάτων, ἃ στρεφόμενα χροιὰν ἑτέραν

προφαίνουσι. Τὸ δὲ «στρεπταὶ φρένες ἐσθλῶν» ἐστὶ μὲν γνωμικόν, νοεῖ δὲ ἀπὸ κοινοῦ τὰ ἐσθλά, ἵνα ᾖ λέγων, ὅτι οἱ ἐσθλοὶ μεταστρέφονται ἐπὶ τὰ ἐσθλά, ἐκ τῶν φαύλων δηλαδή, ὡς αἱ τῶν φαύλων πρὸς τὰ φαῦλα, ἃ δὴ σιγᾷ ἡ Ἶρις διὰ τὸ σεμνόν, ἵνα μὴ δόξῃ ἀφροσύνην ὀνειδίζειν τῷ Ποσειδῶνι διὰ τὸ αὐτοῦ ἔνδοξον. (v. 204) Ὅθεν οὐδὲ εἶπεν, ὅτι οἶσθα κρείττονά σου τὸν Δία, ἀλλ᾽ ἐκ τοῦ ἀφθονήτου γήρως ἐπιχειροῦσα ἔφη γνωμικῶς, ὅτι τοῖς πρεσβυτέροις Ἐριννύες ἕπονται, ὡς εἴπερ ἔφη, ὅτι ὑπὲρ τῶν γηραιοτέρων ἡ θεόθεν δίκη ἐστίν, ἢ ὅτι νεμεσῶσιν αἱ Ἐριννύες, εἴπερ τοῖς πρεσβυτέροις οἱ νεώτεροι ἐπίκεινται. Τίνες δὲ αἱ Ἐριννύες, καὶ ὡς τιμωρητικαὶ δαίμονες, καὶ ὅτι ἀπὸ τοῦ ἐρευνᾶν τὴν κλῆσιν ἔχουσιν, ἢ ἀπὸ τῆς ἔρας, ἤγουν ἐκ τοῦ ὑπὸ γῆν νέεσθαι, καὶ εἴ τι ἄλλο, ζητητέον ἐν ἄλλοις. Ὅρα δὲ καὶ τὸ διττὸν τοῦ «Ἐριννύες ἕπονται». Ὀρέστῃ μὲν γὰρ ἐπὶ κακῷ ἕπονται, διώκουσαι ὡς μητροφόντην, πρεσβυτέροις δὲ βλαπτομένοις ἐπ᾽ ἀγαθῷ ἕπονται, δορυφοροῦσαι οἷον καὶ ἀμύνουσαι. Ἔσται δέ ποτε σκωπτικὸς ὁ λόγος ἀστείως καὶ ἐπὶ πρεσβύτου τινὸς κακοποιοῦ, ὡς τοῦ κακοποιεῖν ἐφεπομένου δῆθεν τοῖς τοιούτοις. Ἄλλως μέντοι τὸ καθ᾽ Ὅμηρον τὰς Ἐριννύας ὑπὲρ τῶν πρεσβυτέρων εἶναι δριμέως εἶπεν ἡ Ἶρις. ἐμφαίνει γὰρ τραχυνθέντα νῦν πλέον ἤπερ ἐχρῆν τὸν Ποσειδῶνα. εἰ γὰρ μὴ ὡς ἀρχόμενον ὑπεικτέον ἄρχοντι, ἀλλὰ κἂν γοῦν ὡς ἀδελφῷ πρεσβυτέρῳ, ὃ δὴ καὶ ἐντρέπει τὸν Ποσειδῶνα, ἐπαινετὸν ὅμως καὶ οὕτως ὄντα, εἴγε καθ᾽ Ἡσίοδον «ἐσθλὸς κἀκεῖνος ὃς εὖ εἰπόντι πίθηται». (v. 207) Τὸ δὲ «ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ᾽ ἄγγελος αἴσιμα εἰδῇ» ἀντὶ τοῦ ἀγαθόν ἐστι καὶ τὸ συνετὸν εἶναι τὸν ἄγγελον.

3.724 πολλὰ γὰρ καὶ αὐτὸς κατορθοῖ. διὸ καὶ Εὐριπίδης φησὶν «ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθοῦται λόγος», καὶ Πίνδαρος δὲ ἔφη «ἄγγελον ἐσθλὸν τιμὰν μεγίστην πράγματι παντὶ φέρειν». Τὸ δὲ «εἰδῇ» φανερῶς δηλοῖ περισπώμενον εἶναι ῥῆμα τὸ εἰδῶ, ἐξ οὗ καὶ ὁ εἰδήμων καὶ ἡ εἴδησις. (v. 208—10) Τὸ δὲ «ἀλλὰ τόδ᾽ αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει» καὶ ἑξῆς ἕως τοῦ «χολωτοῖς ἐπέεσσιν» εἴποι ἄν τις κακόν τι ἀκούων ἐκ τοῦ δοκοῦντος εἶναι ὁμοίου. (v. 211) Ὁ δ᾽ αὐτὸς εἰ θέλοι ἐπιεικεύσασθαι πρὸς τὸ ἀκουσθέν, ἐρεῖ ἂν καὶ τὸ «ἀλλὰ νῦν μὲν νεμεσηθεὶς ὑποείξω», καὶ ἑξῆς δὲ (v. 213—7) τὸ «εἰ δὲ τόδε γένηται ἴστω τοῦθ᾽, ὅτι ἡμῖν ἀνήκεστος χόλος ἔσται». (v. 209) Ἐν τούτοις δὲ τὸ «ὁμῇ πεπρωμένον αἴσῃ» παράφρασίς ἐστι τοῦ ἰσόμορον ἤγουν ἰσόμοιρον, ὃν ὁμότιμον φθάσας εἶπεν. εἰ δ᾽ ἴσως τὸ ἰσόμορον οὐκ ἐκ μοίρας ἀλλ᾽ ἐκ μόρου σύγκειται, σημείωσαι τὸν μόρον τοῦτον οὐκ ἐπὶ κακῷ κείμενον. Τὸ δὲ «πεπρωμένον αἴσῃ», ὅ ἐστι πεπερατωμένον, συντετελεσμένον, δηλοῖ ὡς πεπρωμένον ἁπλῶς εἰπεῖν ἐλλιπές ἐστι, τὸ δέ γε ἐντελὲς πεπρωμένον αἴσῃ τοιᾷδε ἢ τοιᾷδε. (v. 210) Τὸ δὲ «νεικείειν χολωτοῖς ἐπέεσσιν» πρὸς διαστολὴν εἴρηται τοῦ ἄλλως νεικεῖν, οἷον μαχίμως. δῆλον γάρ, ὡς νεῖκος καὶ ὁ πόλεμος λέγεται. Χολωτὸν δὲ ἔπος τὸ ὀργίλον, ἀστείως οὕτως ὀνομασθέν, ἵνα ὥσπερ ὁρατὸν τὸ ὑποκείμενον τῇ ὁράσει, καὶ ὀσφραντὸν τὸ τῇ ὀσφρήσει, οὕτως εἴη καὶ χολωτὸν ἔπος, ὃ ὑπόκειται τῷ χόλῳ, οἷα μὴ νοὸς γεννῶντος αὐτὸ ἀλλὰ χόλου. (v. 213 s.) Ἰστέον δὲ καὶ ὅτι ἐνταῦθα ὡς ἐν κεφαλαίῳ ἐκθέμενος τοὺς συμμαχοῦντας τοῖς Ἀχαιοῖς, οἵπερ εἰσὶ Ποσειδῶν, Ἀθηνᾶ, Ἥρα, Ἑρμῆς, Ἥφαιστος, καὶ οἷον μόνον κατάλογον αὐτῶν ποιησάμενος, ὕστερον ἀντιτάξει αὐτοὺς τοῖς τῶν Τρώων ἐπικούροις καὶ ποιήσει ἐκεῖ ἃ βούλεται. (v. 214) Τὸ δὲ «Ἑρμείω» δῆλον ἤδη ἐν ἄλλοις γέγονεν ὡς ἀπὸ τετρασυλλάβου Ἰωνικοῦ συνεκόπη τοῦ Ἑρμείεω, καθὰ καὶ τὸ Βορέω ἐκ τοῦ Βορέεω δι᾽ εὐφωνίαν. (v. 215) Τὸ δὲ «πεφιδήσεται» ἢ μέσος μέλλων ἐστὶν ἐκ τοῦ φιδῶ κατὰ διπλασιασμὸν Ἰωνικόν, ἢ μετ᾽ ὀλίγον μέλλοντα δηλοῖ. (v. 217) Τὸ δὲ «ἀνήκεστος χόλος ἔσται» ἁπαλῶς μὲν ἔχει τά γε εἰς ἀπειλήν, ἄλλως δὲ ἀληθῶς. λυπήσεται γὰρ κατὰ ἀδελφοῦ ἰδιοπραγοῦντος ἀδικούμενος ὁ Ποσειδῶν καὶ χόλον ἀνήκεστον πείσεται. ἔνθα ὅρα καὶ τὸ «ἀνήκεστος». ὡς ἐπὶ νόσου γὰρ δεινῆς τοῦ χόλου ἐρρέθη αὐτό. (v. 218) Ὅτι τὸ «ὣς εἰπὼν λίπε λαὸν Ἀχαιϊκόν, δῦνε δὲ πόντον, πόθεσαν δ᾽ ἥρωες Ἀχαιοί» ἐν στερήσει ἀγαθοῦ βοηθοῦ παρῳδηθήσεταί ποτε.

3.725 Ἥρωας δὲ κἀνταῦθα πάντας λέγει τοὺς ἐπὶ Ἴλιον στρατεύσαντας, [οὐ μόνον σεμνύνων ἐκείνους, ἀλλ᾽ ἅμα καὶ οἰκτιζόμενος, εἰ τοιοῦτοι ὄντες δεινὰ πείσονται παρ᾽ ἀξίαν.] Ἰστέον δὲ ὅτι ἐν τοῖς εὐθὺς ἐφεξῆς οὐκ ἄλλως τὸν Ἀπόλλωνα Ζεὺς ἔπεμψε Τρωσὶ βοηθόν, εἰ μὴ ὁ Ποσειδῶν ἀνεχώρησεν εἰς τὸ ἑαυτοῦ λάχος, ἵνα μὴ τὸν νεώτερον Ἀπόλλωνα πρεσβυτέρῳ ἀντεπεξαγάγῃ, ὑφ᾽ οὗ αὐτὸς ὡς πρεσβύτερος τιμᾶσθαι ἀξιοῖ. (v. 219) Ὅρα δὲ τὸ «πόθεσαν», ἐξ οὗ ὁ ἐν Ὀδυσσείᾳ κύων ἀπόθεστος, ὅ ἐστι μὴ ποθούμενος. πολλαχοῦ δὲ φαίνεται, ὡς οὐ μόνον ποθῶ ποθήσω, ἀλλὰ καὶ ποθέσω. (v. 222—8) Ὅτι ὁ διὰ τὸ ἀκίνδυνον ἀποδεξάμενος τὴν τοῦ ἐχθροῦ ἀναχώρησιν δύναται εἰπεῖν τὸ «ἤδη μὲν ὁ δεῖνα οἴχεται ἀλευάμενος χόλον αἰπὺν ἡμέτερον· μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι. ἀλλὰ τόδε ἠμὲν ἐμοὶ πολὺ κέρδιον ἠδέ οἱ αὐτῷ ἔπλετο, ὅττι πάροιθε νεμεσσηθεὶς ὑπόειξε χεῖρας ἐμάς, ἐπεὶ οὔ κεν ἀνιδρωτί γ᾽ ἐτελέσθη». Τί δὲ ἂν ἐτελέσθη οὐ λέγει ὁ ταῦτα περὶ Ποσειδῶνος εἰπὼν Ζεύς, ἢ διὰ θυμὸν ἢ ὅτι καὶ ἄλλως δῆλόν ἐστιν. ἐτελέσθη γὰρ ἂν ἡ πρὸς ἀλλήλους ξυμβολὴ οὐκ ἀνιδιτί, φορτικὴ ἐσομένη καὶ ἀμφοτέροις. [Σεμνύνει δέ πως τοῦτο τὸν Ποσειδῶνα ὡς ἰσοπαλῆ ἀδελφῷ Διΐ. οὐ γὰρ κρατερῶς ἀπεφήνατο κατ᾽ ἐκείνου ὡς μέγα τι κακὸν πεισομένου εὐχερῶς οὕτω καὶ ἀπόνως, ἀλλ᾽ ὡς τῆς ἔριδος ἀμφοῖν ἱδρῶτα ἐκθλιψούσης διὰ τὸ ἐν ἑκατέροις γενναῖον.] (v. 224) Ὅρα δὲ τὸ «ἐπύθοντο» γενικῇ καὶ νῦν συνταχθέν, ὡς καὶ ἐν Ὀδυσσείᾳ καὶ ἐν ἄλλοις. δῆλον δὲ ὅτι σφοδρὸν παριστᾷ πόλεμον τὸ «μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι». [Καὶ δοκεῖ ὁ ποιητὴς ὑπολαλεῖν ὡς, εἴπερ ἐπλάσθη μάχη Διὸς ἐριβρεμέτου καὶ ἐριγδούπου καὶ Ποσειδῶνος τοῦ κατὰ τὴν πολύφλοισβον καὶ ἠχήεσσαν θάλασσαν, πάντως ἂν ὁ διασκευάζων ῥήτωρ τὸ πλάσμα μεγαλοφώνως ἔμελλε διαχειρίσασθαι τὴν ὑπόθεσιν καὶ ὡς ἐχρῆν ἐπὶ Διῒ καὶ Ποσειδῶνι, τοῖς στοιχειακοῖς, οἷς ἡ κατ᾽ ἀλλήλων στάσις οὐδὲν ἠρεμαῖον ἔχει, ὡς καὶ λανθάνειν, ἀλλ᾽ ἐξάκουστος λίαν γίνεται, ὡς καὶ αἱ παραβολαὶ δηλοῦσιν αἱ λαμβανόμεναι ἀπ᾽ αὐτῶν.] (v. 227) Τὸ δὲ «νεμεσηθείς» ἀντὶ τοῦ εὐλαβηθεὶς τὴν νέμεσιν. (v. 228) Τὸ δὲ «χεῖρας ἐμάς» μετὰ τοῦ νεμεσσηθείς συντακτέον μᾶλλον ἤπερ μετὰ τοῦ ὑπόειξεν. (v. 224 s.) Ἐν τούτοις δὲ κεῖται καὶ τὸ «ἐνέρτεροι» ἐντελῶς, ἐξ οὗ κατὰ ἀφαίρεσιν τὸ νέρτεροι, ὡς καὶ ἐκ τοῦ ἔνερθεν τὸ νέρθεν. Φησὶ γὰρ «ἐπύθοντο καὶ ἄλλοι, οἵπερ ἐνέρτεροί εἰσι θεοί», οὓς καὶ ἑρμηνεύων φησὶ «Κρόνον ἀμφὶς ἐόντες», τὸν ταρταρωθέντα, ὡς ἀλλαχοῦ δηλοῦται. (v. 229 s.) Ὅτι ἐγκελεύεται Ζεὺς Ἀπόλλωνι λαβεῖν αἰγίδα καὶ κατασείειν ἐπὶ φόβῳ τῶν Ἀχαιῶν.

3.726 Φησὶ γὰρ «ἀλλὰ σύ γ᾽ ἐν χείρεσσι λάβ᾽ αἰγίδα θυσανόεσσαν, τήν», ἤγουν ἥντινα, «μαλ᾽ ἐπισείων φοβέειν», ἤγουν ἐκφόβει, «ἥρωας Ἀχαιούς». καὶ ὅρα ὅτι καὶ Ἀπόλλων αἰγίδα χειρίζεται. Ἔστι δὲ αὕτη ἢ τοῦ Διὸς μόνου, δοθεῖσα νῦν σιωπηρῶς τῷ Ἀπόλλωνι, ἢ χαρισθεῖσα καθάπαξ αὐτῷ ἐκεῖθεν μυθικῶς, ὡς ἐν τοῖς ἑξῆς φαίνεται. ἐπεὶ κατὰ ἀλληγορίαν οὐκ ἄνευ Ἀπόλλωνος ἡ τοῦ Διὸς αἰγὶς ἀποτελεῖται. Τὰ γὰρ κατὰ τὸν ἀέρα ἐπαιγίσματα καὶ φόβητρα ἐξ ἀναθυμιάσεών εἰσιν, ἃς Ἀπόλλων ἥλιος ἀνάγων δοκεῖ τὴν αἰγίδα κοινοῦσθαι τῷ Διΐ. Ὅτι δὲ ἡ αἰγὶς οὐχ᾽ ὅπλον ἦν πληκτικόν, ἀλλά τι ἑτεροῖον ἔναμμα ὁ μῦθος αὐτὴν ἐσκεύασε πρὸς ἐκφόβησίν τινων, δῆλον καὶ ἐξ ὧν ἐνταῦθα ἐπισείων αὐτὴν ὁ Ἀπόλλων, οὐ μὴν βάλλων ἢ ἄλλως πλήττων, φοβήσει ἥρωας Ἀχαιούς. ὅπερ ἔχει τι οἴκτου, εἴπερ οἱ ἥρωες ἀγεννῶς εἴξουσι τοῖς πολεμίοις. (v. 231—3) Ἰστέον δὲ ὅτι κεῖται καὶ ἐνταῦθα σχῆμα γοργὸν προεκθετικὸν τῶν ἐφεξῆς ἐν ἐπιτομῇ τῶν πρὸ μικροῦ εἰρημένων πρὸς Διὸς κατὰ προέκθεσιν. Φησὶ γὰρ ὁ Ζεὺς τῷ Φοίβῳ «σοὶ δ᾽ αὐτῷ μελέτω φαίδιμος Ἕκτωρ· τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, ὄφρ᾽ ἂν Ἀχαιοὶ φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται». Ἃ δὲ μετὰ τοῦτο γενήσεται, οὐ λέγει, ὡς ἤδη μυστηριασθέντα πρὸς τὴν Ἥραν. διὸ οὐδὲ ἐθέλει νῦν παλιλλογεῖν ὁ ποιητής. (v. 234 s.) Ἐπάγει δὲ ὁ Ζεὺς καὶ νόημα μυστηριακὸν λόγῳ προεκθέσεως, τὸ «κεῖθεν δ᾽ αὐτὸς ἐγὼ φράσομαι ἔργον τε ἔπος τε. ὥς κε καὶ αὖτις Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο». (v. 236—8) Ὅτι Ἀπόλλων σταλεὶς πρὸς Διὸς εἰς Ἕκτορα ἔβη κατ᾽ Ἰδαίων ὀρέων «ἴρηκι ἐοικὼς ὠκέϊ, φασσοφόνῳ, ὅς τ᾽ ὤκιστος πετεηνῶν», περὶ οὗ

προγέγραπται. Καὶ ὅρα τὰς διαφόρους ὁμοιότητας. Ἥραν μὲν γὰρ νοήματι ἀνδρὸς εἴκασε κατὰ τὸ τάχος, Ἶριν δὲ νιφάδι ἢ χαλάζῃ ἐξ ὄρους ὑπὸ Βορρᾷ ἐλαύνοντι κατιούσῃ, τὸν δὲ Ἀπόλλωνα ἱέρακι ὠκυτάτῳ. Καὶ ἔστι σεμνότατον μὲν τὸ τῆς Ἥρας, φοβερὸν δὲ καὶ τραχὺ τὸ τῆς Ἴριδος, λεῖον δὲ καὶ γλυκὺ τὸ τοῦ Ἀπόλλωνος. Δῆλον δὲ ὅτι Ἀπόλλωνος ἱερὸς ὁ ῥηθεὶς ἱέραξ, ὡς καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ ἐδηλώθη, καὶ ὅτι τοῦτον μὲν ὤκιστον μόνον Ὅμηρός φησι, τὸν δὲ ἀετὸν ἅμα κράτιστον καὶ ὤκιστόν που ἐρεῖ. Ἰδαῖα δὲ ὄρη τὴν Ἴδην φησίν, ἣν καὶ αὐτὴν πληθύνει τὸ ἐν αὐτοῖς μέγεθος, καθὰ καὶ τὰ Ἠμωδὰ Ἰνδίας ὄρη καὶ τὰ Ἀρμένια καὶ τὰς Ἄλπεις καὶ ἄλλα.

3.727 Ὅτι δὲ ὁ ἴρηξ ψιλοῖ τὴν ἄρχουσαν Ἰωνικῶς, καὶ ὡς δέκα ἱεράκων εἶναι γένη φασὶν οἱ παλαιοί, ὧν ἐστι καὶ ὁ φασσοφόνος, οὐκ ἄδηλόν ἐστιν. (v. 239—42) Ὅτι Ἀπόλλων καταβὰς εἰς Ἕκτορα εὗρεν «ἥμενον οὐδ’ ἔτι κεῖτο, νέον δ’ ἐσαγείρατο θυμόν, ἀμφί ἑ γινώσκων ἑτάρους· ἀτὰρ ἆσθμα καὶ ἱδρὼς παύετο, ἐπεί μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο». Καὶ ὅρα τὸ σεμνὸν τοῦ λόγου. οὐ γὰρ εἶπεν, ὅτι ὁ Ζεὺς αὐτὸν ἤγειρεν, ἀλλ’ ὁ νοῦς τοῦ Διός. ὅτε γὰρ ἐκεῖνος πρὸς τὸν Φοῖβον ἐλάλει, τότε ὁ Ἕκτωρ ἀνέφερε. διὸ εὗρεν αὐτὸν ὁ Φοῖβος ἥμενον. Ὑψηλολογεῖ γάρ ποτε καὶ ὁ ποιητής, ὡς καὶ ὅτε εἴπῃ «οὐδέ σε λήθω κινύμενος». οὐ λανθάνει γάρ τις θεὸν οὐδὲ διαλογιζόμενος. Τὸ δὲ «οὐδ’ ἔτι κεῖτο» ἔχει τι σχηματισμοῦ. ἦν γὰρ τὸ κοινότερον οὕτω· εὗρεν ἥμενον οὐδ’ ἔτι κείμενον, ὡς πρὶν δηλαδὴ ἔκειτο, ὅτε ὁ Ζεὺς αὐτὸν ἴδεν. (v. 240) Τὸ δὲ «νέον ἐσαγείρατο θυμόν» ἀλλαχοῦ συνθεὶς θυμηγερέειν φησίν. ἀγείρει δὲ θυμὸν ὁ ὀλιγοθυμήσας, ὅπερ ὁ ποιητὴς ὀλιγηπελέειν φησὶ καὶ ὀλιγοδρανέειν καὶ ὀλίγον ἔτι θυμὸν ἐνεῖναι. (v. 241) Τὸ δὲ «γινώσκων ἑτάρους» καὶ ἀλλοφρονέειν, τὰ πρὸ τούτου, δηλοῖ τὸν Ἕκτορα, ὅτε κῆρ ἀπινύσσων ἦν. Τὸ δὲ νῦν ἆσθμα φθάσας ἀργαλέον ἆσθμα ἔφη. ὁ δὲ ἱδρὼς νῦν προσετέθη τὰ πρὸ τούτων σιωπηθείς. (v. 244 s.) Ὅτι ἐρώτησις πρὸς ἰδιάζοντα καὶ ἀσθενοῦντα τὸ «τίη δὲ σὺ νόσφιν ἀπ’ ἄλλων ἧσαι», [ἤγουν κάθησαι,] «ὀλιγηπελέων; ἦ πού τί σε κῆδος», ἤγουν βλάβη, «ἱκάνει»; (v. 247—9) Ὁ δὲ οὕτως ἐρωτηθεὶς ὑπό τινος μὴ πάνυ γνωρίμου ἐρεῖ ἂν «τίς δὲ σύ ἐσσι φέριστε, ὅς μ’ εἴρεαι ἄντην; οὐκ ἀΐεις, ὅτι» τόδε τι; Ἀπόλλων δὲ ἐνταῦθα ὁ ἐρωτῶν, Ἕκτωρ δὲ ὁ ἀποκρινόμενος. (v. 248—50) Ὅτι τὴν Αἴαντος ἀριστείαν κατὰ τοῦ Ἕκτορος πάνυ θαυμασίως ἐνταῦθα ὁ ποιητὴς δυσὶν ἐμπεριγράφει στίχοις διὰ προσώπου μὴ ἔχοντος πολυλογεῖν. Φησὶ γὰρ ὁ ἔτι ἀσθενῶν Ἕκτωρ, ὡς «ἐπὶ νηυσὶν Ἀχαιῶν, οὓς ἑτάρους ὀλέκοντα, βοὴν ἀγαθὸς βάλεν Αἴας χερμαδίῳ πρὸς στῆθος, ἔπαυσε δὲ θούριδος ἀλκῆς». (v. 251 s.) Τὸ δέ γε ἐφεξῆς τοῦ λόγου εἰπεῖν ἁρμόσοι ἂν τῷ εἰς ἔσχατον κινδύνου ἐλθόντι «καὶ δὴ ἔγωγ’ ἐφάμην νέκυας καὶ δῶμ’ Ἀΐδαο ἤματι τῷδ’ ὄψεσθαι, ἐπεὶ φίλον ἄϊον ἦτορ», ὅπερ ἐτυμολογίας ἐστὶ τρόπος. Ἄϊον γὰρ νῦν τὸ ἀπέπνεον ἀπὸ τοῦ ἄω, ἐξ οὗ τὸ ἦτορ γίνεται.

3.728 πρὸ βραχέων μέντοι τὸ «οὐκ ἀΐεις» ἐπὶ τῆς συνήθους σημασίας ἔλαβε, ὥστε ὁμώνυμον καὶ τὸ ἀΐω. Τινὲς δὲ νῦν τὸ ἄϊον ἀντὶ τοῦ κατὰ ψυχὴν ᾐσθανόμην φασίν. Ἐκ δὲ τοῦ τοιούτου ἀΐω καὶ τὸ ἀΐσθω γίνεται, ἀφ’ οὗ κατὰ συναίρεσιν τὸ αἴσθω καὶ ἡ αἴσθησις. Ὅρα δὲ ὡς ἐκ τοῦ ἄω καὶ τὸ ἆσθμα γίνεται, καὶ τὸ ἀΐειν ἐπὶ ἀκοῆς, καὶ τὸ ἄϊον ἦτορ, καὶ ὅτι τὸ ἀΐειν ἦτορ οὐ μακράν ἐστι τοῦ ἀσθμαίνειν. τῷ γοῦν εἰπόντι, ὅτι φίλον ἄϊον ἦτορ, ἀνωτέρω ἐρρέθη τὸ ἐντεῦθεν ἆσθμα παύεσθαι. (v. 256) Ἰστέον δὲ ὅτι Ζηνόδοτος ἀκούσας, ὡς Ἀπόλλων [Φοῖβος χρυσάορος] ῥωννύει κακῶς ἔχοντα τὸν Ἕκτορα, εἰς ταὐτὸν αὐτὸν ἄγει τῷ Παιήονι, λέγων ὅτι ὁ ἀλλαχοῦ ῥηθεὶς Παιήων ὁ Ἀπόλλων ἐστίν, ὃς καὶ χρυσάορος ἐνταῦθα ὠνόμασται. Ἡσίοδος μέντοι δαιμόνιον οἶδέ τι ἕτερον τὸν Χρυσάορον, [ὃν ἡ ἀλληγορία, καθὰ καὶ τὸν Ἀπόλλωνα, εἰς ἥλιον ἀλληγορεῖ, ᾧ ἀνάκειται τὸ τοῦ χρυσοῦ μέταλλον.] (v. 254—7) Ὅτι ὁ συνιστῶν ἑαυτὸν ὡς ἀγαθὸν ἐπίκουρον καλῶς ἂν εἴποι τὸ «θάρσει νῦν· τοῖόν τοι ἀοσσητῆρα», ὅ ἐστιν σπουδαῖον βοηθόν, θεὸς «προέηκε παρεστάμεναι καὶ ἀμύνειν, ὅς σε πάρος περ ῥύομαι ὁμῶς αὐτόν τε καί» τὸ δεῖνα, ὡς ἐνταῦθα τὸ αἰπεινὸν πτολίεθρον ῥῦσθαι ὁ Ἀπόλλων φησὶ τῷ Ἕκτορι. (v. 260 s.) Ὁ δὲ ὑποσχόμενος εὐμαρίσαι τινὶ δυσκολίαν ἐρεῖ ἂν τὸ «αὐτὰρ ἐγὼ προπάροιθε κιὼν κέλευθον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πᾶσαν λειανέω», εἴ που δηλαδὴ τραχύ τι ἔχει, τρέψω δὲ τοὺς δεῖνα. (v. 262) Ἐπὶ δὲ προθυμοποιήσεως ἔστιν εἰπεῖν τὸ «ὣς εἰπὼν ἐνέπνευσε μένος μέγα» τῷ δεῖνι. [Ὅρα δὲ τὸ «τρέψω» κοινῶς μὲν λεχθέν, ἐλλιπῶς δέ, λείπει γὰρ τὸ εἰς φυγήν. ἐκ τούτου δὲ τοῦ ῥήματος καὶ Ζεὺς τροπαῖος, ὁ οὕτω δηλαδὴ τρέπων.] (v. 254) Ὡς δὲ ἀοσσητὴρ κυρίως ὁ δίχα ὄσσης, ἤτοι μαντείας, τρέχων εἰς βοήθειαν, δηλοῦσιν οἱ παλαιοί. (v. 263—9) Ὅτι τῇ τοῦ στατοῦ ἵππου παραβολῇ, ᾗ ἔφθασε χρήσασθαι ἐπὶ Ἀλεξάνδρου ἐν τῷ τέλει τῆς ζῆτα ῥαψῳδίας, βραχύ τι παυσαμένου τῆς μάχης χρᾶται καὶ νῦν ἀπαραποιήτως ἐπὶ Ἕκτορος. Ἔχει δ’ ἐκεῖ τὰ τῆς παραβολῆς προσφυέστερον ἤπερ ὧδε. ἐκεῖ μὲν γὰρ ὁ Πάρις ἐξ ἀναπαύσεως εἰς τὴν τοῦ πολέμου πεδιάδα κάτεισιν, ἐνταῦθα δὲ ὁ Ἕκτωρ οὐκ ἐξ ἀναπαύσεως ἥκει, ἀλλ’ ἐκ θανατηφόρου πληγῆς καὶ πτώματος ἀνασφήλας τὴν μάχην τολμᾷ. οὔτε γοῦν τὸ «κυδιόων» οὔτε τὸ «ὑψοῦ κάρη ἔχων» ἁρμόζει τῷ ἄρτι ἐκ λειποθυμίας ἑαυτὸν ἀναλαβόντι, καὶ ἡ τοῦ ἵππου δὲ στάσις οὐχὶ τῷ πεσόντι Ἕκτορι ἀλλ’ Ἀλεξάνδρῳ οἰκεία τῷ ἐν θαλάμῳ διατετριφότι καὶ οἷον ἀκοστήσαντι, ὅ ἐστι κριθιάσαντι.

3.729 ἀκοσταὶ γάρ, ὡς ἐρρέθη, κατὰ Κυπρίους αἱ κριθαί. διὰ τοῦτο οἱ παλαιοὶ δύο στίχους ἐνταῦθα μόνους ἐκ τῆς παραβολῆς δέχονται, τοὺς ἐν τῇ ἀρχῇ, τοὺς δὲ τέσσαρας ὀβελίζουσι, παρατιθέντες τῷ ὀβελῷ καὶ ἀστερίσκον, ὡς ἀλλαχοῦ κάλλιστα κειμένων τῶν τοιούτων ἐπῶν καὶ μὴ ἐνταῦθα. (v. 269) Σημείωσαι δὲ καὶ ὅτι ἐκεῖ μὲν ἡ τῆς ῥηθείσης παραβολῆς ἀπόδοσις λαμπρότητα δηλοῖ τοῦ Πάριδος, λέγουσα «ὣς Πριάμοιο πάϊς τεύχεσι παμφαίνων ὥς τ’ ἠλέκτωρ ἐβεβήκει», ἐνταῦθα δὲ τάχος ὑπεμφαίνει τοῦ Ἕκτορος. φησὶ γὰρ «ὣς Ἕκτωρ λαιψηρὰ πόδας καὶ γούνατ’ ἐνώμα», δι’ οὗ δηλοῦται ὡς πρὸς μόνον τάχος παρέλαβε τὴν παραβολήν. εἶτα συναπτῶς καὶ λέοντι τὸν Ἕκτορα εἰκάζει διὰ τὴν ἀνδρίαν. Ὅρα δὲ τήν, ὡς ἐρρέθη, ἐν τῇ προκειμένῃ παραβολῇ ταὐτολογίαν, ἣν οὐδ’ αὐτὴν ὤκνησεν Ὅμηρος, περίεργον καὶ νῦν ἡγησάμενος εἰς οὐδὲν δέον τὸ καλῶς ἐκεῖ φρασθὲν ἐνταῦθα μεταποιῆσαι. ὅσα δὲ εἰς τὴν παραβολὴν καταγράψασθαι ταύτην ἐχρῆν, ἐν ἐκείνῃ προγέγραπται. (v. 271—80) Ὅτι σεμνύνων ὁ ποιητὴς παραβολικῶς τὸν Ἕκτορα ἐφ’ οἷς αὐτοῦ μὲν κειμένου κατεπονοῦντο οἱ τῆς Τροίας, ἀναρρωσθέντος δὲ ἀνάπαλιν τὰ τοῦ πολέμου συμπίπτει, φησὶν «οἳ δ’ ὥς τ’ ἢ ἔλαφον κεραὸν ἢ ἄγριον αἶγα ἐσσεύοντο», ἤγουν ἐδίωκον, «κύνες τε καὶ ἀνέρες ἀγροιῶται. τὸν μέν τ’ ἠλίβατος πέτρη καὶ δάσκιος ὕλη εἰρύσατο, οὐδ’ ἄρα τέ σφι κιχήμεναι αἴσιμον ἦεν, τῶν δέ θ’ ὑπὸ ἰαχῆς ἐφάνη λὶς ἠϋγένειος εἰς ὁδόν, αἶψα δὲ πάντας ἀπέτραπε καὶ μεμαῶτας, ὣς Δαναοὶ εἵως μέν», ἤγουν τέως καὶ μέχρι τινός, «ὁμιλαδὸν αἰὲν ἕποντο, νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι», περὶ ὧν προδεδήλωται, «αὐτὰρ ἐπεὶ ἴδον Ἕκτορ’ ἐποιχόμενον στίχας ἀνδρῶν, τάρβησαν, πᾶσι δὲ παραὶ ποσὶ κάππεσε θυμός», ὃ δηλοῖ συμβολικῶς, ὡς πάντες εἰς τὸ φεύγειν ἀπεῖδον, τοῖς ποσὶ τὴν σωτηρίαν πιστεύσαντες καὶ οἷον προσρίψαντες. (v. 280) Καὶ ἴσως ἡ τοιαύτη τοῦ θυμοῦ συμβολικὴ παρὰ τοῖς ποσὶ πτῶσις ἐδίδαξε τὸν Δημοσθένην εἰπεῖν μιμητικῶς καταπεπατημένον φέρειν ἐν πτέρναις Ἀθηναίους τὸν ἐγκέφαλον. [Δύναται δὲ καὶ ἄλλως τὸ «παρὰ ποσὶ κατέπεσε θυμός» νοηθῆναι εἰς αἴνιγμα τοῦ ἐταπεινώθησαν καὶ τοῦ πρῴην ὕψους ὑποκατέβησαν, ὡς εἰ καὶ τὰ ἄνω κάτω αὐτοῖς γεγόνασιν. Ἰστέον δὲ ὅτι Ὁμήρου μὲν παραὶ ποσὶ ῥίψαντος θυμὸν Ἀχαιοῖς, Δημοσθένους δὲ πρὸς πτέρναις Ἀθηναίοις τὸν ἐγκέφαλον, ἡ Κωμῳδία σκώπτουσα τοὺς σχηματιζομένους φιλοσοφίας λόγῳ σεμνοπροσωπεῖν εἰς τὸ μέτωπον αὐτοῖς ἐπιγράφει τὸν νοῦν.

3.730 Λέγεται οὖν Ἄμφις ὁ κωμικὸς εἰπεῖν, ὅτι ἐπαινῶ τὸν βίον τῶν φιλοποτῶν ἤπερ ὑμῶν τῶν μόνον ἐν τῷ μετώπῳ νοῦν ἔχειν εἰωθότων.] Ἔτι ἰστέον καὶ ὅτι παρέξεσται μὲν ἡ παραβολὴ αὕτη ἐκ τῆς κειμένης ἐν τῇ λ′ ῥαψῳδίᾳ, ἔνθα θῶες ἔλαφον δαρδάπτοντες ἐπελθόντος λέοντος φεύγουσι. διαφέρει δέ, ὅτι ἐκεῖ μὲν θῶες οἱ φεύγοντες τὸν λέοντα, ἐνταῦθα δὲ ἄνδρες καὶ κύνες, καὶ ἐκεῖ μὲν οὐ τοὺς ἐπικειμένους τῇ ἐλάφῳ θῶας δάπτει ὁ λέων, ἀλλὰ τὸ σῶμα, ἐξ οὗ

ἐκεῖνοι ἔφυγον, ἐνταῦθα δὲ ὁ λέων τοὺς διώκοντας κυνηγοὺς ἐκδειματοῖ. Καὶ ὅτι ὅλη νῦν ἡ παραβολὴ ὅλῳ συνδιήκει τῷ πράγματι. ἔλαφος μὲν γὰρ οἷον ἢ αἴξ οἱ φεύγοντες Τρῶες, ὥς που καὶ ὁ Πάρις ἐλέγετο, κύνες δὲ ὥσπερ καὶ κυνηγοὶ οἱ Ἀχαιοί, οἳ παρατρέπονται τοῦ διώκειν ἐπιφανέντος οἷα λέοντος τοῦ Ἕκτορος. ἐκείνη μέντοι ἡ παραβολὴ εἶχέ τι ἀπροσάρμοστον τοῖς ὑποκειμένοις, ὡς δεδήλωται. Ὅτι δὲ κεραὸς ἔλαφος ὁ τέλειος, καὶ ὅτι ἀρσενικῶς ὁ αἴξ παρ' Ἀττικοῖς, καὶ ὅτι σεύεσθαι οὐ μόνον τὸ ὁρμᾶν καὶ παρορμᾶν ἀλλὰ καὶ τὸ διώκειν, καὶ ὅτι τὸ ἀγροιῶται δύο ἔχει πλεονασμούς, καὶ τίς ἡ ἠλίβατος πέτρη, καὶ ὅτι δάσκιος ὕλη ἡ πολύσκιος ἢ κατὰ συγκοπὴν ἡ δασύσκιος, καὶ ὅτι γένειον λέοντος τρίχες περὶ τὴν γένυν ὀξὺ προέχουσαι, δι' ὧν φόβος προφαίνεται καὶ σεμνότης τῷ λέοντι, δηλοῦται ἑτέρωθι. [(v. 275) Ὅτι δὲ γένειον καὶ ἐπὶ ἀνθρώπου λέγεται, οὐκ ἂν ἀμφιβάλῃ τις. οἱ δὲ παλαιοὶ καὶ ἐπὶ τρίγλης αὐτὸ τιθέασιν, ἣν καὶ γενεάτιδα καλοῦσιν, ἐκβαλόντες τοῦ γενείου τὸ ἰῶτα λέγοντες, ὅτι ἦν καί τις τρίγλη γενεᾶτις, ἡδύ τι χρῆμα, ἐπεί, φασίν, αἱ τὸ γένειον ἔχουσαι ἡδίονές εἰσι μᾶλλον τῶν ἄλλων. Ὅτι δὲ οὐ τρίγλαν ἀλλὰ τρίγλην Ἀθηναῖοι διὰ τοῦ ἦτα προφέρουσιν, οἱ παλαιοὶ δηλοῦσιν. διὸ καὶ ὁ παρῳδήσας νέος τὸ «Κίλλάν τε ζαθέην» εἰς τὸ «τρίγλαν τε ζαθέην» ἔπαιξε μὲν ἀστείως εἰς ἔπαινον τρίγλης, οὐ μὴν ἐλάλησεν Ἀττικιστί. Εἰ δὲ ἐν διφθόγγῳ μὲν τὸ γένειον, διὰ τοῦ ἰῶτα δὲ μόνου ὁ παρὰ Πολυβοίῳ Γένιος βασιλεὺς Ἰλλυριῶν, πολλὰ γέλωτος ἄξια ποιῶν, τῇ ἀναλογίᾳ ταῦτα δοτέον, ὡς καὶ τὸ Εὐγένιος κύριον.

3.731 ] (v. 274) Τοῦ δὲ κιχήμεναι ἢ κίχημι ὁ ἐνεστὼς ἢ κιχαίνω, ἀφ' οὗ τὸ κιχάνω, ὡς οἰδαίνω οἰδάνω. Τὸ δὲ «οὐκ ἦν αἴσιμον» ὑποκεῖσθαι δηλοῖ αἴσῃ καὶ τὰ κατὰ τὴν ἄγραν. (v. 281—4) Ὅτι τὸν Θόαντα ἐπαινῶν ὁ ποιητής φησιν «Αἰτωλῶν ὄχ' ἄριστος, ἐπιστάμενος μὲν ἄκοντι, ἐσθλὸς δ' ἐν σταδίῃ, ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν νίκων, ὁππότε κοῦροι ἐρίσειαν περὶ μύθων». καί εἰσι ταῦτα χρηστὰ εἰς ἐγκώμιον νέου συνετοῦ καὶ ἀνδρείου. (v. 282) Ἔστι δὲ ἐπιστάμενος ὁ ἐπιστήμων, εἰ μὴ ἄρα λείπει τὸ πολεμίζειν ἤ τι τοιοῦτον, ἵνα εἴπῃ ὅτι ἐπιστάμενος ἄκοντι πολεμίζειν, ὥσπερ καὶ ἐν τῷ «σταδίῃ» λείπει τὸ ὑσμίνῃ ἢ μάχῃ. μάλιστα δὲ ῥητέον ὅτι κἀνταῦθα πιστοῦται ἡ τῶν ἀπαρεμφάτων ὁμοιότης πρὸς ὀνόματα. ταὐτὸν γὰρ νῦν τὸ ἐπιστάμενος ἄκοντι καὶ ἐπιστάμενος ἀκοντίσαι (v. 283) Τὸ δὲ ἐφεξῆς τοῦ «ἐσθλὸς ἐν σταδίῃ» ἐπίτηδες δι' ἐξαλλαγὴν περιπέφρασται σχήματος. εἶχε μὲν γὰρ εἰπεῖν γοργῶς, ὅτι ἀγορῇ δὲ ἄριστος, ὁ δὲ ἔφρασε πλατύτερον. (v. 284) Τὸ δὲ κοῦροι τεχνικῶς καὶ νῦν πρὸς ὁμογενεῖς τε καὶ πρὸς ὁμήλικας δηλοῖ γενέσθαι τὴν σύγκρισιν. Τὸ δὲ «ἐρίσειαν περὶ μύθων» διέσταλται τῶν λοιπῶν πολυειδῶν ἐρίδων. αὐτὸ δὲ τὸ ἐρίσειαν ἔχει τι ἀκριβολογίας. ἐριζόντων γάρ τινων καὶ συντεινομένων εἰς ἔργον αἱ λαμπραὶ νῖκαι γίνονται. (v. 286—92) Ἰστέον δὲ ὅτι ἀγαθὰ δημηγορήσειν μέλλοντα τὸν Θόαντα συνιστᾷ φθάνων ἐν τοῖς ῥηθεῖσιν ὁ ποιητής. Φησὶ γὰρ εὐθύς, ὡς τοιαῦτα ὁ Θόας εἶπεν «ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι· οἷον δ' αὖτ' ἐξαῦτις ἀνέστη κῆρας ἀλύξας Ἕκτωρ· ἦ θήν μιν», ἤγουν ὄντως δή αὐτὸν, «μάλα ἔλπετο θυμὸς ἑκάστου χερσὶν ὑπ' Αἴαντος θανέειν Τελαμωνιάδαο. ἀλλὰ θεὸς ἐρρύσατο καὶ ἐσάωσεν Ἕκτορα, ὃς πολλῶν Δαναῶν ὑπὸ γούνατ' ἔλυσεν, ὡς καὶ νῦν ἔσεσθαι ὀΐομαι. οὐ γὰρ ἄτερ γε θεοῦ πρόμος ἵσταται ὧδε μενοινῶν» καὶ ἑξῆς. (v. 286) Καὶ ὅρα τὸ «ὢ πόποι» οὐκ ἐπὶ θρήνῳ οὐδὲ νῦν ῥηθέν. Ὅλως γὰρ ἐπὶ καινοτέροις τισὶν ἐπιφωνεῖται, εἴτε θρῆνος τὰ τοιαῦτα εἴτε ἔκπληξις, ὡς ἐνταῦθα, ἢ ἕτερα πάθη ψυχῆς τοῦ λέγοντος. Ἔχει γάρ τινας ἐπιφωνήσεις ὁ ποιητὴς ἀναλόγως τοῖς ὑποκειμένοις πράγμασιν, ἐν οἷς καὶ τὸ σχέτλιος, ἐπιλεγόμενον τοῖς ἐπί τι σφοδροῖς καὶ ἀκατασχέτοις, καὶ τὸ νήπιος, ὅπερ ἀναφώνησίς ἐστιν ὡς τὰ πολλὰ σημαντικὴ τῶν ἀστοχούντων τοῦ δέοντος.

3.732 καὶ τοῦτο μὲν οὕτως. (v. 295—9) Ὁ δὲ Θόας καὶ συμβουλεύει τὴν «πληθὺν μὲν ποτὶ νῆας ἀπονέεσθαι, αὐτοὶ δέ», φησίν, «ὅσσοι ἄριστοι ἐνὶ στρατῷ εὐχόμεθ' εἶναι, στείοιμεν, εἴ κεν πρῶτον ἐρύξομεν ἀντιάσαντες, δούρατ' ἀνασχόμενοι· τὸν δ' οἴω καὶ μεμαῶτα θυμῷ δείσεσθαι Δαναῶν καταδῦναι ὅμιλον». (v. 300) Καὶ Θόας μὲν οὕτως εἶπεν, «οἱ δ' Ἀχαιοὶ μάλα μὲν κλύον

ἠδ’ ἐπίθοντο». Ἦν δὲ ὁ Θόας Ἀνδραίμονος καὶ Γόργης υἱὸς τῆς Οἰνέως, ὅν, φασίν, ὁ Διομήδης ἀπέδειξεν Αἰτωλίας βασιλέα. Ἰστέον δὲ ὅτι τὸ «μάλα ἔλπετο θυμός» ἕως τοῦ «καὶ ἐσάωσε» παρῳδηθὲν προσαρμόσει ἀπεγνωσμένῳ ἀρρώστῳ, καθὰ καὶ τὸ «ὢ πόποι, ἦ μέγα θαῦμα» ἕως τοῦ «ἀλύξας». (v. 292 s.) Τὸ δὲ «οὐ γὰρ ἄτερ θεοῦ πρόμος ἵσταται ὧδε μενοινῶν» οἰκεῖον πρὸς τὸν θεόθεν ἐν κινδύνῳ μεγάλῳ βοηθούμενον. (v. 287) Ἰστέον δὲ ὅτι τὸ «ἀνέστη κῆρας ἀλύξας» ταὐτόν ἐστι τῷ ἀνεζωώθη καὶ, ὡς ἀλλαχοῦ φησιν, ἀμπνύνθη. Καὶ ἔχει κἀνταῦθα δύναμιν ἡ ἀνα πρόθεσις ὁποίαν καὶ ἐν τῷ ἀναφρονεῖν καὶ ἀναπνέειν καὶ ἀνακρίνειν καὶ τοῖς ὁμοίοις. (v. 290) Τὸ δὲ «ἐρρύσατο καὶ ἐσάωσεν» οὐκ ἂν εἶεν ἀλλήλων διάφορα. οὐ τὸ ἐρύω δὲ καὶ νῦν θέμα ἐστὶ τοῦ ἐρρύσατο, ἀλλὰ τὸ ῥύω, καθὰ δηλοῖ ὁ τοῦ ρ ἐν τῇ ἀρχούσῃ διπλασιασμός. (v. 291 s.) Τὸ δὲ «γούνατ’ ἔλυσε» περίφρασίς ἐστι τοῦ ἐθανάτωσεν. ὅλον δὲ τὸ «πολλῶν Δαναῶν ὑπέλυσε γούνατα, ὡς καὶ νῦν ἔσσεσθαι ὀΐομαι», ἶσόν ἐστι τῷ «ἠδ’ ἔτι λύσει», ὅπερ ἔφη ἐν τῷ «πολλάων πολίων κατέλυσε κάρηνα ἠδ’ ἔτι λύσει». ἐκεῖθεν γὰρ τοῦτο παρεποιήθη. (v. 292) Τὸ δὲ «ὀΐομαι» οἴω κατωτέρω δισυλλάβως φησί. [Διφορεῖται οὖν κἀνταῦθα. τοιοῦτον δὲ καὶ τὸ ἀνασχόμενοι, ἐν ἄλλοις γὰρ ἀνασχόντες εὕρηται. ὁμοίως καὶ τὸ δείσεσθαι. ἔστι γὰρ κοινότερον δείσειν.] (v. 296) Τὸ δὲ «εὐχόμεθα εἶναι ἄριστοι» αὔχημά ἐστιν ἡρωϊκὸν ἀνεμέσητον διὰ τὴν κατ’ αὐτὸ ἀλήθειαν. (v. 297) Τοῦ δὲ «στείομεν» πρωτότυπον τὸ στέομεν. χρῆσις δὲ τούτων πολλαχοῦ. [Τὸ δὲ «εἴ κεν ἐρύξομεν» ταὐτόν ἐστι τῷ εἴ πως, αὐτὸ δὲ ἀντὶ τοῦ ὅπως. λέγει οὖν ὅπως κωλύσωμεν.] Τὸ δὲ «πρῶτον ἐρύξομεν ἀντιάσαντες» ἢ καθ’ ὑπερβατὸν δηλοῖ τὸ πρῶτον ἀντιάσαντες, ἤγουν προμαχήσαντες ἐρύξομεν, ἢ καὶ ἄλλως κατ’ εὐθύ· πρῶτον ἐρύξομεν τὸν Ἕκτορα ὡς πρόμαχον, ὑπαντιάσαντες αὐτῷ.

3.733 διὸ εὐθὺς ἐρεῖ, ὡς ὑσμίνην ἤρτυνον οὐ μόνον Τρώεσσιν, ἀλλὰ καὶ Ἕκτορι ἐναντίον. (v. 299) Τὸ δὲ «θυμῷ» δύναται καὶ πρὸς τὸ μεμαῶτα κολληθῆναι καὶ πρὸς τὸ δείσεσθαι. ἀσφαλῆ γὰρ καὶ ἄμφω. (v. 300) Τὸ δὲ «ἐπίθοντο» διασαφητικόν ἐστι τοῦ ἔκλυον ἢ μᾶλλον διορθωτικόν. (v. 301—5) Ὅτι παρῳδηθήσεταί ποτε εἰς ἔκταξιν στρατιωτικὴν τὸ «οἳ μὲν ἀμφ’ Αἴαντε» καὶ τὸν δεῖνα καὶ δεῖνα «ὑσμίνην ἤρτυνον ἀριστῆας καλέσαντες Ἕκτορι καὶ Τρώεσσιν ἐναντίον. αὐτὰρ ὀπίσσω ἡ πληθὺς ποτὶ νῆας Ἀχαιῶν ἀπονέοντο. Τρῶες δὲ προὔτυψαν ἀολλέες. ἦρχε δ’ ἂρ Ἕκτωρ βιβάς» ἢ βιβῶν, «πρόσθε δὲ κί’ αὐτοῦ» ὁ δεῖνα, οἷον τὸ θεῖον. ὁ δὲ μῦθος λέγει, ὅτι πρόσθε τοῦ Ἕκτορος κίε Φοῖβος Ἀπόλλων εἱμένος ὤμοισι νεφέλην καὶ ἑξῆς. (v. 302) Ἰστέον δὲ ὅτι ἐν τοῖς ῥηθεῖσι κειμένου τοῦ «Τεῦκρον Μηριόνην τε Μέγην τε» Ἀρίσταρχος μὲν βαρύνει τὸ Μέγην, ᾧ καὶ πείθεται ἡ παράδοσις. οἱ δὲ περὶ Πτολεμαῖον καὶ τὸν Ἀσκαλωνίτην περισπῶσιν ὡς Ἑρμῆν. φασὶ γὰρ ὡς τὰ εἰς ης βαρύτονα δισύλλαβα ἀπὸ βραχέος ἀρχόμενα περιττοσυλλάβως κλίνονται, λέβητος, Λάχητος. οὕτω γοῦν καὶ Μέγητος ἔδει κλίνεσθαι καὶ Μέγητα εἶναι τὴν αἰτιατικήν. ὅτε δὲ μὴ οὕτως ἡ κλίσις ἔχει, περισπασθήσεται τὰ τοιαῦτα ἰαμβικά, ὡς Θαλῆς Θαλῆν, Φαλῆς Φαλῆν. Ἕτεροι δὲ διφορεῖσθαί φασι Μέγης καὶ Μεγῆς, ὡς Θάλης καὶ Θαλῆς. καὶ οὗτοι μὲν οὕτως. οἱ δὲ περὶ Ἀρίσταρχόν φασιν, ὡς πολλὰ τοιαῦτα διχῶς κλιθέντα οὐ μετέβαλον τὸν τόνον. τὸ γοῦν Μύνης Ὅμηρος μὲν Μύνητος κλίνει, Σοφοκλῆς δὲ ἰσοσυλλάβως. ἔστι δὲ καὶ μύκης μύκητος καὶ μύκου, [ὁποῖος ἂν καὶ εἴη αὐτὸς εἴτε ὁ τοῦ λύχνου, ὃς καὶ μύξα λέγεται, εἴτε ὁ τῆς σπάθης, ἀφ’ οὗ καὶ ἡ Μυκήνη, ὡς προεδηλώθη, ἐκλήθη κατά τινας, εἴτε ὁ ἐκ γῆς ὁ καὶ ἀμανίτης, οὗ τῆς μὲν ἰσοσυλλαβίας χρῆσις παρά τε ἄλλοις καὶ Ἀριστίᾳ εἰπόντι «μύκαισι δ’ ὀρέχθει τὸ λάϊνον δάπεδον». —τοῦ γὰρ μύκαισι μύκης μύκου ἡ κλίσις, ὡς Μύνης Μύνου. —, τῆς δὲ περιττοσυλλάβου κλίσεως παρὰ τοῖς πλείοσιν, ὡς καὶ παρὰ τῷ ἱστοροῦντι, ὅτι μυκήτων οὐκ ἔστιν οὐδὲ ἴχνος τῆς σπερματικῆς κορυνώσεως οὐδὲ σπερματώσεως, ὥσπερ οὐδὲ ἄλλων τινῶν.

3.734 Ἔστι γὰρ κατὰ τὸν μύκητα καὶ τὸ ὕδνον τὸ καὶ γεράνειον κατά τινας, καὶ ἡ ἕλιξ καὶ ἡ πτέρις δέ, ἣν ἔνιοι βλάχνον καλοῦσιν, ὡς καὶ Ἀρριανὸς δηλοῖ ἐν Βιθυνικοῖς. Ἔτι χρῆσις μυκήτων καὶ

παρὰ Νικάνδρῳ ἐν τῷ «καί τε μύκητας ἀμανίτας τότ' ἐφεύσαις», ἢ ἀφεύσαις, ἀντὶ τοῦ φώξαις, φλογίσαις, ὀπτήσαις. περὶ ὧν φησί τις καί, ὅτι φύονται οἱ μύκητες γηγενεῖς καί εἰσιν αὐτῶν ἐδώδιμοι ὀλίγοι. ὡς δὲ καὶ διγενής ἐστιν ὁ μύκης, παρασημειοῦνται καὶ αὐτὸ οἱ παλαιοί.] (v. 303) Τὸ δὲ «ὑσμίνην ἤρτυνον» ταὐτόν ἐστι τῷ ἀραρότως ἐμάχοντο. (v. 305) Τὸ δὲ «ἡ πληθὺς ποτὶ νῆας ἀπονέοντο» Ἀττικῶς ῥηθὲν ὅμοιόν ἐστι τῷ «ὣς φάσαν ἡ πληθύς». (v. 306) Τὸ δὲ «προὔτυψαν ἀολλέες» κεῖται καὶ ἐν ἄλλοις. (v. 307) Τὸ δὲ «μακρὰ βιβάς» δείκνυσιν οὐκ ἀπᾴδουσαν οὐδὲ ἐπὶ Ἕκτορι τὴν τοῦ στατοῦ ἵππου παραβολήν. (v. 307 s.) Τὸ δὲ ἐνδεδύσθαι ὤμοις νεφέλην τὸν Ἀπόλλωνα προϊόντα τοῦ Ἕκτορος, ὡς διὰ τοῦτο μὴ ὁρᾶσθαι, ἀστείως ἔχει, ὡς καὶ τοῦ ἡλίου τοῦτό ποτε πάσχοντος, εἰς ὃν ὁ Ἀπόλλων μεταλαμβάνεται. Σημείωσαι δὲ ὅτι δοκεῖ ἡ νεφέλη αὕτη τοῦ Ἀπόλλωνος τὴν φυσικῶς ἀλληγορουμένην αἰγίδα ὑπαινίττεσθαι, ἣν βουλῇ Διὸς πρὸ βραχέων ὁ Ἀπόλλων ἔλαβε. (v. 308—10) Διὸ ἐπάγει εὐθὺς ἐνταῦθα τὸ «ἔχε δ' αἰγίδα θοῦριν», ἣν ἀσπίδα τινὲς γράφουσι «δεινήν, ἀμφιδάσειαν, ἀριπρεπέα, ἣν ἄρα χαλκεὺς Ἥφαιστος», ὡς ἐξ ὕλης οὖσαν τιμίας, «Διῒ δῶκε φορήμεναι ἐς φόβον ἀνδρῶν». εἰς ἐκφόβησιν ἄρα ἡ τοιαύτη ἀσπίς, ταὐτὸν δ' εἰπεῖν αἰγίς, φορεῖται καὶ εἰς ἔκπληξιν. ὅτι δὲ ἀδιάφορον τὴν κατά τινας ἀσπίδα ταύτην καὶ αἰγίδα εἰπεῖν, δηλοῖ Ὅμηρος καὶ ὑποκαταβὰς ἐν τῷ αἰγίδα χερσὶν εἶχεν Ἀπόλλων. Στοχάζονται δέ τινες, ὧν ἐστι καὶ Σιδώνιος, δύο αἰγίδας εἶναι, τὴν μὲν Διός, τὴν δὲ Ἀθηνᾶς, καὶ οὐ χρᾶσθαι τὴν Ἀθηνᾶν τῇ τοῦ Διός. καὶ εἰς κατασκευὴν τούτου ἄλλα τέ τινα λέγουσι, καὶ ὅτι οὐκ ἂν τὰ ἄλλα ὅπλα ἴδια ἔχουσα τὴν ὡς ἀσπίδα αἰγίδα οὐκ εἶχε, καὶ ὅτι ὁ Ἄρης μεμψάμενός που δι' αὐτὴν τῷ Διῒ εἶπεν ἄν, ὡς καὶ τοῖς σοῖς ὅπλοις ὁπλίζεις αὐτὴν καθ' ἡμῶν, οὐκ ἔσχε δὲ τοιοῦτόν τι εἰπεῖν. δεινὴ δὲ ἡ τοιαύτη αἰγὶς διὰ τὸ φύσει ἐκφοβεῖν τοὺς κάτω.

3.735 (v. 309) Ἀμφιδάσεια δὲ μυθικῶς μὲν ὡς ἀμφοτέρωθεν ἢ πάντοθεν δασεῖα, οἷά τις σαγοειδής, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. διὸ καὶ θυσανόεσσα ἡ αὐτή. ἀλληγορικῶς δέ, διὰ τὴν ἐν τοῖς ἄνω τόποις πυκνότητα τῆς τῶν κατὰ Δία, ἤτοι τῶν ἀερίων αἰγίδων, συστάσεως, ὅτε ποτὲ γίνοιντο. Ὁ δὲ τόνος, ὡς τὸ ἱπποδάσεια, χαλκοβάρεια. προπαροξύνεται γάρ, φασίν, ὡς παρασύνθετον. Ἥφαιστος δὲ αὐτὴν τεύχει κατὰ μὲν τὸν μῦθον ὡς χρυσῆν καὶ διὰ πυρὸς ἀρτυνομένην πρὸς ὁμοίωσιν δορᾶς μαλλωτῆς, ἀλληγορικῶς δέ, διὰ τὴν ἀνάγουσαν τὰς ἀναθυμιάσεις θερμότητα, ἐξ ὧν τὰ τοιαῦτα πάθη συνίσταται, ὡς καὶ προδεδήλωται. διὸ καὶ θοῦρις ἡ αὐτὴ διὰ τὴν τῶν τοιούτων κίνησιν. Ὅτι δὲ νεφελοειδές τι καὶ καταιγιδῶδες ἡ τοῦ Διὸς αἰγίς, καὶ ἀλλαχοῦ μὲν φαίνεται, καὶ ὁ ποιητὴς δὲ νῦν, ὡς ἀνωτέρω ἐρρέθη, αὐτὸ ὑπενέφηνεν. (v. 312) Ὅτι σφοδρᾶς μάχης δηλωτικὸν τὸ «οἳ δ' ὑπέμειναν ἀολλέες, ὦρτο δ' ἀϋτὴ ὀξεῖ' ἀμφοτέρωθεν, ἀπὸ νευρῆφι δ' ὀϊστοὶ θρῷσκον. πολλὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν ἄλλα μὲν ἐν χροῒ πήγνυτ' ἀρηϊθόων αἰζηῶν, πολλὰ δὲ καὶ μεσσηγὺ πάρος χρόα λευκὸν ἐπαυρεῖν ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι», τουτέστιν, ὡς καὶ ἐν ἄλλοις ἐδηλώθη, ἐπιθυμοῦντα σώματος κορεσθῆναι. ὡς ἐπὶ ἐμψύχων δὲ καὶ νῦν τῶν βελῶν συνήθως κἀνταῦθα ὁ ποιητὴς ἔφη ὥσπερ τὸ θρῷσκον ὀϊστοί, οὕτω καὶ τὸ χρόα ἐπαυρεῖν καὶ τὸ ἐπιθυμεῖν κορεσθῆναι χροός. καὶ ἔστιν ἰσοδύναμα τὸ ἐπαυρεῖν χρόα καὶ τὸ ἆσαι χροός. (v. 316) Τὸ δὲ «μεσσηγὺ ἐν γαίῃ δοῦρα ἵστασθαι» τὸ ἐμπήγνυσθαι αὐτὰ γῇ δηλοῖ, πρὶν ἢ ψαῦσαι σώματος, ἢ διὰ τὸ μὴ εὐστοχεῖσθαι, οἷα εἰκός, ἢ διὰ τὸ πόρρωθεν ἀφιέμενα μὴ ἐξικνεῖσθαι. Οἱ δὲ παλαιοὶ Σχολιασταὶ τὰ μεσσηγὺ ἐν γαίῃ ἱστάμενα δοῦρα μεσοπαγῆ καλοῦσιν, ἤγουν εἰς ἥμισυ καὶ μέχρι μέσου ἐμπεπηγότα τῇ γῇ διὰ τὸ σφοδρὸν τῆς βολῆς, ὁποῖον μεσοπαγές που ἐν τοῖς ἑξῆς τὸ τοῦ Ἀχιλλέως δόρυ φανεῖται κατὰ τὰς ὄχθας τοῦ Ξάνθου. (v. 312 s.) Ἡ δὲ ὀξεῖα ἀϋτὴ διέσταλται τῆς βαρείας, ἣ μὴ κατ' ἐπίτασιν τέμνει τὸν ἀέρα. Τὸ δὲ «ὑπέμειναν ἀολλέες» ταὐτόν ἐστι τῷ στερρῶς καὶ μονίμως ἀντέστησαν. (v. 318—22) Ὅτι «ὄφρα μὲν αἰγίδα χερσὶν εἶχεν ἀτρέμα Φοῖβος Ἀπόλλων, τόφρα μάλ' ἀμφοτέρων βέλεα ἥπτετο» κατὰ ἰσότητα μάχης τὴν πρὸ τούτων ἐν ἄλλοις φανεῖσαν, «πῖπτε δὲ λαός. αὐτὰρ ἐπεὶ

κατενῶπα ἰδὼν Δαναῶν ταχυπώλων σεῖσεν, ἐπὶ δ’ αὐτὸς ἄϋσε μάλα μέγα, τοῖσι δὲ θυμὸν ἐν στήθεσι ἔθελξε», τουτέστιν ἐξέστησε, μετεποίησεν ἐκ τοῦ εὖ ἐνεργεῖν, ὃ καὶ ἑρμηνεύων φησὶ «λάθοντο δὲ θούριδος ἀλκῆς».

3.736 ἐπὶ κακῷ ἄρα καὶ ὧδε τὸ θέλγειν. [Καὶ ἔστι πως οἷον δύναμίς τις καὶ ἡ αἰγὶς κατὰ φιλόσοφον θεωρίαν, οἷα τῶν ἐναντίων ἐργαστικὴ κατὰ τὴν ῥητορικὴν καὶ τὴν διαλεκτικὴν καὶ τὴν στρατηγικὴν καὶ ὅμοια.] Καὶ ὅρα καὶ νῦν ὅτι σείσας ὁ Ἀπόλλων, οὐ μὴν βαλὼν ἢ τρώσας τῇ αἰγίδι, ἔβλαψε τοὺς Ἀχαιούς. Καὶ ἔοικεν ὁ τοιοῦτος σεισμὸς πτυρμόν τινα ποιεῖν, ὁποῖα τὰ πανικὰ ἱστορεῖται δείματα, ἢ καὶ φοβεράν τινα κίνησιν ἀέρος καί τινα ἐντεῦθεν βοήν. τοῦτο γὰρ δηλοῖ τὸ «ἄϋσε μάλα μέγα». (v. 318) Τὸ δὲ «ἀτρέμα» ἰδοὺ ἐνταῦθα δίχα τοῦ ς κεῖται διὰ μέτρον. (v. 320) Τὸ δὲ «κατενῶπα» Ἀλεξίων καὶ οἱ πλείους προπαροξύνουσιν, οἷς καὶ δεῖν πείθεσθαί φησιν Ἀπίων καὶ Ἡρόδωρος, ἡ δὲ συγκοπὴ τούτου ἀπὸ τοῦ ἐνώπια, ὡς μηρία μῆρα, σιτία σῖτα. εἰ δὲ ταῦτα προπερισπῶνται διὰ τὴν ἁπλόην, ἀλλ’ ἐκεῖνο προπαροξύνει ἡ σύνθεσις, ἀναδιδομένου τοῦ τόνου ὡς ἐν τῷ κατενώπια, οὕτω καὶ ἐν τῷ κατένωπα. Ἀρίσταρχος δὲ ἐνῶπά φησιν ὡς «κατὰ δῶμα», καὶ ἔστι βοηθῆσαι καὶ αὐτῷ κατὰ τοὺς παλαιοὺς οὕτως. ἔστιν ἐνωπὴ ἡ πρόσοψις, ὡς τὸ «κακὸν ῥέζουσαν ἐνωπῇ», οὗ αἰτιατικὴ ἐνωπήν, καὶ ὥσπερ ἰωκήν ἰῶκα, οὕτω μεταπλασμῷ ἐνωπήν ἐνῶπα. (v. 318 et 320) Τὸ δὲ «Ἀπόλλων» καὶ «ταχυπώλων» ἔχει τι κάλλος καὶ διὰ τὴν ἐν τῷ τέλει τῶν στίχων παρίσωσιν. (v. 323—6) Ὅτι τὸν ἐκ τοῦ Ἀπόλλωνος καὶ τοῦ Ἕκτορος ἐν τοῖς Ἀχαιοῖς φόβον παραβολικῶς εἰκονίζων φησίν, ὅτι «ὥς τε ἢ βοῶν ἀγέλην ἢ πῶϋ μέγ’ οἰῶν θῆρε δύω κλονέουσι μελαίνης νυκτὸς ἀμολγῷ ἐλθόντ’ ἐξαπίνης σημάντορος οὐ παρεόντος», ἤγουν τοῦ σημαίνοντος, ὅ ἐστιν ἐπιστατοῦντος τοῖς θρέμμασιν, «ὣς ἐφόβηθεν Ἀχαιοὶ ἀνάλκιδες». (v. 324) Λέγει δὲ καὶ ἐνταῦθα νυκτὸς ἀμολγόν, ὅτε οὐ μογοῦμεν πλεονασμῷ τοῦ λ ἢ καθ’ ὃν οὐ μολοῦμεν, ἐπενθέσει τοῦ γ , ἢ τὸν τοῦ ἀμέλγειν καιρόν. διττὸς δὲ αὐτός, ἢ ἑῷος ἢ ἑσπέριος. Καὶ ἄλλως δέ, ἀμολγὸς νυκτὸς τὸ πυκνόν. καὶ ἔστι λαβὴ σημασίας τοιαύτης καὶ παρ’ Ἡσιόδῳ ἐν τῷ «μάζα τ’ ἀμολγαίη», [ὅπερ ἐστὶ ποιμενικὴ καὶ ἀκμαία κατὰ τὸν Ἀθήναιον, ὃς εἰς μάζας ἀναγράφει καὶ τὴν μελιτοῦτταν καὶ τὴν οἰνοῦτταν, ἔτι δὲ καὶ τὸ κρίνον, οὗπερ ὁμωνυμίαν πλατεῖαν δηλῶν λέγει, ὅτι καὶ σχῆμά τι χορικῆς ὀρχήσεως ἐλέγετο κρίνον. Περὶ δὲ τοῦ δισυλλάβου μολγοῦ ζήτει εἰς τὸν Κωμικόν.

3.737 ] Ἀχαιοὶ δὲ κατὰ τοὺς Γλωσσογράφους ἀμολγὸν τὴν ἀκμήν φασιν, ὡς εἶναι νυκτὸς ἀμολγόν τὴν ἀκμήν, ἤτοι τὸ μέσον, κατὰ τὸ «θέρους ἦν ἀκμή». ὁ μέντοι παρὰ Θεοκρίτῳ ἀμολγεὺς ποιμενικὸν ἀγγεῖόν ἐστιν, ἐν ᾧ ἀμέλγουσιν. Ὅτι καὶ ἐνταῦθα πτῶσίς τε πυκνὴ οὐκέτι Τρώων ἀλλ’ Ἀχαιῶν καὶ σχήματα φράσεως διάφορα καὶ ῥήματα ποικίλα· ἔπεφνεν ὁ δεῖνα τὸν δεῖνα, ἐξενάριξε, βάλεν, ἕλεν, ὃ καὶ πλεονάζει τρὶς λεχθέν. κεῖνται δ’ ἐν τούτοις καὶ τρία κύρια τριβράχεα παροξύτονα, Στιχίος, Κλονίος, Ἐχίος, ὁ καὶ πρώτῃ ἐν ὑσμίνῃ πεσών, ἤγουν ἐν προμάχοις, κατὰ τὸν βληθέντα κατωτέρω ἐν προμάχοισι. Τῶν δὲ πιπτόντων οἱ μὲν πρὸς μόνην κλῆσιν μνημονεύονται, οἱ δὲ καὶ μετά τινος ἐπισημασίας, καὶ ταύτης ἢ ἑνὶ στίχῳ περικεκλεισμένης ἢ πλείοσιν. (v. 329—31) Ἑνὶ μὲν ἐπὶ τῶν πεσόντων ὑπὸ τῷ Ἕκτορι, Στιχίου δηλαδή, ὃς Βοιωτῶν ἡγήτωρ ἦν χαλκοχιτώνων, καὶ Ἀρκεσιλάου, ὃς Μενεσθῆος μεγαθύμου πιστὸς ἦν ἑταῖρος, πλείοισι δὲ ἐφ’ ὧν ὁ Αἰνείας ἀνεῖλεν, ἤγουν ἐπὶ Μέδοντος καὶ Ἰάσου. (v. 332—8) Ὧν Μέδων μὲν «νόθος υἱὸς Ὀϊλῆος θείοιο ἔσκεν, Αἴαντος ἀδελφεός, αὐτὰρ ἔναιεν ἐν Φυλάκῃ», τῇ Θετταλικῇ, «γαίης ἀπὸ πατρίδος ἄνδρα κατακτὰς γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ’ Ὀϊλεύς· Ἴασος αὖτ’ ἀρχὸς μὲν Ἀθηναίων ἐτέτυκτο, υἱὸς δὲ Σφήλοιο καλέσκετο Βουκολίδαο». (v. 335) Ἐν τούτοις δὲ τὸ μὲν «ἄνδρα κατακτάς» οὐκ ἂν ἀνδροφόνον λέγοι τὸν Μέδοντα. ἐκεῖνο μὲν γὰρ ληστοῦ κλῆσις. τὸ δὲ ἄνδρα κατακτεῖναι τὸν ἄλλως φονέα δηλοῖ. (v. 336) Ἡ δὲ Ἐριῶπις εἰς ταὐτὸν μὲν ἥκει τῷ βοῶπις, ἐστὶ δ’ ἐνταῦθα κύριον ὄνομα. Τὸ δὲ «ἣν εἶχεν Ὀϊλεύς» οὐ πάντῃ ἐκ περισσοῦ κεῖται, ἀλλὰ πρὸς δήλωσιν ἐναργῆ τοῦ τίνος ἦν μητρυιὰ ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐριῶπις, ὅτι δηλαδὴ τοῦ Ὀϊλείδου Μέδοντος. (v. 337) Τὸ δὲ «ἐτέτυκτο» τευκτόν, ἤτοι χειροτονητὸν καί, ὡς εἰπεῖν, ποιητὸν Ἀθηναίων βασιλέα βούλεται φάναι τὸν Ἴασον. (v. 338) Ὅτι δὲ ὥσπερ Ποιμὴν κύριον ὄνομα, οὕτω καὶ Βουκόλος ἐκ προσηγορικοῦ, δηλοῖ ὁ Βουκολίδης Σφῆλος. Ἔτι τῶν, ὡς εἴρηται, πιπτόντων οἱ μὲν ὁμοιοπτώτως φράζονται, οἷον Ἕκτωρ μὲν τὸν δεῖνα καὶ δεῖνα ἔπεφνε, τὸν μὲν Βοιωτῶν ἡγήτορα, τὸν δὲ Μενεσθῆος ἑταῖρον, οἱ δὲ ἀνομοιοπτώτως προφέρονται, οἷον Αἰνείας δὲ τὸν δεῖνα καὶ δεῖνα ἐξενάριξεν, ἤτοι ὁ μὲν νόθος υἱὸς Ὀϊλῆος καὶ ἑξῆς, ὁ δὲ ἀρχὸς Ἀθηναίων, υἱὸς δὲ Σφήλου. (v. 341 s.) Πίπτει δέ τις ἐνταῦθα καὶ ὑπὸ τῷ Πάριδι, Δηΐοχος, βληθεὶς «νείατον ὦμον ὄπισθεν, φεύγων ἐν προμάχοισι».

3.738 Καί φασι μόνον τοῦτον Ἑλλήνων ὄπισθε βεβλῆσθαι. καὶ ἴσως ἐνταῦθα τοῦτο, ἄλλως γὰρ καὶ Ἠϊονεύς που ὑφ᾽ Ἕκτορος οὕτως ἀναιρεῖται. (v. 328) Ὅρα δ᾽ ἐν τούτοις καὶ ὅτι φθάσας εἰπεῖν Ὅμηρος ἀορίστως τὸ «ἔνθα δ᾽ ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσης ὑσμίνης», ὅπερ ἐπὶ τροπῆς πολέμου λέγοιτ᾽ ἄν, ἐπήγαγεν εὐθὺς καὶ τὰ ὡρισμένα, ἤγουν ὁ δεῖνα τὸν δεῖνα καὶ ὁ δεῖνα τὸν δεῖνα. (v. 328) Ἔστι δὲ κεδασθῆναι τὸ διαλυθῆναι, φυσικῶς μὲν ἐκ τοῦ κ ἔχον τὴν ἀρχήν. ἐκ τοῦ κεάζω γάρ, τὸ κλῶ, γίνεται, ἀφ᾽ οὗ καὶ ἡ κέδρος καὶ τὸ ἐν Ὀδυσσείᾳ ξύλα κεάσαι, κατὰ χρείαν δέ ποτε μέτρου καὶ μετὰ τοῦ ς προφερόμενον. κεκοίνωται γοῦν μάλιστα τὸ σκεδάζειν. (v. 332) Ἰστέον δὲ καὶ ὅτι ἐν τοῖς ὑπὸ τῷ Αἰνείᾳ, ὡς ἐρρέθη, πεσοῦσι δυσὶ πρῶτον ἱστόρησεν ὁ ποιητὴς τὰ περὶ τοῦ πρώτου, ἤγουν τοῦ Μέδοντος, εἶτα εἶπε τὰ κατὰ τὸν δεύτερον Ἴασον, πρὸς τὸ πρῶτον κατὰ φύσιν ἀπαντήσας, ὁποῖά τινα καὶ ἐν τῇ ἀρχῇ τῆς ῥαψῳδίας ταύτης ἐσημειώθη. (v. 331—8) Ὅτι δὲ τὸ Ὀϊλεύς δίχα τοῦ ἐν ἀρχῇ ο προφέρουσί τινες, ἤδη δεδήλωται. Φασὶ δὲ οἱ παλαιοί, ὅτι Στησίχορος καὶ Ἡσίοδος τὴν τοιαύτην οἴδασι προφοράν, οἷς ἀκολουθῶν καὶ Ζηνόδοτος βιάζεται πανταχοῦ τὴν Ὁμηρικὴν γραφήν. διὸ καὶ ἐν τῷ «οὐδ᾽ ἂρ Οἰληιάδῃ μεγαλήτορι Λοκροὶ ἕποντο» καὶ τοῖς τοιούτοις κακουργεῖ μεταγράφων, καὶ δίχα τοῦ ο ἐκφέρει τὰ κατὰ τὸν Ὀϊλέα. (v. 338) Ὁ δὲ Σφῆλος βαρύνεται κανόνι τοιούτῳ. Τὰ εἰς λος δισύλλαβα κύρια τῷ η παραληγόμενα βαρύνονται· Τῆλος, Μῆλος, Βῆλος, Σφῆλος, ἐπιθετικὰ δὲ ποτὲ μὲν ὀξύνονται, οἷον πηλός, χηλός, κηλός, βηλὸς οἴκου, ποτὲ δὲ καὶ βαρύνονται· δῆλος, ζῆλος, ἐν οἷς καὶ ἧλος. (v. 339) Κεῖται δ᾽ ἐν τοῖς εἰρημένοις καὶ αἰτιατικὴ τοῦ Μηκιστεύς Μηκιστῆος ἀποκεκομμένη. φησὶ γὰρ «Μηκιστῆ δ᾽ ἕλε Πουλυδάμας», καὶ ἔστιν ὅμοιον τῷ «ἀγγελίην ἔπι Τυδῆ στεῖλαν Ἀχαιοί». (v. 344 s.) Ὅτι τὴν Ἑλληνικὴν ἧτταν οὕτω γοργῶς φράζει «τάφρῳ καὶ σκολόπεσσιν ἐνιπλήξαντες ὀρυκτῇ ἔνθα καὶ ἔνθα φέβοντο, δύοντο δὲ τεῖχος ἀνάγκῃ». κυρίως δ᾽ ἐπὶ ὀρνέων τὸ ἐμπλῆξαι, ὅτε δικτύοις ἢ παγίσιν ἐγκρούσουσιν. (v. 347) Ὅτι ὅπερ ἀλλαχοῦ Νέστωρ εἶπεν «ἄνδρας κτείνωμεν, ἔπειτα δὲ καὶ ταῦτα ἕκηλοι νεκροὺς ἂν πεδίον συλήσετε» συντομώτατα ἐνταῦθα Ἕκτωρ λέγει, κελεύων «νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ᾽ ἔναρα βροτόεντα». (v. 348—51) Οἷς ἐπιπλέκων ἀπειλὴν στρατηγικῶς, καθά που καὶ πρὸ τούτου ἄλλοι τοῖς λειποτακτοῦσιν ἠπείλησαν, ἐπάγει «ὃν δ᾽ ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω, αὐτοῦ οἱ θάνατον μητίσομαι», οὐκ ἐνδοὺς δηλαδὴ οὐδὲ βραχύ τι ἐπιζῆσαι, «οὐδέ νυ τόν γε γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα, ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο».

3.739 (v. 350) Καὶ ἔστι τὸ «πυρὸς λελάχωσιν», ἀντὶ τοῦ λάχος δώσουσιν, ὡς ἓν δὲ ἀνθ᾽ ἑνὸς εἰπεῖν, καταξιώσουσι πυρός. Σημείωσαι δέ, ὅτι τὸ μὲν αὐτόν τινα λαχεῖν αἰτιατικῇ συντάσσεται· ἔλαχεν οὐρανόν, ἔλαχε ζόφον, τὸ δὲ ἄλλῳ δοῦναι λάχος γενικῇ, ὁποῖον καὶ τὸ «πυρὸς λελαχεῖν». (v. 348) Ἐν δὲ τῷ «ἀπάνευθε» ἀναγκαίως θετέον ὑποδιαστολήν, ἵνα δηλοῖ «ἀπάνευθε τῶν νεῶν», καὶ μὴ συνεμπίπτῃ τῷ «ἀπάνευθεν ἐών», ἤγουν ὑπάρχων, ὃ ἀλλαχοῦ κεῖται. (v. 350) Τὸ δὲ «γνωτοὶ καὶ γνωταί» οὐκ ἐξ ἀνάγκης ἔλλειψιν ἔχουσι τοῦ ς ἐκ τοῦ γνωστοί καὶ γνωσταί, ἀλλὰ δύνανται εἶναι καὶ ἀπὸ γ′ συζυγίας τῶν περισπωμένων, ὁμοίως τῷ ἑεδνωταί καὶ τοῖς τοιούτοις. ἴσως δὲ καὶ ὥσπερ ἀπὸ τοῦ γεννῶ γεννήσω συγκέκοπται ὁ κασίγνητος, οὕτως ἐκεῖθεν καὶ ὁ γνητὸς καὶ ἡ γνητή, ἐξ ὧν τροπῇ τοῦ η εἰς ω οἱ γνωτοὶ καὶ αἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γνωταί. (v. 351) Τὸ δὲ «πρὸ ἄστεος ἡμετέροιο», [ἐξ οὗ σύνθετον τὸ παρὰ τοῖς ὕστερον προάστειον,] ἐντρέπει τὸν λειποτάκτην, εἰ μὴ ἐν τῷ ναυστάθμῳ παρὰ τοῖς ἀγνοοῦσι πεσεῖται, ἀλλ' ἐπὶ τῆς πατρίδος κυνῶν μέλπηθρα γένηται. Πάλαι δὲ τοῖς λειποτάκταις ἐπιτίμια ταῦτ' ἔκειτο, καὶ δικαίως, οἳ τὴν τάξιν λείψαντες οὐ μόνον ἑαυτοὺς προὔδωκαν εὐκατεργάστους τοῖς πολεμίοις, ἀλλὰ καὶ τὸ λοιπὸν τό γε εἰς αὐτοὺς ἧκον ἔβλαψαν στράτευμα. Ὅρα δὲ ὡς ἐν ἄλλοις μὲν ὁ ποιητὴς τὴν κατὰ τῶν λειποτακτούντων ἀπειλὴν συντομώτατα ἔφρασεν, εἰπὼν «ὄφρα πρόσθ' ἄλλων θάνατον καὶ πότμον ἐπίσπῃ», ἑτέρωθι δὲ σαφέστερον ἐν τῷ «οὔ οἱ ἄρκιον ἐσσεῖται φυγέειν κύνας ἠδ' οἰωνούς», ἐνταῦθα δὲ πλατύτερον ἔγραψεν οἷα πολυειδῶς παραφράζειν εἰδώς. (v. 343 s.) Ἰστέον δὲ καὶ ὅτι οὐ πάνυ ἀγχίνους νῦν ὁ Ἕκτωρ ἐν τῇ κατ' αὐτὸν παραινέσει φαίνεται. οὐ γὰρ ἁπλῶς ἐλάλησε πρὶν ἢ φορτικόν τι κατιδεῖν, ἀλλ' ἐπεὶ ἐν ὅσῳ οἱ, ὡς εἴρηται, πεσόντες Ἀχαιοὶ ἐσκυλεύοντο, τόφρα δ' Ἀχαιοὶ τάφρῳ καὶ σκολόπεσιν ἐμπλήξαντες ἔσω τείχους ἐγένοντο, τηνικαῦτα ἐπεμηθεύσατο. (v. 352) Ὅτι τὸ «μάστιγι κατωμαδὸν ἤλασεν ἵππους» ἀντὶ τοῦ ἀνατείνας ἕως ὤμων τὴν μάστιγα, ὤμων δὲ ἢ τῶν ἑαυτοῦ ἢ τῶν ἵππων. (v. 352—5) Ὅτι πολεμικὴν εὔτακτον ὁρμὴν φράζει τὸ «ἤλασεν ἵππους κεκλόμενος», ἤγουν ἐγκελευόμενος τοῖς δεῖνα, «ἐπὶ στίχας, οἳ δὲ σὺν αὐτῷ πάντες ὁμοκλήσαντες ἔχον», ἤγουν ἤλαυνον, «ἐρυσάρματας ἵππους ἠχῇ θεσπεσίῃ». Εὐθεῖα δὲ πληθυντικὴ τοῦ ἐρυσάρματας οἱ ἐρυσάρματες, ὅπερ ὅτι μεταπέπλασται ἀπὸ τοῦ ἐρυσάρματοι, δηλοῦται ἀλλαχοῦ. (v. 355—61) Ὅτι Ἀπόλλων αἰγίδα ἔχων ἐρίτιμον, ἣν ἀριπρεπέα φθάσας εἶπεν Ὅμηρος ὡς καὶ χρυσῆν καὶ βασιλικήν, «ῥεῖα ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρειπὼν ἐς μέσον κατέβαλε, γεφύρωσεν δὲ κέλευθον μακρὰν ἠδ' εὐρεῖαν, ὅσον τ' ἐπὶ δουρὸς ἐρωὴ γίνεται», οὐκ ἐν πολέμῳ ἀλλ' ἐν γυμνασίου ἀδείᾳ, «ὁππότ' ἀνήρ», φησί, «σθένεος πειρώμενος ἥσει», τουτέστι πέμψει—ὅθεν καὶ ἧμων ὁ ἀκοντιστής, καὶ ἥματα τὰ ἀκοντίσματα.
3.740 —«τῇ ῥ' οἵ γε», τουτέστιν ἐνταῦθα διὰ τοῦ τοιούτου γεφυρώματος, οἱ Τρῶες «προχέοντο φαλαγγηδόν», ἔφιπποι πάντως, ὡς μετ' ὀλίγα φανήσεται, «πρὸ δ' Ἀπόλλων», ἤγουν πρὸ δὲ τῶν ἄλλων Ἀπόλλων ἐκέχυτο δηλαδή, «αἰγίδ' ἔχων», ὡς ἐρρέθη, «ἐρίτιμον», ἔρειπε δὲ τεῖχος οὐχ' ἁπλῶς δίχα πόνου, ἀλλὰ καὶ λίαν ἀπονητί. (v. 361 s.) Φησὶ γὰρ «ἔρειπε δὲ τεῖχος Ἀχαιῶν ῥεῖα μάλα». ὃ παραβολικῶς ἐφερμηνεύων ἐπάγει «ὡς ὅτε τις ψάμαθον πάϊς ἄγχι θαλάσσης», ἔνθα δηλαδή ἐστι ψάμμου δαψίλεια. (v. 363 s.) Εἶτα ἐπεξεργαζόμενος τὴν σύντομον ταύτην παραβολὴν ἐπάγει διὰ τὸ σαφέστερον «ὅς τε», τουτέστιν ὁ παῖς, «ἐπεὶ οὖν ποιήσει ἀθύρματα νηπιέῃσιν, ἂψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων». (v. 365 s.) Εἶτα ἐν τῇ ἀποδόσει τῆς παραβολῆς ἀποστροφῆς σχήματι χρησάμενος περιπαθῶς ἢ καὶ ἄλλως ἐν θαύματι διὰ τὸ μέγεθος τοῦ πράγματός φησιν «ὥς ῥα σύ, ἤϊε Φοῖβε, πολὺν κάματον καὶ ὀϊζὺν σύγχεας Ἀργείων, αὐτοῖσι δὲ φῦζαν ἐνῶρσας». Καὶ ὅρα καιρίαν λέξιν τὸ συνέχεας διὸ καὶ ἐπιμείνας δὶς ἐνταῦθα εἶπεν αὐτὴν ὡς καὶ τὴν τοῦ ἀθύρειν κίνησιν. Καὶ σημείωσαι τὴν παραβολὴν ταύτην τῆς ἄμμου ἀμίμητον οὖσαν. οὐκ ἂν γὰρ εὑρήσει τις καιριωτέραν εἰς ἔμφασιν τῆς ἐν ἀκαρεὶ γενομένης καταρρίψεως τοῦ τείχους καὶ συγχύσεως. Εἰ δέ τις ἐρεῖ ἐξεῖναι καὶ ἀπὸ χοὸς ποιῆσαι παραβολὴν ὁμοίαν, ἀκούσοι ἂν ὁ τοιοῦτος, ὅτι τε οὐκ αὐτὸς εἰς τὸ πᾶν οὕτως ἠπόρησεν, ἀλλ' ἐξ Ὁμήρου τὴν ἀρχὴν τοῦ οὕτως ἀπορῆσαι εἴληφε διὰ τὸ συγχέειν, ἐξ οὗ ὁ χοῦς παράγεται—ἀπὸ γὰρ τοῦ χέω χόος καὶ χοῦς—, καὶ ὅτι δὲ κρείττων πάλιν ἡ τῆς ἄμμου παραβολὴ τά τε ἄλλα καὶ ὡς ἐκ τῶν παρὰ πόδας ληφθεῖσα. καὶ γὰρ τὸ χαλασθὲν τεῖχος ὡς παραιγίαλον ἐγγὺς ψάμμου ἐστί. διὸ αὐτόθεν ἐκ τῶν ὑποκειμένων εἴληπται ἡ παραβολή. Σημείωσαι δὲ καὶ ὅπως καθ' Ὅμηρον οἶδε καταρρίπτειν καὶ συγχέειν τεῖχος ὁ μυθικὸς Ἀπόλλων ἐν βραχυτάτῃ χρόνου ῥιπῇ, ὥστε Ἀπόλλων καὶ Ποσειδῶν οἱ ἐννῆμαρ τὸ Ἑλληνικὸν ὕστερον ἀφανίσοντες τεῖχος οἱ ἀλληγορούμενοί εἰσιν, ὡς ἐρρέθη, οὐ μὴν οἱ τοῦ μύθου. αὐτοὶ γὰρ ὑπόκεινται μεγάλα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δύνασθαι. (v. 356) Ὄχθας δὲ οὐ μόνον ποταμοὶ ἔχουσιν, ἀλλ' ἰδοὺ καὶ τάφρος. αἱ δέ εἰσι χείλη καὶ ἀνασκαφαὶ κοίλης τάφρου.

3.741 διὸ οὐδὲ τάφρον ἐνταῦθα εἶπεν, ἀλλὰ κάπετον, ἵνα ἐμφήνῃ τὰς ἐκ τοῦ σκάπτειν ὄχθας ταύτας. Ἀπὸ τοῦ σκάπτειν γὰρ ἡ κάπετος, γλώσσης Ἀργείων οὖσα κατὰ τοὺς παλαιούς, ἧς ἡ χρῆσις καὶ παρὰ Σοφοκλεῖ, κοίλην εἰπόντι κάπετον. Τὸ δὲ «ποσσὶν ἐρείπων» προκλητικόν ἐστι τῆς εἰρημένης παραβολῆς, ἐν ᾗ παῖς ποσὶ καὶ χερσὶν ἀθύρει τὰ συνήθη. καιρία δὲ λέξις ποιηταῖς τὸ ἐρείπειν, ὅ ἐστι καταβάλλειν, διὸ καὶ αὐτὸ δὶς ἐν τοῖς ῥηθεῖσι κεῖται. (v. 357) Τὸ δὲ «ἐς μέσον κατέβαλλε» τὴν ἐπαγομένην γεφύρωσιν συνιστᾷ, ἣν ἀποτελεῖ ὁ καταβληθεὶς μέσον τῆς τάφρου χοῦς. Τὸ δὲ «ἐγεφύρωσεν» ἀστείως εἴρηται πρός τινα παραβολικὴν ὁμοιότητα γεφύρας. αἱ γὰρ ἐκ τοῦ ὀρύγματος ἐπανιστάμεναι ὄχθαι τῷ χάσματι τῆς τάφρου μέσον καταρριφεῖσαι, ὡς οὕτω κέλευθον λειανθῆναι, [εἰ καὶ μὴ πᾶσαν, καθάπερ Ἀπόλλων ὑπέσχετο,] καὶ τὸ χάσμα πληρώσασαι εἰς εὖρος ὅσον δουρηνεκές, γεφύρας ἔργον ἐποίησαν. ὡς γὰρ ἐπὶ γεφύρας ἄβατα τὰ ἑκατέρωθεν ἐκ πλαγίων τοῦ ὕδατος, οὕτω κἀνταῦθα ἐπὶ τῆς ἀναπληρωθείσης τάφρου τὰ ἑκατέρωθεν ἀδιάβατα μένουσι, τοσοῦτον διαφέροντα τῶν ἑκάτερθεν τῆς γεφύρας τόπων, ὅσον ἐκεῖνα μὲν ὕδατος γέμει, τὰ δὲ τῆς τάφρου κενὸν διαχάσκουσι. (v. 360) Τὸ δὲ «προχέοντο» δηλοῖ μὲν τὴν ῥᾴονα καὶ ἐνταῦθα καὶ ἀκώλυτον Τρωϊκὴν πρόοδον, ἔχει δέ τι καὶ ἀστεῖον, εἰ διὰ τῆς γεφύρας ταύτης προχέονταί τινες ἄνω ἀπ' ἐναντίας ταῖς κυρίως γεφύραις, ὧν ὑποκάτω προχεῖται τὸ τρέχον ὑγρόν. (v. 360) Τὸ δὲ «φαλαγγηδόν» ἔχει τὸ ἀσφαλὲς ἐκ τοῦ «μακρὰν καὶ εὐρεῖαν». διὰ γὰρ τοιαύτης κελεύθου φαλαγγηδὸν ἄν τινος ἔρχοιντο. (v. 362) Ὅτι δὲ παίδων ἔργον αἱ περὶ ψάμμον οἰκοδομαί, ἡ πεῖρα διδάσκει. (v. 363 s.) Τὸ δὲ ποιεῖν ἀθύρματα καὶ τὸ ἀθύρειν καίριαι λέξεις ἐπὶ παίδων. Ἔστι δὲ ἀθύρειν τὸ ἄνετα βαίνειν, ἐκτρέχοντα τοῦ καθήκοντος, ὡς οἷα [παρὰ θύρας ὅ φασιν, ἥκοντα, ἢ] μὴ εἰδότα θύραν, ὅπερ ἡ κοινὴ γλῶσσα ἐκθυρίζειν φησίν. οὗ τὸ ἀνάπαλιν ἔσω κιγκλίδων μένειν καὶ θύραν ἐποχῆς εἰδέναι καὶ ὅσα τοιαῦτα. Τὸ δὲ «νηπιέαις», ὡς ἓν μὲν πρὸς ἓν εἰπεῖν, ἀντὶ τοῦ νηπιότησιν, ἀφροσύναις, ἀσυνεσίαις, ἄλλως δὲ κατ' ἔλλειψιν λέγεται, ἵνα ᾖ τὸ τέλειον νηπιέαις φρεσί. Τοῦ δὲ ἄθυρμα καὶ τοῦ ἀθύρειν οὐκ ἔχει καιρωτέραν λέξιν εἰπεῖν.

3.742 Τὸ δὲ συγχέειν ἐναντίον τῷ τάττειν καὶ ἁρμόττειν. ἡ μὲν οὖν οἰκοδομὴ ἁρμονίας τάξιν ἔχει, ἡ δὲ ταύτης καταβολὴ σύγχυσιν. (v. 365) Τὸ δὲ «ἤϊε» Ἀρίσταρχος μὲν δασύνει ἀπὸ τοῦ ἵημι ἥσω διὰ τὴν ἕσιν τῶν βελῶν, Ἡρῳδιανὸς δὲ καὶ οἱ περὶ Κράτητα ψιλοῦσιν ἀπὸ τῆς ἰάσεως, ἰατρὸς γάρ. ἢ ἀπὸ τοῦ ἰέναι, ἤγουν ἔρχεσθαι, Ὑπερίων γάρ. Καὶ μὴν Ἀριστάρχῳ μάχεται καὶ ὁ κανών, ὁ τὸ η πρὸ φωνήεντος ὂν ψιλοῦσθαι ἀπαιτῶν, ταὐτὸν δὲ εἰπεῖν κατὰ τοὺς παλαιούς, ὁ χαρακτήρ. ἀεὶ γὰρ τὸ η πρὸ φωνήεντος ψιλοῦται, οἷον ἠΰτε, «ἠΰς τε μέγας τε», ἠώς, ἡ ἡμέρα, καίτοι τῆς ἕω δασυνομένης, ἠέλιος, καὶ ταῦτα τοῦ ἥλιος δασὺ πνεῦμα ἔχοντος. [Ὅτι δὲ ἀφαίρεσιν ἔπαθεν ὁ ἤϊος τοῦ ἰῶτα εἴτε ἀπὸ τοῦ ἰῶ γίνεται εἴτε ἀπὸ τοῦ ἵημι, κατὰ τὸ πλῆρες γὰρ τετρασυλλαβεῖ ὁ ἰήϊος, καὶ ὅτι Διονύσου ἐστὶν ἐπίθετον, καὶ ὅτι καὶ πάθει λοιμώδει ἐπιτίθεται, ὅθεν καὶ παρὰ Σοφοκλεῖ «ἤϊοι» τρισυλλάβως, ἢ τετρασυλλάβως «ἰήϊοι κάματοι» λέγονται οἱ λοιμικοί, καὶ ὅτι δοκεῖ τὸ ἰήϊος καὶ ἀπὸ τοῦ ἰή γίνεσθαι, ὅπερ ἐστὶν ἐπιφώνημα λαλούμενον ἐν τόποις, ὅπου τὸ θεῖον τιμᾶται, ὡς δῆλον καὶ ἐκ τοῦ «ἰὴ παιάν», ὅθεν καὶ τὸ ἱερὸν παρῆκται, δηλοῦται καὶ ἀλλαχοῦ.] (v. 368 s.) Ὅτι τὸ «ἀλλήλοισί τε κεκλόμενοι καὶ θεῷ χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο ἕκαστος» δυσπραγίας ἑτεροίας τε καὶ τὴν ἐν μάχῃ ἐπίτασιν δηλοῖ καὶ σωτηρίας ἀπόγνωσιν. [Ὅρα δὲ τὸ «ἀνίσχοντες», ἤγουν ἄνω ἔχοντες. πολλαὶ δὲ λέξεις τοιαύτης ἐννοίας εἰσὶν ἐκ τοῦ ἀνέχειν καὶ ἀνίσχειν ὡρμημέναι. ἀνίσχει γοῦν ἥλιος δι' ἀνατολῆς καὶ ὑπερανίσχει καὶ ὑπερανέχει ὄρος τῶν αὐτοῦ ταπεινοτέρων, καὶ ἄλλαις δὲ προθέσεσι τὰ τοιαῦτα ἐπὶ σημασίας ὁμοίας ᾠκείωνται, ὡς δῆλον ἐκ τοῦ ὑπερίσχειν καὶ ὑπερέχειν καὶ ἐξέχειν καὶ τῶν ὁμοίων. Ὅτι δὲ τὸ «χεῖρας ἀνίσχειν θεῷ» καὶ χεῖρας ὀρέγειν εἰς οὐρανὸν λέγεται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιφραστικῶς, μετ’ ὀλίγα φανεῖται.] Ὅτι ποικιλίας χάριν καὶ πολυμαθίας διοσημίαν κἀνταῦθα Ὅμηρος ἐκτίθεται, ἣν πρὸς τῶν Ἀχαιῶν οὖσαν οἱ Τρῶες, ὡς εἰκός, γνῶναι οὐκ ἔσχον, ἐμφαίνοντος τοῦ ποιητοῦ λοξότητά τινα εἶναι καὶ ἐν τοῖς τοιούτοις, εἰ μὴ σοφὸν ἔχοιεν ἐξηγητήν. (v. 370—80) Φησὶ γοῦν εὐμεθόδως πλάττων, ὅτι Νέστωρ «μάλιστα Γερήνιος, οὖρος Ἀχαιῶν, εὔχετο χεῖρ’ ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα· Ζεῦ πάτερ, εἴ ποτέ τίς τοι ἐν Ἄργεΐ περ πολυπύρῳ ἢ βοὸς ἢ ὄϊος κατὰ πίονα μηρία καίων εὔχετο νοστῆσαι, σὺ δ’ ὑπέσχεο καὶ κατένευσας, τῶν μνῆσαι καὶ ἄμυνον, Ὀλύμπιε, νηλεὲς ἦμαρ, μηδ’ οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς.

3.743 ὣς ἔφατ’ εὐχόμενος, μέγα δ’ ἔκτυπε μητίετα Ζεὺς ἀράων ἀΐων» γέροντος. «Τρῶες δ’ ὡς ἐπύθοντο Διὸς κτύπον αἰγιόχοιο, μᾶλλον ἐπ’ Ἀργείοισι θόρον, μνήσαντο δὲ χάρμης», παρανοήσαντες δηλαδὴ τὸ τέρας διὰ τὸ μὴ εἰδέναι τὸ αἴτιον τῆς βροντῆς. καὶ ἔστιν ὁ ῥηθεὶς κτύπος φωνὴ Διὸς καὶ συνήθης κατάνευσις οἷον κεφαλῆς ἐκ τῶν ἄνωθεν. Τὸ δὲ σχῆμα τῆς εὐχῆς ταύτης τοῦ Νέστορος ὅμοιον τῷ τοῦ Χρύσου ἐν τῇ α′ ῥαψῳδίᾳ. καὶ σημείωσαι ὡς δυσωπητικὸν οἶδεν ὁ ποιητὴς πανταχοῦ τὴν τῶν εὐεργεσιῶν ἀνάμνησιν, ὡς καὶ Ἀχιλλεὺς ἐν τοῖς πρὸς τὴν μητέρα ἐνέφηνε καὶ αὐτὴ ἡ Θέτις ἐν τοῖς πρὸς τὸν Δία καὶ ὁ Φοῖνιξ ἐν τοῖς πρὸς Ἀχιλλέα. Ὅρα δὲ καὶ ὡς οὐδ’ ἐνταῦθα ἡ δικαία εὐχὴ διαπίπτει, παιδευτικῶς τὰ τοιαῦτα Ὁμήρου ποιοῦντος. (v. 370) Τὸ δὲ «μάλιστα» δηλοῖ καὶ ἑτέρους μὲν Ἀχαιούς, εἰς πλέον δὲ τὸν γέροντα εὔχεσθαι. (v. 372) Τὸ δὲ «ἐν Ἄργεϊ» ἀπὸ μέρους καὶ νῦν ἀξιολόγου τὰς ὅλας τῶν Ἑλλήνων χώρας δηλοῖ. ὅθεν καὶ Ἀργεῖοι πάντες οἱ Ἕλληνες. ὁμοίως καὶ τὸ «πολύπυρον», ὅ ἐστι πολύσιτον, ἀπὸ μέρους τοῦ κατὰ τοὺς πυροὺς τὸ ἁπλῶς εὔφορον δηλοῖ. (v. 373) Οὕτω δὲ μερικῶς καὶ βοὸς καὶ ὄϊος ἐνταῦθα μνησθεὶς συνεισάγει καὶ εἴ τι ἄλλο θῦμα, ὥσπερ καὶ ἐν τῷ «ταύρων ἠδ’ αἰγῶν» οὐδὲ τὰ λοιπὰ τῆς θυσίας ἀπάγει. [Ὁμοίως οὐδὲ ὁ βόας ὑπολαλῶν ἐν τῇ λέξει τῆς ἑκατόμβης ἀποδιϊστᾷ ἐκείνης τὰ λοιπὰ ἱερεῖα, ἀλλ’ ὡς ἐξ ἁδροῦ καὶ τιμίου μέρους τοῦ τῶν βοῶν κἀκεῖνα ἐμφαίνει, δίχα γε μόνου τοῦ ἀστείου Ἐφίππου, ὃς εὐτραπέλως ᾠῶν ἑκατόμβην εἰπὼν ὡς πρὸς τὸ βοῶν μονάζει τῷ νοήματι.] (v. 375) Ὑπισχνεῖται δὲ καὶ κατανεύει Ζεύς, ὡς ἐρρέθη, τοῖς ἄνωθεν σημείοις, ὁ Ὀλύμπιος δηλαδή, οὐ μὴν ἁπλῶς ὁ Κρονίδης ἢ ὁ ἁπλῶς μητίετα. διὸ καὶ τὸ «Ὀλύμπιε» εἶπε, προκλητικὸν ὂν τοῦ τὸν Ὀλύμπιον μητιέτην μέγα κτυπῆσαι, ὅπερ ἐστὶ βροντῆσαι. (v. 379) Τὸ δὲ «ἐπύθοντο» γενικῇ συντάξας πρὸ βραχέων ἐν τῷ «μάχης ἐπύθοντο», νῦν κατὰ αἰτιατικὴν ἔφη «ὡς ἐπύθοντο Διὸς κτύπον». λέγει δὲ κτύπον Διὸς τὴν βροντήν, καὶ ἔστιν ἡ λέξις λειοτέρα καὶ δηλοῖ ὑφειμένην βροντὴν καὶ ἀτράχυντον. ὥσπερ δὲ οὐ τὸ ἔκτυπε μόνον δηλοῖ τὸ ἐβρόντησεν, ἀλλ’ ὁμοῦ τὸ ἔκτυπε Ζεύς, οὕτως οὐδ’ ἁπλῶς κτύπος ἡ βροντή, ἀλλὰ Διὸς κτύπος. (v. 381—4) Ὅτι ἀεὶ παρευδοκιμῶν, κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ὅ ἐστι νικῶν, ἑαυτὸν ὁ ποιητὴς ἐν ταῖς ὁμοιώσεσι πάσχει αὐτὸ καὶ ἐνταῦθα, παραβολὴν ἐκθεὶς θαυμασιωτάτην διὰ τὸ πάνυ ἐναργὲς τῆς εἰκόνος ἐμφαντικόν τε καὶ σύμφωνον.

3.744 ἀνέμῳ μὲν γὰρ ἐπείγοντι καὶ αὔξοντι κύματα εἰκάζει τὴν μάχην, τοίχοις δὲ σκάφους τὸ τεῖχος, ὃ καὶ αὐτὸ κατὰ τὸν τοῖχον ἐκ τοῦ τεύχω γίνεται, τοὺς δὲ ἐπιόντας Τρῶας κύμασι μεγάλοις, λέγων οὕτως «οἳ δ’ ὥς τε μέγα κῦμα θαλάσσης εὐρυπόροιο νηὸς ὑπὲρ τοίχων καταβήσεται, ὁππότ’ ἐπείγει ἲς ἀνέμου, ἥ γάρ τε μάλιστά γε κύματ’ ὀφέλλει, ὣς Τρῶες μεγάλῃ ἰαχῇ κατὰ τεῖχος ἔβαινον». ὃ κάλλιον πέφρασται ἐν τῷ «ὑπερκατέβησαν ὁμίλῳ». νοεῖται μὲν γὰρ καὶ ἐνταῦθα τὸ ὑπερ καὶ τὸ κατα ἐκ τοῦ «νηὸς ὑπὲρ τοίχων», καὶ ἐκ τοῦ «κατὰ τεῖχος ἔβαινον», ὃ ἀναβάντες εἶτα καταβήσονται. ἀλλ’ ὅμως κρείττων ἡ φράσις τοῦ «ὑπερκατέβησαν» διὰ τὸ καὶ γοργότερον καὶ σαφέστερον. (v. 382) Ὅτι δὲ ὁ τοῖχος κυριολεκτεῖται καὶ ἐπὶ νηός, δῆλον ἐξ οὗ καὶ τοιχίζειν λέγεται ναῦς. καὶ παροιμία τὸ «ἐπὶ τὸν εὖ ἔχοντα τοῖχον ῥέπειν». Ἐπὶ δὲ τῶν μεγάλων νηῶν καὶ ἄρχοντες ἦσάν τινες τῶν τοιούτων τοίχων, καὶ ἦν ἐνδοξότερος ὁ τοῦ δεξιοῦ τοίχου τεταγμένος ἄρχειν. οὐκ ἀπεικὸς δὲ τοίχους λέγεσθαι καὶ ἐπὶ νηὸς ὥσπερ καὶ ἐπὶ οἰκίας,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπεὶ καὶ ἡ ναῦς τρόπον τινὰ οἰκία ἐστὶ μεταφορητή. (v. 383) Ἶις δὲ ἀνέμου πάνυ καταχρηστικῶς ἐρρέθη. κυρίως γὰρ ἐπὶ σωμάτων ἡ ἲς καὶ αἱ ἶνες, νεύροις διοικουμένων. Τὸ δὲ «μάλιστα κύματα ὀφέλλει» οὐκ ἀργὸν οὕτω κεῖται, ἀλλὰ πρὸς διαστολήν. ἐγείρεται μὲν γὰρ κύματα καὶ ἀνέμου δίχα, ὁποῖα τὰ λεγόμενα κωφά, καὶ ὅτε δὲ τυχὸν ὑπὸ κήτους θάλασσα ταράσσεται, μάλιστα μέντοι ὑπ’ ἀνέμων αὔξεται. [(v. 384) Ἐν δὲ τῷ «κατὰ τεῖχος ἔβαινον» τεῖχος νοητέον τὸν τόπον, ἔνθα πρὸ βραχέων ἀκέραιον τὸ τεῖχος ἀνίστατο. νῦν γὰρ κεῖται χαμαί. καὶ ἔστι δι’ αὐτοῦ ὁδὸς ἱππήλατος. κατὰ τεῖχος οὖν βάντες καὶ ἵππους εἰσελάσαντες οἱ Τρῶες ἐπὶ πρύμνῃσι μάχονται παρυψούμενοι τοῖς ἅρμασι, καθὰ ταῖς πρύμναις οἱ Ἀχαιοί, καὶ οὕτως ἀπὸ ἴσου ὕψους μαχόμενοι.] (v. 385—8) Ὅτι χρήσιμον ἔσται ποτὲ εἰς μάχην παραθαλασσίαν σταδαίαν παρῳδηθὲν ἢ παραποιηθὲν τὸ «ἵππους εἰσελάσαντες», οἱ Τρῶες δηλονότι, διὰ τοῦ ῥηθέντος γεφυρώματος τῆς τάφρου καὶ τοῦ κατερειφθέντος τείχους, «ἐπὶ πρύμνῃσι μάχοντο ἔγχεσιν ἀμφιγύοις αὐτοσχεδόν, οἳ μὲν ἀφ’ ἵππων, οἳ δ’ ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες μακροῖσι ξυστοῖσιν». Ἐνταῦθα δέ φασί τινες τῶν παλαιῶν πιθανολογοῦντες ἰδίωμά τι καὶ σχῆμα γεγενῆσθαι μάχης καινόν, λέγοντες ὅτι οὐ μόνον ἄλλως δεξιῶς ἀντετάχθησαν οἱ Τρῶες ἐφ’ ἁρμάτων τοῖς ἀπὸ νηῶν μαχομένοις ὡς ἀπὸ ἴσου [καθὰ εἴρηται] ὕψους τὴν μάχην γίνεσθαι, ἀλλὰ καὶ ἐπέστρεψαν τοὺς ἵππους ὡς ἐπὶ τὴν Ἴλιον, καὶ ἦσαν οἱ μὲν ἡνίοχοι τετραμμένοι ὡς ἐπὶ τὴν πόλιν, δεικνύντες τὰ νῶτα τοῖς Ἀχαιοῖς, οἱ δὲ παραιβάται, ἀντικρὺ τῶν νηῶν ὁρῶντες καὶ τοὺς ἡνιόχους σκέποντες, ἐμάχοντο.

3.745 διό, φασί, καὶ ἡνίοχος Πολυδάμαντος Κλεῖτος κατὰ τὸν αὐχένα βάλλεται. καὶ οὕτω μέν τινες. Ἀντιλέγονται δὲ αὐτοὶ ἄλλως τε πολλαχῶς καὶ ὡς, εἴπερ κατ’ αὐτοὺς ἀπεστραμμένοι μὲν ἦσαν οἱ δίφροι, οἱ δὲ παραιβάται ἀντεστραμμένοι τοῖς ἵπποις, ἐπρηνίχθησαν ἂν οἱ παραιβάται πρὸς τῇ πτέρνῃ τοῦ δίφρου ἑστῶτες ἢ καὶ ἄλλως ἐν τῷ δίφρῳ ὄντες, ἐὰν οἱ ἵπποι παρεκινοῦντο. οὐκ ἂν δὲ οὐδὲ ὁ ποιητὴς τὸ οὕτω καινόσχημον τῆς παρατάξεως ἀφῆκεν ἀνεπισήμαντον καὶ παντελῶς ἀσαφές. Ὁ δέ γε, ὡς εἴρηται, βληθεὶς Κλεῖτος ἡνίοχος ἀνοήτως ἢ ἀπρονοήτως, οἷα εἰκός, ὧδε καὶ ἐκεῖ φερόμενος καὶ κατὰ τὸν ποιητὴν Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος καὶ θέλων μόνος αὐτὸς καὶ τὰ τοῦ παραιβάτου ἐνεργεῖν, κατὰ τύχην οὕτω ἐκ τῶν ὄπισθεν ἐν τοῖς πολυειδέσιν ἐξελιγμοῖς βέβληται. (v. 388 s.) Τὰ δὲ μακρὰ ξυστὰ ἑρμηνεύων ὁ ποιητής, ἃ δὴ καὶ δολιχὰ λέγοιτο ἄν, ὡς δηλοῖ μετ’ ὀλίγα τὸ «ἑλὼν δολιχὸν δόρυ», φησὶ «τά ῥά σφιν ἐπὶ νηυσὶν ἔκειτο ναύμαχα κολλήεντα, κατὰ στόμα εἱμένα χαλκῷ», ἤγουν ἐνδεδυμένα, κεκαλυμμένα. Δηλοῖ δὲ οὕτω τὰ οὐκ ἀμφίγυα, ὁποῖα εἶχον ἀνωτέρω προσεχῶς οἱ ἱππόται Τρῶες, σιδηρούμενα ἑκατέρωθεν, ἀλλ’ ἐξ ἑνὸς μέρους ἔχοντα σίδηρον. τὰ γὰρ ἀμφίγυα προδεδήλωται ἀμφοτέρωθεν ἔχειν. διὸ καὶ ῥᾳδίως εἰς γῆν ἐπήγνυντο. Τὸ δὲ «ἐπὶ νηυσὶν ἔκειτο» μεμελετῆσθαι παραινεῖ καὶ τὰ τοιαῦτα τοῖς πολεμικοῖς κατὰ τὸ «οἴκοι βέλτερον εἶναι». Τὸ δὲ «ναύμαχα» ὡς τὸ θαύματα προπαροξυτόνως. ἐξαιρέτως γὰρ τὰ παρὰ ῥῆμα οὐδέτερα σύνθετα μονογενῆ εἰς ον λήγοντα προπαροξύνονται, οἷον χειρόγραφον, ἀκρατόφορον, χαρτότομον. οὕτω φασὶ καὶ ναύμαχον. καὶ ναυμάχος μὲν ἀνὴρ παροξυτόνως ὡς παμφάγος, καθ’ ὁμοιότητα τοῦ μονομάχος, ὡς Εὐριπίδης Φοινίσσαις «μονομάχον ἐπὶ φρένα ἠλθέτην». Ναύμαχον δὲ δόρυ παρὰ τὴν μάχην, ὡς ἱππόκομος κόρυς παρὰ τὴν κόμην. Τὸ δὲ «κολλήεντα» καὶ τὸ «μακροῖς ξυστοῖς» αὐτὸς Ὅμηρος ἑρμηνεύων ἐν τοῖς ἑξῆς ἐρεῖ «κολλητὸν βλήτροισιν», ὅ ἐστι συμβολαῖς, «δύω καὶ εἰκοσίπηχυ» καὶ διὰ τοῦτο μακρόν, ὁποῖον καὶ ὁ Αἴας ἔχειν ἱστορηθήσεται ἀναστέλλων καὶ ἀνείργων τοὺς Τρῶας, διπλάσιον ὂν ἤπερ τὸ ἁπλῶς πολεμικὸν ἔγχος.

3.746 ἐκεῖνο γὰρ ἑνδεκάπηχυ, ὥς που καὶ ὁ ποιητὴς ἐπισημαίνεται. Τελείαν δὲ στικτέον εἰς τὸ «βλήτροις», ἵνα μὴ εὐθὺς ἐπαγόμενον τὸ δύω συγχέῃ τὸν ἀκροατήν, ὡς δύω τῶν βλήτρων ὄντων. Ὅρα δὲ ὅτι κολλητὸν εἶπε τὸ ἁπλῶς συμβεβλημένον. Ἔτι ὅρα καὶ τὸ «ναύμαχα», δι’ οὗ ναυμαχίας διάθεσις ἐμφαίνεται ἄρτι κατὰ χέρσον συνίστασθαι, ἣν εἰκός, φασίν, ἀπὸ Μίνωος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πεπολιτεῦθαι παρ’ Ἕλλησι. μᾶλλον μὲν οὖν πεζομαχίᾳ ναυμαχίαν ὁ ποιητὴς ἐνταῦθα συγκιρνᾷ, διὸ χώραν ἔχει καὶ τὰ ἀμφίγυα καὶ τὰ ναύμαχα. [Ἰστέον δὲ ὅτι τῶν τοιούτων ὀνομάτων ἀρέσκει τοῖς παλαιοῖς, ὅσα μὲν ἐκ τοῦ μάχη πεποίηται, προπαροξύνειν τὸ τέλος, οἷον «φιλόμαχον γένος», σύμμαχος, πρωτόμαχος, ἀντίμαχος, ἐπίμαχος, οὕτω γοῦν καὶ ναύμαχος αἰχμὴ καὶ ἀκολούθως δόρυ ναύμαχον, ὅσα δ’ ἐκ τοῦ μάχεσθαι σύγκειται, παροξύνεσθαι, πυγμάχος, ναυμάχος, ὁπλομάχος, τειχομάχος, πυργομάχος, μονομάχος. Ἐν δὲ τῷ «κατὰ στόμα εἱμένα χαλκῷ» ἐνθυμητέον τὸ «ἀναιδείην ἐπιειμένε», ἤγουν ἐνδεδυμένε δίκην χαλκέου στομώματος τὴν ἀναίδειαν. στόμα γὰρ εἰπεῖν καὶ στόμωμα εἰς ταὐτόν ποτε ἄγεται παρὰ τοῖς μεθ’ Ὅμηρον ῥήτορσι. δεξιώτερον δὲ τὸ εἰπεῖν δόρατα κεκορυθμένα χαλκῷ ἤπερ τὸ εἱμένα χαλκῷ.] (v. 390—8) Ὅτι ἕως μὲν ὁ στρατὸς ἔκτοθι τείχεος καὶ νηῶν ἐμάχοντο, τόφρα Πάτροκλος «ἐνὶ κλησίῃ ἀγαπήνορος Εὐρυπύλοιο ἧστό τε καὶ τὸν ἔτερπε λόγοις, ἐπὶ δ’ ἕλκεϊ λυγρῷ φάρμακα», ὡς καὶ πρὸ τούτου ἀκήματα, «ἔπασσε μελαινάων ὀδυνάων. αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεσσυμένους», ἤγουν ἐπελθόντας τῷ τείχει, «ἐνόησε Τρῶας, ἀτὰρ Δαναῶν γένετ’ ἰαχή τε φόβος τε, ᾤμωξέν τ’ ἂρ ἔπειτα καὶ ὢ πεπλήγετο μηρώ», ὡς καὶ ὁ Ἄρης πρὸ ὀλίγου, «χερσὶ καταπρηνέεσσι» καὶ ὠλοφύρατο καὶ οὐκέτι παραμένειν θέλει, ἀλλὰ τοῦ κοινοῦ κινδύνου ἐν δευτέρῳ θέμενος τὸ καθ’ ἕνα λυπηρόν, καὶ εἰπὼν πρὸς Εὐρύπυλον, ὃ δὴ ἀνὴρ εἴποι ἂν μὴ ἔχων παρακαθῆσθαί τινι ἀλλὰ σπεύδων ἀμῦναί τισιν, ἤγουν τὸ (v. 399—402) «οὐκ ἔτι τοι δύναμαι χατέοντί περ ἔμπης ἐνθάδε παραμενέμεν. δὴ γὰρ μέγα νεῖκος ὄρωρεν», ἐπάγει «ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω, αὐτὸς δὲ εἰς Ἀχιλλέα», φησί, «σπεύσομαι, ἵνα ὀτρύνω πολεμίζειν». (v. 403 s.) Ἐφ’ οἷς τὸν τοῦ διδασκάλου Νέστορος ἔφη λόγον, εἰπὼν «τίς δ’ οἶδεν εἴ κέν οἱ σὺν δαίμονι θυμὸν ὀρίνω» καὶ τὸ ἑξῆς. ὃ δὴ ἀφορμὴν δέδωκε παροιμίαν ὕστερον λεχθῆναι τὸ «σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει», ὡς καὶ ἐνταῦθα ὁ Πάτροκλος σὺν δαίμονι καὶ πόδας κινεῖ. (v. 405) Ἐπάγει γὰρ «τὸν μὲν ὣς εἰπόντα πόδες φέρον».

3.747 ὡς εἶναι παρῳδίαν τούτου τὴν ῥηθεῖσαν παροιμίαν, καθότι Πάτροκλον μὲν πόδες φέρουσι σὺν δαίμονι κινούμενον, ἐκείνη δὲ χεῖρας κινεῖσθαι θέλει σὺν θεῷ. (v. 392) Ὁ δὲ ἀγαπήνωρ Εὐρύπυλος ῥηθείη ἂν καὶ ἀγήνωρ, τὸ μὲν ὡς ἀγαπῶν, τὸ δὲ ὡς ἀγώμενος, ἤτοι θαυμάζων, τὴν ἠνορέην, ὡς εἶναί ποτε οὕτω ταὐτὰ τὸν ἀγαπήνορα καὶ τὸν ἀγήνορα. Ὅρα δὲ ὅτι καὶ τὸν ῥηθέντα στίχον τὸ «τίς δὲ οἶδε» καὶ ἑξῆς, καὶ τὸ «ᾤμωξέν τ’ ἂρ ἔπειτα» καὶ ἑξῆς, ταὐτολογικῶς εἶπεν ὁ ποιητής, ὡς μυριαχοῦ εἴωθε ποιεῖν, καὶ ὅτι ἔτερπε λόγοις εἰπὼν οὐ προσέθετο καὶ οἵοις, οὐ γὰρ ἦν καιρός. (v. 393) Καὶ ὅτι χρῆσις ἐνταῦθα τοῦ πολυθρυλήτου λόγου, ὥστε οὐ κατὰ τοὺς πάλαι τηρητὰς μόνον τὸ λέγειν οἶδεν ὁ ποιητής, ἀλλ’ ἰδοὺ καὶ τὸν λόγον. (v. 394) Τὸ δὲ «ἀκήματα» συντελεῖ μὲν καὶ εἰς τὸ νοῆσαι φάρμακα ἐτυμολογικῶς τὰ φέροντα ἄκος, οὐ μὴν ἄχος, συνεβάλετο δὲ μετὰ τοῦ «ὀδυνάων» καὶ εἰς τὸ ἀκεσώδυνα τοὺς μεθ’ Ὅμηρον τὰ τοιαῦτα καλεῖν. (v. 403) Ἐν δὲ τῷ «δαίμονι» τὴν ἀγαθὴν τύχην, ὡς καὶ προερρέθη, δαίμονα λέγει, [οὗ πρὸς διαστολὴν ἐρρέθη ἀλλαχοῦ τὸ «πάρος τοι κακὸν δαίμονα δώσω».] (v. 405) Τὸ δὲ «πόδες φέρον», οὐ μὴν αὐτὸς τοὺς πόδας, σύνηθες Ὁμήρῳ φράζοντι οὕτως ἐπὶ τῶν πάνυ σπουδαίως τρεχόντων. Ἰστέον δὲ ὅτι ἐπὶ ἀναγκαίας βοηθητικῆς ὑποχωρήσεως οἰκεῖον ῥηθῆναί ποτε καὶ τὸ «ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω, αὐτὰρ ἔγωγε σπεύσομαι», ἵνα ποιήσω τό. Καὶ ὅρα τὸ «σπεύσομαι» παθητικῶς λεχθέν, δῆλον δ’ ὅτι σπεύσω ἐστὶ τὸ κοινόν. (v. 406—9) Ὅτι τὸ πελάσαι μιγῆναι καὶ ἐνταῦθα λέγει, ἐν οἷς φησιν, ὡς «οὔτε Ἀχαιοὶ Τρῶας ἐπερχομένους δύναντο, παυροτέρους περ ἐόντας, ἀπώσασθαι παρὰ νηῶν», ἤγουν ἀπὸ νηῶν, «οὐδέ ποτε Τρῶες Δαναῶν ἐδύναντο φάλαγγας ῥηξάμενοι κλησίῃσι μιγήμεναι οὐδὲ νέεσσιν», ἢ ἠδὲ νέεσσι. Τὸ δὲ σχῆμα τοῦτο γοργότερον ἐν τοῖς περὶ Ἕκτορος καὶ Αἴαντος κεῖται μετ’ ὀλίγα, ἐν τῷ «οὔθ’ ὃ τὸν ἐξελάσαι δύνατο» καὶ ἑξῆς. Καὶ ὅρα, ὡς οὐ πλήθει περιγίνεσθαι τῶν Ἀχαιῶν ἔφη τοὺς Τρῶας οἷα τὴν μάχην ἀχρείων, ἀλλὰ δηλαδὴ βουλῇ Διός, ὡς προδεδήλωται. [Παυρότεροι γὰρ καὶ νῦν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἑλλήνων οἱ Τρῶες, ὥς που καὶ ἐν τοῖς πρὸ τούτων ὁ βασιλεὺς Ἀγαμέμνων ὑποθετικῶς ἠρίθμησεν. Ἐν δὲ τῷ «ἀπώσασθαι παρὰ νηῶν» καὶ «μιγῆναι νέεσσι», τὸ μὲν παρὰ νηῶν ἐπὶ τῶν πρωτοστοίχων νοητέον τῶν πρὸς τῷ τείχει, τὸ δὲ μιγῆναι ναυσὶν ἐπὶ τῶν ἐνδοτέρω πρὸς τῇ θαλάσσῃ, ὧν τῷ μὲν χερσαίῳ στοίχῳ ἐπέλασαν, τῷ δὲ ἐσωτέρω, ἔνθα καὶ αἱ κλισίαι, οὐκ ἴσχυσαν.

3.748 ] (v. 410—3) Εἶτα ἐπεὶ ἔδειξεν ἰσότητα μάχης ταύτην ἐν Ἀχαιοῖς καὶ Τρωσίν, ἐπάγει εὐθὺς εἰς τοῦτο παραβολὴν ἐκ τῆς ἀποφατικῆς ἄρσεως μεταβὰς εἰς θέσιν καταφατικήν, καί φησιν «ἀλλ' ὥστε στάθμη δόρυ νήϊον ἐξιθύνει τέκτονος ἐν παλάμῃσι δαήμονος, ὅς ῥά τε πάσης εὖ εἰδῇ σοφίης ὑποθημοσύνῃσιν Ἀθήνης, ὣς μὲν τῶν», ἤγουν οὕτω δὴ τούτων, Ἀχαιῶν δηλονότι καὶ Τρώων, «ἐπὶ ἶσα μάχη τέτατο πόλεμός τε», ἃ δὴ ταὐτὸν καὶ νῦν δηλοῦσι. Καὶ σημείωσαι καὶ ἐν τούτοις ὡς πολυδύναμος ὁ ποιητὴς καὶ οἷος ἔχειν δυνατῶς τε πάντα φράζειν καὶ πολυειδῶς, ὃς ἄλλοθι ἄλλως τὴν πολεμικὴν ἑρμηνεύσας ἰσότητα, ἐν οἷς καὶ τὸ περὶ τῆς ταλασιουργοῦ γυναικός, ἐνταῦθα τῇ τῆς στάθμης παραβολῇ καὶ τὴν κατὰ στοῖχον τάξιν παρεδήλωσε τῶν Τρώων καὶ τῶν Ἀχαιῶν, τῶν μὲν ἐκ νηῶν, τῶν δὲ ἐκ τῶν ἁρμάτων μαχομένων, σταδίην μάχην ἐν ἰσότητι καὶ ἀντιστάσεως, ναὶ μὴν καὶ στάσεως. καὶ γὰρ καὶ ἡ στάθμη τέλος ἔχει τὴν τῶν ὑποκειμένων ἐξίσωσιν. Σημειωτέον δὲ ὡς ἡ ταλάντων ἀλλαχοῦ παραβολὴ τὴν ἀνυπέροχον ἐδήλου τῶν στρατευμάτων ἰσότητα, καὶ ἣν ἐκείνη μὲν σημαντικὴ ποιότητος, αὕτη δὲ καὶ τοπικὴν ἐξίσωσιν δηλοῖ καὶ στάσιν ἀνεπιπρόσθητον, [ἵνα νοῇ τις μήτε τινὰ Τρώων μήτε μὴν Ἑλλήνων δύνασθαι προεξορμᾶν, ἀλλ' οὕτως ἵστασθαι κατὰ στοῖχον ἶσον, ὡσεὶ καὶ στάθμη τέτατο φιλοτιμουμένη τὴν ἐν ἰσότητι στάσιν ἑκατέρῳ στρατῷ, ἧς αἰτία στάσις ἡ τῶν Τρώων μὲν ἐφ' ἁρμάτων, τῶν Ἀχαιῶν δὲ ἐν ταῖς πρύμναις, ἐφ' ὧν ἱστάμενοι καὶ στερρῶς μαχόμενοι προποδίζειν οὐκ εἶχον.] Ναυπηγικὴν δὲ ὑποτίθεται στάθμην ἐπίτηδες, ὡς τοῦ ναυπηγοῦ μάλιστα ἔχοντος ἀνάγκην ἀπορθοῦν τὰ ξύλα δι' αὐτῆς ἀκριβέστατα, ἐνθυμουμένου ὡς «ὀλίγον διὰ ξύλον Ἄϊδ' ἐρύκει». διὸ οὐχ' ἁπλῶς εἶπεν ἰθύνει ἀλλὰ ἐξιθύνει, τουτέστι λίαν ἐξορθοῖ. ἐπιτατικὴ γὰρ πολλαχοῦ δέδεικται καὶ ἡ ἐξ πρόθεσις. (v. 410) Ἔστι δὲ σπαρτίον ἡ στάθμη λεπτόν, ὃ μίλτῳ κεχρισμένον ἢ ἑτέρῳ χρώματι γραμμὰς ἄγει τῇ ἑκατέρωθεν τάσει, δι' ὧν τὰ ξύλα εὐθύνονται. ἐξ αὐτῆς παροιμία τὸ «στάθμης ἀκριβέστερος», ὡς εἴ τις εἴποι, ὀρθότερος τῆς ὀρθότητος ἢ κανόνος εὐθύτερος. Ὁ δὲ τόνος τῆς στάθμης συντελεῖ τι εἰς τὴν κολώνην.

3.749 ὡς γὰρ σταθμός στάθμη, οὕτω καὶ κολωνός κολώνη. [Ὁμοίως καὶ ὀρθός Ὄρθη, ὡς τό «Ὄρθην τ' Ἠλώνην τε», ὡσαύτως δὲ καὶ κακός κάκη.] Οὐ μόνον δὲ ἡ ῥηθεῖσα παροιμία ἐκ τῆς τεχνικῆς εἴληπται στάθμης, ἀλλὰ καὶ ἕτεραι, οἷον καὶ τὸ «λευκὴ στάθμη», ἀντὶ τοῦ ἄδηλος στάθμη κατὰ Παυσανίαν. οὐ γὰρ ἀκριβῶς διαφαίνει ὀρθότητα ἡ λευκὴ στάθμη. διὸ κεῖσθαι ἡ παροιμία λέγεται ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων, ἢ ἐπὶ τῶν μηδὲν συνιέντων, οἷον τοῖς λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴν στάθμην. Καὶ ὅρα ὡς οὐ πάντῃ ἀσφαλῶς ἡ τοιαύτη γραφὴ ἔχει. ὡς γὰρ ἐν λευκῷ λίθῳ οὐκ ἄν τις τεκμήραιτο στάθμην λευκήν, οὕτως οὐδ' ἐν μέλανι μέλαιναν ἢ ἐν ἐρυθρῷ ἐρυθράν, καὶ ἐπὶ λοιπῶν δὲ χρωμάτων ὁμοίως. Ἑρμηνεύεται δὲ ἡ στάθμη παρὰ τῶν παλαιῶν κανών, γνώμων. Ἦν δὲ ἰσαστικὴ στάθμη καὶ ἐν θεάτροις ἐπὶ τῶν δρομέων, ὡς παρά τε ἄλλοις καὶ τῷ Ὀππιανῷ δηλοῦται. Σημείωσαι δὲ καὶ ὅτι πρὸς ταῖς κλειούσαις ἐντὸς τὰς κλισίας ναυσὶ καὶ ἐγγὺς ἁλὸς τὴν μάχην στήσας ὁ ποιητὴς νῦν μὲν ἀπὸ στάθμης δόρυ οὐχ' ἑτεροῖον ἀλλὰ νήϊον ἰθυνούσης ἔλαβε παραβολήν, προϊὼν δὲ ἐρεῖ «ἠΰτε πέτρα ἠλίβατος ἐγγὺς ἁλός», καὶ πάλιν «ἐνέπεσεν ὡς ὅτε κῦμα», ἐκ τῶν ὑποκειμένων καὶ τῶν, ὡς εἰπεῖν, ἐν ποσὶ ποριζόμενος τὰς παραβολάς. (v. 411) Τέκτονα δὲ τὸν ναυπηγὸν γενικῷ λέγει ὀνόματι. (v. 411 s.) Τὸ δὲ «ὃς πάσης εὖ εἰδῇ σοφίης» ἑρμηνεία ἐστὶ τοῦ δαήμονος παραφραστική. Σοφίαν δὲ οὐ τὴν λογικήν φησιν, ἀλλ' ἁπλῶς τὴν τέχνην ἔθει ἀρχαίῳ, καὶ μάλιστα τὴν χειρωνακτικήν, ἣν οἶδέ τις ὑποθημοσύναις Ἀθήνης κατὰ τὸν ποιητήν, τῆς, ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολλαχοῦ δηλοῦται, τοιαύταις τέχναις ἐπιστατούσης. Οἱ γὰρ παλαιοὶ σοφοὺς ἐκάλουν ἅπαντας τοὺς τεχνίτας, ὡς τὸ «σοφὸς ἤραρε τέκτων», καὶ Σοφοκλῆς δέ, φασί, τὸν κιθαρῳδὸν σοφιστὴν λέγει, καὶ τὸν ῥαψῳδὸν Εὔπολις. ἅπαξ δὲ ἡ λέξις ὧδε παρὰ τῷ ποιητῇ. Δῆλον δὲ ὅτι οἱ ὕστερον φιλόσοφοι σοφίαν ἄλλως εἶναί φασιν ἐπιστήμην θείων καὶ ἀνθρωπίνων καὶ τῆς περὶ ἑκάτερον αἰτίας. Τὸ δὲ «πάσης σοφίας», τῆς τεκτονικῆς δηλαδή. ἔστι δὲ νοῆσαι αὐτὸ καὶ ἀντὶ τοῦ ὅλης, ἵνα μὴ ἐκ μέρους εἴη τέκτων. Ἡ δὲ ὑποθημοσύνη ταὐτὸν τῇ ὑποθήκῃ ἐστί, καὶ ἐκ τοῦ αὐτοῦ ἄμφω παράγονται ῥήματος.

3.750 (v. 414) Ὅτι παρῳδήσας ἀλλαχοῦ ῥηθὲν τὸ «ἄλλοι δ' ἀμφ' ἄλλησι μάχην ἐμάχοντο πύλησιν», ἀντὶ τοῦ πύλῃσι νέεσσιν ἐνταῦθά φησιν. ἐμφαίνει δὲ μέγεθος πολέμου καὶ δίδωσιν ὑπονοεῖν μείζω τοῦ λόγου τὰ γινόμενα, ὡς διὰ πλῆθος, φασίν, ἢ μέγεθος, μὴ πάντα λέγων αὐτός, ἀλλὰ καὶ ὑπερβαίνων τινά. Τὸ δὲ «μάχην ἐμάχοντο» Ἀττικόν, ὡς καὶ τὸ «βουλὴν βουλεύονται», καὶ ὅσα προδεδήλωται. (v. 415—8) Ὅτι Ἕκτωρ καὶ Αἴας «μιῆς περὶ νηὸς ἔχον πόνον, οὐδὲ δύναντο οὔθ' ὃ τὸν ἐξελάσαι καὶ ἐνιπρῆσαι πυρὶ νῆας, οὔθ' ὃ τὸν ἂψ ὤσασθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων». Ἰσότης οὖν καὶ αὕτη μάχης ἡρωϊκῆς. καὶ ὅρα τὸ σύντομον τοῦ σχήματος καὶ κατηπειγμένον ἐν τῷ «οὔθ' ὃ τὸν ἐξελάσαι, οὔθ' ὃ τὸν ὤσασθαι». μονοσύλλαβοι γὰρ ἀντὶ κυρίων ὀνομάτων κεῖνται ἀντωνυμίαι διὰ γοργότητα. τοιοῦτόν τι ἦν καὶ τὸ «καί τε πρὸ ὃ τοῦ ἐνόησε». κεῖται δὲ σχήματος τοιούτου ὁμοιότης καὶ ἐν τοῖς ἑξῆς, ἔνθα διώκει Ἀχιλλεὺς τὸν Ἕκτορα. [Εἰ δὲ δοκεῖ ἀσάφειαν ἔχειν τὸ «ὃ τόν» καὶ πάλιν «ὃ τόν», διὰ τὴν τῶν προσώπων ἀδηλίαν, ἀλλ' ἐκ τῶν ἐπηγμένων διασαφοῦνται τὰ κύρια πρόσωπα, κἀντεῦθεν καὶ αἱ ἀντωνυμίαι, οἷον «οὔθ' ὃ τὸν ἐξελάσαι εἶχε καὶ ἐμπρῆσαι νῆας». δῆλον γὰρ ὅτι ὁ ἐμπυριστὴς Ἕκτωρ οὐκ ἠδύνατο ἐξελάσαι τὸν κωλύοντα Αἴαντα, καὶ ἀκολούθως οὔτε ὅ, ἤγουν ὁ Αἴας, τόν, ἤγουν τὸν Ἕκτορα, ὤσασθαι τῶν νηῶν. (v. 416) Πόνον δ' ἐν τοῖς ῥηθεῖσιν ἔφη ὁ ποιητὴς ἴσως μὲν καὶ τὸν κόπον, μάλιστα δὲ τὴν ἐνέργειαν. ὁμοίως δὲ καὶ ἐν τοῖς ἑξῆς τὸ «ὃ μὲν πεπόνητο καθ' ἵππους», ὡς ἡνίοχος δηλαδή, ἀντὶ τοῦ ἐνήργει νοεῖται μᾶλλον ἤπερ ἀντὶ τοῦ ἐμόχθει.] (v. 418) Τὸ δὲ «ἐπέλασσε δαίμων» καταβάλλει τὴν τοῦ Ἕκτορος ἀρετήν, ὡς μὴ ἂν ἄλλως τοιούτου ὄντος, εἰ μὴ κατὰ δαίμονα. πελάσαι δὲ νῦν οὐ τὸ ἐγγὺς γενέσθαι ἀλλὰ τὸ ἐγγὺς ποιῆσαι. (v. 419—21) Ὅτι ὁ Αἴας Καλήτορα υἱὸν Κλυτίου ἀνεψιὸν Ἕκτορος «πῦρ ἐς νῆα φέροντα κατὰ στῆθος βάλε δουρί, δούπησεν δὲ πεσών, δαλὸς δέ οἱ ἔκπεσε χειρός». ποιεῖ δὲ καὶ εἰς ἔτι ποιήσει τοιαῦτα ἡ τοῦ πυρὸς μνημοσύνη, ἣν φθάσας ὁ Ἕκτωρ ὑπέθετο τοῖς Τρωσί. (v. 419) Τοῦ δὲ Καλήτωρ προϋπόκειται τὸ καλῶ καλήσω, ἐξ οὗ καὶ ὁ προϊστορηθείς που Καλήσιος. (v. 420) Τὸ δὲ «πῦρ φέροντα» τὸ πυρφορεῖν καὶ τὸν πυρφόρον συντίθησιν. (v. 422) Ὅτι νόου ὁρῶντος, ὡς καὶ προερρέθη, φησὶν ἐνταῦθα ὁ ποιητής, ὡς ἐνόησεν ὀφθαλμοῖσιν Ἕκτωρ ἀνεψιὸν πεσόντα, καὶ μετ' ὀλίγα δὲ «ἐνόησε τάχιστα», ἰδὼν δηλαδὴ αὐτοψεί.

3.751 οὕτω δὲ καὶ ἐπὶ ἀκοῆς κατωτέρω Αἴας μὲν πρὸς Τεῦκρον λαλεῖ, «ὃ δὲ ξυνέηκεν». οὐ μόνον δὲ γοργῶς, ἀλλὰ καὶ σοφῶς φράζεται τὰ τοιαῦτα, ἐπειδήπερ ὑπουργοῦσι τῷ νῷ αἱ αἰσθήσεις, δι' ὧν οἷα θυρίδων εἰσέρχονται τὰ ἐξ αἰσθήσεως νοητά. (v. 426) Ὅτι ἐν τῷ «μὴ δή πω χάζεσθε μάχης ἐν στείνεϊ τῷδε» στεῖνος λέγει τὸ ἔσω μεταξὺ τοῦ τείχους καὶ τοῦ πρώτου στίχου τῶν νηῶν, ὡς καὶ πρὸ τούτου τὸ ἔξω μέσον τάφρου καὶ τείχους, ὥστε στεῖνος ἦν ἐφ' ἑκάτερα τοῦ τείχους. (v. 428) Ὅτι ἐν τῷ «νεῶν ἐν ἀγῶνι πεσόντα» ἔστι μὲν νοῆσαι ἀγῶνα καὶ τὸ τῆς μάχης ἐναγώνιον, κρεῖττον δὲ κατὰ τοὺς παλαιοὺς νεῶν ἀγῶνα εἰπεῖν τὸ πλῆθος καὶ τήν, ὡς εἰπεῖν, ἄγυριν καὶ ἄθροισιν καὶ σύναξιν δὲ τὴν ὁμοίως τῷ ἀγῶνι ἐκ τοῦ ἄγειν παρηγμένην. (v. 430) Ὅτι Λυκόφρονά τινα λέγει ὁ μέγας Αἴας τιμᾶν ἶσα τοκεῦσι, διὸ καὶ πεσόντι ἐπαμύνει. (v. 429—34) «Ἕκτωρ μὲν γὰρ Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ. τοῦ μὲν ἅμαρτεν, ὃ δ' ἔπειτα Λυκόφρονα, Μάστορος υἱόν, Αἴαντος θεράποντα Κυθήριον, ὅς ῥα παρ' αὐτῷ ναῖ', ἐπεὶ ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισιν, ἔβαλε κεφαλὴν ὑπὲρ οὔατος, ἑσταότ' ἄγχ' Αἴαντος». (v. 434—41) Καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὸς μὲν ὕπτιος «νηὸς ἀπὸ πρύμνης χαμάδις πέσε, λύντο δὲ γυῖα. Αἴας δ’ ἐρίγησε», καὶ τὸν ἀδελφὸν προσφωνήσας «Τεῦκρε», φησίν, «πέπον, δὴ νῶϊν ἀπέκτατο πιστὸς ἑταῖρος Μαστορίδης, ὃν νῶϊ Κυθηρόθεν ἔνδον ἐόντα ἶσα φίλοισι τοκεῦσιν ἐτίομεν ἐν μεγάροισι. τὸν δ’ Ἕκτωρ μεγάθυμος ἀπέκτανε. ποῦ νύ τοι ἰοὶ ὠκύμοροι» καὶ ἑξῆς. Καὶ ὅρα ὅτι οὐχ’ ὡς φίλον ἁπλῶς, ἀλλ’ οὐδὲ ἶσα κασιγνήτοις τιμᾶν ὁ μέγας Αἴας λέγει τὸν Λυκόφρονα τοῦτον, ἀλλ’ ὡς τοκέα, διὰ τὸ ὁμωρόφιον δηλαδὴ καὶ τὸν ξένιον καὶ ἑστιοῦχον Δία. ἱκέτης γὰρ τῷ Αἴαντι γέγονε καί, ὡς εἴρηται, παρ’ αὐτῷ ἔναιεν. Ἰστέον ὅτι φίλους μὲν τοκέας νοῶν τις τοὺς τοῦ Αἴαντος καλῶς νοεῖ. ὁ δέ γε ἴσως εἰπών, ὡς φιλεῖν ὁ Αἴας λέγει τὸν Λυκόφρονα ἶσα τοῖς αὐτοῦ δὴ τοῦ Λυκόφρονος τοκεῦσι, πῇ μὲν εὖ λέγοι ἄν, πῇ δὲ οὐχ’ οὕτως. φιλεῖσθαι μὲν γὰρ ὑπὸ Αἴαντος τὸν Λυκόφρονα, ὡς καὶ οἱ ἴδιοι αὐτὸν ἐφίλουν γονεῖς, οὐκ ἔχει ἀντιλογίαν, φιλεῖσθαι δὲ αὐτὸν τῷ Αἴαντι ὡς καὶ τοὺς ἐκείνου, ἤγουν τοὺς τοῦ Λυκόφρονος γονεῖς, ἐτίμα ὁ Αἴας, οὐκ ἔχοι ἂν λόγον στερρόν. ἄδηλον γὰρ ὅπως ὁ Αἴας τοῖς γονεῦσι προσεφέρετο τοῦ Λυκόφρονος. Τριῶν οὖν τούτων ἐννοιῶν, αἳ ἀμφιβολίαν ποιοῦσιν, ἡ μὲν τρίτη ἐγγὺς ἀδιανοήτου ἐστίν, ἡ δὲ δευτέρα εὔλογός ἐστιν, ὁμοίως δὲ καὶ ἡ πρώτη, δι’ ἧς ἀκρότητα φιλίας διδασκόμεθα, εἴγε ἶσα καὶ φίλοις τοκεῦσι φιλητέον τὸν ἀληθῆ φίλον.

3.752 Ὅρα δ’ ἐν τοῖς ῥηθεῖσι καὶ τὸ ποικιλόφωνον τοῦ ποιητοῦ ἐν ταῖς παραποιήσεσι. Μάστορος γὰρ υἱὸν εἰπὼν τὸν Λυκόφρονα εἶτα Μαστορίδην αὐτὸν ἔφη, καὶ Κυθήριον δὲ φάμενος καὶ παρὰ τῷ Αἴαντι ναίοντα ὑποκαταβὰς «Κυθηρόθεν ἔνδον ἐόντα» λέγει καθ’ ὁμοιότητα τοῦ «Καβησόθεν ἔνδον ἐόντα», καὶ τιμᾶν αὐτὸν ἐν μεγάροισι. καὶ ὁ πιστὸς δὲ ἑταῖρος ὁ αὐτός ἐστι τῷ Αἴαντος θεράποντι, καὶ τοῦ ἀπέκτανε δὲ ἀλλοιότερόν τι τὸ κατέκτα, δι’ ἣν ἔπαθεν ἀποκοπήν. (v. 431) [Ἰστέον δὲ καὶ ὅτι, ὥσπερ οὐκ ἂν ὁ ἥρως Μηριόνης θεράπων Ἰδομενέως λέγοιτ’ ἂν ὀνόματι δουλικῷ, οὕτως οὐδ’ ὁ Κυθήριος Λυκόφρων θεράπων νοηθείη ἂν Αἴαντος ὡς δοῦλος, ἀλλ’ ἔχει καὶ ἡ λέξις αὕτη μέσως, καθὰ καὶ ὁ οἰκεὺς καὶ ὁ οἰκέτης, οἵπερ οὐδ’ αὐτοὶ ἐξ ἀνάγκης δούλους δηλοῦσιν. Ἀχαιὸς γοῦν, φασίν, ὁ ποιητὴς διαστέλλων λέγει περί τινος, ὅτι χρηστὸς εἰς τοὺς δούλους ἐστὶ καὶ τοὺς οἰκέτας. εἰσὶ δέ, φασίν, οἰκέται οἱ κατὰ τὴν οἰκίαν διατρίβοντες, κἂν εἶεν ἐλεύθεροι. Ἦσαν δὲ ἄλλως δουλικαὶ λέξεις ἐν Κρήτῃ μὲν οἱ κλαρῶται διὰ τὸ κληρωθῆναι, ἔτι δὲ οἰκέται μὲν οἱ κατὰ πόλιν χρυσώνητοι, ἀμφαμιῶται δὲ οἱ κατὰ ἀγρὸν ἰδίᾳ δοῦλοι. ἐκάλουν δέ, φασί, Κρῆτες καὶ μνοίαν τὴν κοινὴν δουλίαν, καὶ μνώτας τοὺς ἐγγενεῖς οἰκέτας. Παρὰ δὲ τοῖς Γλωσσογράφοις, παρ’ οἷς καὶ ὁ θεράπων δεδούλωται, δουλικὰ ὀνόματα καὶ οἱ ἆζοι καὶ οἱ πάλμονες καὶ οἱ λάτρις καὶ οἱ ἑρκῖται, οἵπερ εἰσὶν κατ’ ἀγρὸν οἰκέται, καὶ οἱ σίνδρωνες [οἱ κοινῶς] δουλέκδουλοι, ἤδη δὲ καὶ οἱ ἀκόλουθοι καὶ οἱ ὑπηρέται. Σέλευκος δέ, φασίν, ἄζους οὐ δούλους μόνους ἀλλὰ καὶ τὰς θεραπαίνας οὕτω καλεῖ. Παρὰ δὲ Λάκωσιν οἱ παρὰ τὸ Ἕλος Εἵλωτες ἐλευθερωθέντες ἐκαλοῦντο ἀφέται, οἱ δὲ ἀδέσποτοι, τινὲς δὲ ἐρυκτῆρες, ἄλλοι δεσποσιοναῦται, οὓς εἰς τοὺς στόλους κατέτασσον, ἦσαν δὲ καὶ οἱ νεοδαμώδεις ἕτεροι τῶν Εἱλώτων.

3.753 Ὡς δὲ καὶ ἄλλαι δουλικαί εἰσι κλήσεις, καὶ προερρέθη καὶ ἐν τοῖς ἑξῆς δέ που δηλωθήσεται.] (v. 432) Κύθηρα δὲ ἐν οὐδετέρῳ γένει νῆσος πρὸς τῇ Κρήτῃ, ὥς φησιν ὁ γράψας τὰ Ἐθνικά, ἥ ποτε καὶ Πορφυροῦσα, ὡς καὶ ἀλλαχοῦ ἐγράφη, διὰ τὸ καλλίστας φέρειν πορφύρας. Ἐκ ταύτης, ἧς ἡ κλῆσις, εἰ καὶ κατὰ παραφθοράν, ὅμως μέντοι ἕως καὶ ἄρτι φυλάττεται, καὶ ἡ Ἀφροδίτη Κυθέρεια κατὰ τὸν Ἡσιόδου μῦθον λέγεται. διὸ καὶ ζάθεα Κύθηρα ἔφη ὁ ποιητὴς διὰ τὴν ἐν αὐτοῖς μυθευομένην τῆς Κυθερείας ἔκφανσιν. (v. 436) Ἐρρίγησε δὲ ὁ Αἴας, καθὰ καὶ μετ’ ὀλίγα Τεῦκρος, δυστυχήσας παραδόξως ἐπὶ τῷ τόξῳ, ἀνάπαλιν τῷ εὐτυχοῦντι, ὃς χαρᾷ θάλπεται. (v. 438) Τὸ δὲ «Κυθηρόθεν ἔνδον ἐόντα» ἀντὶ τοῦ ἐξ αὐτῆς τῆς ἐκεῖ πόλεως, οὐ μὴν ἐκ τῆς περιχώρου τῆς νήσου Κυθήρων. (v. 440) Τὸ δὲ «ποῦ δή τοι ἰοί», ὅ ἐστιν ὀϊστοί, ὠκύμοροι καὶ τόξον, ἐρεθισμὸς εἰς διαμάχην ἐστί. καὶ διαβολεὺς δέ ποτε ἀπρακτῶν ἀκούσοι ἂν καιρίως πρός

τινος τοῦτό τε καὶ τὸ ἐφεξῆς «ὅ τοι πόρε Φοῖβος Ἀπόλλων». τοῦτο δὲ προσφυῶς, ἐπεὶ δαιμονίως ἐφίεται ἀπόλλειν τοὺς διαβαλλομένους. Φασὶ δὲ οἱ παλαιοί, ὅτι τόξον ὁ ποιητὴς νῦν οὐ τὸ σκεῦος λέγει, ἀλλὰ τὴν τοξικὴν τέχνην τοῦ Τεύκρου. ὅτι δὲ τόξα καὶ πᾶσα ἡ τεχνικὴ σκευὴ λέγεται, καὶ ὅτι ἐπιστάτης τοξείας ὁ τοῦ μύθου Ἀπόλλων, πολλαχοῦ φαίνεται. (v. 441) Ὅρα δὲ τὸ «ὠκύμοροι» ἀσυνήθως ληφθέν. κοινῶς μὲν γὰρ ὠκύμορος ἐν παθητικῇ σημασίᾳ ὁ θνήσκων ὠκύ, νῦν δὲ ὀϊστοὶ ὠκύμοροι οἱ θανατοῦντες ὠκύ. τοιούτῳ τινὶ λόγῳ καὶ μετ᾽ ὀλίγα πολύστονος ἰὸς ὁ ποιῶν, οὐ μὴν πάσχων, στόνους. (v. 443 s.) Ἐν τούτοις δὲ καὶ φαρέτρας ἐτυμολογίαν ὑπολαλῶν φησι «τόξον ἔχων ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην ἰοδόκον». φαρέτρα τε γὰρ ἡ φέρουσα τὰ τρώοντα, ὅ ἐστι βλάπτοντα, καὶ ἰοδόκος Ἰωνικῶς ἡ δεχομένη τοὺς βλάπτειν δυναμένους ἰούς.

3.754 Παροξύνεται δὲ τὸ ἰοδόκος καθὰ καὶ τὸ ξεινοδόκος, ἐνεργητικὸν γάρ ἐστι καὶ οὐ πάθος δηλοῖ. Ὁμήρου δὲ ἰοδόκον εἰπόντος, οἱ μεθ᾽ Ὅμηρον καὶ ὀϊστοῦχον φαρέτραν συνέθεντο πρὸς ἀναλογίαν ἴσως τοῦ πολιοῦχος καὶ ἑστιοῦχος καὶ τῶν ὁμοίων. Ἰστέον δὲ ὅτι καὶ ἐν τῷ «ἠδὲ φαρέτρην» μετοχὴν συννοητέον οἰκείαν τῇ κατοχῇ αὐτῆς. οὐ γὰρ ὥσπερ τόξον ἔχει τις ἐν χειρί, οὕτω καὶ φαρέτραν, καὶ ἀνάγεται καὶ τοῦτο εἰς τὸ σχῆμα τοῦ «σῖτον καὶ οἶνον ἔδοντες», καὶ τῶν ὁμοίων. (v. 441—3) Ἔτι ἰστέον καὶ ὅτι τὸ «θέων ἄγχι παρέστη τόξον ἔχων ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην ἰοδόκον», τὴν προσεχῶς ῥηθεῖσαν, «μάλα δ᾽ ὦκα βέλεα» τοῖς δεῖνα ἐφίει, τοξότου ἀγαθοῦ δηλοῖ ἐνέργειαν, ὁποῖος καὶ ὁ Τεῦκρος, περὶ οὗ κατὰ Τρώων ἐνεργοῦντος ταῦτα εἴρηται. (v. 447—9) Ἱππότου δὲ ἀσχολίαν δηλοῖ τὸ «πεπόνητο καθ᾽ ἵππους. τῇ γὰρ ἔχε», τουτέστιν ἐνταῦθα ἤλαυνεν, ἐπεῖχεν, ἠσχολεῖτο, «ἔνθα πολὺ πλεῖσται κλονέοντο φάλαγγες τῷ δεῖνι χαριζόμενος», οἷον στρατηγῷ ἢ ἑτέρῳ τινί. (v. 445) Κλεῖτος δὲ ἦν ὁ τοιοῦτος, ἀντιτονούμενος τῷ κλειτῷ, ἤτοι ἐνδόξῳ, ὃς δὴ Κλεῖτος Πολυδάμαντι μὲν ἡνιοχῶν, Ἕκτορι δὲ χαριζόμενος, ἔπεσεν ἀφρόνως μαχόμενος. τί γὰρ ἔδει αὐτὸν ἡνίοχον ὄντα καὶ τὰ τοῦ παραιβάτου [ὡς καὶ προείρηται] ποιεῖν; (v. 452 s.) Πεσόντος δέ, φησίν, αὐτοῦ «ὑπερώησαν», ὅ ἐστιν ἀνεχώρησαν, «οἱ ἵπποι κεῖν᾽ ὄχεα κροτέοντες», ταὐτὸν δ᾽ εἰπεῖν κροταλίζοντες, ὡς δηλοῖ ἐν ἄλλοις ῥηθὲν τὸ «κεῖν᾽ ὄχεα», ἤγουν κενὰ ἅρματα, «κροτάλιζον». καὶ τοῦτο μὲν τοιοῦτον. (v. 449 s.) Κακοῦ δὲ αἰφνιδίου ἐπέλευσιν φράζει τὸ «τάχα δ᾽ αὐτῷ ἦλθε κακόν, τό οἱ οὔ τις ἐρύκακεν ἱεμένων περ», ἢ κατὰ δοτικὴν πτῶσιν «ἱεμένῳ περ». (v. 451) Εἰ δὲ καὶ τυχὸν ἐκ διαβολῆς κρύφα καὶ οὐ κατὰ πρόσωπον βέβλαπταί τις, οἰκεῖον ἐπαγαγεῖν καὶ τὸ «αὐχένι γάρ οἱ ὄπισθε πολύστονος ἔμπεσεν ἰός».

3.755 Ἰστέον δὲ καὶ ὅτι περιφραστικῶς ἀντὶ τοῦ ἐβλήθη ἐρρέθη τὸ «πολύστονος ἐνέπεσεν ἰός», ὃν καὶ ἐτυμολογῶν ἔφη ἀνωτέρω «μάλα δ᾽ ὦκα βέλεα ἐφίει», ὃ ταὐτόν ἐστι τῷ ἔπεμπεν, ἐξ οὗ γίνεται ἰός, ψιλούμενος αὐτὸς κανονικῶς διὰ τὸ κεῖσθαι τὸ ι πρὸ φωνήεντος. Ἔστι δὲ τὸ «βέλεα ἐφίει» ἀντὶ τοῦ ἔβαλλε περιφρασθέν, καθὰ καὶ τὸ «ἔμπεσεν ἰός» ἀντὶ τοῦ ἔβαλεν. (v. 459 s.) Ὅτι τὸ «καί κεν ἔπαυσε μάχης» Τεῦκρος Ἕκτορα, [ἐν τῇ δευτέρᾳ βολῇ δηλαδή,] «εἴ μιν ἀριστεύοντα βαλὼν ἐξείλετο θυμόν», ἄλλως μὲν οὐκ εὐλόγιστον δοκεῖ. πᾶς γὰρ μαχόμενος, εἰ βάλοι καιρίως ἀριστέα, καταβαλεῖ ἄν. εἰ δὲ ὁ ει σύνδεσμος ληφθῇ ἀντὶ τοῦ ἐπειδή, ὀρθῶς ἔχει. εὖ γὰρ εἰδὼς τοξεύειν ὁ Τεῦκρος ἔπαυσεν ἂν μάχης τὸν Ἕκτορα, ἐπειδὴ ἔβαλεν ἂν κατευστοχήσας, εἰ μὴ Ζεὺς ἐκώλυσε. (v. 461 s.) Διὸ καὶ ἐπάγει «ἀλλ᾽ οὐ λῆθε Διὸς πυκινὸν νόον, ὃς δὴ ἐφύλασσεν Ἕκτορα, Τεῦκρον δὲ εὖχος ἀπηύρα». Καὶ ὅρα ὅτι, ὥσπερ πρὸ τούτων Διὸς νόος ἤγειρε τὸν Ἕκτορα, οὕτω καὶ νῦν ὁ αὐτὸς ῥύεται. Τὸ δὲ «ἀλλ᾽ οὐ λῆθεν» ἑτέρου χωρίου Ὁμηρικοῦ ἤρτηται τοῦ «οὐδέ σε λήθω κινύμενος». Ἰστέον δὲ καὶ ὅτι τὸ «Διὸς πυκινὸν νόον» ἔμφασιν ἔχει τοῦ καὶ εἰς νοῦν ἀλληγορεῖσθαι τὸν Δία. (v. 463—5) Ἐπὶ δὲ τούτοις φράζων καὶ τὴν τοῦ Τεύκρου δυσπραγίαν, ἣν οὐκ ἀπὸ τοῦ κατὰ νοῦν Διὸς ἀλλὰ τοῦ κατὰ τὴν μοῖραν νοουμένου ἔπαθε, φησὶν «ὅς οἱ ἐϋστρεφέα νευρὴν ἐν ἀμύμονι τόξῳ ῥῆξεν ἐπὶ τῷ ἐρύοντι», ἤγουν ἕλκοντι καθ᾽

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἕκτορος, «παρεπλάγχθη δέ οἱ ἄλλῃ ἰὸς χαλκοβαρής, τόξον δέ οἱ ἔκπεσε χειρός». (v. 467 s.) Ἐφ' οἷς ὁ Τεῦκρος ῥιγήσας, ὡς προδεδήλωται, λέγει ὃ καὶ πᾶς ἀνδρεῖος εἴποι ἂν δυστυχῶν ἐν μάχῃ «ὢ πόποι, ἦ δὴ πάγχυ μάχης ἐπὶ μήδεα κείρει δαίμων ἡμετέρης», καὶ ἑξῆς. (v. 473) Ὃ παραφραστικῶς ὁ Αἴας οὕτως ἐρεῖ «ἐπεὶ συνέχεε θεὸς μεγήρας». καὶ ἄλλως δὲ θεωρῆσαι, τὸ μὲν «ἔρρηξε νευράν» παρέφρασε διὰ τοῦ Αἴαντος ὁ ποιητὴς εἰπὼν «ἐπεὶ συνέχευε θεός», τὸ δὲ «τόξον δέ οἱ ἔκπεσε χειρός» διὰ τοῦ Τεύκρου ἐν τῷ «δαίμων βιὸν ἔκβαλε χειρός». Καὶ ὅρα τὸ «συνέχεεν» ἀντὶ τοῦ τῆς πρὶν εὐκοσμίας ἐστέρησεν. ἐναντίον γάρ, ὡς καὶ προερρέθη, τὸ συγχέειν πρὸς τὸ εὐκόσμως καὶ οὕτως εὐκρινῶς τάττειν. Ἰστέον δὲ ὅτι οὐχ' οὕτως ἐνταῦθα προσφυὲς τὸ συγχέειν ὡς ἐν τοῖς πρὸ τούτου ἐπὶ τῆς ψάμμου. Ὅρα δὲ καὶ οἷα τὰ παρ' ἐλπίδα προσπίπτοντα. ποῦ γὰρ ὁ Τεῦκρος ᾠήθη ἂν οὕτω πείσεσθαι; (v. 463) Τὴν δὲ «εὐστρεφέα» νεόστροφον κατωτέρω λέγει Τεῦκρος προπαροξυτόνως, ὃ ἑρμηνεύων φησὶν «ἣν ἐνέδησα πρώϊον, ὄφρ' ἀνέχοιτο θαμὰ θρῴσκοντας ὀϊστούς». Ὥστε οὐ κραυρωθεῖσα ἐρράγη—οὐ γὰρ ἂν ἦν δυστύχημα ἐκεῖνο—, ἀλλὰ νεόστροφος οὖσα, τὸ παράδοξον, ὅπερ εἰς φθόνον ἀνάγει δαιμόνιον.

3.756 [Ἔστι δὲ νευρὰ μὲν καταχρηστικῶς ἐκ παλαῖας χρήσεως ὀνόματι μόνῳ ἡ οὐκ ἐξ ἀνάγκης ἐκ νεύρου, ἣν παρονομάζουσί τινες τῇ χορδῇ, ἀλλὰ καὶ ἡ ἐκ δέρματος ζωϊκοῦ. Εὐστρεφὴς δὲ καὶ εὔστροφος ἡ εὔκλωστος, ἐπεὶ καὶ τὸ κλώθειν στρέφειν λέγεται.] (v. 464) Τὸ δὲ «παρεπλάγχθη» ὅτι ἀστοχίαν δηλοῖ σκοποῦ, πολλαχοῦ φαίνεται. καὶ ἔστιν ἡ λέξις χρήσιμος καὶ εἰς τὸ παλιμπλαγχθέντας. (v. 465) Τὸ δὲ «ἰὸς χαλκοβαρής» ἀντίκειται μὲν πρὸς τὸν πτερόεντα, οὐκ ἐξακριβοῦται δὲ νῦν ὡς τὰ ἄλλα κοῦφος ὤν, ἀλλὰ τῷ κατ' ἄκρον σιδήρῳ βαρύνεσθαι λέγεται. (v. 470) Τὸ δὲ «πρώϊον» εἰς μνήμην ἄγει καὶ ἑτέρας δυστυχίας τὸν Τεῦκρον. δῆλον γάρ, ὅτι πρώϊον ἐνέδησε τὴν νευρὰν διὰ τὸ προρραγῆναι τὴν ἑτέραν λίθου βολῇ. Γίνεται δὲ τὸ πρώϊον ἐκ τοῦ πρωΐ, ὡς καὶ τὸ πρώϊμος καὶ τὸ πρωϊζά. προϋπάρχει δὲ αὐτῶν μονοσύλλαβον τὸ πρῶ, ὃ δηλοῖ κατὰ Παυσανίαν τὸ πρωῒ ἢ πρὸ καιροῦ. Τὸ δὲ ἀνέχοιτο ὡς ἐπὶ ἐμψύχου ἔφη τῆς νευρᾶς, ἥτις νεόστροφος οὖσα ὑπομένοι ἂν καὶ οἷον βαστάζοι καὶ μὴ διαρρηγνύοιτο τῇ τάσει. οὕτω καὶ ἐν τῷ «ἐμὲ δ' οὔ πως ἔστι πάντας ἀνέχεσθαι», τὸ ἀνέχεσθαι ἀντὶ τοῦ ἐπανέχειν, φέρειν, βαστάζειν. Τὸ δὲ «θαμὰ θρῴσκοντας ὀϊστούς» ταρφέας ἰοὺς αὐτίκα φησί. Σημείωσαι δ' ἐν τοῖς εἰρημένοις ὅτι τὴν τοῦ Τεύκρου δυστυχίαν Ὅμηρος φράσας εἶτα καὶ τῷ Τεύκρῳ ἀναθεὶς εἰπεῖν αὐτὴν εἰς ὀλίγα μὲν συνέπεσεν, ἐτεχνάσατο δὲ διαφοράν τινα καὶ ἐν αὐτοῖς, τὴν μὲν ἐϋστρεφέα νευρὴν νεόστροφον εἰπών, ὡς εἴρηται, καὶ ἑρμηνεύσας αὐτὴν καὶ αἰτιολογήσας, τὸ δὲ ῥῆξεν ἐξέρρηξεν εἰπὼν διὰ τοῦ Τεύκρου, τὸ δὲ «τόξον οἱ ἔκπεσε χειρός» «δαίμων βιὸν ἔκβαλε χειρός», ὡς ἔστι καὶ ἐκ τῶν ῥηθέντων ἀναλέξασθαι. δοκεῖ δὲ ἡ ῥηθεῖσα τῆς νευρᾶς ῥῆξις καὶ ἡ ἐκ χειρὸς πτῶσις τοῦ τόξου τῆς προδηλωθείσης αἰγίδος ἔργον εἶναι, ἧς ἐπισειομένης γίνονται κλόνοι, τρόμοι, ῥήξεις, φυγαί, καὶ ὅσα τοιαῦτα. (v. 472—5) Ὅτι παραδιδοὺς Ὅμηρος μὴ χρῆναι ἀπογινώσκειν τὸν δυσπραγοῦντά φησι διὰ τοῦ ἀδελφοῦ πρὸς τὸν Τεῦκρον «ὦ πέπον, ἀλλὰ βιὸν μὲν ἔα καὶ ταρφέας ἰοὺς κεῖσθαι, ἐπεὶ συνέχεε θεός», ὡς εἴρηται, «αὐτὰρ χερσὶν ἑλὼν δολιχὸν δόρυ καὶ σάκος ὤμῳ μάρναο καὶ ἄλλους ὄρνυθι λαούς». Τοῦτο δὲ καὶ ἐρεθισμός ἐστιν εἰς τὸ ὁμόσε τῇ μάχῃ χωρεῖν. (v. 476 s.) Ἐνταῦθα δὲ κεῖται καὶ τὸ ἀσπουδεί, ὡς καὶ ἀλλαχοῦ, ἀντὶ τοῦ ῥᾷον καὶ ἀπονητί. ἐπάγει γὰρ «μὴ μὰν ἀσπουδεί γε δαμασσάμενοί περ ἕλοιεν νῆας, ἀλλὰ μνησώμεθα χάρμης».

3.757 Τοῦτο δὲ ἁρμόττει λέγεσθαι ἐπὶ τῶν σπευδόντων μὴ ἡττηθῆναι, εἴ τις παρῳδήσει τὸ «νῆας ἐϋσέλμους». (v. 479) Λέγει δὲ καὶ σάκος ἐν τούτοις τετραθέλυμνον ὁ ποιητής, ὅ ἐστι τετράπτυχον, τετράθετον, ὃ Τεῦκρος φορεῖ μετὰ τὴν βλάβην τοῦ τόξου. Ὅρα δὲ καὶ νῦν, ὡς ὁ Αἴας οὐ πολλὰ μὲν τῷ ἀδελφῷ λαλεῖ, ἀλλ' ἐπιτροχάδην παραινεῖ, δρᾷ δὲ ὅμως εἰς ἐκεῖνον οὐδὲν ἧττον τῶν διὰ πολυλογίας πειθόντων. (v. 479 s.) Ἅμα γὰρ εἶπε καὶ ὁ Τεῦκρος εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγχέμαχον ὁπλίζεται πρόμαχον, σάκος μέν, οἷον ἐρρέθη, ἀμφ' ὤμοισι θέμενος, «κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον» θείς, καὶ ἑξῆς. [(v. 477) Εἰς δὲ τὸ «νῆας ἐϋσέλμους» ἐνθυμητέον, ὡς εἰ καὶ σέλμα κοινῶς λέγεται καθέδρα, ἤτοι σελλίς, νηός, ἐξ ἧς ναῦς εὔσελμος, ἡ διὰ τοῦτο καὶ εὔζυγος κατά τινας, ἀλλ' ὅμως ὡς ἐκ μέρους σέλμα ἐρρέθη καὶ ὅλη ναῦς. καὶ δηλοῖ τοῦτο ἐπίγραμμα ἐκδοθὲν περὶ μεγίστης νηός, τὸ «τίς τόδε σέλμα πελώριον ἐπὶ χθονὸς εἵσατο», ἤγουν ἵδρυσεν, ἔκτισεν, ἐκάθισεν.] (v. 484) Ὅτι σημειοσκοπῶν, οἷα εἰκός, καὶ ὁ Ἕκτωρ, «ὡς εἶδε Τεύκρου βλαφθέντα βέλεμνα», νοεῖ ἐκ Διὸς αὐτὸ γενέσθαι, καὶ ἀναθαρρύνων οὕτω τοὺς ἀμφ' αὐτὸν εἰς μάχην παρασημαίνεται τὸ πρᾶγμα καὶ ἐρεθίσας εἰς μνήμην ἀλκῆς ἐπάγει (v. 488 s.) «δὴ γὰρ ἴδον ὀφθαλμοῖσιν ἀνδρὸς ἀριστῆος Διόθεν», ἤγουν ἐκ μοιριδίου, «βλαφθέντα βέλεμνα». (v. 490—3) Εἶτα δεικνύς, ὡς οὐκ ἀπὸ τέχνης ἄρτι νοεῖ—πῶς γὰρ ὁ φθάσας ἀντιπεσεῖν ἀτέχνως τῷ σοφῷ Πολυδάμαντι ἐν τοῖς κατὰ τὸν οἰωνόν—φησὶ «ῥεῖα δ' ἀρίγνωτος Διὸς ἀνδράσι γίνεται ἀλκή, ἠμὲν ὁτέοισι κῦδος ὑπέρτερον ἐγγυαλίξει», ὅ ἐστι δώσει, «ἠδ' ὅτινας μινύθει τε καὶ οὐκ ἐθέλῃσιν ἀμύνειν, ὡς νῦν Ἀργείων μινύθει μένος ἄμμι δ' ἀρήγει», μονονοὺ λέγων, ὡς οὐ κατὰ λεπτότητα νόου ἀλλὰ διὰ τὸ ἀρίγνωτον ἐπέστησα τῷ σημείῳ τούτῳ τοῦ Διός. (v. 494—9) Εἶτα στρατηγικῶς καὶ ῥητορικῶς ὀτρύνων εἰς μάχην φησὶν «ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶν ἀολλέες. ὃς δέ κεν ὑμέων βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ, τεθνάτω. οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης τεθνάμεν, ἀλλ' ἄλοχός τε σόη καὶ παῖδες ὀπίσσω, καὶ οἶκος καὶ κλῆρος ἀκήρατος, εἴ κεν Ἀχαιοὶ οἴχονται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν».

3.758 Φασὶ δὲ οἱ παλαιοὶ ἐνταῦθα, ὡς διὰ συντομίαν οὐ κεκράτηκεν ὁ Ἕκτωρ τῆς ἐν τῇ συντάξει φράσεως, ἀλλὰ ἐλλειπτικῶς ἔφρασεν. Ἔδει γὰρ εἰπεῖν ὅτι «εἰ γὰρ αὐτὸς θάνοι τις, ἀλλ' ἄλοχός τε σόη» καὶ τὰ ἑξῆς, ὁποῖον ἀλλαχοῦ τὸ «εἴ περ γάρ κε βλεῖο πονεύμενος, ἀλλὰ οὐ κατὰ νώτου δέξῃ τὴν πληγήν». ὁ δὲ παραλιπὼν τὸ «εἰ γὰρ καὶ θάνοι» ἤρξατο ἀπὸ τοῦ «ἀλλ' ἄλοχος» μιμούμενος τῇ ἐλλειπτικῇ ἐπείξει τὴν σπουδὴν τοῦ καιροῦ. Πάνυ δὲ τεχνικῶς παρατίθησι τῷ τοῦ θανάτου δυσχερεῖ τὰ μετὰ ταῦτα λυσιτελῆ. Καί φασιν οἱ παλαιοί, ὡς κάλλιόν ἐστι ταῦτα τοὺς μαχίμους νέους ἀναγινώσκειν ἐν βραχεῖ δυνατῶς καὶ κατὰ τάξιν ἢ ἃ Τυρταῖος πολυλογῶν Λακεδαιμονίοις ἔγραψε. δαιμονίως δ' ἐνταῦθα καταμερίζει δι' ὀλίγων Ὅμηρος πόλεως σωτηρίαν, μεταποιήσας ἐκ τοῦ ἐναντίου τὸ ἐν ταῖς Λιταῖς νόημα. Ὅρα γὰρ ὡς ἐκεῖ μὲν ἔλεγε διὰ τῆς Κλεοπάτρας τὰ ἐπισυμβαίνοντα τῇ πορθήσει τρία μεγάλα κακά, φόνον ἀνδρῶν, πόλεως ἐπινέμησιν διὰ πυρὸς καὶ αἰχμαλωσίαν τέκνων καὶ γυναικῶν. ὧδε δὲ ἀντιφράζων τὰ αὐτοῖς ἐναντία φησίν, ὡς περιούσης τῆς πατρίδος ἄλοχός τε καὶ παῖδες σῴζονται, μὴ αἰχμαλωτιζόμενοι δηλαδὴ ὡς ἐν πορθήσει πόλεως, καὶ οἶκος καὶ κλῆρος ἀκήρατος, μὴ γενόμενα δηλαδὴ πυρὸς ἔργον. τὸ δὲ τρίτον κακόν, ἤγουν οἱ κτεινόμενοι ἐκεῖ ἄνδρες, οὐκ ἀντιφράζονται νῦν διὰ τῶν σῳζομένων, ἢ διότι συνεπινοεῖται τοῦτο, κἂν ὁ Ἕκτωρ οὐκ εἶπεν ὡς ἐπειγόμενος τῷ καιρῷ. εἰ γὰρ αὐτοὶ ἀριστεύσαντες τὰ φίλτατα καὶ τὰ κατ' οἴκους περισῴζονται, περίεισιν ἄρα καὶ οὐ κτείνονται. ἢ καὶ ἄλλως, διότι οὐκ ἐξ ἀνάγκης τῇ πατρίδι σῳζομένῃ συμπερισῴζονται καὶ οἱ ἄνδρες ἅπαντες καὶ οὐδεὶς κτείνεται, ἀλλά τινες μὲν πίπτουσιν ἀμυνόμενοι περὶ πάτρης, ὧν τά τε φίλτατα σῴζεται καὶ ὁ οἶκος ἀκήρατος μένει, οἱ πλείους δὲ περίεισιν. (v. 498) Ἰστέον δὲ καὶ ὅτι ἐν ταῖς Λιταῖς μὲν περὶ μόνης πόλεως ἦν ὁ λόγος ἀμαθυνομένης πυρί, ἐνταῦθα δὲ ὁ κλῆρος καὶ πλεῖόν τι σημαίνει τῆς πόλεως. Κλῆρος γὰρ οὐ μόνον ὁ ἔνδον ἄστεος ἀλλὰ καὶ τὰ ἐκτός, ὧν κυριεύουσιν οἱ πολῖται κλήρῳ διανεμόμενοι. Ὅτι δὲ φιλόπατρις ὁ Ἕκτωρ, δηλοῖ καὶ τὸ «εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης» ἐκείνου λόγος ὤν. (v. 489) Καιρία δὲ λέξις τὸ «βλαφθέντα», ὅθεν ἐδίσσευσεν αὐτὴν ὁ ποιητής, ὡς καὶ τὰ βέλεμνα καὶ τὸ «μινύθει». Εἰ δὲ κακόφθογγον δοκεῖ τὸ βλαφθέντα διὰ τὸ ἐπάλληλον τῶν δασέων, ὥρα αἰτιᾶσθαι καὶ τὸν Δίωνα, ἐν λόγῳ πεζῷ ἐβρέχθη λέγοντα. καὶ προϊὼν δὲ ὁ ποιητὴς ἐρεῖ στρεφθεὶς ἀντὶ ἀφωνοτέρου τοῦ στραφείς.

3.759 πολλὰ δὲ τοιαῦτα καὶ ἀλλαχοῦ σεσημείωται. Τὰ δὲ «βέλεμνα» ἐκ μέρους καὶ τὸ τόξον δηλοῖ, ὥσπερ αὖ πάλιν ἐν ἄλλοις τῷ τόξῳ συνεπινοεῖται καὶ βέλεμνα. (v. 490—2) Τὸ δὲ «ῥεῖα δ’ ἀρίγνωτος θεοῦ ἀνδράσι γίνεται ἀλκή, οἷς τε κῦδος ὑπέρτερον» δώσει, καὶ οὓς μινύθει μὴ θέλων ἀμύνειν, γνωμικῶς ἔχει, ὡς τῆς ὁποιδήποτε θείας ῥοπῆς ἐπιφανεστάτης οὔσης. Ἐν δὲ τῷ «ὁτέοισι» καὶ «ὅτινας», ἅπερ οὐκ ἄν τις λογογραφῶν ἐπιλέξηται, πλεονάζει τὸ κατ’ ἀρχὴν ο , ὡς καὶ ἐν τῷ ὅτῳ καὶ ὅτου καὶ ὅτων, ἀντὶ τοῦ ὧντινων, καὶ ὅτοισιν, ἀντὶ τοῦ οἷς, ὃ πλεονασμῷ τοῦ ε γίνεται ὁτέοισιν ὡς τουτέοισι, καὶ ὡς τὸ «ὅτεῳ ζώουσιν», ἀντὶ τοῦ ᾧτινι. Κῦδος δὲ ὑπέρτερον ἢ τὸ ὑπερκείμενον τῶν ἄλλων ἢ τὸ ἄνωθεν ἐκ θεοῦ. Τὸ δὲ «οὐκ ἐθέλει ἀμύνειν» αἴτιόν ἐστι τοῦ μινύθειν, [ὃ δὶς ἐνταῦθα κεῖται ὡς φιλητὸν τῇ ποιήσει. οὐ δήπου γὰρ ἄλλως.] (v. 493) Ἀρήγειν δὲ τὸ εἰς Ἄρην ἄγειν, ὅ ἐστι πορεύεσθαι, καθὰ καὶ βοηθεῖν τὸ εἰς βοήν, ἤγουν εἰς μάχην, θέειν. (v. 494 s.) Τὸ δὲ «ὃς δ’ ἂν ὑμῶν βλήμενος ἢ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ» θαρρύνει πρὸς κινδύνους τοὺς ἐν ἀγαθοῖς τοὺς πολίτας δι’ αὐτὸ τὸ καλόν, ὅτι δηλαδὴ μὴ ἀεικὲς ἀμυνομένους περὶ πατρίδος θνῄσκειν. οὐ γὰρ ἐπὶ δώροις καὶ μισθοφορᾷ πεσοῦνται, ὃ πρὸς ἀνάγκης ἔχουσιν οἱ ἐπίκουροι, πίπτειν ὠθούμενοι ἀνθ’ ὧν τὴν πόλιν δώροις τρύχουσι καὶ ἐδωδῇ, ὡς προδεδήλωται. Ἐνταῦθα δὲ χρήσιμον καὶ Ἡροδότου τὸ «μεγάλα πρήγματα μεγάλοις κινδύνοις θέλει καθαιρεῖσθαι». Διαφορὰν δὲ καὶ νῦν δηλοῖ τοῦ βάλλειν καὶ τύπτειν τὸ «βλήμενος ἠὲ τυπείς». θάνατος δὲ καὶ πότμος, ὥσπερ καὶ πόλεμος καὶ μάχη πολλαχοῦ συγκείμενα εἴρηνται, διὰ τί τοῦτο πάσχουσι.

3.760 (v. 497) Τὸ δὲ ἄλοχος σόη, πάνυ βιωτικῶς, φασίν, εἶπεν. οὐ γὰρ ἄν τις ἀνὴρ ὢν ἐρεῖ, ὡς ἐγὼ φιλοψυχήσας ζήσομαι πρὸ τῆς γυναικός, εἰς αἰχμαλωσίαν ἐκείνην προδούς. περὶ πολλοῦ γὰρ τὰς τῶν γυναικῶν ὕβρεις ποιούμεθα καὶ αὐτὰς ψυχὰς ὑπὲρ τῶν οἰκείων προϊέμενοι καὶ ὑπὲρ ἐκείνων οἴχεσθαι θέλοντες ἤπερ αἰχμαλωτισθείσας ἰδεῖν. Καὶ ἄλλως δέ, ζῆν δοκεῖ καὶ οὐ τῷ παντὶ τέθνηκεν ὁ φίλανδρος καὶ φιλότεκνος γυναῖκα ζῶσαν λιπὼν καὶ παῖδας. Ὅρα δὲ τὸ «σόη», θηλυκὸν ὂν τοῦ σόος. Διὰ δὲ τῶν παίδων, ὥς φασιν οἱ παλαιοί, σεμνότερον τὴν πᾶσαν δηλοῖ γενεάν, ἐπείτοιγε ἄλλως ἐξῆν εἰπεῖν «ἄλοχός τε σόη καὶ νήπια τέκνα». (v. 498) Κλῆρος δὲ ἢ ὡς περὶ ἀριστέων ἐρρέθη, οἷς ὁ βίος ἀπὸ μερίδων, ἐφ’ αἷς κλῆροι πάλλονται, ὅτε καιρὸς δάσασθαι, ἢ δηλοῖ ἄλλως, ὡς καὶ τὰ ἐκ προικὸς καὶ διαδοχῆς γένους κλήρῳ ἐλάγχανον. ὅθεν καὶ ἡ κληρονομία σύγκειται ὡς κλήρῳ διανεμομένη. μέμνηται δὲ οἴκου καὶ κλήρου οὐχ’ ὡς τῷ πεσόντι χρησίμων, ἀλλὰ τῇ γυναικὶ καὶ τοῖς παισίν, ὧν ἐκεῖνος ὑπερεκινδύνευσε. Κλῆρος δὲ νῦν οὐ τὸ σημεῖον, ᾧ λαγχάνουσιν, ἀλλὰ τὸ δι’ αὐτοῦ λάχος. Ἀκήρατος δὲ ὁ ἀκέραιος καὶ σῷος κατὰ στέρησιν τοῦ κείρεσθαι ἢ τῆς κηρός. (v. 499) Τὸ δὲ «σὺν νηυσίν» ἐκ περισσοῦ κεῖται πρὸς συντέλειαν στίχου. ἄλλως γάρ, τίς οὐκ οἶδεν, ὡς ἐκ Τροίας εἰς Ἑλλάδα σὺν νηυσὶν ὁ νόστος γίνεται; Τὸ δὲ «ἐς πατρίδα γαῖαν» γενικώτερον πέφρασται. δῆλον γὰρ ὡς οὐ πάντων Ἀχαιῶν μία τῷ ἀριθμῷ πατρὶς γαῖα, ἑκάστων δὲ ἄλλη καὶ ἄλλη. διὸ εὐθὺς μετ’ ὀλίγα ἐρεῖ «ἵξεσθαι ἣν πατρίδα γαῖαν ἕκαστος». (v. 502—5) Ὅτι ὁ Αἴας ἀντιδημηγορῶν τῷ Ἕκτορι καὶ ὀτρύνων τοὺς Ἀχαιούς φησιν «αἰδώς, Ἀργεῖοι, νῦν ἄρκιον», ἤγουν ἐπαρκοῦν ὑμῖν, «ἢ ἀπολέσθαι ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν. ἦ ἔλπεσθε, ἢν νῆας ἕλῃ κορυθαιόλος Ἕκτωρ, ἐμβαδὸν ἵξεσθαι ἣν πατρίδα γαῖαν ἕκαστος;» (v. 506—10) Εἶτα εἰπὼν ἐπ’ ὀνειδισμῷ τῶν Ἀχαιῶν τὸ «ἢ οὐκ ὀτρύνοντος ἀκούετε λαὸν ἅπαντα Ἕκτορος, ὃς δὴ νῆας ἐνιπρῆσαι μενεαίνει; οὐ μὰν ἔς γε χορὸν κέλεται ἐλθέμεν ἀλλὰ μάχεσθαι», ἐπάγει «ἡμῖν δὲ οὔ τις τοῦδε νόος καὶ μῆτις ἀμείνων ἢ αὐτοσχεδίῃ μῖξαι χεῖράς τε μένος τε». ὃ παραφράζων Ἕκτωρ μετ’ ὀλίγα ἐρεῖ «οὐ γὰρ ἔτ’ ἔστιν ἀποσταδὸν Ἀργείοισι μάρνασθαι».

3.761 (v. 511—3) Τούτοις δὲ ὁ Αἴας ἐπιφέρει γνωμικὸν «βέλτερον ἢ ἀπολέσθαι ἕνα χρόνον», ὀλίγον τινὰ δηλαδή, «ἠὲ βιῶναι ἢ δηθὰ στρεύγεσθαι ἐν αἰνῇ δηϊοτῆτι ὧδ’ αὔτως παρὰ νηυσὶν ἐν ἀνδράσιν», ἢ ὑπ’ ἀνδράσι, «χειροτέροισιν». Καὶ ὅρα τὸ μεγαλόφρον τοῦ ἥρως, εἰ καὶ νικῶντας

τοὺς ἐχθροὺς ἐξουθενοῖ χειροτέρους λέγων, ἧς δὴ λέξεως μὴ ἐρανιστέον τὴν χρῆσιν πρὸς ζῆλον πεζογραφίας, ὡς οὐδὲ τοῦ «ῥηΐτερον.» ἀρκεῖ γὰρ ἀντ’ αὐτῶν εἰς σύγκρισιν τὸ χεῖρον καὶ τὸ ῥᾷον, τὰ κοινά. εἰ δὲ γράφεται «ἀνδράσι παυροτέροισι», παύονται οἱ πολλοὶ λόγοι. Ὅρα δὲ ὅτι καὶ ὁ Αἴας, καθὰ καὶ ὁ Ἕκτωρ, ἐλλειπτικῶς ἔφη διὰ τὸ κατεπεῖγον τῆς ὥρας ἔν τε τῷ «αἰδὼς Ἀργεῖοι», ἔδει γὰρ εἰπεῖν, ὅτι αἰδώς ἐστιν ἐπὶ τοῖς γινομένοις ἤ τι τοιοῦτον, καὶ ἐν τῷ «οὐκ ἐς χορὸν κέλεται ἐλθεῖν ἀλλὰ μάχεσθαι». λείπει γὰρ τὸ «οἳ δὲ πείθονται», ἵνα λέγῃ ὅτι αὐτὸς μὲν κελεύει κινδυνεύειν, οἱ δὲ ὑπακούουσιν. Ἰστέον δὲ καὶ ὅτι λαμπροτέρα μὲν ἡ τοῦ Ἕκτορος δημηγορία, ἔτι δὲ καὶ σεμνοτέρα διὰ τὴν περὶ Διὸς ἔννοιαν καὶ τοὺς περὶ πατρίδος λόγους, πολιτικωτέρα δὲ ἡ τοῦ Αἴαντος καὶ ἐπιχειρηματικωτέρα καὶ οἵα μᾶλλον πείθειν. ἑπτὰ γὰρ συγκεκρότηται γενναίοις νοήμασι προτρεπτικοῖς. Ἔστι δὲ καὶ ἐμβριθεστέρα ἡ τοῦ Αἴαντος. Ἕκτωρ γὰρ προτρεπόμενος παρεντίθησί τι καὶ κολακικὸν ἐν τῷ «ἀνέρες ἐστὲ φίλοι», προτρέπεται δὲ ὁ Αἴας τοὺς Ἀχαιοὺς βιαιότερον Ἕκτορος εἰς θάνατον διὰ τὸν ἐπὶ ταῖς ναυσὶ κίνδυνον, ὧν στερηθέντες οὐκ ἂν ἀποπλευσοῦνται. καὶ πρὸς θανατῶντας δὲ τοὺς Τρῶας ἀντιθανατᾶν βούλεται τοὺς Ἀχαιούς. καὶ τοῦτο ἀναγκαίως. Τρῶες μὲν γὰρ δύνανται καὶ ἀνεῖναι ἄρτι τὴν μάχην, Ἀχαιοῖς δὲ οὐδεὶς νόος ἕτερος ἀμείνων τοῦ ἀποκινδυνεῦσαι, ἵνα εἰ μηδὲν τυχὸν ἀνύσουσι, τάχιον γοῦν ὀλοῦνται καὶ μὴ ἐπὶ μακρὸν εἶεν στρευγόμενοι, ὃ δὴ γνωμικῶς ῥηθὲν περιποιεῖταί τι σεμνὸν τῷ λόγῳ τοῦ Αἴαντος, ὃς καὶ πείθει τοὺς Ἀχαιούς, καθὰ καὶ ὁ Ἕκτωρ τοὺς ὑπ’ αὐτόν. διὸ καὶ ἐπ’ ἀμφοῖν ὁ ποιητὴς ἐπιφέρει τῇ δημηγορίᾳ τὸ «ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου». καὶ τοιάδε μὲν ταῦτα. (v. 504) Τὸ δὲ «ἢν νῆας ἕλῃ» Ἀττικόν ἐστι θέλημα. ἦν γὰρ ἄλλως κοινότερον τὸ «εἰ νῆας ἕλῃ».

3.762 (v. 505) Τὸ δὲ «ἐμβαδόν» ἀντὶ τοῦ βάδην καὶ πεζῇ, ὅθεν ἄβατος ἡ μὴ πορευομένη κατὰ τὸ «καί πως γένοιτ’ ἂν ὁδὸς ἄβατος βάτου περικειμένης», ὅπερ Ἀγαθαρχίδης ψέγει λογοπραγῶν. Ἕτεροι δὲ νοοῦσι ἐμβαδόν τὸν λεγόμενον ἐμβατήριον ῥυθμὸν καί, ὡς εἰπεῖν, εἰσιτήριον, πρὸς ὃν Λακεδαιμόνιοι τὴν πατρίδα εἰσέβαινον, ὅτε πολέμου νόμῳ ἐκράτησαν, ἵνα λέγῃ ὅτι ἦ οἴεσθε μέλψειν ἐπινίκιον ἕκαστος εἰς τὴν πατρίδα ἰών. Ὅτι δὲ παρὰ τοῖς μεθ’ Ὅμηρον ἐμβαδὸν λέγεται τὸ τῶν ἐπιπέδων σχημάτων χώρημα, ἐκδηλότατόν ἐστι. (v. 508) Τὸ δὲ «οὐ μὴν ἐς χορὸν κέλεται ἐλθεῖν» ἀντὶ τοῦ· οὐκ εἰς πανήγυριν ἀλλ’ εἰς κινδύνους καλεῖ. καὶ ὅμως εὑρίσκει πειθομένους μάχεσθαι, καθ’ ἡμῶν δηλαδή. πολλῷ δὴ πλέον ἡμᾶς μαχητέον. Ὅρα δὲ καὶ ὅτι τὸ μάχεσθαι ὀνοματικῶς καὶ νῦν κεῖται, ἵνα ᾖ· οὐ μὴν ἔς γε χορὸν κέλεται ἐλθεῖν ἀλλ’ εἰς μάχην. (v. 509) Τὸ δὲ «νόος καὶ μῆτις» ἀσφαλῶς ἔχει ῥηθέν. πολλαχοῦ γὰρ νοῦς μέν ἐστι, μῆτις δὲ οὐκ ἔστιν, οὐ γὰρ πᾶν τὸ νοηθὲν καὶ ἐξαγγέλλεται. (v. 510) Τοῦ δὲ «μῖξαι χεῖρας καὶ μένος» οὐκ ἔστι φράσαι καιριώτερον, [δι’ οὗ καὶ αὐτοῦ δηλοῦται σαφέστατα ἡ ὡς ἐπὶ πάλης συμπλοκὴ τῶν στρατευμάτων καὶ τὸ ὁμόσε πάντας γενέσθαι.] (v. 512) Στρεύγεσθαι δὲ τὸ στραγγίζεσθαι καὶ οἷον κατὰ στράγγα καὶ κατ’ ὀλίγον ἐκλείπειν, ὃ καὶ ἀπολιβάζειν φασὶν οἱ μεθ’ Ὅμηρον, οἱονεὶ κατὰ λιβάδα ὑπορρεῖν. (v. 515) Ὅτι πίπτει ἐνταῦθα Σχεδίος, ἀρχὸς Φωκήων, ὑπὸ τῷ Ἕκτορι, ὅν τινες μὲν προπαροξύνουσι ὡς τὸ Στρόφιος, οἱ πλείους δὲ παροξύνουσιν ὡς τὸ Δολίος, Κλονίος, ὃ καὶ ἐνδέχεται μάλιστα, πρὸς διαστολὴν τοῦ σχέδιος, ὃ δηλοῖ τὸν ἐγγύς.

3.763 (v. 516—8) Κεῖνται δ’ ἐνταῦθα, ὡς καὶ ἀλλαχοῦ, καὶ πρυλέες οἱ πεζοὶ ἐν τῷ «Αἴας δ’ ἕλε Λαοδάμαντα, ἡγεμόνα πρυλέων», καὶ Ὦτος δέ τις Κυλλήνιος, ἀρχὸς Ἐπειῶν, ὁμώνυμος τῷ προϊστορημένῳ ἥρωϊ. [Ὅρα δὲ τὸ «πρυλέων» παροξυτόνως ῥηθέν, ἐξ οὗ δῆλον, ὡς οὐκ ἐκ τοῦ πρύλις πρύλεως, ἀλλ’ ἐκ τοῦ πρυλής πρυλέος κατὰ τοὺς παλαιοὺς κλίνεται.] (v. 520) Ὅτι ἐν τῷ «ὕπαιθα λιάσθη Πουλυδάμας», ὅτε αὐτῷ Μέγης ἐπόρουσεν, ὕπαιθα μὲν ἀντὶ τοῦ εἰς τὸ ἰθὺ καὶ ἀντικρὺ καὶ ἔμπροσθεν. ἐκ πλαγίων γὰρ νοῆσαι τὸ ὕπαιθα οὐκ ἀρέσκει τοῖς παλαιοῖς. Λιάσθη δὲ οὐ τὸ ἐξέφυγεν ἀλλὰ κατεκλίθη, ὡς καὶ τὸ «ὃ δ’ ἄρα πρηνὴς ἐλιάσθη». (v. 525 s.) Ὅτι εἰπὼν Ὅμηρος πατρωνυμικὸν Δόλοψ Λαμπετίδης, ἵνα μή τις νοήσῃ Λαμπέτου υἱός, μεταφράζει

οὕτως «ὃν Λάμπος ἐγείνατο». ὥστε κατὰ πλεονασμὸν τὸ Λαμπετίδης παρῆκται. ὤφειλε γὰρ εἶναι Λαμπίδης. εἰ μὴ ἄρα ἴσως κατὰ διωνυμίαν καὶ Λάμπος ὁ αὐτὸς ἐκαλεῖτο καὶ Λάμπετος. Ὁμωνυμεῖ δὲ καὶ ὧδε κύριον ὁ Δόλοψ τῷ ἐθνικῷ, καθὰ καὶ ἐν τῷ Ἴμβριος καὶ Αἰγύπτιος. Κεῖται δ' ἐνταῦθα καὶ τὸ «εἰδώς» μετὰ γενικῆς, ὡς Ὁμήρῳ ἔθος. φησὶ γὰρ «Δόλοψ, αἰχμῆς εὖ εἰδώς», καὶ «εὖ εἰδότα θούριδος ἀλκῆς», ὃ δὴ καὶ αὐτὸ περὶ Δόλοπός φησιν. (v. 528 s.) Ὅτι διασαφῶν Ὅμηρος, ὡς οὐτάζειν ἐστὶ τὸ ἐκ τῶν ἐγγὺς πλήττειν, φησὶ «μέσον σάκος οὔτασε δουρὶ ἐγγύθεν ὁρμηθείς». (v. 529 s.) Ὅτι ἐν τῷ «πυκινὸς θώρηξ, ὃν ἐφόρει γυάλοις ἀρηρότα», γύαλα ἢ τὰ μέλη φησίν, ὅθεν καὶ ἐγγυαλίζειν τὸ εἰς χεῖρας διδόναι, ἢ τά, ὡς καὶ προερρέθη, κοιλώματα τοῦ θώρακος. Τὸ δὲ φορεῖν ἀγαθὴ τοιούτῳ τόπῳ λέξις ἐστίν, διὸ καὶ δὶς νῦν αὐτῇ χρᾶται. πάντως δὲ ἀρετὴ θώρακος τὸ προσαρηρέναι τῷ φοροῦντι. (v. 531) Ὅτι καὶ ἐνταῦθα Ἐφύρης ὁ ποιητὴς μέμνηται καὶ ποταμοῦ περὶ αὐτὴν Σελλήεντος, περὶ ὧν ἱκανῶς προεγράφη. Δῆλον δὲ ὅτι, ὥσπερ τριῶν Πύλων ἱστορουμένων παρ' ἑκάστῃ ποταμὸς ἠμαθόεις ἱστόρηται, οὕτω καὶ πολλαὶ μὲν Ἔφυραι, τοσοῦτοι δὲ ποταμοὶ καὶ περὶ αὐτάς.

3.764 (v. 530—3) Ποιεῖται δὲ καὶ μνείαν μονίμου πατρῴου δώρου ξενίας. τὸν γὰρ λεχθέντα θώρακα, ὃν ἐφόρει ὁ Φυλείδης Μέγης, ξεῖνος τῷ Φυλεῖ «ἔδωκεν ἄναξ ἀνδρῶν Εὐφήτης ἐς πόλεμον φορέειν, δηΐων ἀνδρῶν ἀλεωρήν». Ἐξ Ἐφύρης δὲ ἦν ὁ τοιοῦτος Εὐφήτης, ἣν Ἔφυραν οὐ διασαφεῖ Ὅμηρος ἐνταῦθα οἵα ἐστί. ψόγου δὲ οὐδὲν ἔχει οὐδὲ νῦν τὸ «ἀνδρῶν» ταὐτολογηθὲν συνεχῶς ἐν δυσὶ στίχοις. (v. 535 s.) Ὅτι ἀλλαχοῦ μὲν κύμβαχόν τινα ἐξ ἅρματος καταπεσεῖν ἔφη καὶ ἐρρέθη περὶ τούτου ἐκεῖ, ἐνταῦθα δὲ τὸ ἄνω πλῆξαι εἰς τὴν περικεφαλαίαν κύμβαχον νύξαι φησὶν εἰπὼν «τοῦ δὲ Μέγης κόρυθος χαλκήρεος ἱπποδασείης κύμβαχον ἀκρότατον νύξεν». (v. 537 s.) Εἶτα ἐπάγει πρὸς σαφήνειαν «ῥῆξε δ' ἀφ' ἵππειον λόφον, πᾶς δέ», ὁ λόφος δηλαδή, «χαμᾶζε κάππεσεν ἐν κονίῃσι, νέον φοίνικι φαεινός», ὅ ἐστι λάμπων φοινικῷ νεαρῷ χρώματι. Ἐξ ὀστοῦ ἦν ἄρα οὗτος ὁ λόφος, εἴγε βέβαπται. Καὶ ὅρα τὸ «κόρυθος κύμβαχον», πρὸς διαστολὴν τοῦ τῆς κεφαλῆς. Τινὲς δὲ οὕτω φασί· κύμβαχον τὸ ἄνω τοῦ κράνους. διὸ ἐπήγαγεν ἐξηγητικῶς τὸ ἀκρότατον. ἔτι δὲ καὶ ἄλλως, κύμβαχον τὸ ὑπὲρ κεφαλῆς διάκενον τῆς περικεφαλαίας, εἰς ὃ καθίεται ὁ λόφος. Εἴρηται παρὰ τὸν ἦχον τῆς κύμβης, ὅ ἐστι τῆς κεφαλῆς. ὅθεν καὶ κυμβία ποτήριά τινα κεφαλοειδῆ, ὡς εἰκός, καὶ κυβιστᾶν τὸ ἐπὶ κεφαλὴν ἑαυτὸν βάλλειν. συμβάλλεται δὲ εἰς τὸν τοιοῦτον νοῦν καὶ ἡ παρὰ τῷ Ὀππιανῷ ὀστρακόδερμος κύμβη. (v. 539) Ὅτι θάρρος ἐν μάχῃ δηλοῖ τὸ «πολέμιζε μένων, ἔτι δ' ἤλπετο νίκην». (v. 540—3) Ὅτι εὕρηται κἀνταῦθα δόλος οὐ ψεκτὸς οἷα στρατιωτικός. Μενέλαος γὰρ ἔστη «εὐρὰξ σὺν δουρὶ λαθών», βάλε δέ τινος «ὦμον ὄπισθεν, αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμώωσα, πρόσω ἱεμένη· ὃ δ' ἄρα πρηνὴς ἐλιάσθη», ὅ ἐστιν ἐκλίθη, ὡς πρὸ ὀλίγων εἴρηται. (v. 541) Τὸ δὲ εὐράξ, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, δηλοῖ μὲν τὸ ἐκ πλαγίου κατὰ τοὺς παλαιοὺς καί, ὡς εἰπεῖν, πλευράξ, ὅθεν καὶ γίνεται. Ἔχει δὲ ἀπορίαν, πῶς ὁ ἐκ πλευροῦ στὰς ὦμον βάλλει ἐχθροῦ ὡς καὶ στέρνου διελάσαι τὴν αἰχμήν. λύσῃ δ' ἄν τις τὸ ἄπορον εἰπών, ὡς πλευρόθεν στὰς ὁ Μενέλαος καὶ ἀφεὶς τὸν ἐχθρὸν προβῆναι καὶ νῶτα δεῖξαι, εἶθ' οὕτως ἔβαλε κατ' ἐκείνου.

3.765 (v. 542) Τοῦ δὲ «μαιμώωσα» διασαφητικόν τί ἐστι τὸ «πρόσω ἱεμένη». ἄμφω δὲ ὡς ἐπὶ ἐμψύχου τῆς αἰχμῆς γλυκέως εἴρηται κατὰ συνήθειαν ποιητικήν. (v. 545) Ὅτι οὐκ ἀναμφιλέκτως μέν, ὅμως δὲ σημειοῦνταί τινες, ὡς κασιγνήτους ἐνταῦθα ὁ Ἕκτωρ εἶπε τοὺς ἀνεψιοὺς ἢ ἁπλῶς συγγενεῖς. καί φασιν, ὅτι καὶ νῦν παρὰ Ἴωσιν οἱ συγγενεῖς κασίγνητοι λέγονται. (v. 545—7) Ἔχει δὲ οὕτως ἡ Ὁμηρικὴ φράσις «Ἕκτωρ δὲ κασιγνήτοισι κέλευσε πᾶσι μάλα, πρῶτον δ' Ἱκεταονίδην ἐνένιπτε» Μελάνιππον, ὅς, καθὰ καὶ ὁ προρρηθεὶς Λαμπετίδης Δόλοψ ὁ ἐκ τοῦ Λαομέδοντος, ἀνεψιὸς ἦν Ἕκτορι, οὐ μὴν ἀδελφός. οὐ γὰρ Πριαμίδης ὁ Ἱκεταονίδης ὡς οὐδὲ ὁ Λαμπετίδης. δημογέροντες δὲ καὶ ὁ Λάμπος καὶ ὁ Ἱκετάων προϊστόρηνται, ὧν οἱ παῖδες ἐνταῦθα πίπτουσι. (v. 547—51) Τὸν δὲ ῥηθέντα Μελάνιππον ὑπογράφων ἱστορικῶς, ὃ δὴ

πολλαχοῦ ἐπὶ πολλῶν ὁ ποιητὴς καὶ ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ ποιεῖ, λέγει ὅτι «ὃ δέ, ὄφρα μὲν βοῦς», [ὡς καὶ βασιλεῦσιν ἔθος,] «βόσκεν ἐν Περκώτῃ», περὶ ἧς προδεδήλωται, «αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι, ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι, ναῖε δὲ πὰρ Πριάμῳ, ὃ δέ μιν τίεν ἶσα τέκεσσιν». (v. 575—83) Ὃν καὶ οἰκτίζεται μετ' ὀλίγα ἡ ποιητικὴ Μοῦσα[, ὡς οἷα λόγου ἄξιον], καὶ στρέφουσα τὸν λόγον κατωτέρω φησίν, ὅτι Ἀντίλοχος αὐτῷ «ἐπόρουσε κύων ὥς, ὅς τ' ἐπὶ νεβρῷ βλημένῳ ἀΐξει. τὸν δ' ἐξ εὐνῆφι θορόντα θηρητὴρ ἐτύχησε βαλὼν ὑπέλυσε δὲ γυῖα· ὣς ἐπὶ σοί, Μελάνιππε, θόρεν Ἀντίλοχος μενεχάρμης τεύχεα συλήσων», μετὰ τὸ ἀνελεῖν αὐτὸν δηλαδή. Ἔνθα καὶ ὅρα ὅτι ἑρμηνεύων τὸ «βλημένῳ» ἐπήγαγε τὸ «θηρητὴρ ἐτύχησε βαλών», δηλῶν ὅτι οὐ τὸ ἁπλῶς ἀλλὰ ἐπιτυχῶς βέλει πλῆξαι ἡ λέξις δηλοῖ. (v. 548) Ὅρα δὲ καὶ τὸ «ὄφρα μὲν βοῦς», ληφθὲν ἀνωτέρω ἀντὶ τοῦ εἵως καὶ ἕως, ἃ δηλοῦσι τὸ τέως καὶ μέχρι τινός. καὶ οὕτω μὲν ταῦτα, [ἐν οἷς καὶ τὸ «βοῦς βόσκε» ψευδοπαρήχησίν τινα ὑπηχεῖ.] (v. 553—8) Τῶν δὲ λαληθέντων ὑπὸ τοῦ Ἕκτορος πρὸς Μελάνιππον πρὶν ἢ πεσεῖν, ἅπερ εἰσὶν «οὕτω δή, Μελάνιππε, μεθήσομεν, οὐδέ νυ σοί περ ἐντρέπεται φίλον ἦτορ ἀνεψιοῦ κταμένοιο; οὐχ' ὁράας οἷον», ἀντὶ τοῦ ὅπως, «Δόλοπος περὶ τεύχε' ἔπουσιν; ἀλλ' ἕπευ· οὐ γὰρ ἔτ' ἔστιν ἀποσταδὸν μάρνασθαι πρίν γ' ἠὲ κατακτάμεν ἠὲ κατ' ἄκρης Ἴλιον αἰπεινὴν ἑλέειν κτάσθαι τε πολίτας». Τοῦ δὴ τοιούτου λόγου ἔστι κατ' ἐπιλογὴν τῶν καιριωτέρων παρῳδηθῆναί τινα εἰς ἐπικουρίαν ἀγαθοῦ ἀνδρὸς ἐν πολέμῳ πεσόντος.

3.766 (v. 555 s.) Ἐνταῦθα δὲ ὅρα διαφορὰν τοῦ ἕπειν καὶ ἕπεσθαι, ὧν τὸ μὲν ἐνέργειαν δηλοῖ καὶ βλάβην δέ ποτε Ἰωνικῶς, τὸ δὲ ἀκολούθησιν. (v. 557) Τὸ δὲ «κατ' ἄκρης» κἀνταῦθα ἢ ἐπιρρηματικώτερον κεῖται ἀντὶ τοῦ ὁλοτελῶς ἢ τὴν ἀκρόπολιν δηλοῖ ἐλλιπῶς ληφθέν, ἵν' ᾖ κατ' ἄκρης πόλεως, διαλελυμένως εἰπεῖν κατὰ Ἴωνας. (v. 558) Τὸ δὲ «κτάσθαι», ὅ ἐστι φονευθῆναι, παροξύνεται, ὅτι μὴ φυσικῶς ἐκτείνει τὴν παραλήγουσαν κατὰ τὸ κτᾶσθαι, ἀφ' οὗ τὰ κτήματα. Τὸ δὲ «πολίτας» ἐκτείνει κἀνταῦθα συνήθως τὸ παραλῆγον δίχρονον. (v. 561 s.) Ὅτι καὶ ἐνταῦθα ταὐτολογικῶς κεῖται, ὅσα ἐλέχθη ἀλλαχοῦ περὶ τῆς αἰδοῦς. φησὶ γὰρ ὁ Αἴας φιλοτιμούμενος ἀντιλαλεῖν Ἕκτορι «ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ, ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας». (v. 563) Εἶτα τὸ γνωμικὸν «αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι» καὶ ἑξῆς. (v. 566) Ὅτι τὸ ὑπήκουσαν περιφράζων φησὶν «ἐν θυμῷ δ' ἐβάλοντο ἔπος», [ἤγουν εἰς νοῦν ἔθεντο ὡς οἷα νουθετηθέντες.] (v. 566 s.) Ὅτι ἕτερόν τι τεῖχος ἐξ ὅπλων σχεδιάζει ταῖς ναυσὶν ὁ ποιητής. διὸ καί φησι κατὰ ῥητορικὴν ἀλληγορίαν «φράξαντο δὲ νῆας ἕρκεϊ χαλκείῳ». Καὶ ἴσως οὐκ ἔξω χάριτος ἐρεῖ τις ἐντεῦθεν ὑφελέσθαι τὸν Ἀπόλλωνα, ὃν ἀνεῖλεν Ἀθηναίοις περὶ τοῦ ξυλίνου τείχους χρησμόν. Εἴσεται τοίνυν χάριτας Ὁμήρῳ καὶ ὁ Ἀπόλλων τῆς μεθόδου ταύτης, οὗ τὴν ἐκ σιδήρου ἀσφάλειαν ἕρκος εἰπόντος χάλκειον, ἤγουν τεῖχος σιδήρεον, ἐκεῖνος παραποιήσας ξύλινον τεῖχος ἔφη τὰς νῆας καὶ τὴν ἐξ αὐτῶν συγκρότησιν. Εἴποι δ' ἄν τις καὶ τὸν παρ' Ἡροδότῳ χρησμόν, ὃς χαλκέους ἄνδρας ἔφη τοὺς χαλκῷ καταφράκτους Ἴωνας καὶ Κᾶρας, ἐντεῦθεν εἰλῆφθαι. Ὅρα δὲ καὶ νῦν τὸ «ἐφράξαντο», ἐξ οὗ οἱ μεθ' Ὅμηρον κατάφρακτοι στρατιῶται, καθὰ καὶ τεῖχος ἐνταῦθα χαλκῷ κατάφρακτον. (v. 567) Ὅτι ἐν τῷ «ἐπὶ δὲ Ζεὺς Τρῶας ἔγειρε» πάνυ σεμνύνει τὸν Αἴαντα, εἴπερ Ἀργείους μὲν ὤτρυνεν μέγας Τελαμώνιος Αἴας, ἐπίτηδες νῦν καὶ οὐχ' ἁπλῶς ἄλλως μέγας προσφωνηθείς, Τρῶας δὲ ἤγειρε Ζεύς. εἰς ταὐτὸν γὰρ οἷον τούτους ἄγει. λέγει δὲ καὶ ὑποκαταβάς, ὅτι αἰὲν ἔγειρε Ζεὺς μένος μέγα τοῖς Τρωσί. Σημείωσαι δὲ ὅτι πρὸ τούτων μὲν ὁ ποιητὴς ἀπεσέμνυνε τὸν Ἕκτορα ἐπεξαγαγὼν αὐτῷ τὸν Ποσειδῶνα, ἐν οἷς εἶπεν ὡς δεινὴν ἔριδα πολέμου Ποσειδῶν τε καὶ Ἕκτωρ ἐτάνυσαν, ἐνταῦθα δὲ τὸν Αἴαντα ἐπὶ πλέον σεμνολογεῖ, ἀντιστράτηγον αὐτῷ τάξας τὸν Δία. (v. 569 s.) Ὅτι Μενέλαος ἐρεθίσαι μέλλων τὸν Ἀντίλοχον εἰς μάχην πρῶτα μὲν ἐπαινεῖ φάμενος «Ἀντίλοχε, οὔ τις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν οὔτε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποσὶ θάσσων οὔτ’ ἄλκιμος ὡς σὺ μάχεσθαι». Πρὸς ἡλικιώτας δὲ πάντως ἡ τοῦ Ἀντιλόχου αὕτη σύγκρισις, ἔνθα καὶ ὅρα ὡς οἱ ἔπαινοι χρήσιμοί εἰσιν ἐν καιρῷ.

3.767 (v. 571) Εἶτα ἐπιφέρων ἀξίωσίν φησιν «εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βάλῃσθα». Καὶ σημείωσαι καιριωτάτην ταύτην ἔλλειψιν. λείπει γὰρ τὸ ἀξιῶ ἢ τὸ θέλησον ἤ τι τοιοῦτον, ἵνα λέγῃ ὅτι σπεῦσον εἴπως τινά που τῶν Τρώων βάλῃς. (v. 573—5) Ὅτι ἀνδρείου στρατιώτου δήλωσις τὸ «ἐκ δ’ ἔθορε προμάχων καὶ ἀκόντισε δουρί φαεινῷ ἀμφί ἑ παπτήνας», ἤγουν ὧδε καὶ ἐκεῖ τὰ κατ’ αὐτὸν περιβλεψάμενος προμηθέστερον δι’ ἀσφάλειαν. «οἳ δὲ δεῖνα», ὡς καὶ ἐν ἄλλοις κεῖται, «κεκάδοντο ἀνδρὸς ἀκοντίσαντος. ὃ δ’ οὐχ’ ἅλιον βέλος ἧκε». Περὶ Ἀντιλόχου δὲ ὁ λόγος ἐνταῦθα τῷ ποιητῇ. (v. 580) Ὅτι Ὁμήρου παραβολικῶς εἰπόντος, ὡς ἐξ εὐνῆς θορόντα νεβρὸν θηρητὴρ ἔβαλε, περὶ οὗ πρὸ βραχέων ἐρρέθη, λαβὴν σχόντες οἱ ἰδιῶται κοιταῖα καλοῦσι τὰς ὀρεινὰς εὐνὰς τῶν θηρῶν, καὶ μάλισθ’ ὅτι καὶ θῆρες ὑληκοῖται παρὰ Ἡσιόδῳ λέγονται. (v. 579—81) Σημείωσαι δὲ καὶ ὅτι ἐν τῇ ἀνόπιν ἐκτεθείσῃ κατὰ τὸν νεβρὸν παραβολῇ, ἐν ᾗ κύων ἐπὶ νεβρῷ ἀΐξει, ὃν θηρητὴρ ἔβαλε, τὴν σπουδὴν μόνην τοῦ Ἀντιλόχου ὁ ποιητὴς δηλοῖ. ἄλλως γὰρ ἀνομοία πρὸς τὸ πρᾶγμα ἡ παραβολή. ὁ μὲν γὰρ κύων ὁρμᾷ εἰς νεβρόν, ὃν ἄλλος ἔβαλεν, ὁ δὲ Ἀντίλοχος εἰς νεκρόν, ὃν αὐτὸς ἔρριψεν (v. 578) Ἐν τούτοις δὲ ὅρα καὶ ὅτι πεσόντος Μελανίππου δυνάμενος Ὅμηρος παρηχῆσαι διὰ τοῦ εἰπεῖν μέλας θάνατος εἷλεν, ἤ τι τοιοῦτον, οὐκ ἠθέλησεν οὕτω ποιῆσαι, ἵνα μὴ παίξῃ ἐν οὐ παικτοῖς. (v. 584) Ὅτι στρατιωτικὴν προθυμίαν δηλοῖ τὸ «ὅς ῥά οἱ ἀντίος ἦλθε θέων ἀνὰ δηϊοτῆτα». (v. 585 s.) Ὅτι Ἕκτορος ἐπελθόντος «Ἀντίλοχος οὐ μεῖνε, θοός περ ἐὼν πολεμιστής, ἀλλ’ ὅ γὰρ ἔτρεσε θηρὶ κακὸν ῥέξαντι ἐοικώς», ὅ ἐστι λέοντι κατ’ ἐξοχήν. ἰδιότης δέ, φασί, λέοντος καὶ τῶν ὁμοίων ζῴων ἐστίν, ὅτε ἢ ποίμνῃ ἐπιβουλεύσωσιν ἢ βουκόλον κτείνωσιν ἢ κύνα ἢ ὅλως τοιοῦτόν τι κακουργήσουσι, συστέλλεσθαι δέει ποινῆς καὶ φεύγειν πρὶν ἢ ὑπ’ ἀνδρῶν καταλήφθωσι διὰ τὸ οἷον νοεῖν ὡς κακόν τι ἔρρεξαν. (v. 587 s.) Ὅπερ κακὸν ἑρμηνεύων ὁ ποιητὴς ἐπάγει «ὅς τε κύνα κτείνας ἢ βουκόλον ἀμφὶ βόεσσι φεύγει πρίν περ ὅμιλον ἀολλισθήμεναι ἀνδρῶν». Καὶ ὅρα ὅτι τε τὸ «οὐκ ἔμεινεν» ἡρμήνευσε διὰ τοῦ «ἔτρεσε», καὶ ὅτι δὶς ἔφη τὸ ἔτρεσε διὰ τὸ τῆς λέξεως καίριον, καὶ ὅτι καὶ νῦν τὸ ἔτρεσεν ἀντὶ τοῦ μετὰ δέους ἔφυγε, καὶ ὅτι ἐπίτηδες ὁ ποιητὴς καὶ νῦν θοὸν πολεμιστὴν ἱστόρησε τὸν Ἀντίλοχον, καὶ ἀνωτέρω δὲ εἶπεν ὡς οὔ τις αὐτοῦ ποσὶ θάσσων, οἷα ἐντιθέμενος τῇ ψυχῇ τοῦ ἀκροατοῦ τὸ τάχος τοῦ Ἀντιλόχου, ὡς δεησόμενος αὐτοῦ πάνυ ἀναγκαίως μετ’ ὀλίγα εἰς τὸν Ἀχιλλέα, ὅτε πεσεῖται ὁ Πάτροκλος.

3.768 (v. 590) Ὅτι ἐν τῷ «Τρῶες ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο» πολὺ πλῆθος δηλοῦται βελῶν ὑετοῦ δίκην καταφερομένων. εἴη δ’ ἂν οὐ καινὸν τὸν εἰπόντα που νέφος πολέμου εἰπεῖν καὶ βέλη ἐν μάχῃ χέεσθαι. (v. 592) Ὅτι ἀνεπεξέργαστος καὶ ἐνταῦθα παραβολὴ τὸ «Τρῶες δὲ λείουσιν ἐοικότες ὠμοφάγοισι νηυσὶν ἐπεσσεύοντο», ἤγουν κατὰ νηῶν ὥρμων. (v. 592—9) Εἶτα εὐθὺς ἐπαγαγὼν τὸ «Διὸς δ’ ἐτέλειον ἐφετμάς», ὅ ἐστιν ἐντολάς, «ὅς», φησίν, «αἰὲν ἔγειρε μένος μέγα», νῦν μὲν ἠρέμα ἑρμηνεύει τὸ «Διὸς δ’ ἐτελείετο βουλή», μετ’ ὀλίγα δὲ σαφέστατα ἐν τῷ «Ἕκτορι γὰρ βούλετο κῦδος ὀρέξαι, ἵνα νηυσὶ θεσπιδαὲς πῦρ ἐμβάλῃ ἀκάματον», καὶ ἔτι ἐν τῷ «Θέτιδος δ’ ἐξαίσιον ἀρὴν πᾶσαν ἐπικρήνειε», τὴν ἐπὶ τιμῇ τοῦ Ἀχιλλέως. Ἔνθα λέγει ἀρὴν μὲν σεμνότερον τὴν ἱκετείαν, ἐξαίσιον δὲ οὐ κατὰ τοὺς ὕστερον τὴν ἄγαν αἰσίαν, παρ’ οἷς ἡ ἐξ πρόθεσις δηλοῖ ἐπίτασιν, ἀλλὰ κατ’ ἄλλον λόγον τὴν ἔξω τοῦ αἰσίου, ὥσπερ αὖ πάλιν ἐναίσιμον τὸ καθῆκον καὶ ἐντὸς τοῦ αἰσίου. Οὕτω καὶ ἔκδικος καὶ ἐκδικεῖν νῦν μὲν ἐπὶ τοῦ ἄγαν δικαίου, πάλαι δέ ποτε ἐπὶ ἀδίκου καὶ ἀθέσμου τὸ ἔκδικον ἐλέγετο οἱονεὶ τὸ ἔξω δίκης. (v. 594) Ἐν τούτοις δὲ καὶ τὸ θέλγειν κατὰ οἰκεῖον ἔθος ἐπὶ κακοῦ θείς φησιν, ὅτι Ζεὺς ἔθελγε θυμὸν Ἀργείων, οὓς δηλαδὴ ἔβλαπτε ἐγείρων μένος μέγα τοῖς Τρωσί. (v. 595) Διὸ καὶ πρὸς πλείω σαφήνειαν ἐπάγει, ὅτι τε κῦδος αὐτοὺς ἀπαίνυτο, ἤγουν ἀφῃρεῖτο, «τοὺς δ’ ὀρόθυνεν», ὃ ταὐτόν ἐστι τῷ «σφίσιν ἔγειρε μένος». καὶ ὅτι «Ἕκτορί οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι», ἃ

δὴ ἔθελγε θυμὸν Ἀχαιοῖς, ἐξιστῶντα δηλαδὴ τοῦ κατὰ φύσιν ἐνεργεῖν ἀνδρικῶς. (v. 599—601) Ὅτι δέ, ὡς ἐρρέθη, βουλὴ Διὸς ἦν ἄρτι τὸ ὑπὲρ Ἕκτορος καὶ Ἀχιλλέως, δηλοῖ εὐθὺς εἰπὼν «τὸ γὰρ μενέαινε Ζεὺς νηὸς καιομένης σέλας ὀφθαλμοῖσιν ἰδέσθαι.

3.769 ἐκ γὰρ δὴ τοῦ», ἤγουν ἔκτοτε, «ἔμελλε παλίωξιν παρὰ νηῶν θησέμεναι Τρώων, Δαναοῖσι δὲ κῦδος ὀρέξαι», ὃ δὴ πρὸ τούτου εἶχεν Ἕκτωρ. Ἐν τούτοις δὲ ὅρα ὅτι τὸν φιλέλληνα συγχέας ὁ ποιητὴς ἀκροατήν, ἐφ' οἷς ποιεῖ καθ' Ἑλλήνων, παραμυθεῖται ὅμως ἄλλως αὐτὸν ἀναφωνῶν κατὰ προέκθεσιν, ὅτι ἔμενε Ζεὺς νῆα καιομένην ἰδέσθαι καὶ οὕτω παλίωξιν θέσθαι Τρώων, ὃ ἐφερμηνεύων ἐπήγαγε τὸ «Δαναοῖς δὲ κῦδος ὀρέξαι», οἳ δηλαδὴ ἐκ τοῦ φεύγειν στραφέντες καὶ ἔμπαλιν διώξαντες Τρῶας κῦδος ἕξουσι. (v. 611—4) Καὶ μετ' ὀλίγα δὲ εἰπών, ὅτι τὸν Ἕκτορα Ζεὺς «πλεόνεσσι μετ' ἀνδράσι μοῦνον ἐόντα τίμα καὶ κύδαινεν», ὅπερ παράφρασίς ἐστι τοῦ «Ἕκτορι γάρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι», ἐπάγει πάλιν κατὰ σχῆμα προαναφωνήσεως τὸ «μινυνθάδιος γὰρ ἔμελλεν ἔσσεσθαι. ἤδη γάρ οἱ ἐπώρνυε μόρσιμον ἦμαρ Παλλὰς Ἀθηναίη» ὑπὸ τῷ Ἀχιλλεῖ. Ταῦτα δὴ προαναφωνήσας τῷ φιλέλληνι τῷ μέχρι τοῦδε δυσχεραίνοντι τὴν τῶν Ἑλλήνων ἧτταν πείθει τὸ ἀπὸ τοῦδε καὶ εὔξασθαι ἂν τάχιον γενέσθαι τὴν εἰρημένην παλίωξιν, εἴπερ αὐτίκα καὶ ὁ Ἕκτωρ πεσεῖται καὶ οἱ Τρῶες οὕτω δεινὰ πείσονται. (v. 601) Δῆλον δὲ ὅτι παλίωξίς ἐστι, καθὰ καὶ προηρμήνευται, ὅτ' ἂν ἐξ ὑποστροφῆς διώκωσιν οἱ δεδιωγμένοι. (v. 603—6) Ὅτι ἐπειδὴ Ζεὺς νήεσσιν ἐπὶ γλαφυρῇσιν ἔγειρεν Ἕκτορα, μεμαῶτα καὶ αὐτόν, μαίνετο ὁ Ἕκτωρ «ὡς ὅτε Ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ οὔρεσι μαίνηται βαθέης ἐν τάρφεσιν ὕλης». (v. 607—11) Καὶ οὕτως ἐν δυσὶ γοργαῖς παραβολαῖς ἐμφήνας τὴν ἐκείνου σφοδρότητα ἐκφράζει τὰ κατ' αὐτὸν εἰς δήλωσιν τοῦ πῶς ἐμαίνετο, καί φησιν «ἀφλοισμὸς δὲ περὶ στόμα γίνετο, τὼ δέ οἱ ὄσσε λαμπέσθην βλοσυρῇσιν ὑπ' ὀφρύσι», ταῦτα δὴ ἃ καὶ μαινόμενοί τινες ἢ ἄκρως θυμούμενοι πάσχουσιν, «ἀμφὶ δὲ πήληξ σμερδαλέον κροτάφοισι τινάσσετο μαρναμένοιο Ἕκτορος· αὐτὸς γάρ οἱ ἀπ' αἰθέρος ἦεν ἀμύντωρ Ζεύς». (v. 608 s.) Καὶ ὅρα τὸ «πήληξ τινάσσετο» ἀλλαχοῦ μὲν δηλούμενον ἐν μιᾷ λέξει τῇ κορυθάϊξ καὶ κορυθαιόλος, οἷς ὅμοιον τὸ τριχάϊξ, ἐνταῦθα δὲ διατυπωθὲν περιφραστικῶς τε ἅμα καὶ δεινῶς διὰ τοῦ «σμερδαλέον» καὶ τοῦ «μαρναμένοιο». τὸ γὰρ κορυθάϊξ καὶ κορυθαιόλος φοβερὸν οὐδὲν ὑπεμφαίνουσιν ἁπλῶς οὕτω καθ' αὑτὰ λεγόμενα. Σημείωσαι δὲ ὅτι καὶ ἐν ταῖς ῥηθείσαις δυσὶ παραβολαῖς, ὃ καὶ ἀλλαχοῦ πεποίηται, ἡ μία τῶν παραβολῶν νοητή ἐστιν ἡ ἀπὸ τοῦ Ἄρεος —διὸ καὶ πάντῃ ἀνεπεξέργαστος κεῖται, ὅτι μηδὲ ἔστι διασκευάσαι Ἄρην μαινόμενον—, ἡ δὲ ἑτέρα αἰσθητή, ἡ τοῦ πυρός. Καὶ ἦν μὲν ἐπεξεργάσασθαι κἂν γοῦν ταύτην, καθὰ καὶ ἐν τῇ βῆτα Δία καὶ Ἄρην καὶ Ποσειδῶνα τοὺς ἐν παραβολῇ ἐπιδραμὼν τὴν κατὰ βοῦν παραβολὴν ὡς αἰσθητὴν διεσκεύασεν, οὐκ ἔκρινε δὲ οὐδ' αὐτὸ δέον εἶναι οἷα καὶ νῦν συνεπιτέμνων τοὺς λόγους τῷ καιρῷ.

3.770 διὸ καὶ συνεξέδραμεν ἡ τοῦ πυρὸς τῇ πρὸ αὐτῆς ἐπιτόμῳ παραβολῇ. Ὅρα δὲ καὶ ὅτι ἐκ μείζονος τοῦ Ἄρεος εἰς ἔλαττον κατέβη τὸ πῦρ, καθὰ καὶ ἐν τῷ «ὥς τε ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης», καὶ ὅτι τοῖς δεινοτάτοις κατὰ τοὺς παλαιοὺς ὁ ποιητὴς τὸν Ἕκτορα εἴκασεν Ἄρεϊ μαινομένῳ καὶ πυρὶ ὕλην ἐπινεμομένῳ. ἐφ' οὗ καὶ αὐτοῦ ἡ τροπὴ τὸ μαίνεσθαι οἰκειοῖ, καθ' ἣν καὶ δόρυ που μαίνεται ἐν παλάμαις, [ᾧ συγγενὲς ἀλληγορίας λόγῳ καὶ ὁ ἐγχέσπαλος Ἄρης, καθότι ἔγχος Ἄρεϊ παράκειται τῷ ἐκλαμβανομένῳ ἔστιν ὅτε εἰς σίδηρον.] Ἰστέον δὲ ὅτι συχνὰς ἐφεξῆς ἐρεῖ παραβολάς. Πεπύκνωται γὰρ καὶ τοῦτο τὸ χωρίον πολλαῖς καὶ δειναῖς παραβολαῖς πρὸς ἔμφασιν πραγμάτων μεγάλων καὶ δεομένων παραβολικῆς διαθέσεως. καὶ ἐν τούτοις μὲν ταῦτα. (v. 603 s.) Τὸ δὲ «ἔγειρε μεμαῶτα» παροιμιωδῶς ἔχει κατὰ τὸ «σπεύδοντα ὤτρυνεν», ὁ δὲ μάλα μεμαὼς μάλα μενεαίνων μετ' ὀλίγα λέγεται. (v. 605) Τὸ δὲ «ἐγχέσπαλος» πλεονασμὸν ἔχει τοῦ ς , ὡς καὶ τὸ θεσπέσιος, θέσκελος, θέσφατος. (v. 606) Τὸ δὲ «τάρφεσι» προπαροξυτόνως ὡς δάσεσι. Καὶ ἔστιν αὐτοῦ εὐθεῖα τὸ τάρφος, ὡς δάσος, δηλοῦν, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, ὕλης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πύκνωμα, ἐξ οὗ ἐστι ταρφῆναι, ὅ ἐστι τραφῆναι ζῷα. ἐξ αὐτοῦ δὲ ταρφύς ὀξυτόνως ὁ πυκνός, ὡς δασύς, οὗπερ οὐδέτερον τὸ ταρφύ. (v. 607) Ἀφλοισμὸς δὲ ὁ ἀφρὸς κατὰ Αἰτωλούς. γίνεται δὲ κατὰ τοὺς παλαιοὺς ἢ ἀπὸ τοῦ ἀφρισμός ἀμεταβόλου τοῦ ρ μεταβολῇ καὶ πλεονασμῷ τοῦ ο , ἢ παρὰ τὸ φλέω φλοισμός καὶ ἀφλοισμός. ὀξύνεται δέ, διότι τὰ εἰς μος ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ μ τὸ ς ὀξύνεται· μερισμός, ὁπλισμός. (v. 608) Λάμπεσθαι δὲ ὀφθαλμοὺς εἰπὼν ἐσίγησε τὸ πυρί, οὐ μόνον ὡς πολλαχοῦ ῥηθέν, ἀλλὰ καὶ ὅτι οὐκ ἦν ἀνάγκη προσθεῖναι καὶ αὐτό. Ἰστέον δὲ ὅτι διὰ τοῦ ἀφλοισμοῦ καὶ τῆς τῶν ὀφθαλμῶν βλοσυρᾶς λαμπηδόνος ἔοικεν ὁ ποιητὴς ἐθέλειν καὶ συῒ τὸν Ἕκτορα εἰκάσαι, ἢ καὶ ὤκνησεν ἐκτυπώσασθαι αὐτό, ἵνα μὴ ἀχρειώσῃ τὰς ἀνωτέρω σεμνὰς παραβολὰς τὴν ἐκ τοῦ Ἄρεος καὶ τὴν ἐκ τοῦ πυρός.

3.771 ἄλλως δέ γε εἰπεῖν, μαινομένῳ οἰκεῖον καὶ ὁ ἀφλοισμὸς καὶ τὸ τοὺς ὀφθαλμοὺς λάμπεσθαι. ὃ δὴ πάσχειν ὁ Ἕκτωρ ὑπὸ θυμοῦ δοκεῖ. Σημείωσαι δὲ καὶ νῦν τὸ βλοσυρὸν δι' ἑνὸς ς γραφόμενον καὶ οὕτω συμβαλλόμενον εἰς δάκτυλον μετρικόν. ὅθεν δὲ ἡ τοιαύτη γίνεται λέξις, δηλοῦται ἑτέρωθι. (v. 610) Τοῦ δὲ «ἀμύντωρ» θέμα τὸ ἀμύνω, ἐξ οὗ καὶ κύρια ὁ Ἀμύντας καὶ ὁ Ἀμυνίας. (v. 610—2) Ἰστέον δὲ καὶ ὅτι θεόθεν ἐπικουρίας καὶ τιμῆς δηλωτικὸν παρῳδηθὲν τὸ «αὐτὸς γάρ οἱ ἀπ' αἰθέρος ἦεν ἀμύντωρ θεός, ὅς μιν πλεόνεσσι μετ' ἀνδράσιν», ὡς προεγράφη, «τίμα καὶ κύδαινεν». (v. 612—4) Ὅτι καὶ ἐνταῦθα μνήμη Ἀχιλλέως εὐμέθοδος κεῖται καὶ προαναφώνησις ἀκροατὴν ψυχαγωγοῦσα φιλέλληνα, λέγουσα ὡς «μινυνθάδιος», καθὰ καὶ αὐτὸ προείρηται, «ἔμελλεν ἔσεσθαι» ὁ Ἕκτωρ, οἷα ἤδη τεθνηξόμενος ὑπὸ τῷ Πηλείδῃ. διὸ καὶ ἐκύδαινεν αὐτὸν ὁ Ζεύς, καθὰ καὶ τὸν Ἀχιλλέα, διὰ τὸ ὀλιγοχρόνιον. (v. 615 s.) Ὅτι ὁ Ἕκτωρ «ἔθελε ῥῆξαι στίχας ἀνδρῶν πειρητίζων», ἤτοι ἀποπειρώμενος, «ᾗ δή», τουτέστιν ὅπου, «πλεῖστον ὅμιλον ὅρα καὶ τεύχε' ἄριστα», οἷα εἰδώς, ὡς εἰκός, ὅτι ἤμειψαν οἱ Ἀχαιοὶ τὰ ὅπλα. διὸ καὶ φιλοτιμεῖται τοῖς ἀρίστοις μάχεσθαι. (v. 617 s.) «Ἀλλ' οὐδ' ὧς δύνατο», φησί, «ῥῆξαι, μάλα περ μενεαίνων· ἴσχον γάρ», τουτέστιν ἀντεῖχον, «πυργηδὸν ἀρηρότες», οἱ Ἕλληνες δηλαδή. Τί δέ ἐστι τὸ πυργηδόν, προδεδήλωται, καὶ ἰστέον ὅτι συνεπινοεῖται μὲν τῷ πυργηδὸν καὶ λίθων στοιβή, ἐς ὧν οἱ πύργοι. (v. 618—22) Ὁ δὲ ποιητὴς ἄλλως εἰς ἓν ἀποβλέψας μέγα καὶ οὐδὲ εὐδιάλυτον κατὰ τὸν πύργον φησὶ παραβολικῶς ἀρηρέναι αὐτοὺς «ἠΰτε πέτρη ἠλίβατος μεγάλη, πολιῆς ἁλὸς ἐγγὺς ἐοῦσα, ἥ τε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα κύματά τε τροφέοντα, τά τε προσερεύγεται ἀκτήν» ἢ ἀκτῇ, ἢ μᾶλλον, τά τε προσερεύγεται αὐτήν, «ὧς Δαναοὶ Τρῶας μένον ἔμπεδον οὐδὲ φέβοντο», τουτέστιν οὐχ' ἁπλῶς ἔμπεδον ἀκινητίζοντες ἵσταντο, ἀλλὰ καθότι μόνον οὐκ ἔφευγον. ἄλλως γὰρ κατεπονοῦντο. Ὅρα δὲ τὸ ῥῆξαι δισσευθὲν μὲν διὰ τὸ καίριον, ῥηθὲν δὲ ὡς ἐπὶ δεσμοῦ. σύνδεσμος γάρ τις καὶ ὁ συνασπισμός, ὃς διακοπεὶς ῥήγνυσθαι καὶ λύεσθαι λέγεται, ἃ δὴ πάθη δεσμοῦ. Δῆλον δέ, ὅτι τὸ ῥῆξαι ἀνδρῶν στίχας τὸν ῥηξήνορα συντίθησι. (v. 615) Τοῦ δὲ πειρητίζειν προϋπόκειται τὸ πειρῶ πειρήσω πειρητός, ὅθεν πειρητῶ, ὡς ἄτακτος ἀτακτῶ, καὶ κατὰ παραγωγὴν πειρητίζω ὁμοίως τῷ πολεμῶ πολεμίζω καὶ τοῖς τοιούτοις. (v. 618) Τὸ δὲ «ἠΰτε πέτρη» ἐπίτασίς ἐστι τοῦ πυργηδόν ἢ καὶ ἐπιδιόρθωσις.

3.772 διαλυτὸς μὲν γάρ, ὡς ἐρρέθη, ὁ πύργος, ὁ δὲ σκόπελος δυσδιαίρετος διὰ τὸ συνεχές. (v. 619) Τὸ δὲ «ἠλίβατος» οὐ μόνον ἐψίλουν οἱ παλαιοί, καθὰ καὶ ἄλλοθι ἐδηλώθη, ἀπὸ τοῦ ἀλιτεῖν, ὅ ἐστιν ἀποτυχεῖν καὶ ἁμαρτεῖν τῆς ἐκεῖ βάσεως, ἀλλά τινες καὶ ἐδάσυνον, ἀπὸ τοῦ εἰς τὰ ὑψηλὰ πρῶτα τὸν ἥλιον βαίνειν. τούτοις δὲ οὐ πείθεται ἡ παράδοσις. συγκέκοπται δὲ ἡ λέξις· ἠλιτόβατος γὰρ ὤφειλεν εἶναι ὡς ἠλιτόμηνος. Τὸ δὲ «μεγάλη» δίδωσι καὶ πλάτος πολὺ συνεπινοεῖσθαι τῷ ὕψει τῆς ῥηθείσης πέτρας. Τὸ δὲ «ἁλὸς ἐγγύς» οὐχ' ἁπλῶς τέθειται, ἀλλὰ διότι ἐχρῆν τοιαύτῃ πέτρᾳ εἰκάσαι τοὺς πρὸς τῇ θαλάττῃ μένοντας Ἕλληνας. (v. 620) Λιγὺς δὲ οὐ μόνον ἐπὶ ῥήτορος ὡς τὸ «λιγὺς ἀγορητής», ἀλλὰ καὶ ἁπλῶς ἐπὶ φωνῆς ὀξείας, ὅθεν καὶ λιγεῖς ἄνεμοι καὶ μάστιξ λιγυρὰ καὶ λιγαίνειν οὐ μόνον τὸ ῥητορικῶς ὑμνεῖν ἀλλὰ καὶ τὸ ὀξέως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φωνεῖν, ὥς που καὶ Πύλιοι κήρυκες ἐλίγαινον. Τὸ δὲ «λαιψηρὰ κέλευθα» συγκροτεῖ τοὺς εἰπόντας ποδήνεμον καὶ ἀελλόπουν τὸ ποδῶκες. (v. 621) Τροφέοντα δὲ κύματα ἢ τροφόεντα, γράφεται γὰρ διχῶς, τὰ μεγάλα καὶ εὐτραφῆ, ἢ τὰ εὐπαγῆ καὶ στερεὰ ἐκ τοῦ προδεδηλωμένου τρέφω, ἐξ οὗ καὶ τροφή, ἡ τὸ σῶμα συμπηγνύουσα. μετ’ ὀλίγα δὲ ἀνεμοτρεφὲς ἐρεῖ κῦμα, προστιθεὶς δηλαδὴ καὶ ὑφ’ οὗ αἰτίου τὰ κύματα τρέφονται· ὑπ’ ἀνέμου γάρ. (v. 623) Ὅτι Ἕκτωρ «λαμπόμενος πυρὶ πάντοθεν ἔνθορεν ὁμίλῳ». Καὶ ὅρα νῦν τὸ «πυρὶ λαμπόμενος» τολμηρῶς ῥηθὲν καὶ ἐπιφωνηματικῶς. πυρὶ δὲ λάμπεται ἢ διὰ τὴν τῶν ὅπλων λαμπρότητα, οἷόν τι καὶ ἐπὶ Διομήδους προελέχθη καὶ ἐπὶ τοῦ Ἀχιλλέως δὲ ῥηθήσεται, ἢ μᾶλλον αὐτόχρημα πυρὶ λέγει τῷ κομιζομένῳ εἰς καῦσιν τῶν νηῶν. πολλοὶ γὰρ οἱ κομίζοντες, ἐξ ὧν δώδεκα πυρφόρους ὁ Αἴας ἀνελεῖ.

3.773 Ἴσως δὲ πυρὶ πάντοθεν λάμπεσθαι λέγεται διὰ τὸ καὶ αὐτὸν δέμας πυρὸς μάχεσθαι καὶ διὰ τὸ πανταχόθεν περὶ αὐτὸν καυστειρὰν μάχην εἶναι κατὰ τὸ «πάντῃ γάρ σε περὶ στέφανος πολέμοιο δέδηε». (v. 624—28) Καὶ σημείωσαι ὅτι καιρίως δυνάμενος ἐνταῦθα ὁ ποιητὴς παραβολῇ χρήσασθαι τῇ ἀπὸ πυρὸς ἢ πυρώδους τινὸς οὐ διέκρινεν οὕτω ποιῆσαι, ὁρμηθεὶς δὲ ἄλλως ἐκ τοῦ, ὡς ἐρρέθη, «ἔνθορεν ὁμίλῳ», ἐπάγει παραβολὴν ταύτην «ἐν δ’ ἔπεσεν ὡς ὅτε κῦμα θοῇ ἐν νηῒ πέσῃσι λάβρον ὑπαὶ νεφέων ἀνεμοτρεφές· ἣ δέ τε πᾶσα», ἤγουν ὅλη, «ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτης ἱστίῳ ἐμβρέμεται, τρομέουσι δέ τε φρένα ναῦται δειδιότες, τυτθὸν γὰρ ὑπ’ ἐκ θανάτοιο φέρονται». Κίνδυνον δὲ ναυτικὸν ἐξέφρασεν ἡ παραβολή. Ἔνθα ὅρα ὅπως τῷ πράγματι συνεκτραχύνει συνήθως τὴν φράσιν ὁ ποιητὴς τραχείαις καὶ δυσεκφωνήτοις πολλαῖς χρησάμενος λέξεσιν, ἐν αἷς καὶ τὸ ὑπεκρύφθη, δύσφωνον ὂν καὶ αὐτό, καθὰ καὶ τὸ ἐβλάφθη καὶ ὅσα τοιαῦτα. (v. 629) Δοκεῖ δ’ ἐν τῇ εἰρημένῃ παραβολῇ καιριώτατα παρειλῆφθαι καὶ ἡ ἄχνη, ὡς δηλοῖ ἐν τῇ ἀποδόσει τὸ «ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν». οὐ γὰρ μόνον ἔτρεμον οἱ Ἀχαιοὶ κατὰ ἱστίον, ἐν ᾧ βρέμει ἀήτης, ἀλλὰ καὶ κατὰ τὴν λεπτομέρειαν τῶν κατὰ τὴν ἄχνην ὑδατίων ἐδαΐζοντο εἰς μερίμνας μυρίας. (v. 624) Τὸ δὲ ἐμπεσεῖν βίαν καὶ νῦν δηλοῖ καὶ ἰσχὺν καὶ ἐνέργειαν ἐπί τε ἀνδρὸς ἐπί τε κύματος, ὃ καὶ ἐπεισπεσεῖν λέγεται. (v. 625) Λάβρον δὲ καὶ νῦν συνήθως διὰ τοῦ β τὸ λίαν βαρύ. [Οὕτω δὲ καὶ λάβρος ἄνεμος διὰ τοῦ β , ὡς λίαν βαρύνων, εἰ καί τινες ἐπιθυμοῦσι γράφειν αὐτὸν διὰ τῆς αυ διφθόγγου παρὰ τὴν αὖραν, καὶ ὁ λαβραγόρας δὲ διὰ τοῦ β , οὐχ’ ἧττον δὲ τούτων ὁ λάβραξ διὰ τὸ λίαν βορόν. Ἡ μέντοι δημοσία ὁδός, λαῦρα λεγομένη ἐν Ὀδυσσείᾳ, ἐστέρηται ἀναγκαίως τοῦ β διὰ τὸ ἐπένθεσιν Αἰολικὴν ἔχειν τοῦ υ .

3.774 σύγκειται γὰρ ἐκ τοῦ λαὸν ῥέειν δι’ αὐτῆς. τοιούτῳ δὲ λόγῳ καὶ γυνὴ σκωπτικῶς λέγεται σποδησιλαῦρα, ἡ ἐν δημοσίαις λαύραις ἀναφανδὸν σποδουμένη ὡς χαμαιτύπη.] Τοῦ δὲ «ὑπαὶ νεφέων» διασαφητικὸν τὸ ἀνεμοτρεφές. ἄλλως γὰρ οὐκ ἂν εἴη κῦμα ἐκ νεφῶν, εἰ μὴ δι’ ἀνέμου, κἂν αὐτὰ εἴπῃ τις τὰ κωφὰ κύματα. Ἔχει δὲ ὁ λόγος καὶ διαστολὴν πρὸς κύματα, ὅσα τε μὴ ἄνωθεν ἀλλὰ τυφωνικοῖς κάτωθεν ἀνεγείρονται πνεύμασι, καὶ ὅσα ποιοῦσιν ἄμπωτιν. Ἀνεμοτρεφὲς δὲ ἀλλαχοῦ μὲν ἔγχος, νῦν δὲ κῦμα ἀνεμοτρεφές, ὃ ἀνέμῳ τρέφεται, ὅ ἐστι πήγνυται, συνίσταται, αὔξεται. ἀλλαχοῦ δὲ τρόφι κῦμά φησι διὰ τὴν αὐτὴν αἰτίαν οἱονεὶ τὸ ἀνέμου τρόφιμον. Ἕτεροι δὲ ἀνεμοτρεφὲς τὸ εὔτονον λέγουσι. Σιμωνίδης γοῦν, φασί, κατὰ τοῦτο τὸ σημαινόμενον πύλας ἀνεμοτρεφέας λέγει, τὰς εὐτόνους δηλαδή. (v. 626) Περὶ δὲ ἄχνης πολλαχοῦ εἴρηται. Ἀήτης δὲ ἀνέμου ἡ πνοή. ἔφη δὲ καὶ πρὸ τούτου ἀργαλέων ἀνέμων ἀήτας, ἡ δὲ χρῆσις πολλὴ καὶ παρὰ Ἡσιόδῳ. Ἰστέον δὲ ὡς ἐνταῦθα μὲν τὸ «δεινὸς ἀήτης» γένος ἀρσενικὸν ὑποβάλλει νοεῖν, ἐν δὲ τῷ «ἀνέμοιό τε δεινὰς ἀήτας» θηλυκῶς ἡ φράσις ἔχει. (v. 627) Τὸ δὲ «ἐμβρέμεται» καὶ κατ’ ἐνέργειαν ἀλλαχόθι προφέρεται. δῆλον δὲ ὡς ἐμπεσὼν ἄνεμος ἱστίῳ, καθὰ καὶ κῦμα νηΐ, εἶτα καὶ ἐμβρέμεται. Τὸ δὲ «τρομέουσι φρένα» διέσταλται τοῦ κατὰ σῶμα τρόμου. (v. 628) Σημείωσαι δὲ καὶ ὅτι Ὅμηρος μὲν ἀορίστως φησὶ τοὺς

ναυτιλλομένους τυτθὸν ὑπ’ ἐκ θανάτοιο φέρεσθαι, Ἀνάχαρσις δὲ καὶ δακτύλοις μετρεῖ τὸ διάστημα, ὃς ἐρωτήσας ἐν τῷ πλέειν, ὁπόσον ἐστὶ πάχος τῶν σανίδων τοῦ τῆς νηὸς ἐδάφους, καὶ μαθὼν ὡς τοσοίδε δάκτυλοι, ἔφη ὅτι τόσον καὶ τοῦ θανάτου ἀπέχομεν. Ἄρατος δὲ τὸ Ὁμηρικὸν παραφράζων φησὶν «ὀλίγον δὲ διὰ ξύλον Ἄϊδ’ ἐρύκει». [Ἰστέον δὲ ὅτι τὸ «φέρονται» κυριολεκτικῶς εἶπεν ἐπὶ ναυτιλλομένων. φέρει γὰρ καὶ ἡ ναῦς τὰ ἔνδον αὐτῆς. ἐκ τούτου δὲ τοῦ ῥήματος καὶ φόρτος νηὸς ὁ καὶ γόμος, οὗ καὶ αὐτοῦ χρῆσις παρὰ τοῖς παλαιοῖς] (v. 629) Ὅρα δὲ καὶ ὡς ἡ τῆς παραβολῆς ἀπόδοσις καινοτέρα καὶ οὐ πάνυ συνήθης ἐστίν. ἤρξατο μὲν γὰρ ἐκ τοῦ ἐνεργοῦντος Ἕκτορος, εἰπών· ἐνέπεσε τῷ ὁμίλῳ ὡς κῦμα νηΐ, ἀπέδωκε δὲ πρὸς τὸν πάσχοντα ὅμιλον, φησὶ γὰρ «ὣς ἐδαΐζετο θυμὸς Ἀχαιῶν».

3.775 πῶς δὲ ἐδαΐζετο, εἴρηται. (v. 630) Ὅτι καὶ ἑτέραν παραβολὴν ὁ ποιητὴς ἐπιπλέκων ἐκ λέοντος ἀπειρίαν ἐν αὐτῇ αἰτιᾶται νομέως νέμοντος πολλὰς βοῦς ἐν μεγάλῳ ἕλει, ὃς πρωτόπειρος ὢν τοῦ βουκολεῖν ἀεὶ πρώταις καὶ ὑστάταις βουσὶν ἕπεται καὶ οὐ περιέρχεται κύκλῳ τὸ βουκόλιον, οἷα οὔπω σάφα, ἤγουν ἐμπείρως, εἰδὼς θηρὶ μάχεσθαι, διὰ κυνῶν τυχὸν ἐπαφέσεως ἢ δᾴδων προέσεως, ὥς φασιν οἱ παλαιοί. ὅθεν ὁ λέων ἐν μέσαις ὁρμήσας ποιεῖ τὸ ἴδιον. (v. 630—9) Ἡ δὲ Ὁμηρικὴ τῆς παραβολῆς φράσις τοιαύτη ἐπισυναφθείσης εὐθὺς τῇ ἀπὸ τοῦ κύματος «αὐτὰρ ὅ γ’ ὥς τε λέων ὀλοόφρων βουσὶν ἐπελθών, αἵ ῥά τ’ ἐν εἱαμενῇ ἕλεος μεγάλοιο νέμονται μυρίαι, ἐν δέ τε τῇσι νομεὺς οὔ πω σάφα εἰδὼς θηρὶ μαχέσασθαι ἕλικος βοὸς ἀμφὶ φονῇσιν. ἤτοι ὃ μὲν πρώτῃσι καὶ ὑστατίῃσι βόεσσιν αἰὲν ὁμοστιχάει, ὃ δέ τ’ ἐν μέσσῃσιν ὀρούσας, βοῦν ἔδει, αἳ δέ τε πᾶσαι ὑπέτρεσαν· ὣς τότ’ Ἀχαιοὶ θεσπεσίως ἐφόβηθεν» καὶ οὐ κατ’ ἀνθρωπίνην ἀκολουθίαν, «ὑφ’ Ἕκτορι καὶ Διῒ πατρὶ πάντες», ὁ δὲ ἕνα τινὰ ἔπεφνε, τὸν ἐφεξῆς ῥηθησόμενον, «Κοπρῆος φίλον υἱόν, Μυκηναῖον Περιφήτην». Πρὸς ὃ δὴ καὶ μόνον, ἤγουν πρὸς τὸ ἐκ πολλῶν τρεσάντων ἕνα φονευθῆναι, εἴληπται ἡ παραβολή, καθὰ δηλοῖ ἡ ἀπόδοσις. τῶν γὰρ λοιπῶν αὐτῆς τὰ πλείω ἀγλαΐαν ἄλλως ἔχει παραβολῇ πρέπουσαν καὶ πολυπειρίαν καὶ ἐντέλειαν συνήθη παραβολικήν. Οὐ γὰρ δήπου διὰ νομέως ἀπειρίαν οἱ Ἀχαιοὶ φεύγουσιν, ἀλλ’ ἐπικειμένου Διός. Σημείωσαι δὲ ὅτι οὐκ εὐσύντακτος ἡ τοιαύτη παραβολή, ἀλλὰ δυσαπόδοτος καὶ καινοπρεπής. ἀρξάμενος γὰρ ἀπὸ εὐθείας «αὐτὰρ ὅ γε», ἤγουν ὁ Ἕκτωρ, «ὥς τε λέων ὀλοόφρων βουσὶν ἐπελθών» καὶ τὰ ἑξῆς, ὡς ἐξετέθη, οὐκ ἀπέδωκε συνήθως οἷον· ὣς ὁ Ἕκτωρ ἐποίησε τάδε, ἀλλ’ ἀνακολούθως πρὸς τοὺς Ἀχαιούς, οὓς εἴκασε φευγούσαις βουσίν, ἐποίησε τὴν ἀπόδοσιν, εἰπὼν «ὣς τότε Ἀχαιοὶ θεσπεσίως ἐφόβηθεν». εἰδὼς δὲ ὡς οὐ πάνυ ὀρθῶς ἀπέδωκεν, ἐμηχανήσατο παραμυθίαν, ἐπαγαγὼν εὐθὺς τὸ «ὑφ’ Ἕκτορι καὶ Διῒ πατρί». ὅθεν λαβὼν ἀφορμὴν εἶπε καὶ τὴν κατὰ φύσιν ἀπόδοσιν τὸ «ὃ δ’ οἷον ἔπεφνε» τὸν δεῖνα, ἵνα εἴη τὸ σχῆμα τῆς παραβολῆς τοιοῦτον· καθὰ λέων βουσὶν ἐπελθὼν ἁρπάζει τινὰ μίαν, αἱ δὲ λοιπαὶ πᾶσαι ὑπέτρεσαν, οὕτως τότε Ἀχαιοὶ μὲν πάντες ἐφόβηθεν ὑφ’ Ἕκτορι καὶ Διΐ, ὁ δὲ Ἕκτωρ ἕνα τὸν δεῖνα ἔπεφνεν. Ἰστέον δὲ ὅτι τὸ μὴ εὐσύντακτον τῆς ῥηθείσης παραβολῆς γέγονε διὰ τὸ μιᾶς αὐτῆς δύο ἀποδόσεις κεῖσθαι, μίαν περὶ Ἀχαιῶν, καὶ μίαν περὶ Ἕκτορος. ὧν φυσικωτέρα ἦν εὐτάκτως ἡ τοῦ Ἕκτορος. διὸ καὶ ὕστερον αὐτὴν ἐταμιεύσατο, ἵνα δι’ αὐτῆς ὁ λόγος συνεχισθεὶς ὕφος ἓν γένηται.

3.776 σκοπὸν γὰρ ἔθετο εἰπεῖν ἔπαινον τοῦ ῥηθέντος Κοπρείδου Περιφήτου καὶ ἀπ’ αὐτοῦ φυλάξαι τὴν εὔτακτον ἀκολουθίαν τῆς ἱστορίας. διὸ καί, ἵνα μὴ περικόψῃ τὴν τοιαύτην τοῦ λόγου ἁρμονίαν ἡ τῶν φοβηθέντων Ἀχαιῶν ἀπόδοσις, τίθησι πρῶτον αὐτήν, εἶτα μεταβὰς εἰς τὴν κατὰ τὸν Ἕκτορα φυλάσσει τὴν ἱστορικὴν συνέχειαν. Εἰ δέ τις εἴποι καὶ ἐπίτηδες τῇ τῶν πραγμάτων ἄρτι καινότητι τὴν ποιητικὴν συνεξομοιωθῆναι φράσιν καὶ δεινωθῆναι πλέον τοῦ συνήθους ὡς οἷον ἐνθουσιῶντος Ὁμήρου μεγαλοπρεπέστερον, εἴποι ἂν οὐκ ἀπροσφυῶς. Ὅρα δὲ καὶ ὅτι ἐν τῇ ῥηθείσῃ παραβολῇ σχῆμα κεῖται Ὁμήρῳ σύνηθες, δύο πραγμάτων προϋποκειμένων ἡ πρὸς τὸ δεύτερον ἀπάντησις. Εἰπὼν γὰρ ὡς δὲ λέων μίαν βοῦν ἐσθίει, αἱ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λοιπαὶ φεύγουσιν, οὐκ ἀπήντησε πρῶτον πρὸς τὸ πρῶτον, εἶτα πρὸς τὸ δεύτερον, ἵνα ἦν ὡς ὁ μὲν Ἕκτωρ ὁ οἱονεὶ λέων ἕνα ἐφόνευσεν, οἱ δὲ λοιποὶ Ἀχαιοὶ οἱ ὡσανεὶ βόες πάντες ἔφυγον, ἀλλ' ἀνάπαλιν εἶπεν ἐκ τῶν δευτέρων ἀρξάμενος οὕτως· Ἀχαιοὶ μὲν οἱ βόες ἔφυγον, ὁ δὲ λέων Ἕκτωρ ἀνεῖλεν ἕνα τινά. Σημείωσαι δ' ἐν τοῖς τόποις τούτοις καὶ ὅτι μέλλων ἤδη τοὺς Ἀχαιοὺς ὁ ποιητὴς τρέψασθαι καὶ εἰς αὐτὸ τὸ τοῦ κακοῦ ἄκρον ἐλθεῖν συχνὰ μέμνηται τοῦ Διός, καταβάλλων οὕτω τὴν τοῦ Ἕκτορος ἀρετήν, ὡς οὐκ οἴκοθεν ἐνεργοῦντος ἀλλ' ἑτέρωθεν ἔχοντος τὸ ἐνδόσιμον, εἰ καὶ ἄλλως ἀποσεμνύνει αὐτὸν ὡς θεοφιλῆ. Φησὶν οὖν «ὑφ' Ἕκτορι καὶ Διῒ πατρί», καὶ «αὐτὸς ἀπ' αἰθέρος ἦν ἀμύντωρ Ζεύς», καὶ «Ζεὺς αὐτὸς ἐποτρύνει καὶ ἀνώγει», καὶ τὸ μεῖζον «Ζεύς», μετ' ὀλίγα, «ὦρσεν ὀπίσω», [ἢ ὦσε] «χειρὶ μάλα μεγάλῃ», ὡς μὴ μόνον τὸν τοῦ Διὸς νόον, ὡς προερρέθη, πρὸς τοῦ Ἕκτορος εἶναι, ἄλλα καὶ αὐτὸ τὸ σωματικόν, δι' οὗ [ὄρνυται ἢ] ὠθεῖται εἰς μάχην ὁ Ἕκτωρ. ὃν καὶ προτίθησι τοῦ Διὸς ἐνταῦθα ἢ ἁπλῶς οὕτω κατὰ τὸ παρατυχὸν ἢ καὶ κατ' ἐπιτήδευσιν ἐν τῷ «ὑφ' Ἕκτορι καὶ Διΐ». [(v. 630) Ὅρα δὲ τὸ «ὀλοόφρων λέων» ἀντὶ ἁπλοῦ τοῦ ὀλοός γλυκέως ῥηθὲν κατὰ ἀφέλειαν. ἄλλως γὰρ ἀνθρώπων τὸ φρονεῖν ὀλοά, οὐ μὴν κυρίως καὶ θηρίων ἅπερ οὐ φρονοῦσι. Τὸ δὲ «βουσὶν ἐπελθών» ἀντὶ τοῦ κατὰ βοῶν ἐλθών. μάχιμος ἄρα κἀνταῦθα λέξις τὸ ἐπελθεῖν, ἔστι δὲ οὗ κοινότερον καὶ τὸ ἁπλῶς ἐλθεῖν σημαίνει.] (v. 631) Τίς δὲ ἡ εἱαμενή, προδεδήλωται καὶ αὐτό, ἔνθα ἐφάνη ὡς ὁ ὑγρὸς τόπος καὶ φυτῶν ἀναδοτικός, ὡς μὲν ὑγρὸς ἀπὸ τοῦ ῥέειν ἐτυμολογεῖται οἱονεὶ ῥειαμένη τις ὤν, ὡς δὲ σύμφυτος ἀπὸ τοῦ ἕω, τὸ ἀναδίδωμι.

3.777 οἱ δὲ παλαιοί φασι καί, ὅτι εἱαμεναὶ λειμῶνες, νομαὶ τεναγώδεις, ὅθεν ἂν ποταμὸς ὑποχωρήσῃ. Ἕλος δὲ μέγα διὰ τὰς μυρίας βοῦς ἔφη τὰς περὶ αὐτό. αὗται δὲ μυρίαι ἀναλόγως τῷ Ἀχαιϊκῷ στρατεύματι, περὶ οὗ ἡ παραβολή. (v. 631 s.) Τὸ δὲ «νέμονται» καὶ τὸ «νομεύς» τρόπον ποιοῦσιν ἐτυμολογικόν. νομεὺς δὲ νῦν ὁ βουκόλος ὀνόματι γενικῷ. δῆλον γὰρ ὡς ἡ λέξις αὕτη ἐπί τε ποιμένος καὶ αἰπόλου καὶ συφορβοῦ καὶ βουκόλου λέγεται. (v. 634) Τὸ δὲ «ἦτοι ὃ μέν», ἤγουν ὁ μὲν δὴ νομεύς, «πρώταις καὶ ὑστάταις βουσὶν ὁμοῦ στείχει» ἐπεμβλητική ἐστιν ἐπανάληψις τοῦ νομέως. (v. 635 s.) Μεθ' ἣν κατὰ ἀκολουθίαν μερισμοῦ τοῦ κατὰ τὸν μεν σύνδεσμον ἐπαναλαβὼν τὴν ἀρχὴν τῆς τοῦ λέοντος παραβολῆς καὶ εἰπὼν «ὃ δ' ἐν μέσαις ὀρούσας», ὃ ταὐτόν ἐστι τῷ «βουσὶν ἐπελθών», ἐπάγει τὸ ἀκόλουθον τῷ λέοντι ῥῆμα «βοῦν ἔδει», ἵνα καταστήσῃ τὸ πᾶν οὕτως, ὡς λέων βουσὶν ἐπελθὼν μυρίαις μίαν τινὰ βοῦν ἔδει. Τὰς βόας δὲ εἰπεῖν Ἰώνων διαλέκτου ἐστί. Τὸ δὲ πρώτῃσι καὶ ὑστατίῃσι καὶ βόεσσι καὶ μέσσῃσι κάλλος ποιοῦσι ταῖς παρισώσεσιν. εἰ δὲ μὴ ἐχρῆν ἐν σκυθρωποῖς ἁβρῶς λαλεῖν, ἀλλὰ τεχνικόν ἐστιν ἄλλως ἀκροατὴν ἀγωνιῶντα τοῖς γοῦν τοιούτοις παραμυθεῖσθαι, μὴ καὶ κλείσῃ τὰς ἀκοὰς οὔτε πραγματικῶς διαχεόμενος καὶ μηδὲ φραστικῇ χάριτι δεξιούμενος. διὸ καὶ μετ' ὀλίγα τὴν βαρυτάτην μάχην οὕτως ὡραΐζει ἑπτὰ παρίσοις ὁμοίοις χρώμενος ἐν στίχοις δυσὶ καὶ ἑτέροις ἑπτὰ ἐφεξῆς ἐν δυσὶν ἔπεσι κατὰ πτῶσιν οὐδετέραν εὐθεῖαν πληθυντικήν. (v. 635) Τοῦ δὲ «ὁμοστιχάει», [τουτέστι συνοδεύει,] προϋπάρχει τὸ στιχῶ, οὗ θέμα τὸ στείχω, οἷς ὅμοιον καὶ τὸ στείβω στιβῶ, ἐξ οὗ εὐστίβητος καὶ ἀστίβητος. (v. 636) Τὸ δὲ «ὑπέτρεσαν» καὶ τὸ «ἐφόβηθεν» εἰς ταὐτὸν ἐν τοῖς ῥηθεῖσιν ἄγεται. (v. 637) Τὸ δὲ «καὶ Διῒ πατρί» διὰ σαφήνειαν κεῖται τοῦ «θεσπεσίως φόβηθεν».

3.778 εἰ γὰρ ὑπὸ Διῒ ἔφυγον, θεσπεσίως ἄρα ἔφυγον, ὡς θεόθεν ἐμπεσόντος τοῦ πάθους. οὕτω δὲ καὶ νέφος ἀχλύος θεσπέσιον ἐν τοῖς ἑξῆς ἐρεῖ. Συνήθης δὲ φράσις Ὁμήρῳ τὸ «ὑφ' Ἕκτορι καὶ Διΐ» συντάσσειν εἰωθότος δοτικῇ τὴν ὑπο πρόθεσιν. (v. 639 s.) Ὅτι ὁ Κοπρεὺς τὰς ἀγγελίας τῶν ἄθλων ἐκ τοῦ Εὐρυσθέως ἐκόμιζε τῷ Ἡρακλεῖ. τούτου υἱὸς ὁ προσεχῶς εἰρημένος Περιφήτης, ἀνὴρ ἀγαθός. (v. 641—3) Φησὶ γὰρ «τοῦ γένετ' ἐκ πατρὸς πολὺ χείρονος υἱὸς ἀμείνων», [οὐ κατά τι ἕν,] ἀλλὰ «παντοίην ἀρετήν, ἠμὲν πόδας ἠδὲ μάχεσθαι», ὅπερ ἐπὶ Ἀντιλόχου ἐν ἀκεραίῳ στίχῳ εἶπεν. ἔτι δέ φησι «καὶ νόον ἐν πρώτοισι Μυκηναίων ἐτέτυκτο». (v. 644—51)

Τοῦτον τὸν Περιφήτην ἀναιρεῖ Ἕκτωρ δυστυχήσαντα. «στρεφθεὶς γὰρ μετόπισθεν ὑπ’ ἀσπίδος ἄντυγι πάλτο, ἣν φορέεσκε ποδηνεκὲς ἕρκος ἀκόντων. τῇ ὅ γε», ἤγουν ταύτῃ οὗτος, «ἐνιβλαφθεὶς πέσεν ὕπτιος. Ἕκτωρ δ’ ὀξὺ νόησε, θέων δέ οἱ ἄγχι παρέστη, στήθεσι δ’ ἐν δόρυ πῆξε, φίλων δέ μιν ἐγγὺς ἑταίρων κτεῖνεν». ὃ δὴ περιπαθέστατον, εἰ πρὸ τῶν ἑαυτοῦ κτεινόμενος οὐκ εἶχε πρὸς οὐδενὸς ἐπικουρίαν. (v. 651 s.) Φησὶ γὰρ «οἳ δ’ οὐκ ἐδύναντο καὶ ἀχνύμενοί περ ἑταίρου χραισμεῖν». διὰ τί; «αὐτοὶ γὰρ μάλα δείδισαν Ἕκτορα δῖον». (v. 641) Ὅρα δὲ ἐν τούτοις καλὸν ἐν ἀνθρώποις σπάνιον. παῦροι γὰρ παῖδες ἀρείονες πατέρων, ὧν παίδων εἷς καὶ ὁ Περιφήτης οὗτος. [Οἱ μέντοι πλέονες κακίους κατὰ τὸν εἰπόντα. διὸ εὐφυῶς καὶ ὁ κωμικὸς Ἀντιφάνης εἰπεῖν λέγεται, ὅτι τὸν ταὼν ὡς ἅπαξ τις ζεῦγος ἤγαγε σπάνιον ὂν χρῆμα, πλείους εἰσὶ νῦν τῶν ὀρτύγων. χρηστὸν δὲ ἄνθρωπον, ἐάν τις ἕνα μόνον ζητῶν ἴδῃ, ὄψετ’ ἐκ τούτου πονηροὺς πέντε παῖδας γεγονότας. Ὁ δ’ αὐτὸς ῥήτωρ τοὺς ταὼς ἐπαινῶν φησιν «ἐν Ἀθήναις γλαῦκες, ἐν δὲ Κύπρῳ πέλειαι διάφοροι, ἡ δ’ ἐν Σάμῳ Ἥρα τὸ χρυσοῦν ὀρνίθων γένος τοὺς καλλιμόρφους καὶ περιβλέπτους ταῶς». (v. 642) Ὅρα δὲ ἐν τῷ «ἠμὲν πόδας ἠδὲ μάχεσθαι» ἀπαρεμφάτου ῥήματος συγγένειαν πρὸς ὄνομα. ὡς γὰρ ταὐτὸν ἠμὲν δραμεῖν ἠδὲ μάχεσθαι, οὕτω καὶ ἠμὲν πόδας ἠδὲ μάχην.] (v. 639 s.) Ἰστέον δὲ ὅτι τὸν Εὐρυσθέα μὴ ἐθελήσας κακολογῆσαι ὁ ποιητὴς ἄνακτα εἶπε.

3.779 [Διττὴ γὰρ ἐνταῦθα γραφή «ὃς Εὐρυσθῆος ἀέθλων» ἄγγελος ἦν δηλαδὴ τῷ μεγάλῳ Ἡρακλεῖ, καὶ «ὃς Εὐρυσθῆος ἄνακτος». Ἔτι ἰστέον] καί, ὅτι τὸ «ἀγγελίας ἐκόμιζε» ποιητικώτερον ἔφρασεν «ἀγγελίης οἴχνεσκεν», ἤγουν χάριν ἀγγελίας ἢ ἐν ἀγγελίαις ἤρχετο τῷ Ἡρακλεῖ. [(v. 642) Καὶ ὅτι τὸ «παντοίην ἀρετήν», ἢ «παντοίας ἀρετάς, ἠμὲν πόδας ἠδὲ μάχεσθαι», ἤγουν ποδῶν καὶ μάχης, ὡς προείρηται, ἢ τῆς κατὰ πόδας καὶ τῆς κατὰ τὸ μάχεσθαι, εἴδη πολλὰ αἰνίττεται εἶναι ποδῶν καὶ μάχης, τῶν μὲν τὸ ἅλλεσθαι, τὸ θέειν, τὸ ἐξαρκεῖν πεζοποροῦντα καὶ εἴ τι ἄλλο, τῆς δὲ τὸ λοχᾶν, τὸ ἀμφαδὸν ἀντιβαίνειν, τὸ δορατίζειν, τὸ ὀϊστεύειν καὶ τἄλλα (v. 639) Καὶ ὅτι ὁ Κοπρεὺς ἱστορίαν ἴσως ἔχει τινὰ αἰτίαν τῆς κλήσεως. ἄλλως γὰρ οὐκ ἂν εἴη εὐπρεπὲς ὄνομα. καὶ ὅτι δόξοι ἂν γῆς ἐπιμελητὴς εἶναι, ἣν καθ’ Ὅμηρον εἰπεῖν κοπρήσσουσιν ἄνθρωποι, καὶ ὅτι Κοπρῆος φίλον υἱὸν ἐρεῖ ἄν τις ἀστείως ποτὲ καὶ μύκητα, ἤγουν ἀμανίτην, ὃν χρηστὸν φαγεῖν φύει κόπρος.] (v. 644) Καὶ ὅτι «κῦδος ὑπέρτερον» [ὡς οἷον οὐράνιον] δοθῆναι λέγει τῷ Ἕκτορι ἀνελόντι τὸν Περιφήτην. (v. 645) Καὶ ὅτι τὸ «ὑπ’ ἀσπίδος ἄντυγι πάλτο» ἀντὶ τοῦ προσέκρουσε, προσέπταισε, διὰ τὸ αὐτῆς ποδηνεκές. (v. 646) Τὸ δὲ «φορέεσκε» δηλοῖ μὴ θώρακι μόνον ἁρμόττειν τὸ φορεῖν, ὡς οὐ πρὸ πολλοῦ ἐρρέθη, ἀλλὰ καὶ ἀσπίδι ὡς βασταζομένῃ. Τὸ δὲ «ποδηνεκὲς ἕρκος» διὰ μετρικὸν δάκτυλον ἐτέθη, [μᾶλλον μὲν οὖν διὰ καινότητα φράσεως.] ἄλλως γὰρ πρὸς τὴν ἀσπίδα ἦν ἄν, ἵνα ἔφη «ἣν ἐφόρει ποδηνεκῆ». Ἕρκος δὲ ἀκόντων δεξιῶς λέγεται ἡ ἀνδρομήκης ἀσπίς, ὡς οἷα τεῖχος ἐκ ποδῶν ὅσα καὶ θεμελίων ἕως ἄνω φυλάττουσα τὸν σκεπόμενον. (v. 647) Τὸ δὲ «βλαφθείς» ἐνταῦθα μᾶλλον κυριολεκτεῖται ἤπερ ἐν τῷ «βλαφθέντα βέλεμνα», περὶ ὧν πρὸ ὀλίγου ἐρρέθη. (v. 649) Τὸ δὲ «ὀξὺ νόησε» πάνυ προσεκτικὸν εἶναι παραδηλοῖ τὸν Ἕκτορα. (v. 651) Ἐν δὲ τῷ «ἀχνύμενοί περ ἑταίρου» Ἑλλάνικος κατὰ τὴν παλαιὰν ἱστορίαν Αἰολικῶς νομίζει τὴν περι πρόθεσιν περ εἰρῆσθαι, ἵνα λέγῃ ὅτι ἀχνύμενοι περὶ ἑταίρου.

3.780 (v. 652) Τὸ δὲ «Ἕκτορα δῖον» νῦν μάλιστα προσφυῶς ἐπετέθη, ὡς τοῦ Ἕκτορος Διόθεν νικῶντος εἰς τὸ πᾶν. (v. 653) Ὅτι τὸ «εἰσωποὶ δ’ ἐγένοντο νεῶν», οἱ Ἀχαιοὶ δηλαδή, ἀντὶ τοῦ ὑποστείλαντες ἑαυτοὺς ὑπὸ τὰς νῆας τὰς πλησίον τοῦ τείχους ἢ ἐν ὄψει ἔχοντες διὰ τὴν ἧτταν τὰς πρὸς τῷ τείχει νῆας, ἃς εἶχον κατὰ νώτου πρὸ τούτου, ἐγγὺς τοῦ τείχους μαχόμενοι. (v. 653 s.) Ἵνα δὲ νοοῖντο νῆες ἐνταῦθα αἱ ἔγγιστα τοῦ τείχους, ἐπάγει «περὶ δ’ ἔσχεθον ἄκραι νῆες, ὅσαι πρῶται εἰρύατο», ὅ ἐστι κατέσχον αὐτοὺς τοῦ καὶ εἰς πλέον φυγεῖν αἱ λοιπαὶ πρῶται νῆες, ὅσαι πρὸς τῇ θαλάσσῃ ἦσαν. (v. 655—7) Εἶτα καὶ ἄλλως φράζων φησὶ «Ἀργεῖοι δὲ νεῶν μὲν

ἐχώρησαν καὶ ἀνάγκῃ τῶν προτέρων», ἤγουν τῶν ἐγγὺς τοῦ τείχους, «αὐτοῦ δὲ παρὰ κλισίῃσιν ἔμιμνον ἀθρόοι», μέσοι δηλονότι τῶν τε πρὸς τῇ θαλάσσῃ, ἃς ἄκρας καὶ πρώτας καὶ παρὰ ταῖς κλισίαις φησί, καὶ τῶν πρὸς τῷ τείχει, ὧν εἰσωποὶ ἐγένοντο, ἃς προτέρας λέγει, ἵνα κατὰ νώτου μὲν ἔχωσι τὰς ἐν θαλάσσῃ πρώτας, πρὸ ὀφθαλμῶν δὲ τὰς ἐν τῷ τείχει προτέρας. Εἶτα ἑρμηνεύων τὸ ἀθρόοι φησὶν «οὐδὲ κέδασθεν ἀνὰ στρατόν». (v. 657) Ἀθρόοι γὰρ οἱ ὁμοῦ συνηγμένοι καὶ μὴ ἐσκεδασμένοι. (v. 657 s.) Οὗ τὸ αἴτιον ἐπάγων φησὶν «ἴσχε γὰρ αἰδὼς καὶ δέος», αἰδὼς μέν, εἰ φανοῦνται κακοί, δέος δὲ τὸ περὶ τῶν νεῶν ἢ καὶ τὸ ἀπὸ τῶν στρατηγῶν ἢ καὶ τὸ ἐξ ἑαυτῶν. διὸ ἐπάγει «ἀζηχὲς γὰρ ὁμόκλεον ἀλλήλοισι». Καὶ ὅρα ὡς ἐντεῦθεν λαβὼν ὁ Σοφοκλῆς ἔφη «δέος γὰρ ᾧ πρόσεστιν αἰσχύνη θ' ὁμοῦ», ὅπερ ἐστὶν αἰδώς, «σωτηρίαν ἔχοντα τόνδ' ἐπίστασο». Ἰστέον δὲ ὅτι τε ἐν ῥητορικῷ Λεξικῷ εὕρηται τὸ εἰσωποί οὕτως ἑρμηνευόμενον· εἰσωποί· εἴσω ἰδέσθαι, εἰς ὦπα, ἐνώπιον, ἐν ὀφθαλμοῖς, καὶ ὅτι αἱ συχναὶ στρατηγικαὶ συμβουλαὶ τὸ «αἰδὼς Ἀργεῖοι», τὸ «ἀλλήλους τ' αἰδεῖσθε», τὸ «αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι», καὶ τὰ λοιπά, ἔπεισαν τοὺς Ἀχαιοὺς αἰδοῖ ἄρτι ἴσχεσθαι. Νέστωρ δὲ καὶ προσεπαυξήσει εὐθὺς αὐτάς, εἰπὼν «αἰδῶ θέσθ' ἐνὶ θυμῷ». (v. 658) Ἀζηχὲς δὲ τί ἐστι καὶ πόθεν γίνεται, πολλαχοῦ ἐφάνη. (v. 654—6) Μνηστέον δὲ ὡς φανερῶς καὶ ἐν τοῖς ῥηθεῖσιν εἰς δύο στίχους ὁ ποιητὴς τὰς νῆας διαιρεῖ, εἰπὼν «νῆες ὅσαι πρῶται εἰρύατο», καί εἰσιν αἱ πρὸς τῷ αἰγιαλῷ αὗται, καὶ πάλιν «νεῶν μὲν ἐχώρησαν τῶν προτέρων», καί εἰσιν αὗται αἱ τοῦ τείχους ἐγγύς.

3.781 [Δύναται δὲ ταῦτα καὶ τὸν ἕνα στοῖχον δηλοῦν, ἵνα λέγῃ ὅτι τὰ πρῶτα μὲν περιέσχον τοὺς Ἀχαιοὺς αἱ τοῦ τείχους ἐγγὺς ἄκραι πρῶται νῆες, ὡς δὲ ἠναγκάσθησαν εἰς πλέον, ὑπεχώρησαν τῶν οὕτω προτέρων νηῶν καὶ γεγόνασι πρὸς ταῖς κλισίαις.] (v. 659—66) Ὅτι εἰ καὶ ἄλλοι ὁμόκλεον, ὡς προσεχῶς ἐρρέθη, ἀλλὰ Νέστωρ μάλιστα «λίσσετο ὑπὲρ τοκέων γουνούμενος ἄνδρα ἕκαστον· ὦ φίλοι, ἀνέρες ἐστὲ καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ ἄλλων ἀνθρώπων, ἐπὶ δὲ μνήσασθε ἕκαστος παίδων ἠδ' ἀλόχων καὶ κτήσιος ἠδὲ τοκήων, ἠμὲν ὅτεῳ ζώουσιν», ἤγουν ὅτῳ τε ζῶσι, «καὶ ᾧ κατατεθνήκασι. τῶν ὕπερ ἐνθάδ' ἐγὼ γουνάζομαι οὐ παρεόντων ἑστάμεναι κρατερῶς μηδὲ τρωπᾶσθαι φόβονδε», ἤγουν εἰς φυγήν. Καὶ ταῦτα εἰπὼν ὁ γέρων καὶ οὕτω λισσόμενος ἤνυσέ τι πλέον τῶν ὁμοκλεόντων, ὡς προσεχῶς αὐτίκα φανήσεται. (v. 665) Ὅρα δὲ καὶ νῦν τὸ γουνάζεσθαι ῥηθὲν μεταφορικῶς. πραγματικῶς γὰρ οὔτε ἕκαστον ἐν τοσούτῳ πλήθει γουνάσασθαι ἦν, καὶ οὐδὲ εἰς ἕνα γοῦν τινα γενέσθαι τοῦτό φησι. (v. 660 et 665) Κεῖται δ' ἐνταῦθα ἐκ μὲν πρωτοτύπου τὸ «γουνούμενος», ἐκ παραγώγου δὲ τὸ «γουνάζομαι». Σημείωσαι δὲ ὅτι τε ἐν τῷ «ὑπὲρ τοκέων γουνούμενος» ὁ μὲν ποιητὴς οὐ τὸ πᾶν εἶπεν, οἷα ἐπιδραμὼν κατὰ σχῆμα καιρίου γοργότητος, Νέστωρ δὲ ὑποκαταβὰς ὑπὲρ παίδων καὶ ἀλόχων καὶ κτήσεως καὶ τοκήων λίσσεται, καὶ ὅτι Ὅμηρος μὲν τῷ αἰτίῳ συμπεριέλαβε καὶ τὰ μετ' αὐτό, Νέστωρ δὲ οἴκτου τε καὶ πειθοῦς ἕνεκεν ἐμνήσθη καὶ τῶν αἰτιατῶν, καὶ ὅτι Ὅμηρος μὲν τῇ ἐννοίᾳ ἐκ τῶν τοκέων μόνων διέβη καὶ εἰς τὰ ἑξῆς, Νέστωρ δὲ ἐξ ἐκείνων εἰς τοὺς τοκέας ἀναβέβηκεν, ὡς ἡ Ὁμηρικὴ φράσις δηλοῖ. (v. 662) Τὸ δὲ «ἄλλων ἀνθρώπων» πάνυ ἐντρεπτικόν ἐστι. τὸ γὰρ ἀλλήλους αἰδεῖσθε, ὅπερ ἀλλαχοῦ ἐρρέθη, οὐ τοσοῦτον ἐντρέπει. (v. 664) Τὸ δὲ «ὅτεῳ» ἐκ τοῦ ὅτῳ γέγονεν Ἰωνικῇ ἐπενθέσει τοῦ ε ὁμοίως τῷ ὁτέοισιν, ὡς προεδηλώθη, καὶ τουτέοισι. (v. 665) Τὸ δὲ «οὐ παρεόντων» πολὺν ἔχει νοῦν. οἷς μὲν γὰρ οὐ πάρεισι γονεῖς καὶ ἄλοχοι καὶ παῖδες ὡς τεθνεῶτες, γουνάζομαι ὑπὲρ ἐκείνων ἄλλως, οἷς δὲ οὐ πάρεισι μέν, ζῶσι δέ, γουνάζομαι, ἵνα ζῶντες ὑμεῖς ἐν τῷ περισωθῆναι δι' ἀμύνης γένησθέ ποτε τῶν οἰκείων. Ὅλον δὲ τὸ «τῶν ὕπερ γουνάζομαι» ἐντελές ἐστιν, οὐ μὴν κατὰ τὸ πρὸς τῶν λόγων καὶ πρὸς τῆς φιλίας καὶ τῶν τοιούτων, ἐκεῖ γὰρ λείπει τὸ γουνάζομαι, ἵνα λέγῃ ὡς γουνάζομαι ὑπὲρ λόγων καὶ ὑπὲρ φιλίας.

3.782

(v. 666) Τὸ δὲ «ἑστάναι κρατερῶς» ἀντὶ τοῦ γενναίως. οὐ γὰρ ἀεὶ κρατερὸν τὸ ἀπειλητικόν. [Ἑρμηνεία δὲ αὐτοῦ εὐθὺς ἐπῆκται τὸ μὴ τρέπεσθαι εἰς φυγήν, ἵνα ᾖ στερρῶς ἑστάναι τὸ μὴ ἐθέλειν φεύγειν.] Τὸ δὲ μὴ τρωπᾶσθαι, εἰ μὲν διὰ διφθόγγου ἔχει τὴν λήγουσαν, συστέλλει αὐτὴν καινότερον δίχα ἐπιφορᾶς φωνήεντος, εἰ δὲ διὰ τοῦ ε ψιλοῦ, δύναται μὲν καὶ οὕτω συντάσσεσθαι, ὅμως δὲ καινότερον ἐναλλάσσει τὴν σύνταξιν. ὅλον δὲ τὸ «μηδὲ τρωπᾶσθε φόβονδε» φρασθῆναι πεποίηκεν, ὡς καὶ ἑτέρωθι δηλοῦται, τὸ προτροπάδην φεύγειν. Ἐπαινεῖται δὲ καὶ ἡ ῥηθεῖσα τοῦ Νέστορος δημηγορία. ἔχει γάρ, φασί, τέκνων καὶ γυναικῶν ἀσφάλειαν, πλούτου φυλακὴν ἀναφαίρετον, γονέων ζώντων μὲν αἰδῶ, τεθνεώτων δὲ μνήμην. καὶ γοῦν ἐπέστρεψε τῆς φυγῆς τοὺς Ἀχαιοὺς ἐν ἀκμῇ μεγίστου κινδύνου καὶ ἀντιστῆναι τοῖς διώκουσιν ἔπεισεν ὀτρύνας μένος καὶ θυμὸν ἑκάστου. Ἔνθα ὅρα ὡς διὰ τὸ τοῦ καιροῦ κατεπεῖγον οὔτε ἐμβριθὴς αὐτῷ ἡ δημηγορία οὔτε ἀφηγηματικὴ ὡς ἐν ἄλλοις, οὔτε ἄλλως πλατεῖα καὶ ἐπιχειρηματική, ἀλλὰ στενὴ καὶ εὐπερίληπτος καὶ οἶκτον ἔχουσα κατὰ ἐλέου εἰσβολήν, οἷς ὑπὲρ τῶν φιλτάτων δυσωπεῖ, οἱονεὶ πρὸ ὀφθαλμῶν αὐτὰ παριστῶν τοῖς Ἀχαιοῖς, εἰ καὶ μὴ πάρεισι. Καλὸν μὲν γάρ, εἰ παρῆσαν καὶ συνεπελαμβάνοντο τοῦ λόγου τῷ ῥήτορι. ἐπεὶ δὲ μὴ παρίστανται σώματι, ἀλλά γε τῇ μνήμῃ καὶ τῷ πόθῳ δοξάτωσαν παρεῖναι καὶ συνδυσωπεῖν. Μέμνηται δὲ τῶν μὲν ζώντων οἱονεὶ λέγων τὸ οὓς καὶ σπεύσατε ἰδεῖν, τῶν δὲ τεθνεώτων μονονουχὶ λέγων καὶ αὐτός, ὅτι τούτους καὶ τεθνεῶτας εὐκλείας ἐπιβήσατε, ἤγουν ἐπιβιβάσατε. (v. 668—73) Ὅτι Ἀθηνᾶ ἡ κατὰ τὸν μῦθον φωσφόρος Ἀχαιοῖς «ἀπ' ὀφθαλμῶν νέφος ἀχλύος ὦσε θεσπέσιον, μάλα δέ σφιν φόως γένετ' ἀμφοτέρωθεν, ἠμὲν πρὸς νηῶν», ἢ πὰρ νηῶν, «καὶ ὁμοιΐου πολέμοιο», τῶν οἷον ἀφωτίστων πρὸ τούτου ὄντων. «Ἕκτορα δ' ἐφράσαντο βοὴν ἀγαθὸν καὶ ἑταίρους, ἠμὲν ὅσοι μετόπισθεν ἀφέστασαν, οὐδ' ἐμάχοντο, ἠδ' ὅσσοι παρὰ νηυσὶ μάχην ἐμάχοντο θοῇσιν». (v.
3.783 660) Ἔστι δὲ Ἀθηνᾶ ἡ φυσική τε φρόνησις, καθ' ἣν ἀνενεγκόντες ἐφρόνησαν, ὅτι νηῶν εἰσωποὶ ἐγένοντο καὶ εἰς οἷον πόλεμον περιέστησαν καὶ οἷα ὁ Ἕκτωρ ποιεῖ, ἔτι δὲ ἔμαθον τοὺς μαχομένους τε καὶ ὅσσοι μετόπισθεν ἀφέστασαν οὐδ' ἐμάχοντο, ὡς εἴρηται. Νοηθείη δ' ἂν καὶ ἄλλως Ἀθηνᾶ ἡ τοῦ Νέστορος σύνεσις, ἡ προσεχῶς ὀτρύνασα μένος καὶ θυμὸν ἑκάστου καὶ ὡς ἐκ σκότους εἰς φῶς τοὺς Ἀχαιοὺς καταστήσασα. Ἔστι γὰρ νῦν φῶς ἰδεῖν τὸ ζῆσαι ἀπαλλαγέντας ἀχλύος, ἣν ἡ τροπὴ ἐπάγει, καὶ ἐλπίδος τοῦ μέλανος θανάτου καὶ ὡς εἰπεῖν τοῦ σκότου. διὸ καὶ ἀλλαχοῦ ἔφη «αἴ κέν τι φόως ἑτάροισι γένηαι», νικήσας δηλαδή, καὶ πάλιν «ἐν χερσὶν φόως», ἤγουν ἡ διὰ τῆς νίκης σωτηρία. τέως γὰρ ὡς οἷον ἐν σκότει εἰσὶν οἱ νικώμενοι. Καὶ νῦν μὲν ἀλληγορικὸν οὕτω καὶ τὸ σκότος καὶ τὸ φῶς, ἐν τοῖς ἑξῆς δὲ ἀληθῶς ἐν σκότει γενήσονται οἱ Ἀχαιοὶ τοῦ Πατρόκλου πεσόντος καὶ φῶς ἡλίου ἰδεῖν ἐξαιτήσονται. Ὅρα δὲ ὅτι ἐν τῷ «ἀπ' ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν» ὑποβάλλει ὁ ποιητὴς θαρρούντως ἡλίῳ εἰκάζειν ἡμᾶς τὸ ἐν ἡμῖν ὀπτικόν, ᾧ δίκην νέφους ἡ ἐξ ἀθυμίας ἀχλὺς οἶδεν ἐπιπροσθεῖν. (v. 669) Τοῦ δὲ «ἀμφοτέρωθεν» διασαφητικὸν τὸ «παρά τε νηῶν καὶ πολέμου», ἔνθα οὐκ εἶχον βλέπειν οἱ Ἀχαιοὶ πρὸ τοῦ σκεδασθῆναι τὴν ῥηθεῖσαν ἀχλύν. διὸ οὔτε Ἕκτορα εἶχον φράζεσθαι οὔτε τῶν συμφυλετῶν, ὅσοι τε ἀπόμαχοι ἦσαν καὶ ὅσοι ἐνήργουν. (v. 672) Τοῦ δὲ «ἀφέστασαν», ὃ καὶ μετ' ὀλίγα κεῖται, ἑφερμηνευτικὸν τὸ «οὐδ' ἐμάχοντο». (v. 673) Τὸ δὲ «μάχην ἐμάχοντο» τέτριπται ὡς Ἀττικόν ἐστι. (v. 674—8) Ὅτι «οὐδ' ἄρ ἔτι Αἴαντι μεγαλήτορι ἥνδανε θυμῷ ἑστάμεν, ἔνθα περ ἄλλοι ἀφέστασαν Ἀχαιοί, ἀλλ' ὅ γε νηῶν ἴκρια ἐπῴχετο μακρὰ βιβάσθων», ὃ παρακατιὼν λέγει «ἐφοίτα μακρὰ βιβάς», «νώμα δὲ ξυστὸν μέγα ναύμαχον ἐν παλάμῃσι, κολλητὸν βλήτροισι, δυωκαιεικοσίπηχυ». διὰ δὲ τὴν τοιαύτην καρτερίαν καὶ μεγαλήτορα ἐνταῦθα ἔφη τὸν Αἴαντα. (v. 675) Ἀντιθετικὸν δέ πως τὸ «οὐκ ἤθελεν ἑστάμεν», ἤγουν ἵστασθαι, «ἔνθα ἄλλοι ἀφέστασαν». ἀντίκειται γὰρ τὸ ἑστάναι καὶ ἀφεστάναι. (v. 676) Ἴκρια δὲ νηῶν προπαροξυτόνως ὡς δέμνια τὰ καταστρώματα, οἱ δὲ τὰ κατὰ πρῴραν καὶ πρύμναν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σανιδώματα, ὅπερ καὶ κρεῖττον. προϊὼν γὰρ ὁ Αἴας ἀναχωρεῖ ἐπὶ τὸν ἑπταπόδην θρῆνυν λιπὼν τὰ ἴκρια τῆς νηός, ἤγουν τὰς κατὰ πρῴραν σανίδας. ἄλλοι δὲ ἴκριά φασι τὰ ἐξέχοντα τῶν νηῶν ἄκρα.

3.784 ὅτι δὲ ἴκριον λέγεται καὶ ἐπὶ ἱστοῦ, ἐν Ὀδυσσείᾳ δηλοῦται. ὅθεν καὶ ἐπίκριον τὸ κέρας τοῦ ἱστοῦ, ὃ κοινότερον κερατάριον καλεῖται. ἀλλ᾽ ἐκεῖνο μὲν ἀπὸ τοῦ ἐν ἄκρῳ εἶναι, τὰ δὲ νῦν σανιδωτὰ ἴκρια παρὰ τὸ ἱκνῶ, περὶ ἃ ἱκνοῦνται οἱ ἐν ταῖς ναυσί. Τὸ δὲ «μακρὰ βιβάσθων» πάνυ καίριον ἐπὶ πλατέων διαβημάτων τοῦ ἥρωος. ὥσπερ δὲ ἀΐω ἀΐσω ἀΐσθω, ἐξ οὗ τὸ αἴσθω, οὕτω καὶ βιβῶ βιβάσω βιβάσθω. Περὶ δὲ κολλητοῦ ξυστοῦ καὶ πρὸ ὀλίγων μὲν ἐδηλώθη, νῦν δὲ ῥητέον ὅτι τὸ βλῆτρον βαρύνεται κατὰ τοὺς παλαιοὺς κανόνι τοιούτῳ. Τὰ εἰς τρον λήγοντα μονογενῆ οὐδέτερα βαρύνεται, σεσημείωται τὸ λουτρὸν πρὸς διάφορον σημασίαν. ἔστι γὰρ καὶ λοῦτρον Ἀττικῶς παρὰ τῷ Κωμικῷ τὸ ἀπόλουμα, οἷον «κἀκ τοῦ βαλανείου πίεται τὸ λοῦτρον». Ἔστι δὲ βλῆτρον ὁ σιδηροῦς κύκλος, δι᾽ οὗ τὰ δύο ξυστὰ εἰς ἓν συμβάλλονται δόρυ ναύμαχον, ὅπερ ὅτι προπαροξύνεται, προδεδήλωται καὶ αὐτό. Τὸ δὲ δύο καὶ εἰκοσίπηχυ ὑφ᾽ ἓν ἀναγνωστέον, ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου κεῖται. (v. 674) Ἰστέον δὲ καὶ ὅτι προμάχου ἴδιον τὸ «οὐδ᾽ ἄρ ἔτι τῷ δεῖνι ἥνδανε θυμῷ ἑστάμεν ἔνθα περ ἄλλοι». (v. 679—86) Ὅτι τὴν τοῦ Αἴαντος μεταπήδησιν ἀπὸ νηὸς εἰς νῆα παραβάλλει ἀνδρὸς ἐνεργείᾳ κελητίζοντος διὰ τεσσάρων, εἰπὼν «ὡς δ᾽ ὅτ᾽ ἀνὴρ ἵπποισι κελητίζειν εὖ εἰδώς, ὅς τ᾽ ἐπεὶ ἐκ πολέων πίσυρας συναγείρεται», ἢ συναείρεται, «ἵππους, σεύας ἐκ πεδίοιο μέγα προτὶ ἄστυ διώκει λαοφόρον καθ᾽ ὁδόν, πολέες τέ ἑ θηήσαντο ἀνέρες ἠδὲ γυναῖκες, ὃ δ᾽ ἔμπεδον ἀσφαλὲς αἰεὶ θρῴσκων ἄλλοτ᾽ ἐπ᾽ ἄλλον ἀμείβεται, οἳ δὲ πέτονται, ὣς Αἴας ἐπὶ πολλὰ θοάων ἴκρια νηῶν φοίτα μακρὰ βιβάς, φωνὴ δέ οἱ αἰθέρ᾽ ἵκανε». Καὶ ὅρα κἀνταῦθα ὅτι εὐρυβόας ἦν. (v. 687) Ὃ καὶ ἐπισημαινόμενος ἐπάγει ὁ ποιητὴς εὐθὺς «αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευε». τοῦτον δὲ τὸν στίχον καὶ προϊὼν ἀπαραποίητον οὕτω ἐκτίθεται, ὥσπερ καὶ τὸ «χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων» φθάσας ἀλλαχοῦ γράψαι τίθησι τὸ αὐτὸ καὶ ἐνταῦθα μετ᾽ ὀλίγα.

3.785 Σημείωσαι δὲ ὅτι ἦν γύμνασμα παρὰ τοῖς παλαιοῖς, ὁποῖον ἐκτίθεται νῦν ὁ ποιητής, τέθριππόν τι τοῦτο ἱστορῶν ἄνευ ἅρματος. τοὺς δὲ τοιούτους ἵππους νοητέον οὐ μόνον θέειν ἀρίστους, ἀλλὰ καὶ εὐπειθεῖς, ἵνα μὴ δυσπειθούντων καὶ διασπωμένων κινδυνεύῃ ἐκπίπτειν ὁ ἔποχος μεθαλλόμενος ἐκ τούτου συνεχῶς εἰς ἐκεῖνον. (v. 680) Διὸ καὶ συναγείρεται τοιούτους ἵππους ἐκ πολλῶν, ἤγουν ἐπιλέγδην συνάγει. εἰ δὲ γράφει «συναείρεται», τὸ συζευγνύειν καὶ ὁμοῦ εἴρειν ἡ λέξις δηλοῖ, ὡς καὶ τὸ «σὺν δ᾽ ἤειρεν ἱμᾶσιν». ἐξ οὗ καὶ παρήορος καὶ ἄορες καὶ ὄαρες, ὡς προδεδήλωται, αἱ γυναῖκες. Φασὶ δὲ οἱ παλαιοί, ὡς οἱ οὕτω συνεζευγμένοι ἵπποι ἅμιπποι ἐκαλοῦντο. καὶ ἴσως καὶ ἡ παρὰ τῷ Σοφοκλεῖ «βορεὰς ἅμιππος», εἰ καὶ δυσκόλως, ὅμως οὕτω συμβιβασθήσεται. Ἐν δὲ παλαιοῖς σχολίοις γέγραπται, ὅτι Δημήτριός φησι τεθεωρηκέναι τινὰ μεταβαίνοντα, ὡς ὁ ποιητὴς λέγει, κατέχοντα τοὺς χαλινοὺς καὶ ἀνεμποδίστως τηροῦντα τὸν δρόμον τῶν ἵππων, καὶ ὅτι καὶ νῦν ἐν Ῥώμῃ τοῦτο γίνεται. καὶ ἐφ᾽ ἡμῶν δέ τις ἐθεάθη διὰ δύο ἵππων κελητίζων, ὡς δυσχερὲς ὂν τὸ διὰ τεσσάρων. Οἱ δὲ παλαιοὶ λέγουσι καί, ὅτι ἀναχρονισμοῦ σχήματι ἐνταῦθα χρᾶται ὁ ποιητής. κέλητες γὰρ οὐκ ἦσαν παρὰ τοῖς ἥρωσιν, ἀλλ᾽ ὑστερογενὲς τὸ εὕρημα. Καὶ μὴν ἴσως οὐκ ἐξ ἀνάγκης τὸ τοιοῦτον ἀναχρονισμός ἐστιν. οὐ γάρ φησιν ὁ ποιητής, ὡς ἐπὶ τῶν Ἀχαιῶν ἦν τὸ πρᾶγμα, ἀλλ᾽ αὐτὸς εἰδὼς τοῦτο ἐφ᾽ ἑαυτοῦ γινόμενον ἐντεῦθεν ποιεῖται τὴν παραβολὴν ὡς πρὸς εἰδότας λαλῶν. οὕτω δὲ καὶ ἐν Ὀδυσσείᾳ μέμνηται κέλητος. Ἰστέον δὲ ὅτι ἡ παραβολὴ τοῦ τοιούτου κελητισμοῦ πρός τε τὸ ἀσφαλῶς καὶ τεχνικῶς τὸν Αἴαντα θρῴσκειν παρείληπται καὶ πρὸς τὸ ἄλλην ἐξ ἄλλης ἀμείβεσθαι νῆα καὶ πρὸς τὸ τοῦ ἥρωος γενναῖον καὶ εὔτονον. Τὰ γὰρ ἄλλα τῆς παραβολῆς οὐκ εὐσύμβατα. οἱ μὲν γὰρ ἵπποι τῷ κελητίζοντι πέτονται, αἱ δὲ νῆες ἀκίνητοι, καὶ οἱ μὲν τέσσαρες, ὁ δὲ Αἴας ἐπὶ πολλὰ ἴκρια νηῶν ἐφοίτα. [Εἰ δὲ καὶ χρῆσις ἦν ἐπὶ Ὁμήρου κέλητος, δι᾽ οὗ ληστρικὸν

ἐσημαίνετο πλοῖον, οὗ σύνθετον ὁ ἐπακτροκέλης, ἀναλυόμενος αὐτὸς εἰς ἐπακτρίδα καὶ εἰς κέλητα, περὶ ὧν διείληπται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν, εἰ δὴ κέλητα τοιοῦτον καὶ ὁ ποιητὴς ἐγίνωσκε, συνεβιβάζετο ἂν καὶ αὐτό πως πρὸς τὴν παραβολήν.

3.786 Ἔστι δὲ ὅμως καὶ δίχα τούτου οἰκεῖον τῇ τοῦ κελητίζειν παραβολῇ καὶ τὸ τῶν νηῶν χρῆμα, αἳ ἁλὸς ἵπποι λέγονται, ὡς ἡ Ὀδύσσεια δηλοῖ. Ὅτι δὲ κέλης κυρίως οὐχ' ὁ ἐπιβάτης, ἀλλὰ ἵππος, ὅθεν καὶ κέλητι νικᾶν τινες ἐν ἀέθλοις ἐλέγοντο, καὶ ὅτι ἐπέκεινα ἵππου καὶ πλοίου καὶ ἄλλο τι ὁ κέλης δηλοῖ, ἐν τοῖς κατὰ τὴν Ὀδύσσειαν γέγραπται, ὅπου κεῖταί τι καὶ περὶ ἁμίππων καὶ μονίππων.] (v. 679) Τὸ δὲ κελητίζειν ἀπὸ τοῦ κέλητος παρῆκται, ὃ δηλοῖ τὸν ἄζευκτον ἵππον καὶ κατά τινας τὸν μονάμπυκα, ὃς νῦν, φασί, σελλάριος λέγεται. αὐτὸς δὲ κέλης ἢ παρὰ τὸ κέλλειν, ὅ ἐστι τρέχειν ἢ βαδίζειν, ὅθεν, φασί, κέλευθος, ἢ παρὰ τὸ διεσκελισμένον τινά φασι καθῆσθαι εἰς αὐτόν. τὸ δὲ λέγειν κελητίζειν ὡς ἐν συνθέσει τὸ ἐν κέλητι ἵζειν ἀδιανόητόν φασιν οἱ παλαιοί. Ἰστέον δὲ ὅτι ἐν τῷ «ἵπποισι κελητίζειν» καὶ «πίσυρας συναγείρεται ἵππους» τὸ μὲν «ἵπποισι» πρὸς διαστολὴν εἴρηται τοῦ ἑνὶ κελητίζειν ἵππῳ, τὸ δὲ τέσσαρας συναγείρειν ἵππους διαστέλλει τὸν τοῦτο ποιοῦντα ἐκ τοῦ ἄλλως κελητίζοντος. (v. 680) Τὸ δὲ «ὅς τ' ἐπεὶ ἐκ πολέων» καὶ ἑξῆς, ἐπαναληπτικῶς ἔχει, ληφθὲν ἀντὶ τοῦ οὗτος, ἵνα ᾖ· ὡς δ' ὅτ' ἀνὴρ ἵπποις κελητίζειν εἰδώς, αὐτός [ἢ οὗτος] ἐπεὶ συναγείρῃ, ἢ συναείρῃ, ἐκ πολλῶν ἵππων τοὺς αὐτῷ δεξιούς, θέει διὰ τῆς λεωφόρου. ἄλλως γὰρ οὐκ εὐσύντακτος ἡ παραβολή. (v. 681) Τὸ δὲ «μέγα προτὶ ἄστυ» διὰ πιθανότητα κεῖται, ἵνα πιστεύοιτο ῥᾷον τοὺς τέσσαρας καὶ διὰ τῆς ἐν αὐτῷ πλατείας λαοφόρου κινεῖσθαι. δῆλον δὲ ὅτι τὴν λαοφόρον οἱ Ἀττικοὶ λεωφόρον φασί. Διώκειν δὲ καὶ νῦν τὸ σπουδαίως ἐλαύνειν δίκην διώκοντος. (v. 682 s.) Τὸ δὲ «πολέες ἀνέρες ἠδὲ γυναῖκες» τὸ πάνυ καὶ κοινῶς θηητὸν τοῦ ἔργου δηλοῖ. Τὸ δὲ «ἀσφαλές» καιριώτερον ὂν ἐνταῦθα τοῦ ἔμπεδον πρὸς ἑρμηνείαν κεῖται αὐτοῦ. (v. 688—94) Ὅτι οὐδὲ ὁ Ἕκτωρ ἔμενεν ἐν Τρώων ὁμάδῳ, καθὰ δηλονότι οὐδὲ ὁ Αἴας, «ἀλλ' ὥς τ' ὀρνίθων πετεηνῶν αἰετὸς αἴθων ἔθνος ἐφορμᾶται ποταμὸν παραβοσκομενάων, χηνῶν ἢ γεράνων», ὡς καὶ ἀλλαχοῦ κεῖται, «ἢ κύκνων δουλιχοδείρων, ὣς Ἕκτωρ ἴθυσεν», ὅ ἐστιν ὥρμησε, «νεώς», ἤγουν κατὰ νηός, «ἀντίος ἀΐξας». Καὶ ὅρα ὅτι ἐξ ἁλὸς λαβὼν πρὸ τούτου παραβολὰς νῦν καὶ ποταμίαν ταύτην παρείληφεν οὐδ' αὐτὴν ἀπροσφυῶς διὰ τὸ ἐν ὑγρῷ εἶναι τοὺς Ἀχαιοὺς καὶ ἐπὶ μακρὸν ἐκεῖ ζῆν. διὸ καὶ ὑγροβίοις αὐτοὺς ὀρνέοις εἴκασεν, οὓς τὸ μοιρίδιον ἐταπείνωσε, περιαγαγὸν τὸν Ἕκτορα εἰς ἀετοῦ εἴκασμα.

3.787 [(v. 692) Ἰστέον δὲ ὅτι τὸ «κύκνων δουλιχοδείρων» μεταλαβών τις τῶν ὕστερον, Ἐπίχαρμος δέ, φασίν, ἐκεῖνος ἦν, μακροκαμπυλαύχενας εἶπεν ἐρῳδιούς.] (v. 694) Τὸ δὲ «ἀντίος ἀΐξας» διασαφητικόν ἐστι τοῦ «ἴθυσε νεώς», ἤγουν κατ' εὐθὺ ὥρμησε. [Τοῦτο δὲ διχῶς· ἢ γὰρ ἴθυσεν, ὡς ἐρρέθη, κατὰ νηός, ἢ νηὸς ἀντίος ἀΐξας.] (v. 694—8) Ὅτι ὁ Ζεὺς αὐτὸς, καθὰ καὶ πρὸ βραχέων δηλοῦται, τὸν Ἕκτορα ὦρσεν, ἢ μᾶλλον ὦσεν, ὀπίσω ἱστάμενος δηλαδή, «χειρὶ μάλα μεγάλῃ, ὤτρυνε δὲ λαὸν ἅμ' αὐτῷ, αὖτις δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη. φαίης κ' ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισιν ἄντεσθ' ἐν πολέμῳ, ὣς ἐσσυμένως ἐμάχοντο». Καὶ ταῦτα οὐκ ἀπὸ ἴσου σκοποῦ. (v. 699—702) Ἐπάγει γάρ «τοῖσι δὲ μαρναμένοισιν ὅδ' ἦν νόος, ἤτοι Ἀχαιοὶ οὐκ ἔφασαν φεύξεσθαι ὑπ' ἐκ κακοῦ ἀλλ' ὀλέεσθαι, Τρωσὶ δ' ἔλπετο θυμὸς ἐνὶ στήθεσσιν ἑκάστου νῆας ἐνιπρήσειν κτενέειν δ' ἥρωας Ἀχαιούς», ὅπερ ἦν κατὰ κράτος νικήσειν. Καὶ σημείωσαι τὸ χωρίον τοῦτο ἐμπερίβολον ὂν κατά τε ἄλλους τρόπους καὶ κατὰ τοὺς λογισμούς. ἐκτίθεται γάρ, τί μὲν οἱ Τρῶες ἐπὶ τοῖς παροῦσιν ἐλογίζοντο, τί δὲ οἱ Ἀχαιοί. ὅρα δὲ καὶ ὡς ἐλθὼν ὁ ποιητὴς εἰς τὴν τοῦ κινδύνου ἀκμὴν ἑαυτοῦ ἀκμαιότερος γίνεται τῇ τε φράσει καὶ τοῖς νοήμασι, συνεξομοιούμενος κἀνταῦθα τοῖς πράγμασι. Πάνυ δὲ γενναῖοι οἱ Ἕλληνες, εἴπερ ἀπογνόντες τοῦ ζῆν οὕτω μάχονται, καθὰ δὴ καὶ ὁ Αἴας μόνος ἐφ' ὁμοίοις ἔτι ἀνδρίζεται, καὶ ταῦτα «οἰόμενος θανέεσθαι». (v. 697) Τὸ δὲ «φαίης ἀκμῆτας καὶ ἀτειρέας» καὶ τὸ ἑξῆς, χρήσιμα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰς τοὺς καὶ μετὰ πολὺν πόνον ἀνδριζομένους. παρῳδήσας δέ τις ἐρεῖ καὶ ἐπὶ τῶν ἄλλως μετὰ κάματον μὴ ἀναπιπτόντων. [(v. 698) Τὸ δὲ «ὣς ἐσσυμένως ἐμάχοντο» ἐπιφωνηματικόν τί ἐστι, δηλοῦν ἐν βραχεῖ κόμματι πολλὴν ἔννοιαν ἐπὶ τῇ ἀκμαίᾳ προθυμίᾳ τῶν Ἀχαιῶν.] (v. 699) Τὸ δὲ «τοῖσι δὲ μαρναμένοισι» καὶ ἑξῆς, οἰκεῖον μὲν ἐπὶ τοῖς ἐν ἀπογνώσει ζωῆς μαχομένοις, εἰ δὲ παρῳδηθῇ, εὔχρηστον ἔσται καὶ πρὸς τοὺς κινδυνώδεσιν ἐγχειροῦντας πράγμασι. (v. 696) Τὸ δὲ «δριμεῖα μάχη» ἐκ μεταφορᾶς εἴρηται τῶν τοιούτων βρωμάτων ἢ φαρμάκων. [Εἰ δὲ καὶ ἐπί τινος γλυκύτητος οἱ μεθ' Ὅμηρον τιθέασι τὸ δριμύ καθ' ἡδονῆς λόγον, ἔχει καὶ τοῦτο ἡ ἄρτι μάχη ὡς χαρτὴ δοκοῦσα καὶ χάρμη οὖσα οὕτω διὰ τὸ ἀτειρὲς τῶν μαχομένων καὶ ἀκάματον καὶ οὕτω πρόθυμον καὶ μὴ ἀηδές.

3.788 ] (v. 697 s.) Τὸ δὲ «ἀλλήλοισιν ἄντεσθαι» περίφρασίς ἐστι τοῦ συμμῖξαι. (v. 700) Τὸ δὲ «ἀλλ' ὀλέεσθαι», ὅ ἐστιν ἀπολεῖσθαι, διασαφητικόν ἐστι τοῦ οὐκ ἔφασαν ὑποφυγεῖν ἐκ κακοῦ. (v. 701) Τὸ δὲ «ἔλπετο θυμός» ὅμοιόν ἐστι τῷ «ὅδ' ἦν νόος». (v. 703) Ὅτι ἐναντίον πρὸς τὸ ἀφεστάναι μάχης τὸ ἐφεστάναι, ἤγουν κατ' ἐχθρῶν ἑστάναι, ὡς δηλοῖ τὸ «οἳ μὲν τὰ φρονέοντες ἐφέστασαν ἀλλήλοισι». (v. 704—6) Ὅτι ἐπίτηδες ὁ ποιητὴς ἐπιλεξάμενος ἀπροστάτευτον νῆα τὴν τοῦ πάλαι ποτὲ οἰχομένου Πρωτεσιλάου, ὡς ἡ Βοιωτία δηλοῖ, ἄγει κατ' αὐτῆς τὸν Ἕκτορα, ἵνα μή τινα τῶν ζώντων ἀρχηγῶν αἰσχύνῃ ἀνδραγαθήσαντος Ἕκτορος κατ' αὐτοῦ, καί φησιν «Ἕκτωρ δὲ πρύμνης νεὼς ἥψατο ποντοπόροιο καλῆς ὠκυάλου, ἣ Πρωτεσίλαον ἔνεικεν εἰς Τροίην οὐδ' αὖτις ἀπήγαγε πατρίδα γαῖαν». Τοῦτο δὲ οἰκτιζόμενος λέγει. διὸ καὶ καλὴν τὴν τοῦ Πρωτεσιλάου νῆά φησι, σεμνύνας αὐτὴν καὶ διὰ τοῦ εἰπεῖν ὠκύαλον, καὶ ἐμφήνας τοῖς τοιούτοις ἐπαίνοις εἰκότως τὸν Ἕκτορα φιλοτιμήσασθαι οὕτω καλὴν ἀχρειῶσαι νῆα. (v. 707—8) Εἶτα ἐπάγει «τοῦ περ δὴ περὶ νηός», ἤγουν τῆς τοῦ Πρωτεσιλάου, «Ἀχαιοί τε Τρῶές τε δῄουν», ἤγουν συνέκοπτον, «ἀλλήλους, αὐτοσχεδόν». (v. 708—11) Εἶτα ἑρμηνεύων τὸ «αὐτοσχεδόν» ἐπάγει «οὐδ' ἄρα τοί γε τόξων ἀϊκὰς ἀμφὶς μένον οὐδέ τ' ἀκόντων, ἀλλ' οἵ γ' ἐγγύθεν», καί, ὡς ἔφη, αὐτοσχεδόν, «ἱστάμενοι ἕνα θυμὸν ἔχοντες ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο», καινὴν ταύτην μάχην πρέπουσαν τῷ τῆς ναυμαχίας καιρῷ. (v. 712—5) Ἔτι δέ φησι «καὶ ξίφεσι μεγάλοισι καὶ ἔγχεσιν ἀμφιγύοισι. πολλὰ δὲ φάσγανα καλὰ μελάνδετα κωπήεντα, ἄλλα μὲν ἐκ χειρῶν χαμάδις πέσον, ἄλλα δ' ἀπ' ὤμων ἀνδρῶν μαρναμένων· ῥέε δ' αἵματι γαῖα μέλαινα», ὃ καὶ ἀλλαχοῦ πολλαχοῦ λεχθὲν κεῖται. Καὶ ὅρα τὴν φράσιν τῆς κινδυνώδους ἀκμαίας μάχης, ἣν οὐκ ἂν φράσαιεν κάλλιον οὐδ' εἰ πάντες ῥήτορες εἰς ἓν συνελθόντες μελετήσαιεν. (v. 704) Ἰστέον δὲ ὅτι ἐν τῷ «πρύμνης νεώς» τινὰ τῶν παλαιῶν ἀντιγράφων διὰ τοῦ ο μικροῦ γράφουσι τὸ νεός. τοῦτο δὲ καὶ ἐν Ὀδυσσείᾳ γίνεται. ἡ δὲ αἰτία οὐ σαφής, εἰ μὴ ἄρα εἴποι τις προϋποκεῖσθαι ἐκ τοῦ νέω, τὸ κολυμβῶ, εὐθεῖαν ἄρρητον τὸ νεύς, ἧς Ἰωνικὴ γενικὴ νεῦς νεός. [Ἰστέον δὲ ὡς εἰ καὶ διὰ τοῦ ω μεγάλου ἐν τοῖς ἀντιγράφοις ἐφέρετο, εἶχεν ἂν θεραπείαν τὸ μέτρον σπονδειακὴν διὰ συνιζήσεως.] (v. 709) Τὸ δὲ «ἀϊκάς» ὀξύνεται λόγῳ τοιούτῳ. Τὰ εἰς κη θηλυκὰ ὑπὲρ δύο συλλαβάς, τῷ ι παραληγόμενα, βαρύνεται, ἑλίκη, μυρίκη, Φοινίκη, τὸ ἀϊκὴ ὠξυτονήθη παρὰ τὸ ἀΐσσω, ὡς φυλάσσω φυλακή.

3.789 ὅθεν τόξων ἀϊκάς φησιν, ὅ ἐστι τοξευμάτων. ἔστι δὲ καὶ ἄλλη εὐθεῖα ἡ ἄϊξ, ὅθεν πολυάϊκος πολέμοιο καὶ κορυθάϊξ. Τὸ δὲ «ἀμφὶς μένον» ἀντὶ τοῦ ἰδίᾳ καὶ παρεκτός. δύναται δὲ εἶναι καὶ ἀντὶ τοῦ ἀμφοτέρωθεν. Οἱ δὲ ἄκοντες, ὡς ἐνταῦθα φαίνεται, διαφέρουσι τῶν ἐγχέων. διὸ καὶ ἄκοντας ἀφέντες Ἀχαιοὶ μεταλαμβάνουσιν ἔγχεα, μείζω δηλαδὴ ὄντα καὶ ἰσχυρότερα. (v. 711) Οὕτω δὲ καὶ πέλεκυς πρὸς ἀξίνην διάφορος, ὡς δηλοῖ τὸ «πελέκεσσι καὶ ἀξίνῃσιν». Ἀμφίγυα δέ, εἰ καὶ ἄλλως προερρέθη, καὶ τὰ τῆς ναυμαχίας ἔγχη, ἵνα εἴπερ ἡ αἰχμὴ κολουσθῇ, ὅπερ ἔπαθεν ἡ τοῦ Αἴαντος, βλάπτωσι τῷ στύρακι. στυρακωτὰ γὰρ τὰ ἀμφίγυα, ὡς ἤδη δέδεικται. Ὅρα δὲ καὶ τὰ προμνημονευθέντα συνεχῆ ἑπτὰ πάρισα, τὸ ὀξέσι, τὸ πελέκεσσι, τὸ ἀξίνῃσι, ὃ καὶ ἐκτείνει τὸ τῆς προπαραληγούσης δίχρονον, τὸ ξίφεσι, τὸ μεγάλοισι, καὶ τὸ ἀμφιγύοισιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁμοίως καὶ τὰ ἐφεξῆς ἑτεροῖα ἑπτά, τὸ πολλά, τὸ φάσγανα, τὸ καλά, τὸ μελάνδετα, τὸ κωπήεντα, καὶ τὸ ἄλλα, δὶς αὐτὸ λεχθέν. (v. 713) Μελάνδετα δὲ ἢ τὰ σιδηρόδετα—μέλας γὰρ κατ' ἐπικράτειαν ἐπιθετικὴν ὁ σίδηρος—ἢ τὰ ἐνδεδεμένα ἐπιμελῶς κατὰ τὴν λαβήν, ἢ τὰ ἔχοντα μελαίνας λαβάς, ταὐτὸν δὲ εἰπεῖν, κώπας. ὧν ἐκ μὲν τῆς κώπης κωπῆεν ξίφος, ἐκ δὲ τῆς λαβῆς χρυσολαβὲς ξιφίδιον ἐν ῥητορικῷ Λεξικῷ τὸ ἔχον χρυσῆν λαβήν. (v. 714) Ἐκ χειρῶν δὲ καὶ ἀπ' ὤμων πίπτουσι φάσγανα, κοπτομένων δηλαδή, [ἀπὸ χειρῶν μέν, ὅσα προὔτεινον ξίφη, ἀπὸ δὲ ὤμων, ἐξ ὧν ᾐώρηντο ἔτι αὐτά.] (v. 715) Τὸ δὲ «γαῖα μέλαινα» ὑφείλετο οἷον τῇ πρὸς τὸ αἷμα παραθέσει τὸ αὐτοῦ ἐπίθετον, ὃ δὴ καὶ αὐτὸ πολλαχοῦ μέλαν καλεῖται. (v. 716—21) Ὅτι Ἕκτωρ πρύμνηθεν, ὡς ἐρρέθη, «ἐπεὶ λάβεν, οὐχὶ μεθίει, ἄφλαστον μετὰ χερσὶν ἔχων, Τρωσὶν δ' ἐκέλευεν· οἴσετε πῦρ, ἅμα δ' αὐτοὶ ἀολλέες ὄρνυτ' ἀϋτήν», ἤγουν φωνὴν ἢ μάχην, «νῦν ἡμῖν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκε νῆας ἑλεῖν, αἳ δεῦρο θεῶν ἀέκητι μολοῦσαι ἡμῖν πήματα πολλὰ θέσαν». (v. 721—5) Φρονηματισθεὶς δὲ τῇ εὐτυχίᾳ λέγει καὶ ὅτι κακότητι γερόντων, ὡς αὐτῶν δῆθεν πταισάντων, «οἵ μ' ἐθέλοντα», φησί, «μάχεσθαι ἐπὶ πρύμνῃσιν νέεσσιν αὐτόν τε ἰσχανάασκον ἐρητύοντό τε λαόν», ἤγουν ἐρήτυον, «ἀλλ' εἰ δὴ τότε βλάπτε φρένας θεὸς ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει».

3.790 Αἰσθάνεται γὰρ τοῦ Διὸς ὤσαντος αὐτὸν ὄπισθεν ἢ ὄρσαντος χειρὶ οὐ τῇ τυχούσῃ οὐδ' ἁπλῶς μεγάλῃ, ἀλλὰ μάλα μεγάλῃ, ὡς εἴρηται. τοῦτο δὲ εἴποι ἂν καὶ ἄλλος ἐκ δυστυχίας ἢ ἀργίας εἰς εὐπραξίαν ἐλθὼν καὶ ἐνέργειαν. (v. 717) Ἄφλαστον δέ φασιν οὐχὶ τὸ ἀκροστόλιον, διαφέρουσι γὰρ αἱ λέξεις, ἀλλὰ κατὰ Δίδυμον, ὥς φησι Παυσανίας, τὸ ἐπὶ πρύμνης ἀνατεταμένον εἰς ὕψος ἐκ κανονίων πλατέων ἐπικεκαμμένων, διήκοντος δι' αὐτῶν πλατέος κανονίου, ὑπηρεισμένου τούτῳ στυλίσκου ὄπισθεν τοῦ κυβερνήτου. κρεμάννυται δ' ἐκ τῶν κανονίων καὶ τοῦ θρανίου ταινία, εἰς παράσημον δηλαδὴ τῆς νηός. Καὶ τοιοῦτον μὲν τὸ ἄφλαστον ἐτυμολογούμενον ἀπὸ τοῦ μὴ ῥᾳδίως φλᾶσθαι, ἤγουν θλᾶσθαι, κατὰ διάλεκτον Ἀττικήν, ὡς δηλοῦται καὶ παρὰ τῷ Κωμικῷ. Ἀκροστόλιον δέ, φασί, τὸ ἀπὸ τῆς πτυχῆς ἀνατεῖνον ξύλον ἐπὶ τὴν πρῷραν, περὶ οὗ καὶ αὐτοῦ φησιν ὁ Δίδυμος, ὅτι τὸ λεγόμενον ἀκροστόλιόν ἐστιν ἄκρος στόλος. στόλος δέ ἐστι τὸ ἀπὸ τῆς λεγομένης πτυχῆς ξύλον πλατύ. πτυχὴ δέ ἐστιν, ὅπου οἵ τε ὀφθαλμοὶ ζωγραφοῦνται καὶ τὸ τῆς νεὼς ὄνομα ἐπιγράφεται. ἕτεροι δὲ καὶ τὸ στενὸν καὶ εἰς ὀξὺ λῆγον στόλον φασί. (v. 718) Τὸ δὲ «οἴσετε πῦρ» ἐδύνατο μὲν καὶ ἀπαρεμφάτως ῥηθῆναι, ἵνα ᾖν· κέλευεν οἴσειν πῦρ, προῃρέθη δὲ αὐτὴ δὴ ἡ τοῦ Ἕκτορος φωνή. (v. 719) Τὸ δὲ «πάντων ἄξιον» ἀντὶ τοῦ ἰσόρροπον τῶν προλαβόντων πόνων δηλαδὴ ἢ ἡμάτων. σαφέστερον δὲ αὐτοῦ τὸ ἀντάξιον ἐν τῷ «οὐ γὰρ ἐμῆς ψυχῆς ἀντάξιον». ἀλλαχοῦ δὲ ἀπολύτως ἔφη «σὺ δ' ἄξια δέξαι ἄποινα». Ἰστέον δὲ ὅτι ἀγαθῆς ἡμέρας ἔπαινος τὸ «νῦν ἡμῖν πάντων ἄξιον ἦμαρ ἔδωκε θεός». [Ὅτι δὲ οἱ μεθ' Ὅμηρον Ἀττικοὶ καὶ τὸ εὔωνον ἄξιον ἔλεγον, ἀναλεκτέον ἐκ τῶν τοῦ Κωμικοῦ.] (v. 720) Τὸ δὲ «νῆας ἑλεῖν» ἑρμηνεύει τί τὸ πάντων ἄξιον ἦμαρ. Τὸ δὲ «θεῶν ἀέκητι» μὴ θεοφιλῶς τοὺς Ἀχαιοὺς τὴν ἀρχὴν στρατεύσασθαι δηλοῖ μηδὲ κατὰ οἰωνοὺς αἰσίους.

3.791 (v. 721) Κακότης δὲ γερόντων ἡ δειλία. Τὸ δὲ «ἰσχανάασκον» καὶ τὸ «ἐρητύοντο» νοῦν μὲν ἔχουσι τὸν αὐτόν, φιλοῦνται δὲ ποιηταῖς. (v. 724) Τὸ δὲ «βλάπτε φρένας» τὸν παρ' ἑτέροις βλαψίφρονα συντίθησι καὶ φρενοβλαβῆ, ὡς καὶ ἀλλαχοῦ κεῖται. [Διαστολὴν δὲ ἔχει πρὸς ἄλλα βλαπτόμενα, οἷον βέλεμνα καὶ λοιπά.] Ὅτι ἐπικειμένων τοῦ τε Ἕκτορος καὶ τοῦ Τρωϊκοῦ ὄχλου δύσελπις ὁ Αἴας γίνεται καὶ ἀναχωρεῖ ἐξ ἀνάγκης μικρόν τι, λιπὼν τὰ τῆς εἰρημένης νηὸς ἴκρια. (v. 727) Φησὶ γοῦν ὁ ποιητὴς «Αἴας δ' οὐκέτ' ἔμιμνε, βιάζετο γὰρ βελέεσσιν». ὃ ἐπιφωνηματικῶς μὲν κατὰ τοὺς παλαιοὺς λέγεται διὰ τὴν ἐν νοήμασι πλουσίαν γοργότητα, οἰκεῖον δέ ἐστι ῥηθῆναι ἐπὶ ἀριστέως ἡττηθέντος. (v. 728—31) Εἶτα Ὅμηρος ἐπάγει «ἀλλ' ἀνεχάζετο τυτθόν, ὀϊόμενος θανέεσθαι, θρῆνυν ἐφ' ἑπταπόδην, λίπε δὲ ἴκρια νηός, ἔνθ' ὅ γ' εἱστήκει δεδοκημένος, ἔγχεϊ δ' αἰεὶ Τρῶας ἄμυνε νεῶν», εἰ καὶ μὴ πάντας, ἀλλ' «ὅς τις φέρει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀκάματον πῦρ». Καὶ ὅρα ὅτι οὐ προτροπάδην ἔφυγε δι᾽ ἑαυτόν τε καὶ τὸν λόγον τοῦ Νέστορος εἰπόντος μηδὲ τρωπᾶσθαι φόβονδε, τυτθὸν δὲ ἀναχασάμενος ἠμύνετο. (v. 728) Τὸ δὲ «οἰόμενος θανέεσθαι» κόμμα ἐστὶ παραφράζον τὸ «οὐκ ἔφασαν φεύξεσθαι ὑπ᾽ ἐκ κακοῦ ἀλλ᾽ ὀλέεσθαι». (v. 729) Θρῆνυν δὲ λέγει νῦν ἀρσενικῶς ἢ τὴν καθέδραν τοῦ κυβερνήτου, περὶ ἧς ἀνωτέρω ἐρρέθη, ἢ τὴν τῶν κωπηλατῶν, ἣν καὶ αὐτὴν Ἀττικοὶ θρᾶνον καλοῦσιν, ὅθεν καὶ θρανίτης κωπηλάτης. Τὸ δὲ «ἑπταπόδην» ὡς ἐν παρέργῳ παρέρριψεν, εἰ καὶ μὴ καθ᾽ Ἡσίοδον ἠνάγκασται οὕτω μετρεῖν ξύλα ποσὶν ἢ σπιθαμαῖς, ὡς τοῦ θρήνυος τοσούτων ὀφείλοντος εἶναι ποδῶν, [καθὰ καὶ τοῦ παρ᾽ Ἡσιόδῳ ἑπταπόδου ἄξονος.] Περὶ δὲ τοῦ «ἔλιπεν ἴκρια νηός» κεῖταί τι σαφὲς πρὸ βραχέων. (v. 730) Τὸ δὲ «δεδοκημένος» κυνηγετικὴ κυρίως λέξις, ὅτε ζῷον ἐπιὸν δέχονταί τινες, ὅθεν καὶ προδοκός στενὸς τόπος, τοιούτῳ ἔργῳ ἐπιτήδειος, ἀφ᾽ οὗ κατωτέρω τὸ «δεδεγμένος ὀξέϊ χαλκῷ». (v. 730 s.) Τὸ δὲ «αἰεί» οὐδ᾽ ἐνταῦθα ἔχει τὴν κυρίαν χρονικὴν σημασίαν τὴν πλατικὴν ἐν τῷ «ἔγχεϊ δ᾽ αἰεὶ Τρῶας ἄμυνεν», «ὅ τις», ἤγουν ὅστις, «φέροι πῦρ», ἀλλ᾽ ἀντὶ τοῦ νῦν ἢ κατὰ τὴν ἡμέραν ἐκείνην κεῖται, καθὰ καὶ ἐφεξῆς ἐν τῷ «αἰεὶ δὲ σμερδνὸν βοόων», καὶ πρὸ τούτου ἐν τῷ «ἀσφαλὲς αἰεὶ θρῴσκων».

3.792 Ὅρα δὲ τὸ «Τρῶας ὅ τις φέροι ἀκάματον πῦρ», μερικεῦσαν συνήθως τὸ πολὺ πλῆθος εἰς ἕνα. οὐ γὰρ πάντας Τρῶας ὁ Αἴας ἤμυνεν ἀλλ᾽ ἕνα τινὰ αἰεί. Ὅτι ἔννοιαι πυκναὶ κεῖνται καὶ ὧδε, ἃς ἐπιδρομάδην ὁ Αἴας λέγει ἐπείγοντος τοῦ καιροῦ. (v. 733 s.) Φησὶ γὰρ «ὦ φίλοι, ἥρωες Δαναοί, θεράποντες Ἄρηος, ἀνέρες ἐστὲ φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς». τοῦτο προοίμιον ἀξιωτικόν. (v. 735) Εἶτα δευτέρα ἔννοια τὸ «ἠέ τινάς φαμεν εἶναι ἀοσσητῆρας ὀπίσσω», τουτέστι σπουδαίους βοηθούς, ὡς ἐν ἄλλοις δηλοῦται. (v. 736—8) Τρίτη δὲ τὸ «ἠέ τι τεῖχος ἄρειον, ὅ κεν ἀνδράσι λοιγὸν ἀμύναι», τετάρτη δὲ τὸ «οὐ μέν τις σχεδόν ἐστι πόλις πύργοις ἀραρυῖα» καὶ ἑξῆς. Καὶ ὅρα ὅτι συντομώτατα μὲν φράζει διὰ τὴν τῆς μάχης ἔπειξιν, καιριώτατα δέ. Τὰ μὲν γὰρ οὐκ ἔχομεν ὅλως οἱ Ἀχαιοὶ κατὰ τοὺς Τρῶας, συμμάχους δηλαδὴ καὶ πόλιν, ᾗ ἀπαμυναίμεθα ἄν, ἑτεραλκέα, φησί, δῆμον ἔχοντες, τὰ δέ, εἰ καὶ ἔχομεν, ἀλλὰ ἀχρεῖα, οἷον καὶ τὸ χθαμαλὸν τεῖχος. Τὸ δὲ «φίλοι» κολακευτικῶς ἐπιτηδευσάμενος δὶς εἶπεν ὁ Αἴας ἐκ περισσοῦ. ἄλλως γὰρ ἤρκει ἅπαξ ῥηθὲν ἐν τῇ προοιμιακῇ ἐννοίᾳ τὸ «ὦ φίλοι, ἥρωες». (v. 738) Ἑτεραλκέα δὲ δῆμον λέγει ὡς καὶ νίκην ἑτεραλκέα, ὃς δηλαδὴ ἀκμὴς ἐπελθὼν καὶ ἐπικουρῶν θατέρῳ μέρει ἀλκὴν δίδωσιν, ἢ γοργότερον εἰπεῖν, ὁ θατέρῳ μέρει ἀλαλκών. (v. 739 s.) Ἰστέον δὲ καὶ ὅτι κατὰ ἄρσιν εἰπών, ὡς οὐκ ἔστιν ἡμῖν ἐνταῦθα πόλις, καθὰ δηλαδὴ τοῖς Τρωσίν, ἐπάγει κατὰ θέσιν τὸ «ἀλλ᾽ ἐν γὰρ Τρώων πεδίῳ ἥμεθα». ἐπεὶ δὲ τοῦτο ψευδές, οὐ γὰρ σκηνοῦσιν ἐν τῇ πεδιάδι, ἐπιφέρει τὸ ἀληθὲς «πόντῳ κεκλιμένοι», οὗ εἴη ἂν ὄφελος οὐδέν, εἴπερ αἱ νῆες καυθῶσι. τότε γάρ, ὡς καὶ ὁ Ἀχιλλεὺς ἐρεῖ, «οὐκέτι φυκτὰ πέλονται». Σκοπητέον δὲ εἰ καὶ ἐν τῷ «ἀλλ᾽ ἐν γὰρ Τρώων πεδίῳ» περιττός ἐστιν ὁ γαρ σύνδεσμος. (v. 740) Ἰστέον δὲ ὅτι τὸ «κεκλιμένοι» καὶ τὸ «ἥμεθα» ἔχουσί τι καὶ ὀνειδισμοῦ, ὡς ἀπρακτούντων τῶν Ἀχαιῶν ἐκεῖσε κατὰ τοὺς εἴτε κεκλιμένους εἴτε καθημένους. (v. 733—41) Σημείωσαι δὲ καὶ ὅτι ἐν τοῖς εἰρημένοις τὸ μὲν προοίμιον ἀποστροφῆς ἔχει σχῆμα μετὰ καὶ προστάξεως, τὸ δὲ τρίτον καὶ τέταρτον ἔπος ἐλεγκτικῶς ἐρωτᾷ, ὁ δὲ πέμπτος στίχος οἷα εὖ εἰδὼς προάγεται ἀποφαντικῶς. ἐν δὲ τοῖς ἑξῆς κεῖνται παρὰ ταῦτα καὶ ἄλλα σχήματα. (v. 741) Ὅτι τὸ «ἐν χερσὶ φόως, οὐ μειλιχίῃ πολέμοιο», γνωμικῶς ῥηθέν, Ἀρίσταρχος μὲν οὕτως ἐκλαμβάνει ἐν τῷ δρᾶν ἐστιν ἡ νίκη καὶ οὐκ ἐν τῇ μειλιχίῃ τοῦ πολέμου. ὁ δὲ Θρᾷξ Διονύσιος εὐθεῖαν νοεῖ τὸ μειλιχίη, λέγων ὅτι ἐν χερσὶν ἡμῖν ἡ σωτηρία, προσήνεια δὲ οὐκ ἔστι πολέμου.

3.793 (v. 743—5) Ὅτι πρῶτον μὲν ἀορίστως φράζων ὁ ποιητής φησιν «ὅς τις δὲ Τρώων ἐπὶ νηυσὶ φέροιτο σὺν πυρὶ κηλείῳ χάριν Ἕκτορος ὀτρύναντος, τὸν δ᾽ Αἴας οὔτασκε δεδεγμένος», ὡς προσεχῶς εἴρηται, «ὀξέϊ δουρί». (v. 746) Εἶτα καὶ τὸ ὡρισμένον προσιστορῶν φησι «δώδεκα δέ», ἢ δή, «προπάροιθε νεῶν αὐτοσχεδὸν οὖτα». Καὶ ὅρα καὶ νῦν τὸ «αὐτοσχεδὸν οὖτα», ὡς τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βάλλειν πόρρωθεν γινομένου. (v. 744) Τὸ δὲ «χάριν Ἕκτορος» ἀντὶ τοῦ πρὸς χάριν, ὃ ταὐτόν ἐστι τῷ χαριζομένους τῷ Ἕκτορι. [Ἔνθα σημείωσαι, ὡς οὐκ ἀεὶ ταὐτὸν τὸ χάριν καὶ τὸ ἕνεκεν, ἀλλ' εἰ καὶ ἀμφότερα αἰτιολογικά εἰσιν, ὅμως τὸ μὲν χάριν ἐπὶ τῶν χάριτος ἕνεκεν γινομένων τίθεται, οἷον· Ἀχιλλεὺς χάριν Μενελάου ἐστράτευσεν, αὐτὸ δὲ τὸ ἕνεκεν ἐπὶ τῶν ἁπλῶς διά τι, οἷον· Ἕλληνες ἕνεκεν τῆς Ἀλεξάνδρου ὕβρεως ἔπλευσαν εἰς Τροίαν.] Τὸ δὲ «κήλειον πῦρ» δῆλον, ὡς καὶ κήλεον λέγεται ὁμοίως τῷ δαιδάλειον δαιδάλεον καὶ τοῖς τοιούτοις. (v. 743 s.) Τὸ δὲ «ἐπὶ νηυσὶ φέροιτο σὺν πυρί» παράφρασίς ἐστι καινοτέρα τοῦ πῦρ φέρει ἐπὶ τὰς νῆας. ΕΚ ΤΩΝ ΤΗΣ ΠΙ ΡΑΨΩΙΔΙΑΣ Ὅτι ἡ μὲν διὰ τῆς τῷ ποιητῇ φίλης φράσεως ἐπιγραφὴ τῆς Πῖ ῥαψῳδίας αὕτη· Πῖ Πάτροκλον ἔπεφνεν ἀρήϊον Ἕκτορος αἰχμή.

3.794.(t) ἡ δὲ ἑτέρα μιᾷ λέξει στενοχωρεῖται. λέγεται γὰρ Πατρόκλεια διὰ τὸ τὰ κατὰ Πάτροκλον ἱστορεῖν. διὰ τί δὲ προπαροξύνεται, προδεδήλωται. (v. 1) Ὅτι ἐν πολλοῖς ὁ ποιητὴς (195) χρώμενος ἐννοίαις καταστατικαῖς καὶ ἀναπαυούσαις τὰ προλαβόντα, οἷον «ὣς οἳ μὲν τὰ πένοντο κατὰ στρατόν», «ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον», «ὣς τὴν μὲν πρύμνην πῦρ ἄμφεπεν», «ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον», «ὣς ὃ μὲν ἐν κλισίῃ Μενοιτίου ἄλκιμος υἱός», φησὶ καὶ ἐνταῦθα «ὣς οἳ μὲν περὶ νηὸς εὐσέλμοιο μάχοντο». Ἔστι δέ, φασί, σέλμα, ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη, τὸ μεταξὺ τῶν τοίχων τῆς νεώς, ὃ καὶ ζυγὸς καὶ σελὶς καλεῖται, καθέδρα ὂν ἐρέτου, ὅθεν εὔσελμος ναῦς. Γίνεται δὲ τὸ ῥηθὲν σέλμα παρὰ τὸ σέλλω, τὸ ὁρμῶ, τὸ αἴτιον ὁρμῆς τῇ νηΐ. διὸ καὶ Σοφοκλῆς θοὸν εἰρεσίας λέγει ζυγόν, οὐχ' ὡς αὐτὸν ταχὺν ἀλλ' ὡς τοῦ θέειν αἴτιον. ἀπὸ δὲ τοῦ σέλλω καὶ σόλος ὁ δίσκος ὁ μετὰ ὁρμῆς βαλλόμενος, ὡς στέλλω στόλος. Ἤδη δὲ ἐδηλώθη ὡς εὔσελμος ναῦς καὶ ἡ καλὰ σπάρτα ἔχουσα. σελμὶς γάρ, φασί, τὸ σπαρτίον. (v. 2—4) Ὅτι Πάτροκλος «Ἀχιλῆϊ παρίστατο ποιμένι λαῶν», σιωπῶν διὰ πένθος πολύ, «δάκρυα θερμὰ χέων, ὥς τε κρήνη μελάνυδρος, ἥ τε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ», ἤτοι μέλαν, ἢ μᾶλλον μετὰ δονήσεως φερόμενον καί τινος ἤχου, ὡς ἀρέσκει τοῖς παλαιοῖς, ὁποῖα τὰ κελαρύζοντα.

3.795 Ὑπερβολικὸν δὲ κἀνταῦθα τὸ τοσοῦτον καὶ τοιοῦτον δάκρυον, ὃ παραδηλοῖ ἡ παραβολή, δακρύων μὲν ἀθρόαν χύσιν ἐμφαίνουσα, λεχθεῖσα δέ που πρὸ τούτων καὶ ἐπὶ Ἀγαμέμνονος. Καὶ οὕτω μὲν ἡ Ὁμηρικὴ Μοῦσα μεγεθύνει τὰ τοῦ ἥρωος ἐπὶ τοῖς Ἀχαιοῖς δάκρυα, [κλείουσα μὲν ἀφωνίας μοχλῷ τὰς τοῦ λέγειν θύρας, διαπεταννῦσα δὲ τὰς τοῦ δακρύειν, ὡς προτρέχειν τοῦ λόγου οἰκτρῶς τὰ δάκρυα.] (v. 7—11) Ὁ δέ γε Ἀχιλλεὺς ὡς εἴπερ αὐτὸς οὐκ ἐφάνη κλαίων, καὶ ταῦτα ἕνεκεν παλλακίδος μιᾶς, θαυμάζει. μᾶλλον μὲν οὖν κατασμικρύνει αὐτὰ διὰ τὸ ἐν αὐτοῖς φαινόμενον πολὺ τοῦ οἴκτου, λέγων «τίπτε δεδάκρυσαι Πατρόκλεις ἠΰτε κούρη νηπίη», τουτέστιν οὐχ' ὡς ἁπλῶς κόρη, κόρη γάρ που ἐρρέθη καὶ ἡ Βρισηῒς καὶ ἡ Χρυσηΐς, ἀλλὰ ὡς κόρη νηπία, «ἥ θ' ἅμα μητρὶ θέους' ἀνελέσθαι ἀνώγει, εἱανοῦ ἁπτομένη, καί τ' ἐσσυμένη κατερύκει, δακρυόεσσα δέ μιν ποτιδέρκεται ὄφρ' ἀνέληται. τῇ», ἤγουν ταύτῃ, «ἴκελος, Πάτροκλε, τέρεν κατὰ δάκρυον εἴβεις», τὸ ἐκ τειρομένης δηλαδὴ καρδίας, [ἢ καὶ ἄλλως, τὸ τερενοποιόν, ἤγουν μαλακτικόν, καθὰ καὶ κῶμά που μαλακὸν τὸ μαλακοποιὸν δι' ἀνάπαυσιν.] Ἰστέον δὲ ὡς τῶν ῥηθεισῶν παραβολῶν ἡ μὲν τῆς κρήνης πρὸς τὸ «δάκρυα χέων» εἴρηται, ὅπερ ἀλλαχοῦ συνθέτως λέγεται δακρυχέων. ὡς γὰρ κρήνη χέει ὕδωρ, οὕτω καὶ ὁ Πάτροκλος δάκρυα. ἡ δὲ ἐκ τοῦ ἀστείου χαρακτῆρος τῆς νηπίας κόρης πρὸς ἄλλο παντελῶς οὐδέν ἐστιν ἀλλ' ἢ πρὸς μόνον τὸ λιπαρῶς καὶ δαψιλῶς καὶ φιλοίκτως δακρύειν τὸν Πάτροκλον. μητρὸς δὲ εἰκόνα ἢ ἄλλο τι τῶν τῆς παραβολῆς οὐκ ἔστιν ἐνταῦθα συμβιβάσαι, ἀλλὰ δίχα τοῦ πρὸς κόρην κλαίουσαν εἰκασθῆναι τἄλλα διὰ τὸ τῆς παραβολῆς ἐντελὲς πέφρασται συνήθως τῷ ποιητῇ. (v. 5) Ὅτι δὲ οἶκτον εἶχε τὸ τοῦ Πατρόκλου δάκρυον, ὁ ποιητὴς ἐπεσημήνατο εἰπὼν «τὸν δὲ ἰδὼν ᾤκτειρεν Ἀχιλλεύς». καὶ ταῦτα μὲν ἐν τούτοις. (v. 3) Μελάνυδρος δὲ κρήνη καὶ ἐνταῦθα ἢ ἡ βαθύϋδρος καὶ διὰ τοῦτο δυσόρατος, ἢ ὅτι, εἰ καὶ διαφανές, ἀλλὰ μέλαν ἄλλως τὸ ὕδωρ, ὡς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν τοῖς ἑξῆς λέγει λύων τὴν σύνθεσιν τῆς μελανύδρου κρήνης ἐν τῷ «λάψοντες μέλαν ὕδωρ». δῆλον δέ, φασί, καὶ ἐκ τοῦ καπνοῦ τὸ μέλαν τοῦ ὕδατος, ὃς ἐξ ὑγρότητος ξύλων μέλας ἀναδίδοται. (v. 4) Ὅτι δὲ ἐλαφρὰ αἱ αἶγες καὶ νευρώδη τὰ σκέλη ἔχουσαι ταῖς ἀποκρήμνοις καὶ ὑψηλαῖς τῶν πετρῶν εὐμαρῶς προβαίνουσι, δῆλον.

3.796 διὸ καὶ αἱ πέτραι, ἃς διὰ τὸ δυσανάβατον αἱ αἶγες λείπουσιν, αἰγίλιπες λέγονται. Ἕτεροι δὲ πέτραν αἰγίλιπα νοοῦσι τὴν μηδὲν φύουσαν, λέγοντες ὡς οὗ ἂν ἡ αἲξ ἀποτράγῃ, ἄσπορον αὐτὸ ποιεῖ, ὥστε κατ' αὐτοὺς αἰγίλιψ, ἣν ἡ αἲξ βοσκησαμένη ἔλιπε. Γράφεται δὲ ἡ λήγουσα τοῦ αἰγίλιψ διὰ τοῦ ι , ἐπεὶ μηδέποτε πρὸ τῶν διπλῶν εὑρίσκεται δίφθογγον. Τὸ δὲ εἰπεῖν αἰγίλιπα τὴν τὰς αἶγας λιπαίνουσαν πέτραν διὰ τάς, ὡς εἰκός, που ἐν αὐτῇ φυομένας βοτάνας ἢ διὰ τὴν ἐκ τοῦ ἐκεῖσε ὕδατος πιότητα, εἰ καὶ ἐν ταῖς πλαγίαις πιθανολογεῖται, ἀλλὰ τὴν εὐθεῖαν ἀντιβαίνουσαν ἔχει. πῶς γὰρ αἰγίλιψ, [διὰ τοῦ ψῖ,] ἡ τὰς αἶγας λιπαίνουσα; [Ὅτι δὲ τῶν ὑδάτων τὰ ἐκ πετρῶν φερόμενα δνοφερὰ καλεῖ Ὅμηρος ὡς ἀχρεῖα, ἐν τοῖς τοῦ Ἀθηναίου κεῖται, ὃς εἰς ἔπαινον ἀγαθοῦ ὕδατος χορηγεῖ καὶ τὸ ἐν Θεσπιαῖς μὲν ὕδωρ εἶναι παιδογόνον, ἐν Πύρρᾳ δὲ ἄγονον.] (v. 7 et 11) Ὁ δὲ Πάτροκλος ὅτι διττὰς ἔχει εὐθείας, δηλοῖ καὶ τὸ «τί δεδάκρυσαι Πατρόκλεις», καὶ τὸ «τῇ ἴκελος Πάτροκλε». τὸ μὲν γὰρ ἐκ τοῦ Πατροκλῆς ὡς Ἡρακλῆς, τὸ δὲ ἐκ τοῦ Πάτροκλος ὡς Ἐτέοκλος. (v. 8) Τὸ δὲ «ἀνελέσθαι» καὶ τὸ «ἀνέληται» τῆς ἄγαν ἐστὶ νηπιότητος ἐνδεικτικά. τοιαύτης γὰρ ἡλικίας τὸ βαστάζεσθαι. ἄλλως μέντοι νήπιος ἔστιν ὅτε καὶ ὁ τὴν μὲν ἡλικίαν τέλειος, ἄφρων δέ. Τὸ δὲ «ἀνώγει» καλῶς ἐπὶ νηπίας κόρης ἐρρέθη. κελεύσμασι γάρ πως αἱ τῶν βρεφῶν, φασίν, ἀξιώσεις ἐοίκασιν, αἷς καὶ πείθονται οἱ γονεῖς. Τὸ δὲ «εἰανοῦ» ἐπένθεσιν ἔχει τοῦ ἰῶτα. ὡς γὰρ τέως τείως καὶ ἕως είως καὶ λέουσι λείουσιν, οὕτως ἑανοῦ είανοῦ. ὅμοιον δὲ τούτοις καὶ τὸ κυκεῶ κυκειῶ καὶ θύρας συφειοῦ ἤγουν συφεοῦ. [Γυναικεῖον δὲ κἀνταῦθα συνήθως ἔνδυμα ὁ ἑανός. (v. 9) Τὸ δὲ «ἐσσυμένη κατερύκει» γράφεται κάλλιον ἐσσυμένην κατὰ πτῶσιν αἰτιατικήν, ἵνα ᾖ μητέρα ἐσσυμένην, ἐπεὶ γὰρ θέουσα ἡ μήτηρ ὑπόκειται, ἐρύκει πάντως αὐτὴν συντόνως θέειν συνθέουσα ἡ νηπία παῖς.] (v. 12) Ὅτι πολλαχοῦ, ὡς καὶ ἑτέρωθι παρεσημάνθη, μέθοδος Ὁμήρῳ εἰς πλατυσμὸν γραφῆς καὶ αὕτη. Ὅτ' ἄν τι πρᾶγμα γένηται ἢ γίνηται, πλάττει τινὰς ἀγνοοῦντας καὶ διὰ τοῦτο ἐρωτῶντας αἴτια διάφορα, καθ' ἃ γενέσθαι εἰκὸς ἐκεῖνο τὸ πρᾶγμα.

3.797 ἐφ' οἷς μὴ εὐστοχήσαντος τοῦ ἐρωτῶντος ἐπάγει λοιπὸν τὸ ἀληθὲς αἴτιον ὁ ἐρωτώμενος, λέγων ὡς οὔτε τόδε οὔτε τόδε ἀλλὰ τόδε ἐστίν. οἷον· ἆρά γε Ἀπόλλων εὐχωλῆς ἐπιμέμφεται καὶ ἑκατόμβης; ἦν δὲ οὐ τοῦτο. ἀλλ' ἕνεκ' ἀρητῆρος ἐχώσατο. καὶ «πῇ ἔβη Ἀνδρομάχη»; ἐς γαλόων ἢ εἰνατέρων ἐϋπέπλων ἢ ἐς Ἀθηναίης; οὔκουν, ὦ Ἕκτορ, ἀλλ' ἐπὶ πύργον διὰ σέ. τοιοῦτον καὶ μετ' ὀλίγα τό· εἰ δέ τινα θεοπροπίην ἀλεείνεις καί τινά σοι ἐπέφραδε μήτηρ. πρὸς ὃ ἐπάγεται τὸ «οὔτε θεοπροπίης ἐμπάζομαι οὔτε μοι ἐπέφραδε μήτηρ, ἀλλὰ τόδ' αἰνὸν ἄχος» καὶ ἑξῆς. οὕτως δὲ καὶ ἄλλα μυρία παρὰ τῷ ποιητῇ. Πολυπειρίαν δὲ καὶ τοῦτο ποιεῖ καὶ διδασκαλίαν τοῦ χρῆναι τὸ αὐτὸ καὶ ἓν κατὰ διαφόρους αἰτίας γίνεσθαι, οἷον τὴν τοῦ Ἀπόλλωνος μῆνιν διά τε εὐχωλὴν καὶ διὰ ἑκατόμβην καὶ διὰ ὕβριν ἱερέως, καὶ τὴν Ἀνδρομάχης ἔξοδον οὐ διὰ τὸν Ἕκτορα μόνον ἀλλὰ καὶ δι' ἄλλα τινά. καὶ τοιαύτη μὲν ἐν πολλοῖς ἡ Ὁμηρικὴ αὕτη μέθοδος. ἐνταῦθα δὲ τὸ ὁμοειδὲς τῶν τοιούτων ἐρωτήσεων ἐκκλίνων ὁ ποιητὴς ποιεῖ τὸν Ἀχιλλέα τά τε μὴ ὄντα αἴτια ἐρωτήσαντα καὶ τὸ ἀληθὲς αὐτὸν ἐκεῖνον ἐπισυνάψαντα. (v. 12—7) Ἐρωτήσας γὰρ τὸν Πάτροκλον, εἴ τι διὰ τοὺς Μυρμιδόνας λέξει ἢ δι' αὐτὸν ἢ διὰ τὸν Πηλέα ἢ διὰ τὸν Μενοίτιον, «τῶν», ἤγουν ὧν, φησί, «μάλ' ἀμφοτέρων ἀκαχοίμεθα τεθνειώτων», ἐπάγει τὸ ἀληθές «ἠὲ σύ γ' Ἀργείων ὀλοφύρεαι ὡς ὀλέκονται». καὶ ἐπισυνάπτει εὐθὺς καὶ τὴν κατ' αὐτῶν αἰτίασιν τὸ «ὑπερβασίης ἕνεκα σφῆς», ἤγουν ἰδίας, ἀμβλύνων τῷ Πατρόκλῳ τὸ εἰς ἱκετείαν πρόθυμον διὰ τὸ τοὺς Ἀχαιοὺς ἐφαμάρτους εἶναι κατ' αὐτοῦ. (v. 14 s.) Ἐν τούτοις δὲ κεῖται καὶ ἐπαναφορᾶς σχῆμα τὸ «ζώειν μὲν ἔτι φασὶ

Μενοίτιον», ζώει δὲ Πηλεύς. οὐ καθαρῶς μέντοι ἐπαναφέρει διὰ τὸ ἀνόμοιον τῶν ῥημάτων τοῦ ζώειν ἀπαρεμφάτου καὶ τοῦ ζώει τρίτου προσώπου ὁριστικοῦ. οὐ γὰρ ἐθέλει ὁ ποιητὴς ἐν πενθίμοις τόποις ἐκφανῶς καλλωπίζειν τὸν λόγον. Διὸ καὶ ὁ Πάτροκλος κατωτέρω μέλλων εἰπεῖν· βέβληται μὲν ὁ Διομήδης, βέβληται δὲ καὶ Εὐρύπυλος, οὐ λέγει οὕτως ἐπαναφορικῶς, ἵνα μὴ δόξῃ παίζειν ἐν οὐ παικτοῖς, ἀλλὰ διακόψας οὕτω φησί· βέβληται Διομήδης, οὔτασται δ’ Ὀδυσσεὺς ἠδ’ Ἀγαμέμνων, βέβληται δ’ Εὐρύπυλος. καὶ οὕτω περιέκρυψε τὸ ἐκπρεπὲς κάλλος τῆς φράσεως. δῆλον δὲ ὅτι ἔχει τι καὶ καινότητος τὸ ῥηθὲν σχῆμα. ἠδύνατο γὰρ ἄλλως κοινότερον εἰπεῖν· ζώειν μέν φασι Μενοίτιον, ζώειν δὲ Πηλέα. ὁ δὲ ἀλλάξας ἄλλως ἐσχημάτισεν. ἐν τούτοις δὲ καὶ ἱστορίαν γοργῶς παρέρριψε ποικιλίας χάριν καὶ γνώσεως, ὅτι ὁ Μενοίτιος καὶ ὁ Πηλεὺς ἄρτι καιροῦ ἔτι ζῶσι. Καὶ τοὺς γονεῖς δὲ κηδίστους εἶναι ἐδίδαξεν, εἴπερ αὐτῶν τεθνεώτων μάλα ἀκάχεσθαι χρή.

3.798 (v. 17) Ὅρα δὲ καὶ τὸ «Ἀργείων ὀλοφύρεαι», ἤγουν ὑπὲρ Ἀργείων. ἔχων γὰρ εἰπεῖν· ἢ Ἀργείους ὀλοφύρεαι, προέκρινε μεγέθους χάριν τὸ καινότερον. δύναται δὲ καὶ τὸ «τῶν ἀμφοτέρων ἀκαχοίμεθα» οὕτως ἀποδοθῆναι. (v. 21) Ὅτι Πάτροκλος ἐπὶ θηλύτητι ὀνειδισθεὶς διὰ τὸ δαψιλὲς δάκρυον πρῶτον μὲν κολακεύων σεμνύνει τὸν Ἀχιλλέα, εἰπὼν «ὦ Ἀχιλλεῦ, Πηλέος υἱέ», τοῦ ἐπιεικοῦς δηλαδή, ὡς ἡ ἱστορία δηλοῖ, «μέγα φέρτατε Ἀχαιῶν». [Ὃ διπλῆν ἐπίτασιν ἔχει διά τε τοῦ μέγα καὶ τοῦ φέρτατε.] (v. 22—9) Εἶτα συγγνώμην αἰτήσας καὶ εἰπὼν «μὴ νεμέσα, τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς» καὶ τὰ ἑξῆς, δι’ ὧν ἡ πάνυ τοῦ ἄχους βία διαδείκνυται, τότε δὴ τραχύνεται. καὶ ἀναλαβὼν θυμὸν ἀντονειδίζει τῷ Ἀχιλλεῖ οὐκέτι δάκρυα χέων ἀλλὰ βαρυστενάχων (v. 29 s.) «σὺ δ’ ἀμήχανος ἔπλευ Ἀχιλλεῦ», καὶ ἐπάγει μετ’ ἐνδιαθέτου εὐχῆς «μὴ ἐμὲ γοῦν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις», οἱονεὶ λέγων ὅτι στάζοιμι τέρεν δάκρυον καὶ μὴ κατὰ σὲ ἀτειρὴς εἴην. (v. 31 s.) Εἶτα δριμέως ἐπαινῶν τε ἅμα καὶ ψέγων τὸν Ἀχιλλέα φησὶν «αἰναρέτη· τίς σευ ἄλλος ὀνήσεται ὀψίγονός περ, αἴ κε μὴ Ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς;» (v. 33—5) Καὶ ἐπιτείνων τὴν τραχύτητα λέγει «νηλεές». ὃ πλατύνων χάριν σαφηνείας ἐπιφέρει «οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεύς, οὐδὲ Θέτις μήτηρ, γλαυκὴ δέ ς’ ἔτικτε θάλασσα πέτραι τ’ ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής». Ἃ δὴ ῥηθήσεται ἂν καὶ πρὸς ἕτερον ἀπηνὲς πρόσωπον, ἐξ ὧν διασκευάζεται τὸ νηλεές, ταὐτὸν δ’ εἰπεῖν, τὸ τοῦ νόου ἀπηνές. Δηλοῖ δ’ ὁ Πάτροκλος ἐν τούτοις, ὡς μυθική τις, ὦ Ἀχιλλεῦ, ὑψηγορία τὰ κατὰ σέ, καὶ πετρῶν μὲν ἀληθῶς προῆλθες τῶν ἐκεῖ που περὶ τὸ ὄρος τὸ Πήλιον, ἐν ᾧ ἐτράφης ὑπὸ Χείρωνος, καθὰ λέγονται πάλαι ποτὲ ἄνθρωποι γεννᾶσθαι ἀπὸ πετρῶν. διὸ καὶ ταῖς προαγαγούσαις ὀρειναῖς πέτραις ὅμοιος εἶ τὴν σκληρότητα ὡς ἀτεράμων καὶ ἄτεγκτος καὶ ἀνύπεικτος. οἱ δὲ ἄνθρωποι σεμνότερον τὸν ἐπὶ σοὶ λόγον διατιθέντες Πηλέως εἶπόν σε παῖδα τοῦ ἐκεῖ καὶ αὐτοῦ ἐκτραφέντος ἐν τῷ Πηλίῳ, ἐξ οὗ καὶ ἐκλήθη ἐκεῖνος Πηλεύς. καὶ θαλάσσης μὲν ἔκγονον σύ, [ὥς που καὶ Κύκλωψ ὁ ἀγριώτατος καὶ εἴ τις ἄλλος ὅμοιος ἐκείνῳ τοῦ θαλασσίου περιᾴδεται Ποσειδῶνος υἱὸς εἶναι.] Διὸ καὶ ἀπαραίτητος εἶ [κατ’ ἐκείνους] καὶ ὡς πρὸς κῦμα λέγονται κωφὸν αἱ πρὸς σὲ ἱκετεῖαι. οἱ δὲ κολακεύειν προθέμενοι Νηρηΐδος καλοῦσί σε παῖδα, μητέρα σοι τὴν θαλαττίαν Θέτιν ἀπολεξάμενοι.

3.799 Καὶ ὅρα τὴν Ὁμηρικὴν δεινότητα, καθὰ παρασημειοῦνται καὶ οἱ παλαιοί, καὶ ὡς παράγει καὶ στρέφει δεξιῶς τὰ νοήματα ἐκ τῶν αὐτῶν πραγμάτων ἐναντιότητας νοημάτων λαμβάνων. τὴν γὰρ ἁπαλότητα τοῦ Πατρόκλου ἀνωτέρω ἐμφήνας ἐκ πέτρας καὶ ὕδατος τὴν τοῦ Ἀχιλλέως ἐνταῦθα σκληρότητα ὁμοίως ὑπέφηνε, πλὴν ὅσον ἐκείνην μὲν ἀπὸ μικροτέρων καὶ ταπεινοτέρων, ἀπὸ κρήνης δηλαδὴ καὶ πέτρης αἰγίλιπος, ταύτην δὲ ὑψηλότερον ἀπό τε θαλάσσης καὶ ἠλιβάτων πετρῶν. ἐπίτηδες δὲ Ἀχιλλεὺς μὲν ταπεινοῖ τὸν ἑταῖρον διὰ τῆς παραβολῆς, ὡς ἂν μὴ ἱκετεύσῃ, Πάτροκλος δὲ διὰ τὸ σφοδρὸν τῆς τοιαύτης παραβολῆς ἐνδιαθέτως ἀντιτραχύνεται, ἵνα πείσῃ Ἀχιλλέα διατεθῆναι μαλακώτερον. Ἔθος δέ τι κοινόν,

φασὶν οἱ σοφοί, ὅπως ἄν τις ἤθους ἔχοι, ψέγειν ἀνομοίως ἔχοντα τὸν πέλας, οἷον οἱ σκληροὶ τοὺς ἐπιεικεῖς εἰς μαλακότητα σκώπτουσιν ὡς Ἀχιλλεὺς τὸν Πάτροκλον, καὶ αὖ πάλιν οἱ ἐπιεικεῖς τοὺς στερεοὺς ἀγρίους καλοῦσι. Πάνυ δὲ ἐπιεικὴς ὁ Πάτροκλος, εἰ οὕτω κλαίει τὰ μὲν ἀκούσας τῶν κατὰ τοὺς Ἀχαιοὺς δεινῶν, τὰ δὲ καὶ αὐτὸς ἰδών. οὐκ ἦν δὲ ἄλλως ἁπαλυνθῆναι τὸ ἄτεγκτον τοῦ Ἀχιλλέως, εἰ μὴ τοιούτοις δάκρυσι. καὶ δοκεῖ τὸν μὲν ἀγῶνα τῶν Λιτῶν ὁ ποιητὴς δοῦναι ἐν τῇ ἰῶτα ῥαψῳδίᾳ τοῖς ῥήτορσι, τὸν δὲ ἐπιλογικὸν διὰ δακρύων οἶκτον, ὅθεν εἰσβαλεῖν ἔστιν ἔλεον, ταμιεύσασθαι τῷ Πατρόκλῳ. Διὸ καὶ εἶπε· τὸν δὲ ἰδὼν ᾤκτειρεν Ἀχιλλεύς, οἶκτον δηλονότι λαβὼν οἷα χαίρων τῷ ὁμοίῳ. φιλόδακρυς γὰρ καὶ αὐτός, ὡς καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ φαίνεται καὶ ὕστερον ἐν τοῖς κατὰ τὸν Πάτροκλον. διὸ καὶ ἀγαθός ἐστιν ὁ ἥρως. κατὰ γὰρ τὴν παροιμίαν ἀγαθοὶ ἀριδάκρυες ἄνδρες. Ὅρα δὲ καὶ ὅτι τὰς ἀρχὰς ὁ Πάτροκλος σιωπῶν οἷα συγκεχυμένος τῇ λύπῃ καὶ σχήματι μόνῳ πρὸς οἶκτον ἐπαγόμενος τὸν δυσμείλικτον ὕστερον βαρυστενάχων προσέφη τὰ δηλωθέντα. οὕτω καὶ ὁ Φοῖνιξ ἐν ταῖς Λιταῖς ὀψὲ μετέειπε δάκρυ’ ἀναπρήσας. (v. 22) Τὸ δὲ «μὴ νεμέσα, τοῖον γὰρ ἄχος βεβίηκε» λεχθείη ἂν ὑπὸ τοῦ ἐν τῷ δέεσθαι μεμφομένου. Ὅρα δὲ ἐν τῷ «μὴ νεμέσα» καὶ ὅτι συντρέχων τῷ Ἀχιλλεῖ ὁ ἑταῖρος ὁμολογεῖ μὲν ὡς νεμεσητόν τι ποιεῖ θηλυπρεπῶς οὕτω κλαίων, καὶ ταῦτα ὑπὲρ Ἀχαιῶν, ὧν ἡ εἰς τὸν Ἀχιλλέα ὑπερβασία δήλη ἐστίν, ὅμως δ’ οὖν ζητεῖ συγγνωσθῆναι. τὸ γὰρ «μὴ νεμέσα» ταὐτόν ἐστι τῷ εἰ καὶ νεμεσᾷς δικαίως δηλαδὴ μεμφόμενος, ἀλλὰ μὴ οὕτω ποίει. Ἰστέον δὲ ὅτι τὸ «μὴ νεμέσα» δύναται καὶ αὐτὸ παροιμιωδῶς ποτε λέγεσθαι, ὡς καὶ ἀλλαχοῦ τὸ «οὐ νέμεσις». [Τοῦ δὲ «βεβίηκε» θέμα τὸ βιῶ, οὗ παράγωγον τὸ βιάζω.

3.800 μέλλων δὲ τοῦ τοιούτου βιῶ τὸ βιήσω πρὸς διαστολὴν τοῦ βιῶ βιώσω, ἤγουν ζήσω.] Τὸ δὲ «τοῖον ἄχος βεβίηκεν Ἀχαιούς» ἐνάγει τὸν Ἀχιλλέα πεισθῆναι. Εἰ γὰρ αὐτὸς οὐ χάριν οἰκείαν ἀλλὰ διὰ τοὺς Ἀχαιοὺς οὕτως ἄχνυται, πρέπει καὶ τὸν Ἀχιλλέα καμφθῆναι διά τε τοῦτον καὶ δι’ ἐκείνους ὧν χάριν εἰς Ἴλιον ἐστρατεύσατο. Τὸ δὲ «τοῖον» ἐστὶ μὲν θαυμαστικόν, εἴληπται δὲ ἢ ὡς ὄνομα οὐδέτερον ἢ ἐπιρρηματικῶς ἀντὶ τοῦ οὕτω λίαν. (v. 23 s.) Διασαφῶν δὲ τὴν τοιαύτην βίαν περιηγεῖται ἐν βραχεῖ ὡς πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι, ἐν νηυσὶ κέαται, ὡς ῥηθήσεται. Καὶ σημείωσαι ὡς μεγάλη βία τοῖς ἐχέφροσιν εἰς λύπην ἡ τῶν ἀρίστων ἀνδρῶν ἀπώλεια. (v. 29) Ἀμήχανος δὲ νῦν ὁ δυσπειθὴς καὶ ἀνάλωτος ἱκετείαις ὡς ἐκ μεταφορᾶς τῶν μηχαναῖς δυσαναλώτων φρουρίων. [Ἐν ἄλλοις δὲ χωρίοις καὶ ἐπὶ ἁπλότητος ἡ λέξις κεῖται, ἔτι δὲ καὶ τὸ ἀνάπαλιν ἐπὶ κακομηχανίας.] (v. 30) Χόλος δὲ καὶ ἐνταῦθα ἡ μῆνις καὶ ὁ κότος, οὐχ’ ἁπλῶς μέντοι, ἀλλὰ τῇ προσθήκῃ τοῦ «ὃν σὺ φυλάσσεις». χόλος γὰρ φυλασσόμενος κότος καὶ μῆνίς ἐστι. Καὶ σημείωσαι ὅτι τὸ φυλάσσεις ἑρμηνεία ἐστὶ τοῦ πέψεις. διὸ καὶ ταὐτόν ἐστι τὸ χόλον καταπέψειν καὶ χόλον φυλάσσειν, [ὃ δὴ χρήσιμόν ἐστι καὶ εἰς τὸ «νόστον τε φυλάσσοις», ὅπερ ἐν τῇ βῆτα ῥαψῳδίᾳ εἶπεν Ὀδυσσεὺς πρὸς Θερσίτην.] Καὶ ἄλλως δὲ ἰστέον ὡς εἶχε μὲν εἰπεῖν. μὴ ἐμὲ γοῦν οὗτός γε λάβοι κότος, ἀντιμετείληπται δὲ ὁ κότος εἰς χόλον, ἢ διότι καὶ αὐτὸς καθὰ καὶ ἡ μῆνις ἀπὸ χόλου ἄρχεται, ἢ καὶ διὰ τὸ εὐφημότερον, ἴσως δὲ καὶ ῥητορικώτερον διὰ τὴν ἐκ τοῦ μικροτέρου ἐπιχείρησιν. εἰ γὰρ ὁ χόλος ἀπευκτόν, πολλῷ πλέον ὁ κότος καὶ ἡ μῆνις τὰ μείζω κακά. καὶ οὕτω μὲν ἄρτι ὁ Πάτροκλος. ὁ δὲ Ἀχιλλεὺς προϊὼν κεχολῶσθαι ἐνὶ φρεσὶν ἐρεῖ καὶ μηνιθμὸν παθεῖν, ὁμολογῶν ἀμφότερα. Ἀστεῖον δ’ ἐν τοῖς ῥηθεῖσι καὶ τὸ «λάβοι». αἰνίττεται γὰρ ἁλῶναι χόλῳ τὸν Ἀχιλλέα ὡς οἷον ἠνδραποδισμένον ὑπ’ αὐτοῦ. ἢ καὶ ἄλλως, εἰ καὶ ἀμήχανος, καθὰ ἐρρέθη, ὁ Ἀχιλλεύς, ἀλλὰ ὁ χόλος εἷλεν αὐτὸν ἐγκρατῶς. (v. 31) Ἡ δὲ τοῦ «αἰναρέτη» ἀνάγνωσις κατὰ Ἡρόδωρον καὶ Ἀπίωνα Ἀριστάρχειός ἐστιν.

3.801 ἔχει δέ, φασίν, ἡ λέξις ἔπαινον ὁμοῦ καὶ ψόγον, ὡς καὶ προεδηλώθη, ἐξ ἀμφοῖν κεκραμένη. ὅτι μὲν γὰρ ἔχει ἀρετήν, ὁμολογεῖ, ὅτι δ’ οὐκ ἐπ’ ἀγαθῷ τῶν φίλων, διαβάλλει. Καὶ σημείωσαι ὅτι, ὅπερ ἀλλαχοῦ ἐν ἀπολύτοις λέξεσι ποιεῖ, ἐπαινῶν δηλαδὴ καὶ ψέγων, οἷον καὶ ἐν τῷ «Δύσπαρι εἶδος ἄριστε», τοῦτο νῦν ἐν μιᾷ λέξει συνθεὶς ἐποίησε. Σύνηθες δέ, φασίν, Ὁμήρῳ τε καὶ ἄλλοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ αἰνὸν συντιθέναι, οἷον αἰνόπαρις, αἰνελένη. οὕτω καὶ αἰναρέτης ὁ ἐπὶ κακῷ τὴν ἀρετὴν ἔχων, ἤτοι τὴν ἀνδρίαν κατ' ἐξοχήν. ἕτεροι δὲ τὸ αἰνέ συναλείφουσι, καὶ γράφουσιν «αἶν' ἀρετῆς τίς σευ ἄλλος ὀνήσεται», ἵνα λέγῃ ὅτι, ὦ αἰνέ, τίς ἄλλος τῆς σῆς ἀνδρίας ὀνήσεται. πιθανωτέρα δέ, φασίν, ἡ Ἀριστάρχειος γραφή. ἄλλοι δὲ αἰναρέτης γράφουσι κατ' εὐθεῖαν πτῶσιν, ἵνα ᾖ χόλος αἰναρέτης ὁ κακύνων τὰς ἀρετάς. (v. 34) Σημειοῦνται δ' ἐνταῦθα οἱ παλαιοὶ καὶ ὅτι ἅπαξ ὧδε γλαυκὴν εἶπε τὴν θάλασσαν ὁ ποιητὴς ἐπιθετικῶς. (v. 23—7) Ἐν τούτοις δὲ καὶ μετρῶν ὁ Πάτροκλος τοὺς τῶν Ἑλλήνων τραυματίας ἐν τῷ «βέβληται μὲν Διομήδης, οὔτασται δὲ Ὀδυσσεὺς καὶ Ἀγαμέμνων, βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῷ», οὓς δὴ καὶ ἀρίστους λέγει ἐν τῷ «οἳ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι, ἐν νηυσὶ κέαται», ἤγουν κεῖνται, «βεβλημένοι οὐτάμενοί τε», ἃ δὴ καὶ πρὸ τούτου ἐρρέθη. (v. 28 s.) Ἐν οἷς καὶ οὐ δύο μόνον, Ποδαλείριον καὶ Μαχάονα, ἀλλὰ καὶ πολλοὺς ἰατροὺς τοῖς Ἀχαιοῖς ἱστορεῖ, εἰπὼν «τοὺς μέν τ' ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται ἕλκε' ἀκειόμενοι». οὕτω τοίνυν μετρῶν τοὺς τραυματίας ἐπαινεῖται τῆς τάξεως.

3.802 τὸν μὲν γὰρ βασιλέα οὔτε προτάττει τῶν ἄλλων, μήποτε καὶ χαλεπήνας ὁ Ἀχιλλεὺς ἅμα τῇ τοῦ ἐχθροῦ μνήμῃ πρόηται τὴν ἔντευξιν. ἀλλ' οὐδὲ ἔσχατον τίθησι. δέος γὰρ καὶ οὕτω μὴ τῇ τοῦ ὀνόματος προφορᾷ τελευταίᾳ κειμένῃ καὶ ἐναύλῳ οὔσῃ ἀνανεύσῃ πρὸς τὸ παρόν. ὅθεν μέσην αὐτῷ δίδωσι τάξιν, ἐκκρούων τὴν μνήμην καὶ ἀμβλύνων τὸ μῖσος διὰ τῶν ἑκατέρωθεν [καὶ μάλιστα διὰ τῆς ἄγαν βραχυλογίας. οὐ γὰρ πολλὰς λέξεις ἐπὶ τῷ βασιλεῖ, καθὰ ἐπὶ τοῖς ἄλλοις, ἐδαπάνησεν, ἀλλὰ φειδωλῶς οὕτως ἐπέδραμεν «ἠδ' Ἀγαμέμνων», παραβύσας αὐτὸν ἢ παραρρίψας οὐκ ἐντίμως, ὡς οἷα βραχέος λόγου ἄξιον καὶ τῷ Ἀχιλλεῖ καὶ αὐτῷ δὴ τῷ Πατρόκλῳ.] Πρῶτον δὲ τάττει τὸν Διομήδην οἷα μὴ κατὰ τὸν βασιλέα ὄντα ἐχθρόν, ἐχθρὸν δ' ὅμως διὰ τὸ εἰπεῖν «μὴ ὤφελες λίσσεσθαι Πηλείωνα», εἶτα τίθησι τὸν Ὀδυσσέα, φίλον ὄντα καὶ χθὲς ὁμωρόφιον. Εὐρύπυλος δὲ ἔσχατος κεῖται μέσως ἔχων καὶ οὔτε μισούμενος οὔτε μὴν ὑπερφιλούμενος. τὸν δὲ Μαχάονα παντελῶς σιγᾷ ἢ ἐκλαθόμενος ἢ ἵνα καὶ ὁ Νέστωρ σιωπηθῇ ὁ νοσοκομῶν ἐκεῖνον καὶ μὴ ὑποπτεύσῃ τοὺς τοῦ Πατρόκλου λόγους ὁ Ἀχιλλεὺς ὡς ἐκεῖθεν ὑποβολιμαίους καὶ ὑπιδόμενος τὸ τοῦ ῥήτορος πιθανὸν ὀκνήσῃ πεισθῆναι. (v. 40) Ὅρα δὲ ὅτι κἂν σιωπᾷ τὸν Νέστορα ὁ Πάτροκλος, ἀλλ' αὐτὰ δὴ τὰ τοῦ Νέστορος παραγγέλματα πρὸς τὸν Ἀχιλλέα φησὶ «δός μοι ὤμοιϊν τὰ σὰ τεύχεα» καὶ ἑξῆς. (v. 23 s.) Ἐν δὲ τῷ «πάντες ἐν νηυσὶ κεῖνται» ψεύδεται διὰ συμφέρον. Διομήδης γὰρ καὶ Ὀδυσσεὺς καὶ ὁ βασιλεὺς περὶ τὴν μάχην πονοῦνται. Ὅρα δὲ καὶ νῦν ὡς διευκρίνησε, τίνες μὲν οἱ βεβλημένοι, τίνες δὲ οἱ οὐτάμενοι, καὶ ὅτι δυνάμενος ὁ ποιητὴς ἑνὶ στίχῳ ἐμπεριλαβεῖν ὥσπερ τὸν Ὀδυσσέα καὶ τὸν βασιλέα τοὺς οὐταμένους, οὕτω καὶ Διομήδην καὶ Εὐρύπυλον τοὺς βεβλημένους, οἷον· βέβληται Διομήδης Εὐρύπυλός τε ὀϊστῷ, ὁ δὲ διελὼν τούτους ἄλλως ἔφρασεν ὡς οἷα κάλλος τι τῷ λόγῳ ἐντεῦθεν τεχνώμενος, καθὰ πρὸ βραχέων δεδήλωται. καὶ ὅτι τὸ μέν· ὦ δεῖνα μέγα φέρτατε «μὴ νεμέσα, τοῖον γὰρ ἄχος βεβίηκε» λέξοι ἄν τις ἀναγκαίως δεόμενος, τὸ δὲ «οἳ μὲν δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι, κεῖνται βεβλημένοι οὐτάμενοί τε», τραυματίας ἀριστέας μετρεῖ. [(v. 32 s.) Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ «αἴ κε μὴ Ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς, νηλεές» τὸ μὲν ὦ ἀνηλεές προκλητικόν ἐστι τοῦ ἐφεξῆς σκώμματος τοῦ θαλάσσης καὶ πετρῶν ἐκγενέσθαι τὸν Ἀχιλλέα, οἷς οὐκ ἔστιν ἐλεεῖν. τὸ δὲ «Ἀργείοις» πολὺν ἔχει νοῦν μυστικῶς, ἵνα λέγῃ τοῖς ὁμοεθνέσι, τοῖς εὐγενέσι, τοῖς παρακλητεύσασι, τοῖς φίλοις.

3.803 διὸ καὶ ἀεικῆ λοιγὸν λέγει τὸν ἐπ' αὐτοῖς. (v. 33 s.) Ὅρα δὲ καὶ ὅτι ἐν τῷ «οὐ πατήρ σοι Πηλεὺς οὐδὲ Θέτις μήτηρ» ἡ ἐπαγομένη θέσις πρὸς τὸ δεύτερον ἀπήντησεν, ἤγουν πρὸς πρώτην τὴν δευτέραν Θέτιν, εἰπὼν «γλαυκὴ δέ ς' ἔτικτε θάλασσα», ἡ ὡσανεὶ δηλαδὴ Θέτις, πέτραι τε ὄρειοι, περὶ ἃς ἦν ὁ Πηλεύς.] (v. 36—8) Ὅτι καὶ κλαύσας ὁ Πάτροκλος καὶ τραχυνθεὶς, ἐκεῖνο μὲν ὡς ἐνηής, τοῦτο δὲ ὡς διὰ πολλὴν φιλίαν παρρησιαστικός, εἶτα ἐπάγει ἀξίωσιν,

παραποιήσας ἐν ὀλίγαις τισὶ λέξεσιν, ἅπερ ἀπὸ τοῦ Νέστορος ἤκουσεν, οἷον τὸ «φρεσὶν ᾗσιν ἀλεείνει», εἰπὼν «φρεσὶ σῇσιν ἀλεείνεις», καὶ τὸ «ἀλλὰ σέ περ προέτω» «ἀλλ' ἐμέ περ πρόες ὦκα», καὶ ἕτερα δέ τινα. (v. 36—45) Ὁμοίως καί φησιν «εἰ δέ τινα φρεσὶ σῇσι θεοπροπίην ἀλεείνεις καί τινά τοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ, ἀλλ' ἐμέ περ πρόες ὦκα, ἅμα δ' ἄλλον λαὸν ὄπασον Μυρμιδόνων, ἤν πού τι φόως Δαναοῖσι γένωμαι. δὸς δέ μοι ὤμοιϊν τὰ σὰ τεύχεα θωρηχθῆναι, αἴ κέ με σοὶ ἴσκοντες», τουτέστιν εἴ πώς με σοὶ ἀπεικάζοντες, «ἀπόσχωνται πολέμοιο Τρῶες, ἀναπνεύσωσι δ' Ἀχαιοὶ τειρόμενοι. ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο. ῥεῖα δέ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῇ ὤσαιμεν ποτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων», τουτέστι καὶ τοὺς βοηθουμένους ὀλίγον ὠφελήσομεν ὡς μόνον ἀναπνεῦσαι αὐτοὺς καὶ ἡμεῖς ὀλίγον πονήσομεν. (v. 37) Ἰστέον δὲ ὅτι τὸ «πὰρ Ζηνὸς ἐπέφραδεν» ἑρμηνεία ἐστὶ τῆς θεοπροπίας. ὃ γὰρ θεὸς φράσοι, θεοπροπία τὸ τοιοῦτον. Καὶ ὅρα ὅτι οὐ μόνον θεοπρόπιον οὐδετέρως, ἀλλὰ καὶ θηλυκῶς ἡ θεοπροπία. καὶ μετ' ὀλίγα δὲ «οὐ θεοπροπίης ἐμπάζομαι». ἐν οἷς σημείωσαι ὅτι ταὐτὸν τὸ θεοπροπίην ἀλεείνειν καὶ τὸ θεοπροπίης ἐμπάζεσθαι, εἰ καὶ ἄλλως ἐναντία τὸ ἀλεείνειν καὶ τὸ ἐμπάζεσθαι, ἤτοι τὸ ἐκφεύγειν καὶ τὸ ἐπιστρέφεσθαι. καὶ ἔστιν αὐτοῖς ἡ ταὐτότης, ἐπεὶ ὁ θεοπροπίαν ἀλεείνων, ἤγουν ὁ τὸ ἐκ μαντείας κακὸν ἐκκλίνων, ἐμπάζεται τῆς μαντείας ὡς ἐπιστρεφόμενος τῆς ἐν αὐτῇ ἀληθείας. [Τὸ δὲ «ἐπέφραδε» οὐ παρακείμενός ἐστιν. οὐ γάρ εἰσι παρακειμένου δύο αὐξήσεις, ἀλλὰ παρατατικὸς ἐξ ἐνεστῶτος τοῦ πεφράδω, ἵνα ᾖ ὡς πέπληγα πεπλήγω ἐπέπληγον Συρακουσίων ἔθει, καὶ πέφυκα πεφύκω ἐπέφυκον, οὕτω καὶ πέφραδα πεφράδω ἐπέφραδον, οὗ τὸ τρίτον ἐπέφραδε.] (v. 38) Τὸ δὲ «πρόες ὦκα» ἐπιταχύνει τὸ ἔργον, ὡς μὴ χρεὼν ὂν ἐν μεγίστῳ κινδύνῳ ἀναβαλέσθαι. ὃ καὶ ποιήσει Ἀχιλλεὺς μετ' ὀλίγα ἐπισπεύσας δύσεσθαι τεύχεα θᾶσσον τὸν Πάτροκλον. Τὸ δὲ «ὄπασσον» καιριώτατα ἐνταῦθα κεῖται, ἐπεὶ κατόπιν ὁ λαὸς ἥκει τῷ ἡγεμόνι.

3.804 (v. 39) Φῶς δὲ καὶ ἐνταῦθα τὴν νίκην λέγει ὡς καὶ πρὸ τούτου καὶ μετ' ὀλίγα δὲ ἐν τῷ «ἐπειδὰν φάος ἐν νήεσσι θείῃς». ἔνθα καὶ ἀστεῖος ὁ λόγος ὡς Ἕκτορος μὲν σπεύδοντος πῦρ ταῖς ναυσὶν ἐμβαλεῖν, Πατρόκλου δὲ φῶς ἐνθήσοντος. [Οὐχ' ἁπλῶς δὲ φῶς Δαναοῖς γενέσθαι θαρρεῖ, ἀλλά τι φῶς. (v. 43) Διὸ καὶ ἐπάγει τὸ «ὀλίγη δέ τ' ἀνάπαυσις πολέμοιο». δηλοῖ δ' ἐν τούτοις ὁ Πάτροκλος ἄκραν ἀδυναμίαν τῶν Ἀργείων, ὡς αὐτῶν μὲν μηδέν τι βοηθησόντων, μόνων δὲ τῶν Μυρμιδόνων ἀντιστησομένων τοῖς τοσούτοις Τρωσίν. ὅθεν καὶ ἀμυδρά τις ἔσται συμμαχία τοῖς Ἀχαιοῖς ὡς ἐξ ὀλίγων βοηθῶν.] (v. 40) Τὸ δὲ «δός μοι ὤμοιϊν» καὶ τὸ ἑξῆς, εἴποι ἂν ὁ ζητῶν ποθεν συγκρότησιν ἔργοις ἢ λόγοις. ὁ δὲ ὑπακούσας εἴποι ἂν τὸ «τύνη δ' ὤμοισι μὲν ἐμὰ κλυτὰ τεύχεα δῦθι». Δωρικὸν δὲ τὸ «τύνη» ἀντὶ τοῦ σύ, κείμενον καὶ ἀλλαχοῦ, ὂν δὲ καὶ παρ' Ἡσιόδῳ. (v. 41) Ὅρα δὲ καὶ νῦν ὅτι μέγας ἐκ Πατρόκλου τῷ Ἀχιλλεῖ ἔπαινος τὸ καὶ μόνον τὸν αὐτοῦ εἰκασμὸν ἐκφοβεῖν τοὺς Τρῶας. ἐκεῖνο δὲ καὶ ἀστεῖον, εἴπερ ἐνταῦθα μὲν Ἀχιλλέως εἰκασμὸς ἐκφοβεῖ τοὺς Τρῶας, ἐν τοῖς ἑξῆς δὲ τοὺς αὐτοὺς ὁ αὐτὸς εἰκασμὸς τέρπει, ὅτε δηλαδὴ αὐτὰ Ἕκτωρ φορῶν ἰνδάλλεται τῷ Ἀχιλλεῖ. καὶ ἔστι κἀνταῦθα ὁ ποιητὴς ἐκ τοῦ αὐτοῦ πράγματος, ἤγουν τοῦ πρὸς Ἀχιλλέα εἰκασμοῦ, ἀποτελῶν ἐναντία νοήματα. (v. 42) Ἀναπνέειν δὲ κἀνταῦθα τὸ ἐκ λειποψυχίας αὖθις πνέειν, ὁποῖόν τι καὶ ἡ ἀναψυχή. [Καιριωτάτη δὲ λέξις ἐν τοῖς τοιούτοις τὸ ἀναπνέειν καὶ ἡ ἐξ αὐτοῦ ἀνάπνευσις, ἐπὶ μᾶλλον δὲ καιριωτέρα τὸ ἀναψύχειν καὶ ἡ ἀναψυχή.] (v. 43) Τὸ δὲ ὀλίγην εἶναι ἀνάπνευσιν ἐν δεινῷ πολέμῳ καὶ τὸ τοὺς ἀκμῆτας στρατιώτας ῥᾷον δύνασθαι τρέπειν τοὺς ἐν μάχῃ καμόντας δύναται οὐ μόνον πρὸς τὰ παρόντα λελέχθαι, ἀλλὰ καὶ γνωμικῶς εἰρῆσθαι. [(v. 44) Τοῦ δὲ «ῥεῖα δέ κ' ἀκμῆτες» τραχεῖα ἡ φράσις καὶ οὐκ εὐκρινής. εὐτραπέλως γάρ τις μυκτηρίσας ἐρεῖ ἂν δέκα τινὰς ἀκμῆτας ἐνταῦθα εἰρῆσθαι. καὶ εἶχε μὲν ὁ ποιητὴς εἰπεῖν· ῥεῖα δ' ἂν ἀκμῆτες καὶ ἑξῆς, προέκρινε δὲ τὸ τῇ ποιήσει μάλιστα ἐπιπρέπον.] (v. 46 s.) Ὅτι μέγα νήπιος ὁ Πάτροκλος ἀναφωνητικῶς παρὰ τοῦ ποιητοῦ καλεῖται, ἐφ' οἷς ἱκέτευσε. διὰ τί; «ἦ γὰρ ἔμελλε», φησίν, «οἷ αὐτῷ», τουτέστιν ἑαυτῷ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι», ἤγουν λιτανεῦσαι. Καὶ ὅρα ὡς ὑπερανέβη ὁ ποιητὴς τὸν τοῦ Ἀχιλλέως μυκτῆρα. ὁ μὲν γὰρ κόρῃ νηπίᾳ ἐκεῖνον διὰ τὰ δάκρυα εἴκασεν, Ὅμηρος δὲ οὐχ' ἁπλῶς νήπιόν φησιν, ὡς ἐπὶ ἄλλων ποιεῖ, ἀλλὰ μέγα νήπιον, ὡς καὶ ὑπὲρ αἶσαν θρασυνάμενον.

3.805 ἴσως δὲ καὶ ὅτι οὐ τῇ κατ' αὐτὸν ἀνδρίᾳ ἐθάρρησεν, ἀλλ' εἰκασμῷ Ἀχιλλέως. [Καί πως ἐν τούτοις πρὸς ὁμοιότητα τοῦ μικρὸς καὶ μέγας ἀντίκεινται καὶ τὸ κούρη νηπίη καὶ τὸ μέγα νήπιος.] (v. 47) Τὸ δὲ «λιτέσθαι» παροξυνόμενον ὁμοίως τῷ λαβέσθαι ὁ Ἀσκαλωνίτης ἀξιοῖ, φασί, προπαροξύνειν ὡς ἐπὶ ἐνεστῶτος ἀπὸ τοῦ λίτομαι. τῇ μέντοι παραδόσει ἀρέσκει παροξύνειν, οὐκ ἀπιθάνως. ὃν γὰρ τρόπον, φασί, τὸ ἔρεσθαι πάντων ἀξιούντων ὁμοίως τῷ πυθέσθαι ἀναγινώσκειν, ἐπειδὴ μέσου δευτέρου ἀορίστου ἐστίν, ὅμως ἡ παράδοσις προπαροξύνει χαρακτῆρι πεισθεῖσα φωνῆς. τὰ γὰρ τοιαῦτα ἐνεστῶτος ὄντα προπαροξύνεται, οἷον φέρεσθαι, δέρεσθαι. οὕτω καὶ τὸ λιτέσθαι ὤφειλε μὲν προπαροξύνεσθαι ὡς ἀπὸ ἐνεστῶτος τοῦ λίτομαι, καταβιβάζει δὲ πρὸ μιᾶς τὸν τόνον, ἐπειδὴ τὰ εἰς θαι τῷ ε παραληγόμενα, οὐκ ὄντα ἀπὸ τῶν εἰς μι , ἔχοντα ἐν τῇ τρίτῃ ἀπὸ τέλους συλλαβῇ τὸ ι συνεσταλμένον, μηδὲ ἐπιφερομένων αὐτῷ μήτε δύο συμφώνων μήτε διπλοῦ, παροξύνεται, οἷον λιπέσθαι, πιθέσθαι, ἱκέσθαι. οὕτω καὶ λιτέσθαι, οὐ λόγῳ ἐνεστῶτος, χαρακτῆρι δὲ καὶ ὁμοιότητι φωνῆς. Σημείωσαι δὲ ὅτι ἐπὶ παντὸς λισσομένου ἐπὶ κακῷ οἰκείῳ λεχθῆναι δύναται τὸ «ὣς φάτο λισσόμενος μέγα νήπιος. ἦ γὰρ ἔμελλεν οἷ αὐτῷ» καὶ ἑξῆς, ὡς προσεχῶς γέγραπται. καὶ Βελλεροφόντης μὲν γράμματα κομίσαι λέγεται καθ' ἑαυτοῦ, Πάτροκλος δὲ λίσσεσθαι καθ' ἑαυτοῦ. Ὅτι λυπούμενος εἰσέτι Ἀχιλλεὺς ἐφ' οἷς πρὸς τοῦ βασιλέως ἠδικήθη, λέγει γνωμικῶς, ὅσα ἂν εἴπῃ ἀνὴρ ἔντιμος ὑπὸ δυνάστου ἀδικηθείς. (v. 50—5) Φησὶ γὰρ «οὔτε θεοπροπίης ἐμπάζομαι» καὶ ἑξῆς, ὡς προεγράφη, «ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει, ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλῃσιν ἀμέρσαι καὶ γέρας ἂψ ἀφελέσθαι, ὅ τε κράτεϊ προβεβήκει. αἰνὸν ἄχος τό μοί ἐστιν, ἐπεὶ πάθον ἄλγεα θυμῷ». (v. 56—8) Ἐφ' οἷς φράζει ἐν στίχοις τρισὶ τὰ κατὰ τὴν Χρυσηΐδα δυνατῶς φράσας. Λέγει γὰρ ἀσυνδέτως τῷ διηγήματι προσβαλὼν «κούρην ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν, δουρὶ δ' ἐμῷ κτεάτισσα, πόλιν εὐτείχεα πέρσας, τὴν ἂψ ἐκ χειρῶν ἕλετο», ἤγουν ἀφείλετό με, «κρείων· Ἀγαμέμνων ὡς εἴ τιν' ἀτίμητον μετανάστην», ὃ καὶ προεγράφη, πρὸς εἰδότα τὸν Πάτροκλον ταῦτα εἰπὼν καὶ διὰ τοῦτο βραχυλογήσας. καὶ ὅρα τὸ «ἐκ χειρῶν ἕλετο», ῥηθὲν εἰς βίας ἔνδειξιν. (v. 53) Τὸ δὲ «ἀμέρσαι» ἀντὶ τοῦ μερίδος στερῆσαι, ὃ καὶ ἑρμηνεύων ἐπήγαγε τὸ γέρας ἔμπαλιν ἀφελέσθαι, ἵνα διαστείλῃ πρὸς τὸ ἀμέρδειν, ὃ ἐπί τε τυφλότητος λέγεται ὡς τὸ «ὀφθαλμῶν μὲν ἄμερσε», καὶ ἐπὶ σκοτώσεως, ἤτοι ζοφώσεως, οἷον «ὄσσε δ' ἄμερδεν αὐγὴ χαλκείη».

3.806 (v. 54) Τὸ δὲ «ὅ τε κράτεϊ προβεβήκει» ἀντὶ τοῦ ἐπειδὴ πολλῶν κρατῶν ὑπερέχει. οὐ γὰρ χρονικόν ἐστιν ἐπίρρημα τὸ «ὅ τε», ἀλλὰ δύο μέρη λόγου, τὸ μὲν ὃ ἀντὶ τοῦ διότι, τὸ δὲ ἐφεξῆς παραπλήρωσις. Δοκεῖ δὲ λέγειν τοῦτο Ἀχιλλεὺς πρὸς τὸν τοῦ Νέστορος λόγον, προειπόντος ὡς φέρτερός ἐστιν ὁ βασιλεύς, ἐπεὶ πλειόνεσσιν ἀνάσσει, καὶ μὴν κατὰ τὸν εἰπόντα· οὐ χρὴ τὸν ἄρχοντα τῇ βίᾳ νικᾶσθαι καὶ τόσον μισεῖν ὥστε τὴν δίκην πατεῖν. Ὅρα δὲ καὶ ὅτι οὐκ ἀφίησιν οὐδὲ εἰσέτι τὸ μεγαλόφρων εἶναι ὁ Ἀχιλλεύς, ὅς, εἰ καὶ κράτει ὁ βασιλεὺς προβέβηκεν, ἀλλ' ὅμοιος αὐτῷ φησιν εἶναι, εἰ καὶ ἄλλον τρόπον καταβέβληκε τὸ πολὺ τοῦ φρονήματος, οὐκ ἔτι μείζονα ἑαυτὸν τοῦ βασιλέως δοξάζων ἀλλὰ ὅμοιον. (v. 55) Τὸ δὲ «αἰνὸν ἄχος» δισσευθὲν εἰς ἔνδειξιν πολλῆς λύπης ἔχει πως καὶ κυκλικοῦ σχήματος ἔμφασιν, καθότι ἀρξάμενος ἐκ τοῦ «ἀλλὰ τόδ' αἰνὸν ἄχος», κατέληξεν ὁμοίως εἰς τὸ «αἰνὸν ἄχος τό μοί ἐστιν». (v. 56 s.) Τὸ δὲ «ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν», καὶ τὸ «δουρὶ δ' ἐμῷ κτεάτισα», παρέφρασεν ἐκ τοῦ «ᾧ ἔπι πόλλ' ἐμόγησα, δόσαν δέ μοι υἷες Ἀχαιῶν». δῆλον δὲ ὅτι ταὐτὸν τὸ ἐν περιφράσει δουρὶ κτεατίσαι καὶ τὸ αἰχμαλωτίσαι. (v. 57) Τὸ δὲ «εὐτείχεα» προπαροξύνεται, οὐκ ἐκ τοῦ εὐτείχης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄν, ἀλλὰ κατὰ τοὺς παλαιοὺς ἀπὸ τοῦ τεῖχος εὔτειχος, οὗ γενικὴ εὐτείχεος. (v. 59) Ὅτι δὲ ἀτιμότεροι τῶν αὐτοχθόνων ἐδόκουν οἱ μέτοικοι, ὡς τὰ πολλὰ διὰ μοχθηρίαν τρόπου τὰς ἰδίας καταλείποντες, καὶ ὡς οἱ μεθ' Ὅμηρον ἄλλως ἀτίμητόν φασι τὸν πολυτίμητον, ἤγουν τὸν ὑπὲρ πᾶσαν τιμήν, καὶ ἀλλαχοῦ δεδήλωται. Ὅτι δὲ μετανάστης κυρίως ὁ μετὰ τὸ γεννηθῆναί που ἀναστατωθεὶς ἐκεῖθεν, οὐκ ἂν ῥηθείη ἀφυῶς. (v. 60 s.) Ὅτι ἀμνησικακίας ὑποθήκη τὸ «ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν. οὐδ' ἄρα πως ἦν ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσί». Καὶ ὅρα ὅπως χαρίζεται ὁ Ἀχιλλεὺς τῷ ἑταίρῳ, εἴγε τοῖς πρέσβεσι μὲν ἄλλον καιρὸν ἔθετο ἀμύνης, διὰ δὲ τὸν Πάτροκλον νῦν αὐτίκα τὸ πολὺ παύει τοῦ κότου.

3.807 διὸ καὶ ἐπεσημήνατο τοῦτο, ἵνα μὴ δόξῃ φιλοψευδὴς εἶναι, ὁμολογήσας, ὡς ἔφην γε οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν, ἀλλ' ὁπότ' ἂν δὴ νῆας ἐμὰς ἀφίκηται ἀϋτή τε πόλεμός τε. Καὶ σημείωσαι τὸ μεγαλόφρον τοῦ ἥρωος. οὐ γὰρ διὰ Πάτροκλον ῥητῶς ἔφη πεισθῆναι, ἀλλὰ μεταβληθῆναι κατὰ φύσιν, ἐπεὶ οὐκ ἦν, φησίν, «ἀσπερχὲς κεχολῶσθαι». διὸ καὶ κατεπείγει μετ' ὀλίγα τὸν Πάτροκλον, αὐτὸς ὠκὺ προϊείς, ὡς ἐκεῖνος ἱκέτευσε, μὴ καὶ ἄφυκτα τοῖς Ἀχαιοῖς γένωνται, εἰ τὰς νῆας οἱ Τρῶες ἕλωσιν. (v. 81 s.) Ἐρεῖ γὰρ «μὴ δὴ πυρὸς αἰθομένοιο νῆας ἐνιπρήσωσι, φίλον δ' ἀπὸ νόστον ἕλωνται». ἔνθα διὰ τὸ ἐναγώνιον τοῦ λέγοντος ἐκ περισσοῦ παρερρίφη τὸ «πυρὸς αἰθομένοιο». δῆλον γὰρ ὡς οὐκ ἔστιν ἄλλως ἐνιπρῆσαι. (v. 64 s.) Ὅτι ὁ θαρρύνων τινὰ εἰς ἐπικουρίαν εἴποι ἂν «σὺ δὲ ὤμοιϊν μὲν κλυτὰ τεύχεα δῦθι, ἄρχε δέ» τοῖς δεῖνα μάχεσθαι. (v. 66) Ὅτι ἐν τῷ «εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκε ναυσὶν ἐπικρατέως» νέφος τὴν στρατιωτικὴν πύκνωσιν εἶπε τροπικῶς, ὡς καὶ πρὸ τούτων ἀλλαχοῦ ἐπὶ τάξεως πεζικῆς. ἐνταῦθα δὲ καὶ ἡ ἠνεμόεσσα Τροία συντελεῖ τῇ τροπῇ. οἱ γὰρ ἐκ τῆς αἰπεινῆς Ἰλίου ἐπικείμενοι τοῖς Ἀχαιοῖς εἰκότως ἂν κυανέῳ νέφει εἰκάζοιντο. εἰ δὲ τοιούτου κυανέου νέφους ἐπ' αὐτοῖς ὄντος φόως αὐτοῖς φέρειν λέγεται ὁ πρὸς νίκην συμμαχῶν, εἴη ἂν ἄριστον τὸ οὕτως εἰπεῖν. τῷ γὰρ τοιούτῳ φάει τὸ ῥηθὲν κυάνεον νέφος ἀντιδιέσταλται. (v. 68) Ὅτι πολλαχοῦ ἡ κλίσις περιοχήν τινα δηλοῖ, οἷον «ἠέρι δὲ ἔγχος ἐκέκλιτο», καὶ «λίμνῃ Κεφησίδι κεκλιμένος». οὕτω καὶ νῦν ῥηγμῖνι θαλάσσης κεκλίαται, ἤγουν κέκλινται, «Ἀργεῖοι, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες», ὃ δὴ παράφρασις τοῦ στείνους ἐστίν. (v. 69—73) Ὅτι πάνυ μεγαλόφρων ὁ Ἀχιλλεὺς ἐν οἷς φησιν, ὅτι κατὰ τοῦ ναυστάθμου «Τρώων πόλις ἐπὶ πᾶσα βέβηκε, θάρσυνος, οὐ γὰρ ἐμῆς κόρυθος λεύσουσι μέτωπον ἐγγύθι λαμπομένης. τάχα κεν φεύγοντες ἐναύλους πλήσειαν νεκύων, εἴ μοι ὁ βασιλεὺς ἤπια εἰδείη. νῦν δὲ στρατὸν ἀμφιμάχονται». (v. 74 s.) Ἐφ' οἷς καθαπτόμενος Διομήδους εἰπόντος που «μὴ ὤφελες λίσσεσθαι Πηλείωνα» φησὶν «οὐ γὰρ Διομήδεος ἐν παλάμῃσι μαίνεται ἐγχείη Δαναῶν ἀπὸ λοιγὸν ἀμῦναι». τοῦτο δὲ ἔφη πρὸς τὸ «εἰ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσιν», ὅπερ ἔφη που ὁ Διομήδης. (v. 76—8) Εἶτα λέγει καὶ περὶ τοῦ βασιλέως, ὅτι «οὐδέ πω Ἀτρείδεω ὀπὸς ἔκλυον αὐδήσαντος ἐχθρῆς ἐκ κεφαλῆς, ἀλλ' Ἕκτορος ἀνδροφόνοιο Τρωσὶ κελεύοντος περιάγνυται», ἡ αὐδὴ δηλαδή, ληφθεῖσα κατὰ κοινοῦ ἐκ τῆς «αὐδήσαντος» μετοχῆς, καὶ τὰ ἑξῆς. Καὶ ὅρα ὡς ἐνέφηνεν Ἀχιλλεὺς τὴν πρὸς τὸν βασιλέα ἔχθραν πλέον τῶν ἄλλων ἐν τῷ «ἐχθρῆς ἐκ κεφαλῆς».

3.808 Ἔνθα καὶ σημείωσαι ὅπως πεπαιδευμένως ὑβρίζει ἄρτι τὸν βασιλέα, οὐκέτι ἀναιδῆ λέγων οὐδὲ δημοβόρον οὐδὲ εἴ τι τοιοῦτον, ἀλλὰ τὸ ἀληθέστατον. Εὐρύφωνος δὲ καὶ ἐνταῦθα ὁ βασιλεὺς ἐμφαίνεται, καὶ ἔτι μᾶλλον ὁ Ἕκτωρ, ὡς τῷ βασιλεῖ τῆς φωνῆς θραυομένης καὶ ἐγκοπτομένης τῷ φόβῳ. (v. 70—2) Σημείωσαι δὲ ὅτι τὸ «οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον», καὶ ἑξῆς ἕως τοῦ «πλήσειαν νεκύων» πρέπει ῥηθῆναι ὑπὸ στρατηγοῦ, οὗ μὴ παρόντος ἐβλάβησαν οἱ πρίν ποτε ὑπ' αὐτοῦ βοηθούμενοι, καὶ ὅτι ταῦτα προοικονομία τίς ἐστιν ἀναφωνητικὴ τοῦ χρῆναι καραδοκεῖν, ὡς πολλοὺς φεύγειν ποιήσει Πάτροκλος μετ' ὀλίγα φαντάζων τὸν Ἀχιλλέα τοῖς ὅπλοις, καὶ ἐπὶ μᾶλλον αὐτὸς ὁ Ἀχιλλεὺς εἰς μάχην ἐξελθών. Ὁ δὲ φιλίστωρ εὕροι ἂν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρός τινος τῶν παλαιῶν στρατηγῶν εἰς χρῆσιν ληφθὲν τὸ «θάρσυνος· οὐ γὰρ ἐμῆς κόρυθος», καὶ τὸ ἑξῆς. (v. 69) Ὅρα δὲ τὸ «Τρώων πόλις ἐπὶ πᾶσα βέβηκε», φανερῶς ὅμοιον ὂν τῷ «κυάνεον Τρώων νέφος ἀμφιβέβηκε». καὶ ἔστι τολμηρότερον τοῦτο ἐκείνου. οὐ γὰρ ὁμοίως ἀσφαλὲς νέφος Τρώων ἀμφιβαίνειν τὸ κατὰ τὴν τροπὴν κοῦφον καὶ Τρώων πόλιν πᾶσαν ἐπιβεβηκέναι. σαφέστερον δὲ ἀμφοτέρων τὸ «στρατὸν ἀμφιμάχονται». Δῆλον δὲ καὶ ὅτι ταὐτὸν Τρῶας εἰπεῖν καὶ πόλιν Τρώων, ἐπειδὴ καὶ ταὐτὸν πόλις καὶ πολῖται. οὐδὲν γάρ ἐστι πόλις ἔρημος ἀνδρῶν κατὰ τὸν Σοφοκλῆ. (v. 66) Σημείωσαι δὲ καὶ ὅτι τὸ ἀμφιβαίνειν μὲν οὐ τὸ σύνηθες, ἀλλὰ δι’ οὗ δηλοῦται τὸ κύκλῳ βαίνει καὶ περιέχει, νέφει οἰκεῖον. οὕτω γὰρ καὶ ἥλιος ἀμφιβαίνει. τῇ δὲ πόλει τὸ ἐπιβαίνειν, ἤγουν ἐπικεῖσθαι, οἰκειότερον. (v. 70) Ὅρα δὲ καὶ ὅτι μέτωπον ἔφη κόρυθος τὸ πρὸς τῷ μετώπῳ τοῦ Ἀχιλλέως κείμενον, ὃν καὶ περιφανῶς εὐμεγέθη εἶναι ἐνταῦθα ἐμφαίνει Ὅμηρος [καὶ διὰ τοῦτο προφαινόμενον καὶ τῇ λαμπηδόνι τῆς κόρυθος διάδηλον ὄντα κατὰ τὸν Διομήδην, οὗ ἐκ κόρυθος καὶ ἀσπίδος ἐδαίετό που ἀκάματον πῦρ.] (v. 71 s.) Ἐν δὲ τῷ «τάχα κεν φεύγοντες» καὶ ἑξῆς, ἔλλειψίς ἐστιν ὡς λείποντος τοῦ· εἰ γὰρ ἔλευσσον, ἵνα λέγῃ ὅτι οὐ βλέπουσί με οἱ Τρῶες. εἰ γὰρ ἔβλεπον, ἔπλησαν ἂν τοὺς ἐναύλους νεκρῶν. Ἔναυλοι δὲ τὰ ἐν τοῖς πεδίοις κοιλώματα καὶ αἱ στεναὶ διώρυχες, ἢ οἱ περὶ τὴν τάφρον τόποι, παρὰ τὸν στενὸν καὶ ἐπιμήκη αὐλόν. ἐξ οὗ καὶ ὁ κατὰ ἀγῶνα δίαυλος καὶ ἡ αὖλαξ καὶ ἡ αὐλῶπις τρυφάλεια.

3.809 ῥηθήσεται δὲ περὶ τῶν τοιούτων καὶ ἐν τοῖς ἑξῆς. (v. 73) Τὸ δὲ «μὴ ἤπια εἰδέναι» ἀπηνῆ τὸν βασιλέα ὑποδηλοῖ κατὰ τὸ «καὶ πρὸς τοῦ βασιλῆος ἀπηνέος», ὃ πρὸς τοὺς κήρυκας φθάσας εἶπεν ὁ Ἀχιλλεύς. Τὸ δὲ «εἰδείη» συνεκδρομὴν ἔπαθε πρὸς τὸ τυφθείη καὶ τὰ τοιαῦτα. ἄλλως γὰρ ἐκ τῆς εἰδὼς μετοχῆς οὐχ’ οὕτως ὤφειλεν ἔχειν. (v. 73) Στρατὸν δὲ τὸ Ἑλληνικόν φασι στρατόπεδον, ὥσπερ αὖ πάλιν καὶ στρατόπεδον ἕτεροί φασί τινες τὸν στρατόν, ἐπαλλασσόντων ἀλλήλοις τῶν ὀνομάτων. [(v. 77) Τὸ δὲ «ἐχθρῆς ἐκ κεφαλῆς» βοηθεῖταί τι καὶ ἐκ τοῦ «ἐβόησεν ὅσον κεφαλὴ χάδε φωτός», ἤγουν ὅσον ἐχώρει κεφαλὴ ἀνθρώπου.] (v. 78) Τὸ δὲ περιάγνυται ἀντὶ τοῦ κλᾶται, ὡς μὴ μόνον τοὺς κατ’ εὐθὺ ὄντας ἀκούειν, ἀλλὰ καὶ τοὺς κατ’ Ἀχιλλέα ἐκ πλαγίων διὰ τὸ περιάγνυσθαι τὴν ἠχώ. ἀφ’ ἧς ἐννοίας ἡ ἀλλαχοῦ ἰωγὴ σύγκειται, [ὅπερ ἐστὶν ἰωῆς, ἤγουν φωνῆς, κλάσις καὶ ἀντανάκλασις.] Ὅτι δὲ ἐκ πλαγίων ἦν ἐν ἄκρῳ τῶν νηῶν ὁ Ἀχιλλεύς, καθάπερ ἑτέρωθεν ὁ Αἴας, προϊστόρηται. (v. 78 s.) Ὅτι νίκην φράζει τὸ «οἳ δ’ ἀλαλητῷ πᾶν πεδίον κατέχουσι μάχῃ νικῶντες». καὶ εἶεν ἂν οἱ Τρῶες ἄρτι ῥηξήνορες ὡς οὕτω διελόντες τὸν Ἑλληνικὸν συνασπισμόν. οἳ καὶ ἄλλως πᾶν πεδίον ἀλαλητῷ κατέχουσιν, ὡς πληροῦντες τὰ ἐκεῖ πάντα βοῆς, οἷα τῶν ἡττωμένων μὴ βοὴν ἀγαθῶν ὄντων ἀλλὰ σιγώντων τῇ ἐγκοπῇ τοῦ πνεύματος, ἣν ἐκ τοῦ φεύγειν ἔπασχον. (v. 81) Ἐν τούτοις δὲ κεῖται καὶ τὸ [«ἔμπεσε» προστακτικὸν κοινὸν ἐξ ἀναλογίας, εἰ καὶ ἄλλως ἔθει Συρακουσίων κρατεῖ τὸ ἔμπεσον καὶ τὸ πέσον, ἐξ ὧν τὸ ἐμπεσών καὶ πεσών. φησὶ γὰρ] «ἔμπες’ ἐπικρατέως», τουτέστι γενναίως πρόσβαλε τοῖς ἐχθροῖς. συνήθης δὲ καὶ ἡ τοιαύτη τοῦ ἐμπεσεῖν σημασία τῷ ποιητῇ. (v. 83) Ὅτι τὸ ἐν φρεσὶ θεῖναι ὑπέβαλε τῇ ὕστερον λεκτικῇ τέχνῃ τὴν τοῦ νουθετεῖν σύνθεσιν. νουθετεῖσθαι γὰρ καὶ ἐν φρεσὶ τιθέναι ταὐτὰ δηλοῦσι. (v. 83—6) Φησὶ γοῦν Ἀχιλλεὺς πρὸς Πάτροκλον «πείθεο ὥς τοι ἐγὼ μύθου τέλος ἐνὶ φρεσὶ θείω», τουτέστι νουθετήσω, «ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄροιο πρὸς πάντων Δαναῶν», καὶ τήν τε «περικαλλέα κούρην ἂψ ἀπονάσωσιν, πρὸς δὲ καὶ ἀγλαὰ δῶρα πόρωσι».

3.810 Καὶ ὅρα ὅπως τε φιλότιμος ὁ Ἀχιλλεὺς καὶ οἷον τὸ κατ’ ἀνθρώπους εὐμετάβολον καὶ παλίμβουλον. ὁ γὰρ ἐν τῇ πρεσβείᾳ τὰ μυρία δῶρα ἐξαθερίζων νῦν ἐφίεται ἁπλῶς ἀγλαὰ δῶρα σχεῖν. ἀλλὰ τοῦτο μὲν αἰτία ἐστὶ καὶ κατασκευὴ τῆς τοῦ «πείθεο» καὶ τῶν ἑξῆς ἀξιώσεως καὶ σκοπὸς καί, ὡς ὁ ποιητὴς ἔφη, τέλος. (v. 87—96) Ἡ δὲ ὅλη ἀξίωσις τοιαύτη «ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν· εἰ δέ κεν αὖ τοι», ἤγουν σοί, «δῴη κῦδος ἀρέσθαι θεός, μὴ σύ γε ἄνευθεν ἐμεῖο

λιλαίεσθαι πολεμίζειν Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις. μηδ' ἐπαγαλλόμενος πολέμῳ καὶ δηϊοτῆτι Τρῶας ἐναιρόμενος ποτὶ Ἴλιον ἡγεμονεύειν, μή τις ἀπ' Οὐλύμποιο θεῶν ἐμβήῃ. μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπόλλων. ἀλλὰ πάλιν τρωπᾶσθαι», ἢ παλιντροπάασθαι, «ἐπὴν φάος ἐν νήεσσι θείης, τούσδε δ' ἐᾶν πεδίον κάτα δηριάασθαι». Καὶ ὅρα ὅπως κατὰ ἰδέαν περιβολῆς ὁ ποιητής, ὡς ἐρρέθη, προέταξε μὲν κἀνταῦθα τὴν τῆς ἀξιώσεως αἰτίαν, ἐπήγαγε δὲ τὸ αἰτιατόν. καὶ ἐχρῆν ποιῆσαι οὕτως. Ἔνθα γὰρ βαρὺ δόξοι ἂν τὸ ἀξιούμενον, δεῖ προκατασχεῖν τῇ τῆς αἰτίας ἐκθέσει, ὡς ἂν ἡ ἀξίωσις εὐπαράδεκτος ᾖ, καθὰ καὶ ἐνταῦθα τοῦ Πατρόκλου, ὡς εἰκός, ὀκνοῦντος τό, ἐν οἷς νικᾷ, πάλιν τραπέσθαι, προλαβὼν λέγει Ἀχιλλεὺς ὡς οὕτω ποιήσας, καὶ κυδανεῖς ἄν με καὶ ἀγλαὰ δῶρα προσπορίσῃς, ὥσπερ αὖ ἐκ τοῦ ἐναντίου μὴ ποιήσας οὕτως ἀτιμότερόν τέ με θήσεις, ὡς μόνος αὐτὸς ἀνύσας τὸ πᾶν δίχα ἐμοῦ, καὶ ζημιώσεις δὲ δηλαδή. τί δὲ ποιήσεις; μὴ ἀπάνευθεν ἐμοῦ πολέμιζε καὶ τὰ ἑξῆς. ὅτι δὲ ὀκνηρῶς ὑπακούσοι ἂν ὁ Πάτροκλος, ὃ καὶ Ἀχιλλεὺς ὑποπτεῦσαι δοκεῖ, δηλώσει τὰ ἐφεξῆς. Ἐν οἷς σημείωσαι καὶ ὅτι, ἐπεὶ ἀγαθὴ ἑταίρου παραίφασις καὶ αὕτη, ὁ δὲ Πάτροκλος οὐ πείσεται, πείσεται τρόπον ἄλλον ἅπερ ἱστορήσει Ὅμηρος, καθάπερ καὶ Ἀχιλλεὺς ἀγαθῷ ἑταίρῳ τῷ διδασκάλῳ Φοίνικι μὴ πεισθεὶς ἔπαθε μέγα κακὸν τὴν τοῦ Πατρόκλου στέρησιν, ἣν οὐκ ἂν πέπονθεν, εἴπερ ἐν ταῖς λιταῖς πεισθεὶς εἶτα ἐμάχετο. (v. 84) Ἰστέον δὲ ὅτι τὸ «τιμὴν ἄρηαι» ἔοικέ πως τῷ «τιμὴν ἀρνύμενοι». Τὸ δὲ «πρὸς πάντων Δαναῶν» ἑρμηνευτικόν ἐστι τοῦ «τιμὴν μεγάλην». τιμὴ μὲν γὰρ ἁπλῶς ἡ πρὸς Δαναῶν, μεγάλη δὲ ἡ πρὸς πάντων. ταὐτὸν δὲ καὶ ἐνταῦθα τιμὴ καὶ κῦδος. διὸ κατωτέρω ἀρκεῖται εἰπὼν «κῦδος ἀρέσθαι». [Οὕτω δὲ ταὐτίζονται τῇ σημασίᾳ καὶ τὸ «πολέμῳ» καὶ «δηϊοτῆτι».

3.811 ] (v. 86) Τὸ δὲ «ἀπονάσσωσι κούρην» ἀντὶ τοῦ ἀποστρέψωσιν, ὡς ἐκ τοῦ νῶ, οὗ ἐντελὲς [καὶ] τὸ νέω, ἐξ οὗ ὁ νόστος. ποιητικὴ δὲ ἡ λέξις. ὅθεν καὶ ἐπὶ μετοικίας τὸ νάσασθαι καὶ ἀπονάσασθαι καὶ ὁ μετανάστης. Ἐν δὲ τῷ «ἀγλαὰ δῶρα πόρωσιν» ὑπέρχεται τὸν Ἀχιλλέα ἤδη εὐλάβεια, μήποτε ὡς ἐν ταῖς Λιταῖς ὁ Μελέαγρος, οὕτω καὶ αὐτὸς βοηθηθέντων αὐτομάτως τῶν πρεσβευσάντων μείνῃ ἀδώρητος. (v. 87) Ἐν δὲ τῷ «ἐκ νηῶν ἐλάσας», ὅ ἐστι τῶν νηῶν ἐξελάσας, σιγᾷ τὸ τίνας ἐξελάσας διὰ κατέπειξιν. (v. 92) Προϊὼν δὲ λέγει αὐτὸ ἐν τῷ «Τρῶας ἐναιρόμενος». Ἔνθα καὶ ὅρα τὸ «ἐναιρόμενος» παθητικῶς λεχθέν. εἰ μέντοι τὸ «ἐκ νηῶν ἐλάσας» ἀντὶ τοῦ ἐκδραμὼν καὶ διϊππεύσας νοήσει τις, τότε ἀνελλιπὴς ἡ φράσις ἔσται. (v. 88) Τὸ δὲ «δῴη» ἔκτασιν ἔπαθεν ἐκ τοῦ δοίη, καθὰ καὶ τὸ ἁλῴη ἐκ τοῦ ἁλοίη, οἷον «τῶν ἄστυ ἁλῴη». (v. 90) Τὸ δὲ «Τρωσὶ φιλοπτολέμοισι» πρὸς ἐκφόβησιν εἶπεν, ὡς ἂν συστελεῖ εὐλαβηθέντα τὸν Πάτροκλον. ἔχει δέ τι καὶ προαναφωνητικὸν, ὡς τοῦ Πατρόκλου τοιούτοις ἐγκύρσοντος, ὧν οὐκ ἂν ἀπαλλαγείη ἀπόνως. Τὸ δὲ «ἀτιμότερον δέ με θήσεις» ἢ ἀντὶ ἁπλοῦ κεῖται τοῦ ἄτιμον, ἢ βαρυνομένου ἤθους ἐστίν, ὡς καὶ νῦν μὲν ἀτίμου τοῦ Ἀχιλλέως ὄντος, ὁποῖα καί τινος ἀτιμήτου μετανάστου, τότε δὲ ἀτιμοτέρου ἐσομένου. Ἔχει δὲ ὁ λόγος οὗτος καὶ ἀνάμνησιν τῆς ἀξιώσεως. τὸ γὰρ «μὴ ἀτιμότερόν με θήσεις» ὅμοιον τῷ «ὡς ἄν μοι τιμὴν μεγάλην ἄροιο». Ἔνθα ὅρα καὶ τὸ «θήσεις» κοινῶς ῥηθὲν διὰ σαφήνειαν. ἄλλως γὰρ θήσειν ὤφειλε γραφῆναι ἀκολούθως τῷ λιλαίεσθαι, ἤγουν λιλαίου. (v. 91) Τὸ δὲ «ἐπαγαλλόμενος πολέμῳ» τὴν ἡδονὴν ἐμφαίνει τῶν ἀριστέων, ἣν πάσχουσι νικῶντες τήν, ὡς αὐτοὶ ἂν τότε εἴποιεν, χάρμην, ὡς δηλοῖ καὶ τὸ «οἶδα δ' ἐγὼν ἐνὶ σταδίῃ μέλπεσθαι Ἄρηϊ». τὸ δ' αὐτὸ καὶ τὸν Ἰδομενέα ὀρχηστήν που ἀκοῦσαι ποιεῖ. ἔοικε γὰρ καὶ ἐκεῖνος ἐν τῷ νικᾶν ἐπορχεῖσθαι σκιρτῶν. καὶ τὰ φθάσαντα δὲ δηλωθῆναι ἡρωϊκὰ σκώμματα ἡ νίκη κατὰ τῶν πιπτόντων ἡδέως ὑπηγόρευε λέγεσθαι.

3.812 (v. 94) Τὸ δὲ «ἐμβήῃ» οὐ μακρὰν μέν ἐστι τοῦ ἐμπέσῃ, ὃ πρὸ μικροῦ ἐρρέθη, δηλοῖ δὲ μάλιστα τὸ ἐνάλλεσθαι, ὡς δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ «καὶ προσεπεμβῆναί σε χρή». Ἐσχημάτισται δὲ τὸ «ἐμβήῃ» κατὰ τὸ «στήῃ ἐπ' ὠκυρόῳ ποταμῷ», καὶ «φήῃ ἀθηρηλοιγὸν ἔχειν ἀνὰ φαιδίμῳ

ὤμῳ». οὕτω δὲ κατωτέρω ἐν παλαιοῖς ἀντιγράφοις καὶ τὸ «φάος ἐν νήεσσι θῄης». Ἐν τούτοις δὲ προέκθεσίς ἐστιν ἀναφωνοῦσα ὅπερ ὁ Πάτροκλος πείσεται, ὃν ὁ Ἀπόλλων μάλιστα βλάψει. ταῦτα δὲ καὶ ἐξαίρων τὸν Πάτροκλον ὁ Ἀχιλλεὺς ἔφη, ὡς ἀνδρὸς μὲν οὐκ ἐμβησομένου αὐτῷ, Ἀπόλλωνος δὲ ἴσως, ὃς μάλα, ὡς ἐρρέθη, τοὺς Τρῶας φιλεῖ. (v. 95) Τὸ δὲ «πάλιν τρωπᾶσθαι» ἡ ἀρχή ἐστι τοῦ παλίντροπος, [ἀφ' οὗ τῷ ο μικρῷ παραληγομένου γίνεται τὸ παλιντροπάασθαι, γραφὴν ὁμοίαν ἔχον καὶ αὐτὸ καὶ οὐ μεγεθυνόμενον κατὰ τὴν ἀκολουθίαν τοῦ τρωπᾶσθαι, ὅπερ διὰ τοῦ ω μεγάλου γράφεται ἀναλόγως τῷ στρωφῶ, νωμῶ, τρωχῶ καὶ τοῖς ὁμοίοις.] Ὅτι δὲ καὶ ἐν τούτοις φῶς τὴν νίκην ὁ ποιητὴς ἔφη, καὶ ὅτι ἀστείως ἐρρέθη τὸ «φάος ἐν νήεσσι θείης», πρὸ ὀλίγων δεδήλωται. (v. 97—100) Ὅτι τὸ «αἲ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον, μήτε τις οὖν Τρώων θάνατον φύγοι ὅσσοι ἔασι, μήτε τις Ἀργείων, νῶϊ δέ», ἤγουν ἡμεῖς, ἐγὼ δηλαδὴ ὁ Ἀχιλλεὺς καὶ σὺ ὁ Πάτροκλος, «ἐκδῦμεν ὄλεθρον, ὄφρ' οἶοι Τροίης ἱερὰ κρήδεμνα λύωμεν» ἢ δι' ὑπερβολὴν ἀγανακτήσεως ὁ Ἀχιλλεὺς ἀρᾶται. μισεῖ γὰρ τοὺς μὲν Τρῶας ὡς πολεμίους, τοὺς δὲ Ἀχαιοὺς ὡς παριδόντας αὐτὸν ὑβριζόμενον. Καὶ δοκεῖ κατὰ τοὺς παλαιοὺς ὁ Ἀχιλλεὺς μᾶλλον κήδεσθαι μὴ αἱ νῆες πυρὸς αἰθομένοιο ἐμπρησθῶσιν, ὡς αὐτὸς ἔφη, ἤπερ μὴ πάθωσί τι Ἀχαιοί.

3.813 Ἔνθα καὶ ὅρα μεγίστην φιλικῆς χάριτος αὔξησιν, εἴγε διὰ Πάτροκλον σώσει τοὺς Ἀχαιούς, οὓς νῦν εὔχεται ἀπολέσθαι. Ἤγουν, ὡς ἐρρέθη, ἀγανακτῶν ὑπερβαλλόντως τοιαῦτά φησιν Ἀχιλλεύς, ἢ καὶ ἄλλως, ἀφελῶς λαλῶν, ὁποῖα τὰ τῶν φίλων. ἐν γὰρ ὁμιλίαις φιλικαῖς πολλὰ πρὸς ἀφέλειαν λαλοῦνται. (v. 101) Διὸ καὶ ὁ ποιητὴς ἐπεσημήνατο εἰπὼν «ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον», ὡς ἐν ὁμίλῳ καὶ ἀγορᾷ μὴ ἂν αὐτῶν λαλησόντων ἃ πρὸς ἀλλήλους φασίν. Τινὲς μέντοι τῶν παλαιῶν ταῦτα μὴ συνιδόντες ἐκβάλλουσι τοὺς στίχους τῶν ἀρῶν τούτων παντελῶς διά τε ἄλλα καὶ διὰ τὸ ὑπερβολικόν, φασί, καὶ παιδαριῶδες τῆς εὐχῆς καὶ τὸ ἀδύνατον καὶ τὸ τοῦ ἤθους φθονερόν. τὰ δὲ ῥηθέντα πᾶς τις ἂν μικροψυχῶν ἀράσηται παροιμιωδῶς κατὰ ἐχθρῶν παραφράσας ἢ καὶ παρῳδήσας τὰ Ὁμηρικά. Ἰστέον δὲ ὅτι καὶ ὁ Διομήδης ἀλλαχοῦ ἑαυτῷ καὶ τῷ Σθενέλῳ ἐθάρρησεν ἑλεῖν τὴν Τροίαν, οὐ μόνον σεμνῶς, ἀλλὰ καὶ ἀνθρωπικώτερον. Ὅρα δὲ ὡς καὶ τὸν Ἀπόλλωνα οἰκειοῦνται οἱ Ἕλληνες, καθὰ καὶ τὸν Δία ἐν εὐχαῖς καὶ τὴν Ἀθηνᾶν, διὰ τὸ εἴς τινα μοῖραν ἀλληγορεῖσθαι, εἰ καὶ ἄλλως ὁ μῦθος αὐτὸν εἰς ἀμύντορα τοῖς Τρωσὶν ἀποκληροῖ. (v. 98) Τὸ δὲ «ὅσσοι ἔασιν», ἤτοι ζῶσι, πρὸς ἀσφάλειαν ἐρρέθη διὰ τοὺς μωμοσκόπους. ζώντων γὰρ τὸ καὶ θνῄσκειν ἐν καιρῷ, θανόντων δὲ οὐ καθικνεῖται τοιαύτη ἀρά. (v. 99) Τὸ δὲ «ἐκδῦμεν ὄλεθρον» ἢ ὡς ἀπαρέμφατον ἐλλειπτικῶς κεῖται ἀντὶ τοῦ δοίητε ἐκδῦναι ἡμᾶς τὸν ὄλεθρον, ἢ συγκέκοπται ἀπὸ τοῦ ἐκδύοιμεν εὐκτικοῦ. ἄλλως γὰρ οὐ δυνατὸν εὐκτικὸν ἀπαθὲς εἶναι τοῦτο, ἵνα μὴ πρὸ συμφώνου εὑρεθείη ἡ υι δίφθογγος. (v. 100) Κρήδεμνα δὲ Τροίας τὰ ἄνω τοῦ τείχους, ὡς καὶ πίθου κρήδεμνον ἐν Ὀδυσσείᾳ τὸ ἐπικείμενον πῶμα. τοιαύτης δέ τινος σημασίας καὶ τὸ κάρηνα ἐν τῷ «πολίων κατέλυσε κάρηνα». προσφυέστερον μέντοι κρηδέμνοις τὸ τροπικῶς λύεσθαι, καθότι καὶ ἀντίκειται τὸ λύειν, ὥσπερ τῷ δεσμεῖν, οὕτω καὶ τῷ δέματι, ἐξ οὗ σύγκειται, τὸ κρήδεμνον, ὡς προδεδήλωται. Λύεται δὲ τεῖχος ἐκ τοῦ κατὰ τὴν οἰκοδομίαν δηλαδὴ δεσμοῦ, εἰπεῖν δὲ καὶ δέματος, ἐξ οὗ καὶ τὸ δέμειν. ὅθεν ὁ δόμος καὶ τὰ ἐξ αὐτοῦ. Ὅτι καθὰ πρὸ μικροῦ τὸν Ἕκτορα πλάσαι μέλλων ἀριστεύοντα εἰς ἄκρον ὡς καὶ νηὸς δράξασθαι προεδείνωσε τὴν μάχην εἰς τοσοῦτον ὡς μηκέτι μηδὲ τὸν Αἴαντα μεῖναι βιαζόμενον βελέεσσιν, ἀλλ' ἀναχάζεσθαι θρῆνυν ἐφ' ἑπταπόδην, οὕτω κἀνταῦθα πρὸς αὐτῷ γενόμενος τῷ δεινῷ—τὸ δὲ ἦν τὸ καὶ ἐξαφθῆναι τὴν τοῦ Πρωτεσιλάου νῆα ἐκείνην—πρῶτα μὲν ἐκφοβεῖ τὸν Αἴαντα ἐπὶ πλείω διά τε τοῦ Διὸς καὶ τοῦ κατὰ μάχην κινδύνου καὶ καμάτου, συνεκτραχύνας καὶ τὴν φράσιν τῷ τοῦ πολέμου φρικτῷ, εἶτα καὶ οἱονεὶ ἀφοπλίσας τὸν ἥρωα τῇ κολοβώσει τοῦ δόρατος ἀνύει πιθανῶς ὃ θέλει, τὸν κρείττω τοῦτον μετ' Ἀχιλλέα καὶ κορυφαῖον ἥρωα μεταστήσας τῆς ναυμαχίας.

3.814 Καὶ ὅρα ἐνταῦθα μάλιστα τὸ χρήσιμον τοῦ πλαστοῦ τείχους καὶ τῶν σκολόπων καὶ τῆς τάφρου. εἰ γὰρ μὴ πολλὰ μογήσαντες οἱ Τρῶες ὡς ἐν ἐκείνοις κεκμηκότες ἄρτι πρὸς ταῖς ναυσὶν ἀκμῆτες ἐμάχοντο, ἐκώλυεν ἂν οὐδὲν ἀπολέσθαι τὰ πάντα τοῖς Ἀχαιοῖς. ὥστε τοιαῦτα προμελετῶν ὁ ποιητὴς τὴν σκευωρίαν τοῦ τείχους ἐμεθώδευσεν. ἀλλὰ τοῦτο μὲν παραπεσὸν ἐπὶ τοσοῦτον εἰρήσθω. (v. 102) Ἃ δὲ ὁ Αἴας πάσχει ἐνταῦθα, οὕτω φράζει Ὅμηρος «Αἴας δ' οὐκ ἔτ' ἔμιμνε, βιάζετο γὰρ βελέεσσιν». ὃ δὴ καὶ πρὸ ὀλίγου μὲν ἐρρέθη, καὶ μετ' οὐ πολλὰ δὲ ἐν ὀλιγίστῳ εἰρήσεται ἐν τῷ «χάζετο δ' ἐκ βελέων». (v. 103—6) Εἶτα ἑρμηνεύων κατὰ διασκευὴν ἐκφραστικῶς τὴν βίαν φησὶ «δάμνα μιν Ζηνός τε νόος καὶ Τρῶες ἀγαυοὶ βάλλοντες. δεινὴν δὲ περὶ κροτάφοισι φαεινὴ πήληξ βαλλομένη καναχὴν ἔχε, βάλλετο δ' αἰεὶ κὰπ φάλαρ' εὐποίητα». καὶ ταῦτα μὲν τὰ τοῦ πολέμου κακά. (v. 106 s.) Ὁ δὲ καὶ ἄλλως δεινὰ πάσχων «ἀριστερὸν ὦμον ἔκαμνεν ἔμπεδον αἰὲν ἔχων σάκος αἰόλον». τοῦτο δὲ γίνεται, ἐπεὶ οὐκ ἦν ὁ διαδεχόμενος αὐτὸ πρὸς ἀνάπαυσιν τοῦ ἥρωος. (v. 109—11) «Αἰεὶ δὲ ἀργαλέῳ ἔχετο ἄσθματι, κὰδ δέ οἱ ἱδρὼς πάντοθεν ἐκ μελέων πολὺς ἔρρεεν, οὐδέ πῃ εἶχεν ἀμπνεῦσαι, πάντῃ δὲ κακὸν κακῷ ἐστήρικτο». ὃ δὴ ἐπιφωνηματική ἐστι κλεὶς τοῦ ὅλου νοήματος, δηλοῦσα, ὅτι ὡσείπερ κῦμα ἐπὶ κύματι, οὕτω καὶ κακὸν ἐπὶ κακῷ, οὐκ ἔνθα ὁ Αἴας ἦν, ἀλλὰ πανταχοῦ τῶν νηῶν, μονίμως εἶχε καὶ σταθερῶς, οὐ συμβαῖνον ἁπλῶς ἀλλὰ ἐρειδόμενον. (v. 107 s.) Διὸ καὶ κεῖται ἐν τοῖς ῥηθεῖσι τὸ «οὐδὲ δύναντο Τρῶες ἀμφ' αὐτῷ πελεμίξαι ἐρείδοντες βελέεσσι». ταὐτὸν γὰρ ἐρείδειν καὶ στηρίζειν. (v. 103) Ἰστέον δὲ ὅτι, ὥσπερ πρὸ τούτων ἐνήργει ὁ τοῦ Διὸς νόος, οὕτω καὶ νῦν ὁ αὐτὸς δαμνᾷ τὸν Αἴαντα. (v. 105—10) Ὅρα δὲ καὶ τὰ τοῦ ἔχειν ῥήματα πλεονάκις ἐνταῦθα ῥηθέντα, οἷον «πήληξ βαλλομένη καναχὴν ἔχε», ὃ περίφρασίς ἐστι τοῦ κανάχιζε, καὶ «ἔμπεδον αἰὲν ἔχων σάκος», καὶ «ἀργαλέῳ ἔχετο ἄσθματι», καὶ «οὐδέ πῃ εἶχεν ἀμπνεῦσαι».

3.815 (v. 106) Τὸ δὲ «κὰπ φάλαρα», εἰ καὶ ἐχρῆν ἀντὶ τοῦ πι τὸ τ ἔχειν, ἵνα ἦν κὰτ φάλαρα, ἀλλ' ἐπεὶ ἡ κατα πρόθεσις, ὅτε συγκοπῇ, συνεξομοιοῖ τὸ τ τῷ συγκειμένῳ συμφώνῳ, ὤφειλεν ἄλλως εἶναι κὰφ φάλαρα διὰ τὸ ἐπαγόμενον φ . ἐπεὶ δὲ αὖθις, ὡς καὶ τοῦτο ἐκανονίσθη ἐν τοῖς πρὸ τούτων, οὐδέποτε λέξις Ἑλληνικὴ διπλάζει τὰ δασέα δίχα τοῦ κατὰ Ῥωμαίους ὀφφικίου, μετεβλήθη τὸ ἀπὸ πάθους τῆς προθέσεως φ εἰς τὸ ἀντίστοιχον πῖ. οὕτω καὶ τὸ ἀπφύς παρὰ Θεοκρίτῳ, δι' οὗ σημαίνεται πατήρ, ὀφείλει μὲν διὰ τῶν δύο γράφεσθαι φ , ἀπφὺς γὰρ ἀφ' οὗ φύεταί τις. τὸ δὲ Ἑλληνικὸν ἔθος τροπὴν ὁμοίαν ἐποίησε καὶ ἐκεῖ. Φάλαρα δὲ καὶ νῦν οἱ λεγόμενοι φάλοι παρὰ τὸ φάλιον, τὸ λευκόν, ἢ παρὰ τὸ φάειν ἅλις. παρὰ δὲ τοῖς ὕστερον φάλαρα καὶ κόσμος ἵππου προμετωπίδιος. [οὗ χρῆσις πολλαχοῦ καὶ διὰ τοῦ ἦτα. φάληρα γάρ. οὕτω δὲ καὶ τὰ ἐνταῦθα φάλαρα, ὡς δῆλον ἐκ τοῦ τετραφάληρος, οὗ ἐτυμολογία τὸ φάλοις ἀρηρέναι.] (v. 107) Ἔμπεδον δὲ ἐν τοῖς ῥηθεῖσιν οὐ τὸ ἐν πέδῳ, τουτέστιν ἐν γῇ, ὡς ἡ κυριολεξία ἐθέλει, ἀλλ' ἁπλῶς κατὰ τροπὴν ἀντὶ τοῦ στερρῶς κατὰ ἔννοιαν ἐπιρρηματικήν. Τὸ δὲ «αἰόλον σάκος» συμβάλλεταί τι καὶ αὐτὸ εἰς βάρος καὶ εἰς τὸ δι' αὐτοῦ κάμνειν τὸν ἥρωα, εἴπερ ἀπὸ στερεῶν ὑλῶν τὴν ποικιλίαν εἶχε. (v. 108) Τὸ δὲ «ἀμφ' αὐτῷ» μετὰ τοῦ «ἐρείδοντες» συντακτέον, ἵνα δηλοῖ τὸ πέριξ αὐτοῦ ἐρείδοντες βέλη, ὃ βελέεσσιν ἔφη διὰ τὸ καινότερον. [Δύναται δὲ καὶ ἄλλως νοηθῆναι οὕτως· οὐδὲ δύναντο πελεμίξαι βέλεσι τὸν Αἴαντα, ἐρείδοντες ἀμφ' αὐτῷ βέλη, δηλαδὴ τὰ εἰρημένα. καὶ ἄλλως δέ, οὐκ ἠδύναντο μετακινῆσαι βέλεσιν, ἐρείδοντες ἀμφ' αὐτῷ, ἤγουν κύκλῳ αὐτοῦ ἀνθιστάμενοι. Ἐρείδειν γὰρ πολλαχοῦ ἀπολύτως τὸ πρὸς ἔριν ἀντιβαίνειν ὡς ἀπὸ τοῦ ἔρω, ἐξ οὗ καὶ τὸ ἐρέθω καὶ τὸ ἐρίζω καὶ τὸ ἐρείδω.

3.816 ] Τὸ δὲ πελεμίζειν ὅτι τὸ μετακινεῖν δηλοῖ καὶ ὡς ἐξ αὐτοῦ παρῆκται κατά τινας καὶ ὁ πόλεμος, καὶ ἀλλαχοῦ δηλοῦται. (v. 102) Ὅρα δ' ἐν τοῖς εἰρημένοις καὶ ὅτι οὐκ εἶπε ῥητῶς, ὡς ἔφυγεν ὁ Αἴας, ἀλλὰ σεμνῶς ἔφη «Αἴας δ' οὐκ ἔτ' ἔμιμνεν». (v. 103 s.) Εἶτα καὶ ἐπὶ πλέον σεμνύνων τὸν ἥρωα τῷ αἰτίῳ τοῦ μὴ μένειν ἐπήγαγε «δάμνα μιν Ζηνός τε νόος» καὶ ἑξῆς. Ἰστέον δὲ καὶ ὅτι τὸ «δάμνα μιν θεοῦ τε νόος καὶ οἱ δεῖνα ἀγαυοί» προσαρμόσει παντὶ ὑπὸ πολλῶν κοινῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κινδυνεύοντι. (v. 109) Τὸ δὲ «αἰεὶ δ᾿ ἀργαλέῳ εἴχετο ἄσθματι» καὶ ἑξῆς, ἁρμόζει τῷ λίαν κοπιῶντι. [Ἔστι δὲ ἀργαλέον ἆσθμα τὸ ἀλγεινὸν καὶ δύσεργον καὶ μὴ κατὰ φύσιν εἰσοδεῦον καὶ ἐξοδεῦον. ἐνταῦθα δὲ τὸ «ἔχετ᾿ ἄσθματι» ἔχει τι ἀστειότητος διὰ τὴν πρὸς τὸ ἔχειν ἀντίθεσιν. ἔχει μὲν γὰρ σάκος ὁ Αἴας, ἔχεται δὲ ὑπὸ ἄσθματος. (v. 110) Τὸ δὲ «ἱδρὼς πολὺς ἔρρεε» βοηθεῖται μὲν καὶ ὑπὸ τοῦ κατὰ τὸν Αἴαντα πολλοῦ μεγέθους, συγκροτεῖται δὲ καὶ διὰ τοῦ «πάντοθεν ἐκ μελέων». (v. 110 s.) Τὸ δὲ «οὐδέ πη εἶχεν ἀμπνεῦσαι» τὴν ἀργαλεότητα ἑρμηνεύει τοῦ ἄσθματος. Τὸ δὲ «ἐστήρικτο πάντη κακὸν κακῷ» καιρίως πάνυ πέφρασται καὶ ὡς οὐκ ἄν τις ἐρεῖ κάλλιον, δηλοῦν τὸ πανταχοῦ στερρῶς ἐφεστάναι κακὰ πυκνὰ τοῖς Ἀχαιοῖς ὡς οἷον ἀσφαλῶς πεπηγότα.] (v. 112 s.) Ὅτι ὡς καινισθησομένου μεγάλου τινὸς πράγματος, τοῦ νῆα δηλαδὴ Ἑλληνικὴν ὑπὸ Ἕκτορος ἐμπρησθῆναι, ἐπικαλεῖται Ὅμηρος οὐ Μοῦσαν ἀλλὰ πάσας «ἔσπετε νῦν μοι Μοῦσαι» εἰπὼν ποιητικῷ ἔθει «ὅππως δὴ πρῶτον πῦρ ἔμπεσε νηυσὶν Ἀχαιῶν». Ἔνθα ὅρα τὸ «ἐνέπεσε», σύστοιχον ὂν τῷ ἐπικρατέως ἐμπεσεῖν, ὃ πρὸ ὀλίγων ἐλέχθη, καὶ τῷ «ἐν δ᾿ ἔπεσεν ὡς ὅτε κῦμα θοῇ ἐν νηῒ πέσῃ», καὶ τοῖς ὁμοίοις. (v. 114—23) Εἶτα ὡς καὶ νῦν φωνῆς ἐκ Μουσῶν ὑπηχουμένης ἀκούομεν ἀποστατικῶς ταῦτα· Ἕκτωρ Αἴαντος δόρυ μείλινον ἄγχι παραστὰς πλῆξ᾿ ἄορι μεγάλῳ αἰχμῆς παρὰ καυλὸν ὄπισθεν, ἀντικρὺ δ᾿ ἀπάραξε.

3.817 τὸ μέν, ἤγουν τοῦτο δή, «Αἴας πῆλ᾿ αὔτως ἐν χειρὶ κόλον δόρυ. τῆλε δ᾿ ἀπ᾿ αὐτοῦ αἰχμὴ χαλκείη χαμάδις βόμβησε πεσοῦσα. γνῶ δ᾿ Αἴας κατὰ θυμὸν ἀμύμονα ῥίγησέν τε ἔργα θεῶν, ὅ ῥα», ἤγουν ὅτι δή, «πάγχυ μάχης ἐπὶ μήδεα κείρει Ζεύς, Τρώεσσι δὲ βούλετο νίκην. χάζετο δ᾿ ἐκ βελέων. τοὶ δ᾿ ἔμβαλον ἀκάματον πῦρ νηῒ θοῇ, τῆς δ᾿ αἶψα κατ᾿ ἀσβέστη κέχυτο φλόξ». (v. 124) Ὅπερ σαφέστερον ἑρμηνεύων ἐπάγει «ὣς τὴν μὲν πρύμνην πῦρ ἄμφεπε». Καὶ σημείωσαι ὅτι, εἰ καὶ ἐπὶ τὸ κινδυνωδέστατον ἐνταῦθα προήχθη τῆς ὑποθέσεως ἡ περιπέτεια—τοιοῦτον γὰρ τὸ ἐγγὺς Αἴαντος τολμῆσαι στῆναι τὸν Ἕκτορα—καὶ οὐκέτι ἐλπὶς ἀναιμωτὶ διακριθῆναι τοὺς ἥρωας, ὅμως ὁ ποιητὴς οὐδέτερον ἐξ ἀμφοῖν τούτοιν τρώσειν προτίθεται, τὸν μὲν διὰ τὴν φύσει ὑπεροχήν, εἰ καὶ ὑπὸ Διός, φασί, καταστασιάζεται, τὸν δὲ Ἕκτορα διὰ τὴν Διόθεν βοήθειαν, ἀλλὰ μέσος χωρεῖ καὶ μεθιστᾷ τὸν Αἴαντα εὐσχημόνως διὰ τὴν τοῦ ναυμάχου δόρατος κολόβωσιν, καὶ οὕτω πιθανῶς ὁ τῶν ἡρώων τε κωλύεται τραυματισμός, ἐπεὶ οὔτε ὁ Αἴας ἔχει τι δρᾶν ἐκκοπέντος τοῦ δόρατος, οὔτε ὁ Ἕκτωρ ἀναχωρήσαντος Αἴαντος, καὶ ὃ δὲ θέλει ὁ Ἕκτωρ γίνεται. (v. 114 s.) Ἰστέον δὲ ὅτι ἐν τοῖς ῥηθεῖσι δόρυ μὲν τὸ ξύλον ἔφη ὁ ποιητὴς τὸ καὶ πληγὲν καὶ ἀπαραχθέν, αἰχμὴν δὲ τὸν τοῦ δόρατος σίδηρον, ὃς χαμαὶ πεσὼν ἐβόμβησε καὶ κόλον ἀφῆκε δόρυ τὸ καταλειφθέν. Τὸ δὲ «ἔπληξεν ἄορι» ταὐτὸν μέν ἐστι τῷ ἔτυψε. δοκεῖ δὲ τραχυφωνότερον εἶναι τοῦτο ἐκείνου. μέγα δὲ ἄορ, ὁποῖον ἴσως τὸ ἀλλαχοῦ Θρηΐκιον. Τὸ δὲ «παρὰ καυλόν» οὐ συντακτέον μετὰ τῆς αἰχμῆς. οὐ γὰρ λέγοι ἂν αἰχμῆς καυλόν, ἀλλ᾿ ὑπερβατῶς ῥητέον, ὡς ἔπληξε τὸ δόρυ παρὰ καυλὸν ὄπισθεν τῆς αἰχμῆς, ἵνα εἴη κατὰ κυριολεξίαν καυλὸς δόρατος ὁ τῷ σιδήρῳ τῆς ἐπιδορατίδος ἐνιέμενος. (v. 116) Τοῦ δὲ «ἀπάραξεν» οὐκ ἔχει καιριωτέραν λέξιν εἰπεῖν ἐπὶ τῶν τοιούτων πληγῶν. δηλοῖ γάρ, ὡς καὶ προεδηλώθη, τὸ ἰσχυρῶς καὶ ἀθρόον ἀποκόψαι καὶ κρατερῶς, ὡς πρέπον Ἄρει, ὅ ἐστι σιδήρῳ. (v. 117 s.) Ἧς δὴ πληγῆς πρὸς ἔνδειξιν ἔφη καὶ τὸ «τῆλε αἰχμὴ χαλκείη βόμβησε πεσοῦσα». Κόλον δὲ δόρυ τὸ κολοβόν, ὅθεν καὶ παρὰ τοῖς Ἴωσι κόλοι οἱ κολοβοκέρατοι κριοί. καὶ αὐτὸ δὲ τὸ κολοβός, ὡς καὶ προεδηλώθη, ἐπὶ κόλου βοὸς κυριολεκτεῖται. ἐξ οὗ καὶ σύγκειται κεκολουσμένος ὢν καὶ αὐτὸς τὰ κέρατα. ὁ δὲ τοιοῦτον δόρυ χειριζόμενος, ἐκεῖνος μάτην πάλλει αὐτὸ ἐν χειρὶ κατὰ τὸν ποιητήν, οὐ μὴν ὡς ὅπλον πολεμικόν.

3.818 [Ἐνταῦθα δὲ τὸ «πῆλε» καὶ τὸ «τῆλε» παρακείμενα ἐν στίχῳ ἑνὶ κάλλος τι ποιοῦσι τῇ τε παρισώσει καὶ τῇ ψευδοπαρηχήσει ἀμυδρόν.] (v. 120) Τὸ δὲ «ἔργα θεῶν» διασαφεῖται μὲν εὐθὺς ἐν τῷ «κείρεσθαι θεόθεν πάγχυ μάχης μήδεα», ἐξαιρεῖται δὲ δειλίας τὸν Αἴαντα. οὐ γὰρ τὸν Ἕκτορα ἐρρίγησεν, ἀλλὰ τὰ θεῖα ἔργα. Εἰ δὲ αὐτὸ καθ᾿ ὑπερβατὸν συνταχθῇ μετὰ τοῦ «γνῶ δ᾿

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Αἴας», ἵνα ᾖ· γνῶ δ’ Αἴας ἔργα θεῶν, σῴζεται πάλιν ὁ αὐτὸς νοῦς μετὰ τῶν ἐφεξῆς, ἵνα λέγῃ, ὅτι ῥίγησεν Αἴας, ἐπεὶ μάχης μήδεα κείρει Ζεύς. Καὶ ὅρα ὅτι τε τὸ «ἔργα θεῶν», εἰ καὶ πληθυντικῶς ἐρρέθη, ὅμως εἰς ἕνα μόνον τὸν Δία κατ’ ἐξοχὴν αὐτὰ συνέκλεισε, καὶ τὸ «κείρει» ἀστείως λεχθέν. τὸ γὰρ ἀποκοπῆναι τὸ δόρυ οὐδὲν ἄλλο ἐστὶν ἢ τὸν κατὰ μοῖραν Δία κεῖραι τὰ τῆς μάχης μήδεα, ὧν ἕν ἐστι καὶ τὸ ναύμαχον δόρυ. Ἔστι δ’ ἐνταῦθα καί τι λεληθότως ἀντιθετικὸν νόημα. κείρεται γὰρ μάχης μήδεα, τουτέστι βουλεύματα, ἵνα ὁ Ζεὺς οἰκεῖον σχοίη ἀνύσειν βούλευμα, ὃς Τρώεσσί, φησί, βούλετο νίκην. Τὸ δὲ μάχης μήδεα κείρεσθαι δύναταί ποτε ἀστείως ἁρμόσαι καί τινι ἐπιβούλως εὐνουχιζομένῳ διὰ κινδύνου φόβον. ἐπεὶ μήδεα οὐ τὰ βουλεύματα μόνον ἀλλὰ καὶ τὰ τῶν ἀρρένων αἰδοῖα, τὰ καὶ μέζεα καθ’ Ἡσίοδον. [Εἴη δ’ ἂν προσφυὲς τῷ πατραλοίᾳ Διῒ προσριφῆναι ὡς ἐν σχεδιασμῷ αὐτομάτως τὸ κείρειν μήδεα μάχης ὡς οἷα τεχνίτῃ τοῦ κείρειν μήδεα, ἐπεὶ καὶ τὰ τοῦ πατρὸς Κρόνου δρεπάνῃ ἀπήραξε.] (v. 122) Τὸ δὲ «χάζετο ἐκ βελέων», [ὃ μετὰ τοῦ «οἳ δ’ ἔμβαλον πῦρ» παρήχησίν τινα ποιεῖ,] ἐκφανῶς μὲν δηλοῖ φυγὴν Αἴαντος, μᾶλλον ἤπερ τὸ «Αἴας δ’ οὐκ ἔτ’ ἔμιμνεν», ἔχει δέ τι ὅμως καὶ αὐτὸ σεμνότητος ἐν τῷ «ἐκ βελέων». οὐ γὰρ ἄνδρας ἔφευγεν, ἀλλὰ βελῶν ἐπίχυσιν, οἷς ἐβιάζετο. ἔστι δὲ αὐτὸ γοργὴ συναίρεσις τοῦ «οὐκ ἔτ’ ἔμιμνε, βιάζετο γὰρ βελέεσσιν». ἐκεῖνο γὰρ περιπέφρασται. (v. 123) Τὸ δὲ «ἀσβέστη» ἀπὸ τοῦ ἄσβεστος παρῆκται καθ’ ὁμοιότητα τοῦ ἀρίγνωτος ἀριγνώτη καὶ εὐποίητος εὐποιητη. ταὐτὸν δὲ πάντως ἀκάματον πῦρ εἰπεῖν καὶ ἀσβέστην φλόγα. Δῆλον δὲ ὅτι πῦρ καθόλου ἀκάματον τὸ ἀναπτόμενον δι’ ὑποκειμένης ὕλης, ἧς ἐπιλειπούσης κάμνει, ὅ ἐστι τρόπον τινὰ θνῄσκει.

3.819 τὸ δ’ ὅμοιον νοητέον καὶ ἐπὶ ἀσβέστης φλογός. Τὸ δὲ «κέχυτο» καιριώτατα λεχθὲν τὴν ῥᾳδίαν δηλοῖ ἐκφλόγωσιν τῆς νηός. [Ἰστέον δὲ ὅτι φλὸξ παρὰ τοῖς παλαιοῖς καί τι ἄνθους εἶδος. Ἀθήναιος οὖν ἐκ τῶν Θεοφράστου παράγει ἄνθη στεφανωτικὰ καὶ τάδε· ἴον, Διὸς ἄνθος, ἶφυον, φλόγα, ἡμεροκαλλές, λεγόμενον, φασίν, οὕτω, ἐπειδὴ νυκτὸς φυὲν ἅμα ἡλίῳ ἀνιόντι θάλλει.] (v. 124—9) Ὅτι πάνυ θαυμασίως ὁ ποιητὴς τὴν τοῖς Ἀχαιοῖς πανωλεθρίαν ἐπαρασάμενον Ἀχιλλέα πλάττει, ὅτε πῦρ εἶδεν ἀμφέπον, ὡς ἐρρέθη, νῆα, μηρούς τε πληξάμενον, [ταὐτὸν δ’ εἰπεῖν πλήξαντα,] καὶ ἐποτρύνοντα τὸν Πάτροκλον εἰς μάχην, ἐν τῷ εἰπεῖν οὕτω γοργῶς διὰ καιροῦ κατέπειξιν «ὄρσεο διογενὲς Πατρόκλεις [ἱπποκέλευθε,] λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηΐοιο ἐρωήν. μὴ δὴ νῆας ἕλωσι καὶ οὐκ ἔτι φυκτὰ πέλωνται. δύσεο τεύχεα θᾶσσον, ἐγὼ δέ κε λαὸν ἀγείρω». Ἐν τούτοις δὲ τὸ «οὐκ ἔτι φυκτὰ πέλωνται» καὶ παροιμιῶδές ἐστι, λεγόμενον ἐπὶ μεγάλῳ κακῷ. [Διττὴν δὲ τὸ Ὁμηρικὸν τοῦτο κόμμα ἔννοιαν προβάλλεται. ἢ γὰρ προμηθούμενος τῶν Ἀχαιῶν ὁ φίλοικτος ἥρως, εἰ καὶ πρῴην αὐτοὺς ἐμίσει, λέγει ὡς, εἴγε καυθῶσιν αἱ νῆες, οὐκέτι αὐτοῖς ἔσται φυγεῖν. πῶς γὰρ πεζοὶ διὰ θαλάσσης φευξοῦνται; ἢ καὶ περὶ ἑαυτῷ καὶ τοῖς Μυρμιδόσι δέδοικεν ἤδη. οὐδὲ γὰρ αὐτοὶ ἐμπλατυναμένου τοῦ πυρὸς καὶ κατανεμησαμένου τὰς ὑπ’ αὐτοῖς νῆας τόπον φυγῆς ἕξουσιν, ἀλλὰ δηλαδὴ μενοῦσι καὶ μαχοῦνται τυφλαῖς ἐλπίσι φερόμενοι, ὧν τὸ πέρας ἄδηλον.] Ὅρα δὲ ὅπως, ὅπερ λόγοι πάνυ πολλοὶ οὐκ ἴσχυσαν ἀνῦσαι παρὰ τῷ Ἀχιλλεῖ, θέα οἰκτρὰ ἐξετέλεσε, κινήσασα ἐκεῖνον εἰς ἔλεον, καθὰ καὶ πρὸ αὐτοῦ τὸν ἑταῖρον Πάτροκλον. καὶ τοῦτό ἐστιν, ὃ παρὰ τοῖς παλαιοῖς τοὺς ἐπιλογικοὺς πραγματικοὺς οἴκτους ἐποίησεν, ἐν οἷς οἱ ἀκροαταὶ θεωροῦντες τοὺς οἰκτιζομένους πλεῖόν τι ἔπασχον τὴν ψυχὴν ἤπερ ὅτε τῶν ῥητορικῶν δικαιολογιῶν ἤκουον. [Καιρίως γὰρ ἔχει παρὰ τῇ Τραγῳδίᾳ τὸ «τῶν δὲ πραχθέντων τὰ μὲν ἄλγιστ’ ἄπεστιν, ἡ γὰρ ὄψις οὐ πάρα», ἤγουν οὐ πάρεστιν.] (v. 126) Ἰστέον δὲ ὅτι τὸ «ἱπποκέλευθε» ὡς σεμνότερον τοῦ ἱππικέ καὶ τοῦ ἡνιοχικέ ὁ Ἀχιλλεὺς ἐπελέξατο εἰς ἔπαινον τοῦ ἑταίρου οἷα καὶ δηλοῦν ἀμφότερα. [Εἴη δ’ ἂν ἱπποκέλευθος κυριολεκτικῶς ὁ πεζῇ βαδίζειν ὀκνῶν, τὰ πλείω δὲ ἀναβάλλων ἑαυτὸν εἰς τὸ ἔφιππος προϊέναι. ὃ δὴ νόμος ἦν Πέρσαις, ἐπὰν ἔμαθον λυσιτελέστερον αὐτοῖς εἶναι τὸ μεθ’ ἵππων πολεμεῖν ἤπερ πεζομαχεῖν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.820 (v. 129) Τοῦ δὲ «δύσεο» ἐνεστὼς δύσω, ἀναδραμὼν ἐκ μέλλοντος εἰς θέμα τὸ δύσω δύσομαι ἐδυσόμην ἐδύσου. τοιοῦτον δὲ σὺν ἄλλοις καὶ τὸ ἐβησόμην ἐβήσετο, ἐξ ἐνεστῶτος τοῦ βήσω, οἷς ἓν ἀποκεκλήρωται σίγμα πρὸς ἀκολουθίαν τοῦ πατρὸς μέλλοντος.] (v. 130—9) Ἔτι ἰστέον καὶ ὅτι ἅμα ἤκουσε Πάτροκλος «δύσεο τεύχεα θᾶσσον» καὶ εὐθὺς ὁπλίζεται, καὶ ὅτι ἡ διασκευὴ τῆς τοῦ Πατρόκλου ὁπλίσεως οὐδέν τι παρεξηλλαγμένον ἔχει, ὧν παρ' ἑτέροις ἔγνωμεν, ἀλλ' ἀναπαύεται τοῦ κατὰ τὴν φράσιν καμάτου ὁ ποιητής, ταὐτολογήσας κἀνταῦθα τὰ ἑτέρωθι φρασθέντα καλῶς. καὶ ὅτι οὐδὲ τὰ τοῦ Ἀχιλλέως ὅπλα, οἷς ὁ Πάτροκλος ἄρτι ἐλλάμπεται, ὡς ἐχρῆν σεμνολογεῖ, ἀλλ' ἠρέμα καλὰς εἰπὼν κνημῖδας, θώρακα ποικίλον, ἀστερόεντα, ξίφος ἀργυρόηλον, σάκος μέγα τε στιβαρόν τε, καὶ κυνέην εὔτυκτον ἵππουριν, ἧς δεινὸν λόφος καθύπερθεν ἔνευε. τὸ μέντοι ἔγχος τοῦ Ἀχιλλέως, ὅπερ οὐχ' εἵλετο Πάτροκλος, εἰς πλέον σεμνολογήσει ἐν τοῖς ἐφεξῆς. οὐκ ἐνδιατρίβει δὲ ἄρτι τοῖς τοῦ Ἀχιλλέως ὅπλοις ὁ ποιητής, οἷα τὴν τοιαύτην ῥητορείαν τοῖς εἰσέπειτα ἡφαιστοτεύκτοις ταμιευόμενος, ὅτε καὶ μάχης ἄδεια τοῖς τε Ἀχαιοῖς καὶ τῇ κατ' αὐτὸν Μούσῃ. (v. 134) Ὅρα δὲ τὸ «ἀστερόεντα» ἐπὶ θώρακος. οὐρανὸς μὲν γὰρ ἄλλως ἀστερόεις, ὡς ἄστρα ἔχων, θώραξ δὲ ἑτέρως, ὡς ἄστρῳ ἐοικώς. (v. 139) Ἐν τούτοις δὲ ἔστι σαφῶς γνῶναι καὶ τί νοεῖ τὸ δούρατα παλάμαις ἀρηρότα. Πάτροκλος γὰρ «εἵλετο ἄλκιμα δοῦρε, τά οἱ παλάμηφιν ἀρήρει», ἀντὶ ἑνὸς ὃ περίεστι τῷ Ἀχιλλεῖ. αὐτὸ γὰρ παχὺ ὂν καὶ τῷ τηλικούτῳ Ἀχιλλεῖ ἁρμόττον οὐκ ἦν προσαρηρέναι τῇ χειρὶ τοῦ Πατρόκλου, οἷα μηδὲ χωρούμενον ἐν αὐτῇ. θώραξ μέντοι ἄλλως προσαρηρέναι τινὶ λέγεται φοροῦντι, οὐ μὴν κρατοῦντι. (v. 140—4) Ὅτι Πάτροκλος ἔγχος οὐχ' εἵλετο μόνον, ὡς ἐρρέθη, τὸ τοῦ Ἀχιλλέως, ὃ βριθὺ μέγα στιβαρὸν ἱστορήσας ὁ ποιητής, καθά που καὶ τὸ τῆς Ἀθηνᾶς διεγράψατο, ἐπάγει «τὸ μὲν οὐ δύνατο ἄλλος Ἀχαιῶν πάλλειν, ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεὺς Πηλιάδα μελίην. τὴν πατρὶ φίλῳ», δηλαδὴ τῷ Πηλεῖ, «πόρε Χείρων Πηλίου ἐκ κορυφῆς φόνον ἔμμεναι ἡρώεσσι». Φασὶ δὲ οἱ παλαιοὶ ὡς Πηλεὺς μὲν παρὰ Χείρωνος ἔμαθε πάλλειν τὸ ῥηθὲν δόρυ, Ἀχιλλεὺς δὲ αὖθις παρὰ τοῦ πατρός, αὐτὸς δὲ οὐδένα ἐδίδαξε. διὸ αὐτὸς μόνος οἶδε πάλλειν αὐτὸ καὶ οὐδεὶς ὀψίγονος ἀπώνατο οὐδὲ τῆς τοιαύτης τοῦ Ἀχιλλέως ἀρετῆς. Ἰστέον δὲ καὶ ὅτι εἴπερ εἶχεν Ὅμηρος ἐν τοῖς ἑξῆς καὶ δόρυ πλάσασθαι ἡφαιστότευκτον, ἔδωκεν ἂν κατά τινα μέθοδον καὶ τὴν Πηλιάδα μελίην τῷ Πατρόκλῳ.

3.821 νῦν δὲ ἐκκλίνει τὸ ἀπίθανον. οὐ γὰρ δορυξόος ἀλλὰ χαλκεὺς ὁ Ἥφαιστος. διὸ τὸ μὲν δόρυ ἀπόθετον ὁ ποιητὴς φυλάσσει τῷ Ἀχιλλεῖ παρὰ ταῖς ναυσί, τὰ δὲ λοιπὰ ὅπλα περιθέσθαι τῷ Πατρόκλῳ δίδωσιν, ἵνα σκυλευθέντος αὐτοῦ ἡ μετὰ ταῦτα ὁπλοποιΐα ἔχῃ πιθανὴν ἀφορμήν. Σκοπητέον δὲ εἰ μὴ πρὸς βλάβης γέγονε τῷ Πατρόκλῳ μὴ ἔχειν τὴν οὕτως ἐπίσημον μελίαν. εἰκὸς γὰρ ἐντεῦθεν μάλιστα ὑποπτευθῆναι αὐτόν, ὡς οὐκ ἦν Ἀχιλλεύς. Ὅρα δὲ καὶ ὅτι ἐκ τῶν ἐνταῦθα παρηχήσεων δίδωσιν ὁ ποιητὴς ἀφορμὰς τρεῖς πρὸς ἐτυμολογίαν τῆς Πηλιάδος μελίης· ἤγουν τὸ πῆλαι, «μόνος γὰρ ἠπίστατο πῆλαι», ὅ ἐστι κραδᾶναι, Ἀχιλλεύς, καὶ τὸ Πήλιον ὄρος, ὅθεν ἐτμήθη τὸ ξύλον, ἤδη δὲ καὶ τὸν πατέρα Πηλέα, οὗ δῶρον ἦν ἡ μελία. εἰ δὲ σιωπᾷ τὸ ὄνομα τοῦ Πηλέως Ὅμηρος, πατέρα μόνον εἰπών, σεμνῶς τοῦτο ποιεῖ, ἵνα μὴ κατακόρως εἰς πλέον ἐγκροαίνῃ παρηχήσεσι. Δῆλον δὲ ὅτι ἐξαίρετόν τι τὸ τοιοῦτον δῶρον ἦν ἐκ Χείρωνος μὲν τῷ Πηλεῖ, ἐξ αὐτοῦ δὲ τῷ υἱῷ, καθὰ καὶ τὸ σάκος τῷ Αἴαντι. διόπερ οὐδὲ ἦν εὐμεταχείριστον τῷ Πατρόκλῳ. (v. 143) Ὅρα δὲ καὶ ὅτι ἔγχος προειπὼν Ἀχιλλέως, εἶτα εἰς τὴν ἰδιαιτάτην μετέβη αὐτοῦ κλῆσιν τὸ «Πηλιάδα μελίην». (v. 144) Ἰστέον δὲ ὅτι τὸ «φόνον ἔμμεναι ἡρώεσσι» σεμνύνει μὲν καὶ τὸν Ἀχιλλέα ὡς μὴ ἀναιροῦντα τυχόντας ἄνδρας ἀλλ' ἥρωας. ἔστι δὲ παραφραστικὴ ἐπιτομὴ τοῦ «τῷ δάμνησι στίχας ἀνδρῶν ἡρώων», ὃ ἔφη που περὶ Ἀθηνᾶς. ἔνθα καὶ σεμνότερον τοῦ φονεύειν τὸ δάμνησιν. (v. 145—7) Ὅτι Πάτροκλος μετὰ τὸν Ἀχιλλέα τὸν Αὐτομέδοντα τῖε μάλιστα, ὅ ἐστιν ἐτίμα. «πιστότατος δέ οἱ ἔσκε μάχῃ ἐνὶ μεῖναι ὁμοκλήν», ἤγουν πεπεισμένος ἦν ἐπ' αὐτῷ Πάτροκλος. καὶ ἄλλως, πίστιν ἐκεῖνος ἐδίδου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ Πατρόκλῳ, ὡς ἔστιν ὑπομενετικὸς ἐν μάχῃ οἷα μενεχάρμης καὶ μενεπτόλεμος. οὕτω καὶ Ἀχιλλεὺς μετ’ ὀλίγα ἡγεμόνας ποιήσεται «οἷς ἐπεποίθει σημαίνειν», ἤγουν οἳ πιστοὶ αὐτῷ ἦσαν ἄρχειν. Ἐκ τοῦ πείθω δέ ἐστιν ὁ πιστός, ὥσπερ καὶ ὁ πιθανός, [Ὁ μέντοι πιστὸς ἤγουν ποτός, τουτέστι πινόμενος κατὰ τὸ χριστὰ καὶ πιστὰ φάρμακα, ἐκ τοῦ πίω πίσω παρῆκται, καθὰ καὶ τὰ πίσεα, περὶ ὧν ἀλλαχοῦ δηλοῦται.] (v. 147 s.) Διὰ δὲ τὴν ῥηθεῖσαν τιμήν, πάντως δὲ καὶ ἑτεροίαν, ἡνίοχος τῷ Πατρόκλῳ γίνεται ὁ ῥηθεὶς Αὐτομέδων, ὃς καὶ ὕπαγε ζυγὸν ὠκέας ἵππους, κελευσθεὶς μὲν καὶ ὑπ’ Ἀχιλλέως, καὶ ἄλλως δέ, ὡς εἰκός, ἐπὶ πλέον ἀφ’ ἑαυτοῦ ὁρμηθεὶς ὡς ἀντιτιμῶν τὸν τιμῶντα.

3.822 [Ἰστέον δὲ ὡς, εἰ καὶ οἱ μεθ’ Ὅμηρον ὑπάγειν ζυγῷ φασιν ἐν δοτικῇ συντάξει, ἀλλ’ ἐνταῦθα τὸ ὑπάγειν ζυγὸν ἵππους ταὐτόν ἐστι τῷ ὑπὸ ζυγὸν ἄγειν. Τὸ δὲ «ὠκέας» προκλητικόν ἐστι τοῦ ἐφεξῆς αὐτίκα μύθου περὶ τῶν ἵππων τοῦ Ἀχιλλέως.] (v. 149) Ὅτι Ξάνθος καὶ Βαλίος παροξυτόνως, καθὰ καὶ ἐν τοῖς μετὰ ταῦτα φανήσεται, ἵπποι Ἀχιλλέως, οἵ, φησίν, «ἅμα πνοιῇσι πετέσθην», ὅ ἐστιν ὁμοίως πνοαῖς ἀνέμου ἐπέτοντο, ὅπερ ἐν ἄλλοις φησὶ «θέειν ἀνέμοισιν ὁμοῖοι». (v. 150 s.) Λέγει δὲ καὶ ὅτι αὐτοὺς «τέκετο Ζεφύρῳ ἀνέμῳ Ἅρπυια Ποδάργη, βοσκομένη ἐν λειμῶνι παρὰ ῥόον Ὠκεανοῖο». Ὥστε ἱπποφυές τι δαιμόνιον ἡ Ποδάργη, εἰ κατὰ τὸν μῦθον καὶ βόσκεται καὶ ἵππους γεννᾷ. παραλαλεῖ δὲ ὁ τοιοῦτος μῦθος καὶ ἔκτοπόν τι χρῆμα καὶ θεῖον τὴν παρωκεάνιον ταύτην Ποδάργην εἶναι καὶ τοὺς ἐξ αὐτῆς ἵππους, καὶ μηδὲ ἐξ ἀνθρώπων αὐτοὺς ἁπλῶς ἐλθεῖν τῷ Ἀχιλλεῖ, ἀλλὰ θεόθεν ποθέν. οὐ γὰρ ἂν ἄλλως αὐτῷ ἐξ Ὠκεανοῦ κτῆμα ἦλθον ἵπποι τοιοῦτοι. Ἰστέον δὲ ὅτι οἱ γράφοντες ἐνταῦθα οὐ παρὰ ῥόον Ἠριδα- [νοῖο, καθὰ πολλὰ τῶν ἀντιγράφων ἔχει, ἀλλὰ ῥόον Ὠκεα]νοῖο, ἐξωκεανίζεσθαι ῥηθεῖεν ἂν τῇ κατὰ τὴν τοιαύτην γραφὴν ἀποπλανήσει. Τίς μέντοι ὁ Ἠριδανός, δηλοῖ ὁ Περιηγητής. ὄνομα δὲ κύριον Ἁρπυίας ἡ Ποδάργη, ἧς παρώνυμος ὁ τοῦ Ἕκτορος Πόδαργος. Ἰστέον δὲ ὅτι ταῦτα μυθικῶς μὲν διὰ τὸ ὑπερβάλλον τάχος τῶν τοιούτων ἵππων λέγει, ὡς οἷα ποδηνέμων ἢ ἀελλοπόδων ὄντων. τὸ δὲ φυσικόν, ὅθεν ὁ μῦθος ἐλήφθη, τοιοῦτόν ἐστιν, ὡς αἱ ἵπποι κατὰ τὴν καὶ ἀλλαχοῦ ῥηθεῖσαν ζωϊκὴν ἱστορίαν ἐξανεμούμεναι πρὸς Βορέαν, ᾧ συγγενές τι καὶ ὁ Ζέφυρος, εὐγενέστερον κύουσιν, ὁποῖοι, ὡς εἰκός, καὶ οἱ τοῦ Ἀχιλλέως ἵπποι τετυχήκασιν εἶναι.

3.823 Ἡ δὲ Ἅρπυια εἶδος μέν τι ἄλλως ἀνέμου ἐστί, πέπλασται δὲ τῷ μύθῳ εἰς δαιμόνιον πτερωτὸν ἱπποφυές, ὡς εἴρηται, ὁποῖα ὁ μῦθος παραφύειν τολμᾷ. οὗ καὶ ὁ Πήγασος ἐπίνοια. Ἐπεὶ γὰρ ἄνεμοί τινες βίαιοι κουφίζουσι κάτωθεν καὶ βαρέα σώματα, ἐμυθεύθησαν ἐντεῦθεν Ἅρπυιαι, σωματοειδῆ τινα πνεύματα, τερατώδεις πλάσεις, ὑφ’ ὧν καὶ λέγονται ἁρπάζεσθαι ὅσα γίνονται ἀφανῆ, ὡς δηλοῖ καὶ τὸ «Ἅρπυιαι ἀνηρείψαντο». ὧν μιᾶς τινος ἐξέφυ καὶ ἡ Ποδάργη, πρέπουσα κατὰ τὸν μῦθον εἰς γένεσιν πόδας ἀργοῦ ἵππου εἴτ’ οὖν ποδώκεος. Δῆλον δὲ ὡς, εἰ καὶ ταῖς λοιπαῖς Ἁρπυίαις ὁ μῦθος χεῖρας προσπλάττει ὡς καὶ ἁρπάζειν, ἀλλ’ ἡ Ὁμηρικὴ αὕτη οὐκ ἂν εἶναι πιθανολογηθείη τοιαύτη διὰ τὸ ἱπποφυές. ὅτι δὲ πολλοὶ παρωκεάνιοι λειμῶνες εἰς νομὴν ζῴοις ἀνεῖνται, εἰκός ἐστιν ὑπονοεῖσθαι πιθανῶς. [(v. 149 s.) Ἰστέον δὲ ὅτι φάναι μὲν τὸν Ξάνθον καὶ τὸν Βαλίον ἅμα, ἤγουν ὁμοίως, πνοαῖς, οὐχ’ ἁπλῶς ἀλλ’ ἀνέμου οἷον Ζεφύρου ἢ Ἁρπυιῶν τῶν κατ’ ἀλληγορίαν, πέτεσθαι ὡς ἀνεμώκεας καὶ ἀελλόποδας καὶ ὁπλαῖς ἴσους Ἁρπυίαις κατὰ τὴν παρὰ τῷ Λυκόφρονι Ἅρπινναν παραβολικόν ἐστι καὶ διὰ τοῦτο ἀσφαλές. πολλὰ γὰρ τῶν θνητῶν, ἐν οἷς καί τινες ἥρωες, θείοις εἰκάζονται προσώποις καὶ πράγμασιν. εἰπεῖν δὲ αὐτόχρημα τόκους Ἅρπης καὶ Ζεφύρου τοὺς εἰρημένους ἵππους, ἀμύθητον τόλμαν ἔχει. Ἔτι ἰστέον καὶ ὅτι, ὥσπερ ὁ Ξάνθος, ὁποῖον ἂν εἴποι τις, βαρύνεται πρὸς διαστολὴν τοῦ κατὰ χρῶμα ξανθοῦ, οὕτω καὶ ὁ Βαλίος ἵππος παροξύνεται ὡς οἷα κύριον ὄνομα ἵππου κατὰ τὰ τριβράχεα ἐπὶ ἀνθρώπων κύρια, ἵνα διαστέλλοιτο τοῦ βαλιός, ὅπερ ὀξυτόνως τὸν ταχὺν ἢ στικτὸν δηλοῖ, ὅθεν καὶ βαλιὰ ἔλαφος, οἷς θέμα τὸ βάλλειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.824 εἰ δὲ καὶ τὸ βαλλίζειν, ἤγουν κωμάζειν ἢ χορεύειν, καὶ ὁ ἐξ αὐτοῦ βαλλισμός, οὗ παραφθορά τις τὸ βαβαλίζειν, ἐκ τοῦ βάλλειν παρῆκται καὶ αὐτό, οὐκ ἄν τις ἀποφήναιτο στερεῶς.] (v. 152—4) Ὅτι ὁ ῥηθεὶς Αὐτομέδων «ἐν παρηορίῃσιν ἀμύμονα Πήδασον ἵει, τόν ῥά ποτ' Ἠετίωνος ἑλὼν πόλιν ἤγαγ' Ἀχιλλεύς, ὃς καὶ θνητὸς ἐὼν ἕπεθ' ἵπποις ἀθανάτοισιν», ἵνα, φασί, κολάζῃ καὶ εἰς συμμετρίαν ἄγῃ τὸ ὑπερβάλλον τοῦ τάχους ἐκείνων καὶ ἐγκόπτῃ τὸ πολὺ τοῦ δρόμου. ἐπαινετὸς οὖν ἡνίοχος, ὃς δύναται ἀναχαιτίζειν τοσαύτης ῥύμης ὁρμὴν καὶ ποιεῖν ἰσοδρομεῖν καὶ τὸν Πήδασον, ταχύπουν, οἷα εἰκός, καὶ αὐτὸν ὄντα. εἰ δὲ ἦν ἀκουστὸς τῷ ποιητῇ ὁ περὶ τοῦ Πηγάσου μῦθος, ἐκεῖθεν ἂν δόξειε παραποιῆσαι τὸν τοῦ Ἀχιλλέως Πήδασον διὰ τάχους ὁμοιότητα. (v. 153) Ὅρα δὲ ὡς κἀνταῦθα μνήμην ὁ ποιητὴς παρέρριψεν Ἠετίωνος πρὸς ἐγκοπὴν τοῦ κατὰ τὴν φράσιν ὁμοειδοῦς, ἤγουν πρὸς ποικιλίαν γραφῆς. (v. 152) Παρηορίαι δὲ αἱ παρηρτημέναι τῷ ζυγῷ σειραὶ εἰς δεσμὸν περισσοῦ ἵππου, ὃς ἐστὶ παρήορος, καθὰ προδέδεικται, οὗ παρώνυμοι αἱ παρηορίαι. χρεία δὲ δῆθεν παρηόρου ἐστὶ καὶ νῦν, ἡ γνωσθεῖσα καὶ ἀλλαχοῦ ἐπὶ Νέστορος, ὡς ἂν δηλαδή, εἴ που πέσοι τῆς ξυνωρίδος ὁ ἕτερος, αὐτὸς ἀναπληροῖ τὸ λεῖπον καὶ φυλάττοι τὴν ξυνωρίδα ὡς πρότερον. Ἔστι δὲ τοῦτο ἐνταῦθα δεινότης μάλιστα ἤγουν οἰκονομία τοῦ ποιητοῦ, ἵνα ὥσπερ ἡνιόχῳ καὶ ὅπλοις, οὕτω καὶ ἵππῳ ζημιώσῃ τὸν Ἀχιλλέα, ὃς δή ἐστιν ὁ θνητὸς Πήδασος. Ξάνθος γὰρ καὶ Βαλίος οὐ τοιοῦτοι κατὰ τὸ αἴτημα τοῦ μύθου, ἀλλ' ἀθάνατοι. τὸ δὲ τοιοῦτον ἀθάνατον ἄρρενας εἶναι, οὐ μὴν ἐντομίας, καὶ τοὺς τοῦ Ἀχιλλέως ἵππους δηλοῖ, δυναμένους σπείρειν καὶ τῇ διαδοχῇ ὥσπερ ἀθανατίζεσθαι. ὁ μέντοι Πήδασος ἔοικεν ἐκτετμῆσθαι τῶν γονίμων μορίων, καὶ διὰ τοῦτο θνητὸς λέγεται ὡς μὴ ἔχων διαδοχήν. διὸ καὶ ἀμύμονα ἔφη αὐτόν, ὅπερ κατὰ τὴν παρατήρησιν τῶν παλαιῶν ἐπὶ θνητῶν εἴωθε λέγεσθαι. διὸ καὶ ὁ ποιητὴς ὥσπερ τὸν θνητόν, οὕτω καὶ τὸν ἀμύμονα ἐνταῦθα τοῖς ἀθανάτοις ἀντιδιαιρεῖ. Τὸ δὲ «Πήδασον ἵει» μετὰ προθέσεως χρὴ λέγειν ἐνίει, ὅ ἐστιν ἐνέβαλλεν, ἐνετίθει, ἐνεδέσμει.

3.825 Τὸ δὲ «ἤγαγεν Ἀχιλλεύς» ἀντὶ τοῦ ἀπήγαγεν, ἐληΐσατο. (v. 155 s.) Ὅτι τοὺς Μυρμιδόνας αὐτός, ὡς ὑπέσχετο, ἀγείρας ὁ Ἀχιλλεὺς ἐποιχόμενος θώρηξε «πάντας ἀνὰ κλισίας σὺν τεύχεσιν», ὃ δοκεῖ ἐκ περισσοῦ κεῖσθαι διὰ τὸ ἀρκεῖν εἰς ἔννοιαν τελείαν καὶ τὸ «θώρηξε» δίχα τοῦ «σὺν τεύχεσι», καὶ ὅτι τοὺς τῶν Μυρμιδόνων ἄρχοντας λύκοις εἰκάζει κεκορεσμένοις ἀπὸ ἐλάφου καὶ εἰς ὕδωρ ἀπιοῦσι. (v. 156—66) Φησὶ γὰρ «οἳ δὲ λύκοι ὣς ὠμοφάγοι, τοῖσίν τε περὶ φρεσὶν ἄσπετος ἀλκή, οἵ τ' ἔλαφον κεραὸν μέγαν οὔρεσι δηώσαντες δάπτουσι· πᾶσι δὲ παρήϊον αἵματι φοινόν, καί τ' ἀγεληδὸν ἴασιν ἀπὸ κρήνης μελανύδρου λάψοντες γλώσσῃσιν ἀραιῇσι μέλαν ὕδωρ ἄκρον, ἐρευγόμενοι φόνον αἵματος. ἐν δέ γε θυμὸς στήθεσσιν ἄτρομός ἐστι, περιστένεται δέ τε γαστήρ. τοῖοι Μυρμιδόνων ἡγήτορες ἠδὲ μέδοντες ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο ῥώοντο», διψῶντες δηλαδὴ πολέμου, ὡς καὶ λύκοι τοῦ μετὰ κόρον πιεῖν ἐκ πηγῆς. καὶ ἔστι πρὸς τοῦτο καὶ μόνον τείνουσα ἡ οὕτω πλατεῖα παραβολή. Καὶ σημείωσαι ὅτι διὰ τὸ ἄγαν εἰς τὴν μάχην πρόθυμον οὐ λύκοις εἴκασε τοὺς Μυρμιδόνας ὁρμωμένοις εἰς θήραν, ἀλλ' ἤδη καὶ κορεσαμένοις τῆς ἄγρας. εἰ γὰρ καὶ ἶσον ἀπραξίᾳ τὸ μέλλον κατ' Εὐριπίδην, ἀλλὰ τὸ ἐξ ἀνάγκης ἐσόμενον ἔχει τι πλέον τοῦ ἁπλῶς ἐσομένου, ὡς καὶ ἐνταῦθα, ἐπεὶ ἐξ ἅπαντος οἱ Μυρμιδόνες αἵματος κορέσονται, ὡς ἤδη κεκορεσμένους αὐτοὺς θεωρεῖ. (v. 156) Ἰστέον δὲ ὅτι καθ' ὁμοιότητα τοῦ «λύκοι ὣς ὠμοφάγοι» φθάσας ἔφη Τρῶας λείουσιν ἐοικέναι ὠμοφάγοισι, ἀνεπεξέργαστον ἀφεὶς ἐκεῖ τὴν τοιαύτην παραβολήν. (v. 157) Ὅρα δὲ καὶ ὅτι τὸ «περὶ φρεσὶν ἄσπετος ἀλκή» οὐ μόνον ἐπὶ ἀνθρώπων ἀλλ' ἰδοὺ καὶ ἐπὶ λύκων κεῖται. (v. 158) Τὸ δὲ «κεραὸν μέγαν» πρὸς πιθανότητα κεῖται τοῦ πολλοὺς ἐξ αὐτοῦ κορεσθῆναι λύκους. οὐ γὰρ μόνον κεραός, ἤγουν τέλειος, ἀλλὰ καὶ μέγας, ὃ διαστέλλει αὐτὸν τῶν κεραῶν μέν, οὐ μεγάλων δέ. (v. 159) Περὶ δὲ τοῦ δάπτειν, ἀφ' οὗ τὸ δαρδάπτειν γίνεται, προδεδήλωται. Παρήϊον δὲ νῦν μὲν ἡ παρειά. ἐν δὲ τῷ «παρήϊον ἔμμεναι ἵππου» κόσμος ἵππου παραγναθίδιος τὸ παρήϊον, ὡς

δεδήλωται. Τὸ δὲ φοινὸν πρωτότυπόν ἐστι τοῦ δαφοινόν, καὶ δηλοῖ τὸ πεφοινιγμένον ὁμοίως τῷ «αἵματι φοινικόεις», ὅ ἐστιν ἐρυθρός, ὅθεν καὶ χλαῖνα φοινικόεσσα καὶ Φοίνικες, ἔθνος οἰκῆσαν περὶ ποταμὸν Ἐρύθραν ἢ περὶ Ἐρυθρὰν θάλασσαν, καὶ τὸ φυτὸν δὲ φοῖνιξ, ὅτι τοιοῦτον καρπὸν τελεσφορεῖ.

3.826 (v. 160) Τὸ δὲ ἀγεληδόν ἰδιότητα λύκων ἱστορεῖ. συναγελαστικὸν γὰρ καὶ αὐτοὶ ζῷον καὶ οὐ κατὰ λέοντας καὶ παρδάλεις ἐρημάζει μονάζοντα. [Τὸ δὲ ἴασιν, ὅ ἐστιν ἔρχονται, προπαροξύνεται πρὸς διαστολὴν τοῦ ἰᾶσιν, ὅθεν τὸ ἀφιᾶσι.] (v. 161) Τὸ δὲ λάπτειν ὠνοματοπεποίηται, καθὰ καὶ τὸ ἐρεύγεσθαι, ἃ καὶ ἔχει τινὰ νῦν ἀστειότητα, οἱονεὶ λέγοντος τοῦ ποιητοῦ, ὅτι οἱ λύκοι λάπτοντες ὕδωρ ἀντερεύγονται αἷμα ἐκεῖσε, ὑφ᾽ οὗ τὸ ὕδωρ φοινίσσεται. δῆλον δὲ ὅτι ῥοφήσεως μὲν εἶδος καὶ τὸ λάπτειν. τραχυφωνότερον δὲ τούτου τὸ ῥοφεῖν, καὶ οὐδὲ κυριολεκτεῖται ἐπὶ κυνῶν. τὰς δὲ γλώσσας ἀραιὰς τοῖς λύκοις φησὶν ἢ μετὰ δασείας ἀντὶ τοῦ στερεὰς καὶ ἐπιμήκεις, ἢ μετὰ ψιλῆς ἀντὶ τοῦ βλαπτικάς. (v. 162) Ἄκρον δὲ λάπτουσιν ὕδωρ, διότι κατὰ τοὺς παλαιοὺς οὐ καθιᾶσι τὴν γλῶσσαν εἰς τὸ ὕδωρ ὡς οἱ βόες, οὐδὲ κατὰ τοὺς λυκοσπάδας ἵππους τὸ ἥμισυ τῆς ὄψεως, ἀλλὰ τοῦ ἐπιπολῆς ὕδατος πίνουσιν ὡς εἴπερ καὶ ἔλειχον. Τὸ δὲ «φόνον αἵματος» περιφραστικῶς ἀντὶ τοῦ αἷμα. ἐκ δὲ τούτου γίνεται τὸ «φοινὸς αἵματι». (v. 163) Τὸ δὲ «περιστένεται», εἰ καὶ φαίνεται στεναγμόν τινα σημαίνειν τοῖς λύκοις διὰ τὸ ἐκ τοῦ κόρου πολὺ βάρος, ἀλλ᾽ ὁ Ἀρίσταρχος ἀντὶ τοῦ περιτείνεται νοεῖ διὰ πλησμονήν, ὡς ἀπὸ τοῦ τένω ὡς κτένω πλεονασμῷ τοῦ ς , καθὰ καὶ ἐν τῷ φερέσβιος [καὶ τοῖς ὁμοίοις, ἀναλογώτερον δὲ εἰπεῖν, ὡς ἐν τῷ πῶ, τὸ κτῶμαι, καὶ μετὰ τοῦ ς σπῶ σπῶμαι καὶ ἐπισπῶμαι τὸ εἰς ἐμαυτὸν ἕλκω οἷα καί τι κτῆμα.] (v. 164) Πολλοὺς δὲ λέγει Μυρμιδόνων ἡγήτορας ἀντὶ τοῦ ἁπλῶς στρατηγούς. κυρίως γὰρ ἕνα εἶχον ἡγήτορα, ὃς αὐτοῖς εἰς Τροίην ἡγεῖτο ἀνάσσων μέγα ἢ κρατέων μέγα, καθὰ μετ᾽ ὀλίγα εὐθὺς ἐρεῖ ὁ ποιητής.

3.827 [(v. 166) Τὸ δὲ «ῥώοντο», τουτέστιν ἐρρωμένως ἐκινοῦντο, σύστοιχόν ἐστι τῷ «ἀμβρόσιαι δ᾽ ἄρα χαῖται ἐπερρώσαντο». (v. 166 s.) Ὅτι χρήσιμον εἰς ἔπαινον στρατηγοῦ τὸ «ἐν δ᾽ ἄρα τοῖσιν ἀρήϊος ἵστατο ὁ δεῖνα, ὀτρύνων ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας». Μυρμιδόνων δὲ νῦν ἐπίθετον τὸ ἀσπιδιώτας, ὥσπερ Ἀχιλλέως τὸ ἀρήϊος, Πατρόκλου δὲ τὸ ἀγαθὸς θεράπων.] (v. 168) Ὅτι ἀναμιμνήσκων ὁ ποιητὴς ὅσας εἶχεν ὁ Ἀχιλλεὺς νῆας, φησὶ «πεντήκοντα ἦσαν νῆες θοαί, ᾖσιν», ἤγουν αἷς, «ὁ Ἀχιλλεὺς ἐς Τροίην ἡγεῖτο Διῒ φίλος». (v. 169 s.) Εἶτα ἱστορῶν καὶ οἷαι ἦσαν εἰς χώρησιν, ἐπάγει «ἐν δ᾽ ἂρ ἑκάστῃ» ἢ ἐν δὲ ἑκάστῃ «πεντήκοντ᾽ ἔσαν ἄνδρες ἐπὶ κληῗσιν ἑταῖροι». ὡς εἶναι αὐτὰς μὲν οὕτω πεντηκοντόρους, τούτους δὲ πεντακοσίους πρὸς τοῖς δισχιλίοις, (v. 171 s.) Οἷς ἄρτι πέντε τοὺς μετ᾽ ὀλίγα ῥηθησομένους ἡγεμόνας ποιήσατο, «τοῖς ἐπεποίθει», τουτέστιν οὓς εἶχε πιστοὺς ἢ οἷς ἐπίστευε, «σημαίνειν, αὐτὸς δὲ μέγα κρατέων ἤνασσεν», ὡς οἷά τις εὐρυκρείων ἐν αὐτοῖς, οὓς διὰ τοῦτο ὑποστρατήγους τις καὶ ὑφηγεμόνας ἐρεῖ. Ὅρα δὲ ὅτι ἐφυλάξατο εἰπεῖν εὐρὺ κρατέων. τοῦτο γὰρ τοῦ Ἀγαμέμνονος ἦν, ὅθεν καὶ κυρίως εὐρυκρείων ἐκεῖνος. εἰ δὲ εὐρὺ κλέος ἐπὶ Ὀδυσσέως λέγεται καὶ ἄλλων τινῶν, ὃ δὴ καὶ τῷ Ἀχιλλεῖ πρέποι ἄν, ἀλλ᾽ οὐ ταὐτὸν κλέος καὶ κράτος. ὅθεν οὐδὲ πᾶς ὁ εὐρὺ κλέος ἔχων ὁ αὐτός ἐστι τῷ εὐρυκρείοντι. Ὅρα δὲ καὶ τὸ «αἷς ὁ Ἀχιλλεὺς ἐς Τροίην ἡγεῖτο» ἄλλως ῥηθὲν ἤπερ ἐπὶ Κάλχαντος ἐρρέθη τὸ «νηυσὶν Ἀχαιῶν ἡγήσατο εἰς Ἴλιον». ἐκεῖνος μὲν γὰρ ὡδήγησεν ὑποδείξας τὴν κέλευθον, Ἀχιλλεὺς δὲ ἡγεμών ἐστι ταῖς ναυσίν, αἷς ἡγεῖται. Ὅρα δὲ καὶ τὸ «ἐποιήσατο» παθητικῶς τε προενεχθὲν καὶ ληφθὲν ἀντὶ τοῦ προεβάλετο, οὐ φύσει ἄρχοντας Μυρμιδόνων ὄντας ἀλλὰ θετῶς οἷα νῦν ποιηθέντας. (v. 173) Σημείωσαι δὲ καὶ ὅτι ἐνταῦθα λέγων ὁ ποιητής, ὡς τῶν ῥηθέντων πέντε ἡγεμόνων ἰῆς μὲν στιχὸς ἦρχεν ὁ δεῖνα, τῆς δ᾽ ἑτέρης ὁ δεῖνα, τῆς δὲ τρίτης ὅδε τις, τῆς δὲ τετάρτης ἄλλος, καὶ τῆς πέμπτης ὁ δεῖνα, στίχα τὴν πεντακοσιοστὺν λέγει. ἐκ πεντακοσίων γὰρ ἀνδρῶν ἐνταῦθα ἑκάστη τῶν στιχῶν. ἐν οἷς ὅρα καὶ ὅτι τὸ μὲν ἰῆς στιχὸς ἀντὶ τοῦ μιᾶς τὴν πρώτην δηλοῖ, τὸ δὲ τῆς ἑτέρας ἀντὶ τοῦ δευτέρας,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς μὴ ἐγχωροῦν εἰπεῖν ἐν ἡρωϊκῷ μέτρῳ τὸ δευτέρας διὰ τὸ ἀθεράπευτον ἀμφίμακρον. μετρεῖ γοῦν οὕτω στιχὸς ἰῆς, ἑτέρης, τρίτης, τετάρτης, πέμπτης. Ἔστι δὲ καὶ ἐν τούτοις ποικίλος ὁ ποιητής, τοὺς μὲν τῶν τριῶν στιχῶν ἡγεμόνας πλατύτερον ἱστορῶν, καὶ μᾶλλον τὸν τῆς μιᾶς καὶ τὸν τῆς ἑτέρας, ἤτοι δευτέρας, τὸν δὲ τέταρτον Φοίνικα ἐνὶ παραβύων στίχῳ.

3.828 ἐξάγει γὰρ καὶ αὐτὸν εἰς μάχην, ὡς ἂν εἴη μνήμων τις τῷ Πατρόκλῳ, εἰ καὶ μηδὲν ὤνησεν. οὕτω δὲ καὶ τὸν τῆς πέμπτης στιχὸς Ἀλκιμέδοντα, τοῦτον μὲν ἀμύμονα προσειπών, τὸν δὲ γέροντα ἱππηλάτην, καὶ εἰς τοσοῦτον μόνον ἐπιδρομάδην σεμνύνας αὐτούς. διὰ τί; διότι Φοῖνιξ μὲν ἔγνωσται ἤδη καὶ οὐ χρὴ ἀναδιδάσκειν τὰ κατ' αὐτόν, Φοίνικος δὲ ἀπεριλαλήτου παραρριφέντος οὐκ ἐχρῆν τὸν πέμπτον σεμνολογεῖσθαι μακρά. (v. 173- 8) Ὅτι τῆς πρώτης τῶν Μυρμιδόντων στιχὸς «ἦρχε Μενέσθιος αἰολοθώρηξ, υἱὸς Σπερχειοῖο, διϊπετέος ποταμοῖο, ὃν τέκε Πηλῆος θυγάτηρ καλὴ Πολυδώρη Σπερχειῷ ἀκάμαντι, γυνὴ θεῷ εὐνηθεῖσα, αὐτὰρ ἐπίκλησιν Βώρῳ, Περιήρεος υἷι», ἤγουν υἱῷ Περιήρους, οὗ εὐθεῖα ὁ Περιήρης, «ὅς ῥα», ἤγουν ὃς δὴ Βῶρος, «ἀναφανδὸν ὄπυιε πορὼν ἀπερείσια ἕδνα». (v. 173) Ἐνταῦθα δὲ οἱ μέν φασιν ἑτέρου τινὸς εἶναι Πηλέως ἔγγονον τὸν ῥηθέντα Μενέσθιον, καὶ ἐπαγωνίζονται τῷ λόγῳ. οἱ δέ τινες ἀδελφιδοῦν αὐτὸν τοῦ Ἀχιλλέως εἶναι τίθενται καὶ νικῶσιν οὗτοι. Καὶ τοίνυν θεωρητέον ὡς Πηλεὺς μὲν Θέτιδι μιγείς, θαλασσίᾳ δαίμονι, γεννᾷ τὸν Ἀχιλλέα, ἡ δὲ τοῦ Ἀχιλλέως ἀδελφὴ ὑπὸ ποταμῷ γεννᾷ τὸν Μενέσθιον. ἴσως γὰρ εἰ καὶ ὑγρὸς κατὰ τοὺς ἐκ ποταμῶν καὶ θυμῷ ζέειν πεφυκὼς καὶ ἄγριος ὁ Μενέσθιος, ἀλλ' οὐχ' ὥστε καὶ θαλάσσης λέγεσθαι παῖς, καθάπερ ὁ Ἀχιλλεὺς ὠνείδισται. ὑφειμένως δὲ καὶ ἧττον ἦν μεγαλόθυμος. (v. 174) [Περισπερχὴς μέντοι φερωνύμως τῷ πατρὶ Σπερχειῷ ποταμῷ Ἑλλαδικῷ, ῥέοντι ὀξὺ καὶ ἐπισπέρχοντι τὸ ῥεῦμα, κἀντεῦθεν εὐκληρήσαντι λαχεῖν τὸ τοῦ Σπερχειοῦ ὄνομα, καθὰ καὶ ὁ Ἄκις ὀξυρρόας καὶ ἐκεῖνος ποταμὸς τὴν ἐκ τῆς ὀϊστευτικῆς ἀκίδος κλῆσιν, καὶ ὁ Ἀράξης ὁμοίως καὶ αὐτὸς ῥέων τὴν ἐκ τοῦ ἀράσσειν, ὅθεν καὶ οἱ καταράκται. Εἰ δὲ καὶ ἰχθύες περὶ τὸν τοιοῦτον ποταμόν, εἶεν ἂν ἀγαθοὶ κατὰ τὸν ἱστορήσαντα τοῦτο. εἰ γὰρ καὶ δύσπεπτοι, φησί, καὶ βαρύτατοι τῶν θαλασσίων οἱ μετεμβαίνοντες ἐκ θαλάσσης εἰς ποταμοὺς καὶ λίμνας—σῆψις γὰρ ὕδατος τὸ λιμναῖον—, ὅμως ἀμείνους οἱ ποτάμιοι, καὶ τῶν ποταμίων βέλτιστοι οἱ ἐν τοῖς ὀξυτάτοις τῶν ποταμῶν.

3.829 ] Διϊπετὴς δὲ κυρίως μὲν ὁ χείμαρρος ὁ αὐτόθεν ἐκ Διὸς ἀέρος πίπτων, ἤτοι γεννώμενος, ὡς καὶ ἀλλαχοῦ δηλοῦται. καταχρηστικῶς δὲ καὶ ὁ ἀένναος. [Συνεισάγει δὲ βοήθειαν τῇ πρώτῃ ἐννοίᾳ καὶ Μάτρων ὁ περίπυστος παρῳδός, ἐν οἷς λέγει οὕτω «βολβίνας, ἃς ἐν χέρσῳ θρέψε Διὸς παῖς ἄσπετος ὄμβρος, λευκοτέρας χιόνος ἰδεῖν, ἀμύλοισι δ' ὁμοίας. τάων φυομένων ἠράσσατο πότνια γαστήρ». Ἐν τούτοις γὰρ Διὸς υἱὸν τὸν ὑετὸν εἰπὼν συντελεῖ τι ἐς τὸ νοεῖν ποταμὸν διϊπετῆ τὸν ἐξ ὑετοῦ, ὃν Ζεὺς ἀὴρ δοκεῖ γεννᾶν. Τῶν δὲ εἰρημένων τὸ μὲν «ἃς ἐν χέρσῳ θρέψε Διὸς παῖς» παρῴδηται ἀπὸ τοῦ «οὓς θρέψε ζείδωρος ἄρουρα». τὸ δὲ λευκοτέρας χιόνος ἐκ τοῦ «ἵπποι λευκότεροι χιόνος». τὸ δὲ «τάων φυομένων» καὶ ἑξῆς ἐκ τοῦ «ὧν βοσκομενάων ἠράσσατο Βορρᾶς». Βολβίνας δὲ λέγοι ἂν ἴσως τοὺς παρ' Ἀττικοῖς βολβούς, ὧν χρῆσις καὶ παρὰ τῷ Κωμικῷ. Ἀμύλους δὲ εἶδός τι πλακοῦντος εὐθρύπτου καὶ οἵου μὴ ἀφιέναι μύλας ὀδόντων πονεῖσθαι περὶ αὐτόν. Ἰστέον δὲ καὶ ὅτι ἐκ τοῦ καθ' Ὅμηρον διϊπετοῦς ποταμοῦ, ἤγουν υἱοῦ Διός, λαβών τις τῶν μεθ' Ὅμηρον—Ἀρχέστρατος δὲ ἦν ἐκεῖνος ὁ ὀψοφάγος—θεόπαιδα ἔφη παίζων τὸν Μιλήσιον λάβρακα, ὃν ἡ ἐν τῷ ἐσθίειν λαβρότης παράγει, δι' ἣν καὶ ἀπόλλυται ὑπὸ καρίδων. Καινὸν δὲ οὐδὲν θεογενῆ παιχθῆναι λάβρακα, εἴγε καὶ θεοὺς αὐτόχρημα τοὺς μεγάλους ἰχθῦς ἐκάλεσαν εὐτραπελευόμενοι. πυθόμενος γάρ τις ἰχθυοπώλου, ὁποίους δή τινας ἰχθύας ἔχοι πωλεῖν, καὶ ἀκούσας ὅτι λάβρακα τυχὸν ἢ ἀνθίαν ἢ τοιούσδε τινάς, ἔφη «θεοὺς ὀνομάζεις, ἐμοὶ δὲ ἰχθύων χρεία, οὐ θεῶν».] (v. 175) Τὸ δὲ

«Πολυδώρη» φερώνυμος κλῆσις. ἀπερείσια γὰρ ἔλαβεν ἔδνα. ὁ δέ γε Πριαμίδης Πολύδωρος διὰ τὰ ἐκ φύσεως δῶρα οὕτως ὠνομάσθη καθὰ καὶ ἡ παρὰ τῷ Ἡσιόδῳ Πανδώρα.

3.830 (v. 176) Ἀκάμαντα δὲ Σπερχειὸν ἀντὶ τοῦ ἀένναον, καὶ ὡς εἴ τις εἴποι ἀκάματον, καθὰ καὶ Διονύσιος ἀκαμάτοιο ῥόον φησὶν Ὠκεανοῦ. [Καὶ ἄλλως δὲ «ἀκάμαντα» διὰ τό, ὡς ἐρρέθη, ὀξὺ καὶ περισπερχὲς τοῦ κατ' αὐτὸν ῥεύματος. μυθικῶς μέντοι διὰ τὸ αὐτοῦ ἀνύπεικτον καὶ περὶ πράξεις ἀκμαῖον καὶ ἀνδρικόν. ὅπερ ἔχειν ἐχρῆν καὶ τὸν υἱὸν Μενέσθιον.] (v. 177) Ἐπίκλησιν δὲ ἀντὶ τοῦ κατὰ μόνον λόγον καὶ δόκησιν καὶ μέχρις ὀνόματος, οὐ μὴν πρὸς ἀλήθειαν, ἵνα ᾖ ἐπίκλησις κλῆσις ἐπὶ τῇ πρώτῃ πρόσθετος. Σπερχειοῦ γὰρ ὢν φύσει κατὰ μῦθον ἐνταῦθα ὁ Μενέσθιος ἐπεκαλεῖτο Βώρου υἱός. Κεῖται δὲ ἡ λέξις παρὰ τοῖς ὕστερον καὶ ἐπὶ κατηγορίας, καθὰ καὶ παρὰ Σοφοκλεῖ τὸ ἐπίκλημα. ἐκ δὲ τοῦ ἐπίκλησιν τὸ ἐπίκλην ἐπιθετικὸν ἐπίρρημα συνέκοψαν οἱ μεθ' Ὅμηρον. (v. 178) Τὸ δὲ «ἀναφανδὸν ὀπυίειν» τὴν νόμιμον ὁμιλίαν δηλοῖ. οὗ ἐναντίον μετ' ὀλίγα τὸ «παρελέξατο λάθρα», ὃ ταὐτόν ἐστι τῷ κλεψιγαμεῖν, ἐφ' οὗ τὸ ὀπυίειν χώραν οὐκ ἔχει, ἀλλὰ τὸ παραλέξασθαι καὶ τὸ εὐνηθῆναι, ὡς ἀνωτέρω κεῖται. Σημείωσαι δὲ καὶ ὅτι καλῶς οἱ μὴ γεννώμενοι παῖδες ἐκ γυναικῶν ἀναφανδὸν ὀπυιομένων σκότιοι λέγονται διότι καὶ πρὸς τὸ ἀναφαίνειν ἀντίκειται τὸ σκοτίζειν, ὥσπερ καὶ τῷ φωτὶ τὸ σκότος. Τὸ δὲ «πορὼν ἀπερείσια ἔδνα» ὑποκαταβὰς οὕτω φράζει «ἐπεὶ πόρε μυρία ἔδνα». Ἐν οἷς ὅρα καὶ ὅτι ἔδνα τὰ ἐξ ἀνδρῶν πρὸς γυναῖκας εἶπεν. (v. 179—90) Ὅτι τῆς ἑτέρης, ἤτοι δευτέρας, στιχὸς «Εὔδωρος ἀρήϊος ἡγεμόνευε παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυμήλη, Φύλαντος θυγάτηρ», ὑπὸ τῷ Ἀργεϊφόντῃ, ὃς αὐτῆς «ἠράσατο ὀφθαλμοῖσιν ἰδὼν μετὰ μελπομένῃσι ἐν χορῷ Ἀρτέμιδος χρυσηλακάτου κελαδεινῆς. αὐτίκα δ' εἰς ὑπερῷα ἀναβὰς παρελέξατο λάθρῃ Ἑρμείας ἀκάκητα, πόρεν δέ οἱ ἀγλαὸν υἱὸν Εὔδωρον, περὶ μὲν θείειν ταχὺν ἠδὲ μαχητήν. αὐτὰρ ἐπεὶ δὴ τόν γε μογοστόκος Εἰλείθυια ἐξάγαγε προφόωσδε καὶ ἠελίου ἴδεν αὐγάς», ἃ δὴ περίφρασίς ἐστι τοῦ ἐγέννησε, «τὴν μὲν Ἐχεκλῆς ἠγάγετο πρὸς δώματα, ἐπεὶ πόρε μυρία ἔδνα», καὶ ἑξῆς. Καὶ ὅρα ὅτι τὸ ἐπίκλησιν τὸν δεῖνα τοῦ δεῖνα υἱὸν εἶναι, καὶ τὸ «ὃς ἀναφανδὸν ὄπυιε» καὶ ἑξῆς, ἄλλως ἐνταῦθα Ὅμηρος ἔφρασε, πολυμήχανος ὢν ῥητορεύειν. (v. 180) Παρθένιος δὲ τίς ἐστιν, αὐτὸς ὁ ποιητὴς δηλοῖ, διδάξας παρθένιον εἶναι τῇ μητρὶ παῖδα, οὗ γεννηθέντος λάθρῃ ἐν παρθενίας καιρῷ, εἶτα τὴν γεννησαμένην ἀνὴρ ἕτερος ἠγάγετο πρὸς δώματα, ὅπερ ἀναφανδὸν ὀπυίειν πρὸ ὀλίγων ἔφη ὁ ποιητής. Καὶ ἄλλως δέ, παρθένιος υἱός, ὃν κατὰ τὸν ποιητὴν ἔπορέ τις, ὅ ἐστιν ἐπορίσατο, γυναικί, μιγεὶς αὐτῇ πρὸ τοῦ γάμου.

3.831 Δῆλον δὲ ὡς οὐ τοιοῦτος ἦν καὶ ὁ προρρηθεὶς ἄρχων τῆς πρώτης στιχὸς Μενέσθιος. οὐ γὰρ προεγεννήθη ἐκεῖνος τοῦ γάμου τῇ μητρί, ἀλλ' ὥσπερ ὁ Ἡρακλῆς Διὸς ἦν, ἐπίκλησιν δὲ Ἀμφιτρύωνος, οὕτω καὶ ὁ Μενέσθιος Βώρου μὲν ἦν ἐπίκλησιν, φύσει δὲ Σπερχειοῦ τοῦ σπείραντος. Ὅρα δ' ἐν τοῖς ῥηθεῖσιν, ὅπως ὁ ποιητὴς τῷ ἀγλαῷ Εὐδώρῳ συναγλαΐζει τὴν γραφήν, κοσμῶν αὐτὴν ὁμοτόνοις παρίσοις, τῷ Εὔδωρος, ἀρήϊος, παρθένιος. Τὸ δὲ «ἔτικτε χορῷ καλὴ Πολυμήλη» ἀμφίβολον. ἢ γὰρ ἡ κατὰ τὴν προρρηθεῖσαν Πολυδώρην καλὴ Πολυμήλη ἔτικτεν ἐν χορῷ, ἢ ἡ ἐν τῷ χορῷ καλὴ ἔτικτε, τουτέστιν ἡ ὡς εἰπεῖν καλλίχορος. ἀρετὴ γὰρ καὶ αὕτη παρθένων. καὶ ἔστι τοῦτο κάλλιον. Ἑρμῆς γὰρ ἠράσατο αὐτὴν ἰδὼν ἐν χορῷ. αὐτὴ δὲ οὐκ ἂν τέκοι ἐν χορῷ. (v. 183) Ἑρμηνεύων δὲ τὸ «χορῷ» ἐπήγαγε τὸ «ἐν μελπομέναις» πρὸς διαστολήν τε ἀλλοίου χοροῦ καὶ τοῦ τῶν ἀνδρῶν δέ. ἐπεὶ δὲ καὶ τῶν μελπομένων γυναικῶν εἰσι διαφοραί, ἐπήγαγε τὸ «ἐν χορῷ Ἀρτέμιδος», ἤτοι ἐν χορείᾳ δημοτελεῖ. ἔνθα καὶ ἦν εἰκὸς ἐραστὰς παρεῖναι, οὓς οὐκ ἔχουσιν οἱ κατ' οἶκον ἢ καὶ ἄλλως ἰδιάζοντες χοροί. (v. 180) Τὸ δὲ Πολυμήλη εὐμόρφῳ οἰκεῖον γυναικὶ ὄνομα διὰ τὰ ἐκ τῶν θρεμμάτων πολλὰ ἔδνα, ὁποία τις καὶ ἡ Πολύβοια καὶ ἡ Ἀλφεσίβοια. καθ' ὁμοιότητα δὲ ταύτης καὶ ἡ Φιλομήλα ἐκλήθη. τοὺς μέντοι ἄνδρας τὸν Εὔμηλον καὶ τὸν Πόλυβον καὶ τοὺς τοιούτους ἡ πολυκτημοσύνη οὕτως ἐκάλεσε. (v. 182) Τοῦ δὲ «ἠράσατο» τὸ πρῶτον, ὅπερ ἐστὶν ἠρασάμην,

ὁ Ζεὺς φθάσας ἔφη. οἰκείως δὲ Πολυμήλης ἐρᾷ Ἑρμῆς, ὁ τῶν μήλων, ἤτοι τῶν θρεμμάτων, ἐπιστατῶν ὡς νόμιος. καλῶς δὲ καὶ ὁ υἱὸς αὐτῷ Εὔδωρος ὀνομάζεται. ἀκάκητα γὰρ καὶ νῦν Ἑρμῆς εἴρηται. προσφυὲς δὲ τῷ μὴ κακοποιοῦντι τὸ εὔδωρον. ἔοικε δὲ καὶ πολυκτήμων ἢ λόγιος ἢ δόλιος ἢ καὶ πάντα ταῦτα εἶναι ὁ Εὔδωρος, διὸ καὶ ἐξ Ἑρμοῦ γενεαλογεῖται, ὃς τῶν τοιούτων προΐσταται. Τὸ δὲ «ὀφθαλμοῖσιν ἰδών» δριμύτητα ἔρωτος δηλοῖ. ἐν τοῖς τοιούτοις γὰρ οὐχ' οὕτως ἡ προαγωγεία καὶ ἡ λοιπὴ ἀκοὴ καὶ φαντασία δρᾶν ἔχει, ὡς τὸ τῆς θέας αὐτάγγελον. (v. 183) Περὶ δὲ Ἀρτέμιδος καὶ διὰ τί χρυσηλάκατος καὶ κελαδεινή, καὶ περὶ Ἑρμοῦ δέ, καὶ ὅτι ὡς μὴ κακύνων ἀκάκητα λέγεται, ὃ καθ' ὁμοιότητα τοῦ μητιέτης μητίετα ἐκ τοῦ ἀκακήτης μεταπέπλασται, πολλαχοῦ δηλοῦται. προείρηται δὲ καὶ περὶ μογοστόκου Εἰλειθυίας, ἧς ὅτι τὸ ἱερὸν Εἰλείθυιον λέγεται, ἐν ῥητορικῷ εὕρηται Λεξικῷ.

3.832 Ἀναμνηστέον δ' ἐνταῦθα, ὅτι τε ἠλάκατα οὐδετέρως καὶ τὰ τόξα, ὅθεν χρυσηλάκατος ἡ χρυσότοξος, καὶ ὅτι τοξεύει καὶ Ἄρτεμις ὡς καὶ Ἀπόλλων, , εἴτε μυθικῶς αὐτοὺς νοεῖ τις εἴτε καὶ ἀλληγορικῶς ὡς σελήνην καὶ ἥλιον, καὶ ὅτι ἠλακάτη οὐ μόνον τὸ τοῦ ἐρίου ὄργανον, ἀλλὰ καὶ ὁ κάλαμος ἢ τὸ ξύλον τοῦ βέλους, ὅθεν Ἄρτεμις χρυσηλάκατος. (v. 184) Ἐν δὲ τῷ «εἰς ὑπερῷ' ἀναβάς» γράφουσιν οἱ παλαιοί, ὅτι ταῖς γυναιξὶν ἀνώγεοι θάλαμοι ἐγίνοντο πρὸς τὸ μὴ συντυγχάνειν ῥᾳδίως ἀνδράσι. διὸ καὶ ἡ Πηνελόπη ἐν Ὀδυσσείᾳ εἰς ὑπερῷον καθημένη ποιεῖ ἃ ποιεῖ. καὶ Πριάμῳ δὲ τέγεοι θάλαμοι ποιοῦνται ταῖς ἑαυτοῦ. Φασὶ δὲ καὶ ὅτι τὰ μετέωρα τῶν οἰκημάτων ᾦα καλοῦσιν οἱ Λακεδαιμόνιοι, ὅθεν ὑπερῷον τὸ οἶον εἰπεῖν ὑπερύψηλον. περὶ οὗ καὶ ζητητέον διὰ τί μὴ προπαροξύνεται διὰ τὴν σύνθεσιν. Ὁ δὲ θέειν ταχὺς ὁ αὐτὸς τῷ ποδώκει ἐστίν. (v. 188) Ὅρα δὲ καὶ ὅτι τὸ μὲν γεννῆσαι ἐξαγαγεῖν εἶπε προφόωσδε, τὸ δὲ γεννηθῆναι ἠελίου ἰδεῖν αὐγάς, καὶ ὅτι ἐν τῷ προφόωσδε οὐ κατὰ τὸ παρέλκον ἡ πρόθεσις κεῖται, ἀλλὰ τὴν τοῦ βρέφους πρόοδον εἰς φῶς δηλοῖ. ἔνθα καὶ ἐφερμηνευτικὸν τῆς προ προθέσεως τὸ φόωσδε. (v. 191 s.) Ἐν δὲ τούτοις κεῖται καὶ πάππος πάνυ φιλῶν παρθένιον ἔγγονον. Φύλας γάρ, ὁ τῆς Πολυμήλης πατήρ, τοιοῦτός ἐστι περὶ τὸν Εὔδωρον. φησὶ γὰρ «τὸν δ' ὁ γέρων Φύλας εὖ ἔτρεφεν ἠδ' ἀτίταλλεν, ἀμφαγαπαζόμενος ὡς εἴ θ' ἑὸν υἱὸν ἐόντα». τοῦτο δέ ποτε καὶ εἰς θρεπτὸν υἱὸν ἀγαπητὸν ἁρμόσειν δύναται. Ἔστι δὲ ἀτιτάλλειν κατὰ ἀναδιπλασιασμόν, ὅπερ ἀλλαχοῦ ἀτάλλειν φησίν, ἤγουν ἀναπαύειν καὶ στερεῖν τοῦ ταλάσσειν, ἐξ οὗ τάλανες μὲν [καὶ ταλαοὶ] οἱ πολύπονοι, ἀταλοὶ δὲ οἱ μὴ πονοῦντες. [Ὅρα δὲ καὶ τὸ «εὖ ἔτρεφεν» ἔχον ἐνταῦθα κοινὴν ἐντέλειαν.

3.833 ἀλλαχοῦ μέντοι τοῦ μέτρου ἀπαιτοῦντος διαλύσας καὶ ἰωνίσας ἐΰτρεφεν ἔφη, ὥσπερ καὶ τὸ εὖ κρίνας μετ' ὀλίγα ἐϋκρίνας φησί, καὶ ἐν τοῖς ἑξῆς ἐϋπλήσασα ἤγουν εὐπλήσασα.] (v. 193) Ὅτι τῆς τρίτης τῶν Μυρμιδόνων στιχὸς Μαιμαλίδης Πείσανδρος ἀρήϊος ἡγεμόνευεν, ὃ καὶ ἐπὶ Εὐδώρου εἶπεν. (v. 194 s.) Ὃν καὶ ἐπὶ πλέον ἐπαινῶν φησιν «ὃς πᾶσι μετέπρεπε Μυρμιδόνεσσιν ἔγχεϊ μάρνασθαι», οὐχ' ἁπλῶς μέντοι, «ἀλλὰ μετὰ Πηλείωνος ἑταῖρον» τὸν κατ' ἐξοχήν, ἵνα πάντων μὲν Ἀργείων εἴη ἄριστος Ἀχιλλεύς, Μυρμιδόνων δὲ ἀνδρειότατος μὲν Πάτροκλος, μετ' αὐτὸν δὲ Πείσανδρος. Ἐν τούτοις δὲ κεῖται σημείωσις τῶν παλαιῶν, ὡς ὁ τῆς Ἀχιλλέως μήνιδος χρόνος μετὰ τῆς παρούσης ἡμέρας ἑξκαιδεκάτη ἦν. εἰ δὲ ὀρθῶς ἐρρέθη, σκοπητέον ἀναλεξαμένοις τὰ εἰς τοῦτο προρρηθέντα. Ὅτι δὲ κατάλογόν τινα Μυρμιδόνων ἐν τοῖς ῥηθεῖσι ποιησάμενος Ὅμηρος τὰ μὲν περὶ τῶν τριῶν ἡγεμόνων πλατύτερον ἔφρασε, τοὺς δὲ δύο ἐστενολόγησεν ἐπελευστικῶς, πρὸ ὀλίγων εἴρηται. νῦν δὲ ῥητέον, ὡς ἴσως δι' ἀνδρίαν οἱ τρεῖς εἰς πλεῖόν τε ἐσεμνολογήθησαν καὶ προετάχθησαν, ἄλλως μέντοι κατά τε σοφίαν καὶ σύνεσιν τὸν Φοίνικα προτετάχθαι ἐχρῆν. (v. 194) Δῆλον δὲ καὶ ὅτι Μαίμαλος, ὁ τοῦ Πεισάνδρου πατήρ, ἢ παρὰ τὸ μαιμᾶν ἁπλῶς εἴρηται πλεονασμῷ τῆς αλ συλλαβῆς, [ὃς πλεονασμὸς πρὸς μυρίοις ἄλλοις γίνεται καὶ ἐν τῷ χῶ χαλῶ, συγχεῖται γὰρ τὸ χαλώμενον,] ἢ παρὰ τὸ μαιμᾶν ἅλις, ἤγουν λίαν προθυμεῖσθαι, ὁποῖόν τι καὶ τὸ Ἀγαμέμνων δηλοῦν φαίνεται. (v. 198 s.) Ὅτι ἐπεὶ «πάντας

ἅμ’ ἡγεμόνεσσιν Ἀχιλλεὺς στῆσεν ἐϋκρίνας» ἤγουν εὖ κρίνας, τότε δὴ καὶ δημηγορεῖ, ὡς εἰκός, ἐρεθίζων εἰς μάχην. ἔνθα καὶ ἅπτεταί τι αὐτῶν, εἰ καὶ μὴ πάνυ βαρέως. διὸ καί φησι «κρατερὸν δ’ ἐπὶ μῦθον ἔτελλεν», ὅ ἐστι γενναῖον καὶ δυσαπάντητον, οὐ μὴν ἀπειλητικόν, ὡς ἐν ἄλλοις ἡ λέξις κεῖται. (v. 200—9) Ἔστι δὲ τῷ Ἀχιλλεῖ ὁ κρατερὸς μῦθος τοιοῦτος «Μυρμιδόνες, μή τίς μοι ἀπειλάων λελαθέσθω, ἃς ἐπὶ νηυσὶ θοῇσιν ἀπειλεῖτε Τρώεσσι πάνθ’ ὑπὸ μηνιθμόν», ἤγουν τὸν ὅλον καιρόν μοι τῆς μήνιδος, «καί μ’ ᾐτιάασθε ἕκαστος· σχέτλιε Πηλέος υἱέ, χόλῳ ς’ ἄρα ἔτρεφε μήτηρ, νηλεές, ὃς παρὰ νηυσὶν ἔχεις ἀέκοντας ἑταίρους οἴκαδέ περ σὺν νηυσὶ νεώμεθα ποντοπόροισιν αὖτις, ἐπεὶ ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῷ.

3.834 ταῦτά μ’ ἀγειρόμενοι θάμ’ ἐβάζετε. νῦν δὲ πέφανται φυλόπιδος μέγα ἔργον, ἕης», ἤγουν ἧς, «τὸ πρίν γ’ ἐράασθε. ἔνθα τις ἄλκιμον ἦτορ ἔχων Τρώεσσι μαχέσθω». Καὶ ὅρα ὅπως ἐντρέπει τοὺς Μυρμιδόνας ὡς ἀχρείους ἐσομένους, εἰ μὴ γενναίως πολεμήσουσιν. οὔτε γὰρ ἀέκοντες ἔτι ἔχονται παρὰ νηυσὶ καὶ ὕβρεως δὲ τῆς εἰς τὸν ἀρχηγὸν ἁλίσκονται, οὐ μὴν θαρροῦς καὶ προθυμίας τῆς εἰς μάχην, εἴπερ ἀναδύντες τρέσουσι. Σημείωσαι δὲ καὶ ὅπως καταμερίσας ὁ ποιητὴς οἰκονομικῶς τὰ κατὰ τοῦ Ἀχιλλέως ὀνειδιστικὰ ῥήματα τὰ μὲν ἀνατέθεικε φθάσας τῷ Πατρόκλῳ, τὰ δὲ αὐτὸν ποιεῖ νῦν τὸν Ἀχιλλέα λέγοντα ἐν τῷ ἀφηγεῖσθαι, ὅπως ἕκαστος τῶν Μυρμιδόνων ᾐτιῶντο αὐτόν. Ἐν οἷς ὅρα καὶ ὅτι καλὸν μὲν καὶ τοῦ Πατρόκλου τὸ «οὐκ ἄρα σοί γε πατὴρ Πηλεὺς οὐδὲ Θέτις μήτηρ» καὶ ἑξῆς τὰ ἐν τρισὶ στίχοις ἐξηπλωμένα. Εἰ δὲ ὡς ἐν ταλάντῳ σκεθρῷ κρίσεως σταθμηθῶσιν ἐκεῖνα πρὸς τὸ ἐνταῦθα τοῦ λαοῦ ἡμιστίχιον τὸ «χόλῳ σε ἄρα ἔτρεφε μήτηρ», πολλῷ τοῦτο καθέλκει, τουτέστι κάτω ῥέπει. πάνυ γὰρ θαυμασίως εἴρηται τοῦτο, ἶσον ὂν τῷ· χολὴν ἐθήλαζες ἀντὶ γάλακτος, καὶ διὰ τοῦτό σοι ἐκ χόλου οἷον τὸ σῶμα συμπέπηκται. Σημείωσαι δὲ καὶ ὅτι ταῦτα λέγων ὁ Ἀχιλλεὺς ἐπιεικῆ λεληθότως ἑαυτὸν ὑποδείκνυσιν. εἰ γὰρ χόλῳ ἐτέτραπτο, πάνυ ἂν ἐχολοῦτο, τοιαῦτα βαρέως πρὸς τῶν ὑπηκόων ἀκούων. [Ἰστέον δὲ ὅτι ἐκ τοῦ χόλῳ τραφῆναι τὸν δύσκολον καὶ ἀκράχολον εἴλημπται παρὰ τῷ βουκολιάζοντι τὸ «μαζῶν λεαίνης θηλάσαι γάλα». Ἐκ τούτων δὲ παρενεχθέντες ἄλλοι ἔγραψαν ἐπὶ τοιούτων ἀνδρῶν εὐτελέστερον τὸ βλέπειν αὐτοὺς νᾶπυ ἢ ὀρίγανον, ἤγουν δριμεῖς εἶναι. σεμνότερον δὲ τούτων τῶν δύο τὸ βλέπειν Ἄρη, ἤγουν πόλεμον, δι’ οὗ ἐδήλουν τὸ τοῦ βλέμματος ἄγριον. ἀσυγκρίτως δὲ ὑπερέχει τῶν τοιούτων τὰ εἰρημένα Ὁμηρικά.] (v. 203—6) Ὅρα δὲ καὶ ὅτι λόγῳ ἠθοποιΐας φράζει ὁ ποιητὴς τὸ «σχέτλιε Πηλέος υἱέ» καὶ ἑξῆς ἕως τοῦ «χόλος ἔμπεσε θυμῷ», ὅπερ ὡς ἐπὶ πολεμίου εἰρῆσθαι δοκεῖ, ἵνα λέγῃ ὅτι ὡς οἷον ἐπολεμήθης τῷ θυμῷ. οὕτω γὰρ καὶ προϊὼν ἐρεῖ, ὅτι ἐνέπεσον Τρώεσι Μυρμιδόνες, ἤγουν πολεμικῶς ἐπῆλθον. (v. 199) Σημείωσαι δὲ τὸ «ἔστησεν εὖ κρίνας», ὅ ἐστι κατὰ στίχας διακρίνας, διαχωρήσας, ἐξ οὗ ληφθεῖσα σύγκειται παρὰ τοῖς μεθ’ Ὅμηρον ἡ εὐκρίνεια, ταὐτὸν οὖσα τῇ εὐκοσμίᾳ ἔν τε λόγοις ἔν τε ἔργοις.

3.835 Τὸ δὲ εὖ κρίνειν, ἀλλαχοῦ καὶ κρίνειν λέγει ὁ ποιητής, οἷον «κρῖν’ ἄνδρας κατὰ φῦλα κατὰ φρήτρας». (v. 200) Μὴ λαθέσθαι δὲ ἀπειλάων παραινεῖ, ἵνα μὴ καὶ αὐτοὶ ἀπειλητῆρες εἶναί ποθεν ἀκούσωσιν. (v. 200 et 202) [Ἐνταῦθα δὲ περιττεύειν δοκεῖ ἡ μοι ἀντωνυμία, ἐν τῷ «μή τίς μοι ἀπειλάων λελαθέσθω». λείπει δὲ αὖθις ἐν τῷ «πάνθ’ ὑπὸ μηνιθμόν», τουτέστι κατὰ τὴν ἐν ἐμοὶ πᾶσαν μῆνιν. σχεδιασμοῦ δὲ πάθη τὰ τοιαῦτα.] (v. 202 s.) Ὅρα δὲ καὶ ὅτι Ἀχιλλεὺς μὲν μηνιθμὸν ἔφη περὶ ἑαυτοῦ ἀληθεύων, Μυρμιδόνες δέ, καθὰ καὶ ὁ Πάτροκλος, σεμνότερον μὲν δοκοῦσιν εἰπεῖν χόλον. Ἔστι δὲ ἀληθῶς αὐτὸ δριμύτερον, οὐ μόνον ὅτι κακὸν χόλον εἶπον, ἀλλὰ καὶ ὅτι ὁ μὲν μηνιθμός, εἰ καὶ πολυχρόνιος, ἀρχήν τινα ἔχει καὶ τέλος παρὰ τῷ ζῶντι, ὁ δὲ χόλῳ μητρόθεν τραφεὶς σύμφυτον ἔχει διὰ βίου τὸ κακόν. (v. 202) [Τὸ δὲ «καί μ’ ᾐτιάασθε» ὠφελεῖται τῇ ἐγκλίσει τοῦ τόνου. εἰ γὰρ μὴ καὶ ὁ και σύνδεσμος ὠξύνετο, ἦν πάντως ἀνάγκη νοεῖν, ὅτι καὶ μῆτιν ἐποιεῖσθε ἕκαστος, ὃ περίφρασίς ἐστι τοῦ ἐμητιάασθε.] (v. 204 et 207) Τὸ δὲ νηλεές εἶπε καὶ ὁ Πάτροκλος, οἷα συνεθισθεὶς τῷ ἐκ τῶν Μυρμιδόνων σκώμματι. θαμὰ γάρ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φασίν, ἀγειρόμενοι ταῦτα ἐβάζετε. ὧν εἷς, ὡς εἰκός, καὶ ὁ διδάσκαλος Φοῖνιξ εἰς πόλεμον συνοτρύνων καὶ αὐτός, ὃς καὶ ἀνέχεται τοῦ μαθητοῦ, ἴσως δὲ καὶ χαίρει, ἀκούων ταῦτα λέγοντος. ἔοικε δὲ καὶ πρὸς αὐτὸν ἐν τούτοις ἀποτείνεσθαι ὁ Ἀχιλλεύς. πολλὰ γὰρ αὐτὸν ὁ Φοῖνιξ ἐν ταῖς Λιταῖς ἐμέμψατο. Ἰστέον δὲ καὶ ὅτι τὸ νηλεές πρὸς διασάφησιν ἐπῆκται τοῦ «χόλῳ σε ἄρα ἔτρεφε μήτηρ». χόλῳ γὰρ οἱονεὶ τρέφεται ὁ οὕτω νηλεής. (v. 207 s.) Τὸ δὲ «νῦν πέφανται φυλόπιδος μέγ' ἔργον, ἧς τὸ πρίν» καὶ ἑξῆς, ὡς προέκκειται, στρατηγοῦ λόγος ὀτρύνοντος τοὺς φιλομάχους. Τὸ δὲ «πέφανται» ὁμοφωνεῖ μὲν τρίτῳ πληθυντικῷ, ἐστὶ δὲ ἑνικὸν ἀπὸ τοῦ φαίνω, φυλάσσον τὸ νῦ ὡς καὶ τὸ ἐξήρανται χείρ, καὶ κατῄσχυνται ὁ δεῖνα ἢ μεμίανται, καὶ ὅσα τοιαῦτα.

3.836 οἷς πᾶσι συμβέβηκεν ὁμοφωνεῖν τοῖς αὐτῶν πληθυντικοῖς τρίτοις προσώποις διὰ τὸ φυσικῶς ἔχειν ἐγκείμενον τὸ νῦ ἀμετάβολον. (v. 208) Ὅτι δὲ μέγα ἔργον τὴν μεγάλην λέγει μάχην, πολλαχοῦ προπέφανται. Τὸ δὲ «ἧς ἐράασθε» ἕης ἔφη, [ὡς καὶ ἀλλαχοῦ τὸ ὡς ἕως,] πλεονασμῷ τοῦ ε Ἀττικῶς, καθὰ καὶ Ἡσίοδος ἐν Θεογονίᾳ τὸ εἷς ὀφθαλμὸς ἕεις φησί. (v. 209) [Τὸ δὲ «ἔνθα τις ἄλκιμον ἦτορ ἔχων» ταὐτόν ἐστι τῷ «ἔνθα ἕκαστος ἀνδριζόμενος». οὐ δήπου γὰρ τὸ τίς περί τινος μόνου ἑνὸς εἴρηται.] (v. 210 s.) Ὅτι Ἀχιλλεὺς εἰπών, ἃ προσεχῶς εἶπεν, «ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου, μᾶλλον δὲ στίχες ἄρθεν, ἐπεὶ βασιλῆος ἄκουσαν». Οὐ γὰρ ἔστι λόγον ἄπρακτον εἶναι παρὰ τῷ ποιητῇ, καὶ ταῦτα στρατηγοῦ ὀτρύνοντος. Σημείωσαι δὲ ὅτι τὸ «ἄρθεν» σημαίνει μὲν καὶ τὸ ἤρθησαν, ἤτοι λόγοις ἐπήρθησαν καὶ οἷον ἐκουφίσθησαν ὡς ὑπὸ πτερῶν, ὡς καὶ ὁ Κωμικός φησι «νῦν τοι λέγων πτερῶ σε», ἀντὶ τοῦ μετέωρον διὰ παραινέσεως ποιῶ. καὶ τῷ Ἀχιλλεῖ δὲ εἰς πόλεμον εὐψύχως ὁρμωμένῳ τὰ ἡφαιστότευκτα ὅπλα ὡς πτερὰ γενήσονται. Οὕτω καὶ Πύρρος ὁ Ἠπειρώτης ἀετὸς ὑπὸ τῶν ὑπηκόων ἐπονομαζόμενος ἔλεγε· πῶς δὲ οὐκ ἂν εἴην ἀετός, τοῖς ἡμετέροις ὅπλοις ὡς ὠκυπτέροις αἰρόμενος; ἐξ Ὁμήρου οἶμαι κἀκεῖνος ὠφεληθεὶς οὕτως εἰπεῖν. καὶ Σοφοκλῆς δέ που πτέρυγι τὰς τῶν Ἀργείων ἀσπίδας εἴκασε, δι' ὧν αἴρονται οἷον οἱ φέροντες. καὶ οὕτω μὲν τὸ «ἄρθεν» δύναταί τις νοῆσαι, ὡς ἐρρέθη, ἀντὶ τοῦ μετεωρισθέντες, οἷς ἤκουσαν, φρονήματος καὶ θάρσους ἐπλήσθησαν. Κρεῖττον δὲ νοηθῆναι αὐτὸ ἀντὶ τοῦ ἡρμόσθησαν ἀπὸ τοῦ ἀρῶ, τὸ ἁρμόζω. (v. 212—4) Διὸ ἑρμηνεύων ἐπάγει «ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων, ὣς ἄραρον κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι». (v. 215—7) Πῶς δὲ αὗται ἄραρον, διασαφεῖ εὐθὺς ἐπαγαγών «ἀσπὶς ἀσπίδ' ἔρειδε, κόρυς κόρυν» καὶ ἑξῆς, ὡς ἀλλαχοῦ καὶ γέγραπται καὶ ἡρμήνευται. Καὶ ἔστιν ἡ παραβολὴ αὕτη τοῦ τοίχου πρὸς τὴν ἄγαν πύκνωσιν τῶν στρατιωτῶν, ὡς δηλοῖ ἐπιφωνηματικῶς ἐπενεχθὲν τὸ «ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν». Ἰστέον δὲ καὶ ὅτι ἀλλαχοῦ πυργηδὸν φράξασθαι τοὺς μαχομένους εἰπὼν ἐνταῦθα ἔλυσεν εἰς πλατυσμὸν τὴν λέξιν ἐκείνην καὶ ἐδήλωσεν ἐνδιασκεύως διὰ τῆς κατὰ τὸν τοῖχον παραβολῆς, τί ἐστι τὸ πυργηδόν, μονονουχὶ λέγων ὅτι, ὥσπερ τοῖχος καὶ πύργος, οἷς πολλὴ ὁμοιότης, πυκνοῦνται λίθου λίθον ἐρείδοντος, οὕτω καὶ μάχη, καθ' ἣν ἀσπὶς ἀσπίδα ἐρείδει, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.

3.837 ὥστε εἴη ἂν καὶ τοῦτο πυργηδὸν οἷον φράττεσθαι. (v. 213) Τὸ δὲ «δώματος ὑψηλοῖο» καὶ τὸ «βίας ἀνέμων» τὴν τῶν λίθων ἐπιτείνει πύκνωσιν. τὸ γὰρ ἄλλως ἐν τούτοις ἀραιὸν καὶ ὑπόκενον εὐκατάβλητον. ἔστι δὲ τὸ «βίας ἀνέμων ἀλεείνων» καὶ τελικὸν αἴτιον τῆς τῶν λίθων ἐν οἰκοδομαῖς πυκνότητος καὶ δηλωτικὸν δὲ ἰσχύος ἀνέμων, οἳ τὰ μὴ πυκνὰ καὶ εὐπαγῆ δώματα καταρριπτεῖν δύνανται βιαζόμενοι. (v. 212) Τοῦ δὲ «ἀράρῃ» καὶ τοῦ «ἄραρον» ἐνεστὼς ἀράρω, γεγονὼς ἀπὸ τοῦ ἄραρε παρακειμένου, ὡς ἐκ τοῦ πέπληγα τὸ πεπλήγω, καὶ πέφυκα πεφύκω, καὶ τὰ ὅμοια. (v. 218—20) Ὅτι δύο ἄνδρε Πάτροκλος καὶ Αὐτομέδων πάντων προπάροιθεν «θωρήσσεσθον, ἕνα θυμὸν ἔχοντες, πρόσθεν Μυρμιδόνων πολεμιζέμεν», ἤγουν προμάχεσθαι. συζυγία δὲ καὶ αὕτη ἀγαθὴ φίλων. Ἔνθα σημείωσαι τὸ «ἕνα θυμὸν ἔχοντες»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προκατασκευαστικὸν ὂν τῆς ὕστερον ἡνιοχείας τοῦ Αὐτομέδοντος. εἰ γὰρ ἕνα θυμὸν εἶχον οὗτοι, καλῶς ἄρα μετὰ Πάτροκλον ὁ Αὐτομέδων ἡνιοχεῖ τῷ Ἀχιλλεῖ, ὁ καὶ φίλτατος τῷ Πατρόκλῳ μετὰ τὸν Ἀχιλλέα, ὡς προείρηται, ἵνα τριῶν τούτων ἡρώων φιλτάτων διαβαίνοι τὰ τῆς φιλίας ἐπὶ τοὺς τρεῖς, καὶ ὁ τῷ ἑταίρῳ Πατρόκλῳ φίλτατος φιλοῖτο καὶ τῷ Ἀχιλλεῖ. Μήποτε δὲ ἄρα ἐξ Ὁμήρου λαβόντες οἱ μετ' αὐτὸν ἐκ τοῦ Αὐτομέδων συνέθεντο τὸν αὐτοκράτορα. εἰ γὰρ μέδειν καὶ ἄρχειν ταὐτόν ποτε δηλοῦσιν, οὐκ ἀπεικὸς εἰπεῖν καί, ὡς ὁ Αὐτομέδων καὶ ὁ αὐτοκράτωρ οὐ μακρὰν ἀλλήλων κεῖνται. Ἰστέον δὲ ὅτι τὸ μὲν «πάντων προπάροιθεν θωρήσσεσθαι» προθυμίαν μόνην δηλοῖ, τὸ δὲ πρόσθεν τῶν ἄλλων πολεμίζειν καὶ θάρσους ἐστὶ δηλωτικόν. [Καὶ ὅτι τὸ «ἕνα θυμὸν ἔχοντες» ἀντιθετικὸν σχῆμά τι ποιεῖ, λέγει γὰρ ὡς δύο ἄνδρες ἐν ἑνὶ θυμῷ, καὶ ὅτι θυμὸν ἕνα εἰπεῖν ταὐτόν ἐστι τῷ ἶσον θυμόν, ὃ ἀλλαχοῦ κεῖται, καὶ ὅτι διχῇ ἐνταῦθα θυμὸς εἷς νοεῖται· ἢ γὰρ ψυχὴ μία ἐν δυσὶν ἀνδράσιν ἢ μάλιστα προθυμία μία], καὶ ὅτι προμάχων δηλωτικὸν τὸ «πάντων δὲ προπάροιθε δύ' ἀνέρε θωρήσσεσθον». Ὅτι Ἀχιλλεὺς πάντα ποιήσας, ὅσα ἐχρῆν ἐπὶ ἀσφαλείᾳ τοῦ ἑταίρου, τρέπεται βιωτικῶς καὶ εἰς εὐχήν, παιδεύοντος τοῦ ποιητοῦ χρῆναι μηδὲ τοῦ τοιούτου καλοῦ ἐν τοῖς καιρίοις ἀπέχεσθαι, καὶ ἅμα παραδεικνύντος, ὡς καὶ ἐν ἄλλοις, εἶναί τι θεῖον, παρ' ᾧ ἐνεργὴς ἡ εὔλογος εὐχή.

3.838 εἰ δὲ καὶ ἱστορίαι τινὲς ἐνταῦθα καινότεραι παραπλακήσονται διὰ τὴν συνήθη τῷ ποιητῇ ποικιλίαν καὶ χρηστομάθειαν, αὐτίκα φανεῖται. (v. 220—38) Φησὶ γοῦν ὅτι Ἀχιλλεὺς μετὰ τὰ εἰρημένα ἐς κλισίην ἐλθὼν «χηλοῦ ἀπὸ πῶμ' ἀνέῳγε καλῆς, δαιδαλέης, τήν οἱ Θέτις θῆκ' ἐπὶ νηὸς ἄγεσθαι, ἐϋπλήσασα χιτώνων χλαινάων τ' ἀνεμοσκεπέων οὔλων τε ταπήτων. ἔνθα δέ οἱ δέπας ἔσκε τετυγμένον», ὅ ἐστιν εὔτυκτον, «οὐδέ τις ἄλλος οὔτ' ἀνδρῶν πίνεσκεν ἀπ' αὐτοῦ αἴθοπα οἶνον, οὔτέ τεῳ σπένδεσκε θεῶν ὅτε μὴ Διῒ πατρί. τό ῥα», ἤγουν τοῦτο δή, «τότε ἐκ χηλοῖο λαβὼν ἐκάθηρε θεείῳ πρῶτον, ἔπειτα δ' ἔνιψ' ὕδατος καλῇσι ῥοῇσι, νίψατο δ' αὐτὸς χεῖρας, ἀφύσσατο δ' αἴθοπα οἶνον, εὔχετ' ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον οὐρανὸν εἰσανιδών· Δία δ' οὐ λάθε τερπικέραυνον· Ζεῦ ἄνα, Δωδωναῖε, Πελασγικέ, τηλόθι ναίων, Δωδώνης μεδέων δυσχειμέρου, ἀμφὶ δὲ Σελλοὶ σοὶ ναίουσιν ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι. εἰ μὲν δή ποτε», ἢ μᾶλλον ἦ μὲν δήποτ', «ἐμὸν ἔπος ἔκλυες εὐξαμένοιο, τίμησας μὲν ἐμέ, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν, ἠδ' ἔτι καὶ νῦν μοι τόδ' ἐπικρήηνον ἐέλδωρ». ταῦτα δὴ τρία ἔπη, ἃ καὶ ὁ Χρύσης παρά τινας ὀλίγας λέξεις ἐν ἀρχῇ τῆς Ἰλιάδος ἔφη πρὸς τὸν Ἀπόλλωνα χρήσιμα παντὶ δεηθέντι μὲν καὶ εἰσακουσθέντι, ἀξιοῦντι δὲ περὶ τῶν εἰσέπειτα. (v. 239—48) Εἶτα ἐκτίθεται ὅπερ ἐθέλει καί φησιν «αὐτὸς μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι, ἀλλ' ἕτερον πέμψω μάρνασθαι· τῷ κῦδος ἅμα πρόες, θάρσυνον δέ οἱ ἦτορ ἐνὶ φρεσίν, ὄφρα καὶ Ἕκτωρ εἴσεται ἤ ῥα καὶ οἶος ἐπίσταται πολεμίζειν ἡμέτερος θεράπων, ἤ οἱ τότε χεῖρες ἄαπτοι μαίνονται, ὁππότ' ἐγώ περ ἴω μετὰ μῶλον Ἄρηος. αὐτὰρ ἐπεὶ ἀπὸ ναῦφι μάχην ἐνοπήν τε δίηται», τουτέστι διώξει, «ἀσκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἵκοιτο τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχεμάχοις ἑτάροισι». (v. 249) Καὶ αὐτὸς μὲν οὕτως εὔξατο. «τοῦ δ' ἔκλυε μητίετα Ζεύς», ὃν οὐ λάθεν, ὡς ἀνωτέρω ἐγράφη. Οὐ γὰρ ἀνεπίστροφόν ἐστι τὸ θεῖον ἀνθρωπίνων λιτῶν κατὰ τὸν ποιητὴν οὐδὲ λανθάνει τις, ὥσπερ οὐδὲ κινύμενος ἄλλως, οὕτως οὐδὲ εὐχόμενος. (v. 250—2) «Τῷ δ' ἕτερον μὲν ἔδωκε πατήρ, ἕτερον δ' ἀνένευσε. νηῶν μέν οἱ ἀπώσασθαι πόλεμόν τε μάχην τε δῶκε, σόον δ' ἀνένευσε μάχης ἐξαπονέεσθαι». Τὸ δὲ τοιοῦτον σχῆμα εἴωθε λέγεσθαι παροιμιωδῶς οὐ μόνον ἐπὶ τῶν νικώντων μέν, πιπτόντων δέ, ἀλλὰ καὶ ἁπλῶς ἐπὶ τῶν πρὸς τῷ καλῷ ἐχόντων τι καὶ κακόν, καὶ κατὰ τὸν ποιητὴν εἰπεῖν, ἔνθα παρὰ καὶ καλῷ κακὸν ἔθετο θεός, ὡς καὶ ἐν Ὀδυσσείᾳ ἐπὶ τοῦ Δημοδόκου τὸ ὅμοιον ἐρρέθη, μουσικοῦ μὲν ὄντος ἀρίστου, [τυφλοῦ δέ.] κἀκείνῳ γὰρ θεὸς τὸ μὲν ἔδωκε, τὸ δ' ἀνένευσεν, ὀφθαλμῶν μὲν ἀμέρσας, δοὺς δὲ γλυκεῖαν ἀοιδήν. Ὃ δὴ παραξέσας ὁ παρὰ τῷ Ναυκρατίτῃ σοφιστῇ γλυκὺς μουσικὸς ἠστεΐσατο ἐπὶ μουσουργοῦ ἀτέχνου, περὶ οὗ ἐρωτηθεὶς ὁποῖος δήποτ' ἐστὶ καὶ εἰπὼν τὸ τοῦ Ὁμήρου, ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἕτερον μὲν αὐτῷ δῶκε θεός, ἕτερον δ’ ἀνένευσε, καὶ προσεπερωτηθεὶς τί μὲν ἔδωκεν ὁ θεός, τί δὲ ἀνένευσεν, εἶπε· κακῶς μὲν ᾄδειν ἔδωκε, καλῶς δὲ ᾄδειν ἀνένευσε.

3.839 καὶ οὕτως ἐλύπησε μὲν [ἐκεῖνον] τὸν μουσικόν, διέχεε δὲ τοὺς ἀκροατάς. ἀλλὰ τοῦτο μὲν παραπεπτωκὸς οὕτω κείσθω. (v. 253 s.) Ἀχιλλεὺς δὲ σπείσας καὶ εὐξάμενος Διῒ πατρὶ ἐς κλισίην αὖθις εἰσῆλθε, δέπας δ’ ἀπέθηκεν ἐν χηλῷ. Καὶ ὅρα τὸ «ἀπέθηκεν» ἐξ οὗ δηλοῖ κειμήλιον εἶναι τὸ δέπας, ὡς ἀποτεθειμένον, ἤτοι ἀπόθετον, ἀποκείμενον. καιρία δὲ ἡ λέξις καὶ σαφής, ἤδη δὲ καὶ ἀφελής. οἱ δὲ πεζογράφοι ἀπέθετό φασιν Ἀττικώτερον. (v. 221) Χηλὸν δὲ κατὰ τοὺς παλαιοὺς τὴν κιβωτόν φασιν οἱ Λάκωνες, Βουτεάδαι δὲ λάρνακα, Μιτυληναῖοι δὲ ἀντίπηγα, ἣν ἄρτι ὁ ποιητὴς καὶ καλὴν λέγει, ἐπεὶ τῷ καλῷ Ἀχιλλεῖ τά τε ἄλλα καλὰ καὶ ἡ χηλός. [Ἦν δὲ τὸ καλὸν αὐτῇ διὰ τὸ πεποικίλθαι ἢ χρώμασιν ἢ γλύμμασι. διὸ καὶ ἐπήγαγε τὸ δαιδαλέης. Πῶμα δὲ γίνεται παρὰ τὸ πῶ, τὸ κτῶμαι. φυλάσσει γὰρ πᾶν πῶμα κτητά τινα. ἔχει δὲ ἀναλογίαν πρὸς τὸ κῶ κῶμα, κεῖται γὰρ ὁ ὑπνῶν, καὶ πρὸς τὸ βρῶ βρῶμα.] Τὸ δὲ «ἀνέῳγε» νῦν μὲν ἐνέργειαν δηλοῖ ληφθὲν ἀντὶ τοῦ ἤνοιξε. κεῖται δέ ποτε καὶ ἀντὶ τοῦ ἠνοίγει, μέσος γάρ ἐστι παρακείμενος δρᾶσίν τε καὶ πεῖσιν δηλῶν. (v. 222) Δαιδαλέη δὲ χηλὸς καὶ ἁπλῶς τὰ δαιδάλεια πάντα ἢ δαιδάλεα ἢ δαίδαλα οὐ μόνον ἀπὸ Δαιδάλου τοῦ Κρητός, ἀλλὰ καὶ ἀπὸ τῆς, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, μυθευομένης Δαιδάλης, μητρὸς Μήτιδος, παρ’ ᾗ, φασίν, ἐτράφη Ἀθηνᾶ. Τὸ δὲ ἄγεσθαι ἐπὶ νηὸς τὴν χηλὸν οὐκ ἄν τις ἀντείποι μὴ λεχθῆναι ἀντὶ τοῦ φέρεσθαι. (v. 223) Τὸ δὲ «ἐΰπλήσασα χιτώνων» ἔχων Ὅμηρος εὖ πλήσασα ἢ ἐμπλήσασα εἰπεῖν, ὅμως οὐχ’ εἵλετο οὕτω γράψαι, ἀλλὰ ποιητικώτερον ἔφρασε πρὸς ὁμοιότητα τοῦ «ἐϋκρίνας», ὃ πρὸ ὀλίγων γέγραπται.

3.840 (v. 224) Ἰστέον δὲ ὅτι τε καὶ ἐνταῦθα διαφορὰ χιτῶνος φαίνεται καὶ χλαίνης ἐν τῷ «χιτώνων χλαινάων τε», καὶ ὅτι αἱ χλαῖναι χιτώνων παχύτεραι. διὸ καὶ ἀνεμοσκεπέες λέγονται, καὶ ἀπὸ τοῦ χλιαίνεσθαι παρετυμολογοῦνται, [καθὰ ἴσως καὶ αἱ χλανίδες. οὐ μὴν δηλαδὴ καὶ αἱ χλαμύδες, ἃς ἐφαπτίδας φασὶν εἰρῆσθαι παρὰ τῷ εἰπόντι, ὅτι εἶχον πορφυρᾶς ἐφαπτίδας, πολλοὶ δὲ καὶ διαχρύσους ζώνας.] Εἶεν δ’ ἂν αἱ αὐταὶ χλαῖναι ὡς ἀνεμοσκεπέες καὶ ἀλεξάνεμοι καὶ χειμάμυναι, ὃ καὶ ἐν Ὀδυσσείᾳ εἴρηται. [Ὅτι δὲ χιτὼν οὐκ ἐξ ἀνάγκης μόνον ὁ τῆς σαρκὸς ἀμέσως ἐχόμενος, ἀλλὰ καὶ τὸ ἁπλῶς ἔνδυμα πλὴν εὐαφὲς καὶ ἁπαλὸν καί, ὡς εἰπεῖν, χυτόν, ἐξ οὗ παράγωγος ὁ χιτών, δῆλον μὲν καὶ ἐξ ἄλλων πολλῶν, οὐχ’ ἥκιστα δὲ καὶ ἐκ τοῦ ἱστορήσαντος, ὅτι τοῖς τὴν Σῖριν οἰκοῦσιν ἐπεχωρίασε τὸ φορεῖν ἀνθίνους χιτῶνας, οὓς ἐζώννυντο οἱ ἐκεῖ μίτραις πολυτελέσι. διὸ καὶ ἐκαλοῦντο ὑπὸ τῶν περιοίκων μιτροχίτωνες πρός τινα διαστολήν, ἐπεί, φησίν, Ὅμηρος τοὺς ἀζώστους ἀμιτροχίτωνας καλεῖ.] Ἔτι ἰστέον καὶ ὅτι οὗλοι τάπητες ἢ οἱ δασεῖς καὶ τριχωτοί, ὁποῖα τὰ κοινῶς νῦν λεγόμενα ἐπεύχια, ἢ εὐείλητοι καὶ εὔκλωστοι, ὅθεν καὶ οὔλη θρίξ, ἢ καὶ ἄλλως εὐείλητοι, ὅ ἐστιν εὐδίπλωτοι διὰ μαλακότητα. [Δῆλον δ’ ὅτι οὗλος λέγεται καὶ ὁ ὅλος, ὅ ἐστιν ἀκέραιος, οἷον «οὗλος ἄρτος», καὶ ἐκ τοῦ τοιούτου γίνεται καὶ οὔλω, τὸ ὑγιαίνω, ὡς τὸ «οὖλέ τε καὶ μέγα χαῖρε». πολὺ χρηστότερον δὲ τούτων ἐν ποιήσει τὸ οὗλος ὁ ὀλέθριος, οὗ σύνθετον τὸ οὐλοβόρος ἔχις, οἷον· εἰ ἔτυμον τὸ τὴν μύραιναν σὺν οὐλοβόροις ἐχέεσσι θόρνυσθαι, ἤγουν σπερμαίνειν, θορὸν δέχεσθαι, προλιποῦσαν ἁλὸς νομόν. Νίκανδρος δὲ αὐτό φησιν ἀμφιβάλλων τὴν μετὰ ἔχεων μίξιν τῶν μυραινῶν. Τάπητες δέ, περὶ ὧν καὶ ἀλλαχοῦ ἐγράφη, σκοπητέον εἴπερ ὡμοίωνται τοῖς ἀμφιτάποις ἢ ταῖς ψιλοτάπισιν, ὧν μνεία παρὰ τῷ Δειπνοσοφιστῇ, εἰπόντι ὡς κλῖναι χρυσαῖ σφιγγόποδες ἵσταντο, ταύταις δ’ ἀμφίταποι ἁλουργεῖς ὑπέστρωντο τῆς πρώτης ἐρέας.

3.841 ὅθεν δῆλον ὡς ὑπόστρωμα καί, ὡς εἰπεῖν, ὑποβολὴ στρώματος ἢ μᾶλλον περιστρώματος ἦν, ὥσπερ ἔστιν ὅτε ὁ τάπης, οὕτω καὶ ὁ ἀμφίταπος, ἐναντίος ὢν τῇ ψιλοτάπιδι τῇ ἴσως καὶ ψιλοδάπιδι, καθότι δίμαλλος αὐτὸς ἔοικεν εἶναι κατὰ τούς, ὡς ἂν εἴποι τις, διπροσώπους σάγους. Ὅτι δὲ ὑπέκειντο καθὰ οἱ ἀμφίταποι καὶ οἱ τάπητες, οὕτω καὶ αἱ ψιλοτάπιδες, ὧν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐτυμολογία τὸ πατεῖσθαι, δῆλον ἐκ τοῦ «διῄει ὁ βασιλεὺς διὰ τῆς αὐλῆς πεζὸς ὑποτιθεμένων ψιλοταπίδων Σαρδιανῶν, ἐφ' ὧν οὐδεὶς ἄλλος ἐπέβαινεν ἢ βασιλεύς». Δοκοῦσι δὴ ἄμαλλοι μὲν αἱ ψιλοτάπιδες εἶναι ὡς καὶ αἱ ψιλοδάπιδες, ἀμφίμαλλοι δὲ οἱ ἀμφίταποι, ἑτερόμαλλοι δὲ οἱ τάπητες.] (v. 227) Τὸ δὲ «τέῳ», ἤγουν τινί, πλεονασμὸν ἔχει τοῦ ε . ταὐτὸν γὰρ οὔτε τέῳ εἰπεῖν καὶ οὔτε τῷ. τοῦ δὲ τέω καὶ γενικὴ πληθυντικῶν ἐστὶ τέων. Ἰστέον δὲ καὶ ὅτι, ὥσπερ ἡμεῖς ἰδιωτικώτερόν φαμεν οὐκ ἄλλῳ τινὶ εἰ μὴ τῷ δεῖνι, οἷον οὐκ ἔθυεν ἄλλῳ τινὶ εἰ μὴ τῷ Διΐ, τοῦτο Ὅμηρος μὲν οὕτω φησίν· οὔτε τῷ ἔσπενδεν ὅτε μὴ Διΐ. οἱ δὲ ὕστερον ῥήτορες ὅτι μὴ Διΐ, τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων πτώσεων, οἷον οὐδεὶς ἕτερος ὅτι μὴ ὁ δεῖνα, καὶ οὐδένες ἄλλοι ὅτι μὴ οἱ δεῖνα. οὕτω δὲ καὶ ἐπὶ ῥημάτων, οἷον· οὐκ ἄλλο τι ἔδρα ὅτι μὴ ἐτρύφα. τὸ δ' αὐτὸ καὶ ἐπὶ μετοχῶν καὶ ἐπὶ ἀντωνυμιῶν. Καὶ σημείωσαι ὅτι ἐξ Ὁμήρου λαβόντες οἱ μετ' αὐτὸν εἶπον τὸ ὅτι μὴ τόδε. ἐν γὰρ τῷ «ὅτε μὴ Διῒ πατρί», τὸ μὲν τε παραπληρωματικῶς παρέλκει, τὸ δὲ «ὅ» ἀντὶ τοῦ ὅτι νοεῖται. (v. 228) Θέειον δὲ ἢ τὴν θέαφον λέγει ἢ λεπτὴν αἰθάλην πυρός, καθά τισι τῶν παλαιῶν δοκεῖ, ἢ καὶ εἶδός τι θυμιάματος, ὃ ἐπὶ καθαρμῷ καὶ ἀποτροπιασμῷ μετεχειρίζοντο. διὸ καὶ θεῖον εἶναι αὐτὸ ἐδόκει. καὶ ἐντεῦθεν ἐκλήθη πλεονασμῷ τοῦ ε . ὅθεν καὶ Ὀδυσσεὺς μετὰ τὴν μνηστηροκτονίαν, «οἶσε θέειον», φησίν, «ὡς ἂν θεειώσω μέγαρον».

3.842 καὶ εἴρηται ἐν Ὀδυσσείᾳ περὶ τῆς τοιαύτης λέξεως ἀκριβέστερον. Ὅρα δὲ καὶ ὅτι τὸ δέπας ἐκάθηρε μὲν θεείῳ, ἔνιψε δὲ καλαῖς ῥοαῖς ὕδατος καθὰ καὶ τὰς χεῖρας. Καὶ ἔστι τὸ καθαίρειν θεία λέξις παρὰ τοῖς παλαιοῖς, ἐξ οὗ καὶ οἱ θρυλούμενοι καθαρμοί. τὸ μέντοι κάθαρμα οὐ σεμνὴ λέξις ὡς οὐδὲ τὸ λῦμα, ὅθεν καὶ ὁ λυμεών. (v. 229) Τῆς δὲ ῥοῆς προκατάρχει ὁ ῥόος, ὡς καὶ τῆς χολῆς ὁ χόλος. Τὸ δὲ «ἔπειτα» χρονικὸν τρὶς ἐνταῦθα κεῖται· ἔπειτα ἔνιψεν, ἔπειτα στὰς μέσῳ, ἔπειτα ἐπὶ νῆας ἵκοιτο. οὐ γὰρ αἰδεῖται τὴν καίριον ταὐτολογίαν. οὕτω καὶ αἴθοπα οἶνον δὶς ἐνταῦθα λέγει. ὁμοίως καὶ τὸ «Διῒ πατρί». ὃν καὶ ἀπολύτως πατέρα ἐν τούτοις λέγει ὡς ἀρχέτυπον. τοὺς γὰρ ἐν ἀνθρώποις πατέρας ἀφιδρύματα τοῦ τοιούτου πατρὸς Διός φασιν οἱ παλαιοί. Ὅρα δὲ καὶ ὅτι ἐπὶ ὀλίγου ὕδατος ἔφη τὸ καλαῖς ῥοαῖς, διὰ τὸ ἀπὸ καλῆς, ὡς εἰκός, ληφθῆναι πηγῆς, καὶ ὡς παρίσοις ἐκόσμησε τὴν διήγησιν τῷ «καλῇσι ῥοῇσι», καὶ τῷ «νίψατο» καὶ «ἀφύσατο». [Ἐνίψατο δέ, ἵνα μὴ χερσὶν ἀνίπτοις, ὃ δὴ λέγεται, σπείσῃ τῷ Διΐ. Πρέπον δὲ πάντως τοῦτο, εἴγε καὶ πρὸ εὐχῆς ἐνίπτοντο, καθὰ καὶ ἡ Ὀδύσσεια δηλοῖ. Σκοπητέον δὲ εἰ καθ' ὃν λόγον ὕδατος ὀλίγου ῥοή, οὕτω καὶ δακρύων πηγῆς οὐ ῥεῦμα ἢ ῥοῦς ἀλλὰ ῥοή.] Τὸ δέ, «στὰς μέσῳ ἕρκεϊ» ἐμφαίνει καὶ Ἑρκείῳ Διῒ σπένδειν ἄρτι τὸν Ἀχιλλέα, οὕτω λεγομένῳ διὰ τὸ συντηρεῖν πάντας τοὺς περὶ τὸ αὐτὸ ἕρκος. (v. 231) Λείβειν δὲ καὶ νῦν ταὐτόν ἐστι τῷ σπένδειν. ἀνωτέρω γοῦν τὸ σπένδειν εἰπὼν ὑποβὰς «ἔλειβεν οἶνον» φησίν. [Ἐντελῶς δὲ πέφρασται καὶ ἅμα καὶ πρὸς σαφήνειαν τὸ ἔλειβεν οἶνον. εἰπεῖν γὰρ ἁπλῶς ἔλειβεν ἐλλιπές τέ ἐστι καὶ οὐδὲ σαφές, εἴγε λείβεταί ποτε καὶ ὕδωρ, ὡς οἱ τοῦ Ὀδυσσέως ἑταῖροι ἐν τῇ Ὀδυσσείᾳ ἐδήλωσαν.] (v. 232) Τὸ δὲ «οὐρανὸν εἰσανιδών» βιωτικῶς τὸν τόπον δηλοῖ, ἔνθα ἵεται τὰ τῆς εὐχῆς. οὐ γὰρ καταχθονίῳ Διῒ εὔξεται Ἀχιλλεύς, ἀλλ' οὐρανίῳ, ἐφ' οὗ καὶ οἰκεῖον τὸ «Ζεῦ ἄνα», ὅς δοκεῖ ἐκ τῆς ἀνα προθέσεως παρονομασθῆναι τῆς τὸν ἄνω τόπον δηλούσης. οὕτω καὶ τὸ αὐερύειν τὰ θυόμενα τόπον δηλοῖ, ὡς ἀλλαχοῦ ἐρρέθη, πρὸς ὃν ἀπονεύει τὰ τῆς θυσίας, τὸν ἄνω δηλαδή. ὁμοίῳ δὲ λόγῳ καὶ Ὀδυσσεὺς φθάσας Ἀθηνᾷ ληΐτιδι ἀνέσχεθε τὰ τοῦ Δόλωνος τόξα ὡς ἐκείνῃ ἀναθήσων αὐτά.

3.843 (v. 233 s.) Δωδωναῖος δὲ Ζεὺς ὁ περὶ Δωδώνην ἐξέχουσαν ἔχων τιμὴν καὶ κατὰ τὴν ποιητικὴν ἑρμηνείαν «Δωδώνης μεδέων», ἣ Ἑλλοπία κατὰ τοὺς παλαιοὺς ἐκαλεῖτο πρότερον. τὴν δὲ Δωδώνην καὶ δυσχείμερον λέγει Ἀχιλλεύς, εἰδὼς τοιαύτην οὖσαν. περὶ ἣν Πελασγοὶ τὸ ᾀδόμενον ἵδρυσαν ἱερὸν κατὰ τοὺς παλαιούς. ὅθεν καὶ Πελασγικὸς ὁ αὐτός. Περὶ δὲ Πελασγῶν καὶ προδεδήλωται καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ δὲ γέγραπται, καθάπερ καὶ περὶ Δωδώνης. Ἰστέον δὲ καὶ ὅτι δύο Δωδῶναι κατά τινας, ἡ μὲν Θεσσαλίας, ἡ δὲ Μολοσσίας, ἧς καὶ μεμνῆσθαί

φασιν ἐνταῦθα τὸν Ἀχιλλέα διὰ τὸ δυσχείμερον αὐτὴν ἱστορεῖσθαι, καὶ τὸ τοῦ Διὸς δὲ ἱερὸν ἐκεῖσε εἶναι τὸ κατὰ τὴν μαντικὴν φηγόν, ἣν Σοφοκλῆς πολύγλωσσον ἐν Τραχινίαις φησίν, ὡς πολύφωνον, οἷα καὶ πολλοῖς μαντευομένην. Ὅτι δὲ περὶ τοὺς τοιούτους τόπους καὶ γῆ Παιόνων ἐστί, δηλοῖ ὁ γράψας οὕτω· Παίοσιν ὅμοροι Σελλοὶ καὶ Δόλοπες περὶ Δωδώνην μέχρις Ἀχελῴου. Ἕτεροι δὲ Δωδώνην ἀλληγοροῦντες ἐνταῦθα τὴν γῆν φασι παρὰ τὸ δῶ δώσω, ὡς δότειραν καὶ ἀνησιδώραν καὶ ζείδωρον. οἱ δ' αὐτοὶ φυσιολογικῶς ἅμα καὶ ἀντιθετικῶς καὶ τὰ ἑξῆς συμβιβάζοντές φασι «Ζεῦ ἄνα Δωδωναῖε», τουτέστιν αἰθέριε καὶ περίγειε. τοῦτο μὲν διὰ τὸ Δωδωναῖε, ἐκεῖνο δὲ διὰ τὸ ἄνα, περὶ οὗ καὶ ἀλλαχοῦ δηλοῦται. Οὕτω δὲ συμβιβάζουσι καὶ τὸ «Πελασγικὲ τηλόθι ναίων», Πελασγικέ μὲν διὰ τὸ πέλας ἡμῶν εἶναι τῶν περὶ γῆν, ὃ καὶ ὁ Δωδωναῖος ἐδήλου, τηλόθι δὲ ναίων ὁμοίως τῷ «ἄνα» διὰ τὸν ἀνωτάτω αἰθέρα, ἢ καὶ διὰ τὴν ψυχήν, φασί, τοῦ κόσμου, Δία καὶ αὐτὴν ὀνομαζομένην καὶ ἀερώδη νομιζομένην καὶ ἄνω μένειν δοκοῦσαν.

3.844 οἱ δ' αὐτοὶ καθ' ὁμοίαν ἐπιβολὴν ἀντιτιθέασι καὶ τὸ «ἀνιπτόποδες χαμαιεῦναι», ὡς εὐθὺς μετ' ὀλίγα φανεῖται. Τὸ δὲ Πελασγικέ γράφεται καὶ Πελαργικέ, διότι ἐν τῷ τεμένει, φασί, τοῦ Δωδωναίου Διὸς λευκὸς λόφος ἦν οὕτω καλούμενος. Ὅρα δὲ ὅτι τὸ «τηλόθι ναίων» ἐπὶ τῶν κατὰ γῆν διαστημάτων λέγειν εἰωθώς, ἐνταῦθα τὸ νόημα εἰς αἰθέρα ὕψωσε. Σελλὸς δὲ τὸ ἐθνικὸν ὀξύνεται λόγῳ τοιούτῳ. Τὰ εἰς λος , φασίν, ἑτέρῳ λ παραληγόμενα, οὗ τὸ α οὐ προηγεῖται, ὀξύνονται, κιλλός, εἶδος χρώματος, πολλός, κυλλός, φελλός. οὕτω καὶ Σελλὸς ἐθνικὸν ἢ Ἑλλὸς κατὰ Πίνδαρον. ἀμφιβάλλεται γὰρ ἡ γραφή. διὸ καὶ ὁ Γεωγράφος φησὶ περὶ τούτου, ὅτι οὐκ ἔστι διϊσχυρίσασθαι διὰ τὴν ἀμφιβολίαν. Καὶ σημείωσαι ὅτι ὅσοι μὲν Ἑλλοὺς οἴδασι δίχα τοῦ ς , συναλείφοντες γράφουσιν, «ἀμφὶ δέ ς' Ἑλλοὶ σοὶ ναίουσιν ὑποφῆται», ἤγουν περὶ σὲ ναίουσιν οἱ Ἑλλοὶ οἱ σοὶ ὑποφῆται. ὅσοι δὲ Σελλοὺς γράφουσι δίχα συναλιφῆς οὕτω νοοῦσιν· ἀμφὶ δὲ σοὶ Σελλοὶ ναίουσιν ὑποφῆται. Καὶ οὗτοι μέν φασι Σελλοὺς λέγεσθαι ὡς ἀπὸ ποταμοῦ Σελλήεντος, ἐκεῖνοι δέ, ὅτι Ἑλλοὶ τὸ ἔθνος ἀπὸ Ἑλλοῦ τοῦ Θεσσαλοῦ, ἀφ' ὧν καὶ Ἑλλοπίαν τὸν περὶ Δωδώνην τόπον καλεῖσθαι. πλείους δὲ οἱ Σελλοὺς γράφοντες μετὰ τοῦ ἐν ἀρχῇ ς . (v. 235) Ὑποφῆται δὲ ὡς ὑποφητεύοντες προφητεύοντι τῷ ἐκεῖσε Διΐ. Χαμαὶ γάρ, φασί, δοραῖς ἐγκοιμώμενοι δι' ὀνείρων τοῖς χρωμένοις χρηματίζουσιν ἐκ Διός, καθὰ καὶ Λυκόφρων ἱστορεῖ, ὃς καὶ τόμουρον τὸν ἁπλῶς μάντιν λέγει ὁμωνύμως τοῖς ἐν Δωδώνῃ. Τόμουροι γὰρ οἱ ἐκεῖ τοῦ Διὸς ὑποφῆται, καὶ τόμουραι αἱ μαντεῖαι, ὡς καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν εἴρηται.

3.845 Ἐν δὲ τῷ «ἀνιπτόποδες χαμαιεῦναι» οἱ μὲν νοοῦσι τοὺς Σελλοὺς εὐτέλειαν ἀσκοῦντας καὶ χαμαιεύνας μὲν ὡς κάτω περὶ γῆν αὐτοὺς κειμένους καὶ μὴ ἐπὶ στιβάδων ἢ δεμνίων ὑπνοῦντας, ἀνιπτόποδας δὲ ὡς μὴ προϊόντας τοῦ ἱεροῦ καὶ διὰ τοῦτο μηδὲ θέλοντας ποδάνιπτρα, ὃ καὶ ἐν τῷ τοῦ Εὐριπίδου Ἐρεχθεῖ δηλοῦται, εἰπόντος, ὅτι πηγαῖς οὐχ' ὑγραίνουσιν πόδας. Ἕτεροι δὲ σεμνότερον τοιοῦτον συντιθέασι νόημα, χαμαιεῦναι μέν, ἀνιπτόποδες δέ, τουτέστι χαμαὶ μὲν εὐναζόμενοι, ἀνιπτάμενοι δὲ τῶν κάτω ταῖς διανοίαις διὰ τὴν ἐν ταῖς μαντείαις φιλοσοφίαν. Ὅρα δὲ ὡς κἀνταῦθα τὸ χαμαιεῦναι συστέλλει τὴν τῆς προπαραληγούσης δίφθογγον, ὡς καὶ ἐν Ὀδυσσείᾳ τὸ «χαμαιευνάδες σύες», ὥστε οὐ μόνον τὸ πάλαι συστέλλει τὴν λήγουσαν, ὡς δῆλον ἐκ τοῦ πρόπαλαι, ἀλλὰ καὶ τὸ χαμαί. [Τὸ μέντοι χαμαιτυπεῖον καὶ ἡ χαμαιτύπη οὐκ εὔδηλον ἀπὸ μέτρου εἴπερ συστέλλουσι τὴν μαι συλλαβήν. Ὅρα δέ, ὅτι χαμαιεῦναι μὲν ἄνθρωποι ἐπαινετοὶ τῆς χαμεύνης ὡς ἐνάρετοι, αἱ δὲ χαμαιευνάδες οὐ τοιοῦτον. σύες γάρ. Ἡ δὲ Κωμῳδία τὰ συνήθη παίζουσα τοὺς χαμαιεύνας χαμαιευνάδας καλεῖ πρὸς ἀναλογίαν τοῦ Ἀρκάδας καὶ φυγάδας καὶ τῶν ὁμοίων. Φέρεται γοῦν Εὐβούλου περὶ φιλοσόφων τὸ «ἀνιπτόποδες, χαμαιευνάδες, ἀερίοικοι, ἀνόσιοι λάρυγγες, ἀλλοτρίων κτεάνων παραδειπνίδες», ὃ παραπεποίηκεν ἐκεῖνος ἐκ τοῦ παράσιτοι. Εἰ δὲ φιλοσόφους ἄνδρας οὕτως ἔσκωψέ τις, πῶς οὐκ ἂν ὁ τοιοῦτος ἀσφαλέστερον καὶ γυναῖκας χαμαιευνάδας ἐρεῖ τινας, ὧν ὁ

βίος οὐκ εὐπρεπής;] (v. 239) Τὸ δὲ «νηῶν ἐν ἀγῶνι» οὐ διχῶς ἐνταῦθα νοεῖται ὡς ἐν τοῖς πρὸ τούτου, ἀλλὰ νηῶν ἀγῶνα τὸ ἄθροισμα λέγει, ἀγωνίαν γάρ τινα μάχης αἱ τῶν Μυρμιδόνων νῆες οὐκ ἔχουσιν. Οὕτω που καὶ τὸ «θεῖον δύσονται ἀγῶνα» ἀντὶ τοῦ εἰς τὰ τῶν θεῶν ἱερὰ εἰσέλθωσιν, ἀγῶνος θείου λεγομένου τοῦ ναοῦ, ἔνθα θεῶν ἄθροισις, καθ' ὁμοιότητα τοῦ νηῶν ἀγών. (v. 241 s.) Τὸ δὲ «τούτῳ κῦδος ἅμα πρόες, θάρσυνον δέ οἱ ἦτορ ἐν φρεσίν» εὔξεται πᾶς ὑπὲρ φίλου ἀγωνιῶντος, καθὰ καὶ ἐπὶ Πατρόκλῳ Ἀχιλλεύς. Ὅρα δὲ ὡς Πάτροκλος μὲν τῷ Ἀχιλλεῖ ἔφη «ἀλλ' ἐμέ περ πρόες ὦκα», Ἀχιλλεὺς δὲ τῷ Διΐ, ὅτι τῷ Πατρόκλῳ κῦδος ἅμα πρόες. Τὸ δὲ «θάρσυνον» σεμνῶς εἴρηται ὡς τοῦ Πατρόκλου δεομένου θάρσους ἐπὶ πλέον ἤπερ ἀνδρίας. [Προστακτικὸν δὲ τὸ «θάρσυνον», εἰ καὶ ἄλλως δύναται καὶ ὡς ὄνομα νοηθῆναι οὐδέτερον, ἵνα δῆθεν λέγῃ, ὅτι πρόες τῷ Πατρόκλῳ καὶ θάρσυνον ἦτορ, ἤγουν θαρραλέον.

3.846 ] (v. 244) Ὅρα δὲ καὶ ὡς Ἀχιλλεὺς μὲν ἀρκεῖται εἰπὼν ἐπὶ Πατρόκλῳ τὸ «ἡμέτερος θεράπων», Ὅμηρος δὲ πρὸ βραχέων ἀγαθὸν αὐτὸν Ἀχιλλέως ἔφη θεράποντα. Τὸ δὲ «ἄαπτοι» συντελεῖ τι εἰς τὸ «χεῖρες μαίνονται». διὸ καὶ ἀσφαλέστερον τοῦτο πέφρασται καὶ γοργότερον τοῦ «δόρυ μαίνεται ἐν παλάμῃσιν». ἐκεῖνο μέντοι γλυκύτερον. ὡς οἷον γὰρ ἔμψυχον τὸ δόρυ ἐκεῖ μαίνεσθαι λέγεται. (v. 245) Τίς δὲ ὁ μῶλος τοῦ Ἄρεος, καὶ ὡς οὐκ ἐξ ὀρθοῦ τὴν μάχην μῶλον Ὅμηρος λέγει, ἀλλ' ἢ τὸν ἐν μάχῃ μολυσμὸν κατ' ἔκτασιν τῆς ἀρχούσης, ἢ τὴν πολεμικὴν κακοπάθειαν παρὰ τὸ μόλις, ἢ τὴν ἐν πολέμῳ φθορὰν παρὰ τὸ μὴ ὅλον, οἱονεὶ μήολος, ὁ μὴ ἐν ὁλότητι ἀφιεὶς τὸν στρατόν, καὶ κατὰ κρᾶσιν συνήθη μῶλος, δηλοῦται καὶ ἀλλαχοῦ. (v. 247) Τὸ δὲ «ἀσκηθής» λέξις μέν ἐστιν Αἰτωλῶν κατὰ τοὺς παλαιούς, δοκεῖ δὲ ἀπὸ τοῦ ἀσκεῖν γενέσθαι, ὡς καὶ προελέχθη, καὶ σημαίνει τὸν ὑγιῆ. τοιοῦτοι γὰρ οἱ ἀσκηταί. Εἰ δὲ καὶ ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ σχέθειν ἐτυμολογεῖται, ἵνα ᾖ ἀσχεθείς καὶ Ἰωνικῶς ἀσκεθής καὶ κατὰ ἀναγκαίαν μετρικὴν ἔκτασιν ἀσκηθής, ὁ πόλυς τὴν ῥύμην καὶ ὃν οὐκ ἔστιν ἐπισχεῖν, οὐδ' αὐτὸ σεσίγηται. εὕρηται δέ που καὶ ἀσκεθής διὰ τοῦ ε παρὰ τῷ ποιητῇ. (v. 251) Τὸ δὲ «πόλεμόν τε μάχην τε» τὴν αὐτὴν καὶ νῦν δηλοῦσιν ἔννοιαν, ὡς καὶ ἀνωτέρω αὐτῶν τὸ «μάχην ἐνοπήν τε». Ὅτι θυμικὸν ζῷον ὁ σφὴξ καὶ μάλιστα ὁ ἐνόδιος. (v. 266 s.) Διὸ καὶ ὁ ποιητὴς ἐξ αὐτοῦ πορίζεται παραβολήν, λέγων ὡς οἱ Μυριμιδόνες μέγα φρονέοντες «σφηκῶν κραδίην καὶ θυμὸν ἔχοντες ἐκ νηῶν ἐχέοντο, βοὴ δ' ἄσβεστος ὀρώρει», ὃ πολλαχοῦ κεῖται. (v. 259—65) Φησὶ γὰρ «αὐτίκα δὲ σφήκεσσιν ἐοικότες ἐξεχέοντο εἰνοδίοις, οὓς παῖδες ἐριδμαίνουσιν ἔθοντες, αἰεὶ κερτομέοντες, ὁδῷ ἔπι οἰκί' ἔχοντες, νηπίαχοι, ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσι. τοὺς δ' εἴ περ παρά τίς τε κιὼν ἄνθρωπος ὁδίτης κινήσει ἀέκων, οἳ δ' ἄλκιμον ἦτορ ἔχοντες πρόσσω πᾶς πέτεται καὶ ἀμύνει οἷσι τέκεσσι». Καὶ ὅρα τὴν Ὁμήρου δεινότητα, ὅσγε καὶ ταῖς ἐκ τῶν σμικροτάτων παραβολαῖς κοσμεῖ σεμνῶς τοὺς ἥρωας, καὶ νῦν μὲν τοὺς Μυρμιδόνας εἰκάζει πρὸς σφῆκας, οὐκ ἀνδρίαν ἀλλὰ καρδίαν καὶ θυμὸν σφηκῶν αὐτοὺς ἔχειν εἰπών, ἀλλαχοῦ δέ τινι τῶν ἀριστέων μυίας θάρσος ἐγγενέσθαι φησί, καὶ ἐν ἄλλοις μελισσῶν ἑσμῷ εἰκάζει τὴν τῶν Ἀχαιῶν εἰς πόλεμον ἔξοδον, οὐ πρὸς τὴν τῶν ζωϋφίων σμικρότητα παραβάλλων τοὺς ἥρωας, ἀλλ' ἀπὸ ἰδιοτήτων τινῶν ἀξίων λόγου διασκευάζων τὰς παραβολάς.

3.847 Ἔνεισι γὰρ καὶ τοῖς εὐτελέσι τούτοις ἄξια λόγου ἰδιώματα, ὡς καὶ τοῖς σφηξὶ τὸ ἀμυντικόν. ὅθεν καὶ ὁ ἐρεθίζων κακόν τι ἐφ' ἑαυτὸν σφηκίαν ἐξεγείρειν καθ' ἑαυτοῦ λέγεται. Σημείωσαι δὲ ὅτι πρὸς μόνην εἴληπται τὴν σύντονον καὶ ἀμυντικὴν τῶν Μυρμιδόνων ἐκδρομὴν εἰς τὸν πόλεμον ἡ ῥηθεῖσα παραβολή. τὰ δὲ τῶν παίδων καὶ τῶν παροδιτῶν δυσχερῶς ἄν τις καὶ ψυχρότερον ἐνταῦθα συμβιβάσειε. διὸ δοτέον αὐτὰ τῇ ζωϊκῇ ἱστορίᾳ καὶ τῇ πιθανῇ ἀναπληρώσει τῆς παραβολῆς. Ἰστέον δὲ καὶ ὅτι κεῖται μὲν καὶ ἐν τῇ μῦ ῥαψῳδίᾳ παραβολὴ ἀπὸ σφηκῶν ἐνοδίων, συντομωτέρα μέντοι ταύτης καὶ οὐχ' οὕτω πεπλατυσμένη. ἔχει δὲ καὶ ἑτέραν ἐκείνη διαφοράν, οὐ μόνον ὅτι συμπαραπλέκει καὶ μελίσσας τοῖς σφηξίν, ἀλλὰ καὶ ὅτι σφηκῶν μέμνηται μὴ θελόντων ἀπολιπεῖν κοῖλον δόμον, ἀλλ' ἔνδοθεν ἀμυνομένων, οὐ μὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ τοὺς ἐνταῦθα πετομένων ἔξω δι’ ἄμυναν. (v. 259) Τὸ δὲ καὶ προρρηθὲν «ἐξεχέοντο», ὃ ἐν τῇ ἀποδόσει διαλύσας «ἐκ νηῶν ἐχέοντο» φησίν, οἷς συγγενὲς τὸ «ἱππόθεν ἐκχύμενοι» ἐν Ὀδυσσείᾳ, τὸ εὐκίνητον δηλοῖ καὶ ἰτητικὸν καὶ ῥᾷον καὶ ἀνεμπόδιστον τῆς τῶν Μυρμιδόνων στρατιᾶς καί, ὡς εἰπεῖν, ῥυτὸν ἢ ὑγρόν. Καὶ ἴσως οἱ τοιοῦτοι, καθὰ καὶ προπαρεσημάνθη, ἀπὸ ὑδάτων ἔχειν οἷα ὁρμητίαι γένεσιν μυθεύονται, ὡς ὁ Μενέσθιος ἀπὸ Σπερχειοῦ καὶ ἕτερός τις ἀπὸ θαλάσσης καὶ ἄλλος ἀπὸ Σκαμάνδρου ἢ Σατνιόεντος διὰ τό, ὡς εἴρηται, ὑγρὸν καὶ μετὰ θυμοῦ εὐκίνητον καί, ὡς ἂν εἴποι τις, εὔχυτον. Καὶ προϊὼν δὲ φησὶ «Δαναοὶ δ’ ἐπέχυντο νῆας ἀνὰ γλαφυράς». ὅθεν καὶ τὸν σπουδαῖον πόδα διερὸν ἐν Ὀδυσσείᾳ φησίν. (v. 259—61) Ἰστέον δὲ ὅτι, καθὰ τὸ ἐξεχέοντο κατωτέρω διαλύσας φησὶ ταὐτολογικῶς «ἐκ νηῶν ἐχέοντο», οὕτω καὶ τὸ εἰνοδίοις μετ’ ὀλίγα περιφράζων φησὶν «ὁδῷ ἔπι οἰκία ἔχοντας». Ἔνθα ὅρα τὸ οἰκία ἐπὶ φωλεοῦ ἀφελῶς λεχθέν, ὃν ἀλλαχοῦ κοῖλον δόμον εἶπεν, ὅπου καὶ ἐπὶ πλέον ἐξάγει τὴν τῶν εἰνοδίων παράφρασιν, εἰπὼν «οἰκία ποιήσονται ὁδῷ ἔπι παιπαλοέσσῃ».

3.848 Εἰνοδίους δὲ παραλαμβάνει σφῆκας, ἐπείπερ οἱ ἐν βάθει ὄρους οὔκ εἰσιν εἰς τὴν εἰρημένην παραβολὴν χρήσιμοι. οὐ γὰρ βλάπτουσιν ἐκεῖνοι οὕτως, ὅτι μηδὲ παροδεύουσί τινες ἐκεῖ. Ὅρα δὲ καὶ ὅτι, ὥσπερ τὸ «εἰνοδίοις» ἡρμήνευσε διὰ τοῦ «ὁδῷ ἔπι οἰκία ἔχοντας», καὶ τὸ «παῖδες» διὰ τοῦ «νηπίαχοι», οὕτω καὶ τὸ «ἐριδμαίνωσιν ἔθοντες» διὰ τοῦ «αἰεὶ κερτομέοντες», ὅ ἐστιν ἀθύροντες, παίζοντες. ἔθος γὰρ παισὶ τοῦτο πλέον τῶν ἄλλων καὶ μᾶλλον νηπίοις, ἔτι δὲ μάλιστα νηπιάχοις. Ἔστι δὲ ἐριδμαίνειν μὲν τὸ ἐρεθίζειν καὶ εἰς ἔριν κινεῖν, γινόμενον ἢ κατὰ σύνθεσιν ἀπὸ τῆς ἔριδος καὶ τοῦ μαίνεσθαι, ἢ ἀπὸ τοῦ ἐριδαίνω πλεονασμῷ τοῦ μῦ. τοῦ δὲ ἐριδαίνειν ἡ χρῆσις πολλαχοῦ. Τὸ δὲ ἔθοντες ἀντὶ τοῦ τὸ σύνηθες πράττοντες, ἐξ οὗπερ, ὡς καὶ ἄλλοθι ἐδηλώθη, οὐ μόνον τὸ ἐθείρω καὶ αἱ ἐθειράδες παρὰ τῷ ποιητῇ ἀλλὰ καὶ τὸ ἔσθω τὸ πάνυ ἔθιμον, ἔτι δὲ καὶ τὸ ἐσθίω, ναὶ μὴν καὶ τὸ ἔδω κατὰ τροπήν, ὡς ἀλλαχοῦ δηλοῦται σαφῶς. Τοῦ δὲ «αἰεὶ κερτομέοντες» ψεκτὸν μόνον τὸ «αἰεί». ἄλλως γὰρ καὶ σπουδαῖοι ἄνδρες κερτομήσουσί ποτε καίρια. [Καὶ γέμει τῶν εἰς τοῦτο παραδειγμάτων ὁ κόσμος.] Τὸ δὲ «ὁδῷ ἔπι οἰκία ἔχοντας» ἔχει καί τι ἀστεῖον. ἀλλαχοῦ μὲν γὰρ ἐπὶ φιλοξένου τινὸς ἔφη «ὃς πάντας φιλέεσκεν ὁδῷ ἔπι οἰκία ναίων». σφῆκες δὲ οὗτοι ὁδῷ ἔπι οἰκία ἔχοντες κοινὸν κακὸν παρακιόντι, ἄλλως δ’ ἄν τις ἐρεῖ παράγοντι, ὁδίτῃ γίνονται. (v. 262) Τὸ δὲ «ξυνὸν κακόν» ἀπόσπασμά ἐστι γνώμης τῆς λεγούσης πολλάκις κοινὸν κακὸν ἐξ ἰδίας ἀνοίας γίνεσθαι. κἀνταῦθα γὰρ οἱ νηπίαχοι καθ’ ἑαυτοὺς παίζοντες κοινὸν κακὸν τοῖς παροδεύουσιν ἔθεντο, τὴν τῆς σφηκίας ἐξέγερσιν. οὐκ ἔστι δὲ τὸ τοιοῦτον πάνυ μακρὰν οὐδὲ τοῦ πολλάκι καὶ ξύμπασαν πόλιν κακοῦ ἀνδρὸς εἰς κακὸν ἀπολαύειν.

3.849 Τὸ δὲ «πολέεσσιν» ἀσφαλῶς κεῖται. οὐ γὰρ ἁπλῶς κοινὸν κακὸν γίνονται, ἀλλὰ πολλοῖς, εἴ τίς που τύχοι παροδεύων. (v. 264) [Τὸ δὲ «ἀέκων» διαστολὴν ἔχει συνετοῦ ἀνδρὸς πρὸς νηπιάχους. οἱ μὲν γὰρ ἑκόντες ἐριδμαίνουσι τοὺς σφῆκας, ὁ δ’ ἄκων αὐτοὺς ἐκ παρόδου κινεῖ]. (v. 264 s.) Ὅρα δὲ καὶ τὸ «οἳ δὲ ἄλκιμον ἦτορ ἔχοντες πρόσσω πᾶς πέτεται» σχῆμα ὂν σολοικοφανές, καινοπρεπὲς μέν, οὐκ ἀσύνηθες δέ. τὸ γὰρ πᾶς, συλληπτικὸν ὄνομα, ἐν φωνῇ ἑνικῇ πλῆθος δηλοῖ, καθὰ καὶ τὸ ἕκαστος, καὶ ἔστι ταὐτὸν εἰπεῖν Ἀττικῶς πρὸς τὸ νοούμενον· οἱ δὲ πρόσσω πάντες πέτονται, καὶ κοινῶς δέ· πρόσω πᾶς πέτεται. Οὐκ ἄλκιμοι δὲ οἱ σφῆκες λέγονται εἶναι, ἀλλὰ ἄλκιμον ἦτορ ἔχειν [ὡς ἔμψυχοι,] διὰ τὸ ἐν αὐτοῖς θράσος. Τὸ δὲ «πρόσω πέτεται» ἴδιον σφηκός. οὐ γὰρ κατόπιν ἐμπίπτει, ἀλλὰ βιάζεται προπετόμενος κατὰ προσώπου κεντεῖν. τοῦ δ’ αὐτοῦ ἰδιότης καὶ τὸ ἄλλου προερεθίσαντος τοῖς παροδεύουσι καὶ ἀναιτίοις εἰκῇ ἐπιτίθεσθαι. (v. 269—74) Ὅτι καὶ Πάτροκλος τοὺς ἑταίρους ἀναγκαίως ὀτρύνων τοιαῦτά φησι «Μυρμιδόνες, ἕταροι Πηληιάδεω Ἀχιλῆος, ἀνέρες ἔστε φίλοι», ὅ ἐστι προστακτικῶς ἀνδρίζεσθε, «μνήσασθε δὲ θούριδος ἀλκῆς, ὡς ἂν Πηλείδην τιμήσομεν, ὃς μέγ’ ἄριστος Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες, γνῷ δὲ καὶ Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων, ἣν ἄτην, ὅ τ’ ἄριστον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀχαιῶν οὐδὲν ἔτισεν». ὃ καὶ ἀλλαχοῦ προρρηθὲν ταὐτολογεῖται νῦν. Καὶ ὅρα ὡς οὐκ ἠρκέσθη ἄριστον ἐνταῦθα τὸν Ἀχιλλέα καλέσαι, ὃ καὶ ἐκεῖνος ἔφθη που εἰπεῖν περὶ ἑαυτοῦ, ἀλλὰ καὶ μετὰ ὑπερθέσεως πλείονος μέγα ἄριστον αὐτὸν ἔφη, καὶ ὅτι τὸ μέγ’ ἄριστος αὐτός τε καὶ ἀγχέμαχοι θεράποντες, ἔπαινός ἐστι στρατηγοῦ ἀρίστου ὑπασπιστὰς ὁμοίους ἔχοντος, καὶ ὅτι Ὅμηρος μὲν Πατρόκλου ἑτάρους εἶπε τοὺς Μυρμιδόνας, αὐτὸς δὲ σεμνύνων αὐτοὺς ἑταίρους τοῦ Ἀχιλλέως καλεῖ, ἔτι δὲ καὶ ἀγχεμάχους, ὃ καὶ Ἀχιλλεὺς ἔφη ὁμοῦ παραθεὶς ἐν τῷ «καὶ ἀγχεμάχοις ἑτάροισιν», ἀλλὰ καὶ θεράποντας λέγει, ὁποῖος καὶ αὐτός ἐστιν, καθὰ καὶ ὁ ποιητὴς πολλαχοῦ λέγει, καὶ Ἀχιλλεὺς δὲ πρὸ ὀλίγου ἔφη. Ἐνταῦθα δὲ καὶ ἑαυτὸν ἀφθονήτως ἐπαινεῖ Πάτροκλος ἐν τῷ κοινῷ. εἰ γὰρ ἀγχέμαχοι θεράποντες οἱ Μυρμιδόνες, ἀγχέμαχος ἄρα καὶ αὐτὸς τοιούτοις συντεταγμένος. ἔοικε δὲ μὴ πλεονάζειν ἐν τοῖς Μυρμιδόσιν ἡ τοξική. δῆλον γὰρ ὡς οἱ τοξόται οὐκ ἀγχέμαχοι. Τροπὴν δὲ ἀπὸ τοῦ ἄγχι ἐπιρρήματος ἔπαθεν ὁ ἀγχέμαχος. ἀγχεμάχους δὲ καὶ ἀσπιδιώτας εἰπεῖν ταὐτόν ἐστι. (v. 270) Τὸ δὲ «μνήσασθε θούριδος ἀλκῆς» παραπεποίηται ἐκ τοῦ μνήσασθε ἀπειλῶν ἃς ἠπειλεῖτε, ὃ φθάσας ἐνέφηνεν Ἀχιλλεὺς ἐν τῷ «μή τίς μοι ἀπειλάων λελαθέσθω».

3.850 (v. 269) Ὅρα δὲ καὶ ὅτι ἀνωτέρω χρησάμενος Ἰωνικῇ γενικῇ καὶ εἰπὼν «Πηληιάδεω Ἀχιλῆος», ὑποκαταβὰς ἐν τῷ «ὡς ἂν Πηλείδην τιμήσομεν» κοινῶς καὶ Ἀττικῶς ἔφη Πηλείδην, οὐ Πηληϊάδην. τοῦτο δὲ νῦν παρεσημάνθη πρὸς ἀνάμνησιν τοῦ δύνασθαι τὸν ποιητὴν καὶ τὴν ἐκ προθύρων, ὅ φασιν, τῆς Ἰλιάδος χασμῳδίαν τὸ «Πηληιάδεω» ἐκθεραπεῦσαι, εἴπερ ἤθελε, διὰ τοῦ κοινοῦ καὶ οὐ περιέργου πατρωνυμικοῦ. (v. 271) Τὸ δὲ «ὡς ἂν Πηλείδην τιμήσομεν» λέγει Πάτροκλος, μεμνημένος τοῦ «μή με ἀτιμότερον θήσεις». Καὶ ὅρα ὡς ἄλλοις παραινέσας τιμῆσαι τὸν Πηλείδην αὐτὸς προϊὼν λανθάνεται ποιῆσαι οὕτω, ἐκκρουσθείσης τῆς μνήμης τῇ εὐπραγίᾳ. Ὅρα δ’ ἐνταῦθα καὶ τὸ «ὡς ἂν τιμήσομεν» φανερῶς μὴ δυνηθὲν ἐκτεῖναι τὴν παραλήγουσαν τοῦ ῥήματος τῷ κοινῷ λόγῳ τῶν ὑποτακτικῶν. αἴτιον δὲ ἡ ἐν τοῖς τοιούτοις ἀδιαφορία τῶν Ἰώνων, οἵ, ὡς μυριαχοῦ φαίνεται, καὶ δέον ὂν μὴ ἐκτείνεσθαί τινα, ὅμως ἐκτείνουσι, ποτὲ δὲ ποιοῦσι καὶ ἀνάπαλιν. (v. 276 s.) Ὅτι πρὸ τούτων μὲν θάλασσα ἐκλύσθη τερατωδέστερον ἐπὶ τῷ Ποσειδῶνι, ἐνταῦθα δέ, ὡς εἰκός, ἐπεὶ ἐνέπεσον Τρώεσσιν ἀολλέες οἱ Μυρμιδόνες, κτύπος καινός τις ἐξηχήθη, ὁ καὶ ἀλλαχοῦ γραφείς. Φησὶ γὰρ «ἀμφὶ δὲ νῆες σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ’ Ἀχαιῶν». Καὶ ἔστιν ὁ κόναβος οἰκεῖος ξηρότητι ξύλων τῶν κατὰ νῆας. Λέγει δὲ καὶ ἐνταῦθα ἐμπεσεῖν μὲν τὸ ἀνδρείως ἐπεισπεσεῖν καί, ὡς εἰπεῖν, ἐπιβρῖσαι, Ἀχαιοὺς δὲ τοὺς Μυρμιδόνας, κατὰ τὸ «Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί». Ὅτι καὶ ἐνταῦθα ὀρίνεσθαι οὐ τὸ ἁπλῶς κινεῖσθαι, ἀλλὰ τὸ μετὰ θορύβου καὶ δειλίας. (v. 278—80) Φησὶ γοῦν «Τρῶες δ’ ὡς εἴδοντο» Πάτροκλον «αὐτὸν καὶ θεράποντα σὺν ἔντεσι μαρμαίροντας, πᾶσιν ὀρίνθη θυμός», καὶ γίνεται ὃ φθάσας εἶπε Πάτροκλος. Καὶ ὕπεισιν ἤδη τοὺς Τρῶας δόξα ψευδής, ἣν ὁ Πάτροκλος ἤλπισεν. ἐΐσκοντες γὰρ αὐτὸν τῷ Ἀχιλλεῖ οὔπω μὲν ἀπέχονται τοῦ πρὸς ταῖς ναυσὶ πολέμου, ἄρχονται δὲ ὅμως ὡς εἰς φυγὴν ταράσσεσθαι, οὗ δηλωτικὸν τὸ ὀρίνεσθαι, ὃ ταὐτὸν ἐρρέθη τῷ μετὰ δειλίας κινεῖσθαι. διὸ ἐπάγει «ἐκίνηθεν δὲ φάλαγγες ἐλπόμενοι παρὰ νηῶν» καὶ ἑξῆς. (v. 279) Ἐν δὲ τῷ «καὶ θεράποντα» ἔοικεν ὁ Αὐτομέδων, φασί, τὰ τοῦ Πατρόκλου φορεῖν ὅπλα, ὡς ἂν καὶ ἀκριβὴς ἡ τοῦ Ἀχιλλέως εἰκασία οὕτω γένηται ὡς ἐξελθόντος εἰς μάχην, καὶ πλείων ὁ τῶν Τρώων ταραγμός, Πατρόκλου μὲν ἐϊσκομένου τῷ Ἀχιλλεῖ διὰ τὴν ἐκείνου πανοπλίαν, Αὐτομέδοντος δὲ αὖθις τῷ Πατρόκλῳ διὰ τὸ φορεῖν τὴν αὐτοῦ παντευχίαν.

3.851 (v. 280—2) Ὅρα δ’ ἐνταῦθα καὶ σχῆμα καινὸν Ἀττικὸν τὸ «ἐκίνηθεν δὲ φάλαγγες ἐλπόμενοι παρὰ νηῶν Ἀχιλλέα μηνιθμὸν μὲν ἀπορρῖψαι, φιλότητα δ’ ἑλέσθαι». τὸ γὰρ ἐλπόμενοι δυνάμενον γραφῆναι ἐλπόμεναι, ὅμως οὐ πρὸς τὸ ῥητὸν ἀποδέδοται, ἤγουν πρὸς τὸ φάλαγγες, ἀλλὰ πρὸς τὸ νοητόν. λαοὶ γὰρ πάντως αἱ φάλαγγες, πρὸς οὓς ἐρρέθη τὸ ἐλπόμενοι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Διασαφεῖται δ' ἐνταῦθα ἐπὶ πλέον τὸ «πᾶσιν ὀρίνθη θυμός». οὐ γὰρ ὅπλων λαμπηδὼν αὐτοὺς ὤρινεν, ἀλλὰ ἐλπὶς τοῦ ἀναστῆναι τὸν Ἀχιλλέα, ὃ καὶ ἔτρεψεν αὐτοὺς εἰς φυγήν. (v. 283) Ἐπάγει γὰρ «πάπτηνεν δὲ ἕκαστος ὅποι φύγῃ αἰπὺν ὄλεθρον». ὅπερ ἐπὶ τῆς κατὰ κράτος που φυγῆς οἰκεῖον λέγεσθαι. (v. 281) Σημείωσαι δὲ καί, ὡς εἰ καὶ οἱ μεθ' Ὅμηρον σημειοῦνται τὴν ἐλπίδα μὴ ἂν ἐπὶ κακῶν προσδοκίας λέγεσθαι, ἀλλ' ἰδοὺ τὸ ἐλπόμενοι ἐνταῦθα ἐπὶ Τρώων ἐρρέθη μὴ ἐχόντων καραδοκίαν ἀγαθοῦ τινος. (v. 282) [Τὸ δὲ «μηνιθμὸν ἀπορρῖψαι» πάνυ καιρίως πέφρασται ὡς ἐπί τινος βάρους. τοιοῦτον γὰρ ὁ κότος ἐπικείμενος τῷ μηνίοντι, βαρὺς καὶ οἷος βλάπτειν, εἰ μὴ καταρρίπτοιτο. Τὸ δὲ «φιλότητα δ' ἑλέσθαι» ἀναγκαίως πρόσκειται. οὐ γὰρ πᾶς ὁ μῆνιν ἀπορρίψας ἤδη καὶ φιλότητα ἔσχεν.] (v. 287 s.) Ὅτι ἀστείως Πάτροκλος ἀμύνων ταῖς ναυσὶ πασχούσαις κακῶς ὑπὸ πυρὸς καὶ αἰχμῶν πλάττεται βαλὼν πρῶτον παρωνυμούμενόν τινα ἐκ τῶν τοιούτων δύο κακῶν, τὸν Πυραίχμην δηλαδή, «ὃς Παίονας ἱπποκορυστὰς ἤγαγεν ἐξ Ἀμυδῶνος, ἀπ' Ἀξίου εὐρυρέοντος» ἢ εὐρὺ ῥέοντος, περὶ ὧν ἡ Βοιωτία δηλοῖ. οὗ πεσόντος ἀμφεφόβηθεν Παίονες. καὶ ἡ αἰτία, ὅτι κεῖται ὁ ἐν αὐτοῖς ἄρχων. (v. 291 s.) Φησὶ γοῦν ὅτι Πάτροκλος αὐτοῖς ἐνῆκε φόβον «ἡγεμόνα κτείνας, ὃς ἀριστεύεσκε μάχεσθαι», ἤγουν ὀνοματικῶς εἰπεῖν, ἐν μάχῃ. (v. 293—5) Τοῦτο δὲ ποιήσας Πάτροκλος ἐκ νηῶν ἔλασεν ἢ μόνους τοὺς Παίονας ἢ καὶ τοὺς σὺν αὐτοῖς Τρῶας, ὡς ἐφεξῆς δηλοῦται, «κατὰ δ' ἔσβεσεν αἰθόμενον πῦρ. ἡμιδαὴς δ' ἄρα νηῦς λίπετ' αὐτόθι. τοὶ δ' ἐφόβηθεν Τρῶες θεσπεσίῳ ὁμάδῳ». Νῆα δὲ ἡμιδαῆ τὴν τοῦ Πρωτεσιλάου ἐκείνην λέγει. (v. 290) Ἐν δὲ τῇ πτώσει τοῦ Πυραίχμου κεῖταί τι ἀστεῖον. ἑτέρων μὲν γάρ τινων πιπτόντων λέγει, ὅτι οἱ ἑταῖροι ἀμφιβεβήκασιν αὐτόν, ἐνταῦθα δὲ «ἕταροι δέ μιν ἀμφεφόβηθεν», ἀμφιβεβηκέναι γὰρ οὐκ εἶχον. Δεινὸν δὲ τὸ τοῦ Πυραίχμου πτῶμα, ὃς δεξιὸν ὦμον βληθεὶς ὕπτιος ἐν κονίῃσι κάππεσεν οἰμώξας, καθά που καὶ ἕτερός τις γνὺξ ἔριπεν οἰμώξας. (v. 294—6) Ἰστέον δὲ καὶ ὅτι πολεμικῆς τροπῆς τό· τοὶ δ' ἐφόβηθεν θεσπεσίῳ ὁμάδῳ, οἱ δεῖνα δ' ἐπέχυντο, ὅμαδος δ' ἀλίαστος ἐτύχθη. (v. 297—302) Ὅτι ἑρμηνεύων ὁ ποιητὴς ἐνταῦθα διὰ τί πολλαχοῦ τὴν ἐν πολέμῳ ἀνάπνευσιν φῶς λέγει, ἐκτίθεται παραβολὴν τοιαύτην «ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο κινήσει πυκινὴν νεφέλην στεροπηγερέτα Ζεύς, ἔκ τ' ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι καὶ νάπαι, οὐρανόθεν δ' ὑπερράγη ἄσπετος αἰθήρ, ὣς Δαναοὶ νηῶν μὲν ἀπωσάμενοι δήϊον πῦρ τυτθὸν ἀνέπνευσαν, πολέμου δ' οὐ γίνετ' ἐρωή».

3.852 Καὶ δοκεῖ λέγειν ὅτι, ὥσπερ Ζεὺς ἀστραπηβολῶν κατέλαμψε τὰ πρὶν ἐν σκότῳ ὄντα, οὕτω καὶ Ἀχαιοῖς ἐξ ἀχλύος ἔφανεν οἷόν τι φῶς ἡ ἐν κινδύνῳ ἀνάπνευσις, κατὰ τὸ «αἴ κέν τι φάος Δαναοῖσι γένοιο». καὶ πρὸς τοῦτο μόνον ἀφορᾷ ἡ παραβολή. ἄλλως γὰρ ἐναντιότητά τινα ἔχει πρὸς τὸ ὑποκείμενον. ἐκεῖ μὲν γὰρ πυρὸς ἀστραπηβόλου ἐκλάμψαντος ἡ φαῦσις γίνεται, ἐνταῦθα δὲ πυρὸς σβεσθέντος τοῦ περὶ τὰς νῆας φῶς οἷον γίνεται τὸ ἐκ τῆς ἀναπνεύσεως τοῦ πολέμου. (v. 298) Ἰστέον δὲ ὅτι φιλοσόφως κίνησιν οὐχ' ἁπλῶς νεφέλης ἀλλὰ πυκνῆς προειπών, ὃ δὴ ἀστραπῆς αἴτιον, εἶτα ἐπήγαγεν εὐθὺς τὸ «στεροπηγερέτης» πρὸς ὁμοιότητα τοῦ νεφεληγερέτης, ὃ δὴ καὶ αὐτὸ ἐμφαίνεται διὰ τοῦ «κινήσει νεφέλην». νεφεληγερέτης γάρ πως ὁ οὕτω νεφέλην κινῶν. Ἡ δὲ κατὰ σκοπιὰς καὶ πρώονας ἔκφανσις κεῖται καὶ ἀλλαχοῦ προγραφεῖσα. (v. 300) Ἐν δὲ τῷ «οὐρανόθεν ὑπερράγη ἄσπετος αἰθήρ», ὅ ἐστιν ἡ περὶ ἀέρα λαμπρότης, λέγει ὅτι αἰθρία [γέγονεν, ἤγουν αἰθερία,] φαῦσις περὶ τὰ κάτω, ὅπερ εἰ καὶ ἄλλοτέ ποτε γίνεται, ἀλλὰ καὶ νῦν ἄλλως διὰ τὸ ἀστραπηβολεῖσθαι τὸν ἀέρα, ἵνα λέγῃ ὅτι ἄλλως μὲν αἰθήρ ποτε γίνεται νυκτός, οὐ μόνον ἀπὸ σελήνης ἀλλὰ καὶ ἀπὸ πολλῶν ἀστέρων συμφαύσεως, ὅτε δὲ στεροπηγερέτης Ζεὺς νεφέλας κινήσει, τότε δὴ ἡ μὲν ἐκ τῶν ἀστέρων εἰς ἀέρα φαῦσις ἀργεῖ διὰ τὸν νεφεληγερέτην καὶ τὴν ἐξ αὐτοῦ ζόφωσιν, ἀπὸ δὲ οὐρανοῦ, ἤτοι ἀέρος, ἄσπετος αἰθὴρ ὑπορρήγνυται, οὐ διὰ τὴν νεφέλην, (πῶς γὰρ ἄν;) ἀλλὰ διὰ τὸν στεροπηγερέτην Δία, ὃς τὰ λοιπὰ φῶτα κρύψας αὐτὸς αἰθέρα λαμπρὸν καταρρήγνυσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀστράπτων καὶ οὕτως αἰθρηγενέτης φαινόμενος. (v. 299) Ἰστέον δὲ ὅτι σκοπιαὶ μὲν συνήθως οἱ ὑψηλοὶ τόποι, ἀφ’ ὧν ἔστι τὰ κύκλῳ σκοπιᾶσθαι, πρώονες δὲ ὀρῶν ἐξοχαί, ὧν ἡ κλίσις ἐκ τοῦ πρώων πρώονος, οὗ ἡ κίνησις ἀνάπαλιν ἔχει πρὸς τὸ Κόων Κόωνος κύριον. ἐκεῖνο μὲν γάρ, βραχυπαράληκτον ὄν, φυλάσσει τὸ ω ἐν τῇ γενικῇ, τοῦτο δὲ συστέλλεται καθ’ ὁμοιότητα τοῦ Μαχάονος, Ἰξίονος, καὶ τῶν ὁμοίων. [Δῆλον δ’ ὅτι καὶ πρηών πρηῶνος καὶ πρών πρωνός φαμεν, ὧν κοινότερον μὲν ὁ πρών, ποιητικώτερα δὲ ὁ πρώων καὶ ὁ πρηών.] (v. 300) Αἱ δὲ νάπαι ὑπόκεινται καὶ τῇ σκοπιᾷ καὶ τῷ πρώονι, ὅθεν καὶ δυσφώτιστοί εἰσι, καὶ διὰ τοῦτο ἀπὸ τοῦ νη στερητικοῦ μορίου καὶ τοῦ φωτός ἐτυμολογοῦνται, ὡς οἱονεὶ νάφαι, ἤγουν ἐστερημέναι φωτός.

3.853 διὸ καὶ πολλὴν ἀστραπῆς λαμπρότητα ἐμφαίνει τὸ καὶ τὰς νάπας φωτίζεσθαι. [Ἰστέον δὲ ὅτι, ὥσπερ ἐκ τοῦ νη στερητικοῦ κατὰ συστολὴν καὶ ἐκ τοῦ φῶ κατὰ ἐναλλαγὴν δασέος εἰς ψιλὸν γίνεται νάπη, ὡς ἀφώτιστος ἡλίῳ διὰ πολὺ δάσος αὐτῆς ἢ βάθος, οὕτω γίνεται καὶ νᾶπυ τὸ παρὰ Νικάνδρῳ σίνηπι παρὰ τὴν νη στέρησιν καὶ τὸ φύω, ἵνα ᾖ νᾶφυ τὸ ἀφυές, ἤγουν μικροφυές, ᾧ λόγῳ καὶ ἡ ἀφύη παρῆκται, ἡ σμικροπρεπεστάτη ἐν ἰχθύσι. χρῆσις δὲ νάπυος παρὰ τῷ Κωμικῷ ἐν τῷ «κἄβλεψε νᾶπυ». Ἀττικὴ δὲ ἡ λέξις. Τὸ μέντοι σίναπυ οὐδεὶς τῶν Ἀττικῶν ἔφη, ὡς ἐν τοῖς τοῦ Δειπνοσοφιστοῦ κεῖται, οὐ μὴν οὐδὲ τὸ σίνηπι, ὃ λέγεται οὕτως, ἐπειδὴ σίνεται, φησί, τοὺς ὦπας ἐν τῇ ὀδμῇ, καθὰ καὶ κρόμμυον, δι’ οὗ τὰς κόρας μύομεν. ὅτι δὲ ἐκ τοῦ σίνηπι καὶ ῥῆμά ἐστι κωμικὸν σιναπῶ, οἷον «τὸ θυγάτριόν μου σεσινάπηκε διὰ τῆς ξένης», ἤγουν ἐδριμύξατο, ὁ αὐτὸς ῥήτωρ δηλοῖ.] Τὸ δὲ «οὐρανόθεν ὑπερράγη ἄσπετος αἰθήρ», ἤγουν ἐξ ἀέρος αἰθρία γέγονεν, ἐπιφώνημα ὂν ῥητορικόν, ἔχει συνήθως καὶ τόλμαν καὶ ἀσφάλειαν. τολμηρὸν μὲν γὰρ τὸ ἐξ ἀέρος εἰπεῖν αἰθρίαν ἐν νυκτὶ γενέσθαι—μέλας γὰρ ὁ ἀήρ, ὅθεν οὐκ ἂν φῶς ποιήσῃ—, ἀσφαλὲς δὲ ἄλλως τὸ αὐτὸ διὰ τὰς ἀστραπάς. ἀὴρ γὰρ καταστραπτόμενος φωσφορεῖ. Τὸ δὲ «ὑπερράγη» ἢ ἀντὶ τοῦ πανταχοῦ εἰς τὰ περὶ γῆν ἐσκεδάσθη ἢ ἀντὶ τοῦ διὰ ῥήξεως νέφους ἐγένετο. (v. 302—4) Τὸ δὲ «τυτθὸν ἀνέπνευσαν» ἑρμηνεύει ὁ ποιητὴς ἐπαγαγὼν «οὐ γάρ πώ τι Τρῶες προτροπάδην φοβέοντο, ἀλλ’ ἔτ’ ἄρ ἀνθίσταντο, νεῶν δ’ ὑπόεικον ἀνάγκῃ», οὐ νῶτα δείξαντες, ἀλλ’, ὡς εἰκός, ὁρῶντες πρὸς τοὺς Ἀχαιοὺς ἐν τῷ ἀναποδίζειν. διὸ καί τις μετ’ ὀλίγα κατὰ τὸ στέρνον βάλλεται. (v. 302) Ἰστέον δὲ ὅτι κατὰ τὸ «ὀλίγη δέ τ’ ἀνάπνευσις πολέμοιο» εἴρηται νῦν τὸ «τυτθὸν ἀνέπνευσαν». (v. 303) Τὸ δὲ «οὐ γάρ πώ τι ἔφευγον προτροπάδην» ὀρθῶς φράζεται οὕτω· οὔ τί που γὰρ παντελῶς ἔφευγον. [Προτροπάδην δὲ φεύγειν ἐστὶ τὸ εἰς τὰ πρὸ τῆς φυγῆς ἑαυτὸν τρέψαι καὶ μηκέτι ἐπιστρέφεσθαι.

3.854 οὗ τὸ ἀνάπαλιν ἐπίρρημα ὑποτροπάδην ἐστίν.] (v. 306) Ὅτι ὡς τὰ πολλὰ ἐπισήμους ἄνδρας ἱστορῶν Ὅμηρος ποιεῖ οὕτω κἀνταῦθα, ἐν οἷς πολλοὺς ἱστορεῖ πίπτοντάς τε καὶ ῥίπτοντας. καὶ ἐπισημαίνεται τοῦτο εἰπὼν «ἔνθα δ’ ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσης ὑσμίνης, ἡγεμόνων», ὃ καθ’ ὑπέρβασιν νοεῖται, ὡς ἀνὴρ ἐκ τῶν Ἑλληνικῶν ἡγεμόνων ἠρίστευσε κατὰ Τρωός. Τοῦτο δὲ προϊὼν μετὰ πολλοὺς φόνους σαφέστερον λέγει ἐν σχήματι καταστατικῷ καὶ δηλωτικῷ στρατηγικῆς ἀνδρίας «οὗτοι ἂρ ἡγεμόνες Δαναῶν ἕλον ἄνδρα ἕκαστον», ἐν οἷς καί τις Θόας Τρωϊκός, ὑπὸ Μενελάου πεσών. Ἐνδόξων γὰρ ἐθέλει καὶ ἐν τούτοις μεμνῆσθαι, οὐ μὴν πληθύος, ἀκολούθως οἷς ἐν τῷ Καταλόγῳ ὑπέσχετο. πρῶτον δὲ ποιεῖ, ὡς εἰκός, ἀριστεύοντα τὸν εἰς Ἀχιλλέα εἰκαζόμενον Πάτροκλον. Ἰστέον δὲ ὅτι τὸ «κεδασθείσης ὑσμίνης» ἶσόν ἐστι τῷ διαλυθείσης τῆς κατὰ πύργον ἢ τοῖχον παραβολικῆς ἁρμονίας καὶ πλατυνθέντος τοῦ πολέμου ὧδε καὶ ἐκεῖ, ὃ καὶ ῥαγῆναι μάχην λέγεται καὶ συρρῆξαι πόλεμον. Ὅρα δὲ καὶ ἐνταῦθα πολλὴν ποικιλίαν. τὸν μὲν γὰρ στρεφθέντα ἔβαλέ τις κατὰ μηρὸν ἔγχεϊ ὀξυόεντι, καὶ ἐκεῖνος πρηνὴς ἐπὶ γαίης καταπίπτει, καὶ γυμνωθεὶς τὸ στέρνον παρ’ ἀσπίδα οὐτάζεται καὶ θνήσκει. (v. 313—6) Τὸν δέ τις ἐφορμηθέντα δοκεύσας ἔφθη ὀρεξάμενος πρύμνον σκέλος, ἔνθα πάχιστος μυὼν

ἀνθρώπου πέλεται, καὶ ἡ αἰχμὴ τοῦ ἔγχους νεῦρα διέσχισε καὶ ὁ τρωθεὶς ἔπεσεν. (v. 315) Ἔνθα ὅρα ὅτι μυὼν ἡ γαστροκνημία ἐστίν, ἣν ἡ τῶν πολλῶν γλῶσσα ἄνζαν φησί, συγκειμένην ἐκ νεύρων πολλῶν καὶ συνεστραμμένων σαρκῶν. ἢ καὶ ἄλλως εἰπεῖν, περιεκτικὸν μέν τί ἐστιν ὁ μυών, ὡς περιέχων μύας. μύες δὲ σάρκες συνεστραμμέναι καὶ νευρώδεις, ἃς οἱ κοινολεκτοῦντες ποντικούς φασι μεταληπτικῷ τινι τρόπῳ. μύας γὰρ ἱστορουμένους ἀκούσαντες Ποντικοὺς ἐκεῖθεν τοὺς ἐπὶ σαρκῶν μύας οὕτως ὀνομάζειν διακρίνουσι. Φασὶ δὲ οἱ παλαιοὶ καὶ ὅτι ἡ ἀθρόα κατὰ μυώνων πληγὴ θανατοῖ. συμπάθειαν γὰρ καὶ αὐτοὶ ἔχουσι πρὸς τὰ καίρια, εἴπερ ἐκ νεύρων εἰσίν, ὡς δηλοῖ τὸ «περὶ δ’ ἔγχεος αἰχμῇ νεῦρα διεσχίσθη», τὰ δὲ νεῦρα ἐξ ἐγκεφάλου. καὶ ταῦτα μὲν οὕτως.

3.855 Τῶν δέ, ὡς εἴρηται, πιπτόντων οἱ μὲν ἤδη, ὡς ἐρρέθη, πεσόντες δύο κείσθωσαν. ἄλλος δέ τις λαπάρης διελαθείσης χαλκέῳ ἔγχει ἤριπε προπάροιθε τοῦ ῥίψαντος. ἕτερος δέ τις ἐν τῷ ἐπαμύνειν κασιγνήτῳ πεσόντι ἔπεσεν, ἐπειδὴ πρυμνὸν βραχίονα τὸν πρὸς τῷ ὤμῳ δουρὸς ἀκωκὴ ἔδρυψεν ἀπὸ μυώνων. —εἰσὶ γὰρ καὶ βραχιόνων μυῶνες—«ἀπὸ δ’ ὀστέον ἄχρις ἄραξεν». (v. 330—2) Εἷλε δέ τις καὶ ζωόν τινα, «βλαφθέντα κατὰ κλόνον, ἀλλά οἱ αὖθις ἔλυσε μένος, πλήξας ξίφει αὐχένα κωπήεντι». (v. 335—41) Τινὲς δὲ ἀμφοτέρωθεν συνέδραμον καὶ ἔγχεσι μὲν ἤμβροτον ἀλλήλων, μέλεον δ’ ἠκόντισαν ἄμφω, εἶτα ξίφεσι συνέδραμον, καὶ ὁ Τρωϊκὸς ὑπ’ οὔατος αὐχένα φασγάνῳ πληγεὶς πέπτωκε. νύσσεται δέ τις καὶ ἵππων ἐπιβησόμενος κατὰ δεξιὸν ὦμον, καὶ πίπτει ἐξ ὀχέων, καὶ ἕτερος κατὰ στόμα, ὃς καὶ πάσχει τὰ μετ’ ὀλίγον ῥηθησόμενα. Τοιαύτη τις κἀνταῦθα τῷ Ὁμηρικῷ πέπλῳ ποικιλία ἐμπάσσεται, καὶ οὐ μόνον κατὰ τοὺς τρόπους τῶν πληγῶν τε καὶ πτωμάτων, ἀλλὰ καὶ κατὰ φράσιν τὴν αὐτοῦ τοῦ ἔθανον. Ἀντὶ γὰρ τοῦ ῥήματος τούτου ἐφ’ ἑκάστων ἄλλως καὶ ἄλλως φράζει, καθὰ καὶ ἀλλαχοῦ ἐποίησεν, οἷον «τὸν δὲ σκότος ὄσς’ ἐκάλυψε», δὶς τοῦτο εἰπών, καὶ «βήτην εἰς Ἔρεβος», καὶ «τὸν δὲ κατ’ ὄσσε ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή», καὶ «ὑπέλυντο δὲ γυῖα», καὶ «κατὰ δ’ ὀφθαλμῶν κέχυτ’ ἀχλύς», καὶ «θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψεν». ἠρκέσθη δέ που εἰπὼν «ἤριπε προπάροιθεν», οὗ ἐντελέστερον τὸ «δούπησε δὲ πεσών». τὸ δὲ «ὑπέλυντο γυῖα» παραφράσας ἀπὸ τοῦ πλήξαντος «ἔλυσε γυῖα» φησί, καὶ «λῦσε μένος». καὶ τοιαῦτα μὲν καὶ ταῦτα. Εἰ δ’ ἐν τοῖς ἑξῆς ἐρεῖ «πεσόντα δέ μιν λίπε θυμός», καὶ «τέλος θανάτοιο κάλυψε», καὶ «ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής», καὶ «λίπε ψυχή τε καὶ αἰών», καὶ «πολλοὺς ἐπασσυτέρους πέλασε χθονί», καὶ ἐπὶ ἵππου δὲ τὸ «ἀπέπτατο θυμός», καὶ ἕτερα, ὁ θέλων συναγειρέτω. Οὕτως εὔπορος ὁ ποιητὴς φράζειν, οὕτως ἡ Ὁμηρικὴ ἀηδὼν πολύφωνος, οὕτω «θαμὰ τρωπῶσα χέει πολυηχέα φωνήν». Δὶς δὲ ἐνταῦθα ἔφη τὸ «ἔφθη ὀρεξάμενος». οὗ τὸ ἐντελὲς ἀλλαχοῦ «ἔγχει ὀρεξάμενος». οὕτω δὲ καὶ τὸ νύξε δεδίσσευκε διὰ τὸ καίριον, ὥσπερ καὶ τὸ πρυμνὸν ἐν τῷ «πρυμνὸν σκέλος» καὶ «πρυμνὸν βραχίονα». Τῶν δὲ μεταξὺ τοῦ ῥηθέντος ὅλου χωρίου τὰ παρασημάνσεως ἄξια τάδε εἰσί. (v. 314) Τὸ μὲν «ἔφθη ὀρεξάμενος» ἀντὶ τοῦ ὀρεκτῷ δόρατι πλήξας εἴληπται, ταὐτὸν δ’ εἰπεῖν ὀρεκτῇ μελίῃ. τί δὲ τὸ ὀρεκτὸν δόρυ, προδεδήλωται. οὕτω δὲ καιρίως ἔφρασεν, ὥστε τὸ «ἔφθη ὀρεξάμενος» ἀπαραποιήτως καὶ μετ’ ὀλίγα ἐρεῖ.

3.856 Σημείωσαι δὲ ὅτι ἐν τῷ «ἔφθη ὀρεξάμενος» ὑπακούεται ἐξ ἀνάγκης οὐ μόνον τὸ ἔγχος, ἀλλὰ καί τι μέρος σωματικόν, ἵνα λέγῃ, ὅτι ἐκτείνας δόρυ κατά τι μέρος τοῦ σώματος. διὸ εἰπὼν κατὰ πρυμνὸν σκέλος ἐπήγαγε «περὶ δ’ ἔγχεος ὁρμῇ» καὶ ἑξῆς, καὶ πάλιν «ἔφθη ὀρεξάμενος ὦμον, πρυμνὸν δὲ βραχίονα δουρὸς ἀκωκὴ δρύψεν». ἐνταῦθα δὲ λείπει τὸ ἔγχος διὰ τὸ ἤδη προδηλωθῆναι. (v. 315) Ἐν δὲ τῷ «αἰχμὴ ἔγχους», ἤγουν ὁ τοῦ δόρατος σίδηρος, ἐντελὴς ἡ φράσις. αἰχμὴ γὰρ κυρίως μέρος ἔγχεος τὸ πλῆττον. δῆλον δὲ ὅτι ταὐτὸν ἔγχεος αἰχμὴ καὶ δουρὸς ἀκωκή. (v. 317—22) Ἐνταῦθα δὲ κεῖται καὶ σύνηθες καινόν τι σχῆμα τό· Νεστορίδαι ὁ μὲν ἔρριψε τὸν δεῖνα, ὁ δὲ τὸν δεῖνα. οὐ γὰρ εἶχεν οὐδ’ ἐνταῦθα κοινόν τι ἐνέργημα ἕν τι ἐπ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμφοτέρων, ἵνα εἴπῃ ὡς οἱ δεῖνα τόδε τι ἐποίησαν. διὸ ἐξ ἀνάγκης διελὼν ἔφη, ὡς Ἀντίλοχος μὲν οὔτασεν Ἀτύμνιον, Θρασυμήδης δὲ Μάριν. Συμπαράκειται δὲ καὶ ἕτερον σχῆμα οὐ πάνυ σύνηθες. ἐξὸν γὰρ εἰπεῖν οὕτως ἁπλῶς ὡς Ἀτύμνιον μὲν Ἀντίλοχος, Μάριν δὲ Θρασυμήδης ἀνεῖλον, εἵλετο ἄλλως φράσαι ὁ ποιητὴς καινότερον, ὅτι Νεστορίδαι ὁ μὲν οὔτασεν Ἀτύμνιον Ἀντίλοχος, Μάρις δὲ «Ἀντιλόχῳ ἐπόρουσε κασιγνήτοιο χολωθείς, τοῦ δ᾽ ἀντίθεος Θρασυμήδης ἔφθη ὀρεξάμενος» καὶ ἑξῆς, ἵνα εἴη τὸ πᾶν ὀρθῶς τοιοῦτον, ὡς Ἀντιλόχου Ἀτύμνιον οὐτάσαντος Θρασυμήδης τὸν Μάριν ἐπορούσαντα τῷ Ἀντιλόχῳ κατέρριψε, καὶ οὕτω δύο οὗτοι ἀδελφοὶ ἐξ Ἀχαιῶν δύο ἀνεῖλον Τρωϊκούς. (v. 319 s.) Ἐν τούτοις δὲ κεῖται καὶ τὸ «αὐτοσχεδὰ ἐπόρουσεν» ἀντὶ τοῦ αὐτοσχεδόν, ὁποῖον καὶ τὸ ἀμφαδόν, ἀμφαδά, μεταβληθέντος τοῦ ἐπιρρηματικοῦ ἑνικοῦ οὐδετέρου εἰς πληθυντικὸν ὅμοιον. [Ἰστέον δὲ ὅτι, ὥσπερ ἀπὸ τοῦ σχεδόν, ὃ δηλοῖ τὸ ἐγγὺς καί, ὡς εἰπεῖν, ἐχομένως, ὡς ἀπὸ τοῦ σχέω σχῶ, γίνεται σχέδιος προπαροξυτόνως ὁ ἐγγύς, καὶ καθὰ κοινότερον λέγεται, αὐθωρόν, ἔτι δὲ καὶ Σχεδίος παροξυτόνως τῷ κανόνι τῶν τριβραχέων τὸ κύριον ὄνομα, οὕτω καὶ ἐκ τοῦ αὐτοσχεδόν ὁ αὐτοσχέδιος, οὗ ῥῆμα τὸ αὐτοσχεδιάζειν παρὰ τοῖς μεθ᾽ Ὅμηρον, οἳ ἔστιν ὅτε τὸ τοιοῦτον ῥῆμα οὐκ ἐν ἐπαίνῳ τιθέασιν, ἀλλὰ σεμνῶς ὑπ᾽ αὐτοῦ τὸ ψεύδεσθαι παραδηλοῦσιν, αὐτοσχεδιάζειν λέγοντες τὸ ἀσκέπτως καὶ ἀμελετήτως λαλεῖν ἢ γράφειν παρὰ τὸ ἀληθὲς ἢ ἄλλως ἀκριβές.

3.857 Οὕτω γοῦν τις ἔγραψεν, ὡς αὐτοσχεδιάζουσιν οἱ τὴν Λαΐδα Κορινθίαν εἶναι ἱστοροῦντες. βούλεται γὰρ εἰπεῖν ὅτι οὐ χρόνον τρίψαντες τῇ σκέψει, ἀλλ᾽ ἐκ τοῦ σχεδόν, ἤγουν ἐγγύς, καὶ ἀχρόνως, ὡς ἐν σχεδιασμῷ ἱστοροῦσιν. Ἐπισυμβαίνει γὰρ πολλαχοῦ ἀληθῶς τοῖς σχεδιάζουσι τὸ ἀνάκριβες, καθὰ καὶ τοῖς προγλώσσοις καὶ ὀξέσι φρονεῖν τὸ ἀκροσφαλές, εἴγε κατὰ τὴν τραγῳδίαν οὐκ ἀσφαλεῖς εἰσιν οἱ ταχεῖς φρονεῖν. ἡ δὲ παροιμία καὶ τὸν κύνα τυφλὰ τίκτειν οἶδε διὰ τὸ σπεύδειν ταχὺ γεννᾶν. Εὕρηται δὲ καὶ αὐτὸ τὸ αὐτοσχέδιον ἐπὶ τοιαύτης κείμενον σημασίας, ἤγουν ἠρέμα σκωπτικῆς, παρὰ τοῖς εἰποῦσιν ὅτι ἐκ τροφῆς ξηρᾶς οὔτ᾽ ἂν σκώμματα γένοιτο οὔτ᾽ αὐτοσχέδια ποιήματα, οὐ μὴν οὐδὲ ἀλαζονεία ψυχῆς, ἀλλὰ δηλαδὴ ἐκ μέθης, δι᾽ ἣν καὶ οἱ Ἕλληνες ἐν Λήμνῳ ἐκαυχῶντο μεγάλα κατὰ τὴν Ὁμηρικὴν ἱστορίαν.] (v. 321) Λέγει δὲ καὶ «στὰς πρόσθε νέκυος» ἰσοδυνάμως τῷ περιβάς καὶ ἀμφιβάς, ἅπερ βοήθειαν ἐπί τινων κειμένων δηλοῦσι. (v. 324) Δρύπτειν δὲ κυρίως μὲν ἐπὶ λεπισμοῦ δρυῶν, ἤτοι ξύλων, καταχρηστικῶς δὲ καὶ τὸ ἁπλῶς ξέειν. κυριολεκτεῖται δὲ μάλιστα ἐπὶ σαρκῶν τὸ ἀμύσσειν. τὸ μέντοι δρύπτειν βαθύτερόν τι τοῦ ἀμύσσειν ποιεῖ. διὸ καὶ ἐπιφέρει «ἀπὸ δ᾽ ὀστέον ἄχρις ἄραξεν», ἐλλειπτικῶς εἰπών, ἵνα ᾖ, ὅτι ἀπάραξε τοὺς μῦς εἰς ὀστοῦν ἄχρι. ἄλλως γὰρ τὸ ἄχρι αἰτιατικῇ οὐ συντάσσεται. οἱ δὲ παλαιοὶ τὸ ἄχρις ἀντὶ τοῦ διόλου φασί. Βαρύνεται δὲ τὸ ἄχρις κανόνι τοιούτῳ. τὰ εἰς ις ἐπιρρήματα δισύλλαβα βαρύνονται· ἄλις, μόγις, μέχρις, ἄχρις.

3.858 τὸ χωρίς καὶ ἀμφίς ὀξύνονται, διότι, φασί, μακρᾷ παραλήγεται. διὸ τὸ αὖθις καινὸν φαίνεται βαρυνόμενον. δοκεῖ δέ, φασίν, ἀποφυγεῖν τὴν ὀξεῖαν, ἐπεὶ καὶ τριχῶς ἐλέγετο κατὰ τὸ τέλος, αὖθις καὶ αὖθι καὶ αὖθιν μετὰ τοῦ νῦ, καθὰ καὶ τὸ πέρυσι πέρυσιν. Γίνεται δέ, φασί, τὸ ἄχρις ἀπὸ τοῦ μέχρις ἀποβολῇ τοῦ μῦ καὶ τροπῇ τοῦ φωνήεντος. (v. 328 s.) Ἐνταῦθα δὲ καὶ ἱστορίαν παραρριπτεῖ περὶ Χιμαίρας χάριν ποικιλίας τῆς ἐν λόγῳ καί τινος γοργότητος. Ἑταῖροι γὰρ Σαρπηδόνος ἱστοροῦνται ὁ ἀνωτέρω ῥηθεὶς Ἀτύμνιος καὶ ὁ Μάρις, υἱοὶ «Ἀμισωδάρου, ὅς ῥα Χίμαιραν θρέψεν ἀμαιμακέτην, πολέσι κακὸν ἀνθρώποισιν». ὃ δὴ ἠρεμαιότερον ὁ ποιητὴς φράζει τοῦ ἐπὶ σφηκῶν, οὓς καὶ αὐτοὺς ξυνὸν κακὸν πολλοῖς πρὸ ὀλίγου ἔφη. περὶ δὲ Χιμαίρας ἤδη λέλεκται ὅσα ἐχρῆν. Ὁμήρου δὲ παραρρίψαντος αὐτὴν ἐν βραχεῖ μνήμης μόνης χάριν, ὡς ἂν καὶ οὕτω τὸ τῆς ἀφηγήσεως ὕπτιον τῇ ἐπεμβολῇ ἐξεγείρῃ, οὐ χρὴ ἄρτι πολυλογεῖν, ἀλλ᾽ ἢ μόνον εἰπεῖν ὅτι τε Καρίας ἦν δυνάστης ὁ Ἀμισώδαρος, οὗ καὶ αὐτοῦ θυγατέρα ἔγημε Βελλεροφόντης, καὶ ὅτι ἔστι στοχάσασθαι κατὰ τοὺς παλαιοὺς μὴ πάντῃ πεπλάσθαι τὰ κατὰ τὴν Χίμαιραν ἐκείνην, εἴγε καὶ χρόνον ὁ ποιητὴς λέγει ὅτε ἦν, καὶ τὸν θρέψαντα δὲ ἱστορεῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἴσως οὖν, φασί, χίμαρος ἐξ αἰπολίου ἀγριανθεὶς καὶ ὥσπερ τι τέρας ἀπεκβάς, καθά που καὶ ὁ Καλυδώνιος καὶ ὁ παρὰ τῷ Ἡροδότῳ σῦς, καὶ πολλοὺς βλάπτων, ἀφορμὴ τῆς ποιητικῆς τερατολογίας ἐγένετο. Ἰστέον δὲ ὅτι καί τις τεκὼν ἢ καὶ ἀναγαγὼν δυναστευτικὴν γυναῖκα ἔχοι ἂν ἀκοῦσαι ὡς χίμαιραν θρέψεν ἀμαιμακέτην πολλοῖς κακὸν ἀνθρώποις. (v. 331) Τὸ δὲ «βλαφθέντα» κυριολεκτεῖται κἀνταῦθα, ὡς καὶ ἐν τῷ «ὄζῳ ἐν μυρικίνῳ βλαφθέντε». (v. 332 s.) Ἐν τούτοις δὲ καὶ βαθεῖαν θέλων Ὅμηρος δηλῶσαι διὰ ξίφους πληγήν φησιν· ἔπληξε «ξίφει αὐχένα, πᾶν δ’ ὑπεθερμάνθη ξίφος αἵματι». (v. 340 s.) Καὶ ὑποκατιὼν ἐπὶ ὁμοίας πληγῆς λέγει «πᾶν δ’ εἴσω ἔδυ ξίφος, ἔσχεθε δὲ μόνον δέρμα, παρηέρθη δέ», ἤγουν παρεκρεμάσθη, κάρη, διακοπὲν δηλαδὴ τῆς συνεχείας, ἐξ οὗ ῥήματος καὶ ὁ παρήορος γίνεται. (v. 334) Ὅτι δὲ πορφύρεος θάνατος ὁ ἐκ μιᾶς πληγῆς, προέγνωσται. Μοῖρα δὲ κραταιὴ οὐ πρὸς ἔπαινον εἴρηται, ἀλλὰ πρὸς ὁμοιότητα τοῦ κρατερός, ὃ οὐδ’ αὐτὸ ἀεὶ ἔπαινον ἔχει. (v. 335) Συνδραμεῖν δὲ τὸ μετὰ δρόμου ἀλλήλοις πελάσαι. δὶς δὲ ἐνταῦθα ἐρρέθη, οὐ μόνον διὰ τὸ καίριον τῆς λέξεως, ἀλλὰ καὶ κατὰ χρείαν ἐπαναλήψεως.

3.859 (v. 336) Τὸ δὲ «μέλεον ἠκόντισαν ἄμφω» ἐφερμηνευτικόν ἐστι τοῦ «ἔγχεσιν ἤμβροτον ἀλλήλων». (v. 338 s.) Λέγει δ’ ἐν τούτοις ὁ ποιητὴς καὶ περί τινος, ὡς «κόρυθος φάλον ἤλασεν, ἀμφὶ δὲ καυλὸν φάσγανον ἐρραίσθη», ὥστε οὐκ αἰχμῆς μόνον καυλός, ἀλλ’ ἰδοὺ καὶ ξίφους. [Καὶ εἴη ἂν τοιοῦτος καυλὸς τὸ κατὰ τὴν λαβὴν τοῦ ξίφους ἐπίμηκες καὶ στενόν, ἤγουν ἡ κώπη τοῦ ξίφους, ἀφ’ ἧς καὶ κωπῆεν αὐτὸ παρονομάζεται.] (v. 346—9) Τοῦ δέ, ὡς ἐρρέθη, κατὰ στόμα νυγέντος τὸ πάθος οὕτω φράζει διασκευάζων «ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε νέρθεν ὑπ’ ἐγκεφάλοιο, κέασε δ’ ἄρ ὀστέα λευκά, ἐκ δὲ τίναχθεν ὀδόντες, ἐνέπλησθεν δέ οἱ ἄμφω αἵματος ὀφθαλμοί. τὸ δ’ ἀνὰ στόμα καὶ κατὰ ῥῖνας πρῆσε γανών», ὅ ἐστι διεπέρασε καὶ ἐξήγαγε. Φασὶ δὲ οἱ φυσικοὶ τὴν αἱμορραγίαν διὰ τῶν ὀφθαλμῶν προφαίνεσθαι διὰ τὴν τῶν ἐκεῖ ὑμένων λεπτότητα. ὅθεν καὶ τοὺς ἰκτεριῶντας ἀπὸ ὀφθαλμῶν τὰ πρῶτα δήλους εἶναι τῆς χολῆς ὑποδραμούσης τοὺς ἐν αὐτοῖς ὑμένας, ἤτοι χιτῶνας. Ὅρα δ’ ἐνταῦθα σκυθρωπῷ χωρίῳ τῷ τῆς πληγῆς κάλλος τι μιχθὲν τὸ τῶν παρίσων, τοῦ ἐξετίναχθεν καὶ ἐνέπλησθεν. σεμνὰ δὲ καὶ αὐτὰ ὡς ποιητικά. ἔστι δέ τι καὶ ἀντιθετικῆς ἀστειότητος ἐν τῷ τοιούτῳ νοήματι, ὡς οἷον εἰπόντος τοῦ ποιητοῦ, ὅτι τὸ μὲν στόμα ἐξεκενώθη ὀδόντων, οἱ δὲ ὀφθαλμοὶ ἐπλήσθησαν αἵματος. (v. 319) Ῥῖνας δὲ καὶ νῦν πληθυντικῶς εἶπε διὰ τοὺς αὐτόθι δύο πόρους. (v. 347) Τὸ δὲ κεάσαι καὶ ἐπὶ ξυλοκοπούντων ἐν Ὀδυσσείᾳ κεῖται. λέγει δὲ καὶ μετ’ ὀλίγα, ὅτι κεφαλὴ βληθεῖσα λίθῳ ἄνδιχα πᾶσα κεάσθη. (v. 352—6) Ὅτι παραβολικῶς ὑπογράφων ὁ ποιητής, ὅπως ἔφυγον οἱ Τρῶές φησι «ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον ἢ ἐρίφοισι, σίνται, ὑπ’ ἐκ μήλων αἱρεύμενοι, αἵ τ’ ἐν ὄρεσι ποιμένος ἀφραδίῃσι διέτμαγεν· οἳ δὲ ἰδόντες αἶψα διαρπάζουσιν ἀνάλκιδα θυμὸν ἐχούσας· ὣς Δαναοὶ Τρώεσσιν ἐπέχραον», ἤγουν, ὡς καὶ προερρέθη, ἐνέπεσον καί, ὡς εἰπεῖν, ἐν χρῷ ἐπῆλθον. Ζαχρηεῖς οὖν ἐνταῦθα οἱ Δαναοί, ὡς ἀλλαχοῦ οἱ Λύκιοι, διὰ τὸ χράειν, ἐξ οὗ ὁ ζαχρηής. καιρία δὲ ποιηταῖς ἡ τοιαύτη λέξις. διὸ καὶ δὶς ἐνταῦθα κεῖται κατ’ ἐπιμονὴν ἔν τε τῇ ἀρχῇ τῆς παραβολῆς καὶ ἐν τῇ ἀποδόσει. [Ἰστέον δὲ ὅτι τε ἀπὸ τοῦ χράω γίνεται πλεονασμῷ Αἰολικῷ τοῦ υ χραύω, οἷον «χραύσει μέν τ’ αὐλῆς ὑπεράλμενον», καὶ ὅτι καὶ τὸ ἔχραε καὶ τὸ παρ’ Ἡροδότῳ «ἐνέχραεν εἰς τὸ πρόσωπον», καὶ τὸ ἐπέχραε καὶ τὸ χραῦσαι καὶ τὰ ἐκ τούτων χρωτός καὶ χροός ποιὰν ἐπαφὴν δηλοῦσι, καὶ ὅτι ἐκ τοῦ χράω χρῶ παράγωγον τὸ χραίνω κατὰ τὸ ῥῶ ῥαίνω.

3.860 Χραίνειν δὲ ἀεὶ ἐπὶ ψόγου κατὰ τὸ «ἄστυ κἀγορᾶς χραίνων κύκλον», οὐ μὴν καὶ τὸ μολύνειν τοιοῦτον, εἰς ὃ τὸ χραίνειν μεταλαμβάνεται. αὐτοῦ γὰρ τὸ μὲν «μολύνων τὴν ὑπήνην» ψογερόν ἐστι. τὸ δὲ «ἰχθυδίων ἀποκνίσας τὰ κρανία ἐμόλυν’ ἀλεύρῳ» τεχνικόν ἐστιν. ὡς ἐπὶ τηγανίσματι γὰρ δηλαδὴ ἐρρέθη. καὶ τοιοῦτον μὲν τὸ χράω καὶ χραύω καὶ χρῶ καὶ χραίνω. Ἔστι δὲ καὶ ἑτέρα ὁμοία σκευωρία παραγωγῆς ἐν τῷ χναύειν, ὅ ἐστι λίχνως ἐσθίειν, οὗ καὶ

Ἀθήναιος μέμνηται, οἷον «πάντα ταῦτ᾽ ἐχναύομεν», καὶ «ὁμοῦ τε χναύειν μαινίσι σηπίδια». Ἔστι γὰρ χάω χῶ τὸ χωρῶ, ἐξ οὗ τὸ χαίνω κατὰ τὸ χρῶ χραίνω. τὸ δὲ χάω πλεονασμῷ τοῦ νυ καὶ Αἰολικῇ ἐπενθέσει τοῦ υ γίνεται χναύω. Ὡς δὲ ἐκ τοῦ εἰρημένου χῶ γίνεται καὶ ἡ χήμη τὸ ὄστρακον διὰ τὸ κεχηνέναι, δῆλον καὶ αὐτὸ ἐκ τῶν τοῦ Ἀθηναίου.] (v. 353) Ὅρα δὲ ὅτι θηλυκῶς ἔφη τὰς ἄρνας καὶ τὰς ἐρίφους, ὡς δῆλον ἐκ τοῦ «αἵ τ᾽ ἐν οὔρεσι», καὶ τοῦ «ἀνάλκιδα θυμὸν ἐχούσας», καὶ ὅτι γενικῶς τοῖς μήλοις ὑπάγει ταύτας. οἱ δὲ παλαιοὶ πάντα μῆλα καλοῦσι τὰ θρέμματα, εἰ καὶ διὰ τὸν μαλλὸν κυριολεκτεῖσθαι τὴν λέξιν φασὶν ἐπὶ προβάτων, ἐξ ὧν ὁ ποιητὴς καὶ πρόβασιν αὐτά πού φησι.

3.861 καὶ Εὔπολις δὲ προβατικόν, φασί, χορὸν λέγει τὸν ἐξ αἰγῶν. Τὸ δὲ σίνται οὐκ ἂν εἴη μακρὰν τοῦ Σίντιες, ὅπερ ἀλλαχοῦ κεῖται. Τὸ δὲ «ὑπ᾽ ἐκ μήλων αἱρεύμενοι» ἀντὶ τοῦ ὑφαιρούμενοι ἐκ τῶν βοσκημάτων, τουτέστιν ὑποκλέπτοντες. τοιοῦτον γὰρ τὸ ὑφελέσθαι, ἢ τὰ ἐξαίρετα ἐκ φυσικῆς διαγνώσεως διαρπάζοντες. ἀφραδίαν δὲ ποιμένος αἰτιᾶται νῦν Ὅμηρος, τοῦ μὴ ἐπισυνάγοντος τὰ βοσκόμενα, ἐῶντος δὲ διατμαγῆναι. ἐμέμψατο δέ που καὶ βουκόλον ἀτέχνως βόσκοντα. Πολὺν δὲ φόβον δηλοῖ τὸ ἄρνας καὶ ἐρίφους παραλαβεῖν ἐν τῇ παραβολῇ καὶ μὴ ζῷα τέλεια. Ὅτι εὐφυῶς δυσκέλαδον τὸν φόβον λέγει διὰ τὸ τῶν φευγόντων θορυβητικόν. (v. 356 s.) Φησὶ γὰρ «οἳ δὲ φόβοιο δυσκελάδου μνήσαντο, λάθοντο δὲ θούριδος ἀλκῆς». ἀστεῖον δὲ κατ᾽ ἀντίθεσιν τὸ νόημα, εἴγε δέον ὂν μνήσασθαι θούριδος ἀλκῆς, οἱ δὲ ταύτης μὲν λάθοντο, φυγῆς δὲ μνήσαντο. Δυσκέλαδον δὲ φόβον λέγει, ὡς ὄντος καὶ ἀγαθοῦ τινος κελάδου, ὁποία καὶ ἡ τῶν μελπόντων καὶ ἡ τῶν νικώντων καὶ ἡ τῶν κυνηγετούντων δέ, ὅθεν καὶ Ἄρτεμις κελαδεινή. Δῆλον δὲ ὅτι καὶ ἡ φύλοπις καὶ ἡ ἐνοπὴ καὶ ἡ βοὴ ἐπὶ μάχης καὶ ἡ Ἐνυὼ ἐκ δυσκελάδων ἤχων ἐτυμολογοῦνται. (v. 358 s.) Ὅτι ὁ Αἴας ὁ μέγας «αἰὲν ἐφ᾽ Ἕκτορι χαλκοκορυστῇ ἵετο ἀκοντίσαι», ἀντιφιλοτιμούμενος, ὥς που μετ᾽ ὀλίγα καὶ τῷ Πατρόκλῳ ἐπὶ Ἕκτορι κέλεται θυμὸς ἱεμένῳ βαλεῖν. Ἕκτωρ δέ, ὃς καὶ αὐτὸς Αἴαντι ἀντιφέρεσθαι ἤθελε τὰ πρὸ τούτων ὡς ἀρίστῳ μετ᾽ Ἀχιλλέα, νῦν ἀρκεῖται φυλάσσων ἑαυτόν. (v. 359—61) Λέγει γὰρ ὅτι «ἰδρείῃ πολέμοιο ἀσπίδι ταυρείῃ κεκαλυμμένος εὐρέας ὤμους σκέπτετ᾽ ὀϊστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων», ὅπερ ἴδιον προσεκτικοῦ ἐν πολέμῳ στρατηγοῦ. Καὶ ὅρα πῶς διέστησε ῥοῖζον καὶ δοῦπον ἀλλήλων. (v. 362 s.) Εἶτα λέγει καὶ ὅτι «ἦ μὲν δὴ γίνωσκε μάχης ἑτεραλκέα νίκην», τὴν πολλαχοῦ ῥηθεῖσαν, «ἀλλὰ καὶ ὣς ἀνέμιμνε, σάω δ᾽ ἐρίηρας ἑταίρους». Πάνυ δὲ ταῦτα σεμνύνει τὸν Ἕκτορα, εἰ καὶ δύσελπις ὢν ἀνδρίζεται, καθά που πρὸ τούτων καὶ οἱ Ἀχαιοὶ τὸ αὐτὸ εἶχον σέμνωμα, ἔνθα ὡς μὴ ζησόμενοι ἐμάχοντο τοῖς Τρωσὶν ἐλπιδικοπουμένοις ἐμπρῆσαι τὰς ναῦς.

3.862 (v. 358 s.) Ἰστέον δὲ ὅτι τὸ «ἐφ᾽ Ἕκτορι ἀκοντίσαι» ταὐτὸν τῷ καθ᾽ Ἕκτορος. ὁποῖα καὶ ἄλλα μυρία κεῖνται παρὰ πολλοῖς. (v. 359) Ἰδρείη δὲ ἡ ἐπιστήμη ἀπὸ τοῦ ἴδρις ἴδρεος, ὡς ὄφεος, οὗ τὸ ἀνάπαλιν ἄϊδρις, ἀφ᾽ οὗ ἀϊδρείη πολέμου ἡ ἀτεχνία καὶ ἀνεπιστημοσύνη. (v. 360) Τὸ δὲ «ἀσπίδι ταυρείῃ» ἐκ τοῦ ἐπιπολάζοντος καὶ προφαινομένου μέρους καλεῖται, ὡς καὶ ἡ βοέη. τοιοῦτον δὲ καὶ ἡ κυνέη καὶ ἡ κτιδέη καὶ τὰ τοιαῦτα. (v. 361) Ὁ δὲ ῥοῖζος ὅτι τραχυφωνότερός ἐστι τοῦ δούπου, δῆλόν ἐστι. (v. 362) Τὸ δὲ «ἦ μὲν δὴ γίνωσκε μάχης ἑτεραλκέα νίκην» καὶ ἑξῆς, φρονίμου τε καὶ θαρσαλέου ἀνδρὸς ἔνδειξις. Τὸ δὲ γίνωσκε καὶ ἁπλῶς τὸ γινώσκειν οἱ μὲν ὕστερον Ἀττικοὶ μετὰ καὶ δευτέρου γάμμα γιγνώσκειν φασίν, ὡς καὶ ὁ Κωμικὸς δηλοῖ, καθὰ καὶ τὸ γίνεσθαι γίγνεσθαι. Ὅμηρος μέντοι ἀρχαϊκώτερον ἀγνοεῖ καὶ ἐν ἀμφοῖν τὸ δεύτερον γάμμα. ἔστι δὲ ὅμως ἀκριβέστερον τὸ τῶν ὕστερον, εἰ καὶ εὐφωνότερον τὸ τοῦ Ὁμήρου. Ὡς γάρ φησιν Ἡρακλείδης, καθὰ τελῶ τελίσκω ἰακῶς καὶ θορῶ θορίσκω καὶ μολῶ μολίσκω, ἐξ ὧν τὸ θρώσκω, ἔτι δὲ καὶ τὸ βλώσκω, οὕτω καὶ ἐκ τοῦ νοῶ γίνεται νόσκω, καὶ κατὰ συναίρεσιν νώσκω καὶ προσθέσει τοῦ γ Αἰολικῶς γνώσκω. ἐπεὶ καὶ τὸ νοῶ γνοῶ φασιν οἱ Αἰολεῖς. ἔνθεν ἡ στέρησις ἀγνοῶ. ἐκ δὲ τοῦ γνώσκω πάντως κατὰ ἀναδιπλασιασμὸν τὸ γιγνώσκω. λέγει δὲ ὁ

αὐτὸς καὶ ὡς οἱ Ἠπειρῶται προστιθέασι [καὶ αὐτοὶ] τὸ γ ταῖς λέξεσι, τὸν δοῦπον γδοῦπον λέγοντες, ὅθεν «ἐρίγδουπος πόσις Ἥρης», καὶ ἀπὸ τοῦ νέφος νόφος καὶ γνόφος. λέγει δὲ καὶ ἐν τῇ γνώμῃ πλεονάζειν τὸ γ , ὡς ἀπὸ τοῦ νοῶ νοήσω νώμη καὶ γνώμη. [Οὕτω δέ πως καὶ ὁ παρὰ τῷ Κωμικῷ γλάμων πλεονασμὸν ἔχει τοῦ γ . λήμη γὰρ καὶ ἐκεῖθεν λήμων ὁ λημῶν τοὺς ὀφθαλμούς, καὶ πλεονασμῷ τοῦ γ καὶ συστολῇ γλάμων.

3.863 ] (v. 363) Τὸ δὲ «ἀνέμιμνεν» οὐ πάντῃ λύει τὴν τοῦ Ἕκτορος φυγήν, ἀλλὰ μᾶλλον βεβαιοῖ. οὐ γὰρ ἔμενεν ὁ Ἕκτωρ ὡς ἐξ ἀρχῆς, ἀλλ' ἀνέμενεν, ἤγουν ὑποχωρήσας μικρὸν πάλιν ἔμενε. Τοῦτο γὰρ ἡ ἀνα πρόθεσις ἐνταῦθα δηλοῖ. οὕτω καὶ ἀναμάχεσθαι τὸ πάλιν μάχεσθαι καὶ ἀναπαλαίειν τὸ ἐκ δευτέρου παλαίειν καὶ ἄλλα μυρία. Τὸ δὲ «σάω» ποιητικῶς ἀποκέκοπται ἐκ τοῦ σάωζεν, ὅ ἐστιν ἔσῳζεν, ἵνα κατὰ μὲν τὸ ἀναύξητον ἰωνίζηται ἡ λέξις, κατὰ δὲ τὴν ἀποκοπὴν αἰολίζηται. (v. 364—6) Ὅτι κυανέῳ νέφει ἀμφιβάντι ταῖς ναυσὶν ἐπικρατέως φθάσας εἰκάσαι τοὺς Τρῶας ἐνταῦθα τὴν αὐτῶν αὖθις ἐκ νεῶν φυγὴν πρὸς νέφος εἰκάζει, εἰπὼν «ὡς δ' ὅτ' ἀπ' Οὐλύμποιο νέφος ἔρχεται οὐρανὸν εἴσω αἰθέρος ἐκ δίης, ὅτε τε Ζεὺς λαίλαπα τείνει, ὣς τῶν ἐκ νεῶν γένετ' ἰαχή τε φόβος τε», ἤγουν κατὰ κίνησιν λαιλαπώδους νέφους ἔφευγον καὶ ἦσαν οὕτω καὶ αὐτοὶ ὡς οἷον ἀελλόποδες φεύγοντες. Καὶ ὅρα φανερὰν ἐνταῦθα διάκρισιν Ὀλύμπου καὶ οὐρανοῦ καὶ αἰθέρος. φησὶ γὰρ Ὄλυμπον μὲν τὸ ὄρος, οὐρανὸν δὲ τὸν λιμνάζοντα ἀέρα καὶ παχύν, αἰθέρα δὲ τὴν ἄνω κυκλοφορίαν, τὴν αἰτίαν τῆς ποιᾶς τῶν ἀνέμων κινήσεως, ἵνα λέγῃ ὅτι ἐξ Ὀλύμπου τοῦ ὄρους λαῖλαψ νεφώδης εἰς ἀέρα ἔρχεται ἄνωθεν λαβοῦσα τὸ ἐνδόσιμον. Ἢ καὶ ἄλλως ἁπλούστερον, αἰθέρα ἔστι νοῆσαι τὴν αἰθρίαν καὶ εὐδίαν, ἵνα ᾖ ὁ νοῦς ὅτι νέφος ἐξ Ὀλύμπου εἰς οὐρανὸν ἔρχεται μετὰ εὐδίαν. ἣν ἀποσεμνύνων αἰθέρα δῖαν λέγει πρὸς διαστολὴν τῆς λαίλαπος, ἢ καὶ ἄλλως, ἐπεὶ ἐκ Διός, ἤγουν ἀέρος, γίνεται. διὸ οἱ μεθ' Ὅμηρον τὴν αἰθρίαν ἄλλως ὀνομάσαντες εὐδίαν λέγουσιν, ὡς ἂν εἴποι τις ἐναερίαν.

3.864 [Ἀστείως δὲ ἐκ τοῦ κατ' ἀλληγορίαν αἰθέρος εἴτ' οὖν Διὸς πεπόρισται νῦν τὸ ἐπίθετον. καὶ ἔστιν ὅμοιον, ὡς εἴ τις εἴποι Δία δῖον.] (v. 365) Ὅτι δὲ ἡ εκ πρόθεσις καὶ ἀντὶ μετα λαμβάνεται κατὰ τὸ ὑστερόχρονον, προδεδήλωται. Θηλυκῶς δὲ καὶ νῦν ἡ αἰθὴρ καθ' ὁμοιότητα τῆς ἠέρος. Τὸ δὲ «ὅτε Ζεὺς λαίλαπα τείνει», τουτέστι πανταχοῦ λαίλαπα ὁ ἀὴρ ἐξαπλοῖ, ὁρίζειν δοκεῖ, τί ἐστι λαῖλαψ, ὅτι δηλαδὴ κίνησις νεφῶν καὶ ταραχὴ μετὰ εὐδίαν τὴν ἀνωτέρω ῥηθεῖσαν. (v. 367) Ὅτι πέρας ἐνταῦθα τὸ τοῦ Πολυδάμαντος ἔχει θεοπρόπιον, ἐν οἷς λέγει Ὅμηρος, ὅτι οὐ κατὰ μοῖραν πέραον πάλιν οἱ Τρῶες, ἤγουν ἀτάκτως καὶ δυσδαιμόνως καὶ ἀκόσμως διεπέρων τὴν τάφρον ὡς φεύγοντες, ὅπερ ἐκεῖνος ἔφη οὐ κατὰ κόσμον φεύξεσθαι. ταὐτὰ γὰρ ὥσπερ μοῖρα καὶ κόσμος, οὕτω καὶ τὸ «οὐ κατὰ μοῖραν» καὶ τὸ «οὐ κατὰ κόσμον». (v. 367—9) Εἶτα θέλων εἰπεῖν ὡς ἔφευγε καὶ Ἕκτωρ, φησὶν εὐφημότερον «Ἕκτορα δ' ἵπποι ἔκφερον ὠκύποδες σὺν τεύχεσιν». ὡς καὶ μετ' ὀλίγα «τὸν δ' ἔκφερον ὠκέες ἵπποι. λεῖπε δὲ λαὸν Τρωϊκόν», ὡς φυγὼν πρὸ αὐτῶν, «οὓς ἀέκοντας ὀρυκτὴ τάφρος ἔρυκεν». (v. 370—6) Εἶτα ἐκφράζων τὸ κακὸν ἐπάγει «πολλοὶ δ' ἐν τάφρῳ ἐρυσάρματες ὠκέες ἵπποι ἄξαντες», ὅ ἐστι κλάσαντες, θραύσαντες, «ἐν πρώτῳ ῥυμῷ λίπον ἅρματ' ἀνάκτων», «Πάτροκλος δ' ἕπετο σφεδανὸν Δαναοῖσι κελεύων, Τρωσὶ κακὰ φρονέων. οἳ δὲ ἰαχῇ τε φόβῳ τε πάσας πλῆσαν ὁδούς, ἐπεὶ ἂρ τμάγεν», ἤγουν διεκόπησαν, ἐσκορπίσθησαν, «ὕψι δ' ἀέλλη σκίδναθ' ὑπαὶ νεφέων. τανύοντο δὲ μώνυχες ἵπποι ἄψορρον προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων», ὃ δὴ σαφεστάτη ἐστὶν ἑρμηνεία τῆς παλιώξεως. (377 s.) Εἶτα σεμνύνων τὸν Πάτροκλον λέγει ὅτι ἔνθα πλεῖστον ὀρινόμενον εἶδε λαόν, τουτέστι ταραττόμενον κατὰ τὸ «τοῖσι δὲ πᾶσιν ὀρίνθη θυμός», ἐκεῖ εἶχεν, ὅ ἐστιν ἤλαυνεν, «ὁμοκλήσας». (v. 378—81) Καὶ τὴν αἰτίαν προστιθεὶς ἐπάγει τὸ ἐντεῦθεν τοῖς Τρωσὶ κακὸν «ὑπὸ δ' ἄξοσι φῶτες ἔπιπτον πρηνέες ἐξ ὀχέων, δίφροι δ' ἀνεκυμβαλίαζον. ἀντικρὺ δ' ἄρα τάφρον ὑπέρθορον ὠκέες ἵπποι ἄμβροτοι», ὡς οἷα πτηνοί, καθὰ καὶ μετ' ὀλίγα εἰρήσεται, «οὓς Πηλῆϊ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θεοὶ δόσαν ἀγλαὰ δῶρα, πρόσσω ἱέμενοι». Καὶ ὅρα ὅση τε διαφορὰ τῶν Ἀχιλλέως ἵππων πρὸς τοὺς τοῦ Ἕκτορος, εἴπερ ἐκείνους μὲν ἀπεδειδίσσετο τάφρος εὐρεῖα, οὗτοι δὲ ὑπέρθορον αὐτήν. καὶ ὅτι Ἕκτωρ μὲν πρὸ τούτων ἐφιλοτιμεῖτο ἐκεῖ μάχεσθαι, ὅπου ἀριστέας ἔβλεπε, Πάτροκλος δὲ νῦν, ἔνθα πολύς, ὡς ἐρρέθη, λαὸς ὀρίνεται. (v. 369) Τὸ δὲ «λαὸν οὓς ἀέκοντας» Ἀττικῶς πέφρασται διὰ τὸ λαὸν Τρωϊκὸν τοὺς Τρῶας νοεῖσθαι. (v. 370) Τὸ δὲ ἐρυσάρματες, ὥς που καὶ προεδηλώθη, μεταπλασμὸν ἔχει. ἅρμα γὰρ ἅρματος, ὅθεν ὁ ἐρυσάρματος, καὶ πληθυντικὸν οἱ ἐρυσάρματοι, ἀφ' οὗ μετεπλάσθη τὸ ἐρυσάρματες ἵπποι, ῥηθέντες οὕτω πρὸς διαστολὴν τῶν ἔξω ἅρματος, ὁποῖοι καὶ οἱ κέλητες ἵπποι. (v.

3.865 371) Πρῶτον δὲ ῥυμὸν κἀνταῦθα τὸ αὐτοῦ ἄκρον λέγει τὸ πρὸς τῷ ζυγῷ. κλᾶται δὲ τοῦτο ἐνισχομένου, ὡς εἰκός, ἅρματος ταῖς ὄχθαις τῆς τάφρου. δύναται δέ τις φιλονεικῶν πρῶτον ῥυμὸν εἰπεῖν καὶ τὸ πρὸς τῷ ἄξονι μέρος αὐτοῦ, ἵνα πολλὴν οὕτω βίαν ἐνδείξηται. (v. 372) Τὸ δὲ σφεδανόν ποιητικὴ μὲν λέξις καὶ ἧς οὐ χρῄζει πεζὸς λόγος, εἰ μὴ ἄρα κατὰ παραπλοκὴν ἔπους. δηλοῖ δὲ τὸ ἠπειγμένον ἀπὸ τοῦ σπεύδειν, ἀφ' οὗ καὶ ἡ σπουδή, τραπέντος τοῦ ψιλοῦ εἰς δασύ, ἵνα ᾖ σπευδανόν. οὕτω δὲ καὶ τὸ σφόδρα ἐκ τοῦ αὐτοῦ παρῆκται ῥήματος, καὶ τὸ σφοδρόν. ὥσπερ δὲ ἐκ τοῦ σπεύδω σφεδανόν, οὕτω καὶ ἐκ τοῦ πέμπω δυσπέμφελος κατὰ Παυσανίαν τροπῇ τοῦ π εἰς φ , δυσάρεστος, χαλεπός, μεμψίμοιρος, οὗ χρῆσις παρά τε Ἡσιόδῳ καὶ παρὰ τῷ ποιητῇ. (v. 374) Τὸ δὲ «πάσας πλῆσαν ὁδούς» ἐστὶ μὲν ὅμοιον τῷ «ἐναύλους πλήσειαν νεκύων», ὡς εἶναί πως ἐνταῦθα ταὐτὰ ἐναύλους καὶ ὁδούς. στεναὶ γὰρ καὶ αἱ ὁδοί. ὅθεν καὶ ἀτραπιτοὶ λέγονται ὡς μὴ ἐκτροπὰς ἔχουσαι. ἀστείως δὲ νοεῖται, εἴπερ οἱ πρὸ μικροῦ ἀλαλητῷ πᾶν πεδίον κατέχοντες ἐν τῷ νικᾶν νῦν πάσας ἔπλησαν ὁδοὺς φεύγοντες. Τὸ δὲ «ἐπεὶ ἂρ τμάγεν» ἐκ τῆς παραβολῆς ὥρμηται, καθ' ἣν ἄρνες καὶ ἔριφοι ποιμένος ἀφραδίαις διέτμαγον. ἐκεῖναί τε γὰρ διατμαγεῖσαι τὰ ἐκεῖ ἔπλησαν εἰς ῥᾳδίαν τοῖς λύκοις διαρπαγήν, καὶ ἐνταῦθα ὁμοίως οἱ Τρῶες τμαγέντες πάσας πλῆσαν ὁδοὺς ἐπὶ ὀλέθρῳ οἰκείῳ. ὅτι δὲ καὶ ἐπὶ φιλίᾳ ἔστι διατμαγῆναί ποτε, δῆλον καὶ ἐκ τοῦ «ἀρθμήσαντε διέτμαγεν», ἤγουν φιλιωθέντες διεχωρίσθησαν. (v. 374 s.) Ἡ δὲ σκιδναμένη ἄελλα κόνεως ἂν εἴη, ἐλλειπτικῶς εἰπόντος τοῦ ποιητοῦ διὰ τὸ συγκατεπείγειν τὴν φράσιν τοῖς πράγμασι. δῆλον δὲ ὅτι καὶ ὁμίχλῃ τὴν αὐτὴν φθάσας εἴκασε. Τὸ δὲ «σκίδνατο ὑπαὶ νεφέων» ἀντὶ τοῦ ὑπὸ τὰ νέφη. οὐ γὰρ δήπου καὶ ὑπερνεφὴς ἡ κόνις ἐγίνετο. (v. 375) Τὸ δὲ «τανύοντο ἵπποι» ἀντὶ τοῦ συντεταμένως ἔτρεχον καὶ οὐχ' ἁπλῶς ἐβηmάτιζον, ὃ καὶ πλίσσεσθαι ἐν Ὀδυσσείᾳ Αἰολικῶς λέγεται, οἷον «εὖ μὲν τρώχων, εὖ δὲ πλίσσοντο πόδεσσι».

3.866 (v. 378 s.) Τὸ δὲ ὑπ' ἄξοσι φῶτας πίπτειν πρηνεῖς ἐξ ὀχέων, δηλοῖ τοὺς ἐξ ἁρμάτων πίπτοντας, εἶτα πιεζομένους τοῖς τῶν φευγόντων ἱππέων ἄξοσι. (v. 379) Τὸ δὲ «ἀνεκυμβαλίαζον» ἀντὶ τοῦ ἀνεκρότουν ἢ ἀνεπήδων. μετήνεκται δὲ ἡ λέξις ἀπὸ τῶν ἠχητικῶν κυμβάλων, ἅπερ ἀναπηδᾷ ἐν τῷ προσκρούεσθαι ἀλλήλοις. Οἱ δὲ παλαιοί φασι καὶ ὅτι τὸ ῥῆμα βομβῶδες ὂν ἔμφασιν ἔχει τῆς μετὰ ἤχου τῶν ἁρμάτων ἀνατροπῆς. ἢ καὶ ἄλλως, ἀνεκυμβαλίαζον ἀντὶ τοῦ πῇ μὲν προσηράσσοντο ἀλλήλοις, πῇ δὲ διΐσταντο μετὰ ἤχου, καθ' ὁμοιότητα καὶ τοῦτο κυμβάλου, ἢ ἀνετρέποντο ἄνω κάτω γινόμενοι κατὰ ὁμοιότητα τῶν πιπτόντων κυμβάχων. τί δὲ δηλοῖ τὸ κύμβαχος, προδεδήλωται. (v. 380) Ἐν δὲ τῷ «ὑπέρθορον ὠκέες ἵπποι» σημαίνει οὐ μόνον τὸ ὑπερφέρον τῶν ἵππων, ὡς προσεχῶς ἐδηλώθη, ἀλλὰ καὶ τὴν τοῦ τολμήσαντος ἡνιόχου θρασύτητα, ὁποίαν δηλοῖ καὶ Ὅμηρος ἐν τῷ «θρασὺν ἡνίοχον φορέοντες», καὶ ὅτι τὸ τοιοῦτον πήδημα τῶν τοῦ Ἀχιλλέως ἵππων προεθεράπευσεν ὁ ποιητὴς ἐν τῷ «ἅμα πνοιῇσι πετέσθην», προκατασκευάσας ἐκεῖ τὸ τολμηρόν. πάντως γὰρ οἱ πετόμενοι ῥᾳδίως εἶχον τὴν τάφρον ὑπερθορεῖν. (v. 382 s.) Ἐνταῦθα δὲ κεῖται καὶ ἡ ἐπι πρόθεσις συνήθως ἀντὶ τῆς κατα , ἐν τῷ «ἐπὶ δ' Ἕκτορι κέκλετο θυμός», ὁ τοῦ Πατρόκλου, ἀντὶ τοῦ κατὰ Ἕκτορος. «ἵετο γάρ», φησί, «βαλέειν». καὶ ἔστι τὰ τοιαῦτα χρήσιμα εἰς τὸ «δαιμονίη, τί μοι ἐπέχεις», ἀντὶ τοῦ κατ' ἐμοῦ

ἔχεις. Εἰ δὲ καὶ ὡς ἐπὶ τοξότου ἐκεῖνο ἐν Ὀδυσσείᾳ λέγεται, κείσθω τέως καὶ ἐνταῦθα εἰς μνήμην. ὑποκειμένου γὰρ εἰς χρῆσιν τοῦ «ἔπεχε σκοπῷ τόξον» εἴη ἂν καὶ τὸ «τί μοι ἐπέχεις» ἀντὶ τοῦ τί μου καταστοχάζῃ ὡσεὶ καὶ κατὰ σκοποῦ ἐμοῦ τοξεύσουσα. (v. 384) Ὅτι, ὡς καὶ ἐν τῇ βῆτα ῥαψῳδίᾳ καὶ ἀλλαχοῦ δὲ πολλαχοῦ παρεσημάνθη, τὰς παραβολὰς ὁ ποιητὴς ἐπεισάγει ἐπί τε διαναπαύσει τοῦ ἀκροατοῦ καὶ ἐπὶ σαφηνείᾳ τῶν λεγομένων καὶ ποικιλίας δὲ πραγμάτων ἕνεκεν καὶ εἰς πολυμαθείας μέθοδόν τε καὶ ἔνδειξιν.

3.867 μυρία γὰρ εὐμεθόδως διὰ τῶν παραβολῶν τῇ ποιήσει παρεμπλέκει, ἐξ ὧν ἥ τε γραφὴ πλατύνεται καὶ ἡ ποιητικὴ ἐμπειρία καὶ σοφία διαφαίνεται. Καὶ τοίνυν ἔθους ὄντος ἐν ταῖς παραβολαῖς ἐκτίθεσθαί τινα, τὰ μὲν φυσικῶς, ὡς ὅτε ἢ στοιχείων λέγει καινοτομίας ἢ ζῴων ἰδιότητας, τὰ δὲ πραγματικῶς καὶ βιωτικῶς, ὡς ὅτε τὰ παρόντα παραβάλλει κοινῶς πράγμασιν, ἃ τέτριπται κατὰ βίον, οἷον τὸν Πάτροκλον κόρῃ δακρυούσῃ πρὸς τὴν μητέρα ἢ τὸν Αἴαντα κελητίζοντι διὰ τεσσάρων, ὅτε μεταβαίνει ἐκ νηὸς εἰς νῆα, καὶ ὅτε ζῷα παράγει κυνηγετούμενα ἢ ἄλλως ἁλισκόμενα, ὁμοίως δὲ εἰθισμένης τῆς ποιήσεως καὶ πρὸς ἦθος φιλοσοφεῖν ἐν παραβολαῖς καὶ παιδεύειν τὸν ἀκροώμενον, (v. 384—93) ἐνταῦθα κατακλυσμὸν παραβολικῶς φράζων σφοδρὸν ἀδίκοις ἐπιφερόμενον ἐπὶ κακῷ τῶν ἀνθρωπίνων ἔργων φησὶν «ὡς δ’ ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθὼν ἤματ’ ὀπωρινῷ, ὅτε λαυρότατον χέει ὕδωρ Ζεύς, ὅτε δὴ ἄνδρεσσι κοτεσσάμενος χαλεπήνῃ, οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας, ἐκ δὲ δίκην ἐλάσωσι θεοῦ ὄπιν οὐκ ἀλέγοντες, τῶν δέ τε πάντες μὲν ποταμοὶ πλήθουσι ῥέοντες, πολλὰς δὲ κλιτῦς τότ’ ἀποτμήγουσι χαράδραι, ἐς δ’ ἅλα πορφυρέην μεγάλα στενάχουσι ῥέουσαι ἐξ ὀρέων ἐπὶ κάρ, μινύθει δέ τ’ ἔργ’ ἀνθρώπων, ὣς ἵπποι Τρῳαὶ μεγάλα στενάχοντο θέουσαι». Καὶ σημείωσαι, ὅτι πρὸς μόνον τὸ «στενάχοντο» ἡ παραβολή, τὸ ἀπὸ συντονίας δρόμου γινόμενον, ὡς καὶ μετ’ ὀλίγα ῥηθήσεται, ὃ καὶ ἐνεργητικῶς προφέρεται, ὡς δηλοῖ τὸ «στενάχουσι ῥέουσαι». Τὰ δὲ λοιπὰ τῆς παραβολῆς ἐκφρασείδιόν τε ἔχει μεγάλου κατακλυσμοῦ καὶ αἰτίαν αὐτοῦ ἠθικὴν καὶ διδασκαλίαν εὐθυδικίας, ᾗ ἐναντίον τὸ «σκολιὰς κρίνειν θέμιστας».

3.868 Δῆλον δὲ ὅτι τε σεμναὶ πάντως αἱ τῆς εἰρημένης παραβολῆς ἔννοιαι—τοιαῦται γὰρ αἱ τῶν μεγάλων καὶ θείων πραγμάτων ἐκφράσεις καὶ αἱ ἠθικαὶ παιδεύσεις—, καὶ ὅτι σκοπὸς αὐτῇ τοῦτο καὶ μόνον δηλῶσαι, ὡς αἱ Τρωϊκαὶ ἵπποι οὕτω ἔστενον ἀσθμαίνουσαι τῷ συντόνῳ δρόμῳ τῷ ἐκ τοῦ διώκεσθαι, καθὰ ἐν δεινῷ κατακλυσμῷ τῷ ἐκ θεομηνίας χαράδραι μεγάλα στενάχουσι ῥέουσαι. Ἦν δὲ πάντως χρεών, εἰ καὶ τοὺς δίφρους ἀνακυμβαλιάζειν ἔφη ὁ ποιητής, εἰπεῖν τι καὶ περὶ ἵππων. καὶ τοίνυν ἐκεῖνο μὲν οὐκ ἐπεξειργάσατο διὰ τὸ ἀριφραδὲς τῆς ὀνοματοποιΐας καὶ ἐναργές, εἰς δὲ τὸ εἰπεῖν στενάχειν ἐδέησε τῆς ῥηθείσης πλατείας παραβολῆς. (v. 391) Οὐκ ἄδηλον δὲ ὅτι τε τὸ στενάχειν ὠνοματοπεποίηται, εἰ καὶ μὴ τραχυφώνως, καθὰ καὶ τὸ ἀσθμαίνειν καὶ ὅσα τοιαῦτα, (v. 384) καὶ ὅτι τὸ μὲν ὑπὸ λαίλαπι ἀντιπτωτικῶς εἴρηται ἀντὶ τοῦ ὑπὸ λαίλαπος, τὸ δὲ «βέβριθε χθών» πολλὴν ἐπομβρίαν δηλοῖ ὡς βαρυτέρας τηνικαῦτα γινομένης τῆς γῆς, καὶ μάλιστα τῆς μελαίνης τῷ δι’ αὐτῆς ῥέοντι πολλῷ ὕδατι καὶ οὐκέτι κούφης οὔσης κατὰ τὸ «κουφίζουσαν ἄρουραν», ὃ παρ’ Ἡσιόδῳ κεῖται. (v. 385) Ὀπώρα δὲ ὥρα, ᾗ συνεχές ἐστι τὸ φθινόπωρον, ἧς παρώνυμον ὁ ὀπωρινός. πάντως δὲ ὀπωρινὸν ὄμβρον, ὅ ἐστι θερινόν, παρέλαβεν ἐνταῦθα πρὸς ἔνδειξιν τῆς παρὰ τοῖς ἀδίκοις θεομηνίας, εἰ καὶ ἐν θέρει κατακλύζονται οἱ τοιοῦτοι, ὅτε σπάνιος ὑετὸς καὶ μάλιστα ὁ λαυρότατος. ἡ γὰρ ἐν ἄλλαις ὥραις ἐπομβρία οὐ πάνυ δοκεῖ παράδοξος. Λαυρότατον δὲ διὰ τοῦ υ γραπτέον, [ἴσως] ἀπὸ τοῦ λα ἐπιτατικοῦ καὶ τοῦ ῥέειν, ἵνα ᾖ ὥσπερ ἄρρηκτον αὔρηκτον παρ’ Αἰολεῦσιν, οὕτω καὶ λάρον λαῦρον. ὡσαύτως δὲ καὶ ἐν Ὀδυσσείᾳ λαῦρα πλεονασμῷ τοῦ υ δημοσία ὁδός, δι’ ἧς λαὸς ῥέει. λάβρος μέντοι διὰ τοῦ β ὁ λίαν βορὸς ἢ βαρύς. [Ὅτι δὲ καὶ διὰ τοῦ βῆτα γραφῆναι τὸ λαβρότατον ὕδωρ ὀρθῶς ἔχει, προδεδήλωται. βαρύνει γὰρ νῦν γῆν, ὡς

δῆλον ἐκ τοῦ «βέβριθε χθών». οὕτω καὶ λαβροστομεῖν διὰ τοῦ βῆτα. καὶ λαβρωνία δέ, φασίν, ἔκπωμα Περσικὸν παρὰ τὴν ἐν τῷ πίνειν λαβρότητα.

3.869 ] Τὸ δὲ «χέει ὕδωρ Ζεύς» ὅ ἐστιν ἀήρ, περίφρασις μέν ἐστι τοῦ ὕει Ζεύς, δηλωτικὸν δ’ ἐστὶ καὶ αὐτὸ τοῦ καλῶς διϊπετεῖς λέγεσθαι τοὺς ἐξ ὄμβρων ποταμούς. [(v. 388) Ὅρα δὲ καί, ὡς οὐ δι’ ἄλλην κακίαν κατακλύζεσθαί φησι γῆν ἢ διὰ ἀδικίαν, ὡς ταύτην οὖσαν τῶν ἄλλων χειρίστην, ἧς καὶ Ἡσίοδος πολλὰ καταλέγει, τοὺς ἰθυδίκας ἀποδεχόμενος. Ἐνταῦθα δὲ σημείωσαι καὶ ὅτι κακοσεβῆ καὶ ἀνεπίστροφον θεοῦ εἶναι δοξάζει τὸν ἄδικον, εἴπερ οἱ ἐξελάσαντες τὴν δίκην θεῶν ὄπιν οὐκ ἀλέγουσιν. Ὅρα δὲ τὸ «θεῶν ὄπιν οὐκ ἀλέγειν» ἐντελῶς ῥηθέν. ἄλλως γὰρ τὸ ἀλέγειν μόνον ῥηθὲν λείπεται φύσει αἰτιατικῆς. τοιοῦτον δὲ καὶ τὸ «κρίνωσι θέμιστας». ἐλλιπὲς γὰρ δίχα αἰτιατικῆς καὶ τὸ κρίνειν. Ἡ δὲ τοῦ θεοῦ ὄπις παιδεύει μὴ μόνων δεῖν ἡμᾶς εἶναι τῶν πρόσθεν, ἤγουν τῶν ἐνεστώτων καὶ πρὸ ὀφθαλμῶν ὄντων, ἀλλὰ καὶ τῶν ὄπισθεν, ὅ ἐστι μελλόντων, ἐφ’ ὧν ἔχει χώραν καὶ ἡ ὄπις καὶ ἡ ἐπιστροφὴ καὶ τὰ τούτων ῥήματα. καὶ ἔστι θεῖόν τι ἡ ὄπις.] (v. 389) Τὸ δὲ «ποταμοὶ πλήθουσι» σαφῶς ἑρμηνεύει πλήθοντας ποταμοὺς τοὺς ἐξ ὄμβρου πληρουμένους λέγεσθαι, ὃς δὴ ὄμβρος τὸ τοῦ Διός, ὡς ἐρρέθη, ὕδωρ τοὺς μὲν χειμάρρους αὐτόχρημα γεννᾷ, ὅθεν καὶ διϊπετεῖς ἐκεῖνοι κυρίως λέγονται, τοὺς δὲ ἀεννάους ὑποκένους ὄντας οὐ μόνον ἐπιχειλεῖς ποιεῖ, ἀλλὰ καὶ ὑπερχειλεῖς, ὅ ἐστι πλήθοντας. (v. 390) Κλιτῦς δὲ κατὰ τοὺς παλαιοὺς τὰ ἀποκλίματα καὶ ἐξέχοντα τῶν ὀρέων παρὰ τὸ κεκλίσθαι, ὥσπερ καὶ παρὰ τὸ ἀνακεῖσθαι τὰ ἄγκεα. Καὶ ἄλλως δὲ φράσαι, κλιτῦς οἱ προκεκλιμένοι καὶ προνενευκότες ἐν ἄκρῳ τινὶ τόποι, οὓς αἱ χαράδραι παρατρώγουσαι καταρρίπτουσιν. Ὅτι δὲ ἐξοχήν τινα αἱ κλιτύες δηλοῦσι, δῆλον καὶ ἐκ τοῦ ἀποτμήγουσι χαράδραι. τὰ γὰρ ἐξέχοντα καταρριπτοῦνται χαρασσομένων τῶν ὑπ’ αὐτά, ἐξ οὗ ἡ χαράδρα παράγεται. Ὡς δὲ καὶ διὰ τῆς ει διφθόγγου γράφουσί τινες τὴν κλιτὺν ἀπὸ τοῦ κλέτας πλεονασμῷ τοῦ ἰῶτα, δηλοῦσιν οἱ τὸν Ἡρῳδιανὸν ἀμφιπενόμενοι Τεχνικοί.

3.870 κλέτας δέ, οὗ χρῆσις πολλαχοῦ, ὀρεινὴ τραχεῖα ἐξοχή. [Ὅτι δὲ περιεκτικὸν ἐκ τῆς χαράδρας ὁ χαραδρεών, αἱ ῥητορικαὶ δηλοῦσι χρήσεις, ἐν αἷς καὶ ἐξ ἀκάνθης καὶ ὁ ἀκανθεών.] Ἔστι δὲ ζητῆσαι διὰ τί ἀποτμήγουσιν εἶπε καὶ οὐχὶ κατερείπουσιν, ὡς τὸ «κατήρειπον ἐπάλξεις». δοκεῖ γὰρ ἀποτμήγεσθαι τὰ ἡνωμένα κατὰ ἶσον ἐπίπεδον, οὐ μὴν τὰ ὑπερκείμενα. Καὶ σκοπητέον εἰπεῖν τι περὶ κλιτύων ἀκριβέστερον. ἴσως γάρ, ὥσπερ οὐδὲ τὸ κλίτος οὐδὲ τὸ κλίμα, οὕτως οὐδὲ ἡ κλιτὺς ἐπὶ ἐξοχῆς ἂν κυριολεκτοῖτο, καὶ μᾶλλον, εἰ σκέψεταί τις τὴν ἰσοδυναμίαν τοῦ κεκλίσθαι καὶ τοῦ ἀνακεῖσθαι, ὧν ἐκ τοῦ μὲν ἡ κλιτύς, ἐκ δὲ τοῦ ἑτέρου τὸ ἄγκος, ὡς εἴρηται. (v. 391) Τὸ δὲ «μεγάλα στενάχουσιν» ἀσφαλῶς ἐρρέθη. αὐτὸ γὰρ τὸ στενάχειν καθ’ αὑτὸ λείως ἔχον τῆς ἐκφωνήσεως οὐδέν τι βαρὺ ἐμφαίνει δίχα τοῦ μεγάλα. διὸ οὐδὲ μέγα στενάχουσιν ἔφη, ἀλλὰ πληθυντικῶς μεγάλα. (v. 392) Τὸ δὲ «ἐπὶ κάρ» ἐστὶ μὲν ἀντὶ τοῦ ἄνωθεν κάτω καὶ οἷον ἐπὶ κάρη κατὰ ἀποκοπήν, κυριολεκτεῖται δὲ ἐπὶ ζῴων. Εἰ δὲ τὸ μὲν τῆς παραβολῆς ὕδωρ ἐπὶ κάρ, αἱ δὲ ἵπποι ἄνω ἵενται ὡς πρὸς τὴν ὑψηλὴν Τροίαν, καὶ δοκεῖ ἀνομοίως ἔχειν ἡ παραβολὴ καὶ τὸ ὑποκείμενον πρᾶγμα, ἡ μὲν διὰ τὸν κατάρρουν, τὸ δὲ διὰ τὴν ἄνω φοράν, ἀλλ’ ἤδη ἐρρέθη, ὡς ἡ παραβολὴ πρὸς μόνον ἦχον καὶ συντονίαν δρόμου εἴληπται. (v. 393) Ὅρα δὲ καὶ τὸ «μεγάλα στενάχουσι ῥέουσαι», καὶ «μεγάλα στενάχοντο θέουσαι» κάλλος ἐμποιοῦντα τῇ παραβολῇ διά τε τὴν ἐπαναφορὰν καὶ τὰ καίρια ὁμοιοτέλευτα. (v. 394) Ὅτι τὸ ῥῆξαι φάλαγγας κέρσαι ἐνταῦθά φησιν Ὅμηρος εἰπὼν «Πάτροκλος δ’ ἐπεὶ οὖν πρώτας ἐπέκερσε φάλαγγας». Ἔστι δὲ καὶ ἐνταῦθα τὸ οὖν ἀντὶ τοῦ δή, ἵνα εἴη τὸ ἐπεὶ οὖν ταὐτὸν τῷ ἐπειδή. δύναται δὲ καὶ αἰτιολογικῶς κεῖσθαι, ὡς ἂν ἐκ παραλλήλου ταὐτίζηται τὸ ἐπεί καὶ τὸ οὖν. (v. 395) Ὅτι παλιμπετὴς παρὰ μὲν τοῖς μεθ’ Ὅμηρον ὁ ἑαυτῷ μαχόμενος καὶ ἐναντιούμενος οἷς εἶπεν ἢ ἔπραξεν, ὃς καὶ περιπετὴς λέγεται, οἷον· ὁ δεῖνα παλιμπετὴς ἤτοι περιπετὴς ἑαυτῷ ἐγένετο, [ἀνάπαλιν ἑαυτῷ καὶ οἷς εἶπε πίπτων], καὶ τὰ ἐπιρρήματα παλιμπετὲς καὶ περιπετές.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.871 Ὅμηρος δὲ ἐν τῷ «ἐπὶ νῆας ἔεργε Πάτροκλος παλιμπετές», τὰς τῶν Ἀχαιῶν δηλαδὴ φάλαγγας, ἐπὶ τοῦ ὀπίσω καὶ ἀνάπαλιν τὴν λέξιν τίθησι. (v. 396—8) Διὸ καὶ ἑρμηνεύων ἐπάγει «οὐδὲ πόληος εἴα ἱεμένους ἐπιβαινέμεν, ἀλλὰ μεσηγὺ νηῶν καὶ ποταμοῦ καὶ τείχεος ὑψηλοῖο κτεῖνε μεταΐσσων, πολέων δ' ἀπετίνυτο ποινήν». Ἐξ οὗ εἴληπται τὸ ἄντιτα ἔργα τὰ ἀντίτιτα καὶ τὸ ποινὴν ἀποτινέμεν, ἤδη δὲ καὶ τὸ τιμὴν ἄρνυσθαι, ὥστε ταὐτὸν τὸ παλιμπετὲς ἐέργειν καὶ τὸ μὴ ἐᾶν πόλεως ἐπιβαίνειν εὐθὺ χωροῦντας. Ἕτεροι δὲ παλιμπετὲς εἶπον ἐπιρρηματικῶς τὸ εἰς τοὐπίσω πίπτειν τῶν βελῶν. Δύναται δὲ καὶ αἰτιατικὴ εἶναι θηλυκὴ πληθυντικὴ κατὰ ἀποβολὴν τοῦ ι ἐκ τοῦ παλιμπετεῖς ἢ συγκοπῇ τοῦ α ἀπὸ τοῦ παλιμπετέας, ὁμοίως τῷ «ἐρέτας ἐπιτηδές», καὶ «ἀκλεὲς αὔτως», ἤγουν ἀκλεεῖς. Ἰστέον δὲ ὅτι τὸ «παλιμπετὲς ἀναχωρῆσαι» πάνυ διαφέρει τῆς παλιώξεως. ἐκεῖ μὲν γὰρ οἱ πάλιν ὁρμῶντες, ἤγουν ὀπίσω, ἄκοντες τοῦτο ποιοῦσιν, ἀντιδιωκόμενοι παρὰ τῶν πρώην φευγόντων, ἐνταῦθα δὲ οἱ νικῶντες καὶ διώκοντες ἑκόντες ἀναχωροῦσιν, οὐ διωκόμενοι ἀλλὰ φεύγειν ἀφέντες τοὺς ἐχθρούς. Ὅρα δὲ ὅτι δοκεῖ μὲν ὁ Πάτροκλος τῇ τοῦ ἑταίρου παραιφάσει ἕπεσθαι ἐν τῷ κωλύειν Ἀχαιοὺς ἐπιβαίνειν τῆς πόλεως, μαχομένους νηῶν μέσον καὶ ποταμοῦ καὶ τείχεος. τὸ δ' ἐστὶν οὐ τοιοῦτον, ἀλλ' ἔοικεν ὑπὸ σπουδῆς παρακηκοέναι. οὐ γὰρ οὕτως ἤκουσεν, ἀλλὰ «ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν». ὁ δὲ πλεῖόν τι πράξας ἐβλάβη. Τὸ δὲ «πόληος ἐπιβαίνειν» οὐ μακράν ἐστι τοῦ «Τρώων νέφος ἀμφιβέβηκε νηυσίν». (v. 397) Ὅρα δὲ καὶ ὅτι κἀνταῦθα τεῖχός φησιν ὑψηλόν. τοῦτο δὲ παρεσημειώθη διὰ τοὺς ἁπλῶς χθαμαλὸν εἰπόντας εἶναι τὸ Ἑλληνικὸν τεῖχος. [Εἰ μὴ ἄρα τὸ τῆς Τροίας μάλιστα λέγει τεῖχος, ὅπερ οὐδὲ ἦν ῥᾷον ἑλεῖν διὰ τὸ πολὺ τοῦ ὕψους.] (v. 398) Τὸ δὲ «πολέων ἀπετίνυτο ποινήν» ἀντὶ τοῦ πολλοὺς Ἕλληνας ἐξεδίκει καὶ οὕτως οἱ Τρῶες ἐτίνυον, ἣν ἐχρεώστουν ποινὴν ὑπὲρ τῶν ἤδη ἀνῃρημένων Ἀχαιῶν. (v. 399) Ὅτι τὸ «Πρόνοον πρῶτον ἔβαλε δουρὶ Πάτροκλος» ἔχει τι ἀστεῖον τῇ ἐννοίᾳ. ὁ γὰρ ἐκ τῆς προ προθέσεως ὀνομαζόμενος πρῶτος βάλλεται.

3.872 ἀνεπιτηδεύτως δὲ εἴρηται, καὶ οὐκ ἄν τις αὐτὸ εἴπῃ παρίσωσιν τὴν ἐν ἀρχῇ. (v. 401—6) Ὅτι σχῆμα καὶ ὧδε τέθειται καινοπρεπές. εἰπὼν γὰρ «ὃ δέ», ἤγουν ὁ Πάτροκλος, «Θέστορα Ἤνοπος υἱὸν δεύτερος ὁρμηθείς» καὶ ὀφείλων εὐθὺς ἐπαγαγεῖν τὸ «ἔγχεϊ ἔνυξεν», ἵνα ᾖ· ὁ δὲ Θέστορα ἔνυξεν, οὐχ' οὕτω ποιεῖ, ἀλλὰ ἐπεμβαλὼν περὶ Θέστορος τὸ «ὃ μὲν εὐξέστῳ ἐνὶ δίφρῳ ἧστο ἀλείς», ὅ ἐστι συστραφείς, συσταλείς, «ἐκ γὰρ πλήγη φρένας, ἐκ δ' ἄρα χειρῶν ἡνία ἠΐχθησαν», τότε δὴ ἐπάγει ἐπαναληπτικῶς κατὰ ἀκολουθίαν τὸ «ὃ δ' ἔγχεϊ νύξε παραστὰς γναθμὸν δεξιτερόν» καὶ ἑξῆς, ὥστε τὸ «ὃ δὲ Θέστορα» πάντῃ ἀσύντακτον ἔμεινεν αὐτὸ καθ' αὑτό, συγχεθείσης οἷον τῆς φράσεως τοῦ νοήματος ἀκολούθως τῷ τὰς φρένας ἐκπλαγέντι. θεραπεύεται δὲ ἡ τῆς φράσεως καινοπρέπεια κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα, ἵνα λέγῃ ὅτι ὁ δὲ Θέστορα δεύτερον ὁρμηθεὶς ἔνυξεν, εἶτα ἐπαγάγοι τὰ ἐφεξῆς. Γέγονε δὲ ἡ ῥηθεῖσα διακοπὴ ἐξ ἐπεμβολῆς διὰ τὸ θελῆσαι παράσημον οὕτω θέσθαι τὸν Θέστορα, ἐφ' οἷς ἀστείως ἐρεῖ περὶ αὐτοῦ. (v. 404—10) Εἰπὼν γὰρ τὸ «ἔνυξε γναθμὸν δεξιτερόν» ἐπάγει «διὰ δ' αὐτοῦ πεῖρεν ὀδόντων, ἕλκε δὲ δουρὸς ἑλὼν ὑπὲρ ἄντυγος, ὡς ὅτε τις φὼς πέτρῃ ἐπὶ προβλῆτι καθήμενος ἱερὸν ἰχθὺν ἐκ πόντοιο θύραζε λίνῳ καὶ ἤνοπι χαλκῷ, ὣς εἷλκεν ἐκ δίφροιο κεχηνότα δουρὶ φαεινῷ, κὰδ δ' ἂρ ἐπὶ στόμα ἔωσε, πεσόντα δέ μιν λίπε θυμός». Καὶ εἶχε μὲν ἐνταῦθα κερτομῆσαι ὁ ποιητὴς τὸν οὕτω πεσόντα, ὁ δὲ εἰς ἄλλο χωρίον τοῦτο φυλάσσει κατὰ προσώπου ἐνδόξου, ἔνθα τις νόθος Πριαμίδης μέτωπον ὑπὸ Πατρόκλου λίθῳ βάλλεται. Εἰ δὲ μὴ ἐχρῆν τὸν ἐνηῆ Πάτροκλον ὀνειδείοις ὅλως ἔπεσι χρᾶσθαι, ἀλλ' ἐξενίκησεν ἐν τοῖς μετὰ ταῦτα τοῦτον ἡ κατὰ ἀνδρίαν ἠθικὴ βαρύτης ἀστεΐσασθαι σαρκαστικῶς, ἔνθα τὸν ῥιφέντα εἰκάσει κυβιστητῆρι ἀνδρί. Ἐπαινοῦσι δὲ οἱ παλαιοὶ τὴν ῥηθεῖσαν παραβολὴν διὰ τὸ παντάπασιν ὅμοιον καὶ ὅλον διόλου προσαρμόζον τῷ ὑποκειμένῳ πράγματι. καταδέδυκε γάρ, φασίν, ἐν δίφρῳ ἁλείς, ἤτοι συστραφείς, ὁ Θέστωρ ὡς ἰχθὺς ἐν ὕδατι, καὶ ἐνίσχονται ὁ μὲν αἰχμῇ, ὁ δ' ἀγκίστρῳ—τοῦτο γάρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐστιν ὁ ἦνοψ χαλκός—, κεχήνασί τε ἀμφότεροι. ἔτι δὲ παραβέβληνται ὁ μὲν ἕλκων ἁλιεύοντι, ἰχθύϊ δὲ ὁ ἑλκόμενος, τὸ δὲ δόρυ καλάμῳ ἁλιευτικῷ. Ταύτης δὲ ἀνάπαλιν ἤγε ἀνωτέρω παραβολὴ ἡ ἐκ τοῦ κατακλυσμοῦ δίχα τοῦ «μεγάλα στενάχει» ἀσυνάρτητος ἦν τῷ πράγματι τά τε ἄλλα καὶ διὰ τὸν τρόπον τῆς φορᾶς.

3.873 Ὕδωρ μὲν γάρ, ὡς καὶ προελέχθη, κατάρρουν φέρεται, καὶ οὐ κατὰ τὴν παροιμίαν ἄνω ποταμῶν, αἱ δὲ Τρωϊκαὶ ἵπποι ἐκ τῶν νηῶν ἄνω πρὸς τὴν ὑψηλὴν Ἴλιον ἔθεον. καὶ οἱ μὲν ποταμοὶ δρῶσί τι εἰς βλάβην τινῶν οὕτω ῥέοντες, μινύθουσι γὰρ ἔργ᾽ ἀνθρώπων, οἱ δὲ Τρῶες δεινὰ ἔπασχον φεύγοντες. Ὅρα δὲ ὅτι καὶ Τρωϊκὸς Θέστωρ ἦν ὁμώνυμος τῷ τοῦ Κάλχαντος πατρί, καὶ Ἦνοψ πατὴρ αὐτοῦ ὁμωνυμῶν πρὸς τὸν τῆς παραβολῆς ἤνοπα χαλκόν. (v. 403) Τὸ δὲ «ἐξεπλήγη φρένας» οὐκ ἂν εἴη διαφέρον τοῦ ἐθέλχθη. σαφήνεια δὲ αὐτοῦ τὸ τὰ ἡνία ἐκφυγεῖν τῶν αὐτοῦ χειρῶν. [Σκοπητέον δὲ εἰ καὶ ὁ ἐκπαγλότατος ἀπὸ τοῦ τοιούτου ἐκπλήγη γέγονεν, ἵνα ᾖ ἐκπαγλότατος ὁ κατὰ χόλον ἤ τι ἕτερον σφοδρὸν πάθος ἐκπληγεὶς τὰς φρένας.] Τὸ δὲ «ἐκ γὰρ πλήγη φρένας», καὶ τὸ «ἐκ δ᾽ ἄρα χειρῶν ἡνία ἠΐχθησαν» σχῆμά ἐστι καλὸν διὰ τὴν κατὰ πρόθεσιν ἐπαναφοράν. οὐ ταὐτὸν δ᾽ ἴσως ἐκπληγῆναι καὶ ἐκπλαγῆναι, ἀλλὰ δαιμονίαν τινὰ πληγὴν κατὰ τὰς σωματικὰς φρένας τὸ ἐκπληγῆναι δηλοῖ. (v. 405) Τὸ δὲ «γναθμὸν δεξιτερόν» διὰ σαφήνειαν ἐγράφη καὶ πιθανότητα. Τὸ δὲ «πεῖρε» προκλητικόν ἐστι τῆς τοῦ ἰχθύος παραβολῆς. καὶ ἐπὶ ἰχθύων γὰρ τὸ πείρειν κυριολεκτεῖται, ὡς καὶ ἡ Ὀδύσσεια ἐν τοῖς κατὰ τοὺς Λαιστρυγόνας δηλοῖ. (v. 407) Ἐν δὲ τῷ «ἱερὸν ἰχθύν» σεσίγηται μὲν τὸ ἕλκει διὰ γοργότητα ὡς ἀπὸ κοινοῦ ληφθησόμενον. Λέγει δὲ ἱερὸν ἰχθὺν κατά τινας, [ὧν καὶ Ἀριστοτέλης,] τὸν ἀνθίαν, οἷα σημαντικὸν ὄντα τοῦ ἄθηρον εἶναι τὴν θάλασσαν. ἐπεὶ ὅπου ἀνθίας, ἐκεῖ οὐκ ἔστι θηρίον θαλάσσιον, ᾧ σημείῳ χρώμενοι κατακολυμβῶσιν ἀδεῶς οἱ σπογγεῖς καὶ τὸν ἰχθὺν διὰ τοῦτο καλοῦσιν ἱερόν, [ἱστοροῦντες καὶ ἄριστον εἶναι αὐτὸν ἐν χειμῶνι καὶ εἰς ταὐτὸν ἄγοντες ἀνθίαν καὶ κάλλιχθυν καὶ καλλιώνυμον καὶ ἔλλοπα, ὅπερ ἀντιλέγεται. Ἄλλος δέ τις, φασί, ποιητὴς ἱεροὺς ἰχθύας τοὺς δελφῖνας ἔφη, ὧν ἱκανὰ σεμνώματα παρὰ τοῖς παλαιοῖς πεζολόγοις τε καὶ ποιηταῖς.

3.874 Θεόκριτος δ᾽ ἐν Βερενίκῃ ἄλλο τι βούλεται, εἰπὼν ἱερὸν ἰχθύν, ὃν λεῦκον ἢ γλαῦκον καλέουσιν «ὁ γάρ θ᾽ ἱερώτατος ἄλλων».] Ἕτεροι δὲ τὸν χρύσοφρυν ἱερόν φασιν ἰχθύν, [ὡς καὶ Καλλίμαχος ἐν Γαλατείᾳ, εἰπὼν «χρύσειον ἐν ὀφρύσιν ἱερὸν ἰχθύν».] Ἔνιοι δὲ τὸν πομπίλον, [ὡς Τιμαχίδας φάμενος, «πομπίλοι ἱεροὶ ἰχθῦς», ὡς οἷα σωτῆρες τῶν ναυτιλλομένων,] τινὲς δὲ τὸν κάλλιχθυν. Ἄλλοι δὲ ἱερόν φασιν ἰχθὺν μέγαν καὶ ἀσυνήθη τινὰ καὶ ἄνετον, τοῖς κρατοῦσι κατὰ θάλασσαν ἱερώμενον, ὅ ἐστιν ἀνακείμενον, ὡς καὶ βοῦν ἱερὸν τὸν ἀγελαῖον [καὶ μέγαν] καὶ ἄνετον, [καὶ «ἱερὸν μένος Ἀλκινόοιο» διὰ τὸ φιλόξενον δηλαδὴ καὶ βασιλικὸν καὶ πολυτρόπως μέγα.] Οἱ δέ τινες ἱερὸν συνήθως ἰχθὺν τὸν ἱέμενον κατὰ ῥοῦν. εἰσὶ δέ, οἳ διερὸν μεταγράφουσιν. Ὅτι δὲ τὸ ἱερὸν οὐκ ἀεὶ ἐπ᾽ ἀγαθοῦ καὶ εὐφήμου λαμβάνεται, δηλοῖ ὁ εἰπών, ὡς ἔστιν ὀφείδιον μικρόν, ὃ καλοῦσί τινες ἱερόν, ὅπερ οἱ πάνυ μεγάλοι ὄφεις φεύγουσι. (v. 406) [Καλῶς δὲ ἕλκειν ἐν τούτοις εἶπεν, οὐ μὴν ἀνέλκειν ἢ ἄλλο τι τοιοῦτον ὑψωτικὸν ῥῆμα. οὔτε γὰρ ὁ ἰχθὺν ἱερὸν θηρεύσας ἀνέλκειν αὐτὸν δύναται κατὰ τοὺς ἁλισκομένους ὁρμιαῖς ταῖς ἐκ καλάμων—βαρὺς γὰρ ὁ ἱερὸς ἰχθὺς ὑπόκειται καὶ οὐχ᾽ οἷος ἀναρπάζεσθαι ὡς ἰχθύδιον—οὔτε μὴν ὁ Πάτροκλος ἀναρτᾶν εἶχεν ὡς ὁρμιᾷ τῷ δόρατι ἀνελκύσας ἐκ δίφρου ἡρωϊκὸν ὁπλίτην, εἷλκε δὲ ἀγκιστρεύσας οἷον τῇ αἰχμῇ, ἕως προαγαγὼν τοῦ δίφρου κάτω ἔρριψε.] (v. 408) Θύραζε δὲ καὶ ἐνταῦθα, ὡς καὶ ἐν ἄλλοις, ἁπλῶς τὸ ἔξω τοῦδέ τινος περιέχοντος τόπου. καὶ τοῦτο εἰκότως, εἴπερ οἰκία καὶ δόμοι καὶ πόλεις καὶ πατρίδες λέγονται ζῴων οἱ τόποι περὶ οὓς νέμονται. Λίνον δὲ νῦν ἔφη τὴν ἐκ λίνου ὁρμιὰν μετὰ συστολῆς τῆς ἀρχούσης.

3.875 ὡς ἐπὶ πολὺ δὲ τὸ δίκτυον οὕτω λέγεται. τὸ δέ γε «λῖνον δ᾽ ὑπὸ καλὸν ἄειδε» φανεῖται τί δηλοῖ ἐν τοῖς ἑξῆς. Ἤνοπα δὲ χαλκὸν ἢ αὐτὸ λέγει τὸ ἄγκιστρον, ὡς εἴρηται, ἢ τὸν πρὸ τοῦ ἀγκίστρου

χάλκειον αὐλόν. Ὡς γὰρ οἱ παλαιοί φασιν, αἱ λιναῖ ὁρμιαὶ συρίγγια εἶχον ἐνημμένα χαλκᾶ ἢ κεράτινα, ἵνα μὴ ἀποτρώγωσιν οἱ ἰχθύες τὸ λίνον. Ἤνοπα δὲ λέγει τὸν ἔνοπα, ὅ ἐστιν ἔμφωνον. μόνος γὰρ τῶν ἀψύχων δοκεῖ φωνὴν ἔχειν. καὶ οἱ Πυθαγορικοί φασι τὸν χαλκὸν παντὶ συνηχεῖν θειοτέρῳ πνεύματι. διὸ καὶ τῷ Ἀπόλλωνι τρίπους τοιοῦτος ἀνάκειται. καὶ ἐν νηνεμίᾳ δὲ πολλάκις τῶν ἄλλων ἀτρεμούντων σειομένοις ἔοικε τὰ κοῖλα χαλκώματα. Οἱ δέ τινες ἤνοπα νοοῦσι τὸν διαυγῆ παρὰ τὸ ἐνόπτω, δι' οὗ ἔστι δηλαδὴ ἐνοπτρίσασθαι. Ὅρα δὲ καὶ ὅτι τὸν Θεστορίδην Ἤνοπα δουρὸς ἑλκυσθῆναι εἰπών, ὡς ἕλκεται ἰχθὺς ἤνοπι χαλκῷ, καὶ ἀμυδρῶς ἐμφήνας τι ἀστεῖον διὰ τῆς τοιαύτης ὁμωνυμίας, ἠρκέσθη οὕτω ποιήσας [ἐν στενῷ, καὶ οὐδὲ περιειργάσατο παραθεῖναι τὼ ὀνόματε ἄμφω ἐγγὺς καὶ παρασῦραι τοῖς ἀτέχνοις ἄκαιρον γέλωτα.] (v. 410) Ὅρα δὲ καὶ τὸ «κατέωσεν ἐπὶ στόμα», ἤγουν πρηνῆ κατέρριψεν. (v. 411—4) Ὅτι πέτρῳ ἢ πέτρῃ βάλλει τινὰ Πάτροκλος μέσην κατὰ κεφαλήν. «ἣ δὲ ἄνδιχα πᾶσα κεάσθη ἐν κόρυθι βριαρῇ. ὃ δ' ἄρα πρηνής» καὶ αὐτὸς «ἐπὶ γαίῃ κατέπεσε». Καὶ νοητέον ὅτι λίθους εἶχε καὶ ὁ Πάτροκλος ἐπὶ δίφρου κατὰ τὸ σιωπώμενον, ἢ καὶ καταβὰς ἀνείλετο. καὶ τοῦτο δὲ κατὰ σχῆμα σιωπῆς. (v. 415 s.) Ὅτι Ἀμφοτερὸς κύριον ὀξυτόνως πρὸς διαστολὴν τῆς ἀντωνυμίας, ᾧ σύγκειταί καί τις Τληπόλεμος, ἕτερος παρὰ τὸν τοῦ Ἡρακλέος υἱόν, καὶ Ἐχίος κύριον τρίβραχυ, καὶ διὰ τοῦτο παροξύτονον, καὶ Ἰφεὺς κύριον ἀπὸ τοῦ ἶφι, ἐξ οὗ καὶ Ἶφις εὔζωνος. φαίνεται δὲ καὶ Ἀργέας εἶναί τις καθ' ὁμοιότητα τοῦ Αὐγέας καὶ Αἰνέας, οὗ πατρωνυμικὸν Ἀργεάδης ὡς Αἰνεάδης κατὰ τὴν ἐν τοῖς τοιούτοις ἀναλογίαν.

3.876 (v. 417) Φησὶ γοῦν «Ἀργεάδην Πολύμηλον». [Ὧν ὁ Πολύμηλος μὲν υἱὸς πρὸς ὁμοιότητα τῆς Πολυμήλης, Ἀργέας δὲ πατήρ, ὅθεν ὁ Ἀργεάδης.] (v. 418) Ὅτι ἀριστέως ἔπαινος τό· τούσδε καὶ τούσδε «πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ». (v. 419 s.) Ὅτι ἐν τῷ «Σαρπηδὼν ἴδεν ἀμιτροχίτωνας ἑταίρους χερσὶν ὑπὸ Πατρόκλου δαμέντας» ἀμιτροχίτωνας τοὺς τοιούτους λέγει, οὐχ' ὡς ἀζώστους [κατὰ τοὺς πρὸ ὀλίγων εἰρημένους.] —οὐδέποτε γὰρ μίτρα παρὰ τῷ ποιητῇ ἁπλῶς ἡ ζώνη—, ἀλλὰ τοὺς μὴ ὑποζωννυμένους μίτρας τοῖς χιτῶσιν, ὅ ἐστι τοῖς θώραξιν, ἀλλὰ ἅμα τῷ θώρακι συνηρτημένην ἔχοντας καὶ τὴν μίτραν, καὶ οὐ συμβλητὴν κατὰ τοὺς πολλούς, ὥστε τὸ α ἐνταῦθα καὶ στέρησιν δύναται δηλοῦν διὰ τὸ μὴ ὑποζώννυσθαι μίτρας καὶ ἀντὶ τοῦ ἅμα δὲ λαμβάνεται διὰ τὸ ὁμοῦ τῷ θώρακι συνηρτῆσθαι αὐτάς. τὸ δὲ λέγειν μὴ ἔχειν τὸ ἔθνος τῶν Λυκίων μίτρας καὶ χιτῶνας ἀπίθανον. τινὲς δὲ ἀμιτροχίτωνας μόνους τοὺς κειμένους νοοῦσιν ὡς ἤδη ἐσκυλευμένους τάς τε μίτρας τούς τε χιτῶνας. Ὅτι δέ τις μίτρα καὶ περὶ κεφαλὴν ἦν, δηλοῖ ὁ γράψας «μίτραις εἰλίχατο τὰς κεφαλάς», [οὐ πολεμικαῖς δηλαδή, ἀλλά τισι ζωνοειδέσιν, ὧν ἐτυμολογία ἐκ μίτου, ἵνα λέγοιντο οὕτως ὡς μιτηραί, καὶ ἐν συγκοπῇ, ὡς καὶ ἄλλοθι ἐδηλώθη, μίτραι βαρυτόνως πρὸς ἀναλογίαν τῶν εἰς τρα ληγόντων θηλυκῶν. Χρῆσις δὲ τῆς λέξεως ταύτης καὶ παρὰ τῷ εἰπόντι, ὅτι κατιὼν Ἀλκιβιάδης εἰς τὴν πατρίδα ἐστεφάνωσε τὰς Ἀττικὰς τριήρεις θαλλῷ καὶ μίτραις καὶ ταινίαις. Ἔνθα σημειωτέον ὡς, εἰ καὶ μὴ αὐτόχρημα στέφανος ἡ ταινία ἐστί, φασκία γάρ τις εἶναι δοκεῖ, ὅμως ἐπεὶ στεφανοῖ ποτε καὶ αὐτή, οὐκ ἔξω λόγου τινὸς ἑρμηνεύεται εἰς στέφανον παρὰ τοῖς πολλοῖς.] (v. 422) Ὅτι ἐπαινετέος τῆς συντομίας ὁ στίχος οὗτος «αἰδὼς ὦ Λύκιοι, πόσε φεύγετε; νῦν θοοί ἐστε». τρεῖς γὰρ ἔχει ἐννοίας συντεμνομένας τῷ κατεπείγοντι τοῦ καιροῦ. ὀνειδίζει δὲ ὁ λόγος τοὺς ἀνδρίζεσθαι μὲν βραδεῖς, ὀξυκινήτους δὲ φεύγειν.

3.877 (v. 424 s.) Ὅτι ὁ ἀπορῶν, τίς ἂν εἴη ὁ κακά τισι ποιῶν, εἴποι ἂν «ὅς τις ὅδε κρατέει καὶ δὴ πολλὰ κακὰ ἔοργε» τοὺς δεῖνα, «ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ' ἔλυσεν». (v. 423) Εἰ δὲ καὶ ἀντικαταστῆναι τῷ τοιούτῳ ἐθέλοι, καλόν ἐστιν αὐτῷ εἰπεῖν καὶ τὸν προηγούμενον στίχον, τὸ «ἀντήσω γὰρ ἐγὼ τοῦδ' ἀνέρος, ὄφρα δαείω, ὅς τις ὅδε κρατέει» καὶ ἑξῆς. Ἔνθα ὅρα τὸν γαρ σύνδεσμον ἀργὸν κείμενον καὶ οὐ πρὸς αἰτίας ἀπόδοσιν. εἰ μὴ τυχὸν προσληπτέον ἔξωθεν ἐλλειπτικῶς ἢ κατὰ κοινοῦ τὸ μὴ φεύγετε. τότε γὰρ εὐσυντάκτως ἔχει τὸ «ἀντήσω γὰρ ἐγώ»

καὶ ἑξῆς. Ἔστι δὲ ἀντῆσαι κατὰ γενικὴν σύνταξιν τὸ ἄντην γενέσθαι. ᾧπερ ὅμοιον καὶ τὸ «ἤντησας ὀπωπῆς» ἐν Ὀδυσσείᾳ. οὐ πάνυ δὲ συνήθης οὐδὲ κοινὴ ἡ τοῦ ἀντᾶν αὕτη σύνταξις ἡ μετὰ γενικῆς. Τὸ δὲ «ἔοργεν» ἢ ἐκ τοῦ ἐέργω, οὗ μέσος παρακείμενος ἔοργα, ἢ ἀπὸ τοῦ ῥέζω ῥέξω ἔρογα καὶ μεταθέσει ἔοργα, οὗ τὸ τρίτον τὸ ἔοργεν. (v. 426 s.) Ὅτι τὸ καταπηδῆσαι ἅρματος ἐπὶ μὲν Σαρπηδόνος οὕτω φράζει «ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε», ἐπὶ δὲ Πατρόκλου συντομώτατα λέγει «ἔκθορε δίφρου». (v. 428) Ὅτι νῦν μὲν αἰγυπιοῖς εἰκάζει τὸν Σαρπηδόνα καὶ τὸν Πάτροκλον, διὰ τὸ δῆθεν ἰσοδύναμον, ὅτε τῶν ἁρμάτων καταπηδήσαντες ἀλλήλοις ἐπόρουσαν. διόπερ οὐδὲ παρείληφεν ἑτερογενῆ ὄρνεα, ὥσπερ που ἐν τοῖς ἑξῆς ἰσοδυναμίαν ὁμοίαν παραδηλῶν λέοντι τὸν Πάτροκλον καὶ τὸν Ἕκτορα εἰκάσει. μετὰ μέντοι ὀλίγα ὑποβιβάζων τὴν τοῦ Σαρπηδόνος ἰσχὺν τὸν μὲν Πάτροκλον λέοντι παραβαλεῖ, Σαρπηδόνα δὲ ταύρῳ ἀγελαίῳ αἴθωνι μεγαθύμῳ. Πέτρᾳ δὲ κἀνταῦθα, ὀρεινῇ δηλαδή, τοὺς αἰγυπιοὺς ἐπικαθίζει κατὰ ἰδιότητα. (v. 428—30) Φησὶ γὰρ «οἵ δ’ ὥς τ’ αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι πέτρῃ ἐφ’ ὑψηλῇ μεγάλα κλάζοντε μάχονται, ὣς οἱ κεκλήγοντες ἐπ’ ἀλλήλοισιν ὄρουσαν», ἤγουν κατ’ ἀλλήλων ὥρμησαν. πρὸς μόνην δὲ κλαγγὴν ἡ παραβολή. Ὅτι δ’ ἀετοί τινες καὶ οἱ αἰγυπιοί, καὶ περὶ τοῦ «κεκλήγοντε», ἀλλαχοῦ γραφέντα κεῖται. (v. 428) Περὶ δὲ τοῦ ἀγκυλοχεῖλαι ῥητέον καὶ ὅτι, ὅπως ἂν καὶ παραχθείη ὁ ἀγκυλοχείλης, ἔχει ἀντιλογίαν. Εἰ μὲν γὰρ ἀγκυλοχείλης λεχθείη ὁ ἔχων ἀγκύλας χηλάς, ἤτοι ὄνυχας, ὡς τραπέντος τοῦ η εἰς τὴν ει δίφθογγον Βοιωτῶν ἔθει, ἀνάκριβες τὸ τῆς ἐτυμολογίας, ἐπειδὴ χηλὴ ἐπὶ ζῴων κυριολεκτεῖται πεζῶν, ἃ καὶ διχηλεῖν λέγεται.

3.878 ἄλλως τε καὶ προείληπται ὁ νοῦς οὗτος ἐν τῷ γαμψώνυχες, καὶ ἦν περιττὸν θέσθαι δὶς τὸ αὐτὸ ἐπίθετον. εἰ δέ γε ἀγκυλοχείλης εἴη ὁ ἔχων ἀγκύλα χείλη, ἔχει τι καὶ οὕτω πρόσαντες ἡ ἑρμηνεία. ἐπὶ γὰρ ἀετῶν ῥάμφος, οὐ χεῖλος λέγεται. καὶ ὅμως κάλλιον τοῦτο ἤπερ τὸ πρότερον. ἡ γὰρ λέξις τοῦ ῥάμφους τῶν ὑστέρων ἐστί. (v. 429) Τὸ δὲ «πέτρῃ ἐφ’ ὑψηλῇ» οὐ μάτην εἴρηται, ἀλλ’ ὅτι ἀετῶν μάλιστα, ὡς εἴρηται, ἰδιότης τοῦτο. κλῶνες μὲν γὰρ δένδρων οὐχ’ οὕτως στέγουσι τούτους, εἰς γῆν δὲ οὐκ ἔχουσι βαίνειν διὰ τὸ πάνυ γαμψώνυχον. ἐναέριοι δὲ οὐχ’ οὕτω στερρῶς μαχήσονται. μάλιστα οὖν ἐπὶ πετρῶν γενναίως ἀλλήλοις μάχονται. (v. 430) Τὸ δὲ κλάζοντες θέμα ἐστὶ τοῦ κεκλήγοντες. (v. 431) Ὅτι ἐλεεῖ μαχομένους ὁ Ζεὺς τόν τε Πάτροκλον καὶ τὸν Σαρπηδόνα ὡς ἐν ἀκμῇ τῆς ἡλικίας τεθνηξομένους. τοῦτο δὲ διὰ τί ὁ ποιητὴς παρέθετο, μετὰ βραχὺ δηλωθήσεται. (v. 432) Ὅτι Ὁμήρου εἰπόντος περὶ Διός «Ἥρην δὲ προσέειπε κασιγνήτην ἄλοχόν τε» τῶν τις ἐπιτρίπτων σοφιστῶν τὸν Αἰγύπτιον Πτολεμαῖον παρανομοῦντα εἰς ἀδελφὴν παρεμυθήσατο τὸν τοιοῦτον στίχον εἰπών, ὡς οἷα συμβολικῶς παραλαλῶν μὴ καινοπραγεῖν τὸν βασιλέα τῇ ἀδελφῇ συγχρωτιζόμενον, εἰ τοιοῦτος καὶ ὁ Ζεύς. Τίνος δὲ ἂν εἴη ὁ κόλαξ ἐκεῖνος ἀντάξιος, ὃς τῷ τοῦ Κωμικοῦ παιγνίῳ εἰς σπουδὴν ἀπεχρήσατο; καὶ αὐτὸς γάρ που κατ’ ἐκεῖνον εἰς τὸν Δία ἐπαναφέρει τι φαύλης πράξεως αἴτιον. ὡς ἐξόλοιτο ἡ κολακεία, συνιστῶσα πολλαχοῦ τὸ κακὸν καὶ ἀπὸ παραχρήσεων λογίων ἀνδρῶν. [Ἔστι δὲ ἐνταῦθα παρασημειώσασθαι ὡς οὐ μόνον ἡ ἄκαιρος κολακεία ἐπιτρίβει τοὺς οὐκ ἔμφρονας, ἀλλ’ οὐδὲν ἧττον καὶ ἡ ἀκαιροπαρρησία, ἥτις κατὰ τὴν παλαιὰν ἱστορίαν καὶ τὸν Μαρωνείτην Σωτάδην κατέπνιξεν ἀκαίρως παρρησιασάμενον ἐπὶ τῇ αὐτῇ ἀθέσμῳ μίξει κατὰ τοῦ εἰρημένου Πτολεμαίου, καθ’ οὗ ἄλλα τε, φασίν, ὁ Σωτάδης εἶπε δεινά, ἀτὰρ καὶ τόδε, ὡς τὴν ἀδελφὴν Ἀρσινόην γεγαμηκὼς εἰς οὐχ’ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖ.

3.879 διὸ καὶ ἀπήλλαξε κακῶς τὸ ζῆν. ἐν Καύνῳ γὰρ τῇ νήσῳ στρατηγός τις τοῦ βασιλέως λαβὼν αὐτὸν καὶ εἰς μολιβῆν κεραμίδα ἐμβαλὼν καθῆκεν εἰς τὸ πέλαγος. Τρυμαλιὰ δὲ πάντως ἡ τρῦπα, ἐκ τοῦ τρύω. ἐξ οὗπερ οὐ μόνον τρυτάνη καὶ Ἀτρυτώνη, ἀλλὰ σὺν ἄλλοις καὶ ἡ τρυμαλιὰ καὶ τὸ τρυπᾶν καὶ τὰ ἐξ αὐτοῦ, ὧν καὶ ἡ τρῦπα. Σεμνῶς δὲ ἡ τῆς τρυμαλιᾶς τροπὴ καὶ τοῦ κέντρου τὴν ἀνόσιον τοῦ Πτολεμαίου μίξιν ᾐνίξαντο.] Ὅτι Ζεὺς μέν, ὡς εἴρηται, ἠλέησε

χωρήσαντας ὁμόσε ἰδὼν τὸν υἱὸν Σαρπηδόνα καὶ τὸν Πάτροκλον, καὶ βουλεύεται ἢ ζῶντα τῇ Λυκίᾳ περισώσεται ἁρπάξας αὐτὸν ἢ ὑπὸ τῷ Πατρόκλῳ ῥίψει, Ἥρα δέ—μητρυιὰ γάρ ἐστι τῷ Σαρπηδόνι—σχετλιάζει, ἐὰν αὐτὸν θανάτου ἐξαναλύσῃ, προβαλλομένη πιθανῶς ὡς, εἰ τοῦτο γένηται, καὶ ἄλλοι τῶν ἀθανάτων τοὺς ἑαυτῶν ὁμοίως περισώσονται, τρόπον τινὰ λέγουσα, ὡς οὐδ’ Ἀχιλλεὺς τὸ λοιπὸν τεθνήξεται ἀθανάτης μητρὸς ὢν τῆς Θέτιδος. Καὶ ὅρα τὴν Ὁμηρικὴν κἀνταῦθα δεινότητα, ὅπως φυλάττεται ἀπίθανα πλάττεσθαι. οἶδε γὰρ ὡς ἐὰν πλάσῃ τὸν Σαρπηδόνα τῆς Τροίας ἀφαρπαγέντα καὶ τῇ πατρίδι ἐπανασωθέντα, οὐ πιθανὸς ἔσται ὁ λόγος διὰ τὸ πολλοῖς καὶ ἄλλοις θεῶν παισὶ χρῆναι τοῦτο γενήσεσθαι καὶ μάλιστα τῷ Ἀχιλλεῖ, οὗ γενομένου μὲν παρὰ τὴν ἱστορίαν γράψει, μὴ γενομένου δὲ τυραννικὸς ἀπιθάνως δόξει ὁ Ζεύς. ὅθεν κυροῦται θανεῖν τὸν Σαρπηδόνα διὰ τὴν μοῖραν, κἂν Διὸς εἴη παῖς, εἶτα τιμηθῆναι, ὡς μετ’ ὀλίγα πλασθήσεται. Ἰστέον δὲ ὅτι ὡς δυνάμενον γενέσθαι πλάττει ὁ ποιητὴς τὸ ἁρπαγῆναι τὸν Σαρπηδόνα. προκατεσκεύασται γὰρ ἤδη τὸ τοιοῦτον μεθόδευμα ἀλλαχοῦ διά τε τοῦ Πάριδος καὶ τοῦ αὐτοῦ Σαρπηδόνος, οἳ ἐκ μέσου τοῦ στρατοπέδου πρὸ τούτων ἡρπάγησαν. Σημείωσαι δὲ καὶ ὅτι Ὁμηρικοὶ ταῦτά εἰσι λογισμοί. Μαθὼν γάρ, ὡς εἰκός, ἴσως ἐξ ἱστορίας τεθάφθαι τὸν Σαρπηδόνα ἐν Λυκίᾳ, σκοπεῖται πῶς ἂν τοῦτο εἴη, καὶ μήποτε ζῶν ἁρπαγεὶς ἐκ τῆς Τρωϊκῆς μάχης θανὼν ἐν τῇ πατρίδῃ τέθαπται, καὶ διακρίνει μὴ τοῦτο γενέσθαι—παρ’ ἱστορίαν γάρ—, θανεῖν δὲ ἐνδόξως ἐν τῇ μάχῃ, εἶτα, ὡς ἐρεῖ, νεκρὸν μετακομισθέντα ἐκεῖ ἀπαχθῆναι, ὡς αὐτὸς ἐν τοῖς ἐφεξῆς δηλώσει. Καὶ σημείωσαι ὅτι Ὁμηρικῆς προεκθέσεως εἶδος καὶ τὰ τοιαῦτα, αἱ τῶν θεῶν βουλαὶ δηλαδὴ περὶ μέλλοντος καὶ μάλιστα αἱ τοῦ Διός. Οὕτω τῇ Θέτιδι κατανεύσαντα τὸν Δία πεποίηκε τιμῆσαι τὸν υἱόν, ὅπερ γενήσεται. οὕτω καὶ ἐν τῇ ἀρχῇ τῆς δ′ ῥαψῳδίας προεκτίθεται τὰ ἑξῆς πλασθησόμενα.

3.880 καὶ προϊὼν δὲ καθίσει τὸ μέγα συνέδριον, προεκθησόμενος τὰ ἐπὶ τῷ Ἀχιλλεῖ. καὶ ἐνταῦθα οὖν ὁμοίως προεκτίθεται τὰ κατὰ τὸν Σαρπηδόνα, μυθικῶς μὲν διὰ τοῦ Διός, ἄλλως δὲ διὰ τοῦ καθ’ ἑαυτὸν νοῦ. Ἐν οἷς γὰρ τὸν Δία λέγει ὁρμαίνειν περὶ Σαρπηδόνος, εἰ τόδε ἢ τόδε ποιήσει, τὸ ἑαυτοῦ λέγει. αὐτὸς γὰρ λογίζεται διχθά, εἰ τοιάδε ἢ τοιάδε πλάσεται, καὶ ὡς αὐτὸς νοεῖ, ἐπικρίνει ὃ χρὴ ποιῆσαι. πεσόντος γὰρ τοῦ Σαρπηδόνος φρονηματίζεται Πάτροκλος καὶ κροαίνει περαιτέρω καὶ πίπτει. καὶ οὕτως ἐναγωνιωτέρα τε γίνεται ἡ τοῦ λόγου διασκευὴ καὶ ὁ τοῦ Ἀντιλόχου ἐν τοῖς ἑξῆς δρόμος καιρὸν ἔχει καὶ τἆλλα. (v. 433—8) Ἔστι δὲ ἡ ἐν τούτοις Ὁμηρικὴ φράσις τοιαύτη «ὤμοι ἐγών, ὅτε μοι Σαρπηδόνα φίλτατον ἀνδρῶν μοῖρα ὑπὸ Πατρόκλοιο δαμῆναι. δίχθα δέ μοι κραδίη μέμονε φρεσὶν ὁρμαίνοντι, ἤ μιν ζωὸν ἐόντα μάχης ἄπο δακρυοέσσης θείω ἀναρπάξας Λυκίης ἐν πίονι δήμῳ, ἢ ἤδη ὑπὸ χερσὶ Μενοιτιάδαο δαμάσω». Καὶ ὅρα τὸ «ἤδη δαμάσω». συντέτακται γὰρ καὶ νῦν τὸ «ἤδη» μέλλοντι ἀνακολούθως τῇ χρήσει τῶν ὕστερον Ἀττικιστῶν, ὧν ἐστι καὶ ὁ Λουκιανός. (v. 433) Φίλτατον δὲ ἀνδρῶν καὶ οὐχ’ ἁπλῶς φίλον ὁ Ζεὺς τὸν Σαρπηδόνα φησὶ καὶ τὸ «ὤμοι ἐγών» ἐπ’ αὐτῷ λέγει, ἐθέλων καὶ νῦν ἀχθομένῃ τῇ Ἥρᾳ χάριν ἀπονεῖμαι, εἰ τοιούτου παιδὸς στερηθήσεται δι’ αὐτήν. (v. 437) Πίονα δὲ δῆμον Λυκίας φησὶν ἢ ἀντὶ τοῦ εὐδαίμονα, ὡς ἀπὸ τῆς κατὰ γῆν πιότητος, ἢ τὸν φιλοθύτην διὰ τὸ πίονα θύειν κατὰ τὸ «πίονα μηρί’ ἔκηεν». [Ἰστέον δὲ ὅτι δοκεῖ τισι τοῦ πίων πίονος προϋποκεῖσθαι ὁ πῖος. διὸ καὶ τὸ συγκριτικὸν αὐτοῦ πιότερος καὶ πιότατος. εἰ μὴ ἄρα ἐκ τοῦ πίων πίονος πιονώτερος καὶ πιονώτατος γέγονε συγκοπή. συντελεῖ δὲ εἰς τὸν πρῶτον νοῦν καὶ ὁ Πῖος τὸ κύριον.] (v. 434 et 438) Ὅρα δὲ καὶ τὴν ὑπο πρόθεσιν γενικῇ τε συνταχθεῖσαν ἐν τῷ «μοῖρα ὑπὸ Πατρόκλου δαμῆναι», καὶ δοτικῇ ἐν τῷ «ὑπὸ χερσί». (v. 435) Τὸ δὲ «διχθά μοι κραδίη μέμονε φρεσὶν ὁρμαίνοντι» παράφρασίς ἐστι τοῦ «ἐν δέ οἱ ἦτορ στήθεσσι διάνδιχα μερμήριξε». καὶ τοιαῦτα μὲν ὁ Ζεὺς δυνάμενα παρῳδηθῆναι, ὅτε τις βουλεύεται ῥύσασθαί τινα φίλον ἀπὸ κινδύνου. (v. 440—49) Ἡ δὲ Ἥρα κἀνταῦθα βαρεῖα οὖσα, «αἰνότατε», φησί, «Κρονίδη, ποῖον τὸν μῦθον ἔειπας», ἢ ἔειπες, ὡς καὶ ἀλλαχοῦ κεῖται, «ἄνδρα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ», τουτέστι μεμοιραμένον, ὡς ἀλλαχοῦ σαφέστερον δηλοῦται, «ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;

3.881 ἔρδε, ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι. ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐν φρεσὶ βάλλεο σῇσιν. αἴ κεν ζῶντα πέμψῃς Σαρπηδόνα ὅνδε δόμονδε, φράζεο, μή τις ἔπειτα θεῶν ἐθέλῃσι καὶ ἄλλος πέμπειν ὃν φίλον υἱὸν ἀπὸ κρατερῆς ὑσμίνης. πολλοὶ γὰρ περὶ ἄστυ μέγα Πριάμοιο μάχονται υἱέες ἀθανάτων, τοῖσιν κότον αἰνὸν ἐνήσεις». Ταῦτα δὲ παρῳδηθήσεταί ποτε καὶ πρὸς ἄνδρα μέγαν, οὗ συνιστῶντος οἰκεῖον θέλημα εἰκὸς καὶ ἑτέρους ἐγχειρῆσαι τοῖς ὁμοίοις. (v. 450—7) Ἐπὶ δὲ τούτοις ἡ μυθικὴ Ἥρα καὶ τὸ ποιητέον προεκθετικῶς, ὡς Ὁμήρῳ ἔθος, ἐπάγουσα πείθει τὸν Δία, εἰποῦσα «ἀλλ᾽ εἴ τοι φίλον» ἢ φίλος, «ἐστί, τεὸν δ᾽ ὀλοφύρεται ἦτορ, ἤτοι μέν μιν», ἤγουν τὸν μὲν δὴ Σαρπηδόνα, «ἔασον ἐν κρατερῇ ὑσμίνῃ χερσὶν ὑπὸ Πατρόκλου δαμῆναι. αὐτὰρ ἐπειδὴ τόν γε λίπῃ ψυχή τε καὶ αἰών», τουτέστι ζωή, «πέμπειν», ἤγουν πέμπε, «Θάνατόν τε φέρειν καὶ νήδυμον Ὕπνον αὐτὸν ἐς Λυκίαν. ἔνθα ἑ ταρχύσουσι κασίγνητοί τε ἔται τε τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων», ὡς καὶ ἀλλαχοῦ ἔφη ὁ ποιητής. Ἰστέον δὲ ὅτι πολλοὶ τῶν κατὰ τὴν Ἥραν στίχων ἀπαραποίητοι ἐν ἄλλοις κεῖνται, ὃ μυριαχοῦ τῆς Ὁμηρικῆς ποιήσεως γίνεται, καὶ ὅτι ἐν τῷ «ποῖον τὸν μῦθον ἔειπες» οὐκ ἀναγκαίως κεῖται τὸ ἄρθρον. (v. 443) Τὸ δὲ «ἔρδε, ἀτὰρ οὐ πάντες ἐπαινέομεν» πολλὴν παριστᾷ δύναμιν. δηλοῖ γὰρ ὡς ἀντιπράττειν μὴ δυνάμενοι μόνον γογγύζομεν. (v. 442) Τὸ δὲ θανάτου ἐξαναλῦσαι ἀφορμή ἐστι τοῦ τῶν μοιρῶν μίτου. ἐπὶ τοιούτων γὰρ τὸ ἀναλύειν κυριολεκτεῖται, ὡς δῆλον καὶ ἐκ τοῦ τῆς Πηνελόπης ἱστοῦ, ὃν ἐκείνη ἀνέλυεν. Ἔχει δέ τι καὶ φιλοσοφίας ἡ λέξις. ἐκεῖνοί τε γὰρ ἀνάλυσίν φασι τὴν ἐκ τοῦ συνθέτου εἰς τὸ ἁπλοῦν ἀναδρομήν, καὶ ὁ ποιητὴς δὲ θανάτου ἀναλῦσαι λέγει τὸ εἰς ἀρχὴν ἀποκαταστῆσαι ζωῆς. (v. 450 s.) Τὸ δὲ «εἴ τοι φίλον ἐστί», καὶ τὸ «ἤτοι μέν μιν ἔασον» ψευδοπαρήχησιν καὶ αὐτὰ ποιοῦσι τὴν καὶ προεγνωσμένην ἐν τῷ «ἔδδεισαν οὐδέ τ᾽ ἔδησαν».

3.882 (v. 451) Τὸ δὲ «ἐνὶ κρατερῇ ὑσμίνῃ» δεξιῶς κεῖται εἰς παρηγόρημα τοῦ Διός. οὐ γὰρ κακιζόμενος οὐδὲ ὁ Σαρπηδὼν πεσεῖται, ὃ δὴ περὶ Ἕκτορός που λεχθήσεται, ἀλλὰ κρατερὰν ὑσμίνην ὑποστάς. (v. 454) Ὅρα δὲ καὶ τὸ φέρειν ἄρτι ἐπὶ νεκροῦ κυριολεκτηθέν, καὶ ὅτι ἀριδήλως νήδυμον Ὕπνον φησὶ μετὰ τοῦ νῦ ἐν τῷ «καὶ νήδυμον Ὕπνον». καὶ οὐκ ἔστι καθὰ καὶ ἀλλαχοῦ ἀμφιβαλεῖν, εἰ τοῦ νῦ τοῖς ὀπίσω προσνεμηθέντος ἀναγνωσθήσεται ἥδυμος. Ὅτι δὲ ἀδελφοὶ Θάνατος καὶ Ὕπνος, καὶ πῶς ἀδελφοί, καὶ μετ᾽ ὀλίγα εἰρήσεται. (v. 456) Ὡς δὲ ταρχῦσαι τὸ ἐνταφιάσαι διὰ τὸν τηνικαῦτα τάραχον, καὶ ὅτι διὰ τῶν κασιγνήτων τὸ συγγενὲς πᾶν δηλοῦται. οὐ γάρ, φασίν, ἱστόρηκέ τις τῷ Σαρπηδόνι ἀδελφούς, καὶ τίνες οἱ ἔται, προδιείληπται. (v. 454) Σημείωσαι δὲ ὅτι ἡ τοῦ Σαρπηδόνος πομπὴ ὑπὸ Ὕπνῳ καὶ Θανάτῳ, ἣν καὶ ἐνεργηθεῖσαν ἐν τοῖς ἑξῆς πλάττει ὁ ποιητής, φιλοτιμίαν αἰνίττεται πάνυ πολλὴν Τρώων τε καὶ Λυκίων, ὑφ᾽ ἧς τὸν Σαρπηδόνα τεθνεῶτα τῇ πατρίδι ἀπέδωκαν. Ἄλλως δέ γε κάλλιον εἰπεῖν, ὡς Θάνατος μὲν αὐτὸν πέμπει διὰ τὸ τεθνάναι, Ὕπνος δὲ διὰ τὸ εὐκλεῶς ταφῆναι, καὶ τῇ δόξῃ οἷον ζῆν ὡς ὑπνοῦντα καὶ οὐ τεθνεῶτα. Σημείωσαι δὲ καὶ ὅτι καιρία λέξις τὸ πέμπειν, διὸ καὶ ἐνταῦθα δὶς αὐτὸ ἔφη. καὶ ἐν τοῖς ἑξῆς δὲ ἐπιμενεῖ, παρονομάσας αὐτῇ καὶ πομποὺς τὸν Ὕπνον καὶ τὸν Θάνατον. [Καὶ παρὰ τοῖς ὕστερον δὲ σεμνή ἐστιν ἡ τοιαύτη λέξις, ὡς δηλοῦσι καὶ τὰ παρ᾽ Ἀττικοῖς πομπεῖα. τοῦ δέ, ὡς ἐρρέθη, πομποῦ παράγωγον ὁ πομπίλος, ζῷον θαλάσσιον ἐρωτικόν, ποικίλον, πηλαμύδι παρεοικός. σεμνὸν δὲ ῥῆμα καὶ τὸ πομπεύειν.] (v. 457) Γέρας δὲ θανόντων λέγει τύμβον καὶ στήλην καὶ ὅλως τὰ κατὰ τὸν τάφον πρὸς μόνην μνήμην ὀνόματος. διὸ καὶ μνῆμα καὶ σῆμα ὁ τάφος. ἄλλως γὰρ γέρας θανόντων αἱ ἀρεταί. (v. 458—60) Ὅτι αἱματοέσσας ψιάδας κατέχευεν ἔραζε παῖδα φίλον τιμῶν ὁ Ζεύς. καὶ ἔστιν ἡ τερατεία τῇ ποιότητι τοῦ προσώπου ἁρμόζουσα, καὶ κάλλιον ἐνταῦθα κεῖται ἤπερ ἐν τοῖς πρὸ τούτων. Διὸς γὰρ υἱὸς ὁ πενθούμενος, φίλτατος, ὡς προερρέθη, ἀνδρῶν.

3.883 διὸ καὶ συνάχθεται τῷ Διῒ πενθοῦντι τὸ πᾶν. μόνος γὰρ ἐν ἑκατέροις στρατοῖς Διὸς υἱὸς ὁ Σαρπηδών. καὶ ἔστιν οἷον ἀέρος δάκρυον ἡ ψιάς. εἰ δέ τις ἐντεῦθεν ὁρμηθεὶς καὶ τὰς βροντὰς εἰς στεναγμόν ποτε λάβοι, Ὁμηρικὸν οὐκ ἔστι τὸ τοιοῦτον, ποιητικὸν δὲ ἄλλως ἢ καὶ διθυραμβῶδες. (v. 460 s.) Ὁ δὲ Ὅμηρος καὶ αἰτίαν τῆς εἰρημένης αἱματοέσσης χύσεως λέγει τὸ μέλλειν ὑπὸ Πατρόκλου τὸν Σαρπηδόνα ἐν Τροίᾳ πεσεῖν τηλόθι πάτρης, προαναφωνητικῶς καὶ τοῦτο εἰπών. (v. 459) Τὸ δὲ «αἱματοέσσας» οἱ μὲν ὡς ποιητικὴν τερατείαν ἐκδέχονται, οἱ δὲ καὶ ἀληθῶς ἐγχωρεῖν φασι τοῦτο γενέσθαι, ὡς εἰκὸς ὄν, καθὰ καὶ προδιείληπται, πεδίου ὑποκειμένου αἵμασι πλήθοντος τοιαύτας ψιάδας πίπτειν συστάσας ἐξ ὁμοίων ἀναθυμιάσεων. Εἰ δέ τις τερατείας τὸν Ὅμηρον γράφεται ψιάδας αἱματοέσσας, ἤγουν ὑφαίμους ἢ αἱματηράς, τοῦ ἀέρος ἐπὶ ἐσομένῳ μεγάλῳ κακῷ καταρρίπτοντα, τί οὐκ ἂν πάθοιεν οἱ ποταμοὺς ἱστορήσαντες αὐτόχρημα αἵματι ῥεῦσαι ἐπὶ γενησομένοις κακοῖς; [Καὶ ἄλλως δέ ποθεν αὐτόματον ἀναβλῦσαι πῇ μὲν ἀμυδρόν, πῇ δὲ δαψιλές. ἔφθη δέ τι περὶ τοιαύτης ἐρυθρότητος γραφῆναι καὶ ἐν τῇ λʹ ῥαψῳδίᾳ, καὶ λοιπῆς δὲ χρώσεως. Τῶν τινες δὲ καὶ τοῦ νῦν γένους ἄνθρωποι ἐξιστόρησαν περί που τὰ κατὰ Πελοπόννησον τέρας ὕδατος αἱματηροῦ. Ἔφερε γὰρ ἡ ἐκεῖσε γῆ ἄνδρα ἱερέα οὐκ ἀγαθόν. φόνῳ τε γὰρ καταρρίψας ἄνθρωπον καὶ τὴν ἐκείνου κοίτην ἀναβαίνων ἀλιτήριος ἦν τοῦ ἱεροτελεστεῖν. ὡς δὲ καιρὸς ἦλθε καὶ ἐξετροπιάζοντο ἐκεῖνον τὸν οὐχ' ἱερὸν οἱ συνιερᾶσθαι λαχόντες, καὶ ἀντιβαίνειν μὲν ἐκεῖνος οὐκ εἶχεν, αἰσχύνεσθαι δὲ οὐκ ἤθελεν, αὐτοὺς μὲν ἀφῆκε τοῦ θεοῦ εἶναι, αὐτὸς δὲ παροιστρήσας ἰδίαζεν ἑτέρωθι πρὸς λειτούργημα, καὶ ὡς ἐνήρξατο, γίνεται αὐθωρὸν τέρας καί τι παραρρέον ὕδωρ κρηναῖον ἐκεῖ ἀγανακτεῖ κατὰ τοῦ κακοῦ καὶ ἐκ διαυγοῦς μεταβάπτεται εἰς ἄκρατον αἷμα, καὶ ἔρρεεν οὕτως, ἕως ὁ ἀναιδὴς ἐπαύσατο τοῦ θράσους. καὶ τοιόνδε μὲν καὶ τοῦτο.] Ψιὰς δὲ ἡ καὶ ψεκὰς [καὶ ἐέρση] ἀπὸ τοῦ ψίω ἀρρήτου γίνεται ῥήματος, [ἀφ' οὗ καὶ ὁ ψιλός].

3.884 ὥσπερ ἀπὸ ἑτέρου ὁμοίου τοῦ ψίχω ἡ ψὶξ καὶ ἀπὸ τοῦ ψέω ἡ ψεκάς, ἴσως δὲ καὶ ἡ ψεδνὴ θρίξ. ὁμοίως καὶ ἀπὸ τοῦ ψῶ ψωμός, ἄρτου κόμμα. τοῦ λεπτύνειν γὰρ τὰ τοιαῦτα ῥήματα σημαντικά. καὶ λεπτότητος ἔνδειξις ἡ τοιαύτη συστοιχία καὶ σμικρότητός τινος. [Ὧν προηγεῖται τὸ ψῶ, δι' οὗ δηλοῦται τὸ λεπτύνω. τὸ μέντοι ψήχω διὰ τοῦ ἦτα, ὅθεν καὶ ἡ ψήκτρα, ἐξ ἑτεροίου γίνεται ψῶ, ἐξ οὗ καὶ τὸ ψᾶν καὶ καταψᾶν, ὃ καταρρέζειν φησὶν Ὅμηρος. Ἐκ δὲ τοῦ ψάω ψῶ, τὸ λεπτύνω, γίνεται καὶ τὸ ψαύω ἐνθέσει τοῦ υ καὶ τὸ «ψῇ κατ' ἄκρας» παρὰ Σοφοκλεῖ, ἔτι δὲ καὶ τὸ ψώχειν, ὅπερ ἐστὶ λεπτύνειν τὰ χεδροπά. Ὅτι δὲ ἡ ψεκάς, ὥσπερ καὶ τὸ ψεκάζειν, καὶ διὰ τοῦ α λέγεται, δηλοῦσι καὶ τὰ ψακαστὰ μύρα τὰ παρὰ τοῖς ὕστερον στακτά.] (v. 463—5) Ὅτι βάλλεταί τις ἐνταῦθα Θρασύμηλος νείαιραν γαστέρα, ἣ τὴν ἐσχάτην, κατὰ βάθος, διὸ καὶ θνῄσκει ὁ τοιοῦτος, ἢ δι' ἧς νέονται τὰ σιτία, ἵνα ᾖ νέαιρα, καὶ ἐπενθέσει τοῦ ἰῶτα πρὸς διαστολὴν τοῦ κυρίου νείαιρα. Ὅτι ῥίπτει Σαρπηδὼν τὸν παρήορον Πήδασον ἀφαμαρτὼν τοῦ Πατρόκλου. (v. 467—71) Ἔνθα καὶ ὑπογράφων ὁ ποιητὴς τὸ ἐντεῦθεν βλάβος φησὶ «Πήδασον οὔτασεν ἵππον ἔγχεϊ δεξιὸν ὦμον, ὃ δ' ἔβραχε θυμὸν ἀΐσθων, κὰδ δ' ἔπες' ἐν κονίῃσι μακών, ἀπὸ δ' ἔπτατο θυμός.

3.885 τὼ δὲ διαστήτην», ὁ Ξάνθος δηλαδὴ καὶ ὁ Βαλίος, «κρίκε δὲ ζυγόν, ἡνία δέ σφι σύγχυτο, ἐπεὶ δὴ κεῖτο παρήορος ἐν κονίῃσι». (v. 472—5) Καὶ τούτου μέν, φησίν, Αὐτομέδων εὕρετο τέκμωρ, ἤγουν τέλος θεραπευτικὸν ἐπενόησε τῆς συγχύσεως. «σπασάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ ἀΐξας ἀπέκοψε παρήορον, οὐδ' ἐμάτησεν», ὅ ἐστιν οὐκ ἐματαιοπράγησεν εἰκῇ τῷ ἔργῳ ἐπιβαλὼν κατὰ τὸν Νέστορα, ὅς που διὰ γῆρας παρατατικῶς ἀπέταμνε παρηορίας, ἀλλ' ἀπέκοψε ταχὺ τὸν παρήορον, τὰς παρηορίας δηλαδὴ ἐκτεμών. καὶ οὐδὲ ἁπλῶς ἀπέκοψεν, ἀλλὰ ἀΐξας, ἵνα μὴ ὅλως παράτασιν σχοίη τὸ ἔργον, ἀλλ' ἀναγκαίως μιᾷ πληγῇ ἀνυσθείη. οὗ γενομένου «ἰθυνθήτην», ἡ λοιπὴ ξυνωρίς, «ἐν δὲ ῥυτῆρσι τάνυσθεν», ἤγουν ἐπιτεταμένως ἔδραμον, ὃ δὴ πολλαχοῦ ἐπὶ τρεχόντων ἵππων κεῖται, ὡς τότε μάλιστα συντεινομένων. Ἢ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄλλως, ἐτάνυσθεν ἀντὶ τοῦ ἐκ τῆς κατὰ σύγχυσιν συστολῆς, ἧς αἰτία ἡ τοῦ παρηόρου πτῶσις βιαζομένου συγκατενεγκεῖν καὶ ἐκείνους, κατὰ φύσιν ἔσχον τήν τε στάσιν καὶ τὴν λοιπὴν τῶν μελῶν τάσιν. (v. 468) Ὦμος δὲ ὅτι καὶ ἐπὶ ἵππου λέγεται, ἤδη δὲ καὶ ἐπὶ λοιπῶν ζῴων, ἐδηλώθη καὶ ἐν τῷ «κατωμαδὸν ἤλασεν ἵππους». Τὸ δὲ «ἔβραχε» νῦν μὲν ἐπὶ ἵππου πίπτοντος, μετ' ὀλίγα δὲ ἐπὶ ὅπλων, οἷον «μέγα δ' ἔβραχε τεύχεα φωτῶν». ἔθετο δὲ αὐτὸ καὶ ἐπὶ ἅρματος ἐν τῷ «μέγα δ' ἔβραχε φήγινος ἄξων», καὶ ἐπὶ ὕδατος, οἷον «ἔβραχεν αἰπὰ ῥέεθρα». Ἀΐσθων δὲ ἀντὶ τοῦ ἀποπνέων ἐκ τοῦ ἄω. Τινὲς δὲ ἀντὶ τοῦ αἰσθόμενος, ὡς τοῦ ἀΐσθειν συναιρουμένου εἰς ῥῆμα αἰσθήσεως, ἣν οἱ ἄοντες, ἤτοι πνέοντές τε καὶ ζῶντες, ἔχουσι. κρεῖττον δὲ τὸ πρῶτον. Ἔστι γὰρ ἀΐω ῥῆμα, ἐξ οὗ τὸ «φίλον ἄϊον ἦτορ». τούτου μέλλων ἀΐσω ἄχρηστον, ἐξ οὗ πλεονασμῷ τοῦ θ ἐνεστὼς ἀΐσθω, ὡς βιβῶ βιβάσω βιβάσθω, οἷον «μακρὰ βιβάσθων», ἔδω ἔσω ἔσθω.

3.886 (v. 469) Μακὼν δέ, ὡς καὶ ἐν ἄλλοις, ἀντὶ τοῦ εἰς μῆκος ἐκταθεὶς ἢ ποιὸν ἦχον ἀποτελέσας, ἐξ οὗ ἤχου καὶ τὸ μηκᾶσθαι. Ἰστέον δὲ ὅτι χαριέντως ὁ ποιητὴς προάγωνάς τινας τούτους ἐπὶ Πατρόκλῳ καὶ Σαρπηδόνι πεποίηκεν, ἐν οἷς Πάτροκλος μὲν Σαρπηδόνος βάλλει θεράποντα τὸν ῥηθέντα Θρασύμηλον, Σαρπηδὼν δὲ τὸν Πήδασον ἵππον, οὗ ἀπέπτατο θυμός. (v. 470) Τὸ δὲ «διαστήτην» καιριώτατα εἴρηται. πεσόντος γὰρ τοῦ παρηόρου ἡ ξυνωρὶς διΐστανται, ἢ ταραγμῷ συγχυθέντες ἢ ἄλλως πρὸς ἀντέρεισιν, ἵνα μὴ συγκατενεχθῶσι. πρὸς ὁμοιότητα δὲ τοῦ τοιούτου «διαστήτην» ἐρρέθη ἐν ἄλλοις τὸ «διαστήτην ἐρίσαντε», μεταφορικῶς. Τὸ δὲ «κρίκε ζυγόν» ἀντὶ τοῦ ἔτριξε κατὰ ὀνοματοποιΐαν. διὸ καὶ τρίγε τινὲς αὐτὸ ἔγραψαν ὡς δεύτερον ἀόριστον. Δῆλον δὲ ὅτι κἀνταῦθα οὐδετέρως ἔφη τὸ ζυγὸν κατὰ συνήθη γένους μεταπλασμόν. Ἡνία δὲ τὰ συνδέοντα καὶ ἑνοῦντα τοὺς ἵππους, ἃ ταραχθέντα συγχέεσθαι λέγεται. καιριωτάτη δὲ καὶ νῦν λέξις τὸ «σύγχυτο», ἐπεὶ καὶ ἀντίκειται ἡ σύγχυσις τῇ ἑνώσει, καθ' ἣν τὰ ἡνία λέγεται. διόρθωσις δὲ τοιαύτης συγχύσεως τὸ ἰθύνεσθαι, ὅθεν διακοπέντος τοῦ παρηόρου ἰθύνθη ἡ ξυνωρίς. καὶ τοιαῦτα μὲν τὰ ἡνία. Τὰ δ' αὐτὰ καθ' ἕτερον λόγον καὶ ῥυτῆρες κατὰ τοὺς ὕστερον χαλινούς, δι' ὧν ἐρύονται ἵπποι ὧδε καὶ ἐκεῖ. Ὅτι δὲ ὁ παρήορος καὶ παράσειρος λέγεται, δῆλον καὶ αὐτό. [Ἰστέον δὲ ὡς ἡ τῶν ἡνίων σύγχυσις οὐκ ἤδη καὶ ἀφηνισμὸν ποιεῖ. κυρίως γὰρ ἀφηνιάσαι τὸ ζυγομαχῆσαι τοὺς ὑφ' ἅρματι ἵππους καὶ πειραθῆναι ἄπο ἡνίων γενέσθαι. κέλης μέντοι ἵππος ἀφηνιάζει, ὅτε τὸν χαλινὸν ἀποπτύσας ἢ καὶ ἄλλως ἐνδακών, ὡς μὴ πείθεσθαι τῷ ἐπιβάτῃ, ἄνετα φέρεται θέων.] (v. 477—9) Ὅτι ἀλλαχοῦ μὲν τὸ «ἤμβροτες» ἑρμηνεύων ἐπήγαγεν «οὐδ' ἔτυχες», ἐνταῦθα δὲ εἰπὼν ἐν πλεονασμῷ προθέσεως ὅτι Σαρπηδὼν ἀπήμβροτεν, ἐπιφέρει «οὐδ' ἔβαλεν αὐτόν».

3.887 Καὶ ἔστι ταὐτὸν τὸ «οὐκ ἔτυχε» καὶ τὸ «οὐκ ἔβαλεν», ἃ ἐξισοῦται πρὸς τὸ «ἅλιον βέλος ἔκφυγεν», οὗ τὸ ἀνάπαλιν «οὐχ' ἅλιον βέλος ἔκφυγε χειρός», ὅπερ αὖθις ἶσόν ἐστιν ἐπαγομένῳ εὐθὺς τῷ «ἀλλ' ἔβαλε». προϊὼν δὲ τὸ οὐχ' ἅλιον βέλος ἔκφυγεν «οὐδ' ἁλίωσε βέλος» φησίν. Ἔνθα καὶ ἐπάγει κατὰ σχῆμα θέσεως τὸ «βάλε δ' Ἕκτορος ἡνιοχῆα». ἐν τούτοις δὲ καὶ ταὐτόν ἐστι κατὰ ἔννοιαν τὸ «δουρὶ δεύτερος ὡρμήθη» καὶ τὸ «ὕστερος ὤρνυτο χαλκῷ». (v. 481) Ὅτι Πάτροκλος ἔβαλε Σαρπηδόνα, «ἔνθα φρένες ἔρχαται», ἤγουν καθείργνυνται, «ἀμφ' ἀδινὸν κῆρ», ὅ ἐστι περὶ τὴν καρδίαν, ὅπερ ἀδινὸν λέγει διὰ τὴν τοῦ σπλάγχνου πυκνότητα. πυκνὴ γὰρ καὶ νευρώδης ἡ καρδία. καὶ προϊὼν δὲ «βεβλημένον ἦτορ» λέγει ἐπὶ Σαρπηδόνος. κῆρ δὲ καὶ ἦτορ ταὐτά. Δῆλον δ' ὅτι ψυχὴ οὐ βάλλεται, ἀλλὰ τὸ ῥηθὲν μόριον τὸ καιριώτατον εἰς τὸ ζῆν, ὅπερ καὶ ἐκ τοῦ κῆρ παράγεται. καρδία γὰρ κατά τινας ἡ διὰ τὸ κῆρ τρόπῳ ἀναστροφῆς οἱονεὶ κῆρ δία, ὥσπερ, φασί, καὶ τὸ «θάρσει πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία», ἀντὶ τοῦ διαπέφευγας τὴν ἐμὴν ἱκεσίαν. Καὶ ἄλλως δὲ εἰπεῖν, βάλλεται κῆρ καὶ ἦτορ, ἤγουν ὁ περὶ καρδίαν τόπος, ὃς οἷόν τις ἑστία τῆς ἐν ἡμῖν οἰκοδεσποτούσης ψυχῆς ἐστιν. Ὅθεν ποιητικώτερον φράζων Ὅμηρος ἐρεῖ μετ' ὀλίγα, ὅτι Πάτροκλος ἐξελκύσας τὸ δόρυ ἅμα καὶ τὴν ψυχὴν τοῦ Σαρπηδόνος

ἐξείρυσεν. Ὅτι δὲ σωματικὰς φρένας καὶ ἐνταῦθα ἔφη, δηλοῖ καὶ αὐτὸ προϊὼν ἐν τῷ «ὃ δὲ λὰξ ἐν στήθεσι βαίνων εἷλκε δόρυ, ποτὶ δὲ φρένες αὐτῷ ἕποντο» ἐνσχεθέντων πάντως τῷ δόρατι τῶν τοῦ διαφράγματος ὑμένων. ἔνθα δηλῶν καὶ ὅτι καιρία ἡ πληγὴ ἐπάγει «τοῦ δ’ ἅμα ψυχήν τε καὶ ἔγχεος ἐξείρυς’ αἰχμήν». Γέγονεν οὖν ἡ πληγὴ κατὰ τὸ διάφραγμα, ὃ καλεῖται φρένες, καθὰ προϊστόρηται, ἤγουν κατὰ τὸ ὑπὸ τὸν πνεύμονα διάζωμα τοῦ θώρακος. Εἰ δὲ πληγεὶς ἐνταῦθα ὁ Πάτροκλος φθέγγεται, δοτέον μὲν αὐτὸ καὶ τῇ ποιητικῇ ἀδείᾳ. Φασὶ δὲ οἱ παλαιοὶ καὶ μηδὲν εἶναι τοῦτο θαῦμα. θάτερον γὰρ μέρος τοῦ πνεύμονος ὑπὸ τῶν ὑμένων σκεπόμενον ἀπαθὲς μένει. Φασὶ δὲ καὶ ὅτι τοῖς τὰς φρένας τρωθεῖσιν ἕπεται μεῖζόν τε ἐρεύγεσθαι καὶ τὰς ἐκπνοὰς μεγάλας ποιεῖσθαι. διὸ βεβρυχέναι τε καὶ στενάχειν ἐν τῷ κεῖσθαι λεχθήσεται ὁ Σαρπηδών. Ὅρα δὲ καὶ τὸ «ἔρχαται» συντελοῦν εἰς τὸ «φρένες ἀμφιμέλαιναι».

3.888 τὸ γὰρ εἱργμένον ὡς τὰ πολλὰ οὐκ ἐν καθαρῷ ἐστι φωτί, ἀλλ’ ἐν σκότῳ μέλανι. Ἀπὸ τοῦ εἶρκται δὲ παρῆκται Ἰωνικῶς τὸ ἔρχαται τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ καὶ προσθήκῃ τοῦ α μετὰ καὶ ἀναυξησίας Ἰωνικῆς τῆς ἀπὸ τοῦ ἔργω. (v. 482—6) Ὅτι καὶ τὸν Σαρπηδόνα ὡς πρὸ αὐτοῦ ἕτερόν τινα ἥρωα δρυῒ παραβάλλει πεσούσῃ ἢ ἀχερωΐδι βλωθρῇ, λέγων καὶ τοῦτον πρὸ τοῦ δίφρου κεῖσθαι τανυσθέντα, καὶ ὡς βεβρυχὼς κόνιος ἐδράττετο. Καὶ σημείωσαι καὶ τὴν τοιαύτην ταὐτολογίαν. εἶτα σεμνότερον παραβάλλων εὐθὺς καὶ πρὸς ταῦρον αὐτὸν εἰκάζει, ὃν ῥίπτει λέων. (v. 487—91) Φησὶ γὰρ «ἠΰτε ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθών, αἴθωνα, μεγάθυμον ἐπ’ εἰλιπόδεσσιν» ἢ ἐν εἰλιπόδεσσι «βόεσσιν, ὤλετό τε στενάχων ὑπὸ γαμφηλῇσι λέοντος, ὣς ὑπὸ Πατρόκλῳ Σαρπηδὼν κτεινόμενος μενέαινεν», ὃ ταὐτὸν εἶναι δοκεῖ τῷ στενάχειν, σεμνότερον λεχθέν. ὁ ταῦρος μὲν γὰρ ὤλετο στενάχων, οὗτος δὲ κτεινόμενος μενέαινεν. ἐξ ἀγέλης δὲ ταῦρον παρείληφε διὰ τὸ ἀκμάζον τῆς ῥώμης. οἱ γὰρ καματηροὶ οὐ τοιοῦτοι. Τίς δὲ ὁ αἴθων εἴτε ταῦρος, ὡς νῦν, εἴτε λέων, ὡς ἀλλαχοῦ, εἴτε ἀνήρ, ὡς καὶ παρὰ Σοφοκλεῖ, πολλαχοῦ δεδήλωται, ὥσπερ καὶ ὅτι οὐ μόνον ἐπὶ ἀνδρῶν ὁ μεγάθυμος ἀλλὰ καὶ ἐπὶ ζῴων ἀλόγων γενναίων. δῆλον δ’ ὅτι λέοντι μάλιστα οἰκεῖον ἐπίθετον ὁ αἴθων. λέγονται δέ που καὶ ἵπποι αἴθωνες μεγάλοι. Ἰστέον δὲ καὶ ὅτι τῶν ῥηθεισῶν δύο παραβολῶν, ἃς ὁμοῦ παρέθετο σεμνύνων τὸ πτῶμα τοῦ Σαρπηδόνος, ἡ μὲν ἀπὸ τῶν δένδρων πρὸς τὸ πεσόντα τετανυσμένον κεῖσθαι τὸν εὐμεγέθη ἄνδρα παρείληπται, ὡς δηλοῖ τὸ «ἔκειτο τανυσθείς», ἡ δὲ τοῦ ταύρου πρὸς τὴν ἡρωϊκὴν τοῦ πεσόντος γενναιότητα. Τὸ δὲ «ἐπ’ εἰλιπόδεσσι» δώσει μὲν γραμματικῶν παισὶν ἐναθῦραί τι πρὸς τὴν προφοράν, ὡς εἰ καί τινας λιπώδεις βόας ἤκουσαν. δηλοῖ δὲ φανερῶς ὡς ψιλοῦται τὸ εἰλίπους Αἰολικῶς. (v. 491 s.) Ὅτι ἐξονομάζειν μὲν ἄλλο τι δηλοῖ, καθὰ μυριαχοῦ ἔγνωσται, ὀνομαίνειν δὲ τὸ καλεῖν ἐξ ὀνόματος. Φησὶ γοῦν περὶ Σαρπηδόνος «φίλον δ’ ὀνόμηνεν ἑταῖρον, Γλαῦκε πέπον». ὥσπερ δὲ τὸ φοραίνειν, ἐξ οὗ τὸ φορῆναι, ἀσύνηθες ῥῆμα τοῖς καταλογάδην γράφουσιν, οὕτω καὶ τὸ ὀνομαίνειν, καὶ πολλῷ πλέον τὸ ὀνυμαίνειν Αἰολικῶς.

3.889 (v. 492—500) Ὅτι οὕτω σταθερὸς ὁ Σαρπηδὼν ὥστε καὶ ἤδη ἀποψύχων ἐπιτάσσει τῷ Γλαύκῳ τὰ ποιητέα στρατηγικῶς, εἰπὼν «Γλαῦκε πέπον πολεμιστὰ μετ’ ἀνδράσι, νῦν σε μάλα χρὴ αἰχμητήν τ’ ἔμεναι καὶ θαρσαλέον πολεμιστήν. νῦν τοι ἐελδέσθω πόλεμος κακός, εἰ θοός ἐσσι. πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτορας ἄνδρας πάντῃ ἐποιχόμενος Σαρπηδόνος ἀμφιμάχεσθαι. αὐτὰρ ἔπειτα καὶ αὐτὸς ἐμεῦ πέρι μάρναο χαλκῷ. σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδος ἔσσομαι ἤματα πάντα διαμπερές, εἴ κέ μ’ Ἀχαιοὶ τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα». (v. 501) Εἶτα συντέμνων τὰ προρρηθέντα, ἐπείγει γὰρ ὁ θάνατος, ἐπάγει ἐπιφωνηματικῶς «ἀλλ’ ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα». καὶ οὕτω στρατηγικῶς παραγγείλας συγκαταλύει τῷ λόγῳ τὴν ζωήν. (v. 502 s.) Φησὶ γὰρ «ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψεν ὀφθαλμοὺς ῥῖνάς τε». Ὧν τὸ μὲν τὴν ἀργίαν δηλοῖ τοῦ ὁρᾶν, τὸ δὲ τὴν τοῦ ἀναπνεῖν. Καὶ ἄλλως δὲ εἰπεῖν, διὰ τῶν ὀφθαλμῶν καὶ τῶν ῥινῶν τὸ ὅλον δηλοῖ πρόσωπον, ὅπερ ἐν τοῖς ἑξῆς ῥέθος λέγει,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰπὼν «ψυχὴ δ’ ἐκ ῥεθέων πταμένη», ὡς ἐκεῖ ῥηθήσεται. Τούτων δὲ γλαφυρώτερον τὸ εἰπεῖν, καθὰ ἐρρέθη, ὡς ὁμοῦ ὁ Πάτροκλος ἐξείλκυσεν ἀπὸ τοῦ Σαρπηδόνος τήν τε οἰκείαν αἰχμὴν καὶ τὴν ἐκείνου ψυχήν. (v. 492) Ὅρα δὲ τὸ ἔμφρον τοῦ Σαρπηδόνος, ὡς ἐκ προοιμίων καὶ αὐτὸς ἐπαίνοις τὸν Γλαῦκον ὑπάγεται. Τὸ δὲ «πολεμιστὰ μετ’ ἀνδράσιν» ἀντὶ τοῦ ἐν ἀνδρείοις. ἐν γὰρ μὴ τοιούτοις καὶ ὁ τυχὼν ἂν λογίζοιτο πολεμιστής, εἰ μόνον θράσους τι προβέβληται, καθὰ παροιμία «καὶ ὡς ἐν ἀμούσοις καὶ κόρυδος φθέγγεται». Ἰστέον δὲ ὅτι ἐκ τοῦ «πολεμιστὰ μετ’ ἀνδράσιν» ἔοικε Σοφοκλῆς λαβὼν εἰπεῖν [ἀντιθετικῶς] τὸ «σὺν γυναιξὶ τὰς μάχας ποιούμενος» διὰ 〈τὸ〉 τὸν Αἴγισθον σὺν γυναικὶ ἀνδρίσασθαι τῇ Κλυταιμνήστρᾳ κατὰ τοῦ Ἀγαμέμνονος. (v. 494) Καὶ ἄλλως δέ, «πολεμιστὰ μετ’ ἀνδράσιν» ὡς πρὸς διαστολὴν τῶν ἐν κυνηγεσίοις καὶ λοιποῖς γυμνάσμασι δοκούντων εἶναι πολεμιστῶν, ἐν πολέμῳ δηλαδὴ γλυκεῖ, οὐ μὴν κακῷ, κατὰ τὸ «ἐελδέσθω πόλεμος κακός». (v. 494) Ἔνθα ὅρα καὶ τὸ «ἐελδέσθω» παθητικὸν ὂν καὶ τῇ φωνῇ καὶ τῷ σημαινομένῳ. καὶ νῦν μὲν οὕτως. ἄλλως δὲ συνήθως καὶ κοινότερον ἐνέργειαν δηλοῖ τὸ ἐέλδεσθαι, δηλοῦν τὸ ἐπιθυμεῖν. Τὸ δὲ «πόλεμος κακός» καὶ εἰς κίνδυνον προκαλεῖται τὸν Γλαῦκον καὶ οὐχ’ ἁπλῶς εἰς πολέμου ἀφοσίωσιν. οὐ γὰρ ἁπλῶς πόλεμος ἄρτι, ἀλλὰ κακός, ἤγουν κακωτικός.

3.890 Τὸ δὲ «εἰ θοός ἐσσι» ἀποτείνεσθαι δοκεῖ πρὸς τὸ «πόσε φεύγετε; νῦν θοοί ἐστε», ὃ φθάσας ἔλεγε καθαπτόμενος Λυκίων ὡς θοῶν ὄντων φεύγειν. οἱονεὶ οὖν λέγει, ὅτι ἄχρι κινδύνου μελέσθω σοι πόλεμος, εἰ θοός ἐσσι, πολεμιστὴς δηλαδή, καὶ μὴ θοὸς φεύγειν. Ὅτι δὲ λείπει ἐνταῦθα τὸ πολεμιστής ὡς ἀπὸ κοινοῦ τῷ πολέμῳ συννοηθέν, δηλοῖ τὸ «Ἀντίλοχος, θοός περ ἐὼν πολεμιστής». καὶ ἄλλως δέ, εἰ θοός ἐσσι, ὡς κατωτέρω κεῖται, πάντῃ ἐποίχεσθαι ὑπὲρ ἐμοῦ. (v. 495) Τὸ δὲ «πρῶτα μὲν ἡγήτορας» οὐ μόνον ἀντιδιαιρεῖ τῷ λαῷ τούτους ὡς τοῦ στρατοῦ εἰς δύο ταῦτα διαιρουμένου, ἀλλὰ καὶ ὑπερεξαίρει μάλιστα τῶν λοιπῶν τὸ ἡγεμονικὸν φῦλον. (v. 496) Τὸ δὲ «Σαρπηδόνος ἀμφιμάχεσθαι» ἔχει τι οἴκτου κατὰ ἀναφοράν, οἱονεὶ τοῦ ᾀδομένου, τοῦ ἐνδόξου, τοῦ εὐγενοῦς, τοῦ ἀνδρείου. (v. 497) Ὁμοίως δὲ καὶ ἐν τῷ «ἐμοῦ πέρι μάρναο» πάθος κινεῖ ὅμοιον τὸ «ἐμοῦ», ἡ δεικτικὴ ἀντωνυμία· ἐμοῦ γὰρ τοῦ τοιοῦδε καὶ τοιοῦδε. ὥσπερ ἔμπαλιν ἐπὶ Θερσίτου ἐν τῷ «ὅν κεν ἐγὼ ἀγάγοιμι» γέλων ἐκίνησεν ἡ ἀντωνυμικὴ δεῖξις, ὡς ἐκεῖ σεσημείωται. Ὅρα δὲ καὶ ὡς ἐμέρισε τὴν παθητικὴν ἔννοιαν ὁ κείμενος, τὸ μὲν κύριον ὄνομα ἐπὶ τῶν Λυκίων εἰπών, τὴν δὲ δεικτικὴν ἀντωνυμίαν ἐπὶ Γλαύκου τοῦ καὶ προσεχῶς ὁρῶντος, ὃν ἐχρῆν μάλιστα οἶκτον σχεῖν ἐπὶ τῷ λαλοῦντι. Τὸ δὲ «καὶ αὐτὸς μάρναο» κινδυνεύειν καὶ αὐτὸ προκαλεῖται τὸν Γλαῦκον, ὡς μηδὲν ἄλλως μέγα ὂν ἑτέρους μόνον ὀτρύνειν. (v. 498) [Τοῦ δὲ «κατηφείη καὶ ὄνειδος» τὸ μὲν οἴκοθεν αὐτοῦ δὴ τοῦ Γλαύκου πάθος ἔσται, τὸ δὲ ἐξ ἄλλων.] (v. 499) Τὸ δὲ «ἤματα πάντα» καὶ τὸ «διαμπερές», ἐκ παραλλήλου μὲν καὶ νῦν, ὡς καὶ ἀλλαχοῦ, τὸ αὐτὸ νοοῦσι. πλὴν κάλλιον ἦν, ὅπου μετὰ τὸ διαμπερὲς ἀσαφῶς ἔχον ἔκειτο σαφέστερον ὂν τὸ ἤματα πάντα. (v. 500) Τὸ δὲ «ἐμὲ τεύχεα συλήσωσιν» ἢ ἀντὶ τοῦ ἀφέλωνται, ἢ μᾶλλον σχῆμά ἐστι καὶ αὐτὸ ὅμοιον τῷ «περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε φύλλα», καὶ τοῖς τοιούτοις, ἅπερ ἐν τῇ α′ ῥαψῳδίᾳ προέκκειται. [Ἰστέον δὲ ὅτι, ὥσπερ διχῶς λέγεται συλεύειν καὶ συλᾶν, οὕτω καὶ τὸ ἐκ τοῦ σκύλου. καὶ τὸ μὲν σκυλεύειν κοινόν. φαίνεται δὲ εἶναι καὶ σκυλῶ σκυλήσω, ἐξ οὗ καὶ ἡ σκυλήτρια.

3.891 ] Τὸ δὲ «νεῶν ἐν ἀγῶνι πεσόντα» μιμητικῶς ἔψευσται. ἔξω μὲν γὰρ καὶ τῆς τάφρου ἐν τῇ πεδιάδι πίπτει καὶ οὐκ ἐν τῷ ἀθροίσματι καὶ τῇ ἀγορᾷ τῶν νηῶν. ὁ δὲ ἤδη τεταραγμένος τὸ φρονεῖν ἄλλως λέγει. ἤδη γὰρ πρὸς τῷ θνῄσκειν ἐστί. διὸ καὶ βραχύ τι προσθεὶς ἀποίχεται. (v. 492) Ἰστέον δὲ καὶ ὅτι ἐν τοῖς ῥηθεῖσι τὸ μὲν «πέπον πολεμιστά» καὶ ἑξῆς ἕως τοῦ «εἰ θοός ἐσσι» παροτρυντικὸν εἰς μάχην ἐστίν. (v. 502) Ἐπιτελευτίῳ δὲ λόγῳ προσφυὲς τὸ «ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψεν», ὃ καὶ ἐν τῷ τέλει τῆς ῥαψῳδίας ταύτης κεῖται. Ὅρα δ’ ἐνταῦθα τὸ «τέλος θανάτοιο» πρὸς διαστολὴν ῥηθέν. οὐ γὰρ ἅπαν τέλος νεκρικόν ἐστι, ἀλλὰ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ θανάτου, ὥσπερ οὐδὲ πᾶσα τελευτὴ θάνατος, ἀλλὰ ἡ τοῦ βιότου. (v. 506) Ὅτι φυσιόωντας ἵππους λέγει τοὺς πνευστιῶντας, ὅπερ εἰ προσλάβοι τὸ μέγα ἢ τὸ μεγάλα, οὐ μακράν ἐστι τοῦ «μεγάλα στενάχοντας». (v. 507) Εἰσὶ δὲ τοιοῦτοι κατὰ τὸν ποιητὴν οἱ ἱέμενοι φοβέεσθαι, ἤγουν φεύγειν. Φησὶ γὰρ «σχέθον ἵππους φυσιόωντας ἱεμένους φοβέεσθαι». ὠνοματοπεποίηται δὲ καὶ τὸ φυσιόωντας, καθὰ καὶ αἱ φῦσαι καὶ τὸ φυσᾶν, καὶ ἐκτείνει κατ' ἐκεῖνα τὴν ἄρχουσαν. (v. 506 s.) Ἰστέον δὲ ὡς δίφρων ἤδη πολλῶν ἀποβαλλόντων τοὺς ἐπ' αὐτῶν, καθὰ ἐρρέθη, ἔνθα καὶ αὐτοὶ ἀνεκυμβαλίαζον καὶ αἱ ἵπποι μεγάλα στενάχοντο μόναι καθ' ἑαυτὰς θέουσαι, φησὶν ἐνταῦθα ὁ ποιητὴς ὅτι «Μυρμιδόνες αὐτοῦ», ἤγουν αὐτόθι, ἐκεῖ, «σχέθον ἵππους φυσιόωντας, ἱεμένους φοβέεσθαι», ἤγουν σπεύδοντας εἰς φυγήν, «ἐπεὶ λίπον ἅρματ' ἀνάκτων», μετὰ τὴν ὅλην κατὰ τὸν Σαρπηδόνα περιπέτειαν ἐν δυσὶ τούτοις μόνοις ἔπεσι τῶν τοιούτων ἵππων μνησθείς, ὡς αὐτῷ ἔδοξεν, εἶτα πάλιν εὐθὺς τῆς κατὰ τὸν Γλαῦκον ἀκολουθίας γενόμενος, ἵνα καὶ οὕτως ἀμυδρὰν γοῦν τινα παρεξαλλαγὴν ἐνθήσει τῷ λόγῳ πρὸς γῆθος τοῦ ἀκροατοῦ. θηλυκῶς δὲ τὰς ἵππους εἰπὼν ἐκεῖ, ἀρρενικῶς ἐνταῦθα ἵππους ἔφη φυσιόωντας, ὡς ἐξὸν ὂν ἀμφοτέρως φράσαι. Τὸ δὲ «ἐπεὶ λίπον ἅρματ' ἀνάκτων», ὃ καὶ προγέγραπται, ὅπου ἐν πρώτῳ ῥυμῷ ἵπποι κατέαξαν τὰ τοιαῦτα, καὶ ἀνάμνησιν τῶν φθασάντων τίθεται, καὶ τριῶν τούτων ὄντων, ἁρμάτων, ἵππων, καὶ Λυκίων ἁρματηλατῶν, μόνους περισεσῶσθαι ἱστορεῖ, τὸ οἴκτιστον. (v. 508—26) Ὅτι Γλαύκῳ «αἰνὸν ἄχος γένετο φθογγῆς ἀΐοντι», τοῦ Σαρπηδόνος προκαλουμένου μάχεσθαι περὶ αὐτοῦ, «ὠρίνθη δέ οἱ ἦτορ, ὅτ' οὐ δύνατο προσαμῦναι, χειρὶ δ' ἑλὼν ἐπίεζε βραχίονα· τεῖρε γὰρ αὐτὸν ἕλκος, ὃ δή μιν Τεῦκρος» φθάσας ἔβαλεν ἰῷ, ὅτε δηλαδὴ κατὰ τοῦ τείχους ἔβαινεν.

3.892 εὐχόμενος δ' ἄρα εἶπεν Ἀπόλλωνι, ὅσα ἐν παραφράσει τις εἴποι ἂν ἢ καὶ παρῳδήσας πρὸς τὸν θεραπεῦσαι δυνάμενον, εἴ τι περὶ χεῖρα ἢ ἀλλαχοῦ που πάθοι. «κλῦθι ἄναξ». καὶ μετ' ὀλίγα «δύνασαι δὲ ἀκούειν ἀνέρι κηδομένῳ, ὡς νῦν ἐμὲ κῆδος ἱκάνει. ἕλκος μὲν γὰρ ἔχω τόδε κρατερόν, ἀμφὶ δέ μιν χεὶρ ὀξείαις ὀδύναις ἐλήλαται, οὐδέ μοι αἷμα τερσῆναι δύναται, βαρύθει δέ μοι ὦμος ὑπ' αὐτοῦ, ἔγχος δ' οὐ δύναμαι σχεῖν ἔμπεδον, οὐδὲ μάχεσθαι ἐλθὼν δυσμενέεσσιν. ἀνὴρ δ' ὤριστος ὄλωλε, Σαρπηδὼν Διὸς υἱὸς ὃ δ' οὐδ' ᾧ παιδὶ ἀμύνει. ἀλλὰ σύ πέρ μοι, ἄναξ, τόδε κρατερὸν ἕλκος ἄκεσσαι, κοίμησον δ' ὀδύνας, δὸς δὲ κράτος, ὄφρα Λυκίους ἐποτρύνω, αὐτός τ' ἀμφὶ νέκυϊ κατατεθνειῶτι μάχωμαι». καὶ οὕτω μὲν ὁ Γλαῦκος. (v. 527—31) Ἀπόλλων δὲ ἐπακούσας «αὐτίκα παῦσεν ὀδύνας, ἀπὸ δ' ἕλκεος ἀργαλέοιο αἷμα μέλαν τέρσηνε, μένος δέ οἱ ἔμβαλε θυμῷ», ἢ διὰ τῆς ὑγείας ἢ καὶ ἄλλως μυθικώτερον. «Γλαῦκος δὲ ἔγνω ἐν φρεσὶ γήθησέν τε ὅττι οἱ ὦκα ἤκουσε μέγας θεὸς εὐξαμένοιο», οἷα μαθὼν ἐντεῦθεν θεοφιλὴς εἶναι. Καὶ ὅρα καὶ νῦν ὡς οὐ κατὰ τοὺς ἐν Ἕλλησιν ἀθέους καὶ τοὺς Περιπατητικοὺς λήρους ἀργὰ δοξάζει τὰ τῆς εὐχῆς Ὅμηρος, ἀλλὰ τὰς εὐλόγους εὐχὰς εἰσακουομένας ποιεῖ, καὶ οὐχ' ἁπλῶς, ἀλλὰ αὐτίκα καὶ ὦκα. Ἐν τούτοις δὲ εἰπὼν «κλῦθι ἄναξ», καὶ ἐπαγαγὼν τὸ «ὅς που Λυκίης ἐν πίονι δήμῳ εἶς ἢ ἐνὶ Τροίῃ», ἐπάγει φιλόσοφον ἔννοιαν περὶ θεοῦ τὸ «δύνασαι δὲ σὺ πάντος' ἀκούειν ἀνέρι», ὡς εἴρηται, «κηδομένῳ», ἤγουν ἀνδρὸς κηδομένου. καὶ τοῦτο μὲν ὑπαλλάττεται ἀντιπτωτικῶς. Τὸ δέ γε εἰπεῖν ὅττι οἱ ἤκουσεν, ὡς ἐρρέθη, θεὸς εὐξαμένοιο, τῇ παραθέσει τῆς δοτικῆς καὶ τῆς γενικῆς, ἀλλοίαν ἔχει ἐναλλαγήν, σολοικοφανῆ μέν, θεραπευομένην δὲ τῇ συγγενείᾳ τῆς γενικῆς καὶ τῆς δοτικῆς, καὶ τῷ μηδαμοῦ σολοικίζεσθαι τὸν πλαγιασμόν.

3.893 διὸ ταὐτὸν εἰπεῖν, ὅττι οἱ θεὸς ἤκουσεν εὐξαμένῳ, καὶ θεὸς ἤκουσεν εὐξαμένοιο. τοιοῦτον καὶ τὸ «Ἀχιλλῆος ὀλοὸν κῆρ γηθεῖ» φόνον Ἀχαιῶν «δερκομένῳ», καὶ τὸ «τῆς δ' αὐτοῦ λῦτο γούνατα σήματ' ἀναγνούσῃ», καὶ «ὣς τῶν ὕπνος ὑπὸ βελφάροισιν ὄλωλε νύκτα φυλασσομένοισι», καὶ «ἡμῖν δὲ κατεκλάσθη φίλον ἦτορ δεισάντων φθόγγον βαρύν». καὶ οὕτω μὲν ταῦτα. (v. 514) Τὸ δὲ «Λυκίης ἐν δήμῳ εἶς» ἀντὶ τοῦ ὑπάρχεις, ἐκ τοῦ εἰμί, ἢ διατρίβεις ἐκ

τοῦ εἶμι. ἡ δὲ χρῆσις τούτου πολλὴ καὶ ἐν Ὀδυσσείᾳ, ὡς καὶ ἐν Ἰλιάδι. Τὸ δὲ ἐν Λυκίᾳ νῦν τὸν Ἀπόλλωνα τυχὸν διατρίβειν κατ' ἐξαίρετον ἔφη, ὡς τοῦ Ἀπόλλωνος ἐκεῖ μάλιστα διαφερόντως τιμωμένου κἀντεῦθεν λαχόντος τὴν τοῦ Λυκηγενοῦς κλῆσιν. ὅθεν καὶ πίων δῆμος ὁ ἐκεῖ, ὡς ἐρρέθη, διὰ τάς, ὡς εἰκός, ἐπ' αὐτῷ θυσίας. Δῆλον δὲ ὅτι Λυκηγενὴς Ἀπόλλων καὶ διὰ τὴν μικρὰν Λυκίαν ἐλέγετο, τὴν καὶ μικρὰν λεγομένην Τροίαν, ὡς ἐν τοῖς περὶ Πινδάρου προδεδήλωται. (v. 515) Τὸ δὲ «πάντος' ἀκούειν» ἡδέως ἂν ἄρτι ἀκούσοι παίδων ἀναγωγεὺς ὁ τοιούτοις λίνοις νεαλεῖς ἀγρεύων ψυχάς. ἐκφωνεῖται μὲν γὰρ ὡς πάντως ἐπίρρημα μεσότητος. ἔστι δὲ ἀληθῶς πάντοσε τοπικόν, εἰ καὶ τῇ ἐκθλίψει ἐκπέπτωκε κατὰ φωνὴν εἰς ἔμφασιν πάντως σοφιστικοῦ νοήματος.

3.894 Δοτέον δὴ καὶ τοῦτο τῇ μακρᾷ χύσει καὶ αὐτοσχεδίῳ τῆς ποιήσεως, καθ' ἣν ἀνάγκη καὶ τοιαῦτά τινα τῇ φράσει παραρρυΐσκεσθαι. [Δῆλον δ' ὡς εἶχεν εἰπεῖν· δύνασαι δὲ σὺ πάντῃ ἀκούειν, ἐπειδὴ καὶ ταὐτὸν τὸ πάντοσε καὶ τὸ πάντῃ. ἐρεῖ γοῦν μετ' ὀλίγα, ὅτι Γλαῦκος ὤτρυνε Λυκίους «πάντῃ ἐποιχόμενος», ἤγουν πάντοσε.] Τὸ δὲ ἀκούειν ἐνταῦθα ἴσως καὶ ταὐτόν ἐστι τῷ ὑπακούειν καὶ πείθεσθαι. ἄλλως γὰρ οὐκ ἂν Ἀπόλλωνα ὁ μῦθος λέγοι κηδομένῳ μόνῳ ἀκούειν, ἀλλὰ παντὶ λαλοῦντι πρὸς αὐτόν. (v. 516) Τὸ δὲ «ὡς νῦν ἐμὲ κῆδος ἱκάνει» ἑρμηνεία ἐστὶ τοῦ «ἀνέρι κηδομένῳ», ἵνα νοηθῇ νῦν κηδόμενος μὴ ὁ φροντίζων, ἀλλ' ὁ ἔχων κῆδος, ὅ ἐστι βλάβην. Συνήθης δὲ Ὁμήρῳ καὶ ὁ τοιοῦτος σχηματισμός, ἤγουν τὸ ἐκ τοῦ καθόλου εἰς τὸ μερικὸν καταβαίνειν παραδειγματικῶς. τοιοῦτον γὰρ τὸ δύνασαι ὑπακούειν τῷ βλαπτομένῳ, ὁποῖος δή τις καὶ ἐγώ. (v. 517 et 523) Τὸ δὲ καρτερὸν ἕλκος δὶς ἐνταῦθα κεῖται διὰ τὸ καίριον τῆς φράσεως. βίαν δὲ πάντως καὶ νῦν δηλοῖ τὸ κρατερὸν καὶ οὐ πρὸς ἔπαινον εἴληπται. (v. 518) Τοῦ δὲ ὀξείαις ὀδύναις ἐλήλαται χείρ, οὐκ ἔστι φράσαι καιριώτερον. βούλεται γὰρ εἰπεῖν, ὅτι ὀξείαις ὀδύναις ἐλήλαται, ὅσα καὶ ὀξέϊ ἰῷ. περὶ δὲ ὀξείας ὀδύνης καὶ προείρηται. (v. 519) Τὸ δὲ «αἷμα τερσῆναι» ἀντὶ τοῦ ξηρανθῆναι κατὰ σημασίαν παθητικήν, οὗ ἀνάπαλιν μετ' ὀλίγα ἔχει τὸ «αἷμα μέλαν τέρσηνεν», ἀντὶ τοῦ ἐξήρανε. Δῆλον δὲ ὅτι ἀπὸ τοῦ τέρσω γίνεται τὸ τερσαίνω ὁμοίως τῷ ῥῶ ῥαίνω καὶ τοῖς τοιούτοις. [Ἐκ τοῦ τείρω δὲ τέρσω Αἰολικοῦ ἀναδραμόντος εἰς θέμα γίνεται τὸ τέρσω, ἀφ' οὗ τὸ τερσαίνω.

3.895 τείρεται γάρ πως τὸ ξηραινόμενον καὶ εἴκει πρὸς κτῆσιν. ὡς δὲ τοῦ τέρσω δεύτερος ἀόριστος ἔταρσον, καὶ ὡς ἐξ αὐτοῦ ὁ ταρσὸς καὶ ὁ ταρρὸς καὶ πόλις Ταρσός, δηλοῦται ἄλλοθι.] (v. 520) Τὸ δὲ «ἔμπεδον» ἀπροσφυῶς ἔχον πρὸς τὸ «ἔγχος δ' οὐ δύναμαι σχεῖν» παρέλκει τινὰς εἰς τὸ συντάσσειν αὐτὸ μετὰ τοῦ «μάχεσθαι», ἵνα λέγῃ ὡς οὐδὲ μάχεσθαι ἔμπεδον δύναμαι, ἤγουν βεβαίως καὶ σταθερῶς. (v. 522) Τὸ δὲ «οὐδ' ᾧ παιδὶ ἀμύνει» βλασφημεῖται διὰ λύπην. ἄλλως γάρ, εἴπερ ὁ Φοῖβος ἀμυνεῖ, πολλῷ πλέον ὁ Ζεύς. [Τοῦ δὲ ἀκῶ ἀκέσω δοκεῖ μέλλων εἶναι καὶ διὰ τοῦ η , ὡς δῆλον ἐκ τοῦ ἀκήματα τὰ θεραπεύματα. ἀπὸ γὰρ τοῦ ἀκῶ ἀκήσω τὸ ἄκημα.] (v. 524) Τὸ δὲ «κοίμησον ὀδύνας» ταὐτὸν τῷ παῦσον ὀδύνας, ὡς ὁ ποιητὴς ὑποκαταβὰς ἑρμηνεύει. ὅτι δὲ καὶ τὸ τοιοῦτον κοιμῆσαι τῷ η παραλήγεται, ἀλλαχοῦ δηλοῦται. (v. 526) Τὸ δὲ «αὐτός τε μάχωμαι» ἀκόλουθόν ἐστι τῇ παραινέσει τοῦ Σαρπηδόνος, εἰπόντος «ἔπειτα καὶ αὐτὸς ἐμεῦ πέρι μάρναο». Ἐν δὲ τῷ «νέκυϊ κατατεθνειῶτι» κατὰ τὸ παρέλκον ὡς καὶ ἐν ἄλλοις ἁπλῶς οὕτω τέθειται τὸ τεθνειῶτι. οὐ γὰρ δήπου πρός τινα διαστολήν. οὐκοῦν καὶ ἐν τῷ οἶκος ποιητός, καὶ τάφρος ὀρυκτή, ῥηθείη ἂν τὸ ποιητὸς καὶ τὸ ὀρυκτή ἁπλῶς οὕτω προσκεῖσθαι ὡς ἀναγκαῖον παρακολούθημα; καθὰ γὰρ νεκρῷ παρακολουθεῖ τὸ τεθνάναι, οὕτω καὶ οἴκῳ τὸ πεποιῆσθαι, καὶ χειροποιήτῳ τάφρῳ τὸ ὀρωρύχθαι. καὶ μὴν τὰ τοιαῦτα μὲν ἔχει καὶ ἄλλους λόγους. τὸ μέντοι τεθνειῶτι ἁπλοϊκῶς ἐπὶ νεκροῦ παρέρριπται. (v. 531) Τὸ δὲ «ὅττι οἱ ὦκα ἤκουσεν» ὅμοιόν ἐστι κατὰ σύνταξιν τῷ «δύνασαι ἀκούειν ἀνέρι». δοτικῆς γὰρ πτώσεως κἀνταῦθα ἡ ἀντωνυμία. Σημείωσαι δὲ ἐν τούτοις καὶ τὸ τῶν ἐννοιῶν πυκνὸν καὶ τὸ συχνὸν κομματικόν. ἀπὸ γὰρ τοῦ «κλῦθι ἄναξ» ἕως τοῦ «ἀμφὶ νέκυϊ κατατεθνειῶτι μάχωμαι» οὐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐλάττους τῶν τεσσαρεσκαίδεκα ἐννοιῶν κεῖνται, εἴ τις ἐθέλει σκοπεῖσθαι πρὸς ἀκρίβειαν, ὡς οἷα τοῦ Γλαύκου καὶ εὐποροῦντος λέγειν διὰ τὸ εἰς ἑαυτὸν ἐστράφθαι καὶ πνευστιῶντος διὰ τὸ ἐναγώνιον, ὅπερ αἴτιον τοῦ κομματικοῦ. (v.

3.896 538—40) Ὅτι Γλαῦκος ἀμελεῖσθαι τοὺς ἐπικούρους εἰς ὄνειδος προφέρει τῷ Ἕκτορι καὶ ἀχαριστίας αὐτὸν ἐθέλει ἑλεῖν, εἰ τοὺς ὑπὲρ αὐτοῦ πάσχοντας περιφρονεῖ, καί φησιν «Ἕκτορ, νῦν δὴ πάγχυ λελασμένος εἶς ἐπικούρων, οἳ σέθεν εἵνεκα τῆλε φίλων καὶ πατρίδος αἴης θυμὸν ἀποφθινύθουσι, σὺ δ' οὐκ ἐθέλεις ἐπαμύνειν», ὃ προσαμύνειν πρὸ βραχέων εἴρηται. Καὶ ὅρα τὸ «Ἕκτορ» μετὰ θυμοῦ λεχθὲν ἁπλῶς οὕτω καὶ δίχα σεμνοῦ τινος ἐπιθέτου, καὶ τὸ ὅλον εἰπεῖν, ἀτέχνως καὶ βαρβαρικῶς. οὐ γάρ, ὥσπερ αὐτὸν ὁ Σαρπηδὼν ἐσέμνυνεν ἐν τῷ «Γλαῦκε, πέπον πολεμιστά», οὕτω καὶ αὐτὸς ὑποποιεῖται τὸν Ἕκτορα, ψιλῶς δὲ οὕτω φησίν· Ἕκτορ, εἰ καὶ αὐτὸς εὐγενῶς προσενεχθεὶς οὐ χολοῦται, ἀλλ' ἄρχει Τρώων, ἤγουν προηγεῖται «χωόμενος Σαρπηδόνος», τὸν μὲν Γλαῦκον χολᾶν ἀφείς, αὐτὸς δὲ τῶν καιρίων γενόμενος. Τὸ δὲ «εἶς» ἐνταῦθα μᾶλλον μὲν δηλοῖ τὸ ὑπάρχεις, δύναται δὲ ληφθῆναι καὶ ἀντὶ τοῦ πορεύῃ. (v. 540) Τὸ δὲ θυμὸν ἀποφθινύθειν ἀλλοπαθῶς ῥηθὲν ὅμοιόν ἐστι τῷ «φθινύθεσκε φίλον κῆρ». (v. 541 s.) Ἐπὶ δὲ τούτοις ὁ Γλαῦκος ἀφηγούμενός τε ἅμα τὸ γεγονὸς καί τινα ἐσπευσμένον ἐπιτάφιον ἔπαινον τοῦ Σαρπηδόνος ἐν ἀκμῇ πολέμου φράζων φησὶν ἄλλα τέ τινα καὶ ὅτι «κεῖται Σαρπηδὼν Λυκίων ἀγὸς ἀσπιστάων, ὃς Λυκίην εἴρυτο δίκῃσί τε καὶ σθένεϊ ᾧ», τουτέστιν ἰδίῳ. ἐξ ὧν δείκνυται χρῆναι δίκαιόν τε καὶ σθεναρὸν εἶναι τὸν βασιλέα κατὰ τὸ «βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής». καὶ νῦν μὲν εἴρυται Λυκίην Σαρπηδών. ἐντεῦθεν δὲ λαβὼν ὁ ποιητὴς ἕρμα πόλεως αὐτόν φησι προϊών, ὡς ἐρύοντα, ὅ ἐστι φυλάσσοντα, τὴν Τροίαν. (v. 544—7) Εἶτα τοῦ Ἕκτορος ὁ Γλαῦκος μεθέμενος τρέπει τὸν λόγον ἀξιωματικῶς πρὸς τοὺς ἄλλους καί φησιν «ἀλλὰ φίλοι, πάρστητε», καὶ ἑξῆς, ὡς κατωτέρω εὑρεθήσεται. (v. 543) Ὅτι καὶ ἐν τῷ «ὑπὸ Πατρόκλῳ δάμασεν ἔγχει χάλκεος Ἄρης» τὸν Σαρπηδόνα ἢ τὸν πόλεμον Ἄρην λέγει ἀλληγορικῷ τρόπῳ ἢ τὸν σίδηρον. τὸν γὰρ μυθικὸν Ἄρην οὐ δυνατὸν νοῆσαι. Τρωσὶ γὰρ ἐκεῖνος ἐβοήθει καὶ ἐπικούροις. Εἰ δέ τις νοεῖν ἐθέλει τὸν τοῦ μύθου Ἄρην, ἔστι κἀντεῦθεν συναγαγεῖν τὸ τοῦ Ἄρεος ἀλλοπρόσαλλον.

3.897 ἴσως δὲ καὶ ἄλλως ἀναιρεῖ ὁ κατὰ μῦθον Ἄρης τὸν Σαρπηδόνα ὑπὸ τῷ Πατρόκλῳ διὰ τὸ μὴ ἐπαμῦναι αὐτῷ ἀναιρουμένῳ. οὕτω καὶ κυβερνήτης αἴτιος κατὰ συμβεβηκός ποτε ναυαγίου τῇ νηῒ γίνεται διὰ τὸ ἀπεῖναι αὐτῆς. Ἰστέον δὲ ὅτι ὁ σίδηρος Ἄρης καὶ αἴνιγμά τι ποιεῖ ἀστεῖον βραχυλογικὸν τοιοῦτον. ὑπόκειταί τις δρυτόμος τέμνων δάφνινον θάλος. ἐπεὶ δὲ ἡ δάφνη τὸ φυτὸν ὁμωνυμεῖ κόρῃ ἐρωμένῃ Ἀπόλλωνος, ἐκδέδωκέ τις αἰνιγματοποιὸς τὸ «ποῖ Φοῖβος πεπόρευται, ὅτ' Ἄρει μίγνυται Δάφνη». Καὶ ἔστι τὸ πᾶν ἀστεῖον ἐνταῦθα ἐν τῷ μίγνυται. τὸ γὰρ ὁμοῦ εἶναι ἡ λέξις δηλοῖ, ὃ καὶ ὁ σίδηρος ἔχει κόπτων ξύλον καὶ ὁ συνὼν σώματι. [Σημείωσαι δὲ τὸ «ὑπὸ Πατρόκλῳ δάμασε» δεινότητος ὂν Ὁμηρικῆς, δι' ἧς ἤδη ἄρχεται διοικονομεῖσθαι τήν τε τοῦ Πατρόκλου πτῶσιν καὶ τὴν τοῦ Ἀχιλλέως ἔξοδον εἰς μάχην. ἰδοὺ γὰρ ὁ Γλαῦκος ἀκριβωσάμενος τὸν ἐξεικασμένον Ἀχιλλέα καὶ καταγνοὺς Πάτροκλον εἶναι αὐτὸν ἐξεβόησε τοῦτο. καὶ τοίνυν ἀναθαρσοῦντες οἱ Τρωϊκοὶ ἀντιστήσονται καὶ πείσεται ὁ Πάτροκλος τὰ ἐν τοῖς ἐφεξῆς εἰρησόμενα.] (v. 544 s.) Ὅτι ὁ ἐν κινδύνῳ βοήθειαν ἔκ τινος ἐθέλων εἴποι ἂν κατὰ Γλαῦκον τὸ «ἀλλὰ φίλοι πάρστητε, νεμεσσήθητε δὲ θυμῷ», μὴ τόδε γένηται. ὁμοίως δὲ κατὰ Πάτροκλον καὶ τὸ «νῦν ὑμῖν ἀμύνεσθαι φίλον ἔστω, οἷοί περ πάρος ἦτε μετ' ἀνδράσιν ἢ καὶ ἀρείους». πρὸς τοὺς Αἴαντας δὲ ὁ λόγος οὗτος τῷ ἥρωϊ. καὶ ἔστι τὸ «νῦν ὑμῖν ἀμύνεσθαι φίλον ἔστω» περίφρασις τοῦ νῦν ἀμύνετε. (v. 544—7) Ὅτι Γλαῦκος, ὡς ἐρρέθη, ἀφεὶς τὸν Ἕκτορα κοινῶς ἀξιοῖ παραστῆναι, ὅ ἐστιν ἀμφιβῆναι, τοὺς Τρῶας νεμεσσηθέντας «θυμῷ, μὴ ἀπὸ τεύχε' ἕλωνται, ἀεικίσωσι δὲ νεκρόν», τὸν τοῦ Σαρπηδόνος, «Μυρμιδόνες, Δαναῶν κεχολωμένοι, ὅσσοι ὄλοντο, οὓς ἐπὶ νηυσὶν ἐπέφνομεν». (v. 547) Καὶ ὅρα τὸ «ἐπέφνομεν». οὐ γὰρ εἶπεν οὓς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπέφνετε ὑμεῖς, ἀλλ’ ἡμεῖς οἱ Λύκιοι, ὥστε δοτέον ἀντίσηκον χάριν. ἔτι δὲ οὐκ εἶπεν οὓς ἔπεφνεν ὁ Σαρπηδών, ἀλλὰ συνεισάγει καὶ ἑαυτὸν ὁ Γλαῦκος σεμνότερον, ἵνα εἰσακουσθῇ. (v. 545) Τὸ δὲ ἀφέλωνται τεύχεα παράφρασίς ἐστι τοῦ «τεύχεα συλήσωσιν», ὃ φθάσας ἔφη ὁ Σαρπηδών. Αὐτὸ μέντοι τὸ «τεύχεα ἕλωνται, ἀεικίσωσι δὲ νεκρόν» μετατάξας ὁ Ὁμηρικὸς Πάτροκλος μετ’ ὀλίγα οὕτω φράζει «ἀλλ’ εἴ μιν ἀεικισσαίμεθα ἑλόντες, τεύχεά τ’ ὤμοιϊν ἀφελοίμεθα».

3.898 Ἔνθα ὅρα τὸ «ἀλλ’ εἴ μιν αἰκισόμεθα καὶ ἀφελώμεθα», ὃ καὶ αὐτὸ ἢ ἐλλειπτικῶς ἅμα καὶ αἰτιολογικῶς ἐρρέθη ἀντὶ τοῦ· ἀλλὰ σπευστέον, εἴ πως, ἤγουν ὅπως, τόδε ποιήσομεν, ὁποῖον καὶ πρὸ τούτων τὸ «εἴ τινά που Τρώων λάβοιμεν», ἢ παρακελευσματικῶς ἀντὶ τοῦ· ἀλλ’ ἄγε ποιήσωμεν τόδε. δύναται δὲ καὶ εὐκτικῶς νοηθῆναι ἀντὶ τοῦ· ἀλλ’ εἴθε ἀεικισαίμεθα καὶ ἑξῆς. ὅτι δὲ ὥσπερ ἐκ τοῦ ἀεί καὶ τοῦ ὤν ὁ αἰών, οὕτω καὶ ἐκ τοῦ ἀεικίζειν τὸ αἰκίζειν, δῆλόν ἐστιν. (v. 548—50) Ὅτι Γλαύκου εἰπόντος ἃ εἶπε, περιῆλθε λύπη τοὺς Τρῶας πολλή. φησὶ γοῦν· «Τρῶας δὲ κατάκρηθεν», ἤγουν κατάκρης, ὡς ἀλλαχοῦ κεῖται, ἢ κατακρῆθεν προπερισπωμένως ἀντὶ τοῦ κατακάρηθεν καὶ ἐν συγκοπῇ κατακρῆθεν, ὅ ἐστι κατὰ κεφαλῆς, «λάβε πένθος ἄσχετον, οὐκ ἐπιεικτόν, ἐπεί σφισιν ἕρμα πόληος ἔσκε καὶ ἀλλοδαπός περ ἐών». (v. 550 s.) Εἶτα κατασκευάζων πῶς εἷς οὗτος ἐπίκουρος ἕρμα πόλεως ἦν τηλικαύτης, εἴγε κατὰ τὴν παροιμίαν «εἷς ἀνὴρ οὐδεὶς ἀνήρ», ἐπιφέρει «πολέες γὰρ ἅμ’ αὐτῷ λαοὶ ἕποντο, ἐν δ’ αὐτὸς ἀριστεύεσκε μάχεσθαι». καὶ τοῦτό ἐστιν αἴτιον τοῦ πάντας τοὺς Τρωϊκοὺς ἐπικούρους ὡς ἀπὸ μέρους ἀξιολόγου Λυκίους λέγεσθαι. Τὸ δὲ «πένθος ἄσχετον, οὐκ ἐπιεικτόν», ὃ μεγάλην λύπην δηλοῖ, τῇ παραλλήλῳ θέσει καὶ τὸ τῆς ἐννοίας ταὐτὸν συντρέχειν ἔχουσιν. ἄσχετον γὰρ οὗ οὐκ ἄν τις ἀνάσχοιτο, καὶ 〈οὐκ〉 ἐπιεικτὸν ᾧ οὐκ ἄν τις εἴξοι. Ἕρμα δὲ πόλεως, ἢ δι’ οὗ, ὥσπερ ἡ πατρὶς Λυκία, οὕτω καὶ ἡ Τροία εἴρυτο, καθὰ ἐρρέθη πρὸ βραχέων, ἢ τὸ ὑπέρεισμα κατὰ συγκοπήν, ἢ τὸ ζαχρηὲς βάρημα ὡς ἐπὶ νηὸς πρὸς τὸ μὴ ἀνατρέπεσθαι ἐν τῷ πλεῖν.

3.899 ὅθεν ἡ ἀστήρικτος δι’ ἐλαφρότητα ναῦς ἀνερμάτιστος καὶ ἔστι καὶ λέγεται. (v. 554) Ὅτι ὃν λόγον λάσια στήθη Ἀχιλλέως φθάσας ἔφη ὁ ποιητὴς καὶ «Πυλαιμένεος λάσιον κῆρ», οὕτω καὶ ἐνταῦθα περιφραστικῶς «Πατροκλῆος λάσιον κῆρ» ἀντὶ τοῦ αὐτὸς ὁ συνετὸς Πάτροκλος, οἷον «αὐτὰρ Ἀχαιοὺς ὦρσε Πατροκλῆος λάσιον κῆρ». (v. 556 s.) [Ὅτι ἐρεθιστικὸν εἰς ἄμυναν μάχιμον τὸ «νῦν σφῶϊν ἀμύνεσθαι φίλον ἔστω, οἷοί περ πάρος ἦτε μετ’ ἀνδράσιν ἢ καὶ ἀρείους». Πάτροκλος δὲ ταῦτα ἔφη πρὸς τοὺς Αἴαντας ὀτρύνων ἐπιτεῖναι ὡς οἷόν τε τὴν κατ’ αὐτοὺς ἀνδρίαν.] (v. 558) Ὅτι ἐν τῷ «κεῖται ἀνήρ, ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν, Σαρπηδών» τὸ ἐσήλατο ἀντὶ τοῦ ἐσάλευσε κεῖται κατὰ Πορφύριον ὡς ἀπὸ τοῦ σάλω, ἐξ οὗ καὶ τὸ σαλεύω καὶ ὁ σάλος. Ἐν δὲ τοῖς Ἡροδώρου καὶ Ἀπίωνος φέρεται, ὡς οὐ δεῖ πείθεσθαι Λυσανίᾳ τὸ «ὃς πρῶτος ἐσήλατο» λέγοντι σήλατο, καὶ διὰ τοῦτο ψιλοῦντι τὸ η ὡς ἀπὸ τοῦ σήλασθαι, ὃ δηλοῖ τὸ ἀποσπᾶν καὶ σαλεύειν, ἔτι δὲ λέγοντι καὶ ὅτι ὁ μὲν σαλεύσας τὸ τεῖχος πρῶτος Σαρπηδών ἐστιν, ὁ δὲ εἰσπηδήσας Ἕκτωρ. ὥστε οὔτε μόνου Πορφυρίου ἀλλὰ καὶ Λυσανίου ἐστὶν ἡ ῥηθεῖσα ἐξήγησις, καὶ οὐδὲ πάνυ ἀποδεκτέα ἐστὶ τοῖς παλαιοῖς. οἱ δ’ αὐτοί, ὁ Ἀπίων δηλαδὴ καὶ ὁ Ἡρόδωρος, ἐπικρίνουσι καὶ ὅτι δεῖ ἐπί τε Σαρπηδόνος ἐπί τε Ἕκτορος τὸ ἐσήλατο ἀπὸ τοῦ ἅλλεσθαι κανονίζειν καὶ νοεῖν ἀντὶ τοῦ ἐφήλατο. οὕτω γάρ, φασί, δοκεῖ Ἀριστάρχῳ. διὸ καὶ δασύνει ἐκεῖνος τὸ η . Ἕκτωρ μὲν γὰρ πρῶτος διῆλθε, Σαρπηδὼν δὲ πρῶτος ὥρμησεν ἐπὶ τὸ τεῖχος. Ἐν τούτοις δὲ καὶ παρισώσεις ἐπιφέρονται τὸ ἀεικισσαίμεθα καὶ ἀφελοίμεθα καὶ δαμασαίμεθα, ἐπορχουμένου οἷον τῷ ῥυθμῷ τοῦ ταῦτα λέγοντος διὰ τὸ τὴν μάχην θαρρεῖν. (v. 562) Ὅτι στρατιωτικῆς προθυμίας τὸ «οἳ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον». (v. 563 s.) Ὅτι γοργὸν καὶ εὔτακτον σχῆμα τὸ «ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγας Τρῶες καὶ Λύκιοι καὶ Μυρμιδόνες καὶ Ἀχαιοί». καὶ ὅρα ὅτι, ὅπερ οἱ Λύκιοι τοῖς Τρωσὶν ἐξέχοντες κατ’ ἐπικουρίαν, τοῦτο οἱ Μυρμιδόνες τοῖς Ἀχαιοῖς, τοῖς λοιποῖς δηλαδὴ Ἀργείοις. ἄλλως γὰρ ἰδίως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτοί, καθὰ Μυρμιδόνες καὶ Ἕλληνες, οὕτω καὶ Ἀχαιοί, ὡς ἡ Βοιωτία δηλοῖ. Κεῖται δ’ ἐνταῦθα καὶ τὸ συμβάλλειν ἐπὶ πολέμου, ἐξ οὗ ἡ μάχιμος συμβολή. (v. 565 s.) Φησὶ γὰρ «σύμβαλον ἀμφὶ νέκυϊ μάχεσθαι δεινὸν ἀΰσαντες, μέγα δ’ ἔβραχε τεύχεα φωτῶν». Τὸ δὲ συμβάλλειν καὶ συνιέναι λέγεται, οἷον «συνίτην ἔριδος πέρι θυμοβόροιο». τὸ δὲ ῥηθὲν πρὸ βραχέων περὶ Πατρόκλου καὶ Σαρπηδόνος, ἔνθα τὸ «περὶ ἔριδος», εἰς διαφορὰν κεῖται ἀλλοίων συνελεύσεων.

3.900 (v. 567 s.) Ὅτι ἐν τῷ «Ζεὺς δ’ ἐπὶ νύκτα ὀλοὴν τάνυσε κρατερῇ ὑσμίνῃ, ὄφρα φίλῳ περὶ παιδὶ μάχης ὀλοὸς πόνος εἴη», νύκτα λέγει τὸ περὶ τὸν ἀέρα πολὺ πάχος ἐκ τῆς κονίης, ἣν καὶ ἀέλλῃ φθάσας εἴκασε νεφώδει, καὶ πρὸ αὐτῆς ὁμίχλῃ. τὴν δὲ αὐτὴν ἐν τοῖς ἑξῆς σαφέστερον ἐπὶ πλέον μελαίνει Πατρόκλου κειμένου, εἰκάζων ἐκλείψει ἡλίου ἢ σελήνης, ὡς ἐκεῖ φανεῖται. Σημείωσαι δὲ ὅτι τολμηρῶς νύκτα ἔφη τὴν ἐξ ἀέρος ἐν ἡμέρᾳ ζόφωσιν. ἐντεῦθεν δὲ ὁρμηθεὶς ἐρεῖ ἐν ἄλλοις τὸ «ὀρώρει δ’ οὐρανόθεν νύξ». Ὅρα δὲ καὶ ὅτι τήν τε ῥηθεῖσαν νύκτα ὀλοὴν ἔφη καὶ τὸν περὶ αὐτὴν πόνον ὀλοὸν διὰ τοὺς τηνικαῦτα ὀλέθρους. Σημείωσαι δὲ ἄλλως καὶ ὅτι φῶς καὶ αἰθρίαν τὴν νίκην πολλαχοῦ φθάσας εἰπεῖν ἐνταῦθα τὴν τῆς μάχης πύκνωσιν νυκτὶ ἀπεικάζει, ὥς που καὶ νέφος αὐτὴν ἐρεῖ. (v. 570- 5) Ὅτι, ὥσπερ πρὸ τούτων ἔφη τὸν Αἴαντα οὐκ ἀφαυρότατον Ἀχαιῶν ἀντὶ τοῦ ἀνδρειότατον, οὕτω καὶ νῦν Μυρμιδόνα τινὰ λέγει οὔτι κάκιστον ἄνδρα, τουτέστιν ἀνδρεῖον καὶ ἄριστον, διὰ τῆς ἄρσεως τὴν ἐναντίαν θέσιν δηλῶν. Φησὶ γὰρ «βλῆτο οὔ τι κάκιστος ἀνὴρ μετὰ Μυρμιδόνεσσιν, υἱὸς Ἀγακλῆος, Ἐπειγεύς, ὃς δὴ ἐν Βουδείῳ ἤνασσε τὸ πρίν. ἀτὰρ τότε γ’ ἐσθλὸν ἀνεψιὸν ἐξεναρίξας ἐς Πηλῆα ἱκέτευσε καὶ ἐς Θέτιν ἀργυρόπεζαν». οἱ δὲ ἅμα Ἀχιλλεῖ ἔπεμπον ἕπεσθαι εἰς Ἴλιον. τοῦτον ὁ Ἕκτωρ βάλλει βολήν, ὁποίαν πρὸ ὀλίγων Πάτροκλος Εὐρύαλόν τινα. χερμαδίῳ γὰρ ἔβαλε κεφαλήν, ὡς ἐκεῖ πέτρῳ Πάτροκλος. (v. 578—80) Καὶ αὐτὴ «ἄνδιχα πᾶσα κεάσθη ἐν κόρυθι βριαρῇ», ἤγουν ἔσω κόρυθος, καθάπερ ἐκεῖ. «ὃ δ’ ἄρα πρηνὴς ἐπὶ νεκρῷ κάππεσεν», ὡς ἐκεῖνος ἐπὶ γαίῃ, ἀμφέχυτο δὲ καὶ τοῦτον θάνατος θυμοραϊστής, ὃς ὁμοίως μὲν παρῆκται τῷ κυνοραϊστής, γίνεται δὲ ἀπὸ τοῦ ῥαίω, τὸ φθείρω, κατὰ διάλυσιν καὶ παραγωγήν. ὡς γὰρ δαίω δαΐζω, οὕτω ῥαίω ῥαΐζω. τὸ μέντοι ῥαίω ἀπὸ τοῦ ῥῶ, καθὰ τὸ ναίω ἐκ τοῦ νῶ, ἀφ’ οὗ τὸ νάσατο καὶ τὰ κατ’ αὐτό. [Κοινῶς δὲ δι’ ἑνὸς ῥῶ ἐκφέρεται ὁ θυμοραϊστής, καθὰ καὶ ὁ κυνοραϊστής. Ἀττικοὶ δὲ διπλάζουσι καὶ ἐν τούτοις τὸ ἀμετάβολον.] (v. 571) Τὸν δὲ Ἐπειγέα τὸ ἐπείγειν παράγει, σπουδαῖον, ὡς εἰκός, ὄντα, ὥσπερ καὶ τὸν Σπερχειὸν ποταμὸν τὸ σπέρχειν ὡς οἷα σπερχνὸν ἐν τῷ τρέχειν ὄντα. (v. 572) Βούδειον δὲ πόλις, φασί, Βοιωτικὴ ἀπὸ Βουδείας Βοιωτίας, μητρὸς Ἐργίνου τοῦ καὶ παρὰ Πινδάρῳ περιᾳδομένου.

3.901 Ὁ δὲ τὰ Ἐθνικὰ γράψας Ὁμηρικὸν οἶδε σχηματισμὸν τὸ Βούδειον. ἄλλως δὲ Βούδειαν ἱστορεῖ πόλιν ἐν Μαγνησίᾳ τῇ κατὰ Εὐρώπην ἀπὸ τοῦ οἰκήσαντος Βουδείου, καὶ Βούδειαν λέγων Ἀθηνᾶν ἐν Θεσσαλίᾳ, εἰς ὃ καὶ παραφέρει τὸν Λυκόφρονα μάρτυρα. ὁ δ’ αὐτὸς καὶ ἑτέραν Βούδειαν ἱστορῶν πόλιν Φρυγίας λέγει, ὡς καὶ ἔθνος ἐστί τι Μηδικὸν οἱ Βούδειοι, ὧν ἡ γραφὴ, ὡς οἱ Ὁμηρικοὶ Κήτειοι. Τινὲς δέ φασι Βούδειον πόλιν Φθίας, ἀπὸ Βουδείου, υἱοῦ Ἄργου. ἀρέσκει δὲ τοῦτο οὐ πάνυ τοῖς παλαιοῖς. ὁ γὰρ Βουδειεύς, φασίν, οὗ ἐνταῦθα μέμνηται Ὅμηρος, πόρρωθέν ποθεν εἰς τὸν Πηλέα ἱκετεύσας φαίνεται καὶ οὐκ ἀπὸ Θεσσαλικοῦ τόπου. ἄλλως μέντοι δοκεῖ καὶ πόλις εἶναι Θετταλικὴ τὸ Βούδειον. (v. 574) Ὅρα δὲ καὶ ὅτι οὐκ οἶδε λέγειν ὁ ποιητής, ὡς ἱκέτευσεν ὁ δεῖνα τὸν δεῖνα, ἀλλὰ μετὰ προθέσεώς φησιν «ἐς Πηλῆα ἱκέτευσεν», ἤγουν ἱκέτης ἦλθε, καὶ ἐς Θέτιν. Ὅτι δὲ καθάπερ οἱ ξεῖνοι, οὕτω καὶ οἱ ἱκέται διὰ βίου αἰδοῖοι ἐκρίνοντο καὶ τίμιοι διὰ τὸν ξένιον καὶ ἱκέσιον, μυριαχοῦ ἱστορεῖται. (v. 573) Τὸ δὲ «ἀτὰρ τότε γ’ ἐσθλόν» καὶ ἑξῆς, δηλοῖ τῇ ἐπενθέσει τοῦ γε συνδέσμου φορτικὴν καὶ Ὁμήρῳ εἶναι τὴν σκληρὰν χασμῳδίαν, εἰ καὶ ἄλλως αὐτῇ χαίρει ὅτε χασμᾶται καίρια. (v. 582 s.) Ὅτι φθάσας μὲν εἶπεν ἱέρακά τινα φασσοφόνον, ἐνταῦθα δὲ ἄλλον ἱστορεῖ, «ὃς ἐφόβησε κολοιούς τε ψῆράς τε». Τοιούτῳ δὲ τὸν Πάτροκλον εἰκάζει, ὅτε κατὰ Λυκίων ὥρμησε κεχολωμένος ὑπὲρ τοῦ προσεχῶς

πεσόντος ἱκέτου, φράζων οὕτω «Πατρόκλῳ δ᾽ ἄρ ἄχος γένετο φθιμένου ἑτάροιο, ἴθυσε δὲ διὰ προμάχων, ἴρηκι ἐοικὼς ὠκέϊ, ὅς τ᾽ ἐφόβησε κολοιούς τε ψῆράς τε». (v. 584 s.) Ἐφ᾽ οἷς εὖ μάλα φιλίως ὁ ποιητὴς διατεθεὶς πρὸς τὸν ἥρωα οὕτω λαμπρῶς διὰ φιλίαν ἀριστεύοντα προσφθέγγεται καὶ νῦν ἐνδιαθέτως κατὰ σχῆμα κλητικῆς ἀποστροφῆς οὕτω «ὣς ἰθὺς Λυκίων, Πατρόκλεις ἱπποκέλευθε, ἔσσυο καὶ Τρώων, κεχόλωσο δὲ κῆρ ἑτάροιο». (v. 586) Εἶτα πάλιν ἀλλοιῶν τὸ σχῆμά φησι «καί ῥ᾽ ἔβαλε Σθενέλαον», δυνάμενος μὲν εἰπεῖν ἐν δευτέρῳ προσώπῳ «καί ῥ᾽ ἔβαλες», οὐκ ἐθελήσας δὲ τοῦτο, ἵνα τῶν προτέρων συνήθως γένηται. Ταπεινοῖ δὲ Ὅμηρος τὸν Λυκιακὸν συνασπισμὸν τῇ τῶν κολοιῶν καὶ ψηρῶν παραβολῇ, οὓς καὶ ἀγεληδὸν πετομένους οὐκ ἂν ἱέραξ ὑποσταλείη.

3.902 Ὅτι δὲ φιλάλληλα καὶ συναγελαστικὰ τὰ ῥηθέντα ζῷα καὶ οὐδὲ δυνάμενα σφίσιν αὐτοῖς ῥᾳδίως ἀμύνειν, οὐκ ἄδηλόν ἐστιν. (v. 583) Οἱ δὲ ψῆρες καὶ ψᾶρες λέγονται, ἄμφω δὲ γίνεται ἀπὸ τοῦ ψαίρειν. διακινοῦσι γὰρ τὰ παραπίπτοντα οἱ ψᾶρες ἐν τῷ διαχάσκειν καὶ ζητεῖν τροφήν τινα κάτωθεν. (v. 584) Τὸ δὲ ἰθὺς ἐκ τοῦ ἴθυσε γίνεται, ὃ ἀνωτέρω κεῖται. Ἱπποκέλευθος δὲ καὶ νῦν κατ᾽ ἐξοχὴν ὁ ἡνιοχικώτατος. ἴσως δὲ κατά τι ἐξαίρετον καὶ τὸν μάλιστα δι᾽ ἵππων εἰδότα μάχεσθαι δηλοῖ, οὐ μὴν οὕτω καὶ πεζομαχεῖν, ἢ καὶ τὸν ἄλλως, [ὡς καὶ προερρέθη,] χαίροντα μεθ᾽ ἵππων βαδίζειν, ὁποῖοι κατὰ Ξενοφῶντα ὕστερον οἱ Πέρσαι, οἷς νόμος ἐτέθη μικροῦ δεῖν καθ᾽ ἱπποκενταύρους ἀεὶ ἐφίππους ἰέναι. (v. 585) Τὸ δὲ «κεχόλωσο κῆρ ἑτάροιο» ἡ αἰτία ἐστὶ τοῦ εἰς μάχην ἄρτι μάλιστα τῷ Πατρόκλῳ ἐνθουσιασμοῦ. (v. 586 s.) Ὅτι πρὸς ἀναλογίαν τοῦ ἰθαγενὴς γίνεται Ἰθαμένης κύριον, καὶ πλεονασμῷ τοῦ ι Ἰθαιμένης, οὗ ἔβαλε Πάτροκλος φίλον υἱὸν Σθενέλαον «αὐχένα χερμαδίῳ, ῥῆξε δ᾽ ἀπὸ τοῖο τένοντας». (v. 588) Βολὴν δὲ ἰδόντες οὕτω ἀξιόλογον «χώρησαν ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ», ἤγουν ὑπεχώρησαν. (v. 589—92) Εἶτα καὶ μετρῶν εἰς ὅσον ἐχώρησαν οἱ ῥηθέντες διάστημα, φησὶν «ὅσση δ᾽ αἰγανέης ῥιπὴ ταναοῖο τέτυκται, ἥν ῥά τ᾽ ἀνὴρ ἀφέῃ πειρώμενος ἢ ἐν ἀέθλῳ ἢ καὶ ἐν πολέμῳ, τόσσον ἐχώρησαν Τρῶες, ὤσαντο δ᾽ Ἀχαιοί». δι᾽ οὗ δηλοῖ, ὡς ἐχώρησαν οἱ Τρῶες οὐχ᾽ ἁπλῶς, ἀλλ᾽ ὠσθέντες κατὰ τοὺς ἡττημένους, ταὐτὸν δ᾽ εἰπεῖν, ὑπεχώρησαν ἢ ἀνεχώρησαν. οὕτω καὶ πρὸ τούτου ἀφέσει δουρὸς ἐμέτρησε τὸ τῆς τάφρου γεφύρωμα. Πλατυτέρα δὲ ἡ ἐνταῦθα φράσις, ἔτι δὲ καὶ σαφεστέρα. τὸ γὰρ ἐκεῖ δόρυ ἐνταῦθα αἰγανέαν φησίν. αὕτη γὰρ χρηστὴ ὅτε τις ἑαυτοῦ πειρᾶται. καὶ τὸ πειρώμενος δὲ ἐκεῖ μὲν ἀσαφῶς ἔχει διὰ τὸ ἀορισταίνειν, ἐνταῦθα δὲ καὶ τόπον καὶ καιρὸν προσέθετο, εἰπών· ἐν ἀέθλῳ ἢ πολέμῳ. ἴσως δὲ καὶ τριχῇ διαιρετέον ἄρτι τὴν ῥηθεῖσαν ἄφεσιν, τὴν κατὰ πεῖραν ἁπλῶς, τὴν ἐν ἀέθλῳ καὶ τὴν ἐν μάχῃ. (v. 589) Ἔστι δὲ αἰγανέα οὐχ᾽ ἁπλῶς δόρυ ἀλλὰ ἐλαφρὸν καὶ μακρόν, λεγομένη οὕτω διὰ τὸ κατὰ αἰγῶν ἢ ἄγαν ἵεσθαι, ὡς καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται. τὸ δὲ εἰπεῖν αἰγανέη ταναός Ἀττικόν ἐστι καὶ Ἰωνικόν.

3.903 (v. 590) Τὸ δὲ «ἀφέῃ» συνήθη πλεονασμὸν ἔχει τοῦ ε . τὸ γὰρ κοινὸν ἀφῇ ἀντὶ τοῦ πέμψει, ὃ καὶ ἥσει πρὸ τούτου ἔφη. ὥσπερ δὲ ἐν τῷ ἀφέῃ, οὕτω καὶ ἐν τῷ ἀφέωνται πλεονάζει τὸ ε . Τὸ δὲ «πειρώμενος» ἐλλιπῶς ἔχει. καὶ ἴσως λείπει τὸ ἑαυτοῦ ἢ τῆς οἰκείας ἰσχύος, ὡς εἶχε τὸ «ὁππότ᾽ ἀνὴρ σθένεος πειρώμενος». (v. 593—600) Ὅτι ὑποχωρήσεως τῶν Τρώων γενομένης Γλαῦκος ἐτράπετο καὶ ὅμως ἔκτεινέ τινα φεύγων, Χάλκωνος υἱόν, «ὃς Ἑλλάδι οἰκία ναίων ὄλβῳ τε πλούτῳ τε μετέπρεπε Μυρμιδόνεσσι». Τοῦτον Γλαῦκος διώκοντα «στῆθος μέσον οὔτασε δουρί, στρεφθεὶς ἐξαπίνης, ὅτε μιν κατέμαρπτε διώκων». καὶ Ἀχαιοὺς μὲν ἐλύπησεν, «ὡς ἔπεσεν ἐσθλὸς ἀνήρ. μέγα δὲ Τρῶες κεχάροντο». Ἡ γὰρ ἐξ ὑποστροφῆς ἀνδραγαθία τὴν τοῦ πρῶτον τραπέσθαι αἰσχύνην ἐκάλυψε. Καὶ ἔστι καινὸς ἀριστείας τρόπος, ὅτε ὁ φεύγων ἀνελεῖ τὸν διώκοντα. (v. 595) Ἑλλάδα δὲ καὶ νῦν τὴν κατὰ τοὺς Μυρμιδόνας ἔφη, ἣν ἡ Βοιωτία ἱστορεῖ. [Δῆλον δ᾽ ὅτι πάλαι μέν ποτε πόλις Φθίας ἡ Ἑλλάς, ὕστερον δὲ καὶ χώρα ἡ πρὸ τῆς Πελοποννήσου κοινότερον. ἱστορεῖται δὲ κληθῆναί ποτε Ἑλλάδα καὶ πᾶσαν σχεδὸν τὴν κατὰ

τὴν Ἰταλίαν μετοίκησιν. Ἡρόδικος δὲ ὁ Βαβυλώνιος εὐξάμενος τὸ «Ἡροδίκῳ», τουτέστιν ἐμοί, «Ἑλλὰς ἀεὶ μίμνοι καὶ θεόπαις Βαβυλών», ἄδηλον περὶ ποίας Ἑλλάδος ποιεῖται τὴν εὐχήν. Ὁ δὲ Ἕλλην ὁ πρῶτα μὲν τῇ Ἑλλάδι πόλει παρώνυμος, εἶτα καὶ τῇ χώρᾳ, ἀπορεῖται πῶς διὰ τοῦ η ἔχει τὴν κλίσιν ἐν ταῖς πλαγίαις ὡς μονογενὲς κατὰ τὸ γέρην γέρηνος, καὶ μὴ διὰ τοῦ ε κατὰ τὸ τέρην τέρενος, ἄρσην ἄρσενος. Ἔστι γὰρ κοινὸν καὶ τὸ Ἕλλην, ὡς δηλοῖ τὸ «Ἕλλην ἀληθῶς οὖσα», ὅπερ ἐν τοῖς τοῦ Ἀθηναίου κεῖται περὶ τῆς τύχης. ἔστι δ' αὐτὸ Ἀττικισμός. οὐ γὰρ ἔστιν ἄλλην αἰτίαν εἰπεῖν.] (v. 601 s.) Ὅτι ἀντιπαρατάξεως θαρσαλέας τό· οὐδ' ἄρ οἱ δεῖνα «ἀλκῆς ἐξελάθοντο, μένος δ' ἰθὺς φέρον αὐτῶν».

3.904 Καὶ ὅρα τὸ «ἰθὺς ἔφερον αὐτῶν», ἐξ οὗ δῆλον ὡς καὶ πρὸ ὀλίγων ἐν τῷ «βὰν δ' ἰθὺς Δαναῶν λελιημένοι» οὐκ ἔστιν εἰπεῖν, ὅτι ἔβησαν ἰθὺς λελιημένοι τῶν Δαναῶν, οἱ Τρῶες δηλαδή, ἀλλὰ ἔβαν ἰθὺς τῶν Δαναῶν, ὅ ἐστιν ἀντικρύ, λελιημένοι, τουτέστιν ἐπιθυμοῦντες μάχης ἢ αὐτοῦ δὴ τοῦ βῆναι ἰθὺς Δαναῶν. τὸ δὲ ἰθὺς βῆναί τινων καὶ μένος ἰθὺς φέρειν ἐναντίον ἐστὶ πρὸς τὸ ὑποχωρεῖν καὶ ἀναχωρεῖν. (v. 604 s.) Ὅτι Ὀνήτωρ τις Διὸς ἱερεὺς Ἰδαίου «θεὸς ὣς τίετο δήμῳ». Καὶ καινὸν οὐδέν, εἰ τοῖς ἐθάσι τίμιος ἦν. τὸ δὲ τοῦ Χρύσου μᾶλλον τοιοῦτον, ὃν καὶ οἱ πολέμιοι Ἀχαιοὶ αἰδεῖσθαι ὡς ἱερέα ἤθελον, παιδεύοντος τοῦ ποιητοῦ καὶ τοιαῦτα. [Ὃς καὶ ἐξ αὐτοῦ τοῦ Ὀνήτορα καλέσαι τὸν προκείμενον ἱερέα παίδευσιν ὑποβάλλει βιωτικήν, ὡς τῆς ἱερατείας ὀνούσης μάλιστα ἐν τοῖς καιριωτάτοις. διὸ καὶ μᾶλλον τοὺς ἱερᾶσθαι λαχόντας χρῆναι καλεῖσθαι τοῖς ἐκ τοῦ ὀνεῖν ὀνόμασιν ἤπερ τὰ ὀνείατα, οἷς ἐτυμολογία ἐκ τοῦ, ὥς φασιν οἱ παλαιοί, ὀνίσκειν ἡμᾶς, ἔτι δὲ καὶ τὸν οἶνον, ὃν δοκεῖ Ὅμηρος ἐκ τοῦ ὀνεῖν ἐτυμολογεῖν ἐν τῷ «καὶ αὐτὸς ὀνήσεαι αἴ κε πίησθα», εἰ καὶ Πλάτων οἰόνουν αὐτόν φησιν ὡς οἰήσεως τὸν νοῦν ἐμπιπλῶντα, Ἀριστοφάνης δὲ ἄλλως ὡς κομίζοντα νοῦν. τοῦτο γὰρ ἐμφαίνει ἐν τῷ «τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τί δεξιόν», καὶ ἐν τῷ «οἴνου γὰρ εὕροις ἄν τι πρακτικώτερον», καὶ ἑξῆς.] (v. 606 s.) Ὅτι τὸ ἔθανε περιφράζων φησὶν «ὦκα δὲ θυμὸς ᾤχετ' ἀπὸ μελέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλε». καὶ νῦν μὲν ἀπὸ μελέων ᾤχετο θυμός, ἐν ἄλλοις δὲ λίπεν ὀστέα θυμός. ὅρα δὲ καὶ νῦν ὅτι ἀρσενικῶς ὁ σκότος ἐρρέθη. (v. 608—12) Κεῖται δ' ἐν τούτοις καὶ ἡ ἐπι πρόθεσις ἰσοδύναμος τῇ κατα ἐν τῷ «Αἰνείας δ' ἐπὶ Μηριόνῃ», τουτέστι κατὰ Μηριόνου, «δόρυ χάλκεον ἧκε», καὶ τὸ «ὑπασπίδια προβιβῶντος», ἀντὶ τοῦ ἔσω τῆς ἀσπίδος κρυπτομένου καὶ οὕτω προβαίνοντος, καὶ τὸ «οὔδει ἐνισκίμφθη» δόρυ, ἀντὶ τοῦ ἐπέλασεν, ὅπερ ἀπὸ ῥήματός ἐστι τοῦ σκίμπτω ὡς χρίμπτω, ἐξ οὗ εἰκὸς εἶναι, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, τὸν παρ' Ἀττικοῖς σκίμποδα, εὐτελῆ κλίνην καὶ χθαμαλήν, πελάζουσαν τῇ γῇ. [Χρῆσις δὲ τοῦ σκίμπτω καὶ παρὰ Πινδάρῳ, ἔνθα φησὶν ἀγαθὸν εἶναι νηῒ δύο ἀγκύρας ἀπεσκίμφθαι.] (v. 616) Ὅτι καὶ ἐνταῦθα οὐρίαχον εἰπὼν ἔγχεος καὶ ἐφερμηνεύων ἐπάγει «ἔνθα ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης». καὶ γέγραπται ἤδη περὶ τούτου ὅσα ἔδει.

3.905 οὐ τοῦτο δὲ μόνον ἐκ τῶν προπεποιημένων ἐνταῦθα κεῖται ἀπαραποίητον, ἀλλὰ καὶ ἕτερα οὐκ ὀλίγα. Ὅτι ἐλαφρὸς καὶ ὁ Μηριόνης ἔοικεν εἶναι καὶ διὰ γυμνασίαν πολεμικὴν Κρητικὴν εὐλύγιστος καὶ εὔστροφος, καὶ τοῦτο μὲν εἰς ἀρετὴν αὐτῷ ἐγγράφεται, ὁ δὲ πολέμιος Αἰνείας εἰς ψόγον λόγῳ σκώμματος διαστρέφει αὐτό. ἠλεύατο μὲν γὰρ χάλκεον ἔγχος τὸ τοῦ Αἰνείου πρόσω κατακύψας ὁ Μηριόνης. (v. 616—8) Αἰνείας δὲ χωσάμενος εἶπε «Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα ἔγχος ἐμὸν κατέπαυσε διαμπερές, εἴ σ' ἔβαλόν περ». Καὶ ὅρα τὸ ἀνεῖλον ἄν σε, εἴπερ ἔβαλον. καὶ ἦν μὲν καὶ ἐν τοῖς πρὸ τούτων ὅμοιόν τι σχῆμα, ἐνοεῖτο δὲ ἐκεῖνο ἀντὶ τοῦ ἐπειδὴ ἐποίησα ἂν τόδε τι, ἐνταῦθα δὲ φανερῶς εἴρηται κατὰ δισταγμὸν τὸ «εἴ σ' ἔβαλον». (v. 623- 5) Διὸ καὶ ὡς τοῦ ἀφελοῦς τούτου λόγου λαβὴν σκώμματος ἔχοντος ἐπάγει ὁ Μηριόνης μετά τινα ἑτέρωθι γεγραμμένα «εἰ καὶ ἐγώ σε βάλοιμι τυχὼν μέσον ὀξέϊ χαλκῷ, αἶψά κε καὶ κρατερός περ ἐὼν καὶ χερσὶ πεποιθὼς εὖχος ἐμοὶ δοίης, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ». ὅπερ ἀκούσοι ἄν ποτε ἀπειλητὴρ στρατιώτης ἐξ ὁμοίου στρατιώτου. Καὶ ὅρα

κἀνταῦθα, ὅπως ὁ ποιητὴς ἡδονάς, ὡς ἐξόν, τοῖς σκυθρωποῖς διηγήμασιν ἐγκαταμίγνυσι. καὶ ἔστι μὲν σεμνὸν τὸ τοῦ Μηριόνου σκῶμμα, ῥητορικῶς λεχθὲν κατὰ νοήματος ἁπλουστέρου τοῦ κατὰ τὸν Αἰνείαν, οἷον εὔηθες ὃν εἰπεῖν ἐκεῖνον ὡς ἔπαυσα ἄν σε τοῦ ὀρχεῖσθαι, εἴπερ ἔβαλον. ὅμοιον γὰρ ὡς εἴπερ φήσει τις· ἔβλαψα ἄν σε εἴπερ ἔβλαψα. Πάτροκλος δὲ βαρυνθεὶς μέμφεται τὸν Μηριόνην, ὡς ῥηθήσεται, οἷα σκωπτικόν. καὶ ὅμως, ἐπεὶ παραινεῖν μὲν εὐχερές, οὐ μὴν δὲ κατορθοῦν, αὐτὸς μετ᾽ ὀλίγα ὡς οἷον ἐκλαθόμενος ἐρεῖ σκῶμμα οὐ βαρὺ ἀλλὰ προκαλούμενον εἰς μειδίαμα, πλὴν ὅσον ἐκεῖνο μὲν ἐπὶ ἐχθρῷ πεσόντι, τὸ δὲ τοῦ Μηριόνου τοῦτο ἐπὶ ζῶντι, ᾧ κρίνει Πάτροκλος δεῖν εἶναι αὐτὸν μὴ ὀνειδιστικῶς ἀλλ᾽ ἐνεργῶς προσφέρεσθαι. (v. 617) Ὅρα δὲ φιλομαθῆ τὸν Αἰνείαν, εἰ πυρριχιστὰς τοὺς ἐκ Κρήτης ἱστορήσας οἶδε. πάντως γὰρ τὸν Μηριόνην τοιοῦτον λέγει ὀρχηστήν. Ὅτι δὲ πυρρίχη ἡ ἐνόπλιος ὄρχησις, καὶ ὅτι Κρητικὴ μάλιστα, καὶ ὅτι σεμνή, ἐν τοῖς περὶ Κουρήτων γέγραπται. Ἦν δὲ καὶ σίκιννις κωμικωτέρα, ἣν πρῶτοι, φασίν, ὠρχήσαντο Φρύγες ἐπὶ Σαβαζίῳ Διονύσῳ, ὀνομασθεῖσαν κατὰ τὸν Ἀρριανὸν ἐπὶ μιᾷ τῶν ὀπαδῶν τῆς Κυβέλλης νυμφῶν, ᾗ ὄνομα ἦν Σίκιννις.

3.906 Ἰστέον δὲ καὶ ὅτι κατὰ τοὺς παλαιοὺς τὴν ῥηθεῖσαν κουρητικὴν ἢ πυρριχιακὴν ὄρχησιν οἱ πλείους μὲν εἰς Κρῆτας ἀνάγουσι, τινὲς δὲ Νεοπτολέμῳ ἀνατιθέασι τὴν αὐτῆς εὕρεσιν, ἕτεροι δὲ Κάστορι, καὶ ἄλλοι Διονύσῳ, [καὶ ὅτι ἐξ ἀρχῆς, ὡς ἐν τοῖς τοῦ Δειπνοσοφιστοῦ κεῖται, ὄρχησιν καὶ οἱ ποιηταὶ συνέταττον, εὐσχημοσύνης καὶ κόσμου μετέχουσαν, καὶ ἐχρῶντο τοῖς σχήμασι σημείοις μόνον τῶν ᾀδομένων, καὶ οὐ κατὰ τοὺς ὕστερον, δρῶντες οὐδέν, ὥσπερ ἀπόπληκτοι στάδην ἑστῶτες ὠρύοντο. καὶ ἐν χοροῖς δὲ τὸ τῆς ὀρχήσεως γένος εὔσχημον ἦν καὶ μεγαλοπρεπὲς καὶ τὰς ἐν ὅπλοις κινήσεις ἀπομιμούμενον, καὶ κατὰ τὸν Σωκράτην εἰπεῖν, σχεδὸν ὥσπερ ἐξοπλισία τις ἡ χορεία ἦν καὶ ἐπίδειξις λοιπῆς τε εὐταξίας καὶ σωμάτων ἐπιμελείας. ἃ δὴ καὶ ἡ πυρρίχη πολεμικὴ κατὰ Κρήτην ὄρχησις εἶχεν, ἣν ἔνοπλοι, ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη, παῖδες ὠρχοῦντο.] Σημείωσαι δὲ καὶ ὅτι μεταλαβὼν Αἰνείας τὸ τοῦ Μηριόνου εὔστροφον εἰς ὄρχησιν καὶ παραποιήσας τὴν λέξιν καὶ ἀντὶ κούφου στρατιώτου ὀρχηστὴν κερτομήσας, ἀπεσέμνυνέ πως ἑαυτόν, οὐ μόνον ὡς μαχητὴν σταδαῖον καὶ μόνιμον, ἀλλὰ καὶ ὅτι αὐτὸς εὐστόχως βαλὼν ὅμως διὰ τὴν τοῦ Μηριόνου τεχνικὴν παρατροπὴν ἥμαρτε τοῦ βαλεῖν. Ἔτι ἰστέον ὅτι ἡ κατὰ μάχην ὀρχηστικὴ πρὸς ἔνδειξιν ἐπετηδεύετο θάρρους, ἵνα δοκοῖεν οἱ οὕτω κινούμενοι καταπαίζειν τῶν πολεμίων. καὶ ἴσως τοιοῦτόν τι καὶ τὸ «Ἄρηϊ μέλπεσθαι», ὡς καὶ τῆς μολπῆς θαρραλεότητα ἐνδεικνυμένης καὶ ἀλυπίαν τινά, ἐπεὶ καὶ κατὰ Πλάτωνα οὐδὲν ζῷον λυπούμενον ᾄδει. ᾄδειν δὲ πάντως καὶ μέλπειν ταὐτόν ἐστιν. [Ἄιδειν δέ φαμεν ἄρτι τὸ πάλαι ποτὲ σπουδαζόμενον, ὅτε σπουδή, φασίν, ἦν τὸ χρηστομουσεῖν. ὕστερον γὰρ γηρασάντων τῶν ἀρχαίων νόμων τρόποι μουσικῆς φαῦλοι κατεδείχθησαν, περιποιούμενοι ἀντὶ μὲν πραότητος μαλακίαν, ἀντὶ δὲ σωφροσύνης ἀκολασίαν καὶ ἄνεσιν. Πολλῶν δὲ ὄντων σεμνωμάτων τῆς ἐναρέτου ἀρχαίας μουσουργίας φέρονται ὡς ἐν βραχεῖ καὶ ταῦτα. Κλεινίας ὁ Πυθαγόρειος, ὅτε ἂν χαλεπαίνοι, ἀναλαβὼν λύραν ἐκιθάριζε, λέγων τοῖς ἐπιζητοῦσιν αἰτίαν, ὡς πραΰνομαι.

3.907 ἀφ᾽ οὗ δῆλον ὡς ἡ μουσικὴ καταπραΰνει τοὺς κατὰ τὸν Κλεινίαν θυμοειδεῖς καὶ διαφόρους τὰς γνώμας. καὶ Ἀχιλλεὺς δὲ μόνος Ἑλλήνων τῶν ἐν Τροίᾳ τῇ τοῦ Ἠετίωνος κιθάρᾳ κατεπραΰνετο. Θεόφραστος δὲ ἱστορεῖ, ὡς καὶ αὐτὸ ἐν τοῖς τοῦ Ἀθηναίου κεῖται, ἰσχιακοὺς ἀνόσους διατελεῖν, εἴ τις τοῦ τόπου καταυλήσει τῇ Φρυγιστὶ ἁρμονίᾳ, ἣν παρὰ Φρυξὶ πρῶτος εὗρεν Ὕαγνις.] (v. 625) Τὸ δὲ «εὖχος ἐμοὶ δοίης, ψυχὴν δὲ Ἄϊδι» ἀστεῖον μέν ἐστι, περιφράζει δὲ τὸ εὐτυχῶς ἐμοὶ τεθνήξῃ. (v. 620—5) Ὅτι πρὸς τὸν ἀπειλούμενον κακὰ εἴποι ἄν τις τῶν μὴ πάνυ πτοιαλέων τὸ τοῦ Μηριόνου πρὸς Αἰνείαν «χαλεπόν σε καὶ ἴφθιμόν περ ἐόντα πάντων ἀνθρώπων σβέσαι μένος, ὅς κέ σευ ἄντα ἔλθῃ ἀμυνόμενος, θνητὸς δέ νυ καὶ σὺ τέτυξαι. εἰ καὶ ἐγώ σε βάλοιμι τυχών», καὶ ἑξῆς. [Ἔνθα οὐ διαφορὰ δηλοῦται τοῦ βαλεῖν καὶ τυχεῖν, ἀλλὰ

ταὐτότης μᾶλλον. ὁ γὰρ βαλὼν ἐξ ἀνάγκης καὶ ἔτυχε, καὶ ὁ οὕτω δὲ τυχὼν ἔβαλε.] Σημείωσαι δὲ ὅτι σχῆμα τοιοῦτον παραφραστικῶς καὶ ἐν τοῖς πρὸ τούτων κεῖται, ὅπου φησίν· ἀργαλέον πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε. (v. 626—9) Πρὸς δὲ τὸν παρακαίρια ἐν καιρῷ κινδυνώδει ὀνειδίζοντα καλὸν εἰπεῖν τὸ τοῦ Πατρόκλου πρὸς Μηριόνην «τί σὺ ταῦτα καὶ ἐσθλός περ ἐὼν ἀγορεύεις; ὦ πέπον», οὔτι ὁ δεῖνα ἢ οἱ δεῖνα ὀνειδείοις ἐπέεσσι χωρήσουσιν, ἤγουν ἀναχωρήσουσι, πάρος τόδε τι παθεῖν, οἷον «πάρος τινὰ γαῖα καθέξει. τῷ», ἤγουν διό, «οὐ χρὴ μῦθον ὀφέλλειν, ἀλλὰ μάχεσθαι». λέγει δὲ μῦθον ὀφέλλειν τὸ πολυλογεῖν, [καὶ ἄλλως δὲ εἰπεῖν, ἀκριτομυθεῖν, κοινότερον δὲ φάναι, ληρεῖν, ὅπερ οὐδέν ἐστιν ἕτερον ἢ τὸ πολλὰ λέγειν, ὡς ἀπὸ τοῦ λα ἐπιτατικοῦ μορίου καὶ τοῦ ῥῶ, τὸ λέγω.] (v. 630) Ἐνταῦθα δὲ κεῖται καὶ γνωμικὸν τὸ «ἐν χερσὶ τέλος πολέμου, ἐπέων δ’ ἐνὶ βουλῇ». ὅθεν χρῆναι λέγει ὁ Πάτροκλος μηδὲ τὸν Μηριόνην θαρρεῖν, ὡς οἱ Τρῶες ὀνειδείοις λόγοις νεκροῦ χωρήσουσι πάρος τινὰ γῆ καθέξει, ὡς εἴρηται, ἤγουν πρίν τις πέσῃ. Τέλος δὲ πολέμου τὴν νίκην φησίν, ἣν πρὸ τούτων φῶς εἶπεν, ὥστε ταὐτὸν τὸ «ἐν χερσὶ φόως, οὐ μειλιχίῃ πολέμοιο», τὸ προγραφέν, καὶ τὸ «ἐν χερσὶ τέλος πολέμου», τὸ ἐνταῦθα ῥηθέν. ἐν ᾧ δηλοῦται ὅτι καὶ ἐκεῖ τὸ πολέμοιο ὑπερβατῶς πρὸς τὸ φῶς λέγεται. Ἰστέον δὲ [ὅτι τε τὸ τοιοῦτον τέλος καὶ οὗ ἕνεκα λέγεται παρά τε τοῖς ὕστερον σοφοῖς καὶ τῷ ποιητῇ, καὶ ὅτι ἐξ αὐτοῦ καὶ ἐνιαυτὸς τελεσφόρος, ὃ πᾶν ἀγαθὸν τὸ ἐκ γῆς εἰς τέλος ἄγων τῇ περιτροπῇ καὶ μηδέν τι ἐλλείπων.

3.908 οὗ πρὸς αἴνιγμα ἔν τινι πομπῇ, ὡς καὶ ὁ Δειπνοσοφιστὴς ἱστορεῖ, ἀνὴρ τετράπηχυς λαμπρῶς ἐσκευασμένος τραγικώτερον ἐν προσωπείῳ καὶ φέρων χρυσοῦν Ἀμαλθείας κέρας, προσηγορεύετο Ἐνιαυτός, οἷα κατὰ τὸ ὑμνούμενον Ἀμαλθειακὸν κέρας ἐκφαίνων καὶ αὐτὸς τοῖς περὶ γῆν τὰ κατὰ βίον καλά, ὧν χορηγὸς ὁ κατὰ γεωργίαν πόνος δι’ ἔτους, ταὐτὸν δ’ εἰπεῖν ἕνου καὶ ἐνιαυτοῦ. ὅθεν ὁ ἄφενος, ἤτοι πλοῦτος, οὗ αἴνιγμα τό, ὡς ἐρρέθη, χρύσεον κέρας], καὶ ὅτι τοῦ σβέσαι μένος ἡ μεταφορὰ καιριωτάτη ἐστί, καὶ κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ἔμψυχος. σβέσις γὰρ πάντως τοῦ ἐνθέρμου μένους ὁ ψυχρὸς θάνατος. (v. 621 s.) Τὸ δὲ «σεῦ ἄντα ἔλθῃ ἀμυνόμενος» διαστολὴν ἔχει τοῦ φιλικῶς ἢ ἄλλως εἰρηναίως ἄντα ἥκειν. Ὅρα δὲ καὶ ὅτι οὐδ’ ἐνταῦθα ὄνειδος νοεῖται προφορὰ εὐεργεσιῶν πρὸς τὸν εὐηργετημένον, ἀλλ’ οἱ μετὰ βαρύτητος εἰρωνικοὶ λόγοι ὀνειδιστικοὶ ἐφράσθησαν. (v. 631) Σημείωσαι δὲ καὶ ὅτι τὸ «οὔ τι χρὴ μῦθον ὀφέλλειν» τεχνικὴ ἀπολογία ἐστὶ τῷ ποιητῇ ὑπὲρ ὧν πολλαχοῦ βραχέα παρ’ αὐτῷ λαλοῦσι ἐν ταῖς μάχαις οἱ στρατηγοί. Ὅτι πάνυ ἐπιτυχῶς τὸν πολὺν ἐκ τῶν ὅπλων δοῦπον ἐν μάχῃ δρυτόμων εἰκάζει ὀρυγμαδῷ τῷ ἐν ὄρεσιν. Εἰ γὰρ ξύλα κυριολεκτικῶς κόπτονται, κατακόπτεσθαι δὲ οἱ ῥήτορές φασι καὶ τοὺς ἐν πολέμῳ, ἀκόλουθον καὶ τοὺς ἐν ἀμφοῖν κτύπους παραλληλίζεσθαι. (v. 633—7) Φησὶ γοῦν «ὥς τε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὄρωρεν οὔρεος ἐν βήσσῃσιν, ἕκαθεν δέ τε γίνετ’ ἀκουή, ὣς τῶν ὤρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης, χαλκοῦ τε ῥινοῦ τε βοῶν εὖ ποιητάων» ἢ εὐποιητάων, «νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι». Καὶ ὅρα ὅτι τε ἐπίτηδες καὶ νῦν ἐτράχυνε τὴν φράσιν ὁ ποιητὴς ἀναλόγως τῷ πράγματι πλεονάσας τῷ ῥῶ στοιχείῳ ἐν τῷ «δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὄρωρεν οὔρεος ἐν βήσσαις», καὶ ὅτι φθάσας μὲν πρὸ ὀλίγου πεσεῖν ἔφη τὸν Σαρπηδόνα ὑπὸ Πατρόκλῳ οἷα δρῦν ἢ λεύκην ἢ πίτυν, ὡς ἐντεῦθεν δρυτόμον οἷον νοηθῆναι τὸν Πάτροκλον, ἐνταῦθα δὲ καὶ ἐξεφώνησε τὴν λέξιν ταύτην παραβολικῶς. (v. 635) Τὸ δὲ «εὐρυοδείης» ἐκ τοῦ ὁδεύειν ἔχει τὴν ἐν τῇ παραληγούσῃ δίφθογγον. (v. 636) Τὸ δὲ «εὖ ποιητάων» ἢ «εὐποιητάων», οὗ εὐθεῖα ἡ ποιητὴ ἢ ἡ εὐποιήτη ὡς ἡ ἀσβέστη, πρὸς σαφήνειαν τοῦ ῥινοῦ βοῶν τέθειται. οὐ γὰρ ἁπλῶς ἀσπίδες οἱ ῥινοὶ τῶν βοῶν, ἀλλ’ εἰ καὶ ποιηθῶσιν εὖ, ὅ ἐστι κατὰ τέχνην. Ἰστέον δὲ καὶ ὡς, εἴ που γράφεται «βοῶν τ’ εὖ ποιητάων», παραπληροῖ ὁ τε σύνδεσμος ἐκ περισσοῦ παρέλκων.

3.909 οὐ γὰρ ἔστιν ἄλλο νοεῖν ῥινὸν ἐνταῦθα καὶ ἄλλο βόας, ἀλλ’ ἔστιν ὁμοῦ ῥινὸς βοῶν βύρσα ἡ ἐπὶ ταῖς ἀσπίσιν. (v. 633) Ἐν δὲ τῷ «ὀρυμαγδὸς ὄρωρε» παρήχησίς ἐστιν ἢ καὶ παρίσωσις ἡ κατ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρχάς. ἦν δὲ ἂν αὕτη κατακορής, εἰ καὶ τὸ οὔρεος κοινῶς ἐρρέθη ὄρεος, καὶ τὸ ὤρνυτο δὲ ἦν ἀναύξητον, ἵνα παρέκειντο τὸ ὀρυμαγδός, τὸ ὄρωρε, τὸ ὄρεος, καὶ τὸ ὄρνυτο. (v. 634) Ἰστέον δὲ καὶ ὅτι τὸ «ἕκαθεν δέ τε γίνετ᾽ ἀκουή» παρῴδηται ἀπὸ τοῦ «ἕκαθεν δέ τε φαίνεται αὐγή». Ἰωνικὸν δὲ καὶ ἡ ἀκουή. τὸ δέ γε κοινὸν ἀκοή, ἀναλόγως τῷ βοῄ καὶ ῥοῄ καὶ τοῖς τοιούτοις. καὶ ἄλλως δέ, ἀκουὴ μὲν ἐκ τοῦ ἀκούω, ἀκοὴ δὲ ὡς ἐκ τοῦ ἤκουα μέσου παρακειμένου. Ὅτι οὐδὲ ὁ πάνυ πρὸ τούτου εὖ εἰδὼς τὸν Σαρπηδόνα ἐγνώρισεν ἂν ἐκεῖνον ἄρτι ἔχοντα ὡς εἶχε. (v. 638—40) Φησὶ γὰρ «οὐδ᾽ ἂν ἔτι φράδμων περ ἀνήρ», ὅ ἐστιν ἐπιστήμων, γνωστός, «Σαρπηδόνα δῖον ἔγνω, ἐπεὶ βελέεσσι καὶ αἵματι καὶ κονίῃσιν ἐκ κεφαλῆς εἴλυτο διαμπερὲς ἐς πόδας ἄκρους», ὃ ἑρμηνεία ἐστὶ τοῦ διαμπερές. τοῦτο δὲ παραθεὶς ὁ Κωμικὸς ἔφη τὸ «ἐκ τῶν ποδῶν ἐς κεφαλήν σοι». (v. 640) Τοῦ δὲ «εἴλυτο», ὅ ἐστιν ἐκεκάλυπτο, τὸ θέμα εἴλυμι ὡς ζεύγνυμι, ἢ καὶ ἄλλως εἰλύω, ἀφ᾽ οὗ εἰλύετο καὶ κατὰ κρᾶσιν εἴλυτο. Τὸ δὲ φράδμων κατὰ συνήθη τροπὴν γέγονε διπλοῦ εἰς ἄφωνον. ἐκ τοῦ φράζω γὰρ γίνεται. (v. 641—4) Ὅτι κἀνταῦθα ὡς καὶ ἐν τῇ βῆτα παραβολῇ χρᾶται τῇ ἀπὸ μυιῶν, εἰπὼν «οἳ δ᾽ αἰεὶ περὶ νεκρὸν ὁμίλεον», ἢ κατὰ ἴλας ἦσαν, «ὡς ὅτε μυῖαι σταθμῷ ἐνὶ βρομέωσι περιγλαγέας κατὰ πέλλας ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει», ὃς δὴ στίχος καὶ ἀλλαχοῦ προετέθη, «ὣς ἄρα οὗτοι περὶ νεκρὸν ὁμίλεον». Καὶ ὅρα ὡς δὶς ἔφη τὸ «περὶ νεκρὸν ὁμίλεον», ἐπαναπαυσάμενος τῇ φράσει, καὶ ὅτι τὸν ἐνταῦθα σταθμὸν ἀλλαχοῦ σαφέστερον ποιμνήϊον ἔφη σταθμόν, καὶ ὅτι καὶ ἐπὶ μυιῶν ὁ βρόμος καὶ τὸ βρομεῖν τίθεται, κρεῖττον ἄρτι ὂν τοῦ βομβεῖν, καὶ ὅτι πρὸς θράσος καὶ τὸ ἐπιθυμεῖν αἵματος τοὺς πολεμοῦντας ἡ ῥηθεῖσα παραβολή.

3.910 οὐκοῦν οὐδὲ τὸν Μενέλαον ἡ Ἀθηνᾶ κατασμικρυνεῖ, ὅτε μυίας αὐτῷ θάρσος ἐνθήσει. Ἔστι δὲ εἰπεῖν καὶ ὅτι τὸν ἐκ τῶν ὅπλων δοῦπον εἰκάσας ἤδη Ὅμηρος ὀρυγμαδῷ δρυτόμων τὸν ἀπὸ τῶν μαχομένων ἦχον βρόμῳ εἰκάζει μυιῶν πολλῶν, ὁποῖαι κεῖνται ἐν τῇ παραβολῇ. Τὸ δὲ «περιγλαγέας» ἀντὶ τοῦ περισσῶς πληθούσας γλάγους, ὅ ἐστι γάλατος. Πέλλαι δὲ ἀγγεῖα ποιμενικὰ ὡς ἀπὸ τοῦ πεπελεκῆσθαι κατὰ τοὺς παλαιούς. Ὅτι ἐνταῦθα διασαφεῖν δοκεῖ Ὅμηρος τὸ ἀλλαχοῦ ῥηθὲν περὶ Διός, τὸ τὸν Δία πάλιν στρέψαι τοὺς ὀφθαλμούς. ἐμφαίνει γὰρ νῦν δηλωτικὸν αὐτὸ εἶναι τοῦ πεπληρῶσθαι κυρωθὲν ἤδη τὸ εἱμαρμένον. (v. 644—51) Τὸν Δία γοῦν μερμηρίζοντα πλάσας περὶ Πατρόκλου, εἰ νῦν τεθνήξεται εἴτε καὶ μή, λέγει ὡς «οὐδέ ποτε Ζεὺς τρέψεν ἀπὸ κρατερῆς ὑσμίνης ὄσσε φαεινώ, ἀλλὰ κατ᾽ αὐτοὺς αἰὲν ὅρα καὶ φράζετο θυμῷ πολλὰ μάλ᾽ ἀμφὶ φόνῳ Πατρόκλου μερμηρίζων, ἢ ἤδη καὶ κεῖνον αὐτοῦ», ἤγουν ἐκεῖ, «ἐπ᾽ ἀντιθέῳ Σαρπηδόνι φαίδιμος Ἕκτωρ χαλκῷ δῃώσῃ, ἀπό τ᾽ ὤμων τεύχε᾽ ἕληται, ἢ ἔτι καὶ πλεόνεσσιν ὀφέλλειεν πόνον αἰπύν». Εἰ τοίνυν τὸ περὶ τοῦ ποιητέου ἔτι φράζεσθαι καὶ μερμηρίζειν τὸν Δία κατ᾽ εὐθὺ ὁρᾶν ἐστι, λοιπὸν ἄρα τὸ κυρῶσαι τὸ μέλλον καὶ παύσασθαι τοῦ ἐνδοιάζειν εἴη πάλιν στρέφειν τοὺς ὀφθαλμούς. (v. 652—8) «Ὧδε δέ οἱ», φησί, «φρονέοντι δοάσσατο», ἤγουν ἔδοξε, «κέρδιον», ἵνα Πάτροκλος «ἐξαῦτις Τρῶάς τε καὶ Ἕκτορα ὤσαιτο προτὶ ἄστυ, πολέων δ᾽ ἀπὸ θυμὸν ἕλοιτο. Ἕκτορι δὲ πρωτίστῳ ἀνάλκιδα φύζαν ἐνῆκεν», ἢ κατά τινας ἀνάλκιδα θυμὸν ἐνῶρσεν, «ἐς δίφρον δ᾽ ἀναβὰς φύγαδ᾽ ἔτραπε, κέκλετο δ᾽ ἄλλους Τρῶας φευγέμεναι· γνῶ γὰρ Διὸς ἱρὰ τάλαντα», οἷα συνετός, ὡς καὶ πρὸ τούτων ἐγίνωσκε μάχης ἑτεραλκέα νίκην. Καὶ ὅρα οἷος ἐγένετο φόβος, εἰ καὶ ὁ μέγας στρατηγὸς φεύγει προτροπάδην καὶ τοὺς λοιποὺς δὲ οὕτω ποιεῖν κέλεται, ἵνα μὴ θεομαχῶσι. Σημείωσαι δέ, ὡς καὶ νῦν ὁ τοῦ κατὰ νοῦν ἐκλαμβανομένου Διὸς ἐνδοιασμὸς προέκθεσίς ἐστι ποιητική. ὁ νοῦς γὰρ κἀνταῦθα τῆς καθ᾽ Ὅμηρον Μούσης, ἤτοι γνώσεως, σκέπτεται κατὰ μέθοδον δεινότητος τεχνικῶς, πῶς ἂν τὸν λόγον μεταχειρίσηται, καὶ κρίνας προαναφωνεῖ κάλλιον εἶναι μὴ νῦν ἀνελεῖν τὸν Πάτροκλον, ἀλλ᾽ ἐᾶσαι καὶ εἰσέτι ἀριστεῦσαι, ἵνα τῶν νηῶν αὐτὸν πολὺ ἀποσπάσας ἀνέλῃ καὶ οὕτω μηδὲν εἰδότος τοῦ Ἀχιλλέως κρατερὰ περὶ τὸν τοῦ Πατρόκλου νεκρὸν ἀμφίβασις γένηται, καὶ πλασθείη τὰ τῆς περιπετείας ἐναγωνιώτερον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.911 τοιαύτη προέκθεσις καὶ ἐν τοῖς ἑξῆς, ἔνθα ζητῶν Ἕκτωρ, πότερον κάλλιον συγκλεῖσαι φεύγοντας τοὺς Τρῶας εἰς τὴν πόλιν ἢ μάχεσθαι κατὰ κλόνον ἐλάσαντας, κρίνει δέον τὸ πολεμεῖν. καὶ ἐκφεύγει οὕτως ὁ ποιητὴς τὸ τῆς τειχομαχίας ἀπίθανον. (v. 645) Τὸ δὲ «τρέψεν» οὐκ ἂν εἴη ἀνόμοιον τῷ στρέψεν. (v. 646) Τὸ δὲ «κατ' αὐτοὺς αἰὲν ὅρα» θέσις ἐστὶ διασαφητικὴ τοῦ «οὐδέ ποτε Ζεὺς τρέψεν ἀπὸ μάχης ὄσσε φαεινώ». οἳ οὕτω λέγονται οὐ κατὰ φαεινὴν ἐσθῆτα ἢ μάστιγα φαεινὴν ἤ τι τοιοῦτον, ἀλλ' ὡς φάους αἴτιοι, ἀποκλήρωσιν ἔχοντες αὐτοὶ τὴν ἐκ τοῦ φάους κλῆσιν, ὥσπερ τὸ πυρόεν καὶ τὸ ὡς πῦρ λάμπειν τοῖς εἰς ἄκρον θυμουμένοις δέδοται. (v. 651) Τὸ δὲ ὀφέλλειεν οὐκ ἐνεστῶτός ἐστιν, ἀλλ' ἀορίστου πρώτου, ὡς ἐκ τῆς ἀναλογίας δῆλον. οὕτω δὲ παραπεσὸν ἠξιώθη λόγου τοῦτο. ἄλλως γὰρ ἡ λέξις χρειώδης εἰς οὐδέν, καὶ μάλιστα ἐν λόγῳ πεζῷ. (v. 657) Τὸ δὲ «φύγαδε» μεταπέπλασται, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη. ὡς γὰρ σκέπην σκέπα, καὶ κρόκην κρόκα παρὰ Ἡσιόδῳ, οὕτω καὶ φυγήν φύγα, ἐξ οὗ τὸ φύγαδε. ὁ δὲ Ἀσκαλωνίτης ἀπὸ εὐθείας κλίνει τῆς φύξ, ὡς Στύξ Στύγα, ἐξ ἧς πρὸ ὀλίγου στυγερὸς ἐλέχθη σκότος ὁ Ἅιδης πρὸς διαστολὴν ἑτεροίου σκότου. Εἴη δ' ἂν ἡ ῥηθεῖσα φὺξ ἐκ τοῦ φύγω φύξω, ἐξ οὗ καὶ ἡ φύξις. Τὸ δὲ «ἔτραπεν» ἢ ἐλλειπτικῶς ἔχει, δηλοῦν ὡς εἰς φυγὴν ἔτρεπεν ἢ τοὺς ἵππους κατὰ τὸ «φύγαδ' ἔτραπε μώνυχας ἵππους», ἐντελῶς ἀλλαχοῦ ῥηθέν, ἢ καὶ τὸν λαὸν κατὰ τὸ «κέκλετο δ' ἄλλους φευγέμεναι», ἢ μᾶλλον παθητικὴν ἑρμηνείαν ἔχει, ἵνα λέγῃ ὡς εἰς φυγὴν ἐτράπετο. (v. 658) Ἐν δὲ τῷ «Διὸς ἱερὰ τάλαντα» πολὺ τὸ σύντομον. ὃ γὰρ φθάσας ἥπλωσεν ἐν τῷ «δὴ τότε χρύσεια Ζεὺς ἐτίταινε τάλαντα» καὶ ἑξῆς, τοῦτο νῦν συστείλας ἐν δυσὶν ὀνόμασιν ἔφρασε, Διὸς εἰπὼν τάλαντα, καὶ τὸν ἀκροατὴν ἀναμνήσας ἠρέμα τῆς διασκευῆς, ἐν ᾗ Ζεὺς μὲν ἐχειρίζετο τάλαντα καὶ κῆρας, ἔρρεπε δ' ἡ κὴρ τῶν Ἀχαιῶν.

3.912 οὗ τὸ ἀνάπαλιν ἐνταῦθα γενόμενον ὁ Ἕκτωρ νοεῖ. ῥέπουσι γὰρ αἱ κῆρες ἄρτι τῶν Τρώων. Σημείωσαι δὲ ὅτι τε τῇ τῶν πραγμάτων ἀγωνίᾳ καὶ συντομίᾳ κἀνταῦθα τὴν τῶν ταλάντων συνέτεμε φράσιν, ἵνα μὴ καὶ αὐτὸς μῦθον ὀφέλλῃ, ἐν οἷς οὐ χρή, καὶ ὅτι τὸ «γνῶ γὰρ ἱερὰ τάλαντα», ῥέψαντα δηλαδή, πρέπει ῥηθῆναι καὶ ὅτε τις γνῷ μέλλειν πρὸς ἱεροῦ προσώπου καταδικάζεσθαι. (v. 661) Ὅτι τὸ Σαρπηδόνα «κείμενον ἐν νεκύων ἀγύρει» καθ' ὁμοιότητα εἴρηται τοῦ «νεῶν ἐν ἀγῶνι πεσόντα», ἵνα ᾖ ταὐτὸν ἀγὼν καὶ ἄγυρις. ἔστι δὲ ταὐτὸν νεκύων ἀγύρει εἰπεῖν καὶ νεκάδι, ὃ ἀλλαχοῦ κεῖται ὡς περιεκτικόν. (v. 659—61) Ἱστορεῖ δ' ἐνταῦθα ὁ ποιητὴς καί, ὡς οὐδὲ «ἴφθιμοι Λύκιοι μένον», οἱ ἀλλαχοῦ ζαχρηεῖς ἐν μάχῃ, «ἀλλ' ἐφόβηθεν πάντες, ἐπεὶ βασιλῆα ἴδον δεδαϊγμένον», ἢ βεβλημένον, «ἦτορ κείμενον» καὶ ἑξῆς. τοιοῦτον γὰρ τὸ πεσεῖν κεφαλήν, ᾗ συμπάσχει καὶ τὰ ὑπ' αὐτήν. ἔνθα ὅρα συνήθως ἀντικείμενα τὸ μένειν καὶ τὸ φοβεῖσθαι, ὅ ἐστι φεύγειν. περὶ δὲ τοῦ βεβλῆσθαι ἦτορ προγέγραπται. ὁ δὲ ποιητὴς καὶ τοὺς νέκυας διασαφῶν, ὧν ἐν ἀγύρει ὁ Σαρπηδὼν ἔκειτο, φησὶν ὡς «πολέες γὰρ ἐπ' αὐτῷ κάππεσον» καὶ ἑξῆς. ὥστε καὶ τὸν Ἄρην τοιαῦται, ὡς ἐκεῖνός που ἔφη, νεκάδες ἔσχον ἄν, εἰ θνητὸς ἦν. (v. 663 s.) Φράζει δ' ἐνταῦθα καὶ τὸν σκυλευμὸν τοῦ Σαρπηδόνος Ὅμηρος οὕτω «οἱ δ' ἄρ ἀπ' ὤμοιϊν Σαρπηδόνος ἔντε' ἕλοντο χάλκεα μαρμαίροντα». (v. 664—73) Ὅτι τὰ μὲν ὅπλα Σαρπηδόνος Πάτροκλος ἔδωκε φέρειν ἐπὶ νῆας, Ἀπόλλων δὲ τὰ εἰς τιμὴν τοῦ κειμένου ποιεῖ, ὡς ὁ Ζεὺς ἐκέλευσεν εἰπὼν «εἰ δ' ἄγε νῦν, φίλε Φοῖβε, κελαινεφὲς αἷμα κάθηρον ἐλθὼν ἐκ βελέων Σαρπηδόνα καί μιν ἔπειτα πολλὸν ἄπο προφέρων», ἢ ἀπόπρο φέρων, «λοῦσον ποταμοῖο ῥοῇσι χρῖσόν τ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕσσον, πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι, Ὕπνῳ καὶ Θανάτῳ διδυμάοσιν, οἵ ῥά μιν ὦκα θήσους' ἐν Λυκίης εὐρείης πίονι δήμῳ», καθὰ διὰ τῆς Ἥρας εἰσηνέχθη βουλή. Δῆλον δέ, ὡς καὶ προεσημάνθη, ὅτι ἅπερ οἱ τοῦ Σαρπηδόνος ἑταῖροι παρακινδυνεύσαντες ὡσίωσαν, ὡς εἰκός, περὶ αὐτόν, Ἀπόλλωνι ἀνατίθησιν ἡ ποίησις διὰ τὸ σεμνότερον, ἰασαμένῳ μὲν πρὸ τούτων μυθικώτερον κακῶς ἔχοντα τὸν Ἕκτορα, ὡς ἀλλαχοῦ πρὸς Διὸς παρηγγέλθη, αὖθις δὲ εἰς τὸν

Δία ἐλθόντι, ὃ συνήθως παρεσιώπησεν Ὅμηρος, καὶ νῦν πάλιν σταλέντι νεκροκομῆσαι τὸν υἱόν.

3.913 Ὅρα δὲ καὶ ἐν τούτοις φυσικὴν ἱλαρότητα φράσεως κιρναμένην σκυθρωπῷ πράγματι. τοιαύτη δὲ ἡ διὰ παρίσων τοῦ λοῦσον, χρῖσον, ἕσσον, καὶ τοῦ πομποῖσι, κραιπνοῖσι, διδυμάοσιν. (v. 676—80) Ἅπερ εἰπόντος τοῦ Διὸς νῦν πρὸς Ἀπόλλωνα μετ' ὀλίγα εὐθὺς ὁ Ἀπόλλων, ἐνεργῶν ἃ ἐκελεύσθη, ἐκφαίνει διὰ τοῦ ποιητοῦ ἕτερα τοσαῦτα ῥηματικὰ πάρισα πρὸς πλοῦτον κάλλους, εἰπόντος οὐ προστακτικῶς, ἀλλ' ὁριστικῶς ἐν τρίτοις προσώποις, ὡς Ἀπόλλων μὴ πατρὸς ἀνηκουστήσας κατέβη ἄνωθεν καὶ ἔλουσε καὶ ἔχρισε καὶ ἄμβροτα εἵματα ἕσσεν. ἀπαραποίητα γάρ, ὡς αὐτῷ σύνηθες, καὶ τὰ προειρημένα λαλεῖ, οἷα καλῶς καὶ αὐτὰ πεφρασμένα καὶ μὴ δεόμενα περιέργου ἐξαλλαγῆς δίχα γε τῶν καιριωτάτων. ἐν οἷς καὶ τὸ «κάτθεσαν ἐν Λυκίης δήμῳ», ὅπερ ὁ Ζεὺς θήσουσιν ἔφη. (v. 667) Ὅρα δὲ τὸ «εἰ δ' ἄγε νῦν» κελευσματικῶς ἀντὶ τοῦ εἴα δὴ ἄγε ῥηθὲν μᾶλλον ἤπερ ἐνδοιαστικῶς ἀντὶ τοῦ εἰ δὲ βούλει ἄγε. Τὸ δὲ «φίλε» πατρικῶς τῷ Φοίβῳ προσπεφώνηται, ὡς εἴπερ ἐρρέθη «φίλε υἱέ». Τὸ δὲ «κελαινεφὲς αἷμα Σαρπηδόνα» συνηθέστατον Ὁμήρῳ σχῆμα, ὁποῖον σὺν ἄλλοις μυρίοις καὶ τὸ «περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε φύλλα», καὶ τὸ «αὐτὸν δὲ σκότος ὄσσε κάλυψε». (v. 668) Τοῦ δὲ «ἐκ βελέων» σαφήνεια τὸ «αὐτίκα δ' ἐκ βελέων» ἀείρας ὁ Ἀπόλλων, μετ' ὀλίγα ἐπαχθέν. αὐτὸ γὰρ ἐλλιπῶς πέφρασται. (v. 669) Τὸ δὲ «ποταμοῖο ῥοαῖς» ὅμοιον τῷ ὕδατος ῥοὰς εἰπεῖν, ὃ πρὸ τούτου ἔφη. (v. 670) Τὸ δὲ «χρῖσον ἀμβροσίῃ», ἐμφῆναν ὑγρόν τι εἶναι τὴν ἀμβροσίαν, ἄλλο τι δηλοῖ ἐν τῷ «ἄμβροτα εἵματα ἕσσεν», ὃ τρόπος ἐτυμολογικός ἐστιν. ἐκ τοῦ ἕσασθαι γὰρ τὸ εἷμα. (v. 671) Τοιοῦτον δέ τι καὶ τὸ «πέμπε πομποῖς». Τὸ δὲ φέρεσθαι ἀντὶ τοῦ βαστάζεσθαι εἴρηται κυριολεκτικῶς.

3.914 [Οὕτω δὲ καὶ τὸ φέρων ἀντὶ τοῦ βαστάζων. Ἄγεται μὲν γάρ, ὡς μυριαχοῦ πέφηνε, τὰ ἔμψυχα, φέρεται δὲ τὰ μὴ τοιαῦτα. Ὧν καὶ ὁ φόρτος ὁ καὶ γόμος παρά τε Ἀθηναίῳ καὶ ἄλλοις, ἔτι δὲ καὶ ὁ παρὰ τῷ Κωμικῷ ἐν τῷ «καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν», ἤγουν τὴν φορτικότητα, ὃς δὴ φόρτος ἔχει τι συγγενὲς πρὸς τὸ γῆς ἐτώσιον ἄχθος. ἐν μέντοι τῷ φορτηγός ταὐτίζεταί πως τὸ φέρειν καὶ τὸ ἄγειν, ἐπεὶ καὶ ἀγώγιμα καθαρῶς τὰ φορτία λέγονται.] (v. 672) Διδυμάονες δὲ καὶ νῦν ἀδελφοὶ Θάνατος καὶ Ὕπνος διὰ τὸ ὁμοῦ τρόπον τινὰ εἶναι τούτους ἀεί. ὅ τε γὰρ ὕπνος οἷον θανατοῖ κατὰ τὸ «ὕπνος θανάτῳ ἄγχιστα ἐοικώς», καὶ ὁ θάνατος δὲ ὑπνοῦν ἐπὶ μακρὸν ποιεῖ τανηλεγὴς ὤν. (v. 683) Τὸ δὲ «κάτθεσαν» οἰκειότατον μὲν ἐπὶ νεκροῦ ἐνταφιαζομένου, οὐκ ἀνοίκειον δὲ οὐδὲ ἐπὶ κειμηλίων καὶ μάλιστα, ἐφ' ὧν οἰκεῖον τὸ τῆς παρακαταθήκης ὄνομα. Ὅρα δὲ καὶ ὅτι πρὸ τούτων Λυκίας πίονα δῆμον εἰπὼν καὶ αὖθις ἰδίᾳ εὐρεῖαν Λυκίαν, ἐνταῦθα παραθεὶς ὁμοῦ Λυκίης εὐρείης πίονα δῆμον ἔφη. Σημείωσαι δὲ ὅτι ἡ διὰ τῶν καὶ προρρηθέντων Ὕπνου καὶ Θανάτου ἐν Λυκίᾳ, φασί, τοῦ Σαρπηδόνος κατάθεσις αἰνίττεσθαι δοκεῖ κενήριον μόνον τοῦ ἥρωος ἐν Λυκίᾳ εἶναι. οὐ γὰρ στερεμνίοις τισὶ προσώποις ἤρθη, ἀλλ' ἀνυποστάτοις πάθεσιν, ἃ φέρειν τινὰ οὐ δύναται. ἴσως δὲ καὶ τὸ ἀληθῶς ὑπὸ Λυκίων κατὰ σπουδὴν γενόμενον ἀνέθετο τερατωδέστερον Ὕπνῳ καὶ Θανάτῳ τοῖς ἀψυχοποιοῖς. οὐ γὰρ εἶχεν ἑτέρῳ τινὶ θείῳ προσώπῳ πιθανῶς προσπλάσαι τοιοῦτον ἐνέργημα. μυσάττονται γὰρ οἱ τοιοῦτοι μὴ μόνον θανόντων ἅπτεσθαι, ἀλλὰ καὶ θνῄσκοντας ὁρᾶν, ὡς καὶ Εὐριπίδης ἐν Ἱππολύτῳ δηλοῖ. (v. 686 s.) Ὅτι μεμφόμενος εὐλογώτατα τὸν Πάτροκλον ὁ ποιητής, ἐφ' οἷς ἐσθλῆς ἑταίρου παραιφάσεως λαθόμενος τοὺς πολεμίους μετεκίαθε, φησὶν ὅτι τε διὰ τοῦτο μέγ' ἀάσθη καὶ τὴν συνήθη ἀναφώνησιν ἐπιφέρων λέγει «νήπιος· εἰ δὲ ἔπος Ἀχιλλέως ἐφύλαξεν ἦ τ' ἂν ὑπέκφυγε κῆρα κακὴν μέλανος θανάτοιο», [ἣν ἑτέρωθι συμπτύσσων μέλαιναν κῆρά φησιν], ἐν οἷς καὶ τὸ ἤδη ἐγνωσμένον τῆς εἱμαρμένης παραδηλοῦται διττόν.

3.915 (v. 688—90) Εἶτα ἐπάγει γνωμικῶς «ἀλλ' αἰεί τε θεοῦ κρείσσων νόος ἠέπερ ἀνδρός» ἢ ἀνδρῶν, «ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην ῥηϊδίως, ὁτὲ δ' αὐτὸς ἐποτρύνῃσι μάχεσθαι». Καὶ ἔχει μὲν παραίνεσιν τὰ ῥηθέντα, ὅτι πειστέον ἐξ ἀνάγκης ἀγαθῷ ἑταίρῳ, ἔχει δὲ

καὶ φιλοσοφίαν περὶ θείας δυνάμεως. Τὸ δὲ «ὁτὲ δ’ αὐτὸς ἐποτρύνῃσι μάχεσθαι» βαρυτόνως ἡ παλαιὰ ἔχει χρῆσις, ὡς καὶ ἀλλαχοῦ δεδήλωται. Ἰστέον δὲ ὅτι ἔν τισι τῶν ἀντιγράφων μετὰ τὸ «κρείσσων νόος ἠέπερ ἀνδρός» οὐ κεῖνται οἱ ἀναγεγραμμένοι ἐφεξῆς δύο γνωμικοὶ στίχοι, ἀλλὰ μόνος εἷς οὗτος «ὅς οἱ καὶ τότε θυμὸν ἐνὶ στήθεσσιν ἀνῆκε». (v. 684 s.) Σημείωσαι δὲ καὶ ὅτι ἀφελὲς ἐνταῦθα κεῖται νόημα τὸ «Πάτροκλος δ’ ἵπποισι καὶ Αὐτομέδοντι κελεύσας Τρῶας καὶ Λυκίους μετεκίαθεν», ὅθεν καὶ ἀάσθη, ὡς εἴρηται. ἁπλοϊκὸν γὰρ πάντως τὸ ἐπίσης κελεῦσαι τῷ ἥρωϊ καὶ τοῖς ἵπποις δὲ ὡς λογικοῖς, εἰ μὴ ἄρα ὁ μῦθος εἴπῃ, ὡς θεῖον γένος οἱ τοιοῦτοι ἵπποι καὶ δυνάμενον ἐπαΐειν στρατιωτικοῦ ἐγκελεύσματος. διὸ καὶ ἐν τῇ φράσει προέθετο αὐτοὺς τοῦ Αὐτομέδοντος. ὧν ὁ ἕτερος καὶ φωνὴν ἀνθρωπίνην ἐν τοῖς ἑξῆς ἀφίησι τῷ Ἀχιλλεῖ. ἴσως δὲ καὶ ἄλλως μὲν ἐκέλευσε Πάτροκλος τοῖς ἵπποις κατὰ φωνὴν ἐθάδα, οἷα ἡνίοχος ἀεὶ ὢν αὐτοῖς, ἄλλως δὲ τῷ ἥρωϊ Αὐτομέδοντι. Ὅμηρος δὲ σιγᾷ τὰ ἐγκελεύσματα, ὡς ἐπειγόμενος εἰς τὰ ἐν ἔργῳ. Ὅρα δὲ καὶ ὡς, εἰ καὶ τὸν ἐνταῦθα νήπιον πρὸ μικροῦ μέγα νήπιον ἔφη, ἀλλ’ ἀναπληροῖ καὶ τοῦτο διὰ τοῦ εἰπεῖν «μέγ’ ἀάσθη». ὁ γὰρ μέγα βλαβεὶς οἴκοθεν εἴη ἂν καὶ μέγα νήπιος. (v. 692 s.) Ὅτι καὶ νῦν ὁ ποιητὴς παθητικῶς ἅμα καὶ σεμνῶς ἀπέστρεψε τὸν λόγον πρὸς Πάτροκλον εἰπὼν «ἔνθα τίνα πρῶτον, τίνα δ’ ὕστατον ἐξενάριξας, Πατρόκλεις, ὅτε δή σε θεοὶ θάνατόνδ’ ἐκάλεσσαν». Οὐ γὰρ Μοῦσαν συνήθως ἀλλ’ αὐτὸν τὸν Πάτροκλον ἐρωτᾷ τίνα πρῶτον ἀνεῖλε, τίνα δ’ ὕστατον, σεμνύνων τε αὐτὸν ἅμα ὡς θεῖόν τι πρόσωπον καὶ οἰκτιζόμενος. οὕτω καὶ ἐν τοῖς ἑξῆς ἐρεῖ κατὰ οἶκτον «ἔνθ’ ἄρα τοι, Πάτροκλε, φάνη βιότοιο τελευτή». Ἐνδόξῳ δὲ ἀριστεῖ θανατῶντι παρῳδηθὲν ἐπιπρέπει τὸ «ἔνθα τίνα πρῶτον» καὶ τὰ ἑξῆς, ὡς προσεχῶς ἐκτέθειται. Ἔστι δὲ καὶ νῦν τὸ ἔνθα ἀντὶ τοῦ τότε. πότε δὴ τότε;
3.916 ὅτε τῷ Πατρόκλῳ Ζεὺς θυμὸν ἐνὶ στήθεσσιν ἀνῆκε. τότε γὰρ λίαν ἠνδρίσατο. Τὸ δὲ «ὅτε δή σε θεὸς θάνατόνδ’ ἐκάλεσσε» σεμνὴ περίφρασίς ἐστι τοῦ ὅτε ἦς πρὸς τῷ θανεῖν, καὶ Ὁμηρικῶς εἰπεῖν, ὅτε σοι φάνη βιότοιο τελευτή, ἤγουν ὅτε προφανῶς ἤγγιζέ σοι θάνατος. (v. 694—6) Ἰστέον δὲ ὡς ἐν τῷ τόπῳ τούτῳ ἐννέα τινὰς ἀνεῖλεν ὁ Πάτροκλος, ἐν οἷς καὶ Πέριμον Μεγάδην, ἤγουν οὗ πατὴρ ἦν Μέγας κύριον ὄνομα, ἐξ οὗ πατρωνυμικὸν Μεγάδης ὁμοίως τῷ Αἰνείας Αἰνειάδης, Ἀλεύας Ἀλευάδης, ὧν καθ’ ὁμοιότητα καὶ Ἀργεάδης κύριον ἦν παρὰ τῷ ποιητῇ πρὸ ὀλίγου. Δοκεῖ δὲ ὁ Πέριμος ἐκ τῆς περι προθέσεως παρῆχθαι, καθὰ καὶ ἀπὸ τῆς ἀμφι ὁ Ἄμφιος καὶ τῆς ὑπο Ὕπιος, Παφλαγονικὸς ποταμός. ὁ δὲ Ἄνιος τὸ κύριον οὐκ ἐκ τῆς ἀνα προθέσεώς ἐστιν ἀναμφιλέκτως. εἰσὶ γὰρ οἷς ἀρέσκει καθ’ ἱστορίαν ἐκ τῆς ἀνίας κληθῆναι οὕτως αὐτόν. (v. 697) Ὅτι περιφράζων ἐπὶ Τρώων τὸ ἔφυγόν φησι «οἳ δ’ ἄλλοι φύγαδε μνώοντο ἕκαστος», ἤγουν ἀλκῆς μὲν ἐλάθοντο, ἐμέμνηντο δὲ φυγῆς. Καινὴ δὲ σύνταξις ἡ τοῦ φύγαδε ἐπιρρήματος μετὰ τοῦ μνώοντο ῥήματος. καὶ ἀναλυθέντος δὲ τοῦ φύγαδε εἰς τὴν οἰκείαν ἑρμηνείαν οὐδ’ οὕτω σύνηθες τὸ τῆς συντάξεως, ἤγουν τὸ ἐμέμνηντο εἰς φυγήν. ὅμως δὲ νοεῖται, ὡς ἀνωτέρω κεῖται. εἰ δὲ ἴσως λείπει τὸ δρόμου, εὐοδοῦται κατὰ τὸ σύνηθες ὁ νοῦς, ἵνα ᾖ· μέμνηντο δρόμου τοῦ εἰς φυγήν, συγκατηπειγμένου τοῦ λόγου μιμητικῶς δι’ ἐλλείψεως ἐπὶ τῇ τῶν φευγόντων σπουδῇ. Ἐνταῦθα δὲ καινὸν καὶ τὸ «οἳ δ’ ἄλλοι ἕκαστος». τὸ γὰρ κοινὸν τῶν ἄλλων ἕκαστος. αἴτιον δὲ τῆς ῥηθείσης καινότητος τὸ τῆς σημασίας ταὐτόν. ὅμοιον γὰρ τὸ οἱ ἄλλοι καὶ τὸ ἕκαστος. (v. 698—701) Ὅτι μικροῦ ἂν «ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν Πατρόκλου ὑπὸ χερσί, περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν, εἰ μὴ Ἀπόλλων» αὐτῷ μὲν ὀλοὰ φρονέων, Τρώεσσι δ’ ἀρήγων, ἐκώλυσεν, ὡς ἐφεξῆς ὁ ποιητὴς διηγεῖται, ἤγουν εἰ μὴ τὸ πεπρωμένον ἀντέβη, ὡς καὶ κάτω ῥηθήσεται. (v. 699) Πάνυ δὲ συνεστραμμένως, ὅ ἐστι γοργῶς, εἴρηται τὸ «περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν», ὅ ἐστι περισσῶς προώρμα τῶν ἄλλων ἐν ἔγχεϊ, προμαχόμενος καὶ ἀριστεύων καὶ οὕτω τρέπων εἰς φυγήν. εἶχε δέ τινα, ὡς ἀνωτέρω ἐρρέθη, γοργότητα, κατ’ ἔλλειψιν μέντοι, καὶ τὸ «φύγαδε μνώοντο ἕκαστος». Ἰστέον δὲ καὶ ὡς θερμοῦ βοηθοῦ δηλωτικὸν τὸ ὁ δεῖνα ἔστη τῷ δεῖνι ὀλοὰ φρονέων, τῷ δεῖνι δ’ ἀρήγων. (v. 702—4) Ὅτι «τρὶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν ἐπ’ ἀγκῶνος» ἢ ὑπ’ ἀγκῶνος «βῆ τείχεος ὑψηλοῖο Πάτροκλος, τρὶς δ’ αὐτὸν ἀπεστυφέλιξεν Ἀπόλλων, χείρεσς’ ἀθανάτῃσιν φαεινὴν ἀσπίδα νύσσων».

3.917 οὗ ἀνάπαλιν ὁ Ζεὺς ἐποίει ὠθῶν ἐν τοῖς πρὸ τούτων εἰς μάχην τὸν Ἕκτορα. (v. 705—9) «Ἀλλ’ ὅτε δή», φησί, «τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος», τότε δὴ ὁ Ἀπόλλων δεινὰ ὁμοκλήσας προσέφη κατὰ σχῆμα προαναφωνήσεως «χάζεο, διογενές, οὔ νύ τοι αἶσα σῷ ὑπὸ δουρὶ πόλιν πέρθαι Τρώων ἀγερώχων, οὐδ’ ὑπ’ Ἀχιλλῆος, ὅ περ», ἤγουν ὅς περ, «σέο πολλὸν ἀμείνων», τοῦτο δὴ ὅπερ Ἀχιλλεὺς ἐν τοῖς ἑξῆς ἐρεῖ πρὸς Ἕκτορα ἐν τῷ «κάτθανε καὶ Πάτροκλος, ὅ περ σέο πολλὸν ἀμείνων». (v. 710 s.) Ἐφ’ οἷς ἐνταῦθα ὁ Πάτροκλος ἀπογνοὺς «ἀνεχάζετο πολλὸν ὀπίσω, μῆνιν ἀλευόμενος» Ἀπόλλωνος. Καὶ ὅρα εἰς ὅσον ὁ Πάτροκλος τῆς τοῦ ἑταίρου ἐξένευσε συμβουλῆς, ὃς παραγγελθείς, οἷα ἔγνωσται, νῦν ἐπ’ ἀγκῶνος τοῦ τείχους μάχεται, καὶ οὐδ’ ἂν ἀνεχώρησεν, εἰ μή, ὡς εἴρηται, ἀπέγνω τὴν ἅλωσιν. Ἰστέον δὲ ὅτι ὁ Ἀπόλλων οἷα Ζεὺς ἥλιος λαμβανόμενος καὶ νῦν εἴς τινα εἱμαρμένην ἐμποδὼν ἵσταται καὶ αὐτὸς τῷ Πατρόκλῳ, καθὰ καὶ ὁ Ζεύς, εἰς ἅλωσιν Τροίας, ἣν περιφράσας πόλιν ἔφη Τρώων, ᾧ παρέοικε τὸ πόλιν Τροΐην. (v. 702) Ἀγκὼν δὲ τείχους γωνίαν δηλοῖ, ἤγουν ἐξοχὴν γωνιώδη καὶ διὰ τοῦτο ἀγκωνοειδῆ τινα, ὅθεν, ὡς εἰκός, εἶχεν ἡ Τροία προσβολήν. τὸν δὲ τοιοῦτον ἀγκῶνα ἀλλαχοῦ σαφέστερον φράζει ἐν τῷ «πύργῳ ἐπὶ προὔχοντι», [τουτέστιν ἐξέχοντι κατά τι γωνίωμα, ὁποῖον ὁ ἀγκὼν καμφθεὶς ἀποτελεῖ. οὗ δὴ τὸ ἐντὸς παροιμίαν ποιεῖ τὴν «γλυκὺς ἀγκών», περὶ οὗ εἷς μὲν λόγος φέρεται, ὡς Ὀμφάλη τυραννήσασα Λυδῶν ὥρισε τόπον, ἐν ᾧ προὐβρίσθη αὐτή, καὶ εἰς αὐτὸν ἀθροίσασα βίᾳ συγκατέκλεισε τοῖς δούλοις τὰς δεσποίνας. καὶ οἱ Λυδοὶ τὸ πικρὸν τῆς πράξεως ὑποκοριζόμενοι, τουτέστιν εὐφήμως ἀντιφράζοντες, ἐκάλουν τὸν τόπον γυναικῶν ἀγκῶνα ἢ ἀγῶνα, ἔτι δὲ καὶ γλυκὺν ἀγκῶνα, ὅπερ δοκεῖ κερτομηθῆναι παρὰ τὸ «ἀγκὰς ἔμαρπτε Ζεύς», δηλαδὴ τὴν Ἥραν. καὶ εἷς μέν, ὡς ἐρρέθη, οὗτος λόγος. Ἕτερος δὲ τοιοῦτος. Λυδοὶ πόρρω προάγοντες ὕβρεως τὰς τῶν ἄλλων γυναῖκας καὶ παρθένους εἰς τόπον συνάγοντες, ὃν αὐτοὶ ἁγνεῶνα ἐκάλουν, ὕβριζον εἰς αὐτάς. Καὶ ἦν ἡ μὲν φαυλότης τοῦ ἔργου ἴση τοῖς ἐπὶ τῇ Ὀμφάλῃ, ἡ δὲ τοῦ τόπου κλῆσις διέφερεν. οὐ γὰρ ἀγὼν ἢ ἀγκὼν ἀλλὰ ἁγνεὼν ἐκαλεῖτο, παικτικῶς καὶ αὐτὸς ἀντιφραζόμενος, ἀληθῶς γὰρ ἄναγνος ἦν.

3.918 Αἱ δὲ ἱστορίαι αὗται Ξάνθου εἰσὶ τοῦ Λυδοῦ, ὥς φησιν Ἀθήναιος, ἱστορῶν καὶ τὸν Σάμιον Πολυκράτην ἄδικον ἐφ’ ὁμοίοις, ὅς, φησί, τὴν παρὰ Σαμίοις λαῦραν ἀντεσκεύασε τῷ τῶν Σάρδεων ἀγκῶνι γλυκεῖ προσαγορευομένῳ, ζηλώσας τὰ Λυδῶν μαλακά. ἦν δὲ ἡ τοιαύτη λαῦρα στενή τις καὶ γυναικῶν, φησί, δημιουργῶν πλήθουσα καὶ τῶν πρὸς ἀπόλαυσιν. Λέγει δὲ λαῦραν μὲν στενήν τινα περιοχὴν ἀκολούθως Ὁμήρῳ, δημιουργοὺς δὲ γυναῖκας λόγῳ σεμνότητος τὰς οἷον δημοτικὰς καὶ ἐργασίαν προϊσχομένας δημίαν, ἤγουν δημοσίαν. τοιαῦται δέ εἰσι γυναῖκες καὶ αἱ παρ’ ἑτέροις σποδησιλαῦραι καὶ πανδοσίαι καὶ λεωφόροι. καὶ τοιαῦτα μὲν τάδε.] Ἰστέον δὲ ὡς, εἰ πρὸς ἀλήθειαν ὑψηλὸν ἐνταῦθα τὸ Τρωϊκὸν τεῖχος ληπτέον, τὸ αὐτὸ ἂν καὶ ἐπὶ τοῦ Ἑλληνικοῦ νοηθείη, ὅτε ὑψηλὸν ὁ ποιητὴς αὐτὸ λέγει, ὡς μὴ χθαμαλὸν μηδὲ ἐκεῖνο διόλου εἶναι κατά τινας. (v. 705) Τὸ δὲ «δαίμονι ἶσος» οἰκείως μὲν ἐρρέθη πρὸς τὸν καιρόν, καθ’ ὃν δαίμων ὁ Ἀπόλλων ἀντικαθίσταται τῷ δαιμονίῳ Πατρόκλῳ. Στενολεσχεῖ δὲ τὴν παραβολήν, ἐπεὶ μὴ ἔστιν αἰσθητῶς διασκευάσαι νοητὴν οὖσαν αὐτήν. (v. 708) Τὸ δὲ πέρθαι ὅμοιόν ἐστι τῷ δέχθαι καὶ τοῖς τοιούτοις. (v. 710) Τὸ δὲ «ἀνεχάζετο πολλὸν ὀπίσω» πάνυ πτοηθῆναι δηλοῖ τὸν Πάτροκλον. ἀλλαχοῦ δέ τις γενναῖος χάζεται τυτθὸν ὀπίσω, οὐ μὴν κατὰ πολύ. (v. 712) Ὅτι κεῖται καὶ ἐνταῦθα τὸ ἔχειν ἐπὶ ἐλάσεως ἵππων. Φησὶ γὰρ «Ἕκτωρ δ’ ἐν Σκαιῇσι πύλῃς ἔχε μώνυχας ἵππους». (v. 713 s.) Εἶτα σαφῶς δηλῶν τὴν ἕως καὶ ἐκεῖ φυγὴν τῶν Τρώων, ἐπάγει «δίζε γὰρ ἠὲ μάχοιτο κατὰ κλόνον αὖτις ἐλάσας», κατὰ παλίωξιν, «ἦ λαοὺς ἐς τεῖχος ὁμοκλήσειεν ἀλῆναι». Καὶ ὅρα οἷα κακὰ τοὺς Τρῶας ὁ ψευδαχιλλεὺς Πάτροκλος διέθετο, εἰπεῖν δὲ καὶ ἄλλως, ὁ Ἀχιλλεὺς διὰ τοῦ βλεπομένου μετώπου τῆς αὐτοῦ κόρυθος. (v. 715—7)

Ὅτι τὸ κατὰ πραγματικὴν ἀφήγησιν ὕπτιον ἐξεγείρων καὶ νῦν εὐμεθόδως ὁ ποιητὴς παραρρίπτει καί τι ἱστορικὸν ἀναμεμιγμένον μύθῳ παρεισάγων Ἄσιόν τινα αἰζηόν τε κρατερόν τε, ᾧ εἰκάζει τὸν Ἀπόλλωνα ὀτρύνοντα, ὡς ἂν Ἕκτωρ τῷ Πατρόκλῳ ἀντικαταστῇ.

3.919 (v. 717 s.) Περὶ οὗ Ἀσίου ἱστορεῖ, ὅτι μήτρως ἦν Ἕκτορος, αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος. Εἰ δὲ τοῦτο, Δύμαντος ἄρα καὶ ἡ Ἑκάβη θυγάτηρ κατὰ τὸν ποιητήν. Εὐριπίδης δέ, φασί, καὶ Ἀθηνίων καὶ Τηλεκλείδης Κισσέως οἴδασιν αὐτὴν ἐκγενέσθαι. εἰ δέ γε ἴσως ὁμομήτριος μόνον ὁ Ἄσιος τῇ Ἑκάβῃ, οὐ μὴν καὶ ὁμοπάτριος, τότε οὐδὲν κωλύσει τὸν μὲν Ἄσιον Δύμαντος εἶναι, Κισσέως δὲ τὴν Ἑκάβην. (v. 719) Ὡς δὲ καὶ Φρὺξ ἦν ὁ ῥηθεὶς Δύμας, δηλοῖ ὁ ποιητὴς εἰπὼν «ὃς Φρυγίῃ ναίεσκε ῥοαῖς ἐπὶ Σαγγαρίοιο». ἐξ οὗ δῆλον, ὅτι ποταμὸς Φρύγιος ὁ περιᾳδόμενος Σαγγάριος, περὶ οὗ δηλοῖ καὶ ὁ Περιηγητής. (v. 717) Ἰστέον δὲ ὅτι τε μήτρωα οἱ νεώτεροι οὐ τὸν ἀπὸ μητρὸς θεῖόν φασι καθ' Ὅμηρον, ἀλλὰ τὸν πρὸς μητρὸς πάππον οὕτω καλοῦσι, (v. 721) καὶ ὅτι ὁ προσεχῶς ῥηθεὶς εὐγενὴς Ἄσιος, ὁ τοῦ Ἕκτορος μήτρως, ὀτρύνων κατὰ Πατρόκλου φησὶ «τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή». ὃ δὴ ὀκνοῦντος στρατιώτου ἐστὶ διεγερτικόν. (v. 722—5) Εἶτα ἐπάγει ὅσα εἴποι τις ἄν, ἐνδεικνύμενος ἐλάττωσιν ἑαυτοῦ πρός τινα γενναῖον μέν, ὀκνηρὸν δὲ μάχεσθαι «αἴθε ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτερος εἴην». διὰ τί; «ἵνα στυγερῶς», φησί, «πολέμου ἀπερωήσειας». Ὁ δὲ νοῦς τοῦ εὐκτικοῦ λόγου τοιοῦτος. Τρία ταῦτά εἰσιν· ἐλάσσων, ἶσος καὶ μείζων. ἐλάσσων μὲν οὖν τις ὤν τινος οὐκ ἂν ἔχοι ἐκεῖνον κολάσαι, οὐ μὴν ἀλλ' οὐδὲ ἰσότητα ἔχων κολάσοι ἂν ῥᾳδίως τὸν ἶσον. ἀντιπείσεται γὰρ καὶ αὐτός. εἰ δὲ μείζων γένηται, κολάσοι ἂν τὸν μὴ τοιοῦτον. διὸ εὔχεται ὁ δῆθεν κατὰ πολὺ ἐλάττων Ἄσιος οὐκ ἶσος τῷ κολαστέῳ Ἕκτορι γενέσθαι, ἀλλὰ μείζων, καὶ οὐχ' ἁπλῶς μείζων, ἀλλ' ὅσον ἄρτι ἐλάττων ἐστίν. ὁ δὲ ταῦτα εὐχόμενος καὶ ἑαυτὸν σεμνύνει, ἐὰν οὕτως ἐλάσσων ὢν θαρρῇ κίνδυνον. Ἰστέον δὲ ὅτι καὶ παρὰ τῷ Ὁμηρικῷ ζηλωτῇ Σοφοκλεῖ ἐστι σχῆμα εὐχῆς ὅμοιον ἐν τῷ «ζῴης μοι καθύπερθεν ἐχθρῶν χειρὶ καὶ πλούτῳ, ὅσον νῦν ὑπὸ χεῖρα ναίεις».

3.920 Τὸ δὲ «στυγερῶς» εἴη ἂν ταὐτὸν τῷ φρικτῶς, καὶ ὡς ἂν στυγέῃ τις. (v. 724 et 732) Ὅτι ἐφέπειν τὸ κατά τινας ἐλαύνειν λέγει, δὶς ἐνταῦθα εἰπὼν «Πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους». καὶ ἔστι καὶ τοῦτο ὅμοιον τῷ «δαιμονίη, τί μοι ἐπέχεις»; (v. 726) Ὅτι θάρσους τὸ «ἔβη ἂν πόνον ἀνδρῶν». τοιοῦτον δὲ καὶ τὸ «δύσετο ὅμιλον», οὗ ἐφεξῆς ὅμοιον καὶ τὸ «ἐν δὲ κλόνον ἧκε κακόν». ὅλον δὲ τὸ «δύσεθ' ὅμιλον ἰών, ἐν δὲ κλόνον τοῖς δεῖνα ἧκε κακόν, τῷ δὲ δεῖνι κῦδος ὄπαζε» σπουδαίου καὶ γενναίου συμμάχου ἐστὶ δηλωτικόν. (v. 728) Ὅτι οὕτω παρρησιάζεται ὁ ἐκ τοῦ πέπληγα ἐνεστὼς ὁ πεπλήγω, ὥστε καὶ ἀπαρέμφατον αὐτοῦ ἐνταῦθα κεῖται τὸ πεπληγέμεν ὡς ἀρηγέμεν, οὗ προϋπάρχει τὸ πεπλήγειν ὡς ἀρήγειν. [Χρῆσις δὲ τῆς λέξεως ἐν τῷ «ἐκέλευσεν Ἕκτωρ ἵππους ἐς πόλεμον πεπληγέμεν». (v. 727) Ὅτι δὲ κελεύειν οὐχ' ἁπλῶς τὸ ἐπιτάσσειν κοινότερον ἀλλά ποτε καὶ λέξις ἐστὶ ναυτική, δηλοῖ μὲν καὶ ὁ Κωμικὸς ἐν τῷ «κατακέλευε δή», σὺν ἄλλοις δὲ καὶ ὁ γράψας τό· Χρυσόγονος μὲν ηὔλει τὸ τριηρικόν, Καλλιπίδης δὲ ὁ τραγῳδὸς ἐκέλευεν.] (v. 731 s.) Ὅτι οὕτω δραστικὸς ὁ τοῦ μυθικοῦ Ἀπόλλωνος λόγος τῷ Ἕκτορι γέγονεν, ὥστε «ἄλλους μὲν Δαναοὺς ἔα οὐδ' ἐνάριζεν», ὃ διασαφητικόν ἐστι τοῦ ἔα, «αὐτὰρ ὃ Πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους», ὡς προσεχῶς εἴρηται. Ὅτι κἀνταῦθα Πάτροκλος λίθον ἐπαφεὶς τὸν βληθέντα μὲν κατέπεμψεν εἰς Ἅιδου οἰκτρῶς, τοῖς δὲ ἀμφ' αὐτὸν ἐνέσταξέ τι γλυκύτητος, οἷς ἐσάρκασε πρὸς ἀστεϊσμόν. (v. 734—43) Φησὶ γὰρ ὅτι λάζετο χειρὶ «πέτρον μάρμαρον ὀκριόεντα, τόν οἱ», ἤγουν ὃν αὐτῷ, «περὶ χεὶρ ἐκάλυψε, ἧκε δ' ἐρεισάμενος, οὐδὲ δὴν χάζετο φωτός, οὐδ' ἁλίωσε βέλος, βάλε δ' Ἕκτορος ἡνιοχῆα Κεβριόνην, νόθον υἱὸν Πριάμοιο, ἵππων ἡνί' ἔχοντα μετώπιον ὀξέϊ λᾶϊ. ἀμφοτέρας δ' ὀφρῦς σύνελεν λίθος, οὐδέ οἱ ἔσχεν ὀστέον. ὀφθαλμοὶ δὲ χαμαὶ πέσον ἐν κονίῃσιν αὐτοῦ πρόσθε ποδῶν. ὃ δ' ἆρ ἀρνευτῆρι ἐοικῶς κάππες' ἀπ' εὐεργέος δίφρου», ταὐτὸν δ' εἰπεῖν εὐποιήτου, «λίπε δ' ὀστέα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θυμός», ὃ πολλαχοῦ φησιν ὁ ποιητής. (v. 744—50) Ἐφ' οἷς καιρίως μελετήσας ὁ ποιητὴς σκῶψαί τι, ἐπάγει «τὸν δ' ἐπικερτομέων προσέφης Πατρόκλεις ἱππεῦ· ὢ πόποι, ἦ μάλ' ἐλαφρὸς ἀνήρ, ὡς ῥεῖα κυβιστᾷ.

3.921 εἰ δή που καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο, πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν νηὸς ἀποθρῴσκων, εἰ καὶ δυσπέμφελος εἴη, ὡς νῦν ἐν πεδίῳ ἐξ ἵππων ῥεῖα κυβιστᾷ ἦ ῥα καὶ ἐν Τρώεσσι κυβιστητῆρες ἔασιν», εἰ καὶ μὴ παραθαλάττιοι αὐτοί εἰσι δηλαδὴ ὡς ἐνεθίζεσθαι κυβιστᾶν. Ἐνταῦθα δὲ σημειοῦνται οἱ παλαιοὶ ἀπῳκισμένην τῆς θαλάττης εἶναι τὴν παλαιὰν Ἴλιον, ὡς καὶ ὁ Γεωγράφος δείκνυσιν. εἰ γὰρ ἦσαν, φησίν, οἱ Τρῶες παράλιοι, τί καινόν, εἰ καὶ ἐκυβίστων; (v. 742) Σημείωσαι δὲ ὡς εἰπὼν ὁ ποιητὴς ἐν συντόμῳ παραβολῇ τὸ ἀρνευτῆρι ἐοικὼς κατέπεσεν ἀπὸ δίφρου, εἶτα εὐθὺς ἐφερμηνεύων πλάττει τὸν Πάτροκλον διασκευάζοντα τὸν τοιοῦτον νοῦν ἐν τῷ «ἦ μάλ' ἐλαφρὸς ἀνήρ», καὶ ἑξῆς τὰ περὶ τοῦ κυβιστητῆρος. Ἔστι γὰρ ἀρνευτὴρ καὶ κυβιστητὴρ τὰ αὐτά, εἰ καὶ σαφέστερον τὸ κυβιστητήρ. Ἀρνευτήρ τε γὰρ ὁ ἐπὶ κεφαλὴν εἰς θάλασσαν δυόμενος καθ' ὁμοιότητα τῆς τῶν ἀρνῶν πορείας, οἳ σκιρτῶντες τοῖς μὲν ὀπισθίοις ποσὶν ἅλλονται, τὴν δὲ κεφαλὴν τῇ γῇ πελάζουσι. [Διὸ καὶ τὸν ἵππουρον ἰχθὺν τὸν καὶ ἱππουρέα διὰ τὸ συνεχὲς ἐξάλλεσθαι ἀρνευτήν τινες ἐκάλουν κατὰ τὴν τοῦ Δειπνοσοφιστοῦ ἱστορίαν], καὶ κυβιστητὴρ δὲ ὁ ἐπὶ κύμβην, ὅ ἐστι κεφαλήν, ὑπὸ τῷ ὕδατι γινόμενος. [Ἢ ὁ κατὰ κύβον ἄνωθεν κάτω βάλλων ἑαυτόν, ὃς δὴ κύβος ἀπὸ τοῦ κύπτειν δοκεῖ παρῆχθαι, ὡς οἷον κατωκάρα κατὰ τοὺς ἐπικύπτοντας γινόμενος ἐν τῷ κατακυλίεσθαι, ἀνακύψαντος τοῦ βῆτα ἐν αὐτῷ, καθὰ καὶ ἐν τῷ καλύπτω καλύβη, βλάπτω βλάβη, κρύπτω ἀποκρυβή. Οὐκ ἂν δὲ εἴη ἐνταῦθα κενὸν ἐπισημήνασθαι, ὅτι τε τρισὶ τὸ παλαιὸν κύβοις ἐχρῶντο καὶ οὐ δύο κατὰ τοὺς ὕστερον.

3.922 ὅθεν καὶ παροιμία φησὶν ἐπὶ τῶν μηδὲν διὰ μέσου κινδυνευόντων τὸ «ἢ τρὶς ἓξ ἢ τρεῖς κύβους», ἀπὸ τοῦ μεγίστου ἐν πεσσοῖς ἀριθμοῦ, ὅ ἐστιν ἕξ, καὶ τοῦ ἐλαχίστου, ἤγουν τοῦ κύβου, ὅπερ ἐστὶ μονάδος. Διχῶς γὰρ ὁ κύβος, αὐτό τε τὸ ἀναρριπτούμενον, ὡς τὸ «ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι», ὃ παροιμιωδῶς ἡ τραγῳδία ἔφη, καὶ ἡ ἐν αὐτῷ μονάς, ὡς τὸ «βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα», ἤγουν δύο μονάδας καὶ τέτταρα, ὃν στίχον Εὐριπίδης ἐν Τηλέφῳ θείς, ὅπου κυβεύοντας ἥρωας εἰσήγαγε, καὶ μαθὼν ἐπ' αὐτῷ χλευασθῆναι ὡς εὐτελεῖ, καθὰ σκώπτει καὶ ὁ Κωμικός, αἰδεσθεὶς περιεῖλεν ὅλον τὸ ἐπεισόδιον. Ὡς δὲ καὶ καθ' ἕκαστον κύβον, ἤγουν καθ' ἑκάστην μονάδα, ἔπαιζον ἀργύριον ὁρίσαντες, καὶ ὡς οἱ τῆς παιδιᾶς ταύτης τρηματῖται ἀπὸ τῶν ἐν τοῖς κύβοις τρημάτων ἐλέγοντο, δηλοῦσι καὶ αὐτὸ οἱ παλαιοί.] Ὅρα δὲ καὶ ὅτι Αἰνείας μὲν τὸν Μηριόνην ὡς κοῦφα πηδῶντα ὀρχηστὴν πρὸ μικροῦ ἔφη, σκώψας εὐφυῶς καὶ ἐκεῖνος, Πάτροκλος δὲ νῦν τὸν Κεβριόνην ἐπὶ κεφαλὴν καταπεσόντα ἐκ δίφρου κυβιστητῆρι προσφυῶς εἰκάζει ἐξ ὕψους τινὸς ἑαυτὸν εἰς θάλασσαν ῥίπτοντι. (v. 744) Οὕτως εἰς καιρὸν καὶ σκώμμασιν ἀστείοις παραρτύει τὴν ποίησιν Ὅμηρος, ἅπερ ὅτι κέρτομα, παρασημαίνεται αὐτὸς προθεωρήσας ῥητορικῶς ἐν τῷ «τὸν δ' ἐπικερτομέων προσέφης Πατρόκλεις». Ὅτι δὲ ἡ συχνὴ ἀποστροφὴ αὕτη πάνυ δηλοῖ τὸν ποιητὴν πρὸς τοῦ Πατρόκλου εἶναι ὡς ὑπουργηκότος τοῖς φίλοις Ἀχαιοῖς, ἔτι δὲ καὶ διὰ τὸν Ἀχιλλέα, οὐκ ἔστιν ἀμφιβαλεῖν. οὕτω γοῦν καὶ βραχύ τι ὑποκαταβὰς αὐτὸν προσφωνεῖ. ὡς δὲ καὶ ὁ Κεβριόνης λόγου ἄξιος ἦν, ἐνέφηνε μὲν καὶ ὁ ποιητὴς δαΐφρονα καὶ ἥρωα προσειπὼν αὐτόν, δηλώσει δὲ καὶ ὁ Ἕκτωρ ἐν οἷς αὐτοῦ ὑπερμάχεται. (v. 734 s.) Ἰστέον δὲ ὅτι κἀνταῦθα γενικὴ μὲν λέξις ὁ πέτρος, καθὰ καὶ ὁ λᾶς, εἰδικὴ δὲ ὁ μάρμαρος, ἀπὸ τοῦ μαρμαίρειν λεχθείς, ὃν ἡ κοινὴ γλῶσσα κατὰ γένος προφέρει οὐδέτερον. Ὀκριόεις δὲ ὁ ἔχων ἄκρας ἤγουν ὀξύτητας.

3.923 διὸ ἑρμηνεύων ἐπάγει «ὀξέϊ λᾶϊ», ὥσπερ καὶ ἡνιοχῆα εἰπὼν ἐπιφέρει «ἵππων ἡνία ἔχοντα» τρόπῳ ἐτυμολογικῷ. οὕτω δὲ καὶ τὸ «ὅν περὶ χεὶρ ἐκάλυψε» τὸν ἐν ἄλλοις χερμάδιον λίθον διασαφεῖ, ὅ ἐστι τὸν χειροπληθῆ, καὶ οὗ ἔστι τὴν χεῖρα ἐπιμάσασθαι, ἤγουν ἐφάψασθαι, [ὥστε

καὶ καλύψαι δακτύλοις ἐν τῷ κρατερῶς αὐτοῦ ἔχεσθαι. διὸ ἔφη «τόν οἱ περὶ χεὶρ ἐκάλυψε».] (v. 736) Τὸ δὲ «ἐρεισάμενος» γενναιότητα βολῆς δηλοῖ. οὐκ ἔστι γάρ τινι βαλεῖν στερεῶς μὴ ἐρεισαμένῳ. Τὸ δὲ «οὐδὲ δὴν χάζετο» τὸ τῆς βολῆς γενναῖον πιθανολογεῖ. ὁ γὰρ μὴ χαζόμενός τινος, ἀλλ᾽ ἐγγὺς δηλαδὴ γεγονώς, δύναιτ᾽ ἂν καὶ γενναίαν ἐκείνῳ ἐντινάξαι πληγήν. (v. 737) Τὸ δὲ «οὐδ᾽ ἁλίωσε βέλος» ὅμοιόν ἐστι τῷ «οὐχ᾽ ἅλιον ἧκε βέλος». καὶ τοῦτο μὲν κατὰ ἄρσιν. θέσις δ᾽ αὐτοῦ τὸ «βάλε δ᾽ ἡνιοχῆα». Τὸ δὲ ἡνιοχεὺς ἐσχημάτισται παραγώγως, καθὰ καὶ τὸ Αἰθιοπεὺς καὶ ἡγεμονεύς. [Αὐτὰ δὲ καὶ ἐκ τοῦ ἡνιοχεύσω καὶ ἡγεμονεύσω παράγονται.] (v. 739) Τὸ δὲ μετώπιον ἢ καθ᾽ ὁμοιότητα συντέθειται τοῦ ἐνώπιον, ἢ παράγωγόν ἐστι τοῦ μέτωπον, ὡς τοῦ ἴχνος τὸ ἴχνιον. (v. 740) Τὸ δὲ «ὀφρῦς σύνελεν» ἀντὶ τοῦ συνήγαγεν, οὗ βιαίου ὄντος παρακολούθημα ἡ τῶν ὀφθαλμῶν ἔκπτωσις καὶ τὰ ἐπ᾽ αὐτῷ. Ἐκ δὲ τούτου τοῦ συνελεῖν οἱ μὲν μεθ᾽ Ὅμηρον ῥήτορες ἐφεῦρον τὸ «συνελόντα φάναι», οἱ δὲ γραμματικοὶ τὸ συνῃρημένον. διασαφητικὸν δὲ τοῦ σύνελε τὸ «οὐδέ οἱ ἔσχεν ὀστέον», ἤγουν οὐκ ἀντέσχεν, οὐκ ἀντέβη, ἀλλὰ δηλονότι κλασθὲν συνῃρέθη. Ἰστέον δὲ ὅτι τὸ μὲν «συνεῖλε» προπερισπᾶται διὰ τὸν τροχαϊσμὸν ὡς τὸ συνεῖχε καὶ ὅσα τοιαῦτα, ἐκπεσὸν δὲ τῆς αὐξήσεως προπαροξύνεται. (v. 745) Τὸ δὲ «ὢ πόποι» κέρτομον ἐνταῦθά ἐστι καὶ οὐκ ἐπὶ θρήνῳ συνήθως ἢ σχετλιασμῷ. Τὸ δὲ «ἐλαφρὸς ἀνήρ» ἐνδείκνυται μὴ τοὺς βαρυσάρκους ἀλλὰ τοὺς ἀβαρεστέρους ἀγαθοὺς εἶναι ῥεῖα κυβιστᾶν. ἐκ τῆς ἐλάφου δὲ παρῆκται καὶ συγκέκοπται ὁ ἐλαφρός.

3.924 ξύλον δὲ εἰπεῖν ἐλαφρὸν οὐκ ἀσφαλῶς ἔχει. τὸ μέντοι «πλώοιεν ἐλαφρῶς» ἐν Ὀδυσσείᾳ καλὸν καὶ αὐτό. [Πρὸς ὁμοιότητα γὰρ ἐλέχθη νήξεως ἐλάφου κοῦφα καὶ αὐτῆς πλεούσης καὶ οὐδὲ δυσχερῶς. Δῆλον δὲ ὅτι καὶ σκῶμμα ἔστιν ὅτε γίνεται ὁ ἐλαφρός, καθὰ καὶ ὁ κοῦφος καὶ ὁ κενός. δριμύτερον δὲ τούτων, εἰ καὶ δειλός, ἔτι δὲ καὶ εἰ λαμπρῶς κερασφόρος.] (v. 747) Τήθεα δέ, ὧν ὡς ἐπὶ πολὺ ψηλαφηταί εἰσιν οἱ κυβιστητῆρες, εἶδος ὀστρείου παρὰ τὴν Τηθύν, ὅ ἐστι γῆν. γεώδη γάρ εἰσι μᾶλλον τῶν ἄλλων θαλασσίων διὰ τὴν τοῦ περιέχοντος σκληρότητα. ἴσως δὲ καὶ παρωνόμασται τῇ τροφῷ τῶν βρεφῶν τήθη διὰ τὸ τρυφερὸν καὶ οἷον γαλατῶδες καὶ δροσερόν, οὗ χάριν καὶ ἑρσήεντά τις τὰ τοιαῦτά φησι ποιητής. [Περὶ δὲ τηθέων, ἤτοι ὀστρείων, φέρεται παρὰ τοῖς παλαιοῖς καὶ ταῦτα. οὐ μόνον ἰχθύσιν ἐχρῶντο οἱ παλαιοί, ἀλλὰ καὶ ὀστρείοις, καίτοι τῆς τούτων ἐδωδῆς οὐ πολὺ ἐχούσης τὸ ὠφέλιμον καὶ ἡδύ, ἀλλὰ κἀν τῷ βυθῷ κατὰ βάθους κειμένων ὡς μὴ εἶναι εἰς ταῦτα τέχνῃ ἄλλῃ χρήσασθαι ἢ δύντα κατὰ βυθοῦ.] (v. 748) Δυσπέμφελος δὲ πόντος ὁ δυσχείμερος, δι᾽ οὗ δυσχερῶς ναῦς πέμπεται. ὅθεν καὶ Ἡσίοδος δυσπέμφελον τὴν ναυτιλίαν φησί. Ζηνόδοτος δέ, φασί, πληθυντικῶς γράφει, εἰ καὶ δυσπέμφελοι εἶεν οἱ πολλοὶ δηλαδὴ ἐκεῖνοι, οἷς τὰ τήθεα παρατίθενται, ὅ ἐστι δυσάρεστοι, ὡς καὶ Ἡσίοδος «μηδὲ πολυξείνοιο δαιτὸς δυσπέμφελος εἶναι», ὅ ἐστι δύσκολος, δυσμετάπεμπτος. Ἰστέον δὲ ὅτι τὸ δυσπέμφελος ὀφεῖλον, ὥς που καὶ προεδηλώθη, διὰ τοῦ π γράφεσθαι, ὅμως δοκεῖ τρέψαι αὐτὸ εἰς φ πρὸς διαστολὴν τοῦ πέμπελος, ὃ γεροντικὴν ἡλικίαν δηλοῖ. (v. 749) Τὸ δὲ «ἐν πεδίῳ» ἀστεῖον καὶ αὐτό. καθ᾽ ὕδατος μὲν γὰρ κυβιστᾶν οὐ δεινόν, ἐν πεδίῳ δὲ κλαυσεῖται ἂν ὁ κυβιστῶν προσαράξας τῇ γῇ τὴν κεφαλήν. [Καὶ ἄλλως δὲ εἰπεῖν, πεζεῦσαι μὲν καθ᾽ ὕδατος ἅρμα καὶ ἀναβάτην ἡ ποίησις παραδίδωσιν, ἄνθρωπον δὲ ἐν πεδίῳ ἐξ ἵππων κυβιστᾶν θαλάσσης νόμῳ οὐκ ἂν εἴη. Ὅτι δὲ κυβιστητὴρ καὶ ὁ ὀρχηστής, δηλοῦσι καὶ οἱ ἐφεξῆς που δύο κυβιστητῆρες, οἳ «μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους». Τὸ δὲ «ῥεῖα κυβιστᾷ» δὶς εἶπε διὰ τὸ καίριον τῆς φράσεως.

3.925 καὶ δῆλον ὡς χρηστὸν μάλιστα τοῦτο. διὸ ἅπαξ εἰπὼν ἀρνευτῆρα, οὐκέτι οὔτ᾽ αὐτὸ εἶπεν οὔτε τι τῶν ἐκείνου. Σημείωσαι δὲ καὶ ὅτι τε τὰ συχνὰ ἐν τοῖς ῥηθεῖσιν ἀσύνδετα πρέπουσιν ἐπὶ κερτομήσει, τὸ «ὢ πόποι», καὶ τὸ «ἦ μαλ᾽ ἐλαφρός», καὶ τὸ «ὡς ῥεῖα κυβιστᾷ» καὶ τὸ «εἰ δή που καὶ πόντῳ» καὶ ἑξῆς, καὶ ὅτι ἡ τῆς παραβολῆς ἐργασία ὡς οἷον ἐκ τοῦ ἐλάττονός ἐστι, λέγοντος τρόπον τινὰ τοῦ Πατρόκλου, ὡς εἰ ἐν πεδίῳ ῥεῖα ἐξ ἵππων κυβιστᾷ, πολλῷ μᾶλλον ἐν θαλάσσῃ

ἀπό τινος προβλῆτος, καὶ ὅτι δυνάμενος Ὅμηρος παραβολικῶς τὸν λόγον σχηματίσαι, οἷον· ὡς δὲ κυβιστητὴρ ποιεῖ τάδε, οὕτως ὁ δεῖνα ἔπαθε τάδε, ὅμως δεῖν ἔκρινεν ὡς κέρτομον λόγον πλάσαι αὐτό, λογισάμενος Πατρόκλῳ μὲν πρέπειν τὸ οὕτως εἰπεῖν, Ὁμηρικῆς δὲ ἐμβριθείας πόρρω εἶναι. Οὐ γὰρ πρὸς αὐτοῦ ἦν Ὁμήρου οἰκειοπροσώπως τοιαῦτα παίζειν ἄρτι, ὃς οὐδὲ τῷ Ἕκτορι τοιοῦτόν τι περιθέσθαι ἠθέλησεν, ὡς μετ’ ὀλίγα φανεῖται. (v. 751—3) Ὅτι Πάτροκλος ἐπὶ Κεβριόνῃ βεβήκει «οἶμα λέοντος ἔχων, ὅς τε σταθμοὺς κεραΐζων ἔβλητο πρὸς στῆθος, ἑή τέ μιν ὤλεσεν ἀλκή». Ὅρα δὲ νῦν ὅτι τὸ ἐπί τινι βεβηκέναι ἀντίκειται τῷ ἀμφιβῆναι. ὡς γὰρ πολλαχοῦ δηλοῦται, ἡ ἐπι πρόθεσις ἀντὶ τῆς κατα λαμβάνεται ἔν τισι. (v. 752) Τὸ δὲ οἶμα συγκοπὴν ἔχει ἐκ τοῦ οἴμημα, ὡς τὸ κῦμα ἐκ τοῦ κύημα ἢ κύκημα. Τὸ δὲ κεραΐζειν ἐπὶ λέοντος οὐ κυριολεκτεῖται, ἐπὶ κερασφόρων δὲ ζῴων. εἴρηται δὲ περὶ αὐτοῦ ἀκριβῶς ἀλλαχοῦ. ἐρεῖ δὲ καὶ μετ’ ὀλίγα κεραϊζέμεν πόλιν τὸ ἁπλῶς ἀφανίζειν καί, ὡς εἰπεῖν, κείρειν, κατὰ τὸ «κείρετε, ἐγὼ δὲ θεοὺς ἐπιβώσομαι», καὶ «μάχης μήδεα κείρει Ζεύς». (v. 753) Τὸ δὲ «πρὸς στῆθος» ἰδιότης λέοντος, ὃς οἷα φύσει λακωνίζων ὀκνεῖ τὴν κατὰ νώτου βολήν. διὸ οὐδέποτε προτροπάδην φεύγει. εἰ δὲ καὶ φύγῃ, σὺν φρονήματι τοῦτο ποιεῖ, ὡς αἱ ἱστορίαι δηλοῦσι. Τὸ δέ «ἑή τέ μιν ὤλεσεν ἀλκή» ὅμοιόν ἐστι πρὸς τὸ «φθίσει σε τὸ σὸν μένος». (v. 756—8) Σημείωσαι δὲ ὅτι λέοντι νῦν παραβαλὼν ἁπλῶς οὕτω μόνον τὸν Πάτροκλον καὶ προσφωνήσας πάλιν αὐτὸν εὐθὺς καὶ ἑτέραν παραβολὴν συνάπτει ἐπί τε αὐτῷ καὶ τῷ Ἕκτορι, λέγων περὶ Κεβριόνου αὐτοὺς δηρινθῆναι κατά τινας, μάλιστα δὲ δηριθῆναι δίχα τοῦ νῦ, ὡς ἀπὸ τοῦ δηρίω δηρίσω τὸ μάχομαι, «λέοντε ὡς, ὥ τ’ ὄρεος κορυφῇσι περὶ κταμένης ἐλάφοιο ἄμφω πεινάοντε, μέγα φρονέοντε μάχεσθον».

3.926 Καὶ ὅρα ὡς μεγαλόφρον καὶ νῦν ζῷον ἱστορεῖ τὸν λέοντα ἐν τῷ «μέγα φρονέοντε», ὃ καὶ ἐπὶ συὸς καὶ λέοντος ἐρεῖ ἐν τοῖς ἐφεξῆς. καὶ εἴη ἂν ὁμοίας ἐννοίας καὶ τὸ μεγάθυμον ταῦρον εἰπεῖν, ὡς πρὸ βραχέων ἐποίησεν. ὅτι δὲ πεινῶν λέων ἀκάθεκτός ἐστι, καὶ ἡ κατὰ τὸν Πάριν καὶ τὸν Μενέλαον προεδήλωσε παραβολή. Φασὶ δὲ καὶ ὡς οὐ διαμάχονται ἀλλήλοις λέοντες, εἰ μὴ πεινῶσι. καὶ νῦν μὲν ἰσοπαλοῦς τῆς μάχης οὔσης, οὕτω παραβάλλει ὁ ποιητὴς αὐτούς, δηλῶν τὴν τῶν ἡρώων πρὸς ἀλλήλους ὁμοιότητα τῇ ἐκ τῶν ὁμοειδῶν ζῴων παραβολῇ, ὁποία τις καὶ πρὸ τούτων ἡ ἐπὶ Σαρπηδόνος καὶ Πατρόκλου, ὅπου αἰγυπιοῖς αὐτοὺς παρέβαλεν. ὅτε δὲ ὑπὸ Ἕκτορι πίπτει Πάτροκλος, ἑτεροειδέσι ζῴοις εἰκάσει αὐτούς, τὸν μὲν συΐ, λέοντι δὲ τὸν Ἕκτορα, ἰσχυροῖς μὲν ἀμφοτέροις, οὐχ’ ὁμοίοις δέ, ὡς καὶ πρὸ τούτων λέοντι μὲν τὸν Πάτροκλον εἴκασε, ταύρῳ δὲ τὸν ὑπ’ αὐτοῦ ἀναιρεθέντα Σαρπηδόνα. Ὅρα δὲ ὅτι κἀνταῦθα συχναῖς ὁ ποιητὴς χρᾶται παραβολαῖς, εἰωθὼς οὕτω ποιεῖν ἐναργείας χάριν, ὅτε ἀφηγεῖται μεγάλα πράγματα, καὶ ὅτι ἐν τῇ προσεχεῖ παραβολῇ τὸ «λέοντε πεινάοντε μέγα φρονέοντε» κάλλος καίριον ποιεῖ κατὰ τὰ πάρισα, καὶ ὅτι ἀστείως νῦν μὲν πρὸς λέοντας πεινῶντας εἰκάζει τοὺς ἥρωας, ἐφεξῆς δὲ πρὸς λέοντα καὶ σῦν διψῶντας. διὸ ἐνταῦθα μὲν περὶ βρώσεως τὰ ζῷα μάχονται, ἐκεῖ δὲ περὶ πόσεως. Ἰστέον δὲ ὡς ἦν μὲν ὑποθέσθαι μάχεσθαι καὶ ἐν ξυλόχῳ τοὺς εἰρημένους λέοντας, ἀλλ’ ὅτι νῦν μὲν ἡ Τρωϊκὴ μάχη ἄνω ὑψοῦ περί που τὴν ἠνεμόεσσαν Ἴλιον, ἐρίζουσι δέ ποτε καὶ λέοντες ἐν ὕψεσι διὰ τὸ ἕως ἐκεῖ φεύγειν τὸ διωκόμενον, διὰ τοῦτο κορυφὴ ὄρους ὑπόκειται καὶ τῷ τῆς ἐλάφου πτώματι καὶ τοῖς ἀμφ’ αὐτῇ μαχομένοις μεγάλοις θηρίοις.

3.927 Ὅτι τὸ ὁμοῦ γενέσθαι τὰ στρατεύματα ἑτερώθι μὲν ἄλλως εἴκασεν, οἷον καὶ ὅτε κόνεως αὐτὰ παρέβαλε συστροφῇ, ἐνταῦθα δὲ καὶ τὸ στάσιμον ἅμα τῶν μαχομένων παραδηλῶν καὶ τὸ οἷον ἐφ’ ἑνὸς ἐρριζωμένον, ἐπεὶ «οὐδ’ ἕτεροι μνώοντ’ ὀλοοῖο φόβοιο», ὑπεμφαίνων δὲ καὶ τὸ ὁμοῦ εἶναι αὐτοὺς καὶ συγκεχύσθαι καὶ ἠχεῖν καὶ πλήττεσθαι, εἰς φηγὸν καὶ μελίην καὶ κράνειαν παραβάλλει αὐτούς, ὡς ῥηθήσεται. (v. 762—4) Καὶ πρῶτα τέως εἰπών, ὡς «Ἕκτωρ μὲν κεφαλῆφιν ἐπεὶ λάβεν», ἤγουν τῆς τοῦ Κεβριόνου ἐλάβετο κεφαλῆς, «οὐχὶ μεθίει, Πάτροκλος

δ’ ἑτέρωθεν ἔχεν ποδός, οἳ δὲ δὴ ἄλλοι Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην», (v. 765—71) ἐφερμηνεύων τὸ «σύναγον», ἐπάγει τὴν ῥηθεῖσαν παραβολήν, τοιαύτην οὖσαν «ὡς δ’ Εὖρός τε Νότος τ’ ἐριδαίνετον ἀλλήλοιϊν οὔρεος ἐν βήσσῃς βαθέην πελεμιζέμεν ὕλην, φηγόν τε μελίην τε τανύφλοιόν τε κράνειαν, αἵ τε πρὸς ἀλλήλας ἔβαλον τανυήκεας ὄζους ἠχῇ θεσπεσίῃ, πάταγος δέ τε ἀγνυμενάων, ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ’ ἀλλήλοισι θορόντες δῄουν», καὶ ἑξῆς τὰ δι’ ὧν ὑσμίνη συνάγεται. (v. 764) [Ἰστέον δὲ ὅτι ἐκ τοῦ Ὁμηρικῶς ὑσμίνην ἢ Ἄρην ἢ πόλεμον συνάγειν εἰλῆφθαι δοκεῖ καὶ τὸ παρὰ τοῖς ὕστερον συναγώγιον, τό τε ἄλλο καὶ τὸ ἀπὸ συμβολῶν. ἐκεῖθεν δὲ εἴληπται καὶ τὰ συναγώγιμα παρὰ τῷ Ἀθηναίῳ δεῖπνα καὶ συνάγειν τὸ μετ’ ἀλλήλων συμπίνειν, ᾧ λόγῳ καὶ σύνδειπνον ἐλέγετο τὸ συμπόσιον. Εἰ δ’ οὕτω τοῦτ’ ἐστί, καὶ τὸ συνάγειν προσφυῶς ἐπί τε μάχης ἐπί τε δαιτὸς κοινῆς λέγεται, καλῶς ἄρα οἱ μὴ ἀνθρωπίνως ἀλλὰ κατὰ θηρία δαινύμενοι ἐν τῷ στασιάζειν καὶ διὰ τοῦτο μηδέν τι δαιτὸς ἐσθλῆς ἦδος ἔχοντες δοκοῦσι λέγειν καὶ αὐτοὶ τὸ «δεῦτε, ξυνάγωμεν Ἄρηα» καὶ ὁ τῶν τοιούτων οἶκος κατὰ τὸν ἀστεῖον Δειπνοσοφιστὴν «ὁμοῦ μὲν θυμιαμάτων γέμει, ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων», τὸ Σοφόκλειον. Καλὸν δέ, φησίν, ἐνταῦθα προσθεῖναι καὶ Φιλιππίδου τὸ «τὰ ξίφη δειπνοῦμεν ἠκονημένα». Ἰστέον δὲ ὅτι τὸ ἀπὸ συμβολῆς δειπνεῖν ἐκ κοινοῦ Ἡσίοδος ἔφη.

3.928 Ἔστι δὲ τοιοῦτον ὁ ἔρανος, ἐν ᾧ συνέβαλλον ἕκαστος τὸ πρὸς ἰσχύος εἰς χρείαν συνδείπνου συμβολιμαίου. ὡς ὅ γε μὴ τοιοῦτος ἀσύμβολος ἐλέγετο διὰ τὸ δωρεὰν δειπνεῖσθαι καὶ ἀδαπάνως. Λέγει δὲ ὁ Ἀθήναιος καὶ ὡς τὴν μὲν ἐπὶ συμποσίῳ συμβολὴν χῶν οἱ Ἀργεῖοι ἐκάλουν, τὴν δὲ μερίδα αἶσαν. Καὶ ἔστι τὸ χῶν ἐκ τοῦ χοῦν, ὅπερ ἐστὶν ἀγγεῖον συμποτικόν, ὃ καὶ χοεὺς Ἀττικῶς λέγεται, οὗ κλίσις χοέως χοῶς ὡς Πειραιῶς. ἀναλογία δὲ αὐτοῦ κατὰ τὸ βῶν. ὡς γὰρ βοῦς βῶς Δωρικῶς, οὕτω καὶ χοῦς χῶς.] (v. 762) Ὅρα δὲ καὶ ἐν τῷ «οὐχὶ μεθίει» τὸ οὐχί ἐπίρρημα, ἐξ οὗ ὀρθῶς ἂν ἐν συναλιφῇ ἐκθλιβείη τὸ δίχρονον, ὥστε οἱ ἐν τῷ οὐχ’ οὕτως καὶ τοῖς ὁμοίοις μὴ τιθέντες ἀπόστροφον ὡς μόνου τοῦ χι στοιχείου μεσολαβοῦντος διὰ καλλιφωνίαν, καθὰ τοῦ κ ἐν τῷ οὐκ ἔχω καὶ οὐκ ἄγω καὶ τοῖς τοιούτοις, οὐκ ἀσφαλῶς ἐνίστανται. τὸ μὲν γὰρ οὔκ εὕρηται χωρὶς τοῦ ἰῶτα, οὔχ δὲ οὐχ’ εὕρηταί τις εἰπών. Σημείωσαι δὲ ὅπως εὐμεθόδως Ὅμηρος Πάτροκλον τὸν πρὸ ὀλίγου χασάμενον πολλὸν ὀπίσω συνήγαγεν εἰς μάχην τῷ Ἕκτορι, πεσούμενον ὑπ’ αὐτῷ. (v. 765 s.) Τὸ δὲ ἐριδαίνειν ἀλλήλοις ἀνέμους ὥστε κινεῖν ὕλην ὡς ἐπὶ ἐμψύχων τῶν ἀνέμων [γλυκέως] εἴρηται κατὰ ἔθος Ὁμηρικόν. Τὸ δὲ «βαθέην» ἀξιόλογον ὕλην δηλοῖ οὐ μόνον δασεῖαν, ὃ καὶ θάμνοι ποιήσαιεν ἄν, ἀλλὰ καὶ μεγαλόδενδρον, καὶ οὕτω βαθεῖαν, διὰ τὸ ἔχειν φηγὸν καὶ μελίην καὶ τὰ τοιαῦτα.

3.929 Φυσικῶς δὲ ἔχει τὸ «βαθέην» καθ’ ὁμοιότητα τοῦ «ὠκέα Ἶρις» καὶ τῶν τοιούτων, ὡς ἐκ τοῦ βαθύς βαθέος, ὠκύς ὠκέος, ὅθεν προσλήψει τοῦ ἰῶτα ἡ βαθεῖα καὶ ἡ ὠκεῖα γέγονε. (v. 767) Τανύφλοιος δὲ κράνεια πρὸς διαστολὴν φηγοῦ καὶ μελίης, ὧν ὁ φλοιὸς οὐ ταναός, ἤγουν τετανὸς καὶ οἷον ἱμαντώδης. ὁ γὰρ τῆς κρανείας τοιοῦτος. (v. 768) Τὸ δὲ «πρὸς ἀλλήλας ἔβαλον» τὸ συνέβαλον δηλοῖ, ὃ διὰ πυκνότητα γίνεται. τοῦτο δὲ συγγενές ἐστι πρὸς τὸ συνάγειν, ἐξ οὗ ὥρμηται ἡ ῥηθεῖσα παραβολή. Τὸ δὲ «τανυήκεας ὄζους» παραγωγήν, φασί, μόνην ἔχει ἀπὸ τοῦ τανύω, καὶ δηλοῖ τοὺς μακρούς. ἐν μέντοι τῷ «τανύηκες ἄορ» ἔγκειται τῇ λέξει, φασί, τὸ ἀκή, ὅ ἐστιν ὀξύτης. γίνεται γὰρ παρὰ τὸ τανύω καὶ τὴν ἀκήν, τὴν ὀξύτητα. (v. 769) Τὸ δὲ «ἠχῇ θεσπεσίῃ» ἢ πρὸς τὸ πολεμιζέμεν εἴρηται ἢ πρὸς τὸ ἀγνυμενάων. ἐν ἀμφοῖν γὰρ ἠχὴ γίνεται. (v. 771) Τὸ δὲ «οὐδ’ ἕτεροι μνώοντο» ἀντὶ τοῦ οὔτε οἱ Τρῶες οὔτε οἱ Ἀχαιοί. ἐπὶ δύο γάρ τινων καὶ νῦν κυριολεκτεῖται ἡ λέξις τοῦ «οὐδ’ ἕτεροι». (v. 772—5) Ὅτι πολλὴν ἐν πολέμῳ βελῶν ἄφεσιν δηλοῖ περὶ Κεβριόνου ῥηθὲν τὸ πολλὰ τὸν δεῖνα «ἀμφ’ ὀξέα δοῦρα πεπήγει ἰοί τε πτερόεντες ἀπὸ νευρῆφι θορόντες, πολλὰ δὲ χερμάδια μεγάλ’ ἀσπίδας ἐστυφέλιξε μαρναμένων ἀμφ’ αὐτόν». (v. 775 s.) Οἷς ἐπάγει ὁ ποιητὴς λόγον ἠρέμα παθητικόν,

τὸ «ὃ δὲ στροφάλιγγι κονίης κεῖτο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων». Καὶ ὅρα τὸ τοῦ στίχου τούτου ὁλοδάκτυλον, μέγεθος ἔχοντος μετρικὸν καὶ συνεπεκτεινομένου τῷ μεγαλείῳ τοῦ κειμένου καὶ συνεξομοιουμένου ὡς οἷόν τε.

3.930 ἔχει δέ τι ὄγκου σεμνοῦ ἐνταῦθα καὶ τὸ α πλεονάσαν. τούτῳ δὲ ὁμοίως ὁλοδάκτυλοι καὶ οἱ ἐφεξῆς δύο στίχοι, συνεπικουροῦντες εἰς πλέον τῇ φραστικῇ σεμνότητι ἐν τῇ μακροτέρᾳ διατριβῇ. (v. 777 s.) Φησὶ γὰρ «ὄφρα μὲν Ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει, τόφρα μὲν ἀμφοτέρων βέλε’ ἥπτετο, πῖπτε δὲ λαός». οἳ δὴ στίχοι καὶ ἀλλαχοῦ ἐποιήθησαν, εἰωθότος Ὁμήρου μετρεῖν ὥρας ἡμέρας τε καὶ νυκτός. (v. 779 s.) Ὃς καὶ τὸ ἐφεξῆς «ἦμος δ’ ἠέλιος» ἀλλαχοῦ μὲν ἀναπληροῖ διὰ τοῦ «μέσον οὐρανὸν ἀμφιβεβήκει», ἐνταῦθα δὲ διὰ τοῦ «μετενίσσετο βουλυτόνδε», ὅτε καί φησιν, ὡς ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν, σεμνύνων καὶ οὕτω τοὺς Ἀχαιοὺς προσπαθῶς. ἄλλως γὰρ οὐκέτι πρὸς Τρώων ἡ αἶσα ἦν, ὡς αὐτὸς ὁ ποιητὴς φθάσας προεξέθετο. Καὶ οὕτω μέν, ὡς ἐρρέθη, σεμνὸν ἐν τοῖς ῥηθεῖσι στίχοις τὸ ὁλοδάκτυλον. τὸ μέντοι ἐν Ὀδυσσείᾳ «τὼ δ’ ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν» σεμνὸν μὲν διὰ τοὺς σπονδείους, ἐπίτροχον δὲ διὰ τὸ ὀλιγοσύλλαβον. καὶ ἔστιν οἰκεῖον ἐπιφωνούμενον ἐκεῖ νέοις κατὰ σπουδὴν ὁδεύουσιν. (v. 773) Ἰστέον δὲ ὅτι τε τὸ «ἰοὶ ἀπὸ νευρῆφι θορόντες» ὅμοιόν ἐστι πρὸς τὸ «ἔβαλεν ἰῷ ἀπὸ νευρῆς», (v. 776) καὶ ὅτι τὸ μεγαλωστί ἀπὸ τοῦ μεγάλως γέγονε πλεονάσαντος τοῦ τι ἐπεκτατικῶς, ὡς καὶ ἐν τῷ οὔ τι καὶ οὕτω τι καὶ τοῖς ὁμοίοις. καθ’ ὅμοιον δὲ τρόπον γίνεται καὶ τὸ νεωστί. (v. 779) Τὸ δὲ νίσσεσθαι πρωτότυπον δοκεῖ, καθὰ καὶ τὸ λίσσεσθαι. εἰ γὰρ κατά τινας ἀπὸ τοῦ νέω ἦν, εἶχεν ἂν διὰ διφθόγγου τὴν ἄρχουσαν.

3.931 εἰ μὴ ἄρα ὁ ῥηματικὸς χαρακτὴρ εἰς τοῦτο ἐκώλυεν ὁ τοῦ λίσσω, πτίσσω καὶ τῶν ὁμοίων. κεῖται δὲ περὶ τῆς λέξεως ταύτης καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν χρήσιμά τινα. Βουλυτὸς δέ, ὡς καὶ ἐν Ὀδυσσείᾳ, ὁ πρὸς ἑσπέραν καιρός, ὁ δειλινός, ὅτε τοῦ ἐργάζεσθαι τοὺς βόας λύομεν. (v. 780) [Ἐν τούτοις δὲ φαίνεται καὶ περισσὸς κεῖσθαι σύνδεσμος ὁ και δι’ ἀπαρτισμὸν ἀναγκαίου δακτύλου. Εἰπὼν γάρ· ἦμος δ’ ἠέλιος ἦν περὶ βουλυτόν, ἐπάγει «καὶ τότε δή ῥ’ ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν». Ἔνθα καὶ ὁ ῥα σύνδεσμος, οὐ πρὸς ἀνάγκην ἀλλ’ ὄγκου χάριν καὶ μύσεως ἀχασμήτου ἐρροίζησεν.] (v. 784 s.) Ὅτι πολυγνώμων ὁ ποιητὴς ὢν ἤδη πρὸς τῷ θανεῖν γεγονότα τὸν Πάτροκλον σεμνύνει ἀριστείᾳ λαμπρᾷ, εἰπὼν «τρὶς μὲν ἐπόρουσε θοῷ ἀτάλαντος Ἄρηϊ, σμερδαλέα ἰάχων», κατὰ μεγαλοφωνίαν πρέπουσαν στρατηγῷ, «τρὶς δ’ ἐννέα φῶτας ἔπεφνε». Καὶ ὅρα ὡς καὶ νῦν συνήθως ὁ φιλόμουσος Ὅμηρος ἀριθμῷ τελείῳ ἐχρήσατο μετροῦντι τὰς Μούσας. Τὸ δὲ «ἀτάλαντος Ἄρηϊ» διήρθρωται εἰς σαφήνειαν πλέον ἤπερ τὸ «δαίμονι ἶσος», ὅπερ καὶ πρὸ ὀλίγων ἔφη, καὶ εὐθὺς δὲ ἐφεξῆς ἐρεῖ περιπαθῶς ἐπισυνάπτων τὸ τοῦ Πατρόκλου κακόν. (v. 786—9) Ἐπάγει γὰρ «ἀλλ’ ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος, ἔνθ’ ἄρα τοι, Πάτροκλ’, ἐφάνη βιότοιο τελευτή». λάθρᾳ γὰρ ἤντετο Φοῖβος δεινὸς καὶ ἐποίησε τὰ ῥηθησόμενα. Καὶ ἰδοὺ ἀπροσδόκητος καὶ αὕτη ἀποστροφή. ὁμιλῶν γὰρ κἀνταῦθα ὁ ποιητὴς διηγηματικῶς τῷ ἀκροατῇ περὶ Πατρόκλου στρέφει τὸν λόγον αἴφνης ἐνδιαθέτως πρὸς αὐτὸν δὴ τὸν Πάτροκλον, λυπηρῶς ἐπ’ ἐκείνῳ διατιθέμενος καὶ συναχθόμενος, ὡς οἱ παλαιοί φασι, τῷ Ἀχιλλέως ἑταίρῳ, τῷ τοὺς Ἀχαιοὺς περιποιησαμένῳ, τῷ φιλοίκτῳ, τῷ συμπαθεῖ, τῷ ἐνηεῖ. προσφωνήσει δὲ αὐτὸν ὁμοίως καὶ εἰσέτι δὶς ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ.

3.932 (v. 787) Ὅρα δὲ καὶ ὡς οὐκ εἶπεν οὐδὲ νῦν ἁπλῶς τελευτὴν τὸν θάνατον, ἀλλὰ μετὰ προσθήκης βιότοιο τελευτήν. ἁπλῶς μὲν γὰρ τελευτὴ τέλος παντὸς πράγματος καὶ τελευτᾶν τὸ πληροῦν, ἐπὶ δὲ θανάτου χρεία προσθήκης, οἷον τελευτὴ βίου καὶ τελευτᾶν ζωήν. ὕστερον μέντοι ταῦτα κατά τι ἰδιάζον δίχα προσθήκης ἐπὶ θανάτου κεῖνται, ὡς καὶ συμφορὰ ἦν μὲν ὅτε χρηστὴν ἐδήλου φοράν, ἤτοι ἀπόβασιν, ὡς τὸ «ἐπὶ συμφοραῖς γεγηθός μοι ἕρπει δάκρυον ὀμμάτων ἄπο». ἡ δὲ νεωτέρα χρῆσις οὐ μέσως ἔχειν ἀφῆκε τὴν λέξιν, ἀλλ’ ἐπὶ κακοῦ περιώρισε, συμφορὰν λέγουσα τὴν ἐπὶ οὐκ ἀγαθοῖς τύχην. Ὅτι δὲ τοῦ βιότου τὸ θηλυκὸν ὀξύνεται, δῆλον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βιοτὴ γάρ, ὁμοίως τῷ χόλος χολή, ὦνος ὠνὴ καὶ τοῖς τοιούτοις. (v. 788) Ὅρα δὲ τὸ «ἤντετο» δοτικῇ συνηθέστερον συνταχθέν, εἰ καὶ πρὸ τούτων ἄλλως ἔσχεν ἐν τῷ «ἀντήσω τοῦδ' ἀνδρός». [Δῆλον δ' ὅτι διφορουμένου θέματος προῆκται τὸ ἤντετο καὶ τὸ ἀντήσω. τοῦ μὲν γὰρ ἄντω τὸ θέμα, οὗ μέλλων οὐχ' εὕρηται, τοῦ δὲ ἀντῶ, ὡς βοῶ. (v. 789) Τὸ δὲ «ἤντετο δεινός» ἔχει τι δριμύτητος. οἱονεὶ γάρ φησιν, ὡς οὐχὶ πρᾷος τῷ Πατρόκλῳ ἐπέλασεν ὁ Ἀπόλλων, ἀλλ' ὡς αὐτὸ δὴ τοῦτο Ἀπόλλων. καὶ ἄλλως δὲ φάναι, οὐχ' ὡς οὔλιος Φοῖβος, ἤγουν ὑγιαστικὸς καὶ ὁλότητος ποιητικός, ἐξ οὗ καὶ οὔλειν τὸ ὑγιαίνειν, ἀλλ' ὡς ἕτερον τρόπον οὔλιος, ἤγουν ὀλέθριος.] Ὅτι ἀκόλουθον ἦν τῷ πρὸς Πάτροκλον ποιητικῷ πολλῷ οἴκτῳ σεμνῦναι καινότερον καὶ τὸν αὐτοῦ θάνατον. οὔκουν Ἕκτωρ πρῶτος αὐτὸν βάλλει, ὁ πάνυ φιλοτιμούμενος τοῦτο, οὐ μὴν ἀλλ' οὐδὲ δεύτερος, φθάνει δὲ κακῶς αὐτὸν διαθέμενος πρῶτος ὁ Φοῖβος, οἷς ἔπληξέ τε καὶ ἀφώπλισε καὶ ἔθελξεν, ὡς δειχθήσεται. εἶτα δεύτερος ἐπελθὼν Εὔφορβος βάλλει μετάφρενον. ἐφ' οἷς ὁ Ἕκτωρ οὐτάζει ἐς κενεῶνα καὶ ῥίπτει τὸν ἥρωα, μέγα ποιήσας οὐδὲν κατὰ τὴν Ὁμηρικὴν διασκευήν. ὃ καὶ Πάτροκλος ἐπισημανεῖται, ὅτε εἴπῃ «σὺ δέ με τρίτος ἐξεναρίζεις», οἱονεὶ λέγων ὅτι Φοῖβος μὲν καὶ Εὔφορβος ἔκτανόν με, σὺ δὲ οὐχ' οὕτως, ἀλλὰ πεφονευμένον εὑρὼν ἀριστεῖον ἀποίσῃ τὰ ἔναρα. Διὸ καὶ οὐ γενναῖον αὐτὸν θεωρήσας ἐπάγει τὸ θρυλούμενον, ὡς «τοιοῦτοι εἴ πέρ μοι εἴκοσιν ἀντεβόλησαν», ἔπεσον ἄν.

3.933 Ἐν τούτοις δὲ σημείωσαι καὶ ὅτι θεραπεία ἐνταῦθα προκαταβέβληται τῆς ἐς ὕστερον ἐπὶ τῷ Ἕκτορι πλασματικῆς διασκευῆς. Εἰ γὰρ καὶ Ἀθηνᾶ που ἀπατήσει τὸν Ἕκτορα πρὸς ἄμυναν Ἀπόλλωνος τοῦ νῦν τὸν Πάτροκλον βλάψαντος, οὐκ ἂν εἴη καινόν, ἥγε καὶ ἐν τῷ Ἐπιταφίῳ ἀποβαλόντος τοῦ Διομήδους τὴν μάστιγα χόλῳ Ἀπόλλωνος αὐτὴ τὸν ἄξονα κατακλᾷ τοῦ τῷ Ἀπόλλωνι φίλου Εὐμήλου. ἀλλὰ ταῦτα μὲν ὕστερον. (v. 789—800) Τῷ τέως δὲ σεμνύνων τε τὰ κατὰ τὸν Πάτροκλον ὁ ποιητὴς καὶ ἔλεον δὲ κινῶν ἐπ' αὐτῷ λέγει, ὅτι ἠέρι πολλῇ κεκαλυμμένος ἀντεβόλησε Φοῖβος τῷ Πατρόκλῳ, ταὐτὸν δ' εἰπεῖν ἤντετο ἐν ὑσμίνῃ, ὡς ἐρρέθη. Διὸ αὐτὸν ἰόντα κατὰ κλόνον οὐκ ἐνόησε, «στῆ δ' ὄπιθε, πλῆξεν δὲ μετάφρενον εὐρέε τ' ὤμω χειρὶ καταπρηνεῖ, στρεφεδίνηθεν δέ οἱ ὄσσε. τοῦ δ' ἀπὸ μὲν κρατὸς κυνέην βάλεν», ἤγουν ἔρριψε, «Φοῖβος Ἀπόλλων, ἣ δὲ κυλινδομένη καναχὴν ἔχε ποσσὶν ὑφ' ἵππων αὐλῶπις τρυφάλεια, μιάνθησαν δὲ ἔθειραι αἵματι καὶ κονίῃσι, πάρος γε μὲν οὐ θέμις ἦεν ἱππόκομον πήληκα μιαίνεσθαι κονίῃσιν, ἀλλ' ἀνδρὸς θείοιο κάρη χαρίεν τε μέτωπον ῥύετ' Ἀχιλλῆος. τότε δὲ Ζεὺς Ἕκτορι δῶκεν ᾗ κεφαλῇ φορέειν». Ἐφ' οἷς, ὡς εἰκός, παθαινόμενον τὸν φιλέλληνα παραμυθεῖται προαναφωνητικῶς ὁ ποιητὴς εἰπὼν «σχεδόθεν δέ οἱ ἦεν ὄλεθρος» ὥστε οὐδ' ἐπὶ πολὺ φορήσει αὐτήν. καὶ ἦν μὲν παράδοξον καὶ ἡ διὰ τοῦ Φοίβου ἀποβολὴ τῆς κυνέης, οὐ τοσοῦτον δέ. εἰκὸς γὰρ ἦν δόξαι καὶ κατὰ τύχην αὐτὴν καταπεσεῖν. τὸ δὲ ἐπαγόμενον πάνυ τερατῶδες καὶ οἷον μὴ τυχαῖον εἰπεῖν. (v. 801—6) Φησὶ γὰρ «πᾶν δέ οἱ ἐν χείρεσσιν ἄγη», τουτέστιν ἐάγη, αὐτόματον δηλαδή, «δολιχόσκιον ἔγχος, βριθύ, μέγα, στιβαρόν, κεκορυθμένον. αὐτὰρ ἀπ' ὤμων ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα, λῦσε δέ οἱ θώρηκα» Φοῖβος. «τὸν δ' ἄτη φρένας εἷλεν», ὡς οἷον ἀεσίφρονα, «λύθεν δ' ὑπὸ φαίδιμα γυῖα», ὡς μηκέτι μηδὲ κυρίως αὐτὰ λέγεσθαι ἅψεα, «στῆ δὲ ταφών». καὶ ταῦτα μὲν τὰ ἐκ τοῦ Φοίβου. ἐξ ὧν πρόχειρος εἰς φόνον τῷ βουλομένῳ Πάτροκλος ἕστηκεν ἐνεὸς μείνας καί, ὡς προελέχθη, θελχθείς. Εἰ γὰρ ἡ λέξις νῦν ἐσιγήθη, ἀλλὰ πραγματικῶς θελχθῆναι φαίνεται ὁ ἥρως. τὸ γὰρ «στρεφεδίνηθεν ὄσσε» καὶ ἡ τῶν φρενῶν ἄτη καὶ ἡ τῶν μελῶν ὑπέκλυσις καὶ ἡ μετ' ἐκπλήξεως στάσις ἔκστασίν τινα καὶ φύσεως ἀργίαν ἐν τῷ Πατρόκλῳ δηλοῖ, ὁποῖόν τι καὶ τὸ θέλγειν ἐστίν.

3.934 ὃ φράσαι πρὸς ὄνομα μὴ θελήσας ὁ ποιητὴς πραγματικῶς διεσάφησεν. Εἰ δὲ μὴ καὶ πλήττει ξίφει ὁ Φοῖβος ἢ δόρατι τὸν Πάτροκλον, Ὁμηρικὴ καὶ τοῦτο δεινότης. οὐ γὰρ βροτολοιγὸς κατὰ τὸν Ἄρην αὐτός, καὶ οὐδὲ εἰς ἀλληγορίαν εὔοδον ἦν τοῦτο. εἴτε γὰρ ἥλιος ὁ Ἀπόλλων εἴτε τις εἱμαρμένη, οὐ πιθανῶς ἂν ποιηθείη ξίφει πλήττων τινά, ἔκπληξιν δέ τινα, ὡς ἐρρέθη, ἐμποιῶν,

ὁποῖα πολλὰ δαιμονίως γίνονται. καὶ τοιάδε μέν, ὡς εἴρηται, τὰ κατὰ τὸν Φοῖβον καὶ οὕτω τὸν Πάτροκλον αὐτὸς ἀναιρεθῆναι προεστήσατο. (v. 806—8) Ὄπιθε δέ, φησίν, «μετάφρενον ὀξέϊ δουρὶ ὤμων μεσσηγύς», ἢ μεσσηγύ, «σχεδόθεν βάλε Δάρδανος ἀνὴρ Πανθοΐδης Εὔφορβος». (v. 808 s.) Ὃν καὶ σεμνύνων, ἵνα μὴ καί τις ἀχρεῖος ἀνὴρ ἐπιτολμῆσαι δόξῃ τῷ Πατρόκλῳ, ἐπαινεῖ εἰπὼν «ὃς ἡλικίην ἐκέκαστο ἔγχεΐ τε ἱπποσύνῃ τε πόδεσσί τε καρπαλίμοισιν», ὃ δὴ ἔπαινος ἀριστέως ἐστί. (v. 810—5) Καὶ εἰς δεῖγμα τῆς τοῦ Εὐφόρβου ἀνδρίας προφέρει τὰ ἑξῆς. «καὶ γὰρ δή ποτε φῶτας ἐείκοσι βῆσεν ἀφ' ἵππων, πρῶτ' ἐλθὼν σὺν ὄχεσφι διδασκόμενος πολέμοιο. ὅς τοι πρῶτος ἐφῆκε βέλος, Πατρόκλεις ἱππεῦ. οὐδ' ἐδάμασς'. ὃ μὲν αὖτις ἀνέδραμε, μίκτο δ' ὁμίλῳ, ἐκ χροὸς ἁρπάξας δόρυ μείλινον, οὐδ' ὑπέμεινε Πάτροκλον γυμνόν περ ἐόντα ἐν δηϊοτῆτι». (v. 816 s.) «Πάτροκλος δὲ θεοῦ πληγῇ καὶ δουρὶ δαμασθεὶς ἂψ ἑταίρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων». (v. 818—22) Ἕκτωρ δὲ ἰδὼν καὶ ἀναχαζόμενον καὶ βεβλημένον ἀγχίμολον «ἦλθε κατὰ στίχας, οὔτα δὲ δουρὶ νείατον ἐς κενεῶνα, διαπρὸ δὲ χαλκὸν ἔλασσεν. δούπησε δὲ πεσών, μέγα δ' ἤκαχε λαὸν Ἀχαιῶν». (v. 815) Καὶ ὅρα τὸ «γυμνόν περ ἐόντα», δι' οὗ καταβάλλει ἀχρειῶν σαφῶς τὴν τοῦ βαλόντος ὀφρύν, ὃς γυμνῷ τῷ Πατρόκλῳ ἐπελθὼν ἐνήργησεν, ὡς μὴ ἄλλως ἂν καταπονηθέντι, εἰ μὴ οὕτως ἐγυμνώθη. (v. 816) Ὅρα δὲ καὶ τὸ «θεοῦ πληγῇ» μέσως λεχθέν. οὐ γὰρ τὴν διὰ καταπρηνοῦς χειρὸς μόνον δηλοῖ, ἀλλὰ καὶ τὴν ἄλλως, ὡς εἰπεῖν, θεοπληξίαν καὶ θέλξιν. (v. 789) Ἰστέον δὲ ὅτι [τε τὸ οὐκ ἐνόησε ταὐτόν ἐστι τῷ οὐκ εἶδε διὰ τὸ κεκαλύφθαι δηλαδὴ τὸν Ἀπόλλωνα ἠέρι πολλῇ, τουτέστιν ἀορασίᾳ, σκοτώσει, νεφώσει. καὶ ἔστιν ὁ νοῦς τῆς λέξεως φιλόσοφος. ὡς γὰρ νοῦς ἀκούει, οὕτω καὶ νοῦς ὁρᾷ. οὐκοῦν κυρίως ὁρᾶν τὸ καὶ νοεῖν ἐστι], (v.

3.935 792) καὶ ὅτι τὸ στρεφεδινεῖν ἐκ τοῦ στρέφειν καὶ δινεῖν σύγκειται ταὐτοσήμων λέξεων, ὁποῖαι καὶ ἄλλαι ἐν τῇ δ' ῥαψῳδίᾳ κεῖνται, [ὅπου καὶ περὶ καπυροῦ ἐρρέθη, ὡς ἐκ τοῦ καίειν καὶ πυροῦν ταὐτολογικῶς ἡ λέξις συντέθειται, ἀφ' ἧς καὶ καπυρίδια παρὰ τῷ Δειπνοσοφιστῇ τὰ καλούμενα, φησί, καὶ τράκτα. Καὶ ὅρα τὴν ἐπὶ ἄρτου χρῆσιν παλαιὰν τοῦ τράκτου. Ἐν δὲ τῷ τοιούτῳ τόπῳ, καὶ φοῦρνον ἐκεῖνός φησι κοινότερον, οὗ παρώνυμον ἱστορεῖ φουρνίκιον ἄρτον, καθὰ τοῦ κλιβάνου τὸν κλιβανίκιον.] (v. 793—7) Τὴν δὲ κυνέην πλείονος ἠξίωσε λόγου Ὅμηρος, οὕτω δόξαν αὐτῷ διὰ τὴν τοῦ θείου φίλου Πηλείδου κεφαλήν. διὸ καὶ φιλοτιμεῖται τὴν ἐπ' αὐτῇ φράσιν, αὐλῶπιν καὶ αὐτὴν εἰπὼν τρυφάλειαν καὶ ἱππόκομον πήληκα καὶ ἀμίαντόν ποτε τὰς περὶ τὸν λόφον ἐθείρας καὶ οἵαν μὴ θεμιτὴν εἶναι γῇ πελάζειν. Ἔνθα ὅρα ὅτι καὶ ἐπὶ ἵππου ἔθειρα καὶ κόμη λέγεται, καὶ ὅτι τὸ μιαίνεσθαι κονίῃσι δὶς ἔφη ταὐτολογήσας, καὶ ὅτι διαφόρως κονίην ἑνικῶς καὶ κονίας πληθυντικῶς πολλαχοῦ φησι, καὶ ὅτι τὸ «οὐ θέμις» ἢ ἀντὶ τοῦ οὐ δυνατόν, καθὰ καὶ ἀλλαχοῦ ἡρμήνευται, ἢ ἀντὶ τοῦ ἀθέμιτον. οὐ γὰρ ἁπλῶς ἀνδρὸς ἀλλ' ἀνδρὸς θείου ἐπύκαζε κεφαλήν. (v. 798) Τὸ δὲ «χαρίεν» δῆλον ὡς ἐπὶ ὀνόματος παροξύνεται, καθὰ δηλοῖ καὶ τὸ χαρίεν πρόσωπον, [καὶ παρὰ Ἀθηναίῳ τό· ἡ νάρκη χαρίεν βρῶμα γίνεται.], καὶ ἀπαιτεῖ τοῦτο ἡ ἀναλογία τοῦ τιμῆεν, φωνῆεν, αἰγλῆεν καὶ τῶν ὁμοίων. τὸ δὲ προπαροξυνόμενον Ἀττικόν ἐστιν, ἐπιρρηματικῶς προενεχθὲν καὶ ἀντὶ τοῦ χαριέντως νοηθὲν παρὰ τοῖς ὕστερον. ὁ δὲ λέγων χάριεν μέτωπον προπαροξυτόνως αἰσχύνει τὸ χαρίεν τῆς ἀναλογίας τῷ βαρβαρισμῷ. Ταὐτὸν δὲ χαρίεν εἰπεῖν καὶ καλόν. διὸ καὶ ἔφη «χαρίεν ᾔσχυνε πρόσωπον». ἀντιπίπτει γὰρ τῷ καλῷ καθὰ τὸ αἰσχρόν, οὕτω καὶ τὸ αἰσχύνειν. [Τὸ δὲ «ἀνδρὸς θείου κάρη ῥύετ' Ἀχιλλῆος» ἐκείνου ἔχεται τοῦ χωρίου, ἔνθα κεῖται τὸ «ῥύεται δὲ κάρη θαλερῶν αἰζηῶν».

3.936 ] (v. 802) Τὸ δὲ «βριθὺ μέγα στιβαρόν» οὐ κατὰ τὴν Πηλιάδα νοητέον μελίαν, ἣν οὐδεὶς ἕτερος ἠδύνατο πῆλαι, ἀλλ' ὡς ἐνεχώρει τοιοῦτον εἶναι τὸ κατὰ τοὺς λοιποὺς ἥρωας δόρυ. Τὸ δὲ κεκορυθμένον, περὶ οὗ πολλαχοῦ δηλοῦται, νῦν μὲν ἐλλιπές, τὸ δὲ πλῆρες ἐν τῷ «κεκορυθμένον χαλκῷ» ἢ «αἴθοπι χαλκῷ». (v. 803) Τερμιόεσσα δὲ καὶ νῦν ἀσπὶς ἡ ἐν ἄλλοις

ποδηνεκής. (v. 804) Λύεται δὲ θώραξ τῆς ζώνης πάντως ἀφαιρεθείσης, ὅπερ ἐνταῦθα σεσίγηται ὡς μὴ ἀναγκαῖον ἐκφωνηθῆναι. ἀστεῖον δὲ τὸ εἰπεῖν ὡς λυθέντος τοῦ θώρακος λύθεν ὑπὸ φαίδιμα γυῖα τῷ Πατρόκλῳ. (v. 806) Τὸ δὲ «ὄπιθεν» ἀπέλευσιν καὶ νῦν ἔπαθε τοῦ ς δι’ ἀνάγκην μέτρου. Τὸ δὲ «στῆ δὲ ταφών» ἐνταῦθα μάλιστα καιρίως εἴρηται. (v. 807 s.) Σημείωσαι δὲ τὸ «σχεδόθεν βάλεν» Εὔφορβος. οὐ γὰρ οὔτασε κατὰ τὴν δύναμιν τοῦ σχεδόθεν, ἐφῆκε δέ, φησί, βέλος οἷα ὑποδεδιώς. διὸ καὶ ἀναχωρεῖ. οὐ μὴν οὐδ’ ἁπλῶς ἔβαλε πόρρωθεν, ἀλλὰ σχεδόθεν. οὐ γὰρ πάνυ λίαν ἐδειλία τὸν γυμνόν. οὕτω δὲ καὶ Ἕκτωρ ἀγχίμολον ἐλθὼν οὔτασε καὶ σχεδὸν ἔγχεϊ θυμὸν ἀπηύρα. τί γὰρ ἂν καὶ ἔδεισεν εἰς τὸ πᾶν τὸν καὶ ἀφωπλισμένον καὶ ἤδη φεύγοντα; διὸ καὶ ὠτειλὴν ἐρεῖ τὸ ἐκεῖθεν ἕλκος. Ἐν οἷς ὅρα καὶ ὅτι ταὐτὸν τὸ σχεδόθεν καὶ τὸ ἀγχίμολον. Ὁ δὲ Δάρδανος ἀνήρ πρὸς διαστολὴν Τρωϊκοῦ κεῖται, εἴπερ οἱ Ἰλιεῖς εἰς Τρῶας καὶ Δαρδάνους διῄρηνται. Τὸ δὲ Πανθοΐδης διασαφητικόν ἐστι τοῦ Δάρδανος ἀνήρ, ἵνα μὴ ἄδηλος εἴη καὶ αὐτὸς κατὰ τὸν ἐν τῇ Βοιωτίᾳ ἐκεῖνον Δάρδανον ἄνδρα, περὶ οὗ ἀμφιβολία ἐκεῖ πολλή. Γίνεται δὲ ὁ Πανθοΐδης ἐκ τοῦ Πάνθοος. ὡς ἐκ τοῦ Βοηθόος ὁ ἐν Ὀδυσσείᾳ Βοηθοΐδης Ἐτεωνεύς. Ἐν δὲ τῷ «ἡλικίην ἐκέκαστο» πρόθεσις λείπει, ἵνα ᾖ, ὅτι κατὰ τοὺς ὁμήλικας ἢ περὶ τοὺς ὁμήλικας ἦν τοιόσδε ὁ Εὔφορβος. (v. 810) Τὸ δὲ «βῆσεν ἀφ’ ἵππων» ἢ ἀντὶ τοῦ ἀνελών κατέρριψεν ἢ ἀντὶ ἐκ τῶν ὀχημάτων ἀνέτρεψε. Σύνηθες γάρ, φασί, τοῖς ἀρχαίοις ἁρματομαχεῖν ἐσφαιρωμένοις χρωμένους δόρασιν. Ὅτι δὲ ὁ τοῦ Εὐφόρβου ἔπαινος αὔξει τὴν τοῦ Πατρόκλου ἀρετήν, εἴγε ὑπὸ τοιούτου βέβληται, καὶ πρὸ βραχέων ὑπεδηλώθη. (v. 811) Ὅρα δὲ καὶ ὅτι γενικῇ συνέταξε τὸ διδάσκεσθαι, εἰπὼν «διδασκόμενος πολέμοιο», ἀσυνήθως τοῖς πολλοῖς, ὁποῖόν τι καὶ τὸ «ἐπειγόμενός περ ὁδοῖο».

3.937 γίνεται δὲ ἡ τοιαύτη σύνταξις ἢ κατ’ ἔλλειψιν, ἵνα ᾖ διδασκόμενος περὶ πολέμου, ὥσπερ καὶ ἐπειγόμενος ἐπὶ ὁδοῦ, ἢ καὶ ἄλλως, καθ’ ὁμοιότητα τοῦ εἰδώς. ὡς γὰρ ἐκεῖνο γενικὴν ἔχει σύνταξιν, ὅτε ληφθῇ ἀντὶ τοῦ εἴδησιν ἔχων, οὕτω καὶ τὸ διδασκόμενος συντάσσοιτο ἂν γενικῇ ἀναλυθὲν εἰς τὸ διδασκαλίαν ἔχων. [(v. 808) Ἰστέον δὲ ὅτι Εὔφορβος ἀναπτυσσόμενος ἐτυμολογικῶς εἴη ἂν εὐτραφής, ἵνα διαστέλλοιτο τοῦ ἰσχνοῦ καί, Ἀττικῶς εἰπεῖν, λίσπου. Δῆλον δ’ ὅτι ἐκ τοῦ φέρβω, τουτέστι τρέφω, ἐξ οὗ καὶ φορβὰς γυνὴ παρὰ Σοφοκλεῖ, φασίν, ἐν Φοίνικι, ἡ πολλοῖς προσομιλοῦσα τροφῆς χάριν, ἢ καὶ ὡς οἷον φορβάς, ἤγουν γῆ, κατὰ τὸ «φορβάδος ἔκ τε γᾶς ἑλεῖν». Τοῦτο δὲ διὰ τὸ χαμαὶ κεῖσθαι καὶ οὕτω σποδεῖσθαι κατὰ τὴν κωμῳδουμένην σποδησιλαῦραν, καθὸ καὶ χαμαιτύπη λέγεται. ἡ δὲ ῥηθεῖσα ἔννοια καὶ ἐργάτιν τὴν τοιαύτην ἐθέλει καλεῖσθαι γυναῖκα καὶ παχεῖαν δὲ διὰ τὸ πολύτροφον, ἤδη δὲ καὶ πανδοσίαν παρὰ Ἀνακρέοντι. ἀκόλουθον δὲ τῇ πανδοσίᾳ καὶ τὸ δῆμον αὐτὴν λέγεσθαι παρὰ Ἀρχιλόχῳ, καθὰ καὶ λεωφόρον, ὡς Ἀνακρέων. καὶ οὕτω μὲν ταῦτα.] (v. 812) Τὸ δὲ «ἐφῆκε βέλος» διαφοράν τινα ἔχειν δοκεῖ πρὸς τὸ ἀφῆκε, καὶ συντελεῖ τι πρὸς τὸ «σχεδόθεν βάλεν». οἱονεὶ γάρ φησιν, ὡς οὐκ ἀφῆκε βέλος μακρόθεν, ἀλλ’ ἐφῆκεν, ἤτοι ἐνέβαλεν, ἐγγύθεν. (v. 813) Τὸ δὲ «αὖτις ἀνέδραμε, μίκτο δ’ ὁμίλῳ» ἶσόν ἐστιν εἰς νοῦν τῷ «ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο». μετ’ ὀλίγα δὲ καὶ ἂψ ἀναχάζεσθαι λέγει τὸ αὖτις ἀναδραμεῖν. ἐν τοῖς ἐφεξῆς δὲ σαφέστερον φράζων ἀναχωρῆσαι τοῦτό φησι. (v. 814) Τὸ δὲ «ἁρπάξας» δειλίαν καὶ αὐτὸ τοῦ Εὐφόρβου κατηγορεῖ. οὐ γὰρ ἁπλῶς ἐξέσπασε δόρυ ἐκ τοῦ Πατρόκλου, ἀλλ’ ἁρπάξας, μὴ καὶ πάθοι τι κακὸν ὑπὸ τοῦ γυμνοῦ. Τὸ δὲ «οὐδ’ ὑπέμεινεν» ἀντὶ τοῦ οὐκ ἐκαρτέρησεν, ὅπερ ἀνέμεινέ φασιν οἱ μεθ’ Ὅμηρον. ὅτι δὲ ἐκ τοῦ τοιούτου ὑπομένειν καὶ ἡ ὑσμίνη κατά τινας, ἤδη προγέγραπται. (v. 823—8) Ὅτι μὴ οἷός τε ὢν ὁ ποιητὴς ἐν τοῖς μεγάλοις ἀπέχεσθαι τοῦ παραβολικοῦ ὡς ἐν ποιήσει ἀρτύματος λέγει καὶ ἐνταῦθα οὕτως «ὡς δ’ ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χάρμῃ, ὥ τ’ ὄρεος κορυφῇσι μέγα φρονέοντε μάχεσθον πίδακος ἀμφ’ ὀλίγης, ἐθέλουσι δὲ πιέμεν ἄμφω, πολλὰ δέ τ’ ἀσθμαίνοντα λέων ἐδάμασσε βίηφι, ὣς πολέας πέφνοντα Πάτροκλον Ἕκτωρ ἔγχεϊ θυμὸν ἀπηύρα», ἤγουν ἀνεῖλε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3.938 (v. 825) Καὶ ὅρα τὸ «πίδακος ἀμφ' ὀλίγης». Ἐν γὰρ ἀφθόνως ῥέοντι ὕδατι οὐκ εἰκὸς αὐτοὺς εἰς μάχην ἐλθεῖν. ἐν δὲ βραχείᾳ πίδακι διὰ πολὺ δίψος ἀποθρασυνθείη ἂν κατὰ λέοντος ὁ σῦς, ἔνθα καὶ ὥσπερ ἆθλον πρόκειται τῷ νικήσαντι τὸ ποτόν. Ὥσπερ δὲ λέοντα καὶ σῦν ἡ παραβολὴ αὕτη συνήγαγε μάχεσθαι διὰ πολὺ δίψος, οὕτω πρὸ ταύτης δύο λέοντας τὸ πεινᾶν, ὡς καὶ προσεσημείωται. Νοητέον δὲ ὡς τῇ ὀλίγῃ παραβολικῇ πίδακι, περὶ ἧς τὰ ῥηθέντα θηρία μάχονται, ἀναλογοίη ἄν τι τὸ στενὸν καὶ οὕτω ὀλίγον τοῖν στρατοῖν μεταίχμιον. Ὅρα δὲ καὶ ὅτι τὸν μὲν σῦν, ᾧ παραβάλλει τὸν Πάτροκλον, ἐπιθέτῳ ἐκόσμησεν, ἀκάμαντα εἰπών, τὸν δὲ λέοντα δίχα ἐπιθέτου προήγαγεν, οὐ θέλων καὶ αὐτὸν σεμνῦναι διὰ τὸ ἐπὶ τῷ Πατρόκλῳ πάθος. (v. 824) Τὸ δὲ μέγα φρονεῖν ἀμφοῖν ἐκοινώσατο. (v. 823) Τὸ δὲ «ἐβιήσατο» καὶ ἐπὶ ὄνου τέθειται παρὰ τῷ ποιητῇ. [Δῆλον δ' ὅτι τὸ βιῶ, οὗ μέλλων βιήσω καὶ μέσος ἀόριστος τὸ βιήσατο, πρωτότυπόν ἐστι τοῦ βιάζω, οἷον «βιάζετο γὰρ βελέεσσι». μυρία δὲ ἄλλα τοιαῦτα.] Ὅτι ὡς ἐν ἠθοποιΐας λόγῳ πλάττει ὁ ποιητὴς τὸν Ἕκτορα λέγοντά τινα ἐπὶ τῷ Πατρόκλῳ κειμένῳ, ἐμβριθῶς μέντοι. καὶ οὐδέν τι σαρκαστικὸν ὅλως ἢ ἀστεῖον ὁ ἥρως λαλεῖ καὶ οἷον γαργαλίσαι καὶ διαχέαι ἀκροατήν, ὡς εἶχον ἄλλαι τινὲς πρὸ ταύτης ἠθοποιΐαι Ὁμηρικαί. (v. 830—42) Εἰσὶ δὲ ἃ λέγει τοιαῦτά τινα «Πάτροκλε, ἦ που ἔφησθα πόλιν κεραϊζέμεν ἀμήν», ὅ ἐστιν ἡμετέραν, «Τρωϊάδας δὲ γυναῖκας ἐλεύθερον ἦμαρ ἀπούρας», ὅ ἐστι δουλώσας, ἄξειν οἴκαδε. «νήπιε, τάων δὲ πρόσθεν Ἕκτορος ὠκέες ἵπποι ποσσὶν ὀρωρέχαται πολεμίζειν», ὅπερ ἐστὶ περίφρασις τοῦ αὐτῶν δὲ ὁ Ἕκτωρ προμάχεται. «ἔγχεϊ δ' αὐτὸς Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅς σφιν ἀμύνω ἦμαρ ἀναγκαῖον· σὲ δέ τ' ἐνθάδε γῦπες ἔδωνται. ἆ δεῖλ', οὐδέ τοι ἐσθλὸς ἐὼν χραίσμησεν Ἀχιλλεύς, ὅς πού τοι», ἤγουν ὃς ἴσως σοι, «μάλα πολλὰ μένων ἐπετέλλετο ἰόντι· μή μοι πρὶν ἰέναι, Πατρόκλεις ἱπποκέλευθε, νῆας ἐπὶ γλαφυράς, πρὶν Ἕκτορος ἀνδροφόνοιο αἱματόεντα χιτῶνα περὶ στήθεσσι δαΐξαι.

3.939 ὥς πού σε προσέφη, σοὶ δὲ φρένας ἄφρονι πεῖθεν». ὃ καὶ εἰς παροιμίαν ἔπεσε. Καὶ ὅρα τὸ ἀστεῖον ἀντιθετικὸν παρήχημα τοῦ «φρένας ἄφρονι», καὶ ὅτι σαφῶς καὶ νῦν ἡρμήνευσε τὸ «νήπιε», καὶ ὅτι λεληθότως οὐδὲ τὸν Ἀχιλλέα ἔξω τοῦ τοιούτου σκώμματος τίθεται, εἰ τὸν φίλτατον ἀδυνάτοις ἐγχειρεῖν πείθει καθαπτόμενος ἐκείνου, καὶ ὅτι μένων αὐτὸς ἰέναι τῷ Πατρόκλῳ εἰς τοιοῦτον ἀργαλέον ἐπιτάττει πόλεμον καὶ θηρᾶν τὰ ἀμήχανα. Τεχνικὸν δὲ τοῦ Ἕκτορος καὶ τὸ ἠθοποιΐαν ἔκ τε τοῦ Πατρόκλου καὶ ἐκ τοῦ Ἀχιλλέως πορίσασθαι, διὸ καὶ τρὶς ἐνταῦθα κεῖται τὸ που διστακτικὸν ἐπίρρημα ἐν τῷ «ἦ που ἔφησθα», καὶ «ὅς πού σοι ἐπετέλλετο», καὶ «ὥς πού σε προσέφη». οὐ γὰρ εἰδὼς λέγει, ἀλλὰ στοχαζόμενος ὡς ἐν ἠθοποιΐαις. βραχεῖαι δὲ αὗται διὰ τὸ τοῦ καιροῦ κατεπεῖγον. δίστιχος μὲν γὰρ ἡ ἐκ τοῦ Πατρόκλου, εἶτα τριῶν ἐπῶν ἡ τοῦ Ἀχιλλέως. Πολὺ δὲ καὶ τὸ μεγαλόφρον ὁ Ἕκτωρ ἐμφαίνει τοῖς οἰκείοις ἐπαίνοις, ἐν οἷς περιαυτολογῶν ἀνεπαχθῶς καὶ συνήθως τῷ τε οἰκείῳ ἐναβρύνεται ὀνόματι ὡς περικλύτῳ, Ἕκτορος εἰπὼν ὠκέες ἵπποι ἀντὶ τοῦ ἐμοῦ, καὶ περιᾴδεσθαι δηλοῖ καὶ τοῖς ἐχθροῖς ἐπὶ ἀνδρίᾳ, ὥστε καὶ τὸν Ἀχιλλέα οὐ Πριαμίδην ἤ τι τοιοῦτον ἀλλ' ἀνδροφόνον ἐπονομάζειν αὐτόν. καὶ νῦν μὲν οὕτω μέγα φρονεῖ. ἔσσεται δὲ ἦμαρ ἐν τοῖς ἑξῆς, ὅτε ταπεινότερα φθέγξεται. Σημείωσαι δὲ καὶ ὡς πάνυ δεξιῶς κἀνταῦθα τῷ ἀκροατῇ μνήμην τοῦ φίλου Ἀχιλλέως ὁ ποιητὴς ἀνεκίνησε, μεμφομένῳ που τὸν Ἕκτορα, εἰ πλαγίως ἐθέλει καταφέρεσθαι τοῦ καλοῦ Ἀχιλλέως, ἐσθλὸν μὲν ἐκεῖνον εἶναι εἰπών, μένειν δὲ ὅμως οἷα ὀκνοῦντα τὴν μάχην. (v. 830) Κεραΐζειν δὲ ὅτι τὸ ἁπλῶς φθείρειν καὶ ἀφανίζειν, ἱκανῶς προδεδήλωται. (v. 832) Τὸ δὲ ἄξειν γυναῖκας ἐπὶ αἰχμαλωσίᾳ κεῖται, ὅθεν καὶ ἡ ἀπαγωγὴ παρὰ τοῖς ὕστερον, [ἔτι δὲ καὶ τὸ ναυτικὸν ἀγώγιμον, οὗπερ ἐνδεικτικόν ἐστι τὸ ἄξειν ἐν νήεσσι γυναῖκας.] Τὸ δὲ «νήπιε», ὥσπερ καὶ τὸ «σοὶ δὲ ἄφρονι» στρυφνὸν καὶ αὐτὰ τὸ τοῦ Ἕκτορος ἦθος χαρακτηρίζει καὶ οὐκ εὐδιάχυτον. σκώπτει γὰρ ἐν τούτοις τὸν κείμενον, οὐ

μόνον ὡς ἀδύνατα ἠλπικότα, ἀλλὰ καὶ ὅτι ἔμαθεν ἐκεῖνον πρὸ μικροῦ ἐν μέσῃ τῇ μάχῃ κερτομοῦντα καὶ ἀστεϊζομενόν.

3.940 (v. 834) Τὸ δὲ «ὀρωρέχαται» Ἰωνικῶς φρασθὲν οὐκ ἄλλως ἢ διὰ τοῦ ἐτανύσθησαν ἑρμηνεύεται, ὅπερ οὐ πρὸ πολλῶν ἐφάνη ἐπὶ ἵππων συντόνως τρεχόντων λεγόμενον. δῆλον δὲ ὅτι τὸ ποσὶν ὀρέγεσθαι πρὸς διαστολὴν λέγεται τοῦ χερσίν, ὅθεν καὶ μελία ὀρεκτή. Τὸ δὲ πολεμίζειν καὶ πολεμιστὰς ἵππους ὀνομάζει πρὸς διαστολὴν τῶν ἢ φευγόντων ἢ ἄλλως ἐναγωνίων. (v. 836) Ἦμαρ δὲ ἀναγκαῖον τὸ τῆς ἁλώσεως καὶ δουλώσεως, ἐν ᾧ τις ἀνάγκην πάσχει, ὅθεν καὶ παρὰ Σοφοκλεῖ ἀναγκαία τύχη ἡ δουλική, καθ’ ἣν οὐ ζῇ τις, ὡς βούλεται, [ἀλλὰ δουλικῶς. διὸ καὶ ἀντετέθη τὸ ἐλεύθερον ἦμαρ καὶ τὸ ἦμαρ ἀναγκαῖον.] (v. 837) Τὸ δὲ «ἆ δειλέ» καὶ ἐν ἄλλοις ῥηθὲν προδιασεσάφηται. Ὅτι ἡρωϊκὸν καὶ ἀξιομίμητον τὸ τοῦ Πατρόκλου ἦθος. καὶ πνέων γὰρ τὸ λοίσθιον καὶ κατὰ τὸν ποιητὴν ὀλιγοδρανέων, ἀλλὰ καὶ οὕτως, εἰ καὶ νήπιος ὑπὸ Ἕκτορος προσερρέθη καὶ ἄφρων, μεστός ἐστιν ὅμως φρονήματος, καὶ λόγοις ἐρεθίζει τὸν Ἕκτορα, καταβάλλων αὐτοῦ τὸ ἔργον ὡς εἰκῇ μεγάλα εὐχομένου. (v. 844—6) Φησὶ γάρ, ἃ δὴ κατὰ ἀλαζόνος μαχητοῦ παρῳδηθήσονται «ἤδη νῦν, Ἕκτορ, μεγάλ’ εὔχεο· σοὶ γὰρ ἔδωκε νίκην Ζεὺς καὶ Ἀπόλλων, οἵ μ’ ἐδάμασσαν ῥηϊδίως. αὐτοὶ γὰρ ἀπ’ ὤμων τεύχε’ ἕλοντο». (v. 847 s.) Εἶτα καὶ νίκης ἀντιποιεῖται, εἰπὼν ἐκεῖνο δὴ τὸ ὑπερβάλλον «τοιοῦτοι δ’ εἴ πέρ μοι ἐείκοσιν ἀντεβόλησαν, πάντες ἂν αὐτόθι ὤλοντο ἐμῷ ὑπὸ δουρὶ δαμέντες». Προσερεθίζει δὲ καὶ εἰσέτι πολλοστὸν αὐτὸν εἰπὼν ἐν τοῖς τὸν Πάτροκλον ῥίψασιν. (v. 849 s.) Ἐπάγει γὰρ «ἀλλά με μοῖρ’ ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱός, ἀνδρῶν δ’ Εὔφορβος· σὺ δέ με τρίτος», ὡς καὶ προερρέθη, «ἐξεναρίζεις». (v. 851—4) Εἶτα προλέγει καὶ αὐτὸς ἐν Ὁμηρικῷ προαναφωνήσεως σχήματι κατὰ τὸ «σχεδόθεν δέ οἱ ἦεν ὄλεθρος», «ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῇσιν· οὔ θην οὐδ’ αὐτὸς δηρὸν βέῃ», τουτέστιν, οὐ δὴ οὐδὲ σὺ ἐπὶ πολὺ ζήσεις, βιώσῃ, «ἀλλά τοι ἤδη ἄγχι παρέστηκε θάνατος καὶ μοῖρα κραταιὴ χερσὶ δαμέντι Ἀχιλλῆος», ὃν καὶ πρὸς αὐτῷ τῷ ἐκπνεῦσαι γεγονὼς σεμνύνει ἀμύμονα εἰπών. Ἔστι δὲ δόγμα παλαιὸν ὡς ὅτι ἀπαλλασσομένη σώματος ἡ ψυχὴ καὶ θείᾳ φύσει ἐγγίζουσα ἔχει τι μαντικῆς. Ἀρτέμωνα δέ φασι τὸν Μιλήσιον λέγειν ἐν τῷ Περὶ ὀνείρων, ὡς, ὅτε ἀθροισθῇ ἡ ψυχὴ ἐξ ὅλου τοῦ σώματος πρὸς τὸ ἐκκριθῆναι, μαντικωτάτη γίνεται, καὶ Πλάτων δὲ ἐν Ἀπολογίᾳ Σωκράτους φησὶν «ἐνταῦθα γέγονεν, ἐν ᾧ μάλιστα ἄνθρωποι χρησμῳδοῦσιν, ὅταν μέλλωσιν ἀποθανεῖσθαι».

3.941 (v. 849 s.) Ἰστέον δὲ ὅτι μοίρας μὲν καὶ Φοίβου εἰς ἕν[, ὡς εἰκός,] ληφθέντων κατὰ πολυωνυμίαν τινὰ τρίτος Ἕκτωρ ἐναρίζει τὸν Πάτροκλον. Ἄλλως δέ γε ἰδίᾳ νοηθείσης μοίρας, ἰδίᾳ δὲ Φοίβου, πολλοστός, ὡς ἐρρέθη, καὶ οὐ κυρίως τρίτος ἐναρίζει τὸν κείμενον. Πρόδηλον δὲ ὅτι μυριαχοῦ οἷά τις εἱμαρμένη καὶ ὁ Φοῖβος λαμβάνεται, καθὰ καὶ ὁ Ζεύς. διὸ καὶ Πάτροκλος φθάσας εἰπεῖν, ὅτι Ζεύς με καὶ Φοῖβος ἐδάμασεν, εἶτα ὡς ταὐτὸν λέγων ἔφη «ἀλλά με μοῖρα καὶ Λητοῦς ἔκτανεν υἱός». Περὶ δὲ τῆς ἐπὶ φόνῳ τῶν εἴκοσιν ἀνδρῶν ἀγερωχίας τοῦ Πατρόκλου, εἴπερ ἦσαν ἐκεῖνοι κατὰ τὸν Ἕκτορα, τὸ μὲν ἤδη ῥηθὲν κείσθω. Ἔστι δὲ εἰπεῖν καὶ ὅτι ἄτης ἑλούσης, ὡς ἐρρέθη, αὐτοῦ τὰς φρένας τοῦτο ἔφη, τυχὸν δὲ καὶ βαρυνθείς, ἐφ’ οἷς ὁ Ἕκτωρ τὸν Ἀχιλλέα ὕβρισε. (v. 852) Τὸ δὲ «βέῃ» ποιητικὴ λέξις ἀσυνήθης ἐκ τοῦ βέω βῶ θέματος, ἐξ οὗ ἴσως κατὰ πλεονασμὸν γίνεται τὸ βιῶ, ὡς μειδῶ μειδιῶ, [ἔτι δὲ καὶ κατηφῶ κατηφιῶ, ὧν αἱ χρήσεις πρόδηλοι. οὕτω δὲ καὶ ἐκ τοῦ λῶ, τὸ θέλω, οὗ δεύτερον λᾷς καὶ λῇς, ὡς τὸ «αἰ δὲ λῇς, αὐγάσδεο», ἐπενθέσει τοῦ ι γίνεται λιῶ, ἀφ’ οὗ λελιημένος ὁ θέλων, ὅπερ ἐστὶν ἐπιθυμῶν.] Ἐκ δὲ τοῦ βέω γίνεται [καὶ] τὸ βείω, οἷον «τέκνον ἐμόν, τί νυ βείομαι αἰνὰ παθοῦσα;» (v. 853) Τὸ δὲ «ἄγχι παρέστηκεν» ἐπίτασίς ἐστι τῆς τοῦ θανάτου ἐγγύτητος. ἤρκει μὲν γὰρ καὶ τὸ παρέστηκεν, ἐπετάθη δὲ μᾶλλον διὰ τοῦ ἄγχι. (v. 856 s.) Ὅτι τὸ «ψυχὴ δ’ ἐκ ῥεθέων πταμένη Ἄϊδόσδε βεβήκει, ὃν πότμον γοόωσα, λιποῦσ’ ἀνδροτῆτα καὶ ἥβην» ἐστὶ μὲν

ὅμοιον τῷ «ὦκα δὲ θυμὸς ᾤχετ᾽ ἀπὸ μελέων», ἐν τοῖς μετὰ ταῦτα δὲ καὶ ἐπὶ Ἕκτορι θανόντι ἀπαρῳδήτως ῥηθήσεται.

3.942 Ἔτι δὲ ὡς ἐνταῦθα ὁ Ἕκτωρ τὸν Πάτροκλον, οὕτω καὶ ὁ Ἀχιλλεὺς ἐκεῖ τὸν Ἕκτορα καὶ τεθνειῶτα προσαυδᾷ οἷα θέλει. (v. 859—61) Λέγει δὲ νῦν ὁ Ἕκτωρ τὴν ἀγαθὴν ἐλπίδα προβεβλημένος οὕτω «Πατρόκλεις, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον; τίς δ᾽ οἶδ᾽ εἴ κ᾽ Ἀχιλλεὺς φθήῃ», ἤγουν φθαίῃ ὁμοίως τῷ σταίῃ στήῃ, βαίῃ βήῃ, «ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσαι;» Καὶ ὅρα ὡς οὐκ ἀποφαινόμενος λέγει ἀναφανδὸν κρείττων εἶναι τοῦ Ἀχιλλέως. τὸ γὰρ «τίς οἶδεν» ἐνδοιάζοντός ἐστι [καὶ νῦν] κατ᾽ ἐρώτησιν. οὐ ταὐτὸν δὲ ἐρωτῆσαι καὶ ἀποφήνασθαι. ἔτι δὲ καὶ τὸ «φθαίῃ δουρὶ τυπείς» οὐκ ἀνδρίας δήλωσις ἀλλὰ προβολῆς δόρατος. (v. 856) Ἰστέον δὲ ὅτι ῥέθεα οἱ μὲν ἄλλοι τὰ μέλη φασί, Αἰολεῖς δὲ μόνοι κατὰ τοὺς παλαιοὺς τὸ πρόσωπον ῥέθος καλοῦσιν, ἐπεὶ δι᾽ αὐτοῦ ῥέα, ἤγουν εὐκόλως, ἦθος διαφαίνεται. ὅθεν καὶ παρ᾽ Ὁμήρῳ τὸ «ψυχὴ δὲ ἐκ ῥεθέων πταμένη» τινὲς μὲν ἀντὶ τοῦ ἐκ μελῶν νοοῦσι. πνευματοποιὸς γάρ, φασίν, ἡ ψυχὴ οὖσα κατὰ πᾶν οἰκεῖ τὸ σῶμα. ἕτεροι δὲ ῥέθος νοοῦντες τὸ πρόσωπον ὕστατόν φασιν ἐντεῦθεν τὸ πνεῦμα ἀναχωρεῖν. (v. 857) Εἰς δὲ τὸ «ὃν πότμον γοόωσα» καὶ ἑξῆς, φασὶν οἱ παλαιοὶ λυπεῖσθαι αὐτὴν ὡς ἀκμάζον ἀφιεῖσαν σῶμα καὶ δεδοικυῖαν μὴ μεταγγισθεῖσα, ὡς καὶ Πυθαγόρᾳ δοκεῖ, περιπέσῃ ἀναξίῳ σώματι. Φασὶ δὲ καὶ τὴν ἀνδροτῆτα φύσιν ἀνδρὸς καὶ ἀνθρωπότητα. τὴν γὰρ ἀνδρίαν, φασί, σύμφυτον καὶ ἰδίαν οὖσαν ἀρετήν, οὐκ ἄν ποτε καταλείψειε. συγκαλεῖ δέ, φασίν, ὁ λόγος καὶ πρὸς ἀρετὴν δοξάζων, ὡς τὰ γενναῖα τῶν σωμάτων καὶ ἡ ψυχὴ καταλείπουσα θρηνεῖ. Οἷον δὲ [στιχηρὸν] πάθος ἡ ἀνδροτὴς ἐνταῦθα ποιεῖ, δεδήλωται ἀλλαχοῦ. νῦν δὲ τοσοῦτον ἰστέον ὡς ἡ ἀνδροτὴς ἀμφίμακρος οὖσα οὐκ ἄν ποτε ἀπαθῆ στίχον δακτυλικὸν εἶναι ἀφήσει, ὅπου παρεμπέσῃ. (v. 861) Τὸ δὲ «δουρὶ τυπείς» ἔχει τι καὶ ἀγέρωχον. οὐ γὰρ πόρρωθεν βαλεῖν τὸν Ἀχιλλέα λέγει, ἀλλ᾽ οὕτως ἀποθαρρῆσαι κατ᾽ ἐκείνου, ὡς καὶ πελάσαι καὶ αὐτοσχεδὸν αὐτὸν τύψαι. [Πάντως δὲ ἀντιπτωτικῶς ἐρρέθη τὸ «ἐμῷ ὑπὸ δουρὶ τυπείς» ἀντὶ τοῦ ὑπὸ τοῦ ἐμοῦ δόρατος.] (v. 862—7) Ὅτι ἐπεὶ Ἕκτωρ δόρυ χάλκεον ἐξ ὠτειλῆς, τῆς τοῦ Πατρόκλου, «εἴρυσε λὰξ προσβάς, τὸν δ᾽ ὕπτιον ὦσεν ἀπὸ δουρός, αὐτίκα ξὺν δουρὶ ἐπ᾽ Αὐτομέδοντα» ἢ μετ᾽ Αὐτομέδοντα «βεβήκει ἀντίθεον» Ἀχιλλέως «θεράποντα ἱέμενος βαλεῖν».

3.943 οὐ γὰρ ἐθέλει ἀναβαλέσθαι τὸ ἔργον, στρατηγικῶς καὶ τοῦτο ποιῶν. «τὸν δ᾽ ἔκφερον ὠκέες ἵπποι», περὶ ὧν καὶ ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται, «ἄμβροτοι, οὕς», φησί, «Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα». ὥστε οὐκ ἀθάνατοι μόνον, ὡς καὶ προεγράφη, οἱ τοῦ Ἀχιλλέως ἵπποι, ἀλλὰ καὶ θεόσδοτοι. Μῦθος γὰρ ἦν, ὡς ἐν τοῖς Πηλέως καὶ Θέτιδος γάμοις Ποσειδῶν μὲν ἵππους δέδωκε τῷ Πηλεῖ, Ἥφαιστος δὲ ὅπλα καὶ ξίφος, Νηρεὺς δὲ τὸν προγεγραμμένον ἅλα, καὶ ἄλλος ἄλλο τι. Ὅρα δὲ ὅτι κατὰ μέθοδον οἰκείαν ὁ ποιητὴς καὶ τὰ περὶ τῶν ἵππων τοῦ Ἀχιλλέως διαφόροις τόποις ἐπεμέρισεν, ἀλλαχοῦ μὲν γενεαλογήσας, ἐνταῦθα δὲ εἰπὼν καὶ πόθεν οἱ θεῖοι οὗτοι ἦλθον εἰς ἄνθρωπον. (v. 865) Ἀντίθεον δὲ θεράποντα Αἰακίδου τὸν Αὐτομέδοντα καλεῖ, ὡς ἤδη αὐτὸν τῷ Ἀχιλλεῖ ἀντὶ τοῦ Πατρόκλου συστήσων ἡνίοχον. [Οὐκοῦν ὥσπερ οὐδὲ ὁ Πάτροκλος, οὕτως οὐδ᾽ ὁ Αὐτομέδων δουλικῷ νοήματι θεράπων Ἀχιλλέως λέγοιτ᾽ ἄν, εἰ καὶ Κρῆτες οὕτω χρῶνται τῇ τοῦ θεράποντος λέξει κατὰ τοὺς Γλωσσογράφους, οἳ πολλὰ περὶ τοιούτων εἰπόντες ὀνομάτων, ὥς που καὶ προδεδήλωται μερικῶς, ἐν οἷς καὶ οἱ παρὰ Λάκωσιν Εἵλωτες παρὰ τὸ Ἕλος, καὶ οἱ κλαρῶται καὶ οἱ ἀμφαμιῶται καὶ οἱ λάτρις οἱ καὶ μενέσται, ὕστερον δὲ πενέσται, ὡς Εὐριπίδης «λάτρις πενέστης ἁμὸς ἀρχαίων δόμων», λέγουσι καὶ ὅτι Θετταλοὶ μὲν πενέστας φασὶ τοὺς μὴ γόνῳ δούλους, πολέμῳ δ᾽ ἡλωκότας, τοὺς δ᾽ αὐτοὺς καὶ Θετταλοικέτας. Κωμικὸς δέ τις ἐπὶ τοῦ ἁπλῶς δούλου τοὺς πενέστας τίθησιν. Ἔτι δέ φασι κατὰ τὴν τοῦ Δειπνοσοφιστοῦ ἱστορίαν, ὅτι καὶ Μαριανδυνοὶ ἐκαλοῦντο δωροφόροι «ὑποφρίσσοντες ἄνακτας», ἀφαιρούντων τῶν δεσποτῶν τὸ πικρὸν τῆς τῶν Σπαρτιατικῶν Εἱλώτων προσηγορίας, ἤγουν

εὐφημότερον ἀντὶ δούλων δωροφόρους καλούντων τοὺς τοιούτους Μαριανδυνούς, ἐπεί, φασίν, ὑπετέλεσαν Ἡρακλεώταις διὰ τέλους ὑποσχόμενοι θητεύειν αὐτοῖς παρέχουσι τὰ δέοντα.

3.944 Ὡς δὲ καὶ ἄζους ἔλεγον τὰς θεραπαίνας καὶ τοὺς θεράποντας, ἔτι δὲ χαλκίδας Λακωνικῶς τὰς θεραπαίνας καὶ ἀποφράσην καὶ βολίζην τὴν δούλην, καὶ ἀμφίπολον μὲν τὴν περὶ τὴν δέσποιναν θεράπαιναν, πρόπολον δὲ τὴν προπορευομένην, ἧς καὶ ἄρρεν ἐστὶν ὁ πρόπολος, ἐκ τῶν παλαιῶν ἀνείλεκται καὶ αὐτά. Ὥσπερ καὶ τὸ τοὺς Ἀρκάδας ἔχειν τριάκοντα προσπελατῶν μυριάδας ὥσπερ Εἱλώτων, καὶ τὸ τοὺς Κᾶρας δούλοις χρήσασθαι τοῖς Λέλεξι, καὶ τὸ τοὺς Βυζαντίους οὕτω δεσπόσαι τῶν Βιθυνῶν ὡς οἱ Λάκωνες Εἱλώτων.] ΕΚ ΤΗΣ ΡΩ Ὅτι ἀριστεία Μενελάου λέγεται ἡ τοῦ ῥῶ ῥαψῳδία κατὰ τὸ πεζόν.

4.1.(t) ἡ δὲ ἡρωῒς ἐπιγραφὴ αὕτη· Ῥῶ, Δαναοὶ Τρῶές τε νέκυν πέρι χεῖρας ἔμισγον. (v. 1- 2) Ὁμοιοσχήμων δὲ τῇ ξῖ καὶ ἡ ἐνταῦθα ἀρχή. ἐκεῖ μὲν γὰρ εἶπε «Νέστορα δ’ οὐκ ἔλαθεν ἰαχή.» ἐνταῦθα δέ φησιν «οὐδ’ ἔλαθ’ Ἀτρέος υἱόν, ἀρηΐφιλον Μενέλαον, Πάτροκλος Τρώεσσι δαμεὶς ἐν δηϊοτῆτι». Ἐν οἷς ἔστιν ἰδεῖν ὡς οὐ μεθήμων ὁ Μενέλαος οὐδὲ μαλθακὸς ἐν τοῖς καιρίοις. (v. 4—5) Διὸ καὶ δεινοπαθήσας ἀμφὶ αὐτῷ βαῖνεν «ὥς τις περὶ πόρτακι μήτηρ, πρωτοτόκος, κινυρή, οὐ πρὶν εἰδυῖα τόκοιο». καὶ ἀναθερμανθεὶς εἰς ἀνδρίαν ἀναιρεῖ τὸν Δάρδανον Φόρβαντα, Πολυδάμαντος ἀδελφόν, ὃς πρῶτος τῷ Πατρόκλῳ βέλος, ὡς προεγράφη, ἐφῆκε. περὶ Πατρόκλῳ δὲ βαίνει πρὸ τῶν ἄλλων οὐ μόνον ὡς ἐνηῆ φιλῶν ἐκεῖνον τοιοῦτος ὢν καὶ αὐτός, ἀλλὰ καὶ ἐπειδὴ χάριν τῆς αὐτοῦ κεῖται τιμῆς ἐκεῖνος, ὡς καὶ αὐτὸς ἐρεῖ προϊών, ἔτι δὲ καὶ διότι κατὰ τὸν τῆς Ὁμηρικῆς Ἀθηνᾶς λόγον τῷ Μενελάῳ κατηφείη καὶ ὄνειδος ἔσσεται, ἐὰν ὁ τοῦ Πατρόκλου ὑβρισθείη νεκρός. Σημείωσαι δὲ ὅτι καὶ ἐνταῦθα περιβαίνειν καὶ ἀμφιβαίνειν τὸ σκέπειν καὶ βοηθεῖν κειμένῳ τινί, καὶ ὅτι τοῦ ἀμφιβαίνειν αἰτιατικῇ συντασσομένου, οἷον «ὃς Χρύσην ἀμφιβέβηκας» δοκεῖ μὲν ἐνταῦθα ἡ διάλυσις ἀλλοιοῦν τὴν σύνταξιν. φησὶ γὰρ «ἀμφὶ δ’ ἂρ αὐτῷ βαῖνε», καὶ «περὶ πόρτακι», καὶ «περὶ Πατρόκλῳ βαῖνε». πλὴν καὶ δίχα τῆς διαλύσεως μετ’ ὀλίγα φησὶ «Πατρόκλῳ περιβὰς τὸν ἄριστον ἔπεφνεν». Ἰστέον δὲ καὶ ὅτι οὐ μόνον μετὰ τοῦ βαίνειν ἡ ἀμφι καὶ ἡ περι δοτικῇ συντάσσεται, ἀλλὰ καὶ μετὰ τοῦ ἵστασθαι, οἷον «ἀμφὶ Μενοιτιάδῃ ἑστήκει», καὶ «ἔστασαν ἀμφὶ Μενοιτιάδῃ», καὶ «ἑσταότες περὶ Πατρόκλῳ». Ἔτι ἰστέον καὶ ὅτι ἐν τῷ «ἀρηΐφιλον Μενέλαον», ὃ καὶ μετ’ ὀλίγα κεῖται, καὶ εἴ που δὲ ἀλλαχοῦ ὁ ποιητὴς ἄνδρα Ἕλληνα καλεῖ ἀρηΐφιλον, τὸ τοῦ Ἄρεος μυθικῶς δηλοῖ ἀλλοπρόσαλλον.

4.2 πῶς γὰρ οὐκ ἀλλοπρόσαλλος ὁ μὴ μόνον Τρῶας ἀλλὰ Ἕλληνας φιλῶν; Ὅρα δὲ καὶ ὅτι οὐ βιαίῳ τινὶ ζῴῳ τὸν Μενέλαον εἴκασεν, ἀλλὰ συμπαθεῖ, πρὸς τὸν ἐνεστῶτα τοῦτο ποιήσας καιρόν, ἐν ᾧ οἰκτίσασθαι μόνον ἔδει, μήπω κρατερᾶς μάχης ἀρτυνθείσης. Διὸ οὔτε ταύρῳ παραβάλλει αὐτὸν οὐδὲ μὴν ὑπὸ θηρὸς πολεμουμένῃ βοΐ, πρωτοτόκῳ δὲ καὶ διὰ τοῦτο κινυρῇ, ὅ ἐστιν οἰκτροφώνῳ, διὰ τὸ πολὺ τῆς στοργῆς. αἱ γὰρ τοιαῦται συμπαθέστερον τοῖς μοσχαρίοις ἀμφιβαίνουσι. τὸν μέντοι Αἴαντα ἐν τοῖς ἑξῆς λέοντι παρεικάσει τῶν τέκνων ὑπερμαχομένῳ. καὶ αὐτὸν δὲ τοῦτον τὸν Μενέλαον μετ’ ὀλίγα λέοντι παραβαλεῖ, ὅτε τὸν Εὔφορβον ἀναιρεῖ ἀμφὶ τῷ Πατρόκλῳ βαίνων. Ὅτι δὲ πρᾷος ὁ Μενέλαος, δῆλον, ὅσγε καὶ τοῖς ἐχθροῖς ἦν συμπαθής. τὸν γοῦν Ἄδραστον ἐν τοῖς πρὸ τούτων ζωγρήσας περιεσώσατο ἄν, εἰ μὴ ὁ ἀδελφὸς βασιλεὺς ἐκώλυσεν. ὡς δὲ καὶ σπουδαῖός ἐστιν ἐν καιρῷ, ἐδήλωσε καὶ ἐν μονομαχίᾳ ἐκείνῃ ἐν ᾗ ὁ ἀδελφὸς αὐτὸν ἐπέσχε, καὶ προεξαναστὰς δὲ τοῦ ἀδελφοῦ ἐν τῇ νυκτεγερσίᾳ, καὶ ὅπου δὲ καταπονουμένου Ὀδυσσέως αὐτὸς αἰσθόμενος ἐπίκουρον ἄγει τὸν Αἴαντα. Οὐκ ἄδηλον δὲ οὐδ’ ὅτι ἡ δάμαλις, τὸ νεογνὸν τῆς βοὸς γέννημα, πόρις τε λέγεται, οἷον «ἄγραυλοι πόριες», παρὰ τὴν πορείαν. σκιρτητικὴ γὰρ ἡ δάμαλις, ἡ δ’ αὐτὴ καὶ πόρτις πλεονασμῷ τοῦ τ , ἀφ’ ἧς καὶ ἡ παρ’ Ἡσιόδῳ «ὑπόπορτις ἔριθος», οἷον «πόρτιος ἠὲ βοός», ἔτι δὲ καὶ πόρταξ ὑποκοριστικῶς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθ’ ὁμοιότητα τοῦ λεῖμαξ καὶ μεῖραξ καὶ μύλαξ καὶ λίθαξ καὶ πῖδαξ [καὶ σκύλαξ. Εἰ δέ τῳ μὴ δοκεῖ τὴν πόρτακα [καὶ τὸν μύλακα] καὶ τὴν λίθακα καὶ τὴν πίδακα καὶ τὴν σκύλακα ὑποκεκορίσθαι διὰ τὸ μηδὲ χαίρειν ὑποκορισμοῖς τὸν Ὅμηρον, οὗπερ ἡ πόρταξ καὶ τἄλλα, ὁ γοῦν μεῖραξ καὶ ἡ μεῖραξ καὶ ὁ λεῖμαξ ὑποκεκόρισται παρὰ τοῖς ὕστερον, μάλιστα δὲ ὁ πλούταξ, ὃ δὴ παράσιτός τις ἔφη παρὰ τῷ Δειπνοσοφιστῇ.] (v. 5) Εὔδηλον δὲ καὶ ὅτι πρωτότοκος μὲν προπαροξυτόνως ὁ πρῶτος τεχθείς, καὶ δηλοῖ πάθος ἡ λέξις, πρωτοτόκος δὲ κατὰ δρᾶσιν ἡ πρώτως τεκοῦσα.

4.3 ὅθεν καὶ ὁ ποιητὴς δηλῶν τὸ τῆς λέξεως, ὥς φασιν οἱ παλαιοί, δραστικὸν ἐπάγει «οὐ πρὶν εἰδυῖα τόκοιο», ἀλλὰ δηλαδὴ νῦν πρώτως τεκοῦσα, ὃ ταὐτόν ἐστι τῷ πρωτοτόκος. Κινυρὴ δὲ κυρίως ἐπὶ ἀνθρώπων, οἳ κινύραις χρώμενοι ἀοιδὰς ἐπὶ τοῖς κειμένοις ἔμελπον, ὃ καὶ κινύρεσθαι ἦν. Ὅρα δὲ καὶ τὸ «εἰδυῖα τόκοιο». λείποντος γὰρ τοῦ εὖ συνετάγη συνήθως τῷ ποιητῇ μετὰ γενικῆς. (v. 7—8) Ὅτι προμάχου ἀνδρείου ἔνδειξις τὸ «πρόσθεν δέ οἱ δόρυ τ’ ἔσχε καὶ ἀσπίδα, τὸν κτάμεναι μεμαώς, ὅς τις τοῦ γ’ ἀντίος ἔλθῃ». Περὶ Μενελάου δὲ ὁ λόγος τῷ ποιητῇ, ἐφ’ οὗ καιρίως πάνυ ἔχει τὸ μεμαώς, οὐ γὰρ ἐχέγγυος ἦν ἀνελεῖν τὸν ἀντίον ἐλθόντα, μεμαὼς μέντοι ἦν οἷα θαρσαλέος. διὸ καὶ μυίᾳ ἐν τοῖς ἑξῆς που εἰκάζεται διὰ τὸ ἄγαν ἐν μάχῃ πρόθυμον. (v. 9) Ὅτι ἐν τῷ «οὐδ’ ἄρα Πάνθου υἱὸς ἐϋμελίης ἀμέλησε Πατρόκλου» παρήχησίς ἐστι σώφρων τὸ «ἐϋμελίης ἀμέλησεν». ἄλλως δὲ καὶ ἀντιθετικόν τι ὁ λόγος ἔχει κατὰ τὴν ἐπίτασιν τοῦ εὖ ἐπιρρήματος καὶ τὴν κατὰ τὸ α στέρησιν. ἀστεῖον δὲ τὸ οὐκ ἠμέλησε. Μενέλαος μὲν γὰρ ὁ φίλος ἄλλως οὐκ ἀμελεῖ τοῦ κειμένου ὡς ἀμφιβαίνων, Εὔφορβος δὲ ὁ ἐχθρὸς οὐχ’ οὕτως, ἀλλ’ ἵνα σκυλεύσῃ. Σημείωσαι οὖν ὅτι τὸ μὴ ἀμελεῖν τινος οὐ μόνον φιλικοῦ ἤθους ὡς τὰ πολλά ἐστιν, ἀλλὰ καὶ ἑτεροίου, ἐπεὶ καὶ ὁ φίλος ἐπιμελεῖται παραμένειν τῷ φιλουμένῳ, καὶ ὁ ἐχθρὸς δὲ ὁμοίως ἐπιμελεῖται ποιῆσαι τὰ κατὰ τὸν μὴ φίλον. (v. 13) Ὅτι καὶ νῦν γοργῶς ἐν στίχῳ ἑνὶ κεῖνται τρεῖς ἔννοιαι «Μενέλαε χάζεο», «λεῖπε δὲ νεκρόν», «ἔα δ’ ἔναρα βροτόεντα». Εὔφορβος δὲ ταῦτά φησι λακωνίζων πρὸς Λάκωνα. (v. 16—7) Ὁ δ’ αὐτὸς κατ’ ἔννοιαν ἐκφοβητικὴν στρατιώτου ἀντιμάχου ἐπάγει τὸ «ἔα με κλέος ἐσθλὸν ἀρέσθαι, μή σε βάλω, ἀπὸ δὲ μελιηδέα θυμὸν ἕλωμαι». Κλέος δὲ ἐσθλὸν καὶ νῦν, ὡς καὶ ἐν Ὀδυσσείᾳ, ἡ εὔκλεια. Δῆλον δὲ ὡς ἡ δύσκλεια κλέος ἂν εἴη οὐκ ἐσθλόν, καὶ ὅτι κλέος ἀπολύτως ἡ φήμη, μέση λέξις οὖσα παρὰ τοῖς παλαιοῖς.

4.4 (v. 19) Ἰστέον δὲ ὅτι Εὐφόρβου ἐν τούτοις καυχησαμένου καὶ ἀπειλησαμένου ἐν τῷ «οὔ τις πρότερος ἀνδρῶν Πάτροκλον βάλε», καὶ «ἔα με κλέος ἐσθλὸν ἀρέσθαι, μή σε βάλω» καὶ ἑξῆς, Μενέλαος ἐνδιαθέτως λαλῶν μετὰ βαρύτητος ἀποτείνει πρότερον ἠθικῶς τὸν λόγον πρὸς Δία, λέγων οὕτω «Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι». τοῦτο δὲ γνωμικῶς εἴρηται, ὡς μὴ καλὸν ὂν αὐχεῖν τινα τὰ ὑπὲρ δύναμιν. Καὶ νῦν μὲν ἡ ποίησις γνωματεύουσα ἐν λόγῳ τὸ καλὸν ὑποτίθησιν, ἐν Ὀδυσσείᾳ δὲ τὸν Λοκρὸν πραγματικῶς κολάζει μεγάλα αὐδήσαντα. καὶ τοῦτο μὲν οὕτω. (v. 20—3) Τὸ δὲ ἐφεξῆς ἀποφατικῶς παραβάλλει κατὰ σχῆμα ὁποῖον ἐν τῇ ξ′ ῥαψῳδίᾳ ἐξέθετο. ἐκεῖ γὰρ εἰπὼν ἐν παραβολῇ ὡς οὔτε θαλάσσης κῦμα τόσον βοᾷ οὔτε πυρὸς τόσσος βρόμος οὔτ’ ἄνεμος τόσον ἠπύει, καὶ τὰ ἑξῆς, ἐνταῦθά φησιν «οὔτ’ οὖν πορδάλιος τόσσον μένος οὔτε λέοντος οὔτε συὸς κάπρου ὀλοόφρονος, οὗ τε μέγιστος θυμὸς ἐνὶ στήθεσι περὶ σθένεϊ βλεμεαίνει, ὅσσον Πάνθου υἷες ἐϋμμελίαι φρονέουσιν», ἢ φορέουσιν, ἤγουν φέρουσιν, ἔχουσι. Πολλὴν δὲ καὶ ἐνταῦθα ἐνάργειαν ὁ λόγος ἔχει τοῦ μέγα τὸ πρᾶγμα εἶναι, εἰ καὶ ἄλλως μικροπρεπέστερον τὸ λεχθὲν διὰ τὴν ἀπὸ ζῴων παραβολὴν καὶ οὐκ ἀπὸ σωμάτων ὡς εἰπεῖν στοιχειακῶν ὡς ἐν τῇ ξ′. διὸ καὶ ἐπέδραμε νῦν ἐν ὀλίγῳ φράσας. ἐκεῖ μὲν γὰρ δυσὶ στίχοις ἑκάστην τῶν τριῶν ὁμοιοτήτων περιγράψας ἐν ἓξ ἔπεσι τὸ πᾶν ἐποίησεν, ἐνταῦθα δὲ διὰ τὸ τῆς ὑποθέσεως οὐ μεγαλεῖον ἐν οὐδὲ ὅλοις δυσὶ στίχοις ἐξέθετο τὴν ὁμοίωσιν. (v. 21) Ἔνθα σημείωσαι ὅτι τε καλῶς ἐμνήσθη συὸς οὐ θηλείας ἀλλὰ κάπρου. αὐτὸς γὰρ μάλιστα καὶ

ὀλοόφρων καὶ μεγάθυμος κατὰ τὸν πρὸ μικροῦ ταῦρον καὶ λέοντα. —τοιοῦτος δὲ ὁ μέγιστον ἔχων θυμόν—, καὶ ὅτι οὐ μάτην ἐπὶ συὸς ἔφη τὸ «οὗ θυμὸς μέγιστος», ἀλλ’ ὅτι ἀφυλάκτως ἔχει ὁ σῦς πρὸς τὸ παθεῖν διὰ τὸ ἄγαν θράσος.

4.5 θρασὺ μὲν γὰρ καὶ ἡ πάρδαλις, ὁ λέων δὲ καὶ ἀνδρεῖον. ἄμφω δὲ φυλάξονταί ποτε παθεῖν μάλλον ἤπερ ὁ σῦς θυμῷ πολλῷ ῥέων. Ἔτι πάρδαλις μέν, φασί, καὶ λέων ἡμεροῦνται, σῦς δὲ ἄγριος ἀεὶ ἄγριος. (v. 20) Ἔστι δὲ κατὰ τοὺς παλαιοὺς πόρδαλις μὲν ἄρρην παρὰ τὸ προάλλεσθαι, πλεονάσαντος τοῦ δ , ὡς ἐν πολλοῖς, πάρδαλις δὲ διὰ τοῦ α ἡ θήλεια παρὰ τὸ παράλλεσθαι. καὶ τοιαῦτα μὲν καὶ ταῦτα. (v. 24—9) Ἐφ’ οἷς Ὅμηρος καὶ ἀνάμνησιν κεφαλαιώδη μεθοδεύων ποιεῖ τὸν Μενέλαον, εἴ πως ἐκφοβήσει τὸν Εὔφορβον μεμνημένον, ὅτι καὶ πρὸ τούτου τὸν ἀδελφὸν Ὑπερήνορα ὑψαυχενοῦντα κατ’ αὐτοῦ, ἐταπείνωσε. φησὶ γὰρ «οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο ἧς ἥβης ἀπόνηθ’, ὅτε μ’ ὤνατο καί μ’ ὑπέμεινε, καί μ’ ἔφατ’ ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν ἔμμεναι. οὐδέ ἕ φημι πόδεσσί γε οἷσι κιόντα εὐφρῆναι ἄλοχόν τε φίλην κεδνούς τε τοκῆας. ὣς καὶ σὸν ἐγὼ λύσω μένος» καὶ ἑξῆς. ἀπὸ οἰκειακοῦ δὲ παραδείγματος ἐκφοβεῖ τὸν Εὔφορβον. διὸ μνήμην αὐτὸς ἀναλαβὼν τοῦ ἀδελφοῦ ἐρεῖ ὅσα ὑποβάλλει ὁ θυμός. (v. 26) Ὅρα δὲ ὡς λυπεῖ τὸν Μενέλαον, εἴπερ ἐλέγχιστον αὐτὸν πολεμιστὴν φθάσας εἶπεν ὁ Πανθοΐδης Ὑπερήνωρ. ὃν ἀνελὼν ἐδίδαξεν ἔργοις αὐτοῖς οὐκ ἐλέγχιστος εἶναι. Ὅτι δὲ ὁ Μενέλαος οὐχ’ ὑπόσκληρος ἦν τὰ εἰς ἦθος, δηλώσει καὶ Ἀπόλλων ἐν τοῖς ἑξῆς, μαλθακὸν αὐτὸν σκώψας αἰχμητήν. (v. 19) Ἰστέον δὲ ὅτι τὸ «Ζεῦ πάτερ» βαρέως ἀναπεφώνηται. ἄχθεται γὰρ ὁ βασιλεύς, εἰ τὸ κατὰ τὸν Δία πεπρωμένον βιάζεται, οἷς αὐχεῖ ὁ Εὔφορβος εἰπὼν «μή σε βάλω» καὶ ἑξῆς. ἴσως γὰρ καὶ οἶδεν, ὡς οὐ τεθνήξεται κατὰ Τροίαν ἀπὸ χρησμοῦ τινος. ὥστε τὸ «Ζεῦ πάτερ» ταὐτὸν τῷ ὦ μοῖρα, καθ’ ἧς ὑπεροπλίζεται Εὔφορβος. Καὶ ἑτέρως δὲ «Ζεῦ πάτερ» κοινότερον, εἴπερ Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε, ἀνὴρ δὲ καὶ ὁ Μενέλαος.

4.6 ἢ καὶ ἄλλως κατὰ γένους οἰκείωσιν. ἐκ Διὸς γὰρ καὶ οὗτος καὶ διογενὴς καὶ διοτρεφὴς καὶ Διῒ φίλος ὡς βασιλεύς. διὸ καὶ προσφωνεῖ αὐτόν, πεποιθὼς ὅτι ἀχθομένῳ τούτῳ συμβαρυνθήσεται. (v. 21 s.) Τὸ δὲ «ὀλοόφρονος, οὗ τε μέγιστος θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει» καὶ ἐπὶ ἀνθρώπου θυμώδους ῥηθήσεταί ποτε. Ὅρα δὲ καὶ ὡς ἐπὶ μὲν ἀνθρώπου μέγαν που θυμὸν εἶπεν, ἐνταῦθα δὲ μέγιστον θυμὸν ἐπὶ ἀγρίου συός. Τὸ δὲ «οὗ τε μέγιστος θυμός», ἤγουν οὕτινος κάπρου, τῇ προφορᾷ φαντάζον ἀποφατικὸν εἶναι ὑποκρίνεται παρηχητικῶς ὁμοιοῦσθαι τῷ «οὔτ’ οὖν πορδάλιος οὔτε λέοντος οὔτε συός». καὶ οὐ μέλον τῷ ποιητῇ φαντασίας τοιαύτης, εἰ μόνον ὁ νοῦς τοῦ ῥητοῦ ὑγιῶς ἔχει. τέως μέντοι τὸ ἐνταῦθα εὐειδὲς τῆς συχνῆς ἀρνήσεως συγκροτεῖται καὶ διὰ τοῦ «οὐδὲ βίη Ὑπερήνορος». Περὶ δὲ τοῦ βλεμεαίνειν πολλαχοῦ κεῖται. (v. 23) Ἐν δὲ τῷ «Πάνθου υἷες» καὶ ὁ προτεθνηκὼς Ὑπερήνωρ συνεισάγεται, καὶ ὁ Πολυδάμας δέ. οὐ δήπου γὰρ περὶ μόνου Εὐφόρβου ὁ λόγος. διὰ δὲ τοῦ «ἐϋμελίαι» σεμνύνει ἑαυτὸν ὁ Μενέλαος, εἰ κατὰ τοιούτων ἀνδραγαθεῖ. (v. 24) Ἰστέον δὲ καὶ ὅτι τὸ Ὑπερήνωρ ταὐτόν ἐστι τῷ Ἀγήνωρ, ὃς καὶ αὐτὸς Τρωϊκὸς ἦν ἀνήρ, ὥσπερ καὶ ἐπιθετικῶς ταὐτὸν οἱ ἀγήνορες καὶ οἱ ὑπερηνορέοντες. (v. 25) Ὅρα δὲ καὶ ὅτι ἐν στίχῳ ἑνὶ «ὤνητο» εἰπὼν καὶ «ὤνατο» οὐ μόνον παρισῶσαι καὶ παρηχῆσαι δοκεῖ, ἀλλὰ καὶ διαφορὰν τῶν τοιούτων δοῦναι λέξεων. ἀρέσκει γὰρ τοῖς παλαιοῖς διὰ τοῦ η μὲν γράφειν ἐπ’ ὠφελείας ὤνητο καὶ ὀνήμενος, ὡς ἐν Ὀδυσσείᾳ, διὰ δὲ τοῦ α ἐπὶ μέμψεως. οἱ μέντοι μεθ’ Ὅμηρον ὤνατο διὰ τοῦ α γράφουσι καὶ ἀπώνατο ἀντὶ τοῦ ὠφελήθη. θέμα δὲ καὶ τοῦ ὤνητο καὶ τοῦ ὤνατο τὸ ὄνημι ἄρρητον, ἐπί τε ὠφελείας ὄν, ἐπί τε μέμψεως. Ἰστέον δὲ καὶ ὅτι τὸ μὲν «οὐκ ἀπόνητο ἥβης» τὸν πρὸ ὥρας θάνατον δηλοῖ, τὸ δὲ ὤνατο παράγει τὸν ὀνειδισμόν. (v. 26) Διὸ ἑρμηνεύων τί ἐστιν «ὤνατο», ἐπάγει «καί μ’ ἔφατο ἐλέγχιστον πολεμιστήν», ὅπερ ὀνείδειον

ἔπος ἐστί. (v. 25) Τὸ δὲ «καί με ὑπέμεινε» καιρία λέξις, δηλοῦσα θάρσος, ὅθεν καὶ τὸ «ὑπομενετέον» ἐπίρρημα, καὶ «ἀνὴρ ὑπομενετικὸς τῶν δεινῶν».

4.7 μετῆκται δὲ ἡ λέξις ἀπὸ κιόνων ἢ τοιούτων τινῶν σωμάτων, ἃ δεξάμενα βάρος ἄνω ὑπομένουσι. [Τὸ δὲ τοιοῦτον ὑπομεῖναι καὶ ὑποστῆναι λέγεται. τὸ γάρ, ὡς εἴρηται, ὑπομένον, ἤγουν ὑπό τι μένον καρτερικῶς, πάντως καὶ ὑφίσταται, τουτέστιν ἐγκρατῶς ὑπ’ ἐκεῖνο ἵσταται, ὡς εἴγε μὴ στερρῶς ὑπ’ αὐτὸ ἵσταται, ἀνυπόστατον ἐκεῖνο τὸ ἐπάνω λέγεται διὰ τὸ πολὺ τοῦ βάρους. Εἰ δέ ποτε ἀνυπόστατον λέγειν οἴδαμεν καὶ τὸ μὴ ἔχον ὑπόστασιν οἷον τὸ μὴ ὄν, ἡ ὁμωνυμία τὴν τοιαύτην σχίζαν διεῖλε. διόπερ ἔσκωπταί ποτε πάλαι χρόνου ὁ τὴν τῶν Ῥωμαίων βασιλείαν φάμενος ἀνυπόστατον, οἷα διχονοίας ὑποβαλλομένης, μήποτε ψογερῶς εἶπεν αὐτὴν ἀνυπόστατον ὡς τὸ μηδὲν οὖσαν, οὐ μὴν λόγῳ ἐπαίνου ὡς ἀνυπόφορον τοῖς ἐχθροῖς. Ἔστι δ’ ἴσως εἰπεῖν ποτε ἀνυπόστατον καὶ τὸ μὴ ἔχον ἐπὶ στερροῦ ἑδρασθῆναι ἤτοι στῆναι, ὃ δὴ πάσχει ὁ ἐμπαγεὶς εἰς ἰλύν, ἐν ᾗ οὐκ ἔστιν ὑπόστασις.] (v. 27 s.) Ἐν δὲ τῷ· οὐδέ ἕ φημι ποσὶν οἰκείοις ἐλθόντα εὐφρᾶναι τοὺς ἑαυτοῦ, σημείωσαι ὡς ἠθικῶς μὲν ἐρρέθη τὸ «φημί» καθ’ ὁμοιότητα τοῦ δοκῶ καὶ οἶμαι καὶ τῶν τοιούτων. οὐ κεῖται δὲ ἐνδοιαστικῶς ἀλλ’ ἀξιωματικῶς ὡς ἐτὶ ὁμολογουμένῳ πράγματι. ἔχει δέ τι καὶ μυκτῆρος, εἴπερ ὁ μὲν Ὑπερήνωρ ψευδῶς ἔφατο τὸ ὑπ’ αὐτοῦ ῥηθέν, Μενέλαος δέ, ὃ νῦν λέγει, ἀληθῶς λέγει. Τὸ δὲ οὐ ποσὶν ἰδίοις κιόντα ἀστείως ἐρρέθη διὰ τὸ ὑπ’ ἀλλοτρίοις τοῦτο ποιεῖν τοὺς νεκρούς. φησὶ γοῦν ὁ Γλαῦκος μετ’ ὀλίγα ὡς, εἴπερ προτὶ ἄστυ μέγα ἔλθοι τεθνεὼς ὁ Πάτροκλος, γενήσεται τά. ἔλθοι δὲ ἂν πάντως εἰς Τροίαν ὁ Πάτροκλος οὐ πόδεσσιν οἷσιν, ἀλλὰ τοῖς τῶν φερόντων. (v. 29) Ὅτι ἀπειλητικὸν τὸ «καὶ σὸν ἐγὼ λύσω μένος, εἴ κέ μευ ἄντα στήῃς», ἀντὶ τοῦ εἴπερ ἀντισταίης μοι. (v. 30—2) Ὁ δὲ ἐκφοβεῖν ἐθέλων τὸν ἀνθιστάμενον ἐρεῖ ἂν «ἀλλά ς’ ἔγω γ’ ἀναχωρήσαντα κελεύω ἐς πληθὺν ἰέναι, μήδ’ ἀντίος ἵστας’ ἐμεῖο, πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω». Τοῦτο δὲ παρὰ Μενελάου ῥηθὲν γνωμικόν ἐστι, συντόμως φρασθέν, ὡς καὶ πρὸ αὐτοῦ τὸ «οὐ καλὸν ὑπέρβιον εὐχετάασθαι», ὡς ἂν καὶ αὐτὸ συνήθως εὐμνημόνευτον ᾖ τῷ εὐπεριγράπτῳ τῆς ἀπαγγελίας, ὁποῖα καὶ τὰ τῶν ἑπτὰ σοφῶν ἀπομνημονεύματα.

4.8 Ὅτι δὲ οὐκ ἐπαινετέος ὁ μετὰ τὸ ῥεχθῆναί τι νοήσας δηλοῖ καὶ ὁ Ἐπιμηθεὺς καὶ ὁ τῆς παροιμίας ἁλιεύς. Ἰστέον δὲ ὡς, εἰ μέν τις εἴποι, ὅτι τὸ πρᾶγμα τὸ ῥεχθὲν ὁ νήπιος ἔγνω, ἀσολοίκως ἐρρέθη, εἰ δὲ καθάπερ τὸ ἐξὸν καὶ τὸ δόξαν καὶ τὸ δεῆσαν, οὕτω δὴ καὶ τὸ ῥεχθὲν ἀντὶ πλαγιασμοῦ νοηθείη, ἵνα ᾖ· ῥεχθέντος δέ τε νήπιος ἔγνω, κρείττων ἡ φράσις, σολοικοφανὴς οὖσα, καὶ Ἀττικωτέρα καὶ οἰκεία προσώπῳ ἀγωνιῶντι καὶ σχεδιάζοντι. ἐκ δὲ τοῦ «ῥεχθὲν δέ τε νήπιος ἔγνω» ἔοικε ληφθῆναι καὶ τὸ «ἔγνωκα δ’ ἡ τάλαινα συμφορᾶς ὕπο». (v. 31) Τὸ δὲ «ἐς πληθὺν ἰέναι» οὐκ ἀνόμοιόν ἐστι πρὸς τὸ «εἰς ἔθνος ἑτάρων χάζεσθαι». λέγει δὲ πληθὺν τὸν κοινὸν λαὸν πρὸς διαστολὴν τῶν ἀριστέων καὶ προμάχων. αὐτοὶ γὰρ λογάδες ὄντες ἐν ὀλίγῳ μετροῦνται, [οὐκ ὄντες «ἀριθμὸς ἄλλως» εἴποι ἂν ὁ Κωμικός, ἐν ἀριθμῷ μέντοι ὄντες.] Τὸ δὲ «μηδ’ ἀντίος ἵστας’ ἐμεῖο» καινότερον ἐσχημάτισται ὡς ἀπὸ ἄλλης ἀρχῆς. ἦν γὰρ τὸ ὀρθόν· μηδ’ ἀντίον ἵστασθαι ἐμοῦ. Ἰστέον δὲ ὅτι τὸ ἀντίον ἵστασθαι ἄντα στῆναι ἀνωτέρω ἔφη, ἀλλαχοῦ δὲ ἀντίον ἐλθεῖν, οἷς ἐναντίον ἐστὶ τὸ ἀναχρῆσαι. (v. 34 s.) Ὅτι τὸ «νῦν μὲν δή, Μενέλαε, ἦ μάλα τίσεις γνωτὸν ἐμόν, ὃν ἔπεφνες», οὐ σαφῶς ἐφράσθη. ἐχρῆν γὰρ εἰπεῖν, οὐχ’ ὅτι νῦν τίσεις τὸν ἀδελφόν, ἀλλὰ τὴν ὑπὲρ τοῦ ἀδελφοῦ μου ποινήν. αἴτιον δ’ ὅτι ἀγωνιῶν ὁ Εὔφορβος οὐ κρατεῖ τῆς φράσεως. ἴσως δὲ καὶ ἀστείως εἶπεν, ὅτι σὺ αὐτὸς πεσὼν ἀποτίσεις μοι οὕτω τὸν ἀδελφόν. (v. 35—7) Ὅτι περιπαθὲς καὶ οἶκτον ἔχον τὸ γνωτὸν ἐμὸν ἔπεφνες, «χήρωσας δὲ γυναῖκα μυχῷ θαλάμοιο νέοιο, ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας». (v. 38—40) Εὐφόρβου δὲ λόγοι ταῦτα, ὃς λέγει πρὸς Μενέλαον καὶ ὅτι «ἦ κέ σφιν», ἤγουν ὄντως αὐτοῖς δειλοῖσι, «γόου κατάπαυμα γενοίμην, εἴ κεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε’ ἐνείκας ἐν χερσὶν αὐτοῖς βάλω», τουτέστι θήσω.

4.9 πολλαχοῦ δὲ οὕτως ἡ λέξις αὕτη νοεῖται. Βαρβαρικὸν δὲ καὶ θρασὺ τὸ τοῦ Εὐφόρβου ἦθος οὕτω ῥᾳδίως θαρροῦντος παραμυθήσασθαι τοὺς αὐτοῦ ὡς αὐτὸς ἐξέθετο. (v. 36) Ὅρα δὲ τὸ «χήρωσας γυναῖκα» ἐνταῦθα κυριολεκτηθέν, ἐξ οὗ καὶ χήρα ἡ τοιαύτη. ἐν γὰρ τῷ «χήρωσεν ἀγυιάς» μεταφορικῶς ἡ λέξις κεῖται [Ὅτι δὲ τοῦ χήρα κοινῶς καὶ χήρη Ἰωνικῶς προϋπέστιν ἀρσενικὸν ὁ χῆρος, ἀπὸ τῶν παλαιῶν ἔγνωσται.] Ὅρα δὲ καὶ ὅτι ἐν τῷ «ἐχήρωσας» λείπει κοινότερον τὸ ἀνδρός, σιγηθὲν διὰ τὸ πάνυ δῆλον. οὕτω δὲ καὶ ἐν τῷ «χήρωσεν ἀγυιάς» λείπει τὸ ἀνδρῶν ἢ πολιτῶν ἢ τοιοῦτόν τι. πολλαὶ δὲ καὶ ἄλλαι τοιαῦται ἐλλείψεις. Σοφοκλῆς οὖν ἐν τῷ «πρὸς τὸν ἔχονθ' ὁ φθόνος ἕρπει» παρῆκε τὸ ἀγαθὸν ὡς φανερόν. πάντως γὰρ ὁ ἔχων ἀγαθόν τι φθονεῖται. τοιοῦτον καὶ τὸ «μεταβολὴ πάντων ἡδύ». δῆλον γὰρ ὡς γλυκύ ἐστιν ἡ μεταβολὴ οὐχ' ἁπλῶς, ἀλλ' ἡ τῶν κακῶν. Τὸ δὲ «ἐν μυχῷ θαλάμοιο» νεόνυμφον γυναῖκα δηλοῖ, ἔτι δὲ καὶ σώφρονα ἥτις διὰ σωφροσύνην τοῦ θαλάμου ἐστὶν ἀπρόϊτος. Ἐν δὲ τῷ «θαλάμοιο νέοιο» δύναται τὸ «νέοιο» καὶ ὑπερβατῶς κεῖσθαι, ἵνα λέγῃ ὅτι ἐχήρωσας γυναῖκα νέου ἀνδρός. ἐκ δὲ τούτου καὶ οἱ χηρωσταί, ὡς προδεδήλωται. καὶ ἔχει ἐντελῶς οὕτω τὸ νόημα. ἄλλως γὰρ ἐλλιπῶς, ὡς ἐρρέθη, πέφρασται. (v. 37) Τὸ δὲ ἀρητός ἐπίθετον μὲν ὂν ὀξύνεται κατὰ ἀναλογίαν, κύριον δὲ τυγχάνον προπαροξύνεται, ὡς δηλοῖ ἐν τοῖς ἑξῆς τὸ Χρόμιος καὶ Ἄρητος θεοειδής, ἐξ οὗ κατὰ παρωνυμίαν καὶ ἡ Ἀρήτη γίνεται. ἐκεῖθεν δὲ καὶ ὁ παρὰ τοῖς ὕστερον Ἄρατος [καὶ τὸ σύνθετον ὁ Δημάρατος καὶ ὅσα κατ' αὐτό.

4.10 πολλῶν δὲ ὄντων, ἅπερ διαφόρως τονοῦνται πρὸς διάφορον σημασίαν κατὰ τὸ ἀρητός καὶ Ἄρητος, μνηστέον ἐν αὐτοῖς καὶ τοῦ μαλακός ὀξυτόνου ἐπιθετικοῦ καὶ τοῦ Μάλακος προπαροξυτόνου κυρίου. ἱστορικὸς δὲ ἦν ἐκεῖνος, ὡς ἱστορεῖ ὁ Δειπνοσοφιστής.] Ὅτι δὲ τὸ ἀρητὸν πένθος «ἄρρητον» τινὲς γράφουσι, δῆλον, καὶ ὡς οὐκ εὐαρεστοῦνται οἱ παλαιοὶ τῇ γραφῇ. πάντως δὲ παῖς μὲν ἀρητὸς ὁ εὐκταῖος, γόος δὲ ἀρητὸς ὁ ἀπευκταῖος καί, ὡς εἰπεῖν, ἐπάρατος. μέση γὰρ λέξις ἡ ἀρὰ καὶ τὸ ἀρᾶσθαι, ἀφ' ὧν τὰ τοιαῦτα γίνονται. (v. 38 s.) Τοῦ δὲ «ἦ κέ σφιν δειλοῖσιν», ἤγουν δειλαίοις, καὶ τοῦ «εἴ κεν ἐγὼ κεφαλήν» καὶ ἑξῆς, ὁμοία ἡ γραφὴ πρὸς τὸ «ἔδδεισαν θεοὶ οὐδέ τ' ἔδησαν». τὸ μὲν γὰρ πρῶτον ἦ κε βεβαιωτικῶς κεῖται διὰ τοῦ η , τὸ δὲ δεύτερον διστακτικῶς ἀντὶ τοῦ ἐάν. ἔχουσι δέ τι καὶ κάλλους κείμενα ἐπαναφορικῶς ἐν καταρχαῖς στίχων. (v. 40) Ἰστέον δ' ἐν τούτοις καὶ ὅτι Φρόντις κύριον κεῖται μὲν καὶ ἐν Ὀδυσσείᾳ, κεῖται δὲ καὶ ἐνταῦθα. ἔστι δ' ἐκεῖ μὲν ἀρσενικὸν ὄνομα κυβερνήτου, ἐνταῦθα δὲ θηλυκόν, γυνὴ Πάνθου, μήτηρ Εὐφόρβου. φησὶ γὰρ «Πάνθῳ ἐν χείρεσσι βάλω», ὡς ἐρρέθη «καὶ Φρόντιδι δίῃ». Βαρύνεται δὲ Φρόντις κανόνι τοιούτῳ. τὰ εἰς τις δισύλλαβα, μὴ ὄντα ἐπιθετικά, παραληγόμενα τῷ ο ἢ μόνῳ ἢ σὺν ἑτέρῳ ὀξύνεται· Προιτίς, κοιτίς, φροντίς. τὸ Φρόντις ὡς κύριον βαρύνεται πρὸς διαστολήν. τὸ πόρτις οὐ μάχεται. εὕρηται γὰρ καὶ χωρὶς τοῦ τ πόρις. [Ἰστέον δὲ καὶ ὡς, εἰ καὶ ἀηδές τι σέσηρε τὸ Φρόντιδι δίῃ διὰ τὰ συχνὰ ι , ὅμως οὐ κατὰ τὸ Ἴριδι δίῃ.] (v. 41 s.) Ὅτι ὁ ἐγχειρῶν ἤδη πολέμῳ ἢ ὅλως ἔργῳ τινὶ ἐναγωνίῳ καλῶς ἐρεῖ τὸ «οὐκέτι δηρὸν ἀπείρητος πόνος ἔσται οὐδέ τ' ἀδήριτος οὔτ' ἀλκῆς οὔτε φόβοιο».

4.11 Ποιητικῶν δὲ λέξεων παρίσωσις τὸ ἀπείρητος καὶ ἀδήριτος. καθ' ὑπερβατὸν δὲ ἡ σύνταξις. λέγει γὰρ ὡς οὐκ ἀπείρατος ἔσται ἀλκῆς καὶ φόβου. περιττὴ δὲ Ἀττικῶς ἡ ἄρνησις ἐν τῷ «οὔτ' ἀλκῆς». ἤρκει γὰρ ἡ πρὸ αὐτῆς. ἐν δὲ τῷ ἀπείρητος καὶ ἀδήριτος λείπει ἀντωνυμία τὸ ἐμοὶ ἢ ὑπ' ἐμοῦ. (v. 43 s.) Ὅτι φαίνεται καὶ τῷ Μενελάῳ ἡ ἀσπὶς χάλκεον ἔχειν ἐκπέταλον. ὁ γοῦν Εὔφορβος οὔτησε μὲν αὐτὸν «κατ' ἀσπίδα, οὐδ' ἔρρηξε χαλκόν», τὸν ἐπιπολάζοντα δηλαδὴ ἐν τῇ ἀσπίδι, «ἀνεγνάμφθη δέ οἱ αἰχμή». εἰ δὲ γράφεται «οὐδ' ἔρρηξε χαλκός»—φέρεται γὰρ καὶ τοιαύτη γραφή—, εἴη ἂν χαλκὸς ἡ τοῦ Εὐφόρβου αἰχμή. Ὅρα δὲ καὶ ὧδε τὸ «ἀνεγνάμφθη αἰχμή», ἀλλοῖον ὂν παρὰ τὸ ἀναγναμφθῆναι δεσμόν. ἐκεῖνο μὲν γὰρ ἀνάλυσιν δηλοῖ ἐν Ὀδυσσείᾳ, τοῦτο δὲ σιδήρου ἀπὸ ὀξύτητος ἀμβλύτητα κατ' ἀνάκαμψιν, ἤγουν στροφήν, εἰς τὸ ἔμπαλιν. (v. 46) Ὅτι ἀνύει καλόν τι ἐνταῦθα ὁ Μενέλαος ἐπευξάμενος Διῒ πατρί. ἀνυσιμώτατον

γὰρ πανταχοῦ παρ’ Ὁμήρῳ ἡ δικαία εὐχή. (v. 47) Ὅτι στομάχου θέμεθλα τὴν αὐτοῦ θέσιν λέγει, στόμαχον καὶ νῦν φράζων οὐ τὸ τῆς κοιλίας στόμα κατὰ τοὺς ὕστερον, ἀλλὰ τὸν λεγόμενον βρόχθον περὶ τὰ τοῦ λαιμοῦ ἔσχατα. (v. 47—9) Φησὶν οὖν ὡς κατὰ στομάχοιο θέμεθλα ἔνυξεν ὁ Μενέλαος τὸν Εὔφορβον, «ἐπὶ δ’ αὐτὸς ἔρεισε βαρείῃ χειρὶ πιθήσας· ἀντικρὺ δ’ ἁπαλοῖο δι’ αὐχένος ἤλυθ’ ἀκωκή». εἰ γοῦν μὴ ὁ βρόχθος ἀλλ’, ὡς ἄν τις ἴσως οἰηθείη, τὸ στόμα τῆς κοιλίας ἐπλήγη ὁ Εὔφορβος, πῶς ἀντικρὺ δι’ αὐχένος τὸ δόρυ φέρεται. τέμνει δὲ καὶ ἐν τῇ γʹ ῥαψῳδίᾳ στομάχους ἀρνῶν ὁ βασιλεὺς νηλέϊ χαλκῷ. (v. 48) Ὅρα δὲ τὸ «ἔρεισε βαρείῃ χειρὶ πιθήσας» ἀντὶ τοῦ ὦσε. καὶ οὐκ ἔστι καιριωτέραν λέξιν εὑρεῖν. ὅθεν εἴληπται καὶ ἡ ἀντήρεις πληγή, καὶ ἀντερείδειν τὸ ἀντιβαίνειν καὶ ἔπος πρὸς ἔπος ἐρείδειν, καὶ ὅσα τοιαῦτα.

4.12 Τὸ δὲ «βαρείῃ χειρὶ πιθήσας» σύστοιχόν ἐστι τῷ «ἀλκὶ πεποιθώς» καὶ τοῖς ὁμοίοις. (v. 51 s.) Περὶ δὲ τοῦ ἁπαλοῖο αὐχένος προδεδήλωται. Ὅτι οὐ μόνον εὖ γεγονότα τὸν Εὔφορβον ὁ ποιητὴς παραδοὺς ἀλλὰ καὶ ποδώκη καὶ ἀνδρεῖον, ὡς ἐν τῇ πρὸ ταύτης ῥαψῳδίᾳ ἐδηλώθη, ὃν καὶ κράτιστον Τρώων μετ’ ὀλίγα φησίν, ἐνταῦθα καὶ κόμην αὐτῷ δίδωσι χαρίεσσαν καὶ οἰκτείρει χαμαὶ κείμενον. Λέγει γὰρ «αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι πλοχμοί θ’, οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο». (v. 53—60) Ἐφ’ οἷς οἰκτιζόμενος εἰκάζει αὐτὸν εἰς ἔρνος ἐλαίας καλόν, εἰπὼν «οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης χώρῳ ἐν οἰοπόλῳ, ὅθ’ ἅλις ἀναβέβρυχεν ὕδωρ, καλὸν τηλεθάον· τὸ δέ τε πνοιαὶ δονέουσι παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῷ· ἐλθὼν δ’ ἐξαπίνης ἄνεμος σὺν λαίλαπι πολλῇ βόθρου τ’ ἐξέστρεψε καὶ ἐξετάνυσσ’ ἐπὶ γαίῃ», ἢ ἐπὶ γαίης, «τοῖον Εὔφορβον Μενέλαος ἐπεὶ κτάνε, τεύχεα ἐσύλα». Οὕτω καὶ ἐν Ὀδυσσείᾳ σεμνύνας ὁ Ὁμηρικὸς Ὀδυσσεὺς τὴν βασιλικὴν παῖδα παρατίθησι τῷ ἐπαίνῳ ἐκείνης καὶ ἀπὸ εὐφυοῦς δένδρου παραβολήν. [Ὅρα δὲ ὡς τὰς μὲν τρίχας τῆς τοῦ Ἀχιλλέως πήληκος αἵματι καὶ κονίαις μιανθείσας ἐσέμνυνεν, εἰπὼν ὅτι πάρος οὐ θέμις ἦν οὕτω γίνεσθαι, τὴν δὲ τοῦ Εὐφόρβου κόμην ἠρέμα ᾠκτίσατο οἷα Χαρίτεσσι μὲν ὁμοίαν, δευομένην δὲ αἵματι. εἰ δὲ τοιοῦτον ὄντα εὔκομον μὴ καρηκομόωντα ἔφη ὁ ποιητής, οὐκ ἂν θαυμάσῃ τις ἀναπολήσας εἰς νοῦν ὅτι τὸ καρηκομᾶν καὶ ἐπὶ ἀψύχων λέγεται. Μάτρων γοῦν ὁ παρῳδὸς λέγει που «μυελόεν βλάστημα, καρηκομόωντας ἀκάνθαις». εἰ δὲ σεμνὸν ἡ κατὰ φύσιν καλὴ κόμη, καλῶς ἄρα καὶ ἡ τοῦ Εὐφόρβου εὐλογεῖται, ἐπεὶ οὐδὲ τοῖς ἥρωσι ψόγον εἶχε τὸ καρηκομᾶν. οἱ δέ γε ὕστερον ἐντριβόμενοι καὶ προκόμια περίθετα λαμβάνοντες, ἀλλ’ αὐτοὶ οὐκ ἔστιν εἰπεῖν εἰς ὅσον ἐψέγοντο, ἐπεὶ καὶ γυναικικά εἰσι τὰ τοιαῦτα οἷα πηνήκαις ἢ φενάκαις οἰκεῖα, κατὰ τὸν Δειπνοσοφιστὴν εἰπεῖν.

4.13 ] (v. 51) Ἰστέον δὲ ὅτι τὸ «Χαρίτεσσιν ὁμοῖαι» ἀντὶ τοῦ τοιαῦται οἵας ἂν ἔχοιεν αἱ Χάριτες. οὐ γὰρ ἔστι κόμας αὐταῖς ἐοικέναι ταῖς Χάρισι, ταῖς σωματικαῖς δηλαδὴ καὶ μυθικαῖς. (v. 52) Πλοχμοὶ δὲ ἰδοὺ ἐπὶ ἀνδρῶν ὡς τῶν πλοκάμων ἐπὶ γυναιξὶ λεγομένων, ὅθεν καὶ ἐϋπλόκαμοι ἐκεῖναι. Δῆλον δὲ ὅτι πλοχμὸς μὲν ἐκ τοῦ πέπλεγμαι πρός τινα ὁμοιότητα τοῦ βέβρεγμαι βρεχμός, πλόκος δὲ ὁ παρὰ Λυκόφρονι ἐκ τοῦ πλέκω. ἐξ αὐτοῦ ὁ κοινῶς γραφόμενος πλόκαμος, καθὰ ἐκ τοῦ θάλλω θάλος καὶ θάλαμος, ὡς καὶ ἄρχω ἀρχός καὶ ὄρχαμος. Τὸ δὲ χρυσῷ καὶ ἀργύρῳ τρίχας σφηκοῦσθαι πλοῦτόν τε ὑπεμφαίνει τοῦ ἔχοντος καὶ τριχῶν δὲ πολλὴν οὐλότητα. Σφηκοῦσθαι δὲ χρυσῷ καὶ ἀργύρῳ τὸ σφίγγεσθαι οἷά τινι σφηκώματι τῷ ἀπὸ χρυσοῦ καὶ ἀργύρου λεπτοτάτῳ ἑλκύσματι. φασὶ δὲ οἱ ῥητορικώτερον ἐπιβάλλοντες, ὅτι λανθάνουσιν ἑαυτοὺς οἱ βάρβαροι τὸν ἐν πολέμῳ καλλωπισμὸν λάφυρα τοῖς πολεμίοις φέροντες. Λέγουσι δὲ καὶ ὅτι παραμυθεῖται τὸν φιλέλληνα ὁ ποιητὴς ἀκροατὴν διὰ τῶν τοιούτων κομῶν τοῦ καλοῦ Εὐφόρβου, εἴ που δυσχεραίνει ἐφ’ οἷς αἱ τῆς περικεφαλαίας τοῦ Ἀχιλλέως πρὸ μικροῦ ἐμιάνθησαν ἔθειραι αἵματι καὶ κονίῃσιν. ἐρρέθη δέ τις πρὸ τούτων καὶ ἕτερος χρυσοφορῶν. ἄλλως μέντοι ἐκεῖνος ἠΰτε κούρη. Ἐκ τῆς τῶν σφηκῶν δὲ κατὰ τὸ μέσον ἐντομῆς εἴληπται τὸ σφηκοῦσθαι. τοῖς γὰρ λεπτῇ μηρίνθῳ σφιγγομένοις ἔπεταί τις καὶ αὐτοῖς

διασφὰξ κοίλη, ἡ καὶ ἐτυμολογοῦσα τοὺς σφῆκας. (v. 53) Τὸ δὲ «τρέφει ἀνήρ» ἐξαίρετόν τι ἔρνος δηλοῖ, ὃ μόνον ἀπολαβών τις ἐπιμελεῖται αὐτοῦ. Τὸ δὲ ἐριθηλές οὐ μακράν ἐστι τοῦ τηλεθάον, εἴγε καὶ αὐτὸ ἀπὸ τοῦ θάλλειν γίνεται ὡς οἷα θαλέθον. (v. 54) Ἐκ τούτου γὰρ τὸ τηλεθάειν εἰς ὃ συντελεῖ καὶ τὸ τοῦ χώρου οἰοπόλον, εἴ τις ἔρημον αὐτὸν ἑρμηνεύσει. φασὶ γὰρ τὰ ἐν ἐρημίᾳ καὶ μονάζοντα φυτὰ μάλιστα θάλλειν, τὰ δὲ μὴ τοιαῦτα ἧττον εὔτροφα εἶναι, οἷα τὴν ἀλλήλων εὐφυΐαν τῇ ἐγγύτητι ἀφαιρούμενα. (v. 53) Ἐλαίης δὲ ἔρνος παραλαμβάνει, ἁπλῶς οὕτως ἀρέσαν αὐτῷ πόθῳ τοῦ καλοῦ τοῦδε φυτοῦ, ἴσως δὲ καὶ διὰ τὴν Ἀθηνᾶν, ᾗ ἀνάκειται τὸ τοιοῦτον διὰ τὸν ἐξ αὐτοῦ γλαυκῶπα καρπόν.

4.14 Ἰστέον δὲ ὅτι οἰοπόλα ὄρη οὐ μόνον τὰ ἔρημα, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ὅπου δηλαδὴ παρατυχών τις οἶος, τουτέστι μόνος, πολεῖ, ὅ ἐστιν ἀναστρέφεται. ἢ καὶ ἄλλως, τὰ μεμονωμένα τοῦ πολοῦντος διὰ τὸ ἐρημάζειν, ἀλλὰ καὶ τὰ εὔθετα εἰς νομὰς καὶ ἀγαθὰ ὄϊς, ἤγουν θρέμματα, πολεῖν ἐν τοῖς ἐκεῖ. (v. 54) Τὸ δὲ «ἀναβέβρυχεν», ὅπερ ὀνοματοποιηθὲν τὸ ἀναπηγάζειν δηλοῖ, γράφεται καὶ ἀναβέβροχεν, ὅ ἐστι πίνεται, ὅθεν καὶ τὸ καταβρόξειεν, οἷον «ὃς τὸ καταβρόξειε». Δῆλον δὲ ὅτι τοῦ ἀναβεβρυχέναι λειότερον τὸ ἀναβλύζειν ἐστίν. αὐτὸ δὲ καὶ ἀναβλυσθονεῖν λέγεται, ὡς ἐν ῥητορικῷ εἴρηται Λεξικῷ. (v. 55) Τὸ δὲ «πνοιαὶ δονέουσιν ἀνέμων» τὸ εὔχρηστον δηλοῖ τῆς τῶν ἀνέμων πνοῆς, ὑφ᾽ ὧν τὸ φυτὸν εὔτονον καὶ φυλακτικὸν τοῦ καρποῦ γίνεται. (v. 57 s.) Εἰ δ᾽ ἄνεμος ἐνταῦθα βόθρου αὐτὸ ἐκστρέφει, ἀλλ᾽ οὐχ᾽ ἁπλῶς ἄνεμος οὗτος, ἀλλὰ ἐλθὼν σὺν λαίλαπι πολλῇ, οὓς καὶ ἐξαπίνης οἴδαμεν πνέοντας κατὰ τοὺς ἐκνεφίας καὶ τυφωνικοὺς καὶ ὅλως ἀελλώδεις, καὶ οὐ τρέφοντας ἀλλὰ ἐξολλύντας. ἄλλως γὰρ ἀνεμοτραφῆ ἀκούομεν φυτὰ κούφοις αὐξόμενα πνεύμασι. ταῦτα δὲ οἱ ἰδιῶται τεχνῖται ἀνεμόδαρτα λέγουσιν, ἃ δηλαδὴ πνοιαὶ δονέουσι παντοίων ἀνέμων. (v. 56) Ἔνθα τὸ «παντοίων» ἐν ὑψηλῷ ἢ ἀγχωμάλῳ τόπῳ ἑστάναι δηλοῖ τὸ ἔρνος. ἄλλως γὰρ οὐκ ἂν αὐτῷ παντοῖοι προσβάλοιεν ἄνεμοι. Τὸ δὲ βρύειν κυριολεκτεῖσθαι λέγεται ἐπὶ τοῦ τὴν ἐλαίαν ἀνθεῖν.

4.15 ἐκ δὲ τοῦ τοιούτου ῥήματος ἔοικε λέγεσθαι καὶ ἔμβρυον τὸ ἔνδον γαστρὸς βρύον, ἤτοι ἀνθοῦν. [Ὅτι δὲ βρύειν παρὰ τοῖς ὕστερον καὶ ἐπὶ ὑδάτων λέγεται πηγιμαίων, καθὰ καὶ τὸ βλύζειν, ἐξ οὗ καὶ τὸ «οἴνου ἀποβλύζων», δηλοῖ καὶ ἡ βρύσις, ἧς πρωτότυπον τὸ βρύω, ἀφ᾽ οὗ καὶ τὸ «ἀναβέβρυχεν», ὃ καὶ ἀναπιδύειν λέγεται κοινότερον, ἄλλως δέ γε κωμικῶς τονθολυγεῖν καὶ κοχυδεῖν, ὡς αἱ παρὰ τῷ Ἀθηναίῳ χρήσεις δηλοῦσιν, οἷον «ποταμοὶ ἀθάρης καὶ μέλανος ζωμοῦ πλέοι διὰ τῶν στενωπῶν τονθολυγοῦντες ἔρρεον», ἤγουν ποιὸν ἦχον ἀποτελοῦντες, ὅθεν ἴσως καὶ τὸ τονθορύζειν, καὶ πάλιν «αὐτόματοι διὰ τῶν τριόδων ποταμοὶ λιπαροῖς ἐπιπάστοις ζωμοῦ μέλανος καὶ Ἀχιλλείοις μάζαις κοχυδοῦντες ἐπιβλύξ». Τούτων δὲ τὰ μὲν ἐπίπαστα καὶ παρὰ τῷ Ἀριστοφάνει κεῖται. ὁ δὲ μέλας ζωμὸς τοῖς Λάκωσι ποθητὸς ἦν. αἱ δὲ Ἀχίλλεαι μάζαι προδεδήλωνται. ἀπὸ δὲ τοῦ κοχυδεῖν καὶ τὸ κοχύδεσκεν εὕρηται. Τὸ δὲ ἐπιβλύξ ἐκ τοῦ βλύζω βλύξω Δωρικοῦ παρῆκται. ταῖς δὲ Ἀχιλλείοις μάζαις καὶ αἱ κατὰ Αἴγιναν συναξιοῦνται λόγου, οἷον «μάζαι δ᾽ ἐν ταῖσι παλαίστραις Αἰγιναῖαι κατεβέβληντο».] (v. 56) Ἄνθος δὲ λευκὸν τὸν κυπρισμὸν τῆς ἐλαίας φησὶ κατὰ τοὺς παλαιούς, οἵ φασι καὶ κοτινοφόρους ὡς τὰ πολλὰ τοὺς ὑψηλοὺς εἶναι τόπους. ἀμέλει, φασί, καὶ ἐν ἀκροπόλει τῆς Ἀττικῆς πρῶτον ἐλαία ἐφάνη. (v. 58) Τὸ δὲ «βόθρου ἐξέστρεψε» παρατετηρημένως ἐρρέθη.

4.16 μετέωροι γάρ εἰσι καὶ ἐπιπολῆς κείμεναι τῆς ἐλαίας αἱ ῥίζαι καὶ διὰ τοῦτο εὐκατάστροφοι διὸ καὶ γύρους ἐπισκάπτουσιν αὐταῖς. οὐκ ἂν δὲ εἴη καιριωτέραν λέξιν εὑρεῖν οὔτε τοῦ «βόθρου», περὶ ὃν ἕστηκεν ἡ ἐλαία διασχοῦσα ταῖς ῥίζαις τὴν γῆν, οὔτε τοῦ ἐξέστρεψεν, εἰ καὶ δοκεῖ καίριον ὁμοίως εἶναι καὶ τὸ ἀνέτρεψεν, ὥσπερ καὶ τὸ ἀνέστρεψεν. (v. 59 s.) Ὅρα δὲ καὶ ὅτι δεξιῶς ἀπέδωκε τὴν κατὰ τὸν Εὔφορβον παραβολὴν ἀκολούθως τῇ ἀρχῇ. εἰπὼν γὰρ «οἷον δὲ τρέφει ἔρνος ἀνήρ», ἐπάγει «τοῖον Πάνθου υἱὸν Μενέλαος ἔκτανε». Σημείωσαι δὲ ὅτι οὐδένα

Τρωϊκὸν ἄνδρα πεσόντα ᾠκτίσατο πλέον τοῦ Εὐφόρβου ὁ ποιητής, σεμνύνων καὶ οὕτω τὸν τοῦ Ἀχιλλέως ἑταῖρον ὡς ὑπὸ ἀξιολόγου ἀνδρὸς πεσόντα, καὶ ὅτι ἄριστα καὶ ἡ πρὸς τὸ τῆς ἐλαίας ἔρνος παραβολὴ ἐπ' αὐτῷ πεποίηται. ἔδει γὰρ τὸν καλὸν φυτῷ παραβαλεῖν ἀεὶ τὸ κάλλος φυλάσσοντι. διὸ καὶ ἡ Θέτις τοιαύτῃ χρήσεται παραβολῇ ἐπὶ τοῦ φιλτάτου παιδός. τοὺς μέντοι Λαπίθας ἀλλαχοῦ διὰ τὸ ἐν μάχῃ στάσιμον δρυσὶν εἴκασεν, αἳ ἄνεμον μένουσιν ἀεὶ καὶ ὑετόν. τῷ δὲ τοῦ Ἕκτορος μεγέθει πεσόντος πρὸ τούτου κεραυνωθείσης δρυὸς εἰκὼν ἥρμοσεν. (v. 61—9) Ὅτι γλυκείᾳ παραβολῇ τῇ περὶ τοῦ καλοῦ Εὐφόρβου ἐπιπλέκει συναπτῶς ὁ ποιητὴς ἑτέραν φοβεράν, τὴν ἀπὸ λέοντος ἀπροσμάχου, κεραννὺς κἀνταῦθα δεξιῶς ταῖς προσηκούσαις ἰδέαις τὴν ποίησιν, ἔνθα τὸν Μενέλαον, ἐν οἷς τοῦ Εὐφόρβου περιγέγονε, λέοντι παραβάλλει, ὃς «ὀρεσίτροφος, ἀλκὶ πεποιθώς, βοσκομένης ἀγέλης βοῦν ἁρπάσει, ἥ τις ἀρίστη, τῆς δ' ἐξ αὐχέν' ἔαξε λαβὼν κρατεροῖσιν ὀδοῦσι πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει δῃῶν, ἀμφὶ δὲ τόν γε κύνες ἄνδρες τε νομῆες πολλὰ μάλα ἰΰζουσιν ἀπόπροθεν οὐδ' ἐθέλουσιν ἀντίον ἐλθέμεναι· μάλα γὰρ δριμὺς χόλος αἱρεῖ», τὸν λέοντα δηλαδή, ἢ «μάλα γὰρ χλωρὸν δέος αἱρεῖ», τοὺς νομέας δηλονότι, «ὣς τῶν οὔ τινι θυμὸς ἐνὶ στήθεσσιν ἐτόλμα ἀντίον ἐλθεῖν Μενελάου». Καὶ ὅρα ὡς ἡ παραβολὴ αὕτη ὅλη ὅλῳ προσαρμόζει τῷ πράγματι καί, κατὰ τοὺς παλαιοὺς εἰπεῖν, πάντα πᾶσι παραβέβληται, τὸ πλῆθος τῶν Τρώων ἀγέλῃ βοῶν, ὁ ἄριστος Εὔφορβος τῇ ἀρίστῃ βοΐ, ὁ κτείνας Μενέλαος τῷ τὸν αὐχένα τῆς βοὸς κρατεροῖς ὀδοῦσι κατάξαντι λέοντι, ἡ ἀπραξία τῶν Τρωϊκῶν ἀριστέων κυσὶ καὶ βουκόλοις, οἳ θέλοντες ἀμῦναι οὐ δύνανται. (v. 62) Ὅρα δὲ καὶ ὅτι καὶ νῦν τὸ ἁρπάζειν ἐπὶ λέοντος εἶπεν κυριολεκτούμενον ἐπ' αὐτοῦ, καθὰ καὶ ἐπὶ λύκου καὶ κυνὸς καὶ τῶν τοιούτων.

4.17 Ὅτι δὲ τὸ ἄριστον ἐν θρέμμασιν ὑπὸ τοιούτων θηρίων ἁρπάζεται, προεδηλώθη ἐν τῷ «ὑπ' ἐκ μήλων αἱρεύμενοι», καὶ ὅτι δὲ ἰδιότης λέοντός ἐστι καταγνύειν τὸν αὐχένα τῆς ἁρπαγείσης βοὸς πρὸς ἀσφάλειαν ἑαυτοῦ προδεδήλωται καὶ αὐτό. (v. 64) Λαφύσσειν δὲ κυρίως καὶ αὐτὸ ἐπὶ λέοντος καὶ λύκου καὶ τῶν ὁμοίων. (v. 66) Τὸ δὲ ἰΰζειν εἶδός ἐστι συριγμοῦ, ἐξ οὗ καὶ ὄνομα ὁ ἰϋγμός, ὡς τὸ «μολπῇ τ' ἰϋγμῷ τε». ἐξ αὐτοῦ δὲ καὶ ἴϋγξ ὄρνεον, ὡς ἀπὸ τοῦ σαλπίζω σάλπιγξ. Ὅτι τὸ μεῖζον ὁ ποιητὴς δοὺς τῷ Μενελάῳ, ἤγουν τὸν τοῦ Εὐφόρβου φόνον, ἀποστεροῖ αὐτὸν τοῦ ἐλάττονος. ἱστορεῖ γὰρ μὴ δυνηθῆναι αὐτὸν συλῆσαι τὰ τεύχεα ἐκείνου. (v. 71 s.) ἐπεί, φησίν, ἀγάσατο Φοῖβος Ἀπόλλων, ὅ ἐστιν ἐφθόνησε, καὶ ἐπῶρσε τῷ Μενελάῳ τὸν Ἕκτορα. ἔστι δὲ ὁ τοῦ Ἀπόλλωνος ἐνταῦθα φθόνος κώλυμα ἐκ τοῦ μοιριδίου, εἰς ὃ μυριαχοῦ ὁ Ἀπόλλων ἐκλαμβάνεται. (v. 73) Ὅτι οὐ μόνον ἐν Ὀδυσσείᾳ Μέντης Ἑλληνικός, ἀλλὰ καὶ ἐνταῦθα Μέντης ἡγήτωρ Κικόνων, τῶν καὶ ἐν Ὀδυσσείᾳ δηλουμένων, ἔθνους Θρᾳκικοῦ περί που Μαρώνειαν, ἐπικουροῦντος τοῖς Τρωσίν. (v. 75—8) Ὅτι παροιμιῶδες τὸ «ἀκίχητα διώκων», λεχθὲν παρὰ Ἀπόλλωνος πρὸς Ἕκτορα, ὅτε τοὺς Ἀχιλλέως ἵππους ἐδίωκεν. οὓς καὶ ἐπαινῶν φησιν ὅτι ἀλεγεινοὶ αὐτοί, ὡς καὶ ἀλλαχοῦ προερρέθη, «ἀνδράσι γε θνητοῖσι δαμῆναι ἠδ' ὀχέεσθαι ἄλλῳ γ' ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ». Τὸ δὲ ὅλον τῆς φράσεως οὕτως «Ἕκτωρ, σὺ μὲν ὧδε θέεις ἀκίχητα διώκων ἵππους Αἰακίδαο. Οἳ δ' ἀλεγεινοί» καὶ ἑξῆς, ὡς προσεχῶς γέγραπται. Ἐντεῦθεν δὲ τόν τε Ἀχιλλέα ἱππότην ἄριστον καί, ὡς εἰπεῖν, ἱππόδαμον συλλογιστέον, καὶ τοὺς ἵππους δὲ αὐτοῦ ἀγερώχους ἐπινοητέον. οὕτω καὶ ὁ Βουκέφαλος ἵππος Ἀλεξάνδρῳ μόνῳ εἴκειν ἠγάπα. (v. 75 s.) Τὸ δὲ πλῆρες τῆς ῥηθείσης παροιμιώδους συντάξεως τοιοῦτον· σὺ μὲν ὧδε θέεις, εἶτα ὡς ἄλλης ἀρχῆς, ἀκίχητα διώκων ἵππους, καὶ τὸ ἑξῆς. Ποσειδώνιος δέ, ὁ Ἀριστάρχου ἀναγνώστης, οὕτω λέγει· σὺ μὲν ὧδε θέεις ἀκίχητα, εἶτα· διώκων ἵππους Αἰακίδαο, καὶ τὸν Ἀρίσταρχον ἀποδέχεσθαι τοῦτο.

4.18 [(v. 77) Τὸ δὲ ὀχέεσθαι ἄλλοθι μὲν ἐνεργητικῶς νοεῖται, οὕτω γάρ φαμεν, ὡς θέλει τις ἐφ' ἵππου ὀχεῖσθαι. ἐνταῦθα δὲ ὀχέεσθαι λέγει τοὺς Ἀχιλλέως ἵππους παθητικῶς παντὶ τοῦ ὑπὸ ἡνιόχῳ, ἤγουν ἀναβάτῃ, γίνεσθαι.] (v. 78) Τὸ δὲ «ἄλλῳ γ' ἢ Ἀχιλῆϊ» καινῶς ἐσχημάτισται καθ'

ὁμοιότητα τοῦ «ἀνθρώπους, ὃς ἐπίορκον ὀμόσει». οὕτω γὰρ κἀνταῦθα ἐκ τοῦ «ἀνδράσι θνητοῖς» κατέβη εἰς ἑνικὸν τὸ «ἄλλῳ». ἄλλως δὲ ἦν τὸ τετριμμένον καὶ σύνηθες, ὥσπερ ἐκεῖ «ἀνθρώπων, ὃς ἐπιορκήσει», οὕτω κἀνταῦθα «ἀνδρῶν ἄλλῳ ἢ Ἀχιλῆϊ». Ὅρα δὲ κἀνταῦθα τὸν γε σύνδεσμον ἐν τῷ «ἄλλῳ γ’ ἢ Ἀχιλῆϊ» οὐκ ἀναγκαίως ἐπεντεθέντα. οὐδὲ γὰρ ἡ χασμῳδία, ἣν ἰᾶται, σκληρὰ ἦν. ἡ δὲ ἀθανάτη ἀναλόγως εἴρηται τῷ ἡ εὐποιητη, ἡ εὐξέστη, ἡ ἀσβέστη, καὶ τοῖς ὁμοίοις. (v. 80) Ὅτι τὸ διαλελυμένως ἤδη συνταχθὲν μετὰ δοτικῆς «περὶ Πατρόκλῳ βαῖνε» συνάψας ἐνταῦθα συντάσσει ὁμοίως εἰπὼν «Πατρόκλῳ περιβάς». Ὅτι τὸν Εὔφορβον Τρώων ἄριστον λέγει. τὸν δ’ αὐτὸν καὶ Δάρδανον φθάσας εἶπε. Τρῶες ἄρα καὶ οἱ Δάρδανοι, ὡς καὶ ὅτε λέγει Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι, μέσους τιθεὶς ἐκεῖ τοὺς ἐπικούρους, ὡς δῆθεν ἰσοτίμους τοῖς Ἰλιεῦσιν. [(v. 81) Ἐνταῦθα δὲ κεῖται καὶ ἀφελὴς ἐκ περισσοῦ ἔννοια σχεδιαστικὴ ἀναπληροῦσα στίχον. εἰπὼν γὰρ Ἀπόλλων Ἕκτορι ὅτι Μενέλαος ἔπεφνεν Εὔφορβον, ἐπάγει «παῦσε δὲ θούριδος ἀλκῆς», ὅπερ οὐδ’ ὅλως ἐχρῆν λαληθῆναι. Προδηλότατον γάρ, ὡς ὁ φονευθεὶς πέπαυται τοῦ τε θοῦρος εἶναι καὶ τοῦ ἀλκὴν ἔχειν.] (v. 82) Ὅτι θείας βοηθείας φραστικὸν τὸ «ἔβη θεὸς ἂν πόνον ἀνδρῶν». (v. 83 s.) Ὅτι ἀμυντικοῦ ἀνδρὸς τὸ τὸν δεῖνα «αἰνὸν ἄχος πύκασε φρένας ἀμφιμελαίνας, πάπτηνεν δ’ ἂρ ἔπειτα κατὰ στίχας», ὡς ἀμυνούμενος δηλαδή.

4.19 Τὸ δὲ «ἀμφιμελαίνας» τινὰ τῶν ἀντιγράφων οὐ μίαν σύνθετον οἴδασι λέξιν ἀλλὰ δύο, ἵνα λέγῃ· ἀμφὶ φρένας μελαίνας. (v. 88) Ὅτι καὶ νῦν ὀξέα κεκληγέναι φησὶ τὸν Ἕκτορα, ἐξ ἀετοῦ ἤ τινος ἀετώδους τὸ κεκληγέναι λαβών. καὶ φλογὶ δὲ αὐτὸν εἰκάζει, εἰπὼν «ὀξέα κεκληγὼς φλογὶ ἴκελος Ἡφαίστοιο ἀσβέστῳ». καὶ εἶχε μὲν εἰπεῖν ταῦτα καὶ διὰ παραβολῶν πλατυτέρων, στενοῖ δὲ ὅμως τὸν λόγον συγκατεπειγόμενος τῷ καιρῷ. Τὴν δὲ ἄσβεστον φλόγα φθάσας ἀσβέστην ἔφη ἐν τῷ «κατ’ ἀσβέστη ἐκέχυτο φλόξ». [Ἰστέον δὲ ὡς τὸ μὲν «φλογὶ ἴκελος» ἐξ ὀρθοῦ ἐστι παραβολή, τὸ δὲ «ὀξέα κεκληγώς» ἔμφασιν μόνον ἔχει παραβολῆς.] (v. 90—101) Ὅτι λογισμοῖς Μενέλαος ἐνταῦθα ταλαντεύεται τοιούτοις νεμέσιν μὲν ὑφορώμενος καὶ αἰδούμενος, εἰ τὸν Πάτροκλον λίπῃ κείμενον δι’ αὐτόν, εἰ δὲ ἀντιστῇ, δεδιὼς κίνδυνον. εἶτα κρίνει οὐ νεμεσητὸν εἶναι χωρῆσαι τῷ Ἕκτορι, ἵνα μὴ θεομαχῇ, ἐπεὶ ὁ Ἕκτωρ ἐκ θεοῦ πολεμεῖ. Καὶ ὅρα μεγαλοπρέπειαν ἤθους. οὐ γὰρ θνητῷ ὑποχωρεῖν λέγει ἀλλὰ θεῷ. Ἔστι δὲ ἡ Ὁμηρικὴ φράσις τοιαύτη «ὤμοι ἐγών, εἰ μέν κε λίπω κατὰ τεύχεα καλὰ Πάτροκλον θ’ ὃς κεῖται ἐμῆς ἕνεκ’ ἐνθάδε τιμῆς, μή τίς μοι Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται. εἰ δέ κεν Ἕκτορι μοῦνος ἐὼν καὶ Τρωσὶ μάχωμαι αἰδεσθείς, μή πώς με περιστείωσιν ἕνα πολλοί· Τρῶας δ’ ἐνθάδε πάντας ἄγει κορυθαιόλος Ἕκτωρ.

4.20 ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός; ὁππότ’ ἀνὴρ ἐθέλῃσι πρὸς δαίμονα φωτὶ μάχεσθαι, ὅν θεὸς τιμᾶ, τάχα οἱ μέγα πῆμα κυλίσθη. τῷ μ’ οὔ τις Δαναῶν νεμεσήσεται ἰδὼν Ἕκτορι χωρήσαντα, ἐπεὶ ἐκ θεόφιν πολεμίζει». Καὶ ὅρα ἐν τοῖς ῥηθεῖσι μνήμην αἰδοῦς βλαβερᾶς. εἰ γὰρ αἰδεσθεὶς ὁ Μενέλαος πολεμήσει εἷς πρὸς περιστάντας πολλούς, ὅ ἐστι πρὸς πάντας Τρῶας, ὡς δηλοῖ τὸ «Τρῶας δ’ ἐνθάδε πάντας ἄγει Ἕκτωρ», βλαβήσεται ἄν. καὶ τοίνυν οὔτε νεμεσητέον ἁπλῶς, ἀλλ’ οὐδὲ ἐπιστρεπτέον τῶν νεμεσώντων αἰδουμένοις εἰκῇ, ἀλλ’ ἑκάτερα, ὅτε δέον ἐστίν. (v. 91) Ἰστέον δὲ ὅτι τὸ «ὤμοι ἐγώ» πολλαχοῦ προκατάρχει τοιούτων τε λόγων καὶ ἐννοιῶν δὲ γοερῶν, ὡς οἷα προοιμιακόν τι νόημα. (v. 93 et 95) Ὅρα δὲ καὶ σχῆμα συνήθως ἐλλειπτικὸν ἐν τῷ «μή τίς μοι νεμεσήσεται, καὶ «μή πώς με περιστείωσι». λείπει γὰρ συνήθως ἐν τούτοις τὸ δέδοικα ἢ τοιοῦτόν τι ῥῆμα, ἵνα λέγῃ, ὅτι δέδοικα μὴ νεμεσηθῶ, καὶ δέδοικα μὴ κινδυνεύσω. οἰκεῖον δὲ τὸ σχῆμα καὶ νῦν ἀνδρὶ ἐναγωνίῳ καὶ μὴ ἔχοντι φράζειν ἐντελῶς διὰ ἔπειξιν. (v. 94) Τὸ δὲ «Ἕκτορι καὶ Τρωσί» μεγαλοφροσύνην ἔχει, ὡς τοῦ Μενελάου μὴ δεδιότος μόνον τὸν Ἕκτορα, πάντας δέ, ὡς δεδήλωται. (v. 95) Τοῦ δὲ «περιστείωσιν» ὅ ἐστι πέριξ κυκλώσουσι, πρῶτον ἀπαθὲς τὸ στέωμεν, οὗ χρῆσις ἐν τοῖς πρὸ τούτων. [Ὅλον δὲ τὸ

«περιστείωσιν ἕνα πολλοί» δύναται καὶ παροιμιῶδες εἶναι. Τὸ δὲ πολλοί δοκεῖ μὲν ἀντὶ τοῦ πάντες κεῖσθαι, ὡς καὶ προείρηται, μάλιστα δὲ ἀσφαλῶς ἔχει κατὰ φύσιν ἀορίστως νοούμενον. εἰ γὰρ καὶ πάντες ἑνί τινι ἐπέλθωσιν ἀλλ’ οὐκ ἤδη καὶ πάντες αὐτὸν περιστήσονται τὸν ἕνα, τὸν ὀλίγον, πολλοὶ δέ τινες, ὡς εἰκός.

4.21 ] (v. 98) Τὸ δὲ «πρὸς δαίμονα φωτὶ μάχεσθαι» ταὐτὸν μέν ἐστι τῷ διὰ μέσου φωτὸς θεοφιλοῦς δαιμονομαχεῖν, στρυφνῶς δὲ καὶ συνεστραμμένως πέφρασται διὰ συντομίαν. βούλεται δὲ λέγειν, ὅτι ὁ μαχόμενος ἀνδρί, ὃν δαίμων τιμᾷ, εἰ καὶ δοκεῖ ἁπλῶς ἀνθρώπῳ μάχεσθαι, ἀλλ’ ἀληθῶς διὰ μέσου τοῦ τοιούτου δαίμονι μάχεται. τοῦτο δὲ ἀλλαγέντος τοῦ δαίμονος εἰς ἀγαθὸν ὄνομα καλὸν ἔσται γνωμικόν, ἵνα εἴπῃ ὅτι ἐπιβλαβές ἐστιν, ὅτε τις ἐθέλει πρὸς θεὸν φωτὶ μάχεσθαι, ὃν ἐκεῖνος τιμᾷ. δι’ οὗ δηλοῦται, ὡς οὐ χρὴ θεοφιλεῖ ἀνδρὶ ἀνθίστασθαι. εἰ γὰρ θεῷ φίλος ὁ πολεμούμενος, κοινὰ δὲ τὰ τῶν φίλων, κοινὸς ἄρα καὶ ὁ πόλεμος τῷ τε θεῷ καὶ τῷ θεοφιλεῖ, ὃν ἐνέφηνεν Ὅμηρος ἐν τῷ «ἐπεὶ ἐκ θεόφιν πολεμίζει», ὃ ταὐτὸν τῷ «ἐπεὶ θεοφιλής ἐστι». (v. 99) Τὸ δὲ «πῆμα ἐκυλίσθη» καὶ νῦν ἀντὶ τοῦ ἄνωθεν ἐκ θεοῦ ἐπῆλθε. (v. 101) Τὸ δὲ «Ἕκτορι χωρήσαντα» ἀντὶ τοῦ ἀναχωρήσαντα, ὑποχωρήσαντα, ἐκχωρήσαντα, ὃ καὶ εἴκειν λέγεται. (v. 102—4) Ὅτι πάνυ ὁ ποιητὴς ἐξαίρει τὸν Αἴαντα, οὐ μόνον ὅτε λέγει ὡς περὶ μὲν εἶδος, περὶ δ’ ἔργα ἐτέτυκτο πάντων Ἀχαιῶν μετ’ Ἀχιλλέα, ἀλλὰ καὶ μάλιστα νῦν, ὅτε ὁ Μενέλαος λέγει, ὡς «εἴ που Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην, ἄμφω ἂν ἰόντες ἐπιμνησαίμεθα χάρμης καὶ πρὸς δαίμονά περ», ἤγουν, Αἴαντος συμμαχοῦντος οὐ μόνον ἐμμέσως, ὡς ἀνωτέρω ἐρρέθη, μαχοίμεθα ἂν πρὸς δαίμονα, ὅ ἐστι διὰ μέσου θεοφιλοῦς ἀνδρός, ἀλλὰ καὶ ἀμέσως πρὸς αὐτὸν δαίμονα. ὃ καὶ Διομήδης πλάττεται ποιῶν ἐν τῇ ε′ ῥαψῳδίᾳ, οὐ μόνον διὰ μέσου τοῦ Αἰνείου πολεμήσας τῇ μητρὶ Ἀφροδίτῃ, ἀλλὰ καὶ αὐτῇ ἐκείνῃ ἀντικαταστὰς καὶ τρώσας. Τὸ δὲ Ὁμηρικὸν τοῦτο θεοσεβής τις ἀνὴρ μετακεντρίσας ὡς εἰ καὶ θάλος εὐγενὲς εἰς θεῖον λειμῶνα, εἴποι ἄν ποτε περὶ ἐναρέτου ἀνδρός, ὡς εἴ που πυθοίμην τοῦ δεῖνος, ἄμφω ἂν ἐλθόντες ἐπιμνησαίμεθα χάρμης καὶ πρὸς δαίμονά περ, ἤγουν οὐ πρὸς μόνον ἄνδρα δαιμονοφιλῆ, ἀλλὰ καὶ πρὸς αὐτὸν δαίμονα τὸν κάκιστον δηλαδή. [Ἡ δὲ προκειμένη ἔννοια χρησιμεύει καὶ εἰς τὸ «σύν τε δύ’ ἐρχομένω», καὶ ἁπλῶς εἰς τὸ περὶ συζυγίας φιλικῆς.

4.22 ] (v. 105) Ἐν δὲ τοῖς ἑξῆς παροιμιῶδες τὸ «κακῶν δέ κε φέρτερον εἴη», ἀντὶ τοῦ ὡς ἐν κακοῖς κάλλιον. ἐντεῦθεν Σοφοκλῆς παραξέσας ποιεῖ τὸν Οἰδίποδα λέγοντα περὶ αὑτοῦ, ὅτι κάλλος κακῶν ὕπουλον ἐξετράφη, ἀντὶ τοῦ ἐν κακοῖς μέγα καὶ περιφανές. εἴη δ’ ἂν ὅμοιόν τι καὶ τὸ «καλόν γ’ ὄνειδος σπαργάνων ἀνειλόμην». ἕτερος δέ τις τὸ φέρτερον κακῶν ἄλλως ἔφρασε, τοῦ κακοῦ τὸ μεῖον εἰπών, ἐξ Ὁμήρου καὶ αὐτὸς κερδάνας τὸ νόημα. φέρτατον δὲ κακῶν Ὅμηρος ἐνταῦθα ἔφη τὸ νεκρὸν γοῦν κομίσαι τῷ Ἀχιλλεῖ τὸν Πάτροκλον. (v. 102) Ἰστέον δὲ ὅτι ἐλλόγου διαστολῆς χρεία ἐν τῷ «Αἴαντός γε», ἵνα μὴ νοοῖτο «Αἴαντός γε βοὴν πυθοίμην», ἀλλὰ «Αἴαντος πυθοίμην βοὴν ἀγαθοῦ». καὶ συντάσσεται καὶ νῦν τὸ «πυθοίμην» μετὰ γενικῆς. Ὅτι αἰδούμενος οἷον ὁ ποιητὴς ἐπὶ Μενελάῳ φεύγοντι διὰ τὸ Τρώων στίχας ἐπελθεῖν ἄρχοντος Ἕκτορος λέοντι αὐτὸν εἰκάζει οὕτω πάσχοντι, ὡς ἂν ὧδε γοῦν σεμνύνῃ τὸν ἥρωα, (v. 108—12) Καί φησιν «αὐτὰρ ὅ γ’ ἐξοπίσω ἀνεχάζετο», ἤγουν ὡς μετ’ ὀλίγα φησίν, ἀπὸ Πατρόκλοιο κίε, «λεῖπε δὲ νεκρόν, ἐντροπαλιζόμενος ὥς τε λὶς ἠϋγένειος», ὁ πολλαχοῦ κείμενος, «ὅν ῥα κύνες τε καὶ ἄνδρες ἀπὸ σταθμοῖο δίωνται», ἤγουν διώκωσιν, «ἔγχεσι καὶ φωνῇ· τοῦ δ’ ἐν φρεσὶν ἄλκιμον ἦτορ παχνοῦται, ἀέκων δέ τ’ ἔβη ἀπὸ μεσσαύλοιο», τουτέστι σταθμοῦ. ἀγροτικαὶ δὲ ἄμφω ταῦτα κατοικίαι. Ἰστέον δὲ ὅτι ἰδιότης λέοντος καὶ τὸ διωκόμενον μὴ φεύγειν προτροπάδην, ἀλλ’ ἐντροπαλίζεσθαι, ὅ ἐστι συχνὰ μεταστρέφεσθαι ἐν τῷ, ὡς ἀλλαχοῦ φησιν, «ὀλίγον γόνυ γουνὸς ἀμείβειν», ὃ μεταλαβών τις ἐπὶ σκέλος χωρεῖν λέγει, οὐ φράσας κάλλιον τοῦ ποιητοῦ, ὃς τὸ γόνυ γουνὸς ὀλίγον ἀμείβειν πρὸς τὸ «μακρὰ βιβάσθων» ἀντιδιέστειλε.

4.23

(v. 110) Τὸ δὲ δίω ῥῆμα, ἐξ οὗ τὸ «δίωνται», οὕτω μὲν λεγόμενον σκορακίζεται τοῖς λογογράφοις, συντεθὲν δὲ μετὰ τοῦ ὦκα εὐχρηστεῖται. ἀπ' αὐτοῦ γὰρ τὸ διώκειν. (v. 111) Τὸ δὲ «ἐν φρεσὶν ἄλκιμον ἦτορ», δηλοῖ ἀλκὶ μὲν μηκέτι πεποιθέναι τὸν φεύγοντα λέοντα, φύσει δὲ ὅμως ἄλκιμον ἦτορ ἔχειν. Φρένες δὲ ἰδοὺ καὶ ἐπὶ λέοντος ὡς ὄνομα σπλάγχνου. ἴσως δὲ οὐκ ἂν καὶ πραπίδας ῥηθείη ἂν ἔχειν ὁ λέων, εἰ μὴ πάντη ταὐτὸν φρένες καὶ πραπίδες. (v. 112) Τὸ δὲ «παχνοῦται ἦτορ» κεῖται μὲν καὶ παρ' Ἡσιόδῳ ἐν τῷ «ἐπάχνωσε φίλον ἦτορ», δηλοῖ δὲ τὸ πυκνοῦται καὶ οἷον πήγνυται τῇ λύπῃ. ἐπεὶ καὶ ἡ πάχνη δρόσος ἐστὶ πεπυκνωμένη καὶ πεπηγμένη. ἢ καὶ ἄλλως, παχνοῦται ἀντὶ τοῦ ψύχεται. εἰώθασι δὲ οἱ παλαιοὶ ψυχρὰ λέγειν τὰ ἀηδῆ, ὥσπερ αὖ πάλιν ἐκ τοῦ ἐναντίου θερμὰ τὰ προσηνῆ. διὸ καὶ θαλπωρὴ ἡ ἐλπίς. Τὸ δὲ «ἀέκων» παροξύνεται παραδόξως. οὐδεμία γὰρ μετοχὴ ἐν συνθέσει ἀναβιβάζει τὸν τόνον ὅτι μὴ μόνη ἡ ἀέκων. τὸ Εὐέλθων οὐκ ἀντίκειται πρὸς τὸν τοιοῦτον λόγον, οὐ γὰρ ἁπλῶς μετοχή, ἀλλὰ κύριον παρὰ Ἡροδότῳ μετοχικόν ἐστιν ὄνομα. (v. 117) Ὅτι στρατηγικὸν τὸ «θαρσύνοντα ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι». εἴρηται δὲ περὶ Αἴαντος. (v. 118) Ἐνταῦθα δὲ καὶ τὸ θεσπέσιον ἐτυμολογῶν φησι «θεσπέσιον γάρ σφιν φόβον ἔμβαλε Φοῖβος», οἱονεὶ λέγων ὅτι ὁ φόβος ἐκ Φοίβου ὡς ἐκ θεοῦ συνέπεσεν ἢ ἐνέπεσεν, οὐ μὴν ἀπὸ δειλανδρίας. ἔχει δέ τι νῦν παρηχήσεως τὸ φόβος καὶ Φοῖβος. (v. 120) Ὅτι ὀτρυντικὸν εἰς κίνδυνον τὸ «δεῦρο, πέπον», περὶ τοῦ δεῖνος σπεύσομεν, ἵνα δηλαδὴ μὴ ἀσπουδεὶ ποιήσαιεν οἱ ἐχθροὶ ὃ βούλονται. Μενέλαος δὲ εἶπε τὸ «δεῦρο, πέπον», καὶ ἑξῆς, προκαλούμενος τὸν Αἴαντα ὑπερμαχῆσαι κειμένου τοῦ Πατρόκλου.

4.24 Δῆλον δὲ ὡς οὐκ ἂν εἴη ψεκτικὴ λέξις ἐνταῦθα ὁ πέπων, εἰ καὶ ἐν ἄλλοις ψόγον ἐμφαίνει, ὡς καὶ ἐν τῷ «ὦ πέπονες, κάκ' ἐλέγχεα». Ἔνθα ἐνθυμητέον καὶ τὸ τοῦ Ἡρακλείδου, εἰπόντος ἐν τοῖς περὶ τοῦ πιφαύσκω, ὅτι καὶ τὸ παρ' Ὁμήρῳ «ὦ πέπονες» κατὰ ἀναδιπλασιασμὸν πεποίηται ὡς ἀπὸ τοῦ φόνου, μεταπεσόντος τοῦ φ εἰς τὸ π . οἱ γὰρ Δωριεῖς, φησί, τοὺς ἐπονειδίστους φόνους λέγουσιν, οἱονεὶ ἄξια φόνου δεδρακότας, καὶ μετὰ προθέσεως δὲ καταφόνας φασί. καὶ οὕτω μὲν Ἡρακλείδης. Ἔστι δ' ἐκ τούτου ἀκριβώσασθαι καὶ τὸ «κατηφόνας», τί δηλοῖ, ὅπερ ἐν τοῖς μετὰ ταῦτά που λέγει ὁ ποιητής. (v. 122) Ὅτι ἐθέλει σπεῦσαι Μενέλαος κἂν γοῦν γυμνὸν προφέρειν τῷ Ἀχιλλεῖ τὸν φίλον Πάτροκλον, οὐχ' ἁπλῶς δὲ πάντως γυμνὸν ἀλλὰ τῶν ὅπλων. διὸ καὶ ἐπάγει τὸ «ἀτὰρ τά γε τεύχεα ἔχει Ἕκτωρ», ἀσπουδεὶ πάντως, ταὐτὸν δ' εἰπεῖν ἀπονητὶ, αὐτὰ λαβὼν διὰ τὸ εὔπλαστον. εἰ γὰρ γυμνὸν ἁρπάσαι ἢ κολοβῶσαι τὸν Πάτροκλον οὐκ ἐξεγένετο τοῖς Τρωσί, πῶς ἂν πιθανῶς ἐπλάσθη πρὸς βίαν σκυλευόμενος. Διόπερ ἀναιμωτὶ φθάσας αἵρει Ἕκτωρ τὰ τεύχεα, ἀποδύσαντος αὐτὰ τοῦ Φοίβου, ὡς προδεδήλωται, οἷς καὶ ἐμπρέψει μέν, ἐπ' ὀλίγον δέ. Σημείωσαι δὲ ὅτι, καθὰ καὶ ἑτέρωθι δηλοῦται, δίδωσιν ὁ ποιητὴς κατὰ τοὺς παλαιοὺς τὰ τοῦ Ἀχιλλέως ὅπλα τῷ Ἕκτορι, ἵνα εἰς ἶσον αὐτὸν ἀγάγῃ τῷ Ἀχιλλεῖ, Ἡφαιστοτεύκτοις ὅπλοις ἀμφοτέρους κοσμήσας, μὴ καὶ δόξῃ ὁ Ἕκτωρ διὰ τὸ ἀχρεῖον τῶν αὐτοῦ ὅπλων πεσεῖν ὑπὸ τῷ Ἀχιλλεῖ. Προοικονομεῖ δὲ καὶ ὁπλοποιΐαν Ὅμηρος ἐν τούτοις καὶ τὴν ἐν αὐτῇ ἀλληγορουμένην κοσμογένειαν καὶ τὴν αὐτόθι ποικιλίαν. στερηθεὶς γὰρ ὧν εἶχεν ὅπλων Ἀχιλλεύς, ἤγουν τῶν ἐξ Ἡφαίστου, πορίσεται ἕτερα διὰ τῆς μητρὸς Θέτιδος. καὶ τὸ τοιοῦτον ἐπεισόδιον πολλὰ τῇ ποιήσει παρεμβαλεῖ ἀκοῆς ἄξια. (v. 126) Ὅτι ἐν μὲν τοῖς ἑξῆς Ἕκτωρ δεθεὶς τῶν ποδῶν ἕλκεται νεκρὸς κατόπιν τοῦ ἅρματος ὑπ' Ἀχιλλέως. ἔνθα καὶ μέμφονται πολλοὶ τὸν ἥρωα τῆς ὠμότητος. καὶ οἱ τῶν Ὁμηρικῶν ἀποριῶν Λυτικοὶ λαλοῦσιν εἰς τοῦτο πολλά, Ὅμηρος δὲ φθάνει λύων καὶ ἐνταῦθα τὸ ἄπορον οἷς ποιεῖ τὸν Ἕκτορα ἐθέλοντα τὴν κεφαλὴν τοῦ Πατρόκλου ἐκτεμεῖν.

4.25 «ἕλκε γάρ», φησίν, «ἵν' ἀπ' ὤμοιϊν κεφαλὴν τάμοι ὀξέϊ χαλκῷ». καὶ οὐκ αὐτὸ μόνον. τοῦτο γάρ τις καὶ Ἕλλην πρὸ τούτου πεποίηκεν εἰς ἄνδρα Τρωϊκόν, ὅπου καὶ τῇ κεφαλῇ ἐκεῖνος ἐμπείρας τὸ δόρυ ἐξανέτεινεν εἰς σχῆμα κωδείας. οὔκουν μόνον κεφαλῆς ἐκτομὴν ὁ Ἕκτωρ ἐθέλει,

ἀλλὰ καὶ τὸν νεκρὸν μελετᾷ δοῦναι κυσί. (v. 127) Φησὶ γὰρ «τὸν δὲ νέκυν Τρωῇσιν ἐρυσσάμενος κυσὶ δῴη». Καὶ οὕτω μὲν ὠμὸς ὢν Ἕκτωρ εἰκότως τοιοῦτον εὑρήσει καὶ τὸν Ἀχιλλέα. εἰ δὲ καὶ Ἱππόθοος μετ' ὀλίγα δησάμενος τελαμῶνι παρὰ σφυρὸν ἕλκει τὸν ὑφ' Ἕκτορος πεσόντα Πάτροκλον, γένοιτ' ἂν καὶ τοῦτο μάλιστα αἴτιον ἑλκυσμοῦ τῷ τοῦ Ἕκτορος νεκρῷ. Ὅτι Αἴας ὁ μέγας ἐκώλυσέ τε τὸν Ἕκτορα αἰκίσασθαι τὸν τοῦ Πατρόκλου νεκρὸν καὶ ἀναχωρῆσαι πεποίηκεν. (v. 128—30) Φησὶ γὰρ «Αἴας δ' ἐγγύθεν ἦλθε φέρων σάκος ἠΰτε πύργον· Ἕκτωρ δ' ἂψ ἐς ὅμιλον ἰὼν ἀνεχάζεθ' ἑταίρων, ἐς δίφρον δ' ἀνόρουσε». Καὶ ὅρα τὸ γοργὸν τῆς παραβολῆς ἐν τῷ «ἠΰτε πύργον». ἣν συνεξωμοίωσεν ὁ ποιητὴς τῇ τοῦ ἥρωος ἐπείξει, ὃς προκληθεὶς ὑπὸ Μενελάου βοηθῆσαι τῷ τοῦ Πατρόκλου νεκρῷ οὐδέν τι ἀμειψάμενος εὐθὺς εἰς ἐπικουρίαν κατὰ σπουδὴν ἦλθεν. [Ἔχει δέ τι ἀστεῖον ἡ εἰρημένη πρὸς πύργον παραβολὴ τοῦ κατὰ τὸν Αἴαντα σάκεος, εἴπερ ἄλλως μὲν πύργοι φέρουσιν ἄνδρας, ἐνταῦθα δὲ πύργον οἷον τοῦτον ὁ Αἴας φέρει.] (v. 132—6) Ὁ δὲ ποιητὴς παραβολὴν ἑτέραν, ὡς ἔθος αὐτῷ, διασκευάζων φησὶ «Αἴας δ' ἀμφὶ Μενοιτιάδῃ σάκος εὐρὺ καλύψας ὥς τίς τε λέων περὶ οἷσι τέκεσσιν, ᾧ ῥά τε νήπι' ἄγοντι συναντήσονται ἐν ὕλῃ ἄνδρες ἐπακτῆρες, ὃ δέ τε σθένεϊ βλεμεαίνει, πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται ὄσσε καλύπτων». Καὶ ὅρα ὡς, εἰ καὶ τὸν Μενέλαον φθάσας εἴκασε λέοντι, ἀλλ' ἐκεῖνον μὲν ἐθεώρησεν ὡς λέοντα μίαν ἁρπάσαντα βοῦν, τοῦτον δὲ λέοντι ἄγοντι τέκνα, οὗ πλείων ὁ θυμός, καὶ ταῦτα νήπια, ὧν μείζων φροντὶς τοῖς τεκοῦσιν. ἔτι δὲ τὴν μὲν πρὸς τὸν Πάτροκλον τοῦ Μενελάου εὔνοιαν τοιαύτην φθάσας εἶπεν, ὁποία τις καὶ βοὸς πρώτως τεκούσης ἐστὶ περὶ τέκνον δάμαλιν. τὴν δὲ τοῦ ἀνδρειοτάτου σπουδὴν Αἴαντος ἐπὶ Πατρόκλῳ εὐνοίᾳ εἰκάζει, ὁποίαν σχοίη ἂν λέαινα περὶ σκυμνία. ὅλως δὲ εἰπεῖν, τὰς δύο τοῦ Μενελάου παραβολὰς συνῆψεν ἐπὶ τοῦ Αἴαντος, ζῷον παραλαβὼν τὴν λέαιναν φιλότεκνόν τε οὐδὲν ἶσον τῆς βοὸς καὶ ἄλκιμον.

4.26 Λέοντα γὰρ νῦν οἱ παλαιοὶ τὴν θήλειαν λέγεσθαί φασιν, οἷα τοῦ ποιητοῦ μὴ εἰδότος εἰπεῖν λέαιναν, ὡς καὶ περὶ Ἀρτέμιδος εἶπέ που τὸ «ἐπεί σε λέοντα γυναιξὶν ἔθηκε Ζεύς», ὅ ἐστι λέαιναν. Οἱ δὲ τοῦτο λέγοντες ἱστοροῦσι καὶ ὅτι λέων ἄρρην οὐ σκυμναγωγεῖ. διὸ Ζηνόδοτος οὐ παρεδέχετο τοὺς ἐνταῦθα στίχους, λέοντα μὲν αὐτὸς τὸν ἄρρενα νοῶν, λέγων δὲ μὴ σκυμναγωγεῖν τὸν ἄρρενα. καὶ μὴν Ἀντίμαχος καὶ ἄλλοι σκυμναγωγεῖν ἱστοροῦσι καὶ τὸν ἄρρενα λέοντα. (v. 132) Ὅρα δὲ ὅτι τὸ «ἀμφὶ Μενοιτιάδῃ ἑστήκει» ταὐτόν ἐστι τῷ ἀμφὶ αὐτῷ, ἤγουν ἀμφὶ Πατρόκλῳ, ἔβαινεν, ὃ πρὸ βραχέων ἐρρέθη. (v. 137) Διὸ καὶ ἐπάγει, ὡς Αἴας περὶ Πατρόκλῳ βεβήκει. ἐπεὶ δὲ ἡ ἀμφι καὶ ἡ περι ἰσοδύναμοί εἰσιν, εἰπὼν «ἀμφὶ Μενοιτιάδῃ εἱστήκει», ἐπήγαγεν «ὡς λέων περὶ τέκνοις». (v. 133) Ἔνθα ὅρα ὅτι τέκεα καὶ τέκνα οὐκ ἐπὶ μόνων ἀνθρώπων ἀλλὰ καὶ ἐπὶ ἀλόγων. διὸ καὶ πρωτοτόκος βοῦς πρὸ μικροῦ παρὰ τὸ τεκεῖν. (v. 132) Τὸ δὲ «σάκος καλύψας» ἀντὶ τοῦ σκεπάσας καὶ οἷον κάλυμμα προστησάμενος τὸ πυργοειδὲς αὐτοῦ σάκος. [Ἐνταῦθα δὲ οὐκ ἂν εἴη ἀχρεῖον τὸ ἐπισημήνασθαι, ὅτι ἄδηλον μὲν εἴτε παρὰ τὸ πολεμικὸν σάκος εἴτε παρὰ τοὺς Σάκας, τὸ ἐθνικόν, ἤγετο Βαβυλώνιος ἑορτὴ Σακέα καλουμένη ἐφ' ἡμέρας πέντε, ἐν αἷς ἄρχονται, φασίν, οἱ δεσπόται ὑπὸ τῶν οἰκετῶν, ἀφηγουμένου τῆς οἰκίας ἑνὸς τῶν δούλων στολὴν ἐνδεδυκότος βασιλικήν. γενήσεται δὲ καὶ μετ' ὀλίγα μνήμη τοιαύτης ἑορτῆς Θετταλικῆς, καλουμένης Πελωρίας.] (v. 134) Τὸ δὲ «νήπια» ἐλλειπτικῶς νεογνὰ τέκνα δηλοῖ. (v. 135) Ἐπακτῆρες δὲ οἱ θηραταί, ὡς ἀεί τι ἐπαγόμενοι, οἷον κύνας ἢ ὅπλα, ἢ ὡς ἐπαγόμενοι τοῖς θηρίοις, ἤγουν πολεμίων δίκην ἐπιόντες. τὸ γὰρ ἐπάγειν πολεμικὴ πολλάκις λέξις, ὡς δηλοῖ καὶ ὁ Κωμικός. εἴρηται δὲ περὶ τούτων καὶ ἐν Ὀδυσσείᾳ. Τὸ δὲ βλεμεαίνειν ἔφη φθάσας καὶ ἐπὶ κάπρου. τί δὲ ἡ λέξις δηλοῖ, ἐν τοῖς πρὸ τούτων ἔστι γνῶναι.

4.27 (v. 136) Ἐπισκύνιον δέ ἐστι, κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ἐπιδέρμιον, ὃ ἐπιχαλᾶται τοῖς τῶν λεόντων ὀφθαλμοῖς καὶ καλύπτει αὐτοὺς προνοίᾳ φύσεως, οὐ τοσοῦτον διὰ θυμόν, ὅτε

σκύζεται τὸ θηρίον, ὅ ἐστιν ὀργίζεται, ὅσον ἵνα μὴ βλέπων τὰ ἐπιρριπτόμενα βέλη δειλαίνηται. Τὸ δὲ «καλύπτον», εἰ μὲν παθητικῶς νοηθείη τὸ «ἕλκεται», οὐδέτερόν ἐστιν, ἵνα ἐπισκύνιον λέγηται καλύπτον τοὺς ὀφθαλμούς. εἰ δὲ τὸ «ἕλκεται» ἀντὶ τοῦ ἕλκει ἐστὶν ἐνεργητικῶς, ὃ καὶ βέλτιον, ἀρρενικῶς λέγεται «καλύπτων» τὼ ὄσσε ὁ λέων, ὡς αὐτὸς οὕτω ποιῶν, οὐ μὴν πάσχων τὸν τοῦ ἐπισκυνίου ἑλκυσμόν. (v. 139) Ὅτι οἰκτρὸν τὸ «ἑστήκει», ὁ βασιλεὺς δηλαδή, «μέγα πένθος ἐνὶ στήθεσσιν ἀέξων». (v. 140—8) Ὅτι ἐπίτηδες τὸν Ἕκτορα στρέφων ἐν χρῷ μάχης ὁ ποιητής, ἵνα πιθανῶς καὶ ποιήσῃ καὶ πάθῃ τὰ ἱστορηθησόμενα, πλάττει τὸν Γλαῦκον ἐρεθίζοντα κατὰ Πατρόκλου τὸν Ἕκτορα ἐν τῷ εἰπεῖν τοιαῦτα «Ἕκτορ, εἶδος ἄριστε, μάχης ἄρα πολλὸν ἐδεύεο, ἦ σε αὔτως κλέος ἐσθλὸν ἔχει φύξηλιν ἐόντα. φράζεο νῦν ὅππως κε πόλιν καὶ ἄστυ σαώσῃς οἷος σὺν λαοῖσι, τοὶ Ἰλίῳ ἐγγεγάασιν· οὐ γάρ τις Λυκίων γε μαχησόμενος Δαναοῖσιν εἶσι περὶ πτόλιος, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν μάρνασθαι δηΐοισι μετ' ἀνδράσιν νωλεμὲς αἰεί». ἅπερ ἐκ παραλλήλου καὶ νῦν δηλοῖ τὸ αὐτό. (v. 149—65) Εἶτα πάνυ ἐντρέπων αὐτὸν ἐπὶ τῷ Σαρπηδόνι ἐπάγει ἀσυνδέτως «πῶς κε σὺ χείρονα φῶτα σαώσειας μεθ' ὅμιλον, σχέτλιε, ἐπεὶ Σαρπηδόνα, ἅμα ξεῖνον καὶ ἑταῖρον, κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι. ὅς τοι πόλλ' ὄφελος γένετο πτόλεΐ τε καὶ αὐτῷ» ἤγουν σοί, «ζῶος ἐών· νῦν δὲ οὔ οἱ ἀλαλκέμεναι κύνας ἔτλης. τῷ», ἤγουν διό, «νῦν εἴ τις ἐμοὶ Λυκίων ἐπιπείσεται ἀνδρῶν οἴκαδε ἴμεν, Τροίῃ δὲ πεφήσεται αἰπὺς ὄλεθρος.

4.28 εἰ γὰρ νῦν Τρώεσσι μένος πολυθαρσὲς ἐνείη ἄτρομον, οἷόν τ' ἄνδρας εἰσέρχεται, οἳ περὶ πάτρης» μάχονται, «αἶψά κε Πάτροκλον ἐρυσαίμεθα Ἴλιον εἴσω. εἰ δ' οὗτος» ἐκεῖ ἔλθοι τεθνεώς, ταχὺ ἂν «Ἀργεῖοι Σαρπηδόνος ἔντεα καλὰ λύσειαν, καὶ αὐτὸν ἂν ἀγοίμεθα Ἴλιον εἴσω. τοίου γὰρ θεράπων πέφατ' ἀνέρος, ὃς μέγ' ἄριστος Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες». (v. 166—68) Εἶτα τὸ δριμύτατον νόημα ἐπάγων φησὶν «ἀλλὰ σύ γ' Αἴαντος μεγαλήτορος οὐκ ἐτάλασσας στήμεναι ἄντα κατ' ὄσσε ἰδὼν δηΐων ἐν ἀϋτῇ, οὐδ' ἰθὺς μαχέσασθαι, ἐπεὶ σέο φέρτερός ἐστιν». ὃ καὶ δάκνει τὸν Ἕκτορα, ὡς ἐν τοῖς ἑξῆς φανήσεται. Ὅρα δ' ἐν τούτοις ὅτι οὐ μόνον τὸ «Ἕκτορ εἶδος ἄριστε» καὶ ἑξῆς ἐκ τῆς γ' ῥαψῳδίας παρέξεσται, ἤγουν ἐκ τοῦ «Δύσπαρι, εἶδος ἄριστε» καὶ ἑξῆς, ὀνειδίζοντος Γλαύκου τὸν Ἕκτορα ὡς εἶδος μὲν ἔχει καλόν, οὐκέτι δὲ καὶ ἀνδρείαν ψυχήν, ἀλλὰ καὶ ἕτερα νοήματα κεῖνται παρειλκυσμένα ἑτέρωθεν, οἷον τοῦ Σαρπηδόνος ὀνειδίσαντός που ὡς μηδὲ μετὰ τῶν ἐπικούρων ἀνύει τι ὁ Ἕκτωρ γενναῖον, παραξέσας ὁ Γλαῦκος ἐνταῦθά φησι «φράζεο νῦν ὅππως κε πόλιν καὶ ἄστυ σαώσῃς» καὶ ἑξῆς. πάλιν τοῦ Ἀχιλλέως εἰπόντος ἐν ταῖς Λιταῖς, ὅτι «οὐκ ἄρα τις χάρις ἦεν μάρνασθαι δηΐοισι» καὶ ἑξής, κεῖται τὰ αὐτὰ ἐνταῦθα καὶ παρὰ τῷ Γλαύκῳ. ἔτι τοῦ Θερσίτου εἰπόντος ἐν τοῖς προλαβοῦσι λόγον ἐρεθιστικὸν τοῦ δήμου εἰς ὑποχώρησιν ἐν τῷ «οἴκαδε νεώμεθα», λέγει σωφρονέστερον ἐκείνου τοιοῦτόν τι νῦν καὶ ὁ Γλαῦκος ἐν τῷ «εἴ τις ἐμοὶ Λυκίων ἐπιπείσεται ἀνδρῶν, οἴκαδε ἴμεν». ἔτι τοῦ βασιλέως εἰπόντος ἐν ἄλλοις ὡς εἴπερ ποτὲ εἰς μίαν βουλεύσομεν ἀνυσθήσεταί τι γενναῖον, φησὶν ἐνταῦθα καὶ ὁ Γλαῦκος ὡς «εἰ νῦν Τρώεσσι μένος πολυθαρσὲς ἐνείη ἄτρομον», οἷον εἰσέρχεται τοὺς ὑπὲρ πάτρης μαχομένους, ταχὺ ἂν Πάτροκλον ἐρυσαίμεθα, ὃ δὴ καὶ ὀνειδιστικόν ἐστιν Ἕκτορος καὶ ἀνάμνησις λόγου, ἐν ᾧ ἠξίου Ἕκτωρ θνήσκειν ὑπὲρ πατρίδος, εἰπὼν «εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης». ἔτι τοῦ Ἕκτορος ὀνειδίσαντος τὸν ἀδελφὸν Πάριν οἷα μὴ ἀντιστῆναι τῷ Μενελάῳ τολμήσαντα, ὁ Γλαῦκος ἐνταῦθά φησι πρὸς Ἕκτορα, ὅτι Αἴαντι μεγαλήτορι οὐκ ἔτλη ἀντιστῆναι. Οὕτω διόλου τὴν δημηγορίαν τοῦ Γλαύκου ὁ ποιητὴς κέντρωνος δίκην ἀπὸ ἐννοιῶν ἀλλαχοῦ ῥηθεισῶν συνέρραψε, κατὰ τὰ ὕστερον δηλαδὴ Ὁμηρόκεντρα.

4.29 σχεδὸν γὰρ μίαν ἔννοιαν ἔχει ἐκ νέου ῥηθεῖσαν τὴν λέγουσαν· πῶς ἂν σὺ χείρονα φῶτα σαώσειας, καὶ ἑξῆς. αἱ δὲ λοιπαὶ ἄλλοθεν μεθειλκύσθησαν. καὶ ἔστι καὶ τοῦτο μέθοδος ἀρίστη

τοῦ ποιητοῦ, διδάσκοντος ὡς χρὴ πολυτρόπως τὰς ἐννοίας παραποιεῖν, οἷον ἐν σχημάτων ἐξαλλαγαῖς, ἐν πλατυσμοῖς, ἐν στενότησιν, ἤδη δέ πως καὶ ἐν μεταθέσεσιν. (v. 147) Τὸ γὰρ «οὐκ ἄρα τις χάρις ἦν» οὐ μεταπεποίηται, ἀλλὰ μόνον μετατέτακται, ῥηθὲν καὶ ἐνταῦθα ὥσπερ καὶ ἀλλαχοῦ, καθάπερ καὶ τὸ «μέγ' ἄριστος Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες», ἤδη προρρηθὲν περὶ Ἀχιλλέως, λέγεται καὶ ἐνταῦθα ὡσαύτως ὑπὸ τοῦ Γλαύκου. καὶ τοιαῦτα μὲν καὶ ταῦτα. (v. 142) Ὅρα δὲ ὅτι εἶδος ἄριστον καὶ τὸν Ἕκτορα ἱστορεῖ ὁ ποιητής, ὡς καὶ ἐν τοῖς μετὰ ταῦτα, καὶ οὐ κατὰ τοὺς ὕστερον εἰδεχθῆ καὶ στραβόν, ὡς ἐκεῖνοί φασιν. ὡς δὲ καὶ εὐμεγέθης ἦν, ἐμφαίνεταί που ὅτε τὰ τοῦ Ἀχιλλέως ὅπλα προσήρμοσε καὶ αὐτῷ, καθὰ καὶ τῷ Πατρόκλῳ, οἷα ἰσομεγέθει. (v. 209 s.) Ἐρεῖ γὰρ ὅτι «κυανέαις ἐπ' ὀφρύσι νεῦσε Κρονίων, Ἕκτορι δ' ἥρμοσε τεύχεα ἐπὶ χροΐ», τουτέστι προσηρμόσθησαν παθητικῶς.

4.30 ὃ μὴ ἀνεχόμενοί τινες, οἷα ὀκνοῦντες ἶσον μέγεθος δοῦναι τῷ τηλικούτῳ Ἀχιλλεῖ καὶ τῷ Ἕκτορι, ἐπὶ Διὸς ἀκούουσι τὸ ἥρμοσε, λέγοντες ὡς ἐπ' ὀφρύσι νεύσας Κρονίων ἥρμοσεν αὐτὸς τὰ τεύχεα τῷ Ἕκτορι. (v. 143) Κλέος δὲ καὶ νῦν ἐσθλὸν πρὸς διαστολὴν ἔφη τῆς οὐκ ἐσθλῆς φήμης. Φύξηλις δὲ, εἰ μὲν ὁ φεύγων ἅλις, ἔχεται λόγου τὸ διὰ τοῦ ἦτα γράφεσθαι τὴν παραλήγουσαν, εἰ δὲ ὁ φεύγων ἴλας, ἤγουν τὰς ἐν πολέμῳ τάξεις, κατὰ τὸν παρὰ Πορφυρίῳ λόγον, ἔχει ἀπορίαν ἡ γραφή. (v. 144) Ἐν δὲ τῷ «πόλιν καὶ ἄστυ σαώσεις» ζητητέον, εἰ πόλιν μὲν λέγει τὸ κατώτερον, ἄστυ δὲ τὴν ἀκρόπολιν, ἢ καὶ ἀνάπαλιν. ἴσως δὲ καὶ ἐκ παραλλήλου ἔφη πόλιν καὶ ἄστυ ὡς ἰσοδύναμα, ταὐτολογῶν καὶ νῦν διὰ τὸ ἀγωνιᾶν. οἱ δὲ παλαιοί φασι πόλιν μὲν τὴν πολιτείαν, ἄστυ δὲ τὸ τεῖχος. Τὸ δὲ «σαώσεις οἶος», ἤγουν μόνος, καὶ ἑξῆς πάνυ σεμνύνει τοὺς Λυκίους, ὡς αὐτῶν μὲν τὸ πᾶν ὄντων, Ἕκτορος δὲ μόνου λειπομένου, εἰ μὴ αὐτοὶ τὸ ἀξιολογώτατον μέρος μάχονται. οὕτω δὲ καὶ πρὸ μικροῦ μέγα φρονῶν ὁ Γλαῦκος ἔφη, ὅτι Μυρμιδόνες Δαναῶν χολοῦνται, οὓς ἐπὶ νηυσὶν ἐπέφνομεν. (v. 145) Ἐνταῦθα δὲ ὅρα καὶ ὅτι Ἰλιεῖς μὴ εἰωθὼς λέγειν ὁ ποιητής, ὡς καὶ ἀλλαχοῦ σεσημείωται, περιφράζει αὐτούς, εἰπὼν «οἳ Ἰλίῳ ἐγγεγάασιν», ἤγουν ἐγγεγέννηνται. πολλὰ δὲ καὶ ἄλλα ἐθνικὰ προάγονται κατὰ περίφρασιν, ὡς δηλοῖ καὶ ὁ γράψας τὰ Ἐθνικά. (v. 147) Τὸ δὲ «ἐπεὶ οὐκ ἄρα τις χάρις» καὶ ἑξῆς πρὸς ἀχάριστον οἰκεῖον εἰπεῖν βοηθηθέντα ἐν ἀνάγκῃ. στρατηγικὸν δὲ καὶ τὸ ὀνειδίσαι ἐφ' οἷς μήτις τῶν ἐν πολέμῳ θανόντων σῴζεται χάρις. ὀκνήσουσι γὰρ οἱ ζῶντες κινδυνεύειν ὁρῶντες ἀνεκδικήτους τοὺς πεσόντας.

4.31 (v. 149) Τὸ δὲ «πῶς ἂν σὺ χείρονα φῶτα σαώσειας μεθ' ὅμιλον σχέτλιε» καὶ ἑξῆς, ἐπιχείρημά ἐστιν ἐκ τοῦ μείζονος. θέλει γὰρ εἰπεῖν, ὡς ὁ τοῦ βασιλέως τῶν Λυκίων πεσόντος ἀμελήσας οἷός τις φανεῖται περὶ τοὺς ἰδιώτας καὶ χείρονας. τὸ γὰρ «φῶτα μεθ' ὅμιλον» τὸν τοῦ δήμου ἄνδρα δηλοῖ. (v. 150) Σχέτλιος δὲ νῦν ὁ χαῦνος δοκεῖ λέγεσθαι, ὃν ἔδει σχέσθαι καὶ τλῆναι, ὅ ἐστιν ὑπομεῖναι, οὐ μὴν ἐνδοῦναι, ὡς δηλοῖ τὸ «οὔ οἱ ἀλαλκέμεναι κύνας ἔτλης», καὶ τὸ «οὐκ ἐτάλασσας στῆναι ἄντα Αἴαντος». Τὸ δὲ «ξεῖνον καὶ ἑταῖρον» μέγα ὄνειδος τῷ Ἕκτορι, ὡς εἰς ξένιον καὶ ἑταιρεῖον Δία παρανομοῦντι, ἐφ' οἷς τὸν καὶ ξεῖνον καὶ ἑταῖρον Σαρπηδόνα περιορᾷ, ὃν καὶ πολυωφελῆ λέγει οὐ τῇ πόλει μόνον, ἀλλὰ καὶ αὐτῷ, ἐντρέπων εἰς πλέον τὸν Ἕκτορα ὡς εὐηργετημένον μὲν πολλὰ καὶ κοινῇ καὶ ἰδίᾳ, οὐ μεμνημένον δέ, καὶ ταῦτα ἐφ' οἷς οὐδὲν μέγα ποιήσει, ἀλλὰ κύνας μόνον ἀλάλκῃ αὐτοῦ. οἴεται γὰρ ὁ Γλαῦκος ἄταφον, ὡς εἰκός, ἐν τῷ πεδίῳ κεῖσθαι τὸν Σαρπηδόνα, μὴ εἰδὼς τὴν προμηθευθεῖσαν αὐτοῦ ἁρπαγήν. δῆλον δὲ ὅτι τε πολλὴ διαφορὰ ξείνου καὶ ἑταίρου, καὶ ὅτι καθ' ὁμοιότητα τούτου κεῖται ἐν Ὀδυσσείᾳ τὸ «ξεῖνε φίλε, εἰ καί μοι νεμεσήσεαι». (v. 151) Τὸ δὲ «Ἀργείοισιν ἕλωρ» κατὰ τὸ «ἑλώρια κύνεσσιν» εἴρηται. (v. 154) Τὸ δὲ «εἴ τις ἐμοὶ ἐπιπείσεται» ἐμφαίνει μὴ οὕτω τοὺς Λυκίους τῷ Γλαύκῳ πείθεσθαι, ὥσπερ ποτὲ τῷ Σαρπηδόνι (v. 155) Τὸ δὲ «οἴκαδε ἴμεν» δύναται καὶ πληθυντικὸν εἶναι ῥῆμα δηλοῦν τὸ ἐρχόμεθα, καὶ ἀπαρέμφατον δέ, κατὰ σχῆμα ἐλλείψεως οἷον ἵνα λέγῃ ὡς, εἴ τίς μοι πείσεται ἀπελθεῖν, εὖ ποιήσει. ὃ σιγήσας ὁ Γλαῦκος διὰ τὸ δύσφημον ἐλλιπῶς ἔφρασε.

καὶ ἄλλως δέ, ἀπαρεμφάτου ὄντος τοῦ ἴμεν, ὁ ἐπαγόμενος σύνδεσμος ἐν τῷ «Τροίῃ δὲ πεφήσεται ὄλεθρος» ἀργὸς κεῖται ἀντὶ τοῦ δή παραπληρωματικοῦ, ἵνα λέγῃ ὅτι, εἴ τις Λυκίων ἐμοὶ πειθήσεται οἴκαδε ἀπελθεῖν, τῇ Τροίᾳ δὴ πέφηνεν ὄλεθρος. (v. 154) Δῆλον δὲ ὡς ἐν τῷ «εἴ τις Λυκίων ἐμοὶ πείσεται» τὸ τίς διεξοδικῶς νοείται ἀντὶ τοῦ οὗτος καὶ ἐκεῖνος καὶ ἐκεῖνος καὶ ἄλλος, καὶ ὅλως εἰπεῖν, ἕκαστος.

4.32 ἄλλως γὰρ εἷς τις Λύκιος οἴκαδε νοστήσας οὐχ' οὕτω βλάψει τὴν Τροίαν ὥσπερ οὐδὲ πεσών. τοιοῦτος νοῦς τοῦ τίς καὶ παρὰ τῷ φιλομήρῳ Σοφοκλεῖ ἐν τῷ «ὥρα τινά», ἤγουν ἕκαστον, τῶν Σαλαμινίων, «ποδοῖν κλοπὰν ἀρέσθαι», ἤγουν λάθρᾳ φυγεῖν. ἔστι γὰρ ὡς νόῳ κλέπτειν καὶ χερσίν, οὕτω καὶ ποσί. (v. 155) Τὸ δέ «πεφήσεται» παρισοῦται μὲν κατὰ σχῆμα κάλλους πρὸς τὸ πείσεται, δηλοῖ δὲ τὸ φανήσεται ὡς ἀπὸ τοῦ φῶ φήσω, οὗ παράγωγον τὸ φαίνω. σημαίνει δὲ ἡ λέξις ἔστιν ὅτε καὶ τὸ φονευθήσεται, ὡς παρὰ Λυκόφρονι. Παράγεται δὲ ἐκεῖνο ἐκ τοῦ φῶ, τὸ φονεύω, οὗ μέλλων οὐ μόνον φήσω, ἀλλὰ καὶ φάσω διὰ τοῦ α . ὅθεν ἐνταῦθα τὸ «τοίου θεράπων πέφατ' ἀνέρος». (v. 159) Τὸ δὲ «ἐρυσαίμεθα» καὶ τὸ «Ἴλιον εἴσω» δὶς ἐνταῦθα κεῖνται, λέξεις αὗται φίλαι τῷ ποιητῇ. βίαιον δὲ δηλοῖ ἑλκυσμὸν τὸ ἐρυσαίμεθα. δηλοῖ γὰρ τὸ βίᾳ ἑλκύσομεν. Ἔστι δ' ἐνταῦθα ἡ κατὰ ῥήτορας ἀξίωσις τῆς τοῦ Γλαύκου δημηγορίας. ἃ γὰρ λέγει, διὰ τοῦτο λέγει, ἀξιῶν ἑλκυσθῆναι τὸν τοῦ Πατρόκλου νεκρόν, ὡς ἂν ἀντ' ἐκείνου οἱ Ἀργεῖοι λύσειαν τὰ τοῦ Σαρπηδόνος τε ὅπλα καὶ αὐτὸν ἐκεῖνον. (v. 162—5) Ὅρα δ' ἐν τούτοις ὡς καὶ παρ' Ὁμήρῳ κεῖται τὸ οἷόν τε εἶναι καὶ διὰ τῶν τεθνεώτων συναλλάττεσθαι τὰ δοκοῦντα τοῖς μέρεσιν, ὁποῖα πολλὰ γενέσθαι ἱστόρηνται, καὶ ὅτι τὸ «λύσειαν» ἐπὶ ὅπλων ἔφη, ὡς οἷά τινων αἰχμαλώτων καὶ αὐτῶν— οὕτω δὲ καὶ ἵπποι καὶ νῆες αἰχμάλωτοι λέγονται, εἰ δὲ ἐπανασωθῶσι, λύονται —, καὶ ὅτι τὸ ἄγεσθαι καὶ νῦν ἐπὶ νεκροῦ ἶσον ὂν τῷ λαβεῖν. ἐκ δὲ τοῦ τοιούτου ἄγειν καὶ ἡ λαφυραγωγία, καὶ ὅτι ἀγχεμάχους καὶ οἱ ἐχθροὶ τοὺς Μυρμιδόνας οἴδασιν.

4.33 (v. 166) Ὅρα δὲ καὶ ἐν τῷ «ἀλλὰ σύ γ' Αἴαντος» τὸν συναληλιμμένον γε σύνδεσμον κατὰ χασμῳδίας μεσολαβήσαντα, εἰ καὶ μὴ ἀναγκαίως. (v. 167—9) Τὸ δὲ «στῆναι ἄντα Αἴαντος», καὶ τὸ «κατ' ὄσσε ἰδεῖν», καὶ τὸ «ἰθὺς μαχέσασθαι», καὶ μετ' ὀλίγα τὸ «Αἴαντα ὑπομεῖναι» τῆς αὐτῆς σημασίας εἰσί, ῥητορευθέντα παραφραστικῶς. εἴη δ' ἂν καὶ τὸ «κατενῶπα ἰδεῖν» ταὐτὸν τῷ «κατ' ὄσσε ἰδεῖν». Ὅτι δὲ τὸ «οὐκ ἐτάλασσας Αἴαντος στῆναι ἄντα», καὶ τὸ «ἐπεὶ φέρτερός ἐστι» σφοδρῶς πέφρασται, δηλοῖ Ἕκτωρ, πρὸς μὲν τὰ ἄλλα μὴ ἀντειπών, πρὸς ταῦτα δὲ καὶ μόνα, ὡς εὐθὺς ῥηθήσεται. Τὸ δὲ «οὐκ ἐτάλασσας» σκώπτει μὲν ὡς ἀταλαίπωρον καὶ οὐ τλήμονα τὸν Ἕκτορα, γίνεται δέ, ὡς καὶ ἀλλαχοῦ ἐφάνη, ἀπὸ τοῦ ταλῶ, ἐξ οὗ τὸ τλῶ κατὰ συγκοπήν. ὅθεν καὶ τὸ τλῆναι καὶ ὁ τλήμων καὶ ὅσα τοιαῦτα. ἐκ δὲ τοῦ ταλῶ ταλάσω ἀποβληθέντος τοῦ κατὰ τὸν μέλλοντα τελευταίου φωνήεντος ὁ τάλας γίνεται. (v. 167) Τὸ δὲ «δηΐων ἐν ἀϋτῇ» ἐντελῶς ἔχει. οὐ γὰρ ἁπλῶς ἀϋτὴ ὁ πόλεμος, ἀλλ' ἡ τῶν δηΐων ἀϋτή. (v. 170—3) Ὅτι Ἕκτωρ ὑβριοπαθήσας, ἐφ' οἷς ἐκ τοῦ Γλαύκου ἤκουσε, σφοδρότερον μὲν τοῖς ὀνειδισμοῖς οὐκ ἐπεξέρχεται, ὡς εἰδὼς αὐτὸν ἐπὶ δικαίοις ἀγανακτοῦντα, εὐγενῶς δὲ καὶ σεμνῶς μέλλων εἰπεῖν, ὡς οὐ διὰ δειλίαν ἀναδύεται τὴν μάχην ἀλλὰ διὰ θεόν, ἵνα μὴ δόξῃ θεομαχεῖν, πρῶτα τέως καὶ αὐτὸς καθάπτεται, εἰπὼν πρὸς τὸν Γλαῦκον ἃ δή ποτε ῥηθείη ἂν πρὸς τὸν δοκοῦντα μὲν φρονεῖν, ἀπεοικότα δὲ εἰπόντα, σκώπτων, ὥσπερ ἐκεῖνος τοῦτον ἐπὶ ἀνανδρίᾳ, οὕτως αὐτὸς ἐκεῖνον ἐπὶ ἀφροσύνῃ, εἴγε θεομαχεῖν αὐτὸν βούλεται. Φησὶ γὰρ «Γλαῦκε, τίη δὲ σὺ τοῖος ἐὼν ὑπέροπλον ἔειπες; ὢ πόποι, ἦ τ' ἐφάμην σε περὶ φρένας ἔμμεναι ἄλλων, τῶν ὅσσοι Λυκίην ἐριβώλακα ναιετάουσι· νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες». Καὶ ὅρα σκῶμμα λεληθός. οὐ γὰρ ἔφη δοξάζειν, ὡς ὁ Γλαῦκος πάντων περιῆν φρένας τῶν κατὰ Τροίαν, ἀλλὰ μόνων Λυκίων, ὡς νῦν γε οὐδ' αὐτῶν.

4.34

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(v. 174) Εἶτα ἐκτιθεὶς καὶ τί ἐστιν ὅπερ ὁ Γλαῦκος ὀνοστῶς εἶπεν, ἐπάγει «ὅς τέ με φῂς Αἴαντα πελώριον οὐχ' ὑπομεῖναι». ποῦ δὲ τοῦτο ἔφη ὁ Γλαῦκος; ἐν τῷ «οὐκ ἐτάλασας», ἤγουν οὐχ' ὑπέμεινας, στῆναι ἄντα Αἴαντος, ὡς ταὐτὸν ὂν οὕτως ἢ ἐκείνως εἰπεῖν. Ἔνθα καὶ ὅρα τὸ «Αἴαντα πελώριον», δοκοῦντος οἷον παραλαλεῖν τοῦ Ἕκτορος μηδὲν προσεῖναι τῷ Αἴαντι σεμνὸν πλέον ἢ τὸ πέλωρον, εἰ καὶ ὁ Γλαῦκος ἐντρέπων τὸν Ἕκτορα μεγαλήτορα πρὸ βραχέων ἔφη τὸν Αἴαντα. [Ὅτι δὲ πρωτότυπον τοῦ πελώριος ὁ πέλωρος, καὶ ὅτι ἐκ τῆς τοιαύτης λέξεως καὶ πελωρὶς οὐ μόνον Σικελικὸν ἀκρωτήριον ἀλλὰ καὶ χήμης εἶδος μεγάλης, ἐκδηλότατον ἐκ τῶν παλαιῶν, παρ' οἷς καὶ Διὸς ἐπίθετον ὁ πέλωρος καὶ Πελώρια ἑορτὴ παρώνυμος αὐτοῦ, περὶ ἧς λόγος τοιοῦτος παρὰ τῷ Δειπνοσοφιστῇ. Ἐν τῇ Αἱμονίᾳ, φησί, γενομένων σεισμῶν ἐρράγη ὄρη τὰ ὀνομαζόμενα Τέμπη, καὶ ὁρμῆσαν τὸ τῆς λίμνης ὕδωρ ἐμβάλλει εἰς τὸ τοῦ Πηνειοῦ ῥεῖθρον, καὶ οὕτως ἡ πρότερον λιμνάζουσα χώρα ἐγυμνώθη, καὶ ἀναξηραινομένων τῶν ὑδάτων πεδία θαυμαστὰ μεγέθει καὶ κάλλει ἀνεφάνη. καὶ ὁ Πελασγὸς ἀκούσας τράπεζαν ἀφθόνως κεκοσμημένην τῷ Πελώρῳ παρέθετο—περὶ οὗ Πελώρου ζητητέον τίς ποτε ἦν—, καὶ ὑπηρέτει μετὰ καὶ ἄλλων. ὡς δὲ τὴν χώραν κατέσχον, θύουσι Διῒ πελώρῳ, καὶ εἰς μίμημα τῆς τότε ἑορτῆς τραπέζας τε κοσμοῦντες προτίθενται καὶ οὕτω φιλάνθρωπον πανήγυριν συγκροτοῦσιν, ὡς καὶ τοὺς ξένους ἐπὶ τὴν θοίνην παραλαμβάνειν καὶ τοὺς δεσμώτας λύειν καὶ τοὺς οἰκέτας κατακλίναντας ἑστιᾶν μετὰ παρρησίας διακονούντων τῶν δεσποτῶν. καὶ ἦγον Θεσσαλοὶ μεγίστην ἐκείνην ἑορτήν, προσαγορεύοντες Πελωρίαν. καὶ ἦν, φησίν, ἡ αὐτὴ τῇ τῶν Σατουρναλίων. (v. 175—8) Ἐπὶ δὲ τοῖς εἰρημένοις] μέγα φρονῶν ὁ Ἕκτωρ ἐπάγει λόγον ἀνδρείου καὶ θεοφιλοῦς στρατηγοῦ ἀσυνδέτως κατὰ ἀπόστασιν «οὔ τοι ἐγὼν ἔρριγα μάχην οὐδὲ κτύπον ἵππων», δι' οὗ δηλοῖ ἀντιμάχων ἱππέων ἐπέλευσιν, «ἀλλ' αἰεί τε Διὸς κρείσσων νόος, ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην ῥηϊδίως, ὁτὲ δ' αὐτὸς ἐποτρύνει μαχέσασθαι», ἢ ἐποτρύνῃσι μάχεσθαι, ὃ καὶ ἀλλαχοῦ προέκκειται.

4.35 τοῦτο δέ, εἰ ἀντὶ τοῦ «Διὸς κρείττων» τις ἑτέρα λέξις τεθῇ, οἷον τὸ θεῖος ἢ τὸ θεοῦ, ἄριστον γίνεται γνωμικόν, ῥηθὲν τῷ τέως πρὸς τό· ἐπεὶ σέο φέρτερος ὁ Αἴας ἐστίν, ὅπερ ὁ Γλαῦκος ἔφη, ὡς ἀνθυποφέροντος Ἕκτορος, ὅτι μὴ ὁ Αἴας φέρτερος αὐτοῦ ἀλλὰ κρείττων ὁ νοῦς τοῦ θεοῦ, καὶ οὐ νῦν μόνον ἀλλ' αἰεί. καὶ ὅρα ὅτι ὡς ὁ Μενέλαος πρὸ τούτων, οὕτω καὶ ὁ Ἕκτωρ νῦν τοῦ ὀκνεῖν τὴν μάχην θεὸν αἰτιᾶται. (v. 179—82) Ἐφ' οἷς ὁ Ἕκτωρ λέγει καὶ ἅπερ εἴποι ἂν ὁ ἐπὶ προηγησαμένῃ μεμψιμοιρίᾳ φιλενδεικτῶν «ἀλλ' ἄγε πέπον, παρ' ἔμ' ἵστασο καὶ ἴδε ἔργον, ἠὲ πανημέριος κακὸς ἔσσομαι, ὡς ἀγορεύεις, ἤ καί τινα ἀλκῆς μάλα περ μεμαῶτα σχήσω ἀμυνέμεναι» περὶ τοῦ δεῖνος, ἤγουν ἐφέξω τῆς εἰς ἄμυναν ἀλκῆς. (v. 170) Ὅρα δὲ ἐν τοῖς ῥηθεῖσι καὶ τὸ «τοῖος ἐὼν ὑπέροπλον ἔειπας». οὐ γὰρ οὕτω πολὺν δηλοῖ ἔπαινον ἐνταῦθα τὸ τοῖος, καθὰ πρὸ ὀλίγων τὸ «τοίου γὰρ θεράπων», ὃ Γλαῦκος περὶ Ἀχιλλέως εἶπεν. ἐκεῖνο μὲν γὰρ πάνυ σεμνῶς ἔχει κατὰ τὸν σκοπὸν τοῦ Γλαύκου, τοῦτο δὲ οὐχ' οὕτως, οἷα τοῦ Ἕκτορος μὴ φιλίως πρὸς τὸν Γλαῦκον ἔχοντος. (v. 175) Τὸ δὲ «ἔρριγα» μέσος παρακείμενός ἐστι, συγκοπεὶς ἐκ τοῦ ἐρρίγηκα. Τὸ δὲ «οὐδὲ κτύπον ἵππων» ἔχει τινὰ γλυκύτητα διὰ τὴν οἷον παρηχητικὴν ὁμοιοφωνίαν. (v. 178) Τὸ δὲ «ὁτὲ δ' αὐτὸς ἐποτρύνει» τὰ πλείω τῶν ἀντιγράφων καὶ νῦν παροξυτόνως ἔχει «ὅτε δ' αὐτὸς ἐποτρύνει».

4.36 ἀρχαΐζουσα δὲ ἡ γραφὴ τὴν αὐτὴν ἑρμηνείαν ἔχει. δηλοῖ γὰρ τὸ «ποτὲ δ' αὐτὸς ἐποτρύνει». (v. 179) Ἐν δὲ τῷ «ἴδε ἔργον» ἐπὶ πολέμου τὸ ἔργον, ὡς καὶ ἐν ἄλλοις, εἰ καὶ κυρίως ἡ λέξις ἐπὶ γεωργίας τίθεται. (v. 180) Τὸ δὲ «κακὸς ἔσομαι» ἀντὶ τοῦ δειλός. πολλαχοῦ δὲ οὕτω λαμβάνεται ὁ κακός. δηλοῖ δέ ποτε καὶ τὸν δυσγενῆ. (v. 181) Τὸ δὲ «ἀλκῆς σχήσω» εὐφήμως κεῖται, νοούμενον ἐπί τε κωλύμης ἑτέρας καὶ ἐπὶ τῆς διὰ φόβον. (v. 184—95) Ὅτι ἔδωκε μὲν ἤδη Ἕκτωρ τεύχεα καλὰ τὰ τοῦ Ἀχιλλέως φέρειν εἰς Τροίαν, μέγα κλέος εἶναι αὐτῷ, ἢ χρησομένῳ αὐτοῖς ἐς νέωτα ἢ συνήθως ἀναθήσοντι. μὴ ἀντισχὼν δὲ πρὸς τὴν ἐπιθυμίαν τοῖς Τρωσὶ μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐφίησι μάχεσθαι, «ὄφρ᾽ ἂν ἐγώ», φησίν, «Ἀχιλῆος ἀμύμονος ἔντεα δύω καλά», τὰ κατωτέρω κλυτά, ἤγουν περιδύσωμαι. «αὐτὸς δὲ θέων ἐκίχανεν ἑταίρους ὦκα μάλα, οὔ πω τῆλε, ποσὶ κραιπνοῖς μετασπών», οἳ πρὸς ἄστυ ἐκεῖνα ἔφερον. «στὰς δ᾽ ἀπάνευθε μάχης πολυδακρύτου ἔντε᾽ ἄμειβε». καὶ τὰ μὲν οἰκεῖα «ἔδωκε φέρειν εἰς Ἴλιον, ὃ δ᾽ ἄμβροτα τεύχεα δῦνεν Ἀχιλλῆος». (v. 195—7) Εἶτα ἑρμηνεύων τὸ «ἄμβροτα», φησὶν «ἃ θεοὶ οὐρανίωνες πατρὶ φίλῳ ἔπορον, ὃ δ᾽ ἂρ ᾧ», ἤγουν ἰδίῳ, «παιδί», τῷ Ἀχιλλεῖ, «ὤπασσε γηράς. ἀλλ᾽ οὐχ᾽ υἱὸς ἐν ἔντεσι πατρὸς ἐγήρα». τοῦτο δὲ περιπαθῶς ἐρρέθη καὶ συντόμως κατὰ οἶκτον, ὡς περιπαθὲς ὂν υἱὸν εὑρῆσθαι δυστυχέστερον πατρός. Σημείωσαι δὲ ὅτι δεινῶς οἰκονομεῖ ὁ ποιητὴς μὴ ἀνατεθῆναι τὰ ὅπλα ἢ ὅλως ἀπαχθῆναι εἰς Τροίαν ἀλλὰ τῷ Ἕκτορι φορηθῆναι, ἵνα ἐπανασωθῶσιν αὖθις τῷ Ἀχιλλεῖ, ὅτε ἀνέλῃ τὸν Ἕκτορα. ἀλλὰ τοῦτο μὲν ἡ ψυχὴ τοῦ Ὁμηρικοῦ πλάσματος, οὐχ᾽ ἧττόν τι καὶ τὸν Ἀχιλλέα σεμνύνοντος, εἰ τὸν Ἕκτορα καταβαλεῖ μὴ ἁπλῶς ὄντα ὁπλίτην ἀλλὰ θείοις πεφραγμένον τεύχεσι, δι᾽ ὧν ἐκρατύνετο τὰ πρὸ τούτου ὁ Ἀχιλλεύς. ἄλλως δέ, τὴν τοῦ Ἀχιλλέως πανοπλίαν ὁ Ἕκτωρ δύνει, καλλωπιζόμενός τε, ὡς εἰκός, φιλοτίμως καὶ δόξαν θηρώμενος οἷος αὐτός, καὶ τῷ σώματι φυλακὴν περιποιούμενος, καθὰ προεδηλώθη πλατύτερον, καὶ τοὺς Τρῶας ἐπιρρωνύων καὶ τοὺς Ἀχαιοὺς ἐκφοβῶν.

4.37 (v. 190) Τὸ δὲ «μετασπών» δηλοῖ μὲν τὸ καταλαβών, γενόμενον ἐκ τοῦ μετέσπον. ἔστι δὲ μετοχὴ ἀορίστου δευτέρου, καθὰ καὶ τὸ ἐπέσπον ἐπισπών, ἐπισπεῖν, ἐπισπέσθαι, ἐπισπόμενος. (v. 192) Πολυδάκρυτος δὲ μάχη ἡ κατὰ πόλεμον πρὸς διαστολὴν ἑτέρας, ὁποία καὶ ἡ κατὰ λογομαχίαν. ἐκείνη γὰρ οὐ πολυδάκρυτος. Ἀμείβει δὲ τεύχεα νῦν οὐχ᾽ ὁ κρείττων τὰ τοῦ χείρονος, ὥς που πρὸ τούτων γέγονεν, ἀλλὰ τὸ ἀνάπαλιν, εἰ καὶ ἄλλως χείρων ἦν Ἕκτορος ὁ ταῦτα σκυλευθεὶς Πάτροκλος. (v. 195) Ὡς δὲ θεόσδοτα τῷ Πηλεῖ τὰ ὅπλα, νῦν μὲν ἐν ὀλιγίστῳ ἐρρέθη, ἐν τοῖς ἑξῆς δὲ ἱστορηθήσεται καὶ ὁ καιρὸς τῆς δόσεως, μερισθείσης τῆς ἱστορίας, ὡς πολλαχοῦ Ὅμηρος εἴωθε ποιεῖν. Λέγει δὲ καὶ ἡ παροιμία «Πηλεὺς τὴν μάχαιραν», ὡς διὰ σωφροσύνην λαβόντος αὐτοῦ καὶ ξίφος θεόθεν, καθὰ καὶ ὁ Κωμικὸς δηλοῖ. (v. 197) Τοῦ δὲ «γηράς» ἡ χρῆσις καὶ παρ᾽ Ἡσιόδῳ ἐν τῷ «γηράντεσσι τοκεῦσι». γίνεται δὲ τὸ γηράς ἢ ἐκ τοῦ γηράσας κατὰ ἀποκοπὴν ὁμοίως τῷ ἐπιπλώσας ἐπιπλώς, ἢ ἀπὸ ἀρρήτου ἐνεστῶτος τοῦ γήρημι. ἐξ οὗ ἴσως καὶ τὸ «ἐν ἔντεσι πατρὸς ἐγήρα». ὡς γὰρ ἵστημι ἵστην ἵστης ἵστη, οὕτω γήρημι ἐγήρην ἐγήρη, καὶ τροπῇ ἐγήρα. εἰ δὲ καὶ ἀπὸ τοῦ γηράω τὸ ἐγήρα, ὅρα ὡς στίχῳ ἑνὶ κεῖται καὶ καινὸν τὸ «γηράς» καὶ κοινὸν τὸ «ἐγήρα». (v. 200) Ὅτι θυμοῦ κἀνταῦθα ὡς καὶ ἐν Ὀδυσσείᾳ ἐνδεικτικὸν τὸ «κινήσας κάρη προτὶ ὃν μυθήσατο θυμόν». (v. 201—6) Ὅτι προαναφώνησιν πάλιν συνήθως τῶν ἐφεξῆς ὁ ποιητὴς ἐκτιθέμενος τῷ εἴτε λίχνῳ τὴν ἀκοὴν εἴτε φιλέλληνι ἀκροατῇ παθαινομένῳ, οἷα εἰκός, ἐφ᾽ οἷς Ἕκτωρ τὰ τοῦ Ἀχιλλέως ἄμβροτα τεύχεα ἔδυνε, πλάττει τὸν Δία λέγοντα οὕτως «ἆ δεῖλ᾽, οὐδέ τί τοι», ἤγουν ὦ δείλαιε, οὔτι δή σοι «θάνατος καταθύμιός ἐστιν, ὃς δή τοι σχεδόν ἐστι· σὺ δ᾽ ἄμβροτα τεύχεα δύνεις ἀνδρὸς ἀριστῆος, τόν τε τρομέουσι καὶ ἄλλοι.

4.38 τοῦ δὴ ἑταῖρον ἔπεφνες ἐνηέα τε κρατερόν τε, τεύχεα δ᾽ οὐ κατὰ κόσμον ἀπὸ κρατός τε καὶ ὤμων εἵλευ». (v. 206—8) Εἶτα καὶ ὑπισχνεῖται, ὅτι νῦν αὐτῷ μέγα κράτος δώσει τῶν, ἤγουν τούτων, «ποινήν, ὅ τοι», ἤγουν διότι δή, «οὔ τι μάχης ἐκνοστήσαντι δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα Πηλείωνος. ἦ», τουτέστιν ἔφη, «καὶ κυανέαις ἐπ᾽ ὀφρύσιν ἔνευσεν», ὡς μὴ ἂν ἄλλως ἐσομένων τῶν ῥηθέντων, ὃ καὶ ἀλλαχοῦ ἐποίησεν, [αἰνιττόμενός τινα διοσημίαν καὶ ἐκεῖ, οὐ τὴν τυχοῦσαν μέντοι, ἀλλὰ τὴν ἔκ τινων καταιγίδων, δι᾽ ὧν ὁ ἄνω Ζεύς, ἤγουν αἰθὴρ ἢ ἀὴρ πυκνούμενος καὶ οὕτω μελαινόμενος τῇ νεφώσει, κυανέαις ὀφρύσι κατανεύειν ἐπὶ αἰσίαις τύχαις δοκεῖ. οὐ γὰρ ἔστιν ἄλλως τῷ λαμπροτάτῳ αἰθέρι κυανέας προσπλάσαι ὀφρῦς, εἰ μὴ κατὰ μόνον λόγον τῆς ἔστιν ὅτε δνοφερᾶς αὐτόθι νεφώσεως, ἧς πάντῃ πάντως τὰ χρύσεα νέφη διαφέρουσιν.] Ἰστέον δὲ ὅτι τὸ «ἆ δειλέ» ἕως τοῦ «σχεδόν ἐστιν» οἰκεῖον ῥηθῆναι πρὸς πάντα

τὸν ἐπικινδύνως θρασυνόμενον, ὁποῖος καὶ ὁ Ἕκτωρ τὰ πολλὰ τῶν μελλόντων ἀπροόρατος ὢν καὶ τὰ μὴ καθ' ἑαυτὸν νοῶν, ἀλλὰ φρονῶν μείζω τῆς φύσεως διὰ ἀλαζονείαν. (v. 201) Ὅτι δὲ τὸ ἆ κλητικόν ἐστιν ἐπίρρημα, καθὰ καὶ τὸ ὦ, καὶ ὅτι πνευματίζεται ὡς ἐκεῖνο καὶ τάσιν πάσχει ὁμοίαν, καὶ ὅτι ἐκεῖνο μὲν ἐκφωνεῖται ὅτε κατὰ φύσιν ἔχει τις τοῦ ψυχικοῦ καταστήματος, τὸ δὲ ἆ ἐν θυμῷ ἐκλαλεῖται ἢ τοιούτῳ τινὶ πάθει, προέγνωσται. Καταθύμιος δὲ παρὰ τῷ ποιητῇ ὁ κατὰ ψυχὴν λαμβανόμενος, ὁ ἐνθύμιος, παρὰ δὲ τοῖς ὕστερον ὁ ἐν ψυχῇ ὢν καί, ὡς εἰπεῖν, θυμήρης, οὗ ὁ ἔμπαλιν ἀκαταθύμιος. (v. 202) Τὰ δὲ ὅπλα τοῦ Πατρόκλου τὰ ἐξ Ἀχιλλέως οὐκ ἄμβροτα μόνον ἀλλὰ καὶ κλυτὰ λέγει καὶ καλά, πολλάκις οὕτω φράζων καὶ χορεύων διὰ τῶν τοιούτων λέξεων.

4.39 (v. 203) Τὸν δὲ Ἀχιλλέα φθάσας μὲν ὁ Γλαῦκος μέγα ἄριστον Ἀργείων παρὰ ναυσὶν ἔφη, καὶ ἦν πιστὸς ὁ παρὰ τοῦ ἐχθροῦ ἔπαινος, νῦν δὲ ἀριστέα ἐκεῖνον ὁ Ζεὺς καλεῖ φρικτόν. τοιοῦτον γάρ τι δηλοῖ τὸ «ὃν τρομέουσι καὶ ἄλλοι», ἐν ᾧ δοκεῖ περιττὸς ὁ και σύνδεσμος κεῖσθαι. εἰ μὴ ἄρα σκωπτικῶς ἐμφαίνει λέγειν ὅτι καὶ σὺ τρομέεις τὸν Ἀχιλλέα καὶ ἄλλοι. Ἐνταῦθα δὲ ὅρα καὶ τὴν συντομίαν τοῦ ἐπαινετηρίου, καιριωτάτην οὖσαν. οὐ γὰρ ἔδει τὸν ὕπατον Δία περὶ ἐλαττόνων προσώπων μακρὰ κατατείνειν ἐγκώμια. (v. 204) Ἐνηής δὲ ὁ τῷ ἀπηνεῖ ἐναντίος. καὶ ἔστιν ὥσπερ προσηνής, ὁ πρὸς τῇ ἀγαθότητι ὤν, ὡς ἀπὸ τοῦ ἠΰς, ὁ ἀγαθός, οὕτω καὶ ἐνηὴς ὁ ἐντὸς ἀγαθότητος, ἀπηνὴς δὲ ὁ ἀπὸ αὐτῆς. δῆλον δ' ὅτι τὸ κρατερόν ἐνταῦθα οὐκ ἀπειλὴν ἀλλὰ ἀνδρίαν δηλοῖ, οὐ γὰρ ἄγριος ὁ ἐνηής, εἰ μή τι ὁ πόλεμος καὶ τοιοῦτον αὐτὸν διατίθεται, ἵνα φύσει μὲν εἴη ἐνηής, διὰ τὴν μάχην καὶ κρατερός. (v. 205) Τὸ δὲ «οὐ κατὰ κόσμον ἀπὸ κρατός τε καὶ ὤμων εἵλευ» ἀντὶ τοῦ οὐκ ἐσκύλευσας, ὡς ἐχρῆν, ἀλλὰ τοῦ Φοίβου τὸν Πάτροκλον ἀφοπλίσαντος, σὺ δῶρον εἵλου αὐτὰ ἢ καὶ ὡς εὕρημα. ταπεινοῖ δὲ ταῦτα τὸ μεγαλεῖον τῆς ἀριστείας καὶ κατασμικρύνει τὸν Ἕκτορα, εἰ τὰ τοῦ Ἀχιλλέως ὅπλα ἔχει μήτε ἐκεῖνον ἀνελὼν καὶ αὐτὰ δὲ ἀκόσμως ἀνελόμενος. ὁ θώραξ τε γὰρ ἐκείνου ὑπὸ Ἀπόλλωνος ἐλύθη, καὶ ἡ ἀσπὶς σὺν τῷ τελαμῶνι αὐτόματος ἔπεσε χαμαί, ὡς προϊστόρηται. ἔστι δὲ τὸ μὲν «ἀπὸ κρατός» διὰ τὴν κυνέην, τὸ δὲ «καὶ ὤμων» διὰ τὸν θώρακα. (v. 206) Τὸ δὲ «εἵλευ» ἐν ἄλλοις ἐνεργητικῶς προφέρεται. διφορεῖται γάρ. καὶ ἦν μὲν εἰπεῖν «εἵλου» κοινότερον, εἵλετο δὲ Ὅμηρος φάναι «εἵλευ» καινότερον ὡς ποιητής. Τὸ δὲ «νῦν» καὶ ἐνταῦθα λοξὸν ὂν διασαφεῖται ὅμως τοῖς ἑξῆς.

4.40 εἰ γὰρ μὴ δέξεται αὐτὰ ἡ Ἀνδρομάχη, δῆλον ὅτι πρὶν ἢ ἀνελθεῖν εἰς τὴν πόλιν ὁ Ἕκτωρ ἀφοπλισθήσεται, ὃ δὴ πάλιν ἑτέρα ἐστὶν ἀναφωνητικὴ προέκθεσις, ὡς τοῦ Ἕκτορος μηκέτι τὴν Τροίαν ἐντὸς ὀψομένου καὶ διὰ τοῦτο μηδὲ τῇ γυναικὶ ὀφθησομένου μετὰ τῶν Ἀχιλλέως ὅπλων, ἵνα μηδὲ μαρτυρεῖν ἐκείνη ἔχῃ τῇ τοῦ ἀνδρὸς ἀρετῇ. (v. 207) Ποινὴ δὲ ἀλλαχοῦ μὲν τιμωρία καὶ πρόστιμον, ἐνταῦθα δὲ Ὅμηρος οὕτω τὴν ἀντισήκωσιν λέγει. διὰ τοῦτο γάρ φησι· μέγα σοι δώσω κράτος, ἀντισηκῶν τοῦτο πρὸς τὸ ἐπὶ σοὶ μέλλον κακόν, ἀνθ' ὧν δηλαδὴ οὐ μέλλεις ἐκνοστήσας τῆς μάχης ἀποκαταστῆναι τῇ φιλτάτῃ Ἀνδρομάχῃ. ἡ δὲ χρῆσις τοῦ τοιούτου σημαινομένου τῆς ποινῆς εὕρηται παρὰ Πινδάρῳ μάλιστα, καὶ δοκεῖ μὴ ἐκ τοῦ φένω ἐτυμολογεῖσθαι καὶ ἡ τοιαύτη ποινή, ἀλλ' ἐκ τοῦ πένω, τὸ ἐνεργῶ. εἰ δὲ μηκέτι τὴν Ἴλιον εἰσελεύσεται, ὡς ἐρρέθη, ὁ Ἕκτωρ, εἰκότως καὶ τὰ τοῦ Ἀχιλλέως ὅπλα ἐκ τῆς ἄρτι φορεῖ ὡς ἀποδώσων αὐτὰ τῷ Ἀχιλλεῖ. Ὅρα δὲ καὶ ὅτι δυνάμενος εἰπεῖν ἑνικῶς «τοῦ», ἤγουν τούτου, «ποινήν», ὁ δὲ πληθυντικῶς εἶπε τούτων ποινήν, μεγεθύνων τὸ κακὸν τῷ πληθυσμῷ. (v. 210—4) Ὅτι τερατῶδές τι πλάττων ἐπὶ τοῖς Ἀχιλλέως ὅπλοις Ὅμηρος καὶ ὑπεμφαίνων τὸ τοιοῦτον τέρας καὶ τοῖς ἄλλοις ἐγγίνεσθαι, οἳ τὰ τοιαῦτα ἐφόρουν, φησὶν «Ἕκτορι δ' ἥρμοσε τεύχε' ἐπὶ χροΐ», ὃ πρὸ ὀλίγων ἡρμηνεύθη, «δῦ δέ μιν Ἄρης δεινός, ἐνυάλιος. πλῆσθεν δ' ἄρα οἱ μέλεα ἐντὸς ἀλκῆς καὶ σθένεος. μετὰ δὲ κλειτοὺς ἐπικούρους ἔβη μέγα ἰάχων. ἰνδάλλετο δέ σφισι πᾶσι τεύχεσι λαμπόμενος μεγαθύμου Πηλείωνος», ἤγουν εἰκασμὸν ἑαυτοῦ ἔπεμπε τοῖς

βλέπουσιν καὶ οὐκ ἐμφανῶς ἐγινώσκετο Ἕκτωρ εἶναι, οἷα μὴ τὰ ἑαυτοῦ φορῶν, ἀλλὰ τοῖς Ἀχιλλέως ὅπλοις λαμπόμενος. ἕτεροι δέ φασιν, ὅτι μεγαθύμῳ Πηλείωνι ἰνδάλλετο, ἀπὸ κοινοῦ τὴν τοιαύτην λαβόντες δοτικήν. καὶ ἔστιν ἀστεία μᾶλλον ἡ περιπέτεια οὕτως, εἴπερ Ἀχιλλέως εἰκασμὸς ἕως μὲν ἄρτι ἐξεφόβει διὰ Πατρόκλου Τρῶας, νῦν δὲ κακὸν δι᾿ Ἕκτορος τοῖς Ἀχαιοῖς γίνεται.

4.41 καὶ εἴποι ἄν τις ὡς ἐν εἰδώλῳ ἀρεϊκῷ ἀλλοπρόσαλλόν τι κἀνταῦθα εἶναι ὑπὸ τοῦ εἰκασμοῦ τούτου, ὃ δὴ ψόγος Ἄρεος. Ἰστέον δὲ καὶ ὅτι μυθικῶς μὲν Ἄρης ἔδυ τὸν Ἕκτορα διὰ τῶν ὅπλων, καὶ ἀλκὴ καὶ σθένος διά τε τὸ ἡφαιστότευκτον καὶ διὰ τὸν Δία, ὃς μέγα κράτος αὐτῷ ἐγγυαλίξειν κατένευσεν. ἄλλως δὲ ἡ συμμετρία τῶν ὅπλων δοκεῖ συνεισάγειν ἀλκῆς τι, καὶ μάλιστα τὸ πολὺ τοῦ ἐπ᾿ αὐτοῖς χαίρειν καὶ τὸ εἰς μάχην ἐντεῦθεν πρόθυμον καὶ ἐνθουσιαστικόν. τὸν μέντοι Ἀχιλλέα ἐν τοῖς ἑξῆς ὡς καὶ αἴρει τὰ ὅπλα καὶ ὡσεὶ πτερὰ ἐκείνῳ γίνονται, εἰρήσεται κατὰ καιρόν. Πάνυ δὲ σεμνύνει τὰ τοῦ Ἀχιλλέως ὅπλα ὁ ποιητής, εἰ οὕτω δυνάμεως ἐμπιπλῶσι τὸν Ἕκτορα, ὡς καὶ κάτοχον οἷον γενέσθαι Ἄρεϊ. (v. 210) τοῦτο γὰρ δηλοῦται ἐν τῷ «δῦ δέ μιν Ἄρης», ἤγουν ἔνθεος γέγονε πλησθεὶς Ἄρεος. ἔδυ γὰρ ὥσπερ τὰ τεύχεα Πάτροκλος, οὕτως αὐτὸν Ἄρης. ἔστι δὲ νοεῖν ὡς τοιοῦτος ἦν καὶ Πάτροκλος καὶ πρὸ αὐτοῦ Ἀχιλλεὺς τὰ τοιαῦτα ἔχων ὅπλα. (v. 212) Τὸ δὲ «μετὰ ἐπικούρους» ἢ ἐκ μέρους τὸν ὅλον δηλοῖ στρατὸν ἢ μόνους αὐτούς, ὡς τοῦ Ἕκτορος φιλοτιμίαν σχόντος αὐτοῖς ἐμφανισθῆναι, καὶ μᾶλλον ὅτι βούλεται καὶ δημηγορῆσαι πρὸς αὐτούς. (v. 213) Τὸ δὲ «μέγα ἰάχων» εἴ τις ἐρεῖ 〈οὐ〉 διαφέρειν τοῦ «ὀξέα κεκληγώς» καὶ «ὀξὺ βοήσας», ἃ πρὸ ὀλίγων ἐπὶ Ἕκτορος ὁ ποιητὴς εἶπεν, οὐκ ἔξω λόγου ἐπιβαλεῖ. (v. 215) Ὅτι ἐρεθίσεως εἰς ἔργον τὸ «ὤτρυνε δὲ ἕκαστον ἐποιχόμενος ἐπέεσσιν». Ἔνθα ὅρα τὸ τοῦ στίχου πάθος. ἡ γὰρ λήγουσα τοῦ «ἐποιχόμενος» ἐκτέταται τῇ στιγμῇ καὶ τῷ ἐπιφερομένῳ φωνήεντι κατὰ τὸ «Νέστορα δ᾿ οὐκ ἔλαθεν ἰαχή». ἐν οἷς ἰσχύων ὁ ποιητὴς δι᾿ ἐπενθέσεως τοῦ ῥα συνδέσμου ἢ τοῦ γε καὶ συναλιφῆς αὐτῶν ἰάσασθαι τὸ πάθος δακτυλικῶς ὅμως οὐκ ἀπέκρινε τὸ σύνηθες τοῖς μέτροις ἐν δέοντι παθητικόν, οἷα μηδέν τι μηδ᾿ οὕτω καινοπραγῶν.

4.42 [Ἦν δὲ καὶ πρὸ τούτων ὅμοιον στιχηρᾶς λαγαρώσεως πάθος, ἔνθα Γλαῦκος ἔφη τὸ «οὐ γάρ τις Λυκίων μαχησόμενος Δαναοῖσιν εἶσι περὶ πτόλιος». ἡ γὰρ λήγουσα τοῦ «πτόλιος» μηκύνεται ὁμοίως καὶ μετὰ τοῦ ἔπει συνδέσμου ἀπαρτίζει δάκτυλον.] (v. 220—8) Ὅτι Ἕκτωρ ὀνειδισθῆναι φθάσας ὑπὸ Γλαύκου πρὸ ὀλίγου αὐτὸν μὲν ἐκεῖ δι᾿ ὀλίγων ἠμείψατο, ἐνταύθα δὲ ἀορίστως πρὸς πάντας τοὺς ἐπικούρους λαλῶν καὶ ὡς οἷον ἀντεγκαλῶν, οἷς δὴ καὶ ὁ Γλαῦκος συνεισάγεται, ἀνταποδίδωσι τὸν ὀνειδισμόν, καὶ ἀπαιτεῖ θνήσκειν ἀναγκαίως ὑπὲρ τῆς Τροίας. τοῦτο δὲ ὡς πρὸς τὸν λόγον τοῦ Γλαύκου ποιεῖ, φαμένου τὸ «ἐπεὶ οὐκ ἄρα τις χάρις ἦν μάρνασθαι». οἱονεὶ γὰρ λέγει ὁ Ἕκτωρ, ὡς οὐ μόνον οὐδεμία χάρις ὑμῖν τοῖς ἐπικούροις μαχομένοις, ἀλλὰ καὶ ὀφειλέται μοι θανάτου ἐστέ. καὶ τέως οὐκ εἰπὼν «κέκλυτε Τρῶες καὶ Λύκιοι», ὡς ἀλλαχοῦ ἐξεφωνεῖτο διὰ τὸ τῶν Λυκίων ἔξοχον, ἀλλὰ κοινῶς οὕτω προσφωνήσας «κέκλυτε μυρία φῦλα περικτιόνων», ἐπιφέρει ἀρξάμενος ἀπὸ τοῦ γαρ συνδέσμου συνήθως «οὐ γὰρ ἐγὼ πληθὺν διζήμενος οὐδὲ χατίζων ἐνθάδ᾿ ἀφ᾿ ὑμετέρων πολίων ἤγειρα ἕκαστον, ἀλλ᾿ ἵνα μοι Τρώων ἀλόχους καὶ νήπια τέκνα προφρονέως ῥύοισθε φιλοπτολέμων ὑπ᾿ Ἀχαιῶν. τὰ φρονέων δώροισι κατατρύχω καὶ ἐδωδῇ λαούς, ὑμέτερον δὲ ἑκάστου θυμὸν ἀέξω. τῷ τις νῦν ἰθὺς τετραμμένος ἢ ἀπολέσθω ἠὲ σαωθήτω· ἡ γὰρ πολέμου ὀαριστύς». Καὶ ἔστι κατὰ τοὺς παλαιοὺς ἡ τοῦ Ἕκτορος νῦν ἀξίωσις πρὸς ἐπικούρους τὸ ἀντὶ τροφῶν, ὧν ἐκ Τροίας εἶχον, ἀποδοῦναι τὰς ψυχάς. τοιοῦτον γὰρ οἱ μισθοφόροι, πωλοῦντες μισθοῦ τὸ ζῆν. (v. 229—32) Εἶτα στρατηγικῶς ἐλπίδι γερῶν ἐρεθίζων εἰς κίνδυνον ἐπάγει «ὃς δέ κε Πάτροκλον καὶ τεθνειῶτά περ, ἔμπης εἰς Τρῶας ἐρύσῃ, εἴξῃ δέ οἱ Αἴας, ἥμισυ τῶν ἐνάρων ἀποδάσσομαι, ἥμισυ δ᾿ αὐτὸς ἕξω ἐγώ, τὸ δέ οἱ κλέος ἔσσεται, ὅσσον ἐμοί περ», ἵνα καὶ κατὰ τὸ γέρας καὶ κατὰ τὸ κλέος ἶσος

αὐτῷ εἴη ὁ τὸ μέγα ἔργον ποιήσας. συνέμιξε δὲ τῷ τοῦ νεκροῦ ἑλκυσμῷ τὸν Αἴαντα, ὅτι μὴ ἄλλως ἦν αὐτὸν ἐρύσασθαι, εἰ μὴ ὁ ἀμφιβεβηκὼς Αἴας εἴξει.

4.43 (v. 220) Ὅρα δὲ τὸ «μυρία φῦλα ἐπικούρων» πρὸς ἐντροπὴν Γλαύκου λεχθὲν ὑπὸ Ἕκτορος, οἷα λελυπημένου κατὰ Γλαύκου, ὃς τὸ πᾶν τῆς ἐπικουρίας ἐν μόνοις Λυκίοις ἐδόκει τιθέναι. τὸ δ' ἦν οὐ τοιοῦτον. αὐτοὶ μὲν γὰρ τηλόθεν ἐκ Λυκίας. Ἕκτωρ δὲ μυρία φῦλα περικτιόνων ἀνακαλεῖται, ὅ ἐστι περιοίκων, κατασπῶν μὲν τὴν τοῦ Γλαύκου ὀφρῦν στρατηγικώτερον, οὐ μὴν καὶ ἀληθῆ λέγων. ὀλίγοι γὰρ τοιοῦτοι ἐπίκουροι. καὶ ὅμως τὸ τῶν Λυκίων ὄνομα σιωπήσας ὁ Ἕκτωρ, μυρίους δέ τινας ἐπικαλεσάμενος ἐπικούρους, μονονουχὶ λέγει ὡς, εἰ καὶ ὑποχωρήσουσιν οἱ Λύκιοι, οὐ πάντως οἱ Τρῶες μόνοι περιλείπονται κατὰ τὸν τοῦ Γλαύκου λόγον, ἀλλ' εἰσὶν ἡμῖν ἕτεροι ἐπίκουροι. οὕτω καὶ ὁ Ἀγαμέμνων φθάσας ἔφη πρὸς τὸν Ἀχιλλέα ὅτι, κἂν καὶ ἀποπλεύσῃς, εἰσί μοι «ἄλλοι οἵ κέ με τιμήσουσιν», οἱ δ' οὐκ ἦσαν ὡς ἀληθῶς. Ἰστέον δὲ ὅτι τὸ «μυρία φῦλα συνεπιμαρτύρεται τῷ τῶν Ἀχαιῶν βασιλεῖ ἀλήθειαν, εἰπόντι ἐν τῇ βῆτα ῥαψῳδίᾳ πολλῶν ἐκ πολέων ἐπικούρους εἶναι τοῖς Τρωσί. τὸ δ' αὐτὸ καὶ ὀνειδιστικῶς αὔξει τὴν δαπάνην, ἣν οἱ ἐγχώριοι διὰ τοὺς ἐπικούρους ἔπασχον. ἐμφαίνεται δὲ καὶ ὁ τῶν Τρώων ἐντεῦθεν πλοῦτος, ὃν πάλαι ποτὲ εἶχον, ὁ πρὸ τούτων μνημονευθείς. πῶς γὰρ οὐ πλουσιωτάτη πόλις, ἡ τρυχομένη δαπάναις ταῖς εἰς μυρία φῦλα ἐπὶ τοσοῦτον ἐξήρκεσε; τῷ δὲ τῶν περικτιόνων ὀνόματι πάντες δηλοῦνται οἱ καὶ πόρρωθέν ποθεν ἐπίκουροι ὡς ἐκ μέρους, ἵνα ταπεινωθῇ ἐντεῦθεν τὸ τῶν Λυκίων ὑπέροφρυ, ἐξ ὧν Λύκιοι πολλαχοῦ τὸ ἐπικουρικὸν σύμπαν ἐλέγετο. ἀληθῶς γὰρ καὶ δίχα τῶν Λυκίων οὐ πάντες οἱ ἐπίκουροι περίοικοι τῆς Τροίας εἰσί. δοκεῖ δὲ καὶ κολακικὸς ὁ λόγος εἶναι, ὡς πάντων περιοίκων λογιζομένων, κἂν μὴ τοιοῦτοι ὦσιν. ἴσως δὲ καὶ ἄλλως καταδημαγωγεῖ τοὺς περιοίκους μόνους, ὡς τῶν τηλεδαπῶν οὐ πάνυ ἀξιουμένων λόγου. [Εἶεν δ' ἂν περικτίονες οἱ πέριξ ἐϋκτιμένας πόλεις ἔχοντες, ταὐτὸν δ' εἰπεῖν, ἐϋκτίμενα πτολίεθρα.] (v. 221) Τὸ δὲ «οὐ γὰρ ἐγώ» ἢ περιττὸν ἔχει τὸν σύνδεσμον, ὃ καὶ ἐν ἄλλοις γέγονεν, ἢ ἀπὸ ἐλλείψεώς τινος αἰτιολογικῶς κεῖται, οἷον· ὦ μυρία φῦλα περικτιόνων, τί μοι ὄφελος τοῦ πολλοὺς ὑμᾶς ἐνταῦθα εἰλεῖσθαι; οὐ γὰρ ἐγώ, καὶ ἑξῆς. Τὸ δὲ «πληθύν» οὐ ταὐτόν ἐστι τῷ «μυρία φῦλα», ἀλλὰ τὴν ἁπλῶς πολυλαΐαν καὶ νῦν δηλοῖ τὴν ἀντιδιαστελλομένην τοῖς ἀριστεῦσιν, ὅπερ ὁ Κωμικὸς ἀριθμὸν ἄλλως φησίν, ἤγουν πλῆθος οὕτω μάτην.

4.44 καὶ ἄλλως δέ, ὁ εἰπὼν «τῷ τις ἠὲ ἀπολέσθω ἠὲ σαωθήτω» οὐ πληθὺν ζητεῖ ἁπλῶς ἀλλὰ τὴν ἐκ τοῦ λαοῦ φυλακήν, εἰ καὶ ἀνάγκη αὐτοῖς πίπτουσιν ὑποσπᾶσθαι τὸν πληθυσμόν. (v. 223) Τὸ δὲ «ἵνα μοι Τρώων ἀλόχους καὶ τέκνα ῥύοισθε» πρὸς τὸ τοῦ Γλαύκου ἀποτείνεται, εἰπόντος ὄφελος γενέσθαι τὸν Σαρπηδόνα καὶ αὐτῷ. οἱονεὶ γὰρ λέγει, ὡς οὐκ ἐμὲ ἤλθετε ῥύεσθαι, ἀλλὰ ὑπ' ἐμοὶ ἢ σὺν ἐμοί, ἀρχηγῷ δηλαδή, τοὺς περὶ Τροίαν. Τὸ δὲ «προφρονέως» οὐκ ἀπέοικε τοῦ πρόφρονες, ὅτε καὶ ἐκεῖνο ἐπιρρηματικόν ἐστι. (v. 224) Τὸ δὲ «φιλοπτολέμων ὑπ' Ἀχαιῶν» ἐντρεπτικὸν καὶ αὐτό. οὐ γὰρ κατὰ τῶν τυχόντων ὑμᾶς, φησίν, ἤθροισα, ἵνα φιλοψυχῆτε, ἀλλὰ κατὰ ἀνδρῶν μαχίμων. (v. 225) Τοιοῦτον δὲ καὶ τὸ «κατατρύχω δώροις καὶ ἐδωδῇ». οὐ γὰρ ζημιῶ ἁπλῶς, ἀλλὰ κατατρύχω. [Ἐκ τοῦ τρῶ δὲ ὠνοματωπεποιημένου, ἐξ οὗ καὶ τὸ τρώγω καὶ τὸ τρύω καὶ τὸ τρυπῶ, παραγώγως γέγονε καὶ τὸ τρύχω, ἀναλόγως τῷ ψῶ ψήχω.] Καὶ ὅρα ἔθος τοῦτο ἀρχαῖον. οὐδὲ γὰρ ἐξήρκει πρὸς τοσαύτην δαπάνην μόνον τὸ τοῦ Πριάμου ἀρχεῖον. δῶρα δὲ λέγει τὴν δίχα τῆς ἐδωδῆς μισθοφοράν. (v. 226) Τὸ δὲ «ἑκάστου θυμὸν ἀέξω» ἄλλο τι δηλοῖ νῦν παρὰ τὸ ἐν Ὀδυσσείᾳ τὸ «ὅτε δὴ μέγας εἰμὶ καὶ ἀέξεταί μοι ἔνδοθι θυμός». ἐκεῖνο μὲν γὰρ τί δηλοῖ, ἐν τοῖς ἐκεῖ ζητητέον. ἐνταῦθα δὲ θυμὸν ἑκάστου ὁ Ἕκτωρ ἀέξει τῇ θεραπείᾳ, δώροις δηλαδὴ καὶ τιμαῖς καὶ τοιούτοις, ὑφ' ὧν ψυχὴ μετεωριζομένη δοκεῖ πλείων ἑαυτῆς γίνεσθαι διαχεομένη. ὅθεν παρῆκται τὸ χαίρειν, οὗ τὸ ἀνάπαλιν ὀλιγηπελέειν καὶ ὀλιγηπελέων ὁ μὴ θυμὸν ἀεξόμενος. Τὸ δὲ «ὑμέτερον ἑκάστου» τὴν ἐργωδίαν δηλοῖ τῆς μεταχειρίσεως, εἰ μὴ

κοινῶς τι παραρριπτεῖ ἀλλ’ ἑκάστῳ συνδιατίθεται, ὃ δὴ καὶ αὐτὸ ἀληθῶς ἀργαλέον ἐστί. (v. 227 s.) Τὸ δὲ «ἢ ἀπολέσθω ἢ σαωθήτω» καὶ ἀλλαχοῦ ἐφράσθη.

4.45 Τὸ δὲ «ἰθὺς τετράφθαι» ἶσόν ἐστι τῷ ἰθὺς μάχεσθαι καὶ στῆναι ἄντα, περὶ ὧν πρὸ ὀλίγων ἐρρέθη, καὶ τῷ ἰθὺς βρῖσαι, ὃ μετ’ ὀλίγα κεῖται. (v. 228) Τὸ δὲ «ἡ γὰρ πολέμου ὀαριστύς» γνωμικῶς ἐρρέθη καὶ ὡς τῶν μαχομένων ἢ ἀπολλομένων ἢ σῳζομένων. ἐσχημάτισται δὲ καὶ οὗτος ὁ λόγος Ἀττικῶς. ἀντὶ γὰρ τοῦ εἰπεῖν τοῦτό ἐστιν ἰδιότης πολέμου, εἶπεν αὕτη γάρ. παρεσημειώθη δὲ πρὸ τούτων καὶ ἕτερα τοιαῦτα σχήματα. Ὅτι δὲ ὀαριστύς ἡ ἁπλῶς ὁμιλία καὶ πόθεν γίνεται, δηλοῦται ἀλλαχοῦ. [(v. 229) Τὸ δὲ «καὶ τεθνηῶτά περ ἔμπης» καὶ ἑξῆς, διεστάλθαι δοκεῖ τῆς ζωγρίας ὡς κρείττονος. μεῖζον μὲν γὰρ εἰς ἀριστείαν τὸ ζωγρῆσαι πολέμιον. ἔχει δ’ ὅμως ἀνδρίαν καὶ τὸ τεθνεῶτα ἐρύσαι, ἤγουν ἑλκύσαι.] (v. 231) Τὸ δὲ «ἥμισυ τῶν ἐνάρων» σοφιστικῶς κεῖται ἐν ἀορίστῳ, ἐπεὶ μηδὲ δῆλόν ἐστιν, οἷα καὶ ὅσα ἔναρα πορισθήσονται ἀπὸ τῶν ὑπὲρ Πατρόκλου πεσουμένων. εἰ δὲ λέγει δεικτικῶς ἥμισυ τῶν ἤγουν τούτων, ἐνάρων, ὧν ἄρτι περίκειται σκυλεύσας ἐκ Πατρόκλου, εἴη ἂν ὁ λόγος τῷ Ἕκτορι καὶ σαφὴς καὶ οὐδὲ σοφισματώδης. (v. 233—6) Ὅτι ἀναφωνῶν συνήθως ὁ ποιητὴς ἐφ’ οἷς οἱ ἐπίκουροι ἰθὺς Δαναῶν βρίσαντες ἔβησαν ἐλπόμενοι νεκρὸν ὑπ’ Αἴαντος ἐρύειν, φησι «νήπιοι, ἦ τε πολέσσιν ἐπ’ αὐτῷ θυμὸν ἀπηῦρα», ὁ Αἴας δηλαδή, προεκτιθέμενος κἀνταῦθα τὰ ἐφεξῆς, ὡς ἔθος αὐτῷ. Ἰστέον δὲ ὅτι ὁρμὴν εἰς μάχην φράζει τὸ «οἳ δ’ ἰθὺς βρίσαντες ἔβησαν δούρατ’ ἀνασχόμενοι, μάλα δέ σφισιν ἔλπετο θυμὸς τόδε ποιήσειν. οἱ δέ, ὡς ἐρρέθη, βρίσαντες εἶεν ἂν ζαχρηεῖς, ὅ ἐστιν ἐμβριθεῖς πολεμισταί, περὶ ὧν ἀλλαχοῦ κεῖται. δῆλον δὲ ὡς οἱ μὴ οὕτω βρίθοντες ἐλαφροί εἰσι καὶ ἀβαρεῖς πολέμιοι, ἤδη δὲ καὶ μαλθακοί. (v. 238—44) Ὅτι πολὺν ἰδὼν Αἴας τῶν Τρωϊκῶν ἐπικούρων συνασπισμὸν καί, ὡς εἰκός, ὑποδείσας καὶ διὰ τοῦτο δυσελπιστῶν φησιν «ὦ πέπον, ὦ Μενέλαε διοτρεφές, οὐκέτι ἔλπομαι αὐτώ περ», ἤγουν ἐμὲ καὶ σέ, «νοστησέμεν ἐκ πολέμοιο. οὔ τι τόσον νέκυος περιδείδια Πατρόκλοιο, ὅς κε τάχα Τρώων κορέσει κύνας ἠδ’ οἰωνούς, ὅσσον ἐμῇ κεφαλῇ περιδείδια, μή τι πάθῃσι καὶ σῇ, ἐπεὶ πολέμοιο νέφος περὶ πάντα καλύπτει Ἕκτωρ, ἡμῖν δ’ αὖτ’ ἀναφαίνεται αἰπὺς ὄλεθρος».

4.46 Καὶ ὅρα θαυμαστὴν τροπῆς ἀντίθεσιν. πρὸς γὰρ τὸ νέφος ἀντεπήγαγε τὸ «ἀναφαίνεται», οἱονεὶ λέγων ὡς, εἰ καὶ πάντα νέφος καλύπτει, ἀλλ’ ἡμῖν οὐκ ἐν ἀορασίᾳ ἐστὶν οὐδὲ κεκάλυπται ὁ ὄλεθρος, ἀλλὰ πάνυ λαμπρότατα φαίνεται. καὶ νῦν μὲν τροπικῶς νέφος τὸν Ἕκτορα καλεῖ, ὃν ἀλλαχοῦ νυκτὶ τὰ ὑπώπια εἴκασεν. ἢ καὶ ἄλλως, τὸν πόλεμον συνήθως νέφος εἶπεν, ὃν ὁ Ἕκτωρ περὶ πάντα καλύπτει, ὡς οἷα πανταχοῦ καταπετάσας αὐτόν. προϊὼν δὲ σκότος ἄλλως ποιήσει βαθὺ περὶ Αἴαντα. Σημείωσαι δὲ καὶ ὅτι τὸ παρὰ πόδας κακὸν ἐπιλανθάνεσθαι τῶν φθασάντων ποιεῖ, ὡς νῦν τε ὁ Αἴας δηλοῖ περὶ ἑαυτῷ μάλιστα καὶ τῷ Μενελάῳ δεδιὼς καὶ ἐν Ὀδυσσείᾳ δὲ ὁ Τηλέμαχος, ὃς τὸ τῶν μνηστήρων ἐν ποσὶ κείμενον κακὸν ὑψώσας ῥητορικῶς μεῖζον τῆς τοῦ πατρὸς εἶναι ἀπωλείας ἐρεῖ. (v. 240 et 242) Ὅρα δὲ ὅτι τὸ δέδια διχῇ συνέταξεν, ἤγουν μετὰ γενικῆς ἐν τῷ «νέκυος περιδείδια», καὶ μετὰ δοτικῆς ἐν τῷ «ἐμῇ κεφαλῇ περιδείδια καὶ σῇ». γέγονε δὲ καὶ τοῦτο διὰ τὴν συγγένειαν τῆς γενικῆς καὶ τῆς δοτικῆς. (v. 241) Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ «Τρώων κύνας ἠδ’ οἰωνούς», εἴπερ τὸ Τρώων κοινόν ἐστι καὶ πρὸς τοὺς οἰωνούς, διασαφεῖται αὐτόθεν τὸ ἐν τῇ α′ ῥαψῳδίᾳ «κύνεσσιν οἰωνοῖσί τε πᾶσιν». (v. 245) Ὅτι ὁ Αἴας ἐνταῦθα ἐπιτρέπει τῷ Μενελάῳ ἀριστῆας Δαναῶν καλεῖν, «ἤν τις ἀκούσῃ», αὐτὸς δὲ οὐ βοᾷ, οὐχ’ ὅτι οὐ δύναται, βοὴν γὰρ καὶ αὐτὸς ἀγαθός ἐστιν, ἀλλ’ ὅτι αἰδεῖται βοᾶν, ἵνα μὴ ἐμφήνῃ πτοηθῆναι τὴν τῶν ἐπικούρων ἐπέλευσιν, ἴσως δὲ καὶ διότι μᾶλλον οἱ ἀριστεῖς τῷ Μενελάῳ πεισθήσονται ἤπερ αὐτῷ, ἔτι δὲ καὶ διότι αὐτὸς τῶν ἔργων ὢν λαλεῖν ἐπιτρέπει τῷ μὴ πάνυ ἐνεργεστάτῳ. καὶ ἄλλως δὲ, ἐχρῆν ὥσπερ ἐν τοῖς Τρωσίν, οὕτω καὶ ἐν τοῖς Ἀχαιοῖς δημηγορῆσαι ἄρτι τὸν δεύτερον βασιλέα, οἷος ἦν ἐν μὲν τοῖς Ἰλιεῦσιν ὁ Ἕκτωρ, ἐν δὲ τοῖς Ἕλλησιν ὁ Μενέλαος. (v. 247—55) Ὅτι ἀνάγκης ἐπειγούσης λαλεῖ καὶ Μενέλαος πρὸς τοὺς

Ἀχαιούς, προκαλούμενος ὑπὲρ Πατρόκλου, ὡς προσεχῶς ὁ Αἴας ὑπέθετο, καί φησι διαπρύσιον γεγωνώς «ὦ φίλοι Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες, οἵ τε παρ' Ἀτρείδῃ Ἀγαμέμνονι καὶ Μενελάῳ δήμια πίνουσι καὶ σημαίνουσιν ἕκαστος λαοῖς· ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ», ὡς διογενέσι δηλαδή, «ἀργαλέον δέ μοί ἐστι διασκοπιᾶσθαι ἕκαστον ἡγεμόνων· τόσση γὰρ ἔρις πολέμοιο δέδηεν», ἤγουν ἐκκαίεται.

4.47 «ἀλλά τις αὐτὸς ἴτω, νεμεσιζέσθω δ' ἐνὶ θυμῷ Πάτροκλον Τρῳῇσι κυσὶ μέλπηθρα γενέσθαι». (v. 256—61) Καὶ ὁ μὲν οὕτως ἔφατο, «ὀξὺ δὲ ἄκουσεν Ὀϊλῆος ταχὺς Αἴας», καὶ πρῶτος ἀντίος ἦλθε θέων, οἷα εἰδὼς τὸν αὐτῷ φίλον μέγαν Αἴαντα ἐκεῖ περιβαίνειν. εἶτα Ἰδομενεὺς καὶ Μηριόνης. «τῶν δ' ἄλλων τίς ἂν ᾗσι φρεσίν», ἄνευ δηλονότι Μουσῶν, «οὐνόματ' εἴποι, ὅσσοι δὴ μετόπισθε μάχην ἤγειραν Ἀχαιῶν»; Καὶ ὅρα ὡς τῇ ἀποσιωπήσει ταύτῃ καὶ τῷ ἀορίστῳ τὸ πλῆθος ὁ ποιητὴς ηὔξησεν, ὡς μὴ δυνάμενος δῆθεν αὐτὸς ἰδίαις φρεσὶ δίχα Μουσῶν μηδὲ τούτους ἄρτι μυθήσασθαι οὐδ' ὀνομῆναι διὰ τὸ πολὺ τοῦ πλήθους, ὅπερ ὀνομαίνειν ὀκνεῖ, ὥς που προδιωμολογήσατο. καὶ ἄλλως δέ, οὐκ ἐχρῆν ὀνόμασιν ἐπεξιέναι τηνάλλως τὸν ποιητὴν εἰς οὐδὲν δέον, ἐφ' οἷς τὰ μείζω προκαλεῖται αὐτόν. (v. 262) Ἐπάγει γὰρ «Τρῶες δὲ προὔτυψαν ἀολλέες, ἦρχε δ' ἄρ Ἕκτωρ», ποθῶν τε, ὡς εἰκός, ἀντιστῆναι τῷ Αἴαντι, καὶ ἵνα μηδὲ τὸ πρὸς Ἀχιλλέα ἴνδαλμα αἰσχύνῃ ἀχρειώσας, εἰ μὴ προμάχοιτο. καὶ τοῦτο ἦν αἴτιον τοῦ συγκληθῆναι τοὺς τῶν Ἀχαιῶν ἀρίστους. οὐ γὰρ ἦν πιθανὸν ἀντιστῆναι τοσούτοις Αἴαντα καὶ Μενέλαον μόνους αὐτούς. (v. 250) Ὅρα δὲ τὸ οἳ παρὰ τοῖς βασιλεῦσι «δήμια πίνουσιν» ἐκ τῶν τοῦ Ἕκτορος λόγων παραξεσθὲν ὡς εἴδει παραφράσεως, ἤγουν ἐκ τοῦ «δώροις κατατρύχω καὶ ἐδωδῇ λαούς». οἵ τε γὰρ τῶν Τρώων ἐπίκουροι δήμια ἤσθιον τὰ τῶν λαῶν ἔδοντες, καὶ οἱ τῶν Ἀργείων ἡγήτορες δήμια ἔπινον. δεδήλωται γὰρ ἤδη ὅτι δασμοῦ γινομένου μερὶς ἐδίδοτό τις τῷ βασιλεῖ ἐκ τῶν κοινῶν καὶ εἰς τὰ τῶν ἀριστέων συμπόσια, ὧν ἡ παράχρησις δημοβόρον τὸν βασιλέα ποιεῖ, ταὐτὸν δ' εἰπεῖν δημιοβόρον. [Φάναι γὰρ δημοβόρον τὸν δίκην ἀνθρωποφάγου αὐτὸν τὸν δῆμον ἐσθίοντα δριμὺ μὲν τῇ ἐννοίᾳ, πάνυ δὲ ἀτηρὸν τῇ τροπῇ.

4.48 Σημείωσαι δὲ καὶ ὅτι ἔκπαλαι μὲν οὐ ψεκτὸν ἦν, ὥσπερ οὐδὲ ὁ δῆμος, οὕτως οὐδὲ ὁ δήμιος οὐδὲ τὸ δήμιον, ὡς δῆλον ἔκ τε τῶν δημιοπράτων, ὧν μέμνηται καὶ ὁ Κωμικός, καὶ ἐκ τῶν Ὁμηρικῶν δημιοεργῶν. ἐπεὶ δὲ ὕστερον ὁ δήμιος εἰς ἀεικὲς ἀπεκρίθη πρᾶγμα —κολαστῇ γὰρ ἀνδρὶ ἀποκεκλήρωται τοὔνομα—, ἤργησε μὲν ἡ χρῆσις τοῦ παλαιοῦ δημίου, ἐκαινίσθη δὲ ἀντ' αὐτοῦ ὁ δημόσιος.] Ὅρα δὲ καὶ τὸ «πίνουσιν», οὐ γὰρ ἔφη «καὶ ἐσθίουσιν», ἀλλὰ δηλοῖ ἀπὸ μέρους τὸ πᾶν. ὅθεν καὶ παρὰ τῇ κοινῇ συνηθείᾳ τὸ συμπόσιον καὶ ὁ πότος λέγεται, σιγωμένης τῆς ἐδωδῆς, καθὰ καὶ τὸ συσσίτιον, σιωπωμένης τῆς πόσεως. οὕτω καὶ Ἕκτωρ μνησθεὶς ἐδωδῆς ἀφῆκε συννοεῖσθαι αὐτῇ τὴν πόσιν. Χρὴ δ' ἐνταῦθα ὁρᾶν καὶ τὸ τοῦ λόγου σχῆμα. οὐ γὰρ εἶπεν «ὦ φίλοι, οἳ δήμια πίνετε καὶ σημαίνετε λαοῖς», ἀλλὰ «οἳ πίνουσι καὶ σημαίνουσι», μεταβὰς ἐκ δευτέρου προσώπου εἰς τρίτον, οὐ μόνον διὰ μέτρου εὐχρηστίαν καὶ ποικιλίαν φράσεως καὶ καινοπρέπειαν, ἀλλὰ καὶ ἵνα μὴ τραχέως τῷ διόλου ἀποστρεπτικῷ σχήματι ὀνειδίζῃ τοὺς ἀριστεῖς, ἅμα δὲ καὶ ἵνα δεξιώτατα κατὰ σχῆμα συντομίας ἀποτείνειν τὸν λόγον δοκοίη καὶ πρὸς τοὺς ἐν τῇ πληθυῒ ἀριστεύοντας. ἐν γὰρ τῷ ποιῆσαι τρίτου προσώπου τοὺς τῶν λαῶν σημάντορας δεύτερον ἔμεινε πρόσωπον ὁ λαός. καὶ δοκεῖ πρὸς αὐτοὺς δημαγωγικώτερον λοιπὸν εἰπεῖν τὸ «ὦ φίλοι», ἐξ αὐτῶν δὲ ἀπονεῦσαι κατὰ λόγον τρίτου προσώπου καὶ εἰς τοὺς σημάντορας τῶν λαῶν, πρὸς οὓς καί τινα δυσωπίαν ἔχει τὸ «καὶ Μενελάῳ».

4.49 μονονουχὶ γὰρ λέγει, ὡς ἐγὼ ταῦτα λαλῶ, παρ' ᾧ δήμια πίνετε. εἰ μέντοι ὁ Αἴας ἐδημηγόρησεν, οὐκ εἶχε χώραν τοιοῦτόν τι ῥηθῆναι. αὐτὸ δὲ καὶ ἄλλως ἐρρέθη ὡς ἀπὸ βασιλικοῦ κήρυκος, οἷα εἰκὸς ὂν μὴ πάντας αἰσθέσθαι ὅτι βασιλεὺς ὁ βοῶν. (v. 250 s.) Ἰστέον δὲ καὶ ὅτι τὸ «σημαίνουσιν ἕκαστος λαοῖς, ἐκ δὲ θεοῦ τιμὴ καὶ κῦδος ὀπηδεῖ» ἐνδόξοις ἀνθρώποις προσρηθῆναι οἰκεῖον. Ἔνθα ὅρα τὸ «τιμὴ καὶ κῦδος», ἐν οἷς παράλληλος ὁ αὐτὸς νοῦς. [Ταὐτὸν

δὲ πάντως εἰπεῖν σημαίνουσιν ἕκαστος καὶ σημαίνουσιν ἕκαστοι καὶ σημαίνει ἕκαστος. τὸ γὰρ ἕκαστος, καθότι μὲν συνδιήκει παντὶ τῷ πλήθει τῇ κατὰ μερισμὸν ἐννοίᾳ, πληθύεται τῇ σημασίᾳ. διὸ καὶ ὀρθῶς εἴρηται τὸ «σημαίνουσιν ἕκαστος», ὃ ταὐτόν ἐστι τῷ ἕκαστοι. καθότι δὲ αὖ πάλιν ἀτόμῳ τούτῳ καὶ ἐκείνῳ καὶ ἄλλῳ δεικτικῶς οἷον ἐπιμερίζεται, δύναται καὶ σύνταξιν ἑνικοῦ ῥήματος ἔχειν. διὸ ἀσφαλῶς ἂν ῥηθείη καὶ τὸ σημαίνει ἕκαστος. Ὅρα δὲ τὴν ἔννοιαν τοῦ δήμια πίνουσι παρὰ τοῖς βασιλεῦσι καὶ σημαίνουσι λαοῖς καὶ ἑξῆς, σύνθετον οὖσαν ἐξ ἀφελείας καὶ σεμνότητος. τοιοῦτον γὰρ δήπουθεν τὸ εἰπεῖν, ὡς τοῖς βασιλεῦσι μὲν συμπίνουσιν, ὑπὸ Διὸς δὲ τιμῶνται.] (v. 252) Τὸ δὲ «ἀργαλέον δέ μοί ἐστι διασκοπιᾶσθαι ἕκαστον» λεχθείη ἂν καὶ παρὰ τοῦ μὴ ἔχοντος καθ’ ἕνα πάντων κήδεσθαι. (v. 253) Τὸ δὲ «τόσση γὰρ ἔρις πολέμοιο δέδηε» περιφραστικῶς κεῖται ἀντὶ τοῦ τόσος ἐστὶ πόλεμος. Τὸ δὲ «ἔρις πολέμοιο» διαστολὴν ἔχει τῶν λοιπῶν ἐρίδων. Ἐκ δὲ τοῦ «δέδηεν» ἡ δηῒς γίνεται. δῆλον γὰρ ὅτι δηΐς ἐστι δαιομένη ἔρις πολέμου. (v.

4.50 254) Τὸ δὲ «αὐτὸς ἴτω» σημαίνει μὲν τὸ μόνος ἐλθέτω. οὐ τοιοῦτος δὲ μόνος, οἷος ὁ δηλούμενος ἐν τῷ «αὐτός περ ἐὼν προμάχοις ἐμίχθη» ἀντὶ τοῦ μεμονωμένος, ἀλλὰ μόνος ἐλθέτω, ἤτοι μὴ ἐμοῦ δεηθεὶς εἰς τὸ καὶ πρὸς ὄνομα κληθῆναι. τότε γὰρ οὐκ αὐτὸς ἥξει, ἀλλ’ ἐγὼ ἕλκω τῇ κλήσει αὐτόν, καί πως σὺν ἐμοὶ ἥκει καὶ οὐ κυρίως μόνος. καὶ ἔστι τρόπον τινὰ τὸ τοιοῦτον αὐτός ἶσον τῷ αὐτόματος. ὡς γὰρ αὐτόματός που ἥκει Μενέλαος εἰδὼς πονεῖσθαι τὸν ἀδελφόν, οὕτω τις κἀνταῦθα αὐτὸς ἐλθέτω, ἤγουν αὐτόματος, εἰδὼς τοὺς ἀριστεῖς πονεῖσθαι ἐπὶ τῷ Πατρόκλῳ. (v. 255) Πῶς δὲ μέλπηθρα ἐπὶ κυνῶν λέγεται, προδεδήλωται. (v. 256) Τὸ δὲ «ὀξὺ ἄκουσεν» ὀξυήκοον εἶναι τὸν Λοκρὸν παριστᾷ. ὁ δέ γε Ἕκτωρ ὀξυβόας προϊστόρηται ἐν τῷ «οὐδ’ ἔλαθε τὸν Μενέλαον ὀξὺ βοήσας». (v. 260) Τὸ δὲ «τίς ἂν τῶν ἄλλων ὀνόματα εἴποι», περίφρασίς ἐστι τοῦ «μυρία φῦλα», ὅπερ εἶπεν ὁ Ἕκτωρ. (v. 262) Τὸ δὲ «Τρῶες δὲ προὔτυψαν, ἦρχε δ’ ἄρ Ἕκτωρ», ὃ καὶ ἑτέρωθι κεῖται, παρῳδηθήσεταί ποτε εἰς ἀνδρεῖον πρόμαχον. (v. 263—6) Ὅτι τὴν μετὰ θορύβου ἐπέλευσιν τῶν Τρώων παραβολικῶς ὁ ποιητὴς διασαφῶν φησιν «ὡς δ’ ὅτ’ ἐπὶ προχοῇσι διϊπετέος ποταμοῖο βέβρυχε μέγα κῦμα ποτὶ ῥόον, ἤγουν ἐν τῷ ῥέειν, «ἀμφὶ δέ τ’ ἄκραι ἠϊόνες βοόωσιν ἐρευγομένης ἁλὸς ἔξω, τόσσῃ ἄρα Τρῶες ἰαχῇ ἴσαν». ἣν ἰαχὴν τῇ φράσει μιμούμενος ὀνοματοποιηθείσαις τραχείαις χρᾶται λέξεσι, τῷ «βέβρυχε», καὶ «βοόωσι», καὶ «ἐρευγομένης», καὶ αὐτῇ τῇ ἰαχῇ. δῆλον δ’ ὅτι τραχύτητός τι ἔχει καὶ ἡ τῆς προχοῆς προφορά. ἐνδείκνυται δὲ διὰ τούτων κῦμα θαλάσσης ἀντιφερόμενον ποταμοῦ κατάρρῳ, καὶ τῷ ἀνακόπτεσθαι βρυχόμενον. ὁ γὰρ παραβολικὸς ἦχος οὐ τοῦ ποταμοῦ ἀλλὰ τοῦ κύματός ἐστι. (v. 263) Τὸ δὲ προχοή δέδωκε τοῖς ὕστερον ἔννοιαν τοῦ καὶ ἐκβολὰς λέγειν ποταμῶν τὰ ἐκείνων στόματα. τὸ γὰρ προχεόμενον ἐκβάλλεται. Διϊπετής δὲ, ὡς καὶ ἀλλαχοῦ σαφῶς δηλοῦται, κυρίως ὁ χειμάρρους, ὁποῖος καὶ ὁ ἐνταῦθα. οἱ γὰρ ἀένναοι ἠρεμαιότεροι. (v. 264) Ὅρα δὲ [καὶ ὅτι τε ὁμώνυμος λέξις τὸ βρύχειν, οὐ μόνον λεγόμενον ἐπὶ ὑδάτων, ἀλλὰ καὶ ἐπὶ ζῴων λογικῶν τε, ὡς τὸ «βεβρυχὼς κόνιος δεδραγμένος», καὶ ἀλόγων, ἐφ’ ὧν καὶ περισπᾶται—λέων γοῦν βρυχᾶται—, καὶ ὅτι ἐξ ὀνοματοποιΐας, ὥσπερ τὸ βρῦν, τὸ παρὰ τῷ Κωμικῷ, καὶ τὸ βρύειν, οὗ λειότερον τὸ βλύζειν, ὡς καὶ τοῦ κρώζειν τὸ κλώζειν καὶ τοῦ κράζειν τὸ κλάζειν, οὕτω καὶ τὸ βρύχειν καὶ τὰ ἐξ αὐτοῦ, καὶ τὸ βρύκειν ἐπὶ κολοιοῦ καὶ τῶν τοιούτων, ὡς ὁ Κωμικὸς δηλοῖ], καὶ ὅτι ἐν τῷ «ἀναβέβρυχεν ὕδωρ», ὃ προεγράφη, οὐ τοιοῦτος ἐνοεῖτο βρυγμὸς οἷος ἐνταῦθα.

4.51 ἐκεῖ μὲν γὰρ ἐπὶ πηγῆς ἡ λέξις ἀναπιδυούσης, ἐνταῦθα δὲ τὸ «βέβρυχεν» ἐπὶ μεγάλου κύματος. Ἡ δὲ ποτι πρόθεσις ἐν τῷ «ποτὶ ῥόον», ἧς πρωτότυπος καὶ κοινοτέρα ἡ προς , δῆλον ὅτι καὶ προτί λέγεται. ἡ δ’ αὐτὴ καὶ ἀποθλίβει τὸ τῆς ἐπεκτάσεως ἰῶτα Δωρικῶς, ὡς ἐν τῷ ποταίνιον, τὸ πρόσφατον, περὶ οὗ ἀλλαχοῦ δηλοῦται, καὶ ἐν τῷ πόταγε, ὅπερ ἐστὶ πρόσαγε, καὶ ἐν τῷ ποτῶπαν, ἤτοι πρόσωπον, κατὰ Δωριεῖς. [ἐτὶ δὲ καὶ μονοσυλλάβως ἐκφέρεται συμφώνου ἐπαγομένου, ὡς ἐν τῷ «πὸτ τῶ Διός», ἤγουν πρὸς τοῦ Διός, ὃ καὶ αὐτὸ γλώσσης Δωρίδος ἐστί.]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(v. 265) Τὸ δὲ «ἠϊόνες βοόωσι» πάνυ τί φασιν οἱ παλαιοὶ μιμητικὸν εἶναι τοῦ κατὰ θάλασσαν ἤχου πλέον τῶν ἄλλων, λέγοντες ὡς τῇ ἐπαναδιπλώσει τῶν φωνηέντων συνῳδίαν ἀποτελεῖ τὸ «βοόωσιν», ὁμοίαν κυμάτων ἐμβολῇ. διὸ οὐκ ἔφη «βοάουσι» κατὰ ἀναλογίαν δευτέρας συζυγίας τῶν περισπωμένων, ἀλλὰ «βοόωσι» πρὸς ἔμφασιν πλείω τοῦ τῆς θαλάσσης ἤχου.

4.52 Καὶ αὕτη, φασίν, ἡ εἰκὼν τὰ τοῦ Σόλωνος ἢ κατά τινας τὰ τοῦ Πλάτωνος ἠφάνισε μιμήματα. λέγεται γὰρ ὡς ὀνοματοποιῶν ἐκεῖνος καὶ ἀντεπεξάγων ἑαυτὸν τῇ Ὁμηρικῇ πολυφωνίᾳ, ἐπεὶ εὕροι τὸ τοιοῦτον «βοόων» καὶ οὐκ ἔχοι ταὐτὸν ἠχῆσαι πρὸς τοιαύτην ὀνοματοποιΐαν, κατακαύσοι τὰ σκέμματα, μὴ καὶ πάνυ δεύτερος πίπτοι τοῦ ποιητοῦ. ὅτε καὶ ᾄδεται εἰπεῖν, ὁπότερος ἂν καὶ ἦν ἐκεῖνος, τὸ «Ἥφαιστε πρόμολ’ ὧδε, Πλάτων νύ τοι σεῖο χατίζει», ἢ «Σόλων νύ τοι σεῖο χατίζει», Ὁμηρικῇ παρῳδίᾳ τὸ πῦρ κατὰ τῆς πρὸς Ὅμηρον ἀντιτεχνίας προκαλεσάμενος. Ἐνταῦθα δὲ τῆς ἠϊόνος προκειμένης τοῦ «βοόωσι» χορηγεῖται καὶ ἀπὸ τῆς ἐν ταύτῃ χασμῳδίας συμβολή τις πρὸς τὴν τοῦ ῥηθέντος ἤχου μίμησιν. [Ἰστέον γὰρ ὅτι οὐ μόνον πληθυντικῶς γράφεται «ἠϊόνες βοόωσιν», ἀλλὰ καὶ ἐν γενικῇ ἑνικῇ «ἄκραι ἠϊόνος», ἤγουν τὰ τοῦ αἰγιαλοῦ ἄκρα.] Τὸ δὲ «ἐρευγομένης» καὶ ὡς ἐπὶ στόματος θαλαττίου ἐρρέθη. [Ἔστι γὰρ εἰπεῖν καὶ θαλάσσης στόμα, ὥσπερ καὶ ποταμοῦ τροπικῶς. Δῆλον δ’ ὅτι ἐκ τοῦ ἐρεύγω καὶ ἡ ἐρυγὴ καὶ τὸ παρ’ Ὁμήρῳ «ἤρυγε», καὶ εὐκτικὸν τὸ ἐρύγοιμι, οὗ τρίτον τὸ «ἐπειδὰν τῶν εὐπόρων τις προσερύγοι ῥαφανῖδας καὶ σαπρὸν σίλουρον φαγών, ἵα καὶ ῥόδα οἱ παράσιτοι ἔφασαν αὐτὸν ἠριστηκέναι».

4.53 ] (v. 266—8) Ὅτι παρατάξεως εὐψύχου δηλωτικὸν τὸ «αὐτάρ» οἱ δεῖνα, οἷον Ἀχαιοί, «ἔστασαν ἕνα θυμὸν ἔχοντες, φραχθέντες σάκεσσιν χαλκήρεσι». καὶ ὅρα ὡς ἐπλεόναζον τοῖς τότε τὰ χαλκήλατα σάκεα. Τὸ δὲ «ἕνα θυμὸν ἔχοντες» ἢ ἀντὶ τοῦ μίαν προθυμίαν, ἢ τολμηρότερον ἀντὶ τοῦ μίαν ψυχήν, ὅθεν τὸ ὁμοψυχεῖν. Τὸ δὲ «φραχθέντες» ἀντὶ τοῦ κατασφαλισθέντες, πυκνωθέντες, ὡς καὶ ἀλλαχοῦ ἐφράξαντο νῆας τείχεϊ χαλκείῳ, ἀπὸ τοῦ φράσσω, ἐξ οὗ καὶ οἱ κατάφρακτοι ὁπλῖται. (v. 269) Ὅτι ἐν ἄλλοις μὲν τάσσων στρατὸν ὁ ποιητὴς λαμπρότητα ὅπλων ἐκφράζει, ἐν δὲ τῇ νῦν μάχῃ τῇ ὑπὲρ Πατρόκλου ἀορασίαν ταῖς λαμπραῖς περικεφαλαίαις πλάττει, [ἃς ἑτέρωθι παναίθας διὰ πολλὴν λαμπρότητα ἔφη], ἀκολούθως δὲ καὶ τοῖς κατωτέρω ὅπλοις, ἴσως μὲν καὶ διὰ τὴν ἐγερθεῖσαν κόνιν καὶ ἐπικαταπεσοῦσαν, ἴσως δὲ καὶ ὡς οὐδὲ ἄδεια τοῖς τῶν ἀγωνιώντων ὀφθαλμοῖς ἦν ἐντρυφᾶν τοιαύτῃ θέᾳ. Ὁμήρῳ δὲ ἀρέσκει καὶ νύκτα τὸ τοιοῦτον εἰπεῖν, ὡς τὰ ἐφεξῆς δηλώσει, ἵνα ὡς ἐπὶ Σαρπηδόνι πενθεῖ ἀὴρ τῇ τῶν ἐξ ἀέρος ψεκάδων καταφορᾷ, οὕτω καὶ ἐπὶ Πατρόκλῳ τῇ συννεφείᾳ. Ποιητικὴ δέ τις καὶ αὕτη τερατεία, ὡς ἐπὶ μὲν τῇ τῶν Ἀχαιῶν νίκῃ καπυρὸν οἷον αἰθριάζοντος τοῦ ἀέρος, ἐνταῦθα δὲ ἀμαυρουμένου τῇ σκυθρωπότητι καὶ νυκτὶ ἐοικότος, ὡς ἐν τῇ α′ ῥαψῳδίᾳ ἠλληγόρηται. γίνεται δὲ καὶ ἄλλως νῦν ἀχλύς, ἵνα κρύπτηται πιθανῶς ὁ κείμενος. καὶ ἡ πυκνότης δὲ τῶν μαχομένων ἐνήγαγεν εἰς τοιοῦτον πλάσμα τὸν ποιητήν. ἔστι δὲ καὶ ἄλλως φράσαι, ὡς ὅτε μέν τις ἐλλάμπεται κατορθῶν ἐν μάχῃ, Διομήδης τυχὸν ἢ Ἀχιλλεύς, λαμπηδόνας Ὅμηρος ἀποπαλλομένας ἐκείνου ποιεῖ ὡσεὶ καὶ πυρός, Πατρόκλου δὲ ἄρτι κειμένου δυστυχῶς Ἕλλησιν, οἱ ἀμφ’ αὐτῷ μαχόμενοι σκοτοῦνται. (v. 268—73) Φησὶ γὰρ «ἀμφὶ δ’ ἄρα σφιν λαμπρῇσι κορύθεσσι Κρονίων ἠέρα πολλήν» ἢ μᾶλλον «ἠέρα πουλὺν χεῦεν, ἐπεὶ οὐδὲ Μενοιτιάδην ἤχθαιρε ζῶντα.

4.54 μίσησε δ’ ἄρα μιν δηΐων κυσὶ κύρμα γενέσθαι Τρῳῇσι, τῷ», ἤγουν διό, «καί οἱ ἀμυνέμεν ὦρσεν ἑταίρους». Καὶ σημείωσαι ὅτι τὸν τοιοῦτον εἰς ἄμυναν ἐρεθισμὸν αἴτιον μάλιστα ἐμφαίνει τῆς πολλῆς ἠέρος, ἤτοι τῆς ἐξ ἀέρος σκοτώσεως, οἷα πολλῆς ἐγερθείσης κόνεως. εἰ δὲ καὶ αὐτὸ τὸ σφοδρὸν καὶ συντεταμένον καὶ ἐπικίνδυνον τῆς ἐν τῷ ἀμύνεσθαι μάχης ἀὴρ πουλύς, ἤγουν πολλή, νοηθείη διὰ τὸ πολλοὺς Ἄϊδι παραπέμπειν, οὐκ ἀσύμφωνον τοῖς Ὁμήρου, ὃς τὸ τούτου ἔμπαλιν τὴν ἑτεραλκέα νίκην φάος πολλαχοῦ ὠνόμασε. τέως μέντοι τὸ προφαινόμενον τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιήσεως τὴν ῥηθεῖσαν ἀορασίαν πάχος ἀέρος εἶναι βούλεται, ὡς ἡ ἐν τοῖς ἐφεξῆς εὐχὴ τοῦ Αἴαντος δηλοῖ, δι’ ἣν ἥλιος ἐπιλάμψας τὸ κακὸν διέλυσε. (v. 270) Τὸ δὲ «οὐκ ἤχθηρε» καὶ τὸ «ἐμίσησε», κατὰ ἄρσιν καὶ θέσιν λεχθέντα, τὴν αὐτὴν δηλοῦσιν ἔννοιαν. λέγει γὰρ ὡς οὐκ ἤχθηρε Ζεὺς τὸν Πάτροκλον ἀλλ’ ἐμίσησε κυνοσπάρακτον γενέσθαι αὐτόν. (v. 274 s.) Ὅτι πρώτου τοῦ Ἕκτορος ἐρεθίσαντος τοὺς ὑπ’ αὐτόν, εἶτα τοῦ Μενελάου τοὺς Ἀχαιούς, «ὦσαν πρότεροι Τρῶες Ἀχαιούς, νεκρὸν δὲ προλιπόντες ὑπέτρεσαν». καὶ οὕτως ὁ νέκυς τοῦ Πατρόκλου εἵλκυσται. (v. 278 s.) Ὅτι εἰπὼν ὡς μάλα ὦκα ἐλέλιξεν Αἴας τοὺς Ἀχαιοὺς πρὸς ἀντιπαράταξιν, ὅτε οἱ Τρῶες τὸν τοῦ Πατρόκλου νέκυν ἐρύντο, σεμνύνει εὐθὺς ἐπαίνῳ τὸν ἥρωα, παραρρίψας καὶ μνήμην συνήθως τοῦ Ἀχιλλέως. (v. 279) Φησὶ γὰρ «ὃς περὶ μὲν εἶδος, περὶ δ’ ἔργα τέτυκτο τῶν ἄλλων Δαναῶν μετ’ ἀμύμονα Πηλείωνα». Καὶ ὅρα ὅτι καθὰ τὸ περιεῖναι γενικῇ συντάσσει πολλαχοῦ διὰ τὴν ἐπίτασιν, ἣν δηλοῖ ἡ περι πρόθεσις, οὕτω κἀνταῦθα τὸ περιτετύχθαι, εἰπών· περιετέτυκτο τῶν ἄλλων, ἤγουν ἐπέκεινα καὶ περισσότερον τῶν ἄλλων ἐτέτυκτο. ἔνθα ὅρα καὶ ὅτι ἐπὶ φυσικῆς κατασκευῆς ἐτέθη τὸ «ἐτέτυκτο», κυρίως μέντοι ἐπὶ τῶν κατὰ τέχνην ἡ λέξις κεῖται. (v. 281—6) Αὐτίκα δὲ καὶ παραβολὴν ἐπάγει τοιαύτην «ἴθυσεν δὲ διὰ προμάχων συῒ ἴκελος ἀλκὴν καπρίῳ, ὅς τ’ ἐν ὄρεσσι κύνας θαλερούς τ’ αἰζηοὺς ῥηϊδίως ἐκέδασσεν ἑλιξάμενος· ὣς υἱὸς Τελαμῶνος ἀγαυοῦ, φαίδιμος Αἴας, ῥεῖα μετεισάμενος», ἤγουν μετελθών, «Τρώων ἐκέδασσε φάλαγγας, οἳ περὶ Πατρόκλῳ βέβασαν».

4.55 (v. 286) Καὶ σημείωσαι τὸ «περὶ Πατρόκλῳ βέβασαν», ἐπὶ ἐχθρῶν ῥηθὲν καὶ οὐκ ἐπὶ συμμαχίᾳ, ὡς δηλοῖ καὶ τὸ εὐθὺς ἐφεξῆς διασαφητικῶς ῥηθέν «φρόνεον δὲ μάλιστα ἄστυ ποτὶ σφέτερον ἐρύειν καὶ κῦδος ἀρέσθαι», ἵνα εἴη ἁπλῶς περιβῆναι τὸ περί τινα βῆναι, εἴτε ὑπὲρ ἐκείνου, ὡς πολλαχοῦ φαίνεται, εἴτε κατ’ ἐκείνου, ὡς ἐνταῦθα δηλοῦται. Ὅρα δὲ ὡς καὶ ἡ τῆς παραβολῆς ἀπόδοσις ἱκανὸν ἔπαινον ἔχει τοῦ Αἴαντος. (v. 281 s.) Ἐν δὲ τῷ «συῒ καπρίῳ», καθὰ καὶ ἀλλαχοῦ δηλοῦται, γένος μὲν ὁ σῦς, εἶδος δὲ ὁ κάπριος, καθὰ καὶ ὁ θῆλυς. οὕτω καὶ ἐν τῷ «ταύροιο βοός» γένος ὁ βοῦς, εἶδος δὲ ὁ ταῦρος. δῆλον δὲ ὡς γενναιότερος ὁ κάπριος τοῦ θήλεος. (v. 283) Τὸ δὲ «ἐκέδασε» δὶς ἐρρέθη ὡς καίριον. εἰ γὰρ εἶχεν ἰσοδύναμον ῥῆμα, μετέλαβεν ἂν αὐτό, καθὰ καὶ τὸ ῥηϊδίως ῥεῖα κατωτέρω ἔφη, καὶ τὸ ἑλιξάμενος μετεισάμενος, οὗ τὸ θέμα εἴω, ποιητικῶς μεταλαβὼν τὰ ποιητικά, ὡς εἴπερ που καὶ τὸ ἀΐσσειν εἰς τὸ παιφάσσειν μεταληφθείη, ἢ τὸ καρπαλίμως εἰς τὸ κραιπνῶς, ἢ ἡ χαλκοπάρῃος κυνέη ὡς μετ’ ὀλίγα εἰς ἱπποδάσειαν κόρυθα, ἢ τὸ ἄφαρ Αἰολικὸν ἐπίρρημα εἰς τὸ αἶψα, ὧν μία παραγωγὴ τοῦ μὲν ἐκ τοῦ ἅπτω ἅψω, τοῦ δὲ ἐκ τοῦ ἅψω ἧφα παρακειμένου. ἔστι γὰρ αἶψα καὶ ἄφαρ τὸ ταχὺ καί, ὡς εἰπεῖν, συναπτῶς. (v. 289) Ὅτι Ἱππόθοός τις, «Λήθοιο Πελασγοῦ φαίδιμος υἱός», ποδὸς εἷλκε Πάτροκλον», δησάμενος τελαμῶνι παρὰ σφυρὸν ἀμφὶ τένοντας, Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ’ αὐτῷ ἦλθε κακόν, τό οἱ οὔ τις ἐρύκακεν ἱεμένων περ». ὅπερ ἐπί τινος ῥηθήσεται κακὸν παθόντος ἀβοήθητον. (v. 293—302) Εἶτα ἐκτιθέμενος τὸ κακὸν ὁ ποιητής φησι «τὸν δ’ υἱὸς Τελαμῶνος, ἐπαΐξας δι’ ὁμίλου πλῆξεν αὐτοσχεδίην κυνέης διὰ χαλκοπαρήου· ἤρικε δ’ ἱπποδάσεια κόρυς περὶ δουρὸς ἀκωκῇ, πληγεῖς’ ἔγχεΐ τε μεγάλῳ καὶ χειρὶ παχείῃ, ἐγκέφαλος δὲ παρ’ αὐλὸν ἀνέδραμεν ἐξ ὠτειλῆς, αἱματόεις· τοῦ δ’ αὖθι λύθη μένος, ἐκ δ’ ἄρα χειρῶν Πατρόκλοιο πόδα μεγαλήτορος ἧκεν», ἤγουν ἀφῆκε, «χαμᾶζε κεῖσθαι· ὃ δ’ ἄγχ’ αὐτοῖο πέσε πρηνὴς ἐπὶ νεκρῷ τῆλε ἀπὸ Λαρίσσης», ἑῴας δηλαδή, «ἐριβώλακος· οὐδὲ τοκεῦσι θρέπτρα φίλοις ἀπέδωκεν», ἤγουν θρεπτήρια, ὅ ἐστι τροφεῖα, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη.

4.56 τοῦτο δὲ ἠθικῶς ὁ ποιητὴς παρεσημήνατο, δηλῶν ὀφειλέτας ἡμᾶς εἶναι τοῦ ἀντιτρέφειν τοὺς γεννησαμένους. τὸ γὰρ ἀποδιδόναι χρεωστικὴν κυρίως δηλοῖ ἀπότισιν. Ὅρα δὲ ὡς τολμηρὸν ἱστορήσας ἄνδρα τὸν Ἱππόνοον ὁ ποιητὴς πλείονος αὐτὸν λόγου ἠξίωσε, Λῆθόν τε πατέρα εἰπῶν αὐτοῦ, Πελασγὸν τῷ γένει, καὶ αὐτὸν φαίδιμον προσειπὼν καὶ τὴν πατρίδα δηλώσας, καὶ ἐπαινέσας καὶ αὐτὴν ἐν τῷ εἰπεῖν ἐριβώλακα, καὶ οἰκτισάμενος δὲ ἐν τῷ ἐπαγαγεῖν, ὡς

μινυνθάδιος δέ οἱ αἰὼν ἔπλετο ὑπὸ Αἴαντος δαμέντι Ὅτι δὲ Λάρισσαι διάφοροι, ὧν μία καὶ ἡ ἐνταῦθα Πελασγική, ἐν τοῖς εἰς τὴν Βοιωτίαν δεδήλωται. (v. 290) Ὅρα δὲ καὶ ὅτι τελαμὼν ἐνταῦθα οὐχὶ ὁ ἀνέχων ἀσπίδα ἢ ξίφος, ἀλλ' ὁ ἁπλῶς καθ' ἑαυτὸν πλατὺς ἱμάς, ὅν, ὡς εἰκός, εἶχεν ὁ Ἱππόθοος, εἴ που χρεία τις αὐτοῦ γένηται, ὡς καὶ ἐπ' ἄλλων τοιαῦτά τινα φαίνονται, καὶ ὅτι τελαμῶνος τοιούτου μνησθεὶς δήσαντος τὸ τοῦ νεκροῦ σφυρὸν οὐκ εὐθὺς ἐπήγαγε τὸ τοῦ ἥρωος Τελαμῶνος ὄνομα, διέστησε δὲ ἱκανῶς, ἵνα μὴ ἐπιτηδεύσασθαι δόξῃ τοιαύτην εἰκῇ παρήχησιν. ἔφη γὰρ μετὰ δύο στίχους· τὸν δ' υἱὸς Τελαμῶνος ἔπληξε. Σφυρὸν δὲ φανερῶς τὸ ἄκρον τοῦ σκέλους, ἐξ οὗ καὶ ἐπισφύρια τὰ μετὰ τὸ σφυρόν. ἐκεῖ δὲ καὶ τένοντες κατὰ νεύρων συνέλευσιν. (v. 291) Τὸ δὲ «Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος» ἔχει τι σκωπτικόν, εἰ μὴ διὰ ἀνδρίαν ὁ Ἱππόθοος κινδυνεύει ἀλλὰ πρὸς χάριν τινῶν. (v. 295) Τὸ δὲ «ἤρικεν», ὅ ἐστιν ἐσχίσθη, ἐρράγη, δεύτερος ἀόριστός ἐστι τοῦ ἐρείκω, ἐξ οὗ φυτὸν ἡ ἐρείκη.

4.57 διὸ καὶ τῷ ι παραλήγεται κατὰ τὸ λείβω ἔλιβον. (v. 297) Αὐλὸν δὲ λέγει ἢ τὸ ὀξὺ τοῦ δόρατος, ἐπεὶ καὶ αἰγανέας δολιχαύλους που λέγει τὰς μακροξύλους, ἢ τὸ τρῆμα τῆς κυνέης τὸ διὰ τοῦ ἔγχεος. καὶ ἄλλως δὲ αὐλὸν τὸν ἐξακοντισμόν φησι καὶ τὴν ἐπιμήκη φορὰν τοῦ αἵματος. αὐλὸς γάρ, ὡς καὶ προεδηλώθη, πᾶν τὸ ἐπίμηκες καὶ οὐδὲ πλατύ, ὅθεν καὶ οἱ αὐλῶνες, [καὶ ὁ τῶν πνευμάτων ἀνακαμπτικὸς διαυλωνισμός], καὶ αὐλὸς καὶ δίαυλος, τὸ στάδιον, [καὶ ἐξ αὐτοῦ μεταφορικῶς καὶ ἡ ἁπλῶς οὑτινοσοῦν ἀνάκαμψις, ὡς τὸ «διαύλοις κυμάτων φορούμενος», καὶ «ἐν χορδαῖς χεῖρα καμψιδίαυλον ἀναστρωφῶν τάχος», ἤγουν ταχὺ ἀναστρέφων ἐν τῷ πλήττειν τὰς χορδάς, εἰς ὃ καλλίων φράσις ἡ τοῦ νέου Φιλοστράτου ἐν τῷ «οἱ δάκτυλοι δὲ τοῖς μίτοις ἐπεπετάνυντο». περὶ Ὀρφέως δὲ αὐτὸ ἐκεῖνός φησι. καὶ τοῦτο μὲν τοιοῦτον.] Ὁ δὲ νοῦς τοῦ Ὁμηρικοῦ χωρίου τοιοῦτος· ἐγκέφαλος δὲ συνεξηκοντίσθη τῇ προμήκει ῥύσει τοῦ αἵματος, κραθεὶς αὐτῷ καὶ ἄνω συνεκπηδήσας. τινὲς δὲ τῶν παλαιῶν παρακεκινδυνευμένως φασὶν ἐξενεγκεῖν τὸν ποιητὴν τὸ νόημα.

4.58 θέλων γὰρ εἰπεῖν ὡς ἐκράθη ὁ ἐγκέφαλος αἵματι, ὁ δὲ αἱματόεντα εἶπεν ἁπλῶς τὸν ἐγκέφαλον. αἴτιον δὲ τούτου ἡ συντομία τῆς φράσεως. (v. 302) Ὅρα δὲ καὶ τὸ «μινυνθάδιος αἰών», ἐξ οὗ δῆλον ὡς οὐ μόνον μινυνθάδιος ἀνήρ, ἀλλὰ καὶ ζωή, ἡ κατ' ἄνθρωπον. (v. 307) Ὅτι ἐν τῷ «Φωκήων ὄχ' ἄριστος» φησὶν Ἀπίων καὶ Ἡρόδωρος καὶ διὰ διφθόγγου τὴν παραλήγουσαν τοῦ Φωκήων γράφεσθαι. τοιοῦτον δέ τι ἐσημειώθη καὶ ἐν ἀρχῇ τῆς Ἰλιάδος περὶ τῶν Ἰωνικῶν γενικῶν τῶν ἀπὸ τῶν εἰς ευς ὀνομάτων, καὶ ἐν τοῖς 〈τοῦ〉 Περιηγητοῦ δὲ, ὅπου ἐκείνῳ περὶ Ὑλλέων ὁ λόγος. οἱ δ' αὐτοὶ καὶ τὸ «ἀναλκείη» κατωτέρω κείμενον διφορεῖσθαί φασι κατὰ τὴν γραφὴν τῆς παραληγούσης. Μέμνηται δ' ἐνταῦθα καὶ Πανοπέως ὁ ποιητὴς τοπικοῦ ὀνόματος, ὃν ὁ τὰ Ἐθνικὰ γράψας Πανοπὴν λέγει πόλιν Φωκίδος, κληθεῖσαν ἀπὸ Πανοπέως, υἱοῦ Φώκου. ταύτης δέ, φησίν, ὁ πολίτης Πανοπεύς, ὁμοφώνως τῷ πρωτοτύπῳ. ἐκ δὲ τοῦ ῥηθέντος Πανοπέως ἦν Σχεδίος ὁ Φωκεύς, ὃν ἀναιρεῖ ὁ Ἕκτωρ ἐνταῦθα. Ἔνθα ὅρα καὶ ὅτι τῷ ὅλῳ τὸ μέρος ἐπήγαγεν, ἤγουν τοῖς Φωκεῦσι τὸν Πανοπέα, ὡς ἔν τε ἄλλοις γίνεται καὶ ἐν τῷ «ἐς Κύπρον ἐς Πάφον». (v. 306—8) Φησὶ γοῦν· Σχεδίον, Ἰφίτου υἱὸν, Φωκήων ὄχ' ἄριστον, ὃς ἐν Πανοπῆϊ οἰκία ναιετάασκεν. (v. 312) Ἐν δὲ τοῖς ῥηθεῖσι κεῖται καί τις Φόρκυς, οὗ αἰτιατικὴν ὁ ποιητὴς λέγει Φόρκυνά τε ὡς μόσυνα μετὰ ἐκτεταμένου τοῦ υ , καὶ Φόρκυν δισυλλάβως ὡς βότρυν. ἔστι δὲ καὶ κόμματα καὶ στίχους δὲ ὅλους εὑρεῖν ἐν τῷ χωρίῳ τούτῳ ποιηθέντα ἐν ἄλλοις. (v. 310) Λέγει δὲ καὶ τὸ «ἀνέσχεν» ἐπὶ δόρατος ἀντὶ τοῦ ἐφάνη, διεπέρασε, καὶ ὡς εἰπεῖν, ἀνέτειλε τῇ διαμπερὲς πληγῇ.

4.59 Φησὶ γὰρ «αἰχμὴ παρὰ νείατον ὦμον ἀνέσχεν», ὅπερ ἴσως μὲν ἄλλο ἐστὶ παρὰ τὸ διέσχεν. ἐκεῖνο γὰρ προηγεῖται τοῦ ἀνασχεῖν, διασχισμὸν δηλοῦν μόνον, ὡς προδέδεικται· ἴσως δὲ καὶ ἶσον ἐκείνῳ ἐστίν. (v. 309) Ἐνταῦθα δὲ καὶ τὴν κατ' ἄνθρωπον κλεῖδα τοπογραφῶν ὁ ποιητής φησι «τὸν βάλεν ὑπὸ κληῖδα μέσην», αἰχμὴ δὲ «παρὰ νείατον ὦμον ἀνέσχεν», ὡς εἴρηται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[Δῆλον δ’ ἐκ τῶν παλαιῶν ὅτι κληῒς πολλὰ καὶ αὐτὴ δηλοῦσα, ὥσπερ καὶ τὸ κλειδίον καὶ ἡ κλείς, λέγεται καὶ ἐπὶ μέρους θύννων, ὡς ὁ Ἀθήναιος παρασημειοῦται, οἷον· «κλεῖδες μὲν ὀπταὶ δύο παρεσκευασμέναι», πρὸς ὅπερ πυθομένου τινὸς τὸ «ἆρα αἷς θύρας κλείουσιν», ἐπάγεται ἀπόκρισις τὸ «θύννου μὲν οὖν σεμνὸν βρῶμα». Οὕτω δὲ καὶ ὀρφῶν κλειδία, οἷον «ἐν Γαδείροις τὰ κλειδία τῶν ὀρφῶν καθ’ αὑτὰ ταριχεύονται». Κλειδίων δὲ θύρας χρῆσις παρὰ τῷ Κωμικῷ, εἰπόντι κακοηθέστατα κλειδία τὰ κρυπτὰ καὶ δυσεπιβούλευτα.] (v. 318) Λέγει δὲ καὶ τὸ ἔλυον λύοντο παθητικῶς, εἰπὼν «λύοντο δὲ τεύχε’ ἀπ’ ὤμων». πρὸ ὀλίγων δὲ ἐνεργητικῶς εἶπε «λῦσε δέ οἱ θώρηκα», ἐκτείνας ἐκεῖ τὸ δίχρονον. (v. 321) Ὅτι καὶ νῦν παρεμφαίνει Ὅμηρος μὴ εἶναι κατηναγκασμένην τὴν αἶσαν, λέγων «ἔνθα κεν αὖτε Τρῶες ἀρηϊφίλων ὑπ’ Ἀχαιῶν Ἴλιον εἰσανέβησαν ἀναλκείῃσι δαμέντες, Ἀργεῖοι δὲ κῦδος ἕλον καὶ ὑπὲρ Διὸς αἶσαν κάρτεϊ καὶ σθένεϊ σφετέρῳ», ταὐτὸν δ’ εἰπεῖν «σφῇ ἀρετῇ», ὡς πρὸ βραχέων εἴρηται. καὶ Ἀπόλλων δὲ μετ’ ὀλίγα ἐρεῖ, ὡς εἶδεν ἀνέρας, οἳ κάρτεΐ τε πεποιθότες πλήθεΐ τε σφετέρῳ καὶ ὑπὲρ θεὸν πόλιν εἰρύσαντο, τοῦτο δὴ ὃ καὶ αὐτὸς ἀξιώσει ἐκεῖ, ἤγουν τὸ καὶ ὑπὲρ θεὸν εἰρύσασθαι Ἴλιον αἰπεινήν.

4.60 Καὶ ὅρα ἐν τούτοις καίρια ποιητικὰ πάρισα, τὸ κάρτεϊ, σθένεϊ, πλήθεϊ, καὶ ὅτι ταὐτὸν «ὑπὲρ Διὸς αἶσαν» εἰπεῖν καὶ «ὑπὲρ θεόν». Ἰστέον δὲ ὅτι τὸ «ἔνθα κεν αὖτε Τρῶες ἀρηϊφίλων ὑπ’ Ἀχαιῶν» καὶ ἑξῆς μετ’ ὀλίγα παρῴδηται βραχύ τι ἐν τῷ «αἰδὼς μὲν νῦν ἥδε γ’ ἀρηϊφίλων ὑπ’ Ἀχαιῶν Ἴλιον εἰσαναβῆναι ἀναλκείῃσι δαμέντας», παραδεικνύντος πάλιν τοῦ ποιητοῦ ὅπως παρῳδητέον. Ὅρα δὲ καὶ νῦν χασμῳδίαν προσηνῆ παραβυσθεῖσαν τῇ τοῦ γε συνδέσμου συναλιφῇ, ὡς πολλαχοῦ φιλεῖ ποιεῖν Ὅμηρος. ὡς δὲ τὸ «ἀναλκείῃσι» διφορεῖται κατὰ τὴν παραλήγουσαν, πρὸ ὀλίγων ἐγράφη. (v. 323) Ὅτι Περίφας κῆρυξ καλεῖται Τρωϊκός τις ἀνὴρ διὰ τὸ περισσῶς φωνεῖν. διὸ λόγῳ φερωνυμίας καὶ Ἤπυτος πατὴρ αὐτῷ παρὰ τὸ ἠπύειν, ὅ ἐστι φωνεῖν. (v. 322—4) Φησὶ γοῦν ὅτι αὐτὸς Ἀπόλλων Αἰνείαν ὤτρυνεν Περίφαντι ἐοικὼς κήρυκι, Ἠπυτίδῃ, «ὅς οἱ παρὰ πατρὶ γέροντι κηρύσσων γήρασκε». κῆρυξ οὖν καὶ ὁ Ἤπυτος, οὗ τὴν τέχνην ὁ υἱὸς διεδέξατο κατὰ ἔθος ἀρχαῖον τὸ καὶ προδηλωθέν, ὃ παραδίδωσιν Ἡρόδοτος. [Ἔργον δὲ τέχνης κηρύκων θυσίαις τε καὶ σπονδαῖς παντοίαις ἐπιστατεῖν καὶ ἀγορὰς ἀθροίζειν καὶ τοὺς λαλήσοντας ἐξεγείρειν καὶ προσοχὴν ἐμποιεῖν προβοῶντας τὸ «ἀκούετε λεῴ» ἢ λαοί. διὸ Στρατόνικος, ὁ ἀστεῖος κιθαρῳδός, ἰδὼν ἐν Μυλάσσῃ ναοὺς μὲν πολλούς, ἀνθρώπους δ’ ὀλίγους, στὰς ἐν μέσῃ ἀγορᾷ ἔφη «ἀκούετε ναοί», παρῳδήσας οὕτω τὸ ἀκούετε λαοί. ὁ δ’ αὐτὸς καὶ πρὸς τὴν ὁμωνυμίαν παίζων τοῦ κήρυκος, ἐπεὶ κῆρυξ οὐ μόνον τὸ κύριον καὶ ὁ ἱερὸς βασιλικὸς θεράπων, ἀλλὰ καὶ θαλάσσιον ὄστρεον ἔχον ὀξύτητας κύκλῳ, ἐπεὶ ἐν Ἀβδηριτικῷ ἀγῶνι εὕροι κήρυκας πολὺ πλείους κατὰ λόγον τῶν δημοτῶν, καὶ ἐπ’ ἄκρων ὀνύχων βαδίζοι δεδορκὼς ἀτενὲς εἰς γῆν, καὶ ἐρωτηθείη τί πάθοι, τὰ μὲν ἄλλα ἐρρῶσθαι εἶπε τοὺς πόδας, ἀγωνιᾶν δέ, μήποτε, φησίν, ἐπιβὰς κήρυκι τὸν πόδα παρῶ, παίξας ἀστείως ἐν τῷ μεταβαλεῖν τὸν κατ’ ἄνθρωπον κήρυκα εἰς τόν, ὡς εἴρηται, θαλάσσιον.

4.61 ] (v. 325) Ἰστέον δὲ ὅτι καὶ διδασκάλῳ παλαιῷ καὶ ἀγαθῷ πρέποι ἄν ποτε τὸ «κηρύσσων γήρασκε φίλα φρεσὶ μήδεα εἰδώς». Σημείωσαι δὲ καὶ ὅτι ἐνταῦθά τις τῶν μὴ καθ’ Ὅμηρον οὐκ ἂν ὤκνησε ψυχρῶς παρηχῆσαι ἐν τῷ εἰπεῖν «γηρύων γήρασκε». Τὸ δὲ «κήρυκι» συστέλλει νῦν τὴν παραλήγουσαν, εἰ καὶ ἀλλαχοῦ ἐν πολλοῖς ἐκτείνεται [Ἀττικῶς, οὕτω δέ, φασίν, ἐκτείνει τὴν μέσην καὶ τὸ δοίδυκος, ὄρτυγος. Ἀριστοφάνης δ’ ἐν Εἰρήνῃ συστέλλει τὸ ὄρτυγος διὰ μέτρον.] Πόλλα δὲ καὶ ἕτερα τῶν διχρόνων παρὰ τῷ ποιητῇ τὴν τῆς κλήσεως φερωνυμίαν σῴζουσι τοῖς δυσὶν ὑποκείμενα χρόνοις, οἷον τὸ Ἀπόλλων, τὸ ἀνήρ, τὸ Κρονίων, τὸ Ἄρης, τὸ ὕδωρ, τὸ πρίν, καὶ ἄλλα. (v. 327) Ὅτι τὸ ὑπὲρ αἶσαν καὶ ὑπὲρ μόρον ἢ ὑπέρμορον παραφράζων ἐνταῦθα ὁ πολύφωνος ποιητής φησι «πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσαισθε Ἴλιον», περὶ οὗ καὶ πρὸ βραχέων εἴρηται. (v. 328—30) Ὅτι ἔπαινος παλαιῶν ἀγαθῶν ἀνδρῶν τὸ «ὡς δὴ ἴδον ἀνέρας

ἄλλους κάρτεΐ τε» ὡς καὶ προγέγραπται, «σθένεΐ τε πεποιθότας ἠνορέῃ τε πλήθεΐ τε σφετέρῳ καὶ ὑπερδέα δῆμον ἔχοντας». Ὅτι δὲ κεκαλλώπισται καὶ τὸ χωρίον τοῦτο, οὐκ ἄδηλόν ἐστι. (v. 330) Δῆμον δὲ ὑπερδέα λέγει τὸν ἀπτόητον καὶ ὑπερκείμενον δέους ἐκ τοῦ ὑπερδεέα κατὰ συγκοπήν. ἄλλως γὰρ περισπᾶσθαι ὤφειλε κατὰ συναίρεσιν ὡς τὸ εὐφυέα εὐφυᾶ, ὑγιέα ὑγιᾶ. (v. 331 s.) Ὅτι ἀγαθοῖς μὲν στρατιώταις, δειλοῖς δέ, προσρηθήσεται τὸ «ὑμῖν θεὸς πολὺ βούλεται ἢ τοῖς δεῖνα νίκην, ἀλλ’ αὐτοὶ τρεῖτε ἄσπετον οὐδὲ μάχεσθε».

4.62 (v. 334) Κεῖται δ’ ἐν τούτοις καὶ σύνταξις ἀσυνήθης τοῖς ὕστερον τὸ «Αἰνείας μέγα Ἕκτορα εἶπε βοήσας». Ἕκτορι γὰρ εἶπε καὶ Ἕκτορι βοήσας φασὶν οἱ μεθ’ Ὅμηρον. θεραπεύεται δὲ ἐν ὑπακοῇ προθέσεως, ἵνα ᾖ πρὸς Ἕκτορα εἶπε βοήσας. (v. 336 s.) Ὅτι ὄνειδος φευγόντων τό· αἰδὼς μὲν νῦν ἥδε γε εἰς τὸν δεῖνα τόπον ἀναβῆναι ἀναλκείῃσι δαμέντας. (v. 338 s.) θάρρους δὲ θεόθεν δηλωτικὸν κατὰ παρῳδίαν τὸ «ἀλλ’ ἔτι γάρ φησι θεὸς ἐμοὶ ἄγχι παραστὰς μάχης ἐπιτάρροθος εἶναι». διὸ ἰθὺς ἴομεν, μηδ’ οἵ γε ἕκηλοι ποιήσαιεν τόδε τι. (v. 342) Ἀνδρείου δέ τινος δήλωσις τὸ «καί ῥα πολὺ προμάχων ἔστη». (v. 343) Ὑποστροφὴν δὲ ἐκ φυγῆς φράζει τὸ «οἳ δ’ ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν». (v. 348—51) Ὅτι Ἀπισάων τις ἐνταῦθα πίπτει [ὑπὸ Λυκομήδει τῷ Ἑλληνικῷ βληθεὶς ἧπαρ ὑπὸ πραπίδων τῶν πολλαχοῦ ῥηθεισῶν. ἦν δὲ ὁ βληθεὶς] ἐκ Παιονίης ἐριβώλακος ἐπίκουρος τοῖς Τρωσίν, ἀριστεύων μετὰ Ἀστεροπαῖον τὸν ἐν τοῖς ἑξῆς ὑπ’ Ἀχιλλέως ἐν τῷ ποταμῷ πεσόντα. [Ἰστέον δὲ ὅτι Παίων τὸ ἐθνικόν, ὡς Μαίων Μαίονος, Παιών δὲ Παιῶνος ὡς αἰών αἰῶνος τὸ ἐπὶ ἰατροῦ, οἷον «Ἀσκληπιοῦ Παιῶνος εὐμενοῦς τυχών», ἔτι δὲ καὶ ἐπὶ Ἀπόλλωνος, ἐξ οὗ καὶ παιωνίζειν τό, ὡς εἰπεῖν, παιηονίζειν καὶ κράσει τοῦ η καὶ ο εἰς ω μέγα παιωνίζειν, οἷον «πρὸ τοῦ θοινᾶσθαι διδάσκει Ὅμηρος σπένδειν καὶ παιωνίζειν», ταὐτὸν δ’ εἰπεῖν παιανίζειν, ἤγουν ᾄδειν Παιᾶνι Φοίβῳ ὕμνον παιᾶνα, οὗ ἐπῳδὸς τὸ «ἰὴ Παιάν», ὅπερ ἦν παιανικόν τι ἐπίρρημα.] (v. 354) Ὅτι ὃ φθάσας εἶπε «φραχθέντες σάκεσι χαλκήρεσιν», ἄλλως ἐνταῦθα φράζων φησὶ «σάκεσσιν ἔρχατο πάντῃ», ὅ ἐστιν εἰργμένοι ἦσαν οἱ Ἀχαιοὶ ὡς ἐν τειχίῳ, «ἑσταότες περὶ Πατρόκλῳ· πρὸ δὲ δούρατ’ ἔχοντο», Αἴαντος πολλὰ κελεύοντος.

4.63 (v. 355) Τὸ δὲ «πρὸ δὲ δούρατ’ ἔχοντο» προΐσχοντο δόρατά φασιν οἱ μεθ’ Ὅμηρον, ὅμοιον ὂν τῷ προεβάλλοντο. ὅτι δὲ προὔχεσθαι καὶ τὸ προφασίζεσθαι λέγεται, δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ «προὔχοιο» ἀντὶ τοῦ προφασίζοιο. ἐκ δὲ τούτου καὶ προχάνας φασὶ τὰς προφάσεις λέγεσθαι. αὐτὸ μέντοι ἴσως ἀπὸ τοῦ προχαίνειν, ἐπεὶ καὶ ταὐτὸν δοκεῖ προχαίνειν καὶ προφάσκειν εἰπεῖν, τὸ μὲν ἐκ τοῦ προηγουμένου, τὸ δ’ ἐκ τοῦ ἀποτελέσματος. διὸ καὶ ὁ μὴ δυνάμενος φάσκειν ἀχανὴς λέγεται. Ἰστέον δὲ ὅτι τὸ «ἑσταότες περὶ Πατρόκλῳ» ταὐτόν ἐστι τῷ περιβεβαῶτες καὶ ἀμφιβεβαῶτες, ὃ διαλυθὲν ποιεῖ τὸ ἀμφ’ αὐτῷ βεβάμεν, μετ’ ὀλίγα κείμενον. (v. 356—9) Ὅτι κινδυνεύοντας ἰδὼν τοὺς Ἀχαιοὺς ὁ Αἴας «μάλα πάντας ἐπῴχετο πολλὰ κελεύων, οὔτε τι ἐξοπίσω νεκροῦ χάζεσθαι ἀνώγει, οὔτε τινὰ προμάχεσθαι Ἀχαιῶν ἔξοχον ἄλλων, ἀλλὰ μάλ’ ἀμφ’ αὐτῷ βεβάμεν», ὡς προείρηται, «σχεδόθεν τε μάχεσθαι». Καὶ ὅρα ὡς μὴ δυνάμενός τι δρᾶσαι γενναῖον ἀγαπητὸν κρίνει τὸ μὴ παθεῖν γοῦν τι μέγα κακόν. Τὸ δὲ κελεύειν ἀνώγειν εἰπὼν καὶ ἐπιτέλλειν φησίν. (v. 360) Ἐπάγει γὰρ «ὣς Αἴας ἐπέτελλε πελώριος». (v. 360—5) Ὅτι σφοδροῦ πολέμου ὑπογραφὴ καὶ κοινῆς πτώσεως τῶν τε κρειττόνων καὶ τῶν μὴ τοιούτων τὸ «αἵματι δὲ χθὼν δεύετο πορφυρέῳ· τοὶ δ’ ἀγχηστῖνοι ἔπιπτον νεκροὶ ὁμοῦ» τῶν δεῖνα καὶ τῶν δεῖνα. «οὐδ’ οἳ γὰρ ἀναιμωτί γε μάχοντο», οἱ Τρῶες δηλαδή, «παυρότεροι δὲ πολὺ φθίνυθον». διὰ τί; «μέμνηντο γὰρ αἰεὶ ἀλλήλοις ἀν’ ὅμιλον», ἢ καθ’ ὅμιλον, «ἀλεξέμεναι φόνον αἰπύν».

4.64 καὶ τοῦτ’ ἦν τὸ μεμνῆσθαι ἀλκῆς. καὶ ὅρα ὅτι τε πάνυ ὠφέλιμον τὸ ἀλλήλοις τινὰς βοηθεῖν καὶ μάλιστα ἐν μάχῃ, καὶ ὡς, εἰ καὶ ἀλεξῆσαι, ἀπολύτως λέγειν, σύνηθές ἐστιν, ἀλλὰ μετὰ προσθήκης μᾶλλον κρεῖττόν ἐστιν, οἷον ἀλεξῆσαι φόνον ἢ ἁπλῶς τι κακόν, ἐξ οὗ σύγκειται ὁ ἀλεξίκακος. ᾧ συγγενὲς οὐ μόνον τὸ ἀλεξητήρ καὶ κηραμύντης καὶ εἴ τι τοιοῦτον, ἀλλὰ καὶ ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρ’ Ἡσιόδῳ «ἀλεξιάρη νειός». (v. 366) Σημείωσαι δὲ καὶ ὅτι τοιαύτην φράσας δεινὴν μάχην ἐπάγει «ὣς οἳ μὲν μάρναντο δέμας πυρός», ὃ πολλαχοῦ κεῖται, δηλοῦν ὡς τοιούτῳ πολέμῳ οἰκεῖος ὁ τοιοῦτος λόγος, οὐ τοσοῦτον διὰ τὸ δίκην πυρὸς εὐκίνητον καὶ κοῦφον τῶν μαχομένων καὶ ὀξὺ καὶ ἰτητικὸν καὶ διὰ τὴν θερμότητα τῶν μαχομένων, ὅθεν καὶ μάχη καυστειρή, ὅσον διὰ τὸ ταχέως ἐξολοθρεύεσθαι τοὺς οὕτω πολεμοῦντας, ὡς εἰ καὶ πῦρ αὐτοὺς ἀνήλισκεν. Ὅτι δὲ ἐν τῷ τοιούτῳ νοήματι ἐπὶ ἀψύχου κεῖται τὸ δέμας, προεσημειώθη. οὐ γὰρ δήπου ἔμψυχον τὸ πῦρ, εἰ μὴ ἄρα, ὡς καὶ τοῦτο ἐρρέθη, ποιητικὴ αὐτονομία ψυχοῖ γλυκέως καὶ αὐτό, καθὰ καὶ τὰ βέλη καὶ ἄλλα τῶν ἀψύχων πολλά. (v. 366—73) Ὅτι ἐφερμηνεύων Ὅμηρος ποιητικώτερον καὶ σεμνότερον τὸ «ἀμφὶ δ’ ἄρα σφι λαμπραῖς κορύθεσσιν ἠέρα Ζεύς», ὃ δὴ πρὸ ὀλίγου ἐρρέθη, φησὶν ἐνταῦθα ἐν σχήματι ἀποστροφῆς πρὸς τὸν τῆς κατ’ αὐτὸν Μούσης ἀκροατήν, ὡς «οὐκ ἂν φαίης οὔτε ποτ’ ἠέλιον σόον ἔμμεναι οὔτε σελήνην. ἠέρι γάρ», ἀφωτίστῳ δηλαδή, «κατέχοντο μάχης ἔπι ὅσσοι ἄριστοι ἕστασαν ἀμφὶ Πατρόκλῳ. οἱ δ’ ἄλλοι Τρῶες καὶ Ἀχαιοὶ εὔκηλοι πολέμιζον ὑπ’ αἰθέρι.

4.65 πέπτατο δ’ αὐγὴ ἠελίου ὀξεῖα», παρὰ τοῖς ἄλλοις δηλαδή, «νέφος δ’ οὐ φαίνετο πάσης γαίης οὐδ’ ὀρέων». Ὥστε δῆλον ἐκ τούτων ὅτι τὴν προρρηθεῖσαν ἠέρα μόνῳ τῷ τόπῳ ἐμπεριγράφει, ἐν ᾧ ἡ περὶ Πατρόκλου ἦν μάχη. καὶ ἔστι πιθανὸς ὁ λόγος διά τε τὴν κόνιν τήν, ὡς εἰκός, παχυνομένην ἐκεῖ, καθὰ ἐρρέθη, καὶ διὰ τὴν ῥηθεῖσαν πυκνότητα τῶν μαχομένων, ἣν καὶ ἐν ἄλλοις εἰς νέφος εἴκασε. (v. 373—7) Διὸ καί φησιν, ὡς οἱ μὲν ἄλλοι «μεταπαυόμενοι ἐμάχοντο ἀλλήλων ἀλεείνοντες βέλεα στονόεντα, πολλὸν ἀφεσταότες· τοὶ δ’ ἐν μέσῳ ἄλγε’ ἔπασχον ἠέρι καὶ πολέμῳ, τείροντο δὲ νηλέϊ χαλκῷ ὅσσοι ἄριστοι ἔσαν». τούτους γὰρ ὑπὲρ τοῦ Πατρόκλου συνεκαλέσατο Μενέλαος. (v. 367) Ὅρα δὲ ὅτι ἐν τῷ «οὔτε ποτέ» ἀργὸν ἐκ περισσοῦ κεῖται τὸ ποτέ ἐπίρρημα, ὡς καὶ ἐν ἄλλοις, καὶ ὅτι τὸ «ἠέλιον σόον ἔμμεναι» παρῴδηται ἀπὸ τοῦ «λαὸν σόον ἔμμεναι». αὐτὸ δὲ τὸ «οὔτε ἠέλιον σόον εἶναι οὔτε σελήνην» παντελῆ πως δηλοῖ ἢ κολόβωσιν φωτὸς ἢ ἀπώλειαν. οὔτε γὰρ ἀκραιφνὴς ἡμέρα ἦν, ἀλλ’ οὐδὲ ὡς νὺξ φῶς ἔχουσα, ὅθεν εἴωθεν, ἀλλ’ οἷόν τις νύξ. καὶ ἄλλως δὲ φράσαι, τὸ «οὐκ ἂν φαίης οὔτε ἥλιον σόον εἶναι οὔτε σελήνην» αὔξησίν τινα σκότους δηλοῖ, ὡς τοῦ περὶ τὸν νεκρὸν μόνου ἀέρος οὔτε ὡς ἐν ἡμέρᾳ ὀξείαις ἡλίου αὐγαῖς πεφωτισμένον οὔτε ὡς ἐν πανσελήνῳ νυκτί, μᾶλλον δὲ ὡς τοιούτου ὄντος ἐκεῖ καταστήματος ἀέρος, ὁποῖόν τι γίνεταί που ἐν ἐκλείψει ἡλίου ἢ σελήνης, ὅτε οὐδὲ σόοι αὐτοὶ δοκοῦσιν εἶναι. καὶ ἄλλως δέ, σκότος ἐκεῖ βαθὺ ὁ λόγος ἐνδείκνυται, ὡς μηδὲ ἥλιός που ἦν μηδὲ σελήνη, κατὰ τὸ «ἠέλιος δ’ οὐρανοῦ ἐξαπόλωλε». διὸ καὶ ὁ Αἴας ἐν τοῖς ἑξῆς ὡς ἐν σκότει βαθεῖ ὢν εὔξεται φῶς ἰδεῖν. (v. 371) Τὸ δὲ «ὑπ’ αἰθέρι» ἀντὶ τοῦ ὑπὸ αἰθρίᾳ καὶ καθαρῷ ἀέρι καὶ ἀνεφέλῳ. διαστέλλει γὰρ ἐνταῦθα φανερῶς αἰθέρα καὶ ἀέρα. οὗτος μὲν γὰρ σκοτεινός. διὸ καὶ ἠέρα τὴν ἀορασίαν φαμέν, ἐκεῖνος δὲ λαμπρὸς καί, ὡς ἐρρέθη, ἀνέφελος. (v. 371—3) Διὸ καὶ ἐπάγει ἑρμηνευτικῶς τὸ «πέπτατο δ’ αὐγή», καὶ «νέφος δ’ οὐ φαίνετο» καὶ ἑξῆς. ταῦτα δὲ ἡ αἰθρία ποιεῖ καὶ ἡ σύστοιχος αὐτῇ αἰθήρ. [Ὀξεῖα δὲ ἡλίου αὐγή, ἣ τμητικὴν ἀέρος οὖσαν οὐκ ἀμβλύνει νέφος. διὸ ἐπάγει πρὸς σαφήνειαν τὸ «νέφος δ’ οὐ φαίνετο πάσης γαίης».

4.66 ἔνθα λείπει ἡ πρόθεσις, ἵνα ᾖ ὅτι νέφος οὐκ ἦν ὑπὲρ γῆς, ἢ τοπικὸν ἐπίρρημα, οἷον νέφος δ’ οὔ πῃ φαίνετο γῆς. Τὸ δὲ «ὀξεῖα» κυριολεκτούμενον ἐπὶ βέλους συμβάλλεταί τι πρὸς ἀλληγορίαν τοῦ τοξότου Φοίβου.] (v. 373) Τὸ δὲ «μεταπαυόμενοι» ἢ ἀντὶ τοῦ ἀμείβοντες ἀλλήλους, ὡς παύεσθαι μὲν τούτους, ἑτέρους δὲ μάχης ἄρχεσθαι, ἢ ἀντὶ τοῦ ἀναπαυόμενοι. δῆλον δ’ ὡς οἶδεν ὁ ποιητὴς καὶ τὴν λέξιν τοῦ ἀναπαύεσθαι, ἐν οἷς φησι τὸ «ἀνθρώπους ἀνέπαυσεν ἐπὶ χθονί». (v. 377—82) Ὅτι τοὺς Νεστορίδας ἡ περὶ τῷ Πατρόκλῳ μάχη οὔπω ἔσχεν οἷα μαχομένους ἑτέρωθι καὶ οὔπω πεπυσμένους. ἔτι γὰρ τὸν Πάτροκλον ᾤοντο ζῆν. Φησὶ γὰρ «δύο δ’ οὔ πω φῶτε πεπύσθην ἀνέρε κυδαλίμω, Θρασυμήδης Ἀντίλοχός τε, Πατρόκλοιο θανόντος ἀμύμονος, ἀλλ’

ἔτ᾽ ἔφαντο ζωὸν ἐνὶ πρώτῳ ὁμάδῳ Τρώεσσι μάχεσθαι. τὼ δ᾽ ἐπιοσσομένω θάνατον καὶ φύζαν ἑταίρων νόσφιν ἐμαρνάσθην, ἐπεὶ ὧς ἐπετέλλετο Νέστωρ». ᾧ καὶ ἐχρῆν πάντως πείθεσθαι ὀτρύνοντι πόλεμόνδε. Παραρρίπτει δὲ τοὺς Νεστορίδας ἐνταῦθα Ὅμηρος οὐχ᾽ ἁπλῶς καὶ εἰκῇ, ἀλλὰ μνήμης χάριν. μικρὸν γὰρ ὅσον θατέρου αὐτῶν τοῦ Ἀντιλόχου ἀναγκαίως δεήσεται ἀγγελοῦντος τῷ Ἀχιλλεῖ τὴν τοῦ Πατρόκλου πτῶσιν. Σημείωσαι δὲ ὅτι «δύο φῶτε» εἰπὼν εἶτα ἐπάγει ὡς ἀπ᾽ ἄλλης ἀρχῆς τὸ «ἀνέρε κυδαλίμω», καὶ οὕτω συμβιβάζεται ἡ ταὐτολογία τοῦ «φῶτε» καὶ τοῦ «ἀνέρε». [Δύνατα δὲ καὶ ἄλλως τὸ μὲν «φῶτε» ἄνδρας δηλοῦν τοὺς φύσει, τὸ δὲ «ἀνέρε» τοὺς καὶ ἀνδρείους.] (v. 377) Τὸ δὲ «πεπύσθην», ἤγουν ἐπύθοντο, γενικῇ συνήθως καὶ ἐνταῦθα συντέτακται (v. 381) Τὸ δὲ «ἐπιοσσόμενοι θάνατον καὶ φύζαν ἑταίρων» δηλοῖ στρυφνότατα καὶ πάνυ γοργῶς, ὡς περιεβλέποντο οἱ Νεστορίδαι, ἵνα εἰ μέν τινες ἔθανον, ὑπερμάχωνται τῶν σωμάτων, εἰ δὲ εἰς φυγὴν ἐτράποντο, σκεπάζωσιν. ὃ δὴ στρατηγοῦ γέροντος, ὡς εἰκός, παράγγελμα (v. 380) Τὸ δὲ «ἐν πρώτῳ ὁμάδῳ» ἀγαθὴν ὑπόληψιν ὑπεῖναι τοῖς Νεστορίδαις περὶ τοῦ Πατρόκλου δηλοῖ. προμαχεῖν γὰρ ἐκεῖνον ἐνόμιζον.

4.67 Ἰστέον δὲ ὅτι πρόμον καὶ πρόμαχον εἰωθὼς λέγειν ὁ ποιητὴς τὸν πρὸ τῶν ἄλλων μαχόμενον, καὶ τὸ ῥῆμα προμάχεσθαι καὶ πρὸ τῶν ἄλλων μάχεσθαι, στρέφει τὴν γλῶτταν καὶ ἄλλως περὶ τὰ συστοιχοῦντα τούτοις. ὁ γοῦν ἐν μάχῃ δυστυχήσας πρῶτος θανεῖν ἢ ἁλῶναι λέγεται, καὶ ὁ ἐν τοιούτῳ τόπῳ ὅμιλος «πρῶτος ὅμιλος», ὡς ἐν τοῖς μετὰ ταῦτά που κεῖται, καὶ ὁ ἐκεῖ ἦχος πρῶτος ὅμαδος, ἐξ οὗ τὸ προμάχεσθαι ἐν πρώτῳ ὁμάδῳ μάχεσθαί φησιν ὁ ποιητής. (v. 384—8) Ὅτι συντονίας πολέμου δηλωτικὸν καὶ τὸ «τοῖς δὲ πανημερίοις ἔριδος μέγα νεῖκος ὀρώρει ἀργαλέης, καμάτῳ δὲ καὶ ἱδρῷ νωλεμὲς αἰεὶ γούνατά τε κνῆμαί τε πόδες θ᾽ ὑπένερθεν ἑκάστου χεῖρές τ᾽ ὀφθαλμοί τε παλάσσετο μαρναμένοιϊν ἀμφ᾽ ἀγαθὸν θεράποντα Αἰακίδαο». Καὶ ὅρα ὅτι τε κατὰ ἰδέαν γλυκύτητος ἐπεξῆλθε τοῖς κατὰ σῶμα μέρεσι καὶ ὡς ἐπήγαγε τοῖς τῶν διαφόρων γενῶν πληθυντικοῖς ὀνόμασι τὸ «παλάσσετο» ῥῆμα ἑνικόν. καί φασι Πινδαρικὸν τὸ σχῆμα οἱ παλαιοί, οὐχ᾽ ὅτι Πίνδαρος εὗρεν αὐτό —τῆς γὰρ Ὁμήρου μεταλλείας καὶ τοῦτο ἐκεῖνος ἐκέρδανεν—, ἀλλ᾽ ὅτι διαδεξάμενος καὶ ζηλώσας κατεχρήσατο. ἔχει δ᾽ ἀφορμὴν ἡ σύνταξις τὸ «γούνατα» οὐδέτερον ὡς πρὸς αὐτὸ μὲν ἀσφάλτως ἀποδοθεῖσα, ἐκεῖθεν δὲ ἀναλόγως ἀπὸ κοινοῦ συμβιβαζομένη καὶ πρὸς τὰ λοιπὰ δύο γένη. [Καί εἰσι μὲν καὶ ἄλλα τοιαῦτα εὐαφόρμως ἑνικὸν ῥῆμα συντάσσοντα πληθυντικοῖς ὀνόμασιν, οὐκ ὀλίγα δὲ ὅμως καὶ ἀθεράπευτα διαλέκτου νόμῳ. τοιοῦτον καὶ παρ᾽ Ἡσιόδῳ τὸ «τῆς δ᾽ ἦν τρεῖς κεφαλαί», καὶ παρ᾽ Ἐπιχάρμῳ «ἦν δ᾽ ἐρῳδιοὶ μακροκαμπυλαύχενες», καὶ «ἦν δὲ νάρκαι, ἦν δὲ ζύγαιναι, τέτρακές τε σπερματολόγοι κἀγλααὶ συκαλλίδες».] Σημείωσαι δὲ καὶ ὅτι πᾶν μικροῦ δεῖν ἐπελθὼν κύκλῳ τὸ κατ᾽ ἄνθρωπον δι᾽ ἐνάργειαν πολλῆς ταλαιπωρίας τὰ μέσα παρῆκεν, ἢ διὰ τὸ συννοεῖσθαι, ἢ ὡς ῥᾶον ἱδροῦντα κατὰ τοὺς παλαιούς. (v. 384) Ὅρα δὲ καὶ ὅτι πανῆμαρ μὲν λέγει καὶ ἠμάτιον τὸ ἡμερινόν, πανημάτιον δὲ οὐ λέγει ἀλλὰ πανημέριον, οἷον «πανημέριος κακὸς ἔσσομαι», καὶ «τοῖς δὲ πανημερίοις νεῖκος ἦν».

4.68 (v. 385) Ἱδρῶ δὲ οὐ μόνον ἐπὶ αἰτιατικῆς κατὰ ἀποκοπήν, ἀλλ᾽ ἰδοὺ καὶ ἐπὶ δοτικῆς. «καμάτῳ γάρ», φησί, «καὶ ἱδρῷ». (v. 386) Ὅτι δὲ πόδες κατωτάτω τὸ μετὰ γοῦνα καὶ τὰς κνήμας δηλοῖ μὲν καὶ τὸ εὐτάκτως ὑποταγῆναι αὐτοῖς, μάλιστα δὲ τὸ «ὑπένερθεν» ἐπαχθέν. Φησὶ γὰρ «πόδες θ᾽ ὑπένερθεν». (v. 387) Τὸ δὲ «μαρναμένοιϊν» εὐθαρσῶς ἐν τοσούτῳ στρατῷ δυϊκὸν ὂν ἐπαρρησιάσατο, οἷα οὐχ᾽ ἁπλῶς ἐπὶ πλήθους ῥηθέν, ἀλλ᾽ ἐπὶ δυάδος μερῶν, τοῦ τε Τρωϊκοῦ τοῦ τε Ἀχαιϊκοῦ, ὡς δηλοῖ κατωτέρω τὸ «εἵλκεον ἀμφότεροι». (v. 389—97) Ὅτι ἔοικεν ὁ ποιητὴς μὴ εἰδέναι πατταλευομένας τὰς βύρσας ἢ θρανευομένας, ὡς ἂν φαίη Ἀττικὸς ἀνήρ, ἀλλὰ μέθοδον καινοτέραν ἄλλην φησὶ τῆς αὐτῶν τάσεως, παραβολὴν τοιαύτην εἰπὼν «ὡς δ᾽ ὅτ᾽ ἀνὴρ ταύροιο βοὸς μεγάλοιο βοείην λαοῖσι δώῃ τανύειν μεθύουσαν ἀλοιφῇ· δεξάμενοι δ᾽ ἄρα τοί γε διαστάντες τανύουσι κυκλόσε, ἄφαρ δέ τε ἰκμὰς ἔβη, δύνει δέ τ᾽ ἀλοιφὴ πολλῶν ἑλκόντων,

τάνυται δέ τε πᾶσα διαπρό, ὣς οἵ γ’ ἔνθα καὶ ἔνθα νέκυν ὀλίγῃ ἐνὶ χώρῃ εἵλκεον ἀμφότεροι, μάλα ἐλπόμενοι, Τρῶες μὲν ἐρύειν πρὸς Ἴλιον, Ἀχαιοὶ δὲ νῆας ἀνὰ γλαφυράς» ἢ «ἐπὶ γλαφυράς». Καὶ ὅρα ὅτι τε ξενίζουσά ἐστιν ἡ παραβολὴ τῷ ἀσυνήθει τῆς τέχνης, καθά που καὶ ὁ διὰ τεσσάρων ἵππων κελητισμός, καὶ ὅτι τόν τε πολὺν αὕτη ἑλκυσμὸν τοῦ νεκροῦ ἐνέφηνεν ὡς οὐκ ἂν εἴη κάλλιον, καὶ ἅμα πραγματικῶς ἔδειξε τί τὸ χρήσιμον τοῦ τὰς βύρσας τείνεσθαι. ἐλαίῳ γὰρ ἤ τινι τοιούτῳ διαινόμεναι καὶ οὕτω μαλαττόμεναι καὶ τῆς σκληρότητος ἀνιέμεναι ἐπιδιδόασιν, ὡς τοῦ πάχους λεπτυνομένου εἰς μέγεθος.

4.69 εὐτελὴς δὲ οὖσα ἡ εἰκὼν ὅμως τῇ ἐναργείᾳ λάμπει κατὰ τοὺς παλαιούς, οἷα ἐναργῶς παριστῶσα τὸ ὑποκείμενον. [Ἐνταῦθα δὲ σπουδαιοτάτῳ ἑλκυσμῷ παραπηκτέον, εἰ δοκεῖ καί τινα ἑτεροῖον μέν, ἀρχῆθεν δὲ παραδεδομένον, ὃς ἦν ἡ ἑλκυστίνδα λεγομένη παιδιά, ἧς μέρος καὶ τὸ σκαπέρδαν ἕλκειν, ὅπερ τοιοῦτον, φασίν, ἦν. Δοκὸς ἀνδρομήκης ἵστατο τετρημένη κατὰ μέσον, διήρτητο δὲ δι’ αὐτῆς σχοινιόν τι, οὗ ἑκατέρωθεν ἐξημμένοι δύο νεανίσκοι ἀνθεῖλκον, ἐντρέψαντες ἀλλήλοις τὰ νῶτα. ὁ δὲ βιασάμενος καὶ προαγαγὼν αὐτὸ τῆς δοκοῦ ἐνίκα τὸν ἕτερον. ἐκ τούτου δὲ καὶ τὰ δυσχερῆ πάντα σκαπέρδαν ἔλεγον παροιμιακῶς διὰ τὸ ἐπίπονον τῆς ὁλκῆς καὶ ἀνθολκῆς.] Οἱ δὲ παλαιοὶ σημειοῦνται, ὡς καινότερον προτέτακται ὁ ταῦρος τοῦ βοός. ἀνάπαλιν γὰρ ἐχρῆν τὸ καθόλου προτετάχθαι, ὡς ἐν τῷ «ἠΰτε βοῦς ἀγέληφι, ταῦρος». καὶ ἔστι, φασίν, Ἀττικὸν τὸ σχῆμα, καθὰ καὶ τὸ βοὸς βοείην, ἔνθα ἦν ἀρκοῦν καὶ μόνον τὸ βοείην, ἵνα ἦν ταύροιο βοείην. [Καὶ ἔστι μὲν ἐνταῦθα εἰπεῖν, ὅτι πρὸς διαστολὴν ἑτέρων ταύρων, ἐν οἷς καὶ ὁ παράγων τὸν φορτικὸν λάσταυρον, ἐπήγαγε τὸ «βοός». προσεκτέον δὲ κἀνταῦθα μάλιστα τῷ λόγῳ τῶν παλαιῶν.] Τὸ δὲ «μεγάλοιο» πρὸς μεγεθυσμοῦ ἔμφασιν κεῖται τοῦ κατὰ τὸ ἡρωϊκὸν σῶμα. (v. 390) Τὸ δὲ «μεθύουσαν ἀλοιφῇ» οὐκ ἂν εἴη πάνυ σκληρότερον τοῦ «μεθύει τῷ μεγέθει τῶν πεπραγμένων ὁ Φίλιππος». Δηλοῖ δὲ τροπικῶς ἡ λέξις πλήρωσιν τὴν ἀπὸ πληθυσμοῦ ἀλοιφῆς, ἥ ἐστι λίπος, ὅπερ ἐξικμασθείσης τῆς βύρσης τῷ τανυσμῷ ἀντεισδύνει εἰς τοὺς πόρους καὶ μαλάσσει τὴν βύρσαν. δὶς δὲ εἶπε τὴν ἀλοιφὴν ὡς λέξιν καιρίαν, ὥσπερ καὶ τρὶς τὸ τανύειν. Ὅρα δὲ καὶ τὸ «διαστάντες» οὐ μαχίμως λεχθὲν ἀλλ’ ἀντὶ τοῦ διαχωρισθέντες καὶ ὧδε καὶ ἐκεῖ στάντες.

4.70 διὸ ἐν τῇ ἄλφα ῥαψῳδίᾳ τὸ «διαστήτην» οὐκ ἂν ἐδήλου φιλονεικίαν, εἰ μὴ τὸ «ἐρίσαντε» προσέκειτο. (v. 395) Ἐν δὲ τῷ «εἵλκεον ἀμφότεροι» τὸ μὲν «εἵλκεον», οὗ κοινότερον τὸ εἷλκον, ὡς δηλοῖ ἀνωτέρω τὸ «πολλῶν ἑλκόντων», ἀπὸ τρισυλλάβου ἐνεστῶτος παρήχθη τοῦ ἑλκέω, ἐξ οὗ ἴσως καὶ ἐν Ὀδυσσείᾳ τὸ «Λητὼ γὰρ ἥλκησεν», ὡς ἀπὸ τοῦ ἑλκέω ἑλκῶ. Τὸ δὲ «ἀμφότεροι», ὡς καὶ ὁ ποιητὴς εὐθὺς ἡρμήνευσεν, διὰ τοὺς δύο στρατοὺς ἐρρέθη, τὸν Τρωϊκὸν καὶ τὸν Ἑλληνικόν, καθὰ καὶ πρὸ ὀλίγου, ὡς εἴρηται, τὸ «παλάσσετο μαρναμένοιϊν». (v. 400 s.) Ὅρα δὲ καὶ ὅτι μετ’ ὀλίγα ὁ ποιητὴς λέγει, ὡς ὁ Ζεὺς ἐπὶ Πατρόκλῳ ἐτάνυσε κακὸν πόνον, ὡς ἤδη τὸ ἀσφαλὲς τοῦ τανύειν ἔχων ἐκ τῆς κατὰ τὴν βύρσαν παραβολῆς. (v. 397—9) Ὅτι ἀλλαχοῦ μὲν ἑαυτὸν ἐπαινῶν ὁ ποιητὴς ὡς πιθανῶς πλασάμενον τὸν τηνικαῦτα διασκευασθέντα πόλεμον ἔφη μὴ ἂν μέμψασθαι τὴν μάχην ἐκείνην ἄνδρα τινά, ὃς ἂν ἄβλητος καὶ ἀνούτατος αὐτὴν περιέρχοιτο θεοῦ φυλάττοντος, ἐνταῦθα δὲ ἐπιτείνων τὸ θαῦμα καὶ εἰπών, ὡς περὶ Πατρόκλου μῶλος ὀρώρει ἄγριος, ἐπάγει «οὐδ’ ἂν Ἄρης λαοσσόος οὐδ’ ἂν Ἀθήνη τόν γε ἰδοῦσα ὀνόσαιτο, οὐδ’ εἰ μάλα μιν χόλος ἵκοι». εὖ γὰρ οἶδε καὶ νῦν ὁ τεχνίτης Ὅμηρος ἀνδρικόν τε κατὰ Ἄρην καὶ συνετὸν κατὰ Ἀθηνᾶν ἐξαρτύσας πόλεμον ὡς μηδένα χολώσεσθαι ἂν τῆς πλάσεως ἐπιμεμφόμενον αὐτῷ. Ἄγριος δὲ μῶλος, καθά που καί τις πολεμιστὴς ἄγριος ἐρρέθη αἰχμητής. τὸν δὲ ἄγριον μῶλον ὑποκαταβὰς κακὸν πόνον λέγει, ὡς ταὐτὸν ὂν οὕτως ἢ οὕτως εἰπεῖν. Λαοσσόος δὲ Ἄρης οὐχὶ ὁ λαοῦ σωστικός. — πῶς γὰρ τοιοῦτος ὁ βροτολοιγός—, ἀλλὰ καθ’ ἑτέραν ἔννοιαν λαοσσόον λέγει Ἄρην τὸν λαοῦ παρορμητικὸν ἢ τὸν διωκτικὸν λαοῦ, ἀπὸ τοῦ σέω, ἐξ οὗ τὸ σεύω.

4.71 Ἀθηνᾶ μέντοι λαοσσόος λέγοιτο μὲν ἂν οὕτω πως καὶ αὐτή, ὡς λαὸν σεύουσα εἰς πόλεμον, καὶ ὡς εἰπεῖν, ἀγελείη, ὅ ἐστιν ἄγουσα λεών. καί, ἄλλως δὲ λαοσσόος ἡ αὐτή, ὡς λαὸν σόον τηροῦσα, ἐπεὶ καὶ ἐρυσίπτολις ἡ αὐτή. (v. 399) Τὸ δὲ «οὐδ' εἰ μάλα χόλος ἵκοι» δηλοῖ, ὅτι πολλοὶ καὶ διὰ χόλον μεμψίμοιροι γίνονται. (v. 398) Οὐκ ἄδηλον δὲ ὅτι τοῦ σόω ῥήματος διφορουμένου ἐκ μὲν τοῦ παραληγομένου τῷ ω μεγάλῳ γίνεται ὁ παρὰ τοῖς ὕστερον σῶος ὁ ἔχων τὸ μέγα ω ἐν τῇ ἀρχούσῃ, ἐκ δὲ τοῦ ἔχοντος τὸ ο μικρὸν ἐν τῇ παραληγούσῃ ὁ καθ' Ὅμηρον σόος πέφηνεν, ὁ συστέλλων τὴν παράληξιν, ἀφ' οὗ καὶ ἡ σωματικὴ Ἀθηνᾶ λαοσσόος. Ὅτι σαφῶς ἐνταῦθα ἱστορεῖται τὸ τοῦ Πατρόκλου πρὸς τὸν Ἀχιλλέα δυσήκοον, εἴπερ ἐκεῖνος μὲν ἤδη φθάσας ἐκέλευσεν ἐκ νηῶν Τρῶας ἐλάσαντα ἰέναι πάλιν, τοὺς δὲ ἐᾶν κατὰ πεδίον μάχεσθαι, ὁ δὲ πολλὸν ἀπάνευθε νεῶν κεῖται ὡς μέχρις ἐκεῖ διώξας. (v. 404—9) Ἀναφωνεῖ δ' ἐν τούτοις ὁ ποιητὴς καὶ ὡς οὐ περιγενήσεται τῆς Τροίας ὁ Ἀχιλλεύς, εἰπὼν ὡς οὔ ποτε ἔλπετο θυμῷ τεθνάμεν ἀλλὰ ζῳὸν ἐνιχριμφθέντα» ἤγουν ἐμπελάσαντα, ταῖς Τρωϊκαῖς πύλαις «ἂψ ἀπονοστήσειν, ἐπεὶ οὐδὲ τό», ἤγουν τοῦτο, «ἔλπετο πάμπαν ἐκπέρσειν πτολίεθρον ἄνευ ἕθεν οὐδὲ σὺν αὐτῷ. πολλάκι γὰρ», φησὶ «τό γε», ἤγουν τοῦτο, «μητρὸς ἐπεύθετο νόσφιν ἀκούων», ἤγουν χωρὶς καὶ ἰδίᾳ μυστηριωδῶς, «ἥ οἱ ἀπαγγέλλεσκε Διὸς μεγάλοιο νόημα», ὃ ταὐτόν ἐστι τῷ βουλὴν Διός. (v. 410 s.) Ἐπισημαίνεται δὲ καὶ ὅτι «τότε γ' οὔ οἱ ἔειπε κακὸν τόσον, ὅσσον ἐτύχθη, μήτηρ», ὅτι δηλαδὴ «πολὺ φίλτατος ὤλετο ἑταῖρος».

4.72 Καὶ διδάσκει ὁ ποιητὴς μὴ χρῆναι τοὺς συνετοὺς διὰ πάντων λυπρῶν ἀγγελμάτων λυπεῖν τοὺς ἑαυτῶν, ἀλλὰ κἀνταῦθα τὰ μὲν φάσθαι, τὰ δ' ἐπικρύπτειν, ὡς καὶ ἡ Θέτις ἐποίησεν ἐπὶ τῷ υἱῷ. τοῖς δὲ ῥηθεῖσι καὶ ἄλλο τι βιωτικὸν παράγγελμα ἐμφαίνεται, τὸ μὴ χρῆναι τοῖς θρασυνομένοις πᾶν ἐπιτρέπειν, ὃ δύνανται, ἀλλὰ τὸ μὲν ἐνδιδόναι, τὸ δὲ καὶ κωλύειν. Ἀχιλλεὺς οὖν ἐλπίζων δύνασθαι τὸν Πάτροκλον πελάσαι, ὡς ἐρρέθη, ταῖς πύλαις, ὅμως οὐ διεκελεύσατο ἕως ἐκεῖ ἀπελθεῖν, ἀλλ' ἐξελάσαι μόνον τῶν νηῶν τοὺς Τρῶας. Δεξιῶς δὲ κἀνταῦθα παρελάλησεν Ὅμηρος Ἀχιλλέως θάνατον, δι' ὃν οὐδὲ ἤλπιζεν ἐκεῖνος τὴν Τροίαν ἑλεῖν. φανερῶς μέντοι ὤκνησεν ἱστορῆσαι τὸ μὴ φίλον. (v. 409 s.) Τὸ δὲ ἀπαγγέλλειν ὅτι ταὐτὸν τῷ εἰπεῖν, δηλοῦται σαφῶς ἐν τῷ «ἥ οἱ ἀπαγγέλλεσκε», καὶ «οὔ οἱ ἔειπε». (v. 412—3) Τὸ δὲ «πολὺ φίλτατος» αὐξητικῶς ἔχει. οὐ γὰρ ἁπλῶς ἑταῖρος, οὐδὲ ἁπλῶς φίλτατος, ἀλλὰ καὶ πολὺ φίλτατος. (v. 410) Τὸ δὲ τόσον καὶ τὸ ὅσσον ἐμφαίνει τῇ ἀοριστίᾳ ὡς οὐ ῥᾳδίως ἔστι φράσαι τὸ μέγεθος τοῦ κακοῦ. (v. 412—3) Ὅτι συντονίαν μάχης δηλοῖ καὶ τὸ «οἳ δ' αἰεὶ ἀκαχμένα δούρατ' ἔχοντες νωλεμὲς ἐχρίμπτοντο», ἤγουν ἐπέλαζον, «καὶ ἀλλήλους ἐνάριζον». (v. 414—9) Ὅτι δεικνὺς ὁ ποιητὴς τὸ πρόθυμον τῶν ἐπὶ τῷ Πατρόκλῳ μαχομένων φησίν, ὡς οἱ μὲν Ἕλληνες τοιαῦτα ἐπὶ τῷ Πατρόκλῳ ἔλεγον ἄν «ὦ φίλοι, οὐ μὰν ἧμιν εὐκλεὲς ἀπονέεσθαι νῆας ἐπὶ γλαφυράς, ἀλλ' αὐτοῦ γαῖα μέλαινα πᾶσι χάνοι· τό κεν ἧμιν ἄφαρ πολὺ κέρδιον εἴη, εἰ τοῦτον Τρώεσσι μεθήσομεν ἐρύσαι καὶ κῦδος ἀρέσθαι». (v. 420- 2) Οἱ Τρῶες δὲ εἰς πλέον στενολεσχοῦντες—. τοιαῦται γὰρ αἱ καθ' ὅμιλον ἠθοποιΐαι παρὰ τῷ ποιητῇ—, φασὶ «ὦ φίλοι, εἰ καὶ μοῖρα παρ' ἀνέρι τῷδε δαμῆναι πάντας ὁμῶς, μή πω τις ἐρωείτω πολέμοιο».

4.73 Καὶ ὅρα ὡς καὶ νῦν τοῖς Ἀχαιοῖς καὶ τοῖς Τρωσὶν ἐπιτέτμηται ὁ κατὰ ἠθοποιΐαν λόγος συνήθως κατὰ τὸ εὔλογον. ἰδίᾳ μὲν γὰρ πολλὰ ἂν εἴποι ἕκαστος, τὰ δὲ κοινὰ νοήματα, εἰς ἃ πάντες ὁμοῦ συμπίπτουσιν, ὀλίγα ἂν εἴη. Σημείωσαι δὲ καὶ ὅτι ἀλλαχοῦ μὲν λογισμοὺς ἐξετάζων ἔλεγε· τοῖσι δὲ μαχομένοις ὅδ' ἦν νόος, τοῖς μὲν Τρωσὶ τοιόσδε, τοῖς δὲ Ἀχαιοῖς τοιόσδε, νῦν δὲ τὸ νόημα τοῦτο ἄλλως ἐσχημάτισε. τοὺς γὰρ λογισμοὺς τῶν στρατευμάτων ἐν ἠθοποιΐᾳ ἐδήλωσεν, εἰπὼν οὐχὶ τί ἐλογίζοντο, ἀλλὰ τὶ ἂν καθ' ὅμιλον ἔλεγον. σκοπητέον δὲ καὶ εἴπερ ἴσως διὰ τὸ ὑποβάρβαρον εἰς πλέον τῶν Ἀχαιῶν βραχυλογοῦσιν οἱ Τρῶες. (v. 416 s.) Πάνυ δὲ γοργῶς τὸ «γαῖα μέλαινα πᾶσι χάνοι» συνετμήθη ἐν τῷ δαμῆναι πάντας. χάνοι γὰρ ἂν γῆ ἅπασιν, ὅτε πάντες δαμῶσι. δῆλον δὲ ὡς ἐκ τοῦ χαίνειν οὕτω γῆν ὀρθῶς ἂν καὶ στόμα θανάτου

ὁ τάφος λέγοιτο. (v. 423) Ὅρα δὲ καὶ ὅτι δι’ εὔκλειαν ἀποκινδυνεύουσιν Ἀχαιοί, ὡς αὐτοί φασιν, οὕτω δὲ πάντως καὶ οἱ ἀντίμαχοι, καὶ ὅτι ἐρεθιστικαὶ εἰς ἀνδρίαν αἱ ῥηθεῖσαι ἠθοποιΐαι, ὡς δηλοῖ καὶ τὸ «ὣς ἄρα τις εἴπεσκε, μένος δ’ ὄρσασκεν ἑταίρου». (v. 415) Ἰστέον δὲ καὶ ὡς τὸ «οὐ μὰν ἧμιν ἐϋκλεές», δακτυλικῶς ποδιζόμενον μετὰ τὸ «οὐ μάν», γράφουσι μέν τινες «οὐ μὰν ἡμῖν εὐκλεές». ἀρέσκει δὲ τοῖς παλαιοῖς ἡ πρώτη γραφή, παρ’ οἷς κεῖται ταῦτα· τὸ ἡμῖν ἄμμι λέγουσιν οἱ Αἰολεῖς, βαρύνοντες αὐτὸ καὶ συστέλλοντες τὴν λήγουσαν. Ἀπολλώνιος «ἄμμι γε μὴν νόος ἔνδον ἀτύζεται». Δωριεῖς δὲ ἁμίν, συστέλλοντες τὸ ι καὶ ὀξύνοντες. Θεόκριτος «πολλαὶ δὲ ἁμὶν ὕπερθε κατὰ κρατὸς δονέοντο». Ἴωνες δέ, πολλάκις δὲ καὶ Ἀθηναῖοι, προπερισπῶσιν ἐν συστολῇ τοῦ ι . Ὅμηρος «ὦ φίλοι, οὐ μὰν ἧμιν ἐϋκλεὲς ἀπονέεσθαι».

4.74 Σοφοκλῆς Οἰδίποδι «ὅπως λύσιν τιν’ ἧμιν εὐαγῆ πόροις». Φρύνιχος Μύστῃ «ἐβουλόμην ἂν ἧμιν ὥσπερ καὶ πρὸ τοῦ». Ἀττικὰ δὲ παραδείγματα ταῦτα τὰ δύο. οἱ δ’ αὐτοὶ παλαιοί φασι καί, ὅτι τὸ ἡμεῖς ἅμες λέγουσιν οἱ Δωριεῖς, ἄμμες δὲ οἱ Αἰολεῖς. χρῆσις δὲ τοῦ ῥηθέντος «ἧμιν» καὶ ἐν Ὀδυσσείᾳ. (v. 424 s.) Ὅτι καὶ ἀστεῖον καὶ ποιήσει πρέπον τὸ «σιδήρειος δ’ ὀρυμαγδὸς χάλκεον οὐρανὸν ἷκε δι’ αἰθέρος ἀτρυγέτοιο», λέγοντος τοῦ ποιητοῦ ὡς ὁ τοῦ κατὰ μάχην σιδήρου κτύπος εἰς τὸ τοῦ οὐρανοῦ χαλκοῦν ἦλθε σῶμα, ὅπερ ἐν ἄλλοις ἀπεριφράστως προφέρων εἶπεν «ἀϋτὴ δ’ οὐρανὸν ἷκεν». Ὅρα δὲ καὶ ὅτι ἀτρύγετος οὐ μόνον θάλασσα, ὡς προερρέθη, ἀλλ’ ἰδοὺ ἐνταῦθα καὶ αἰθὴρ ἀτρύγετος. Ὅτι γλυκύτητα ἐν λόγῳ ποιεῖ οὐ μόνον τὸ τὰ ἄψυχα ἐμψύχων δίκην ποιοῦντά τι πλάττεσθαι, ὁποῖα τὰ πολλὰ τῶν μύθων, ἐν οἷς καὶ ὁ καθ’ Ὅμηρον τοῦ οὐρανοῦ ἐλελιγμός, ὅτε Ζεὺς ἢ Ἥρα ὑποσαλευθῶσι, καὶ ὅτε δὲ θάλασσα τῷ Ποσειδῶνι διΐσταται, καὶ Ἰδαία ὕλη ποσὶν Ἥρας ὑποσείεται, καὶ βέλη χροὸς ἆσαι λιλαίεται, ἀλλὰ καὶ τὸ τὰ ἔμψυχα μέν, ἄλογα δέ, ὡς προαίρεσιν ἢ φρόνησιν ἔχοντα διατίθεσθαι, καθά που ὁ Ἕκτωρ ἀφελῶς καὶ γλυκέως τοῖς ἵπποις διελέγετο ὡς εἴπερ εἶχον ἐκεῖνοι ἐπαΐειν αὐτοῦ. τοιαύτης ἰδέας καὶ ἡ τῶν Ἀχιλλέως ἵππων ἐν τοῖς μετὰ ταῦτα οὐ μόνον αὐδὴ ἁπλῶς ἀλλὰ καὶ μαντεία τοῦ μέλλοντος. οὐκοῦν οὕτως οἱ αὐτοὶ γλυκέως ἐνταῦθα οἰκτιζόμενοι τὸν Πάτροκλον πλάττονται, τεχνησαμένου Ὁμήρου καὶ τοιοῦτον τῇ ποιήσει γλυκὺν πλατυσμόν. (v. 426—33) Φησὶ γὰρ ὅτι οἱ τοῦ Ἀχιλλέως ἵπποι «μάχης ἀπάνευθεν ἐόντες κλαῖον, ἐπεὶ δὴ πρῶτα πυθέσθην ἡνιόχοιο ἐν κονίῃσι πεσόντος ὑφ’ Ἕκτορος ἀνδροφόνοιο. ἦ μὰν Αὐτομέδων γε πολλὰ μὲν ἂρ μάστιγι θοῇ ἐπεμαίετο θείνων, πολλὰ δὲ μειλιχίοισι προσηύδα, πολλὰ δ’ ἀρειῇ· τὼ δ’ οὔτ’ ἂψ ἐπὶ νῆας ἐπὶ πλατὺν Ἑλλήσποντον ἠθελέτην ἰέναι οὔτ’ ἐς πόλεμον μετ’ Ἀχαιούς. (v. 434—6) Εἶτα τὸ διὰ τὴν πτῶσιν τοῦ Πατρόκλου στάσιμον αὐτῶν εἰκάζων παραβολικῶς ἐπάγει «ἀλλ’ ὥς τε στήλη μένει ἔμπεδον, ἥ τ’ ἐπὶ τύμβῳ ἀνέρος εἱστήκει τεθνηότος ἠὲ γυναικός, ὣς μένον ἀσφαλέως περικαλλέα δίφρον ἔχοντες».

4.75 (v. 437—40) Εἶτα ἐκφράζων καὶ ὡς εἶχον σχήματος ἐπὶ τῇ λύπῃ, φησὶν «οὔδει ἐνισκήψαντε» ἢ ἐνισκίμψαντε «καρήατα, δάκρυα δέ σφιν θερμὰ κατὰ βλεφάρων χαμάδις ῥέε μυρομένοισιν ἡνιόχοιο πόθῳ· θαλερὴ δὲ μιαίνετο χαίτη ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν ἀμφοτέροισιν» ἢ «ἀμφοτέρωθεν». ὡς οἷα τοίνυν φρενήρεις τοὺς ῥηθέντας ἵππους πλάττει, γλυκαίνων τε, ὡς ἐρρέθη, τὸν λόγον ποιητικῶς καὶ τὴν ἐπὶ τῷ Πατρόκλῳ συμφορὰν αὔξων, εἴγε καὶ ἵπποι ἐπένθουν αὐτόν, καὶ ἀφορμὴν δὲ διδοὺς τοῦ καὶ τὸν Ἀχιλλέα ὡς λογικοῖς ἐν τοῖς ἑξῆς ὁμιλῆσαι αὐτοῖς καὶ ἀκοῦσαι, ἃ ἤκουσεν. Ὅτι δὲ πολλὴν φυσικὴν οἰκειότητα πρὸς τοὺς τρέφοντας καὶ τημελοῦντας ὁ ἵππος ἔχει καὶ ὡς πενθεῖ ἐπ’ αὐτοῖς τεθνεῶσι, τεθρύληται. οὕτω δὲ γραφικῶς οἷον ὑποτυπωσάμενος αὐτούς, εἶτα τὸ τοῦ πράγματος εὐτελὲς ἐξαίρων σεμνῷ πλάσματι, ποιεῖ τὸν Δία ἐλεοῦντα καὶ λαλοῦντα προεκθετικῶς τὰ μέλλοντα, εἰς παραμυθίαν, καὶ ταῦτα φιλέλληνος ἀκοῆς. Φησὶ γὰρ «μυρομένω δ’ ἄρα τώ γε ἰδὼν ἐλέησε Κρονίων. κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν· ἆ δειλώ, τί σφῶϊ», τουτέστιν ὑμᾶς, «δόμεν», ὅ ἐστιν ἔδομεν,

«Πηλῆϊ ἄνακτι θνητῷ, ὑμεῖς δ’ ἐστόν», ἤγουν ἐστέ, «ἀγήρω τ’ ἀθανάτω τε· ἦ ἵνα δυστήνοισι μετ’ ἀνδράσιν ἄλγε’ ἔχητον»; (v. 446 s.) Εἶτα ἐπιπλέξας γνωμικὸν κατασκευαστικὸν τοῦ δυστήνους εἶναι τοὺς ἀνθρώπους φησὶ «οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς πάντων, ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει».

4.76 (v. 448—50) Καὶ ἐπιφέρει μετὰ τὸ γνωμικὸν τὴν προαναφωνητικὴν ψυχαγωγίαν εἰπὼν «ἀλλ’ οὐ μὰν ὑμῖν γε καὶ ἅρμασι δαιδαλέοισιν Ἕκτωρ ἐποχήσεται· οὐ γὰρ ἐάσω. ἦ οὐχ’ ἅλις, ὡς καὶ τεύχε’ ἔχει καὶ ἐπεύχεται αὔτως»; ἤγουν μάτην, ἐφ’ οἷς οὐκ ἠνδραγαθήσατο ἀλλὰ προκατειργασμένον ἀνεῖλε τὸν Πάτροκλον. (v. 451—5) Εἶτα ὑπισχνεῖται καθ’ ἑαυτὸν καί, ὡς μένος ἐμβαλεῖ τοῖς ἵπποις, ὄφρα καὶ Αὐτομέδοντα σώσουσιν ἐκ μάχης, καὶ προλέγει κῦδος ὀρέξαι τοῖς Τρωσὶ κτείνειν, ἕως ἐπὶ νῆας ἀφίκωνται «δύῃ τ’ ἠέλιος καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ». Προέκθεσις δὲ καὶ ταῦτα τῶν μελλόντων. οἰκονομήσει γὰρ δεινῶς ὁ ποιητὴς παλίωξιν γενέσθαι τινὰ καὶ τοὺς Τρῶας μέχρι καὶ τοῦ ναυστάθμου νικῶντας ἐλθεῖν, ἵνα καὶ ὁ Ἀχιλλεὺς οὕτω πιθανῶς ἐκδράμῃ πρὸς συμμαχίαν ἄοπλος ὢν καὶ ὁ Ἕκτωρ δὲ φρονηματισθεὶς ἐπὶ ταῖς νίκαις παραμείνῃ ἔξω τῆς πόλεως, οὐκ εὐλόγιστον τοῦτό γε ποιήσας ἐκεῖνος, καὶ οὕτω τὴν ἐς νέωτα μάχην θαρρήσας ἐγκύρσῃ τῷ Ἀχιλλεῖ πιθανῶς καὶ πεσεῖται. (v. 456—78) Ἰστέον δὲ ὅτι ἀκολούθως οἷς ἄρτι ἔφη προεκθετικῶς ὁ τοῦ μύθου Ζεὺς οἱ ἵπποι τοῦ Ἀχιλλέως μετ’ ὀλίγα φαίνονται τὸ μὲν κατὰ στήλην ἵστασθαι ἀπειπάμενοι, ἀΐσσοντες δὲ εἰς μάχην μετὰ τοῦ ἡνιόχου Αὐτομέδοντος οὐ πάνυ ἑκόντος, ὡς ἐκεῖνος δηλοῖ. αἰτιαθεὶς γὰρ ὅτι μόνος αὐτὸς πρὸς Τρῶας μάχεται πρώτῳ ἐν ὁμίλῳ αἰτιᾶται τὸ τῶν ἵππων ἀκατάσχετον, εἰπὼν μηδένα ἄλλον ὁμοῖον Πατρόκλῳ ἵππους ἐπέχειν. καὶ τοιαῦτα μὲν τὰ τοῦ Ὁμηρικοῦ τούτου χωρίου. Ἐν οἷς σημείωσαι ὡς, εἰ μὴ ἀφίσταντο τῆς μάχης οἱ ἵπποι, ὡς δηλοῖ τὸ «μάχης ἀπάνευθεν ἐόντες», οὐκ ἂν εἶχε πλάσαι πιθανῶς πάντῃ ὁ ποιητὴς τὰ κατὰ αὐτούς. ὅθεν καὶ ποιεῖ αὐτοὺς ἰδιάζοντας ἐν τῷ κλαίειν, καθά που καὶ ὁ δεσπόζων αὐτῶν Ἀχιλλεὺς ἐδηλώθη ποιῆσαι. ἀμέλει μετ’ ὀλίγα ἐς πόλεμον προφανέντες ἐπιβουλεύονται παρὰ Ἕκτορος. (v. 427 et 437 s.

4.77 ) Τὸ δὲ «κλαῖον» κατωτέρω περιφράζων ἔφη «δάκρυα δέ σφιν θερμὰ κατὰ βλεφάρων» καὶ ἑξῆς, ὡς εἴρηται, ὃ ταὐτόν ἐστι τῷ ἔκλαιον. (v. 427 s. et 439) Πάλιν δ’ αὖ τὸ «ἐπεὶ δὴ πρῶτα πυθέσθην ἡνιόχοιο ἐν κονίῃσι πεσόντος ὑφ’ Ἕκτορος» ἐκ πλατυσμοῦ περιφραστικοῦ στενοχωρῶν εἶπε τὸ «ἡνιόχοιο πόθῳ», τὴν μὲν μίαν λέξιν τοῦ κλαίειν περιφράσας πλατύτερον, τὸ δέ γε ἐφεξῆς αὐτῆς νόημα ἐκ πλατύτητος εἰς λέξεις δύο συσφίγξας καὶ τεχνικῶς παραθεὶς μετὰ μὲν τὸ «κλαῖον» εὐθὺς τὴν περίφρασιν τοῦ «ἡνιόχοιο πόθῳ», ὄπισθεν δὲ τούτου αὖθις θέμενος τὸ τοῦ κλαίειν παραφραστικὸν καὶ οὕτω πως ἐπαλλάξας τὰ σχήματα. (v. 427) Τὸ δὲ «πυθέσθην» ὡς ἐπὶ λογικῶν γλυκέως ῥηθὲν ἀντὶ τοῦ ᾔσθοντο εἴληπται, γενικῇ κἀνταῦθα συνταχθέν. [(v. 428) Κόνις δὲ ὥσπερ καὶ κονία, ἐφ’ Ὁμήρου μὲν τῆς αὐτῆς ἦσαν σημασίας, ὕστερον δὲ κονία μὲν ἐλέγετο καὶ ἡ χρίουσα τά, ὥς φασιν οἱ ῥήτορες, κεκονιαμένα, κόνις δὲ καὶ ἰδίᾳ ἡ ἀθλητική, ἐξ ἧς καὶ τὸ ἀθλητικῶς κονίεσθαι, καὶ κονίστρα ἡ παλαίστρα. χρῆσις δὲ τοιαύτης κόνεως παρὰ Ἀθηναίῳ ἐν τῷ σκάπτοντί τινι τὴν τῶν ἀθλούντων κόνιν. ἐκ δὲ τῆς κόνεως πολλὰ παρῆκται, ὧν ἐστι καὶ τὸ ἐγκονῶ καὶ διακονῶ καὶ αὐτοδιάκονος ὁ αὐτοχειρὶ δουλεύων, καὶ διακόνιον δέ, φασίν, εἶδος πλακοῦντος, ὅς ἐστι γενικῶς ἄρτος τις ἢ πέμμα πλατὺ παρὰ τὴν πλάκα, ἵνα ᾖ ὡς τυρόεις τυροῦς, σησαμόεις σησαμοῦς, οὕτω καὶ πλακόεις πλακοῦς. ἐκαλεῖτο δέ, φασί, Πλακοῦς καὶ κώμη, Θηβῶν Ὑποπλακίων ἀπέχουσα σταδίους ἕξ.] (v. 430) Τὸ δὲ «μάστιγι» ἐκτείνει φύσει τὴν παραλήγουσαν, εἰ καὶ ἡ εὐθεῖα θέσει μακρὸν ἔχει τὸ τῆς ληγούσης δίχρονον. οὕτω δὲ καὶ τὸ «μάστιγα» ἐν τοῖς ἑξῆς. Τὸ δὲ «ἐπεμαίετο» ἀντὶ τοῦ ἐπεζήτει, ἐφήπτετο.

4.78 πολλαχοῦ δὲ τοῦτο κεῖται ποιητικῶς, οὐ πεζολογικῶς. (v. 431) Ἀρειὴν δὲ λέγει τὴν ἀράν, ἤτοι ἀπειλήν, πλεονασμῷ τῆς ει διφθόγγου. ἀντίκεινται δὲ τῇ ἀρειῇ πάντως οἱ μειλίχιοι λόγοι. (v.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

432) Πλατὺς δὲ καὶ νῦν Ἑλλήσποντος ὁ πρὸς τῷ Ἑλληνικῷ ναυστάθμῳ. Ἑλλήσποντος γὰρ καὶ τὰ ἐκεῖ, πλατὺς μέντοι, ὡς τῶν ἐκεῖθεν βορειοτέρων αὐτοῦ ἀποστενουμένων. δῆλον δ' ὅτι πρὸς ἀπαρτισμὸν μόνον ἔπους, οὐ μὴν πρός τι ὅλως ἀναγκαῖον, ἐπῆκται τὸ «ἐπὶ πλατὺν Ἑλλήσποντον». (v. 434) Ἄριστα δὲ καὶ πάνυ προσφυῶς στήλῃ ἐπιτυμβίῳ τούς, ὡς ἐρρέθη, ἑστηκότας ἵππους εἴκασε διὰ τὸ ἐπὶ νεκρῷ πένθος, ὑφ' οὗ ἀγάλμασι τοιούτοις ἐῴκεισαν καὶ αὐτοί. ὡς γὰρ ἐπὶ νεκρῷ πολλάκις ἵστανται ζῴων στῆλαι, ὁποῖαι ἱστοροῦνται, οὕτω καὶ ἐπὶ τῷ τοῦ Πατρόκλου νεκρῷ ἀσφαλῶς οἱ ἵπποι ἑστήκασιν, εἰ καὶ ἀφεστήκασι τῆς μάχης. ἀκολούθως δὲ προσφυὲς ἐπί τε στήλης τὸ μένειν ἔμπεδον, καὶ ἐπὶ τῶν, ὡς ἐρρέθη, ἑστηκότων ἵππων τὸ μένειν ἀσφαλέως, ἐν οἷς ταὐτὸν τὸ ἔμπεδον καὶ τὸ ἀσφαλῶς. (v. 434 s.) Τὸ δὲ «ἐπὶ τύμβῳ ἀνέρος τεθνειότος» σημείωσαι εἰς τὸ «στήλῃ κεκλιμένος ἀνδροκμήτῳ ἐπὶ τύμβῳ». δῆλον γὰρ ἐντεῦθεν ὅτι καὶ ἐκεῖ δύναται εἶναι τύμβος ἀνδρόκμητος, ἐπεὶ καὶ ταὐτὸν ἀνὴρ καμὼν ὡς ἐκεῖ, καὶ ἀνὴρ τεθνεώς, ὡς ἐνταῦθα κεῖται. (v. 436) Τὸν δὲ περικαλλέα δίφρον ὑποκαταβὰς ἅρματα λέγει δαιδάλεα, ἐνταῦθα μὲν ἐκ μέρους τὸ ὅλον φράσας, ἐκεῖ δὲ ὁλικῶς εἰπών. (v. 437) Σκίμψαι δὲ καὶ νῦν μετὰ τοῦ μ , ὡς καὶ πρὸ ὀλίγου. ἔστι δέ πως ὅμοιον τῷ χρίμψαι. τοιοῦτον γὰρ κατὰ νοῦν τὸ «οὔδει ἐνισκίμψαντες καρήατα», ὅπερ ἄλλως ἵπποις οὐ χαρτόν. ὑψοῦ γὰρ ἔχουσι κάρη ἀγερωχοῦντες. τοιοῦτον γὰρ φύσει τὸ ζῷον. διὸ καὶ οἱ νῦν ἐπικεκυφότες ἐριαύχενες ἐν τοῖς ἑξῆς λέγονται, ὡς μηδ' αὐτοῖς θέμιν εἶναι τὴν χαίτην μιαίνεσθαι κονίῃσιν.

4.79 ὅτι δὲ ἀπὸ τοῦ σκίμπτειν καὶ ὁ σκίμπους γίνεται, εἴρηται ἀλλαχοῦ. Εἰ δὲ καὶ κρεῖττον γράφειν «ἐνισκίμψαντε», [ᾧ δὴ λόγῳ καὶ ἄγκυρα παρὰ Πινδάρῳ σκίμπτεται, εἰ καὶ μὴ οὔδει τυχόν, ἀλλ' οὖν ἄμμῳ ἐν τῷ καθίεσθαι,] ὅμως οὐκ ἀπῳδόν ἐστιν οὐδὲ τὸ «ἐνισκήψαντε», ᾧ συγγενές τι τὸ κατασκήψαντε. (v. 438) Τὸ δὲ «χαμάδις ῥέε» τὸ δαψιλὲς τῶν δακρύων δηλοῖ. Περὶ δὲ τοῦ μύρεσθαι δηλοῦται ἀλλαχοῦ ἱκανῶς. καιρία δὲ λέξις καὶ τὸ ἐπὶ δαψιλοῦς δακρύου, ἤγουν ῥέοντος καί, προσφῶς εἰπεῖν, μορμύροντος. διὸ καὶ δὶς ἐνταῦθα κεῖται. (v. 440) Τὸ δὲ «ζεύγλης ἐξεριποῦσα παρὰ ζυγόν» ἀντὶ τοῦ μὴ ἐπὶ τὰ ὀπίσω τοῦ ἅρματος ἐκπεσοῦσα κατά τινα ζυγομαχίαν, ἀλλ' ἐπὶ τὰ ἔμπροσθεν συνδιεκκύψασα τῇ κεφαλῇ, ἵνα οὕτω ῥᾷον πλαγιάσασα κάτω νεύῃ τῇ κατακύψει. (v. 443) Ὅρα δὲ ὡς καὶ πάλιν ἐν τῇ τοῦ Πηλέως μνήμῃ τὸ τῶν ἵππων παραλαλεῖ θεόσδοτον, οὗ χάριν μετ' ὀλίγα καὶ ἐνέπνευσε μένος ἠῢ αὐτοῖς ὁ Ζεύς. (v. 444) Ὅτι δὲ ἀγήρῳ καὶ ἀθάνατοι οἱ τοῦ μύθου ἵπποι οὗτοι ἀλληγορικῶς διὰ τὸ μὴ ἐκτομίαι εἶναι ἀλλ' ἄρρενες καὶ οὕτω δυνάμενοι ἐν ἄλλῳ γεννᾶν, καὶ τῇ ἐπιγονῇ ἀπαθανατίζειν οἷον τὴν διαδοχήν, προερρέθη. τοιοῦτοι δὲ καὶ οἱ τοῦ Λαομέδοντος, ὧν τοῦ γένους Ἀγχίσης ὑποκλέψας δοῦναι τῷ Αἰνείᾳ ἱστόρηται. (v. 445) Τὸ δὲ «ἢ ἵνα ἄλγεα ἔχητον» λύσις ἀπορίας ἐστίν. εἰπὼν γὰρ ἐπαπορητικῶς τί σφῶϊ δόμεν Πηλῆϊ», λύει· ἢ ἵνα ἀλγῆτε; ἐκ τούτου δὲ λαβόντες οἱ ὕστερον σοφοὶ οὕτω καὶ αὐτοὶ ἐπιλύονται τὰ παρ' αὐτοῖς ἄπορα, οἷον· διὰ τί τόδε τι γίνεται; τοῦτο ἀπορία. λύσις δὲ τὸ ἢ διὰ τόδε. (v. 446—7) Τὸ δὲ ῥηθὲν γνωμικὸν ὑπερβολικῶς ἐφράσθη. τοιοῦτον γὰρ τὸ εἰπεῖν, ὡς οὐδὲν τῶν περὶ γῆν ζῴων ἀνδρὸς ἐπιπονώτερον. εἰ μή που λέγει ὡς ὑπὲρ πᾶν ἔμψυχον ὁ ἄνθρωπος ἀτυχίᾳ ὑποπέπτωκεν.

4.80 Ἴσως δὲ καὶ ἄλλως ἐκπέφευγε τὴν ἄγαν ἄκραν ὑπερβολὴν διὰ τοῦ εἰπεῖν «ὅσα γῆν ἐπιπνέει καὶ ἕρπει». ἐχώρισε γὰρ ἐν τούτοις τὸν ἄνθρωπον ἀπό τε τῶν ἀψύχων ἁπάντων καὶ ἀπὸ τῶν μὴ ἐχόντων πνεύμονα καὶ διὰ τοῦτο μὴ ἀναπνεόντων, καὶ ἀπὸ τῶν ζωοφύτων, ἅπερ οὐχ' ἕρπει. καὶ ἔοικέ πως τοῦτο τὸ γνωμικὸν τῷ ἐν Ὀδυσσείᾳ ῥηθέντι, τῷ «οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο». [Δύναται δὲ καὶ τὸ «πού» διστακτικῶς ληφθέν, οἷον «οὐ μὲν γάρ τί πού ἐστι» καὶ ἑξῆς, θεραπεῦσαι τῇ κατ' αὐτὸ βραχείᾳ προσθήκῃ τὸ τῆς ὑπερβολῆς ἀδύνατον. ὁ γὰρ ἐνδοιασμὸς οὐκ ἀφίησι τὴν ὑπερβολὴν εἶναι, ὅπερ ἐστί.] Σημείωσαι δὲ καί, ὡς ἐν τῷ «ὀϊζυρώτερον» ἢ μετρικὸν πάθος ἐστὶν ἢ γραμματικοῦ κανόνος παράβασις. εἰ μὲν γὰρ συσταλείη τὸ ο τῆς προπαραληγούσης διὰ τὸ πρὸ αὐτῆς κείμενον μακρὸν ὁμολογουμένως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δίχρονον τῆς ζυ συλλαβῆς, ἐφυλάχθη ὁ γραμματικὸς τῶν διὰ τοῦ ωτερος καὶ ωτατος, πέπονθε δὲ τὸ μέτρον διὰ τὸν ἐντεῦθεν τρίβραχυν πόδα λαγαρότητα θεραπευομένην τῇ ὀξείᾳ, ἥτις καὶ αὐτὴ χρόνον προστιθεῖσα κατά τινα λόγον κοινῆς συλλαβῆς ἐκτείνειν δεδύνηται ὡς καὶ ἐν τῷ «ἐρρίγησαν ὅπως ἴδον αἰόλον ὄφιν». καὶ οὕτω μὲν ἐὰν συστέλληται συνήθως ἡ προπαραλήγουσα τοῦ «ὀϊζυρότερον». ἐὰν δὲ ἐκτείνηται μεγεθυσμῷ, τὸ μὲν μέτρον ἐστὶν ἀπαθὲς ὑγιῆ φυλάττον τὸν δάκτυλον, ὁ δὲ τῶν γραμματικῶν κανὼν παρηνόμηται. τοιαῦτά τινα καὶ ἐν Ὀδυσσείᾳ κεῖται τῇ ἐφ' ἑκάτερα ῥοπῇ σκάζοντα, ὧν ἐστι καὶ τὸ «λαρώτατος οἶνος», οἷον «ὃς μετὰ τὸν λαρώτατος, ὃν σὺ φυλάσσεις», καὶ τὸ κακοξεινώτερος, ὡς τό «οὔ τις σεῖο κακοξεινώτερος ἄλλος».

4.81 Ἰστέον δὲ ὅτι τὸ ὀϊζυρός ταὐτόν πώς ἐστι τῷ δύστηνος, ὅθεν καὶ ἡ ἀμφοῖν ἐτυμολογία ἔχει τινὰ ὁμοιότητα. ὀϊζυρός τε γὰρ ἀπὸ τοῦ ὀΐζειν γίνεται, ὃ δηλοῖ τὸ θρηνεῖν, καὶ δύστηνος δὲ ἀπὸ τοῦ στενάζειν. διὸ καὶ ὁ ποιητὴς δυστήνους ἄνδρας εἰπὼν εἶτα κατασκευάζων τὸ ἐπίθετον ἐπάγει τὸ μηδὲν εἶναι ὀϊζυρώτερον ἀνδρός. (v. 448 s.) Ἐποχεῖται δέ τις οὐ μόνον ἵπποις ἀλλὰ καὶ ἅρμασιν, ὡς ὁ ποιητὴς ἐν τοῖς ῥηθεῖσι δηλοῖ. Τὸ δὲ «οὐ γὰρ ἐάσω» σεμνύνει τὸν Ἕκτορα, ὡς δι' ἀνανδρίαν μὴ ἑλόντα τοὺς ἵππους ἀλλὰ βουλῇ Διός. Ὅρα δὲ καὶ ὅτι τὸ «ἐάσω» ἐκτείνει τὴν παραλήγουσαν. (v. 450) Τὸ δὲ «ἢ οὐχ' ἅλις», ὡς τόδε τι γίνεται, καὶ πρὸ τούτων ἐσχημάτισται. (v. 457) Ἐν τούτοις δὲ καὶ τὸ διατινάξασθαι τοὺς ἵππους, οὕτω φράζει «ἀπὸ χαιτάων κονίην οὖδασδε βαλόντες». οὐ γὰρ ὅλον, ὡς εἰκὸς τὸ σῶμα, χαίτην δὲ μόνην τὴν καὶ μιανθεῖσαν διετινάξαντο. (v. 459—63) Λέγει δὲ καὶ ὅτι ὁ τοῦ Πατρόκλου ἡνίοχος Αὐτομέδων μάχετο «ἵπποις ἀΐσσων ὥς τ' αἰγυπιὸς μετὰ χῆνας. ῥεῖα μὲν γὰρ φεύγεσκεν ὑπ' ἐκ Τρώων ὀρυμαγδοῦ, ῥεῖα δ' ἐπαΐξασκε πολὺν καθ' ὅμιλον ὀπάζων, ἀλλ' οὐχ' ᾕρει φῶτας». (v. 464- 5) Διὰ τί δὲ τοῦτο; ὅτι μόνος ἦν αὐτὸς ἐπὶ τοῦ ἅρματος. «οὐ γάρ πως ἦν», φησίν, «οἷον ἐόντα ἱερῷ ἐνὶ δίφρῳ ἔγχει ἐφορμᾶσθαι καὶ ἐπίσχειν ὠκέας ἵππους», ἤγουν καὶ μάχεσθαι καὶ ἡνιοχεῖν. (v. 467—70) Διὸ καὶ ὁ προδηλωθεὶς Μυρμιδὼν Ἀλκιμέδων, υἱὸς Λαέρκεος, ὁμωνύμου τῷ ἐν Ὀδυσσείᾳ τεχνίτῃ, αἰτιᾶται αὐτόν, εἰπὼν «Αὐτόμεδον, τίς τοι θεῶν νηκερδέα βουλὴν ἐν στήθεσσιν ἔθηκε καὶ ἐξέλετο φρένας ἐσθλάς» καὶ ἑξῆς, ὅπερ παρῳδηθὲν παντὶ προσαρμόζει μὴ βουλευσαμένῳ εὖ. ἔσται δὲ ἡ τούτου παρῳδία τοιαύτη· τίς τοι δαίμων καὶ ἑξῆς, ἢ τίς τοι νηκερδέα βουλὴν καὶ ἑξῆς, ἢ καὶ ἄλλως, τί τοι θεὸς νηκερδέα βουλὴν καὶ ἑξῆς;

4.82 ἐφ' οἷς ὁ Ἀλκιμέδων μὲν γίνεται ἡνίοχος, Αὐτομέδων δὲ καταβὰς τοῦ ἅρματος μάχεται. (v. 457) Ὅρα δὲ καὶ νῦν ὡς διφορεῖται τὸ οὖδας. καὶ αὐτὸ μὲν λέγεται κατ' εὐθεῖαν, ἄκλιτον ὄν. τοῦ δὲ οὖδος εὐθεῖα μὲν οὐχ' εὕρηται παρὰ τῷ ποιητῇ, δοτικὴ δὲ αὐτοῦ πολλαχοῦ, ὡς καὶ ἀνωτέρω ἐν τῷ «οὔδει ἐνισκίμψαντε καρήατα». ὥστε τὸ μὲν «οὖδας» οὐκ ἔχει πλαγίας, τὸ δὲ «οὔδει» ὠρφάνισται τῆς οἷον μητρὸς εὐθείας καθ' ὁμοιότητα τοῦ γυνή, ὅπερ οὐδ' αὐτὸ διεξοδεύει ταῖς πτώσεσι, καὶ τοῦ γυναικός, οὗπερ εὐθεῖα οὐ πρόκειται. (v. 460) Τὸ δὲ «ἵπποϊς ἀΐσσων» πρὸς διαστολὴν εἴρηται τῶν ἄλλως ἀϊσσόντων. ἡ δὲ παραβολὴ τοῦ αἰγυπιοῦ καὶ τῶν χηνῶν ἐστένωται μὲν καὶ αὐτὴ ἀναλόγως τῷ καιρῷ συναΐσσουσα κατὰ τὴν φράσιν τῷ Αὐτομέδοντι, ἔχει δὲ τὴν ἀρχὴν ἀπὸ τοῦ πτηνοὺς τρόπον τινὰ τοὺς τοῦ Ἀχιλλέως ὑποτεθεῖσθαι ἵππους. (v. 461 s.) Τὸ δὲ «φεύγεσκε» καὶ τὸ «ἐπαΐξασκε» ποιητικὰ πάρισα, δι' ὧν ἀμυδρῶς, ὡς ἐχρῆν, ἡ ἐνταῦθα φράσις καλλύνεται. Ὀπάζειν δὲ καὶ νῦν οὐ τὸ παρέχειν, ἀλλὰ τὸ κατόπιν διώκειν. (v. 463) Διὸ ἑρμηνεύων φησὶν «ἀλλ' οὐχ' ᾕρει φῶτας» ἐν τῷ διώκειν. (v. 464) Τὸ δὲ «οἷον ἐόντα ἱερῷ ἐνὶ δίφρῳ» ἀστείως ὑπολαλεῖται. εἰ γὰρ δίφρος λέγεται διὰ τὸ δύο φέρειν, οὐκ ἂν μόνος τις ὢν ἐπ' αὐτοῦ ἀνύειν ἔχει τὸ πᾶν τῆς μάχης, ὃ δύο ἄνδρες ποιοῦσιν, ὁ μὲν πολεμῶν, ὁ δὲ ἐπίσχων ἵππους, ὃ μέρος ἐστὶν ἡνιοχείας. πάντως γὰρ ἡνιόχου ἔργον ἡνία τε ἔχειν καὶ ἐπέχειν ἵππους. (v. 471 s.) Ὅτι δὲ οἶος αὐτόχρημα ὁ μόνος, δηλοῖ τὸ «οἷον», ἤγουν ὅπως «πρὸς Τρῶας μάχεαι πρώτῳ ἐν ὁμίλῳ μοῦνος», ὅπερ Ἀλκιμέδων αἰτιᾶται τὸν Αὐτομέδοντα. Ἔνθα ὅρα ὅτι τε

οὐκ ἂν ἠθέλησεν εἰπεῖν τὸ μόνος, εἰ μὴ προηγήσατο αὐτοῦ τὸ «οἷον πρὸς Τρῶας μάχεαι». δι' αὐτὸ γὰρ ὤκνησεν εἰπεῖν «οἷον πρὸς Τρῶας μάχεαι οἷος», ἵνα μὴ συγκρούοιεν ἔξω χάριτος αἱ φωναί. διὸ ἀναγκαίως ἀντὶ τοῦ οἷος ἔφη τὸ μοῦνος, ὡς ἂν μὴ καὶ παίζειν δοκοίη καὶ ἀσαφῶς φράζοι. καὶ ὅτι οὐκ ἂν ὀκνηλῶς ἔσχεν ὁ ποιητὴς νήπιον τὸν Αὐτομέδοντα προσειπεῖν, εἴπερ αὐτὸς αἴτιος ἦν καὶ μὴ τὸ μένος τῶν ἵππων, ὡς ὁ ποιητὴς ἐπισημαίνεται, καθὰ μετ' ὀλίγα ῥηθήσεται.

4.83 ὥστε ἄκων κατὰ τοὺς παλαιοὺς ἐφ' ἅρματος τοῖς πολεμίοις ἐφορμᾶται. καὶ δοτέον μᾶλλον τὸ ἔργον τοῖς ἵπποις ἐνταῦθα ἢ τῷ ἡνιόχῳ. αὐτὸς γὰρ ὁμολογήσει μὴ δύνασθαι αὐτοὺς ἐπέχειν. διὸ καὶ Ἕκτωρ ἐρεῖ νοῆσαι ἐν τοῖς ἑξῆς κακοὺς ἡνιόχους αὐτοῖς εἶναι. Ἔμφρονες δέ πως καὶ διὰ τοῦτο οἱ ἵπποι, εἴγε καὶ ἄκοντος τοῦ Αὐτομέδοντος ἀμύνονται ὑπὲρ τοῦ Πατρόκλου. καὶ τοιοῦτον μὲν καὶ τοῦτο. (v. 464) Ἱερὸν δὲ ἔφη τὸν τοῦ Ἀχιλλέως δίφρον ἢ σεμνύνων τὸν Ἀχιλλέα ἢ καὶ διὰ τοὺς ἵππους, οἳ τοιοῦτοι ὑπόκεινται εἶναι. Ὅρα δὲ καὶ ὅτι δεξιῶς ὁ Ἀλκιμέδων καὶ ὁ Αὐτομέδων τοῦ δίφρου γίνονται, καλλύνοντες καὶ αὐτοὶ τὸν περικαλλέα δίφρον κάλλει κλήσεως, καθ' ἣν παρισοῦνται διὰ τὸ ὁμοιοτέλευτον, (v. 469) καὶ ὅτι αἱ κλητικαὶ τούτων ἀναπέμπουσι τὸν τῆς εὐθείας τόνον διὰ τὴν σύνθεσιν «ὦ Αὐτόμεδον» καὶ «ὦ Ἀλκίμεδον» κατὰ τὸν ποιητήν. (v. 470) Τὸ δὲ «φρένας ἐσθλάς» διὰ σαφήνειαν κεῖται τοῦ «ἐξέλετο», ἵνα νοηθείη ἀντὶ τοῦ ἀφείλετο. ἄλλως γάρ που τὸ «ἐξέλετο». φρένας» οὐ τοῦτο μόνον δηλοῖ, ἀλλ' ἀμφιβόλως ληφθὲν νοεῖται ἀντὶ τοῦ ἐξαιρέτους ἔθετο, καθὰ καὶ ἐπὶ τοῦ Λυκίου Γλαύκου ἐν τοῖς πρὸ τούτων ἐφάνη. (v. 469) Ἰστέον δὲ ὅτι τοῦ «ἐξείλετο φρένας ἐσθλάς» ἑρμηνευτικόν ἐστι καὶ τὸ φάναι, ὡς νηκερδέα βουλὴν θεὸς ἐνέθετο, ὅ ἐστιν ἀσύνετον κατὰ τοὺς παλαιούς. κέρδος γάρ, φασί, καὶ ἡ σύνεσις. (v. 472 s.) Ἐν τούτοις δὲ καὶ χαίρειν λέγει τὸν Ἕκτορα τὰ τοῦ Ἀχιλλέως ὅπλα φοροῦντα, ὃ καὶ κοῦφα ἐποίει αὐτὰ τῷ χαίροντι φαίνεσθαι, ὡς καὶ προεθεωρήθη. Φησὶ γὰρ «τεύχεα δ' Ἕκτωρ αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται Αἰακίδαο». (v. 475 s.) Ὅτι ἔπαινος ἀγαθοῦ ἡνιόχου τὸ «τίς γὰρ ἄλλος ὁμοῖος ἵππων τοιῶνδε ἐχέμεν δμῆσιν τε μένος τε, εἰ μή» ὁ δεῖνα; περὶ Πατρόκλου δὲ ὁ λόγος ἐνταῦθα. Καὶ ὅρα τὸ «εἰ μὴ Πάτροκλος» κοινότερον ῥηθέν.

4.84 ἄλλως γάρ, ὡς καὶ προεσημειώθη, διχῶς φράζεται τὰ τοιαῦτα, κατὰ μὲν τὸν ποιητήν, ὅτε μὴ ὁ δεῖνα, κατὰ δὲ τοὺς ὕστερον ῥήτορας, ὅτι μὴ ὁ δεῖνα. Τὸ δὲ «ἵππων ἔχειν δμῆσιν τε μένος τε» περίφρασίς ἐστι τοῦ ἵππους δαμάζειν. διττὸν δὲ ἐνταῦθα τὸ ἔχειν. ἄλλως γὰρ ἔχει τις δμῆσιν ἵππων, καὶ ἄλλως μένος ἵππων. δμῆσιν μὲν γὰρ ἔχει ἀντὶ τοῦ οἶδεν, ὡς ἐπιστήμην ἔχων, μένος δὲ ἔχει ἀντὶ τοῦ ἐπέχει, κρατεῖ. ὁμώνυμος οὖν αὕτη λέξις οὖσα μερίζεται πρός τε τοὺς ἵππους πρός τε τὸ μένος. (v. 485—9) Ὅτι εἰδὼς ὁ Ἕκτωρ τὸν Αἰνείαν ἐγκοτοῦντα τοῖς Ἀχαιοῖς καὶ ἀσχάλλοντα ἐπὶ τῇ τῶν ἵππων ἀπωλείᾳ, οὓς αὐτὸν Διομήδης ἀφείλετο, προσεταιρίζεται τὸν ἥρωα κατὰ τῶν τοῦ Ἀχιλλέως ἵππων, εἰπὼν «ἵππω τώδ' ἐνόησα ποδώκεος Αἰακίδαο ἐς πόλεμον προφανέντε σὺν ἡνιόχοισι κακοῖσιν», ἤγουν δειλοῖς ἢ ἀτέχνοις, «τώ κεν», ἤγουν οὓς ἄν, «ἐλποίμην αἱρησέμεν, εἰ σύ γε θυμῷ σῷ ἐθέλεις». Καὶ ὅρα καὶ νῦν ἀγαθὸν τὸ σύν τε δυ' ἔρχεσθαι εἰς ἔργον. (v. 489 s.) Διὸ ἐπάγει «ἐπεὶ οὐκ ἂν ἐφορμηθέντε νῶϊ τλαῖεν ἐναντίβιον στάντες μαχέσασθαι Ἄρηϊ», ὃ πρὸς διαστολὴν κεῖται τοῦ ἄλλως μαχέσασθαι, οἷον «ὀνειδείοις ἐπέεσσιν», ὁποῖα πολλὰ καὶ ἐν πολέμοις ἐριστικῶς λέγεται. (v. 486) Τὸ δὲ «ποδώκεος Αἰακίδαο» ἔχει τι καὶ οἴκτου ἐπὶ τῷ Ἕκτορι, εἰ ἐπ' ἐκείνῳ τὸν ἐχθρὸν ἐπαινεῖ Ἕκτωρ, ἐξ οὗ ἐν τοῖς ἑξῆς πολλὴν ἕξει βλάβην. τὸ γὰρ ποδῶκες τοῦ Ἀχιλλέως οὐ πρὸς καλοῦ ἔσται αὐτῷ. πόθεν δὲ νοεῖ κακοῖς ἡνιόχοις ἄγεσθαι τοὺς ἵππους, πρὸ ὀλίγων δεδήλωται. ἐμφαίνει δέ τι καὶ σκώμματος τὸ τῶν ἡνιόχων, ὡς καινὸν ὂν δύο ἡνιόχους δίχα παραιβάτου ἔχειν τὸ ἅρμα, ὥσπερ εἴη ἄν ποτε ξενίζον, καὶ εἰ παραιβάται δύο περὶ αὐτό εἰσιν ἡνιόχου μὴ ὄντος. δεξιῶς δὲ καὶ ἐνταῦθα τοῦ Ἀχιλλέως μνήμη ἀνέκυψεν.

4.85 οὐ γὰρ ἔτι ἐκ διαλειμμάτων μακρῶν ἀλλὰ συχνὰ τούτου ἐνθύμια ὁ ποιητὴς ὑποβάλλει, ὡς ἤδη καὶ εἰς μάχην προάξων αὐτόν. (v. 489—90) Ὅρα δὲ καὶ τὸ «οὐκ ἂν ἐφορμηθέντε νῶϊ», ἤγουν ἡμᾶς [ἢ ἡμεῖς,] «τλαῖεν μαχέσασθαι», καινὸν σχῆμα ὄν, ὁποῖόν τι καὶ πρὸ τούτων που κεῖται ἐν τῷ «νῶϊ γηθήσει φανεῖσα ἀνὰ πτολέμοιο γεφύρας». καί εἰσι χρήσιμα καὶ ὧδε τὰ ῥηθέντα ἐκεῖ. (v. 492—3) Ὅτι ἑρμηνεύων Ὅμηρος τίνας εἶπε πρὸ τούτων χαλκήρεις ἀσπίδας, λέγει νῦν ὡς Ἕκτωρ καὶ Αἰνείας βαίνουσιν εἰς μάχην «βοέῃς εἰλυμένω ὤμους αὔῃσι, στερεῇσι, πολὺς δ' ἐπελήλατο χαλκός», ἤγουν ἔξω περὶ τὴν ἐπιφάνειαν ἐλατὸς ἔκειτο. (v. 495 s.) Ὅτι θαρραλεότητος παραστατικὸν τὸ «μάλα δέ σφισιν ἔλπετο θυμὸς αὐτώ τε κτενέειν, ἐλάαν τ' ἐριαύχενας ἵππους». ἔνθα ὅρα τὸ «ἔλπετο» ἐκ τοῦ «ἔλπω δισυλλάβου, εἰ καὶ ἀνωτέρω ἄλλως ἔκειτο ἐν τῷ «ἐελποίμην αἱρησέμεν». (v. 497) Ὅτι τὸ ἀναιμωτί ἐκτείνει καὶ νῦν τὸ τῆς ληγούσης δίχρονον ἐν τῷ «νήπιοι, οὐδ' ἀρ' ἔμελλον ἀναιμωτί γε νέεσθαι αὖτις ἀπ' Αὐτομέδοντος». Καὶ ὅρα τό τε σκῶμμα, τὸ «νήπιοι», καὶ προαναφώνησιν δὲ μέλλουσαν πράξεως, τὰ τῷ ποιητῇ συνήθη. ἐπαγγέλλεται γὰρ πεσεῖσθαί τινα ὑπὸ τῷ Αὐτομέδοντι, μηχανησάμενος καὶ τὸ τοιοῦτον πτῶμα οὐ πόρρω δεξιότητος. μὴ ἔχων γὰρ πλάσασθαι παρ' ἱστορίαν, ὡς Ἕκτωρ ἢ Αἰνείας ὑπὸ τῷ Αὐτομέδοντι πίπτει, προσεταιρίζει αὐτοῖς καθά τινας ἐν συζυγίᾳ παρηόρους Χρομίον τινὰ καὶ Ἄρητον. καὶ πίπτει ὁ Ἄρητος, καὶ οὕτως ἀνύει τι γενναῖον ὁ Αὐτομέδων καὶ ἄξιον τοῦ μετὰ Πάτροκλον αὐτὸς ἡνίοχος εἶναι τῷ Ἀχιλλεῖ. (v. 498—9) Ὅτι καθὰ καὶ ἄλλοι πολλοὶ ἐν τοῖς πρὸ τούτων, οὕτω καὶ νῦν εὐξάμενος ὁ Αὐτομέδων «ἀλκῆς καὶ σθένεος πλῆτο φρένας ἀμφιμελαίνας». καὶ ὅρα τὸ «ἀμφιμελαίνας» οὐκ ἐπὶ ὀργίλου τινὸς λεχθέν, ἵνα καὶ οἷον καπνῷ τινι τῷ θυμῷ λέγοιντο μελαίνεσθαι καθάπερ ἀλλαχοῦ, ἀλλ' ἁπλῶς οὕτω δηλοῦν τὴν ἐν βάθει θέσιν τοῦ τῶν φρενῶν σπλάγχνου.

4.86 (v. 502) Ὅτι μάλα ἐμπνέειν ἵππους «μετάφρενον» ἢ «μεταφρένῳ» φησὶ τοὺς ἔγγιστα ἀκολουθοῦντας, καθὰ καὶ ἐν ἄλλοις. οἱ δὲ τοιοῦτοι καὶ καταπνέειν λέγονται τὰ μετάφρενα. δῆλον δ' ὅτι προμήθεια στρατηγικὴ καὶ τὸ μὴ ἀπόπροθεν ἰσχέμεν ἵππους ἀλλὰ μάλα ἐμπνείοντας μεταφρένῳ. λέγει δ' ἐνταῦθα καὶ καλλιτρίχας τοὺς Ἀχιλλέως ἵππους. (v. 502—6) Ὅτι θαρσαλέου ἀριστέως φραστικὸν τὸ «οὐ γὰρ ἔγωγε» τὸν δεῖνα «μένεος σχήσεσθαι ὀΐω, πρίν γ' ἐπὶ καλλίτριχε βήμεναι ἵππω φοβῆσαί τε στίχας ἀνδρῶν, ἤ κ' αὐτὸς ἐνὶ πρώτοισιν ἁλώῃ», ὃ καινότερον ἐσχημάτισται. τὸ γὰρ κοινότερον οὕτω· ἢ αὐτὸν ἐνὶ πρώτοισιν ἁλῶναι. (v. 509—11) Ὅτι χρηστή ποτε ἔννοια τὸ «ἤτοι μὲν τὸν νεκρὸν ἐπιτράπετε, οἵ περ ἄριστοι», ἤγουν τοῖς ἀρίστοις, ὥστε «ἀμφ' αὐτῷ βεβάμεν», ἤγουν βαίνειν, «καὶ ἀμύνεσθαι στίχας ἀνδρῶν, νῶϊν δέ», ἤγουν ἡμῖν, «ζωοίσιν ἀμύνετε νηλεὲς ἦμαρ». θέλει γὰρ νοεῖν ὡς ἐπιμελητέον μὲν καὶ τοῦ νεκροῦ, μὴ ἀμελητέον δὲ μηδὲ τῶν ζώντων. Ἔστι δὲ ἐπιτρέπειν τὸ ἀνατιθέναι, ὅθεν καὶ οἴκου ἐπίτροπος καὶ τεθνεῶτος δέ, οἷς τὸ περὶ αὐτῶν οἰκονομεῖν ἀνατέθειται. οὕτω καὶ λαοὶ ἐπιτετράφαται τῷ βασιλεῖ, ὅ ἐστιν ἀνάκεινται ὡς οἷα ἐπιτρόπῳ καὶ ἐπιμελητῇ. Νέστωρ δὲ οὐκ ἐπιτρέπει ἑαυτὸν γήραϊ λυγρῷ, ἤγουν οὐ παραχωρεῖ τῷ γήραι ἐξουσιάζειν καὶ ἐπιτροπεύειν αὐτοῦ. (v. 510) Ὅρα δὲ καί, ὡς ἀμύνεσθαι μὲν στίχας μετὰ αἰτιατικῆς, τὸ παθητικόν, ἀμύνειν δὲ ζωοῖς μετὰ δοτικῆς, τὸ ἐνεργητικόν, καὶ ὅτι ἐν τῷ «ἤτοι μὲν τὸν νεκρὸν ἐπιτράπετε» καὶ ἑξῆς, ὡς προσεχῶς γέγραπται, νόημα παρεφράσθη, ὃ πρὸ μικροῦ ὁ Αἴας πρὸς Μενέλαον ἔλεγεν, ὡς οὔτι τόσον περὶ νεκροῦ δέδια, ὅσον περὶ ἐμοὶ καὶ σοί. παραδίδωσι δ' ἐν ἀμφοῖν ὁ ποιητής, ὅτι ἔθος ἀνθρώποις τὸ πρόχειρον κακὸν ἐν ἐπιστροφῇ μάλιστα τίθεσθαι. διὸ καὶ Αὐτομέδων ἀξιοῖ τοὺς Αἴαντας ἀποστῆναι μὲν τοῦ κειμένου περιμαχήτου Πατρόκλου, ἀμῦναι δὲ αὐτῷ καὶ τοῖς ἀμφ' αὐτόν. (v. 512—3) Ὅτι κίνδυνον μάχιμον δηλοῖ τὸ «τῇδε γὰρ ἔβρισαν πόλεμον κατὰ δακρυόεντα» οἱ δεῖνα, «οἵ εἰσιν ἄριστοι». περὶ Ἕκτορος δὲ καὶ Αἰνείου ὁ λόγος, οἳ καὶ αὐτοὶ διὰ τὸ οὕτω βρῖσαι ζαχρηεῖς εἰσι πολεμισταί, ὁποῖοι ἀλλαχοῦ καὶ οἱ Λύκιοι πεφήνασιν.

4.87

(v. 515) Ὅτι εὐσεβοῦς αἰχμητοῦ λόγος τὸ «ἥσω γὰρ καὶ ἐγώ, τὰ δέ κεν θεῷ πάντα μελήσει». Ἔστι δὲ τὸ ἥσω ἀντὶ τοῦ πέμψω, ἀκοντίσω, τὸ πολλαχοῦ κείμενον. ὅθεν καὶ ἥμων ὁ ἀκοντιστής. (v. 520—2) Ὅτι ὁ προρρηθεὶς Ἄρητος βληθείς, εἶτα προθορών, πέσεν ὕπτιος, ὡς ὅτ' ἂν «ὀξὺν ἔχων πέλεκυν αἰζήϊος ἀνὴρ κόψας ἐξόπισθε κεράων βοὸς ἀγραύλοιο ἶνα τάμῃ διὰ πᾶσαν, ὃ δὲ προθορὼν ἐρίπῃσιν». Ἰστέον δὲ ὅτι πρὸς μόνον τὸ προθορών ἡ παραβολή, ταὐτὸν δ' εἰπεῖν, πρὸς μόνον τὸ πήδημα. οὐ γὰρ δήπου καὶ ὕπτιος πίπτει ὁ ταῦρος ὡς ὁ Ἄρητος. καιριώτατος δὲ τόπος εἰς πληγὴν ὁ τῶν κεράτων ὄπισθεν εἰς τὴν τῶν νευρῶν ἀρχήν. (v. 523 s.) Λέγει δὲ καί, ὅτι τὸ ἔγχος ἐν τοῖς τοῦ Ἀρήτου «νηδυΐοισι μάλ' ὀξὺ κραδαινόμενον λῦσε γυῖα», καὶ δηλοῖ ὅτι σπαρασσομένων τῶν ἐντὸς ἐκραδαίνετο ἔξω τὸ ἐμπεπηγὸς αὐτοῖς δόρυ. (v. 527—9) Ἴσως δὲ καὶ πελεμίζεσθαι νοήσει τις τὸ τοιοῦτον κραδαίνεσθαι, καθὰ καὶ μετ' ὀλίγα δόρατος μακροῦ οὔδει ἐνισκιμφθέντος οὐρίαχος πελεμίχθη ἔγχεος, ἃ δὴ καὶ ἐν ἄλλοις κεῖται ἀναπτυχθέντα σαφῶς. σίδηρος γάρ, φασί, μὴ προϊέναι ἰσχύων κραδαίνεται ἀφιεὶς τὴν ὁρμήν, ὃ δὴ ἐπὶ οὐριάχου νοεῖται ἐν τῷ «ἔνθ' ἀφίει μένος ὄβριμος Ἄρης». (v. 517) Ἰστέον δὲ ὅτι, ὥσπερ Ἀρήτη φερωνύμως παρὰ τὴν ἀράν, ὅ ἐστι τὴν εὐχήν, ἡ εὐκταῖα γεννηθεῖσα τοῖς τοκεῦσιν, οὕτω, καθὰ καὶ προϋπεδηλώθη, Ἄρητος τὸ κύριον, ἐξ οὗ καὶ ὁ παρὰ Ἡροδότῳ Δημάρητος κατὰ δήμου ἀρὰν καὶ αὐτὸς γεννηθείς. ὁ μέντοι ἀρητός, τὸ ἐπίθετον, ὃ δηλοῖ τὸν δυστυχῆ καί, ὡς εἰπεῖν, ἐπάρατον ὡς τὸ «ἀρητὸν δὲ τοκεῦσι πένθος», παρὰ τὴν ἀράν, τὴν βλάβην, ὠνόμασται. Ἀπὸ δὲ τοῦ Ὁμηρικοῦ Ἀρήτου οἱ μεθ' Ὅμηρον Ἄρατοι, ὁ καλὸς ποιητὴς καὶ ὑμνούμενος στρατηγὸς καὶ εἴ τινές που ἕτεροι. (v. 520) Ἐν δὲ τῷ αἰζήϊος ὑπέλαβον τινες, εἰ καὶ μὴ ἀληθῶς, ὅτι τὸ αἰζηός προσγεγραμμένον ἔχει τὸ ι , ὃ χρείας ἐλθούσης ἐστίχθη καὶ ἐξερωνήθη.

4.88 ἔστι δὲ ὁ τόνος τοῦ μὲν αἰζηός ὡς πηός, τοῦ δὲ αἰζήιος ὡς ἀρήϊος. (v. 521 s.) Ἐκ δὲ τοῦ ἶνα εἰπεῖν τὸ ἐξόπισθε κεράων δῆλον ὡς ἐντεῦθεν καὶ τὸ τῆς ἀνθρωπίνης κεφαλῆς ὄπισθεν ἰνίον λέγεται. Τὸ δὲ «προθορών» ἀντὶ τοῦ προεκπηδήσας ὡς εἰς ἄμυναν. Τὸ δὲ «ἐρίπησι» δευτέρου ἐστὶν ἀορίστου Ἰωνικὸν ὑποτακτικόν, οὗ θέμα τὸ ἐρείπω, ἀφ' οὗ καὶ τοπικὸν ἐρείπιον καὶ νεκρικὰ δὲ ἐρείπια. (v. 524) Νηδύϊα δὲ τὰ ἐντόσθια, ὅ ἐστι τὰ κατὰ νηδὺν σπλάγχνα, ἅπαξ ἐνταῦθα εἶπεν ὁ ποιητής, ἃ τρισυλλάβως ἕτεροι νήδυα γράφουσι. ταῦτα δὲ καὶ ἔνδινά φησιν ὁ ποιητής. (v. 530—1) Ὅτι ἀντίκειται τὸ αὐτοσχεδὸν γενέσθαι πρὸς τὸ διακριθῆναι, καθὰ καὶ τὸ συνελθεῖν πρὸς τὸ διαστῆναι. Αὐτομέδοντα οὖν καὶ Ἕκτορα ξίφεσιν αὐτοσχεδὸν ὁρμηθέντας διέκριναν Αἴαντες, οἱ πρὸ βραχέων κληθέντες εἰς ἄμυναν. (v. 538 s.) Ὅτι Αὐτομέδων Ἄρητον ἀνελών, οὗ προσεχὴς ἦν ἡ μνήμη, λέγει «ἦ δὴ μάν», ἤγουν ὄντως, «ὀλίγον γε Μενοιτιάδαο θανόντος κῆρ ἄχεος μεθέηκα χερείονά περ καταπέφνων». ἀγαπητὸν γὰρ τῷ μεγάλα λυπουμένῳ, εἰ καὶ μικρόν τι παρηγορίας προσάψεται. καὶ ἄλλως δέ, μέγα τὸ τὸν Ἄρητον ἀναιρεθῆναι παρασπιζόμενον ὑπὸ Αἰνείου καὶ Ἕκτορος. ὡς γοῦν ἐκείνους νικήσας χαίρει ὁ Αὐτομέδων. (v. 541 s.) Ὅτι ἐν τῷ «ἔβαινε πόδας καὶ χεῖρας ὕπερθεν αἱματόεις ὥς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς» σεμνῶς καὶ γοργῶς φράζει τὰ κατὰ τὸν Αὐτομέδοντα, ᾑμαγμένον τῷ τοῦ πεφονευμένου αἵματι, σεμνῶς μὲν διὰ τὴν πρὸς λέοντα παραβολήν, γοργῶς, δὲ διὰ τὴν συντομίαν τῆς τε παραβολῆς καὶ τῆς τοῦ πράγματος ἀφηγήσεως. Περὶ δὲ τοῦ «κατὰ ταῦρον ἐδηδώς», καὶ τοῦ «ἶνα τάμῃσι διὰ πᾶσαν», ἤγουν διακόψῃ τοὺς περὶ τὸ ἰνίον τένοντας, καὶ τῶν λοιπῶν τοιούτων σχημάτων, ἃ δοκοῦσιν ὑπερβατὰ εἶναι, προείρηται τὰ δέοντα.

4.89 (v. 543) Ὅτι πολέμου μεγάλου ἐπιστημονικοῦ ἔνδειξις τὸ «τέτατο κρατερὴ ὑσμίνη ἀργαλέη πολύδακρυς, ἔγειρε δὲ νεῖκος Ἀθήνη». (v. 546) Μεταμέλου δὲ ἴδιον τὸ «δὴ γὰρ νόος ἐτράπετο αὐτοῦ», ὡς ἐνταῦθα τοῦ Διός. (v. 544—52) Ὅτι μέλλων εἰπεῖν, ὡς ἡ μυθικὴ Ἀθηνᾶ πορφυρέῃ νεφέλῃ πυκασθεῖσα ἦλθεν εἰς Ἀχαιούς, «οὐρανόθεν καταβᾶσα» καὶ νῦν. «προῆκε γάρ» οὐχ', ὡς ἐν τοῖς πρὸ τούτων, λευκώλενος Ἥρη, ἀλλ' «εὐρύοπα Ζεὺς ὀρνύμεναι Δαναούς», προλαμβάνει πρὸς ἀσφάλειαν τοῦ λόγου παραβολὴν τοιαύτην, εἰπὼν «ἠΰτε πορφυρέην ἶριν θνητοῖσι

τανύσσει», ἤγουν εἰς μῆκος ἐκτενεῖ, «Ζεὺς ἐξ οὐρανόθεν τέρας ἔμμεναι ἢ καὶ χειμῶνος δυσθαλπέος, ὅς ῥά τε ἔργων ἀνθρώπους ἀνέπαυσεν ἐπὶ χθονί, μῆλα δὲ κήδει, ὣς Ἀθηνᾶ πορφυρέῃ νεφέλῃ πυκάσασα ἑαυτήν», ἢ μᾶλλον διαλελυμένως ἓ αὐτήν, ὡς Ὁμήρῳ γράφειν σύνηθες, «δύσετ' Ἀχαιῶν ἔθνος, ἔγειρε δὲ φῶτα ἕκαστον», ὡς ὁ Ζεὺς ἐπετείλατο. εἴη δὲ ἂν πορφυρέα νεφέλη, ὡς αὐτὸς ὁ ποιητὴς παραβολικῶς ὑπεδήλωσεν, ἡ πορφυρέα ἶρις τοιαύτη ἐμφανταζομένη τῷ νέφει. Σημείωσαι δὲ ὅτι ὡς φωσφόρον τὴν Ἀθηνᾶν οὐχ' ἁπλῶς μελαίνῃ νεφέλῃ, ἀλλὰ λαμπρᾷ εἴκασε, δι' ἧς Ἶρις ἐμφαίνεται, καὶ οὐχ' ἁπλῶς Ἶρις, ἀλλὰ καί τι μέγα σημαίνουσα, οἷον πόλεμον ἢ μέγαν χειμῶνα. οὔκουν μόνον φυσικῶς οἶδεν ὁ ποιητὴς τὴν ἐν τοῖς νέφεσιν ἶριν, τροπὴν δηλοῦσαν ἀέρος, ἀλλὰ καὶ τερατωδῶς ἔστιν ὅτε, μάχης οὖσαν σημαντικήν. οὕτω καὶ ἐν τῇ δ' ῥαψῳδίᾳ ἀστέρι τὴν φωσφόρον Ἀθηνᾶν εἴκασεν, ὃς καὶ αὐτὸς ἢ ναύταις σημεῖον τροπῆς ἀέρος γίνεται ἢ στρατιώταις πολέμου μεταβολῆς. (v. 549) Δυσθαλπέα δὲ τὸν ψυχρόν φησιν, ἐν ᾧ δυσχερὲς θάλπεσθαι. διὸ καὶ νεκροποιός ἐστι. (v. 549 s.) οὗ καὶ ἴδιον λέγει βιωτικῶς τὸ ἔργων τοὺς ἀνθρώπους ἀναπαύειν, βλάπτειν δὲ τὰ ζῷα.

4.90 μῆλα γὰρ εἰπὼν πάντα τὰ ζῷα ἐκ μέρους ἐνέφηνεν, ὡς δοκεῖ τοῖς παλαιοῖς, ἃ τῆς χειμερίας πειρᾶται κακώσεως, καθὰ καὶ Ἡσίοδος ἐν τῇ τοῦ χειμῶνος ἐκφράσει βούδορα εἰπὼν ἤματα προπαροξυτόνως κατὰ παθητικὴν σημασίαν, ἐν οἷς βόες ἀποδέρονται, ἢ κατὰ ἐνέργειαν παροξυτόνως τὰ τοὺς βοῦς ἐκδέροντα, διὰ τοῦ μέρους τῶν βοῶν δηλαδὴ πάντα ζῷα ἐδήλωσεν. ὅτι δὲ ὁ σφοδρὸς χειμὼν ἀναπαύει ἔργων ἀνθρώπους, δηλοῖ καὶ Ἡσίοδος, ὃς καὶ ὁρίζει καιρὸν τῇ τοιαύτῃ ἀναπαύσει, ὅτε ὁ Ληναιὼν ἐνίσταται μήν. (v. 555) Ὅτι καὶ τὸν Φοίνικα εὔφωνον οἶδεν ὁ ποιητής, ἐν οἷς λέγει, ὡς ἡ Ἀθηνᾶ ὡμοιώθη «Φοίνικι δέμας καὶ ἀτειρέα φωνήν». (v. 556—9) Ὅτι τῷ παροτρύνοντί τινα εἰς μεγάλων ἄμυναν οἰκεῖον εἰπεῖν τὸ «σοὶ μὲν δὴ κατηφείη καὶ ὄνειδος ἔσσεται», εἰ τόδε γένηται, «ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα». Πρὸς Μενέλαον δὲ ταῦτά φησιν ἡ Ἀθηνᾶ ὁμοιωθεῖσα Φοίνικι. ὁ δὲ θέλων, ἐφ' οἷς ἐλυπήθη, ἀμῦναι μέν, ἀκινδύνως δέ, εἴποι ἂν κατὰ τὸν Μενέλαον τὰ ἐφεξῆς· «εἰ γὰρ θεὸς δοίη κάρτος ἐμοί, βελέων δ' ἀπερύκοι», ὡς καὶ ἀλλαχοῦ κεῖται, «ἐρωήν, τῷ κεν ἔγωγ' ἐθέλοιμι παρεστάμεναι καὶ ἀμύνειν, μάλα γάρ με ὁ δεῖνα θανών», ἢ ἄλλως τόδε τι παθών, «ἐσεμάσσατο θυμόν», οὐχ' ἁπλῶς ἐπιπολῆς ἐλύπησεν, ἀλλ' ἐνεμάξατό μοι τὴν ἀλγηδόνα. οὗ τὸ ἐναντίον ἀπομάσσεσθαι καὶ ἐκμάσσεσθαι λέγεται. τοιαύτη δέ τις λέξις καὶ ἐν Ὀδυσσείᾳ κεῖται. ἢ καὶ ἄλλως, ἀντὶ τοῦ λίαν μοι καθίκετο τῆς ψυχῆς καὶ καθήψατο, ἀπὸ τοῦ μάσασθαι, ἐξ οὗ καὶ τὸ «χειρὶ ἐπιμασάμενος», ὅ ἐστιν ἐφαψάμενος.

4.91 ὅθεν καὶ χερμάδιον, οὗ ἔστι μάσασθαι τῇ χειρί. (v. 558) Ἐν τούτοις δὲ κεῖται καὶ τὸ ἑλκῆσαι ἐπὶ κυνῶν ἀπὸ ῥήματος περισπωμένου τοῦ ἑλκῶ. λέγει γὰρ «Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον κύνες ἑλκήσωσιν». οὗ παρατατικὸς πρὸ ὀλίγων τὸ εἵλκεον. Ὅρα δὲ ὡς κἀνταῦθα οἷα ἔκ τινος μικροτέρου καὶ μαλθακοῦ, ὡς μετ' ὀλίγα φανεῖται, ποιήσας Ὅμηρος τὴν μυθικὴν Ἀθηνᾶν ἀρξαμένην τοῦ εἰς μάχην ἐρεθισμοῦ, ὅμως οὐκ ἐπικρύπτει τοιοῦτον εἶναι τὸν Μενέλαον, ὃς κράτος αὐτῷ ἐθέλει δοθῆναι ἀτραυμάτιστον καί, ὡς εἰπεῖν, ἔξω βελῶν καὶ ἀναιμωτί, λέγων καὶ ὡς πρώτῳ αὐτῷ ἡ Ἀθηνᾶ ὁμιλεῖ, «ἐπεὶ ῥά οἱ ἐγγύθεν ἦεν», ἤγουν οὐκ ἐπιλεξαμένη αὐτόν, εἰ καὶ ἴφθιμος, φησίν, ἦν, ἀλλ' ὡς ἐκ παρόδου ἐπιτυχοῦσα αὐτῷ. (v. 561) Σημείωσαι δὲ καὶ ὅτι κεῖται καὶ ὧδε τὸ «ἄττα», προσφώνησις πτώσεως κλητικῆς ἀπὸ νεωτέρου τοῦ Μενελάου πρὸς γέροντα τὸν φαινόμενον διὰ τῆς Ἀθηνᾶς Φοίνικα. Φησὶ γὰρ «Φοῖνιξ, ἄττα γεραιὲ παλαιγενές». [Εἰ δὲ καὶ ἀλλαχοῦ περὶ τῆς τοιαύτης δεδήλωται λέξεως, ὅμως οὐκ ἀνένδεκτόν ἐστιν ἐνταῦθα δηλῶσαι, ὅτι ὁ γραμματικὸς Ἀριστοφάνης γράψας, ὥς εἰσι προσφωνήσεις διάφοροι παιγνιωδέστεραί τινες καὶ ὑποκοριστικαί, ἐπάγει, οἷον ἄππα, πάππα, μάμμα, μάμμη, μαμμαία, τέττα, ἄττα. οὕτω δέ, φησί, καὶ πατέρας μὲν διαρρήδην τοὺς πρεσβυτέρους καλοῦσι, κἂν ὦσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλότριοι, μητέρας δὲ τὰς πρεσβυτέρας, τὴν ἡλικίαν εἰκάζοντες, τὰς δὲ ἔτι πρεσβυτέρας μαίας καὶ τήθας.

4.92 οὕτω καὶ ταῖς ὠδινούσαις παρεστώσας πρὸς θεραπείαν μαίας καλοῦσιν, εἰ καὶ νεώτεραι εἶεν καὶ μὴ πρεσβύτιδες καὶ διὰ τοῦτο πολύπειροι. ἐξ ἐναντίου δέ φησίν, οἱ πρεσβύτεροι τοὺς νεωτέρους παῖδας καὶ τέκνα καλοῦσι. καὶ Ὅμηρος δέ, φησί, τοιαύταις προσφωνήσεσιν ἀποθεραπεύων τὴν ἡλικίαν μαῖαν τὴν πρεσβῦτιν λέγει καὶ πρεσβύτην πατέρα.] (v. 561 s.) Τὸ δὲ εὐθὺς ἐπαγόμενον «εἰ γὰρ Ἀθήνη δοίη κάρτος ἐμόι» καὶ ἑξῆς, ὡς ἀνωτέρω κεῖται, περιττῶς ἔχειν ἐγκείμενον δοκεῖ τὸν γαρ σύνδεσμον, οὕτως ἀρέσαν τῷ ποιητῇ σχηματίσαι. καὶ σημείωσαι τοῦτο. εἰ δὲ καὶ εἶχεν ἄλλως εἰπεῖν, οἷον· εἴ περ Ἀθήνη δοίη κάρτος, ἀλλὰ δέον αὐτὸς ἔκρινεν οὕτω φράσαι καὶ νῦν διὰ προηγησαμένην ἔλλειψιν. θέλων γὰρ εἰπεῖν ὁ Μενέλαος, ὅτι ὦ Φοῖνιξ, δέδια μόνος ἐπαμῦναι τῷ Πατρόκλῳ οἷα μὴ τοσοῦτον σθένος ἔχων, εἰ γὰρ Ἀθήνη δοίη κράτος, τότε ἂν ἐθέλοιμι ἀμῦναι, ὁ δὲ τὸ μὲν δύσφημον ἐσίγησεν, ἤρξατο δὲ ἀπὸ τοῦ ἐφεξῆς. τοιαῦτα δὲ σχήματα καὶ ἀλλαχοῦ ἔστιν εὑρεῖν. (v. 565 s.) Ὅτι τὸ «ἀλλ᾽ Ἕκτωρ πυρὸς αἰνὸν ἔχει μένος» ταὐτόν ἐστι τῷ «ὡς δέμας πυρὸς μάχεται». διὸ καὶ ἐφερμηνεύων φησὶν «οὐδ᾽ ἀπολήγει χαλκῷ δηϊόων», ἀλλ᾽ ἔστιν οἷον ἀκάματον πῦρ καὶ ἄσβεστον. ἑτέρωθι δὲ τὸν αὐτὸν φλογὶ ἴκελον ἔφη. ἴσως δὲ καὶ ἐπὶ Διομήδους καὶ Ἀχιλλέως οὕτω πως βουλόμενος εἰπεῖν τὴν μὲν τοιαύτην συντομίαν παρῆκε, σεμνότερον δὲ ἐκεῖ καὶ τερατωδέστερον τὴν ἀνδρίαν ἔφρασε, φλογώσας οἷον ἐκείνους καὶ τὸ καρδιακὸν πῦρ ἐκφυσήσας τῷ λόγῳ καὶ ἀναρριπίσας, εἰς ἀερίαν φαντασίαν φλογός. (v. 567—72) Ὅτι ἐνδεικνύμενος ὁ ποιητὴς ἐπαγωγὸν εἶναι τὴν τιμὴν ποιεῖ τὴν Ἀθηνᾶν γηθήσασαν, «ὅττι ῥά οἱ πάμπρωτα θεῶν ἠρήσατο πάντων» Μενέλαος. διὸ καὶ ἀμείβεται αὐτόν, ὡς δηλοῖ ὁ ποιητής, φράσας οὕτως «ἐν δὲ βίην ὤμοισι καὶ γούνασιν ἔθηκε, καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἐνῆκεν», ἢ ἔθηκεν, «ἥ τε καὶ ἐργομένη μάλα περ χροὸς ἀνδρομέοιο ἰσχανάᾳ δακέειν, λαρόν τέ οἱ αἷμα ἀνθρώπου».

4.93 Καὶ ὅρα ὅτι οὐ μυίας ἀλκὴν ἐντεθῆναι εἶπε τῷ Μενελάῳ, τοῦτο γὰρ γελοιότατον διὰ τὸ ἄγαν ταπεινόν, ἀλλὰ θάρσος. διὸ καὶ δὶς αὐτὸ παρεσημήνατο ἔν τε τῷ «μυίης θάρσος», καὶ ἐν τῇ ἀποδόσει τῆς παραβολῆς, εἰπὼν «τοίου μιν θάρσους πλῆσε φρένας ἀμφιμελαίνας», τὰς καὶ πρὸ ὀλίγου ῥηθείσας, ἐπαυξήσασα δηλαδὴ καὶ τὸ μένος, ὡς ἐδήλωσε τὸ «ἐν δὲ βίην ἔθηκε», δι᾽ ἧς πιθανῶς βίαιον ἔθετο τὸν πρὶν μὴ τοιοῦτον. ἄλλως γὰρ ἀχρεῖον τὸ θάρσος χωρὶς μένεος. διὸ καὶ τῷ Διομήδει θάρσος ὁμοῦ καὶ μένος ἡ αὐτὴ Ἀθηνᾶ ἐν τῇ ε′ ῥαψῳδίᾳ ἐνέθετο. (v. 569) Ὅρα δὲ καὶ ὅτι ὤμων καὶ γονάτων μνησθεὶς τῶν ἄκρων ὡς ἐναργεστάτων παρῆκε τὰ μέσα, ὡς καὶ πρὸ ὀλίγου ἐν τῷ «κνῆμαί τε γοῦνά τε» καὶ ἑξῆς, καθὰ ἐκεῖ ἐδηλώθη. (v. 572) Τὸ δὲ «ἰσχανάᾳ δακέειν» ἀντὶ τοῦ ἐπιθυμεῖ, ἀντίσχεται, ἀντέχεται. ποιηταῖς δὲ πρέπουσα ἡ λέξις, οὕτω σκευωρουμένη· ἔχω ἴσχω ἰσχαίνω, οὗ μέλλων ἰσχανῶ, οὗ ἀναχθέντος εἰς ἐνεστῶτα συζυγίας δευτέρας τῶν περισπωμένων τὸ ἰσχανᾶν γίνεται. Ὅτι δὲ κατὰ ἀναλογίαν φύσει πάντων ζῴων ἡ μυῖα θρασύτατον, οὐδεὶς ἀγνοεῖ. Ὅρα δὲ καὶ τὸ «λαρόν», ὅτι ἐκτείνει τὴν παραλήγουσαν. (v. 575—7) Ὅτι Ποδῆν τινα ἱστορεῖ φίλον τῷ Ἕκτορι, παρεντιθείς, ὡς ἔθος, ἱστορίαν τινὰ πρὸς θεραπείαν τῆς ἀφηγηματικῆς ὑπτιότητος. Καί φησιν ἀρχόμενος συνήθως τοῦ διηγήματος ἀπὸ ῥήματος ὑπαρκτικοῦ, ποιητικοῦ μέντοι, «ἔσκε δ᾽ ἐνὶ Τρώεσσι Ποδῆς υἱὸς Ἠετίωνος», τινος ὁμωνύμου τῷ πενθερῷ τοῦ Ἕκτορος, «ἀφνειός τ᾽ ἀγαθός τε, μάλιστα δέ μιν τίεν Ἕκτωρ δήμου», ἤτοι τῶν ἄλλων δημοτῶν, «ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής», ὅ ἐστι σύνδειπνος καί, ὡς οἱ παλαιοί φασι, παράσιτος.

4.94 καὶ ὅρα φιλίαν ταύτην ἐξ εἰλαπίνης καὶ ὁμιλίας συμποτικῆς, ἐξ ἧς ἔοικε δεδόσθαι ἀρχὴν τοῖς ἐκ πίνειν ἐτυμολογοῦσι τὸν φίλον. Ὅρα δὲ καὶ ὅτι οὐχ᾽ ἁπλῶς ἐφίλει ὡς εἰλαπιναστὴν τὸν Ποδῆν ὁ Ἕκτωρ, ἀλλὰ καὶ ὡς ἀγαθόν, ἤδη δὲ πρὸ αὐτοῦ καὶ ὡς ἀφνειόν. πῶς γὰρ ἂν εἴη ἄλλως πένης ἑταῖρος φίλος μεγιστᾶνι ἀνδρί, μὴ ἔχων καὶ δώροις ὠνεῖσθαι τὸν φίλιον; προϊὼν δὲ καὶ

πιστὸν ἑταῖρον λέγει τὸν Ποδῆν. (v. 575) Τὸ δὲ «Ποδῆς» συνῄρηται ἐκ τοῦ Ποδέας Ποδῆς ὡς Κισσέας Κισσῆς, Ἑρμέας Ἑρμῆς κατὰ Ἀρίσταρχον. (v. 576) Τὸ δὲ «τίεν» οὐκ ἐκτείνει τὴν ἄρχουσαν κατὰ τὴν ἐξ αὐτοῦ γινομένην τιμήν, ἀλλὰ δευτέραν ἀποτελεῖ μετρικοῦ δακτύλου, ὡς ἄν τις εἴποι, σκυτάλην, καθὰ δηλοῖ τὸ «μάλιστα δέ μιν τίεν Ἕκτωρ». (v. 577) Δῆμος δὲ ὁ δημότης καὶ πρὸ τούτων, ὡς δηλοῖ τὸ «ὃν δ’ ἂν δήμου ἄνδρα ἴδοι», καὶ «οὐκ ἔοικε δῆμον ἐόντα παρὲξ ἀγορεύειν». Περὶ δὲ εἰλαπίνης ἐρρέθη ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. (v. 583—4) Ἱστορεῖ δὲ ὁ ποιητὴς ἐφεξῆς αὐτίκα ἐν ὀλιγίστῳ καί τινα Φαίνοπα, ὅς, φησί, τῷ Ἕκτορι «ἁπάντων ξείνων φίλτατος ἔσκεν Ἀβυδόθι οἰκία ναίων», διδάσκων διαφορὰν φιλίας τῷ τέως τὴν ἀπὸ εἰλαπίνης καὶ τὴν ἀπὸ ξενίας. (v. 578) Σημείωσαι δὲ καὶ ὅτι τὸν ῥηθέντα εἰλαπιναστὴν κατὰ ζωστῆρα βαλὼν ἀνεῖλε Μενέλαος, γενομένης τῆς βολῆς περί που τὰ κατὰ τὴν γαστέρα οἰκείως τῷ εἰλαπινάζοντι καὶ οὕτω γαστριζομένῳ, καθὰ καὶ ἄλλαι παρασημειοῦνται πληγαὶ ἀναλόγως τοῖς ἁμαρτάνουσιν.

4.95 [Ἐνταῦθα δὲ παραθετέον καὶ παλαιοῦ τινος τό «Μενέλαος Σπαρτιάτης ἄνθρωπος, αὐτάρκειαν ἐζηλωκώς, παράσιτον τιτρώσκει τὸν Ποδῆν. ταὐτὸν γὰρ εἰλαπιναστὴν εἰπεῖν καὶ παράσιτον, ὥσπερ καὶ ἐπίσιτον. Εἰ δὲ ὁ παράσιτος ἄδοξόν ἐστι, καθὸ καὶ μισούμενον ἐν τοῖς ὕστερον, ἀλλὰ παρὰ τοῖς ἀρχαίοις εὑρίσκεται, φασίν, ἱερόν τι χρῆμα καὶ τῷ συνθοίνῳ παρόμοιον. λέγεται οὖν καὶ ὅτι ἐν τῷ Ἀνακείῳ ἐπὶ στήλης γέγραπται, ὡς τὰ δύο μέρη τοῖν βοοῖν τὸ μὲν ἕτερον τῷ ἱερεῖ, τὸ δὲ τοῖς παρασίτοις. ἦν δὲ Ἀνακεῖον ἱερὸν ἀνακῶν Διοσκούρων, περὶ ὧν προδεδήλωται. Φέρεται δὲ περὶ εἰλαπιναστοῦ παρὰ τοῖς παλαιοῖς καὶ ταῦτα. εἰλαπίνη θυσία καὶ παρασκευὴ λαμπροτέρα τις, καὶ εἰλαπινασταὶ οἱ ταύτης μετέχοντες. ἔρανος δέ ἐστιν ἡ ἀπὸ συμβολῶν συναγωγή. ἐκαλεῖτο δὲ αὐτὸς καὶ θίασος, καὶ οἱ συνιόντες ἐρανισταὶ καὶ θιασῖται ἢ θιασῶται. οἱ δὲ ποιηταὶ πολλάκις καὶ τὸν τῷ Διονύσῳ ἑπόμενον ὄχλον θίασον ἐκάλουν.

4.96 ὃς δὴ θίασος ἢ παρὰ τὸ θεῖον γίνεται ἀποβολῇ συνήθει τοῦ ε , ὡς ἐνθεάζων, ἢ παρὰ τὸν σιόν, ἤτοι θεόν, ἐξ οὗ καὶ ὁ Σίσυφος, καθὰ προδιείληπται. θεοῖς γὰρ ὠργίαζον, ταὐτὸν δ’ εἰπεῖν σιοῖς, οἱ θιασῶται, ὡς εἶναι τὸν θίασον οἱονεὶ σίασον τροπῇ ἡμιφώνου τοῦ ς εἰς ἄφωνον τὸ θ , καθὰ δηλοῦται καὶ ἑτέρωθι.] (v. 586—8) Ὅτι ἐρεθισμὸς κατὰ σμικροῦ τινος μέγα βλάψαντος τὸ ὦ δεῖνα, «τίς ἄν σε ἔτι ἄλλος ταρβήσειεν, οἷον δὴ τὸν δεῖνα ὑπέτρεσας, ὃς τὸ πάρος περ μαλθακὸς αἰχμητής, νῦν δ’ οἴχεται οἷος», τόδε τι ποιήσας. Ἀπόλλων δὲ ζήλῳ τῆς πρὸ βραχέων ῥηθείσης Ἀθηνᾶς ταῦτά φησι πρὸς Ἕκτορα διαβάλλων τὸν Μενέλαον, ὡς ἂν ὁ Πριαμίδης διὰ τὴν ἐπὶ τῷ Ποδῇ λύπην ὀτρυνθῇ κατ’ αὐτοῦ. καὶ οὕτω μὲν ὁ Ἀπόλλων ἐρεθιστικὸς καὶ ἀνυστικὸς δέ. Ὅμηρος μέντοι τὸν Μενέλαον ἀρηΐφιλον οἶδε καὶ ἴφθιμον, [εἰ καὶ ὁ ἐχθρὸς Ἀπόλλων μαλθακὸν αὐτὸν σκώπτει πολεμιστήν, μεταλαβὼν τὸ τοῦ ἥρωος πρᾷον καὶ ἐνηὲς εἰς μαλακότητα. Δῆλον δ’ ὅτι πλεονασμὸν ἔχει τοῦ θ ὁ μαλθακός, ὃ δὴ σὺν ἄλλοις γίνεται καὶ ἐν τῷ τριχθά καὶ τετραχθά.] (v. 593) Ὅτι καὶ νῦν Ζεὺς «ἕλετ’ αἰγίδα θυσανόεσσαν μαρμαρέην». (v. 594—6) Εἶτα εὐθὺς Ὅμηρος ἀφορμὰς διδοὺς ἀλληγορεῖν, ἵνα φανερῶς νοοῖτο ἡ τοιαύτη αἰγὶς εἰς τὰ κατὰ τὸν ἀέρα πάθη καὶ τὰς περὶ αὐτὸν αἰγίδας, ὧν εἶδος καὶ αἱ παρὰ τοῖς μετεωρολόγοις αἶγες, φησὶν «Ἴδην δὲ κατὰ νεφέεσσι κάλυψεν· ἀστράψας δὲ μάλα μεγάλ’ ἔκτυπε, τὴν δ’ ἐτίναξεν», ἤγουν τὴν αἰγίδα, «νίκην δὲ Τρώεσσι δίδου, ἐφόβησε δ’ Ἀχαιούς». ὃ δὴ παρακολούθημά ἐστι τῆς κατ’ αὐτὸν νίκης. Καὶ σημείωσαι ὅτι σαφεστάτην ἀλληγορίαν ἐνταῦθα τῆς αἰγίδος χορηγεῖ, μονονουχὶ λέγων Διὸς αἰγίδα εἶναι τὰ νέφη καὶ τὸ τῆς ἀστραπῆς σέλας καὶ τὸν μάλα μέγαν κτύπον τῆς βροντῆς, δι’ ὧν οἶδεν ὁ ἀὴρ καταιγίζων ἐκθροεῖν, ὡς καὶ ἐν τῇ η′ ῥαψῳδίᾳ φαίνεται ἀριδήλως, ἔνθα σμερδαλέα κτυποῦντος Διὸς χλωρὸν δέος ᾕρει τοὺς Ἀχαιούς.

4.97 (v. 594) Σημείωσαι δὲ ὡς νῦν μὲν μαρμαρέην ἔφη τὴν τοιαύτην αἰγίδα διὰ τὴν μαρμαρυγὴν τῆς ἀστραπῆς, ἀλλαχοῦ δὲ ἐρεμνὴν αἰγίδα ἐπισείεσθαι λέγει διὰ τὸ ἐκ συννεφείας ἔρεβος. καὶ οὐ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καινὸν τὴν αὐτὴν καὶ μαρμαίρειν καὶ ἐρεμνὴν εἶναι, εἰ καὶ τὸ πῦρ ἄμφω δοκεῖ ποτε πάσχειν, τὸ μὲν διὰ τὴν φλόγα, τὸ δὲ διὰ τὸν καπνόν. (v. 595) Τὸ δὲ «ἐτίναξε», καθὰ καὶ τὸ «ἐρεμνὴν αἰγίδα ἐπισείει» συμβάλλονται τῷ μύθῳ εἰς τὸ μὴ πληκτικὸν ὅπλον εἶναι τὴν αἰγίδα, ἀλλ' ἢ μόνον φοβητικὸν ἐν τῷ τινάσσεσθαι κατά τινων, ταὐτὸν δ' εἰπεῖν, ἐπισείεσθαι. (v. 597—600) Ὅτι πρῶτος ἐνταῦθα ὁ Βοιώτιος Πηνέλεως «ἦρχε φόβοιο», ἤγουν φυγῆς, «βλῆτο γὰρ ὦμον δουρὶ πρόσω τετραμμένος αἰεὶ ἄκρον ἐπιλίγδην, γράψε δέ οἱ ὀστέον ἄχρις αἰχμὴ Πουλυδάμαντος· ὃ γάρ ῥ' ἔβαλεν», ἤγουν οὗτος γὰρ δὴ ἔπληξε, «σχεδὸν ἐλθών». (v. 599) Καὶ ὅρα τὸ ἐπιλίγδην ἀντὶ τοῦ ξεστικῶς καὶ ἐπιπολῆς. καὶ ἔοικεν ἀπὸ τοῦ λίζειν ὠνοματοπεποιημένου ῥήματος παρῆχθαι, ἀφ' οὗ καὶ λίστρον, τὸ ξύστρον, ἐν Ὀδυσσείᾳ, καὶ παρὰ τῇ χυδαίᾳ δὲ ὁμιλίᾳ τὸ ἐκλιστρᾶν. σεσίγηται δὲ τὸ λίζω, καθὰ καὶ ἄλλοι τοιοῦτοι ἐνεστῶτες. καὶ γοῦν οὐδὲ τοῦ «λίγξε βιός» τὸ λίγγω, οὐδὲ μὴν τὸ κρίζω τοῦ «κρίκε ζυγός», ἢ κρίγεν, ὃ πρὸ ὀλίγου γέγραπται.

4.98 εἰ γάρ τις ἀκριβολογεῖται περὶ τὰς τοιαύτας κινήσεις, ἀχρειοῖ, φασί, τὸ ἐναργὲς τῆς τῶν ὀνοματοποιϊῶν ἐμφάσεως. Τὸ δὲ «γράψεν» ὠνοματοπεποίηται μὲν καὶ αὐτό, ἀνάπαλιν δὲ ἔχει πρὸς τὸ «ἐπιλίγδην». τοῦτο μὲν γὰρ λεῖον ἦχον προφαίνει, ὡς καὶ τὸ κλάγξε καὶ τὸ λίγξε καὶ ὅσα τὸ λ ἔχουσιν, ἐν οἷς καὶ τὸ κλώζειν καὶ τὸ γλάφειν. τὸ μέντοι γράψεν, ὅπερ εὐθὺς ἐπῆκται, τραχυφωνίαν ἔχει, καθὰ τὸ ῥῆξε καὶ τὸ κρώζειν καὶ τὰ τοιαῦτα. καὶ καινὸν οὐδὲν ἄμφω ἑνὶ πράγματι ἄλλως μέντοι καὶ ἄλλως προσαρμόσαι. πρὸ μὲν γὰρ τοῦ ἐμπελάσαι εἰς ὀστοῦν τὸ δόρυ ἐπιλίγδην ἦν ἡ βολή, ὡς δὲ τῷ ὀστῷ ἐνέχριμψε, τότε γράψαι λέγεται. καὶ οὕτω μὲν ταῦτα. (v. 597—8) Τὸ δὲ «ἦρχε φόβοιο» ἀστείως ἔχει.

4.99 δέον γὰρ ἄρχειν μάχης πρῶτον ἑστῶτα, ὁ δὲ φόβου ἦρχε. καὶ τοῦτο μὲν ἀγεννές, σεμνὸν δὲ αὐτοῦ, ὅτι οὐ κατὰ νῶτα βέβληται, ἀλλ', ὡς εἰκός, ἐκ τῶν ἔμπροσθεν οἷα μηδὲ δείξας νῶτα, φεύγων δὲ ἄλλως ἐν τῷ μάχεσθαι μέν, χωρεῖν δὲ ἀνὰ πόδας, ὡς δηλοῖ τὸ «πρόσω τετραμμένος αἰεί», ὃ στάσιμον μαχητὴν δηλοῖ. Ὅρα δὲ καὶ τὸ «βλῆτο ὦμον», ἐοικὸς ῥηθῆναι γενικώτερον ἀντὶ τοῦ ἐπλήγη. προϊὼν οὖν φησι «ἔβαλε σχεδὸν ἐλθών», ὅπερ οὐ πάνυ σύνηθες, πόρρωθεν γὰρ αἱ βολαί. καὶ ἔοικε τὸ «ἔβαλε σχεδὸν ἐλθών» ὅμοιον εἶναι τῷ εὐθὺς ἐφεξῆς «Λήϊτον Ἕκτωρ σχεδὸν οὔτασε χεῖρα ἐπὶ καρπῷ», τῷ προδεδηλωμένῳ, ἔνθα χεὶρ λέγεται τὸ μετὰ βραχίονα καὶ πῆχυν, ὡς καὶ ποὺς τὸ μετὰ μηρὸν καὶ κνήμην. (v. 599 s.) Περὶ δὲ τοῦ σχεδὸν βάλλειν καὶ πρὸ ὀλίγου γέγραπται, ὥσπερ καὶ περὶ τοῦ «ὀστέον ἄχρις», ὃ δηλοῖ τὸ διόλου ἢ τὸ ἄχρι καὶ εἰς ὀστοῦν, ὡς μὴ εἰσδύντος ἐνδοτέρω τοῦ δόρατος. Ἀναμνηστέον δὲ τῆς τοῦ ποιητοῦ φιλίας περὶ τὸν ῥα σύνδεσμον κἀνταῦθα ἐν τῷ «ὃ γάρ ῥ' ἔβαλεν». εἵλετο γὰρ καὶ νῦν τραχυφωνῆσαι δι' αὐτοῦ πρὸς ὄγκον, παραιτησάμενος τὸ λεῖον τῆς φωνῆς ὡς εὐτελέστερον. (v. 602) Ὅτι Ἀλεκτρυὼν κύριον κεῖται ἐνταῦθα οὐ φυλάσσον τὸ ω ἐν τῇ γενικῇ ὡς ὁ Ἠλεκτρύων. τὸ δὲ τοῦ ζῴου ὄνομά φασιν οἱ παλαιοὶ οὐδέπω ἐπὶ Ὁμήρου ἐγνῶσθαι, [οὗπερ ἐπίθετον ὁ ὀρθροβόας παρὰ τοῖς ὕστερον.] (v. 605—8) Ὅτι ὄχλου μιμούμενος ἦθος Ὅμηρος, οἳ καινόν τι συμβὰν ἰδόντες καὶ μάλιστα ὑπὲρ ἑαυτῶν μέγα κεκράγασι, φησίν, ὡς Ἰδομενεὺς Ἕκτορα «βεβλήκει θώρηκα κατὰ στῆθος παρὰ μαζόν. ἐν καυλῷ δ' ἐάγη δολιχὸν δόρυ, τοὶ δ' ἐβόησαν Τρῶες», καὶ ἄλλως μὲν ὡς ἐπὶ καινοπραγίᾳ τύχης, μάλιστα δέ, ὅτι εὐτυχῶς τοῦτο συνέβη τῷ σφῶν ἀρχηγῷ. (v. 607) Τίς δὲ ὁ τοῦ δόρατος καυλός, προέγνωσται. τὸ δὲ «ἐάγη» δύναται καὶ δισυλλάβως ἐνταῦθα γραφῆναι, ὡς καὶ ἀλλαχοῦ.

4.100 διφορεῖται γὰρ καὶ ἔστι ποιητικὸν μὲν Ἰωνικῶς τὸ ἄγη, Ἀττικὸν δὲ τὸ ἐάγη. Ὅτι διήγημά τι ἐνταῦθα ἐκτίθεται ὁ ποιητὴς ἀσαφὲς πλέον τοῦ εἰκότος καὶ πάνυ συγκεχυμένον, ὡς ἐξ ἀναστροφῆς λεχθὲν καὶ μὴ κατὰ φύσιν τεθέν. ἀρξάμενος γὰρ ἀπὸ αἰτιατικῆς κυρίου ὀνόματος, καὶ μετακλίνας αὐτὸ εἰς ἀντωνυμικὴν εὐθεῖαν, εἶτα πολλὰ ἐπεμβαλὼν καὶ τὴν φράσιν ταράξας, ἐπαναλαμβάνει δι' αἰτιατικῆς ἀντωνυμίας ἀκολούθως τῇ ἀρχῇ τὴν ἀπόδοσιν, τῇ συγχύσει τῶν φραζομένων πραγμάτων τε καὶ προσώπων συσχηματίσας καὶ τὴν τοῦ λόγου

προφοράν. (v. 610—7) Ἔστι δὲ ἡ μὲν Ὁμηρικὴ φράσις αὐτή «αὐτὰρ ὅ», τουτέστιν ὁ Ἕκτωρ, «Μηριόναο ὀπάονά τε ἡνίοχόν τε Κοίρανον, ὅς ῥ' ἐκ Λύκτου ἐϋκτιμένης ἕπετ' αὐτῷ. πεζὸς γὰρ τὰ πρῶτα λιπὼν νέας ἀμφιελίσσας ἤλυθε, καί κε Τρωσὶ μέγα κράτος ἐγγυάλιξεν», ὁ Μηριόνης δηλαδὴ ἄρτι, «εἰ μὴ Κοίρανος ὦκα ποδώκεας ἤλασεν ἵππους. καὶ τῷ μὲν φάος ἦλθεν», [ὁ Κοίρανος], ἤγουν τῷ Μηριόνῃ, «ἄμυνε δὲ νηλεὲς ἦμαρ, αὐτὸς δ' ὤλεσε θυμὸν ὑφ' Ἕκτορος ἀνδροφόνοιο, τὸν βάλ' ὑπὸ γναθμοῖο» καὶ ἑξῆς. καὶ τοιοῦτον μὲν τὸ τοῦ Ὁμήρου. ἄλλως δέ, σαφῶς εἰπεῖν, λέγει ὅτι ὁ Ἕκτωρ τὸν τοῦ Μηριόνου ἡνίοχον Κοίρανον, ὃς πεζὸς ἐκ Λύκτου εἰς Τροίαν ἦλθεν ἀποβάς που τῶν νηῶν. καὶ εἰ μὴ τοὺς ἵππους ἄρτι παρέστησεν, ἀπώλετο ἂν ὁ Μηριόνης. νῦν δὲ αὐτοὺς παρασχών, ἐκεῖνον μὲν περιεσώσατο, αὐτὸς δὲ ἔπεσε. τὸν τοιοῦτον οὖν Κοίρανον ὁ Ἕκτωρ ἔβαλε. Καὶ ὅρα ὅτι τὸ πᾶν τῆς ἀσαφείας ἐνταῦθα καὶ τῆς συγχύσεως ἡ τοῦ Μηριόνου ἐπεμβολὴ ἐποίησεν, οἷα μετὰ τὸ «ἤλυθεν ἐκ Λύκτου» ὁ Κοίρανος, ἐπενεχθέντος ἀνελπίστως τοῦ «ἐγγυάλιξεν ἂν Τρωσὶ κράτος» ὁ Μηριόνης, ὅπερ ὅλον ἀμέτοχον ἐνταῦθα ἦν. (v. 611) Ὅρα δὲ τὸ Κοίρανος εἰς κύριον μετενεχθέν, καθὰ καὶ τὸ Βασιλεύς, ἤδη δὲ καὶ τὸ Ἄναξ, ὥς που δεδήλωται.

4.101 Λύκτος δὲ πόλις Κρητική. (v. 615) Φάος δὲ καὶ νῦν τὴν ζωὴν λέγει. διὸ καὶ ἑρμηνεύων ἐπάγει «ἄμυνε δὲ νηλεὲς ἦμαρ», καὶ «αὐτὸς δ' ὤλεσε θυμόν», ἅπερ ἀντίκειται τῷ ἐλθεῖν τινι φῶς. (v. 617—8) Ἰστέον δὲ ὅτι τὴν τοῦ ῥηθέντος Κοιράνου πληγὴν οὕτω φράζει ὁ ποιητὴς «τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος, ἐκ δ' ἄρ ὀδόντας ὦσε δόρυ πρυμνόν, διὰ δὲ γλῶσσαν τάμε μέσσην». (v. 618) «Δόρυ» δὲ «πρυμνόν» τὴν αἰχμὴν λέγει, τουτέστι τὸ τοῖς ὀδοῦσιν ἐνσκήψαν μέρος τοῦ δόρατος τὸ μετὰ τὸν καυλόν. (v. 619—21) Ὅτι ἐν τῷ «ἡνία χεῦεν ἔραζε, τὰ δὲ Μηριόνης ἔλαβε χείρεσσι φίλῃσι κύψας ἐκ πεδίου» φαίνεται οὐχ' ἁπλῶς δεσμοὺς ἐνωτικοὺς ἵππων εἶναι τὰ ἡνία, καθά τισιν ἔδοξεν, ἀλλὰ τὰ αὐτὰ καὶ χαλινούς, εἴγε κάτω πίπτουσιν ἀπολυθέντα καὶ αὖθις ἀναλαμβάνονται. Τὸ δὲ «χεῦεν» ἁπαλότητα δηλοῖ καὶ ὑγρότητα τῶν ἡνίων, δι' ἣν οὐκ ἂν ἀπεικότως λέγοιντο σιγαλόεντα. ἠχητικὰ γὰρ τὰ ξηρά, οὐ μὴν τὰ ἁπαλά. (v. 620) Τοῦ δὲ «χείρεσσι φίλῃσιν» ἡ φράσις συνήθης. πολλαχοῦ γὰρ καὶ χεῖρας φίλας φησί. (v. 622) Ὅτι οὐ μόνον μαστίζω κοινῶς, ἀλλὰ καὶ μαστίω ποιητικῶς, ἐξ οὗ καὶ τὸ «μάστιε νῦν», ἤγουν μάστιζε, «εἵως κεν», ὅ ἐστιν ἕως ἄν, «θοὰς ἐπὶ νῆας ἵκηαι». ἐκ δὲ τοῦ μαστίω μαστίσω καὶ μάστιν ἔστιν εὑρεῖν τὴν μάστιγα. τὸ δὲ μαστίζειν καὶ ἱμάσσειν λέγεται, ὡς δηλοῖ ἐπαχθὲν τὸ «ἵμασσε καλλίτριχας ἵππους». (v. 623, 627, 629- 30) Ὅτι ὁ γνούς ποθεν ῥοπὴν ὑπέρ τινος ἀντιθέτου προσφυῶς εἴποι ἂν κατὰ τὸν Μηριόνην πρός τινα τὸ «γινώσκεις δὲ καὶ αὐτός, ὅτι οὐκέτι κάρτος» τῶνδε. ὅμοιον δὲ καὶ τὸ οὐδ' ἔλαθεν ὅδε τις, ὅτε δὴ τῷ δεῖνι δίδου ἑτεραλκέα νίκην. ὡσαύτως καὶ Αἴαντος τό· ὢ πόποι, ἤδη μὲν ἂν καὶ ὃς μάλα νήπιός ἐστι, γνοίη ὅτι τοῖσδε θεὸς αὐτὸς ἢ πατὴρ αὐτὸς ἀρήγει. (v. 629—33) Ἐν τούτοις δὲ καὶ σημεῖον θεομηνίας ὁ Αἴας κρίνει τὸ τοὺς μὲν Ἀχαιοὺς ἀστοχεῖν ἀφιέντας, Τρῶας δ' ἐπιτυγχάνειν. Φησὶ γὰρ «τῶν μὲν πάντων βέλε' ἅπτεται, ὅς τις ἀφίει ἢ κακὸς ἢ ἀγαθός, θεὸς δ' ἔμπης πάντα ἰθύνει. ἡμῖν δ' αὔτως πᾶσιν ἐτώσια πίπτει ἔραζε». τοῦτο δὲ καὶ εἰς λοιπὰς παρῳδηθήσεται πράξεις, ἐν αἷς παραδόξως θάτερον τῶν μερῶν εὐτυχεῖ κατὰ τοῦ ἑτέρου.

4.102 (v. 631) Τὸ δὲ ἅπτεται, ὃ δύναμιν ἔχει τοῦ ἐπιτυγχάνειν καὶ βάλλειν, τοῖς Ἀχαιοῖς προσκολλᾶται. οὐ γὰρ Τρώων ἅπτεται τὰ βέλη, ἀλλὰ τὰ Τρωϊκὰ βέλη ἅπτεται τῶν Ἀχαιῶν. ἔστι γοῦν ὁ τρόπος ἀμφιβολία. Τὸ δὲ «ὅς τις ἀφίει» πρὸς ἀκρίβειαν ἐρρέθη. οὐ γὰρ πάντων Τρώων ἐνεργὰ τὰ βέλη, μόνα δὲ τὰ τῶν ἀφιέντων. (v. 632) Ἀκριβῶς δὲ εἴρηται καὶ τὸ «ἢ κακὸς ἢ ἀγαθός», ἤγουν ἢ ἄνανδρος ἢ ἀνδρεῖος. ξενίζει γὰρ οὐ τὸ τοὺς ἀγαθοὺς εὐστοχεῖν, ἀλλ' ὅτι καὶ οἱ κακοί. δοκεῖ δὲ ἐντεῦθεν εἰλῆφθαι καὶ τὸ ἀγαθὸς σκυτεύς, ὁ εὔτεχνος, καὶ ὅσα τοιαῦτα. οὕτω γὰρ καὶ στρατιώτης ἀγαθός, ὁ τῆς κατ' αὐτὸν τέχνης εὖ ἔχων. (v. 633) Τὸ δὲ «αὔτως» καὶ τὸ «ἐτώσια» ἐφερμηνεύουσιν ἄλληλα. Τὸ δὲ «πίπτει ἔραζε» ἀνάπαλιν ἔχει πρὸς τὸ ἅπτεται. τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ ἁπτόμενα βέλη οὐ κάτω πίπτει, ἀλλὰ τοῖς βαλλομένοις ἐναπομένει. (v. 634 s.) Ὅτι συνασπιζόντων λόγος τὸ «ἀλλ' ἄγετ' αὐτοὶ φραζώμεθα μῆτιν ἀρίστην, ὅπως χάρμα φίλοις ἑτάροισι γενώμεθα νοστήσαντες». Αἴαντος δὲ καὶ τοῦτο λόγος, ὃς καὶ φθάσας ἔφη πρὸς Μενέλαον οὐ τόσον περιδεδιέναι τοῦ νεκροῦ Πατρόκλου, ὅσον περὶ τῇ ἑαυτοῦ καὶ τῇ τοῦ Μενελάου κεφαλῇ. (v. 636) Ὅρα δὲ ὅτι ἀλλαχοῦ μὲν χάρμα τὸ ἐπίχαρμα καὶ ὁ γέλως, οἷον «χάρμα δυσμενέεσσιν», ἐνταῦθα δὲ ἡ λέξις τὴν ἐξ ὀρθοῦ ἡδονὴν δηλοῖ, ὅπερ ἀλλαχοῦ περιφράζων τις ἔφη· ὡς σύ τε εὐφρήνῃς πάντας τοὺς σούς, ἐγὼ δ' εὐφρανῶ τοὺς ἐμούς. (v. 639) Ἐνταῦθα δὲ κεῖται καὶ ἡ δηλωθεῖσα καὶ ἀλλαχοῦ ἀμφίβολος ἔννοια τὸ «ἐν νηυσὶ πεσεῖσθαι». φησὶ γὰρ «χάρμα», ὡς ἐρρέθη, «ἑτάροισι γενώμεθα, οἵ που δεῦρ' ὁρόωντες οὔ φασιν Ἕκτορος μένος καὶ χεῖρας ἀάπτους σχήσεσθαι, ἀλλ' ἐν νηυσὶ μελαίνῃσι πεσέεσθαι». δι' οὗ δηλοῦται ἢ τὸ ἐν ναυσὶ πεσεῖσθαι τοὺς Ἀχαιοὺς θανόντας ἢ τὸν Ἕκτορα ἐμπεσεῖσθαι, ὅ ἐστι βιαστικῶς ἐπελθεῖν, ταῖς ναυσίν. (v. 640—2) Ὁ δὲ ταῦτα εἰπὼν Αἴας ἐπάγει κατ' ἀνάγκην ἐν σχήματι ἐνδιαθέτῳ κατ' εὐχὴν καὶ τὸ «εἴη δ' ὅς τις ἑταῖρος ἀπαγγείλειε τάχιστα Πηλείδῃ. ἐπεὶ οὔ μιν ὀΐομαι οὐδὲ πεπύσθαι λυγρῆς ἀγγελίης ὅτι οἱ φίλος ὤλεθ' ἑταῖρος». εὔχεται δὲ ὁ ἥρως οὕτω οἷα μὴ δυνάμενος ὡς ἐν σκότῳ μαχόμενος εὑρεῖν τοιοῦτον ἄγγελον. Ἔνθα ὅρα τὸ «ὅς τις ἑταῖρος ἀπαγγείλειε», προεκθετικὸν ὄν. οὐ γὰρ ἐχρῆν τὸν τυχόντα σταλῆναι τῷ Ἀχιλλεῖ ἄγγελον τοῦ κακοῦ, ἀλλά τινα φίλον.

4.103 διὸ καὶ σταλήσεται ὁ καλὸς Ἀντίλοχος. Ἰστέον δὲ ὅτι τὸ «εἴη δ' ὅς τις ἑταῖρος ἀπαγγείλειε» μιμησάμενος τῶν τις μεθ' Ὅμηρον ἔφη τὸ ἀλλ' ἐνταῦθα τῷ φόβῳ εἴημεν, ἢ ἀλλ' ἐνταῦθα τῶν φόβων εἴημεν, δι' οὗ περιπέφρασται τὸ ἀλλὰ φοβηθείημεν. (v. 641) Τὸ δὲ «πεπύσθαι» γενικῇ συνήθως καὶ αὐτὸ συντέτακται. (v. 642) Ὅτι ὁ Αἴας ἐφράσατο μὲν μῆτιν ἀρίστην ἀπελθεῖν τινα ἑταῖρον τῷ Ἀχιλλεῖ, ὅς, καθὰ προσεχῶς εἴρηται, «ἀπαγγείλειε λυγρὴν ἀγγελίην, ὅτι οἱ φίλος ὤλεθ' ἑταῖρος», ὃ κατωτέρω φησὶ «πολὺ φίλτατος ὤλεθ' ἑταῖρος», αὐξήσας τό τε «πολύ» δι' ὑπερθέσεως καὶ αὖ πάλιν τὴν ὑπέρθεσιν διὰ τοῦ «πολύ». (v. 643—7) Ἐπεὶ δὲ οὔ πῃ δύναται ἰδεῖν τινα τοιοῦτον Ἀχαιῶν διὰ τὸν ἐν τῷ περιέχοντι βαθύν, ὡς προείρηται, ἀέρα, ἤτοι ζόφον, «ἠέρι γάρ, φησί, κατέχονται ὁμῶς αὐτοί τε καὶ ἵπποι», εὔχεται δακρυχέων «Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν, ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι, ἐν δὲ φάει καὶ ὄλεσσον· ἐπεὶ νύ τοι», ἤγουν δή σοι, «εὔαδεν», ὅ ἐστιν ἤρεσεν, «οὕτως», [καὶ μὴ δηλαδὴ ἐν νυκτὶ ταύτῃ ὀλέσῃς, ἣ γαίηθεν ὄρωρεν, οὐ μὴν ἄνωθέν ποθεν, κατὰ τὸ «ὀρώρει δ' οὐρανόθεν νύξ».] (v. 648—50) Καὶ ὁ Ζεύς—οὐ γὰρ διαπίπτειν εὔλογος οἶδεν εὐχή—«ὀλοφύρατο δακρυχέοντα. αὐτίκα δ' ἠέρα σκέδασεν», ἤγουν τὸ πάχος τοῦ νέφους διέλυσε, «καὶ ἀπῶσεν ὀμίχλην, ἠέλιος δ' ἐπέλαμψε, μάχη δ' ἐτὶ πᾶσα φαάνθη». (v. 650) Καὶ ὅρα τὸ «πᾶσα». τὰ πρὸ τούτου γὰρ οὐ πᾶσα πεφώτιστο, καθὰ προδεδήλωται. (v. 646) Αἴθρην δὲ τὴν λάμψιν λέγει, τὴν εὐδίαν, τὴν αἰθρίαν, ἣν καὶ αἰθέρα εἰπεῖν ἔφθη ἐν τῷ «εὔκηλοι πολέμιζον ὑπ' αἰθέρι». Δῆλον δὲ ὡς ἐνταῦθα φανερῶς ἀντιδιεῖλεν ἀλλήλαις τὴν ἠέρα καὶ τὴν αἴθρην, εἰπὼν «ῥῦσαι ὑπ' ἠέρος, ποίησον δ' αἴθρην». τούτων δὲ τὴν μὲν ἠέρα ἐπὶ πλέον διασαφῶν ἔφη «ἠέρα μὲν σκέδασεν», ἤγουν ἀπῶσεν ὀμίχλην, τὴν δὲ αἴθρην ἀναπτύσσων εἶπεν «ἐν δὲ φάει καὶ ὄλεσσον», ὡς τῆς ἠέρος οἷα ὁμιχλώδους, μὴ ἐχούσης φάος, εἴγε κατέχει ὁμῶς ἄνδρας τε καὶ ἵππους, καὶ δι' εὐχῆς ἔστι ῥυσθῆναι ὑπ' ἠέρος υἷας Ἀχαιῶν. ἔτι δὲ καὶ ἄλλως, «ἠέλιος δ' ἐπέλαμψε», καὶ πάλιν «μάχη δ' ἐπὶ πᾶσα φαάνθη», ὡς τῆς ἠέρος μὴ τοιαύτης οὔσης. Γίνεται δὲ ἡ αἴθρη ἀπὸ τοῦ αἰθήρ αἰθέρος, ὡς γαστέρος γάστρη, πατέρος πάτρη. Τὸ δὲ «ὀφθαλμοῖσιν ἰδέσθαι» πρὸς διαστολὴν καὶ νῦν ἐρρέθη, ἐπεὶ καὶ κατὰ νοῦν ἡ αἴθρη ὁρᾶται κατὰ τὸ πέριξ οὐδαμοῦ πάσης γῆς νέφος ἦν, ἀλλ' ὀξεῖα ἡλίου, ὡς προερρέθη, αὐγή.

4.104 καὶ ἄλλως δὲ μᾶλλον ἁπλούστερον τὸ «δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι», ταὐτόν ἐστι τῷ δὸς ἡμῖν βλέπειν, ὡς νῦν γε ἀβλεπτοῦμεν διὰ τὸ τῆς ἠέρος, εἴτ' οὖν ὀμίχλης, παχύ. (v. 647) Τὸ δὲ «ἐν

φάει καὶ ὄλεσσον» παροιμιῶδες γέγονεν ἐπὶ τῶν εὐχομένων μὴ ἀκράτοις κακοῖς περιπεσεῖν, ἀλλὰ καὶ ἀγαθόν τι παραμεμίχθαι αὐτοῖς. [Οὕτω ἐν Ὀδυσσείᾳ ηὖκται τὸ «ἰδόντα με τὰ φίλτατα λίποι αἰών». οὕτω τις ὀλλύμενος ἐν ὕδατι εὔχεται κατὰ γῆν τοῦτο παθεῖν. οὕτω παράσιτος νῆστις θνῄσκων εὔξαιτ' ἂν κόρῳ διαρραγῆναι. ὁ τοιοῦτος νοῦς καὶ παροιμίαν προήγαγε τὸ «ἐξ ἀξίου ξύλου καὶ ἀπάγξασθαι», ἧς μέμνηται καὶ ὁ Κωμικός.] Τὸ δὲ «εὔαδεν» ἢ κατὰ διάλυσιν ἀπὸ τοῦ ἥδω γίνεται ὁμοίως τῷ ἧξεν, ἔαξε, ἥγη, ἐάγη, ἥλω, ἑάλω, ἢ κατὰ συστολὴν ὡς τὸ «ἅδε δ' Ἕκτορι μῦθος» καὶ Ἀττικῶς ἕαδε μετὰ δασείας, καὶ πλεονασμῷ τοῦ υ εὔαδεν Αἰολικῶς μετὰ ψιλῆς, ὡς τὸ ἔκηλος εὔκηλος, ὅρος οὗρος. (v. 651) Ὅτι τὸ εἰπεῖν καὶ αἰτιατικῇ συντάσσεται ὡς ἐν ἄλλοις, οὕτω καὶ ἐν τῷ «καὶ τότ' ἄρ Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον», ἤγουν προσεῖπε, προσεφώνησε, καὶ δοτικῇ ἐν τῷ «ὄτρυνον Ἀχιλῆϊ δαΐφρονι εἰπεῖν», ὅ ἐστιν ἀπαγγεῖλαι. (v. 657-63) Ὅτι τὸν Μενέλαον ἐκ τοῦ Πατρόκλου βραχὺ μεταστάντα λέοντι παραβάλλει, ὃς ἀπὸ μεσαύλοιο, φησίν, ἄπεισιν, «ἐπεὶ ἄρ κε», ἤγουν ἐπειδάν, «κάμῃσι κύνας τ' ἄνδρας τ' ἐρεθίζων, οἵ τέ μιν οὐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἑλέσθαι πάννυχοι ἐγρήσσοντες. ὃ δὲ κρειῶν ἐρατίζων ἰθύνει», ἢ μάλιστα «ἰθύει», «ἀλλ' οὔ τι πρήσσει, θαμέες γὰρ ἄκοντες ἀντίοι», ἢ ἀντίον, «ἀΐσσουσι θρασειάων ἀπὸ χειρῶν καιόμεναί τε δεταί», ὅ ἐστι λαμπάδες ἐκ δᾴδων ἢ ἁπλῶς ξύλων, ὡς προγέγραπται, καὶ ἑξῆς. ταὐτολογεῖ γὰρ συνήθως κἀνταῦθα ὁ ποιητὴς οἷα σχεδιάζων. (v. 665 s.) Ὅτι δὲ πρὸς τὸ ἀκούσιον τῆς ἀπελεύσεως εἴρηται ἡ παραβολή, δηλοῖ τὸ «ὣς ἀπὸ Πατρόκλου Μενέλαος ἤϊε πόλλ' ἀέκων», οἷα δεδιὼς περὶ Πατρόκλῳ.

4.105 (v. 670—2) Διὸ καὶ ἀπιὼν σκέψασθαι ποῦ ποτ' ἂν εἴη Ἀντίλοχος, καθὰ συνεβούλευσεν ὁ μέγας Αἴας, ἐπέτελλε Μηριόνῃ τε καὶ Αἰάντεσσι τοιαῦτα «νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο μνησάσθω, πᾶσι γὰρ ἐπίστατο μείλιχος εἶναι, ζωὸς ἐών. νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει», ἡ κατὰ θάνατον δηλαδή. (v. 671) Καὶ ὅρα τὸ «ἐπίστατο», δι' οὗ ἐκ μαθήσεως ὡς καὶ ἀλλαχοῦ τὰς ἀρετὰς ὁ ποιητὴς περιγίνεσθαι καὶ ἐπιστήμας τινὰς εἶναι παραδίδωσιν. Ἰστέον δὲ ὅτι ἐπελέξατο Αἴας τὸν Ἀντίλοχον ἄγγελον τῷ Ἀχιλλεῖ, οὐ μόνον ὡς ταχύν, ἵνα θᾶσσον ἰὼν εἴπῃ τῷ Ἀχιλλεῖ, ὅτι οἱ πολὺ φίλτατος, ὡς δεδήλωται, ὤλεθ' ἑταῖρος, ἀλλὰ καὶ ὡς ἑταῖρον ἐκείνῳ. ὁ γὰρ τοιοῦτος συμπαθήναιτο ἂν τῷ Ἀχιλλεῖ καὶ πενθοῦντα παραμυθήσεται. (v. 658) Ἰστέον δὲ ὅτι τοῦ «ἄνδρας ἐρεθίζων» οὐκ ἔστι καιριωτέραν λέξιν εἰπεῖν. δηλοῖ δὲ τὸ κινεῖν εἰς ἔριν θυμικήν. (v. 659) Τὸ δὲ «ἐξελέσθαι», ὅ ἐστιν ἐπιλέξασθαι, τὸ ἐν βουσὶ πῖαρ, λέοντος ἴδιον, ὡς πρὸ ὀλίγου μὲν ἐδηλώθη ἐν τῷ «βοῶν ἥ τις ἀρίστη», ἀλλαχοῦ δὲ ἐν τῷ «ὑπ' ἐκ μήλων αἱρεύμενοι». (v. 660) Ἐν δὲ τῷ «ὃ δὲ κρειῶν ἐρατίζων» ἐπαναληπτικὸν τὸ ἄρθρον ἐστίν, ἵνα λέγῃ, ὅτι ὁ λέων ἐπειδὰν κάμῃ κύνας καὶ ἄνδρας ἐρεθίζων κωλύοντας, αὐτὸς δὴ ποιεῖ τάδε. Τὸ δὲ «κρειῶν ἐρατίζων» περίφρασίς ἐστι τοῦ πεινῶν. (v. 661) Τὸ δὲ ἰθύνει ὁμώνυμος οὖσα λέξις πολλαχοῦ ἰθύειν λέγεται δίχα τοῦ ν . (v. 670) Ὁ δὲ ἐνηής ὁ αὐτὸς τῷ μειλιχίῳ ἐστίν, ὡς δηλοῖ ἐπαχθὲν τὸ «πᾶσι γὰρ ἐπίστατο μείλιχος εἶναι», ὃ μετὰ τῶν ἑξῆς οἶκτον κινεῖ ἐπὶ νεκρῷ. (v. 671) Ὅρα δὲ τὸ «ἐπίστατο» ἀκριβῶς φρασθέν. τὸ γὰρ ἠπίστατο οὐκ ἀναλόγως ἔχει καθὰ οὐδὲ τὸ ἤμελλεν οὐδὲ τὸ ἠβούλετο.

4.106 διέστρεψε δὲ τὰ τοιαῦτα ἡ χρῆσις τοῦ διηκόνησε. καὶ ἐκεῖ γὰρ τὸ μετὰ τὴν ἄρχουσαν κείμενον ἦτα παραδοξίαν ἔχει τινά. (v. 670) Τὸ δὲ «νῦν» ἐπίρρημα δὶς ἐν τοῖς ῥηθεῖσι λεχθέν, ἀνεπαχθῶς ταὐτολογεῖ καὶ αὐτό. (v. 670 s.) Ὅτι δὲ ἐνηὴς καὶ μείλιχος ὁ Πάτροκλος, καὶ ὅτι ὁ μείλιχος καὶ μειλίχιος λέγεται, καὶ ὅτι τὸ δειλός ἐπὶ οἴκτῳ ἐρρέθη, οὐ μὴν ἐπὶ ψόγῳ, δῆλόν ἐστιν. (v. 673—8) Ὅτι Μενέλαος ἰδέσθαι θέλων, εἴ που ζωὸς ἔτι ἐστὶν Ἀντίλοχος, ἀπέβη «πάντοσε παπταίνων ὥς τ' αἰετός, ὅν ῥά τέ φασιν ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν, ὅν τε καὶ ὑψόθ' ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε πτὼξ θάμνῳ ὑπ' ἀμφικόμῳ κατακείμενος, ἀλλά τ' ἐπ' αὐτῷ ἔσσυτο, καί τέ μιν ὦκα λαβὼν ἐξείλετο θυμόν». (v. 679—81) Εἶτα φιλητικῶς ἀποστρέφων τὴν ἀπόδοσιν καὶ πρὸς τὸν Μενέλαον, ἐξ οὗ καὶ τὴν ῥαψῳδίαν ταύτην οἱ Ὁμηρικοὶ ἐπέγραψαν ζηλωταί, φησὶν

«ὣς τότε σοί, Μενέλαε διοτρεφές, ὄσσε φαεινὼ πάντοσε δινείσθην, εἴ που Νέστορος υἱὸν ζώοντα ἴδοιο». (v. 702 s.) Καὶ μετ’ ὀλίγα δὲ ἀποφατικῶς ἀποστρέφει ἐν τῷ «οὐδ’ ἄρα σοί, Μενέλαε, ἤθελε θυμὸς τειρομένοις ἑτάροισιν ἀμύνειν», φιλῶν καθὰ τὸν Πάτροκλον, οὕτω καὶ τὸν Μενέλαον, ὡς καὶ αὐτὸν ὁμοίως ἐκείνῳ ἐνηῆ. Καὶ ὅρα καὶ τὴν ῥηθεῖσαν παραβολὴν οὐχ’ ἁρμόττουσαν οὐδ’ αὐτὴν ὅλην ὅλῳ τῷ ὑποκειμένῳ. οὐ γὰρ δήπου καθάπερ ὁ ἀετὸς θυμὸν ἐξείλετο πτωκός, ὃν εἶδεν, οὕτω καὶ Μενέλαος ἰδὼν ἀνελεῖ τὸν Ἀντίλοχον, ἀλλὰ τὸ «ὦκα λαβὼν ἐξείλετο θυμόν» πρὸς μόνην ἀναπλήρωσιν κεῖται ζωϊκῆς ἱστορίας, ὃ καὶ ἐν ἄλλοις γίγνεται. πάνυ δὲ τὴν ὀξυωπίαν τοῦ ζῴου ηὔξησεν, εἴτ’ οὖν τὸ ὀξυδερκές, ὃ ὑποβάλλει Ὅμηρος εἰπεῖν συνθέτως ἐκ τοῦ ὀξύτατον δέρκεσθαι, εἴγε καὶ ὑψόθι ὢν ὁρᾷ τὸν πτῶκα βραχύν τε ὄντα καὶ γεώδη τὴν χρόαν καὶ ὑπὸ θάμνῳ ἀμφικόμῳ κρυπτόμενον. (v. 674) Ἰστέον δὲ ὅτι τὸ «πάντοσε παπταίνων», ἑρμηνεία ἐστὶ τοῦ σκέπτεσθαι, ὅπερ πρὸ ὀλίγων ὁ Αἴας εἶπεν ἐν τῷ «σκέπτεο νῦν Μενέλαε». (v. 679 s.) Τοῦ δὲ πάντοσε παπταίνειν περιφραστικώτερον τὸ ὄσσε φαεινὼ πάντοσε δινεῖσθαι.

4.107 οὐκ ἂν γὰρ τοῦτο εἴη πόρρω τοῦ παπταίνειν. αὐτό τε γὰρ συνθέτως τὸ πάντῃ διαπετᾶν τὴν ὄψιν δηλοῖ, καὶ τὸ πάντοσε δινεῖν τὴν ὄψιν τὴν αὐτὴν σημασίαν ἔχει. (v. 674) Ὅρα δὲ καὶ τὸ «φασίν» οὐ διστακτικῶς ῥηθέν, ὡς ἐν ἄλλοις, ἀλλὰ τὴν ἐκ τῆς ἱστορίας πίστιν δηλοῦν, ὡς οὐκ αὐτοῦ δὴ τοῦ ποιητοῦ μόνου τοῦτο παραδιδόντος, ἀλλὰ πάντων, ὡς ἔπος εἰπεῖν, οὕτω λεγόντων. (v. 676) Τὸ δὲ «πτώξ» ἐνταῦθα μὲν ἐλλιπῶς ἐρρέθη, ἀλλαχοῦ δὲ κατὰ τὸ πλῆρες «πτῶκα λαγωόν» λέγει. οὕτω καὶ βροτὸν μέν τις εἰπὼν οὐκ ἐντελῶς ἔφη, πλῆρες δὲ τὸ «βροτὸς ἀνήρ», ὅ ἐστι φθαρτός, κατὰ τὸ «βροτοὶ ἄνδρες», καθὰ καὶ λαγωὸς πτώξ, ὁ ὑποπτήσσων καὶ δειλός. (v. 677) Ἀμφίκομος δὲ θάμνος ἡ δασεῖα ὡς πάντοθεν κομῶσα, ἥτις δι’ αὐτὸ καὶ θάμνος λέγεται ὡς ἀπὸ τοῦ θαμά ἐπιρρήματος. τὴν δὲ τοιαύτην οἱ ῥήτορες καὶ ἀμφιλαφῆ λέγουσιν, ὡς ἐν ἄλλοις εἴρηται. τὸ μέντοι «ἀμφιδάσεια» ἡ κόρυς ἀπεκληρώσατο. τὸ δὲ «κατακείμενος» ἐπίτασίς ἐστι τοῦ κείμενος, ὡς τοῦ πτωκὸς πάνυ διὰ δειλίαν συνάγοντος ἑαυτὸν καὶ συστέλλοντος. Τὸ δὲ «ἐπ’ αὐτῷ ἔσσυτο» ἀντὶ τοῦ κατ’ αὐτοῦ. ἐναντίωσιν γὰρ κἀνταῦθα ἡ κατα δηλοῖ πρόθεσις. (v. 681) Τὸ δὲ «ἴδοιο σύνηθες Ὁμήρῳ, παρ’ ᾧ καὶ τὸ ἴδωμαι καὶ τὸ ἴδηται καὶ τὰ τοιαῦτα. (v. 682 s.) Ὅτι στρατηγικὸν τὸ «τὸν δ’ ἐνόησεν ἐν μάχῃ θαρσύνονθ’ ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι». (v. 685 s.) Ὅτι τὸ «ἄγε δεῦρο διοτρεφές, ὄφρα πύθηαι λυγρῆς ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι», ὃ δή φησι Μενέλαος πρὸς Ἀντίλοχον, λεχθείη ἂν ἐπὶ δυσχεροῦς ἀκούσματος. (v. 687—9) Τὸ δὲ ἐφεξῆς, τὸ «ἤδη μέν σε καὶ αὐτὸν ὀΐομαι εἰσορόωντα γινώσκειν, ὅτι πῆμα θεὸς ἡμῖν κυλίνδει», ἄνωθεν δηλαδή ποθεν, νίκη δὲ τῶν δεῖνα, οἷον Τρώων, λεχθήσεταί ποτε ὑπὸ νικωμένου μέρους ἢ ἄλλως βλαπτομένου ὑπό τινων. Βαρυτόνως δὲ καὶ νῦν τὸ «κυλίνδει» ἀναγινώσκει Ἀρίσταρχος. ὅθεν καὶ τὸ κυλινδόμενος καὶ κυλίνδεται καὶ «μέγα κῦμα κυλίνδων». ἐκ τοιούτου δὲ ῥήματος καὶ τὸ σχῆμα ὁ κύλινδρος. (v. 689—90) Τὸ δὲ «πέφαται δ’ ἄριστος» ὁ δεῖνα, «μεγάλη δὲ ποθή» τοῖς ἑαυτοῦ τέτυκται, θάνατον ἀριστέως φράζει, ὁποῖός τις ἐνταῦθα ὁ Πάτροκλος.

4.108 αὐτὸ δὲ τὸ «πέφαται δ’ ἄριστος» γράφεται καὶ «πέφαται δ’ ὤριστος». Ἔνθα παρατηροῦσιν οἱ παλαιοί, ποσάκις εἰπὼν ὁ ποιητὴς περὶ ἀναιρέσεως Πατρόκλου οὐδαμοῦ ἐφάνη προσκορής. ἐν γὰρ τῷ π ἔφη «δούπησε δὲ πεσών, μέγα δ’ ἤκαχε λαὸν Ἀχαιῶν», καὶ «πολέας πέφνοντα Μενοιτίου ἄλκιμον υἱὸν Ἕκτωρ σχεδὸν ἔγχεϊ θυμὸν ἀπηῦρα». ἐν δὲ τῇ ῥῶ ταύτῃ ῥαψῳδίᾳ «τοίου θεράπων πέφαται ἀνέρος, ὃς μέγ’ ἄριστος», καὶ «ἑταῖρον ἔπεφνεν ἐνηέα τε κρατερόν τε», καὶ «ὅτι οἱ φίλος ὤλετο καὶ ἑταῖρος», καὶ μετ’ ὀλίγα «καί οἱ πολὺ φίλτατος ὤλετο ἑταῖρος», καὶ «πᾶσιν ἠπίστατο μείλιχος εἶναι, νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει», καὶ «κεῖται Πάτροκλος», καὶ τὰ ἑξῆς. Σημείωσαι οὖν καὶ τὸ ἐν τούτοις πολυειδὲς τοῦ ποιητοῦ καὶ διὰ τοῦτο ἀπροσκορές. ἔθος δὲ ὑψοῦν τοὺς κατοιχομένους ἐπαίνοις καὶ πέρα πολλάκις τοῦ ἀληθοῦς.

Μενέλαος οὖν ἄρτι τὸν Πάτροκλον ἄριστον Ἀχαιῶν λέγει ἐν τῷ «πέφαται ἄριστος Ἀχαιῶν Πάτροκλος». Ἀχιλλεὺς δὲ Μυρμιδόνων ἄριστον ἐρεῖ αὐτόν. καὶ ἀληθεύει μὲν αὐτῶν οὐδέτερος. οὔτε γὰρ Ἀχαιῶν ἁπλῶς ἄριστος ὁ Πάτροκλος, ἀλλ' οὐδὲ Μυρμιδόνων ἄριστος, εἴγε Μυρμιδὼν καὶ ὁ Ἀχιλλεύς. ἀναιδέστερον δὲ ὅμως τὸ τοῦ Μενελάου ψεῦσμα. εἰ δὲ Μυρμιδόνας νοήσομεν τὴν τῶν Μυρμιδόνων στρατιάν, ἤτοι τὸν δῆμον, καὶ Ἀχαιοὺς μόνους τοὺς Μυρμιδόνας κατὰ τὸ «Μυρμιδόνες δὲ καλεῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί», ἀληθεύουσι καὶ ὁ Μενέλαος καὶ ὁ Ἀχιλλεύς. τῆς γὰρ τῶν Μυρμιδόνων στρατιᾶς δοκεῖ ἄριστος εἶναι ὁ Πάτροκλος. Ὅρα δὲ ὅτι «πέφανται» μὲν μετὰ τοῦ ν τὸ πεφανέρωται ἀπὸ τοῦ φαίνω, «πέφαται» δὲ δίχα τοῦ νῦ τὸ πεφόνευται ἀπὸ τοῦ φάω φῶ, ἐξ οὗ τὸ φνῶ καὶ πέφνω, ἢ καὶ ἀπὸ τοῦ φάζω, ἀφ' οὗ καὶ τὸ σφάζειν προσλήψει τοῦ ς . [Ἰστέον δὲ ὅτι φῶ οὐ μόνον τὸ λέγω καὶ τὸ φαίνω καὶ τὸ φονεύω, ἀλλὰ καί τι εἶδος πυρώσεως.

4.109 καὶ ἐκ τοῦ τοιούτου παράγωγον εἶναι δοκεῖ τὸ φῴζω, ἐξ οὗ παρὰ τῷ Κωμικῷ φῷδες τὰ ἀποκαύματα, καὶ παρὰ τῷ Ἀθηναίῳ δὲ τὸ «ἤσθιον πεφωσμένας ἰσχάδας».] (v. 694) Ὅτι στυγεῖν οὐ μόνον ἐπὶ τοῦ μισεῖν καὶ ἐπὶ τοῦ φρίσσειν, ὡς τὸ «κατὰ δ' ἔστυγεν αὐτήν», ὅθεν καὶ ὁ στυγητός καὶ ὁ στυγερός, ὡς τὸ «στυγέει δὲ καὶ ἄλλος», ἀλλὰ καὶ ἐπὶ τοῦ λυπεῖσθαι, ἀφ' οὗ πλεονασμῷ τοῦ νῦ καὶ παραγωγῇ καὶ τὸ στυγνάζειν καὶ ὁ στυγνός. Ἀντίλοχος οὖν μαθὼν θανεῖν τὸν Πάτροκλον «κατέστυγε μῦθον ἀκούσας», ὅ ἐστιν ἐστύγνασεν. (v. 695 s.) Εἶτα ἐπάγει ὁ ποιητὴς ἀκολούθως, ὅσα τις ἀγαθὸς ἑταῖρος πάθοι ἄν, εἰ μάθοι ἑταίρου φίλου θάνατον, καί φησι «δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε, τὼ δέ οἱ ὄσσε δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή». Καὶ ὅρα ὅπως κατὰ τοὺς παλαιοὺς πανταχόθεν ὑπέδειξε τὸ πολὺ τοῦ πένθους, ἐκ τῆς στυγνότητος, ἐκ τῶν δακρύων, ἐκ τῆς σιωπῆς, μάλιστα δ' ἐκ τοῦ μὴ πυθέσθαι τὰ περὶ τοῦ θανάτου. καὶ ἔστι τῷ Ἀντιλόχῳ, φασίν, οἰκτροτέρα λόγου παντὸς ἡ σιγή. οὐδὲ γὰρ ἔσχε τὸν τρόπον τοῦ θανάτου ἐρωτῆσαι οἷα συγκεχυμένος τῷ πένθει καὶ τὴν φωνὴν ἐπισχεθείς. ὅτι δὲ ἡ ἀμφασία, ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη, στομφασμοῦ χάριν προσέλαβε τὸ ἀμετάβολον, δῆλον.

4.110 ἄλλως γὰρ εἶχεν ἐκταθῆναι εἰς ἀπαρτισμὸν δακτύλου ἡ στέρησις, ὡς καὶ ἐν τῷ ἀθάνατος καὶ ἀκάματος γέγονε. Τὸ δὲ «ἐπέων» περιττῶς κεῖται. ἤρκει γὰρ σιωπὴν καὶ αὐτοῦ δίχα ἡ ἀμφασία δηλῶσαι. (v. 698 s.) Ὅτι Ἀντίλοχος θέων εἰς Ἀχιλλέα τὰ οἰκεῖα τεύχεα ἔδωκεν ἀμύμονι Λαοδόκῳ ἑταίρῳ, οὐ μόνον ἵνα ἐλαφρῶς ἔχῃ θέειν, ὡς καὶ Ὀδυσσεὺς ἐν τῇ βῆτα ῥαψῳδίᾳ τὴν χλαῖναν ἀποβαλών, ἀλλὰ καὶ ἵνα ἰνδαλλόμενος δοκῇ παραμένειν τῷ πολέμῳ, καθά φασιν οἱ παλαιοί. ἐνταῦθα δὲ Ὅμηρος καὶ περιφράζων ἡνίοχόν φησιν «ὅς οἱ σχεδὸν ἔστρεφε μώνυχας ἵππους». (v. 700 s.) Ὅτι ἐπὶ τοῦ κατὰ σπουδὴν ἀγγελοῦντος σκυθρωπὰ ῥηθήσεται τὸ «τὸν μὲν δακρυχέοντα πόδες φέρον, κακὸν ἔπος ἀγγελέοντα». ἐκ δὲ τοῦ «κακὸν ἔπος ἀγγελέοντα» σύγκειται παρὰ τοῖς ὕστερον ὁ κακάγγελος. εἰς δὲ τὸ «πόδες φέρον» φασὶ καὶ νῦν οἱ παλαιοί, ὡς ἔθος Ὁμήρῳ οὕτω φράζειν ἐπὶ τῶν κατὰ σπουδὴν θεόντων, ὡς μὴ κινούντων τοὺς πόδας, ἀλλὰ φερομένων ὑπ' αὐτῶν ὡς οἷα ὑπό τινων πτερῶν. ἕτεροι δὲ ἀστείως τοῦτο ἐπὶ τοῦ Ἀντιλόχου ἐνόησαν ἀντὶ τοῦ ἀράμενον αὐτὸν τὸ πένθος ᾤχετο. εἰκότως δέ, φασίν, οὐκ ἐφ' ἅρματος ἄπεισιν Ἀντίλοχος, περὶ οὗ ταῦτα λέγεται. ταπεινὰ γὰρ ἀγγελεῖ. εἰ δὲ νομίζουσι τῷ γέροντι πατρὶ Νέστορι καταλιπεῖν αὐτό, εἴ που φεύγειν δεήσειε, καὶ ἄλλως δὲ, εἰ τὰ τεύχεα πρὸς τὸ δοκεῖν παρεῖναι τῇ μάχῃ ἀφῆκε, πολλῷ πλέον τὸ ἅρμα. (v. 705) Ὅτι ἀνεῖναι κἀνταῦθα τὸ ἀναπεῖσαι. φησὶ γὰρ ὅτι Ἀντιλόχου ἀπελθόντος αὐτὸς μὲν ὁ Μενέλαος ἀμύνειν τειρομένοις τοῖς Πυλίοις οὐκ ἔσχεν, ἔσπευδε γὰρ ἐπὶ Πατρόκλῳ βῆναι, τὸν δὲ Νεστορίδην Θρασυμήδην αὐτοῖς ἀνῆκεν. οὐ γὰρ ἦν στρατηγικὸν ἀνάρχους ἀφεῖναι τοὺς Πυλίους τῇ πρὸς Ἀχιλλέα τοῦ Ἀντιλόχου ἀποστολῇ. (v. 703 s.) Ἐνταῦθα δὲ καὶ ὡς λίαν χρήσιμον εἰς μάχην τὸν Ἀντίλοχον ἱστορῶν φησιν «ἀπῆλθεν, μεγάλη δὲ ποθὴ Πυλίοισιν ἐτύχθη», ἐκδραμὼν δηλαδὴ εἰς τὸν Ἀχιλλέα. αἰτία δὲ τοῦ τοιούτου πόθου, ὅτι ἐτείροντο μαχόμενοι, ὡς ἐρρέθη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4.111 (v. 710 s.) Ὅτι προαναφωνῶν καὶ νῦν ὁ ποιητὴς ἐκτίθεται ὡς οὐκ ἂν ὁ Ἀχιλλεὺς νῦν ἔλθοι «μάλα περ κεχολωμένος Ἕκτορι δίῳ. οὐ γάρ πως ἄν», φησί, «γυμνὸς ἐὼν Τρώεσσι μάχοιτο». Μενέλαος δὲ τοῦτο λέγει πρὸς Αἴαντα, τὸν ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ τῶν ἄλλων καὶ ἀνδρίᾳ καὶ συνέσει ὑπερφερῆ. (v. 713) Οὗ καὶ εἰπόντος πρὸ ὀλίγων τὸ «αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην» καὶ ἑξῆς, φυλάξας νῦν αὐτὸ ἀπαραποίητον ὁ Μενέλαος, παραφράζει μόνον τὸν ἐκεῖ τρίτον στίχον, ἤγουν τὸ «ὅπως χάρμα φίλοις ἑτάροισι γενώμεθα νοστήσαντες», καί φησιν· ὅπως «ἐξ ἐνοπῆς θάνατον καὶ κῆρα φύγωμεν». Καὶ ὅρα διὰ τὶ ὁ ποιητὴς πλάττει τοὺς Τρῶας ἄχρι τοῦ ναυστάθμου νικῶντας. ἐπεὶ δηλονότι οὐκ ἦν τῆς πεδιάδος γενέσθαι τὸν Ἀχιλλέα γυμνὸν ὅπλων ὄντα, ἐξ οὗ ἐλπὶς ὕπεισι τῆς ἐν τοῖς ἑξῆς ὁπλοποιΐας, δι' ἧς ἡφαιστότευκτον ἕξει πανοπλίαν ὁ Ἀχιλλεύς. πρὸς μέντοι ταῖς ναυσὶ πρὸ τῆς τοιαύτης ὁπλοποιΐας ἐπιφανεὶς μόνον καὶ οὐ πέμψας ἴνδαλμα ἑαυτοῦ ὡς ἐπὶ Πατρόκλου γέγονεν, ἀλλ' ἑαυτὸν ἐκφήνας, τρέψεται τοὺς Τρῶας εἰς φυγήν. (v. 716) Ὅτι ἔπαινος ἀγαθῆς συμβουλῆς τὸ «πάντα κατ' αἶσαν ἔειπες ἀγακλεές», ὅπερ Αἴας φησὶ πρὸς Μενέλαον. (v. 717 s.) Ὅτι Μενέλαος καὶ Μηριόνης ὑποδύνετε, μάλ' ὦκα νεκρὸν ἀείραντες, ἔφερον ἐκ πόνου, ὃ κατωτέρω ἄλλως φράζων φησὶ «νέκυν φέρον ἐκ πολέμοιο», εἰς ταὐτὸν ἄγων πόνον καὶ πόλεμον. (v. 718—21) Αἴαντος δὲ καὶ τοῦτο συμβουλή, ὃς ἑαυτῷ καὶ τῷ Λοκρῷ ἐγκλίνων τὸ πᾶν τῆς μάχης φησίν, ὡς ὄπισθεν ἡμεῖς «μαχησόμεθα Τρωσί τε καὶ Ἕκτορι δίῳ, ἶσον θυμὸν ἔχοντες ὁμώνυμοι, οἳ τὸ πάρος περ μίμνομεν ὀξὺν Ἄρηα παρ' ἀλλήλοισι μένοντες». ὃ διασαφητικόν ἐστι τοῦ «ἶσον θυμὸν ἔχειν», ὅπερ ἐστὶ περίφρασις τοῦ ἰσοψυχεῖν. (v. 721) Καὶ ὅρα καὶ νῦν τὸ «παρ' ἀλλήλοισιν» ἀντὶ τοῦ ἐγγὺς ἀλλήλων, ὅθεν καὶ τὸ παραλληλίζειν, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη. ἐκ δὲ τούτων, ὡς καὶ ἐξ ἄλλων, δῆλον ὡς οἱ μικροί τε κατὰ τὴν τραγῳδίαν μεγάλων χωρὶς σφαλεροὶ πολεμεῖν εἰσι καὶ μέγας δὲ ὀρθοῖτο ἂν ὑπὸ σμικροτέρων, ὅπερ ἐπὶ τῶν Αἰάντων γίνεται, ὁμοῦ ἱσταμένων καὶ συνεφαπτομένων μάχης. (v. 720) Ὅρα δὲ καὶ τὸ περὶ αὐτῶν φιλοσόφως λεχθέν, ὡς ἰσότητα κατὰ ψυχὴν ἔχοντες ὁμοιότητα εἶχον κατὰ τοὔνομα, καὶ ὅτι αὐτὸς ὁ Αἴας παρασημειοῦται οἷόν τι εἰς φιλίαν ἦν τὸ ἐν αὐτοῖς ὁμώνυμον, οἱονεὶ λέγων ὡς οὐ μόνον διὰ ἰσοψυχίαν ἀλλὰ καὶ διὰ ὁμωνυμίαν κοινωνοῦμεν καὶ τοῖς ἔργοις ἀγαπαζόμενοι.

4.112 ἔχει γάρ τι ἐφολκὸν εἰς τὸ φιλεῖν καὶ ἡ ὁμωνυμία, καὶ μάλιστα εἰ καὶ κατὰ ψυχὴν ἰσότης εἴη. διὸ καὶ ὁ μέγας Ἀλέξανδρος ἤθελέ τινα φαῦλον μὲν ὄντα, ὁμωνυμοῦντα δ' αὐτῷ, μὴ κοινωνεῖν ὀνόματος τοῦ αὐτοῦ, εἰ μὴ καὶ ὁμοιότροπος γένηται. Σημείωσαι δὲ τὸ «ἶσον θυμὸν ἔχοντες» ὡς λίαν χρήσιμον εἰς τὸ «ἴσας ὑσμίνη κεφαλὰς ἔχον». (v. 718) Τὸ δὲ «νεκρὸν ἀείραντες» ὑποκαταβὰς νέκυν ἄραντες λέγει. (v. 722) Τὸ δ' αὐτὸ καὶ ἀπὸ χθονὸς ἀγκάζεσθαι, ὅ ἐστιν ἀγκαλίζεσθαι. τετραχῶς οὖν ἐν τοῖς τόποις τούτοις φράζει «νεκρὸν ἀείραντες», «νεκρὸν ἀπὸ χθονὸς ἀγκάζοντο», «νέκυν ἄραντες», καὶ «νέκυν φέρον». (v. 721) Ὀξὺν δὲ Ἄρεα ἢ τὸν τομὸν σίδηρον λέγει, ἢ μάλιστα τὸν σύντονον πόλεμον. (v. 722—3) Ἰστέον δὲ ὅτι τὸ ἀπὸ χθονὸς ἀγκάζεσθαι ἀρχὴ τοῦ ἀείρειν ἐστίν. ὁ γὰρ οὕτως ἀγκαζόμενος εἶτα ἀείρει. διὸ οὐκ ἠρκέσθη ὁ ποιητὴς εἰπὼν «ἀπὸ χθονὸς ἀγκάζοντο», ἀλλ' ἐπήγαγεν «ὕψι μάλα μεγάλως». καὶ ἔστιν αἴρειν καὶ ἀείρειν τὸ ἀπὸ χθονὸς ἀγκάζεσθαι ὕψι μάλα μεγάλως. μνηστέον δὲ ὅτι καὶ ἐκ τοῦ ῥηθέντος ἀγκάζω ἀγκάσω ῥήματος τὸ ἀγκάς ἐπίρρημα γίνεται. (v. 723 s.) Ὅτι καθὰ πρὸ τούτων Τρῶες μέγα ἐβόησαν, ἐφ' οἷς Ἰδομενεὺς οὐκ ἐπιτυχῶς ἔβαλεν Ἕκτορα, οὕτω καὶ ὧδε «ἴαχε λαὸς ὄπισθε Τρωϊκός», ἀρθέντος τοῦ νεκροῦ. ἄλλως μέντοι ἐνταῦθα βοῶσι, καὶ ἄλλως ἐκεῖ. νῦν μὲν γὰρ ἐπὶ ἐκφοβήσει καὶ κατ' ἔκπληξιν δὲ ἴσως ἰάχουσιν ὁ λαός, ἐκεῖ δὲ ἐπὶ μυκτηρισμῷ. (v. 730—4) Ὅτι τέως μὲν ὁμιλαδὸν Τρῶες «αἰὲν ἕποντο νύσσοντες ξίφεσί τε καὶ ἔγχεσι» τοὺς περὶ τὸν νεκρόν, ὅτε ἤρθη, «ἀλλ' ὅτε δὴ Αἴαντε μεταστρεφθέντε κατ' αὐτοὺς σταίησαν, τῶν δὲ τρέπετο χρώς, οὐδέ τις ἔτλη πρόσσω ἀΐξας περὶ νεκροῦ δηρίσασθαι. (v. 724—9) Διὸ κύνεσι φθάσας τοὺς Τρῶας παραβάλλει, «οἳ ἐπὶ κάπρῳ βλημένῳ ἀΐξωσι πρὸ κούρων θηρητήρων. ἕως μὲν γάρ τε

θέουσι διαρραῖσαι μεμαῶτες· ἀλλ' ὅτε δὴ ἐν τοῖσιν ἑλίξεται ἀλκὶ πεποιθώς, ἄψ τ' ἀνεχώρησαν διά τ' ἔτρεσαν ἄλλυδις ἄλλος». καὶ δῆλον ἐκ τούτων, ὡς ὀπίστατοι τῶν Ἀχαιῶν οἱ Αἴαντες μάχονται.

4.113 διὸ καὶ αὐτοὶ τὴν ἅπασαν μάχην ὑποδέχονται. Ὅρα δὲ ὅτι κάπρῳ ἑνὶ δι' ὁμοψυχίαν τοὺς δύο Αἴαντας εἴκασεν, ἵνα ὥσπερ ἶσον θυμὸν εἶχον καὶ ὁμωνυμίαν, ὅπερ ὁ μέγας Αἴας παρεσημήνατο, οὕτω καὶ τῇ παραβολῇ ὡς εἷς ἄμφω παραληφθῶσιν. Ἰστέον δὲ καὶ ὡς ἡ ῥηθεῖσα παραβολὴ διόλου τοῖς προκειμένοις ἥρμοσται δίχα τοῦ βεβλῆσθαι τὸν κάπρον. οὐ γὰρ βέβληνται οἱ Αἴαντες ὡς ὁ παραβολικὸς οὗτος κάπρος, ἀλλὰ μόνον ἀγωνιῶσιν ἐναπειλημμένοι μεγάλῳ κακῷ. Σημείωσαι δὲ καὶ ὅτι τὸ χωρίον τοῦτο καθὰ καὶ ἄλλα τινὰ παραβολαῖς ὁ ποιητὴς κατεπύκνωσε. (v. 737—9) Καὶ νῦν μὲν τῇ ἀπὸ τοῦ κάπρου ἐχρήσατο παραβολῇ, παρακατιὼν δὲ τὸν ὀρυγμαδὸν τῶν ἵππων καὶ ἀνδρῶν καὶ τὴν ἀγριότητα τῆς μάχης πυρὶ εἰκάσει πόλιν φλέγοντι. (v. 742—5) Εὐθὺς δὲ τὸ φερέπονον τοῦ Μενελάου καὶ τοῦ Μηριόνου, οἳ τὸν νεκρὸν ἔφερον, ἡμιόνων παραβαλεῖ ἑλκυσμῷ, οἳ ἐξ ὄρους μέγα ξύλον ἕλκουσι κάμνοντες. (v. 747—52) Ἐφεξῆς αὐτίκα τοὺς Αἴαντας εἰς πρῶνα εἰκάσει μακρόν, ᾧ προσπελάζοντα ῥεύματα ποταμῶν ἀνείργεται. (v. 755) Ὕστερον δὲ τοὺς Τρῶας νέφει ψαρῶν ἢ κολοιῶν ἐρεῖ ἐοικέναι. καὶ οὕτω παραβολαῖς τὰ ἐνταῦθα μεστώσας πολλὴν ἐνάργειαν πεποίηκεν, οἰκείως πάντα παραβαλών, τοὺς μὲν Αἴαντας εἰκάσας κάπρῳ μὲν διὰ τὸ ὁρμητικὸν καὶ θρασύ, ναὶ μὴν καὶ γενναῖον, πρωνὶ δὲ ὄρους διὰ τὸ στερρὸν ἐν σταδαίᾳ μάχῃ καὶ μόνιμον καὶ δυσμετακίνητον καὶ διότι τοὺς Τρῶας θυμῷ, τραγικῶς εἰπεῖν, ῥέοντας ὀπίσω πλάζουσι, τοὺς δὲ φορεῖς τοῦ νεκροῦ ἡμιόνοις ἐξομοιώσας διὰ τὸ ταλαεργόν, ἔνθα καὶ τὸν φερόμενον μεγάλῳ παρείκασε ξύλῳ διὰ τὸ μέγα καὶ ἄψυχον, τοὺς δὲ Τρῶας κυσὶ μὲν διὰ θρασύτητα, ὕδατι δὲ διὰ τὸ ὑγρὸν καὶ εὐκίνητον, ψαρῶν δὲ νέφει καὶ κολοιῶν τοὺς Ἀχαιοὺς διὰ τὸ δειλὸν καὶ οὕτω ταχὺ καὶ οἷον πτηνὸν ἄρτι πρὸς τὸ φεύγειν, ὁμοῦ δὲ τοὺς Τρῶας καὶ τοὺς Ἕλληνας ὡς πάνυ ἐναγωνίους τοῖς ἐν ἐμπρησμῷ θορυβουμένοις παραβαλών.

4.114 καὶ ταῦτα μὲν τοιαῦτα. (v. 728) Ἐν δὲ τῇ τοῦ κάπρου παραβολῇ ὅρα καὶ τὸ «ἀλκὶ πεποιθώς», ὡς μὴ μόνον ἐπὶ λέοντος ἁρμόττον λέγεσθαι. (v. 727) Τὸ δὲ «ἕως μὲν γάρ» ἀντὶ τοῦ τέως εἴρηται, ὥς που καὶ ἐν τοῖς πρὸ τούτων. τὸ δ' αὐτὸ κατωτέρω καὶ εἵως φησὶ πλεονασμῷ τοῦ ι , εἰπὼν ἐν τῇ ἀποδόσει «ὣς Τρῶες εἵως μὲν ὁμιλαδὸν ἕποντο». ποιεῖ δὲ οὕτω καὶ ἐν τῇ Ὀδυσσείᾳ. (v. 726) Τὸ δὲ «βλημένῳ» δύναται μὲν καὶ κυριολεκτεῖσθαι, εἰκὸς δὲ καὶ γενικῶς ῥηθῆναι ἀντὶ τοῦ ἁπλῶς πεπληγμένῳ, τυχὸν μὲν ἐγγύθεν τυχὸν δὲ πόρρωθεν. (v. 729) Τὸ δὲ «διά τ' ἔτρεσαν» ἐπίτασιν ἔχει φόβου πλείονος ἤπερ τὸ «ἂψ ἀνεχώρησαν», ἵνα εἴπῃ ὡς οὐ μόνον ἁπλῶς ἀνεχώρησαν, ἀλλὰ καὶ ἔτρεσαν, ἤγουν τρέμοντες ἔφυγον. (v. 733) Τὸ δὲ «τρέπετο χρώς» ἐκ τῶν ἔξω εἰς τὸ ἔσω τῆς ψυχῆς πάθος τρέπει τὸν ἀκροατήν. οὗ γὰρ ὁ χρὼς δεδιότος τρέπεται, πολλῷ χείρω τὰ ἔνδον. [Διὸ καὶ ἐπάγει ὅτι «οὔ τις ἔτλη πρόσσω ἀΐξας περὶ νεκροῦ μάχεσθαι», οὐ διὰ τὸ τραπῆναι τὸν χρῶτα δηλαδὴ τὸν ἐξ ἐπιπολῆς, ἀλλὰ διότι τὸ τοῦ θάρσους θερμὸν ἔνδον ἐσβέσθη τῇ ἐκ φόβου ψυχρότητι. ἔχει δέ τι καὶ ἀντιθετικὸν τὸ μεταστρεφθέντων τῶν Αἰάντων ἐτρέπετο τοῖς πολεμίοις ὁ χρώς.] (v. 736 s.) Ὅτι καθά που χόλον ἄγριον εἶπεν, οὕτω καὶ νῦν πόλεμον ἐν τῷ «ἐπὶ δὲ πτόλεμος τέτατό σφιν ἄγριος». ἀγριοποιὰ γὰρ ἄμφω ταῦτα καὶ θηριώδη. λέγοιτο δ' ἄν ποτε καὶ πῦρ ἄγριον, ὅτε δεινὰ ποιεῖ. (v. 736—9) Διὸ εὐθὺς ὁ ποιητὴς μετὰ τὸ πόλεμος ἄγριος παραβολὴν ἀπὸ πυρὸς ἐπιφέρει διασαφητικὴν τῆς κατὰ πόλεμον ἀγριότητος, καὶ τὴν ἐν ἄλλοις καυστειρὰν μάχην ἐπεξεργαζόμενος ἄρτι διὰ παραβολῆς φησι «πόλεμος τέτατο ἄγριος ἠΰτε πῦρ, τό τε», ἤγουν ὃ δή, «ἐπεσσύμενον πόλιν ἀνδρῶν ὄρμενον ἐξαίφνης φλεγέθει, μινύθουσι δὲ οἶκοι ἐν σέλαϊ μεγάλῳ, τὸ δ' ἐπιβρέμει ἲς ἀνέμοιο», τουτέστι φυσᾷ σὺν βρόμῳ ἢ πρὸς βρόμον ὑποκινεῖ πνέων. Ἔστι δὲ ἡ παραβολὴ πρὸς τὸν τῆς μάχης ἦχον. (v. 740 s.) Ἐπάγει γὰρ «οὕτως ἵππων τε καὶ ἀνδρῶν αἰχμητάων ἀζηχὴς ὀρυμαγδὸς ἐπήϊεν», ὅ ἐστιν

ἤρχετο. διὸ καὶ ἄνεμον ἐνέπλεξε τῇ παραβολῇ βρέμοντα. Ὅρα δὲ ὅτι πάνυ συντόμως ἔφρασε πόλεως ἐμπρησμόν, ὡς ἐν ἄλλοις ἅλωσιν πόλεως.

4.115 θέλει γὰρ ἐπιτρέχειν τὰ τοιαῦτα καὶ μὴ ἀκαίροις ἐκφράσεσιν ἐμπλατύνεσθαι, οἷα εἰδώς, ὡς ἡ ἐν τοῖς τοιούτοις στενολεσχία οὐ μόνον σεμνοτέρα, ἀλλὰ καὶ ἄλλως ἐπιτυχεστέρα, καὶ ὡς οἷον εἰπεῖν νοερωτέρα. (v. 738) Τὸ δὲ «ὄρμενον ἐξαίφνης» πρὸς διαστολὴν ἔφη ἑτεροίου πυρὸς μὴ φίλου αὐτῷ, ὅπερ οὐκ ἐξαίφνης ὄρνυται ἀλλ' ἐξ ἐπιβουλῆς, ὁποῖον καὶ πρὸ τούτων τὸ πόλιν ἀμαθῦνον, καὶ ἐν τοῖς ἑξῆς δὲ τὸ ταῖς ναυσὶν ἐμβληθὲν πρὸς Ἕκτορος, οὗ λόγος ἦν τὸ «μνημοσύνη πυρὸς γενέσθω». Τὸ δὲ «μινύθουσι δὲ οἶκοι» λίαν πολὺν ἔχει νοῦν. ἐν ὀλιγίστῳ γὰρ τὸ πᾶν φράζει τοῦ κατὰ πόλιν ἐμπρησμοῦ, διαφθείροντος τὰ παραπίπτοντα. πάθους δὲ καὶ νῦν δηλωτικὸν τὸ μινύθειν. (v. 739) Σέλας δὲ νῦν αὐτό, φασίν, εἶπε τὸ πῦρ ἐκ τοῦ παρακολουθοῦντος. ἄνεμον δὲ βρέμοντα παρέλαβεν, ἐπεὶ τὸ μέγα κακὸν αὐτὸς τῷ πυρὶ συγκατεργάζεται, καὶ οὐκ ἐν πόλει μόνον, ἀλλὰ καὶ ἐν ὄρους ὕλῃ, τὴν φλόγα εἰλυφάζων καὶ στρέφων πανταχοῦ. (v. 741) Τὸ δὲ ἀζηχές ὅθεν μὲν γίνεται, προείρηται. ποιητικὴ δέ ἐστιν ἡ λέξις κειμένη καὶ ἐν Ὀδυσσείᾳ, καὶ τίθεται ἐπί τε ἤχων ὡς καὶ ἐνταῦθα καὶ ἐν τῷ «ἀζηχὲς μεμακυῖαι», καὶ ἐπὶ πράξεων δέ τινων, ὡς δηλοῖ τὸ ἀζηχὲς φαγεῖν καὶ πιεῖν. (v. 742—6) Ὅτι τούς, ὡς ἐρρέθη, ταλαιπώρως καὶ ἐπιπόνως ἐπὶ Πατρόκλῳ νεκροφοροῦντας ἡμιόνοις εἰκάζει, οἱ κρατερὸν μένος ἀμφιβαλόντες ἕλκουσιν οὐκ ἐκ πεδιάδος, ἀλλ' ἐξ ὄρεος κατὰ παιπαλόεσσαν ἀταρπόν, οὐ βραχύ τι ξύλον, ἀλλὰ ἢ δοκόν, φησίν, ἠὲ δόρυ μέγα νήϊον, οὗ ὁ ἑλκυσμὸς ἀλλαχοῦ κολοσυρτὸν ἐποίει «ἐν δέ τε θυμὸς τείρεθ' ὁμοῦ καμάτῳ τε καὶ ἱδρῷ σπευδόντεσσι». καὶ αὐτοὶ μὲν οὕτω. (v. 747—51) Οἱ δὲ Αἴαντες ὄπισθεν ἰσχανέτην, ἤγουν εἶχον καὶ ἐκώλυον, τοὺς ἐπερχομένους Τρῶας τῷ νεκρῷ, «ὥς τε πρών», ὁ καὶ προρρηθείς, «ἰσχάνει ὕδωρ ὑλήεις πεδίοιο διαπρύσιον τετυχηκώς», ὁποῖοι πολλοὶ πρῶνες ἔτυχον ἐν μέσῳ πεδιάδων εἶναι, καθὰ καὶ ὁ παραβολικὸς οὗτος, οὐ σκόπελός τις ὢν ἢ σκοπελώδης, ἀλλ' εἰς μῆκος ἐκτεταμένος πολύ, «ὅς τε καὶ ἰφθίμων ποταμῶν ἀλεγεινὰ ῥέεθρα ἴσχει, ἄφαρ δέ τε πᾶσι ῥόον πεδίονδε τίθησι πλάζων οὐδέ τι μιν σθένεϊ ῥηγνῦσι ῥέοντες».

4.116 καὶ ἔστιν ἡ παραβολὴ αὕτη πρὸς τὴν ἀνακοπὴν τῶν ἐπιρρεόντων Τρώων. (v. 752 s.) Διὸ ἀποδιδοὺς ἐπάγει «ὣς αἰεὶ Αἴαντε μάχην ἀνέεργον ὀπίσω Τρώων». Ἰστέον δὲ ὅτι ἐπὶ τοιαύτῃ πράξει οὐκ ἔστι σεμνοτέραν εὑρέσθαι παραβολήν. (v. 742) Τῶν δὲ κατὰ μέρος ἐν τούτοις τὸ μὲν «ἀμφιβαλόντες μένος» ἀντὶ τοῦ συμβαλόντες καὶ εἰς ἓν συναγαγόντες, ὃ δὴ καὶ ἐπὶ βοῶν ἐστι καὶ λοιπῶν ζῴων συνεζευγμένων. (v. 743) Ἀταρπὸς δὲ πανταχοῦ τῆς ποιήσεως ἡ καὶ ἀτραπὸς καὶ ἀταρπητὸς καὶ ἀτραπιτός, στενὴ ὁδός, μὴ ἔχουσά τινας ἐκτροπὰς ὧδε καὶ ἐκεῖ. (v. 744) Δοκὸν δὲ καὶ δόρυ μέγα νήϊον παρέλαβεν ἐνταῦθα, ὡς τοιούτων ἐπὶ πολὺ ξύλων διὰ φροντίδος ὄντων τοῖς κατὰ βίον, δοκοῦ μὲν εἰς οἴκου σύστασιν, νηΐου δὲ πρὸς πλοίου σύμπηξιν, ὃ δὴ καὶ αὐτὸ οἶκός ἐστι μεταφορητός. γίνεται δὲ δοκὸς παρὰ τὸ δέκεσθαι Ἰωνικόν, ἡ δεχομένη δηλαδὴ τὰ ἐπικείμενα, εἴτε κέραμοι ἐκεῖνά εἰσιν εἴτε λειμωνόθεν ὄροφοι κατὰ τὸν ποιητήν, εἴτε καὶ γῆ ὡς ἐπὶ δωμάτων γίνεται. [Παράγωγον δὲ δοκοῦ καὶ τὰ παρὰ τοῖς παλαιοῖς δόκανα, ὧν χρῆσις καὶ παρὰ Πλουτάρχῳ. ἦσαν δὲ αὐτὰ Διοσκούρων ἀφιδρύματα, ὡς ἐκεῖνος καὶ ἱστορεῖ καὶ ἐκφράζει.] Δόρυ δὲ νῦν τὸ ἁπλῶς ξύλον, [κυριολεκτούμενον ἢ διὰ τὸ ἀποδαρῆναι ἤδη τοῦ φλοιοῦ, ἢ διὰ τὸ χρῆναι παθεῖν τοῦτο.] Τίθεται δέ ποτε ἡ λέξις καὶ ἐπὶ δένδρου, ὡς καὶ ἐν τῷ «οὐ γάρ πω τοῖον ἀνήλυθεν ἐκ δόρυ γαίης». ὑλήεις δὲ ὑπόκειται τῇ παραβολῇ πρὼν πρὸς διαστολὴν τῶν ψιλῶν. εἰκὸς γὰρ ὑλήεντα, τουτέστι δασύν, πρῶνα εἶναι, ᾧ πολλοὶ προσβάλλουσι ποταμοί. (v. 748) Ὅρα δὲ καὶ τὸ «διαπρύσιον» ληφθὲν ἐνταῦθα οὐκ ἐπὶ φωνῆς, ἀλλ' ἁπλῶς ἀντὶ τοῦ διόλου καὶ οἷον διαπεράσιον, καὶ ἀπό τινος πέρατος εἴς τι ἕτειον πέρας, ὡς εἶναι ὅμοιον τῷ διηνεκὲς ἢ διαμπερές.

4.117

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τὸ δὲ «τετυχηκώς» πρὸς διαστολὴν οἰκοδομήματος κεῖται, ἃ πολλαχοῦ μέν εἰσι διαπρύσιον πεδίου ἰσχάνοντα προσπλαζόμενον ὕδωρ καὶ τοῦ ἐφεξῆς ῥοῦ ἀνακόπτοντα, οὐ τετυχήκασι δέ, ἀλλὰ κατὰ τέχνην τετυγμένα εἰσί. Δῆλον δ' ὅτι ἐκ τοῦ τυχῶ, δευτέρου μέλλοντος, ἀναδραμόντος εἰς ἐνεστῶτα γέγονεν Ἀττικῶς ὁ τετύχηκα παρακείμενος, ὅθεν ὁ τετυχηκώς. οὕτω πως καὶ ὁ γεγραφηκὼς κινεῖται καὶ ὁ συνδεδραμηκώς. (v. 749) Ἀλεγεινὰ δὲ ῥέεθρα τὰ ἀλέγεσθαι ἄξια καί, ὡς εἰπεῖν, ἀξιόλογα, καὶ οἷα παρὰ οὕτω μεγάλου πρωνὸς ἀνακόπτεσθαι. καὶ ἔστιν ἐντεῦθεν ἐναχθῆναι εἰς τὸ καὶ τὰ ἐν ἄλλοις αἰπὰ ῥέεθρα εἰπεῖν ἀλεγεινὰ εἴτ' οὖν ἀλγεινὰ καὶ οὕτω καὶ χαλεπὰ μεταληπτικώτερον. (v. 750) Τὸ δὲ «ἴσχει» πρωτότυπον ῥῆμά ἐστι τοῦ ἰσχάνειν. (v. 751) Τὸ δὲ «πλάζων» ἀντὶ τοῦ ἀποπλανῶν, ἀνακόπτων, ἀνείργων, οὗπερ αἰτία, ὅτι οὐ δύνανται τὸν τοσοῦτον πρῶνα οὔτε ὑπερβῆναι οὔτε σθένεϊ ῥῆξαι. διὸ ἐξ ἀνάγκης ῥέουσιν ἀνόπιν. καὶ τοῦτό ἐστι τὸ «πᾶσι ῥόον πεδίονδε τίθησιν», ἐξ οὗ καὶ συμβαίνει πλεισταχοῦ πεδία λιμνάζεσθαι. ὅτι δὲ καὶ ἐρράγησαν πολλαχοῦ πρῶνες ὑπὸ ἰφθίμων ποταμῶν ἀλγεινὰ ῥέεθρα ἐπιρρησσόντων, αἱ ἱστορίαι δηλοῦσιν, ἐν αἷς καὶ ὁ Πηνειὸς οὕτω λέγεται διεκδῦναι κατὰ τὰ Θετταλικὰ Τέμπη, λιμνάζων πρὸ τούτου σὺν ἄλλοις ποταμοῖς τὰ ἐκεῖ.

4.118 Ὅρα δὲ τὸ πλάζων συντελοῦν καὶ εἰς τὸ «νῦν ἄμμε παλιμπλαγχθέντας ὀΐω ἂψ ἀπονοστήσειν», [καὶ εἰς τὸ «πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός», καὶ εἰς τὸ παλιμπετές, καὶ τὰ ὅμοια.] Τὸ δὲ «οὐδὲ σθένεϊ ῥηγνῦσι ῥέοντες» ἱστορικὴν ἐμφαίνει πολυπειρίαν, ὡς εἰδότος τοῦ ποιητοῦ πολλὰ ὕδατα προσαράξαντα εἰς τοιούτους πρῶνας καὶ ἐκρήξαντα καὶ διαδύντα. Καὶ ζητητέον αὐτὰ ἐν τοῖς τοῦ Περιηγητοῦ, ὅτε ἱστορεῖ τὰ οὕτω συρρέοντα ὕδατα ἢ πλάζεσθαι ἀπὸ τοῦ τοιούτου πρωνός, ὅτε καὶ λιμνάζονται αἱ πεδιάδες, ἢ ἀλλὰ ῥηγνῦντα τὸν πρῶνα ἐκρέειν. ἐξ οὗ ῥηγνύειν καὶ τὰ τῆς ἱστορίας παρῆκται κατά τινας Ῥήγια. Ὅρα δὲ καὶ ὅτι σθένος ἔφη ποταμοῦ, ὥς που καὶ Ὠκεανοῦ μέγα σθένος ἐρεῖ. [Σύμφωνον δὲ τῇ τροπῇ τοῦ σθένεος καὶ τὸ ῥηγνῦσιν, ἐξ οὗ καὶ οἱ ῥηξήνορες ἄνδρες, ἔτι δὲ καὶ τὸ ἴφθιμον. τὸ δὲ ῥηγνύειν καὶ καταράσσειν ἐπὶ ὑδάτων λέγεται.] (v. 755—61) Ὅτι τοὺς Ἕλληνας φεύγοντας καὶ κλάζοντας ἐν τῷ λαθέσθαι ἀλκῆς ἢ χάρμης, ὅτε καὶ κατεστρώθη ὅπλοις ἡ τάφρος, εἰς ψᾶρας, ὡς καὶ προδεδήλωται, εἰκάζει ἢ κολοιούς, εἰπὼν «τῶν δ' ὥς τε ψαρῶν νέφος ἔρχεται ἠὲ κολοιῶν οὖλον κεκλήγοντες, ὅτε προΐδωσιν ἰόντα κίρκον, ὅ τε», ἤγουν ὅστις, «σμικρῇσι φόνον φέρει ὀρνίθεσσιν, ὣς ἄρ' ὑπ' Αἰνείᾳ τε καὶ Ἕκτορι κοῦροι Ἀχαιῶν οὖλον κεκλήγοντες ἴσαν», ὅ ἐστιν ἤρχοντο, «λήθοντο δὲ χάρμης. πολλὰ δὲ τεύχεα καλὰ πέσον περί τ' ἀμφί τε τάφρον φευγόντων Δαναῶν, πολέμου δ' οὐ γίνετ' ἐρωή». Καὶ ὅρα ὡς ταπεινοῖ τοὺς Ἕλληνας τῇ σμικροπρεπείᾳ τῆς παραβολῆς, καὶ ὅτι τὴν αὐτὴν διεγράψατο εἰκόνα καὶ ὅτε τοὺς βαρβάρους ἐδίωκε Πάτροκλος.

4.119 κραυγαστικὸν δὲ ζῷον καὶ οἱ κολοιοί. καὶ συναγελαστικὰ δέ εἰσιν. ὅθεν καὶ ᾠκείωνται τῇ ῥηθείσῃ παραβολῇ. φασὶ δὲ ταῦτα τὰ ὄρνεα καὶ σκιᾷ ἰδίᾳ μάχεσθαι. ὁ δὲ κολοιὸς καὶ φιλάλληλον, ὅθεν καὶ παροιμία ἐπὶ εὐτελοῦς φιλίας «κολοιὸς πὰρ κολοιὸν ἱζάνει». Μαρτυρεῖ δέ, φασί, καὶ ὁ τρόπος τῆς θήρας αὐτῶν. ἡλίσκοντο γὰρ οὕτω πως. ἐτίθετο κρατὴρ ἔλαιον ἔχων, ἔνθα διαγνοίη ἂν εἶναι καλὸν ὁ θηρητήρ. καὶ οἱ κολοιοὶ ἐπικαθίσαντες τῷ χείλει καὶ τῇ ἐνοπτρικῇ φαντασίᾳ κολοιοὺς ἀληθεῖς ἐν τῷ κρατῆρι δόξαντες εἶναι φιλαλλήλως αὐτῷ ἐμπίπτουσιν ὡς τοῖς ὁμοφύλοις συμμίξοντες καὶ τῷ γλίσχρῳ τοῦ ἐλαίου κακῶς παθόντες εἰς τὸ πτερὸν ἑάλωσαν, καὶ τῆς φιλαλληλίας οὐκ εἰς ἀγαθὸν ἀπώναντο. [Καὶ τοῦτο μὲν τοιοῦτον. Ἐν δὲ τοῖς τοῦ Δειπνοσοφιστοῦ φέρεται, ὅτι κολοιοὶ διαφέροντες πανουργίᾳ, ὅμως ὅταν ἐλαίου κρατὴρ τεθῇ πλήρης, οἱ στάντες αὐτῶν ἐπὶ τὸ χεῖλος καὶ καταβλέψαντες ἐπὶ τὸν τῷ ὕδατι ἐμφαινόμενον καταράττουσι, καὶ ἐλαιοβρόχων γενομένων ἡ τῶν πτερῶν συγκόλλησις αἰτία γίνεται αὐτοῖς ἁλώσεως. οὕτω φασὶ καὶ ὄρτυγες ἐν ὀχείας καιρῷ, κατόπτρου ἐξ ἐναντίας αὐτῶν τεθέντος καὶ πρὸ τούτου κειμένου βρόχου, τρέχοντες πρὸς τὸν ἐμφαινόμενον ὄρτυγα τῷ κατόπτρῳ, ἐμπίπτουσιν εἰς τὸν βρόχον. Ὅτι δὲ ἐκ τοῦ ψάρ ψαρός γίνεται ψαρὸς ἴππος ὁ

κατὰ τὸν ψᾶρα ποικίλος καί, ὡς εἰπεῖν, βαλιός, οὐκ ἔστιν ἀμφιβαλεῖν.] (v. 755) Νέφος δὲ οὐ παρέργως εἶπε τὸ πολὺ πλῆθος τῶν ψαρῶν καὶ τῶν κολοιῶν, ἀλλ' ὅτι καὶ τὸν ἀέρα ἔστιν οὗ ἐπισκιάζουσι νέφους δίκην τῇ πολλῇ συνεχείᾳ καὶ πυκνότητι. Τὸ δὲ «ἔρχεται» δύναται εἰλῆφθαι γενικῶς ἀντὶ τοῦ πέτεται.

4.120 (v. 756) Οὖλον δὲ ἀντὶ τοῦ συνεστραμμένον καὶ ὀξὺ διὰ δειλίαν. οὕτω γὰρ κλάζουσι τὰ δειλαινόμενα. τῶν μέντοι ἡδομένων χαλαρὰ ἡ φωνή. [Δύναται δὲ καὶ ἀντὶ ὀλεθρίου νοηθῆναι, ἵνα ᾖ «οὖλον κεκλήγοντες» ἀντὶ τοῦ σημαντικὸν οὐκ ἀλλοτρίου, ἀλλ' οἰκείου, ὀλέθρου ἰάχοντες. οὕτω γὰρ ὑπόκεινται κλάζειν καὶ αἱ εἰρημέναι ὄρνιθες καὶ οἱ Ἀχαιοί.] Τὸ δὲ «κεκλήγοντες» ἀπὸ τοῦ κεκλήγω ἐστὶν ἐνεστῶτος, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη. (v. 755) Ἀττικῶς δὲ ἔχει τὸ «νέφος ψαρῶν ἢ κολοιῶν κεκλήγοντες», ὡς εἴπερ ἔφη ψᾶρες καὶ κολοιοὶ κλάζοντες. οὐ γὰρ πρὸς τὸ ἑνικὸν οὐδέτερον νέφος, ἀλλὰ πρὸς τὸ νοητὸν καὶ νῦν ἀπήντησε τῆς λέξεως ὅπερ ἐστὶν οἱ ψᾶρες καὶ οἱ κολοιοί. (v. 757) Ὅρα δὲ καὶ ὡς κίρκον δηλοῖ σαφῶς εἶναι, ὃς οὐ μείζοσιν ὀρνέοις ἀλλὰ μικροῖς ἐπιτίθεται. [Εἰ δέ τις ὀνοματοποιΐα τὸν κίρκον παράγει, ὥσπερ ἡ κρέξ, τὸ ὄρνεον, ἐκ τοῦ κρέγειν παρῆκται, ἵνα ᾖ ἐκ τοῦ κρίζειν κρίκος καὶ πρὸς ἀποφυγὴν συνεμπτώσεως κίρκος, πρὸς ὁμοιότητα τῆς κρεκὸς καὶ τῆς κερκίδος, οὐκ ἔστιν ἀσφαλῶς ἀποφήνασθαι.] Θηλυκῶς δὲ τὰς ὄρνιθας λέγει, ὡς δηλοῖ τὸ «μικραῖς ὄρνισι», κατὰ ἔθος Ἀττικόν τε καὶ Ἰωνικόν. (v. 758) Ἡ δὲ τῆς ὑπο προθέσεως μετὰ δοτικῆς σύνταξις ἐν τῷ «ὑπὸ Αἰνείᾳ καὶ Ἕκτορι» πάνυ συνήθης Ὁμήρῳ. (v. 759) Τὸ δὲ «ἴσαν» δύναται μὲν καὶ ἀπὸ τοῦ εἶμι γίνεσθαι, ὡς καὶ ἐν ἄλλοις ἐδηλώθη, τοῦ παραληγομένου τῇ ει διφθόγγῳ. μάλιστα δὲ δόξειεν ἂν εἶναι ἀπὸ τοῦ ἑτέρου ἶμι τοῦ παραληγομένου μόνῳ διχρόνῳ.

4.121 διφορεῖται γὰρ ἡ γραφὴ τοῦ ἶμι ῥήματος κατὰ τοὺς παλαιούς. (v. 760—1) Σημείωσαι δὲ καὶ ὡς θαυμασίως καὶ πεφεισμένως οὐκ εἶπεν, ὡς φεύγοντες ἔρριψαν ὅπλα, ἀλλὰ ἔπεσον φευγόντων Δαναῶν ὡς οἷα ἐκ τύχης περὶ τὴν τάφρον, ἵνα μὴ ἄντικρυς εἶεν ῥιψάσπιδες. Καὶ τὸ μὲν πρᾶγμα, φασί, μεμίμηται, αἰσχρὸν δὲ οὐδὲν εἴρηκεν, ἀλλὰ καὶ σεμνύνει ἄλλως αὐτούς, εἰπὼν ὅτι πολέμου δ' οὐκ ἐγίνετο ἐρωή. διὰ τοὺς ἀριστεῖς δὲ τοῦτο ἔφη. ἔφευγον μὲν γὰρ ὁ πολὺς ὄχλος λαθόμενος χάρμης, οἱ μέντοι ἄριστοι, ὡς εἰκός, οὐκ εἶχον πολέμου ἐρωήν. Ἰστέον δὲ καὶ ὅτι τὸ «ἔπεσον τεύχεα» ἔστι νοῆσαι καὶ ὡς παρακολούθημα τῶν θνησκόντων, ἵνα τὸ τεύχεα πολλὰ πεσεῖν εἴη ἀντὶ τοῦ ὁπλῖται ἔπεσον. καὶ ἔστι πρὸς τοῦτο οἰκεῖον καὶ τὸ «πολέμου δ' οὐ γίνετ' ἐρωή», ἵνα λέγῃ ὅτι πολλοὶ μὲν ἔπεσον, ὅμως δὲ ἡ μάχη οὐκ ἔληξε. (v. 760) Τὸ δὲ «περί τ' ἀμφί τε τάφρον» δηλοῖ καὶ αὐτὸ τὴν συγγένειαν τῶν τοιούτων δύο προθέσεων ἢ μᾶλλον τὸ μὲν «περὶ τάφρον» σημαίνοι ἂν τὸ κατ' αὐτὴν τὴν τάφρον, τὸ δὲ «ἀμφὶ τάφρον» εἴη ἀντὶ τοῦ ἀμφὶς πανταχοῦ τῆς τάφρου. (v. 761) Ἡ δὲ ῥηθεῖσα ἐρωὴ λείπεται προθέσεως, ἵνα εἴη καὶ αὐτὴ κατὰ τὸ «ἵπποι δ' ὑπερώησαν», ὅ ἐστιν ἀνεχώρησαν. ΕΚ ΤΩΝ ΤΗΣ ΣΙΓΜΑ Ὅτι ὁπλοποιΐαν τὴν ῥαψῳδίαν ταύτην ἐπιγράφουσιν οἱ παλαιοὶ διὰ τὰ ἐνταῦθα ὅπλα τοῦ Ἀχιλλέως ἅπερ Ἥφαιστος τεύξει.

4.122.(t) τὸ δὲ ἡρῷον αὐτῆς γνώρισμα τοιοῦτον· σίγμα, Θέτις Ἀχιλῆϊ παρ' Ἡφαίστου φέρεν ὅπλα. καὶ ἄλλως δέ· σίγμα, τεύχεα τεῦξε καμὼν Ἥφαιστος Ἀχιλλεῖ. ὅτι δὲ τὸ σίγμα σὰν λέγεται Δωρικῶς, προδεδήλωται. (v. 2) Ὅτι τὸν μὲν Ἀντίλοχον πόδας ταχὺν ἐνταῦθα λέγει ὁ ποιητής, εἰπὼν «Ἀντίλοχος δ' Ἀχιλῆϊ πόδας ταχὺς ἄγγελος ἦλθε», τὸν δὲ Ἀχιλλέα προϊὼν ἁπλῶς οὕτω ταχὺν ἐρεῖ. καὶ ἴσως μὲν τὸ αὐτὸ λέγει ἐν ἀμφοῖν. διὸ προϊὼν Ἀχιλῆα λέγει πόδας ταχύν. ἴσως δὲ καὶ πλείω ἔμφασιν ἔχει τὸ ἐν ἁπλότητι τὸν Ἀχιλλέα ταχὺν ῥηθῆναι, ὡς καὶ ἄλλως ὄντα ταχὺν καὶ μὴ μόνον κατὰ πόδας. ἔστι δ' ἐνταῦθα εἰπεῖν καὶ ὅτι καθ' ἑτέραν ἀνάγνωσιν οὐχ' ἁπλῶς ταχύς, ἀλλὰ πόδας ταχὺς ἄγγελος νοεῖται ὁ Ἀντίλοχος. (v. 3) Ὅτι κραῖρα κεφαλὴ κυρίως ἡ ὀρθία καί, ὡς ἂν εἴπῃ τις, κάρη αἰρόμενον, ἵνα ᾖ κάραιρα, καὶ ἐν συγκοπῇ κραῖρα, ἐξ ἧς οἱ Ἀττικοὶ τὸ τῆς κεφαλῆς ἥμισυ ἡμίκραιράν φασιν, ὡς εὕρηται καὶ παρὰ τῷ Κωμικῷ. ἀπὸ δὲ ταύτης καὶ νῆες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεταφορικῶς πολλαχοῦ καὶ βόες ὀρθόκραιραι παρὰ τοῖς ποιηταῖς. (v. 4) Ὅτι ἐπὶ καραδοκοῦντος τὸ ἤδη γεγονὸς καλὸν εἰπεῖν τὸ «τὰ φρονέων ἀνὰ θυμὸν ἃ δὴ τετελεσμένα ἦεν».

4.123 (v. 8) Ἐπὶ φόβου δὲ μέλλοντος ῥηθήσεται τὸ «μὴ δή μοι τελέῃσι θεὸς κακὰ κήδεα θυμῷ». Ἀχιλλεὺς δὲ τοῦτό φησι, δεδιὼς περὶ τῷ Πατρόκλῳ. (v. 9) Εἰ δὲ προερρέθη πρός τινος τὸ μέλλον κακόν, οἰκεῖον προσθεῖναι καὶ τὸ «ὥς ποτέ μοι ὁ δεῖνα διεπέφραδε καί μοι ἔειπε». Τοῦτο δὲ κατὰ τοὺς παλαιοὺς ταὐτόν ἐστι τῷ «ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν». ἐκ παραλλήλου γὰρ καὶ ἐκεῖ καὶ ὧδε ταὐτὰ αἱ λέξεις δηλοῦσιν. (v. 8) Ἰστέον δὲ ὅτι ἐν τῷ «μὴ δή μοι τελέσειε θεὸς κακὰ κήδεα», [λείπει συνήθως τὸ δείδω ἤ τι τοιοῦτον, ἵνα λέγῃ ὅτι δέδοικα μὴ τόδε μοι ποιήσοι ὁ θεός. Τὸ δὲ «κακὰ κήδεα».] πρὸς διαστολὴν κεῖται καλοῦ κήδους, ὃ ἐπὶ ἀγχιστείας λαμβάνεται. (v. 10 s.) Ἐν τούτοις δὲ κεῖται συναπτῶς καὶ λοξὸς χρησμὸς δοθεὶς ὑπὸ Θέτιδος Ἀχιλλεῖ, λέγων Μυρμιδόνων τὸν ἄριστον ἔτι ζῶντος Ἀχιλλέως χερσὶν ὑπὸ Τρώων λείψειν φάος ἠελίοιο, τουτέστι θανεῖν περιφραστικῶς. ἐπέκρυψε μὲν γὰρ ἐπίτηδες τρόπῳ χρησμολογικῷ, τίς ὁ τοιοῦτος, ἐκβέβηκε δὲ εἰς τὸν Πάτροκλον. Μυρμιδόνας δὲ καὶ νῦν ὡς καὶ πρὸ ὀλίγων τὴν τῶν Μυρμιδόνων στρατιὰν λέγει. οὐ γὰρ δήπου καὶ τοῦ Ἀχιλλέως Μυρμιδόνος ὄντος κρείττων ὁ Πάτροκλος. (v. 6—12) Ὅτι δεινοὶ τὸ χεῖρον ἐλπίζειν οἱ στέργοντες. Ἀχιλλεὺς οὖν κλονουμένους ὁρῶν τοὺς Ἕλληνας δύσελπίς ἐστιν, ἀγωνιῶν περὶ τοῦ φίλου, καὶ μήπω τι μαθὼν περὶ τοῦ Πατρόκλου δεινόν, ὅμως στοχάζεται τοῦ κακοῦ, λέγων «ὤ μοι ἐγώ, τί δὴ Ἀχαιοὶ νηυσὶν ἐπικλονέονται», καὶ ἑξῆς τὰ προγραφέντα ἕως τοῦ «ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός, σχέτλιος». (v. 13 s.) Εἶτα καὶ ἠρέμα αἰτιώμενός φησι «ἦ μὴν ἐκέλευον ἀπωσάμενον δήϊον πῦρ νῆας ἐπ' ἂψ ἰέναι, μηδὲ Ἕκτορι ἶφι μάχεσθαι». πρὸς ὅπερ εἴ τις εἴπῃ, ὅτι οὐχ' εὕρηται μνησθεὶς ἐκεῖ τοῦ Ἕκτορος Ἀχιλλεύς, ἔστιν εἰπεῖν ὡς τὴν ἑαυτοῦ μέθοδον ἀνακαλύπτει ὁ ποιητὴς ἐνταῦθα, μονονουχὶ λέγων ὡς, εἰ καὶ ἔφη Ἀχιλλεὺς ἐκεῖ «μή τις ἀπ' Οὐλύμποιο θεῶν ἐμβήῃ», ἐβούλετο μὲν εἰπεῖν· μή σοι ὁ Ἕκτωρ ἐμβῇ, ἐσχημάτισε δὲ ἄλλως διὰ τὸ σεμνότερον.

4.124 Σημείωσαι δὲ ὅτι μεγαλοφυῶς ἐν τοῖς ῥηθεῖσιν ὕψωσε τὰ κατὰ τὸν ἑταῖρον Πάτροκλον ὁ Ἀχιλλεύς, ἀπὸ τῆς τῶν Ἑλλήνων φυγῆς στοχαζόμενος αὐτὸν πεσεῖν, καὶ διδοὺς νοεῖν ὡς τοῦ Πατρόκλου ζῶντος οὐκ ἂν ἔφυγον οἱ Ἀχαιοί. προοικονομεῖ δὲ διὰ τούτων Ὅμηρος καὶ τὸ φορητῶς ἀκοῦσαι τὸν Ἀχιλλέα τὸν τοῦ Πατρόκλου θάνατον καὶ μὴ ἀνήκεστόν τι ἑαυτὸν διαθέσθαι. προμεμάλακτο γὰρ τῇ ἐλπίδι καὶ οὐδὲν ἀκαραδόκητον ἤκουσεν. (v. 12) Ἐν δὲ τῷ «ἦ μάλα δὴ τέθνηκε» τὸ μάλα οὐ τῷ τέθνηκε συντακτέον, ἀλλὰ τῷ ἦ. τὸ μὲν γὰρ εἰπεῖν ὄντως μάλα ὀρθῶς ἔχει, φάναι δὲ ὅτι μάλα τέθνηκε, γελοῖον καὶ ἀδιανόητον. Ἰστέον δὲ ὅτι οὐ πάντῃ ἐντελῶς ἡ κατὰ τὸν Ἀχιλλέα ἠθοποιΐα ἐνταῦθα ἔχει, ἀλλ' ἐχρῆν μὲν ἐν τῷ τέλει αὐτῆς εἰπόντα, ὡς ἐκέλευον ἀπωσάμενον δήϊον πῦρ ἐπανελθεῖν, προσθεῖναι καὶ ὅτι ὁ δὲ μὴ ὑπακούσας ἄλλως ἐποίησεν. ἐλθόντος δὲ τοῦ Ἀντιλόχου κατὰ σπουδὴν ἀπεκωλύθη τῆς τοιαύτης ἐννοίας. (v. 15—7) Διὸ καὶ ὁ ποιητὴς ἐπισημαινόμενος ἔφη «ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα, τόφρα ἦλθεν Ἀντίλοχος ἀγγέλλων τὰ σκυθρωπά. (v. 6) Τὸ δὲ «ὤ μοι ἐγώ», ἔστι μὲν Ἀττικόν, ἑρμηνεύεται δὲ διὰ τοῦ ἐφεξῆς, ἤγουν τοῦ «ὤ μοι Πηλέος υἱέ». ὡς γὰρ ἐκεῖ ὁ Ἀντίλοχος προσφωνεῖ τὸν Ἀχιλλέα κλητικῶς, οὕτω καὶ ὧδε ὁ Ἀχιλλεὺς ἑαυτὸν ἀφελῶς, ὡς εἴπερ ἔλεγεν ὤ μοι ὦ Ἀχιλλεῦ ἐγώ. τούτου παρ' Εὐριπίδῃ μίμησις τὸ «δύστην', ἐμαυτὴν γὰρ λέγω λέγουσα σέ, Ἑκάβη». (v. 13) Ὅρα δὲ τὸ «σχέτλιος» οὐδὲ νῦν ἐπὶ ἀδικίᾳ ῥηθέν, ἀλλὰ δι' οἶκτον καὶ ληφθὲν ἀντὶ τοῦ τάλας, τλήμων, ἐπίπονος, πολλὰ ἀνασχόμενος καὶ ἀνατλάς, ἢ ὁ πλέον οὗπερ ἐχρῆν σφοδρός. ἔδει γὰρ σχέσθαι καὶ τλῆναι καὶ μὴ ἐπαγαλλόμενον πολέμῳ πρὸς Ἴλιον ἡγεμονεύειν. [Καὶ τοῦτο μὲν εὐφημότερον ὁ Ἀχιλλεὺς εἶπε σεμνύνων τὸν φίλον Πάτροκλον. αὐτὸς δὲ ὁ ποιητὴς πρὸς ἀλήθειαν σκώπτων νήπιον ἐκεῖνον ἐκάλεσεν, ἐπειδὴ μὴ πεισθεὶς ἀγαθῇ παραιφάσει ἑταίρου ὤλετο.] (v. 14) Τὸ δὲ «νῆας ἐπ' ἂψ ἰέναι» σαφέστερον φθάσας ἔφρασεν ἐν τῷ «ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν».

4.125 (v. 17) Ὅτι τῷ μετὰ πένθους ἀγγέλλοντι τὰ σκυθρωπὰ οἰκεῖον τὸ «δάκρυα θερμὰ χέων φάτο ἀγγελίην ἀλεγεινήν». (v. 18 s.) Τοιούτου δὲ προσώπου καὶ τὸ «ἦ μάλα λυγρῆς πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι», ὅπερ Ἀντίλοχος τῷ Ἀχιλλεῖ λέγει ἐκ Μενελάου μαθών. δῆλον δ’ ὅτι τῆς λυγρῆς ἀγγελίας ἑρμηνευτικὸν τό τε «ἀλεγεινήν» καὶ τὸ «ἣ μὴ ὤφελλε γενέσθαι», ὡς προείρηται. (v. 20 s.) Ὅτι συντομίας χρὴ παράδειγμα ἔχειν καὶ τὸν τοῦ Ἀντιλόχου ἐνταῦθα λόγον, ὃς γοργότατα πᾶν τὸ κατὰ Πάτροκλον πλατὺ πάθος ἐμπεριγράφει δυσὶν ἔπεσι, τὸν θανόντα εἰπὼν καὶ τοὺς ὑπερμαχοῦντας Ἀχαιοὺς καὶ τὸν κτείναντα, καὶ οὕτως ἱκανῶς ταχύνας τὸ κακάγγελον. Φησὶ γὰρ «κεῖται Πάτροκλος· νέκυος δὲ δὴ ἀμφιμάχονται γυμνοῦ· ἀτὰρ τά γε τεύχε’ ἔχει κορυθαίολος Ἕκτωρ». Καὶ ὅρα ὅτι τὸ πένθος ἐγκόπτον τὴν πολυλογίαν οὐδὲ τοὺς δύο στίχους ἐντελῶς ἀφῆκε φρασθῆναι. ἐν γὰρ τῷ «νέκυος ἀμφιμάχονται» λείπει ἢ τὸ Ἀχαιοί» ἢ τὸ «Τρῶες καὶ Ἀχαιοί». μάχονται μὲν γὰρ ἀμφότεροι, ὑπερμαχοῦσι δὲ μόνοι Ἀχαιοί. καὶ οὕτω μὲν ἐν τοῖς τοιούτοις καὶ νῦν καὶ ἀλλαχοῦ δὲ βραχυλογεῖ ὁ ποιητής. τοῦτο δὲ οἱ Τραγικοὶ οὐκ ἐζήλωσαν, ἀλλὰ μακρὰς ἐπάγουσι διηγήσεις ταῖς συμφοραῖς, καὶ μάλιστα Εὐριπίδης. κρεῖττον δὲ πάνυ πολλῷ τὸ τοῦ ποιητοῦ. ἐν γὰρ ταῖς μεγίσταις λύπαις οὐ καλὸν πολυλογεῖν εὐθὺς ἐν ἀρχῇ τὸν ἄγγελον, ἵνα μὴ μάτην λαλῇ. ὁ γὰρ ἀκούσας οὐκ εὐκαιρεῖ ἀκούειν μακρᾶς ῥήσεως, ὡς οἷα κωφωθεὶς ἐκ πρώτης τῇ βαρύτητι τοῦ ἀκούσματος. Ἰστέον δὲ καὶ ὅτι, ὡς ἤκουσεν, οὕτω καὶ ἀφηγεῖται ὁ Ἀντίλοχος. καὶ γὰρ ὁ Μενέλαος τεχνικῶς καὶ αὐτὸς ἐστένωσε τὴν ἀφήγησιν, ὅτε τὸν Ἀντίλοχον ἐδίδασκε τὰ κατὰ τὸν Πάτροκλον, καθὰ προγέγραπται. ὅθεν ὠφελημένος ὁ Ἀντίλοχος ἐπὶ πλέον στενοῖ τὸν λόγον οὐδὲ ἐπαινέσας τὸν Πάτροκλον, ὡς ἐκεῖ ὁ Μενέλαος. ἐκεῖνος μὲν γὰρ «πέφαται ἄριστος Ἀχαιῶν» ἔφη, οὗτος δὲ ἠρκέσθη εἰπὼν «κεῖται Πάτροκλος», οὐ γὰρ ἦν ἐπαίνων καιρός. Ὅρα δὲ καὶ ἄλλως τὸ τοῦ Ἀντιλόχου δεξιόν, ἐν οἷς πρὸ τῆς ἀγγελίας εἶπε βραχυλογικῶς. ἐν ἑνὶ μὲν στίχῳ προσεῖπεν «ὤ μοι Πηλέως υἱὲ δαΐφρονος», ἐν ἑτέρῳ δὲ προανεφώνησεν ὡς ἐν προκατασκευῇ εἰπὼν «ἦ μάλα λυγρῆς πεύσεαι ἀγγελίης», ἐν δυσὶ δὲ διηγήσατο «κεῖται Πάτροκλος» καὶ ἑξῆς, ὡς τοῦ καιροῦ μὴ διδόντος πολλὰ λέγειν.

4.126 Ἔτι ὅρα καὶ ὡς κατὰ τὴν παρατήρησιν τῶν παλαιῶν ποικίλως ἐν οἷς λέγει παραμυθεῖται τὸν Ἀχιλλέα, οἰκειωσάμενός τε τὴν συμφορὰν ἐν τῷ εἰπεῖν «ὤ μοι», καθὰ καὶ αὐτὸς Ἀχιλλεὺς πρὸ τούτου «ὤ μοι ἐγώ» εἶπεν, ἔτι δὲ καὶ τοῦ Πηλέως ἀναμνήσας, ἵνα καὶ ὡς τοιούτου πατρὸς ὢν μετριάσῃ τὴν συμφοράν, καὶ τὴν ἀγγελίαν δὲ λυγρὰν εἰπών, καὶ οὕτω προμαλάξας τὸν Ἀχιλλέα τῇ δυσελπιστίᾳ καὶ οὐκ εὐθὺς ἀπαγγείλας τὸ δυσχερές. (v. 20) Τὸ δὲ «νέκυος ἀμφιμάχονται» χρὴ νοῆσαι παραμυθητικόν, ὡς περιμαχήτου ὄντος τοῦ νεκροῦ. (v. 21) Τὸ δὲ περὶ τοῦ Ἕκτορος πάνυ ἀρίστως ἔχει. ἐρεθίζει γὰρ τὸν Ἀχιλλέα εἰς μάχην, ἵνα ταχὺ ἐκδραμὼν εἰς ἄμυναν ἀποπλήσῃ τὸν θυμὸν καὶ μὴ ἐπὶ πολὺ τρύχοιτο παθαινόμενος. ὥστε ἡ πᾶσα τοῦ Ἀντιλόχου ἀγγελία τε καὶ λαλιὰ δεξιῶς δεδείνωται δίχα μόνων δύο λέξεων, τοῦ «κεῖται Πάτροκλος». ἐν ταύταις γὰρ καὶ μόναις ἐστὶ τὸ τοῦ διηγήματος ἁπλοῦν. (v. 19) Ὅρα δὲ τὸ «πεύσεαι» μετὰ γενικῆς ταχθέν. «λυγρῆς» γάρ, φησί, «πεύσεαι ἀγγελίης», ὡς καὶ πρὸ ὀλίγων «ὄφρα πύθηαι λυγρῆς» καὶ ἑξῆς. (v. 22—7) Ὅτι τὸν Ἀχιλλέα, μαθόντα ὡς τέθνηκε Πάτροκλος, «ἄχεος νεφέλη ἐκάλυψε μέλαινα· ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν χεύατο κὰκ κεφαλῆς, χαρίεν δ’ ᾔσχυνε πρόσωπον, νεκταρέῳ δὲ χιτῶνι μέλαιν’ ἀμφίζανε τέφρη. αὐτὸς δ’ ἐν κονίῃ μέγας μεγαλωστὶ τανυσθεὶς κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ᾔσχυνε δαΐζων». Ταῦτα δὲ οἰκεῖα λεχθῆναι εἰς πάντα τὸν οὕτω παθαινόμενον. πολὺ δὲ τὸ εἰς τὸν Πάτροκλον φίλτρον τῷ Ἀχιλλεῖ, οὕτω διατεθειμένῳ ἐπὶ τῷ ἐκείνου θανάτῳ. καλῶς ἄρα πολὺ φίλτατον ἑταίρων αὐτὸν ἔλεγε. Σημείωσαι δὲ ἐν τούτοις ὡς τὴν ἐκ λύπης συνοχὴν καὶ πύκνωσιν νεφέλην ἐκάλεσε μέλαιναν, ὑφ’ ἧς ὁ νοούμενος ἐπιπροσθεῖται ἥλιος. εἴη ἂν οὖν τὸ ἐναντίον οἷόν τι φῶς τὸ «αἴ

κέν τι φόως Δαναοῖσι γένοιο», ἤγουν ἡδονή τις καὶ χάρμα. Ὅρα δὲ καὶ ὅτι εἰς ταὐτόν τι ἐνταῦθα ἔοικεν ἀγαγεῖν κόνιν, αἰθάλην καὶ τέφραν.

4.127 εἰπὼν γὰρ «κόνιν αἰθαλόεσσαν» ἐπάγει «μέλαινα τέφρα», τὴν αἰθαλόεσσαν κόνιν τέφραν καλέσας. (v. 24) Τὸ δὲ «ᾔσχυνεν» ἀντὶ τοῦ ἀκαλλὲς ἐποίησεν. ἀντίκειται γὰρ ὥσπερ τὸ αἶσχος τῷ κάλλει καὶ τὸ αἰσχρὸν τῷ καλῷ, οὕτω καὶ τὸ αἰσχύνειν τῷ καλλύνειν. καὶ ἔστιν ἡ λέξις καιρία. διὸ καὶ ἐπέμεινεν αὐτῇ, εἰπὼν «χαρίεν ᾔσχυνε πρόσωπον», τὸ πρῴην δηλαδὴ καλόν, καὶ «κόμην ᾔσχυνε», τὴν ξανθὴν καὶ καλήν. Ὅτι δὲ τὸ χαρίεν, ἤτοι τὸ μετέχον χάριτος, πρὸ μιᾶς ἔχει τὸν τόνον, προδεδήλωται. (v. 25) Χιτῶνα δὲ νῦν τὸ ἐπιπολάζον ἱμάτιον ἔφη, καὶ οὐκ ἐξ ἀνάγκης τὸ ἀμέσως ἐπικεχυμένον τῷ σώματι, εἰ μὴ ἴσως μονοείμων ἔτυχεν εἶναι νῦν ὁ Ἀχιλλεύς. Εἰς δὲ τὸ «νεκταρέῳ χιτῶνι» ἐνθυμητέον καὶ τὰ ἄμβροτα εἵματα, ἐν οἷς θειότης ἐνδύσεως δηλοῦται ἀπὸ τῆς κατὰ μῦθον ἀμβροσίας καὶ τοῦ ὁμοίου νέκταρος. [Τὸ δὲ «μέλαινα» οὐκ ἐκ παραγωγῆς ἔχειν ἔλαχε τὴν παραλήγουσαν δίφθογγον, ἀλλ’ ἐκ τοῦ μέλανος ἐπενθέσει τοῦ ι γίνεται. οὐ μὴν τοιοῦτον ἡ θεράπαινα καὶ τὰ κατ’ αὐτήν, οὐδὲ ἡ γείταινα καὶ ἡ τέκταινα, οὐδὲ ἡ ἐκ τοῦ θεός θέαινα καὶ ἡ ἐκ τοῦ λύκος λύκαινα, οἷς ὅμοιον καὶ ἡ Γνάθαινα, τὸ κύριον, οὐδὲ ἡ παρὰ Διφίλῳ τούταινα, τὸ πάντῃ ξενίζον, ὃς ἐπιτιμᾷ τινι ὡς κακῶς τὰ τεῦτλα τουταίνας καλοῦντι, οὐδὲ ἡ σκόρπαινα. δοκεῖ δὲ ἐν τοῖς πλείοσι τῶν τοιούτων παρεισδῦναι ἀναλογία τοῦ μεσαιπόλιος. προϋπάρχοντος γὰρ ἐν αὐτοῖς τοῦ ο , εἶτα τραπέντος εἰς α συνήθως, καὶ προσλαβόντος τὸ ι , παράγονται πολλὰ τῶν διὰ τοῦ αινα θηλυκῶν.

4.128 οὕτω γὰρ ἐκ τοῦ γείτονος καὶ τέκτονος ἡ γείταινα καὶ τέκταινα. καὶ θεράπαινα δὲ καὶ λέαινα ὁμοίως ἂν σκευωροῖντο. οὕτω δέ πως καὶ τῶν ἄλλων τὰ πολλά, ἐν οἷς καὶ ζύγαινα καὶ φάλαινα καὶ ὕαινα χερσαῖά τε καὶ ἰχθύς. ὅτι δὲ καὶ σκόρπαινα, ὁ θῆλυς σκορπίος ὁ κατὰ θάλασσαν, δηλοῖ ὁ γράψας τὸ «καὶ σκορπαίνας καὶ σκορπίους πολλάκις ἡμεῖς ἐφάγομεν».] Ἐν δὲ τῷ «ἀμφίζανε» τὸ ἐγκάθετον καὶ παράμονον τῆς τέφρας δηλοῖ διά τε τὸ πλῆθος καὶ ἴσως καὶ δι’ ὑγρότητα ἢ δακρύων ἢ ἱδρώτων, ὅθεν ὡσεὶ καὶ πηλοποιηθὲν τὸ τῆς τέφρας λεπτὸν ἐνεκάθητο. (v. 26) Τὸ δὲ «μέγας μεγαλωστί» ἐνδιαθέτως νῦν ἔφη ὁ ποιητής, ἐν ἄλλοις δὲ οὐχ’ οὕτω. εἶχε γάρ τι καὶ μυκτῆρος ἐκεῖ ὁ λόγος. (v. 27) Τὸ δὲ «φίλαις χερσίν» ἔχει τι καὶ οἴκτου. μονονουχὶ γάρ φησιν, ὡς ταῖς ἑαυτοῦ χερσὶ καθ’ ἑαυτοῦ ἐχρᾶτο. εἰ δὲ μὴ καὶ δακρύων πεπλῆσθαι λέγεται, καὶ οὐδὲ θαλερὴ ἔσχετό οἱ φωνή, ἃ πρὸ μικροῦ Ἀντίλοχος ἔπαθεν, ἀλλὰ τοῦτο νῦν οὐ πάσχει οἷα τὸν τοῦ Πατρόκλου καραδοκήσας καὶ ἤδη προϋπιδόμενος θάνατον καὶ διὰ τοῦτο προμεμαλαγμένος, ὡς εἴρηται. Ὅτι τὰ ἐν βίῳ καὶ συνήθη μιμητικῶς φράζων ὁ ποιητὴς τήν τε μητέρα Θέτιν ποιήσει διατιθεμένην ἐπὶ τῷ υἱῷ, καθάπερ εἰκός, καὶ τὸν Ἀντίλοχον τὸ φιλικὸν πληροῦντα ὅσιον, καὶ οὐδὲ τὰς παρὰ τῷ Ἀχιλλεῖ αἰχμαλώτους ἀπαθεῖς ἀφίησι, διά τε τὸ φύσει τοιοῦτον— κάρτα γὰρ φίλοικτον γυνή—, καὶ πρὸς χάριν τοῦ δεσπότου, καὶ διὰ τοῦ Πατρόκλου ἐνηές, καὶ διὰ μνήμην δὲ τῶν οἰκείων κατὰ τὸ «Πάτροκλον πρόφασιν», ὅπερ ἐν ἄλλοις ἐρεῖ. (v. 28—31) Καὶ τέως περὶ τῶν αἰχμαλώτων φησὶν οὕτω «δμῳαὶ δ’ ἃς Ἀχιλλεὺς ληΐσατο Πάτροκλός τε, θυμὸν ἀκηχέμεναι μεγάλα ἴαχον, ἐκ δὲ θύραζε ἔδραμον ἀμφ’ Ἀχιλλῆα δαΐφρονα, χερσὶ δὲ πᾶσαι στήθεα πεπλήγοντο, λύθεν δ’ ὑπὸ γυῖα ἑκάστης».

4.129 φιλοπενθὴς γάρ, φασί, γυνὴ βάρβαρος αἰχμάλωτος. καὶ οὕτω μὲν αὐταί, ὧν τὰ πάθη καθ’ Ὅμηρον φρασθέντα χρήσιμα εἰς λόγου πενθίμου γραφήν, ὡς καὶ ἄλλα πολλὰ τοῦ τοιούτου τόπου. (v. 32—4) «Ἀντίλοχος δ’ ἑτέρωθεν ὀδύρετο», φησί, «δάκρυα λείβων, χεῖρας ἔχων Ἀχιλῆος· ὃ δ’ ἔστενε κυδάλιμον κῆρ· δείδιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ». καὶ οὕτω μὲν καὶ ποιεῖ καὶ ὑποπτεύεται Ἀχιλλεὺς δι’ ὑπερβολὴν πένθους. Πλάτων δὲ ὕστερον ἐν ταῖς Πολιτείαις μὴ δεῖν λέγει τοιαῦτα ποιεῖν ὑπὲρ τεθνεώτων ὡς δεινόν τι πεπονθότων. (v. 28) Ἐν δὲ τοῖς ῥηθεῖσι τὸ μὲν «Ἀχιλλεὺς ληΐσατο Πάτροκλός τε» σεμνύνει τὸν κείμενον ὡς τῷ Ἀχιλλεῖ συναριστεύοντα. οὕτω καὶ τῷ Θησεῖ πρὸς κλέους ἦν, ὅτι τῷ Ἡρακλεῖ ἔργων τινῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνεφήπτετο, καθὰ καὶ παροιμία δηλοῖ, λέγουσα τὸ «οὐκ ἄνευ γε Θησέως» ἐπὶ τῶν σὺν ἑτέροις εὐδοκιμούντων. (v. 30) Τὸ δὲ «δαΐφρονα» δόξοι ἂν ἴσως ὁπωσοῦν ἀφορᾶν καὶ πρὸς τὸ «κόμην ᾔσχυνε δαΐζων», ἵνα μὴ μόνον καθ' ἑτέρων δάϊος ἀλλὰ καὶ καθ' ἑαυτοῦ εἴη ὁ Ἀχιλλεύς. (v. 34) Τὸ δὲ «μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ» ἀμφίβολόν φασιν ἔχειν ἔννοιαν. ἢ γὰρ εἶχε τὰς τοῦ Ἀχιλλέως χεῖρας ὁ Ἀντίλοχος φόβῳ τοῦ μὴ ἑαυτὸν διαχρήσασθαι, ἢ αὐταὶ μὲν εἴχοντο, ἵνα μὴ καταχέηται κόνιν, Ἀχιλλεὺς δὲ ἔστενε, δεδιὼς μὴ ὁ Ἕκτωρ ἀπεδειροτόμησε Πάτροκλον, ἐλλιπῶς τοῦτο φράσαντος τοῦ ποιητοῦ πρὸς φύσιν τοῦ τὴν πολυλογίαν ἐγκόπτοντος πάθους, ὃ καὶ Ἀντίλοχος ἔπαθεν ἐν τῷ «νέκυος δὲ δὴ ἀμφιμάχονται». ὡς γὰρ ἐκεῖνος τοὺς ἀμφιμαχομένους ἐσίγησεν, οὕτω καὶ Ἀχιλλεὺς τὸν δειροτόμον Ἕκτορα. (v. 35—8) Ἐπὶ δὲ τούτοις ὁ ποιητὴς καὶ τοὺς ἐκ τῆς Θέτιδος λόγους ἀνακινῶν, οἷα ἐκ τῶν μικροτέρων εἰς τὸ μεῖζον καὶ πρὸ ἔργου ἥκων, φησίν, ὡς Ἀχιλλεὺς μὲν «σμερδαλέον ᾤμωξεν, ἄκουσε δὲ πότνια μήτηρ ἡμένη», ὡς καὶ ἐν τῇ α' κεῖται ῥαψῳδίᾳ, «ἐν βένθεσιν ἁλὸς παρὰ πατρὶ γέροντι, κώκυσέ τ' ἄρ ἔπειτα, θεαὶ δέ μιν ἀμφαγέροντο πᾶσαι, ὅσαι κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν».

4.130 ἃς καὶ ἀπαριθμεῖται, πλὴν οὐ πάσας διὰ τὸ μήδ' ἐνταῦθα πάνυ ἐπαγωγὸν τῆς ἐν ὀνόμασι τοιούτοις διατριβῆς, ἴσως δὲ καὶ διὰ τὸ μὴ ἔχειν μηδὲ νῦν εὐπορίαν πλάσεως τοσούτων ὀνομάτων δεξιᾶς καὶ εὐπροσίτου τοῖς ἀκροαταῖς. (v. 39—48) Διὸ καὶ ὀλίγον τι ὑπὲρ τὰς τριάκοντα μετρήσας, εἰρησομένας κατωτέρω, Νηρηΐδας, τὰς λοιπὰς ἐκ τῶν πεντήκοντα εἰς τὸ ἀόριστον ῥίπτει, εἰπὼν «ἔνθ' ἄρ ἔην Γλαύκη τε Θάλειά τε», καὶ ἑξῆς ἡ δεῖνα καὶ δεῖνα ἕως τοῦ «ἐϋπλόκαμός τ' Ἀμάθεια». (v. 49) Εἶτα παραδεικνὺς δύνασθαι τοὺς λογίους ἄνδρας ἐκ τῶν κατὰ βάθος θαλάσσιον καὶ ἄλλα θεῖναι ὀνόματα Νηρηΐδων ἐπάγει «ἄλλαι θ' αἳ κατὰ βένθος», καὶ ἑξῆς, ὡς κεῖται ἀνωτέρω. καλῶς ἄρα φθάσας παρεσημήνατο τὸ «πᾶσαι ὅσαι κατὰ βένθος ἦσαν». τὸ γὰρ «ὅσαι ἦσαν» ὑποδηλοῖ καὶ ἀπεῖναί τινας ἐκ τῶν ὅλων, αἳ δι' αὐτὸ δῆθεν οὐδ' ἠριθμήθησαν. (v. 52 s.) Εἶτα καὶ τὸν κωκυτὸν τῆς μητρὸς ἐκτιθεὶς πρῶτον μὲν ὑποτίθεται βραχυτάτην προοιμιακὴν ἔννοιαν τοιαύτην «κλῦτε κασίγνηται, ὄφρα εὖ πᾶσαι εἴδετ' ἀκούουσαι, ὅσ' ἐμῷ ἐνὶ κήδεα θυμῷ». (v. 54—64) Εἶτα ἐπάγει τὸ οἴκτιστον ὤ μοι ἐγὼ δειλή, «ὤ μοι δυσαριστοτόκεια, ἥ ἐπεὶ ἂρ τέκον υἱὸν ἀμύμονά τε κρατερόν τε ἔξοχον ἡρώων, ὃ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος, τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὣς γουνῷ ἀλωῆς, νηυσὶν ἐπιπροέηκα εἰς Ἴλιον Τρωσὶ μαχησόμενον· τὸν δ' οὐχ' ὑποδέξομαι αὖτις οἴκαδε νοστήσαντα. ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο, ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι. ἀλλ' εἶμ' ὄφρα ἴδοιμι φίλον τέκος ἠδ' ἐπακούσω, ὅτι μιν ἵκετο πένθος ἄπο πτολέμοιο μένοντα». Καὶ ὅρα τὴν μονῳδίαν τῆς Θέτιδος, πολλὰ καὶ αὐτὴν ἔχουσαν χρήσιμα ἐν καιρῷ τοῖς μονῳδικῶς γράφουσι. Καὶ νῦν μὲν ἡ μήτηρ πενθεῖ καθ' ἑαυτὴν οὖσα, γενομένη δὲ παρὰ τῷ υἱῷ Ἀχιλλεῖ μικρὸν ὅσον, ἐπεὶ παρηγορίας ἐκείνῳ ἔδει, τοιαῦτα μὲν οὐ λέγει, παραμυθεῖται δὲ ὡς χρεὼν ὂν χαίρειν αὐτόν, εἰ πάντα τετέλεσται ἐκ Διός, ὡς αὐτὸς εὔχετο, τὸ πάντας δηλαδὴ τοὺς Ἀχαιοὺς ἐπὶ ταῖς ναυσὶν ἀλῆναι αὐτοῦ ἐπιδευομένους, παθέειν τ' ἀεκήλια ἔργα».

4.131 καὶ αὐτὴ μὲν οὐδὲν οὕτω πένθιμον φθέγγεται, μὴ καὶ ἐπαυξήσῃ τὸ πένθος τῷ υἱῷ. Ἀχιλλεὺς μέντοι αὐτὴν οἰκτίσεται ἐν τῷ «ὡς ὄφελες σὺ μὲν αὖθι μετ' ἀθανάτῃσιν ἁλίῃσι μένειν» καὶ ἑξῆς, οὐ μόνον ὡς μητέρα τοιαύτην, καὶ οὕτω ταχὺ αὐτῷ ἄρτι ἐλθοῦσαν παρήγορον, ἀλλὰ καὶ ἵνα κολακεύσας ὑπαγάγηται εἰς ἃ θέλει, ὧν τὸ κεφάλαιον ἡ ὁπλοποιΐα, εἰς ἣν καὶ τοῦ παιδὸς μὴ ἀξιώσαντος ἡ μήτηρ σπεύσει, τὰς μὲν Νηρηΐδας πέμψασα, ὅθεν ἦλθον—ὁ γὰρ μῦθος ἐφεπομένας ἀνθρωπίνως πενθούσῃ τῇ ἀδελφῇ αὐτὰς ἐποίησεν εἰπὼν «αἳ δὲ σὺν αὐτῇ δακρυόεσσαι ἴσαν»—, αὐτὴ δὲ ἀνελθοῦσα εἰς τὸν Ἥφαιστον, ὃς ὅπλα χαλκεύσει τῷ Ἀχιλλεῖ. (v. 53) Ἰστέον δὲ ὅτι τὸ μὲν «εἴδετε», ὅπερ ἐστὶ δηλοῦν γνῶσιν ἢ θέαν, ἐνεστώς ἐστιν ὁριστικὸς πεζογράφοις ἄχρηστος. (v. 54) Τὸ δὲ «δυσαριστοτόκεια» δηλοῖ μὲν τὸ ἐπὶ κακῷ τετοκυῖα τὸν ἄριστον. καί φασιν ἐντεῦθεν μεταλαβοῦσαν τὴν Ὀλυμπιάδα εἰπεῖν περὶ Ἀλεξάνδρου, ὡς

κρείσσων γέγονεν ἢ μητρὶ συνέφερε. Σημειοῦνται δὲ οἱ παλαιοὶ τὴν Ὁμηρικὴν λέξιν ταύτην ὡς ἐκ τριῶν σύνθετον, λέγοντες σπανίως εὑρίσκεσθαι τὰς τοιαύτας παρὰ τοῖς σπουδαιοτέροις τῶν ποιητῶν, πλεονάζειν δὲ αὐταῖς μάλιστα τοὺς Κωμικούς. φαίνεται δὲ προϋπάρχειν ἡ δυσαριστοτόκος, καὶ ἀπ' αὐτῆς ἡ δυσαριστοτόκεια. οὕτω γάρ φασιν οἱ Τεχνικοὶ εἶναι πρωτοτόκον καὶ πρωτοτόκειαν. [Ὁμοία δέ τις τριῶν λέξεων σύνθεσις παρ' Ὁμήρῳ καὶ ἐν τῷ παναώριος.] (v. 56) Τὸ δὲ «ἔρνεϊ ἶσος» παραβολὴν ἐμφαίνει τοῦ τῆς ἐλαίας ἔρνους, ἣν ἐν τῇ πρὸ ταύτης ῥαψῳδίᾳ ἐπὶ Εὐφόρβῳ πλατέως ἔφρασεν ὁ ποιητής. ἐρρέθη δὲ οὕτω συντομώτατα διὰ τὸ τοῦ προσώπου ποιόν. οὐ γὰρ εἶχεν ἡ Θέτις ἐν τοιούτῳ πένθει καλλιλογεῖν. διὸ καὶ τὸ «ὡς φυτὸν γουνῷ ἀλωῆς» ὁμοίως ἔφρασε. τίς δὲ ὁ γουνός, καὶ περὶ ἁλωῆς δέ, ἀλλαχοῦ ῥηθέντα κεῖται.

4.132 (v. 57) Τὸ δὲ «ἀνέδραμε» τὸ ταχὺ καὶ μέγα δηλοῖ τῆς αὐξήσεως. (v. 64) Τὸ δὲ «ἄπο πολέμοιο μένοντα» ὑπολαλεῖ ἀφελῶς κατὰ γυναικεῖον ἦθος τὸ μὴ χρῆναι πενθεῖν τὸν υἱὸν οὕτως ἠρεμοῦντα καὶ μὴ δεδυκότα πολύδακρυν πόλεμον. Ἰστέον δὲ καὶ ὅτι Ὅμηρος μὲν ἐπίστροφον τοῦ υἱοῦ πλάττει τὴν Θέτιν καὶ οὐδαμοῦ ἑτεροίαν, οἱ δὲ νεώτεροι τῶν ποιητῶν φασιν, ὅτι δωδεκαταῖον ὑπὸ Θέτιδος καταλειφθέντα τὸν Ἀχιλλέα Χείρωνι παρέδωκεν ὁ Πηλεὺς τραφῆναι. (v. 76) Τοῦ δὲ «ἀλῆναι» προϋπόκειται μετοχὴ ποιητικὴ ὁ ἀλείς καὶ δύσχρηστον ῥῆμα τὸ ἤλη, ὃ διαλυθὲν ἐάλη γίνεται παρὰ τῷ ποιητῇ ὁμοίως τῷ ἐάγη. (v. 77) Ἀεκήλια δὲ ἔργα ἢ τὰ μὴ ἡσυχαστικὰ κατὰ στερητικὴν σύνθεσιν καὶ παραγωγὴν ἐκ τοῦ ἕκηλος, ἢ τὰ μὴ ἑκούσια, καὶ ὡς εἰπεῖν, ἃ ἔπασχον «πόλλ' ἀεκαζόμενοι». καὶ ταῦτα μὲν οὕτω. Ἰστέον δὲ ὡς ὀνόματα ταῖς ἀνωτέρω μνημονευθείσαις Νηρηΐσιν Ὅμηρος πλάττει, καθά που καὶ Ἡσίοδος, ἀπὸ τῶν συμβεβηκότων ἢ ἄλλως ἐνθεωρουμένων τῇ τε θαλάσσῃ καὶ τῷ στοιχείῳ τοῦ ὕδατος. (v. 39) Οἷον Γλαύκη μέν τις αὐτῶν καλεῖται διὰ τὸ τῆς θαλάσσης ἔστιν ὅπου γλαυκόν, γλαυκὴ μέν τις οὖσα, βαρυνθεῖσα δὲ πρὸς διαφορὰν ἐπιθέτου, ὡς κύριον.

4.133 καθὰ καὶ ἡ Θόη μετ' ὀλίγα οὐ τονοῦται ὀξέως ἀλλὰ βαρὺν τόνον ἔχει πρὸς διαστολὴν τῆς ἐπιθετικῶς λεγομένης θοῆς, ἣ καὶ αὐτὴ παρὰ τὸ θέειν γίνεται. Θάλεια δὲ διὰ τὸ τοῦ στοιχειακοῦ ὕδατος ζῳογόνον ἔν τε ἄλλοις καὶ ἐν φυτοῖς δέ, ἐφ' ὧν τὸ θάλλειν κυριολεκτεῖται. ὅτι δὲ καὶ μία τῶν Μουσῶν ἐστι Θάλεια, καὶ ὅτι καὶ δαιτὸς ἐπίθετον τοῦτο, πολλαχοῦ εἴρηται. καὶ ὅτι δὲ οὐδὲ τὸ θαλάττιον ὕδωρ ἐστέρηται εἰς τὸ πᾶν τοῦ ποιεῖν θάλλειν, ὡς δηλοῦσι δίχα φυκίων καὶ μνίων καὶ οἱ ἀρὰ τῇ ἱστορίᾳ βαλανηφαγοῦντές που θύννοι, δῆλόν ἐστι καὶ αὐτό. μαρτυροῦσι δὲ τῷ λόγῳ καὶ οἱ Θρᾴκιοι Ῥηγῖνοι, παρ' οἷς ἡ κατὰ σφᾶς ἐκ θαλαττίου στομίου λίμνη τῇ τῶν ἀμπέλων φυτείᾳ συμβάλλεται, τοὺς τῶν φυτῶν βόθρους τοῦ κατ' αὐτὴν ὕδατος ἐμπιπλῶσα, ἔνθα δυσμετακόμιστόν ἐστι τὸ γλυκύ. καὶ ἄλλως δὲ αὕτη Θάλεια κατὰ τὴν δαῖτα, διὰ τὸ ἐκεῖθεν ζωηρὸν οὐ μόνον τοῖς ἐναλίοις ἀλλὰ καὶ τοῖς ἔξω ἐμπορικοῖς τε καὶ λοιποῖς, ὧν χάριν καὶ Δωτὼ Νηρηῒς πέπλασται, ὡς ῥηθήσεται. (v. 39 et 41) Κυμοδόκη δὲ καὶ Κυμοθόη διὰ τὰ κύματα. Ἰστέον γὰρ ὅτι εἰσί τινα τῶν τοῦ ὕδατος, ἐξ ὧν ἑκάστου διάφορα τῶν τινες Νηρηΐδων κοινοῦνται ὀνόματα, οἷον τὸ Ἴαιρα καὶ Ἰάνειρα καὶ Ἰάνασσα, ἴσως δὲ ἀκολούθως τοῖς δυσὶ τούτοις καὶ τὸ Καλλιάνειρα καὶ Καλλιάνασσα, παρὰ τὸ ἰαίνειν, ἐπεὶ τοιοῦτον τὸ στοιχεῖον εὐφρόσυνον δηλαδὴ πολυτρόπως.

4.134 ὅθεν καί τις Νηρηῒς Μελίτη λέγεται, ὡς πολλοῖς αἰτία γλυκασμοῦ. οὕτω καὶ διὰ τοὺς θαλαττίους ἤχους ἡ μέν τις Κλυμένη, ὡς οἷον κλυτὴ καὶ ἐξάκουστος, ἡ δὲ Ἀγαυὴ διὰ τὸ ἄγαν αὔειν, Δωτὼ δὲ καὶ Δωρὶς διὰ τὰς ἐκ θαλάσσης ἀγαθὰς ὁπωσοῦν δόσεις. ὁμοίως καὶ Θόη, ἢ μάλιστα, ὡς ἐρρέθη, θοή, οὐ μόνον διὰ τὸ ταχὺ τοῦ ὕδατος ὅτε προρρέει, ἀλλὰ καὶ διότι θεούσαις ὑπόκειται ναυσί. διὸ οὐ μόνον ἡ ῥηθεῖσα Κυμοθόη σύνθετος ἐξ αὐτῆς, ἀλλὰ καὶ Ἀμφιθόη ἑτέρα. διὰ δὲ τοῦτο καὶ ἄλλη τις Φέρουσα καθ' ὁμοιότητα τοῦ Φόρκυνος θαλαττίου δαίμονος. Νησαίη δὲ καὶ Ἀκταίη καὶ Σπειὼ διὰ τὰς περὶ θάλασσαν νήσους καὶ τὰς ἀκτὰς καὶ τὰ

κατ' αὐτὴν σπέη, ὅ ἐστι σπήλαια, ὁποῖα πολλὰ ἐκεῖ, καθὰ δηλοῖ καὶ τὸ «ἀργύφεον πλῆτο σπέος», καὶ τὸ «ὣς ἄρα φωνήσασα Θέτις λίπε σπέος». οὕτω δὲ καὶ Ἀμάθεια παρὰ τὴν ἄμαθον, ἣν οὐ καλῶς τινες Ἀμάθυιαν ἐτόλμησαν γράφειν πρὸς ὁμοιότητα τοῦ Ὠρείθυιαν. αὕτη μὲν γὰρ φύσει ἔχουσα τὸ υ δίχρονον ἐν τῇ παραληγούσῃ ἐκ τοῦ θύειν, ὅ ἐστιν ὁρμᾶν, εἰκότως τῇ υι διφθόγγῳ παραλήγεται κατὰ τὸ κυνάμυια. παρὰ τὸ θύειν γὰρ ἐν ὄρει γίνεται ἐκτάσει τοῦ ο εἰς ω . τῆς δὲ Ἀμαθείας προϋποκειμένη ἡ ἄμαθος, ἀπρόσβατός ἐστι τῇ υι διφθόγγῳ. ἔστιν οὖν ὡς ἀριστοτόκος, ἀριστοτόκεια, οὕτως ἄμαθος, Ἀμάθεια. Ἁλία δὲ παρ' αὐτὴν τὴν ἅλα, ἐξ ἧς καὶ κοινὸν τοῦτο πάσαις ἐπίθετον, ὡς δηλοῖ τὸ «μετ' ἀθανάταις ἁλίῃσι». Λιμνώρεια δὲ παρώνυμος λιμνῶν καὶ ὀρέων, ἃ δηλαδὴ πολλαχοῦ θάλασσαν ὑποξύουσι, καθὰ καὶ Ὠρείθυια κατὰ ἔκτασιν τῆς ἀρχούσης ἡ ἐν ὄρει που ἔστιν οὖ θύουσα ἢ διὰ τὰ καὶ ἐν ὄρεσιν ὕδατα.

4.135 Πρωτὼ δὲ διὰ τὸ πρωτεῦον τοῦ ὕδατος καὶ ἀρχικόν. διὸ καὶ Νημερτὴς καὶ Ἀψευδὴς ἕτεραι δύο αὗται Νηρηΐδες τῇ αὐτῇ ἐννοίᾳ διοικούμεναι, τῇ δῆθεν ἀληθέστερον ἀρχικῇ, ὡς τῶν ἄλλων τριῶν στοιχείων ψευδομένων οἷον τὸ ἀρχικὸν διὰ τὸ δοκεῖν ἐξ ὕδατος τὰ λοιπὰ ὡς ἀπ' ἀρχῆς τινος γίνεσθαι. οὕτω δὲ καὶ τὸ Καλλιάνασσα καὶ τὸ Ἀγαυή καὶ Κλυμένη τοῦ κατὰ τὸ ὕδωρ ἀρχικοῦ δόξαιεν ἂν οὐκ ἀφυῶς ἔνδειξις εἶναι, τὸ μὲν διὰ τὴν τοῦ ἀνάσσειν ἀξίαν, τὸ δὲ διὰ τὸ ἐκ τοῦ ἄρχειν γαῦρον καὶ περίκλυτον. καὶ ἄλλως δέ, Νημερτὴς καὶ Ἀψευδὴς ὀνόματα θαλαττίων δαιμόνων διὰ τὸ εἰς ὅρκον τοῖς τότε πίπτειν τὴν θάλασσαν, ὡς δηλοῖ τὸ «χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλεν ἅλα μαρμαρέην», ὅ ἐστι μαρμαίρουσαν, ἐκ τοῦ μαίρειν, ἐξ οὗ καὶ Μαῖρα Νηρηΐς, οἱονεὶ ἡ λαμπρά. ᾗ ἀκόλουθος καὶ ἡ Πανόπη, ἔτι δὲ καὶ ἡ Γαλάτεια, παρηχουμένη ὥσπερ ἡ Θέτις τῇ καταθέσει τῆς ζάλης, οὕτως αὐτὴ τῇ γαλήνῃ. αὕτη δὲ καὶ διὰ τοὺς τῶν κυμάτων γαλαταχρόους ἀφροὺς οὕτω καλεῖται. καὶ Πανόπη δὲ ἄλλως διὰ τὸ λεῖον τῆς τοῦ ὕδατος ἐπιφανείας καὶ τῇ ὄψει ἀνεπιπρόσθητον, καθά που δηλοῖ καὶ ὁ ποιητὴς ἐν παραβολῇ. Δυναμένη δὲ ἢ διότι τὸ στοιχεῖον τοῦ ὕδατος κατὰ τὸ δύνασθαι θεωρεῖται πρὸς τὸ ἐνεργείᾳ τῶν εἰδοποιουμένων ἐξ αὐτοῦ, ἢ καὶ διὰ τὸ τοῦ ὕδατος ἰσχυρόν, ὃ καὶ ὁ θαλάττιος πολλαχοῦ αἰνίττεται Ποσειδῶν, ὁ διὰ τοῦτο καὶ Ἐνοσίχθων καὶ Ἐννοσίγαιος.

4.136 Δεξαμένη δὲ διὰ τὸ δεχάδα τὴν θάλασσαν εἶναι ζῴων τε τῶν ἐν αὐτῇ καὶ τῶν εἰς αὐτὴν ὡς εἴς τινα δεξαμενὴν εἰσβαλλόντων ὑδάτων. Ἀμφινόμη δὲ διά τε τὰς κύκλῳ ἀπὸ γλυκέων ὑδάτων νομὰς καὶ τὰ ἐν ὑγροῖς δὲ νεμόμενα. καὶ εἴ τινες δέ που ἕτεραι Νηρηΐδων κλήσεις, οἷον Ἁλοσύδνη ἢ Ὑδατοσύδνη ἢ Κυμὼ ἢ Ἀμφιτρίτη, τοιούτοις τισὶ λόγοις ὑπάγονται. ὅτι δὲ οἱ παλαιοὶ πολλὴν καὶ εἰς τὰ τοιαῦτα σχολὴν ἔσχον, ἄλλοι δηλοῦσιν. (v. 40, 45, 48) Ὅρα δὲ ὡς ὁ οὕτω πλούσιος τὴν φράσιν Ὅμηρος τῶν τοιούτων Νηρηΐδων τρεῖς μόνας μετ' ἐπιθέτων προήγαγεν, εἰπὼν «Ἁλίη βοῶπις», «ἀγακλειτὴ Γαλάτεια», καὶ «ἐϋπλόκαμος Ἀμάθεια». ἐφιλοτιμήσατο γὰρ ταχὺ ἐπελθεῖν αὐτάς, διὸ καὶ ἐν τρισὶ μὲν στίχοις ἀνὰ τέσσαρα ὀνόματα Νηρηΐδων ἔθετο, ἐν δὲ τοῖς λοιποῖς ἑπτὰ ἀνὰ τρία. (v. 43) Ἰστέον δὲ καὶ ὅτι ἡ Δωτώ, ὡς ἀπὸ τοῦ δῶ δώσω μεγεθύνουσα τὴν ἄρχουσαν, συγκροτεῖται καὶ ὑπὸ τοῦ δωτίνη καὶ τοῦ δώτωρ καὶ τοῦ «θεοὶ δωτῆρες ἑάων», καὶ τοῦ δώτης καὶ ἀδώτης παρ' Ἡσιόδῳ, ἤδη δὲ καὶ τοῦ δῶρον καὶ δωρεά. (v. 42) Ὅτι δὲ Ἀγαυὴ καὶ ἡρωΐδος ὄνομα, ὥσπερ καὶ Μαῖρα καὶ Κλυμένη, δῆλόν ἐστιν. ὡς δὲ καὶ Ὠρείθυια γυνὴ Ἀττική, ἣν ὁ μῦθος ὑπὸ Βορέου ἁρπαγῆναί φησιν, ὡς ἀλλαχοῦ ἐρρέθη, καὶ ὅτι ἐρωμένη Κύκλωπος ἡ ῥηθεῖσα Γαλάτεια, δηλοῦσι καὶ αὐτὸ οἱ παλαιοί. παρ' οἷς ἠθέτηται ὁ τῶν ἡρωΐδων χορός.

4.137 φασὶ γὰρ ὅτι Ὅμηρος μὲν κατὰ τὸ κοινὸν αὐτὰς εἴωθε λέγειν, τουτέστι προσηγορικῶς Νηρηΐδας, καθὰ καὶ Εἰλειθυίας καὶ Μούσας, ὁ δὲ κατ' ὄνομα χαρακτὴρ Ἡσιόδειος, ἄλλως τε, φασί, καὶ γελοῖον προθέμενον πάσας εἰπεῖν ἐπαγαγεῖν τὸ «ἄλλαι τε αἳ κατὰ βένθος», ὥσπερ ἀποκαμόντα καὶ μὴ εὐποροῦντα διηνεκοῦς πλάσεως ὀνομάτων. [Ἐνταῦθα δὲ παραρριπτέον ἀστείως, ὅτι καθά τις παίζων ἐπὶ μεγάλοις ἰχθύσι θεοὺς αὐτοὺς ὠνόμασε. πυθόμενος γὰρ

ἰχθυοπώλου ποταποὺς ἰχθύας ἔχει, καὶ μαθὼν ἀνθίαν καὶ λάβρακα καὶ τοιαῦτά τινα, ἔφη περὶ ἰχθύων πυθέσθαι, οὐ μὴν περὶ θεῶν. ὡς οὖν ἐκεῖνος ἐξεθέωσε τοὺς ἁδροὺς ἰχθύας, οὕτω τις ἔπαιξε καὶ ἐπὶ ταῖς Νηρηΐσι. περὶ ὀψωνίας γὰρ λέγων λαμπρᾶς ἔφη, ὡς ἐπεισῆλθον ἡμῖν ἰχθύες πολυτελεῖς, μονονουχὶ γὰρ καὶ τὰς Νηρηΐδας ὠψωνήκει.] (v. 50) Ἔτι ἰστέον καὶ ὅτι οὐ μόνον ἐπὶ ἱματίου ἀργύφεον τὸ οἱονεὶ λευκὸν καὶ λαμπρὸν ὕφασμα, ἀλλὰ καὶ σπέος, ὡς ἐρρέθη, ἀργύφεον ἐνταῦθα τὸ ὡσανεὶ φωσφόρον καὶ ἀργόν, ὅ ἐστι λευκόν, φαινόμενον, τροπῇ τοῦ ο εἰς υ Αἰολικῶς, ὥστε οὐδὲ κυρίως σπέος τὸ τοιοῦτον, εἴγε σπέος λέγεται τὸ οἷον σβέος κατὰ τοὺς παλαιοὺς διὰ τὸ ἀφώτιστον. δοκεῖ δὲ προϋπάρχειν τοῦ ἀργύφεον τὸ ἄργυφον τρισύλλαβον, οὗ χρῆσις καὶ ἐν τῷ «ἄργυφα μῆλα νομεύων». (v. 51) Ἐνταῦθα δὲ καὶ τὰ στήθεα πεπλήγεσθαι τὰς Νηρηΐδας φησὶν ὡς πρὸ τούτων τὰς τοῦ Ἀχιλλέως δμῳάς, ὃ δὴ γυναικῶν μόνων παρ' Ὁμήρῳ ἔργον, ὅτε παθαίνονται. καὶ τὴν Θέτιν ἐξάρχειν λέγει θρήνου, τουτέστι τῆς ἀνωτέρω διειλημμένης μονῳδίας. φησὶ γάρ «αἳ δ' ἅμα πᾶσαι στήθεα πεπλήγοντο, Θέτις δ' ἐξῆρχε γόοιο». τί δὲ τὸ ἐξάρχειν γόου, δηλώσουσιν αἱ ἐν τοῖς ἑξῆς ἔξαρχοι τῶν θρήνων. Ἰστέον δὲ καὶ ὅτι τὸ ἐφεξῆς μετὰ τὸ ἀργύφεον σπέος δύναται παρῳδηθὲν εὐχρηστηθῆναι εἰς πένθος καὶ οὕτω «κλῦτε, κασίγνητοι, ὄφρ' εὖ πάντ' εἴδετε ἀκούοντες ὅσα ἐμῷ», καὶ ἑξῆς, ὡς προεγράφη. (v. 65—7) Ὅτι εἰπὼν ὁ ποιητὴς ὡς «δακρυόεσσαι ἴσαν», ἤγουν ἐπορεύοντο, αἱ Νηρηΐδες, «περὶ δέ σφισι κῦμα θαλάσσης ῥήγνυτο» ἰούσαις ἄνω δηλαδὴ μετὰ Θέτιδος, δηλοῖ ἐτυμολογικῷ τρόπῳ, ὅτι καὶ ἐν Ὀδυσσείᾳ τὴν ἐπιφάνειαν τῆς θαλάσσης ῥηγμῖνα καλεῖ διὰ τὸ καὶ ἐν αὐτῇ ὡς καὶ ἐν τῷ αἰγιαλῷ κύματα ῥήγνυσθαι, ὡς εἶναι καθόλου ῥηγμῖνα, ἔνθα κῦμα ῥήγνυται.

4.138 (v. 68) Ὅτι τὸ «ὑψοῦ ἐπὶ ψαμάθοις» διασαφεῖται καὶ ἐνταῦθα διὰ τοῦ «ἀκτὴν δ' εἰσανέβαινον» αἱ Νηρηΐδες «ἐπισχερώ». εἰ γὰρ τὸ ἐκ θαλάττης ἰέναι εἰς ἀκτὴν ἀναβαίνειν ἐστί, καλῶς ἄρα ἐρρέθη καὶ τὸ «ὑψοῦ ἐπὶ ψαμάθοις», ὥσπερ αὖ πάλιν κατὰ λόγον ἄλλον εὖ ἔχει, ὡς προδεδήλωται, καὶ τὸ «ὑψοῦ ἐν νοτίῳ». Ὅτι δὲ τὸ ἐπισχερώ ὀξύνεται καὶ τί σημαίνει, προείρηται. Ὅτι ἐν Ὀδυσσείᾳ μὲν ἡ Πηνελόπη φιλοφρονεῖται τὸν υἱὸν ἐλθόντα ποθέν, «φιλοῦσα κεφαλήν τε καὶ ἄμφω φάεα καλά», ἐνταῦθα δὲ ἡ Θέτις ἅπτεται μόνον τῆς τοῦ παιδὸς κεφαλῆς. οὐ γὰρ χαίρει κατὰ Πηνελόπην, διὸ οὐδὲ φιλεῖ κατ' ἐκείνην. (v. 70 s.) Φράζει δ' ἐνταῦθα ὁ ποιητὴς οὕτω «τῷ δὲ βαρυστενάχοντι παρίστατο πότνια μήτηρ, ὀξὺ δὲ κωκύσασα κάρη λάβε παιδὸς ἑοῖο», ἢ μᾶλλον ἐῆος ἤγουν ἠέος, ὅ ἐστιν ἀγαθοῦ, ὡς ἀπὸ τοῦ ἠΰς ἠέος κατὰ μετάθεσιν ἐῆος, ἢ καὶ ἰδίου, διὸ καὶ δασύνεται παρὰ πολλοῖς. (v. 73 s.) Καὶ οὕτω λαβομένη τῆς κεφαλῆς εἶπε τοὺς ἐν τῇ α' ῥαψῳδίᾳ δύο στίχους «τέκνον τί κλαίεις», καὶ ἑξῆς. (v. 74—7) Εἶτα ἐπάγει πρὸς παρηγορίαν τὸ «τὰ μὲν δή τοι τετέλεσται» καὶ τὰ ἐφεξῆς, ὡς πρὸ βραχέων γέγραπται, ἕως τοῦ «παθεῖν ἀεκήλια ἔργα». Ὅρα δὲ ὅτι ἐπὶ μὲν Ἀχιλλέως τὸ βαρυστενάχειν οἰκείως ἔφη ὡς ἐπὶ ἀνδρός, ἐπὶ δὲ Θέτιδος τὸ ὀξὺ κωκύειν γυναικικώτερον. Ἰστέον δὲ ὅτι καὶ ταῦτα τὰ προσεχῶς γραφέντα εὔχρηστά ποτε εἰσιν εἰς πένθιμον γραφήν. (v. 79 s.) Ὅτι ὁ πολλοῖς μὲν ἀγαθοῖς ἐνευθηνούμενος, πολλὴν δὲ λύπην ἔχων ἐπὶ θανόντι φίλῳ, ἐρεῖ ἂν κατὰ τὸν Ἀχιλλέα τὸ «ταῦτα μὲν δή μοι Ὀλύμπιος ἐξετέλεσσεν. ἀλλὰ τί μοι τῶν ἦδος», ὅ ἐστιν ἥδυσμα, «ἐπεὶ φίλος ὤλεθ' ἑταῖρος»; (v. 81) Καὶ ἐπιτείνων τὸ «φίλος» ἐπαγάγοι ἂν καὶ τὸ «ὃν ἐγὼ περὶ πάντων τῖον ἑταίρων».

4.139 (v. 82) Οὗ ἐπίτασις εὐθὺς κείμενον τὸ «ἶσον ἐμῇ κεφαλῇ», τουτέστιν ὡς ἐμὲ αὐτόν. ἐντεῦθεν δέ, φασίν, ὁ περὶ Πυθαγόραν ὅμιλος ἀρχὴν ἑλὼν ὡρίζετο λέγων, ὅτι ὁ φίλος ἄλλος ἐστὶν ἐγώ. ὑπερβολὴ δὲ φιλίας τὸ μηδὲν νομίζειν ἡδύτερον φίλου ζῶντος. χρήσιμον δὲ τὸ «ἶσον ἐμῇ κεφαλῇ», καὶ εἰς τὸ «Τεῦκρε φίλη κεφαλή», ὅπερ εἴη ἂν ταὐτὸν τῷ «ὦ ἄλλος αὐτὸς ἐγώ». Ἰστέον δὲ ὅτι τὸ «τόνδ' ἀπώλεσα», κείμενον μετὰ τὸ «ἶσον ἐμῇ κεφαλῇ», ἐπίτασίς ἐστι τοῦ «φίλος ὤλεθ' ἑταῖρος». οὐ γὰρ ἁπλῶς, φησίν, ὤλετο, ἀλλ' ὑπ' ἐμοῦ στείλαντος ἐκεῖνον εἰς

μάχην. (v. 82 s.) Ὅτι λυπεῖται Ἀχιλλεὺς οὐ μόνον ὡς τὸν ἑταῖρον ἀπώλεσεν, ἀλλὰ καὶ ὅτι ἐκεῖνον τεύχεα Ἕκτωρ δῃώσας ἀπέδυσε. τοῦτο δὲ οὐχ' ἁπλῶς οὕτω παρέρριπται νῦν, ἀλλ' εὐοικονομήτως, ἵνα τὸν υἱὸν ἡ Θέτις ἀχθόμενον ὅτι μάλιστα μαθοῦσα καὶ ἐπὶ τῇ στερήσει τῶν ὅπλων φροντιεῖ τῆς ἐν τοῖς ἐφεξῆς ὁπλοποιΐας. ἔστι δὲ ἀποδῦσαι ὅπλα τὸ ἐκδῦσαι καὶ σκυλεῦσαι. (v. 83—5) Τὰ δὲ τοῦ Ἀχιλλέως τεύχεα πολλαχῶς φράζειν ὁ ποιητὴς ἐθέλει οἷον πελώρια, θαῦμα ἰδέσθαι, καλὰ καὶ ἀγλαὰ δὲ καὶ κλυτά, ἤδη δὲ καὶ θεόσδοτα, εἴγε Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα, ὅτε τὴν Θέτιν βροτοῦ ἀνέρος ἔμβαλον εὐνῇ. προϊὼν δὲ καὶ χάλκεα ἐρεῖ αὐτά, ἐκ τῆς χείρονος ὕλης οὕτω καλέσας, ἀφ' ἧς καὶ τοὺς ἐργαζομένους αὐτὰ χαλκεῖς ἔλεγον. ἐρεῖ γὰρ «ἔντεα καλὰ χάλκεα μαρμαίροντα». Εἶεν δ' ἂν αὐτὰ καὶ ἀγάλματα καὶ ἀγλαΐσματα, εἴγε αὐτὰ Ἕκτωρ ἔχων ὤμοισιν ἀγάλλεται καὶ ἐπαγλαΐζεται, ὡς μετ' ὀλίγα λεχθήσεται. (v. 85) Ὅρα δὲ τὸ «ἔμβαλον εὐνῇ», ἀντὶ τοῦ ἐνέθεντο γαμηλίῳ κοίτῃ, ὅ ἐστι συγκατεύνασαν τὴν Θέτιν τῷ Πηλεῖ. δύναται δὲ καὶ ἄλλως τὸ ἐνέβαλον εὐνῇ ἀστείως εἰρῆσθαι ἀντὶ τοῦ ἐνέρριψαν, ὡς ἐπὶ εἱρκτῆς ἢ βοθύνου ἢ τοιοῦδέ τινος. τοιοῦτον γάρ τι καὶ οἱ καὶ ἄνισοι γάμοι καὶ ἀκούσιοι. Ἔτι ὅρα ὡς καὶ πρὸ τούτων εἰπὼν θεόθεν δοθῆναι τὰ ὅπλα τῷ Πηλεῖ, ἐνταῦθα καὶ τὸν καιρὸν τῆς δόσεως προσέθετο, διαφόροις τόποις καταμερίσας τὴν ἱστορίαν, ὡς καὶ ἐπ' ἄλλων εἴωθε ποιεῖν. Τὸ δὲ «βροτοῦ ἀνέρος» ἐντελῶς καὶ νῦν πέφρασται. βροτόν δέ γε μόνον εἰπεῖν, ἐλλιπῶς ἔχει. (v. 86—90) Ὅτι τὴν μητέρα οἰκτιζόμενος, ὡς ἐρρέθη, ὁ Ἀχιλλεύς φησιν «ὡς ὄφελες σὺ μὲν αὖθι μετὰ Νηρηΐσι ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν. νῦν δ' ἵνα καὶ σοὶ πένθος ἐνὶ φρεσὶ μυρίον εἴη παιδὸς ἀποφθινομένοιο, τὸν οὐχ' ὑποδέξεαι αὖτις οἴκαδε νοστήσαντα». τοῦτο δὲ ἐκ τῶν τῆς Θέτιδος παρέξεσται, εἰπούσης «τὸν δ' οὐχ' ὑποδέξομαι» καὶ ἑξῆς, ὡς ἐμπεσεῖν ἀμφοτέρους εἰς νοῦν ἕνα.

4.140 (v. 90—3) Εἶτα ὥσπερ πάνυ φιλομήτωρ ἔδοξεν εἶναι εὐξάμενος, φασί, μηδὲ γενέσθαι αὐτός, ἵνα μὴ λυπῆται ἡ μήτηρ, διὸ καὶ ἀντικτᾶται πολλὴν ἐκεῖθεν εὔνοιαν, οὕτω δεικνύει καὶ τὸ ὑπερβάλλον τῆς τοῦ Πατρόκλου φιλίας, ἐπαγαγὼν «ἐπεὶ οὐδέ με θυμὸς ἄνωγε ζώειν οὐδ' ἄνδρεσσι μετέμμεναι, αἴ κε μὴ Ἕκτωρ πρῶτος ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃ, Πατρόκλοιο δ' ἕλωρα Μενοιτιάδαο ἀποτίσῃ». Καὶ ὅρα προαναφώνησιν ταύτην, ἔτι δὲ καὶ ἀπολογίαν, ὧν πιθανῶς πείσεται ὁ Ἕκτωρ. ὁ γὰρ ἀποτίσων ἕλωρα ὡς χρεωστῶν ἀποτίσει. ἕλωρα γοῦν λαβὼν ὁ Ἕκτωρ ἀπὸ Πατρόκλου, ὅτε περιμάχητος ὢν ἐκεῖνος εἵλκετο, τοιαῦτα καὶ ἀποτίσει ἀντιπαθών. ἀσφαλέστερον δὲ καὶ σαφέστερον ἐρρέθη νῦν τὸ «τοῦ δεῖνος ἕλωρα ἀποτίσει», ἤπερ πρὸ τούτων τὸ «νῦν μοι τὸν ἀδελφὸν ἀποτίσεις». (v. 88) Ὅρα δὲ καὶ σχῆμα καίριον ἐλλειπτικὸν ἐν τῷ «νῦν δ' ἵνα καὶ σοὶ πένθος εἴη». λείπει γὰρ ἀπὸ κοινοῦ τὸ «ἐνεβλήθης εὐνῇ», ἢ τὸ «ἤχθης ἄκοιτις», ἵνα εἴη τὸ πλῆρες οὕτω· νῦν δὲ εἰς γάμον ἦλθες ἀνδρὸς θνητοῦ, ἵνα πένθος μυρίον ἔχῃς. (v. 88) Ἐκ δὲ τοῦ «πένθος μυρίον», ὅ ἐστι πολύ, ἐπενοήθη τὸ πολυπενθής. (v. 91) Τὸ δὲ «οὐδ' ἄνδρεσσι μετέμμεναι» ἢ ἁπλοϊκῶς οὕτω κατὰ τὸ παρέλκον κεῖται, ἤρκει γὰρ καὶ μόνον τὸ μὴ ζώειν, ἢ καὶ ἄλλως εἰπεῖν, ἕτερόν ἐστι παρὰ τὸ μὴ ζῆν τὸ μηδ' ἀνδράσι μετεῖναι. δηλοῖ γὰρ τὸ μὴ τοῖς ἀνδρείοις συναριθμεῖσθαι, ἢ καὶ ἔτι βαρύτερον, τὸ μηδ' ἁπλῶς ἄνδρα λέγεσθαι ἀλλὰ γυναικίαν τινά, καὶ Ὁμηρικῶς φάναι, «Ἀχαιΐδα οὐκ ἔτ' Ἀχαιόν», ἢ γυναικάνδρα, καθὰ συντίθησιν ἕτερος ποιητής. [(v. 92) Τὸ δὲ πρῶτος» ἢ ἁπλῶς οὕτως ἐπιθυμία τοῦ Ἀχιλλέως ἐστὶν ἐφιεμένου πρὸ τῶν ἄλλων πεσεῖν τὸν Ἕκτορα, ἢ καὶ διάγνωσις τοῦ κατ' ἐκεῖνον θάρσους ἢ θράσους, ὡς ἤδη πεφρονηματισμένου τοῦ Ἕκτορος καὶ διὰ τοῦτο πρώτου ἀντιστησομένου τῷ Ἀχιλλεῖ καὶ πρώτου πεσουμένου.] (v. 93) Τὸ δὲ ἕλωρα πρωτότυπόν ἐστι τοῦ ἑλώρια, ὡς καὶ τὸ ἴχνια, καὶ τὸ ἀέκηλον τοῦ ἀεκήλια. (v. 95) Ὅτι τὸ «ὠκύμορος δή μοι τέκος ἔσσεαι οἷ' ἀγορεύεις» κατὰ ἐπικινδύνου λαλιᾶς οἰκεῖον εἰπεῖν. Ἰστέον δὲ ὅτι τῶν τις παλαιῶν δαπανηρῷ νέῳ παρῳδήσας τὸ τοιοῦτον ἔπος προσήρμοσεν, εἰπὼν «ὠκύμορος δή μοι τέκος ἔσσεαι, οἷ' ἀγοράζεις».

4.141 Ὅμηρος δὲ τὴν Θέτιν ποιεῖ τῷ Ἀχιλλεῖ τὸ προρρηθὲν εἰποῦσαν, ἐφ' οἷς ἐκεῖνος ἔφη μηκέτι ζῆν ἐθέλειν, εἰ μὴ δώσει δίκας ὁ τοῦ φίλου φονεύς. (v. 96) Ἥτις καὶ ἐφερμηνεύουσα τὸ «ὠκύμορος» ἐπάγει προαναφωνητικῷ σχήματι «αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος, ὅπερ ἐστὶ περίφρασις τοῦ αὐτίκα τεθνήξῃ, ἢ καὶ ἄλλως δηλοῖ, ὡς ἑτοιμάζεταί σοι θάνατος. (v. 98—100) Ἀχιλλεὺς δὲ καὶ τὴν φιλεταιρίαν ἐνδεικνὺς καὶ τὴν τοῦ ῥηθέντος ἔπους γοργῶς ἐπιτέμνων περίφρασίν φησιν «αὐτίκα τεθναίην», ὡς ἔφης δηλαδή, ὦ μῆτερ, «ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ κτεινομένῳ ἐπαμῦναι, ὃ μὲν μάλα τηλόθι πάτρης ἔφθιτο, ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι». Καὶ ὅρα τὸ πολὺ τῆς φιλίας, εἰ δώροις τοσούτοις μὴ πεισθεὶς αἱρεῖται ὑπὲρ φίλου ἄρτι τόν, ὡς ἐρρέθη, αὐτίκα θάνατον. εἰ δὲ νῦν μὲν ἵνα βοηθήσῃ τῷ Πατρόκλῳ «τεθναίην» φησίν, ἐν Ὀδυσσείᾳ δὲ τεθνεὼς ἀναζῆσαι θέλει, ἵνα τῷ πατρὶ ἐπαμύνοιτο, οὐκ ἔστιν ἀνωμαλία ἤθους τὸ τοιοῦτον. κατὰ γὰρ τοὺς παλαιοὺς οὔτε τὸ τεθνάναι δι' αὑτὸν αἱρεῖται οὔτε τὸ ζῆν, ἀλλὰ διὰ ἔργα, ὧν προκειμένων ὁ φιλόκαλος ζῶν μὲν τεθνάναι αἱρήσεται, εἰ καλόν τι ἔσται θανόντος, τεθνεὼς δὲ ἀναβιώσεσθαι, εἰ τῶν κατ' ἀρετήν τι πράξει. (v. 100) Τὸ δὲ «ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι» στρεβλόν ἐστι νόημα καὶ διάφορον τῇ γραφῇ καὶ δυσφραδές. καὶ οἱ μὲν οὕτω φασίν· ἐμοῦ δὲ δῆσεν ὁ Ἄρης, τουτέστιν ἔδησεν καὶ ἐκώλυσε, τὸ ἀλκτῆρα γενέσθαι, ἤγουν ἀμύντορα τοῦ Πατρόκλου. ἕτεροι δὲ περισπῶντες τὸ «ἀρῆς» λέγουσιν οὕτως «ἐμοῦ δὲ δῆσεν, ὅ ἐστιν ἐδέησε, τῷ Πατρόκλῳ, εἰς τὸ ἀρᾶς ἐκείνῳ ἀλκτῆρα γενέσθαι», οἱ δὲ παλαιοὶ παραφράζουσιν ἐνταῦθα τὸν ῥηθέντα στίχον καὶ οὕτω πάνυ γοργῶς· ἐμοῦ δέ, φησί, τὴν πρᾶξιν ἔδησεν Ἄρης, ἢ τῆς ἐξ ἐμοῦ βοηθείας ἐνεδέησεν, ἢ τῇ βλάβῃ αὐτοῦ ἐνεδέησε.

4.142 τὸν δὲ Ἀρίσταρχόν φασι γράφειν «Ἄρεω ἀλκτῆρα», ἵνα λέγῃ ὅτι ἐμοῦ ἐδέησεν εἰς τὸ ἀλεξητῆρα γενέσθαι τοῦ Ἄρεω, ὡς ἀπὸ ἀσυνήθους εὐθείας τῆς ὁ Ἄρεως ὡς Μενέλεως. ὅτι δὲ πολλὰς κλίσεις ὁ Ἄρης ἔχει, δῆλον, ὡς καὶ προπαρεσημάνθη ἐκ τῶν ἀρχαίων. κλίνεται γὰρ καὶ ὡς ἰαμβικὸν Ἄρητος, ὅθεν παρ' Ἡσιόδῳ καὶ Διονυσίῳ Ἀρητιάδης ὁ ἀπὸ Ἄρητος, ὅ ἐστιν Ἄρεος, κατάγων τὸ γένος. κλίνεται καὶ κοινῶς κατὰ τὸν Δημοσθένην. παρασημειοῦνται δέ τινες καὶ Ἄρεως κλίνεσθαι, οὗ γενικὴ Ἄρηος. καὶ τοίνυν κατὰ ὁμοιότητά ἐστιν Ἄρευς κύριον ὄνομα παρὰ Πλουτάρχῳ, οὗ υἱὸς ἦν Ἀκρότατος, μειράκιον μέν, ἐπὶ δὲ ἀνδρίᾳ καὶ τόλμῃ ὑμνούμενον. [Κατῆρξαν δέ, φασί, βλακείας ἐν Λακεδαίμονι μικρὸν πρὸ Κλεομένους βασιλεύσαντες ὁ ῥηθεὶς Ἄρευς καὶ ὁ υἱὸς αὐτοῦ.] Ὅτι δὲ καὶ Ἄρεως Ἄρεω, ὡς Μενέλεω κατὰ Ἀρίσταρχον, ἐρρέθη προσεχῶς. (v. 101—6) Ὅτι δυσανασχετῶν ὁ Ἀχιλλεὺς διὰ Πάτροκλον ἐπὶ τοῖς καθ' ἑαυτόν φησι «νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν, οὐδέ τι Πατρόκλῳ γενόμην φόως», ἢ φάος, «οὐδ' ἑτάροισι τοῖς ἄλλοις, οἳ δὴ πολέες δάμεν Ἕκτορι δίῳ, ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης, τοῖος ἐὼν οἷος οὔ τις Ἀχαιῶν χαλκοχιτόνων ἐν πολέμῳ, ἀγορῇ δέ τ' ἀμείνονές εἰσι καὶ ἄλλοι».

4.143 (v. 107—10) Καὶ μέχρι ὧδε τὸν λόγον ἐκκρεμῆ φυλάξας ἐπάγει γνωμικὸν τὸ «ὡς ἔρις ἀπόλοιτο», καὶ ἑξῆς, ὡς μετ' ὀλίγα δηλωθήσεται. Καὶ ὅρα ὅτι ἢ ἀναπόδοτον ὁ ποιητὴς ἀφῆκε τὸν ἐπει σύνδεσμον μιμητικῶς οἷα τοῦ Ἀχιλλέως ἢ ἐκλαθομένου ὅπως ἤρξατο λέγειν ἢ καὶ μὴ ἔχοντός τι ἀξιόλογον εἰπεῖν ἐν τῇ ἀποδόσει. ἦν μὲν γὰρ ἀκόλουθον εἰπεῖν, ὅτι νῦν δ' ἐπεὶ οὐκ ἐπανελεύσομαι οἴκαδε, θανοῦμαι ἢ ἀλάλκω τῷ φίλῳ. ταῦτα δὲ φθάσας εἶπεν. ἢ τοίνυν ἀπλήρωτος μεμένηκεν, ὡς ἐρρέθη, ὁ ἐπει σύνδεσμος, καὶ οὕτω χωλεύει ὡς ἀναπόδοτος ὁ λόγος, ὁποῖόν τι καὶ ὁ Κίλιξ ῥήτωρ ἐν τῷ Περὶ ἰδεῶν παρασημειοῦται, ἥ ἐστιν ἀπόδοσις αὐτοῦ τὸ περὶ τῆς ἔριδος γνωμικόν, ἵνα εἴπῃ «νῦν δ' ἐπεὶ οὐ νέομαι εἰς πατρίδα, ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο καὶ χόλος». (v. 109—11) Περὶ οὗ φιλοσοφῶν ἐπάγει «ὅς τ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι, ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται ἠΰτε καπνός· ὡς ἐμὲ νῦν ἐχόλωσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων». Ὅρα δ' ἐν τούτοις ὅτι

τε ἀγαθὸς ῥήτωρ ἦν καὶ ὁ Ἀχιλλεύς, ὡς καὶ ἡ τῶν Λιτῶν ῥαψῳδία ἔδειξεν, καὶ ὡς ἀνεμεσήτως ἑαυτὸν ἐπαινεῖ, καὶ ἀνεπαχθῶς καίρια περιαυτολογεῖ οὐ ψευδόμενος. οὕτω καὶ Ὀδυσσεὺς ἐν τοῖς Φαίαξιν ἔπαινον ἑαυτοῦ κατατείνει. φιλαλήθης δὲ ὁ ἐν τοῖς καθ' ἑαυτὸν ἐπαίνοις καὶ τὸ πρός τινας ὁμολογῶν ἔλαττον, καθάπερ Ἀχιλλεὺς ἐνταῦθα ὁ μόνος τὰ εἰς μάχην ὑπὲρ τοὺς ἄλλους οὐκ ἐπικρύπτει, ὡς ἐν ἀγορῇ ἀμείμονές εἰσι καὶ ἄλλοι, οὐ μὴν εἷς τις μόνος, ὡς καὶ αὐτοῦ μὲν τοιούτου ὄντος, καθὰ ἐρρέθη, κρειττόνων δὲ ὅμως ἑτέρων ὄντων, ἐν οἷς καὶ Νέστωρ καὶ Ὀδυσσεύς.

4.144 (v. 102) Ὅρα δὲ ὡς καὶ ἐνταῦθα συνήθως φάος τὴν ἐπὶ νίκῃ καὶ σωτηρίᾳ ἐπικουρίαν λέγει. δῆλον γὰρ ὡς οὕτως ἤθελεν Ἀχιλλεὺς φάος τῷ Πατρόκλῳ γενέσθαι κατὰ τὸ «βάλλ' οὕτως, αἴ κέν τι φόως γένηαι». (v. 103) Τὸ δὲ «οἳ δὴ πολέες δάμεν» ἤδη τὸν Ἀχιλλέα οἶκτον ἀναλαβόντα δείκνυσι καὶ ἐπὶ τοῖς λοιποῖς Ἀχαιοῖς. (v. 104) Ἐν δὲ τῷ «ἐτώσιον» καθῆσθαι «ἄχθος ἀρούρης» οὐ μόνον παντελὴς ἀπραξία ἐξ ἀργίας δηλοῦται, ἀλλὰ καὶ βριθὺ μέγεθος ὑπεμφαίνεται τοῦ ἥρωος, εἴπερ αὐτὸς μόνος εἰς ἄχθος τῇ γῇ τῇ πάντα φερούσῃ λογίζεται. ἦν δὲ καὶ πρὸ τούτων μεγέθους ἐνδεικτικὸν ὁμοίως τὸ μέγαν μεγαλωστὶ ἐν κονίαις αὐτὸν τετανύσθαι, καὶ τὸ «ἔρνεϊ ἶσον ἀναδραμεῖν». σεμναὶ δὲ αὗται μεγέθους ἐνδείξεις καὶ οὐ κατὰ τὸ ἐπὶ Αἴαντος βουγάϊον. (v. 105) Τὸ δὲ «τοῖος ἐών» καὶ ἑξῆς, κρᾶμα μὲν ἀπετέλεσε ψόγου καὶ ἐπαίνου κατά τινα μέθοδον ἀφελείας. τοιόνδε γὰρ πάντως τὸ ἐτώσιον μὲν ἄχθος ἀρούρης εἰπεῖν τινα, τοιοῦτον δὲ αὖ κατ' ἀνδρίαν, οἷος οὐδεὶς ἄλλος Ἀχαιῶν. ὠφέλησε δὲ ταῦτα τὸν φιλόμηρον Σοφοκλῆν ποιῆσαι τὸν Αἴαντα λέγοντα περὶ αὐτοῦ τοιοῦτον εἶναι οἷον οὔτινα στρατοῦ ἐδέρχθη Τροία χθονὸς μολόντ' ἀπὸ Ἑλλανίδος. (v. 105) Τὸ δὲ «χαλκοχιτώνων» τεχνικῶς κεῖται, ἵνα ἡ τοῦ ὁπλίτου σύγκρισις εἴη πρὸς ὁμοειδεῖς. (v. 107) Τὸ δὲ «ὡς ἔρις ἀπόλοιτο» ὅμοιόν ἐστι κατὰ τὸ σχῆμα τῷ «ὡς ἀπόλοιτο καὶ ἄλλος», ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται, τοῦ ὡς καὶ ἐνταῦθα εὐκτικὴν σημασίαν ἔχοντος. Ὅρα δὲ καὶ ὅτι ὀψέ ποτε τὸ δέον ἐξ ἐπιμηθείας ἐπιγνοὺς Ἀχιλλεὺς κατεύχεται τῆς ἔριδος, δι' ἣν διαστήτην ἐρίσαντε αὐτὸς καὶ ὁ βασιλεύς. Τὸ δὲ «ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων» παγκόσμιον τὴν ἔριν δηλοῖ, κατὰ ἀνθρώπους δηλαδὴ καὶ κατὰ τὰς στοιχειακὰς ποιότητας.

4.145 διὸ οἱ παλαιοί φασιν, ὡς Ἡράκλειτος δοξάζων τὰ ὄντα κατὰ ἔριν συνίστασθαι, τουτέστι κατὰ μάχην καὶ ἐναντιότητα ποιοτήτων, μέμφεται τῷ ποιητῇ εὐχομένῳ πάντοθεν ἀπολέσθαι τὴν ἔριν. σύγχυσιν γάρ, φασίν, εὔχεται τοῦ κόσμου παντός. οἱ δὲ τοῦτο λύοντες λέγουσιν, ὡς ἢ τῷ φλεγμαίνοντι τοῦ κατὰ τὸν Ἀχιλλέα πάθους δοτέον καὶ τοῦτο, ἢ ὅτι οὐ τὴν φυσικὴν τῶν ὄντων ἐναντιότητα ἔριν ἐνταῦθα λέγει ὁ ποιητής, ἀλλὰ τὴν [καὶ παρὰ τοῖς μυθικοῖς θεοῖς] τὰ πρακτέα ἐπὶ τὸ χεῖρον ἄγουσαν, ἣν κακολογεῖ καὶ Ἡσίοδος. (v. 108) Ὅθεν καὶ ἐπήγαγε τὸ «καὶ χόλος» δηλῶν μὴ περὶ ἀγαθῆς ἔριδος λέγειν, ἀλλὰ τῆς φαύλης, ᾗπερ ὁ χόλος ἀγχιθυρεῖ. Τὸ δὲ «ὅς ἐφέηκε πολύφρονά περ χαλεπῆναι» παρῳδεῖται πρὸς τὸ «ὅς ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι», ὅπερ ἐν Ὀδυσσείᾳ περὶ τοῦ οἴνου εἴρηται, ὡς πολυλογούντων τῶν πολλὰ πινόντων, μᾶλλον δὲ ἀείδειν ἐθελόντων. ἔστι δὲ τὸ «ἐφέηκεν» ὅμοιον τῷ ἀνῆκεν, ὅ ἐστιν ἐνετείλατο, ἀνέπεισε, παρώρμησεν, ὅθεν καὶ ἡ ἐφημοσύνη. Ἰστέον δὲ ὅτι πάνυ τὰ περὶ τοῦ χόλου ἐνταῦθα ἔπη ἐπαινοῦσιν οἱ παλαιοί, λέγοντες ἐντεῦθεν ὁδηγηθῆναι καὶ Πλάτωνα εἰς τὸ τριμερῆ τὴν ψυχὴν ἀποφήνασθαι. τὸ μὲν γάρ ἐστιν αὐτῆς θυμικόν, ὃ διὰ τοῦ χόλου δηλοῦται, τὸ δὲ λογικόν, ὃ σημαίνεται διὰ τοῦ πολύφρονος, τὸ δ' ἐπιθυμητικόν (v. 109), ὃ διὰ τοῦ μέλιτος παρεμφαινόμενον δηλοῖ ἐπιθυμίαν καὶ γλυκεῖαν διάθεσιν τῆς ἐκπληρώσεως τῶν κατὰ θυμόν, ἣν αἰσθητῶς εἰδέναι λῃστὴς ἂν εὔξατο, αἱμάτων καὶ οἷον αὐτὸς κατὰ τὸν ποιητὴν ἐφέλκεται σίδηρος, ᾧ γλυκίων καὶ αὐτοῦ μέλιτος ὁ χόλος, καὶ οὐδὲ ἁπλῶς γλυκίων, ἀλλὰ καὶ πολὺ γλυκίων. Τὸ δὲ «καταλειβομένοιο» οὐκ ἔξωθέν ποθεν, ἀλλ' εἰς λαιμὸν μετὰ τὴν εἰς τὸ στόμα δηλαδὴ ἔνθεσιν. (v. 109 s.) Παρασημειοῦνται δὲ καὶ ὅτι πρῶτος Ὅμηρος τὸν τοῦ θυμοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπενόησεν ὅρον ἐν τῇ τοιαύτῃ γοργότητι, ὅς ἐστι ζέσις τοῦ περικαρδίου αἵματος δι’ ὄρεξιν ἀντιλυπήσεως.

4.146 καπνὸς μὲν γάρ ἐστι σημεῖον πυρός, δι’ οὗ τὸ ζέειν παρασημαίνεται. πυρώσεως γὰρ χωρὶς οὐκ ἂν γένοιτο ζέσις. διὸ τὸ «ἐν στήθεσιν ἀέξεται ὡς καπνός» ταὐτόν ἐστι τῷ «ἐν καρδίᾳ ζέει». οὕτω καὶ πρὸ τούτων τὸ «κάπνισάν τε κατὰ κλισίας» ἀντὶ τοῦ «πῦρ ἀνῆψαν» ἐρρέθη. τὴν δέ γε τῆς ἀντιλυπήσεως ὄρεξιν καὶ τὸ ἐντεῦθεν ἡδὺ ἡ παρενθήκη τοῦ μέλιτος ὑπηνίξατο. Ὅρα δὲ τὸ «ἀέξεται χόλος», ἄλλο τι ὂν παρὰ τὸ «καί μοι ἀέξεται ἔνδοθι θυμός». ἐκεῖνο γὰρ οὐκ ἀναγκαίως χόλου δηλοῖ αὔξησιν, ἀλλὰ καὶ ἐπὶ φυσικῆς νοεῖται αὐξήσεως. Ἰστέον δὲ καὶ ὅτι, καθὰ πρὸ μικροῦ ἡ Θέτις δύο πάνυ συντόμους παρέθετο παραβολάς, τὸ «ἀνέδραμε ἔρνεϊ ἶσος», καὶ τὸ «θρέψασα φυτὸν ὣς γουνῷ ἀλωῆς», οὕτω καὶ νῦν δυάζει Ἀχιλλεὺς ἐν τῷ «πολὺ γλυκίων μέλιτος», καὶ «ἠΰτε καπνός», ἵνα εἰκάζῃ τὸν χόλον μέλιτί τε καὶ καπνῷ. ἔνθα πάλιν ὅρα κρᾶμα ἐπαίνου καὶ μέμψεως. καλὸν μὲν γὰρ τὸ μέλι, οὐ τοιοῦτον δὲ ὁ καπνός, ὃς καὶ τὸ αἰσθητὸν ἀχρειοῖ μέλι καὶ τρυγώμενον καὶ ἑψόμενον. Τὸ δὲ «ὅς τε» δὶς λεχθὲν ὡς ἐν ἐπαναφορᾷ κάλλος ποιεῖ. (v. 111) Τὸ δέ «ὡς ἐμὲ νῦν ἐχόλωσεν Ἀγαμέμνων» συνήθης ἐστὶ κατάβασις ἐκ τοῦ καθόλου γνωματεύματος εἰς τὸ εἰδικῶς ὑποκείμενον. (v. 112—3) Ὅτι ὁ μὴ ποιούμενος λόγον τῶν γενέσθαι φθασάντων κακῶν εἴποι ἂν τὸ «ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν ἀχνύμενοί περ, θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ». (v. 114—6) Ὁ δὲ καταφρονῶν βαρείας ἀπειλῆς ἐφ’ ᾧ ἀμῦναι κινδυνεύσαντι φίλῳ ἐρεῖ ἂν τὸ «νῦν δ’ εἶμι ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχείω, κῆρα δ’ ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ θεὸς ἐθέλοι τελέσαι».

4.147 Ἀχιλλεὺς δὲ ταῦτα λέγει, ὃς καὶ παράδειγμα εὐθὺς παραμυθητικὸν ἐπάγει ῥητορικῶς, οἷα καὶ τοιούτων εὖ εἰδώς, οὗ ἔργον καθ’ ἡσυχίαν ὄντος μέλπειν, ὡς προδεδήλωται, κλέα ἀνδρῶν. τὸ δὲ παράδειγμα ἐκ μείζονος προσώπου. (v. 117—9) Φησὶ γὰρ «οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε κῆρα, ὅς περ φίλτατος ἔσκε Διΐ, ἀλλά ἑ μοῖρ’ ἐδάμασσε καὶ ἀργαλέος χόλος Ἥρης». (v. 120—4) Εἶτα πάλιν τῶν καθ’ ἑαυτὸν τεχνικῶς γενόμενος λέγει «ὣς καὶ ἐγών, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται, κείσομαι, ἐπεί κε θάνω, νῦν δὲ κλέος, ἐσθλὸν ἀροίμην, καί τινα Τρωϊάδων καὶ Δαρδανίδων βαθυκόλπων ἀμφοτέρῃσι χερσὶ παρειάων ἁπαλάων δάκρυ’ ὀμορξαμένην ἁδινὸν στοναχίσαι ἐφείην», ὅ ἐστιν ἀναπείσαιμι. οὗ σύστοιχον ἦν πρὸ ὀλίγου τὸ «χόλος ἐφέηκεν». (v. 125) Εἶτα ἐπάγει μέγα φρονῶν «γνοῖεν δ’ ὡς δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι», ὡς ἄλλως δηλαδὴ τούτου μαχομένου παρὰ τοὺς λοιποὺς Ἕλληνας. (v. 126) Εἶτα προκαλουμένου τοῦ ποιητοῦ εὐτάκτως τοὺς ἐφεξῆς λόγους τῆς Θέτιδός φησιν Ἀχιλλεύς «μηδέ μ’ ἔρυκε μάχης φιλέουσά περ, οὐδέ με πείσεις». Καὶ ἡ μήτηρ εὐμεθόδως λαλοῦσα συγχωρεῖ μὲν τοῖς τοῦ υἱοῦ λόγοις, ἐπέχει δὲ τῆς ὁρμῆς διὰ τὸ ἄοπλον εἶναι. εἶτα καὶ παραμυθεῖται φοιβάσασα μικρὸν ὅσον τὸν Ἕκτορα τεθνήξεσθαι. τῷ δ’ αὐτῷ λόγῳ καὶ ἐπέχειν ἐθέλει τὸν υἱὸν τοῦ πολέμου. εἰ γὰρ ἐγγὺς ὁ θάνατος Ἕκτορι, αὐτίκα δὲ μεθ’ Ἕκτορα, ὡς ἐδηλώθη, πότμος ἑτοῖμος καὶ τῷ Ἀχιλλεῖ, ἐφεκτέον ἄρα τῆς μάχης. (v. 128—33) Φησὶ γοῦν ἡ μυθικὴ Θέτις «ναὶ δὴ ταῦτά γε», ἢ τοῦτό γε, «τέκνον, ἐτήτυμον οὐ κακόν ἐστι τειρομένοις ἑτάροις ἀμυνέμεν αἰπὺν ὄλεθρον. ἀλλά τοι ἔντεα καλὰ μετὰ Τρώεσσιν ἔχονται, χάλκεα», ὡς ἐρρέθη, «μαρμαίροντα, τὰ μέν», ἤγουν ἃ δή, «Ἕκτωρ αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται, οὐδέ ἕ φημι δηρὸν ἐπαγλαϊεῖσθαι, ἐπεὶ φόνος ἐγγύθεν αὐτῷ». προαναφωνεῖται δὲ πάντως καὶ ταῦτα τέχνῃ Ὁμηρικῇ.

4.148 (v. 134—7) Εἶτα προστίθησι καὶ συμβουλὴν ταύτην «ἀλλὰ σὺ μὲν μή πω καταδύσεο μῶλον Ἄρηος, πρίν γ’ ἐμὲ δεῦρ’ ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδηαι· ἠῶθεν γὰρ νεῦμαι», ἤγουν νέομαι, ὑπονοστῶ, παλιννοστῶ, «ἅμ’ ἠελίῳ ἀνιόντι τεύχεα καλὰ φέρουσα παρ’ Ἡφαίστοιο ἄνακτος», ὅ ἐστιν ἀπὸ τοῦ Ἡφαίστου, ὅπερ ἐρρέθη καιριώτερον εἶναι τοῦ παρὰ νηῶν, ἤγουν ἀπὸ νηῶν, ὡς ἐπὶ ἐμψύχου ῥηθέν φασι. [Τὸ μὲν γὰρ παρά τινος δέδοκται τοῖς ἐμψύχοις δεδόσθαι, τὸ δὲ ἀπό τινος τοῖς ἀψύχοις ᾠκειῶσθαι.] (v. 113) Ἰστέον δὲ ὅτι τὸ «δαμάσαντες ἀνάγκῃ» διχῶς νοεῖται. ἢ

γὰρ δαμάσαντες ἐν ἀνάγκῃ, ἤγουν ἀναγκαίως, [ἵνα ᾖ τὸ ἀνάγκῃ ἐπιρρηματικὸν κατὰ τὸ ἄλλῃ καὶ ταύτῃ καὶ τὰ ὅμοια], ἢ δαμάσαντες τῇ ἀνάγκῃ ὡσεὶ καὶ ἵππον χαλινῷ. [Ποίᾳ δὲ ἀνάγκῃ; τῇ ἐν τοῖς πράγμασι, τῇ καθ' εἱμαρμένην, ᾗ ἀνάγκῃ καὶ Ζεὺς αὐτὸς εἴκει.] (v. 114) Καὶ ὅτι προσφυῶς φίλην κεφαλὴν τὸν Πάτροκλον καλεῖ Ἀχιλλεύς, ὁ καὶ ἶσον αὐτὸν τῇ ἑαυτοῦ εἰπὼν κεφαλῇ. δῆλον δὲ ὡς ἡ τοιαύτη φράσις φίλη τῷ ποιητῇ, λέγοντι «τοίην κεφαλὴν ποθέω», καὶ «Τεῦκρε, φίλη κεφαλή». (v. 115) Τὸ δὲ «κῆρα δ' ἐγὼ τότε δέξομαι» πρὸς τὸ «αὐτίκα τεθναίην» ἀποτείνεται. μονονουχὶ γάρ φησιν ὡς, εἰ καὶ φθάσας εἶπον «αὐτίκα τεθναίην», ἀλλὰ τοῦτο μὲν κατὰ θυμὸν εὐκτικῶς ἐρρέθη πρὸς τὴν μητέρα, φαμένην ὡς ἡ αὐτὴ προθεσμία τῆς τοῦ Ἕκτορος τιμωρίας καὶ τῆς τοῦ Ἀχιλλέως μεταλλαγῆς, ἄλλως δέ, τότε κῆρα δέξομαι, ὅτε θεὸς ἐθέλει τελέσαι. (v. 117—9) Ὅρα δὲ καὶ ὅτι, ὡς μὲν μεγαλόφρων ὁ Ἀχιλλεὺς μεγάλῳ παραδείγματι τῷ καθ' Ἡρακλῆν ἑαυτὸν εἰς κίνδυνον συνέλεξεν, ὡς δὲ φιλότιμος τὰς τοῦ Ἡρακλέος πράξεις ἐσίγησεν, πρὸς ἃς ἐνδέων ἂν πάνυ ἐφάνη αὐτός. μόνην δὲ τὴν πρὸς τὸν Δία οἰκειότητα τοῦ Ἡρακλέος εἶπεν, ὡς μὴ ἁπλῶς φίλου ἀλλὰ φιλτάτου τῷ Διΐ, παραμυθούμενος καὶ τὴν μητέρα τῷ καὶ τοὺς κρείττονας θνῄσκειν. (v. 120) Τὸ δὲ «ὁμοίη μοῖρα» δύναται μὲν καὶ ἁπλούστερον εἶναι ἀντὶ τοῦ ὁμοία τῇ τοῦ Ἡρακλέος. ἄλλως δὲ κρεῖττόν ἐστι ψεκτικῶς νοῆσαι αὐτὸ καθ' ὁμοιότητα τοῦ ὁμοιΐου πολέμου καὶ ὁμοιΐου θανάτου καὶ ὁμοιΐου γήρως καὶ τῶν τοιούτων.

4.149 (v. 121) Τὸ δὲ «κείσομαι ἐπεί κε θάνω» ἀφελέστερον προήγαγε. δῆλον γὰρ ὡς κείσεται ὁ θανών. ἢ καὶ ἄλλως, δηλοῖ ὅτι τότε κείσομαι, νῦν δὲ ζῶντα οὐ χρὴ εἶναι ἀργὸν καὶ οἷον κεῖσθαι νεκρόν. ὅλον μέντοι τὸ «κείσομαι θανών, νῦν δὲ κλέος ἀροίμην» ἀντιθετικόν ἐστι, λέγοντος οἷον τοῦ Ἀχιλλέως, ὡς θανάτῳ μὲν κείσομαι, τῷ κλέει δὲ μετέωρος ἀρθήσομαι. καὶ ἄλλως δὲ τὸ «κείσομαι θανών» πρὸς διαστολὴν ἑτεροίων πτωμάτων εἴρηται. (v. 122) Τὸ δὲ «Τρωϊάδων καὶ Δαρδανίδων» εἰς ὅμοιον ἐρρέθη τῷ «Τρῶες καὶ Δάρδανοι», ὥσπερ πρὸς ὁμοιότητα τῶν ἀμφοτέρας δρυπτομένων παρειάς, τὸ ἀμφοτέραις χερσὶ δάκρυα ὀμόρξασθαι, περὶ οὗ ἐρρέθη ἄλλοθι. ἐν τούτοις δὲ σύντομα πάρισα τὸ «Τρωϊάδων καὶ Δαρδανίδων, καὶ τὸ «ἀμφοτέρῃσι χερσί», καὶ τὸ «παρειάων ἁπαλάων», καλλωπίζοντος τὸν λόγον τοῦ ἥρωος, οἷς γέγηθε θαρρῶν ἀμύνασθαι τοὺς ἐχθρούς. (v. 125) Ἐν δὲ τῷ «δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι» τὸ μὲν «ἐγώ» κατ' ἐξοχὴν κεῖται, εἰς δὲ τὸ «δηρόν» φασίν οἱ παλαιοί, ὅτι καὶ μὴν δώδεκα μὲν ἡμέραι διῆλθον ἀποδημούντων ἐν Αἰθιοπίᾳ τῶν περὶ τὸν Δία, τρεῖς δὲ ἄλλαι ἐν ταῖς παρατάξεσι. ποῦ γοῦν ὁ πολὺς χρόνος, ὃν τοῦ πολέμου ἐπέπαυτο; καὶ αὐτοὶ μὲν οὕτω. οἱ δὲ λύοντές φασιν, ὅτι καὶ τὸν ὀλίγον χρόνον πολὺν ὁ Ἀχιλλεὺς ἡγεῖται. «ποθέεσκε γὰρ ἀϋτήν τε πόλεμόν τε». τοιοῦτον γὰρ ἡ στοργή. ὅθεν καὶ παροιμία παρέξεσται λέγουσα, ὡς οἱ ποθοῦντες ἐν ἄματι γηράσκουσιν. εἰ δὲ καὶ αὐτὸς ὁ ποιητὴς ἐρεῖ, ὅτι δηρὸν μάχης ἐπέπαυτο ἀλεγεινῆς, οὐ διὰ τὰς ἡμέρας, φασί, τοῦτο λέγει, ἀλλὰ πρὸς τὴν ποικιλίαν τῶν πεπραγμένων ἀφορῶν. (v. 126) Τὸ δὲ «μή με ἔρυκε μάχης» καὶ τὰ ἑξῆς, παρῳδηθήσεται ποτε εἰς ἔργου σπουδήν. (v. 128) Τὸ δὲ «ἐτήτυμον» ἐπιρρηματικῶς κεῖται. ἄλλως δέ γε κοινότερον, ἀκόλουθον ἦν εἰπεῖν· ναὶ δὴ ταῦτά γε τέκνον ἐτήτυμα. ἴσως δὲ καὶ ἐφερμηνευτικόν ἐστι τοῦ «ταῦτα» τὸ ἐτήτυμον, ὅτι μηδὲ πολλά τινά εἰσιν ἐνταῦθα τὰ τοῦ σκοποῦ, ἀλλὰ ἕν, τὸ ἐπικουρῆσαι Ἀχαιοῖς. (v. 128 s.) Διὸ ἐπάγει «οὐ κακόν ἐστι τειρομένοις ἑτάροις ἀμύνειν», γνωμικῶς τοῦτο εἰπών.

4.150 (v. 130—2) Τὸ δὲ «μετὰ Τρώεσσιν ἔχονται», παθητικῶς ῥηθὲν μεταποιεῖ εὐθὺς εἰς ἐνέργειαν, εἰπὼν «τὰ μὲν Ἕκτωρ αὐτὸς ἔχων ἀγάλλεται», ἵνα ἔχωνται μὲν τὰ τοῦ Ἀχιλλέως ὅπλα, ἔχῃ δὲ αὐτὰ ὁ Ἕκτωρ. Ὅρα δ' ἐνταῦθα καὶ ὡς φιλόκαλος ὁ Ἕκτωρ καλὰ γὰρ καὶ ἀγλαὰ ἔχων ὅπλα ὤμοισιν ἀγάλλεται, ὡς καὶ προερρέθη. ὅτι δὲ ταὐτὸν ἀγάλλεσθαι καὶ ἀγλαΐζεσθαι, ὃ ἐκ τοῦ ἀγάλλω παράγεται κατὰ παραγωγὴν καὶ ὑπέρθεσιν τοῦ ἀμεταβόλου, δηλοῖ ὁ ποιητὴς ἀμφότερα νῦν παραθέμενος. (v. 134) Τὸ δὲ «καταδύσεο» ἡ μὲν κοινὴ διάλεκτος εὐκτικὸν οἶδεν, ἡ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποίησις τὸ ἐνδύσω εἰς ἐνεστῶτα προάγουσα ὡς παθητικοῦ ἐνεστῶτος προστακτικὸν ἐκεῖθεν προάγει αὐτό. Τὸ δὲ «μῶλον» ἤρκει καὶ αὐτὸ καθ’ αὑτὸ κεῖσθαι δίχα τοῦ Ἄρηος, ὡς καὶ ἐν ἄλλοις ἐφάνη. γράφεται δὲ ὅμως οὕτως ἀκριβέστερόν τε καὶ ἐντελέστερον. (v. 129) Ὁμοίως δὲ καὶ ἐν τῷ «ἑτάροις», ὡς ἐρρέθη, «ἀμυνέμεν αἰπὺν ὄλεθρον» οὐκ ἦν ἀνάγκη μετὰ τὸ ἀμύνειν κεῖσθαί τι, ὡς καὶ αὐτὸ δῆλόν ἐστί, προσετέθη δὲ ὅμως καὶ τὸ ἐφεξῆς διὰ πλείω συνήθη σαφήνειαν, ὡς ἐντεῦθεν δοκεῖν τὸν μῶλον καὶ τὸ ἀμύνειν ἐλλιπῶς φράζεσθαι, ὅτε κατὰ μόνας λέγονται. (v. 136) Τοῦ δὲ «ἠῶθεν» ἑρμηνευτικὸν τὸ «ἅμα ἠελίῳ ἀνιόντι», ὅπερ ἅμα ἡμέρᾳ φασὶν οἱ μεθ’ Ὅμηρον. μετ’ ὀλίγα δὲ συνήθως καθ’ ὁμοιότητα τῆς ἀνατολικῆς φράσεως καὶ τὸ δύνειν «ἅμα ἠελίῳ καταδύντι» ἐρεῖ. (v. 138) Ὅτι τὸ ὀπίσω στραφῆναι, ὅ ἐστιν ἀναχωρῆσαι, πάλιν τρέπεσθαι τοῦ δεῖνός φησιν, ἔτι δὲ καὶ στρεφθῆναι. [Ὅθεν συγκείμενος ὁ παρὰ τῷ Σοφοκλεῖ παλιντράπελος οὐκ ἐπαινετῶς ἔχει. δηλοῖ γὰρ τὸν ἀνάπαλιν τραπέντα τοῦ φρονεῖν.] (v. 143) Τὸν δὲ Ἥφαιστον κλυτοτέχνην λέγει, ὡς καὶ ἐν ἄλλοις, διὰ τὰ ἐκ πυρὸς καλὰ ἔργα, ἐν οἷς καὶ τὰ τοῦ Ἀχιλλέως κλυτὰ τεύχεα παμφανόωντα. (v. 148) Λέγει δ’ ἐνταῦθα καὶ ὡς τὴν Θέτιν «Οὔλυμπόνδε πόδες φέρον», ταχέως δηλαδὴ κινουμένην, ὡς καὶ εἴ τις εἴποι ὅτι τὸν ἱππηλάτην φέρει τὸ ἅρμα ἢ τὰ πτερά, ὡς καὶ προερρέθη, ὄρνιν. Καὶ ὅρα ὡς οὐ μόνον οὐδὲν ἐπὶ Νηρηΐδων τερατῶδες ὁ ποιητὴς ἔφη, ὅτε ἐξ ἁλὸς ἦλθον σὺν τῇ Θέτιδι δίχα τοῦ «περὶ δέ σφιν κῦμα θαλάσσης ῥήγνυτο», οἷα αἰσθόμενον τῆς αὐτῶν κινήσεως, ἀλλ’ οὐδὲ λαλιὰν αὐταῖς τινα ἐν ταῖς τῶν Μυρμιδόνων σκηναῖς ἢ θρῆνον ἐπλάσατο, ἵνα μὴ γελῷτο παρακαίρια φράζων.

4.151 αἱ γὰρ ἐν θαλάσσῃ παρὰ τῇ Θέτιδι σιωπήσασαι σχολῇ γ’ ἂν ἐν ἀνδράσι πενθικῶς ἀσχημονοῖεν. καὶ ἡ ἀπέλευσις δὲ ταύταις ἥσυχος καταδύσαις εἰς θάλασσαν ἐν σιγῇ. οὐ γὰρ ἦν καὶ ἐπ’ αὐτῶν ὡς καὶ ἐπὶ Θέτιδος εὔπλαστον οὔτε κατὰ μῦθον οὔτε ἀλληγορικῶς τὸ εἰς Ὄλυμπον ἀνελθεῖν. (v. 140—3) Διὸ καὶ ἀνακάμπτουσιν, ὅθεν ἦλθον, ὡς ἡ ἀδελφὴ παραινεῖ Θέτις, εἰποῦσα ὃ παρῳδηθήσεταί ποτε διὰ συγγενῆ γέροντα «ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον ὀψόμεναι γέρονθ’ ἅλιον καὶ δώματα πατρός. καί οἱ πάντ’ ἀγορεύσατε», καὶ τὰ ἑξῆς. ἐν οἷς ὑπισχνεῖται ὡς εἰς μακρὸν Ὄλυμπον εἶμι παρ’ Ἥφαιστον, τόν, ὡς ἐρρέθη, κλυτοτέχνην, εἴπως τῷ Ἀχιλλεῖ ἐκεῖνος δώσει τεύχεα, οἷα προσεχῶς ἀνωτέρω κεῖται. (v. 140) Ἰστέον δὲ ὅτι καθὰ κλῦθι κλῦτε, οὕτω δῦθι δῦτε, καὶ ὅτι νῦν μὲν ἅλιον γέροντα τὸν Νηρέα φησίν, ἐν δὲ Ὀδυσσείᾳ καὶ ὁ Πρωτεὺς οὕτως ὠνομάσθη. ἀλλ’ οὕτω μὲν τὰς Νηρηΐδας ὁ ποιητὴς ἔφη ἀπελθεῖν μηδέν τι τεράστιον προσπλάσας αὐταῖς, καὶ τὴν Θέτιν δὲ ἀπιοῦσαν κατὰ σπουδὴν ἁπλῶς εἶπε φέρεσθαι ποσίν, οὔτε βήματα μετρήσας καὶ αὐτῇ, οὔτε ῥῆμα προσθεὶς δηλωτικὸν ταχυτῆτος, οὔτε παραβολῇ χρησάμενος, ὁποῖον τι προπεποίηκεν ἐν τῷ «ἀνέδυ ἠΰτ’ ὀμίχλη». οὔτε γὰρ ἡ Θέτις οὕτω μεγάλη ὡς καὶ ἐπ’ αὐτῇ τερατεύεσθαι, καὶ ἄλλως δὲ τῶν σπουδαιοτέρων γενόμενος ἀμελεῖ τοιαύτης ἐνταῦθα φραστικῆς. (v. 148) Ἰστέον δὲ καὶ ὅτι τὸ «Οὔλυμπόνδε πόδες φέρον», ἰσοδυναμεῖ μὲν πρὸς τὸ ἣ δὲ Οὔλυμπόνδε ἤϊε, προσφυὲς δέ ἐστι καὶ ἐπὶ τῶν εὐκλεῶς ὑψουμένων, καθὰ καὶ τὸ «ἐγὼ δ’ ἐς μακρὸν Ὄλυμπον εἶμι». (v. 145) Κεῖται δ’ ἐν τοῖς εἰρημένοις καὶ τὸ «ἔδυσαν» κοινότερον, ὅπερ ἐν ἄλλοις ποιητικῶς ἔδυν λέγεται.

4.152 φησὶ γὰρ «αἳ δ’ ὑπὸ κῦμα θαλάσσης αὐτίκ’ ἔδυσαν». κῦμα δὲ θαλάσσης καὶ νῦν πρὸς διαστολὴν τῶν ἐν λίμναις καὶ ποταμοῖς, ἔνθα Νηΐδων οἴκησις οὐ Νηρηΐδων. (v. 148 s.) Ὅτι πολεμικὸν φράζει θόρυβον τὸ «αὐτὰρ Ἀχαιοὶ θεσπεσίῳ ἀλαλητῷ ἔφευγον». (v. 154) Ὅτι φλογώσας οἷον τὸν Ἕκτορα ὁ ποιητὴς παραβολικῶς ἐν τῷ εἰπεῖν οὕτω γοργῶς «Ἕκτωρ φλογὶ ἴκελος ἀλκήν», εὐθὺς καὶ ἔργον ἐπάγει, οὗ χάριν οὕτω παρέβαλεν αὐτόν. (v. 155—6) Φησὶ γὰρ ὅτι τρὶς μὲν μετόπισθε ποδῶν τὸν Πάτροκλον ἔλαβεν «ἑλκέμεναι μεμαώς, μέγα δὲ Τρώεσσιν ὁμόκλα». καὶ εἶχε μὲν τοὺς ἐμποδὼν γινομένους. (v. 157—60) Τρὶς γὰρ αὖθις οἱ δύο Αἴαντες «θοῦριν ἐπιειμένοι ἀλκὴν νεκροῦ ἀπεστυφέλιξαν· ὃ δ’ ἔμπεδον ἀλκὶ πεποιθὼς ἄλλοτ’ ἐπαΐξασκε κατὰ μόθον, ἄλλοτε δ’ αὖτε στάσκεν», οὐ δι’ ὄκνον, ἀλλὰ «μέγα ἰάχων», ὅπερ Τρώεσσιν ὁμοκλᾶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔφη «ὀπίσω δ’ οὐ χάζετο πάμπαν». (v. 161—4) Ὃ καὶ εἰκάζει παραβολικῶς λέοντος ἔργῳ, εἰπὼν «ὡς δ’ ἀπὸ σώματος οὔ τι λέοντ’ αἴθωνα», τὸν πολλαχοῦ ῥηθέντα, «δύνανται ποιμένες ἄγραυλοι μέγα πεινάοντα δίεσθαι, ὥς ῥα τὸν οὐκ ἐδύναντο δύ’ Αἴαντε κορυστὰ Ἕκτορα ἀπὸ νεκροῦ δειδίξασθαι». Καὶ ὅρα ὡς εἰς ταὐτὸν ἄγει τὸ δίεσθαι καὶ τὸ δεδίξασθαι. καὶ γὰρ καὶ τὸ δεδίσσω ἀπὸ τοῦ δίω γίνεται κατὰ παραγωγὴν καὶ ἀναδιπλασιασμόν. Ἰστέον δὲ ὅτι τε ἕλκων οὕτω νεκρὸν φερόμενον Ἕκτωρ τὸν Πάτροκλον ἐκ ποδῶν ἑλκυσθήσεται καὶ αὐτὸς ὕστερον τῶν ποδῶν, καὶ ὅτι, ὥσπερ τοὺς Αἴαντας ἐπιειμένους ἀλκὴν ἔφη, οὕτω καὶ ἀλκὶ πεποιθότα τὸν Ἕκτορα, καὶ ὅτι δύο εὐθείας εἰδώς, τὸ ἡ ἀλκή καὶ τὸ ἡ ἄλξ, καθά τινές φασιν, ὡς καὶ προερρέθη ἀπὸ μὲν τῆς μιᾶς εἶπε τὸ «ἐπιειμένοι ἀλκήν», ἀπὸ δὲ τῆς ἑτέρας τὸ «ἀλκὶ πεποιθώς», καὶ ὅτι τῶν τοῦ Πατρόκλου ποδῶν ὁ Ἕκτωρ λαμβάνεται, ὡς τῆς κεφαλῆς προφερομένης, ἵνα, εἴ τίς που αἰκία συμβαίη, πάθοιεν οἱ πόδες αὐτήν. (v. 161) Ἐν δὲ τῷ «ἀπὸ σώματος» ἐπὶ ἀψύχου νοητέον τὸ σῶμα, καθὰ καὶ ἐν τῇ γʹ ῥαψῳδίᾳ ἐφάνη, οὗπερ ὁ λέων οὐκ ἀπέχεται διὰ τὸ ἄγαν πεινᾶν, ὡς καὶ τοῦτο ἐκεῖ ἐλέχθη, καὶ μάλισθ’ ὅτι αὐτὸς ἔοικε τοῦτο ἀνελεῖν ποίμνῃ ἐπελθών. (v. 164) Τὸ δὲ «Ἕκτορα» περιττῶς κεῖται πρὸς πλείω τινὰ σαφήνειαν. (v. 163) Ἤρκει δὲ ἀντ’ αὐτοῦ ἡ ἀντωνυμία μόνη ἐν τῷ «ὥς ῥα τὸν οὐκ ἐδύναντο», ἀντὶ τοῦ τοῦτον, τὸν Ἕκτορα δηλαδή.

4.153 [Φράζει δὲ οὕτως ὁ ποιητὴς πρὸς ἔνδειξιν τοῦ τὰς ἀντωνυμίας καὶ ἀντὶ κυρίων ὀνομάτων τίθεσθαι. εἰκὸς δὲ καὶ ἄλλως τὸ «τ ό ν» μὴ ὡς ἀντωνυμίαν εἶναι, ἀλλὰ λόγῳ ἄρθρου, ἵνα λέγῃ ὅτι τὸν Ἕκτορα οὐκ ἐδύναντο διῶξαι. τοιοῦτον τὸ «τὴν αὐτὸς ἐμαυτοῦ ψυχήν», καὶ τὸ «τὰ δὲ λείψεται ἄλγεα λυγρά», ἤγουν τὰ δὲ ἄλγεα μενεῖ κατὰ κόσμον.] (v. 166) Ὅτι κἀνταῦθα, ὡς καὶ ἐν τῇ γάμμα ῥαψῳδίᾳ, ἡ Ἶρις ἐπὶ φήμης νοεῖται, ἥτις ὑπὸ Ἥρας, τουτέστιν ἀέρος, στελλομένη ἀγγέλλει τῷ Ἀχιλλεῖ τὰ κατὰ Πάτροκλον. ὡς γὰρ πρὸ τούτου οὐκ ἔλαθε τὸν Νέστορα ἰαχή, οὕτω καὶ ὧδε τῇ φυλόπιδι τεκμαίρεται Ἀχιλλεὺς τὸ συμβάν, κρύβδα δέ, ταὐτὸν δ’ εἰπεῖν λάθρᾳ ἢ λάθρῃ, Διὸς κατὰ τὸν ποιητὴν στέλλεται, διότι οὐ διήρθρωται σαφῶς ἡ ἐκ τῆς ἰαχῆς δήλωσις, ὡς ἡ τοῦ ἀγγέλου οἷον τοῦ Ἀντιλόχου, ἀλλ’ οἷον ὑποκλέπτουσα τὸ σαφὲς λεληθότως πως παραδηλοῖ τὸ ὑπονοούμενον. (v. 168) Ἰστέον δὲ ὅτι πᾶσαν Ἶριν Ἥρα πέμπει, ἤγουν ἀήρ, εἰς ὃν μεταλαμβάνεταί ποτε καὶ ὁ Ζεύς, ὁ καὶ αὐτὸς ἐν πολλοῖς πέμπων ὁμοίως τὴν Ἶριν, εἴτε τις πτερωτὴν αὐτὴν δαίμονα θέλει νοεῖν εἴτε τὴν ἐν ἀέρι φαινομένην εἴτε τὴν φήμην. οὐδὲν γὰρ τούτων ἀέρος δίχα τὰ ἑαυτοῦ ἐνεργεῖ. Εἰκὸς δὲ καὶ κοινῶς ὑπὸ τοῦ λαοῦ ἐκφωνηθὲν ἄρτι, ὡς ἁρπάζεται ἤδη ὁ Πάτροκλος, ἀπηχηθῆναι ἕως καὶ εἰς Ἀχιλλέα. καὶ τοῦτό ἐστι μάλιστα ἡ ποδήνεμος Ἶρις ἡ τὸν Ἀχιλλέα ἐρεθίσασα. οὐ γὰρ ἤρκει τὸ τοῦ Ἀντιλόχου τὸ «κεῖται Πάτροκλος», ἀλλὰ καὶ φήμη τυχὸν αὐτίκα ἐξεβοήθη τῆς ἁρπαγῆς τοῦ Πατρόκλου. οὐδὲν δὲ κωλύει νοῆσαι κατὰ τὸ σιωπώμενον, ὁποῖα πολλὰ τῶν τοῦ ποιητοῦ, καὶ ὅτι οὗτός τις καὶ ἐκεῖνος ἄλλος, καὶ οὕτω πολλοί, ποδηνέμοι ὡσανεὶ ἐλθόντες ἤγγειλαν τῷ Ἀχιλλεῖ τόν τε κίνδυνον καὶ ἕτερα παροξύνοντα εἰς θυμὸν ἐκεῖνον.

4.154 καὶ ἔστι καὶ τοῦτο ἀσφαλῶς εἰπεῖν Ἶριν. (v. 170—5) Ἦσαν δὲ τά, ὡς εἰκός, ὑπὸ τῆς τοιαύτης Ἴριδος τῆς μετὰ τὸν Ἀντίλοχον εἰρημένα, ὁποῖά φησιν Ὅμηρος, οἷον «ὄρσεο, Πηλείδη, πάντων ἐκπαγλότατ’ ἀνδρῶν, Πατρόκλῳ ἐπάμυνον, οὗ εἵνεκα φύλοπις αἰνὴ ἕστηκε πρὸ νηῶν· οἳ δ’ ἀλλήλους ὀλέκουσι», καὶ ἑξῆς. (v. 174—7) Καὶ ὅτι ἐρύσασθαι Τρώων ἐθελόντων, μάλιστα Ἕκτωρ ἑλκέμεναι μέμονε τὸν νέκυν, «κεφαλὴν δέ ἑ θυμὸς ἀνώγει» ἢ ἄνωγε, «πῆξαι ἀνὰ σκολόπεσσι ταμόντα ἁπαλῆς ὑπὸ δειρῆς». (v. 178—80) Καὶ ἐπὶ πᾶσι τὸ «ἀλλ’ ἄνα μηδ’ ἔτι κεῖσο, σέβας δέ σε θυμὸν ἱκέσθω, Πάτροκλον Τρῳῇσι κυσὶ μέλπηθρα γενέσθαι», τὰ καὶ προδεδηλωμένα, «σοὶ λώβη, αἴ κέν τι νέκυς ᾐσχυμμένος ἔλθοι». Καὶ ἐπὶ τοιούτοις λόγοις ἢ λογισμοῖς καὶ τοιαύτῃ ἀγγέλῳ Ἴριδι τοῦ καθῆσθαι καὶ πενθεῖν ἐξανίσταται ὁ Ἀχιλλεύς. ὡς εἰ μὴ ταῦτ’ ἢ ἐλαλήθη ποθὲν ἢ ἄλλως εἰς νοῦν ἐρρητορεύθη τῷ Ἀχιλλεῖ, οὐκ ἦν ἄλλως ἀξίως τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιητικῆς πιθανότητος ἐκδραμεῖν αὐτὸν εἰς ἄμυναν. (v. 165—8) Ὅτι δὲ πρὸς αὐτῇ τῇ ἀκμῇ τῆς ἁρπαγῆς ὁ Ἀχιλλεὺς ἐξεπήδησε, δηλοῖ τὸ «καὶ δὴ ἂν εἴρυσέ τε καὶ ἄσπετον ἤρατο κῦδος», ὁ Ἕκτωρ, «εἰ μὴ τῷ Ἀχιλλεῖ Ἶρις ἄγγελος ἦλθε θέουσα, κρύβδα Διός», ὡς εἴρηται, «πρὸ γὰρ ἧκε μιν Ἥρη», καὶ ἑξῆς. (v. 170) Ὅρα δὲ καὶ ἐνταῦθα τὸ «ἐκπαγλότατε ἀνδρῶν» τῷ Ἀχιλλεῖ προσφωνηθὲν ὀνειδιστικῶς, ὡς ἐκπλήξεως καὶ τοῦτο ἄξιον ὄν, εἰ οὕτω τοῦ φίλου πάσχοντος αὐτὸς κεῖται ἡσυχάζων. δύναται δὲ καὶ ἐπαινετικῶς ῥηθῆναι ὡς ἐπὶ φοβεροῦ καὶ φρικτοῦ, καὶ δηλώσει Ὅμηρος ἑξῆς ἐτυμολογῶν, ὅπου ἐρεῖ ὅτι φανέντος Ἀχιλλέως ἡνίοχοι ἔκπληγεν, ἐξ οὗ ἐκπλαγώτατος, καὶ μεταθέσει ἐκπαγλότατος. (v. 175—7) Σημείωσαι δὲ καὶ ὅτι λύσιν κἀνταῦθά τινα προβάλλεται ὁ ποιητὴς τῆς ὕστερον ἐξ Ἀχιλλέως εἰς τὸν Ἕκτορα ὠμότητος, εἴγε καὶ πάντων μάλιστα ἕλκειν αὐτὸς ἐθέλει τὸν Πάτροκλον καὶ τὴν κεφαλὴν ἀνασκολοπίσαι καὶ κυσὶν εἰς μέλπηθρα παραβαλεῖν. Ἔνθα σημείωσαι περὶ τῆς ἀνασκολοπίσεως ὡς οὐκ ἂν πιθανὸν ἦν ἑτέρωθεν τῷ Ἀχιλλεῖ λαληθὲν τοῦτο, εἰ μὴ ἐκ τῆς Ἴριδος.

4.155 τίς γὰρ ἀνθρώπων εἶχεν εἰδέναι αὐτό, κρυπτόμενον ἔσω τῷ Ἕκτορι; εἰ δὲ καὶ ἐξελάλει αὐτὸς ἐν μάχῃ, καὶ οὕτως ἡ Ἶρις τὸ τοιοῦτον διαγγέλλει καὶ οὐκ οἶδεν ἄλλως αὐτὸ Ἀχιλλεύς. (v. 177 s.) Ὅρα δὲ καὶ τὴν ἀνα πρόθεσιν δοτικῇ συνταχθεῖσαν συνήθως ἐν τῷ «ἀνὰ σκολόπεσσιν», [ἐξ οὗ τὸ ἀνασκολοπίσαι σύγκειται,] καὶ τὸ «ἄνα» κείμενον, ὡς παρὰ Σοφοκλεῖ, οὕτω καὶ νῦν ἀντὶ τοῦ «ἀνάστηθι», κατὰ τελείαν ἔλλειψιν ῥήματος, τὴν καὶ ἐπὶ ἄλλων δηλωθεῖσαν γίνεσθαι προθέσεων, καὶ ὅτι πρὸς διαστολὴν ὁμωνυμίας τοῦ ἄνα, ὅ ἐστι βασιλεῦ, ἐπήγαγε μετὰ τὸ «ἀλλ' ἄνα», τὸ «μηδ' ἔτι κεῖσο». Τὸ δὲ «σέβας δέ σε θυμὸν ἱκέσθω», ἤγουν αἰδὼς ἢ νέμεσις ἢ ἔκπληξις, περιφράζει μὲν τὸ σεβάσθητι. οὐκ ἀνόμοιον δέ ἐστι πρὸς τὴν φράσιν τοῦ «σεβάσατο γὰρ τό γε θυμῷ». (v. 180) Τὸ δὲ «σοὶ λώβη ἔσται», εἴπερ ὁ νέκυς αἰσχυνθῇ, δεξιῶς ἐρρέθη. ὡς γὰρ κοινά σοι τὰ τοῦ φίλου ἐν ζωῇ, οὕτω πως καὶ μετὰ θάνατον. σὴ γοῦν λώβη τὸ ἐκείνου αἶσχος, ὡς εἶναι ταὐτόν τι λώβην καὶ αἶσχος καὶ τὰ τούτων ῥήματα, τὸ λωβᾶσθαι καὶ τὸ αἰσχύνειν. δῆλον δὲ ἐν τῷ «ᾐσχυμμένος» ὅτι καὶ νεκροῦ αἰσχύνην οἶδεν Ὅμηρος, τὴν τῆς ὁλότητος τῆς κατὰ σῶμα κολόβωσιν. Ὅρα δὲ καὶ ὅτι τὸ ἐν τῇ πρὸ ταύτης ῥαψῳδίᾳ ῥηθὲν ἐν τρισὶ στίχοις «σοὶ μὲν δή, Μενέλαε, κατηφείη καὶ ὄνειδος ἔσσεται», ἐὰν Πάτροκλος τάδε πάθοι, ἐνταῦθα στίχῳ ἑνὶ ἐπιτέτμηται τῷ «σοὶ λώβη αἴ κέν τι νέκυς ᾐσχυμμένος ἔλθοι». οἶδε γὰρ ὁ ποιητὴς καὶ ἐκτείνειν τεχνικῶς καὶ συστέλλειν νοήματα. [Ἔστι δὲ τὸ «ἔλθοι» ἀντὶ τοῦ ἀπέλθοι γλυκέως καὶ ἀφελῶς ἐπὶ νεκροῦ ὡσεὶ καὶ ἐμψύχου φρασθέν. περὶ δὲ λώβης ὅθεν γίνεται, εἴρηται μὲν πολλαχοῦ, δηλοῦται δὲ καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν, ἧς ἐς πᾶν διαφέρει ὁ διὰ τοῦ ο μικροῦ γραφόμενος λοβός, περὶ οὗ καὶ αὐτοῦ ἐν ἄλλοις ἐρρέθη. λοβοὶ δὲ οὐ μόνον οἱ κατὰ τὸ ἧπαρ, ἀλλὰ καὶ οἱ τῶν ὠτίων, ὧν χρῆσις καὶ ἐν τῷ «ἐϋτρήτοισι λοβοῖσιν», ἀφ' ὧν καὶ ἐλλόβια, κόσμος ἐνώτιος ἀπηρτημένος τῶν κατὰ τὰ ὦτα λοβῶν, καὶ ὀξυλοβῶ ῥῆμα τὸ ταχέως ἀκούω.] (v. 182 et 184) Ἐν τούτοις δὲ ἐπαναφορικῶς κεῖται καὶ ἡ ἐν τῇ α′ ῥαψῳδίᾳ παρασημειωθεῖσα ψευδοπαρήχησις, τὸ «Ἶρι θεά, τίς γάρ σε ἧκε», καὶ τὸ «Ἥρη με προέηκε Διὸς κυδρὴ παράκοιτις», τὸ μὲν περὶ Ἴριδος λεχθέν, τὸ δὲ περὶ τῆς Ἥρας. Ἐν οἷς ὅρα καὶ ὡς κοινῶς μὲν εἶπε τὸ «τίς γάρ σε ἧκεν», Ἀττικῶς δὲ τὸ «προέηκε», καὶ ὡς δοκεῖ καὶ νῦν ὁ γαρ σύνδεσμος κατὰ τὸ παρέλκον κεῖσθαι.

4.156 (v. 185 s.) καὶ ὡς ἑρμηνεύων διὰ τῆς Ἴριδος τὸ «κρύβδα Διός», οὐδ' οἶδε Κρονίδης ὑψίζυγος οὐδέ τις ἄλλος ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται» ὅπερ ἐν στίχοις δυσὶ περίφρασίς ἐστιν ἡμιστιχίου ἀνωτέρου κειμένου τοῦ «κρύβδα Διὸς ἄλλων τε θεῶν». βιωτικὴ δὲ κατ' ἀνθρώπους λέξις καὶ οὐδέν τι θεῖον ἔχουσα τὸ «ἀμφινέμονται». (v. 172—5) Μέσον δὲ τῶν εἰρημένων κεῖται καί τι σχῆμα οὐ πάνυ τετριμμένον τὸ «ἀλλήλους ὀλέκουσιν, οἳ μὲν ἀμυνομένοι νέκυος πέρι, οἳ δὲ ἐρύσασθαι Τρῶες ἐπιθύουσι». τὸ γὰρ κοινότερον ἦν ἄν· οἳ δὲ ἐρύσασθαι ἐπιθύοντες, ὅ ἐστιν ἐφορμῶντες. Ἡ δὲ πολλὴ χύσις τῆς Ὁμηρικῆς λογιότητος ἔχει

καὶ ἄλλα οὕτως ἀναπιδύοντά που σχήματα εἰς ψυχαγωγίαν τοῖς φιλοκαίνοις. (v. 188—95) Ὅτι ὡς ἐν σχήματι προκατασκευῆς, εἰπεῖν δὲ καὶ προεκθετικῶς, ποιεῖ Ὅμηρος τὸν Ἀχιλλέα ἐπαποροῦντα πρὸς τὴν ἢ μυθικὴν ἢ ἄλλως λαϊκὴν Ἶριν, τὴν εἰς μάχην, ὡς ἐρρέθη, αὐτὸν ἐρεθίζουσαν «πῶς δὴ ἔλθω μετὰ μῶλον, ἔχουσι δὲ τεύχε' ἐκεῖνοι· μήτηρ δ' οὔ με πρίν γ' εἴα θωρήσσεσθαι πρίν γ' αὐτὴν ἐλθεῖν» ἔχουσαν, καθὰ στεῦτο, παρ' Ἡφαίστου «ἔντεα καλά. ἄλλου δ' οὔ τευ οἶδα, τεῦ ἂν κλυτὰ τεύχεα δύω, εἰ μὴ Αἴαντός γε σάκος Τελαμωνιάδαο. ἀλλὰ καὶ αὐτὸς ὅ γ' ἔλπομ' ἐνὶ Τρώεσσιν» ἢ μάλιστα «ἔλπομ' ἐνὶ πρώτοισιν», «ὁμιλεῖ ἔγχεϊ δηϊόων περὶ Πατρόκλοιο θανόντος». Καὶ οὕτω μὲν ὁ ποιητικὸς Ἀχιλλεύς, ἀληθῶς δὲ αὐτὸς Ὅμηρος ἀνακινεῖ τὸ οἰκεῖον μεθοδικὸν καὶ σκέπτεται πῶς ἂν οὕτω συμπεσόντων ἄρτι τῶν πραγμάτων πιθανῶς ἐξαγάγοι τὸν Ἀχιλλέα εἰς τὴν ὑπὲρ τοῦ φίλου ἄμυναν. (v. 197—200) Καὶ ἀκούει ἐκ τῆς Ἴριδος, ἥτις ποτ' ἂν καὶ εἴη, ὅτι «εὖ δὴ καὶ ἡμεῖς ἴδμεν ὅτι», ἢ «ὅ τοι», «κλυτὰ τεύχε' ἔχονται, ἀλλ' αὔτως ἐπὶ τάφρον ἰὼν Τρώεσσι φάνηθι, αἴ κέ ς' ὑποδδείσαντες ἀπόσχωνται πολέμοιο Τρῶες, ἀναπνεύσωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν».

4.157 ἅπερ οὐδέν ἐστιν ἄλλο ἢ ποιητικὴ ὑπόσχεσις, ὡς κρίνει δέον ὁ ποιητὴς ἄοπλον γοῦν οὕτως ἐξαγαγεῖν τῷ τέως εἰς μάχην τὸν Ἀχιλλέα, ἵνα φόβον τινὰ ἐμποιήσῃ τοῖς Τρωσίν, ἀναπνεύσωσι δὲ Ἀχαιοὶ τειρόμενοι. (v. 201) «Ὀλίγη δέ», ὡς καὶ ἀλλαχοῦ ἔφη, «ἀνάπνευσις πολέμοιο». Ὅρα δ' ἐν τούτοις ὅτι τε θαρρεῖ πάνυ τῇ τοῦ Αἴαντος φιλίᾳ ὁ Ἀχιλλεὺς καὶ τῇ ἀνδρίᾳ, ὃς καὶ παραμένειν αὐτὸν λέγει τῷ Πατρόκλῳ καὶ κατακόπτειν τοὺς ἐχθρούς, καὶ ὅτι καλῶς μέμνηται ὁ Ἀχιλλεὺς τῆς μητρικῆς ὑποθημοσύνης, ὥς φησι προϊὼν Ὅμηρος σαφέστερον, μὴ καὶ λάθοι ὅμοια παθὼν τῷ Πατρόκλῳ ἀμελήσας ἀγαθῆς συμβουλῆς. διὸ τρέχει τὴν μέσην, φανεὶς μὲν ἐν πολέμῳ, οὐκ εἰς μέσον δὲ παραρρίψας ἑαυτὸν διὰ τὸ ἄοπλον. καὶ ὅτι οὐχ' οὕτως δοκεῖ εὐμεγέθης εἶναι Ἀχιλλεὺς ὡς ὁ Αἴας. μόνον γοῦν τὸ σάκος προσαρμόττει τῷ Ἀχιλλεῖ διὰ τὸ πολὺ τῆς κατὰ χεῖρα ῥώμης, οὐ μὴν δὲ καὶ τὰ λοιπὰ ἴσως τοῦ Αἴαντος ὅπλα. Ἔχει δὲ ἀπορίαν ἐνταῦθα ὁ λόγος. πῶς γὰρ οὔτινος ἄλλου τεύχεα ἔχει δύεσθαι Ἀχιλλεὺς ἔχων τὰ τοῦ Πατρόκλου; εἰ γὰρ τὰ τοῦ Ἀχιλλέως τῷ Πατρόκλῳ προσήρμοττεν, ἁρμόσοι ἄν, φασί, καὶ τὰ ἐκείνου τῷ Ἀχιλλεῖ. ἢ τοῦτο οὐκ ἐξ ἀνάγκης. τὰ μὲν γὰρ τῶν μειζόνων δύναται, φασί, τοῖς μὴ τοιούτοις ἁρμόττειν, οὐ μὴν καὶ ἀνάπαλιν. ἴσως δέ, φασί, καὶ ὁ Αὐτομέδων, ὡς προεσημειώθη, ἐφόρει αὐτά, ἵνα δοκῇ Πάτροκλος εἶναι. λυθήσεται δὲ τὸ ἄπορον καὶ ἀπὸ τῆς λέξεως. κλυτὰ γὰρ τεύχεα ἐθέλει δῦναι, τοιαῦτα δὲ οὐκ ἔχει εὑρεῖν, εἴπερ τοιαῦτα λέγει τὰ ἡφαιστότευκτα. (v. 188) Ὅρα δὲ ὅτι τε πολλαχοῦ μῶλον Ἄρηος λέγων ἐνταῦθα ἠρκέσθη μῶλον μόνον εἰπών, (v. 191) καὶ ὅτι «στεῦτο» τὸ ὑπέσχετο, ἀκολούθως τῷ «στεῦται γάρ τι ἔπος εἰπεῖν», (v. 192) καὶ ὡς ἐν στίχῳ ἑνὶ τὸ τεῦ καὶ ἀορίστως ἔφη «οὔ τευ οἶδα» ἀντὶ τοῦ οὔτινος, διὸ καὶ ἐγκλίνεται, καὶ ἀντωνυμικῶς μετὰ τόνου «τεῦ ἄν», ἤτοι οὗ ἄν, «κλυτὰ τεύχεα δύω», ἤγουν ὑπεισέλθω. οὗ πρὸς διαστολὴν τὸ ἀριθμητικὸν δύο συστέλλει τὴν λήγουσαν. (v. 194) Τὸ δὲ «ἔλπομαι ἐνὶ πρώτοισιν ὁμιλεῖ» ἐλλιπῶς ἔχει. λείπει γὰρ τὸ ὅτι, ἵνα εἴπῃ, οἶμαι ὡς τοῖς πρώτοις ὁμιλεῖ, ἤγουν προμάχεται. καὶ ἄλλως δέ, ἐκ περιττοῦ χάριν ἀκριβείας ἀσυνδέτως ἐπεμβέβληται τὸ ἔλπομαι, ἵνα λέγῃ, ἀλλὰ καὶ αὐτὸς οὗτος προμάχεται, οἶμαι, ἤγουν ὡς νομίζω.

4.158 [(v. 195) Τὸ δὲ «ἔγχεϊ δηϊόων» ἔλλειψιν καὶ αὐτὸ ἔχει, δηλωτικὴν σπουδῆς τῆς τοῦ φράζοντος. λείπει γὰρ τὸ Τρῶας ἤ τι τοιοῦτον.] Τὸ δὲ «περὶ Πατρόκλοιο θανόντος» ἔπαινος καὶ αὐτὸ Αἴαντος, ὃς οὐδὲ θανόντος τοῦ φίλου ἀμελεῖ. (v. 200) Τὸ δὲ «ἀναπνεύσωσιν ἀρήϊοι υἷες Ἀχαιῶν» σεμνύνει ἐκείνους, εἰ καὶ ἐν τηλικούτῳ κινδύνῳ παραμένει αὐτοῖς τὸ ἀρήϊον, καί πως λέγει, ὡς οἱ πρὶν μένεα πνείοντες ταχὺ ἀναπνεύσουσι δι' Ἀχιλλέως. Τὸ δὲ «υἷες Ἀχαιῶν», οὐ μόνον περιφραστικῶς Ἀχαιοὺς δηλοῖ, ἀλλὰ καὶ ὑπολαλεῖ τοὺς ἀρηΐους τούτους ἐκ γένους ἔχειν τὸ μάχιμον. (v. 203- 6) Ὅτι ἐξελθόντος τοῦ Ἀχιλλέως εἰς τὴν τάφρον ἡ Ἀθηνᾶ ἀμφὶ «ὤμοις ἰφθίμοισι», τοῖς ἐκείνου δηλαδή, «βάλ' αἰγίδα θυσανόεσσαν, ἀμφὶ δέ οἱ κεφαλῇ νέφος ἔστεφε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρύσεον, ἐκ δ’ αὐτοῦ δαῖε φλόγα παμφανόωσαν», ὥς που πρὸ τούτων καὶ ἐπὶ Διομήδους. (v. 207—14) Εἶτα παραβολὴν ἐπιφέρων προσφυῆ καὶ τὸ ἐκ τῆς κεφαλῆς τοῦ Ἀχιλλέως σέλας εἰκάζων [οὐχὶ ἀστέρι ὀπωρινῷ, καθὰ ἐπὶ Διομήδους, ἀλλὰ] πυρσοῖς μεγάλοις νησιωτικοῖς, φησὶν «ὡς δ’ ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρα ἵκηται τηλόθεν ἐκ νήσου, τὴν δήϊοι ἀμφιμάχωνται, οἵ τε πανημέριοι στυγερῷ κρίνονται Ἄρηϊ ἄστεος ἐκ σφετέρου, ἅμα δ’ ἠελίῳ καταδύντι πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ’ αὐγὴ γίνεται ἀΐσσουσα, περικτιόνεσσιν ἰδέσθαι, αἴ κέν πως σὺν νηυσὶν Ἄρεως ἀλκτῆρες ἵκωνται, ὣς ἀπ’ Ἀχιλλῆος κεφαλῆς σέλας αἰθέρα ἵκανε». (v. 225—7) Περὶ οὗ καὶ μετ’ ὀλίγα δηλῶν φησιν «ἀκάματον πῦρ δεινὸν ὑπὲρ κεφαλῆς μεγαθύμου Πηλείωνος δαιόμενον· τὸ δ’ ἔδαιε θεὰ γλαυκῶπις Ἀθήνη». Ἀξιοπρεπὴς δὲ κατὰ τοὺς παλαιοὺς ἐν τούτοις ἡ τερατεία καὶ μείζων τῆς πρὸ τούτων κατὰ τὸν Διομήδην, οὐ μόνον καθότι ἐκεῖνος μὲν ὡπλισμένος καὶ οὕτω λάμπων ἔχει ἀφορμήν τινα λέγεσθαι λάμπεσθαι τῷ ἐκ τῶν ὅπλων πυρί, Ἀχιλλεὺς δὲ ἄοπλος ὢν παμφαίνει φλογί, ἀλλὰ καὶ καθὸ τὴν οἰκείαν αἰγίδα περιτίθησι τούτῳ ἡ Ἀθηνᾶ. ἔστι γὰρ νοῆσαι, ὡς ἐλάμπετο μὲν καὶ ὁ Διομήδης πυρί, ἀλλ’ Ἀχιλλεὺς ἐνταῦθα τερατωδέστερον ἔχει, εἴπερ σὺν τῷ φλογὶ δαίεσθαι καὶ αἰγίδα φορεῖ, δι’ ἣν καὶ νέφος περὶ αὐτὸν καὶ φλόξ, ὡς ἄν, ἵνα τολμήσας τις εἴπῃ, αἰγίοχός τε εἴη οὕτω καὶ νεφεληγερέτης δὲ τρόπον τινά, διὰ δὲ τὴν φλόγα καὶ οἷον ἀστεροπητής.

4.159 σεμνότερα οὖν τῶν ἐπὶ τῷ Διομήδει καὶ ὑψηλότερα τὰ κατὰ τὸν Ἀχιλλέα. Σημείωσαι δὲ ὅτι τε εἴπερ ἀμφ’ ὤμοις βάλλεται ἡ αἰγίς, οὐ πλήττει ἄρα, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, μόνον δὲ ἐκφοβεῖ, καὶ ὅτι ὕλην τῆς οὐ πρὸ πολλῶν ῥηθείσης φυσικῆς αἰγίδος τῆς τοῦ Διὸς καὶ ἡ τῆς Ἀθηνᾶς αὕτη λαλεῖ, ἀξυμφανῶς μέντοι. οὐ γὰρ ἐξ ὀρθοῦ νέφος λέγει ὁποῖον ἐκεῖ, οὐδὲ πῦρ ἀστραπαῖον, οὐδὲ βροντήν. ἐμφαίνει μέντοι ὅμως ἐφ’ ὁποσονοῦν καὶ τοῦτο τὴν ἐκεῖ ἀλληγορίαν ἀμυδρῶς διὰ τὸ καὶ τὴν Ἀθηνᾶν, εἰ καὶ Διὸς θυγάτηρ, ἀλλὰ μὴ ἁπλῶς οὕτω κοινότερον κατὰ πλάτος, αὐτὴν ἀλληγορεῖσθαι εἰς ἀέρα, ἵνα καὶ ἡ ταύτης αἰγὶς εἰς ἀέριόν τι πάθος ἐκλαμβάνηται. (v. 206) Χρύσεον δὲ τὸ ῥηθὲν νέφος, ὅτι καὶ φλογῶδες. ὅθεν ὁ Πίνδαρος τὸν χρυσὸν πυρὶ αἰθομένῳ ἐν νυκτὶ παρείκασεν. ἐλέχθη δὲ πρὸ τούτων καὶ ἐν ἀέρι χρύσεα νέφη. ἀλλ’ ἐκεῖνα μὲν ἄνω, τοῦτο δὲ οὐχ’ ὑφηλὸν ἀλλὰ κάτω, οἷα τὸν Ἀχιλλέα στέφον κατά τινα κυριολεξίαν, ἐπεὶ καὶ ὑπὲρ κεφαλῆς τὸ τοιοῦτον φλογῶδες καὶ πυρῶδες ἐδαίετο. περὶ οὗ διὰ τὴν ὁμοιότητα ζητητέον καὶ ὅσα ἐν τῇ ε′ ῥαψῳδίᾳ γέγραπται. [(v. 205) Ὅρα δὲ κἀνταῦθα ὅτι τε σεμνὴ λέξις ἀεὶ τὸ στέφειν, καὶ ὅτι στέφανον κεφαλῆς Ἀχιλλέως οἷον χρυσοῦν τὸ κατ’ αὐτὴν χρύσεον νέφος ὑπολαλεῖ ὁ ποιητής. ὅτι δὲ καὶ ἐν πότοις καὶ ἐν ἑορταῖς καὶ ἐν γάμοις καὶ ἐν ἀγῶσιν ἐστεφανοῦντο, δῆλον ἐκ τῶν παλαιῶν, εἰ καὶ μὴ παρ’ Ὁμήρῳ τοῦτο τέτριπται. σεμνύνει δὲ μάλιστα τὸν στέφανον Ἀριστοτέλης, εἰπὼν ὅτι θυσίαις στεφανοῦνται, ἐπεὶ οὐδὲν κολοβὸν θεῷ προσφέρεται, ἀλλὰ τέλεια καὶ ὅλα. τὸ δὲ πλῆρες τέλειον. τοιοῦτον δὲ παρ’ Ὁμήρῳ τὸ στέφειν, δι’ οὗ πλήρωσις σημαίνεταί τις, οἷον «κοῦροι κρητῆρας ἐπεστέψαντο ποτοῖο», καὶ «θεὸς μορφὴν ἔπεσι στέφει».

4.160 ὄψιν γὰρ ἄμορφον ἀναπληροῖ πιθανότης τοῦ λέγειν. ἔοικεν οὖν ὁ στέφανος τοῦτο βούλεσθαι ποιεῖν, καθὸ καὶ Ὠκεανῷ χθὼν ἅπασα δίκην νήσου ἐστεφάνωται. διὸ ἐν τῷ πενθεῖν τἀναντία ποιοῦμεν. ὁμοπαθείᾳ γάρ, φησί, τοῦ κεκμηκότος κολοβοῦμεν ἡμᾶς κουρᾷ τε τριχῶν καὶ στεφάνων ἀφαιρέσει. Ἐνθυμητέον δ’ ἐν τούτοις καὶ Φωκίωνα, ὃς ἐστεφανωμένος θύων καὶ μαθὼν ἐν πολέμῳ πεσεῖν τὸν υἱὸν ἀπέθετο πενθίμως τὸν στέφανον. προσεπιμαθὼν δὲ καί, ὡς ἀριστεύων ἐκεῖνος τέθνηκεν, αὐτίκα ἐστεφανώσατο.] (v. 207—11) Οἱ δὲ ἐν ἡμέρᾳ μὲν καπνοὶ ἐξ ἄστεος νησιωτικοῦ, νύκτωρ δὲ πυρσοὶ ἐπήτριμοι, ὅ ἐστι συχνοί, ὡς ἐν ἄλλοις δηλοῦται, πολυπειρίαν πραγμάτων καὶ αὐτοὶ συνάγουσι τῷ ἀκροατῇ, ὡς ἂν εἰδείη ὅτι ἡμέρας μὲν καπνὸς ὑψούμενος πλέον τοῦ πυρὸς ὁρᾶται διὰ τὸ ἐν φωτὶ μέλαν καὶ σημαίνει κινδύνους νήσου, νύκτωρ δὲ τοῦ καπνοῦ λανθάνοντος διὰ τὸ σκότος ἀναλάμπει ἐφ’ ὁμοίοις ἐκεῖ τὸ πῦρ. Καὶ ὅρα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅτι ἐπέτεινε τὴν τοῦ πυρὸς λαμπρότητα οὐχ' ἁπλῶς τινας ἄνδρας πολιορκουμένους παραλαβὼν χρωμένους πυρσοῖς, ἀλλὰ [τηλόθεν] νησιώτας, οἳ μάλιστα τούτοις θαρροῦσι διὰ τὸ μὴ ἔχειν πεζῇ βαδίσαι καὶ δηλῶσαι τοῖς περιοίκοις εἴτε νησιώταις εἴτε ἄλλως ἠπειρώταις τὸν κίνδυνον. τοῖς γὰρ τοιούτοις ὡς ἀπῳκισμένοις οἱ πυρσοὶ καὶ μεγάλοι ἀνάπτονται, καὶ διὰ πελάγους ἀνεπιπροσθήτως φαίνονται. Ὅρα δὲ ὅτι τε νέφος ἐνταῦθα χρύσεον εἰπὼν καὶ φλόγα καὶ σέλας πῦρ οὐκ ἠθέλησε φράσαι, [εἰ καὶ ἄλλως ἐν τῷ τέλει τῆς ῥῶ καὶ τὸ σέλας ἀντὶ πυρὸς ἔθετο], προϊὼν δὲ ἐρεῖ περὶ τούτου, ἔνθα τὸ ἐξ Ἀχιλλέως καιόμενον καὶ ἀκάματον πῦρ ἐξέπληττε τοὺς ἡνιόχους. καὶ ὅτι ἡ τοῦ καπνοῦ ἐν τοῖς ῥηθεῖσι παράληψις τέθειται μὲν καὶ πρὸς ἔμφασιν πλήθους πυρσῶν, μᾶλλον δὲ δι' ἐμπειρίαν πολυμαθείας, ὡς εἴρηται.

4.161 ἄλλως γὰρ οὐ χρήσιμος ὁ καπνὸς πρὸς τὸ πολὺ τῆς ἐν τῷ Ἀχιλλεῖ φανταζομένης λαμπρότητος. (v. 209) Τὸ δὲ «κρίνονται Ἄρηϊ» ἀντὶ τοῦ εἰς διάκρισιν σπεύδουσιν, ἵνα τοῦ μίγνυσθαι παύσωνται, κατὰ τὸ «παύσαντο φυλόπιδος καρτερῆς». ἐκ τοῦ τοιούτου δὲ κρίνειν καὶ κριτής, δι' οὗ οἱ πρὸς ἔριν ἀναμεμιγμένοι διακρίνονται. καὶ ἄλλως δὲ κρίνονταί τινες Ἄρηϊ ἀντὶ τοῦ μεμερισμένως οἱ μὲν ἔνθεν, οἱ δὲ ἐκεῖθεν μάχονται. ὅθεν μετ' ὀλίγα φησίν, ὅτι οἱ δεῖνα «μένος Ἄρηος δατέονται», ἤγουν μερίζουσι. [Δύναται δὲ λέγειν καὶ ὅτι διαφαίνεται, τίνες οἱ ἐν τοῖς μαχομένοις ἔκκριτοι. ἐκ δὲ τοῦ τοιούτου κρίνειν δοκεῖ καὶ ἡ ἐγκρὶς εἶναι, πεμμάτιον, φασίν, ἑψόμενον ἐν ἐλαίῳ, εἶτα μελιτούμενον.] (v. 211) Τὸ δὲ «ἐπήτριμος», ὃ δηλοῖ, ὡς ἐρρέθη, τὸν πυκνόν, ὁ Ἀσκαλωνίτης ὀξυτόνως, φασί, προέφερεν, οὐκ εὖ λέγων. τὰ γὰρ διὰ τοῦ ιμος ὑπὲρ δύο συλλαβὰς προπαροξύνονται. [Ἐκ τοῦ τρία δέ, ὅπερ ἐστὶ πολλά, γίνεται, φασί, τρίμος, καὶ πλεονασμῷ μετὰ προθέσεως, ὥσπερ ἐπηετανός καὶ ἐπήβολος, οὕτω καὶ ἐπήτριμος. ὁ δέ γε εὐήτριος χιτὼν ἄλλο τι δηλοῖ, ὡς ἀλλαχοῦ δεδήλωται. τὸ μέντοι διὰ τοῦ ι γραφόμενον ἴτριον πέμμα, φασίν, ἐκεῖνό ἐστι λεπτὸν διὰ σησάμου καὶ μέλιτος γινόμενον.

4.162 τὸ δὲ παρ' Ὁμήρῳ ἦτρον, ὅτι ἐκ τοῦ ἄω, τὸ πνέω, καθὰ καὶ τὸ ἦτορ γίνεται, ὡς καίριον ὂν τοῖς ζῶσιν, ἔγνωσται ἤδη καὶ αὐτό.] (v. 212) Περικτίονας δὲ νοητέον ἐν τῇ ῥηθείσῃ παραβολῇ διοικονομουμένους ναυσὶ καὶ αὐτούς. οἱ γὰρ τοιοῦτοι χρήσιμοι ἂν πολεμουμένοις νησιώταις ἔσονται, οὐ μὴν οἱ ἄλλως ἁπλῶς περίοικοι. (v. 213) Τὸ δὲ «Ἄρεως ἀλκτῆρες» σημειωτέον εἰς τὸ «ἐμεῖο δὲ δῆσεν Ἄρης ἀλκτῆρα γενέσθαι», τὸ πρὸ ὀλίγου ῥηθέν. χρήσιμον γὰρ τοῦτο ἐκεῖ. Ἰστέον γὰρ ὅτι τὰ παλαιὰ τῶν ἀντιγράφων ἐκτείνουσιν ἐνταῦθα τὴν λήγουσαν τοῦ Ἄρεως, ὡς ἀπὸ εὐθείας προδηλωθείσης Αἰολικῆς βαρυτόνου τοῦ Ἄρευς. τινὲς δέ φασι καὶ ὡς αἱ τοῦ Ἀριστάρχου ἐκδόσεις καὶ τοῦτο διὰ μόνου τοῦ ω ἔχουσι. τοῦ Ἄρεω γάρ, ὡς τοῦ Μενέλεω καὶ τοῦ Πείρεω· οἷον· Πείρεω υἱόν. ὁ δ' αὐτός, φασίν, Ἀρίσταρχος καὶ τὸ «ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται τηλόθεν ἐκ νήσου» οὕτω μεταγράφει «ὡς δ' ὅτε πῦρ ἐπὶ πόντον ἀριπρεπὲς αἰθέρ' ἵκηται», λέγων ὡς ἄτοπον τὸ πῦρ εἰκάσαι καπνῷ. οὐκ εὖ δέ, φασίν, ἐκεῖνος ποιεῖ. ὁ γὰρ ποιητὴς τὸ ὅλον πρᾶγμα συνήθως φράζων καπνοῦ τε ἐμνήσθη τοῦ ἐν ἡμέρα, ὡς εἴρηται, καὶ πυρὸς πυρσῶν τοῦ ἐν νυκτί, ᾧ καὶ μόνῳ εἴκασται Ἀχιλλεὺς κατὰ τὸ ἐν παραβολαῖς Ὁμηρικὸν ἔθος. (v. 211) Ὅρα δὲ ὡς, εἰ καὶ ἐκ τοῦ πῦρ πυρός γίγνεται καὶ ὁ πυρρός, τὸ ἐπίθετον, διὰ δύο ρ καὶ ὁ ἐκ τούτου πυρσός, κατὰ τὸ ταρρός ταρσός, ἀλλ' ἐκ μὲν τοῦ πυρροῦ ἑτεροῖόν ἐστι ῥῆμα, οἷον ὑπερεπυρρίασε παρὰ τῷ Κωμικῷ, ἐκ δὲ τοῦ πυρσοῦ ἀλλοῖον, πυρσεύειν γάρ, ὡς ἐκ τοῦ πῦρ πυρὸς τὸ ἐμπυρεύειν.

4.163 [Ὅτι δὲ οἱ πυρσοὶ καὶ φανοὶ λέγονται, καὶ πανοὶ δὲ διὰ τοῦ πῖ, καὶ ὅτι τοῦ φανοῦ παράγωγον τὸ φανίον, ἀλλαχοῦ δηλοῦται.] (v. 215—7) Ὅτι Ἀχιλλεὺς «στῆ ἐπὶ τάφρον ἰὼν ἀπὸ τείχεος, οὐδ' ἐπ' Ἀχαιούς», ἢ ἐς Ἀχαιούς, «μίσγετο. μητρὸς γὰρ πυκινὴν ὠπίζετ' ἐφετμήν», ὡς καὶ πρὸ βραχέων ἐδηλώθη, ὅπερ, εἰ καὶ Πάτροκλος ἐξ Ἀχιλλέως ἐφυλάξατο, ἔζη ἄν. «ἔνθα», φησί, «στὰς ἤϋσεν», ὅ ἐστιν ἐβόησεν. (v. 218) Ὡς δ' οὐκ ἦν πιθανὸν ἁπλῶς οὕτω τοὺς Τρῶας τρέσαι, πλάττει σεμνῶς ὡς ἐν τερατείᾳ ποιητικῇ ὅτι συνεβόησε καὶ ἡ Ἀθηνᾶ, καὶ οὕτως ἐκυδοίμησε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς Τρῶας. (v. 217—8) Φησὶ γὰρ «ἀπάτερθε δὲ Παλλὰς Ἀθήνη φθέγξατο», κατά τινα δηλαδὴ συμφωνίαν, «ἀτὰρ Τρώεσσιν ἐν ἄσπετον ὦρσε κυδοιμόν». (v. 219—21) Σεμνύνων δὲ καὶ ἄλλως αὐτὴν καθ' αὑτὴν τὴν τοῦ Ἀχιλλέως κατὰ μόνας φωνήν, ἥν, ὡς εἰκός, Ἀθηνᾶς λόγῳ, τουτέστι φρονήσεως, εἰς ὅσον ἐξῆν καὶ ὕψωσε καὶ ἠγρίανεν, ὡς καὶ αὐτὸς μάλιστα βοὴν ἀγαθός, ὅ ἐστιν εὐρυβόας, ἐπάγει παραβολήν, δι' ἧς αὐτὴν εἰκάζει σάλπιγγι, εἰπὼν «ὡς δ' ὅτ' ἀριζήλη φωνή», τουτέστιν ἀριδήλη, «ὅτε τ' ἴαχε σάλπιγξ ἄστυ περιπλομένων δηΐων ὑπὸ θυμοραϊστέων, ὣς τότε ἀριζήλη φωνὴ γένετο Αἰακίδαο». (v. 222—233) Καὶ ἐπάγει «οἳ δ' ὡς οὖν ἄϊον ὄπα χάλκεον Αἰακίδαο, πᾶσιν ὀρίνθη θυμός», ἤγουν πάντες ἐταράχθησαν, «ἀτὰρ καλλίτριχες ἵπποι ἂψ ὄχεα τρόπεον», παλίντροποι δηλαδὴ θέοντες, «ὄσσοντο γὰρ ἄλγεα θυμῷ», αὐτοί τε δηλονότι καὶ οἱ ἄνδρες, [ἢ μᾶλλον οἱ ἄνδρες μόνοι, ἵνα ᾖ ὡς πάντες ὠρίνθησαν ὀσσόμενοι ἄλγεα.] «ἡνίοχοι δ' ἔκπληγεν», ὡς πρὸ μικροῦ ἐδηλώθη, «ἐπεὶ ἴδον ἀκάματον πῦρ δεινόν», τὸ προγραφέν, ὅπερ ἔδαιεν Ἀθηνᾶ. «τρὶς μὲν ὑπ' ἐκ τάφρου μεγάλ' ἴαχε δῖος Ἀχιλλεύς, τρὶς δὲ κυκήθησαν» οἱ περὶ Ἕκτορα. «ἔνθα δὲ καὶ τότ' ὄλοντο δυώδεκα φῶτες ἄριστοι ἀμφὶ σφοῖς», ἤγουν ἰδίοις, «ὀχέεσσι καὶ ἔγχεσσιν. αὐτὰρ Ἀχαιοὶ ἀσπασίως Πάτροκλον ὑπ' ἐκ βελέων ἐρύσαντες κάτθεσαν ἐν λεχέεσσι».

4.164 Καὶ ὅρα ὅπως ὑψώσας τὴν ἐπὶ τῷ κινδύνῳ τοῦ Πατρόκλου περιπέτειαν καὶ εἰς ἄπορον ἀγαγὼν ῥᾷον αὐτὴν λύσας κατέστησε θεῖον παρεμβαλὼν συνήθως πρόσωπον, δι' οὗ τεράστιος φαντασθεὶς ὁ Ἀχιλλεὺς τήν τε ἰδέαν τήν τε φωνὴν τοὺς πολεμίους ἐτρέψατο. ἄλλως γὰρ οὐκ ἂν ἀψόγως ἔπλασεν ὁ ποιητὴς τοιαύτην ἐκ μόνης τῆς τοῦ Ἀχιλλέως θέας καὶ φωνῆς φυγήν. ὁ γοῦν Ἕκτωρ καὶ εἰσέτι μετ' ὀλίγα ἐνδοιάζων, εἰ ἐτεὸν ἀνέστη Ἀχιλλεύς, οὕτω πιθανῶς θαρρεῖ ἀντιστῆναι πρὸς μάχην εἰς αὔριον. ἔσχε δὲ τὸ ἐνδοιάσαι διὰ τὸ τεράστιον τῆς θέας καὶ τῆς βοῆς, ὡς δῆθεν θεόθεν πρὸς ὥραν γενόμενον, ἵνα μόνον περισωθῇ ὁ νεκρός. (v. 219) Ἰστέον δὲ ὅτι καλὸν τῷ ποιητῇ καὶ τὸ παραβολικῶς πολεμικὴν σάλπιγγα παραλαβεῖν τὸ ἐνυάλιον ἠχοῦσαν ὡς ἐν πολιορκίας καιρῷ, ὥσπερ καὶ πολεμικοὺς ἀνωτέρω πυρσοὺς παρέθετο ἀκολούθως τοῖς ὑποκειμένοις πράγμασιν. [Οὔτε γὰρ ψιλὸς ὅπλων ἐμφανισθεὶς ὁ Ἀχιλλεὺς ἐξεθρόησεν ἂν τοὺς ὁπλίτας ἐχθρούς, οἵγε καὶ ἐχάρησαν ἂν καὶ ἐθάρσησαν καὶ ἐπέδραμον, ὡς καὶ καταφαγεῖν αὐτόν, ὃ δὴ λέγεται. οὐδὲ μὴν τῇ κατὰ φύσιν αὐτοῦ καὶ μόνου βοῇ ἐξέπληξεν ἂν ἐκείνους, εἰ καὶ ὅτι μάλα λιγύφθογγος ἦν καὶ ὀξὺς βοῆσαι. φαντάσας δὲ διὰ τοῦ χρυσέου νέφους καὶ τῆς τεραστίας φλογὸς τῶν ἀμφιχυθέντων αὐτῷ λαμπρώτατον ὁπλίτην καὶ τῇ, ὡς εἰκός, ἐμβοητικῇ συμφωνίᾳ τῶν ἀμφ' αὐτὸν Μυρμιδόνων μόνων—οὐ γὰρ ἐμίγνυτο τοῖς λοιποῖς ἀλλ' ἰδίαζε λόγῳ Ἀθηνᾶς, ἤτοι φρονήσεως, ἵνα μὴ ἀλλαχοῦ ταῦτα φαίνοιντο γίνεσθαι, ἀλλ' αὐτόχρημα περὶ τὰς τοῦ Ἀχιλλέως νῆας—, ἀριζήλην τε φωνὴν ἀφῆκεν καὶ οἵαν ἐκφοβῆσαι τοὺς ἐναντίους καὶ κατάφρακτος ὅπλοις δεινὸν γανόωσιν ἐνομίσθη, καὶ οὕτω τρεψάμενος ἐκείνους τὸν τοῦ ἑταίρου νεκρὸν περιεσώσατο.

4.165 ] (v. 219) Ὅτι δὲ τὸ ἀριζήλη θηλυκόν ἐστι τοῦ ἀρίζηλος, οἷον ἀστὴρ ἀρίζηλος, καὶ ὅτι ἔτρεψε τὸ δ εἰς ζ συνήθως, δῆλόν ἐστι, καὶ ὅτι καιρία λέξις ὡς ἐν ποιήσει τὸ ἀριζήλη φωνῆς ὑπερφωνούσης τὰς λοιπάς. διὸ καὶ δὶς αὐτῇ ἐνταῦθα ἐχρήσατο ἐπί τε σάλπιγγος καὶ ἐπὶ Ἀχιλλέως. Φασὶ δὲ οἱ παλαιοὶ ὡς οἶδε μὲν ὁ ποιητὴς σάλπιγγα, ἥρωας δὲ οὐκ εἰσάγει χρωμένους αὐτῇ οὐδὲ εἰδότας. ὃ δὴ καὶ περὶ τοῦ τετρώρου φασίν. Ἓξ δέ, φασί, σαλπίγγων εἴδη· πρώτη, ἣν εὗρεν Ἀθηνᾶ, διὸ καὶ Σάλπιγξ Ἀθηνᾶ παρὰ Ἀργείοις τιμᾶται, καὶ κεῖται καὶ παρὰ Λυκόφρονι τὸ ἐπίθετον· δευτέρα, ἡ στρογγύλη παρ' Αἰγυπτίοις, ἣν Ὄσιρις εὗρε, καλουμένη, φασί, χνούη. χρῶνται δ' αὐτῇ πρὸς θυσίαν, καλοῦντες τοὺς ὄχλους δι' αὐτῆς· τρίτη, ἡ Γαλατική, χωνευτή, οὐ πάνυ μεγάλη, τὸν κώδωνα ἔχουσα θηριόμορφόν τινα καὶ αὐλὸν μολίβδινον, εἰς ὃν ἐμφυσῶσιν οἱ σαλπισταί. ἔστι δὲ ὀξύφωνος καὶ καλεῖται ὑπὸ τῶν Κελτῶν κάρνυξ· τετάρτη ἡ Παφλαγονική, ἧς ὁ κώδων βοὸς ἦν προτομή, βαρύφωνος, ἀναφυσητή. καλεῖται δέ, φασί,

βόϊνος. πέμπτη Μηδική, τὸν αὐλὸν ἔχουσα καλάμινον, τὸν δὲ κώδωνα βαρύφωνον, ὀγκόφωνος. ἕκτη Τυρσηνική, ἧς εὑρεταὶ Τυρσηνοί, ὁμοία Φρυγίῳ αὐλῷ, τὸν κώδωνα κεκλασμένον ἔχουσα, λίαν ὀξύφωνος, ἧς καὶ Σοφοκλῆς ἐν τῷ Μαστιγοφόρῳ μέμνηται. (v. 220) Ὅρα δὲ καὶ τὸ «περιπλομένων δηΐων», ἤγουν περιπολούντων, κυκλούντων, ὡς χρησιμεῦον εἰς τὸ «περιπλομένων ἐνιαυτῶν», ληφθὲν καὶ αὐτὸ ἀντὶ τοῦ περιπελομένων, περιστρεφομένων, καὶ ὅτι τὸ «θυμοραϊστέων» δι᾽ ἑνὸς μὲν ρ γράφεται [καὶ ὧδε] ὡς κοινόν, οὐ μὴν Ἀττικῶς. εἴρηται δὲ πρὸς ἀναλογίαν τῶν ἐν Ὀδυσσείᾳ κυνοραϊστῶν. [Εἰ δὲ πρὸ τούτων μὲν θάνατος ἐρρέθη θυμοραϊστής, ἐνταῦθα δὲ δήϊοι θυμοραϊσταί, τί κωλύει καὶ σίδηρον εἰπεῖν θυμοραϊστήν, καὶ εἴ τι δὲ ἄλλο τοιοῦτον], καὶ ὅτι σχεδιασμοῦ εἴκασμα ἔχει καὶ τὸ ἐν δυσὶν ἐφεξῆς στίχοις πρὸς τῷ τέλει ἐνταῦθα κεῖσθαι τὸ «Αἰακίδαο», οἷα τοῦ σχεδιάζειν μὴ ἐνδιδόντος πρὸς λέξεων διαφόρων ἐπίχυσιν.

4.166 (v. 222) Σημείωσαι δὲ καὶ ὡς Κέρβερος μέν που συνθέτως χαλκεόφωνος εἴρηται, Ἀχιλλεὺς δὲ διαλελυμένως ὄπα χάλκεον ἔχει. καὶ ἔστι τῇ λέξει τὸ ἀσφαλὲς ἐκ τῆς κατὰ τὴν σάλπιγγα εἰκόνος, οἷα θεραπευθείσῃ ἐκεῖθεν. οὗ γὰρ ἡ φωνὴ ὁποία σάλπιγξ ἀριζήλη τε καὶ καθ᾽ ἕτερον ποιητὴν εἰπεῖν χαλκόστομος, ὁ τοιοῦτος οὐ καινόν, εἴπερ ὄπα χάλκεον ἔχειν λεχθείη ἤγουν στερεάν, ἣν ἀτειρέα φθάσας εἶπε, καὶ ἄθραυστον, καί, ὥς πού φησιν, ἄρρηκτον. (v. 224) Τὸ δὲ «ὄχεα τρόπεον», ἤγουν ἔτρεπον, σημειωτέον ὡς μήτε συζυγοῦν μήτε γραφόμενον κατὰ τὸ τρωπῶ τὸ τῆς δευτέρας συζυγίας τῶν περισπωμένων, ἐξ οὗ τὸ «θαμὰ τρωπῶσα χέει πολυηχέα φωνήν». ἐκ δὲ τοῦ τοιούτου τροπέω καὶ ὁ περιτροπέων ἐνιαυτὸς γίνεται καὶ τὸ παλιντροπάασθαι. [Εἰ δέ τις ἐθέλει καὶ τὸ τρόπεον ἐκτείνειν κατὰ τὸ τρώπαον καὶ τρώχαον καὶ τὰ ὅμοια, οὐ μὴν συστέλλειν κατὰ τὸ τρόμεον καὶ ὅσα τοιαῦτα δευτέρᾳ συζυγίᾳ περισπωμένων ὑπόκειται, ἴστω ὡς ἰδιάζει τῷ θελήματι καὶ οὐ λαλεῖ πρὸς ἀκρίβειαν. Ἰστέον δὲ καὶ ὡς, εἰ μὲν ἡ ἄρχουσα τοῦ «τρόπεον» μεγεθύνεται, τότε αἱ ἐφεξῆς δύο συλλαβαὶ ἀντὶ μιᾶς λογίζονται μακρᾶς, εἰ δὲ σμικρύνεται, ἀναγκαίως ἡ λήγουσα ἐκτείνεται λόγῳ κοινῆς συλλαβῆς.] Τὸ δὲ «ὄσσοντο ἄλγεα θυμῷ» ἐντελέστερον γέγραπται τοῦ «ὀσσόμενος πατέρ᾽ ἐσθλόν», ὃ ἐν Ὀδυσσείᾳ κεῖται. (v. 227) Τὸ δὲ «ἔδαιεν Ἀθήνη» πρὸς πλείω σαφήνειαν περιττῶς ἐτέθη. οὐ γὰρ ἁπλῶς ἀεὶ ἐδαίετο ἀκάματον πῦρ δεινὸν ἐκ κεφαλῆς τῷ Ἀχιλλεῖ, ἀλλὰ τῆς Ἀθηνᾶς ἀναπτούσης τότε, [ὥς ποτε καὶ τῷ Διομήδει. (v. 228) Τὸ δὲ «τρὶς ἴαχε» προσφυὲς τῇ Τριτογενείῃ Ἀθηνᾷ τῇ συλλαμβανομένῃ φωνῆς τῷ Ἀχιλλεῖ. ᾠκείωται γὰρ αὐτῇ ὁ τοιοῦτος ἀριθμός, ὡς πολλαχοῦ δηλοῦται. Τὸ δὲ ἰάχειν ἤδη καὶ τῇ σάλπιγγι δέδοται ἐν τῷ «ἴαχε σάλπιγξ».] (v. 230) Ἐν δὲ τῷ «δυώδεκα φῶτες» ἀμφιβάλλεται εἴτε δώδεκα μόνοι φῶτες ὤλοντο, εἴτε ἀπὸ κοινοῦ νοητέον ὅτι τρὶς ἰάχοντος Ἀχιλλέως καὶ τρὶς κυκηθέντων τῶν ἐχθρῶν τρὶς δώδεκα Τρῶες ὤλοντο, καθὰ καὶ πρὸ τούτων Πάτροκλος τρὶς ἐννέα ἄνδρας ἔπεφνεν.

4.167 Ὅρα δὲ σαφῶς καὶ ἐνταῦθα ἐκταθέντα τὸν δύω ἀριθμὸν τὴν λήγουσαν ἐν τῷ δυώδεκα, ἐξ οὗ ἀναγκαίως ἀεὶ ἐκτείνει τὴν ἄρχουσαν ὁ δώδεκα. (v. 233- 6) Ὅτι ὡς κατετέθη Πάτροκλος ἐν λεχέεσσι, «φίλοι ἀμφέσταν ἑταῖροι μυρόμενοι, μετὰ δέ σφι ποδώκης εἵπετ᾽ Ἀχιλλεύς, δάκρυα θερμὰ χέων, ἐπεὶ εἴσιδε πιστὸν ἑταῖρον κείμενον ἐν φέρτρῳ, δεδαϊγμένον ὀξέϊ χαλκῷ». (v. 235) Καὶ ὅρα τὸ «χέων» πολλὴν ἔμφασιν ἔχων δαψιλοῦς δακρύου ἐν μιᾷ λέξει. καὶ εἶχε μὲν παραβολὴν ἐπαγαγεῖν, ὡς ἀλλαχοῦ, τὴν ἀπὸ μελανύδρου κρήνης, συνεστένωσε δὲ κἀνταῦθα τὴν φράσιν τοῖς πράγμασιν. ἄλλως δὲ οὐδὲ ἐχρῆν πλατῦναι τοῦτο εἰς πλέον παραβολικῶς φειδοῖ Ἀχιλλέως, ὃν φθάσας ἔπλασε σκώψαντα τὸ πολὺ τοῦ Πατρόκλου δάκρυον. ἀμέλει ἐν τοῖς ἑξῆς μετ᾽ ὀλίγα ἐν καιρῷ ἀδείας νυκτέρου οὐδὲ δακρύοντα ποιήσας τὸν Ἀχιλλέα, στενάχοντα δὲ μόνον, ἐκτίθεται παραβολὴν εἰς τοῦτο οὐχ᾽ ὑποστειλάμενος. ἡρωϊκώτερον γὰρ τοῦ δακρύειν τὸ στενάχειν καὶ βαρυστενάχειν, ὡς καὶ ὁ φιλόμηρος ἐν Αἴαντι δηλοῖ Σοφοκλῆς. Θερμὰ δὲ δάκρυα οὐ μόνον τὰ φύσει τοιαῦτα, ὅτε πρόσφατα ῥέουσιν, ἀλλὰ καὶ τὰ ἐξ

ἐνδιαθέτου, ὡς τῶν μὴ τοιούτων οὐκ ἐνθέρμων ὄντων. καὶ ἔστι σύνηθες τὸ θερμὸν καὶ τοιαύτην σημασίαν ἔχειν, ὁποῖόν τι σὺν ἄλλοις μυρίοις καὶ τὸ «θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις». (v. 236) Τὸ δὲ «ἐν φέρτρῳ» ἔστι μὲν ἐφερμηνευτικὸν τοῦ «ἔθεσαν ἐν λεχέεσσι», δηλοῖ δὲ νεκρικὸν φορεῖον, ἀσπίδα τυχὸν ἢ ἄλλο τι αὐτοσχέδιον. ἅπαξ δέ, φασίν, εἶπε τὴν λέξιν ἐνταῦθα. κυριολεκτεῖται δὲ τῇ ἐτυμολογίᾳ, εἴγε τὸ φέρειν ἐπὶ ἀψύχου, ὅθεν καὶ ἀναφέρειν τὸ ἀπὸ παρανοίας ἀνασφάλλειν. καὶ εἴη ἂν φέρτρον ὁ νεκροφόρος σκίμπους. ἔοικε δὲ φερτήριον τετρασυλλάβως εἶναι τὸ ἐντελές, ἐξ οὗ συγκέκοπται τὸ φέρτρον ὁμοίως τῷ θρεπτήριον θρέπτρον, οἷον «οὐδὲ τοκεῦσι θρέπτρα φίλοις» καὶ ἑξῆς.

4.168 (v. 237 s.) Ἐνταῦθα δὲ καὶ ἡ Ὁμηρικὴ Μοῦσα οἷον μυρομένη φησὶ περιπαθῶς αἰτίαν τοῦ τῶν ἡρωϊκῶν δακρύων χεύματος, ὅτι ἔπεμπε μὲν τόν, ὡς ἐρρέθη, πιστὸν ἑταῖρον «σὺν ἵπποισι καὶ ὄχεσφιν εἰς πόλεμον, οὐδ᾽ αὖτις ἐδέξατο νοστήσαντα». οὕτω καὶ ἡ Θέτις πρὸς λύπης ἔχειν ἔφη ὡς οὐχ᾽ ὑποδέξεται τὸν υἱὸν οἴκαδε νοστήσαντα, ὃ καὶ Ἀχιλλεὺς παρεσημήνατο μετὰ τοὺς λόγους τῆς μητρὸς ἐν τόποις δυσίν. Ὅτι δέδοται τῇ ποιήσει κατεπιχειρεῖν καὶ τῆς τοῦ ἡλίου κινήσεως. καὶ ποτὲ μὲν ἐπὶ διαχύσει τινῶν κατέχει ὁ μῦθος τὸν ἥλιον αὐτοῦ που ἐν τῇ ἀνατολῇ. καὶ ἢ Μούσας γεννᾷ ἐννεανύχῳ ῥᾳστώνῃ Διὸς ἢ Ἡρακλέα τριέσπερον ἢ τὴν τοῦ Ὀδυσσέως ἀδολεσχίαν μετὰ τῆς γυναικὸς παρατείνει. (v. 239 s.) Ἐνταῦθα δὲ ἐπὶ λύπῃ τὸν ἥλιον ποιεῖ ἐπ᾽ Ὠκεανὸν πρὸς τῆς Ἥρας πεμπόμενον. φησὶ γὰρ «ἠέλιον δ᾽ ἀκάμαντα βοῶπις πότνια Ἥρη πέμψεν ἐπ᾽ Ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι». καὶ ἔστιν ὁ λόγος ἀστείως, ὡς καὶ Κράτης ἐπισημαίνεται. ἀλληγορικῶς γὰρ ὁ ἥλιος τῇ δίνῃ τοῦ οὐρανοῦ συνελκόμενος ἄκων ἐπὶ δυσμὰς ἕλκεται διὰ Ἥρας, τῆς τοῦ περιέχοντος δηλαδὴ φύσεως. τὸ γοῦν ἀεὶ φύσει γινόμενον ἰδικῶς ἄρτι γενέσθαι πλάττει, ὁποῖόν τι καὶ τὸ τὸν Ἀτρέα καταναγκάσαι τὸν τοῦ ἡλίου δρόμον καὶ ἐξ ἀνατολῶν τρέψαι πρὸς δύσιν. κἀκεῖνο γὰρ ἀεὶ γινόμενον ὅμως ἅπαξ ποτέ φησιν ὁ μῦθος γενέσθαι. καὶ ἄλλα δὲ πολλὰ τοιαῦτά εἰσι παρὰ τοῖς ποιηταῖς. (v. 241) Τὸ δὲ νέεσθαι τὸν ἥλιον ἐπ᾽ Ὠκεανόν, ταὐτὸν ὂν περιφραστικῶς τῷ δῦναι, διασαφῶν ὁ ποιητὴς εὐθὺς ἐπάγει «ἠέλιος μὲν ἔδυ». (v. 241—3) Ὅτι τὸ ἀγαθὸν εἶναι νυκτὶ πιθέσθαι πραγματικῶς ἐνταῦθα ποιεῖται. «ἠέλιος μὲν γὰρ ἔδυ, παύσαντο δὲ δῖοι Ἀχαιοὶ φυλόπιδος κρατερῆς καὶ ὁμοιΐου» πολέμου τοῦ πολλαχοῦ γνωσθέντος, «Τρῶες δ᾽ αὖ ἑτέρωθεν ἀπὸ κρατερῆς ὑσμίνης χωρήσαντες ἔλυσαν ὑφ᾽ ἅρμασιν ὠκέας ἵππους», ἤγουν ὑπέλυσαν τῆς ζεύγλης.

4.169 (v. 245) Ἐπεὶ δὲ ἀγαθὸν ἐν νυκτὶ βουλή, διὸ καὶ εὐφρόνη λέγεται, εὐθὺς οἱ Τρῶες «ἀγορὴν ἀγέροντο πάρος δόρποιο μέδεσθαι». ἐτυμολογικὸς δὲ συνήθης τρόπος τὸ «ἐς ἀγορὰν ἀγέροντο». [Ἰστέον δὲ ὅτι τοῦ δόρπου παρώνυμον αἱ ἐπιδορπίδες. δηλοῖ δὲ ἡ λέξις τὰ τραγήματα, λεγόμενα οὕτω διὰ τὸ ἐπὶ δόρπῳ, ἤγουν μετὰ δόρπον, προτίθεσθαι. διαφέρουσι δὲ ἴσως ἐπιδορπίδων τὰ παρὰ Ἡροδότῳ ἐπιφορήματα. ἦσαν δὲ αὐτὰ τὰ μετὰ τὰς μοῖρας ἑκάστων. Πλάτων δέ, φασίν, ὁ Κωμικὸς ταῦτα ἐπιραπεζώματα καλεῖ, ἄλλοι δὲ ἐπαίκλια, ταὐτὸν δ᾽ εἰπεῖν ἐπαίκνια κατὰ συγγένειαν τοῦ νῦ καὶ τοῦ λάμβδα. εἰσὶ δὲ καὶ αὐτὰ μετὰ δεῖπνον βρώματα. αἶκνον γὰρ καὶ αἶκλον τὸ βρῶμα πρὸς ὁμοιότητα τοῦ νίτρον καὶ τῶν ὁμοίων. ταῖς δὲ ῥηθείσαις λέξεσιν ἐρίζειν βούλεται πρὸς ἰσοδύναμον καὶ τὰ παρὰ Λυκίοις ἀναδείπνια, ἑσπερινὰ ἐδέσματα τραγηματώδη μετὰ κρέα καὶ ἰχθῦς.] Ὅρα δὲ καὶ νῦν φραστικὴν δύναμιν, ἄλλως μὲν φράσαντος Ὁμήρου τὸ παύσασθαι μάχης τοὺς Ἀχαιούς, ἑτέρως δὲ περιφραστικώτερον τὸ τοὺς Τρῶας, συμπτώσεως γενομένης κατὰ μόνον τὸ «κρατερῆς». (v. 246—8) Ὅτι ὀρθῶν ἑσταότων τῶν Τρώων ἀγορὴ γένετο, οὐδ᾽ ὀλίγον τι παραμυθησαμένων τὸν μεθ᾽ ἡμέραν πόνον, «οὐδέ τις ἔτλη ἕζεσθαι.

4.170 πάντας γὰρ ἔχε τρόμος οὕνεκ᾽ Ἀχιλλεὺς ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ᾽ ἀλεγεινῆς», ὡς ἐντεῦθεν οἷον πεινᾶν αὐτὸν μάχης καί που καὶ κατὰ τὸν Ὁμηρικῶς ἀκοστήσαντα ἵππον ἐφίεσθαι τοῦ προτέρου νομοῦ. Τὸ δὲ «οὐδέ τις ἔτλη ἕζεσθαι» ὅμοιόν ἐστι τῷ μηδένα ἕζεσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὸ καὶ ἐπῆκται τὸ «πάντας γὰρ ἔχε τρόμος». (v. 249—52) Ἐν δὲ τῇ τοιαύτῃ ἀγορᾷ «Πολυδάμας πεπνυμένος ἦρχε ἀγορεύειν Πανθοΐδης. ὃ γὰρ οἶος ὅρα πρόσσω καὶ ὀπίσσω· Ἕκτορι δ’ ἦεν ἑταῖρος, ἰῇ δ’ ἐν νυκτὶ γένοντο, ἀλλ’ ὃ μὲν ἂρ μύθοισιν, ὃ δ’ ἔγχεϊ πολλὸν ἐνίκα». (v. 253—5) Καὶ ἦν ἡ τοῦ τοιούτου Πολυδάμαντος βουλὴ αὕτη «ἀμφὶ μάλα φράζεσθε, φίλοι, κέλομαι γὰρ ἔγωγε ἄστυδε νῦν ἰέναι». καὶ ἑφερμηνεύων τὸ «νῦν» ἐπάγει «μὴ μίμνειν ἠῶ δῖαν ἐν πεδίῳ παρὰ νηυσίν», ἀλλὰ δηλαδὴ ἐν τῇ πόλει. (v. 256) Εἶτα αἰτίαν προστιθείς φησιν «ἑκὰς δ’ ἀπὸ τείχεός εἰμεν», ἤγουν ἐσμέν. (v. 257 s.) Ἐφ’ οἷς καὶ τοῦ Ἀχιλλέως ὑπομιμνήσκων λέγει ὅτι «ὄφρα μὲν οὗτος ἀνὴρ Ἀγαμέμνονι μήνιε δίῳ, τόφρα δὲ ῥηΐτεροι πολεμίζειν ἦσαν Ἀχαιοί». (v. 259—62) Καὶ κατασκευάζων τὸ «ῥηΐτεροι» ἐπιφέρει «χαίρεσκον γὰρ ἔγωγε θοῇς ἐπὶ νηυσὶν ἰαύων, ἐλπόμενος νῆάς γ’ αἱρησέμεν ἀμφιελίσσας. νῦν δ’ αἰνῶς δείδοικα ποδώκεα Πηλείωνα, οἷος ἐκείνου θυμὸς ὑπέρβιος». (v. 262—70) Καὶ διασαφῶν τὸ «ὑπέρβιος» φησὶν «οὐκ ἐθελήσει μίμνειν ἐν πεδίῳ, ὅθι περ Τρῶες καὶ Ἀχαιοὶ ἐν μέσῳ ἀμφότεροι», ὅ ἐστιν ἄμφω τὰ μέρη, «μένος Ἄρηος δατέονται, ἀλλὰ περὶ πτόλιός τε μαχήσεται ἠδὲ γυναικῶν. ἀλλ’ ἴομεν προτὶ ἄστυ, πίθεσθέ μοι· ὧδε γὰρ ἔσται· νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλείωνα ἀμβροσίη· εἰ δ’ ἄμμε κιχήσεται ἐνθάδ’ ἐόντας αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτὸν γνώσεται». (v. 270—82) Εἶτα διασαφῶν ὅπως γνώσεταί τις ἕωθεν τὸν Ἀχιλλέα, ἐπάγει «ἀσπασίως γὰρ ἀφίξεται Ἴλιον ἱρήν, ὅς κε φύγῃ, πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται Τρώων· αἲ γὰρ δή μοι ἀπ’ οὔατος ὧδε γένοιτο. εἰ δ’ ἂν ἐμοῖς ἐπέεσσι πιθώμεθα κηδόμενοί περ, νύκτα μὲν εἰν ἀγορῇ σθένος ἕξομεν», ἤγουν ἐν κοινῷ ἀθροισμῷ ἢ ἐν βουλῇ δυναμωθησόμεθα, «ἄστυ δὲ πύργοι ὑψηλαί τε πύλαι σανίδες τ’ ἐπὶ τῇς», ἤγουν ἐπὶ ταύταις, «ἀραρυῖαι μακραὶ ἐΰξεστοι ἐζευγμέναι εἰρύσονται· πρωῒ δ’ ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες στησόμεθ’ ἂν πύργους· τῷ δ’ ἄλγιον, αἴ κ’ ἐθέλῃσιν, ἐλθὼν ἐκ νηῶν περὶ τείχεος ἄμμι μάχεσθαι. ἂψ πάλιν εἶσιν ἐπὶ νῆας, ἐπεί κ’ ἐριαύχενας ἵππους παντοίου δρόμου ἄσῃ», ὅ ἐστι κορέσῃ, «ὑπὸ πτόλιν ἠλασκάζων. εἴσω δ’ οὔ μιν θυμὸς ἐφορμηθῆναι ἐάσει».

4.171 τοῦτο δὲ ἠθικῶς καὶ ἀστείως ἔφη. ἀντὶ γὰρ τοῦ εἰπεῖν ὡς οὐ τολμήσει ἢ ὡς οὐ δυνήσεται εἰσελθεῖν, εἶπεν ὡς οὐκ ἐάσει αὐτὸν ἡ προθυμία, ἤγουν οὐ προθυμηθήσεται ἔσω ἐφορμηθῆναι. ἴσως δὲ καὶ τὴν Τρωϊκὴν ἔκθυμον κώλυσιν ἐνταῦθα δηλοῖ ὁ θυμός. (v. 283) Ἐπεὶ δὲ τοῦτο ἀσαφές ἐστιν, ἑρμηνεύει εὐθὺς ἐπάγων «οὐδέ ποτ’ ἐκπέρσει». καὶ ἐπιτείνων τὸ δῆθεν κακὸν τοῦ Ἀχιλλέως φησὶν «πρίν μιν κύνες ἀργοὶ ἔδονται». καὶ οὕτω μὲν ὁ Πολυδάμας. οἷα δὲ ἀκούσει ἀπὸ τοῦ Ἕκτορος, ἐν τοῖς ἑξῆς φανεῖται. Σημείωσαι δὲ ὅτι κατὰ τὴν τῶν σοφῶν παρατήρησιν κεφαλαίων ὄντων συμβουλευτικῶν, τοῦ καλοῦ, τοῦ δυνατοῦ, τοῦ ἀναγκαίου καὶ τοῦ συμφέροντος, τὸ μὲν καλόν, ὅπερ πρὸς δόξαν μόνην ὁρᾷ, παρῆκε νῦν ὁ Πολυδάμας διὰ τὴν περίστασιν τοῦ καιροῦ. οὐ γὰρ εἶπεν ὡς οὐκ ἔνδοξον τὸ ἀναχωρεῖν, ὅγε καὶ ἐκολάζετο, καὶ μάλιστα παρὰ Λάκωσιν ὕστερον, καὶ παρὰ τοῖς τοῦ Ὁμήρου δὲ πρότερον. τοῖς δὲ λοιποῖς τρισὶ κεφαλαίοις ἀγωνίζεται. δυνατὸν γὰρ εἶναι λέγει τὸ ἀκινδύνως ἀναχωρεῖν αὐτίκα νῦν. αὔριον γὰρ τυχὸν οὐκ ἔσται δυνατόν. ὡσαύτως δυνατὸν καὶ τὸ ἀπὸ τείχους πολεμεῖν. τοῦτο δ’ αὐτὸ καὶ συμφέρον ὡς καὶ τὸ νῦν ἀβλαβῶς ἀναχωρῆσαι. καὶ ἀναγκαία δὲ ἡ φυλακὴ τῆς Ἰλίου, νυκτὸς μὲν ἀγρυπνούντων, ἡμέρας δὲ πολεμούντων. (v. 246) Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ «ὀρθῶν ἑσταότων ἀγορὰ γένετο» καλῶς πρόσκειται τὸ «ἑσταότων», ἐπεὶ οὐκ ἐξ ἀνάγκης ὁ ὀρθωθεὶς καὶ ἕστηκεν, ὡς δῆλον καὶ ἐκ τοῦ «ὀρθωθεὶς δ’ ἔδυνε χιτῶνα», ἤγουν ἐκ κατακλίσεως μικρόν τι μετεωρισθείς. (v. 247) Ὅτι δὲ δειλίας ἦν τὸ ὀρθοὺς ἑστάναι, δῆλον ἐκ τοῦ «πάντας γὰρ εἶχε τρόμος», εἰ καὶ μὴ τοσοῦτος ἦν, ὡς καὶ καταρρίπτειν αὐτοὺς ἢ ποιεῖν ἐπ’ ἀμφοτέρους πόδας ἵζειν. (v. 250) Τὸ δὲ «ὁρᾶν πρόσω καὶ ὀπίσω» μέγας ἔπαινος Πολυδάμαντος ὡς ἢ μάντεως ἢ ἄγαν συνετοῦ. περὶ δὲ τῆς τοιαύτης φράσεως προείρηται. δῆλον δὲ καὶ ὡς ὁ μὴ τοιοῦτος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψέγεται παρὰ τῷ ποιητῇ, ὅτι μὴ οἶδεν ἅμα πρόσω καὶ ὀπίσω νοῆσαι, ὃ κυρίως ἐστὶν ὁρᾶν, εἴγε νοῦς ὥσπερ ἀκούει, οὕτω καὶ ὁρᾷ.

4.172 Ἰστέον δὲ καὶ ὅτι τὸ μὲν τὰ ἔμπροσθεν βλέπειν πρόνοια λέγεται, τὸ δὲ τὰ ὀπίσω καὶ ἀφανῆ ἀγχίνοια, καὶ ὅτι εἰ τοιοῦτος ὁ Πολυδάμας, ἔτι δὲ καὶ λόγιος, ὅπερ δῆλον ἐκ τοῦ «μύθοισι πολλὸν ἐνίκα», οὗ διασαφητικὸν τὸ «εὖ φρονέων», οὐκ ἐχέφρων ἄρα ὁ Ἕκτωρ ὁ νήπιον τοῦτον ἀποκαλέσας ἐν τοῖς ἑξῆς. τέως γε μὴν σκοπητέον ὡς, εἰ καὶ ἑταῖρος ὁ Πολυδάμας τῷ Ἕκτορι καὶ ὑπ' αὐτῷ τεταγμένος, ἀλλὰ παρρησιάζεται ἠρέμα πρὸς αὐτόν, οὐ τὰ προσφιλῆ λέγων ἐκείνῳ, ἀλλὰ τὰ σύμφορα. εἰ δ' αὐτὸς ἀλαζὼν ὢν μήτε ὡς ἑταίρῳ μήτε ὡς πεπνυμένῳ τῷ Πολυδάμαντι πείσεται φραζομένῳ τὰ καιριώτατα, εἰς οὐκ ἀγαθὸν ἔσται οὐδ' αὐτῷ ἡ ἀπείθεια. Σημείωσαι δὲ καὶ ὅτι τὰ μὲν πρόσω, ἤγουν τὰ πρὸ ὀφθαλμῶν καὶ ἐνεστῶτα, οἶδεν ἄρτι ὁ Πολυδάμας ἐν τῷ «νῦν μὲν νὺξ ἀπέπαυσε τὸν Ἀχιλλέα», τὰ δὲ ὀπίσω, ἤτοι τὰ μήπω εἰς ὄψιν ἐλθόντα ἀλλὰ μέλλοντα, καὶ ἔτι ἀφανῆ ἐν τῷ «εἰ δ' ἄμμε κιχήσεται αὔριον» καὶ ἑξῆς. (v. 251) Ἐν δὲ τῷ «μιᾷ δ' ἐν νυκτὶ ἐγένοντο» Ἡράκλειτος παρετήρησε καὶ ἀστρολόγον εἶναι τὸν ποιητήν, ὃς ἐν μιᾷ νυκτὶ γενομένους τὸν Ἕκτορα καὶ τὸν Πολυδάμαντα ὅμως πολὺ διαφέροντας ἀλλήλων ἱστορεῖ διὰ ὥρας ἀκρίβειαν. Ὅρα δ' ἐν τούτῳ καὶ ὡς τὸ ἐν μιᾷ νυκτὶ γενέσθαι συνεβάλετό τι πρὸς ἑταιρείαν, καθὰ καὶ εἴ τινες ἐκ διαφόρων ὡρμημένοι τόπων συνοδεύσαιεν. καί εἰσι καὶ τὰ τοιαῦτα φιλοποιά, καθὰ [καὶ τὸ ὁμόπατρι] καὶ ἡ ὁμωνυμία, ὃ δηλοῦσι καὶ οἱ Αἴαντες. (v. 254) Τὸ δὲ «φράζεσθε» βουλευτικὴ κἀνταῦθα λέξις.

4.173 ἔστι γὰρ φράσαι μὲν ἐνεργητικῶς τὸ εἰπεῖν, φράζεσθαι δὲ τὸ βουλευτικῶς σκέπτεσθαι. (v. 257) Τὸ δὲ «οὗτος ἀνήρ», περὶ Ἀχιλλέως ῥηθέν, πολλὴν ἔμφασιν ἔχει, ὡς μηδὲ ὀνομάσαι τοῦ Πολυδάμαντος τὸν Ἀχιλλέα ἐθέλοντος, ἢ κατ' ἐξοχὴν ἴσως ἡ λέξις κεῖται. (v. 258) Τὸ δὲ «ῥηΐτεροι πολεμίζειν» ἀντὶ τοῦ εὐπολεμητότεροι. (v. 259) Τὸ δέ «χαίρεσκον ἐπὶ νησὶν ἰαύων» τὴν ἀληθῶς χάρμην καὶ αὐτὸ παρετυμολογεῖ, καθ' ἣν δηλαδὴ χαίρουσιν οἱ πολεμοῦντες. (v. 260) Τὸ δὲ «ἐλπόμενος», καθὰ καὶ πρὸ ὀλίγων τὸ «ἀλλὰ καὶ αὐτὸς ἔλπομαι ἐνὶ πρώτοισιν ὁμιλεῖ», βοηθεῖ τοῖς ὕστερον παρασημηναμένοις ἐπὶ ἀγαθοῦ τὴν ἐλπίδα τίθεσθαι, οὐ μὴν κυριολεκτεῖσθαι ἐπὶ κακοῦ. Τὸ δὲ «νῆας αἱρησέμεν» συγκροτεῖ καὶ αὐτὸ τοὺς φαμένους «νῆας αἰχμαλώτους». (v. 261) Τὸ δὲ «ποδώκεα Πηλείωνα» δὶς ἐν τοῖς ῥηθεῖσι κεῖται κατά τι θαῦμα. ποιεῖ δὲ Ὅμηρος αὐτὸ καὶ νῦν εἰς ἐγκάθετον μνήμην τῆς τοῦ ἥρωος ποδωκείας, δι' ἧς βλάψει τὸν Ἕκτορα. (v. 262) Τὸ δὲ «οἷος ἐκείνου θυμὸς ὑπέρβιος, οὐκ ἐθελήσει μίμνειν» ἐπὶ παντὸς θυμώδους ῥηθήσεται. (v. 264) Τὸ δὲ «μένος Ἄρηος δατέονται» προδεδήλωται τί νοεῖ ἐν τῷ «στυγερῷ κρίνονται Ἄρηϊ», ὃ πρὸ ὀλίγου ἐρρέθη. χρήσιμον δὲ ἐνταῦθα καὶ τὸ ἐν Ὀδυσσείᾳ ῥηθὲν περὶ ἡμιόνων, αἵ δατέονται γῆν ἐν τῷ περιπατεῖν. ὡς γὰρ ἐκεῖναι δατέονται τὸ ἔδαφος τοῖς ἑκατέρωθεν ποσίν, οὕτω καὶ οἱ μαχόμενοι δατέονται τὸν Ἄρην τῇ ἑκατέρωθεν ἀντιπαρατάξει, ἵνα λέγῃ ἐπίσης πολεμιστὰς εἶναι καὶ τοὺς Τρῶας καὶ τοὺς Ἀχαιούς, κατὰ τὸ «καὶ ἀλλήλους ὀλέκουσι». Καὶ ὅρα καὶ τοῦτο εἰς ἑρμηνείαν σαφῆ τοῦ «κοινὸς Ἐνυάλιος». κοινὸν γὰρ καὶ τὸ μεριζόμενον. ἐντεῦθεν δὲ καὶ Σοφοκλῆς λαβὼν τὸ ἐπικουρίαν ποθὲν μερίζειν ἐνδατεῖσθαι ἔφη.

4.174 (v. 265) Ἐν δὲ τῷ «περὶ πτόλιος μαχήσεται» σημείωσαι ὡς τοιοῦτος καὶ ὁ Πάτροκλος κατὰ τόλμαν ἀπεκβάς, τῇ πρὸς τὸν Ἀχιλλέα δῆθεν μιμήσει, οὐκ ἐπείσθη τῷ Ἀχιλλεῖ, ἀλλὰ τὴν τάφρον ὑπερβὰς μακρὰν ἤθελε μάχεσθαι. Τὸ δὲ «καὶ γυναικῶν» ἐρεθίζει τὸν δῆμον πρὸς τῷ Πολυδάμαντι σχεῖν τὸν νοῦν ὑπερπαθήσαντα τῶν φιλτάτων, ἃ πάντα συννοοῦνται ταῖς γυναιξίν. (v. 266) Ὅρα δὲ καὶ τὸ «πίθεσθέ μοι· ὧδε ἔσται» ἀξιωματικῶς ῥηθέν, ὡς πρέπει ἐνδόξῳ συμβούλῳ. εἰ δέ γε εἶπεν· ὧδε γὰρ οἴομαι ἔσεσθαι ἢ τοιοῦτόν τι, οὐ σεμνῶς ἔφραζε. τρεῖς δὲ ἐννοίας πάνυ γοργῶς ὁ τοιοῦτος περιέχει στίχος· ἴομεν πρὸς πόλιν· πίθεσθέ μοι· ὧδε ἔσται. (v. 267) Τὸ δὲ «νὺξ ἀπέπαυσε Πηλείωνα» πιθέσθαι νυκτὶ καὶ ἐκεῖνον δηλοῖ. [(v. 268) Τὸ δὲ

«ἀμβροσίη» ἐνδιαθέτως εἴρηται σὺν ἀστειότητι. αἰνίττεται γὰρ ὁ Πολυδάμας τῇ τοιαύτῃ λέξει νῦν ἀληθῶς ἀμβροσίαν ἐπιγενέσθαι νύκτα τοῖς Τρωσὶ καὶ οἵαν ἐποφείλεσθαι χάριτας, ὅτι ἐκρύψατο αὐτοῖς τὸν Ἀχιλλέα.] (v. 269) Τὸ δὲ «ὁρμηθεὶς σὺν τεύχεσιν» ἔμφασίν τε ἔχει τοῦ μὴ ἂν χρῆναι τὸν Ἀχιλλέα τολμῆσαι γυμνὸν πρὸ τῆς τάφρου φανῆναι, καὶ ἅμα προκαλεῖται ταχὺ ποιηθῆναι τὰ τοῦ μύθου ἡφαιστότευκτα ὅπλα. (v. 269 s.) Τὸ δὲ «εὖ τις αὐτὸν γνώσεται» ἀστείως ἔχει, ὡς δῆθεν τῶν Τρώων ἐπιλελησμένων τοῦ Ἀχιλλέως, ἐπεὶ δηρὸν μάχης ἐπέπαυτο. Καὶ ὅρα συνέμπτωσιν ἐννοιῶν κατὰ τὸ «γνώσεται», ὃ νῦν ὁ Πολυδάμας ἔφη, καὶ κατὰ τὸ «γνοῖεν οἱ Τρῶες», ὃ φθάσας εἶπεν ὁ Ἀχιλλεύς, ὡς τῶν δύο ῥητόρων ἐμπεσόντων τυχαίως εἰς τὸ αὐτὸ νόημα. (v. 270) Τὸ δὲ «ἀσπασίως ἀφίξεται Ἴλιον» ἀντὶ τοῦ ἀγαπητὸν ἡγήσεται οὐκ ἀνδραγαθῆσαι, ἀλλ' εἰ καὶ μόνον οἴκοι ἐπανέλθοι. καὶ ἄλλως δέ, ἀσπασίως ἀφίξεται, χαίρων δηλαδὴ καὶ οὐ δεδιὼς λειποταξίου γραφὴν διὰ τὸ κοινὴν εἶναι τὴν φυγήν.

4.175 δῆλον δὲ ὅτι λείπει πρόθεσις ἐν τῷ «ἀφίξεται Ἴλιον». τὸ γὰρ πλῆρες «ἀφίξεται εἰς Ἴλιον». (v. 271) Τὸ δὲ «ὅς κε φύγῃ» δριμέως εἴρηται κατὰ τὸ ἐξ ἀορίστου κοινόν. ἐν γὰρ τῷ «ὃς ἂν φύγῃ» δοκεῖ καὶ ὁ Ἕκτωρ συνειλῆφθαι, ὃ καὶ δάκνει τὸν ἥρωα καὶ ποιεῖ νήπιον προσειπεῖν τὸν Πολυδάμαντα. Τοῦ δὲ «γῦπες» φανερῶς ἐνταῦθα ἐκτείνεται ἡ παραλήγουσα. (v. 272) Τὸ δὲ «αἲ γὰρ δή μοι ἀπ' οὔατος ὧδε γένοιτο» ἐνδιάθετος εὐχὴ ἀντὶ τοῦ εἴθε μὴ μόνον μὴ ἴδοιμι, ἀλλὰ μηδὲ ἀκούσαιμι τοιαῦτα. καὶ ἔστιν ὥσπερ τὸ ἀπὸ θυμοῦ πεσεῖν, ἀντὶ τοῦ μακρὰν ψυχῆς, παρὰ τῷ ποιητῇ, ὅθεν καὶ ἀποθύμιον τὸ ἀκαταθύμιον, οὕτω καὶ ἀπ' οὔατος τὸ μακρὰν ἀκοῆς. Τὸ δὲ «ὧδε», τουτέστιν οὕτως, ἀκριβῶς κεῖται, δηλοῦν ὅτι, καθὰ μέχρι νῦν οὔτε γέγονεν οὔτε γέγονεν οὔτε ἤκουσταί μοι τὸ ῥηθὲν κακόν, οὕτω μηδὲ εἰς τὸ ἑξῆς ἀκουσθείη. (v. 273) Τὸ δὲ «πιθώμεθα» καὶ τὸν Πολυδάμαντα συνεισάγει ἀφελῶς οὕτω ῥηθὲν καὶ ἁπλῶς. ἄλλως γὰρ οὐκ ἂν συμβουλεύοι τις ἑαυτῷ πείθεσθαι. κοινὴν δὲ πειθὼ οὕτως ἀπαιτεῖ, ὡς δέον ὂν καὶ αὐτὸν καὶ τὸν Ἕκτορα καὶ πάντας πεισθῆναι τῇ συμβουλῇ. (v. 274) Τὸ δὲ «κηδόμενοί περ» τὸ αἴτιόν ἐστι τῆς ἄρτι συμβουλῆς. βλαπτομένοις γάρ, φησί, συμβουλεύω, ἵνα τὸ βουλευθὲν ποιήσαντες ὠφεληθῶμεν. (v. 275) Ἐν δὲ τῷ «ὑψηλαί τε πύλαι» πύλας, ὡς καὶ ἀλλαχοῦ, τὰς διόδους νοητέον, καθ' ἃς αἱ θύραι ἄλλαι αὐταὶ πάντως παρὰ τὰς θύρας οὖσαι, ἃς σανίδας λέγει ἐπὶ ταῖς πύλαις ἀραρυίας, μακρὰς μέν, ἐπεὶ καὶ αἱ ῥηθεῖσαι πύλαι ὑψηλαί, ἐϋξέστους δέ, ἐπεὶ οὐκ ἔστιν ἄλλως ἀραρυίας εἶναι, ἐζευγμένας δὲ ἀντὶ τοῦ κεκλεισμένας καὶ ἠσφαλισμένας ὡς οἷα ζυγοῖς τοῖς μοχλοῖς. ὅθεν ἴσως καὶ τὸ ἐπιζυγοῦσθαι τὰς θύρας εἴληπται. ἢ καὶ ἄλλως, ἐζευγμένας, ἤγουν συνεσφιγμένας ἰδίᾳ ταύτην καὶ ἐκείνην ζυγοῖς ἡλωτοῖς, ὁποῖοι καὶ οἱ χιαστοὶ εἴτ' οὖν καγκελωτοί.

4.176 (v. 277) Εἰς δὲ τὸ «πρωΐ» πρόσκειται τὸ «ὑπηοῖοι», ὡς ἂν ὁ ὄρθρος νοῆται. ἄλλως γάρ, φασί, πρωΐ λέγεται καὶ τὸ ἕως ἕκτης ὥρας. Φιλήμων οὖν φησι «μεμίσθωταί με δείλης πρωΐας, ἤτοι περὶ τοιαύτην πρωΐαν, ἀφ' ἧς ἡ δείλη ἄρχεται. Ὅθεν σημείωσαι ὅτι τε τὸ ἐπέκεινα τῆς τοιαύτης ὥρας ἀκριβῶς δείλη ὀψία λέγεται, καὶ ὅτι ὥσπερ ἀπὸ τοῦ ἡ ἕως γίνεται ὁ ἑῷος, καὶ ἐκ τοῦ ἠώς ἠῷος, οὕτω καὶ ἀπὸ τῆς ἠόος γενικῆς ἠοῖος, ὡς ἄλλος ἀλλοῖος καὶ τὰ τοιαῦτα, ἴσως δὲ καὶ καθάπερ ἀγκώνη ἀγκοίνη, οὕτω καὶ ἠῷος κοινῶς καὶ ἠοῖος Ἰωνικῶς. ὡς δὲ τὸ πρωῒ πρῶϊ μάλιστά φασι προπερισπωμένως οἱ παλαιοὶ Τεχνικοί, δηλοῦται καὶ αὐτὸ ἀλλαχοῦ. (v. 278) Ἐν δὲ τῷ «στησόμεθα ἀνὰ πύργους» τὸ κεφάλαιον τῆς Ὁμηρικῆς δεινότητος ἀναφαίνεται. πλάττει γὰρ τὸν Ἕκτορα μὴ πειθόμενον, ἐπεὶ μή ἐστι θελητὸν τῷ ποιητῇ ἀσχολῆσαι τοὺς Ἀχαιοὺς εἰς τειχομαχίαν ἀνήνυτον, καὶ τὴν αὐτῶν αἰσχῦναι ἀρετὴν εἰκῇ ἐγχειρούντων ἀδυνάτοις, ἄλλως τε καὶ ἤδη μελετήσας αὐτὴν ἐν τῷ τείχει τῶν Ἀχαιῶν. Ὅρα δὲ τὴν ἀνα πρόθεσιν ἐν τῷ «ἂν πύργους, οὐ δοτικῇ συνταχθεῖσαν κατὰ τὸ «ἂν βωμοῖσι», καὶ ἀνὰ Γαργάρῳ ἄκρῳ», καὶ τὰ τοιαῦτα.

4.177

(v. 280) Τὸ δὲ «ἄψ» καὶ τὸ «πάλιν» τῆς αὐτῆς ἐννοίας εἰσί. Τὸ δὲ «εἶσι» χρόνου ἔχει ἐναλλαγήν. ἀντὶ τοῦ ἐπανέλθῃ γὰρ κεῖται. (v. 281) Τὸ δὲ «ὑπὸ πτόλιν ἠλασκάζων» βαρύτητα δηλοῖ σκωπτικήν. ἀντὶ γὰρ τοῦ τρέχειν ἠλασκάζειν ἔφη τὸν ἐπ' οὐδενὶ τέλει τρέχοντα. Ἔχει δέ τι καὶ ἄλλως ἀστεϊσμοῦ ἐνταῦθα ὁ λόγος τῷ Πολυδάμαντι, ὡς ἂν οὕτως ἱλαρύνῃ τὸν ἄγριον Ἕκτορα. ἐξευτελίζων γὰρ τὸν Ἀχιλλέα ῥητορικῶς οὐ μόνον ἄλγιον αὐτῷ ἔσεσθαί φησιν, εἰ πρὸς τῷ τείχει μαχήσεται, ἀλλὰ καὶ ὅτι παντοίου δρόμου κορέσει τοὺς ἵππους ὑπὸ τὴν πόλιν εἰκῇ ἔξω πλανώμενος, καὶ ὅτι οὐκ ἂν αὐτὸν θυμὸς ἐάσῃ ἔσω ἐφορμηθῆναι, ὃ ταὐτόν ἐστι τῷ οὐκ ἂν προθυμηθείῃ τὴν πόλιν εἰσελθεῖν. ὃ δὴ πάντως ἀστείως ἐρρέθη. οὐ τολμήσει μὲν γὰρ ἴσως οὐδὲ δυνήσεται Ἀχιλλεὺς εἴσω γενέσθαι τῆς πόλεως, οὐ μὴν ἤδη οὐδὲ προθυμηθείῃ. τὸ γὰρ ἐφιέμενον αὐτῷ τῆς ψυχῆς βούλοιτ' ἂν τὴν Τροίαν ἑλεῖν. (v. 283) Τὸ δὲ «πρίν μιν κύνες ἔδονται» τὸν αὐτὸν ἔχει νοῦν τῷ «πρίν μιν καὶ γῆρας ἔπεισι» καὶ τοῖς ὁμοίοις. (v. 284—6) Ὅτι ὁ Ἕκτωρ τὸ εὐσχημόνως ὑπὸ Πολυδάμαντος λεχθέν, ὅπερ ἦν τὸ φυλάσσειν τὴν πόλιν, μεταλαβὼν κατὰ μέθοδον δεινότητος εἰς φορτικὸν ὄνομα τὴν φυγὴν ἐκφαυλίζει τὴν ῥηθεῖσαν δημηγορίαν τοῦ Πολυδάμαντος καὶ ὑπόδρα ἰδὼν λέγει «Πουλυδάμα, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις, ὃς κέλεαι κατὰ ἄστυ ἀλήμεναι», ὅ ἐστι συγκλεισθῆναι, «αὖτις ἰόντας», ὅ ἐστιν ἀναχωρήσαντας. (v. 287) Εἶτα ψέγων καὶ τὴν φθάσασαν τῶν Τρώων προμήθειαν καὶ συστολήν φησιν «ἦ οὔ πω κεκόρησθε ἐελμένοι ἔνδοθι πύργων»; (v. 288—92) Ἐφ' οἷς ἐκτραγῳδῶν, ἐξ οἵων εἰς οἷα ἡ Τροία κατῆλθεν, ὡς δέον ὂν διὰ τοῦτο ἤδη ἀποκινδυνεύειν, φησὶ «πρὶν μὲν γὰρ Πριάμοιο πόλιν μέροπες ἄνθρωποι πάντες μυθέσκοντο πολύχρυσον, πολύχαλκον· νῦν δὲ δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά· πολλὰ δὲ δὴ Φρυγίην καὶ Μηονίην κτήματα περνάμενα ἵκει, ἐπεὶ μέγας ὠδύσατο Ζεύς», οἱονεὶ λέγων ὡς, ἐπεὶ ταῦτα ἡμῖν ἀπόλωλεν ἐκ θεομηνίας, εἰς τί σωμάτων φειστέον;

4.178 (v. 293—6) Ἐπὶ δὲ τούτοις ἀλαζονευσάμενος, ὡς οὐκ ἂν τὸν καιρὸν καταπρόοιτο, φησὶ «νῦν δ' ὅτε πέρ μοι ἔδωκε θεὸς κῦδος ἀρέσθ' ἐπὶ νηυσὶ θαλάσσῃ τ' ἔλσαι Ἀχαιούς», καὶ νήπιον προσειπὼν ὁ τῷ ὄντι νήπιος τὸν πεπνυμένον Πολυδάμαντα, καὶ μετὰ τὸ «νήπιε, μηκέτι ταῦτα νοήματα φαῖν' ἐνὶ δήμῳ», ἐπαγαγὼν ἀπειλητικῶς τὸ «οὐ γάρ τις Τρώων ἐπιπείσεται, οὐ γὰρ ἐάσω» τυραννικὸν δὲ πάντως τὸ μὴ ἐᾶν εἰς ἀγαθὸν πείθεσθαι. (v. 297—302) Εἶτα καὶ συμβουλευσάμενος δόρπον ἑλέσθαι κατὰ στρατὸν ἐν τελέεσσιν, ὃ καὶ ἀλλαχοῦ κεῖται, καὶ φυλακῆς μνησθῆναι καὶ ἕκαστον ἐγρηγορέναι, ἐπιφέρει μετὰ βαρύτητος «Τρώων δ' ὃς κτεάτεσσιν ὑπερφιάλως ἀνιάζει, συλλέξας λαοῖσι δότω καταδημοβορῆσαι. τῶν τινα βέλτερόν ἐστιν ἐπαυρέμεν ἤέπερ Ἀχαιούς», τουτέστιν εἴ τις πρὸς τοῖς κτήμασιν ἔχει τὸν νοῦν οἷα ταμίας, καὶ δι' αὐτὰ θέλει ἐγκατακλείεσθαι καὶ δυσελπιστεῖ καὶ προκινδυνεύειν δέδιε—δειλὸν γὰρ ὁ πλοῦτος καὶ φιλόψυχον κακόν—, συλλέξας αὐτὰ τῷ δήμῳ δότω φαγεῖν, ὧν βέλτιον ἐπαπολαῦσαί τινα τῶν τοῦ Τρωϊκοῦ δήμου ἤπερ τοὺς Ἕλληνας. καθάπτεται δέ πως λεληθότως ἐν τούτοις καὶ τοῦ Πολυδάμαντος, οἷα πλουσίου καὶ διὰ τοῦτο φιλοψύχου, πλαγίως δὲ καὶ τὸ πλῆθος ἐρεθίζει εἰς ἁρπαγὴν τῶν τοιούτων. (v. 301) Ἔνθα ὅρα καὶ τὸ καταδημοβορῆσαι, ληφθὲν ἐκ τοῦ ἐν τῇ α' ῥαψῳδίᾳ ῥηθέντος δημοβόρου, πλὴν ὅσον ἐκεῖ μὲν δημοβόρος ὁ δυνάστης ὁ τὰ τοῦ δήμου βιβρώσκων, ἐνταῦθα δὲ δημοβορεῖν τὸ αὐτὸν τὸν δῆμον τὰ τῶν δυνατῶν ἐσθίειν. διαφέρει δὲ τοῦ δημοβορεῖν τὸ καταδημοβορεῖν, ὡς τοῦ φαγεῖν τὸ καταφαγεῖν. (v. 303—4) Τοιαῦτα δὲ εἰπὼν ὁ Ἕκτωρ καὶ πρὸς τὸ «πρωῒ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες στησόμεθ' ἀνὰ πύργους» γενναίως καὶ βαρύτερον ἀντιθέμενος τὸ «πρωΐ» ἢ «πρῶϊ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες νηυσὶν ἐπὶ γλαφυρῇσιν ἐγείρομεν ὀξὺν Ἄρηα». (v. 305—8) Εἶτα καὶ τοῦ Ἀχιλλέως καταθρασύνεται καί φησι «εἰ δ' ἐτεὸν παρὰ ναῦφιν ἀνέστη δῖος Ἀχιλλεύς, ἄλγιον αἴ κ' ἐθέλησι τῷ ἔσσεται. οὔ μιν ἔγωγε φεύξομαι ἐκ πολέμοιο δυσηχέος, ἀλλὰ

μάλ’ ἄντην στήσομαι». ὃ δὴ προαναφωνηθὲν ποιητικῶς ὁ φιλέλλην ἀκροατὴς εὔχεται ἰδεῖν. πεσεῖται γὰρ Ἕκτωρ, εἰ μόνον ἀντιστήσεται.

4.179 οὕτω καὶ οἱ μνηστῆρες ἐν Ὀδυσσείᾳ λέγοντες, ὡς παραμενοῦσι τῇ τοῦ Ὀδυσσέως οἰκίᾳ, παραμυθοῦνται τὸν σωφρόνως ἀκούοντα. τεθνήξονται γὰρ καὶ ἐκεῖ οἱ κακοί, εἰ μὴ φεύξονται. (v. 308 s.) Ἐπὶ δὲ πᾶσι μετὰ θάρρους ὁ Ἕκτωρ εἰπὼν «ἤ κε φέρῃσι μέγα κράτος ἤ κε φεροίμην», καὶ οὕτως ἀγαθὴν ἐλπίδα προβαλλόμενος, ἐπιπλέκει γνωμικόν «ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα». καὶ οὕτω μὲν ὁ Ἕκτωρ. Ὁ δὲ ποιητὴς ἐπικρίνει κακὰ μὲν βουλεύσασθαι τὸν Ἕκτορα. Πολυδάμαντα δὲ τὰ βελτίω, καὶ ὅμως νικῆσαι καὶ νῦν τὰ χερείονα. (v. 310—3) Φησὶ γὰρ «ὣς Ἕκτωρ ἀγόρευεν. ἐπὶ δὲ Τρῶες κελάδησαν, νήπιοι· ἐκ γάρ σφεων φρένας εἵλετο Παλλὰς Ἀθήνη», τουτέστιν ἀπέλιπεν αὐτοὺς ἡ φρόνησις, «Ἕκτορι μὲν γὰρ ἐπῄνησαν κακὰ μητιόωντι, Πολυδάμαντι δ’ οὔτις, ὃς ἐσθλὴν φράζετο βουλήν». (v. 313) Καὶ ὅρα τὸ «βουλήν» κατὰ κοινοῦ ληφθὲν καὶ ἐν τῷ Ἕκτορι καὶ ἐν τῷ Πολυδάμαντι, ἵνα λέγῃ ὡς Ἕκτορι μὲν τὴν βουλὴν ἐπῄνεσαν, Πολυδάμαντι δὲ οὔτις, ὃ πάνυ πολλὴν κατηγορεῖ τῶν Τρώων νηπιότητα, εἰ μηδεὶς ἐπείσθη τῶν τοσούτων ἐσθλὰ φραζομένῳ τῷ Πολυδάμαντι. (v. 285) Οἵαν δὲ κωλύμην ἔχει ἡ κλητική, τὸ «ὦ Πολυδάμα», εἰς τὸ κλίνεσθαι, καθὰ καὶ τὸ ὦ Αἶαν, καὶ ὦ Κάλχαν, προεκτέθειται. Τὸ δὲ «οὐκέτ’ ἐμοὶ φίλα ταῦτ’ ἀγορεύεις» τυραννικοῦ κἀνταῦθα ἤθους καὶ αὐτό, καθὰ καὶ ἐπὶ Ἀλεξάνδρου. ἦν δὲ ἂν εὔλογον τὸ ῥηθέν, εἴπερ ἔλεγεν, ὅτι οὐκ ἀγαθὰ λέγεις. (v. 287) Τὸ δὲ «κεκόρησθε» ῥῆμά ἐστι τοῦ ἀκόρητος ὀνόματος, περὶ ὧν καὶ ἀλλαχοῦ δηλοῦται. Τὸ δὲ «ἐελμένοι ἔνδοθι πύργων» ἀστείως εἴρηται, καθὰ καὶ τὸ «κατὰ ἄστυ ἀλήμεναι», διὰ τὸ τὴν πολιορκίαν συγκλεισμῷ ἐοικέναι. διὸ καὶ ἐπεγγελᾷ Ἕκτωρ τῷ Πολυδάμαντι, εἰ μὴ κεκόρεσται δεκαετίαν ὅλην συγκεκλεισμένος. Ὅτι δὲ τὸ εἰλεῖσθαι ἶσόν ἐστιν ἐν τοῖς τοιούτοις τῷ συγκλείεσθαι, δηλοῦται καὶ μετ’ ὀλίγα ἐν τῷ «Ἀχαιοὺς ἐπὶ πρύμναις εἴλεον, οὐδὲ θύραζε εἴων ἐξιέναι». (v. 294) Καὶ νῦν δὲ ἐν τῷ «ἐπὶ νηυσὶ θαλάσσῃ τ’ ἔλσαι». φίλαι δὲ ποιηταῖς λέξεις τὸ ἔλσαι καὶ ἀλήμεναι καὶ ἐελμένοι καὶ ἐάλη καὶ ἀλείς. (v. 288) Τὸ δὲ «μέροπες ἄνθρωποι» ἐντελῶς ἐρρέθη.

4.180 ὅτε δὲ μέροπες μόνον ῥηθεῖεν, ἐλλείπονται. οὕτω καὶ βροτοὶ μὲν ἄνδρες τὸ τέλειον, βροτοὶ δὲ μόνον ἀτελές. (v. 289) Τὸ δὲ κατὰ τὴν Τροίαν πολύολβον σαφέστερον ἐνταῦθα δηλοῦται ἤπερ ἐν τοῖς πρὸ τούτων, μερίσαντος Ὁμήρου διαφόροις τόποις καὶ τὴν τοιαύτην ἔννοιαν, ὡς πολλαχοῦ ποιεῖν εἴθισται. Τὸ δὲ «πάντες μυθέσκοντο» κοινὴν ἔννοιαν καὶ δόξαν εἶναι τοῖς τότε δηλοῖ τὸ πλουσιωτάτην εἶναι τὴν Τροίαν. δῆλον δὲ ὡς οὐ μόνον μυθῶ μυθήσω, ἀλλὰ καὶ μυθέσω, ἐξ οὗ πλεονασμῷ συνήθει τοῦ κ μυθέσκω, ὅθεν τὸ μυθέσκοντο. (v. 290) Τὸ δὲ «ἐξαπόλωλε» τέλειον ἀφανισμὸν δηλοῖ διὰ τῆς ἐπιτατικῆς ἐξ προθέσεως. σχεδιασμοῦ δὲ ἔργον τὸ ἄρξασθαι ἀπὸ τοῦ «νῦν» ἐπιρρήματος δὶς ἐν τοῖς ῥηθεῖσι «νῦν δὲ δὴ ἐξαπόλωλε κειμήλια», καὶ «νῦν δ’ ὅτε πέρ μοι ἔδωκε θεός». (v. 291) Τὸ δὲ «Φρυγίην καὶ Μηονίην» πολλοὺς ἐκεῖθεν ἥκοντας ἐπικούρους δηλοῖ καὶ λαμβάνοντας αὐτὰ εἰς μισθόν, δοκεῖ δὲ εἰρῆσθαι αὐτὸ καὶ ὡς ἐκεῖ καταλλασσομένων τῶν Τρωϊκῶν κτημάτων. Φρύγες γάρ, φασί, καὶ Μῄονες ἀγορὰν κομίζοντες Τρωσὶν ἀντελάμβανον κειμήλια. Περὶ δὲ Φρυγίας καὶ Μηονίας καὶ πῶς ἐρατεινὴ ἡ Μηονία ζητητέον δίχα τῶν τῆς Βοιωτίας καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. [Νῦν δὲ μνηστέον ἱστορίας δηλούσης ὅτι τε ἡδυπάθειαν οἱ Μῄονες, ταὐτὸν δ’ εἰπεῖν οἱ Λυδοί, ἐφίλουν, ὅθεν, φασί, καὶ Ἀνακρέων τὸν ἡδυπαθῆ «Λυδοπαθῆ» ἔφη, καὶ ὅτι βρῶμα παρ’ αὐτοῖς εὕρητο κάνδαυλος, παρώνυμον ἴσως τῷ παρ’ αὐτοῖς τυράννῳ Κανδαύλῃ, καθὰ καὶ ἄλλα τῶν ἐδεσμάτων ἐξ ἑτέρων κυρίων ὀνομάτων ἐφίλουν καλεῖσθαι, ὡς καὶ οἱ Νικόλαοι. φέρεται οὖν ἐν τοῖς Ἀθηναίου, ὅτι κνηστῷ, οὐ τυρῷ, ἀλλὰ ἄρτῳ καὶ Φρυγίῳ τυρῷ, ἀνήθῳ τε καὶ ζωμῷ πίονι ἑφθοῦ κρέως συνόντος, Λυδικὸν ἐγίνετο ἔδεσμα κάνδαυλος καλούμενος. περὶ οὗ φησιν Ἄλεξις, ὡς «κάνδαυλον ἐὰν παραθῶσι, προσκατεδῇ τοὺς δακτύλους».

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4.181 ] Περνᾶν δὲ καὶ πέρνασθαι, ὡς ἵστασθαι, ὅτι ἐπὶ τοῦ πέραν που διαπωλεῖν κυριολεκτεῖται, ὅθεν καὶ ἡ πρᾶσις καὶ τὸ πιπράσκειν, καὶ ἐν τοῖς ἑξῆς σαφέστερον δηλωθήσεται. (v. 294) Τὸ δὲ «ἀρέσθαι» μέσος δεύτερος ἀόριστός ἐστιν ὅμοιος τῷ εὑρέσθαι. ἀλλὰ τούτου μὲν ἔχει πολλὴν χρῆσιν ὁ πρῶτος ἀόριστος, ὡς δηλοῖ καὶ τὸ «ἠράμεθα μέγα κῦδος», τοῦ δὲ εὑρέσθαι οὐχ' οὕτως. μόνον γὰρ χρηστὸν τὸ εὑρόμην παρὰ Σοφοκλεῖ. (v. 295) Τὸ δὲ «φαῖνε ἐνὶ δήμῳ» ἀντὶ τοῦ πρόφερε, ἵνα λέγῃ ὅτι, κἂν εἰ καὶ νοῇς τοιαῦτα, ὅμως μὴ λάλει. ὅλον δὲ τὸ «μηκέτι ταῦτα νοήματα φαῖν' ἐνὶ δήμῳ, οὐ γάρ τις ἐπιπείσεται» καὶ ἑξῆς ἕως τοῦ «πειθώμεθα πάντες» ἀνδρὶ ἐπιπρέπει ἐνδόξῳ ἀξιοῦντι πρὸ τῶν ἄλλων ἀκούεσθαι. Τὸ δέ γε «νήπιε, μηκέτι ταῦτα νοήματα φαῖνε» ὁ μὴ ἐμφρόνως λαλῶν ἀκούσοι ἄν ποθεν. (v. 298) Τὸ δὲ «κατὰ στρατὸν ἐν τελέεσσιν» ὑποκαταβὰς ἁπλούστερον φράζει δίχα τοῦ «ἐν τελέεσσιν» εἰπὼν «δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατόν». Ἔστι δὲ τὸ «ἐν τελέεσσιν» ἀντὶ τοῦ ἐν τάγμασιν, ὡς καὶ προδεδήλωται σαφῶς. χρήσις δὲ τῆς λέξεως κεῖται ταύτης καὶ παρ' Ἡροδότῳ. (v. 299) Τοῦ δὲ ἐγρήγορθε» τὸ κοινὸν ἐγρηγόρατε, καὶ συγκοπῇ καὶ τροπῇ ἐγρήγορθε. (v. 303) Τὸ δὲ «πρωῒ δ' ὑπηοῖοι» καὶ ἑξῆς, δοκεῖ καὶ ἀστεϊζόμενος δῆθεν διορθωτικῶς ὁ Ἕκτωρ εἰπεῖν. Πολυδάμας μὲν γὰρ φθάσας ἔφη, ὅτι ἕωθεν θωρηχθέντες φυλάξομεν τὴν πόλιν, ὃ δὲ ὁμοίως ἐπιβαλὼν κατὰ τὸ «ἕωθεν θωρηχθέντες», εἶτα ἐπάγει τὸ «ἐπὶ νηυσὶν ἐγείρομεν πόλεμον». οὕτω δὲ πάλιν Πολυδάμαντος εἰπόντος περὶ Ἀχιλλέως «τῷ δ' ἄλγιον, αἴ κ' ἐθέλῃσι περὶ τείχεος μάχεσθαι, ἂψ πάλιν εἶσι» καὶ ἑξῆς, ὁ Ἕκτωρ παρῳδῶν ἀστείως φησὶν «ἄλγιον, αἴ κ' ἐθέλῃσι τῷ ἔσσεται, οὔ μιν ἔγωγε φεύξομαι». (v. 305) Τὸ δὲ «εἰ ἐτεὸν παρὰ ναῦφιν ἀνέστη Ἀχιλλεύς» διὰ τὰ κατὰ Πάτροκλον ἐνδοιάζεται.

4.182 καὶ γὰρ ἐκεῖνος, δόξας Ἀχιλλεύς, οὐκ ἦν ἐκεῖνος. Τὸ δὲ «ἀνέστη» ὡς πρὸς τὸ κεῖσθαι εἴρηται, δι' οὗ πολλαχοῦ τὸ ἀργεῖν ἐδηλώθη, ὡς καὶ Ἀχιλλεύς που ἔφη, πρὸς ὃν καὶ ἡ Ἶρις «ἀλλ' ἄνα, μηκέτι κεῖσο». (v. 306) Τὸ δὲ ἄλγιον ἀληθῶς μὲν συγκριτικόν ἐστι καὶ κλίσιν ἔχει κατὰ τὸ κάλλιον. τῶν τινες δὲ παλαιῶν κατὰ τὸ ἅγιον κλίνουσιν αὐτό, καθὰ δηλοῦσιν ἐν τῷ κανόνι τῶν διὰ τοῦ ιος ἀρσενικῶν ὀνομάτων, ἃ γίνονται ἀπὸ τῶν εἰς ος οὐδετέρων, ὧν προηγεῖται τὸ α . βούλονται γὰρ ὡς ἀπὸ τοῦ ἄγος καὶ πέλαγος καὶ τέναγος εἶναι τὸ ἅγιον τὸ πελάγιον τὸ τενάγιον, οὕτω καὶ ἄλγος, ἄλγιον. (v. 307) Τὸ δὲ «οὔ μιν ἔγωγε φεύξομαι» πρὸς τὸ «ὅς κε φύγῃ» ἐρρέθη, τὸ ῥηθὲν ὑπὸ Πολυδάμαντος. οἱονεὶ γὰρ λέγει διασταλτικῶς ὡς, εἰ καὶ πάντες φεύξονται, ἀλλ' ἐγὼ οὐ φεύξομαι τὸν Ἀχιλλέα διά γε πόλεμον—τοῦτο γὰρ δηλοῖ τὸ «ἐκ πολέμοιο» δυσηχέος—, εἰ μὴ ἄρα τυχὸν θεόθεν μοι ἐμπεσεῖται φόβος. (v. 308) Τὸ δὲ «φέροι κράτος», ἀντὶ τοῦ νίκην, τὸν ὕστερον νικηφόρον συνέθετο, ἐπεὶ καὶ ταὐτόν ἐστι φέρειν κράτος καὶ νικηφορεῖν. Ὅρα δὲ ὡς, εἰ καὶ μάλα θρασὺς ὁ Ἕκτωρ, ἀλλ' οὐ παντελῶς ἀγνοεῖ ἑαυτόν. οἶδε δὲ τὴν τοῦ Ἀχιλλέως ἀνδρίαν. διὸ οὐδὲ πάντη πάντως περιγενήσεσθαί φησιν ἐκείνου, ἀλλ' ἐν ἀμφιβόλῳ τίθησιν, εἰπὼν «ἤ φέροι ἂν μέγα κράτος, ἢ φεροίμην». (v. 309) Τὸ δὲ «ξυνὸς Ἐνυάλιος» ἀντὶ τοῦ κοινὴ ἡ τοῦ πολέμου τύχη καὶ ὁ κατ' αὐτὸν κίνδυνος, καὶ οὐ μᾶλλον τούτου ἢ ἐκείνου. ὃ ἑφερμηνεύων φησὶ «τὸν κτανέοντα», ἤτοι τὸν ἐλπίζοντα ἢ εὔελπιν ὄντα κτεῖναι «κατέκτεινε». καὶ τοῦτό ἐστιν, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, ὁ ἀλλοπρόσαλλος. καὶ πρὸ ὀλίγων δέ, ὅτε Τρῶες καὶ Ἀχαιοὶ δατεῖσθαι τὸν Ἄρην ἐλέγοντο, τοιοῦτόν τι ὁ ποιητὴς ἐρρέθη δηλοῦν, ὡς τοῦ πολέμου μὴ τούτοις μόνοις χαριζομένου ἢ ἐκείνοις, ἀλλὰ μεριζομένου εἰς ἀμφοτέρους. νίκης γάρ ἐστι τὸ ἑτεραλκές. (v. 311) Ὅρα δὲ καὶ τὸ «ἐκ γὰρ φρένας εἵλετο Ἀθήνη» οὐδ' ἐνταῦθα δηλοῦν φρόνημά τι ἐξαίρετον, ὥς που ἐπὶ Γλαύκου, ἀλλὰ φρενῶν ἐξαίρεσιν, καθὰ καὶ προεγράφη. (v. 312) Τοῦ δὲ ἐπαινῆσαι ἡ χρῆσις καὶ παρ' Ἡσιόδῳ.

4.183 ποιητικὴ δὲ ἡ λέξις. τὸ δέ γε κοινὸν ἐπαινέσαι. (v. 314 s.) Ὅτι ἐν τῷ «Ἀχαιοὶ παννύχιοι Πάτροκλον ἀνεστενάχοντο γοῶντες» Ἀχαιοὺς ἢ τοὺς ὅλους λέγει, ἢ μάλιστα τοὺς Μυρμιδόνας. ἐρεῖ γοῦν προϊὼν «παννύχιοι Μυρμιδόνες Πάτροκλον ἀνεστενάχοντο». (v. 316—8) Ὅτι

Ἀχιλλεὺς ἤδη κλαύσας, ὅτε Πάτροκλος ἐφέρετο ἐκ τῆς μάχης, νῦν ἀδινοῦ καὶ αὐτὸς «ἐξῆρχε γόοιο» τοῖς Ἀχαιοῖς, «χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσιν ἑταίρου, πυκνὰ μάλα στενάχων». (v. 318—22) Εἶτα διὰ παραβολῆς πρεπούσης ἡρωϊκῷ ἀξιώματι παραδεικνύς, ὅπως ἦν στενάχων, φησὶν ὥστε λὶς ἠϋγένειος, ᾧ ῥά θ' ὑπὸ σκύμνους ἐλαφηβόλος ἁρπάσει ἀνὴρ ὕλης ἐκ πυκινῆς· ὃ δέ τ' ἄχνυται ὕστερος ἐλθών, πολλὰ δέ τ' ἄγκεα ἐπῆλθε μετ' ἀνέρος ἴχνι' ἐρευνῶν, εἴ ποθεν ἐξεύροι· μάλα γὰρ δριμὺς χόλος αἱρεῖ». ταύτης δὲ ἡ ἀπόδοσις οὐ στενάχειν ἁπλῶς, ἀλλὰ βαρυστενάχειν λέγει τὸν Ἀχιλλέα. (v. 323) Φησὶ γὰρ «ὣς ὃ βαρυστενάχων μετεφώνεεν», ἃ δὴ ἀντὶ τοῦ στενάζειν εἰσίν, ὡς καὶ Σοφοκλῆς «ὑπεστέναζε ταῦρος ὣς βρυχώμενος». Ἔστι δὲ τοῦ βαρυστενάχειν ἐπιτατικώτερον τὸ «πυκνὰ στενάχων», ἢ μᾶλλον τοῦτο μὲν ποσὸν δηλοῖ στεναγμῶν, τὸ δὲ βαρυστενάχων ποιότητα. (v. 316) Τὸ δὲ «ἐξῆρχε γόοιο» γοῶντας ὑποδηλοῖ σιωπηρῶς καὶ τοὺς Μυρμιδόνας, ἤδη δὲ καὶ τὰς παρὰ τῷ Ἀχιλλεῖ αἰχμαλώτους, ὡς αὐτὸς μετ' ὀλίγα ἐρεῖ. (v. 317) Ἡ δὲ τῶν χειρῶν θέσις ἐπὶ τὰ στήθη ἀμφιβολίας τρόπον ποιεῖ καὶ νῦν καὶ ἐν τοῖς ἑξῆς. ἀμφίβολον γάρ, φασίν, εἴτε τὰς ἑαυτοῦ ὁ Ἀχιλλεὺς ἐπὶ τοῖς τοῦ Πατρόκλου στήθεσι τίθησιν, εἴτε ἀνάπαλιν. (v. 326) Οὕτω καὶ μετ' ὀλίγα τὸ «ἔφην εἰς Ὀπόεντα περικλυτὸν ἀπάξειν» οὐ πάνυ δῆλον, εἴτε Ὀπόεντα λέγει περικλυτὸν εἴτε υἱὸν περικλυτόν. (v. 334 s.) Ὁμοίως δὲ καὶ ἐν τῷ «Ἕκτορος κεφαλὴν μεγαθύμου σεῖο φονῆος» ἀμφίβολον εἴτε κεφαλὴν Ἕκτορος μεγαθύμου, εἴτε φονῆος σοῦ τοῦ μεγαθύμου, ἤγουν τοῦ φονεύσαντος σὲ τὸν μεγάθυμον Πάτροκλον.

4.184 (v. 318) Λέοντα δέ, φασί, καὶ ἐνταῦθα θήλειαν λέγει. ἄρσην γὰρ οὐ σκυμναγωγεῖ, ὡς προγέγραπται. δηλοῖ δ' αὐτὸ καὶ τὸ «ἠϋγένειος». κάλλιον γάρ, φασί, ταῖς θηλείαις τὸ γένειον. ἄρρενες δὲ χαίτῃ μάλλον κοσμοῦνται. (v. 319) Διὰ δὲ τοῦ ἐλαφηβόλου ὡς ἐκ μέρους τὸν ἁπλῶς πάντα τὰ ἄγρια βάλλοντα δηλοῖ. Τὸ δὲ ἁρπάσαι ἄλλως ἐπὶ θηρίων κοινολεκτούμενον, ὡς πολλαχοῦ φαίνεται, νῦν τὴν σπουδαίαν τῶν σκύμνων κλοπὴν δηλοῖ. πάνυ γὰρ πτοοῦνται οἱ θηραταὶ τὸν δριμὺν χόλον τοῦ λέοντος. (v. 321) Τίνα δέ εἰσιν ἄγκεα, καὶ ὅτι παρὰ τὸ ἀνακεῖσθαι γίνονται, εἴρηται ἀλλαχοῦ. Τὸ δὲ «ἴχνι' ἐρευνᾶν» δηλοῖ μὲν τὸ ἰχνηλατεῖν, κρεῖττον δ' ἐκείνου πέφρασται. [Ὅρα δὲ τὸ «ἴχνι' ἐρευνῶν» ἀμφιβλήστρου δίκην ἁλίσκον τοὺς εἰσαγωγικούς. ἔστι μὲν γὰρ καὶ ἴχνη γράψαι διὰ τοῦ ἦτα, οὕτω δὲ καὶ ἴχνια διὰ τοῦ ἰῶτα ἐν συναλιφῇ, ἐπικέκριται δὲ τὸ δεύτερον ὡς καὶ ποιητικώτερον καὶ πολύχρηστον.] (v. 324—35) Ὅτι ὁ τοῦ Ἀχιλλέως γόος τοιοῦτος ὡς ἐν ἠθοποΐᾳ Ὁμηρικῇ «ὢ πόποι, ἦ δὴ ἅλιον ἔπος ἔκβαλον ἤματι κείνῳ, θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισι· φῆν δέ οἱ εἰς Ὀπόεντα», οὗ πρὸ ὀλίγου μνεία γέγονε, «περικλυτὸν υἱὸν ἀπάξειν, Ἴλιον ἐκπέρσαντα, λαχόντα τε ληΐδος αἶσαν. ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ· ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦσαι αὐτοῦ ἐνὶ Τροίῃ, ἐπεὶ οὐδ' ἐμὲ νοστήσαντα δέξεται ἐν μεγάροισι γέρων ἱππηλάτα Πηλεὺς οὐδὲ Θέτις μήτηρ, ἀλλ' αὐτοῦ γαῖα καθέξει. νῦν δ' ἐπεὶ οὖν, Πάτροκλε, σεῦ ὕστερος εἶμ' ὑπὸ γαῖαν, οὔ σε πρὶν κτεριῶ, πρίν γ' Ἕκτορος ἐνθάδ' ἐνεῖκαι τεύχεα καὶ κεφαλήν, μεγαθύμου σεῖο φονῆος», περὶ οὗ ἀνωτέρω προσεχῶς εἴρηται.

4.185 (v. 336—42) Εἶτα πλατύνων, τὰ ἑξῆς προεκθετικῶς φησιν, ὅτι «δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσω Τρώων ἀγλαὰ τέκνα σέθεν κταμένοιο χολωθείς. τόφρα δὲ παρὰ νηυσὶ κείσεαι αὔτως», ἤγουν οὕτως ἄταφος, «ἀμφὶ δέ σε Τρῳαὶ καὶ Δαρδανίδες βαθύκολποι κλαύσονται νύκτας τε καὶ ἤματα δακρυχέουσαι. τὰς αὐτοὶ καμόμεσθα βίηφί τε δουρί τε μακρῷ πιείρας πέρθοντε πόλεις μερόπων ἀνθρώπων». Σημείωσαι δὲ ὅτι ἡ ῥηθεῖσα κατὰ τὸν Ἀχιλλέα ἠθοποιΐα οὐκ ἐκ τῶν τριῶν εἴληπται χρόνων, ἀλλ' ἐκ τοῦ παρῳχημένου καὶ τοῦ μέλλοντος, ὡς τῶν ἐνεστώτων πρὸ ὀφθαλμῶν κειμένων. οἴδαμεν γὰρ τὰ κατὰ τὸν Πάτροκλον γεγονότα σήμερον. ἔστι δὲ παρῳχημένου μὲν τὸ «ὢ πόποι» καὶ ἑξῆς ἕως τοῦ «ἀλλ' οὐ Ζεὺς ἄνδρεσσιν», ὃ μεταποιηθὲν ποιήσει ἀγαθὸν γνωμικόν, τὸ «ἀλλ' οὐ θεὸς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ».

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ οὕτω μὲν ἐκ τοῦ παρῳχημένου. ἐκ δὲ τοῦ μέλλοντος τὸ «ἄμφω γὰρ πέπρωται ὁμοίην», ἤγουν τὴν αὐτήν, «γαῖαν ἐρεῦσαι», ἤγουν ἐρευθῇ βάψαι καὶ ἐρυθρῶσαι, καὶ τὰ ἑξῆς. (v. 326) Ὅρα δ᾽ ἐν τούτοις ὡς λυπεῖ τὸν Ἀχιλλέα, εἰ ψεύσεται τῷ Μενοιτίῳ, μὴ ἔχων εἰς τέλος ἀγαγεῖν τὴν ἐπὶ τῷ υἱῷ ὑπόσχεσιν, καθά ποτε καὶ τὸν Ἡρακλέα ἂν τὸ μὴ σχεῖν ἀποκαταστῆσαι Λικύμνιον τῷ οἰκείῳ πατρί, ὡς ἐν τῇ α′ ῥαψῳδίᾳ κεῖται. λυπεῖ ἄρα τὸν σπουδαῖον ἄνδρα τὸ ὁπωσοῦν ψεύσασθαι, [εἰ καὶ ἄλλως ἔστιν ὅτε κατά τι ἀναγκαῖον ψεῦδος ἐρεῖ ἔνθα χρή, ὡς μυριαχοῦ δείκνυται, φιλῶν καὶ ἐκεῖ τὸ ψεῦσμα οὐ καθ᾽ αὑτὸ, ἀλλὰ διά τι σωτηριῶδες. εἰπεῖν γὰρ ὀρθῶς, ὥσπερ ὁ Ἀχιλλεὺς οὐχ᾽ ὡς ἁπλῶς ἐριστικὸς καὶ μάχιμος ἔσκωπται τῷ βασιλεῖ, ἀλλ᾽ ὡς αἰεὶ τοιοῦτος καί, ὡς εἰπεῖν, φίλερις, εἰ καὶ μὴ οἷος ὁ Ἄρης—ἐκεῖνος γὰρ καὶ βροτολοιγὸς καὶ ἀλλοπρόσαλλος—, οὕτω ψεκτέος καὶ ὁ οὐχ᾽ ἁπλῶς δέον ὂν ψεύσασθαι ψευδόμενος, ἀλλ᾽ ὁ κατά τινα κακίαν φίλην αὐτῷ καὶ σπουδῆς ἀξίαν. τοιοῦτος δὲ ὁ φιλοψευδής. οὕτω Κρῆτες διαβάλλονται οὐχ᾽ ὡς ἁπλῶς ποτε ψεῦσται, ἀλλ᾽ ὡς αἰεὶ τοιοῦτοι.] (v. 324) Τὸ δὲ «ἔπος ἔκβαλον» δυνάμενος ἄλλως φράσαι, ὅμως βαρυνόμενος εἶπεν ὁ Ἀχιλλεὺς ἀντὶ τοῦ ἐξεθέμην, παρέρριψα.

4.186 [Ἐκ τοῦ τοιούτου δὲ ῥήματος καὶ τὸ ἔκβλητον ἤτοι ἀπόβλητον.] (v. 326) Ὀπόεις δὲ καὶ ἐν συναιρέσει Ὀποῦς, πόλις Λοκρίδος ὑπὸ Μενοιτίῳ, περὶ ἧς ἐν τῇ Βοιωτίᾳ εἴρηται. Λοκρὸς οὖν ἀνέκαθεν ὁ Πάτροκλος Ἐπικνημίδιος. ἀξιοῦται δὲ πολλοῦ λόγου ἡ πόλις αὕτη καὶ τῷ Λυρικῷ. (v. 329) Τὸ δὲ «γαῖαν ἐρεῦσαι» τὸ θανεῖν δηλοῖ, ὡς καὶ τὸ «γαῖα καθέξει», καὶ τὸ «εἶμ᾽ ὑπὸ γαῖαν», τὰ κατωτέρω κείμενα, διαφόρως κἀνταῦθα φράσαντος τοῦ ποιητοῦ, πλὴν ὅσον τὸ μὲν «γαῖα καθέξει» καὶ τὸ «εἶμι ὑπὸ γαῖαν» τὸ ἁπλῶς θανεῖν δηλοῖ, τὸ δὲ γαῖαν ἐρεῦσαι φόνον σημαίνει, παρακολούθημα μὲν σφαγῆς ὄν, ἀσαφῶς δὲ ῥηθὲν ὡς οἷά τι αἴνιγμα διὰ τὸ εὔφημον. ἐρεύθει μὲν γὰρ γαῖαν καὶ ὁ μίλτον ἢ τοιοῦτόν τι καταχέας εἰς αὐτήν, ἐνταῦθα δὲ ἐρεῦσαι τὸ ἐρυθρὰν αὐτὴν θέσθαι τῷ ἐκ πληγῆς θανατηρᾶς αἵματι. (v. 331) Ὅρα δὲ καὶ νῦν, εἴπερ παρήχησίν τινα ἔχει τὸ «ἱππηλάτα Πηλεύς». (v. 334 s.) Τὸ δὲ κεφαλὴν Ἕκτορος κομίσαι θυμὸς ὑποφητεύει τῷ Ἀχιλλεῖ, ἀκολούθως δῆθεν οἷς Ἕκτωρ τὴν τοῦ Πατρόκλου κεφαλὴν ἀνώγει πῆξαι ἀνὰ σκολόπεσσιν. Ἀχιλλέως μέντοι ἀναφρονήσαντος, ἔμεινεν ἐπὶ χώρας ἡ τοῦ Ἕκτορος κεφαλή. (v. 334) Τοῦ δὲ «ἐνεῖκαι», ὅ ἐστιν ἐνέγκαι, κοινὸς πρῶτος ἀόριστος ὁ ἤνεγκα καὶ ποιητικὸς ὁ ἔνεικα, δεύτερος δὲ ἀόριστος τοῦ ἐνεῖκαι οὔκ ἐστιν, ἀλλὰ χρηστὸν ἀντ᾽ ἐκείνου ἐστὶ τὸ ἐνεγκεῖν. (v. 336 s.) Ἡ δὲ τῶν δώδεκα λαμπρῶν Τρώων ἀποδειροτόμησις ἀντίτισιν ἔχει ὁμοίαν μέν τινα, μείζω δὲ ἄλλως τοῦ «τρεῖς ἑνὸς ἀντιπεφάσθαι», ὅπερ ἀλλαχοῦ κεῖται. Τὸ δὲ «σέθεν κταμένοιο χολωθείς» δηλοῖ οὐ δικαίαν εἶναι τὴν πρᾶξιν ἀλλὰ χόλου ἔργον, οὗ δυσχερὲς κρατεῖν.

4.187 διὸ ἄξιός ἐστι περιᾴδεσθαι ὁ κατὰ καιρὸν πολλῆς ὀργῆς ἐπισχὼν ἑαυτὸν καὶ εἰπὼν πρὸς τὸν πληγησόμενον, ὡς ἔπληξα ἄν σε, εἰ μὴ ἐχολούμην, δεῖξας ἐκεῖνος, ὡς κριτοῦ δίκην χρὴ ἐπεξιέναι τοῖς ἁμαρτήμασιν, οὐ χολουμένου ἀλλὰ διαιτῶντος, καὶ οὕτω τὸ καθῆκον ποιοῦντος. (v. 339 s.) Ὁ δὲ ῥηθεὶς πολὺς ὀδυρμὸς τῶν δμωῶν οὐ βίᾳ πάντως γενήσεται. —τίς γὰρ ἡ χάρις; —, ἀλλ᾽ ἑκούσιος αὐταῖς ὁ ἐπὶ τῷ νεκρῷ κλαυθμός. ὅθεν συλλογιστέον οἷον ἔσται πένθος τῷ Ἀχιλλεῖ, ἐὰν αἱ αἰχμάλωτοι οὕτω κλαίωσιν. Ἐν δὲ τῷ «καὶ Δαρδανίδες βαθύκολποι» σημειοῦνται οἱ παλαιοί, ὡς οὐδέποτε Ὅμηρος βαθυκόλπους τὰς Ἑλληνίδας φησί. δῆλον δὲ ὅτι καθ᾽ ὁμοιότητα τοῦ «Τρῶες καὶ Δάρδανοι» πέφρασται καὶ τὸ «Τρῳαὶ καὶ Δαρδανίδες». (v. 341 s.) Τὸ δὲ «ἃς αὐτοὶ καμόμεθα βίη πιείρας πέρθοντε πόλεις» πτολίπορθόν τε καὶ αὐτὸ δεῖν λέγεσθαι τὸν Ἀχιλλέα ἐμφαίνει μᾶλλον ἤπερ τὸν Ὀδυσσέα, καὶ τὸν Πάτροκλον δὲ ὡς ὅμοιον κοσμεῖ, οἷα τῷ Ἀχιλλεῖ συγκάμνοντα, καὶ τὸν μόγον διασαφεῖ, ὅ ἐστι κάματον, ὃν ὁ Ἀχιλλεὺς εἶπεν ἐν τῷ «ᾧ ἔπι πόλλ᾽ ἐμόγησα», καὶ ὄνειδός δέ τι Ἑλληνικὸν ὑπολαλεῖ, ὡς οὐ δῶρον ἔχοντος τὰς τοιαύτας τοῦ Ἀχιλλέως, εἴπερ αὐτὸς ἔκαμεν αὐτάς, ἤγουν καμάτῳ ἔσχεν, ἢ περὶ αὐτὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκοπίασε. Πιείρας δὲ πόλεις τὰς πλουσίας λέγει, τρέψας ἀπὸ ἐμψύχων σωμάτων. ἐκεῖθεν γὰρ πιότης πόλεως ἡ περὶ αὐτὴν εὐπορία. καὶ ἔχει τι σεμνὸν ἡ λέξις. πτωχικὴν γὰρ πόλιν ἑλεῖν οὐ μέγα ἔργον. ἅμα δὲ καὶ τὸ τοῦ πλούτου βιοφθόρον ὁ λόγος ὑπολαλεῖ, ὡς τῶν τοιούτων πόλεων περθομένων. (v. 344) Ὅτι λοετροχόοι τρίποδες ἦσαν τοῖς παλαιοῖς, ὡς καὶ ἐν τοῖς ἑξῆς δηλωθήσεται. μεγάλοι δὲ αὐτοί, ὡς εἰκός. τοιοῦτον οὖν ἑτάροις κέλεται Ἀχιλλεὺς «ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα τάχιστα Πάτροκλον λούσειαν ἄπο βρότον αἱματόεντα». «οἳ δέ», φησί, «λοετροχόον τρίποδ' ἵστασαν ἐν πυρὶ κηλέῳ». (v. 347—55) Εἶτα διασκευάζων τὰ ἐφεξῆς ὁ ποιητὴς λέγει «ἐν δ' ἄρ ὕδωρ ἔχευαν, ὑπὸ δὲ ξύλα δαῖον ἑλόντες.

4.188 γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ' ὕδωρ. αὐτὰρ ἐπειδὴ ζέσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ, καὶ τότε δὴ λοῦσάν τε καὶ ἤλειψαν λίπ' ἐλαίῳ, ἐν δ' ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεώροιο· ἐν λεχέεσσι δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν ἐς πόδας ἐκ κεφαλῆς», ἤγουν δι' ὅλου τοῦ σώματος, «καθύπερθε δὲ φάρεϊ λευκῷ». εἶτα παννύχιοι ἀμφ' Ἀχιλλῆα «Πάτροκλον ἀνεστενάχοντο γοῶντες». (v. 355) Καὶ ὅρα τὸ «ἀνεστενάχοντο» ἀντὶ τοῦ πάλιν ἐξ ὑπαρχῆς ἐστέναζον. τὸ γὰρ λούειν τέως [ἐγκόψαν] ἐπέσχεν αὐτούς. ἴσως δὲ καὶ στεναγμοῦ δηλοῖ μέγεθος ἡ πρόθεσις, ἄνω ἱκνουμένου κατὰ τὸ «βοὴ δ' οὐρανὸν ἶκεν». (v. 344—7) Ἰστέον δὲ ὅτι τε τὸ «ἀμφὶ πυρί» τοὺς ἀμφιπύρους συντίθησι, καὶ ὅτι τὸ «λούσειαν» καὶ τὸ «ἔχευαν ὕδωρ» τὸν λοετροχόον συντιθέασι τρίποδα, καὶ ἐμφαίνουσι τρόπον ἐτυμολογικόν. [Ἐνταῦθα δὲ ἐπισημαντέον, ὡς οὐ μόνον τρίποδες ἐκαλοῦντο λοετροχόοι, ὁποῖος ὁ ἐνταῦθα ἐπὶ τῷ Πατρόκλῳ καὶ ὃς δὲ ἐν τοῖς ἑξῆς τῷ Ἕκτορι εὐτρεπίζεται, ἀλλὰ καὶ ἀνδράσι τὸ τοιοῦτον ἐπετέθη ὄνομα. Συβαρῖται γοῦν ἱστοροῦνται πρῶτοι λοετροχόους περιχύτας εἰσαγαγεῖν, πεπεδημένους τοῦ μὴ θᾶττον ἰέναι ὥς φησιν ὁ Δειπνοσοφιστής, καὶ ἵνα μὴ σπεύδοντες κατακαίωσι τοὺς λουομένους.] (v. 347) Τὸ δὲ «ὑπὸ δὲ ξύλα δαῖον» μεταλαβόντες οἱ μεθ' Ὅμηρον ὑποκαίειν φασὶ ξύλα τῷ τρίποδι. (v. 348) Γάστρην δὲ τρίποδος τὴν κοιλότητα λέγει τὴν οἷον γαστέρα. ἐσχημάτισται δὲ ἡ λέξις ὡς ἡ πάτρη, ἡ μήτρα, ἡ Αἴθρη. Τὸ δὲ ἀμφέπειν ἐπὶ πυρὸς ὡς ἐπὶ ἐμψύχου τινὸς κεῖται ποιητικῷ ἔθει. δηλοῖ δὲ τὸ κυκλοῦν τὸν τρίποδα ὡς ἀμφίπυρον καὶ πάντοθεν ἐνεργεῖν. Τὸ δὲ «θέρμετο» πρωτότυπόν ἐστι τοῦ θερμαίνεσθαι. (v. 349) Τὸ δὲ ζέειν δῆλον ὡς ὠνοματοπεποίηται, λειότερον ὂν τοῦ σίζειν καὶ καχλάζειν καὶ τῶν ὁμοίων.

4.189 [Δῆλον δ' ὅτι, καθὰ ἡ φωνὴ τοῦ σίγμα τὸ σίζειν ὀνοματοποιεῖ, οὕτω καὶ τὸ ζέειν ἡ τοῦ ζῆτα, λειοτέρα πάντως οὖσα.] Ἦνοψ δὲ χαλκὸς ὅτι ὁ ἔμφωνος ἢ λαμπρός, πολλαχοῦ ἐφάνη. [(v. 350) Ἐν δὲ τῷ «καὶ τότε δὴ λοῦσαν» περισσὸς ὁ και σύνδεσμος. (v. 351) Ἡ δὲ τοῦ ἐλαίου ἀλοιφὴ κατ' ἔθος γίνεται τοῦ τῶν ζώντων λούματος, καὶ οὐ διὰ τὴν τοῦ λουομένου Πατρόκλου νέκρωσιν.] Ἔλαιον δὲ ἐννέωρον τὸ ἐνναετές, ὧρος γὰρ ὁ ἐνιαυτός. οὗ ἔπλησαν τὰς ὠτειλάς, ὡς φαρμακώδη, φασί, δύναμιν ἔχοντος τοῦ παλαιοῦ ἐλαίου. οἱ δὲ ξηραντικόν φασιν εἶναί τι τὸ νῦν παραληφθὲν ἔλαιον σήψει νεκρῶν προσιστάμενον, ὁποῖον καὶ τὸ κέδρινον. (v. 352) Ἑανὸς δὲ ὑφάσματος νῦν ἐπίθετον παρὰ τὸ ἕω, οἱονεὶ ὁ ἄξιος φορεῖσθαι. κασσίτερος μέντοι ἑανός που ὁ οἱονεὶ ῥεανός, ὡς εὔρυτος καὶ ῥᾳδίως χυτός, ὡς καὶ ῥειαμένη, εἱαμένη, ὁ ὑγρὸς τόπος. τινὲς δὲ ἀπὸ τοῦ ἑανοῦ κασσιτέρου οἴονται τὴν λέξιν καὶ εἰς ὕφασμα μετενηνέχθαι, καί φασιν εἶναι χιτῶνα ἢ πέπλον ἑανὸν τὸ λεπτὸν ὁμοίως τῷ κασσιτέρῳ, ὃς ἐν τῷ γανώματι ἐπιτρέχει λευκός. Τὸ δὲ «λιτί» πῶς γίνεται, ἐν ἄλλοις εἴρηται.

4.190 Φασὶ δὲ οἱ παλαιοί, ὅτι τε προπεριέσπων τινὲς τὸ «λιτί», καὶ ὡς μᾶλλον καλόν ἐστιν ὀξύνειν αὐτὸ διὰ κανόνα τὸν λέγοντα, ὅτι πᾶσα δοτικὴ δισύλλαβος ἐπὶ ὀνομάτων ὀξύνεται, εἰ μὴ ἀπὸ κράσεως ἔπαθε τὴν δισυλλαβίαν, ὡς τὸ κέαρι κῆρι, τῇ ψυχῇ, καὶ ἔαρι ἦρι, τῷ ὄρθρῳ καὶ τῷ ἔαρι. ἱστοροῦσι δὲ καὶ τὸν Ἀσκαλωνίτην γραμματικὸν οἴεσθαι μὴ μεταπεπλάσθαι τὸ λιτί ἀπὸ τοῦ λιτῷ, ὡς κλάδῳ κλαδί, ἀλλ' ἀπὸ τῆς λίς εὐθείας κεκλίσθαι, ὅν φασι παραιτητέον. τὰ γὰρ εἰς ις μονοσύλλαβα οὐ μελετῶσι διὰ τοῦ τος κλίνεσθαι, ἀλλ' ἢ διὰ καθαροῦ τοῦ ος , ὡς τὸ λίς λιός,

ἢ διὰ τοῦ νος , ὡς τίς τινός, ἢ διὰ τοῦ δος , ὡς κτίς κτιδός, ἀφ’ οὗ «κτιδέη κυνέη» παρὰ τῷ ποιητῇ. εἴληπται δὲ τὸ λιτί κατὰ τοὺς παλαιοὺς ἀντὶ τοῦ ἁπαλῷ, ἢ ἀντὶ τοῦ λιτῷ, ἢ τοὐναντίον ποικίλῳ ἐξ ἀντιφράσεως, ὅπερ οἱ Ἀττικοὶ ληΐδιόν φασι τετρασυλλάβως. περὶ οὗ Τρύφων φησίν, ὥς ἐστι λεῖον λείου, ἐξ οὗ παραγωγὴ διὰ τοῦ διον λείδιον διὰ διφθόγγου, ὡς γραφείδιον, ἀγγείδιον, καὶ ἐκτάσει τοῦ ε εἰς η λήδιον σὺν καὶ τῷ ι προσγεγραμμένῳ κατὰ τὸ εἴκαζον ᾔκαζον, εἴδειν ᾔδειν. Φιλήμων δὲ τὸ λῄδιον ἑρμηνεύσας εὐτελὲς τριβώνιον ἢ χλαμύδιον παλαιὸν παροξύνει αὐτὸ ὡς τὸ σταμνίον. φησὶ γὰρ «ὡς σταμνίον δὲ τὴν προσῳδίαν λέγω». Δίδυμος δὲ καὶ αὐτὸς οὕτω δοξάζων φησί, ὡς ἄλογός ἐστιν ἡ προπαροξύτονος τάσις τοῦ λῄδιον, ἐπεὶ αἱ διὰ τοῦ ιον παραγωγαί, εἰ μὲν ὦσιν ἐν τρισὶ βραχείαις, προπαροξύνονται· θρόνος θρόνου θρόνιον, πτύξ πτυχός πτύχιον, εἰ δὲ δακτυλικαί, πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον, ψωμίον, ὠτίον, ἔτι δὲ καὶ κλειδίον, παιδίον, δᾳδίον, οὐ διὰ τοῦ διον ὄντα οὐδὲ ταῦτα, ἀλλὰ διὰ τοῦ ιον . τὸ γὰρ δ τοῦ πρωτοτύπου ἐστίν. εἰ οὖν, φησίν, ἐν τῷ λῄδιον δακτυλικὴ ἡ λέξις, δῆλον ὡς πρὸ μιᾶς ὤφειλεν ἔχειν τὸν τόνον. καὶ οὕτω παροξύνεσθαι θελήσας τὸ λῄδιον ὁ Δίδυμος ἀποστερεῖ αὐτὸ καὶ τοῦ κατὰ τὴν παράδοσιν προσγεγραμμένου ι . ἐπεί, φησί, λῆδος τὸ πρωτότυπον, ὃ Δωριεῖς λᾶδός φασιν, ὡς Ἀλκμὰν «λᾶδος είμένα καλόν», ὅ ἐστι λήδιον ἐνδεδυμένη εὐειδές. ἀπὸ γοῦν τοῦ λῆδος, φησί, μὴ ἔχοντος τὸ ι γεγονὸς τὸ ληδίον οὐδ’ αὐτὸ ἂν ἔχοι τὸ ι . καὶ οὕτω μὲν οὗτοι.

4.191 δοκεῖ δὲ ἐκ τοῦ λῆδος καὶ ἡ ἐν Ὀδυσσείᾳ ἡρωῒς Λήδα καλεῖσθαι. τὸ δέ γε λήδανον παρὰ Ἡροδότῳ, ὅ ἐστι λάδανον, ἐθνικόν ἐστιν, ὡς ἐκεῖνος ἐπισημειοῦται. (v. 355) Τὸ δὲ «γοῶντες» καὶ ὁ γόος, ἐξ ὧν καὶ ὁ γόης, ὠνοματοπεποίηνται, κακοφωνότερα ὄντα τοῦ βοᾶν καὶ τῆς βοῆς, καὶ διὰ τοῦτο ἐπὶ θρήνων τεθέντα. τῶν δὲ τοιούτων πάντων λειότερον τὸ φωνεῖν, αὐτοῦ δὲ πάλιν τὸ λέγειν καὶ τὸ λαλεῖν, οἷς ἀντίκειται κατὰ τραχυφωνίαν τὰ ἐκ τοῦ ῥῶ, τὸ λέγω, γινόμενα, οἷον ἡ ῥῆσις καὶ τὸ ῥῆμα καὶ τὸ εἰρηκέναι καὶ τὰ ἐξ αὐτῶν. ὅτι δὲ ἐκ τοῦ γοῶ καὶ ὁ γόης ὡς ἐν πολλοῖς ἐπᾴδων μετὰ γόου κατ’ ἔθος ἴδιον, παραδηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ «οὐ πρὸς ἰατροῦ σοφοῦ θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι». πάντως γὰρ τὸ θρηνεῖν ἐπῳδὰς ταὐτόν ἐστι τῷ γοερῶς ἐπᾴδειν, ὃ καὶ γόης ποιεῖ. Τὸ δὲ ῥηθὲν χωρίον ὅλον ἐξ ἀρχῆς καὶ μέχρι τέλους ἐπαινεῖται παρὰ τοῖς παλαιοῖς. ἐμπεσὼν γάρ, φασίν, ὁ ποιητὴς εἰς ἀπαγγελίαν ταπεινῶν πραγμάτων ἐκάλυψε τὴν εὐτέλειαν τῇ τε τῶν ἐπιθέτων συνθέσει καὶ τῇ τραχύτητι τῆς φράσεως, καὶ οὕτω θαυμασίᾳ δυνάμει τὰ μικρὰ μεγαλοπρεπῶς ἐξήνεγκεν. (v. 356—9) Ὅτι Ζεὺς τὸ ἐπὶ κακῷ τῶν Τρώων πάνυ θερμὸν τῆς εἰς Ἕλληνας ὁποῖα καὶ υἱοὺς διαθέσεως προσονειδίζων τῇ Ἥρᾳ, ἣν καὶ νῦν λέγει Ὅμηρος Διὸς κασιγνήτην ἄλοχόν τε «ἔπρηξας», φησί, «καὶ ἔπειτα βοῶπις πότνια Ἥρη ἀνστήσασ’ Ἀχιλῆα πόδας ταχύν· ἦ ῥά νυ σεῖο ἐξ αὐτῆς ἐγένοντο καρηκομόωντες Ἀχαιοί». τοῦτο δὲ παρῳδηθὲν δύναται λέγεσθαι καὶ ἐπὶ προσώπου ἀνύσαντός τι μέγα ἐπί τινι βοηθουμένῳ, οἷον ἔπρηξας καὶ ἔπειτα τόδε ἀνύσας· ἦ δὴ σοῦ ἐξ αὐτοῦ ἐγένετο ὁ δεῖνα. καὶ οὕτω μὲν ὁ Ζεύς. (v. 362—7) Ἥρα δὲ συγκατατιθεμένη λέγει «καὶ μὲν δή πού τις μέλλει βροτὸς ἀνδρὶ τελέσσαι, ὅς που θνητός ἐστι καὶ οὐ τόσσα μήδεα οἶδε. πῶς δὴ ἔγωγε», ἤ, ὡς εἰρήσεται, τοιάδε, «οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι»; οὕτω δὲ καὶ πᾶς τὸ τῆς ἀξίας προϊσχόμενος δικαίωμα, ἐφ’ οἷς ἐν ὑπεροχῇ ὢν ἔβλαψέ τινα, παρῳδήσας ἐρεῖ «καὶ μὴν δή πού τις» καὶ ἑξῆς ἕως τοῦ «οἶδεν».

4.192 εἶτα ἐπαγάγοι ἂν καὶ τό· πῶς δὴ ἔγωγε, ἥ φημι ἢ ὅς φημι ἔμμεναι ἄριστος, οὐκ ὄφελον τῷ δεῖνι κοτεσσαμένη ἢ κοτεσσάμενος κακὰ ῥάψαι; καὶ ἄλλως δὲ ἀνάπαλιν· πῶς ἐγὼ ὁ τοιόσδε οὐκ ὄφελον τῷ δεῖνι χαριζόμενος τόδε τι ἀγαθὸν ποιῆσαι; Ὅρα δὲ ὅτι δεῆσαν ἄρτι μὴ ἀντιβῆναι ἀλλήλοις τὸν Δία καὶ τὴν Ἥραν, λαλοῦσι μὲν ἡμερώτερον, οὐ μὴν οὐδὲ νῦν δίχα βαρύτητος ὁ λόγος αὐτοῖς, καὶ μᾶλλον τῇ Ἥρᾳ, ἥτις τὸν Δία καίτοι βοῶπιν καὶ πότνιαν αὐτὴν προσειπόντα αἰνότατον καλεῖ, οὐκ ἀφισταμένη τοῦ συνήθους ἤθους. μήποτε δὲ κατά τι εὔλογον ἡ Ἥρα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπαινεθεῖσα ὑπὸ Διὸς ὅμως αὐτὴ κατ’ ἐκείνου τραχύνεται. δοκεῖ γὰρ διὰ τοῦ ῥηθῆναι τοὺς Ἀχαιοὺς υἱοὺς αὐτῆς ὀνειδισθῆναι εἰς τὸ καὶ δίχα Διὸς τίκτειν, ὃ περὶ Ἡφαίστου ἐπ’ αὐτῇ μυθεύεται. Ὅρα δὲ καὶ ὅτι μέλλων μικρὸν ὅσον πολλῇ τερατείᾳ μυθικῇ ὁ ποιητὴς ἐπιβαλεῖν, οὐκ ἀμέσως ἐκ τῶν ἀνθρωπίνων ἐπαφῆκε τὸν λόγον τοῖς τοιούτοις, ἀλλ’ ἠρέμα μετὰ τὰ ἐπὶ Πατρόκλῳ καταστήσας τὸν λόγον ῥητορικῶς, ὡς τῶν ῥηθέντων ἐπὶ τῷ Ἀχιλλεῖ μηκέτι ἄλλως ἕξειν μελλόντων ἀλλ’ ἢ κατὰ τὰς ῥηθείσας ῥητορικὰς προαναφωνήσεις, ὡς ὁ Ζεὺς καὶ ἡ Ἥρα, οἱ μυθικοί, ἐνταῦθα κυροῦσιν, οὕτω καὶ τοῖς ἑξῆς μύθοις προσβάλλει. (v. 357) Ἰστέον δὲ ὅτι τὸ «ἔπρηξας καὶ ἔπειτα» ὀνειδισμὸν ἔχει προτέρων πράξεων τῆς Ἥρας, ὧν ἕνεκεν εἴρηται νῦν τὸ «καὶ ἔπειτα». (v. 358) Τοῦ δὲ «ἀνστήσασα» οὐκ ἔχει καιριωτέραν οὐδ’ ἐνταῦθα λέξιν εἰπεῖν ὁ ποιητής. Τὸ δὲ «πόδας ταχύν» καὶ νῦν καὶ ἑτέρωθι μυριαχοῦ ἐπίτηδες λαλεῖται προληπτικῶς διὰ τὸ μέλλειν ἐν τοῖς ἑξῆς πάνυ χρησιμεῦσαι τὸ ποδῶκες τῷ Ἀχιλλεῖ.

4.193 (v. 362) Τὸ δὲ «ἀνδρὶ τελέσαι» μέσως ἔχει καὶ ἀντὶ τοῦ ὑπὲρ ἀνδρὸς καὶ ἀντὶ τοῦ κατ’ ἀνδρός, ἵνα λέγῃ ὅτι καί τις βροτὸς οὐ πάνυ μέγας μέλλει βοηθῆσαί τινι ἀνδρὶ κατά τινος ἀνδρός. (v. 364—6) Πολλῷ δὲ πλέον ἐγώ, «ἥ φημι θεάων ἔμμεν’ ἀρίστη, ἀμφότερον, γενεῇ τε καὶ οὕνεκα σὴ παράκοιτις κέκλημαι, σὺ δὲ πᾶσι μετ’ ἀθανάτοισιν ἀνάσσεις». ὃ καὶ ἀλλαχοῦ ἡ Ἥρα προεβάλετο. Τοῦ δὲ «σὺ δὲ μετ’ ἀθανάτοισιν ἀνάσσεις» τοιοῦτος ὁ ῥητορικὸς συλλογισμός. σὺ πᾶσιν ἀνάσσειν ἄριστος εἶ· ἐγὼ δὲ σὴ ἄκοιτις· ἀρίστη ἄρα ἔγωγε πάντων. (v. 367) Ἐκ δὲ τοῦ «κακὰ ῥάψαι» ἡ κακορραφία σύγκειται. (v. 369—71) Ὅτι τὸν τοῦ μυθικοῦ Ἡφαίστου δόμον ἐπαινῶν, εἰς ὃν ἡ Θέτις ἀφίκετο, ἄφθιτόν φησιν, «ἀστερόεντα, μεταπρεπέα ἀθανάτοισι, χάλκεον, ὃν αὐτὸς ποιήσατο κυλλοποδίων». (v. 370) Ἀστερόεις δὲ καὶ νῦν οἶκος ἄλλως ἤπερ οὐρανός. οἶκος μὲν γὰρ ἀστερόεις ὁ ἄστροις τὴν λαμπρότητα ἐοικώς, οὐρανὸς δὲ ἀστερόεις ὁ ἔχων αὐτά. Τὸ δὲ μεταπρεπέα ἐν ἄλλοις λέγει. τῇ φύσει δὲ πάντως τοῦ πυρὸς προσλογίζονται τὰ τοιαῦτα τοῦ μυθικοῦ Ἡφαίστου ἐπίθετα. (v. 371) Τὸ δὲ κυλλοποδίων οὐ σκωπτικῶς ὁ Ὅμηρος ἔφη σιλλογραφῶν εἰκῇ, ἀλλ’ ἢ κατ’ ἰδιότητα, ὥς που καὶ αἱ τοῦ Διὸς θυγατέρες Λιταὶ χωλαὶ διεγράφησαν, ἢ πρὸς ὑπόδειξιν τοῦ μηδὲν προσίστασθαι τῷ Ἡφαίστῳ εἰς οὕτω θαυμαστὸν ἔργον τὴν τῶν ποδῶν κυλλότητα. (v. 372) Ὅτι τὸν Ἥφαιστον «ἱδρώοντα» εὗρεν ἡ Θέτις «ἑλισσόμενον περὶ φύσας, σπεύδοντα», ταῦτα δὴ τὰ τῶν σπουδαίως πονουμένων χαλκέων. προέθετο γὰρ ὁ πολυφωνότατος ποιητὴς ἐνταῦθα καὶ τὰ κατὰ τοὺς χαλκεῖς ἐκφράσαι, ὡς ἂν καὶ τοιούτοις λόγοις ἐγγυμνάσῃ τὴν ἑαυτοῦ γραφήν.

4.194 (v. 373—77) Ὅτι τρίποδας «ἐείκοσι πάντας ἔτευχεν» Ἥφαιστος «ἑστάμεναι περὶ τοῖχον ἐϋσταθέος μεγάροιο, χρύσεα δέ σφ’ ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκεν, ὄφρα οἱ αὐτόματοι θεῖον δυσαίατ’ ἀγῶνα», ἢ «δύσονται ἀγῶνα», «ἠδ’ αὖτις πρὸς δῶμα νεοίατο, θαῦμα ἰδέσθαι». Ἦν γὰρ τῷ ὄντι θαυμαστὸν αὐτομάτως κινεῖσθαι τρίποδας ὡς οἷά τινας αὐτοκινήτους θέοντας κατὰ τὰ ὑποκείμενα κύκλα, ὅ ἐστι κατὰ τοὺς τροχίλους, οἳ ὡς εἰκός, ἐνείροντο τοῖς τῶν λεβήτων ποσίν, ὡς ἂν εἴς τε τὴν τῶν θεῶν ἄθροισιν δύωνται, τοῦτο γὰρ ὁ θεῖος ἀγών, καὶ οἴκαδε αὖθις εἰς τὰ ἑαυτῶν ἀπονέωνται δίκην ἐμψύχων. τοιαῦτα γὰρ ὑποτίθενται εἶναι τὰ ἡφαιστότευκτα. ἰστέον γὰρ ὅτι τερατωδῶς ἐμψύχους τοὺς τρίποδας ὁ ποιητὴς πλάττει καὶ αὐθορμήτους ὡς οἷον βαδίζοντας διὰ τῶν ὑποκειμένων τροχίλων. διὸ καί τις τῶν παλαιῶν—Διονύσιος δὲ ἦν ἐκεῖνος—αὐτοκίνητα καὶ τὰ ἐπὶ τῆς Ἀχιλλέως ἀσπίδος ὑπώπτευσεν ἡφαιστότευκτα ζῷα τὰ ἐν τοῖς ἑξῆς δηλωθησόμενα, εἰ καὶ ἀντέλεγε, φασίν, Ἀριστόνικος. Σημείωσαι δὲ ὅτι τὰ τοιαῦτα ὑποπτεύονται καὶ λαλοῦνται οὕτω διὰ τὸ τῶν χαλκευομένων τεχνικώτατον, ὡς μικροῦ δοκεῖν τὰ εἴδωλα ἔμψυχα εἶναι, ὁποῖόν τι καὶ περὶ Ῥοδίων ἱστόρηται, οἷς ἔγεμέ ποτε τοιαύτης τέχνης ἡ νῆσος. καὶ τὰ ζῴδια ἐδόκουν μικροῦ καὶ κινηθήσεσθαι ἄν. διὸ καὶ ἁλύσεσιν ἐξεδέσμουν αὐτά, ἵνα δῆθεν μὴ κινηθέντα φύγοιεν. ᾐνίττοντο δὲ ἄρα οἱ νησιῶται διὰ τοῦ τοιούτου δεσμοῦ τὸ παρ’ ὀλίγον αὐτοκίνητον τῶν ἀγαλμάτων ἐκείνων, ὁποῖά τινα καὶ Δαίδαλος ποιεῖν μυθεύεται.

Ἰστέον δὲ ὅτι καὶ ἐν τῷ «ἐείκοσι πάντας» πλεονάζει συνήθως τῷ ποιητῇ τὸ «πάντας». (v. 374) Τὸ δὲ «περὶ τοῖχον» βιωτικόν ἐστιν, οἷα τῶν τοιούτων κειμηλίων τοίχοις παραβυομένων ὡς τὰ πολλά. Μέγαρον δὲ εὐσταθὲς τὸ ἀλλαχοῦ εὔπηκτον. (v. 375) Κύκλα δὲ κατὰ μεταπλασμὸν γένους οἱ τροχοί, ὅθεν καὶ κυκλῆσαί που ἔφη τὸ ἐπὶ ἁμαξῶν ἀγαγεῖν.

4.195 [Τοιούτου μεταπλασμοῦ σὺν ἄλλοις πολλοῖς καὶ ὁ θύμος καὶ τὸ θύμον, καὶ ὁ γάρος παρ' Αἰσχύλῳ, φασί, καὶ τὸ γάρον. οὕτω δὲ καὶ τὸ ὀρίγανον καὶ ὁ ὀρίγανος, οἷον, ὀρίγανον, ὃς δὴ σεμνύνει τὸ τάριχος ὁμοῦ μιχθεὶς κοριάννῳ. τοῦτο δὲ καὶ θηλυκῶς, φασί, λέγεται, οἷον «ἐξ Ἀρκαδίας οὕτω δριμυτάτην ὀρίγανον».] (v. 376) Σημείωσαι δὲ καὶ ὅτι τὸ αὐτομάτους μηχανὰς ῥηθῆναι τὰς μὴ δι' ὕδατος καὶ τοῦ ἐκεῖθεν πνευματικοῦ ἀπαρτιζομένας ἐξ Ὁμήρου ἐλήφθη τοῖς Μηχανοποιοῖς. οὕτω γὰρ αὐτόματος καὶ τῷ Ἡφαίστῳ νῦν ἡ τῆς τῶν τριπόδων κινήσεως μηχανή. [Οὕτω καὶ πύλαι που αὐτόματοι οὐρανοῦ μύκον. καὶ ἔστι τοῦτο ἑτεροῖόν τι πρὸς τὸ «αὐτόματος ἦλθε Μενέλαος», ἤγουν αὐτόκλητος. ἔνθα γράφουσιν οἱ παλαιοὶ ὅτι τὸ τοιοῦτον αὐτόματον οὐ πάντων ἦν ἐν συμποσίοις, ἀλλὰ μόνων τῶν, ὡς αὐτοὶ ἐκτίθενται, οἰκείων καὶ γνησιωτάτων ἢ φύσει ἢ θέσει. εἰ δέ τις μὴ τοιοῦτος παρεισέφρησε τῷ συμποσίῳ, διεβάλλετο, καθὰ δηλοῖ Ἄλεξις ἐν τῷ «ἄνθρωπος εἶναί μοι δοκεῖς Κυρηναῖος. κακεῖ γάρ τις ἂν ἐπὶ δεῖπνον ἕνα καλῇ, πάρεισιν ὀκτωκαίδεκ' ἄλλοι καὶ δέχ' ἅρματα, καὶ ξυνωρίδες ιε'. τούτοις δὲ δεῖ σε τἀπιτήδει' ἐμβαλεῖν. ὡς ἦν κράτιστον μηδὲ καλέσαι μηδ' ἕνα».

4.196 καὶ τοῦτο μὲν οὕτω ψεκτέον ὡς χυδαῖον. ἐκεῖνο δὲ τὸ πρῶτον καὶ ἐπαινεῖται, καὶ παροιμίαν ποιεῖ τὴν «ἀκλητὶ κωμάζουσιν ἐς φίλους φίλοι», καὶ τὸ «ἀγαθὸς πρὸς ἀγαθοὺς ἄνδρας ἑστιασόμενος ἧκον, μή τινα τῖμον εἰσενεγκών», εἰπεῖν κατ' Ἀρχίλοχον, ἀλλὰ δηλονότι ἀσύμβολον δεῖπνον εὑρών. καὶ ἔστιν ὁ τῖμος κατὰ τὸ ὠνή ὦνος, χολή χόλος. ὁμοία δὲ παροιμία καὶ τὸ «κοινὰ τὰ τῶν φίλων».] Ὁ δὲ ἀγὼν πολυσήμαντος λέξις κατὰ τοὺς παλαιούς. ἀγὼν γάρ, φασίν, ὅμιλος, κύκλος, μάχη, ἔρις, ἀγορά, συναγωγὴ καὶ ἐπίδειξις. (v. 378 s.) Ὅτι ἀρτύειν μὲν τὸ ἀπαρτίζειν λέγει, κόπτειν δὲ δεσμοὺς τὸ ἐλαύνειν ἤτοι σφυροκοπεῖν τὰ εἰς δεσμὸν ἀγγείου χρήσιμα. φησὶ γάρ, ὡς οἱ ῥηθέντες τρίποδες «τόσσον μὲν ἔχον τέλος, οὔατα δ' οὔ πω δαιδάλεα προσέκειτο, τά ῥ' ἤρτυεν», ἤγουν ταῦτα δὴ κατήρτιζε, «κόπτε δὲ δεσμούς». τί δέ ἐστι τὸ «τόσσον μὲν ἔχον τέλος», καὶ ὅτι τὸ τοιοῦτον σχῆμα τὸ παρ' ὀλίγον δηλοῖ, ἵνα λέγῃ ὅτι τὸ μὲν ἄλλο πᾶν ἦν τοιόνδε, τόδε δέ τι οὐκ ἦν ἀλλ' ἐνέλειπε, ῥηθήσεται ἀκριβῶς ἐν τοῖς ἐφεξῆς. δῆλον δὲ ὡς οἱ ῥηθέντες δεσμοὶ χρησιμεύσειν ἔμελλον εἰς τὸ δι' αὐτῶν καταπεῖραι τὰ ὦτα. Ἐν τούτοις δὲ ὅρα ὡς οὕτω παρὰ βραχὺ ἔργου ἐλθὼν ὅμως οὐκ ἀναμενεῖ τελέσαι τὸ ἐπίλοιπον ἔργον Ἥφαιστος, ἀλλὰ σπουδαίως ἀνύσει τὸ τῆς εὐεργέτιδος Θέτιδος βούλημα, διδάσκοντος καὶ οὕτω τοῦ ποιητοῦ πρὸ ἔργου τιθέναι μάλιστα τοὺς εὐεργετήσαντας.

4.197 (v. 378) Σημείωσαι δὲ ὅτι τοῦ τέλους πολλὰ σημαίνοντος, τὸ πάντων ἐξάρχον τὸ ῥηθὲν τέλος ἐστί, δι' οὗ δηλοῦται τὸ πέρας. καὶ γίνεται ἢ ἀπὸ τοῦ τλῶ, τὸ ὑπομένω, τλός, ὑπὲρ οὗ ὑπομένει τις πράττων, καὶ προσθέσει τοῦ ε τέλος, ἵνα μὴ εὑρεθῇ μονοσύλλαβον ὄνομα βραχυκατάληκτον, ἢ παρὰ τὸ τέλλω, ἐξ οὗ τὸ ἐπιτέλλω καὶ ἀνατέλλω, τὸ ὕστερον δηλαδὴ μετὰ πρᾶξιν ἀναλάμπον καὶ ἐκφαινόμενον. διὸ καὶ πάνυ καλῶς ἔχει ῥηθὲν τὸ «τέλος δ' οὔ πω τι πέφανται». ὅτι δὲ οὐδέποτε μονοσύλλαβον ὄνομα βραχυκαταληκτεῖ, δηλοῖ καὶ ἡ Τλῶς πόλις, καὶ ἡ Κρῶς, καὶ τὸ πᾶς, καὶ μῦς, καὶ δρῦς, καὶ σῦς, καὶ λίς, καὶ θώς, καὶ Τρώς, πλὴν τοῦ τίς. διὸ ἀπὸ τοῦ θῶ θός, ὁ πάντα τιθεὶς καὶ ποιῶν, καὶ ἐνθέσει τοῦ ε θεός, καὶ ἀπὸ τοῦ ῥηθέντος δὲ τλῶ τλός, καὶ προσθήκει τοῦ ο ὄτλος, ὃ δηλοῖ τλῆσιν καὶ κακοπάθειαν. Τὸ δὲ «οὔατα» πρωτότυπόν ἐστι τοῦ ὦτα, ὡς καὶ τοῦ ὧς ὠτός τὸ οὖας οὔατος, οὗ παραγωγὴ ἐκ τοῦ ἄω ἀΐω, τὸ ἀκούω, ὅθεν ἄος ὡς φάος, καὶ μεταθέσει ὄας ὡς φόας, καὶ κράσει μὲν ὦς ὡς φῶς, ἐπενθέσει δὲ Ἰωνικῇ τοῦ υ , οὖας. (v. 379) Τοῦ δὲ «προσέκειτο» οὐκ ἔστιν ἐνταῦθα καιριωτέραν λέξιν εὑρεῖν, καθότι οὐ συμφυῆ τὰ οὔατα τοῖς τρίποσιν ἀλλὰ πρόσθετα. (v. 382) Ὅτι Χάρις ὥσπερ τῷ Ὕπνῳ, οὕτω καὶ

τῷ Ἡφαίστῳ συνοικεῖ λιπαροκρήδεμνος, καλή. τοῦτο δὲ διὰ τὸ ἐπίχαρι τῶν ἐκ πυρὸς δημιουργημάτων.

4.198 διὸ καὶ τῇ χαριεστάτῃ Ἀφροδίτῃ τὸν τοιοῦτον Ἥφαιστον διὰ τὸ αὐτοῦ κλυτοτεχνικὸν ἐπαφρόδιτον ἐν Ὀδυσσείᾳ συνδυάζει ὁ μῦθος, ὃς καὶ Ἀγλαΐαν ἢ Θάλειαν ὀνομάζει τὴν ἐνταῦθα τῷ Ἡφαίστῳ σύνοικον ταύτην Χάριν. Ἰστέον δὲ ὅτι καλὴ πᾶσα χάρις διὰ τὸ παρεπόμενον ἡδὺ οὐ μόνον τῷ λαμβάνοντι, ἀλλά γε καὶ τῷ διδόντι. χαίρει γάρ τις καὶ μέγα διδοὺς κατὰ τὸν Ἡσίοδον, ὥσπερ ἀφῃρημένος καί τι σμικρὸν παχνοῦται τὸ κῆρ. διὸ καὶ ἐκ τοῦ χαίρειν παρῆκται ἡ χάρις. (v. 385—7) Ὅτι φιλικὴ προσφώνησις τὸ «τίπτε ἱκάνεις ἡμέτερον δῶ αἰδοίη τε φίλη τε, πάρος γε μὲν οὔ τι θαμίζεις· ἀλλ' ἕπεο προτέρω», ἤγουν προσωτέρω, «ἵνα τοι πὰρ ξείνια θείω». τούτων δὲ τῶν τριῶν στίχων τοὺς ἐξ ἀρχῆς δύο καὶ μετ' ὀλίγα ἐρεῖ ἀπαραποιήτως ὁ μυθικὸς Ἥφαιστος σὺν καὶ ἑτέροις δυσὶ στίχοις προγεγραμμένοις ἀλλαχοῦ. (v. 384) Φιλικὸν δὲ καὶ τὸ ἐμφῦναι χειρί, ὅ ἐστι δεξιώσασθαι, περὶ οὗ ἀλλαχοῦ ἐδηλώθη. (v. 389—90) Εἰς ἔπαινον δὲ θρόνου χρήσιμον τὸ «καθεῖσεν ἐπὶ θρόνου ἀργυροήλου, καλοῦ, δαιδαλέου», φαεινοῦ, «ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν» (v. 392) Τὸ δὲ ἐφεξῆς ἤγουν τὸ «Ἥφαιστε πρόμολ' ὧδε, Θέτις νύ τοι σεῖο χατίζει», ὅτι παρῳδήθη ποτὲ ὑπό τινος σοφοῦ καύσαντος οἰκεῖα πονήματα, δεδήλωται μὲν ἤδη οὐ πρὸ πολλῶν. [Ἐνταῦθα δὲ πάλιν μνηστέον τῆς ἱστορίας ἐκείνης ἐπί τι πλέον διὰ τὸ ἐντελέστερον. ὁ σοφὸς ἐκεῖνος, ἦν δὲ ὁ μέγας Πλάτων, εἰς ποιητικήν, φασίν, ὁρμήσας καὶ ἡρωΐζων, κατέπρησεν ἃ ἔγραψεν ὡς Ὁμήρου ἡττώμενα κατὰ πολύ. εἶτα ἐπιθέμενος τραγῳδίᾳ καὶ μέλλων ἀγωνιεῖσθαι καὶ ἀκούσας Σωκράτους καὶ καθάπαξ αἱρεθεὶς ὑπὸ τῆς ἐκείνου σειρῆνος, ἀπεδύσατο ἐπὶ φιλοσοφίαν, ἐφ' ᾗ καὶ εὐδοκίμησε πάνυ.] Κεῖται δὲ καὶ ἐνταῦθα τὸ «ὧδε» ἀντὶ τοῦ οὕτως, ὡς ἔχεις δηλαδὴ ἄρτι, γέμων ἀσβόλης, ἱδρῶν, ἡμίγυμνος, ἵνα εἴπῃ ὅτι πρόμολε τάχιστα. (v.

4.199 394 s.) Εὐεργεσίας δὲ ὁμολογία καθ' Ἥφαιστον ἐπὶ Θέτιδι τὸ «ἦ δή μοι δεινή τε καὶ αἰδοίη θεὸς ἔνδον, ἥ μ' ἐσάωσεν, ὅτε με ἄλγος ἀφίκετο». παρῳδηθήσεται δέ ποτε δεξιῶς καὶ εἰς ἄνδρα εὐεργετήσαντα. Λέγοι δ' ἂν Ἥφαιστος ἀλληγορικῶς τὴν θαλαττίαν Θέτιν δεινὴν μὲν αὐτῷ ὡς πυρὶ διὰ τὸ κατ' αὐτὴν δραστικὸν καὶ οἷον φοβερόν, σβεστικὸν γὰρ πυρὸς τὸ καθ' ὕδωρ ὑγρόν, αἰδοίην δὲ διὰ τὸ αὖθις πότε χρηστὸν τῷ πυρὶ ἐξ ὑγρότητος, δι' ἧς πολλαί τε ὕλαι πυρὶ τῷ κάτω χρήσιμοι φύονται καὶ ὁ ἀέριος δὲ ἐξ ἀναθυμιάσεων ὑφίσταται Ἥφαιστος. Ἄλλως δέ γε, ὡς τὸ δεινὸν καὶ αἰδοῖον βιωτικῶς συνδυάζονται, καθὰ πολλαχοῦ ἐφάνη, ἔχει καὶ ὁ μῦθος ἐνταῦθα συμβιβάσαι αὐτά. (v. 385) Ἔστι δ' ἐν τοῖς ῥηθεῖσι καὶ σύνηθες γυναικεῖον ἐπίθετον τὸ «τανύπεπλος», οἷον «τίπτε Θέτι τανύπεπλε ἱκάνεις;» ἔνθα καὶ τὸ ἀλλαχοῦ ῥηθὲν ἐλλιπῶς «τόδ' ἱκάνεις» ἐντελῶς φράζεται «τίπτε ἱκάνεις ἡμέτερον δῶ». τοῦτο δὲ μετ' ὀλίγα παραφράζων ἡμέτερον δόμον ἵκει φησί. (v. 389) Τὸ δὲ «καθεῖσεν» ὡς τροχαϊζόμενον κατὰ τὸ κατεῖχε καὶ συνῆγε καὶ ὅσα τοιαῦτα φυλάσσει τὸν περισπώμενον τόνον. (v. 390) Τὸ δὲ τοῖς ἐνδόξως ἐνθρονιζομένοις θρῆνυν τοῖς ποσὶν ὑπεῖναι πλεισταχοῦ δηλοῦται. (v. 394—8) Ὅτι προοικονομῶν ὁ ποιητὴς τὸ πιθανῶς τὸν Ἥφαιστον ἕτοιμον φανῆναι ὑπακοῦσαι τῇ Θέτιδι πλάττει αὐτὸν ὁμολογοῦντα μεγάλην χάριν ἐκείνῃ, ἐν οἷς λέγει ὡς «δεινή τε», καθὰ ἐρρέθη, «αἰδοίη τε, ἥ μ' ἐσάωσεν, ὅτε μ' ἄλγος ἀφίκετο τῆλε πεσόντα, μητρὸς ἐμῆς ἰότητι κυνώπιδος, ἥ μ' ἐθέλησε κρύψαι χωλὸν ἐόντα. τότ' ἄρ», ἢ τότ' ἄν, «πάθον ἄλγεα θυμῷ, εἰ μή μ' Εὐρυνόμη τε Θέτις θ' ὑπεδέξατο κόλπῳ». (v. 399) Ἣν Εὐρυνόμην καὶ ἐπαναλαμβάνων, οὐ μόνον, ἵνα μὴ Νηρηῒς νομισθείη καὶ αὐτή, ἀλλὰ καὶ διὰ τὸ μάλα προσφιλῶς, ὡς εἰκός, αὐτῇ ἔχειν, ἐπάγει «Εὐρυνόμη, θυγάτηρ ἀψορρόου», ἢ «βαθυρρόου», Ὠκεανοῦ», θεραπεύων ἅμα καὶ τὴν Θέτιν παροῦσαν, οἷς αὐτὸν μανθάνει εὐγνωμονοῦντα μὴ παρούσῃ τῇ Εὐρυνόμῃ. (v. 405) Ὧν τὴν εὐεργεσίαν μετ' ὀλίγα γοργῶς κεφαλαιῶν φησιν «ἀλλὰ Θέτις τε καὶ Εὐρυνόμη ἔσαν, αἵ μ' ἐσάωσαν». Παιδεύει δ' ἐν τούτοις ὁ ποιητὴς δεῖν ἀεὶ μεμνῆσθαι χαρίτων. ὧν χάριν καὶ ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μυθικὸς Ἥφαιστος καὶ αἰδοίην καὶ δεινὴν τὴν εὐεργετήσασαν αὐτὸν Θέτιν καλεῖ, ἔτι δὲ καὶ φίλην, καὶ ζωάγρια δέ φησι χρεὼν εἶναι ἀποδιδόναι αὐτῇ, ὅ ἐστι χαριστήρια ὑπὲρ τοῦ εἰς τὸ ζῆν ἀγερθῆναι, ὅ ἐστι συναχθῆναι, ἀπὸ τοῦ ὀλιγηπελέειν.

4.200 (v. 406 s.) Φησὶ γὰρ «τῷ με μάλα χρὴ πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τίνειν». Αἰνίττεται δὲ καὶ νῦν ὁ μῦθος, καθὰ καὶ ἀλλαχοῦ ἐδηλώθη, τὰ κατὰ τὸ διακονικὸν πῦρ, εἰς ὅπερ ὁ Ἥφαιστος μεταλαμβάνεται. οὗ πατὴρ μὲν τρόπον τινὰ ὁ κατὰ Δία θερμὸς αἰθήρ, μήτηρ δὲ ἡ εἰς ἀέρα λαμβανομένη Ἥρα. ὅθεν ἔοικε τὴν ἀρχὴν εἰς ἡμᾶς τὸ πῦρ τῆλε πεσεῖν, ὡς ἐνταῦθα κεῖται, ἢ καταπεσεῖν κατὰ τὸν ἐν τῇ α′ ῥαψῳδίᾳ μῦθον, ἢ ἁπλῶς ἐλθεῖν καὶ φανῆναι, εἴτε διὰ κεραυνοῦ Διόθεν βεβλημένου καὶ κατασκήψαντος, εἴτε διά τινων πυρεκβόλων ὀργάνων, οἷς ἀὴρ μεσολαβῶν ἐκπυροῦται τῷ σφοδρῷ τῆς προστρίψεως, εἴτε διὰ λίθων κρυστάλλων ἢ καὶ ὑέλων μηχανῆς, φαινούσης καὶ αὐτῆς ἄφαντον πῦρ κατὰ τὴν Τραγῳδίαν.

4.201 ὅπως γὰρ ἄν τις μεταλάβῃ τὸν Ἥφαιστον, Ἥρας εὑρεθήσεται παῖς, ὃς χωλὸς λέγεται καὶ σκάζων καὶ κεκμηκώς, διότι μὴ ἔχων ὕλην οὐ δύναται εἶναι ἀκάματον πῦρ. διὸ καὶ σκῆπτρον ἐνταῦθα παχὺ ὁ ποιητὴς πρὸς ὑπέρεισιν αὐτῷ δίδωσιν. ὁ δὲ τοιοῦτος Ἥφαιστος καὶ ὑπεκρύβη ἂν κατὰ τὸν ποιητικὸν λόγον οἷα χωλὸς ἐών, ἢ καὶ τέλεον παραπώλετο μὴ σωθείς, εἰ μὴ Θέτις αὐτὸν καὶ Εὐρυνόμη καθυπεδέξαντο κόλπῳ, τουτέστιν εἰ μὴ ἡ κατὰ τόπον κάτω περὶ γῆν θέσις καὶ ἡ εὐρεῖα διανομὴ καὶ πλατεῖα καὶ κοινὴ τῶν ἀνθρώπων χρῆσις αὐτὸν περιεσώσαντο. οὐ γὰρ ἂν καθάπαξ ἐσῴζετο τοιοῦτος χωλὸς Ἥφαιστος, εἰ μὴ ζώπυρον ἐπενοήθη ὡς οἷά τι καθ’ Ὅμηρον σπέρμα πυρὸς καὶ θέσις ἐπιμελής, δι’ ἧς κατὰ τὸ πάλιν καὶ πάλιν ζωούμενος ἐξαρκεῖ, χωλεύων μὲν ἄλλως καὶ ἀμφιγυήεις ὢν καὶ κυλλοποδίων καὶ ὀλιγηπελέων καὶ ὀλίγον ἔχων θυμὸν τὴν ποίησιν, ὅτε μὴ τὰ τῆς ὕλης ἐνδαψιλεύοιτο, ὀρθούμενος δὲ αὖθις καὶ παχεῖ τινι σκήπτρῳ τὸ ὑποσκάζον ὑπερειδόμενος ὑπὸ τῆς ἀλληγορηθείσης Εὐρυνόμης καὶ Θέτιδος, τουτέστιν ὑπὸ τῆς τοπικῆς θέσεως καὶ τῆς εὐρείας ἐπινομῆς. καὶ ἄλλως δέ, Θέτις καὶ Εὐρυνόμη νοηθείη ἂν ἡ ἐκ γῆς ξηρὰ καὶ ὑγρὰ ἀναθυμίασις. καὶ γὰρ καὶ αὐτὴ θέσιν ἔχει τινὰ καὶ ἄνω θέει καὶ εἰς εὐρὺ τοῦ ἀέρος διανέμεται. διὸ καὶ θυγάτηρ ἡ Εὐρυνόμη Ὠκεανοῦ διὰ τὸ ὑγρὸν τῶν ἀτμίδων, ἐξ ὧν οὐδέποτε ἂν ἐπιλείψῃ τοιοῦτος γινόμενος Ἥφαιστος, ἀλλ’ εἰσαεὶ ἔσται περισῳζόμενος. καὶ τοιαύτη μὲν ἡ ἀλληγορία. ὁ δὲ μῦθος ὁ καταρρίψας ἀλλαχοῦ ἠνδρωμένον τὸν Ἥφαιστον ἐνταῦθα τρόπῳ βιωτικῷ ποιεῖ τὴν λεχὼ Ἥραν βαρυνομένην, εἰ χωλὸν βρέφος τέκοι, καὶ αὐτὴν μὲν ἐκτιθεῖσαν τὸ τεχθὲν ὡς τῆλέ που πεσεῖν καὶ μὴ ῥᾳδίως βλέπεσθαι, Θέτιν δὲ καὶ Εὐρυνόμην ὑποδεξαμένας.

4.202 διὸ τὴν μὲν μητέρα κυνώπιδα ὁ τοῦ μύθου Ἥφαιστος λέγει, τὸ ἦθος αὐτῆς φράζων, ὃ πανταχοῦ φαίνεται, τὰς δὲ ὑποδεξαμένας φιλεῖ, τὴν δὲ Θέτιν καὶ ἀμείψεται νῦν ὑπακούσας. οὐ προσίσταται δὲ πάντως τῇ ἀλληγορίᾳ τὸ εἴτε ὑγρὸν εἴτε ὑγρόβιον τῆς Θέτιδος καὶ τῆς Εὐρυνόμης, τῆς τοῦ Ὠκεανοῦ ὕδατος θυγατρός. ὃν γὰρ λόγον Ἥρα ὁ θερμὸς καὶ ὑγρὸς ἀὴρ γεννᾷ Ἥφαιστον ἀλληγορικῶς, οὕτω περισῴζουσιν αὐτὸν καὶ αὐταί. αἱ γάρ, ὡς ἐρρέθη, ἀναθυμιάσεις, δι’ ὧν τὰ νέφη γίνονται, ὕλη κεραυνοῖς καὶ τοῖς τοιούτοις γίνεται, δι’ ὧν ἄνωθεν Ἥφαιστος κατασκήπτει. (v. 407) Τὸ δὲ «πάντα ζωάγρια» ἢ περιττὸν ἔχει συνήθως τὸ πάντα, ἢ χρέους ἐστὶν ἐπίτασις, ἵνα λέγῃ ὡς πάντα τὰ παρόντα δαίδαλα ἔργα ἢ πάντα τὰ ἐμὰ εἰς ζωάγρια τῇ Θέτιδι ἐποφείλεται. [Ἰστέον δὲ ὅτι ὁ μῦθος ὁ τὸν χαλκέα Ἥφαιστον τῆλε ῥίψας περὶ Ὠκεανὸν ἔκτοπον δόξοι ἂν τρυφῆς τι καὶ αὐτὸς παρεισενεγκεῖν εἰς τὴν ἐπιτριβεῖσαν Σύβαριν. πρῶτοι γάρ, φασί, Συβαρῖται καὶ τὰς ψοφούσας τέχνας ἐξώρισαν τῆς πόλεως, οἷον χαλκέων, τεκτόνων καὶ ὁμοίων, ὅπως αὐτοῖς εἶεν ὕπνοι πανταχόθεν ἀθόρυβοι. παρ’ οἷς οὐδ’ ἀλεκτρυόνα ἐξῆν ἐν τῇ πόλει ἐκτρέφεσθαι.] (v. 400) Ὅτι εἰνάετες ἐχάλκευεν ὁ μυθικὸς Ἥφαιστος δαίδαλα πολλὰ παρὰ ταῖς ῥηθείσαις, τῇ Εὐρυνόμῃ καὶ τῇ Θέτιδι. καὶ ποῖα ἐκεῖνα εὐθὺς ἐρεῖ ὁ ποιητής, ἐθέλων καὶ διὰ τούτων πολυμαθῆ ποιῆσαι τὸν ἀκούοντα. (v. 401) Φησὶ

γὰρ «πόρπας τε γναμπτάς θ’ ἕλικας κάλυκάς τε καὶ ὅρμους», ἐνὶ τούτῳ ἔπει κειμηλιωσάμενος πάνυ γοργῶς τὰ πολλὰ δαίδαλα. Εἰσὶ δὲ πόρπαι μὲν περόναι γυναικῶν χλαίναις, ἀπὸ τοῦ πείρω. ἐξ οὗ καὶ περόναι. Γναμπταὶ δὲ ἕλικες ἐνώτια ἢ ψέλλια παρὰ τὸ εἰς κύκλον ἑλίσσεσθαι. Κάλυκες δὲ δακτύλιοι ῥόδων, φασί, κάλυξιν ἐμφερεῖς.

4.203 οἱ δὲ χρυσᾶς εἶπον σύριγγας, ὡς οἷον σωληνίσκους, αἷς πλόκαμοι περιέχονται κατὰ τὸ «πλοχμοί, οἳ χρυσῷ καὶ ἀργύρῳ ἐσφήκωντο». Ὅρμοι δὲ κόσμος περιτραχήλιος παρὰ τὸ ἕρμα, φασί, τὸ ἀσφάλισμα, καθ’ ὁμοιότητα τοῦ κατὰ λιμένα ὅρμου, ἐξ οὗ ὁρμίσαι τὸ ἐν ἀσφαλεῖ καταστῆσαι τὴν ναῦν. ἐκ δὲ τοῦ τοιούτου ὅρμου καὶ ὑφόρμιον παρὰ τοῖς παλαιοῖς, κοσμάριόν τι χρυσοῦν. Ἰστέον δὲ ὅτι κατὰ τὸν μῦθον παῖς μὲν ἔτι ὢν ὁ Ἥφαιστος τοιαῦτα μικρὰ ποιεῖ τορεύματα, τελειωθεὶς δὲ ἔμψυχα δημιουργεῖ, ὡς προσεχῶς ἐδηλώθη, ἀναπληρῶν τῇ καλλιτεχνίᾳ τὸ σύμπτωμα τῶν ποδῶν. (v. 402 s.) Τῇ δὲ ῥηθείσῃ ἐργασίᾳ καὶ τόπον πλάττων, ἐν ᾧ μυθικῶς εἰργάζετο Ἥφαιστος, φησὶν «ἐν σπῆϊ γλαφυρῷ, περὶ δὲ ῥόος Ὠκεανοῖο ἀφρῷ μορμύρων ῥέεν ἄσπετος», οὐ βυθίζων τὸ σπέος, ἀλλὰ περίρρυτον τεραστίως αὐτὸ ποιῶν, οἷα καί τι νησίδιον ἔκτοπον. Ἐνταῦθα δὲ ἐπίτηδες ὁ ποιητὴς συνεκτραχύνει τὴν φράσιν τῷ Ὠκεανίῳ ῥεύματι, διὸ καὶ τῷ ῥῶ στοιχείῳ ἐπλεόνασεν. ὅτε μέντοι λειότητα ἐνδείκνυταί τινα κινήσεως, τῷ λάμβδα χρῆται στοιχείῳ, ὡς καὶ ἐν τῷ «μέγαν δ’ ἐλέλιξεν Ὄλυμπον». Ἐν δὲ τῷ «μορμύρων ἀφρῷ» οὐ νοητέον τὸν ἀφρὸν μορμύρειν, αὐτοῦ γὰρ τὸ ζέειν ἐστίν, ἀλλ’ ὅτι μορμύρει μὲν ὕδωρ, ἐπισυμβαίνει δὲ αὐτῷ μορμύροντι ἀφρός, ὃ δὴ καὶ ἐν τῷ καχλάζειν καὶ παφλάζειν γίνεται, [ὥστε μορμύρει σὺν ἀφρῷ. τραχύτερον δὲ εἶναι τοῦ μύρειν καὶ μύρεσθαι τὸ μορμύρειν δεδήλωται. ὧν τοῦ μορμύρειν μὲν παράγωγον ὁ μορμύρος ἰχθύς, ἴσως δὲ καὶ ἡ Μορμώ, ἀφ’ ἧς καὶ μορμολύκειον τὸ δίκην Μορμοῦς καὶ λύκου δυνάμενον ἐκθροεῖν, καὶ τὸ «μορμὼ τοῦ θράσους» παρὰ τῷ Κωμικῷ, παιχθὲν πρὸς τὸ «ἰὼ τοῦ θράσους».

4.204 τοῦ δὲ μύρειν ἢ μύρεσθαι ἡ μύραινα καὶ ὁ ἁλιμυρήεις ποταμός, κατὰ δέ τινας καὶ τὸ «μυρί’ Ἀχαιοῖς ἄλγε’ ἔθηκεν». Ὅτι δὲ ἀφροῦ παῖς ἡ Ἀφροδίτη, ὁ μῦθος ληρεῖ. Ἡ δὲ ἱστορία ἀφύων παραδιδοῦσα διάφορα εἴδη τὴν κωβῖτιν, τὰς ἐγκρασιχόλους, τὴν τοῦ γόνου τῶν μαινίδων, τὴν τῆς μεμβράδος, τὴν ἐκ κεστρέων, τὴν τριγλῖτιν, κρείττω λέγει τῶν ἄλλων ἰχθυδίων τούτων τὴν ἀφρῖτιν, γινομένην ἐξ ἀφροῦ θαλάσσῃ ἐπιπολάζοντος, ὅτε πολλοὶ ὄμβροι καταρραγῶσι. δεῖται δέ, φασί, μικροῦ πυρὸς ἐν τοῖς τηγάνοις. ἅμα γὰρ ἧπται καὶ σίζει καθὰ τοὔλαιον εὐθύς. ὅθεν παροιμία, τὸ «εἶδε πῦρ ἀφύη», ἐοικυῖα τῷ πυραύστου μόρος. Γίνεται δὲ ἀφύη παρὰ τὴν φυήν, ἐξ ἧς πρόσωπον μὲν εὐφυὲς καὶ μηροὶ εὐφυεῖς ἐπὶ ἐπαίνῳ, ἀφύη δὲ οὐχ’ οὕτως. αὐτὴ γὰρ φαύλως ἔχει φυῆς. καὶ ἔστι κατὰ τοὺς παλαιοὺς δυσφυής, ταὐτὸν δὲ φάναι ἰδιωτικώτερον, κακοφυής, ἀτυχὲς καὶ αὐτὴ οὖσα ἰχθύδιον, καὶ μᾶλλον ἤπερ ἡ παρὰ τῷ Ἀθηναίῳ ἀθερῖνα.] Ὅρα δὲ ὡς οὐκ ἐνδιέτριψεν ὁ ποιητὴς τῷ περὶ Ὠκεανοῦ λόγῳ, ἀλλὰ δι’ ὀλίγων φράσας αὐτὸν ἐφύλαξε τῷ πράγματι μυστικῶς τὴν σεμνότητα.

4.205 (v. 403—5) Ἐν τούτοις δὲ βιωτικῶς Ἥφαιστος δηλῶν τί ἐστιν ἡ κυρίως φυλακὴ τοῦ ἀναγκαίως κρυπτομένου ἱκέτου, φησὶν «οὐδέ τις ἄλλος ᾔδεεν οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων», ἀλλὰ ἡ δεῖνα καὶ ἡ δεῖνα, «αἵ μ’ ἐσάωσαν», ὡς καὶ προείρηται. νῦν δὲ καὶ καλλιπλόκαμον τὴν Νηρηΐδα Θέτιν εἰπόντος αὐτοῦ, ἔστιν εἰπεῖν ὡς ἀλληγορικῶς καὶ τοῦτο νοεῖται διὰ τὸ ὑγρότητι τρίχας τημελεῖσθαι. ὅθεν καὶ κουροτρόφοι λέγονται ποταμοί. (v. 408—9) Ὅτι φιλοξενικὸν τὸ «ἀλλὰ σὺ μὲν νῦν οἱ παράθες ξεινήϊα καλά, ὄφρ’ ἂν ἐγώ» τόδε ποιήσω. (v. 410—7) Ὅτι τὴν τοῦ ἐργάζεσθαι σχολὴν οὕτω περὶ τοῦ χαλκέως Ἡφαίστου φράζει ὁ ποιητὴς «ἦ», τουτέστιν ἔφη, τὰ ῥηθέντα πρὸς Χάριν τὴν γυναῖκα, «καὶ ἀπ’ ἀκμοθέτοιο πέλωρ αἴητον ἀνέστη χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί. φύσας μέν ῥ’ ἀπάνευθε τίθει πυρός, ὅπλα τε πάντα λάρνακα εἰς ἀργυρέην συνελέξατο, τοῖς ἐπονεῖτο, σπόγγῳ δ’ ἀμφὶ πρόσωπα καὶ ἄμφω χεῖρ’ ἀπομόργνυ αὐχένα τε στιβαρὸν καὶ στήθεα λαχνήεντα, δῦ δὲ χιτῶνα, ἕλε δὲ σκῆπτρον παχύ, βῆ δὲ θύραζε

χωλεύων». Καὶ ὅρα ὡς οὐ φείδεται χωλὸν σαφῶς ὑπογράφων τὸν Ἥφαιστον, ὡς δηλοῖ τὸ «ἠθέλησε κρύψαι χωλὸν ἐόντα», ἐκ γενετῆς δηλαδὴ καθ’ Ὅμηρον, οὐ μὴν κατά τινας ἐκ τῆς οὐρανόθεν ῥίψεως, ἔτι δέ, ὡς δηλοῦται, καὶ ἐν τῷ «ἀνέστη χωλεύων», καὶ «βῆ δὲ θύραζε χωλεύων», οἷς σύμφωνον ἐπαχθὲν μετὰ τὸ χωλεύων διὰ σαφήνειαν καὶ τὸ «ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί», καὶ μετ’ ὀλίγα τὸ «αὐτὰρ ὃ ἔρρων πλησίον Θέτιδος ἷζε». Τὸ δὲ «ἔρρων» καὶ πλέον τι τοῦ «χωλεύων» δηλοῖ. Σημείωσαι δὲ καὶ ὡς ἔννοιαν κἀνταῦθα ταπεινὴν λέξεων ὄγκῳ ἐξήγειρεν. (v. 410) Ἀκμόθετον δὲ τόπος, ἔνθα ὁ ἄκμων τίθεται, ὡς δηλοῖ καὶ τὸ «θῆκεν ἐπ’ ἀκμοθέτῳ μέγαν ἄκμονα». ἔνθα ἐτυμολογεῖται ἡ λέξις τοῦ ἀκμοθέτου, ὅπερ ἐκ τοῦ ἀκμονοθέτου συγκέκοπται.

4.206 ὅπου ἐνθυμητέον καί, ὡς ὁ τοῦ Κρόνου πατὴρ Ἄκμων ἐκαλεῖτο ἀπὸ τῆς τοῦ οὐρανοῦ, φασίν, ἀκαμάτου φύσεως, αἰνιττομένων τῶν θεολόγων τὸ ἄκμητον αὐτοῦ τῆς περιφορᾶς. Ἄκμων δέ, φασί, καὶ ὁ Ὠκεανός, ἐπεὶ καὶ οἱ ποταμοὶ ἀκάματοι. Τὸ δὲ «πέλωρ» οὐδέτερον ἐνταῦθα ὂν κατὰ τὸ ὕδωρ ἔχει καὶ ἀρσενικόν, ὡς τὸ «πέλωρ ἀθεμίστια εἰδώς», ὅπερ ἢ πρωτότυπόν ἐστι τοῦ πελώριος, ἢ ἀπὸ τοῦ πελώριος ἀποκέκοπται. «Αἴητον» δέ, φασί, τὸ μέγα, παρὰ τὴν α στέρησιν καὶ τὸ ἔω τὸ εἰμί, ἀφ’ ὧν ἄητον, ὁποῖον ἄλλο οὐκ ἔστι, καὶ πλεονασμῷ αἴητον, ἢ παρὰ τὴν αἶαν, τὴν γῆν, ἵνα δηλοῖ τὸ βαρὺ καὶ μέγα καὶ δυσκίνητον, ὥς που καὶ τὸ βουγάϊος ἐπὶ μεγέθους λαμβανόμενον ἀπὸ τῆς γῆς παράγουσί τινες. ἄλλοι δὲ αἴητον τὸ ἐοικὸς αἰετῷ κατὰ τὴν ἐν τῷ κινεῖσθαι χωλείαν. καὶ γὰρ καὶ ἀετός, ὡς καὶ τὰ λοιπὰ τῶν ὁμοίων, διὰ τὸ γαμψώνυχον χωλεύει πεζεύοντα. διὸ καὶ εἰπὼν «αἴητον» εὐθὺς ἐπάγει «χωλεύων». ποιητικὴ δὲ λέξις τὸ αἴητον καὶ λογογράφοις οὐκ εὔχρηστος. (v. 411) Κνῆμαι δὲ ἀραιαὶ αἱ ἀσθενεῖς καὶ βεβλαμμέναι. ὡς γὰρ γῆρας γηραιός πλεονασμῷ τοῦ ι , οὕτως ἀρά ἀραιός. [Ἡ δὲ ἱστορία οἶδε καί τινας νήσους ἐπονομαζομένας Ἀραιάς.] Τὸ δὲ «ῥώοντο» ἀντὶ τοῦ ἐρρωμένως ἐκινοῦντο, ἵνα λέγῃ κατά τι ἀντίθετον ὡς αἱ μὲν κνῆμαι ἀσθενεῖς, ἡ δὲ κίνησις αὐτῶν ῥωμαλέα. οὕτω δὲ κατωτέρω καὶ οἱ τοῦ Ἡφαίστου ἀμφίπολοι ῥώονται. (v. 412) Τὰς δὲ φύσας τὰ παλαιὰ τῶν ἀντιγράφων δι’ ἑνὸς σίγμα γράφουσιν εὐλόγως.

4.207 ἀπὸ τοῦ φῦ γὰρ μόνου διγραμμάτου ἐπιρρήματος ὠνοματοπεποιημένου ἡ λέξις παρῆκται. διὸ οὐκ ἀνάγκη διπλασιάσεσθαι τὸ σίγμα. ἐκτείνει δὲ τὴν ἄρχουσαν δὶς ἐνταῦθα κείμενον. [Ἰστέον δὲ ὡς ἡ χαλκευτικὴ φῦσα τραπεῖσα μεταφορικῶς τὴν ἀλαζονείαν αὐτῇ ὁμωνυμεῖσθαι πεποίηκε διὰ τὴν ἀνεμώλιον κενορρημοσύνην τῶν ἀλαζόνων, ὧν οἱ λόγοι φυσήμασι διὰ τὸ ἄνουν ἐοίκασι. διὸ Δημάδει, φασί, τῷ ῥήτορι παῖς ἐξ αὐλητρίδος γενόμενος Δημέας, καὶ φρυαττόμενος ἐπὶ βήματος, ἐκ τοιαύτης ἐσκώφθη λέξεως. ἐπεστόμισε γὰρ αὐτὸν Ὑπερίδης εἰπών· οὐ σιωπήσῃ μεῖζον τῆς μητρὸς ἔχων τὸ φύσημα; καὶ ἔσχισται τὸ σκῶμμα διχῇ, δηλοῦν ὅτι τε ἀγεννής ἐστιν ἐξ αὐλητρίδος φύς, καὶ ὅτι μεγάλα φυσᾷ. ἐκ δὲ τῆς φύσης καὶ ὁ φώσων, ἐπεὶ φυσώμενος πλησιστίῳ ἀνέμῳ ἐνεργεῖ, ἔτι δὲ καὶ ἡ παρὰ τῷ Κωμικῷ φύσκη. ἐξ αὐτῆς δὲ καί τις ὀψοφάγος λοπαδοφυσητὴς ἐσκώφθη. φύσης δὲ παρώνυμον καὶ οἱ φύσαλοι, τὰ κήτη.] (v. 413) Ὅπλα δὲ τὰ χαλκευτικὰ εἰπὼν ἐργαλεῖα οὐ πάνυ σαφῶς ἐν τῷ «ὄφρ’ ἂν ἐγὼ φύσας ἀποθείομαι ὅπλα τε πάντα», εἶτα πάλιν εἰπὼν «ὅπλα τε πάντα ἐς λάρνακα συνελέξατο», ἐπάγει εὐθὺς ἑρμηνεύων «οἷς ἐπονεῖτο», ἵνα μή τις ἄλλο τι νοήσῃ αὐτά. δῆλον γὰρ ὡς τὰ τοῦ Ἡφαίστου ὅπλα χαλκευτικὰ εἶεν ἄν, ὥσπερ ναυτικὰ τὰ τῶν νηῶν. (v. 414) Λάρνακα δὲ λέγει τὴν παρὰ τοῖς νεωτέροις κιβωτόν, περὶ ἧς καὶ ἀλλαχοῦ κεῖταί τι, ὥσπερ καὶ περὶ τοῦ «ἀπομόργνυ», οὗ τὸ πρωτότυπον ὀμόργω, καθὰ καὶ τοῦ ἐζεύγνυτο ζεύγω, ἄχρηστον καὶ αὐτό. Πρόσωπα δὲ καὶ νῦν πληθυντικῶς, ὡς καί τινι τῶν ἡρώων ἀλλαχοῦ. (v. 415) Αὐχένα δὲ στιβαρὸν πλάττει τῷ Ἡφαίστῳ, ἐπειδὴ κατὰ τοὺς λεγομένους νάνους παχεῖς τὰ ἄνω οἱ πεπηρωμένοι.

4.208 διὸ καὶ παχὺ αὐτῷ σκῆπτρον δίδωσιν, ἵνα στέγῃ τὸ ἄνωθεν βάρος ἀραιαῖς κνήμαις ἐπικείμενον. εἰκὸς δὲ καὶ λαχνήεντα, ὅ ἐστι λάσια, στήθη εἶναι τῷ κατὰ τὴν ἀλληγορίαν θερμῷ

Ἡφαίστῳ. (v. 416) Χιτῶνα δὲ νῦν φανερῶς ἔφη τὸν προσεχῶς ἐπικεχυμένον τῷ σώματι. (v. 417—8) Ὅτι καὶ ἀμφιπόλους τερατώδεις τῷ μυθικῷ Ἡφαίστῳ διδοὺς ἀναγκαίως ὑπουργούσας τοῖς κατ’ αὐτὸν ἔργοις φησὶν «ὑπὸ δ’ ἀμφίπολοι ῥώοντο ἄνακτι», ὅ ἐστιν ἐρρωμένως, ὡς ἐρρέθη, ἐπονοῦντο ὑπὸ τῷ Ἡφαίστῳ, «χρύσειαι, ζωῇσιν νεήνισιν ἐοικυῖαι». ὅ ἐστιν οὐ ζῶσαι κοινότερον ἄντικρυς, ἀλλὰ θειότερον ζωαῖς νεάνισιν ὅμοιαι, ἢ καὶ ἄλλως φράσαι, οὐ νεάνιδες ἄντικρυς, ἀλλὰ ἐοικυῖαι τοιαύταις, θεῖαι μέντοι οὖσαι. καὶ ἔστιν ἐξηλλαγμένη ἡ ὁμοιότης, ὡς μὴ μόνον τὰ θνητὰ θείοις εἰκάζεσθαι ἐν τῷ «ἀθανάταις δὲ θεαῖς εἰς ὦπα ἐῴκει», ἀλλ’ ἰδοὺ καὶ ἀνάπαλιν. (v. 419 s.) Λέγει δὲ καὶ ὅτι ταῖς τοιαύταις ἀμφιπόλοις «ἐν μὲν νόος ἐστὶ μετὰ φρεσίν, ἐν δὲ καὶ αὐδὴ καὶ σθένος, ἀθανάτων δὲ θεῶν ἄπο ἔργα ἴσασιν», ἤγουν θεία τις ἐνῆν αὐταῖς τέχνη. καὶ μυθικῶς μὲν αἱ τοιαῦται ἀμφίπολοι ἀγάλματα εἶναι δοκοῦσιν ἔμψυχα ἐκ τιμίας ὕλης πυρὶ χωνευθέντα καὶ εἰς ἀνθρωπίνας ἐμψύχους εἰκόνας χεθέντα, ὥστε κατὰ τὸν μῦθον καὶ τὰς θεραπαινίδας αὐτὸς ἐδημιούργησεν ἑαυτῷ Ἥφαιστος, οἷα ἔμψυχα, ὡς προερρέθη, χαλκεύειν εἰδώς, ὁ καὶ τῇ καθ’ Ἡσίοδον Πανδώρᾳ συμβαλόμενός τι πρὸς γένεσιν. καὶ ταῦτα δὲ λέγει προοικονομῶν τεχνικῶς τὴν δηλωθησομένην ἔμψυχον τοῦ Ἡφαίστου κλυτοτεχνίαν. ἡ μέντοι ἀλληγορία ὑπουργοὺς Ἡφαίστου χρυσᾶς τοιαύτας νεάνιδας δηλοῖ τὰς κατὰ τὸ πῦρ ἐνεργείας καὶ τὴν αὐτοῦ φύσιν, χρυσοειδῆ τε οὖσαν καὶ τὰς κατ’ αὐτὸ τέχνας ἐμφρόνως ὥσπερ ἀνύουσαν. διὸ προϊὼν καὶ τὰς φύσας οἷον ἐψύχωσεν, εἴγε τρέψας αὐτὰς εἰς πῦρ ἐκέλευσεν ὡς νοούσας ἐργάζεσθαι. καὶ αὐταὶ φυσῶσι παντοίαν πνοὴν ἐξανιεῖσαι, ὡς ὁ Ἥφαιστος ἐθέλοι, ἐξ ὧν δῆλον ὡς ἔμψυχα καὶ τὰ ἐργαλεῖα ὁ μῦθος τῷ Ἡφαίστῳ πλάττει, καὶ οὐκ αὐτοκίνητα μόνον, ἀλλὰ καὶ φρονοῦντα. εἰ δὲ αὐτὰ τοιαῦτα φαίνεται, ὁποῖα ἐλπιστέον ἔσεσθαι τὰ ἡφαιστότευκτα ζῷα, ἢ πάντως ζῶντα ζῷα; διὸ καὶ τὰ ἐπὶ τῆς τοῦ Ἀχιλλέως ἀσπίδος ζῷα, ὡς καὶ πρὸ βραχέων ἐρρέθη, αὐτοκίνητα πρός τινων ὑπενοήθησαν. (v. 421) Τὸ δὲ «ἀμφίπολοι ῥώοντο ἄνακτι» ποιητικῶς παραφράζων φησὶν «ὕπαιθα ἄνακτος ἐποίπνυον», ἤγουν ἐπονοῦντο ἔμπροσθεν τοῦ Ἡφαίστου.
4.209 ταὐτὸν γὰρ τὸ ῥώεσθαι καὶ τὸ πονεῖσθαι, ἤγουν τὸ ἐρρωμένως καὶ μετὰ πόνου τι ποιεῖν. Περὶ δὲ τοῦ ὕπαιθα προείρηται. [Ἰστέον δὲ ὅτι ἐκ τῶν Ὁμηρικῶν χρυσέων νεανίδων τῶν τοῦ Ἡφαίστου ὁρμηθεὶς ὁ Κωμικὸς Ἄλεξις τοὺς ἐκ πυρὸς σπινθῆρας κύνας Ἡφαίστου ἔφη ἐν τῷ «καίεταί μοι τὸ πῦρ ἤδη», τουτέστιν ἐξάπτεται, «πυκνοὶ δ’ ᾄττουσιν Ἡφαίστου κύνες», καὶ ὅτι φύσας μὲν καὶ χρυσέας νεάνιδας ἐτόλμησε ψυχῶσαι ὁ ποιητής, ῥαιστῆρα δὲ καὶ πυράγραν, τὰ Ἡφαίστου ὅπλα, ὧν μνεία ἐν τοῖς ἑξῆς ἔσται, ἀφίησιν ἄψυχα εἶναι, καθὰ καὶ τὸν ἄκμονα, ἵνα μὴ ἀφέληται Ἡφαίστου τὴν χαλκευτικήν. ἐχρῆν γὰρ αὐτῷ μονάζοντι τὰ εἰς τὸ χαλκεύειν τὰ μὲν ἄλλα τεραστίως ὑπουργεῖν ὡς ἔμψυχα καὶ αὐτόθεν κινητά, πυράγραν δὲ καὶ σφῦραν καὶ ἄκμονα χρηστὰ εἶναι χερσὶν Ἡφαίστου εἰς ἔργον.] (v. 429—31) Ὅτι δυστυχοῦς γυναικὸς λόγος τὸ «ἦ ἄρα δή τις, ὅσαι» εἰσὶ τοιαίδε, «τοσσάδ’ ἐνὶ φρεσὶν ᾗσιν ἀνέσχετο κήδεα λυγρά, ὅσς’ ἐμοὶ ἐκ πασέων θεὸς ἄλγε’ ἔθηκεν»; εἴληπται δὲ ἐκ τῶν τῆς Θέτιδος. (v. 433—5) Γυνὴ δέ τις μετὰ γάμον οὐκ ἐθελούσιον δυστυχοῦντα τὸν ἄνδρα ἐν γήρᾳ ἔχουσα ἐρεῖ ἂν ὁμοίως ἐκ τῶν τῆς αὐτῆς Νηρηΐδος, ὅτι «ἔτλην ἀνέρος εὐνὴν πολλὰ μάλ’ οὐκ ἐθέλουσα· ὃ μὲν δὴ γήραϊ λυγρῷ κεῖται ἐνὶ μεγάροισι ἀρημένος, ἄλλα δέ μοι νῦν». (v. 432) Λυπεῖ δὲ τὴν ταῦτα εἰποῦσαν Θέτιν καὶ τὸ ἐξ ἀλλάων ἁλιάων, ἤτοι Νηρηΐδων, ἀνδρὶ δαμασθῆναι ὑπὸ Διός, καὶ τὸ μὴ δύνασθαι τῷ υἱῷ ζῶντι χραισμῆσαι καὶ ὅλως τὰ κατὰ τὸν Ἀχιλλέα. ταῦτα γὰρ ἐδήλου τὸ «ἄλλα δέ μοι νῦν», σύντομον τοῦτο σχῆμα γοργῶς τε λεχθὲν καὶ ἐλλιπῶς, οἷα τῆς λύπης ἐγκοπτούσης τὸ ἀρτιολογεῖν τὰ ἐπὶ τῷ υἱῷ. (v. 436 s.) Περὶ οὗ ἐπάγει εὐθὺς ἀσυνδέτως οὕτως «υἱὸν ἐπεί μοι δῶκε γενέσθαι τε τραφέμεν τε ἔξοχον ἡρώων· ὃ δ’ ἀνέδραμεν ἔρνεϊ ἶσος» καὶ ἑξῆς, ὡς προεθρήνησε μονῳδήσασα πρὸ τοῦ τὸν Ἀχιλλέα ἰδεῖν. ταὐτολογεῖ γὰρ καὶ ἐνταῦθα ὁ ποιητὴς ἐν τόποις πολλοῖς, ὡς αὐτῷ σύνηθες. (v. 432) Ὅρα δὲ ὡς παρεσημειώσατο μόνην τὴν Θέτιν ἐκ τῶν Νηρηΐδων ἀνδρὶ ζευχθῆναι, οἷα τοῦ μύθου μὴ τολμήσαντος καὶ ἐπ’ ἄλλης τοῦτο πλάσαι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ὅτι τὸ «ἀλλάων ἁλιάων» σὺν τῇ παρισώσει ἔχει τι καὶ παρηχήσεως, καὶ ὅτι βαρύνει τὴν Θέτιν τὸ κατὰ Πηλέα γῆρας, ὅθεν ἔοικε λαβὼν ὁ Κωμικὸς παῖξαι εἰς τὴν Θέτιν τὸ φυγεῖν αὐτὴν τὸ λέχος τοῦ Πηλέως, ἐπεὶ οὐκ ἦν «ἡδὺς ἐν τοῖς στρώμασι τὴν νύκτα παννυχίζειν».

4.210 (v. 434) Εἰς δὲ τὸ «πολλὰ μάλ᾽ οὐκ ἐθέλουσα» φασὶν οἱ νεώτεροι τῶν ποιητῶν καὶ μεταβάλλεσθαι διὰ τοῦτο αὐτὴν διαφόροις μορφαῖς ἐκκλίνουσαν τὴν εὐνήν, ὡς καὶ εἰς σηπίαν μεταπεσεῖν τότε, ὅθεν καὶ Σηπιὰς ἀκτὴ περί που τὰ κατὰ τὸν Ἄθων, ἔνθα ὁ τοῦ Ξέρξου στόλος ἔπαθέ τι κακόν. (v. 429 s.) Ἐνταῦθα δὲ ὅρα καὶ ὡς ἡ Θέτις προοιμιακῇ ἐννοίᾳ χρῆται οὐ συνήθως πάντῃ ἐν ἐρωτήσει ἐμψύχῳ, εἴτ᾽ οὖν ἐνδιαθέτῳ, κατὰ ἦθος ἐκ λύπης βαρύ, ἀρχομένη οὕτω «Ἥφαιστε, ἦ ἄρα δή τις, ὅσαι θεαί εἰσιν ἐν Ὀλύμπῳ, τοσσάδε ἀνέσχετο κήδεα», καὶ ἑξῆς, ὡς ἀνεγράφη. (v. 430) Ἔνθα ὅρα τὸ «ἀνέσχετο» αἰτιατικῇ συνταχθέν, καὶ ὡς ταὐτόν ἐστιν εἰπεῖν κήδεα καὶ ἄλγεα. Ἰστέον δὲ ὅτι κεῖταί που καὶ ἕτερον σχῆμα λόγου τοιοῦτον, ἔνθα βαρυνόμενος ὁ Ποσειδῶν ἐπὶ τῇ ἐγέρσει τοῦ Ἑλληνικοῦ τείχους κατάρχεται ὁμοίως τοῦ λόγου, εἰπὼν «Ζεῦ πάτερ, ἦ ῥά τίς ἐστι βροτῶν», ὃς ἀξίους ἡμᾶς λόγου κρινεῖ; τούτῳ δέ πως ὅμοιον καὶ τὸ τοῦ Ἕκτορος πρὸς τὸν ἀδελφὸν Πάριν· ἦ δὴ τοιοῦτος ὢν τὴν Ἑλένην ἥρπασας ἐξ ἀνδρῶν τοιῶνδε; (v. 429) Ἐν δὲ τῷ «ἦ ἄρα» κατὰ τὸ παρέλκον ἁπλῶς κεῖται ὁ ἄρα σύνδεσμος οἷα τοῦ ἦ συνδέσμου μόνου ἀρκέσαντος εἰς ἐρώτησιν. οἱ μέντοι μεθ᾽ Ὅμηρον ὤκνησαν ἂν μὴ περισπάσαι κἀνταύθα τὸ ἄρα διὰ τὸ μὴ συλλογιστικῶς κεῖσθαι κατὰ ἀπόφανσιν, ἀλλ᾽ ἐκ παραλλήλου ἐρωτηματικῶς. (v. 437 s.) Τὸ δὲ ἀναδραμεῖν ἔρνεϊ ἶσον τὸν Ἀχιλλέα καὶ τραφῆναι φυτὸν ὣς γουνῷ ἀλωῆς, ὡς καὶ προγέγραπται, διὰ λέξεων γενικῶν τοῦ ἔρνους καὶ τοῦ φυτοῦ ἀγωνιῶσαν δηλοῖ τὴν Θέτιν καὶ διὰ τοῦτο γοργῶς τε παραβάλλουσαν καὶ περὶ τὰς αὐτὰς στρεφομένην ἐννοίας.

4.211 (v. 444—56) Ὅτι συντομώτατα ὁ ποιητὴς ἀνακεφαλαιοῦται νῦν τὰ ἐξ ἀρχῆς τῆς Ἰλιάδος καὶ ἕως ἐνταῦθα ἐν τρισκαίδεκα ἔπεσι, παραγαγὼν τὴν Θέτιν οὕτω διηγουμένην περὶ τοῦ υἱοῦ τῷ Ἡφαίστῳ ἐξ ἀσυνδέτου ἀρχῆς «κούρην, ἣν ἄρα οἱ γέρας ἔξελον υἷες Ἀχαιῶν, τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων· ἤτοι ὃ τῆς ἀχεών», ἤγουν ὁ μὲν δὴ ὑπὲρ τῆς κόρης ἀχθόμενος, «φρένας ἔφθιεν. αὐτὰρ Ἀχαιοὺς Τρῶες ἐπὶ πρύμνῃσιν ἐείλεον, οὐδὲ θύραζε εἴων ἐξιέναι. τὸν δὲ λίσσοντο γέροντες Ἀργείων, καὶ πολλὰ περικλυτὰ δῶρ᾽ ὀνόμαζον. ἔνθ᾽ αὐτὸς μὲν ἔπειτ᾽ ἠναίνετο λοιγὸν ἀμῦναι. αὐτὰρ ὃ Πάτροκλον περὶ μὲν τὰ ἃ τεύχεα ἕσσεν», ὅ ἐστιν ἐνέδυσε, «πέμπε δέ μιν πόλεμόνδε, πολὺν δ᾽ ἅμα λαὸν ὄπασσε. πᾶν δ᾽ ἦμαρ μάρναντο περὶ Σκαιῇσι πύλῃσι. καί νύ κεν αὐτῆμαρ πόλιν ἔπραθον, εἰ μὴ Ἀπόλλων πολλὰ κακὰ ῥέξαντα Μενοιτίου ἄλκιμον υἱὸν ἔκταν᾽ ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδος ἔδωκεν». (v. 457—61) Εἶτα ἐπάγει τῇ τοιαύτῃ διηγήσει ῥητορικῶς τὴν ἀξίωσιν, εἰποῦσα· «τούνεκα νῦν τὰ σὰ γούναθ᾽ ἱκάνομαι, αἴ κ᾽ ἐθέλῃσθα υἷι ἐμ᾽ ὠκυμόρῳ», ἤγουν υἱῷ ἐμῷ βραχυβίῳ, δόμεν ἀσπίδα καὶ τρυφάλειαν καὶ καλὰς κνημῖδας ἐπισφυρίοις, ὡς καὶ ἄλλοθι «ἀραρυίας, καὶ θώρηκα. ὃ γὰρ ἦν οἱ», τουτέστιν, ὃς γὰρ θώραξ αὐτῷ ἦν, «ἀπώλεσε πιστὸς ἑταῖρος Τρωσὶ δαμείς. ὃ δὲ κεῖται ἐπὶ χθονὶ θυμὸν ἀχεύων». Ὅρα δὲ ὡς πολὺν ἔπαινον κατατείνει τοῦ Πατρόκλου ἡ Θέτις πόθῳ τοῦ υἱοῦ φιλοῦντος ἐκεῖνον. ἅμα δὲ καὶ τὸν Ἥφαιστον εἰς οἶκτον προκαλεῖται ὡς τοιούτου ἀνδρὸς πεσόντος ὑπὲρ Ἀχαιῶν, οἷς Ἥφαιστος ἐπικουρεῖ, ἵνα οὕτω ταχὺ τὰ ὅπλα ποιηθῇ. οὗ χάριν καὶ ἐπὶ χθονὶ κεῖσθαι τὸν Ἀχιλλέα φησὶ καὶ θυμὸν ἀχεύειν, ὡς οὐκέτι ἁπλῶς πεισόμενον, ἀλλ᾽ ἀναστησόμενον, εἰ τὰ ὅπλα λήψεται. ἐρεθιστικὸν δὲ ὁμοίως καὶ ἡ τῶν Τρώων μνήμη καὶ ἡ περὶ Σκαιαῖς πύλαις μάχη, ὡς τοῦ Ἀχιλλέως καὶ πλέον τι ποιήσοντος, εἰ ὅπλα σχοίη.

4.212 Ὅρα δὲ καὶ ὅτι δεινῶς ῥᾳδιουργεῖ ἐν οἷς εἶπεν ἡ Θέτις. οὐ γὰρ εἶπε ῥητῶς ἀπειθῆσαι τὸν υἱὸν τοῖς Ἕλλησιν ἱκετεύσασιν, ἵνα μὴ ὁ φιλέλλην Ἥφαιστος δυσχερανεῖ. καὶ τοὺς ἀπὸ τῶν Λιτῶν δὲ ἄχρι τῆς ἐξόδου Πατρόκλου κινδύνους τῶν Ἑλλήνων σιγήσασα σχηματίζει τὸν λόγον δεξιῶς, ὅτι αὐτὸς μὲν ἠνήνατο, ἔπεμπε δὲ τὸν Πάτροκλον, ὡς εἴπερ συναπτῷ χρόνῳ ἄμφω

ἐγένοντο τό τε ἀπανήνασθαι τὸν Ἀχιλλέα καὶ τὸ ἐκπεμφθῆναι τὸν Πάτροκλον, ὅπερ οὐ γέγονε. καὶ γὰρ τὰς λιτὰς παριδὼν ὁ Ἀχιλλεὺς δι' αὐτὸ ἄτῃ συνεσχέθη, καὶ στερηθεὶς τοῦ Πατρόκλου μεταμέλεται ἀχθόμενος οὕτω πάνυ, καὶ τὸν Πάτροκλον δὲ ὀψέ ποτε εἰς μάχην ἐξέπεμψεν. ἔτι δὲ καὶ τοῦ Ἀπόλλωνος ἐπίτηδες ἡ Θέτις μέμνηται, οἷα τὸν Πάτροκλον ἀριστεύοντα κτείναντος ὑπὸ τῷ Ἕκτορι, ὡς ἂν καὶ οὕτως ἐρεθίσασα τὸν Ἥφαιστον κατ' ἐκείνου πρόθυμον εἰς ὁπλοποιΐαν ποιήσῃ. ὃ καὶ ἀνύει. διὸ καὶ ἐψεύσατο ἐν τῷ αὐτῆμαρ ἂν ἐπόρθησε Πάτροκλος Ἴλιον, εἰ μὴ Ἀπόλλων αὐτὸν ἔκτεινεν. Καὶ σημείωσαι τὰς τοιαύτας μεθόδους, ὡς τοῦ συνετοῦ προσώπου οἰκονομοῦντος ἀμεθόδως ἐν καιρῷ ἃ λέγει, ἀναλόγως πρὸς τὰ ὑποκείμενα. Ὅρα δὲ καὶ τὰ οὐκ ἐπιτηδευτὰ πάρισα, καὶ οὐδὲ ἔξω καιροῦ, τὰ «πᾶν ἦμαρ», καὶ «αὐτῆμαρ», καὶ τὸ «Σκαιῇσι πύλῃσι», καὶ τὸ «πολλὰ περικλυτά», καὶ ἕτερα, οἷς φιλοῦσιν ὡραΐζεσθαι τὰ διηγήματα. ὕπεστι δέ τι κάλλους καὶ τῷ «πᾶν δ' ἦμαρ μάρναντο», εἰ καὶ ἄλλως τραχυφωνεῖται. [(v. 445) Τὸ δὲ ἐκ χειρῶν ἑλέσθαι τὸν βασιλέα τὸ τοῦ Ἀχιλλέως γέρας ψευδὲς μέν, ὡς καὶ ἀλλαχοῦ παρεσημάνθη, ἀπειλὴ δὲ ἦν βασιλικὴ θυμῷ λαληθεῖσα, εἰ καὶ μὴ ἀπέβη πρὸς ἔργον δι' αὐτοῦ ἐκείνου τοῦ βασιλέως.] (v. 446) Τὸ δὲ «φρένας ἔφθιεν» Ἀχιλλεὺς καὶ ἄλλοθι μὲν ἐδηλώθη πάθος εἶναι τῷ Ἀχιλλεῖ, ἐφ' οἷς ἀργὸς ἐκάθητο, ἔστι δὲ ὅμοιον τῷ «φθινύθεσκε φίλον κῆρ».

4.213 [Πρωτότυπον δὲ τοῦ φθίνω τὸ φθίω, ὡς καὶ τοῦ τίνω τὸ τίω. ἐκ τούτου δὲ καὶ φθῖσθαι τὸ φθαρῆναι κατὰ κρᾶσιν, εἰ καὶ ἄλλως διφορεῖται παρά τισιν ἐν διφθόγγῳ γραφόμενον, ὡς ἐν ἄλλοις εἴρηται.] (v. 447) Τὸ δὲ «ἐείλεον» πλεονασμὸν ἔχει τοῦ κατ' ἀρχὴν ε πρὸς ὁμοιότητα τοῦ ἐείσατο καὶ τῶν τοιούτων. ἑρμηνεία δὲ αὐτοῦ αὐτίκα ἑξῆς τὸ «οὐδὲ θύραζε εἴων ἐξιέναι». δῆλον γὰρ ὡς εἰλεῖται, ὅ ἐστι συγκλείεται, ὁ μὴ ἐώμενος θύραζε ἐξελθεῖν. Θύραζε δὲ καὶ ἐνταῦθα τὸ ἁπλῶς ἔξω τοῦ ναυστάθμου. (v. 449) Τὸ δὲ «δῶρ' ὀνόμαζον» ἢ ἀντὶ τοῦ εἰς πλάτος ἐξετίθουν, πολλὰ γὰρ ἦσαν καὶ περικλυτά, ἢ ἀντὶ τοῦ ὀνόμαινον, ὡς ἐν ταῖς Λιταῖς κεῖται, ἵνα ᾖ ἐνταῦθα οὕτω ἀδιάφορον τὸ ὀνομάζειν καὶ τὸ ὀνομαίνειν. (v. 450) Τὸ δὲ ἀναίνεσθαι ἀλλοῖον μὲν ἐκεῖ ἐν τῷ «ἀασάμην, οὐδ' αὐτὸς ἀναίνομαι», ἀλλοῖον δὲ ἐνταῦθα ἐν τῷ «αὐτὸς μὲν ἠναίνετο». ἐκεῖνο μὲν γὰρ ἀπόφασιν λόγου δηλοῖ, τοῦτο δὲ δώρων ἀποπροσποίησιν καὶ ἐξουδένωσιν. ἡ δὲ τοῦ «ἠναίνετο» αὔξησις ὁμοία τῇ τοῦ ἠνώχλει καὶ τῶν ὁμοίων. (v. 457) Τὸ δὲ «ἱκάνομαι» ταὐτόν ἐστι τῷ ἱκετεύω. Ἀσπίδα δέ, φασί, καὶ τὰ ἑξῆς αἰτήσασα ἡ Θέτις ξίφος οὐκ αἰτεῖ. οὐδ' ἀπώλεσε γὰρ ἴσως ξίφος ὁ υἱός, ἀλλ' ὥσπερ ἡ μελία, οὕτω καὶ ἡ σπάθη κατὰ τὸ σιωπώμενον περισέσωσται αὐτῷ, οἷα μηδ' αὐτὴ τῷ Πατρόκλῳ οὖσα εὐμεταχείριστος. (v. 463) Ὅτι θάρρους παρακέλευσις τὸ «θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων». (v. 464—6) Ὁ δὲ εἰς χάριν ἕτοιμος εἴποι ἂν παρῳδήσας ἐξ Ὁμήρου τὸ «αἴθε σε θανάτοιο δυσηχέος ὧδε δυναίμην νόσφιν ἀποκρύψαι, ὅτε μόρος αἰνὸς ἱκάνει», ὡς τόδε τι ποιήσω. Ἥφαιστος δὲ ταῦτα πρὸς τὴν Θέτιν φησὶ περὶ Ἀχιλλέως, μονονουχὶ λέγων ἀστείως, ὅτι εἴθε ὡς σὺ ἐμέ ποτε ἔκρυψας ἀπὸ τῆς Ἥρας, οὕτω δυναίμην καὶ ἐγὼ κρύψαι θανάτου τὸν σὸν υἱόν.

4.214 ἐπεὶ δὲ τοῦτο οὐ δύναμαι, ὅπλα σκευάσω αὐτῷ φυλακτήρια χάριν σήν. (v. 466 s.) Ἃ καὶ καλὰ λέγει, καὶ οἷά τις αὖτε ἀνθρώπων πολέων θαυμάσαι τέ φησιν, «ὅς κεν ἴδηται», ὅπερ ἐστὶ περίφρασις τοῦ «θαῦμα ἰδέσθαι», ὃ εἶπε πρὸ μικροῦ. καλλίων δὲ ὅπλων ἔπαινος τὸ «ὅπλα καλά», οἷα οὔπω τις ὤμοισι φόρησεν ἀνήρ. Ὅτι τὰς φύσας πρὸ ὀλίγων ἀπάνευθε τοῦ πυρὸς Ἥφαιστος θείς, νῦν δὲ ἤδη τοῦ ἔργου ἁπτόμενος, ἐς πῦρ αὐτὰς τρέπει. (v. 469—9) Φησὶ γὰρ «βῆ δ' ἐπὶ φύσας, τὰς δ' ἐς πῦρ ἔτρεψε κέλευσέ τε ἐργάζεσθαι», ὡς οἷά τινας φρονίμους, καθὰ προερρέθη. (v. 470—1) Διὸ καὶ ἐπάγει «φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων, παντοίην εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι». (v. 472 s.) Εἶτα ἐφερμηνεύων τὸ παντοίην φησὶν «ἄλλοτε μὲν σπεύδοντι παρέμμεναι, ἄλλοτε δ' αὖτε, ὅππως Ἥφαιστός τ' ἐθέλοι καὶ ἔργον ἄνοιτο». Ἰστέον δὲ ὡς ἡ ποιητικὴ αὕτη διασκευὴ ἀγαθῶν ἐργαλείων ἀρετὴν ὑπαινίττεται, οἷς οὐκ ἀμβλύνεται ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ τεχνίτου εἰς ἔργον ὀξύτης, ὡς οἷα συνεπιλαμβανομένοις τοῦ ἔργου, ἅπερ, κατὰ τὸν ποιητὴν εἰπεῖν, «ὀφέλλει ἀνδρὸς ἐρωήν». ἡ δὲ τοιαύτη ἔννοια καὶ τὰς νῆας τῶν Φαιάκων ὡς οἷα καὶ αὐτονόας τινὰς κατὰ τὴν παρ' Ἡσιόδῳ Νηρηΐδα ἐψύχωσε καὶ ἐνόωσεν, ὡς ἡ Ὀδύσσεια δηλοῖ. (v. 470) Ἰστέον δὲ ὅτι τὰ μέρη τῶν φυσῶν τὰ τοῖς χοάνοις ἐνιέμενα ἀκροφύσια ἐλέγοντο καὶ ἀκροστόμια, οἷς φυσῶσιν οἱ χαλκεῖς. Φασὶ δὲ οἱ παλαιοὶ τὸ γένος τοῦ «χοάνοις» ἄδηλον εἶναι. δηλοῖ δὲ ἡ λέξις τὰ φυσώμενα ἀγγεῖα, ἐν οἷς αἱ ὕλαι τήκονται, ἃ παρ' ἡμῖν ἐστι πήλινα. ἀπὸ δὲ τούτου καὶ παρὰ τῷ Κωμικῷ τὸ χοανεύειν, ῥηθὲν οὐ σεμνῶς, ἐφ' οὗ ἐκεῖνος ἤθελε. γίνεται δὲ ἀπὸ τοῦ χέω. [Ἰστέον δὲ ὅτι χόανοι μὲν τρισυλλάβως οἱ παρ' Ὁμήρῳ χαλκευτικοί, χόννοι δὲ δισυλλάβως ἐν δυσὶν ἀμεταβόλοις Αἰολικῶς ποτήριον, φασί, παρὰ Γορτυνίοις, χάλκεον, θηρικλείῳ ἐοικός. ὠνομάσθη δὲ ἡ θηρίκλειος ἢ τὸ θηρίκλειον, διγενῶς γὰρ ἐλέγετο, ἐπεὶ θηρίων μορφαὶ αὐτῷ ἐνετυποῦντο, ἢ διότι θῆρας κλονεῖ. σπένδουσι γὰρ κατ' αὐτῶν κύλιξι τοιαύταις. Ἀραρὼς δὲ ἀρέσκεται καλεῖσθαι θηρίκλειον παρὰ τὸν σκευαστὴν κεραμέα Θηρικλῆν τὸν Κορίνθιον. γράφει οὖν οὕτως «ὦ γαῖα κεραμῖτι, σὲ Θηρικλῆς ποτ' ἔτευξε, κοίλης λαγόνος εὐρύνας βάθος· ἦ που κατειδὼς τὴν γυναικείαν φύσιν ὡς οὐχὶ μικροῖς ἥδεται ποτηρίοις».

4.215 ἐγκάθηται γάρ, φασί, περὶ τὰς λαγόνας ἡ κύλιξ αὕτη ἱκανῶς βαθυνομένη, ὦτά τε ἔχει βραχέα. ἔστιν οὖν τῷ τοιούτῳ λόγῳ, καθὰ Ἡρακλῆς Ἡράκλειον, οὕτω Θηρικλῆς Θηρίκλειον.] Τὸ δὲ «ἐείκοσι» διὰ πιθανότητα κεῖται τοῦ τοιαύτας ὕλας καὶ τοσαύτας ταχὺ τακῆναι εἰς ὅπλων ἡρωϊκῶν κατασκευὴν Ἀχιλλεῖ τῷ μεγάλῳ ἁρμοττόντων. (v. 471) Εὔπρηστος δὲ ἀϋτμὴ ἡ εὐφύσητος. πρήθω γὰρ τὸ φυσῶ, ὡς τὸ «ἐν δ' ἄνεμος πρῆσε μέσον ἱστίον». Τοῦ δὲ «ἐξανιεῖσαι» οὐκ ἔστιν ἐνταῦθα καιριωτέραν λέξιν εὑρεῖν. (v. 473) Τοῦ δὲ «ἄνοιτο» ἐνεστὼς ἄνω, ἐξ οὗ τὸ ἀνύω. χρῆσις δ' ἐκείνου καὶ ἐν Ὀδυσσείᾳ, οἷον «τὰ δὲ πολλὰ κατάνεται», καὶ «ἦνον ὁδόν». (v. 474—82) Ὅτι ὁ Ἥφαιστος χαλκὸν ἐν πυρὶ βάλλεν ἀτειρέα, ὅ ἐστι σκληρόν, κασσίτερόν τε καὶ «χρυσὸν τιμῆντα καὶ ἄργυρον. αὐτὰρ ἔπειτα θῆκεν ἐπ' ἀκμοθέτῳ», ἢ ἐν ἀκμοθέτῳ, «μέγαν ἄκμονα, γέντο δέ», ἤγουν εἴλετο «χειρὶ ῥαιστῆρα κρατερήν», ἢ κρατερόν, «ἑτέρηφι δὲ γέντο πυράγρην· ποίει δὲ πρώτιστα σάκος μέγα τε στιβαρόν τε πάντοσε δαιδάλλων, περὶ δ' ἄντυγα βάλλε φαεινήν, τρίπλακα, μαρμαρέην, ἐκ δ' ἀργύρεον τελαμῶνα. πέντε δ' ἄρ αὐτοῦ ἔσαν σάκεος πτύχες· αὐτὰρ ἐν αὐτῷ», ἢ ἐπ' αὐτῷ, «ποίει δαίδαλα πολλά» ἐπιστημόνως, τοῦτο γὰρ δηλοῖ τὸ «ἰδυίῃσι πραπίδεσσιν», ὅ ἐστιν ἐπιστημονικαῖς. Καὶ ὅρα τὸ ἐποίει ταὐτὸν ὂν τῷ τιθέναι καὶ τῷ τεύχειν. διὸ καὶ ταῖς τοιαύταις ἐγχορεύει λέξεσιν ἐν τῇ ὁπλοποΐᾳ, πεντάκις μὲν εἰπὼν τὰ τοῦ ποιεῖν ῥήματα «ποίει πρώτιστα σάκος», καὶ «ποίει δαίδαλα πολλά», καὶ «ἐν δὲ δύω ποίησε πόλεις», καὶ «ἐν δ' ἀγέλην ποίησε», καὶ «ἐν δὲ νομὸν ποίησε», τετράκις δὲ τὰ ἐκ τοῦ τιθέναι «ἐν δὲ τίθει νειόν», «ἐν δὲ τίθει τέμενος», «ἐν δὲ τίθει ἀλωήν», «ἐν δὲ τίθει Ὠκεανόν», πεντάκις δὲ τὸ τεῦξεν «ἐν μὲν γαῖαν ἔτευξε», καὶ «ἐπειδὴ τεῦξε σάκος», καὶ «τεῦξεν ἄρα θώρηκα», καὶ «τεῦξε δέ οἱ κόρυθα», καὶ «τεῦξε δέ οἱ κνημῖδας».

4.216 Καὶ σημείωσαι τὴν ἐπιμονὴν καὶ τὴν ἐπίχυσιν τῶν ἐν τοῖς ῥηθεῖσι ταὐτοδυνάμων λέξεων. ὅτι δὲ ἠδύνατο καὶ ἄλλως φράζειν, δείξει ἐν τοῖς τοῦ χοροῦ, ἔνθα ἐξὸν ὂν εἰπεῖν «ἐν δὲ χορὸν ποίησεν», ὁ δὲ οὐχ' οὕτως εἶπεν, ἀλλάξας δὲ ἔφη «ἐν δὲ χορὸν ποίκιλλε». Σημείωσαι δὲ καὶ ὅτι τοσαῦτα ποιήσας Ἥφαιστος δαίδαλα οὐδαμοῦ ναυτιλίας ἴνδαλμα θέμενος ἔτευξεν. ἔοικε γὰρ καὶ ὁ ποιητὴς δυσπέμφελον, καθὰ καὶ Ἡσίοδος, κρίνειν αὐτήν. διόπερ οὐδὲ ἐν πλάσμασι μεμνῆσθαι θέλει αὐτῆς. ἐν δὲ τοῖς ῥηθεῖσι λέγει καὶ τίνα τὰ δαίδαλα. «ἐν μὲν γὰρ γαῖαν», φησίν, «ἔτευξε» καὶ τὰ ἑξῆς, ὡς ῥηθήσεται. Ἐν οἷς σημείωσαι ὡς μὴ ἔχων ἐν Ἰλιάδι καίριον τόπον τὴν ἐκφραστικὴν ἐνδείξασθαι τέχνην, εἰκότως τὴν ἀσπιδοποιΐαν ἄρτι ἐπλάσατο, ποιήσων τεχνικῶς δι' αὐτῆς ὃ θέλει, ἐν στενῷ μέντοι, εἰ καὶ ἄλλως πλατύτερον ἑτέρων ἐκφράσεων, ἃς φθάσας ὀλιγοστίχους παρενέσπειρεν. εἰπεῖν δὲ καὶ ἄλλως, ἐξέφρασε μὲν καὶ ἑτέρωθι οὐκ ὀλίγα, καὶ πολλαχοῦ τῆς Ἰλιάδος ἔκφρασις διαγελᾷ, ἐν στενῷ δὲ ὅμως, ἐνταῦθα δὲ

λειμὼν ἐκφραστικὸς ἐξήνθησεν, ἐνδεικνυμένου τοῦ ποιητοῦ τὴν κατ’ αὐτὸν ἐκφραστικὴν δύναμιν, ἧς χάριν καὶ τὸ πλάσμα τῆς ὁπλοποιΐας ἐμηχανήσατο. Ἰστέον δὲ καὶ ὅτι ἐν μὲν τῇ Ὀδυσσείᾳ διὰ τὸ μὴ ἐναγώνιον ἐκεῖ τὴν ὑπόθεσιν εἶναι πλείους καὶ διόλου γλυκεῖαι κεῖνται ἐκφράσεις, εἰ καὶ μὴ οὕτω πλατεῖαι. ἡ δὲ παροῦσα, εἰ καὶ φύσει φαιδρά ἐστι διὰ τὸ ἐν ἐκφράσει ὡραῖον, ἀλλὰ οὐ πᾶσα τοιαύτη ἐστίν, ἔχει δέ τι καὶ δυσπρόσοπτον καὶ τῷ τῆς Ἰλιάδος μεγαλείῳ συνυψούμενον, ἐν οἷς πολέμους καὶ αὐτὴ περιηγεῖται καὶ λόχους καὶ φόνους καὶ τοιαῦτά τινα. τὰ δ’ ἄλλα πολλὴν ἔχει φαιδρότητα καὶ λαμπρᾶς μετέχει τῆς ἱλαρότητος, οὐκ ἀφιεῖσα κατανεανιεύεσθαι τῆς Ὁμηρικῆς ὁπλοποιΐας τὴν Ἡσιόδου φιλότιμον ἀσπίδα, ὡς ὁ ἐντυγχάνων εἴσεται.

4.217 δοκεῖ μὲν γὰρ ἐκείνη Ὁμηρικῷ πεποιῆσθαι ζήλῳ τῷ κατὰ τὴν ὅλην Ἰλιάδα. ὅποι δὲ τόπου ἐκπίπτει συγκριτικῷ λόγῳ, οὐδὲ ἔστι φράσαι, ἢ ἐς τοσοῦτον μόνον, ὡς εἰ καὶ οὐρανῷ κέγχρον παραμετρήσει τις. Σημείωσαι δὲ εἰς τὸ «ἀτειρέα», ὅτι ἐκ τοῦ τείρω μὲν γίνεται καὶ αὐτὸ καὶ ὁ ἀτεράμων. ἔστι δὲ ἀτεράμων οὐ χαλκός, ἀτειρὴς γὰρ αὐτός, ἀλλὰ σκληρὸς ἄνθρωπος καὶ ἄτεγκτος, καὶ σπόριμος δὲ καρπὸς ἀνέψητος. ἀτέραμνα γάρ, φασί, διὰ τοῦ [ν], ὄσπρια τὰ μὴ ἑψόμενα. Πλάτων δὲ διὰ τοῦτο κερασβόλα λέγει τὰ σκληρὰ ἐκ μεταφορᾶς. τὰ γὰρ προσκρούσαντα κέρασι βοῶν ὄσπρια οὐχ’ ἕψεται. τούτου δὲ τὴν αἰτίαν φυλοκρινεῖ πιθανῶς Πλούταρχος ἐν τοῖς αὐτοῦ Συμποσιακοῖς. μήποτε δὲ τῷ ἀτειρεῖ χαλκῷ ἐπίτηδες παράκειται ὁ κασσίτερος οἷά τι ὑπεναντίον. δοκεῖ γὰρ κασσίτερος εἰρῆσθαι, ὡς ἐν τῇ καύσει τειρόμενος, ῥᾷον δηλαδὴ χαλκοῦ. ἀντίκειται δὲ πρὸς τὸ ἀτειρὲς καὶ τὸ τέρεν καὶ ἡ τέρεινα, ἴσως δὲ καὶ τὰ ἐν οἴκοις τέραμνα διὰ τὰς περὶ αὐτὰ γλυφάς, αἳ τειρομένῳ πάντως ξύλῳ ἐγκολάπτονται. δοκεῖ δέ τισιν Ἐτυμολόγοις καὶ τὰ τείρεα ἐκ τοῦ τείρειν παρωνομάσθαι.

4.218 (v. 475) Τὸ δὲ «χρυσὸν τιμῆντα» κατ’ ἐξαίρετον ἀποκληροῖ τὸ τιμῆεν τῇ τοιαύτῃ ὕλῃ. ἀνάλογον δὲ τὸ «τιμῆντα» πρὸς τὸ «αἰγλῆντα» καὶ τὰ τοιαῦτα. (v. 476) Ἀκμόθετον δὲ τί ἐστι, προεγράφη. [συγκέκοπται δὲ ἐκ τοῦ ἀκμονόθετον.] Ἄκμων δὲ ὅτι καὶ ὁ τοῦ οὐρανοῦ, ὡς ἐρρέθη, λέγεται πατὴρ διὰ τὸ ἀκάματον τῆς οὐρανίου κινήσεως, ἀφ’ ἧς ἐννοίας καὶ ὁ Ἄτλας εἴληπται, καὶ ὅτι Ἀκμονίδαι οἱ Οὐρανίδαι, δηλοῦσιν οἱ παλαιοί. ὡς δὲ Ἄκμονος ὁ Οὐρανός, ὁ Ἀλκμάν, φασίν, ἱστορεῖ. Περὶ δὲ τοῦ «γέντο», λέξεως Δωρικῆς καιρίας, ὡς ἐν ποιήσει, διὸ καὶ δὶς ἐνταῦθα παράκειται, εἴρηται ἀλλαχοῦ. (v. 477) Ῥαιστῆρα δὲ θηλυκῶς κρατερὴν λέγει, σφῦραν μεγάλην οὐ λεπτουργόν, ἀλλ’ οἵαν ἐξελαύνειν τὰ χαλκευόμενα. Ἰωνικῶς δὲ εἴρηται ἡ ῥαιστήρ. οὕτω καὶ Σοφοκλῆς σωτῆρα τύχην φησὶν ἐν τῷ «εἰ γὰρ ἐν τύχῃ γέ τῳ σωτῆρι βαίη». Τὴν δὲ πυράγραν καὶ χαλκευτικόν τινες καρκίνον φασὶ [δι’ ὁμοιότητα λαβῆς.] σχηματισμὸς δὲ αὐτῆς κατὰ τὴν κρεάγραν καὶ ὅσα τοιαῦτα. (v. 479) Τὸ δὲ «περὶ δ’ ἄντυγα βάλλεν» ἀντὶ τοῦ περιέθετο, ἤγουν πέριξ ἔθηκεν. (v. 480) Ὅρα δὲ τὸ «τρίπλακα», δηλοῦν ὅτι καὶ τὸ δίπλακα δύναται μὴ ἀεὶ ἐπὶ ὑφάσματος τίθεσθαι. ἰδοὺ γὰρ τὴν ἐλατὴν ἄντυγα «τρίπλακα μαρμαρέην» ἔφη, ὅ ἐστι τρίθετον κατὰ τρεῖς πλάκας. ὡς δὲ ἡ μαρμαρέη καὶ θαλάσσης ἐστὶν ἐπίθετον, προδεδήλωται. δῆλον δ’ ὡς ἐνταῦθα μᾶλλον οἰκειότερον κεῖται διὰ τὸ καὶ στερεὸν τῆς τοιαύτης τρίπλακος καὶ στίλβον μαρμάρου δίκην. Ὁ δὲ ἀργύρεος τελαμὼν εἶχε τι καὶ ἁλυσειδώσεως, ἄλλως γὰρ οὐκ ἂν ἦν εὔχρηστος.

4.219 (v. 481) Αἱ δὲ πέντε πτύχες οἷαι ἦσαν, ἑξῆς φανήσεται. (v. 482) Τὸ δὲ «ἰδυίῃσιν» ὅτι ὀφεῖλον διὰ διφθόγγου ἔχειν ἀναλόγως τὴν ἄρχουσαν ὡς ἀπὸ τῆς εἰδώς εἰδότος μετοχῆς, ὅμως διὰ τοῦ ι γράφεται, οὐχ’ ὡς μετοχή, ἀλλ’ ὡς μετοχικὸν ὄνομα. ὅθεν καὶ ἰδύους οἱ παλαιοὶ τοὺς μάρτυρας ἔλεγον, οἱ παλαιοὶ παραδιδόασι. Σημείωσαι δὲ καὶ ὅτι τὸ χωρίον τοῦτο πᾶν τὸ τῆς ἀσπιδοποιΐας οὐ μόνον ῥητορικῶς μεταχειρίζεται ὁ ποιητὴς οἷα καιρὸν εὔθετον εὑρηκώς, ὡς ἐρρέθη, ἁβρότητι ἐκφράσεως κοσμῆσαι τὴν ποίησιν, ἀλλὰ καὶ φιλοσοφεῖ ἐπ’ αὐτῷ πολλά. καὶ ὅπως μὲν δεξιῶς καὶ οὐ μόνον σεμνῶς, ἀλλὰ καὶ πιθανῶς καὶ συμμέτρως ἐκφράζει, αὐτόθεν ἔστιν

ἀναλέγεσθαι τοὺς τῇ Ὁμηρικῇ ἐντυγχάνοντας δέλτῳ, οἳ καὶ τῇ τοῦ Ἡσιόδου ἀντιπαραθέντες ἀσπίδι εἴποιεν ἂν τοσοῦτον εἶναι πρὸς ἐκείνην ταύτη διάφορον, ὅσον καὶ ἀνθρωπίνου ἔργου πρὸς ἡφαιστότευκτον. ὅτι δὲ καὶ φιλόσοφα ὁ ποιητὴς ἐνταῦθα πολλὰ ὑπεμφαίνει, δηλοῦσιν εἰς πλάτος οἱ παλαιοί. αὐτίκα ἡ Δημὼ τὴν Ὁμηρικὴν ταύτην ὅλην ἀσπιδοποιΐαν ἀνάγουσα τοιαῦτά φησι· ὅτι Θέτις μὲν ἡ τὰ τοιαῦτα μεσολαβήσασα ἐπὶ τῆς τῶν ἐν τῇ κοσμογενείᾳ πραγμάτων θέσεως εἴληπται τῷ ποιητῇ, διὰ δὲ τοῦ πυρὸς καὶ τῆς πνοῆς, ἣν ἐξανιεῖσιν, ὡς προεδηλώθη, αἱ φῦσαι, τὰ ποιητικὰ καὶ δραστήρια τῶν στοιχείων αἰνίττεται, ἀέρα καὶ πῦρ, οὗ τὰς ἀποτομάδας ἀπορροίας χρυσᾶς νεάνιδας ὑπουργοὺς Ἡφαίστου καλεῖ. διὰ δὲ τοῦ κυκλοτεροῦς σάκους τὸ κατὰ τὸν σφαιροειδῆ κόσμον σχῆμα ἐνδείκνυται. σφαίρας γὰρ γένεσίς ἐστιν ἡμικυκλίου περιενεχθέντος ἀποκατάστασις.

4.220 τὰ δὲ τηκόμενα, ὁ χρυσός, ὁ χαλκός, ὁ ἄργυρος, ὁ κασσίτερος, τοῖς στοιχείοις εἰκάζονται διὰ τὴν πρὸς ἐκεῖνα τῶν τοιούτων μετάλλων ἐμφέρειαν. ὁ χρυσὸς μὲν γὰρ καὶ ὁ ἀτειρής, ὅ ἐστι δυσκατέργαστος, χαλκός, εἴκασται πυρὶ καὶ γῇ, ὁ δὲ μαλακὸς καὶ οἷον ῥευστικὸς κασσίτερος ὕδατι, ἀέρι δὲ ἄργυρος ὁ πρὶν ἢ σμηχθῆναι μέλας ὢν καὶ ἀμιγὴς οὗ ὕστερον ἐπιφαίνει φωτός. καὶ ταῦτα μὲν οὕτω συμβολικῶς. μετ’ ὀλίγα δέ φησιν ἡ αὐτὴ φιλόσοφος, ὅτι καὶ τοῖς κυρίοις τῶν στοιχείων ὀνόμασι χρῆται ὁ ποιητὴς «ἐν μὲν γαῖαν ἔτευξε» λέγων, «ἐν δ’ οὐρανόν, ἐν δὲ θάλασσαν», τὸ δὲ τέταρτον στοιχεῖον αὐτός ἐστιν ὁ τὸ σάκος τεύχων Ἥφαιστος. τὴν δὲ τρίπλακα μαρμαρέην ἄντυγα τὸν ζῳδιακὸν ἐκείνη λέγει κύκλον αἰνίττεσθαι, τρίπλακα μὲν διὰ τὸ πλάτος αὐτοῦ, καθ’ ὃ ἡ τῶν πλανήτων κίνησις, μαρμαρέην δὲ διὰ τὸ τὸν ἥλιον τοῦ διὰ μέσων οὐκ ἐξιστάμενον καὶ τὸ φῶς ἐφ’ ὅλον αὐτὸν πέμποντα μαρμαίρειν τε καὶ φαεινὸν εἶναι τὸν κύκλον ποιεῖν. τὸν δὲ ἀργύρεον τελαμῶνα, δι’ οὗ ἡ ἀσπὶς ἐκ τῶν ἄκρων ἀνέχεται, εἰς τὸν ἄξονα μεταφέρει τὸν τὸ πᾶν ἀνέχοντα, ἐξηρτημένον ὥσπερ τοῦ ἀνωτάτω αἰθέρος καὶ διὰ μέσου τῆς γῆς ἥκοντα καὶ ἐπὶ τὰ νότια περατούμενον καὶ παρέχοντα στρέφεσθαι τὸν οὐρανὸν περὶ αὐτόν, ὑπ’ αὐτοῦ ἀνεχόμενον. τὰς δὲ πέντε πτύχας τοῦ σάκους τοὺς παραλλήλους κύκλους νοεῖ, εἰς οὓς διαιρεῖται ὁ κόσμος, ἤγουν τὸν ἀρκτικόν, ὃς τῷ βορείῳ πόλῳ ἐγγίζει, καὶ τὸν τῷ Νότῳ προσκυροῦντα ἀνταρκτικόν, καὶ τοὺς δύο τροπικούς, ἤγουν τὸν πρὸς τῷ Βορρᾷ θερινὸν καὶ τὸν πρὸς τῷ Νότῳ χειμερινόν, καὶ πέμπτον τὸν μέσον αὐτῶν ἰσημερινόν, εἰς ὃν ἥλιος ἐλθὼν ἰσάζει τὰς ἡμέρας ταῖς νυξίν. ὧν πέντε πτυχῶν μέση μὲν χρυσέα καθ’ Ὅμηρον, ὁ ἰσημερινὸς δηλαδή, εἰ μή τις καὶ τὴν διακεκαυμένην ζώνην ταύτην θέλει νοεῖν. δύο δὲ ἔνδον κασσιτέρου οἱ τροπικοὶ διὰ τὸ εὐτόνως εὔκρατον, ἐξωτάτω δὲ χαλκαῖ, αἱ πρὸς τοῖς πόλοις, κατεσκληκυῖαί πως διὰ τὴν ἐπὶ πολὺ τοῦ ἡλίου ἀπόστασιν. καὶ τοιαῦτα εἰποῦσα ἡ σοφὴ ἀσπιδοποιὸς καὶ τὴν ἡφαιστότευκτον καὶ καθ’ ὕλην ἀσπίδα μετασκευάσασα νοερώτερον συμβιβάζει, καὶ τὰ περὶ τῶν πόλεων καὶ ὅσα ἄλλα λέγει ὁ ποιητὴς ἐν τῇ ἀσπιδοποιΐᾳ, λέγουσα ὅτι πράξεις ἀνθρώπων πολέμῳ καὶ εἰρήνῃ πρεπούσας, ὑφ’ ὧν ὁ καθ’ ἡμᾶς διοικεῖται βίος, ἀπαγγέλλει δι’ αὐτῶν ὁ ποιητής, εἰσηγητὴς τῆς ἀρίστης γινόμενος πράξεως. τὸν φόνον δέ, οὗ ποινή, τουτέστι πρόστιμον, δύο τάλαντα τέθειται, ἀκούσιον εἶναι νοεῖ.

4.221 καὶ τὸ «ἄμφω δὲ ἱέσθην ἐπὶ ἴστορι», ὅ ἐστιν μάρτυρι, μαρτύρων λέγει δηλοῦν παράληψιν, ἐφ’ οἷς πολλάκις τὸ πέρας τῆς δίκης. καὶ ὅλως ἀποδείκνυσι πλατυτάτην τὴν ἀσπιδοποιΐαν περὶ θείων καὶ ἀνθρωπίνων εἶναι τῷ ποιητῇ διάλεξιν. (v. 483) Ὅτι τὰ ἐν τῇ ἀσπίδι δαιδάλματα τοῦ Ἡφαίστου ἐπιβαλὼν ἐκφράζειν φησὶν «ἐν μὲν γαῖαν ἔτευξεν, ἐν δ’ οὐρανόν, ἐν δὲ θάλασσαν», καλλωπίσας τε τὸ τῆς φράσεως πρόσωπον καὶ ἀρξάμενος ὅθεν ἐχρῆν, διὰ τὸ αἴνιγμα κοσμογενείας εἶναι ταῦτα κατὰ τοὺς παλαιούς. (v. 484—5) Εἶτα πάλιν τῶν ἄνω καὶ κρειττόνων γινόμενος πρὸ τῶν περὶ γῆν φησιν «ἠέλιόν τ’ ἀκάμαντα σελήνην τε πλήθουσαν, ἐν δὲ τὰ τείρεα πάντα τά τ’ οὐρανὸς ἐστεφάνωται», ἤγουν κύκλῳ περιέχει καὶ στρέφει σφαῖρα ὢν αὐτός. (v. 486—9) Εἶτα ἐξ ἁπάντων τειρέων ἐκλεγόμενος, ἅπερ αὐτὸς ἐθέλει, ὡς καὶ ἡ Ὀδύσσεια

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δηλοῖ, ἀπαραποίητα γὰρ καὶ ἐκεῖ τοιαῦτα κεῖται, φησὶ· «Πληϊάδας θ’ Ὑάδας τε τό τε σθένος Ὠρίωνος, Ἄρκτον θ’, ἣν καὶ ἅμαξαν ἐπίκλησιν καλέουσιν, ἥ τ’ αὐτοῦ στρέφεται, καί τ’ Ὠρίωνα δοκεύει, οἴη δ’ ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο». Ἰστέον δὲ ὅτι ἀρξάμενος, ὡς ἐρρέθη, τῆς ἀσπιδοποιΐας ἐπαναφορικῶς ἐκ τοῦ «ἐν μὲν γαῖαν, ἐν δ’ οὐρανόν, ἐν δὲ θάλασσαν, ἐν δὲ τὰ τείρεα», ἐπέμεινε τῷ καλῷ τούτῳ σχήματι καὶ ἐν τοῖς ἑξῆς, λέγων· ἐν δὲ δύο ποίησε πόλεις, ἐν δὲ τίθει νειόν, ἐν δὲ τίθει τέμενος, ἐν δὲ τίθει ἀλωήν, ἐν δ’ ἀγέλην ποίησεν, ἐν δὲ νόμον ποίησεν, ἐν δὲ χορὸν ποίκιλλεν, ἐν δὲ τίθει ποταμοῦ σθένος. ἔθετο δὲ οὕτω καὶ μέσον τῆς ἐκφράσεως ἐν στίχῳ ἑνὶ τρία ὅμοια «ἐν δ’ ἔρις, ἐν δὲ κυδοιμός, ἐν δ’ ὀλοὴ κήρ», ὁποῖον καὶ τὸ «ἐν δ’ ἵμερος, ἐν δ’ ὀαριστύς». καὶ τοῦτο μὲν οὕτω. [(v. 483) Ἰστέον δὲ ὡς ἡ γαῖα διφορουμένη τὸ μὲν δίφθογγον αι αὐτῆς ἀναφαίνει ἐν τῷ ἐννοσίγαιος καὶ ἐν ἄλλοις μυρίοις, τὸ δὲ ψιλὸν ε ἐν τῷ γεωργός καὶ λυπρόγεως καὶ ἐν ἑτέροις δυσαριθμήτοις, καὶ ὅτι ἐκ τοῦ γέα τοῦ ψιλογραφουμένου κέκραται ἡ γῆ.

4.222 ἀπὸ τοῦ γῆ δὲ ἡ γαῖα μὲν οὐ παρῆκται. ἦ γὰρ ἂν παρωξυτονεῖτο κατὰ τὸ σελήνη σεληναία καὶ τὰ ὅμοια. σύγκεινται δὲ ἄλλως ἀπ’ αὐτῆς λέξεις ὅτι μάλα πολλαί· τὸ γήπεδον, τὸ γήλοφον, ὁ γηπόνος, καὶ ἄλλα, ἐν οἷς καὶ τὸ γήτειον, οὗ ἐτυμολογία τὸ ἐκ γῆς ἀναθέειν. τοῦτο δὲ ἐν τοῖς τοῦ Ναυκρατίτου σοφιστοῦ γήθυον κεῖται, ἀπὸ τοῦ γῆθεν ἴσως θύειν, ἤγουν ὁρμᾶσθαι. τὸ δ’ αὐτὸ καὶ γαθυλλὶς καὶ γηθυλλὶς καὶ ἐπιθυλλὶς λέγεται, ὅμοιον ὂν ἀμπελοπράσῳ, οὗ τὸ ἥμερον πράσον τε λέγεται καὶ κεφαλωτόν.] (v. 484) Ἐν δὲ τῷ «ἠέλιον ἀκάμαντα σελήνην τε πλήθουσαν» τὰς φύσεις ἀμφοῖν διὰ τῶν ἐπιθέτων παρέστησε, τοῦ μὲν τὸ στερρὸν καὶ ἀκοπίατον κατὰ τὴν περιπόλησιν, τῆς δὲ τὸ χαῦνον καὶ πληθύον τοῦ ἡλιακοῦ φωτός.

4.223 δοκεῖ γάρ τισι τῶν φυσικῶν τὴν σελήνην ἀεὶ φύσει πλήθειν, εἰ καὶ μὴ ὁρᾶται ἡμῖν. διὸ καὶ πλήθουσαν, φασίν, εἶπεν αὐτήν. ἕτεροι δὲ πλήθουσάν φασι τὴν πληρωτικὴν σωμάτων τινῶν, οἷον ὀστρέων, ὀστρακοδέρμων, ἤδη δέ που καὶ δένδρων, ἀλλὰ δὴ καὶ ὑδάτων, ὡς δῆλον ἐκ τῶν πλημυρίδων, αἳ κατὰ μηνιαίας περιόδους γίνονταί τινας. ἔστι δὲ καὶ ἄλλως ἀκάμας μὲν ἥλιος ὁ ἀεὶ ἔχων ὡσαύτως, πλήθουσα δὲ σελήνη ἡ ἐκ μειώσεως αὖθις αὔξουσα κατὰ τὸ «πλήθοντες ποταμοί», οἱ ἐπομβρίαις ἐπαυξανόμενοι. διὸ τὸν Ὠκεανὸν ὡς μὴ πάσχοντα τοῦτο καὶ αὐτὸν κατὰ τοὺς λοιποὺς ἀκάματον προσεῖπεν ὁ γράψας τὸ «πάντῃ δ’ ἀκαμάτοιο φέρεται ῥόος Ὠκεανοῖο». ἡ δὲ ἐξ ὅλου, ἤγουν ἐκ τῶν τειρέων ἁπάντων, μετάβασις εἴς τινα μέρη, Πλειάδας τε Ὑάδας τε, [Ἄρκτον τε τὴν καὶ Ἅμαξαν, ἥτις οἴη ἄμμορός ἐστι λοετρῶν Ὠκεα]νοῖο, Ὁμήρῳ συνήθης ἐστίν. (v. 489) Ἐν οἷς τὸ ἄμοιρός ἐστι λουτρῶν Ὠκεανοῦ ἀντὶ τοῦ ἄδυτός ἐστι καὶ οὐ δύνει εἰς Ὠκεανὸν οὔτε αὐτὴ ἡ καὶ μεγάλη καλουμένη καὶ Ἑλίκη, πρὸς ἣν οἱ Ἕλληνες, ὡς εἴρηται, ναυτιλλόμενοι ἑλίκωπες δι’ αὐτὴν ἐλέγοντο, οὔτε ἡ Κυνόσουρα ἡ ἐγγὺς αὐτῆς ἡ μικρά, ἥτις μεθ’ Ὅμηρον ὑπὸ Θαλοῦ τοῦ Μιλησίου εὕρηται, πρὸς ἣν Φοίνικες ἔπλεον. εἰ δὲ μὴ μόνη ἡ ἄρκτος, ἀλλὰ καὶ ἕτερά ἐστιν ἀειφανῆ ἄστρα καὶ ἄδυτα, ὅσα ὁ ἀρκτικὸς ἀποτέμνεται κύκλος, οἷον, ὁ διὰ μέσων τῶν ἄρκτων δράκων, ἡ τοῦ Βοώτου χείρ, τοῦ Κηφέως τὰ ἀπὸ τῆς ἰξύος μέχρι ποδῶν, ἀλλ’ ὁ ποιητὴς αὐτὰ σιωπᾷ, οὐ γὰρ τεχνολογῆσαι προηγουμένως ἐνεστήσατο.

4.224 καὶ ἄλλως δὲ εἰπεῖν, τὸ «μόνη» πρὸς ἀντιδιαστολὴν εἶπε τῶν ἄλλων, ὧν ὡς τῇ ἀσπίδι ἐντετυπωμένων προεμνημόνευσεν, ἤγουν τῶν Πλειάδων καὶ τῶν Ὑάδων καὶ τοῦ Ὠρίωνος. αὐτὰ γὰρ Ὠκεανῷ λούονται δύνοντα. ἔστι δὲ τὸ τοιοῦτον λούεσθαι, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ῥητόρευμα μυθικῆς ὑπολήψεως, ὡς τῶν πολλῶν οἰομένων εἰς Ὠκεανὸν λούεσθαι τὰ ἄστρα καταδυόμενά τε καὶ ἀνίσχοντα καὶ διὰ τοῦτο καὶ λαμπρὰ εἶναι. κατὰ τοίνυν τὴν τοιαύτην νόμισιν λούεσθαι μέν ἐστιν εἰς Ὠκεανὸν τείρεα τὸ δύνειν καὶ ἀνατέλλειν αὐτά, τὸ δὲ μὴ λούεσθαι τοῦ μὴ δύνειν ἐστὶ δηλωτικόν. (v. 485) Τείρεα δὲ ἢ παρὰ τὸ εἴρειν γίνεται τὸ λέγειν, ἔχουσι γάρ τινα σημασίαν, ὡς καὶ Ἄρατος δηλοῖ, ἢ ὡς πρὸ βραχέων εἴρηται, παρὰ τὸ τείρειν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθὰ καὶ τοῦτο ἐν τοῖς τοῦ Γεωργίου κεῖται. πολλοὶ γάρ, φησίν, ἐκ τῶν ἀστέρων καταπονοῦνται γινόμενοι ἀστρόβλητοι ὡς ἐκ τῆς βροντῆς ἐμβρόντητοι. ἐφανέρωσε δέ, φησί, τὸ ε Ἀλκαῖος εἰπὼν «τερέων» δίχα τοῦ ι . δύναται δὲ καὶ παρὰ τὸ τηρεῖν τροπῇ Βοιωτικῇ τοῦ η εἰς τὴν ει δίφθογγον. (v. 486) Ὁ δὲ περὶ Πλειάδων καὶ Ὑάδων λόγος τοιοῦτος. Ἄτλαντι τῷ Ἰαπετοῦ καὶ Αἴθρᾳ τῇ Ὠκεανοῦ θυγατέρες ἐγένοντο δώδεκα καὶ υἱὸς Ὕας, ὃν ἐν Λιβύῃ κυνηγετοῦντα ὄφις κτείνει. τῶν δὲ ἀδελφῶν αἱ μὲν ε′ διὰ τὸ ἐπὶ τῷ θανόντι πένθος οὐκέτ' ἦσαν οὐδὲ αὐταί, ἀλλὰ καταστερισθεῖσαι ἐπωνομάσθησαν τῷ ἀδελφῷ Ὑάδες ἐξ αὐτοῦ παρονομασθεῖσαι. ἔπαθον δὲ τὰ αὐτὰ μετὰ ταῦτα καὶ αἱ ἑπτά. διὸ καὶ Πλειάδες εἴρηνται διὰ τὸ πλείους εἶναι τῶν πέντε, κατὰ δέ τινας Πληϊάδες λέγονται ἀπὸ τῆς μητρὸς Πληϊόνης, ἢ ὅτι πλείους ὁμοῦ κεῖνται. βότρυν γοῦν τινες αὐτάς φασιν, ἢ καὶ ὅτι πλησίον ἀλλήλαις εἰσίν, ἢ ὅτι πλείω τινὰ δι' αὐτῶν ἐπισημαίνονται, ἢ ὅτι πλειῶνα σημαίνουσιν, ὃ ἐνιαυτόν, ὡς καὶ Ἡσίοδος «Πληϊάδων Ἀτλαγενέων» καὶ τὰ ἑξῆς. φασὶ δέ τινες κατηστερίσθαι αὐτὰς πενθούσας ἐπὶ τῇ Ἄτλαντος δυστυχίᾳ, ὃς ἀχθοφορεῖ τὰς μυθευομένας κίονας.

4.225 ἑπτὰ δὲ οὐσῶν, ἀμαυρός ἐστιν ὁ ἕβδομος ἀστήρ. μυθεύονται δὲ συνελθεῖν ἐξ αὐτῶν Ταϋγέτην μὲν καὶ Μαῖαν καὶ Ἠλέκτραν Διΐ. ἐξ ὧν Ταϋγέτης μὲν Λακεδαίμων, Μαίας δὲ Ἑρμῆς, Ἠλέκτρας δὲ Δάρδανος. τὴν Ἀλκυόνην δὲ μιγῆναι τῷ Ποσειδῶνι, τὴν Στερόπην δὲ τῷ Ἄρει, ὧν Οἰνόμαος. τὴν δὲ Μερόπην Σισύφῳ, ἐξ ὧν Γλαῦκος. οἱ δὲ παρθένους εἶναί φασι τὰς ἑπτὰ καὶ συγκυνηγετεῖν τῇ Ἀρτέμιδι. Ὠρίωνος δὲ διώκοντος κατ' ἔρωτα, περικαταλήπτους γινομένας μεταβαλεῖν δι' εὐχῆς εἰς πελειάδας, εἶτα καὶ καταστερισθῆναι, ὅθεν καὶ Πλειάδας κληθῆναι, οἱονεὶ Πελειάδας κατὰ συγκοπήν. διὸ καὶ πολλοὶ τῶν ποιητῶν, ὡς καὶ προδεδήλωται, Πελειάδα τὸ ἄστρον τοῦτο καλοῦσι. κεῖνται δὲ κατὰ οὐρὰν τοῦ Ταύρου. τὴν δὲ ἑβδόμην Ἠλέκτραν τὴν, ὡς ἐρρέθη, ἀμαυράν, φασὶν οὐκ ἀνεχομένην Ἰλίου ἅλωσιν ἰδεῖν μεταστῆναι τῆς ἀδελφικῆς ἀλληλουχίας καὶ ἀμαυρωθῆναι. καὶ ταῦτα μὲν περὶ Πλειάδων. Αἱ δὲ Ὑάδες ἐπὶ τῶν τοῦ Ταύρου κεῖνται κεράτων, ἢ διὰ τὸν ἀδελφὸν Ὕαντα οὕτω κληθεῖσαι, ὡς εἴρηται, ἢ διότι τῷ υ στοιχείῳ παρεμφερεῖς εἰσιν, ἢ ὅτι ὑετῶν ἐπισημασίας δηλοῦσι. Τινὲς δὲ Δωδωνίδας νύμφας αὐτάς φασι, Διονύσου τροφούς. αἷς ἡ Ἰνὼ διὰ τὸν τῆς Ἥρας φόβον παρακατέθετο τὸν Διόνυσον, ὅτε καὶ Λυκοῦργος αὐτὰς ἐδίωξε, συμπεριϊούσας ἐκείνῳ καὶ κατανεμούσας τὴν ἄμπελον. τιθέασι δέ τινες αὐταῖς καὶ ὀνόματα, Ἀμβροσίαν, Εὐδώρην, Αἰσύλην, καὶ τοιαῦτά τινα. ἐν δὲ ῥητορικῷ Λεξικῷ εὕρηται καὶ ὅτι Ὑάδες Βάκχαι, τιθῆναι τοῦ Διονύσου, καὶ τὸν Διόνυσον Ὕην φασὶν ἀπὸ τούτων τινές. Ὕης γὰρ ἐπίκλησις τοῦ Σαβαζίου. [Ἔνθα ῥητέον καὶ ὅτι, καθὰ μεταδοτικῶς αἱ τοῦ Διονύσου τροφοὶ ἐξ ἐκείνου Βάκχου Βάκχαι καλοῦνται, οὕτω καὶ ἐκ μαινομένου μαινόμεναι. ἐκαλεῖτο γοῦν καὶ μαινόλης αὐτός. περὶ οὗ φησι Πλάτων, ὡς φήμη ὑπορρεῖ ὅτι ὁ θεὸς οὗτος ὑπὸ τῆς μητρὸς Ἥρας διεφορήθη τῆς ψυχῆς τὴν γνώμην. διὸ τάς τε βακχείας καὶ τὴν μανικὴν πᾶσαν ἐμβάλλει χορείαν.

4.226 Ἄλλως δὲ μαινόμενος Διόνυσος διὰ τοὺς πλείονας ἀκράτου, φησί, σπῶντας θορυβώδεις γίνεσθαι. ὅτε καί, καθ' Ἡρόδοτον εἰπεῖν, τοῦ οἴνου εἰς τὸ σῶμα κατιόντος ἀναπλώει ἔπεα μαινομένῳ πρέποντα.] Καὶ οὕτω μὲν καὶ τὰ κατὰ τὰς Ὑάδας. Ὁ δὲ Ὠρίων ἄστρον μέγιστον καὶ λαμπρότατον, ὁμώνυμον τῷ ἥρωϊ, ὃς ἐπί τε ἀνδρίᾳ καὶ κάλλει καὶ μάλιστα τέχνῃ κυνηγετικῇ τεθρύληται, καὶ κατ' ἔρωτα λέγεται Ἀρτέμιδος σκορπίῳ πληγεὶς καὶ θνῄσκων ἀστροθεσίᾳ τιμηθῆναι. περὶ δ' αὐτοῦ διαλαμβάνει καὶ Ἄρατος καὶ οἱ αὐτοῦ Ὑπομνηματισταί. [Εἴτε δὲ παρὰ τὸ οὐρῆσαι τὸ τοῦ μύθου ὁ Ὠρίων Δωρικῶς ἐτυμολογεῖται, εἴτε παρὰ τὴν ὤραν Ἰωνικῇ ψιλώσει, εἴτε παρὰ τὸ ὀαρίζειν, ὡς Ὀαρίων, καὶ κατὰ κρᾶσιν Ὠρίων, ὡς ἂν εἴποι τις ὁμιλητής, διαφερέσθωσαν οἱ παλαιοί.

4.227 ] (v. 487) Περὶ δὲ Ἄρκτου τοσοῦτον ῥητέον, ὅτι λόγος ἐστὶ Καλλιστὼ τὴν Λυκάονος χόλῳ Ἥρας διὰ τὸν Διὸς ἔρωτα μεταπεσεῖν εἰς ἄρκτον καὶ τοξευθῆναι μὲν ὑπ' Ἀρτέμιδος, ἀναχθῆναι δὲ εἰς

ἀστέρας ὑπὸ Διός. ἔχουσι δὲ καὶ περὶ αὐτῆς τὸ ἀρκοῦν οἱ τοῦ Ἀράτου Ὑπομνηματισμοί. Ἰστέον δὲ ὡς, ἐπεὶ ἄρκτον ὁ μῦθος κατὰ ζωωνυμίαν τὸ τῆς Καλλιστοῦς ὠνόμασεν ἀστροθέτημα, ὁ δὲ Ὠρίων κυνηγέτης ὑπόκειται, χαριέντως εἶπεν ὁ ποιητὴς τὸ «ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει», ἀληθῶς μέν, διότι τὴν αὐτὴν ἡ ἄρκτος τῷ Ὠρίωνι ποιεῖται κίνησιν, ἀστείως δὲ ὡς πρὸς τὸν μῦθον, διότι διότι δέδιεν ὡς ἄρκτος τὸν κυνηγέτην, καὶ διὰ τοῦτο πρὸς τὸ τοῦ Ὠρίωνος ἀπονεύει ἄστρον. λέγει δὲ καὶ κύριον μὲν αὐτῆς εἶναι τὸ ἄρκτος διὰ τὴν τοῦ μύθου ἐξουσίαν, ἥτις αὐτὴν ἐξ ἄρκτου κατηστέρισεν, ἐπίκλησιν δὲ τὸ ἅμαξα δι' ὁμοιότητα τῆς τῶν ἁμαξοειδῶς αὐτὴν συμπληρούντων ἀστέρων θέσεως. περὶ δὲ τούτων ἔχει τι καὶ ἡ Ὀδύσσεια. Ἡ δὲ ἄρκτος ὅτι μετὰ 〈τοῦ〉 τ λέγεται, δηλοῖ ὁ γράψας οὕτως· ἄρκτον, οὐχὶ ἄρκον. τὸν μέντοι ἄνεμον ἄνευ τοῦ τ ἀπαρκίαν διὰ τὸ εὔφωνον καὶ τὴν ἐκεῖθεν πνοὴν ἄρκιον, εἰς ὃ καὶ φέρει ἐκεῖνος χρῆσιν ταύτην «καὶ μὴν πελάζει καὶ καταψύχει πνοὴ ἄρκιος ὢς ναύτησιν ἀσκεύοις μολών». Τὸ δὲ ἅμαξα οἱ μὲν παλαιοὶ ψιλοῦσι, καὶ φέρονται καὶ συναλιφαὶ τοῦτο δηλοῦσαι, οἷον «τιλλέσθην ἐπ' ἄμαξαν», καὶ αἵ δ' ἐπ' ἀμαξιτόν», καὶ κατημαξευμένον.

4.228 οἱ μέντοι νεώτεροι Ἀττικοὶ ἐδάσυναν καὶ διὰ δασείας συνήλειψαν, καθημαξευμένα εἰπόντες, ὥς φασιν οἱ παλαιοί. καὶ ἐγράφη περὶ τούτου καὶ τῶν τοιούτων καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. Ὅτι ἐφ' ὅσον ἤθελεν ἐνδιατρίψας τοῖς θειοτέροις ἐκφραστικῶς ὁ ποιητὴς κατάγει τὸν λόγον ἐπὶ τὰ περὶ γῆν, καὶ πόλεις δύο τῇ ἀσπίδι ἐντυπωσάμενος, τῇ μὲν μιᾷ τὰ τῆς εἰρήνης ἀγαθὰ ἐνθεωρεῖ, γάμου τε ἐκφράσει ἀγάλλων τὴν γραφὴν καὶ δικαστικῇ καθέδρᾳ, τὴν δὲ ἑτέραν πολεμουμένην ποιεῖ καὶ τὰ ἐκ πολιορκίας πάσχουσαν, τὰ τοῦ ἀνθρωπίνου κεφάλαια βίου ἐν τούτοις διαγραφόμενος. (v. 490—540) Ἰστέον δὲ ὅτι τὰς δύο ταύτας πόλεις, ὧν ἐν τῇ μὲν γάμοι καὶ εἰλαπίναι ἦσαν καὶ ὑμέναιος καὶ ὀρχηστῆρες καὶ φόρμιγγες, καὶ αὖ πάλιν λαοὶ ἐν ἀγορᾷ, καὶ νεῖκος ἕνεκεν ποινῆς ἀνδρὸς ἀποφθιμένου, καὶ δύο τάλαντα χρυσοῦ μισθός τις ἐν μέσῳ ἔκειτο, ἐν δὲ τῇ ἑτέρᾳ δύο στρατοὶ λαῶν τεύχεσι λαμπόμενοι, καὶ τάδε καὶ τάδε ποιοῦντες, ἐν οἷς ἄρχει Ἄρης καὶ Ἀθηνᾶ δέ. Τὰς δὴ πόλεις ταύτας τὰς δύο Ἀγαλλίας τις, Κερκυραῖος ἀνήρ, Ἀθήνας φησὶν εἶναι καὶ Ἐλευσῖνα, προάγων οὕτω τὸ εἰκὸς τοῦ λόγου. γάμους γὰρ καὶ ὑμεναίους ἐν Ἀθήναις πρῶτον ἀχθῆναι ὑπὸ Κέκροπος, ὅθεν καὶ διφυῆ τὸν Κέκροπα λέγεσθαι ὁ Χάραξ φησίν, διότι τὸ νομίμως ἐκ δύο φύεσθαι δι' αὐτὸν ἐπέγνων οἱ ἄνθρωποι [τῇ τοῦ γάμου εὑρέσει. οὗ παρώνυμον, ὥσπερ ὁ γαμήλιος λόγος, οὕτω καὶ μὴν Ἀττικὸς ὁ Γαμηλίων, γάμοις ἀφωρισμένος, οἷς γαμηλία Ἥρα ἐπεστάτει.

4.229 καὶ πέμμα δέ τι ἦν καλούμενον καὶ αὐτὸ γαμήλιος, ὡς δῆλον ἐκ τοῦ «πέττεται γαμήλιος».] Καὶ αὐλοὺς δὲ ἐν γάμῳ Ἀθηνᾶ, φησίν, εὗρεν, ᾗ ἐπωνόμασται ἡ τῶν Ἀθηναίων πόλις, καὶ δίκην δὲ φονικὴν λόγος ἐν Ἀθήναις πρῶτον συστῆναι ἐπὶ Ἁλιρροθίῳ τῷ τοῦ Ποσειδῶνος. καὶ οἱ δικασταὶ δὲ Ἀθήνῃσι μισθὸν λαμβάνουσιν, εἰ καὶ τριώβολον ἐκεῖνο, οὐ μὴν διτάλαντον χρυσοῦ, ὅπερ μισθὸς ἐνταῦθα κεῖται πολυτελὴς τῷ τὴν δίκην ἰθύντατα εἰπόντι. καὶ ταῦτα μὲν τὰ τῆς μιᾶς πόλεως, τῆς τῶν Ἀθηνῶν δηλαδή. Δύο δὲ στρατοὶ περὶ ἑτέραν, ἤγουν τὴν Ἐλευσῖνα, Φόρβαντός τε, φησίν, ἐξ Ἀκαρνανίας καὶ Εὐμόλπου τοῦ Ποσειδῶνος ἐκ Θρᾴκης. ἔνθα βοηθοῦσιν Ἄρης μὲν, χάριτας ἀποδιδούς, ὅτι ἀπελύθη κριθεὶς ἐν Ἀρείῳ πάγῳ μετὰ Ποσειδῶνος διὰ τὸν Ἁλιρροθίου φόνον, Ἀθηνᾶ δὲ, ὅτι ἡ πόλις αὐτῇ ἐπωνόμασται. καὶ τὰ ἑξῆς δέ, φησί, τῆς Ὁμηρικῆς ταύτης ἀσπιδοποιΐας τὰ μετὰ τὰς δύο πόλεις ἀρχαιογονίαν δηλοῦσιν Ἀττικήν. (v. 539—60) Νειὸς γὰρ εὐρεῖα τρίπολος ἡ περὶ Ἐλευσῖνα καὶ Ἀττικήν. (v. 539—60) Νειὸς γὰρ εὐρεῖα Τριπτόλεμος ἐκεῖ πρότερον ἔσπειρε σῖτον, ὃν καὶ βασιλέα εἶναί φασι, καθὰ καὶ ὁ ποιητὴς ἐνταῦθα βασιλέα ἐφιστᾷ τῷ θερισμῷ, εἰπὼν «βασιλεὺς δ' ἐν τοῖσι σιωπῇ σκῆπτρον ἔχων ἑστήκει». καὶ ἄροτρον δὲ ἐκεῖ πρῶτον ὁ Βουζύγης ἔζευξε. διό τινες ἐνταῦθα μετὰ τὸ «ἤμων ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες» προσγράφουσι στίχον τοῦτον «καρπὸν Ἐλευσινίης Δημήτερος ἀγλαοδώρου». βοῦς δέ, φησί, ἱερεύεται ἐνταῦθα κατὰ τὸ «βοῦν δ' ἱερεύσαντες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μέγαν ἄμφεπον», διότι πρῶτον ἐκεῖ, φασίν, ἔθυσε βοῦν Θάλων φυγαδευθείς. πολλὴ δὲ καὶ σταφυλὴ ἐν τούτοις κατὰ τὸ «σταφυλῇσι μέγα βρίθουσαν ἀλωήν» διὰ τὴν Διονύσου πορείαν. καὶ ὁ ποικίλος δὲ χορὸς ὁ ἐν τῇ ἀσπίδι Ἀριάδνης καὶ Θησέως τοῦ τῶν Ἀθηναίων βασιλέως ἔχει ἀνάμνησιν. οὐ ταῦτα δὲ μόνον οὕτω συνεβίβασεν ὁ ῥηθεὶς Κερκυραῖος σοφιστής, ἀλλὰ τὰ ἐν ἀρχῇ πρὸς τὸν ὅμοιον σκοπὸν παρείλκυσεν, ἤγουν τὸ «ἐν μὲν γαῖαν ἔτευξεν, ἐν δὲ θάλασσαν». καὶ αὐτὰ γὰρ τὸν Ἥφαιστον ἐπίτηδές φησιν ἐντυπώσασθαι οἷα φιλαθήναιον, γῆν μὲν διὰ τὸν παῖδα Ἐριχθόνιον, τὸν τῆς Ἀττικῆς βασιλέα, ἐπεὶ αὐτόχθων ὁ Ἐριχθόνιος, θάλασσαν δὲ, ἐφ’ ἧς οἰκοῦσι καὶ ᾗ χαίρουσιν Ἀθηναῖοι, ὧν μέγα ἦν τὸ ἐπὶ τῷ ναυτικῷ αὔχημα.

4.230 καὶ ταῦτα μὲν οἱ φιλαθήναιοι τόπους ἐγκωμίων τῇ πόλει φιλοτιμούμενοι ἐκ τῆς Ὁμηρικῆς ποιήσεως καί που ἐκ τοιούτων συνιστᾶν ἐθέλοντες καὶ τὸ Ἀθηναῖον εἶναι τὸν ποιητήν, ὃ δή τινες ἱστόρησαν. (v. 490—6) Ὅμηρος δὲ καλὰς εἰπὼν τὰς ῥηθείσας πόλεις διὰ τὸ ἐξ ὕλης αὐταῖς τίμιον, καὶ μάλιστα διὰ τὸ τοῦ καμάτου ἔντεχνον, γάμον ἐκφράζει πρῶτον, τὸ καὶ πολιτικώτατον ἔργον καὶ τῇ φύσει φίλον. ᾧ συγγενές τι καὶ τὸ τῆς εἰλαπίνης καλόν. καί φησιν «ἐν δὲ δύο ποίησε πόλεις μερόπων ἀνθρώπων, καλάς. ἐν τῇ μέν ῥα γάμοι τ’ ἔσαν εἰλαπίναι τε, νύμφας δ’ ἐκ θαλάμων δαίδων ὑπολαμπομενάων ἠγίνεον ἀνὰ ἄστυ, πολὺς δ’ ὑμέναιος ὀρώρει· κοῦροι δ’ ὀρχηστῆρες ἐδίνεον, ἐν δ’ ἄρα τοῖσιν αὐλοὶ φόρμιγγές τε βοὴν ἔχον· αἱ δὲ γυναῖκες ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη. λαοὶ δ’ εἰν ἀγορῇ ἔσαν ἀθρόοι». Καὶ ὅρα τὸ νόημα τοῦτο μέσως ἔχον, οἷα τὰ μὲν φθάσαντα καθιστῶν, ὑπισχνούμενον δὲ τὰ ἐφεξῆς. ἀνύει δὲ τοῦτο ἡ ὁμωνυμία τῆς ἀγορᾶς. εἰ μὲν γὰρ λαοῦ ἀγορὰ ἡ λαοφόρος νοηθείη, συμπληροῖ ὁ λόγος τὴν τοῦ γάμου ἔκφρασιν κατασταθεὶς εἰς τοὺς θεατὰς λαοὺς τῆς νυμφαγωγίας, ἣν δηλοῖ διαλελυμένως τὸ νύμφας ἀγινεῖν. εἰ δὲ ἔστιν ἀγορὰ ὁ δημηγορικὸς τόπος, ἄρχεται ἐντεῦθεν ἡ ῥηθησομένη δικανικὴ ἔκφρασις, ἵνα λέγῃ ὅτι ἐνταῦθα ἑτέρωθί που τῆς ἀσπίδος λαοὶ συνῆλθον δικανικῶς, «ἔνθα δὲ νεῖκος ὀρώρει» καὶ ἑξῆς. (v. 492) Ὅρα δὲ τὸ «δαΐδων ὑπολαμπομενάων», τὸ καὶ ἀρχαῖον καὶ ἁπλοῦν καὶ εὐπόριστον, ὃ καὶ εἰσέτι πολλοῖς ἐπιχωριάζει.

4.231 αἱ γὰρ διὰ κηρίου ἀνάψεως πομπαὶ τῆς ὕστερον πολυτελείας εὕρημα. [Ἔκπαλαι μέντοι δᾷδες ὑπούργουν εἰς φῶτα σπουδαῖα καὶ εἰς αὐτὰς ἑορτάς, ὡς δῆλον ἐκ τοῦ παρ’ Ἀττικοῖς δᾳδουχεῖν καὶ τῶν παρ’ αὐτοῖς δᾳδούχων, οἳ δοκιμαζόμενοι ἐπεστάτουν ταῖς δᾳδουχίαις. εἰ δὲ καὶ ἔλαιον ἐκ δᾴδων ἐπορίζοντο εἰς πυρὸς ἄναψιν, οἴδασιν οἱ περιτυχόντες.] (v. 493) Ὑμέναιος δὲ γαμήλιος ᾠδή. ἐσχημάτισται δὲ τὸ «πολὺς ὑμέναιος ὀρώρει» ὡς τὸ «πολὺς δ’ ὀρυμαγδὸς ὀρώρει». ἐρεῖ δὲ καὶ μετ’ ὀλίγα «ἔνθα δὲ νεῖκος ὀρώρει» γίνεται δὲ ἡ λέξις ἢ παρὰ τὸ ὑμνεῖν ὡς οἷον ὕμναιός τις, ἢ παρὰ τὸ ὁμοῦ ναίειν τοὺς νυμφίους ὡς οἷον ὁμόναιος, ἢ παρὰ τὸν παρθένειον ὑμένα, ὡς παραδηλοῖ καὶ τὸ «ὑμὴν ὦ, ὑμέναιε ὦ» παρὰ τῷ Κωμικῷ. [Οὗ δὴ διαλέπτου ὑμένος χρῆσις καὶ παρὰ τῷ Δειπνοσοφιστῇ ἐν τῷ «ἐξήλαυνόν τινες τὸν ἄργυρον εἰς ὑμένος ἰδέαν», ἤγουν ἄγαν ἐλαύνοντες. λεπτότατον ἐποίουν ὑμένος δίκην. δῆλον δ’ ὅτι κἀνταῦθα ἡ ἐξ πρόθεσις ἐπίτασιν ἐδήλωσεν. καὶ ἄλλως δὲ ὑμέναιος] ἀπὸ Ὑμεναίου, νεανίου τινὸς Ἀργείου, ὃς παραπλέων Ἀθήνας ἔπαυσε βίαν, ἣν λῃσταὶ Πελασγοὶ ἐπῆγον παρθένοις Ἀττικαῖς, αἳ γάμῳ νομίμῳ ὕστερον ἐκδοθεῖσαι ᾠδὴν ᾖσαν ἐπ’ αὐτῷ, ἣν ὁμωνύμως ἐκάλουν ὑμέναιον. καὶ ἐξ αὐτοῦ πᾶς ὁ ἐν γάμῳ ὕμνος ὑμέναιος. Ἕτεροι δὲ περικαλλῆ τινὰ νεανίαν ἱστοροῦσιν Ὑμέναιον πρὸ ὥρας θανόντα, καὶ εἶναί τινα λόγον αὐτοῦ ἐν τοῖς γάμοις, ὃν καλεῖσθαι ὑμέναιον. Ἰστέον δὲ καὶ ὅτι τὸ «ὑμέναιος ὀρώρει» ἐγράφη οὐχ’ ὅτι ἐξηκούετο, ἀλλ’ ὅτι τῷ σχήματι τῆς ζωοπλαστίας οὕτως ἐῴκει. τοιοῦτον δὲ καὶ ἑξῆς τὸ «αὐλοὶ βοὴν ἔχον», καὶ τὸ «ἄνδρες ἐνείκεον», καὶ «λαοὶ ἐπήπυον», καὶ «πάϊς ἄειδε λεπταλέῃ φωνῇ», καὶ «βόες ἐπεσσεύοντο μυκηθμῷ», καὶ ἕτερα ὅμοια.

4.232 ἐν πᾶσι γὰρ τούτοις οὐ φωνὴ ἐξηκούετο, εἰ καὶ ὁ φίλος Ἡφαίστῳ μῦθος οὕτως ἐθέλει, ἀλλ’ εἰκασμῷ ἐνέφαινε φωνὴν ἡ τῶν ζῴων ἀκριβὴς ἐμφέρεια. (v. 494) Τὸ δὲ «ὀρχηστῆρες ἐδίνεον»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ δίνου, ὅ ἐστι τόρνου, ληφθὲν ἄριστα ἔχει, καὶ οὐκ ἔστι καιριωτέραν ἑτέραν λέξιν εὑρεῖν ἐπὶ εἱλήσεων ὀρχηστοῦ. [Εἰ δὲ πρώτης συζυγίας τῶν περισπωμένων ἐστὶ τὸ ἐδίνεον, ἐξ οὗ τὸ δινεύειν, ἀλλ' ἔστι καὶ τρίτης, ὡς δῆλον ἐκ τοῦ δινωτοῦ.] (v. 495) Ἐν δὲ τῷ «αὐλοὶ φόρμιγγές τε» φασὶν οἱ παλαιοί, ὡς οὐδαμοῦ αὐλοὶ παρ' Ἕλλησιν. εἰ δὲ καὶ Ἀθηνᾶς εὕρημα ὁ αὐλός, ὡς ἀνωτέρω ἐρρέθη, ἀλλ' αὐτὴ πάλιν Ἀθηνᾶ κατὰ τὸν τοῦ Φιλοστράτου λόγον χρησαμένη κατέρριψε τὸ εὑρεθέν, ἐπειδὴ τῷ φυσήματι συγχέειν εἶχε τὸ τοῦ προσώπου κάλλος αὐτῇ καὶ ἀπαχρειοῦν. Γίνεται δὲ αὐλὸς ἀπὸ τοῦ αὔειν, ὅ ἐστι βοᾶν, οὗ παρώνυμος ὁ αὐλών, ἐπιμήκης αὐτὸς καὶ παραμήκης τόπος. ὅθεν καὶ δίαυλος καὶ αὐλὸς κατὰ Παυσανίαν τὸ στάδιον. Αἰσχύλος δέ φησι καὶ τὴν τάφρον αὐλῶνα, ἔνθα καὶ φιμοὺς λέγει αὐλωτούς, διὰ τὸ κώδωνας, φησί, προσῆφθαι αὐτοῖς, οἷς ἐμφυσῶντες οἱ ἵπποι ὡς φωνὴν σάλπιγγος προΐεντο. γράφει οὖν οὕτως «ὃς εἶχε πώλους τέτταρας ζυγηφόρους φιμοῖσιν αὐλωτοῖσιν ἐστομωμένας». ὅτι δὲ τῷ αὐλῷ καὶ ἡ αὖλαξ παρωνόμασται, δῆλον ἐκ τῶν παλαιῶν, [παρ' οἷς φέρεται περὶ αὐλῶν καὶ ταῦτα. Παλαιὸν ὁ αὐλὸς καὶ πολυειδὲς καὶ ὡς ἐπὶ πολὺ καλάμινος. παρὰ γοῦν Ἀλεξανδρεῦσιν ἦν μόναυλος κάλαμος, Ὀσίριδος, φασίν, εὕρημα, καλούμενος τιτύρινος τοῖς ἐν Ἰταλίᾳ Δωριεῦσιν, εἴτ' οὖν σατυρικός.

4.233 τίτυροι γὰρ Δωρικῶς οἱ σάτυροι. ὁ δὲ μόναυλος καὶ καλαμαύλης, φασί, καὶ ῥαπταύλης ἐλέγετο. ἦν δέ τις καὶ πλαγίαυλος, ὅθεν ἡ κοινὴ γλῶσσα τὸ πλαγιαυλίζειν εἴληφε. Ξενοφῶν δὲ ἱστορεῖ γιγγραΐνους αὐλοὺς σπιθαμιαίους παρὰ Φοίνιξιν ὀξὺ καὶ γοερὸν φθεγγομένους, οἷς καὶ Κᾶρες ἐχρῶντο. ἡ δὲ χρῆσις τοῖς γίγγροις ἐκ τῶν περὶ Ἄδωνιν θρήνων, ὃν Γίγγρην ἐκάλουν οἱ Φοίνικες. ἐλέγετο δέ τις αὐλὸς καὶ μάγαδις ὁ καὶ παλαιομάγαδις, ὀξὺν ἅμα καὶ βαρὺν φθόγγον ἐπιδεικνύμενος. ὅτι δὲ καὶ λώτινοι αὐλοὶ ἀπὸ ξύλου ἦσαν Λιβυκοῦ καλουμένου λωτοῦ, λεγόμενοι φώτιγγες ὑπὸ Ἀλεξανδρέων. ὅθεν καὶ τὸ «φωτίγγια καὶ μοναύλια, κώμων οὐ πολέμων ὄργανα», καὶ ὅτι ἀνετρήθησαν καὶ ἐλεφάντινοι αὐλοὶ παρὰ Φοίνιξι, καὶ ὅτι καὶ νεβροῦ κῶλα ἐποίουν αὐλούς, οἳ Θηβαίων ἦσαν εὕρημα τῶν κατ' Αἴγυπτον ἴσως, ἐπεὶ καὶ Ἰόβας ὁ τοῦτο ἱστορῶν Λίβυς ἦν, καὶ ὅτι καὶ ὕδραυλις ἦν μουσικὸν ὄργανον εὕρημα, φασί, Κτησιβίου, κουρέως Ἀλεξανδρέως, ἣν ὁ ἑρμηνεύων Ἀθήναιος ἐμπνευστὴν λέγει, φάμενος καὶ ὅτι τὸ ὑδραυλικὸν ὄργανον κατὰ κλεψύδραν ἐστίν, ἐπὶ τοσοῦτον εἰρήσθω.] (v. 495) Τὸ δὲ «βοὴν ἔχον» ἀντὶ τοῦ ἐβόων, θαυμασίως πέφρασται, καὶ ἔστι δοκιμάσαι, ὡς οὐδὲν ῥῆμα ἐπαχθὲν αὐτὸ καθ' αὑτό, οἷον αὐτὸ δὴ τὸ ἐβόων ἢ ἤχουν ἢ ἤειδον ἢ ἄλλο τι, κάλλιον ἐκφωνηθήσεται τοῦ «αὐλοὶ φορμιγγές τε βοὴν ἔχον». Καὶ ὅρα ὡς καὶ μελικοῖς ὀργάνοις ἡ βοὴ ἐπιλέγεται. [Ὧν δὴ ὀργάνων, τῶν κατὰ μοῦσαν δηλαδὴ καὶ μέλος, οὐ μόνον διάφορα εἴδη ἔστιν εἰπεῖν, ἀλλὰ καὶ ἔκφυλα κατὰ τὸν Ἀθήναιον, ἐν οἷς καὶ πηκτίδες καὶ μαγαδίδες καὶ σκινδαψοὶ καὶ πανδοῦρα, ἣν κατεσκεύαζον, φασί, Τρωγλοδύται ἐκ τῆς κατὰ θάλασσαν φυομένης δάφνης.

4.234 Ὅτι δὲ τοῦ εἰρημένου αὐλοῦ ὑποκοριστικόν ἐστιν ὁ αὐλίσκος, καὶ ὅτι καὶ αὐλὸς αἵματος λέγεταί που καθ' ὁμοιότητα μεταφορικῶς, καὶ ὅτι ἐκεῖθεν παρὰ Σοφοκλεῖ μὲν βοὴ πάραυλος ἡ ἐξισουμένη αὐλῷ ἢ κατὰ θρηνῳδίαν ἢ διὰ τὸ τρανές, παρ' ἑτέρῳ δέ τινι μέλος πάραυλον τὸ ἀπῳδόν, κατὰ τὸ «ὑπὸ ἐμφύτου γαστριμαργίας καὶ ἡδυλογίας ἀναπέμπει μέλη πάραυλα» οὐκ ἂν εἴη περιττὸν ἐνταυθοῖ παραπεπῆχθαι.] (v. 496) Τὸ δὲ «αἱ γυναῖκες ἑκάστη» ἀστειότερον τοῦ γυναικῶν ἑκάστη, ἔστι δὲ Ἀττικόν. (v. 497—508) Ὅτι τὴν προσεχῶς ῥηθεῖσαν δικηγορίαν ἐκφράζων ὁ ποιητής φησιν «ἔνθα δὲ νεῖκος ὀρώρει», ὡς καὶ προεγράφη, «δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς ἀνδρὸς ἀποφθιμένου· ὃ μὲν εὔχετο πάντ' ἀποδοῦναι δήμῳ πιφαύσκων, ὃ δ' ἀναίνετο μηδὲν ἑλέσθαι· ἄμφω δ' ἱέσθην ἐπὶ ἴστορι πεῖραρ ἑλέσθαι. λαοὶ δ' ἀμφοτέροισιν ἐπήπυον ἀμφὶς ἀρωγοί. κήρυκες δ' ἄρα λαὸν ἐρήτυον. οἱ δὲ γέροντες εἵατ' ἐπὶ ξεστοῖσι λίθοις ἱερῷ ἐνὶ κύκλῳ. σκῆπτρα δὲ κηρύκων ἐν χέρς' ἔχον ἠεροφώνων. τοῖσιν ἔπειτ' ἤϊσσον, ἀμοιβηδὶς δ' ἐδίκαζον. κεῖτο δ' ἄρ ἐν μέσσοισι δύο χρυσοῖο τάλαντα τῷ δόμεν, ὃς μετὰ τοῖσι

δίκην ἰθύντατα εἴποι». Καὶ ὅρα δικαστηρίου παλαιοῦ διάθεσιν. θρόνοι τε γὰρ κεῖνται λίθινοι τοῖς ἀθροιζομένοις, ὅπερ οὐκ ἐν δικαστηρίοις μόνον, ἀλλὰ καὶ ὅλως ἐν ταῖς ἀγοραῖς καὶ ταῖς θέαις ἦν, καὶ γέροντες δικάζοντες. Γέροντες δὲ ἢ τῷ χρόνῳ, οἳ συνέσει καὶ πολυπειρίᾳ πραγμάτων προέχουσιν, ἢ καὶ ἁπλῶς ἄλλως ἔντιμοι, κἂν μὴ τῇ ἡλικίᾳ γέροντες εἶεν. Καὶ σκῆπτρα δὲ οὐ μόνον βασιλεῦσιν, ἀλλὰ καὶ δικασπόλοις. ἔστι γὰρ τὸ σκῆπτρον οὐ μόνον βασιλείας, ἀλλὰ καὶ θέμιδος σύμβολον, ὡς καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ εἴρηται. ὁ δὲ τόπος τοῦ δικαστηρίου κύκλος διὰ τὸ πολυχώρητον τοῦ τοιούτου σχήματος, ὅθεν καὶ Σοφοκλῆς «κυκλόεντα θρόνον ἀγορᾶς» λέγει. καὶ κήρυκες δ’ ἐνταῦθα, οἷς ἔργον κηρύσσειν τε εἰς ἀγορὴν καὶ κατασιγάζειν θορυβοῦντα ὄχλον, ὡς πολλαχοῦ δηλοῦται, καὶ τὰ σκῆπτρα δέ, ὥσπερ τὰ τῶν βασιλέων, οὕτω καὶ τὰ τῶν δικαστῶν, τέως μὲν ἔχειν, ἐν καιρῷ δὲ χειρίζειν αὐτοῖς.

4.235 καὶ οἱ δικασταὶ δὲ σκήπτροις ἀΐσσουσιν, ὡς τὰ σκῆπτρα τοῖς λόγοις συνδιαφέροντες. οὔπω γὰρ ἀνέδην χεῖρας ἐκίνουν. ἐσχημάτιζον οὖν τοῖς σκήπτροις, ὡς καὶ ἡμεῖς χειρονομοῦμεν πολλάκις ἐν τῷ λέγειν. Ὀδυσσεὺς οὖν ἐπεὶ δημηγορῶν ποτε ἀκίνητον εἶχε τὸ σκῆπτρον, ἀμαθίας δόξαν ὑπέβαλε τοῖς Τρωσὶ καὶ ζάκοτος ἔδοξε. Κεῖται δὲ καὶ μισθός, ὡς προερρέθη, δικαστῇ τὰ δύο τοῦ χρυσοῦ τάλαντα δικαιοκρισίας ἆθλον, ἐπὶ δικαιοσύνην προκαλούμενα. εἰ μή τι ἄρα ἢ τῷ τεχνικῶς δημηγορήσαντι δικηγόρῳ κεῖνται μισθὸς κατὰ τοὺς παλαιούς, ἢ τῶν δικαζομένων τῷ μὴ ψευσαμένῳ, ὡς προστιμωθέντος τοῦ ψευσαμένου. Ἰστέον δὲ ὅτι καὶ ἄλλη τις ἦν ἐν τοῖς τοιούτοις δόσις χρημάτων. καὶ ἐλέγετο τὰ τοιαῦτα χρήματα ὑποφόνια, διδόμενα τοῖς φόνου κατηγοροῦσιν, ἵνα μὴ ἐπεξέλθωσι. καὶ ταῦτα μέν, ὡς ἐν ἐπιτόμῳ, δικαστηρίου παλαιοῦ διάθεσις. ἦν δὲ παλαιὸν ἔθος καὶ τὸ ποινήν ἔστιν ὅτε δίδοσθαι ὑπὲρ φόνου καὶ μὴ ἀνάγκην εἶναι φεύγειν ἀεὶ τὴν πατρίδα τὸν πεφονευκότα. ἔφη γὰρ «δύο ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς ἀνδρὸς ἀποφθιμένου». καὶ ἔστιν ἐνταῦθα μάλιστα κυρία λέξις ἡ ἐπὶ φόνῳ ποινή, ἐκ τοῦ φόνου γινομένη. (v. 499 s.) Καὶ «ὃ μέν, φησίν, «ηὔχετο πάντ’ ἀποδοῦναι», ἤγουν χρεωστικῶς δοῦναι, χρέος γάρ τι καὶ ἡ ποινή. ὁ δὲ ἀπαιτῶν τὴν ποινὴν ἔλεγε μηδὲν ἑλέσθαι. (v. 498) Ἰστέον δὲ ὅτι τὸ «νείκεον εἵνεκα ποινῆς» διασαφητικόν ἐστι τοῦ «νεῖκος ὀρώρει», ὅπερ οὐ μόνον μάχην δηλοῖ, ἀλλὰ καὶ ἕτερα εἴδη στάσεων. (v. 500) Τὸ δὲ «δήμῳ πιφαύσκων» ὡς ἐν δημοκρατίᾳ τὴν δίκην ὑποτίθεται λέγεσθαι, ὁποία καὶ ἡ τῶν Ἀθηναίων πολιτεία. (v. 501) Ἵστωρ δὲ ἢ ὁ μάρτυς παρὰ τὸ εἰδέναι, ἐφ’ οὗ καὶ ὁ ἴδρις, καὶ παρὰ τὸ ἴσημι, τὸ γινώσκω, ἵνα δηλοῖ τὸν ἐπιστήμονα μάρτυρα.

4.236 ἢ ὁ κριτὴς διὰ τὸ ἐπίστασθαι καὶ αὐτός. Τὸ δὲ «πεῖραρ ἑλέσθαι» ἀρετὴν δηλοῖ καὶ μάρτυρος καὶ κριτοῦ ἀγαθοῦ, οἳ πέρας οἴδασι τιθέναι τοῖς πράγμασιν. Ἰστέον δὲ ὅτι ὁ Ὁμηρικὸς ἵστωρ καὶ ἰδύος ἐλέγετο παρὰ τοῖς παλαιοῖς ἐν διφορουμένῃ γραφῇ. Παυσανίας γοῦν ἐν οἷς ἔγραψε κατὰ στοιχεῖον, ἐν μὲν τῷ ε στοιχείῳ γράφει εἰδύοι· μάρτυρες, ἐν δὲ τῷ ι ἰδύους· μάρτυρας, συνίστορας. δῆλον δὲ ὅτι ὁ συνίστωρ σύστοιχόν ἐστι τῷ ἵστορι. εἰ δὲ διφορεῖ τὴν γραφὴν καὶ αὐτός, καινὸν οὐδέν. ὅτι δὲ ἰδύους καὶ Δράκων καὶ Σόλων τοὺς μάρτυράς φησιν, Αἴλιος Διονύσιος ἱστορεῖ. (v. 502) Οἱ δὲ ἀμφοτέρωθεν ἐπηπύοντες ἀρωγοὶ λαοὶ δικηγόροι, ὡς εἰκός, εἰσιν ἢ καὶ κοινὸς ὄχλος, ὁποῖα τὰ τῶν δημοκρατουμένων. [Κάλλους δὲ ποιητικοῦ παρίσωσις τὸ «ἐπήπυον» καὶ τὸ «ἐρήτυον».] (v. 504) Ξεστοὶ δὲ λίθοι οἱ χειρόκμητοι καὶ μὴ εἰκῇ κείμενοι ἢ οἱ εὔξεστοι. λέγοιντο δ’ ἂν οἱ τοιοῦτοι θῶκοι καὶ ἐλαίῳ στίλβειν διὰ τὸ εὖ ἐξέσθαι. Ἱερὸς δὲ κύκλος ὁ τῆς ἀγορᾶς διὰ τὴν ἐν αὐτῇ θέμιν καὶ δίκην, ὧν ἱερόν τι ὁ τοιοῦτος εἶναι κύκλος δηλοῖ. συντελεῖν δέ τι ἐνταῦθα φανεῖται καὶ τὸ «ἱράων προπάροιθε καθήμενοι», ὃ ἐν τοῖς ἑξῆς κεῖται. ὅτι δὲ κυκλοτερὴς ἡ ἀγορά, ἐν ᾗ καὶ ἡ βουλή, δῆλον καὶ ἐκ τοῦ «ὀλιγάκις ἄστυ κἀγορᾶς χραίνων κύκλον». (v. 505) Τὸ δὲ «σκῆπτρα κηρύκων ἐν χερσὶν ἔχον» στρυφνῶς πέφρασται. χρὴ μὲν γὰρ σκῆπτρα ἔχειν τοὺς δικαστάς. καθήμενοι δὲ πάντως οὐκ ἔχουσιν. ἀΐσσοντες γάρ, ὅ ἐστιν ἀνιστάμενοι, κρατοῦσιν αὐτά. ἔχουσιν οὖν τὰ τούτων σκῆπτρα περιεστῶτες οἱ κήρυκες. εἰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοίνυν οἱ κήρυκες τὰ ἐκείνων ἀναγκαίως ἑστῶτες κρατοῦσιν, ἔχουσιν ἄρα οἱ δικασταὶ τὰ σφῶν σκῆπτρα ἐν χερσὶ κηρύκων. καὶ δῆλον ὡς ἄλλως μὲν ἔχουσιν αὐτὰ ἑστηκότες, κρατοῦσι γὰρ αὐτοὶ χειριζόμενοι, ἄλλως δὲ ἔχουσι τὰ τοιαῦτα ἐν χερσὶ κηρύκων. κέκτηνται γὰρ ὡς οἰκεῖα ὄντα. Ἰστέον δὲ ὅτι ἐκ τοῦ σκῆπτρα ἔχειν ὁ σκηπτοῦχος σύγκειται, ἀποδραμόντος τοῦ ρ διὰ καλλιφωνίαν.

4.237 εἶεν δ’ ἂν σκητοῦχοι οὐχ’ οἱ κήρυκες, εἰ καὶ ἔχουσι σκῆπτρα δικαστικά, οἱ δικασταὶ δὲ μάλιστα συνήθως λέγοιντ’ ἂν σκηπτουχεῖν κατὰ τὸ «σκηπτοῦχοι βασιλῆες». ὅτι δὲ βασιλεῖς καὶ οἱ δικασταί, δηλοῖ καὶ Ἡσίοδος ἐν τῷ «ὧδ’ αἶνον βασιλεῦς’ ἐρέω». Ἡροφώνους δὲ κήρυκας Ὅμηρος κἀνταῦθα εἰπὼν τὸν κατὰ Ζήνωνα τῆς φωνῆς ὅρον προϋπέβαλεν, εἰπόντα «φωνή ἐστιν ἀὴρ πεπληγμένος». (v. 506) Ἐν δὲ τῷ «ἔπειτα ἤϊσσον» ἀργὸν τὸ «ἔπειτα» καθ’ ὁμοιότητα τοῦ δή. οὐ γὰρ δύναται οὐδ’ ἐνταῦθα τὸ μετὰ ταῦτα δηλοῦν. Ἰστέον δὲ καὶ ὅτι ἐν τοῖς Αἰλίου Διονυσίου φέρεται καὶ ὡς Ἀττικὰ μὲν τὸ εἶτα καὶ ἔπειτα. τὸ δὲ εἶτεν, φησί, καὶ ἔπειτεν Ἰακά. διό, φησί, καὶ παρ’ Ἡροδότῳ κεῖνται. Τὸ δὲ «ἀμοιβαδὶς δ’ ἐδίκαζον» ἀντὶ τοῦ ἐναλλάξ, πρῶτον ἀνιστάμενος οὗτος, εἶτα ἐκεῖνος, μεθ’ οὓς ἄλλος, ἢ ἀμοιβαδὶς ἀντὶ τοῦ κατὰ λαχμόν τινα καὶ κλῆρον ἄλλοτε ἄλλος, ὡς ἐν τῷ κατ’ Ἀθήνας δήμῳ ἐγίνοντο, καθὰ δηλοῖ καὶ ὁ τῶν Ἀττικῶν ἐθῶν διδάσκαλος Κωμικός. (v. 508) Τὸ δὲ «ἰθύντατα» ὡς ἐκ τοῦ ἰθύνω ἔχει τὸ ἀμετάβολον. ἄλλως γὰρ ἐκ τοῦ ἰθύς ἰθύτατα ὤφειλεν εἶναι καθ’ ὁμοιότητα τοῦ εὐθύς εὐθύτατος καὶ τῶν ὁμοίων. (v. 509—33) Ὅτι τὴν εἰρηνεύουσαν πόλιν φράσας, ὡς ἐρρέθη, ὁ ποιητὴς τὰ περὶ τῆς δευτέρας οὕτω φράζει «τὴν δ’ ἑτέρην πόλιν ἀμφὶ δύω στρατοῖ εἵατο λαῶν, τεύχεσι λαμπόμενοι. δίχα δέ σφισιν ἥνδανε βουλή, ἠὲ διαπραθέειν ἢ ἄνδιχα πάντα δάσασθαι κτῆσιν, ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἔεργεν. οἳ δ’ οὔ πω πείθοντο, λόχῳ δ’ ὑπεθωρήσσοντο.

4.238 τεῖχος μέν ῥ’ ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα ῥύατ’ ἐφεσταότες, μετὰ δ’ ἀνέρες, οὓς ἔχε γῆρας. οἳ δ’ ἴσαν· ἦρχε δ’ ἄρα σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη, ἄμφω χρυσείω, χρύσεια δὲ εἵματα ἔσθην, καλὼ καὶ μεγάλω, σὺν τεύχεσιν, ὥς τε θεώ περ ἀμφὶς ἀριζήλω· λαοὶ δ’ ὑπ’ ὀλίζονες ἦσαν. οἳ δ’ ὅτε δή ῥ’ ἵκανον, ὅθι σφίσιν εἶκε λοχῆσαι ἐν ποταμῷ, ὅθι τ’ ἀρδμὸς ἔην πάντεσσι βοτοῖσιν, ἔνθ’ ἄρα τοί γε ἵζοντ’ εἰλυμένοι αἴθοπι χαλκῷ. τοῖσι δ’ ἔπειτ’ ἀπάνευθε δύω σκοποὶ εἵατο λαῶν δέγμενοι, ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικας βοῦς. οἳ δὲ τάχα προγένοντο, δύω δ’ ἅμ’ ἕποντο νομῆες τερπόμενοι σύριγξι, δόλον δ’ οὔ τι προνόησαν. οἳ μὲν προϊδόντες ἐπέδραμον, ὦκα δ’ ἔπειτα τάμνοντ’ ἀμφὶ βοῶν ἀγέλας καὶ πώεα καλὰ ἀργεννῶν οἴων, κτεῖνον δ’ ἐπὶ μηλοβητῆρας. οἳ δ’ ὡς οὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουσὶν ἱράων προπάροιθε καθήμενοι, αὐτίκ’ ἐφ’ ἵππων βάντες ἀερσιπόδων μετεκίαθον, αἶψα δ’ ἵκοντο. στησάμενοι δ’ ἐμάχοντο μάχην ποταμοῖο παρ’ ὄχθας», ἣν καὶ ἐκφράζει εὐθὺς ἐν στίχοις ἑπτά, οἳ ἐφεξῆς δηλωθήσονται. Ἰστέον δὲ ὅτι δύο στρατοὺς ἐνταῦθά τινες μὲν μιᾷ πόλει καὶ ἀμφοτέρους ἐπελθόντας φασίν, ὡς προερρέθη νοεῖν ὁ Κερκυραῖος σοφός, ἕτεροι δὲ τὸν μὲν ἕνα πολέμιον πάνυ τοῖς ἐν τῇ πόλει, τὸν δὲ ἕτερον οὐ λίαν τοιοῦτον. τὸ δὲ ὅλον εἰπεῖν, πάνυ τετάρακται ἡ τοιαύτη ὅλη ἔννοια, καὶ διόλου ἔχει τὴν ἀμφιβολίαν, ὡς δεικνύουσιν οἱ παλαιοί, δεξιώτατα συμβιβάζοντες τὰς διαφόρους ἐννοίας. Καὶ σημείωσαι καὶ τὸν τόπον τοῦτον μάλιστα, εἴπερ τινὰ ἄλλον, εἰς ἀμφιβολίας παράδειγμα. φαίνεται γὰρ ἐνταῦθα μία μὲν ἔννοια τοιαύτη τις, ὡς οἱ μὲν πολέμιοι ἐζήτουν δάσασθαι τὰ τῆς πόλεως, εἰ μὴ βούλονται οἱ πολῖται πορθηθῆναι. αὐτοὶ μέντοι οὐκ ἐπείθοντο, ἀλλ’ ἡτοιμάζοντο εἰς λόχον καὶ τὸ τεῖχος τῇ ἀχρήστῳ ἡλικίᾳ φυλάσσειν ἐπιτρέψαντες καὶ ἀφικόμενοι εἰς τὸν ποταμόν, ὅπου ἠρδεύοντο τὰ βοτά, ἐκρύπτοντο καθίσαντες δύο σκοποὺς κατὰ τῆς ἤδη γενομένης λείας τῶν πολεμίων. καὶ οἱ πολέμιοι ἦλθον. δύο δὲ ἦσαν ποιμένες αὐτοῖς, τὰ ληϊσθέντα μὲν ζῷα ποιμαίνοντες, τὸν λόχον δὲ οὐ προϊδόμενοι. ἐπιδραμόντων δὲ τῶν πολιτῶν τοῖς ποιμνίοις, πυθόμενοι οἱ πολέμιοι ἐν

ὅσῳ ἔτι ἐβουλεύοντο, αὐτίκα ἐφ’ ἵππων βάντες ἱστῶσι μάχην παρὰ τῷ ποταμῷ. καὶ αὕτη μὲν μία ἔννοια τοῦ κατὰ τὴν δευτέραν πόλιν χωρίου.

4.239 Ἑτέρα δέ τις τοιαύτη, ὡς οἱ μὲν πολέμιοι ἐβούλοντο τὰ σφίσιν, ὡς ἐρρέθη, δοκοῦντα περὶ τῆς πόλεως. τῶν δὲ πολιτῶν μὴ πειθομένων λόχῳ ὑπεθωρήσσοντο οἱ ἀντίμαχοι παρὰ τῷ ποταμῷ καὶ ἐκάθισαν σκοπούς, προσδεχόμενοι τὰ ζῷα τῶν πολιτῶν, πότε ἂν ἔλθωσι πιόμενα, τῶν δὲ ἐλθόντων ἀγνοίᾳ τοῦ λόχου ἐπιδραμόντες οἱ πολέμιοι τά τε ζῷα ἔταμνον καὶ τοὺς νέμοντας ἔκτεινον, οἱ δὲ πολῖται βουλευόμενοι μέν, μαθόντες δὲ ταῦτα, βοηθοῦσι τὴν ταχίστην, καὶ μάχη γίνεται. αὕτη καὶ ἡ δευτέρα ἔννοια. Ἡ δὲ τρίτη ὧδέ πως ἔχει. διχῇ τοῖς πολεμίοις στρατοῖς ἥνδανε βουλή, τοῖς μὲν πορθῆσαι τὴν πόλιν, τοῖς δὲ ἀφεῖναι μὲν ἀπόρθητον, μερίσασθαι δὲ τὰ ἐκείνης ἐκ συμβάσεως κοινῆς. ἐπεὶ δὲ ὁ εἷς στρατὸς οὐκ ἐπείθετο τοῖς τοῦ ἑτέρου, γίνεται λόχος. καὶ ἡ μὲν πόλις φυλάσσεται, καὶ ὁ τῆς πόλεως στρατὸς ἔξεισιν, ὡς εἰκός, κατὰ τὸ σιωπώμενον. τῶν δὲ δύο ἐκείνων στρατῶν ὁ ἕτερος λοχῶσι παρὰ τῷ ποταμῷ κατὰ τῶν συστρατευσαμένων καὶ ληΐζονται τὰ ἐκείνων, πρότεροι ἐπιδραμόντες, οἱ δὲ πυθόμενοι ἀνθορμῶσι. καὶ οὕτω δηλαδὴ μένει ἀπαθὴς ἡ πόλις, ὡς τῶν δύο στρατῶν ἐκπολεμωθέντων ἑαυτοῖς. Σημείωσαι οὖν ὅπως ὁ ποιητὴς ἐνταῦθα στρυφνῶς γράψας καὶ δεινώσας τὴν φράσιν ταῖς συχναῖς ἀντωνυμίαις, τῷ «οἳ μέν» καὶ «οἳ δέ» καὶ τοῖς ὁμοίοις, εἰς ἀσάφειαν τὸν λόγον περιήγαγεν, ὡς ἐντεῦθεν τὸ χωρίον τοῦτο μερισθῆναι εἰς τριπλῆν ἔννοιαν. (v. 511) Ὅρα δὲ ὅτι τὸ «πάντα δάσασθαι» ἡρμήνευσεν εἰπών· κτῆσιν ὅση τις ἦν ἔσω. ἣν καὶ ἐπήρατον λέγει, οὐχ’ ὅτι νῦν ἐν τῷ δαιδάλματι τοιαύτη φαίνεται, ἀλλ’ ὅτι πραγματικῶς τοιαύτην εἶναι χρὴ τὴν μερισθησομένην κτῆσιν. ἴσως δὲ τοῦ πτολιέθρου μᾶλλον ἐπίθετόν ἐστι τὸ ἐπήρατον διὰ τὸ χρυσέας ὕλης εἶναι. (v. 512) Ἐέργειν δὲ καὶ νῦν τὸ συγκλείειν, ἤτοι περιέχειν. (v. 513) Τὸ δὲ «οὔ πω πείθοντο» οὐκ ἐξ ἀνάγκης χρονικῶς ἐρρέθη ὡς μελλόντων ὕστερον πεισθῆναι, ἀλλὰ δύναται νοεῖσθαι ἁπλῶς καὶ ἀντὶ τοῦ οὐκ ἐπείθοντο, ὥς που καὶ ἀλλαχοῦ κεῖται τὸ «ἐπεὶ οὔ πω πάντες ὁμοῖοι». καίρια δὲ πάρισα ἐν ἑνὶ στίχῳ τὸ «πείθοντο» καὶ «ὑπεθωρήσσοντο».

4.240 Ἔστι δὲ τὸ «ὑπεθωρήσσοντο» ἀντὶ τοῦ κρύφα καὶ δολίως ὡπλίζοντο. δόλος γάρ τις ὁ λόχος. διὸ καί φησι «δόλον δ’ οὔ τι προνόησαν». διὸ καὶ ἵζονται οἱ λοχῶντες, καὶ λόχον καθίζειν λέγεται ὁ λοχαγός. καὶ ἔστιν οἰκεῖον ἐπὶ δολιευομένων εἰπεῖν τὸ «οἳ δ’ οὔ πω πείθοντο, λόχῳ δ’ ὑπεθωρήσσοντο». ἔχει δέ τινα ὁμοιότητα πρὸς τὸ ὑπεθωρήσσοντο καὶ τὸ ὑφαιρεῖν καὶ τὸ ὑφελέσθαι, ἃ καὶ αὐτὰ δόλον δηλοῖ, κλεπτικὸν μέντοι ἐκεῖνα. (v. 514) Ἐν δὲ τῷ «τεῖχος μὲν ἄλοχοί τε» καὶ ἑξῆς, ἐμφαίνεται δεῖν μηδὲ τὰς γυναῖκας τῶν πολεμικῶν ἔργων ἀμαθεῖς ἀφεῖσθαι, καὶ τὰ νήπια δὲ ὡς οἷόν τε πωλοδαμνεῖν εἰς τοὺς ὑπὲρ τῆς πατρίδος κινδύνους. καὶ ἔστι ταῦτα τῶν ἐπὶ Ἕκτορος προρρηθέντων προμηθέστερα καὶ γενναιότερα. ὁ μὲν γὰρ ἐν τῇ θʹ ῥαψῳδίᾳ παῖδας πρωθήβας καὶ πολιοκροτάφους γέροντας κελεύει περὶ τὸ ἄστυ λέξασθαι, τὰς δὲ γυναῖκας ἐν μεγάροις πῦρ καίειν καὶ φυλάσσειν. ὁ δὲ ὁπλοποιὸς οὗτος πρὸς τοῖς πρεσβυτέροις καὶ τὰς ἀλόχους καὶ τὰ νήπια τῷ τείχει πρὸς φυλακὴν ἐφιστᾷ, διδάσκων μὴ ὀκνεῖν μηδὲ τὰς γυναῖκας, ἀλλ’ ἀνδρεῖα ἔστιν οὗ ἐπιτηδεύματα καθηκόντως παιδεύεσθαι, ὁποία τις καὶ ἡ Ἀνδρομάχη, καὶ τοὺς παῖδας δὲ ἐκ νηπίων ὡς οἷόν τε συνεθίζειν πόνων τοῖς τεκοῦσι κοινωνεῖν. Πλάτων οὖν ἐν Νόμοις ἀξιῶν καὶ γυναῖκας γυμνάζεσθαι τὰ πολεμικὰ παρ’ Ὁμήρου τὴν ὑποθήκην ἔχει μαθών. καὶ Σαυροματῶν δὲ αἱ γυναῖκες ἀνδρείαν ἐνδῦσαι στολὴν πολεμοῦσιν. ἔστι καὶ τὰς Ἀμαζόνας εἰς συγκρότησιν τοῦ λόγου παραλαβεῖν, Ῥοδογούνην δέ τινα καὶ Ἀταλάντην καὶ ἥτις ἄλλη τῶν καθέκαστα γυνὴ ἀνδρεία, περιττὸν ἱστορεῖν. ὅλως γάρ, ἐπειδὴ τοῖς παιδουργοῖς μορίοις ἀνὴρ διενηνόχατον καὶ γυνή, τῇ φύσει δὲ οὐδέν, οὐκ ἀπεικὸς ἐπὶ τοῖς αὐτοῖς ἀμφοτέρους εὐδοκιμεῖν. (v. 515) Τὸ δὲ ῥύειν ἢ ῥύεσθαι νῦν μὲν συνήθως Ὁμήρῳ ἐπὶ τοῦ φυλάσσειν τίθεται.

4.241

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Παυσανίας δὲ καὶ ἐπὶ θυσίας κεῖσθαι τὴν λέξιν λέγει, ὅθεν καὶ ἀναρρύειν φησὶ τὸ θύειν, καὶ ἡ θυσία ἀνάρρυσις. δῆλον δὲ ὅτι καὶ ἐπὶ τοῦ ἕλκειν ἡ λέξις λέγεται, ὡς δηλοῖ καὶ τὸ ῥυστάζειν ἀπ' αὐτοῦ γεγονός. τοῦτο δὲ τοῦ ε πλεονάσαντος ἐρύειν λέγεται. καὶ ἴσως ἀπὸ τοῦ ῥύειν, τὸ ἑλκύειν, καὶ ἀνάρρυσις ἡ θυσία, ὥσπερ ἀπὸ τοῦ ἐρύειν τὸ ἀνερύειν γίνεται. [Ἰστέον δὲ ὅτι ἐκ τοῦ ἐρύω γίνεσθαι δοκεῖ καὶ τὸ ἀρύω τροπῇ τοῦ ε εἰς α κατὰ τὸ Ἄρτεμις Ἄρταμις. ἐκ δὲ τοῦ ἀρύειν καὶ ὁ παρὰ τῷ Κωμικῷ ἀρύβαλλος καὶ ἡ ἀρύταινα καὶ ἀρύστιχοι καὶ ἀρυσάναι καὶ ἀρυστῆρες.] Τὸ δὲ «ἐφεσταότες» συγκείμενον μὲν τῷ «νήπια τέκνα» καινόσχημόν ἐστι, συνταχθὲν δὲ τοῖς ἐφεξῆς κοινόν ἐστι, ἵνα ᾖ «ἐφεσταότες μετὰ δ' ἀνέρες, οὓς ἔχε γῆρας», ἤγουν ῥύατο τῆς πόλεως τὸ τεῖχος, ἐφεστῶτες καὶ οἱ ἔξωροι, οἳ οὐκ ἂν εὐφυῶς ἔχειν γῆρας ῥηθεῖεν, ἀλλ' ἔχεσθαι ὑπὸ γήρως κατὰ τὸν ποιητήν, ὡς οἷά τινες πεδῆται ἢ αἰχμάλωτοι. Καὶ ὅρα τὸ «οὓς ἔχε γῆρας», περιφρασθὲν ἀντὶ τοῦ γέροντες. καὶ ἄλλως δὲ σαφέστερον εἰπεῖν περὶ τοῦ «ῥύατ' ἐφεσταότες», τινὲς μὲν συμβιβάζουσι τελείαν στίζοντες εἰς τὸ «ῥύατο», εἶτα ἐπάγοντες τὸ «σὺν δὲ αὐτοῖς», ὡς ἐρρέθη, ἑστῶτες καὶ οἱ γέροντες.

4.242 Ἕτεροι δέ φασιν Ἀλκμανικῷ ἐοικέναι σχήματι. προαποδέδοται γὰρ τὸ «ἐφεσταότες» ἀρσενικὸν ὄνομα, πρὶν εἴπῃ τὸ «ἀνέρες», οἷόν τι καὶ τὸ «Πυριφλεγέθων τε ῥέουσι Κωκυτός τε», καὶ «ἐὰν Ἄρης ἄρχωσι μάχης καὶ Φοῖβος». καὶ ἐν τούτοις γὰρ ἡ μετοχὴ προεκπεφώνηται, ἣν ἔδει ἐπάγεσθαι. Ἄλλοι δὲ παράγουσι σχήματα ὅμοια Ὁμηρικὰ ἐν θηλυκῷ σημαινομένῳ ἀρρενόφωνα οἷον «κλυτὸς Ἱπποδάμεια», «θῆλυς ἀϋτμή», «ὀδμὴ ὀλοώτατος», «ὅπα χάλκεον», «ἁλὸς πολιοῖο», καὶ ἐπὶ δυϊκῶν δὲ «πληγέντε κεραυνῷ», ἀντὶ τοῦ πληγεῖσαι. οὕτως οὖν, φασί, καὶ ὧδε ἄλοχοι καὶ νήπια τέκνα φύλασσον ἐφεσταότες. Καὶ ἄλλως δέ, φασί, τῷ «νήπια τέκνα» συνακούεται τὸ ἄρρεν, «οἱ παῖδες», ὡς καὶ ἐν ἄλλοις γίνεται. τοιοῦτον καὶ τὸ «νεφέλη δέ μιν ἀμφιβέβηκε, τὸ μὲν οὔποτ' ἐρωεῖ». πρὸς τὸ νέφος γὰρ ἡ ἀπόδοσις τῇ νεφέλῃ ἀντιφωνούμενον, καὶ πάλιν «βοῦν ἀζαλέην, τό μοί ἐστι» πρὸς γὰρ τὸ σάκος ἡ ἀναφορά, καὶ «εἰροπόκοις ὀΐεσσι, τὰ δ' ἐρῆμα φοβεῖται». πρὸς τὰ πρόβατα γὰρ ἢ τὰ πώεα ἀναφέρει τὸ σχῆμα. τοιοῦτον καὶ τὸ «δίχα πάντα δάσασθαι κτῆσιν, ὅσην πόλις ἐντὸς ἐέργει». (v. 517—9) Τὸ δὲ «ἄμφω χρυσείω» ἕως τοῦ «ἀμφὶς ἀρηζήλω» μεγάλοις ἐπιπρέπει στρατιωτικοῖς προσώποις πομπικῶς ἔχουσιν. ἔστι δὲ καὶ ἐνταῦθα τὸ «ἀμφίς» οὐκ αὐτόχρημα ἀντὶ τοῦ ἄμφω, ἀλλὰ συνήθως ἀντὶ τοῦ ἀμφοτέρωθεν, Ἄρης μὲν ἐκεῖθεν, Ἀθηνᾶ δὲ ἔνθεν. (v. 519) Τὸ δὲ «λαοὶ ὀλίζονες» πρὸς πιθανότητα κεῖται, ὡς ἄλλως ἀπίθανον ὂν μυριοπληθῆ στρατὸν ἐνθέσθαι τῇ ἀσπίδι ἐχούσῃ πολυειδῆ ἀγάλματα.

4.243 Ὅρα δὲ τὸ ὀλίζονες ἐπὶ πλήθους, ἤγουν διωρισμένου ποσοῦ τεθὲν καὶ ἐνταῦθα. τὸ μέντοι ὀλίγον ἐν Ὀδυσσείᾳ ἐπὶ μεγέθους τέθειται ἐν τῷ «ὀλίγος καὶ οὐτιδανός», τουτέστι τὴν ἡλικίαν μικρός. λέγεται δὲ καὶ ἐπὶ ἀσωμάτων πραγμάτων ἡ λέξις, οἷον «ὀλίγος δέ μοι θυμὸς ἐνῆεν», καὶ «ὀλίγη δὲ ἀνάπνευσις πολέμοιο». Ἐν δὲ ῥητορικῷ λεξικῷ Αἰλίου Διονυσίου φέρεται καὶ ὄλιον τὸ ὀλίγον. φησὶ γάρ· ὀλίγον. τὸ δὲ ὄλιον ἢ βάρβαρον ἢ Ἰακόν. τοῦ δὲ ὄλιζον ἡ χρῆσις καὶ παρὰ Λυκόφρονι. [Δοκεῖ δὲ ἡ λέξις Αἰολέων εἶναι. διὸ καὶ προπαροξύνεται τὸ ὄλιζον, οὐ τονούμενον κατὰ τὸ ὀλίγον.] (v. 520) Τὸ δὲ «ὅτε δή ῥ' ἵκανον» φίλως Ὁμήρῳ καὶ αὐτὸ διὰ τοῦ ῥα συνδέσμου ὀγκοφωνεῖται. Τὸ δὲ «εἶκε λοχῆσαι» διὰ διφθόγγου ἔχουσι τὰ τῶν ἀντιγράφων ἀκριβέστερα. καὶ σημαίνει τὸ ἐῴκει καὶ ἔπρεπεν. εἰ δέ που γράφεται διὰ τοῦ η , τὸ καθῆκε σημαίνει. [Ἐκ δέ γε τοῦ πρώτου εἶκεν, ἤγουν τοῦ διὰ διφθόγγου, γίνεται τὸ εἰκός, ὥσπερ ἐκ τοῦ ἑτέρου, ἤγουν τοῦ κοινῶς μέσου παρακειμένου, γίνεται τὸ παρὰ Ἡροδότῳ μὲν καὶ τοῖς ὁμοίοις οἰκός, παρὰ δὲ Ἀττικοῖς ἐοικός.] (v. 521) Τὸ δὲ «πάντεσσι βοτοῖσι» καινῶς ἐσχημάτισται καὶ οὐ κατὰ τὸ «πάντεσσι βροτοῖσιν». οὐδετέρου μὲν γὰρ γένους τὸ βοτοῖσι, τὸ δὲ πάντεσσιν ἀρσενικοῦ. καὶ ἔστιν ἀπαγαγεῖν καὶ τοῦτο εἰς τὸ ξενίζον τοῦ κτεάτεσσιν, ἤγουν κτήμασιν, ὃ καὶ ἐν Ὀδυσσείᾳ κεῖται. (v. 522) Τὸ δὲ «εἰλυμένοι χαλκῷ», ὅ ἐστι κεκαλυμμένοι, οὐκ ἀπέοικε τοῦ εἱμένοι καὶ ἐπιειμένοι. (v. 525) Τὸ δὲ «προγένοντο» οἱ μὲν μεθ' Ὅμηρον ἐπὶ προλήψεως τιθέασι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρονικῆς, οἷον προεγένοντο τὰ Τρωϊκὰ τῶν Περσικῶν, ὅπερ Ὅμηρος προτετύχθαι λέγει ἐν τῷ «ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν», ἐνταῦθα δὲ ἀντὶ τοῦ προέκοψαν τῇ ὁδῷ, ἢ ἀντικρὺ καὶ ἔμπροσθεν ἐγένοντο.

4.244 [Σαφέστερον δὲ αὐτοῦ ὡς ἐντελέστερον τὸ «πρὸ ὁδοῦ ἐγένοντο», ῥηθὲν ἀλλαχοῦ.] (v. 526) Ἰστέον δὲ καὶ ὅτι ἐπὶ τῶν ἀπροσδοκήτως ἐν καιρῷ χαρᾶς παθόντων ἐκ δόλου κακόν τι καλὸν εἰπεῖν τὸ ἔπαθον τόδε τι «τερπόμενοι σύριγξι, δόλον δ' οὔ τι προνόησαν». Τὸ δὲ «προνόησαν» ἀντὶ τοῦ προῄσθοντο, προέγνων, ἐξ οὗ ἡ κυριολεκτουμένη πρόνοια. (v. 528) Τὸ δὲ «τάμνοντο» ἔχοι ἂν διαφοράν τινα πρὸς τὸ τάμνον. ἐκεῖνο γὰρ καὶ θυτικὴ μάλιστα λέξις ἐστὶ πολλαχοῦ παρὰ τῷ ποιητῇ. (v. 529) Τὰ δὲ μῆλα διαστείλας ἀνωτέρω ἐκ τῶν βοῶν, ὁμοίως δὲ καὶ ἐν τῷ «βοῶν ἀγέλας καὶ πώεα ἀργεννῶν ὀΐων», ὅμως ἐν τῷ μηλοβοτῆρας συνέλαβεν αὐτὰ συνήθως. ἐκτείνοντο γὰρ οὐ μόνον οἱ τῶν μήλων ποιμένες, ἀλλὰ συλληπτικῶς καὶ οἱ βουκόλοι. πάλιν δὲ αὖ ὑποκαταβὰς ἐν τῷ «πολὺν κέλαδον παρὰ βουσί», τῷ τῶν βοῶν ὀνόματι καὶ τὰ μῆλα συμπεριείληφε. (v. 531) Τὸ δὲ «ἱράων προπάροιθεν» εἴληπται μὲν ἀντὶ τοῦ ἐκκλησιῶν, ἤγουν τόπων, ἐν οἷς ἐκκλησιάζουσι, καὶ ἔστι ταὐτὸν τῷ ἀγορῶν. ἀμφιβάλλεται δ' ἐνστατικῶς παρὰ τοῖς παλαιοῖς κατὰ τὴν γραφὴν τῆς ἀρχούσης. φασὶ γὰρ ὅτι εἶρα, ὃ σημαίνει τὴν ἐκκλησίαν καὶ τὴν μαντείαν, ἔτι δὲ καὶ τὸ Κάειρα, ἀμφιβάλλονται. ὁ δὲ τοιοῦτος λόγος τῶν παλαιῶν καὶ ἀπὸ βαρυτόνου εὐθείας ἑνικῆς κλίνει τὸ «ἰράων». γίνεται δέ, φασί, ἢ ἀπὸ τοῦ εἴρω, τὸ λέγω, ἢ ἀπὸ τοῦ ἱεραὶ εἶναι, καθότι καὶ κύκλος ἀγορᾶς ἱερὸς πρὸ ὀλίγων ἐρρέθη. διὸ καὶ πλεονάζειν μάλιστα ἐν τῷ «ἱράων» τὴν διὰ τοῦ ἰῶτα γραφήν, ἐπεὶ καὶ ἱερὸν ἀληθῶς πρᾶγμα ἡ βουλή. (v. 532) Ἵπποι δὲ ἀερσίποδες οἱ ἀειρόμενοι, ὅ ἐστι κουφιζόμενοι ποσίν, ἢ Ὁμηρικῶς εἰπεῖν, φερόμενοι ὑπὸ ποδῶν. χρήσιμον δ' ἐνταῦθα καὶ Ἡσιόδου τὸ «ἀερσιπότητος ἀράχνης».

4.245 (v. 527—33) Ἰστέον δὲ καὶ ὅτι ἐκφράσει πολέμου οἰκεῖον τὸ «οἳ μὲν τὰ προϊδόντες ἐπέδραμον» ἕως τοῦ «ποταμοῖο παρ' ὄχθας». ὡσαύτως καὶ τὰ ἐφεξῆς, πλὴν ὅσον ἐξ ἐκείνων μὲν ὑπεξαιρεθήσεταί τινα ἴσως ῥητά, οἷον τὸ «ἱράων προπάροιθε καθήμενοι», καὶ τὸ «ποταμοῖο παρ' ὄχθας». (v. 534—7) Τὰ δὲ ἐπαγόμενα πόλεμον αὐτόχρημα φράζει. φησὶ γὰρ «βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν, ἐν δ' ἔρις, ἐν δὲ κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ Κήρ, ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον, ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖιν. (v. 538) Εἶτα φράζων καὶ ὅπως ἐσκεύαστο ἡ Κήρ, ἐπάγει «εἶμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν», διὰ τὰ ἐν πολέμῳ δηλαδὴ αἵματα. καὶ τάχα ἡ εἰκὼν αὕτη ἔπεισε τοὺς Λάκωνας ἐν μάχῃ χρᾶσθαι ταῖς πορφυρίσιν. ὅτι δὲ Ὁμηρικῷ ζήλῳ καὶ ἡ τοῦ Ἡσιόδου ἀσπὶς τοιαῦτα δαιμόνια ἔχει ὁμιλοῦντα τῇ μάχῃ, ὁ ἐντυχὼν εἴσεται. (v. 539 s.) Εἶτα δηλῶν ὁ ποιητὴς μὴ ἐψυχῶσθαι τὰ ἡφαιστότευκτα ζῷα ἐνταῦθα, καθά τινες πλέον τοῦ δέοντος τερατεύονται, ἐπάγει «ὡμίλευν δ' ὥς τε ζωοὶ βροτοὶ ἠδ' ἐμάχοντο, νεκρούς τ' ἀλλήλων ἔρυον κατατεθνειώτων». ἴσως δὲ καὶ μηχανῇ τινι ἐκινοῦντο, ἔκκρουστα ὄντα καὶ οὐ διόλου προσηλωμένα τῷ σάκει. καὶ οὕτω ἐφάνταζον τοῖς ὁρῶσι τὸ αὐτοκίνητον, ὁποῖον δή τι πλάττει καὶ Αἰσχύλος ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβας. Ὅρα δὲ καὶ ἐνταῦθα τὸ ὁμιλεῖν, καιριωτάτην λέξιν ἐπὶ μάχης, ὅτε ὁμοῦ αἱ τακτικαὶ ἶλαι γίνονται. (v. 537) Τὸ δὲ «κατὰ μόθον ἕλκε ποδοῖιν» ἐσχημάτισται. τὸ γὰρ κοινὸν καὶ ἀκόλουθον ἦν εἰπεῖν ἕλκουσα, ἵνα ἦν οὕτω, ἄλλον ζωὸν ἔχουσα, ἄλλον δὲ ἕλκουσα ποδῶν. (v. 538) Τὸ δὲ «δαφοινεόν» ὀξύνεται ὁμοίως τῷ ἀδελφεός καὶ τοῖς τοιούτοις. πλεονασμὸν γὰρ ἔχει τοῦ ε κατ' ἐκεῖνα. [Τὸ δὲ «αἵματι φωτῶν» πρὸς διαστολὴν κεῖται τοῦ ἄλλως τε δαφοινοῦ καὶ τοῦ μὴ ἐξ ἀνθρωπείων αἱμάτων.] Τὸ δὲ «ὡμίλευν» εἶχε μὲν εἰπεῖν ὡμίλουν, προέκρινε δὲ τὸ ποιητικώτερον, ὡς καὶ ἀνωτέρω ἐν τῷ «ὁμίλεον». [(v. 539) Τὸ δὲ «ὥς τε ζωοὶ βροτοί», ἐξ οὗ καὶ τὰ ἄλλα τῆς ἀσπίδος ζῳὰ εἶναι δοκεῖ, δίδωσι ζῳωτὴν ἀνεπισφαλῶς εἰπεῖν τὴν ἡφαιστότευκτον ἀσπίδα.

4.246

] Ὅτι προθέμενος ὁ ποιητὴς τῇ τοῦ Ἀχιλλέως ἀσπίδι μετὰ τὰ θεῖα, οἷς βραχύ τι ὡς ἐξῆν ἐνδιέτριψε, καὶ τὰ κατὰ βίον καιριώτατα ἐπελθεῖν, καὶ δύο πόλεις ἐκθέμενος, ὁποῖαι προερρέθησαν, εἶτα μεταβαίνει ἐπὶ τὰ ἐξ ἀνάγκης ἀνθρώποις χρησιμώτατα. ὧν κεφάλαιον ἡ γεωργική, περὶ πόνους δύο σχιζομένη, τόν τε περὶ ψιλὴν ἄροσιν καὶ τὸν περὶ τὴν ἀμπελόφυτον. μεθ' ἣν καὶ τῆς λοιπῆς γίνεται τῆς περὶ θρέμματα ζωογόνα, ὁποῖα βόες καὶ πρόβατα, οἷς ἀφίησι συννοεῖν καὶ τὴν τῶν ἄλλων βοσκημάτων ἐπιμέλειαν. εἶτα καὶ χοροῦ μνημονεύσας σώφρονος, οὗ καὶ αὐτοῦ πολιτικῶς χρεία ποτὲ τοῖς ἀνιεμένοις, παύει τὴν ἐπὶ πλέον ἔκφρασιν, περικλείσας τὰ ἐκφρασθέντα τῷ τῆς οἰκουμένης ἢ ἕρκει ἢ σφίγματι ἢ στεφάνῳ, τῷ Ὠκεανῷ, οὔτε ναυτιλίαν παρεισκυκλήσας τῷ λόγῳ, καθὰ καὶ προεσημειώθη. φιλογέωργος γὰρ καὶ αὐτὸς ἔοικεν εἶναι, καθὰ καὶ Ἡσίοδος. διὸ καὶ θαλάσσης πρὸς ὄνομα μόνον μνησθεὶς ἐν τῷ «ἐν δ' οὐρανόν, ἐν δὲ θάλασσαν» οὐκ ἐπαφῆκεν ἑαυτὸν εἰς πλέον τοῖς περὶ αὐτήν, οὔτε κυνηγετικὴν ἐκδιαίτησιν φράσας, οὔτε εἰλαπιναζόντων ἀργίας, οὔτ' ἄλλο τι καταρριπτοῦν τὸ τῆς Ὁμηρικῆς μεγαλεῖον ποιήσεως. (v. 541—7) Καὶ τέως προτίθησι τῶν ἄλλων τὸ φύσει ἀναγκαῖον, ἐκφράζων ἄρουραν, καί φησι «ἐν δ' ἐτίθει νειὸν μαλακὴν πίειραν ἄρουραν, εὐρεῖαν, τρίπολον», ταῦτα δὴ τὰ τῆς ἀγαθῆς νειοῦ ἴδια, «πολλοὶ δ' ἀροτῆρες ἐν αὐτῇ ζεύγεα δινεύοντες ἐλάστρεον ἔνθα καὶ ἔνθα. οἳ δ' ὁπότε στρέψαντες ἱκοίατο τέλσον ἀρούρης, τοῖσι δ' ἔπειτ' ἐν χερσὶ δέπας μελιηδέος οἴνου δόσκεν ἀνὴρ ἐπιών. τοὶ δὲ στρέψασκον ἀν' ὄγμους, ἱέμενοι νειοῖο βαθείης τέλσον ἱκέσθαι». καὶ οὕτω ἄροτόν τε ἐν ὀλιγίστῳ ἐκφράσας καὶ δαιμονίως, ὥς φασιν οἱ παλαιοί, δείξας εἰς οἵαν γῆν σπόρον δεῖ κατατίθεσθαι, εἰς μαλακὴν δηλονότι καὶ πίειραν καὶ εὔβωλον. (v. 548 s.) Ἱστορήσας δὲ καὶ ἔθος ἀρχαῖον τὴν τῶν ἀροτήρων θεραπείαν δι' οἴνου, ἵνα προθυμοῖντο εἰς ἔργον, ἐπαινεῖ καὶ τὸ τοῦ Ἡφαίστου ἔργον ὡς θαυμάσιον, εἰπὼν «ἡ δὲ μελαίνετ' ὄπισθεν, ἀρηρομένῃ δὲ ἐῴκει, χρυσείη περ ἐοῦσα· τὸ δὴ περὶ θαῦμα τέτυκτο».

4.247 Καὶ ἐοίκασιν οἱ ὄγμοι μόνοι χειμείαν ἔχειν τινά, δι' ἧς ἡ μελανία παρήλλαττε. καὶ ἄλλως δὲ εἰπεῖν, ἐγκαίεσθαι κυανῷ χρώματι δοκεῖ ὁ τοιοῦτος τόπος, καὶ διὰ τοῦτο ἐπιφαίνειν μελανίαν. Ἰστέον δὲ ὅτι, ὥσπερ τὸ πολλοὺς ἀροτῆρας εἶναι, οὕτω καὶ τὸ πρὸς τοσούτους κέρασμα, τὸ πιθανὸν ἐκ τῆς εὐρείας νειοῦ ἔχει, ὡς οἷα μακρῶν ὄντων τῶν ὄγμων. ἄλλως γὰρ ἀδιανόητον τοσαύτην οἴνου πλάσαι δαπάνην ἐν βραχυτάτοις ὄγμοις. (v. 542) Τρίπολον δὲ γῆν ἔφη, διδάσκων οὕτω χρῆναι περὶ γῆν κάμνειν. ἦρος μὲν γὰρ πολεῖται καθ' Ἡσίοδον, θέρους δὲ νεᾶται, καὶ τρίτος περὶ αὐτὴν κάματος, ὅτε τοῦ σπείρειν καιρός. ὅτι δὲ καὶ εἰς πλεῖον βωλοστροφεῖται, πολλαχοῦ ἡ πεῖρα δηλοῖ. (v. 543) Τοῦ δὲ «δινεύοντες» διασαφητικὸν ἐπηγμένον τὸ «ὁπότε στρέψαντες», καὶ «οἳ δὲ στρέψασκον». δινεῖν γὰρ τὸ στρέφειν ἐστί. Τὸ δὲ «ἐλάστρεον» δηλοῖ μὲν τὸ ἤλαυνον, παράγεται δὲ οὕτω. ἔστιν ὄνομα ῥηματικὸν ἐλατός, ὅθεν ῥῆμα ἐλατῶ, ὡς ἄτακτος ἀτακτῶ, καὶ πλεονασμῷ τοῦ ς καὶ ρ ἐλαστρῶ. οὕτω δὲ καὶ τὸ βωστρῶ ἐν Ὀδυσσείᾳ ἐκ τοῦ βωτῶ γενόμενον πρόσληψιν ὁμοίαν ἔπαθεν. ὅτι δὲ καὶ ἐπὶ νηῶν ἐλαυνομένων τὸ ἐλαστρεῖν λέγεται, Ἡρόδοτος δηλοῖ ἐν τῷ «τριήρεις ἐλαστρευμένας». ὅτι δὲ καὶ ἄλλαι εἰσὶ λέξεις ἐπένθεσιν παθοῦσαι τοῦ ρ διὰ τραχύτητα ἐπιτετηδευμένην σεμνῶς, δηλοῖ καὶ ὁ οἶστρος, τὸ ζωΰφιον, ἀφ' οὗ καὶ ὁ κατ' ἔρωτα οἶστρος καὶ οἱ τοιοῦτοι. οἶστος γὰρ ὢν ἀπὸ τοῦ οἴω, τὸ κομίζω, ἐτραχύνθη διὰ τοῦ ρ .

4.248 ὁμοιοπαθὲς δὲ καὶ τὸ ἀλάβαστρον, ἡ μυροθήκη. παρὰ γὰρ Μενάνδρῳ ἄνευ τοῦ ρ κατὰ Αἴλιον Διονύσιον. [Καὶ παρ' Ἀθηναίῳ δὲ κεῖται Ἀλέξιδος τὸ «οὐ γὰρ ἐμυρίζετο ἐξ ἀλαβάστου».] Παυσανίας δὲ καὶ ἐπὶ ἑτέρου σημαινομένου τὴν λέξιν τιθείς φησιν· ἀλάβαστος, ᾧ ἐχρῶντο ἐπὶ τιμωρίᾳ τῶν μοιχῶν ἀντὶ τοῦ ῥαφάνου. καὶ τὸ σκῆπτρον δὲ πρόσληψιν ἔχει τοῦ ρ , καὶ ἄλλα πολλά, ἐν οἷς καὶ τὸ ἀγαυός, ἀγαυρός, καὶ τὸ ὄστρεον ὡς ἀπὸ τοῦ ὀστέου, [καὶ τὸ ὄστρειον, ἔτι δὲ καὶ τὸ ὄστρακον, ἀφ' οὗ καὶ τὸ ἐξοστρακίζειν, ὃ παρ' Ἀθηναίοις ἔθος ἦν ὡς ἐν εἴδει ἀφορισμοῦ, ἤγουν ἐξορίας. καὶ ὁ ἐποστρακισμός. εἶδος δὲ οὗτος παιδιᾶς, καθ' ἥν, φασίν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀστράκια πλατέα ἐκτετριμμένα ὑπὸ θαλάσσης προΐενται κατὰ τῆς ἐπιφανείας τοῦ ὑγροῦ, καὶ ἐπιτρέχοντα ἐνίοτε πολλάκις, ἕως ἀτονήσαντα δυῶσι κατὰ θαλάσσης, ἡδίστην ποιοῦνται πρόσοψιν. ἔτι ἐκεῖθεν καὶ παροιμία ἐπὶ τῶν ὅποι τύχη μεταβαλλομένων, τὸ «ὀστράκου περιστροφή», ἢ ὀστράκου περιστραφέντος ἢ μεταπεσόντος, ταὐτὸν δ' εἰπεῖν, τῶν πραγμάτων ἐξαλλαγέντων, ὡς ἔτυχεν. ἐλέχθη δὲ καὶ αὐτὴ ἐκ παιδιᾶς τοιαύτης. παῖδες δύο γραμμῇ τινι μεσολαβούσῃ διεστηκότες ἀλλήλων ὄστρακον ἀνερρίπτουν, οὗ θάτερον μὲν μέρος πεπισσωμένον ἦν, τὸ ἐντὸς δηλαδή, τὸ δὲ ἐκτὸς ἀπίσσωτον. διώριστο δὲ τοῖς συμπαίζουσι, τίνων μὲν ἦν τὸ τὴν πίσσαν ἔχον, τίνων δὲ τὸ λοιπόν. καὶ ὅτε, φασίν, ἀναβληθὲν τὸ ὄστρακον πέσοι, ὧν μὲν ἦν τὸ κάτω τοῦ ὀστράκου, ἔφευγον, οἱ δὲ λοιποὶ ἐδίωκον. καὶ ἐλέγετο τοῦτο περιστροφὴ ὀστράκου.

4.249 καὶ ἡ παιδιὰ ὀστρακίνδα ἐκαλεῖτο. χρῆσις τῆς λέξεως ἐν τῇ κωμῳδίᾳ πρὸς αἴνιγμα τοῦ ῥηθέντος ἐξοστρακισμοῦ. Πλάτων δέ, φασίν, ὁ Κωμικὸς φράζει αὐτὴν οὕτως «εἴξασι τοῖς παιδαρίοις τούτοις, οἳ ἑκάστοτε γραμμὴν ἐν ταῖσιν ὁδοῖς διαγράψαντες, διανειμάμενοι δίχ' ἑαυτούς, ἑστᾶσιν αὐτῶν οἱ μὲν ἐκεῖθεν τῆς γραμμῆς, οἱ δ' αὖ ἐκεῖθεν. εἷς δ' ἀμφοτέρων ὄστρακον αὐτοῖς ἀνίησιν εἰς μέσον ἑστώς. κἂν μὲν πίπτησι τὰ λευκὰ ἐπάνω, φεύγειν ταχὺ τοὺς ἑτέρους δεῖ, τοὺς δὲ διώκειν». ὁ δὲ ἀναρρίπτων τὸ ὄστρακον ἐπιλέγει «νὺξ ἢ ἡμέρα», τουτέστι τὸ λευκὸν ἐπιφαίνεται τοῦ ὀστράκου ἢ τὸ πισσηρὸν σκοτεινόν. ὅπερ ἐξ Ὁμήρου παρείλκυσται, νέφος εἰπόντος «μελάντερον ἠΰτε πίσσα». ἔτι πλεονασμὸς τοῦ ρ καὶ ἐν τῷ «βλήτροισι» καὶ ἐν τῷ ἀμφιβλήστρῳ καὶ ἐν τῷ ῥόπτρῳ τῷ προδεδηλωμένῳ, καὶ ἐν ἄλλοις μυρίοις. ὁ δὲ τοῦ σίγμα μέσον πλεονασμὸς ἐν τῷ «ἐλάστρεον» ὁμοίως ἔχει τῷ βωτῶ, βωστρῶ, κομῶ, κοσμῶ. ματροπός, Δωρικῶς ἡ μητρὸς ὄπα ἔχουσα, καὶ πλεονασμῷ μαστροπός.] (v. 544) Ὅτι δὲ τέλσον ἐστὶ τὸ τέλος, ἐξ οὗ καὶ γίνεται μεταθέσει τοῦ ς καὶ προσθέσει τοῦ ν , ὡς ἂν μὴ εὑρεθῇ ὄνομα οὐδέτερον λῆγον εἰς ο , δηλοῦται καὶ ἀλλαχοῦ. [Ἴσως δὲ καὶ τὸ ἦτρον καθ' ὁμοιότητα τοῦ τέλσον γίνεται. ἦτορ γὰρ καὶ κατὰ μετάθεσιν ἦτρο καὶ προσλήψει τοῦ νῦ ἦτρον, ὡς ἀπὸ τοῦ ἄω, τὸ πνέω, ἐξ οὗ καὶ αὐτὸ τὸ ἦτορ τὸ ἐπὶ ψυχῆς, ἵνα ᾖ ἦτρον τὸ συντελοῦν εἰς τὸ ἄειν, ὅ ἐστι πνεῖν καὶ ζῆν.] Δὶς δὲ τὸ τέλσον ἐνταῦθα ἐγράφη, ὡς τῇ ποιήσει εὔχρηστον. (v. 545) Τὸ δὲ δέπας ἔκπωμα οἱ μεθ' Ὅμηρον ἔλεγον μᾶλλον ἢ ποτήριον. τραγικοὶ δέ φασι καὶ Ἴωνες καὶ πῶμα τὸ αὐτό.

4.250 (v. 546) Ὄγμοι δὲ φανερῶς ἐνταῦθα αἱ ἀρότρου τομαί, εἰ καὶ ἐν ἄλλοις ἐπίστιχον φυτείαν ἡ λέξις δηλοῖ. καὶ γίνεται παρὰ τὸ οἴγειν ἀποβολῇ τοῦ ἰῶτα—οἴγεται γὰρ τῷ ἀρότρῳ ἡ γῆ—, ἢ παρὰ τὸ ἕλκω ὄλγμος καὶ ὄγμος. παρακατιὼν δέ, ὡς εὐθὺς δηλωθήσεται, καὶ ἐπὶ στιχὸς ληΐου θεριζομένου τὸν ὄγμον τίθησι, δὶς ἐκεῖ τὴν λέξιν εἰπών, [ἀκολούθως τῷ ὄγμοι σταχύων.] Οἱ δὲ παλαιοὶ εἰς τὴν σημασίαν τοῦ ὄγμου φασὶν οὕτω· ὄγμος· ἀρχή, τέρμα, διέξοδος θεριστῶν, [τάξις, ἔφοδος θεριστῶν] στιχηρά. ἐπίστιχος φυτεία. [Ὄγμου δέ, φασί, παράγωγον ἐπόγμιος, ἐπίθετον Δήμητρος.] (v. 547) Τὸ δὲ «ἱέμενοι» τὸ χρήσιμον δηλοῖ τῆς δι' οἴνου δεξιώσεως, ὅτι δηλαδὴ οἱ οὕτω τε θεραπευμένοι τάχιον ἵενται ἀγαγεῖν τὸ ἔργον εἰς τέλος. Τὸ δὲ «βαθείης» τὸ ἀσφαλὲς ἔχει ἐκ τοῦ καὶ μαλακὴν εἰπεῖν ἄρουραν. ἡ τοιαύτη γὰρ εἰς βάθος τέμνεται. ἄλλως δὲ τεχνικῶς ἐρρέθη, ὡς δέον ὂν βαθεῖαν τέμνεσθαι τὴν νειόν, ἢ καὶ ὡς χρεὼν ὂν τοὺς τοιούτους ἀροτρέας μὴ τῇ ἐπιθυμίᾳ τοῦ πιεῖν ἐπιπολῆς τέμνειν τὴν νειόν, ἀλλ' εἰς βάθος. (v. 548) Τὸ δὲ «ἀρηρομένῃ» ὀρθῶς μὲν οὕτως ἔχει, εὕρηνται δέ τινα τῶν ἀντιγράφων καὶ ἀρηρεμένην ἔχοντα διὰ τοῦ ε , καὶ ἴσως οὐκ ὀρθῶς. (v. 550—60) Ὅτι θερισμὸν ἐκφράζων φησὶν «ἐν δ' ἐτίθει τέμενος βαθυλήϊον· ἔνθα δ' ἔριθοι ἤμων, ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες. δράγματα δ' ἄλλα μετ' ὄγμον ἐπήτριμα», ὅ ἐστι συχνά, «πῖπτον ἔραζε, ἄλλα δ' ἀμαλλοδετῆρες ἐν ἐλλεδανοῖσι δέοντο. τρεῖς δ' ἂρ ἀμαλλοδετῆρες ἐφέστασαν. αὐτὰρ ὄπισθε παῖδες δραγμεύοντες ἐν ἀγκαλίδεσσι φέροντες ἀσπερχὲς πάρεχον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4.251 βασιλεὺς δ’ ἐν τοῖσι σιωπῇ σκῆπτρον ἔχων εἱστήκει ἐπ’ ὄγμου γηθόσυνος κῆρ. κήρυκες δ’ ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο. βοῦν δ’ ἱερεύσαντες μέγαν ἄμφεπον. αἱ δὲ γυναῖκες δεῖπνον ἐρίθοισι λεῦκ’ ἄλφιτα πολλὰ πάλυνον», ὡς καὶ τῶν ἐρίθων δηλονότι πολλῶν ὄντων, καθὰ καὶ οἱ ἀροτῆρες πρὸ τούτων πολλοὶ ἦσαν. Καὶ ὅρα τὸ ἡδὺ τοῦ θερισμοῦ, εἰ καὶ βασιλέα εἰς θέαν ἐπάγεται, καὶ ὅτι σαφῶς φράζει ἀγαθὴν θερισμοῦ διάθεσιν, ὡς μηδεμίαν ἡλικίαν ἐν ἀργοῖς εἶναι. οἱ μὲν γὰρ ἔριθοι συχνὰ ῥίπτουσι δράγματα κατὰ ἔριν ἀγαθήν, ἧς αἴτιος τῷ ἔργῳ ἐφιστάμενος ὁ βασιλεύς, οἱ δὲ παῖδες δραγματεύοντες, ὅ ἐστι τὰ δράγματα συνάγοντες, πάνυ σπέρχονται φέρειν αὐτὰ τοῖς ἀμαλλοδετῆρσι, κήρυκες δὲ ὑπὸ αὐτοφυεῖ σκιᾷ τῇ ἐκ δρυὸς ποιοῦσι τὰ ἑαυτῶν, καὶ αἱ γυναῖκες δὲ ἄλλα τινά. (v. 550) Τέμενος δὲ καὶ νῦν τόπος ἀφωρισμένος, οὗ εἰς ἑρμηνείαν ἐπῆκται τὸ «βαθὺ λήϊον», ὅ τινες ὑφ’ ἓν βαθυλήϊον ἀναγινώσκουσιν. ὅτι δὲ ὕστερον τὰ τεμένη ἀποτομὰς τόπων ἱερῶν ἑρμηνεύουσιν οἱ παλαιοί, δῆλον. Ἔριθοι δὲ οὐ μόνον αἱ ἐριουργοὶ γυναῖκες ἐν ἄλλοις παρὰ τὸ ἔριον, ἀλλ’ ἰδοὺ καὶ οἱ μισθοῦ ἐργαζόμενοι, ὡς οἱ ἀμητῆρες ἐνταῦθα, παρὰ τὴν ἔραν, ὡς δοκεῖ τοῖς παλαιοῖς. χαίρει δὲ τῇ λέξει ὁ ποιητής. διὸ καὶ δὶς ἐνταῦθα εἶπεν αὐτήν, καθὰ καὶ τοὺς ἀμαλλοδετῆρας. Ἰστέον δὲ ὅτι καὶ παρὰ Θεοκρίτῳ εὕρηται ἡ μισθώτρια ἐριθακὶς λεγομένη. εἰ δὲ ἐριθεύειν λέγεται τὸ φαύλως ἐρίζειν, ζητητέον εἴ που καὶ τοιοῦτός τίς ἐστιν ἔριθος. (v. 552) Δράγμα δέ ἐστιν, ὅσου ἂν δράξηταί τις τῇ δρακί, παρὰ τὸ δράσσω, ἐξ οὗ καὶ ἡ δραχμή, ὡς προδεδήλωται. Τὸ δὲ «μετ’ ὄγμον» ἀντὶ τοῦ κατὰ στίχον τινά, ὡς καὶ πρὸ ὀλίγων ἐρρέθη. (v. 553) Ἀμαλλοδετῆρες δὲ οἱ τὰς ἀμάλλας δεσμοῦντες. ἀμάλλη δὲ τὸ ὑπ’ ἀγκάλῃ συμπίεσμα τῶν δραγμάτων, ἅπερ οἱ δραγματεύοντες παῖδες παρεκόμιζον. ἀπὸ ταύτης ἁμάλλης καὶ Δημήτηρ ἁμαλλοφόρος, ᾗ ἔθυον Ἀθηναῖοι.

4.252 ἀμάλλαι δὲ κατὰ τοὺς παλαιοὺς δράγματα σίτου παρὰ τὸ ἅμα ἀολλίζεσθαι χερσὶ τοὺς στάχυας ἢ παρὰ τὸ ἀμᾶσθαι. ὅθεν, φασί, καὶ ἀμαλλεύειν τὸ δραγματεύειν, καὶ ἀμάλλιον σχοινίον τὸ καὶ οὐλόδετον, ἐν ᾧ δεσμοῦσιν ἀμάλλας. οἱ δ’ αὐτοὶ καὶ τὸ ἀμᾶν ἐκ τοῦ ἅμα παράγουσιν, ἵνα δηλοῖ τὸ ὑφ’ ἓν πολλὰ ἕλκειν. Ἑτέρωθι δὲ φέρεται καὶ ταῦτα. ἀμάλλιον, ὃ νῦν τινες οὐλόδετον, οἳ δὲ ὡρόδεσμον, τὸν ἐκ τῆς καλάμης στρεφόμενον δεσμόν, ᾧ δεσμοῦσι τὰ δράγματα, καὶ τὴν ἐκ τούτων συγκειμένην ἀμάλλαν. ἀμάλλαι γὰρ αἱ ἐκ τῶν δραγμάτων ἀγκαλίδες. ἐλλεδανοὶ δὲ οἱ μανδάκαι, οἷς δεσμοῦνται τὰ δράγματα. καὶ ἄλλως, δεσμοὶ σταχύων οἱ καὶ οὐλοδέται, ὡς ἄν τις εἴποι κριθοδέται, οὐλαὶ γὰρ αἱ κριθαί. Γίνεται δὲ ὁ ἐλλεδανὸς παρὰ τὸ εἰλῶ, τραπέντος τοῦ ι συνήθως εἰς νῦ, ὅπερ εὐθὺς εἰς λ κανονικῶς μετέπεσεν. ὥσπερ δὲ παρὰ τὸ ῥιγῶ ῥιγεδανός, οὕτω παρὰ τὸ εἰλῶ ἐλλεδανός. (v. 553) Ὅρα δὲ καὶ ὅτι τὸ «ἐδέοντο» ἀντὶ τοῦ ἐδέσμουν παθητικῶς ἔφη, (v. 555) καὶ ὡς ἐσμίκρυνε τὰς ἀγκαλίδας διὰ τὴν τῶν παίδων βραχύτητα, καὶ (v. 558) ὡς δοτικῇ συνέταξεν τὴν ὑπο πρόθεσιν. (v. 555) Περὶ δὲ ἀγκαλίδων φασὶ καὶ ταῦτα οἱ παλαιοί. ἀγκαλίδες· ἀγκάλαι, κόλποι. δηλοῖ δέ, φασίν, ἡ λέξις καὶ φρυγάνων δεσμούς.

4.253 ὅθεν ἀγκαλιδαγωγεῖν καὶ ἀγκαλίδας αἴρειν ἀντὶ τοῦ ξύλα. ῥηθήσεται δέ τι περὶ τούτων καὶ ἐν τοῖς κατὰ τὴν Ἀνδρομάχην. δῆλον δ’ ὡς ἐχρῆν πρότερον δραγμεῦσαι, εἶτα καὶ ἐν ἀγκάλαις φέρειν. [Ἐν δὲ τοῖς τοῦ Ἀθηναίου φέρεται καὶ ὅτι τὰ δράγματα τῶν κριθῶν αὐτὰ καθ’ αὑτὰ ἐλέγετο ἀμάλλαι. ἀθροισθέντα δὲ εἰς δέσμην ἐκαλοῦντο ἴουλοι, πρὸς ὁμοιότητα ἴσως ἢ τοῦ κατὰ τὴν ἥβην ἰούλου ἐν τοῖς προσώποις ἢ τοῦ πολύποδος ζωϋφίου ἢ διὰ τὸ ἰέναι εἰς ὁλότητα. ἐξ αὐτῶν δὲ καὶ Δήμητρος ἴουλοι, καὶ συνθέτως δημητρίουλοι, ὕμνοι εἰς Δήμητραν, οἳ καὶ καλλίουλοι, καὶ ἐπιφώνημα ἐμμελὲς τὸ «πλεῖστον οὖλον οὖλον ἵει, ἴουλον ἵει». ἔνθα τὸ οὖλον οὖλον οὐκ ἂν εἴη δηλοῦν τὸ ὀλέθριον, ἀλλ’ ἕτερόν τι εὐφημότερον. τοιοῦτον δὲ τὸ ὅλον καὶ τὸ ὑγιὲς καὶ τὸ συνειλημμένον ἤτοι συνεστραμμένον.] (v. 556) Ὁ δὲ βασιλεὺς ἐνταῦθα εἴη ἂν ἴσως μεταληπτικῶς οἰκοδεσπότης κατὰ τὸ «οἴκοιο ἄναξ ἔσομαι». βασιλεὺς μὲν γὰρ εἰς ἄνακτα μεταλαμβάνεται, ἄναξ δέ ποτε καὶ ὁ οἰκοδεσποτῶν. (v. 558) Τὸ δὲ ὑπὸ δρυῒ δαῖτα πένεσθαι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤγουν ἐνεργεῖν, κολακεία πόνου τοῖς ἐργάταις οἰκονομική. κηρύκων δὲ ἔργον τὸ τοιοῦτον ὑπὸ βασιλεῖ τε ὄντων καὶ ἄδειαν ἐχόντων τοῦ ἀμᾶν. οὕτω δὲ καὶ γυναικῶν, αἷς οὐ πρέπον ἄλλως ἐν θέρει πονεῖσθαι, εἰ καὶ παρὰ τοῖς ὕστερον καὶ αὐταὶ δρεπάναις τε στοιχοῦσι καὶ λοιποῖς θέρους ἔργοις.

4.254 (v. 560) Τὸ δὲ παλύνειν ἄλφιτα οὐδὲ νῦν δηλοῖ ἀρτοποιΐαν, ἀλλά τι ἐπίπασμα σύνηθες ὂν τοῖς παλαιοῖς. [(v. 559) Ἐν δὲ τῷ «αἱ δὲ γυναῖκες» περιττὸν τὸ ἄρθρον. ὡς γὰρ ἔφη ἄρθρων δίχα τὸ παῖδες καὶ βασιλεὺς καὶ κήρυκες, οὕτως ὤφειλε καὶ γυναῖκες. ἀργεῖ γὰρ ἐνταῦθα τὸ τοῦ ἄρθρου ἀναφορικόν.] (v. 561—72) Ὅτι καὶ τρυγητὸν ἐκφράσαι προθέμενός φησιν «ἐν δ’ ἐτίθει σταφυλῇσι μέγα βρίθουσαν ἀλωήν, καλήν, χρυσείην· μέλανες δ’ ἀνὰ βότρυες ἦσαν. ἑστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσιν, ἀμφὶ δὲ κυανέην κάπετον, περὶ δ’ ἕρκος ἔλασε κασσιτέρου· μία δ’ οἴη ἀταρπιτὸς ἦεν ἐπ’ αὐτήν, τῷ νίσσοντο φορῆες, ὅτε τρυγόῳεν ἀλωήν. παρθενικαὶ δὲ καὶ ἠΐθεοι ἀταλὰ φρονέοντες», [ὅθεν σύνθετον ἀταλάφρων,] «πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν. τοῖσι δ’ ἐν μέσσοισι πάϊς φόρμιγγι λιγείῃ ἱμερόεν κιθάριζε, λίνον δ’ ὑπὸ καλὸν ἄειδε λεπταλέῃ φωνῇ. τοὶ δὲ ῥήσσοντες ὁμαρτῇ μολπῇ τ’ ἰϋγμῷ τε ποσὶ σκαίροντες ἕποντο». Καὶ ὅρα ὡς ἡ Δημήτηρ μὲν ἄλλως εἶχε πονουμένους τοὺς ἀμητῆρας, ὁ δὲ χαριδότης Διόνυσος οὐκ ἐν οἴνῳ μόνον τὰ ἑαυτοῦ ἐνδείκνυται, ἀλλὰ καὶ τὸν ἐν τρυγητῷ κάματον ὑποκλέπτων τῇ μουσικῇ παραμυθεῖται, εἰ καὶ ἄλλως χαρμόσυνος ὁ τοῦ τρυγᾶν καιρὸς καὶ οὐκ εἰς τοσοῦτον ἐπίπονος. (v. 561) Τὸ δὲ [βρίθειν, καὶ οὐχ’ ἁπλῶς, ἀλλὰ μέγα] βρίθειν σταφυλαῖς πολυφόρου ἀμπέλου δηλωτικόν. [Οὕτω δὲ καὶ πᾶν φυτὸν οἰκείῳ καρπῷ πληθύον βρίθειν ἐκείνῳ λέγεται.] Σταφυλὴ δὲ ὅτι καὶ ὁ τοῦ στόματος λέγεται κίων, δῆλον, ὁμοίως καὶ ὅτι σταφύλη βαρυτόνως, εἶδος στάθμης, ὡς ἡ Βοιωτία δηλοῖ. [Εἰ δὲ τῇ σταφυλῇ ὁ σταφυλῖνος παρωνόμασται, ζητητέον.

4.255 ἔστι δ’ αὐτὸς δριμύ, φασί, λάχανον καὶ ἱκανῶς θρεπτικόν, διεγερτικὸν δὲ καὶ εἰς τὰ κατὰ Ἀφροδίτην. διὸ ὑπ’ ἐνίων φίλτρον καλεῖται. εἰς δὲ τὴν οὕτω σταφυλαῖς βρίθουσαν ἀλωὴν μνηστέον Ἀλκαίου, εἰπόντος «μηδὲν ἄλλο φυτεύσῃς πρότερον δένδρον ἀμπέλω», ἤγουν ἀμπέλου.] (v. 562) Τὸ δὲ «μέλανες βότρυες» εἰς πλῆθος μὲν ἦσαν τὴν ἀρχήν, ὅθεν καὶ τοῦ οἴνου τὸ μέλαν κατηγορεῖται, ἦν δὲ ἄλλως ἐνταῦθα καλὸν ἀλωῇ χρυσέᾳ ἐπιπρέπειν μέλανας βότρυας δαιδάλλοντας τὴν τῆς ἀσπίδος ἐπιφάνειαν. [Ἰστέον δὲ ὅτι Βότρυς παρὰ τῷ Δειπνοσοφιστῇ καί τις Μεσσήνιος, οὐ Λάκων, ἀλλὰ Σικελικὸς ἀνήρ, εὑρετὴς παιγνίων, ἃ τοῖς παλαιοῖς ἐσπουδάζετο. διὸ καὶ Μνασέας ὁ Λοκρός, φησίν, ἢ Κολοφώνιος, συνετάξατο τὰ ἐπιγραφόμενα παίγνια. ὃν διὰ τὸ ποικίλον τῆς συναγωγῆς σάλπην ἐκάλουν, ἐπειδὴ ποικίλος ἐστὶν ὁ ἰχθὺς ἡ σάλπη. ὃν μὴ ἀποδεχόμενος, φησίν, Ἐπίχαρμος σκατοφάγον λέγει καὶ βδελυχνόν. καὶ Σάλπη δέ, Λεσβία γυνή, παίγνια καὶ αὐτὴ συνέθετο.] (v. 563) Κάμαξ δὲ ξύλον ὀρθὸν ὑπανέχον συνήθως πολλαχοῦ τοῖς γεωργοῖς ἄμπελον. γίνεται δὲ παρὰ τὸ κάμνειν τῷ βάρει, ἢ καὶ συγκέκοπται ἀπὸ τοῦ καλάμαξ, ὡς καλάμοις ἀνεχομένων τῶν κλημάτων. ἔοικε δὲ καὶ ἡ τῶν καμάκων αὕτη χρῆσις πολλὴ παρὰ τοῖς παλαιοῖς εἶναι. διὸ καὶ πρὸς διαφορὰν ἄμπελος χαμῖτις ἐλέγετο ἡ χαμαὶ κειμένη. ὅτι δὲ καὶ ἄγγατος βαρβαρικῶς ἐκαλεῖτο ἡ κάμαξ, δηλοῖ ὁ εἰπὼν «ἄγγατος τὸ εἰς ἀναδενδράδα ξύλον».

4.256 εἰ μὴ ἄρα οὐκ ἔστιν ἴσως τοῦτο κάμαξ, ἀλλ’ ἐπίκειται κάμαξιν. [Εἰ δὲ ὁ ἄγγατος βαρβαρίζεται καὶ διὰ τοῦτο ἄγνωστός ἐστι τοῖς ἑλληνίζουσι, νοητέον πολλὰς καὶ ἄλλας εἶναι λέξεις κειμένας μὲν ἐν βιβλίοις, μὴ ὑπαγομένας δὲ μεθόδοις ἐτυμολογίας Ἑλληνικῆς. καὶ γέγραπται μὲν καὶ τοῦτο ἀλλαχοῦ, καὶ τέθεινται τοιαῦται λέξεις. Νῦν δὲ μνηστέον τοῦ νωγαλίζειν, μήποτε ὡς ἐθνικὴ καὶ αὐτὸ λέξις οὐκ ἔγνωσται ἡμῖν, ὅθεν γίνεται. χρῆσις δὲ αὐτοῦ ἐν τῷ «ἐνωγάλισται» Ἀττικῶς παρὰ τῷ Ἀθηναίῳ. ὡς δὲ τὸ νωγαλίζειν καὶ νωγαλεύειν λέγεται, δῆλον ἐκ τῶν νωγαλευμάτων, ἅπερ εἰσὶν ἡδέα βρώματα, λεγόμενα, φησί, καὶ τρισυλλάβως νώγαλα, οἷον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βότρυς, ῥοιάς, φοίνικας, ἕτερα νώγαλα. Ἀναλογία δὲ τοῦ ἐνωγάλισται κατὰ τὸ κέκτηται ἔκτηται, οὗ ἀπαρέμφατον παρ’ Ὁμήρῳ τὸ ἐκτῆσθαι, καὶ τὸ ἐκπέπηξε ἐξέπηξε παρὰ τῷ Κωμικῷ, καὶ τέθλασται ἔθλασται, ἀφ’ οὗ ἐθλασμένον παρὰ τῷ Δειπνοσοφιστῇ. παραπηκτέον δὲ καινότητι λεκτικῇ καὶ τοὺς παρὰ Ξενοφῶντι καὶ ἄλλοις βίκους τὰ οἰνοδόχα ἀγγεῖα, οἳ κεῖνται καὶ ἐπὶ μειζόνων ὀστρακίνων σκευῶν, ὡς ἐμφαίνεται ἐν τῷ «Σικελοῦ θύννου τέμμαχος τμηθέν, ὅτ’ ἐν βίκοισι ταριχεύεσθαι ἔμελλεν». ὁ δὲ τοιοῦτος ταριχευτικὸς βῖκος καὶ ἀμφορεὺς ἂν λέγοιτο, ὡς δηλοῖ ἐπαχθὲν περὶ σκόμβρου τὸ «πρὶν ἐς ἁλμυρὸν ὕδωρ ἐλθεῖν ἀμφορέως», ὃν δηλαδὴ βιτίναν οἱ κοινολεκτοῦντές φασί.] Δῆλον δὲ ὅτι καὶ χάραξ ἡ κάμαξ ἐλέγετο. ὅθεν καὶ παροιμία «ἐξηπάτηκεν ἡ χάραξ τὴν ἄμπελον», ὅταν ὑπὸ τοῦ δῆθεν σῴζοντος ἀπατηθῇ τὸ σῳζόμενον.

4.257 ὡς δὲ καὶ δόρατος ξύλον ἡ κάμαξ παρά τισιν, οὐκ ἠγνόηται οὐδ’ αὐτό. (v. 564) Κάπετος δέ, περὶ ἧς καὶ ἄλλοθι δηλοῦται, ληνὸς ἢ τάφρος, ἐπ’ ἀσφαλείᾳ πέριξ ὀρωρυγμένη τῆς ἀμπέλου. Καὶ ὅρα τὸ εἰς ποικιλίαν τεχνικὸν τῆς ποιήσεως. τὸ μὲν γὰρ ἔδαφος τῇ ἀλωῇ χρυσοῦν, ἴσως δὲ καὶ τὰ κλήματα, μέλανες δέ οἱ βότρυες, ᾧ τρόπῳ καὶ ἡ νειὸς ἀνωτέρω ἐμελαίνετο, αἱ δὲ κάμακες ἀργυραῖ, κυανὴ δὲ ἡ κάπετος κατὰ τὴν πρὸ βραχέων μελαινομένην αὔλακα εἰς βάθους ἔμφασιν, τὸ δὲ ὑπὲρ τὴν τάφρον ἕρκος κασσιτέρινον, τοὺς δὲ τρυγῶντας καὶ τοὺς ταλάρους ἀφῆκεν εἰπεῖν οἵας ὕλης ἦσαν, ὡς μὴ πάνυ ἀναγκαῖον ὄν, καὶ ἅμα ἐμφήνας τοιαῦτά τινα, ὡς εἰκός, εἶναι καὶ αὐτά. Τὸ δὲ «ἔλασε» καὶ νῦν ἀντὶ τοῦ ἐξέτεινεν, ἁρμόττον πρός τε τὴν κάπετον καὶ πρὸς τὸ ἕρκος. δῆλον δὲ ὡς πολλὰ σημαίνει τὸ ἐλάσαι, ὧν ἓν καὶ τὸ καθῆραι. ὅθεν καὶ ἐλατήριον πᾶν τὸ κατακαθαῖρον φάρμακον, ὅπερ Ἱπποκράτης ὑπήλατόν φησι. καὶ ἐλατήριον ἰδίως τὸ διὰ ῥίζης ἀγρίου συκίου καθαρτικὸν τῆς κάτω κοιλίας καὶ νηὸς ἐλατήρ. ὁ μέντοι παρ’ Ἀριστοφάνει ἐλατὴρ πόπανον, φασίν, ἦν πλατύ. (v. 565) Ἀταρπιτὸς δὲ στενὴ ὁδὸς καὶ διηνεκὴς καὶ μὴ ὧδε καὶ ἐκεῖ τετραμμένη. μιᾶς δὲ μόνης χρεία ἦν τοιαύτης τῇ ἠσφαλισμένῃ ἀλωῇ. ὅτι δὲ ἕτερόν τι τῆς ἁπλῶς ὁδοῦ ἡ ἀτραπιτός, δηλοῖ, ὡς ἀλλαχοῦ σαφέστερον εἴρηται, καὶ τὸ παροιμιῶδες «ὁδοῦ παρούσης τὴν ἀτραπὸν ζητεῖς». (v. 566) Τὸ δὲ νίσσεσθαι οὐκ εὔχρηστον μὲν τῇ καταλογάδην γραφῇ, παράγεται δέ, ὡς καὶ ἐν ἄλλοις ἐγράφη, ἀπὸ τοῦ νῶ, τὸ πορεύομαι. Φορεῖς δὲ ἄλλως μὲν γενικῶς οἱ φορτηγοί, νῦν δὲ εἰδικῶς οἱ τοὺς βότρυας φέροντες, ὡς δηλοῖ περιφρασθὲν τὸ «πλεκτοῖς ἐν ταλάροισι φέρον καρπόν».

4.258 (v. 567) Παρθενικαῖς δὲ καὶ ἠϊθέοις ἀνατίθησι τὰ μὴ σπουδαῖα, τὴν μολπήν, τὸ ἰΰζειν, τὸ ὀρχεῖσθαι, ὡς τῶν λοιπῶν πονουμένων περὶ τρυγητόν, ἐν οἷς, ὡς εἰκός, καὶ ἁδραὶ γυναῖκες, ὁποῖαι καὶ ἀνωτέρω αἱ περὶ δεῖπνον ἐρίθων πονούμεναι. Ἠΐθεοι δὲ ὅτι οἱ μηδέπω γεγαμηκότες, πολλαχοῦ καὶ αὐτὸ εἴρηται. (v. 568) Τάλαροι δὲ καλαθίσκοι, τάλανες εἰς τὸ αἴρειν ὡς βαστακτικοί. λέγονται δὲ οἱ τοιοῦτοι καὶ ἄρριχοι παρὰ Ἀττικοῖς. Παυσανίας οὖν φησιν ὅτι ἄρριχος κόφινος ἐπιτήδειος εἰς συγκομιδὴν σταφυλῶν. Ἀριστοφάνης δὲ ἀρρίχους ἐν Ὄρνισι λέγει κοφίνους, οὓς ἐνέπλησέ τις πτερῶν. ἀπὸ οἰσύας δέ, φασί, τοῖς ἀρρίχοις τὸ πλέγμα. καρπὸς δὲ μελιηδὴς ἡ σταφυλή, ἐπεὶ καὶ οἶνός που μελιηδής. (v. 569 s.) Ὅρα δὲ καὶ ὡς ταὐτὸν εἶναι δοκεῖ φόρμιγξ καὶ κιθάρα, ὡς δηλοῖ τὸ «φόρμιγγι λιγείῃ ἱμερόεν κιθάριζεν», ἤγουν πρός τινα ἵμερον φιλοτήσιον, τοιούτοις ἔργοις προσήκοντα, ὁποῖος δή τις καὶ χορὸς μετ’ ὀλίγα εἰρήσεται. (v. 570) Τὸ δὲ «λίνον δ’ ὑπὸ καλὸν ἄειδεν» ἢ ἀντὶ τοῦ τὸν καλὸν ἐκεῖνον ἥρωα Λίνον ἄειδεν, ἢ καλὸν ἀντὶ τοῦ καλῶς λίνον ἄειδε. λίνος δὲ εἶδος ᾠδῆς κατὰ Ἀρίσταρχον ἢ ὕμνου, ὡς καὶ ὁ παιὰν καὶ ὁ διθύραμβος. ὠνόμασται δὲ λίνος τὸ τοιοῦτον ᾠδικὸν εἶδος ἢ ὡς μετὰ λίνου ἤτοι χορδῆς ᾀδόμενος, ἢ ἀπό τινος Λίνου, ἀνδρὸς ἥρωος. Φασὶ γὰρ οἱ παλαιοὶ ποιημάτιόν τι ἐπὶ τῷ Λίνῳ εἶναι, ὃ Σφαῖρα μὲν καλεῖται, εἰς Ὀρφέα δὲ ἀναφέρεται. Φιλόχορος δὲ ὑπὸ Ἀπόλλωνος ἀναιρεθῆναι τὸν Λίνον φησί, διότι πρῶτος τὸν λίνον καταλύσας χορδῇ ἐχρήσατο εἰς μουσικῆς ὄργανον. ἐτάφη δὲ ἐν Θήβαις καὶ ἐτιμᾶτο ὑπὸ τῶν ποιητῶν θρηνώδεσιν ἀπαρχαῖς, εἰς ὃν καὶ

ἐπίγραμμά ἐστι τοιοῦτον «ὦ Λίνε, πάντα θεοῖσι τετιμένε, σοὶ γὰρ ἔδωκαν ἀθάνατοι πρώτῳ μέλος ἀνθρώποισιν ἀείδειν ἐν ποδὶ δεξιτερῷ. Μοῦσαι δέ σε θρήνεον αὐταὶ μυρόμεναι μολπῇσιν, ἐπεὶ λίπες ἡλίου αὐγάς». καὶ Ἡσίοδος «Οὐρανίη δ' ἄρ ἔτικτε Λίνον, πολυήρατον υἱόν, ὃν δὴ ὅσοι βροτοί εἰσιν ἀοιδοὶ καὶ κιθαρισταί, πάντες μὲν θρηνοῦσιν ἐν εἰλαπίναις ἠδὲ χοροῖσιν, ἀρχόμενοι δὲ Λίνον καὶ λήγοντες καλέουσιν». ὁ μέντοι τὸν Ἡρακλέα διδάξας μουσικὸς Λίνος κατὰ τὴν παλαιὰν ἱστορίαν ἕτερος παρὰ τοῦτόν ἐστιν. οὗ Θεόκριτος μέμνηται, ὁ καὶ ἱστορήσας ὅτι τὸν Ἡρακλέα γράμματα Λίνος ἐξεδίδαξεν, υἱὸς Ἀπόλλωνος. Φασὶ δὲ οἱ παλαιοὶ καί, ὅτι λίνῳ ἀντὶ χορδῆς τῶν παλαιῶν χρωμένων πρὸς τὴν κιθάραν, ὕστερον μείναντος τοῦ ὀνόματος ἡ χορδὴ λίνον καλεῖται, ὥσπερ, φασί, καὶ λίθος ἡ ἄγκυρα, ἐπεὶ πάλαι ποτὲ λίθος εἰς ἄγκυραν ἐχρημάτιζεν.

4.259 Ἄλλοι δὲ τὰ κατὰ τὸν Λίνον οὕτω συντομώτερον φράζουσιν. ἄγροικος νεανίας ὁ Λίνος, ᾠδῆς τινος εὑρετής, Οὐρανίας υἱός, ὃν ἀνεῖλεν Ἀπόλλων, ἐπεὶ τὸ λίνον καταλύσας χορδαῖς ἐνέτεινεν ὄργανον. Ἡρόδοτος δὲ λέγει, ὅτι παρὰ Αἰγυπτίοις Λίνος τις ἀείδεται. καὶ θαυμάζειν ἐκεῖνός φησι τὸν Λίνον, ὁκόθεν ἔλαβε τὸ ὄνομα. λέγει δὲ καὶ ὅτι κατὰ Αἰγυπτίους βασιλέως παῖς ἐκεῖνος μονογενὴς ἦν, ἀποθανὼν δ' ἄωρος θρήνοις ὑπ' Αἰγυπτίων ἐτιμήθη, καὶ ἀοιδὴ αὕτη καὶ μόνη σφίσιν ἐγέντο. [Ἐντεῦθεν δὲ ἀναφαίνεται, ὅτι κυρίως αἴλινος ὁ ἐπὶ τῷ τοιούτῳ Λίνῳ αἰαγμός, εἰ καὶ ἄλλως διφορεῖται τῇ σημασίᾳ κατὰ τὸν Ἀθήναιον, εἰπόντα ὡς ἐν γάμοις μὲν ᾠδὴ ὑμέναιος, ἐν δὲ πένθεσιν ἰάλεμος, λίνος δὲ καὶ αἴλινος ἔν τε πένθεσι καὶ «ἐπ' εὐτυχεῖ» δὲ «μολπῇ» κατ' Εὐριπίδην. ἡ μέντοι ἐξ Ἐπιχάρμου χρῆσις ἐθέλουσα τὸν αἴλινον ᾠδὴν ἱστουργούντων εἶναι οὐ τὸν Λίνον τὸ κύριον ἐγκεῖσθαι τῷ αἰλίνῳ βούλεται, ἀλλὰ τὸ λίνον. ὡς δὲ καὶ πολλαὶ ᾠδαὶ ἦσαν, οἷον ἴουλος, ἡ τῶν ταλασιουργῶν ἢ ἐριουργῶν, καὶ Λιτυέρσης ἡ τῶν θεριστῶν, ὡς ἔστι καὶ παρὰ Θεοκρίτῳ εὑρεῖν, καὶ ὀλοφυρμὸς ἡ ἐπὶ θανάτοις καὶ λύπαις, καὶ βουκολισμὸς ἡ τῶν βοσκόντων, καὶ ἐπιμύλιος ἡ περὶ τοὺς ἀλετούς, ἔστι σὺν καὶ ἄλλαις ἐκ τῶν παλαιῶν ἀναλέξασθαι.

4.260 ] Ἄλλοι δὲ ἐπὶ λεπτοῦ τινος νήματος ἢ χορδῆς ἐνταῦθα τὴν τοῦ λίνου λέξιν τάττοντες οὕτω νοοῦσι τὸ «λίνον δ' ὑπὸ καλὸν ἄειδε λεπταλέῃ φωνῇ» ἀντὶ τοῦ μετὰ λίνου λεπτόν τι ἄειδε. ἡ δὲ ἱστορία καὶ τρεῖς παραδίδωσι Λίνους, τὸν τῆς Καλλιόπης, καὶ τὸν τοῦ Ἀπόλλωνος καὶ Χαλκιόπης, καὶ τὸν Νάρκισον. παρασημειοῦνται δὲ οἱ παλαιοὶ καὶ ὅτι χορδὰς ἐπιστάμενος Ὅμηρος, ὅμως λίνον καλεῖ, καθὰ καὶ χαλκᾶ ὅπλα τὰ ἐκ σιδήρου. [Ἰστέον δὲ ὅτι ἐκ τοῦ κοινότερον λεγομένου λίνου καὶ λινίσκος ὑποκοριστικῶς ὁ λεπτότατος λίνος οἷον· περιστεραὶ καὶ φάσσαι καὶ τρυγόνες καθ' ὅλην ἐξίπταντο τὴν ὁδὸν ἔν τινι πομπῇ, λινίσκοις τοὺς πόδας δεδεμέναι πρὸς τὸ ῥᾳδίως ὑπὸ τῶν θεωμένων ἁρπάζεσθαι. πρὸς ὁμοιότητα δὲ τοῦ λινίσκος κεῖται καὶ ὁ παιδίσκος παρὰ τῷ Ἀθηναίῳ. φησὶ γάρ· πολλὰ ἐκ τῆς Αἰγύπτου ὁ ἐπιφανὴς Ἀντίοχος ἐνοσφίσατο παρασπονδήσας τὸν Φιλομήτορα βασιλέα παιδίσκον ὄντα. ὑποκοριστικώτερον δὲ παιδίσκου τὸ παιδισκάριον. θῆλυ δὲ ἐκείνου ἡ παιδίσκη, ὡς καὶ τοῦ μειρακίσκος ἡ μειρακίσκη. ἐκ τοῦ ῥηθέντος δὲ λίνου καὶ τὸ τοῦ Κωμικοῦ λινόδετον καὶ τὸ λινοστατεῖσθαι, οἷον «ἐθηρεύετο λινοστατούμενος», ὑπὸ ἔρωτος δηλαδή, ὅ φησι Πλάτων. Ἔτι ἰστέον καὶ ὅτι τὸ «ἀρχόμενοι Λίνον καὶ λήγοντες καλέουσιν» Ὁμηρικοῦ μὲν ῥητοῦ ἤρτηται τοῦ «ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι», σύμφωνον δὲ ἔχει καὶ τὸ «τί κάλλιον ἀρχομένοις ἢ καταπαυομένοις ἢ τὸ ποθεινότατον». παροιμιώδης δὲ οὗτος λόγος. τούτου δὲ ἀνάπαλιν ἔχει παραποιηθὲν ἀστείως ἐξ Ὁμήρου τὸ «ἄρξομαι δ' ἐκ βολβοῖο, τελευτήσω δ' ἐπὶ θύννον».

4.261 ] (v. 571) Ἡ δὲ λεπταλέη φωνὴ συγγενῶς ἔχει τῇ λιγείᾳ φόρμιγγι. ἐμφαίνει δὲ λεπταλέαν φωνὴν ὁ τοῦ Ἡφαίστου φορμιγκτὴς πάϊς τῇ πεφεισμένῃ καὶ συστόμῳ ὑπανοίξει τῶν τοῦ ζῳδίου χειλέων. Τὸ δὲ «ῥήσσοντες» ἀντὶ τοῦ σφοδρότερον τὴν γῆν ποσὶ παίοντες, ὃ δὴ καὶ αὐτὸ ἐν Ὀδυσσείᾳ οἰκεῖον ὀρχησταῖς κατὰ τὸ «πέπληγον χορόν», καὶ τὸ «παίσατε», ὃ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀδυσσείᾳ κεῖται. (v. 572) Μολπὴ δὲ ἰϋγμοῦ διαφέρει, ὡς καὶ λόγος ἐμμελὴς βοῆς ἀμελοῦς. μολπὴ μὲν γὰρ καὶ μέλπειν μεμελισμένον ἔπος, ἰϋγμὸς δὲ καὶ ἰΰζειν φωνή τις ἄσημος, ὁποῖος καὶ ὁ συριγμός. Τὸ δὲ, ποσὶ σκαίρειν, εὔρυθμόν τινα καὶ ὀρχηστικὴν κίνησιν δηλοῖ, οὐ μὴν καὶ τὸ σπαίρειν, ὃ πλεονασμῷ τοῦ α καὶ ἀσπαίρειν λέγεται. ἐκεῖνο γὰρ σκαρισμὸν δηλοῖ καὶ κίνησιν ἐπιθανάτιον, ὁποῖος καὶ ὁ σφαδασμός. [Ὡς δὲ οὐ μόνον ἐν ὀρχηστικῇ, ἀλλὰ καὶ ἐν τῇ ἄλλως ἁπλῶς κινήσει, ὁποία καὶ ἡ βαδιστική, σεμνόν ἐστι τὸ εὔρυθμον, δηλοῖ καὶ Ἄλεξις εἰπὼν ἕν τι νομίζειν τῶν ἀνελευθέρων εἶναι, τὸ βαδίζειν ἀρρύθμως ἐν ταῖς ὁδοῖς. φέρει δέ, φησίν, ἡ εὐρυθμία τοῖς μὲν χρωμένοις δόξης τιν' ὄγκον, τοῖς δ' ὁρῶσιν ἡδονήν, κόσμον δὲ τῷ βίῳ. ἐχρῆν δέ, φασί, καὶ ἀμπέχεσθαι εὐρύθμως. φέρειν γάρ τι καὶ αὐτὸ ἐδόκει τοῖς παλαιοῖς πρὸς παιδείας ἐξέτασιν. σκώπτων γοῦν τις ἀρρυθμίαν ἐνδύσεώς φησιν «ἀμφίβαλλε στέρνοις φᾶρος· οὐ καθίσεις τάλαν, μηδ' ἀγροίκως ἄνω γόνατος ἀμφέξῃ».

4.262 δοκεῖ γὰρ ὁ σκωπτόμενος ψιλὰ ἐνδύσεως προφαίνειν τὰ σκέλη, ἔχειν δὲ καὶ τὸ προκόλπιον ἀπόλυτον. Καὶ ὅρα τὸ «ἀμφέξῃ» ἤγουν ἐνδύσῃ, ἐκ τοῦ ἀμπέχω ἀμφέξω ἀμφέξομαι.] Τὸ δὲ «ἕποντο» οὐ στάσιμον τὸ τῆς ὀρχήσεως ἔργον δηλοῖ, ἀλλὰ τῇ τῶν τρυγώντων κινήσει συνδιϊκνούμενον. Ὅτι οὐ Πλάτωνι μόνῳ, ἀλλὰ πολὺ πρῶτον Ὁμήρῳ ἤρεσε πλὴν βοῶν καὶ προβάτων τὰ ἄλλα θρέμματα παρ' οὐδὲν θεῖναι ὡς μὴ ἀναγκαῖα. (v. 573—86) Ἐνταῦθα οὖν βουκολίου καὶ οἰῶν ἀργεννάων μεμνημένος φησὶν «ἐν δ' ἀγέλην ποίησε βοῶν ὀρθοκραιράων», αἳ καὶ προεδηλώθησαν, «αἱ δὲ βόες χρυσοῖο τετεύχατο κασσιτέρου τε, μυκηθμῷ δ' ἀπὸ κόπρου ἐπεσσεύοντο νομόνδε πὰρ ποταμὸν κελάδοντα, παρὰ ῥοδανὸν δονακῆα. χρύσειοι δὲ νομῆες ἅμ' ἐστιχόωντο βόεσσι, τέσσαρες, ἐννέα δέ σφι κύνες πόδας ἀργοὶ ἕποντο. σμερδαλέω δὲ λέοντε δύο ἐν πρώτῃσι βόεσσι ταῦρον ἐρύγμηλον ἐχέτην· ὃ δὲ μακρὰ μεμυκώς», ὡς ἐδήλου τῷ σχήματι, «ἕλκετο· τὸν δὲ κύνες μετεκίαθον ἠδ' αἰζηοί. τὼ μὲν ἀναρρήξαντε βοὸς μεγάλοιο βοείην ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον, οἱ δὲ νομῆες αὔτως ἐνδίεσαν, ταχέας κύνας ὀτρύνοντες, οἳ δ' ἤτοι δακέειν μὲν ἀπετρωπῶντο λεόντων, ἱστάμενοι δὲ μάλ' ἐγγὺς ὑλάκτεον ἔκ τ' ἀλέοντο». (v. 587—9) Καὶ μέχρις ὧδε φράσας περὶ βοῶν εἶτα τὸ περὶ τῶν προβάτων ἀποστενοῖ, φεύγων τὸ προσκορές, καί φησιν «ἐν δὲ νομὸν ποίησεν» Ἥφαιστος «ἐν καλῇ βήσσῃ μέγαν οἰῶν ἀργεννάων, σταθμούς τε κλισίας τε κατηρεφέας τε σηκούς, ἢ «ἰδὲ σηκούς», πολιτείας ταῦτα καθαρᾶς καὶ οὔπω πολυπράγμονος. εἰ δὲ ἄλλως ἡ ἐν Ὀδυσσείᾳ τοῦ Ὀδυσσέως βασιλεία καὶ κτῆσις φλεγμαίνουσαν πολιτείαν καθυπογράφει κεκτημένου καὶ συῶν ποτε συβόσια καὶ αἰγῶν πλατέα αἰπόλια, ἡ γοῦν ἐνταῦθα ἀγελαία νομαδικὴ καὶ ποιμενικὴ τέχνη πρὸς τὸ ἁπλούστερον ἀφορᾷ. διὸ οὔτε θήρας αἱμύλου πτηνῶν μέμνηται ὁ ποιητὴς ἐν τούτοις παραιτησάμενος αὐτὴν διὰ τὸ ἀνελεύθερον οὔτε ἰχθύων ἄγρας, ὅτι μὴ σύμφυλος αὕτη τοῖς περὶ γῆν, τότε δὲ μόνον χρηστή, ὅτε πᾶσα ἀνάγκη, ὁποῖοί τινες καὶ οἱ ἀμφὶ τὸν Μενέλαον λιμώττοντες.

4.263 ἐν παραβολῇ μέντοι παραρριπτεῖ που Ὅμηρος μνήμην καὶ ἰχθυοθηρίας. (v. 575) Ἰστέον δὲ ὅτι, ὥσπερ τὸ σχῆμα τῶν κυνῶν ὑπέγραψε γραφικῶς ἐν τῷ «ἱστάμενοι μάλα ἐγγύς» καὶ ἑξῆς, οὕτω καὶ τὸ τῶν βοῶν ἐν τῷ «μυκηθμῷ ἐσσεύοντο», ἤγουν ὡσανεὶ μυκώμενοι. (v. 573) Ἰστέον δὲ πολυμαθείας χάριν καὶ ὅτι βοῦς παρὰ τοῖς παλαιοῖς ἐλέγετο καί τι πέμματος εἶδος, ἀφ' οὗ παροιμία τὸ «βοῦς ἕβδομος», ἔχουσα λόγον τοιόνδε. σελῆναι πέμματα ἦσαν πλατέα κυκλοτερῆ. ἐπὶ δὲ ἓξ σελήναις τοιαύταις βοῦν, φασίν, ἕβδομον ἔπεττον κέρατα ἔχοντα κατὰ μίμησιν πρωτοφυοῦς σελήνης. ἔθυον μὲν οὖν καὶ ἐπὶ τέσσαρσι ποπάνοις τοῦτον τὸν βοῦν, καὶ ἐκάλουν αὐτὸν πέμπτον βοῦν, μᾶλλον μέντοι ἐπὶ ταῖς ἓξ ἔθυον αὐτόν, ὃς καὶ ἐκαλεῖτο διὰ τοῦτο ἕβδομος βοῦς. ὁ δὲ ταῦτα ἱστορήσας Παυσανίας λέγει καὶ ὅτι αἱ ῥηθεῖσαι σελῆναι, τὰ πέμματα, καὶ πελανοὶ ἐλέγοντο, καὶ ὅτι πεμμάτων εἶδος καὶ οἱ ἀνάστατοι πλακοῦντες καὶ οἱ χαρίσιοι καὶ οἱ ἀμφιφῶντες καὶ φθόϊς δέ, φησί, πέμματα μετὰ σπλάγχνων ἐσθιόμενα, καὶ ὅτι οἱ ῥηθέντες

ἀμφιφῶντες ἄλλως τε οὕτως ἐκαλοῦντο ἀπὸ ἡλίου καὶ σελήνης, καὶ διότι δὲ ἐκόμιζον αὐτοὺς δᾳδία ἡμμένα περιπηγνύντες ἐπ’ αὐτούς. ἀλλαχοῦ δέ φησιν ὁ αὐτὸς καὶ ὅτι ἀμφιφῶν προσηγορεύθη πλακοῦς διὰ τυροῦ, ἐφ’ οὗ δᾶδα πήσσοντες ἅπτουσι τοῦ φωτὸς χάριν. Ἐκ τῆς ἀγέλης δὲ οὐ μόνον ἀγελαῖαι βόες, ἀλλὰ καὶ ἀγελαίας ἰσχάδας τὰς εἰκαίας Εὔπολις ἔφη καὶ ἄλλοι Κωμικοί, ὥς φησι Παυσανίας, καὶ λίθους δὲ ἀγελαίους τοὺς εἰκαίους καὶ ἀκαταξέστους. (v. 575) Κόπρον δὲ νῦν τὴν τῶν βοῶν ἔπαυλιν λέγει, ὡς ἐκ τοῦ παρακολουθοῦντος. κόπρος γὰρ πολλὴ τοῖς βουστάθμοις, ὡς εἰκός, ἔγκειται, καὶ μάλισθ’ ὅπου πολλαὶ βόες. ὃ δὴ ἔγνω πρὸ πάντων ὁ μέγας Ἡρακλῆς, ὁ καὶ ἐπὶ τοιούτῳ φορυτῷ ἀεθλεύσας. [Τινὲς δὲ γράφουσι «κοπροῦ» μετὰ περισπωμένης, διαστολῆς χάριν, ὡς ἐν τύπῳ περιεκτικῷ.] (v. 576) Τὸ δὲ «κελάδων» ὥσπερ ἀλλαχοῦ ἀνέμου καὶ πόντου, οὕτω καὶ ποταμοῦ ἐνταῦθά ἐστιν ἐπίθετον. Ῥοδανὸν δὲ λέγει τὸν [οἱονεὶ ῥοανὸν] ὡς ῥοώδη, πλεονασμῷ τοῦ δ .

4.264 οἱ δὲ γράφουσι «ῥαδαλόν», καί φασιν οὕτω λέγεσθαι διὰ τὸ ῥᾶον ἄλλεσθαι φυτὰ ἐξ αὐτοῦ, πλεονασμῷ συνήθει τοῦ δ , ἢ ὡς κραδαλόν, ἤγουν εὐκράδαντον καὶ εὐκίνητον ἀποβολῇ τοῦ κ , ὡς δοκάσατο δοάσατο. ἄλλοι δὲ καὶ τὸ ῥαδαλὸν ἐπὶ εὐκινήτου νοοῦσι διὰ λεπτότητα δονάκων. ὅθεν, φασί, καὶ ἐπὶ γυναικῶν ῥαδανίζειν τὸ συνεχῶς τινάσσειν τὴν κρόκην. εἰσὶ δέ τινες, οἵ φασιν ὑφὲν ῥαδαλονδονακῆα, ἤγουν ἰσχνοκαλαμώδη, ἕν τι νοοῦντες διὰ τῶν δύο, ὁμοίως τῷ χορωκαλῇ Πολυμήλῃ, ἤγουν καλλίχορος. Δονακῆα δὲ περιεκτικῶς λέγει τὸν δόνακας ἔχοντα, οἳ διαφέρουσι καλάμων, ὅτι λεπτότατος μὲν ὁ δόναξ, ἁδρὸς δὲ ὁ κάλαμος, καὶ ὁ μὲν δόναξ ὡς ἐπὶ πολὺ ποτάμιος, οὐ μὴν καὶ ὁ κάλαμος, [καὶ δόναξ μὲν συριγκταῖς χρήσιμος, κάλαμος δὲ αὐλητaῖς, ὅθεν καί τις φαῦλος αὐλεῖν ὀλοσιαλοκάλαμος ἐσκώφθη.] Αἴλιος δὲ Διονύσιος εἰπών, ὡς δόναξ καὶ τὸ λύριον, ἐπάγει· τὸ γὰρ παλαιὸν ἀντὶ τοῦ κέρατος ὑπετίθεντο κάλαμον. ἐμφαίνει δὲ τοιοῦτόν τι καὶ ὁ Κωμικὸς ἐν Βατράχοις ὑπολύριον εἰπὼν δόνακα. Ὀππιανὸς δὲ ἰξοφόρους εἰπὼν δόνακας ἔοικε λεπτοὺς λύγους οὕτω καλεῖν.

4.265 (v. 579) Πρῶται δὲ κἀνταῦθα βόες αἱ ταῖς ὀπίσω ὑστατίαις ἀντιπορευόμεναι. (v. 580) Ἐρύγμηλος δὲ παρὰ τὴν ἐρυγήν, οἱονεὶ ἐρύγηλος πλεονασμῷ τοῦ μ . ἐρυγεῖν δὲ λέγεται τὸ μετὰ βίας ἀνασπᾶν πνεῦμα, ὡς τὸ «ἤρυγεν ἑλκόμενος ὡς ὅτε ταῦρος». Τὸ δὲ «μακρὰ μεμυκώς» ἀντὶ τοῦ μεγάλα, καὶ οὐχ’ ἁπλῶς, ἀλλ’ ὅτι πρὸς μῆκος πολὺ ὁ μυκηθμὸς ἱκνεῖτο, ἐξ οὗ μήκους παρωνόμασται τὸ μακρόν. [Μέσος δὲ παρακείμενος τοῦ μεμυκηκώς ἐστι τὸ μεμυκώς.] (v. 582) Τὸ δὲ «ἀναρρῆξαι βοείην» καὶ τὸ «λαφύσσειν αἷμα» καιρίαι λέξεις ἐπὶ λέοντος. Δῆλον δ’ ὡς καὶ νῦν τὸ «βοὸς βοείην» περιττολογεῖται. ἤρκει γὰρ βοείην μόνην εἰπεῖν. (v. 584) Τὸ δὲ «ἐνδίεσαν» ποιητικὴ καὶ αὐτὴ λέξις, οὐ ψηλαφητέα λογογράφοις, γινομένη μὲν ἀπὸ τοῦ ἐνδίημι, δηλοῦσα δὲ τὸ διέτριβον. καὶ ἐξ αὐτοῦ ἔοικεν εἶναι καὶ τὰ ἔνδια, ἤγουν αἱ διατριβαί, παρὰ τῷ Ὀππιανῷ. τινὲς δὲ ἐνίεσάν φασιν ἀντὶ τοῦ ἐνέβαλλον πλεονασμῷ τοῦ δ . ἄλλοι δὲ ἐδίωκόν φασι τὸ ἐνδίεσαν ἐκ τοῦ δίω δίημι, τὸ διώκω. (v. 585) Τὸ δὲ «ἀπετρωπῶντο» δευτέρας ὂν τῶν περισπωμένων ἐκτείνει τὴν προπαραλήγουσαν, ὡς καὶ τὸ στρωφῶ καὶ νωμῶ, ἐν μὲν τῇ πρώτῃ συζυγίᾳ συστέλλει αὐτήν, ὡς δηλοῖ τὸ «περιτροπέων ἐνιαυτός», καὶ τὸ «καλλίτριχες ἵπποι ἂψ ὄχεα τρόπεον». ὅτι δὲ ὡς ἐπὶ ἐμψύχων ζῴων, οὐ μὴν ἀγαλμάτων, εἴρηται τὸ «οἱ κύνες δακεῖν μὲν ἀπετρωπῶντο» καὶ τὸ ἑξῆς, καθὰ καὶ ἄλλα πρὸ τούτου ὁμοίως πεποίηνται τερατωδῶς μέν, γλυκέως δὲ, δῆλον. [Ζῳοῖς γὰρ ἐοικότα τετεύχαται δαίδαλα ἐπὶ τῆς ἀσπίδος, καὶ διὰ τοῦτο τοιαύτη τερατώδης φαντασία καὶ φράσις ἐπ’ αὐτοῖς γίνεται.

4.266 δῆλον δ’ ὅτι πολλὰ καὶ δίχα μύθου ἔργα παρ’ ἀνθρώποις ἀπέβησαν ζῳοῖς ἐοικότα, ὑφ’ ὧν καὶ παρήχθησαν ὀφθαλμοὶ ἀπατηθέντες τῇ ὁμοιότητι. βοΐ γοῦν, φασί, γεγραμμένῃ βοῦς ἐπανέστη ἀπατηθεὶς τῇ ὁμοιώσει, ὡς ἐντεῦθεν τὸ τῆς Πασιφάης πάθος, ᾧ βοῦς ξυλίνη ἐμεσολάβησεν ἀπατήσασα καλὸν ταῦρον ζῶντα, μὴ δοκεῖν εἶναι ἀξυνηγόρητον. ἤδη δέ που καὶ γεγραμμένῃ, φασί, κυνὶ καὶ περιστερᾷ καὶ χηνὶ τῇ μὲν κύων, τῇ δὲ περιστερὰ, τῇ δὲ χὴν προσῆλθον καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπεπήδησαν, φανέντων δὲ ἀδυνάτων, ἀπέστησαν.] (v. 587 s.) Νομὸν δὲ μέγαν λέγει πρὸς ἔνδειξιν τοῦ κατὰ τὸ σάκος μεγέθους, καθὰ καὶ τὸ «νειόν» ἄρουραν εὐρεῖαν. πάντως γὰρ μέγα σάκος, ᾧ τοιαῦτα ἐπίπεδα ἔγκειται. (v. 588) Ἀπὸ δὲ τῶν οἰῶν καὶ Οἰάτιδος νομοῦ μέμνηταί τις παλαιὸς τοῦ ὑπὸ προβάτων κατανεμομένου. (v. 589) Σταθμοὶ δὲ σηκῶν ἐοίκασι διαφέρειν, καθότι κοινὸν μὲν ἁπλῶς ὁ σταθμός. — [Ἐνταῦθα δὲ σκοπητέον, εἴπερ ἐκ τοῦ Ὁμηρικοῦ νομοῦ γέγονεν ἡ ἐπινομίς, οὐχὶ ἡ παρὰ τῷ Πλάτωνι—ἐκείνην γὰρ ὁ γραπτὸς παράγει νόμος, οὗ πρὸς διαστολὴν ὁ Ὁμηρικὸς νομὸς ὀξύνεται—, ἀλλὰ μέρος τι τριήρους, ὅπερ ἐκάλουν ἐπινομίδα, ὥς φησιν Ἀθήναιος.] Σηκοὶ δὲ μάλιστα οἱ τῶν νεογνῶν, ὅθεν καὶ σηκῖται ἄρνες λέγονται. Σημείωσαι δὲ καὶ ὅτι κλισίαν ποιμενικὴν ἐνταῦθα οἶδεν ὁ ποιητής, ἣν κλίσιον ὁ Δίων λέγει κατὰ γένος οὐδέτερον, ὡς καὶ ἀλλαχοῦ κάλλιον δηλοῦται. καί εἰσιν ἐνταῦθα κλισίαι κατηρεφεῖς, αἱ ἰδιωτικῶς λεγόμεναι σκεπασταί. (v. 590—605) Ὅτι τῆς ὀρχήσεως εἰς δύο εἴδη διῃρημένης εἴς τε τὸ ἐνόπλιον, ὃ τῇ πυρρίχῃ καὶ Κουρητικῇ κινήσει ἀπείκασται, καὶ εἰς τὸ ἵλεων, ὃ πρέπον ἐστὶν εἰρήνῃ κατὰ τὰ Βακχικὰ σχήματα, ἐνταῦθα ὁ ποιητὴς ἀμφότερα παραδείκνυσι, φράζων οὕτω «ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς Ἀμφιγυήεις, τῷ ἴκελον, οἷόν ποτ’ ἐνὶ Κνωσσῷ εὐρείῃ Δαίδαλος ἤσκησε καλλιπλοκάμῳ Ἀριάδνῃ.

4.267 ἔνθα μὲν ἠΐθεοι καὶ παρθένοι ἀλφεσίβοιαι ὠρχεῦντ’ ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες. τῶν δ’ αἳ μὲν λεπτὰς ὀθόνας ἔχον, οἳ δὲ χιτῶνας εἶχον ἐϋννήτους ἧκα στίλβοντας ἐλαίῳ· καί ῥ’ αἳ μὲν καλὰς στεφάνας ἔχον, οἳ δὲ μαχαίρας εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώνων. οἳ δ’ ὅτε μὲν θρέξασκον ἐπισταμένοισι πόδεσσι ῥεῖα μάλα, ὡς ὅτε τις τροχὸν ἄρμενον ἐν παλάμῃσιν ἑζόμενος κεραμεὺς πειρήσεται, αἴ κε θέῃσιν· ἄλλοτε δ’ αὖ θρέξασκον ἐπὶ στίχας ἀλλήλοισι. πολλὸς δ’ ἱμερόεντα χορὸν περιΐσταθ’ ὅμιλος τερπόμενοι. δοιὼ δὲ κυβιστητῆρε κατ’ αὐτοὺς μολπῆς ἐξάρχοντες ἐδίνεον κατὰ μέσσους», ὡς οἷα δηλαδὴ κορυφαῖοι χοροῦ ὀρχούμενοι ἅμα καὶ δινούμενοι, ἤγουν στρεφόμενοι χορικῶς. δῖνος γάρ, φασί, σχῆμα χορικόν. Καὶ ὅρα ὡς οὐδὲ τὴν ἔκφρασιν ἀπήλλαξε τοῦ ποιητικοῦ ὡραΐσματος, τῆς παραβολῆς, τροχῷ κεραμεικῷ εἰκάσας πάνυ θαυμασίως τὸ ὀξὺ τῆς ἐγκυκλίου κινήσεως τοῦ χοροῦ, καὶ τροχῷ οὐχ’ ἁπλῶς, ἀλλὰ ταῖς παλάμαις ἁρμόζοντι διὰ τὸ σύμμετρον, καὶ οὔπω δὲ εἰς ἔργον κινηθέντι ἀλλ’ εἰς πεῖραν μόνην. ὀξυτάτη γὰρ ἡ τοῦ τοιούτου τροχοῦ περιφορά. ἐν γάρ τοι τῷ ἐργάζεσθαι βαρύνων ὁ πηλὸς ἀμβλύνει τὴν ὀξύτητα τῆς κινήσεως. Σημείωσαι δὲ ὅτι τῶν ῥηθέντων δύο εἰδῶν τῆς ὀρχήσεως, ἤγουν τοῦ ἐνοπλίου καὶ τοῦ ἵλεω, τὸ μὲν πρῶτον ὁ ποιητὴς ἐνταῦθα διὰ τῶν μαχαιροφόρων παίδων ἐνδείκνυται, τὸ δὲ δεύτερον διὰ τῶν παρθένων, αἳ καλὰς εἶχον στεφάνας. Φασὶ δὲ οἱ παλαιοὶ ὅτι διακεχωρισμένως χορευόντων τὸ πρὶν ἀνδρῶν τε καὶ γυναικῶν πρῶτοι οἱ μετὰ Θησέως σωθέντες ἐκ τοῦ λαβυρίνθου ἑπτὰ ἠΐθεοι καὶ τοσαύται παρθένοι ἀναμὶξ ἐχόρευσαν ὑπὸ καθηγητῇ τῷ Δαιδάλῳ κατὰ Κνωσσόν, πόλιν Κρήτης, περὶ ἧς ἀλλαχοῦ τε καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ δὲ ἐρρέθη. ἀφ’ ἧς καὶ τὰ Κνώσσια παρὰ Σοφοκλεῖ ὀρχήματα καὶ τὸ ἔργον ἐκεῖνο τοῦ Δαιδάλου μετῆλθεν εἰς μίμησιν, καὶ νῦν ἔτι πολλοί, καὶ μάλιστα ναυτικοί, ὅσοι πρὸς τὸ παλαιὸν ἀνδρῶδες παρεκνεύουσι, χορόν τινα ἑλίττουσι ποικιλόστροφον καὶ πολυκαμπῆ τὰς τοῦ λαβυρίνθου μιμεῖσθαι θέλοντες ἕλικας.

4.268 Σημείωσαι δ’ ἐνταῦθα ὅτι οὐ τῷ Θησεῖ τῷ ἀλλοδαπῷ τὸν χορὸν ἐκεῖνον ὁ ἐκ Κρήτης Δαίδαλος ἤσκησεν, ἀλλὰ τῇ τῶν βασιλέων θυγατρὶ Ἀριάδνῃ τῇ τοῦ Θησέως ἐρωμένῃ. ἐρώτων γὰρ γυναικῶν ὁ Δαίδαλος ὑπουργὸς παραδέδοται, ὃς οὐ μόνον ἐνταῦθα μεσολαβεῖ χορὸν καταποικίλας δαιδάλεον, ἀλλὰ καὶ τῇ Πασιφάῃ πρὸς ἀλλόκοτον ἔρωτα τὸν τοῦ ταύρου ἐμεσίτευσε. διὸ καὶ δικαίως ὑπὸ Μίνωος κατὰ τὴν ἱστορίαν ἐδιώκετο, ὅτε καὶ τὸν υἱὸν Ἴκαρον ἀπεβάλετο συμφεύγοντα, ἐξ οὗ τὸ Ἰκάριον πέλαγος. [Ἰστέον δὲ ὅτι ἀλλόκοτος μὲν ἀληθῶς ὁ κατὰ τὴν Πασιφάην ἔρως, ἔχει δέ τινας ὁμοιότητας. πεπείραται γοῦν καὶ τοῖς τοῦ νῦν γένους γυνὴ κυνὸς εὐγενοῦς ἔρωτι κατασχεθεῖσα καὶ χρωτιζομένη τῷ κακῷ. ἄλλως δὲ καὶ ἄλογα ζῷα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔρωτας ἐπ' ἀνθρώποις ἔπαθον. δελφῖνος οὖν τοιοῦτος ἔρως παρ' Ὀππιανῷ κεῖται. λέγεται δὲ καὶ ἀλεκτρυὼν ἐν Βιθυνίᾳ οἰνοχόου τινὸς ἐρασθῆναι βασιλικοῦ, καὶ χὴν δὲ Ὠλενίου παιδός. καὶ ἐν Λευκαδίᾳ ταώς, φασίν, ἐρασθεὶς παρθένου θανούσῃ συνεξέλιπε.] (v. 592) Περὶ δὲ Ἀριάδνης καὶ τῶν κατ' αὐτήν, ὅτι τε Θησέως ἐρασθείη, καὶ ὅπως εἰς Κρήτην ἐκεῖνος ἔλθοι, καὶ ὡς Δαιδάλου ὑποθήκαις ἀγαθῖδα μίτου δοῦσα τῷ Θησεῖ αἰτία γένοιτο ἐκείνῳ διεξοδεῦσαι τὸν λαβύρινθον, ἱστοροῦσι πολλοί, καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δὲ γέγραπταί τινα. Ὅτι δὲ ἀγαθὶς δέσμη, ῥάμμα, στήμονες, λέγουσιν οἱ παλαιοί. δηλοῖ δέ, φασίν, ἡ λέξις καὶ σησαμίδα. Τὸ δὲ «ἤσκησε» καιριωτάτη λέξις καὶ ἐνταῦθα, δηλοῦσα ἔργου ἐπιμέλειαν, ὡς καὶ ἐν τῷ «ἤσκειν εἴρια». (v. 593) Ὅρα δὲ καὶ τὸ «ἠΐθεοι καὶ παρθένοι». ὃ γὰρ ἐν ἡλικίᾳ γυναικῶν αἱ παρθένοι, τοῦτο ἐν ἀνδράσιν ἠΐθεοι, οἱ ὡραῖοι, φασί, γάμου καὶ μηδέπω γεγαμηκότες. ὡς δὲ καὶ τρισυλλάβως ᾔθεος λέγεται ὁ ἠΐθεος προσγραφέντος τοῦ ι , Διονύσιος Αἴλιός φησι, καὶ ἔστι, φασίν, Ἀττικόν. λέγεται δὲ καὶ ἐπὶ παρθένου τὸ ἠΐθεος. καὶ χρῆσις φέρεται εἰς τοῦτο αὕτη· εἰ μὴ κόρη δεύσειε τὸ σταῖς ἠΐθεος. (v. 593— 605) Τίνες δὲ ἀλφεσίβοιαι, καὶ ὅτι καρπὸς τὸ μεταξὺ συνάπτον χειρὸς καὶ πήχεως, καὶ ὅτι ὀθόναι ἴσως ἄρτι γυναικεῖα ἱμάτια λεπτὰ παρὰ τὸ ὄθω διὰ τὸ εὐκίνητον, καὶ ὅτι στεφάνας μὲν θηλυκῶς οἶδεν ὁ ποιητὴς ἐπὶ κόσμου κεφαλῆς, οὐ μὴν δὲ καὶ στεφάνους ἀρσενικῶς, καὶ ὅτι τὸ ὀτέ ὀξυτόνως, ἀντὶ τοῦ ποτέ, ὅτε βαρυτόνως οἶδε λέγειν ὁ ποιητής, ὡς καὶ νῦν ἐν τῷ «οἳ δ' ὅτε μὲν θρέξασκον», καὶ τίνες οἱ κυβιστητῆρες, καὶ ὅτι τὸ δινεῖν ἐνεργητικῶς λέγει ἀντὶ τοῦ δινεῖσθαι, εἰπὼν ἐνταῦθα «ἐδίνεον κατὰ μέσσους», δηλοῦται καὶ ἀλλαχοῦ.

4.269 [(v. 593) Τοῦ δὲ ἀλφεσίβοιαι προϋπάρχει ῥῆμα διφορούμενον τῇ κλίσει. μέλλων γὰρ αὐτοῦ καὶ διὰ τοῦ ε , ἐξ οὗ ἀλφεσίβοια, καὶ διὰ τοῦ η , ἐξ οὗ ἀλφηστής, λέξις αὕτη ὁμώνυμος. ἀλφησταὶ γὰρ οὐ μόνον ἄνθρωποι κατά τι κοινὸν ἐπίθετον, ἀλλὰ καὶ ἰχθύων εἶδος. μονάκανθοι δὲ αὐτοί, κιρροί, πορφυρίζοντες κατά τινα μέρη, ὧν, φασίν, ἁλισκομένων σύνδυο φαίνεσθαι τὸν ἕτερον κατ' οὐρὰν ἑπόμενον. ὅθεν διὰ τὸ κατὰ πυγὴν θατέρῳ τὸν ἕτερον ἀκολουθεῖν Ἀπολλόδωρος τοὺς ἀκρατεῖς καὶ κατωφερεῖς ἀλφηστὰς εἶπεν ἐν τῷ «καταπυγωτέραν ἀλφηστῶν».] (v. 594) Τὸ δὲ «ὠρχεῦντο» ἐτεχνήσατο οὕτως εἰπεῖν Ὅμηρος. εἰ γὰρ ὠρχοῦντο ἔφη, λογοειδὴς ἂν ὁ στίχος ἦν καὶ εὐτελής. [Συγγενὲς δὲ τῷ Κρητικῷ Δαιδάλῳ διδάσκειν ὀρχεῖσθαι. Κρησὶ γὰρ κατὰ τὴν ἱστορίαν ἐπιχώρια τό τε κυβιστᾶν καὶ ἡ ὄρχησις, ὡς καὶ Ὅμηρος οἶδε, καὶ περιῄδοντο τοῖς πάλαι τὰ Κρητικὰ ἐμμελῆ ὑπορχήματα. καὶ τὸ μὲν ὄργανον ἐκαλεῖτο Μολοσσόν, ὁ δὲ τρόπος Κρήτας, ὡς ἂν εἴποι τις, Κρητικός. καὶ ἔστι Δωρικὸν τοὔνομα, ὅμοιον τῷ Νικήτας καὶ Φιλήτας, ὧν τὰ κοινὰ Νικήτης καὶ Φιλήτης.

4.270 ] (v. 595) Σημείωσαι δὲ ὅτι περὶ χιτώνων καὶ τοιαῦτά φασιν οἱ παλαιοί· χιτών· ὁ ζωστὸς καὶ γυναικεῖος, ὁ δὲ ἀνδρεῖος, χιτωνίσκος, ὅ τινες ἐπενδύτην, τὸ δὲ βραχὺ χιτωνισκάριον. χιτωνίου δὲ καὶ χιτωνάριον λεπτὸν ἔνδυμα γυναικεῖον πολυτελές. Μένανδρος «λελουμένη γὰρ ἡ 'ταίρα καὶ διαφανὲς χιτωνάριον ἔχουσα». Ἀριστοφάνης «ἐνδὺς τὸ γυναικεῖον τοδὶ χιτώνιον». ταῦτα Αἴλιος Διονύσιος, παρ' ᾧ καὶ ὅτι χορταῖος ὁ δασὺς καὶ μαλλωτὸς χιτών. καὶ πάλιν· χορταῖος· χιτὼν ποδήρης, ἔχων χειρῖδας. ἀλλαχοῦ δὲ ὅτι χιτῶνος εἶδος καὶ ἡ ἐξωμίς. ἐξωμὶς γάρ, φησί, χιτὼν ἅμα καὶ ἱμάτιον τὸ αὐτό. ἄλλος δέ τις ἱστορεῖ καὶ ὀρθοσταδίους χιτῶνας, λέγων ὅτι ὀρθοστάδιοι μὲν οἱ στατοί, συρτοὶ δὲ οἱ συρόμενοι. ἐκ δὴ τούτων δῆλον ὡς οὐχ' ὥρισται ὁ χιτὼν κατὰ τοὺς ἐνστατικοὺς ἐπὶ μόνου τοῦ προσεχῶς ἐπικεχυμένου τῇ σαρκί. (v. 596) Τοῦ δὲ ἐΰννητοι, ὅ ἐστιν εὔνητοι, εὔκλωστοι, θέμα ἢ τὸ νήθω, ἢ μάλιστα τὸ νῶ νήσω, οὗ χρῆσις καὶ παρ' Ἡσιόδῳ ἐν τῷ «νεῖ νήματα ἀράχνης». [Δοκοῦσι δὲ ἀντιδιεστάλθαι ταῖς λεπταῖς ὀθόναις οἱ εὔνητοι χιτῶνες. οὗτοι γὰρ οὐκ ἂν εἶεν κατ' ἐκείνας λεπτοὶ καὶ διαφανεῖς.] Τὸ δὲ «στίλβοντες ἐλαίῳ» ἀντὶ τοῦ στιλπνοί, ὡς εἰ καὶ ἔλαιον αὐτῶν ἀπέσταζε, κατὰ τὸ «ἀπελείβετο ὑγρὸν ἔλαιον», ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται λεχθὲν εἰς ὀθόνας. Καὶ σημείωσαι ὅτι ἐν τῷ «χιτῶνες

στίλβοντες ἐλαίῳ», καὶ ἐν τῷ «ὀθονέων ἀπελείβετο ὑγρὸν ἔλαιον», οὐ πολλὴ ἔοικεν ἡ λευκότης εἶναι. ἐπὶ γὰρ τῶν ἤδη λευκανθέντων οὐκ ἔστι τὸ χρῶμα τοιοῦτον, ἀλλ' ἐπ' ἐκείνων οἰκεῖον τὸ «λευκὸν δ' ἦν ἠέλιος ὥς». Ὅρα δὲ ὡς ταῖς τοῦ ἔχειν κινήσεσιν ἐπέμεινεν, εἰπὼν «ἐπὶ καρπῷ χεῖρας ἔχοντες», καὶ «λεπτὰς ὀθόνας ἔχον», καὶ «χιτῶνας εἶχον», καὶ «στεφάνας ἔχον», καὶ «μαχαίρας εἶχον», καὶ ὅτι καὶ ἐπὶ μαχαιρῶν ὡς ἐπὶ ἀσπίδων καὶ ξιφῶν τελαμῶνας ἔφη τοὺς ἀναφορεῖς.

4.271 [Εἰ δὲ ἀργύρεοι τῶν ὧδε μαχαιρῶν οἱ ἀναφορεῖς, ὅμως ἱμάντας καὶ οὕτω νοητέον αὐτοὺς ἀναλόγως τῇ ὑποκειμένῃ τῆς ἀσπίδος ὕλῃ.] (v. 599) Τὸ δὲ «θρέξασκον» καιρία λέξις ὡς ἐν ποιήσει, διὸ καὶ δισσεύει αὐτὴν ἐνταῦθα ὁ ποιητής. πεζολογῶν δὲ ῥήτωρ ἐνεστῶτα μόνον εἰδὼς τοῦ τρέχειν ἵσταται μέχρις αὐτοῦ μὴ προβαίνων εἰς μέλλοντα, χρώμενος δὲ ἀντ' αὐτοῦ τῷ δραμοῦμαι καὶ τῇ κινήσει αὐτοῦ. (v. 601) [Ὁ δὲ κεραμεὺς καὶ τὸ προϋπάρχον αὐτοῦ ῥῆμα τήν τε κεραμείαν ποιοῦσιν, ἧς χρῆσις καὶ ἐν παροιμίᾳ σκωπτούσῃ τὸ «κεραμείᾳ τὸν πίθον», καὶ τὰ κεράμεια, ἐφ' οἷς γριφεύοντές τινες γῆς τε καὶ πυρὸς τέκνα φασὶν αὐτὰ καὶ ἄλλα δέ τινα συνήθη τῇ κατ' αὐτοὺς τέχνῃ στομφάζουσιν, ὡς δῆλον ἐκ τοῦ εἰπόντος «γαίας τε καμίνου τε γόνον εὗρε κλεινότατον κέραμον, χρήσιμον οἰκονόμον, ἡ τὸ καλὸν Μαραθῶνος καταστήσασα τρόπαιον», ἤγουν ἡ τῶν Ἀθηναίων πόλις. καὶ ἐπαινεῖται, φασίν, ὄντως ὁ Ἀττικὸς κέραμος. οὕτω δὲ κατ' Εὔβουλον καὶ τὰ Κνίδια κεράμεια καὶ τὰ Μεγαρικὰ πιθάκνια. Ἕτερος δέ τις χύτραν ἐγριφοποίησεν ἐν τῷ «τροχοῦ ῥύμασι τευκτὸν κοιλοσώματον κύτος, πλαστὸν ἐκ γαίης». ὁ δ' αὐτὸς τὸ αὐτὸ φράζων, ἔνθα καὶ περὶ πλακοῦντος λέγει, «ξανθῆς», φησί, «μελίσσης νάμασι συμμιγὴς μηκάδων αἰγῶν ἀπόρρους θρόμβος ἐγκαθήμενος εἰς πλατὺ στέγαστρον ἁγνῆς παρθένου Δηοῦς κόρης. δηλοῖ δὲ ταῦτα πλακοῦντα ἐκ μέλιτος καὶ αἰγείου τυροῦ εἴτε γάλατος ἐγκείμενον πλατείᾳ στεγούσῃ χύτρᾳ ἢ ἑτεροίῳ κεραμείῳ.] (v. 599) Ὅρα δὲ καὶ ὅτι τὸ «ἐπισταμένοις ποσίν» ἐπιστήμην εἶναι παραλαλεῖ γενικῶς καὶ τὴν χορευτικὴν τέχνην, καὶ ὅτι τὸ κύκλῳ ἥκειν καὶ περιφέρεσθαι θέειν εἶπεν ἐπὶ τοῦ διαληφθέντος τροχοῦ. (v. 602) Τὸ δὲ «θρέξασκον ἐπὶ στίχας ἀλλήλοις» ἀντὶ τοῦ ἔτρεχον λύοντες τὸν τοῦ χοροῦ κύκλον εἴς τινας εὐθείας κινήσεις· ἢ καὶ ἄλλως μάλιστα κατὰ τοὺς παλαιούς, ποτὲ μὲν τροχοειδῆ καὶ κυκλοτερῆ δρόμον ἐποιοῦντο, ποτὲ δὲ ἀντιμέτωποι ἀλλήλων γινόμενοι κατ' ὀρθὸν δι' ἀλλήλων ἔθεον, ὃ καὶ εἰσέτι νῦν ποιοῦσιν οἱ τὰ τοιαῦτα δεινοὶ χορευταί.

4.272 (v. 603) Ἱμερόεις δὲ χορός, καθὰ καὶ κιθαρισμός, ὡς ἐδήλου τὸ «ἱμερόεν κιθάριζε». Τὸ δὲ «πολλὸς περιΐστατο ὅμιλος» ἔθος δηλοῖ ἐν ἀξιολόγοις χοροῖς γινόμενον. τὸ δὲ «ὅμιλος τερπόμενοι» Ἀττικῶς ἐσχημάτισται. ἄλλως γὰρ εἶχεν εἰπεῖν ὅμιλος τερπόμενος. (v. 606) Ἰστέον δὲ καὶ ὡς ἐκ τοῦ «μολπῆς ἐξάρχοντες ἐδίνευον» ἐρρέθη παρὰ τοῖς ὕστερον εἶδός τι ὀρχήσεως ἐμμέλεια. φησὶ γοῦν Παυσανίας, ὅτι ὄρχησίς τις ἦν τραγικὴ λεγομένη ἐμμέλεια. Αἴλιος δὲ Διονύσιός φησι καὶ αὐτός, ὅτι ἐμμέλεια τραγικὴ ὄρχησις, ὥσπερ ἡ κωμικὴ κόρδαξ καὶ ἡ σατυρικὴ σίκιννις. ἐκαλεῖτο δέ, φησίν, ἐμμέλεια καὶ τὸ ὑπὸ τὴν τραγικὴν ὄρχησιν ᾀδόμενον αὔλημα. ὁ δὲ Παυσανίας λέγει καί, ὅτι ὀρχήσεως εἶδος καὶ ὁ ξιφισμὸς καὶ σχῆμα ἐμμελείας, ὅθεν ἀποξιφίσαι τὸ ἐξορχήσασθαι, ὥσπερ καὶ ἀποφοιτᾶν παρὰ Λυσίᾳ τὸ παύσασθαι φοιτῶντα, ὅ ἐστι μανθάνοντα. (v. 607 s.) Ὅτι τὸν Ὠκεανὸν περὶ τὸ ἄκρον κύκλῳ τῆς ἀσπίδος ὁ Ἥφαιστος ἔθετο, ἵνα καὶ αὐτὸς ἔσω σφίγγῃ πάντα τὰ περικόσμια, ὅσα περιέχει τὸ τῆς ἀσπίδος ἔδαφος. Φησὶ γὰρ «ἐν δ' ἐτίθει ποταμοῖο μέγα σθένος Ὠκεανοῖο ἄντυγα πὰρ πυμάτην σάκεος πύκα ποιητοῖο». Καὶ ὅρα φυσικὰ ποιητικὰ πάρισα, ἐκφράσει πρέποντα, τὸ «ποταμοῖο», «Ὠκεανοῖο», «ποιητοῖο», καὶ ὡς ποταμὸν κἀνταῦθα τὸν Ὠκεανὸν ἡ Ὁμηρικὴ Μοῦσα ἔφη, ἐκ μέρους ἴσως οὕτως εἰποῦσα, εἴπερ, ὡς ἐν Ὀδυσσείᾳ δηλοῦται, ποταμός τις φέρεται εἰσβάλλων εἰς τὸν μέγαν Ὠκεανόν, τὴν ἔξω δηλαδὴ θάλασσαν. (v. 607) Τὸ δὲ «μέγα σθένος» τὸν μεγασθενῆ συντίθησι. δῆλον δὲ ὡς πάνυ δεξιῶς πινακογραφικῷ χαρακτῆρι, ὃν οἱ περιηγούμενοι ἐζήλωσαν, τῇ κατ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὸν Ὅμηρος κοσμοποιΐᾳ κύκλῳ τὸν Ὠκεανὸν περιέθετο. (v. 609—13) Ὅτι ἐπιμονῇ ῥήματος χρῆται καὶ ἐν τῷ «ἐπειδὴ τεῦξε σάκος μέγα τε στιβαρόν τε· τεῦξεν ἄρα οἱ θώρηκα φαεινότερον πυρὸς αὐγῆς· τεῦξε δέ οἱ κόρυθα βριαρήν, κροτάφοις ἀραρυῖαν, καλήν, δαιδαλέην, ἐπὶ δὲ χρύσεον λόφον ἧκε· τεῦξε δέ οἱ κνημῖδας ἑανοῦ», ὥς που καὶ προεγράφη, «κασσιτέροιο».

4.273 Καὶ ὅρα ὅτι ἐπελευστικῶς φράσας οὐκ ἐκφράζει καὶ ταῦτα, ἐπεὶ ἔφθασεν ἐπ' ἄλλων ὁμοειδῶν τοῦτο ποιῆσαι, οἷον ὅτε τὸν θώρακα τὸν Κινύρου ἐξέφρασε καὶ τὴν τῆς Ἀθηνᾶς κόρυθα. διόπερ οὐκ ἐθέλει τὰ αὐτὰ πολλάκις μυθολογεύειν. οὕτω καὶ τὴν τοῦ Πατρόκλου πυρὰν πολυλογήσας ἐν τοῖς ἑξῆς, τὴν τοῦ Ἕκτορος παραδραμεῖται, οἷα τὴν ἄκαιρον ταὐτολογίαν ἐκφεύγων καὶ τὸ προσκορές, ἄλλως δὲ καὶ σπεύδων εἰς τὸ ἐναγώνιον. διὸ οὔτε περὶ τοῦ Ὠκεανοῦ πολυλογεῖ, ἀλλ' εἰπεῖν ἠρκέσθη τὸ «ἐν δ' ἐτίθει ποταμοῖο μέγα σθένος», ὡς εἴρηται. (v. 614 s.) Καὶ τὸν Ἥφαιστον δὲ σιγῶντα πλάττει, ὅτε μητρὸς Ἀχιλλῆος θῆκε προπάροιθεν ἀείρας τὰ ὅπλα δηλαδή, καὶ οὐδὲ τὴν Θέτιν λαβοῦσαν αὐτὰ παρ' Ἡφαίστου πεποίηκέ τι λέγουσαν πρὸς τὸν αὐτὰ δόντα. εἰ δὲ καὶ ἔστι κατὰ τὸ σιωπώμενον νοῆσαι, ὅτι ἐλάλησεν ἄν, ὡς εἰκός, ἡ Θέτις εὐχαρίστως τὰ δέοντα, καθὰ καὶ Χρύσης πρὸς τοὺς Ἀχαιούς, ὅτε ἀπέλαβε τὴν παῖδα, ὅμως Ὁμήρῳ οὐκ ἀρέσκει λαλεῖν τὰ μὴ ἀναγκαῖα μηδὲ κατεπείγοντα. (v. 617 s.) Τὸ δὲ τάχος καὶ τὴν σπουδὴν τῆς Θέτιδος ἐμφαίνει καὶ παραβολικῶς ὁ ποιητὴς εἰπὼν ὡς ἡ Θέτις «ἴρηξ ὣς ἆλτο κατ' Οὐλύμπου νιφόεντος τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ἄνακτος». Ταῦτα δὲ καὶ ὅπλα κοινότερον ἐνταῦθά φησιν ὡς πολέμου ὄργανα, εἰπὼν «αὐτὰρ ἐπεὶ πάνθ' ὅπλα κάμε κλυτὸς ἀμφιγυήεις», ἤγουν καμὼν ἐποίησεν ἢ περὶ πάντα ἔκαμε. (v. 610) Τὸ δὲ φαεινότερον πυρὸς αὐγῆς εἶναι τὸν θώρακα ἐκ τοῦ λαμπροῦ χρυσοῦ ἔχειν δοκεῖ. Τὸ δὲ «τεῦξε» πρωτότυπόν ἐστι τοῦ τεύχεα. διὸ μετὰ τὸ «τεῦξεν» εἰπὼν ὅπλα οὐκ ἠνέσχετο μὴ τεύχεα εἰπεῖν τὰ αὐτά, ὡς ἀνωτέρω δεδήλωται. (v. 611) Ἀρετὴ δὲ καὶ νῦν κόρυθος τὸ ἀρηρέναι κροτάφοις. ἡ γάρ ἐστι καὶ πληκτικὴ καὶ οὕτω δύσχρηστος. καλὴ δὲ αὕτη, δι' ὃν ἔχει χρύσεον λόφον, τὰς ἀλλαχοῦ χρυσείας ἐθείρας. (v. 613) Κασσίτερος δέ, φασί, παρὰ τὸ θᾶσσον τείρεσθαι. καὶ ἄλλως δέ, ὡς καὶ προεδηλώθη, καυσίτερός τις, πρὸς διαστολὴν τοῦ ἐν τῇ καύσει ἀτειρέος χαλκοῦ. διὸ καὶ ἀναλογώτερον κασσίτερον γράφειν διὰ τοῦ ε ἤπερ κασσίτηρον διὰ τοῦ η .

4.274 δῆλον δὲ ὡς καὶ Ἀττικῶς λέγεται καττίτερος. (v. 614) Ὅρα δὲ καὶ νῦν τὸ «ἀμφιγυήεις», οὐ ψεκτικῶς ῥηθὲν ἐπὶ Ἡφαίστου, ἀλλὰ χαρακτηριστικῶς κατά τινα οἷον ἰδιότητα. διὸ καὶ ἀνιστᾷ τὸ τοῦ ἐπιθέτου ταπεινόν, «κλυτός» φάμενος, ὡς καὶ πρὸ τούτου «περικλυτός», καὶ ἄνακτα δὲ τὸν αὐτὸν εἰπών. (v. 616) Ἡ δὲ κατὰ τὸν ἴρηκα παραβολὴ συνεπιτέτμηται τῇ πραγματικῇ γοργότητι, ὡς πολλαχοῦ ποιεῖν εἴωθεν Ὅμηρος. ὡς δὲ δασύνεται μὲν ὁ ἵεραξ, ψιλοῦται δὲ Ἰωνικῶς ὁ ἴρηξ, δῆλον ἐν τοῖς πρὸ τούτων που καὶ αὐτὸ γέγονεν. ΕΚ ΤΩΝ ΤΗΣ ΤΑΥ Ὅτι ἐπιγραφὴ τῆς ταῦ ῥαψῳδίας πεζὴ μὲν αὕτη· μήνιδος ἀπόρρησις, πρὸς δὲ μέτρον αὕτη· ταῦ, ἀπέληγε χόλοιο καὶ ἔκθορε δῖος Ἀχιλλεύς.

4.275.(t) (v. 1) Ὅτι καὶ ἐνταῦθα περιφράζων τὸ ἐγένετο ἡμέρα φησὶν «Ἠὼς μὲν κροκόπεπλος ἀπ' Ὠκεανοῖο ῥοάων ὤρνυτο», καὶ ἑξῆς. ἀπὸ δὲ τούτου τοῦ «ἠῶ ὄρνυσθαι» κατὰ τοὺς παλαιοὺς καὶ ὁ ὄρθρος, ἐν ᾧ εἰς ἔργον ὀρνύμεθα. Ἰστέον δὲ ὅτι τὴν Ὁμηρικήν τις ταύτην περίφρασιν ζηλώσας φησίν· ἡνίκα «πρὸς οὐρανὸν ἔτρεχον ἵπποι Ἠῶ τὴν ῥοδόπαχυν ἀπ' Ὠκεανοῖο φέρουσαι». Ἔνθα καὶ ὅρα τὸ ῥοδόπηχυς, ῥηθὲν πρὸς ὁμοιότητα τοῦ ῥοδοδάκτυλος. τοιούτῳ δὲ ζήλῳ καὶ Λυκόφρων τὸ αὐτὸ περιφράζων ἔφη «Ἠὼς μὲν αἰπὺν ἄρτι Φηγίου πάγον κραιπνοῖς ὑπερποτᾶτο Πηγάσου πτεροῖς». (v. 4—6) Ὅτι τῷ Πατρόκλῳ περικείμενος ὁ Ἀχιλλεὺς ἔκλαιε «λιγέως, πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι μύροντο», ἤγουν ἐθρήνουν ἢ ἐχέοντο. ἐκ δὲ τούτου τοῦ μύρειν, ὡς προδεδήλωται, καὶ τὸ μορμύρειν ἐπὶ ὕδατος, καὶ ποταμὸς ἁλιμυρήεις, καὶ μύρον τὸ πρῶτον ἐκχυθὲν δάκρυον ἀπὸ Μύρρας τῆς τοῦ Θείαντος. ὅτι δὲ οὐκ ἀπᾷδον ἐνταῦθα τὸ ἐμύροντο νοῆσαι καὶ ἀντὶ τοῦ ἐχέοντο, ἤτοι σπουδῇ ἔθεον, δῆλον ἐκ τῶν ἑξῆς. ἐρεῖ γάρ που· ἢ

δ’ ἀμφ’ αὐτῷ χυμένη ἐκώκυεν, ἤγουν χυθεῖσα καὶ κατὰ σπουδὴν δραμοῦσα καί, ὡς εἰπεῖν, μετὰ ῥύμης, ἥτις ἀπὸ τοῦ ῥύω γίνεται, ὅπερ ταὐτὸν τῷ χύω ἐστίν. (v. 4) Ὅρα δὲ καὶ ὅτι τὸ περικεῖσθαι δοτικῇ συνέταξε, λαβὼν αὐτὸ ἀντὶ τοῦ συγκεῖσθαι καὶ περιπεπλέχθαι. ἡ μέντοι συνήθεια ἐπὶ τοῦ βαστάζειν καὶ φορεῖν τὴν λέξιν τίθησι καὶ αἰτιατικῇ συντάσσει, ὡς ἐν τῷ περίκειται τῦφον ἢ πλοῦτον ἢ δυναστείαν.

4.276 λέγεται δέ ποτε περικεῖσθαι καὶ τὸ περιττὰ κεῖσθαι καί, εἰς ἓν εἰπεῖν, περιττεύεσθαι, περιουσιάζεσθαι, κειμηλιοῦσθαι, ὡς τὸ «οὐδέ τί μοι περίκειται», ἀντὶ τοῦ οὐδέν τι περιττὸν ἔχω ἀποκείμενον. (v. 5) Τὸ δὲ «λιγέως» ἐπὶ κλαυθμοῦ καὶ νῦν τέθειται, ὡς καὶ ἐν τῷ λίγα κωκύειν. (v. 8 s.) Ὅτι παραμυθία ἐπί τινι ἐνδόξως τεθνεῶτι ἐν πολέμῳ τὸ «τοῦτον μὲν ἐάσομεν ἀχνύμενοί περ κεῖσθαι, ἐπεὶ δὴ πρῶτα θεοῦ ἰότητι δαμάσθη». (v. 10 s.) Ὅτι τὰ τοῦ Ἀχιλλέως ὅπλα ἡ Θέτις μὲν σεμνύνουσά φησι τῷ υἱῷ Ἀχιλλεῖ «τύνη δέ», ἤγουν σὺ Δωρικῶς, ὡς προδεδήλωται, «Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο», ἤγουν δέδεξο, «καλὰ μάλα, οἷα οὔ πώ τις ἀνὴρ ὤμοισι φόρησεν». (v. 21—2) Ἀχιλλεὺς δὲ ὁμοίως ἐπαινῶν φησι· «μῆτερ ἐμή, τὰ μὲν ὅπλα θεὸς πόρεν οἷα ἐπιεικὲς ἔργ’ ἔμεν ἀθανάτων» τινὸς «μηδὲ βροτὸν ἄνδρα τελέσσαι». (v. 12—5) Ὁ δὲ ποιητὴς ὑψηλότερον φράζων περὶ αὐτῶν φησιν ὡς Θέτις μὲν «κατὰ τεύχε’ ἔθηκε πρόσθεν Ἀχιλλῆος, τὰ δ’ ἀνέβραχε δαίδαλα πάντα. Μυρμιδόνας δ’ ἄρα πάντας ἕλε τρόμος, οὐδέ τις ἔτλη ἄντην εἰσιδέειν, ἀλλ’ ἔτρεσαν». οὕτω ποικιλόφωνος κἀνταῦθα ὁ ποιητής. εἰ δὲ δεινὸν φύσει πᾶν ὅπλον κατὰ τὸ «ὅπλοις ἐνὶ δεινοῖσιν ἐδύτην», καὶ «δεινὸν δὲ λόφος ἔνευεν», ἀλλ’ ἐν τοῖς ῥηθεῖσιν ἐπιτέταται τὸ δεινόν, εἴγε καὶ τρόμον ἐμποιοῦσι τοσούτῳ στρατῷ, οὐ κατὰ θέαν μέντοι, ἀλλ’ ἀκοὴν ἤχου. τινὲς δὲ καὶ ἔμψυχα ἐτερατεύσαντο αὐτὰ εἶναι, καθὰ καὶ προείρηται. διὸ καὶ αἴρουσι τὸν Ἀχιλλέα ὅτε ὁπλισθείη, ὡς ἐν τοῖς μετὰ ταῦτα ῥηθήσεται. καὶ ἐκθυμοῦσι δὲ αὐτόν, ὡς ἐνταῦθα φαίνεται. (v. 15 s.) Φησὶ γάρ «αὐτὰρ Ἀχιλλεὺς ὡς εἶδ’, ὥς μιν μᾶλλον ἔδυ χόλος», ἐρεθισθέντα δηλαδὴ ἐπὶ πλέον τῇ τοῦ Πατρόκλου ἀναμνήσει. ὡς γὰρ ἐν ἄλλοις ἄνδρα ἐφέλκεται σίδηρος, οὕτω καὶ ὧδε ὅπλων παράθεσις ἐρεθίζει θυμόν, ὅπουγε καὶ ἄλλως κατὰ τὸν εἰπόντα σοφὸν πᾶν τὸ παρατυχὸν ὅπλον γίνεται ἀχορηγήτου θυμοῦ. χόλος τοίνυν ἔδυ τὸν Ἀχιλλέα ἰδόντα τὰ ὅπλα. (v. 17) Δεινὸν δέ, φησίν, «ὑπὸ βλεφάρων ὡσεὶ σέλας ἐξεφαάνθη». (v. 18—9) Εἶτα εὐθὺς τοῦ χόλου μεταπεσὼν καὶ τὰ ὅπλα τῇ θέᾳ περιελθὼν «τέρπετο», φησίν, «ἐν χείρεσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα», καὶ «ἐνὶ φρεσὶ ᾗσιν ἐτέρπετο δαίδαλα λεύσσων».

4.277 Καὶ ὅρα καὶ ἐνταῦθα μίγμα διαθέσεως σκυθρωπαζούσης καὶ ἱλαρῶς ἐχούσης, ἤγουν ἡδονῆς καὶ θυμοῦ κρᾶμα. χόλος γάρ, εἶτα καὶ τερπωλὴ τὸν Ἀχιλλέα εἷλεν ἰδόντα τὰ θεότευκτα ὅπλα. (v. 10) Ἐν δὲ τοῖς ῥηθεῖσι τὸ μὲν «δέξο» προκέκριται τοῦ δέξαι ὡς ποιητικώτερον. (v. 11) Τὸ δὲ «ὤμοισι φόρησεν» ἀντὶ τοῦ ἐβάστασεν, ὥς που προδεδήλωται, ἐκ μέρους ἐπὶ τῶν ὅλων ὅπλων ῥηθέν. οὐ δήπου γὰρ ὤμοις φοροῦνται καὶ κυνέη καὶ κνημῖδες. (v. 13) Τὸ δὲ «ἀνέβραχεν» ἐπὶ τραχέος καὶ νῦν κτύπου ὅπλων συνήθως εἶπε. Τὸ δέ γε «δαίδαλα» συνεκόπη ἐκ τοῦ δαιδάλεα. [Δηλοῖ δὲ ἡ λέξις τὰ καλά. Δαιδάλου γὰρ ἐκάλουν ἔργον πᾶν τὸ καλόν. διὸ καὶ Ἄλεξίς φησιν, ὡς ἑψητοί τινες παρῆσαν δαιδάλεοί πως, ἤγουν καλοί.] (v. 14) Τὸ δὲ «τρόμος» καὶ τὸ «ἔτρεσαν» οὐ μακρὰν ἀλλήλων κείμενα, ἐτυμολογικὸν ἐκφαίνουσι τρόπον. ἐκ τοῦ τρέειν γὰρ ὁ τρόμος. Τὸ δὲ «οὐδέ τις ἔτλη» ἑρμηνεία ἐστὶ τοῦ πάντας, ὡς μηδ’ αὐτοῦ ἁπλῶς ἐκ περισσοῦ κειμένου κατὰ τὸ «οἳ δ’ ἐννέα πάντες ἀνέσταν», καὶ τὰ τοιαῦτα. (v. 15) Τὸ δὲ «ἄντην εἰσιδεῖν» ἀντωπῆσαι παρὰ τοῖς ὕστερον λέγεται. (v. 16) Τὸ δὲ «ὥς μιν ἔδυ χόλος» ἀντὶ τοῦ λίαν ἐχολώθη. (v. 17) Τὸ δὲ «δεινῶν ὑπὸ βλεφάρων ὡσεὶ σέλας ἐξεφαάνθη» σύστοιχόν ἐστι τῷ «δεινὼ δέ οἱ ὄσσε φάανθεν», καὶ τῷ «πῦρ δεδορκώς», καὶ τῷ «ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην». (v. 21) Τὸ δὲ «μῆτερ ἐμή» ἐνδιαθετώτερον καὶ σαφέστερον τοῦ ἁπλῶς μῆτερ εἰπεῖν. Ὅπλα δὲ Ὅμηρος λέγειν εἰωθὼς τὰ τέχνης οἱασοῦν ὄργανα, οἷον «ὅπλα ἐς ἄντλον κατέχυντο», καὶ «ὅπλα ἐν χερσὶν ἔχων χαλκήϊα», ὅμως ἔστιν ὅπου, ὡς καὶ ἐνταῦθα, ὅπλα καὶ τὰ πολεμικὰ καλεῖ κατὰ ὅμοιον

τρόπον γενικῶς, ὡς πολεμικῆς τέχνης δηλαδὴ ὄργανα καὶ αὐτά. Ἐπιεικὲς δὲ κἀνταῦθα τὸ εἰκὸς καὶ πρέπον, ὡς πανταχοῦ φράζει Ὅμηρος.

4.278 (v. 22) Τὸ δὲ «μηδὲ βροτὸν ἄνδρα τελέσσαι» ἐπιτείνει τὴν σαφήνειαν τοῦ «οἷα ἐπιεικὲς ἔργα εἶναι ἀθανάτων». εἰ γάρ, φησί, καί που ἐπικοινωνοῦσι θεῶν ἔργα καὶ θνητῶν, ἀλλ' ἐνταῦθα οὐκ ἔστι τοῦτο. καί εἰσι τὰ τοιαῦτα κυρίως καὶ κατ' ἐξοχὴν ἔργα ὡς ἀμίμητα, ἐξ ὧν εἰλῆφθαι δοκεῖ καὶ τὸ λέγεσθαι ἔργον τὸ δύσκολον. (v. 23—7) Ὅτι τοῦ Πατρόκλου ὑπερπαθὼν ὁ Ἀχιλλεὺς λέγει τῇ μητρί, ὡς «μάλ' αἰνῶς δείδω, μή ποτε μυῖαι καδδῦσαι», ἤγουν καταδῦσαι, «κατὰ χαλκοτύπους ὠτειλὰς ἐγγείνωνται», ὅ ἐστιν ἐγγεννήσωσιν, «ἀεικίσωσι δὲ νεκρόν, ἐκ δ' αἰὼν πέφαται, κατὰ δὲ χρόα πάντα σαπείη». ἐντιθέασι γάρ τι ταῖς σαρξὶν αἱ μυῖαι, ἀφ' οὗ σκωλήκια τίκτονται καὶ οὕτως ἀεικίζεται ὁ νεκρὸς οἷα κατασηπομένου τοῦ χρωτός, ἐπεὶ ὁ αἰὼν πέφαται, ἤγουν ἡ ζωή, ὃ ἀσυνήθως πέφρασται. ἄνθρωπος μὲν γὰρ πέφαται κατὰ τὸ «φῶτας ἀρηϊφάτους κατέδουσι», μυῖαι δηλαδή. αἰὼν δὲ πῶς ἄν, εἰ μὴ ἄρα κατὰ τὸ παρακολουθοῦν. Ἰστέον δὲ ὡς μετ' ὀλίγα ἡ ποίησις ἀγριοποιεῖ τὰς μυίας, ἄγρια φῦλα εἰποῦσα ἐκείνας διὰ τὸ ἄγαν ἀναιδὲς τοῦ ζῴου, ὃ καὶ ἐν τῷ «κυνάμυια» φαίνεται, καὶ ἐν τῷ «μυίης θάρσος», ἃ ἑτέρωθι κεῖνται παρὰ τῷ ποιητῇ. [(v. 25) Ἰστέον δὲ ὅτι Ὅμηρος μὲν χαλκοτύπους εἰπὼν ὠτειλὰς πρωτολεκτεῖ κατὰ κυρίαν φράσιν. λέγει γὰρ χαλκοτύπους τὰς ἀπὸ τυπῆς, ἤγουν τύψεως, χαλῶν, ἤτοι ξιφῶν. ὁ δὲ εἰπὼν «τύπωμα χαλκόπλευρον» τὸ χαλκοῦν κιβώτιον οὐκ ἐκ τοῦ κυρίως τύπτειν αὐτὸ παρήγαγεν, ἐξ οὗ καὶ «τόρμα» τροχῷ «τυπωτή» παρὰ Λυκόφρονι, ἀλλὰ τὸ κατακροτεῖν χαλκευτικῶς εἰς τὸ τύπτειν μετέλαβεν.] Ἡ δὲ ὠτειλὴ δηλοῖ μὲν καὶ ἐνταῦθα τὸ ἁπλῶς τραῦμα, ὀξύνεται δὲ κανόνι τοιούτῳ. Τὰ εἰς λη θηλυκὰ μονογενῆ, διφθόγγῳ παραληγόμενα, ὀξύνεται, εἰ μὴ ἔχει ἔννοιαν συνθέσεως, ὡς τὸ δείλη σύνθετον ὄν, παρὰ τὸ ἐνδεῖν τῇ ἕλῃ. παραδείγματα τοῦ κανόνος ταῦτα· αὐλή, ὠτειλή, ἀπειλή, εὐλή, [ἡ καὶ ἀλλαχοῦ μὲν κειμένη, γινομένη δὲ παρὰ τὸ εἰλεῖσθαι, οὐχ' ἡ αὐτὴ δὲ οὖσα ἕλμινθι κατά τινας πλανωμένους, παρισοῦσα δὲ καὶ κατὰ τὴν πληθυντικὴν αἰτιατικὴν μετὰ τῆς ὠτειλῆς.

4.279 τοιούτου γὰρ σχήματος τὸ «κατὰ ὠτειλὰς εὐλὰς ἐγγείνωνται». καὶ τοιαῦτα μὲν τά, ὡς ἐρρέθη, ὀξυνόμενα εἰς λη θηλυκά.] Ἡ μέντοι οὔλη χλαῖνα βαρύνεται πρὸς ἀντιδιαστολὴν τοῦ μονογενοῦς ὀξυτόνου, ἤγουν τοῦ οὐλή, ἡ κριθή, καὶ οὐλή, τὸ ὑγιασθὲν τραῦμα. (v. 30) Ἡ μήτηρ δὲ Ἀχιλλέως ἄγρια φῦλα ἐρεῖ τὰς μυίας, εἰποῦσα «τῶν μὲν ἐγὼ πειρήσω ἀλαλκεῖν ἄγρια φῦλα», ὅπερ οἰκεῖόν ποτε καὶ ἐπὶ ἀνθρώπων ἀδίκων καὶ λῃστρικῶν. Ὅρα δὲ καὶ ἐνταῦθα τὸ πειρήσω ἐνεργητικῶς ῥηθέν. δῆλον δὲ ὡς οἶδε καὶ τὰ παθητικὰ τοῦ πειρῶ ῥήματος ὁ ποιητής. (v. 29) Ἰστέον δὲ καὶ ὅτι γέρων, ποιῶν τινα νέον ἀφρόντιδα, ἐρεῖ ὡς ἡ Θέτις τῷ υἱῷ «τέκνον, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων». (v. 32—3) Ἐπὶ δὲ παραμένοντος, ἤγουν ἀσήπτου νεκροῦ σώματος, καλὸν εἰπεῖν τὸ «εἴπερ γὰρ κεῖταί γε τελεσφόρον εἰς ἐνιαυτόν, αἰεὶ τῷ γε ἔσται χρὼς ἔμπεδος ἢ καὶ ἀρείων». τὸ δὲ ἀρείων» ὑπερβολικῶς εἴρηται. φυλαχθῆναι μὲν γὰρ ἐπ' ὀλίγον ἔμπεδον χρῶτα τεθνεῶτος δυνατόν ἐστιν, οὔκουν δὲ καὶ ἀρείονα γενέσθαι. Σημείωσαι δὲ ὅτι τὸ τελεσφόρος οὐ χρόνου ἐστὶν ἁπλῶς ἐπίθετον, ἀλλὰ ἐνιαυτοῦ, ὃς τὰ κατ' αὐτὸν πάντα εἰς τέλος ἄγει. λέγει δέ τις καὶ τὴν θείαν δίκην τελεσφόρον διὰ τὸ αὐτῆς ἐνεργὸν καὶ πρακτικὸν καὶ ἐν πᾶσι διῆκον. (v. 29) Τὸ δὲ «μελόντων» ἀντὶ τοῦ ἐν φροντίδι ἔστωσαν, ὅτι κατ' ἔλλειψιν ὑπαρκτικοῦ ῥήματος ἄγεται εἰς σαφές, καὶ ὅτι Ἀττικόν ἐστι σχῆμα, προέγνωσται. (v. 35) Ὅτι τὸ πρός τινα εἰρηνεῦσαι μῆνιν ἀποειπεῖν τῷ δεῖνι λέγει, οἷον «μῆνιν ἀποειπὼν Ἀγαμέμνονι», ὃ Θέτις τῷ Ἀχιλλεῖ παρήνεσεν, (v. 34) ἡ καὶ ἀγορήνδε καλέσαι τοὺς Ἀχαιοὺς συμβουλευσαμένη αὐτῷ. καὶ νῦν μὲν δοτικῇ καὶ αἰτιατικῇ συντέτακται τὸ ἀπειπεῖν, ὃ καὶ ἀπομηνίσαι λέγεται, οὐχ' οὕτω δὲ καὶ μετὰ βραχέα ἐν τῷ «μῆνιν ἀπειπόντος».

4.280 τὸ δέ γε «τάλαιν', ἀπεῖπον ἄλγει», καὶ τὰ τοιαῦτα, ἑτέραν σημασίαν ἔχει παρὰ τὸ Ὁμηρικὸν ἀπειπεῖν. (v. 36) Ὅτι τὸ ἡσυχάζειν ἐκ μάχης ἔοικέ πως ἀπεκδύσει δυνάμεως. διὸ ἀνάπαλιν τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁπλίζεσθαι ἐνδύεσθαί ἐστι ῥώμην. ὅθεν καλλωπίσασα κατὰ παρίσωσιν ἡ Θέτις φησὶ τῷ υἱῷ «αἶψα μάλα ἐς πόλεμον θωρήσσεο, δύσεο δ' ἀλκήν», ἃ παροτρυντικὰ εἰς μάχην εἰσίν. ἐκ τούτου δὲ καὶ ὁ ἀνδρεῖος «ἐπιειμένος ἀλκήν» λέγεται. ἐντεῦθεν δὲ ὁ ποιητὴς ὁρμηθεὶς καὶ κρείττονα ἑαυτοῦ ἐρεῖ γενέσθαι τὸν Ἀχιλλέα μετὰ μικρόν, ὅτε τὰ τοῦ Ἡφαίστου ὅπλα ἐνδυσάμενος ἐξέλθοι εἰς μάχην, ὡς τῆς ὁπλίσεως καὶ τῆς προθυμίας ἐνδυναμούσης τὸν στρατιώτην. Ἰστέον δὲ ὅτι τὸ «δύσεο» ἐκ μέλλοντος τοῦ δύω δύσω, ἀναχθὲν εἰς ἐνεστῶτα καὶ κλιθὲν κατὰ τὸ «θωρήσσεο», ὅμως οὐκ ἐδίπλωσε τὸ ς νόμῳ τῆς τετάρτης τῶν βαρυτόνων συζυγίας, ἵνα μὴ ἀπαλείψῃ ἑαυτοῦ τὸν δι' ἑνὸς ς χαρακτῆρα τοῦ μέλλοντος, ἀλλὰ φυλάξῃ αὐτὸν καὶ μετὰ τὴν εἰς ἐνεστῶτα προαγωγήν. (v. 37) Ὅτι κἀνταῦθα συνήθως ὁ ποιητὴς ὑπεμφαίνων, ὅπως ἡ παραίνεσις ἀνδρίζεσθαι τοὺς εὖ πεφυκότας ἐρεθίζει, λέγει περὶ Θέτιδος ὅτι «ὣς ἄρα φωνήσασα μένος πολυθαρσὲς ἐνῆκεν». ἦσαν δὲ ἃ προσεχῶς ἐν ὀλίγοις ἐφώνησε λόγοι παραινετικοί. (v. 37 s.) Ὅτι Θέτις Πατρόκλῳ «ἀμβροσίαν καὶ νέκταρ ἐρυθρὸν στάξε κατὰ ῥινῶν, ἵνα οἱ χρὼς ἔμπεδος εἴη», ὅ ἐστι στερρὸς καὶ ἀδιάλυτος, ὡς ἐν τῷ πέδῳ εἶναι τὸν νεκρὸν καὶ μὴ [σαπῆναι ὡς] δέεσθαι τῆς ὑπὸ γῆν κρύψεως, ὃ ἤνυσται, ὡς εἰκός, ἢ διὰ καταθέσεως τῆς ἐν ἀνηλίῳ σκιᾷ, ὁποίαν οἶδεν ἡ ἀλληγορουμένη Θέτις φιλεῖν, ἢ διά τινων ὑγρῶν καὶ νῦν ὡς καὶ πρὶν ἐπιχρίσεως, φυλασσόντων ἄσηπτον τὸ χριόμενον. εἰκὸς δὲ ἀμβροσίαν ἐνταῦθα καὶ νέκταρ εἶναι καὶ τοὺς παραμυθικοὺς λόγους τῆς Θέτιδος, ὑφ' ὧν ὁ Ἀχιλλεὺς εἰς ἔργον ἐρεθισθεὶς οὐκέτι ἐνθυμεῖται σηπεδόνα τοῦ κειμένου Πατρόκλου, ἀλλὰ ποιῶν, ἅπερ ἐχρῆν, ἀφίησιν ἐκεῖνον κεῖσθαι ἀτημέλητον πρὸς βραχύ, ὡς εἰ καὶ μηδὲν κακὸν παθεῖν ἔμελλεν οὕτω κείμενος. Ὅρα δὲ τέως μυθικῶς, ὅπως εὐπόριστον καὶ πρόχειρον ἔχει Θέτις τὴν χρῆσιν τῆς ἀμβροσίας καὶ τοῦ νέκταρος.

4.281 Ἐρυθρὸν δὲ λέγει τὸ νέκταρ, ὡς δῆθεν οἰνῶδες τὴν χρόαν, ἵνα καὶ οἰνοχοεῖσθαι λέγοιτο πιθανῶς, ἢ καὶ ὡς αἵματος περιποιητικόν, καθ' ὁμοιότητα τῆς ἀνθρωπίνης φύσεως. (v. 39) Σημείωσαι δὲ ὅπως τὸ στάζειν κατ' ἀμφοτέρων ἔθετο, τοῦ τε ὑγροῦ νέκταρος καὶ τῆς ξηρᾶς ἀμβροσίας. ἐποίησε δὲ τοῦτο ἢ λόγῳ ἐθίμου συλλήψεως, ἢ καὶ διδοὺς ἀφορμὴν καὶ ἐνταῦθα τοῖς θέλουσιν εἰπεῖν ὑγρὸν καὶ τὴν ἀμβροσίαν, ὃ καὶ ἐποίησαν τῶν ὑστέρων τινές, ὡς καὶ ἀλλαχοῦ εἴρηται. Τὸ δὲ «ἔσταξε κατὰ ῥινῶν ἀντὶ τοῦ κατὰ ῥινοῦ, ἤτοι τοῦ δέρματος καὶ τῶν ἐν αὐτῷ ὠτειλῶν. τί γάρ, φασίν, ἔδει κατὰ τῆς ῥινὸς ἀμβροσίαν στᾶξαι τῷ ἀναισθήτῳ, καὶ οὕτω δόξαι μυρίζειν νεκρόν; τὸ δὲ τῆς ἀμβροσίας ὑγρὸν ἐμφαίνει ὁ ποιητὴς καὶ ἐν τῷ «ἀμβροσίας καὶ νέκταρός ἐστιν ἀπορρώξ». (v. 40—6) Ὅτι ἐπεὶ Ἀχιλλεὺς ἐξεφάνη, «δηρὸν δέ», ὡς καὶ προγέγραπται, «μάχης ἐπέπαυτο ἀλεγεινῆς» καὶ ἐχρῆν ἀγορὰν ἀθροισθῆναι, ὡς ἡ Θέτις εἶπε, πάντες Ἕλληνες συνῆλθον, καὶ οὐ μόνον ἡγεμόνες καὶ οἱ ὑπ' αὐτοὺς πολεμισταί, ἀλλὰ καὶ «οἵ περ τὸ πάρος γε νεῶν ἐν ἀγῶνι μένεσκον, οἵ τε κυβερνῆται καὶ ἔχον οἰήϊα νηῶν καὶ ταμίαι παρὰ νηυσὶν ἔσαν, σίτοιο δοτῆρες». οἳ ἐχάρησαν δηλαδὴ μῆνιν ἀπειπόντος Ἀχιλλέως, ὡς μετ' ὀλίγα ῥηθήσεται. εἰ γὰρ ἐν τῇ ἀρχῇ τῇ μήνιδος μέγα πένθος, ὡς εἰκός, ἦν αὐτοῖς, ἀλλ' ἄρτι καιρὸς τοῦ χαίρειν ἐστίν, ὥσπερ τοῖς Τρωσὶν ἔμπαλιν. (v. 42—4) Ἰστέον δὲ ὅτι ἀγῶνα νεῶν λέγει τὸ ἄθροισμα, ὡς καὶ ἀλλαχοῦ, καὶ ὅτι τὸ «οἵ» ἄρθρον ὑποτακτικὸν καὶ ἐν τῷ «ἔχον» συνεξακούεται καὶ ἐν τῷ «ἔσαν». λέγει γὰρ «καὶ οἳ ἔχον οἰήϊα», καὶ οἳ ἐσιτοδότουν, καὶ ὅτι νηῶν οἰήϊα ἔχοντας ἢ τοὺς κυβερνήτας πάλιν διασαφητικῶς ἐκ παραλλήλου φησὶν ἢ τοὺς ναύτας, οἳ νηῶν πηδάλια ἔχουσιν, ὅ ἐστιν ἁπλῶς κώπας. (v. 44) Ταμίας δὲ οὐ γενικῶς θησαυροφύλακας λέγει, ἀλλὰ σίτου δοτῆρας, ὡς αὐτὸς ἑρμηνεύει. σίτου μέντοι κατὰ γένος οὐδέτερον κατειργασμένου, οὐ μὴν ἀρρενικῶς ἀκατεργάστου κατὰ τὸν πυρόν. τοιαύτη δέ τις ταμίη ἐν τῇ Ὀδυσσείᾳ τοιούτου σίτου φυλακτική, ὃ καὶ σιτίον παρὰ τοῖς ὕστερον λέγεται.

4.282 (v. 42) Τὸ δὲ «οἳ τὸ πάρος γε νεῶν ἐν ἀγῶνι» τηρητέον εἰς παράδειγμα τοῦ περὶ διαστολῆς λόγου. ὡς γὰρ τὸ ἔστι νοῦς καὶ ἔστιν ἄξιος, οὕτω καὶ τὸ «πάρος γε νεῶν ἐν ἀγῶνι» τηρητέον εἰς

παράδειγμα τοῦ περὶ διαστολῆς λόγου. ὡς γὰρ τὸ ἔστι νοῦς καὶ ἔστιν ἄξιος, οὕτω καὶ τὸ «πάρος γε νεῶν», διασταλὲν τοιῶσδε ἢ τοιῶσδε, διάφορον δηλοῖ ἔννοιαν. ὡς γὰρ ἢ νοῦς ἢ οὖς, ἢ νάξιος ἢ ἄξιος, οὕτω δὴ καὶ ἢ γενεῶν ποτε ἢ νεῶν, ὡς ἐνταῦθα. [Οὕτω καὶ κατωτέρω ἀναγκαία ὑποδιαστολὴ ἐν τῷ «Ἀτρείδη, ἦ ἄρ τι τόδε ἄρειον». εἰ γὰρ μὴ διασταλείη τὸ ἄρ, εἰκὸς νοηθῆναι ἄρτι ἀντὶ τοῦ νῦν. ὁμοίως μετ᾽ ὀλίγα καὶ ἐν τῷ «κατακτάμεν Ἄρτεμις ἰῷ, ἤματι τῷ, ὅτε» καὶ ἑξῆς. μὴ τεθείσης γὰρ διαστολῆς ἐν τῷ «ἰῷ», νοήσοι ἄν τις ἴσως «ἰῷ ἤματι», ἤγουν μιᾷ ἡμέρᾳ, ὅπερ ἀλλαχοῦ ἐγράφη.] (v. 40—1) Σημείωσαι δὲ τὴν καταλλαγὴν τοῦ Ἀχιλλέως καινὴν οὖσαν καὶ ἀπροσδόκητον. ὁ γὰρ πρὶν ἄγριος καὶ ἀμείλιχος καὶ μηδὲ λιταῖς εἴξας μηδὲ δώροις μάλα πολλοῖς αὐτὸς ἐνταῦθα πιθήσας μητρικῇ παραιφάσει ἅμα ἤκουσεν εἰς ἀγορὴν καλέσαι ἥρωας Ἀχαιοὺς καὶ τὰ ἑξῆς, καὶ εὐθὺς ἔβη «παρὰ θῖνα θαλάσσης» «σμερδαλέα ἰάχων, ὦρσε δ᾽ ἥρωας Ἀχαιούς», [κῆρύξ τε γεγονὼς καὶ σύμμαχος αὐτόματος.] (v. 48—53) Ὅτι χαρέντες, ὡς εἰκός, Τυδείδης τε μενεπτόλεμος καὶ δῖος Ὀδυσσεὺς ἦλθον εἰς ἀγοράν, ἣν δηλαδὴ συνέλεξεν Ἀχιλλεὺς σμερδαλέα, [ὡς εἴρηται,] ἰάχων. φησὶ γὰρ «τὼ δέ», ἤγουν οὗτοι, «δύω σκάζοντε βάτην θεράποντες Ἄρηος» ὁ δεῖνα καὶ ὁ δεῖνα, «ἔγχει ἐρειδομένω, ἔτι γὰρ ἔχον ἕλκεα λυρά· κὰδ δὲ μετὰ πρώτῃ ἀγορᾷ ἵζοντο κιόντες», διὰ τὸ προλαβεῖν δηλονότι κατὰ σπουδήν. «αὐτὰρ ὁ δεύτατος ἦλθεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων», τραῦμα ἔχων καὶ αὐτὸς τὸ ἐκ τοῦ Κόωνος. ἔστι δὲ δεύτατος καὶ νῦν ὁ μὴ δεύτερος, ἀλλὰ πάντων ὕστερος, ἐκ τοῦ δεύω, καθ᾽ ὁμοιότητα τοῦ βασιλεύτατος. (v. 49) Τὸ δὲ ἔγχει ἐρείδεσθαι τοὺς ἀριστεῖς ἰδίᾳ ἑκάτερον προσφυῶς αὐτοῖς ἔχει. οὐ γὰρ νάρθηκι ἐχρῆν ἢ σκολιῷ σκίπωνι. [(v. 47) Ἰστέον δὲ ὅτι τε τὸ σκάζειν ἐκ τοῦ κῶ, τὸ κεῖμαι, γίνεται κατὰ παραγωγὴν καὶ πλεονασμὸν συνήθη τοῦ σίγμα, οἱονεὶ γὰρ κεῖσθαι μελετᾷ ὁ σκάζων, καὶ ὅτι οὐ μόνον ἐν ἀρχαῖς λέξεων πλεονάζειν εἴωθε τὸ σίγμα, ἀλλὰ καὶ ἐν μέσῳ, καθὰ δῆλον ἐκ τοῦ ἐλατῶ ἐλαστρῶ, περὶ οὗ προγέγραπται, καὶ τοῦ κομῶ κοσμῶ, καὶ τοῦ βλῆτρον ἀμφίβληστρον, καὶ τοῦ βωτῶ βωστρῶ τοῦ ἐν Ὀδυσσείᾳ, καὶ ἑτέρων.

4.283 [ὡς δὲ καὶ ἐκτρέχει τοῦ μέσου ἔστιν ὅτε τὸ σίγμα ἡ λάταξ δηλοῖ, γενομένη ἐκ τοῦ λα ἐπιτατικοῦ μορίου καὶ τοῦ στάζω στάξω. Παιδιᾶς δέ τινος μέρος ἦν ἡ λάταξ, τὸν παρὰ τῷ Κωμικῷ συναπαρτίζουσα κότταβον, ὃν ὁ φιλοσίγματος Εὐριπίδης κόσσαβον ἐν δυσὶ σίγμασι γράφει. ὅτι δὲ τῷ σίγματι ἔχαιρεν Εὐριπίδης, δηλοῖ ὁ ἀποδεξάμενός τινα, ὅτι ἀπήλλαξε τοὺς ἀκροατὰς τῶν σιγμάτων Εὐριπίδου. ἐλέγετο δὲ λάταξ καὶ λατάγη τρισυλλάβως, ποτήριον οὖσα, ἐν ᾧ οἶνος ἦν, χρηστὸς ἀποχέεσθαι εἰς κότταβον, οἷον λεκάνη πλήρης ὕδατος, ἐπινεῖ τε ἐπ᾽ αὐτῆς ὀξύβαφα κενά, ἐφ᾽ ἃ βάλλοντες τὰς λατάγας ἐκ καρχησίων, εἶδος δὲ ποτηρίου καὶ τὰ καρχήσια, ἐπειρῶντο καταδύειν. χρῆσις δὲ κοσσάβου ἐν τῷ «πολὺς κοσσάβων ἀραγμός».] (v. 54) Ὅτι τὸ ὁμηγερέες ἐγένοντο ἀολλίσθησαν ἐνταῦθά φησιν, εἰπὼν «αὐτὰρ ἐπεὶ δὴ πάντες ἀολλίσθησαν Ἀχαιοί». Ὅτι τὸ χρῆναι εἰς ἓν συνάγεσθαι φιλικῶς καὶ μὴ ἄγαν ἐρίζειν διὰ γυναῖκα ὀψέ ποτε ὁ Ἀχιλλεὺς ἔγνω συνοῖσον εἶναι αὐτῷ τε καὶ τῷ βασιλεῖ. διὸ καὶ ἐπαρᾶται ὡς δῆθεν αἰτίᾳ τῇ Βρισηΐδι αἰφνίδιον θάνατον. (v. 56—60) Φησὶ γὰρ «Ἀτρείδη, ἦ ἄρ τι τόδ᾽ ἀμφοτέροισιν ἄρειον ἔπλετο σοὶ καὶ ἐμοί, ὅτε νῶϊ περ ἀχνυμένω κῆρ», ἤγουν συγκεχυμένοι τὴν ψυχήν, «θυμοβόρῳ ἔριδι μενεήναμεν εἵνεκα κούρης. τὴν ὄφελ᾽ ἐν νήεσσι κατακτάμεν Ἄρτεμις ἰῷ, ἤματι τῷ, ὅτ᾽ ἐγὼν ἑλόμην», ἤγουν ὡς ἐξαίρετον ἔλαβον, «Λυρνησσὸν ὀλέσσας», τὴν αὐτῆς, ὡς καὶ προεδηλώθη, πατρίδα.

4.284 (v. 61—4) Εἶτα λέγει καὶ ὡς «τῷ κεν», ἤγουν οὕτως ἄν, εἴπερ ἡ κόρη δηλαδὴ τέθνηκεν, «οὐ τόσσοι Ἀχαιοὶ ὀδὰξ ἕλον ἄσπετον οὖδας δυσμενέων ὑπὸ χερσὶν ἐμεῦ ἀπομηνίσαντος. Ἕκτορι μὲν καὶ Τρωσὶ τό», ἤγουν τοῦτο, «κέρδιον· αὐτὰρ Ἀχαιοὺς δηρὸν ἐμῆς καὶ σῆς ἔριδος μνήσεσθαι ὀΐω». μετ᾽ ὀλίγα δὲ τοῦ Ἐπιμηθέως ὀψὲ γενόμενος καὶ ὁ βασιλεὺς ἀνθομολογεῖται ἄτην ἐμβεβλῆσθαι αὐτοῦ ταῖς φρεσίν, ὅτε τὸ Ἀχιλλέως γέρας ἀφείλετο. (v. 63) Σημείωσαι δὲ ὅτι τὸ «Ἕκτορι καὶ Τρωσὶ τόδε κέρδιον» καὶ τὰ ἑξῆς, ἐκ τῶν ὑπὸ Νέστορός που ῥηθέντων παρέξεσται.

ἔφη γὰρ ἐκεῖνος «ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει· ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες, εἰ σφῶϊν πυθοίατο μαρναμένοιϊν». ἐμβριθέστερα δὲ ταῦτα ἐκείνων. ἐκεῖ μὲν γὰρ εἴρηται, ὅτι χαρήσονται οἱ περὶ Πρίαμον, ἐνταῦθα δὲ, ὅτι καὶ ἐκέρδαναν οἱ Τρῶες. (v. 58—60) Ὅρα δὲ ὅπως εὐμεθόδως ἐνταῦθα παρέρριψε τὴν τῆς Βρισηΐδος αἰχμαλωσίαν, οὐ μόνον ποικιλίας χάριν, ἀλλὰ καὶ ἀναμιμνήσκων τίς ἡ αἰτία τῆς μήνιδος. ἐθικὴ δὲ ἡ κατὰ τῆς γυναικὸς ἀρά. οὔτε γὰρ ἁπλῶς θάνατον ἀρᾶται αὐτῇ, ἀλλὰ τὸν πάλαι ποτέ, καὶ αὐτὸν γλυκὺν διὰ τὸ ἄνοσον. Ὅτι δὲ οἱ αἰφνίδιοι θάνατοι τῶν γυναικῶν Ἀρτέμιδι ἐδόκουν ἀνακεῖσθαι, ὡς οἱ τῶν ἀνδρῶν τῷ Ἀπόλλωνι, πολλαχοῦ λέγει ὁ ποιητής, καὶ ἐρρέθη περὶ τούτου καὶ ἐν ἄλλοις, ἔνθα τοῦ λόγου τὸ πᾶν ὡς ἡλίῳ καὶ σελήνῃ ἀνάκεινται οἱ τοιοῦτοι θάνατοι, ὃν ἥλιον καὶ ἣν σελήνην ὁ Ἀπόλλων αἰνίττονται καὶ ἡ Ἄρτεμις. Ὅρα δὲ καὶ νῦν καίριον ψόγον φαύλης ἔριδος, μὴ σῶμα μόνον συντηκούσης, ἀλλὰ καὶ ψυχὴν οἷον βιβρωσκούσης, ὃ μιμησάμενος που ὁ παιγνήμων σοφὸς ἔφη τὸ «καὶ τὴν ψυχὴν ἐκπίνουσι», παραποιήσας ἠρέμα τὸ Ὁμηρικὸν θυμοβορεῖν. (v. 60) Λυρνησσὸς δὲ πόλις Τρωϊκή, μία τῶν ἕνδεκα, ἃς εἷλεν Ἀχιλλεύς, ὧν ἦσαν καὶ ἡ Πήδασος καὶ ἡ Θήβη καὶ ἡ Λυρνησσὸς καὶ ἡ Ζέλεια καὶ ἡ Ἀρίσβη καὶ ἡ Περκώτη. (v. 61 s.) Ἰστέον δὲ καὶ ὅτι τὸ «ὀδὰξ ἕλον ἄσπετον οὖδας δυσμενέων ὑπὸ χερσί» περίφρασίς ἐστι τοῦ ἐν μάχῃ ἔπεσον. Ἄσπετον δὲ οὖδας ὅμοιον ὡς εἰ καὶ ἀπείρονα γαῖαν εἶπε, καὶ δηλοῖ τὸ ἄρρητον.

4.285 καὶ ἔστι μὲν ἀληθῶς οὔτε ἄσπετον οὖδας οὔτε ἀπείρων γῆ ἡ δακνομένη πρὸς τοῦ πίπτοντος, ἐλάχιστον δέ τι γῆς τμημάτιον. ὀνομάζεται δὲ ὅμως τὸ μέρος καὶ ἐνταῦθα ὡς τὸ ὅλον ποιητικώτερον. (v. 62) Τὸ δὲ «ἀπομηνίσαντος» κἀνταῦθα σαφῶς περιττὴν ἔχει τὴν ἀπο πρόθεσιν, ὃ καὶ ἐπ’ ἄλλων μυρίων γίνεται. καὶ ἔστι μέν ποτε ἀπομηνίσαι καὶ τὸ ἀποθέσθαι μῆνιν, νῦν δ’ οὐχ’ οὕτως, ἀλλὰ τὸ ἀναλαβέσθαι μῆνιν. (v. 67 s.) Ὅτι ὁ ἀποτιθέμενος ὀργὴν καλῶς ἂν εἴπῃ κατὰ τὸν Ἀχιλλέα τὸ «νῦν δ’ ἤτοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ ἀσκελέως αἰεὶ μενεαινέμεν». Καὶ σημείωσαι ὅτι τὸν χόλον ἀντὶ μήνιδος ἔλαβε εὐφημότερον οἷα φίλαυτος λέγων ὁ Ἀχιλλεύς, Ὅμηρος μέντοι αὐτὸ τὸ πρᾶγμα λέγων φησὶ «μῆνιν ἀποειπών», καὶ «μῆνιν ἀπειπόντος». Τὸ δὲ «ἀσκελέως» ἀντὶ τοῦ σκληρῶς ἢ ἀμεταβάτως, ὡς καὶ ἐν τῇ Ὀδυσσείᾳ εἴρηται. (v. 68—71) Ὅτι ἐγερτήριον εἰς μάχην τὸ «ἀλλ’ ἄγε θᾶσσον ὄτρυνον πόλεμόνδε καρηκομόωντας Ἀχαιούς, ὄφρ’ ἔτι καὶ Τρώων πειρήσομαι ἀντίος ἐλθών, αἴ κ’ ἐθέλωσιν ἐπὶ νηυσὶν ἰαύειν». Ἀχιλλεὺς δὲ ταῦτα πρὸς τὸν βασιλέα φησίν. (v. 71—3) Ὃς καὶ τὸ μόλις τινὰ φυγεῖν ἐξ αὐτοῦ οὕτω φράζει «ἀλλά τιν’ οΐω», ἢ οἴω δισυλλάβως, ἤγουν νομίζω, «ἀσπασίως γόνυ κάμψειν, αἴ κεν», ἢ «ὅς φύγησι δηΐου ἐκ πολέμοιο ὑπ’ ἔγχεος ἡμετέροιο». (v. 72) Καὶ σημείωσαι ὅτι Ὅμηρος μὲν τὸ γόνυ κάμψειν ἐπὶ τοῦ καθεσθῆναι λέγει πρὸς διαφορὰν τοῦ ἵστασθαι, οἱ δὲ μεθ’ Ὅμηρον ἐπὶ ἱκεσίας καὶ προσκυνήσεως τίθενται λέγοντες τοῦτο καὶ συνθέτως γονυπετεῖν. (v. 70) Ἰστέον δὲ ὅτι ἐν τῷ «καὶ Τρώων πειρήσομαι» δοκεῖ περιττῶς κεῖσθαι ὁ και σύνδεσμος, καὶ ὅτι τὸ «ἀλλά τινα οΐω» ἢ εὐλαβῶς ἐρρέθη διὰ τὸ ἀνεμέσητον, ἵνα μὴ ῥητῶς ἀπειλῆται κατά τινων, ἢ καὶ νῦν τὸ τινα ἀντὶ τοῦ ἕκαστον εἴληπται, ὡς καὶ ἐν ἄλλοις γίνεται. Τὸ δὲ «αἴ κε φύγῃ» καὶ ἑξῆς πρὸς ἀκρίβειαν ἐρρέθη. οἱ γὰρ τοιοῦτοι διὰ κάματον παρακολουθοῦντα ἀσπασίως γόνυ κάμπτουσιν. (v. 77) Ὅτι Ἀχιλλεὺς μὲν ἐδημηγόρησεν ἀναστάς, ὡς ἦν ἔθος, Ἀγαμέμνων δὲ μετεῖπε τοῖς Ἕλλησιν «αὐτόθεν ἐξ ἕδρης οὐδ’ ἐν μέσσοισιν ἀναστάς», ἤτοι οὐ προελθὼν συνήθως εἰς μέσην τὴν ἐκκλησίαν.

4.286 (v. 78—80) Διὸ καὶ ἐντεῦθεν λαμβάνει τὸ προοίμιον ἀπ’ αὐτοῦ τοῦ παρὰ πόδας πράγματος καὶ παραιτούμενος τὴν νέμεσιν λέγει «ὦ φίλοι» καὶ ἑξῆς, «ἑσταότος μὲν καλὸν ἀκουέμεν», ἤτοι ἱσταμένου εἰς μέσον, «οὐδὲ ἔοικεν ὑββάλειν· χαλεπὸν γὰρ ἐπιστάμενόν περ ἐόντα», τουτέστιν οὐκ ἐνδέχεται τὸν δημηγοροῦντα ὑποβάλλειν, ἤγουν ἄλλῳ ὑποτιθέναι ἑρμηνεῖ τὸν λόγον, ὃν αὐτός τις λέγειν βούλεται, κἂν ὅτι μάλιστα ἐκεῖνος ὁ ἄλλος ἐπιστήμων εἴη. Ταῦτα δὲ οὕτως ἐξηγοῦνταί τινες, ὡς δῆθεν ἄρτι τοῦ βασιλέως μὴ δι’ ἑαυτοῦ λαλοῦντος, ἀλλὰ δι’ ὑποβολέως,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἤγουν ἑρμηνέως, ἵνα ἐπεὶ μὴ αὐτὸς νῦν ἐν μέσοις ἕστηκεν, ὁ γοῦν ὑποβολεὺς μέσος ἑστὼς λαλῇ καὶ ἀκούηται. ταῦτα δὲ τοῖς χαριεστέροις τῶν ἐξηγητῶν οὐκ ἤρεσε διὰ τὸ μὴ εὑρίσκεσθαί που παρὰ τῷ ποιητῇ τὴν δι' ὑποβολέως δημηγορίαν. νοεῖται δὲ μᾶλλον παρ' ἐκείνοις ἡ δημηγορία οὕτω, ὅτι ἀναστὰς ὁ βασιλεὺς οὐκ ἔστη μὲν εἰς τὸ μέσον, οὕτω αὐτῷ ἀρέσαν διὰ τὸ μήτε περί τινος μέλλειν δημηγορεῖν νεωτέρου πράγματος καὶ ἀγνώστου τῷ δήμῳ, μήτε δικαιολογίας ἔχειν καὶ ἀγῶνας, καὶ διότι καὶ τὸ πολὺ τῆς δημηγορίας μύθου ἐξήρτηται, καὶ οὐκ ἔδει τὸν βασιλέα μέσον ἑστῶτα μύθους λέγειν. διὰ δὴ ταῦτα μέσον μὲν οὐχ' ἵσταται, ἄλλως δὲ ἐπιστρέφων τοὺς καθημένους εἰς ἑαυτὸν καὶ ἀξιῶν ἱσταμένῳ αὐτῷ προσέχειν, κἂν μὴ μέσος παρῆλθεν, ἐντεῦθεν λαμβάνει γνωμικῶς τὸ προοίμιον, καί φησιν «ὦ φίλοι, ἥρωες Δαναοί, θεράποντες Ἄρηος, ἑσταότος μέν», ἤγουν δή, «καλὸν ἀκούειν, οὐδὲ ἔοικεν ὑποβάλλειν», ἤτοι τὴν δημηγορίαν περικόπτειν. τοῦτο γὰρ χαλεπὸν εἰς τὸν δημηγοροῦντα, κἂν ἐπιστάμενος εἴη. ἀνδρῶν γὰρ ἐν πολλῷ ὁμάδῳ ὑποβαλλόντων δηλαδή, «πῶς κέν τις ἢ ἀκούσαι ἢ εἴποι; βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής».

4.287 καὶ οὕτω μὲν οἱ χαριέστεροι. Ἐπαφρόδιτος δέ φησιν, ὅτι καθεζόμενος δημηγορεῖ, ἵνα μὴ ταπεινοὶ ὄντες οἱ λόγοι ἔκπυστοι γένωνται. καὶ Ἀρίσταρχος δὲ οὕτως οἴεται. Τινὲς δὲ καὶ ὡς ἀλγοῦντα ἐκ τοῦ τραύματος τὸν βασιλέα καθῆσθαί φασιν ἐν τῷ ἀγορεύειν. πρὸς οὓς ὑποληπτέον, ὡς οἱ παλαιοί φασιν, ἤγουν ἀποκριτέον, ὅτι τί ἂν καθέζοιτο ὁ τὸν ἀγκῶνα ἀλγῶν; ὃς καὶ ἄλλως οὕτως ἔρρωται, ὥστε ὀλίγον ὕστερον τὸν κάπρον αὐτοχειρίᾳ σφάττει, καὶ οὕτω μὲν καὶ οὗτοι. Οἱ δὲ ἀκριβέστεροι, ὡς καὶ μικρὸν ἀνωτέρω εἴρηται, οὔτε δι' ὑποβολέως τὸν βασιλέα δημηγορῆσαί φασιν, οὔτε καθήμενον, οὐδὲ μὴν ἐν μέσοις στάντα, ἀναστάντα δὲ ὅμως, κἂν οὐκ εἰς μέσην τὴν ἐκκλησίαν προῆλθεν. οἳ καὶ αὐτοὶ ὑποβάλλειν φασὶ τὸ κωλύειν καὶ ὑποκρούειν διὰ κραυγῆς καὶ ποιεῖν θόρυβον, ὡς τῶν συνειλεγμένων ἄρτι μακρὰ βοώντων καὶ θορυβούντων, ὅπερ δυσχέρειαν ἐμποιεῖ καὶ τῷ πάνυ δεινῷ ἐν λόγοις. ὅτι δὲ τὸ ὑποβάλλειν περικοπὴν τῷ λόγῳ ποιεῖ, δηλοῖ Ἀχιλλεὺς ἐν τῇ α', ὑποβλήδην ἀμειψάμενος τὸν βασιλέα. καὶ ἄλλως δὲ ὑποβάλλειν ἐστὶ τὸ ἄλλον ἄλλῳ ὑποβάλλειν τὰ λαλούμενα διὰ τὸ τῆς ἀκοῆς ἀδιάρθρωτον καὶ οἱονεὶ διαπέμπειν ἀλλήλοις τοὺς λόγους, ὃ καὶ αὐτὸ βλαπτικὸν τῆς δημηγορίας ἐστί. παρακαλεῖ οὖν πάντας ὁμοῦ προσέχειν τὸν νοῦν τῇ δημηγορίᾳ καὶ μήτε ὑποβλήδην τινὰ εἰπεῖν, ὥς που ἐποίησεν Ἀχιλλεύς, πρὸς ὃν ἴσως καὶ ἀποτείνεται ἡ τοῦ ὑββάλλειν παραίτησις, ὡς οὐ δεόντως ὑποβαλόντα τότε, ἀλλὰ ἀκαίρως ὑποκρούσαντα, ἵνα μὴ καὶ ἐνταῦθα ὅμοιόν τι γένηται. τό τε οὖν μὴ ὑποβλήδην ἀκοῦσαί τι ἀξιοῖ ὁ βασιλεὺς καὶ τὸ μηδὲ ἄλλως ὑποβάλλειν διὰ τῆς ἐξ ἄλλων εἰς ἄλλους ὑποβολῆς, καὶ οὕτω βλάπτειν τὸν δημηγοροῦντα. τινὲς δὲ νοοῦσιν ἐνταῦθα τοὺς φιλαχιλλεῖς κραυγάζειν χαίροντας ἐπὶ τῇ τοῦ ἥρωος ἐξόδῳ, οὓς καὶ κατασιγάζων ὁ βασιλεύς φησι δεῖν σιωπῇ ἀκούειν καὶ μὴ ὑποβάλλειν, ἤγουν ὑποκρούειν, θορύβῳ τὸν λέγοντα. δεῖ δὲ εἰδέναι καὶ ὅτι τινὲς τοῦ «ἑσταότως» ἐκτείνουσι τὴν λήγουσαν, καὶ ἐπίρρημα λαβόντες αὐτὸ ἑσταότως φασὶ τὸ εὐσταθῶς καὶ ἡσύχως, ἵνα λέγῃ, ὅτι δεῖ μετὰ ἡσυχίας ἀκούειν. ψιλοῦσι δὲ καὶ τὸ ὐββάλλειν Αἰολικὴν εἶναι τὴν λέξιν λέγοντες.

4.288 Ἰστέον δὲ ὅτι, ὥσπερ τὸ καταβαλεῖν συγκοπὲν ἔτρεψε Δωρικῶς τὸ ψιλὸν εἰς μέσον, ἤγουν τὸ τ εἰς β , οὕτω καὶ τὸ ὑποβαλεῖν. ὡς γὰρ καταβαλεῖν καββαλεῖν, οὕτως ὑποβάλλειν ὐββάλειν. (v. 81 s.) Τὸ δὲ «πῶς κέν τις ἀκούσαι ἢ εἴποι» διπλῆν δηλοῖ βλάβην, ὡς τῷ πολλῷ θορύβῳ οὐ μόνον τοῦ δημηγοροῦντος βλαπτομένου, ἀλλὰ καὶ τῶν ἀκροατῶν, οἳ καὶ διὰ τοῦτο ὡς τὰ πολλὰ ὐββάλλουσι. τὸ δὲ «βλάβεται» ἡ ἀρχὴ τῆς βλάβης ἐστίν. (v. 83) Ὅτι τὸ «Πηλείδῃ μὲν ἐγών», ὁ βασιλεὺς δηλαδή, «ἐνδείξομαι», ἀντὶ τοῦ πρὸς αὐτὸν ἀπερείσω τὸν λόγον. ὅθεν καὶ ἀριδείκετος κατὰ τοὺς παλαιούς, πρὸς ὃν οἱ ἐντυχόντες ἀπερείδονται διὰ τὸ ἀξίωμα. (v. 84) Συνθέσθαι δὲ ἐν ἄλλοις μὲν ἐπὶ συμφωνίας καὶ συνθήκης, οἷον «σύνθεο καί μοι ὄμοσσον»,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνταῦθα δὲ ἐπὶ συγκαταθέσεως ἡ λέξις τέθειται. ἐπάγει γὰρ «αὐτὰρ οἱ ἄλλοι σύνθεσθ' Ἀργεῖοι, μῦθον τ' εὖ γνῶτε ἕκαστος», ἤγουν συγκατάθεσθέ μοι ἀναμνησθέντες ὧν ἐλέγετε. (v. 85) Ἐνταῦθα δὲ σημείωσαι ὅτι ὁ βασιλεὺς εἰπὼν «μῦθον εὖ γνῶτε ἕκαστος», καὶ ὅτι «πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον» οὐ λέγει εὐθὺς καὶ τίς ἦν ὁ μῦθος ἀλλὰ σιγᾷ. ἦν δὲ, ὡς εἰκός, τοιοῦτός τις, ὅτι οὐ καλὸν ἐποίησας, ὦ βασιλεῦ, ἀφελόμενος τὴν Βρισηΐδα καὶ λυπήσας τὸν τηλικοῦτον ἀδίκως Ἀχιλλέα, καὶ οὕτως εἰς ἔσχατον κινδύνου ἡμᾶς ὡς οὐκ ἐχρῆν ἀγαγών. σιωπᾷ δὲ αὐτὰ ὁ βασιλεὺς ἢ ὡς πρὸς εἰδότας λέγων τοὺς Ἀχαιούς, ἢ διότι φείδεται κατὰ τὴν τραγῳδίαν ὀλιγάκις κακά, ἢ καὶ παιδεύων τὸν ἀκροατήν, ὡς φορτικὸς ὁ κατὰ τῶν ἀρχόντων λόγος καὶ οὐκ ἄξιος πολλάκις λέγεσθαι. (v. 86) Σημείωσαι δὲ ὅτι τὸ σιωπηθὲν ἐμφαίνει ἄλλως ὁ βασιλεὺς διὰ τοῦ εἰπεῖν, ὅτι καί με νεικείεσκον οἱ Ἀχαιοί, ὡς δηλονότι οὐκ ἀγαθὰ ποιήσαντα. (v. 86 s.) Ἐφ' οἷς μὴ ἔχων, τί ἀπολογήσεται, μεθιστᾷ τὴν αἰτίαν ὡς ἐν μεταμέλῳ, λέγων «ἐγὼ δ' οὐκ αἴτιός εἰμι, ἀλλὰ Ζεὺς καὶ μοῖρα», ὡς ἐκ παραλλήλου ἕν τι ταῦτα εἰπεῖν κατὰ ἀλληγορίαν, «καὶ ἠεροφοῖτις Ἐριννύς», ἤγουν ἀφανῶς φοιτῶσα κατά τινων. καὶ Ἀχιλλεὺς δὲ ἐν τοῖς ἑξῆς εἰς θεομηνίαν τὸν ἑαυτοῦ χόλον ἀνάγει. οὕτω καλὸν ἡ προμήθεια. ὡς ὅγε Ἐπιμηθεὺς καλὸς μὲν καὶ αὐτός, ἀλλ' ἐπὶ κακῷ προϋπάρξαντι. Σημείωσαι δὲ καὶ ὅτι ἐξῆν ποτε τῷ δήμῳ αἰτιᾶσθαι τοὺς ἄρχοντας ἐν δέοντι, οἱ δὲ ἠνείχοντο, καθά φησιν ἐνταῦθα ὁ βασιλεύς.

4.289 οὕτω δὲ καὶ τὸν Ἀχιλλέα οἱ Μυρμιδόνες ᾐτιῶντο μηνίοντα, καὶ ἐκεῖνος ἔφερεν ὀνειδιζόμενος. (v. 88 s.) Ἐνταῦθα δὲ καὶ τὴν ὀργὴν κακολογῶν ὁ βασιλεύς φησιν «οἵ τέ μοι», ἤγουν οἱ ῥηθέντες δαίμονες, «εἰν ἀγορῇ», τῇ ἐν τῇ α' δηλαδὴ ῥαψῳδίᾳ, «φρεσὶν ἔμβαλον ἄγριον ἄτην ἤματι τῷ, ὅτ' Ἀχιλλῆος γέρας αὐτὸς ἀπηύρων». αὐτὸν γὰρ λέγει ἐπιεικῶς τοὺς ὑπ' αὐτοῦ σταλέντας κήρυκας. (v. 90) Εἶτα ἐπάγει καὶ ὅπερ ἂν ἐρεῖ τις ἀπορῶν ἐπί τινι πρακτέῳ ἢ καὶ μεταμελόμενος «ἀλλὰ τί κεν ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾷ». γνωμικὸν δὲ τὸ «θεὸς διὰ πάντα τελευτᾷ», συντομίαν ἔχον ἀποφθεγματικήν. οἱ δὲ παλαιοί φασιν ὅτι Ἑλλάνικος ὑφ' ἓν ἀνεγίνωσκε θεόσδια, οὕτω λέγων τὰ θεόσδοτα, καὶ νοῶν ὅτι τὰ θεόσδοτα πάντα τελειοῦται καὶ οὐ διαπίπτουσιν, ἢ μάλλον ὅτι τελειοῖ τὰ ἐκ θεοῦ ἡ εὐθὺς ἐπαγομένη Διὸς θυγάτηρ Ἄτη, ἣν προεκαλέσατο ἀνωτέρω ῥηθὲν τὸ «ἄγριον ἄτην». ἦν δὲ ἐκείνη μὲν ἄτη ἡ ἐξ ὀργῆς, αὕτη δὲ Ἄτη σωματοειδὴς δαίμων κατὰ μῦθον ἡ παντὸς ἀτηροῦ αἰτία. Ἰστέον δὲ ὅτι ἔγραψε μέν τι ὁ ποιητὴς καὶ ἐν τῇ ἰῶτα ῥαψῳδίᾳ περὶ τῆς Ἄτης, σθεναρὰν αὐτὴν διαγράψας καὶ ἀρτίπουν, ἐνταῦθα δὲ ἐντελέστατα διαζωγραφεῖ τὰ κατ' αὐτήν. (v. 91—6) Σεμνολογῶν οὖν αὐτὴν καὶ γενεαλογῶν καὶ ὡς χαρακτῆρος ἰδέᾳ διατυπῶν φησι «πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται, οὐλομένη, τῇ μέν θ' ἁπαλοὶ πόδες, οὐ γὰρ ἐπ' οὔδει πίλναται, ἀλλ' ἄρα ἥ γε κατ' ἀνδρῶν κράατα βαίνει βλάπτους' ἀνθρώπους· κατὰ δ' οὖν ἕτερόν γ' ἐπέδησε. καὶ γὰρ δή ποτε Ζῆν' ἀάσατο», ἢ Ζῆν' ἄσατο, «τόν περ ἄριστον ἀνδρῶν ἠδὲ θεῶν φασιν ἔμμεναι», καὶ τὰ ἑξῆς, ὡς εἰρήσεται. Ἰστέον δὲ ὅτι καὶ ἐνταῦθα ἐπιχείρημά ἐστιν ἐκ τοῦ μείζονος. λέγει γὰρ ὁ βασιλεὺς ὡς οὐ καινόν, ἐὰν αὐτοῦ ἡ Ἄτη κατεκαυχήσατο, ὅπουγε καὶ τὸν Δία ἔβλαψεν. (v. 91) Ἰστέον δὲ καὶ ὅτι τὸ Ἄτη μακρὸν ἔχει πανταχοῦ τὸ α , κραθὲν ἐκ τοῦ ἀάσασθαι, ὃ λέξις μέν ἐστι ποιητική, καιρία δέ, ὡς ἐν ποιήσει. ἑξάκις γοῦν αὐτῇ ὁ ποιητὴς ἐν τῷ χωρίῳ ἐχρήσατο. λέγεται δὲ τὸ τοιοῦτον ῥῆμα ἐν δυσὶν α ὡς ἐπὶ πολύ. τὸ γὰρ δι' ἑνὸς α ἐπὶ τοῦ κορέσασθαι τὰ πολλὰ λαμβάνεται. ἐρεῖ γὰρ προϊὼν «σίτου ἄσασθαι φίλον ἦτορ». εὕρηται δὲ καὶ ἐπὶ βλάβῃ δι' ἑνὸς α , οἷον «ἆσε με δαίμονος αἶσα καὶ ἀθέσφατος οἶνος». τὸ τοίνυν «Ἄτη, ἣ πάντας ἀᾶται» τρόπος ἐτυμολογίας ἐστίν. ἀπὸ γὰρ τοῦ ἀᾶσθαι ἀάτη καὶ ἄτη γίνεται. Πρέσβα δὲ Ἄτη, ὃ ἐκ τοῦ πρέσβειρα συγκέκοπται, ἢ κατὰ χρόνον, ἀεὶ γὰρ ἐν ἄτῃ τὰ κατ' ἀνθρώπους, ἢ κατὰ τιμήν, ὡς χρεὼν ὂν ἐκθύεσθαι τὴν Ἄτην οἷα δυναμένην βλάπτειν καὶ οὐλομένην.

4.290 Διὸς δὲ θυγάτηρ, τοῦ κατὰ τὴν εἱμαρμένην δηλαδὴ νοουμένου. (v. 92) Ἁπαλοὶ δὲ οἱ πόδες αὐτῇ, διότι λανθάνει ἀψοφητὶ ἐπιφοιτῶσα κατὰ τὰς παρὰ τῷ Ἡσιόδῳ νόσους. ἢ καὶ ἄλλως εἰπεῖν,

κατὰ τοὺς κλεπτικούς, οἵ ποτε καὶ σπόγγους ὑποβάλλουσι τοῖς ποσίν, ἵνα μὴ ἐπιβούλως ἐπερχόμενοι κατάφωροι τῷ κτύπῳ γίνοιντο. Τὸ δὲ «οὐ γὰρ ἐπὶ οὔδει πίλναται» αἰτιολογεῖ τὴν ἁπαλότητα τῶν ποδῶν τῆς Ἄτης, οἱονεὶ λέγοντος τοῦ ποιητοῦ, ὅτι οὐκ ἀνάγκη σκληρόποδα εἶναι αὐτήν, οὐ γὰρ εἰς γηΐνην ἀντιτυπίαν πατεῖ, ἀλλ' εἰς κεφαλὰς ἀνθρώπων βαίνει. εἰ δὲ διὰ τοῦτο σκληροὺς αὐτὴν ἐχρῆν ἔχειν πόδας, ἵνα μᾶλλον βλάπτῃ, ἀλλ' ἐνταῦθα ἡ θίξις μόνη ἀρκεῖ. οὕτω καὶ ἡ νάρκη μαλθακὴ μὲν ἐπαφᾶσθαι, ναρκᾶν δὲ τὸ πελάσαν ποιεῖ. [Ὃ δὴ ῥῆμα, τουτέστι τὸ ναρκᾶν, παράγωγόν ἐστιν ἐξ αὐτῆς, οἷον «νάρκησε δὲ χεῖρ' ἐπὶ καρπῷ». τὴν δὲ νάρκην Πλάτων μὲν ἐν Μένωνι διὰ τοῦ η ἔφη, εἰπών, ὡς ἡ νάρκη τὸν πλησιάζοντα ναρκᾶν ποιεῖ. Μένανδρος δέ, φασί, διὰ τοῦ α ἔφη, ὁμοίως τῷ τόλμη τόλμα, οἷον «ὑπελήλυθέ τέ μου νάρκα τις ὅλον τὸ δέρμα», μηδενὸς τῶν παλαιῶν οὕτω κεχρημένου. λέγεται δέ, φασίν, ἡ νάρκη τὸ ζῷον τὴν ἀπ' αὐτῆς δύναμιν καὶ διὰ ξύλων διαπέμπεσθαι, ποιοῦσα ναρκᾶν τοὺς ἐν χεροῖν αὐτὴν ἔχοντας. ὡς δὲ σύμβολόν ἐστι τοῦ ναρκᾶν καὶ ὁ νάρκισσος, προδεδήλωται.] Σημείωσαι δὲ ὅτι τὸ «οὐ γὰρ ἐπ' οὔδει πίλναται» καὶ τῆς τῶν ζωϊκῶν ποδῶν σκληρότητος τελικὴν αἰτίαν ὑπολαλεῖ. διὰ τοῦτο γὰρ σκληροὶ πόδες τοῖς βαδιστικοῖς, ὅτι ἐπ' οὔδει ἀντιτύπῳ πίλνανται, ἤτοι πλησιάζουσι, ὃ γίνεται ἀπὸ τοῦ πελῶ, τὸ πελάζω καὶ ἐγγίζω. ὡς γὰρ ἔχω ἴσχω, ὀρέγω ὀριγνῶ, μένω μίμνω, γένω γίγνω, πέτω πίτνω καὶ πίπτω, ῥέπω ῥίπτω, οὕτω καὶ πελῶ πιλνῶ καὶ πίλνημι, ἐξ οὗ παθητικὸν τὸ πίλναται.

4.291 Τὸ δὲ «οὔδει» ἀπὸ εὐθείας ἐστίν, ὡς καὶ προεδηλώθη, διφορουμένης. ὡς γὰρ γῆρας καὶ γῆρος, ὕδας καὶ ὕδος, οὕτω καὶ οὖδας καὶ οὖδος, οὗ δοτικὴ οὔδει. (v. 93) Οὐκ εἰς γῆν δὲ βαίνει ἡ Ἄτη, ἀλλὰ «κατ' ἀνδρῶν κράατα», διότι ἐκ μετεωρισμοῦ τὸ βλάπτεσθαι καὶ εὐηθείας κουφόνου, ὡς ἡ τραγῳδία φησί, καὶ διότι οὐ πίπτει χαμαί, ἀλλ' εἰς κεφαλήν τινος ἀποσκήπτει τὴν ἀτυχίαν. διὸ καὶ τὰ ἐκ φαύλου φόνου ᾑμαγμένα ξίφη εἰς κεφαλὴν τὴν τῶν πιπτόντων ἀνεμάττοντο. ἢ καὶ ἐπεὶ ἐξ ἁμαρτίας τοῦ κατὰ κεφαλὴν λογιστικοῦ καὶ βλάβης αἱ ἆται γίνονται. Σημείωσαι δὲ καὶ ὅτι τὸ λέγειν τὴν ἄτην βλάβην ἐξ Ὁμήρου ἔχει τὴν ἀρχήν, εἰπόντος «Ἄτη βλάπτους' ἀνθρώπους». (v. 94) Τὸ δὲ «ἕτερόν γ' ἐπέδησε» περὶ τῶν ἐριζόντων ἔφη, ἐπεὶ ἀμήχανον ἀμφοτέρους τοὺς ἐπὶ κακῷ ἐρίζοντας ἐπ' ἀγαθοῖς ἀπαλλάξαι. σκοπητέον δὲ καὶ ὅτι, εἰ καὶ ἐπὶ ἄλλων τινῶν ἡ Ἄτη τῶν ἐριζόντων τὸν ἕτερον ἐπέδησεν, ἀλλ' ἐνταῦθα καὶ ἀμφοτέρους ἔβλαψε, τόν τε Ἀγαμέμνονα τὸ τοῦ Ἀχιλλέως γέρας ἀφελόμενον οὐκ ἐνδίκως, καὶ τὸν Ἀχιλλέα δέ, ὡς τὰς Λιτὰς ἀπωσάμενον. ἔφθη γὰρ εἰπὼν τὴν Ἄτην ἅμα τῷ ἕπεσθαι, ὃς ἂν τὰς Λιτὰς ἀνήνηται καί τε στερρῶς ἀποείπῃ, ὥσπερ δὴ καὶ ἐνταῦθα τῷ Ἀχιλλεῖ ἕπεται καὶ κατὰ τῆς αὐτοῦ βαίνει κρατός, τοῦ Πατρόκλου στερήσασα, ὃν φίλην ἐκεῖνος ἐκάλεσε κεφαλήν. Καὶ σημείωσαι ὅτι καὶ ὅτε τις τοιαύτης φίλης κεφαλῆς στερηθῇ, καὶ τότε ἡ Ἄτη κατὰ κρᾶτα τοῦ τοιούτου βαίνει. Τὸ δὲ σχῆμα τοῦ «κατὰ δ' οὖν ἕτερόν γε πέδησεν», ὁμοιοῦται πως τῷ «εἰ γοῦν ἕτερός γε φύγῃσι». (v. 95 s.) Τὸ δὲ «ὃν ἄριστόν φασιν εἶναι» οὐκ ἔστιν ἐνδοιάζοντος λόγου, περὶ Διὸς γὰρ τοῦτο λέγει, ἀλλὰ βαρυνομένου καὶ οὕτω σχηματιζομένου τὸν διστάζοντα.

4.292 ὅλως γὰρ τὸ «φασί» ποτὲ μὲν ἐπὶ ἀγνοοῦντος ἢ καὶ διστάζοντος λέγεται, ποτὲ δὲ καὶ ἐπὶ ἀκριβῶς εἰδότος, ὡς καὶ ἐν Ὀδυσσείᾳ γέγραπται. ἐλλειπτικῶς δὲ ῥηθὲν τὸ «φασί» πολὺ ἐνταῦθα ἔχει τὸ σεμνόν. ἐμφαίνει γὰρ οὕτως, ὡς πάντες ἄριστον ὁμολογοῦσι τὸν Δία, δηλαδὴ ἄνδρες καὶ δαίμονες καὶ θεοί. παρέξεσται δὲ τὸ «ἄριστον ἀνδρῶν καὶ θεῶν» ἐκ τοῦ «πατὴρ ἀνδρῶν τε θεῶν τε». Ὅτι ποικιλίαν καὶ ἐνταῦθα τῇ ποιήσει τεχνώμενος ὁ ποιητὴς διὰ παρενθέσεως μύθου τε καὶ ἱστορίας παραφέρει ὅπως τε τὸν Δία ἡ προσεχῶς εἰρημένη Ἄτη ἔβλαψεν, ὅτε ἡ Ἥρα ἐκεῖνον ἐν τοῖς κατὰ τὸν Ἡρακλέα ἠπάτησε, καὶ οἷα ἔπαθεν αὖθις ὑπὸ Διὸς ἡ Ἄτη. (v. 96—133) Φησὶ γὰρ ὁ βασιλεὺς ἐκτιθέμενος αὐτὰ εἰς πλάτος οὕτω «ἀλλ' ἄρα καὶ τόν», ἤγουν τὸν Δία, «Ἥρη, θῆλυς ἐοῦσα, δολοφροσύνῃς' ἀπάτησεν, ἤματι τῷ ὅτ' ἔμελλε βίην Ἡρακληείην», τὴν καὶ ἀλλαχοῦ ῥηθεῖσαν, ἤγουν τὸν Ἡρακλέα, «Ἀλκμήνη τέξεσθαι

ἐϋστεφάνῳ ἐνὶ Θήβῃ. ἤτοι ὅ γ᾿ εὐχόμενος», ἤγουν ὁ μὲν δὴ Ζεὺς καυχώμενος, «μετέφη πάντεσσι θεοῖσι· κέκλυτέ μευ πάντες τε θεοὶ πᾶσαί τε θέαιναι, ὄφρ᾿ εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει. σήμερον ἄνδρα φόωσδε», ἤγουν εἰς φῶς, «μογοστόκος Εἰλείθυια», ἡ καὶ ἀλλαχόθεν κειμένη, «ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσι», τοῖς Ἀργείοις δηλαδή, ὡς κατωτέρω δηλοῦται, «ἀνάξει», ὅ ἐστι βασιλεύσει, «τῶν ἀνδρῶν γενεῆς, οἵ θ᾿ αἵματος ἐξ ἐμεῦ εἰσι. τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη· ψευστήσεις, οὐδ᾿ αὖτε τέλος μύθῳ ἐπιθήσεις. εἰ δ᾿ ἄγε νῦν μοι ὄμοσσον, Ὀλύμπιε, καρτερὸν ὅρκον, ἦ μέν», ἤγουν ὄντως δή, «τόν», ὅ ἐστι τοῦτον, «πάντεσσι περικτιόνεσσιν ἀνάξειν, ὅς κεν ἐπ᾿ ἤματι τῷδε πέσῃ μετὰ ποσσὶ γυναικὸς τῶν», ἤγουν τούτων, «ἀνδρῶν, οἵ», κατὰ τὸν σὸν δηλαδὴ λόγον, «σῆς ἐξ αἵματός εἰσι γενέθλης. ὣς ἔφατο, Ζεὺς δ᾿ οὔ τι δολοφροσύνην ἐνόησεν, ἀλλ᾿ ὄμοσε μέγαν ὅρκον, ἔπειτα δὲ πολλὸν ἀάσθη. Ἥρη δ᾿ ἀΐξασα λίπεν ῥίον Οὐλύμποιο, καρπαλίμως δ᾿ ἵκετ᾿ Ἄργος Ἀχαιϊκόν, ἔνθ᾿ ἄρα ᾔδη», ὅ ἐστιν ἠπίστατο, «ἰφθίμην ἄλοχον Σθενέλου Περσηϊάδαο, οὗ ὁ σχηματισμὸς κατὰ τὸ Πηληϊάδαο, ἣ δ᾿ ἐκύει», ὅ ἐστιν ἐνεκυμόνει κατὰ γαστρὸς φέρουσα, «φίλον υἱόν, ὁ δ᾿ ἕβδομος εἱστήκει μείς», Αἰολικῶς, ἤγουν μήν. «ἐκ δ᾿ ἄγαγε πρὸ φόωσδε καὶ ἠλιτόμηνον ἐόντα, Ἀλκμήνης δ᾿ ἀπέπαυσε τόκον, σχέθε δ᾿ Εἰλειθυίας.

4.293 αὐτὴ δ᾿ ἀγγελέουσα», ἤγουν ἡ Ἥρα, «Δία Κρονίωνα προσηύδα· Ζεῦ πάτερ, ἀργικέραυνε, ἔπος τί τοι», ἤγουν σοί, «ἐν φρεσὶ θήσω· ἤδη ἀνὴρ γέγον᾿ ἐσθλός, ὃς Ἀργείοισιν ἀνάξει, Εὐρυσθεύς, Σθενέλοιο πάϊς Περσηϊάδαο, σὸν γένος· οὔ οἱ ἀεικὲς ἀνασσέμεν Ἀργείοισιν», οἷα δηλαδὴ κατηγμένῳ ἐκ σοῦ διὰ τὴν σήν ποτε Δανάην, ἐξ ἧς ὁ πατὴρ τούτου Περσεύς. «ὣς φάτο, τὸν δ᾿ ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν. αὐτίκα δ᾿ εἷλ᾿ Ἄτην κεφαλῆς λιπαροπλοκάμου χωόμενος φρεσὶν ᾗσι καὶ ὄμοσε καρτερὸν ὅρκον, μή ποτ᾿ ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα αὖτις ἐλεύσεσθαι», ἤγουν ἐπανελθεῖν, «Ἄτην, ἣ πάντας ἀᾶται», ὡς καὶ προγέγραπται. «ὣς εἰπὼν ἔρριψεν ἀπ᾿ οὐρανοῦ ἀστερόεντος χειρὶ περιστρέψας· τάχα δ᾿ ἵκετο ἔργ᾿ ἀνθρώπων», ἤγουν ταχὺ κατέπεσεν εἰς γῆν, «τήν», ἤγουν διὰ ταύτην τὴν Ἄτην, «αἰεὶ στενάχεσχ᾿, ὅθ᾿ ἑὸν φίλον υἱὸν ὁρῷτο», ἤγουν βλέποι, «ἔργον ἀεικὲς ἔχοντα ὑπ᾿ Εὐρυσθῆος ἀέθλων». (v. 134—8) Εἶτα τοῦ μερικοῦ γινόμενος ὁ ῥήτωρ βασιλεύς, οὗ χάριν καὶ τὰ προγραφέντα ἐλάλησε, φησίν «ὣς καὶ ἐγών, ὅτε μέγας Ἕκτωρ Ἀργείους ὀλέεσκεν ἐπὶ πρύμνῃσι νέεσσιν, οὐ δυνάμην λελαθέσθαι ἄτης, τὴν πρῶτον ἀάσθην. ἀλλ᾿ ἐπεὶ ἀασάμην, καί μευ φρένας ἐξέλετο Ζεύς», ὃ πολλαχοῦ ἡρμήνευται, «ἂψ ἐθέλω ἀρέσαι δόμεναί τ᾿ ἀπερείσι᾿ ἄποινα», τὰ ἐν ταῖς Λιταῖς δηλαδὴ ὑπεσχημένα. (v. 139) Εἶτα καὶ ἀξιῶν, ὅπερ ἐθέλει, ἐπάγει «ἀλλ᾿ ὄρσευ πόλεμόνδε καὶ ἄλλους ὄρνυθι λαούς», οἷα πολέμαρχος. (v. 140—4) Ἐφ᾿ οἷς καὶ περὶ τῶν δώρων δεξιῶς ῥητορεύων, καὶ πῇ μὲν ἀστείως ἀναρτῶν τὸν ἥρωα, πῇ δὲ ἄλλως ταχυτέρᾳ δόσει ἐλπιδοκοπῶν φησι «δῶρα δ᾿ ἐγὼν ὅδε πάντα παρασχεῖν, ὅσσα τοι ἐλθὼν χθιζὸς ἐνὶ κλισίῃσιν ὑπέσχετο δῖος Ὀδυσσεύς. εἰ δ᾿ ἐθέλεις, ἐπίμεινον ἐπειγόμενός περ Ἄρηος, δῶρα δέ τοι θεράποντες ἐμῆς ἀπὸ νηὸς ἑλόντες οἴσους᾿, ὄφρα ἴδηαι», ἤγουν ἴδῃς, «ὅ τοι», ὅ ἐστιν ὅτι σοι, «μενοεικέα δώσω». Καὶ ὅρα ἐν τούτοις τὸ «εἰ δ᾿ ἐθέλεις», ἐξ οὗ Ἀχιλλεὺς γνοὺς γνοὺς ὡς ἀναρτᾶται καὶ οὕτως ἡ δόσις, καὶ μὴ ἐθέλων ὤνιον ἐπικουρίαν ἀγεννῶς ἐκφωνῆσαι τοῖς Ἀχαιοῖς, ἐρεῖ καὶ αὐτὸς εὐγενῶς εἰς τοῦτο τὰ δηλωθησόμενα. Ὡς δὲ πολλὰ ἐκ τοῦ χωρίου τούτου χρήσιμα εἰς παρῳδίας καὶ παραπλοκάς, οὐκ ἀγνοεῖ ὁ εἰδὼς ἐπιλέγεσθαι.

4.294 Ὅρα δὲ ὅτι καὶ τὸ χωρίον τοῦτο τῆς μυθώδους ἱστορίας μυρίαν ποικιλίαν ἔχει καὶ χρηστομαθείας γέμει. διδάσκει γὰρ δίχα τῶν ἄλλων καὶ ὅτι τὰ οὐράνια οὐκ οἶδεν ἄτην, εἰ καὶ τὸ μυθικὸν ἀνθρωποπαθὲς τῶν Ἑλληνίων θεῶν ἀνῆγεν αὐτὴν ἀνωτάτω. ἀκολούθως δὲ καὶ τὴν γῆν χωρίον ἄτης εἶναι βούλεται, ὡς ἄνθρωπον μηδένα ἐκτὸς αὐτῆς εἶναι. καὶ τὸ τιμιώτατον δὲ τοῦ ὅρκου δείκνυσιν, ὃν καὶ μακρὰ λελυπημένος ὁ Ζεὺς οὐ παρεξῆλθε. καὶ νήφειν δὲ τὸν μέγαν ἄρχοντα βούλεται καὶ ἐν ἑαυτῷ εἶναι, ἵνα μή ποθεν ἀπάτην πάσχοι, καί

ποτε καὶ ἐκ τῶν οἰκειοτάτων, ὡς ὁ Ζεὺς ὑπὸ Ἥρας παρήχθη φενακισθείς. παραδίδωσι δὲ καὶ τὰς γυναῖκας δεινὰς καὶ αὐτὰς εἶναί ποτε κατασοφίσασθαι. καὶ χρησμῶδές δέ τι σοφιστικὸν λόξωμα παρεμφαίνει, ἐν οἷς λέγει «πᾶσι περικτιόνεσσιν ἀνάξειν» τὸν σήμερον ἐκ Διὸς γεννηθέντα, ὅπερ ἐνοήθη μὲν ὑπὸ Διὸς περὶ Ἡρακλέος, ἐξέβη δὲ ἄλλως εἰς τὸν Εὐρυσθέα τὸν ἐν τῷ Ἀχαιϊκῷ Ἄργει γεγενημένον, ὃς υἱὸς μὲν Διὸς οὐκ ἦν, υἱοῦ δὲ ἔγγονος, τοῦ Περσέως δηλαδή. ὑποδηλοῖ δὲ καὶ τὸ τῆς βασιλείας μέγεθος, δι᾽ ἣν ὁ τοσοῦτος Ἡρακλῆς τῷ ἡκίστῳ ὑπέκειτο Εὐρυσθεῖ. παραδίδωσι δὲ καὶ τὸ μὴ ἐξ ἀνάγκης τοὺς ἀρχομένους ἐλάττονας παντὶ τρόπῳ εἶναι τοῦ ἄρχοντος. Ἡρακλῆς γὰρ ὑπακούων Εὐρυσθεῖ τῇ γοῦν ἀνδρίᾳ ὑπερέβαλεν. ἔτι δὲ καὶ τὸ μὴ ἐξ ἀνάγκης ἀεὶ καὶ ἐπὶ πᾶσι τὸν ἄρχοντα τὰ αἱρετὰ ποιεῖν αὐτῷ ἐν τοῖς ὑπ᾽ αὐτόν. ἰδοὺ γὰρ ἐν τοῖς κατὰ Ἡρακλέα οὐκ εὐστόχησεν ὁ Ζεὺς οὗ ἤθελε. διατυποῖ δὲ καὶ γυναικὸς ἦθος ζηλότυπον, οἷς ἡ Ἥρα ζήλῳ Ἀλκμήνης ῥᾳδιουργεῖ κατὰ τοῦ Διός, οὐ φιλοῦσα μὲν οὐδὲ τὸν Εὐρυσθέα ὡς Διὸς ἀπόγονον, κατὰ μέντοι τοῦ ἐξ Ἀλκμήνης κότον οὐ φατὸν τρέφουσα. κολάζει δὲ ὁ ποιητὴς ἐνταῦθα καὶ τὸ μεγάλα κατὰ τύφον φυσᾶν, ἐν οἷς τὸν Δία κομπάσαντα ψεύσασθαι λέγει ἐφ᾽ οἷς ἐνηβρύνετο. βούλεται δὲ καὶ συνορᾶν, ὅτε τις ὅρκον ποιεῖται, μὴ καὶ ψεύσηται. καὶ ἡ τοῦ μοιριδίου δὲ ἀνάγκη τῇ ἱστορίᾳ ταύτῃ παρεμφαίνεται. διὰ μὲν γὰρ τὸ σήμερον τῆς γεννήσεως, οὗ περίφρασις τὸ «ἤματι τῷ» κρατεῖ ὁ Εὐρυσθεύς, ὡς ὁ Ζεύς, τουτέστι τὸ εἱμαρμένον, ἐκύρωσε, καὶ μετ᾽ ἐκεῖνον οἱ Εὐρυσθεῖδαι τοὺς ἐξ Ἡρακλέος φυγαδεύοντες. διὰ μέντοι τὴν βουλὴν τοῦ αὐτοῦ Διὸς τὴν ὑπὲρ τοῦ Ἡρακλέος τὸ τῶν Ἡρακλειδῶν ὕστερον γένος καταχθὲν ὑπὸ Ἀθηναίων κατέσχε τοῦ Ἄργους, ἀπελάσαν τοὺς Εὐρυσθείδας.

4.295 καὶ ἀλήθειαν δὲ τοῖς ἄρχουσιν ὑποτίθεται, οἷς ὁ βασιλεὺς ἐπὶ τοῖς δώροις ἀληθίζεται. καὶ τοὺς δῶρα λαμβάνοντας διδάσκει ὅπως καὶ ἐφ᾽ οἷς ληπτέον αὐτά, καὶ ὡς μετὰ μῆνιν ἐπιμελητέον πρᾳότητος καὶ μηδὲ ἐπιληστέον ἁμαρτάδος, μηδὲ φειστέον χρημάτων ἐπὶ συμφέροντι. οὕτω μεμέστωται τὸ χωρίον ὅλον ἀξίοις λόγου νοήμασιν. (v. 97) Ἰστέον δὲ ὅτι τὸ «Ἥρη θῆλυς ἐοῦσα» παιδεύει χρῆναι μὴ πάνυ τὸ θῆλυ γένος μελέτην ἔχειν δολοφρονεῖν καὶ οὕτως ἐξαπατᾶν τοὺς οἰκείους. [Καὶ ἄλλως δὲ εἰπεῖν, θαῦμά τι ὁ λόγος ὑποκρύπτει, ὡς καινὸν ὄν, εἰ τὸν ἐν ἅπασιν ὕπατον Δία, τὸν μητιέτην, θήλεια θεὸς ἐσοφίσατο.] Ἀττικὸς δὲ καὶ Ἰωνικὸς ὁ σχηματισμὸς τοῦ «Ἥρη θῆλυς», ὡς καὶ τὸ «θῆλυς ἐέρση», καὶ τὸ «πουλὺν ἐφ᾽ ὑγρήν». (v. 98) Τὸ δὲ «ἤματι τῷ» δὶς ῥηθέν, ὡς καὶ τὸ «καρτερὸν ὅρκον», καὶ τὸ «ἄτην ἣ πάντας ἀᾶται» καὶ ἕτερα, κατωτέρω σαφέστερον εἴρηται ἐν τῷ «ἐπ᾽ ἤματι τῷδε». (v. 99) Εὐστέφανον δὲ τὴν Θήβην λέγει ἀντὶ τοῦ εὐτείχεα, διὰ τὰς πύργων στεφάνας, ἢ ὡς πολλὰ στεφανωσαμένην ἐν ἀγῶσι πολεμικοῖς τε καὶ ἑτεροίοις, ὁποίαν τινὰ καὶ τὴν Κρότωνα ὁ Περιηγητὴς ἱστορεῖ. ἴσως δὲ καὶ τὴν κύκλῳ ἀγαθοῖς οἷον στεφανουμένην. τάχα δὲ καὶ ὁμωνύμως τῇ ἡρωΐνῃ Θήβῃ εὐκόσμῳ εὐστέφανον Θήβην καὶ τὴν πόλιν καλεῖ. τὸ δὲ τοιοῦτον σχῆμα τῆς ὁμωνυμίας μιμεῖται μάλιστα Πίνδαρος. ὅτι δὲ ἡ στεφάνη καὶ γυναικεῖον κόσμον δηλοῖ, εὑρήσεις καὶ παρὰ τῷ Αἰλιανῷ. [Ἰστέον δὲ καὶ ὅτι οὐκ ἐξ ἀνάγκης ἐκ τοῦ ἐϋστέφανος φαίνεται χρῆσις εἶναι στεφάνου παρὰ τῷ ποιητῇ. σύνθεσις γὰρ καὶ ποιὰ παραγωγὴ ἐκ τῆς Ὁμηρικῆς στεφάνης παρήγαγε τὴν ἐϋστέφανον. ὡς γὰρ τιμὴ ἔντιμος καὶ τὰ ὅμοια, οὕτω καὶ στεφάνη εὐστέφανος.] Τὸ δὲ «πάντεσσι θεοῖσι», καὶ τὸ «πᾶσαι θέαιναι», καὶ τὸ «ψευστήσεις καὶ ἐπιθήσεις», καὶ τὸ «πάντεσσι περικτιόνεσσι», καὶ τὸ «φρεσὶν ᾗσι» παρισοῦνται κατὰ κάλλος ὑπὸ τοῦ βασιλέως, ἀναλόγως οἷς χαριέντως διηγεῖται.

4.296 (v. 101) Οὐ πόρρω δὲ κάλλους καὶ παραβολῆς προοιμίῳ πρεπούσης καὶ τὸ «πάντες θεοὶ πᾶσαί τε θέαιναι», ἐξ οὗπερ εἰλῆφθαι δοκεῖ καὶ τῷ ῥήτορι τὸ «τοῖς θεοῖς πᾶσι καὶ πάσαις». (v. 103) Τὸ δὲ «φόωσδε ἐκφανεῖ» λαμπρότερον τοῦ «ἐκ δ᾽ ἄγαγε πρὸ φόωσδε» διὰ τὸ «ἐκφανεῖ». ἄλλως μέντοι ἐκεῖνο σαφέστερον. ὃ δὲ δηλοῖ ἐκεῖ ἡ ἐκ πρόθεσις, τοῦτο καὶ ἐνταῦθα ἐν τῷ ἐκφανεῖ. Ἡ δὲ Εἰλείθυια ὅτι καὶ πληθυντικῶς λέγεται, δηλοῖ μετ᾽ ὀλίγα τὸ «σχέθεν Εἰλειθυίας», [ἃς ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μῦθος θυγατέρας Ἥρας οἶδεν, ὡς καὶ ἀλλαχοῦ ἠλληγόρηται.] (v. 104) Περικτίονες δὲ περίοικοι, πέριξ κτίσαντες οἰκήσεις. [Δοκεῖ δὲ προϋπάρχειν αὐτοῦ ῥῆμα τὸ κτίω, ἐξ οὗ καὶ οἱ ἐν τῇ Τραγῳδίᾳ κτῖται, ὅπερ ἐστὶ κτήτορες, ἴσως δὲ καὶ ὁ κτίλος καὶ κύριον ἡ Κτιμένη καὶ τὸ ἐϋκτίμενον πτολίεθρον καὶ ἡ ἐϋκτιμένη ἀλωή. κεκίνηται δὲ τὸ τοιοῦτον ῥῆμα, καθὰ καὶ τὸ κτίζω, ἀπὸ τοῦ κτῶ. Σημείωσαι δὲ ὅτι καθ' Ἡρῳδιανόν, ὡς ὁ κηδεμών, οὕτως ὀξύνεται καὶ ὁ περικτιὼν καὶ ὁ ἀμφικτυών, ὧν καὶ βραχεία, φησίν, ἡ παραλήγουσα. τὸ μέντοι Ἠλεκτρύων ἐκεῖνος βαρύνει ὁμοίως τῷ Ἀμφιτρύων. εἰ δὲ ἄλλοις ἄλλα περὶ τούτων δοκεῖ, οὐδὲν αὐτὸ πρὸς τὰ νῦν.] (v. 105) Τὸ δὲ «αἵματος ἐξ ἐμεῦ» παραφράσασα Ἥρα ἔφη τὸ «οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης», φράσασα ἐκείνη σαφέστερον, ἔτι δὲ πάνυ γοργῶς «Εὐρυσθεύς, τὸ σὸν γένος». (v. 107) Τοῦ δὲ «ψευστήσεις» προϋπάρχει ὁ ψευστός, ὡς καὶ τοῦ ἀνηκουστήσεις ὁ ἀκουστός. (v. 108) Τὸ δὲ «εἰ δ' ἄγε νῦν» παρακελευσματικόν ἐστι ὡς καὶ ἐν ἄλλοις πολλοῖς. Καρτερὸς δὲ ὅρκος οὐ μόνον συνήθως ὁ ἰσχυρός, ἀλλὰ καὶ ὁ παράμονος, ᾧ λόγῳ καὶ καρτερεῖν τις ἀντὶ τοῦ ἀναμένειν λέγεται, ἔτι δὲ καὶ ἀποκαρτερεῖν, ὁ ποινῆς εἶδός τι ἦν παρὰ τοῖς πάλαι.

4.297 (v. 110) Ἐν δὲ τῷ «ὅς κεν πέσῃ μετὰ ποσσὶ γυναικός» εὐσχημόνως καὶ σεμνῶς καὶ γοργῶς καὶ σαφῶς, εἰ καὶ ἄλλως μυστικῶς πως, ἔφρασε τὴν λοχείαν. ἔστι δὲ τὸ «μετὰ ποσσίν» ἀντὶ τοῦ μεταξὺ ποδῶν. ὅτι δὲ τὸ πεσεῖν καὶ ἐπὶ τοκετοῦ λέγεται, δηλοῖ καὶ ὁ διϊπετὴς ποταμός, ῥηθεὶς οὕτως, ὡς ἐκ Διὸς πεσὼν μυθικῶς, ἤτοι γεννηθείς. ἡ μέντοι ἀλληγορία τὸ τοιοῦτον διϊπετὲς ἄλλως πρὸς ἀλήθειαν συμβιβάζει, ὡς ἐν οἰκείῳ τόπῳ δηλοῦται. (v. 113) Μέγας δὲ ὅρκος διὰ τὰ κατὰ σχῆμα σιωπῆς δῆθεν ὀμωμοσμένα, Στύγα δηλαδὴ καὶ τὰ τοιαῦτα, ὃς οὕτω καρτερὸς καὶ γενναῖος, ὡς μὴ ἂν παραβαθῆναι. σεβάσμιος γὰρ καὶ αὐτοῖς μύθοις ὁ ὅρκος. διὸ καὶ ὁ κατ' αὐτοὺς Ζεύς, εἰ καὶ ἄχος αὐτὸν ὀξὺ κατὰ φρένας ἔτυψε καὶ χώετο φρεσὶ καὶ στενάχεσκεν αἰεὶ κακούμενον ὁρῶν ὑπ' Εὐρυσθέως τὸν φίλον υἱὸν Ἡρακλέα, ὅμως οὐκ ἔθετο τὸ οἰκεῖον ἔπος παλινάγρετον οὐδ' ἀπατηλόν, ἐπεὶ μέγαν, ὡς ἐρρέθη, ὅρκον ἅπαξ ὤμοσεν, οὐδὲ τὸ τοῦ Εὐριπίδου περιῆλθεν αὐτόν, τὸ «ἡ γλῶσσ' ὀμώμοκεν, ἡ δὲ φρὴν ἀνώμοτος». καὶ οὕτω μὲν τιμᾷ τὸν ὅρκον ὁ Ζεύς. εἰ δὲ μόνον τῇ κεφαλῇ κατένευσε, τάχ' ἂν οὐκ ἂν τοιοῦτος ἦν. ὅθεν καὶ ἡ Ἥρα ἐν ταύτῃ τῇ ὑποθέσει καὶ ὑποσχέσει οὐ κατανεῦσαι αὐτὸν ἐζήτησεν, ὡς ἡ Θέτις, ἀλλ' ἐπὶ τὸ ἰσχυρότερον, τὸν ὅρκον, ἀπεῖδε. Τὸ δὲ «πολλὸν ἀάσθη» νοῦν οὐκ ὀλίγον ἔχει. ἀάσθη γὰρ κατὰ πολὺ ὁ Ζεὺς καὶ ὡς ὑπὸ γυναικὸς ἀπατηθεὶς καὶ ὡς ἀσυντηρήτως ὀμόσας καὶ ὡς τὸν φίλον υἱὸν κακῶς πάσχοντα βλέπων. (v. 114) Τὸ δὲ «ἀΐξασα» ἐκτεταμένην ἔχει διὰ μέτρον τὴν ἄρχουσαν. (v. 115) Ἄργος δὲ Ἀχαιϊκόν, τὸ τῶν περικτιόνων δηλαδή, ὅπερ οἱ μεθ' Ὅμηρον Ἀχαϊκὸν γράφουσι, τὸ ἐν Πελοποννήσῳ λέγει, Ἀχαιϊκὸν ῥηθὲν πρὸς διαστολὴν τῶν ἄλλων. πολλὰ γάρ εἰσιν, ὡς καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ δεδήλωται. ὅτι δὲ Ἀργεῖος ἀνέκαθεν ὁ Ἡρακλῆς διὰ τὴν μητέρα Ἀλκμήνην Μιδεᾶτιν οὖσαν, ἱστορεῖ πρὸς ἄλλοις Πίνδαρος. (v. 116) Ἰφθίμη δὲ καὶ νῦν γυνὴ ἡ καὶ δαΐφρων. (v. 117) Τὸ δὲ «ἐκύει φίλον υἱόν» ἀντὶ τοῦ ἐνεκυμόνει, [ὡς καὶ προείρηται.

4.298 ] Τὸ δὲ «εἱστήκει» ἐκ τοῦ ἑστήκει ὑπερσυντελίκου γέγονε πλεονασμῷ τοῦ ι . (v. 118) Ἐν δὲ τῷ «πρὸ φόωσδε» ἡ προ πρόθεσις τὸ πρὸ καιροῦ τὸν Εὐρυσθέα γεννηθῆναι δηλοῖ. ἦν γὰρ ἠλιτόμηνος, ὅ ἐστιν ἀλιτήσας, ἤγουν ἁμαρτών, ἀποτυχὼν τῶν συνήθων ἐννέα τοῦ τοκετοῦ μηνῶν. Ἰστέον δὲ ὅτι ὁ μὲν Ὁμηρικὸς οὗτος ἠλιτόμηνος παῖς τετελεσφόρηται καθὰ μάλιστα πρὸ αὐτοῦ ὁ Ἡρακλῆς, εἰ καὶ ἐπέσχε τὸν αὐτοῦ τοκετὸν ἡ Ἥρα. τὸ δὲ παρὰ τοῖς ὕστερον ἄμβλωμα καὶ ἔκτρωμα οὐ τοιοῦτόν ἐστιν. ὧν πρωτότυπα τὸ ἀμβλῶσαι καὶ ἐκτρῶσαι, περὶ ὧν φασιν οἱ παλαιοὶ οὕτω· ἀμβλῶσαι τὸ φθεῖραι βρέφος ἐν γαστρί, καὶ ἀμβλωθρίδιον τὸ τοιοῦτον, ἐκτρῶσαι δὲ καὶ ἔκτρωμα τὸ μήπω τετυπωμένον. Ἐνταῦθα δὲ φέρεται λῆρος μυθικός, ὡς ἄρα αἱ Μοῖραι Ἀλκμήνης ὠδινούσης τὰς χεῖρας συνεῖχον, γαλῆς δὲ παρελθούσης ἀπέλυσαν, ὅτε καὶ τεχθέντος Ἡρακλέος ἐνομίσθη γαλῆν αὐτῷ εἶναι τροφόν. ὅθεν ἀνέκειτο ἡ γαλῆ τῷ Ἡρακλεῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Καὶ σημείωσαι ὅτι οὐκ ἠγνόησεν ὁ ποιητὴς ζωογονεῖσθαι τὰ ἑπτάμηνα. (v. 119) Τοῦ δὲ «ἀπέπαυσε τόκον» διασαφητικόν τι τὸ «σχέθε δ' Εἰλειθυίας», ἤγουν ἐπέσχε τὴν γέννησιν πρὸς καιρὸν καὶ οὕτως ἔπαυσε τὸν τόκον οἷα προϊσταμένη τῶν Εἰλειθυίων, καθὰ προδεδίδακται. (v. 121) Τὸ δὲ «ἀργικέραυνε» δοκεῖ μυκτῆρά τινα ἔχειν, εἴπερ ὁ ἀργικέραυνος καὶ φρικτὸς οὕτω πέπαικται. (v. 124) Τὸ δὲ «ἀργικέραυνε» δοκεῖ μυκτῆρά τινα ἔχειν, εἴπερ ὁ ἀργικέραυνος καὶ φρικτὸς οὕτω πέπαικται. (v. 124) Τὸ δὲ «σὸν γένος» ἀστεῖον ὁμώνυμόν ἐστιν. ἄλλως γὰρ γένος Διὸς Ἡρακλῆς καὶ ἄλλως Εὐρυσθεύς, ὡς προείρηται. (v. 125) Ὀξὺ δὲ ἄχος ὡς οἷά τι βέλος ἢ ξίφος. διὸ προσφυῶς ἐπῆκται τὸ «τύψε». (v. 126) Τὸ δὲ «ἐκ κεφαλῆς λιπαροπλοκάμου» ἀμφιβάλλεται, ἆρά γε τῆς κεφαλῆς τῆς Ἄτης εἷλεν ὁ Ζεὺς αὐτήν. ἀλλὰ οὔποτέ τινες κεφαλῆς ῥιπτοῦνται, φασί, παρ' Ὁμήρῳ, ἀλλ' ἢ ποδός, ὡς Ἀστυάναξ. πῶς δὲ καὶ λιπαροκρήδεμνος ἡ τοὺς βλαπτομένους ξηραίνουσα; ἀλλὰ τὴν Διός, φασίν, ἐρεῖ τις κεφαλήν, ἀφ' ἧς ἑλὼν τὴν Ἄτην ἔρριψεν, ὡς εἰωθυῖαν περὶ τὰς κεφαλὰς βαίνειν. ἀλλ' οὐ λέγει πλοκάμους ἐπὶ ἀνδρῶν, εἰ μὴ ἄρα πλοχμούς, ὡς τὸ «πλοχμοί, οἳ χρυσῷ καὶ ἀργύρῳ ἐσφήκωντο».

4.299 ἄδηλον οὖν ποίαν λέγει κεφαλήν. ἔοικε δὲ τὴν τοῦ Διὸς λέγειν μάλιστα πιθανώτερον, ὡς τῆς Ἄτης θελούσης ὑπὲρ κεφαλῆς ἀεὶ εἶναι. διὸ καὶ ῥιφεῖσα κατ' ἀνδρῶν κράατα βαίνει. Λιπαροπλόκαμος δὲ ἡ Ἄτη κατά τινας παλαιούς, οὐχ' ὅτι τοιοῦτοι οἱ βλαπτόμενοι, αὐχμῶσι γὰρ ἐκεῖνοι, ὡς ἐρρέθη, ἀλλ' ὅτι αὐτὴ μυθικῶς τοιαύτη ἦν ὡς θεά. οὕτω καὶ ὁ Ὕπνος αὐτὸς ἐγρηγορὼς ὑπνοῦν τοὺς ἄλλους ποιεῖ. (v. 128) Τὸ δὲ «μή ποτ' ἐς Οὔλυμπον καὶ οὐρανόν» εἶχεν Ὅμηρος γράψαι «μή ποτε Ὄλυμπόνδε», δόξαν δὲ αὐτῷ, ἔγραψε τὸ ἰσοδύναμον. Τὸ δὲ «ἀστερόεντα» πρὸς διαστολὴν Ὀλύμπου ἐρρέθη. αὐτὸς γὰρ ὄρος ὢν οὐ τοιοῦτός ἐστιν, ὡς δηλοῖ ἀνωτέρω τὸ «ῥίον Οὐλύμποιο». Τὸ δὲ μὴ ἐπανελθεῖν ἄνω τὴν Ἄτην προείληπται ὡς πρωθύστερον. ἐχρῆν γὰρ πρῶτον ῥιφῆναι αὐτήν, εἶτα ῥηθῆναι τὸ μήποτ' αὐτὴν αὖτις ἐλεύσεσθαι. (v. 129) Φασὶ δὲ εἰς Ἴλιον κατενηνέχθαι ῥιφεῖσαν τὴν Ἄτην, διὸ καὶ Ἄτης λόφος ἐκεῖ, οὗ ὁ Λυκόφρων μέμνηται. τοῦτο δὲ ἀστείως πέπλασται διὰ τὰς μεγάλας ἄτας, ἃς ἐκ Διὸς οἱ Τρῶες ἔπαθον, ὧν ἕνεκα καὶ Ἰλιὰς κακῶν πεπαροιμίασται. [Ἰστέον δὲ ὅτι τε Ὄλυμπος καὶ κύριον ὄνομα ἦν αὐλητοῦ τινος, οὗ νόμος ὀδυρτικὸς περιῄδετο, καθὰ δηλοῖ καὶ ὁ Κωμικὸς ἐν τῷ «ξυναυλίαν κλαύσωμεν Οὐλύμπου νόμον», καὶ ὅτι τὸ μὲν «αὖτις» Ἰωνικόν, κοινὸν δὲ τὸ αὖθις, ταὐτὸν δὲ τούτοις τὸ πάλιν. αὐτὰ δὲ ὁμοῦ τὰ τρία δηλοῦσι τὸ εἰς τοὐπίσω, οὗ δὴ δευτερώματος ὄντος εἴληπται παρὰ τοῖς ὕστερον τὸ πάλιν ἁπλῶς ἀντὶ τοῦ ἐκ δευτέρου.] (v. 131) Τὸ δὲ «χειρὶ περιστρέψας» ταὐτὸν μέν ἐστι τῷ περιδινήσας, δηλοῖ δὲ ἢ πολλὴν ἐλαφρότητα τῆς Ἄτης, ἢ πολλὴν δύναμιν τοῦ Διός, εἰ τὴν τοιαύτην οὕτω καταρριπτεῖ. Ταχὺ δὲ ἵκετο κάτω ἡ Ἄτη διὰ τὴν φύσιν τῶν ἄνωθεν κάτω ἱεμένων βαρημάτων.

4.300 Ἔργα δὲ ἀνθρώπων λέγει τὰ ἐφ' οἷς ἡ Ἄτη ἐκείνων καθικνεῖται. (v. 132) Τοῦ δὲ «αἰεὶ στενάχεσκεν» ἑρμηνεία τὸ «ὅτε τὸν ἴδιον υἱὸν ὁρῷτο». λέγει γὰρ ὡς αἰεὶ ἔκλαιεν, ὅτε τὸν Ἡρακλῆν ἴδοι ἀεθλεύοντα. (v. 133) Ἔργον δὲ ἀεικὲς τὸ μὴ κατὰ τὰ λοιπὰ ἔργ' ἀνθρώπων τὰ ἀνωτέρω κείμενα, [μάλιστα δὲ ἔργον ἀτηρόν, οὗ καὶ αὐτοῦ ὡς ἔργου ἀνθρωπίνου ἡ Ἄτη καθίκετο ἀεικιζομένη.] (v. 134) Μέγας δὲ τῷ βασιλεῖ νῦν λέγεται ὁ Ἕκτωρ πρὸς ἐρεθισμὸν τοῦ Ἀχιλλέως εἰς μάχην. (v. 135) Τὸ δὲ «ὀλέεσκον» πλεονασμὸν ἔχει τοῦ ε τοῦ ἐν τῇ προπαραληγούσῃ. (v. 136) Τὸ δὲ «ἣν πρῶτον ἀάσθην», ἤγουν ἐβλάβην, πρὸς διαστολὴν εἴρηται τῆς ἐνεργοῦς Ἄτης, ἣ πάντας ἀᾶται. [Αὕτη μὲν γὰρ οἷά τις οὐσία θεία νοεῖται κατὰ τὸν μῦθον. ἣν δὲ ὁ Ζεὺς ἐβλάβη. ποιότης ἐστὶ παθητική, πρόβλημα οὖσα καὶ ἐνέργημα τῆς αὐτὸ ἐνεργούσης Ἄτης.] Τὸ δὲ ἀάσθην ἀασάμην κατωτέρω εὐθὺς λέγει. [Ἔνθα κατὰ τὴν παράδοσιν τῶν παλαιῶν μετὰ τὸν στίχον τοῦ «ἐπεὶ ἀασάμην» προηνέγκατο Διοσκουρίδης, ὁ Ἰσοκράτους μαθητής, καὶ ἕτερον στίχον τοῦτον «ἢ οἴνῳ μεθύων ἤ μ' ἔβλαψαν θεοὶ αὐτοί». δι' οὗ στίχου βαρὺς ψόγος μέθης ἐμφαίνεται, εἰς τὴν αὐτήν, φασί, τιθεὶς πλάστιγγα τὴν μέθην τῇ θεομηνίᾳ.]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(v. 138) Τὸ δὲ «ἀρέσαι» καὶ νῦν ἀντὶ τοῦ ἁρμοσθῆναι, φιλιωθῆναι, εἰς ἀρθμὸν καὶ φιλίαν ἐλθεῖν. παθητικῶς δὲ τὰ πλείω τὸ ῥῆμα τοῦτο προφέρεται. Τὸ δὲ «δόμεναι» πέπαικταί τινι παλαιῷ ἀτιμουμένῳ διὰ πενίαν ἐν τῷ εἰπεῖν· οὐκ ἔχω δόμινι, οὐδὲ γὰρ ἔχω δόμεναι. (v. 139) Τὸ δὲ «ὄρσευ» ἐγγὺς τοῦ ὄρω ῥήματος πρωτοτύπου ἤπερ τὸ «ὄρνυθι».

4.301 [Ἀστεῖος δὲ καὶ δεξιώτατος ὁ τοῦ βασιλέως ἐνταῦθα λόγος. εἰπόντος γὰρ Ἀχιλλέως τῷ βασιλεῖ «ἀλλ' ἄγε, θᾶσσον ὄτρυνον πόλεμόνδε Ἀχαιούς» ὁ βασιλεὺς ἀξιωματικῶς μὲν «ἀλλ' ὄρσευ» φησί, μονονουχὶ λέγων, ὡς ἰδοὺ σὲ πρῶτον ὀτρύνω πόλεμόνδε. φιλικῶς μέντοι ἐπάγει τὸ «καὶ ἄλλους ὄρνυθι», ὡς οἷα δηλαδὴ ἐμοὶ ὑποστρατηγῶν. καὶ ἄλλως δὲ σεμνότερον εἰπεῖν, δοκεῖ λέγειν ὁ βασιλεύς, ὅτι οὔτε σέ, ὦ Ἀχιλλεῦ, ὀτρυνῶ, οὔτε τοὺς ἄλλους, ἀλλὰ σοὶ τὸ πᾶν ἐγκλίνω. σύ τε γὰρ αὐθόρμητος μάχου καὶ τοὺς ἄλλους ὄρνυθι πολεμαρχῶν.] (v. 140) Τὸ δὲ «δῶρα δ' ἐγὼ ὅδε πάντα παρασχεῖν» ἐλλειπτικῶς εἴρηται ἀντὶ τοῦ ἐγὼ οὗτός εἰμι ὥστε παρασχεῖν, ἢ ἕτοιμός εἰμι, ἢ ἐγγυῶμαι παρασχεῖν, ἤ τι τοιοῦτον. Σημείωσαι δὲ ὅτι τὸ μὲν «ἐγὼν ὅδε» ταὐτολογήσας ἐδίπλωσεν εἰς σύστασιν προσωπικήν. Τὸ δὲ «πάντα παρασχεῖν» κατὰ ἔλλειψιν εἶπεν, ἵνα ἐμφήνῃ τὴν τοῦ πρᾶξαι σπουδήν, ὡς μὴ δέον ὂν λόγοις ἐμβραδύνειν τὸν πράττειν ταχύν. Τὸ δὲ παρασχεῖν εἴη ἂν ταὐτὸν τῷ ἐγγὺς σχεῖν σοῦ ὡς ἐπὶ δόσει. (v. 141) Τὸ δὲ «χθιζός» ἀντὶ τοῦ κατὰ τὴν προσεχῶς παρελθοῦσαν νύκτα, εἰς ἣν περατοῦται ἡ χθὲς ἡμέρα. Τὸ δὲ «ὑπέσχετο Ὀδυσσεύς» σεμνύνει τὸν ἥρωα ὡς αὐτὸν ὑπερέχοντα τῶν ἐν ταῖς Λιταῖς πρέσβεων. (v. 142) Τὸ δὲ «ἐπειγόμενός περ Ἄρηος» παρῳδεῖται ἐν τῷ «ἐπειγόμενός περ ὁδοῖο», ἤγουν ἔπειξιν ἔχων ὁδοῦ. (v. 143) Θεράπων δέ, εἰ καί, ὥς που προεγράφη, δοῦλον ὁπλοφόρον δηλοῖ κατὰ Κρητῶν γλῶτταν, ἀλλὰ παρὰ τῷ ποιητῇ οὐδαμοῦ θεράποντες οἱ δοῦλοι, ἀλλὰ τῶν φίλων οἱ δραστικώτεροι, ὡς καὶ ἐνταῦθα φαίνεται ἐν τῷ «δῶρα δὲ θεράποντες ἑλόντες οἴσουσιν», οἵπερ εἰσὶν οἱ Νεστορίδαι καὶ ὁ Μέγης καὶ ὁ Θόας καὶ ὁ Μηριόνης καὶ ἄλλοι. (v. 144) Τὰ δὲ «ἀπερείσια δῶρα» προσφυῶς καὶ μενοεικέα φησίν, οἷς δηλαδὴ τὸ μένος εἴξει τὸ τοῦ Ἀχιλλέως. (v. 79) Ἰστέον δὲ καὶ ὅτι τὸ μὲν «καλὸν ἀκουέμεν, οὐδὲ ἔοικεν ὑββάλλειν» καὶ ἑξῆς, προσοχὴν ἐπὶ λόγῳ δηλοῖ. (v. 90) Τὸ δὲ «ἀλλὰ τί κεν ῥέξαιμι» καὶ ἑξῆς, μεταμέλου εἰσὶ λόγοι.

4.302 (v. 103) Τὸ δὲ «σήμερον ἄνδρα φόωσδε» καὶ ἑξῆς, καὶ τὸ «ἤδη ἀνὴρ γέγον' ἐσθλός» καὶ ἑξῆς, χρήσιμον εἰς γεννήσεις εὐγενεῖς. (v. 107) Τὸ δὲ «ψευστήσεις» καὶ ἑξῆς, οἰκεῖον ἐπί τινος μὴ ἀληθεύοντος. (v. 132) Τὸ δὲ «αἰεὶ στενάχεσκε» καὶ ἑξῆς, πένθιμον ἐπὶ παιδὶ δυστυχεῖ. (v. 137) Τὸ δὲ «ἐπεὶ ἀασάμην» ἕως τοῦ «ἐθέλω ἀρέσαι» μεταμελητικὸν καὶ αὐτό. (v. 139) Τὸ δὲ «ὄρσευ πόλεμόνδε» καὶ ἑξῆς, ὀτρυντικόν ἐστιν εἰς μάχην. (v. 140) Δώρων δὲ ὑποσχετικὸν τὸ «δῶρα δ' ἐγὼν ὅδε» καὶ ἑξῆς. (v. 142) Τὸ δὲ «εἰ δ' ἐθέλεις ἐπίμεινον» καὶ ἑξῆς, φιλοφρονητικόν ἐστιν. Ὅτι μέλλων ὁ Ἀχιλλεὺς τῷ περὶ τῶν δώρων λόγῳ ἐπιβαλεῖν ἀκολούθως, οἷς προσεχῶς ἔφη ὁ βασιλεύς, φθάνει σεμνύνων ἐκεῖνον ἐντίμοις προσφωνήσεσιν, ὑπαγόμενος οὕτω τὸν δωρησόμενον. (v. 146) Φησὶ γὰρ «Ἀτρείδη, κύδιστε, ἄναξ ἀνδρῶν, Ἀγάμεμνον». εἶτα μεταχειριζόμενος τὸν λόγον δεξιώτατα οὔτε παραιτεῖται τὰ δῶρα, ἵνα μὴ δοκῇ ἐκφαυλίζειν αὐτά, οὔτε ζητεῖ, ὅπως μὴ ἐπὶ μισθῷ φαίνηται πολεμῶν, ἢ καὶ φιλοκτέανος ὤν, ὃ φθάσας αὐτὸς τῷ βασιλεῖ προσωνείδισεν, ἀλλ' αὐτὰ μὲν τῇ τοῦ βασιλέως ἀνατίθησιν ἐξουσίᾳ, αὐτὸς δὲ ἐπὶ φίλου ἐκδικήσει ἐθέλει μάχεσθαι, θεὶς ἐν παρέργῳ τὰ δῶρα. (v. 147 s.) Λέγει οὖν «δῶρα μὲν αἴ κ' ἐθέλῃσθα παρασχέμεν, ὡς ἐπιεικές, ἤ τ' ἐχέμεν, παρὰ σοί», ἤτοι παρὰ τῇ σῇ ἐξουσίᾳ κεῖται, καὶ τὰ ἑξῆς. τοῦτο δὲ καὶ πᾶς ἂν εἴποι ὁ εὐεργεσίαν ἢ δῶρα ἐλπίσας παρά τινος. ἡ δὲ τῶν δώρων ποιότης καὶ ποσότης ἐγράφη ἐν ταῖς Λιταῖς. Σημείωσαι δὲ τὸ «ὡς ἐπιεικές», ὅμοιον ὂν πρὸς τὸ «μενοεικέα», δι' οὗ ἐμφαίνει, ὅτι οὐ μόνον οὐ παραιτεῖται τὰ δῶρα, ἀλλὰ καὶ ἀποφαίνεται ὡς ἐπιεικές, ἤτοι πρέπον ἐθέλειν λαβεῖν αὐτά. ἔστι δὲ τὸ ἐπιεικὲς ταὐτὸν τῷ «ὡς ἐπέοικε», κατὰ τὸ «τιμὴν ἥν τιν' ἔοικε», τὸ ἐν τῇ γ' ῥαψῳδίᾳ ῥηθέν. Ὅρα δὲ καὶ ἐνταῦθα τὰ Ἰωνικὰ σύντομα πάρισα, τὸ «παρεχέμεν» καὶ «ἐχέμεν», καὶ ὅτι ἔχειν μὲν τὸ ἐν ἑαυτῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεκτῆσθαι, παρέχειν δὲ τὸ πλησίον τοῦ ληψομένου ἔχειν. ὁ γὰρ δωρούμενός τινι οὐκέτι μὲν αὐτὸς ἔχει ὡς οἷον ἐντὸς ἑαυτοῦ, πλησίον δὲ ἄλλου ἔχει, ἤδη δὲ καὶ ἑαυτοῦ, κατὰ ἐγγύτητα τῆς παρα προθέσεως, τῇ σχέσει τῇ φιλικῇ.

4.303 εἰ γὰρ παρ' αὐτῷ ἐστι τῇ ἑταιρίᾳ ὁ τὸ δῶρον λαβών, καὶ τὸ δῶρον ἄρα παρ' αὐτῷ ἐστι. (v. 148) Τὸ δὲ «παρὰ σοί» γράφεται καὶ «πάρα σοί», ἵνα λέγῃ ὅτι πάρεστι καὶ ἔξεστί σοι. δύναται δὲ τὸ χωρίον τοῦτο καὶ οὕτω συμβιβασθῆναι· δῶρα μέν, εἴτε βούλει, παρασχέμεν, ἤτοι παράσχε, εἴτε ἐθέλεις, κάτεχε παρὰ σοί. ἔστι δὲ νοῆσαι αὐτὸ καὶ οὕτως ἐλλειπτικῶς κατὰ ὁμοιότητα τοῦ «ἀλλ' εἰ μὲν δώσουσι γέρας», καὶ ἑξῆς. δῶρα δὲ ἐὰν ἐθέλῃς παρέχειν ἢ ἔχειν παρὰ σοί. λείπει γὰρ τὸ «ἔστι σοι ποιεῖν, ὃ βούλει», ἢ τὸ «ποίει ὅπερ ἐθέλεις» ἤ τι τοιοῦτον, ἵνα εἴπῃ ὅτι «εἰ θέλεις δοῦναι ἢ μὴ δοῦναι, ἔστω οὕτως ἢ οὕτως». καὶ ἔστιν εὐγενὴς ἡ ἐλλειπτικὴ αὕτη σιωπὴ καὶ πολύνους καὶ τοῦ βασιλέως ἐπιστρεπτική. Σημείωσαι δὲ τὸ «ἤ τ' ἐχέμεν» ἀντὶ τοῦ «ἢ ἔχειν», παραπληροῦντος τοῦ τε συνδέσμου. ἡ δὲ νῦν γενεὰ ὀκνήσοι ἂν διὰ τοῦ η γράψαι τὸ «ἤ τ' ἐχέμεν». εἰθισμένη γὰρ ἄλλως ἐπικρινεῖ διὰ διφθόγγου εἶναι τὸ «ἦτε» πρὸς ὁμοιότητα τοῦ «ἐάν τε». εἰσὶ δὲ τοιαῦτα δύο καὶ μετ' ὀλίγα. (v. 148 s.) Ἰστέον δὲ ὡς ὁ Ἀχιλλεὺς οὕτω θατέρᾳ μέν, ὅ φασιν, ἕλκων εἰς ἑαυτὸν τὰ δῶρα, θατέρᾳ δὲ ἀπάγων καὶ μὴ ἐθέλων δεύτερος τοῦ βασιλέως ἐλθεῖν εἰς προθυμίαν ἔργου, εἰπόντος «ἀλλ' ὄρσευ πόλεμόνδε», ἐπάγει τὸ «νῦν δὲ μνησώμεθα χάρμης αἶψα μάλα», ἐπαυξήσας τὴν σπουδὴν διὰ τοῦ «νῦν» καὶ τοῦ «αἶψα» καὶ τοῦ «μάλα», δι' ὧν τὸ νῦν διασαφεῖται ὡς ἀκαριαῖον καὶ μὴ πλατικὸν ὄν. (v. 149—50) «Οὐ γὰρ χρή», φησί, «κλοτοπεύειν ἐνθάδ' ἐόντας οὐδὲ διατρίβειν· ἔτι γὰρ μέγα ἔργον ἄρεκτον».

4.304 ὅπερ ἀνθρώπου λόγος ἐπὶ ἔργον ἀναγκαῖον κατεπείγοντος. ἅπαξ δὲ ἐνταῦθα εἴρηται τὸ κλοτοπεύειν, καὶ δηλοῖ κατὰ τοὺς παλαιοὺς τὸ κλοπεύειν καὶ οἷον παρακλέπτειν τὸν καιρόν, ἢ τὸ κλυτοπεύειν καὶ οἷον καλλιλογεῖν καὶ κλυτοῖς ἔπεσιν ἐνδιατρίβειν καὶ οὕτω καταργεῖν ἐν κενοῖς. Ὅρα δὲ ὅτι τὸ ἄρεκτον διὰ μέτρον οὐκ ἐδιπλασίασε τὸ ρ , ὡς καὶ τὸ «νῆσος ἀμφιρύτη» καὶ ἄλλα πολλά. Ὅτι δὲ τὸ διατρίβειν ἐπὶ ἀργίας κεῖται, δηλοῖ καὶ τὸ «μή τι διατρίβειν ἐμὸν χόλον», καὶ ἐν Ὀδυσσείᾳ τὸ διατρίβειν τὸν τῆς Πηνελόπης γάμον. (v. 151—2) Ἐπὶ δὲ τούτοις οἷα πάνυ θαρρῶν τὴν μάχην φησὶν «ὥς κέ τις αὖτ' Ἀχιλῆα μετὰ πρώτοισιν ἴδηται, ἔγχεϊ χαλκείῳ Τρώων ὀλέκοντα φάλαγγας». ἔστι δὲ καὶ τοῦτο προαναφώνησις Ὁμηρική, τὸ μέλλον μεγαλοφρόνως προεκτυπουμένη. Τὸ δὲ «μετὰ πρώτοισι» κόμμα ἐστὶν ἀγερωχίας, ἣν ὁ Ἀχιλλεὺς καὶ ἐν τῇ α' ῥαψῳδίᾳ καὶ ἐν ταῖς Λιταῖς ἐδήλωσεν, ὥσπερ καὶ τὸ «ἔγχεϊ χαλκείῳ». οὐ γὰρ τόξοις, φησίν, ἀλλ' ἔγχεϊ προμαχήσω. (v. 153) Οὕτω δὲ μεγαλόφρον εὐθὺς ἐπαχθὲν καὶ τὸ «ὧς δέ τις ὑμέων μεμνημένος ἀνδρὶ μαχέσθω», ἤγουν πολεμείτω, ἐμὲ βλέπων ὡς παράδειγμα καὶ μεμνημένος ἢ ἀλκῆς ἢ τῶν ἐμῶν ποτε ἀριστευμάτων. (v. 155—61) Ὅτι ἐνταῦθα δείκνυσιν ὁ ποιητὴς τὸ χρήσιμον τοῦ δειπνεῖν πρὸ τοῦ πολέμου. φησὶ γὰρ Ὀδυσσεὺς πρὸς τὸ «νῦν δὲ μνησώμεθα χάρμης» «μηδ' οὕτως, ἀγαθός περ ἐών, θεοείκελ' Ἀχιλλεῦ, νήστιας ὄτρυνε προτὶ Ἴλιον» τοὺς Ἀχαιούς «Τρωσὶ μαχησομένους, ἐπεὶ οὐκ ὀλίγον χρόνον ἔσται φύλοπις, εὖτ' ἂν πρῶτον ὁμιλήσωσι φάλαγγες ἀνδρῶν, ἐν δὲ θεὸς πνεύσῃ μένος ἀμφοτέροισιν. ἀλλὰ πάσασθαι», ἤτοι γεύσασθαι, «ἄνωχθι αὐτοὺς σίτου καὶ οἴνοιο», ἤγουν τὸ ὅλον εἰπεῖν, δειπνῆσαι. «τὸ γάρ», ἤγουν τοῦτο, «μένος ἐστὶ καὶ ἀλκή». (v. 162—3) Εἶτα ἑρμηνεύων τὸ οὐκ ὀλίγον χρόνον ἔσται φύλοπις, φησὶν «οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα ἄκμηνος σίτοιο δυνήσεται ἄντα μάχεσθαι», μονονουχὶ λέγων ὅτι πανημέριοι μέλλομεν πολεμεῖν, καὶ ὡς ὁ βασιλεὺς πολλαχοῦ εἶπε «πανημέριοι κρίνεσθαι Ἄρηϊ».

4.305 ἐὰν δὲ Ὀδυσσεὺς προϊὼν ἐρεῖ ἄνυσιν πολέμου ταχεῖαν, ἐκεῖ περὶ τροπῶν λέγει μετακλίσεως πολέμου, ὡς δειχθήσεται. (v. 164—6) Εἶτα χαρακτηρίζων, οἷος ἂν εἴη ὁ δίχα δείπνου μαχόμενος λέγει «εἴ περ γὰρ θυμῷ γε μενοινάᾳ πολεμίζειν, ἀλλά τε λάθρῃ γυῖα βαρύνεται, ἠδὲ κιχάνει δίψα τε καὶ λιμός, βλάβεται δὲ γούνατ' ἰόντι». (v. 167—70) Οὐ τὸ ἐναντίον ῥητορικῶς

μεταχειριζόμενός φησιν «ὃς δέ κ’ ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζῃ, θαρσαλέον νύ οἱ ἦτορ ἐνὶ φρεσίν, οὐδέ τι γυῖα πρὶν κάμνει πρὶν πάντας ἐρωῆσαι πολέμοιο». τὸ δὲ νόημα τοῦτο περίφρασίς ἐστι τοῦ ὅτι τὸ δειπνῆσαι «μένος ἐστὶ καὶ ἀλκή», καὶ πλατυσμὸς τοῦ στενοῦ ἐκείνου νοήματος. καὶ ταῦτα μὲν ὁ παρ’ Ὁμήρῳ σοφὸς στρατιώτης Ὀδυσσεύς. Πλάτων δὲ ἐν Νόμοις φησὶ πιόντα ἄνθρωπον ἵλεων ἢ πρότερον γίνεσθαι ἀγαθῆς τε ἐλπίδος καὶ δυνάμεως πληροῦσθαι, παρρησίας τε μεστὸν εἶναι καὶ ἐλευθερίας, ἄφοβόν τε εἰπεῖν καὶ πρᾶξαι ἄοκνον. διὸ Λακεδαιμόνιοι πίνοντες ὡπλίζοντο. (v. 171) Τοῖς δὲ ῥηθεῖσιν ἐπάγει Ὀδυσσεὺς καὶ τὸ «ἀλλ’ ἄγε λαὸν μὲν σκέδασον καὶ δεῖπνον ἄνωχθι ὅπλεσθαι». εἶτα λέγει καὶ περὶ τῶν βασιλικῶν δώρων, ἃ δηλωθήσεται. Δῆλον δ’ ὅτι τὸ «λαὸν σκέδασον καὶ δειπνῆσαι κέλευσον», καὶ «πάσασθαι ἄνωχθι», καὶ τὸ «μὴ δὴ οὕτως ὄτρυνε Ἀχαιούς», ὡς καὶ πρὸ τούτων τὸ «καὶ ἄλλους ὄρνυθι λαούς» προβεβλῆσθαι πολέμαρχον, ὡς καὶ πρώην, Ἀχαιοῖς τὸν Ἀχιλλέα ἐκφαίνουσιν. [(v. 156) Ἰστέον δὲ ὅτι τε νῆστις ἥ τε ἐπὶ τοῦ ἐντέρου καὶ ὁ ἐνταῦθα παρὰ τῷ ποιητῇ ἐκ τοῦ νη στερητικοῦ μορίου γίνεται καὶ τοῦ σῖτον, ἵνα ᾖ νήσιτις, καὶ ἐν συγκοπῇ νῆστις, καὶ ὅτι τῷ λόγῳ τούτῳ ταὐτόν ἐστιν ὁ νῆστις καὶ ὁ ἄσιτος. στέρησίς τε γὰρ ἐν ἀμφοῖν, καὶ τὸ σῖτον ἐν ἑκατέροις. συστοιχεῖ δὲ αὐτοῖς καὶ ὁ ἄπαστος κατὰ τὸ «κεῖται ἄσιτος, ἄπαστος», καὶ ὅτι νήστιες καὶ εἶδός εἰσι κεστρέων κατὰ τὸν εἰπόντα «εἴδη δὲ κεστρέων, οἳ καὶ πλῶτες καλοῦνται, σφηνεὺς καὶ δακτυλεὺς καὶ νῆστις, ἐξ οὗ παροιμία τὸ «κεστρεὺς νηστεύει», ἐπὶ τῶν δικαιοπραγούντων, ἐπειδὴ οὐ σαρκοφαγεῖ. ὅθεν οὐδὲ τῶν τι θηρίων κατεσθίει τὸν γόνον τῶν κεστρέων, ἐπεὶ οὐδ’ αὐτὸς οὐδένα τῶν ἰχθύων.

4.306 μνήμη τοιούτου κεστρέως παρὰ Εὐβούλῳ ἐν τῷ «ὡς νῦν τετάρτην ἡμέραν βαπτίζεται νῆστις πονηροῦ κεστρέως τρίβων βίον», καὶ παρὰ Διφίλῳ ἐν τῷ «οὗτοι δεδειπνήκασιν, ὁ δὲ τάλας ἐγὼ κεστρεὺς ἂν εἴην ἕνεκα νηστίας ἄκρας».] Ἰστέον δὲ ὅτι οἱ μὲν ἄλλοι πείθονται τῷ Ὀδυσσεῖ, Ἀχιλλεὺς δὲ οὐ πείθεται δειπνῆσαι, ὡς καὶ ἐντεῦθεν συνάγεσθαι, ὅτι τε πάνυ ἐφίλει τὸν Πάτροκλον καὶ ὅτι λίαν φερέπονος ἦν. (v. 158) Σημείωσαι δὲ ὅτι καὶ ἐνταῦθα ἐν τῷ «ὁμιλήσωσι φάλαγγες» πάνυ κυριολεκτεῖται τὸ ὁμιλεῖν. δηλοῖ γὰρ τὸ ὁμοῦ τὰς ἴλας γενέσθαι, (v. 159) καὶ ὅτι τὸ «θεὸς ἐμπνεύσῃ μένος», ἀμφοτέροις τοῖς μέρεσι δηλαδή, ἰσότητα πολέμου δηλοῖ. ἐκ δὲ τούτου τοῦ ἐμπνέειν καὶ ἔμπνους ὁ ἔνθεος καὶ κάτοχος λέγεται. καὶ ταῦτα τὰ δύο τῶν ἀντιμάχων μένεα συμβάλλεσθαι λέγει ὁ ποιητὴς ἐν τῷ «σὺν δ’ ἔβαλον ἔγχεα καὶ μένε ἀνδρῶν». [(v. 160) Ἰστέον δὲ ὅτι ὁμωνύμου ὄντος τοῦ πάσασθαι τὸ μὲν Ὁμηρικόν, ὅπερ τὸ ἐμφαγεῖν δηλοῖ, ἐκ τοῦ πῶ, τὸ κτῶμαι, γίνεται, ἀφ’ οὗ καὶ τὸ πῶυ, καὶ ὁ πολυπάμμων, ἤτοι πολυκτήμων. τοῦ δὲ κόνιν ἢ τέφραν καταπάσασθαι κεφαλῆς, ἀλλοίου ὄντος, τὸ θέμα πάσσειν ἐστίν, ἐξ οὗ γνωστοῦ καὶ αὐτοῦ ὄντος τῷ ποιητῇ καὶ κρέας ἁλίπαστον. μεταφορικῶς δὲ καὶ παστὸς ὁ νυμφικός, ὁ ἔχων πέπλους οἷς ἐμπάσσονται τρόπον τινὰ τὰ ἐπιπολῆς δαίδαλα ποικίλματα, κατὰ τὸ «πολέας δ’ ἐνέπασσεν ἀέθλους». εἰ δὲ ἐκ τοῦ τοιούτου πάσσειν καὶ ὁ πάσσος, ἐθνικὴ αὕτη λέξις, γίνεται, τίς ἂν εἰδείη; ἔστι δέ, φασί, πάσσος οἶνος ἐξ ἀσταφίδων παρὰ Ῥωμαίοις, οὗ πίνειν γυναῖκας ἀπείρητο. χρῆσις δὲ πάσσου παρὰ Πολυβίῳ. Ἔτι ἰστέον καὶ ὅτι πάσασθαι οὐ τὸ εἰς κόρον φαγεῖν, ὡς ἐν τοῖς τοῦ Ἀθηναίου κεῖται, ἀλλὰ τὸ μόνον, φησίν, ἀπογεύσασθαι.

4.307 οὕτω γὰρ σπλάγχν’ ἐπάσαντο, ἀπογευσάμενοι μόνον ὡς ἂν ὀλίγον, εἶτα εὐωχηθέντες δαψιλῶς. δῆλον δὲ τὸ ῥηθὲν καὶ ἐκ Πριάμου, εἰπόντος παρὰ τῷ Ἀχιλλεῖ, ὡς νῦν καὶ σίτου πασάμην. οἰκεῖον γὰρ τῷ ἀτυχεῖ ἀπογεύσασθαι μόνον. εἰς κόρον γὰρ ἐλθεῖν οὐκ εἴα τὸ πάθος. οἱ δὲ νεώτεροι, φησί, καὶ ἐπὶ τοῦ ἀποπληρωθῆναι τιθέασι τὸ «ἐπάσαντο».] (v. 162) Τὸ δὲ «ἐς ἠέλιον καταδύντα» ἑρμηνεία τοῦ «πρόπαν ἦμαρ» ἐστίν. (v. 163) Ἄκμηνος δὲ ὁ ἄγευστος καὶ νῆστις λέγεται. διὸ καὶ προϊὼν ἐρεῖ «νήστιας ἀκμήνους». Λέγεται δὲ οὕτως ἢ παρὰ τὴν ἀκμήν, ὅ ἐστιν ἀσιτίαν, Αἰολικῶς, ἢ ὡς μὴ καμὼν ἐν παρασκευῇ ἀρίστου, ἢ οἱονεὶ ἀΐκμηνος, ἤτοι ξηρός, χωρὶς

ἰκμάδος. (v. 155) Ἐν δὲ τῷ χωρίῳ τούτῳ καὶ ἔπος ὅλον ἀπαραποίητον οἰκεῖον ἔθετο ὁ ποιητής, τὸ «μηδ' οὕτως ἀγαθός περ ἐών», καὶ ἑξῆς. οὕτω γὰρ καὶ ἐν τῇ α' ῥαψῳδίᾳ κεῖται. Καὶ σημείωσαι ὅτι ἀγαθὸν καὶ ἐνταῦθα τὸν ἀνδρεῖον ἢ καὶ φρόνιμον λέγει. (v. 166) Σκοπητέον δὲ καὶ νῦν τὸ «βλάβεται», ἀφ' οὗ ἡ βλάβη, καὶ ἀνακτέον αὐτὸ εἰς διφόρησιν. ἔστι γὰρ καὶ βλάβω καὶ βλάπτω. πρὸ ὀλίγου γὰρ ἡ Ἄτη «βλάπτους' ἀνθρώπους» ἐλέγετο. ἴσως δὲ [καὶ ὁ στρεβλὸς] καὶ ἡ καλύβη, ὡς καὶ ἀλλαχοῦ ἐγράφη, ἀπὸ τοιαύτης ὕλης παράγεται, [ὥσπερ καὶ ἡ ἀποκρυβή.] (v. 167) Τὸ δὲ «οἴνου κορέσασθαι καὶ ἐδωδῆς» ἔχοι ἄν τι ὑπερβολῆς ἢ ἁπλότητος λόγου. πῶς γὰρ ὁ ἐν τῷ δειπνεῖν κορεσάμενος καὶ οἴνου καὶ ἐδωδῆς, καὶ οὕτω γενόμενος ἔμφορτος, ἐλαφρὸς ἂν εἴη μάχεσθαι, καὶ μᾶλλον, εἰ καὶ στερεοῖς ὅπλοις κατήχθισται; καὶ ἄλλως δέ, ὁ σπεύδων εἰς μάχην πῶς ἂν ὡς ἀδειάζων κορέσηται; [Πάσεται οὖν ὁ τοιοῦτος καὶ οἴνου καὶ σίτου, ὡς καὶ προεδηλώθη, οὐ μὴν κορέσεται.] Δοκεῖ δὲ καὶ πάνυ δεινῶς ἐνταῦθα ῥητορεῦσαι ὁ ποιητής, ὡς ὁ μὲν κορεσάμενος ἀβαρὴς ἐν μάχῃ ἐστίν, ὁ δὲ νῆστις γυῖα βαρύνεται.

4.308 [(v. 167 et 169) Ἰστέον δὲ ὅτι τὸ «ὃς δὲ κορεσσάμενος πολεμίζει, θαρσαλέον νύ οἱ ἦτορ» καινῶς ἐσχημάτισται. τὸ γὰρ κοινὸν καὶ σύνηθες· ὃς δὲ μετὰ τροφὴν πολεμίζει, θαρσαλέον ἦτορ ἔχει. Ὡς δὲ ψεκτὸν τὸ πρὸ μάχης ἄχρι κόρου δεῖπνον, δηλοῖ καὶ Ἔφιππος, ὃς εἰπών, ὡς μεθύοντες ἀεὶ τὰς μάχας πάσας Ἀργεῖοι μάχονται, ἐπάγει «τοιγαροῦν φεύγους' ἀεί».] (v. 171) Τὸ δὲ «λαὸν σκέδασον», ἐκ τῆς ἀγορᾶς δηλαδή, ὥστε λυθῆναι αὐτὴν αἰψηρὴν καὶ θοαῖς ἐπὶ νηυσὶ δειπνῆσαι. (v. 172) Τὸ δὲ «ὅπλεσθαι» πρωτότυπόν ἐστι τοῦ ὁπλίζεσθαι, ὡς καὶ τὸ ἐτείχεον τὸν ἰσθμὸν παρὰ Ἡροδότῳ πρωτοτυπία τοῦ τειχίζειν ἐστίν. (v. 172—4) Ὅτι καὶ περὶ τῶν δώρων παραινῶν Ὀδυσσεύς φησι· τὰ δὲ δῶρα ὁ βασιλεὺς «οἰσέτω ἐς μέσσην ἀγορήν, ἵνα πάντες Ἀχαιοὶ ὀφθαλμοῖσιν ἴδωσι». τοῦτο δὲ λέγει, οὐχ' ἵνα μὴ Ἀχιλλεὺς ὕστερον εἴπῃ μὴ λαβεῖν, ἀλλ' ἵνα μὴ πάνυ πολλὴν χάριν εἰδεῖεν οἱ Ἕλληνες τῷ Ἀχιλλεῖ, ὡς καὶ ἐπὶ δώροις ἰδοὺ μαχομένῳ, καὶ ἵνα ὄφλωσι τῷ βασιλεῖ εὐγνωμοσύνην, ὡς μὴ φιλοκτεάνῳ, ἀλλὰ δι' αὐτοὺς τοιαῦτα καὶ τοσαῦτα δωρησαμένῳ. ἄλλως μέντοι δέοντως τὴν αἰτίαν ταύτην ἐπισκιάζων ὁ ῥήτωρ φησὶν «ἵνα φρεσὶ σῇσιν ἰανθῇς», ὦ Ἀχιλλεῦ, ὡς ἡδὺ ὂν τὸ ἐπὶ πολλῶν τιμώμενον φαίνεσθαι. (v. 175—8) Ἀπαιτεῖ δὲ καὶ ὀμόσαι τὸν βασιλέα περὶ τῆς Βρισηΐδος, ἵνα τῷ Ἀχιλλεῖ ὁ θυμὸς ἵλαος ἔσται. (v. 179 s.) Εἶτα λέγει καὶ δαιτὶ θεραπεῦσαι αὐτόν, ἵνα μηδέν τι δίκης ἐνδέοι, ἀλλὰ τὰ μὲν δῶρα δοθῶσιν ὡς εἰς ἄποινα ἢ καὶ ἐπὶ ἀμύνῃ, ὁ δ' ὅρκος γένηται διὰ τὴν ἐρωμένην, ἡ δὲ ἑστίασις διὰ τὴν ὕβριν. (v. 175—80) Φησὶ γὰρ «ὀμνυέτω δέ τοι», ἤγουν σοὶ τῷ Ἀχιλλεῖ ὁ βασιλεύς, «ὅρκον ἐν Ἀργείοισιν ἀναστὰς μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι, ᾗ θέμις ἐστὶν ἄναξ, ἤ τ' ἀνδρῶν ἤ τε γυναικῶν. καὶ δὲ σοὶ αὐτῷ θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω. αὐτὰρ ἔπειτά σε δαιτὶ ἐνὶ κλισίῃς' ἀρεσάσθω πιείρῃ, ἵνα μή τι δίκης ἐπιδευὲς ἔχῃσθα». (v. 181—3) Εἶτα καὶ πρὸς τὸν Ἀτρείδην ἀποτεινόμενός φησίν «Ἀτρείδη, σὺ δ' ἔπειτα δικαιότερος καὶ ἐπ' ἄλλῳ ἔσσεαι. οὐ μὲν γάρ τι νεμεσσητὸν βασιλῆα ἄνδρ' ἀπαρέσασθαι, ὅτε τις πρότερος χαλεπήνῃ».

4.309 (v. 184—6) Καὶ ἐπὶ τούτοις ὁ Ἀγαμέμνων, πεπαιδευμένος γὰρ ὁ ἀνήρ, χαίρει καὶ ἐπαινεῖ τὸν ῥήτορα εἰπὼν «χαίρω σεῦ, Λαερτιάδη, τὸν μῦθον ἀκούσας· ἐν μοίρῃ γὰρ πάντα διΐκεο καὶ κατέλεξας». καὶ μετ' ὀλίγα κάπρον ταμὼν ὄμνυσιν, ὡς εἰρήσεται. (v. 183) Ὅρα μὲν ὅτι πρὸ μικροῦ μὲν παρεσημειώθη ἐνεργητικῶς ῥηθὲν τὸ «ἂψ ἐθέλω ἀρέσαι», ἐνταῦθα δὲ παθητικῶς ἀπαρέσασθαι καὶ ἀπαρεσάσθω. δηλοῦται δὲ καὶ νῦν διὰ τούτων τὸ εἰς φιλίαν συναρμοσθῆναι. οὕτω δὲ πρὸ ὀλίγου καὶ πειρήσω εἶπεν ἐνεργητικῶς, καὶ πειρήσομαι παθητικῶς. Ὅρα δὲ καὶ τὸ «ἄνδρ' ἀπαρέσασθαι», αὐτὸ μὲν γὰρ ἐλλιπῶς ἔχειν δοκεῖ, τὸ δὲ «ἀπαρέσασθαι δαιτί» ἢ τοιούτοις τισὶν ἐντελὲς εἶναι καὶ ἀνελλιπές. Ἰστέον δὲ καὶ ὡς ἐκ τοῦ Ὁμηρικοῦ ἀρέσασθαι καὶ πέμματά τινα ἱερὰ λέγεσθαί φησιν Αἴλιος Διονύσιος ἀρεστῆρας, δι' ὧν ἔστι δηλαδὴ πρὸς τὸ θεῖον ἀρέσασθαι. (v. 174) Ὅρα δὲ καὶ ἐν τούτοις τὸ «ὀφθαλμοῖς ἴδωσι», τὰ δῶρα δηλαδή. νῷ γὰρ καὶ φαντασίᾳ καὶ πρὸ τῆς σήμερον ἔβλεπον τὰ τοιαῦτα οἱ Ἀχαιοί, ὡς μαθόντες ὑπεσχημένα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ Ἀχιλλεῖ πρὸς τοῦ βασιλέως αὐτά. (v. 176) Τὸ δὲ «μή ποτε τῆς εὐνῆς» καὶ ἑξῆς ὁ ὅλος στίχος, καὶ ἐν ταῖς Λιταῖς κεῖται, ὁ δὲ μετ' αὐτὸν οὐχὶ ὅλος, ἀλλ' ἐκ μέρους. ἐκεῖ μὲν γὰρ οὕτω «ἣ θέμις ἀνθρώπων πέλει ἀνδρῶν ἠδὲ γυναικῶν», ἐνταῦθα δὲ «ἣ θέμις ἐστὶν ἄναξ ἤ τ' ἀνδρῶν ἤ τε γυναικῶν», ἀντὶ τοῦ ἢ ἀνδρῶν προκαταρξάντων ἔρωτος ἢ ὁμοίως γυναικῶν. καὶ ἄλλως δέ, θέμις ἡ τῶν ἀνδρῶν τε καὶ ἡ τῶν γυναικῶν. ἐν τούτοις δὲ καὶ τὸ «ἣ θέμις ἐστὶν» ἀντὶ τοῦ καθὰ θεμιτόν, ἢ ἀντὶ τοῦ ἥτις δίκη ἐστίν. Ἰστέον δ' ἐνταῦθα καὶ ὅτι οὐ διασαφεῖ ὁ ῥήτωρ ποίαν λέγει ταύτην εὐνήν, ἢ διὰ τὸ πᾶσι δῆλον ἢ καὶ διότι ὀκνεῖ προφέρειν λόγῳ τὴν αἰτίαν τοσούτων φόνων Βρισηΐδα. (v. 177) Ἀμφίβολον δέ ἐστιν, εἴτε προτακτικὸν ἄρθρον τὸ της , ἐν τῷ «τῆς εὐνῆς ἐπιβήμεναι», εἴτε ὑποτακτικὸν ἀντὶ τοῦ ταύτης. (v. 179 s.) Δαῖτα δὲ λέγει πίειραν τὴν διὰ τοῦτο καὶ θάλειαν. [Ἰστέον δὲ ὅτι τοῦ πιείρη προϋπάρχει ἀρσενικὸν πίηρ πίερος, οὗ θηλυκὸν ἀναγκαίως πίειρα. ἄχρηστον δὲ τῇ συνηθείᾳ ὁ πίηρ, ὥσπερ καὶ ὁ πῖος, ἐξ οὗ πιότατος. χρηστότερον δὲ τούτων ὁ πίων τοῦ πίονος. Τὴν δέ, ὡς ἐρρέθη, δαῖτα θάλειαν Σέλευκος δίαιταν εἶναι βούλεται, στοιχείου μεταθέσει. τὸ δὲ ἀπὸ τοῦ δαίσασθαι εἶναι αὐτὴν βιαιότερον λέγει.] (v.

4.310 181) Τὸ δὲ «δικαιότερος καὶ ἐπ' ἄλλῳ ἔσσεαι» ἢ ἀντὶ τοῦ δίκαιος ἁπλῶς ἔσῃ οὐ μόνον ἐπὶ τῷ μεγάλῳ Ἀχιλλεῖ, ἀλλὰ καὶ εἴ τινα ἄλλον βλαβέντα χρὴ βασιλικῶς ἀπαρέσασθαι, ἢ καὶ ἄλλως, σὺ δὲ οὕτω παθὼν ἐπὶ τῷ Ἀχιλλεῖ μεταμαθήσῃ τὸ ἀδικεῖν καὶ ἔσῃ τοῖς ἄλλοις δίκαιος, πείρᾳ γνοὺς καλὸν εἶναι τὸ δικαιοπραγεῖν. (v. 182) Ἐν δὲ τῷ «βασιλῆα» ἢ λείπει πρόθεσις, ἵνα ᾖ «οὐ μὲν γάρ τι νεμεσητὸν εἰς βασιλῆα», καὶ ἑξῆς, ἢ καὶ ἄλλως λέγει, ὡς οὐ νεμεσητὸν τὸν βασιλέα φιλιοῦσθαι, ὅτε τις χαλεπήνῃ. εἶχε δὲ Ὅμηρος φράσαι, εἴπερ ἤθελε, καὶ «οὐ γάρ τι νεμεσσητὸν βασιλῆϊ». (v. 185) Ἐν δὲ τῷ «χαίρω τὸν μῦθον ἀκούσας» ἢ κατ' ἐξοχὴν εἶπε μετὰ ἄρθρου τὸν μῦθον, ὡς πρωτεύοντα ἐν ἑτέροις λόγοις, ἢ περιττῶς κεῖται τὸ ἄρθρου τὸν μῦθον, ὡς πρωτεύοντα ἐν μῦθον ἔειπες».] Ὅρα δὲ καί, ὅπως γνωμικῶς διδάσκει Ὀδυσσεὺς τὸν βασιλέα αὐτὸν φιλιοῦσθαί τινι, ὃν αὐτὸς προκατάρξας ἐλύπησε, καὶ ὅπως παρῳδήσας τὸ «ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ», εἶπε τὸ «ἄνδρ' ἀπαρέσασθαι» καὶ ἑξῆς, καὶ ὡς τὸ «χαίρω σου τὸν μῦθον ἀκούσας. πάντα γὰρ ἐν μοίρῃ διΐκεο καὶ κατέλεξας» ἔπαινός ἐστιν ἀγαθῆς παραινέσεως, ἥτις εὖ τὰς ἐννοίας ἐμέρισε. τοῦτο γὰρ ἡ μοῖρα δηλοῖ. ἔνθα καὶ τὸ μὲν «διΐκεο» ταὐτόν ἐστι τῷ διῆλθες, τὸ δὲ «κατέλεξας» ἀντὶ τοῦ ἐμέτρησας. οὐ γὰρ δοκεῖ τισιν οὐδὲ νῦν τὸ λέγειν ἐπὶ τοῦ εἰπεῖν κεῖσθαι παρὰ τῷ ποιητῇ. Ὅρα δὲ καὶ ὅτι εἰ καὶ ὀψέ, ὅμως ἐπείσθη δωρητὸς γενέσθαι καὶ ὁ Ἀχιλλεὺς ὑπακούσας τῷ διδάξαντι. (v. 187 s.) Ὅτι ἐν τῷ «ταῦτα δ' ἐγὼν ἐθέλω ὀμόσαι, κέλεται δέ με θυμός, οὐδ' ἐπιορκήσω πρὸς δαίμονος», τὸ «πρὸς δαίμονος» οἱ μέν φασιν ὅμοιον εἶναι τῷ μὰ τὸν θεόν, οἱ δὲ ἀντὶ τοῦ ἔμπροσθεν θεοῦ, ὁμοίως τῷ «πρός τε θεῶν μακάρων, πρός τε θνητῶν ἀνθρώπων».

4.311 ἔστι δ' ἐνταῦθα κάλλιον ὑπερβατικῶς ἀναγνῶναι ἐθέλω ὀμόσαι πρὸς δαίμονος. (v. 189) Ἰστέον δὲ ὅτι καὶ ὧδε κεῖται τὸ «ἐπειγόμενός περ Ἄρηος» κατὰ γενικὴν σύνταξιν. (v. 188—91) Λαβὼν γὰρ ὁ βασιλεύς, ἐξ ὧν πρὸ ὀλίγου ἔφη Ὀδυσσεύς, φησὶν «αὐτὰρ Ἀχιλλεὺς μιμνέτω αὖθι τέως ἐπειγόμενός περ Ἄρηος». μενεῖ δὲ διὰ τὰ δῶρα. ἐπάγει οὖν «μίμνετε δ' ἄλλοι πάντες ἀολλέες», ἐπὶ τιμῇ δηλαδὴ τοῦ Ἀχιλλέως, «ὄφρα κε δῶρα ἐκ κλισίης ἔλθῃσι καὶ ὅρκια πιστὰ τάμωμεν», ὅ ἐστι δι' ἐντομῆς θυμάτων ποιήσωμεν, (v. 197) ὡς δηλοῖ ἐπαχθὲν τὸ «κάπρον ταμέειν Διΐ τ' Ἠελίῳ τε». (v. 193) Ὅτι ἐν δυσὶ τόποις κούρητας οἴσοντας Ἀχιλλεῖ τὰ δῶρα ἐνταῦθα λέγει τοὺς νέους, ὅπερ Ἡρῳδιανὸς ἀναγινώσκει τῷ τόνῳ ὡς πένητας, κλίνων ὡς ἰαμβικὸν ἀπὸ τοῦ κόρος, ὁ νέος, κόρης κόρητος. τὸ μέντοι ἔθνος Κουρῆτας ὡς ἀδμῆτας. εἰσὶ δὲ οὓς λέγει ὧδε κούρητας οἱ Νεστορίδαι καὶ ὁ Μέγης καί τινες ἄλλοι τοιοῦτοι. Ἔνθα ὅρα ὡς διὰ τὸ Ἀχιλλέως ἀξίωμα εὐγενεῖς ἄνδρες καὶ ἀριστεῖς, οἱ καὶ θεράποντες πρὸ τούτων ῥηθέντες, ὑπουργοῦσι τῇ τῶν δώρων κομιδῇ, ἐν οἷς καὶ αὐτὸς ὁ καὶ λογιώτατος καὶ πρακτικώτατος Ὀδυσσεύς. (v. 192—7) Ὧι καὶ περὶ δώρων καὶ λοιπῶν κατὰ θάρρος φιλικὸν λαλῶν ὁ βασιλεύς φησι «σοὶ δ' αὐτῷ τόδ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐγὼν ἐπιτέλλομαι ἠδὲ κελεύω, κρινάμενος κούρητας ἀριστῆας Παναχαιῶν, δῶρα ἐμῆς παρὰ νηὸς ἐνεγκέμεν ὅσσ' Ἀχιλῆϊ χθιζὸν ὑπέστημεν δώσειν, ἀγέμεν δὲ γυναῖκας. Ταλθύβιος δέ μοι ὦκα κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν κάπρον ἑτοιμασάτω ταμέειν», ὡς εἴρηται. (v. 193) Καὶ ὅρα τὸ «κρινάμενος», ἤτοι ἐπιλεξάμενος.

4.312 κριτοὶ γὰρ καὶ λογάδες οἱ νῦν κούρητες. ἀριστῆες γὰρ Παναχαιῶν. (v. 195) Τὸ δὲ «χθιζὸς ὑπέσχετο» τὸ πρὸς Ὀδυσσέα πρὸ ὀλίγων ῥηθὲν ἐνταῦθα «χθιζὸν ὑπέστημεν» λέγει, ἐπιρρηματικῶς τε εἰπὼν τὸ «χθιζόν», εἰ καὶ εἶχεν εἰπεῖν «χθιζοί», καὶ πληθυντικῶς τὸ «ὑπέστημεν». κοινὴ γὰρ ἡ ὑπόσχεσις, Ἀγαμέμνονος μὲν εἰπόντος, ἃ δώσει, Ὀδυσσέως δὲ ἀπαγγείλαντος τῷ Ἀχιλλεῖ ἐν ταῖς Λιταῖς. Τὸ δὲ «ἀγέμεν» οἰκεῖον ἐπὶ γυναικῶν, καθὰ τὸ ἐνεγκέμεν ἐπὶ δώρων. (v. 196) Τὸ δὲ «κατὰ στρατόν» θεραπεία ἐστὶν Ἀχιλλέως, εἰ ἐπὶ τοσούτων τιμᾶται. [(v. 194) Ἰστέον δὲ ὅτι τὸ «δῶρα ἐμῆς παρὰ νηὸς ἐνεγκέμεν», ἤγουν ἔνεγκε, γράφεται καὶ «δῶρα δ' ἐμῆς παρὰ νηός» εἰς θεραπείαν χασμῳδίας. καὶ κεῖται ὁ δέ σύνδεσμος ἀπόλυτος ἀντὶ τοῦ δη . ἡ δὲ ποικιλία τῶν ἀπαρεμφάτων οὐ μόνον ἐν τῷ ἐνεγκεῖν καὶ ἐνεγκέν καὶ ἐνεγκέμεν καὶ ἐνεγκέμεναι καὶ τοῖς ὁμοίοις, ἀλλὰ καὶ ἐν τῷ ἀγαπᾶν καὶ ἀγαπῆν καὶ τοῖς τοιούτοις, ὧν καὶ τὸ ζῆν καὶ πεινῆν. μέρος δὲ ποικιλίας τοιαύτης καὶ τὰ εἰς ναι , ἐν οἷς καὶ τὸ χρῆναι καὶ ἀποχρῆναι, ὃ καὶ ἀποχρῆν εὕρηται ἐν τοῖς τοῦ Ἀθηναίου, οἷον· «τῷ γὰρ μὴ ἀποχρῆν ἀποθανεῖν αὐτοῖς ἁλοῦσι». καὶ ἴσως αὐτὸ ἀποκοπὴν ἔπαθεν ἐκ τοῦ ἀποχρῆναι, ὡς καὶ τὸ χρῆν παρὰ Σοφοκλεῖ ἐκ τοῦ χρῆναι, οἷον «πότερα τὸ χρῆν σφ' ἐπήγαγ' ἀνθρωποκτονεῖν»; εἰ δὲ καὶ ἐκ τοῦ χρῇ, ὅ ἐστι μαντεύεται οὗ χρῆσις ἐν τῷ «χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος» ἐστὶν ἀπαρέμφατον χρῆν, ὁ εὑρὼν αὐτὸ εἰδείη ἄν. Ὅτι δὲ οὐ μόνον οἱ ῥηθέντες κούρητες, ἀλλὰ καὶ πάντες οἱ ἥρωες ἐπετήδευον τὴν αὐτοδιακονίαν ἐκδηλότατόν ἐστιν.

4.313 ἐκαλλωπίζοντο γάρ, φασί, τῇ καὶ ἐν τοῖς τοιούτοις εὐστροφίᾳ. Πάτροκλος οὖν καὶ Ἀχιλλεὺς καὶ Αὐτομέδων τοῖς πρέσβεσιν ἐν ταῖς Λιταῖς πάντα εὐτρέπισαν, καὶ Μενελάου τελοῦντος γάμους ὁ νυμφίος οἰνοχοῶν ἦν. καὶ Ὀδυσσεὺς δέ που δαιτρεῦσαι καὶ ὀπτῆσαι καὶ τὰ ἑξῆς δεξιώτατος εἶναί φησιν.] (v. 198—214) Ὅτι τοῦ βασιλέως εἰπόντος, ἃ προσεχῶς εἶπε, τοῦ δὲ Ὀδυσσέως ἀναθέντος ἤδη τῷ Ἀχιλλεῖ ὡς πολεμικῷ τὰ τῆς μάχης καὶ εἰπόντος «ἀλλ' ἄγε, λαὸν μὲν σκέδασον καὶ δεῖπνον ἄνωχθι ὅπλεσθαι», ὁ Ἀχιλλεὺς ἄλλον μὲν εἶναί φησι καιρὸν τῶν τε ἄλλων καὶ τοῦ ἐς βρωτὺν ὀτρύνειν, ἤγουν εἰς δεῖπνον. «νῦν δέ», φησίν, «ἀνώγοιμι πολεμίζειν υἷας Ἀχαιῶν νήστιας, ἀκμήνους, ἅμα δ' ἠλίῳ καταδύντι τεύξεσθαι μέγα δόρπον, ἐπὴν τισαίμεθα λώβην», ἣν δηλαδὴ ὀφείλουσιν ἡμῖν οἱ Τρῶες. «πρὶν δ' οὔ πως ἂν ἔμοιγε φίλον κατὰ λαιμὸν ἰείη», ὅ ἐστι πορευθείη, πεμφθείη, «οὐ πόσις οὐδὲ βρῶσις, ἑταίρου τεθνειῶτος, ὅς μοι ἐνὶ κλισίῃ δεδαϊγμένος ὀξέϊ χαλκῷ κεῖται ἀνὰ πρόθυρον τετραμμένος, ἀμφὶ δ' ἑταῖροι μύρονται. τό», ἤγουν διό, «μοι οὔ τι μετὰ φρεσὶ ταῦτα μέμηλεν», ἤτοι δῶρα καὶ γυναῖκες καὶ ὅρκος καὶ δεῖπνον, «ἀλλὰ φόνος τε καὶ αἷμα καὶ ἀργαλέος στόνος ἀνδρῶν». ὡς ἀληθεύει ἐνταῦθα ἐπ' αὐτῷ τὸ «αἰεὶ γάρ τοι ἔρις τε φίλη» καὶ ἑξῆς, ὃ φθάσας ὁ βασιλεὺς ἔσκωψε κατ' αὐτοῦ. καὶ οὕτω μὲν ὁ Ἀχιλλεὺς συμπαρατείνων ἑαυτῷ εἰς καρτερίαν καὶ τοὺς Ἀχαιοὺς ὡς πολέμαρχος, ἀντερεῖ δὲ Ὀδυσσεὺς κατωτέρω ἄριστα. (v. 199—205) Ἰστέον δὲ ὅτι χρήσιμα τοῖς γράφουσι καί, ἃ πρὸ τούτων κεῖνται τῷ Ἀχιλλεῖ, εἰπόντι «Ἀτρείδη, ἄλλοτέ περ καὶ μᾶλλον ὀφέλλετε ταῦτα πένεσθαι, ὁππότε τις μεταπαυσωλὴ πολέμοιο γένηται καὶ μένος οὐ τόσον ᾖσιν», ὅ ἐστιν ὑπάρχει, «ἐνὶ στήθεσσιν ἐμοῖσι. νῦν δ' οἳ μὲν κέαται δεδαϊγμένοι, οὓς ἐδάμασεν Ἕκτωρ, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν», εὐτυχοῦντι δηλαδή, «ὑμεῖς δ' ἐς βρωτὺν ὀτρύνετον», καὶ ἑξῆς, τὰ προγραφέντα. Ἐν τούτοις δὲ πᾶσιν ἀποδέχεται μὲν ὁ ἥρως τὰ τοῦ βασιλέως καὶ τοῦ Ὀδυσσέως, παρακαίρια δὲ αὐτὰ εἶναι κρίνει. (v. 201 s.) Ἔστι δ' ἐν τούτοις μεταπαυσωλή μὲν συνθέτως ἡ παῦσις, ἣν ἀλλαχοῦ ἔφη ἀνάπνευσιν Ὅμηρος, μένος δὲ θυμὸς ἀκμάζων ἄρτι μάλιστα ἐν τῷ ἥρωϊ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4.314 (v. 205) Ἡ δὲ βρωτύς Ἰώνων ἐστὶ σχηματισμός, ὡς καὶ ἡ ἐδητὺς καὶ ἡ ὀτρυντύς, ἤτοι ὁ ἐρεθισμὸς ὁ ἐκ τοῦ παροτρύνειν, καὶ ἡ κτιστύς, ἤτοι ἡ τοῦ κτιζομένου ποίησις, κτιστὺν γοῦν Μιλήτου φησὶν Ἡρόδοτος. [Ἡ μέντοι βρῶσις κοινόν ἐστιν. Ἀστείως δὲ ὁ Ἀχιλλεὺς τὸ πρὸ τῆς μάχης δεῖπνον εἰς βρωτὺν καὶ βρῶσιν μετέλαβε, καὶ ἴσως καθάπτεται τοῦ Ὀδυσσέως, ἐφ' οἷς πρὸ τῆς μάχης κορέσασθαι συνεβούλευσεν οἴνου καὶ ἐδωδῆς.] Τὸ δὲ «ὀτρύνετον» ἔχει τι βάρος τῷ ἥρωϊ, ἀχθομένῳ εἰ μόνοι οὗτοι δύο, ὁ βασιλεὺς καὶ Ὀδυσσεύς, ἐπέχουσι τῆς μάχης αὐτόν. Ὅρα δὲ ὅτι πρὸ μικροῦ μὲν ἰδίᾳ εἶπεν Ὀδυσσεὺς τὸ νήστιας καὶ ἰδίᾳ τὸ ἀκμήνους, ἐνταῦθα δὲ Ἀχιλλεὺς ὁμοῦ τὰ δύο ἀσυνδέτως παρέθετο, προϊὼν δὲ ἐρεῖ «ἄκμηνος καὶ ἄπαστος», ὡς εἶναι ταὐτὸν κατὰ πολυωνυμίαν τὸ νῆστις, ἄκμηνος, ἄπαστος, ὃν καὶ ἀπόπαστον λέγει ὁ Ὀππιανός. (v. 207) Ἰστέον δὲ ὅτι ὁμώνυμον ὄνομα καὶ τὸ νῆστις. λέγεται γὰρ νῆστις καί τι μεταξύ, φασί, κοιλίας καὶ στομάχου ἔντερον. καὶ Σικελικὴ δέ τις, φασί, θεὸς Νῆστις ἐλέγετο. Σημείωσαι δὲ καὶ ὅπως ἔδειξε φανερῶς, τί ἐστι δόρπον, εἰπὼν «ἅμα δ' ἠελίῳ καταδύντι τεύξεσθαι δόρπον». (v. 208) Οὐδετέρως δὲ εἶπε. φησὶ γὰρ «μέγα δόρπον», τοῦτο δὲ ὡς πρὸς τὸ δεῖπνον διαστέλλει. αὐτὸ γὰρ οὐ μέγα διὰ τὴν σπουδὴν τὴν εἰς τὸν πόλεμον. τὸ μέντοι δόρπον μέγα γίνεται διὰ τὴν ἄδειαν. [Καὶ ἔστι καὶ αὐτὸ σκωπτικὸν τοῦ «κορεσσάμενος πολεμίζῃ», ὡς μὴ δέον ὂν κατὰ τὸν λόγον τοῦ Ὀδυσσέως ἐν δείπνῳ μικρῷ τῷ πρὸ μάχης κορέσασθαι, ἀλλ' ὕστερον ἐν ἀδείᾳ δόρπου. ἔχει δὲ ὁ λόγος καὶ σεμνότητα ἡρωϊκήν, οἷα σήμερον πρὸς ἑσπέραν ἀδειάσοντος τοῦ Ἀχαϊκοῦ στρατοῦ εἰς τὸ τεύξεσθαι μέγα δόρπον.

4.315 ] (v. 209) Φίλος δὲ λαιμός, ὡς καὶ φίλαι χεῖρες καὶ ἕτερα προσεσημειωμένα. (v. 210) Ἐν δὲ τῷ «οὐ πόσις οὐδὲ βρῶσις» προέθετο, ὡς καὶ ἐν ἄλλοις, τὴν πόσιν τῆς βρώσεως, οὕτω ποιῶν ὡς ἐπὶ πολύ. ἐρεῖ γὰρ καὶ κατωτέρω «πόσιος καὶ ἐδητύος», μετ' ὀλίγα μέντοι «σίτοιο καὶ ποτοῖο». (v. 212) Τὸ δὲ «κεῖται ἀνὰ πρόθυρον τετραμμένος», ἤγουν εἰς τὸ πρόθυρον ὁρῶν, ἔθος διδάσκει παλαιόν, οἷα ἔθους ὄντος οὕτω προτίθεσθαι τοὺς νεκρούς, ὡς ἐπὶ ἐξόδῳ τοῦ βίου γεγονότας. (v. 213 s.) Ἰστέον δὲ καὶ ὅτι ὁ πρὸ ἔργου παντὸς σπεύδων εἰς κίνδυνον ἐρεῖ ἂν «οὔ μοι μετὰ φρεσὶ ταῦτα μέμηλεν, ἀλλὰ φόνος τε καὶ αἷμα καὶ ἀργαλέος στόνος ἀνδρῶν». ἔνθα καιρία παρίσωσις τὸ φόνος καὶ στόνος. [(v. 209) Ἰστέον δὲ ὅτι τὸ «πρὶν δ' οὔ πως ἂν ἔμοιγε φίλον κατὰ λαιμόν» καὶ ἑξῆς, κατὰ σχῆμα συγχωρήσεως ἔφη ὁ Ἀχιλλεύς, ὡς τοῖς μὲν ἄλλοις ἀφιεὶς δειπνῆσαι πρὸ μάχης διὰ τὸ κοινὸν ἔθος, αὐτὸς δὲ ἄσιτος ἐθέλων διατελέσαι πανημέριος μαχόμενος διὰ τὸν Πάτροκλον.] (v. 215—20) Ὅτι πρὸ ὀλίγου μὲν ὁ Ἀχιλλεὺς ἠξίου αἶψα τοὺς Ἀχαιοὺς εἰς μάχην ἐξελθεῖν καὶ μὴ κλοτοπεύειν καὶ διατρίβειν, ὅτε καὶ αἰσθόμενος Ὀδυσσεὺς ὡς ἀδείπνους ἐκεῖνος βούλεται τοὺς Ἕλληνας εἰς μάχην ἐξαγαγεῖν, ἀντεῖπεν ὅσα ἔδει. ἐπεὶ δὲ ὁ Ἀχιλλεὺς σαφέστερον ἐξήνεγκεν ὃ ἐβούλετο, ἐνταῦθα δὴ καὶ Ὀδυσσεὺς παρρησιάζεται λαμπρότερον καί φησιν «ὦ Ἀχιλλεῦ, Πηλέος υἱέ, μέγα φέρτατε Ἀχαιῶν, κρείσσων εἷς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ ἔγχεϊ, ἐγὼ δέ κε σεῖο νοήματί κεν προβαλοίμην πολλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα. τῷ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσι». Καὶ ὅρα τὸ ἀξίωμα τοῦ βουλευτοῦ καὶ τὸν ἑαυτοῦ καίριον καὶ ἀνεμέσητον ἔπαινον. Καὶ σημείωσαι, ὅπως ὁ Ἀχιλλεὺς ἀνέχεται ἀληθοῦς ἐπαινέτου ἀκούων, οὐ πᾶσαν ἀρετὴν προσμαρτυροῦντος αὐτῷ, ἀλλ' ἔστιν ἃ καὶ μεμφομένου. οἶδε γὰρ ὡς οὐ πάντα πᾶσιν ὁ θεὸς δίδωσι, καὶ ὡς «ἡ ἐμπειρία ἔχει τι λέξαι τῶν νέων σοφώτερον». καὶ αὐτὸς δὲ πρὸ μικροῦ ἑαυτὸν ἐπαινῶν ἔφη ἀνδρειότατος εἶναι ἐκ πολέμῳ, ἐν ἀγορᾷ δὲ καὶ ἄλλους εἶναι ἀμείνονας, ὧν δή πού ἐστι καὶ Ὀδυσσεύς. καὶ οὕτω μὲν ἐνταῦθα γίνεται. ἐπὶ μέντοι Ἕκτορος καὶ Πολυδάμαντος οὐχ' ὁμοίως ἦν. ἐκεῖ γὰρ ὁ βάρβαρος Ἕκτωρ οὐ θέλει τοῦ σοφωτέρου ἀκούειν, ἀλλὰ καὶ θάνατον ἀπειλεῖται, εἰ ἐναντιώσεται.

4.316 ποιεῖ δὲ τοῦτο ἐκεῖ ὁ Ἕκτωρ, διότι οὐ προέχει χρόνῳ αὐτοῦ ὁ Πολυδάμας. ὅθεν οὐδὲ ἔχει πρὸς τὸν Ἕκτορα εἰπεῖν, ὅτι «πρότερος γενόμην καὶ πλείονα οἶδα». σύγχρονοι γὰρ ἀμφότεροι, ἐν μιᾷ γενόμενοι νυκτὶ κατὰ τὴν Ὁμηρικὴν ἱστορίαν. Ὅρα δὲ καὶ τὴν μεταχείρησιν τοῦ προοιμίου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἵνα μὲν γὰρ καταιδέσῃ τὸν Ἀχιλλέα ὁ σοφὸς Ὀδυσσεὺς κατὰ πολύ φησιν ὑπερβάλλειν ἐκεῖνον τῷ νοήματι, ἵνα δὲ αὖ μὴ λυπήσῃ τὸν ἀριστέα, οὐ προβάλλεται νοὸς ὀξύτητα καὶ εὐφυΐαν, ἀλλὰ τὸ ἀφθόνητον γῆρας καὶ τὴν ἐντεῦθεν πολυπειρίαν, ὡς καὶ τοῦ Ἀχιλλέως δυναμένου μὲν τοιούτου ἔσεσθαι, εἴπερ εἰς ὅμοιον γῆρας ἐλάσει, οὔπω δὲ τοιούτου ὄντος. ἐπεὶ δὲ ὅμως καὶ ταῦτα ἐλαττοῖ τὸν Ἀχιλλέα ὡς ἥττονα τοῦ Ὀδυσσέως, φθάνει αὐτὸν εἰπὼν μέγα φέρτατον τῶν Ἀχαιῶν. Διὸ καὶ πολέμαρχος προὐβέβλητο. ἔφη δὲ αὐτὸν καὶ ἑαυτοῦ φέρτερον οὐκ ὀλίγον, ἀλλὰ δηλαδὴ κατὰ πολύ, ὥσπερ αὖ πάλιν αὐτὸς πολλὸν ὑπερβάλλει ἐκεῖνον νοήματι, ἤγουν ἐν τῷ νοεῖν. καὶ οὕτω τῇ ἀνδρίᾳ μὲν ὑποπεσὼν ὁ Ὀδυσσεύς, τῇ δὲ φρονήσει ὑπεραναβάς, πείθει τὸν Ἀχιλλέα προσέχειν αὐτῷ. (v. 218) Τὸ δὲ «προβαλοίμην» ἀντὶ τοῦ ὑπερβαλοίμην φησίν, ὥσπερ καὶ πρόφρων ὁ ὑπέρφρων, καὶ «πρὸ παίδων καὶ γυναικῶν» ἀντὶ τοῦ ὑπὲρ παίδων καὶ γυναικῶν. Ἔνθα καὶ ὅρα τὸ καινὸν τῆς συντάξεως. γενικῇ γὰρ συντάξει τὸ προβαλοίμην. «νοήματι γάρ σου προβαλοίμην» φησί. καὶ ἴσως κάλλιον ἑαυτῆς εἶναι τὴν πρόθεσιν καὶ μὴ ληφθῆναι ἀντὶ τῆς ὑπερ , ἵνα λέγῃ Ὀδυσσεὺς ὅτι πρὸ τοῦ Ἀχιλλέως βαλοίμην, ἤτοι ἐπιτυχὴς γενοίμην, ἐν τῷ νοήματι ὥσπερ αὖθις σὺ πρὸ ἐμοῦ βάλοιο ἂν τῷ ἔγχεϊ. βάλλειν γὰρ καὶ τὸ ἁπλῶς ἐπιτυγχάνειν, ὅθεν καὶ νηὸς ἐπήβολος ἐν Ὀδυσσείᾳ. (v. 220) Τὸ δὲ «ἐπιτλήτω» εὖ συντάσσεται δοτικῇ κατὰ τὸ ἐπιμεινάτω. τὸ μέντοι τλήτω αἰτιατικὴν ἔχει σύνταξιν. δεινότατα δὲ προέταξε μὲν Ὀδυσσεὺς τὸν τοῦ Ἀχιλλέως ἔπαινον, ὑπέταξε δὲ τὸν ἑαυτοῦ, ἵνα θελχθεὶς ὁ φιλότιμος νεανίας οἷς καλῶς ἤκουσε, πεισθείη τῷ εὐλογήσαντι.

4.317 Σημείωσαι δὲ καὶ ὅπως δυσὶ τόποις ὁ ποιητὴς τὰς αὐτὰς ἐννοίας ἀνεπισφαλῶς ἐμέρισεν, ἤγουν τὴν Ἀχιλλέως εἰς μάχην σπουδὴν δίχα δείπνου καὶ τὴν Ὀδυσσέως ἀντιλογίαν. αἴτιος δὲ ὁ Ἀχιλλεύς, οὕτω μάλα εἰς μάχην ἐνθουσιῶν. Ὅρα δὲ καὶ ὡς ἐν μὲν τῇ βῆτα ῥαψῳδίᾳ ὑπὸ Νέστορος Ὀδυσσεὺς ἥττηται, κρατηθεὶς τὸν περὶ τὰς αὐτὰς ἐννοίας ἀγῶνα, ἐνταῦθα δὲ αὐτὸς ἑαυτὸν παρευδοκιμεῖ, ἀμείνω τὴν δευτέραν δημηγορίαν καὶ στρυφνοτέραν ἐκθέμενος, φιλοτιμησάμενος τοῦτο, ἵνα μὴ τὸν οἰκεῖον ἀπελέγξῃ ἔπαινον. (v. 216—7) Ἔτι ὅρα καὶ ὅτι Ἀχαιῶν μὲν φέρτατον τὸν Ἀχιλλέα εἶπεν, ἑαυτοῦ δὲ φέρτερον οὐκ ὀλίγον, οὐ μὴν φέρτατον. τοῦτο δὲ καὶ Νέστωρ ἂν εἴποι πρὸς τὸν Ἀχιλλέα, καὶ ἕτεροι δὲ τυχόν, ὥστε τὸ «φέρτατος Ἀχαιῶν» ἐπαγωγότερον εἴρηται πρὸς χάριν, καὶ οὐκ εἰς τὸ πᾶν πρὸς ἀλήθειαν. (v. 217) Τὸ δὲ «κρείσσων εἶς ἐμοῦ» δηλοῖ μὲν τὸ ὑπάρχεις, ὡς καὶ ἐν τῷ «τίς πόθεν εἶς ἀνδρῶν»; γίνεται δὲ ἐκ τοῦ εἰμί τροπῇ τῆς μι εἰς σίγμα. [Κρείσσων δὲ καὶ ἐνταῦθα, ὡς καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ, ὁ καθ' ὑπεροχὴν ὑπερφέρων, καὶ οὗπερ οὐκ ἂν περιγένοιτό τις ἕτερος.] (v. 218 s.) Ἰστέον δὲ καὶ ὅτι ἐνταῦθα ἐν τῷ «νοήματι προβαλοίημν πολλόν, ἐπεὶ πρότερος γενόμην» ἀποσπῶσί τινες τὸ «πολλόν» ἐκ τοῦ «προβαλοίμην», καὶ προσάγουσι τοῖς ἑξῆς, λέγοντες «νοήματι προβαλοίμην», καὶ ἐνταῦθα στίζοντες, εἶτα ἐπάγοντες «πολλὸν ἐπεὶ πρότερος ἐγενόμην», ἵνα λέγῃ ὅτι πολὺ εἰμί σου πρότερος, καὶ μὴ οὕτως ὑπεραίρηται τοῦ Ἀχιλλέως ὡς κατὰ πολὺ ὑπερβάλλων νοήματι.

4.318 οἱ μέντοι παλαιοί, ψυχρότητα αἰτιώμενοι τούτου τοῦ λόγου, λέγουσι καὶ ὅτι τὸ πολλόν οὐ προτάσσεσθαι λόγων, ἀλλ' ὑποτάσσεσθαι εἴωθεν, οἷον «ἐπεὶ πολλὸν κείνων ἐπιδεύεαι ἀνδρῶν», καὶ «ἐπεὶ μάλα πολλὰ μεταξύ», καὶ ἐπὶ Ἕκτορος καὶ Πολυδάμαντος «ὃ μὲν μύθοις, ὃ δ' ἔγχεϊ πολλὸν ἐνίκα». (v. 221—4) Ἐπὶ δὲ τοῖς ῥηθεῖσι δεικνὺς Ὀδυσσεὺς ὡς πάνυ καλῶς νοεῖ, ἀκολούθως δὲ καὶ φράζει, στρυφνοῖ τὰ ἐφεξῆς τοῦ λόγου ἐν σχήματι ῥητορικῆς ἀλληγορίας καὶ γνώμης ἀλληγορικῆς οὕτω «αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν, ἧς τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν, ἄμητος δ' ὀλίγιστος, ἐπὴν κλίνῃσι τάλαντα Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται», ὡς καὶ ἀλλαχοῦ κεῖται. μεταβὰς γὰρ ἀπὸ τῆς φυλόπιδος λαλεῖ μὲν ὡς περὶ θερισμοῦ ὁ ποιητής, ἀγορεύει δὲ ὅμως ἄλλο τι, τὰ περὶ τῆς αὐτῆς μάχης δηλαδή. ὃ δὲ λέγει, ἔστι τοιοῦτον· ταχὺ γίνεται κόρος τῆς πάνυ σφοδρᾶς φυλόπιδος, ἐν ᾗ

πολὺς μὲν ὁ πίπτων λαὸς ἐν μάχης τροπῇ, ὀλίγοι δὲ οἱ σῳζόμενοι, ἵνα νοῆται καλάμη μὲν οἱ πίπτοντες καὶ οἷον ἐκθεριζόμενοι, ἄμητος δὲ οἱ περιόντες καὶ ἔτι ζῶντες. ἢ καὶ ἄλλως πλατύτερον καὶ σαφέστερον καὶ κρεῖττον, ἐπεὶ ἄμητος μὲν ὁ καιρὸς τοῦ ἀμᾶν, ἀμητὸς δὲ ὀξυτόνως αὐτὴ ἡ τοῦ ἀμᾶν ἐνέργεια καὶ ὁ τεθερισμένος καρπός, εἰ μὲν ἄμητος προπαροξυτόνως γράψομεν, λέγοι ἂν ὁ Ὀδυσσεύς, οὕτω τροπῆς γενομένης— τοῦτο γὰρ ἡ κλίσις τῶν ταλάντων δηλοῖ—πολλὴ μὲν πεσεῖται καλάμη, ὅ ἐστι σώματα, ἄμητος δέ, ὅ ἐστι καιρὸς τοῦ ἀμᾶν καὶ διώκειν καὶ ἀναιρεῖν, ὀλίγος ἔσται.

4.319 οἱ γὰρ διώκοντες καὶ θερίζοντες ταχὺ κορέννυνται διὰ τὸν λιμόν. ἵνα λέγῃ, ὅτι ἐὰν οὐ προδειπνήσωμεν, ὀλίγον καιρὸν διώξαντες καὶ πολλὰ πολεμίων καταβαλόντες σώματα, ταχὺ κορεσθησόμεθα τοῦ διώκειν. ἢ καὶ ἄλλως εἰπεῖν τὸ αὐτὸ συντομώτερον καὶ σαφέστερον, αἶψα γίνεται κόρος τῆς μάχης, ἧς κλιθείσης ἐν ὀλίγῳ χρόνῳ πολλοὶ πίπτουσι. δεῖ οὖν τηνικαῦτα μὴ λιμώττειν τοὺς μαχητάς. καὶ οὕτω μέν, ἐὰν ὁ ἄμητος προπαροξύνηται. ἐὰν δὲ ὁ ἀμητὸς ὀξυτόνως γράφηται καὶ δηλοῖ τὸν θερισμόν, λέγει ὅτι σύντομος ὁ κόρος τῆς μάχης, ἐν ᾗ πολλοί εἰσιν οἱ ἀναιρούμενοι καὶ ἐκθεριζόμενοι ὡσεὶ καὶ καλάμη πίπτουσα. καὶ ὁ τοιοῦτος θερισμὸς ὀλίγος ἐστίν, ὡς ταχὺ ἀποκαμνόντων τῶν τοιούτων θεριστῶν διὰ τὸν λιμόν. πότε δὲ τοιοῦτος θερισμὸς γίνεται; οὐχ' ὅτε ἀμφοτέροις ἐμπνέει μένος ὁ θεός, ὡς πρὸ μικροῦ εἶπε, καὶ ὅτε ἐπὶ ἴσα τέταται μάχη, καὶ ἴσας ὑσμίνη κεφαλὰς ἔχουσι τὰ στρατεύματα, τότε γὰρ πανημέριος ὁ πόλεμος, [ἐπεὶ «οὐκ ὀλίγον χρόνον ἔσται φύλοπις», καθὰ προερρέθη, «εὖτ' ἂν πρῶτον ὁμιλήσωσι φάλαγγες ἀνδρῶν», καὶ οὔπω δηλαδὴ κλιθῇ τὰ τῆς μάχης,] ἀλλ' ἐπειδάν, φησί, κλίνῃ τάλαντα Ζεύς. ἡ γὰρ πολλὴ τῶν ζώντων ἐκθέρισις καὶ τοσαύτη τῶν νεκρῶν πτῶσις, καὶ οὕτως αἶψα γινομένη, ἐν μετακλίσει μάχης γίνεται, ὅτε καὶ δεῖ μὴ λιμῷ βλάπτεσθαι τοὺς νικῶντας, ὡς ἂν εὐτόνως διώκωσιν. Ἰστέον δὲ ὅτι αὔξεται ἐνταῦθα τὸ τῶν Τρώων φιλόμαχον. εἰ γὰρ αἶψα πέλεται κόρος τῆς σφοδρᾶς μάχης, τίνες ἂν εἶεν οἱ Τρῶες, οὓς μάχης ἀκορήτους εἶπε φθάσας. (v. 222) Σημείωσαι δὲ καὶ ὅτι καλάμην ἐνταῦθα μὲν ἐπὶ σώματος ἀνθρωπείου πεσόντος ἔφη μεταφορικῶς, ἐν Ὀδυσσείᾳ δὲ τὸ ὑπὸ γήρως ἤδη διεφθαρμένον σῶμα καλάμην ὠνόμασε. κυρίως δὲ καλάμαι αἱ τῶν δραγμάτων ῥῖζαι, οὐκέτι καλούμεναι στάχυες μετὰ τὸν θερισμόν, ὅτι μηδὲ σῖτον ἔχουσιν, ὅθεν ὁ στάχυς ἐτυμολογεῖται ὡς οἷον σίταχυς, ἀλλὰ καλάμοις παρονομαζόμεναι δι' ὁμοιότητα.

4.320 καλεῖ δὲ τὴν καλάμην ὁ πολὺς ἄνθρωπος καλαμαίαν, ὡς καὶ ἡ σελήνη σεληναία λέγεται. ἀπὸ δὲ τῆς ῥηθείσης καλάμης καὶ καλαμᾶσθαι τὸ συλλέγειν τὰ λείψανα τῶν τεθερισμένων, ὡς ἐν ῥητορικῷ εὕρηται Λεξικῷ, καὶ καλαμαῖον, φασί, τεττίγιον ἐλάχιστον, καὶ καλάμιον, χρυσοῦν κοσμάριον, κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ὁ τοὺς πλοκάμους περιέχει. αὐτὸ δὲ ἴσως οὐκ ἐκ τῆς καλάμης ἀλλ' ἐκ καλάμου παρωνόμασται. καὶ τὸ ἁπλῶς δέ, φασί, θερίζειν ἀπὸ τῆς αὐτῆς καλάμης καλαμᾶσθαι λέγεται. (v. 223) Τὸ δὲ «ἐπειδὰν κλίνῃ τάλαντα Ζεύς» ἐπιτομή ἐστιν ἐκείνου τοῦ νοήματος, ἔνθα τὸν Δία κῆρας ἐντιθέντα πλάστιγξι καὶ ταλαντεύοντα παρεισήγαγε. δῆλον γάρ, ὅτι ῥοπὴν δηλοῖ τῶν ταλάντων ἡ κλίσις. ἡ δὲ ῥοπὴ ἀπὸ βάρους, ὅπερ καταφέρει τὰς πλάστιγγας. Κῆρες ἄρα κἀνταῦθα νοοῦνται τοῦδε ἢ τοῦδε τοῦ μέρους καθέλκουσαι καὶ κλίνουσαι τὰ τοῦ Διός, ἤτοι τῆς εἱμαρμένης, τάλαντα. Ὅρα οὖν ὅπως ἐκεῖνο τὸ νόημα συντόμως νῦν συνέστρεψεν, ὡς πρὸς εἰδότας λαλῶν. τὸ ταχὺ δὲ πάντως καὶ ὅπῃ τύχῃ ὀξύρροπον καὶ ἄδηλον τοῦ πολέμου ἡ τῶν ταλάντων χρῆσις καὶ κλίσις παραδηλοῖ. καὶ τοιάδε μὲν τὰ τῆς ῥηθείσης γνώμης [πάνυ στρυφνῶς ἐπιτετμημένης, ὡς ὁ πολύνους ῥήτωρ ἐπέκρινεν, ἵνα ἐμφήνῃ, ὡς τοσοῦτον ἀποδέει τοῦ ἐθέλειν χρονοτριβεῖν εἰς κόρον δείπνου, ὥστε καὶ αὐτὴν τὴν δημηγορικὴν φράσιν συντέμνειν πρός τε σπουδὴν καὶ πρὸς ἔνδειξιν τοῦ νοήματι, ὡς ἐρρέθη, προβάλλεσθαι.] (v. 225) Ὀδυσσεὺς δὲ καὶ ταῦτα πρὸς τὸν Ἀχιλλέα φησὶ «γαστρὶ δ' οὔ πως ἔστιν νέκυν πενθῆσαι Ἀχαιούς», ἤτοι πιεσμῷ γαστρὸς καὶ ἀσιτίᾳ. (v. 226 s.) Καὶ τὴν αἰτίαν

ἐπάγων φησὶ «λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα πίπτουσι. πότε κέν τις ἀναπνεύσειε πόνοιο»; ὥστε καθ’ ἑκάστην ἐκροτοῦντο μάχαι. (v. 228—32) Εἶτα ἐπάγει τὸ ἀνθρωπίνως ποιητέον, λέγων «ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν, ὅς κε θάνῃσιν, νηλέα θυμὸν ἔχοντας, ἐπ’ ἤματι δακρύσαντας. ὅσσοι δ’ ἂν πολέμοιο περὶ στυγεροῖο λίπωνται», ἤγουν παραλειφθῶσιν ἐκ μάχης, «μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ’ ἔτι μάλλον ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεί», ὃ πολλαχοῦ τέθειται, μένος ἔχοντες ἐντεῦθεν δηλαδὴ καὶ ἀλκήν, ὡς πρὸ ὀλίγων ἐρρέθη.

4.321 [(v. 231) Καὶ σημείωσαι καὶ ἐνταῦθα καὶ ἐκεῖ, ὅτι τῷ οἴνῳ καὶ τῷ σίτῳ, εἴτ’ οὖν τῇ ἐδητύϊ καὶ τῇ ἐδωδῇ, ἐνθεωρεῖ ὁ ποιητὴς τὴν κατὰ σῶμα ὠφέλειαν. Οἶνος γάρ, φασίν, ἄμικτος ὢν στερεμνίῳ, βλάπτει καὶ ἀπογυιοῖ, κατὰ τὸν Ἕκτορα, εἰπεῖν, καὶ ἀλκῆς λανθάνεσθαι ποιεῖ. διὸ καὶ τοῖς καρδιακοῖς μετὰ οἴνου σιτῶδές τι ἀναμίσγεται πρὸς κατοχὴν δυνάμεως, καὶ τῷ Μαχάονι δὲ μετὰ ἀλφίτου καὶ τυροῦ οἶνος ἀναμιγεὶς προσήνεκτο.] (v. 232) Ὅρα δὲ καὶ τὸ «μαχώμεθα». καὶ ἑαυτὸν γὰρ συνεισάγει ὁ ῥήτωρ, ὡς καὶ αὐτὸς δειπνήσων, ἵνα καὶ τὸν Ἀχιλλέα εἰς τοῦτο προκαλέσηται, εἰ καὶ ἐκεῖνος οὐ πείθεται, [ἀλλὰ γαστέρι τὸν νέκυν πενθεῖ, ὃ δὴ ἔσκωψεν Ὀδυσσεὺς γνωμικώτερον. (v. 225) Ἰστέον γὰρ ὅτι τὸ «γαστέρι δ’ οὔ πως ἔστι νέκυν πενθῆσαι Ἀχαιούς» γνωμικόν ἐστιν ὑπεξῃρημένου τοῦ «Ἀχαιούς», ὡς μὴ δέον ὂν τοὺς ἐν μάχῃ συχνῶς πίπτοντας ἀσιτίᾳ πενθεῖσθαι ὑπὸ στρατιωτῶν, οὓς ἡ τροφὴ συνέχει καὶ ἡ τοῦ σώματος ἐπιμέλεια. Ἔνθα ὅρα τὸ «γαστέρι δ’ οὔ πως ἔστι», φρασθὲν τῇ συναλιφῇ, ὡς δόξαι ἂν τοῖς τὰ σχεδιακὰ εἰθισμένοις δοῦπον ὑπολαληθῆναι ἀσυναλείπτως, ὡς ἐκεῖνοι γυμνάζονται.] (v. 226) Ὁ δὲ ἐπήτριμος, ὁ κατὰ συνωνυμίαν ἤτοι πολυωνυμίαν πολλός, δηλοῖ μὲν καὶ νῦν τὸν πυκνὸν καὶ συνεχῆ, γίνεται δὲ ἢ ἀπὸ τοῦ τρία, ὃ δηλοῖ τὸ πολλά, τρίμος, ὡς δύο δύμος καὶ δίδυμος, καὶ πλεονασμῷ τοῦ η , ἤτριμος, ὁ πολὺς καὶ συχνός, καὶ κατὰ σύνθεσιν ἐπήτριμος, ὡς καὶ τὸ ἐπηετανός καὶ ἐπήβολος. ἢ μᾶλλον κατὰ τοὺς παλαιοὺς ἐπήτριμος λέγεται ἀπὸ τῶν ἐν τοῖς ὕφεσιν ἠτρίων, ὅ ἐστιν ἐπαλλήλων στημόνων, ἑτέρων ὄντων ἐφ’ ἑτέροις, ἀφ’ ὧν καὶ χιτὼν εὐήτριος λέγεται.

4.322 (v. 229) Σημείωσαι δὲ καὶ τὸ «νηλέα θυμὸν ἔχοντας» ὅτι οὐκ ἐπὶ ψόγου ὡς ἐν ἄλλοις εἴληπται, ἀλλὰ τὸν ἀπαθῆ ἢ δυσπαθῆ καὶ ἀπενθῆ καὶ ὀλιγόδακρυν νηλέα εἶπεν ἐνταῦθα ὁ ποιητής. [(v. 228) Τὸ δὲ «ὅς κε θάνῃσιν» ἐστὶ μὲν περίφρασις τοῦ θανόντα, ἐπῆκται δὲ πρὸς σαφήνειαν τοῦ «τὸν μὲν καταθάπτειν», ἵνα λέγῃ, ὅτι χρὴ καταθάπτειν τόν, ὃς ἂν θάνοι.] (v. 232—3) Κεῖται δ’ ἐν τοῖς ῥηθεῖσι μετὰ τὸ «νωλεμὲς αἰεί» καὶ τὸ «ἑσσάμενοι χροῒ χαλκὸν ἀτειρέα» εἰς ἐνθύμησιν τοῦ μὴ μόνον ἄλλως τοὺς νήστιας μαχητὰς τείρεσθαι ἀλλὰ καὶ ὑπὸ τῆς τῶν ὅπλων βαρύτητος. καὶ τοιαῦτα μὲν καὶ τάδε. (v. 233—6) Ὀδυσσεὺς δὲ καὶ ἐνταῦθα βασιλικόν τι ποιῶν, καθά που καὶ ἐν ἄλλοις «κοιρανέων δίεπε στρατόν» καὶ ὀτρύνων ἀφ’ ἑαυτοῦ τοὺς Ἀχαιοὺς εἰς πόλεμον, φησὶ «μηδέ τις ἄλλην λαῶν ὀτρυντὺν ποτιδέγμενος ἰσχαναάσθω», ἤγουν ἐπεχέσθω. «ἥδε γὰρ ὀτρυντύς», ἡ δευτέρα δηλαδή, «κακὸν ἔσσεται, ὅς κε λίπηται νηυσὶν ἐπ’ Ἀργείων». Καὶ σημείωσαι ὅτι οὐ μόνον ἑτέρας λειποταξίας ἦσαν ποιναί, ὡς ἐν ἄλλοις ἐφάνη, ἀλλὰ καὶ ῥαθυμίας, ὡς ἐνταῦθα δείκνυται. λειποταξία γάρ τις καὶ αὐτή, ὡς δηλοῖ καὶ τὸ «λίπηται», ὃ συντεθὲν παρὰ τοῖς ὕστερον τὸν λειποτάκτην ἐποίησεν. (v. 263 s.) Εἶτα καὶ περατῶν ὁ ῥήτωρ τὸν λόγον εἰς τὴν σκοπιμωτάτην ἀξίωσίν φησιν «ἀλλ’ ἀθρόοι ὁρμηθέντες Τρωσὶν ἐφ’ ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν Ἄρηα». (v. 238—40) Ἐπὶ δὲ τούτοις ὀπασάμενος, ὅ ἐστιν ὀπαδοὺς κρινάμενος, τούς, ὡς προερρέθη, παναριστῆας Ἀχαιῶν κούρητας, τοὺς Νεστορίδας καὶ τοὺς λοιπούς, οἰκονομεῖ τὰ περὶ τῶν Τρώων πάνυ γοργῶς. (v. 242) Διὸ καὶ λέγει ἐνταῦθα τὸ «αὐτίκ’ ἔπειθ’ ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον», ὅπερ οἰκεῖόν ἐστι ῥηθῆναι ἐπὶ τῶν συντόμως ἀνυομένων. τοῦτο δὲ ὅμοιόν ἐστι τῷ «ἅμ’ ἔπος ἅμ’ ἔργον», ἅπερ Ἡρόδοτος ζηλώσας φησὶ «ταῦτα εἶπε καὶ ἅμα ἔπος τε καὶ ἔργον ἐποίεεν».

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4.323 (v. 243—8) Ὅτι ἀριθμεῖ κἀνταῦθα ὁ ποιητὴς ἐν ἐπιτόμῳ τοὺς ἑπτὰ τρίποδας, οὓς ὁ βασιλεὺς ὑπέστη τῷ Ἀχιλλεῖ, τοὺς αἴθωνας εἴκοσι λέβητας, τοὺς δώδεκα ἵππους, τὰς ἑπτὰ γυναῖκας, τὴν ὀγδοάτην Βρισηΐδα, καὶ τὸν χρυσόν, περὶ οὗ φησι τὸ «χρυσοῦ δὲ στήσας Ὀδυσσεὺς δέκα πάντα τάλαντα ἦρχε». (v. 249) Λέγει δὲ καὶ ὅτι τὰ τοιαῦτα βασιλικὰ δῶρα ἐν μέσσῃ ἀγορῇ θέσαν. (v. 278—81) Ἃ μετ' ὀλίγα Μυρμιδόνες ἀμφεπένοντο καὶ «ἐπὶ νῆα φέροντες Ἀχιλλέως θέσαν, κάθισαν δὲ γυναῖκας, ἵππους δ' ἐς ἀγέλην ἔλασαν». καὶ ἔστιν ἀκριβεστέρα ἐνταῦθα ἡ φράσις. τὸ μὲν γὰρ «ἐν μέσσῃ ἀγορῇ θέσαν» τοῖς ἀψύχοις μόνοις προσήρμοττεν, οὐ μὴν καὶ γυναιξὶ καὶ ἵπποις, ὧν ταῖς μὲν τὸ καθίσαι ἦν οἰκεῖον, ἵπποις δὲ τότε μὲν τὸ ἵστασθαι, ὕστερον δὲ τὸ εἰς ἀγέλην ἐλαθῆναι ὑπὸ τῶν θεραπόντων τοῦ Ἀχιλλέως. ἣ δὴ ἀγέλη, καθὰ καὶ ἄλλοις τῶν ἀρίστων, ὡς εἰκός, οὕτω καὶ αὐτῷ ἦν ἐν ἰδιαιτάταις νομαῖς περί που τὰ τῆς Ἴδης πεδία. (v. 247) Ἰστέον δὲ ὅτι ἐν τῷ «χρυσοῦ στήσας δέκα πάντα τάλαντα» τὸ στήσας τεχνική ἐστι λέξις ἀντὶ τοῦ σταθμήσας, ὅθεν καὶ ὁ στατήρ. Ὅρα δὲ καὶ ἐνταῦθα τὸ πάντα, οὐκ ἀναγκαίως μέν, συνήθως δὲ προστεθέν, ὡς καὶ ἐν τῷ «οἳ δ' ἐννέα πάντες ἀνέσταν» καὶ ἐν ἑτέροις δὲ πολλοῖς. (v. 249—51) Ὅτι καὶ ἐνταῦθα καιριωτάτη παρήχησις καὶ παρίσωσις ἐν τῷ «ἂν δ' Ἀγαμέμνων ἵστατο, Ταλθύβιος δὲ κάπρον ἔχων παρίστατο». σεμνύνει δὲ τὸν Ταλθύβιον, εἰπὼν «θεῷ ἐναλίγκιος αὐδήν», ὅπερ εἴη ἂν ἴσον τῷ ἀγαθὸς αὐδήν, οὐ μὴν βοήν. ἐκεῖνο γὰρ στρατιωτικόν, ὡς πολλαχοῦ φαίνεται. (v. 253) Ὅτι καὶ ἐν τούτοις μάχαιραν, ἥτις παρὰ ξίφους μέγαν κουλεὸν ἄωρτο, ἤγουν ἤρτητο ἢ ᾐώρητο, τὴν νῦν παραξιφίδα λέγει, ἥτις καὶ ἐγχειρίδιον καλεῖται, παρηρτημένη καὶ ἐνταῦθα τῷ ξίφει τοῦ βασιλέως. [Κουλεοῦ δὲ πρὸς κωλεὸν διαφορὰ πλείστη.

4.324 κουλεὸς μὲν γὰρ ξίφους θήκη συνήθως καὶ κοινῶς, κωλεὸς δὲ ζῴου μέρος, ὡς ῥηθήσεται. διὸ οἱ Δωριεῖς, ἐκφεύγοντες τὴν τῆς φωνῆς συνέμπτωσιν, οὐκ ἠξίωσαν κατὰ τὸ δοῦλος δῶλος, καὶ κοῦρος κῶρος, εἰπεῖν καὶ τὸν κουλεὸν κωλεόν. Περὶ οὗ ἐν τοῖς Ἀθηναίου φέρεται τάδε. οἱ τῶν ζῴων κωλῆνες λέγονται παρ' Ἀθηναίοις μὲν θηλυκῶς κωλεοί, παρ' ἄλλοις δὲ καὶ ἀρσενικῶς. Ἐπίχαρμος «χορδαί τε ἁδὺ ναὶ μὰ Δία χ' ὠ κωλεός». λέγουσι δὲ καὶ κωλῆν τὸν κωλῆνα οἱ Ἀττικοί, συναιροῦντες ἐκ τοῦ κωλέα. χρῆσις παρὰ τῷ Κωμικῷ «οἴμοι δὲ κωλῆς». καὶ ἔστιν ὡς συκέα συκῆ, λεοντέα λεοντῆ, οὕτω καὶ κωλέα κωλῆ. ὡς δὲ ὁ στρατιωτικὸς κουλεὸς συντίθησι τὰ κουλεόπτερα ζωΰφια, πᾶσι δῆλόν ἐστιν.] (v. 254) Ὅτι ἀπάρχεται ἐνταῦθα ὁ βασιλεὺς τῶν τοῦ κάπρου τριχῶν μέλλων ὀμόσειν, καθάπερ ἀλλαχοῦ τῶν ἀρνῶν, οὐ μόνον ὅτι τρίχες κοσμοῦσιν ἡμᾶς, ἀλλὰ μάλιστα διότι μήπω ἐσθήτων εὑρημένων περιβλήμασιν ἐχρῶντο τοῖς ἐκ τριχῶν ἢ καὶ τετριχωμέναις δοραῖς. ἀνάμνησις οὖν τῆς παλαιᾶς περιβολῆς ἡ τοιαύτη ἐκ τριχῶν ἀπαρχή, ὡς καὶ οἱ οὐλοχύται μνήμην τῆς παλαιᾶς ἀνεκίνουν τροφῆς. Ὅρα δὲ ὅτι συνήθως τὸ ἀπαρξάμενος αἰτιατικῇ συνέταξεν, εἰπὼν «κάπρου ἀπὸ τρίχας ἀρξάμενος, Διῒ χεῖρας ἀνίσχων εὔχετο». [Ἰστέον δὲ ὅτι ἐκ τοῦ ἀπάρχεσθαι σκῶμμά τι εὐνουχικὸν προὔκυψε παρά τινι λογίῳ Αἰγυπτίῳ ἀνδρί, εἰπόντι ὡς τοὺς Αἰγυπτίους ἱερεῖς, εὐνούχους δηλαδὴ ὄντας, σκώπτει τις εἰπὼν ἀπῆρχθαι διὰ τὸ ἐξ αὐτῶν ὡς οἷά τινα προδεδόσθαι ἀπαρχὴν τὴν τμῆσιν τῶν αἰδοίων, ὡς δῆλον ἐκ τοῦ «τοὺς ἱερέας ἐνθάδε μέν», ἤγουν ἐν Ἕλλησιν, ὁλοκλήρους εἶναι κατὰ νόμον, «παρ' ἡμῖν δ', ὡς ἔοικεν, ἀπηργμένους».

4.325 Ἔστι δὲ συναγαγεῖν ἐκ τοῦδε τοῦ λόγου, ὡς ἐπαινετὸν Αἰγυπτίοις ἦν τότε ἡ τῶν ἱερέων εὐνουχία, διὰ τὸ ἀπαρχὴν ἐξ αὐτῶν δεδόσθαι θεοῖς ἐκείνοις τοῖς φαυλεπιφαύλοις. ὁ δὲ νῦν χρόνος εἰς μέγα σκῶμμα τὴν τοιαύτην ἔννοιαν τῆς ἀπαρχῆς περιτρέπει τοῖς εὐνούχοις. ὁ γὰρ ὄντως θεὸς ἀπαρχὰς οὐκ οἶδε τοιαύτας προσίεσθαι.] (v. 251) Σημείωσαι δὲ ὅτι ἐπιτήδειος ἐδόκει πρὸς καθαρμὸν ὁ σῦς, ὡς δηλοῖ Αἰσχύλος ἐν τῷ «πρὶν ἂν παλαγμοῖς αἵματος χοιροκτόνου αὐτός σε χράναι Ζεὺς καταστάξας χεροῖν». λέγεται δέ, φασί, καὶ ἀφροδισία ἄγρα καθὰ πέρδιξ, οὕτω καὶ σῦς, καὶ γὰρ καὶ ὁ χοῖρος κατωφερὴς πρὸς ἀφροδίσια. ὅθεν κατὰ Αἴλιον Διονύσιον καὶ κάπραινα γυνὴ ἡ ὀργῶσα πρὸς μίξεις, καὶ καπρᾶν κυρίως τὸ ὀρέγεσθαι κάπρου τὴν ὗν, ὡς καὶ

ταυρᾶν, φησί, τὸ ταύρου ἐφίεσθαι τὴν βοῦν. οἰκείως οὖν ὁ Ἀγαμέμνων, ἐπεὶ περὶ γυναικός εἰσιν οἱ ὅρκοι, σῦν εἰς αὐτὸ προχειρίζεται θυτικῶς. (v. 254—6) Ἐνταῦθα δὲ καὶ προσοχὴν ἀκροατῶν φράζων ἐπὶ εὐχῇ φησι «χεῖρας ἀνασχὼν εὔχετο, οἱ δ' ἄρα πάντες εἵατο σιγῇ» κατὰ μοῖραν ἀκούοντες. (v. 258—65) Ὅτι τοιοῦτός τις ὁ τοῦ Ἀγαμέμνονος ὅρκος «ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος, Γῆ τε καὶ Ἠέλιος καὶ Ἐριννύες, μὴ μὲν ἐγὼ κούρῃ Βρισηΐδι χεῖρ' ἐπενεῖκαι, εἴτ' εὐνῆς» ἢ οὔτ' εὐνῆς «πρόφασιν κεχρημένος, εἴτε τευ ἄλλου», ἢ «οὔτε τευ ἄλλου», οἷον πείρας ἢ ὕβρεως δουλικῆς. «ἀλλ' ἔμενε, φησίν, ἀπροτίμαστος ἐνὶ κλισίῃσιν ἐμῇσιν. εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεὸς ἄλγεα δοίη πολλὰ μάλ', ὅσσα δίδωσιν, ὅτις σφ' ἀλίτηται ὀμόσσας», ἤγουν ὅστις ἂν αὐτὸν ὀμόσας εἶτα ἁμάρτῃ ἐπιορκήσας, καὶ οὕτως οἷον ἀλητήριος τοῦ ὅρκου γένηται.

4.326 (v. 261) Σημείωσαι δὲ σχῆμα καινὸν ἐν τῷ «μὴ ἐγὼ Βρισηΐδι χεῖρα ἐπενεῖκαι». ὤφειλε γὰρ εἰπεῖν ἴστω θεὸς μὴ ἐμὲ τόδε ποιῆσαι». θεραπευθήσεται δὲ τὸ σολοικοφανὲς τῇ ἐλλείψει, ὡς λείποντος τοῦ ὄμνυμι, ἵνα λέγῃ ὅτι ὄμνυμι ἐγὼ μὴ τόδε ποιῆσαι. [(v. 258) Τὸ δὲ «ὕπατος καὶ ἄριστος» ἀκρίβειαν ἔχει, ὡς μὴ παντὸς ὑπάτου ἤδη καὶ ἀρίστου ὄντος. πολλοὶ γὰρ ἄρχοντες ἐκ περιπετείας ἀχρεῖοι ἄλλως εἰσί.] (v. 263) Τὸ δὲ «ἀπροτίμαστος» ἀντὶ ἀπρόσψαυστος, παρὰ τὸ μάσασθαι, τὸ ἅψασθαι, ἀφ' οὗ καὶ τὸ μασᾶσθαι, καὶ μαστὸς ὁ τοῖς βρέφεσι μασητός, καὶ τὸ «εἰσεμάσατο θυμόν», ἤτοι ἥψατο, ὅθεν καὶ Εὐφορίων φησὶ «Μοῦσαι ποιήσαντο καὶ ἀπροτίμαστος Ὅμηρος», ἤγουν οὗ δυσχερὲς ἐφάψασθαι τῆς δυνάμεως. (v. 262) Ὅρα δὲ ὅπως σεμνὸν μὲν καὶ τὸ «οὔτ' εὐνῆς κεχρημένος», σεμνότερον δὲ τὸ «οὔτε τευ ἄλλου». (v. 259 s.) Ἐν τούτῳ δὲ τῷ χωρίῳ καὶ περὶ Ἐριννύων ὁ ποιητὴς λέγει, ὡς ὑπὸ γαῖαν τίνυνται ἀνθρώπους, ὅστις ἐπίορκον ὀμόσει, ὡς τῶν ἐπιόρκων μετὰ θάνατον τιμωρουμένων. δῆλον δὲ ὅτι νόμῳ δημίων τοῦτο ποιοῦσιν, ὑπὸ Διὸς καὶ Γῆς καὶ Ἡλίου ἐπιταττόμεναι, οὓς καὶ αὐτοὺς ὁ ἐπιορκήσας λελύπηκε. Τὸ δὲ «ἀνθρώπους ὃς ἐπίορκον ὀμόσει» κατήγαγε μὲν καὶ νῦν, ὡς καὶ ἀλλαχοῦ, τὸ πληθυντικὸν εἰς ἑνικόν, ἔστι δὲ οἷον ἐπιδιόρθωσις. εἰ γὰρ καὶ ἀνθρώπους εἶπεν ἁπλῶς, ἀλλὰ ἀληθῶς ὁ ἐπίορκος τιμωρεῖται. ἔστι δὲ καὶ ὡς ἀντίπτωσις. ὅμοιον γάρ ἐστι τῷ «τίνυνται ἀνθρώπων, ὅστις ἐπίορκον ὀμόσει». ἐχρήσατο δὲ ὁ ποιητὴς καὶ ἐν ἄλλοις τούτῳ τῷ σχήματι. (v. 261) Τὸ δὲ «ἐπενεῖκαι» δηλοῖ μὲν τὸ ἐπενέγκαι, οὗ δεύτερος ἀόριστος ἐπενεγκεῖν. ἔστι δὲ ἡ λέξις Ἰωνική. Ἡρόδοτος δὲ ἄλλως αὐτὴν ἐκλαμβάνει ἐν τῷ «μαχλοσύνην ἐπενείκασά οἱ», τουτέστι κατηγορήσασα, ὡς ταὐτὸν ὂν εἰπεῖν ἐπενεῖκαι καὶ αὖ πάλιν ἐναγαγεῖν, ἐξ οὗ καὶ ὁ ἐνάγων καὶ ὁ ἐπακτὸς ὅρκος.

4.327 μετὰ δέ γε τῆς ἀνα προθέσεως ἄλλο τι σημαίνει, ὡς δηλοῖ μετ' ὀλίγα τὸ «ἀνενείκατο φώνησέν τε». ἐκ δὲ τοῦ ἐνεῖκαι ῥήματος καὶ τὸ ἐξενεῖκαι παρ' Ἡροδότῳ ἐπὶ ἐκφορᾶς νεκρικῆς, ὡς δηλοῖ τὸ «ἐξενεῖκαι κάλλιστα καὶ θάψαι». φέρεται δὲ καὶ εἰσέτι νῦν ἡ λέξις τοῦ ἐνεῖκαι παράτισι τῶν Καππαδοκικῶν ἀνδρῶν. ὥσπερ δὲ ταὐτὸν τὸ αἰεί καὶ τὸ αἰέν κατά τινα μεταχώρησιν τοῦ ι καὶ ν , οὕτω καὶ τὸ ἐνεῖκαι καὶ ἐνέγκαι. Πρωτότυπον δὲ αὐτῶν, ὡς καὶ ἑτέρωθι ἐρρέθη, τὸ ἔχω, ὡς δῆλον καὶ ἐκ τοῦ ἐνήνοχα καὶ ἐξενήνοχα καὶ τῶν ὁμοίων. τὸ γὰρ χ τοῦ μέσου παρακειμένου πολλῷ πρότερον τῷ ἐνεστῶτι ἔγκειται. ἔχω οὖν καὶ Ἰωνικῶς ἔκω. ἡ δὲ μετὰ προθέσεων σύνθεσις κοινῶς μὲν διὰ τοῦ ν ποιεῖ τὸ ἐνέγκω καὶ τὰς ἐξ αὐτοῦ κινήσεις, Ἰωνικῶς δὲ σὺν τῷ ι ἐκφωνεῖ τὸ ἐνείκω καὶ ὅσα ἐξ αὐτοῦ. (v. 265) Τὸ δὲ «σφέ» ἐν τῷ «ὅτις σφ' ἀλίτηται» σημείωσαι πληθυντικῶς ῥηθέν. εἰ γὰρ καὶ ἡ νῦν παρῳδία ἔφη «ἐμοὶ θεὸς ἄλγεα δοίη ὅσσα δίδωσιν», ἀλλ' Ὅμηρος πληθυντικῶς γράφει «θεοὶ ἄλγεα δοῖεν ὅσσα διδοῦσι, ὅ τις σφ' ἀλίτηται ὀμόσσας», ἤγουν αὐτοὺς ἀλίτηται. (v. 266) Ὅτι ὥσπερ ἀλλαχοῦ στομάχους ἀρνῶν, οὕτω καὶ νῦν ὁ βασιλεὺς «ἀπὸ στόμαχον κάπρου τάμνε νηλέϊ χαλκῷ». (v. 267—8) Μεθ' ὃ τὸν ἐπὶ ὅρκῳ σφαγέντα κάπρον «Ταλθύβιος πολιῆς ἁλὸς ἐς μέγα λαῖτμα ῥῖψ' ἐπιδινήσας βόσιν ἰχθύσιν», οἳ τρόφιμοί εἰσι θαλάσσης τῆς πάντα κλυζούσης τὰ ἐν ἀνθρώποις κακά. οὐ γὰρ ἦν, φησί, θέμις τὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπὶ ὅρκῳ σφαγέντα εἰς τροφὴν ἀνθρώπους προσίεσθαι, ὡς καὶ ἐν τοῖς φθάσασιν εἴρηται, διὰ τὸ ἐπὶ δεινῷ ἢ καὶ στυγητῷ πράγματι τὴν θυσίαν ταύτην γίνεσθαι καὶ μὴ πανηγυρικὴν εἶναι καὶ χαρμόσυνον. καλῶς δέ, φασίν, ἐπεὶ μὴ συγγεγονέναι τῇ Βρισηΐδι ὀμνύει, τὸ ἐναντίον θύει, τὸν κάπρον δηλαδὴ φιλοσυνουσιαστὴν ὄντα.

4.328 ἐν μέντοι τοῖς περὶ Ἀλεξάνδρου καὶ Μενελάου ὅρκοις, ἐπεὶ ἡσυχία τῷ στρατεύματι ὠμνύετο, οἷα τοῦ παντὸς ἔργου παρὰ τοῖς μονομάχοις κειμένου, καλῶς νεογνὰ προβάτων ἐθύετο. εὐήθη μὲν γὰρ καὶ ἡσυχαῖα τὰ πρόβατα, οἱ δὲ ἄρνες ἐπὶ μᾶλλον τοιοῦτοι. διὸ καὶ οἰκεῖοι τῇ ἐκεῖ περιπετείᾳ ἦσαν. ἱστορεῖται δὲ καὶ ὅτι πρὸς τὰ ὅρκια ὕστερον οἱ Ἀττικοὶ τρισὶ τούτοις ἐχρῶντο, κάπρῳ, κριῷ καὶ ταύρῳ. ὅτι δὲ καὶ ἁπλῶς ἐν πολλαῖς τῶν θυσιῶν τριττύϊ ζῴων ἐχρῶντο, εἴρηται ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. (v. 267) Πολιὴ δὲ καὶ νῦν θάλασσα οὐ μόνον ἡ γραῖα ἢ καὶ λευκὴ ἢ καὶ ἔντιμος, ἀλλὰ καὶ ἡ πολλὴ κατὰ τοὺς παλαιούς. ὡς γὰρ ἐσχάτη ἐσχατιή, ὁρμή ὁρμιή, σκοπή σκοπιή, οὕτω, φασί, καὶ πολλή πολιή. [Ἄλλως δέ, εἰ ποτὲ μὲν μέλας πόντος, ποτὲ δὲ πολιὴ θάλασσα, ἡ ὡς εἰπεῖν γραῖα, μνηστέον ὡς διὰ τοῦτο καὶ Ποσειδῶν Μέλανθος ἐπιθετικῶς εἴρηται, ἐπεὶ καὶ μέλαν ὕδωρ καὶ λευκὸν δὲ λέγεται, ὡς εἶναι τὸ ἄνθος αἴνιγμα πολιώσεως ὑδατηρᾶς εἴτ' οὖν λευκότητος. ὁ δὲ νοῦς τοῦ μέλανθος ὅμοιος τῷ πελαργός. ἐπειδὴ καὶ ταὐτὸν ὥσπερ μέλαν καὶ πελόν, οὕτω καὶ ἀνθηρὸν καὶ ἀργόν, ἤτοι λευκόν.] (v. 270) Ὅτι Ἀγαμέμνων μὲν τὸ περὶ τῆς Ἄτης νόημα ἐπλάτυνε πρὸ μικροῦ, Ἀχιλλεὺς δὲ ἐν ὀλίγῳ περιγράφων φησὶν ἐν Ἀργείοις «Ζεῦ πάτερ, ἦ μεγάλας ἄτας ἄνδρεσι διδοῖσθα». καὶ ὁμολογεῖ καὶ αὐτὸς ἐκ μεμοιραμένης θεομηνίας γενέσθαι τὰ μεταξὺ αὐτοῦ καὶ τοῦ βασιλέως, ἵνα πολλοῖς Ἀχαιοῖς θάνατος γένηται, ὅπερ ἦν ἡ ἀλλαχοῦ ῥηθεῖσα Διὸς βουλή. (v. 271—4) Φησὶ γὰρ «οὐκ ἂν δή ποτε θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν Ἀτρείδης ὤρινε διαμπερές, οὐδέ κε κούρην ἦγεν ἐμεῦ ἀέκοντος, ἀμήχανος, ἀλλά ποθι Ζεὺς ἤθελ' Ἀχαιοῖσι θάνατον πολέεσσι γενέσθαι». καὶ ἔστι τὸ «ἤθελε Ζεύς» ὅμοιον τῷ ἐβούλετο, ἐξ οὗ τὸ «Διὸς ἐτελείετο βουλή». (v. 270) Ὅρα δὲ τὸ «διδοῖσθα», ἐκ τοῦ διδῶ διδοῖς γεγονὸς κατὰ πλεονασμόν, ὁποῖός ἐστι καὶ ἐν τῷ ἔφησθα καὶ οἶσθα καὶ τοῖς ὁμοίοις.

4.329 (v. 272) Τὸ δὲ «ὤρινε διαμπερές» δηλοῖ μὴ κενὸν εἶναι ὀρινθῆναί τινα θυμικῶς ἁπλῶς, ἀλλ' εἴπερ ἐπὶ μακρὸν καὶ διόλου κατὰ τοὺς μηνίοντας καὶ ἐγκοτοῦντας. αὐτὸ γὰρ οὐκέτι ἐπαινετὸν διὰ τὸ ὑπερλίαν, καὶ διότι ὑπὲρ τὸν κανόνα ἐστὶ τοῦ «μηδὲν ἄγαν». (v. 273) Τὸ δὲ «ἀμήχανος» μεγαλόθυμον καὶ αὐτὸ δεικνύει τὸν ἥρωα καὶ ἀκράχολον, ὅσγε καὶ ἀπομηνίσας καὶ καταλλαγεὶς ἀμήχανον τὸν βασιλέα λέγει, ὅπως ἂν καὶ εἴπῃ τις ἑρμηνεύων, εἴτε ὡς δυσμήχανον, εἴτε ἀφελῆ καὶ μὴ εἰδότα μηχανᾶσθαί τι, εἴτε καὶ ὡς ἀνάλωτον μηχαναῖς. (v. 282) Ὅτι οὐ μόνον θεοὺς ἀνθρώποις εἰκάζει ὁ μῦθος, ἀλλ' ἔστιν ὅτε καὶ ἀνάπαλιν, ὡς καὶ ὅτε τὸν Ἀγαμέμνονα Διῒ καὶ Ποσειδῶνι καὶ Ἄρεϊ, καὶ νῦν δὲ τὴν Βρισηΐδα ἰκέλην λέγει χρυσῇ Ἀφροδίτῃ. παρακατιὼν δὲ σεμνότερον ἔτι φράζει, εἰπὼν «εἶπε δ' ἄρα κλαίουσα γυνὴ εἰκυῖα θεῇσι», οὐκέτι μιᾷ τινι ἀπεικάζων αὐτήν, ἀλλὰ πολλαῖς, ὡς καὶ ἀλλαχοῦ τὴν Ἑλένην ἀθανάταις θεαῖς ἐοικέναι εἰς ὦπα ἔφη. (v. 283—5) Αὕτη ἡ Βρισηῒς «ὡς ἴδε Πάτροκλον δεδαϊγμένον ὀξέϊ χαλκῷ, ἀμφ' αὐτῷ χυμένη», ἤγουν χυθεῖσα, «λίγ' ἐκώκυε, χερσὶ δ' ἄμυσσε στήθεά τ' ἠδ' ἁπαλὴν δειρὴν ἰδὲ καλὰ πρόσωπα». καί πως δοκεῖ κατὰ τοὺς παλαιοὺς ἐνταῦθα συνάχθεσθαι ὁ ποιητὴς τῇ τοιαύτῃ αἰκιζομένῃ. (v. 284) Καὶ ὅρα τὸ «χυμένη», δι' οὗ ἢ τὸ ἁπαλὸν δηλοῦται τοῦ γυναικείου σώματος ἢ καὶ τὸ ταχὺ συνήθως τοῦ δρόμου, καθὰ καὶ τὸ ἐχέοντο, ὡς πρὸ μικροῦ εἴρηται. Τὸ δὲ «λίγα» ἐπίρρημά ἐστιν ὅμοιον τῷ τάχα καὶ σάφα. (v. 287—90) Ἰστέον δὲ ὡς τοιαύτη τις ἡ ἐπὶ τῷ Πατρόκλῳ λιγεῖα μονῳδία τῆς Βρισηΐδος «Πάτροκλέ μοι δειλῇ», ἤγουν ἐμοὶ τῇ δειλαίᾳ, «πλεῖστον κεχαρισμένε θυμῷ, ζωὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα, νῦν δέ σε τεθνειῶτα κιχάνομαι ὄρχαμε λαῶν ἂψ ἀνιοῦσα», ὅ ἐστιν ἐπανελθοῦσα.

4.330

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί», τουτέστι συνεχῆ μοι καὶ ἀλλεπάλληλα τὰ κακά, καὶ χεῖρον οὐδὲ τοῦτό μοι τῆς παρὰ τῷ Ἀγαμέμνονι διατριβῆς. (v. 291- 6) Καὶ οὕτω μονῳδήσασα εἶτα διηγεῖται, ὡς εἶδε τὸν ἄνδρα καὶ τοὺς ἀδελφοὺς ἀναιρεθέντας, καὶ οὐ καθ' ἕνα, ἀλλὰ πάντας ἅμα, ὅπερ ἀπαραμύθητον. οὐ γάρ τις περιελείφθη κουφίζων τὸ πένθος, ὅτε καὶ τὴν αὐτῆς πατρίδα ἐπόρθησεν Ἀχιλλεύς. (v. 295—9) Διηγεῖται δὲ καί, ὅπως παραμυθούμενος αὐτὴν ὁ Πάτροκλος τότε κλαίειν οὐκ εἴα, ἀλλ' ἔφασκεν Ἀχιλλέως κουριδίην ἄλοχον θήσειν. Ἔνθα αἰτιῶνταί τινες τὸ «κουριδίην», λέγοντες οὐ κυρίως λέγεσθαι κουριδίην τὴν ἀφ' ἑτέρου γενομένην ἄλλῳ, ἀλλὰ τὴν ἐκ παρθενίας. θεραπεύεται δὲ ἡ αἰτίασις ἢ ἀπὸ τοῦ προσώπου—γυνὴ γὰρ λαλεῖ οὐκ ἔχουσα ἐνευδοκιμεῖν κυριολεκτήμασιν—, μάλιστα δὲ διὰ τοῦ ὡς ἐλλειπτικῶς, ἵνα λέγῃ «ὡς κουριδίην ἄλοχον», ὁποῖον καὶ τὸ «μάχοντο δέμας πυρός», ἤτοι ὡς πῦρ. (v. 291—300) Εἰσὶ δὲ ῥητῶς τὰ τῆς Βρισηΐδος τοιαῦτα καθ' Ὁμηρικὴν φράσιν «ἄνδρα μὲν, ᾧ ἔδοσαν με πατὴρ καὶ πότνια μήτηρ, εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέϊ χαλκῷ, τρεῖς τε κασιγνήτους, τούς μοι μία γείνατο μήτηρ, κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον. οὐδὲ μὲν οὐδέ μ' ἔασκες, ὅτ' ἄνδρ' ἐμὸν ὠκὺς Ἀχιλλεὺς ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος, κλαίειν, ἀλλά μ' ἔφασκες Ἀχιλλῆος θείοιο κουριδίην ἄλοχον θήσειν, ἄξειν τ' ἐνὶ νησὶν ἐς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσι. τῷ ς' ἄμοτον», ἤγουν διό σε ἀπλήρωτον καὶ πολύ, «κλαίω τεθνειῶτα, μείλιχον αἰεί», ὃ ταὐτόν ἐστι τῷ γλυκύθυμον, οὗ ἐστέρηται Ἀχιλλεύς, ὡς δηλοῖ ἐν τοῖς ἑξῆς τὸ «οὐ γάρ τι γλυκύθυμος ἀνὴρ οὐδ' ἀγανόφρων». ἐχρῆν δὲ ἄρα τῷ Ἀχιλλεῖ ὄντι τοιούτῳ ἑταρισθῆναι τὸν ἐνηῆ καὶ αἰεὶ μείλιχον Πάτροκλον, εἴ πως δι' αὐτοῦ κατακιρνᾶται ἡ ἐκείνου πικρία εἴς τινα γλυκύτητα. καὶ τοιαῦτα μὲν τὰ τῆς Βρισηΐδος.

4.331 Σημείωσαι δὲ καὶ ἐνταῦθα, ὅπως ὁ ποιητὴς ἀφορμὰς εὑρίσκει τοῦ παρεμβάλλειν παλαιὰς ἱστορίας τῇ ποιήσει καὶ τὸ ἐλλεῖψαν ἀναπληροῦν, κἂν ἀπὸ τοῦ δεκάτου ἔτους ἤρξατο, καὶ ὅτι καὶ μονῳδεῖν δεινότατός ἐστι καὶ διὰ πάσης ἰδέας λόγων ἥκειν δεξιώτατος. [(v. 282) Ἰστέον δὲ ὡς, εἰ καὶ ταὐτὸν ἰκέλη καὶ εἰκυῖα, ὅμως κατ' ἄλλην ἀναλογίαν τὸ μὲν τὴν διὰ μόνου διχρόνου ἔχει γραφήν, τὸ δὲ τὴν διὰ διφθόγγου. Περὶ δὲ χρυσῆς Ἀφροδίτης ἐγράφη μὲν καὶ ἀλλαχοῦ, μνηστέον δὲ καὶ νῦν, ὡς οὕτω λέγεται ἢ διὰ τὸ χρυσοφορεῖν. γυναικῶν γὰρ τοῦτό γε, διὸ καὶ ἔσκωψεν Ὅμηρος ἄνδρα, ὃς χρυσὸν ἐφόρει ἠΰτε κούρη. ἴσως δὲ καὶ ὅτι χρυσῷ τὰ κατ' αὐτὴν ἀνύεται, ὡς δίχα τῶν ἄλλων καὶ ἡ Δανάη δηλοῖ, ἁλοῦσα χρυσῷ ῥεύσαντι ἐς αὐτήν, ἔτι δὲ καὶ ἡ Ἀταλάντη μήλων χρυσέων ἐπιρρίψει τόν τε δρόμον προδοῦσα καὶ ἑαυτήν. Ὅτι δὲ χρυσῷ ἡ τοῦ μύθου Ἀφροδίτη ἔχαιρε, δῆλον καὶ ἐκ τοῦ ἱστοροῦντος, ὅτι Σόλων πανδήμου Ἀφροδίτης ἱερὸν ἱδρύσατο ἀπὸ γυναίων, ἅπερ ἐπὶ οἰκημάτων ἐκεῖνος ἔστησε πριάμενος διὰ τοὺς νέους. χαίρει γὰρ ἡ δαίμων ταῖς χρυσαγωγοῖς ἑταιρίσι. διὸ καὶ ἐπίθετον Ἀφροδίτης που Ἑταίρα κατὰ οἰκείωσιν. τοιούτῳ δὲ λόγῳ αὐτῇ ὡς καὶ καλῇ καὶ φιλοχρύσῳ καὶ ὁ χρύσοφρυς ἰχθὺς ἱερὸς ᾔδετο, τουτέστιν ἐφημίζετο. εἰ δὲ καὶ τὰ τῆς μυθικῆς Ἀφροδίτης τοιαῦτα, οὐκ ἤδη καὶ πάσαις γυναίξι δέδοται χρυσῷ στίλβειν, ἀλλὰ νεάνιδες μὲν Λυδαὶ καὶ κοῦραι δὲ Ὁμηρικαί τινες χρυσοφορείτωσαν. Συρακουσίοις δέ, φασίν, ὕστερον νόμος ἦν τὰς γυναῖκας μὴ κοσμεῖσθαι χρυσῷ μηδ' ἄνθινα φορεῖν μηδ' ἐσθῆτας πορφυρᾶς ἐχούσας παρυφάς, εἰ μή τις αὐτῶν συγχωροίη ἑταίρα εἶναι κοινὴ καὶ οὕτω οἰκεία τῇ χρυσῇ Ἀφροδίτῃ τῇ καὶ Ἑταίρᾳ, καὶ τὸν ἄνδρα δέ, φασί, μὴ καλλωπίζεσθαι, εἰ μὴ ὁμολογοίη μοιχεύειν ἢ κίναιδος εἶναι.

4.332 ἀλλὰ τοῦτο μὲν Συρακουσίων ἔθος. παρὰ δὲ τῷ ποιητῇ εὕρηται ὁ μέγας Ὀδυσσεὺς ἐσθῆτι περιέργῳ χρησάμενος κατὰ τὸν τῆς Πηνελόπης λόγον, καὶ διαλλαττούσῃ, ὁποίαν καὶ οἱ ὕστερον εἰς πλάτος ἐμιμήσαντο. πορφυρέῳ δέ γε ἁπλῶς φάρει κοσμεῖσθαι ἄνδρας ἐφεῖτο, καθὰ καὶ Ὅμηρος δηλοῖ, καὶ Λάκωνες δὲ ὕστερον αὐτὸ ἐπετήδευον ἔν τε ἄλλοις, φασί, φορήμασι καὶ ἐν χλαμύσιν, ἐξαιρέτως δὲ κατὰ πόλεμον. δοκοῦσι δὲ μηδὲ ποικιλίαν ἔχειν τὰ φορούμενα, οὗ τὸ ἀνάπαλιν παρὰ ταῖς Ἀττικαῖς νύμφαις, ὡς ὁ Κωμικὸς δηλοῖ. ἁπλῶς οὖν εἰπεῖν, ἢ νόμῳ ἢ ἔθει ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσώπων ἰδιότητι κατὰ καιροὺς ἄλλοτε ἄλλους τὰ τοιαῦτα ὁ κατ’ ἀνθρώπους βίος διοικονομεῖται. Θετέον δ’ ἐνταῦθα καὶ τὰς τῷ Κυψέλλῳ φίλας χρυσοφόρους, ὅς, φασί, περὶ κάλλους γυναικῶν ἐν Ἀλφειῷ ἀγῶνα διέθετο, καὶ ὡς ἐνίκησεν ἡ αὐτοῦ γυνὴ Ἡροδίκη, ἐκράτησεν ὁ ἀγὼν παρ’ Ἠλείοις, καὶ αἱ ἀγωνιζόμεναι γυναῖκες χρυσοφόροι ὠνομάζοντο, ἴσως μὲν καὶ διὰ κόσμον, ἴσως δὲ καὶ διὰ κάλλος.] (v. 289) Τὸ δὲ «κιχάνομαι» κοινότερον κιχάνω λέγεται. διφορεῖται οὖν. (v. 290) Τὸ δὲ «ὥς μοι δέχεται» διὰ μέτρον οὕτως ἐφράσθη. τὸ γὰρ κοινὸν «ὥς με δέχεται».

4.333 (v. 291) Τὸ δὲ «ἄνδρα ᾧ ἔδοσάν με πατὴρ καὶ μήτηρ» ἄριστα ἔχει. γυνὴ γὰρ δίδοται ἀνδρὶ εἰς ὑποταγήν. διὸ καὶ δάμαρ λέγεται, ὡς αὐτὴ δαμαζομένη τῷ ἀνδρί, οὐ μὴν ἀνάπαλιν, ὥστε κυριεύσει αὐτῆς ὁ ἀνήρ, ὡς δώρου δεσπότης. οὕτω δὲ καὶ ἐν τῇ Ὀδυσσείᾳ πολλαχοῦ φαίνεται. διὸ καὶ οἱ Ἀττικοὶ τὸν σύνευνον κύριον ἔλεγον, ὡς καὶ ὁ Κωμικὸς ἐν τοῖς Ἱππεῦσι δηλοῖ. (v. 293) Ἐν δὲ τῷ «τρεῖς κασιγνήτους» οὐ μάτην προσέθετο ἡ Βρισηῒς τὸ «οὕς μοι μία γείνατο μήτηρ», ἀλλ’ ὅτι τῶν τοιούτων, ὡς καὶ προεδηλώθη, μάλιστα κηδόμεθα. (v. 294) Διὸ καὶ εὐθὺς ἐπάγει «κηδείους». τοῦτο δὲ πολλαχοῦ φαίνεται τῆς Ὁμηρικῆς ποιήσεως, καὶ διότι μάλιστα φιλομήτορες αἱ νεάνιδες, διὰ τοῦτο οὐ μέμνηται πατρός. ὅλως δὲ ἐδέησεν ἑρμηνείας εἰς τὸ κασιγνήτους διὰ 〈τὸ〉 καὶ τοὺς ἁπλῶς συγγενεῖς οὕτω ποτὲ λέγεσθαι, ὡς ἀλλαχοῦ δεδήλωται. Κήδειος δέ, οὗ κήδεταί τις, ἐκ τοῦ κῆδος. ἡ δὲ γραφή, ὡς ὁ ἐν Ὀδυσσείᾳ Κήτειος. Τὸ δὲ «ἐπέσπον» ὅτι δεύτερος ἀόριστός ἐστιν ἐνεργητικός, ἐξ οὗ ἀπαρέμφατον ἐπισπεῖν, καὶ μετοχὴ ἐπισπών ἐπισπόντος, καὶ μέσος δεύτερος ἀόριστος ἐπισπόμενος, πολλαχοῦ τῶν Ὁμηρικῶν ποιήσεων διάδηλόν ἐστι. (v. 296) Πόλιν δὲ λέγει Μύνητος τὴν προϊστορηθεῖσαν Ἀδραμυτηνὴν Λυρνησσόν, τὴν πατρίδα τῆς Βρισηΐδος, τῷ βασιλεῖ καὶ ταύτην ἐπονομάσας, καθὰ καὶ τὴν Τροίαν, ὅτε πόλιν Πριάμοιο λέγει αὐτήν, καὶ ἀλλαχοῦ «Λῆμνον πόλιν θείοιο Θόαντος», διότι καὶ κατὰ τὴν Τραγῳδίαν τοῦ κρατοῦντος ἡ πόλις νομίζεται. θεῖον δὲ ἡ γυνὴ τὸν Μύνητα καλεῖ, πατρικῶς φιλοῦσα. λέγει δὲ αὐτίκα οὕτω καὶ τὸν Ἀχιλλέα, ὡς οἷον ἀμειβομένη αὐτὸν οἷς ὑπὲρ αὐτῆς εἰς τοσοῦτον ἐμήνισεν. (v. 300) Ἄμοτον δὲ καὶ νῦν τὸ πλῆρες καὶ ἀνενδεὲς καὶ μεστόν, ὡς ἐκ μεταφορᾶς τῶν μοτουμένων τραυμάτων. ἀποτελευτᾷ δὲ ὁ νοῦς τῆς λέξεως εἰς τὸ λίαν. Ὅρα δ’ ἐν τῇ ῥηθείσῃ μονῳδίᾳ τὸ «τεθνειότος» διφορηθὲν ὡς ἔθος τὴν παραλήγουσαν.

4.334 προεκταθὲν γὰρ εἶτα ἐν τῷ τελευταίῳ στίχῳ συστέλλει αὐτήν. (v. 301—2) Ὅτι ἔκλαιεν μὲν ἡ Βρισηΐς, λέγουσα, ὡς ἐρρέθη, τὰ δοκοῦντα, «ἐπὶ δ’ ἐστενάχοντο γυναῖκες, Πάτροκλον πρόφασιν, σφῶν δ’ αὐτῶν κήδε’ ἑκάστη». Τὸ δὲ «Πάτροκλον πρόφασιν» καὶ εἰς παροιμίαν ὕστερον ἔπεσε, δι’ ἣν ἔχει εὔρυθμον συντομίαν καὶ πιθανότητα. καὶ λέγεται ἐπὶ τῶν προσποιουμένων μὲν ποιεῖν τι διὰ τήνδε τινὰ αἰτίαν, τῷ ὄντι δὲ ἄλλως τοῦτο ποιούντων. ἐπεὶ γὰρ «κάρτα τοι φιλοίκτιστον ἡ γυνή», συνοδύρονται μὲν αἱ αἰχμαλώτιδες τῇ Βρισηΐδι πενθούσῃ τὸν Πάτροκλον, πλὴν οὐ κλαίουσιν ἐπὶ Πατρόκλῳ, ἀλλὰ δοκοῦσι μὲν κατὰ τὸ προφαινόμενον, τὸ δ’ ἦν πρόφασις ἄλλως, ἀληθῶς δὲ ἑκάστη τὰ ἑαυτῆς ἀνακλαίεται κήδεα. οὕτω καὶ ἐν Ὀδυσσείᾳ πενθοῦσι μὲν ἀληθῶς τὸν Ὀδυσσέα ὁ Τηλέμαχος καὶ ἡ Ἑλένη καὶ ὁ Μενέλαος, συμπενθεῖ δὲ αὐτοῖς καὶ ὁ Πεισίστρατος, ἀλλ’ εἴποις ἂν Ὀδυσσέα πρόφασιν, τῷ ὄντι δὲ τὸν ἀδελφὸν Ἀντίλοχον. [Ἰστέον δὲ ὅτι πρόφασίς ἐστιν ἡ μὴ ἀληθής, ἀλλ’ ἐπιπολαία καὶ προβεβλημένη φάσις.] (v. 303—8) Ὅτι οἱ γέροντες μὲν ἀμφὶ τὸν Ἀχιλλέα ἀγείρονται, «λισσόμενοι δειπνῆσαι, ὃ δ’ ἠρνεῖτο στεναχίζων» καὶ λέγων «λίσσομαι, εἴ τις ἔμοιγε φίλων ἐπιπείθεθ’ ἑταίρων, μή με πρὶν σίτοιο κελεύετε μηδὲ ποτῆτος ἄσασθαι» ἤγουν κορέσασθαι, «φίλον ἦτορ, ἐπεί μ’ ἄχος αἰνὸν ἱκάνει· δύντα δ’ ἐς ἠέλιον μενέω καὶ τλήσομαι ἔμπης». χρήσιμα δέ ποτε ταῦτα εἰς νηστείας ἔνστασιν πανημέριον. καρτερικὸς δ’ ἐνταῦθα εὕρηται ὁ Ἀχιλλεύς, εἴγε τοῖς ἄλλοις φάμενος «νῦν δ’ ἔρχεσθ’ ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν Ἄρηα», ἐκεῖνος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐγκρατῶς ἔχει τοῦ δειπνῆσαι. δοκοῦσι δὲ καὶ οἱ σὺν αὐτῷ νῦν ἀριστεῖς τοιοίδε εἶναι. εἰ μὴ ἄρα ὕστερον κατὰ τὸ σιωπώμενον ἐδείπνησαν καὶ αὐτοὶ [καὶ σὺν τοῖς ἄλλοις οἴχονται μετὰ δεῖπνον, ὥς φησιν ὁ ποιητής.] (v. 309- 12) Περὶ ὧν φησιν Ὅμηρος, ὡς ἄλλους μὲν ἀπεσκέδασε βασιλῆας ὁ Ἀχιλλεύς, «δοίω δ’ Ἀτρείδα μενέτην» καὶ Ὀδυσσεὺς καὶ Νέστωρ καὶ Ἰδομενεὺς καὶ Φοῖνιξ, «τέρποντες πυκινῶς ἀκαχημένον», ἤγουν ἐφιέμενοι τέρπειν ἐκεῖνον οἷς, ὡς εἰκός, ἔλεγον, εἰ καὶ μὴ αὐτὸς πρὸς αὐτοῖς εἶχε τὸν νοῦν.

4.335 (v. 312 s.) Φησὶ γὰρ «οὐδέ τι θυμῷ τέρπετο, πρὶν πολέμου στόμα δύμεναι αἱματόεντος». Ἔχει δέ τι ἀστειότητος τὸ πολέμου στόμα δύμεναι, εἴ τις ὑπονοήσει, ὡς ὁ Ἀχιλλεὺς τροφὴν μὲν εἰς τὸ ἐκείνου στόμα δῦναι οὐκ ἤθελεν, αὐτὸς δὲ πολέμου στόμα δῦναι ἐπιθυμεῖ, ὃ πολλοὺς κατεμασήσατο ἀριστεῖς. τοιοῦτον γάρ τι δηλοῖ τὸ «αἱματόεντος». καινὸν δὲ οὐδέν, εἰ στόμα λέγει πολέμου τὸ τοὺς μαχομένους ἀπεσθίον. ὡς γὰρ οὐρὰ στρατοῦ τὸ ὄπισθεν, ἐξ οὗ καὶ τὸ οὐραγεῖν καὶ ὁ οὐραγός, οὕτω καὶ στόμα, ἐν ᾧ οἱ πρόμαχοι ἵστανται. Σημείωσαι δὲ ὅτι τὸ τέρπειν οὐδέν τι ἄλλο ἐστὶν ἢ τὸ ἐξ ἀθυμίας εἰς γλυκυθυμίαν μετατρέπειν κατὰ μετάθεσιν ἀμεταβόλου. [Καὶ συντελεῖ τι αὐτὸ εἰς τὸ τερπικέραυνος, ἤγουν τρέπων κεραυνοῖς.] Ἀχιλλεὺς μέντοι μὴ πειθόμενος οὕτω μετατραπῆναι οὔ τι θυμῷ τέρπεσθαι λέγεται. Ὅρα δ’ ἐνταῦθα καὶ οἵαν εὐπορίαν γραφῆς παρεῖδεν ὁ ποιητὴς διὰ τὸ εἰς ἕτερα κατεπείγεσθαι. ἐν γὰρ τῷ «τέρποντες ἀκαχήμενοι» πολλὰ εἶχεν ἠθοποιῆσαι καθ’ ἕκαστον τῶν εἰρημένων ἡρωϊκῶν προσώπων. οὐκ ἐποίησε δὲ αὐτό, οἷα σπεύδων εἰς τὰ σκοπιμώτερα. Εἰ δὲ καὶ ἔτερπον μὲν οἱ ἥρωες λόγοις τὸν Ἀχιλλέα, ὃ δὲ οὐχ’ ὑπήκουεν, ὅρα λόγους τούτους ἡρωϊκοὺς ἀπράκτους μείναντας διὰ τὸ ἄγαν ἄχος τοῦ ἀκούοντος. (v. 314) Ὅτι ὅπερ ἐν ἄλλοις ὁ ποιητής φησιν «ἀνεβάλλετο καλὸν ἀείδειν», τοῦτο ἐνταῦθα «ἀνενείκατο» φησίν, ὡς καὶ προερρέθη, ἤγουν ἀνήνεγκε πνεῦμα. λέγει γὰρ περὶ Ἀχιλλέως, ὅτι «ἀνενείκατο φώνησέν τε». εἴρηται δὲ καὶ ἐν Ὀδυσσείᾳ περὶ τῆς τοιαύτης λέξεως ἀκριβέστερον. (v. 315—21) Ὅτι Ἀχιλλεὺς ἐν τῷ παρεῖναι τοὺς προσεχῶς ῥηθέντας ἀριστεῖς μνησάμενος τοῦ Πατρόκλου λέγει ἀφελῶς, ἐκ τῶν παρὰ πόδας τὸ προοίμιον πορισάμενος κατὰ τὴν Ὁμηρικὴν συνήθειαν, ταῦτα «ἦ ῥά νύ μοί ποτε καὶ σύ, δυσάμμορε, φίλταθ’ ἑταίρων, αὐτὸς ἐνὶ κλισίῃσι λαρὸν παρὰ δεῖπνον ἔθηκας αἶψα καὶ ὀτραλέως, ὁπότε σπερχοίατο», ἤγουν σπεύδοιεν, «Ἀχαιοὶ Τρωσὶν ἐπιφέρειν πολύδακρυν Ἄρηα.

4.336 νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένος, αὐτὰρ ἐμὸν κῆρ ἄκμηνον πόσιος καὶ ἐδητύος ἔνδον ἐόντων σῇ ποθῇ». ὥστε καλῶς οὐ δειπνῶ μὴ ἔχων τὸν δειπνοποιόν. (v. 321—27) Οἷς ἐπάγει, ὅτι «οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι, οὐδ’ εἴ κεν τοῦ πατρὸς ἀποφθιμένου πυθοίμην, ὅς που νῦν Φθίῃφι τέρεν κατὰ δάκρυον εἴβει χήτει τοιοῦδ’ υἷος», ἤγουν τοιούτου υἱοῦ «ὃ δέ», ἤγουν ὁ ῥηθεὶς υἱὸς Ἀχιλλεὺς ἐγώ, «ἀλλοδαπῷ ἐνὶ δήμῳ εἵνεκα ῥιγεδανῆς Ἑλένης Τρωσὶ πολεμίζω, ἠὲ τόν», ἤγουν τοῦτον, «ὃς Σκύρῳ μοι ἐνιτρέφεται φίλος υἱός. εἴ που ἔτι ζώει Νεοπτόλεμος θεοειδής». (v. 328—33) Καὶ ἐπάγει καὶ αἰτίας ἀξιολόγους τῆς οὕτω πολλῆς ἐπὶ τῷ Πατρόκλῳ λύπης «πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει, οἶον ἐμὲ φθίσεσθαι ἀπ’ Ἄργεος ἱπποβότοιο αὐτοῦ ἐνὶ Τροίῃ, σὲ δέ τε Φθίηνδε νέεσθαι, ὡς ἄν μοι τὸν παῖδα Σκυρόθεν ἐξαγάγοις καί οἱ δείξειας ἕκαστα κτῆσιν ἐμὴν δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα». (v. 334—7) Εἶτα ὥς τινος ὑποκρούσοντος, τί δὲ ὁ πατὴρ Πηλεὺς οὐκ ἐπιμελήσεται οὕτω τοῦ Νεοπτολέμου, λύει φάμενος οἴεσθαι μηκέτι ζῆν ἐκεῖνον. Φησὶ γὰρ «ἤδη γὰρ Πηλῆά γ’ ὀΐομαι ἢ κατὰ πάμπαν τεθνάμεν ἤ που τυτθὸν ἔτι ζώοντ’ ἀκάχησθαι γήραΐ τε λυγρῷ καὶ ἐμὴν ποτιδέγμενον αἰεὶ λυγρὴν ἀγγελίην ὅτ’ ἀποφθιμένοιο πύθηται». (v. 338) Εἶτα ἐμφαίνων ὁ ποιητής, ὡς πρὸς οἶκτον ὁ Ἀχιλλεὺς ἐλάλησεν, ἐπάγει «ὣς ἔφατο κλαίων, ἐπὶ δὲ στενάχοντο γέροντες», παραποιήσας ἢ παρῳδήσας τὸ πρὸ ὀλίγων λεχθὲν «ὣς ἔφατο κλαίους’ ἐπὶ δὲ στενάχοντο γυναῖκες». (v. 339) Καὶ ἐπάγει «μνησάμενοι τὰ ἕκαστος ἐνὶ μεγάροισιν ἔλειπον», τὰ φίλτατα δηλαδή. οὐ δήπου γὰρ μόνην τὴν κτῆσιν καὶ τὸ δῶμα. Καὶ σημείωσαι ὡς ὅμοιόν ἐστι τοῦτο τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«στενάχοντο Πάτροκλον πρόφασιν». οὕτω γὰρ καὶ ἐνταῦθα οἱ γέροντες κλαίουσι πρόφασιν, ἃ ἕκαστος οἴκοι ἔλειπον. (v. 315) Τὸ δὲ «δυσάμμορος» δηλοῖ μὲν τὸν δύσμορον, κατὰ συνέλευσιν δύο ἐπιρρημάτων ἰσοδυνάμων τοῦ δυς καὶ τοῦ α , καὶ Αἰολικὸν διπλασιασμὸν τοῦ ἀμεταβόλου.

4.337 δηλοῖ δὲ οὐ μόνον τὸν δυσθάνατον, ἀλλὰ καὶ τὸν δυσδαίμονα, ἤτοι δυστυχῆ, ὃς καὶ δύσμορος λέγεται. Σημείωσαι δὲ ὅτι ἐπεὶ ταὐτὸν οἶτος καὶ μόρος, δύσμορος δὲ οὐκ ἐξ ἀνάγκης ὁ κακῶς θανὼν ἀλλὰ καὶ ὁ κακοτυχής, ἀκολούθως παρὰ Θεοκρίτῳ μεγάλοιτος κεῖται ὁ πάνυ δυστυχής, ληφθέντος τοῦ οἴτου εἰς τύχην ὁμοίως τῷ μόρῳ. (v. 316) Τὸ δὲ «λαρόν», εἰ μὲν κεῖται πρὸ αὐτοῦ τὸ «ἐνὶ κλισίῃσι», συστέλλει τὸ α δακτυλικῶς, εἰ δὲ γράφεται «ἐνὶ κλισίῃ» κατὰ δοτικὴν ἑνικήν, ἐκτείνει αὐτό. καὶ ἔστι τοῦτο κρεῖττον. λαρὸν γὰρ τὸ ἄγαν ἀρηρὸς ψυχῇ καί, ὡς εἰπεῖν, θυμῆρες, παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ ἀρῶ, τὸ ἁρμόζω, κράσει τῶν δύο α εἰς α μακρόν. (v. 317) Τὸ δὲ «αἶψα καὶ ὀτραλέως ἐκ παραλλήλου τὸ αὐτὸ λαλοῦσι, καὶ ἑρμηνεύουσιν ὀτραλέον καὶ ὀτρηρὸν θεράποντα. Τὸ δὲ «ὁπότε σπερχοίατο Ἀχαιοί» καὶ ἑξῆς, καιρὸν δηλοῖ, ὅτε τὸ δεῖπνον ἦν ἐν Τροίᾳ φίλον Ἀχαιοῖς. [Συντελεῖ δέ τι καὶ εἰς τὴν ῥηθεῖσαν τοῦ Πατρόκλου σπουδήν. σπερχομένων γὰρ Ἀχαιῶν εἰς δεῖπνον ὀτραλέως ἐπονεῖτο εἰς δειπνοποιΐαν καὶ Πάτροκλος.] (v. 319) Τὸ δὲ «κεῖσαι δεδαϊγμένος» ἐλλειπτικῶς ἔχει. τὸ δὲ ἐντελὲς προεφράσθη ἐν τῷ «δεδαϊγμένον ὀξέϊ χαλκῷ». (v. 320) Τὸ δὲ «ἄκμηνον» τί σημαίνει καὶ ὅθεν γίνεται, οὐ πρὸ πολλῶν δεδήλωται. Τὸ δὲ «ἔνδον ἐόντων» πρὸς ἀκρίβειαν κεῖται. οὐ γὰρ διὰ τὸ μὴ ἔνδον εἶναι τὰ πρὸς δεῖπνον ἄκμηνός ἐστιν ὁ Ἀχιλλεύς, ἀλλὰ ποθῇ Πατρόκλου. (v. 321) Εἰς δὲ τὸ «οὐ μὲν γάρ τι κακώτερον» καὶ ἑξῆς, σημείωσαι ὅτι οὐκ εἶπε μεῖζον τὸ ἐπὶ Πατρόκλῳ πένθος τοῦ ἐπὶ τῷ Πηλεῖ καὶ τῷ Νεοπτολέμῳ, ἀλλ' ὅτι οὐ κακώτερα τούτου ἐκεῖνα. μέση δὲ λέξις τὸ «οὐ κακώτερα», καὶ δηλοῖ πολλάκις ἰσότητα. ἔχει δέ πως ὁμοιότητα τὸ νόημα τοῦτο πρὸς τὸ τοῦ Ἕκτορος, εἰπόντος που μὴ τόσον μηδὲ τῶν τεκόντων αὐτῷ μέλειν, ὅσον τῆς Ἀνδρομάχης. (v. 322) Τὸ δὲ «πυθοίμην», καθὰ καὶ τὸ πύθηται, γενικῇ ἐν τοῖς ῥηθεῖσι συντέτακται. (v. 324) Τὸ δὲ «χήτει τοιοῦδ' υἷος» παρῴδηται ἐκ τοῦ «χήτει τοιοῦδ' ἀνδρός». Ὅρα δὲ ὅπως ἀλλαχοῦ πλατύτερον ἑαυτὸν ἐπαινέσας ὁ Ἀχιλλεὺς ἐνταῦθα ἠρκέσθη συντόμως εἰπὼν καὶ μυστικῶς «χήτει τοιοῦδε υἱοῦ», μεγάλου δηλαδή.

4.338 τοῦτο γὰρ δηλοῖ ἐμφαντικῶς τὸ «τοιοῦδε», διὰ τὸ μὴ ἔχειν ἐξ αὐτοσχεδίου εἰπεῖν μεγαλώνυμόν τι ἐπίθετον. (v. 325) Ἑλένη δὲ ῥιγεδανὴ ἁπλοϊκῶς μὲν ἡ φρικτὴ καί, ὡς εἰπεῖν, κρυερά. αἰδεῖται γὰρ Ἀχιλλεύς, εἰ καὶ ἄλλως βαρύς ἐστι, σφοδρότερον αὐτῆς καθίξεσθαι ἐν ἐπηκόῳ ἡρώων, καὶ μάλιστα τῶν βασιλέων. συμφωνεῖ δὲ τῷ λόγῳ καὶ Πλούταρχος, λέγων ἐν Συμποσιακοῖς, ὅτι ῥιγεδανὸν καὶ κρυερὸν τὸ λυπηρὸν καὶ φοβερόν. ἄλλως δὲ περιεργότερον ῥιγεδανὴ ἡ κακίστη, καθά τις ἂν εἴποι ἐννοησάμενος τὸ «τῆς δὲ κακῆς οὐ ῥίγιον ἄλλο». Καὶ σημείωσαι ὅτι κατὰ διαφόρους ἐννοίας ἡ φαύλη γυνὴ καὶ ἀντὶ πυρὸς δεδόσθαι καὶ αὖ πάλιν ῥιγεδανὴ εἶναι λέγεται. Προεκαλέσατο δὲ ὅλως ἄρτι ἐκ λύπης τὸν Ἀχιλλέα εἰς τὸν κατὰ τῆς Ἑλένης τοιοῦτον λόγον τὸ τοῦ πάθους πολλαπλοῦν. περί τε γὰρ τοῦ πατρὸς λυπεῖται ὡς ἢ πάμπαν τεθνεῶτος ἢ ζῶντος μέν, δυστυχῶς δέ. ἔτι καὶ ἐπὶ τῷ υἱῷ παθαίνεται ὡς μὴ ἔχοντι τὸν προϊστάμενον, οὐχ' ἥκιστα δὲ καὶ ἐπὶ τῷ τοῦ Πατρόκλου θανάτῳ. καὶ ἑαυτὸν δὲ νοεῖ μικρὸν ὅσον τεθνηξόμενον. πῶς ἂν οὖν ἐπὶ τοιούτοις οὐκ ἂν δυσφήμως μνησθείη τῆς τούτων αἰτίας Ἑλένης; ὃς καὶ τῇ Βρισηΐδι φθάσας θάνατον ἐπηράσατο, δι' ἣν τοσοῦτοι Ἕλληνες ὤλοντο μηνίσαντος αὐτοῦ. (v. 326) Τὸ δὲ «ἠὲ τόν» οὐ συνήθως ἐσχημάτισται, ἀλλά τι παρεξήλλακται. ἦν μὲν γὰρ τοῦ εἱρμοῦ τὸ εἰπεῖν «οὐδ' εἴ κεν τοῦ πατρὸς πυθοίμην, ἠὲ τοῦ», ἤγουν τούτου, «ὃς Σκύρῳ μοι ἐνιτρέφεται». Ἀχιλλεὺς δέ, ὡς οἷον ἐκλαθόμενος ὑπὸ πένθους τῆς ἐθίμου συντάξεως, ἔφη τὸ «ἠὲ τόν». ὃ θεραπευθήσεται διὰ προθέσεως, ἵνα λέγῃ, ὅτι οὐδ' εἴπερ πυθοίμην πατρὸς ἢ πυθοίμην διὰ τόν, ἤγουν διὰ τοῦτον, ὃς Σκύρῳ μοι ἐνιτρέφεται υἱός. (v. 327) Τὸ δὲ «εἴ που ἔτι ζώει Νεοπτόλεμος» ἀσφαλῶς πρόσκειται, ὡς εἴγε μὴ ζῇ, οὐδ' ἂν ἐν Σκύρῳ τρέφοιτο. Περὶ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ἐν Σκύρῳ τὸν Νεοπτόλεμον τρέφεσθαι τοιαῦτά φασιν οἱ παλαιοί· ὅτι Θέτις, οἷα πάνυ φιλόπαις, ἐκεῖ πρὸ τοῦ Τρωϊκοῦ πολέμου τὸν Ἀχιλλέα ἐξέθετο, ἔνθα καὶ γυναικιζόμενον ὁ Παλαμήδης αὐτὸν ἤλεγξεν, ὡς καὶ ὁ Λυκόφρων ἱστορεῖ· καὶ ἐκεῖ τῇ τοῦ Λυκομήδους θυγατρὶ συγγεγονὼς πατὴρ γίνεται Νεοπτολέμου, τούτου δὴ τοῦ ἐν τῇ πατρίδι Σκύρῳ ἔτι ἐκτρεφομένου.

4.339 καὶ οὕτω μὲν οἱ πλείους. ὁ δὲ τὴν μικρὰν Ἰλιάδα γράψας φησὶ τὸν Ἀχιλλέα ἐκ Τηλέφου τοῦ Μυσοῦ ἀναζευγνύντα προσορμισθῆναι ἐκεῖ. γράφει γὰρ οὕτω «Πηλείδην δ' Ἀχιλῆα φέρε Σκῦρόνδε θύελλα, ἔνθ' ὅ γ' ἐς ἀργαλέον λιμέν' ἵκετο νυκτὸς ἐκείνης». ἔστι δὲ ἡ Σκῦρος νῆσος πρὸς τῇ Εὐβοίᾳ, ἔχουσα λιμένας Ἀχίλλειον καὶ Κρήσιον. ᾤκησαν δὲ ἐν αὐτῇ ποτε Δόλοπες, μοῖρα Θεσσαλῶν. περὶ δὲ ταύτης ζήτει καὶ εἰς τὰ τοῦ Περιηγητοῦ. προείρηται δέ τι καὶ ἀλλαχοῦ περὶ τούτων. Νεοπτόλεμος δὲ ἐπεκλήθη ὁ τοῦ Ἀχιλλέως οὗτος υἱός, διότι νέος ὢν ἐπολέμησε. τὸ δὲ ἄλλως κύριον αὐτοῦ Πύρρος ἐστίν, ὡς ὑποδηλοῖ καὶ Σοφοκλῆς, ἔνθα καὶ ἐτυμολογίαν αὐτοῦ τινα λέγει ἐν τῷ «ὦ πῦρ σύ», καὶ ἑξῆς, [ἵνα ᾖ κατ' αὐτὸν ὁ Πύρρος αὐτόχρημα πῦρ, οὐ μὴν πυρῶδές τι, ὡς ὁ Πυραίχμης καὶ εἴ τις ἄλλος τοιοῦτος. εἴη δ' ἂν ὁ ῥηθεὶς Πύρρος, ᾧπερ ὁμωνύμως καὶ ὁ ὕστερον Ἠπειρώτης, διαστελλόμενος τῇ βαρυτονήσει τοῦ πυρροῦ, ὅπερ ἐστι πυρσοῦ. μυρία γάρ ἐστι πρὸς διάφορον σημασίαν διαφόρως τονούμενα, ὧν ἐστι καὶ ὁ Τελέστης βαρυτόνως τὸ κύριον, ὡς Ὀρέστης, καὶ ὀξυτόνως τελεστής τὸ ἐπίθετον.

4.340 ] Ἔστι δὲ κατά τινας ἐξ Ἰφιγενείας, ὡς καὶ Λυκόφρονι δοκεῖ, ἥτις καὶ κλαπεῖσα, ὥς φησι Δοῦρις, εἰς Σκῦρον ἐξετέθη. ὅθεν καὶ ἐκεῖ ὁ παῖς ἐτρέφετο. Καὶ σημείωσαι ὅπως ἱστορίαις ὁ ποιητὴς καὶ τὸν τόπον τοῦτον ἐστοίβασε, συντόμοις μέντοι καὶ οὐ πλατείαις, ὅτι μηδὲ ἔδει νῦν ἄλλως ποιεῖν. (v. 328) Τὸ δὲ «ἐώλπει» μετάθεσιν ἔχει καὶ αὐτὸ χρόνου. ἔδει μὲν γὰρ ἐκ τοῦ ἔολπα τὸν ὑπερσυντέλικον εἶναι ἠόλπειν. οὕτω δὲ καὶ ἔοργα ἠόργειν. μεταπτώσει δὲ χρονικῇ συνεστάλη μὲν ἐν τούτοις ἡ ἄρχουσα, ἐξετάθη δὲ ἡ μετ' αὐτὴν κατά τινα ὡς εἰπεῖν μεταχώρησιν καὶ ἀντιπερίστασιν. (v. 329) Ἄργος δὲ ἱππόβοτον οὐ τὴν Πελοπόννησον Ἀχιλλεὺς λέγει, ἀλλὰ τὸ Θετταλικόν, ὅπερ ὅτι ἱππόβοτόν ἐστιν ὡς μάλιστα, καὶ ἡ νῦν οἶδε γενέα. (v. 333) Τὸ δὲ «ἕκαστα κτῆσιν ἐμήν» ὅμοιόν ἐστι κατὰ σχῆμα τῷ «πάντα δάσασθαι κτῆσιν, ὅσην πτολίεθρον ἐντὸς ἐέργει». Τὸ δὲ «ὑψερεφές» ὅτε ἀναγκάζει τὸ μέτρον διὰ τοῦ η ἔχει τὴν προπαραλήγουσαν, ὑψηρεφές γὰρ τότε λέγεται. (v. 334) Ἐν δὲ τῷ «Πηλῆά γ' ὀΐομαι» ὁ γε σύνδεσμος χασμῳδίαν συνεστόμωσε συναλιφείς. Ὅρα δὲ καὶ τὸ κατὰ πάμπαν τεθνάναι. τὸ γὰρ θανεῖν πάμπαν τεθνάναι εἰπὼν δίδωσιν ἀστείως νοεῖν, ὅτι τὸ κακῶς ζῆν ἐν λύπαις καὶ νόσοις ἐκ μέρους τεθνάναι λέγοιτ' ἄν, ἢ ἀλλὰ τυτθὸν ζῆν κατὰ τὴν ποίησιν. (v. 336 s.) Τὸ δὲ «καὶ ἐμὴν ποτιδέγμενον λυγρὴν ἀγγελίην» ἔχει τι καὶ αὐτὸ ξενίζον ἐν τῇ συντάξει. ὀφείλων γὰρ εἰπεῖν ὁμοιοπτώτως «γήραΐ τε στυγερῷ καὶ τῇ περὶ ἐμοῦ δυσελπιστίᾳ», ὁ δὲ ἔφη «γήραΐ τε στυγερῷ καὶ ἐμὴν ποτιδέγμενον λυγρὴν ἀγγελίην», καὶ ἑξῆς.

4.341 Τὸ δὲ «ὅτε ἀποφθιμένοιο πύθηται» ἑρμηνεία ἐστὶ τοῦ «λυγρὴν ἀγγελίαν». τί γὰρ ἂν εἴη λυγρότερον ἐν ἀγγελίαις τοῦ μηνυθῆναι θάνατον; (v. 340) Ὅτι φιλοίκτου προσώπου τὸ «μυρομένους δ' ἄρα τούς γε ἰδὼν ἐλέησεν». (v. 343—6) Οὕτω δὲ καὶ τὸ «τέκνον ἐμόν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸς ἑῆος», ἤγουν ἰδίου ἢ ἀγαθοῦ, ὡς πολλαχοῦ κεῖται. «ἦ νύ τοι», ἤγουν ὄντως δή σοι, «οὐκέτι πάγχυ μετὰ φρεσὶ μέμβλεται» ὁ δεῖνα, «κεῖνος ὅ γε ἧσται ὀδυρόμενος ἕταρον φίλον, οἳ δὲ δὴ ἄλλοι οἴχονται μετὰ δεῖπνον, ὃ δ' ἄκμηνος καὶ ἄπαστος». ὁ Ζεὺς δὲ ταῦτα τῇ Ἀθηνᾷ περὶ τοῦ Ἀχιλλέως φησίν. (v. 343) Ἐν οἷς τὸ «μέμβλεται», ἤτοι μεμέληται, διάκειται καὶ αὐτὸ καθὰ καὶ τὸ μέμβλωκε. ἔστι γὰρ τὸ κοινὸν μεμέληται, καὶ συγκοπῇ μέμληται, καὶ πλεονασμῷ τοῦ β καὶ συστολῇ τοῦ η μέμβλεται. Ὅτι πιθανολογῶν ὡς οἷόν τε ἦν ποιητικώτερον Ὅμηρος τὸ νῆστιν τὸν Ἀχιλλέα δύνασθαι μάχεσθαι πανημέριον πλάττει τὸν Δία ἐπιτάσσοντα τῇ Ἀθηνᾷ τὸ ὑπὲρ Ἀχιλλέως. (v. 347—8) Φησὶ γὰρ «ἀλλ' ἴθι οἱ νέκταρ τε καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀμβροσίην ἐρατεινὴν στάξον ἐνὶ στήθεσσιν, ἵνα μή μιν λιμὸς ἵκηται». καὶ οὕτω μὲν ὁ Ζεὺς εἶπεν. (v. 350—4) «Ἡ δ' ἅρπῃ εἰκυῖα τανυπτέρυγι λιγυφώνῳ οὐρανοῦ ἐκκατέπαλτο δι' αἰθέρος», ἤδη τῶν Ἀχαιῶν θωρησσομένων, «ἣ δ' Ἀχιλῆϊ νέκταρ ἐνὶ στήθεσσι καὶ ἀμβροσίην ἐρατεινὴν στάξ', ἵνα μή μιν λιμὸς ἀτερπὴς γούναθ' ἵκηται», ὃ ἀνωτέρω δίχα τοῦ «γούνατα» ἔφη, εἰπὼν «μή μιν λιμὸς ἵκηται». δηλοῖ δὲ διὰ τῶν γονάτων τὴν τοῦ ὅλου σώματος ἀσθένειαν ἐναργέστερον. αὐτῶν γὰρ ὀκλασάντων διαφαίνεται τὸ κακὸν τοῦ λιμοῦ. (v. 353) Ἰστέον δὲ ὅτι νέκταρ ἐνταῦθα καὶ ἀμβροσία ἐστίν, ἣν δὶς ἐνταῦθα ἔφη ἐρατεινήν, ἡ ἀπὸ τῆς τῶν γερόντων καὶ λοιπῶν ἀριστέων ὁμιλίας γλυκυθυμία, τῶν παραμεινάντων τῷ Ἀχιλλεῖ καὶ τερπόντων πυκινῶς, ὡς εἴρηται. διὸ Ζεὺς μὲν ἐπιτάττει, Ἀθηνᾶ δὲ ἐνσταλάττει, νοῦς δηλαδὴ καὶ ἡ κατὰ λόγου τέχνην φρόνησις, ὧν ἡ ἔσω στηθέων στάξις καὶ παρείσκρισις λεπτότητα δηλοῖ τὴν καὶ τῷ νέκταρι καὶ τῇ ἀμβροσίᾳ μυθικῶς ἐμφαινομένην. δῆλον δέ, ὅτι γεροντικὴ ὁμιλία, ἡ τοῦ Νέστορος δηλαδή, καὶ τὸν πικρὸν ἐγλύκανέ που πόλεμον τοῖς Ἀχαιοῖς ὀτρύνασα εἰς ἐκεῖνον ἡδέως.

4.342 (v. 350) Ἅρπη δὲ ἢ ὁ ἰκτῖνος ἢ ζῷον ἄλλο ἀετῶδες, ὃ εἰς ὕψος ἀρθὲν εὐχερῶς ὅπῃ θέλει καταράσσει. οἱ δὲ ζῷον θαλάσσιον λάρῳ πολεμοῦν. φιλεῖ δέ, φασί, τροφὴν συνάγειν καὶ φυλάσσειν ἐπὶ τοῖς κάρφεσιν εἰς χορηγίαν τοῖς νεοσσοῖς. Τανυπτέρυγα δέ φησι τὴν μεγαλοπτέρυγον. Τὸ δὲ κατὰ κλαγγὴν «λιγύφωνον» ἴδιόν ἐστι τῶν ἀετωδῶν. (v. 351) Ἐν δὲ τῷ «οὐρανοῦ ἐκκατέπαλτο δι' αἰθέρος» σαφῶς ἐκφαίνει ὑπερκεῖσθαι τοῦ αἰθέρος τὸν οὐρανόν, οὐχ' ἁπλῶς μέντοι τὸν εἰς ἀέρα μεταλαμβανόμενον, ἀλλὰ τὴν ἐξωτάτω ἀπλανῆ σφαῖραν. (v. 354) Ὅρα δὲ καὶ ὡς οὐ μόνον εὐθεῖα ἄτερπος, ὡς δηλοῖ τὸ «ἀτέρπου ὀϊζύος», ἀλλ' ἰδοὺ ἐνταῦθα καὶ ἡ ἀτερπής. (v. 359—64) Ὅτι αἵτινες «τότε ταρφειαὶ κόρυθες λαμπρὸν γανόωσαι νηῶν ἐκφορέοντο καὶ ἀσπίδες ὀμφαλόεσσαι θώρηκές τε κραταιγύαλοι καὶ μείλινα δοῦρα» εἰς νιφάδας τῷ ποιητῇ παραβάλλονται οὕτως «ὡς δ' ὅτε ταρφειαὶ νιφάδες Διὸς ἐκποτέονται ψυχραὶ ὑπὸ ῥιπῆς» ἢ «ὑπαὶ ῥιπῆς», «αἰθρηγενέος Βορέαο, ὣς τότε ταρφειαί», καὶ ἑξῆς, ὡς γέγραπται. [«Αἴγλη δέ», φησίν,] «οὐρανὸν ἶκεν», ἡ τῶν ὅπλων δηλαδή, «γέλασε δὲ πᾶσα περιχθών», ὡς οἷά τις ἔμψυχος, χαλκοῦ ὑπὸ στεροπῆς. ὑπὸ δὲ κτύπος ὤρνυτο ποσὶν ἀνδρῶν· ἐν δὲ μέσσοισι κορύσσετο δῖος Ἀχιλλεύς». Καὶ ὅρα ὅτι τέσσαρα εἴδη ὅπλων ὀνομάσας μετὰ ἐπιθέτων αὐτὰ προήγαγεν, ὡς ἀνωτέρω ἔκκειται, ἐναβρυνόμενος οὕτω καὶ τοῖς πράγμασι συνεξωραϊζόμενος καὶ συνεξαλλοιώσας τὴν φράσιν τῷ καιρῷ. (v. 357) Ὅτι δὲ τάρφος τὸ καθ' ὕλην κυρίως δάσος, καὶ ἀπ' αὐτοῦ ταρφύ ταρφέος, τὸ πυκνόν, ἐξ οὗ καὶ τὸ ταρφειόν, δεδήλωται, ὁμοίως καὶ ὅτι ἐκ τοῦ τρέφειν τὸ τάρφος. Τὸ δὲ «Διὸς ἐκποτέονται», ἀντὶ τοῦ ἐξ ἀέρος, οὗ βέλη τὰ τοιαῦτα ὡς οἷον πτερόεντα, καθὰ δηλοῖ τὸ «νιφάδες ἐκποτέονται», περὶ οὗ σαφῶς ἀλλαχοῦ προγέγραπται. ἃ δὴ βέλη καὶ διόβολα συνθέτως λέγοιντ' ἄν, ὡς εἰκός, κατὰ τὸν Σοφοκλῆν εἰπεῖν, ἐξ ὧν τις καὶ εἰς ἀλληγορίαν τῆς τοῦ Διὸς αἰγίδος ἐναχθήσεται.

4.343 [Ὅρα δὲ ὅτι τοῦ «ἐκπωτῶνται» μεγεθύνοντος τὴν πω συλλαβὴν διὰ τὸ εἶναι δευτέρας συζυγίας τῶν περισπωμένων, τὸ «ἐκποτέονται» συστέλλει αὐτήν, πρώτης αὐτὸ συζυγίας ὄν. τοιοῦτον δὲ καὶ τὸ τρωπῶν καὶ τροπέων, καὶ εἴ που ἄλλα τινὰ ὅμοια.] (v. 358) Τῆς δὲ ῥιπῆς οὐκ ἔστι καιριωτέραν ἐνταῦθα λέξιν εὑρέσθαι, ὥσπερ οὐδὲ τοῦ νηῶν ἐκφορεῖσθαι, ἤγουν ἐκφέρεσθαι. διὸ καὶ ἐκράτησεν ἡ λέξις καὶ παρὰ τοῖς τοῦ δήμου ἀνδράσιν ἕως καὶ νῦν. (v. 361) Κραταιγύαλοι δὲ οἱ κραταιοῦντες τὰ γυῖα τῶν ὁπλιτῶν, ἢ κραταιὰ γύαλα ἔχοντες, ἤγουν κοιλώματα, ὡς εἴρηται καὶ ἀλλαχοῦ. [Ἀναλογία δὲ τῆς τοιαύτης συνθέσεως κατὰ τὸ ἐν Ὀδυσσείᾳ κραταίπεδον.] (v. 362) Τὸ δὲ «αἴγλη δ' οὐρανὸν ἶκεν» τεραστίως εἴρηται, εἴπερ ἄλλως μὲν ἄνωθεν τὰ περὶ γῆν καταλάμπεται κατὰ τὸ «οὐρανόθεν δ' ὑπερράγη ἄσπετος αἰθήρ», ἐνταῦθα δὲ κάτωθεν «αἴγλη οὐρανὸν ἶκεν», ᾧ σύμφωνον καὶ ἐν τοῖς ἑξῆς τὸ ἐκ τοῦ σάκους σέλας εἰς αἰθέρα ἱκνούμενον. Τὸ δὲ «γέλασε χθών», περὶ οὗ καὶ αὐτοῦ προείρηται, ἀντὶ τοῦ λαμπρὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιήστραψε καὶ ἱλαρόν, ὥστε τῇ διαστίλψει διάχυσιν ἀέρος γενέσθαι, ὃ καὶ ὁ γέλως περὶ τὸν ἄνθρωπον ποιεῖ διαχέων αὐτόν. Ὅτι δὲ καὶ ἐπὶ θαλάσσης ῥητέος ὁ γέλως τροπικῶς, ὁ Κίλιξ δηλοῖ ποιητής. ἐδηλώθη δέ που καὶ ὅτι ὃ περὶ τὸν θεατὴν ἄνθρωπον ἐν τοῖς τοιούτοις γίνεται, τῇ γῇ Ὅμηρος ἐπωνόμασε, καὶ ἐπὶ τῷ πράγματι τῷ διαχέοντι τὸν βλέποντα τῇ στιλβηδόνι, ὑφ' ἧς καὶ ἡ γῆ λάμπεται, γελᾶν λέγει τὴν γῆν. οὕτω καὶ θώρακες γανόωντες καὶ κόρυθες γανόωσαι, οὐχ' ὅτι αὐτοί, ἀλλ' ὅτι ὁ θεατὴς γάνυται. τὸ δὲ γανοῦσθαι λαβοῦσα ἐξ Ὁμήρου καὶ ἡ χυδαία γλῶσσα ἐπιλέγει αὐτὸ χαλκώμασιν, ἃ κασσίτερος ἀλείφων χρῴζει πρὸς ἀργυρωμάτων ὑπόκρισιν. γεγανωμένα γὰρ διὰ τὴν αὐτὴν αἰτίαν λέγεται καὶ αὐτά. (v. 365) Ὅτι τὸ «τοῦ καὶ ὀδόντων μὲν καναχὴ πέλεν» ἠθέτηται. γελοῖον γάρ φασιν οὕτω πάσχειν καὶ οἷον βρυχᾶσθαι τὸν Ἀχιλλέα. (v. 365—7) Τὸ μέντοι ἐπαγόμενον «τὼ δέ οἱ ὄσσε λαμπέσθην ὡσεὶ πυρὸς σέλας» καὶ τὰ ἑξῆς, ἐπαινεῖται ὡς εὖ πάνυ ἔχον. δῆλον δὲ ὅτι ἐνταῦθα παραπεποίηται εἰς τὸ σαφέστερον τὸ «πυρὶ λαμπετόωντι ἐΐκτην». Σημείωσαι δὲ ὅτι ὁ μὲν Δόλων ἐβάμβαινε δειλιῶν, Ἀχιλλεὺς δὲ καναχὴν ὀδόντων ἔχει πάνυ θυμούμενος καὶ ὥσπερ πρίων αὐτούς.

4.344 ἄλλος δ' ἂν εἴποι τις κοινότερον τρίζων. καὶ παρέπεται ἀληθῶς καὶ τοῦτο τοῖς ἄγαν θυμουμένοις, ὡς καὶ ἐνταῦθα ὁ Ἀχιλλεύς. (v. 366 s.) Περὶ οὗ φησιν «ἐν δέ οἱ ἦτορ δῦν' ἄχος ἄτλητον». ἔνθα κεῖταί τι καὶ ὡς ἀντίθετον. (v. 367 s.) Ἐπάγει γὰρ «ὃ δ' ἄρα Τρωσὶ μενεαίνων δύσετο δῶρα θεοῖο», ἵνα τὸ μὲν ἦτορ αὐτοῦ δύηται ἄχος, αὐτὸς δὲ δύσηται τὰ ἡφαιστότευκτα ὅπλα. ἔστι δὲ τὸ «δύσετο δῶρα θεοῦ» περίφρασις τοῦ θωρήξατο ἢ ὡπλίσατο ἤ τινος τοιούτου. Τὸ δὲ «δῶρα θεοῦ» διασαφῶν ἐπιφέρει «τά οἱ Ἥφαιστος κάμε τεύχων». (v. 373 s. et 380) Ὅτι τοῦ σάκους τοῦ Ἀχιλλέως ἀπάνευθεν σέλας ἐγίνετο ἠΰτε μήνης, ὅ ἐστι σελήνης. καλεῖ δὲ αὐτὸ καὶ μέγα καὶ στιβαρὸν καὶ καλὸν καὶ δαιδάλεον, ἤγουν ὁποῖον ἂν Δαίδαλος ἐποίησεν, ὡς ἐντεῦθεν πάνυ σεμνύνεσθαι τὸν Δαίδαλον, εἰ κατὰ τὸν Ἥφαιστον οἶδε τεύχειν καὶ αὐτός. Διὰ τί δὲ καθὰ σελήνης εἶπε καὶ οὐχ' ἡλίου; ἢ πάντως διὰ τὴν τῷ σάκει ἐπιπολάζουσαν ἐκ διαφόρων ὑλῶν, ὡς εἰκός, ὕφεσιν τῆς ἡλιώδους χρυσέας λαμπρότητος. ἐπιφαίνονται γὰρ ὁμοίως καὶ τῷ τῆς σελήνης προσώπῳ φαντασίαι τινὲς μέλαιναι. Φράζει δὲ περὶ τοῦ σάκους οὕτως «αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε εἵλετο, τοῦ δ' ἀπάνευθε σέλας γένετ' ἠΰτε μήνης». (v. 375—9) Εἶτα καταβὰς ἄνωθεν εἰς παραβολὴν περίγειον πλατύνει αὐτὴν καί φησιν ἐκ τοῦ αὐτοῦ σάκεος σέλας ἀποπάλλεσθαι εἰς αἰθέρα, «ὡς ὅτ' ἂν ἐκ πόντοιο σέλας ναύτῃσι φανείῃ καιομένου πυρός», ὅ ἐστι πυρσοῦ σωστικοῦ, «τὸ δὲ καίεται ὑψόθ' ὄρεσφιν σταθμῷ ἐν οἰοπόλῳ. τοὺς δ' οὐκ ἐθέλοντας ἄελλαι πόντον ἐπ' ἰχθυόεντα φίλων ἀπάνευθε φέρουσιν. ὣς ἀπ' Ἀχιλλῆος σάκεος σέλας αἰθέρ' ἵκανεν», ὡς καὶ ἀνωτέρω ἐκ τῶν ῥηθέντων τευχέων αἴγλη οὐρανὸν ἶκεν. ἔστι δὲ ἡ παραβολὴ αὕτη τῷ σάκει προσφυεστέρα ἤπερ ἡ ἀνωτέρω κειμένη. μήνης μὲν γὰρ σέλας πᾶσιν ὁρᾶται, ὃ δὴ οὐκ ἔστι τοῦ σάκους, πυρσοῦ δὲ σέλας οὐ πᾶσιν, ἀλλὰ τοῖς παραπλέουσιν ἢ παροδεύουσι βλέπεται κατὰ τὸ σάκος, ὃ τούτοις ἢ ἐκείνοις παμφαίνει. ὁ δὲ κατ' ὄρος πυρσὸς οὗτος καὶ τὸ τοῦ ἥρωος ἐμφαίνει συλλογιστικῶς μέγεθος. Καὶ ὅρα ὅτι ἄλλος οὗτος πυρσὸς παρὰ τοὺς πρὸ μικροῦ ῥηθέντας νησιωτικούς. αὐτὸς γὰρ ἐν ὄρεσι καίεται σῴζων ναύτας, οὓς οὐκ ἐθέλοντας ἄελλαι ἀφορίζουσιν.

4.345 Ἰστέον δὲ ὅτι τὸ παρ' Ὁμήρῳ σέλας πυρός, ἤτοι πυρσόν, φανὸν οἱ νεώτεροι εἶπον Ἀττικοί. ὁ δ' αὐτὸς καὶ πανός, ἀπὸ τοῦ φαίνειν σχηματισθείς, φασί, κατὰ μεταβολὴν τοῦ φ , οἷον «πανοῦχον ἄξαντες φλόγα». ἦν δέ, φασί, δέσμη κληματίδων ὁ πανός, καὶ Ἀττικῶς φανός. ὃν δ' ἡμεῖς φανόν, λαμπτῆρα οἱ παλαιοὶ ἔλεγον. (v. 375) Ἰστέον δὲ ὅτι καὶ τὸ «φανείῃ» ἐνταῦθά τινες τρέψαντες τὸ παραλῆγον ε ἐν δυσὶν η γράφουσιν. (v. 377) Ὅτι δὲ σταθμὸς καὶ ἡ ἀγροτικὴ ἔπαυλις λέγεται, καὶ τί σημαίνει τὸ οἰοπόλος, προηρμήνευται. (v. 380—3) Καὶ οὕτω μὲν τὸ σάκος Ὅμηρος ἐλάμπρυνε τῷ φίλῳ ἥρωϊ. (v. 380) τὴν δὲ περικεφαλαίαν ἄλλως φωτίζει, εἰπὼν «περὶ δὲ τρυφάλειαν ἀείρας κρατὶ θέτο βριαρήν· ἣ δ' ἀστὴρ ὣς ἀπέλαμπεν ἵππουρις τρυφάλεια,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περισείοντο δ’ ἔθειραι χρύσειαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς», ἤγουν ἐνῆκε τῷ λόφῳ οἷόν τινας ξανθὰς τρίχας, ὃν δὴ λόφον καὶ αὐτὸν χρύσεον ἔφη πρὸ μικροῦ. Ὅρα δὲ ὅτι τὸ μὲν σάκος ὡρισμένως ὡμοίωσε πρὸς σελήνην, ἐπὶ δὲ τῆς τρυφαλείας ἀόριστος ἡ παραβολή. ἀστέρι γάρ τινι ἁπλῶς αὐτὴν εἴκασεν. Ἰστέον δὲ ὡς, εἴγε χρύσειαι ἦσαν αἱ τῆς [ῥηθείσης] τρυφαλείας ἔθειραι, οὐ κυρίως ἄρα ἵππουρις αὕτη ἐρρέθη, ἀλλὰ ῥιπτέον καὶ τὴν τοιαύτην ῥῆσιν εἰς τὸ «ἵπποι ἐβουκολοῦντο», καὶ «νέκταρ ἐῳνοχόει», καὶ τὰ λοιπά, περὶ ὧν προσεσημείωται. λέγοιτο γὰρ ἂν ἵππουρις αὕτη οὐ καθ’ ἑαυτήν, ἀλλὰ διὰ τὸ κοινόν. αἱ γὰρ ἄλλαι τρυφάλειαι ἱππούριδες κοινῶς καὶ οὐ κατὰ ταύτην χρυσοέθειραι. [Ὁμώνυμος δὲ λέξις καὶ ἡ ἵππουρις. λέγεται γὰρ οὕτω καὶ βοτάνης εἶδος ἐοικυίας οὐρᾷ ἵππου. ὁ δέ γε ἵππουρος ἰχθύς, ὁ καὶ ἱππουρεύς, διὰ τί οὕτως ὀνομάζεται, ζητητέον ἑτέρωθι.] (v. 384—5) Ὅτι «πειρήθη ἕο αὐτοῦ», ἤγουν ἑαυτοῦ, «ἐν ἔντεσι δῖος Ἀχιλλεύς, εἴ οἱ ἐφαρμόσσειε καὶ ἐντρέχοι ἀγλαὰ γυῖα», ἤτοι ἐὰν συνάλλεσθαι τοῖς ὅπλοις δύνηται.

4.346 (v. 386) Τῷ δέ, καίτοι γε βαρείας ὕλης ὄντα, ὅμως «εὖτε», ἤγουν καθάπερ, «πτερὰ γίνετο». πῶς, ὦ ποιητά, ὡς πτερὰ ἐγίνοντο; ἆρά γε ἀβαρῆ φαινόμενα; ναί, φησί, καὶ διὰ τοῦτο μέν, μάλιστα δέ, ἵνα ᾖ τερατωδέστερος ὁ λόγος, διὰ τὸ αἴρειν καὶ κουφίζειν τὸν ἥρωα ὡς ἐὰν καί τι πτερωτὸν τὰ πτερὰ τῇ φυσικῇ ἁρμονίᾳ. διὸ καὶ ἐπάγει, ἄειρε δὲ ποιμένα λαῶν, τῆς συμμετρίας, ὡς οἱ παλαιοί φασι, κοῦφα ποιούσης αὐτά, ὡς φέρειν μάλλον ἢ φέρεσθαι. μονονουχὶ τοίνυν λέγει ὡς χωρὶς τῶν ἀειρόντων τούτων ὅπλων οὐδ’ ἂν ἔχοι κινηθῆναι εἰς μάχην ῥᾳδίως, ὡς οὐδὲ πτηνὸν ἄνευ πτερῶν. (v. 387—91) Εἶτα ἐξεσπάσατο, φησί, τῆς σύριγγος Ἀχιλλεὺς «πατρῷον ἔγχος, βριθύ, μέγα, στιβαρόν», ὃ οὐκ ἠδύνατο ἄλλος πάλλειν, καὶ τὰ ἑξῆς, ὡς καὶ ἐν τῇ πī ῥαψῳδίᾳ εἴρηται. ἔστι δὲ καὶ ὧδε συλλογισμὸς Ὁμηρικός. συνακτέον γὰρ ἀνδρειότατον εἶναι καὶ τὸν Πηλέα, ὃς μόνος ἐκίνει τὴν μελίαν ταύτην λαβὼν δῶρον παρὰ Χείρωνος καὶ χρησάμενος ἐν νεότητι καθῆκεν εἰς διαδοχὴν τῷ Ἀχιλλεῖ. (v. 387) Σύριγξ δὲ ὀπή τις ἐπιμήκης δοράτων φυλακτική, ἡ καὶ δουροδόκη. Σημείωσαι δὲ τὴν ὁμωνυμίαν τῆς σύριγγος. οὐ μόνον γὰρ σύριγξ ποιμενική, ἔτι δὲ καὶ ποδὸς ἕλκος, ὡς ὁ Θεόκριτος, καὶ ἐκ πόλεως κρυπτὸς ὑπόνομος κατάγων εἰς ὕδωρ, ἀλλ’ ἰδοὺ καὶ αὕτη σύριγξ δουρατοδόχος. Ἰστέον δὲ ὅτι ὁ ῥηθεὶς ὑπόνομος, ὁ καὶ ἔμβολος, συντεθεὶς ποιεῖ μὲν συριγγέμβολον, συγκοπεὶς δὲ διὰ τὸ δύσφωνον λέγεται τοῖς κοινολεκτοῦσι συρέμβολος, καθὰ καὶ τὸ τετράδραχμον τέτραχμον εὕρηται, καὶ ἄλλα δὲ ὁμοίως. οὕτω δὲ καὶ τὸν Ἀλκιμέδοντα κατὰ τὴν παρατήρησιν τῶν παλαιῶν τὸν ἡνίοχον τοῦ Αὐτομέδοντος Ἄλκιμον ἐνταῦθα εἶπε συγκόψας ὁ ποιητής.

4.347 ἐρεῖ δὲ τὴν λέξιν οὕτω καὶ ἐν τοῖς ἑξῆς. (v. 392 s.) Φησὶ γὰρ «ἵππους δ’ Αὐτομέδων τε καὶ Ἄλκιμος ἀμφέποντες ζεύγνυον». ἴσως δὲ οὐ συνέκοψεν, ἀλλὰ διωνυμίαν ἐνέφηνε. δοκεῖ δὲ ἄλλως καὶ ὀκνῆσαι κάλλος νῦν περιθέσθαι τῇ φράσει διὰ τοῦ εἰπεῖν Αὐτομέδων τε καὶ Ἀλκιμέδων. (v. 393 s.) Εἶτα ἐπάγει «ἀμφὶ δὲ καλὰ λέπαδν’ ἔσαν, ἐν δὲ χαλινοὺς γαμφηλῇσιν ἔβαλον, κατὰ δ’ ἡνία τεῖναν ὀπίσσω κολλητὸν ποτὶ δίφρον». ἐν οἷς λέπαδνα μὲν συνήθως οἱ καθιέμενοι κατὰ τῶν ἱππείων τραχήλων στήθειοι ἱμάντες, ὥς φασιν οἱ παλαιοί, ἀπὸ τοῦ λέπω, τὸ λεπίζω, πλατεῖς γάρ εἰσι. τινὲς δέ, ὡς καὶ αὐτὸ προείρηται, τοὺς τῶν ἵππων μασχαλιστῆρας οὕτω καλεῖσθαί φασι. Χαλινοὶ δὲ τὰ ἡνία, ἢ μάλλον ἄλλως, τὸ μὲν ἐντιθέμενον τῷ στόματι τοῦ ζῴου χαλινὸν λέγει, τοὺς δὲ ὀπίσω κατατεινομένους ῥυτῆρας ἡνία, παρὰ τὸ ἑνοῦν τοὺς ἵππους τοὺς ὑπὸ τῷ ἅρματι. Τὸ δὲ «ἔσαν» οὐ δασύνεταί ποθεν ἀλλὰ ψιλοῦται, δηλοῦν τὸ ἦσαν. (v. 395—7) Ὅτι ἐν τῷ «ὃ δὲ μάστιγα φαεινὴν χειρὶ λαβὼν ἀραρυῖαν, ἐφ’ ἵπποιϊν ἀνόρουσεν Αὐτομέδων» δηλοῖ χρῆναι καὶ ἡνιοχικῇ μάστιγι συμμετρίαν εἶναι, ὡς μήτε λεπτὴν μήτ’ αὖ παχεῖαν εἶναι ὑπὲρ τὸ μέτρον, ἀλλὰ εὐάρμοστον τῇ χειρί. (v. 397) Ὅτι τὸ «ὄπιθεν δὲ κορυσσάμενος βῆ Ἀχιλλεύς», εἰς τὸ ἅρμα δηλαδή, τὸν παραιβάτην σαφῶς ἑρμηνεύει. ἔστι δὲ καὶ νῦν τὸ ὄπιθεν δίχα τοῦ σίγμα ἐξ ἀποβολῆς διὰ μέτρον. (v. 398) Εἶτα ἐξαίρων διὰ παραβολῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν Ἀχιλλέα φησί· «τεύχεσι παμφαίνων ὥς τ’ ἠλέκτωρ Ὑπερίων», ἤγουν ὡς ἥλιος ἀκάμας, μὴ εἰδὼς λέκτρον, ἀλλ’ ἀκοιμήτως εἰλούμενος, ἢ μὴ ἐῶν ἡμᾶς λέγεσθαι, ἤγουν κοιμᾶσθαι. Σημείωσαι δὲ ὅτι εὐτάκτως εἰς τὴν παραβολὴν ταύτην ἦλθεν ὁ ποιητής.

4.348 εἰ γὰρ ὁ θώραξ τῷ Ἀχιλλεῖ φαεινότερος αὐγῆς πυρός, τὸ δὲ σέλας τοῦ σάκους ἦν ἠΰτε μήνης, καὶ ἡ κόρυς δὲ ἀπέλαμπεν ὡς ἀστήρ, αὐτὸς ὁ τὴν τοιαύτην πανοπλίαν ἔχων ἡλίῳ ἂν ἀκολούθως ἀπεικασθείη διὰ τὸ πολυσυγκρότητον τῆς λαμπρότητος. Ὅρα δὲ καὶ ὅτι τὰς λαμπρὰς ταύτας παραβολὰς συντομώτατα ἔφρασε, φυλάσσων οὕτω μάλλον αὐταῖς τὸ σεμνόν. Σημείωσαι δὲ καὶ ὅτι σαφέστερον τοῦ προρρηθέντος που «ὥς τ’ ἠλέκτωρ ἐβεβήκει» τὸ «ὡς ἠλέκτωρ Ὑπερίων». ἐκεῖνο γὰρ εἶχέ τι ἀμφιβολίας, ὡς προδεδήλωται. Περὶ δὲ Ὑπερίονος ἐρρέθη καὶ ἐν Ὀδυσσείᾳ. νῦν δὲ συντομώτερον εἰπεῖν, ἰστέον καὶ ὅτι ὁ Παραβάτης ἀπὸ τοῦ πατρὸς Ὑπερίονα τὸν ἥλιον καλεῖ, ὥστε δυσὶ συλλαβαῖς τὸ πατρωνυμικὸν τοῦτο συγκοπὲν λείπεται τοῦ ἀπαθοῦς. Ὑπερίων μὲν γὰρ ὁ πατήρ, Ὑπεριονίδης δὲ ἑξασυλλάβως ὁ υἱὸς ἥλιος. ὁ δ’ αὐτὸς ὁμοίως καὶ Ὑπερινίων. ὁ τοίνυν Ὑπερι〈ονί〉ων, συλλαβαῖς δυσὶ κολουσθείς, Ὑπερίων γέγονε. τοιοῦτον ἐδηλώθη καὶ τὸ «Ἀκτορίωνε Μολίονε». δύο γὰρ ἐκεῖθεν συλλαβαὶ ἀπῆλθον ἐκ τῆς Μολιονίων εὐθείας καὶ ἐποίησαν τὸ Μολίων, ἀφ’ ἧς εὐθείας οἱ Μολίονες. (v. 399) Ὅτι ἐνταῦθα πραγματικῶς δείκνυται ὁ Ἀχιλλεὺς δεινὸς καὶ «ἀναίτιον αἰτιάασθαι», ὃς «σμερδαλέον ἵπποισιν ἐκέκλετο πατρός», αἰτιώμενος αὐτοὺς ὡς μὴ περισωσαμένους τὸν Πάτροκλον, καὶ διαλεγόμενος αὐτοῖς ἀφελῶς καὶ βαρέως ὡς ἔμφροσι. Ποδάργης δὲ υἱοὶ οὗτοι, ὡς προείρηται. τούτων δὲ ὁ μὲν Ξάνθος ἔοικεν οὕτω λέγεσθαι ὡς τοιοῦτος τὴν χρόαν, ὁ δὲ ἕτερος Βαλίος, ὡς ταχὺς ἢ καὶ στικτὸς κατὰ τὰς βαλιὰς ἐλάφους. Καὶ ὅρα ὅτι τὰ μὲν ἐπίθετα ξανθὸς καὶ βαλιὸς ὀξυτόνως, τὰ δὲ οἷον κύρια βαρύνεται πρὸς διαστολήν. (v. 400—3) Λαλεῖ δὲ ὁ Ἀχιλλεὺς οὕτω «Ξάνθε τε καὶ Βαλίε, τηλεκλυτὰ τέκνα Ποδάργης, ἄλλως δὴ φράζεσθε σαωσέμεν ἡνιοχῆα ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεί χ’ ἕομεν πολέμοιο, μηδ’ ὡς Πάτροκλον λίπετ’ αὐτόθι τεθνηῶτα».

4.349 ἀγαθὴν δὲ καὶ νῦν ὁ Ἀχιλλεὺς ἐλπίδα προβέβληται, οὐχ’ ὑπὲρ ἑαυτοῦ λαλῶν ἀλλ’ ὑπὲρ ἡνιόχου. εἰ δὲ γράφει «σαωσέμεν ἡνιοχῆας», δῆλον ὅτι καὶ ἑαυτὸν συλλαλεῖ ὡς οἷα ἡνίοχον. προεδηλώθη γὰρ ὡς ἡνίοχος πολλαχοῦ καὶ ὁ παραιβάτης λέγεται. Τὸ δὲ «ἕομεν» γράφεται μάλιστα «ἑῶμεν» προπερισπωμένως, καὶ ἀπαρτίζει σπονδεῖον ἐν συνιζήσει τοῦ ε καὶ τοῦ ω . εἴληπται δὲ ἀντὶ τοῦ πληρωθῶμεν καὶ κορεσθῶμεν καὶ δασύνεται, ὡς δῆλον ἐκ τῆς συναλιφῆς τοῦ «ἐπεί χ’ ἑῶμεν». Ἔστι δὲ αὐτοῦ πρωτότυπον θέμα τὸ ἕω, ἤγουν πληρῶ, ἐξ οὗ καὶ ὁ ὅλος. ἐκ δὲ τοῦ ἕω παράγωγον ἕημι, ἀφ’ οὗ δεύτερος ἀόριστος παθητικὸς ὑποτακτικὸς ὧμεν, καὶ πλεονασμῷ τοῦ ε ἑῶμεν, ὡς ὡρῶμεν ἑωρῶμεν. ἀπὸ δὲ τοῦ ἕημι καὶ τὸ ἕντο γίνεται, οἷον «ἐξ ἔρον ἕντο», καὶ τὸ εἶναι, ἤτοι πληρῶσαι, οἷον «ἐξ ἔρον εἶναι», ὡς προείρηται. (v. 408—17) Ὅτι ὁ Ξάνθος ἵππος αἰτιαθείς, ὡς εἴρηται, ὑπὸ τοῦ Ἀχιλλέως ἀπολογεῖται προσφθεγξάμενος. καὶ ἔστι μὲν μυθικὸς ὁ λόγος καὶ πάντη τερατώδης.

4.350 ἐτόλμησε δὲ κἀνταῦθα ὁ ποιητής, ἵνα τὸν μέγαν Ἀχιλλέα καὶ τοιούτοις ἵπποις κοσμήσῃ κατ’ ἐξαίρετον, οἳ οὐ μόνον θεῖοι, καθάπερ καὶ οἱ Τρώϊοι, ἀλλὰ καὶ αὐδήεντες, ὁποῖοι οὐκ ἦσαν ἕτεροι οὐδ’ ἂν εἶεν. (v. 405 s.) Καὶ μὴν καὶ ἄλλως, ὡς ἐξὸν ἦν, ὁ ποιητὴς προεθεράπευσεν αὐτό, ἐν οἷς θείους τε εἶπε τὸν Ξάνθον καὶ τὸν Βαλίον εἶναι καὶ Ποδάργης τέκνα, καὶ κλαίοντας ἐπὶ τῷ Πατρόκλῳ πεποίηκεν ὡς οἷα λογικούς, καὶ τῷ Διῒ ὄντας ἐν λόγῳ. Ἐφ’ οἷς λοιπὸν ἱστορεῖ καὶ ὅτι Ξάνθος παρέκλινε τὴν κεφαλήν, ὥστε πᾶσαν τὴν χαίτην τῆς ζεύγλης ἐκπεσεῖν καὶ τῇ γῇ πελάσαι, καὶ οὕτως ἐπιστρέψας ἑαυτὸν ὥστε ἀντίος γενέσθαι κατὰ πρόσωπον τῷ Ἀχιλλεῖ ἄλλα τε εἶπεν ἀπολογούμενος πρὸς τὴν τοῦ Ἀχιλλέως αἰτίασιν, καὶ ἀσαφῆ δὲ χρησμὸν προεῖπεν, ὡς ὁ Ἀχιλλεὺς θεῷ καὶ ἀνδρὶ δαμασθήσεται. (v. 407) Ἔτι δὲ καὶ ἄλλως ὁ ποιητὴς ἐπιδιορθοῦται τὸ τέρας τοῦτο τοῦ μύθου, τῇ παρενθέσει τῆς Ἥρας, θείου τούτου προσώπου οἵου τε ὄντος ταῦτα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιεῖν, ἥτις αὐδὴν τῷ Ξάνθῳ ἐνέθετο, ὡς φωνῇ ἀνθρωπίνῃ χρήσασθαι. αὐδὴ γάρ ἐστι λογικοῦ ζῴου φωνή. Καὶ ὅρα τὸ πιθανὸν καὶ ἐνταῦθα τοῦ μύθου. τῷ ὄντι γάρ, εἴπερ ἐλάλησεν ὁ Ξάνθος, ὥς που καὶ ὁ τοῦ Φρίξου κριός, δι' Ἥρας ἂν ἐφώνησεν, ἤγουν δι' ἀέρος. αὐδὴ γὰρ ἀέρος ἐστὶ ποιὰ πληγή. καὶ ταῦτα μὲν τὰ τοῦ μύθου. θεραπεία δὲ τούτων τοιαύτη τις. ἴσως ἀφελῶς οὕτω προσφωνήσας τοὺς ἵππους ὁ Ἀχιλλεύς, ἰδὼν δὲ τὸν Ξάνθον σχηματισθέντα πως ὡς πρὸς ἀντιλογίας ὁμοιότητα ἢ καί, ὡς εἰκός, κατὰ χρεμετισμὸν ὑποφωνήσαντα καὶ φθεγξάμενον τοῦτο δὴ τὸ τοῦ Ἡροδότου, εἰπόντος, ὅτου ἂν ὁ ἵππος ἡλίου ἐπανατείλαντος πρῶτος φθέγξηται, ἐτεκμήρατό τι ἐντεῦθεν μάντευμα τεχνικῶς περὶ ἑαυτοῦ, ὥς που καὶ ὁ παρὰ Σοφοκλεῖ Τειρεσίας ἀπὸ οἰωνῶν κλαγγῆς οἰωνίζεται. καὶ τοῦτό ἐστιν ἡ τοῦ Ξάνθου ἵππου αὐδή, ἡ συμβολικὴ τοῦ μέλλοντος δήλωσις καὶ ὡς εἰπεῖν πρόρρησις ἢ πρόσφθεγξις [ἢ φθογγή, καθότι καὶ Ὅμηρος ἐν Ὀδυσσείᾳ τὴν φθογγὴν καὶ ἐπὶ θρεμμάτων τίθησι.] Διόδωρος δὲ λέγει κατὰ μυθικὴν ἱστορίαν Ξάνθον καὶ Βαλίον Τιτᾶνας εἶναι πρότερον, βοηθῆσαι δὲ τῷ Διΐ, Ξάνθον μέν, Ποσειδῶνος ἑταῖρον ὄντα, Βαλίον δέ, Διός, καὶ ἐν τῇ μάχῃ ἀξιῶσαι μεταθέσθαι τὴν μορφήν, οἷα αἰδουμένους ὁρᾶσθαι ὑπὸ τῶν ὁμογενῶν Τιτάνων, καὶ γενέσθαι τὴν αὐτῶν ἀξίωσιν. καὶ εἶναι τούτους τοὺς τῷ Πηλεῖ δοθέντας. διό, φησί, καὶ Ξάνθος μαντεύεται Ἀχιλλεῖ τὸν θάνατον.

4.351 Ἴδε δὲ περιπέτειαν ἀστείαν καὶ καινήν, εἰ μὴ μόνον ὁ Ξάνθος νῦν οὗτος, ἀλλὰ καὶ ἕτερος Ξάνθος φωνήεις γίνεται τῷ Ἀχιλλεῖ ἐν τοῖς ἑξῆς, ἤγουν ὁ Σκάμανδρος ποταμός, ὁ καὶ Ξάνθος λεγόμενος. καὶ οὗτος μὲν σώσειν λέγει τὸν Ἀχιλλέα κατὰ σχῆμα προαναφωνήσεως καὶ ποιεῖ τοῦτο, ἐκεῖνος δὲ παρὰ μικρὸν ἄγει κινδύνου τὸν ἥρωα. αἰτιῶνται δέ τινες ἐνταῦθα τὸν Ὅμηρον εἰπόντα, ὡς ἡ μὲν Ἥρα αὐδήεντα ἔθηκε τὸν Ξάνθον, αἱ δὲ Ἐριννύες ἐπέσχον αὐτῷ τὴν αὐδήν, οὐ μὴν ἡ αὐτὴ Ἥρα. τὸ δέ ἐστιν ὄντως φιλόσοφον. ἀπίθανον γὰρ ἄλλως εἰπεῖν. ἐπεὶ πῶς ἂν ἡ Ἥρα ἐπίσχοι τὴν αὐδήν, ἥτις φωνῆς μᾶλλόν ἐστιν αἰτία; ἐντεῦθεν δὲ δῆλον καὶ ὅτι ἡ τοῦ λόγου ἐποχὴ ἐριννυῶδές ἐστι κακόν. (v. 416 s.) Ὅρα δὲ ὅπως καὶ ἐνταῦθα τὸν θάνατόν τε τοῦ Ἀχιλλέως παρελάλησεν ὁ ποιητὴς ὡς ἐν παρόδῳ, καὶ ὅτι ἐσέμνυνεν αὐτόν, εἴγε μὴ ἀνδρὶ μόνῳ δαμασθήσεται, ἀλλὰ καὶ θεῷ. λέγεται γὰρ τοξευθῆναι ὑπὸ Ἀπόλλωνος. καὶ ὥσπερ τὸν Πάτροκλον ὁ Ἀπόλλων κτείνας Ἕκτορι κῦδος ἔδωκεν, ὥς φησιν ὁ ποιητής, οὕτω καὶ τὸν Ἀχιλλέα βαλὼν αὐτὸς ὅμως Ἀλεξάνδρῳ τὴν βολὴν ἐπεκήρυξεν εἰς κῦδος ἐκείνου. (v. 404—18) Φράζει δ' ἐν τούτοις Ὅμηρος οὕτω «τὸν δ' ἆρ ὑπὸ ζυγόφιν προσέφη πόδας αἰόλος ἵππος Ξάνθος· ἄφαρ δ' ἤμυσε καρήατι, πᾶσα δὲ χαίτη ζεύγλης ἐξεριποῦσα περὶ ζυγὸν οὖδας ἵκανεν· αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη· καὶ λίην ς' ἔτι νῦν γε σαώσομεν, ὄβριμ' Ἀχιλλεῦ, ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον, οὐδέ τοι ἡμεῖς αἴτιοι, ἀλλὰ θεός τε μέγας καὶ μοῖρα κραταιή. οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτί τε νωχελίῃ τε Τρῶες ἀπ' ὤμοιϊν Πατρόκλου τεύχε' ἕλοντο· ἀλλὰ θεῶν ὤριστος, ὃν ἠΰκομος τέκε Λητώ, ἔκταν' ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδος ἔδωκε. νῶϊ δὲ καί κεν ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν, ἥν περ ἐλαφροτάτην φάς' ἔμμεναι· ἀλλὰ σοὶ αὐτῷ μόρσιμόν ἐστι θεῷ τε καὶ ἀνέρι ἶφι δαμῆναι. ὣς ἄρα φωνήσαντος Ἐριννύες ἔσχεθον αὐδήν». (v. 408 s.) Ἰστέον δὲ ὡς ὀλιγοχρόνιον βοήθειαν ἐπὶ ὑγείᾳ δηλοῖ τὸ «καὶ λίαν σε ἔτι νῦν γε σαώσομεν, ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον». (v. 411 s.) Σπουδῆς δὲ ἐνδεικτικὸν τὸ «οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτί τε νωχελίῃ τε» τόδε τι γέγονεν. (415 s.) Ἔπαινος δὲ ἵππων τὸ ἅμα πνοιῇ Ζεφύροιο θέειν. (v. 404) Τὸ δὲ «πόδας αἰόλος» πρὸς διαστολὴν ἐρρέθη τῶν ἄλλων σημαινομένων τοῦ αἰόλος. (v. 405) Τὸ δὲ ἄφαρ, ὅ ἐστι ταχὺ καὶ εὐθέως, οὕτως ἐτρίβη πρὸς κοινότητα τὴν ἀπὸ συνηθείας, ὥστε τινὲς τῶν πολλῶν τὸν αὐτοσχέδιον ζωμὸν ἀφαρόζωμόν φασιν, ὡς εἴ τις εἴπῃ, ταχύζωμον, εὐθύζωμον.

4.352 Τὸ δὲ «ἤμυσε καρήατι» διέσταλται τῆς καθ' ὅλον σῶμα κατακλίσεως. ἔστι δὲ ὅμοιον πρὸς τὸ «ἐπεί τ' ἠμύει ἀσταχύεσσιν». ὡς γὰρ λήϊον ἠμύει ἀστάχυσιν, οὕτω νῦν ὁ Ξάνθος τῇ κεφαλῇ,

ἄνω μὲν τρέψας τὸ στόμα, κάτω δὲ ἀφεὶς εἰς γῆν ἱκέσθαι τὴν χαίτην, ἐκπεσοῦσαν τῆς κατὰ τὸν ζυγὸν ζεύγλης, ἐν ᾗ πλεονάζει τὸ λ , ὡς δηλοῖ καὶ τὸ ζεῦγος δίχα τοῦ λ προφερόμενον. (v. 411) Ἡ δὲ βραδυτὴς καὶ ἡ νωχελία ταὐτολογοῦνται. [Ἶσον δὲ αὐταῖς δύναται καὶ ἡματίη, γενομένη ἐκ τοῦ ματᾶν, ἐξ οὗ τὸ ματῆσαι, περὶ οὗ προγέγραπται.] (v. 413) Τὸ δὲ θεῶν ἄριστον τὸν Ἀπόλλωνα εἰπεῖν τῇ τῶν ἵππων ἀφελείᾳ δοτέον. [Κυρίως γὰρ ὁ τοῦ μύθου Ζεὺς τοιοῦτος, θεῶν γὰρ ἐκεῖνος ἄριστος καὶ ὕπατος. Τὸ δὲ «ὤριστος» κέκραται κατὰ τὸ ἑωϋτοῦ. ἔστι γὰρ ἐκεῖνο ἕο αὐτοῦ, καὶ κράσει τοῦ ο καὶ α εἰς ω μέγα γίνεται ἑωυτοῦ, καὶ διαλύσει ἑωϋτοῦ.] (v. 415 s.) Σημείωσαι δὲ ὅτι καλῶς ὁ ποιητὴς διὰ τοῦ Ξάνθου φιλοσοφεῖ ἐλαφροτάτην εἶναι τὴν τοῦ Ζεφύρου πνοήν. τοιοῦτος γὰρ ὁ Ζέφυρος διὰ τὸ μὴ κάθυγρος εἶναι, ὁποῖος ὁ Νότος. ἔστι δὲ ἀφορμή τις τοῦτο εἰς ἀλληγορίαν τοῦ Ποδάργης τέκνα λέγεσθαι τοὺς ἵππους τοῦ Ἀχιλλέως, ὡς ποδηνέμους, ὅπερ ἐνέφηνε καὶ διὰ τοῦ εἰπεῖν τὸν Ξάνθον «πόδας αἰόλον», ὅπερ ἐστὶ ταὐτὸν τῷ πόδαργον καὶ ἐκ Ποδάργης. (v. 420—3) Ὅτι ὁ ἀκαίρως ἀκούων παρά τινος ὡς τεθνήξεται, σπεύδων δὲ ὅμως εἰς ἔργον, εἴποι ἂν τὸ τοῦ Ἀχιλλέως πρὸς Ξάνθον «ὦ δεῖνα, τί μοι θάνατον μαντεύεαι;

4.353 οὐδέ τί σε χρή. εὖ νύ τοι οἶδα καὶ αὐτός· ἀλλὰ καὶ ἔμπης οὐ λήξω». Σημείωσαι δὲ ὡς πάνυ εὐθαρσὴς εἰς κίνδυνον ὁ Ἀχιλλεύς, οἷα εὐκλείας ἐφιέμενος τῆς μετὰ θάνατον, ὃς οἶδα μέν, φησίν, ὅτι μοι μόρος, ἤγουν μοῖρα, ἐστὶν «ἐνθάδ’ ὀλέσθαι νόσφι φίλου πατρὸς καὶ μητέρος», καὶ «ὅμως οὐ λήξω πρὶν Τρῶας ἄδην ἐλάσω», ἢ μᾶλλον ἐλάσαι, «πολέμοιο». Καὶ σημείωσαι ὅτι καὶ ὧδε ὁ ποιητὴς τὸ ἄδην, ὅ ἐστι δαψιλῶς, δι’ ἑνὸς γράφει δ συστέλλων τὸ δίχρονον. Ὅρα δὲ καὶ ἐνταῦθα, ὅτι τὴν ἀγαθὴν ἐλπίδα φανερῶς, εἴπερ τις ἄλλος, προβεβλημένος ὁ Ἀχιλλεὺς μάχεται. (v. 423) Τὸ δὲ «ἄδην ἐλάσαι πολέμοιο» παρῳδίαν ἐν Ὀδυσσείᾳ ἔχει τὸ «ἄδην ἐλάαν κακότητος». ΕΚ ΤΩΝ ΤΗΣ Υ Ὅτι θεῶν μάχη τὸ γράμμα τῆς παρούσης ῥαψῳδίας ἐπιγέγραπται.

4.354.(t) ἡ δὲ ἔμμετρος ἐπιγραφὴ αὕτη· ῦ, μακάρων ἐνοπὴ καὶ φύλοπις οὐρανιώνων. καὶ ἄλλως δέ· ῦ, μακάρων ἔρις ὦρτο, φέρει δ’ ἐπὶ κάρτος Ἀχαιοῖς. [Ὅτι δὲ τὸ υ στοιχεῖον ὖμ λέγουσιν οἱ Αἰολεῖς μετὰ ψιλῆς οἰκείῳ ἔθει, ψιλωτικοὶ γάρ εἰσιν ἐπὶ πᾶσιν, ὑπὸ τῶν εἰδότων πᾶσι παραδέδοται.] (v. 1—2) Ὅτι ἐνδιαθέτως ὁ ποιητὴς ἐνταῦθα τὸν λόγον ἀποστρέψας πρὸς Ἀχιλλέα ὡς προσφωνεῖσθαι ὑπὸ τῆς Μούσης ἄξιον, φησὶν «ὣς οἳ μὲν παρὰ νηυσὶν θωρήσσοντο ἀμφὶ σέ, Πηλέος υἱέ, μάχης ἀκόρητον Ἀχαιοί». Καὶ ὅρα ὅτι ἐν μὲν τῇ α′ ῥαψῳδίᾳ περιφράσας ὁ Ἀγαμέμνων ἔφη πρὸς Ἀχιλλέα «αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε», ἐνταῦθα δὲ συντομώτατα φράζων μάχης ἀκόρητον αὐτὸς ὁ ποιητὴς αὐτὸν λέγει. Καὶ σημείωσαι ὅτι, ὅπερ ἐπὶ Τρώων φθάσας εἰς ψόγον ἔφη τὸ μάχης ἀκορήτους ἐκείνους εἶναι, τοῦτο ἐνταῦθα ἐπὶ ἐπαίνου ὁ ἀμφίγλωσσος Ὅμηρος εἴληφε. καὶ οὐ θαυμαστόν. οὐ γὰρ ἀεὶ ὁ Ἀχιλλεὺς τοιοῦτος οὐδὲ ἀεὶ φίλη αὐτῷ ἡ ἔρις κατὰ τὸν διαβαλόντα βασιλέα, διὰ δὲ τὴν ἐπὶ τῷ Πατρόκλῳ ἄμυναν ἄρτι μάχης ἐστὶν ἀκόρητος. [Ἰστέον δὲ ὅτι τό, ὡς εἴρηται, Ὁμηρικὸν δίγλωσσον πρῶτα μὲν ἐν λέξεσι θεωρεῖται, οἷον «ὃν Βριάρεων καλέουσι θεοί», Αἰγαίωνα δὲ ἄνδρες, καὶ «χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν», ὡς Ὁμήρου δῆθεν καὶ τὴν θεῖαν εἰδότος γλῶσσαν ὡς καὶ τὴν κατ’ ἀνθρώπους.

4.355 πρὸς ὅπερ ἀστεϊζόμενος Φιλόξενος ὁ Κυθήριος καὶ εἰπὼν λιπαραυγεῖς πορθμίδας πολλῶν ἀγαθῶν γεμούσας, ἐπάγει Ὁμηρικῶς «τὰς ἐφημέριοι καλέοντι», ἤγουν καλοῦσι, «τραπέζας, ἀθάνατοι δέ τε Ἀμαλθείας κέρας». εἶτα φαίνεται τὸ ῥηθὲν δίγλωσσον καὶ ἐν ἐννοίαις δοκούσαις διαφέρεσθαι, ὡς νῦν ὁ Ἀχιλλεὺς μάχης εἶναι ἀκόρεστος εὐλογεῖται, καίτοι τῶν Τρώων δι’ αὐτὸ τοῦτο κακολογηθέντων. τοῦτο δὲ καὶ ἐν πολλοῖς ἄλλοις δεινῶς ὁ ποιητὴς μεθοδεύει. καὶ ζηλοῦσι τοῦτο μάλιστα μὲν οἱ διαλεκτικοί, ὧν καὶ Ζήνων ὁ περιᾳδόμενος, καὶ οἱ ἐφεκτικοί, καὶ ὁ τὰ Δικτυακὰ δὲ μελετήσας, ὧν σκοπὸς τὰ ἀντικείμενα κατασκευάζειν, οἷον· λουστέον τὸν πυρέττοντα διὰ τὰ καὶ τά, καὶ αὖ πάλιν· μὴ λουστέον τὸν πυρέττοντα διὰ τὰ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τά. τὸ τοιοῦτον δίγλωσσον ἐν πολλοῖς ῥητορικώτερον καὶ Εὐριπίδης ἐπιτηδευόμενός φησί που τὸ «ἐκ παντὸς ἄν τις πράγματος δισσῶν λόγων ἀγῶνα θεῖτ' ἄν, εἰ λέγειν εἴη σοφός».] (v. 4—6) Ὅτι καὶ Ἀχιλλέως ἐξιέναι μέλλοντος εἰς πόλεμον καθίζει θεῶν ἀγορὰν ὁ ποιητὴς ὑπὸ τῷ Διΐ, κελεύοντι διὰ τῆς Θέμιδος πάντας φοιτᾶν εἰς αὐτὸν ὡς ἐπὶ μεγίστῳ τινὶ πράγματι. καὶ Ζεὺς μὲν «Θέμιστα κέλευσε θεοὺς ἀγορήνδε καλέσσαι κρατὸς ἀπ' Οὐλύμποιο πολυπτύχου· ἣ δ' ἄρα πάντῃ φοιτήσασα» ἐποίει τὸ κελευσθέν. πάνυ δὲ μεγαλοπρεπῶς ὁ ποιητὴς καὶ ἐν τούτοις ἐξαίρει τὴν Ἀχιλλέως ἔξοδον, εἴπερ ἐκκλησίαν τοιαύτην συνήγαγε δι' αὐτόν.

4.356 Ὅρα δὲ ὅτι ταῖς μὲν ἀγγελίαις ἡ Ἶρις ὑπουργεῖ καὶ ὁ Ἑρμῆς. νῦν μέντοι ὡς νομιμωτάτης, φασίν, ἐσομένης τῆς ἀγορᾶς, καὶ τέλος ἐπιθεῖναι μελλούσης μεγάλοις πράγμασιν—ἡ ψῆφος γὰρ τοῖς ἅρπαξι καὶ ἐπιόρκοις Τρωσὶ τελεία ἐπενεχθήσεται—τῇ Θέμιδι ὁ Ζεὺς πρὸς τὴν σύγκλητον χρῆται, ἥτις ἡ αὐτὴ οὖσα τῷ θεσμῷ καὶ τῇ δίκῃ ἀγορὰς λύει τε καὶ καθίζει κατὰ τὴν ποίησιν. (v. 7—9) Λέγει δὲ ὁ ποιητὴς καὶ ὅτι «οὔτε τις οὖν ποταμῶν ἀπέην», τῆς ἄνω δηλαδὴ ἀγορᾶς, «νόσφ' Ὠκεανοῖο, οὔτ' ἄρα νυμφάων,ταί τ' ἄλσεα καλὰ νέμονται καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα». διὰ τί; διότι ἀλληγορικῶς καὶ αἱ τῶν ποταμῶν ἀρχαὶ καὶ αἱ τῶν πηγῶν καὶ αἱ τῶν ἑλῶν—τοιαῦτα γὰρ τὰ πίσεα—, ναὶ μέντοι καὶ αἱ τῶν ἀλληγορουμένων νυμφῶν, περὶ ὧν ἐν ἄλλοις ἐρρέθη, ἐκ τοῦ ἄνω Διός, τουτέστιν ἐκ τοῦ ὑψηλοῦ ἀέρος εἰσίν, ἐξ οὗ καὶ οἱ διϊπετεῖς παρονομάζονται ποταμοί. (v. 13 s.) Καὶ Ποσειδῶν δέ, φησίν, οὐδ' αὐτὸς νηκούστησεν, ἤγουν ἀνήκοος γέγονε, θεᾶς τῆς Θέμιδος, «ἀλλ' ἐξ ἁλὸς ἦλθε μετ' αὐτούς», ἤγουν εἰς αὐτοὺς τοὺς ἄνω ἠθροισμένους. αἴρεται γάρ τι καὶ τοῦ κατὰ Ποσειδῶνα θαλαττίου ὕδατος, ὑψοῦ ἀναθυμιώμενον. (v. 15) Ὃς καὶ ἷζε, φησίν, ἐν μέσσοισι, πιθανῶς. οἰκεῖος γὰρ ὁ μέσος τόπος τῷ Ποσειδῶνι, ὃς εἰς ὕδωρ ἀλληγορούμενος τῇ γῇ τῇ τοῦ παντὸς μεσαιτάτῃ συνεσφαίρωται. (v. 7) Ὠκεανὸς δέ γε οὐ πάρεστι, διότι εἰς τὸν ὁρίζοντα ἡ ἀκριβὴς αὐτὸν ἀνάγει θεωρία τὸν ἀποτέμνοντα τὸ ὑπὲρ γῆς καὶ ὑπὸ γῆν ἡμισφαίριον. διὸ οὐκ ἐγχωρεῖ τὸν τοιοῦτον Ὠκεανὸν ὁμοίως τοῖς ἄλλοις ἄνω γενέσθαι, ὑπεραναβάντα τὸ διαιρούμενον. εἰ δὲ καὶ ὡς ὕδωρ στοιχειακῶς θεωροίη τις τὸν Ὠκεανόν, οὐδ' οὕτω δύναται ἄνω γενέσθαι τῇ ὁλότητι, ἀλλά τι μὲν αὐτοῦ ἄνεισι, διὰ ἀναθυμιάσεων δηλαδή, ἃς ὁ Ποσειδῶν ὑποδηλοῖ, ἐξ ὧν οἱ ποταμοὶ καὶ αἱ πηγαὶ καὶ τὰ πίσεα καὶ αἱ νύμφαι, οὐ μὴν δὲ καὶ ἡ πᾶσα τοῦ στοιχείου ὁλότης ἄνω γίνεται. τοῦτο γὰρ ἀδύνατον. καὶ οὕτω μὲν κατὰ ἀναγωγήν.

4.357 μυθικῶς μέντοι ἀποδημεῖ τῆς ἐκκλησίας ὁ Ὠκεανὸς ὡς πρόγονος θεῶν, ἵνα μὴ παρείη τῷ τῶν ἀπογόνων πολέμῳ. θεῶν γὰρ μάχην τὴν ῥαψῳδίαν ταύτην ὁ ποιητὴς παραδίδωσι καὶ οἱ παλαιοὶ ἐπιγράφουσι. καὶ περὶ μὲν τούτων ταῦτα. Περὶ δὲ τῆς Γῆς εἰ καὶ μηδὲν ὁ ποιητὴς διορίζεται, ἀλλὰ βέλτιον, φασί, νοεῖν, ὡς ἀπολειπομένης τοῦ συλλόγου καὶ αὐτῆς. περὶ αὐτὴν γάρ ἐστιν ὁ κάτω μείνας Ὠκεανὸς καὶ ἀνάγκη συνεκλείπειν καὶ αὐτήν. (v. 4 s.) Ὅρα δὲ ὅτι καὶ ἐνταῦθα συνήθως Θέμιστα Δωρικῶς λέγει κατὰ τὸ «Θέμιστι καλλιπαρῄῳ», καὶ κρᾶτα δὲ ὄρους, ὡς καὶ ἀλλαχοῦ, ἀκροτάτην κορυφήν, ἤτοι ἐξοχήν, ἀκρώρειαν. Σημείωσαι δὲ ὅτι κοινῶς μὲν ἡ κράς λέγεται τῆς κρατός. τὸ δὲ «κρατὸς διασπαρέντος» παρὰ Σοφοκλεῖ, καὶ «σῷ κράατι τίσεις» ἐν Ὀδυσσείᾳ, ἔχουσί τινα ζήτησιν. ἡ δὲ Τραγῳδία καὶ τὸ κρᾶτα λέγει οὐδετέρως ὡς καὶ τὸ κάρα. ἡ δὲ κάρα τῶν νεωτέρων ἐστί. λέγεται δὲ καὶ κάρηαρ, ὡς δηλοῖ τὸ «καρήατι». Πολύπτυχος δὲ Ὄλυμπος τὸ μὲν ὄρος διὰ τὸ πολλὰς ἔχειν πτύχας, ἤτοι περιοχὰς ἀνακλίσεων, ὁ δὲ οὐρανὸς ἀλληγορικῶς διὰ τὰς ὀκτὼ σφαίρας, ἃς ἔχει, τὴν μίαν τῶν ἀπλανῶν καὶ τὰς ἑπτὰ τῶν πλανήτων. ἢ καὶ ἄλλως, πολύπτυχος ὁ ἰσχυρὸς καὶ στερεός, καθ' ὁμοιότητα σώματός τινος πολυπτύχου, ὁποία καὶ ἡ τοῦ Ἀχιλλέως προϊστόρηται ἀσπίς. (v. 8) Νύμφαι δὲ ὅτι αἱ περὶ γῆν φυσικαὶ δυνάμεις λέγονται, ἃς ἡ τοῦ ὕδατος ὑγρότης ἀποτελεῖ, καὶ ἐν ἄλλοις πρὸ τούτων σαφῶς εἴρηται.

4.358

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄλσεα δὲ λέγει καλὰ τοὺς κήπους ἀπὸ τοῦ ἄλλω ἄλσω Αἰολικῶς. διὸ καὶ ψιλοῦται, ὅπου δηλαδὴ τὰ φυτὰ ἐξ ὑγρότητος καὶ πνεύματος εἰς αὔξην ἅλλονται. διὸ καὶ οὐ μόνον ἄλσος ὁ τοιοῦτος λέγεται τόπος ἀπὸ τοῦ ἅλλεσθαι, ἀλλὰ καὶ κῆπος ἀπὸ τοῦ κᾶπος, ὃ δηλοῖ πνεῦμα τὸ ἀναγωγὸν ὑγρότητος θρεπτικῆς τῶν φυτῶν. (v. 9) Πίσεα δὲ ὑγρὸς τόπος καὶ δυνάμενος πῖσαι, ὅ ἐστι ποτίσαι, καὶ διὰ τοῦτο καὶ ποιήεις, ἤτοι βοτανώδης. ὡς γὰρ μύω μύσω, φασί, μῦσος, εἰς ὃ μύομεν μὴ ἐμβλέπειν ἀνεχόμενοι, ἢ πρὸς ὃ τὰ χείλη μύομεν οὐ προσφωνοῦντες, οὕτω πίω πίσω πῖσος. τοῦ δὲ πίσω ἡ χρῆσις παρὰ Πινδάρῳ. ἐξ αὐτοῦ δὲ καὶ Πῖσα πόλις, καὶ Πῖσα πηγή, ὡς ἂν εἴποι τις ποτίστρα, καὶ πιστὰ παρ’ Αἰσχύλῳ φάρμακα τὰ πινόμενα. (v. 11 s.) Ὅτι παντοδαπῶς τὴν τέχνην ὁ Ἥφαιστος, εἴγε ξεστὰς αἰθούσας ἄνω ποιεῖ, ἤγουν κατὰ τοὺς παλαιούς, ἕδρας στυλωτάς, αἰθομένας, ὅ ἐστι καταλαμπομένας φωτί. ἐφιζάνουσι δὲ ταύταις κατὰ τὸν ποιητὴν οἱ νῦν ἀγερθέντες, οὐχ’ ὡς θρόνοις πάντως, ἀλλ’ ἐν αὐταῖς περὶ τὸ ἔδαφος καθεζόμενοι. Ὅτι πανταχοῦ ἐν τῷ «ἰδυίαις πραπίδεσι» διὰ τοῦ ι γράφει ὁ ποιητὴς τὴν ἄρχουσαν τοῦ ἰδυίαις, ἵνα διαφέρει τῆς μετοχῆς ὡς μετοχικόν.

4.359 καὶ γράφοιτο εἰδυῖα μὲν διὰ διφθόγγου ἡ γινώσκουσα, ἰδυῖα δὲ μετὰ μόνου διχρόνου ἡ ἐπιστημονική. οὕτω γοῦν καὶ ἐνταῦθα ἔχει δακτυλικῶς τὸ «ἃς Ἥφαιστος ποίησεν ἰδυίῃσι πραπίδεσσι». εἰ δέ τις φίλερις ὢν αἱροῖτο ἐκθλίψας γράψαι «ποίης’ εἰδυίῃσι πραπίδεσσιν», ἵνα οὕτω σπονδειακῶς γράψῃ αὐτὸς διὰ διφθόγγου τὴν καταρχὴν τοῦ «εἰδυίαις», ἀλλ’ οὐ νικήσει τοὺς παλαιοὺς Ὁμηρίδας διὰ τοῦ ι γράφοντας. [(v. 13) Ὅτι ἐν τῷ «Διὸς ἔνδον ἀγηγέρατο», ἤγουν ἠθροίσθησαν, λείπει γενικὴ περιοχῆς τινος, ἵνα ᾖ, ὅτι ἀγηγέρατο ἔνδον τοῦ κατὰ τὸν Δία δώματος ἢ οἴκου ἢ τοιοῦδέ τινος.] (v. 20 s.) Ὅτι ὁ φωραθείς, ἐφ’ οἷς ὑπέρ τινων κρύβδην νοεῖ, ἐρεῖ «ἔγνως ἐμὴν ἐνὶ στήθεσι βουλήν· μέλουσί μοι ὀλλύμενοί περ». Ζεὺς δὲ τοῦτό φησιν, ἐφ’ οἷς αὐτὸς μὲν βουλὴν ἤθροισε, Ποσειδῶν δὲ ἤρετο «τί ποτε αὖ ἀργικέραυνε θεοὺς ἀγορήνδε κάλεσας; ἤ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις» καὶ ἑξῆς. Ὅτι ὁ Ζεὺς αὐτὸς μὲν μενέειν λέγει πτυχὶ Ὀλύμπου ἥμενος, ἤτοι περιοχῇ, ὡς εἴρηται. «ἔνθα ὁρόων», φησί, «φρένα τέρψομαι». τοὺς δὲ ἄλλους, οὓς φθάσας ἐκώλυσεν ἀπειλαῖς, ἀφίησιν ἄρτι ἀρήγειν «ὅπῃ νόος ἐστὶν ἑκάστου». καὶ αἰτίαν τούτου ἐπάγει τὸ δεδιέναι, μὴ οὐκ ἀντίσχωσιν οἱ Τρῶες πρὸς τὸν Ἀχιλλέα. (v. 26—30) Φησὶ γὰρ ἀποσεμνύνων πάνυ τὸν Ἀχιλλέα οὕτως «εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσσι μαχεῖται, οὐδὲ μίνυνθ’ ἕξουσι ποδώκεα Πηλείωνα», ἤγουν ἀντιστήσονται, ἐφέξουσιν, οἳ «καὶ πρόσθεν ὑποτρομέεσκον ὁρῶντες. νῦν δ’ ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶς, δείδω μὴ καὶ τεῖχος ὑπέρμορον», ἤγουν ὑπὲρ μόρον, «ἐξαλαπάξῃ». Καὶ σημείωσαι ὅτι ἀστείως ἐνταῦθα οἱ παλαιοὶ λέγουσιν, ὡς ἐναντία ποιεῖ ὁ Ζεύς, οἷς βούλεται. θέλει μὲν γὰρ μὴ πάνυ ἰσχυρὸν κατὰ τῆς Τροίας γενέσθαι τὸν Ἀχιλλέα καὶ τοὺς Ἀχαιούς. διὸ καὶ ἐνδίδωσι τῇ τῶν θεῶν συμμαχίᾳ. λανθάνει δὲ ἑαυτὸν μὴ ποιῶν ὃ θέλει. κρείττους μὲν γὰρ Τρώων οἱ Ἕλληνες τὴν ἰσχὺν καὶ δι’ αὐτὸ ἄνισοι πρὸς ἐκείνους. κρείττους δὲ καὶ οἱ τοῖς Ἕλλησι βοηθοῦντες θεοὶ τῶν ἐπικουρούντων τοῖς Ἰλιεῦσι, καὶ ὁμοίως ἄνισοι καὶ αὐτοὶ πρὸς ἀλλήλους. ἐὰν δὲ τοῖς ἀνίσοις ἄνισα προστεθῇ ὁμοειδῆ τοῖς ἐξ ἀρχῆς, τὰ ὅλα μένει ἄνισα. ἡ γὰρ αὐτὴ ὑπεροχὴ τῶν ἐξ ἀρχῆς ὑπερεχόντων μένει. ὡς οὖν ἰδίᾳ καθ’ ἑαυτοὺς οἱ Ἕλληνες ἄνισοί εἰσι τοῖς Τρωσὶν ὑπερέχοντες τῇ ἀνδρίᾳ, οὕτω καὶ ἐν αὐτῇ τῇ τῶν θεῶν συμμαχίᾳ διὰ τὸ τῶν συμμάχων ἄνισον ὡσαύτως ἄνισοι ἔσονται καὶ ὑπερέξουσι τῇ ἀνδρίᾳ.

4.360 καὶ οὕτω μὲν λογιωτάτη ἡ ἀπορία, οἱ δὲ λύοντες λέγουσιν ἃ θέλουσι. (v. 30) Τὸ δὲ «ὑπέρμορον», ὡς καὶ ἐν Ὀδυσσείᾳ φαίνεται, ἓν μέρος λόγου Ἀρίσταρχος δέχεται ὁμοίως τῷ ὑπέρβιον, ὡς ἐπίρρημα ληφθὲν ἀντὶ τοῦ ὑπερμόρως. ἔχει δὲ καὶ πληθυντικὸν ἐν τῷ «ἔνθα κεν Ἀργείοις ὑπέρμορα νόστος ἐτύχθη», ὅμοιον τῷ «οὐ μὲν καλὰ χόλον ἔνθεο θυμῷ», ἀντὶ τοῦ οὐ καλῶς. ἐγχωρεῖ δὲ καὶ κατὰ διάλυσιν «ὑπὲρ μόρον» γράφεσθαι, μόρου νοουμένου τοῦ μεμοιραμένου, τουτέστι τοῦ μοιριδίου. ἔφη γοῦν ἐν τῷ τέλει τῆς ταῦ «ὅ μοι μόρος», ἤγουν

μοῖρα, «ἐνθάδ’ ὀλέσθαι». (v. 23) Τὸ δὲ «φρένα τέρψομαι» δηλοῖ ὡς μόνον τὸ τέρψομαι αὐτὸ καθ’ αὑτὸ οὐκ ἐντελῶς φράζεται. (v. 27) Τὸ δὲ «ποδώκεα Πηλείωνα» περιττῶς κεῖται. εἰπόντος γὰρ τοῦ ποιητοῦ· εἰ γὰρ Ἀχιλλεὺς μόνος μαχεῖται, ἀρκοῦν ἦν εἰπεῖν· οὐδὲ μίνυνθα ἕξουσι Τρῶες αὐτόν. Ὅμηρος δὲ γλυκαζόμενος τῇ τοῦ Ἀχιλλέως προφορᾷ δισσεύει αὐτὸν καὶ ἀντὶ ἀντωνυμίας τὸ ἐκείνου ἡδέως προφέρει ὄνομα. Σημείωσαι δὲ καὶ ὅτι, ὥσπερ φυσικῶς οἱ ἄλλοι θεοὶ Διὸς ἔνδον ἀγηγέρατο, ἤγουν ἠθροίσθησαν, ὡς πρὸ ὀλίγων ἐρρέθη, «νόσφ’ Ὠκεανοῖο», οὕτω καὶ εἰς τὴν εἰρημένην ὑπὸ θεῶν ἀρωγὴν οἱ μὲν ἄλλοι κατέρχονται «ὅπῃ νόος ἐστὶν ἑκάστου», αὐτὸς δὲ μένει καθήμενος ἄνω, καθότι οὐκ ἔστι πιθανὸν τὸν αἰθέριον καὶ Ὀλύμπιον Δία ἐλλόγως ἐνεχθῆναι κάτω. (v. 33) Ὅτι Ἥρα μὲν συμμαχεῖ Ἀχαιοῖς οὐ μόνον ὡς εἰς νόμιμον γάμον ἀδικηθέντος τοῦ Μενελάου οἷα γαμηλία δαίμων, ἐπιστατεῖ γὰρ αὐτὴ τῶν γάμων, ἀλλὰ καὶ διὰ τὸ βασιλικώτερον τῆς Ἑλληνικῆς ἀρχῆς. Ἥρα γάρ, ὡς πολλαχοῦ ἐρρέθη, καὶ εἰς βασιλείαν μεταλαμβάνεται. ὅθεν καὶ Ἡραία ζωὴ ἡ βασιλική. Ἀθηνᾶ δὲ ἡ φρόνησις τοῖς Ἀχαιοῖς καὶ αὐτῇ συμμαχεῖ διὰ τὸ τοῦ Ἑλληνικοῦ πολέμου δίκαιον καὶ ἔλλογον καὶ διότι φρόνησις εἷλεν ὕστερον τὴν Τροίαν καὶ δόλος σοφός. (v. 35) Διὸ καὶ Ἑρμῆς αὐτοῖς ὁ λόγιος συμμαχεῖ, ὃς οὐ μόνον ἐριούνης καὶ φρεσὶ κεκασμένος πευκαλίμαις, ἀλλὰ καὶ δόλιος (v.
4.361 36) Ἥφαιστος δὲ σύμμαχος Ἑλλήνων ἐστὶ καὶ αὐτός, ὅτι τε πολέμιος Ἄρει κατὰ τὸν καὶ ἐν τῇ Ὀδυσσείᾳ μῦθον, καὶ ὡς φίλος δὲ τῇ Ἀθηνᾷ. Ἥφαιστος γοῦν διδάσκει τέχνας ἐν Ὀδυσσείᾳ καὶ Παλλὰς Ἀθήνη. ἔτι δὲ καὶ ἄλλως πιθανῶς τοῦτο πλάττεται, ὡς ἂν ἔχοι ὁ ποιητὴς ἀντεπεξαγαγεῖν αὐτὸν ὡς πῦρ ὕδατι τῷ ἐγχωρίῳ ποταμῷ Ξάνθῳ. (v. 34) Ποσειδῶν δὲ τοῖς Ἀχαιοῖς συνεφάπτεται μάχης διά τε τὴν πρὸς τὸν Λαομέδοντα μῆνιν, εἴγε θητεύσαντος εἰς ἐνιαυτὸν μισθῷ ἐπὶ ῥητῷ ἐβιάσατο τὸν μισθόν, ὡς ὁ ποιητὴς ἐρεῖ προϊών. ἔτι δὲ καὶ ὅτι νησιῶται οἱ πλείους τῶν Ἑλλήνων καὶ διὰ τοῦτο οἰκεῖοι Ποσειδῶνι, καὶ ὅτι διὰ θαλάσσης πλεύσαντες εὐτυχῶς μετῆλθον τὴν τῆς Ἑλένης ἁρπαγήν. καὶ οὗτοι μὲν συμμαχοῦσι τοῖς Ἕλλησι διὰ ταῦτα. (v. 38) Τοῖς μέντοι Τρωσὶν ὁ μοιχὸς Ἄρης βοηθεῖ ὡς τοιούτοις, ὅμοιος, ὅ φασιν, ὁμοίοις, ὅπουγε καὶ ὁ Τρωϊκὸς πόλεμος ἀπὸ μοιχείας ἔσχε τὴν ἀρχήν, ἔτι δὲ καὶ ὡς ἁρπαγῆς καὶ βίας δεσπόζων, καὶ ὡς οὐκ ἔλλογος, ἀλλ’ ἐναντίος τῇ Ἀθηνᾷ. (v. 40) Διὸ καὶ ἡ Ἀφροδίτη τοῖς αὐτοῖς βοηθεῖ, οἰκείως μὲν ἔχουσα πρὸς τὸν ἀλόγιστον Ἄρην, ἀπεχθομένη δὲ τῇ ἔμφρονι Ἀθηνᾷ. (v. 39) Ἄρτεμις δὲ τοῖς Τρωσὶν ἐπικουρεῖ ἢ ὡς ἔφορος τῶν χορῶν, καὶ γὰρ καὶ οἱ Τρῶες χοροιτυπίαις ἄριστοι, ἢ ὡς τοξότης, ὁποῖος καὶ ὁ τοῦ πολέμου αἴτιος Ἀλέξανδρος. διὸ καὶ ὁ Ἀπόλλων ὡς τοιοῦτος συνεπικουρεῖ. (v. 40) Ἡ δὲ Λητὼ οἷα μήτηρ Ἀπόλλωνός τε καὶ Ἀρτέμιδος, καὶ ὅτι νυκτὸς ἄξια ποιοῦσιν οἱ Τρῶες καὶ λήθης, εἰς ἅπερ ἄμφω ἀλληγορεῖται καὶ ἡ Λητώ. Ὁ δὲ Ξάνθος ὡς ποταμὸς ἐγχώριος ἐπικουρεῖ τοῖς Τρωσὶ καὶ ὡς πρὸς Ἥφαιστον ἀξιόμαχος. καὶ οὕτω μὲν ταῦτα. ὅτε δὲ ἀλλήλοις αὐτοὺς ὁ ποιητὴς ἀνθιστᾷ συνδυάζων εἰς μάχην, φυσικῆς τε ὁ μῦθος τηνικαῦτα ἔχεται θεωρίας καὶ ἠθικῆς, ὡς ἐκεῖ ῥηθήσεται. Σημείωσαι δὲ ὅτι, εἴπερ εἶχε πιθανεύσασθαι τὸ πλάσμα ὁ ποιητής, ἐποίησεν ἂν καὶ τὸν Ἀϊδωνέα καὶ τὸν Διόνυσον καὶ τὴν Δήμητραν παρόντας τῇ μάχῃ. οὐκ ἔχει δὲ πιθανῶς τοιοῦτόν τι ποιῆσαι.

4.362 Ἅιδης μὲν γὰρ οὐκ ἔστιν ὅτῳ πρὸς τὸ ζῆν ἐπικουρήσει, ἀπωλείᾳ χαίρων ἀνδρῶν καὶ στεναγμοῖς κατὰ τὴν τραγῳδίαν καὶ γόοις πλουτιζόμενος. Δήμητρα δὲ κατὰ τοὺς παλαιοὺς καὶ Διόνυσος καρποτρόφοι ὄντες ἄχθονται καθάπαξ τῷ πολέμῳ φθαρτικῷ ὄντι τῶν καρπῶν. (v. 32—40) Ἔστι δὲ ὁ περὶ τούτων τῷ ποιητῇ λόγος τοιοῦτος «βὰν δ’ ἴμεναι πόλεμόνδε θεοὶ δίχα θυμὸν ἔχοντες», ἤγουν διχονοοῦντες, Ἥρη μὲν μετ’ ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη ἠδὲ Ποσειδαίων γαιήοχος ἠδ’ ἐριούνης Ἑρμείας, ὃς ἐπὶ φρεσὶ πευκαλίμῃσι», ταῖς πολλαχοῦ ῥηθείσαις, «κέκαστο. Ἥφαιστος δ’ ἅμα τοῖσι κίε σθένεϊ βλεμεαίνων, χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί», ἃ δὴ καὶ προγέγραπται. «ἐς δὲ Τρῶας Ἄρης κορυθαιόλος· αὐτὰρ ἅμ’ αὐτῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φοῖβος ἀκερσεκόμης ἠδ' Ἄρτεμις ἰοχέαιρα Λητώ τε Ξάνθος τε φιλομειδής τ' Ἀφροδίτη». καί εἰσιν οὕτως πέντε μὲν οἱ Ἀχαϊκοί, ἓξ δὲ οἱ τῶν Τρώων. (v. 33) Ἀγῶνα δὲ νεῶν καὶ ἐνταῦθα τὴν ἄθροισιν λέγει καί, ὡς οἱ μεθ' Ὅμηρόν φασι, συναγωγήν. (v. 34) Ἐριούνης δὲ Ἑρμῆς ἢ παρὰ τὸ ἐρι ἐπιτατικὸν καὶ τὸ ὀνῶ, ὁ ἄγαν ὀνῶν καὶ ὠφελῶν, ἢ ὁ ἐφευρετικὸς παρὰ τὸ εὑρεῖν, ἢ χθόνιος κατὰ τοὺς Τραγικοὺς παρὰ τὴν ἔραν. (v. 36 s.) Ἰστέον δὲ ὅτι ἀποσεμνύνων τὸν Ἥφαιστον ὁ ποιητής, ἵνα μὴ δόξῃ ἀχρεῖον τοῦτον σύμμαχον διδόναι τοῖς Ἕλλησιν, ἔφη τὸ «κίεν εἰς μάχην σθένεϊ βλεμεαίνων, χωλεύων», ὡς τοῦ χωλεύειν μηδὲν ἐμποδὼν γινομένου τῇ κατ' ἐκεῖνον λοιπῇ εὐρωστίᾳ τοῦ σώματος. τὰ γὰρ ἄνω βριαρὸς ἦν καί, ὡς ὁ ποιητής φησι, «πέλωρ αἴητον». τὸ γοῦν φυσικὸν ἐλάττωμα, τὸ χωλεύειν, ἀναπληροῖ βλεμεαίνων σθένεϊ. τοιοῦτον καὶ τὸ «ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί». ἐλάττωμα μὲν γὰρ τὸ ἀραιαί, ἀρετὴ δὲ τὸ ῥώεσθαι, ἤγουν ἐρρωμένως κινεῖσθαι. (v. 36) Βλεμεαίνειν δὲ καὶ νῦν ἢ τὸ ἀποβλέπεσθαι καὶ περίβλεπτον εἶναι, ἢ τὸ δεινοῦσθαι καὶ ἀγριοῦσθαι κατὰ λέοντα ἐκφοβοῦντα βλέμματι καὶ ὄψεως βλοσυρότητι, ἢ κατὰ τοὺς παλαιοὺς τὸ βρέμειν, ἐναλλαγῇ ἀμεταβόλου εἰς ἀμετάβολον.

4.363 (v. 38) Κορυθαιόλος δὲ οὐ μόνον ὁ Ἕκτωρ πολλαχοῦ, ἀλλὰ καὶ ὁ Ἄρης ἐνταῦθα. Ἰστέον δὲ καὶ ὅτι φιλοτιμεῖται κἀνταῦθα τοῖς ἐπιθέτοις ὁ ποιητὴς κατ' ἰδέαν γλυκύτητος τοὺς πλείους τῶν θεῶν μετὰ ἐπιθέτων προαγαγών· Παλλὰς Ἀθήνη, Ποσειδάων γαιήοχος, ἐριούνης Ἑρμείας, Ἄρης κορυθαιόλος, Φοῖβος ἀκερσεκόμης, Ἄρτεμις ἰοχέαιρα, φιλομειδὴς Ἀφροδίτη. ἠξίωσε δὲ καὶ ἔτι πλείονος λόγου τὸν Ἑρμῆν καὶ τὸν Ἥφαιστον, τὸν μὲν εἰπὼν φρεσὶ πευκαλίμαις κεκοσμῆσθαι, ἤτοι πυκιναῖς, συνεταῖς, τὸν δὲ σθένεϊ βλεμεαίνειν καὶ ἐρρωμένως τὰς κνήμας κινεῖν. τὴν μέντοι Λητὼ καὶ τὸν Ξάνθον ἐπιθέτων δίχα προήγαγεν, ἵνα μὴ ὁμοειδῶς διὰ πάντων χωρῇ. (v. 39) Ὅρα δὲ ὡς, εἰ καὶ ταὐτὸν ἀκερσεκόμην εἰπεῖν καὶ καρηκομόωντα, ὅμως οὐκ ἠθέλησε τὸν Ἀπόλλωνα καρηκομόωντα εἰπεῖν, ὡς ἀνθρώποις ἀπονείμας ἐκεῖνο, οἳ τρέφοντες κόμην ἐκείροντό ποτε αὐτήν, καὶ οὐ μόνον ἐπὶ πένθει, ὅπερ ἐπὶ Πατρόκλῳ γίνεται, ἀλλὰ καὶ ἄλλως ἐπὶ ἀνατροφῇ. πλόκαμος γὰρ κούριμος ὁ μέν τις ἦν κατὰ τὸν εἰπόντα θρεπτήριος, ὁ δὲ θρηνητήριος. οἱ γοῦν, ὡς ἐρρέθη, κειρόμενοι οὐκ ἂν εἶεν ἀκερσεκόμαι. εἰ δὲ καὶ ἐπὶ ἀφανισμοῦ ποτε τὸ κείρειν λαμβάνεται, ὡς προδεδήλωται, καλῶς καὶ οὕτως Ἀπόλλων μὲν εἴη ἂν ἀκερσεκόμης, ἄνθρωποι δὲ οὔ. (v. 42—6) Ὅτι «Ἀχαιοὶ μὲν μέγα κύδανον, οὕνεκ' Ἀχιλλεὺς ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς· Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον, δειδιότας ὅθ' ὁρῶντο», ἤγουν ἔβλεπον, «ποδώκεα Πηλείωνα τεύχεσι λαμπόμενον βροτολοιγῷ ἶσον Ἄρηϊ». ὃ δὴ νοητὴ καὶ αὐτὸ οὖσα παραβολὴν εὐλόγως οὐ πεπλάτυνται, ἀλλ' ἐπιτόμως εἴρηται. Καὶ σημείωσαι, ὅπως ὁ ποιητὴς καὶ τὰ θεῖα καὶ τὰ τῶν πολεμούντων διεκίνησε καὶ τῆς προτέρας ἐξήλλαξε καταστάσεως, ἐξαγαγὼν εἰς μάχην τὸν Ἀχιλλέα, οὐκ ἀνεχόμενος, εἰ μὴ μεγάλα τινὰ ποιήσει ἐπ' αὐτῷ. οὕτω φιλεῖ τὸν ἥρωα. (v. 42) Τοῦ δὲ «ἐκύδανον» ἐνεστὼς κυδάνω, ὡς οἰδάνω, οἷον «ἀλλά μοι οἰδάνει κραδίη χόλῳ».

4.364 (v. 46) Βροτολοιγὸς δὲ οὐ μόνον ὁ βροτοὺς φθείρων, ἀλλὰ καὶ ὁ βροτοὺς λέγων, ἤτοι κατακοιμίζων, εἰς ὕπνον δηλαδή, τὸν τανηλεγῆ καὶ νήγρετον. Σημείωσαι δὲ καὶ ὅτι Ἀχαιοῖς μὲν ἄρτι μέγα κῦδός ἐστιν ἀπομηνίσας ὁ Ἀχιλλεύς, Ἀχιλλεῖ δὲ ἐν τοῖς ἑξῆς ὅμοιον κλέος τὸ φονεῦσαι τὸν Ἕκτορα, κατὰ τὸ «ἠράμεθα μέγα κῦδος, ἐπέφνομεν Ἕκτορα δῖον». [Καὶ ἄλλως δὲ καὶ κρειττόνως εἰπεῖν, καὶ νῦν ὑπὸ Ἀχαιῶν κυδαίνεται διὰ συμμαχίαν, καὶ τότε διὰ ἀνδρίαν.] (v. 48) Ὅτι λαοσσόον, ὥσπερ πρὸ τούτου τὸν Ἄρην, οὕτω καὶ ἐνταῦθα τὴν Ἔριν λέγει, οὐ πάντως οὐδ' αὐτὴν ὡς λαοῦ σώτειραν, ὡς ὅτε Ἀθηνᾶν λαοσσόον φησὶν ἢ Ἀπόλλωνα, ἀλλὰ τὴν τοὺς λαοὺς σέουσαν, ἤτοι κινοῦσαν καὶ παρορμῶσαν εἰς πόλεμον. Φησὶ γὰρ «ὦρτο δ' Ἔρις κρατερὴ λαοσσόος». ἄλλως τοίνυν λαοσσόοι εἰσὶν Ἔρις καὶ Ἄρης, καὶ ἄλλως Ἀπόλλων καὶ Ἀθηνᾶ. (v. 48—53) Ἰστέον δὲ ὡς δύναται τὸ λαοσσόος καὶ τῇ Ἀθηνᾷ κατὰ παλαιὰν στίξιν προσαρμόσαι, οἷον «λαοσσόος αὖε δ' Ἀθήνη» καί, ὡς κατωτέρω φησί, «μακρὸν ἄϋτει», ὅ ἐστιν

ἐφώνει, «στᾶς’ ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός, ἄλλοτ’ ἐπ’ ἀκτάων ἐριδούπων. αὖε δ’ Ἄρης ἑτέρωθεν ἐρεμνῇ λαίλαπι ἶσος ὀξὺ κατ’ ἀκροτάτης πόλεως Τρώεσσι κελεύων, ἄλλοτε πὰρ Σιμόεντι θέων», ἢ θεῶν, «ἐπὶ Καλλικολώνῃ». Ἔστι δὲ Καλλικολώνη, ἢ κατά τινας Καλλικόλωνος, τόπος ἢ λόφος σταδίων, ὡς καὶ μετ’ ὀλίγα ῥηθήσεται, πέντε τὴν περίμετρον, ἐπὶ τῆς Ἴδης κειμένη μεταξὺ κώμης Ἰλιέων καὶ Σιμουντίων. Καὶ ὅρα οἵους κήρυκας ἐνταῦθα δίδωσι τῇ μάχῃ ὁ ποιητής, σεμνύνων καὶ οὕτω τὴν τοῦ Ἀχιλλέως ἔξοδον. μετ’ ὀλίγα δὲ καὶ βροντὰς καταρρήξει καὶ σεισμῷ τινάξει μεγίστῳ τὴν γῆν. εἰ δὲ καὶ οὐρανὸς σαλπίσει, οὐδὲν μὲν τοῦτο πρὸς τὸ βαρύβρομον τῆς βροντῆς.

4.365 πλάττεται δ’ ὅμως ὡς ἔμψυχος καὶ λογικὸς ὁ οὐρανὸς τοῦτο ποιεῖν. οὕτω πάντα τεράστια ποιεῖ τῷ Ἀχιλλεῖ· τὸ σῶμα, τὸν ὁπλισμόν, τὴν θεόθεν ἐπικουρίαν, τὴν κοσμικὴν κατάστασιν, ὡς οἷα συνδιατιθεμένου αὐτῷ καὶ τοῦ παντός, ἄνω μὲν ταῖς βρονταῖς, κάτω δὲ τῷ σεισμῷ. (v. 50—2) Ἰστέον δὲ ὅτι τε φύσει προϋπάρχει τοῦ ἐν ἄλλοις ἐριγδούπου τὸ ἐνταῦθα ἐρίδουπον, καὶ ὅτι μακρὸν μὲν βοᾶν ἐστι τὸ κατὰ τοὺς εὐρυβόας φωνεῖν, ὀξὺ δὲ βοᾶν τὸ λιγέως, ὁποία οὐ μόνον ἡ τῆς σάλπιγγος βοή, ἀλλὰ καὶ ἀνέμων τῶν λιγὺ καὶ λιγυρὸν ἠχούντων. διὸ καὶ ὁ Ἄρης ὀξὺ αὔων ἐρεμνῇ λαίλαπι ἐξισοῦται, ἀφ’ ἧς ἔστιν ὅτε λιγύφθογγοι γεννῶνται ἄνεμοι. (v. 50) Τὸ δὲ ἀϋτεῖν τῆς τοῦ αὔειν πρωτοτυπίας ἔχεται. αὔω γάρ, καὶ διαλύσει ἀΰω, ἐξ οὗ ἀϋτή, ὅθεν τὸ ἀϋτῶ. (v. 52) Ἀκροτάτην δὲ πόλιν τὴν ἀκρόπολιν διαλύσας λέγει, ἣν ἀλλαχοῦ ἄκρην ἔφη, ὡς ἐν τῷ «ὤλετο Ἴλιος κατ’ ἄκρης», πολλαχοῦ δὲ καὶ πόλιν ἄκρην. (v. 53) Τὸ δὲ «θεῶν ἐπὶ Καλλικολώνῃ», γράφεται καὶ «θέων», ἤτοι τρέχων, ὁ Ἄρης ἐπὶ τῇ Καλλικολώνῃ. ταύτην δέ τινές φασιν εἶναι καὶ τὸν παρὰ τῷ ποιητῇ λεγόμενον θρῳσμὸν πεδίοιο. φαίνεται δὲ καλός τις εἶναι ὁ θρῳσμὸς οὗτος. διὸ καὶ κλῆσιν ἔσχε τὸ Καλλικολώνη, καὶ θεῶν εἶναι διατριβὴ πέπλασται ὡς οἷα καὶ βραχύτατός τις Ὄλυμπος. Περὶ ταύτης καὶ ὁ Γεωγράφος φησί· Καλλικολώνη, λόφος τις πενταστάδιος, παρ’ ὃν ὁ Σιμόεις ῥεῖ. ἔστι δὲ ὑπεράνω τῆς Ἰλιέων κώμης, ἐν ᾗ τὸ παλαιὸν Ἴλιον ἵδρυτο. ἀπέχει δὲ τοῦ νῦν Ἰλίου στάδια μ ῦ . (v. 54 s.) Ὅτι καὶ ἐνταῦθα συμβάλλειν τὸ συνάγειν εἰς μάχην. φησὶ γὰρ «ἀμφοτέρους μάκαρες ὀτρύνοντες σύμβαλλον». λέγει δὲ καὶ νῦν «ἀμφοτέρους» τὰ δύο στρατεύματα, τοὺς Ἀχαιοὺς καὶ τοὺς Τρῶας. (v. 55—65) Ὅτι διασκευάζων ἔτι τὰ κατὰ τὸν Ἀχιλλέα ὁ ποιητὴς σεμνότερόν τε καὶ φοβερώτερόν φησιν «ἐν δ’ αὐτοῖς», ἤτοι τοῖς στρατεύμασιν, «ἔριδα ῥήγνυντο βαρεῖαν» οἱ ῥηθέντες μάκαρες. «δεινὸν δ’ ἐβρόντησε Ζεὺς ὑψόθεν.

4.366 αὐτὰρ ἔνερθεν Ποσειδάων ἐτίναξε γαῖαν ἀπειρεσίην ὀρέων τ’ αἰπεινὰ κάρηνα· πάντες δ’ ἐσσείοντο πόδες πολυπιδάκου Ἴδης καὶ κορυφαί, Τρώων τε πόλις καὶ νῆες Ἀχαιῶν· ἔδδεισε δ’ ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς· δείσας δ’ ἐκ θρόνου ἆλτο καὶ ὑπέρθορεν», ἢ «ἴαχε», «μή οἱ ὕπερθεν γαῖαν ἀναρρήξειε Ποσειδῶν», φανείη δὲ τὰ κάτω τοῖς ἄνω. τούτου γὰρ περιφραστικὸν τὸ «οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη σμερδαλέ’ εὐρώεντα, τά τε στυγέουσι θεοί περ». (v. 66) Εἶτα ἐπάγει ἐπιφωνηματικῶς τὸ «τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων». πόσος τόσσος, ὦ ποιητά; ὅσον, φαίη ἄν, ἀποτελέσει βροντῶν Ζεύς, ἤγουν ἀήρ, καὶ γῆ ὅλη τινασσομένη σὺν ὀρέων καρήνοις, ὅ ἐστι κορυφαῖς, ἔτι δὲ καὶ ποσί, καὶ ὅλως, ὅσος ἂν γένοιτο ταρασσομένου τοῦ παντός. ὃν δὴ κτύπον οὐκ ἂν μὲν ἐκφράσῃ τις, γνοὺς δὲ ἀπεύξαιτο ἂν ζῆν. καὶ νῦν μὲν οὕτω σεμνύνων τὸν Ἀχιλλέα ὁ ποιητὴς τὸ πᾶν ἐπὶ τῇ αὐτοῦ ἐξόδῳ μεγαλοφυῶς συγκινεῖ, τερατείαν, κατὰ τὸ εἰκός, πλάττων ἀνάλογον θεῶν συμβολῇ. ἐν δὲ τοῖς ἑξῆς, ὅτε καὶ συνέπεσον οἱ θεοὶ ἀλλήλοις «μεγάλῳ ὁμάδῳ», ἔβραχε, φησίν, ἡ χθών, «ἀμφὶ δ’ ἐσάλπιγξε μέγας οὐρανός» καὶ τὰ ἑξῆς. δεξιώτατα δὲ ὁ ποιητὴς ἐν τῷ τοιούτῳ χωρίῳ καὶ ἔκφρασιν παρέρριψεν ἐναργῆ δεινοτάτου σεισμοῦ. (v. 55) Ἰστέον δὲ ὅτι ῥήγνυται ἔρις, ὅτε σκεδασθῇ εἰς πολλὰ μέρη, καθὰ καὶ μάχη ὁμοίως ῥήγνυται λυθέντος πυκνοῦ συνασπισμοῦ [Ἀλλοία μέντοι αὕτη ῥῆξις παρὰ τὴν ἐκ τροπῆς, ἥτις συντίθησι τὸν ῥηξήνορα.] καὶ ὅτι ἐν τῷ «γαῖαν» καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«ὀρέων κάρηνα» διέστειλε τῆς πεδιάδος γῆς τὰ ὄρη, ἴσως διὰ τὸ πετρῶδες, ὡς καὶ ἐν τῷ «γαῖα κοινὴ πάντων καὶ μακρὸς Ὄλυμπος», ὡς εἴπερ μὴ ἦν καὶ ὁ Ὄλυμπος μέρος τῆς γῆς. καὶ ἄλλως δὲ τῷ ὅλῳ, ἤγουν τῇ γῇ, καὶ τὰ μέρη συνήθως συμπαρέλαβε καὶ ἰδίᾳ ἐξεφώνησεν, ὅπερ καὶ ἐν ἄλλοις εἴωθε ποιεῖν κατὰ τὸ παρέλκον μέν, ὅμως δὲ διά τινα σαφήνειαν. οὕτω δὲ καὶ ὀρέων ἐνταῦθα κάρηνα ὁλικώτερον εἰπὼν ἰδίᾳ ἐξεφώνησε τὰς τῆς Ἴδης κορυφάς, ἃς ἀντιδιαστέλλει ποσίν, εἰπὼν «ἐσείοντο πόδες».

4.367 (v. 59) Πολυπίδακον δὲ τὴν Ἴδην καὶ ἐνταῦθα λέγει, διότι καὶ πολυπόταμός ἐστιν, ὡς προϊστόρηται. μάλιστα δέ, φασίν, εὐϋδροτάτη ἐστὶ κατὰ τὸ ὄρος τὸ Λεκτόν. Πῖδαξ δὲ ἡ πηγή, οὐ μόνον ἐκ τοῦ πιεῖν ἢ τοῦ πιδύειν, ἀλλὰ καὶ μᾶλλον ἐκ τοῦ ἰδίω κατὰ τοὺς παλαιούς. ἱδρὼς γάρ, φασίν, οἷον γῆς αἱ πηγαί. ὥσπερ δὲ φύλαξ φύλακος ὁ φύλακος, οὕτω καὶ πῖδαξ πίδακος ἡ πολυπίδακος τῆς πολυπιδάκου. πολὺς δὲ παρὰ τοῖς παλαιοῖς ὁ τοιοῦτος σχηματισμός, ὡς καὶ προϊστόρηται, ἤγουν ἡ ἀναδρομὴ τῶν γενικῶν εἰς εὐθείας. (v. 61—2) Ἡ δὲ τοῦ Ἅιδου δειλία πάνυ τερατωδῶς ἐμφαίνει τὸ ἄγαν φρικτικὸν τοῦ σεισμοῦ, ὡς πρυμνόθεν τὴν γῆν ἀναμοχλεύοντος. ἔχει δέ τι κλιμακωτοῦ σχήματος τὸ «ἔδδεισεν Ἀϊδωνεύς, δείσας δ’ ἐκ θρόνου ἆλτο». οὗ διασαφητικὸν τὸ ὑπέρθορεν», ἤγουν λίαν ἐπήδησεν. ὑπερθορεῖν γὰρ οὐ μόνον τὸ ὑπερβῆναί τι πηδητικῶς, ἀλλὰ καὶ τὸ ὑπερβολικῶς ἀναπηδῆσαι. Ἐνέρων δὲ ἄναξ ὁ Ἅιδης, καθὰ ζώντων ὁ ἄνω Ζεύς. ἐκ δὲ τῶν τοιούτων ἐνέρων καὶ τὸ ἔνερθεν καὶ τὸ ἐνέρτερον, ὃ κατὰ ἀφαίρεσιν λέγεται νέρτερον. (v. 63) Τὸ δὲ «ἀναρρήξειε» πάνυ καὶ ἐπὶ γῆς κυριολεκτεῖται, καθὰ καὶ ἐπὶ γαστρός, ἣν ἀναρρήξει λέων. δηλοῖ δὲ ἡ λέξις τὸ διασχίσει, διαστήσει. ὅμοιον δὲ καὶ τὸ «τεῖχος ἀναρρήξας, ὅπερ ἐν τῇ η′ ῥαψῳδίᾳ κεῖται. (v. 64) Τὰ δὲ οἰκία οὐδ’ αὐτὰ νῦν ὑποκοριστικῶς ἐφράσθη, ἀλλὰ κατὰ παραγωγήν. ἔγνωσται γὰρ ὅτι σπάνια τὰ ὑποκοριστικὰ παρ’ Ὁμήρῳ, καθὰ αἰτιολογεῖται καὶ ἐν Ὀδυσσείᾳ. ἦν δὲ καὶ γελοῖον τὰ σμερδαλέα καὶ εὐρώεντα ὑποκορίσαι μικροφυῶς. Ἰστέον δὲ ὡς εἶχε μὲν εἰπεῖν δώματα συνήθως, ἀπονείμας δὲ τὴν λέξιν τοῖς ἄνω θείοις ἡφαιστοτεύκτοις οἴκοις εἵλετο ἐπὶ Ἅιδου οἰκία εἰπεῖν.

4.368 [Οἱ μέντοι μεθ’ Ὅμηρον ἀφειδῶς ὑποκορίζουσι, σχήμασι κατασμικρύνοντες μυρίοις τὰ πρωτότυπα, οἵπερ οὐ μόνον οἰκίον φασὶ τὸν οἶκον καθ’ ὑποκόρισιν, ἀλλὰ καὶ οἰκίδιον. καὶ χαλκίον δέ, φασίν, ἐκ τοῦ χαλκός κατὰ τὸ χρυσός χρυσίον. καὶ ἐκ τοῦ κῶνος δὲ κώνιον εἶπον. οὕτω δὲ καὶ ἐκ τοῦ ποδός ποδίον, οἷον «ἀστακοὶ τὰ ποδία ἔχουσι μικρά, τὰς χεῖρας δὲ μακράς. διὸ καὶ μακρόχειρες λέγονται καὶ γαμψώνυχες δὲ κατὰ Ἐπίχαρμον».] (v. 65) Σμερδαλέα δὲ οὐ μόνον τὰ τοῖς μέρδουσιν, ὅ ἐστι βλέπουσι, καταπληκτικὰ διὰ τὸ μὴ ἂν αἱρετά τινι τὰ κάτω εἶναι, ἀλλ’ ἴσως καὶ παρὰ τὸ τοὺς βλέποντας ἀλεείνειν αὐτά. Εὐρώεντα δὲ, ὡς καὶ ἐν ἄλλοις, ἢ τὰ πλατέα παρὰ τὸ εὖρος, ἢ τὰ σεσηπότα παρὰ τὸν εὐρῶτα. ἡ δὲ ἔκτασις τοῦ ω κατὰ τὸ κηώεις κητώεις καὶ τὰ ὅμοια. Στυγητὰ δὲ θεοῖς τὰ ἐν Ἅιδου, ἐπειδὴ αὐτὰ μὲν θνητότητός εἰσι τόποι, οἱ δὲ θεοὶ αἰὲν ἐόντες καὶ αἰειγενέται καὶ οὐρανίωνες, καὶ διὰ τοῦτο στυγοῦσαι τὰ κάτω καὶ ὑπὸ γῆν. διὸ καὶ ἡ Στὺξ ἐν Ἅιδου πέπλασται εἶναι. Σημείωσαι δὲ ὅτι πάντα τεράστια ποιήσας ἐν τῇ τοῦ Ἀχιλλέως ἐξόδῳ ἀκολούθως ἐκείνοις καὶ τὸν ῥηθέντα σεισμὸν ἐξέφρασεν. ἡ πρώτη τε γὰρ αὐτοῦ ἐξέλευσις μετὰ φλογὸς καὶ ἡ βοὴ φρικτὴ τοῖς Τρωσί, καὶ ἡ τῶν ὅπλων δὲ χορηγία ὑπὲρ τοὺς ἄλλους Τρῶας καὶ Ἕλληνας καὶ ἡ αὐτῶν ἁρμονία ὑπερφυής, εἴπερ ὡς πτερὰ τὸν Ἀχιλλέα κουφίζει, καὶ ἡ ἀνάβασις δὲ τοῦ ἅρματος πολὺ τὸ τερατῶδες ἔχει, ὅπου ὁ Ξάνθος ἵππος ἀνθρωπίνως αὐτὸν προσφωνεῖ. οὐχ’ ἧττον δὲ τῶν ἄλλων τέρας καὶ ἡ δι’ αὐτὸν ἐκκλησία τοῦ Διός, καὶ νῦν δὲ ἡ συγκίνησις τοῦ παντὸς καὶ ἡ μάχη τῶν θεῶν καὶ ὅσα ἄλλα ποιήσει προϊών. καὶ ἔδει οὕτω διασκευασθῆναι ταῦτα τεχνικῶς παρὰ τοῦ ποιητοῦ, ἵνα τῇ νῦν ὁρμῇ τοῦ Ἀχιλλέως, οὗπερ ἀεὶ κατ’ ἐξαίρετον ἐμέμνητο, μεγάλα ἐπισυμβῶσι πράγματα.

4.369 Ἰστέον δὲ καὶ ὡς εἴληφε τὴν ἀρχὴν ἡ εἰρημένη τῆς κατὰ γῆν ἀναρρήξεως τερατολογία ἐκ τῶν πλειστάκις γινομένων ἐν καιρῷ σεισμοῦ τοιούτων ἀναρρήξεων, ἃς εἴπερ Ἀϊδωνεὺς δέδιε, τί

οὐκ ἂν πάθοι ἄνθρωπος; Ἰστέον δὲ ὅτι ἀπὸ τῶν ἀνθρώπων ἐπὶ τὸν Ἀϊδωνέα τὸν λόγον μετήγαγεν. ὃ γὰρ ἄνθρωποι ἐφοβήθησαν, μήποτε καὶ ἀναρραγείη ἡ γῆ, τοῦτο δεδιέναι τὸν Ἀϊδωνέα φησὶν, ὥσπερ καὶ ἀλλαχοῦ τῶν περιγείων ἀνθρώπων διαχεομένων γελᾶν αὐτὴν ἔφη τὴν γῆν. Σημείωσαι δὲ καὶ ὅτι τὴν παρένθεσιν τοῦ σεισμοῦ ὁ ποιητὴς οὐ τοσοῦτον διὰ ἔνδειξιν πολεμικῆς φρίκης ἐπλάσατο, ἀλλὰ μάλιστα διὰ κτύπου ἐπαύξησιν, ἵνα τοῦ Διὸς βροντητικῶς κτυπήσαντος ἄνωθεν ἀέρος νόμῳ ποιήσῃ καὶ ὁ τῶν σεισμῶν αἴτιος Ποσειδῶν κάτωθεν ὅμοιον. διὸ καὶ ἐπὶ πᾶσι τοῖς ῥηθεῖσιν ἔφη ὁ ποιητὴς ἐπιφωνήματος λόγῳ, καθὰ ἐρρέθη, «τόσσος ἄρα κτύπος ὦρτο» καὶ ἑξῆς. Ὁμήρου δὲ ταῦτα κτύποι τοῦ καὶ φιλαχιλλέως καὶ μεγαλοφωνοτάτου καὶ ἀσφαλοῦς καὶ παντοίου τὸ ἐν ποιήσει ἀμίμητον. Ὅτι ἐνταῦθα τοὺς θεοὺς ἀλλήλοις ὁ ποιητὴς ἀνθιστᾷ, συνδυάζων αὐτοὺς εἰς μάχην. ἔχει δὲ ὁ τοιοῦτος τόπος, ὡς καὶ πρὸ τούτων εἴρηται, θεωρίαν φυσικήν τε καὶ ἠθικὴν τοιαύτην τινά. (v. 67—8) «Ἔναντα μὲν γὰρ Ποσειδῶνος ἄνακτος ἵστατ' Ἀπόλλων Φοῖβος ἔχων ἰὰ πτερόεντα», ἡλιακὴ αὕτη θερμότης ὡς εἰπεῖν ἀχανής, ὑγρῷ ἀπλέτῳ ἀντεπεξιοῦσα, οὐ μὴν οὔτε περιγινομένη—οὐ γὰρ καὶ εἰς ζέσιν μεταβάλλει τὸ μέγα τοῦτο ὑγρὸν ὁ ἥλιος—οὔτ' αὖθις ἀπαθὲς αὐτὸ παντελῶς ἐῶσα. ἕλκει γάρ τι χλιαίνων τοῦ ὕδατος τούτου ὁ ἀναγόμενος εἰς ἀλληγορίαν Ἀπόλλων ἥλιος, οὐδ' αὐτὸς μέντοι κατὰ τὸν λόγον τῆς ἐναντιώσεως ἀπαθὴς πάντη ἀπαλλάττεται τοῦ μεγάλου ὑγροῦ Ποσειδῶνος. ἀναθυμιώμεναι γὰρ ὑγρότητες εἰς δαψίλειαν οὐκ εὖ τὸν ἥλιον διατίθενται, ἀμαυροῦσαι αὐτόν, ὡς τὰ πολλά, καὶ οὕτω λυποῦσαι, καὶ κατὰ τὸν τραγικὸν Σοφοκλῆν εἰπεῖν «οὐράνιον» καὶ αὐταὶ «ἄχος» γινόμεναι, ὅπερ ἐπὶ σκηπτοῦ λέγει ἐκεῖνος.

4.370 δρῶσι μὲν οὖν εἰς ἄλληλα ὅ τε Ἀπόλλων καὶ ὁ Ποσειδῶν καὶ πάσχουσι δέ τι ὑπ' ἀλλήλων οὕτως, ὡς εἴρηται, οὐδέτερος δὲ τοῦ λοιποῦ εἰς ἀκρίβειαν ἐπικρατεῖ καὶ περιγίνεται. διὸ καὶ συμβαίνουσι τελευτῶντες εἰς ἓν καὶ τάχιστα τῆς μάχης παρὰ τῷ ποιητῇ παύονται. αἰδεῖται γὰρ ὁ Ἀπόλλων τῷ πατροκασιγνήτῳ μιγῆναι ἐν παλάμῃσιν, ὡς ἐν τοῖς ἑξῆς λέγει ὁ ποιητής, κἂν ἡ Ἄρτεμις ὀνειδίσῃ ἐν τῷ «φεύγεις ἑκάεργε» καὶ ἑξῆς, αὐτὸς οὔτι προσφωνήσει τὴν ὀνειδίζουσαν. καλῶς γὰρ ἂν αἰδοῖτο ὁ Ἀπόλλων ἥλιος τὸν Ποσειδῶνα, εἴγε κατά τινας τῶν λήρων Φυσικῶν τροφεῖα τῷ Ποσειδῶνι ὀφείλει, ὡς ἐκ τῆς κάτωθεν ἀναπεμπομένης ὑγρότητος καὶ αὐτός, καθὰ καὶ οἱ λοιποὶ τῶν ἀστέρων, τροφὴν ἕλκων καὶ οὕτω συνιστάμενος. ἡ δὲ τοιαύτη αἰδὼς φιλίας ἂν εἴη σύμβολον, ὡς εἶναι τὸν Ποσειδῶνα καὶ τὸν Ἀπόλλωνα πῇ μὲν ἐναντίους ἀλλήλοις, ὡς εἴρηται, πῇ δὲ αὖθις φιλίους, κἀντεῦθεν τὸν ποιητὴν ἱστᾶν αὐτοῖς τὰ τῆς μάχης ἐν τῷ βούλεσθαι μὲν καὶ δύνασθαι, ὀκνεῖν δὲ καὶ εἰς χεῖρας ἀλλήλους συμμῖξαι, διὸ καὶ Ἀπόλλωνα μὲν ἔχειν εἶπεν ἰὰ πτερόεντα, οἷς βαλεῖ ἄν, εἰ δεήσει, τῷ Ποσειδῶνι δὲ οὐδέν τι δοῦναι ὅπλον ἔχει κατὰ τοῦ τοιούτου Ἀπόλλωνος. ἡ γὰρ τρίαινα ἐπὶ τῶν κάτω δρᾷ, δηλαδὴ κατὰ θαλάσσης καὶ γῆς. καὶ οὕτω μὲν κατά τινας ἀντιπίπτουσιν ἀλλήλοις ὁ Ἀπόλλων καὶ ὁ Ποσειδῶν. Ἕτεροι δὲ ἀνθιστῶσιν αὐτούς, ἐπειδὴ ὁ Ἀπόλλων μὲν λοιμῶν παραίτιος, οἷα τοῦ περιγείου σὺν Ἀρτέμιδι τῇ ἀδελφῇ μέρους δεσπόζων, ὁ Ποσειδῶν δὲ ὑγείας αἴτιος διὰ τῶν πνοῶν, αἳ τὸν ἀέρα ῥιπίζουσιν, εἴπερ καὶ ὁ Ὠκεανὸς εἰς ὕδωρ καὶ αὐτὸς ἀλληγορούμενος, καθὰ καὶ ὁ Ποσειδῶν, αὔρας ἀνίησιν ἀναψύχειν ἀνθρώπους. καὶ τοιαῦτα μὲν τὰ κατὰ τὸν ἀλληγορούμενον φυσικῶς Ποσειδῶνά τε καὶ Ἀπόλλωνα.

4.371 (v. 69) Ἡ Ἀθηνᾶ δὲ ἄντα Ἐνυαλίοιο ἱσταμένη κατὰ ἦθος ἀνάγεται. τίς γὰρ οὐκ οἶδε τὴν νοερὰν Ἀθηνᾶν τῷ ἀλόγῳ θράσει ἐναντίαν φερομένην; καὶ καταναιδεύεται μὲν ὁ μοιχὸς Ἄρης, περιγίνεται δὲ ἡ παρθένος Ἀθηνᾶ. ἡ δ' αὐτὴ καὶ τὴν σύνναον τῷ ἀλόγῳ θράσει θῆλυν Ἀφροδίτην πρὸς στήθεα ἐν τοῖς μετὰ ταῦτα χειρὶ παχείῃ ἐλάσασα συγκατέρριψεν. (v. 70 s.) «Ἥρῃ δ' ἀντέστη», φησί, «χρυσηλάκατος κελαδεινὴ Ἄρτεμις ἰοχέαιρα κασιγνήτη ἑκάτοιο», φυσικώτερον. ἡ μὲν γὰρ εἰς ἀέρα συνήθως, ἡ δὲ εἰς σελήνην μετείληπται. περιγίνεται δὲ ἡ Ἥρα ἐν τοῖς ἑξῆς, ὅτε καὶ ὀϊστοὶ ἐκπίπτουσι τῇ Ἀρτέμιδι. οὐχ' οὕτω γὰρ ἡ σελήνη δραστικὴ περὶ τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀέρα καί, ὡς ἡ κλῆσις παραδηλοῖ, ἀερότεμις, ἤγουν τμητικὴ τῆς περὶ τὸν ἀέρα ὑγρᾶς ἐπισυστάσεως, ὡς ἡ τοῦ ἡλίου θερμότης, ἀλλ’ ἐνταῦθα τὸ ἧττον ἡ σελήνη ἀποφέρεται καὶ μυρία πάσχει καὶ τῆς ἀερίας δράσεως ἥττηται καὶ μᾶλλον μεθ’ ἡμέραν. νύκτωρ μέντοι δύναταί τι ποιεῖν πρὸς τὸν ἀέρα τῷ φωτί. διὸ καλῶς ὁ ποιητὴς τὴν Λητώ, ἥτις ἐστὶ νύξ, ἐπισυνάγειν φησὶν αὐτῆς τὰ τόξα πεσόντα ἄλλυδις ἄλλα, ἐπειδὴ ἐν νυκτὶ τὰ τοῦ σεληνιακοῦ φωτισμοῦ διαφαίνεται. Ἕτεροι δὲ Ἥραν μέν φασιν τὸν συνάπτοντα τῷ αἰθέρι ἀέρα, σωτήριον ὄντα. διὸ καὶ τελεία λέγεται Ἥρα καὶ μήτηρ, ὡς καὶ ἀλλαχοῦ σαφῶς δηλοῦται, Εἰλειθυιῶν. Τὸν δὲ περίγειον ἀέρα ὑπὸ τῇ Ἀρτέμιδι ποιοῦσιν, οὐ πάνυ ὄντα σωτήριον, ἀλλ’ ἀπ’ ἐναντίας ἥκοντα τοῖς ἄνω. διὸ καί φησιν «ἐπεί σε λέοντα γυναιξὶ Ζεὺς ἔθηκε» διὰ τὸ φθαρτικόν [Οὗ ἔμφασιν ἔχει καὶ τὸ θύεσθαι, φασί, μαινίδα τῇ Ἑκάτῃ, ταὐτὸν δ’ εἰπεῖν τῇ σελήνῃ, ὡς καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ γέγραπται, διὰ τὸ δοκεῖν ἔστιν οἷς μανιῶν αἰτία εἶναι.

4.372 ] καὶ τοιαῦτα μὲν καὶ ταῦτα. (v. 72) Λητοῖ δέ, φησίν, ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς. οἵπερ αὖθις ἠθικῶς ἐκλαμβάνονται, ἣ μὲν εἰς λήθην, ὃ δὲ εἰς λόγον μεταγόμενοι. καὶ ὁμολογήσει Ἑρμῆς, ὅτι ὦ Λητοῖ, «ἐγὼ δέ τοι οὔ τι μαχήσομαι». οὐ γὰρ δύναται λόγος λήθης καυχήσασθαι. ἄμαχον γάρ τι χρῆμα ἡ λήθη. (v. 73—4) Ἐπὶ δὲ τούτοις φησίν, ὡς ἄντα Ἡφαίστοιο «μέγας ποταμὸς βαθυδίνης, ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον». Ἐν οἷς καραδοκητέον, ὡς Ἥφαιστος, θερμότης ζέουσα, τῷ τοῦ Ξάνθου ὑγρῷ ἐμπεσὼν ἐν τοῖς ἐφεξῆς κατὰ φυσικὴν ἀλληγορίαν μεγάλην δείξει δρᾶσιν ἐγγινομένην ἐκ πυρὸς ἢ πυρώδους τινὸς τῇ ὑγρότητι, οὐ μὴν ἠρεμαίαν καί, ὡς εἰπεῖν, ἀνεπαίσθητον, οὐδὲ ἀντιπάσχουσαν, ὁποῖα ἐν τοῖς ἐπὶ Ποσειδῶνος καὶ ἡλίου ἐκτέθειται. οὕτω διαπλέκει τὴν ἀλληγορίαν ὁ ποιητὴς φυσικῶς ἅμα καὶ ἠθικῶς, ἓν πρὸς ἓν ἀντιτάξας καὶ συνδυάσας, ὡς ἔδει, ἀνομοίως τὰς ἑτερότητας. ἃ δὲ οἱ ῥηθέντες τοῦ μύθου μάκαρες δράσουσιν ἐπ’ ἀλλήλοις, ἡ ἐφεξῆς ῥαψῳδία δηλώσει. τῷ τέως δὲ ἡρωϊκαὶ πράξεις ἐκτεθήσονται, ἵνα μὴ τοῦ κατὰ τὸν Ἀχιλλέα πολέμου προηγήσωνται μείζονες οἱ δαιμόνιοι, καὶ οὕτω ψεύσηται τὸ τὴν ἔριν ὀλίγην τὰ πρῶτα κορύσσεσθαι, αὐτὰρ ἔπειτα οὐρανῷ στηρίζειν κάρα. Ἰστέον δὲ ὅτι τὸ «ἰὰ πτερόεντα» μεταπέπλασται συνήθως ἐκ τοῦ ἰοὶ πτερόεντες. (v. 70) Χρυσηλάκατος δὲ Ἄρτεμις κἀνταῦθα ἡ χρυσότοξος, ἠλάκατα γὰρ καὶ τὰ βέλη καὶ οὐ μόνον τὰ ἔρια. Ὅρα δὲ ὅπως ἐφιλοτιμήσατο τὴν Ἄρτεμιν ἐπιθέτοις ὁ ποιητὴς εἰπὼν «Ἥρῃ δ’ ἀντέστη χρυσηλάκατος κελαδεινή, ἰοχέαιρα, κασιγνήτη Ἑκάτοιο», τουτέστιν Ἀπόλλωνος. διὸ καὶ αὐτὴν Ἑκάτην οἱ μεθ’ Ὅμηρον λέγουσιν ἀπὸ τοῦ ἀρσενικοῦ παρονομάσαντες, ὥσπερ πάλιν τινὲς ἀνάπαλιν ἀπὸ θηλυκοῦ τῆς Τιτανίδος Φοίβης τὸν Φοῖβον εἰρῆσθαί φασιν.

4.373 [Ὅτι δὲ πολυώνυμος ἡ ῥηθεῖσα Ἑκάτη, δηλοῖ καὶ τὸ εἰς αὐτὴν ἐπίγραμμα, ἔχον οὕτως «δέσποινα τριοδῖτι, τρίμορφε, τριπρόσωπε, τρίγλαις κηλευμένη», τουτέστι θελγομένη, χαίρουσα. Ἑκάτῃ γάρ, ἤγουν Ἀρτέμιδι, ᾠκείωται ἡ τρίγλη, ὡς καὶ αὐτὸ προδεδήλωται. διὸ καὶ ἐν Ἀρτεμισίοις τρίγλη, φησί, παρεφέρετο διὰ τὸ δοκεῖν θηρεύειν τοὺς θαλασσίους λαγὼς θανασίμους ὄντας καὶ καταναλίσκειν. ὅθεν ὡς ἀνθρώπους ὠφελοῦσα τῇ ἄγρᾳ δέδοται τῇ κυνηγετικῇ θεῷ ὡς κυνηγέτις. ὅτι δὲ καὶ τόπος τις Ἀθήνῃσι Τρίγλη ἐκαλεῖτο, καὶ ὡς ἀνάθημα ἦν ἐκεῖ Τριγλαθήνῃ Ἑκάτῃ, δηλοῦσι καὶ αὐτὸ οἱ παλαιοί.] (v. 72) Τὸ δὲ ἀντιστῆναι ἀνωτέρω μὲν διαλελυμένως ἔφη ἔναντα ἵστασθαι, κατωτέρω δὲ ἄντα ἰέναι. (v. 73) Τὸ δὲ «ἄντα» ποιητικὴ λέξις. διὸ καὶ ὁ ποιητὴς ἐν τοῖς τόποις τούτοις τὸ μὲν ἔναντα προσάπαξ εἶπε, τὸ δὲ ἐναντία δίς, τὸ δὲ ἄντα πεντάκις, ὅπερ ἐκ τοῦ ἄντην γέγονεν, ὡς ἐκ τοῦ κρύβδην τὸ κρύβδα. ἔστι δὲ καὶ τὸ «ἐναντίβιον πολεμίζειν» ἰσοδύναμον τῷ ἔναντα καὶ ἐναντία. δὶς δὲ ἐν τοῖς τοιούτοις κεῖται μόνον τὸ ἄντα δίχα ῥήματος, οἷα νοουμένου ἀπὸ κοινοῦ τοῦ ἵστατο ἢ ἔστη. (v. 70) Διὰ τί δὲ κελαδεινὴ ἡ Ἄρτεμις, καὶ ὡς ἐκ τοῦ κελάδου καί τι δαιμόνιον φοβερὸν ὁ Ἐγκέλαδος, καὶ ποταμὸς καὶ πόντος δὲ κελάδων, δηλοῦνται ἑτέρωθι, ὥσπερ καὶ περὶ τοῦ ἰοχέαιρα, καὶ ὡς καθ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὅμηρον μὲν κασιγνήτη Ἀπόλλωνος ἡ Ἄρτεμις, κατὰ δέ τινας φυσικωτέρους γυνή. (v. 72) Τὸ δὲ «σῶκος» ἐπὶ Ἑρμοῦ ὁ Τυραννίων ὀξύνει πρὸς ἀποφυγὴν κυρίου τοῦ «ὦ Σῶκε, Ἱππάσου υἱέ».

4.374 ἀντιλέγεται δέ. τὰ γὰρ εἰς κος δισύλλαβα, ἀπαρασχημάτιστα ὄντα εἰς γένος θηλυκόν, φύσει μακρᾷ παραληγόμενα, βαρύνεται, οἷον φῶκος, θῶκος. σεσημείωται τὸ σηκός. οὐκ ἀρέσκει δὲ τοῖς παλαιοῖς οὐδὲ τὸ ἐκ τοῦ σάοικος κραθῆναι τὴν λέξιν, ἵνα ᾖ σῶκος ὁ σῴζων τοὺς οἴκους, ὡς ἂν μὴ πρόσκειται, φασίν, ἤγουν προσγράφηται, ἐν τῇ παραληγούσῃ τὸ ι τῆς παραδόσεως οὐχ' οὕτως ἐχούσης. διὸ καὶ ἁπλούστερον ἐτυμολογοῦντες αὐτό, φασίν· ὥσπερ θάσσω θᾶκος, σάω σάκος, οὕτω καὶ σώω σῶκος ὁ σωστικός. Περὶ δὲ ἐριουνίου προδεδήλωται. (v. 73) Μέγαν δὲ ποταμὸν τὸν Ξάνθον λέγει, οὐχ' οὕτω σωματικῶς κατὰ τὸ ὕδωρ, ἀλλὰ κατὰ τὸ δαιμονιῶδες. ἑκάστου γὰρ ἀενναόυ ποταμοῦ δαίμονά τινα οἱονεὶ ταμίαν τοῦ ῥεύματος ὁ μῦθος προϊστᾷ. Ὁ δὲ βαθυδίνης δῆλον ὡς πλεῖόν τι δηλοῖ τοῦ ἀργυροδίνου, ὃς ἐπιπολῆς ἀβαθεῖς προφαίνει τὰς δίνας, ἔτι δὲ καὶ τοῦ ἁπλῶς δινήεντος. (v. 74) Διώνυμον δὲ εἶναι τὸν Σκάμανδρον ἐπισημαίνεται ὁ ποιητὴς ἐν τῷ «ὃν Ξάνθον καλέουσι θεοί» καὶ ἑξῆς, ἐπιλεξάμενος καὶ νῦν τὸ εὐφωνότερον τοῖς θεοῖς, ὡς καὶ ἀλλαχοῦ εἴρηται. ὁ γὰρ Σκάμανδρος τραχύνει τε τὴν φωνὴν καὶ εἰς μέτρον δὲ δύσχρηστός ἐστι, ὡς καὶ αὐτὸ προείρηται. Ξάνθος δὲ λέγεται, ἐπεί, φασί, διαφερόντως τοὺς λουομένους ξανθίζει, ὡς καὶ ὁ Λύκιος Ξάνθος, ἢ καὶ τοὺς παραπεφυκότας πιαίνων καρποὺς λευκαίνει, καὶ οὕτω ξανθὴν οἷον ποιεῖ τὴν Δήμητραν, ἣν ἕτεροι διὰ τὸ φύσει ἐγγινόμενον ὑπόλευκον ξάνθισμα τοῖς ληΐοις καὶ ἑλήγηριν λέγουσι διὰ τὸ ὑπὸ τῆς τοῦ ἡλίου ἕλης γηρᾶν. ἢ τοίνυν διὰ τὸ ξανθίζειν οὕτω καλεῖται ὁ Τρωϊκὸς Ξάνθος, ἢ ὅτι Ἀφροδίτη πρὸ τῆς κρίσεως ἐν αὐτῷ λουσαμένη ξανθὰς ἔσχε τρίχας. Σκάμανδρος δὲ λέγεται ὡς οἱονεὶ κάμανδρος. Κάματον γάρ ποτε ἀνδρὸς τοῦ Ἡρακλέος παρεμυθήσατο, ἡνίκα εἰς Ἴλιον ἐστρατεύσατο, ἢ καὶ διότι ἀνδρὸς ἐκείνου σκάμμα τὸν Ξάνθον ἐκ γῆς προήγαγε. σκάψας γάρ, φασί, τότε γῆν Ἡρακλῆς ἐν τῷ διψᾶν πηγὰς ἐξέφηνε ποταμοῦ, ὃς διὰ τοῦτο ἐκλήθη Σκάμανδρος. (v. 75—8) Ὅτι ὁ Ἀχιλλεὺς «Ἕκτορος ἄντα μάλιστα λιλαίετο», ἤγουν ἤθελε, «δῦναι ὅμιλον».

4.375 καὶ αὐτοῦ «μάλιστά γε θυμὸς ἀνώγει αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν», τουτέστιν αἵματος κορέσαι τὸ ἑαυτοῦ ξίφος, ὡς καὶ ἀλλαχοῦ εἴρηται. ἔστι δὲ ὁ τρόπος περιφραστικὴ ἀλληγορία. τὸ γὰρ τοῦ ξίφους ὡς ἐπὶ Ἄρεος λαλεῖ. [Τοιοῦτον δέ πως καὶ τὸ «λάϊνον ἕσσο χιτῶνα», ἤγουν ἐλιθάσθης ἄν. τὸ γὰρ λάεσσι σκεπασθῆναι ὡς ἐπὶ χιτῶνος ἐλαλήθη. ὅτι δὲ ἐκ τοῦ λῶ, τὸ θέλω, παρῆκται τὸ λιλαίω, δῆλόν ἐστιν. ἐξ αὐτοῦ δὲ ἴσως ὁ Λίλας, οὗ παράγωγον τὸ Λιλάντειον πεδιόν.] Πόθεν δὲ γίνεται ὁ ταλαύρινος καὶ ὅσα ἄλλα εἰς τοῦτον τὸν τόπον ἔδει εἰπεῖν, καὶ ἐν τῇ ε' ῥαψῳδίᾳ ἱκανῶς εἴρηται. (v. 82—5) Ὅτι ὁ Ἀπόλλων τῷ Πριαμίδῃ Λυκάονι ὁμοιωθείς φησι πρὸς Αἰνείαν ὀνειδίζων καὶ κατὰ τοῦ Ἀχιλλέως ἐρεθίζων «Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαί, τὰς Τρώων βασιλεῦσιν ὑπέσχεο οἰνοποτάζων, Ἀχιλλέως ἐναντίβιον πολεμίζειν»; Καὶ ὅρα τὸ «οἰνοποτάζων». ἀληθῶς γὰρ παρὰ τὸν οἶνον αἱ καυχήσεις τὰ πλείω γίνονται. [Ὡς δῆλον καὶ ἐκ τοῦ «πῇ ἔβαν εὐχωλαί, ἃς ἐν Λήμνῳ κενεαυχέας ἠγοράασθε ἔσθοντες κρέα» καὶ ἑξῆς, ὃν δὴ στίχον ὁ Ἀρίσταρχος περιγράφων, ὡς ἀπὸ κρεωφαγίας αὐχεῖν ποιοῦντα τοὺς Ἕλληνας, ἀθετεῖ. οὐ γὰρ ἀπὸ πάσης εὐθυμίας καὶ πληρώσεως τὸ καυχᾶσθαι καὶ σκώπτειν καὶ γελοιάζειν γίνεται, ἀλλ' ἐκ τῆς ἐν μέθῃ ἀλλοιούσης τὴν γνώμην καὶ πρὸς τὸ ψευδὲς τρεπούσης, ὡς γράφει Ἀθήναιος, ἥτις κατὰ Βακχυλίδην αἰθύσσει φρένας. δι' ἥν φησι καὶ ὁ δεινότατος τῶν Τρώων Αἰνείας, ἐν τῷ βουλεύεσθαι παρρησιασάμενος καὶ ἀπειλὰς ἐν τῷ μεθύειν ὑποσχόμενος τοῖς Τρωσίν, ὑπέμεινε τὴν Ἀχιλλέως ὁρμὴν καὶ μικροῦ ἂν παραπώλετο. ὡς δὲ καὶ Ἀγαμέμνων ἀάσατο οἴνῳ μεθύων κατὰ τὸν Διοσκουρίδην, ὡς πρὸ ὀλίγων ἐκεῖνος εἶπεν, ἀλήθειαν ὁ βασιλεὺς ἐπιμαρτυρόμενος τῷ Ἀχιλλεῖ, ὃς ἐν τῇ α' ῥαψῳδίᾳ οἰνοβαρῆ ἐκεῖνον ἔσκωψε. καὶ ταῦτα μὲν τοιαῦτα.] Δῆλον δὲ ὡς προϋπάρχει τοῦ οἰνοποτάζειν τὸ οἰνοποτεῖν. Τρώων δὲ βασιλεῖς τοὺς κατὰ μέρος ἄρχοντας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγει, ὡς καὶ ἐν Ἰθάκῃ πολλοὺς ὁ Τηλέμαχός φησιν εἶναι βασιλεῖς, ὅ ἐστιν ἐπιδόξους εἰς βασιλείαν καὶ τῇ ἀρχῇ πρέποντας.

4.376 καὶ ταῦτα μὲν τοιαῦτα. (v. 86—93) Αἰνείας δὲ φιλαλήθως φησὶ «Πριαμίδη, τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύεις ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι; οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεος ἄντ' Ἀχιλῆος στήσομαι, ἀλλ' ἤδη με καὶ ἄλλοτε δουρὶ φόβησεν ἐξ Ἴδης, ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρῃσι, πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον. αὐτὰρ ἐμὲ Ζεὺς εἰρύσαθ', ὅς μοι ἐπῶρσε μένος λαιψηρά τε γοῦνα». (v. 94—6) Λέγει δὲ καί, ὅτι ἐδάμην ἂν «ὑπὸ χερσὶν Ἀχιλῆος καὶ Ἀθήνης, ἥ οἱ πρόσθεν ἰοῦσα τίθει φάος», οἷα δηλαδὴ φωσφόρος, ὡς καὶ ἐν τῇ Ὀδυσσείᾳ δηλοῦται σαφέστατα. καὶ ἐκέλευε, φησίν, ἔγχεϊ «Λέλεγας καὶ Τρῶας ἐναίρειν». (v. 97—100) Διό, φησίν, «οὐκ ἔστ' Ἀχιλῆος ἐναντίον ἄνδρα μάχεσθαι. αἰεὶ γὰρ πάρα θεός, ὃς λοιγὸν ἀμύνει. καὶ δ' ἄλλως τοῦ γε», ἤγουν τούτου, «ἰθὺ βέλος πέτεται, οὐδ' ἀπολήγει πρὶν χροὸς ἀνδρομέοιο διελθέμεν». οὕτω σώφρων Αἰνείας καὶ ἄτυφος καὶ ἑαυτὸν γινώσκων καὶ τὴν ἀλήθειαν οὐκ ἐπικρύπτειν εἰδὼς καὶ μονονουχὶ λέγων καὶ αὐτὸς τὸ τοῦ Τραγικοῦ «νικᾷ γὰρ ἡ ἀρετή με τῆς ἔχθρας πολύ». Καὶ σημείωσαι ὅτι καὶ ἐνταῦθα ὁ ποιητὴς ἱστορίας διαφόρους ἐνέθετο προγενεστέρας τοῦ δεκάτου ἔτους, πάσας μέντοι σεμνυνούσας τὸν Ἀχιλλέα, τὴν ἡρωϊκὴν δίωξιν δηλαδὴ καὶ τὴν ἐξ αὐτῆς φυγὴν τοῦ Αἰνείου καὶ τὴν τῆς Λυρνησσοῦ καὶ Πηδάσου ἅλωσιν. (v. 92) Περὶ ὧν, εἰ καὶ προείρηται, νῦν ὅμως περὶ Πηδάσου ῥητέον πρὸς ἀνάμνησιν, ὅτι ὑπὸ τῇ Ἴδῃ ἔκειτο, Τρωϊκὴ καὶ αὐτὴ πόλις οὖσα, ἣν θηλυκῶς, φασί, λεκτέον, ὥσπερ αὖ οὐδετέρως τὴν Καρικὴν πόλιν τὰ Πήδασα. ἐκεῖνα δὲ καὶ διὰ τοῦ γ ἐλέγετο Πήγασα. ἔστι δέ, ὡς καὶ προεγράφη, καὶ ἑτέρα παρὰ τῷ ποιητῇ Πήδασος. ἡ δέ ἐστι κατὰ τοὺς παλαιοὺς ἡ Μεθώνη ἢ ἡ Κορώνη. (v. 88) Τὸ δὲ «ἀντία μάχεσθαι» διάλυσίς ἐστι τοῦ ἀντιμάχεσθαι, ὡς καὶ τὸ ἄντα ἵστασθαι τοῦ ἀνθίστασθαι. ἰσοδύναμον δὲ τῷ ἀντιμάχεσθαι τὸ ἐναντίον μάχεσθαι, ὥσπερ καὶ τὸ ἐναντίβιον πολεμίζειν. (v. 92 s.) Τὸ δὲ «αὐτὰρ ἐμὲ θεὸς εἰρύσατο», τουτέστιν ἐφύλαξε, καὶ ἑξῆς, εἰς ἐπικουρίαν τὴν θεόθεν εὐχρηστεῖται. (v. 95) Τὸ δὲ «πρόσθεν ἰοῦσα ἐτίθει φάος» δίδωσι συλλογίζεσθαι ὅτι νυκτιλοχῶν ἐπῆλθεν ὁ Ἀχιλλεὺς τῷ Αἰνείᾳ βουκολοῦντι τὰ τοῦ πατρός, ὥσπερ καὶ τὸν Λυκάονα ἐννύχιος εἷλε προμολών. διὸ καὶ ἐδέετο φωτὸς ὁ Ἀχιλλεύς.

4.377 ἐξευρίσκων δὲ κατὰ σύνεσιν τὰ ζητούμενα ῥᾳδίως ἐρρέθη ὁδηγεῖσθαι ὑπ' Ἀθηνᾶς φωσφορούσης, καθὰ δηλοῖ καὶ ἡ Ὀδύσσεια, καὶ «ὀρθῇ κελεύθῳ», καθά τις ἔφη, «τἀν σκότει» ποδηγετούσης». Ὅρα δὲ καὶ πολλὴν ταχυτῆτα ποδῶν προσμαρτυρουμένην τῷ Αἰνείᾳ, εἴγε τὸν ποδωκέστατον Ἀχιλλέα ἐν τοιούτῳ καιρῷ διεξέφυγε, καὶ ταῦτα ὑπὸ Ἀθηνᾶς φωταγωγούμενον. αἴτιον δὲ οὐ μόνον, ὅτι τὴν περὶ ψυχῆς ἔθεε φεύγων, ἀλλὰ καὶ ἡ τῶν τόπων εἴδησις, ὡς εἰκός, δι' ἣν εὐμαθῶς ἔφευγεν, ἢ καὶ ὅτι οὐδὲ πάνυ ἐδιώχθη κατὰ σπουδὴν καὶ ἐπιμόνως ὑπ' Ἀχιλλέως, ἀσχολουμένου, ὡς ἔοικεν, εἰς τὴν βοηλασίαν. οὐ γὰρ τῷ Αἰνείᾳ ἐπῆλθεν, ἀλλὰ ταῖς βουσίν, ὡς Αἰνείας φησίν. Οἱ δὲ νῦν Λέλεγες οὗτοι καὶ Τρῶες κόμμα τι μέτριον φαίνονται εἶναι Λελέγων καὶ Τρώων συνακολουθοῦν τῷ Αἰνείᾳ καὶ συγκινδυνεῦον αὐτῷ. κατὰ δὲ ὁλότητα Λέλεγες, περὶ ὧν καὶ αὐτῶν προείρηται, οἱ Κᾶρές εἰσιν, ἐπεὶ καὶ Λελέγων πόλις κατὰ τοὺς παλαιοὺς ἡ τῆς Καρίας μητρόπολις. καλοῦνται δὲ οὕτω ἀπὸ τοῦ λέγω, τὸ συνάγω, ὡς ἐκ πολλῶν συλλεγέντες ἐθνῶν, ὁποῖόν τι καὶ περὶ τῶν Αἰολέων ἱστόρηται. ὁ δὲ Γεωγράφος οὐκ αὐτόχρημα Κᾶρας οἶδε τοὺς Λέλεγας, λέγων ὅτι Λέλεγες ἕτεροι μὲν τῶν Καρῶν ὑπῆρξαν, ᾤκουν δὲ περὶ τοὺς καλουμένους ὑπὸ τοῦ ποιητοῦ Κίλικας, ἐκπορθηθέντες δ' ὑπ' Ἀχιλλέως μετέστησαν εἰς Καρίαν καὶ κατέσχον τὰ περὶ Ἁλικαρνασόν, καθὰ καὶ ταῦτα προγέγραπται. ἑτέρωθι δὲ ληστρικοὺς λέγει τοὺς Λέλεγας. ὧν τινες, φησί, πλάνητες συγκατεμίχθησαν Κίλιξι καὶ συνέμειναν δι' ὁμοιοτροπίαν. ἀλλαχοῦ δὲ ἔφη καὶ ὅτι ἐν τῷ Ἀδραμυτηνῷ κόλπῳ τοὺς πλείους τῶν Λελέγων κατοικίζων φαίνεται ὁ ποιητής, ὧν Πήδασόν τινα λέγει πόλιν ὑπὸ Ἄλτῃ [τεταγμένην.] (v. 99) Τὸ δὲ «ἰθὺ πέτεται» ἀφορμὴ γίνεται τοῦ συνθέτως ἰθυπτίωνα εἰπεῖν τὴν

Ἀχιλλέως μελίαν ἐν τοῖς ἑξῆς. Καὶ ὅρα τὸ «πέτεται» καὶ τὸ «οὐκ ἀπολήγει», ὡς ἐπὶ ἐμψύχου καὶ ἔμφρονος τοῦ βέλους λεχθέντα καὶ αὐτά, ὡς πολλαχοῦ θέλει ποιεῖν Ὅμηρος. [Φιλοτιμία δὲ ποιητικὴ πτηνὸν οἷον πλάσασθαι τὸ τοῦ Ἀχιλλέως δόρυ, ἐπεὶ τοιοῦτος ὑπόκειται καὶ ἐκεῖνος ἐν τῷ «εὖτε», ἀντὶ τοῦ καθά, «πτερά» τὰ τεύχεα γεγόνασιν αὐτῷ.

4.378 βούλεται δὲ τὸ μὲν «πέτεται» κουφοτάτην νοεῖσθαι τὴν Πηληϊάδα μελίην. Τὸ δὲ «οὐδ' ἀπολήγει» πάνυ ἑκήβολον αὐτὴν εἶναι, ἤγουν ἑκὰς ἀφιεμένην.] (v. 83—4) Ἰστέον δὲ καὶ ὅτι πρὸς τὸν ὑπεσχημένον ἀτελέστατα ἐν συμποσίῳ οἰκεῖον εἰπεῖν τὸ «ποῦ τοι ἀπειλαί, ἃς ὑπέσχεο οἰνοποτάζων»; (v. 87) Ὁ δὲ ὀκνῶν πεισθῆναί τινι κελεύοντι ἐρεῖ ἂν «τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύεις»; (v. 97 s.) Ἀνδρείου δὲ καὶ θεοφιλοῦς ἔπαινος τό· οὐκ ἔστιν ἔναντι τοῦ δεῖνος ἄνδρα μάχεσθαι. αἰεὶ γὰρ πάρα θεός, ὃς λοιγὸν ἀμύνει. (v. 100—2) Ὅτι τὸ «εἰ δὲ θεός περ ἶσον τείνειε πολέμου τέλος, οὔ με μάλα ῥέα νικήσει, οὐδ' εἰ παγχάλκεος εὔχεται εἶναι» τοῦτο νοεῖ, ὡς ἐὰν οὐ ῥέπῃ τὸ τοῦ μοιριδίου τάλαντον, ἢ καὶ ἄλλως, ἐὰν οὐδεμία τίς ποθεν ἐπιβρίσῃ ῥοπή, οὐκ ἂν ἡττηθήσομαι. καὶ οὗτός ἐστιν ὁ λογισμὸς ὁ παραπείσας ἀντιστῆναι τὸν ταῦτα εἰπόντα Αἰνείαν τῷ Ἀχιλλεῖ. προβέβληται γὰρ καὶ αὐτός, ὡς καὶ πολλῷ πλέον πρὸ τούτου δέδεικται Ἀχιλλεύς, τὴν ἀγαθὴν ἐλπίδα, ἧς μὴ ὑποθαλπούσης ῥιγεδανώτατος ὁ πόλεμος. [Πολέμου δὲ τέλος οὐκ ἔστι νοῆσαι τὴν νίκην ἐνταῦθα, τὸν πόλεμον δὲ αὐτὸν περιφραστικῶς.] (v. 102) Τὸ δὲ «παγχάλκεος» ἀστείως εἴρηται μονονουχὶ λέγοντος τοῦ Αἰνείου, ὅτι οὐκ ἂν εὐκόλως με νικήσῃ ὁ Ἀχιλλεύς, οὐ μόνον ἐὰν ἐξ Ἡφαίστου ὁπλοφορῇ, ἀλλ' οὐδὲ ἐὰν αὐτόχρημα χάλκεός ἐστι. Καὶ ὅρα ὅπως οὐ πάνυ ὁ Αἰνείας εἰς ἶσον θέλει ἄγειν ἑαυτὸν τῷ Ἀχιλλεῖ κατὰ ἀνδρίαν καὶ κατὰ ὠκύτητα ποδῶν, ἀλλὰ κολάζει καὶ ἀμφότερα, ἐκφυγεῖν μὲν ἀνωτέρω τὸν Ἀχιλλέα εἰπών, οὐ διότι ταχύτερός ἐστιν ἐκείνου, ἀλλὰ διότι αὐτὸν εἰρύσατο Ζεὺς ἐπόρσας μένος λαιψηρά τε γοῦνα, καὶ ἐν πολέμῳ δὲ οὔτε νικήσειν λέγει τὸν Ἀχιλλέα, οὔτε ὅτι ἐκεῖνος οὐ νικήσει τοῦτον, ἀλλ' ὅτι οὐ ῥέα μάλα νικήσει δίχα θείας ῥοπῆς. οὕτως οὐ μόνον συνετὸς ὁ Αἰνείας καὶ εἰδὼς ἑαυτόν, ἀλλὰ καὶ θεοφιλής. (v. 105—7) Ὅτι Ὁμηρικὴ κἀνταῦθα δεινότης ἐξευρίσκει σύγκρισιν Αἰνείου τε καὶ Ἀχιλλέως ἐκ μητέρων καὶ δίδωσι τὸ μεῖζον τῷ Αἰνείᾳ. ἡ μὲν γὰρ Ἀφροδίτη Διός, ἡ τοῦ Αἰνείου μήτηρ, ἡ δὲ Θέτις χερείων θεὸς οἷα ἐκ τοῦ θαλασσίου Νηρέως. καὶ ταῦτα μὲν οὕτως. ἀλλὰ τί τῆς μητραγαθίας ὄφελος; οὐ γὰρ παρὰ τοῦτο οὐδ' Ἀχιλλεὺς ὁ τῆς Θέτιδος Αἰνείου τὸ ἧσσον φέρεται τοῦ ἐκ τῆς εὐγενεστέρας Ἀφροδίτης.

4.379 (v. 105) Σημείωσαι δὲ ὅτι ἐνταῦθα κόρην φανερῶς τὴν θυγατέρα φησίν. οὕτω γὰρ κόρη Διὸς ἡ Ἀφροδίτη. (v. 106) Ὅρα δὲ καὶ τὸ χερείων ἐπὶ ἁπλῶς ταπεινοτέρου τεθὲν καὶ ἐλάττονος, ἔνθα φησὶν Ἀπόλλων τὸν Αἰνείαν μὲν Ἀφροδίτης ἐκγενέσθαι, τὸν Ἀχιλλέα δὲ χερείονος ἐκ θεοῦ εἶναι, ἤτοι τῆς Νηρηΐδος Θέτιδος, ἥτις ἐλαττοῦται τῆς Ἀφροδίτης, ὡς καὶ ὁ Νηρεὺς τοῦ Διός. κατὰ λόγον γὰρ εὐγενείας ἡ τῶν πάππων καὶ ὅλως τῶν προγόνων ὑπεροχὴ καταβαίνει καὶ εἰς τοὺς ἀπογόνους. Σημείωσαι δὲ καὶ ἐν τούτοις, οἵα ἡ τῶν ἐχεφρόνων ῥητόρων παραίφασις. ἐπιχειρήσας γὰρ τεχνικῶς ἐν τῇ προειρημένῃ συγκρίσει ὁ μυθικὸς Ἀπόλλων παρήγαγε τὸν Αἰνείαν εἰς ὅπερ ἤθελεν, οὐκ αἰσθόμενον ὅτι, καθάπερ οὐδὲ ἡ πατραγαθία μόνη, οὕτως οὐδὲ τὸ ἐκ μητρὸς σέμνωμα συντελεῖ πρὸς ἔργα τὰ κατ' ἀνδρίαν. ἠρέθισε δὲ τὸν Αἰνείαν καὶ ἡ κλῆσις πάνυ σεμνὴ οὖσα. (v. 104—7) Φησὶ γὰρ «ἥρως, ἀλλ' ἄγε καὶ σὺ θεοῖς εὔχεο. καὶ δὲ σέ φασι Διὸς κούρης Ἀφροδίτης ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεοῦ ἐστιν. ἡ μὲν γὰρ Διός ἐσθ', ἣ δ' ἐξ ἁλίοιο γέροντος. (v. 108 s.) Εἶτα καὶ ἀξιῶν ὃ βούλεται, φησὶν «ἀλλ' ἰθὺς φέρε χαλκὸν ἀτειρέα», ἀντὶ τοῦ ἴθυσον μετὰ χαλκοῦ, ἤτοι μετὰ ὅπλων στῆθι καὶ οἷον ἀντίστησον τῷ πολεμίῳ τὰ ὅπλα, «μηδέ σε πάμπαν λευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ». τοῦτο δὲ παντὶ προσήκει ὀτρύνοντί τινα κατὰ ἐχθροῦ. (v. 104) Καὶ ὅρα τὸ «ἀλλ' ἄγε καὶ σὺ θεοῖς εὔχεο», δι' οὗ ἀστείως δηλοῦται ὡς εὐχῆς χρεία τῷ Αἰνείᾳ, εἰ μέλλοι ἀντιστῆναι τῷ Ἀχιλλεῖ. (v. 109) Τὸ δὲ «ἀρειῇ», ὅ

ἐστιν ἀπειλῇ, ὃ γίνεται πλεονασμῷ τῆς ει διφθόγγου ἐκ τοῦ ἀρά, ἐπίτομός ἐστι διασάφησις τοῦ «λευγαλέοις ἐπέεσσι». δῆλον γάρ, ὡς λευγαλέον ἔπος ἡ ἀπειλή. (v. 110 s.) Ὅτι δὲ καὶ προθυμίαν ἐμποιοῦσιν εἰς ἔργον αἱ τεχνικαὶ παραινέσεις, δηλοῖ καὶ ἐνταῦθα τὸ «ὣς εἰπών», ὁ Ἀπόλλων δηλαδή, «ἔμπνευσε μένος μέγα ποιμένι λαῶν», καὶ εὐθὺς ἔβη διὰ προμάχων ὁ Αἰνείας.

4.380 (v. 113) Ὅτι οὐλαμὸς καὶ ἐνταῦθα ἐν τῷ «ἰὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν» τὸ πύκνωμα καὶ σύστρεμμα τοῦ λαοῦ ἀπὸ τῆς σαρκικῆς οὐλώσεως, ὥς φασιν οἱ παλαιοί, ἢ ἀπὸ τῆς οὐλότητος τῶν συνεστραμμένων τριχῶν. Ὅτι καινήν τινα περιπέτειαν ὁ ποιητὴς ἐνταῦθα παρεισάγει τὴν τοῦ Αἰνείου καὶ Ἀχιλλέως μάχην, ἐν ᾗ διχόθεν ὑποδύσκολον τὸ τέλος. οὔτε γὰρ ἀναιρεθῆναι δυνατὸν τὸν Αἰνείαν—παρὰ τὴν ἱστορίαν γὰρ τοῦτο—οὔτε ἀκινδύνως διεκφυγεῖν. οὐ γὰρ ἄξιον Ἀχιλλέως τοῦτο. (v. 115- 8) Διόπερ ὁ ποιητὴς παρασημειούμενος τὸ κινδυνῶδες τῆς περιπετείας ποιεῖ τὴν Ἥραν λέγουσαν πρὸς Ποσειδῶνα καὶ Ἀθηνᾶν «φράζεσθον ἐν φρεσὶν ὑμετέρῃσιν, ὅπως ἔσται τάδε ἔργα», ἤγουν τὸ τὸν Αἰνείαν βῆναι ἀντία Πηλείωνος, ἐπεὶ ἀνῆκεν αὐτὸν ὁ Ἀπόλλων, οἱονεὶ ἀνιστῶν Ὅμηρος τὸν ἀκροατὴν εἰς προσοχὴν διὰ τὸ τοῦ πλάσματος δυσχερὲς καὶ ἑαυτὸν δὲ ὀξύνων εἰς εὕρεσιν πιθανότητος. ὅπως δὲ αὐτὸς πιθανῶς τὸ ἄπορον λύσει, ἐν τοῖς ἑξῆς φανήσεται, ὅπου παρὰ βραχὺ κινδυνεύων ὁ Αἰνείας ὅμως ἐκ τοῦ πολέμου σωθήσεται μηδέν τι παθὼν ἀνήκεστον. τρόπος δὲ αὐτῷ φυλακῆς τὸ ἐλθεῖν ὥσπερ τῷ Αἰνείᾳ, οὕτω καὶ τῷ Ἀχιλλεῖ θείαν ἐπικουρίαν. (v. 119—22) Φησὶν οὖν ἡ Ἥρα «ἀλλ’ ἄγεθ’, ἡμεῖς πέρ μιν», ἤγουν τὸν Αἰνείαν ἢ τὸν Φοῖβον, «ἀποτρωπῶμεν ὀπίσσω αὐτόθεν, ἤ τις ἔπειτα καὶ ἡμείων Ἀχιλῆϊ παρσταίη, δοίη δὲ κράτος μέγα, μηδέ τι θυμῷ δευέσθω», ἤγουν δεέσθω, κράτους μεγάλου. ταῦτα δὲ προσφυῆ ἔσονται εἰς ἐπικουρίαν καταπονουμένου προσώπου, (v. 122—4) ὡς καὶ ἐφεξῆς φιλίας συμμαχικῆς ἔπαινος τὸ «ἵνα εἰδῇ ὅ», ἤγουν ὅτι, «μιν φιλέουσιν ἄριστοι, οἱ δ’ αὖτ’ ἀνεμώλιοι, οἳ τὸ πάρος περ» τοῖς δεῖνα «ἀμύνουσιν», οἷον Τρωσί, «πόλεμον καὶ δηϊοτῆτα».

4.381 (v. 119 s.) Ἰστέον δὲ ὅτι τὸ «ἀποτρωπῶμεν αὐτόθεν» ἀντὶ τοῦ ἀπ’ αὐτοῦ τοῦ Ἀχιλλέως, ἢ μᾶλλον ἐξ αὐτοῦ δὴ τοῦ τόπου, ἔνθα νῦν εἰσιν ὁ Αἰνείας τε καὶ ὁ Ἀπόλλων, ἵνα ᾖ ὅμοιον τῷ «μετέειπεν Ἀγαμέμνων αὐτόθεν ἐξ ἕδρης». (v. 127—8) Ὅτι τὴν αἶσάν φησι λίνῳ ἐπινήθειν τοῖς γεννωμένοις, ἃ μετὰ ταῦτα πείσονται. δηλοῦται δὲ διὰ τούτου, ὡς καὶ ἐν ἄλλοις ἐρρέθη, ἡ τῶν ἀνθρωπίνων πραγμάτων ἐν λεπτῷ στροφὴ καὶ ὁ ἐν τούτοις εἱρμός. ἀπὸ δὲ τοῦ τοιούτου νήθειν καὶ αἱ βαρεῖαι κατακλῶθες ἀλλαχοῦ παρὰ τῷ ποιητῇ [λόγῳ τροπῆς. λίνου μὲν γὰρ τὸ κατακλώθεσθαι, ἀτράκτου δὲ κλώθοντος τὸ ὑπὸ βάρους κάτω φέρεσθαι], ἃς διασαφῶν Εὐριπίδης φησὶ «στέμματα ξήνασα θεὰ ἐπέκλωσε» πόλεμον. Αἶσα δὲ ὁ τοῦ παντὸς λόγος κατὰ τοὺς παλαιούς, παρὰ τὸ δαίω, τὸ μερίζω. ὅθεν καὶ Μοῖρα λέγεται, καὶ Εἱμαρμένη δέ, ὡς ἀπὸ τοῦ μείρω, ὅπερ ταὐτόν ἐστι τῷ δαίω καὶ τῷ μερίζω. τὸν δ’ αὐτὸν καὶ Ζῆνά φασιν, ὡς τοῦ ζῆν αἴτιον, καὶ Δία, ὅτι δι’ αὐτοῦ πάντα, καὶ πεπρωμένην, ὅτι πάντα εἰς πέρας φέρει. Ὁ δὲ τόπος οὗτος καὶ προαναφώνησιν ἔχει ἀξυμφανῆ τῶν μετὰ ταῦτα. (v. 125—8) Καὶ ἔστι τὸ ὅλον τοιοῦτον «πάντες δ’ Οὐλύμποιο κατήλθομεν ἀντιόωντες τῆσδε μάχης, ἵνα μή τι μετὰ Τρώεσσι πάθῃσι σήμερον», ὁ Ἀχιλλεὺς δηλαδή, «ὕστερον αὖτε τὰ πείσεται», ἤγουν ταῦτα πάθη, «ἅσσα οἱ», ἤτοι ἅτινα αὐτῷ, «αἶσα γεινομένῳ ἐπένησεν», ὡς ἐρρέθη, «λίνῳ, ὅτε μιν τέκε μήτηρ». ὅπερ ἐστὶ διασαφητικὸν τοῦ γεινομένῳ, ὅ ἐστι γεννωμένῳ. (v. 129 s.) Εἶτα κεῖται καὶ τὸ «δείσεται ὁ Ἀχιλλεύς» παθητικῶς ἀντὶ τοῦ φοβηθήσεται, εἰ μὴ ταῦτα μαθὼν ἴδῃ αἴφνης θεόν τινα ἀντικαταστάντα ἐκείνῳ.

4.382 (v. 131) Μεθ’ ὃ τέθειται καὶ ὡς γνωμικὸν τὸ «χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς», ὅπερ ὀρθὸν ἔσται παρῳδηθὲν ἑνικῶς, οἷον· χαλεπὸς δὲ θεὸς φαίνεσθαι ἐναργής, ὅ ἐστι χαλεπὸν τὸ θεὸν ὀφθαλμοφανῶς ἰδεῖν. ἀντίκειται δὲ τὸ ἐναργὲς πρὸς τὸ νοητὸν καὶ φανταστὸν καὶ τὰ τοιαῦτα. (v. 133) Ὅτι ἀποφθεγματικὸν ἐκ Ποσειδῶνος ῥηθὲν πρὸς Ἥραν τὸ «μὴ χαλέπαινε παρὲκ νόον»,

ἀντὶ τοῦ μὴ ὀργίζου ἔξω νοός, καὶ ὡς εἰπεῖν ἀνοήτως. «οὐδέ τί σε χρή», φησι. Περὶ δὲ τοῦ παρέκ ὅτι καὶ παρέξ λέγεται, καὶ ὅτι διφορεῖται κατὰ σύνταξιν, καὶ ὅτι ἀεὶ παρ᾽ Ὁμήρῳ ὀξύνεται, ἀλλαχοῦ προείρηται ἱκανῶς. δηλοῖ δὲ περὶ αὐτοῦ καὶ ἡ Ὀδύσσεια. (v. 134) Εἶτα καὶ ὃ φθάσας εἶπε συμβαλεῖν, συνελάσαι φησὶν εἰπὼν «οὐκ ἂν ἔγωγ᾽ ἐθέλοιμι θεοὺς ἔριδι ξυνελάσαι», ὃ τοῦ εἰρηνεύειν ὑποθήκη ἐστίν. (v. 136 s.) Ἐνταῦθα δὲ καὶ τὴν πεπατημένην ὁδὸν πάτον λέγει, τουτέστι τὴν τρίβον, εἰπὼν «ἀλλ᾽ ἡμεῖς μὲν ἔπειτα καθεζώμεθα κιόντες ἐκ πάτου ἐς σκοπιήν». εἴρηται δὲ ἀλλαχοῦ ὡς ὠνοματοπεποίηται ἡ λέξις. (v. 137) Ὁ δὲ ταῦτα λέγων Ποσειδῶν ἐπάγει καὶ τό «πόλεμος δ᾽ ἄνδρεσσι μελήσει», ἀλλαχοῦ μὲν ῥηθὲν πρὸς διαστολὴν παίδων τε καὶ γυναικῶν, «οἷς οὔ τι μέλει πολεμήϊα ἔργα», ἐνταῦθα δὲ ἐπὶ διαστολῇ θεῶν, οὓς οὐ χρὴ πρὸς ἔριδα πολεμικὴν συνελαύνεσθαι. (v. 138—43) Λέγει δὲ καὶ ὅτι «εἰ δέ κ᾽ Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων, ἢ Ἀχιλῆ᾽ ἴσχωσι καὶ οὐκ εἰῶσι μάχεσθαι, αὐτίκ᾽ ἔπειτα καὶ ἄμμι παρ᾽ αὐτόφιν», ἤγουν παρ᾽ αὐτὰ καὶ αὐθωρόν, «νεῖκος ὄρηται», ἢ ὀρεῖται κατὰ μέσον μέλλοντα πρῶτον, ἀντὶ τοῦ διεγερθήσεται, «φυλόπιδος, μάλα δ᾽ ὦκα διακριθέντας ὀΐω ἂψ ἴμεν», ἤγουν ἐλθεῖν, «Ὄλυμπόνδε θεῶν μεθ᾽ ὁμήγυριν ἄλλων, ἡμετέραις» καὶ ἑξῆς. Καὶ ὅρα πρῶτα μὲν πλάσμα συνέσεως ἀνδρικῆς.

4.383 τῆς Ἥρας γὰρ μαχιμώτερόν τι βουλευσαμένης κατὰ Φοίβου ἐκώλυσεν ὁ Ποσειδῶν μισῶν τὴν ἐμφύλιον μάχην εἶτα ὅρα καὶ ποιητικὴν ἀγαθὴν μέθοδον. προεκθέμενος γὰρ καὶ ἐμφήνας ὡς δύναται καὶ τὰ τῆς Ἥρας ποιῆσαι, ὅμως ἐπέκρινε κρείττω εἶναι τὰ κατὰ τὸν Ποσειδῶνα, ἵνα προκατάρξας κακοῦ ὁ Ἄρης πείσεται ἄμυναν σὺν τοῖς ἀμφ᾽ αὐτόν. καὶ τοίνυν πλάττει οὕτω τὰ ἐφεξῆς πιθανώτερον. (v. 138) Ἰστέον δὲ ὅτι τὸ «εἰ δὲ Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων» σχῆμά ἐστιν Ἀλκμανικόν, ὡς ἤδη καὶ ἐν ἄλλοις προγέγραπται, οὐχ᾽ ὅτι ὁ μελοποιὸς Ἀλκμὰν εὗρεν αὐτὸ, ἀλλ᾽ ὅτι Ὁμήρου εὑρόντος ἔχαιρεν ἐκεῖνος τῷ σχήματι. τινὲς δὲ γράφουσιν «ἄρχῃσι» καὶ οὕτως ἐκφεύγουσι τὴν καινοτροπίαν τοῦ σχήματος. (v. 141—3) Ἰσχυρωτάτης δὲ ἐπικουρίας δηλωτικὸν τὸ «μάλα δ᾽ ὦκα διακρινθήμεναι ὀΐω ἡμετέραις ὑπὸ χερσὶν ἶφι δαμέντας». (v. 145) Ὅτι τεῖχος ἀμφίχυτον κατὰ μέν τινας τὸ βουνοειδὲς καὶ ἀμφοτέρωθεν κατακεχυμένον, τῇ ἐξ ὑψηλοῦ ἐφ᾽ ἑκάτερα χθαμαλότητι. οἱ μέντοι πλείους ἀμφίχυτόν φασι τὸ μὴ ἐκ λίθων, ἀλλὰ περικεχυμένον, ἤγουν τὸ ἐξ ἀναχώματος ὄν, ὡς τὸ «χεύαντες δὲ τὸ σῆμα», ἤγουν ἀναχωματίσαντες. τοιοῦτον δὲ ἦν τεῖχος ἐν Τροίᾳ. (v. 144—8) Περὶ οὗ φησιν ὁ ποιητής, ὅτι ὁ μὲν Ποσειδῶν καὶ ὅσοι θεοὶ σύμμαχοι Ἀχαιοῖς ἐκάθηντο «τεῖχος ἐς ἀμφίχυτον Ἡρακλέος θείοιο, ὑψηλόν», ὃ Τρῶες καὶ Παλλὰς Ἀθήνη ποίεόν ποτε, «ὄφρα τὸ κῆτος» Ἡρακλῆς «ὑπεκπροφυγὼν ἀλέσαιτο» ἢ ἀλέοιτο, τουτέστιν ἐκκλίνοι, καὶ ἀνατρέχοι δηλαδὴ ῥᾳδίως εἰς αὐτό, «ὁππότε μιν σεύαιτο», ἤγουν ὅτε αὐτὸν ἐκεῖνο διώκοι, «ἀπ᾽ ἠϊόνος πεδίονδε». καὶ οὕτω μὲν οἱ τῶν Ἀχαιῶν βοηθοί. (v. 150—2) Οἱ δὲ ἀνθιστάμενοι τοῖς Ἑλληνίοις θεοῖς ἑτέρωσε κάθιζον ἀμφὶ τὸν Ἀπόλλωνα καὶ τὸν Ἄρην ἐπ᾽ ὀφρύσι Καλλικολώνης, πάντες δὲ ἄρρηκτον νεφέλην ὤμοισιν ἀμφιέσαντο, ἵνα μὴ βλέποιντο. Καὶ ὅρα ἐπιτομὴν ἱστορίας.

4.384 οὔτε γὰρ ποῖον κῆτος ἦν ἔφη, οὔτε τίνος ἕνεκεν ἐπέμφθη, ἀλλ᾽ ὡς πρὸς εἰδότας λαλῶν πάντα σιωπᾷ, τήν τε ὀργὴν τοῦ Ποσειδῶνος τὴν κατὰ τοῦ ἀδίκου Λαομέδοντος καὶ τὴν ἐντεῦθεν τοῦ κήτους ἀποστολήν, καὶ τὴν πρόθεσιν τῆς Ἡσιόνης, καὶ τὴν βοήθειαν τοῦ Ἡρακλέος καὶ τὰ λοιπά. οὐ γὰρ ἦν καιρὸς νῦν τῷ ποιητῇ πολυλογεῖν. [Ἰστέον δὲ ὅτι παίζων ὁ ποιητὴς Ἄρχιππος εἰς τὸν κατὰ τὴν Ἡσιόνην μῦθον, ὃς αὐτὴν βορὰν τῷ κήτει ἐκτίθεται, πλάττει Μελάνθιον τὸν Τραγῳδὸν ἔν τινι αὐτοῦ δράματι δεθῆναι, καὶ οὕτω παραδίδωσιν αὐτὸν τοῖς ἰχθύσιν ἀντιβρωθησόμενον. ἦν γὰρ ὁ ἀνὴρ ὀψοφάγος, κατὰ ἰχθυοφαγίαν δηλαδή. ἐκράτησε γὰρ παρὰ τοῖς ὕστερον ὄψον κατ᾽ ἐξοχὴν ἐπὶ ἰχθύων λέγεσθαι, ὡς δηλοῖ καὶ τὸ κοινολεκτούμενον ὀψάριον.] (v. 150) Ἄρρηκτον δὲ νεφέλην λέγει τὴν πυκνωτάτην, δι᾽ ἧς οὐδ᾽ ἂν οὐδὲ Ἠέλιος διαδράκοι, ὡς ἀλλαχοῦ ἔφη ὁ ποιητής. [Ἄλλως δὲ φάναι, ἄρρηκτος νεφέλη ἐστίν, ἣν οὐκ ἂν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διασχοῦσα αἴγλη αἰθρίαν ποιήσῃ, κατὰ τὸ «ὑπερράγη ἄσπετος αἰθήρ», ἤγουν αἰθρία γέγονε διαρραγέντος παντὸς νέφους ἐπιπροσθοῦντος. νεφῶν γὰρ διαρρήξεσιν αἰθὴρ τοιοῦτος ἐπακολουθεῖ.] (v. 151) Ὅρα δὲ καὶ ὅτι ὀφρὺν λέγει ἐνταῦθα τὴν τοπικὴν ἐξοχὴν ἐν τῷ «ἐπ' ὀφρύσι Καλλικολώνης» τῆς προρρηθείσης, ὥσπερ καὶ κρᾶτά φησιν Ὀλύμπου καὶ ὀρέων κάρηνα. (v. 152) Ἰστέον δὲ καὶ ὡς δύο προσώπων ἐνταῦθα προκειμένων μεγάλων, Φοίβου τε καὶ Ἄρεος, τὸν ἕνα μὲν φιλῶν προσφωνεῖ ἐν σχήματι ἀποστροφῆς ὁ μουσικὸς ποιητὴς καὶ φιλῳδὸς ὡς μουσηγέτην καὶ ᾠδικόν, τὸν δὲ λοιπὸν μισῶν τῆς ἀγριότητος καὶ ἀλογίας ὡς λόγιος οὐ προσφθέγγεται. φησὶ γὰρ «ἀμφὶ σέ, ἤϊε Φοῖβε, καὶ Ἄρηα πτολίπορθον». τί δέ ἐστιν ἤϊος, προείρηται. καὶ ἡ μουσικὴ δὲ Μοῦσα καλῶς ἂν ἐνδιαθέτῳ λόγῳ προσφωνοίη τὸν μουσηγέτην Ἀπόλλωνα, ὃν καὶ αὐτὴ ἀμείβεται ὀπὶ καλῇ ᾄδοντα.

4.385 αὐτῷ μὲν γὰρ οἰκείως ἔχει, πρὸς δὲ τὸν Ἄρην οὐδὲν αὐτῇ μετόν. [Μνηστέον δὲ νῦν περὶ τοῦ ἤϊος, ὅτι δοκεῖ ἀπὸ τοῦ ἰή παρῆχθαι, ὅπερ ἐστὶν ἐπίρρημα ἐνθεαστικὸν ἐπιφωνούμενον τῷ Ἀπόλλωνι ἐν τῷ ἰὴ παιάν καὶ τοῖς ὁμοίοις.] (v. 154 s.) Ὅτι φορτικότητα πολέμου δηλοῖ τὸ «ἀρχέμεναι δὲ δυσηλεγέος πολέμοιο ὤκνεον ἀμφότεροι». Δυσηλεγής δέ ἐστι πόλεμος, οὗ ὡς τυκτοῦ κακοῦ ἀλέγομεν ἐπὶ κακῷ ἡμετέρῳ καὶ οὐ δι' αὐτὸ τὸ καλόν, ἢ δυσλεγέος, ὅ ἐστι δυσκοιμήτου, διὰ τὸ τῶν μαχομένων πολύφροντι ἢ τοῦ εἰς κακὸν καὶ ἀνέγερτον ὕπνον κοιμίζοντος, ὃν Ὅμηρος μέν που τανηλεγέα λέγει, Σοφοκλῆς δὲ αἰένυπνον, ὡς ἀδελφὸν μὲν ὕπνου, μακρότατον δέ. ὅθεν καί τις λαβὼν σοφὸς αἰώνιον νεκρὸν ἔφη τὸν ἄνθρωπον. (v. 156—8) Ὅτι διασκευὴ ἐκφραστικὴ πολέμου καὶ τὸ «τῶν δ' ἅπαν ἐπλήσθη πεδίον καὶ ἐλάμπετο χαλκῷ ἀνδρῶν ἠδ' ἵππων, κάρκαιρε δὲ γαῖα πόδεσσιν», ὅ ἐστι ποιὸν ἦχον ἀπετέλει, «ὀρνυμένων ἄμυδις». Καὶ ὅρα τὸ «ἀνδρῶν ἠδ' ἵππων», ἐκ παλαιτάτων γὰρ σιδήρῳ ἦσαν καὶ οἱ ἵπποι κατάφρακτοι. Τὸ δὲ «πόδεσσι» δηλοῖ μὴ ἁπλῶς ἦχον δηλοῦσθαι ἐν τῷ καρκαίρειν, ἀλλὰ τὸν διὰ ποδῶν, ἢ ἀνδρῶν ὀρνυμένων, ἤγουν σπουδαίως τρεχόντων, ἢ ἵππων. [Διαφαίνεται δὲ ἡ ἀρετὴ τῆς ὀνοματοποιΐας τοῦ καρκαίρειν, ὅτε τῆς γῆς μάλιστα παγετῷ κατεξηραμμένης ἵπποι θέουσι δι' αὐτῆς.] (v. 155) Ὅτι τὸ «Ζεὺς δ' ἥμενος ὕψι κέλευεν» εἰς ἄνδρα δυνάστην παρῳδηθήσεταί ποτε. (v. 158 s.) Μονομαχούντων δὲ φραστικὸν τὸ δύο δ' ἀνέρες ἔξοχ' ἄριστοι ἐς μέσον ἀμφοτέρων συνίτην», ἤγουν συνηλθέτην, «μεμαῶτε μάχεσθαι». περὶ Αἰνείου δὲ οὗτος ὁ λόγος καὶ Ἀχιλλέως. (v. 161—3) Ὅτι Αἰνείας πρῶτος ὁ καὶ προμελετήσας μονομαχῆσαι, ὡς εἴρηται, ἀπειλήσας ἐβεβήκει κατ' Ἀχιλλέως, «νευστάζων κόρυθι βριαρῇ, ἀτὰρ ἀσπίδα θοῦριν πρόσθεν ἔχε στέρνοιο, τίνασσε δὲ χάλκεον ἔγχος».

4.386 ταῦτα δὲ προμάχου δηλοῖ κατάστασιν. Καὶ ὅρα ὅπως ὁ ποιητὴς ἔνδοξον πλάττει τὸν προάγωνα τῷ Ἀχιλλεῖ, τὸν ἄριστον Αἰνείαν κατ' ἐρεθισμὸν Φοίβου ἀντιτάξας αὐτῷ, οὐκ ἂν θαρρήσοντα τῷ Ἀχιλλεῖ ἄρτι ἀντιστῆναι, εἰ μὴ ὁ Ἀπόλλων αὐτὸν παρώτρυνεν. ἀπίθανον γὰρ ἦν τὸν ὁμολογήσαντα μόλις ἐκφυγεῖν ποτε ἀπ' Ἀχιλλέως νῦν ἄλλως τοιαύτην τόλμαν ἐνδύσασθαι ἀποθέμενον τὴν πτοίαν, εἰ μὴ λόγοις ὑπό τινος κρείττονος ἀνεπείσθη, καὶ μάλιστα τοῖς ἀπὸ συγκρίσεως τῶν προγόνων, ὡς εἴρηται. Ὅτι τὸν Ἀχιλλέα, ὅτε τῷ Αἰνείᾳ ἐπέξεισιν εἰς μονομάχιον, λέοντι σίντῃ εἰκάζει, οὐ πεινῶντι ὡς ἐν ἄλλοις, ἢ σκυμναγωγοῦντι ἢ σταθμοὺς κεραΐζοντι, ἀλλ' ὅλην χώραν σίνοντι. (v. 164—75) Φησὶ γὰρ «ὦρτο λέων ὣς σίντης, ὅν τε καὶ ἄνδρες ἀποκτάμεναι μεμάασιν ἀγρόμενοι πᾶς δῆμος. ὃ δὲ πρῶτον μέν», ὡς οἱ παλαιοί φασι, φλυαρίζει ὡς κρατήσων αὐτῶν ὅτ' ἐθελήσειε, κατὰ δὲ Ὅμηρον «ἀτίζων», ἤγουν περιφρονῶν, «ἔρχεται, ἀλλ' ὅτε κέν τις ἀρηϊθόων αἰζηῶν δουρὶ βάλῃ», τότε δὴ ἑτοιμασάμενος ἑαυτὸν εἰς πήδημα δι' ἄμυναν «εάλη τε χανὼν περί τ' ἀφρὸς ὀδόντων γίνεται, ἐν δέ τέ οἱ κραδίῃ στένει ἄλκιμον ἦτορ, οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν μαστίεται, ἓε δ' αὐτόν», ἤγουν ἑαυτόν, «ἐποτρύνει μαχέσθαι, γλαυκιόων δ' ἰθὺς φέρεται μένει», τουτέστι δυνάμει, «ἤν τινα πέφνῃ ἀνδρῶν ἢ αὐτὸς φθίεται ἐν πρώτῳ ὁμίλῳ· ὣς Ἀχιλῆ' ὤτρυνε μένος καὶ θυμὸς ἀγήνωρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντίον ἐλθέμεναι μεγαλήτορος Αἰνείαο». Καὶ ὅρα ὅπως τε γραφικῶς ὡραΐζει τὴν παραβολήν, ἐμβραδύνας τοῖς περὶ τὸν λέοντα μεγαλοπρεπῶς ὡς οὐδαμοῦ ἀλλαχοῦ ἅμα καὶ συνεξαγριαίνων τῷ Ἀχιλλεῖ τὸν παραβολικὸν λέοντα, καὶ ὅτι κἂν μὴ τέτρωται Ἀχιλλεύς, ὅμως λέοντι τετρωμένῳ αὐτὸν εἰκάζει, ἵνα ἐνδείξηται τὸν ἄγαν ἐρεθισμὸν τοῦ ἥρωος. Φασὶ δὲ κέντρον ἐνεῖναι μέλαν τῇ τοῦ λέοντος ἀλκαίᾳ, ἤγουν οὐρᾷ, ὡς κεράτινον, ᾧ μαστίζει τὰς πλευρὰς ἐν καιρῷ μάχης ἐρεθίζων ἑαυτόν.

4.387 ἱστορεῖται δὲ καὶ ὅτι οὐδέποτε δέδοικεν οὐδὲ ὑποπτεύει ἔφοδον οἷα θαρρῶν ἑαυτῷ καὶ κατὰ τὸν ποιητήν «ἀλκὶ πεποιθώς». εἰ δέ ποτε ἀνάγκη πᾶσα φυγεῖν, ἐπὶ σκέλος χωρεῖ. Ἰστέον δὲ ὅτι τὸ «καὶ ἄνδρες ἀποκτάμεναι μεμάασι» δοκεῖ περιττὸν ἔχειν τὸν καὶ σύνδεσμον. οὐ γὰρ συμπλέκει τι σαφῶς. Τὸ δὲ συστραφῆναι χανόντα τὸν λέοντα ἰδιότης ἐστὶ τοῦ ζῴου. συστρέφεται μὲν γὰρ ὡς πηδήσων, χαίνει δὲ ὡς οἷον προτενθευόμενος λιχνότερον κατὰ τοῦ βαλόντος. ὁ δὲ τῶν ὀδόντων ἀφρὸς καὶ παράθηξιν αὐτῶν συχνὴν δηλοῖ, ὁποία τις καὶ ἐπὶ συῶν γίνεται. (v. 169) Τὸ δὲ «ἐν δέ οἱ κραδίῃ στένει ἄλκιμον ἦτορ» ἢ εὐθεῖαν ἔχει τὸ «κραδίη», ἵνα λέγῃ ὅτι στένει αὐτῷ ἡ καρδία, δηλαδὴ τὸ ἄλκιμον ἦτορ, ἢ δοτικήν, ἵνα νοεῖται ἐν τῇ καρδίᾳ στένει τὸ ἦτορ καὶ ὑπονοῆται ἀγγεῖόν τι εἶναι τῆς ψυχῆς ἡ καρδία. στένει δὲ διὰ τὸ ὑπέρθερμον. θερμὸς γὰρ ὢν φύσει ὁ λέων ἐν τοῖς τοιούτοις καιροῖς μάλιστα θερμαίνεται. (v. 171) Τὸ δὲ «ἑὲ δ’ αὐτὸν ἐποτρύνει» ἀρχαϊκώτερον φράζει ὁ ποιητής. ἔστι γὰρ ἓ αὐτόν, καὶ πλεονασμῷ ἑὲ αὐτόν, ὡς τὸ εἷς ὀφθαλμὸς ἕεις παρ’ Ἡσιόδῳ, καὶ πάλιν θηλυκὸν ὑποτακτικὸν ἄρθρον ἧς, καὶ πλεονασμῷ ἕης, οἷον «ἕης ἔρασθε», ἀντὶ τοῦ ἥστινος. ἐκ δὲ τοῦ ἓ αὐτὸν τὸ ἑαυτὸν ὕστερον συνθέτως γίνεται, ὡς ἐκ τοῦ κατ’ ἔμ’ αὐτὸν τὸ ἐμαυτόν. (v. 172) Τὸ δὲ «γλαυκιόων» ἀντὶ τοῦ ἔμπυρον βλέπων κατὰ τοὺς παλαιοὺς παρὰ τὸ γλαύσσω, ἀφ’ οὗ καὶ γλαῦξ, ἣν μόνην τῶν γαμψωνύχων καὶ σαρκοφάγων φασὶ μὴ τίκτειν τυφλὰ διὰ τὸ περὶ τοὺς ὀφθαλμοὺς πυρῶδες, ὃ τμητικὸν ὂν διαιρεῖ τὴν θέαν. διὸ καὶ ἐν ταῖς σκοτομήναις ὁρᾷ. τινὲς δὲ γλαυκιᾶν φασι τὸ στρέφειν τοὺς ὀφθαλμοὺς καὶ τὸ γλαυκὸν αὐτῶν ὑποφαίνειν. Τὸ δὲ «ἤν τινα πέφνῃ» οἱ μεθ’ Ὅμηρον «εἴ πώς» φασίν, αὐτὸ δὲ ὅτι ἀντὶ τοῦ ὅπως λαμβάνεται, προδεδήλωται. (v. 173) Τοῦ δὲ φθίω, ἤγουν φθείρω, ὥσπερ καὶ τοῦ μαστίω, χρήσεις εἰσὶ καὶ ἐν ἄλλοις.

4.388 Τὸν δὲ πρῶτον ὅμιλον, ἤγουν τὸν πρόμαχον, πρῶτον ὅμαδον καὶ πρώτην ὑσμίνην ἀλλαχοῦ λέγει. (v. 174) Τὸ δὲ ἀγήνωρ πρὸς τὸ ἄλκιμον ἦτορ τοῦ λέοντος ἀφορᾷ, οὐ ταὐτὸν ὂν τῷ μεγαλήτορι. (v. 178 s.) Ὅτι πρὸς τὸν παρ’ ἐλπίδας προμαχόμενον ἢ πρὸ τῶν ἄλλων θρασυνόμενον πρέπει ῥηθῆναι πρός τινος ἀνδρειοτέρου τὸ «τί σὺ τόσσον ὁμίλου πολλὸν ἐπελθὼν ἔστης; ἤ σέ γε θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει; (v. 180 s.) Ὅτι ὁ Ἀχιλλεὺς θαυμάσας, εἴπερ ὁ Αἰνείας τολμᾷ πρὸ τῶν ἄλλων ἀντιστῆναι αὐτῷ, ἄλλα τε λέγει καὶ ἐρωτᾷ ἐκεῖνον, εἰ διὰ τὴν τοιαύτην αὐτοῦ θαρραλεότητα, μεγάλην τε οὖσαν καὶ μεγάλου τινὸς ἀξίαν, ἐλπίζει «Τρώεσσιν ἀνάξειν τιμῆς τῆς Πριάμου», ὅ ἐστι βασιλεύσειν τῆς Τροίας. ἐκ δὲ τούτου δῆλον ὡς ἐπίδοξος ἦν ὁ Αἰνείας εἰς βασιλείαν, καθὰ καὶ ἐν τοῖς μετὰ ταῦτα φανήσεται, διὰ τὸ βασιλικοῦ εἶναι γένους. (v. 181—3) Εἶτα ἐκσπῶν ὁ Ἀχιλλεὺς τὴν τοιαύτην ἐλπίδα τῆς ἐκείνου ψυχῆς καὶ δεικνὺς ὡς μάτην βασιλειᾷ διὰ τοὺς τοῦ Πριάμου κληρονόμους, φησὶ κατὰ σχῆμα ἀντιπαραστάσεως ὡς «εἴ περ ἔμ’ ἐξεναρίξεις, οὔ τοι τοὔνεκά γε Πρίαμος γέρας ἐν χερσὶ θήσει», διὰ μέσου δηλαδὴ τοῦ ἐγχειριζομένου σκήπτρου «εἰσὶ γάρ οἱ παῖδες, ὃ δ’ ἔμπεδος οὐδ’ ἀεσίφρων». (v. 184—6) Εἶτα ὑποκαταβαίνων τοῦ βασιλείου γέρως εἰς ἕτερον ἀριστεῖον σύνηθες τοῖς παλαιοῖς, ὡς καὶ προϊστόρηται, ἐπανερωτᾷ τὸν Αἰνείαν «ἦ νύ τί τοι Τρῶες τέμενος τάμον ἔξοχον ἄλλων, καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμηαι, αἴ κεν ἐμὲ κτείνῃς; χαλεπῶς δέ ς’ ἔολπα τό». ἤγουν τοῦτο, «ῥέξειν», καθὰ καὶ ὁ Αἰνείας πρὸ μικροῦ ἔλεγε περὶ τοῦ Ἀχιλλέως, ὅτι οὔ με μάλα ῥέα νικήσει. (v. 182) Ἰστέον δὲ ὅτι τὸ «γέρας ἐν χερσὶ θήσει» ταὐτόν ἐστι τῷ ἐγγυαλίξει, ἤγουν ἐγχειρίσει, πλὴν ὅσον τοῦτο μὲν κοινόν, ἐκεῖνο δὲ ποιητικόν. (v. 183)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀεσίφρων δὲ ἢ παρὰ τὸ ἆσαι τὸ βλάψαι ὁ βεβλαμμένος τὰς φρένας, ἢ παρὰ τὸ ἀείρω ἀέρσω οἱονεὶ ἀερσίφρων, ἵνα λέγῃ ὅτι οὐκ ἔστι κοῦφος τὰς φρένας οὐδὲ ἀείρεται, ἤγουν ἠερέθεται τὰς φρένας ὁμοίως τοῖς νεωτέροις ὁ γέρων Πρίαμος, ἀλλ' ἀνάπαλιν ἔμπεδός ἐστιν, ἤγουν στερεὸς καὶ βέβαιος, ὡς καὶ τὰ ἐν τῷ πέδῳ βεβηκότα τῶν ἠερεθομένων ἀσφαλέστερα ὅτι καὶ σταθερώτερα.

4.389 παλαιὸς δέ τις οὕτω συντόμως φησίν· ἀεσίφρων, φρενοβλαβὴς ἢ κοιμώμενος τὰς φρένας. ἀέσαι γὰρ τὸ κοιμηθῆναι καὶ ἀναπνεῦσαι. (v. 184) Ὅρα δὲ ὅπως καὶ ἐνταῦθα ἐτυμολογεῖ ἐκ τοῦ τέμνειν τὸ τέμενος, καὶ ὅτι ταὐτοδύναμον ἔξοχον ἄλλων εἰπεῖν τέμενος καὶ καλόν, καὶ ὅτι φυταλιὰν μέν φησι τὴν ἀμπελόφυτον καὶ τὴν δενδροφόρον, ἄρουραν δὲ καὶ νῦν τὴν ψιλὴν ἄροσιν. δηλοῖ δέ ποτε, εἰ καὶ μὴ παρ' Ὁμήρῳ, ἡ ἄρουρα καὶ ποσὸν μέτρου γῆς, ὡς καὶ προγέγραπται. (v. 186) Τὸ δὲ «ἐμὲ κτείνεις», «ἐμὲ ἐξεναρίξεις», πολυωνυμίας λόγῳ ἀνωτέρω ἔφη. καὶ ταῦτα μὲν ὧδε. (v. 187- 90) Ὁ Ἀχιλλεὺς δὲ οὕτω δείξας ἐν κενοῖς θρασύνεσθαι τὸν Αἰνείαν καὶ παραδεικνὺς τὴν χαλεπότητα τοῦ ἀποβῆναι τῷ Αἰνείᾳ τὴν κατ' αὐτοῦ ἐλπίδα, ἀναμιμνήσκει ὅπως αὐτόν ποτε εἰς φυγὴν ἔτρεψεν, εἰπὼν «ἤδη μὲν σέ γέ φημι καὶ ἄλλοτε δουρὶ φόβησαι. ἢ οὐ μέμνῃ ὅτι πέρ σε βοῶν ἄπο μοῦνον ἐόντα σεῦα», ὅ ἐστιν ἐδίωξα, «κατ' Ἰδαίων ὀρέων ταχέεσσι πόδεσσι καρπαλίμως; τότε δ' οὔ τι μετατροπαλίζεο φεύγων», ἤτοι οὐκ ἐστρέφου ὀπίσω, ὅπερ ἐν ἄλλοις ἐντροπαλίζεσθαί φησιν, ἀλλὰ δηλονότι ἀμεταστρεπτὶ εἴτε καὶ προτροπάδην ἔφευγες. (v. 191—4) Λέγει δὲ ὁ Ἀχιλλεὺς καὶ ὡς ἐκ τῆς Ἴδης εἰς Λυρνησσὸν ὑπεκφυγόντα τὸν Αἰνείαν θεὸς ἐρρύσατο, καινῶς δηλαδὴ σωθέντα ἐξ αὐτοῦ. Καὶ σημείωσαι ὅπως τὸ στενῶς ἤδη προδιηγηθὲν ὑπὸ Αἰνείου καὶ οὐδὲ πάνυ σαφῶς, ὁ Ἀχιλλεὺς ἐνταῦθα ἐπιδιηγησάμενος ἐσαφήνισεν. Αἰνείας μὲν γὰρ οὐ σαφῶς τὸ περὶ Λυρνησσὸν διηγήσατο, ἐκεῖνο μόνον εἰπὼν ὅτι ἔπερσε Λυρνησσόν, ἐμὲ δὲ Ζεὺς εἰρύσατο.

4.390 Ἀχιλλεὺς δὲ πλατύτερον καὶ σαφέστερον λέγει, ὅτι ἐς Λυρνησσὸν ὑπέκφυγες. ταύτην δὲ πορθήσας ἐγὼ ἐποίησα τὰ καὶ τά, σὲ δὲ Ζεὺς ἐρρύσατο. Καὶ σημείωσαι καὶ νῦν ὅπως οἶδεν ὁ ποιητὴς διττολογεῖν τεχνικῶς, ὥσπερ δὴ καὶ τὰ περὶ τῆς Ἴδης καὶ τῶν βοῶν δευτερολογῶν οὐ φορτικὸς δοκεῖ διὰ τὴν παραφραστικὴν ἐξαλλαγήν. ὁ μὲν γὰρ Αἰνείας ἔφη συντόμως, ὅτι ἔφυγον ἐξ Ἴδης, ὅτε βουσὶν ἐπήλυθεν ἡμετέραις, (v. 188—90) ὁ δὲ Ἀχιλλεὺς πλατύτερον λέγει ὅτι «ἢ οὐ μέμνῃ ὅτε πέρ σε βοῶν ἄπο» καὶ ἑξῆς ὡς προέκκειται. ὅλως δὲ τὰ μὲν τοῦ Αἰνείου ταῦτα συντέτμηται οἷα μὴ θέλοντος ἐπεξιέναι τοῖς καθ' ἑαυτοῦ, τὰ δὲ τοῦ Ἀχιλλέως πλατύνεται, ὡς ἂν καὶ ἐντρέψῃ τὸν ἐχθρὸν καὶ τὴν ἀγαθὴν δὲ ἐλπίδα ἐκβάλῃ ἀπ' αὐτοῦ. Σημείωσαι δὲ καὶ ὅτι ὁ μὲν ἀκροατὴς μεγάλα τινὰ καὶ δεινὰ ἐλπίζει εὐθὺς ἐκ προθύρων, ὅ φασι, καὶ νῦν ἐπὶ τῇ τοῦ Ἀχιλλέως εἰς μάχην ἐξόδῳ, ὁ δὲ ποιητὴς καὶ ὧδε μαλακωτέραν τὴν τοῦ πολέμου ποιεῖται καταρχήν, ὡς καὶ ἐν τῇ γάμμα ῥαψῳδίᾳ ἐποίησε, καὶ μονομαχίαν Ἀχιλλέως καὶ Αἰνείου συνιστᾷ τῶν ἀρίστων, καὶ δίχα τραυμάτων αὐτοὺς ἀπαλλάττει ἀλλήλων, ἐν μόνῃ λογομαχίᾳ στήσας τὴν μονομαχίαν αὐτοῖς, ὡς φανήσεται. ἀεὶ γὰρ παρ' ἐλπίδας ἐπιχειρεῖν ἐθέλει καὶ ὡς οὐκ ἂν ἐλπίσῃ ὁ ἀκροατής. κερδαίνουσι δὲ καὶ ἐκ τούτου τοῦ τόπου οἱ Ὁμηρίδαι πολλά τε ἄλλα τεχνικὰ καὶ στοιβὴν δὲ ἱστοριῶν, αἷς ἡ ὁμιλία τῶν ἡρώων τούτων καταπεπύκνωται. Ἔνθα σημείωσαι καὶ ὅπως ἐν πολλῇ πραγμάτων συγχύσει σαφήνειαν ἄκραν ἐφύλαξεν ὁ ποιητής, ὡς δῆλον τῷ ἀναγινώσκοντι. (v. 187) Τὸ δὲ «δουρὶ φόβησα» ἐξαιρεῖται τοῦ Ἀχιλλέως τὸ δόξαι ἂν τόξοις, ὡς εἰκός, νύκτωρ ἐκφοβῆσαι τὸν Αἰνείαν. Τὴν δὲ τῆς Λυρνησσοῦ πόρθησιν παιδευτικῶς ὁ Ἀχιλλεὺς οὔ φησι μόνος αὐτὸς ἀνῦσαι ἀλλὰ σὺν θεῷ. (v. 191 s.) Φησὶ γὰρ «αὐτὰρ ἐγὼ τὴν πέρσα», ἤγουν αὐτὴν πορθήσας εἷλον, «μεθορμηθεὶς σὺν Ἀθήνῃ καὶ Διῒ πατρί», τουτέστι σὺν φρονήσει καὶ ἀρχικῶς.

4.391 νοητέον δὲ σιωπηρῶς, ὅτι καὶ ἐκ Λυρνησσοῦ λαθὼν ὁ Αἰνείας ἔφυγεν. οὐ γὰρ ἑάλω φυγὼν ἐκεῖ. λείαν μέντοι ἑτέραν ἐκεῖθεν ἠγάγετο Ἀχιλλεύς. (v. 193 s.) Φησὶ γὰρ «ληϊάδας δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γυναῖκας», ἤγουν ληϊστάς, αἰχμαλώτους, «ἐλεύθερον ἦμαρ ἀπούρας ἦγον». δι’ οὗ δηλοῖ ὡς δύναταί τις ληϊάδας γυναῖκας ἑρμηνεῦσαι τὰς δουλίδας. τοιαῦται γὰρ αἱ τὸ ἐλεύθερον ἦμαρ ἀφαιρεθεῖσαι. (v. 194) Ὅρα δὲ καὶ τὸ «Ζεὺς ἐρρύσατο» οὐκ ἀπὸ τοῦ ἐρύω γενόμενον, καθὰ πρὸ τούτων τὸ «αὐτὰρ ἐμὲ Ζεὺς εἰρύσατο», ἀλλὰ ἐκ τοῦ ῥύω, οὗ χρῆσις εὐθὺς ἐφεξῆς ἐν τῷ «ἀλλ’ οὐ νῦν σε ῥύεσθαι ὀΐομαι». εἰ μή τις φιλονεικῶν ἐρεῖ δι’ ἐκθλίψεως καὶ αὐτόθι κεῖσθαι τὸ ἐρύεσθαι. (v. 195—8) Ἰστέον δὲ καὶ ὅτι φοβητικὸν ἐξ ἀριστέως εἰς ἐχθρὸν ἀντιστάμενον τὸ «ἀλλ’ οὐ νῦν σε ῥύεσθαι ὀΐομαι, ὡς ἐνὶ θυμῷ βάλλεαι», ἤγουν βάλλεις, τίθης· «ἀλλά ς’ ἔγωγ’ ἀναχωρήσαντα κέλομαι εἰς πληθὺν ἰέναι, μηδ’ ἀντίος ἵστας’ ἐμεῖο, πρίν τι κακὸν παθέειν, ῥεχθὲν δέ τε νήπιος ἔγνω». τοῦτο δὲ καὶ ἀλλαχοῦ ἤδη εἴρηται. οὗ κατὰ μίμησιν εἶπεν Εὐριπίδης τὸ «ἔγνωκα δ’ ἡ τάλαινα συμφορᾶς ὕπο». καὶ οὕτω μὲν ἐρεῖ ὁ ῥηθεὶς ἀριστεύς. (v. 200—2) Ὁ δὲ ὑπεναντίος ἀντείποι ἂν «μὴ δή μ’ ἐπέεσσί γε νηπύτιον ὣς ἔλπεο δειδίξεσθαι, ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς ἠμὲν κερτομίας ἠδ’ αἴσυλα μυθήσασθαι». λέγει δὲ ταῦτα Αἰνείας πρὸς τὸν Ἀχιλλέα πειρώμενον λόγοις αὐτὸν ἐκθροεῖν. Καὶ σημείωσαι ὅτι ἐπιδεξίως ὁ Αἰνείας κέρτομον τὸν Ἀχιλλέα λέγει καὶ λαλοῦντα αἴσυλα. τοῦτο γὰρ δηλοῖ τὸ «οἶδα καὶ αὐτός», δηλονότι ὥσπερ οἶδας καὶ σύ. πλαγίως οὖν ὑβρίζει σχηματίζων. ἔστι δὲ νηπύτιος κατὰ ἔλλειψιν τοῦ ν ὁ ἐστερημένος τοῦ πεπνῦσθαι. (v. 202) Αἴσυλα δὲ τὰ ἐφάμαρτα ὡς οἱονεὶ αἰσόσυλα, ἤγουν δι’ ὧν συλᾶται τὸ αἴσιον, ἢ τὰ βλαπτικά, παρὰ τὸ ἆσαι κατὰ παραγωγὴν καὶ πλεονασμὸν τοῦ ι . ἔτι δὲ κἀκεῖνο σημειωτέον ὅτι ἐν τῷ «οἶδα κερτομίας μυθήσασθαι» ἐμφαίνει ὁ ποιητής, ὡς δύναταί τις ῥητορικώτερον τὸν λόγον προχειριζόμενος, εἰ βούληται, ψόγον τοῦ Ἀχιλλέως ποιήσασθαι, ὡς ὁ Ἀπόλλων ἐποίησε πρὸ βραχέων. διὸ καὶ ὁ Αἰνείας προϊών φησιν, ὅτι ἔστιν ἀμφοτέροις ὀνείδεα μυθήσασθαι. (v. 195) Τὸ δὲ ἐν θυμῷ βαλεῖν εἴη ἂν ἶσον τῷ ἐν φρεσὶ θήσειν. (v.

4.392 197) Ὅρα δὲ καὶ τὸ «μηδ’ ἀντίος ἵστας’ ἐμεῖο». ἀκόλουθον μὲν γὰρ εἰπεῖν «μηδ’ ἀντίον ἵστασθ’ ἐμεῖο». εἶπε δὲ οὐχ’ οὕτως διά τε ὀρθότητα μέτρου καὶ διὰ τὸ καινότερον τῆς συντάξεως. τοιοῦτον δέ τι καὶ μετ’ ὀλίγα εὐθὺς εὑρεθήσεται σχῆμα. Ὅτι ὁ Αἰνείας τὸ οἰκεῖον γένος ἐκτιθέμενος καὶ τὸ τοῦ Ἀχιλλέως καὶ ἐμπλατυνόμενος ἀφελέστερον τοῖς οἰκείοις, εὐγενέστερον ἐμφαίνει ἑαυτόν. λαβὼν τὰς τοῦ ἐγκωμίου ἀρχὰς ἐκ τῶν ἤδη ῥηθέντων ὡς ὑπὸ διδασκάλου τοῦ Ἀπόλλωνος, καί φησιν (v. 203—5) «ἴδμεν δ’ ἀλλήλων γενεὴν, ἴδμεν δὲ τοκῆας, πρόκλυτ’ ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων», ἤγουν προηκουσμένας ἱστορίας. «ὄψει δ’ οὔτ’ ἄρ πω σὺ ἐμοὺς ἴδες, οὔτ’ ἂρ ἐγὼ σούς». (v. 206—9) Καὶ οὕτω προοιμιασάμενος ἐπάγει «φασὶ σὲ μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι, μητρὸς δ’ ἐκ Θέτιδος καλλιπλοκάμου ἁλοσύδνης. αὐτὰρ ἐγὼ υἱὸς μεγαλήτορος Ἀγχίσαο εὔχομαι ἐκγεγάμεν», ἤγουν γενέσθαι, «μήτηρ δέ μοί ἐστ’ Ἀφροδίτη». Καὶ ὅρα ὅπως ὁ ποιητὴς κἀνταῦθα παλιλλογεῖ ἐπὶ τῆς τῶν ἡρώων γενεαλογίας, καὶ ὅτι τὰ μὲν πρῶτα, ὡς ἐκ τοῦ σοφοῦ Ἀπόλλωνος λεγόμενα, στρυφνότερον ἐγράφη καὶ γοργότερον καὶ ἐναγωνίως κατὰ σύγκρισιν, ἔτι δὲ καὶ σεμνότερον διὰ τὴν μνήμην τοῦ προγόνου Διὸς ἐν τῷ «καὶ σέ φασιν Ἀφροδίτης ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεοῦ ἐστιν. ἣ μὲν γὰρ Διός ἐστιν, ἣ δ’ ἐξ ἁλίοιο γέροντος». Ταῦτα δὲ νῦν τὰ τοῦ Αἰνείου ὑπτίως ἔχουσι διὰ τὸ πλατὺ καὶ ἀφηγηματικώτερον, καὶ οὐδὲ πάνυ σεμνῶς διὰ τὸ σιγᾶσθαι τὸν Δία. φησὶ γάρ· φασὶ σὲ μὲν τοιόνδε εἶναι, ἐγὼ δὲ τοιῶνδε γονέων εἰμί, ὡς ἀνωτέρω εἴρηται. Καὶ ὅρα τὴν πρὸ ὀλίγων ὑπολαληθεῖσαν τοῦ σχήματος ἐξαλλαγὴν ἐν τῷ «φασὶ σὲ μὲν ἔκγονον εἶναι γονέων τοιῶνδε, ἐγὼ δέ εἰμι» τοιῶνδε. οὐ γὰρ εἶπεν, ὥς φασι σὲ μὲν τοιόνδε, ἐμὲ δὲ τοιόνδε, ἵνα μὴ δόξῃ γελοῖος. ἐπὶ μὲν γὰρ τοῦ Ἀχιλλέως οἰκεῖον τὸ «φασὶ σέ». οὐ γὰρ οἶδεν ἀκριβῶς τὰ ἐκείνου. ἑαυτὸν μέντοι εὖ οἶδεν ὁ Αἰνείας. διὸ οὐδὲ λέγει, ὅτι ἐμὲ δέ φασι τοιόνδε εἶναι, ἀλλ’ ὅτι εἰμὶ ἐκ τοιῶνδε γονέων.

4.393 καίτοι ἄλλως οὐδὲ ἐκεῖνο γελοῖον ἦν, ἤγουν τὸ εἰπεῖν, ὅτι φασὶν ἐμὲ ἐκ τοιῶνδε γενέσθαι. καὶ γάρ τις ἀλλαχοῦ λέγει παρὰ τῷ ποιητῇ «μήτηρ μέν τέ μέ φησι τοῦ ἔμμεναι». πλὴν κάλλιον τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«ἐγὼ δέ εἰμι» τοῦ «ἐμὲ δέ φασιν εἶναι». καὶ οὐδὲ ταὐτὸν τὸ «φασίν» ἀόριστον καὶ τὸ μήτηρ μέν μέ φησι τοῦδέ τινος υἱὸν εἶναι. τοῦτο μὲν γὰρ ἀληθοῦς μαρτυρίας, ὡς ἐκεῖ δέδεικται, τὸ δέ «φασίν» ὕποπτον. Ὅρα δὲ ἐν τούτοις καὶ συλλογισμὸν πιθανόν, ὁρμώμενον ἀπὸ τόπου τοῦ, ὅτι τὸ ἀπὸ τοῦ κρείττονος ὂν κρεῖττόν ἐστιν. οὕτω γάρ πως καὶ ὁ Αἰνείας ἑαυτὸν κρείττονα συνάγει τοῦ Ἀχιλλέως, ἐπεὶ καὶ ἡ μήτηρ αὐτοῦ κρείττων τῆς τοῦ Ἀχιλλέως. τοιοῦτον δέ τί ἐστι καὶ ἐν τῇ ἐφεξῆς ῥαψῳδίᾳ, ἔνθα ὁ Ἀχιλλεὺς πρὸς τὸν Ἀστεροπαῖον τὸν υἱὸν Ἀξίου τοῦ ποταμοῦ φησι· κρείσσων μὲν Ζεὺς ποταμῶν, κρείσσων δὲ Διὸς γενεὴ ποταμοῖο, ἐγὼ δηλαδὴ σοῦ. (v. 206) Ὅρα δὲ καὶ ἐνταῦθα τὸ «Πηλέος ἔκγονον» ἤγουν υἱὸν διὰ τοῦ κ , οὗ τὸ ῥῆμα ἐκγενέσθαι, ὡς τὸ «τοῦ μ’ ἔκ φασι γενέσθαι», ᾧ σύστοιχον καὶ τὸ ἐκγεγάμεν. (v. 207) Σημείωσαι δὲ καὶ ὅτι οὐ μία τῶν Νηρηΐδων ἡ Ἁλοσύδνη παρὰ τῷ ποιητῇ, ἀλλὰ τῆς Θέτιδος ἐνταῦθά ἐστιν ἐπίθετον. ἐν μέντοι Ὀδυσσείᾳ ἔοικε Νηρηΐδος ὄνομα εἶναι ἐν τῷ «φῶκαι νέποδες καλῆς Ἁλοσύδνης». εἰ μὴ ἄρα θαλάσσης εἴη ἐκεῖ ἐπίθετον. Καλλίμαχος δὲ ἄλλως ὀνομάσαι θελήσας οἷος ἐκεῖνος Ὑδατοσύδνην λέγει μεταποιήσας τὴν Ἁλοσύδνην. (v. 210—2) Ὅτι ἀπειλὴ πρὸς λάλον ἀντίμαχον τὸ «τῶν δὴ νῦν», ἤγουν τῶν ἡμετέρων γονέων, «ἕτεροί γε», ὅ ἐστιν οὗτοι ἢ ἐκεῖνοι, «φίλον παῖδα κλαύσονται σήμερον· οὐ γάρ φημ’ ἐπέεσσί γε νηπυτίοισιν ὧδε διακριθέντε μάχης ἐξαπονέεσθαι». Καὶ ὅρα ὡς ἐνταῦθα ὁ Αἰνείας νηπύτιον παραλαλεῖ τὸν Ἀχιλλέα διὰ τό, ὡς ἐρρέθη, κατ’ αὐτοῦ πρωτολογῆσαι. τίς δὲ ὁ νηπύτιος, εἴρηται. τρὶς δὲ ἡ λέξις αὕτη ἐν τούτοις κεῖται. (v. 213—4) Ὅτι εὐγενείας δηλωτικὸν τὸ «εἰ δ’ ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ’ εὖ εἰδῇς ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασιν». Ἔστι δὲ καὶ ἐνταῦθα ἢ περιττὸς ὁ δε σύνδεσμος ἐν τῷ «πολλοὶ δέ μιν», ἢ ἀντὶ τοῦ δή εἴληπται.

4.394 Καὶ ὅρα ὡς τὴν περὶ ἱστοριῶν καὶ τῶν τοιούτων εἴδησιν ἀνδράσι μάλιστα ἀνατίθησιν. εἰ μή τι ἄρα τῷ τῶν ἀνδρῶν ὀνόματι καὶ γυναῖκες δηλοῦνται, ὅπερ ἀλλαχοῦ σαφέστερον φράζων ἔφη κορυνήτην τινὰ καλεῖσθαι παρά τε ἀνδρῶν καὶ γυναικῶν. τὸ δὲ «ἴσασιν» ἀσφαλέστερόν ἐστι τοῦ «φασίν». (v. 215—9 et 230—40) Ὅτι γενεαλογίαν ὁ ποιητὴς τῶν Τρωϊκῶν ἐκτιθέμενος βασιλέων διὰ μέσου τοῦ Αἰνείου ὑπὸ ἀκροατῇ τῷ Ἀχιλλεῖ φησι «Δάρδανον αὖ πρῶτον τέκετο Ζεύς, κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔ πω Ἴλιος ἱρὴ ἐν πεδίῳ πεπόλιστο πόλις μερόπων ἀνθρώπων, ἀλλ’ ἔθ’ ὑπωρείας ᾤκουν» τῆς προδεδηλωμένης πολυπιδάκου Ἴδης, διὰ τὰς νομὰς δηλαδὴ καὶ τὰς ἐκεῖ συλλειβομένας ὑγρότητας. «Δάρδανος αὖ τέκεθ’ υἱὸν Ἐριχθόνιον βασιλῆα», περὶ οὗ κατωτέρω εἰρήσεται. «Τρῶα δ’ Ἐριχθόνιος τέκετο Τρώεσσιν ἄνακτα. Τρωὸς δ’ αὖ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο, Ἶλος τ’ Ἀσσάρακός τε καὶ ἀντίθεος Γανυμήδης, ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων. τὸν καὶ ἀνηρείψαντο θεοὶ Διῒ οἰνοχοεύειν κάλλεος οὕνεκα οἷο», ἤγουν ἰδίου, «ἵν’ ἀθανάτοισι μετείη. Ἶλος δ’ αὖ τέκεθ’ υἱὸν ἀμύμονα Λαομέδοντα. Λαομέδων δ’ ἄρα Τιθωνὸν τέκετο Πρίαμόν τε Λάμπον τε Κλυτίον τε Ἱκετάονά τε ὄζον Ἄρηος», τοὺς ἐν τῇ γάμμα ῥαψῳδίᾳ δημογέροντας, «Ἀσσάρακος δὲ Κάπυν. ὁ δ’ ἂρ Ἀγχίσην τέκε παῖδα, αὐτὰρ ἔμ’ Ἀγχίσης. Πρίαμος δ’ ἔτεχ’ Ἕκτορα δῖον». ὡς εἶναι πέμπτον τὸν Αἰνείαν ἀπὸ τοῦ Τρωός, καθὰ καὶ τὸν Ἕκτορα. Καὶ σημείωσαι ὡς ἐνταῦθα ἐπλεόνασε τοῖς ῥήμασι τοῦ τεκεῖν διὰ τὸ τῆς λέξεως καίριον, δὶς μὲν εἰπὼν ἐνεργητικῶς τὸ «τέκε», πεντάκις δὲ παθητικῶς τὸ «τέκετο», ἅπαξ δὲ περιφράσας αὐτὰ ἐν τῷ «Τρωὸς δὲ παῖδες ἐξεγένοντο», ὅ ἐστι· Τρὼς δὲ τέκεν ἢ τέκετο παῖδας, δὶς δὲ λαβὼν ἀπὸ κοινοῦ ταῦτα, καὶ ὅπως καὶ τὰ νῦν γενεαλογικαῖς ἱστορίαις κατεπύκνωσεν, ὡς καὶ κατωτέρω δηλωθήσεται, καὶ ὅτι ἐνταῦθα σαφῶς ὁ ποιητὴς ἐδήλωσε διαφορὰν τῶν πολλαχοῦ λεγομένων Τρώων καὶ Δαρδάνων, ὡς Δαρδάνων μὲν ὄντων κυρίως τῶν ἀρχῆθεν ἐν τῇ ὑψηλοτέρᾳ Δαρδανίᾳ περί που τὰς ὑπωρείας τῆς Ἴδης, Τρώων δὲ, ταὐτὸν δ’ εἰπεῖν, Ἰλιέων, τῶν ἐν τῇ πεδινῇ Ἰλίῳ. (v. 215) Περὶ δὲ Δαρδάνου φασὶν οἱ παλαιοί, ὅτι ἐν τῷ κατακλυσμῷ τῷ κατὰ τὸν Δευκαλίωνα ἐκ τῆς Σαμοθρᾴκης ἀσκὸν ἢ σχεδίαν μετὰ δερμάτων σκευάσας, καθὰ καὶ τῷ Λυκόφρονι δοκεῖ, καὶ ὑποδὺς καὶ τοῖς ὕδασιν ἑαυτὸν ἐπιδοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσοκείλας τε τῇ Τροίᾳ μετὰ τὸ ἀναξηρανθῆναι τὸ ὕδωρ τὴν Δαρδανίαν ἔκτισεν ὑψηλοτέραν κειμένην τῆς ὕστερον Ἰλίου φόβῳ τῆς ἐξ ὑετῶν κατακλύσεως, ἧς αὐτὸς ἐπειράθη.

4.395 Καὶ σημείωσαι ὅτι, εἰ καὶ ἐν πεδίῳ πεπόλιστο ἡ Ἴλιος, οὐδὲν κωλύει καὶ οὕτως ἀνεμόεσσαν αὐτὴν λέγειν, ἤγουν ὑψηλήν, ὡς ἀπὸ μέρους τῆς ὑψηλῆς Δαρδανίας, ἢ καὶ ὡς ἐπὶ γεωλόφου τινὸς ἱδρυμένην, ὡς δηλοῖ καὶ ὁ προρρηθεὶς ἐρινεός, τόπος ὢν πετρώδης ἔξω τῶν τειχέων τῆς Τροίας. [Πολλαχοῦ δὲ δηλώσεων γενομένων περὶ ἐρινεοῦ ῥητέον καὶ ἐνταῦθα, ὅτι κατὰ τὸ ἀρρέν, ὥς φησιν Ἀθήναιος, λέγεται ἐρινὸς ἡ ἀγρία συκῆ, ἐξ οὗ πλεονασμῷ τοῦ ε παρ' Ὁμήρῳ ἐρινεός, καὶ ὅτι ἐκεῖθεν καὶ ῥῆμα ἐρινάζειν παρὰ Σοφοκλεῖ. ἔνθα τὸν καρπὸν τῷ τοῦ δένδρου ἐκάλεσεν ὀνόματι, εἰπὼν «πέπων ἐρινὸς ἀχρεῖος ὢν εἰς βρῶσιν ἄλλους ἐξερινάζεις λόγῳ». παροιμιακὸν δὲ αὐτὸ τὸ νοήμα, ὅμοιον τῷ ἀπαίδευτος ὢν πῶς ἂν ἑτέρους παιδεύσειας. καὶ ὅτι ἱστορεῖται οὐ μόνον δίφορος ἐρινεός, ἀλλά που καὶ τρίφορος, ὡς ἐν Κέῳ, καὶ ὅτι καὶ λευκερινεὸς εἶδός ἐστι συκῆς, ἥτις λευκά, φησίν, ἴσως φέρει σῦκα.] (v. 218) Σημείωσαι δὲ καὶ ὅτι αἱ ὑπώρειαι διαφέρουσι τοῦ πεδίου. οὔπω γὰρ πάντη πεδιὰς ἡ ὑπώρεια, ἀλλὰ ταπεινοτέρα μὲν κορυφῆς, μετεωροτέρα δὲ πεδιάδος. (v. 217) Τὸ δὲ «πεπόλιστο πόλις» ἐτυμολογικός ἐστι τρόπος, ὡς τῆς πόλεως ἐκ τοῦ πολίζω λεγομένης.

4.396 τὸ μέντοι πολίζω παράγωγόν ἐστι τοῦ πολῷ, ἤτοι περιστρέφω, ὡς νεμέσω νεμεσίζω καὶ ὅσα τοιαῦτα. (v. 219) Τὸ δὲ «Ἐριχθόνιον βασιλῆα» κατωτέρω σαφέστερον φράζων ἐπὶ τοῦ Τρωός φησι «Τρώεσσιν ἄνακτα». οὐκοῦν ὁμοίως τῷ Τρωῒ καὶ ὁ Ἐριχθόνιος Τρώων νοηθήσεται βασιλεύς; (v. 232—5) Ἡ δὲ τοῦ Γανυμήδους ἁρπαγὴ ἄωρον αἰνίττεται τοῦ παιδὸς θάνατον, ὁποῖα πολλὰ οἱ μῦθοι πλάττουσι. τινὲς δέ φασιν ὑπὸ τοῦ Ταντάλου αὐτὸν ἁρπαγῆναι καὶ ἐν κυνηγεσίῳ πεσεῖν καὶ ταφῆναι ἐν τῷ Μυσίῳ Ὀλύμπῳ. οἱ δὲ ἱστοροῦσιν ὑπὸ τοῦ Μίνωος ἁρπαγῆναι καὶ τὸν τῆς ἁρπαγῆς τόπον Ἁρπάγην κληθῆναι. φασὶ δὲ καὶ ὅτι βιαζόμενος κατεκρήμνισεν ἑαυτόν, τῷ δὲ πατρὶ ἐπέμφθη πλάσμα, ὅτι θύελλα καὶ νέφος ὑφήρπασεν αὐτὸν οἰνοχόον τῷ Διΐ. ὅτι δὲ καὶ ἄνδρες ᾠνοχόουν, δηλοῦσι καὶ οἱ τῶν μνηστήρων κοῦροι. [Ἄλλως δὲ ἀκριβέστερον φάναι, ᾠνοχόουν παρὰ τοῖς παλαιοῖς εὐγενέστατοι παῖδες, ὡς ὁ τοῦ Μενελάου υἱός. καὶ παρὰ Ῥωμαίοις δέ, φασί, τοιοῦτοι παῖδες τὴν λειτουργίαν ταύτην ἐξετέλουν ἐν ταῖς δημοτελέσι θυσίαις. οὐκοῦν καὶ ὁ μῦθος οὕτω τὰ κατὰ τὸν Γανυμήδην ποιεῖ Διῒ κιρνῶντα; Σαπφὼ δὲ ἡ καλὴ τὸν Ἑρμῆν οἰνοχοεῖν φησι θεοῖς, ἐμφαίνουσα τῷ μύθῳ ἐλλόγως χρῆναι προβαίνειν τὰ συμπόσια, καὶ μὴν καὶ κατὰ δίκην, ἣν ἡ Ὁμηρικὴ Θέμις ἐμφαίνει συμπαροῦσά πω τοῖς οὐρανίωσι δαιταλεῦσιν. ἡ δ' αὐτὴ Σαπφὼ καὶ τὸν Λάριχον, ἀδελφὸν αὐτῆς, ἐπαινεῖ ὡς οἰνοχοοῦντα ἐν τῷ πρυτανείῳ τῆς Μιτυλήνης. καὶ Εὐριπίδης δέ, ὃν κατάχρυσον ὁ Δίφιλος εἶπε, λέγεται οἰνοχοεῖν Ἀθήνησι τοῖς καλουμένοις ὀρχησταῖς. μυθεύεται δὲ οἰνοχόος καὶ Ἥβη. τοῦτο δὲ ἴσως, διὰ τὸ ἡβητήρια καλεῖσθαι τὰ συμπόσια, εἰ καί ποτε ἄσεμνον συναγωγὴν ἡ τοιαύτη λέξις δηλοῖ.

4.397 ὅτι δὲ παρὰ Ἐφεσίοις οἱ ἐν τῇ τοῦ Ποσειδῶνος ἑορτῇ οἰνοχοοῦντες ἠΐθεοι ταῦροι ἐκαλοῦντο, ἐν τοῖς τοῦ Ἀθηναίου καὶ αὐτὸ κεῖται.] Καὶ οὕτω μὲν Ὅμηρος τὸν Γανυμήδην περιελάλησεν, οὗ ἡ γραφὴ ἀναλόγως δι' ἑνὸς ν ὡς ἐκ τοῦ γάνος, ἐξ οὗ τὸ γανύειν καὶ τὸ γανύσκεσθαι, ἵνα ᾖ Γανυμήδης ὁ ἡδὺς βουλεύεσθαι. (v. 237) Τὸν Τιθωνὸν δὲ καλὸν καὶ αὐτὸν ἱστορούμενον ἀπεριλάλητον ἀφῆκεν οἷα μνησθεὶς αὐτοῦ ἑτέρωθι ὡς ἡρπαγμένου ὑπὸ τῆς Ἠοῦς. ὅτι δὲ οὐ μόνον ἀνδρία καὶ λοιπαὶ ἀρεταὶ ἄνδρας τε καὶ γυναῖκας ἀπηθανάτισαν, ἀλλὰ καὶ διὰ κάλλος πολλοὶ περιᾴδονται, οὐδεὶς ἀγνοεῖ. [Ὃ δὴ κάλλος ὁμώνυμον εἶναι δηλοῖ καὶ ὁ γράψας, ὅτι τὸ κάλλος καὶ ἐπὶ ἀλεκτρυόνος λέγεται, ἐν τῷ «τέτραξ ὁ μείζων μέγεθός ἐστιν ὑπὲρ ἀλεκτρυόνα τὸν μέγιστον, ἔχων ἑκατέρωθεν τῶν ὤτων κρεμάμενα, ὡς καὶ οἱ ἀλεκτρυόνες, τὰ κάλλεα».] Ὡς δὲ καὶ τὸ «Δάρδανον τέκετο Ζεύς, Δάρδανος δὲ Ἐριχθόνιον, Τρῶα δ' Ἐριχθόνιος» καὶ οἱ ἑξῆς τοὺς ἑξῆς, ἐποικοδόμησίς ἐστιν ἤγουν σχῆμα κλιμακωτόν, οἴδασιν οἱ περὶ λόγους. (v. 238) Ἐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ τοῦ «ὄζον Ἄρηος» λαβόντες οἱ μεθ’ Ὅμηρον θάλος εὐγενείας φασὶ καὶ σοφίας ἀκρέμονα καὶ τοιαῦτά τινα. (v. 241) Ἰστέον δὲ καὶ ὅτι γενεαλογήσας ὁ Αἰνείας, ὡς ἤθελεν, ἐπάγει συμπληρωτικῶς καὶ αὐτὸς τὸ «ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι», ὃ δὴ καὶ πρὸ τούτων ἕτερος ἥρως ἔφη. καὶ ἔστι κἀνταῦθα αἷμα ἡ προρρηθεῖσα γενέθλη. ὡς δὲ καὶ ἀντὶ σπέρματος αὐτὸ κεῖται, προδεδήλωται. (v. 220) Ἰστέον δὲ καὶ ὅτι τὸν εἰρημένον Ἐριχθόνιον ἐπαινῶν ὡς ὄλβιον ὁ Ὁμηρικὸς Αἰνείας φησὶν «ὃς δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων». καὶ δεῖγμα τίθησι τούτου οὐ χρυσὸν οὐδὲ ὅσα σύστοιχα τούτῳ, ἀλλὰ τὸν ἐν τοῖς ζῴοις περιουσιασμόν. (v. 221—9) Φησὶ γὰρ «τοῦ τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο», ἤγουν κατὰ τὸ ἕλος ἐβουκολοῦντο, «θήλειαι, πώλοισιν ἀγαλλόμεναι ἀταλῇσι· τάων», ἤγουν ὧν, «καὶ Βορέης ἠράσσατο βοσκομενάων.

4.398 ἵππῳ δ’ εἰσάμενος», ἤγουν ὁμοιωθείς, «παρελέξατο κυανοχαίτη. αἳ δ’ ὑποκυσάμεναι», ἤγουν ἐγκυμονήσασαι, «ἔτεκον δυοκαίδεκα πώλους. αἳ δ’ ὅτε μὲν σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν, ἄκρον ἐπ’ ἀνθερίκων καρπὸν θέον οὐδὲ κατέκλων. ἀλλ’ ὅτε δὴ σκιρτῷεν ἐπ’ εὐρέα νῶτα θαλάσσης, ἄκρον ἐπὶ ῥηγμῖνος ἁλὸς πολιοῖο θέεσκον». Ἰστέον δὲ ὅτι τὸ σχῆμα τοῦτο τοῦ λόγου ἀπαραμύθητός ἐστιν ὑπερβολή. ἀδύνατον γὰρ τοιούτους ἵππους γενέσθαι. ἔχει δέ πως τὸ ἀσφαλὲς ὁ λόγος ἐκ τοῦ θείας λέγεσθαι αὐτὰς ὡς ἀπογόνους Βορέου, ὅπερ φασὶν αἰνίττεσθαί τι φυσικόν. ἵππος γὰρ ἐξανεμουμένη ἐν τῷ συνδυάζεσθαι, καὶ μάλιστα πρὸς Βορρᾶν, τίκτει καλά, ὡς καὶ ἀλλαχοῦ εἴρηται. τοῦτο δὲ καὶ ἀνθρώπους ποιεῖν ἠκούσαμεν περιεργώτερον, μάλιστα δὲ ἀλογώτερον, καὶ τοιούτοις ἑαυτοὺς εἰς τὸ πᾶν ἐπιτρέποντας ἔργοις ἀνεμωλίοις, ὡς εἰπεῖν. καὶ τοῦτο μὲν τοιοῦτον. ὁ δὲ τῶν ἵππων μῦθος τὸ ἀληθὲς ἐξαλλάσσων σωματοποιεῖ τὸν Βορρᾶν καὶ παρευνάζει ταῖς ἵπποις. (v. 219) Ἰστέον δὲ ὅτι ἕτερος οὗτος Ἐριχθόνιος παρὰ τὸν τοῦ μύθου τὸν ἐκ τοῦ ἐρίου καὶ τῆς χθονός, καὶ ὅτι ἐκ τῶν θηλειῶν τούτων ἵππων, ὡς ἐκ μέρους, πάντα τὰ τετράποδα ἐδήλωσε τὰ ὑπὸ τὸν Ἐριχθόνιον. εἰ γὰρ τὸ δυσπόριστον οὕτω πολὺ τῷ Ἐριχθονίῳ, πολλῷ πλέον τὰ εὐπόριστα. (v. 221) Ἕλος δὲ ὁ ὑγρὸς καὶ δασὺς τόπος, ὁποῖον καὶ τὸ περὶ τὴν Πελοπόννησον Ἕλος, ἐξ οὗ οἱ Εἵλωτες, οὓς οἱ Λάκωνες ἐδουλώσαντο. Ἰστέον δὲ καὶ ὅτι ἥδονται τοῖς ὕδασιν αἱ ἵπποι καὶ μάλιστα τοῖς ἐν τοῖς ἕλεσι. φιλόλουτρον γὰρ τὸ ζῷον, ὡς καὶ ἐν ἄλλοις εἴρηται, καὶ χαῖρον ἕλεσι καὶ τοῖς θολεροῖς τῶν ὑδάτων. (v. 221) Ὅρα δὲ καὶ ὅπως ὁ ποιητὴς τῇ λέξει τοῦ βουκολεῖν ἐπὶ ἵππων παρεχρήσατο ἐν τῷ «τρισχίλιαι ἵπποι ἐβουκολοῦντο», ὡς καὶ τῇ τοῦ οἰνοχοεῖν ἐπὶ τοῦ νέκταρος ἐν τῷ «νέκταρ ἐῳνοχόει», [οὗ πρὸς μίμησιν ἔγραψέ τις καὶ τὸ «οἶνος ᾠνοχοεῖτο».] Φησὶ δὲ καὶ Εὐριπίδης «Πολύβου δέ μιν λαβόντες ἱπποβουκόλοι».

4.399 εἴποι δὲ ἄν τις, ὡς καὶ προεγράφη, κατὰ σχῆμα συντομίας τὸν ποιητὴν οὕτως εἰπεῖν, ὡς ἂν ὁ ἀκροατὴς τοῖς ἵπποις καὶ βόας συνυπακούσῃ καὶ ἄλλα ζῷα. [Τοιούτου τόπου καὶ τὸ πίνειν ἐξ ἀργυρίδων χρυσῶν παρὰ Ἀναξίλᾳ, ὥς φησιν Ἀθήναιος. οὐ γὰρ ἔστι κυριολεκτεῖσθαι τὸ χρύσεον ἐπὶ ἀργυρίδων, εἰ μὴ ἄρα, καθότι ἀργύριον καὶ ὁ χρυσὸς λέγεται διὰ τιμιότητα παλαιοτέρας εὑρέσεως. ὅμοιον δὲ καὶ τὸ «ᾠῶν ἑκατόμβη», παιχθὲν παρά τινι παλαιῷ. τί γὰρ κοινὸν ᾠοῖς καὶ τῇ ἐκ βοῶν παρωνύμῳ ἑκατόμβῃ; τοιοῦτον καὶ Σοφοκλέους τὸ «ἵπποισιν ἢ κύμβαισι ναυστολεῖς χθόνα», τουτέστιν ἱππότης ἥκεις ἢ διὰ πλοίου. κἀνταῦθα γὰρ τὸ ναυστολεῖν ἵπποις μὲν οὐ, κύμβαις δὲ ᾠκείωται. κύμβη γὰρ πλοίου εἶδος, ᾗ ὁμώνυμον ποτήριον κύμβα, καὶ κυμβίον δέ, γένος τι ποτηρίων βαθέων ὀρθῶν, πυθμένα μὴ ἐχόντων μηδ’ ὦτα.] (v. 222) Τὸ δὲ «πώλοισι» θηλυκῶς προῆκται κατὰ Ἴωνας. Τὸ δὲ ἀγάλλεσθαι φαίνεται κατὰ κυριολεξίαν ἐνταῦθα λέγεσθαι, ὡς τῶν μητέρων πρὸς ἄγην ἢ ἄγαν ἁλλομένων ἐπὶ ταῖς πώλοις. δύναται δὲ καὶ ἐκ τῶν λογικῶν τοῦτο εἰς ἵππους μετενηνέχθαι, καθὰ καὶ τὸ «παρελέξατο». Ἀταλὰς δὲ λέγει τὰς πώλους, ὡς τῶν ἤδη τελείων ἵππων ταλάνων ὄντων διὰ τὸ ἀχθοφορεῖν, ἐξ οὗ καὶ οἱ ἡμίονοι ταλαεργοὶ λέγονται. (v. 223) Ὅρα δὲ καὶ τὸ «ἠράσατο», ἤγουν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἠράσθη, οὗ τὸ πρῶτον πρόσωπον ἐν τῷ «οὐδ’ ὁπότ’ ἠρασάμην». [Ἐκ δὲ τοῦ βόσκειν ὥσπερ ὄρνεον ἡ βοσκάς, οὕτω καὶ προβοσκὶς ἐλεφάντων ἡ καὶ προνομαία, κυριολεκτουμένη καὶ ἐπὶ μυιῶν καὶ τευθίδων, ὡς λέγει Ἀθήναιος.] Τὸ δὲ «ἐπὶ ζείδωρον ἄρουραν», ὡς καὶ τὸ «ἄκρον ἐπὶ καρπόν» καὶ «ἐπὶ νῶτα θαλάσσης» καὶ «ἄκρον ἐπὶ ῥηγμῖνος» πρόθεσιν ἔχει ἀντὶ προθέσεως.

4.400 εἴληπται γὰρ ἀντὶ τοῦ κατὰ ἄρουραν καὶ κατὰ νῶτα θαλάσσης καὶ κατὰ ἄκρον. οὕτω γὰρ εὐοδοῦται ὀρθῶς ἡ σύνταξις. (v. 228) Τὸ δὲ σκιρτᾶν ἐοικὸς μὲν πρὸς τὸ σκαίρειν, καίριον δὲ ὂν εἰς ἀλλομένους ἵππους δὶς ἔφη, ἐπιμείνας ὡς ἐχρῆν. ἔστι δὲ σκιρτᾶν οὐ τὸ ἁπλῶς θέειν, ἀλλὰ τὸ ἀνέτως καὶ δίχα ἐπιταγῆς καὶ πηδητικῶς καὶ οἷον ὀρχηστικῶς κατὰ τοὺς καλπάζοντας. (v. 226) Ζείδωρος δὲ ἢ ἡ βιόδωρος ὡς δωρουμένη τὸ ζῆν τροπῇ Βοιωτικῇ τοῦ η εἰς τὴν ει δίφθογγον, ἢ ἡ τῶν σπορίμων δότειρα ὡς ἐκ μέρους τῶν κοινῶς λεγομένων ζειῶν. Ἡρόδοτος δέ που εἰς ταὐτόν φησιν ἄγεσθαι τὰς ζειὰς ταῖς ὀλύραις. τίνες δὲ αἱ ὀλύραι, προείρηται. (v. 228) Ἀνθέρικος δὲ ὁ τῆς ἀσφοδέλου καρπὸς ἢ καυλός. ἡ δὲ χρῆσις καὶ παρὰ Θεοκρίτῳ. οἱ δὲ ἀνθερίκους ἐπὶ τοῦ σίτου φασίν, ἀκολουθοῦντες Ἡσιόδῳ, εἰπόντι περὶ Ἰφίκλου τοῦ καὶ ἐν Βοιωτίᾳ ῥηθέντος, ὅτι ἐπὶ πυραμίνους ἀθέρας ἐκεῖνος ἔθεε. καὶ γίνεσθαί φασι καὶ τὸ ἀνθέρικος ἐκ τοῦ ἀθὴρ ἀθέρος πλεονασμῷ τοῦ νυ , καὶ ἀρέσκονται μάλιστα εἰς τοῦτο, λέγοντες καὶ ὅτι ἡ ζείδωρος ἄρουρα οὐκ ἀσφοδέλους φέρει, ἀλλὰ πυρῶν ἀνθέρικας. ὅτι δὲ ἀθὴρ καὶ ἡ ἐπιδορατὶς λέγεται ἀπὸ μεταφορᾶς τῶν ἀσταχύων, δηλοῦσιν οἱ παλαιοί, [οἳ παραδιδόασι καὶ ὅτι ἀνθερίκων εὐθεῖα ὁ ἀνθέρικος, φέροντες χρῆσιν τὸ «Λίβυες οἱ νομάδες οἰκίας ἔχουσιν ἐξ ἀνθερίκου πεποιημένας μικρᾶς ὅσον σκιᾶς ἕνεκεν, ἃς καὶ περιφέρονται ὅποι ἂν φέρωνται». εἶεν δ’ ἂν οἱ τοιοῦτοι σκιαπόδων τλημονέστεροι.

4.401 ἐκείνοις γὰρ αὐτοφυὴς ἡ σκιὰ ἐκ τῆς τῶν ποδῶν ἄγαν πλατύτητος, ὡς αἱ ἱστορίαι περιηγοῦνται. εἰ μὴ ἄρα αἱ τῶν νομάδων σκιᾶς χάριν ἐκ τοῦ ἀνθερίκου σκηναὶ τοῦ βάρους τῶν παρὰ τοῖς σκιάποσι ποδῶν ἐλαφρότεραί εἰσι.] (v. 228) Ῥηγμῖνα δὲ καὶ νῦν ὁ ποιητὴς λέγει τὴν τῆς θαλάσσης ἐπιφάνειαν, ἣν ἀνωτέρω ἔφη εὐρέα νῶτα θαλάσσης. οὕτω καὶ ἐν Ὀδυσσείᾳ λέγει κώπαις τύπτεσθαι ἁλὸς ῥηγμῖνα βαθεῖαν. (v. 220—2) Ἰστέον δὲ ὅτι, εἰ καὶ οὕτω πλουτεῖ ζῴοις ὁ ῥηθεὶς Ὁμηρικὸς ἥρως, ἀλλ’ ὁ παρ’ Ἡροδότῳ Βαβυλώνιος Τριτανταίχμης ἄλλως τε παμπλούσιος ἦν, ὃς ἑκάστης, φησί, ἡμέρας ἀρτάβην ἀργυρίου προσωδίαζεν, ἤγουν ὑπὲρ τρεῖς μεδίμνους Ἀττικούς, καὶ ζῴοις ἄγαν ἐνευθηνεῖτο. ἵπποι γὰρ αὐτῷ ἦσαν δίχα, φησί, τῶν πολεμιστῶν, ὀκτακόσιοι μὲν κήλωνες, αἱ δὲ ἀναβαινόμεναι ἑξακισχίλιαι καὶ μύριαι ἀναβαίνοντος ἑκάστου ἄρσενος εἴκοσιν ἵππους. (v. 242 s.) Ὅτι γνωμικὸν τὸ «θεὸς ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε ὅπως κεν ἐθέλῃσιν. ὃ γάρ», ἤτοι οὗτος, «κάρτιστος ἁπάντων». φησὶ δὲ τοῦτο Αἰνείας ὡς ὀνειδισθεὶς μὲν ὑπὸ Ἀχιλλέως εἰς τήν ποτε φυγήν, οἰόμενος δέ, ὡς εἰ καὶ πρῴην μινύθων ἦν αὐτῷ τὴν ἀρετὴν ὁ Ζεύς, ἀλλὰ νῦν ἴσως ὀφέλλοι ἄν. διὸ δηλαδὴ καὶ θαρρεῖ, τὴν ἀγαθὴν ἐλπίδα προβεβλημένος. ἀρετὴν δὲ λέγει ἢ τὴν ἀνδρίαν ἢ τὴν ἀρχικὴν ἐξουσίαν, εἰς ἃ ὠνειδίσθη παρὰ τοῦ Ἀχιλλέως ὡς μήτε ἀνδρεῖος ὢν μήτε τῆς ἠλπισμένης βασιλείας τῶν Τρώων τευξόμενος. (v. 244—7) Εἶτα παιδεύων μὴ δεῖν λοιδορεῖν, ἵνα μὴ καὶ ἀνθυβρίζοιτό τις, φησὶν «ἀλλ’ ἄγε μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὥς, ἑσταότες ἐν μέσῃ ὑσμίνῃ δηϊοτῆτος. ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι πολλὰ μάλα, οὐδ’ ἂν νηῦς ἑκατόνζυγος ἄχθος ἄροιτο», ἐὰν γραφεῖεν δηλαδὴ καὶ βιβλίοις ἐντεθεῖεν. Ἑκατόνζυγοι δὲ νῆες αἱ πολύκωποι, ἃς μακρὰς οἱ ῥήτορες ἐκάλουν ὕστερον. (v. 248—9) Εἶτα γνωματεύει ὁ Αἰνείας καὶ ὅτι «στρεπτὴ δὲ γλῶσσ’ ἐστὶ βροτῶν, πολέες δ’ ἔνι μῦθοι παντοῖοι, ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα», ἤγουν πολύς ἐστιν ἐπὶ ἐπαίνῳ καὶ ψόγῳ ἢ ἐπ’ ἀμφοῖν τοῖν μεροῖν τῇ γλώσσῃ πληθυσμὸς καὶ ἐπινέμησις ἐφ’ ἑκάτερα, τοῦτο δὴ τὸ ὕστερον Ζηνώνειον εἴτε Πυρρώνειον καὶ ἁπλῶς διαλεκτικὸν καὶ οὕτω δίγλωττον καὶ πολύγλωττον. (v. 250) Διὸ καὶ ἐπάγει «ὁποῖον κ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἴπῃσθα ἔπος, τοῖον κ’ ἐπακούσαις», ὡς οἷον κατά τινα τροπὴν ἠχοῦς, ὡς δηλοῖ καὶ ὁ συγγράψας τὸ ἐπ’ αὐτῇ Ὁμηρόκεντρον.

4.402 τοῦτο δὲ μάλιστα ἐπὶ τῶν φιλονείκων ἀληθεύει. ἄλλως γὰρ οὐκ ἀεὶ ἐπακούει τις, οἷον ἂν εἴπῃ ἔπος, ἀλλά ποτε καὶ ἑτεροῖον, οἷον εὐλογῶν τὸν κακολογοῦντα ἢ καὶ ἀνάπαλιν λαλῶν. δῆλον δ’ ἐνταῦθα καὶ ὅτι ὁ ἐπακούσας, εἴπερ εἴπῃ τοῖον ἔπος, οἷον ἐπήκουσεν, ἀνακάμπτει τὰ τῆς λάλου ἔριδος καὶ γίνεται τὸ κακὸν δυσκατάπαυστον, οἷα τοῦ προειπόντος γινομένου ἀκροατοῦ ἀεὶ καὶ τοῦ ἀκροασαμένου αὖθις φιλοτιμουμένου ἀντιλαλεῖν. Σημείωσαι δὲ καὶ ὅτι θαμὰ τρωπῶν Ὅμηρος καὶ πολυηχέα φωνὴν χέων τετράκις ἐνταῦθα τὸ αὐτὸ ἔτρεψε νόημα ἐκ τοῦ «στρεπτὴ δὲ γλῶσσά ἐστιν» ἕως τοῦ «τοῖον κ’ ἐπακούσαις». (v. 242) Ἰστέον δὲ καὶ ὅτι τὸ «ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε» παρέοικε τῷ «ῥεῖα δ’ ἀρίζηλον μινύθει καὶ ἄδηλον ἀέξει», ὃ ταὐτόν ἐστι τῷ ὀφέλλει. (v. 244) Τὸ δὲ «λεγώμεθα» φανερῶς δηλοῖ τὸ διαλεγώμεθα, λαλῶμεν, εἰ καὶ ἡ πολλὴ τῶν παλαιῶν παρατήρησις βούλεται μὴ εὑρίσκεσθαι τὴν λέξιν ταύτην παρὰ τῷ ποιητῇ ἐπὶ τοιούτου σημαινομένου, καθὰ καὶ προδεδήλωται. Τὸ δὲ «νηπύτιοι ὥς» θεωρία ἐστὶν Ὁμηρικὴ καὶ νῦν, ὡς καὶ πρὸ ὀλίγων, τοῦ δόξαι ἄν τισι μὴ καλῶς ἐνταῦθα πλάσασθαι αὐτὸν τοιαῦτα λαλοῦντας τὸν Ἀχιλλέα καὶ τὸν Αἰνείαν ἐν καιρῷ τοιούτων ἀγώνων. (v. 245 s.) Ὅρα δὲ καὶ ὅτι τὴν ὑσμίνην ἐνταῦθα ἐπίθετον ἔλαβε τῆς δηϊοτῆτος, ὡς καὶ ἐν Ὀδυσσείᾳ ἡ φύλοπις πολέμου κεῖται ἐπίθετον, καὶ ὅτι ὀνείδεα φανερῶς τὰς ὕβρεις φησί, κατωτέρω δὲ ἔριδας καὶ νείκεα τὰς αὐτὰς λέγει. (v. 248) Στρεπτὴ δὲ γλῶσσα βροτῶν ἀντὶ τοῦ ὑγρὰ καὶ εὐλύγιστος. ὅθεν καὶ γλῶσσα λέγεται οἱονεὶ κλῶσσα διὰ τὸ εὔκλαστον. ἢ καὶ ἄλλως, στρεπτὴ ἡ ἐπὶ τὰ ἐναντία ἐπιχειροῦσα, ὡς εἴρηται, καὶ ἐπ’ ἄμφω μεταγομένη, ὅπερ σαφέστερον ἑρμηνεύων ὁ ποιητὴς λέγει «πολέες δ’ ἔνι μῦθοι», ἤγουν ἔνεισι, καὶ οὐ μόνον πολέες, ἀλλὰ καὶ παντοῖοι, καὶ ἔτι σαφέστερον «ἐπέων δὲ πολὺς νομός» καὶ τὰ ἑξῆς. αἰνίσσεται δὲ διὰ τούτων ὁ ποιητὴς καὶ τὴν ἑαυτοῦ εἰς τὸ λέγειν δύναμιν καὶ τὸ πολύφωνον καὶ ἀμφίγλωσσον. (v. 249) Ὁ δὲ νομὸς πάνυ καιρίως ἔχει ῥηθεὶς ὡς ἐπὶ λειμῶνος, ὃν ἡδέως ἐπινέμονται τὰ ἐκεῖθεν τρεφόμενα. Ὅτι δὲ καὶ τόποι [Λιβυκοὶ] νομοὶ ἐγχωρίως ἐλέγοντο, καθά τις ἂν εἴποι ῥεγεῶνες ἢ τόρμαι ἢ μᾶλλον ἐνορίαι ἢ πετίτα, δηλοῦται παρὰ τοῖς παλαιοῖς.

4.403 Σημείωσαι δὲ ὅτι ἀνωτέρω ἐν τῷ «νηπύτιοι ὥς» θεωρήσας, ὡς ἐρρέθη, ὁ ποιητής, ὡς ἴσως αἰτιάσονταί τινες τὸ χωρίον τοῦτο ἀκαιρολογίας, ἐνταῦθα σαφέστερον καὶ πλατύτερον αἰτιᾶται δῆθεν τὸ πρᾶγμα, μονονουχὶ καὶ αὐτὸς λέγων, ὡς «ταῦτα μὲν δὴ νοῦς ἐτόξευσε μάτην». (v. 252—5) Φησὶ γὰρ ὁ παρ’ αὐτῷ Αἰνείας τοιοῦτόν τι ποιεῖν αὐτὸν καὶ τὸν Ἀχιλλέα, ὡς εἴπερ γυναῖκες χολωσάμεναι νεικέουσι «μέσην εἰς ἀγυιάν», ἤγουν ἀγοράν, «ἰοῦσαι», τὰ μὲν ἀληθῆ, τὰ δ’ οὔ, χόλου κελεύοντος. Ἔνθα ὅρα οἷά ἐστιν ἡ ἐν χόλῳ λοιδορία, οὐ τὰ ὄντα ἐπιλεγομένη, ἀλλὰ καὶ πολλὰ ψευδῆ πλαττομένη, καὶ μάλιστα ἐπὶ γυναικῶν, καὶ τούτων τῶν ἐπὶ τῆς ἀγορᾶς. ὅτι δὲ γυνὴ ἀνδρὸς ἐπιφθονώτερον καὶ μεμψιμοιρότερον καὶ φιλοπληκτικώτερον καὶ φιλολοίδορον, λέγει καὶ ὁ Κωμικός. (v. 251—5) Ἔστι δ’ ἐν τούτοις ἡ Ὁμηρικὴ φράσις αὕτη κωλυτικὸν οὖσα τῶν ἀκαίρων ἀντιλογιῶν «ἀλλὰ τιή», κατὰ δέ τινα τῶν ἀντιγράφων γράφεται «ἀλλὰ τίη ἔριδας καὶ νείκεα νῶϊν ἀνάγκη νεικεῖν ἀλλήλοισιν ἐναντίον ὥς τε γυναῖκας, αἵ τε χολωσάμεναι ἔριδος περὶ θυμοβόροιο νεικεῦσ’ ἀλλήλῃσι μέσην εἰς ἀγυιὰν ἰοῦσαι πόλλ’ ἐτεά τε καὶ οὐκί· χόλος δέ τε καὶ τὰ κελεύει», ὁποῖόν τι δηλαδὴ καὶ ἐνταῦθα, οὗτοι φιλονεικοῦντες πείσονται. ὁ γοῦν Αἰνείας καὶ ἔπαθεν οὕτω οἷα συνάξας ἐκ τῆς γενεαλογίας οὐκ ἐτεῶς κρείττων εἶναι τοῦ Ἀχιλλέως. (v. 254) Ὅρα δὲ τὸ νεικεῖν δοτικῇ συνταχθὲν ἐν τῷ νεικεῖν ἀλλήλοισι καὶ ἀλλήλαις, καὶ ὅτι δυνάμενος εἰπεῖν «νεικοῦσιν ἀλλήλῃσιν» νεικεῦσιν ἔφη διὰ τὸ ποιητικώτερον.

4.404 Τὴν δὲ ἀγυιὰν πολλοὶ τῶν παλαιῶν, ὡς καὶ προείρηται, προπαροξύνουσιν, καὶ οὐκ ἀναμφιλέκτως ὀξύνεται ἀεί. (v. 255) Ἐν δὲ τῷ «πολλὰ ἐτεά τε καὶ οὐκί» γράφουσιν οἱ παλαιοί,

ὅτι τὰ τῶν ἀντιγράφων εἰκαιότερα ἔχουσι τὴν τοιαύτην γραφήν, τὰ δὲ ἀκριβέστερα οὐχ' οὕτως, ἀλλ' ὅτι «πολλά τε ὄντα καὶ οὐκί», ὅ ἐστὶ πολλὰ ἀληθῆ καὶ ψευδῆ. (v. 256—8) Ὅτι ἀνδρικὸς λόγος τὸ «ἀλκῆς δ' οὔ μ' ἐπέεσσιν ἀποστρέψεις μεμαῶτα πρὶν χαλκῷ μαχέσασθαι ἐναντίον· ἀλλ' ἄγε θᾶσσον γευσόμεθ' ἀλλήλων χαλκήρεσιν ἐγχείῃσιν». λέγει δ' ἐνταῦθα γεύσασθαι τὸ τῆς ἀνδρίας ἀλλήλων ἀποπειράσασθαι. καὶ ἔστιν ἀστεῖος ὁ λόγος. οἱονεὶ γάρ φησιν, ὅτι γευσώμεθα οὐ στόμασιν οὐδὲ λόγοις, ὡς νῦν ποιοῦμεν, ἀλλ' ὅπλοις. εἴη δὲ ἂν καὶ ἄλλως ἀστεῖον ἐνταῦθα τὸ γεύσασθαι τοῖς ἐνθυμηθεῖσιν, ὅτι καὶ στόμα προσπλάττει τῷ πολέμῳ ἡ ποίησις. (v. 259 s.) Ὅτι βαρεῖαν πληγὴν ἔγχους δηλοῖ τὸ «ἐν δεινῷ σάκει ἤλασεν ὄβριμον ἔγχος σμερδαλέῳ, μέγα δ' ἀμφὶ σάκος μύκε δουρὸς ἀκωκῇ». Αἰνείας δὲ οὕτω πλήττει κατ' Ἀχιλλέως. Ἰστέον δὲ ὅτι οὐδὲ παρὰ τοῖς παλαιοῖς ἀπῆσαν οἱ ψυχρογραφεῖν ἢ ψυχρολογεῖν θέλοντες. τὸ γοῦν «ἐν δεινῷ σάκεϊ» ἐνταῦθά τινες διὰ τοῦ ι γράφουσιν, ἵνα λέγῃ δινὸν σάκος τὸ δινωτόν, ὡς τὸ «δινωτὴν φορέεσκε κανόνεσσιν». [Ἐκ τοῦ δίνου δέ, ἀρσενικοῦ ὀνόματος, ὃ τὸν τόρνον δηλοῖ, τὸ δινῶ δινώσω γίνεται. δῖνος δὲ οὐ μόνον τόρνος, ἀλλὰ καὶ ποδονιπτὴρ κατὰ Κυρηναίους. παρὰ δὲ τῇ Τελεσίλλᾳ καὶ ἡ ἅλως, ὥς φησιν Ἀθήναιος. τὸ ποτήριον μέντοι ὁ δῖνος, ὃ καὶ δεινιὰς λέγεται ἀπὸ τοῦ σκευάσαντος Δεινίου, καθὰ καὶ Θηρίκλειον ἀπὸ Θηρικλέους, διφορεῖται.

4.405 γράφεται γὰρ τὰ πλείω διὰ διφθόγγου. τῆς δὲ τοιαύτης διπλῆς γραφῆς τεκμήριον τόδε. λέγει, φασίν, Ἀρχέδικος οὕτω «Νικοστράτην τινὰ ἤγαγον πρώην σφόδρα γρυπήν, σκοτοδίνην ἐπικαλουμένην, ὅτι δῖνόν ποτ' ἦρεν ἀργυροῦν ἐν τῷ σκότῳ». πρὸς ὅπερ ἐρωτηματικῶς εἰπών τις «δῖνον»; ἐπάγει «δεινόν, ὦ θεοί». καὶ ἰδοὺ διὰ μὲν τοῦ σκοτοδίνη ἐμφαίνεται ἡ διὰ τοῦ ἰῶτα γραφή, διὰ δὲ τοῦ «δεινόν, ὦ θεοί» ὑπονοεῖται ἡ δίφθογγος, καὶ μάλιστα διὰ τὸν προειρημένον Δεινίαν.] (v. 260) Τὸ δὲ «ἔμυκε μέγα σάκος» ἐκ βοὸς καὶ αὐτὸ ἔχει τὴν μεταφοράν. καὶ ἔστι σεμνότερον ἤπερ ἐπὶ βροντῆς ὑπό τινων μικροπρεπῶς λεχθέν. ἔχει δέ τι καὶ ἀστεϊσμοῦ, βοῦς γὰρ λέγεταί ποτε καὶ ἡ ἀσπίς, βοὸς δὲ τὸ μυκᾶσθαι. λέγεται δὲ καὶ ἐπὶ δώματος ἠχήεντος ἡ λέξις ὡς ἐν Ὀδυσσείᾳ. καὶ πύλαι δέ που ἔμυκον ἀνοιγόμεναι. Ὅρα δὲ ὅπως ὁ Αἰνείας, ἀγαθὸς ὢν εἰς μάχην, προήρπασε τὴν κατὰ τοῦ ἀντιμάχου ἐνέργειαν, οἷα καὶ προθαρρυνάμενος οἷς ἐξ Ἀπόλλωνος ἤκουσεν. [Ἰστέον δὲ ὅτι τὸ «ἀκωκή» οὐ μόνον ὀξύνεται, ἀλλὰ καὶ μάλιστα περισπῷτο ἄν, ἵνα λέγῃ ὅτι τὸ μέγα σάκος ἔμυκεν ἐν τῇ ἀκωκῇ τοῦ δουρός, ἤγουν διότι ἐπλήγη δόρατι.

4.406 εἰπεῖν δὲ ὅτι ἔμυκεν ἡ ἀκωκὴ τοῦ δοῦρος οὐκ εὐοδοῦται.] (v. 264—6) Ὅτι τὸν Ἀχιλλέα νήπιον ὁ ποιητὴς λέγει, διότι ὁπηνίκα τὸ σάκος αὐτοῦ ἔπληξεν Αἰνείας, ἐτάρβησε, φάμενος ῥεῖα τὸ ἔγχος διελθεῖν καὶ μὴ νοήσας ὡς «οὐ ῥηΐδιά ἐστι θεῶν ἐρικυδέα δῶρα ἀνδράσι γε θνητοῖσι δαμήμεναι οὐδ' ὑποείκειν», ὅπερ ὕφεσίν τινα ἔχει πρὸς τὸ δαμῆναι. Καὶ ὅρα ὡς κἂν μύθους λαλῇ ὁ ποιητής, ἀλλ' οὖν δοξάζει μὴ δεῖν τὸν θεόθεν τι δεδιδαγμένον ἐνδοιάζειν ἐφ' οἷς ἔγνω. (v. 267—70) Λέγει δὲ καὶ ὅτι «οὐδὲ τότ' Αἰνείαο δαΐφρονος ὄβριμον ἔγχος ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο· ἀλλὰ δύο μὲν Αἰνείας ἔλασσε διὰ πτύχας», ἤγουν διήλασε τῇ αἰχμῇ, «αἳ δ' ἂρ ἔτι τρεῖς ἦσαν, ἐπεὶ πέντε πτύχας», τὰς δηλωθησομένας, «ἤλασε κυλλοποδίων», τουτέστι πεντάπτυχος ἦν ἡ ἀσπίς. Καὶ ὅρα ἐν τούτοις ὁμωνυμίαν τοῦ «ἤλασε». ἄλλως μὲν γὰρ ὁ Αἰνείας ἤλασε δύο πτύχας, ἄλλως δὲ ὁ Ἥφαιστος πέντε πτύχας ἤλασε. καὶ εἴρηται τοῦτο μὲν κατὰ τέχνην χαλκευτικήν, ἐκεῖνο δὲ πολεμικῶς. (v. 270—2) Ἰστέον δὲ ὅτι ὁ χρυσός, ἤγουν ἡ χρυσῆ πτύξ, ἣν καὶ δῶρα θεοῦ λέγει, ἐκώλυσε διασχεῖν τὸ δόρυ τοῦ Αἰνείου, ἢ αὐτὴ πρώτη κειμένη κατὰ τὸν γραμματικὸν Αὐτόχθονα, ὡς καὶ κατωτέρω αὐτίκα ῥηθήσεται, καὶ μόνον θλασθεῖσα καὶ κοιλανθεῖσα, οὐ μὴν διελαθεῖσα, ἢ μέση κειμένη μεταξὺ δύο κασσιτερίνων, ὅ ἐστι τρίτη, ὡς ῥαγῆναι μὲν δύο ἐπικειμένας, μίαν χαλκῆν τὴν πρώτην καὶ ἑτέραν κασσιτερίνην, ἐν αὐτῇ δὲ τῇ χρυσῇ στῆναι τὴν αἰχμήν. καὶ ἔστι καὶ ἐνταῦθα ἐννοίας ἀμφιβολία, ὡς καὶ ἐν ἄλλοις πολλοῖς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰστέον δὲ ὅτι ὁ ῥηθεὶς Αὐτόχθων οὐ βούλεται γράφειν «δύο μὲν ἔλασε πτύχας», ἀλλὰ «δύο μὲν θλάσε». διὸ οὐδὲ ἐλαθῆναι λέγει τὴν χρυσῆν πτύχα πρώτην κειμένην, ἀλλὰ θλασθῆναι, ὡς προείρηται, εἰ καὶ μὴ ἐχρῆν αὐτὴν ὥσπερ οὐδὲ δαμῆναι, οὕτως οὐδὲ ὑποεῖξαι ὅλως. ἀρέσκει γὰρ αὐτῷ πρώτην μὲν εἶναι τὴν χρυσῆν ὡς τιμίαν. οὐ γὰρ δήπου, φησί, κέκρυπτο ἡ καλλιστεύουσα, ἀλλ' ἐν τῇ ἐπιφανείᾳ ἦν, δευτέραν δὲ χαλκῆν ὡς ἰσχυράν, ὁμοίως χαλκῆν καὶ τὴν πέμπτην τὴν ἐνδοτάτω, μέσας δὲ τῶν δύο χαλκῶν τὰς δύο τοῦ κασσιτέρου, ὡς συνάπτειν δυναμένας τὰς ἑκατέρωθεν πτύχας.

4.407 διὸ καὶ ὁ ποιητής φησι πέντε πτύχας, «τὰς δύο χαλκέας, δύο δ' ἔνδοθι κασσιτέροιο», ἤτοι ἔνδον τῶν δύο χαλκέων, «τὴν δὲ μίαν χρυσῆν», τὴν ἐξωτάτω δηλαδή. ἔτι φασὶν οἱ περὶ τὸν Αὐτόχθονα, οὐχ' ὅτι οὐκ ἔτρωσεν ὅλως Αἰνείας τὴν πτύχα τὴν χρυσῆν, ἀλλὰ ὅτι τὸ πλατὺ τῆς ἐπιδορατίδος οὐ διῆλθε δι' αὐτῆς. ἐπεὶ γὰρ ἡ μὲν ἀκμὴ τιτρώσκει, τὸ δὲ πλατὺ τέμνει, τὴν μὲν τῆς ἀκμῆς νύξιν ἐδέξατο καὶ ὁ χρυσὸς καὶ ὁ ὑποκείμενος χαλκός, τὴν δὲ ἐκ τοῦ πλάτους τομὴν οὐ παρεδέξατο, ἀλλὰ τῷ πλατεῖ τοῦ σιδήρου ἀντιβὰς ὁ χρυσὸς καὶ μόνον θλασθεὶς ἐπέσχε τὴν διαμπὰξ διακοπὴν τῆς ἀσπίδος καὶ κατὰ τὸν ποιητὴν ἐν τῇ χρυσῇ πτυχὶ ἔσχετο μείλινον ἔγχος. (v. 269) Ὅτι δὲ τὸ «ἀλλὰ δύο μὲν ἔλασε» τινὲς γράφουσιν «ἀλλὰ δύο μὲν θλάσε», καὶ ὅτι ἀπάτην οὗτοι αἰτιῶνται τῶν ἄλλως γραφόντων, ὡς τῆς ἄνω περιφερείας τοῦ θῆτα κολοβωθείσης εἰς φαντασίαν τοῦ ε γράμματος, δηλοῖ καὶ ὁ Πορφύριος. [Γνωστὸν δὲ τῇ κοινότητι τὸ θλάσαι. ὡς γὰρ κλῶ κλάζω ὀκλάζω, ἐξ οὗ καὶ ὀκλαδίας δίφρος, οὕτω καὶ θλῶ θλάζω, ἐξ οὗ θλαδίας ταῦρος τροπῇ τοῦ ζῆτα εἰς δέλτα. παρὰ τὸ θλάσω δὲ καὶ θλαστὰς ἐλαίας οἶδε καὶ ὁ Δειπνοσοφιστής.] (v. 268) Ὅρα δὲ καὶ ὅτι τὴν χρυσῆν πτύχα μόνην δῶρα θεοῦ πληθυντικῶς εἶπε κατ' ἐξοχήν, ἢ διὰ τὸ τῆς ὕλης τίμιον, ἢ καὶ ὅτι περισῴζει τὸν ἥρωα. ἔφη γάρ «οὐκ ἔρρηξε σάκος, χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο». ἀστεῖον οὖν χρῆμα ὁ χρυσός, εἰ καὶ θανάτου ῥύεται ἐνταῦθα κατὰ τὴν ἐτυμολογίαν τῶν πολλῶν. (v. 269 s.) Ὅρα δὲ καὶ διαφορὰν τοῦ ἤλασε καὶ διήλασεν. ἐλάσαι μὲν γὰρ λέγεται πτύχας Ἥφαιστος ὁ χαλκεύς, διελάσαι μέντοι τὸ διαμπερὲς βαλεῖν. (v. 273—82) Ὅτι τοῦ Αἰνείου προπλήξαντος δεύτερος Ἀχιλλεὺς ἀκοντίσας «βάλεν Αἰνείαο κατ' ἀσπίδα πάντοσε ἴσην ἄντυγ' ὑπὸ πρώτην, ᾗ λεπτότατος θέε χαλκός, λεπτοτάτη δ' ἐπέην ῥινὸς βοός· ἡ δὲ διαπρὸ Πηλιὰς ἤϊξε μελίη, λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς. Αἰνείας δ' ἐάλη», ὅ ἐστι συνεστράφη, συσταλεὶς ἢ καὶ συνιζήσας, «καὶ ἀπὸ ἕθεν ἀσπίδ' ἀνέσχε, δείσας», μὴ μετὰ τὴν ἀσπίδα δηλαδὴ καθίξεται ἡ μελία καὶ τῶν αὐτοῦ σαρκῶν.

4.408 «ἐγχείη δ' ἄρ ὑπὲρ νώτου ἐνὶ γαίῃ ἔστη ἱεμένη, διὰ δ' ἀμφοτέρους ἕλε κύκλους ἀσπίδος ἀμφιβρότης· ὃ δ' ἀλευάμενος δόρυ μακρὸν ἔστη», ὡς δηλαδὴ πρὸ τούτου ὑποκαταβάς. (v. 282 s.) Λέγει δὲ καὶ ὅτι «ἄχος χύτο μυρίον ὀφθαλμοῖσι», καὶ ὡς ἐτάρβησεν, ἐπεὶ «οἱ ἄγχι πάγη βέλος». Καὶ ὅρα ὅτι τὸ, «ἐγχείη ἐνὶ γαίῃ ἔστη», «ἐπάγη βέλος» ἐνταῦθά φησι. καινὴ δέ τις καὶ ἡ τοῦ Αἰνείου αὕτη ἀσπίς, ἧς οὐ πρὸς κάλλος ἡ θέσις, ἀλλ' ὁ μὲν χαλκὸς ὑπόκειται, ἔπεστι δὲ ἡ ῥινός, ὡς καὶ τὴν χρυσῆν πτύχα, καθὰ εἴρηται, τινὲς δι' ἀσφάλειαν ὑποβάλλουσι τῇ τοῦ Ἀχιλλέως ἀσπίδι. οἱ δὲ ἀκριβέστεροι τὸ «λεπτοτάτη ῥινός» οὐκ ἐπὶ ὅλης τῆς ἀσπίδος νοοῦσιν, ἀλλὰ κατὰ τὴν πρώτην ἄντυγα, ἤγουν τὴν κατὰ τὸ ἄκρον κύκλωθεν τῆς ἀσπίδος, ὡς καὶ πρῶτον ῥυμόν πού φησι τὸ ἄκρον τοῦ ῥυμοῦ. ἐνταῦθα δὲ λεπτύνεσθαι πλέον τοῦ λοιποῦ φασιν, ὡς εἰκός, τεχνικῶς τὸν μὲν χαλκὸν τῇ ἐλάσει, τὴν δὲ βύρσαν τῇ ξέσει, διὰ τὴν ῥᾳδίαν τῶν ἄκρων κατάκλεισιν. καὶ ἐνταῦθα συνέβη γενέσθαι τὴν βολήν. (v. 280) Διὸ καί φησι «δι' ἀμφοτέρους εἶλεν», ὅ ἐστι διεῖλε, «κύκλους», ἤγουν τὰ τῆς κυκλοτεροῦς ἀσπίδος ἔν τε τῇ βύρσῃ καὶ τῷ χαλκῷ τέρματα. Καὶ σημείωσαι ὅτι εὐτυχῶς τῷ Αἰνείᾳ γέγονεν ἡ τοιαύτη βολή, ἐν ἄκρῳ δηλαδὴ τῆς ἀσπίδος. (v. 278—80) εὐθὺς γὰρ ἀφ' ἑαυτοῦ ἀνασχὼν τὴν ἀσπίδα ἀφῆκεν ὀπίσω ἐνεχθὲν τὸ δόρυ ἐμπαγῆναι τῇ γῇ. ὡς εἴγε μέσον που ἐβλήθη ἡ ἀσπίς, οὐδὲν ἂν ἐκώλυσε διελαθῆναι τῆς νηδύος τοῦ Αἰνείου τὸ ἔγχος. (v. 275) Ἰστέον δὲ ὅτι ἐν τῷ «λεπτότατος θέε

χαλκός» ἔνδειά ἐστι προθέσεως. χρὴ γὰρ νοεῖν τὸ «ἔθεεν ἀντὶ τοῦ ὑπέτρεχεν, οὗ ἀνάπαλιν ἔχει τὸ «ἐπέην ῥινός». Θέει δὲ χαλκὸς ἀντὶ τοῦ πλατὺς καὶ ἐπιμήκης πρόεισιν. [Ἐκ τοῦ τοιούτου δὲ θέειν καὶ ἡ παρὰ τῷ Καλλιμάχῳ κάλαθος, ἣν δηλαδὴ κᾶλα, ἤγουν ξύλα, περιθέει κύκλῳ.

4.409 ἐξ αὐτοῦ δὲ καὶ ἡ ἐν Ὀδυσσείᾳ θόλος εἶναι δεδήλωται.] Ἰωνικῶς δὲ κἀνταῦθα τεθήλυνται ἡ ῥινός. (v. 277) Τὸ δὲ «ἔλακεν» ἄσημον καὶ νῦν δηλοῖ ποιὰν φωνήν. καὶ ἔστι τὸ «λάκε δ’ ἀσπίς» ἀντὶ τοῦ ἤχησε διακοπεῖσα, ὅθεν καὶ λακίδες ἱματίων αἱ διακοπαί. ἁπλῶς δὲ οὐδέποτε τὸ λακεῖν ἐπὶ ἀνθρωπίνης κυριολεκτεῖται φωνῆς, εἰ μὴ ἄρα παρὰ μόνοις τοῖς Τραγικοῖς, ὡς καὶ ἀλλαχοῦ δεδήλωται. διὸ καὶ ὁ Κωμικὸς παίζων φησὶ τὸ «Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων». εὕρηται δὲ καὶ διαληκᾶσθαι παρὰ Αἰλίῳ Διονυσίῳ. ἐκεῖνο δὲ ἀντὶ τοῦ διαμωκᾶσθαι καὶ διαπαίζειν εἴρηται. (v. 278 s.) Τὸ δὲ «ἀπὸ ἕθεν ἀσπίδ’ ἀνέσχε δείσας» ἀντὶ τοῦ ἀφ’ ἑαυτοῦ ἄνω ἔσχε τὴν ἀσπίδα, ἐπὶ Ἀχιλλέως πρὸ βραχέων οὕτως ἔφρασε «σάκος ἀπὸ ἕο χειρὶ παχείῃ ἔσχετο ταρβήσας», τὴν μὲν ἐνταῦθα ἀσπίδα εἰς σάκος ἐκεῖ μεταλαβών, τὸ δὲ «ἀνέσχεν» ἐνεργητικὸν «ἔσχετο» παθητικῶς εἰπὼν δίχα προθέσεως, τὸ δὲ «ἀπὸ ἕθεν» «ἀπὸ ἕο» φάμενος, τὸ δὲ «δείσας» «ταρβήσας», καὶ οὕτω παραφράσας κατὰ τοὺς ὕστερον ἐξ Ὁμήρου ἐπινοησαμένους καὶ τὰ Λεξικά. (v. 279 s.) Τὸ δὲ «ἐγχείη ἱεμένη», ὃ ἐν τοῖς ἑξῆς φησι «διὰ κόρυθος αἰχμὴ ἱεμένη», ἀλλαχοῦ «ἱεμένη πρόσω» κεῖται ἐντελέστερον. (v. 282) Τὸ δὲ «ἄχος χύτο μυρίον ἐν ὀφθαλμοῖς», διὰ λύπην δηλαδὴ καὶ τάρβος, μετ’ ὀλίγα «κατ’ ὀφθαλμῶν χεῦεν ἀχλύν» φησιν. εἰ δὲ ἐπὶ σκοτώσεως ὄψεως ἐκεῖνό φησιν, ἀλλὰ δύναται καὶ αὐτὸ ἐπὶ λύπης καὶ φόβου λέγεσθαι. (v. 283—7) Ὅτι ἐπεὶ Ἀχιλλεὺς «ἐμμεμαὼς ἐπόρουσεν ἐρυσάμενος ξίφος ὀξὺ σμερδαλέα ἰάχων», Αἰνείας «χερμάδιον λάβε χειρί, μέγα ἔργον, ὃ οὐ δύο γ’ ἄνδρε», ὡς καὶ προεγράφη, «φέροιεν, οἷοι νῦν βροτοί εἰσι» καὶ ἑξῆς. (v. 286) Καὶ ὅρα ὅτι τε ἔργον καὶ ἐνταῦθά φησι περὶ ὅτις ἂν ἀσχοληθείη, ἀφ’ οὗ ἔργον φασὶ τὸ δύσκολον οἱ παλαιοί, καὶ ὅτι καὶ νῦν ὁ γε σύνδεσμος ἐν τῷ «οὐ δύο γ’ ἄνδρε» τραχυφωνίας μόνης χάριν ἐνέπεσε φίλης πολλαχοῦ τῷ ποιητῇ. ἄλλως γὰρ οὐκ ἔχει οὐδεμίαν ἔμφασιν ἐκ τῶν συνήθων τοῖς ῥήτορσι. Σημείωσαι δὲ καὶ ὅτι ῥίψας τὴν ἀσπίδα μεταλαμβάνει χερμάδιον ὁ Αἰνείας, ὡς δῆλον μετ’ ὀλίγα ἐκ τοῦ τὸν Ποσειδῶνα ἐξερῦσαι τῆς τοῦ Αἰνείου ἀσπίδος τὴν τοῦ Ἀχιλλέως μελίαν καὶ θεῖναι αὐτὴν προπάροιθεν ποδῶν Ἀχιλῆος.

4.410 (v. 288 s.) Ἰστέον δὲ καὶ ὅτι ἐκφαυλίζων ὁ ποιητὴς τὸ ῥηθὲν τοῦ Αἰνείου βέλος οὐ τόπον ὁρίζει τῇ βολῇ, ἀλλ’ ἀορίστως λέγει ὡς «βάλε πέτρῳ ἢ κόρυθα ἠὲ σάκος» Ἀχιλλέως, μονονουχὶ λέγων ὅτι οὐκ οἶδα ποῦ βέβληκε. τοῦτο δὲ ποιεῖ, ὡς ἂν ἐπεὶ καὶ τὸν Ἀχιλλέα πεποίηκεν οὐ τυχόντα τοῦ Αἰνείου τῇ τοῦ ἔγχους βολῇ, ἔχει ὅμως διαφοράν τινα πρὸς τὸν Αἰνείαν ὁ Ἀχιλλεὺς τὸ ἐπ’ ἐκείνῳ μὲν ὁρισθῆναι ποῦ βέβληκεν, ὅτι δηλονότι διαμπερὲς τῆς ἀσπίδος ἐν ἄκρῳ, τὴν δὲ τοῦ Αἰνείου βολὴν ἀδιόριστον εἶναι, ποῖ τῶν ὅπλων γέγονε τοῦ Ἀχιλλέως. ταῦτα δὲ οὐκέτι λόγοι θεᾶς Μούσης τῆς ἀδιστάκτως πάντα εἰδυίας διὰ τὸ παρεῖναι γινομένοις, ὥς που εἴρηται, ἀλλ’ ἑτέρας Μούσης, τῆς Ὁμηρικῆς δηλαδὴ γνώσεως, ἣν οὐκ ἀπεικὸς καὶ ἐνδοιασμὸν παθεῖν ἐφ’ οἷς λέγει. (v. 293—8) Ὅτι ἄχος τῷ Ποσειδῶνί ἐστιν, εἴπερ ὁ Αἰνείας τῷ Ἀχιλλεῖ «δαμεὶς Ἄϊδόσδε κάτεισι πειθόμενος μύθοισιν Ἀπόλλωνος ἑκάτοιο, νήπιος, οὐδέ τί οἱ χραισμήσει λυγρὸν ὄλεθρον, ἀλλὰ τιὴ νῦν», ἢ κατά τινας «τίη νῦν», «οὗτος ἀναίτιος ἄλγεα πάσχει μὰψ ἕνεκ’ ἀλλοτρίων», ὃ ῥηθείη ἂν ἐπὶ τῶν μάτην πασχόντων ἐν ἀλλοτρίοις ἐφ’ οἷς αὐτοὶ οὐδὲν ἔπταισαν. ἐντεῦθεν δὲ τὸ τοῦ Ἱπποκράτους παρέξεσται τὸ τὸν ἰατρὸν ἐν ἀλλοτρίαις συμφοραῖς ἰδίας λύπας καρποῦσθαι. (v. 300—5) Ταῦτα δὲ εἰπὼν ὁ Ποσειδῶν καὶ οὕτως ἀχθεσθείς, εἰ μάτην ὁ Αἰνείας ἀναίτιος ὢν θανεῖται, οὔτε συνεπιγραφεὶς τῷ τῶν Πριαμιδῶν πολέμῳ καὶ νωθρότερον δὲ περὶ τὴν μάχην διακείμενος, διὸ καὶ ὁ Πρίαμος ὑπώπτευεν αὐτόν, ἔτι δὲ καὶ θεοφιλὴς ὤν, «κεχαρισμένα γὰρ αἰεί», φησί, «δῶρα θεοῖσι δίδωσι», βουλεύεται καὶ πῶς ἂν αὐτὸν ὑπ’ ἐκ θανάτου ἀγάγωσι, «μή πως καὶ Ζεὺς κεχολώσεται, αἴ κεν Ἀχιλλεὺς τόνδε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατακτείνῃ. μόριμον δέ οἱ», φησίν, «ἔστιν ἀλέασθαι, ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται Δαρδάνου», ὃς Διῒ περὶ πάντων φίλτατος «παίδων οἵ ἕθεν», ἤγουν αὐτοῦ, «ἐξεγένοντο γυναικῶν τε θνητάων». (v. 306—8) Λέγει δὲ καί, ὅτι «ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων, νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει καὶ παίδων παῖδες, οἵ μετόπισθεν γένωνται». Τοῦτο δὲ λέγεται διὰ τὴν τῶν Ῥωμαίων ἀρχήν, ἥν, φασίν, εἰκὸς εἰδέναι τὸν ποιητὴν ἐκ τῶν τῆς Σιβύλλης χρησμῶν, ἢ καὶ αὐτὸν οἴκοθεν εἰδότα. ποιητοῦ γὰρ ἀρετὴ τὸ καὶ μαντικὴν ἐπιστήμην ἔχειν, ὥς φασιν ἄλλοι πλατύτερον. Καὶ ὅρα ὅπως ὁ ποιητὴς οὐ μόνον τὰ Τρωϊκὰ ἱστορεῖ, πολλὰ δὲ καὶ πρὸ τῶν Τρωϊκῶν, ἀλλὰ καὶ ὑστέρας τινὰς ἱστορίας παραδίδωσιν, ὧν ἐστι καὶ ἡ τοῦ Αἰνείου ἀρχή, ἣν φημιζομένην, ὡς εἰκός, Ἀχιλλεὺς μὲν ὀνειδίζων ἀπεῖπε, τὸ δὲ μοιρίδιον ἐξετέλεσεν εἰς αὐτὸν καὶ παίδων παῖδας, ὡς εἶπεν ὁ ποιητής.

4.411 ὁ δὲ Γεωγράφος λέγει, ὅτι τὸν Αἰνείαν τινὲς μέν φασι μετὰ Ἀγχίσου τοῦ πατρὸς καὶ Ἀσκανίου τοῦ παιδὸς λαὸν ἀθροῖσαι καὶ πλεῦσαι εἰς Σικελίαν, ἐκεῖθεν δὲ εἰς τὴν Λατίνην ἐλθεῖν κατά τι λόγιον. ἕτεροι δὲ οἰκῆσαι αὐτόν φασι περὶ τὸν Μακεδονικὸν Ὄλυμπον, ἄλλοι δὲ εἰς Σικελίαν καταρᾶι, Ὅμηρος δὲ ἐμφαίνει, φησίν, ἐν τῇ Τροίᾳ μεῖναι αὐτόν, καὶ διαδεξάμενον τὴν ἀρχὴν παραδεδωκέναι τοῖς παισὶν ἠφανισμένων τῶν Πριαμιδῶν. «ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων», καὶ ἑξῆς, ὡς προγέγραπται. τινὲς δέ, φησί, γράφουσι, «νῦν δὲ δὴ Αἰνείαο γένος πάντεσσιν ἀνάξει καὶ παίδων παῖδες», τοὺς Ῥωμαίους λέγοντες, παρ’ οἷς τὸν Αἰνείαν καὶ καταστρέψαι τὸν βίον φασί τινες. (v. 303 et 307) Ὅρα δὲ καὶ ὅτι τοῦ μὴ ἔχοντος διαδόχους ἄσπερμος ἡ γενεὴ λέγεται καὶ ἄφαντος ὀλέσθαι, καὶ ὅτι ἐπὶ ἀδιαδόχου κράτους καλὸν εἰπεῖν τό· νῦν γὰρ δὴ ὁ δεῖνα ἀνάξει καὶ παίδων παῖδες, οἵ μετόπισθεν γένωνται. Σημείωσαι δὲ καὶ ὅτι πολλάκις καὶ ὑπ’ ἐχθρῶν βοηθεῖταί τις οὐ μόνον δι’ ἀρετήν, ἀλλὰ καὶ φόβῳ κακοῦ μείζονος, ὡς ὁ Αἰνείας ἐνταῦθα ὑπὸ Ποσειδῶνος, διότι ἀναίτιός ἐστι, καὶ ὅτι δέδιεν ὁ Ποσειδῶν, μὴ τοῦ Αἰνείου πεσόντος ὁ Ζεὺς κεχολώσεται. δυσωπεῖται δὲ καὶ τὸ μοιρίδιον, εἰς ὃ ἐκλαμβάνεται ὁ Ζεύς, καὶ φιλεῖ δέ πως τὸν Αἰνείαν ὡς Πριάμῳ καὶ τοῖς αὐτοῦ ἀπεχθόμενον. ἃ δὴ καὶ ὁ Ἀπόλλων εἰδὼς καὶ οὐκ ἐπεξιὼν θρασέως εἰς βοήθειαν τοῦ Αἰνείου δοκεῖ κακοήθως ἀμελεῖν αὐτοῦ. (v. 296) διὸ καὶ νήπιον αὐτὸν ὁ Ποσειδῶν λέγει διὰ τὸ δῆθεν ἄφιλον. [Ἔνθα σημείωσαι τὸ «νήπιος», οὐ συνταχθὲν τοῖς ὀπίσω, ἤγουν τῷ «μύθοις Ἀπόλλωνος ἑκάτοιο», ἀλλ’ ἀναφωνηθὲν ἰδίᾳ καθ’ αὑτό, ἵνα εἴπῃ, ὅτι νήπιός ἐστιν ὁ Ἀπόλλων, ἐπεὶ μὴ βοηθεῖ τῷ φίλῳ. δύναται δὲ καὶ τῷ Αἰνείᾳ ἐπιρρηθῆναι τὸ «νήπιος», οὐκ εὐόδως μέντοι.] (v. 302) Ὅρα δὲ τὸ ἐν ἄλλοις μόρσιμον μόριμον ἐνταῦθα δίχα τοῦ ς λεχθὲν ἀπὸ τῆς μοίρας ἐξ ἧς καὶ τὸ ὑπέρμορον ἀπελεύσει τοῦ ἰῶτα, καὶ ἀμμορία ἡ δυστυχία, καὶ αὐτὸς ὁ μόρος.

4.412 (v. 305) Τὸ δὲ, «οἵ ἕθεν ἐξεγένοντο» πρὸς διαστολὴν ἑτέρων παίδων κεῖται. Τὸ δὲ «γυναικῶν τε» διέσταλται πρὸς τοὺς ἐκ θεαινῶν, ὁποῖοι Ἄρης Ἀπόλλων, Ἀφροδίτη καὶ οἱ τοιοῦτοι. (v. 298—300) Ὅρα δὲ καί, ὡς ἐνταῦθα μὲν σεμνύνει τὸν Αἰνείαν ὁ ποιητής, διότι κεχαρισμένα δῶρα θεῷ δίδωσιν, ἐν δὲ Ὀδυσσείᾳ τὸν Ὀδυσσέα σεμνολογεῖ, ὅτι τε νόον περίεστι καὶ διότι ἱερὰ πολλὰ δέδωκε, καὶ ὅτι τὸ ῥύσασθαι θανάτου ὑπεξαγαγεῖν θανάτου φησίν. Ὅτι ἐν πολλοῖς τὸν ὅρκον σεπτὸν κρίνων ὁ ποιητὴς τὸ αὐτὸ κἀνταῦθα ποιεῖ παιδεύων εὐορκεῖν, ἐν οἷς ἡ Ἥρα τῷ Ποσειδῶνι ἐπιτρέπει νοῆσαι, εἴτε βούλεται σῶσαι τὸν Αἰνείαν, εἴτε καὶ μή. αὐταὶ γάρ, φησίν, ὠμόσαμεν μηδέποτε ἀλεξήσειν Τρωσί, καὶ δεῖ φυλάξειν δηλαδὴ τὸν ὅρκον. (v. 310—7) Φράζει δὲ ταῦτα οὕτως ἡ τοῦ μύθου Ἥρα «Ἐννοσίγαιε, αὐτὸς σὺ μετὰ φρεσὶ σῇσι νόησον Αἰνείαν ἤ κεν ἐρύσσεαι, ἤ κεν ἐάσεις. νῶϊ γάρ», ἤγουν ἡμεῖς, «πολεῖς ὠμόσσαμεν ὅρκους πᾶσι μετὰ ἀθανάτοισιν, ἐγὼ καὶ Παλλὰς Ἀθήνη, μή ποτ’ ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ, μηδ’ ὁπότ’ ἂν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται δαιομένη, δαίουσι δ’ ἀρήϊοι υἷες Ἀχαιῶν». Μελέτη δὲ καὶ ταῦτα Ὁμηρικὴ τοῦ πῶς ἂν ἐκ προφανοῦς ἄρτι κινδύνου ὁ Αἰνείας περισωθείη. καὶ ἀρέσκει τῷ ποιητῇ ἁρπαγῆναι αὐτὸν καὶ οὕτω περιγενέσθαι. καὶ γίνεται οὕτω διὰ τοῦ Ποσειδῶνος, ὃς τὸν

Αἰνείαν «ἔσσευεν ἀπὸ χθονὸς ὑψόσε ἀείρας» καὶ περισωσάμενος ἐξήγαγε τοῦ πολέμου κατ' ὀφθαλμῶν Ἀχιλλέως χέας ἀχλύν. καὶ ὑπέθετο νῦν μὲν ἀναχωρεῖν ἐκ τοῦ Ἀχιλλέως, ὅτε δ' ἐκεῖνος θάνοι, τότε δὴ θαρσαλέως προμάχεσθαι. [(v. 316 s.) [Ὅρα δὲ τὸ «δάηται δαιομένη, δαίουσι δὲ Ἀχαιοί» ἐπίχυσιν ἔχον ταὐτοδυνάμων λέξεων. καὶ προσεκτέον τῷ «δαίουσιν Ἀχαιοί» ἔχοντι διαστολὴν πρὸς ἑτεροίαν καῦσιν, ὡς δυνατὸν ὂν τὴν Τροίαν πυρὶ δαίεσθαι καὶ ἄλλως δίχα πολέμου, ὁποῖα πολλὰ πυρὰ ἐξ ἐπιβουλῆς ἢ αὐτομάτως καίονται. Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ «δάηται δαιομένη» δύναται ἢ τὸ δάηται ἢ τὸ δαιομένη μερισμὸν δηλοῦν τινα, ὡς ἐκ τοῦ δαίω, τὸ μερίζω, ἐπειδὴ τὰ καιόμενα καὶ μάλιστα οἰκοδομήματα μερίζονται διαιρούμενα καὶ παραλύονται τῆς συνεχείας κραυρούμενα τῇ πυρώσει.

4.413 ἀναλογία δὲ τοῦ δάηται κατὰ τὸ κλάηται, κάηται.] Καὶ τοιαῦτα μὲν ταῦτα. (v. 341 sqq.) Ἐπεὶ δέ, φησίν, Ἀχιλῆος «ἀπ' ὀφθαλμῶν σκέδας' ἀχλὺν θεσπεσίην» ὁ Ποσειδῶν, «ὃ δ' ἔπειτα μέγ' ἔξιδεν ὀφθαλμοῖσι», καὶ τὸ ἔγχος αὐτῷ προπάροιθε ποδῶν κεῖτο ἐπὶ χθονὸς καὶ ὁ Αἰνείας ἀπῆν, ὀχθήσας εἶπε τὰ καὶ τά. Καὶ ὅρα ὅτι ἐν ἄλλοις μὲν ἡ Ἀθηνᾶ Διομήδους ἀχλὺν ἀπ' ὀφθαλμῶν εἷλεν οἷα φωσφόρος ἐπὶ κακῷ τῶν Τρώων, Ποσειδῶν δὲ ἐνταῦθα, εἰ καὶ αὐτὸς ποιεῖ τι ὅμοιον ὕστερον, ἀλλὰ φθάσας τῶν Ἀχιλλέως ὀφθαλμῶν ἀχλὺν καταχέει σῴζων τὸν Αἰνείαν. ἐνέργεια δὲ αὕτη μάλιστα Ποσειδῶνος, οὐ κατὰ τὴν Ἀθηνᾶν φωσφοροῦντος, ἀλλὰ μάλιστα τὸν ἀέρα ταῖς ἀναθυμιάσεσιν ἀχλύοντος. εἰκὸς δὲ καὶ κατὰ χόλον πολὺν ἐξ ἀναθυμιάσεως ἀχλὺν γενέσθαι τινὰ τῷ Ἀχιλλεῖ. Σημείωσαι δὲ καὶ ὅτι ὁ μῦθος τοῦ, ὡς ἐρρέθη, παραδόξως τὸν Αἰνείαν σωθῆναι θεραπείαν ἤδη ἔχει πιθανότητος ἀπὸ τοῦ καὶ ἀλλαχοῦ ἁρπαγῆναι αὐτὸν ἐκ μέσης τῆς μάχης ὑπὸ τοῦ Ἀπόλλωνος καὶ σωθῆναι. ἀπὸ δὲ τούτου ὁρμηθεὶς ὁ ποιητὴς ὅμοιόν τι προϊὼν ἐρεῖ καὶ περὶ Ἕκτορος. (v. 342) Τὸ δὲ μέγα ἐξιδεῖν ὀφθαλμοῖς τὸ λαμπρὸν καὶ ἀνεπιπρόσθητον τῆς θέας δηλοῖ. (v. 319) Ἐν τούτοις δὲ κεῖται καὶ νόημα περὶ Ποσειδῶνος φραστικὸν προθυμίας μαχίμου τὸ «βῆ δ' ἴμεν», ἤγουν ἐλθεῖν, «ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων». (v. 322—5) Εἰπὼν δὲ καί, ὡς τὴν τοῦ Ἀχιλλέως μελίην εὔχαλκον ἀσπίδος ἐξέρυσεν ὁ Ποσειδῶν μεγαλήτορος Αἰνείαο, καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆος, ὡς καὶ προεγράφη, ἔθηκεν, ἐκεῖνον δὲ ὑψόσε ἦρεν, ἀφίησιν οὕτω νοεῖσθαι τὴν τοιαύτην περιπέτειαν, ὡς τὸ τοῦ Ἀχιλλέως ἔγχος ἤδη κατὰ τοῦ Αἰνείου βληθὲν καὶ διελὸν τόν τε βύρσινον τῆς ἀσπίδος ἄκρον κύκλον καὶ τὸν χαλκοῦν, ὡς ἤδη εἴρηται, τῷ μὲν στύρακι, ἤγουν τῷ μέσῳ τοῦ ξύλου, ἐνεπεπήγει μεσολαβῶς ἐν ἄκρῳ τῆς ἀσπίδος, κατὰ δὲ τὴν αἰχμὴν τῇ γῇ ἐμπέπηκτο. (v. 279 s.) Ἔφη γάρ· αἰχμὴ «δὲ κατὰ νώτου ἐν γαίῃ ἔστη ἱεμένη». διὸ ἐξερύσας αὐτὴν τῆς ἀσπίδος ὁ Ποσειδῶν πρὸ ποδῶν Ἀχιλλέως ἔθηκεν. ἦν δὲ ἄρα δεξιότης τοῦ Αἰνείου τὸ οὕτω τὴν ἀσπίδα κινῆσαι, ὡς ἀποστρέψασθαι τὴν τοῦ Ἀχιλλέως αἰχμήν, ἔτι δὲ καὶ τὸ οὕτω ταχὺ δυνηθῆναι, ὥσπερ κατά τι θεῖον, ἐξερύσαι αὐτὴν καὶ προσρῖψαι τῷ πέμψαντι Ἀχιλλεῖ.

4.414 [(v. 322) Μελία δὲ νῦν μὲν συνήθως Ὁμήρῳ τὸ δόρυ, ὁμωνύμως τῷ ὅλῳ, πρὸς ὁμοιότητα τοῦ ἐλέφας, ὃς καὶ αὐτὸς ποτὲ μὲν ζῷον δηλοῖ, ποτὲ δὲ μέρος ἐκείνου, ἤγουν ὀστοῦν. οὕτω δὲ καὶ δόρυ ποτὲ μὲν ὅλον δένδρον, ὡς ἐν Ὀδυσσείᾳ, ποτὲ δὲ τμῆμα δένδρου. δῆλον δ' ὅτι καὶ νυμφῶν ὄνομα αἱ Μελίαι, ὡς καὶ παρ' Ἡσιόδῳ. αὐτὸ δὲ καθ' ὁμωνυμίαν τῶν δένδρων, οἷς μυθικῶς ἔχαιρον ἐκεῖναι. Ἡ δὲ παρὰ τῷ Ἀθηναίῳ μελία ζητητέον, εἰ μὴ ἡ αὐτή ἐστι τῇ μελίᾳ, ᾗ παρωνυμεῖται τὸ μείλινον ἔγχος. λέγει γὰρ ἐκεῖνος τοὺς τὰ γεωργικὰ συγγράψαντας γράφειν οὕτω· τὴν μελίαν καὶ τὴν τέρμινθον, ἃ δὴ νῦν πιστάκια, φησίν, οἱ Σύροι καλοῦσι. καὶ οὗτοι μέν, φησί, διὰ τοῦ πῖ, Νίκανδρος δὲ δασέως φιττάκια, Ποσειδώνιος δὲ βιστάκια. τὰ δ' αὐτὰ ἑτέρωθι καὶ ψιττάκια. δοκεῖ γὰρ ἐν τούτοις ἡ μελία οὐ δένδρον δηλοῦν, ἀλλὰ καρπὸν δένδρου.] (v. 325—7) Ἰστέον δὲ καὶ ὅτι ἐπί τινος αἴφνης δοξασθέντος θειότερον ὑπὲρ τοὺς ὁμοίους ῥηθήσεται τό· ὁ δεῖνα τὸν δεῖνα «ἔσσευεν ἀπὸ χθονὸς ὑψός' ἀείρας, πολλὰς δὲ στίχας ἡρώων» «ὑπεράλτο θεοῦ ἀπὸ χειρὸς ὀρούσας». (v. 328 s.) Ἐν τούτοις δὲ μέμνηται καὶ Καυκώνων ὁ

ποιητής, εἰπὼν ἐλθεῖν τὸν Ποσειδῶνα, ὅτε γῆθεν ὕψωσε τὸν Αἰνείαν «ἐπ’ ἐσχατιὴν πολυάϊκος πολέμου, ἔνθα Καύκωνες θωρήσσοντο». εἰσὶ δὲ οὗτοι Παφλαγονικὸν ἔθνος, περὶ ὧν τινες φέρουσιν ἐν τῷ Καταλόγῳ ταῦτα τὰ ἔπη· «Καύκωνας αὖτ’ ἦγε Πολυκλέος υἱὸς Ἄμειβος», ἢ ἀμύμων, «οἳ περὶ Παρθένιον ποταμὸν κατὰ δώματα ναῖον», ἢ «κλυτὰ δώματ’ ἔναιον». κεῖται δὲ, φασί, ταῦτα ἐν τῷ Διακόσμῳ μετὰ τὸ «Κρῶμναν τ’ Αἰγιαλόν τε καὶ Ἐρυθίνους». λέγει δὲ ὁ Γεωγράφος καί, ὅτι τὸ τῶν Καυκώνων γένος ἐξέφθαρται τέλεον. εἴρηται δὲ περὶ αὐτῶν καὶ ἐν τῷ τῶν Παφλαγόνων καταλόγῳ. ἔτι φησὶν ὁ Γεωγράφος καί, ὅτι Καύκωνες, οἱ ἐν Πελοποννήσῳ, Ἀρκαδικὴ μοῖρα, μὴ ἀνεχόμενοι τὸ Λεπρέου γένος κατάρχειν αὐτῶν, ἦν γὰρ πονηρὸς ὁ Λέπρεος, κατῆραν ἐκεῖθεν εἰς Λυκίαν.

4.415 καὶ ὅρα τὸ «εἰς Λυκίαν». τοῖς γὰρ τοιούτοις οὐδὲν πάντως μετὸν πρὸς τοὺς ἐν Παφλαγονίᾳ Καύκωνας. Ὅτι δὲ καὶ πολυσπερέες οἱ Καύκωνες, καὶ εἴ τί που ἄλλο ῥητέον περὶ αὐτῶν ἐν στενῷ, κεῖται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. καὶ τοιόνδε μὲν ἄρτι καὶ τὸ περὶ Καυκώνων. (v. 332—6) Ἐφεξῆς δὲ κείμενον τὸ «Αἰνεία, τίς ς’ ὧδε θεῶν ἀτέοντα κελεύει ἀντὶ Πηλείωνος ὑπερθύμιοιο μάχεσθαι, ὅς σευ ἅμα κρείσσων καὶ φίλτερος ἀθανάτοισιν; ἀλλ’ ἀναχωρῆσαι», ὅ ἐστιν ἀναχώρησον, «ὅτε κεν ξυμβλήσεαι αὐτῷ, μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος εἰσαφίκηαι». τὸ δὴ τοιοῦτον ὅλον ῥητὸν παραποιηθήσεταί ποτε παρῳδηθὲν εἴς τινα ταπεινότερον μείζονι αὐτοῦ ἀνδρὶ ἀντιβαίνοντα. (v. 337—9) Εἶτα ὁ ταῦτα εἰπὼν Ποσειδῶν τῷ Αἰνείᾳ ἐπάγει κατὰ συνήθη Ὁμηρικὴν προαναφώνησιν τὸ «αὐτὰρ ἐπεί κ’ Ἀχιλλεὺς θάνατον καὶ πότμον ἐπίσπῃ, θαρσήσας δὴ ’πειτα μετὰ πρώτοισι μάχεσθαι· οὐ μὲν γάρ τίς ς’ ἄλλος Ἀχαιῶν ἐξεναρίξει». Καὶ ὅρα ὅπως ἐκ παρόδου πεφεισμένως χείλεσιν οἷον ἄκροις τὸν τοῦ Ἀχιλλέως ὑπετονθόρυσε θάνατον ὁ φιλαχιλλεὺς ποιητής, (v. 332) καὶ ὅτι ἀτέοντα λέγει τὸν βεβλαμμένον εἰς φρόνησιν ὡς ἀπὸ τῆς προϊστορημένης ἄτης. οἱ μέντοι μεθ’ Ὅμηρον οὐκ οἴδασι τὸ ἀτέω ἀτῶ ἐν πρώτῃ συζυγίᾳ, ἀλλ’ ἐν δευτέρᾳ κατὰ τὸ βοῶ. (v. 334) Καλὸς δὲ ἔπαινος ἀνδρὸς ἀγαθοῦ τὸ καὶ κρείσσονα εἶναι, ὅ ἐστιν ἀνδρεῖον, ἐπικρατέστερον, ἔτι δὲ καὶ φίλον θεῷ, ἐξ οὗ ἡ μυθικὴ πέπλασται τῶν θνητῶν γέννησις ἐκ θεῶν. προείρηται γάρ που, ὡς οἱ θεογεννεῖς διά τινα οὕτω λέγονται ἀρετήν.

4.416 διὸ καὶ Ἀχιλλεὺς ἐρεῖ κατωτέρω, ὡς «ἦ ῥα», ἤγουν ὄντως δή, «καὶ Αἰνείας φίλος ἀθανάτοισι θεοῖσιν ἦεν», οἷς δηλαδὴ ἑαυτὸν θεόθεν ἐγενεαλόγησε πρὸ βραχέων. «αὐτάρ μιν», φησίν, «ἔφην μὰψ αὔτως εὐχετάασθαι», δηλῶν καὶ αὐτός, ὡς τὸ λέγεσθαί τινα κατάγεσθαι ἐκ θεοῦ αἰνίττεται οὐδὲν ἄλλο ἢ τὸ φίλον ἐκεῖνον εἶναι θεῷ. (v. 335) Τὸ δὲ «ξυμβλήσεαι» ἀντὶ τοῦ ξυναντήσεις ἐν συμβολῇ πολέμου. τοῦτο δὲ καὶ ἀντιβολεῖν λέγεται. (v. 337) Τὸ δὲ «θάνατον καὶ πότμον ἐπίσπῃ» καὶ ἐνταῦθα προθυμίαν δηλοῖ τὴν εἰς θάνατον, ὡς οὐκ ἐλθόντος φυσικῶς τοῦ θανάτου, ἀλλ’ αὐτοῦ τινος ἐπακολουθήσαντος οἷον καὶ προκαταλαβόντος τὸν θάνατον. (v. 341 s.) Ἰστέον δὲ καὶ ὅτι τὸ «ἀπ’ ὀφθαλμῶν σκέδας’ ἀχλὺν θεσπεσίην. ὃ δ’ ἔπειτα μέγ’ ἔξιδεν ὀφθαλμοῖσιν» ἐπιπρέπει καὶ ὅτε τις ἐξ ἀγνωσίας εἰς μάθησιν ἔλθῃ ἐπιμεμελημένος διδασκαλικῶς ἢ ἐκ θεοῦ, (v. 344—6) καὶ ὅτι εὐθὺς ἐπαγόμενον τὸ «ὢ πόποι, ἦ μέγα θαῦμα τόδ’ ὀφθαλμοῖσιν ὁρῶμαι· ἔγχος μὲν τόδε κεῖται ἐπὶ χθονὸς οὐδέ τι φῶτα λεύσσω, τῷ», ἤγουν ᾧ, «ἐφέηκα κατακτάμεναι μενεαίνων» ἐρεῖ ἄν τις ἐπιβουλευσάμενος μέν τινι, ἀποτυχὼν δέ, ὡς καὶ ὁ τοῦτο εἰπὼν Ἀχιλλεύς. (v. 349 s.) Ὅτι ὁ καθάπαξ ἐκφοβήσας τινὰ εἴποι ἄν, ὃ καὶ περὶ Αἰνείου ὁ Ἀχιλλεὺς «ἐρρέτω, οὔ οἱ θυμὸς ἐμεῦ ἔτι πειρηθῆναι ἔσσεται, ὃς καὶ νῦν φύγεν ἄσμενος ἐκ θανάτοιο». (v. 351 s.) Θάρρους δὲ μαχίμου τό· ἄλλ’ ἄγε δὴ τοῖς δεῖνα κελεύσας τῶν ἄλλων πειρήσομαι ἀντίος ἐλθών, καὶ τὸ (v.

4.417 353) «ἐπὶ στίχας ἆλτο, κέλευε δὲ φωτὶ ἑκάστῳ», καὶ τὸ (v. 354 s.) «μηκέτι νῦν ἑκὰς ἕστατε, ἀλλ’ ἄγ’ ἀνὴρ ἄντ’ ἀνδρὸς ἴτω, μεμάτω δὲ μάχεσθαι». Ἀχιλλέως δὲ ταῦτα λόγοι πρὸς Ἀχαιούς, ὡς καὶ τὸ (v. 356 s.) «ἀργαλέον δέ μοί ἐστι καὶ ἰφθίμῳ περ ἐόντι τοσσούσδε ἀνθρώπους ἐφέπειν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πᾶσι μάχεσθαι». (v. 358—63) Εἶτα προστιθεὶς τοῦ λόγου τούτου αἰτίαν μεγαλοπρεπῆ ἐν τῷ ἀπὸ τοῦ μείζονος ἐπιχειρεῖν, φησὶν «οὐδέ κ' Ἄρης, ὅς περ θεὸς ἄμβροτος οὐδέ κ' Ἀθήνη τοσῆσδ' ὑσμίνης ἐφέποι στόμα καὶ πονέοιτο, ἀλλ' ὅσσον μὲν ἐγὼ δύναμαι χερσί τε ποσσί τε καὶ σθένει, οὔ μέ τί φημι μεθησέμεν», ἤγουν ἀμελήσειν, «οὐδ' ἠβαιόν, ἀλλὰ μάλα στιχὸς εἶμι διαμπερές, οὐδέ τιν' οἴω Τρώων χαιρήσειν, ὅς τις σχεδὸν ἔγχεος ἔλθῃ». ὁ δὲ τόπος οὗτος ὅλος χρήσιμος ἀνδρείοις μεγάλῳ κινδύνῳ ἐναπειλημμένοις καὶ ὑπισχνουμένοις ποιεῖν ὃ δύνανται, ἔτι δὲ καὶ ἀνδρεῖον παράστημα ἔχουσι. Μεγαλόφρων δὲ καὶ νῦν ὁ Ἀχιλλεὺς ἴφθιμος εἶναι αὐχῶν. (v. 358) Τὸ δὲ «ὅς περ θεὸς ἄμβροτος» οὐ πρὸς διαστολὴν Ἀθηνᾶς εἴρηται, ἀλλὰ τοῦ ἀλληγορουμένου Ἄρεος εἰς μάχην καὶ σίδηρον καὶ τραῦμα. ἐκεῖνα γὰρ οὐ θεοὶ ἄμβροτοι. (v. 359) Στόμα δὲ ὑσμίνης, ὡς καὶ πρὸ τούτων στόμα πολέμου. Τὸ δὲ «πονέοιτο» οὐ πολὺ ἀπέοικε τοῦ ἐφέπειν, ὃ δὶς ἐρρέθη ὡς καίριον. (v. 361) Τὸ δὲ «καὶ σθένει» ἑτεροῖόν ἐστι τοῦ «χερσί τε ποσί τε». χειρῶν μὲν δραστηριότης καὶ ποδῶν ὠκύτης παύεται ἢ τῆς κατ' αὐτὰ ὕλης ἐπιλιπούσης ἢ καὶ ἐκ καμάτου, τὸ δὲ σθένος, ταὐτὸν δ' εἰπεῖν μένος, ἀεὶ τῷ ζῶντι παραμένει. [Τοῦ δὲ ἠβαιόν ὅτι προϋπάρχει τὸ βαιόν καὶ ὁ βαιός, δῆλόν ἐστιν. εἰ δὲ ἀπ' αὐτοῦ ὁ βαιών παρωνόμασται, ζητῆσαι χρή. ἔστι δὲ ἰχθὺς ὁ βαιὼν κατὰ τὸν Δειπνοσοφιστὴν ἀχάριστος, ἤγουν ἀχαρίτωτος, ἐξ οὗ Ἀττικὴ παροιμία τὸ «μή μοι βαιών, κακὸς ἰχθύς».] (v. 362) Τὸ δὲ «στιχὸς διαμπερές» εἰ καὶ ἑνικῶς πέφρασται, ἀλλὰ γενικῶς πλῆθος δηλοῖ ὡς ἰσοδυναμοῦν τῷ «ἐπὶ στίχας ἆλτο».

4.418 (v. 363) Τοῦ δὲ «χαιρήσειν» καὶ μετοχή ἐστι τὸ κεχαρηώς καὶ ὄνομα ὁ Χαιρήμων. ὁ δὲ Κωμικὸς καὶ χαιρηδόνα ἐξ αὐτοῦ φησι τὴν χαράν. (v. 364—70) Ὅτι Ἕκτωρ πείθειν θέλων τοὺς Τρῶας μὴ πρὸς τὰς εἰρημένας τοῦ Ἀχιλλέως εἴκειν ἀπειλὰς «κέκλετο», καὶ οὐχ' ἁπλῶς, ἀλλὰ «ὁμοκλήσας», ὡς αὐτῷ σύνηθες «Τρῶες ὑπέρθυμοι, μὴ δείδιτε Πηλείωνα. καί κεν ἐγὼν ἐπέεσσι καὶ ἀθανάτοισι μαχοίμην, ἔγχεϊ δ' ἀργαλέον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσιν. οὐδ' Ἀχιλεὺς πάντεσσι τέλος μύθοις ἐπιθήσει, ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολούει», ἀντὶ τοῦ κολοβοῖ καὶ ἀτελὲς ἀφίησι. τοῦτο δὲ οἰκεῖον ῥηθῆναι πρὸς τὸν πολλὰ οὐκ ἐντελῶς ὑπισχνούμενον ἢ ἀπειλούμενον. (v. 371 s.) Εἶτα ὡς ἐρεθίσας καὶ ἑαυτὸν ὁ Ἕκτωρ ἐπιφέρει, ὅτι «τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικε», καὶ ἐπαναλαβὼν ἐπάγει «εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ». τοῦτο δὲ τὸ σχῆμα καὶ ἐπαναστροφὴ λέγεται, ὡς ἐν ἄλλοις ἐδηλώθη, καὶ οὐ μόνον ἐπανάληψις. φασὶ δὲ οἱ παλαιοὶ ἐνταῦθα, ὅτι ἀγκύλον τὸ νόημα καὶ πολὺν ἐν βραχεῖ νοῦν ἔχον, καὶ ὅτι ἐνδιάθετος ἐπανάληψις. Σημειοῦνται δὲ καὶ ὅτι ἐν Ἰλιάδι μὲν πολλάκις ὁ ποιητὴς ἐπανέλαβεν, ὡς καὶ προεγράφη, ἐν δὲ τῇ Ὀδυσσείᾳ ἅπαξ. Ἰστέον δὲ καὶ ὅτι τὸ «τοῦ δ' ἐγὼ ἀντίος εἶμι καὶ εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ» οἰκεῖον ῥηθῆναι παρά τινος κατατολμῶντος ἀντιστῆναί τινι νομιζομένῳ μεγάλῳ. Ὅτι δὲ πυρὶ χεῖρας ἔοικεν ὁ Ἀχιλλεύς, δηλώσει ἡ ἐν τῷ τέλει τῆς ῥαψῳδίας ταύτης παραβολή. τὸ γὰρ ἐνταῦθα στενοχωρηθὲν τῇ φράσει παραβολικῇ ἐκεῖ ἐναργείᾳ πλατύνεται. Ἰστέον δὲ [ὅτι τε τὸ «τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν» ἐπεφώνησέ τις, καθὰ ἱστορεῖ Ἀθήναιος, ἐπὶ πλακοῦντι θερμῷ παρατεθειμένῳ, οὗ πάντες ἀπείχοντο, καὶ ἅμα προπετῶς ἐπιβαλὼν φλεγόμενός, φησίν, ἐξεφέρετο], καὶ ὅτι ἀνωτέρω μετὰ τὸ «ὁμοκλήσας» κεῖται τὸ «φάτο δ' ἴμεναι ἄντ' Ἀχιλῆος», τουτέστι σκοπὸς ἦν αὐτῷ τῆς ὁμοκλῆς βῆναι τοὺς Τρῶας ἄντην Ἀχιλλέως, ἢ μᾶλλον αὐτὸς ἀφεώρα, δι' ὧν ἔφη, πρὸς τὸ ἀντιστῆναι τῷ Ἀχιλλεῖ, καθὰ ἐδήλωσεν ἐν τῷ «τοῦ δ' ἐγὼ ἀντίος εἶμι» καὶ ἑξῆς.

4.419 (v. 366) Τοῦ δὲ «δείδιτε» τὸ πρῶτον πρόσωπον δείδιθι. (v. 367) Τὸ δὲ «ἐπέεσσι μαχοίμην» φανερῶς δηλοῖ, ὡς μάχεσθαι οὐ μόνον ὅπλοις ἔστιν καὶ ὡς ἐνταῦθά φησι ἔγχεϊ, ἀλλὰ καὶ λόγοις, ἐξ ὧν τὸ λογομαχεῖν. (v. 369) Τὸ δὲ «οὐ πάντεσσι μύθοις» οὐ πάντῃ ψευδῆ ἀλλ' ἐπί τι τὸν Ἀχιλλέα δηλοῖ, ὃς τὸ μὲν τελέει, τὸ δὲ κολούει. ὧν καλὴ ἡ παρίσωσις. δῆλον δὲ ὡς ἀντίκεινται ἀλλήλοις τὸ τελεῖν, ὅ ἐστι τελειοῦν, καὶ τὸ κολούειν. (371 s.) Ἡ δὲ δίπλωσις τοῦ

«πυρὶ χεῖρας ἔοικε» σχεδιασμὸν λόγου ἐμφαίνει. δοκεῖ γὰρ ὅτι αὐτοσχεδίως εἰπὼν «εἰ πυρὶ χεῖρας ἔοικε», καὶ θέλων μὲν καὶ ἄλλο τι προσθεῖναι, μὴ φέρων δὲ αὐτὸ ἐπὶ στόματος, ἐπανέλαβε τὸ «εἰ πυρὶ χεῖρας ἔοικε», καὶ ἐν τοσούτῳ προσεννοησάμενος καὶ ἕτερον ὁμοίωμα ἐπήγαγε τὸ «μένος δ’ αἴθωνι σιδήρῳ». εἰκὸς δὲ καὶ ὑπὸ ἀγωνίας ἢ καὶ θυμοῦ ταὐτολογῆσαι οὕτω τὸν ἥρωα. Ἰστέον δὲ ὡς, εἰ καὶ δοκεῖ μὴ ἂν ἔχειν τινὰ φάναι ἀσφαλῶς, διότι τὸ μὲν πῦρ ἀπένειμε ταῖς χερσὶ τοῦ Ἀχιλλέως, τῷ δὲ μένει τὸν σίδηρον—ἔστι γὰρ οὐκ ἀνάκριβες καὶ ἀνάπαλιν εἰπεῖν σιδήρῳ μὲν εἰκάσαι χεῖρας ἀνδρικάς, πυρὶ δὲ μένος ἡρωϊκόν—, ἀλλ’ ὅμως οὐκ ἀφυῶς ἐρεῖ τις πυρὶ μὲν χεῖρας εἰκασθῆναι διὰ τὸ δήϊον καὶ καυστικὸν τῆς χερσὶν ἀνυομένης μάχης, σιδήρῳ δὲ τὸ μένος διὰ τὸ σιδήρειον, ὥς πού φησιν, ἦτορ, ἐξ οὗ πυρεκβολεῖται τὸ κατὰ τὴν καυστειρὰν μάχην πῦρ. (v. 373—4) Ὅτι ἐνεργῆ λαλιὰν στρατηγοῦ δηλοῖ τὸ «ὣς φάτ’ ἐποτρύνων, οἳ δ’ ἀντίοι ἔγχε’ ἄειραν», ὅ ἐστιν ἦραν εἰς ἀέρα, «τῶν δ’ ἄμυδις μίχθη μένος, ὦρτο δ’ ἀϋτή». Τὸ δὲ ἄμυδις τούτων ἐμίχθη τὸ μένος ἄλλως πρὸ τούτων διαφόρως ἔφρασεν. οἱ δὲ μεθ’ Ὅμηρον τὸ τοιοῦτον ὁμόσε χωρεῖν φασι καὶ ὁμόσε γενέσθαι.

4.420 Αἰολικὸν δέ, ὡς πολλαχοῦ ἐφάνη, τὸ ἄμυδις, διὸ καὶ ψιλοῦται, εἰ καὶ ἰσοδυναμεῖ τῷ ἅμα. ὁμοίως δὲ Αἰολικὸν καὶ τὸ ἄλλυδις. (v. 375—8) Ὅτι κηδόμενος τοῦ Ἕκτορος ὁ Ἀπόλλων φησὶν «Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆϊ προμάχιζε, ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίσβοιο δέδεξο, μή πώς σ’ ἠὲ βάλῃ ἠὲ σχεδὸν ἄορι τύψῃ». καὶ οὕτω μὲν ὁ Φοῖβος. (v. 379 s.) «Ἕκτωρ δ’ αὖτις ἐδύσετο οὐλαμὸν ἀνδρῶν ταρβήσας, ὅτ’ ἄκουσε θεοῦ ὄπα φωνήσαντος». Καὶ ὅρα ὅτι διδασκαλικῶς καὶ ὧδε τὸ βαλεῖν καὶ τὸ τύψαι ἀλλήλων διέσταλκεν, ὡς καὶ μετ’ ὀλίγα «τὸν μὲν δουρὶ βαλών, τὸν δὲ σχεδὸν ἄορι τύψας», καὶ ὅτι φλοῖσβον καὶ ἐνταῦθα, ὡς καὶ ἀλλαχοῦ, ἐπὶ μάχης ἔφη, δηλῶν οὕτω τὸν ἐκ τῆς πληθύος τάραχον, καὶ ὅτι καὶ νῦν τὸ «δέδεξο» ἀντὶ τοῦ ἀντίστηθι ἔφη, ὅθεν καὶ προδοκὴ ὁ τόπος ὁ ἐπιτήδειος εἰς τὸ οὕτω δέξασθαι ἢ ἄνδρα ἢ θηρίον. (v. 381) Ὅτι ὥσπερ ἀναιδείην ἐπιειμένος ὁ ἄγαν καὶ προφανῶς ἀναιδής, οὕτω καὶ «φρεσὶν εἱμένος ἀλκήν» ὁ ἔχων ἔννουν φανερὰν ῥωμαλεότητα. φησὶ γοῦν «ἐν δ’ Ἀχιλλεὺς Τρώεσσι θόρε φρεσὶν εἱμένος ἀλκὴν, σμερδαλέα ἰάχων». γοργὸν δὲ καὶ τολμηρὸν τὸ «φρεσὶν εἱμένος ἀλκήν». γοργὸν μέν, ὡς ἐν ὀλιγίστῳ τὸν ἄλκιμον καὶ φρόνιμον δηλοῦν, τολμηρὸν δέ, ὡς ἐνδύον ἀλκῇ τὰς φρένας σωματικώτερον. (v. 385) Ὅτι Ὕδη καὶ ἐνταῦθα πόλις Λυδίας, μητρόπολις Σαρδιανῶν. Τμῶλος δὲ ὄρος καὶ αὐτὸς Λύδιον ὑψηλόν. διὸ νιφόεντα λέγει αὐτὸν ὁ ποιητής. ἐκ τούτου δὲ ῥέει ὁ ὑμνούμενος χρυσορρόας Πακτωλός, ὡς καὶ ἐν τῇ Βοιωτίᾳ γέγραπται. (v. 387) Κεῖται δ’ ἐν τούτοις καὶ τὸ «πᾶσα» ἀντὶ τοῦ ὅλη καταχρηστικῶς, οἷον· κεφαλὴ «δ’ ἄνδιχα πᾶσα κεάσθη», ἤγουν ἐκλάσθη, ἐσχίσθη, ὃ καὶ ἐν Ὀδυσσείᾳ κεῖται. κυρίως μέντοι τὸ πᾶς καθόλου τι δηλοῖ καὶ διωρισμένον ποσόν, τὸ δὲ ὅλον ἐπὶ συνεχοῦς τινος ὁλότητος τίθεται.

4.421 λαμβάνεται μέντοι καὶ αὐτό ποτε ἀντὶ τοῦ πᾶς, ὡς ὅτε τις εἴπῃ ὅλον τὸ πλῆθος ἢ ὅλος ὁ στρατός. τὸ δ’ αὐτὸ ποιεῖ Ὅμηρος καὶ ἐν τῷ «πᾶν δ’ ὑπεθερμάνθη ξίφος αἵματι», καὶ «πᾶν ἐξηράνθη πεδίον», καὶ «ἐγκέφαλος ἔνδον ἅπας πεπάλακτο», καὶ «ἔγχος ἐν χροῒ πᾶν κομίσαι», καὶ ἐν ἄλλοις πολλοῖς, ἐν οἷς καὶ τὸ «πᾶσαι δ’ ᾠΐγνυντο πύλαι», περὶ οὗ καὶ ἐν τῇ Βοιωτίᾳ εἴρηται. (v. 382 s.) Πάσχει δὲ τὴν τοιαύτην ἐνταῦθα πληγὴν Ἰφιτίων τις ἐσθλός, Ὀτρυντεΐδης, πολέων ἡγήτωρ λαῶν. (v. 384—5) Ὃν διασαφῶν ὁ ποιητής, ὅπως τε Ὀτρυντεΐδης ἐρρέθη καὶ τίνος ἦν μητρὸς καὶ πατρίδος, φησὶν «ὃν νύμφη τέκε νηῒς Ὀτρυντῆϊ πτολιπόρθῳ Τμώλῳ ὕπο», ὡς ἐρρέθη, «νιφόεντι, Ὕδης ἐν πίονι δήμῳ». ἔοικε δὲ περιφανὴς εἶναι ὁ ἀνήρ. διὸ καὶ πρώτῃ ἐν ὑσμίνῃ προβέβληται πεσεῖν ὑπὸ τῷ Ἀχιλλεῖ. (v. 389—92) ὃς καὶ ἐπεύχεται ἐπ’ αὐτῷ οἷα εἰδὼς τὸν ἄνδρα, καὶ «κεῖσαι», φησίν, «Ὀτρυντεΐδη, πάντων ἐκπαγλότατ’ ἀνδρῶν. ἐνθάδε τοι θάνατος», ἤγουν καὶ ἐνθάδε μέν σοι θάνατος, «γενεὴ δέ τοί ἐστ’ ἐπὶ λίμνῃ Γυγαίῃ, ὅθι τοι τέμενος πατρώϊόν ἐστι Ὕλλῳ ἐπ’ ἰχθυόεντι καὶ Ἕρμῳ δινήεντι». Καὶ ὅρα ὅπως καὶ νῦν ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιητὴς εὐμεθόδως τοπογραφεῖ, καὶ ὡς ἐπολυπραγμόνουν οἱ ἥρωες τὰ τῶν ἐχθρῶν, οἷα εἰκός, καθά που καὶ ὁ Ἕκτωρ τοπογραφίαν εἶπεν Ἑλληνικήν. φυλοκρινοῦνται δὲ τοῖς ἥρωσι τὰ τοιαῦτα οὐ μόνον στρατηγικῶς, ἀλλὰ καὶ διὰ πολυμάθειαν. Περὶ μὲν οὖν Γυγαίης ἐν τῇ Βοιωτίᾳ ἐρρέθη. Τὸν δὲ Ὕλλον παρατετηρημένως, φασίν, ἰχθυόεντα λέγει, ῥέοντα μεταξὺ Θυατείρων καὶ Σάρδεων, τὸν δὲ Ἕρμον δινήεντα διὰ τὸ δύσπλωτον. τούτους δὲ ὡς ῥήτωρ ὁ Ἀχιλλεὺς καὶ παρισώσεσι κοσμεῖ, εἰπὼν «Ὕλλῳ ἰχθυόεντι καὶ Ἕρμῳ δινήεντι». ὁ δὲ Ἕρμος κατὰ τὸν Γεωγράφον ἄρχεται ἐκ Μυσίας καὶ διὰ τῆς Κατακεκαυμένης ἐνεχθεὶς εἰς τὴν Σαρδιανὴν ἐκδίδωσιν εἰς τὴν τῆς Φωκαίας θάλασσαν. ὁ δ’ αὐτὸς ἱστορεῖ καὶ ὅτι εἰς τὸν τοιοῦτον Ἕρμον ὁ Πακτωλὸς ἐκδίδωσι, περὶ οὗ Πακτωλοῦ, ὡς καὶ περὶ τῆς Ὕδης, καὶ ἐν τῇ Βοιωτίᾳ διείληπται. Ἰστέον δὲ ὅτι πολλὴ καὶ ἐνταῦθα ποικιλία γραφῆς ἐπὶ τοῖς ὑπὸ τῷ Ἀχιλλεῖ πίπτουσι, δι’ ὧν πέπλον ἐξαρτύει ῥητορείας ὁ ποιητής, ὁποῖόν τινα καὶ πρὸ τούτων ἐξύφανε, καὶ οὐχ’ ἕνα μόνον, ἀλλὰ πολλοὺς καὶ καλούς. ὁ μὲν γὰρ Ὀτρυντεΐδης τηλαυγὲς πρόσωπον τῆς τοῦ ἥρωος ἀριστείας.

4.422 ἡγεμών τε γάρ ἐστι καὶ οἷος τῷ Ἀχιλλεῖ γνωρίζεσθαι, καὶ μέσην, ὡς ἐρρέθη, βάλλεται κατὰ κεφαλήν. (v. 395—400) Ὁ δ’ ἐπ’ αὐτῷ Δημολέων, ἐσθλὸς ἀλεξητὴρ μάχης, Ἀντήνορος υἱός, αἰχμῇ νύττεται, ἤτοι κεντεῖται, κατὰ κρόταφον διὰ τῆς περικεφαλαίας. ἣ δὲ οὐκ ἔσχεν, ἤγουν οὐκ ἐκώλυσεν, «αἰχμὴ δὲ δι’ αὐτῆς ἱεμένη», τουτέστι προθυμουμένη ὡς οἷά τις ἔμψυχος, ἔρρηξεν ὀστέον, «ἐγκέφαλος δὲ ἔνδον ἅπας πεπάλακτο». (v. 401—6) Εἶτα Ἱπποδάμαντα πρόσθεν αὐτοῦ φεύγοντα μετάφρενον οὔτασε δουρί, ὃν καὶ εἰκάζει παραβολικῶς πρὸς βοῦν ἐρύγοντα ἐν τῷ θύεσθαι. (v. 407 s. et 413 s.) Μετὰ δὲ τούτους Πριαμίδην Πολύδωρον ῥίπτει παραΐσσοντα, νῶτα βαλὼν ἄκοντι. (v. 455) Ἐφ’ οἷς παραφανέντος Ἕκτορος οἴκτῳ τοῦ ἀδελφοῦ, εἶτα ἐξαρπαγέντος ὑπὸ Ἀπόλλωνος, «Δρύοπα οὔτασε κατ’ αὐχένα μέσον ἄκοντι», (v. 457—9) μεθ’ ὃν Δημοῦχόν τινα ἠΰν τε μέγαν τε κατὰ «γόνυ δουρὶ βαλὼν ἠρύκακεν» εἶτα «οὐτάζων ξίφεϊ μεγάλῳ» ἀνεῖλεν. (460—2) Αὐτὰρ Λαόγονον καὶ Δάρδανον υἱοὺς Βίαντος ἐξ ἵππων ὦσε, «τὸν μὲν δουρὶ βαλών, τὸν δὲ σχεδὸν ἄορι τύψας». (v. 463—9) Μετὰ δὲ τούτους Τρῶά τινα, υἱὸν Ἀλάστορος, φασγάνῳ οὗτα καθ’ ἧπαρ, ἐλθόντα λίσσεσθαι καὶ ἤδη γούνων ἁπτόμενον. (v. 472 s.) Πίπτει δὲ καί τις Μούλιος ὑπ’ αὐτῷ, δουρὶ τρωθεὶς τὸ οὗς. «εἶθαρ» δέ, ἤγουν εὐθέως, «δι’ οὔατος ἦλθ’ ἑτέροιο», (v. 474 s.) καί τις Ἀγηνορίδης μέσην κὰκ κεφαλὴν ἐπλήγη ξίφει, (v. 478—82) καὶ ἄλλος τὸν ἀγκῶνα ἐπερονήθη αἰχμῇ, ἔνθα ξυνέχουσι τένοντες, εἶτα καὶ φασγάνῳ ἐτύφθη τὸν αὐχένα, καὶ ἄλλος τὸν ἀγκῶνα, (v. 485—9) ἑτέρας δὲ δυάδος ἄλλης παρὰ τὴν ἀνωτέρω ἀδελφικήν, τὸν μὲν μαχητὴν ἄνω τοῦ ἅρματος βάλλει, «ἐπάγη δέ», φησίν, «ἐν νηδύϊ χαλκός». τὸν δὲ ἡνίοχον, ἵππους τρέψαντα μετάφρενον ἔνυξε δουρί, οὗ καὶ ἐκυκήθησαν τηνικαῦτα οἱ ἵπποι. καὶ ὅλως εὐπορία πολλὴ ὥσπερ τῷ Ἀχιλλεῖ τοῦ ῥίπτειν τοὺς ἐμποδών, οὕτω καὶ τῷ ποιητῇ τοῦ φράζειν τὰ κατ’ αὐτούς, ὃς καὶ τοὺς θανάτους αὐτῶν πολυτρόπους ποιεῖ καὶ τὰ πτώματα, λέγων «δούπησε πεσών», καὶ «δάμασε δέ μιν μεμαῶτα», καὶ «ἔλιπεν ὀστέα θυμὸς ἀγήνωρ», καὶ «γνὺξ ἔριπ’ οἰμώξας, νεφέλη δέ μιν ἐπεκάλυψεν», ἢ μᾶλλον «ἀμφεκάλυψε», «κυανέη», καὶ «ἤριπε προπάροιθε ποδῶν», καὶ «ξίφεϊ μεγάλῳ ἐξαίνυτο θυμόν», [ᾧ δὴ ξίφει ὁμώνυμον καὶ τὸ καθύπερθεν τοῦ ῥύγχους τοῦ ξιφίου ἰχθύος κατὰ τὸν Ἀθήναιον, ᾧ, φησὶν ἐκεῖνος, παρωνόμασται], καὶ «τὸν δὲ σκότος ὄσσε κάλυψε θυμοῦ δευόμενον», καὶ «τὸν δὲ κατ’ ὄσσε ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή», καὶ «ὃ δ’ ἐπὶ χθονὶ κεῖτο τανυσθείς».

4.423 τινὰς δὲ καὶ ἐσίγησεν ὡς ἔθανον, ἀρκεσθεὶς εἰπεῖν μόνον ὅπως ἐπλήγησαν. οὕτω φιλότιμος ἐνταφιαστὴς καὶ τῶν τοιούτων ὁ ποιητής. ἐντεῦθεν δέ τις ὁρμώμενος παρατηρήσεται καὶ τὴν ἐν τοῖς ἑξῆς ἐπὶ τοῖς ὁμοίοις Ὁμηρικὴν φραστικήν. Τῶν δὲ ἀνωτέρω σποράδην κειμένων, ὅσα τινὸς ἀναπτύξεως δέονται, τοιαύτη τις ἡ διάθεσις. (v. 396) Τὸ μὲν «ἀλεξητὴρ μάχης» εἶχεν ἂν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παρά τινι θρασυγράφῳ συνθεῖναι τὸν ἀλεξίμαχον πρὸς ὁμοιότητα τοῦ ἀλεξητὴρ κακῶν, ὅς ἐστιν ἀλεξίκακος, καὶ ἀλεξητὴρ φαρμάκων ὁ ἀλεξιφάρμακος. (v. 400) Τὸ δὲ «πεπάλακτο» ἐλλιπῶς ἔχει. τὸ γὰρ πλῆρες πεπάλακτο λύθρῳ ἢ αἵματι ἢ καὶ ἀμφοτέροις, ὡς πολλαχοῦ φαίνεται. (v. 406 s.) Τὸ δὲ «ἐρυγόντα» τί δηλοῖ, μετ' ὀλίγα ῥηθήσεται, ὥσπερ καὶ τίς ὁ ἐνταῦθα Πολύδωρος. (v. 413—6) Τὰ νῶτα δὲ ὅποι κεῖνται παραδεικνύς φησι «τὸν βάλε μέσον ἄκοντι νῶτα, ἀντικρὺ δὲ διέσχεν», ὅ ἐστι διέσχισε, «παρ' ὀμφαλὸν ἔγχεος αἰχμή». δι' ὧν δηλοῖ μέσον εἶναι καὶ τὰ νῶτα, καθὰ καὶ ὁ ὀμφαλὸς ὁ αὐτῶν ἀντικρύ. (v. 416) Ἐνταῦθα δὲ ὅρα καὶ τὸ «ἔγχεος αἰχμή», ὅ ἐστιν ὀξύτης. οὐ γὰρ πάντῃ ταὐτὸν ἔγχος εἰπεῖν καὶ αἰχμήν. (v. 460) Ὁ δὲ Λαόγονος, τὸ κύριον, προπαροξύνεται ἐν τοῖς ἀκριβεστέροις τῶν ἀντιγράφων κατὰ τὸ Ἀντίγονος. (v. 463) Δάρδανος δὲ καὶ Τρώς, οἱ ῥηθέντες, τὸ ἐθνικὸν καὶ κοινὸν εἰς κυριωνυμίαν ἐξιδιώσαντο, τοῖς βασιλεῦσιν ὁμωνυμήσαντες, ἐξ ὧν τὰ ἐθνικὰ Τρῶές τε καὶ Δάρδανοι, ὃ καὶ ἐπὶ ἄλλων γέγονεν, ὡς ἐν τῇ Βοιωτίᾳ δεδήλωται, καὶ ὁ ῥηθεὶς δὲ Ἀλάστωρ ἐξ ἐπιθέτου εἰς κύριον ἐμερικεύθη ὄνομα. ἀλάστορες γὰρ κυρίως μὲν δαίμονές τινες ἐριννυώδεις, οἳ οὐκ ἂν λάθοιντο, καταχρηστικῶς δὲ καὶ οἱ ἁπλῶς φαῦλοι ἐχθροί.

4.424 Ὁ δὲ Ὁμηρικὸς οὗτος ἀνεπαχθῶς καὶ οὐκ ἐπὶ ψόγῳ Ἀλάστωρ λέγεται, ὡς μνήμης, οὐ μὴν λήθης ἄξιος ὤν. [Ἔστι δὲ τοῦ, ὡς ἐρρέθη, ἐπὶ ψόγου ἀλάστορος χρῆσις παρά τε ἄλλοις, καὶ παρὰ τῷ εἰπόντι τὸ «Διονύσιος ὁ πάσης γενόμενος Σικελίας ἀλάστωρ».] (v. 473) Τὸ δὲ οὗς ἐκ τοῦ οὖας συγκέκοπται, οὗ εὐθὺς κεῖται γενικὴ ἐν τῷ «δι' οὔατος ἦλθ' ἑτέροιο». (v. 489) Τὸ δὲ κυκηθῆναι πάνυ ἐμφαντικῶς ἐπὶ πτυρμοῦ καὶ συγχύσεως ἵππων εἴρηται ἀπὸ τοῦ κυκῶ, ἐξ οὗ καὶ τὸ ἔδεσμα ὁ κυκεών. λέγεται δέ ποτε καὶ ἐπὶ ταράχου πραγμάτων ἡ κύκησις. ἀπ' αὐτοῦ δὲ καὶ παρὰ τῇ Κωμῳδίᾳ τὸ κυρκανᾶν. αὐτὸ δὲ ἴσως καὶ ὠνοματοπεποίηται, ὡς καὶ ἡ κορκορυγή. (v. 400) Τὸ δὲ «δάμασε δέ μιν μεμαῶτα» πάνυ ἐπιτρόχως ἔχει καὶ ἐλλιπῶς, οἷα συντεμνομένου καὶ τοῦ λόγου τῷ πεσόντι. ἄδηλον γὰρ τί ποτε μέμαεν ἐκεῖνος, εἴτε φυγεῖν, εἴτε λίσσεσθαι, εἴτε μάχεσθαι. (v. 406) Τὸ δὲ «ἔλιπεν ὀστέα θυμός» πρὸς διαστολὴν εἴρηται τῆς λειποθυμίας, ἐφ' ἧς καὶ αὐτῆς λείπειν τινὰ θυμὸς λέγεται, οὐχ' ὥστε μὴν καὶ τὰ ὀστᾶ λιπεῖν. τότε γὰρ ζώπυρόν τι ζωτικὸν ἔνδον ὑποτύφεται, ἐνταῦθα δὲ παντελὴς θυμοῦ λεῖψις. (v. 459) Τὸ δὲ «ἐξαίνυτο θυμόν» δηλοῖ μὲν τὸ ἀφείλετο τὴν ψυχήν, συντάσσεται δὲ αἰτιατικῇ ἄλλον τρόπον ἤπερ ἐν Ὀδυσσείᾳ τὸ «τυρῶν αἰνύμενοι» Ἀττικῶς. οὐ γὰρ πάντας ἐκεῖ τοὺς τυροὺς ἦν αἴνυσθαι, ἀλλὰ μέρος αὐτῶν. γίνεται δὲ τὸ ῥῆμα ἢ ἐκ τοῦ ἄνω, τὸ εἰς θάνατον τελειῶ, ὡς τὸ «ἦ θήν ς' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας».

4.425 καὶ ἔστιν ἄνω ἀνύω ἄνυμι καὶ πλεονασμῷ τοῦ ι αἴνυμι, ἢ ὡς καὶ αὐτὸ ἀλλαχόθι δηλοῦται, ἀπὸ τοῦ αἴρω, τροπῇ τοῦ ἀμεταβόλου, αἴνω αἰνύω αἴνυμι. (v. 471 s.) Τὸ δὲ «σκότος ὄσσε κάλυψε θυμοῦ δευόμενον» πρὸς σαφήνειαν διεσκεύασται. οὐ γὰρ πᾶς καλυφθεὶς τοὺς ὀφθαλμοὺς τῷ σκότῳ ἤδη καὶ τέθνηκεν, εἰ μὴ καὶ θυμοῦ, ὅ ἐστι ψυχῆς, δεύεται. Θαυμασίως δὲ τὸ θανεῖν ψυχῆς δεύεσθαι εἶπεν. καὶ οὐκ ἄν τις αὐτὸ ἢ μωμήσαιτο ἢ μιμήσαιτο. [(v. 477) Εἰς δὲ τὸ «πορφύρεος θάνατος» ἐνθυμητέον τὸν Ἀθήναιον ἱστοροῦντα, ὅτι γράψαντος Ἀλεξάνδρου εἰς Ἰωνίαν καὶ πρώτοις Χίοις, ὅπως αὐτῷ πορφύραν ἀποστείλωσιν, ἀναγνωσθείσης τῆς ἐπιστολῆς παρὼν Θεόκριτος ὁ σοφὸς ἔφη νῦν ἐγνωκέναι τὸ παρ' Ὁμήρῳ εἰρημένον «ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή», αἰνιττόμενος ἐκεῖνος πορφύρεον θάνατον ἢ ὃν πάσχουσιν αἱ πορφύραι διὰ τὴν ἐξ αὐτῶν βαφὴν ἢ καὶ ὅτι θανατηρὰ πείσονται οἱ πορφυρέες, εἴ τι πονηρεύονται περὶ τὴν ἄγραν τῆς πορφύρας, τὸ δ' ὅμοιον καὶ οἱ βάπται, εἴ τι βλάπτουσι τὰς πορφυρίδας.] (v. 384) Ἐν δὲ τοῖς προεκτεθεῖσι κεῖται καὶ ἡ ὑπό πρόθεσις Ἀττικῶς μετὰ δοτικῆς ἐν τῷ «Τμώλῳ ὑπὸ νιφόεντι», ἤγουν ὑπὸ τὸν Τμῶλον, ἱστορεῖται δὲ καὶ ἡ ἐκεῖ γῆ πίειρα εἶναι. καὶ ἔστιν ἀληθῶς τοιαύτη. ἐπάγει γάρ «Ὕδης ἐν πίονι δήμῳ». (v. 387) Τοῦ δὲ «κεάσθη» θέμα τὸ κεάσω ἢ κεάζω. ὅθεν καὶ κέδρος ἡ κεαζομένη ῥᾶον πλεονάσαντος τοῦ δ . (v. 389—92) Τὸ δὲ τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀτρυντεΐδην πάντων ἐκπαγλότατον ἀνδρῶν εἰρῆσθαι, ὃ καὶ τῷ Ἀχιλλεῖ προσερρέθη που, λόγου ἄξιον καὶ τὸν τοιοῦτον ἐμφαίνει εἶναι, οὗ καὶ τὸ παραποτάμιον πατρῷον τέμενος ἐξαίρετόν τι, ὡς ἔοικεν, ἦν. (v. 394 s.) Προμαχόμενος δὲ ἐκεῖνος ἀνῄρηται ὑπὸ Ἀχιλλέως, ὡς δηλοῖ τὸ «τὸν μέν», ἤγουν τοῦτον, «Ἀχαιῶν ἵπποι ἐπισσώτροισι δατέοντο πρώτῃ ἐν ὑσμίνῃ», καθ’ ἣν καὶ προέπεσεν. Ἰστέον δὲ ὅτι ἐν ἄλλοις μὲν ἔφη ὡς ἔστειβον, ἤγουν κατεπάτουν, ἵπποι νέκυας, ἐνταῦθα δὲ ἄλλως φράζων φησὶν «ἐπισσώτροις δατέοντο», ἤτοι ἐμέριζον, τουτέστι τοῖς τῶν τροχῶν κανθοῖς κατέκοπτον διερχόμενοι ἄνω τοῦ νεκροῦ.

4.426 καὶ νῦν μὲν τὸ δατεῖσθαι ταὐτόν ἐστί πως τῷ οἱονεὶ δαιτρεύειν, ἡ δὲ Τραγῳδία καὶ τὸ ἁπλῶς μερίζειν οὕτω λέγει. θείαν γοῦν δύναμιν ἐνδατεῖσθαί φασί τινες, ἤγουν κατὰ ἕκαστον μερίζεσθαι. (v. 400—2) Ἔτι μετὰ τὸ «πεπάλακτο», τὸ πρὸ βραχέων ῥηθὲν, χρᾶταί τινι παρηχήσει ὁ ποιητὴς, εἰπὼν «Δημολέοντα δάμασσεν», εἶτα ἐπαγαγὼν «Ἱπποδάμαντα δὲ οὔτασεν». ἦν δὲ ἂν σαφὴς παρήχησις, ἐὰν τὸ «δάμασε» τῷ Ἱπποδάμαντι παρέκειτο, οἷον «Ἱπποδάμαντα δ’ ἔπειτα δάμασσεν». οὐκ ἠθέλησε δὲ οὕτως ἐκφανῶς ποιῆσαι, ἀλλὰ μόνον ἐνέφηνεν, ὅτι δυνάμενος ἱλαρῦναι τὸ τοῦ χωρίου σκυθρωπὸν σχήματι κάλλους, οὐκ ἔκρινεν οὕτω δέον ποιῆσαι, ἀλλ’ ἀνυπόπτως τῷ Δημολέοντι τὸ δάμασε παραθέμενος, ὃς καὶ αὐτὸς εἰς Δαμολέοντα δωριζόμενος ἐποίησεν ἂν τὴν αὐτὴν παρήχησιν, εἶτα καθαρώτερον ποιεῖ ὃ ἤθελε. παρηχεῖ γὰρ ὁμοίως καὶ τὸ «Δαμολέοντα δάμασσε», καὶ τὸ «Ἱπποδάμαντα δάμασσε». (v. 406) Τὸ δὲ «ἐρυγόντα» καιρία λέξις ἐπὶ ταύρου σφαζομένου, μιμουμένη ὀνοματοποιΐας τρόπῳ τὴν τηνικαῦτα τοῦ ζῴου βοήν. (v. 402—6) Διὸ καὶ χρησάμενος ὁ ποιητὴς τῇ τοιαύτῃ λέξει ἐπιμένει διὰ τὸ καίριον, εἰπὼν ὅτι Ἱπποδάμας δουρὶ τρωθεὶς τὸ μετάφρενον «θυμὸν ἄϊσθε καὶ ἤρυγεν, ὡς ὅτε ταῦρος ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ ἄνακτα κούρων ἑλκόντων, γάνυται δέ τε τοῖς Ἐνοσίχθων. ὣς ἄρα τόν γ’ ἐρυγόντα λίπεν ὀστέα θυμὸς ἀγήνωρ». Ἔστι δὲ δευτέρου ἀορίστου τὸ «ἤρυγε» καὶ τὸ «ἐρυγόντα» ὧν θέμα τὸ ἐρεύγω. δηλοῖ δὲ ὁ ἐρυγὼν ταῦρος τὸν τὸ αἷμα ἀνερυγγάνοντα τῇ διακοπῇ τῆς τραχείας ἀρτηρίας καὶ τῇ διαιρέσει τοῦ στομάχου, ἤτοι οἰσοφάγου. ἐνταῦθα δέ φασιν οἱ παλαιοί, ὅτι τὸ δόρυ μέχρι τοῦ θυμοῦ φθάνει. ἔστι δέ, φασίν, ὁ θυμὸς ἀδήν τις μεταξὺ τῶν κλειδῶν κείμενος πρὸς τὸ μὴ πλήττεσθαι ὑπὸ τοῦ ὀστοῦ τὴν τραχεῖαν ἀρτηρίαν. φασὶ δὲ τοὺς θύοντας τῷ Ἑλικωνίῳ Ποσειδῶνι δοκεῖν καλλιερεῖν, ὡς καὶ ἀλλαχοῦ τοιοῦτόν τι ἐρρέθη, ὅτε ὁ θυόμενος ταῦρος μεγάλα ἐρεύγεται, ὡς χαίροντος τοῦ Ποσειδῶνος τῷ ἤχῳ, καθὰ δηλοῖ καὶ ὁ ποιητὴς ἐν τῷ «γάνυται Ἐνοσίχθων».

4.427 Περὶ δὲ τοῦ Ἑλικώνιος, εἰ καὶ δοκεῖ λέγειν τὸν ἐν Ἑλικῶνι τιμώμενον, ἀλλ’ οἱ παλαιοὶ ταῦτά φασι. Νηλεὺς ἐν Μιλήτῳ ἱερὸν Ποσειδῶνος Ἑλικωνίου ἱδρύσατο κατὰ μίμησιν τοῦ ἐν Ἑλίκῃ τῆς Ἀχαΐας. παράγουσι δὲ τὸ τοιοῦτον Ἑλικώνιος οὕτως. οἱ Αἰολεῖς ἐκ πρωτοτύπου, φασί, πληθυντικῆς γενικῆς ποιοῦσι τύπους κτητικούς, οἷον· ἕτεροι, ἑτέρων, ἑτερώνιος, ἄλλων, ἀλλώνιος, ἐτύμων, ἐτυμώνιος, ἀνέμων, ἀνεμώνιος, καὶ δι’ εὐφωνίαν ἀνεμώλιος. οὕτω, φασί, καὶ Ἑλίκαι, Ἑλικῶν, ὄνομα τόπου, Ἑλικώνιος, ἵνα ᾖ, φασίν, Ἑλικώνιος ὁ ἐν Ἑλίκαις τῆς Ἀχαΐας τιμώμενος. καὶ οὕτω μὲν αὐτοί. ἡ δὲ ἱστορία βούλεται μάλιστα τὸν τοιοῦτον τόπον Ἀσιανὸν εἶναι καὶ περὶ τοὺς Ἴωνας. Ἰώνων γὰρ εἴρηται ἴδιον τὸ οἴεσθαι καλλιερεῖν, ὅτε ὁ ταῦρος θυόμενος μέγα ἐρεύγεται. οἱ δὲ Ἴωνες Ἀσιανοί. (v. 403) Τὸ δὲ ἀΐσθειν γίνεται ἀπὸ τοῦ ἄω, τὸ πνέω, ἐξ οὗ καὶ τὸ ἆσθμα καὶ τὸ ἀσθμαίνειν. ἐκ δὲ τοῦ τοιούτου ἀΐσθειν, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, καὶ ἡ αἴσθησις κατὰ συναίρεσιν γίνεται. (v. 407—12) Περὶ δὲ τοῦ μνημονευθέντος Πολυδώρου ἱστορεῖ, ὅτι αὐτὸν «οὔ τι πατὴρ εἴασκε μάχεσθαι, οὕνεκά οἱ μετὰ παισὶ νεώτατος ἔσκε γόνοιο, καί οἱ φίλτατος ἔσκε, πόδεσσι δὲ πάντας ἐνίκα. δὴ τότε νηπιέῃσι», τουτέστι παιδικαῖς ὁρμαῖς δηλαδὴ ἢ φρεσί, «ποδῶν ἀρετὴν ἀναφαίνων θῦνε διὰ προμάχων, εἵως φίλον ὤλεσε θυμόν». (v. 413—8) Ἔβαλλε γὰρ Ἀχιλλεὺς ἄκοντι, ὡς προερρέθη, «νῶτα παραΐσσοντα, ὅθι ζωστῆρος ὀχῆες χρύσειοι σύνεχον καὶ διπλόος ἤντετο θώρηξ», περὶ ὧν ἀλλαχοῦ εἴρηται,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«ἀντικρὺ δὲ διέσχεν», ὡς καὶ αὐτὸ προεγράφη, «παρ’ ὀμφαλὸν ἔγχεος αἰχμή. Γνὺξ δέ», ἤγουν ἐπὶ γόνυ, πεσὼν καὶ οἰμώξας «προτὶ οἷ», ἤγουν πρὸς ἑαυτῷ, «ἔλαβεν ἔντερα χερσὶ λιασθείς». (v. 419—23) «Ἕκτωρ δ’ ὡς ἐνόησε κασίγνητον ἔντερα χερσὶν ἔχοντα κατ’ ὀφθαλμῶν» αὐτῷ «κέχυτο ἀχλύς· οὐδ’ ἄρ ἔτ’ ἔτλη δηρὸν ἑκὰς στρωφᾶσθαι, ἀλλ’ ἀντίος ἦλθεν Ἀχιλλέως, ὀξὺ δόρυ κραδάων, φλογὶ ἴκελος». (v. 423 s.) Αὐτὰρ Ἀχιλλεὺς ὡς ἴδεν, «ἤγουν ὡς εἶδ’, «ὣς ἀνέπαλτο», ἤγουν λίαν ἀνεπήδησεν, ὑφ’ ἡδονῆς δηλαδή. [Ὅτι δὲ τοῦ ὡς, πολλῶν ὄντων σημαινομένων, κατὰ Τρύφωνα ἐστί τις καὶ χρονική ποτε σημασία, φαίνεται ἐν ἐπιστολῇ τοῦ βασιλέως Ἀντιόχου, οἷον· ὡς ἂν οὖν λάβῃς τὴν ἐπιστολήν, σύνταξον κήρυγμα ποιήσασθαι, ἤγουν ἡνίκα ἂν λάβῃς.

4.428 ] Καὶ εἰπὼν ἅπερ ἐν τοῖς ἑξῆς ῥηθήσεται, οὐκ ἐκφοβεῖ ὅμως τὸν Ἕκτορα, φάμενον πρὸς ἄλλοις καὶ, (v. 434—7) ὅτι οἶδα, ὡς σὺ μὲν ἐσθλός, ἐγὼ δὲ οὐ τοιοῦτος, ἀλλ’ ἴσως δράσω τι μέγα κατὰ σοῦ δουρὶ βαλών, «ἐπεὶ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθε», τουτέστιν ὀξεῖαν προβέβληται τὴν αἰχμήν, καθότι καὶ ἀνωτέρω κεῖται τὸ «ὀξὺ δόρυ κραδάων». ἔνθα ὅρα καὶ ὅτι πλαγίως πως ὁ Ἕκτωρ τὴν τοῦ Ἀχιλλέως καταρριπτεῖ ἀρετήν, οἱονεὶ λέγων οὐ χερσὶν ἐκεῖνον ἀλλὰ βέλους ὀξύτητι καὶ ὅπλων ἀρετῇ τοὺς ἀντικαθισταμένους ἀναιρεῖν. τινὲς δὲ τὸ «πάροιθεν» ἐνταῦθα χρονικὸν νοοῦσιν, ἵνα λέγῃ ἀστείως ὁ Ἕκτωρ ὅτι πρὸ τούτου καὶ χθές που καὶ πρῴην καὶ πρὸ τῆς νῦν ὥρας ὀξὺ εἶχον βέλος, ὅτε δηλαδὴ πολλοὺς ἀνεῖλον, ἐν δὲ τοῖς καὶ Πάτροκλον. καὶ τοῦτο μὲν τοιοῦτον. (v. 407) Ὅρα δὲ ὅτι καὶ ἐνταῦθα κοινὸν ἐπίθετον ἐξιδιώθη πρὸς κύριον ὄνομα. πολύδωρος μὲν γὰρ προερρέθη που γυνὴ καθ’ ὁμοιότητα τῆς μυθικῆς Πανδώρας, ἐνταῦθα δὲ Πριαμίδης οὗτος Πολύδωρος ἐκ δώρων φύσεως παρονομασθείς, ἅπερ ἀλλαχοῦ θεόσδοτα ὁ Πάρις εἶπεν. [Ἰστέον δὲ ὅτι δῶρον κοινῶς μὲν τὸ διδόμενον, ἔστι δὲ καὶ κύριον ὄνομα, καὶ οὐ μόνον παλαιόν, ἐξ οὗ καὶ οἱ Δωριεῖς, ἀλλὰ καί τις ὑστερογενής. ἐφ’ ᾧ νέῳ τε ὄντι καὶ μεγάλῳ καὶ καλῷ καὶ ἐπιδεικνυμένῳ πρός τινος ἐπὶ θαύματι ἐν Ἀθηναῖς Ἀρίστων ὁ Κεῖος ἔφη τὸ τοῦ Ὀδυσσέως πρὸς Δόλωνα «ἦ ῥά νύ τοι μεγάλων δώρων ἐπεμαίετο θυμός», ἤγουν ἀγαπᾷς τὸν μέγαν Δῶρον, μεταλαβὼν ἀστείως ἐκεῖνος τὴν γενικὴν τῶν πληθυντικῶν εἰς αἰτιατικὴν ἑνικήν, ἧς ἡ εὐθεῖα ὁ μεγάλος Δῶρος, οὗ κλητική «ὦ μεγάλε», παρ’ Αἰσχύλῳ, ὡς τὸ «ὦ μεγάλε Ζεῦ».

4.429 ] (v. 409) Τὸ δὲ «νεώτατος γόνοιο» διὰ σαφήνειαν εἴρηται. οὐ γὰρ πάντων παίδων νεώτατος ὁ Πολύδωρος, ἀλλὰ τῶν τοῦ Πριαμικοῦ γόνου. (v. 409 s.) Τὸ δὲ «ἔσκε» δὶς ἐρρέθη κατ’ ἐπιμονήν, ὡς οἷα ἐν ποιήσει καίριον. Τὸ δὲ «πόδεσσι πάντας ἐνίκα» περίφρασίς ἐστι τοῦ ποδώκης ἦν. ποδῶν δὲ ἀρετὴν φιλοσόφως λέγει τὴν ὠκύτητα, ἣν ἐξευτελίζει, ἐὰν ἀκαίρως γίνοιτο. ἰδοὺ γὰρ ὁ Πολύδωρος, ἐν κενοῖς ἐπιδεικνύμενος καὶ ἀναφαίνων τὴν τῶν ποδῶν ἀρετήν, περιπίπτει τῷ Ἀχιλλεῖ ἀφυλάκτως ἐκ παρόδου καὶ πίπτει. Ἰστέον δὲ ὅτι, ὥσπερ ἀρετὴ ποδῶν τὸ ὠκύπουν, οὕτω καὶ χειρῶν ἑτέρα τις ἀρετή, κατὰ τοὺς σοφοὺς εἰπεῖν, καὶ ὀφθαλμῶν ἄλλη, ὁμοίως δὲ καὶ τῶν ἄλλων κατ’ ἄνθρωπον μελῶν τε καὶ μερῶν καὶ μορίων. Τὸ δὲ «ἀναφαίνων» πάνυ ἀγαθὴ λέξις, τὴν ἐκ τοῦ δυνάμει πρόοδον εἰς τὸ ἐνεργεῖν δηλοῦσα. (v. 407) Ἰστέον δὲ ὅτι ὁ μὲν Ὅμηρος Πολύδωρον οἶδε τοῦτον Πριαμίδην νεώτατον ἐν πολέμῳ πεσόντα, οἱ δὲ μεθ’ Ὅμηρον, ἐν οἷς καὶ Εὐριπίδης, ἄλλα περὶ Πολυδώρου θρυλλοῦσι, καὶ ὅτι ὁ μὲν παρὰ τοῖς ἄλλοις Πολύδωρος Πριάμου ἦν καὶ Ἑκάβης, οὗτος δὲ ὁ παρὰ τῷ ποιητῇ Πριάμου καὶ Λαοθόης, ὡς αὐτὸς ἐρεῖ προϊών. (v. 414—6) Τοὺς δὲ ῥηθέντας τοῦ ζωστῆρος ὀχῆάς φασί τινες κρίκους εἶναι, οἷς διόλου συνείχετο ὁ ζωστὴρ πρὸς τὸν θώρακα. ποῦ δὲ ἡ τοιαύτη τοῦ ζωστῆρος ἦν συνοχή, καὶ ὅτι περί που τὸν ὀμφαλόν, δηλοῖ ὁ ποιητὴς εἰπὼν τὴν αἰχμὴν τοῦ Ἀχιλλέως αὐτόθι ἐνσκήψασαν διασχεῖν, ὡς εἴρηται, ἀντικρὺ παρ’ ὀμφαλόν. (v. 416) Ὅτι δὲ τὸ διέσχε καὶ ἁπλῶς τὸ διασχεῖν ἀντὶ τοῦ διαπερᾶσαι καὶ διασχίσαι λέγεται, πολλαχοῦ ἐρρέθη. καὶ ἔστι λέξις καιριωτάτη Ἀττική, ταὐτόν ποτε δυναμένη τῷ διαμπερὲς ἐλθεῖν. οὕτω διασχεῖν τις νεφέλην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγεται, οὕτως ἅμαξα διασχοῦσα λαὸν ἔρχεται, οὕτω καὶ βέλος ἀντικρὺ διέσχεν. (v. 418) Ὅρα δὲ καὶ ὅτι δὶς εἶπε τὸ «ἔντερα» διὰ σαφήνειαν, καίτοι δυνάμενος καὶ ἄλλως ποιητικώτερον τὴν λέξιν προαγαγεῖν.

4.430 τὰ γὰρ αὐτὰ καὶ ἔνδινα καὶ νηδυία λέγεται. [Ὅτι δὲ πρὸς ὁμοιότητα μεταφορικὴν καὶ γῆς ἔντερα λέγεται, ὁ παρὰ τῷ Ἀθηναίῳ κείμενος Δωρίων δηλοῖ, λέγων· ἴουλοι κέκληνται, μέλανες, γαιηφάγοι, ἔντερα γαίης. Καὶ ὅρα τὸ ἴουλοι. δοκεῖ γὰρ ὁ Δωρίων ἔντερα γῆς εἰπεῖν ἐνταῦθα οὐ πάντα τὰ ὑπὸ γῆν σκωλήκια, μόνους δὲ τοὺς ποδωτοὺς ἰούλους, οἷς διὰ τὸ πολύπουν τὰς μακρὰς νῆας ὁ Λυκόφρων παρεικάζων ἰουλοπέζους ἐκείνας ἔφη. αὐτοῖς δὲ καὶ ἡ περὶ πρώτην ἥβην βλάστησις τοῦ γενείου εἰκαζομένη λέγεται ἴουλος καὶ αὐτή. ὅτι δὲ λάβρακα ἐντερεύειν ἔφη τις παρὰ τὸ ἔντερον, ἀπ’ αὐτοῦ δὲ καὶ διεντέρευμα ἐλέχθη τῷ Κωμικῷ, οἶδεν ὁ περιτυχὼν αὐτοῖς.] (v. 418) Τὸ δὲ «λιασθείς» ἀντὶ τοῦ πεσών, παρακατιὼν δὲ καὶ ἐπὶ τοῦ κυλίεσθαι τὴν λέξιν τίθησιν, εἰπὼν «λιαζόμενον ποτὶ γῇ», ὥστε οὐκ ἀεὶ λιάζεσθαι τὸ ἐκφεύγειν. (v. 421) Τὸ δὲ «κατ’ ὀφθαλμῶν κέχυτο ἀχλύς» σημειωτέον εἰς τὸ πρὸ μικροῦ ῥηθέν, ὅτι δηλαδὴ οὐ πᾶς ὁ σκοτωθεὶς τοὺς ὀφθαλμοὺς ἤδη καὶ τέθνηκεν. ἰδοὺ γὰρ ὁ Ἕκτωρ ἀχλυσθεὶς τὴν ὄψιν ζῇ· ὁ μέντοι Πολύδωρος ἀνωτέρω νεφέλῃ κυανέῃ καλυφθεὶς νεκρὸς κεῖται, «φίλον ὀλέσας θυμόν», ὡς ὁ ποιητὴς εἶπεν. ἔνθα τὸ φίλον θυμὸν ὅμοιόν ἐστι τῷ «φίλον ἦτορ», καὶ «φίλαι χεῖρες», καὶ «φίλα γούνατα», καὶ τοῖς ὁμοίοις, ἃ καὶ προερρέθησαν. (v. 423) Τὸ δὲ «φλογὶ ἴκελος» ἀπεστένωσεν ἐνταῦθα ὁ ποιητὴς ἐπὶ Ἕκτορος ὡς μηδὲν τέως γενναῖον ἀνδρισαμένου. ἐν μέντοι τοῖς ἑξῆς ἐπὶ τῷ Ἀχιλλεῖ λαμπρὰν ἐκ πυρὸς ποιήσει παραβολήν. (v. 424) Τὸ δὲ «ἀνέπαλτο» ἐνθουσιασμὸν δηλοῖ τοῦ ἥρωος.

4.431 εἰ γὰρ τὰ ἡφαιστότευκτα ὅπλα πρὸ μικροῦ ἰδὼν ἀνέλαβε θυμὸν μνησθεὶς τοῦ Ἕκτορος, τίς ἂν εἴη ἄρτι αὐτὸν ἐκεῖνον ἰδών; ἡ δὲ λέξις αὕτη κυριολεκτεῖται καὶ ἐπὶ ἵππου ὀρθοῦ ποτε στάντος διὰ πτυρμὸν ἢ ἄλλο τι πάθος. (v. 425—7) Ἐπὶ δὲ τούτοις κεῖται καὶ ῥητόν, ὅπερ ὁ εὑρών, ὃν ἐψηλάφα, ἐχθρόν, ἐρεῖ ἂν προσφυῶς, ἤγουν τὸ «ἐγγὺς ἀνήρ, ὃς ἐμόν γε μάλιστ’ ἐσεμάσσατο θυμόν. οὐδ’ ἂρ ἔτι δὴν ἀλλήλους πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρας». Ἀχιλλεὺς δὲ ταῦτά φησιν, ὅτε πρῶτον ἰδὼν Ἕκτορα «ὅς μοι», φησίν, «ἑταῖρον ἔπεφνε τετιμημένον», προκαλεῖται εἰς μάχην. ὅτε καὶ ἐμβριθῶς μετὰ θάρρους ὑπόδρα ἰδὼν «ἆσσον ἴθι», φησίν, «ὥς κεν θᾶσσον ὀλέθρου πείραθ’ ἵκηαι», ὅ ἐστι τέλειον ὄλεθρον ἢ αὐτὸν τὸν θάνατον, ὡς καὶ ἀλλαχοῦ ἐγράφη. (v. 425) Τὸ δὲ «ἐσεμάσσατο» δηλοῖ μὲν τὸ ἐλύπησεν, εἴληπται δὲ μεταφορικῶς ἀπὸ τῶν προσμασσόντων, ἤτοι κολλώντων τινὶ καὶ ἐντηκόντων κηλῖδα, οὗ τὸ ἐναντίον ἐκμάσσεσθαι καὶ ἀπομάσσεσθαι. περὶ τῆς τοιαύτης δὲ λέξεως ἀκριβῶς ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν εἴρηται, ὅπου κεῖται τὸ «σῇ κεφαλῇ ἀναμάξεις». Μετὰ δὲ τὸν ῥηθέντα λόγον τοῦ Ἀχιλλέως ἱστορεῖ ὁ ποιητής, ὅτι ὁ Ἕκτωρ προκληθεὶς ὑπὸ Ἀχιλλέως καὶ ἀπειληθεὶς οὐκ ἐτάρβησε. πῶς γάρ. ὃς καὶ ἠκόντισεν; ἀλλὰ λέγει καὶ αὐτὸς ἐκ προοιμίων ὅπερ καὶ ὁ Αἰνείας, ὅτι δηλαδὴ «μὴ δή μ’ ἐπέεσσί γε νηπύτιον ὣς ἔλπεο δειδίξεσθαι», καὶ ἑξῆς, ὡς προεγράφη. ἐν οἷς καὶ ὁμολογήσας χείρων Ἀχιλλέως εἶναι καὶ ὅμως τὴν ἀγαθὴν προβεβλημένος ἐλπίδα οὐκ ὀκνεῖ ἀντικαταστῆναι. (v. 434—7) Ἔστι δὲ καὶ περὶ τούτων ἡ Ὁμηρικὴ φράσις αὕτη «οἶδα δ’ ὅτι σὺ μὲν ἐσθλός, ἐγὼ δὲ σέθεν πολὺ χείρων. ἀλλ’ ἦτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται», ὃ καὶ ἀλλαχοῦ πολλαχοῦ ἐγράφη, «αἴ κέ σε χειρότερός περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι δουρὶ βαλών. ἐπεὶ ἦ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθεν», ὡς πρὸ βραχέων ἡρμήνευται. (v. 436) Ὅρα δὲ ἐν τούτοις καὶ τὸ «χειρότερος» οὐ πρὸς ζῆλον τὸν ἐν πεζῷ λόγῳ, ἀλλὰ χάριν εἰδήσεως. τὸ μὲν γὰρ χείρων Ἀττικὴ σύγκρισις, ὡς τὸ «ἐγὼ δὲ σέθεν πολὺ χείρων». Τὸ δὲ χειρότερος ποιητικὴ λέξις, κειμένη πολλαχοῦ, κινήσασα συγκριτικῶς τὸ συγκριτικόν.

4.432 οὐδὲν γάρ τι σημαίνει τὸ χείρων πλέον τοῦ χειρότερος. τοιαῦτα καὶ τὸ ῥηΐτερος καὶ «πλειοτέρῃ σὺν χειρί» καὶ τὰ ὅμοια. πάνυ δὲ ἀληθευτικὸς ὁ Ἕκτωρ, ὃς οὐχ’ ἁπλῶς χείρονα, πολὺ δὲ

χείρονα τοῦ Ἀχιλλέως ἑαυτὸν εἰδέναι φησί. (v. 436) Σημείωσαι δὲ καὶ ὅτι ἐκ τοῦ «θυμὸν ἕλωμαι» καὶ τοῦ θυμὸν ἀφελέσθαι ἢ ἀφελεῖν καὶ τῶν τοιούτων ἐλλειπτικῶς ἤρεσται λέγειν ἀνελεῖν τὸ φονεῦσαι τοῖς ὕστερον. (v. 438—40) Ὅτι τὸ τοῦ Ἕκτορος δόρυ φθάσαν ἀφεθῆναι κατὰ τοῦ Ἀχιλλέως «πνοιῇ Ἀχιλλῆος πάλιν», τουτέστιν ἔμπαλιν, ἔτρεψεν ἡ Ἀθηνᾶ, «ἦκα μάλα ψύξασα». (v. 440—4) Τὸ δὲ οὐκ ἐπλαγίασέ που, ἀλλὰ τὸ πάντῃ τεράστιον, ἐπανελθὸν καὶ οἷον παλιμπλαγχθὲν «ἂψ ἵκεθ' Ἕκτορα δῖον, αὐτοῦ δὲ προπάροιθε ποδῶν πέσεν. αὐτὰρ Ἀχιλλεὺς ἐμμεμαὼς ἐπόρουσε κατακτάμεναι μενεαίνων, σμερδαλέα ἰάχων. τὸν δ' ἐξήρπαξεν Ἀπόλλων ῥεῖα μάλα, ὥς τε θεός», καθὰ καὶ ἐν τοῖς ἑξῆς τὸν Ἀγήνορα καὶ πρὸ τούτου δὲ τὸν Αἰνείαν ὁ Ποσειδῶν, «ἐκάλυψε δ' ἄρ ἠέρι πολλῇ». (v. 445 s.) Καὶ τὸ ἐντεῦθεν «τρὶς μὲν ἔπειτ' ἐπόρουσεν Ἀχιλλεὺς ἔγχεϊ χαλκείῳ, τρὶς δ' ἠέρα τύψε βαθεῖαν». Καὶ ὅρα τὸ «ἠέρα τύψεν», ἐξ οὗ εἰλῆφθαι παροιμία δοκεῖ τὸ «ἀέρα δαίρειν» ἐπὶ τῶν ἀπράκτοις ἐγχειρούντων. τινὲς μέντοι ἀπὸ τῶν πυγμάχων τὴν τοιαύτην παροιμίαν εἰρῆσθαι δοκοῦσιν, οἳ πολλάκις οὐκ εὐστοχοῦντες μάτην κινοῦσι τὰς χεῖρας. Σημείωσαι δὲ ὅτι προάγωνες οἷον ταῦτα τῆς μικρὸν ὕστερον τῶν ἡρώων τούτων συμβολῆς. διὸ καὶ τὸν περὶ Ἀθηνᾶς λόγον φθάνει παραρρίπτων ὧδε, ὡς ἂν ἐθισθεὶς ὁ ἀκροατὴς μὴ ἔχοι θαυμάζειν, εἰ καὶ ἐν τοῖς ἑξῆς ἡ Ἀθηνᾶ συμμαχήσασα ὑπὸ τῷ Ἀχιλλεῖ ποιήσει τὸν Ἕκτορα. ψυχαγωγεῖ δ' ἐν τούτοις καὶ τὸν φιλέλληνα ὁμιλητὴν ὁ ποιητής, ὃς μαθὼν ἤδη τὸν Ἀπόλλωνα εἰπόντα τῷ Ἕκτορι μὴ προμαχίζειν τῷ Ἀχιλλεῖ τάχα μὲν ἐκεῖθεν ἀπήλπισε συμμίξειν τοῦ λοιποῦ τὸν Ἕκτορα εἰς μάχην τῷ Ἀχιλλεῖ, νῦν δὲ αὖθις γνοὺς τὸ θράσος τοῦ Ἕκτορος ἐνάγεται καραδοκεῖν τὴν καὶ εἰς ἔπειτα συμβολήν.

4.433 εἰ δὲ Ἀπόλλων ἀφαρπάσας αὐτὸν κωλύει πάλιν τῆς πρὸς Ἀχιλλέα ἐνστάσεως, ἀλλ' ἡ Ἀθηνᾶ ἐν τοῖς ἑξῆς δελεάσασα πείσει αὐτὸν ἀντιστῆναι διώκοντι τῷ Ἀχιλλεῖ, ὅτε καὶ πεσεῖται ὑπ' αὐτῷ. ἔοικε δὲ πολλοῦ ὄντος ὁμίλου καὶ πυκνοῦ περὶ τὸν Ἀχιλλέα, οὓς καὶ ἔρριπτεν, εἰς μέσους αὐτοὺς ὁ Ἕκτωρ φόβῳ ἑαυτὸν παραβῦσαι ἀναμνησθεὶς τοῦ κατὰ τὸν Ἀπόλλωνα κινδυνώδους μοιριδίου, καὶ οὕτω λαθεῖν καὶ φυγεῖν. καὶ τοῦτό ἐστιν ἡ τοῦ Ἀπόλλωνος ἁρπαγή. διὸ καὶ ἀποτυχὼν αὐτοῦ ὁ Ἀχιλλεὺς εὐθὺς τοὺς παρὰ πόδας ἀναιρεῖ, ἴσως που καὶ εἰς πλέον θυμομαχῶν, εἰ δι' αὐτοὺς οὐκ ἔτυχε τοῦ θηράματος, ἐπεὶ ὁ Ἕκτωρ ἀπέδρα. ἔστι δὲ καὶ ἄλλως τοῦτο τῆς Ὁμηρικῆς δεξιότητος. οὐ γὰρ ἐχρῆν αὐτίκα νῦν πεσεῖν τὸν Ἕκτορα, ἵνα μὴ ἐντεῦθεν παυθείσης τῆς μάχης μεγάλαι ἀριστεῖαι σιγηθῶσιν. ἦν δὲ καὶ μεγαλεῖον πολέμου πολλῶν πρῶτα πεσόντων καὶ πολλῆς διατριβῆς τῷ λόγῳ γενομένης καὶ τοῦ Ἀχιλλέως ἐν ἑτέροις τὴν οἰκείαν ἀναφήναντος ἀρετήν, εἶτα κεφαλαιῶσαι τὸ ἔργον τῇ πτώσει τοῦ Ἕκτορος, μεθ' ἣν οὐκέτι πόλεμος. εἰ δὲ νῦν ὁ Ἕκτωρ εὐθὺς πέπτωκε, σμικροπρέπεια τοῦ πολυλαλήτου Ἀχιλλέως κατεγινώσκετο, οἷα ἕν τι μέγα, οὐ μὴν πλείω ἀνύσαντος. (v. 439 s.) Τὸ δὲ «πνοιῇ ψύξασα» ἢ ἀντὶ τοῦ φυσήσασα εἴρηται, ἢ μᾶλλον ἀντὶ τοῦ κινήσασα ἠρέμα τὴν χεῖρα καὶ τῷ ἐντεῦθεν ῥιπισθέντι ἀέρι τρέψασα ὀπίσω τὸ ἔγχος, καθάπερ εἰ καὶ ἄνεμος πνεύσας ἀντίπρωρος ἐπαναστρέψει τὴν ναῦν. ἄλλως γὰρ τὸ φύσημα οὐκ ἄξιον Ἀθηνᾶς, ἥτις καὶ τὸν αὐλόν, φασίν, ἔρριψε, μαθοῦσα διογκοῦσθαι αὐτῇ καὶ ἀχρειοῦσθαι τὰς παρειὰς ἐν τῷ αὐλεῖν. [Καὶ ἦν ἀληθῶς τοῖς παλαιοῖς οὐ πάντῃ εὐγενὲς ἡ αὐλητική, ὡς δηλοῖ καὶ ὁ γράψας, ὡς ἀνδρὶ αὐλητῇ θεὸς νόον οὐκ ἐνέφυσεν, ἀλλ' ἅμα τῷ φυσῆν χ' ὠ νόος ἐκπέταται. Καὶ ὅρα τὸ φυσῆν, προενεχθὲν κατὰ τὸ πεινῆν, ἀγαπῆν καὶ τὰ ὅμοια.

4.434 ἔτι δὲ ὅρα καὶ τὸ ἐκπέταται, προενεχθὲν ἀπὸ τοῦ πέτημι, συζυγοῦντος τῷ ἵστημι.] Ἔχει δὲ λόγον πνοιὴν εἰπεῖν καὶ τὴν ἁπλῶς ἀνεμιαίαν ῥιπήν, ἧς δοκεῖ πως καὶ Ἀθηνᾶ αἰτία εἶναι, οὐ μόνον ὡς Διὸς θυγάτηρ, ὃς καὶ εἰς ἀέρα ποτὲ ἐκλαμβάνεται, οὐδ' ὅτι ἀλληγορεῖται εἰς αἰθέρα, ὡς ἐν τῇ α′ ῥαψῳδίᾳ ἐρρέθη, ἀλλ' ὅτι καὶ ἄλλως ἔχει τινὰ οἰκείωσιν πρὸς τὸν Ποσειδῶνα, ἐξ οὗπερ οἱ ὑγρὸν ἀέντες ἄνεμοι καὶ αὖραι δέ, ἃς «Ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους». φησὶ γοῦν Ἡρόδοτος τὴν Ἀθηνᾶν φύσει μὲν τοῦ Ποσειδῶνος θυγατέρα νομίζεσθαι τοῖς ἐν τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Λιβύῃ, θέσει δὲ τοῦ Διός. καὶ εἰκός ἐστι τὴν τοῦ Διὸς ἀέρος, μηδὲ τοῦ Ποσειδῶνος ἠλλοτριῶσθαι. (v. 440) Τὸ δὲ «ψύξασα» τὸ φύσει ψυχρὸν τοῦ ἀέρος δηλοῖ. (v. 444) Τὸ δὲ «ὡς θεός» ἐγκοπτικόν ἐστιν ἀπορίας καὶ κατασκευαστικὸν εἰς πιθανότητα τοῦ ῥεῖα μάλα ὑπὸ Ἀπόλλωνος ἁρπαγῆναι τὸν Ἕκτορα. χαίρει δὲ καὶ τούτοις ὁ φιλέλλην ἀκροατής, εἰ οὕτως ἐκ μέσης μάχης ἁρπάζονται οἱ Τρῶες διὰ τὸ ἀνδρίζεσθαι τοὺς Ἀχαιούς. (v. 449—51) Ὅτι πρὸς κακὸν ἄνθρωπον, ἐγγὺς μὲν ἐλθόντα τοῦ θανεῖν, ζήσαντα δὲ ὅμως, οἰκεῖον ῥηθῆναι τὸ «ἐξ αὖ νῦν ἔφυγες θάνατον κύον· ἦ τέ τοι ἄγχι ἦλθε κακόν· νῦν αὖτέ ς' ἐρύσατο» ὁ δεῖνα, «ᾧ μέλλεις», ἤγουν ὀφείλεις ἢ ἔοικας, «εὔχεσθαι ἰὼν ἐς δοῦπον ἀκόντων», ἤγουν εἰς μάχην. Ἀχιλλέως δὲ ὁ λόγος, αἰτιωμένου τὸν Φοῖβον τῆς τοῦ Ἕκτορος ἁρπαγῆς. (v. 452 s.) πρὸς δὲ πολέμιον διαφυγόντα ἐρεῖ ποτε ὁ διώκων τὸ «ἦ θήν ς' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας, εἴ που καὶ ἔμοιγε θεὸς ἐπιτάρροθός ἐστιν». Ἀχιλλεὺς δὲ καὶ τοῦτο ἔφη πρὸς Ἕκτορα. Καὶ ὅρα «ἐξανύω» ἐνεστῶτα ἀντὶ μέλλοντος τοῦ τελειώσω. ἐξ οὗ τὸ τελευτᾶν ἐπὶ θανάτου τάττεται. Ἰστέον δὲ ὅτι Ὅμηρος μὲν ἀνύω φησὶν ἐν ἕκτῃ συζυγίᾳ, ὡς καὶ ἐν τῷ «οὐκ ἀνύω φθονέουσα», οἱ δὲ ὕστερον Ἀττικοὶ ἀνύτειν φασὶν ἐν τρίτῃ συζυγίᾳ. οὕτω δὲ καὶ τὸ ἀρύεσθαι ἀρύτεσθαι σὺν τῷ ταῦ, ὅθεν καὶ ἀρύταινα καὶ ἀρύστιχος, κοτύλη, οἰνοχόη.

4.435 δῆλον δὲ καὶ ὅτι ἐπὶ τοῦ σπεύδειν οἱ Ἀττικοὶ ἔλεγον τὸ ἀνύειν. Αἴλιος δὲ Διονυσιός φησι καὶ ὅτι δασεῖα ἡ πρώτη, τουτέστιν ἐδάσυνον οἱ Ἀττικοὶ τὴν ἄρχουσαν τοῦ ἀνύειν. (v. 453) Ἐπιτάρροθος δὲ καὶ νῦν ὁ σπουδαῖος βοηθός, ὁ μὴ ἀκὴν καὶ ἠρέμα δι' ὄκνον καὶ οἷον ἀψοφητὶ πρὸς βοήθειάν τινος ἥκων, ἀλλὰ κατὰ σπουδὴν μετὰ ῥόθου, τουτέστιν ἤχου, ὡς εἰ καὶ ῥόθιον ὕδωρ κατὰ πρανοῦς ῥέει. πλεονάζει δὲ ἡ ταρ συλλαβή, ὡς καὶ ἐν τῷ ἀτηρός ἀταρτηρός. [(v. 454) Ὅτι τὸ «τοὺς ἄλλους ἐπιείσομαι», ἤγουν ἐπιπορεύσομαι, «ὅν κε κιχείω» οἱ μεθ' Ὅμηρον ἄλλως προφέρουσιν, οἷον· ἐπελεύσομαι ὃν ἂν τῶν ἄλλων καταλήψομαι. πάνυ δὲ ἀκριβὲς τὸ Ὁμηρικόν. εἰπὼν γὰρ Ἀχιλλεὺς ὅτι τοὺς ἄλλους ἐπιείσομαι, διορθοῦται τὸν ἀγέρωχον λόγον, ἐπαγαγὼν τὸ «ὅν ἂν κιχείω», σαφηνείας χάριν. οὐ γὰρ ἦν τοὺς ἄλλους πάντας ἐπιείσεσθαι, ἀλλ' ὃν ἂν ἐκ τῶν ἄλλων καταλήψηται.] (v. 463—9) Ὅτι καινοπρεπεῖ καὶ ἐνταῦθα σχήματι ὁ ποιητὴς χρᾶται τοιούτῳ. ἄρχεται ἀπὸ αἰτιατικῆς καὶ αὐτίκα στήσας τὸν δρόμον τῆς συντάξεως ἐπάγει σχῆμα εὐθὺς ὀρθότητος [νόμῳ ἐπεμβολῆς], καὶ ἀπαρτίσας τὴν τούτου ἔννοιαν [ἐν μέσῳ στίχου ἕκτου] ἐπαναλαμβάνει [γόργως] αὐτήν, εἶτα ἐπανακάμπτει [ἐν ἑβδόμῳ στίχῳ] εἰς τὴν ἐξ ἀρχῆς τῆς αἰτιατικῆς σύνταξιν. Φησὶ γὰρ «Τρῶα δ' Ἀλαστορίδην», εἶτα ἀφῆκεν ἐπαγαγεῖν τὸ ἀκόλουθον τὸ «φασγάνῳ οὖτα καθ' ἧπαρ», καὶ αὐτὸ μὲν ὑπερβὰς τίθησι μετὰ [ὅλους] ε' στίχους, ἀναρτῶν δὲ τέως τὴν σύνταξιν ἐπεμβάλλει πτῶσιν εὐθεῖαν, λέγων «ὃ μέν», ἤγουν ὁ Τρώς, «ἀντίος ἤλυθε γούνων, εἴ πως εὖ», ἢ εἴ πώς εὐ, «πεφίδοιτο», τουτέστιν ὅπως αὐτοῦ φείσοιτο, «λαβὼν καὶ ζωὸν ἀφείη μηδὲ κατακτείνειεν, ὁμιλικίην ἐλεήσας, νήπιος, οὐδὲ τὸ ᾔδη, ὃ οὐ πείσεσθαι ἔμελλεν», ἤγουν οὐδὲ τοῦτο ἠπίστατο, ὅτι οὐκ ἔμελλε πείσειν ἢ πεισθῆναι τὸν Ἀχιλλέα.

4.436 «οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν οὐδ' ἀγανόφρων, ἀλλὰ μάλ' ἐμμεμαώς». εἶτα γοργῶς ἐπαναλαβὼν τὸ ἐπεμβληθὲν καὶ εἰπὼν «ὃ μέν», ἤγουν ὁ Τρώς, «ἥπτετο χερσὶ γούνων», τῶν τοῦ Ἀχιλλέως, «ἱέμενος λίσσεσθαι», καὶ λύων τὸν μεν σύνδεσμον ἀποδίδωσιν ἐνταῦθα τὸ ἀκόλουθον ῥῆμα τῆς συντάξεως τοῦ «Τρῶα δ' Ἀλαστορίδην». φησὶ γὰρ «ὃ δὲ φασγάνῳ οὖτα καθ' ἧπαρ». Ἔφαμεν γὰρ τὸ εὐσύντακτον οὕτως ἔχειν· Τρῶα δ' Ἀλαστορίδην φασγάνῳ οὖτα καθ' ἧπαρ, ἵνα ὡς ἐν ὀλίγῳ σχηματίσαι δίχα ἐπεμβολῆς λέγῃ· Τρῶα δ' Ἀλαστορίδην, ὁ μὲν ἥπτετο γούνων, ὃ δὲ φασγάνῳ οὔτασε. καὶ οὕτω μὲν καινοπρεπὴς ἡ σύνταξις, ὁμοία ὡς εἴ τις εἴποι, ὅτι τὸν δὲ ἀδελφὸν πένητα, ὁ μὲν ἥκει γουνασόμενος, εἴ πως ἄρτον τις λαβὼν ἢ ψυχροῦ ποτήριον μεταδῷ, τὴν ἀνθρωπότητα ἐλεήσας, νήπιος, οὐδὲ οἶδε μὴ πείσειν. οὐ γὰρ γλυκύθυμος ὁ πολὺς ἄνθρωπος. καὶ ὁ μὲν οὕτω γουνάζεται, ὁ δὲ ῥάβδῳ πλήττει κατὰ κεφαλῆς, τὸν ἐξ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρχῆς δηλαδὴ ῥηθέντα ἀδελφὸν πένητα. καὶ ἔστι καὶ τοῦτο γοργῶς ἑρμηνεῦσαι οὕτω. τὸν δὲ ἀδελφὸν πένητα ὁ μὲν ἥκει δόμα ζητήσων ἀγαθόν, ὁ δὲ ἀνηλεὴς δωρεῖται πληγαῖς. αἴτιον δὲ κἀνταῦθα τῆς καινοσυνταξίας ὁ σχεδιασμός. ὁ γὰρ αὐτοσχεδιάζων κατενεχθείς ποτε τυχόντως οὕτως εἰς αἰτιατικὴν πτῶσιν, εἶτα ἐνθυμηθεὶς ἐνταῦθα δεῖν εἶναι πρὸ τῆς ῥηματικῆς ἀποδόσεως ἄλλο τι καίριον εἰπεῖν, ἐπεμβάλλει αὐτὸ καὶ ἀπαρτίσας, εἶτα τὸ ῥῆμα ἐπάγει, ὃ προυκαλεῖτο ἡ κατάρξασα αἰτιατική.

4.437 οἷον σχεδιάζων τις ἐνέπεσεν εἰς τὸ «Τρῶα δ᾽ Ἀλαστορίδην», ἢ εἰς τὸ «τὸν ἀδελφὸν πένητα», εἶτα συνιδὼν ὅτι πρὸ τούτου ἐχρῆν ἄλλο τι ἀναγκαίως διηγήσασθαι, εἰ καὶ τῷ σχεδιασμῷ ἔλαθεν, ἐπεμβάλλει πρῶτον ἐκεῖνο τὸ ἐνθυμηθὲν καὶ μετ᾽ αὐτὸ ἀπαρτίζει τὴν προκειμένην σύνταξιν, ἐπαγαγὼν πρὸς μὲν τὸ «Τρῶα» τὸ «φασγάνῳ οὔτασε», πρὸς δὲ τὸ «τὸν ἀδελφὸν πένητα» τὸ «ῥάβδῳ πλήττει». καὶ οὕτω μὲν καινοπρεπῶς ἐσχημάτισεν ὁ ποιητής. Τινὲς δὲ ἄλλως θεραπεύοντες τοῦτο κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα διὰ τὸ εἰπεῖν ἀνωτέρω τὸν ποιητὴν περί τινος ἑτέρου «τὸν δὲ σχεδὸν ἄορι τύψας», φασί· Τρῶα δ᾽ Ἀλαστορίδην ἔτυψε δηλαδή, κἀνταῦθα ὡς ἐν τελείᾳ στιγμῇ τὴν ἔννοιαν ἀναπαύσαντες ἐπάγουσιν ἀκωλύτως τὰ ἐφεξῆς. πάνυ δὲ καλλίων ἡ ῥηθεῖσα καινοπρέπεια καὶ Ὁμήρῳ πρέπουσα, οἷα συνεξομοιουμένη τῇ τῶν ἐνεστώτων πραγμάτων καινότητι καὶ τῇ ταραχῇ καὶ συγχύσει τῶν μαχομένων. καὶ ταῦτα μὲν περὶ τὸ σχῆμα. (v. 464—5) Τὸν δὲ Τρῶα τοῦτον ἥλικα τοῦ Ἀχιλλέως ἱστορεῖ ὁ ποιητής, ὡς δηλοῖ τὸ «εἴ πώς εὑ πεφίδοιτο ὁμηλικίην ἐλεήσας». εἰ δὲ καὶ «ἧλιξ ἥλικα τέρπει» κατὰ τὴν παροιμίαν, ἀλλ᾽ ἐνταῦθα οὐκ ἐλεεῖ Ἀχιλλεύς, ἀλλὰ γουναζόμενον ἀναιρεῖ. Τὸ δὲ εὖ γίνεται μὲν ἐκ τοῦ ἕο, ὡς μέο μεῦ, σέο σεῦ. ἐγκλίνεται δὲ ὡς ἐκεῖνα, οἷον «ὅς σευ ἄνευθεν ἐὼν κήδεται», «καὶ μέν μευ ξύνιον». Τὸ δὲ «πεφίδοιτο» Ἰωνικός ἐστι μέσος ἀόριστος τοῦ φείδω ῥήματος. Τὸ δὲ «ἀφείη» τινὰ τῶν ἀντιγράφων ἐν δυσὶν η ἔχουσι, τροπῇ τοῦ εὐκτικοῦ διφθόγγου εἰς ἦτα μετὰ προσγραφῆς τοῦ ἰῶτα. (v. 466) Τὸ δὲ «νήπιος» οὐχ᾽ ἁπλῶς ἀφροσύνην τοῦ Τρωὸς αἰτιᾶται, ἀλλ᾽ ὅτι μὴ ἐστοχάσατο τοῦ Ἀχιλλέως, μᾶλλον δ᾽ ὅτι μὴ τῷ μακρῷ χρόνῳ ἔγνω τὸ ἦθος αὐτοῦ ἀτενές, καὶ ὡς μάλα ἦν ἐμμεμαώς, τουτέστι, σεμνῶς εἰπεῖν, ὡς ἐθέλοι ἂν ὁ ποιητής, πρόθυμος καὶ μαιμῶν οἷα καὶ πῦρ κατὰ τὸ «ὡς δ᾽ ἀναμαιμάει θεσπιδαὲς πῦρ», καθὰ μετ᾽ ὀλίγα ῥηθήσεται. (v. 467 s.) Τὸ δὲ «οὐ γάρ τι γλυκύθυμος» καὶ ἑξῆς, θυμοειδεῖ ἀνδρὶ ἐπιφωνηθήσεται. (v.

4.438 468—71) Ἰστέον δὲ καί, ὡς ἐνταῦθα τὸ Ὁμηρικὸν «ἐμμεμαώς» ἐπὶ μὲν Ἀχιλλέως νοηθὲν ἀξυμφανῆ ποιεῖ ἔννοιαν, ἐπὶ δὲ τοῦ Τρωὸς συνήθως ἔχει καὶ ὀρθῶς, καὶ ὅτι Ὁμήρου εἰπόντος περὶ τοῦ ῥηθέντος Τρωὸς τὸ «ἐκ δέ οἱ ἧπαρ ὄλισθε», περὶ ὃ ἐτρώθη, «ἀτὰρ μέλαν αἷμα κατ᾽ αὐτοῦ κόλπον ἐνέπλησε», φασὶν οἱ παλαιοί, ὡς παρατετηρημένως ὁ ποιητὴς τὸ «ὄλισθεν» εἶπεν ἐπὶ ἥπατος. ὀλισθηρὰ γὰρ ἡ φύσις τοῦ ἥπατος. κόλπον δὲ τὴν περὶ τὸ ἧπαρ ἔφη τοῦ ἱματίου πᾶσαν κοιλότητα. (v. 475) Λέγει δ᾽ ἐν τούτοις καὶ ξίφος κωπῆεν, ὡς καὶ ἀλλαχοῦ, τὸ λαβὴν ἔχον, ὃ παρακολουθεῖ τοῖς ξίφεσιν, εἰπὼν «κεφαλὴν ξίφει ἤλασεν», ὅ ἐστιν ἔπληξε, «κωπήεντι». (v. 476) Ἔνθα καὶ τὸ «πᾶν δ᾽ ὑπεθερμάνθη ξίφος αἵματι» βαθεῖαν δηλοῖ πληγήν, ὁποία μετ᾽ ὀλίγα δηλωθήσεται ἐν τῷ «πᾶν δέ οἱ εἴσω ἔδυ ξίφος». τῇ γὰρ τοιαύτῃ παρακολουθεῖ τὸ θερμαίνεσθαι πᾶν ξίφος, ψυχρὸν ἄλλως ὄν, ὡς τὸ «ψυχρὸν δ᾽ ἕλε χαλκὸν ὀδοῦσι». (v. 478—81) Δηλοῦται δ᾽ ἐν τούτοις καὶ ὅτι καὶ ἀγκώνων τένοντές εἰσι. φησὶ γοῦν ὁ ποιητὴς ὅτι Δευκαλίωνα, Τρωϊκόν τινα, «φίλης διὰ χειρός» ὁ Ἀχιλλεὺς «ἔπειρεν αἰχμῇ χαλκείῃ, ἵνα τε», ἤγουν ὅπου, «ξυνέχουσι τένοντες ἀγκῶνος. ὃ δέ μιν μένε χεῖρα βαρυνθεὶς πρόσθ᾽ ὁρόων θάνατον». ὅπερ οἱ μεθ᾽ Ὅμηρον πρὸ ὀφθαλμῶν ὁρᾶν θάνατόν φασιν. (v. 481—3) Ἀχιλλεὺς δὲ «φασγάνῳ αὐχένα θείνας», ὅ ἐστι τύψας, «τῆλε αὐτῇ πήληκι κάρη βάλε· μυελὸς αὖτε σφονδυλίων ἔκπαλτο, ὃ δ᾽ ἐπὶ χθονὶ κεῖτο τανυσθείς». ὅπερ καὶ ἐπὶ ἄλλου τινὸς εἰπὼν ὁ ποιητὴς εἰκάζει παραβολικῶς ἐκεῖνον σκώληκι τετανυσμένῳ μακρῷ. (v. 482) Τὸ δὲ «αὐτῇ πήληκι» Ἀττικῶς εἴρηται ἀντὶ τοῦ σὺν αὐτῇ πήληκι. καὶ ἔστιν ὅμοιον τῷ «ἐξόλοιο αὐταῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βουλαῖς», ἤγουν σὺν τοῖς βουλεύμασί σου, καὶ τῷ «αὐτοῖς ἀνδράσιν ἡ ναῦς ὤλετο», ἤγουν σὺν αὐτοῖς ἀνδράσιν, ὅπερ ἕτεροι συνθέτως αὔτανδρος λέγουσιν. Ὅρα δὲ ἐνταῦθα καὶ τὸ «τῆλε ἔβαλεν» ἀντὶ τοῦ ἐπιτυχῶς ἔρριψεν. οὐκ ἄρα ἡ λέξις ἐπὶ μόνης ἀεὶ λέγεται τῆς μήκοθεν βολῆς. καινὴ δέ τις πολέμου περιπέτεια κεφαλὴν ἀποτμηθεῖσαν ἰδεῖν συγκαταφερομένην ὡς οἷά τινι σκεύει τῇ πήληκι. (v. 483) Ὅρα δὲ καὶ ὅτι οὐ μόνον σπόνδυλοι διὰ τοῦ π καὶ τρισυλλάβως, ἀλλὰ καὶ διὰ τοῦ φ τετρασυλλάβως, ὡς καὶ ἐν ἄλλοις ἐρρέθη.

4.439 «σφονδυλίων» γάρ φησιν. (v. 481) Τὸ δὲ «πρόσθ' ὁρόων θάνατον» περὶ παντὸς δύναται λέγεσθαι καραδοκοῦντος κίνδυνον. (v. 484—6) Ὅτι Πείρεώς τις ἐνταῦθα ἱστορεῖται Θρᾷξ ἀνήρ, οὗ υἱὸς Ῥίγμος, ἐκ Θρᾴκης ἐριβώλακος ἐλθὼν πίπτει ἄκοντι βληθεὶς ὑπ' Ἀχιλλέως. κλίσις δὲ τοῦ ῥηθέντος Θρᾳκὸς Πείρεω, ὡς Μενέλεω. ὁ δὲ Ῥίγμος, εἰ μὲν ἐγράφετο διὰ τοῦ η , ἦν ἂν εἰδέναι ὡς ἐκ τοῦ ῥήσσω γίνεται. ὅτι δὲ τῷ ι παραλήγεται παρὰ τοῖς ἀντιγράφοις, ῥιπτέον αὐτὸ μετὰ τῶν λοιπῶν βαρβάρων ὀνομάτων, ὧν ἡ Ὁμηρικὴ μεμέστωται ποίησις. (v. 487) Κεῖται δὲ ὧδε καὶ Ἀρηΐθοος Τρωϊκός, ὁμώνυμος τῷ προϊστορημένῳ Ἑλληνικῷ, καθὰ καὶ Δευκαλίων ἀνωτέρω ὁ προγραφείς. (v. 490—3) Ὅτι παραβολῇ ἐνταῦθα χρησάμενος ὁ ποιητὴς ἐπὶ Ἀχιλλέως τῇ ἀπὸ πυρὸς τραχύνει τὴν φράσιν ἐπίτηδες, καὶ ὥσπερ τινὰ βρόμον λεκτικὸν τῷ παραβολικῷ ἐπιτεχνᾶται πυρί. ἦ γὰρ οὐ τοιοῦτον τὸ «ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ οὔρεος ἀζαλέοιο, βαθέα δὲ καίεται ὕλη, πάντη τε κλονέων ἄνεμος φλόγα εἱλυφάζει»; ὧν ἀπόδοσις τὸ «ὣς Ἀχιλλεὺς πάντη θῦνε σὺν ἔγχεϊ δαίμονι ἶσος». παραβέβληται δὲ καὶ ἡ παραβολὴ αὕτη ὅλη ὅλῳ τῷ πράγματι. ἡ μὲν γὰρ τοῦ Ἀχιλλέως ὁρμὴ ὁμοία πυρὸς ἐπιδρομῇ, τὸ δὲ πλῆθος τῶν πιπτόντων ὅμοιον ὕλης καύσει, τὸ δὲ εὐδιαχείριστον τῶν Τρώων τῷ τῆς ὕλης καταξήρῳ εἴκασται. Ἰστέον δὲ ὅτι καὶ ἐνταῦθα τὸ ἀνὰ τὸ ὄρος μαιμᾶν τὸ πῦρ ὡς ἐπὶ ἐμψύχου τοῦ πυρὸς εἴρηται, οἷα καὶ θεσπιδαοῦς, ὅ ἐστι θεόθεν, ταὐτὸν δ' εἰπεῖν ποιητικῶς Διόθεν, πεσόντος καὶ δαίοντος. κυρίως γὰρ ἐπὶ ἐμψύχων τὸ μαιμᾶν. (v. 490) Ἄγκεα δὲ καὶ νῦν, ὡς καὶ ἀλλαχοῦ, οἱ φαραγγώδεις καὶ οἷον ἀνακείμενοι δασεῖς τόποι. (v.

4.440 491) Ἀζαλέον δὲ ὄρος, ὅ ἐστι ξηρόν, ὑποτίθεται, ὡς ἂν ἐπαυξήσῃ τὸ τοῦ Ἀχιλλέως δραστήριον. οὐχ' οὕτω γὰρ τὸ πῦρ εἰς ὑγρὰν ὕλην δρᾷ, ὡς ὅτε ταύτης ξηρᾶς λάβηται. εἰ δὲ καὶ βαθεῖα ἡ ὕλη, συννοητέον δὲ ὡς καὶ δασεῖα, καὶ ἄνεμος δὲ εἱλυφάζει, τουτέστι πανταχοῦ εἱλεῖ τὸ πῦρ, τότε πλείων ἡ δρᾶσις τοῦ πυρὸς γίνεται. (v. 492) Τρεῖς δὲ παραγωγὰς ἔχει τὸ εἱλυφάζειν. ἀπὸ γὰρ τοῦ εἱλῶ γίνεται εἱλύω, ἐξ οὗ εἱλυφῶ, εἶτα εἱλυφάζω, λέξις αὕτη πεζῷ λόγῳ ἀπρόσιτος. Ἰστέον δὲ ὡς ἐν μὲν τῷ εἱλυφῶ συστέλλεται τὸ υ , ὡς δηλοῖ τὸ «πάντῃ τ' εἱλυφόων ἄνεμος, καὶ ἀπαρτίζεται οὕτω μετρικὸς δάκτυλος. ἐν δὲ τῷ εἱλυφάζω ἐκτείνεται, ἵνα σπονδειακῶς ποδισθῇ. (v. 493) Σημείωσαι δὲ ὅτι σεμνύνας νῦν Ὅμηρος τὸν Ἀχιλλέα πλατείᾳ πυρίνῃ παραβολῇ. σεμνότερον ἔτι παραβολικὸν εὐθὺς ἐπήγαγε κόμμα, συναρτήσας τῇ τοῦ πυρὸς παραβολῇ, ὡς καὶ προεγράφη, τὸ «ἔθυνε σὺν ἔγχεϊ δαίμονι ἶσος». (v. 494) Ὅτι ἐφέπειν καὶ ἐνταῦθα τὸ διώκειν, ἐν τῷ «κτεινομένους ἐφέπων, ῥέε δ' αἵματι γαῖα μέλαινα». τὸ δέ γε ἀμφέπειν σύγκειται μὲν καὶ αὐτὸ ἐκ τοῦ ἕπειν, δηλοῖ δὲ τὴν κύκλῳ ἐντρέχειαν. Ὅτι τοὺς Ἀχιλλέως ἵππους ἐρχομένους διὰ τῶν ἀνῃρημένων βουσὶν εἰκάζει, οὓς ζεύξει τις τρίβειν ἀλωήν. (v. 495—502) Φησὶ γὰρ «ὡς δ' ὅτε τις ζεύξει βόας ἄρσενας εὐρυμετώπους τριβέμεναι κρῖ λευκὸν ἐϋκτιμένῃ», ἢ ἐϋτροχάλῳ, «ἐν ἀλωῇ. ῥίμφα τε λέπτ' ἐγένοντο βοῶν ὑπὸ πόσς' ἐριμύκων, ὣς ὑπ' Ἀχιλλέως μεγαθύμου μώνυχες ἵπποι στεῖβον ὁμοῦ νέκυάς τε καὶ ἀσπίδας, αἵματι δ' ἄξων νέρθεν ἅπας πεπάλακτο καὶ ἄντυγες αἱ περὶ δίφρον», καὶ τὰ ἑξῆς. ἐν οἷς καὶ ῥαθάμιγγες αἱ ἀπὸ ἱππείων ὁπλέων καὶ ἐπίσσωτρα τὰ προδεδηλωμένα ἐν ἑτέρῳ πολέμῳ.

4.441 Καὶ ὅρα ἐν τῇ εἰρημένῃ παραβολῇ παλαιὸν ἀλοητόν, ὃς ὑπὸ ζῴων γίνεται πατούντων ποσὶ καὶ συντριβόντων τὰ δράγματα, καὶ ὡς τὸ εὐτελὲς τῆς παραβολικῆς ἐννοίας διὰ τῆς φράσεως ὕψωσε καὶ μάλιστα διὰ τῶν ἐπιθέτων, τοῦ «βόας εὐρυμετώπους», ὃ βοῶν ἐστιν ἴδιον, «κρῖ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λευκόν», τὸ πολλαχοῦ ῥηθέν, «ἐϋκτιμένῃ» ἢ «εὐτροχάλῳ ἀλωῇ», «βοῶν ἐριμύκων», «μώνυχες ἵπποι». (v. 496) Κρῖ δὲ εἰπὼν πάντα ἐδήλωσε τὰ τιθέμενα ἐν ἀλωῇ ὥστε τρίβεσθαι, ἀπὸ μέρους τῆς κριθῆς καὶ τἆλλα δηλώσας. τίμιον γὰρ τοῖς παλαιοῖς ἡ κριθὴ ὡς πρώτη εὑρεθεῖσα, καὶ διὰ τοῦτο ἀπ' αὐτῆς ὡς ἐκ μέρους καὶ τὰ ἄλλα δηλοῦται σπόριμα, καθὰ καὶ ἀλλαχοῦ εἴρηται. ὅθεν καὶ κρίβανος, ὡς καὶ ἐν ἄλλοις ἐγράφη, ὁ ἰπνός, ἐν ᾧ ἄρτοι ἁπλῶς ἕψονται, οὐ μὴν μόνον οἱ κρίθινοι. [Διὸ καὶ κριβανωτῶν ὁρμαθὸς οὐ μόνον ὁ ἀπὸ κριθίνων ἀρτίσκων, ἀλλ', ὡς εἰκός, καὶ ὁ ἐξ ἑτεροίων. ὅτι δὲ τὸ κρῖ ἐκ τοῦ κρίμνον ἀποκέκοπται, οὐ μὴν ἀπὸ τῆς κριθῆς, δηλοῦσιν οἱ παλαιοί. παρ' οἷς κεῖται καὶ ὅτι κριθὴ συνθέτως ἄφλοιος ἡ πτισσάνη, ἐφ' ᾗ γρῖφος οὗτος· κριθῆς ἀφλοίου χυλὸν ὀργάσας, πίε. τί δέ ἐστι τὸ ὀργάσαι, δηλοῦσιν οἱ τοῦ Κωμικοῦ Ὄρνιθες.] Σημείωσαι δὲ ὅτι ἡ παραβολὴ αὕτη τῆς ἀλληγορίας ἐκείνης ἐξήρτηται, ἐν ᾗ ἔφη ὁ Ὀδυσσεὺς καλάμην πλείστην ἐν ὀλίγῳ πίπτειν καιρῷ. ἐπεὶ γὰρ καλάμην εἶπε τοὺς ἐν πολέμῳ πίπτοντας καὶ οἷον δράγματα, οἰκεῖόν ἐστιν εἰπεῖν καὶ πατεῖσθαι αὐτοὺς καὶ τρίβεσθαι, ὡς ἡ καλάμη ἐν τῇ ἀλωῇ.

4.442 (v. 496) Τὸ δὲ τρίβειν εἴη ἂν ταὐτὸν τῷ στίβειν. διὸ καθὰ τρίβεται κρῖ ποσὶ βοῶν, οὕτω στείβονται νέκυες ποσὶν ἵππων. ὅθεν καὶ ταὐτὸν στίβον καὶ τρίβον εἰπεῖν, τὸ μὲν ἐκ τοῦ στείβειν, τὸ δὲ ἐκ τοῦ τρίβειν. ὧν ἀνάπαλιν ἡ ἀστιβὴς ὁδὸς καὶ ἡ ἄτριπτος. Ὅρα δὲ καὶ ὅτι τὸ «ἐϋκτιμένῃ» ἐπὶ ἀλωῆς ἔφη. οὐκ ἄρα μόνον ἐπὶ πόλεως τὸ ἐπίθετον. Τὴν δὲ ἀλωὴν μετὰ τοῦ ἰῶτα παραδιδόασιν οἱ παλαιοί, ὡς ἀπὸ τοῦ ἀλοιῶ, τὸ συντρίβω, ὥστε ψιλοῦσθαι οὕτω τὴν ἀλωήν. ἐν μέντοι τοῖς Ἀπίωνος καὶ Ἡροδώρου κεῖται ἐν τῷ «νεοαρδέα ἀλωήν» κατὰ τὴν φῖ ῥαψῳδίαν, ὅτι ἀλωὴ εἰ μὲν δασύνεται, σημαίνει τὴν ἅλωνα, εἰ δὲ ψιλοῦται, τὴν ἀμπελόφυτον γῆν. (v. 497) Τὸ δὲ «λεπτὰ ἐγένετο βοῶν ὑπὸ ποσίν» ἡ αἰτία ἐστὶ τοῦ ἀλοητοῦ. διὰ τοῦτο γὰρ ἀλοῶμεν, ὡς ἂν ἁπλῶς τὰ πατούμενα λεπτὰ γένηται καὶ μὴ ἐχόμενα, ἤγουν κρατούμενα. ὅθεν καὶ ἄχυρον ἐπενοήθη κληθῆναι καὶ ἄχνη, ἅπερ οὐκ ἔχονται, ἤτοι κρατοῦνται, καθ' ἕκαστον τμῆμα διὰ λεπτότητα. ὧν καὶ ὁρισμὸς κατὰ τὸν ποιητὴν οὗτος· ἄχυρον καὶ ἡ κατ' αὐτὸ ἄχνη ἐστὶ τὰ ἐκ δραγμάτων λεπτὰ τρίψει ποδῶν βοείων. (v. 502 s.) Ὅτι ἀριστέως παριστᾷ σπουδὴν τὸ «ὃ δὲ ἵετο κῦδος ἀρέσθαι, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους». εἰ δὲ Ἀχιλλεὺς ἐνταῦθα μὲν κῦδος ἀρέσθαι ζητῶν μάχεται, ἀνελὼν δὲ τὸν Ἕκτορα μέγα κῦδος ἀρέσθαι τοὺς Ἀχαιοὺς λέγει, τὸ πᾶν ἄρα τοῦ κατὰ Τρῶας πολέμου τῷ Ἕκτορι ἐγκεκλίσθαι δηλοῖ. ΕΚ ΤΩΝ ΤΗΣ ΦΙ Ὅτι τῆς φῖ ῥαψῳδίας ἡ μὲν πρὸς μέτρον ἐπιγραφὴ αὕτη· φῖ μόγος Αἰακίδαο παρ' ἠϊόνας ποταμοῖο, ἡ δὲ πεζὴ αὕτη· παραποτάμ〈ι〉ος μάχη.

4.443.(t) (v. 1 s.) Ὅτι ἐν τῷ εἰπεῖν ὁ ποιητὴς «πόρον Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς», Διὸς τόκον τὸν Ξάνθον φησίν, ἀλληγορικῶς μέν, ἐπεὶ διϊπετής, φασίν, ὁ Ξάνθος καὶ τὸ πλέον χείμαρρος, ἐξ ἀερίων, ὅ ἐστι Διΐων, τουτέστιν ὀμβρίων, ὑδάτων πληθυόμενος, μυθικῶς δέ, ὅτι θεὸς μὲν τοῖς ἐγχωρίοις ὁ Ξάνθος, Ζεὺς δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε. οἱ δέ φασιν, ὅτι τοῦ μὲν δαιμονίου Ξάνθου Ζεὺς πατήρ, τοῦ δὲ ῥεύματος Ὠκεανός, ἐξ οὗ πάντες ποταμοί, ὡς μετ' ὀλίγα ἐρεῖ ὁ ποιητής. Δινήεντα δὲ τὸν Ξάνθον λέγει, ὡς καὶ πρὸ ὀλίγου τὸν Ἕρμον. ἐν τοῖς ἑξῆς δὲ καὶ ἀργυροδίνην τὸν αὐτόν φησι καὶ βαθυδινήεντα, καὶ ἐν διαλύσει βαθείας μεγάλας δίνας ἔχοντα, περὶ οὗ ῥηθὲν καὶ τὸ «αἰπὰ ῥέεθρα», ὅ ἐστιν ὑψηλά, τοῦ τοιούτου βάθους ἐστὶ δηλωτικόν, ὥσπερ καὶ τὸ βαθύρροον καὶ τὸ βαθυδίνην. Ἰστέον δὲ καὶ ὅτι τὸ «ὃν τέκετο Ζεύς» διαλελυμένη ἑρμηνεία ἐστὶ τοῦ «Ξάνθος διιπετής», ὅπερ ἐν τοῖς ἑξῆς ἐρεῖ. (v. 3—12) Ὅτι Ἀχιλλεὺς διατμήξας τοὺς Τρῶας «τοὺς μὲν πεδίονδε ἐδίωκε πρὸς πόλιν, ᾗ περ», ἤγουν ὅπου, «Ἀχαιοί», ἢ κατά τινας οἱ ἄλλοι, δηλοῖ δὲ καὶ αὐτὸ τοὺς Ἀχαιούς, «ἀτυζόμενοι», ὅ ἐστι ταρασσόμενοι, «φοβέοντο ἤματι τῷ προτέρῳ».

4.444 ἤγουν περιφραστικῶς χθές, «ὅτε μαίνετο φαίδιμος Ἕκτωρ. τῇ ῥ' οἵ γε προχέοντο πεφυζότες, ἠέρα δ' Ἥρη πίτνα βαθεῖαν ἐρυκέμεν. ἡμίσεες δὲ ἐς ποταμόν» [βαθύρροον ἀργυροδίνην], τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ῥηθέντα, «είλεῦντο· ἐν δ’ ἔπεσον μεγάλῳ πατάγῳ, βράχε δ’ αἰπὰ ῥέεθρα, ὄχθαι δ’ ἀμφὶ περὶ μεγάλα ἴαχον. οἳ δ’ ἀλαλητῷ ἔννεον ἔνθα καὶ ἔνθα ἑλισσόμενοι κατὰ δίνας». Καὶ ὅρα ὅτι κἀνταῦθα ὁ ποιητὴς ἐπίτηδες ἐτάχυνε λέξεσι τὴν τοῦ λόγου προφορὰν ἀναλόγως τῷ ἤχῳ τῆς εἰς τὸν ποταμὸν πτώσεως τῶν φευγόντων, καὶ πιθανῶς διαιρεῖ τοὺς Τρῶας εἴς τε τοὺς κατὰ χέρσον φεύγοντας καὶ εἰς τοὺς τῷ ποταμῷ ἐμπίπτοντας. οὐκ ἔχει γὰρ ἀνδραγαθεῖν κατὰ πάντων ὁμοῦ συνηγμένων ὁ Ἀχιλλεύς, ὁ εἰπὼν πρὸ μικροῦ, ὡς οὐ δύναται μόνος καὶ ἴφθιμός περ ἐὼν τοσήνδε μάχην ἐφέπειν. διαιρεῖ γοῦν πιθανῶς, ὡς εἰκός, αὐτοὺς εἰς δύο, ἵνα ῥᾴων εἴη αὐτῷ ἡ μάχη. ἀσχολεῖται δὲ εἰς τοὺς ἐν τῷ ποταμῷ διὰ τὸ ἀκινδυνώτερον. τὸν γὰρ πρὸ τοῦ τείχους πόλεμον οὐ θαρρεῖ διὰ τὸν ἐκ τῆς μητρὸς χρησμόν, ὃν αὐτὸς λέγει προϊών, φαμένης αὐτὸν Τρώων ὑπὸ τείχει ὀλέσθαι. πιθανὸν δὲ καὶ ἀστεῖον τὸ τοῦ ποταμοῦ πλάσμα. οὐ γὰρ οὕτως ἂν ἔβλαψε τοὺς ἡμίσεας ὁ Ἀχιλλεὺς ἐπὶ τῆς πεδιάδος, ὡς νῦν ἐγκλείσας οἷον τῷ ποταμῷ, ἔνθα χώραν ἔσχε καὶ ἡ ἐπιλογὴ τῶν δώδεκα κούρων, οὓς ἐπικατασφάξει τῇ τοῦ Πατρόκλου πυρᾷ. ὡς γοῦν τοὺς ἡμίσεας ἐγκλείσει τῇ πόλει, οὕτω τοὺς λοιποὺς ἐνταῦθα τῷ ποταμῷ ἐμπεριώρισε. πολλὴ δὲ ἡ τῆς ἀνδρίας περιουσία τῷ Ἀχιλλεῖ, εἰ τοσαύτας μυριάδας ἀνδρῶν διαιρῶν τοὺς μὲν εἰς τὴν πόλιν εἰλεῖ, τοὺς δὲ εἰς μοῖραν ἑαυτῷ ἀποτέμνεται. Σημείωσαι δὲ μάλιστα ἐνταῦθα τὴν εὐμέθοδον οἰκονομίαν τοῦ ποιητοῦ. ἀρχὴν γὰρ ἐν τούτοις προκαταβάλλεται τῆς εἰς ἔπειτα μυθικῆς τερατείας ἐπὶ τῇ τοῦ Ξάνθου καὶ τοῦ Ἡφαίστου μάχῃ. ἐμπεσόντων γὰρ τῶν Τρώων τῷ Ξάνθῳ κεραΐζει τε αὐτοὺς Ἀχιλλεὺς καὶ κατὰ τοῦ Ξάνθου ἐρεσχελεῖ. ὃ δ’ ἀγανακτεῖ καὶ δεινὰ εἰς τὸν Ἀχιλλέα ποιεῖ, ἐφ’ οἷς ἡ Ἥρα τὸν υἱὸν Ἥφαιστον ἀμυνοῦντα τῷ Ἀχιλλεῖ πέμπει. καὶ ὁ Ἥφαιστος πυριφλεγέθων πελάσας τῷ Ξάνθῳ ποιεῖ ὅσα δῆτα καὶ ποιεῖ.

4.445 τῆς τοίνυν τοιαύτης μάχης ἀρχὴ ἡ τῶν Τρώων εἰς τὸν Ξάνθον ἔμπτωσις, ἣν ἐνταῦθα λαλεῖ ὁ ποιητής. Ἔτι ἰστέον καὶ ὅτι καινοπρεπής τις ἐνταῦθα κεῖται σύνταξις καὶ οὐ καταλλήλως ἔχουσα. οὐ γὰρ ἔφρασε κοινότερον ὁμοιοπτώτως, ὅτι διατμήξας τοὺς μὲν κατὰ τῆς πεδιάδος ἐδίωκε, τοὺς δὲ εἰς ποταμὸν ἔρριψεν, ἀλλ’ ἔφη ὅτι τοὺς μὲν πεδίονδε δίωκεν, ἡμίσεες δὲ εἰς ποταμὸν εἰλοῦντο. καὶ οὕτως ἐξαλλάξας τὸ σχῆμα ἐδύασε καὶ οἱονεὶ συνεμέρισε τὸ φραστικὸν σχῆμα τοῦ λόγου τοῖς φεύγουσιν οὕτω καὶ οὕτω, ἵνα πως συνεξομοιώσῃ τὴν φράσιν τῷ πράγματι. εὐωδώθη δὲ ἡ ῥηθεῖσα κατὰ σχῆμα ἐναλλαγὴ ἐκ τῆς ἐπεμβολῆς. εἰπὼν γάρ· τοὺς μὲν κατὰ τὸ πεδίον ἐδίωκεν, εἶτα ἐπεμβαλὼν τό· τῇδε οὗτοι προχέοντο, ἐντεῦθεν ἀκολούθως τῷ οὗτοι μετέβη εἰς τὸ «ἡμίσεες δέ». καὶ ἔστι τὸ ὅλον οὕτω· τοὺς μὲν πεδίονδε δίωκε πρὸς πόλιν, καὶ οὕτω μὲν οὗτοι διωκόμενοι προχέοντο, οἱ δὲ ἡμίσεες ἔβαπτον εἰς ποταμόν. Ὅρα δὲ καὶ ὅτι, εἰ καὶ ἐνεχώρει, ὅμως οὐκ εἶπεν «ὅτ’ ἐμάρνατο φαίδιμος Ἕκτωρ», ἀλλ’ «ἐμαίνετο», δηλῶν τὸ ἐνθουσιωδῶς ἐκεῖνον χθὲς μάχεσθαι. δῆλον δ’ ἐκ τούτου ὅτι καὶ Ἄρης μαίνεσθαι λέγεται διὰ τὸ τοὺς πολεμιστὰς οὕτω μάχεσθαι. [Ὅτι δὲ ἐκ τοῦ μαίνεσθαι καὶ μαινόλης Διόνυσος, οὐκ ἄδηλόν ἐστιν. ᾧ καὶ αἱ Μαινάδες ᾠκείωνται διὰ τὴν ἐκ μέθης μανίαν τὴν κατὰ τοὺς οἰνομανεῖς, δι’ ἣν καὶ Λυαῖος ὁ αὐτός, ἤγουν στασιαστικός, παρὰ τὴν λύην, ὃ δηλοῖ στάσιν, λεγομένην οὕτω διὰ τὸ παραλύειν τῆς φιλικῆς ἑνώσεως. Ὅτι δὲ παρὰ τὸ μαίνεσθαι καὶ Μανής, ὁ δοῦλος, δῆλον καὶ αὐτὸ ἐκ τῶν παλαιῶν. τοῦτο δὲ διὰ τὸ μὴ φρενήρεις αὐτοὺς εἶναι ὡς ἐπὶ πολύ, καὶ μᾶλλον, εἴπερ οἴνου κατάκοροι γίνονται.

4.446 ] Σημείωσαι δὲ καὶ ὅτι ἐν τῷ χωρίῳ τούτῳ ἑρμηνεύει πραγματικῶς ὁ ποιητὴς τὸ περὶ πολέμου ἀλλαχόθι λεχθέν, τὸ «καί τε κτανέοντα κατέκτα». εἰ γὰρ ὅπου χθὲς Ἕλληνες φοβέοντο, ἐνταῦθα νῦν οἱ Τρῶς προχέοντο πεφυζότες, εἴη ἂν καὶ τοῦτο τοῦ κατὰ τὴν μάχην ἐπαμφοτερισμοῦ. (v. 6) Ἔστι δὲ τὸ «προχέοντο πεφυζότες», περίφρασις τοῦ φοβέοντο, καὶ δηλοῦται ἐν ἀμφοτέροις τὸ ἔφευγον. Τὸ δὲ προχέοντο ἐμφαντικόν ἐστι τῆς εἰς τὸν ποταμὸν ῥίψεως καὶ οἷον καταρροῆς τῶν φευγόντων, ἐξ ὧν αὐτὸς πλήθων ἦν, ἀστείως ῥηθέν, ὡς εἰ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὕδωρ ποθὲν χεόμενον τῷ ποταμῷ ἐμίσγετο. Τὸ δὲ «πεφυζότες» λέξις μέν ἐστι καὶ αὐτὸ ἀπεστραμμένη τὴν πεζολογίαν. δοκεῖ δὲ ἀπὸ ῥήματος συγκεκόφθαι τοῦ φυζῶ, φυζήσω, πεφύζηκα, πεφυζηκώς. (v. 6 s.) Τὸ δὲ «ἠέρα Ἥρη πίτνα πρόσθε βαθεῖαν» ταὐτόν ἐστι τῷ ἀορασίαν πολλὴν κατεπετάννυε πρὸ ὀφθαλμῶν τοῖς Τρωσίν, ὡς ἂν δηλαδὴ μὴ βλέποντες ἐν τῷ φεύγειν πίπτοιεν εἰς τὸν ποταμόν. δηλοῖ δὲ καὶ ἄλλως ἁπλῶς ὁ λόγος τὴν τῶν φευγόντων σκοτοδίνην, καὶ μάλισθ’ ὅτε κατὰ τὸν ποιητὴν πρόσθεν ὁρῶσι θάνατον. δείκνυται δ’ ἐν τούτοις καὶ τὸ φύσει σκοτεινὸν τοῦ ἀέρος, διόπερ ἡ τῆς ἀλληγορίας Ἥρα ἠέρα, ὅ ἐστι σκότος, ποιεῖ, κἂν ἄλλον τρόπον διὰ τὸ διαφανὲς λευκώλενος λέγεται. οὕτω καὶ ἀλλαχοῦ ἠέλιον ἀκάμαντα ἡ αὐτὴ Ἥρα ἔπεμψεν εἰς δύσιν πρὸ ὥρας, διὰ τὸ νομισθῆναι, φασί, πρὸ καιροῦ νύκτα διά τινα χαλεπὴν ὁμίχλην. (v. 7) Τὸ δὲ «πίτνα» ἐκ τοῦ πέτω γίνεται, ὑφ’ οὗ καὶ τὸ πίπτειν σημαίνεται καὶ τὸ πέτεσθαι. Ἰστέον γάρ, ὅτι τὸ πέτω προσλήψει μὲν τοῦ π πρὸ τοῦ τ τὸ πίπτειν ποιεῖ, προσλαβὸν δὲ τὸ ν μετὰ τὸ τ τὸ πιτνᾶν ἀποτελεῖ. [(v. 8) Τὸ δὲ ἀργύρεον ὕδωρ, ᾧ συντρέχει ὁ ἀργυροδίνης ποταμός, ἐπαινετόν ἐστι τῷ παντὶ πλέον ἤπερ τὸ παρὰ Πέρσαις χρυσοῦν καλούμενον ὕδωρ, ὅπερ ἦν λιβάδες ἑβδομήκοντα, οὗπερ οὐδείς, φασίν, ἔπινεν ὅτι μὴ βασιλεὺς καὶ ὁ τῶν παίδων αὐτοῦ πρεσβύτατος.

4.447 τῶν δ’ ἄλλων εἴ τις πίῃ, θάνατος ἡ ζημία. ἔχοι δὲ ἂν μέμψιν εὔλογον τὸ τοιοῦτον χρύσεον ὕδωρ, καθότι αἱ μὲν ἀργύρεαι τῶν Ὁμηρικῶν ποταμῶν δῖναι, ἤδη δὲ καὶ αἱ τῶν ἄλλων ὑδάτων ῥύσεις, ζωτικαὶ πᾶσαί εἰσι πινόμεναι. αἱ δὲ χρύσεαι βασιλικαὶ λιβάδες ἐκεῖναι εἰς Στύγα καὶ εἴ τι ἄλλο σύρρουν αὐτῇ πορθμεύουσι τοὺς αὐτῶν πίνοντας. ζητητέον δέ, εἰ καὶ τὸ Χοάσπειον ὕδωρ, οὗπερ ἔπινε στρατευόμενος ὁ Πέρσης βασιλεύς, τοιαύτην ἐπιτιμίου κῆρα ἐφείλκετο.] (v. 9) Ὁ πάταγος δὲ καὶ τὰ ἐφεξῆς ὠνοματοπεποιημένα, ἤγουν τὸ βράχε, τὸ ῥέεθρα, τὸ ὄχθαι, τὸ ἴαχον, ὅτι συνεκτραχύνουσι τὸν τοῦ λόγου ἦχον τῷ ῥεύματι, ἀνωτέρω εἴρηται. ὡς δὲ τὸ βράχειν καὶ ἐπὶ ἄλλων λέγεται, προδεδήλωται. Ὅρα δὲ καὶ τὸ «ἐνέπεσον», φανερῶς κείμενον ἐπὶ φυγῆς. ἔστι δὲ ὅτε καὶ οἱ νικῶντες ἐμπίπτειν λέγονται, ἤγουν βιαίως ἐπικεῖσθαι. καὶ ἔστι τότε τὸ ἐμπεσεῖν ὅμοιον τῷ ἐνθορεῖν, ὡς τὸ «ὃ δ’ ἔνθορε δαίμονι ἶσος». «Αἰπὰ δὲ ῥέεθρα» σημαίνει μὲν τὰ δύσβατα καί, ὡς προερρέθη, ὑψηλά, μετενεχθὲν ἀπὸ τῶν ἀκροτέρων. συστέλλει δὲ τὴν λήγουσαν ὡς ἀπὸ τοῦ αἰπέα συγκοπὲν κατὰ τοὺς παλαιούς, ἢ καὶ ὡς ἀπὸ τοῦ αἰπός, ἡ αἰπή, τὸ αἰπόν. τῆς δὲ αἰπῆς ἡ χρῆσις πολλαχοῦ. (v. 11) Τὸ δὲ «ἔννεον δηλοῖ μὲν τὸ ἐκολύμβων, ἔπαθε δὲ καὶ αὐτὸ πλεονασμὸν τοῦ ν διὰ μέτρον, ὡς καὶ τὸ ἔννεπε. Τὸ δὲ «ἔνθα καὶ ἔνθα» τοῦ «ἀμφὶ περὶ μεγάλα ἴαχον» ἔστιν ἐφερμηνευτικόν. ὃ γὰρ δηλοῖ τὸ «ἔνθα καὶ ἔνθα», τοῦτο καὶ ἡ αμφι καὶ ἡ περι ἐνταῦθα συνελθοῦσαι ὁμοῦ. (v. 12—6) Ὅτι καὶ ἐνταῦθα παραβολὴ κεῖται ὅλη ὅλῳ τῷ πράγματι προσαρμόζουσα, ἔνθα τοὺς Τρῶας φεύγοντας εἰς τὸν ποταμὸν ἀκρίσι παραβάλλει, αἳ φεύγουσιν ἐς ποταμὸν ὑπὸ ῥιπῆς πυρός, ὃ οἱ γεωργοὶ ἅπτουσι διώκοντες αὐτὰς τῶν σπορίμων. Φησὶ γὰρ «ὡς δ’ ὅθ’ ὑπὸ ῥιπῆς», ἢ «ὑπαὶ ῥιπῆς», «πυρὸς ἀκρίδες ἠερέθονται φευγέμεναι ποταμόνδε, τὸ δὲ φλέγει ἀκάματον πῦρ ὄρμενον ἐξαίφνης, ταὶ δὲ πτώσσουσι καθ’ ὕδωρ, ὡς ὑπ’ Ἀχιλλῆος Ξάνθου βαθυδινήεντος πλῆτο ῥόος κελάδων ἐπιμὶξ ἵππων τε καὶ ἀνδρῶν».

4.448 τὸ μὲν οὖν ἀκαταμάχητον τοῦ διώκοντος πυρὶ ἀκαμάτῳ παραβάλλει κατὰ τοὺς παλαιούς, ἀκρίσι δὲ τοὺς ἀτάκτως φεύγοντας. Ἰστέον δὲ ὅτι ἐντεῦθέν τινες ὁρμώμενοι καὶ μικροῖς μεγάλα τεκμαιρόμενοι Κύπριόν φασιν εἶναι τὸν ποιητήν. διὸ καὶ εἰδέναι αὐτόν, ὡς κατά τινας καιροὺς ὀχλεῖται ὑπὸ ἀκρίδων ἡ νῆσος, καθὰ καὶ ἡ Κυρήνη καὶ ἡ Βάρκη, αἱ Λιβυκαί. ἀλλ’ εἴ τις τούτοις καὶ πείθοιτο, καὶ διότι οἶδε πάθος τῆς νήσου Κύπρου διὰ τοῦτο νομίζεται Κύπριος, μυριόπατρις ἄρα ὁ ποιητής, ὡς πολλῶν ἔθη καὶ πάθη πόλεων ἱστορῶν. Ὅρα δὲ ὅτι καὶ ἐνταῦθα ταπεινὴ μὲν ἡ τῶν ἀκρίδων παραβολὴ πρὸς ἔμφασιν τῆς Τρωϊκῆς ταπεινότητος. ὁ δὲ ποιητὴς ἄλλως ἐπαίρει τὸ ταπεινὸν τοῦ παραβολικοῦ νοήματος τῷ φαιδρῷ τῆς φράσεως, ἥτις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκτέθειται. (v. 12) Ἀκρὶς δὲ κατὰ τοὺς παλαιοὺς ἐτυμολογεῖται ἀπὸ τοῦ α ἐπιτατικοῦ καὶ τοῦ γράω, τὸ ἐσθίω, ἐξ οὗ καὶ γράστις ἡ ὑπὸ τῶν ζῴων χλωρὰ ἐσθιομένη, καὶ γραῦς, ἣν ὁ χρόνος μικροῦ καὶ κατέφαγεν, οἱονεὶ οὖν ἀγρὶς καὶ κατὰ τροπὴν ἀκρίς, ἡ πάνυ γράουσα, ὅ ἐστιν ἐσθίουσα. Αἴλιος δὲ Διονύσιος ἐν τῷ ῥητορικῷ αὐτοῦ Λεξικῷ οὐκ ἐθέλει ὠνομάζεσθαι γράστιν ὅλως. φησὶ γάρ· κράστιν Ἀττικοὶ τὴν πόαν, γράστιν δὲ οὐδένες. [Ἰστέον δὲ ὅτι τε τῆς ἀκρίδος καὶ τῆς καρίδος τοῖς αὐτοῖς διοικουμένων γράμμασιν, ἐκείνης μὲν οὐκ ἔστι ῥῆμά τι ἐν χρήσει, ἐκ τῆς καρίδος δὲ χρηστόν ἐστι τὸ καριδῶ, ἤγουν ὡς εἰπεῖν σφαιρῶ, οἷον· αὕτη δὲ καριδοῖ τὸ σῶμα, καμπύλη τ' ἄγκυρά ἐστι, καὶ ὅτι παρὰ τὸ κάρη γίνεται καρίς. τὸ πλεῖστον γάρ, φασίν, αὐτῇ τοῦ σώματος ἡ κεφαλὴ ἀπηνέγκατο, καὶ ὅτι ἀκρὶς μὲν συστέλλει τὴν λήγουσαν, καρὶς δὲ πῇ μὲν βραχυκαταληκτεῖ ἀναλόγως παρ' Ἀττικοῖς.

4.449 ὡς γὰρ βολή βολίς, γραφή γραφίς, οὕτω κάρη καρίς, ταθείσης δὲ τῆς παρατελεύτου ἐτάθη καὶ τὸ τέλος, ὡς τὸ ψηφίς, κρηπίς, τευθίς. εἴρηται γοῦν ἐκτεταμένως τὸ «καρῖδες ἐξήλλοντο δελφίνων δίκην εἰς σχοινόπλεκτον ἄγγος», καὶ «ὠρχοῦντο ὥσπερ καρῖδες ἀνθράκων ἔπι πηδῶσαι κυρταί», καὶ «ἐρυθρότερον καρῖδος ὀπτῆς σὲ ἀποφανῶ». Ἰστέον δὲ ὅτι ἡ ῥαφανίς, ὡς ὁ Ἀθήναιος καὶ αὐτὸ παραδίδωσι, διφορεῖται κατὰ τὴν καρῖδα, καὶ ἐκτείνει μέν, φησί, τὴν λήγουσαν Ἀττικῶς παρὰ Κρατίνῳ ἐν τῷ «ταῖς ῥαφανῖσι δοκεῖ, τοῖς δ' ἄλλοις οὐ λαχάνοις», συστέλλεται δὲ παρ' Εὐπόλιδι ἐν τῷ «ῥαφανίδες ἄπλυτοι».] Ἠερέθεσθαι δὲ κατὰ πάνυ κυριολεξίαν ἐνταῦθα τὸ εἰς ἀέρα αἴρεσθαι πετομένας. (v. 13) Τὸ δὲ «ποταμόνδε», χρησίμως τῷ ποιητῇ ἐπελέγη. ποταμοῦ γὰρ μὴ παραρρέοντος φεύγουσι καὶ εἰς θάλασσαν. (v. 14) Ὄρμενον δὲ νῦν μετοχὴ καθαρῶς δηλοῦσα τὸ ἐγειρόμενον, παρὰ δὲ τοῖς μεθ' Ὅμηρον δηλοῖ μετοχικῶς ἡ λέξις καὶ κράμβης καυλόν. ὅθεν καὶ ἐξορμενίζειν τὸ ἐκκαυλεῖν. φησὶ γοῦν τις τῶν παλαιῶν, ὅτι ἀσφάραγος ἐν τῷ φῖ τὸ ἐκ τῶν ἀκανθῶν ἀναφυόμενον, τὸ δὲ ἐκ τῆς κράμβης ὄρμενον. ὁ δ' αὐτὸς λέγει καὶ ὅτι ἀσφοδέλου τὴν ῥίζαν Θεόφραστος καλεῖσθαί φησιν Ἐπιμενίδιον. ὡς δὲ καὶ τοπικὸν ὄνομα τὸ Ὄρμενον, ἀπό τινος Ὀρμένου κληθέν, προδεδήλωται. «Πτώσσειν δὲ καθ' ὕδωρ» τὸ μετὰ δειλίας πίπτειν. κατωτέρω δὲ ἡ λέξις καί τινα κρύψιν δηλοῖ ἐν τῷ «ἔπτωσσον ὑπὸ κρημνούς».

4.450 (v. 16) Τὸ δὲ «πλῆτο ῥόος» πλήθειν τὸν Ξάνθον ὑπολαλεῖ κατὰ τὸ «πλήθων ποταμός», καθὰ πρὸ βραχέων ἐγράφη. Κελάδων δὲ καὶ πρὸ τούτων ἐπίθετον ἦν ποταμοῦ ἐν τῷ «πὰρ ποταμὸν κελάδοντα». δῆλον δ' ὅτι καὶ ἐπὶ πόντου ἐν ἄλλοις λέγεται. (v. 17—9) Ὅτι καὶ ἐνταῦθα σχῆμά ἐστι τὸ κατὰ τὸ σιωπώμενον. ὡς μὲν γὰρ Ἀχιλλεὺς «δόρυ μὲν λίπεν αὐτοῦ ἐπ' ὄχθῃ κεκλιμένον μυρίκησι», ταῖς καὶ προρρηθείσαις, «ὃ δ' ἔσθορεν», ἢ ἔνθορε, «δαίμονι ἶσος, φάσγανον οἷον», ἤγουν μόνον, «ἔχων», λέγει ὁ ποιητής. ὅτι δὲ αὖθις αὐτὸ ἀνελάβετο, σιωπᾷ, νοεῖν ἀφεὶς ὅτι ἐν δέοντι πάλιν ἔλαβε. διὸ καὶ μεταχειρίσεται δόρυ κατὰ τοῦ Λυκαόνος. (v. 17) Ἡ δὲ ὄχθη καὶ κρημνὸς λέγεται. διὸ εἰπὼν ὁ ποιητὴς ἀνωτέρω, ὅτι ὄχθαι ἴαχον, προϊὼν λέγει τοὺς Τρῶας πτώσσειν ὑπὸ κρημνούς. (v. 18) Τὸ «δαίμονι ἶσος» καὶ ἐν τῷ τέλει τῆς προσεχοῦς ῥαψῳδίας ἔφη, καὶ μετὰ μικρὸν δὲ ὡσαύτως ἐρεῖ, ἐπαναπαυσάμενος τῇ παραβολῇ διὰ καὶ τὸ ὑψηλὸν καὶ σύντομον. (v. 19—21) Ἐπάγει δὲ Ὅμηρος μετὰ τὸ «φάσγανον οἷον ἔχων» καὶ ταῦτα «κακὰ δὲ φρεσὶ μήδετο ἔργα· τύπτε δ' ἐπιστροφάδην», ἤγουν ἐν τῷ ἐπιστρέφεσθαι ὧδε καὶ ἐκεῖ καὶ μηδένα τόπον προλείπειν, ἢ ἀντὶ τοῦ συνεστραμμένως ἢ ἰσχυρῶς. «τῶν δὲ στόνος ὄρνυτ' ἀεικὴς ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι ὕδωρ». ὅπερ ἀλλαχοῦ κατά τινα παρῳδίαν λέγει «ἐρυθαίνετο δ' αἵματι γαῖα. (v. 22- 6) Εἶτα ἐπιπλέκων παραβολὴν εἰκάζει τὸ πρᾶγμα οὕτω «ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι φεύγοντες πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου δειδιότες, μάλα γάρ τε κατεσθίει, ὅν κε λάβῃσιν, ὣς Τρῶες ποταμοῖο ῥέεθρα πτῶσσον ὑπὸ κρημνούς». Ἐνταῦθα δὲ παρατηροῦσιν οἱ παλαιοί, ὡς ὅτε ὁ διώκων μὲν ἐν γῇ ἦν, οἱ δὲ φεύγοντες ὠθοῦντο εἰς ποταμόν, τότε τὸν μὲν διώκοντα εἴκαζε πυρί, ἀκρίσι δὲ τοὺς

διωκομένους, ὅτε δὲ καὶ ἄμφω εἰσὶν ἐν τῷ ὕδατι, τὸν μὲν δελφῖνι, τοὺς δὲ ἰχθύσι παραβάλλει ἀναλόγως τῷ ὑποκειμένῳ τόπῳ. (v. 22) Ἰστέον δὲ ὅτι παρὰ τῷ Παυσανίᾳ φέρεται δελφὶς ὄργανον πολεμιστήριον πρὸς ναυμαχίαν, ὅθεν καὶ δελφινοφόρος ναῦς παρὰ Θουκυδίδῃ. καὶ δελφῖνα δὲ ναύτην φασίν, ὃς πρὸς ἱστοῖς ἐκρέματο τοῖς μὲν σιδηροῦς, τοῖς δὲ μολιβδοῦς καταράκτης εἰς τὰ λῃστρικὰ πλοῖα. μνεῖα δὲ τοιούτου δελφῖνος καὶ τῷ Κωμικῷ καὶ ἑτέροις. ἀλλαχοῦ δὲ περὶ τοῦ αὐτοῦ γράφει ὁ ῥηθείς, ὅτι δελφὶς ὁ καλούμενος κερκέτης ἐστὶ μηχάνημα σιδήρου, ὃ ἐξαρτᾶται τῆς νεώς, ὅταν ᾖ ἄνεμος, πρὸς τὸ ἀντέχειν.

4.451 ἄλλοι δέ φασιν ὄργανον μολιβοῦν πρὸς ναυμαχίαν, τοῦ δελφῖνος δὲ παρώνυμον. καὶ Δελφίνιον δικαστήριον Ἀθήνῃσιν ἐπὶ τῶν ὁμολογούντων, φασί, δεδρακέναι μὲν φόνον, κατὰ νόμους δέ, ὃ καὶ ἐπὶ Δελφινίῳ ἐκαλεῖτο, ὁμωνύμως τῷ ἐπὶ Δελφινίῳ δικάσασθαι. [Ἐνταῦθα δὲ παραπηκτέον περὶ δελφῖνος, τοῦ κήτους δηλαδή, ὅτι ζῷον εἶναι συνετώτατον περιᾴδεται καὶ φιλανθρωπότατον καὶ χάριν ἀποδοῦναι ἐπιστάμενον, ὡς καὶ ὁ Ἀθήναιος γράφει καὶ αἱ ἱστορίαι μαρτύρονται.] Τὸ δὲ «ἰχθύες ἄλλοι» ἀντὶ τοῦ ἀλλοφυεῖς φασιν οἱ παλαιοί. ἄλλο μὲν γὰρ γένος οἱ δελφῖνες κήτη ὄντες, ἄλλο δὲ γένος οἱ ἰχθύες. Ἕτεροι δὲ τὸ «ἄλλοι» νοοῦσι κατὰ διαφορὰν εἴδους, ὡς τῷ γένει μὲν ἰχθύων ὄντων καὶ τῶν δελφίνων, τῷ δὲ εἴδει διαφερόντων. διό, φασί, καὶ Πίνδαρος «ἰχθὺν παιδοφάγον» τὸ κῆτός φησι. τοιούτῳ δέ τινι λόγῳ καὶ ἐν τοῖς ἑξῆς τὰς ἐγχέλυας τῶν ἰχθύων ἀποδιαιρεῖ. (v. 23) Ὅρα δὲ καὶ ὅτι διαφορὰ καὶ ἐνταῦθα λιμένος κεῖται καὶ ὅρμου. «λιμένος» γάρ φησιν «εὐόρμου», ὡς τοῦ λιμένος ὅρμους περιέχοντος, καθὰ καὶ ἀλλαχοῦ γέγραπται. (v. 24) Τὸ δὲ «μάλα γάρ τε κατεσθίει» βορότητα καὶ ἀνδρίαν καὶ τάχος τοῦ δελφῖνος ὑποδηλοῖ, οὗ τὰ σεμνὰ σὺν ἄλλοις καὶ Ὀππιανὸς ἱστορεῖ. (v. 25) Τὸ δὲ «ποταμοῖο δεινοῖο» ἐνάγει καὶ εἰς τὸ «αἰπὰ ῥέεθρα» νοεῖν τὰ χαλεπά, καὶ οὐ μόνον, ὡς προερρέθη, ὑψηλά. ὅμοιον γάρ τι τὸ αἰπὰ ῥέεθρα καὶ δεινὸς ποταμός. Ἰστέον δὲ ὡς καὶ ἐνταῦθά τινες τὸ «δεινοῖο» δι᾽ ἰῶτα γράφουσι, λέγοντες δινὸν ποταμὸν τὸν δίνας καὶ συστροφὰς ἔχοντα. οὕτω καὶ ἐν τοῖς πρὸ τούτων δινὸν σάκος εἶπον τὸ δινωτόν, ὡς ἐκεῖ γέγραπται.

4.452 οὔκουν οὐδὲ τοῖς παλαιοῖς ἐνέλιπον οἱ τὰς λέξεις καινοτομοῦντες, οἵγε τοῦ Ὁμήρου εὐθὺς ἐνταῦθα ἐπαγαγόντος, ὅτι ἐπεὶ Ἀχιλλεὺς ἔκαμε χεῖρας ἐναίρων, ἀφῆκαν μὲν στίξαι εἰς τὸ χεῖρας, ἵνα ᾖ ἐναίρων ἔκαμε τὰς χεῖρας, ἐνόησαν δέ, ὅτι ἔκαμεν ἐναίρων χεῖρας, ἤτοι χειροκοπῶν. (v. 26—32) Ὅτι ἐπεὶ Ἀχιλλεὺς Τρῶας ἐναίρων ἔκαμε χεῖρας, τότε δή, ὡς οἷα κατά τι πάρεργον, «ζωοὺς ἐκ ποταμοῖο δώδεκα λέξατο κούρους, ποινὴν Πατρόκλοιο θανόντος», ὥς που προϋπέσχετο «τοὺς δ᾽ ἐξῆγε θύραζε τεθηπότας ἠΰτε νεβρούς, δῆσε δ᾽ ὀπίσσω χεῖρας ἐϋτμήτοις ἱμᾶσι, τοὺς αὐτοὶ φορέεσκον», ἤγουν ἔφερον, «ἐπὶ στρεπτοῖσι χιτῶσι· δῶκε δ᾽ ἑτάροισι κατάγειν κοίλας ἐπὶ νῆας». Καὶ ὅρα ὡς ἡ τοῦ καμάτου ἄνεσις τῷ Ἀχιλλεῖ ἑτέρας ἀριστείας τρόπος γίνεται κούρους ἐπιλεξαμένῳ καθ᾽ ἡσυχίαν ἐκκρίτους, ὡσεί περ ἁπλῶς ἀνδράποδα ἐπέκρινε, καὶ ὅτι κατὰ παροιμίαν τὴν λέγουσαν τοῖς ἑαυτῶν πτεροῖς ἁλίσκεσθαι τὰ βαλλόμενα ὄρνεα, οὕτω καὶ οἱ κοῦροι οὗτοι τοῖς ἑαυτῶν ἱμᾶσι δεσμοῦνται, οὓς ἔφερον, ἵνα εἴ τινα ζωγρήσουσι, δήσαντες ἀπαγάγωσι. στρατιωτικοῦ δὲ ἔθους καὶ τὸ τοιοῦτον φόρημα τῶν ἱμάντων. (v. 28) Ποινὴν δὲ Πατρόκλου λέγει κυριολεκτῶν τὴν ἀντέκτισιν καὶ ἐκδίκησιν τοῦ φόνου, ἐξ οὗ παράγεται ἡ ποινή. διὸ προϊὼν ἔρει «τίσετε Πατρόκλοιο φόνον». (v. 29) Τὸ δὲ «ἐξῆγε θύραζε» ἁπλῶς κἀνταῦθα εἶπεν ἀντὶ τοῦ ἔξω. Τὸ δὲ «καθὰ νεβρούς» ἀλλαχοῦ μὲν ἐπλάτυνεν, εἰπών· αἵτινες ἐπεὶ ἔκαμον θέουσαι καὶ τὰ ἑξῆς. ἐνταῦθα δὲ συντομώτατα ἔφρασε, συνεπιτεμὼν τὴν παραβολὴν τῇ ἡρωϊκῇ γοργότητι. μετ᾽ ὀλίγα δὲ γοργότατα ἐρεῖ δίχα παραβολῆς ἐν τῷ «ὃ δέ οἱ σχεδὸν ἦλθε τεθηπώς». (v. 30) Δῆσαι δὲ ὀπίσω χεῖράς φησι τὸ κοινῶς φραζόμενον ἀπαγκωνίσαι. (v. 31) «Στρεπτοὶ δὲ χιτῶνες» καὶ νῦν, ὡς καὶ ἐν τῇ ε′ ῥαψῳδίᾳ, οἱ θώρακες, ἐν οἷς, φασίν, οὐκ ἐζώνυντο, ἀλλ᾽ ἐφόρουν ἱμάντας παρηρτημένους ἔθει στρατιωτικῷ διὰ χρείας τινάς. (v. 34—48) Ὅτι Ἀχιλλεὺς Πριαμίδην Λυκάονά ποτε «ἦγε λαβὼν ἐκ πατρὸς

ἀλῳῆς οὐκ ἐθέλοντα, ἐννύχιος προμολών, ὃ δ’ ἐρινεὸν ὀξέϊ χαλκῷ τάμνε νέους ὄρπηκας, ἵν’ ἅρματος ἄντυγες ἦεν.

4.453 τῷ δ’ ἄρ ἀνώϊστον κακὸν ἤλυθε δῖος Ἀχιλλεύς. καὶ τότε μέν μιν Λῆμνον ἐΰκτιμένην ἐπέρασσεν νηυσὶν ἄγων, ἀτὰρ υἱὸς Ἰήσονος ὦνον ἔδωκεν κεῖθεν δὲ ξεῖνός μιν ἐλύσατο. πολλὰ δ’ ἔδωκεν Ἴμβριος Ἠετίων, πέμψε δ’ ἐς δίαν Ἀρίσβην. ἔνθεν ὑπεκπροφυγὼν πατρώϊον ἵκετο δῶμα. ἕνδεκα δ’ ἤματα θυμὸν ἐτέρπετο οἷσιν», ἤγουν ἰδίοις, «φίλοισιν, ἐλθὼν ἐκ Λήμνοιο. δυωδεκάτη δέ μιν αὖτις χερσὶν Ἀχιλλῆος θεὸς ἔμβαλεν, ὅς μιν ἔμελλεν πέμψειν ἐς Ἀΐδαο καὶ οὐκ ἐθέλοντα νέεσθαι». Ὅπως δὲ τὰ κατὰ τοῦτον ἐπράχθη, ἑξῆς δηλωθήσεται. νῦν δὲ ὅρα τὴν περιπέτειαν, εἴπερ τῷ ποτε ἐλεήσαντι ἄρτι περιτυχὼν ὁ Λυκάων θανάτῳ πεσεῖται ὑπ’ αὐτοῦ. (v. 36) Ἀλῳὴν δὲ ἐνταῦθα τὴν ἀμπελόφυτον ἴσως γῆν λέγει, ἐν ᾗ, ὡς εἰκός, ἦσαν καὶ ἐρινεοὶ πρὸς αἱμασιάν, ἐξ ὧν ἴσως ἔτεμεν ὄρπηκας ὁ Λυκάων. (v. 37) Τὸ δὲ «ἐννύχιος προμολών» ἀληθεύειν τὸν Ἀχιλλέα δείκνυσιν εἰπόντα πρὸ τούτων, ὡς πολλὰς ἀΰπνους ἴαυσα νύκτας, εἴγε καὶ τὸν Λυκάονα νυκτὸς προμολὼν εἷλεν, ὥς που καὶ τὸν Αἰνείαν, καθὰ προγέγραπται. Ἐν δὲ τῷ «ἐρινεὸν νέους ὄρπηκας» ἢ ἀντίπτωσίς ἐστι τὸ σχῆμα, ἵνα λέγῃ ἐρινεοῦ ὄρπηκας, ἢ παράθεσις μέρους πρὸς ὅλον διὰ σαφήνειαν. ὅλον μὲν γάρ τι ὁ ἐρινεός, μέρος δὲ οἱ νέοι ὄρπηκες, ὧν μόνων καὶ ἦν χρεία τῷ Λυκάονι. ἐρινεὸν δέ φασί τινες ἐνταῦθα ἀντὶ ἁπλῶς ξύλου εἰλῆφθαι. οὐ γὰρ εὐθετεῖν εἰς ἅρμα τὸν τῆς συκῆς ἐρινεὸν διὰ τὸ εὔθραυστον τοῦ ξύλου, εἰ μή τις ἑαυτὸν συκίνῃ διδόναι ἤθελεν ἐπικουρίᾳ. τυχὸν δὲ εἰς διαπλοκήν τινα ἐχρησίμευε τῷ τόπῳ τῆς ἄντυγος ὁ νέος ὄρπηξ τοῦ ἐρινεοῦ ὡς εὐλύγιστος, οὐ μὴν εἰς αὐτὴν τὴν ἄντυγα. γίνεται δὲ ὄρπηξ, ὁ διὰ σαφήνειαν ῥηθεὶς νέος, ἐκ τοῦ ὄρω, τὸ πηδῶ, καὶ τοῦ πήσσω πήξω, ὁ ἀναπηδήσας εἰς αὔξησιν εὐπαγῆ. (v. 39) Τὸ δὲ ἀνώϊστον δηλοῖ μὲν τὸ ἀνέλπιστον, καὶ γίνεται ἐκ τοῦ ὀΐω, τὸ ὑπολαμβάνω καὶ νοῶ, ἔκτασιν δὲ ἔπαθε τοῦ ο εἰς ω .

4.454 (v. 40) Τὴν δὲ Λῆμνον νῦν μὲν ἐϋκτιμένην, ἤγουν καλῶς οἰκουμένην, λέγει, προϊὼν δὲ καὶ ἠγαθέην ἐρεῖ. καὶ ἀλῳὴν δὲ ἐϋκτιμένην πρὸ ὀλίγων τε ἔφη καὶ μετ’ οὐ πολλὰ δὲ ὡσαύτως προσερεῖ. Τὸ δὲ «ἐπέρασε» δηλοῖ μὲν καὶ νῦν τὸ πέραν ἀπέδοτο καὶ διὰ θαλάσσης πλεύσας διεπώλησε. καιρία δὲ ὡς εἰς ποίησιν ἡ λέξις, διὸ καὶ πολλάκις αὐτῇ χρᾶται ὁ ποιητής, οἷον, «εἰς Λῆμνον ἐπέρασε», καὶ «εἰς Λῆμνον πεπερημένος», καὶ «μ’ ἐπέρασας». ἐντεῦθεν δὲ καὶ ἡ ἁπλῶς πρᾶσις παρὰ τοῖς ὕστερον κατὰ συγκοπήν. ἐκ δὲ τοῦ τοιούτου περᾶν [καὶ ὁ πεπερημένος] καὶ τὸ πέρνημι παράγωγον, ἐξ οὗ καὶ τὸ περνάμενος, καὶ τὸ «περνὰς νήσων ἐπ’ ἀλλοδαπάων». (v. 41) [Ὁ δὲ ὦνος ἐκ τοῦ ὠνή γέγονεν, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, καθὰ καὶ ἐκ τοῦ τιμή ὁ τῖμος. καί εἰσι ταὐτὰ ὦνος καὶ τῖμος.] (v. 42) Τὸ δὲ «ξεῖνος ἐλύσατο» δηλοῖ ὁποῖον ἀγαθὸν ἡ ξενία. ὁ γὰρ Ἠετίων οὗτος, ὁ τῷ πατρὶ τῆς Ἀνδρομάχης ὁμώνυμος, τὴν ξενίαν αἰδεσθεὶς ἐξωνήσατο ἐκ Λήμνου τὸν Λυκάονα, οὐχ’ ἁπλῶς λύτρα τῷ Ἰησονίδῃ Εὐνήῳ δούς, ἀλλὰ πολλὰ δοὺς καί, ὡς ἂν ἀλλαχοῦ φαίη, ἀπειρέσια. (v. 43) Ἡ δὲ Ἴμβρος, ἧς παρώνυμος ὁ ῥηθεὶς Ἴμβριος Ἠετίων, νῆσός ἐστιν Αἰολική, οὐ πολὺ τῆς Λήμνου ἀπέχουσα, ἀντιπέραν Τενέδου. ἐκ τῆς τοιαύτης Ἴμβρου τοὺς φυγοδικοῦντας Ἰμβρίους παροιμιακῶς ἐκάλουν. φησὶ γοῦν Αἴλιος Διονύσιος οὕτως. Ἴμβριοι, οἱ τὰς δίκας ὑποφεύγοντες, ἐπεί τινες εἰς δίκην καλούμενοι ἐσκήπτοντο ἐν Ἴμβρῳ εἶναι. Ἀρίσβη δὲ πόλις Τρῳάδος, Μιτυληναίων ἀποικίαν σχοῦσα, περὶ ἧς καὶ προείρηται. (v. 46) Τὸ δὲ δυωδεκάτη καινότερον καὶ αὐτὸ εἴρηται. οὐ γὰρ πρὸς τὸ ἕνδεκα ἤματα ἡ σύνταξις, ἀλλ’ ὡς πρὸς τὸ ἕνδεκα ἡμέρας, ὡς ἀδιάφορον ὂν ἤματα ἢ ἡμέρας εἰπεῖν, καθὰ καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ ἔχει τὸ «ἐννῆμαρ μέν, τῇ δεκάτῃ δέ».

4.455 (v. 47) Τὸ δὲ «χερσὶ θεὸς ἔμβαλεν», ὅ ἐστιν ἐνέθετο ἢ ἐνέρριψεν, ἄκραν εὐτυχίαν δηλοῖ. (v. 48) Τὸ δὲ πέμψειν ἐς Ἀΐδαο» ἀφελῶς καὶ ἀστείως εἴρηται πρός τινα ὁμοιότητα τοῦ «ἦγε λαβὼν οὐκ ἐθέλοντα», ὃ ἀνωτέρω γέγραπται. πεμφθεὶς μὲν γὰρ Λυκάων εἰς Ἀρίσβην ὑπεκπροέφυγεν, ἐξ Ἅιδου δὲ οὐκ ἂν φύγῃ. Τὸ δὲ «οὐκ ἐθέλοντα νέεσθαι» ἀστειότερον ἔτι ἐρρέθη καὶ ἀφελέστερον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰς Ἀρίσβην μὲν γὰρ ἑκὼν ἐπέμφθη, ἐς Ἅιδου δὲ οὐκ ἂν ἐθέλοι. Νέεσθαι δὲ νῦν οὐ τὸ ἐπανελθεῖν, ἐξ οὗ ὁ νόστος, ἀλλὰ τὸ πορευθῆναι ἤτοι κινηθῆναι, ὅθεν καὶ ὁ νόος καὶ ὁ νέος. [(v. 35) Ἰστέον δὲ ὅτι Λυκάων κοινῶς μὲν κύριον ὄνομα πολλοῖς προσώποις τεθέν, ὧν ἔκ τινος καὶ χώρα Λυκαονία, παρὰ δὲ τοῖς ὕστερον καί τι πάθος μανιῶδες νυκτιπλάνον ἀσχολοῦν περὶ μνήματα οὕτω καλεῖται.] (v. 50—2) Ὅτι πολλοῦ πολεμικοῦ καμάτου δηλωτικὸν τὸ «γυμνὸν ἄτερ κόρυθός τε καὶ ἀσπίδος, οὐδ' ἔχεν ἔγχος· ἀλλὰ τὰ μέν ῥ' ἀπὸ πάντα χαμαὶ βάλε, τεῖρε γὰρ ἱδρὼς φεύγοντα, κάματος δ' ὑπὸ γούνατ' ἐδάμνα». Ἐξαλλαγὴ δὲ σχήματος καὶ ἐνταῦθα ἐν τῷ «γυμνὸν ἄτερ κόρυθός τε καὶ ἀσπίδος, οὐδ' ἔχεν ἔγχος». τὸ δ' ἀκόλουθον ἦν εἰπεῖν· οὐδ' ἔχοντα ἔγχος. Ὅρα δὲ ὅτι γυμνὸν εἶπε τὸν ἄοπλον. ἐξ οὗ λαβόντες ἀφορμὴν οἱ μεθ' Ὅμηρον τοὺς γυμνῆτας ὠνόμασαν, [οἷς ὁμόστοιχοι καὶ οἱ κοινῶς μὲν ψιλοί, κοινότερον δὲ ψιλῆται.

4.456 ] Περὶ Λυκάονος δὲ ἐνταῦθα ὁ λόγος, ὃς τὰ μὲν ὅπλα πάντα ἔβαλε χαμαὶ φεύγων ἐκ ποταμοῦ, τοῖς ποσὶ δὲ τὴν σωτηρίαν ἐπέτρεψεν. Ἔνθα καὶ ὅρα δυστυχίαν βουλεύματος. ἀπογνοὺς γὰρ τοῦ ποταμοῦ καὶ φεύγων ὡς εἰς τὴν πόλιν πίπτει ὡς οὐκ ἤλπισεν. (v. 54—63) Ὅτι ἐκπλήττει τὸν Ἀχιλλέα, ἐὰν ἐκ τῆς νήσου Λήμνου ὁ αἰχμάλωτος Λυκάων ἔφυγε. διὸ καί φησιν ὡς ἐν ἠθοποιΐᾳ «ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι», ἤγουν ὁρῶ. «ἦ μάλα δὴ Τρῶες μεγαλήτορες, οὕς περ ἔπεφνον, αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος. οἷον δὴ καὶ ὅδ' ἦλθε, φυγὼν ὑπὸ νηλεὲς ἦμαρ, Λῆμνον ἐς ἠγαθέην πεπερημένος», ὡς προείρηται, «οὐδέ μιν ἔσχε πόντος ἁλὸς πολιῆς, ὃς πολεῖς ἀέκοντας ἐρύκει. ἀλλ' ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο γεύσεται, ὄφρα ἴδωμαι [φρεσὶν ἠδὲ δαείω», ἅπερ ἐκ παραλλήλου ταὐτὸν δηλοῦσιν,] «ἢ ἄρ ὁμῶς καὶ κεῖθεν ἐλεύσεται, ἤ μιν ἐρύξει γῆ φυσίζοος, ἥ τε κατὰ κρατερόν περ ἐρύκει». (v. 56) Καὶ ὅρα τὸ ἀναστήσονται, παλαιὰν καὶ ταύτην λέξιν, ᾗ χρᾶται καὶ Λιβάνιος ἐν τῷ εἰς τὸν Παραβάτην Ἐπιταφίῳ. Τὸ δὲ «ἦ μάλα δὴ Τρῶες ἀναστήσονται» καὶ ἑξῆς, ὑπερβολικόν φασι λόγον εἶναι οἱ παλαιοί. λέγει γὰρ ὅτι τάχα καὶ οἱ ἐν Ἅιδου Τρῶες ἐκεῖθεν φεύξονται, εἴπερ Ἑλλήνων θαλαττοκρατούντων ἐκ νήσων ἐπανασῴζονται. Ἐν δὲ τῷ «ὑπὸ ζόφου» καὶ «ὑπὸ νηλεὲς ἦμαρ», τοῖς ὄπισθεν, ἡ πρόθεσις ἀναπέμπεται, ἵνα ᾖ ὑπαναστήσονται καὶ ὑποφυγών. (v. 59) Σημείωσαι δὲ καὶ ὅτι ἐν ἄλλοις μὲν πόντος ἀπολύτως λέγεται, ἐνταῦθα δὲ πόντον θαλάσσης φησίν, [ὡς εἴ τις εἴπῃ κόλπον ἢ τόπον.] Ἔνθα καὶ παρηχεῖν δοκεῖ ὁμοῦ παρακείμενα τὸ «πολιῆς» καὶ τὸ «πολεῖς», ἤγουν πολλούς, καθὰ καὶ κατωτέρω τὸ «ὥρμαινε μένων». αὐτὸ δὲ παρήχησίς ἐστιν ἐκ τῶν ἤδη προσεσημειωμένων. Τὸ δὲ «ὃς πολλοὺς ἀέκοντας ἐρύκει» οὐχ' ἁπλῶς ἀργὸν κεῖται, ἀλλὰ προκλητικόν ἐστιν ἑτέρου ἀστείου νοήματος, τοῦ «ἀλλ' ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς», καὶ ἑξῆς, ὡς προγέγραπται ἕως τοῦ «κρατερόν περ ἐρύκει», οἷα ὁμοιότητος ταύτης οὔσης τῷ πόντῳ καὶ τῷ Ἅιδῃ. ὡς γὰρ ὁ πόντος πολλοὺς ἀέκοντας ἐρύκει, οὕτως ἡ γῆ κρατερόν περ ἐρύκει κάτω ὑπ' αὐτήν.

4.457 (v. 60 s.) Τὸ δὲ «γεύσεται δουρός» ἀντὶ τοῦ ἀποπειράσεται. ἐρρέθη δὲ καὶ πρὸ βραχέων λέξις τοιαύτη ἐν τῷ «γευσόμεθ' ἀλλήλων ἐγχειῇσι». (v. 62) Τὸ δὲ «κἀκεῖθεν ἐλεύσεται» ἢ μυστηριωδῶς ἐρρέθη ἀντὶ τοῦ ἐκ τῶν κάτω καὶ τοῦ Ἅιδου, ἢ κατὰ πρόληψιν εἴρηται ἀντὶ τοῦ ἐκ τῆς φυσιζόου γῆς, ἣν μετὰ τοῦτο λέγει, ἤγουν μετὰ τὸ «ἐκεῖθεν ἐλεύσεται», ὅπερ κατά τι πρωθύστερον προληπτικῶς ἐσχημάτισται. ἦν γὰρ ἀκόλουθον μνησθῆναι πρῶτα γῆς, εἶτα ἐπαγαγεῖν τὸ «ἐκεῖθεν ἐλεύσεται». τὸ δὲ ἐλεύσεται σὺν τῷ γεύσεται σώφρων ἐστὶ παρίσωσις, ὡς καὶ μετ' ὀλίγα τὸ τεθηπὼς καὶ μεμαώς. (v. 63) Σημείωσαι δὲ καὶ ὅτι τὸ «γῆ φυσίζοος», καὶ τὸ «ἣ κρατερόν περ ἐρύκει» ἔχει τι ἀντιθετικὸν ἀστεῖον, ἵνα λέγῃ, ὡς ἡ γῆ τὰ μὲν πρὸς τὸ ζῆν ἀναφύει, τοὺς δὲ ὕπ' αὐτὴν ἐλθόντας κατερύκει κάτω. ἡ δὲ γραφὴ τῆς φυσιζόου γῆς διὰ τοῦ ο μικροῦ, ὡς καὶ πρὸ τούτων ἐν τῷ «φυσίζοος αἶα». [(v. 54) Ἰστέον δὲ ὅτι τὸ ὁρῶμαι ἀντὶ τοῦ ὁρῶ, καὶ ὁρᾶτο ἀντὶ τοῦ ἑώρα, καὶ ὁρώμενος ἀντὶ τοῦ ὁρῶν, μυρίας ἔχει ὁμοιότητας. ἐν αἷς καὶ τὸ θύεται ἀντὶ τοῦ θύει καὶ θυόμενος ὁ θύων, οὗ χρῆσις καὶ παρὰ τῷ Ἀθηναίῳ, ἔνθα λέγει, ὅτι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀθηναίοις θυομένοις ἐν Δήλῳ τὴν χέρνιβα βάψας ὁ παῖς προσήνεγκε καὶ ἐν τῇ φιάλῃ μετὰ τοῦ ὕδατος ἰχθῦς κατέχεεν. εἶπον οὖν οἱ Δήλιοι μάντεις ὡς κυριεύσουσι τῆς θαλάσσης οἱ Ἀθηναῖοι, ὃ καὶ ἀπέβη αὐτοῖς. ἔστι δ’ ἐν χρήσει καὶ τὸ ἐκθύεσθαι, οἷον· ὁ δεῖνα ἐξεθύσατο τὸν φθόνον, ἤγουν ὡς οἷα διά τινος θυσίας ἱλεώσατο.] (v. 64—72) Ὅτι ὁ μὲν Ἀχιλλεὺς ἵστατο καὶ «ὥρμαινε μένων», ὡς προσεχῶς ἐγράφη, τεθαρρηκώς τε διὰ τὴν ὑπεροχὴν καὶ διαπορούμενος, ὡς ἐρρέθη, ἐπὶ τῷ Λυκάονι. ὁ δὲ ἰδὼν ἄφυκτα ἑαυτῷ «σχεδὸν ἦλθε τεθηπώς», ὡς καὶ αὐτὸ γέγραπται, «γούνων ἅψασθαι μεμαώς, περὶ δ’ ἤθελε θυμῷ ἐκφυγέειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν. ἤτοι ὃ μὲν δόρυ μακρὸν ἀνέσχετο», ἢ ἀνέσχεθε, «δῖος Ἀχιλλεὺς οὐτάμεναι μεμαώς», ἤγουν οὐτάσαι θέλων, «ὃ δ’ ὑπέδραμε καὶ λάβε γούνων κύψας», ὃ διασαφητικόν ἐστι τοῦ ὑποδραμεῖν.

4.458 «ἐγχείη δ’ ἄρ ὑπὲρ νώτου ἐνὶ γαίῃ ἔστη ἱεμένη», καθὰ καί τις ἔμψυχος, «χροὸς ἄμμεναι», ἢ δι’ ἑνὸς μ ἄμεναι, ἤτοι κορέσασθαι, «ἀνδρομέοιο. αὐτὰρ ὃ τῇ ἑτέρῃ μὲν ἑλὼν ἐλίσσετο γούνων, τῇ δ’ ἑτέρῃ ἔχεν ἔγχος ἀκαχμένον οὐδὲ μεθίει». (v. 73—7) Καὶ λισσόμενος ἔφη «γουνοῦμαί ς’, Ἀχιλλεῦ, σὺ δέ μ’ αἴδεο καί μ’ ἐλέησον· ἀντί τοι εἰμ’ ἱκέταο, διοτρεφές, αἰδοίοιο· πὰρ γὰρ σοὶ πρώτῳ πασάμην Δημήτερος ἀκτὴν ἤματι τῷ, ὅτε μ’ εἷλες ἐϋκτιμένῃ ἐν ἀλωῇ». (v. 78—9) Ἀναμιμνήσκει δὲ καὶ, ὅπως ἐπέρασεν αὐτὸν ὁ Ἀχιλλεὺς εἰς ἠγαθέην Λῆμνον, καὶ ὅσου τιμήματος διεπράθη. φησὶ γὰρ «ἑκατόμβοιον δέ τοι ἦλφον». τοῦτο δὲ ποιεῖ, ὡς ἂν δελεάσῃ τοῖς ὕστερον δώροις, ἅπερ τριπλᾶ δώσειν φησί. (v. 80) Λέγει γὰρ «νῦν δὲ λύμην τρὶς τόσσα πορών». (v. 99 sqq.) Ἐφ’ οἷς πᾶσιν ἀκούσει παρ’ Ἀχιλλέως· μή μοι ἄποινα λέγε, καὶ τὰ ἑξῆς. Ὅρα δὲ καὶ ὅπως τὰ κατὰ τὸν Λυκάονα γραφικῶς ὁ ποιητὴς ἐξέθετο. ἔστι γὰρ κατὰ νοῦν διαζωγραφῆσαι Ἀχιλλέα μὲν ἑστῶτα καὶ σὺν θαύματι ἀπορούμενον, τὸν δὲ Λυκάονα ἐλεεινὸν ὑποδραμόντα καὶ τῆς ἀψαύστου μελίας ἁπτομένον καὶ ποιοῦντα, ὅσα εἰκός, τοὺς ἱκετεύοντας. Καὶ σημείωσαι ὅπως ἔστιν οὗ διὰ πιθανότητα καὶ ἀστοχοῦντα τὸν Ἀχιλλέα ἐν ταῖς βολαῖς ποιεῖ, ὡς νῦν τε πάσχει καὶ μετ’ ὀλίγα ἐπὶ τοῦ Ἀστεροπαίου πείσεται. ἐν τούτοις εἰ καὶ ὁ Ἀχιλλεὺς δυστυχεῖ, ἀλλ’ ἡ τοῦ Ὁμήρου διαφαίνεται ἀρετή, θαυμαστά τινα, ὡς εἰκός, διατιθεμένου καὶ πρὸς πιθανότητα πλάττοντος. (v. 65 s.) Τὸ δὲ «περὶ δ’ ἤθελε θυμῷ ἐκφυγεῖν θάνατον» ἀφελῶς πρόσκειται, οὐ μὴν ἀναγκαίως. τί γὰρ ἐχρῆν προσθεῖναι τὸ κοινῶς θελητὸν ἀνθρώποις ἅπασιν, εἰ μή τι γε πρὸς διαστολὴν τῶν ἐθελοκακούντων. θάνατος δὲ κακός, τὸ κοινόν, καὶ κὴρ μέλαινα, τὸ ποιητικόν, ταὐτὰ ὄντα, κεῖται παράλληλα. (v. 67) Τὸ δὲ «ἀνέσχετο» εἴληπται καὶ νῦν ἀντὶ τοῦ ἀνέσχεν, ἀνέτεινε. (v. 68) Τὸ δὲ «λάβε γούνων», ὅ ἐστιν ἥψατο, καὶ τὸ «ἑλὼν γούνων» πολλαχοῦ τῆς ποιήσεως κεῖνται. ὅτε μέντοι τὸ ἑλεῖν οὐ σημαίνει τὸ ἅψασθαι, τότε δὴ αἰτιατικὴν ἔχει σύνταξιν, οἷον καὶ τὸ «ὅτε μ’ εἷλες ἐν ἀλωῇ», καὶ «ζωοὺς ἕλον» καὶ ἄλλα μυρία. [Ὡς δὲ τοῦ γούνων πρωτόθετον τὸ γονύων, καὶ ὡς κατὰ τὸ γόνυ κλίνεται καὶ τὸ κόνδυ, κόνδυος γὰρ ὡς γόνυος, δηλοῦσιν οἱ παλαιοί.

4.459 κόνδυα γοῦν ἀργυρᾶ φησιν ἐκεῖθεν ὁ Ἀθήναιος.] (v. 70) Τὸ δὲ «ἄμεναι» ἀπόστοργον μὲν πεζογραφοῦντι ῥήτορι, σκευωρεῖται δὲ οὕτως· ἄω, τὸ κορέννυμι, οὗ ἀπαρέμφατον ἄειν, καὶ Δωρικῶς ἆεν, ὥσπερ καὶ ἔδω, τὸ ἐσθίω, ἔδειν καὶ ἔδεν. εἶτα ὥσπερ πλεονασμῷ γίνεται ἐδέμεναι τετρασυλλάβως καὶ ἐν συγκοπῇ ἔδμεναι κατὰ τρισυλλαβίαν, οὕτω καὶ ἀέμεναι καὶ ἐν συγκοπῇ ἄμεναι, καὶ ἴσως διπλασιασμῷ Αἰολικῷ ἄμμεναι. (v. 71 s.) Τὸ δὲ «ἑλὼν ἐλίσσετο», παρήχησίς ἐστιν, ὥσπερ καὶ τὸ «ἔχεν ἔγχος». τοῦτο δ’ ἐνταῦθα καινότερον εἴρηται. συνήθως μὲν γὰρ ἡ ἐπὶ πολέμῳ μεταχείρισις δηλοῦται ἐν τῷ «ἔχεν ἔγχος», οὗ τὸ ἀνάπαλιν «οὐδ’ ἔχεν ἔγχος», ὡς πρὸ μικροῦ εἶπεν ὁ ποιητής. ἐνταῦθα δὲ τὸ «ἔγχος» ὁ Λυκάων ἀντὶ τοῦ ἐκράτει ἐπέχων καὶ κωλύων αὐτὸ τῆς βολῆς. διὸ καὶ ἐπήγαγεν εἰς ἑρμηνείαν τὸ «οὐδὲ μεθίει», δηλῶν ὡς κατεῖχε καὶ οὐκ ἀπέλυεν. Ὅρα δὲ καί, ὅπως ὁ Λυκάων οὐχ’ ὑγιῶς συλλογίζεται ἱκέτης εἶναι τοῦ Ἀχιλλέως διὰ μέσου τοῦ μετασχεῖν παρ’ αὐτῷ ἀκτῆς Δήμητρος, ὅ ἐστι τροφῆς, μονονουχὶ λέγων, ὅτι πᾶς ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τροφῆς παρά τινι πασάμενος καί που καὶ ὁμωρόφιος οὕτω γενόμενος ἱκέτης ἐστίν· ἐγὼ δὲ ἔσχον ταῦτα παρὰ σοί, ἄρα οὖν ἀντί τοί εἰμι ἱκέτου καὶ χρὴ αἰδέσασθαι τὴν τροφήν. ἴσως γὰρ διὰ τοῦτο καὶ διοτρεφῆ ὁ Λυκάων τὸν Ἀχιλλέα προσεῖπεν, ὡς ἄτοπον ὂν τὸν διοτρεφῆ τὴν ξενίαν τροφήν, ἧς ἐφορεύει Ζεύς, παρ' οὐδὲν θέσθαι, καὶ πρὸς τὸ ζῆσαι τροφῆς μεταδόντα εἶτα ζωῆς τὸν ἱκέτην στερῆσαι.

4.460 καὶ οὕτω μὲν πιθανῶς ὁ Λυκάων τὴν τοῦ «αἰχμάλωτος» λέξιν εἰς ἱκέτην μετέλαβε. τὸ δ' ἐστὶν οὐχ' οὕτως ἔχον. ἱκέτης μὲν γὰρ ἑκουσίως προσφυγών τινι, Λυκάων δὲ ἄκων γέγονε παρὰ τῷ Ἀχιλλεῖ ὡς αἰχμαλωτισθείς. οὐκ ὀρθῶς τοίνυν τὸ δουλικῶς τροφῆς μετασχεῖν εἰς τὸ τῶν ἱκετῶν δίκαιον ἐνέγραψεν, ὃ καὶ αὐτὸς ἴσως αἰσθόμενος, οὐ λέγει ὡς ἱκέτης εἰμί, ἀλλ' ὅτι ἀντὶ ἱκέτου σοί εἰμι, τουτέστι τρόπον τινὰ ἱκέτης, διὰ τὸ δοκεῖν κατὰ τοὺς παλαιοὺς ἱκέτην εἶναι τόν, ὡς εἰπεῖν, ἱκέστην, ἤτοι ἀφικόμενον, εἰς ἑστίαν τινός. ὅτι δὲ οἱ κυρίως ἱκέται καὶ αἰδοῖοι ἦσαν, πολλαχοῦ φαίνεται καὶ παρὰ τῷ ποιητῇ. διὸ καὶ πειρᾶται ὁ Λυκάων εἰς τοιούτου ἱκέτου τάξιν ἀγαγεῖν ἑαυτόν. καὶ ἄλλως δὲ λῦσαι τὸν τοῦ Λυκάονος παραλογισμόν, οὐκ ἔστι ταὐτὸν συμφαγεῖν καὶ παρά τινι φαγεῖν. Λυκάων οὖν αἰχμαλωτισθεὶς ἐπάσατο μὲν Δημήτερος ἀκτήν, ὡς εἰκός, παρὰ τῇ τοῦ Ἀχιλλέως σκηνῇ, οὐ συνέφαγε δὲ ὡς ὁμοδίαιτος. τὸ δὲ «παρὰ σοὶ πρώτῳ» μετὰ τὴν αἰχμαλωσίαν δηλαδή, τοῦτο δὲ ὡς πρὸς τὸν Ἰασονίδην καὶ τὸν Ἴμβριον Ἠετίωνα. αἰχμαλωτισθεὶς γὰρ πρῶτον παρὰ τῷ Ἀχιλλεῖ ἔφαγεν, εἶτα καὶ παρ' ἐκείνοις. (v. 76) Πάσασθαι δὲ καὶ νῦν τὸ γεύσασθαι, ὅθεν παρὰ τῷ Κωμικῷ ἀπαστία ἡ νηστεία. σκοπητέον δέ, εἴπερ τὸ Ὁμηρικὸν πάσασθαι ἐνδέδωκεν ἀφορμὴν τῷ ἐξώλει Σαρδαναπάλῳ εἰπεῖν ἐκεῖνο τὸ γελώμενον. ἔφη γάρ, ἢ ζῶν ἔτι ἢ καὶ θανὼν ὡς ἐν εἰδωλοποιΐᾳ, τὸ «τοσαῦτ' ἔχω ὅσα ἔφαγόν τε καὶ ἔπιον» καὶ ἑξῆς. πάσασθαι μὲν γὰρ ἐκ τοῦ πῶ πάσω, τὸ κτῶμαι. κτᾶσθαι δὲ ταὐτόν ἐστι τῷ ἔχειν, ὅπερ ἔφη ὁ Σαρδανάπαλος. Δημήτερος δὲ καὶ νῦν ἀκτὴ ἢ κλάσμα ἄρτου, ὅ ἐστι ψωμός, εἰπεῖν δὲ καὶ ἄλλως βλωμός, παρὰ τὸ ἄγω, τὸ κλῶ, ἢ ἡ ἄγουσα ἡμᾶς καὶ ποιοῦσα πορεύεσθαι. διὸ καὶ δαῖτά τινες ἴσην καὶ ἐΐσην ἐκ τοῦ ἰέναι ἠτυμολόγησαν. εἴρηται δὲ περὶ τῆς τοιαύτης λέξεως καὶ ἐν ἄλλοις. σεμνῶς δὲ οὐκ εἶπε σῖτον ἢ δαῖτα ἢ βρώμην ἢ βρῶσιν ἢ ἐδητὺν ἢ τοιοῦτόν τι, ἀλλὰ Δημήτερος ἀκτήν, ἵνα τὸ τῆς Δήμητρος δῶρον ὁ Ἀχιλλεὺς αἰδεσθῇ.

4.461 (v. 79) Ἑκατόμβοιον δὲ σταθμοῦ τι εἶδος καὶ νῦν, ὡς πολλαχοῦ φαίνεται. Τὸ δὲ «ἦλφον» χρόνου μέν ἐστιν ἀορίστου δευτέρου, ὡς καὶ τὸ ἔχραισμον καὶ ἔδουπον καὶ ἔκτυπον, δηλοῖ δὲ τὸ εὗρον, ἤγουν ὡς εὕρημά τι καὶ ἕρμαιον προσήγαγον. ἕρμαιον γάρ τι τοῖς στρατιώταις τὸ ἐκ τῶν αἰχμαλώτων κέρδος. Σημείωσαι δὲ ὅτι τε παρόμοιόν ἐστι τὸ «ἑκατόμβοιον ἦλφον» συνθέτῳ τῷ ἀλφεσίβοιαι—, γυναῖκες γὰρ ἀλφεσίβοιαι, ὅσαι εἰς προῖκα βόας ἦλφον—, καὶ ὡς, εἰ καὶ ἁρμόττει γυναιξί τε καὶ ἀνδράσι τὸ ῥηθὲν ἀλφεῖν, ὅμως οὐκ ἂν ῥηθεῖεν κατ' αὐτὸ ἀλφησταὶ οἱ τοιοῦτοι, ἀλλὰ κατὰ τὸ κοινόν. κυρίως γὰρ ἀλφησταὶ πάντες ἄνθρωποι διὰ τὴν περὶ τὰ πρακτέα εὑρετικὴν μέθοδον καὶ τὴν κατὰ τέχνας καὶ ἐπιστήμας εὕρεσιν, ἀφ' ἧς, εἴπερ ἐξῆν τολμῆσαι, ἀλφεσιτέχνους εἶχεν ἄν τις ποιητικώτερον εἰπεῖν αὐτούς. [Σημειωτέον δὲ ἐνταῦθα ὅτι, ὥσπερ παρὰ τὸν βοῦν Ἀλφεσίβοια καὶ Εὔβοια καὶ παρὰ τὰ μῆλα Φιλομήλα καὶ Πολυμήλη, κύρια ὀνόματα, οὕτω καὶ παρὰ τὸν ἵππον οὐ μόνον ἡ Εὐΐππη συνθέτως, ἀλλὰ καὶ κατὰ μόνας Ἵππη, ἑταίρας ὄνομα, ἥτις ἐραστήν, φασί, σχοῦσα Θεόδοτον τὸν ἐπὶ τοῦ βασιλικοῦ χόρτου, καὶ ὀψὲ ὥρας εἰσελθοῦσα ἐπὶ κώθωνα, ἤγουν συμπόσιον, πρὸς Πτολεμαῖον τὸν βασιλέα ἔφη· Πτολεμαῖε, ἐγχεέτω τίς μοι κοτύλας τέσσαρας, εἶτα εἰς τὴν μεγάλην. καὶ ὁ βασιλεὺς ἔφη· εἰς τὴν λεκάνην οὖν· δοκεῖς γάρ μοι πολὺν Ἵππη πάνυ χόρτον καταβεβρωκέναι, σκώπτων ὁ βασιλεὺς εἰς τὸ μεθύειν τὴν ἵππῳ παρώνυμον ἐκ διαπράσεως χόρτου ἢ ἐξ αἰτίας Θεοδότου τοῦ ἐπὶ τοῦ βασιλικοῦ χόρτου, ὃς δὴ χόρτος ἵππον κορεννὺς προκαλεῖται πίνειν πολύ. δῆλον δ' ὅτι ὥσπερ Ἵππη ἐκ τοῦ ἵππος, οὕτω καὶ Ἵππων, κύριον, ὁ ἄθεος, καὶ ὥσπερ ἐκ τοῦ βοῦς Εὔβοια κύριον, ᾗ ὁμώνυμος ἡ χώρα, οὕτω καὶ Εὔβοιος, κύριον, παρῳδεῖν καὶ οὕτω παίζειν λόγιος,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φασί, καὶ ἀμφιδέξιος, ὃς πολλὰ εἰσάγων ἐν τοῖς αὑτοῦ χαρίεντα ἔφη καὶ περὶ στασιασμοῦ τοῦ ἐν βαλανείοις τὸ «βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσι».

4.462 ] (v. 80) Τὸ δὲ «λύμην» δηλοῖ μὲν τὸ λυθείην, λύτρα δοὺς δηλαδή. καὶ ἔστιν εὐκτικὸν κατὰ τοὺς παλαιούς, ὀφεῖλον τῇ υι διφθόγγῳ παραλήγεσθαι. συστέλλει δὲ τὸ υ , μονόφθογγον γεγονὸς διὰ μέτρον, οἷα μηδὲ δυνάμενον διὰ διφθόγγου γράφεσθαι. οὐδέποτε γὰρ ἡ διὰ τοῦ υ καὶ ι δίφθογγος ὀπίσω συμφώνου πίπτει κατὰ τὴν παλαιὰν παρατήρησιν. δύναται δὲ καὶ παθητικὸς ὁριστικὸς παρατατικὸς εἶναι ἀπὸ τοῦ λῦμι ῥήματος, ἵνα εἴη καὶ νῦν χρόνος ἀντὶ χρόνου, παρῳχημένος δηλαδὴ ἀντὶ μέλλοντος τοῦ λυθήσομαι. Ἰστέον δέ, ὅτι καὶ ἐν τοῖς κατὰ τὸν Λυκάονα ἔδειξεν ὁ ποιητής, ὅτι, ὡς εἰκός, χρήματα οἱ Ἀχαιοὶ ἄλλοθέν τε ἐπορίζοντο καὶ ἀπὸ τοῦ τοὺς αἰχμαλώτους πωλεῖν. Ἀχιλλεὺς οὖν καὶ ἐκ τῆς τῶν ζώντων διαπεράσεως, ἤτοι, ὡς προγέγραπται, πράσεως, πολλὰ ἔσχεν. ἐρεῖ γὰρ μετ' ὀλίγα, ὅτι πολλοὺς τῶν Τρώων ζωοὺς ἕλον ἠδ' ἐπέρασα. ὅπερ καὶ ὁ Χρύσης εἰδὼς ἦλθε φθάσας εἰς τὸ ναύσταθμον, τὴν θυγατέρα λυσόμενος. εἰ δέ τι καὶ ἐκ τῶν νεκρῶν αἰχμαλώτων ἐκέρδαινον, ὁ νεκροπέρνας δηλώσει Ἀχιλλεύς. (v. 64—6) Ἰστέον δὲ ὅτι φιλοψύχου ἤθους τὸ «ὃ δέ οἱ σχεδὸν ἦλθε τεθηπώς» καὶ ἑξῆς ἕως τοῦ «καὶ κῆρα μέλαιναν», ὡς προγέγραπται. (v. 74) Ἱκετικὸν δὲ τὸ «γουνοῦμαί σε, σὺ δέ μ' αἴδεο καί μ' ἐλέησον». (v. 80—3) Ἔτι ἰστέον καί, ὅτι ὁ ῥηθεὶς Λυκάων μετὰ τὰ εἰρημένα ἐκθέμενος γοργῶς καὶ αὐτὸς τὸ «ἠὼς δέ μοί ἐστιν ἥδε δυωδεκάτη, ὅτ' ἐς Ἴλιον ἦλθον πολλὰ παθών», ἐπάγει «νῦν αὖ με τεῆς», ἤγουν σαῖς, «ἐν χερσὶν ἔθηκε μοῖρ' ὀλοή». καὶ ὅρα ὡς καὶ ἐνταῦθα ἰσοδυναμοῦσιν ἀλλήλοις τὸ τιθέναι καὶ τὸ βάλλειν. εἰπὼν γοῦν Ὅμηρος τὸ «νῦν δέ με σαῖς ἐν χερσὶν ἔθηκε μοῖρα», μετ' ὀλίγα φησίν, «ὃν θεὸς ἐμαῖς ἐν χερσὶ βάλῃ.

4.463 ἔφη δὲ καὶ πρὸ ὀλίγου «χερσὶν Ἀχιλλέως θεὸς ἔμβαλε». τοῦτο δὲ ἰσοδύναμον τῷ «Ζεύς με σοὶ αὖτις ἔδωκεν», ὃ μετ' ὀλίγα εἰρήσεται, δι' οὗ δηλοῦται, ὅτι δῶρον θεόθεν τοῖς ἀριστεῦσιν οἱ αἰχμάλωτοι. (v. 83—5) Εἶτα κεῖται ῥητὸν ὃ πᾶς ἂν ἐρεῖ καταγινώσκων ἑαυτοῦ θεομηνίας, ἐφ' οἷς ἐχθρῷ δὶς παρεδόθη, παρῳδήσας τὸν Δία εἰς θεόν. καὶ ἔστι τοιοῦτον «μέλλω που ἀπέχθεσθαι θεῷ πατρί, ὅς με σοὶ αὖτις ἔδωκε. μινυνθάδιον δέ με μήτηρ γείνατο». Λυκάων δὲ καὶ ταῦτα πρὸς Ἀχιλλέα φησίν. Ἰστέον δὲ ὅτι αὐτὸς ὁ Λυκάων ὄλεθρον ἑαυτοῦ καταψηφίζεται, εἴπερ ἀπέχθεται θεῷ, κατὰ τὸν ἐν Ὀδυσσείᾳ λόγον, ἔνθα ὁ Αἴολος «ἔρρ' ἐκ νήσου» λέγει τῷ Ὀδυσσεῖ, «οὐ γάρ μοι θέμις ἐστὶ κομιζέμεν ἄνδρα, ὅς κε θεοῖσιν ἀπέχθηται μακάρεσσι», καὶ πάλιν «ἐπεὶ ἄρα θεοῖς ἀπεχθόμενος τόδ' ἱκάνεις». (v. 84—8) Ἐπὶ δὲ τούτοις καὶ ἱστορίαν ὁ ποιητὴς γενεαλογικήν τε καὶ ἐθνικὴν παραπλέκων τοῖς κατὰ τὸν Λυκάονά φησιν «μήτηρ γείνατο Λαοθόη, θυγάτηρ Ἄλταο γέροντος». ὃν καὶ ἐπαναλαμβάνων ὡς ἄξιον λόγου διὰ Ἰωνικῆς γενικῆς φησιν «Ἄλτεω, ὃς Λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει, Πήδασον αἰπήεσσαν», τὴν ἤδη ῥηθεῖσαν, «ἔχων ὑπὸ Σατνιόεντι. τοῦ δ' ἔχε θυγατέρα Πρίαμος, πολλὰς δὲ καὶ ἄλλας», παλλακὰς δηλαδή. (v. 89) Ταῦτα δὲ ὁ Λυκάων εἰπὼν ἐπάγει ὅτι «τῆσδε δύω γενόμεσθα, σὺ δέ», ὁ Ἀχιλλεὺς δηλαδή, «ἄμφω δειροτομήσεις». λέγει δὲ ἑαυτὸν καὶ τὸν πρὸ ὀλίγου μνημονευθέντα Πολύδωρον. (v. 90—2) Εἶτα εἰδώς, ὡς τὸ «δειροτομήσεις», μέλλοντος ὂν χρόνου, τῷ μὲν Λυκάονι προσαρμόσει, τῷ δὲ Πολυδώρῳ οὔ, ἐκεῖνος γὰρ ἤδη προῴχετο, καὶ διορθούμενος τὸ συγχεθὲν ἀπὸ σχεδιασμοῦ φησιν «ἤτοι τὸν», ἤγουν τοῦτον δή, «πρώτοισι μετὰ πρυλέεσσιν», ἤγουν πεζοῖς, ὡς προέγνωσται, «δάμασσας, ἀντίθεον Πολύδωρον, ἐπεὶ βάλες ὀξέϊ δουρί. νῦν δὲ δὴ ἐνθάδε μοι κακὸν ἔσσεται», ὅ ἐστιν ἴσως δειροτομηθήσομαι μόνος ἐγώ, εἰ καὶ ἀνωτέρω ἔφην «ἄμφω δειροτομήσεις». Καὶ ὅρα τὸ «βάλες ὀξέϊ δουρί», δι' οὗ ἐνδείκνυται ὁ Λυκάων, ὡς καὶ ἄλλως ἔσφαλται τὸ «ἄμφω δειροτομήσεις». ἀμφοῖν γὰρ τούτοιν ὁ ἕτερος ὁ Πολύδωρος οὐκ ἐδειροτομήθη, ἀλλὰ δουρὶ βληθεὶς ᾤχετο, καθὰ ἱστόρηται.

4.464 (v. 95) Ἐπὶ δὲ τούτοις ὁ Λυκάων εἰς δυσωπίαν προβάλλεται αὐτό, τὸ Λαοθόης εἶναι υἱὸς καὶ μὴ τῆς Ἑκάβης, καί φησι «μή με κτεῖνε, ἐπεὶ οὐχ' ὁμογάστριος Ἕκτορός εἰμι», ὡς καὶ λυπηθῆναι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δηλαδὴ ἂν ἐκεῖνον ἐπ’ ἐμοὶ διὰ τὸ ὁμογάστριον, οἷα τῶν τοιούτων κασιγνήτων μάλιστα φιλουμένων τοῖς ἀδελφοῖς, ὡς προδεδήλωται. οὔκουν τὸν ἀμφιμήτριον Ἕκτορα, τὸν τοῦ Πατρόκλου αὐτόχειρα, ὁ ἐμὸς λυπήσει θάνατος, ἀλλ’ ἐκεῖνος μὲν ὀφειλέτης ἐστὶ ποινῆς, ἐμοὶ δὲ μᾶλλον εἰς δίκην ἀρκεῖ, ὅτι τὸν ὁμογάστριον ἀνεῖλες Πολύδωρον. (v. 96) Ἐπὶ τούτοις δὲ καὶ τὸν Πάτροκλον ἐπαινεῖ κολακεύων τὸν Ἀχιλλέα, εἰπών «ὅς τοι», ἤγουν ὁ Ἕκτωρ, «ἑταῖρον ἔπεφνεν ἐνηέα τε κρατερόν τε». ἔνθα καὶ τὸν Ἀχιλλέα συνεπαινεῖν δοκεῖ ὡς τοιοῦτον ὄντα, εἴπερ ὁ φίλος ἄλλος αὐτός. καὶ οὕτω μὲν ὁ Λυκάων τὸν Ἀχιλλέα ἐθέλει μειλίσσεσθαι λισσόμενος ἐπέεσσιν. (v. 98—105) «ἀμείλικτον δ’ ὄπ’ ἄκουσε. νήπιε, μή μοι» ταῦτα, ἢ μή μοι «ἄποινα πιφαύσκεο μηδ’ ἀγόρευε. πρὶν μὲν γὰρ Πάτροκλον ἐπισπεῖν αἴσιμον ἦμαρ, τόφρα τί μοι πεφιδέσθαι ἐνὶ φρεσὶ φίλτερον ἦεν Τρώων, καὶ πολλοὺς ζωοὺς ἕλον ἠδ’ ἐπέρασα», ὡς καὶ προεγράφη, «νῦν δ’ οὐκ ἔσθ’ ὅς κεν θάνατον φύγῃ, ὅν κε θεός γε Ἰλίου προπάροιθεν ἐμῇς ἐν χερσὶ βάλῃσι, καὶ πάντων» ἢ «συμπάντων Τρώων· πέρι δ’ αὖ Πριάμοιό γε παίδων». (v. 106—13) Εἶτα γλυκέως πάνυ κατὰ ἀφέλειαν καὶ ἐνδιαθέτως καὶ λαμπρῶς φησιν «ἀλλά, φίλος, θάνε καὶ σύ. τίη δ’ ὀλοφύρεαι αὔτως; κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων. οὐχ’ ὁράᾳς, οἷος κἀγὼ καλός τε μέγας τε; πατρὸς δ’ εἶμ’ ἐξ ἀγαθοῖο, θεὰ δέ με γείνατο μήτηρ, ἀλλ’ ἐπί τοι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα κραταιὴ ἔσσεται ἢ ἠὼς ἢ δείλη», κατὰ δέ τινας δείλης, «ἢ μέσον ἦμαρ, ὁππότε τις καὶ ἐμεῖο Ἄρει ἐκ θυμὸν ἕληται ἢ ὅ γε δουρὶ βαλὼν ἢ ἀπὸ νευρῆφιν ὀϊστῷ».

4.465 Καὶ ὅρα ὅπως συντόμως τὸν τοῦ Ἀχιλλέως ὁ ποιητὴς καὶ ἄρτι προαναφωνεῖ θάνατον. καὶ νῦν μὲν λοξῶς οὕτω κατὰ τὸ ἀμφίβολον τοῦ ἐνδοιασμοῦ, καθὰ καὶ πρὸ μικροῦ, ὅτε ὁ Ξάνθος ἵππος ἐλάλησε, προϊὼν δὲ σαφῶς ἐρεῖ τὸ ἀληθές. (v. 85 s.) Ὅρα δὲ ἐν τοῖς ἀνωτέρω γεγραμμένοις καὶ τὴν ἐπανάληψιν τοῦ Ἄλτου κατὰ διττήν, ὡς παρεσημάνθη, διάλεκτον. τὸ μὲν γὰρ Ἄλταο γέροντος Αἰολικόν, οὕτω δεῆσαν τῷ μέτρῳ, τὸ δὲ Ἄλτεω Ἰωνικὸν κατὰ μετρικὴν καὶ αὐτὸ χρείαν. (v. 86) Περὶ δὲ Λελέγων, εἰ καὶ ἔφθασε ῥηθῆναι, ὥσπερ δὴ καὶ περὶ Πηδάσου καὶ Σατνιόεντος, ἀλλ’ οὐ περιττὸν καὶ νῦν ἔσται εἰπεῖν τοσοῦτον, ὡς εἰ μὴ Πήδασον ἄρτι λέγει τὴν τῶν Καρῶν ἤτοι Λελέγων πόλιν, ἣν καὶ οὐδετέρως λέγουσι τὰ Πήδασα καὶ μετὰ τοῦ γ δὲ τὰ Πήγασα, νοηθείη δὲ Πήδασος Τρωϊκὴ πόλις, ἥν, ὡς προερρέθη, ὁ Ἀχιλλεὺς ἐπόρθησεν, οὐδὲ οἱ Λέλεγες ἄρα οὗτοι ἔθνος Καρικόν, ἀλλὰ Τρωϊκόν, καὶ ὅτι πλάνητες τὸ ἔθνος οἱ Λέλεγες. Φησὶ γοῦν ὁ Γεωγράφος, ὅτι Λέλεγες καὶ Καύκωνες ἄνθρωποι πλάνητες, καθὰ καὶ Πελασγοί, καὶ ὅτι τοὺς Λέλεγας ἐν τῷ Καταλόγῳ παραλέλοιπεν ὁ ποιητής, οὐχ’ ἱκανὸν ἡγούμενος τὸ σύστημα ὡς εἰς Κατάλογον τάττεσθαι, ἢ καὶ ὑπὸ τῷ Ἕκτορι τούτους καταλέγων ὡς ὄντας Λυκίους, ἐκ τῆς ὑπὸ τῷ Πριάμῳ δηλαδὴ Τρωϊκῆς Λυκίας. ὁ γὰρ Πριαμίδης Λυκάων Λαοθόης εἶναι λέγει θυγατρὸς Ἄλτεω, ὃς Λελέγεσσιν ἀνάσσει. οὕτω δέ, φησί, καὶ τοὺς ὑπὸ τῷ Φοίνικι Δόλοπας ἐσίγησεν, ὡς μετὰ τῶν Μυρμιδόνων ὄντας, ὁμοίως καὶ τοὺς ὑπὸ τῷ Ὀδυσσεῖ Ἀκαρνᾶνας. λέγει δὲ καὶ ὅτι γράφουσί τινες Πήδασον ὑποσατνιόεντα, ὡς ὑπὸ ὄρει Σατνιόεντι κειμένης τῆς πόλεως. οὐδὲν δέ, φησίν, ὄρος ἐστὶν οὕτω καλούμενον, ἀλλὰ ποταμός, ὃν ὀνομάζει ὁ ποιητής.

4.466 ἦν δὲ καὶ πόλις. ἠρημώθη δέ. (v. 88) Τὸ δὲ «πολλὰς δὲ καὶ ἄλλας» πολυγύνην εἶναι τὸν Πρίαμον δηλοῖ, ὡς καὶ ἐν τοῖς ἑξῆς που φανήσεται. ἐμφαίνει δ’ ἐνταῦθα ὁ ποιητὴς ἐν τῷ «πολλὰς ἄλλας», ὡς, εἴπερ ἤθελε, πολλὰς καὶ ἄλλας εὐμεθόδως ἱστορίας εἶχε νῦν παρεμβαλεῖν τῇ ποιήσει ἐξ ἀφορμῆς τῶν τοιούτων πολλῶν γυναικῶν. ἐλλειπτικῶς δὲ εἴρηται τὸ «πολλὰς καὶ ἄλλας». οὐ γὰρ θυγατέρας Ἄλτεω καὶ ταύτας, ἀλλὰ ἑτέρων τινῶν. (v. 89) Τὸ δὲ «ἄμφω δειροτομήσεις» συγχεθεὶς ὁ Λυκάων φησί. τὸν μὲν γὰρ ἀδελφὸν Πολύδωρον οἶδεν, ὡς πρὸ ὀλίγων ἐδηλώθη, μαθὼν μὴ δειροτομηθέντα, ἑαυτὸν δέ, ὃ πείσεται, ἀγνοεῖ. (v. 99) Πιφαύσκεσθαι δὲ ἐν μὲν τοῖς ἑξῆς τὸ φαίνειν καὶ ἐνδείκνυσθαι, οἷον «πιφαύσκεο φλόγα πολλήν». καὶ γίνεται ἐκ τοῦ φάω, τὸ λάμπω, φάσκω, καὶ ἀναδιπλασιασμῷ καὶ πλεονασμῷ τοῦ υ πιφαύσκω. ἐνταῦθα δὲ ἡ τοιαύτη λέξις τὸ φάσκειν, ὅ ἐστι λέγειν, δηλοῖ. διὸ «πιφαύσκεο»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰπὼν ἐπάγει ἑρμηνευτικῶς πρὸς διαστολὴν ὁμωνυμίας τὸ «μηδ’ ἀγόρευε», ἵνα ἐκ παραλλήλου ταὐτὰ εἶεν τὸ «πιφαύσκεο» καὶ τὸ «ἀγόρευε». ἐξαθερίζει δὲ τὴν τοιαύτην λέξιν ἡ πεζογραφία. (v. 100) Τὸ δὲ «Πάτροκλον ἐπισπεῖν αἴσιμον ἦμαρ» ἀμφιβολίας ἐστὶ σχῆμα. ἢ γὰρ ὁ Πάτροκλος λέγεται ἐπισπεῖν τὴν αἴσιμον ἡμέραν, ἢ ἡ αἴσιμος ἡμέρα τὸν Πάτροκλον. (v. 101) Τὸ δὲ πεφιδέσθαι Ἰωνικός ἐστι μέσος δεύτερος ἀόριστος. (v. 104) Τὸ δὲ «Ἰλίου προπάροιθεν» ἀπορίαν λύει τὴν διὰ τί ἐν τοῖς ὕστερον φείδεται οὐ Τρωὸς ἁπλῶς, ἀλλὰ τοῦ τῶν Τρώων βασιλέως Πριάμου ὁ Ἀχιλλεύς. καὶ ἔχει μὲν ἐκεῖνο λύσιν, ὡς αἰδεῖται τὸν γέροντα οἷα κυρίως ἱκέτην καὶ ὁμωρόφιον. λύεται δὲ καὶ ἐκ τῶν ἐνθάδε. οὐ γὰρ κρίνει ἁπλῶς μὴ πεφιδέσθαι μηδενὸς τῶν Τρώων, ἀλλὰ μόνων τῶν ἐμπεσουμένων εἰς χεῖρας αὐτῷ νῦν Ἰλίου προπάροιθε. Τὸ δὲ «ἐμαῖς ἐν χερσίν» ἀκρίβειάν τινα καὶ αὐτὸ ἔχει. φείσεται μὲν γάρ τινος, εἴπερ ἑτέρου τυχὸν ἐμπεσεῖται χερσίν, αὐτὸς δὲ ἑλὼν οὐκ ἂν φείσαιτο. Τὸ δὲ «ἐν χερσὶ βάλῃ», περὶ οὗ καὶ προεγράφη, ὅμοιόν ἐστι τῷ χερσὶ πελάσαι, ὅπερ ἀνωτέρω κεῖται. (v. 105) Τὸ δὲ «καὶ πάντων Τρώων» καὶ προϊὼν οὕτω λέγειν φιλεῖ ἐν τῷ «πάντες τίσετε φόνον». Τὸ δὲ «πέρι δ’ αὖ Πριάμοιο παίδων» δριμέως ἀντιφέρεται πρὸς τὸ «οὐχ’ ὁμογάστριος Ἕκτορός εἰμι». μονονουχὶ γάρ φησιν, ὡς Ἑκάβης μὲν οὐκ ἐγένου, ἔχεις δὲ πατέρα τὸν Πρίαμον, οὗπερ ἕνεκεν τεθνήξῃ.

4.467 καὶ τοῦτο ἦν αἴτιον τοῦ νήπιον ὑπ’ Ἀχιλλέως κληθῆναι τὸν Λυκάονα, οἷα μὴ νοήσαντα, ὡς οὐ τοσοῦτον ἐκ τῆς μὴ γεννησαμένης Ἑκάβης ὠφελεῖται εἰς ἔλεον, ὅσον βλάπτεται ὑπὸ τοῦ σπείραντος πατρός, οὗ τῶν παίδων μὴ πεφιδέσθαι ἄραρεν. Ὅρα δὲ καὶ ὡς ἐν τῷ «πέρι δ’ αὖ» φανερῶς ἡ περι πρόθεσις ἐπίτασιν δηλοῖ, κειμένη ἀντὶ τοῦ περισσῶς, καὶ οὐ νοουμένη μόνον, ἀλλὰ καὶ λεγομένη αὐτὴ καθ’ αὑτήν, καὶ οὐχ’ ὡς ἐν τῷ «πέρι μὲν βουλῇ Δαναῶν», καὶ «πέρι δ’ ἐστὲ μάχεσθαι», καὶ τοῖς τοιούτοις. [Ἰστέον δὲ ὅτι αἱ παλαιαὶ μὲν ἐπιτάσεις οἷον τὸ περι , τὸ ἀρι , τὸ ἐρι , τὸ δα , τὸ ζα , τὸ βου , καὶ ἄλλα ὅσα ἰδίᾳ μὲν νοητά, οὐ μὴν καὶ ἰδίᾳ ῥητά, ἔτι δὲ καὶ τὸ λίαν, πάνυ, ἄγαν καὶ τὰ λοιπά, ὅσα ἰδίᾳ καὶ νοοῦνται καὶ ἐκφωνοῦνται περὶ μίαν ὄντα λέξιν, καὶ ὁπόσα δ’ ἐν νοήμασι θεωροῦνται ὑπερθετικῶς, οἷον «ὁππόσον οὐρανός ἐστ’ ἀπὸ γαίης», ναὶ μὴν καὶ τὰ ἐν ὀνόμασιν ἐπιτείνοντα καθ’ ὑπέρθεσιν, κοινά τέ εἰσι καὶ οὐ παρασύρουσιν εἰς γέλωτα. οἱ δὲ γράφοντες εὐτραπέλως ἄλλως ἐθρασύναντο πρὸς ἀστεϊσμόν, οἷον ὁ γράψας ὑπερθετικῶς τὸ «αὐτότατος» καὶ ὁ συγκρίνας ᾀσμάτων σεμνῶν ποιητήν τινα πρὸς ἕτερον τοιοῦτον τοπικώτερον, καὶ εἰπὼν κρείττω ἐκεῖνον εἶναι ἡμέρας δρόμῳ. Ἄλεξις δὲ λέγεται εἶναι ὁ τοῦτο γράψας. δοκεῖ δὲ τῶν τοιούτων ἀρχὴν ἐνδοῦναι ὁ Κωμικὸς Ἀριστοφάνης, ἐν οἷς ἔφη μειράκιά τινα εἶναι Εὐριπίδου πλεῖν ἢ σταδίῳ λαλίστερα. τὰ δὲ ποιητικὰ ἐπιτατικά, τερατώδη ὄντα, οὔτε εἰς κοινότητα ἐθέλουσιν ἀναφέρεσθαι, οὐδὲ μὴν ἀστεΐζονται, πραγματεύονται δὲ σεμνότητά τινα καὶ ἔκπληξιν.] (v. 106) Τὸ δὲ «ἀλλά, φίλος, θάνε» πρός τε τὸ «μή με κτεῖνε» ἐλέχθη, καὶ ἔτι ἀστείως ἀντετέθη πρὸς τὸ «ἀντί τοί εἰμ’ ἱκέταο».

4.468 οἱονεὶ γάρ φησιν, ὅτι τὸ μεῖζον φίλος ὢν καὶ μὴ ἁπλῶς ἱκέτης, ὅμως θάνε. Τὸ δὲ «κάτθανε καὶ Πάτροκλος» οὐχ’ ἁπλῶς ἐφράσθη, ἀλλὰ κατὰ βαθὺν οἶκτον. ἐμφαίνει δὲ καὶ ὡς μὴ δεχόμενος ἄποινα τοῦ Λυκάονος ὁ Ἀχιλλεὺς αὐτὸν ἐθέλει ἀντίποινα τοῦ Πατρόκλου ἀνελεῖν, ὃ καὶ ἐπὶ τῶν ἄλλων Τρώων βούλεται, ὡς δηλοῖ μετ’ ὀλίγα εἰπὼν τὸ «εἰς ὅ κε πάντες τίσετε Πατρόκλοιο φόνον» καὶ ἑξῆς. ὃ δὲ ἐφεξῆς ὁ Ἀχιλλεὺς ἐπάγει περὶ ἑαυτοῦ, μονῴδημά τί ἐστι καὶ οἷον ᾠδάριον τοῦ ἥρωος, ἐφ’ ἑαυτῷ οἶκτον ἔχον. (v. 108) Ἰστέον δὲ ὅτι τὸ «καλός τε μέγας τε» ἐπαινεῖται ὡς ἄριστα συνδυασθὲν εἰς ἐγκώμιον. ὁπότερον γὰρ ἄν, φασίν, ἑτέρου στερηθῇ, οὐκ ἐντελῶς ἔχει πρὸς κόσμον σώματος. (v. 107 s.) Σημείωσαι δὲ καὶ ὅτι ἐν τῷ τόπῳ τούτῳ, καθὰ καί τινι σμικροτάτῳ ἐνόπτρῳ, ἴνδαλμά τι ὅλου ἐγκωμίου ἐμφαίνεται. τὸ μὲν γὰρ «πατρός εἰμι ἀγαθοῦ» καὶ μητρὸς τοιᾶσδε, τὸ τοῦ γένους κεφάλαιον ὑπολαλεῖ. τὸ δὲ «μέγας» τοῦ σώματός ἐστιν ἐκτὸς ὄντος, τὸ δὲ «καλός» σωματικά τε ἀγαθὰ ἐμφαίνει καὶ ψυχικά, τὸ δὲ «οἷος» πλειόνων ἐστὶν ἐμφατικὸν τῷ εὐεπηβόλως νοοῦντι. μέγα οὖν ἐγκώμιον εἰς ἑαυτὸν ἀνεπαχθῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λαλεῖ ὁ Ἀχιλλεύς. ὁ δὲ τόπος οὗτος μεταποιηθεὶς παντὶ ῥητορεύοντι χρησιμεύσει ἐπὶ προσώπῳ λαμπρῷ τε καὶ εὐγενεῖ. (v. 111) Τὸ δὲ «ἔσσεται ἢ ἠώς», ἤγουν πρωΐα, καὶ ἑξῆς, διαίρεσίς ἐστι τῆς ἡμέρας εἰς τρία μέρη. ὥσπερ γὰρ ἡ νὺξ τριχῇ διαιρεῖται, εἰς ἑσπέραν, εἰς ἀμολγὸν καὶ εἰς ἕω, οὕτω καὶ ἡ ἡμέρα, εἰς ἃ λέγει ὁ ποιητής. Τὸ δὲ «δείλης», εἴ τι προσεκτέον τοῖς καὶ οὕτω γράφουσιν, ἔλλειψιν ἂν ἔχοι τινά, ἵνα λέγῃ ἢ δείλης καιρὸς ἢ δείλης ὥρα ἤ τι τοιοῦτον.

4.469 καὶ ἄλλως δὲ εἴη ἂν ἐπιρρηματικὸν ἐξ ἐλλείψεως κατὰ τὸ ἐπίσης καὶ ἐπιπολῆς καὶ διακενῆς καὶ τὰ τοιαῦτα, ὡς ἐὰν εἴποι τις· ἔσσεται ἠὼς ἢ ἐπὶ δείλης. (v. 112) Τὸ δὲ «Ἄρει ἐκ θυμὸν ἕληται» δηλοῖ μὲν τὸ ἀνελεῖ σιδήρῳ, διφορουμένην δὲ τὴν γραφὴν ἔχει τοῦ ὀνόματος. γράφεται γὰρ καὶ διὰ διφθόγγου ὡς ἀπὸ τοῦ Ἄρεϊ. καὶ διὰ τοῦ ἦτα δὲ μετὰ προσγεγραμμένου τοῦ ἰῶτα ἐκ τοῦ Ἄρηϊ. (v. 113) Τὸ δὲ «ἢ δουρὶ βαλὼν ἢ ἀπὸ νευρῆφιν ὀϊστῷ» πάνυ μεγαλοπρεπῶς εἴρηται, ὡς μή τινος τολμῶντος ἐγγίσαι καὶ συστάδην πολεμῆσαι τῷ Ἀχιλλεῖ. δοκεῖ δὲ περιττῶς προσκεῖσθαι τὸ «ἀπὸ νευρῆφιν» ἐνταῦθα. δῆλον δὲ καὶ ὅτι ἀρχαίας χρήσεως ἡ νευρά, ἡ ἀπὸ νεύρου δηλαδή, ὕστερον γὰρ οὐ τοιαύτη ἐστίν. (v. 92—3) Ἔτι ἰστέον καὶ ὅτι ὁ ἐλπίζων πρός τινος ὄλεθρον ἐρεῖ «νῦν δὲ δὴ ἐνθάδε μοι κακὸν ἔσσεται» καὶ ἑξῆς ἕως τοῦ «ἐπεὶ ἐπέλασσέ γε δαίμων». (v. 97 s.) Ἐπὶ δὲ δυστυχοῦς ἱκέτου λεχθήσεται τὸ «ὣς ἄρα εἶπε λισσόμενος ἐπέεσσιν, ἀμείλικτον δ᾽ ὄπ᾽ ἄκουσεν». (v. 115) Ὅτι ὁ Λυκάων, σωθῆναι ἀπογνούς, «ἔγχος μέν», τὸ τοῦ Ἀχιλλέως δηλαδή, «ἀφέηκεν, ὃ δ᾽ ἕζετο χεῖρε πετάσας ἀμφοτέρας», ἐπευχόμενός που τὸν ταχὺν θάνατον. Καὶ ὅρα ὅτι ἐν ἄλλοις μὲν ἔγχος τις ἀφῆκεν ἀντὶ τοῦ εἰς βολὴν ἔπεμψεν, ἐνταῦθα δὲ ἄλλως εἴρηται ἀντὶ τοῦ κατέλειψε κρατεῖν τὸ τοῦ Ἀχιλλέως ἔγχος. καὶ ἔστι καὶ τὸ ἀφεῖναι ἔγχος ὁμώνυμον νόημα, ὡς καὶ πρὸ τούτου τὸ «ἔγχος», ὁ αὐτὸς Λυκάων τὸ τοῦ Ἀχιλλέως, ἤγουν κατεῖχεν, ἐκώλυε. Τὸ δὲ «πετάσας» μετήνεκται τροπικῶς ἐκ τῶν ἐν τῷ πέτεσθαι οὕτως ἁπλούντων τὰς πτέρυγας. (v. 114 s.) Ἰστέον δὲ καὶ ὡς ἀπογνόντος ἴδιον τὸ «τοῦ δ᾽ αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ, ὃ δ᾽ ἕζετο χεῖρε», ὡς ἐρρέθη, «πετάσας».

4.470 (v. 117—9) Ὅτι πληγὴν θανάσιμον ἐκφράζων φησὶ «τύψε κατὰ κληῗδα παρ᾽ αὐχένα πᾶν δέ οἱ εἴσω δῦ ξίφος ἄμφηκες, ὃ δ᾽ ἄρα πρηνὴς ἐπὶ γαίῃ κεῖτο ταθείς, ἐκ δ᾽ αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν». Λυκάων δ᾽ ὑπ᾽ Ἀχιλλέως οὕτω πάσχει. (v. 122) Ὅτι τοῖς πίπτουσι παρὰ τῷ ποιητῇ τοιαῦτά τινα ἐπιλέγονται «ἐνταυθοῖ νῦν κεῖσο», καὶ «ἐρρέτω» καὶ «φθείρεσθε» καὶ, «κεῖσο οὕτως». (v. 123 s.) Δυστυχίαν δὲ νεκροῦ δηλοῖ τὸ «οὐδέ σε μήτηρ ἐνθεμένη λεχέεσσι γοήσεται». Ὅτι ἐν ἀρχῇ μὲν ὁ νεοσφαγὴς ῥιφεὶς εἰς ὕδωρ κάτω δύνει διὰ στερρότητα σώματος, ἰσχυρότερος ὢν τοῦ ὕδατος, μετὰ δὲ ἡμέρας πληρούμενος ὑγροῦ καὶ φυσώμενος μετεωρίζεται βάρει τοῦ φέροντος ἐλαττούμενος. (v. 120—7) Καὶ δηλοῖ ὁ ποιητὴς τοῦτο ἐν τοῖς τοῦ Λυκάονος, ὡς παρασημειοῦνται οἱ παλαιοί, λέγων ὅτι Ἀχιλλεὺς τὸν Λυκάονα λαβὼν ἐκ ποδὸς εἰς ποταμὸν ἀφῆκε φέρεσθαι καὶ ἐπευχόμενος ἄλλα τε εἶπεν, ἐν οἷς καί, ὡς οὐ κλαυσεῖται αὐτὸν ἡ μήτηρ, καθὰ προσεχῶς ἐγράφη, ἀλλὰ Σκάμανδρος οἴσει ἐς θάλασσαν, καὶ ὅτι «κεῖσο μετ᾽ ἰχθύσιν, οἵ ς᾽ ὠτειλῆς αἷμ᾽ ἀπολιχμήσονται ἀκηδέες», ὅ ἐστιν ἀφρόντιδες, ἄφοβοι, καὶ ὅτι «θρῴσκων τις κατὰ κῦμα μέλαιναν φρῖχ᾽ ὑπαλύξει ἰχθύς», ἢ «ὑπαΐξει», τουτέστιν, ἐκ τῆς ἄνω μελαίνης φρικός, ἤγουν κυματώδους ἀνατάσεως, συγκαταδύσεται τῷ Λυκάονι κάτω, ὑπαΐξας ἢ ὑπαλύξας, τουτέστιν ἀφεὶς καὶ ἐκφυγών, τὴν ἐπιπολάζουσαν φρῖκα. (v. 127) Διὰ τί δὲ οὕτω καταδύσεται ὁ τοιοῦτος ἰχθύς; «ὥς κεν», ἤγουν ὅπως, «φάγῃσι, φησί, «Λυκάονος ἀργέτα δημόν». καὶ οὕτω δηλαδὴ πιανθήσεται.

4.471 ἔνια δέ γε τῶν ἀντιγράφων τὸ «ὥς κε» διὰ τοῦ ο μικροῦ γράφουσιν ἀκολούθως τῷ «θρῴσκων ἰχθύς». Ἰστέον δὲ ὅτι τινὲς οὔτε καταδῦντα τὸν Λυκάονα ἐνταῦθα, ὅ ἐστι βυθισθέντα, σκεπτόμενοι, ἀλλ᾽ ἄνω ὕστερον ὑποτιθέμενοι γεγονότα καὶ ἐπιπολάσαντα, καὶ τῇ γραφῇ δὲ τοῦ «ὑπαλύξει» ἀρεσκόμενοι, φασίν, ὅτι νῦν μὲν κάτω δύσεται ῥιφείς, μετὰ δέ τινας ἡμέρας ἀναπλεύσαντος τοῦ νεκροῦ τάχα ἄν τις λιπανθεὶς ἰχθύς, ὃς φάγῃ τὸν αὐτοῦ δημόν, ὑπαλύξει,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τουτέστιν ἐκφεύξεται, διὰ τὴν ἐκ τῆς λιπάνσεως θερμότητα τὸ θανατηφόρον ψῦχος, ὡς φρικός, φησί, λεγομένου τοῦ ψύχους, ὅπερ οὐκ ἔστιν Ὁμηρικόν. ἄλλοι δὲ «ὑπαΐξει» γράφοντες λέγουσιν ὅτι τοῦ νεκροῦ ὁμοίως ἀναδύντος, ὅ ἐστι μεθ’ ἡμέρας τινὰς ἄνω κουφισθέντος, ἰχθύς τις ὑπαΐξει, τουτέστιν ὑποδραμεῖται, τὴν φρῖκα τοῦ ὕδατος, ἤτοι τὴν ἐπιφάνειαν, ἧς ἄνω κεῖται ὁ νεκρός, ὃς ἰχθὺς καὶ φάγῃ τὸν τοῦ νεκροῦ δημόν. Καὶ ὅρα ἐν τοῖς ῥηθεῖσιν ἀμφιβόλους τε ἐννοίας, καὶ ὅπως ὁ Ἀχιλλεὺς σκώπτει μετὰ βαρύτητος. εἰσὶ γὰρ καὶ τὰ χωρία ταῦτα, ὡς καὶ ἐν τοῖς πρὸ τούτων ἕτερα διάφορα, κεκραμένα γλυκύτητι καὶ βαρύτητι. [Ἰστέον δὲ ὅτι σχεδιάζων ὁ Ἀχιλλεὺς ἔφη τὸ «θρῴσκων κατὰ κῦμα ἰχθύς». ἄλλως γὰρ καὶ ἐν ἀκυμάντῳ γαλήνῃ ἀναθρῴσκων τοῦ βάθους καὶ τῆς ἐπιπολῆς γινόμενος, εἶτα ὑποτρέχων τὴν πιμελὴν τοῦ Λυκάονος, λαφύξει αὐτὴν ἐπιτρέχουσαν, ὡς εἰκός, τῷ ὕδατι διὰ τὸ τοῦ δημοῦ ἐπιπολαστικόν, ὃ δὴ καὶ τὰ ἐλαιώδη ἐφ’ ὕδατος πάσχουσιν. ὅτι δὲ οὕτω πολλάκις οἱ ἰχθύες ποιοῦσι βοσκόμενοι, δηλοῦσι καὶ οἱ ἐκ τῶν θαλαττίων ἀφρῶν διοικονομούμενοι ἐν τῷ ὑποτρέχειν αὐτούς, καὶ οἱ ἐκ τῶν ἐπιπλεόντων βρύων ἀποζῶντες ὁμοίως ἰχθύες καὶ ὁ Στρυμὼν δέ, θέρους πράσιόν τι πάχος ἐπιπολάζον πάνυ πολὺ φέρων διηνεκῶς ἐπιτρέχον, τρέφει δι’ αὐτοῦ τὰ ἰχθύδια τῆς τοῦ ὕδατος ἐπιφανείας γινόμενα καὶ ἀπολιχμώμενα τὸ ἐπανθοῦν χλοερόν, ὅπερ ὁ τοῦ παντὸς κηδεμὼν εἴτε χλόην ἀναλύων εἴτε καὶ ἄλλως ποιῶν ἐφαπλοῖ τῷ ποταμίῳ ὕδατι ἕως καὶ εἰς ἡμέρας ψυχεινάς, ὡς παρατετήρηται.

4.472 Ὅτι δὲ ἡδὺ κρέας βρότειον ἰχθύσι, δηλοῖ καὶ ὁ παρὰ τῷ Δειπνοσοφιστῇ Ἀρχέστρατος, εἰπών· ἅπας δὲ ἰχθὺς σάρκα φιλεῖ βροτέαν, ἄν που περικύρσῃ.] (v. 123) Τῶν δ’ ἐν τοῖς ῥηθεῖσι λέξεων τὸ μὲν «ἀπολιχμήσονται» διὰ μόνου διχρόνου τοῦ ι ἔχει τὴν ἄρχουσαν διὰ τὸ δύο σύμφωνα ἐπάγεσθαι, εἰ καὶ ἄλλως ὤφειλε δίφθογγον ἔχειν ὡς ἀπὸ τοῦ λείχω. (v. 124 s.) Λέγει δὲ ἐν τούτοις καὶ τὸν Σκάμανδρον δινήεντα, ὡς καὶ ἄλλους πρὸ αὐτοῦ ποταμούς. (v. 126) Τὸ δὲ «θρῴσκων» ὅτι ἐν τῇ παραληγούσῃ τὸ ι προσγράφει, δηλοῦσιν οἱ Τεχνικοί. θορῶ γάρ, φασί, τὸ πηδῶ, οὗ παράγωγον θορίσκω, καὶ μεταθέσει θροΐσκω, καὶ ἐκτάσει τοῦ ο καὶ προσγραφῇ ἅμα τοῦ ι θρῴσκω. διὸ καὶ ὁ θρωσμός, φασίν, ὁ ἐκ τούτου γινόμενος, προσγεγραμμένον φέρει τὸ ι . (v. 127) Δημὸν δὲ ἀργέτα τὸ λευκὸν λίπος λέγει. δημὸς μὲν γὰρ τὸ λίπος παρὰ τὸ δαίω. ἀργὴς δὲ ἀργῆτος ὁ λευκός, ἐξ οὗ τὸ «ἀργέτα κατὰ συστολήν. τοῦτον δὲ καὶ ἐπινεφρίδιον δημὸν ἐν τοῖς ἑξῆς ἐρεῖ. (v. 128 s.) Ὅτι στρατηγὸς διώκων ἐχθροὺς ἐρεῖ ἂν τὸ «φθείρεσθε, εἰς ὅ κεν», ἤγουν ἕως, «ἄστυ κιχείομεν, ὑμεῖς μὲν φεύγοντες, ἐγὼ δὲ ὄπισθεν κεραΐζων». τί δὲ δηλοῖ τὸ κεραΐζειν, προδεδήλωται.

4.473 Ὅτι τοῖς ποταμοῖς ταύρους ἱέρευον, καθίεσαν δὲ καὶ ἐν ταῖς δίναις ζῳοὺς ἵππους, ὃ δὴ καὶ ἐπὶ Ξάνθου ἐποίουν οἱ Τρῶες. ὅτι δὲ οἰκειότητα ἔχει ὁ ταῦρος πρὸς τὸ ὑγρὸν καὶ διὰ τοῦτο καὶ Ποσειδῶνι θύεται, εἴρηται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. δηλοῖ δὲ τοῦτο καὶ Ἡρόδοτος ἐν οἷς φησι «σφαγιασάμενοι τῇ θαλάσσῃ ταῦρον». καὶ ἵππος δὲ ὡς ταχύτατον ζῷον προσήκει τοῖς ὠκυρρόοις ποταμοῖς. (v. 130—2) Τὰ δὲ ῥηθέντα ἐπὶ ποταμοῖς ἔθη Ὅμηρος ἱστορῶν φησιν «οὐδ’ ὑμῖν ποταμός περ ἐΰρροος ἀργυροδίνης ἀρκέσει», ὅ ἐστιν ἄρκιος φανήσεται, βοηθήσει, «ᾧ δὴ δηθά», ἤγουν ἐπὶ πολὺ καὶ συχνά, ἢ καὶ ἀεί, «πολεῖς ἱερεύετε ταύρους, ζωοὺς δ’ ἐν δίνῃσι καθίετε μώνυχας ἵππους». (v. 133—4) Εἶτα ἐπιφέρει ῥητὸν οἰκεῖον ὂν ἐπὶ ἀπειλῇ τῇ κατὰ κακούργων «ἀλλὰ καὶ ὣς ὀλέεσθε κακὸν μόρον, εἰς ὅ κε πάντες τίσετε» φόνον καὶ λοιγὸν τοῦ δεῖνος ἢ τῶν δεῖνα. Ἀχιλλεὺς δὲ ταῦτα κατὰ Τρώων λαλεῖ παθαινόμενος ἐπί τε τῷ ἑταίρῳ καὶ τοῖς Ἀχαιοῖς, οἵτινες ἂν εἶεν Ἀχαιοὶ ἐνταῦθα, εἴτε οἱ ὅλοι, εἴτε οἱ κατ’ αὐτὸν Μυρμιδόνες, ἰδίως καὶ αὐτοὶ οὕτω καλούμενοι, καθὰ σαφῶς προδεδήλωται. Ὅτι τερατώδη τινὰ καὶ φοβερὰν ἐνταῦθα περιπέτειαν ὁ ποιητὴς ἐξευρίσκει διὰ τοῦ ποταμοῦ, καὶ ψυχώσας οἷον αὐτὸν ὅλον τὸν Σκάμανδρον καὶ ὑβριοπαθοῦντα πλάσας ὡς ἅτε δαίμονα, χολούμενόν τε ποιεῖ καὶ ὁρμαίνοντα κατὰ τοῦ Ἀχιλλέως καὶ ποιοῦντα, ὅσα ἐρεῖ ἐν τοῖς ἐφεξῆς. αἰτία δὲ τῶν συμβησομένων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προκαταβέβληται νῦν τὸ φθάσαι ἀνωτέρω τὸν Ἀχιλλέα εἰπεῖν, ὅτι τοῖς Τρωσὶν οὐδ’ ὁ ποταμὸς οὗτος ἀρκέσει, ᾧ πολλὰ Τρῶες ἱερεύειν εἰώθασιν, ὡς ἀνωτέρω προσεχῶς εἴρηται. Καὶ ὅρα ὅπως δακνηρὸν ἡ ὕβρις. (v. 136—8) Φράζει δὲ τὰ τοῦ ῥηθέντος χόλου Ὅμηρος οὕτω «ὣς ἄρ’ ἔφη», ὁ Ἀχιλλεύς, «ποταμὸς δὲ χολώσατο κηρόθι μᾶλλον, ὥρμηνεν δ’ ἀνὰ θυμόν, ὅπως παύσειε πόνοιο», ἤγουν τῆς πολεμικῆς ἐνεργείας, «δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀμύνῃ». Ἐμφαίνει δ’ ἐν τούτοις Ὅμηρος μέθοδον ἀνασκαλεύειν εὑρέσθαι τινά, δι’ ἧς ἐγκόψει ποικιλίας χάριν τὴν ἄρτι ἐν τῷ ποταμῷ ἀριστείαν τῷ ἥρωϊ.

4.474 (v. 140—3) Ὅτι Ἀστεροπαῖος υἱὸς ἦν Πηλεγόνος, «τὸν δ’ Ἄξιος εὐρυρέεθρος γείνατο καὶ Περίβοια, Ἀκεσσαμενοῖο θυγατρῶν πρεσβυτάτη. τῇ γάρ ῥα μίγη ποταμὸς βαθυδίνης». καὶ τοῦτο μὲν ἡ Ὁμηρικὴ λέγει Μοῦσα. προϊὼν δὲ αὐτὸς ὁ Ἀστεροπαῖος διηγήσεται τὰ λοιπὰ τῶν κατ’ αὐτόν, μερίσαντος ἐπίτηδες κἀνταῦθα τοῦ ποιητοῦ τὸ διήγημα. (v. 152 s.) Ἐρωτηθεὶς γὰρ ὑπὸ Ἀχιλλέως, τίς ὢν ἔτλη ἀντίος αὐτοῦ ἐλθεῖν, ἐρεῖ «Πηλεΐδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις; (v. 154—60) Εἶτα ἐποίσει «εἶμ’ ἐκ Παιονίης ἐριβώλου, τηλόθ’ ἐούσης, Παίονας ἄνδρας ἄγων δολιχεγχέας. ἥδε δέ μοι νῦν ἠὼς ἑνδεκάτη, ὅτ’ ἐς Ἴλιον εἰλήλουθα. αὐτὰρ ἐμοὶ γενεὴ ἐξ Ἀξίου εὐρὺ ῥέοντος, Ἀξίου, ὃς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν, ὃς τέκε Πηλεγόνα κλυτὸν ἔγχεϊ, τὸν δέ μέ φασι γείνασθαι». (v. 160) Εἶτα τῇ συντόμῳ ταύτῃ διηγήσει ἐπάγει συντομωτάτην ἀξίωσιν «νῦν αὖτε μαχώμεθα, φαίδιμ’ Ἀχιλλεῦ», οὔτε πολυλογήσας κατὰ τὸν μαλακὸν Λυκάονα, οὔτε πτοηθείς, ὅτι μηδὲ εἶχε πεῖραν τῆς τοῦ Ἀχιλλέως ἀρετῆς, ὡς καὶ μετ’ ὀλίγα εἰρήσεται. (v. 141) Ἰστέον δὲ ὅτι τὸν Πηλεγόνα οἴονταί τινες οὐκ ἀπιθάνως αἴτιον εἶναι κλήσεως τῇ νῦν λεγομένῃ χώρᾳ Πελαγονίᾳ, ὡς ἐκεῖθεν ὄντων τῶν Παιόνων, οὓς ἄγει ὁ Ἀστεροπαῖος, καὶ ὅτι ὀξύνεται ὁ Πηλεγών, ὡς ὁ Λαιστρυγών, κατὰ τοὺς παλαιοὺς λέγοντας, ὅτι τὰ εἰς γων ὀξυνόμενα τρέπει τὸ ω εἰς ο ἐπὶ γενικῆς, οἷον Πηλεγόνος, Λαιστρυγόνος, καὶ ἀνάπαλιν τὰ μὴ φυλάσσοντα ἐπὶ γενικῆς τὸ ω δῆλον ὅτι ἐπ’ εὐθείας ὀξύνονται. τὰ δὲ μὴ ὀξυνόμενα ἢ φυλάσσει τὸ ω , ὡς τὸ Φαλάγγωνος, Αἴγωνος, ἢ διὰ τοῦ ντ κλίνεται, ὡς τὸ Οὐκαλέγοντος. τὸ καταπύγων βαρυνόμενον, φασί, καὶ διὰ τοῦ ο κλινόμενον ἔχει ἀφορμὴν τὴν ἐκ τοῦ ὁ κατάπυγος παρωνυμίαν, ὡς καὶ τὸ ἀπείρων τὴν ἐκ τοῦ ὁ ἄπειρος. Ἐν δὲ τῷ «εὐρυρέεθρος» ἐνθυμητέον καὶ τὸ ἐϋρείτης καὶ ἐΰρροον καὶ «εὐρῆος ποταμοῖο» καὶ τὸ βαθύρροος, ὠκύρροος, βαθυρείτης, ἀκαλαρείτης, καὶ ὅσοις ἄλλοις τοιούτοις ἐπιθέτοις ῥέει ὁ ποιητής, οἷα κἂν τοῖς τοιούτοις εὐροῶν. (v. 142) Τὸ δὲ Ἀκεσσαμενός ὡς κύριον ὀξύνεται πρὸς διαστολὴν τῆς μετοχῆς, ὥσπερ καὶ τὸ Σῳζομενός καὶ Τισαμενός, [ὧν ὁ μὲν Ἱστορικός, ὁ δὲ υἱὸς Ὀρέστου τοῦ Ἀτρείδου.
4.475 τοιούτου δὲ τόνου καὶ Ἀλεξαμενός, Τήϊος ἀνήρ, εὑρετής, φασί, τοῦ μιμητικῶς γράφειν.] Διὰ τοιαύτην δὲ αἰτίαν καὶ αἱ Κλαζομεναί, ἡ πόλις, ὀξύνεται, καὶ ἡ δεξαμενή δὲ καὶ ἡ εἰαμενή, ὡς προδεδήλωται. (v. 143) Τὸ δέ· ταύτῃ γὰρ ἐμίγη ποταμός, δοκεῖ μὲν ἐκ περισσοῦ κεῖσθαι, ἤρκει γὰρ εἰς νοῦν τέλειον τὸ «τὸν δ’ Ἄξιος γείνατο καὶ Περίβοια», Ὅμηρος δὲ προστίθησιν αὐτό, ἵνα οὕτω κρατυνεῖ τὸν μῦθον, καὶ μή τις ὀκνήσῃ ποταμοῦ παῖδα τὸν Ἀστεροπαῖον εἰπεῖν. (v. 154) Τὸ δ’ «εἶμ’ ἐκ Παιονίης» ἢ τὸ εἶμι δηλοῖ ἢ τὸ εἰμί, ἀκολούθως τῇ ἐξ Ἀχιλλέως ἐρωτήσει, πυθομένου «τίς πόθεν εἶς ἀνδρῶν». (v. 155) Τὸ δὲ ἐρίβωλος πρωτότυπόν ἐστι τῆς ἐριβώλακος. Περὶ δὲ Παιόνων ἀρκούντως ἐν τοῖς φθάσασιν εἴρηται. διείληπται δὲ περὶ αὐτῶν καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ. νῦν δὲ ἐκεῖνο ῥητέον, ὡς εἴπερ κατὰ τὴν ἱστορίαν Παίοσιν ὅμοροι Σελλοὶ καὶ Δόλοπες περὶ Δωδώνην μέχρις Ἀχελῴου, σημειωτέον τὸ πολὺ μῆκος τῆς τῶν Παιόνων γῆς, εἰ καὶ περὶ Στρυμόνα καὶ Ἄξιον καὶ ἕως Ἀχελῴου διατείνουσι. Τὸ δὲ δολιχεγχέας ἀπὸ εὐθεῖας ἐστὶ τῆς ὁ δολιχεγχής, διὸ καὶ παροξύνεται ὡς τὸ «εὐειδέας». προϊὼν δὲ ὁ ποιητὴς καὶ ἱπποκορυστὰς λέγει τοὺς Παίονας. ἐνταῦθα δὲ παρασημειοῦνται οἱ παλαιοί, ὅτι ἐν τῷ Καταλόγῳ μὲν ἀγκυλότοξοι Παίονες λέγονται, ὧδε δὲ δολιχεγχέες. καί φασιν, ὅτι ἢ ἐπαμφοτερίζουσι, καθὰ καὶ ὁ Τεῦκρος ποτὲ μὲν αἰχμάζων, ποτὲ δὲ τοξεύων, ἢ καὶ διττὸν γένος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰσίν, οἱ μὲν ὑπὸ τῷ Πυραίχμῃ, οἱ δὲ ὑπὸ τῷ Ἀστεροπαίῳ. φασὶ δὲ καὶ ἐν τῷ Καταλόγῳ μὴ κεῖσθαι τὸν Ἀστεροπαῖον, ἢ ὡς νεήλυδα, ἢ καὶ ὡς μὴ κυρίως ἡγεμόνα. οὕτω γάρ, φασί, καὶ ἐπὶ Ἀθηναίων ἐν τῷ Καταλόγῳ Μενεσθέως μνησθεὶς ἡγεμόνος ὁ ποιητὴς ἐν τῇ ἐπὶ ναυσὶ μάχῃ καὶ Στιχίου μέμνηται καὶ Φείδαντος. εἰ δὲ καὶ Πρωτεσιλάου πεσόντος Ποδάρκης εἶχε τὸ πᾶν τῆς ἀρχῆς, οὕτω καὶ Ἀστεροπαῖος διὰ τὸ τὸν Πυραίχμην προαναιρεθῆναι αὐτὸς νῦν ἄρχειν τῶν Παιόνων λέγεται. τινὲς δὲ καὶ τὸν Ἀστεροπαῖον ἐν τῷ Καταλόγῳ τάσσουσιν, ὑποτάσσοντες στίχον καὶ γράφοντες οὕτως «αὐτὰρ Πυραίχμης ἄγε Παίονας ἀγκυλοτόξους, Πηλεγόνος θ’ υἱὸς περιδέξιος Ἀστεροπαῖος».

4.476 (v. 157) Περὶ δὲ Ἀξίου εἴρηται ἀρκούντως ἐν τοῖς εἰς τὴν Βοιωτίαν. (v. 158) Ὃν ἐνταῦθα ὁ Ἀστεροπαῖος ἐπαναλαμβάνει πλείονος ἀξιῶν λόγου ὡς πρόγονον. καὶ ὕδωρ δὲ αὐτὸν κάλλιστον ἐπὶ γαῖαν ἱέναι λέγει, σεμνολογῶν διὰ τὸ γένος αὐτόν. τοῦτο δὲ καὶ ἐπὶ ἑτέρου ποταμοῦ ἐν Ὀδυσσείᾳ ὁ ποιητής φησιν. ὁ δὲ νοῦς τοῦ «κλυτὸν ἔγχεϊ» ὁ αὐτός ἐστι τῷ «δουρὶ κλυτός». (v. 159) Τὸ δὲ «τὸν δέ μέ φασι γείνασθαι» ὅμοιόν ἐστι τῷ «τοῦ μ’ ἔκ φασι γενέσθαι». (v. 163) Ἰστέον δὲ ὅτι τὸν Ἀστεροπαῖον καὶ περιδέξιον ὁ ποιητὴς ἱστορεῖ, εἰπὼν κατωτέρω «ἐπεὶ περιδέξιος ἦεν», τουτέστιν ὑπερδέξιος κατὰ τοὺς παλαιοὺς ἢ ἀμφιδέξιος, ὅ ἐστιν ἀμφοτεροδέξιος, ὁποῖοι καὶ ἄλλοι τινὲς πρὸ τούτου ἐφάνησαν. (v. 144 s.) Διὸ καὶ τῷ Ἀχιλλεῖ ἐπορούσαντι «ἀντίος ἐκ ποταμοῦ ἔστη ἔχων δύο δοῦρε». τί δὲ ἐποίησε καὶ τί ἔπαθεν, εὐθὺς εἰρήσεται. Δῆλον δὲ ὅτι ὥσπερ ἀμφιδέξιος, οὕτω καὶ ἀμφαρίστερος παρὰ τοῖς παλαιοῖς, ὡς καὶ ἀλλαχοῦ δηλοῦται, ὁ ἐναντίος τῷ ἀμφιδεξίῳ. [Ὅτι δὲ ἀγαθὰ μὲν καὶ εὐοιώνιστα παρὰ τοῖς παλαιοῖς τὰ δεξιὰ ἐκρίνοντο, οὐ τοιαῦτα δὲ τὰ λαιά, ἔκ τε τῶν οἰωνοσκοπιῶν δῆλον, καὶ ἐκ τῶν ἐξ ἀριστερᾶς πταρμῶν, καθ’ ὧν οὐκ εὐεμφάτως ἡ Κωμῳδία ἔπαιξεν. ἀκολούθως οὖν ψέγεται καὶ τὸ ἀμφαρίστερον καὶ τὸ ἐπαρίστερον. φέρεται δὲ καὶ παρῳδία σύμφωνος τούτοις παλαιά, τὸ «οὓς ἐδίδαξαν ἀριστερὰ γράμματα Μοῦσαι».] (v. 144—7) Ἰστέον δὲ ὅτι ἐν μέσῳ τῶν εἰρημένων κεῖται καὶ ὅτι Ἀχιλλεὺς μὲν ἐπόρουσεν, Ἀστεροπαῖος δὲ «ἀντίος ἐκ ποταμοῦ ἔστη, ἔχων», οἷα, ὡς ἐρρέθη, περιδέξιος, «δύο δοῦρε, μένος δέ οἱ ἐν φρεσὶ θῆκε Ξάνθος», ὁ τοῦ ποταμίου δηλαδὴ ταμίας ὕδατος, «ἐπεί», φησί, «κεχόλωτο δαϊκταμένων αἰζηῶν. τοὺς δ’ Ἀχιλλεὺς ἐδάϊζε κατὰ ῥόον οὐδ’ ἐλέαιρεν».

4.477 ὃ δὴ οἰκεῖον λέγειν ἐπὶ τῶν ὑγροῖς κτεινομένων. (v. 161—3) Ὅτι καινὸν σχῆμα καὶ ἐνταῦθα κεῖται. εἰπὼν γὰρ ὁ ποιητής, ὅτι ἀπειλήσας Ἀχιλλεὺς τῷ εἰρημένῳ Ἀστεροπαίῳ «ἀνέσχετο Πηλιάδα μελίην», ἐπάγει «ὃ δ’ ἁμαρτῇ δούρασιν ἀμφὶς ἥρως Ἀστεροπαῖος, ἐπεὶ περιδέξιος ἦν», ὡς εἴρηται. καὶ ἔστιν ὁ λόγος οὐκ εὐσύντακτος. οὔτε γὰρ ἀκολούθως πρὸς τὸ μελίην, ὅπερ ἐστὶν αἰτιατικῆς πτώσεως, εἴρηται τὸ «δούρασιν», ὤφειλε γὰρ δόρατα εἰπεῖν, ἀλλ’ οὐδὲ ῥῆμα κεῖται, ἵνα ἦν, ὅτι ὁ δὲ Ἀστεροπαῖος ὁμοῦ ὡς ἀμφιδέξιος δούρασιν ἔβαλεν ἢ ἠκόντισεν ἐξ ἀμφοτέρων τῶν χειρῶν. καινὸν οὖν τὸ σχῆμα διχῶς διὰ τὸ ἀνομοιόπτωτον καὶ διὰ τὴν τοῦ ῥήματος ἔλλειψιν, ἵνα τὸ καινὸν τοῦ προκειμένου πράγματος ἐξαγγελθείη καινῶς. τῷ ὄντι γὰρ οὐδείς πω τῷ Ἀχιλλεῖ οὕτω παρέσχε πράγματα ὡς ὁ Ἀστεροπαῖος οὗτος, ὃς οὐ μόνον ἔβαλεν, ὡς ῥηθήσεται, ἀλλὰ τῷ δόρατι τοῦ Ἀχιλλέως ἐπεβουλεύσατο, καθὰ καὶ αὐτὸ δηλωθήσεται. θρασύνεται δ’ ἐς τοσοῦτον ὁ Παίων ἥρως ἀληθῶς μὲν διὰ τήν, ὡς ἐρρέθη, ἀπειρίαν, ἥτις ἔοικεν ἐπᾶραι εἰς θράσος αὐτόν, οὐ γὰρ ἔφθη τὸν Ἀχιλλέα εὖ μάλα γνῶναι οἷα ἑνδεκαταῖος ἐν Τροίᾳ διάγων. ὡς εἴγε αὐτοῦ ἐπειράσατο, συνεστάλη ἂν καὶ αὐτὸς ὁμοίως τῷ Λυκάονι καὶ τοῖς λοιποῖς. μυθικῶς δέ γε θρασὺ ὁ Ἀστεροπαῖος φρονεῖ διὰ τὸ βοηθεῖσθαι τῷ ποταμῷ Ξάνθῳ, εἰς ὃν ἔφυγεν ὡς οἷά τις αἰδοῖος ἱκέτης. (v. 145—7) Φησὶ γὰρ ὁ ποιητὴς «μένος δέ οἱ ἐν φρεσὶ θῆκε Ξάνθος», οὐ μόνον ὡς ἱκέτῃ, ἀλλὰ καὶ ὡς κατὰ τοῦ Ἀχιλλέως κεχολωμένος αὐτός, διότι αἰζηοὺς Τρωϊκοὺς ἐδάϊζε κατὰ ῥόον. βοηθεῖ δὲ καὶ ἄλλως ὁ ποταμὸς Ξάνθος τῷ ἥρωϊ, ὡς ἐκ ποταμοῦ τοῦ Ἀξίου τὸ γένος κατάγοντι. (v. 162) Τὸ δὲ ἁμαρτῇ, ὃ σημαίνει τὸ ἅμα καὶ ὁμοῦ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀρίσταρχος ἀποκοπὴν εἶναι βούλεται τοῦ ἁμαρτήδην, καὶ οὐ προσγράφει τὸ ι . ἐλέγχει δέ, φασίν, αὐτὸν ἡ παράδοσις, περισπῶσά τε αὐτὸ καὶ σὺν τῷ ι γράφουσα τῷ χαρακτῆρι τῶν εἰς τη ἐπιρρημάτων. (v. 164—7) Ὅτι Ἀστεροπαῖος ἐναντίος, ὡς ἐρρέθη, ἐκ ποταμοῦ στὰς τῷ Ἀχιλλεῖ καὶ ἁμαρτῇ, ὡς περιδέξιος, δύο ἐπαφεὶς δόρατα, «ἑτέρῳ μὲν δουρὶ σάκος ἔβαλεν, οὐδὲ διαπρὸ ῥῆξε σάκος», τοῦ χρυσοῦ κἀνταῦθα κωλύσαντος, ὡς καὶ πρὸ τούτου ἀλλαχοῦ, «τῷ δ' ἑτέρῳ μιν πῆχυν ἐπιγράβδην βάλε χειρὸς δεξιτερῆς, σύτο δ' αἷμα κελαινόν».

4.478 Καὶ σημείωσαι ὅτι ὑπὸ τούτου μόνου Ἀχιλλεὺς βάλλεται. (v. 166) Δηλοῖ δὲ τὸ ἐπιγράβδην τὸ ἐπιπολῆς, ὡς μόνον ἐπιγράψαι καὶ ξέσαι τὸν πῆχυν. τραχύτερον δὲ τοῦτο τοῦ ἐπιλίγδην, ὃ καὶ αὐτὸ ἐδήλου τὸ ὅσον ἐπιψαῦσαι, λείως ὀνοματοποιηθὲν ἀπὸ ἀρρήτου ῥήματος τοῦ λίζειν, ὡς καὶ ἐν Ὀδυσσείᾳ φανεῖται. ἡ δὲ τοιαύτη ὀνοματοποιΐα καὶ τὰ λίστρα, ὡς καὶ προηρμήνευται, ποιεῖ, ἅπερ εἰσὶ πτύα σεσιδηρωμένα ἤγουν ξυστῆρες. καὶ λιστρῶσαι δὲ ἀπ' αὐτῶν τὸ ξῦσαι καὶ ὁμαλίσαι. ὁ μέντοι λίγδος οὐκ ἐντεῦθεν γίνεται, ἀλλά ποθεν ἄλλοθεν. περὶ οὗ φασιν οἱ παλαιοὶ οὕτω. λίγδος· κονία, ἀλοιφή, καὶ λίγδοι χωνευτήρια, χοάναι, ἡ τῶν νομισμάτων διατύπωσις. φασὶ δὲ καὶ τρήματα τὸν λίγδον ἔχειν συνεχῆ τῷ δέλτα παραπλήσια, δι' ὧν χαλκὸς ἠθεῖται. (v. 166) Πῆχυν δὲ εἰπὼν ἐπήγαγε τὸ χειρὸς πρὸς διαστολὴν ἑτέρων πήχεων. (v. 167 s.) Ἐνταῦθα δέ, εἴπερ ὤρθωται τὸ ἀντίγραφον, σχῆμα κεῖται καινόν. μετὰ γὰρ τὸ «σύτο», ἤγουν ἐξώρμησεν, «αἷμα κελαινεφές», τὸ καὶ ἐν ἄλλοις γραφέν, κεῖται τὸ «ἣ δ' ὑπὲρ αὐτοῦ γαίῃ ἐνεστήρικτο λιλαιομένη χροὸς ἆσαι», ὃ δὴ καὶ αὐτὸ πολλαχοῦ περιφέρεται. ἔστι δὲ ἡ καινότης τοῦ σχήματος ἐν τῷ «ἣ δὲ λιλαιομένη». οὐ γὰρ κεῖταί τι θηλυκὸν ἐν τῷ ποιητικῷ ἐδάφει, οἷον ἐγχείη ἢ αἰχμή, πρὸς ὃ ἀποδέδονται τὸ «ἣ δέ» καὶ τὸ «λιλαιομένη», ἀλλὰ εἰπὼν «τῷ δ' ἑτέρῳ πῆχυν ἐπιγράβδην βάλε χειρός», ἐπήγαγε τὸ «ἣ δὲ λιλαιομένη», οὐκ ἀποδοὺς τὴν σύνταξιν πρὸς δόρυ, ἀλλὰ πρὸς αἰχμὴν καὶ ἐγχείην, ἃ καὶ αὐτὰ δόρατά εἰσιν. ἴσως δὲ καὶ ἀπὸ κοινοῦ ἂν ἐνταῦθα προσυπακούοιτο ἡ ἀνωτέρω κειμένη μελίη τοῦ Ἀχιλλέως. ἀλλ' οὕτω μὲν προαφῆκεν ὁ Ἀστεροπαῖος. (v. 169—172) Ἀχιλλεὺς δὲ δεύτερος «μελίην ἰθυπτίωνα Ἀστεροπαίῳ ἐφῆκε, καὶ τοῦ μὲν ἀφάμαρτεν, ὃ δ' ὑψηλὴν βάλεν ὄχθην, μεσσοπαγὲς δ' ἄρ ἔθηκε κατ' ὄχθης μείλινον ἔγχος».

4.479 Καὶ ὅρα ὅτι Ἀχιλλεὺς ἀποτυγχάνει τοῦ βαλεῖν καὶ ἐπὶ τοῦ Λυκάονος, πλὴν ἄλλοθι μὲν ὑποδραμόντος τινὸς καὶ κατανωτισαμένου τὸ δόρυ μήπω μηδὲ ἀφεθέν, ἐνταῦθα δὲ μηδέν τι τοῦ Ἀστεροπαίου τεχνασαμένου, ἀλλὰ τοῦ δόρατος εἰς κενὸν πεμφθέντος. Ὅρα δὲ καὶ ὅτι ποικίλως ἐν τούτοις φράζει τὸ Ἀχίλλειον δόρυ. Πηλιάδα τε γὰρ μελίην, περὶ ἧς ἀλλαχοῦ δεδήλωται, καὶ μελίην ἰθυπτίωνα, καὶ μείλινον ἔγχος, καὶ δόρυ μείλινον, καὶ χάλκεον ἔγχος. (v. 169) Ἔστι δὲ ἰθυπτίων ἡ ἰθὺ πετομένη, τουτέστι κατευθὺ καὶ ἀπλαγιάστως, ὥς που ὁ ποιητὴς ἡρμήνευσε, διαλελυμένως εἰπὼν αὐτὴν ἰθὺ πέτεσθαι. Ἀρίσταρχος δέ, φασίν, ἰθυκτίωνα γράφει, τουτέστιν ἐπ' εὐθείας ἔχουσαν τὰς κτιδόνας, ἤγουν τὰς ἐν τοῖς ξύλοις διαφύσεις, ἃς οἱ ἰδιῶται ἶνάς φασιν. ἡ δὲ χρῆσις τῶν κτιδόνων δηλοῦται καὶ ἐν τῇ περὶ λίθων γραφῇ. [Ὅρα δὲ ὅτι Μαχάων μὲν καὶ Ἰξίων καὶ Ἰάσων ἐκτείνοντα ἐν τῇ εὐθείᾳ τὴν παραλήγουσαν συστέλλουσι κανονικῶς τὸ ο τῆς γενικῆς ὡς κύρια, τὸ μέντοι ἰθυπτίων, εἰ καὶ ἐκτείνει τὸ παραλῆγον δίχρονον, ὅμως τηρεῖ τὸ ω καὶ ἐν τῇ γενικῇ, ὡς μὴ ὂν κύριον.] (v. 171) Ὄχθην δέ, ὡς καὶ προεγράφη, τὸν κρημνὸν λέγει. διὸ προϊών φησιν, ὡς ἐκ κρημνοῦ ἐρύσατο ἔγχος, ὡς ταὐτὸν ὂν κατὰ πολυωνυμίαν ὄχθην εἰπεῖν καὶ κρημνόν, καθὰ καὶ πρὸ ὀλίγων εἴρηται. διὸ καὶ δὶς μὲν ὄχθην ἐνταῦθα, δὶς δὲ κρημνὸν τὸν αὐτὸν εἶπε τόπον. Ὅτι δὲ καὶ ἄνδηρα λέγονται αἱ τοῦ ποταμοῦ ὄχθαι, οἱ παλαιοὶ δηλοῦσιν, οἳ λέγουσιν, ὡς καὶ ἄνδηρά εἰσι καὶ αἱ τῶν τάφρων ἀναβολαί, ἤγουν τὸ ἀναβαλλόμενον χῶμα, δι' οὗ ὀχθώδης ἄνω ἡ τάφρος γίνεται.

4.480 (v. 172) Τὸ δὲ μεσσοπαγές ἀντὶ τοῦ ἕως μέσου παγὲν διά τε τὴν τοῦ ἥρωος βίαν καὶ τό, οἷα εἰκός, τελματῶδες τοῦ τόπου. εἰ δὲ γράφεται «μεσσοπαλές» διὰ τοῦ λ , δηλοῖ τὸ ἕως μέσου

παλλόμενον καὶ κραδαινόμενον. ἕτεροι δὲ συντόμως οὕτω συνελόντες ἀμφοτέρας τὰς γραφάς φασιν ὅπερ ἕως μέσου πεπηγὸς ἐπάλλετο κατὰ τὸν οὐρίαχον. (v. 173—81) Ὅτι ἐπεὶ Ἀχιλλεὺς ἄορ ὀξὺ ἐρυσάμενος παρὰ μηροῦ ἆλτο ἐπὶ τῷ Ἀστεροπαίῳ, παρὰ βραχὺ ἐκεῖνος τὴν τοῦ ἥρωος μελίην ἠχρείωσεν ἄν. ἐπεὶ γὰρ οὐ δύνατο ἐκ κρημνοῦ ἐρύσαι χειρὶ παχείῃ, ὡς χρήσασθαι δηλαδὴ αὐτῇ κατὰ τοῦ Ἀχιλλέως, τότε δὴ «τρὶς μέν μιν πελέμιξεν ἐρύσεσθαι μενεαίνων, τρὶς δὲ μεθῆκε βίη, τὸ δὲ τέτρατον ἤθελε θυμῷ ἆξαι ἐπιγνάμψας δόρυ μείλινον Αἰακίδαο, ἀλλὰ πρὶν Ἀχιλλεὺς σχεδόν», ἤγουν ἐγγύς, «ἄορι θυμὸν ἀπηύρα. γαστέρα γάρ μιν τύψε παρ’ ὀμφαλόν, ἐκ δ’ ἄρα πᾶσαι χύντο χαμαὶ χολάδες». Ἰστέον δὲ ὡς πάνυ περιποιεῖται τὴν μελίαν ταύτην ὁ ποιητὴς τῷ Ἀχιλλεῖ, ὅτι μὴ ἔχει ἑτέραν αὐτῷ πορίσαι ὁμοίαν. διὸ καὶ τῷ Πατρόκλῳ μόνην αὐτὴν τῶν ὅπλων οὐκ ἔδωκεν, ὡς προείρηται. (v. 175) Ὅρα δὲ ὅτι καὶ ἐρύσαι καὶ ἐρύσεσθαι παθητικῶς εἶπεν, ὡς ἐξὸν ἀμφοτέρως λέγειν. δηλοῖ δὲ ἡ λέξις τὸ ἑλκύειν. πλεονάζει δὲ μάλιστα ἐν διαθέσει παθητικῇ. φησὶ γοῦν ἐν τοῖς ἑξῆς «ἐρύσατο χάλκεον ἔγχος», καὶ ἀλλαχοῦ «ξίφος ὀξὺ ἐρυσάμενος». (v. 176) Πελεμίζειν δὲ καὶ νῦν τὸ διασαλεύειν παλάμῃ καὶ κινεῖν. (v. 178) Τὸ δὲ ἐπιγνάμψαι κατὰ κυριολεξίαν ἐνταῦθα κεῖται. ἐξ αὐτοῦ δὲ μεταφορικῶς ἀλλαχοῦ ἐρρέθη τὸ «ἐπιγνάμψασα φίλον κῆρ», καὶ τὸ «ἐπέγναμψε γὰρ ἅπαντας». (v. 180) Ὀμφαλὸς δὲ ὅτι πολυσήμαντον, δῆλον, καὶ ὅτι ἐκ τοῦ κατὰ ἄνθρωπον ὀμφαλοῦ ὀμφαλητόμοι τε λέγονται μαῖαι καὶ ὀμφαλητομία, ὅτε αὐταὶ ὀμφαλὸν βρέφους ἀποτέμνουσι.

4.481 (v. 181) Χολάδες δὲ οὐ μόνον παρὰ τὴν ξανθὴν χολήν, ὡς προδεδήλωται, ἀλλὰ καὶ παρὰ τὴν κοιλότητα, ὥς φασιν οἱ παλαιοί, οἱονεὶ κοιλάδες τινές. κοῖλα γὰρ καὶ τὰ ἔντερά εἰσιν, ἢ καὶ ὡς τῆς τροφῆς, ἣν κόλον λέγεσθαι δηλοῖ Ἀθήναιος, αὐτόθι καταντώσης, ὡσανεὶ κολάδες τινές. (v. 184—91) Ὅτι σύγκρισιν ἀφελῶς ὁ Ἀχιλλεὺς ποιεῖται κατὰ γένος ἑαυτοῦ τε καὶ τοῦ κειμένου καὶ ἐσκυλευμένου Ἀστεροπαίου. εὐχόμενος γάρ, ἤτοι καυχώμενος, εἶπε «κεῖσο οὕτω· χαλεπόν τοι ἐρισθενέος Κρονίωνος παισὶν ἐριζέμεναι ποταμοῖο περ ἐκγεγαῶτι. φῆσθα σὺ μὲν ποταμοῦ γένος ἔμμεναι εὐρὺ ῥέοντος. αὐτὰρ ἐγὼ γενεὴν μεγάλου Διὸς εὔχομαι εἶναι. τίκτε μ’ ἀνὴρ πολλοῖσιν ἀνάσσων Μυρμιδόνεσσιν, Πηλεὺς Αἰακίδης. ὁ δ’ ἄρ Αἰακὸς ἐκ Διὸς ἦεν. τῷ», ἤγουν διό, «κρείσσων μὲν Ζεὺς ποταμῶν ἁλιμυρηέντων, κρείσσων δ’ αὖτε Διὸς γενεὴ ποταμοῖο τέτυκται». Σημείωσαι δὲ ὅτι συνέδραμεν ἐπὶ Ἀχιλλέως πατέρων τε ἀρετὴ καὶ αὐτοῦ Ἀχιλλέως, ὡς εἰ μὴ τοῦτ’ ἦν, ἀτέχνως ἂν καὶ Ἀχιλλεὺς συνελογίζετο. οὐ γὰρ ἀρκεῖ τὸ ἐκ μόνου τοῦ γένους ἀγαθόν, ὡς καὶ ἐν ἄλλοις φθάσας ἔδειξεν ὁ ποιητής. Ἰστέον δὲ ὅτι τὸ τοιαῦτα λέγειν τὸν Ἀχιλλέα ἐπὶ τῷ Ἀστεροπαίῳ κειμένῳ καὶ ὡς εἰς κωφὴν γαῖαν λαλεῖν οὐ μόνον ἐξ ἤθους ἀφελῶς βαρυνομένου, ἀλλὰ καὶ ἄλλως ἐξ ἀνάγκης γέγονεν. εἰ μὲν γὰρ τοῦ Ἀστεροπαίου λαλήσαντος οὐκ εὐθὺς ἐρράγη μάχη, ἐξελάλησεν ἂν ταῦτα ὁ Ἀχιλλεὺς τότε. τοῦ δὲ Ἀστεροπαίου ταχὺ οὕτω πεσόντος, λαλεῖ νῦν, ἃ τότε ἀναγκαίως ἐσιώπησεν. ἡ δὲ σύγκρισις τῷ Ἀχιλλεῖ ἐκ τῶν τοῦ Αἰνείου εἴληπται, ἵνα πως καὶ αὐτὸς οὕτως ἐκ τοῦ ἐχθροῦ ὠφεληθείη. καὶ ἐκεῖνος γὰρ τοιαύτῃ μεθόδῳ ἑαυτὸν τοῦ Ἀχιλλέως κρείττω ἐδείκνυεν. Ἰστέον δὲ καὶ ὅτι ὁ μὲν Ἀστεροπαῖος, ἀκούσας ἐξ Ἀχιλλέως τὸ «τίς πόθεν εἶς ἀνδρῶν, ὅ», ἤγουν ὅστις, «μευ ἔτλης ἀντίος ἐλθεῖν;

4.482 δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσιν», ὃ καὶ ἕτερος πρὸ αὐτοῦ ῥήτωρ που ἔφη, ἐσέμνυνεν ἑαυτὸν τῇ τοῦ ποταμοῦ γενεᾷ, ὡς ἂν φανείη μὴ δυστήνου γένους εἶναι. Ἀχιλλεὺς δὲ καὶ οὕτως οὐδὲν ἧττον ἐξευτελίζει ἐκεῖνον ὡς αὐτὸς ἐκ Διὸς ὢν τοῦ μεγάλου καὶ οὐ ποταμοῦ εὐρὺ ῥέοντος. Ὅρα δὲ καὶ ὅπως ἡρώων γενεαλογίας ὁ ποιητὴς παρέρριψεν ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ τῷ ἐναγωνίῳ τῶν πράξεων τῶν πολεμικῶν παραμιγνὺς τὸ τῶν διηγήσεων ὕπτιον πρός τε ποικιλίαν λόγου καὶ πρὸς ἀνάπαυσιν τῶν ἀκροατῶν. [(v. 189) Ἰστέον δὲ ὅτι τῷ Αἰακῷ παρωνομάσθαι δοκεῖ ἡ Αἰακίς. κύλικος δὲ αὕτη εἶδος, ὡς ἐν τοῖς τοῦ Ἀθηναίου κεῖται.] (v. 190) Ποταμοὶ δὲ ἁλιμυρήεντες οἱ ἐν τῇ ἁλὶ μυρόμενοι, τουτέστι μετὰ ἤχου ῥέοντες, ἐν ταῖς ἐκβολαῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δηλαδή, καί, ὡς ἂν συνηθέστερόν τις εἴποι, μορμύροντες. ὡς γὰρ ἐκ τοῦ μαίρειν τὸ μαρμαίρειν, οὕτω καὶ ἐκ τοῦ μύρειν τὸ μορμύρειν γίνεται. [Τὸν ὅμοιον δὲ τρόπον καὶ μῦρος καὶ μορμύρος. ἑτεροειδεῖς μέντοι αὐτοὶ ἰχθύες εἰσί.] (v. 191) Τὸ δὲ «Διὸς γενεή» ὅμοιον ὡς εἰ καὶ παῖδας εἶπε Διὸς κατὰ τὸ «χαλεπὸν Κρονίωνος παισὶν ἐριζέμεναι». οἷς παισὶ καὶ ὁ Ἀχιλλεὺς συνεισάγεται ὡς ἀπόγονος. Τὸ δὲ «κρείσσων Διὸς γενεὴ ποταμοῖο» ἀναγκαίως χρῄζει διαστολῆς ἐν τῷ γενεή, ἵνα μὴ νοεῖν ἔχοι τις ὡς κρείσσων Διός ἐστιν ἡ τοῦ ποταμοῦ γενεά. Ἐν δὲ τῷ «ποταμοῖο» ὑπακουστέον ἀπὸ κοινοῦ τὸ γενεή, ὅπως μὴ κατὰ τοῦ ποταμοῦ ἡ σύγκρισις εἴη, ἀλλὰ κατὰ τῆς αὐτοῦ γενεᾶς. (v. 184 s.) Ἰστέον δὲ καὶ ὅτι κωλυτικὸν τοῦ πρὸς ἐνδόξους ἐρίζειν τὸ «χαλεπόν τοι ἐρισθενέος ἀνδρός», ἢ «ἐρισθενέων πατέρων παισὶν ἐριζέμεναι», παρῳδηθέντος δηλαδὴ τοῦ ἐρισθενέος Κρονίωνος εἰς ἑτέρας γενικάς. (v. 188) Ἀρχικοῦ δὲ ἀνδρὸς τὸ «τίκτε με ἀνὴρ πολλοῖσιν ἀνάσσων». (v. 192 s.) Σημείωσαι δὲ ὅπως δεξιῶς μεθοδεύει ὁ ποιητὴς τὰ κατὰ τὸν ποταμόν. ταπεινώσας γὰρ Ἀχιλλεὺς ἠρέμα τὸν Ξάνθον δι’ ἧς ἔφη συγκρίσεως, εἶτα εὐπλάστως καί τι βαρύτερον δίχα τῶν προλεχθέντων λαλεῖ κατ’ αὐτοῦ προκλητικὸν εἰς τὴν ἐφεξῆς ποταμίαν ἀγανάκτησιν, εἰπὼν «καὶ γὰρ σοὶ ποταμός γε πάρα μέγας, εἰ δύναταί τι χραισμεῖν».

4.483 (v. 193) Ἐπεὶ δὲ ὁ λόγος οὗτος πάνυ σφοδρὸς οἷα μυθικῶς ῥηθεῖς κατὰ θείου προσώπου, λεαίνει αὐτὸν ὁ ἥρως ἐπαγαγὼν τὸ «ἀλλ’ οὐκ ἔστι Διῒ Κρονίωνι μάχεσθαι», τὸν ποταμὸν δηλαδή, μονονουχὶ λέγων, ὡς οὐκ ἐμοὶ τὸν Ξάνθον ὑποβιβάζω, ἀλλὰ τῷ προγόνῳ μεγάλῳ Διΐ. ἐγὼ δὲ γενεὴ ὢν Διὸς κρείττων εἶναί φημι τῆς τοῦ ποταμοῦ γενεῆς. Ὅρα δ’ ἐνταῦθα τὸ «εἰ δύναταί τι χραισμεῖν», ὅπερ εἰ μὴ κολληθῇ μετὰ τοῦ «μέγας», ἵνα ᾖ ὁ ὢν μέγας, εἰ δύναταί τι χραισμεῖν, ἐλλείψεως ἄλλως ἔχει πάθος, ἵνα λέγῃ ὅτι δειξάτω, εἰ δύναταί τι, ἢ δεῖξον σύ, εἰ δύναται, ἤ τι τοιοῦτον. ὅπως δ’ ἂν ἔχοι σχήματος τὸ «εἰ δύναταί τι χραισμεῖν» σεμνῶς εἶπεν αὐτὸ καὶ εὐφήμως ὁ συνετὸς Ἀχιλλεὺς ἀντὶ τοῦ «οὐ δύναται». λειότερον γὰρ τὸ ἐνδοιαστικῶς ὑβρίσαι ἤπερ ἀποφαντικῶς. (v. 193—9) Ὅτι ἐν τῷ «οὐκ ἔστι Διῒ Κρονίωνι μάχεσθαι» ποταμόν τινα, ὡς προσεχῶς ἐγράφη, παράγει ὁ ποιητὴς ἁπλούστερόν τε καὶ ἀσφαλέστερον λέγοντα τὸν Ἀχιλλέα, ὡς οὐδὲ κρείων Ἀχελώϊος αὐτῷ ἰσοφαρίζει, τουτέστι τὸ ἶσον φέρεται, «οὐδὲ βαθυρρείταο μέγα σθένος Ὠκεανοῖο, ἐξ οὗπερ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσιν, ἀλλὰ καὶ ὅς», ἤγουν οὗτος, «δείδοικε Διὸς μεγάλοιο κεραυνὸν δεινήν τε βροντήν, ὅτ’ ἀπ’ οὐρανόθεν σμαραγήσει», ὁ Ζεὺς δηλαδὴ ἢ ἡ βροντή. (v. 199) Καὶ ὅρα τὸ σμαραγεῖν, ὡς, εἰ καὶ τὸ πλέον ἐπὶ ὑδάτων ἤχου λέγεται, ἀλλ’ ἐνταῦθα ἐπὶ βροντῆς τέθειται. (v. 196) Τὸ δὲ ἐκ τοῦ Ὠκεανοῦ πάντας ποταμοὺς εἶναι καὶ τὰ ἑξῆς ἡ ἀλληγορία συμβιβάζει, λέγουσα τοῦθ’ οὕτως ἔχειν διὰ τὸ γενικῷ ὀνόματι ὕδωρ τὰ τοιαῦτα πάντα εἶναι, εἰς ὅπερ ὁ Ὠκεανὸς ἐκλαμβάνεται. (v. 194) Ὅρα δὲ τὸ Ἀχελώϊος πεντασυλλάβως ἐνταῦθα λεχθὲν διὰ τὸ στιχθῆναι τὸ ἐν τῇ παραληγούσῃ προσγεγραμμένον ἰῶτα, κοινῶς μέντοι καὶ ἔξω μέτρου τετρασυλλάβως Ἀχελῷος λέγεται.

4.484 οὕτω καὶ πατρώϊος μὲν καὶ μητρώϊος ποιητικώτερα, κοινὰ δὲ τὸ πατρῷος καὶ μητρῷος. Σημείωσαι δὲ ὅτι ἔδει μὲν ἐν τοιούτῳ τόπῳ συγκρίσεως τὸν ποιητὴν μὴ Ἀχελῴου μνησθῆναι, ἀλλά τινος ἑτέρου τῶν μειζόνων ἢ μεγίστων, ὁποῖοι πολλοὶ ποταμοί, ὁ Ἰνδός, ὁ Ἴστρος, ὁ Νεῖλος, ὃν Αἴγυπτον ὁ ποιητὴς ἐν Ὀδυσσείᾳ καλεῖ. ἀλλ’ ἐπειδὴ Ἀχιλλεὺς οὔτε δεδίδακται τοιαύτας ἱστορίας οὔτε πεπείραται μεγίστων, διὰ τοῦτο μέμνηται τοῦ Ἀχελῴου ἁπλούστερον, οὐ πάνυ πολὺ ἀπὸ τῶν τῆς Ἑλλάδος ὅρων ῥέοντος καὶ διὰ τοῦτο εἰς ἀκοὴν αὐτῷ ἥκοντος. ἴσως δὲ καὶ ἁπλῶς παραπεσὼν εἰς μνήμην ὁ Ἀχελῷος ἐξεφωνήθη ὡς ἐν σχεδιασμῷ ἀσκέπτως καὶ δίχα μελέτης, ὥς που καὶ ὁ παρὰ Σοφοκλεῖ Οἰδίπους Ἴστρου καὶ Φάσιδος μέμνηται ἐν τοῖς καθ’ ἑαυτόν, καί τις ἕτερος τῶν θείων καὶ πάνυ μεγάλων ἐν οἰκείῳ λόγῳ ἀπὸ τῶν περιφανῶν ἀστέρων Σειρίου μόνου ἐμνήσθη καὶ Ὠρίωνος. καὶ ἄλλως δὲ εἰπεῖν, ὁ παλαιὸς λόγος πάνυ τὸν Ἀχελῷον σεμνύνει, ὡς καὶ πᾶν ὕδωρ ἐξ αὐτοῦ Ἀχελῷον κληθῆναι, καθὰ καὶ Ὠκεανὸν ἐκ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὠκεανοῦ. φησὶ γοῦν τις «Ἀχελῷον ῥάσατε», τουτέστι ῥάνατε τὴν γῆν ὕδατι. Ὅτι δὲ οὐ μακρὰν τῶν καθ' Ἑλλάδα τόπων ῥέει ὁ Ἀχελῷος, ἡ παλαιὰ ἱστορία δηλοῖ, λέγουσα ὅτι ἡ ἀρχαία Ἑλλὰς περὶ Δωδώνην καὶ Σελλούς, ὅθεν Ἀχελῷος ῥέων δι' Αἰτωλίας εἰς τὸν Ἀμβρακικὸν ἐξίησι κόλπον μέγιστος τῶν ταύτῃ ποταμῶν. ὅθεν Ἀχελῷος, φησί, πᾶν πηγαῖον ὕδωρ. καὶ τὸ ἐν Δωδώνῃ δέ, φασί, μαντεῖον, ἐν πᾶσι χρησμοῖς ἐκέλευε θύειν Ἀχελῴῳ. εἰ δὲ κατὰ τὴν ῥηθεῖσαν ἱστορίαν μέγιστος τῶν ταύτῃ ποταμῶν ὁ Ἀχελῷος, καλῶς κρείων προσερρέθη τῷ ποιητῇ διὰ τὸ ὑπεροχικόν. γέγονε δὲ Ἀχελῴου μνεία καὶ ἐν τοῖς εἰς τὴν Βοιωτίαν. (v. 194 s.) Ὅρα δὲ καὶ ὅτι Ὅμηρος ἐνταῦθα μὲν συγκρίνας ἀπὸ ἐλάττονος τοῦ Ἀχελῴου εἰς τὸν μέγιστον ἀναβέβηκεν, τὸν Ὠκεανὸν δηλαδή, ἐν δὲ τῷ «ὥς τε γὰρ ἠελίου αἴγλη πέλεν ἠὲ σελήνης» ἀνάπαλιν ἐκ τοῦ μείζονος ἡλίου εἰς τὴν ἐλάττω σελήνην καταβέβηκεν, ἐν δέοντι ποιήσας ἑκάτερα. (v. 196) Τὸ δὲ «καὶ πᾶσα θάλασσα» πολλὰς εἶναι καὶ θαλάσσας δηλοῖ ἀκολούθως τῷ «πάντες ποταμοὶ καὶ πᾶσαι κρῆναι». τίνες δὲ αὗται θάλασσαι, δηλοῦσιν οἱ Περιηγούμενοι, ὧν τινες καὶ κρήνας ἀνεγράψαντο πρὸς ὄνομα πολλὰς τῶν ἐν διαφόροις χώραις.

4.485 κάλλους δέ, ὡς καὶ πρὸ τούτων δεδήλωταί που, τὸ πάντες καὶ πᾶσα καὶ πᾶσαι. Δεδοικέναι δὲ λέγεται καὶ Ὠκεανὸς τὰ διόβολα πάθη διὰ τὸ δρᾶν τι ἐκεῖνα καὶ εἰς αὐτόν, ὅτε δεινὰ καταρραγῶσιν. (v. 202) Ὅτι μυρία ὁ ποιητὴς λέγων ἔστιν ὅτε καὶ ἁπλῶς οὕτω ἐπὶ ἀναπληρώσει στίχων, ποιεῖ τοῦτο κἀνταῦθα, ἔνθα εἰπὼν τὸν Ἀστεροπαῖον ἐν ψαμάθοις κεῖσθαι, ἐπιφέρει «δίαινε δέ μιν μέλαν ὕδωρ». τοῦτο γὰρ ἁπλοϊκῶς ἐπῆκται καὶ ἀφελέστερον, ἴσως δὲ μάλιστα πρὸς σαφήνειαν, ἵνα μὴ νοηθείη ἐπὶ ψαμάθων κεῖσθαι ξηρῶν, ἀλλ' αἷς ἐπιτρέχει ὕδωρ. διὸ καὶ τὰ περὶ ποταμὸν αὐτὸν ἀμφιπένεται ζῷα. [Ἰστέον δὲ ὅτι ἐκ τοῦ Διός, ἤτοι ἀέρος, τὸ διαίνειν παρῆκται, καὶ δηλοῖ τὸ ὑγραίνειν καί, ὡς εἰπεῖν, διαβρέχειν. ἐξ αὐτοῦ δὲ καὶ ἀδίαντον βοτάνης εἶδος, ἧς τὰ φύλλα οὐ θέλει διαίνεσθαι ὑετῷ. τοιούτου δὲ Διὸς παράγωγον καὶ ὁ διερός, ὅπερ ἐστὶ δίυγρος.] (v. 203—4) Ὅτι ἐν τῷ εἰπεῖν, ὡς ἐγχέλυες καὶ ἰχθύες ἀμφεπένοντο τὸν Ἀστεροπαῖον «δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντες» χωρίζει τὰς ἐγχέλυας τῶν ἰχθύων, καθὰ καὶ πρὸ ὀλίγων παρεσημάνθη, ἐπεὶ οὔτε ἐξ ὀχείας γίνονται οὔτε ζῷα τίκτουσιν οὐδὲ σπερματικοὺς οὐδ' ὑστερικοὺς πόρους ἔχουσιν οὐδὲ εἰς θῆλυ καὶ ἄρρεν διακρίνονται, ἀλλ' αὐτόματοι ἐν πηλῷ συνίστανται ἔκ τινος ἀπορρεούσης αὐτῶν ὑγρότητος, ὡς ἱστορεῖ καὶ Ὀππιανός. ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς «ἐγχέλυες καὶ ἰχθύες οἱ κατὰ δίνας». Ἰστέον δὲ ὅτι Ὅμηρος μὲν διὰ τοῦ υ κλίνει ἐγχέλυας. φαίνεται δὲ καὶ διὰ τοῦ εως Ἀττικῶς ἔχειν τὴν κλίσιν ἡ παροξυτόνως ἐγχέλυς, ἢ ἄλλως ἔγχελυς προπαροξυτόνως. καὶ δηλοῦται τοῦτο παρὰ τῷ Κωμικῷ ἐν τῷ ἐγχέλεων καὶ ἐγχέλεις, καὶ παρὰ ἑτέροις δὲ πολλοῖς. φησὶ γοῦν καὶ Αἴλιος Διονύσιος, ὅτι ἔγχελυς τὸ ἑνικόν, ἐγχέλεις δὲ τὸ πληθυντικὸν καὶ ἐγχέλεσιν.

4.486 ἐγχέλια δὲ τὰ τεμάχη φησὶ τῶν ἐγχέλεων. τὰς δὲ ἐγχέλυς φασὶν οἱ παλαιοὶ ζῆν εἰς ἑπτὰ ἔτη καὶ ὀκτὼ καὶ ἀλληλοφαγεῖν. (v. 204) Ὅρα δὲ ὅτι καὶ ἐπ' αὐτῶν ἐρέπτεσθαί φησιν, ὡς καὶ ἐπὶ τῶν χερσαίων τετραπόδων. προϊὼν δὲ καὶ ἐπὶ ὕδατος τὴν λέξιν τίθησιν, ὅπερ ὑπερέπτει τὴν πατουμένην τῷ Ἀχιλλεῖ γῆν. Κείροντες δὲ ἀντὶ τοῦ ἀπλήστως ἐσθίοντες, ὅθεν καὶ ὁ κόρος παράγεται. Τὸ δὲ «ἐπινεφρίδιον» δύναται καὶ μετὰ τοῦ «κείροντες» κεῖσθαι καὶ μετὰ τοῦ «ἐρεπτόμενοι», ἐξ οὗ καὶ τὸ ἀνερέπτειν δοκεῖ γίνεσθαι. [Ἔστι δὲ ἐπινεφρίδιος δημὸς ὁ ἐπὶ τοῖς νεφροῖς τοῖς κυρίως. προσεθέμεθα δὲ τὸ κυρίως πρὸς διαστολὴν τῶν μὴ τοιούτων. δοκοῦσι γὰρ ἀστείως καὶ οἱ ὄρχεις νεφροὶ κληθῆναι παρὰ τῷ εἰπόντι τὸ «ἧκεν ὄρχεις φέρων πολλούς», καὶ ἡ Γνάθαινα τῶν ἄλλων γυναίων ἀκκιζομένων «καλοί γε» εἶπεν «οἱ νεφροί», «καὶ δύο ἁρπάσασα κατέπιεν, ὥσθ' ὑπτίους ὑπὸ τοῦ γέλωτος καταπεσεῖν». δῆλον οὖν ἐν τούτοις ὅτι οὐ κυριολεκτικῶς ἡ Γνάθαινα ἐλάλησεν, ἀλλ' ἐσεμνολόγησεν εὐφημότερον τοὺς ὄρχεις ὡς νεφροὺς διὰ τὰς αἰδουμένας γυναῖκας.] (v. 205—10) Ὅτι ἐμπλατυνάμενος ὁ ποιητὴς τοῖς κατὰ τὸν Ἀστεροπαῖον, εἶτα, οἷος αὐτός, ἅμα τῷ ἐκείνου θανάτῳ καὶ Παίονας πολλοὺς ὑπὸ τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀχιλλεῖ ῥίπτει, μηδὲν εἰπὼν περὶ οὐδενὸς ἀλλ’ ἢ μόνον ὀνομάσας αὐτούς. ἑπτὰ γοῦν ἄνδρας ἐν δυσὶ στίχοις ὠνόμασεν, ἐν οἷς καὶ Θρασίος τις, τρίβραχυ ὄνομα ὅμοιον τῷ Δολίος, Στιχίος καὶ τοῖς ὁμοίοις. ἐντὸς δὲ τοῦ ποταμοῦ καὶ τούτους ἐκεῖ πεφοβημένους, «ὡς εἶδον τὸν ἄριστον ἐνὶ κρατερῇ ὑσμίνῃ χερσὶν ὑπ’ Ἀχιλλέως καὶ ἄορι ἶφι δαμέντα». (v. 207) Καὶ ὅρα ἐνταῦθα μὲν συνήθως ἐπὶ ἀνδρὸς τεθὲν τὸ ἄριστον. τίθεται δὲ καὶ ἐπὶ γυναικός, ὡς ἐν τῷ «εἶδος ἀρίστη». λέγεται δέ ποτε καὶ ἐπὶ ζῴων. ἐν γοῦν τῇ Ὀδυσσείᾳ καὶ «συῶν ἄριστον» ὁ ποιητὴς λέγει καὶ «ζατρεφέων αἰγῶν ἄριστον». Ὅτι ἀνθρωποπαθῶς κἀνταῦθα τὰ δαιμόνια μεταχειριζόμενος Ὅμηρος ποιεῖ τὸν ποταμὸν Ξάνθον χολούμενον κατὰ τοῦ Ἀχιλλέως, οὐ μόνον διότι ἐγχώριος ὢν ἀμύνειν ἤθελε τοῖς Τρωσί, καὶ ὅτι ταύρους οἱ ἐγχώριοι, ὡς προείρηται, ἱέρευον, καὶ ἵπποις αὐτὸν ἐδωροῦντο, ἃ δὴ τὸ δαιμόνιον φῦλον ἐφείλκετο, ἀλλὰ καὶ ὅτι φθάσας Ἀχιλλεὺς ἠρέθισεν αὐτὸν εἰς θυμὸν ἀνθρώπινον, οἷς εἶπεν, ὡς οὐδ’ αὐτὸς ποταμὸς ἀρκέσει τοῖς Τρωσίν, ὃν πολλὰ δεξιοῦνται, καὶ ὅτι «ποταμὸς πάρα μέγας, εἰ δύναταί τι χραισμεῖν».

4.487 θυμὸν τοίνυν ἀναλαβὼν καὶ μάλισθ’ ὅτι καὶ ἀξιώσας, καθὰ εἰρήσεται, καὶ ἐπαινέσας οὐκ ἔπεισεν, ἐν ἑαυτῷ ἀπολαβὼν τὸν ἥρωα δεινὰ ποιεῖ, ὅσα ὁ ποιητὴς δηλώσει. ὃς τερατωδέστερον κατὰ ποιητικὴν μεγαλοφωνίαν ἐκφράσει καὶ τὸν χόλον τοῦ ποταμοῦ καὶ φοβερὸν χωρίον διασκευάσει ἐν τοῖς ἑξῆς. (v. 214—7) Πρὸ δέ γε τοῦ ἐπιθέσθαι τῷ Ἀχιλλεῖ πλάττει τὸν ποταμὸν κατ’ ἀνδρὸς ὁμοιότητα φθεγξάμενον ἐκ βαθείας δίνης τερατωδέστερον ταῦτα «ὦ Ἀχιλλεῦ, περὶ μὲν κρατέεις, περὶ δ’ αἴσυλα ῥέζεις ἀνδρῶν· αἰεὶ γάρ τοι ἀμύνουσι θεοὶ αὐτοί. εἴ τοι Τρῶας ἔδωκε Ζεὺς πάντας ὀλέσσαι, ἐξ ἐμέθεν γ’ ἐλάσας πεδίον κάτα μέρμερα ῥέζειν», ἤγουν «ῥέζε». (v. 218—21) Εἶτα πιθανὴν αἰτίαν εἰπὼν τῆς ἀγανακτήσεως τὸ ἀνακόπτεσθαι τοῦ προρρέειν διὰ τὸ στενοχωρεῖσθαι νεκροῖς. «πλήθει γὰρ δή μοι νεκύων», φησίν, «ἐρατεινὰ ῥέεθρα οὐδέ τί πῃ δύναμαι προχέειν ῥόον εἰς ἅλα δῖαν στεινόμενος νεκύεσσι, σὺ δὲ κτείνεις ἀϊδήλως», ἐπάγει ἀξίωσιν «ἀλλ’ ἄγε δὴ καὶ ἔασον, ἄγη μ’ ἔχει, ὄρχαμε λαῶν». ὡς δὴ ταῦτα ὁ Ξάνθος εἰπὼν οὐκ ἔπεισε τὸν Ἀχιλλέα, τότε δὴ τὰ τοῦ θυμοῦ δρᾷ. (v. 233—42) Ἔνθα οὕτω φράζει ὁ ποιητὴς «Ἀχιλλεὺς μὲν δουρὶ κλυτὸς ἔνθορε μέσσῳ κρημνοῦ ἀπαΐξας. ὃ δ’ ἐπέσσυτο οἴδματι θύων. πάντα δ’ ὄρινε ῥέεθρα κυκώμενος, ὦσε δὲ νεκροὺς πολλούς, οἵ ῥα κατ’ αὐτὸν ἔσαν ἅλις, οὓς κτάν’ Ἀχιλλεύς. τούς», ἤγουν τούτους, «ἔκβαλε θύραζε μεμυκὼς ἠΰτε ταῦρος χέρσονδε. ζωοὺς δὲ σάω κατὰ καλὰ ῥέεθρα, κρύπτων ἐν δίνῃσι βαθείῃσι μεγάλῃσι. δεινὸν δ’ ἀμφ’ Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα, ὤθει δ’ ἐν σάκεϊ πίπτων ῥόος, οὐδὲ πόδεσσιν εἶχε στηρίξασθαι». (v. 248 s.) Καὶ μετ’ ὀλίγα ὦρτο δ’ ἐπ’ αὐτῷ ἀκροκελαινιόων, ἵνα μιν παύσειε πόνοιο».

4.488 (v. 255—6) καὶ ὃ μὲν «ὕπαιθα τοῖο», ἤγουν τούτου τοῦ ποταμοῦ, «λιασθεὶς φεῦγεν, ὃ δ’ ὄπισθε ῥέων», ὡς οἷα διώκων, «ἕσπετο μεγάλῳ ὀρυμαγδῷ». (v. 265—71) Καὶ μετὰ βραχέα ἐπιφέρει «ὁσσάκι δ’ ὁρμήσειεν Ἀχιλλεῦς στῆναι ἐναντίβιον καὶ γνώμεναι, εἴ μιν ἅπαντες ἀθάνατοι φοβέουσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι, τοσσάκι μιν μέγα κῦμα διϊπετέος ποταμοῖο πλάζ’ ὤμους καθύπερθεν. ὃ δ’ ὑψόσε ποσσὶν ἐπήδα θυμῷ ἀνιάζων, ποταμὸς δ’ ὑπὸ γούνατ’ ἐδάμνα λάβρος, ὕπαιθα ῥέων, κονίην δ’ ὑπέρεπτε ποδοῖϊν. (v. 302 s. et 306) Καὶ πάλιν «τοῦ δ’ ὑψόσε γούνατ’ ἐπήδα πρὸς ῥόον ἀΐσσοντος ἀν’ ἰθύν». ὃ δὲ «κόρυσσε κῦμα ῥόοιο, ὑψός’ ἀειρόμενος». (v. 307—15) Εἶτα καὶ συμμαχίας οἷον δεηθεὶς ὁ Ξάνθος ἀνθρωπίνως ἐνεκελεύσατο, φησί, τῷ Σιμόεντι, ἐγγύς που δηλαδὴ ῥέοντι, ἄλλα τέ τινα ὧν ἀρχὴ τὸ «φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ σχῶμεν», καὶ «ἀλλ’ ἐπάμυνε τάχιστα, καὶ ἐμπίπληθι ῥέεθρα ὕδατος ἐκ πηγέων, πάντας δ’ ὀρόθυνον ἐναύλους, ἵστη δὲ μέγα κῦμα, πολὺν δ’ ὀρυμαγδὸν ὄρινε φιτρῶν καὶ λάων, ἵνα παύσομεν ἄγριον ἄνδρα, ὃς δὴ νῦν κρατέει, μέμονε δ’ ὅ γε ἶσα θεοῖσι» καὶ τὰ ἑξῆς. (v. 324—7) Ἐφ’ οἷς πάλιν ὁ Ξάνθος συλλαβομένου κατὰ τὸ σιωπώμενον, ὡς εἰκός, καὶ τοῦ Σιμόεντος, ὡς καὶ ἐν τοῖς ἑξῆς κρεῖττον ῥηθήσεται, «ἐπῶρτ’ Ἀχιλῆϊ κυκώμενος, ὑψόσε θύων, μορμύρων ἀφρῷ τε καὶ αἵματι καὶ νεκύεσσι. πορφύρεον δ’ ἄρα κῦμα διϊπετέος ποταμοῖο ἵστατ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀειρόμενον, κατὰ δ’ ᾖρεε Πηλείωνα». Ἔνθα γράφουσιν οἱ παλαιοί, ὅτι ἔστιν ἰδεῖν κῦμα μετέωρον, αἵματι καὶ ἀφρῷ μεμιγμένον, καὶ σώματα ἐπιπλέοντα. ἐνταῦθα δὲ ἰστέον καί, ὅτι ἐν μὲν Ὀδυσσείᾳ ἔφη ὁ ποιητὴς «πορφύρεον δ’ ἄρα κῦμα περιστάθη οὔρεϊ ἶσον», ἐνταῦθα δὲ ἄλλως περιφραστικῶς φησι «πορφύρεον δ’ ἄρα κῦμα διϊπετέος» καὶ ἑξῆς, ὡς προέκκειται. καὶ τοιαῦτα μὲν τὰ κατὰ Ξάνθον, φοβερῶς μὲν πεφρασμένα καὶ ἀναλόγως θυμῷ μεγάλου ποταμοῦ, σποράδην δὲ κείμενα παρὰ τῷ ποιητῇ ἐπίτηδες, ἵνα καταμερίσῃ πολλοῖς τόποις τὴν τοῦ λόγου σεμνότητα καὶ τὸ τοῦ Ἀχιλλέως δὲ παραστήσῃ δυσκαταγώνιστον. Τῶν δὲ τοῦ κατὰ παρεκβολὴν συντεθέντος χωρίου τούτου λέξεων καὶ εἴ τι δὲ ἄλλο αὐτόθι χρήσιμον, τὰ μὲν αὐτίκα νῦν συναπτῶς ῥηθήσεται, τὰ δὲ καὶ ἄλλως ἐν οἰκείοις τόποις τεθήσεται. (v. 214) Καὶ πρῶτον σημείωσαι ὅτι τὸ μὲν «κρατέεις», ὡς καὶ μετ’ ὀλίγα τὸ «ὃς δὴ νῦν κρατέει» κρατερὸν ἐπιψόγως εἶναι τὸν Ἀχιλλέα δηλοῖ κατὰ τὸ «ἀπηνέα τε κρατερόν τε», τὸ δὲ «περὶ δ’ αἴσυλα ῥέζεις ἀνδρῶν» τὸ περισσότερον πάντων ἀνδρῶν πράττειν αἴσυλα, ἤτοι ἄδικα. ἐκ δὲ τοῦ αἴσυλα ῥέζειν ἡ σύνθεσις ἐπενοήθη τοῦ αἰσυλοεργός.

4.489 αἴσυλον δὲ οὐ μόνον δι’ οὗ συλᾶται τὸ αἴσιον, ἵνα ᾖ αἰσόσυλον καὶ κατὰ συγκοπὴν αἴσυλον, ὡς καὶ ἀλλαχοῦ ἐγράφη, ἀλλὰ καὶ δι’ οὗ βλάβη γίνεται παρὰ τὸ ἆσαι, ὅ ἐστι βλάψαι. μάλιστα δὲ παρὰ τὸ α στερητικὸν καὶ τὸ ἶσον κατὰ συναίρεσιν αἴσυλον τὸ ἐστερημένον ἰσότητος, ἤτοι δικαίου. (v. 215) Τὸ δὲ «αἰεί σοι ἀμύνουσι θεοὶ αὐτοί» καταρριπτεῖ μὲν φιλεχθρικῶς τὴν ἀνδρίαν τοῦ Ἀχιλλέως ὡς θεόθεν, οὐ μὴν οἴκοθεν οὖσαν, ἑνικῶς δὲ παρῳδηθὲν ῥηθήσεται ἐπὶ θεοφιλοῦς ἀνδρός, οἷον· αἰεὶ γάρ τοι ἀμύνει θεὸς αὐτός. (v. 216—20) Τὸ δέ «εἴ σοι δέδοται ἐναίρειν, ἐξ ἐμοῦ ἐλάσας» εἰς τὸ «μέρμερα ῥέζε» καὶ ἑξῆς, χρήσιμον ἐπὶ ἀριστεῦσι κατακόπτουσιν ἐν ὕδατι τοὺς ἐχθρούς, ὡς καὶ ἐκεῖ τοιαῦτα βοῶντος ἂν τοῦ ὕδατος. Τὸ δὲ ἀγανακτεῖν τὸν ποταμόν, εἰ τοῦ προρρέειν ἀνακόπτοιτο, ζωϊκῶς λαλεῖται. οὕτω γὰρ ἂν καὶ ζῷον ἄχθοιτο, εἰ τῆς κατὰ φύσιν κινήσεως πρὸς βίαν ἀποκωλύεται. καὶ ἄλλως δέ, λυπεῖ τὸν Ξάνθον, εἰ τὸ ἀένναον αὐτοῦ διακόπτεται, οὐ πλήθοντος ὑδάτων κατὰ τοὺς οὕτω κυρίως πλήθοντας ποταμούς, ἀλλὰ νεκύων. [(v. 221) Ἐν δὲ τῷ «ἀλλ’ ἄγε δὴ καὶ ἔασον» ἢ περιττός ἐστι συνήθως ὁ και σύνδεσμος, ἢ ἀστείως εἴρηται, ἵνα λέγῃ ὅτι καθάπερ ἐνήργησας τὸ ὀλοθρεῦσαι, οὕτω ποίησον καὶ τὸ ἐᾶσαι.] Τὸ δὲ «ἄγη μ’ ἔχει» τῷ μὲν ἀσυνδέτῳ σχήματι ἐνδιαθέτως κατὰ θαῦμα πέφρασται, πάνυ δὲ σεμνύνει τὸν Ἀχιλλέα, εἰ καὶ θεοὺς ἐκπλήττει, οἷς ἀριστεύει. (v. 219) Ἐκ δὲ τοῦ προχέειν ῥόον εἰς ἅλα προχοαὶ λέγονται ποταμῶν. (v. 221) Τὸ δὲ «ὄρχαμε λαῶν» καὶ στίχον ἀναπληροῖ καὶ κολακεύει. (v. 233) Τὸ δὲ «ἔνθορε μέσσῳ» τὸ πηδητικὸν τοῦ Ἀχιλλέως δηλοῖ, ἐπιτεταμένον ὄν, εἴπερ ἀπὸ τῆς ὄχθης καταπηδήσας μέσῳ ἐνθρῴσκει τῷ μεγάλῳ ποταμῷ. ἐρεῖ δὲ καὶ προϊὼν σαφῶς, ὅπως ὁ Ἀχιλλεὺς οἶδε πηδᾶν. (v. 234 s.) Ἐν δὲ τῷ «οἴδματι θύων» καὶ «ὄρινε ῥέεθρα» λέξεις εἰσίν, ἐξ ὧν τὸ ὀροθύνειν σύγκειται, τὸ θύειν δηλαδὴ καὶ τὸ ὀρίνειν. (v. 235) Τὸ δὲ κυκᾶσθαι καιρία ἐστὶ λέξις. διὸ καὶ πολλάκις ἐνταῦθα ὁ ποιητὴς αὐτῇ χρᾶται. παράγεται δὲ ἀπ’ αὐτῆς τὸ κῦμα, ὡς ἐν τῷ «κυκώμενον ἵστατο κῦμα» ἐμφαίνει ὁ ποιητής, ἐγγὺς τοῦ κυκᾶσθαι τὸ κῦμα θέμενος τρόπῳ ἐτυμολογικῷ, καὶ κυματίαν οὕτω δείξας τὸν ποταμόν. Τὸ δὲ «ὦσε νεκρούς» ἑρμηνεύων ὁ ποιητὴς ἐπήγαγε τὸ τούτους «ἔκβαλεν», ὡς ταὐτὸν ὂν εἰπεῖν ὦσαι ἢ ἐκβαλεῖν. οὕτω δ’ εὐθὺς καὶ τὸ τροπικὸν «θύραζε» σαφηνίζων φησὶ «χέρσονδε».

4.490 ἐπὶ γὰρ ποταμοῦ ἢ θαλάσσης τὸ θύραζε ταὐτόν ἐστι τῷ εἰς γῆν. (v. 236) Τὸ δὲ «οὓς κτάνεν Ἀχιλλεύς» εὐλογοποιεῖ τὸν ποταμοῦ χόλον. οὐ γὰρ τοῖς ἐξ ἑτέρων στείνεται, ἀλλὰ τοῖς τοῦ «Ἀχιλλέως νεκροῖς. (v. 237) Τὸ δὲ «μεμυκὼς καθὰ ταῦρος» ἔμφασιν αἰτίας δίδωσι, διότι ταύρους τῇ τε θαλάσσῃ καὶ τοῖς ποταμοῖς ἱέρευον. ἴσως γὰρ διὰ τὸ μυκητικὸν καὶ οὕτως αὐτοῖς οἰκεῖον καὶ προσφυές. (v. 238) Τὸ δὲ «σάω» ἀποκοπὴν ἔπαθεν. ὡς γὰρ οὔταζεν οὖτα, οὕτω σάωζε σάω. κατὰ μυθικὴν δὲ πάντως σεμνότητα ὁ Ξάνθος κινδύνῳ μὲν περιβάλλει τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀχιλλέα, σῴζει δὲ τοὺς φυγόντας εἰς αὐτόν, ὡς καὶ Ἥφαιστος ἐν τοῖς ἑξῆς τὸν Ξάνθον κατακαίων οὐκ ἂν ὁμοίως καὶ τὸν Ἀχιλλέα διετίθετο. ἐνταῦθα δέ φασιν οἱ παλαιοὶ καί, ὅτι ὁ Σκάμανδρος ὁρμῇ μιᾷ τοὺς μὲν νεκροὺς ἐκβάλλει, τοὺς δὲ ζῶντας κρύπτει κολπούμενος, τὸν Ἀχιλλέα δὲ περιΐσταται. Σημειωτέον δ᾽ ἐνταῦθα καὶ τὰ πυκνὰ πάρισα, μάλλον δ᾽ εἰπεῖν, ἀλλεπάλληλα, τὸ δίνῃσι, βαθείῃσι, μεγάλῃσι, καλλωπίζοντος τοῦ ποιητοῦ ὡς συγγαληνιᾶν οἷον τὸν λόγον τῷ σωστικῷ ῥεύματι. ἄλλως γὰρ, ὅπου τραχύνεται ὁ ποταμός, ἐκτραχύνει καὶ ὁ ποιητὴς τὴν φράσιν συνεξομοιῶν τὴν γλῶσσαν τῷ τραχεῖ τοῦ ῥεύματος. (v. 240) Τὸ δὲ «ἵστατο κῦμα» πιθανεύεται τὸ δύνασθαι τὸν ποταμὸν ἐμπίπτοντα τῷ ἡρωϊκῷ σάκει καὶ πλάζειν τοὺς τοῦ Ἀχιλλέως ὤμους. τοιοῦτον δὲ καὶ μετ᾽ ὀλίγα τὸ «ἵστη δὲ μέγα κῦμα», καὶ τὸ «ἐπῶρτο ὑψόσε θύων», καὶ τὸ «κῦμα ἵστατο ἀειρόμενον». (v. 241) Τὸ δὲ ἐμπίπτειν ῥοῦν σάκεϊ ἀστείως εἴρηται. ὁ γὰρ νοούμενος ποταμός, ὅσα καὶ ὅπλῳ τῷ σωματικῷ ποταμῷ χρώμενος καὶ μετεωρίζων τὸν ῥόον, ῥιπτεῖ αὐτὸν κατὰ τοῦ σάκους, ὠθῶν τὸν Ἀχιλλέα οὕτω καὶ σφάλλων. διὸ οὐδὲ εἶχεν αὐτὸς ποσὶ στηρίξασθαι. (v. 249) Ἀκροκελαινιόων δὲ ἀντὶ τοῦ ἄκρος πεφρικώς, μέλας, ἢ τὴν ἄκραν ἐπιφάνειαν μελαινόμενος, ὡς εἰκὸς ὑπὸ πνοῆς ἀνέμου, ἢ μυθικῶς κατὰ χρῶμα θυμουμένου πρὸς ὁμοιότητα τοῦ «νυκτὶ ἐοικὼς ὑπώπια», ἵνα εἴη ἀκροκελαινιόων ὁ οἷον σκυθρωπάζων καὶ ἀγριούμενος μελαίνῃ φρικί.

4.491 νοητέον γὰρ ἄνεμον αὐτομάτως ἐμπεσεῖν τῷ Ξάνθῳ, ὑφ᾽ οὗ κυκώμενος βλάπτει τὸν ἥρωα, εἰ καὶ ἡ ποίησις ἄλλως μυθικώτερον προαιρετικὸν ἔργον τοῦτο πλάττει τῷ ποταμῷ. Ἐτησίας δέ, ὡς εἰκός, ἢ ὡς ἐν τοῖς ἑξῆς ὁ ποιητὴς ἐρεῖ, ὀπωρινὸς βορέης, ἢ καὶ σφοδρὸς θερινὸς νότος ὁ τοιοῦτος ἄνεμος ἦν. διὸ καὶ κυκᾶν εἶχε καὶ ἐκθερμαίνειν τὸν ποταμόν, ὡς εἰ καὶ πυρὶ φλεγέθων Ἥφαιστος αὐτῷ ἐνέπεσεν. (v. 255) Ὕπαιθα δὲ λιασθείς οἱ μὲν ἀντὶ τοῦ ἐκ πλαγίου τοῦ ποταμοῦ καὶ ἔξω τοῦ εὐθέος. κάλλιον δὲ νοεῖν κατὰ τοὺς παλαιοὺς ἀντὶ τοῦ ἔμπροσθεν καὶ ὑπαί τὸ ἰθύ, ἤγουν κατὰ ὀρθόν. διὸ καὶ ὁ ποιητὴς προϊὼν ἑρμηνεύει λέγων τὸν Ἀχιλλέα πρὸς ῥόον ἀΐσσειν ἀν᾽ ἰθύν, ἤγουν κατὰ ῥοῦν ὁρμᾶν ἐπ᾽ εὐθείας, ἔνθα εἶχε δηλαδὴ εὐπόρως φεύγειν. (v. 256) Τὸ δὲ ὄπισθε ῥέοντα τὸν ποταμὸν ἕπεσθαι λιασθέντι τῷ Ἀχιλλεῖ ἄλλο εἶδος πολεμικῆς ἐπιθέσεως. Σημείωσαι γάρ, ὅτι πολυειδὲς κακὸν ὁ Ξάνθος τῷ Ἀχιλλεῖ γίνεται. καὶ ὁ μὲν ἐν τῷ σάκεϊ πίπτων ῥόος, ὡς προεγράφη, βολαῖς οἷον πολεμικαῖς καὶ ὠθισμοῖς ἐῴκει. (v. 271) Ὅτε δὲ ποδῶν ὑπερέπτει κόνιν ὁ ποταμός, ἤγουν ὑπεσθίει, τῆς βάσεως ἀκρατῆ θέσθαι τὸν Ἀχιλλέα φιλονεικεῖ, ὄπισθε δὲ διώκων φεύγοντα κατὰ ῥοῦν οἷον ὑπῆγε πρὸς ὄλεθρον. (v. 269) Ἔπλαζε δὲ καὶ τοὺς ὤμους καθύπερθεν, ἤγουν εἰς τοὺς ὤμους ἐπέλαζεν, ἢ ἐπλάνα καὶ διεσάλευεν αὐτούς, ὅπερ ἀντιπαράκειται πρὸς τὸ τὴν κόνιν τῶν ποδῶν ὑπερέπτεσθαι, ἵνα ἐκ ποδῶν ἄχρι καὶ ἐς κεφαλὴν καὶ ἐκ τῶν ἔμπροσθεν δὲ καὶ ὄπισθεν περιστοιχίζῃ τὸν Ἀχιλλέα ὁ κίνδυνος. τὸ μέντοι κινδυνωδέστερον γίνεται, ὅτε πορφύρεον κῦμα ἵσταται ἀειρόμενον, ὡς ἐρρέθη, καὶ καθαιρεῖ τὸν ἥρωα, ἤγουν καταβάλλει. τοῦτο γὰρ δηλοῖ τὸ «κατὰ δ᾽ ᾕρεε Πηλείωνα», κατὰ διάλυσιν ῥηθὲν ἀντὶ τοῦ καθῄρει. διὸ καὶ εὐθὺς τότε αὐτίκα βοηθεῖται, ὡς ῥηθήσεται. (v. 313—4) Ὅρα δὲ καὶ ὅτι ὀρυμαγδός καὶ ἐπὶ ὕδατος λέγεται ποταμίου, τραχὺν ποιουμένου ἦχον διὰ τῆς καταφερομένης χερσόθεν ὕλης.

4.492 διὸ καὶ εἶπε «πολὺν δ᾽ ὀρυμαγδὸν ὄρινε φιτρῶν καὶ λάων», ὅ ἐστι κατασυρομένων καὶ λίθων. φιτροὶ γὰρ οἱ ἐκ φυτῶν κορμοὶ τραπέντος τοῦ υ εἰς ι , ὡς καὶ ἐν τῷ δίφρος γίνεται. καὶ ἄλλως δέ, φιτροὶ παρὰ τὸ φῖτυ, ὃ δηλοῖ τὸ φυτόν, οὗ ἀρσενικὸν φῖτυς, τιθέμενον ἐπὶ φυτοσπόρου, ὅ ἐστι πατρός. (v. 265—7) Τὸ δὲ ὁρμᾶν ποτε στῆναι τὸν Ἀχιλλέα καὶ γνῶναι εἴπερ ὑπὸ πάντων θεῶν διώκεται, καὶ οὐ τῶν τυχόντων ἀλλὰ τῶν οὐρανίων, τὴν ὑπερβολὴν τοῦ κινδύνου δηλοῖ, ὡς δόξαι ἂν μὴ ἑνί τινι διοικονομεῖσθαι τὸ κακόν, ἀλλὰ πᾶσι θεοῖς. ἀπ᾽ ἐναντίας δὲ τοῦτο γίνεται πρὸς τὸ «αἰεὶ γάρ τοι ἀμύνουσι θεοὶ αὐτοί». (v. 268) Διϊπετὴς δὲ ποταμὸς ὅτι ὁ ἐκ Διὸς γεννηθείς, καὶ ἀλλαχοῦ δεδήλωται. πρὸ δὲ τούτου καὶ διοτρεφῆ τὸν αὐτὸν εἶπε. δῆλον δ᾽ ὅτι,

ὥσπερ τὸ πεσεῖν, ἤτοι γεννηθῆναι, οὕτω καὶ τὸ τρέφειν καὶ ἐπὶ ὕδατος λέγεται, ὡς δηλοῖ καὶ ὁ ποιητὴς «τρόφι κῦμα» εἰπών. (v. 269) Τὸ δὲ πλάζειν ὤμους ἄλλως τε νοεῖται, ὡς εἴρηται, καὶ τὸ τῆς εὐθείας δὲ ἀποπλανᾶν δηλοῖ, διὸ λόγον ἔχει νοηθῆναι τὸ ὕπαιθα καὶ ἀντὶ τοῦ ἐκ πλαγίου. ἔοικε γὰρ δυστυχῶν Ἀχιλλεὺς ἐν τῷ κατὰ ῥοῦν ἵστασθαι λιασθῆναι ὕπαιθα, ὅ ἐστιν εἰς τὸ πλάγιον. ὡς δὲ Ποσειδῶν καὶ Ἀθηνᾶ ἐλθόντες ἐθάρρυναν λόγοις αὐτόν, τότε οὐκέτι ὕπαιθα ἐλιάζετο, ἀλλ' ὥρμα πρὸς ῥόον ἀν' ἰθύν, ὡς πρὸ μικροῦ γέγραπται. (v. 269) Ὅρα δὲ καὶ ὡς τὸ «ὑψόσε ποσσὶν ἐπήδα» παρέφρασε μετ' ὀλίγα ἐν τῷ «ὑψόσε γούνατ' ἐπήδα», ὅτε δηλαδὴ ἐθάρρησε θεόθεν ὁ Ἀχιλλεύς. πρὸ γὰρ τούτου «ποταμὸς ὑπὸ γούνατ' ἐδάμνα ὕπαιθα ῥέων», ὡς ἂν ἐμποδὼν εἴη τῇ τοῦ Ἀχιλλέως ὁρμῇ, ὅτε ὕπαιθα, ὡς ἐρρέθη, λιάζεται. (v. 271) Ὑπερέπτειν δὲ κονίην ὅτι τὸ ὑπεσθίειν ἐστί, προδεδήλωται. δοκεῖ δὲ οὐ κυριολεκτεῖσθαι νῦν ἡ κονίη ἐπὶ τῆς ποταμίας λεπτοτάτης ἄμμου, εἰ καὶ ὡμοίωται τῇ κατὰ γῆν κόνει. δῆλον δὲ ὡς ἡ κατ' αἴσθησιν πεῖρα μάλιστα διδάξει, ὅπως οἱ σφοδροὶ ποταμοὶ τοῖς ἔνδον αὐτῶν ἱσταμένοις ὑπερέπτουσι κονίην ποδῶν. (v. 306) Τὸ δὲ «κόρυσσε κῦμα» ἑρμηνεύει ὁ ποιητὴς ἐν τῷ «ὑψόσε ἀειρόμενος», εὐθὺς αὐτὸ ἐπαγαγών. κορύσσεται γὰρ κῦμα μεταφορικῶς, ὅτε ὑψόσε ἀρθῇ. Τὸ δὲ «κῦμα ῥόοιο» διὰ ἐντέλειαν φράσεως εἴρηται. τὸ γὰρ κῦμα, ἐπεί, ὡς ἐρρέθη, ἐκ τοῦ κυκᾶν λέγεται, τινός ἐστι κῦμα, ἤγουν κύκημα. ἐνταῦθα οὖν ποταμίου ῥόου κῦμά ἐστιν. [Ὅτι δὲ κῦμα δριμέως καὶ τὸ κατὰ γαστρὸς ἔμβρυον λέγεται, συγκοπὲν ἐκ τοῦ κύημα, δηλοῖ Εὐριπίδης ἐν τῷ «γέμουσαν κύματος θεοσπόρου», ἤγουν ἐγκυμονοῦσαν ἐκ Ποσειδῶνος.

4.493 ] (v. 308) Φίλος δὲ κασίγνητος ὁ Σιμόεις τῷ Ξάνθῳ διά τε τὸ ὁμόχωρον, καὶ καθὸ ἄμφω ἐξ Ὠκεανοῦ, καθὰ προγέγραπται. προσεταιρίζεται δὲ τοῦτον ὁ Ξάνθος οὐ μόνον ὡς καθ' ἱστορίαν πλησίον ῥέοντα, ἀλλὰ καὶ πρὸς μίμησιν Ποσειδῶνος καὶ Ἀθηνᾶς, οἳ ἀμφότεροι τὸν Ἀχιλλέα, ὡς ἐρρέθη, ἐπέρρωσαν. (v. 311) Τὸ δὲ «ἐμπίπληθι» ἢ πλεονασμὸν ἔχει τῆς θι συλλαβῆς κατὰ τὸ ζῆ ζῆθι, ἢ ἐκ τοῦ ἐμπιπλάντος γίνεται κατὰ τὸ στάς στάντος στῆθι. (v. 312) Ἔναυλοι δὲ οἱ στενοὶ χειμαρρώδεις τόποι, ὡς μετ' ὀλίγα δηλωθήσεται. (v. 313) Τὸ δὲ «ἵστη μέγα κῦμα» τερατώδης παραγγελία ἐστί. τεράστιον γὰρ τὸ ῥέον στῆναι οὕτως ὡς εἰς ἀντιπαράταξιν. ἵσταται δέ πως κῦμα, ὅτε ἀνέμοις ἀρθῇ κατὰ τὰ ἱστορούμενα. ὅμοιον δὲ καὶ τὸ «κῦμα ἵστατο ἀειρόμενον», ὃ ταὐτόν ἐστι τῷ ἀνίστατο καὶ τῷ ἠγείρετο. (v. 314) Ἄγριον δὲ ἄνδρα τὸν Ἀχιλλέα λέγει ἀστείως οἷα μισάνθρωπον, ὃς τούς τε ὁμοεθνεῖς πρὸ τούτων παρεῖδε μυρία παθόντας ἄχεα, καὶ τοὺς Τρῶας δὲ νῦν κεραΐζων ἀπόλλυσι. (v. 315) Τὸ δὲ «μέμονεν ἶσα θεοῖς» καὶ τὸν Σιμόεντα ἐρεθίζει καὶ τὸν Ξάνθον σεμνύνει ὡς οὐχ' ἁπλῶς γινόμενον κατ' ἀνδρὸς τοῦ τυχόντος, οὐδὲ ὃς ἶσα θεῷ μέμονεν, ἀλλὰ θεοῖς πληθυντικῶς. δῆλον δέ, ὅτι μέμονε θεῷ ἶσα ὁ θαρσῶν, εἴγε θάρσος, ὥς που προηρμηνεύθη, τὸ ἐκ θεοῦ ἔπαρμα λέγεται, ὃ ταὐτόν ἐστι τῷ ἐκ θεοῦ μενοινᾶν. (v. 324) Τὸ δὲ «ὑψόσε θύων» παράφρασίς ἐστι τοῦ «ὑψόσε ἀειρόμενος».

4.494 (v. 325) Μορμύρων δὲ ὁ ἀναβράττων κατ' ὀνοματοποιΐαν, ὡς οἱ παλαιοί φασιν, ἢ θηριούμενος παρὰ τὴν Μορμώ. μυθικὸν δὲ αὕτη δαιμόνιον ἄγριον, ἀφ' ἧς καὶ τὸ μορμολύκειον σύγκειται. καὶ ὁ Κωμικὸς δὲ τὸ θηριῶδες αὐτῆς ἐνδεικνύμενος «Μορμὼ τοῦ θράσους» φησίν, ὡς εἴπερ εἶπεν, ὢ τοῦ θράσους. ἐπαινοῦντες δὲ οἱ παλαιοὶ τὴν φράσιν τοῦ μορμύρειν καὶ τῶν λοιπῶν ἐνταῦθα ὀνοματοποιϊῶν φασιν, ὅτι ἀπαράμιλλα ταῦτα. οὐ γὰρ μόνον ὄγκον ἔχει καὶ μεγαληγορίαν, ἀλλὰ καὶ τῇ ἐννοίᾳ κατώρθωται. καὶ οὕτω μὲν ταῦτα ἐπιλέγδην συνερράφη πρὸς ἔνδειξιν τοῦ κατὰ τὸν Ξάνθον ποιητικοῦ χόλου. (v. 223—6) Ἐν μέσῳ δ' αὐτῶν κεῖνται καὶ τοιαῦτά τινα «ἔσται ταῦτα, διοτρεφές, ὡς σὺ κελεύεις. τοὺς δ' οὐ πρὶν λήξω ὑπερφιάλους ἐναρίζων, πρὶν ἔλσαι», ὅ ἐστιν ἐλάσαι ἢ συγκλεῖσαι, καὶ τοῦ δεῖνος «πειρηθῆναι ἀντιβίην, ἤ κέν με δαμάσσεται ἤ κεν ἐγὼ τόν». ὃ ῥηθὲν ὑπ' Ἀχιλλέως πρὸς Σκάμανδρον καθ' Ἕκτορος καὶ Τρώων δύναται λέγεσθαι παρά τινος ἐνστατικῶς πρός τινα μέγαν ἀξιοῦντα ὑπὲρ ἐχθίστου τινός. (v. 225) Ἐν τούτοις δὲ τὸ «πειραθῆναι» δοτικῇ συντέτακται διὰ μέτρον ἀντιπτωτικῶς

δακτύλου χάριν. φησὶ γὰρ «καὶ Ἕκτορι πειρηθῆναι». (v. 226) Τὸ δὲ «δαμάσσεται» καὶ ἐνεργητικῶς ἐν ἄλλοις φράζεται. (v. 229—32) Μετὰ δὲ τὸ λεχθὲν ῥητὸν κεῖται καὶ τὸ «ὢ πόποι, ἀργυρότοξε, οὐ σύ γε βουλὴν εἰρύσαο» τοῦ δεῖνος, «ὅ τοι», ἤγουν ὅς σοι, «μάλα πολλ' ἐπέτελλε» τοῖς δεῖνα «παρεστάμεναι καὶ ἀμύνειν, εἰς ὅ κεν ἔλθῃ δείελος ὀψὲ δύων, σκιάσει δ' ἐρίβωλον ἄρουραν». ὃ λαλεῖ μὲν ὁ Ξάνθος πρὸς Φοῖβον ὑπὲρ Τρώων, ῥηθήσεται δέ ποτε πρός τινος καὶ ὅτε τις ἐπιταχθεὶς ὑπὸ κρείττονος ἄμυναν ἐπίμονον οὐχ' ὑπακούσει. (v. 232) Ἰστέον δὲ ὅτι, ὥσπερ ἑσπέρα ἕσπερος καὶ τὰ ὅμοια, ὡς ἀλλαχοῦ ἐγράφη, οὕτω καὶ δείλη δείελος. Τὸ δὲ «ὀψὲ δύων» ἐν δυσὶ μέρεσι λόγου δεῖ γράφειν κατὰ τοὺς παλαιοὺς καὶ οὐ συνθέτως ὑφ' ἓν «ὀψεδύων». διὰ τοῦ ι γὰρ ἂν ἐγράφετο, ὡς τὸ ὀψιμαθής, ὀψίτευκτος, ὀψιτέλεστος. οὕτως Ἀπίων καὶ Ἡρόδωρος. Τὸ δὲ «σκιάσει ἄρουραν» φιλοσόφως εἴρηται. σκίασμα γὰρ γῆς ἐστιν ἡ νύξ.

4.495 διὰ δὲ τῆς ἐριβώλου ἀρούρης τὴν ὅλην ὡς ἐκ μέρους γῆν ἐθέλει νοεῖσθαι. οὐ γὰρ μόνην ὁ δείελος τὴν ἐρίβωλον σκιάζει, ἀλλὰ καὶ τὴν κραναήν, καί, ἁπλῶς φάναι, τὴν ἅπασαν. Ἰστέον δὲ ὅτι τε τὸν παρὰ τῷ ποιητῇ δείελον ὀψὲ δύοντα ὀψίαν δείλην φασὶν οἱ Ἀττικοί, καὶ ὅτι τὸ «ὀψὲ δύων» οὐ κυριολεκτεῖσθαι δοκεῖ ἐπὶ τοῦ δειέλου. πῶς γὰρ ἂν καὶ δύνῃ δείελος, εἴπερ οὐδὲ μεσημβρία οὐδὲ πρωΐα δύνειν λέγονται; ἀλλὰ διὰ τὸν τηνικαῦτα δύνοντα ἥλιον δύνειν αὐτὸς λέγεται. μάλιστα δὲ δύνων ὀψὲ δείελος ὁ τὸν ἥλιον δύνειν ποιῶν, ὅ ἐστι καταδύων εἰς γῆν, οὐχ' ἁπλῶς μέντοι, ἀλλ' ὡς αὐτίκα νύκτα γίνεσθαι. καὶ τοιόνδε μὲν καὶ τοῦτο. (v. 242—6) Μετὰ δὲ ὀλίγα δυστυχίαν τοιαύτην τοῦ Ἀχιλλέως περὶ τὸν ποταμὸν ἱστορεῖ ὁ ποιητής. ἐπεὶ γὰρ μὴ εἶχε πόδεσσι στηρίξασθαι, «πτελέην ἕλε χερσὶν εὐφυέα μεγάλην. ἣ δ' ἐκ ῥιζῶν ἐριποῦσα κρημνὸν ἅπαντα διῶσεν, ἐπέσχε δὲ καλὰ ῥέεθρα ὄζοισι πυκινοῖσι, γεφύρωσε δέ μιν αὐτὸν εἴσω πᾶσα ἐριποῦσα». καὶ οὕτω πάλιν ἔμεινεν ἐντὸς τοῦ ποταμοῦ ὁ Ἀχιλλεύς. Καὶ ὅρα κἀνταῦθα ὅτι τὸ ἐριποῦσα ἐπιμονὴν δὶς ῥηθὲν ἐποίησεν διὰ τὸ ὡς ἐν ποιήσει καίριον. (v. 243) Τὸ δὲ εὐφυέα ἐνταῦθα πάνυ μάλιστα κυριολεκτεῖται, καὶ οὐκ ἔστιν ἐπὶ καλοῦ δένδρου λέξιν καιριωτέραν εὑρεῖν. Μεγάλην δὲ τὴν πτελέαν εἶπε διὰ πιθανότητα, ἵνα πιστευθῇ γεφυρῶσαι αὐτὴ τὸν ποταμόν. (v. 245) Ὅρα δὲ καὶ ὅτι «ὄζοισι πυκινοῖσιν» εἰπὼν κατὰ παρίσωσιν τὸ «πᾶσα ἐριποῦσα» οὐχ' ὁμοίως ἐξεφώνησεν ἀλλ' ἐπικρύψας τῇ ἐκθλίψει τὰς ληγούσας εἶπεν «εἴσω πᾶς' ἐριποῦς'. ὃ δ' ἂρ ἐκ λίμνης ἀνορούσας ἤϊξεν». ἤρεσε γὰρ τῷ ποιητῇ μὴ δι' ὅλου ἱλαρῦναι σχήματι κάλλους καθαρῷ τὴν τοῦ νοήματος σκυθρωπότητα, ἵνα μὴ καταχορεύῃ δυστυχοῦντος τοῦ φίλου ἥρωος. καίριον δὲ τροπικὸν τὸ «γεφύρωσε», καὶ οὐκ ἦν κάλλιον φράσαι τὸ ζεῦγμα τῆς πτελέας τοῦτο, δι' οὗπερ εἶχε τις ἐξ ὄχθης εἰς τὴν ἀντιπέραν ὄχθην διαβῆναι. (v. 245) Τὸ δὲ «μὶν αὐτόν» οὐ σύνθετον ἀντωνυμίαν δηλοῖ. οὐ γὰρ εἴληπται, ὡς Ὁμήρῳ σύνηθες, ἀντὶ τοῦ ἑαυτόν, καθὰ ἐν τῷ «αὐτόν μιν πληγῇσιν ἀεικελίῃσι δαμάσας». κεῖται δὲ ἐξοχικῶς ἀντὶ τοῦ αὐτόν, αὐτὸν μέγαν δηλαδή, ὡς καινὸν ὂν μιᾷ πτελέῃ τὸν τοσοῦτον γεφυρωθῆναι. ὅτι δὲ κυρίως γέφυρά ἐστι γῆ ἐφ' ὑγρᾶς, Ἡρῳδιανὸς λέγει.

4.496 (v. 246) Τὸ δὲ «ἐκ λίμνης» ἔχει ἀπορίαν, πῶς ἄρα λίμνη ἐπὶ ποταμοῦ ῥηθήσεται. καὶ ἔστι μὲν εἰπεῖν, ὅτι τὸ προσπλάζον ὕδωρ τῇ γεφυρούσῃ πτελέᾳ καὶ ἀνακοπτόμενον τοῦ κατάρρου καὶ οἷον λιμνάζον τῇ στάσει λίμνην ἠξίωσεν εἰπεῖν Ὅμηρος. οἱ δὲ παλαιοὶ ἄλλως τὸ ἄπορον λύουσιν, εἰπόντες, ὅτι γράφεται καὶ «ἐκ δίνης» ἀνορούσας. (v. 247) Ἐπὶ δὲ τούτοις ἱστορεῖ ὁ ποιητὴς καί, ὅτι ἀγωνιῶν Ἀχιλλεύς, ὅτε τῷ ποταμῷ ἐναπείληπτο, «ἤϊξε πεδίου, ἤγουν διὰ τῆς πεδιάδος, «ποσὶ κραιπνοῖς πέτεσθαι». καὶ τοῦτο μὲν ὑπερβολικὸν εἶναι δοκοῦν θεραπεύεται διὰ τοῦ «ἤϊξεν». οὐ γὰρ ἐπέτετο, ἀλλὰ ἤϊξε πέτεσθαι. ὁ δὲ ποιητὴς καὶ ἑτέρως θεραπεύων τὸ τῆς λέξεως τολμηρὸν ἐπάγει μετ' ὀλίγα παραβολὴν ἀκόλουθον ἐξ ἀετοῦ. (v. 247—51) Τῷ τέως δὲ λέγει, ὅτι ἤϊξε «δείσας οὐδέ τ' ἔληγε θεὸς μέγας, ὦρτο δ' ἐπ' αὐτὸν ἀκροκελαινιόων», ὡς ἐρρέθη, ἵνα παύσας πόνου τὸν ἥρωα Τρώεσσι «λοιγὸν ἀλάλκοι. Πηλείδης δ' ἀπόρουσεν, ὅσον τ'

ἐπὶ δουρὸς ἐρωήν» ἢ «ἐρωή». (v. 252—5) Εἶτα τιθεὶς τὴν ῥηθεῖσαν παραβολὴν Ὅμηρός φησιν «αἰετοῦ οἴματ' ἔχων μέλανος τοῦ θηρητῆρος, ὅς θ' ἅμα κάρτιστός τε καὶ ὤκιστος πετεηνῶν. τῷ εἰκὼς ἤϊξεν, ἐπὶ στήθεσι δὲ χαλκὸς σμερδαλέον κονάβιζεν». εἰ δὲ μὴ σαφῶς ἐδήλωσεν ἡ παραβολὴ ὅρον τινὰ πηδήματος, ἀλλὰ πρὸ αὐτῆς ἐμέτρησεν αὐτὸ ἄλλως γνωριμώτερον ἐν τῷ «ἐπόρουσεν ὅσον τ' ἐπὶ δουρὸς ἐρωή». Καὶ ὅρα κἀνταῦθα τὴν Ὁμήρου τέχνην τῷ ὑπερβολικῷ τὸ σύμμετρον κεράσαντος. (v. 251) Ἔχει δὲ ὅμως καὶ ἡ τοιαύτη συμμετρία μοῖραν ὑπερβολῆς. δυσχερὲς γὰρ νοῆσαι πήδημα εἰς ὅσον δουρὸς ἐρωή, εἰ καί τις τοῦτο βιάσεται τῷ Ἀχιλλεῖ ἐπαληθεῦσαι, διότι τε ποδωκίστατός ἐστι, καὶ ὅτι ἀγωνιῶν ἄρτι πολλαπλασίων ἑαυτοῦ τὴν ὁρμὴν γίνεται ἄλλως τε καὶ δαιμονίως ἐν τοῖς παροῦσιν ἐνεργῶν. Ὅρα δ' ἐνταῦθα καί, ὅτι σπευστικῶς οἷον συντρέχει τῷ Ἀχιλλεῖ ὁ ποιητής, ἐπιτέμνων τὴν φράσιν τῇ ἐλλείψει. ἐν γὰρ τῷ «ὅσον τ' ἐπὶ δουρὸς ἐρωή» λείπει τὸ ἐστίν ἢ γίνεται. (v. 252) Τὸ δὲ «αἰετοῦ οἴματ' ἔχων» Φιλήτας, φασί, γράφει «αἰετοῦ ὄμματ' ἔχων». κρεῖττον δὲ τὸ οἴματα, ᾧ ἀκόλουθον καὶ τὸ «οἴμησε δ' ἀλείς». Τὸ δὲ «μέλανος τοῦ θηρητῆρος» λόγους ἔσχε πολλοὺς παρὰ τοῖς παλαιοῖς.

4.497 Ἀρίσταρχος μὲν γάρ, φασί, «μέλανός του» ἀναγινώσκει, τουτέστι μέλανός τινος. ᾧ ἀντιλέγοντες ἕτεροί φασιν ὡς οὐκ οἶδεν ὁ ποιητὴς τὸ του ἐγκλιτικόν, ἀλλὰ ἢ τεῦ λέγει ἢ τέο διαλελυμένως. ἄλλοι δὲ «μελανόσσου» γράφουσιν, ἤγουν μέλανας ἔχοντος ὀφθαλμούς. οἱ δὲ γράφοντες «μελανόστου», ἤτοι μέλανα ἔχοντος ὀστᾶ, εὐθύνας πολλὰς διδόασι τοῖς Τεχνικοῖς. ἤρεσεν οὖν ἐν ἄρθρῳ γράφειν «αἰετοῦ μέλανος τοῦ θηρητῆρος», ὃν καὶ μελαναιέτόν τινες συνθέτως φασί, τὸν καὶ φασσοφόνον, μικρὸν μέν, φασίν, ὄντα, τῶν ἄλλων δὲ ἰσχυρότερον. καλῶς δέ, φασί, τὸν θηρητῆρα τοῦτον ἀετὸν ὡς καὶ κράτιστον καὶ ὤκιστον εἰς εἰκόνα τοῦ Ἀχιλλέως εἴληφεν, ὃς καὶ ὠκύτατος ἦν ποσὶ καὶ ἀνδρειότατος. φιλῶν δὲ τὸν τοιοῦτον ἀετὸν διὰ ταῦτα Ὅμηρος καὶ παρίσοις ἐκόσμησε, τῷ «κάρτιστος» καὶ «ὤκιστος». (v. 257—64) Εἶτα διὰ παραβολῆς διδάσκων ὁ ποιητὴς ἐναργῶς τὴν φυγὴν μὲν τοῦ Ἀχιλλέως, ἐπίρροιαν δὲ καὶ ταχεῖαν φορὰν τοῦ ποταμοῦ διὰ δαψιλοῦς καὶ συνεχοῦς ῥεύματος, φησὶν «ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς ἀπὸ κρήνης μελανύδρου ἂν φυτὰ καὶ κήπους ὕδατι ῥόον ἡγεμονεύῃ, χερσὶ μάκελλαν ἔχων, ἀμάρης ἐξ ἔχματα βάλλων· τοῦ μέν τε προρρέοντος ὑπὸ ψηφῖδες ἅπασαι ὀχλεῦνται· τὸ δέ τ' ὦκα κατειβόμενον κελαρύζει χώρῳ ἐνὶ προαλεῖ, φθάνει δέ τε καὶ τὸν ἄγοντα· ὣς αἰεὶ Ἀχιλλῆα κιχήσατο κῦμα ῥόοιο», τὸ καὶ προγραφέν, «καὶ λαιψηρὸν ἐόντα». (v. 264) Εἶτα ἐπιπλέκει γνωμικὸν «θεοὶ δέ τε φέρτεροι ἀνδρῶν», ὅπερ παρῳδηθὲν ὀρθῶς λεχθήσεται «θεὸς δέ τε φέρτερος ἀνδρῶν». Ἰστέον δὲ ὅτι πρὸς τὸ τάχος τοῦ κύματος ἡ παραβολὴ καὶ πρὸς τὸ συνεχές, ὡς εἴρηται, τῆς ἐπιρροῆς καὶ τὸ καταλαμβάνεσθαι τὸν Ἀχιλλέα ὑπὸ τοῦ κατὰ τὸν ῥόον κύματος. ἄλλως γὰρ εὐτελές ἐστι παραβαλεῖν πρὸς ἀμάραν τὸν τοσοῦτον ποταμόν. (v. 258) Ἀστείως δὲ εἶπε τὸ ἡγεμονεύειν ὡς ἐπὶ ἐμψύχου τοῦ ῥεύματος, ὃ προάγει καὶ οἷον ὁδηγεῖ, ὁ δι' αὐτὸ τοῦτο λεγόμενος ὀχετηγός. (v. 259) Μάκελλα δὲ σκαλὶς ἡ μονόθεν κέλλουσα, ὅ ἐστι κινοῦσα, ὥσπερ αὖ πάλιν δίκελλα ἡ διχόθεν κέλλουσα.

4.498 Ἀμάρα δὲ ἡ ὑδρορρόη παρὰ τὸ μὴ ἐᾶν τὰ παραπεφυκότα μαραίνεσθαι. διὸ καὶ ψιλοῦται κατὰ τὴν ἄρχουσαν, παρά τισι δὲ δασύνεται, ὡς ἀπὸ τοῦ ἅμα ῥέειν. σκοπητέον δὲ εἴπερ καὶ λείβηθρον ἡ Ὁμηρικὴ ἀμάρα ἐλέγετο. φησὶ γάρ τις ἐν ῥητορικῷ διχρόνου Λεξικῷ, ὅτι λείβηθρον ὀχετὸς ὑδραγωγός. ἐν δὲ τοῖς Αἰλίου Διονυσίου γράφεται ἐν συστολῇ τῆς ἀρχούσης διὰ μόνου διχρόνου, ὅτι λίβηθρα ἔφυδρα χωρία καὶ διαρρύσεις ὑδάτων. πλείων δὲ ἡ διὰ διφθόγγου γραφή. καὶ οὕτω γράφουσι καὶ τὰ Μακεδονικὰ Λείβηθρα, τὸ ὄρος, οὗ τοπικὸν οἱ βάρβαροι Λειβήθριοι, οἷς ἐνδιατρῖψαί ποτε ὁ Ὀρφεὺς λέγεται. Ἔχματα δὲ νῦν τὰ κωλύματα τοῦ ὀχετοῦ. (v. 260) Τὸ δὲ «προρέοντος» διὰ μέτρον οὐ διπλασιάζει τὸ ρ . ἔνια δὲ τῶν ἀντιγράφων Ἀττικῶς διπλάζοντα τοῦτο συνίζησιν οὕτω ποιοῦσι τῶν μετ' αὐτὸ δύο συλλαβῶν, τοῦ ρε καὶ τοῦ ον , εἰς ἀπαρτισμὸν δακτύλου. Τὸ δὲ ψηφῖδες, οὗ μακρὰ ἡ παραλήγουσα, ὡς καὶ τοῦ

κνημῖδες, κρηπῖδες, σφραγῖδες, ἔοικεν ὡς ἐφερμηνευτικὸν κεῖσθαι τοῦ ἔχματα. ἐπέχουσι γὰρ καὶ αὐταὶ στοιβασθεῖσαι τὸν ὀχετὸν τοῦ ῥεύματος. (v. 261) Τὸ δὲ «ὀχλεῦνται» ἀπὸ ἐνεστῶτος γίνεται τοῦ ὀχλέω, ἐξ οὗ παράγωγον τὸ ὀχλίζω, ὡς ἐκ τοῦ ὁπλέω τὸ ὁπλίζω καὶ τοῦ ἀφρέω τὸ ἀφρίζω, καθὰ προέγνωσται. ὠνοματοπεποίηται δὲ τὸ ὀχλεῖν, καὶ μιμεῖται ἡ λέξις καχλασμὸν ἠρεμαιότερον τοῦ κελαρύζειν. καὶ τοῦτο μὲν σωφρόνως πέφρασται τῷ ποιητῇ ἐπὶ ψηφίδων. Θεόκριτος δὲ θρασέως ἔφη τὸ «πᾶσα λίθος ἀείδει». [Δῆλον δ’ ὅτι ἐκ τοῦ ὀχεῖν καὶ τοῦ ὄχλου πλεονασμῷ τοῦ μῦ γίνεται ὁ μοχλός, ὡς καὶ ἐκ τοῦ ὄχθου ὁ μόχθος.

4.499 ἐκ δὲ τοῦ ὄχλου καὶ ὀχλικόν, τὸ κοινὸν καὶ πολυτελές, οἷον «ὑποδοχὰς ἐποιοῦντο καθ’ ἡμέραν ὀχλικάς».] (v. 262) Χῶρος δὲ προαλὴς ὁ κατωφερὴς καὶ κατάντης. σημαίνει δέ ποτε ἡ λέξις καὶ τὸν ἀναιδῆ καὶ πρὸ τοῦ δέοντος ὁρμητίαν. Ἐν δὲ τῷ «φθάνει δέ τε καὶ τὸν ἄγοντα» τὸ «φθάνει» ἐκτεταμένον ἔχει τὸ α διὰ τὸ μέτρον, ὡς καὶ τὸ «ἱκάνει». τοῦ δὲ κόμματος τούτου ὁ νοῦς ὁ σκοπός ἐστι τῆς παραβολῆς. διὰ τοῦτο γὰρ εἴληπται ἡ παραβολή, ἵνα ἐναργῶς δηλωθῇ, ὅπως ὁ Ἀχιλλεὺς ὑπὸ τοῦ ῥόου κατελαμβάνετο. (v. 263) Διὸ καὶ ἀποδοὺς τὴν παραβολήν φησιν «ὣς αἰεὶ Ἀχιλῆα κιχήσατο κῦμα». Τὸ δὲ «ἄγοντα» τὸ ῥῆμά ἐστιν, ἐξ οὗ ὁ ὀχετηγός παράγεται. οὗ ἑρμηνεία ἦν ἀνωτέρω τὸ «ὕδατι ῥόον ἡγεμονεύει». ὀχετηγὸς γὰρ ὁ τῷ ὕδατι τὸν ῥοῦν ἡγεμονεύων. [Ὅτι δὲ τὸ ἄγειν ἄλλως ἐπὶ ἐμψύχων πολλαχοῦ κυριολεκτεῖται, ἤδη δεδήλωται. καὶ ὅμως ἐξ αὐτοῦ γίνεται καὶ ὁ, ὡς ἐρρέθη, ὀχετηγὸς καὶ τὰ τῆς νηὸς ἀγώγιμα καὶ τὸ λαφυραγωγεῖν καὶ ἄλλα μυρία τὰ ἐπὶ ἀψύχων, καὶ ἀναγωγεὺς ἀσπίδος ὁ κατὰ κυριολεξίαν ἀναφορεύς. προφέρονται δὲ ἀπὸ τοῦ ἄγειν καὶ ψεκτικαὶ λέξεις, οἷον ἡ προαγωγός, τὸ προαγωγεύειν, σὺν ἄλλοις δὲ καὶ τὸ ἀνάγωγον, ἤγουν ἀπαίδευτον, οἷον «περιαγόμενος θεράποντας ὡραίους καὶ παραδρομὴν κολάκων ἀνάγωγον». χρῆσις δὲ τοιαύτης λέξεως καὶ παρὰ Σιμοκάτῳ. ἡ δὲ κοινὴ φράσις δυσανάγωγον λέγει. ζητητέον δέ, εἰ καὶ ἡ στρατιωτικὴ λέξις τὸ ἄγημα, οἷον «ἱππέων ἄγημα», ἐκ τοῦ τοιούτου ἄγω γίνεται πρὸς ἀναλογίαν τοῦ πέσημα.] (v. 263) Τὸ δὲ «κιχήσατο» ἀντὶ τοῦ ἐκίχανε κεῖται.

4.500 [Καὶ οὕτως ἄν, οὐ μὴν ἄλλως, ὀρθῶς λέγοιτο τὸ «αἰεὶ κιχήσατο». ἑτέρως γὰρ οὐκ ἔστι τὸ «αἰεί» συνταχθῆναι τῷ «κιχήσατο».] Ἰστέον δὲ ὅτι χαρακτὴρ τῆς ῥηθείσης παραβολῆς ὁ κατὰ τὴν φράσιν ἰσχνός ἐστι κατὰ τοὺς παλαιοὺς καὶ ἀνθηρὸς καὶ κόσμου ἕνεκεν διηγεῖται, μεταπεσὼν ἐκ τοῦ ἁδροῦ, ὡς ἂν εἴη ποικίλος ὁ λόγος τῷ ποιητῇ, ὃς ἐνδείξασθαι καὶ ἄλλως ἐθέλων τὴν τοῦ Ἀχιλλέως ἀγωνίαν καὶ ἀπόγνωσιν ἐπὶ σωτηρίᾳ, προθέμενος δὲ καὶ πρὸς ἠθοποιΐαν εὐμεθόδως γράψαι λέγει (v. 272—83), ὡς Πηλείδης «ᾤμωξεν ἰδὼν εἰς οὐρανὸν εὐρύν· Ζεῦ πάτερ, ὡς οὔ τίς με θεῶν ἐλεεινὸν ὑπέστη ἐκ ποταμοῖο σαῶσαι, ἔπειτα δὲ καί τι πάθοιμι. ἄλλος δ’ οὔ τίς μοι τόσον αἴτιος Οὐρανιώνων, ἀλλὰ φίλη μήτηρ, ἥ με ψεύδεσσιν ἔθελγεν. ἥ μ’ ἔφατο Τρώων ὑπὸ τείχεϊ θωρηκτάων λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσσιν. ὥς μ’ ὄφελ’ Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε τέτραφ’ ἄριστος. τῷ κεν», ἤγουν οὕτω ἄν, «ἀγαθὸν μὲν ἔπεφν’, ἀγαθὸς δέ κεν ἐξενάριξε. νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι, ἐρχθέντ’ ἐν μεγάλῳ ποταμῷ ὡς παῖδα συφορβόν, ὅν ῥά τ’ ἔναυλος ἀποέρσει χειμῶνι περῶντα». Ἐν τούτοις δὲ ὅρα, ὅτι τε δεινός ἐστιν Ἀχιλλεὺς καὶ ἀναίτιον αἰτιάασθαι, καὶ ὡς ἕτοιμός ἐστιν εἰς αἰτίασιν τῶν κρειττόνων ὁ ἐναπειλημμένος κινδύνῳ, καθὰ καὶ Ἀχιλλεὺς τὴν μητέρα μέμφεται, καὶ ταῦτα οὐδὲν πταίσασαν, ὅπερ ἐμφαίνει καὶ ὁ ποιητὴς ἐν τῷ «φίλη μήτηρ». ἡ γὰρ φίλη, οὐκ ἂν κακοτροποίη. Σημείωσαι δὲ καί, ὅπως ὁ ἐνδοιαστικῶς ἀμφιβαλὼν πρὸ μικροῦ, ὅτι ἀναιρεθήσεται ἢ δουρὶ βληθεὶς ἢ ὀϊστῷ, νῦν τὸ ἀληθὲς αὐτὸ λέγει κατὰ μόνας ὤν, ὅτι δηλαδὴ λαιψηροῖς ὀλεῖται Ἀπόλλωνος βελέεσσιν. οὐ γὰρ ἤθελεν ἐν τοῖς πρὸ τούτου ἐκκαλύπτειν τῷ Λυκάονι τὰ τοῦ χρησμοῦ ὄντι ἐχθρῷ. Ὅρα δὲ καὶ ὅπως πολυτρόπως ὁ ποιητὴς διαφόροις τόποις τὰ κατὰ τὸν θάνατον τοῦ Ἀχιλλέως καὶ ἐμέρισε καὶ μερίσει δὲ ἐν τοῖς ἑξῆς. (v. 273) Τὸ δὲ «ὑπέστη» οὐ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνήθως τῷ ποιητῇ κεῖται νῦν ἀντὶ τοῦ ὑπέσχετο, ἀλλὰ μᾶλλον ἀντὶ τοῦ ἔτλη καὶ ὑπέμεινεν, ὡς ἐκ μεταφορᾶς καὶ τοῦτο στύλου ἢ κίονος ὑφισταμένου εἴς τι βάσταγμα.

4.501 (v. 274) Τὸ δὲ «ἔπειτα καί τι πάθοιμι» οὐκ ἔχει προσφυῆ καὶ ἀκόλουθον τῷ πρὸ αὐτοῦ νοήματι σύνταξιν, ἀλλὰ συγκέχυται ὥσπερ ὁ λαλῶν Ἀχιλλεύς, οὕτω καὶ αὐτό. δοκεῖ οὖν λείπεσθαι καὶ ἑτέρου εὐκτικοῦ, ἵνα ἦν· σωθείην ἐκ τοῦ ποταμοῦ, εἶτα δὲ καί τι πάθοιμι. καὶ ἔστι καὶ τοῦτο κατὰ τὸ «ἐν δὲ φάει καὶ ὄλεσσον», ὅπερ ὁ Αἴας που ἔφη. ἔστι γὰρ ὥσπερ ἐκεῖ ἀπευκταῖον τῷ ἥρωϊ τὸ ἐν σκότει ὀλέσθαι, οὕτως ἐνταῦθα τῷ Ἀχιλλεῖ οἴκτιστον θανεῖν ἐν κύμασι. (v. 275) Τὸ δὲ «Οὐρανιώνων» πιθανολογεῖ τὰς προρρηθείσας εἰς οὐρανὸν ἀνόδους τῆς Θέτιδος. εἰ γὰρ καὶ Νηρηῒς ἦν, ὅμως ἦν αὐτῇ μετὸν καὶ τῶν ἄνω μυθικῶς τε καὶ ἀλληγορικῶς, καθὰ καὶ ὁ περὶ τοῦ Αἰγαίωνος λόγος προεδήλωσε. (v. 276 s.) Τὸ δὲ «ἥ με», ἀνεμεσήτως δεδίσσευται ἐν τῷ «ἥ με ἔθελγε», καὶ «ἥ με ἔφατο». Θέλγειν δὲ οὐδὲ νῦν ἁπλῶς κατὰ τοὺς μεθ᾽ Ὅμηρον τὸ εὐφραίνειν, ἀλλὰ τὸ ἀπατᾶν. ὅλως γὰρ εἰπεῖν, οὐκ ἔστι γλυκεῖα λέξις τὸ θέλγειν καὶ ἐπαινετή, ὡς πολλαχοῦ φαίνεται. καὶ δηλοῦσι τοῦτο καὶ οἱ Τελχῖνες, οὓς ὁ παλαιὸς λόγος οὐκ ἐπαινεῖ. (v. 278) Λαιψηρὰ δὲ οὐ μόνον γούνατα καὶ πόδες, ἀλλ᾽ ἰδοὺ καὶ βέλη, οἷς ἐπαληθεύεται τὸ λαιψηρὸν διὰ τὸ πτερόεν. [(v. 280) Τοῦ δὲ «ἀγαθὸν μὲν ἔπεφν᾽, ἀγαθὸς δέ κεν ἐξενάριξε» παραλάλημα εἴτε ἀποσκίασμά τι ἐν τοῖς ὕστερον παροιμιακὸν ἐκεῖνο τὸ «ἐξ ἀξίου ξύλου καὶ ἀπάγξασθαι», οὗπερ ἐλλειπτικῶς μέμνηται ὁ Κωμικός.] Σημείωσαι δὲ καὶ ὅτι ὁ καὶ πρὸ μικροῦ σεμνυνόμενος Ἀχιλλεὺς καὶ ἐλλαμπόμενος ὡς καλός τε μέγας ἐὼν καὶ θεογενής, καὶ ἐνταῦθα δὲ ἀγαθολογήσας ἑαυτόν, ὅμως διὰ τὸν κίνδυνον ἐλεεινόν τε ἑαυτὸν ἀπεκάλεσε καὶ ἐποτνιάσατο σωθῆναι, καὶ εἰς πλέον δὲ πρὸς εὐτέλειαν ταπεινούμενος διὰ τὸ ἐν ποταμῷ εἰρχθῆναι ἀνθρώπῳ ἑαυτὸν παρεικάζει διὰ τὴν τοῦ πάθους ὁμοιότητα τήν τε ἡλικίαν ἡκίστῳ καὶ τὴν ἐπιτήδευσιν, συφορβῷ δηλονότι παιδὶ ἀποπνιγέντι ἐν χειμάρρῳ.

4.502 τοῦτο γὰρ δηλοῖ, ὡς καὶ προερρέθη, ὁ ἔναυλος. ἔστι γὰρ κατὰ τοὺς παλαιοὺς ἔναυλος χείμαρρος, στενὴ διῶρυξ ἢ καὶ ἄλλως ἔναυλος ὁ διὰ στενοῦ καὶ ἐπιμήκους τόπου ῥέων χείμαρρος, παρὰ τὸν αὐλόν, ὅς ἐστιν ἐπιμήκης παράτασις. ἀφ᾽ οὗ καὶ ἡ αὖλαξ, καὶ ὁ μουσικὸς αὐλὸς καὶ οἱ τοπικοὶ αὐλῶνες, ὡς πολλαχοῦ φαίνεται. οἱ μέντοι μεθ᾽ Ὅμηρον ἔναυλόν φασι καὶ τὸν ἔνδον τῆς αὐλῆς. ὅθεν καὶ λόγος ἔναυλος ἀκοῇ ὁ ἔτι ἐντὸς ὢν τῆς ἀκοῆς. [Αὐτὸ δὲ ἴσως καὶ παρὰ τὸν μουσικὸν αὐλὸν ἐρρέθη, ἵνα ᾖ λόγος ἔναυλος ὁ ἔτι καταυλῶν τὴν ἀκοήν. περὶ δὲ τοιούτου αὐλοῦ ἱκανῶς μέν τινα προεγράφησαν. ἰστέον δὲ καὶ νῦν, ὅτι τε ἀπὸ τοῦ αὐλοῦ καὶ συναυλία ἐκαλεῖτο, συμφωνίας ἀγὼν ἀμοιβαῖος αὐλοῦ καὶ ῥυθμοῦ, χωρὶς λόγου τοῦ προσμελῳδοῦντος, καὶ ὅτι Λίβυς ὁ αὐλὸς ἐκαλεῖτο παρὰ τοῖς ποιηταῖς, ἐπεὶ Λίβυς νομάς τις τὴν αὐλητικὴν πρῶτος εὗρε, καὶ ὅτι αὐλήσεων ὀνομασίαι, ὡς ὁ Ἀθήναιος ἐκτίθεται, κῶμος, ἐπίφαλλος, χορεῖος, καλλίνικος, πολεμικόν, ἡδύκωμος, σικιννοτύρβη, θυροκοπικόν, τὸ καὶ κρουσίθυρον, κνησμός, μόθων. μετ᾽ ὀρχήσεως δέ, φησίν, αὐτὰ ηὐλεῖτο, καθὰ ἱστορεῖ Τρύφων, ὃς καὶ ᾠδῆς ὀνομασίας καταλέγει τάσδε· ἱμαῖος, ἡ καὶ ἐπιμύλιος ἢ μυλωθρός, ἣν παρὰ τοὺς ἀλετοὺς ᾖδον. εἶτα ἐτυμολογῶν φησι κληθῆναι ἱμαῖον ἴσως ἀπὸ τῆς ἱμαλίδος. ἱμαλὶς δέ, φησί, παρὰ Δωριεῦσιν ὁ νόστος καὶ τὰ ἐπίμετρα τῶν ἀλέτων. ὡς δὲ ᾠδῆς ὄνομα καὶ ὁ αἴλινος καὶ ὁ λιτυέρσης καὶ ὁ ὑμέναιος καὶ ἄλλα τινά, προδεδήλωται. ἦν δέ τις καὶ καλύκη ᾠδή, Στησιχόρου ποίημα ἐπί τινι Καλύκῃ κατακρημνισθείσῃ δι᾽ ἔρωτα, καὶ ἁρπαλύκη ἑτέρα ἐπὶ ὁμοίῳ πάθει.

4.503 ] (v. 282) Τὸ δὲ συφορβὸς ἅπαξ εἴρηται τῷ ποιητῇ, ὡς παρασημειοῦνται οἱ παλαιοί, φράζοντες ἐνταῦθα γοργότατα περὶ Ἀχιλλέως, ὡς ταπεινοῖ ἑαυτὸν ὁ καλὸς καὶ μέγας παιδὶ εἰκάζων ἀγεννεῖ καὶ εὐτελεῖ. (v. 283) Τὸ δὲ «ἀποέρσῃ» δηλοῖ μὲν τὸ φθείρῃ, γίνεται δὲ ἀπὸ τοῦ ἔρρω ἔρσω Αἰολικοῦ. φασὶ δὲ οἱ παλαιοὶ καί, ὡς καλῶς λυπεῖ τὸν ἥρωα τὸ θανεῖν ἀγεννῶς. καὶ γὰρ καὶ Λεωνίδας ὁ Λάκων τὴν χεῖρα βληθεὶς ὠδύρετο ὅτι μὴ ἔχων χεῖρα τελευτᾷ. Ἔτι ἰστέον καὶ ὡς ὁ λυπούμενος ἐφ᾽ οἷς κινδυνεύων οὐ βοηθεῖται, προσφυῶς ἂν ἐρεῖ, ὡς οὔτι με ἐλεεινὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπέστη σαῶσαι, ἔπειτα δὲ καί τι πάθοιμι. (v. 280) Ὅρα δὲ καὶ ὅτι οὐχ’ ὑφίεται Ἀχιλλεὺς τοῦ ἀγαθὸν ἑαυτὸν εἰδέναι, εἰ καὶ οὕτω ποταμῷ κινδυνεύει, καὶ ὅτι κἂν φιλοτίμως καὶ ἀγερώχως πρὸ τούτων πεσεῖν ὑπὸ τῷ Ἀπόλλωνι βληθεὶς εἶπεν ὁ Ἀχιλλεὺς κατὰ τὸν τῆς μητρὸς λόγον, ἀλλὰ νῦν ὑπῆλθεν αὐτὸν καὶ ἡ τοῦ Ξάνθου ἵππου μαντεία, φαμένου δαμασθήσεσθαι τὸν Ἀχιλλέα θεῷ καὶ ἀνδρί. ὃν δὴ ἄνδρα οὐ Πάριν ὑπονοήσας, ἀλλὰ παρανοήσας εἰς Ἕκτορα, λαλεῖ νῦν ἅπερ λαλεῖ. οὐ μαντικώτερος δὲ Θέτιδος ὁ Ξάνθος ἵππος, ἀλλ’ ἐκεῖνος μὲν τὸ πᾶν εἶπεν, ἡ δὲ μήτηρ κολακεύουσα τὸν υἱὸν τὸ σεμνὸν μόνον μέρος εἰπεῖν ἐπελέξατο. Ἐπὶ δὲ τούτοις σημείωσαι ὡς, εἰ καὶ οὕτω μάλα τὸ τοῦ Ἀχιλλέως φρόνημα καταβέβληται καὶ τῶν πάλαι θεσφάτων λαθόμενος ᾠήθη ἐν τῷ ποταμῷ ἄρτι πεσεῖν, ὅμως ἀναφρονήσας ἡρωϊκῶς ἑαυτὸν θαρρύνει καὶ γενναίως ἵσταται καὶ περισῴζεται πρός τε μῦθον καὶ ἀλληγορικῶς. (v. 284—6) Ἐπάγει γὰρ ὁ ποιητής, ὡς «Ποσειδάων καὶ Ἀθήνη στήτην ἐγγὺς ἰόντε, δέμας δ’ ἄνδρεσσιν εἴκτην, χερὶ δὲ χεῖρα λαβόντες ἐπιστώσαντ’ ἐπέεσσιν». (v. 287—97) Ἦρχε δὲ μύθων ὁ Ποσειδῶν [κατὰ σχῆμα προεκθετικόν, ὡς Ὁμήρῳ σύνηθες.] «Πηλείδη, μήτ’ ἄρ τι λίην τρέε μηδέ τι τάρβει· τοίω γάρ τοι νῶϊ θεῶν ἐπιταρρόθω εἰμέν», ἤγουν ἐσμέν, «Ζηνὸς ἐπαινήσαντος, ἐγὼ καὶ Παλλὰς Ἀθήνη. ὡς οὔ τοι ποταμῷ γε δαμήμεναι αἴσιμόν ἐστιν. ἀλλ’ ὅδε μὲν τάχα λωφήσει, σὺ δὲ εἴσεαι αὐτός. αὐτάρ τοι πυκινῶς ὑποθησόμεθ’, αἴ κε πίθηαι, μὴ πρὶν παύειν χεῖρας ὁμοιΐου πολέμοιο, πρὶν κατὰ Ἰλιόφιν κλυτὰ τείχεα λαὸν ἐέλσαι Τρωϊκόν, ὅς κε φύγῃσι· σὺ δ’ Ἕκτορι θυμὸν ἀπούρας ἂψ ἐπὶ νῆας ἴμεν· δίδομεν δέ τοι εὖχος ἀρέσθαι».

4.504 Καὶ αὐτὸς μὲν οὕτω μυθικῶς εἰπὼν προμηθείᾳ ποιητικῇ τοῦ μὴ παρ’ ἱστορίαν τῷ πολλῷ τοῦ φόβου κατεργασθῆναι τὸν ἥρωα συναπέβη τῇ Ἀθηνᾷ μετ’ ἀθανάτους (v. 299) «Αὐτὰρ ὅ», τουτέστιν ὁ Ἀχιλλεύς, «βῆ, μέγα γάρ ῥα θεῶν ὤτρυνεν ἐφετμὴ ἐς πεδίον», ἐκφυγὼν δηλαδὴ τὸν ποταμὸν ἐν τῷ ἀναρρωσθῆναι, οἷς προαναφωνητικῶς κατὰ ἔθος Ὁμηρικὸν ἤκουσε καὶ ἐνόησεν. Ἰστέον δὲ ὅτι φρόνησις Ἀθηνᾶ καὶ Ποσειδῶν, ὑγρότης εὔψυχος δηλαδή, ὑποβάλλει τῷ Ἀχιλλεῖ νοῆσαι τὰ πρὸς ἀνάρρωσιν διαγνωμονοῦντος Ἀχιλλέως, ὅτι τε εὐψύχως ἔτι διάκειται καὶ διερῷ ποδὶ καθ’ Ὅμηρον ἢ χλωρὸν γόνυ κατὰ Θεόκριτον ἔχων βαίνει, καὶ οὔπω δέος εἰς ἀλίβαντα καταπεσεῖν αὐτόν, ζῶντι ποδὶ χρώμενον, ὥς φησι Σοφοκλῆς. ὕπεισι δὲ αὐτὸν καὶ ὅτι οὐδὲ τὸ ἐπὶ τῇ αὐτοῦ τελευτῇ θέσφατον ψεύσεται. ὅπερ ἤδη προγέγραπται, ἀναιρεθῆναι δηλοῦν αὐτόν, οὐ μὴν ποταμῷ δαμήμεναι. (v. 286) Τὸ δὲ «χειρὶ χεῖρα λαβεῖν» δεξιώσεώς ἐστι φιλικῆς ἔνδειξις, ἣν καὶ ἐν Ὀδυσσείᾳ σαφέστερον ἱστορεῖ ὁ ποιητής. Νοητέον δ’ ἐνταῦθα ὅτι μόνος ὁ Ποσειδῶν, ὡς εἰκός, χεῖρα ἔλαβε τὴν τοῦ Ἀχιλλέως, οὐ μὴν καὶ ἡ Ἀθηνᾶ. [Οὐ γὰρ ἂν τοῦτό γε σεμνῶς ἢ πιθανῶς ὁ ποιητὴς ἐπλάσατο. εἰ δὲ δοκεῖ ἀντιφωνεῖν τὸ «λαβόντες» εἰς τὸ οὕτω νοεῖν, ἐνθυμητέον ὅτι συνεκδοχικῶς πέφρασται τὸ «λαβόντες». συνείληπται γάρ πως διὰ τὴν ἀρέσκειαν τῇ τοῦ Ποσειδῶνος χειρὶ καὶ ἡ τῆς Ἀθηνᾶς.] Διὸ καὶ ἔφη «χειρί», οὐ «χερσί». Τὸ δὲ «ἐπιστώσαντο» ἀντὶ τοῦ πιστὰ ἐποίησαν, ὡς πίσυνον αὐτοῖς γενέσθαι τὸν Ἀχιλλέα. Τὸ δὲ «ἐπέεσσι» πρὸς διαστολὴν ἔφη τῶν ὅρκοις ἢ ἄλλως πιστουμένων. (v. 288) Τὸ δὲ «μήτε τι λίαν τρέε μήτε τι τάρβει» παραθαρρυντικόν ἐστιν, ἐκ παραλλήλου μὲν τὴν αὐτὴν δηλοῦν ἔννοιαν, ὁρμηθὲν δὲ ἐκ τοῦ μηδὲν ἄγαν, παρεοικὸς δὲ κατὰ σχῆμα τῷ «μήτ’ ἄρ με μάλ’ αἴνεε, μήτε τι νείκει».

4.505 (v. 290) Τὸ δὲ «ἐπαινήσαντος» ἀντὶ τοῦ συναινήσαντος, οὗ κοινότερον τὸ ἐπαινέσαντος, ὡς καὶ προεφάνη ἐν ἄλλοις. (v. 292) Τὸ δὲ «ἀλλ’ ὅδε μὲν τάχα λωφήσει» ῥηθήσεται περί τινος, ὃς θυμούμενος ἐλπίζεται παύσασθαι. Ἰστέον δὲ ὅτι λωφῆσαι κυρίως παρὰ τοῖς παλαιοῖς, ὡς καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται, τὸ ἀποθέσθαι ἄχθος τὸ ἐπὶ τῷ τραχήλῳ, ἔνθα ἐστὶν ὁ ὑπὸ ζυγὸν λόφος, ἐκταθέντος δηλαδὴ τοῦ ο , ὡς καὶ ἐπὶ τοῦ λοπός, ὁ τοῦ κρομύου, γίνεται, ἀφ’ οὗ λώπιον, τὸ ἱμάτιον, κατὰ ὁμοίαν ἔκτασιν. (v. 294—5) Πρὸς δὲ ἀριστέα πολιορκοῦντα οἰκεῖον ῥηθῆναι τὸ «μὴ πρὶν χεῖρας παύειν ὁμοίου πολέμου, πρὶν κατὰ κλυτὰ τείχεα λαὸν ἐέλσαι», ὅ ἐστιν εἰλῆσαι,

συγκλεῖσαι. Τὸ δὲ «ὅς κε φύγῃσι» μερικεύει συνήθως τὸ ὅλον. οὐ γὰρ πᾶς ὁ λαὸς εἰς Ἴλιον συνελαθήσεται, ἀλλ’ ὡς ἂν φύγῃ τὰς τοῦ ἥρωος χεῖρας. (v. 297) Τὸ δὲ «ἂψ ἴμεν» ἀντὶ τοῦ ὀπίσω ἐλθέ. Τὸ δὲ «εὖχος ἀρέσθαι» οὐκ ἀπέοικε τοῦ «κῦδος ἀρέσθαι». (v. 300—6) Μετὰ δὲ ταῦτα φιλοτιμούμενος ὁ ποιητὴς μήδ’ εἰσέτι ἀπαλλάξαι κινδύνου τὸν Ἀχιλλέα, ἵνα τὴν ἑαυτοῦ ἐν τῷ λέγειν δύναμιν εἰς πλέον ἐπιδείξηται, φησὶ μετὰ τὸ «βῆ ἐς πεδίον» ταῦτα. «πᾶν πλῆθ’ ὕδατος ἐκχυμένοιο· πολλὰ δὲ τεύχεα καλὰ δαϊκταμένων αἰζηῶν πλῶον», ἤτοι ἔπλεον, «καὶ νέκυες», ὃ καὶ ναυαγίου πολεμικοῦ φραστικὸν ἔσται ποτέ. «τοῦ δ’ ὑψόσε γούνατ’ ἐπήδα πρὸς ῥόον ἀΐσσοντος ἀν’ ἰθύν», ὡς προηρμήνευται, «οὐδέ μιν ἔσχεν εὐρὺ ῥέων ποταμός· μέγα γὰρ σθένος ἔμβαλ’ Ἀθήνη. οὐδὲ Σκάμανδρος ἔληγε τὸ ὃν μένος, ἀλλ’ ἔτι μᾶλλον χώετο Πηλείωνι, κόρυσσε δὲ κῦμα», ὡς πρὸ τούτων καὶ αὐτὸ ἐγράφη σὺν τοῖς ἑξῆς ἕως τοῦ «μέμονεν ἶσα θεοῖσι». (v. 305) Κότου δὲ δηλωτικὸν τὸ «οὐκ ἔληγε τὸ ὃν μένος, ἀλλ’ ἔτι μᾶλλον χώετο». (v. 300) Ἰστέον δέ, ὡς ἐν ἄλλοις πλήθοντα ποταμὸν εἰπὼν ἐνταῦθα κατὰ περίφρασιν σαφέστερόν φησιν, ὅτι τὸ πεδίον πλῆθεν ὕδατος ἐκχυμένοιο. (v. 305) Τὸ δὲ «ἔληγε» ποτὲ μὲν αὐτὸ καθ’ αὑτὸ λέγεται, ποτὲ δὲ καὶ σύνταξιν ἐπιδέχεται, καὶ αὐτὴν ἢ μετὰ γενικῆς, ὡς τὸ «οὐδ’ Ἀγαμέμνων λῆγ’ ἔριδος», ἤγουν ἐπαύετο, ἢ μετὰ αἰτιατικῆς, ὡς νῦν «οὐ Σκάμανδρος ἔληγε τὸ ὃν μένος», ὅμοιον ὂν τῷ «μὴ πρὶν παῦε τεὸν μένος».

4.506 (v. 307) Ἔτι ὅρα καὶ ὅτι κέκλεσθαι τὸν Ξάνθον τῷ Σιμόεντι εἰπὼν ὁ ποιητὴς οὔτε ἀντιλαλοῦντά τι τὸν Σιμόεντα πλάττει, οὔθ’ ὑπακούοντα τῷ Ξάνθῳ παριστᾷ, ἴσως μὲν ἀφεὶς σιωπηρῶς νοεῖν τὸν Σιμόεντα πεισθέντα, ὡς εἴρηται, ἴσως δὲ καὶ διὰ τὸ πάνυ τερατῶδες μὴ τολμήσας καὶ τοιοῦτόν τι πλάσασθαι. οὐκοῦν ἐν τοῖς ἑξῆς μόνος ὁ Ξάνθος ὑπὸ Ἡφαίστου καίεται, οὐ μὴν καὶ Σιμόεις; (v. 308 et 314 s.) Ἐνταῦθα δὲ πρόκλησις φίλου εἰς συμμαχίαν κατ’ ἐχθροῦ τὸ «φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ σχῶμεν». ὡσαύτως καὶ τὸ «ἀλλ’ ἐπάμυνε τάχιστα, ἵνα παύσομεν ἄγριον ἄνδρα, ὃς δὴ νῦν κρατέει· μέμονε δ’ ὅ γε ἶσα» δαίμονι. τοῦτο δέ, ἤγουν τὸ δαίμονι, παρῴδηται ὑφ’ ἡμῶν. ὁ γὰρ ποιητὴς θεοῖς ἔφη, σεμνύνοντος Ξάνθου τὸν Ἀχιλλέα, ὡς μηκέτι δαίμονι καθὰ πρὸ τοῦτο, ἀλλὰ θεοῖς ἶσον. (v. 316—7) Ἐφεξῆς δὲ ὁ ἐξουδενῶν τινα στρατιωτικὸν ἄνδρα ἐρεῖ, ὥς φημι «οὔτε βίην χραισμησέμεν οὔτε τι εἶδος οὔτε τὰ τεύχεα καλά». Ξάνθος δὲ καὶ τοῦτο λέγει κατ’ Ἀχιλλέως, (v. 317—23) ἐπάγων καί, ὅτι «τά που», ἤγουν τὰ τεύχεα, «μάλα νειόθι λίμνης κείσεθ’ ὑπ’ ἰλύος κεκαλυμμένα; κὰδ δέ μιν αὐτὸν εἰλύσω», τουτέστι κατακρύψω, «ψαμάθοισιν ἅλις χέραδος περιχεύας μυρίον, οὐδέ οἱ ὀστέ’ ἐπιστήσονται Ἀχαιοὶ ἀλλέξαι», ἤγουν ἀναλέξασθαι, «τόσσην οἱ ἄσιν καθύπερθε καλύψω. αὐτοῦ οἱ καὶ σῆμα τετεύξεται, οὐδέ τί μιν χρεὼ ἔσται τυμβοχοῆς, ὅτε μιν θάπτουσιν Ἀχαιοί», ὡς δηλαδὴ ἐκεῖ ἐσομένου τοῦ τάφου, ἔνθα τὰ ὀστᾶ κρυβήσεται. καὶ ἔστι ἀνάλογος τῷ μυθικῷ ἤθει τοῦ Ξάνθου καὶ ἡ κατὰ τοῦ Ἀχιλλέως δεινὴ αὕτη ἀπειλή, δι’ ἧς ἐμφαίνει ὁ ποιητής, ὡς δεινὰ κατὰ τοῦ ἥρωος εἰπὼν πραχθέντα οὐκ ἀπέκαμε πλείω φράζειν, ἀλλ’ ἰδοὺ εἴπερ εἶχε καιρὸν καὶ ἄλλα πολλὰ φωνεῦντα βέλεμνα ὑπὸ φαρέτρῃ τῇ κατ’ αὐτὸν ἔχει κρυπτόμενα εἴποι ἂν ὁ γλυκὺς τὴν λύραν Πίνδαρος. (v. 317) Ὅρα δὲ τὸ «τὰ τεύχεα καλά» οὐ συνήθως λεχθέν, τὰ καλὰ γὰρ φαμὲν τεύχεα ἢ καὶ σὺν δύο ἄρθροις τὰ τεύχεα τὰ καλά. [Τὸ δὲ νειόθι συγκέκοπται πάντως. ἐκ τοῦ νείατον γάρ ἐστι. εἰ μή τι ἄρα προϋπάρχει αὐτοῦ τὸ νεῖον, ἐξ οὗ παρῆκται τὸ νείατον ὁμοίως τῷ τρίτατον καὶ τοῖς κατ’ αὐτό.

4.507 ] Λίμνην δὲ ἢ τὴν θάλασσαν λέγει, ὡς ἐκεῖ παρασυρησομένων τῶν τευχέων, ἢ τὴν πρὸ ὀλίγων ἑρμηνευθεῖσαν περὶ τοῦ ποταμοῦ. (v. 318) Τὸ δὲ «ἰλύος» ἐν ἄλλοις μὲν συστέλλει τὴν παραλήγουσαν, νῦν δὲ ἐξέτεινεν. [Ὅτι δὲ ἡ ἰλὺς ἐκ τοῦ εἰλύω εἰλύσω διφορουμένου ῥήματος γίνεται, λελέξεται αὐτίκα.] Τὸ δὲ κεκαλυμμένα καὶ τὸ καλύψω κοινότερα τοῦ εἰλύω, ἐξ οὗ καὶ εἰλυός, ὁ φωλεός. Τὸ δὲ «μιν αὐτόν» κατ’ ἐξοχὴν καὶ νῦν κεῖται. Περὶ δὲ τοῦ εἰλύω ἰστέον, ὅτι ἐν Λεξικῷ παλαιῷ κατὰ στοιχεῖον ἐκτεθειμένῳ φέρεται αὐτὸ ἐν τῷ ἰῶτα στοιχείῳ οὕτως·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἰλύσω· τὸ περικαλύψω ἰλύϊ. ὡρμήθη δὲ ἴσως ἡ τοιαύτη γραφὴ ἐκ τοῦ δοκεῖν παρηχεῖν ἐν τοῖς ῥηθεῖσι τὸ «ἰλύος» καὶ τὸ «εἰλύσω», κἀντεῦθεν δόξαι ταὐτογραφεῖσθαι τὸ ἰλύειν καὶ τὴν ἰλύν. (v. 319) Χέραδος δὲ κατά τινας ἀκαθαρσία πᾶσα συρρέουσα ἐξ ὕδατος, ὀνομασθεῖσα μιμητικῶς ἀπὸ τοῦ γινομένου ἤχου ἐν τῷ κατασύρεσθαι. οὐδετέρου δὲ γένους τὸ χέραδος καὶ τὸ κίναδος, ἅπαξ ἐνταῦθα ῥηθέν. ἕτεροι δὲ χέραδος εἶπον τὸ πλῆθος τῶν θαλασσίων ἢ παραποταμίων ψήφων, ἄλλοι τὴν μετ’ ὀστράκων καὶ λίθων ἰλὺν ἢ τῶν ἐς χερμάδας ἐπιτηδείων λίθων. τοῦτο δὲ παρακατιών, φασίν, ἄσιν καλεῖ, ὅ ἐστι ῥύπον ἐν ὕδασι ξηρόν, ἢ συντομώτερον κατὰ τοὺς παλαιοὺς τὸ ἐξ ὕδατος ξηρόν, περὶ ἧς ἐν τῇ βῆτα ῥαψῳδίᾳ εἴρηται. τινὲς δέ φασιν ὅτι συνωνυμοῦσιν ἰλύς καὶ ἄσις καὶ χέραδος. Πίνδαρος δὲ ἐν Πυθιονίκαις εἰπὼν «χεράδι παμφόρῳ», δίδωσι νοεῖν, ὅτι ἐστὶ καὶ ἡ χερὰς τῆς χεράδος. εἰ μὴ ἄρα φιλονεικῶν τις καὶ ἐκεῖνο οὐδετέρως κλίνει, «χεράδει» γράψας διὰ διφθόγγου, ὡς τῷ κινάδει, καθ’ ὁμοιότητα τοῦ τείχεϊ τείχει, καὶ βέλεϊ βέλει. (v. 321) Τὸ δὲ «ἄσιν καλύψω» οὐχ’ ὅμοιόν ἐστι τῷ συνήθει ῥήματι καθ’ ἑρμηνείαν. καλύψαι μὲν γὰρ Ἀχιλλέα ἰλύϊ τὸ κρύψαι καὶ ἀφανίσαι. καλύψαι δὲ τῷ Ἀχιλλεῖ ἄσιν ἀντὶ τοῦ ἐπιθεῖναι εἰς κάλυμμα.

4.508 [Ἄσις δὲ ἡ μὲν Ὁμηρικὴ συστέλλει τὴν ἄρχουσαν. διὸ καὶ παροξύνεται. ἡ δὲ κατὰ τοὺς Ἁρμονικούς, ἐπεὶ ἐκ τοῦ ᾄδω ᾄσω γίνεται, ἄλλως ἔχει διὰ τὴν κρᾶσιν, καὶ ἔστι χρῆσις αὐτῆς παρὰ τοῖς τὰ τοιαῦτα σοφοῖς.] (v. 323) Τυμβοχοὴν δὲ εἶπε τὸν τοῦ τύμβου ἀναχωματισμόν. τινὲς μέντοι εἰπόντες, ὅτι τυμβοχόης ὤφειλεν εἶναι βαρυτόνως ὡς οἰνοχόης, οὔ φασιν ὄνομα ἐνταῦθα κεῖσθαι, ἀλλὰ συναλιφὲν ῥῆμα τὸ τυμβοχοῆσαι, ἵνα λέγῃ, ὅτι οὐδέ μιν χρεία ἔσται τυμβοχοῆσαι, ὅτε θάπτεται. καὶ ἔστι κρείττων ἡ τοιαύτη γραφή. Ὅτι ὁ μὲν φθάσας τοῦ Ἀχιλλέως κίνδυνος ἐπικούρους εὗρεν, ὡς προσεχῶς δεδήλωται, τὸν Ποσειδῶνα καὶ τὴν Ἀθηνᾶν. ὁ δὲ μετ’ ἐκεῖνον ἐπιταθεὶς κωλύεται ὑπὸ τῆς Ἥρας, ὡς ῥηθήσεται. (v. 328 s.) Φησὶ γὰρ Ὅμηρος «Ἥρη δὲ μέγ’ ἄϋσε περιδδείσας’ Ἀχιλῆϊ, μή μιν ἀποέρσειεν», ὅ ἐστιν ἀποφθείρῃ, «μέγας ποταμὸς βαθυδίνης». (v. 331—41) Καὶ ἡ φωνὴ ἦν τοιαύτη πρὸς τὸν υἱὸν Ἥφαιστον «ὄρσεο, κυλλοπόδιον, ἐμὸν τέκος, ἄντα σέθεν γὰρ Ξάνθον δινήεντα μάχῃ ἠΐσκομεν» ἢ ἐΐσκομεν «εἶναι· ἀλλ’ ἐπάμυνε τάχιστα». ὃ δὴ καὶ ὁ Ξάνθος τῷ Σιμόεντι ἔφη. «πιφαύσκεο δέ», ὅ ἐστιν ὡς καὶ προεδηλώθη, ἐπιδείκνυσο καὶ φαῖνε, «φλόγα πολλήν. αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργεστᾶο Νότοιο εἴσομαι», ἤτοι πορεύσομαι, «ἐξ ἁλόθεν χαλεπὴν ὄρσουσα θύελλαν, ἥ κεν ἀπὸ Τρώων κεφαλὰς καὶ τεύχεα κήαι, φλέγμα κακὸν φορέουσα. σὺ δὲ Ξάνθοιο παρ’ ὄχθας δένδρεα καῖε, ἐν δ’ αὐτὸν ἵει πυρί. μηδέ σε πάμπαν μειλιχίοις ἐπέεσσιν ἀποτρεπέτω ἢ ἀρειῇ», τῇ καὶ προηρμηνευμένῃ. ὃ σὺν καὶ τοῖς ἑξῆς ἐρεῖ ἄν τις ὀτρύνων κατά τινος πανούργου. «μηδὲ πρίν», φησίν, «ἀπόπαυε τεὸν μένος, ἀλλ’ ὁπότ’ ἂν δὴ φθέγξομ’ ἐγὼν ἰάχουσα, τότε σχεῖν», ἤγουν ἐπίσχες, «ἀκάματον πῦρ». Προαναφώνησις δὲ ταῦτα καὶ προέκθεσις τῆς ἐπὶ Ἡφαίστῳ τερατείας, ἣν ἐπὶ τῷ Ξάνθῳ ἐκεῖνος ἐνδείξεται, ἵνα ὥσπερ ὁ ὑγρὸς ποταμὸς φρικτὰ ἔδρασεν ἐπὶ τῷ ἐχθρῷ Ἀχιλλεῖ, οὕτω καὶ ὁ κατὰ πῦρ Ἥφαιστος, φιλῶν τὸν Ἀχιλλέα, δεινοποιήσῃ ἑαυτὸν κατὰ τοῦ ἐχθροῦ Ξάνθου.

4.509 (v. 329) Ἰστέον δὲ ὅτι τοῦ «ἀποέρσειεν» ἰσότυπον τὸ πρὸ ὀλίγων ῥηθὲν «ἔναυλος ἀποέρσει». (v. 331) Τὸ δὲ «ὄρσεο, κυλλοπόδιον, ἐμὸν τέκος» ἀθετεῖται διὰ τὸ τοῦ ἐπιθέτου ἄκαιρον. ἡ γὰρ μήτηρ Ἥρα ἡ προσφθεγγομένη οὐκ ὤφειλε προσθεῖναι τὸ τοῦ τέκνου ἐλάττωμα τὸ «ὦ κυλλοπόδιον». ἔστι δὲ ὁ λόγος ἁπλοϊκὸς ὡς ἀπὸ μητρός. ὅτε οὖν μετ’ ὀλίγα παύεσθαι αὐτὸν λέγει «ἴσχεο τέκνον» φησίν, «ἀγακλέες». καὶ ἄλλως δέ, φασί, διὰ τὸ εἰπεῖν «ἐμὸν τέκος» λεαίνεται τὸ τραχὺ τῆς κλήσεως. Τὸ δὲ κυλλοπόδιον προπαροξύνεται ὡς τὸ Ἀγάμεμνον. καὶ εἴρηται περὶ αὐτῶν πρὸ τούτων. (v. 332) Τὸ δὲ ἐΐσκομεν», ὅ ἐστιν ὁμοιοῦμεν, δοκοῦμεν, τὴν ἐξ ἀλληγορίας ὑπόληψιν αἰνίττεται, καθ’ ἣν εἰκὸς φαίνεται τῷ ποταμίῳ ὕδατι τὸ τοῦ Ἡφαίστου ἀντεπεξάγεσθαι πῦρ. ἐντεῦθεν δὲ λαβόντες οἱ μεθ’ Ὅμηρον σοφοὶ τὴν εἰκαστικὴν ἀλληγορίαν

ὑπονοίας εἶδος ἔφασαν εἶναι διὰ τὸ ταὐτὸν τοῦ ἐΐσκειν καὶ τοῦ ὑπονοεῖν. καὶ ἀληθῶς ὑπονοεῖ ὁ ἀλληγορῶν. Τὸ δὲ «εἶναι» δύναται μὲν κεῖσθαι καὶ ἀντὶ τοῦ ὑπάρχειν. ἔστι δὲ καὶ ἀντὶ τοῦ ἰέναι νοεῖν αὐτό, οἷα μετατεθέντος τοῦ ι , καὶ συναιρεθέντος τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον, ἵνα λέγῃ, ὅτι ἄντα σέθεν ἐΐσκομεν ἐλθεῖν τὸν Ξάνθον κατὰ τὴν τοῦ θερμοῦ καὶ ψυχροῦ ἀντίθεσιν.

4.510 (v. 334) Ὁ δὲ Ζέφυρος Βορρᾶς τίς ἐστι καὶ αὐτός, καὶ δεδήλωται περὶ τούτου. Ἀργέστης δὲ βαρυτόνως τὰ πολλὰ μὲν ἀνέμου ὄνομα καὶ αὐτός, ἐνταῦθα δὲ ὀξύνεται καὶ Νότου ἐπίθετόν ἐστι. φησὶ γὰρ ὁ ποιητὴς θύελλαν Ζεφύρου καὶ ἀργεστᾶο Νότοιο, τουτέστι λευκοῦ, παρὰ τὸ ἀργόν, τὸ λευκόν. καί εἰσιν ἀληθῶς καὶ παρὰ ταῖς φιλοσόφοις ἱστορίαις οἱ συνθέτως λεγόμενοι Λευκόνοτοι. Καὶ σημείωσαι, ὅτι ἀντιπνόους ἐνταῦθα εἴληφεν ἀνέμους ὁ ποιητής, Ζέφυρον μέν, ὥστε ἁπλῶς ξηραίνειν σὺν τῷ καὶ ἀναψύχειν, Νότον δέ, ἵνα καὶ φλέγμα ποιῇ, Ὁμηρικῶς εἰπεῖν. χρῄζει γὰρ καὶ ἀμφοτέρων προϊὼν ὁ ποιητής, ὡς δηλωθήσεται. οἱ δὲ εἰπόντες ἀργεστὴν Νότον τὸν ἐξ Ἄργους ἐπὶ Τροίαν πνέοντα οὐκ εὐδιανόητα ἐοίκασι λέγειν, τά τε ἄλλα, καὶ ὅτι οὐδὲ ἔστι νοῆσαι Νότον ἐξ Ἄργους εἰς Τροίαν πνέοντα. Ἐν δὲ τοῖς τοῦ Γεωγράφου φέρεται, ὅτι ὁ ποιητὴς τὸν μὲν Ἀργέστην τῷ Νότῳ προσνέμει, λέγων «ἀργεστᾶο Νότοιο», τὸν δὲ Ζέφυρον τῷ Βορέᾳ «Βορέης» λέγων «καὶ Ζέφυρος», οἳ Θρῄκηθεν πνέουσιν. ὥστε κατὰ τὸν Γεωγράφον οὔτε ὀξύνεται ὁ Ἀργέστης ἐνταῦθα οὔτε Νότου ἐστὶν ἐπίθετον τοὔνομα, ἀλλὰ δύο ἀνέμων παράθεσις, ὡς καὶ ἐν τῷ «Βορέης καὶ Ζέφυρος», πλὴν ὅσον τὸ μὲν «ἀργεστᾶο Νότοιο» ἀσυνδέτως παράκεινται, τὸ δὲ «Βορέης καὶ Ζέφυρος» συνδέδενται. ὁ δὲ Γεωγράφος καὶ οὕτω φησί. Ζέφυρος οὐκ ἐκ Θράκης πνέει, ἀλλὰ κατὰ τὴν Θρᾳκίαν θάλασσαν συμπίπτει τῷ Βορρᾷ κατὰ τὸν Μέλανα κόλπον. ὁ δ᾽ αὐτὸς λέγει καὶ ὅτι Ποσειδώνιος δυσαῆ μὲν Ζέφυρον λέγει, τὸν ὑφ᾽ ἡμῶν Ἀργέστην καλούμενον, λίγα δὲ πνέοντα Ζέφυρον τὸν ὑφ᾽ ἡμῶν Ζέφυρον, ἀργεστὴν δὲ Νότον τὸν Λευκόνοτον ἐπιθέτως, οὗ τὰ νέφη ἐν παραβολῇ ὁ Ζέφυρος στυφελίζει διασκεδάζων. Καὶ σημείωσαι, ὅτι κατὰ τὸν λόγον τοῦ Ποσειδωνίου ὁ μὲν κατὰ μόνας λεγόμενος Ἀργέστης Ζεφύρῳ οἰκειοῦται, δυσαὴς αὐτὸς ὢν λίγα ἐκείνῳ πνέοντι, ὁ δ᾽ ἐνταῦθα παρ᾽ Ὁμήρῳ ἀργεστὴς Νότος ἀντιπνέει τῷ Ζεφύρῳ διασκεδάζοντι τὰ τούτου νέφη. λέγει δὲ ὁ Γεωγράφος καὶ ὅτι περὶ τὰς Σκειρωνίδας πέτρας, εἰσὶ δὲ αὗται περί που τὰ κατὰ Κόρινθον παραθαλάσσια, σκαιὸς καταιγίζων ὁ Ἀργέστης Σκείρων ὑπὸ Ἀθηναίων ἐκλήθη.

4.511 καὶ δηλοῖ ἐνταῦθα καὶ ὁ σοφὸς οὗτος τὸν Ἀργέστην ἁπλῶς οὕτω λεγόμενον μὴ μεσημβρινὸν εἶναι ἄνεμον. (v. 337) Φλέγμα δὲ κακὸν λέγει τὴν ἐκ θαλασσίας καυστικῆς θυέλλης πύρωσιν. οὕτω δέ πως καὶ Ὀππιανὸς τὴν λέξιν λαμβάνει, φλέγμα λέγων τὴν θερινὴν φλόγωσιν. τὸ δὲ κοινῶς λεγόμενον φλέγμα ἕτερον ἔχει λόγον. (v. 338) Τὸ δὲ «ἐν δ᾽ αὐτὸν ἵει πυρί» ἀντὶ τοῦ ἔμβαλε σαυτὸν τῷ ὕδατι, οὐχ᾽ ὡς ἁπλῶς Ἥφαιστος, ἀλλὰ σὺν πυρί, οὗ κυριεύεις, ὡς καὶ ὁ μῦθος καὶ ἡ ἀλληγορία δηλοῖ. (v. 341) Τὸ δὲ τὸν Ἥφαιστον ἐπέχειν τὸ κατ᾽ αὐτὸν πῦρ, ὁπότ᾽ ἂν ἡ Ἥρα φθέγξηται ἰάχουσα, φυσικῆς ἔχεται ἀλληγορίας. ἀμβλύνεται γὰρ θερμότης καὶ κάμνει πῦρ, ὅτε σφοδρὸς ἄνεμος ἢ ἐξαλόθεν ἢ ὅλως ἀερόθεν ἰάχων καταιγίσειε. καὶ ἄλλως δὲ περὶ τούτου εἰπεῖν, αἰνίττεται ὁ ῥηθεὶς λόγος τῆς Ἥρας ἁπλῶς μὲν καὶ παχύτερον, ὅτι τότε ὁ Ἥφαιστος, ἤτοι τὸ αὐτόχρημα πῦρ, σβέννυται ἐν ὕδατι καὶ παύεται τοῦ φλέγειν, ὅτε σιγμὸς γένηταί τις καὶ δι᾽ ἀέρος ἐξακουσθείη, ὃν ἀέρα ἡ Ἥρα δηλοῖ. εἴληπται δὲ ὁ τοιοῦτος νοῦς ἀπό τε ξύλων καὶ ἑτέρων καιομένων σωμάτων, ὧν ἡ δι᾽ ὑγροῦ σβέσις ἀποτελεῖ σιγμούς. ἀλλὰ τοῦτο μὲν οὐ προσφυὲς τοῖς κατὰ τὸν Ἥφαιστον καὶ τὸν ποταμόν.

4.512 ἐν γὰρ τοῖς ἄλλοις καιομένοις ξηροῖς οὔτε Ἡφαίστου πῦρ ὕδατι ἀεὶ ἐμπίπτει, ἀλλὰ ὕδωρ μάλιστα πυρί, καὶ οὐδὲ περιγίνεται Ἥφαιστος, ἀλλ᾽ ἢ θυμὸς ὀλίγος ἐναπομένει αὐτῷ ἢ καὶ σβεσθεὶς ἐκλείπει τέλεον. ἄλλως δὲ ἀκριβέστερον, μάλιστα ἐμφαίνεται τῷ Ὁμηρικῷ τούτῳ χωρίῳ, ὡς τὸ θερινὸν κατὰ γῆς καυστικὸν φλέγμα, ὅπερ ἂν ὕδατος πολλοῦ ἐπιλάβηται, οὐκ ἄλλως παύεται, πρὶν ἂν Ἥρα φωνήσῃ, ἤγουν ἐξ ἀέρος ἄνεμος λιγὺ πνεύσῃ, ἀναψύχων καὶ τὴν

ἀερίαν ἀμβλύνων φλόγα. τηνικαῦτα γὰρ τέλεον ὁ τοιοῦτος Ἥφαιστος σβέννυται, ἀναψύξεως γενομένης ἐξ ἀνέμου ψυχροτέρου τῷ ὕδατι. ὡς εἴγε μὴ τοιοῦτος ἄνεμος καταπνεύσει, ἀλλὰ θύελλα, ὁποία τις ἀνωτέρω εἴρηται, ἣν καὶ αὐτὴν Ἥρα ἐπιπέμπει, τουτέστιν ἀήρ, ἐπεὶ καὶ ἀὴρ κινούμενος ἢ κίνησις ἀέρος ἐστὶν ὁ ἄνεμος, ἐκφλογοῦται τὸ ὑγρόν. καὶ ξηραίνεται μὲν ὅσον τοῦ ὕδατος ἐν τῇ πεδιάδι ἀβαθές, καίονται δὲ τὰ ἐν αὐτῇ, εἴτε νεκροὶ εἴτε φυτὰ εἴτε ἰχθύες. καί πως τῷ Ἡφαίστῳ συλλαμβάνεταί τι καὶ ὁ τοιοῦτος ἄνεμος, ἀμβλύνων μὲν ἐπί τι τὸ θερινὸν φλέγμα καὶ παραβλάπτων τὸν Ἥφαιστον, ἄλλως δὲ συμπράττων αὐτῷ. ξηραίνει γὰρ ὥσπερ καίων Ἥφαιστος, οὕτω καὶ καταπνέων χαλεπὸς θυελλώδης ἄνεμος, ὁ μὲν δαπανῶν τῇ φλογί, ὁ δ’ ἀνιμώμενος τὸ ὑγρόν. φωνὴ τοίνυν Ἥρας, ὡς ἐν ὀλιγίστῳ εἰπεῖν, σβεννύουσα τὸν ἐν ποταμῷ πυρὶ φλεγέθοντα Ἥφαιστον ὁ καταψύχων ἄνεμος. οὐ γὰρ δήπου ὁ λοιπός, ὃς οὐ μόνον αὐτὸς καθ’ αὑτὸν ὢν καίει, ἀλλὰ καὶ τῷ ψύχοντι συμπνέων εἰς βλάβην τρέπει κἀκεῖνον, ὥσπερ κἀνταῦθα ὁ Ζέφυρος μετὰ τοῦ θερινοῦ Λευκονότου πνέων ἀναψύχει μὲν οὔ, συμβλάπτει δέ. [(v. 341) Ἰστέον δ’ ὅτι, ὥσπερ ἡ αι δίφθογγος ἐκθλίβεται διὰ καλλιφωνίαν, οἷον «βούλομ’ ἐγώ», καὶ «φθέγξομ’ ἐγών», οὕτω καὶ ἡ ει δίφθογγος ἐν τῷ «δεινὰ παθοῦσα, Φακῆ βδελυρή, χώρ’ εἰς τὸν ἀγῶνα», ἤγουν ἀγωνίζου. λέγεται δ’ ἐνταῦθα Φακῆ ὁ παρῳδὸς Ἡγήμων ὁ Θάσιος, ἀνὴρ εὐδοκιμῶν σφόδρα παρ’ Ἀθηναίοις ἐν ταῖς παρῳδίαις, Φακῆ ἐπικληθεὶς διὰ τὸ χαίρειν μάλιστα τῷ τοιῷδε ὀσπρίῳ.] Ὅτι κἂν ἡ πρὸ ταύτης ῥαψῳδία μακάρων ἐνοπὴ καὶ φύλοπις ἐπεγράφη, ἀλλ’ ἐκεῖ μὲν ἐμέτρησε μόνον τοὺς ἀθανάτους καὶ οἷον ἀντιπαρέταξεν, εἰπὼν ὡς οἷον προεκθετικῶς, τίνες τίσιν ἑκατέρωθεν ἀντιστήσονται, πλεῖόν τι ποιήσας οὐδέν, ἐνταῦθα δὲ αὐτοὺς καὶ εἰς μάχην συμβάλλει ἐκ τῶν ἐκεῖ ὑστέρων ἀρξάμενος, τοῦ Ἡφαίστου δηλαδὴ καὶ τοῦ Σκαμάνδρου.

4.513 γίνεται δὲ ἡ ἀρχὴ εὐάφορμος. ἐπεὶ γὰρ ὁ Ξάνθος εἰς ἔσχατον κινδύνου περιάγει τὸν Ἀχιλλέα καὶ αὐτὸς ᾤμωξεν εἰπὼν ἃ εἶπε καὶ παθὼν ἃ ἔπαθεν, ἐγκελεύεται λοιπὸν ἡ Ἥρα τῷ Ἡφαίστῳ βοηθῆσαι τῷ Ἀχιλλεῖ, φαμένη, ὡς ἐγὼ μὲν ἐξαλόθεν οἴσω χαλεπὴν θύελλαν, καὶ ἑξῆς, ὡς προσεχῶς ἐγράφη. (v. 342—5) «Ἥφαιστος δὲ τιτύσκετο θεσπιδαὲς πῦρ», τουτέστιν εὐστόχως ἡτοίμαζε. «πρῶτα μὲν ἐν πεδίῳ πῦρ δαίετο, καῖε δέ», ἢ δαῖε, «νεκροὺς πολλούς, οἵ ῥα κατ’ αὐτὸν ἅλις ἔσαν, οὓς κτάν’ Ἀχιλλεύς· πᾶν δ’ ἐξηράνθη πεδίον, σχέτο δ’ ἀγλαὸν ὕδωρ». (v. 349—56) Εἶτα παραβολήν τινα εἰπὼν τὴν μετ’ ὀλίγα ῥηθησομένην ἐπάγει «ὃ δ’ ἐς ποταμὸν τρέψε φλόγα παμφανόωσαν. καίοντο πτελέαι τε καὶ ἰτέαι ἠδὲ μυρῖκαι, καίετο δὲ λωτός τε ἠδὲ θρύον ἠδὲ κύπειρον, τὰ περὶ καλὰ ῥέεθρα ἅλις ποταμοῖο πεφύκει· τείροντ’ ἐγχέλυές τε καὶ ἰχθύες, οἳ κατὰ καλὰ ῥέεθρα κυβίστων ἔνθα καὶ ἔνθα, πνοῇ τειρόμενοι πολυμήτιος Ἡφαίστοιο. καίετο δ’ ἶς ποταμοῖο», ἤγουν περιφραστικῶς ὁ ποταμός, ὡς καὶ ἶς Ἡρακλέος καὶ βίη Ἡρακλέος ὁ Ἡρακλῆς. ἐφ’ οἷς ὁ ποταμὸς ἀγανακτῶν προσφθέγγεται τὸν Ἥφαιστον, ὅσα ἑξῆς δηλωθήσεται. (v. 373—6) Εἶτα καὶ τὴν Ἥραν δυσωπεῖ παύσασθαι τὸν Ἥφαιστον, λέγων καὶ ὅτι ὀμοῦμαι μή ποτε Τρωσὶν ἀλεξήσειν, μηδ’ ὁπόταν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται καιομένη, καίωσι δὲ Ἀχαιοί. ἀκούσασα δὲ Ἥρα προσφωνεῖ τὸν Ἥφαιστον ἴσχεσθαι. (v. 379 s.) Οὐ γὰρ ἔοικε», φησίν, «ἀθάνατον θεὸν ὧδε βροτῶν ἕνεκα στυφελίζειν». καὶ Ἥφαιστος ἔσβεσε τὸ πῦρ. Ἰστέον δὲ ὅτι τριῶν τούτων ῥημάτων προσφυῶν ὄντων ἐνταῦθα, τοῦ δαίειν, τοῦ καίειν, τοῦ φλέγειν, κατακόρως τῷ καίειν ἐχρήσατο.

4.514 (v. 342) «Πῦρ δὲ θεσπιδαές» πολλαχοῦ μέν φησιν, ἐνταῦθα δὲ προσφυέστατα τὸ ὑπὸ τοῦ Ἡφαίστου καιόμενον οὕτω εἶπεν. (v. 350) Αἱ δὲ πτελέαι καὶ τὰ ἑξῆς παρατετηρημένως εἴρηνται τῷ ποιητῇ, ὡς τόποις ὑγροῖς χαίροντα. Ὅτι δὲ ἰτέαι καὶ εἶδός τι ἀσπίδος καλοῦνται, καὶ ὅτι ὁ λωτὸς ἐν τῇ Ἰλιάδι λειμωνία βοτάνη ἐστί, καὶ ὅτι ἐκ τοῦ θρύου πόλις προϊστορήθη Θρυόεσσα, καὶ ὅτι τὸ κύπειρον κύπαιρον κατὰ διάλεκτον λέγεται, προδεδήλωται. Ὡς δὲ αἱ μυρῖκαι ἐκτείνουσι τὴν παραλήγουσαν, ἰδοὺ καὶ ἐνταῦθα φαίνεται. (v. 353) Τὸ δὲ «οἳ κατὰ δίνας», «οἳ

κατὰ ῥέεθρα», κάλλους ἐστὶ σχῆμα πολλαχοῦ φανὲν παρὰ τῷ ποιητῇ. (v. 354) Ὅρα δὲ καὶ τὸ κυβιστᾶν, οὐ μόνον ἐπ’ ἀνθρώπων, ἀλλὰ καὶ ἐπὶ ἰχθύων κυριολεκτούμενον. δηλοῖ δὲ μάλιστα νῦν οὐ τὸ κατ’ εὐθὺ ἀπραγμόνως νήχεσθαι, ἀλλὰ τὸ σὺν ταράχῳ κατακολυμβᾶν. (v. 374—5) Ὁ δὲ ῥηθεὶς τοῦ Ξάνθου ὅρκος, τὸ μὴ ἂν τοῖς Τρωσὶ βοηθήσειν, μηδ’ ὅταν ἡ Τροία καίηται, [ὅτε δηλαδὴ καὶ μάλιστα χρεία Ξάνθου καὶ ἁπλῶς μυρίου ὕδατος,] οὐ μόνον ἀληθής, ἀλλ’ ἔχει τι καὶ ἀστειότητος. τί γὰρ ἂν ἔχοι κάτωθεν ἐκ τῆς πεδιάδος ὁ Ξάνθος ἀλεξήσειν καιομένῃ τῇ ἠνεμοέσσῃ Τροίᾳ; ἔχει δὲ ὁ λόγος καὶ προαναφώνησιν τῆς τοῦ Ἰλίου ἁλώσεως. διὸ οὐκ ἠρκέσθη εἰπεῖν «καιομένη» ἁπλῶς, ἀλλ’ ἐπήγαγε καὶ τὸ «καίωσι δὲ υἷες Ἀχαιῶν». (v. 379 s.) Τὸ δὲ «οὐ γὰρ ἔοικεν ὧδε στυφελίζειν» παραίνεσιν ἔχει τοῦ μὴ θυμοῦσθαι ἄγαν ἐφ’ οἷς οὐ δεῖ. (v. 346—9) Ἰστέον δὲ ὅτι μετὰ τὸ «πᾶν δ’ ἐξηράνθη πεδίον», ὡς πρὸ ὀλίγων ἐγράφη, κεῖται προσφυὴς παραβολή, δηλοῦσα τὸ τάχος τῆς ὑπὸ Ἡφαίστου ἀναξηράνσεως τῶν ὑγρῶν τόπων, οἳ περὶ τὸν Ξάνθον ἦσαν, αὕτη· «Ὡς δ’ ὅτ’ ὀπωρινὸς Βορέης νεοαρδέ’ ἀλωὴν αἶψ’ ἀνξηράνῃ», ἤγουν ταχὺ ἀναξηράνῃ, «χαίρει δέ μιν ὅς τις ἐθείρει», ἤτοι ὃς τὴν τοιαύτην ἀλῳὴν συνήθως ἐργάζεται, «ὣς ἐξηράνθη πεδίον πᾶν, κὰδ δ’ ἄρα νεκροὺς κῆε».

4.515 τρὶς δ’ ἐν τῷ τόπῳ τούτῳ ἐχρήσατο διὰ τὸ καίριον τοῖς ἐκ τοῦ ξηραίνω ῥήμασι. τεχνικῶς δὲ κατὰ γεωργίαν ἔφη τὴν παραβολὴν ὁ ποιητής. εὔχεται γὰρ ἀνὴρ περὶ ἀλῳήν, ὅ ἔστι φυτοφόρον γῆν, πονούμενος, βρεχθείσῃ αὐτῇ Βορρᾶν ἐπιπνεῦσαι. πυκνουμένης γάρ, φασί, τῆς ἐπιφανείας, δύνει κατὰ ῥιζῶν ἡ νοτὶς καὶ οἷον ἀποτιθεμένη πιαίνει αὐτάς. ὀπωρινὸς δὲ Βορρᾶς κατὰ τοὺς Σικυωνίους ὁ θερινός, ἤγουν ὁ ἐτησίας. ἰσχυρότεροι δέ, φασί, καὶ ξηρότεροι τῶν ἐν χειμῶνι πνεόντων οἱ ἐτησίαι. (v. 347) Σημείωσαι δὲ ὅτι ὥσπερ ἔθειν λέγεται τὸ τὰ συνήθη πράττειν, οἷον «ἔθων Οἰνῆος ἀλῳήν», οὕτω καὶ ἐθείρειν παράγωγον ἐκεῖθεν τὸ τὰ ἐξ ἔθους ποιεῖν καὶ ἐπιμελεῖσθαι. ἐξ οὗ καὶ ἡ θρὶξ ἔθειρα, περὶ ἣν σύνηθές ἐστι πονεῖσθαι τοὺς φιλοκόμους. [(v. 353) Ἰστέον δὲ καὶ ὅτι τοῦ ἐγχέλυες ἡ μὲν ἑνικὴ εὐθεῖα ἔγχελυς, προπαροξυτόνως γινομένη παρὰ τὴν ἰλύν, ὡς οἷα ἐν ἰλύϊ χεομένη. ὅθεν καὶ γεννᾶται κατὰ τὸν Ὀππιανόν. διὸ καὶ προπαροξύνεται καὶ εἰς υς περατοῦται, ὡς καὶ ὁ Ἀθήναιος βούλεται, συγκροτῶν ἑαυτὸν ἐκ τοῦ κατὰ τὰς ἐγχέλεις λόγου, ὃς ἐν τοῖς Ἱππεῦσι κεῖται ἐν τῷ· «ὅταν γὰρ ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν», καὶ ἑξῆς. καὶ οὕτω μὲν ἡ ῥηθεῖσα εὐθεῖα ἔγνωσται τοῖς παλαιοῖς διὰ τοῦ υ , οἷον «λεῖος ὥσπερ ἔγχελυς», οὗ αἰτιατικὴ «σκέψασθε παῖδες τὴν κρατίστην ἔγχελυν». τὰ δὲ πληθυντικὰ οὐ καθ’ Ὅμηρον καὶ οἱ ἄλλοι ἀκολούθως προφέρουσι μετὰ τοῦ υ , ἀλλ’ ἑτέρως πρὸς ἀκολουθίαν τοῦ πῆχυς πήχεως, οἷον «τὰς εἰκοὺς τῶν ἐγχέλεων», καὶ «ὥσπερ οἱ τὰς ἐγχέλεις θηρώμενοι», ταῦτα δὴ τὰ τοῦ Κωμικοῦ.

4.516 λέγει δέ, φασί, καὶ Στράττις διὰ τοῦ ε «ἐγχέλεων ἀνεψιός». καὶ οὕτω μὲν ἄλλοι. Ἀριστοτέλης δὲ διὰ τοῦ ἰῶτα εἶπεν ἔγχελις. ὅθεν Ἀντιφάνης ὑποκοριστικῶς ἔφη «τὰ ἐγχέλια γράφομαι λειποταξίου. ἐνταῦθα γὰρ ἦν οὐδαμοῦ». ὁ δὲ Ἀθήναιος λέγει καὶ ὅτι ἐν τῷ «τείροντο ἐγχέλυες καὶ ἰχθύες» εἰς βάθος τε τὸν ποταμὸν δηλοῖ καίεσθαι, καὶ κατ’ ἐξαίρετον τίθησι τὸ «ἐγχέλυες» διὰ τὸ περιᾴδεσθαι αὐτὰς πολλαχοῦ. εἰπὼν γοῦν εἰς αὐτὰς ἀστεῖά τινα λέγει καὶ ὅτι αἱ Κωπαΐδες ἐγχέλυες περιᾴδονται παρὰ Βοιωτοῖς, ἐπαινοῦνται δέ, φησί, καὶ αἱ Στρυμόνιαι, ὡς καὶ μεγάλαι καὶ τὸ πάχος θαυμασταί, λέγων ἱστορηθῆναι καὶ ὅτι τὰς ὑπερφυεῖς τῶν Κωπαΐδων ἐγχέλεων οἱ Βοιωτοὶ ὡς ἱερεῖα στεφανοῦντες καὶ κατευχόμενοι οὐλάς τ’ ἐπιβάλλοντες ἔθυον τοῖς θεοῖς, καὶ ὅτι Ἀντιφάνης τά τε ἄλλα δεινούς φησι τοὺς Αἰγυπτίους εἶναι, καὶ τὸ νομίσαι ἰσόθεον τὴν ἔγχελυν, ὃς καὶ εἰπὼν πολὺ τῶν θεῶν αὐτὴν τιμιωτέραν εἶναι, καὶ δῆθεν κατασκευάσας αὐτὸ ποιητικῶς ἐπάγει «οὕτως ἔσθ’ ἅγιον παντελῶς τὸ θηρίον». ἐκθεὶς δὲ ὁ Ἀθήναιος καὶ ὅτι πολὺ κρατίστη ἐστὶν ἡ ἐκ τοῦ κατὰ Σικελίαν Ῥηγίου, λέγει καί, ὅτι τῶν τις ῥητόρων ἐγχέλυος παρατεθείσης εἶπε· πάρεστιν ἡ τῶν δείπνων Ἑλένη, ἐγὼ οὖν Πάρις ἔσομαι, καὶ ὅτι βασιλεύειν τῶν περὶ δαῖτα καὶ ἡγεμονεύειν ἡδονῇ ἔφη τις αὐτήν, ἣ φύσει ἐστί, φησίν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπύρηνος μόνος ἰχθύς. Ἔνθα ὅρα ὅτι πυρῆνα ἐκεῖνος ἔφη ἀστείως τὴν ὀστώδη ἰχθυηρὰν ἄκανθαν. καὶ οὕτω μὲν ταῦτα, οὐκ ἀχρείως παρατεθειμένα τοῖς εἰσαγομένοις πρὸς μάθησιν. δύναται δὲ τὸ «καὶ ἐγχέλυες» οὐ κατά τινα ἐξοχὴν εἰρῆσθαι, ἀλλὰ διαφορὰν ἐγχελύων πρὸς τοὺς ἄλλους ἰχθύας. ὡς γὰρ αἱ πολυώνυμοι ἀφύαι ἀλλοφυῆ ἔχουσι παραγωγὴν γενέσεως, οὕτω πως, εἰ καὶ τρόπον ἄλλον, καὶ ἐγχέλυες, ὡς δηλοῦσιν οἱ καὶ τὰς μίξεις αὐτῶν καὶ τὰς γενέσεις ἱστορήσαντες.

4.517 ] (v. 357—9) Ὅτι ὁ πρὶν κατ᾽ Ἀχιλλέως λάλος Ξάνθος καιόμενός φησιν «Ἥφαιστε, οὔ τις σοί γε θεῶν δύνατ᾽ ἀντιφερίζειν», ἢ ἰσοφαρίζειν. «οὐδ᾽ ἂν ἐγὼ σοί γ᾽ ὧδε πυρὶ φλεγέθοντι μαχοίμην. λῆγ᾽ ἔριδος». (v. 360) Καὶ μετ᾽ ὀλίγα «τί μοι ἔριδος καὶ ἀρωγῆς»; ταῦτα δὲ ῥηθείη ἂν καὶ πρὸς ἄνδρα ἡρωϊκὸν καὶ πολὺν τὴν ἀλκὴν ὑπό τινος φερομένου τὸ ἔλαττον. Καὶ ὅρα καὶ ἐνταῦθα τὴν Ὁμηρικὴν δεξιότητα. ἦν γὰρ ἀχρεία ἡ τοῦ πλάσματος διάθεσις, εἰ μὴ καὶ φωνήν τινα προσέπλασεν ἱκετευτικὴν τῷ ποταμῷ πρὸς τὸν Ἥφαιστον, ὥσπερ δὴ καὶ μετ᾽ αὐτὸν πρὸς τὴν μητέρα Ἥραν. (v. 358) Τὸ δὲ «πυρὶ φλεγέθοντι» ἐν δυσὶ μέρεσι λόγου ἀναγνωστέον. τὸ γὰρ ὑφ᾽ ἓν λέγεσθαι Πυριφλεγέθοντι τῷ ἐν Ἅιδου ἀπονενέμηται ποταμῷ. (v. 357) Ἰστέον δὲ ὅτι συλλαλοῦντες οἱ παλαιοὶ Ὁμήρῳ εἰς τὸ «οὔ τις σοί γε δύναται ἀντιφερίζειν», φασίν, ὡς ἀνίκητον τὸ πῦρ, εἰ καὶ σίδηρον μαλάσσει καὶ λίθον θρύπτει, καὶ Ζεὺς δὲ πύρινον ἔχει δόρυ, τουτέστιν ἔγχος. ἐξ οὗ καὶ ἐγχεικέραυνος παρὰ Πινδάρῳ λέγεται. καὶ ἔστι τὸ πῦρ λεπτομερεστάτη οὐσία διὰ πάντων ἱκνουμένη. διὸ καὶ παμφάγον ἐδοξάζετο τὸ πῦρ. Πέρσαι δὲ καὶ ἐθεοποίουν αὐτό. (v. 361) Εἶτα τὸ πολὺ καὶ σφοδρὸν τῆς τοῦ Ξάνθου ζέσεως δυσὶ κόμμασιν ἐμπεριγράφων ὁ ποιητὴς λέγει «φῆ πυρὶ καιόμενος, ἀνὰ δ᾽ ἔφλυε καλὰ ῥέεθρα, ἤγουν ἀνέζεε κατά τινα μίμησιν ἤχου. καὶ ἦν τοῦτο φωνὴ ποταμοῦ. ἐκ τούτου δὲ καὶ τὸ ἐν οὐ δέοντι λόγους προϊέναι φλύειν λέγεται καὶ φλυαρεῖν καὶ φλύαρος ὁ οἷον ἀναζέων τοῖς λόγοις. ἐκ τοῦ τοιούτου δὲ ῥήματος καὶ τὸ ἀπὸ καύσεως ἐν σαρκὶ ἀνάστημα φλυκτὶς καὶ φλύκταινα λέγεται. ἔοικε δὲ ὥσπερ ἀλύω καὶ παραγώγως ἀλύσσω, οὕτως εἶναι καὶ φλύω καὶ φλύσσω. καὶ τοῦ φλύω μέν ἐστι τὸ «ἀνὰ δ᾽ ἔφλυε» καὶ τὰ ἐξ αὐτοῦ.

4.518 τοῦ δὲ φλύσσω φλύξω [φλυκτίς καὶ] οἰνόφλυξ, καὶ οἰνοφλυγία, ὅτε δι᾽ οἶνον φλύει τις, ὡς οἷον ἀναζέων ἐν τῷ λαλεῖν. ἐπεὶ καὶ καθ᾽ Ἡρόδοτον οἴνου κατιόντος ἀναπλώουσιν ἔπεα. Ἰστέον δὲ ὡς νῦν μὲν τὸν ὑπὸ τοῦ Ἡφαίστου βρασμὸν τῶν ὑδάτων τοῦ Ξάνθου διδάσκων ὁ ποιητὴς εἶπε τὸ «ἀνὰ δ᾽ ἔφλυε ῥέεθρα». (v. 362—7) Ὡς δὲ χρεία τῷ λόγῳ ἦν καὶ ἐναργείας κατὰ τὸ σύνηθες παραβολικῆς καὶ ἑρμηνείας τοῦ «ἀνέφλυεν», ἐπάγει παραβολὴν ταύτην «ὡς δὲ λέβης ζεῖ ἔνδον ἐπειγόμενος πυρὶ πολλῷ, κνίσσῃ μελδόμενος ἁπαλοτρεφέος σιάλοιο πάντοθεν ἀμβολάδην, ὑπὸ δὲ ξύλα κάγκανα κεῖται, ὣς τοῦ καλὰ ῥέεθρα πυρὶ φλέγετο, ζέε δ᾽ ὕδωρ, οὐδ᾽ ἔθελε προρέειν, ἀλλ᾽ ἴσχετο, τεῖρε δ᾽ ἀϋτμὴ Ἡφαίστοιο βίῃ πολύφρονος». Καὶ ἔστιν ἐκ τῆς τοιαύτης παραβολῆς σαφέστατα νοῆσαι, ὅπως ὑπὸ Ἡφαίστου πυρὶ φλεγέθοντος ὁ Ξάνθος διέκειτο. οὐ γὰρ ἐβράττετο, οὐκ ἐκάχλαζεν, οὐκ ἐπάφλαζεν, ἀλλ᾽ ἔζεεν, ἐπαναπαυσαμένου τοῦ ποιητοῦ τῇ τοιαύτῃ ὀνοματοποιΐᾳ ὡς λειότερον ἐχούσῃ διὰ πιθανότητα. διὸ καὶ ἐν ἀρχῇ καὶ τέλει τῆς παραβολῆς αὐτὴν ἔθετο, λειοτέραν οὖσαν καὶ τοῦ σιγμοῦ, ὅσον καὶ τὸ ζ στοιχεῖον, ἐξ οὗ τὸ ζέειν, ἠρεμαιότερον ἦχον ἔχει τῆς τοῦ ς προφορᾶς, ἐξ οὗ ὠνοματοπεποίηται ὁ σιγμός. οὕτω δὲ καὶ τὸ «ἀνέφλυε» προσηνέστερόν ἐστι τοῦ καχλάζειν καὶ τοῦ βράζειν καὶ τῶν ὁμοίων, ἅπερ οὐκ ἂν πιθανῶς ἐπὶ ὅλου ποταμοῦ λέγοιντο πάσχοντος θερινὴν θερμότητα. ζέσιν μὲν γὰρ παθεῖν οὐ πάνυ τι τολμηρὸν εἰπεῖν ἐπὶ τοσούτου ποταμοῦ, καχλάσαι δὲ φάναι αὐτὸν ἤ τι τοιοῦτον οὐκ ἔξω ἀναιδοῦς ἐν λόγῳ θρασύτητος. [Ὅτι δὲ ἐκ τοῦ ζέειν καὶ τὸ ἐκζεστόν, οὐ κρέας, ἐκεῖνο γὰρ ἀνάβραστον ὁ Κωμικός φησι, δῆλον ἐκ τοῦ εἰπόντος, ὡς τὸ σευτλίον εὐχυλώτερόν ἐστι κράμβης, ἐκζεστὸν δὲ λαμβανόμενον μετὰ νάπυος, λεπτυντικώτερον καὶ ἐλμίνθων φθαρτικόν.] (v. 362) Τὸ δὲ «ἔνδον πρὸς ἀκρίβειαν κεῖται. οὐ γάρ ἔστιν ἔξω ζέειν τὸν

λέβητα, ἐντὸς δὲ καὶ μόνον, ὅπου τὸ ὕδωρ. ἐφ' οὗ καὶ κυριολεκτεῖται τὸ ζέειν. δύναται δὲ τὸ «ἔνδον» συμβιβασθῆναι καὶ πρὸς τὸ «ἐπειγόμενος», ἵνα ᾖ «ἔνδον ἐπειγόμενος», ὅπερ ὅμοιόν ἐστι τῷ «ὀπὸς ἐπειγόμενος», ὃ ἤδη προγέγραπται.

4.519 τοῦτο δὲ ὥσπερ καὶ τὸ «πυρὶ πολλῷ», καὶ τὸ «ξύλα κάγκανα», οὐχ' ἁπλῶς ἐν ἀργῷ κεῖνται, ἀλλ' ὅτι μὴ λοετροχόος οὗτος ὁ λέβης, οὐδ' ὡς εἰς ποδάνιπτρα ἢ ἄλλο τι βράσμα ὕδατος, ἀλλ' ἐπὶ ἑψήσει κρέατος, εἰς ἣν καὶ τὸ κρεῖον χρήσιμον τὸ ἐν ταῖς Λιταῖς. σίαλος γὰρ ἕψεται. διὸ καὶ ἐπείγεται ὁ τοιοῦτος λέβης, ἵνα μὴ ἄλλως ἔχων ἀχρειώσῃ τὸ ἕψημα πυρὶ ἀπαλῷ κατὰ τὸν εἰπόντα διοικονομούμενος. καὶ γλυκύτητα δὲ νῦν τὸ «ἐπειγόμενος» ἔχει, ὡς ἐπὶ ἐμψύχου τεθεῖσα τοῦ λέβητος. (v. 363) Τὸ δὲ «κνίσσῃ μελδόμενος» ἀντὶ τοῦ τήκων τὸ λίπος τοῦ κρέατος. γίνεται δὲ τὸ μέλδειν ἀπὸ τοῦ τὰ μέλη δαίειν ἤτοι καίειν. καὶ ἔστιν ἡ φράσις καινή. ὤφειλε γὰρ εἰπεῖν κνίσσην μετὰ τοῦ νῦ ἐν πτώσει αἰτιατικῇ, ἵνα ἔλεγεν, ὅτι τήκων ὁ λέβης τὴν κνίσσαν. Ὅμηρος δὲ ἀντὶ παθητικοῦ δεξάμενος τὸ «μελδόμενος» λέγει, ὅτι τηκόμενος τῇ κνίσσῃ, τουτέστιν οὐ τῷ χαλκῷ πάσχων ὁ λέβης τὴν τῆξιν τῷ στερεῷ καὶ ἀτειρεῖ καὶ ἀτήκτῳ, ἀλλὰ τῇ ἐντὸς αὐτοῦ κνίσσῃ. καὶ ἔστι τὸ σχῆμα ὅμοιον τῷ «ἔφριξε μάχη ἐγχείῃσι», καὶ «λήϊον ἀσταχύεσσιν». ὡς γὰρ ἐκεῖ τῶν ἀσταχύων καὶ τῶν ἐγχέων φρισσόντων ἡ μάχη καὶ τὸ λήϊον λέγονται φρίσσειν αὐτοῖς, οὕτω κἀνταῦθα τῆς κνίσσης μελδομένης, ὅ ἐστι τηκομένης, ὁ λέβης τῇ κνίσσῃ λέγεται μέλδεσθαι. τινὲς δὲ τὰ κνίσση φασὶν οὐδετέρως, λέγοντες τὸν λέβητα τήκειν τὰ κνίσση, τουτέστι τὰ λίπη, ἐν τῷ ζέειν. τοῦτο δέ, φασίν, οὐχ' Ὁμηρικόν. οὐ γὰρ εὕρηται παρὰ τῷ ποιητῇ [καθὰ παρ' ἄλλοις] τὸ κνίσσος οὐδέτερον. ὅτι δὲ ἡ κνίσσα καὶ δι' ἑνὸς γράφεται σίγμα, ὁμοίως τῷ πῖσα, δεδήλωται καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν.

4.520 [Ἰστέον δὲ καὶ ὅτι ἐκ τῆς κνίσσης καὶ ῥῆμά ἐστι κνισσῶ κνισσώσω, καὶ ὄνομα καινὸν ἅμα καὶ κοινὸν παρὰ Ἀθηναίῳ τὸ κνισσότερος, οἷον «κνισσότερος ὢν τοῦ Ὀδυσσέως Μελανθίου».] Σίαλον δὲ ἁπαλοτρεφέα φασὶν οἱ παλαιοὶ τὸν ἤδη χοῖρον, ἁπαλοτρεφέα λεγόμενον πρὸς διαστολὴν τῶν συάγρων. σίαλος γὰρ ὁ ἐν οἴκῳ τρόφιμος παρὰ τὸ σιτεῖσθαι ἅλις. (v. 364) Τὸ δὲ «ἀμβολάδην» ἀντὶ τοῦ ἀναβλητικῶς ἢ ἀναβολικῶς ἀπὸ ῥήματος τοῦ ἀναβάλλειν, ἐξ οὗ καὶ τὸ χαλκεῖον ἀναβάλλειν λέγεται, ἤγουν ἀναζέειν διὰ φλογὸς ὑπερβολὴν καὶ ἄνω κάτω ποιεῖν τῇ κινήσει τὸ ὕδωρ ἐν τῷ παφλάζειν. κεῖται δὲ ἡ λέξις καὶ παρὰ Ἡροδότῳ, ἔνθα ἱστορεῖ κρήνην περὶ μέσας νύκτας ζέουσαν ἀμβολάδην. ἐντεῦθεν καὶ ἐπὶ τῶν ὀρυσσόντων τὸ ἄνω ῥίπτειν τὸ χῶμα ἀναβάλλεσθαι καὶ ἀναβάλλειν φασὶν οἱ παλαιοί, καὶ τὴν τοιαύτην γῆν ἀμβολάδα, καὶ ἀναβάλλεσθαι δὲ ἐντεῦθεν εἴρηται τὸ πνεῦμα ἀνάγειν, ὡς τὸ «ὃ δ' ἀνεβάλλετο καλὸν ἀείδειν». Αἰλιανὸς δὲ γῆν ἐπιβάλλειν φησίν, οὗ τὸ ἐναντίον γῆν ἀναβάλλειν, ὡς ἀνωτέρω εἴρηται. Ἐνταῦθα δέ φασιν οἱ παλαιοὶ καί, ὡς πολλὴν ἐνάργειαν ἡ παραβολὴ ἔχει. οὐ γὰρ ἁπλῶς παραλαμβάνει λέβητα, ἀλλὰ ἐπειγόμενον πυρί, καὶ τούτῳ πολλῷ, καὶ ὑποκαιόμενον ξύλοις οὐ χλωροῖς ἀλλὰ ξηροῖς καὶ πάνυ ἐπιτηδείοις ἀνακαίεσθαι, καὶ οὐδὲ λοετροχόον ὄντα, παρειλημμένον δὲ εἰς ἀνάβρασιν σπουδαίου κρέατος. (v.

4.521 364) Κάγκανα δὲ γίνεται παρὰ τὸ καίειν καὶ καίνειν, τὰ εἰς τὸ καίεσθαι καινόμενα ἤτοι κοπτόμενα. Παυσανίας δὲ δανὰ τὰ τοιαῦτα ξύλα καλεῖσθαι δηλοῖ. φησὶ γάρ· δανὰ, εὐκέαστα, ξηρά, παρὰ τὸ δαίεσθαι. δῆλον δὲ ὅτι εὐκέαστα τὰ εὔκλαστα. κεάσαι γὰρ ἐπὶ ξύλων τὸ κόψαι, ὡς ἐν Ὀδυσσείᾳ. (v. 366) Τὸ δὲ «οὐδ' ἔθελε προρέειν» δηλοῖ μὲν τὸ οὐκ ἠδύνατο. καὶ ἔστι καὶ αὐτὸ γλυκύτητος ὁμοίως τῷ «τὰ δὲ δένδρα οὐδέν με θέλει διδάσκειν». ἀδίπλαστον δὲ ἔχει τὸ ρ κατὰ μέτρου θέλησιν, ὅπερ μυριαχοῦ γίνεται. ὅτι δὲ τὸ οὐκ ἤθελε ταὐτόν ἐστι τῷ οὐκ ἠδύνατο, δηλοῖ ἐπαγαγὼν εἰς ἑρμηνείαν εὐθὺς τὸ «ἀλλ' ἴσχετο». (v. 367) Πολύφρων δὲ Ἥφαιστος, ὡς καὶ πρὸ ὀλίγων πολύμητις, διὰ τὰ κατὰ πῦρ μυρία τεχνικὰ μεθοδεύματα. (v. 369) Ὅτι ὁ Ξάνθος ἐκκαίοντος αὐτὸν Ἡφαίστου ἀναβοᾶται πρὸς τὴν Ἥραν οὕτως «Ἥρη, τίπτε σὸς υἱὸς ἐμὸν ῥόον ἔχραε κήδειν», ὅ ἐστιν ἐπέπεσε βλάπτειν, «ἐξ ἄλλων», ἤγουν δίχα τῶν ἄλλων θεῶν μόνος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτός. καὶ ἔστιν ὁ λόγος οὗτος προκλητικὸς τοῦ τὸν Ἥφαιστον παύσεσθαι καὶ τὴν ἐπ' αὐτῷ τερατείαν. εὐθὺς γὰρ ἡ Ἥρα φθέγγεται ἰάχουσα, ὡς ὑπέσχετο, καὶ αὐτὸς ἐφέξει κατασβέσας θεσπιδαὲς πῦρ. Τὸ δὲ «ἐμὸν ῥόον» δηλοῖ, ὡς Ξάνθος λαλεῖ οὐχ' ὁ καθ' ὕδωρ, ἀλλ' ὁ δαιμόνιος αὐτοῦ ταμίας, οὗπερ οἷόν τι σῶμα ὁ ῥόος. Τὸ δὲ «ἔχραε» ἀρχή ἐστι καὶ αὐτὸ τῆς συνθέσεως τοῦ ζαχρηοῦς, ὡς καὶ προηρμήνευται. καὶ τοιοῦτον μὲν τὸ λεχθὲν ῥητόν. (v. 370—1) Ἐφεξῆς δὲ τὸ «οὐ μέν τοι ἐγὼ τόσον αἴτιός εἰμι, ὅσον οἱ ἄλλοι πάντες ὅσοι» τοῖς δεῖνα, οἷον τοῖς Τρωσίν, «ἀρωγοί» ἐρεῖ ἂν ὁ ἐξ ἑαυτοῦ εἰς ἑτέρους μεθιστῶν τὴν αἰτίασιν. (v. 372—3) Τὸ δὲ «ἀλλ' ἤτοι μὲν ἐγὼν ἀποπαύσομαι, εἰ σὺ κελεύεις παυέσθω δὲ καὶ οὗτος» εἴποι ἂν ὁ ἐξ ἀξιώσεως καταλλαττόμενός τινι. (v. 373—4) Ὁ δὲ διαβεβαιούμενος μὴ ἂν βοηθῆσαι τῷδέ τινι ἔχει εἰπεῖν τὸ «ἐγὼ δ' ἐπὶ καὶ τόδ' ὀμοῦμαι μή ποτε τῷ δεῖνι ἀλεξήσειν κακὸν ἦμαρ». Σημείωσαι δὲ ὡς παρατρέχειν εἰωθὼς ὁ ποιητὴς τὰ μὴ πρὸ ἔργου αὐτῷ σιωπᾷ κἀνταῦθα παντελῶς, τί ἂν Ἀχιλλεὺς ἐποίει, μεθὸ Ἥφαιστος ἑαυτὸν τῷ Ξάνθῳ ἐνέβαλε πυρὶ φλεγέθοντι.

4.522 καὶ ὡς μὲν διεξέφυγεν, εὐνόητόν ἐστιν. εἰ δὲ καὶ Ἥφαιστος τὸν ποταμὸν καίων τοῦ Ἀχιλλέως ἀπείχετο, ὁ μῦθος ὑποβάλλει νοεῖν, ὡς εἰκός, οἷα καὶ τὸν ποταμὸν πλάσας ὀλέθριον μὲν τῷ Ἀχιλλεῖ, σωστικὸν δὲ τοῖς Τρωσίν. ἑκατέρων γὰρ εἶχε καὶ ἐκεῖνος δύναμιν. οὕτω καὶ Ποσειδῶν οὐ μόνον σεισίχθων, ἀλλὰ καὶ ἀσφάλιος, καὶ Ἑρμῆς οὐ μόνον κερδῷος, ἀλλὰ καὶ ζημίας ποιῶν κατὰ τὸν Κωμικόν, καὶ Φοῖβος οὐ μόνον Ἀπόλλων, ἀλλὰ καὶ ἰατρὸς καὶ οὔλιος, ὅ ἐστιν ὑγιαστικός, ὡς καὶ ἀλλαχοῦ εἴρηται. καὶ ὅλως ἀρετὴ προσώπου τὸ τὰ ἐναντία δύνασθαι ὡς ἐν καιρῷ ἄμφω μεταχειρίζεσθαι. οὕτω Νέστωρ, εἰ καὶ ψεῦδος οὐκ ἐρέει ὡς μάλα πεπνυμένος, ἀλλ' ἐν καιρῷ ψεύσεται. οὕτως Αἴας ἀνδριζόμενος ἔσθ' ὅτε καὶ νῶτα δείξει μαθὼν τὰ τοῦ Διὸς τάλαντα δυστυχῶς αὐτῷ βρίσαντα. εἰ δὲ καὶ συνετός που ἀνὴρ μανίαν ὑπεκρίνατό ποτε, οὐκ ἂν θαυμάσοι τις, πολλοὺς καὶ ἄλλους μαθὼν ὀργάνῳ τοιούτῳ μεγάλα καταπραξαμένους καλά. (v. 382) Ὅτι γαλήνης φραστικὸν τὸ «ἄψορρον δ' ἄρα κῦμα κατέσσυτο». (v. 385—90) Ὅτι φοβερὰν κἀνταῦθα συμβολὴν μάχης ἐκφράζων ὁ ποιητὴς τὴν τῶν θεῶν ἀγριαίνει τὸ χωρίον τερατώδεσιν ἐννοίαις καὶ τραχείαις λέξεσιν, εἰπών «ἐν δ' ἄλλοισι θεοῖσιν ἔρις πέσε βεβριθυῖα ἀργαλέη, δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο». περίφρασις δέ ἐστιν αὐτὸ τοῦ δίχα φρονεῖν ἤγουν διχονοεῖν. «σὺν δ' ἔπεσον μεγάλῳ πατάγῳ», ἢ ὁμάδῳ, «βράχε δ' εὐρεῖα χθών, ἀμφὶ δ' ἐσάλπιγξε μέγας οὐρανός· ἄϊε δὲ Ζεὺς ἥμενος Οὐλύμπῳ, ἐγέλασε δέ οἱ φίλον ἦτορ γηθοσύνῃ, ὅθ' ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας». Ὅρα δὲ ὅτι τὸ τοῦ χωρίου πρόσωπον, τὴν ἀρχὴν δηλαδή, παρίσοις ἱλάρυνε τῷ «ἄλλοισι» καὶ «θεοῖσιν». Ἔρις δὲ βεβριθυῖα, ἣν καὶ βαρεῖάν φαμεν. Ὅρα δὲ ὅτι τὴν μὲν ἔριδα ἐμπεσεῖν εἶπε θεοῖς, τοὺς δὲ θεοὺς συμπεσεῖν ἀλλήλοις εἰς μάχην.

4.523 (v. 386) Τὸ δὲ «θυμὸς ἄητο», τουτέστιν ἔπνεε, δέδωκε τοῖς μεθ' Ὅμηρον λέγειν τὸ θυμοῦ πνέειν. γίνεται δὲ τὸ ἄητο ὅθεν καὶ τὸ ἀείς ἀέντος καὶ ἀήτης ὁ ἐπὶ ἀνέμου. (v. 387) Τὸ δὲ «βράχε χθών» ἐστὶ μὲν κατὰ τὸ βράχεν ὕδατα καὶ ὅσα τοιαῦτα, δηλοῖ δὲ ἦχον, ὁποῖοι πολλοὶ γῆθεν ἐκκύπτουσι δεινοί, ὧν καὶ οἱ τυφωνικοί. (v. 388) Τὸ δὲ «σάλπιγξεν οὐρανός» οὐ συνεξῆρται μὲν τῇ τῆς μάχης ταύτης σεμνότητι. τί γὰρ μέγα, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, σαλπίζειν τὸν οὐρανόν, ὅπου βροντᾶν ἔδει; οἰκεῖον δὲ ὅμως ἐστὶν ὡς πρός γε μάχην. πολέμου γάρ, καθὸ πολέμου, σημεῖον οὐ βροντή, ἀλλὰ σάλπιγξ. ἄλλως τε φθάσας ὁ ποιητὴς εἰπεῖν ἐν τῇ τῶν Τρώων καὶ Ἑλλήνων ἔριδι βροντῆσαι ὑψόθεν τὸν Δία, ἐνταῦθα ἐνήλλαξε διὰ τὸ πολυειδέστερον, σαλπίζειν εἰπὼν τὸν οὐρανὸν καὶ οὕτω καινότερον μεταχειρισάμενος τὸ νόημα τὴν μὲν μικροτέραν ἐκείνην μάχην, ἐν ᾗ μᾶλλον ἐχρῆν εἰπεῖν σαλπίσαι τὸν οὐρανόν, ὕψωσε μεγάλῳ τέρατι, τῇ δὲ θείᾳ ταύτῃ μάχῃ, ὡς αὐτόθεν τὸ μεγαλεῖον ἐχούσῃ, τὴν σάλπιγγα δέδωκεν. ἣν δὲ καὶ ἄλλως ποιήσει πρέπον τεράστιον τὸ σαλπίζειν τὸν οὐρανὸν ὡσεὶ καὶ διὰ στόματος. εἰ δὲ εἶπε βροντῆσαι τὸν οὐρανόν, οὐδὲν ἐλάλει παράδοξον. Ὅρα δὲ καὶ ὅτι ὁ ποιητὴς οἶδε μὲν σάλπιγγα, οὐκ εἰσάγει δὲ τοὺς ἥρωας χρωμένους αὐτῇ. σαλπίγγων δὲ πόσα εἴδη, προγέγραπται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[Προσγραπτέον δ’ ἐνταῦθα καὶ τῶν Ἀθηναίου ἐκεῖνα, ὡς ἐγερτικόν τι πρὸς μάχην καὶ ἡ σάλπιγξ. Ἡρόδωρος γοῦν, φησί, σαλπιγκτής, Δημητρίου πολιορκοῦντος τὸ Ἄργος, οὐ δυναμένων τῶν στρατιωτῶν τὴν ἑλέπολιν προσαγαγεῖν τοῖς τείχεσι διὰ τὸ βάρος, δύο ἅμα σάλπιγξι σημαίνων ὑπὸ τῆς ἁδρότητος τοῦ ἤχου τοὺς στρατιώτας ἠνάγκασε προθυμηθέντας προσαγαγεῖν τὴν μηχανήν. ἦν δέ, φησί, σάλπιγξ καὶ ἐν πομπαῖς. γυνὴ γοῦν τις Ἀγλαῒς ἐν Ἀλεξανδρείᾳ ἐσάλπισε τὸ πομπικὸν ἐν καιρῷ πομπῆς. μνηστέον δ’ ἐν τούτοις καὶ ὅτι Φύλαρχος ἔσκωψέ τινα ὡς ἀπόλεμον, εἰπὼν παροιμιωδῶς τὸ «πολεμίας σάλπιγγος οὐδ’ ἐν ὕπνοις ὑπομένων ἀκοῦσαι», καὶ ὅτι οὐ μόνον σάλπιγγες ἀνέκαθεν ὄργανα βοῆς τῆς ἐν πολέμῳ ἦσαν, ἀλλὰ καὶ βύκανα, ὡς δηλοῖ τὸ «πύκται τέσσαρες ἀνέβησαν ἐπὶ τὴν σκηνὴν μετὰ σαλπιγκτῶν καὶ βυκανιστῶν».

4.524 καὶ κέρατα δὲ καὶ στρόμβοι νόμον τοιοῦτον ἤχουν. ὡς δὲ καὶ δαλὸς ἀνημμένος μάχης ἦν σύμβολον, Εὐριπίδης δηλοῖ.] (v. 389) Γελᾷ δὲ ὁ Ζεὺς γηθοσύνῃ, ὁρῶν θεοὺς ἔριδι ξυνιόντας, μυθικῶς μέν, καθὰ καὶ ἐν Ὀδυσσείᾳ ὁ βασιλεὺς Ἀγαμέμνων ἱστορεῖται χαίρειν τοὺς ἀρίστους ὁρῶν ἐρίζοντας, τὸν Ὀδυσσέα δηλαδὴ καὶ τὸν Ἀχιλλέα, οὐχ’ ὅτι ἁπλῶς ἤριζον, ἀλλ’ ὅτιπερ εἰς ἀγαθὸν ἀπέβλεπε τὰ τῆς ἔριδος, ὡς ἐκεῖ γέγραπται. οὕτω γὰρ καὶ νῦν Ζεὺς ἐπ’ ἀγαθῇ ἔριδι γέγηθε φίλερις ὢν ἐν καλῷ. ἐπεί τοι ὁ τὴν ἐπὶ κακῷ ἔριν φιλῶν ἀκούσοι ἂν ἔχθιστος εἶναι, ἀεὶ γὰρ αὐτῷ ἔρις φίλη. καὶ οὕτω μὲν κατὰ τὸν μῦθον. κατὰ δὲ ἀλληγορίαν αἰνίττεσθαί φασι τὸν τοιοῦτον λόγον τὸ παρὰ τοῖς Φυσικοῖς λεγόμενον νεῖκος καὶ τὴν φιλίαν τὴν αὐτῷ ἀντικειμένην, χαίρειν δὲ τὸν Δία τῷ νείκει, διότι λύει τὸν σφαῖρον καὶ γίνεται οὕτω τὸ νεῖκος γενέσεως αἴτιον. καὶ ἄλλως δέ, ἐπεὶ ἐξ ἐναντίων ποιοτήτων ἡ τοῦ παντὸς συνέστηκεν ἁρμονία, χαίρει καὶ οὕτω τῇ θείᾳ μάχῃ ὁ Ζεύς. δῆλον δὲ ὅτι τῶν στοιχείων ἕκαστον, ἐκ ποιοτήτων δυάδος συνεστώς, τῇ μιᾷ μὲν συνέχεται, θατέρᾳ δὲ διέστηκεν, οἷον ἡ γῆ, τῷ ὕδατι κατὰ ψυχρότητα συγγενῶς ἔχουσα, ὅμως κατά γε ξηρότητα ὡς ὑγροῦ ἐκείνου ὄντος ἀφίσταται, καὶ ὕδωρ αὖθις, ἀέρι καθ’ ὑγρότητα οἰκειούμενον, κατὰ θερμότητα ὡς ψυχρὸν διέστηκε, καὶ ἀήρ, αἰθέρι κατὰ θερμότητα κοινωνῶν, κατὰ ὑγρότητα ὡς ξηροῦ πεφυκότος ἀπεσχοίνισται, καὶ αἰθὴρ δὲ πρὸς γῆν, εἰ καὶ κοινόν τι ἔχει τὸ ξηρόν, ἀλλὰ τὸ θερμὸν ὡς πρὸς ψυχρὰν αὐτὴν ἴδιον ἀπηνέγκατο. οὕτως ἀγαθὴ τοῖς τοιούτοις ἡ ἔρις. διὸ καὶ ὁ Ζεύς, ὁ τοῦ παντὸς εἴτε νοῦς εἴτε ψυχὴ καθ’ Ἕλληνας, ἐπ’ αὐτῇ χαίρων πεποίηται.

4.525 εἰ δὴ εὐξάμενός τις παρὰ τῷ ποιητῇ τὴν ἔριν ἔκ τε θεῶν ἔκ τ’ ἀνθρώπων ἀπολέσθαι, καὶ κατὰ τῆς τοιαύτης ἔριδος εὔξατο, οἰχήσεσθαι ἂν τὸ πᾶν οὕτως ἔφασάν τινες τῶν παλαιῶν. (v. 390) Τὸ δὲ «ἔριδι ξυνιόντας» ἀνάπαλιν μὲν εἴρηται πρὸς τὸ «διαστήτην ἐρίσαντε», καθυπογράφει δὲ καὶ αὐτὸ τὴν φύσιν τῆς ἔριδος, ἥτις διϊστῶσα τοὺς φίλους, ὡς ἀλλαχοῦ εἴρηται, εἶτα συνάγει εἰς πόλεμον, ὡς ἐνταῦθα δηλοῦται. (v. 389) Ἰστέον δὲ καὶ ὅτι τὸ «ἐγέλασε δέ οἱ φίλον ἦτορ» ῥηθήσεταί ποτε πρός τινα φιλόμαχον, καὶ ὅτι τὸ «ἐγέλασε γηθοσύνῃ» πρὸς διαστολὴν ἑτέρου γέλωτος εἴρηται τοῦ κατὰ βάρος ψυχῆς, ὁποῖος καὶ ὁ ἐν Ὀδυσσείᾳ σαρδάνιος, καὶ ὁ παρ’ Ἡσιόδῳ δέ, καθ’ ὃν ὁ Ζεὺς ἐξεγέλασεν. Ὅτι τὸν Ἄρην πρῶτον ποιεῖ Ὅμηρος ἐφορμῶντα τῇ Ἀθηνᾷ, ἐχρῆν γὰρ τὸν ἀλόγιστον χωρῆσαι κατὰ τῆς ἀλληγορουμένης εἰς φρόνησιν. (v. 391—5) Φησὶ γὰρ «ἦρχεν Ἄρης ῥινοτόρος, καὶ πρῶτος Ἀθηναίῃ ἐπόρουσε, χάλκεον ἔγχος ἔχων, καὶ ὀνείδειον φάτο μῦθον· τίπτ’ αὖτ’, ὦ κυνάμυια», ἢ κατά τινας «κυνόμυια», «θεοὺς ἔριδι ξυνελαύνεις, θάρσος ἄητον ἔχουσα, μέγας δέ σε θυμὸς ἀνῆκεν». (v. 396—8) Εἶτα καὶ ἀναμιμνῄσκει ὡς αὐτὴ τὸν Διομήδην ἠρέθισε κατ’ αὐτοῦ, εἰπὼν «ἦ οὐ μέμνῃ, ὅτε Τυδείδην ἀνῆκας οὐτάμεναι, αὐτὴ δὲ πανόψιον ἔγχος ἑλοῦσα ἰθὺς ἐμεῦ ὦσας, διὰ δὲ χρόα καλὸν ἔδαψας». (v. 399) Καὶ οὕτως εἰπὼν ἐπάγει ἀπειλήν «τῷ ς’ αὖ», ἤγουν διό σε νῦν, ὀΐω ἀποτισέμεν», ἤγουν ἐμποινίμως ἀποδοῦναι, «ὅσσα μ’ ἔοργας», ἤγουν ἔργοις ἐλύπησας. Καὶ ὅρα τὸν ἄφρονα ἐπὶ τὴν Ἀθηνᾶν μετατιθέντα τὰ ἑαυτοῦ, τὴν ἀναίδειαν δηλαδὴ καὶ τὸν θυμὸν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ φιλόνεικον. τοιοῦτον γὰρ ἡ κακία, θέλουσα μὲν εἶναι ὅπερ ἐστί, τὰς προσφόρους δὲ κλήσεις ἀπαναινομένη καὶ τῇ ἀρετῇ αὐτὰς ἐπιγράφουσα. μωρίας δὲ καὶ ἡ κατὰ τὸν Διομήδην ἀνάμνησις, Ὁμηρικῆς μέντοι ἄλλως δεξιότητος ἔνδειξις. δηλοῦται γὰρ ὡς, ἐὰν διὰ μέσου τοῦ Διομήδους ἡ Ἀθηνᾶ περιγέγονεν Ἄρεος, πολλῷ πλέον αὐτὴ δι' ἑαυτῆς. (v. 392) Ῥινοτόρος δὲ Ἄρης, ὡς ἄν τις εἴποι βυρσοτόμος κατὰ τοὺς παλαιούς. δεῖ γάρ, φασίν, ἀσπίδος διατορῆσαι ῥινόν, εἶτα σώματος ἐφικέσθαι.

4.526 ἢ καὶ ὅτι ῥινόν, ἤτοι χροῦν, πρῶτον τέμνει τῶν πληττομένων, εἶτα τοῦ βάθους ἐφικνεῖται. δῆλον δὲ ὅτι ταλαύρινος αὐτὸς ὢν ὁ Ἄρης, τουτέστι τάλανα ῥινὸν ἔχων, ῥινοτόρος ἐν ἄλλοις γίνεται, καὶ ὅτι ἀπὸ τοῦ ῥινοῦ καὶ βόες λαρινοὶ καὶ ταῦροι οἱ μέγα καὶ παχὺ δέρμα ἔχοντες, καὶ ὅτι οὐδὲν σεμνὸν Ἄρει τῷ ῥινοτόρῳ, εἰ μετ' ὀλίγα βληθεὶς ὑπ' Ἀθηνᾶς λύεται τὰ μέλη. Τὸ δὲ «καὶ πρῶτος ἐπόρουσε» πρὸς ἑρμηνείαν εἴρηται τοῦ «ἦρχεν Ἄρης». ἄλλως γὰρ τὸ ἄρχειν ἀσαφές, οἷα καὶ ἐπὶ τοῦ ἡγεμονεύειν νοούμενον. ἐνταῦθα δὲ οἱ ἀλληγοροῦντές φασιν ὅτι ἄλλως οὐ γίνεται μάχη Ἀθηνᾶς καὶ Ἄρεος, εἰ μὴ αὐτὸς ἐπαναστῇ κατάρξας, ὡς οὐδὲ μεταξὺ δούλου καὶ δεσπότου, εἰ μὴ τὸ ἀνδράποδον ἀναιδεύσεται. [(v. 393) Τὸ δὲ «χάλκεον ἔγχος», καὶ ὁ χάλκεος Ἄρης, ἢ θώραξ, καὶ τὰ τοιαῦτα μετουσιαστικά, καὶ ὁ ἐκεῖθεν συναιρεθεὶς χαλκοῦς, παρεισέκριναν τῷ βίῳ καί τινα Διονύσιον ποιητὴν καὶ ῥήτορα, ὃς χαλκοῦς, φασίν, ἐκλήθη διὰ τὸ συμβουλεῦσαι Ἀθηναίοις χαλκῷ νομίσματι χρήσασθαι. ὁ δ' αὐτὸς καὶ τοὺς ἐμπαθῶς ἐμφορουμένους οἴνου κυλίκων ἐρέτας ἔφη, ὡς ἱστορεῖ ὁ γράψας τὸ «μητρόπολις τῶν δεινῶν ὁ οἶνος, δι' ὃν αἱ μέθαι, αἱ μανίαι, αἱ παροινίαι». καὶ κλέπτης δέ τις παρ' Ἀττικοῖς χαλκοῦς ἐκαλεῖτο, εἰς ὃν ἐγκρατῶς τοιχωρυχοῦντα καὶ ἐκπλήττοντα ἔσκωψε Δημοσθένης τὸ, μὴ θαυμάζετε, ὦ Ἀθηναῖοι, χαλκοῦς κλέπτας, εἰ τοὺς παρ' ὑμῖν πλινθίνους οἴκους διορύττουσι.] (v. 394) Κυνάμυια δὲ ἡ ἀναιδὴς καὶ θρασεῖα παρὰ τὴν κύνα καὶ τὴν μυῖαν, ἀναιδῆ ζῷα καὶ ἄμφω. κοινότερον δὲ τοῦ κυνάμυια τὸ κυνόμυια. καὶ ἐξ ἐκείνου δοκεῖ γενέσθαι τοῦτο, καθὰ καὶ ἐκ τοῦ μεσοπόλιος ὁ μεσαπόλιος καὶ ἐκ τοῦ τιθοβώσσειν τὸ τιθαβώσσειν, ἐξ ὧν τὸ τιθαιβώσσειν καὶ ὁ μεσαιπόλιος, [ἔτι δὲ καὶ καθὰ ἀκρόχολος ἀκράχολος παρ' Ἀττικοῖς, καὶ ὀσταφίς ἀσταφίς, καὶ ἀπομείρεται ἀπαμείρεται παρὰ Ἡσιόδῳ.

4.527 ] Τινὲς δὲ κυνάμυιάν φασι τὴν τῶν κυνῶν μυῖαν, ἤτοι τὸν κρότωνα. ἕτεροι δὲ διὰ τοῦ ι γράφουσι τὴν ἄρχην τῆς λέξεως καὶ νοοῦσι κινάμυιαν τὴν μὴ ἔχουσαν ἠρεμαῖον τὸ βλέμμα, ἀλλὰ κινοῦσαν συνεχῶς τοὺς μύας τῶν ὀφθαλμῶν. ταύτην δὲ τὴν λέξιν ἐν τοῖς ἑξῆς ἡ Ἥρα κατὰ τῆς Ἀφροδίτης ἐρεῖ προσφυέστερον. ἡ δ' αὐτὴ καὶ τὴν Ἄρτεμιν ἀδεῆ κύνα καλέσει, τοῦτο δὲ οὐ προσφυῶς, ἀλλὰ νενικημένη θυμῷ. [Ὅρα δὲ ὅτι Ὅμηρος μὲν ἐνταῦθα σκῶμμα ἐκ τῆς μυίας ἠρανίσατο, καὶ ταῦτα ἑτέρωθι σεμνύνας τὸ ζωΰφιον ἐν τῷ «καί οἱ μυίας θάρσος» ἐνέθηκεν, οἱ δὲ ὕστερον παιδιὰν αὐτῇ ἐπωνόμασάν τινα, ἣν χαλκῆν μυῖαν ὠνόμασαν. Περὶ ἧς φράζουσιν οὕτω· καταδεῖταί τις ῥακίῳ τὰς ὄψεις καὶ καταστὰς εἰς μέσον τῶν συνειλεγμένων παριὼν φωνεῖ· χαλκῆν μυῖαν θηράσω. οἱ δὲ κύκλῳ ἑστῶτες βύβλοις ἢ καὶ ταῖς χερσὶ παίοντες ἀποκρίνονται· ἀλλ' οὐ λήψῃ. οὗ δὲ ἂν λάβηται, καθίστησιν ἐκεῖνον εἰς τὴν ἑαυτοῦ χώραν. Λέγεται δὲ χαλκῆ μυῖα πρὸς διαστολήν. εἰσὶ γάρ τινες καὶ χαλκαῖ μυῖαι συννεμόμεναι, φασί, τοῖς κανθάροις, χαλκίζουσαι τῇ χροιᾷ, αἷς οἱ παῖδες κηρία, φασί, προστιθέντες ἀφιᾶσιν. ὅτι δὲ ἡ μυῖα καὶ τὴν μυιοσόβην συντίθησι, δῆλον.

4.528 ἔστι δὲ αὕτη ὄργανόν τι ἐκ τριχῶν, δι' οὗ μυῖαι ἀποσοβοῦνται. ᾗ παρείκασέ τις παλαιὸς ἐπὶ σκώμματι πώγωνα καθειμένον, ἤγουν γένειον μακρόν.] (v. 395) Θάρσος δὲ ἄητον τὸ πολὺ καὶ γοργὸν κατὰ ἄνεμον ἀπὸ τοῦ ἄω, τὸ πνέω καὶ προθυμοῦμαι. εἶπε γοῦν πρὸ μικροῦ, ὅτι καὶ θυμὸς ἄητο ἐν φρεσί, τουτέστιν ἔπνεεν. ἴσως δ' ἐκ τούτου καὶ τὸν Ἥφαιστον φθάσας πέλωρ αἴητον ἔφη κατὰ πλεονασμὸν τοῦ ι . ποιητικαὶ δὲ λέξεις καὶ ἄμφω, ἃς οὐκ ἂν φιλοίη τις πεζογραφῶν. Τὸ δὲ «ἀνῆκε» δηλοῖ μὲν καὶ νῦν τὸ ἀνέπεισεν. ἔστι δὲ κυρία λέξις. διὸ καὶ δὶς

ἐνταῦθα συνεχῶς ἐχρήσατο, «ἀνῆκεν» εἰπὼν καὶ «ἀνῆκας». (v. 397) Πανόψιον δὲ ἔγχος ἢ τὸ πᾶσιν ὁρατὸν ἢ τὸ πάντων τελευταῖον καὶ ἔσχατον καὶ μεῖζον, ἀπὸ τοῦ ὀψέ, ἢ ἀπὸ τῆς ὀψίας, ἥτις ἐστὶν ἔσχατός τις καιρός. Ἀντίμαχος δὲ «ὑπονόσφιον» γράφει. καὶ τί μὲν σημαίνει τοῦτο, οὐχ' ἑρμηνεύουσιν οἱ παλαιοί, φασὶ δὲ ὡς καὶ τί θέλει δηλοῦσθαι, δῆλον. ἴσως δὲ δηλοῖ τὸ ἐκ τοῦ Διομήδους ὑπ' αὐτῆς νοσφισθὲν ἤτοι χωρισθὲν καὶ ἁρπασθέν. (v. 398) Τὸ δὲ «ὦσας» καὶ «ἔδαψας» ἀνεπιτήδευτα ἐνταῦθα φυσικὰ πάρισα. ἔστι δὲ καὶ ὧδε τὸ «ἔδαψας» ἶσον τῷ ἐδάρδαψας, περὶ ὧν προγέγραπται. (v. 399) Ἰστέον δὲ ὅτι ὁ γενόμενος ἐγκρατὴς ἐχθροῦ ἐρεῖ τὸ «νῦν σε ὀΐω ἀποτισέμεν» καὶ ἑξῆς, ὡς προέκκειται. (v. 400 s.) Ὅτι τὴν τῆς Ἀθηνᾶς ἀσπίδα σεμνολογῶν, ἣν Ἄρης οὔτησε μιαιφόνος ἔγχεϊ μακρῷ, θυσανόεσσαν αὐτὴν λέγει, «σμερδαλέην, ἣν οὐδὲ Διὸς δάμνησι κεραυνός». καὶ ἔοικε τὴν αἰγίδα διὰ τούτων παραδηλοῦν.

4.529 τοιαύτη γὰρ καὶ ἐκείνη. ὥστε Ἀθηνᾶς ἀσπίδα εἶναι τὴν κατ' αὐτὴν αἰγίδα. διὸ καὶ τὸ «οὔτησε κατ' ἀσπίδα» «κατ' αἰγίδα» τινὲς γράφουσιν. (v. 403—8) Ὅτι Ἄρεος ἔγχεϊ χαλκείῳ οὐτήσαντος τὴν αἰγίδα τῆς Ἀθηνᾶς αὐτὴ «ἀναχασαμένη», τουτέστιν ἀναχωρήσασα καὶ ἀναποδίσασα, λίθον εἵλετο χειρὶ παχείῃ κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε μέγαν τε, τόν ῥ' ἄνδρες πρότεροι θέσαν ἔμμεναι οὖρον ἀρούρης. τῷ, ἤγουν τούτῳ, «βάλε θοῦρον Ἄρην κατ' αὐχένα, λῦσε δὲ γυῖα. ἑπτὰ δ' ἐπέσχε πέλεθρα πεσών, ἐκόνισε δὲ χαίτας, τεύχεα τε ἀμφαράβησε. γέλασε δὲ Παλλὰς Ἀθήνη». πολὺς γὰρ ἐν τοῖς παροῦσι μύθοις ὁ τῶν κρειττόνων γέλως καὶ ἡ διάχυσις. Ζεὺς οὖν οὐ μόνον φρένα τέρψεσθαι λέγει τὴν μάχην ὁρῶν, ἀλλὰ καὶ ἐγέλασεν, ὡς ἐρρέθη, ἐπὶ τῇ τῶν θεῶν ἔριδι, καὶ Ἀθηνᾶ δὲ νῦν γελᾷ, κακῶς διαθεμένη τὸν Ἄρην. ἡ δ' αὐτὴ καὶ κατὰ τῆς Ἀφροδίτης χωροῦσα χαίρει θυμῷ, καὶ τὴν Ἄρτεμιν δὲ Ζεὺς ἐρωτᾷ ἡδὺ γελάσας, Ἥρα τε μειδιῶσα τύπτει αὐτήν. καὶ ταῦτα μὲν οὕτω. Ἡ δὲ ἀλληγορία ἐνταῦθα τοιαῦτα νοεῖ. Τὸ μὲν ἀναχωρῆσαι τὴν Ἀθηνᾶν τὸ ἀσύμβατον αὐτῆς δηλοῖ πρὸς τὸν ἀλληγορούμενον Ἄρην. οὐδὲν γὰρ κοινὸν αὐτῇ καὶ ἐκείνῳ. Λίθος δὲ εἴη ἂν μέλας νῦν ἡ τῆς φρονήσεως στερρότης, μέλας μὲν διὰ τὸ βαθὺ καὶ ἐκ περινοίας δυσόρατον, τραχὺς δέ, διότι τοιοῦτον ἡ ἀρετὴ καθ' Ἡσίοδον. διὸ καὶ μέγας διὰ τὸ τῆς ἀρετῆς ἄκρον. ὃς καὶ περιορισμὸς κεῖται ἀρούρης διὰ τὴν κατ' αὐτὸν διαφορὰν τῶν ἀνθρώπων, καθ' ἣν ἀφορίζονται τῶν φαύλων οἱ σπουδαῖοι. (v. 407) Τὸ δὲ πέλεθρον, ἤτοι πλέθρον, ὅτι διάστημά ἐστι ποδῶν ἑκατὸν ἤτοι πήχεων ξς καὶ διμοίρου καὶ ἀλλαχοῦ εἴρηται.

4.530 Εἰ δὲ ἀπιθάνως ποιεῖται Ἄρης μὲν ἑπτὰ ἐπισχεῖν πέλεθρα ἐν τῷ πεσεῖν, Τιτυὸς δὲ ἐν Ἅιδου ἐπὶ ἐννέα κεῖσθαι πέλεθρα, ἐστὶ ἐκεῖνο μὲν τῇ φαντασίᾳ δοῦναι, τοῦτο δὲ τῇ ἀκριβείᾳ, ἣν ὁ μῦθος αἰτεῖν δοκεῖ. (v. 408) Τὸ δὲ «ἐκόνισε χαίτας» καὶ ἑξῆς, οὐκ ἔστιν ἀλληγορῆσαι. νικᾷ γὰρ ὁ μῦθος, γελῶν που ἐνταῦθα καὶ αὐτὸς ὅτι μὴ εἰς τὸ πᾶν αὐτοῦ ἡ ἀλληγορία περιγίνεται. (v. 410—1) Ὅτι ὁ ὑπὸ τοῦ χείρονος ἐπηρεαζόμενος εἰπεῖν δύναται τὸ τῆς Ἀθηνᾶς πρὸς τὸν Ἄρην «νηπύτιε», ὅ ἐστιν νήπιε, ὡς προεδηλώθη, «οὐδέ πω ἐπεφράσω ὅσσον ἀρείων εὔχομ' ἐγὼν ἔμεναι, ὅτι μοι μένος ἰσοφαρίζεις», ἢ ἀντιφαρίζεις. ἀρείων δὲ ἤτοι κρείττων Ἄρεος ἡ Ἀθηνᾶ οὐ μόνον κατὰ ἀλληγορίαν, ἀλλὰ καὶ μυθικῶς κατὰ τοὺς παλαιούς. ἡ μὲν γὰρ ἐξ ἀνδρὸς μόνου, ὁ δὲ καὶ ἐκ γυναικός, καὶ ἡ μὲν συνέφυ τοῖς ὅπλοις, ὅθεν καὶ σύμφυτον ἔχει τὴν ἀρετήν, ὁ δὲ οὔ. ἔτι δὲ ταύτης ὁ πατὴρ ἅμα γεννήσας αὐτὴν νίκην ἐποίησε κατὰ Τιτάνων. διὸ καὶ Ἀθηνᾶ νίκη ἐπωνομάσθη πρός τε μνήμην τῆς πατρῴας ἀρετῆς καὶ εἰς φερωνυμίας ἐπώνυμον διὰ τὸ τῆς φρονήσεως ἀεὶ νικητικόν. (v. 412) Ὅτι ἐν τῷ «οὕτω κεν τῆς μητρὸς ἐριννύας ἐξαποτίνοις» ἐριννύας μητρὸς λέγει τὰς μητρικὰς ἀράς, δι' ὧν Ἐριννύες ἐρεθίζονται κατὰ φαύλου παιδός. (v. 413 s.) Ἀθηνᾶ δὲ τὸν ῥηθέντα λόγον ἔφη πρὸς τὸν Ἄρην, καθ' οὗ χωομένη κακὰ μήδεται ἡ μήτηρ Ἥρα, «οὕνεκα», φησίν, «Ἀχαιοὺς κάλλιπες αὐτὰρ Τρωσὶν ὑπερφιάλοισιν ἀμύνεις». ὃ δὴ σαφῶς δηλοῖ τὸ τοῦ Ἄρεος ἀλλοπρόσαλλον. (v. 415) Ὅτι ἐπὶ μὲν στροφῆς ὅλου σώματος ἐρεῖ τις τὸ «πάλιν κίε», καὶ «πάλιν τράπετο», ἤτοι ὀπίσω ἐπορεύθη καὶ ἐστράφη. ἐπὶ δὲ ὀφθαλμῶν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὥσπερ ἀλλαχοῦ, οὕτω καὶ ἐνταῦθα κεῖται τὸ «πάλιν τρέπεν ὄσσε φαεινώ» ἀντὶ τοῦ ὀπίσω ἔτρεψε τοὺς ὀφθαλμούς. δύναται δὲ νῦν τοῦτο καὶ ἐπὶ παροράσεως νοηθῆναι.

4.531 σκώπτων δέ τις καὶ εἰς ὀφθαλμικὴν στραβότητα τὸ τοιοῦτον αἰνίξεται. (v. 416 s.) Ὅτι τὸν Ἄρην πεσόντα χειρὸς ἑλοῦσα ἦγεν Ἀφροδίτη «πυκνὰ μάλα στενάχοντα. μόγις δ᾽ ἐσαγείρατο θυμόν». (v. 420—5) Ἀθηνᾶ δέ, Ἥρας εἰπούσης «ὢ πόποι Διὸς τέκος, καὶ δ᾽ αὖθ᾽ ἡ κυνάμυια», περὶ οὗ προεγράφη, «ἄγει βροτολοιγὸν Ἄρηα δηΐου ἐκ πολέμοιο κατὰ κλόνον, ἀλλὰ μέτελθε», «μετέσσυτο», τουτέστι μετῆλθε, «χαῖρε δὲ θυμῷ», καθὰ καὶ αὐτὸ ἐγράφη, «καί ῥ᾽ ἐπιεισαμένη», ἤγουν ἐπιπορευθεῖσα, «πρὸς στήθεα χειρὶ παχείῃ ἤλασεν», ἤτοι ἔτυψε καὶ συγκατέρριψε τῷ Ἄρεϊ. (425 s.) Φησὶ γὰρ «τῆς δ᾽ αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ. τὼ μὲν ἄρ», ἤγουν οὗτοι δή, «ἄμφω κεῖντο ἐπὶ χθονὶ πουλυβοτείρῃ», ὁ Ἄρης δηλαδὴ καὶ ἡ αὐτοῦ χειραγωγὸς Ἀφροδίτη, ἡ συκίνη ἐπικουρία. καὶ οὕτω καὶ νῦν αἰσχρῶς συγκαταμένει τῷ Ἄρει, ἡ καὶ ἐν Ὀδυσσείᾳ αἰσχρότατα συγκατακειμένη αὐτῷ, ὅτε Ἥφαιστος εἶλεν αὐτούς. ἄγει δὲ ἀλληγορικῶς τῆς χειρὸς ἑλοῦσα τὸν Ἄρην ἡ Ἀφροδίτη, ἐπειδὴ κέκρανται καὶ τὰ τοιαῦτα ἤθη ἀλλήλοις ἡρμοσμένα, τὰ κατὰ θυμὸν δηλαδή, ὃν ὁ Ἄρης δηλοῖ, καὶ τὰ κατὰ ἐπιθυμίαν, ἧς ἡ Ἀφροδίτη δηλωτική. διὸ καὶ παῖς αὐτῶν ἡ κατὰ μῦθον Ἁρμονία. καὶ ἄλλως δέ, σύμβολόν ἐστι τοῦτο τοῦ πολλοὺς πολέμους διὰ γυναῖκας γίνεσθαι, ὁποῖος καὶ ὁ καθ᾽ Ὅμηρον [ὁ δεκαετής, ᾧ παρεοίκασι καὶ ἄλλοι κατὰ τὴν παλαιὰν ἱστορίαν. ὁ γοῦν ἱερός, φασί, καλούμενος πόλεμος, ὃς ὕστερον συνεκροτήθη διὰ Θεανὼ τὴν Θηβαίαν ἡρπαγμένην ὑπό τινος Φωκέως, ἔτει δεκάτῳ πέρας ἔσχε, Θηβαίων τὴν Φωκίδα ἑλόντων συμμαχίᾳ Φιλίππου. οὕτω δὲ καὶ Κιρραίων ἁρπασάντων Μεγιστώ, τὴν Πελάγοντος τοῦ Φωκέως, δεκάτῳ, φασίν, ἔτει ἑάλω ἡ Κίρρα. καὶ ἄλλως δέ, ὥσπερ ὁ Ἰλιακὸς πόλεμος δι᾽ Ἑλένην ἐγένετο, οὕτω καὶ ἕτεροι μέγιστοι διὰ γυναῖκας. καὶ ἐκτίθεται καὶ αὐτοὺς ὁ παλαιὸς λόγος, οἷον, ὡς ὁ Φιλίππου οἶκος ἀνετράπη διὰ τὸν Κλεοπάτρας γάμον, ὁ Ἡρακλέους διὰ τὴν Ἰόλην, ὁ Θησέως διὰ τὸν Φαίδρας, καὶ ἄλλοι δι᾽ ἄλλας.] Καλῶς δὲ καὶ τῆς Ἀφροδίτης ἡ Ἀθηνᾶ, ὡς καὶ προγέγραπται, περιγίνεται καὶ συγκαταρριπτεῖ τῷ Ἄρει καὶ κεῖνται ἄμφω ἐπὶ χθονὶ πολυβοτείρῃ. καὶ θυμοῦ γὰρ καὶ ἐπιθυμίας, τῶν οὐκ ἐλλόγων, φρόνησις περιγίνεται. ἡ δὲ πρὸς τὰ στήθη πληγὴ καλῶς καὶ αὐτὴ ἔχει διὰ τὸν αὐτόθι κατὰ καρδίαν ἐξ ἀφροσύνης θυμόν.

4.532 (v. 417) Ἰστέον δὲ ὅτι τῷ ἐκλείποντι μέν, αὖθις δὲ ἀνακτηθέντι, ἐπιλεχθήσεται τὸ «πυκνὰ μάλα στενάχων, μόγις δ᾽ ἐσαγείρατο θυμόν», ἤγουν συνέλεξε πνεῦμα ζωτικόν. ἐξ οὗ σύγκειται τὸ ζωγρεῖν θυμόν, ὡς ἐκ τοῦ θυμὸν ἀγείρειν τὸ θυμηγερέειν, οὗ προηγεῖται τὸ «ἔλιπε θυμός», ἀλλαχοῦ ῥηθέν. μετὰ γὰρ λειποθυμίαν ἀγείρεται ὁ θυμός. (v. 421) Ἰστέον δὲ ὡς ἐπὶ ἀναιδοῦς γυναικός, βοηθούσης ἀνδρὶ ὁμοίῳ, ῥηθήσεται τὸ «ἡ κυνάμυια ἄγει βροτολοιγὸν Ἄρεα». (v. 422 s.) Τὸ δὲ «μέτελθε» καὶ τὸ «μετέσσυτο» ἢ καὶ νῦν ἐπὶ ἐκδικήσεως εἴληπται ἢ ἐπὶ τοῦ ὕστερον ἐλθεῖν, καθάπερ καὶ ἀλλαχοῦ. (v. 424) Ἐν δὲ τῷ «καί ῥ᾽ ἐπιεισαμένη» διὰ μόνην ἰατρείαν χάσμης ἐπενεβλήθη ὁ συναλιφεὶς ῥα σύνδεσμος. ὃ ποιεῖ καὶ ἑξῆς ὁ γε σύνδεσμος ἐν τῷ «σοὶ μὲν ὅ γ᾽ ἠπείλησε», καὶ «στεῦτο δ᾽ ὅ γ᾽ ἀμφοτέρων». (v. 428—32) Ὅτι ἀνδρεῖός τις ἐξευτελίζων ἀριστέα πολέμιον λέγοι ἂν παρῳδήσας τοιαῦτα «τοιοῦτοι νῦν πάντες, ὅσοι τῷ δεῖνι ἀρωγοὶ εἶεν, ὅτε» προμαχοίατο, «ὧδέ τε θαρσαλέοι καὶ τλήμονες, ὡς» ὁ δεῖνα ἦλθεν ἐπίκουρος «ἐμῷ μένει ἀντιόων. τῷ κεν δὴ πάλαι ἂν ἐπαυσάμεθα πολέμοιο». Ἀθηνᾶ δὲ ταῦτά φησι ῥίψασα τόν τε Ἄρην καὶ τὴν Ἀφροδίτην. (v. 430) Τλήμονες δὲ νῦν οἱ εὔτολμοι. σημαίνει δέ ποτε ἡ λέξις καὶ τοὺς ταλαιπώρους καὶ δυστυχεῖς. (v. 431) Καλῶς δὲ καὶ νῦν τὸ ἀντιᾶν δοτικῇ συντέτακται, ὡς δηλοῦν ἐναντίωσιν. τὸ μέντοι «ἀντιόων ἑκατόμβης», καὶ τὸ «ἐμὸν λέχος ἀντιόωσαν» διὰ τί οὐχ᾽ ὁμοίως συντέτακται, προδεδήλωται. (v. 436—8) Ὅτι ὁ τῶν ἄλλων μαχομένων προκαλούμενος καὶ αὐτὸς ἀντίπαλόν τινα ἐρεῖ οὕτω «τί δὴ νῶϊ», τουτέστιν ἡμεῖς, «διέσταμεν», ἤγουν ἰδίᾳ ἱστάμεθα καὶ οὐ συμπλεκόμεθα πρὸς ἔριν. «οὐδὲ ἔοικεν ἀρξάντων ἑτέρων· τὸ μὲν

αἴσχιον, αἴ κ’ ἀμαχητὶ ἴομεν». (v. 439—40) Εἰ δὲ καὶ νεώτερός ἐστιν ὁ καλούμενος, πρέπει ῥηθῆναι καὶ τὰ ἑξῆς, οἷον «ἄρχε, σὺ γὰρ γενεῆφι νεώτερος· οὐ γὰρ ἔμοιγε καλὸν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα».

4.533 Καὶ σημείωσαι ὅτι τε κἀνταῦθα ὁ λόγος ἐμπειρίαν τῇ πολυχρονιότητι καὶ σύνεσιν ἐπιμαρτύρεται, καὶ ὅτι νέοις πρέπει κατάρχειν τῶν τοιούτων. οἱ μέντοι τῷ χρόνῳ καθεστηκότες, κατάρχοντες μὲν ἁπλῶς οὕτω μάχης, οὐκ ἂν ἐπαινεθεῖεν, ἐρίζοντες δὲ κατ’ ἀνάγκην οὐκ ἂν μέμψιν ἔχοιεν. (v. 439) Ἐν δὲ τῷ «ἄρχε» ληπτέον κατὰ κοινοῦ τὴν γενικὴν τῆς μάχης ἐκ τοῦ ἀμαχητί ἐπιρρήματος, ἵνα λέγῃ ὅτι «ἄρχε μάχης». (v. 441 s.) Ὅτι ὁ ὀνειδίζων τινὶ λήθην κοινῆς κακώσεως ἐρεῖ «νηπύτιε, ὡς ἄνοον κραδίην ἔσχες, οὐδέ νυ τῶν περ μέμνηαι, ὅσα δὴ πάθομεν κακά». μέρος δὲ τοῦτο τῶν ἐφεξῆς, ἐν οἷς Ποσειδῶν τὸν Ἀπόλλωνα προκαλούμενος εἰς μάχην ἄλλα τε ἔφη, ὡς ἀνωτέρω κεῖται, καὶ (v. 441—60) ὅτι καρδίαν ἄνοον ἔχει, μὴ μεμνημένος ὅσα ἔπαθον ἀμφότεροι κακὰ μόνοι θεῶν ἀμφὶ τὴν Ἴλιον, «ὅτε ἀγήνορι Λαομέδοντι πὰρ Διὸς ἐλθόντες θητεύσαμεν», φησίν, «εἰς ἐνιαυτὸν μισθῷ ἐπὶ ῥητῷ· ὃ δὲ σημαίνων ἐπέτελλε». καὶ ἐγὼ μέν, φησί, «Τρώεσσι πόλιν καὶ τεῖχος ἔδειμα εὐρύ τε καὶ μάλα καλόν, ἵν’ ἄρρηκτος πόλις εἴη», ἅπερ ἐστὶν ἔπαινος πόλεως ὀχυρᾶς, «Φοῖβε. σὺ δὲ εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες Ἴδης ἐν κνημοῖσι πολυπτύχου ὑληέσσης. ἀλλ’ ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες ὧραι ἐξέφερον, τότε νῶϊ», τουτέστιν ἡμᾶς, «ἐβιάσατο μισθὸν ἅπαντα Λαομέδων ἔκπαγλος, ἀπειλήσας δ’ ἀπέπεμπε. σοὶ μὲν ὅ γ’ ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθε δήσειν καὶ περάαν νήσων ἐπὶ τηλεδαπάων· στεῦτο δ’ ὅ γε», τουτέστιν ὥριζε καὶ διεβεβαιοῦτο κατὰ διάνοιαν, «ἀμφοτέρων ἀποκοψέμεν», ἢ ἀπολεψέμεν, «οὔατα χαλκῷ· νῶϊ δέ τ’ ἄψορροι κίομεν κεκοτηότι θυμῷ, μισθοῦ χωόμενοι, τὸν ὑποστάς», ἤγουν ὑποσχεθείς, «οὐκ ἐτέλεσε. τοῦ δὴ νῦν λαοῖσι φέρεις χάριν, οὐδὲ μεθ’ ἡμέων πειρᾷ, ὥς κεν Τρῶες ὑπερφίαλοι ἀπόλωνται πρόχνυ κακῶς σὺν παισὶ καὶ αἰδοίῃς ἀλόχοισι». καὶ τοιαῦτα μὲν ὁ Ποσειδῶν. Ὁ μέντοι Ἀπόλλων οὐ πείθεται ἀντικαταστῆναι τῷ Ποσειδῶνι, ἀλληγορικῶς μὲν διὰ τὴν προρρηθεῖσαν αἰτίαν, μυθικῶς δέ, διότι αἴδετο «πατροκασιγνήτοιο μιγήμεναι ἐν παλάμῃσι». καὶ οὕτω μὲν ταῦτα. Ἰστέον δὲ ὅτι ὁ μὲν ποιητὴς οὔτε τὴν αἰτίαν παραδίδωσι δι’ ἣν ἐθήτευσαν, οὔτε ἀμφοτέρους ἀλλὰ τὸν Ποσειδῶνα μόνον δεῖμαι τὸ τῆς Τροίας τεῖχός φησι, τὸν δὲ Ἀπόλλωνα βόας βουκολεῖν. τῶν δὲ μεθ’ Ὅμηρον οἱ μὲν αἰτίαν τῆς ῥηθείσης θητείας ἀπέδωκαν τὴν ἐκ τοῦ Διὸς ποινήν, ὅτι συνδῆσαι αὐτὸν ἐβουλεύσαντο.

4.534 ἕτεροι δέ φασιν, ὅτι οὐχὶ ἄκοντες ἀλλ’ ἑκόντες ἐθήτευσαν ξένοις ἐοικότες, ἵνα τὴν Λαομέδοντος ὕβριν πειράσωσιν. ὃ καὶ ἐν Ὀδυσσείᾳ ὁ ποιητὴς διδάσκει ἔθιμον εἶναι τοῖς θεοῖς. ὅθεν, φασί, θανόντος τοῦ ὑβριστοῦ Λαομέδοντος βοηθεῖ τοῖς Τρωσὶν Ἀπόλλων ἀντισηκούμενος τιμαῖς. ἐτιμᾶτο γάρ, ὥσπερ ἐν Χρύσῃ καὶ Κίλλῃ καὶ Τενέδῳ, οὕτω καὶ ἐν Ἰλίῳ. Ποσειδῶν δὲ, ἀγέραστος μείνας, μνησικακεῖ τοῖς ἀπογόνοις τοῦ ὑβριστοῦ. ταῦτά τε οὖν φασί τινες, καὶ ὅτι ἀμφότεροι τὸ Τρωϊκὸν τεῖχος ἔδειμαν. τοῦτο δὲ οἳ μὲν αὐτοχειρίᾳ γενέσθαι μυθεύονται, οἳ δὲ οὐκ αὐτοὺς θητεῦσαί φασιν, ἀλλὰ ἱερὰ τούτων κειμήλια δαπανηθῆναι εἰς ἀνέγερσιν τῆς Ἰλίου, κἀντεῦθεν ἀστείως πλασθῆναι, ὡς Ἀπόλλων καὶ Ποσειδῶν αὐτὴν ἔδειμαν. ἕτεροι δέ φασι δύο τινὰς τεχνίτας, ἀμισθὶ ἐργασαμένους, ἀναθέσθαι τὸ ἔργον Ἀπόλλωνι καὶ Ποσειδῶνι, ὅπερ ὁ μῦθος μεταβιβάζει ἐντεῦθεν εἰς αὐτούς. (v. 445) Μισθὸς δὲ ῥητὸς ὁ ὡρισμένος. ὅθεν καὶ ῥῆτραι αἱ ὡρισμέναι συνθῆκαι. ὡρισμένος δὲ, ὅν τις ὑπέστη, τουτέστιν ὑπέσχετο. διὸ μετ’ ὀλίγα ἔφη «μισθοῦ χωόμενοι, τὸν ὑποστὰς οὐκ ἐτέλεσε». καιριωτάτη δὲ λέξις ὁ μισθός, διὸ καὶ ἐπιμένει αὐτῇ ἐνταῦθα ὁ ποιητὴς τετράκις αὐτὴν εἰπών. ἀπὸ δὲ ταύτης τὸ μισθαρνεῖν σύγκειται. (v. 447) Τὸ δὲ «εὐρύ» τε καὶ ἑξῆς, τείχους ἀγαθοῦ ἔπαινος. (v. 448) Τὸ δὲ βόας βουκολεῖν ταὐτολογίαν ἔχει περιττήν. ἤρκει γὰρ μόνον τὸ βουκολεῖν καὶ λειπόντων τῶν βοῶν. καὶ ἔστιν ὅμοιον τῷ οἶνον οἰνοχοεῖν καὶ τῷ κυνυλαγμός

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τοῖς τοιούτοις. καὶ ἐπὶ τούτων γὰρ περισσὸν ὁ οἶνος καὶ κύων διὰ τὸ συνυπακούεσθαι τῇ οἰνοχοείᾳ καὶ τῷ ὑλαγμῷ, ἴσως δὲ καὶ πρὸς διαστολὴν τῶν, ὡς ἀλλαχοῦ ἀκύρως ἔφη, βουκολουμένων ἵππων βόας ἐνταῦθα κυρίως βουκολουμένας ἔφη.

4.535 βουκολεῖ δὲ ὁ Ἀπόλλων ὡς νόμιος. ἐπεὶ γὰρ κατὰ τοὺς παλαιοὺς οἱ λοιμοὶ ἀπὸ τετραπόδων ἄρχονται, αὐτοῖς ἐπέστησαν αὐτόν, ὅπως, φασί, τούτων ἀπεχόμενος πολλῷ μᾶλλον τῶν ἀνθρώπων ἀπέχοιτο, ἐν ἀλόγοις παιδοτριβούμενος τὸ περὶ τοὺς λογικοὺς προσηνές. καὶ ἄλλως δὲ νόμιος ὁ Ἀπόλλων, ἐπεὶ θερμαίνων ὡς ἥλιος τὴν γῆν πόας τοῖς θρέμμασιν ἀναδίδοσθαι ποιεῖ. ὅτι δὲ τὸ βουκολεῖν καὶ ἀποβουκολεῖν καὶ ἐπὶ τοῦ ἀπατᾶν κεῖταί ποτε παρὰ τοῖς μεθ' Ὅμηρον, καὶ ἀλλαχοῦ δηλοῦται. (v. 449) Ἴδη δὲ οὐ μόνον ὄρους ὄνομα, ὡς μυριαχοῦ ἐφάνη, ἀλλὰ κατὰ τοὺς παλαιοὺς ἴδην καὶ τὴν τῶν ξύλων ὕλην Ἴωνές φασιν, ἤδη δέ ποτε καὶ Ἀττικοί. Κνημοὶ δὲ ὀρῶν τίνες εἰσί, καὶ αὐτὸ ἱκανῶς προεδηλώθη. Τὸ δὲ «πολύπτυχον» φανερῶς ἐνταῦθα ἐπίθετον ὂν ὄρους τῆς Ἴδης, πείθει καί, ὅτε πολύπτυχος Ὄλυμπος λέγεται, ὡς ἐπὶ ὄρους καὶ τότε τὴν λέξιν νοεῖν. (v. 450) Πολυγηθέες δὲ ὧραι ἢ ἐν αἷς χαίρουσιν οἱ θῆτες ἀπολαμβάνοντες τὸν μισθὸν ἢ καὶ καθόλου αἱ πολλοὺς εὐφραίνουσαι ὡς αὔξουσαι τοὺς καρπούς. τινὲς δὲ «πολυγηθέος» γράφουσιν, ἵνα λέγῃ «τέλος τοῦ πολυγηθέος μισθοῦ». [Ἐνταῦθα δὲ τὸ «τέλος ἐξέφερον» τελεσφόρους καὶ τὰς ὥρας τοῦ ἐνιαυτοῦ εἶναι δηλοῖ, καθὰ καὶ τὸν ἐνιαυτόν. ὡς δὲ καὶ λάτρον ὁ ῥηθεὶς μισθὸς ἐλέγετο, δηλοῦσιν οἱ παλαιοί. ὅθεν καὶ λάτρις, ὡς ἐν τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους κεῖται, ὁ ἐπιμίσθιος. ἀλλ' ὅμως, φησίν, ἐπὶ δούλων τέτακται. λέγει δ' ἐκεῖνος καὶ θῆτες, οἳ ὄντες ἐλεύθεροι μισθοῦ ὑπουργοῦσιν, ὡς καὶ ὁ Ἀπόλλων, ὥστε ταὐτόν ἐστι κατ' ἐκεῖνον θὴς καὶ μισθωτός.

4.536 θῆσσα μέντοι παρ' αὐτῷ καινότερον ἄλλο τι δηλοῖ. θῆσσα γάρ, φησί, ἣν πατὴρ καταλέλοιπε πένης ὤν. αὕτη δέ, φησίν, ἐπὶ τὸν πλησίον τοῦ γένους πορεύεται κατὰ νόμον ἀναγκάζοντα τοῦτο, καὶ ὁ μὴ αἱρούμενος γῆμαι πέντε μνᾶς ἀποτίνει, ὡς ἔταξε Σόλων. ἐν δὲ τοῖς ἐπικαινισθεῖσι νόμοις μετέδοξε τοῦτο ὡς μικρὸν καὶ ἐγένοντο δέκα μναῖ.] (v. 451) Τὸ δὲ «ἐβιάσατο» ἀντὶ τοῦ κατὰ βίαν ὑπεκράτησεν, ἐστέρησε, καὶ οὐ τὸν μισθὸν ἁπλῶς, ἀλλὰ τὸν μισθὸν ἅπαντα, ὅπερ ἄκρας βίας ἦν. Ἰστέον δὲ ὅτι ἐν τῷ «νῶϊ βιήσατο μισθὸν ἅπαντα» ἢ ἀντίπτωσίς ἐστιν ἀντὶ τοῦ νῶϊν, ἤγουν ἡμῖν, ἐβιάσατο τὸν μισθόν, ἢ καὶ ἄλλως ἔστιν εἰπεῖν, ὅτι ἡμᾶς ἐβιάσατο κατὰ τὸν μισθόν, ἢ καὶ ὅτι ἡμᾶς ἐβιάσατο, εἶτα κατ' ἐπιδιόρθωσιν ἐπαγαγεῖν τὸ «μισθὸν ἅπαντα», ἵνα λέγῃ ὡς οὐχ' ἡμᾶς αὐτοὺς ἐβιάσατο, ἀλλὰ τὸν μισθὸν ἡμῶν. (v. 452) Ὅρα δὲ καὶ τὸ τοῦ σεμνοῦ προσώπου ἐνταῦθα ἐπιεικές. ἠρκέσθη γὰρ ὁ Ποσειδῶν ἀγήνορα καὶ ἔκπαγλον εἰπὼν τὸν ὑβριστὴν βασιλέα, οὐδὲ ἐκπαγλότατον προσειπεῖν ἐθελήσας, καθά που ὁ Ἀτρείδης τὸν Ἀχιλλέα. (v. 454) Περᾶν δὲ καὶ ἐνταῦθα τὸ πέραν που διαπωλῆσαι, οἷον ἐν νήσοις τηλεδαπαῖς, ὡς ἐνταῦθα λέγεται. Γίνεται δὲ τὸ τηλεδαπόν ἀπὸ τοῦ τῆλε καὶ τοῦ ἔδαφος, ἵνα λέγῃ νήσους τηλεδαπάς, ὧν τῆλε καὶ μακρὰν τὸ ἔδαφός ἐστι. τοιαύτην δὲ παραγωγὴν ἔχει καὶ τὸ ἡμεδαπός καὶ ἀλλοδαπός, ὁ τοῦ ἡμετέρου δηλαδὴ ἐδάφους καὶ τοῦ ἄλλοθεν ἐδάφους. ὁμοίως καὶ τὸ «ποδαπὸς ὁ ξένος», ἤγουν ποίου ἐδάφους ἤτοι χώρας, γῆς. εἰ δὲ τοῦθ' οὕτως ἔχει, ἄπορος κἀνταῦθα ἡ ὀξυτόνησις, ὡς καὶ ἐπὶ τοῦ Ἀσκληπιός, περὶ οὗ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν εἴρηται. εἰ γὰρ τὸ ἔδαφος προπαροξύνεται αὐτὸ καθ' αὑτό, ἀπορίαν ἔχει, πῶς τά, ὡς εἴρηται, ἀπ' αὐτοῦ ὀξύνονται. (v. 455) Τὸ δὲ «ἀποκοψέμεν οὔατα χαλκῷ» τινὲς ἀπολεψέμεν γράφουσιν, ὅ ἐστι σιδήρῳ τεμεῖν, ὁμοίως τῷ «περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψεν».

4.537 οὗ θεματικὴ κλίσις τὸ λέπω, λέγω ὁ μέλλων. ἀφ' οὗ κατά τινας καὶ μώλωψ, ὁ ἐκ βοείων λεμμάτων, οἱονεὶ βοόλωψ. ἐκ δὲ τοῦ λέπειν καὶ τῶν αὐτοῦ κινήσεων καὶ τὸ λεπτὸν γίνεται ὡς οἷον λεπιστόν, καὶ ἡ ὀρειώδης λεπάς, ὡς καὶ ὁ λεπρός, καὶ ἡ λεπρὰς πέτρα, ἐφ' ἧς αἱ λεπάδες, καὶ τὸ ὀρεινὸν λέπας, καὶ ὁ τοῦ κρομύου λοπός, ἴσως δὲ καὶ ὁ κατ' ὄρος λόφος ἐκ τοῦ λέλεφα παρακειμένου ἐνεργητικοῦ, καὶ ἐκ τοῦ μέσου ἡ λοπάς; ὡς καὶ λεπτὴ καὶ τραχεῖα. ἐκεῖθεν δὲ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ λεπίς [καὶ τὸ λέπαδνον, ἴσως δὲ καὶ ἡ παρὰ τῷ Δειπνοσοφιστῇ λεπαστὴ ὀξυτόνως κύλιξ, ὡς τὸ καλή, ἢ παροξυτόνως, ὡς τὸ μεγάλη. τάχα γὰρ διὰ τὸ καὶ λεπτὸν καὶ ἐκπέταλον δὲ κατὰ τὰς λεπάδας ἔσχε τὸ καλεῖσθαι λεπταστή. οἱ μέντοι παλαιοὶ διὰ τὸ μεγάλην αὐτὴν εἶναι ἀπὸ τοῦ λάπτειν ὠνομάσθαι φασὶ διὰ τοὺς ἐπὶ μέθῃ ἀναλίσκοντας πολλά, οὓς λαφύκτας ἐκάλουν.

4.538 χρῆσις δὲ λεπαστῆς παρὰ τῷ Κωμικῷ ἐν Εἰρήνῃ. ἔστι δὲ Δολόπων λέξις ἡ λεπαστή. ὡς δὲ καὶ μεγάλη ἦν, ὅθεν κυανοβενθῆ τις αὐτὴν ἔφη, δηλοῖ σὺν ἄλλοις καὶ Ἕρμιππος ἐν τῷ «ἂν ἐγὼ πάθω τι τήνδε τὴν λεπαστὴν ἐκπιών, τῷ Διονύσῳ πάντα τἀμαυτοῦ δίδωμι χρήματα». οἱ δὲ ταῦτα παραδόντες προφέρουσι καὶ παρακείμενον τοῦ λάπτω λάψω, οἷον «τὸ δέπας λέλαφας τοὐμὸν ὦναξ δέσποτα», ἤγουν ἄθρουν ἐξέπιες.] Καὶ οὕτω μέν τινες «ἀπολεψέμεν» ἔγραψαν. ἄλλοι δὲ «ἀπολουσέμεν», ἤτοι κολοβώσειν. λοῦσον γάρ, φασί, παρὰ Κυπρίοις τὸ κολοβόν. (v. 469) Ὁ δὲ πατροκασίγνητος καὶ θεῖος λέγεται καὶ πάτρως καθ' ὁμοιότητα τοῦ μήτρως, ὡς προδεδήλωται. Τὸ δὲ «μιγῆναι ἐν καλάμαις» δηλοῖ μὲν τὸ ἀντιστῆναι ἄχρι χειρῶν. ἔστι δὲ ὅμοιον πρὸς τὸ «ὅτ' ἐν κονίῃσι μιγείης», ἤγουν ὅτε εἰς ἀγῶνα ἔλθῃς, ὡς καὶ τοῦτο προείρηται. Ἰστέον δὲ ὅτι ἔστιν εἰπεῖν ἀστείως ἐνταῦθα καταπαίζοντα τοῦ μύθου, ὅτι σωφρονέστερος Διὸς ὁ υἱὸς Ἀπόλλων. οὗτος μὲν γὰρ αἰδεῖται πατροκασιγνήτου μιγῆναι ἐν παλάμαις, ὁ δὲ Ζεὺς τοῦ πατρὸς οὐκ ἐφείσατο. (v. 457) Ἰστέον δὲ καὶ ὅτι τὸ «μισθοῦ χωόμενοι», ὃν «ὑποστὰς οὐκ ἐτέλεσεν» ἐπὶ μισθοῦ ποτε στερήσει λεχθήσεται. δῆλον δὲ ὡς καὶ ἐνταῦθα τὸ «ὑποστάς» ἀντὶ τοῦ συνταξάμενος καὶ ὑποσχόμενος. Τὸ δὲ «οὐκ ἐτέλεσεν» ἀρχή ἐστι καὶ αὐτὸ τοῦ λέγειν τελέσματα τὰ φορολογήματα. (v. 458) Τὸ δὲ «φέρεις χάριν», ἤγουν τὰ κεχαρισμένα ποιεῖς, Ἀττικόν ἐστι καὶ κοινόν, τὸ μέντοι εἰπεῖν «φέρεις ἦρα» ἢ «ἐπίηρα», ποιητικόν. (v. 460) Τὸ δὲ πρόχνυ προείρηται ὅτι δηλοῖ τὸ ἐπὶ γόνυ ἢ παντελῶς. (v. 462—6) Ὅτι φησὶν Ἀπόλλων πρὸς τὸν Ποσειδῶνα ἐρίζειν προκαλούμενον, ὡς «οὐκ ἄν με σαόφρονα μυθήσαιο ἔμμεναι, εἰ δὴ σοί γε βροτῶν ἕνεκα πτολεμίξω δειλῶν, οἳ φύλλοισιν ἐοικότες ἄλλοτε μέν τε ζαφλεγέες τελέθουσιν ἀρούρης καρπὸν ἔδοντες, ἄλλοτε δ' αὖ φθινύθουσιν ἀκήριοι».

4.539 καὶ τοῦτο μὲν τοιοῦτον. ὅπως δὲ κατ' ἀλληγορίαν ἀλλήλοις ἀντίπαλοι Ἀπόλλων τε καὶ Ποσειδῶν προείρηται, ὥσπερ καὶ περὶ Ἀρτέμιδος καὶ Ἥρας καὶ Λητοῦς καὶ Ἑρμοῦ. Ἰστέον δὲ καὶ ὅτι τὸ «οὐκ ἄν με σώφρονα μυθήσαιο» καὶ ἑξῆς ἕως τοῦ «δειλῶν» χρησιμεύσει τῷ μὴ θέλοντι περί τινων μικρῶν ἐρίζειν πρὸς μέγαν τινά. (v. 464—6) Τὸ δὲ ἐφεξῆς γνωμικόν ἐστιν, ἐξευτελίζον τὸ ἀνθρώπινον φῦλον, ὡς καὶ ἐν ἄλλοις. πλὴν ἐκεῖ μὲν ἐπλάτυνε τὸ νόημα, εἰπὼν περὶ τῶν φύλλων ὅτι τε φύονται καὶ ὅτι χαμάδις αὖθις χέονται, ἐνταῦθα δὲ περὶ μὲν τῶν φύλλων οὐδὲν εἶπε, περὶ δὲ τῶν ἀνθρώπων λέγει, ὡς ποτὲ μὲν ζαφλεγέες εἰσί, ποτὲ δὲ φθινύθουσιν, ἤγουν ποτὲ μέν εἰσι θερμοὶ καί, ὡς εἰπεῖν, ζῶντες, ποτὲ δὲ θνῄσκουσιν, ἵνα οἱ μὲν ζῶντες ὦσιν ὅμοιοι φύλλοις χλωροῖς τοῖς ἐπὶ τῶν δένδρων, οἱ δὲ θνῄσκοντες τοῖς χαμαὶ πίπτουσι. καὶ ἄλλως δέ, ζαφλεγέες μὲν οἱ μεγαλόφρονες καὶ λαμπροὶ καὶ ἀρίζηλοι, ὡς τοῦ φλέγειν καὶ ἐνταῦθα ἐπὶ λαμπρότητος τιθεμένου, καθὰ καὶ ἐπὶ Διομήδους ἐνοεῖτο καὶ ἐπὶ Ἀχιλλέως, ὅτε πῦρ ἐξ αὐτῶν ἀνήπτετο. φθινύθοντες δὲ καὶ ἀκήριοι οἱ οἷον ἀλαμπεῖς, ἢ καὶ ἄλλως, ἀφανεῖς, ὥσπερ εἰ μηδὲ ἔζων. (v. 465) Τούτοις δὲ ἀκόλουθον τοῖς νοήμασι καὶ τὸ «ἀρούρης καρπὸν ἔδοντες». οὐ γὰρ ἀργὸν οὐδὲ τοῦτο κεῖται, ἀλλὰ παιδευτικόν ἐστι τῶν ἀκροατῶν. καὶ εἰ μὲν ζαφλεγέας νοήσομεν τοὺς ζῶντας, ἁπλῶς λέγει ὅτι ζῶσι καρπὸν γῆς ἔδοντες, ὡς καὶ πολλὰ τῶν ἀλόγων. εἰ δὲ ζαφλεγέες εἰσὶν οἱ λαμπροί, δηλοῖ ὅτι ἐλλάμπονται καὶ μέγα φρονοῦσι, καὶ ταῦτα καρπὸν ἀρούρης ἔδοντες, οὐ μὴν ἀμβροσίαν καὶ νέκταρ ὡς οἱ θεοί. [Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν ζαφλεγέας μὲν τοὺς οἷον ἐμπυρίους διὰ τὸ δραστήριον καὶ θερμοὺς ἢ θερμὸν ἔργον δρῶντας κατὰ τὸν Κωμικόν, ἢ σεμνότερον φάναι, θερμουργοὺς ἢ καὶ αἰθερίους, εἴγε παρὰ τὸ αἴθειν καὶ ὁ αἰθὴρ καὶ οἱ ἀστέρες γίνονται. φθινύθοντες δὲ οἱ κατ' ἐναντίον λόγον ἀδρανεῖς καί, ὡς εἰπεῖν, ἐκ τοῦ φλέγειν σβεσθέντες καὶ μεμαρασμένοι.] (v. 464)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Δειλοὺς δὲ ἀνθρώπους κἀνταῦθα συνήθως τοὺς δειλαίους φησίν, ἕτεροι δὲ τοὺς ἀτυχεῖς. Δείλας γάρ, φασί, πρῶτος τὸν εἰς φόνον κλῆρον εὕρηκε.

4.540 καὶ λαλοῦσι μὲν οὗτοι οὐ πάνυ σαφῶς. ὃ δὲ λέγουσι τοιοῦτόν ἐστιν. εὕρημα ἦν Δείλαντός τινος τὸ κληροῦσθαι, ἤτοι λαγχάνειν, ἐπὶ φόνῳ, οἷον ἐπὶ μονομαχίᾳ ἢ θηριομαχίᾳ, ἢ καὶ ἄλλως ἐπὶ φόνῳ ἀδίκῳ, καὶ ἐξ αὐτοῦ δειλοὶ ἄνθρωποι οἱ ἀτυχοῦντες εἰς ζωὴν καί, ὡς ὁ ποιητὴς λέγει, ἀκήριοι, ὅ ἐστι νεκροί. Ἰστέον δὲ ὅτι μεταχωρούντων ἐνίοτε εἰς ἄλληλα τοῦ δ τε καὶ τοῦ θ , ὡς ἐπὶ τοῦ οὐθενῶ καὶ ἐξουδενῶ καὶ οὐδέτερον καὶ οὐθέτερον καὶ ἐπὶ ἄλλων, ὅμοιόν τι γίνεται καὶ ἐπὶ τοῦ ἔδω καὶ ἔσθω, ἄμφω γὰρ ἕν τι δηλοῦσι, τοῦ ς πλεονάσαντος ἐν τῷ ἔσθω. καὶ οὐκ ἔστι γενναίως ἀπισχυρίσασθαι περὶ τοῦ ἔδω καὶ ἔσθω, ποῖον ἐκ ποίου γέγονε. (v. 466 s.) Τοῖς δὲ ῥηθεῖσιν ἐπάγει ὁ Φοῖβος καὶ τὸ «ἀλλὰ τάχιστα παυσώμεθα μάχης, οἱ δ' αὐτοὶ δηριαάσθων», ἤγουν μαχέσθωσαν, ὃ λέγοι ἂν ὁ θέλων εἰρήνην μετά τινος, ἄλλοις δὲ παραχωρῶν, εἰ βούλοιντο ἐρίζειν. (v. 470) Ὅτι ἐν τῷ «πότνια θηρῶν Ἄρτεμις ἀγροτέρη» ἄδηλον εἴτε πότνια θηρῶν ἡ Ἄρτεμις λέγεται, ἤγουν ἡ εἰς τὸ θηρεύειν πότνια, εἴτε ἀγροτέρα θηρῶν, ἤτοι ἀγρευτικὴ τῶν θηρίων. οἱ δὲ παλαιοὶ ἀντὶ τοῦ δεσπότις ἐνταῦθα νοοῦσι τὸ πότνια. Ἀνακρέων οὖν φησι μεταλαβὼν «δέσποινα Ἄρτεμι θηρῶν». ὅτι δὲ καὶ ἀπολύτως ἀγροτέρα λέγεται Ἄρτεμις ἐπιθετικῶς [παρ' Ἀττικοῖ,] δηλοῦσιν ἄλλοι τε καὶ ὁ Κωμικός, ἐν οἷς λέγει κατὰ χιλίων τῇ Ἀγροτέρᾳ εὔξασθαι. (v. 472 s.) Ὅτι πρὸς τὸν ἑκουσίως παρὰ τὸ δέον ὑπεκστάντα μάχης ῥηθήσεται τὸ «φεύγεις δή», ὦ δεῖνα, τῷ δεῖνι «δὲ νίκην πᾶσαν ἐπέτρεψας, μέλεον δέ οἱ εὖχος ἔδωκας». (v. 474—7) Εἰ δὲ καὶ τοξότης ὁ ὑποχωρῶν εἴη καὶ ἀλαζών, προσαρμόσει καὶ τὰ ἑξῆς «νηπύτιε, τί νυ τόξον ἔχεις ἀνεμώλιον αὔτως; μή σευ νῦν ἔτι» ἀκούσω «εὐχομένου, ὡς τὸ πρίν», ἄντα τοῦ δεῖνος «ἐναντίβιον πολεμίζειν». Ἄρτεμις δὲ ταῦτα νείκεσε τὸν Ἀπόλλωνα κατὰ Ποσειδῶνος ἐρεθίζουσα καὶ δοκοῦσα ἐν τῷ «φεύγεις Ἑκάεργε» σκώπτειν ὡς παντὸς τοξότου, οἷς ἑκηβολεῖ, ἑτοίμου ὄντος φεύγειν, ὁ δὲ Ἀπόλλων οὐδέν τι προσέφη αὐτήν, οἷα καθάπαξ κυρώσας αἰδημόνως πρὸς τὸν θεῖον ἔχειν.

4.541 (v. 470 s.) Ἰστέον δὲ ὅτι τὸ «νείκεσεν» ἑρμηνεύων ὁ ποιητὴς ἐπάγει «καὶ ὀνείδειον φάτο μῦθον» ταὐτὸν γὰρ νεικεῖν καὶ ὀνειδίζειν. (v. 473) Τοῦ δὲ «ἐπέτρεψας» οὐκ ἔστιν ἐνταῦθα καιριωτέραν λέξιν εὑρεῖν. ὡς γὰρ ἐπιτρέπει τις οἶκόν τινι, οὕτω καὶ τὸ «νίκην ἐπέτρεψας». Τὸ δὲ «μέλεον εὖχος» ἀπ' ἐναντίας ἐστὶ πρὸς τὸ «μέγα εὖχος» καὶ τὸ «μέγα κῦδος». (v. 475—7) Τὸ δὲ «μή σευ νῦν ἔτι πατρὸς ἐνὶ μεγάροισιν ἀκούσω εὐχομένου» καὶ ἑξῆς, τὴν ψευδομάχην καὶ αὐτὸ αἰνίττεται τὴν ἐξ ἐναντιώματος ἐμφαινομένην τῇ κατὰ τὸν ἥλιον θερμότητι πρὸς τὸ μέγα ὑγρόν, τὸν θαλάττιον Ποσειδῶνα, καθ' ἣν οὐδέν τι κατ' αὐτοῦ γενναῖον δρᾷ ὁ ἥλιος, ἀλλὰ μένει ἐν τῷ δοκεῖν δύνασθαι. [Ὅρα δὲ ὅτι δυνάμενος εἰπεῖν ὁ Ὅμηρος, «μή σου νῦν ἔτι ἀκούσω», τοῦτο μὲν εἰπεῖν ὤκνησεν, εἵλετο δὲ τὸ ποιητικώτερον ὡς καινότερον.] (v. 479—82) Ὅτι καὶ ἐνταῦθα κεῖται σχῆμα ἐλλειπτικὸν ἐν τῷ «ἀλλὰ χολωσαμένη Διὸς κυδρὴ παράκοιτις. πῶς δὲ σὺ νῦν μέμονας, κύον ἀδδεές, ἀντί' ἐμεῖο στήσεσθαι; χαλεπή τοι ἐγὼ μένος ἀντιφέρεσθαι», ἢ ἀντιφερίζειν. λείπει γὰρ ἐν τούτοις τὸ «ἔφη», ἵνα λέγῃ ὅτι χολωσαμένη Ἥρα κατ' Ἀρτέμιδος ἔφη· «τί δὲ σὺ νῦν μέμονας», καὶ τὰ ἑξῆς. Καὶ σημείωσαι ὅτι αὐτὸς ὁ ποιητὴς ἐνταῦθα συσχηματισθεὶς οἷον τῷ πράγματι ὑπεσημήνατο τὴν τοῦ λόγου ἔλλειψιν προσφυῶς γενέσθαι τῷ χόλῳ τῆς Ἥρας, οὗ ἴδιον μὴ κρατεῖν ὀρθῆς φράσεως, ᾧ συνεξομοίωσε τὴν οἰκείαν φράσιν καὶ αὐτός. ἀτελῶς γὰρ ἔφρασε τὸ «χολωσαμένη Διὸς παράκοιτις», μηδέν τι πλέον προσθεὶς εἰς τελείαν ἔννοιαν, ἀλλὰ τὴν τοῦ οἰκείου λόγου βάσιν χωλεύειν ἀφείς, ὡς εἴπερ ἐχολώθη αὐτός, ὡς καὶ τοῦ χόλου ἐλλειπτικῶς ποτε φράζοντος. καὶ νῦν μὲν οὕτως ἡ ποιητικὴ φράσις ἔπαθεν, ὅπερ ἂν καὶ ὁ τῆς χολουμένης Ἥρας λόγος εἶχεν ἂν παθεῖν.

4.542 (v. 487 s.) Μετ' ὀλίγα δὲ αὐτὴ ἡ Ἥρα θυμῷ χρωμένη ἐλλιπῶς ἐρεῖ ἐν τῷ «εἰ δὲ θέλεις μαθεῖν ὅσον φερτέρη εἰμί». ἱστᾷ γὰρ μέχρι τούτου τὸν λόγον μὴ πληρώσασα διὰ ῥήματος, καὶ εὐθὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τύπτει τὴν Ἄρτεμιν. ἐν δὲ τοῖς ἑξῆς καὶ ὁ Ἀντηνορίδης Ἀγήνωρ διὰ δειλίαν εἰς λόγου ἔλλειψιν ἐμπίπτει, καὶ μετ' αὐτὸν ὁμοίως ὁ Ἕκτωρ. τὰ γὰρ κατακρατοῦντα πάθη οὐκ ἐῶσιν ἀπαρτίζειν λόγον ἀνελλιπῶς. (v. 479) Ἰστέον δὲ ὅτι ἐν τῷ «ἀλλὰ χολωσαμένη Διὸς παράκοιτις» δύναται καὶ ἀπὸ κοινοῦ ῥῆμα ληφθὲν θεραπεῦσαι τὴν τοῦ ποιητοῦ ἔλλειψιν. ἐπεὶ γὰρ ἔφη προσεχῶς ἀνωτέρω «τὴν δ' οὔ τι προσέφη Ἀπόλλων», εἶτα ἐπήγαγεν «ἀλλὰ χολωσαμένη Διὸς παράκοιτις», δύναται τὸ «προσέφη» καὶ ὧδε συνεξακουσθῆναι ἀπὸ κοινοῦ, ἵνα ᾖ, ὡς ὁ μὲν Φοῖβος οὐδέν τι προσέφη τὴν Ἄρτεμιν, ἡ δὲ Ἥρα προσέφη τάδε (v. 481 s.) Ἔτι ἰστέον καὶ ὅτι λαλήσει ποτὲ ἀνὴρ ἀνδρεῖος πρὸς θρασὺν ἀγεννῆ παρῳδήσας τὸ τῆς Ἥρας πρὸς τὴν Ἄρτεμιν «πῶς δὲ νῦν σὺ μέμονας, κύον ἀδδεές, ἀντία ἐμοῦ στήσεσθαι; χαλεπός τοι ἐγὼ μένος ἀντιφερίζειν». (v. 483 s.) Εἰ δὲ καὶ τοξότης ὁ ὀνειδιζόμενος καὶ ἐν δειλοῖς δοκῶν ἀνδρεῖος, ἁρμόσει παρῳδηθῆναι καὶ τὰ ἐφεξῆς οὕτω «τοξοφόρῳ περ ἐόντι, ἐπεί σε λέοντα γυναιξὶ θεὸς θῆκε», καὶ τὸ ἑξῆς. Τὴν Ἄρτεμιν δὲ ἡ Ἥρα ὀνειδίζουσα ὡς μὴ μάχιμον οὕτω φησὶν «ἐπεὶ σὲ λέοντα γυναιξὶ Ζεὺς ἔθηκεν», ὅ ἐστι λέαιναν, ὥς που καὶ προερρήθη, «καὶ ἔδωκε κατακτάμεν ἥν κ' ἐθέλησθα», ἐν τοῖς αἰφνιδίοις δηλαδὴ θανάτοις τοῖς γυναικείοις, οἷς ἐπιστατεῖν δοκεῖ Ἄρτεμις, ὡς πολλαχοῦ τῆς Ὁμηρικῆς ποιήσεως φαίνεται. ἢ καὶ ἄλλως, ἐν τοκετοῖς, ἐπειδὴ λοχεία ἡ Ἄρτεμις λέγεται καὶ δοκεῖ προΐστασθαι τοκετοῦ. τοῦτο δέ, ἐπεί, φασί, πανσελήνοις εὐτοκώτατοι αἱ γυναῖκες. Τοῖς δὲ εἰρημένοις ἐπάγει ἡ Ἥρα καί τι ἕτερον, ὃ παρῳδηθὲν οἰκεῖόν ἐστι πρὸς κυνηγέτην ἀλαζονευόμενον. (v. 485—6) Ἔστι δ' αὐτὸ τοιοῦτον «ἦ τοι», ἤγουν ὄντως σοί, «βέλτερόν ἐστι κατ' οὔρεα θῆρας ἐναίρειν ἀγροτέρας τ' ἐλάφους ἢ κρείσσοσιν ἶφι μάχεσθαι». Καὶ ὅρα ὅτι φανερῶς ἐνταῦθα ἐναίρειν οὐ τὸ σκυλεύειν, ἀλλὰ τὸ φονεύειν φησί, καὶ ὅτι γένος εἰπὼν τοὺς θῆρας εἶδος ἐπήγαγε τὰς ἐλάφους, ὃ καὶ ἐν ἄλλοις γέγονεν. (v. 486) Ἀγρότεραι δὲ καὶ νῦν ἔλαφοι ἢ ἁπλῶς αἱ ἄγριοι ἢ αἱ μὴ ταχὺ γηράσκουσαι, μακρόβιον γὰρ κατὰ τὴν ἱστορίαν καὶ ἡ ἔλαφος. [Ὡς δὲ καὶ ἡμιόνων ἐπίθετόν ἐστι τὸ ἀγρότεραι, ὁ τῶν νεῶν Κατάλογος, εἴτ' οὖν ἡ Βοιωτία, ἐδήλωσεν.

4.543 ] Ἐκ δὲ τῶν ἐφεξῆς λόγων τῆς Ἥρας ἐρανίσεταί τι χρήσιμον ὁ παρῳδήσας τὸ θῆλυ αὐτῆς, καὶ ὁ διδάσκων τὴν ἑαυτοῦ ἀνδρίαν ἀγνοοῦντα πολέμιον, ὃς καλῶς ἂν ἐρεῖ τὸ «εἰ δ' ἐθέλεις πολέμοιο δαήμεναι, ὄφρ' εὖ εἰδῇς, ὅσσον φέρτερός εἰμι, ὅτι μοι μένος ἀντιφερίζεις». ὡς δὲ ἐλλειπτικῶς ὁ λόγος οὗτος ἔχει, καθὰ καὶ προσεσημείωται, δῆλον αὐτόθεν. ἅμα γὰρ ἡ Ἥρα ἔφη τὸ «εἰ δ' ἐθέλεις μαθεῖν, ὅσον φερτέρη εἰμί», καὶ αὐτίκα τύπτει τὴν Ἄρτεμιν, πραγματικῶς ἀποδιδοῦσα τὴν σύνταξιν, ὡς εἴπερ εἶπεν, ὅτι εἰ δ' ἐθέλεις δαῆναι, ὅσον φερτέρη εἰμί, ἰδοὺ τύπτω σε μὴ δυναμένην ἀμύνασθαι, ἢ ἰδοὺ πάρεστί σοι αὐτοῖς ἔργοις μαθεῖν, ἵνα λέγῃ ἡ Ἥρα ὡς, εἴπερ ἐθέλεις γνῶναι, ἰδοὺ πάσχε. Ὅμηρος γὰρ τὴν τοῦ καιροῦ κατέπειξιν μιμούμενος ἐλλιπῶς τὸν λόγον προήγαγε. [Ἔχει δὲ τὸ τοιοῦτον σχῆμα ὁμοιότητά τινα πρὸς τὸ «ἀλλ' εἰ μὲν δώσουσι γέρας Ἀχαιοί» καὶ ἑξῆς.] (v. 487) Τὸ δὲ «πολέμοιο δαήμεναι» καθ' ὁμοιότητά τινα ἐρρέθη τοῦ «πολέμων εὖ εἰδώς» καὶ τῶν τοιούτων, πλὴν ὅσον ἐκεῖνα μὲν στρατιωτικὴν ἐπιστήμην μάχης δηλοῖ, τοῦτο δὲ ἁπλῶς οὕτω δηλοῖ τὸ περὶ πολέμου γνῶναι. (v. 489—92) Ἃ δὲ ἔπαθεν Ἄρτεμις, φράζει Ὅμηρος οὕτω «ἦ ῥα», ἤγουν ἔφη δὴ ἡ Ἥρα τὰ δηλωθέντα δηλαδή, «καὶ ἀμφοτέρας ἐπὶ καρπῷ χεῖρας ἔμαρπτε» τὰς τῆς Ἀρτέμιδος, «σκαιῇ», ἤγουν ἀριστερᾷ χειρί, ὅπερ ἐστὶν ἰσχύος πολλῆς ἔνδειξις, «δεξιτερῇ δ' ἄρ ἀπ' ὤμων αἴνυτο τόξα· αὐτοῖσι δ' ἄρ ἔθεινεν», ὅ ἐστιν ἔτυπτε, «παρ' οὔατα μειδιόωσα ἐντροπαλιζομένην· ταχέες δ' ἔκπιπτον ὀϊστοί». Καὶ ἰστέον ὅτι τόξα καὶ τὰ βέλη λέγει καὶ νῦν καὶ πᾶσαν τὴν τοξικὴν σκευὴν καθ' ὁμοιότητα ἑτέρων τινῶν. ὡς γὰρ χοῖνιξ καὶ μέδιμνον τὸ μετροῦν καὶ τὸ μετρούμενον, οὕτω καὶ τόξα τά τε βάλλοντα καὶ τὰ βαλλόμενα, καὶ τὰ τούτων δεκτικά. ὅτι δὲ τῷ τοῦ τόξου ὀνόματι καὶ τοὺς ὀϊστοὺς συμπεριλαμβάνει καὶ ὅλως πᾶσαν, ὡς ἐρρέθη, τοξικὴν σκευωρίαν, διὸ καὶ τόξα πληθυντικῶς φησι, δηλοῦσι τὰ ἐπαγόμενα. λαβοῦσα γάρ, φησί, τὰ τόξα ἔτυπτε, ταχέως δ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔκπιπτον ὀϊστοί. οὐ γὰρ τόξου ἐκπίπτουσιν ὀϊστοί, ἀλλὰ φαρέτρας. τόξοις ἄρα ἔτυπτεν, ἤτοι φαρέτρᾳ. (v. 502 s.) Καὶ μετ’ ὀλίγα δὲ συνάγεσθαί φησι παρὰ τῆς Λητοῦς τὰ τόξα, ὅ ἐστι τὰ βέλη, «πεπτεότα», ἤγουν πεπτωκότα, «ἄλλυδις ἄλλα ἐν στροφάλιγγι κονίης», ἅπερ αὐτόθι ἔλιπεν Ἄρτεμις, ὅπερ ἔοικε πως αἰνίττεσθαι ὡς ἀπὸ μέρους ὁμοειδοῦς, ὡς οὐδὲ οἱ λοιποὶ ἀστερώδεις ὀϊστοί, τουτέστιν αἱ ἀπ’ αὐτῶν ἀκτινοβολίαι καὶ ἐκβολίαι, ἦσαν ἄν, εἰ μὴ ἦν ἡ Λητώ.

4.544 εἰ μὴ γὰρ νὺξ ἦν, εἰς ἣν μεταλαμβάνεται ἡ Λητώ, οὐκ ἂν εἶχον ἀκτινοβολεῖν φαίνοντες, οἷα ἡλίῳ ἐπιπροσθούμενοι. (v. 492) Ἐντροπαλιζομένην δὲ λέγει τὴν ὧδε καὶ ἐκεῖ τὰς ὄψεις ἐκτρέπουσαν πρὸς τὰς τῆς χειρὸς καταφοράς. (v. 490) Τὸ δὲ «σκαιῇ» καὶ «δεξιτερῇ» κατὰ κοινοῦ καὶ αὐτὸ τὴν σύνταξιν ἔχει ὡς ἀπὸ τῶν ῥηθεισῶν χειρῶν τῆς Ἀρτέμιδος ἐν τῷ «ἀμφοτέρας ἐπὶ καρπῷ χεῖρας ἔμαρπτε». (v. 503) Τοῦ δὲ «πεπτεῶτα» τὸ ἁπλοῦν πεπτωκώς πεπτωκότος, καὶ ἐν συγκοπῇ πεπτῶτος, ὡς βεβρωκώς βεβρωκότος βεβρῶτος, οὗ χρῆσις παρὰ Σοφοκλεῖ. [Εἰ δὲ πλεονασμὸν ἔχει τοῦ ε καὶ διφορεῖται κατὰ τὴν γραφήν, οὐ καινοπαθεῖ. κοινὰ γὰρ ταῦτα πάθη λέξεων καὶ μάλιστα ποιητικῶν.] Ὅτι καὶ ἐνταῦθα τὸ ἴρηξ ψιλοῦται Ἰωνικῶς, ὡς δῆλον ἀπὸ ἐκθλίψεως. (v. 493—5) Φησὶ γὰρ «δακρυόεσσα δ’ ἔπειτα θεὰ φύγεν ὥς τε πέλεια, ἥ ῥά θ’ ὑπ’ ἴρηκος κοίλην εἰσέπτατο πέτρην, χηραμόν. οὐδ’ ἄρα τῇ γε ἁλώμεναι αἴσιμον ἦεν». ἔστι δὲ ὁ λόγος περὶ Ἀρτέμιδος, φυγούσης τὴν Ἥραν. (v. 495) Καὶ ὅρα ὅτι χηραμός ἡ κοίλη πέτρα, καθὰ ὁ ποιητὴς ἐξηγεῖται. καὶ μέχρι δὲ ἄρτι πολλοὶ τῶν Ἑλλαδικῶν καὶ μάλιστα τῶν κατὰ Πελοπόννησον χηλαμοὺς τὰς περὶ θάλασσαν ῥωγάδας πέτρας φασὶ κατά τινα παραφθοράν. [Ὅτι δὲ ἀπὸ τοῦ ῥηθέντος χῶ καὶ ἡ χειὰ γίνεται, ἐν τοῖς ἑξῆς φανεῖται. Τὸ δὲ «κοίλην πέτραν, χηραμόν», ἑρμηνείαν τε ἔχει τοῦ χηραμοῦ, κοίλη γὰρ πέτρα ὁ χηραμός, καὶ ἐσχημάτισται κατὰ τὸ «περὶ γὰρ ῥά ἑ χαλκὸς ἔλεψε φύλλα καὶ φλοιόν».

4.545 ] (v. 494) Τοῦ δὲ «ἔπτατο» ἐστὶ καὶ ἀπαρέμφατον παρ’ Εὐριπίδῃ τὸ διαπτάσθαι. χρῆσις δὲ πολλαχοῦ καὶ τῶν κινήσεων τοῦ ἐπτόμην, ὃ δεύτερος ἀόριστός ἐστι τοῦ ἐπτάμην. Ὅρα δὲ καὶ ὅτι τὴν πέλειαν τῇ αἴσῃ ὑπήγαγεν, ὡς καὶ τῶν τοιούτων τῷ μοιριδίῳ ὑποκειμένων. (v. 496) Τὸ δὲ «δακρυόεσσα φύγεν» δὶς ἐνταῦθά φησιν ὁ ποιητὴς διὰ τὸ τῆς φράσεως καίριον πρό τε τῆς παραβολῆς καὶ ἐν τῇ ἀποδόσει αὐτῆς. ἔνθα κεῖται καὶ τὸ «λίπε δ’ αὐτόθι τόξα», ἤγουν τὰ ὅπλα ὅλα τοῦ τοξεύειν. (v. 499) Ὅτι τὸ παρ’ ἡμῖν διαπληκτίζεσθαι δίχα προθέσεώς φησιν ὁ ποιητὴς πληκτίζεσθαι, εἰπὼν «ἀργαλέον δὲ πληκτίζεσθαι ἀλόχοισι Διός». δηλοῖ δὲ τὸ μάχεσθαι ἢ ἐρίζειν ἕως πληγῆς. Καὶ ὅρα ὅπως ὁ ποιητὴς παιδεύει διακεῖσθαι περὶ τὰ τῶν ἀρχόντων. Ἑρμοῦ δὲ ὁ ῥηθεὶς λόγος. Ἔνθα σημείωσαι, ὡς οὐκ αἰδεῖται ὁ τηλικοῦτος ἀδοξίαν εὔλογον, ἀλλὰ ἄτυφός ἐστιν. (v. 498—501) Εἴκει γοῦν τῇ Λητοῖ, ὡς καὶ προεγράφη ἐν τῇ υ′ ῥαψῳδίᾳ, εἰπὼν ὅτι τε «Λητοῖ, ἐγὼ δέ τοι οὔ τι μαχήσομαι», καὶ ὅτι οὐ δεῖ ταῖς Διὸς ἀλόχοις μάχεσθαι, ὧν μία καὶ ἡ Λητώ, δι’ ἣν ὁ Τιτυὸς ἐν Ἅιδῃ κολάζεται, ὡς ἐν Ὀδυσσείᾳ εἴρηται, καὶ ὅτι «ἀλλὰ μάλα πρόφρασσα», ἤτοι πρόθυμος ἢ ὡς ἐν πρωτολογίᾳ «εὔχεσθαι ἐμὲ νικῆσαι καρτερῆφι βίηφι». τοῦτο δὲ καὶ ἄλλος τις παρῳδήσας εἴποι ἂν ἑκὼν εἴκων τινί. οὕτως ἐπιεικὴς ὁ Ἑρμῆς, καί, ὡς ἡ ποίησις λέγει, ἀκάκητα. διὸ καὶ Ἀργεϊφόντης ὁ αὐτὸς ἤτοι ἀργὸς φόνου. καὶ ἄλλως δέ, οὐκ ἔχει ὁ Ἑρμῆς, ὁ πλανήτης ἀστήρ, ἀντικαταστῆναι τῇ ἀλληγορουμένῃ Λητοῖ, ὅ ἐστι τῇ νυκτὶ ὡς οὐδὲ ἄλλος τις τῶν πλανήτων.

4.546 ἀπίθανον γὰρ τὸ πλάσμα. ἢ πῶς ἂν μάχοιτο αὐτῇ πιθανολογικῶς, δι’ ἧς ἐκφαίνεται λάμπων, ὅπουγε καὶ πάντες οἱ πλανῆται πρὸς αὐτῆς εἰσι. Ζεὺς μὲν γάρ που, πλάνης ὢν καὶ αὐτός, ἅζεται μὴ νυκτὶ ἀποθύμια ἔρδῃ. Ἄρης δὲ καὶ Ἀφροδίτη, τῶν ἑπτὰ καὶ αὐτοὶ ὄντες, σὺν αὐτῇ ἐπικουροῦσι τοῖς Τρωσί. Ἥλιος δὲ καὶ Σελήνη εἰς παῖδας αὐτῇ ἐγγράφονται. Κρόνος μέντοι ταρταρωθεὶς οὐδετέροις ἐπικουρεῖ. πῶς οὖν ἔχοι ἂν ὁ Ἑρμῆς αὐτῇ ἀντιβαίνειν; Οἱ δὲ παλαιοὶ καὶ τοιαῦτά τινά φασιν. εἰρηνικὸς ὁ Ἑρμῆς, ὅθεν καὶ ἀνεῖται καὶ μίξεις φιλεῖ. καὶ ἐν Ὀδυσσείᾳ δὲ συνδεδέσθαι τῇ Ἀφροδίτῃ ἐθέλει [διὰ τὸ τῶν φιλοκάλων ῥητόρων, ὡς εἰκός, ἐπαφρόδιτον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν γραφαῖς καὶ ἐπίχαρι.] Διὸ καὶ οἱ Πελασγοὶ κατὰ τὴν ἱστορίαν ἐντεταμένον τὸν Ἑρμῆν, ἤτοι ὀρθιάζοντα, ἱδρύονται, καὶ μάλιστα τοὺς γέροντας Ἑρμᾶς γλύφουσι τοιούτους διὰ τὴν καὶ ἐν ἄλλοις λεγομένην ἀλληγορικὴν αἰτίαν, [ἥπερ ἐστὶ τὸ τοὺς λογίους μάλιστα γέροντας γονιμωτέρους εἶναι τῶν ἔτι νεαζόντων καὶ οὔπω χρόνου ἐπιστημόνων.] Σημείωσαι δὲ ὅτι καὶ ἐν τῇ ῥηθείσῃ θεομαχίᾳ τὸ σύνηθες πολυειδὲς ὁ ποιητὴς ἐνδείκνυται. Ἀθηνᾶ μὲν γὰρ δυοῖν περιγίνεται, ὡς δεδήλωται, Ἄρεος καὶ Ἀφροδίτης, τοῦ μὲν κατάρξαντος μάχης, τῆς δὲ λαβομένης αὐτοῦ. Ποσειδῶν δὲ καὶ Ἀπόλλων οὐδὲν δρῶσι κατ᾽ ἀλλήλων, οἷα Ποσειδῶνος μὲν προκαλεσαμένου, Ἀπόλλωνος δὲ ἀπειπόντος τὴν μάχην, οὐκ ἀγεννῶς, ἀλλ᾽ ἵνα μὴ ἐκπέσοι τοῦ σαόφρων εἶναι δοκεῖν, ὡς εἴρηται. Ἄρτεμις δὲ τύπτεται μὲν ὑπὸ Ἥρας τοῖς ἰδίοις τόξοις, οὐ μὴν προκαλεσαμένη ἔνστασιν, ἀλλὰ διότι τὸν Ἀπόλλωνα κατὰ Ποσειδῶνος ἠρέθιζε, πῦρ θυμοῦ σβεσθὲν ὀνειδείοις μύθοις ἀναρριπίζουσα. Ἑρμῆς δὲ οὔτε μάχεται τῇ ἀντιθέτῳ Λητοῖ οὔτε ἀμφήριστος ἀπαλλάττεται, ἀλλ᾽ ἑκὼν εἴκει καὶ ἐν τῷ «ὦ Λητοῖ, ἐγὼ δέ σοι οὐ μαχήσομαι» ἥττων πως αὐτῆς εἶναι ὁμολογεῖ, οὐχ᾽ ἁπλῶς, ἀλλ᾽ ὅτι Διὸς ἄλοχός ἐστιν, [ἤγουν νοός, ᾧ συνοῦσα ἡ τῆς ἀλληγορίας Λητὼ ἀπρόσμαχός ἐστι τῷ Ἑρμῇ λόγῳ, λανθανομένῳ καὶ αὐτῷ.

4.547 ] Ἥφαιστος δέ γε ὅπως πυρὶ φλεγέθων ἐνέπεσε τῷ ποταμῷ Ξάνθῳ καὶ οἷα διέθετο, προδεδήλωται. οὕτω καὶ ἐν τούτοις τῷ πολυφώνῳ Ὁμήρῳ ἀσύμπτωτός ἐστι καὶ ποικίλη ἡ τῆς ποιήσεως διασκευή. (v. 491—506) Ὅτι μυθικὸς ἐνταῦθα κλαυσίγελως πλάττεται, ἐν οἷς Ἥρα μὲν μειδιᾷ τύψασα, ὡς εἴρηται, τὴν Ἄρτεμιν, ἣ δὲ δακρυόεσσά τε, ὡς ἐρρέθη, φεύγει λιποῦσα τὰ τόξα τῇ μητρὶ συλλέξασθαι καὶ «δακρυόεσσα πατρὸς ἐφέζετο γούνασι κούρη». παρθενικὴ δὲ ἡ τοιαύτη ἀφέλεια. ἡ γοῦν Ἀφροδίτη ἐν τοῖς πρὸ τούτων καὶ τρωθεῖσα οὐδέν τι τοιοῦτον ποιεῖ, ὅτε ἐν τοῖς γούνασιν ἔπεσε τῆς μητρός, Ὁμήρου καὶ τὰ τοιαῦτα πολυειδῶς σχηματίζοντος. (v. 507) Οὐ μόνον δὲ δακρύει ἡ τοιαύτη κόρη, ἀλλὰ καὶ τρέμει, ὡς δηλοῖ τὸ «ἀμφὶ δ᾽ ἄρ ἀμβρόσιος ἑανὸς τρέμεν». ἐνταῦθα δὲ οὐ μόνον ὁ τοῦ σώματος τρόμος πολὺς ἐμφαίνεται, ἀλλὰ καὶ πέπλου λεπτότης διαδείκνυται. καὶ οὕτω μὲν ἀφελῶς ἡ κόρη διάκειται, κλαίουσα ἐφ᾽ οἷς ἀγεννῶς ἐρράπισται. ὁ δὲ πατὴρ «προτὶ οἷ», φησίν, ἤγουν πρὸς ἑαυτῷ, ταύτην εἷλε. (v. 509) Καί, ὡς εἰκός, «ἀνείρετο ἡδὺ γελάσας», οὐχ᾽ ὥστε μαθεῖν ὅπερ οἶδεν, ἀλλ᾽ ἁπλῶς οὕτω, καθὰ καὶ ἡ Θέτις ἀλλαχοῦ τὸν Ἀχιλλέα «τίς δή σε τοιάδ᾽ ἔρεξε, φίλον τέκος, Οὐρανιώνων»; (v. 512) Ἣ δὲ λέγει ὅτι «σή μ᾽ ἄλοχος στυφέλιξε, πάτερ, λευκώλενος Ἥρη», τοῦτο μὲν ἀφελῶς εἰποῦσα, (v. 513) βαρέως δὲ τὸ ἐφεξῆς, ἤγουν τὸ «ἐξ ἧς ἀθανάτοισιν ἔρις καὶ νεῖκος ἐφῆπται». Ἔνθα σημείωσαι ὅπως ἑαυτῇ μάχεται ἡ διαβολή. Ἄρης μὲν γὰρ ᾐτιάσατο τὴν Ἀθηνᾶν ὡς τοὺς θεοὺς ἔριδι ξυνελαύνουσαν, ἐνταῦθα δὲ ἡ Ἄρτεμις μέμφεται τὴν Ἥραν ὡς ἐξ αὐτῆς ἔρις καὶ νεῖκος τοῖς ἀθανάτοις. (v. 507) Καὶ ὅρα κἀνταῦθα τὸ «ἀμβρόσιος ἑανός», ἤτοι ἀμβρόσιος πέπλος, τοῦ ἐπιθέτου ληφθέντος ἀντὶ ὑποκειμένου.

4.548 πέπλου γὰρ ἐπίθετον κυρίως ὁ ἑανός. τινὲς μέντοι ταὐτὸν ἡγοῦνται πέπλον καὶ ἑανὸν εἰπεῖν, ὡς δηλοῖ καὶ ὁ γράψας, ὅτι πέπλοι, οὓς ἐπερονῶντο μόναι γυναῖκες, οἳ καὶ ἑανοὶ καλοῦνται. Τὸ δὲ «πρὸς ἑαυτῷ ἔλαβεν», ὃ καὶ ἀσπάζεσθαι λέγεται, ὅ ἐστι πρὸς ἑαυτὸν σπᾶσθαι, τὴν δοτικὴν σύνταξιν ἔχει διὰ τὴν τῆς προς προθέσεως ἐγγύτητα. (v. 508) Ὁ δὲ τοῦ Διὸς γέλως δηλοῖ μὴ ἄξια δακρύων τὴν παῖδα παθεῖν. [Γελᾷ δὲ οὐχ᾽ ἁπλῶς ὁ πατὴρ Ζεὺς ἐπὶ τῇ ἀφελεῖ κόρῃ, ἀλλὰ ἡδὺ καὶ οὐ πρὸς πικρίαν, οἷαν ὁ σαρδάνιος γέλως προφαίνει, παιδεύων ὡς οὐκ ἐξ ἀνάγκης χρὴ τὸν νοῦν ἔχειν πρὸς τοῖς θελήμασι τῶν ἀφελῶν εἴτε τέκνων εἴτε καὶ ἄλλως γνησίων, ἀλλ᾽ ἀμείβεσθαι γέλωτι τὰ σφῶν δάκρυα πρὸς ἔνδειξιν τοῦ γελοῖα κἀκεῖνα εἶναι. δεῖγμα δὲ τῆς κατὰ τὴν Ἄρτεμιν ἀφελοῦς νηπιότητος τὸ ἐπὶ γονάτων πατρικῶν κάθισμα.] (v. 511) Κεῖται δὲ ἐν τῷ τόπῳ τούτῳ καὶ δύο Ἀρτέμιδος ἐπίθετα, τὸ «ἐϋστέφανος» ἤτοι εὔκοσμος, στέφανος γάρ, φασίν, ἢ στεφάνη γυναικεῖος κόσμος ἐπομφάλιος, καὶ τὸ «κελαδεινή», ἤγουν κῆλα δεινὰ ἔχουσα, τουτέστι βέλη, ἢ ὅτι Ἐγκέλαδόν τινα σὺν Ὠρίωνι ἀνεῖλε βιαζόμενον αὐτήν, ἢ διὰ τούς, ὡς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν ἄλλοις ἐδηλώθη, κελάδους ἤτοι θορύβους, οὓς ποιεῖ ἡ μὲν μυθικὴ Ἄρτεμις κυνηγετοῦσα, ἡ δὲ ἀλληγορουμένη αὔξουσα καὶ φθίνουσα. σελήνης γὰρ πάθη ἡ αὐξομείωσις, ὅτε κελάδοι ὡς ἐπὶ πολὺ περὶ ἀέρα γίνονται.

4.549 (v. 513) Τὸ δὲ «ἐφῆπται» δοτικῇ καὶ νῦν συντέτακται, ἢ λόγῳ ἀντιπτώσεως, ἢ διότι ἀντὶ τοῦ ἐπήρτηται εἴληπται. (v. 519) Ὅτι διάθεσις λύσεως πολέμου ἑτεραλκοῦς τὸ ἐπορεύοντο οἳ μὲν χωόμενοι, οἳ δὲ μέγα κυδιόωντες, ὡς τῶν μὲν νικηθέντων χωομένων, τῶν δὲ νικησάντων γαῦρον ἰόντων. [Οἱ ποιητικοὶ δὲ ταῦτα δρῶσι δαίμονες μετὰ τὴν κατ' αὐτοὺς μάχην. ὧν ἀνελθόντων ἐς Διὸς Φοῖβος κάτω μείνας ἐδύσετο Ἴλιον, δεδιὼς περὶ αὐτῇ, μὴ αὐθημερὸν ἁλῷ διὰ τὴν τοῦ Ἀχιλλέως ἀνδρίαν.] (v. 527) Ὅτι θυμὸν μέγαν καὶ ῥωμαλεότητα δὲ Ἀχιλλέως δηλοῖ τὸ «Τρῶας ὁμῶς αὐτούς τε ὄλεκεν καὶ μώνυχας ἵππους», ὡς πᾶν τὸ παραπεσὸν κτείνοντος. (v. 522—5) Διὸ καὶ πάλιν εἰς παραβολὴν τὴν ἀπὸ πυρὸς ἐλθὼν ὁ ποιητὴς εἰκάζει τὴν τοῦ ἥρωος ἐντρέχειαν ἐμπρησμῷ πόλεως, ὃν οὕτω διὰ ταχέων φράζει «ὡς δ' ὅτε καπνὸς ἰὼν εἰς οὐρανὸν εὐρὺν ἱκάνει ἄστεος αἰθομένοιο, θεοῦ δέ ἑ μῆνις ἀνῆκε, πᾶσι δ' ἔθηκε πόνον, πολλοῖσι δὲ κήδε' ἐφῆκεν, ὣς Ἀχιλλεὺς Τρώεσσι πόνον καὶ κήδε' ἔθηκε». Καὶ ὅρα ὅτι, ὥσπερ ἀλλαχοῦ πόλεως ἅλωσιν συντομώτατα ἔφρασεν, οὕτω γὰρ ἔδει κατὰ τοὺς Τεχνικούς, ὡσαύτως καὶ νῦν τὸν ἐμπρησμόν. Ὅρα δὲ καὶ τὰ καίρια πάρισα τὰ ἐν τῷ τέλει τῶν στίχων, τὸ ἀνῆκε καὶ ἐφῆκε καὶ ἔθηκεν, ὧν τὸ μὲν ἐφῆκεν ἀντὶ τοῦ ἔπεμψε, τὸ δὲ ἀνῆκεν ἀντὶ τοῦ ἀνήγειρε καὶ ἀνέπεισεν, ὃ λαμβάνεταί ποτε καὶ ἀντὶ τοῦ ἀνεβλάστησεν, ὡς ἐν τῷ «ἀνῆκεν ἡ γῆ βοτάνας». δὶς δὲ εἶπε τὸ ἔθηκε διὰ τὸ τῆς λέξεως καίριον. παιδεύων δὲ ὁ ποιητὴς κἀνταῦθα εἰς θεομηνίαν ἀνάγει τὸν μέγαν πολιτικὸν ἐμπρησμόν. δῆλον δὲ ὅτι πλεονάζει ταῖς ἀπὸ τοῦ πυρὸς παραβολαῖς ὁ ποιητὴς εἰς δεῖγμα ἐνεργείας ἡρωϊκῆς καὶ δραστηριότητος. οἷον γάρ ἐστι τὸ πῦρ, πρὸ βραχέων εἴρηται. Ὅρα δὲ καὶ ὅτι ἐπετηδεύσατο ἐν μεγίστῳ καὶ πολυβλαβεῖ ἐμπρησμῷ μὴ μνησθῆναι τῆς τοῦ πυρός λέξεως, ἀρκεσθεὶς τῷ σημείῳ αὐτοῦ, τῷ καπνῷ, καὶ τῷ «αἰθομένου», ὅ ἐστι καιομένου.

4.550 (v. 526) Ὅτι λογοειδὲς ἔπος καὶ σαφὲς τὸ «εἱστήκει δ' ὁ γέρων Πρίαμος θείου ἐπὶ πύργου». καὶ καινὸν οὐδὲν ἐν πολυστίχῳ ποιήματι καὶ τοιαῦτα ἔπη εὑρίσκεσθαι, ὁποῖον σὺν ἄλλοις πολλοῖς καὶ τὸ «ἵππους δὲ ξανθὰς ἑκατὸν καὶ πεντήκοντα». Θεῖον δὲ πύργον Τροίας φησίν, ᾧ λόγῳ καὶ ἱερὰν Τροίαν, ἢ καὶ διὰ τὸ θεόδμητον τῆς πόλεως, ἤτοι θεοδόμητον, ὡς πρὸ ὀλίγων γέγραπται. (v. 527—30) Τούτῳ δὲ ὁ ποιητὴς ἐπάγει ὅτι, ἐπεὶ ἐνόησεν ὁ γέρων Ἀχιλλέα πελώριον Τρῶας κλονοῦντα πεφυζότας, «οὐδέ τις ἀλκὴ γίνετο», ἀλλὰ δηλονότι ἑτεραλκῆ νίκην εἶχεν ὁ Ἀχιλλεύς, «οἰμώξας ἀπὸ πύργου βαῖνε χαμᾶζε, ὀτρυνέων» στρατηγικῶς «παρὰ τεῖχος ἀγακλειτοὺς πυλωρούς· πεπταμένας ἐν χερσὶ πύλας ἔχετε», καὶ τὰ ἑξῆς. Καὶ σημείωσαι σχῆμα καὶ ἐνταῦθα ἐλλειπτικὸν καίριον ὡς πρὸς ἔπειξιν τῶν γινομένων. λείπει γὰρ τὸ «λέγων» ἢ τοιοῦτον τι, ἵνα εἴη τὸ ὅλον τοιόνδε· ὀτρυνέων πυλαωροὺς καὶ λέγων «πεπταμένας τὰς πύλας ἔχετε», ὅ ἐστιν ἀνεῳγμένας. εἴληπται δὲ λέξις ἐκ μεταφορᾶς τῶν ἐξηπλωμένων πτερύγων τοῖς πετομένοις, ὡς αὐτὸς ὁ ποιητὴς καθυποδείξει διὰ παραβολῆς ἐν τῇ ω′ ῥαψῳδίᾳ. χαίρων δὲ τῇ λέξει Ὅμηρος ἐρεῖ καὶ μετ' ὀλίγα πετασθῆναι τὰς πύλας, ὅ ἐστιν ἀνοιγῆναι. (v. 530) Ἀγακλειτοὺς δὲ πυλωροὺς λέγει τιμῶν καὶ αὐτοὺς τῇ ἐνδοξότητι, ὥσπερ τὸν πύργον τῇ θειότητι. Σημείωσαι δὲ ὅτι ἐνταῦθα δείκνυσιν ὁ ποιητής, ὡς ἡ προμνημονευθεῖσα ἐπὶ τῶν πύργων στάσις τῶν δημογερόντων λυσιτελεῖ ταῖς πόλεσιν ἐν καιρῷ μάχης. Πρίαμος γὰρ οὕτω γνοὺς κακῶς ἔχειν τὰ ἔξω τοῖς ἑαυτοῦ βαίνει χαμᾶζε καὶ λαλεῖ τὰ πρὸς ὠφέλειαν. τοῦτο δὲ καὶ προεκθέσεως τύπον ἐπέχει, ὡς τοῦ ποιητοῦ οἰκονομοῦντος παρεῖναι τὸν Πρίαμον τῷ τείχει, ὡς ἂν πλατυνεῖ καὶ δι' αὐτοῦ τὴν ποίησιν μετ' ὀλίγα ἐν τοῖς κατὰ τὸν Ἕκτορα. (v. 531—4) Αἰτίαν δὲ ὁ βασιλεὺς λέγει τοῦ χρῆναι ἄρτι ἀναπεπτᾶσθαι τὰς τῆς πόλεως πύλας τὸ τοὺς λαοὺς μέλλειν ἐλθεῖν προτὶ ἄστυ πεφυζότας, ἵνα εἰς τεῖχος ἀναπνεύσωσιν ἀλέντες, ὅ ἐστι συγκλεισθέντες,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀθροισθέντες. «ἦ γὰρ Ἀχιλλεὺς ἐγγὺς ὅδε, φησί, κλονέων. νῦν οἴω», ἢ δισυλλάβως οἴω, «λοίγι' ἔσεσθαι».

4.551 ταῦτα δὲ γενναίου στρατηγοῦ ἔπαινος, ὡς καὶ μετ' ὀλίγα εὐθὺς (v. 536) τὸ «δείδια γὰρ μὴ οὖλος ἀνὴρ ἐς τεῖχος ἅληται», οἷα μηδενὸς δηλαδὴ τολμήσοντος ἔξω ἀντιστῆναι αὐτῷ, εἰ μὴ αἱ πύλαι κλεισθῶσι. (v. 534 s.) Διὸ μετὰ τὸ «ἀναπνεύσωσιν ἀλέντες» κελεύει «αὖτις ἐπ' ἂψ θέμεναι σανίδας πυκνῶς ἀραρυίας». ὃ περίφρασίς ἐστι τοῦ «κλείσατε τὰς πύλας», καθὰ καὶ τὸ «σανίδας πυκνῶς ἡρμοσμένας περιφραστικὴ ἑρμηνεία ἐστὶ τοῦ πύλας, ἔτι δὲ καὶ τοῦ θύρας. πύλαι γὰρ καὶ θύραι σανίδες εἰσὶ καὶ αὐταὶ ἀραρυῖαι πυκινῶς. (v. 537) Τὸ δέ γε ἀνοῖξαι οὕτω περιφράζει «οἳ δὲ ἄνεσάν τε πύλας καὶ ἀπῶσαν ὀχῆας». Τοῦτο δὲ πρωθύστερόν ἐστι. πρῶτον γὰρ οἱ μοχλοί, τουτέστιν οἱ ὀχῆες, ἀπωθοῦνται, εἶτα αἱ πύλαι ἀνίενται, ὃ δηλοῦται διὰ τοῦ «ἄνεσαν», ἤτοι ἀνῆκαν καὶ ἐχαύνωσαν. ἀλλαχοῦ δὲ τὸ ἀνοῖξαι καὶ τὸ κλεῖσαι συντομώτατα φράζων ἀνακλῖναι καὶ ἐπιθεῖναί φησιν. ὥστε κατὰ τὸν ποιητὴν ταὐτὸν τὸ ἀνοῖξαι πύλας καὶ ἀνεῖναι καὶ ἀναθεῖναι καὶ πετάσαι. (v. 538) Ἐπὶ δὲ τούτοις εἰπὼν ὅτι «αἳ δέ», ἤγουν αἱ πύλαι, «πετασθεῖσαι τεῦξαν φάος», φάος ἢ τὴν σωτηρίαν τῶν φευγόντων λέγει, ὡς καὶ ἐν τῷ «φάος δ' ἑτάροισιν ἔθηκεν ἄνδρα βαλών», ἢ καὶ αὐτὸ τοῦτο τὸ ἐξ ἡλίου φῶς, ἵνα λέγῃ τὸ παρακολουθοῦν τῇ ἀνοίξει τῶν πυλῶν. πολλάκις γὰρ ἐπιπροσθοῦσαι τῷ ἔξωθεν φωτὶ αἱ πύλαι φάος τεύχουσιν ἀνοιγεῖσαι. (v. 540—3) Ὅτι ἐν τῷ «οἳ δ' ἰθὺς πόλιος καὶ τείχεος ὑψηλοῖο δίψῃ καρχαλέοι, κεκονιμένοι, ἐκ πεδίοιο φεῦγον. ὃ δέ», ἤγουν ὁ Ἀχιλλεύς, «σφεδανὸν ἔφεπ' ἔγχεϊ, λύσσα δέ οἱ κῆρ αἰὲν ἔχε κρατερή, μενέαινε δὲ κῦδος ἀρέσθαι» Ἡρόδωρος καὶ Ἀπίων ἐκτείνουσι τὸ «σφεδανῶν» ὡς μετοχήν, λέγοντες εἰλῆφθαι τὴν λέξιν ἀντὶ τοῦ «σφοδρῶς διώκων». οἱ μέντοι πλείονες ὡς ἐπίρρημα λαμβάνοντες αὐτὸ «σφεδανόν» λέγουσι τὸ σπευστικὸν καὶ σφοδρόν.

4.552 (v. 541) Τὸ δὲ «δίψῃ» θηλυκοῦ γένους ἐστί. τὸ γὰρ δίψος τῶν ὑστέρων ἐστίν. Ὅμηρος δὲ δίψαν οἶδεν, ὡς εὐθὺς δηλωθήσεται. Καρχαλέοι δὲ οἱονεὶ καρφαλέοι, ὅ ἐστι κατάξηροι τήν τε γλῶσσαν καὶ τὰ λοιπὰ τοῦ σώματος. ὅθεν μετ' ὀλίγα κατὰ ἄστυ πεφυζότες «ἔπιόν τε ἀκέοντό τε δίψαν». Ὅρα δὲ ὅτι τὸν μὲν Ἕκτορά που κύνα εἶπέ τις λυσσητῆρα, ἐνταῦθα δὲ αὐτὸς ὁ ποιητὴς ἔχεσθαι τὸν Ἀχιλλέα λύσσῃ φησὶ κραταιᾷ, σιγήσας τὸ τοῦ κυνὸς ὄνομα διὰ τὸ εὐφημότερον. (v. 547 s.) Ὅτι θείας δυνάμεως δηλωτικὸν τὸ «ἐν μέν οἱ κραδίῃ θράσος βάλε, πὰρ δέ οἱ αὐτὸς ἔστη, ὅπως θανάτοιο βαρείας κῆρας ἀλάλκοι». Φοῖβος δὲ οὕτω ποιεῖ ἐς Ἀγήνορα τὸν Ἀντηνορίδην, [ἐξελθὼν εἰς μάχην αὖθις ἐκ τῆς πόλεως κατὰ τὸ σιωπώμενον, ἐφ' ᾧ] ἀντιτάξαι αὐτὸν τῷ Ἀχιλλεῖ πρὸς ἀποπλάνησιν τοῦ κατ' εὐθὺ δρόμου, μὴ καὶ ὑψίπυλον Τροίην ἕλοιεν υἷες Ἀχαιῶν. (v. 550 et 558) Ἐν τῷ τόπῳ δὲ τούτῳ καὶ πτολίπορθον τὸν Ἀχιλλέα ὁ ποιητὴς καλεῖ, καὶ τὸ Τρωϊκὸν πεδίον μετ' ὀλίγα Ἰλήϊον λέγει, ἤγουν Ἴλειον, τουτέστι περὶ ὃ τέθαπτο Ἶλος, ἐξ οὗ παρώνυμος ἡ πόλις, τὸ Ἴλιον. τινὲς δὲ Ἰδήϊον πεδίον γράφουσι τὸ τῇ Ἴδῃ ὑποκείμενον διὰ τὸ εὐθὺς ἐπαγαγεῖν τὸν ποιητὴν «ὄφρ' ἂν ἵκωμαι Ἴδης κνημούς». (v. 551) Ὅτι πολύφροντιν ἄνδρα δηλοῖ τὸ «πολλὰ δέ οἱ κραδίη πόρφυρε μένοντι». ἀλλαχοῦ δὲ «πόρφυρε κιόντι» ἐρρέθη. τί δὲ τὸ πορφύρειν, πολλαχοῦ ἡρμήνευται. (v. 553—61) Ὅτι οἱ πείσαντες τὸν Ἀγήνορα λογισμοὶ ἀντιστῆναι νῦν τῷ Ἀχιλλεῖ τοιοῦτοι, ὡς εἰκός, ἦσαν «ὤμοι ἐγών, εἰ μέν κεν ὑπὸ κρατεροῦ Ἀχιλῆος φεύγω, τῇ περ», ἤγουν ὅπου, «οἱ ἄλλοι ἀτυζόμενοι φοβέονται», ἢ κλονέονται, «αἱρήσει με καὶ ὣς καὶ ἀνάλκιδα δειροτομήσει· εἰ δ' ἂν ἐγὼ τούτους μὲν ὑποκλονέεσθαι ἐάσω Πηλείδῃ Ἀχιλῆϊ, ποσσὶ δ' ἀπὸ τείχεος ἄλλῃ φεύγω πρὸς πεδίον», τό, ὡς εἴρηται, Ἰλήϊον, «ὄφρ' ἂν ἵκωμαι Ἴδης τε κνημούς», τοὺς προερμηνευθέντας, «κατά τε ῥωπήϊα δύω», ἤγουν ὑπεισέλθω δάση τὰ καὶ αὐτὰ προδηλωθέντα, «ἑσπέριος δ' ἂν ἔπειτα λοεσσάμενος ποταμοῖο, ἱδρῶ ἀποψυχθείς, προτὶ Ἴλιον ἀπονεοίμην».

4.553 (v. 562) Καὶ μέχρι τούτων ἐλθὼν καὶ συνεὶς ὅτι οὐ καλῶς ἐνταῦθα νοεῖ, ἐγκόπτει τὸν ἐφεξῆς εἱρμὸν τοῦ λόγου, καὶ ἀφεὶς ἀναπόδοτον κατὰ σχῆμα ἐλλείψεως ἐπισημαίνεται τὸ

κακόβουλον, εἰπὼν «ἀλλὰ τί μοι ταῦτα φίλος διελέξατο θυμός»; (v. 563 s.) Εἶτα οἷον ἐπιδιορθούμενος ἐπάγει «μή με ἀπαειρόμενον πόλιος πεδίονδε νοήσῃ καί με μεταΐξας μάρψῃ ταχέεσσι πόδεσσιν», ὡς μὴ ἂν ἰσχῦσαι φυγεῖν ἐς τὴν Ἴδην. καὶ ἔστι καὶ ἐνταῦθα ἕτερον ἐλλειπτικόν. ἐν γὰρ τῷ «μή μ' ἀπαειρόμενον πόλιος νοήσῃ» καὶ ἑξῆς, λείπει τὸ δείδια ἤ τι τοιοῦτον, ἵνα λέγῃ, ὅτι δέδοικα μή με ποδωκείᾳ καταλαβὼν Ἀχιλλεὺς ἀνέλῃ. (v. 565) Δυσὶ δὲ τούτοις ἐλλειπτικοῖς σχήμασιν ἐπάγει καὶ ἀσύνδετον τὸ «οὐκέτ' ἔπειτ' ἔσται θάνατον ἀλύξαι». δῆλον δὲ ὅτι γοργότητα ποιοῦν καὶ τὸ ἀσύνδετον, καθὰ καὶ τὰ ἐλλειπτικά, ἀγωνιῶντι προσώπῳ οἰκειοῦνται καὶ ἀποστενοῦσι τὸν λόγον ὡς οἷα τῷ προσώπῳ συνεπισπεύδοντα καί πως μὴ δυναμένῳ λαλεῖν ἀκέραια, συμβαλλόμενα πρὸς τοῦτο καὶ αὐτά. εἶτα ἐπιρρώσας ἑαυτὸν ὁ Ἀγήνωρ, καθὰ ῥηθήσεται, ἀποκαθίσταται εἰς τὸ μὴ φυγεῖν ἀλλ' ἀντιστῆναι τῷ Ἀχιλλεῖ. ὅτι δὲ μόλις ἐκφεύγει τὸ μὴ θανεῖν ἁρπαγεὶς ὑπὸ τοῦ Ἀπόλλωνος, μετ' ὀλίγα καὶ αὐτὸ δηλωθήσεται. (v. 560) Ἰστέον δὲ ὅτι ἡ πρώτη ἔλλειψις δύναται θεραπευθῆναι ἐν τῷ «ἑσπέριος δ' ἂν ἔπειτα», εἴπερ νοηθείη ὡς ἑσπέριος δὴ ἄν, ἵνα λέγῃ ὅτι, εἰ φύγω πρὸς πεδίον ὡς εἰς τὴν Ἴδην καὶ τῷ τέως ὑποδύσομαι τὰ ῥωπήϊα, πρὸς ἑσπέραν δὴ ἔπειτα λουσάμενος ἐπανελεύσομαι. Ἐν τούτοις δὲ ἰστέον καὶ ὅτι στρατιωτικὸν λουτρὸν δηλοῖ ὁ ποιητὴς ἐν τῷ «ἑσπέριος λοεσσάμενος ποταμοῖο, ἱδρῶ ἀποψυχθείς», καὶ ὅτι ὁ μεταβουλευσάμενος καὶ οἷον εἰπὼν ἐν ἑαυτῷ, ὡς ἕτερός με θυμὸς ἀνῆκεν, εἴποι ἂν καὶ τό «ἀλλὰ τί μοι ταῦτα φίλος διελέξατο θυμός» ἔνθα δὲ φανερὸς ὁ κίνδυνος, λεχθείη ἂν τὸ «οὐκέτ' ἔπειτα ἔσται θάνατον καὶ κῆρας ἀλύξαι».

4.554 (v. 557) Ἰστέον δὲ ὅτι τὸ «ἄλλῃ φεύγω», τουτέστιν ἀλλαχοῦ, ἐπιρρηματικὸν καὶ νῦν ὄν, ὅμως προσγεγραμμένον ἔχει τὸ ι , ὡς ἀπὸ δοτικῆς γεγονός, καθὰ καὶ τὸ ταύτῃ ἀντὶ τοῦ οὕτως, καὶ τὸ ἑτέρηφι παρ' Ἡσιόδῳ ἀντὶ τοῦ ἑτέρως. [Τὸ δὲ «ποσὶ φεύγω» πρὸς διαστολὴν ἐφράσθη τοῦ ἄλλως φεύγειν, οἷον ψυχῇ, ὃ προηγεῖται τοῦ φεύγειν ποσίν, ὥσπερ καὶ τὸ «μάρψῃ πόδεσσι» διέσταλται τοῦ ἄλλως μάρπτειν, ὅπερ μάλιστα κυριολεκτεῖσθαι εἴωθεν ἐπὶ χειρῶν.] (v. 560) Τὸ δὲ «ποταμοῖο» λείπεται προθέσεως. ἔστι γὰρ ἀντὶ τοῦ ἐπὶ ποταμοῦ. (v. 560) Τοῦ δὲ «ἀποψυχθεὶς ἱδρῶ» οὐκ ἔστι φράσαι καιριώτερον οὐ γὰρ ἀπονίζεται οὐδὲ ἀποψᾶται ἁπλῶς τοιοῦτος ἱδρώς, ἀλλ' ἐπὶ ἀναψυχῇ, ἧς δηλωτικὸν τὸ ἀποψυχθείς, ἑτεροῖον ὂν τοῦτο παρὰ τὸ ἀποψυγῆναι, ὃ κυρίως ἐπὶ φυτῶν κεῖται. (v. 562) Τὸ δὲ «φίλος θυμός» ταὐτὸν τῷ φίλον ἦτορ. (v. 563) Τὸ δὲ «ἀπαειρόμενον πεδίονδε» ἀντὶ τοῦ ταχὺ φεύγοντα ὡς οἷον ἀέριον φερόμενον. Ὅτι ὁ ῥηθεὶς Ἀγήνωρ, ὃν δῖον ἀμύμονά τε κρατερόν τε λέγει, οἶδε μὲν ὅτι λίην κρατερὸς περὶ πάντων ἔστ' ἀνθρώπων ὁ Ἀχιλλεύς, πείθει δὲ ὅμως ἑαυτὸν μετὰ τοὺς ῥηθέντας ἀνωτέρω διαλογισμοὺς θυμὸν ἀναλαβέσθαι καὶ ἀντιστῆναι. (v. 567—70) Φησὶ γὰρ «εἰ δέ κεν οἱ προπάροιθε πόλιος κατεναντίον ἔλθω, καὶ γὰρ δὴ καὶ τούτῳ τρωτὸς χρὼς ὀξέϊ χαλκῷ, ἐν δὲ ἴα ψυχή. θνητὸν δέ ἕ φας' ἄνθρωποι ἔμμεναι· αὐτάρ οἱ θεὸς κῦδος ὀπάζει».

4.555 ὁ δὲ τοιοῦτος νοῦς προσαρμόσει ἀνδρὶ ἀσθενεστέρῳ κατατολμῶντι γενναιοτέρου τινός. Σημείωσαι δὲ καὶ ὅτι ἐνταῦθα ἔλλειψίς τίς ἐστιν. ἐν γὰρ τῷ «εἰ δέ οἱ κατεναντίον ἔλθω» δοκεῖ λείπειν τὸ ἴσως ἀνέλω αὐτὸν ἢ τοιοῦτόν τι, ὅπερ ὀκνῶν εἰπεῖν ὁ Ἀγήνωρ ἐνέλειψεν. οὕτω γὰρ εὐοδοῦται ἐφεξῆς τὸ «καὶ γὰρ δὴ τούτῳ τρωτὸς χρώς». ἄλλως μέντοι εἰ μὴ ἐλλειπτικὸς ἐνταῦθα ὁ λόγος, περισσός ἐστιν ὁ γαρ σύνδεσμος, ἵνα λέγῃ ὅτι, εἰ δέ οἱ ἀντίος ἔλθω, καὶ τούτῳ τρωτὸς ὁ χρώς. εὕρηται δὲ πολλαχοῦ καὶ ἐν Ὀδυσσείᾳ ἐκ περισσοῦ κείμενος ὁ τοιοῦτος σύνδεσμος, ὥσπερ καὶ ὁ και καὶ ὁ δε καὶ ὁ ἀλλὰ καὶ ἕτεροι. (v. 571—80) Ὅτι θυμὸν παρδάλεως ἱστορῆσαι βουλόμενος Ὅμηρος καὶ ὡς ἑαυτὴν ἐπιρρίπτει θανάτῳ, παραβάλλει αὐτῇ τὸν εἰρημένον Ἀγήνορα, λέγων ὅτι ἀλείς, ὅ ἐστι συστραφείς, ἔμενε τὸν Ἀχιλλέα, «ἐν δέ οἱ ἦτορ ἄλκιμον ὡρμᾶτο πολεμίζειν ἠδὲ μάχεσθαι. ἠΰτε πόρδαλις εἶσι βαθείας ἐκ ξυλόχοιο ἀνδρὸς θηρητῆρος ἐναντίον, οὐδέ τι θυμῷ ταρβεῖ οὐδὲ φοβεῖται, ἐπεί κεν ὑλαγμὸν ἀκούσῃ· εἴ περ γὰρ φθάμενός μιν ἢ οὐτάσῃ ἠὲ βάλησιν, ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένη, οὐκ ἀπολήγει ἀλκῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρίν γ’ ἠὲ ξυμβλήμεναι ἠὲ δαμῆναι· ὣς Ἀγήνωρ οὐκ ἔθελεν φεύγειν, πρὶν πειρήσαιτ’ Ἀχιλῆος». (v. 573) Ἰστέον δὲ ὅτι ὡς τὰ πολλὰ ἡ ποίησις πόρδαλιν λέγει διὰ τοῦ ο παρὰ τὸ προάλλεσθαι, πλεονάσαντος τοῦ δέλτα. ἐν δὲ ῥητορικῷ παλαιῷ Λεξικῷ εὕρηται οὕτως. πόρδαλιν, οἱ ἄλλοι, Ἀττικοὶ δὲ πάρδαλιν. Ὅμηρος δὲ τὸ μὲν ζῷον διὰ τοῦ ο , τὴν δορὰν δὲ διὰ τοῦ α . Θηλυκῶς δὲ κἀνταῦθα ἡ ξύλοχος, δηλοῖ δὲ τὸν ὑλώδη καὶ δασὺν τόπον ὡς ξύλα ἔχοντα. (v. 575) Τὸ δὲ «οὐ ταρβεῖ οὐδὲ φοβεῖται» ἀντὶ τοῦ οὔτε δειλιᾷ οὔτε φεύγει. Τὸ δὲ «ἐπεί κεν ὑλαγμὸν ἀκούσῃ» τινὲς γράφουσιν «ἐπεὶ κυνηλαγμὸν ἀκούσῃ», διὰ τὸ γράψαι που τὸν Στησίχορον «ἀπειρεσίου κυνηλαγμοῦ». παλαιὸς δέ τις, μεμφόμενος τὴν τοιαύτην γραφήν, φησὶν ὅτι οὐχ’ ὁρῶ πλέον τι ἐκ τοῦ συνθέτου. καὶ χωρὶς γὰρ κυνὸς ὑλαγμὸς ἐπὶ κυνῶν ἀκούεται, ὡς ἐπὶ ἵππων χρεμετισμός.

4.556 ἄλλως τέ φησι τὰ εἰς μος τῷ γ παραληγόμενα μετὰ προθέσεως συντίθενται μενούσης τῆς αὐτῆς τάσεως, ἤγουν τοῦ αὐτοῦ τόνου, οἷον παιγμός ἐμπαιγμός, κηρυγμός ἐκκηρυγμός. ἔδει οὖν καὶ τὸ ὑλαγμός τοιοῦτόν τι παθεῖν καὶ μὴ συντεθῆναι μετ’ ἄλλου μέρους λόγου. (v. 576) Ὅρα δὲ καὶ ὅτι διαφέροντα κἀνταῦθα κεῖνται τὸ οὐτάσῃ» καὶ τὸ «βάλῃ». (v. 577) Τὸ δὲ καὶ περὶ δουρὶ πεπαρμένην τὴν πάρδαλιν μὴ λήγειν ἀλκῆς καὶ σῦς πάσχει καὶ ἕτερα ζῷα θυμομαχοῦντα ἐν τοῖς κινδύνοις. (v. 578) Ξυμβλήμεναι δὲ τὸ πλησιάσαι καὶ συμμῖξαι. (v. 581) Ὅτι τὸ «ἀσπίδα πρόσθεν ἔσχετο Ἀγήνωρ» ἀντὶ τοῦ προεβάλετο εἰς φυλακὴν τοῦ σώματος. (v. 583—9) Ὅτι πρὸς θρασυνόμενον στρατηγὸν εἰκῇ κατὰ πόλεως εἴποι ἄν τις σώφρων πολίτης ἀριστεὺς τοιαύτα «ἦ δή που» ἢ «ἤδη που», «μάλ’ ἔολπας ἐνὶ φρεσί, φαίδιμε δεῖνα, ἤματι τῷδε πόλιν πέρσειν. νηπύτιε, ἦ τ’ ἔτι», ἤγουν ὄντως ἔτι, «πολλὰ τετεύξεται ἄλγεα ἐπ’ αὐτῇ· ἐν γάρ οἱ πολέες τε καὶ ἄλκιμοι ἀνέρες εἰμέν», ἤγουν ἐσμέν, «οἳ πρόσθε φίλων τοκέων ἀλόχων τε καὶ υἱῶν [Ἴλιον] εἰρυόμεσθα» ἢ «εἰρυσόμεθα, σὺ δ’ ἐνθάδε πότμον ἐφέψεις ὧδ’ ἔκπαγλος ἐὼν καὶ θαρσαλέος πολεμιστής». πρὸς Ἀχιλλέα δὲ ταῦτα ὁ Ἀγήνωρ φησί, φθάνων ἐπαίνοις γεραίρειν τὸν κατ’ αὐτοῦ νικητὴν ἐσόμενον. (v. 585) Ὅρα δὲ ὅτι ἀντὶ τοῦ «νήπιε» κοινοῦ ὀνόματος καὶ συνήθους ἐν πολλοῖς τῷ ποιητῇ τὸ «νηπύτιος» ποιητικὸν ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ ἐπλεόνασεν. (v. 588) Εἰρύεσθαι τὸ φυλάττειν ἀπὸ τοῦ ἐρύω πλεονασμῷ τοῦ ι , ὥσπερ καὶ ἐῶ εἰῶ καὶ ἐρωτῶ εἰρωτῶ. Τὸ δὲ «ἐφέψεις» ἀντὶ τοῦ ἀκολουθήσεις, διώξεις, καταλάβῃς. τοιοῦτον οὖν πάντως καὶ τὸ πότμον ἐπισπεῖν, ἐπειδὴ καὶ τὸ ἐφέψειν, ὃ δὴ μέλλων ἐστὶ τοῦ ἐφέπω ῥήματος, ταὐτὸν δύναται τῷ ἐπισπεῖν. (v. 587) Τὸ δὲ «τοκέων ἀλόχων τε καὶ υἱῶν» ἔν τισιν ἀντιγράφοις μετὰ τὸ «ἀλόχων» ἔχει κείμενον τὸ «τοκέων». (v. 590) Ὅτι ἀστείως εἴρηται περὶ Ἀγήνορος τὸ «ὀξὺν ἄκοντα βαρείης χειρὸς ἀφῆκε» κατὰ Ἀχιλλέως. ἔχει γάρ τι γλυκείας ἀντιθέσεως ἐνταῦθα τὸ ὀξὺ καὶ τὸ βαρύ.

4.557 τινὰ δὲ τῶν ἀντιγράφων «παχείης χειρός» γράφουσιν. (v. 594) Ὅτι ἀλλαχοῦ μὲν τὴν χρυσῆν πτύχα τῆς ἀσπίδος τοῦ Ἀχιλλέως θεοῦ δῶρα εἶπεν ὁ ποιητής, ὡς ἐκεῖ ἐγράφη, ἐνταῦθα δὲ τὴν ἐκ κασσιτέρου νεοτεύκτου κνημῖδα οὕτω καλεῖ, εἰπὼν «θεοῦ δ’ ἠρύκακε δῶρα». (v. 591—4) Σημείωσαι δ’ ἐνταῦθα καὶ ὅτι «ἔβαλε» τίθησιν οὐκ ἐπὶ πληγῆς καὶ σαρκῶν ψαύσεως. φησὶ γὰρ «καί ῥ’ ἔβαλε κνήμην ὑπὸ γούνατος οὐδ’ ἀφάμαρτεν· ἀμφὶ δέ οἱ κνημὶς σμερδαλέον κονάβησε, πάλιν δ’ ἀπὸ χαλκὸς ὄρουσε βλημένου οὐδ’ ἐπέρησε». ὥστε βαλεῖν λέγεται καὶ τὸ ἁπλῶς εὐστοχῆσαι, κἂν μὴ διακύψῃ τὸ βέλος ἐντός. πλείων δ’ ὅμως ἡ ἑτέρα χρῆσις. διὸ κατὰ παράχρησιν Ὅμηρος εἰπὼν ἐνταῦθα «ἔβαλε κνήμην» ἐπάγει πρὸς ἑρμηνείαν τὸ «οὐδ’ ἀφάμαρτεν». εἶτα πρὸς πλείω σαφήνειαν λέγει «πάλιν δ’ ἀπὸ χαλκὸς ὄρουσεν», ἤτοι ὀπίσω ὥρμησεν. οὗπερ αὖθις ἐφερμηνευτικὸν τὸ «οὐδ’ ἐπέρησε». τὸ γὰρ ὁρμῆσαν ὀπίσω πάντως οὐκ ἐπέρησεν ὡς προκύψαι ἐπὶ τὰ ἐντός. [Ἰστέον δὲ ὅτι, καθὰ πολεμῶ πολεμίζω, νεμεσῶ νεμεσίζω, οὕτω διχῶς καὶ κοναβῶ καὶ κοναβίζω. δοκεῖ δὲ διφορεῖσθαι ὁμοίως, καθὰ καὶ ἀλλαχοῦ παρεσημάνθη, καὶ τὸ ὀργίζω. φαίνεται γὰρ καὶ ὀργῶ εἶναι ῥῆμα, ἐξ οὗ ἀοργησία καὶ ἀόργητος. εἰ δέ τις ἐρεῖ ἐκ τοῦ ὀργῶ, τὸ ὁρμῶ, αὐτὰ γίνεσθαι, ἴστω ὡς οὐκ ἔστι κίνησις τοῦ ὀργῶ, ἀλλ’ ἀντ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτοῦ τὸ ὀργιάζω κινεῖται.] (v. 591) Ὅρα δὲ καὶ τὸ «ὑπὸ γούνατος» δηλοῦν ποῖον μέρος κνήμη λέγεται. Σημείωσαι δὲ ὡς, εἰς καὶ μὴ διήλασεν ὁ Ἀγήνωρ, ὅμως ἔτυχε τῆς κνήμης τοῦ Ἀχιλλέως, δεξιῶς μὲν ἀφείς, κωλυθεὶς δὲ βλάψαι διὰ τὸ τῆς κνημῖδος ἡφαιστότευκτον ἢ καὶ νεότευκτον. (v. 595) Ὅτι τὸ ὥρμησεν ὡρμήσατο ἐνταῦθά φησιν, οὕτω δὲ κατωτέρω καὶ τὸ ἐδίωκεν ἐδιώκετο, εἰπών, ὅτι τε ὡρμήσατο Ἀγήνορος Ἀχιλλεύς, ἤγουν κατὰ τοῦ Ἀγήνορος, καὶ ὅτι τὸν Ἑκάεργον πεδίοιο διώκετο πυροφόροιο, ἤγουν διὰ τῆς πεδιάδος. (v. 598) Ὅτι τὸ «ἡσύχιον δ' ἄρα μιν πολέμου ἐξέπεμπε νέεσθαι», ὁ Ἀπόλλων δηλαδὴ τὸν Ἀγήνορα, καλὸν εἰπεῖν ἐπὶ τοῦ μηδὲν ὅλως κακὸν ἐν πολέμῳ παθόντος.

4.558 εὐφήμως δὲ λεχθήσεταί ποτε καὶ ἐπὶ τοῦ κατὰ δειλίαν ἀνασωθέντος ὑπό τινος. (v. 595—607) Κεῖται δὲ καὶ τοῦτο ἐν τῷ «ὡρμήσατο» μὲν Ἀχιλλεὺς κατὰ τοῦ Ἀγήνορος «δεύτερος, οὐδέ τ' ἔασε κῦδος ἀρέσθαι, ἀλλά μιν ἐξήρπαξε, κάλυψε δ' ἄρ ἠέρι πολλῇ· ἡσύχιον δ' ἄρα μιν», ὡς ἐρρέθη, ἐξέπεμπε, τὸν Ἀχιλλέα δὲ «δόλῳ ἀποέργαθεν», ἤγουν ἀπεῖργε, «λαοῦ· αὐτῷ γάρ ῥ' Ἑκάεργος, Ἀγήνορι πάντα ἐοικώς, ἔστη πρόσθε ποδῶν, ὃ δ' ἐπέσσυτο διώκειν, ἕως ὁ τόν», ἤγουν ἕως ὁ Ἀχιλλεὺς τὸν Ἀπόλλωνα, «πεδίοιο», καθὰ ἐρρέθη, «διώκετο πυροφόροιο τρέψας πὰρ ποταμὸν βαθυδινήεντα Σκάμανδρον, τυτθὸν ὑπεκπροθέοντα, δόλῳ δ' ἂρ ἔθελγεν Ἀπόλλων, ὡς αἰεὶ ἔλποιτο κιχήσεσθαι ποσὶν οἷσιν», ἤγουν ἰδίοις, «τόφρα», ἤγουν ἐν τοσούτῳ, «ἄλλοι Τρῶες πεφοβημένοι ἦλθον ὁμίλῳ», ἤγουν ὁμιλαδόν, ὅ ἐστιν ἰλαδόν καὶ ὁμοῦ, «ἀσπάσιοι προτὶ ἄστυ, πόλις δ' ἔμπλητο ἀλέντων», ἤτοι συγκλεισθέντων. καὶ τοῦτό ἐστιν ἡ αἰτία τῆς ἐπὶ τῷ Ἀγήνορι μυθογραφίας. ἄλλως γὰρ οὐκ εὐδιοίκητον εἶχε πιθανότητα σωθῆναι ἀσκύλτως τοὺς Τρῶας ἔσω πόλεως, εἰ μὴ ὁ ἀληθὴς ἢ ὁ φαινόμενος Ἀγήνωρ ἀπέπλαγξε τὸν Ἀχιλλέα, καὶ οὕτως ἐν ἀδείᾳ φυγόντες οἱ τῆς πεδιάδος Τρῶες σῴζονται. ἠρκέσθη γὰρ ὁ ποιητὴς τῷ παραποταμίῳ ὀλέθρῳ καὶ διὰ τοῦτο τοὺς τῆς πεδιάδος ἀκινδύνους ἐᾷ. Καὶ ὅρα ὅπως ὁ Ἀχιλλεὺς εἰς βραχύ τι σπεύσας διὰ φιλοτιμίαν ἄκαιρον τῶν μεγάλων ἐξέπεσε, καὶ οὔτε τοῦ Ἀγήνορος ἔτυχε, καὶ οὐδὲ τοὺς τῆς πεδιάδος πολεμίους ἔβλαψεν, οὐ κατὰ τὸν παροιμιώδη κύνα ἥττονος κρέως τὸ μεῖζον ἀλλαξάμενος, ἀλλ' ἔμπαλιν τῇ εἰς μικρόν τι λιχνείᾳ καὶ τῶν μειζόνων διεκπεσών. (v. 597) Ἔτι ὅρα καὶ ὅτι τὸ «ἐξήρπαξε» θεραπεύων ἀλληγορικῶς ὁ ποιητὴς ἔφη «ἐκάλυψεν ἠέρι πολλῇ» μονονουχὶ λέγων, ὡς ἁρπαγὴν ἐνταῦθα νοητέον ἀποκρυβήν τινα δι' ἀορασίας, ὑποδύντος, οἷα εἰκός, τοῦ Ἀγήνορος μυρίκας ἢ ἑτέραν τινα ὕλην ἐκ τῆς παρὰ τῷ ποταμῷ, ἥτις ἀποκρυβὴ τὸν Ἀγήνορα θανάτου ὑπεξελοῦσα ὡς μὴ θανεῖν ὑπὲρ μοῖραν εἰς τὸν κατὰ μοῖραν ἐξειλημμένον Ἀπόλλω ἀνάγεται.

4.559 (v. 601) Τὸ δὲ «πρόσθε ποδῶν» τὴν ἐγγύτητα δηλοῖ τὴν ἄγαν, ὑφ' ἧς δολούμενος ἐθέλγετο Ἀχιλλεύς. οὕτω καὶ πέρδιξ περιποιεῖται τὰ νεογνά, εἰλουμένη πρὸ τῶν ποδῶν τοῦ θηρατοῦ, ἕως ἐκεῖνα ἡσύχια γένωνται διαπεφευγότα τὸν τάραχον. (v. 602) Τὸ δὲ «πεδίοιο διώκετο» καὶ ἑξῆς, ἀκίχητα διώκειν καὶ τὸν Πηλείδην ἄρτι δηλοῖ. Τὸ δὲ «πυροφόροιο τὸ τῆς Τροίας ἑρμηνεύει ἐρίβωλον. (v. 604) Τὸ δὲ «δόλῳ ἔθελγεν» ἀντὶ τοῦ ἡδέως ἠπάτα κἀνταῦθα κεῖται. (v. 607) Τὸ δὲ «ἀσπάσιοι» ἀγαθὴ λέξις ἐστίν. ὅθεν διὰ τὸ καίριον πάλιν μετ' ὀλίγα ἐπιρρηματικῶς λέγει, ὅτι «ἀσπασίως ἐσέχυντο εἰς πόλιν», ἤτοι κατὰ σπουδὴν πολλὴν ὡς οἷα χυθέντες εἰσῆλθον, ἐκ μεταφορᾶς καὶ νῦν τῶν κατὰ ῥοῦν χεομένων ὑδάτων. (v. 608—11) Εἶτα ἐφερμηνεύων τὸ «Τρῶες πεφοβημένοι ἦλθον» καὶ διασαφῶν τὴν ἐν αὐτοῖς σπουδήν, φησὶν «οὐδ' ἄρα τοί γε», ἤγουν οἱ Τρῶες, «ἔτλαν μεῖναι ἔτη ἀλλήλους καὶ γνῶναι ὅς τε πεφεύγοι, ὅς τε ἔθαν' ἐν πολέμῳ, ἀλλ' ἀσπασίως», καθὰ ἐρρέθη, «ἐσέχυντο ἐς πόλιν, ὅν τινα τῶν γε πόδες καὶ γοῦνα σάωσαν». ὃ δὴ μερικεύει τὸ πληθυντικὸν συνήθως εἰς ἑνικὴν πτῶσιν. οὐ γὰρ πάντες Τρῶες εἰσῆλθον, ἀλλ' ὃς ἐκ πολέμου φυγὼν σέσωστο. Λέγει δὲ γόνατα μὲν τὰ συνήθη, πόδας δὲ τὰ μετὰ τὴν κνήμην, ὡς καὶ ἀλλαχοῦ εἴρηται. (v. 611) Εἰ δὲ καὶ ἐν ἄλλοις τὰ γοῦνα φέρειν ἁπλῶς τινας λέγονται, ἀλλ' ἐνταῦθα καὶ σῴζουσι τοὺς ῥωμαλέως φεύγοντας. τοῖς δὲ ποσὶ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῖς γούνασι καὶ αἱ μέσον αὐτῶν πάντως κνῆμαι συνεπινοοῦνται. προέθετο δὲ τοὺς πόδας, διότι τῇ αὐτῶν διαστάσει πλείονι οὔσῃ ὁ δρόμος ἐπιταχύνεται κατὰ τὸ «πόδες δ’ ὑπερικταίνοντο», ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται. (v. 609 s.) Ἰστέον δὲ καὶ ὅτι τὸ «ὃς ἔθανε» δηλοῖ, ὡς καὶ τὸ «ὃς πεφεύγοι» Ἀττικῶς νοεῖται ἀντὶ τοῦ πέφευγεν. ΕΚ ΤΩΝ ΤΗΣ ΧΙ Ὅτι τῆς χῖ ῥαψῳδίας, ἐμμέτρως μὲν εἰπεῖν, ἡ περιπέτεια τοιαύτη· Χῖ, Θέτιδος γόνος ὠκὺς ἀπώλεσεν Ἕκτορα δῖον.

4.560.(t) ἄλλως δέ· Ἕκτορος ἀναίρεσις. (v. 1—3) Ὅτι ἐν ἄλλοις μὲν ἑστάναι τινὰς εἶπε τεθηπότας καθὰ νεβρούς, ἐνταῦθα δὲ τοὺς Τρῶας ὁμοίως λέγει πεφευγέναι. φησὶ γὰρ «ὣς οἳ μὲν κατὰ ἄστυ πεφυζότες ἠΰτε νεβροὶ ἱδρῶ ἀπεψύχοντο, πίον τε ἀκέοντό τε δίψαν, κεκλιμένοι καλῇσιν ἐπάλξεσιν». ὡς γὰρ προερρέθη, δίψῃ καρχαλέοι ἔφευγον. ὕδατος δὲ δηλονότι ἔπιον, εἰ καὶ ὁ ποιητὴς αὐτὸ σιωπᾷ συνεπισπεύδων τοῖς γινομένοις, ὃς καὶ στενοτάτῃ παραβολῇ διὰ ὁμοίαν συντομίαν ἐχρήσατο. [Ἰστέον δὲ ὅτι, ὥσπερ ἐν τῷ πιεῖν καὶ πίε, οἷον «Κύκλωψ, τῆ πίε οἶνον», καὶ ἐν ἄλλοις δὲ τοιούτοις, συστέλλεται τὸ ι λόγῳ παραληγούσης δευτέρου ἀορίστου, οὕτω κἀνταῦθα ἐν τῷ «πίον τ’ ἀκέοντό τε δίψαν». οὗ δὴ ῥήματος διττὴ διάθεσις. ἢ γὰρ «πίον καὶ ἀκέοντο». ἢ «πίοντο καὶ ἀκέοντο», παθητικῷ σχήματι ἄμφω. καὶ οὕτω μὲν ταῦτα. ἐν δὲ τῷ «πιόμεν’ ἐκ βοτάνης», ἤγουν μέλλοντα πιεῖν, ἐκτείνεται τὸ κατάρχον δίχρονον. Ἔτι ἰστέον καὶ ὅτι οὐ μόνον πίω καὶ πίομαι, ἀλλὰ καὶ πιοῦμαι, Ἀριστοφάνης «πικρότατον οἶνον τήμερον πιῇ».

4.561 ὡς δὲ κοινόν ἐστι ῥῆμα τὸ πίω, πέφηνε πολλαχοῦ. διὸ οὐ μόνον αὐθυποτάκτου λόγῳ τὸ πίωμαι μεγεθύνει τὴν παραλήγουσαν παρὰ τοῖς ὕστερον, ἀλλὰ καὶ συστέλλει κατὰ τὸ τίω τίομαι. δηλοῖ δὲ τὴν κοινότητα τοῦ πίω καὶ ὁ «πίσω» μέλλων παρὰ Πινδάρῳ, καθὰ προερρέθη, καὶ τὸ πίσομαι παρὰ Ἀντιφάνει ἀντὶ τοῦ πίω, ὅθεν καὶ ἡ ἐν Πελοποννήσῳ Πῖσα, καὶ τὰ Ὁμηρικὰ πίσεα.] (v. 2) Τὸ «ἀπεψύχοντο» ταὐτόν ἐστι τῷ ἀνέψυχον, ὡς καὶ πρὸς ὀλίγων τὸ «ἱδρῶ ἀποψυχθείς», ἀντὶ τοῦ ἀναψύξας. τὸ μέντοι ἀποψύχειν ἐνεργητικῶς λειποψυχίαν ἢ θάνατον δηλοῖ παρὰ τοῖς μεθ’ Ὅμηρον. ἐναποψύχειν δέ γε δυσεμφάτως παρ’ Ἡσιόδῳ ἔχει. εὕρηται δὲ καὶ ψύχειν παρ’ Ὁμήρῳ, καθὰ ἐδηλώθη ἐν τῷ «ἧκα μάλα ψύξασα». Ἀκεῖσθαι δὲ τὸ θεραπεύειν, ἀφ’ οὗ καὶ τὸ «ἀκεσταὶ φρένες ἐσθλῶν». δοκεῖ δὲ ἡ λέξις γίνεσθαι παρὰ τὸ ἀκήν, τουτέστιν ἡσύχως, ἐπειδὴ πᾶσα σώματος θεραπεία ἡσυχίαν περιποιεῖται ταράχου τινός. ἐκ τοῦ τοιούτου δὲ ῥήματος Φρύγες ἀκέστην καλοῦσι τὸν ἰατρόν, ὥς φασιν οἱ παλαιοί. ὅτι δὲ ἀκεῖσθαι καὶ τὸ ῥάπτειν ἐλέγετο, ἐτίθετο δὲ ἡ λέξις καὶ ἐπὶ νηῶν περιποιήσεως, δεδήλωται καὶ ἀλλαχοῦ. (v. 3) Τὸ δὲ «κεκλιμένοι καλαῖς ἐπάλξεσιν» ἀντὶ τοῦ περιεχόμενοι καὶ κρυπτόμενοι ἐπὶ προμαχώνων. καὶ τὸ μὲν «καλαῖς» εὐείδειάν τινα καὶ κάλλος δηλοῖ, ὡς εἰκός, κτίσματος, ἔπαλξις δὲ ἀπὸ τοῦ ἄλκω ἄλξω, τὸ βοηθῶ, ἐφ’ ἧς ἀλκοῦσι τῇ πόλει οἱ μαχόμενοι. ἐκ δὲ τοῦ ῥηθέντος ἄλξω καὶ τὸ ἄλξ ἀλκός ἀλκί παρήγαγόν τινες, ὡς καὶ προδεδήλωται. Καὶ οἱ Τρῶες μὲν οὕτω πεφυζότες ἐποίουν, (v. 3 s.) «αὐτὰρ Ἀχαιοί», φησί, «τείχεος ἆσσον ἴσαν», ὅ ἐστιν ἐπορεύθησαν, «σάκε’ ὤμοισι κλίναντες», ὡς οἷα τειχομαχήσοντες, εἰ καὶ τὰ ἐφεξῆς ἐπὶ τῷ Ἕκτορι συμβεβηκότα διεκώλυσαν, εὐμεθόδως καὶ τοῦτο πλασαμένου τοῦ ποιητοῦ.

4.562 [(v. 4) Ἰστέον δὲ ὅτι τὸ ῥηθὲν «ἴσαν» ἢ ἀπὸ τοῦ ἴω ἐνεστῶτος γίνεται, οὗ πληθυντικὸν πολλαχοῦ τὸ «ἴομεν» ἵνα ᾖ ὡς ἐκ τοῦ τίω τὸ ἔτισαν, οὕτω καὶ τὸ ἴω ἴσαν, ἢ ἐκ τοῦ ἶμι, τοῦ παραληγομένου μόνῳ διχρόνῳ, ἵνα ᾖ ὡς τίθημι θέσαν, οὕτω καὶ ἶμι ἴσαν. ὅτι δὲ διττῶς ἐστιν εἶμι ἀντὶ τοῦ ἔρχομαι διὰ διφθόγγου, καὶ πάλιν ἶμι διὰ τοῦ ι , παραδιδόασιν οἱ Τεχνικοί. καινὸν δὲ οὐδὲν διφορεῖσθαι, ὡς εἴρηται, τὸ εἶμι, ὅπουγε διφόρησιν ἔχει καὶ τὸ πρωτότυπον αὐτοῦ. ἔστι γὰρ εἴω, τὸ πορεύομαι, διὰ διφθόγγου, οὗ δεύτερος ἀόριστος τὸ ἴῃς καὶ ἴωμεν, τὰ αὐθυπότακτα, καὶ ἐκ τοῦ τοιούτου εἴω τὸ διὰ διφθόγγου εἶμι. ἔστι δὲ καὶ ἕτερον ἴω διὰ μόνου διχρόνου ὡς τὸ τίω, οὗ πληθυντικόν, ὡς πρὸ βραχέων ἐρρέθη, τὸ κοινὸν ἴομεν ὡς τίομεν, καὶ ἐκ τοῦδε τοῦ ἴω τὸ ἕτερον, ἶμι, οὗ κατάρχει μόνον τὸ ι .] (v. 5 s.) Ὅτι τῶν ἄλλων Τρώων, ὡς

ἐρρέθη, πεφοβημένων εἰς ἄστυ μόνος ὁ Ἕκτωρ ἔξω ἔμεινε κακοτυχῶς. φησὶ γοῦν «Ἕκτορα δ’ αὐτοῦ μεῖναι ὀλοὴ μοῖρ’ ἐπέδησεν Ἰλίου προπάροιθε πυλάων τε Σκαιάων». τοῦτο δὲ προαναφώνησιν ἔχει ἐν τῷ «ὀλοὴ μοῖρα», ὡς μικρὸν ὅσον ἀπολουμένου τοῦ Ἕκτορος. μοῖρα δὲ πάντως ὀλοὴ πρὸς διαστολὴν εἴρηται μοίρας ἑτεροίας, ἀφ’ ἧς καὶ Ἀτρείδης μοιρηγενής. [Ὅρα δὲ τὸ «ἐπέδησε», δι’ οὗ δηλοῦται ἢ ὅτι στερρῶς ὁ Ἕκτωρ ἔστη, ὡς εἰ καὶ πεπέδητο, οἷα δηλαδὴ θρασύς, ἢ ὅτι ἄκων ἔστη διὰ τῆς μοίρας. ἀκούσιον γὰρ τὸ πεδεῖσθαι.] (v. 8—13) Ὅτι ὁ διωκόμενος ὑπὸ χείρονος κρείττων ἢ καὶ θειότερός τις αὐτὸς ὤν, εἴποι ἂν σιγήσας τινὰ τῶν τοῦ ποιητικοῦ Ἀπόλλωνος πρὸς Ἀχιλλέα «τίπτε με ποσσὶ ταχέεσσι διώκεις αὐτὸς θνητὸς ἐών»; οὐδέπω με ἔγνως οἷός εἰμι, «σὺ δ’ ἀσπερχὲς μενεαίνεις.

4.563 οὐ μέν με κτενέεις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμι». λέγει δὲ μόρσιμον ἀπολύτως ἐνταῦθα ὁ ποιητὴς τὸν μοίρᾳ ὑποκείμενον. [Παραγωγὴ δὲ αὐτοῦ μείρω μερῶ μέμορκα, μέσος μέμορα, ἐξ οὗ μέμορμαι μέμορσαι. ὅθεν ὁ μόρσιμος κατ’ ἀναλογίαν τῶν διὰ τοῦ ιμος παραγώγων, ὧν τινα καὶ διὰ τοῦ χιμος καινότερον παράγονται. οὕτω Αἰσχύλος πέπλους μελαγχίμους φησίν, ἕτερος δέ τις μελάγχιμα συκάμινα, ἐν τῷ «λευκοῖς τε γὰρ μόροισι καὶ μελαγχίμοις», ὅπερ ἐστὶ μέλασι, «καὶ μιλτοπρέποις», ἤγουν ἐρυθροῖς, «βρίθεται ταὐτοῦ χρόνου».] (v. 15—20) Ὁ δὲ ὑπό τινος μεγάλου ἐμποδιζόμενος ἀμύνεσθαί τινας ἐρεῖ ἂν «ἔβλαψάς με, ὀλοώτατε πάντων, καὶ ἐμὲ μὲν μέγα κῦδος ἀφείλεο, τοὺς δ’ ἐσάωσας ῥηϊδίως, ἐπεὶ οὔ τι τίσιν γ’ ἔδδεισας ὀπίσσω. ἦ ς’ ἂν τισαίμην, εἴ μοι δύναμίς γε παρείη». Ἀχιλλεὺς δὲ ταῦτα πρὸς Ἀπόλλωνά φησιν, ὃν καὶ θεῶν ὀλοώτατον προσεῖπεν, ὅπερ ἐστί, φασίν, ἑφερμηνευτικὸν τῆς αὐτοῦ κλήσεως. Ἀπόλλων γὰρ φαίνεται λέγεσθαι ὡς ὀλοός, ὅτε λοιμοῦ ἐστιν αἴτιος. ἐκ τοῦ ὄλλειν γὰρ καὶ ὁ Ἀπόλλων, ὡς καὶ ὁ ὀλοός. τινὲς δὲ γράφουσι «δολοώτατε», διότι δόλῳ πρὸ μικροῦ τὸν Ἀχιλλέα ἔθελγεν. ἔχει δέ τι καὶ σκωπτικὸν ἀστεῖον τὸ «θεῶν ὀλοώτατε πάντων». Φοίβου γὰρ εἰπόντος «οὐδέ νύ πώ με ἔγνως ὡς θεός εἰμι» λέγει Ἀχιλλεὺς γνῶναι αὐτὸν οὐ θεὸν δοτῆρα ἑάων ὡς ἀγαθοδότην, ἀλλὰ θεῶν ὀλοώτατον. (v. 9) Τὸ δὲ πω ὀξύνεται ἐν τῷ «οὐδέ νύ πώ με ἔγνως», ἤγουν οὔπω με ἐνόησας, ὥστε καλῶς ἐξ αὐτοῦ γεγονὸς τὸ πώποτε προπαροξύνεται.

4.564 (v. 11) Ἐν τούτοις δὲ κεῖται καὶ πόνος ἡ κακοπάθεια. φησὶ γὰρ «οὔ τι μέλει Τρώων πόνος, οὓς ἐφόβησας», εἰς ἄστυ ἀλέντας. (v. 12) Εἴληπται δὲ καὶ τὸ λιασθῆναι» οὐκ ἐπὶ τοῦ φυγεῖν συνήθως, ἀλλὰ παρεκκλῖναι. λέγει γάρ «σὺ δὲ δεῦρο λιάσθης», ἤγουν ἐξετράπης τῆς εὐθείας ὁδοῦ πλαγιάσας. Τὸ δὲ «ἔβλαψας» καὶ νῦν ἐνθύμιον ἐμποδισμοῦ ἔχει κατὰ κυριολεξίαν. λιασθεὶς γὰρ ὁ Ἀχιλλεὺς, ὡς ἐρρέθη, καὶ τραπεὶς ἀπὸ τείχεος βλαβῆναι ὑπὸ Ἑκαέργου φησίν, αὐχῶν καὶ ὡς, εἰ μὴ οὕτως ἐπλαγίασε, πολλοὶ ἂν «γαῖαν ὀδὰξ εἷλον πρὶν Ἴλιον εἰσαφικέσθαι». ἔστι δὲ γαῖαν ὀδὰξ ἑλεῖν τὸ φονευθῆναι, ὡς πλεισταχοῦ ἡρμήνευται. (v. 21—4) Ὅτι ὁ Ἀχιλλεὺς «προτὶ ἄστυ μέγα φρονέων ἐβεβήκει, σευάμενος ὥς θ’ ἵππος ἀεθλοφόρος σὺν ὄχεσφιν, ὅς ῥά τε θέῃσι τιταινόμενος πεδίοιο. ὣς Ἀχιλλεὺς λαιψηρὰ πόδας καὶ γούνατ’ ἐνώμα», ὡς καὶ ἐν ἄλλοις κεῖται. φρονεῖ δὲ μέγα ὁ ἥρως οἷα ἐς τοσοῦτον ἀγαγὼν κινδύνου τοὺς Τρῶας, ὡς θεῶν ἐπικουρίας δεῖσθαι αὐτούς. (v. 22) Ἵππον δ’ ἐνταῦθα οἱ παλαιοὶ κέλητα δεῖν φασι νοεῖσθαι διά τε τὸ ἄνετον τοῦ τοιούτου ἵππου εἰς δρόμον, καὶ διότι εἷς, φασίν, ἵππος ὄχημα οὐχ’ ἕλκει. ὥστε κατ’ αὐτοὺς στικτέον εἰς τὸ «ἀεθλοφόρος», ὅ ἐστι νικητὴς λαβὼν ἔπαθλα, εἶτα συναπτέον τοῖς ἐφεξῆς τὸ «σὺν ὄχεσφιν», ἵνα λέγῃ, ὅτι ἔθεεν ὁ Ἀχιλλεὺς ὡς ἵππος ἄνετος δόκιμος, ὃς ὅτε καὶ εἰς ἅρμα ζευχθῇ, σὺν ὄχεσφι ῥεῖα θέει. Καὶ σημείωσαι ὅτι ἐπὶ Πάριδος μὲν ὁ ποιητὴς ἠγλαϊσμένην ἀπὸ ἵππου παραβολὴν ἔφρασεν, ἐνταῦθα δὲ συνθέων οἷον τῷ Ἀχιλλεῖ καὶ ἐμβρίθειαν δὲ σῴζων ἁπλῶς οὕτω ἵππῳ νικητῇ παρεικάζει τὸν Ἀχιλλέα εἰς τάχος, οὐ μὴν κριθιῶντι καὶ φιλολείμωνι.

4.565 (v. 25—32) Ὅτι φροντιστικὸς εἰκότως ὢν ὁ γέρων Πρίαμος, καθά που καὶ ὁ γέρων Νέστωρ, πρῶτος τὸν Ἀχιλλέα εἶδεν «ὀφθαλμοῖσι παμφαίνοντα ὥς τ’ ἀστέρ’ ἐπεσσύμενον πεδίοιο, ὅς ῥά

τ’ ὀπώρης εἶσιν, ἀρίζηλοι δέ οἱ αὐγαὶ φαίνονται πολλοῖσι μετ’ ἄστρασι νυκτὸς ἀμολγῷ, ὅν τε κύν’ Ὠρίωνος ἐπίκλησιν καλέουσι. λαμπρότατος μὲν ὅ γ’ ἐστί, κακὸν δέ τε σῆμα τέτυκται. καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν· ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσι θέοντος». καὶ ἐνταῦθα μὲν Ὅμηρος οὕτω τὴν λαμπηδόνα τῶν Ἀχιλλέως ὅπλων κυνάστρῳ εἴκασεν, ὅπερ οὐ μόνον ἀρίζηλον ταῖς αὐγαῖς, ἀλλὰ κακοποιὸν τῷ πυρετῷ. ἐν δὲ τοῖς ἑξῆς ἀπὸ πυρὸς καὶ ἡλίου παραβολὴν λήψεται καὶ λάμπεσθαι τῷ Ἀχιλλεῖ τὸν χαλκὸν ἐρεῖ ὁμοίως αὐτοῖς, καὶ πρὸ ὀλίγων δὲ πυρὶ αἴθοντι πάλιν αὐτὸν εἴκασεν, ἀλλαχοῦ δὲ πυρσοῖς μεγάλοις, προϊὼν δὲ καὶ τῷ ἑσπέρῳ εἰκάσει αὐτόν, πανταχόθεν ἐπ’ αὐτῷ εὑρίσκων, ὡς οἷόν τε, λαμπρὰς παραβολάς. (v. 27) Ὀπώρα δὲ καὶ νῦν μέρος θέρους τὸ τελευταῖον, μεθ’ ὃ τὸ μετόπωρον. Ἀρίζηλοι δέ, ὡς καὶ πρὸ τούτων ἀλλαχοῦ, αἱ ἀρίδηλοι. (v. 28) Τὸ δὲ «ἄστρασι» μεταπλασμός ἐστιν ἐκ τοῦ ἄστροις, ὡς καὶ αὐτὸ προγέγραπται. Ἀμολγὸν δὲ νῦν μὲν τὸν πρὸς τῷ τέλει τῆς νυκτὸς καιρὸν νοητέον. τηνικαῦτα γὰρ ὁ κύων ἐπιτέλλει, προανατέλλων τοῦ ἡλίου. ἐν δὲ τοῖς ἑξῆς, ὅτε περὶ ἑσπέρου λέγει, ἀμολγὸν πάντως νυκτὸς λέγει τὸ πρὸς ἑσπέραν, ὅθεν καὶ ὁ ἕσπερος παρωνόμασται. ἀμφότεροι δὲ ἀπὸ τοῦ ἀμέλγειν λέγονται ἀμολγοί. καὶ γὰρ καὶ πρὸς ἑσπέραν καὶ ἕω ἀμέλγονται τὰ θρέμματα. ὅτι δὲ καὶ ἄλλως ὁ ἀμολγὸς ἐτυμολογεῖται, ἀλλαχοῦ εἴρηται. (v. 29) Τὸ δὲ «ἐπίκλησιν» κἀνταῦθα τὸ παρ’ ἡμῖν ἐπίκλην λεγόμενον δηλοῖ, συγκοπὲν ἐκ τοῦ ἐπικλήδην, ὅπερ ὅμοιόν ἐστι τῷ ὀνομακλήδην. Ἰστέον δὲ ὡς κύριον μὲν οἷον ὄνομα τὸ ἀστήρ, ἐπίκλησις δὲ τούτου ὥσπερ τὸ κύων ἁπλῶς, οὕτω καὶ τὸ κύων Ὠρίωνος.

4.566 ὅτι δὲ Ὠρίων[, ὁ καὶ ἀλλαχοῦ ῥηθείς,] κυνηγέτης γενόμενος ἄριστος κατηστέρισται μετὰ θάνατον, ἐνετέθη δὲ ἄστροις καὶ ὁ κύων αὐτοῦ, ὁ μῦθος [πολλαχοῦ] λέγειν τολμᾷ. δῆλον δὲ ὅτι τοῦ τοιούτου κυνὸς ἐπιτέλλοντος πολλοὶ γίνονται καύσωνες. διὸ καὶ κυνοκαύματα ἡ πολλὴ ὁμιλία τούτους φησί. (v. 30—1) Καὶ διὰ τοῦτο κακὸν σῆμα τοῦτον εἶναί φησιν ὁ ποιητὴς καὶ πυρετὸν φέρειν πολύν, ὃν οἱ μὲν ἀέρος νοοῦσιν ἔκκαυσιν, ὃ καὶ φλέγμα φθάσας εἶπεν ὁ ποιητὴς ὁμωνύμως τῷ φυσικῷ χυμῷ, πυροῦται γὰρ καὶ οἷον ἐκφλέγεται ὁ ἀὴρ κυνὸς ἐπιτέλλοντος, ἕτεροι δὲ οὐ πρὸς μόνην λαμπηδόνα ὅπλων λέγοντες, ἀλλὰ καὶ πρὸς τὸ φθοροποιὸν εἰρῆσθαι τὴν παραβολήν, κυριολεκτεῖσθαί φασι τὸν πυρετόν, ἅπαξ ἐνταῦθα ῥηθέντα. Σημείωσαι δὲ καὶ ὅτι ἐν τῇ ῥηθείσῃ παραβολῇ παραμυθεῖταί πως ὁ ποιητὴς τὸ αὔθαδες ἐκεῖνο χωρίον, ἐν ᾧ ἐτόλμησε πυρὶ ἐκκαῦσαι τὸν Ἀχιλλέα πρὸς Τρώων ἐκφόβησιν, μονονουχὶ λέγων ὅτι, ὥσπερ νῦν τὴν ἄγαν πολλὴν λαμπρότητα τῶν ὅπλων ἀστέρι φοβερῷ εἴκασα, οὕτω καὶ ἐκεῖ ὅμοιόν τι νοητέον. διὰ τοῦτο δὲ καὶ ταῖς ἀπὸ πυρὸς πλεονάζει παραβολαῖς ἐπὶ Ἀχιλλέως, ἵνα καὶ ἐκεῖνο δόξειε πιθανόν. (v. 33—7) Ὅτι ᾤμωξεν ὁ γέρων Πρίαμος, «κεφαλὴν δ’ ὅ γε κόψατο χερσὶν ὑψός’ ἀνασχόμενος, μέγα δ’ οἰμώξας ἐγεγώνει λισσόμενος φίλον υἱόν», ἐλεεινὰ προσαυδῶν, «χεῖρας ὀρεγνύς». καὶ ᾤμωξε μὲν καὶ πρὸ ὀλίγων, νῦν δὲ ἀναγκαίως μέγα ᾤμωξεν, ὁρῶν ὡς ὁ Ἕκτωρ «προπάροιθε πυλάων εἱστήκει ἄμοτον μεμαὼς Ἀχιλῆϊ μάχεσθαι». Καὶ ὅρα ὅπως περιπαθῶς τῶν ἐν τοῖς ἑξῆς ἠθοπεποιημένων τοῦ γέροντος λόγων κοπετὸς καὶ ἄσημος οἰμωγὴ προηγεῖται, καθὰ καί τι παθητικὸν προοίμιον. (v. 38—53) Οἱ δὲ λόγοι τοῦ ἐλεεινοῦ τούτου ῥήτορος τοιοῦτοι, ἀφελῶς ἠργμένοι ὡς τὸ πάθος ὑπηγόρευεν «Ἕκτορ, μή μοι μίμνε, φίλον τέκος, ἀνέρα τοῦτον οἷος ἄνευθ’ ἄλλων, ἵνα μὴ τάχα πότμον ἐπίσπῃς Πηλείωνι δαμείς· ἐπειὴ πολὺ φέρτερός ἐστι, σχέτλιος· αἴθε θεοῖσι φίλος τοσσόνδε γένοιτο, ὅσσον ἐμοί· τάχα κέν ἑ», ἤγουν ταχὺ ἂν αὐτόν, «κύνες καὶ γῦπες ἔδονται κείμενον· ἦ κέ μοι αἰνὸν ἀπὸ πραπίδων ἄχος ἔλθοι, ὅς μ’ υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὖνιν ἔθηκε κτείνων καὶ περνὰς νήσων ἐπὶ τηλεδαπάων. καὶ γὰρ νῦν δύο παῖδε, Λυκάονα καὶ Πολύδωρον, οὐ δύναμαι ἰδέειν Τρώων εἰς ἄστυ ἀλέντων, τούς μοι Λαοθόη τέκετο, κρείουσα γυναικῶν.

4.567

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ' εἰ μὲν ζώουσι μετὰ στρατῷ», ἢ μετὰ στρατόν, «ἦ τ' ἂν ἔπειτα χαλκοῦ τε χρυσοῦ τ' ἀπολυσόμεθα», ἐγὼ δηλαδὴ καὶ ἡ Λαοθόη, «ἔστι γὰρ ἔνδον· πολλὰ γὰρ ὤπασε παιδὶ γέρων ὀνομάκλυτος Ἄλτης. εἰ δ' ἤδη τεθνᾶσι καὶ εἰν Ἀΐδαο δόμοισιν», εἰσὶ δηλαδή, «ἄλγος ἐμῷ θυμῷ καὶ μητέρι, τοὶ τεκόμεσθα». (v. 54—76) Εἶτα εἰπών, ὅτι τοῖς δ' ἄλλοις ὀλίγον ἄλγος ἔσται, εἰ μὴ καὶ σὺ θάνῃς ὑπὸ τῷ Ἀχιλλεῖ, φησὶ κατὰ λόγον ῥητορικῆς ἀξιώσεως «ἀλλ' εἰσέρχεο τεῖχος, ἐμὸν τέκος, ὄφρα σαώσῃς Τρῶας καὶ Τρῳάς, μηδὲ μέγα κῦδος ὀρέξῃς Πηλείδῃ, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς. πρὸς δέ με», ἢ πρὸς δ' ἐμέ, «τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον, δύσμορον, ὅν Ζεὺς ἐπὶ γήραος οὐδῷ αἴσῃ ἐν ἀργαλέῃ φθίσει, κακὰ πόλλ' ἐπιδόντα, υἷάς τ' ὀλλυμένους ἑλκηθείσας τε θύγατρας καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα βαλλόμενα προτὶ γαίῃ ἐν αἰνῇ δηϊοτῆτι· ἑλκομένας τε νυοὺς ὀλοῇς ὑπὸ χερσὶν Ἀχαιῶν. αὐτὸν δ' ἂν πύματόν με κύνες πρώτῃσι θύρῃσιν ὠμησταὶ ἐρύουσιν, ἐπεί κέ τις ὀξέϊ χαλκῷ τύψας ἠὲ βαλὼν ῥεθέων ἐκ θυμὸν ἕληται, οὓς τρέφον ἐν μεγάροισι τραπεζῆας πυλαωρούς, οἵ κ' ἐμὸν αἷμα πίνοντες», ἢ «πιόντες, ἀλύσσοντες περὶ θυμῷ, κείσοντ' ἐν προθύροισι. νέῳ δέ τε πάντ' ἐπέοικεν ἄρηϊ κταμένῳ», ἢ συνθέτως «ἀρηϊκταμένῳ, δεδαϊγμένῳ ὀξέϊ χαλκῷ, κεῖσθαι. πάντα δὲ καλὰ θανόντι περ ὅττι φανείῃ. ἀλλ' ὅτε δὴ πολίον τε κάρη πολιόν τε γένειον αἰδῶ τ' αἰσχύνωσι κύνες κταμένοιο γέροντος, τοῦτο δὴ οἴκτιστον πέλεται δειλοῖσι βροτοῖσιν. ἦ ῥα», ἤγουν ἔφη ὁ γέρων, «πολιὰς δ' ἀνὰ τρίχας ἕλκετο χερσὶ τίλλων ἐκ κεφαλῆς, οὐδ' Ἕκτορι θυμὸν ἔπειθε». διὸ καὶ κακὸν αὐτῷ τέλος ἔσται, μὴ πεισθέντι ἀνδρὶ καὶ πατρὶ καὶ συνετῷ. καὶ οὐ μόνον πείσεται κακῶς, ἀλλὰ καὶ πρὸ τοῦ παθεῖν μεταμελήσεται, ὡς ἐν τοῖς ἑξῆς δηλωθήσεται. τὰ δὲ κατὰ μέρος τοῦ χωρίου τούτου τοιαῦτα. (v. 33) Τὸ μὲν «κόψατο χερσίν» ἀρχή ἐστι τοῦ λέγειν ἐλλειπτικῶς κόπτεσθαι, τὰ σκωπτικά. τὸ μέντοι κόπτειν κοινῶς μὲν καὶ διαίρεσίν τινα δηλοῖ, ὥσπερ καὶ τὸ κατακόπτειν. Ἀττικὸς δὲ ἀνὴρ τὸ κρούειν καὶ τὸ πλήττειν κόπτειν φησίν, ὡς τὸ «τίς ἐσθ' ὁ κόπτων τὴν θύραν»; Ἰστέον δὲ ὅτι τὸ «ᾤμωξε», καὶ «ἐκόψατο τὴν κεφαλήν», καὶ «ἐγεγώνει λισσόμενος» ἐπιλογικὰ μέν εἰσιν, ὁ δὲ γέρων Πρίαμος ὑπὲρ τέχνην ἐξ αὐτῶν προοιμιάζεται, ἵνα πρὸ τοῦ λοιποῦ λόγου ἔλεον εἰσβαλὼν τῇ ψυχῇ τοῦ Ἕκτορος, οἷς ἐλεεινὰ προσηύδα χεῖρας ὀρεγνύς, εὐμαρέστερον αὐτὸν ἰσχύσῃ πείσειν, εἰ καὶ μὴ ἔπεισεν, ὡς εἴρηται.

4.568 (v. 34) Τὸ δὲ «ὑψόσε ἀνασχόμενος», ὅ ἐστιν ἀνατείνας τὰς ῥηθείσας χεῖρας, λέγεται καὶ ἀνασχὼν κατὰ συνήθη διφόρησιν. Τὸ δὲ «ἐγεγώνει» τὸ ἐξάκουστον δηλοῖ τῆς οἰμωγῆς. δεδήλωται γὰρ ὡς τὸ γεγωνεῖν γνωστὴν φωνὴν σημαίνει. (v. 37) Τὸ δὲ «χεῖρας ὀρεγνύς» ταὐτόν ἐστι τῷ «ὑψόσε ἀνασχόμενος». (v. 39) Τὸ δὲ «ἄνευθεν ἄλλων» διασαφητικόν ἐστι τοῦ «οἷος», ἵνα μὴ ἐπ' ἄλλης ἑρμηνείας νοηθῇ. ταὐτὸν γὰρ εἰπεῖν οἷον, ἤγουν μόνον καὶ ἄνευθεν ἄλλων. Τὸ δὲ «πότμον ἐπίσπῃς» νῦν ἐπὶ Ἕκτορος προσφυέστατον, οὐ κατ' ἀνάγκην κινδυνεύοντος, ἀλλ' οἷον ἐφεπομένου ἑκοντὶ τῷ θανάτῳ. (v. 40) Τὸ δὲ «πολὺ φέρτερός ἐστι» φιλαλήθη τὸν γέροντα παριστᾷ, ὃς ἵνα πείσῃ τὸν υἱὸν εἰσελθεῖν τὴν πόλιν, ἀποφαίνεται ὑπερτεθεῖσθαι αὐτοῦ τὸν Πηλείωνα. (v. 41—3) Ἐπεὶ δὲ ὁ τοῦ Ἀχιλλέως ἔπαινος ἐλύπει τὸν Ἕκτορα διὰ τὸ δοκεῖν ἐκεῖνον τῷ Πριάμῳ φιλεῖσθαι, εὔχεται ἀφελῶς ἅμα καὶ βαρέως ὁ γέρων κατὰ τοῦ Ἀχιλλέως, ὁποῖα τὰ τῶν ἀγωνιώντων, τὸ «αἴθε θεοῖς φίλος τόσσον γένοιτο» καὶ τὰ ἑξῆς. ἐν οἷς τῆς τοιαύτης φιλίας τὸ τέλος διασαφῶν ἔργον αὐτῆς εἶναί φησι τὸ ὑπὸ κυνῶν τὸν Ἀχιλλέα βρωθῆναι ἂν ταχὺ καὶ γυπῶν. οὕτω βορὸν ἡ τοιαύτη φιλία, ἣν οὐκ ἂν ἐκ Διὸς ἔχειν ὁ Ἀχιλλεὺς εὔξαιτο, ἐπεὶ μηδὲ κατ' αὐτὴν Ζεὺς φίλος λέγεται. Ἰστέον δὲ καὶ ὅτι ἐνδιαθετώτερον ἡ εἰρημένη ἔχει ἀρὰ ἤπερ τὸ «θεὸς δέ ἑ σιφλώσειεν», ὃ καὶ αὐτὸ τοῦ Ἀχιλλέως κατηύξατό τις, καὶ ὅτι σκοπὸς μὲν τῆς δεδηλωμένης εὐχῆς τὸ «αἴθε μισηθείη θεοῖς ὁ Ἀχιλλεύς». ἄλλως μέντοι ἐνδείκνυται ὅτι φιλεῖται θεοῖς. (v. 41) Τὸ δὲ «σχέτλιος» σφοδρότητα καὶ νῦν δηλοῖ, δι' ἧς ἀκατάσχετός τίς ἐστι καὶ οὐκ εἰδὼς τλῆναι ὁ Ἀχιλλεύς.

4.569

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(v. 44) Τὸ δὲ «πολλῶν τε καὶ ἐσθλῶν» αὔξησιν δυστυχίας δηλοῖ. οὐ γὰρ ἁπλῶς υἱῶν, οὐδ’ ἁπλῶς πολλῶν, ἀλλὰ καὶ ἐσθλῶν ἐστέρησεν ὁ Ἀχιλλεὺς τὸν Πρίαμον. οὕτω καὶ ἐν Ὀδυσσείᾳ βασιλικῆς δυνάμεως ἐδηλώθη αὔξησις τὸ πολὺν καὶ ἄριστον τετάχθαι λαὸν ὑπό τινι. Εὖνιν δὲ τὸν ἐστερημένον λέγει καὶ μεμονωμένον, παρὰ τὴν ἑνὸς γενικήν, πλεονασμῷ τοῦ υ . τινὲς δέ φασιν ὅτι παρὰ τὴν εὐνὴν ὁ εὖνις γίνεται, οἱονεὶ ὁ ἡσυχάζων ὡς ἐν εὐνῇ καὶ ἀπρακτῶν ὡς εὐναζόμενος, ἀφ’ οὗ ὁ ἠρημωμένος καὶ ἐστερημένος. δῆλον δὲ ὡς ἐκ τοῦ τοιούτου εὔνιδος καὶ εὐνοῦχος ὁ εὖνις τοῦ ὀχεύειν. (v. 45) Ὅρα δὲ καὶ ὅτι κἀνταῦθα ὁ ποιητὴς ἀναμιμνήσκει πολλοὺς τῶν Τρωϊκῶν αἰχμαλώτων πέρνασθαι, ἤτοι πωλεῖσθαι, εἰς κέρδος τοῖς Ἀχαιοῖς. προοικονομεῖ δὲ ἡ τοιαύτη λαλιὰ καὶ νῦν, ὡς καὶ ἐν τοῖς πρὸ τούτων καὶ ἐν τοῖς ἑξῆς δέ, τὴν τοῦ Ἕκτορος καὶ τεθνεῶτος ἐξώνησιν ὑπὸ τοῦ γέροντος πατρός. Σημείωσαι δὲ ὅτι τὸ περᾶν μετὰ τοῦ νῦ μὲν προενεχθὲν ἐπὶ τοῦ πωλεῖν λαμβάνεται, δίχα δὲ τοῦ νῦ καὶ ἑτέρας σημασίας προβάλλεται, ὡς προδεδήλωται. (v. 48) Ὅρα δὲ καὶ ὅτι προσπαθῶς ὁ γέρων ἔχει περὶ τὴν παλλακὴν Λαοθόην καὶ τοὺς ἐξ αὐτῆς παῖδας, ἴσως μὲν καὶ διὰ τὸ εἶδος, εὐειδὴς γὰρ ἔοικεν εἶναι, καθὰ ὑποδηλοῖ καὶ τὸ αὐτῆς ὄνομα, δι’ οὗ σημαίνεται λαὸν θέειν ἐπ’ αὐτήν, ὡς δ’ ἐνταῦθα λέγεται, καὶ ὅτι κρείουσα ἦν γυναικῶν, ὅπερ ἐστὶ θηλυκὸν τοῦ κρείοντος, καὶ διότι καὶ πολύπροικος, ὅπερ ὁ ποιητὴς ἐπὶ Ἀνδρομάχης «πολύδωρος» μετ’ ὀλίγα ἐρεῖ. Ὅρα δὲ καὶ ὅτι Λαοθόης μνησθεὶς ὁ Πρίαμος, οὐ μὴν ἀλλὰ καὶ υἱῶν καὶ θυγατέρων καὶ νυῶν, Ἑκάβης οὐδαμοῦ ἐμνήσθη. τοῦτο δ’ ἐποίησεν ἢ συγχεθεὶς τὴν ψυχήν, δι’ αὐτὸ γὰρ οὐδὲ τῆς Ἀνδρομάχης ἔσχε μνήμην, ἢ καὶ διότι καὶ αὐτὴ παροῦσα ἡ Ἑκάβη ἔχει ἀρκούντως ὑπὲρ ἑαυτῆς λαλῆσαι ἃ ἐθέλει, ὡς δηλωθήσεται. (v. 46 s.) Τὸ δὲ «δύο οὐ δύναμαι ἰδέειν» ὅμοιόν ἐστι τῷ ὑπὸ Ἑλένης ἀλλαχοῦ εἰρημένῳ «δοιὼ δ’ οὐ δύναμαι ἰδέειν». (v. 49) Τὸ δὲ «μετὰ στρατῷ» καινότερον δοτικῇ συντέτακται, ληφθὲν ἀντὶ τοῦ ἐν στρατῷ. (v. 70) Οὕτω δὲ καὶ τὸ «ἀλύσσοντες περὶ θυμῷ». αὐτὸ μέντοι δοκεῖ λέγειν, ὅτι ἀλύσσοντες περισσῶς ἐν θυμῷ (v. 50) Τὸ δὲ «ἀπολυσόμεθα» συγγενές ἐστι τῷ λυσόμεθα καὶ λυσόμενος καὶ «οὐδ’ ἀπέλυσε» καὶ τοῖς τοιούτοις, ἐξ ὧν τὸ λύτρον παράγεται.

4.570 [Δῆλον δ’ ὅτι κἀνταῦθα περιττὴ ἡ ἀπο πρόθεσις, καθὰ καὶ ἐν τῷ ἀπομηνίσαι καὶ ἐν ἄλλοις μυρίοις, ὧν ἐστι καὶ τὸ ἀποσκοτοῦσθαι, ἤτοι ζοφοῦσθαι, ἀφ’ οὗ τὸ «ἀπεσκοτώθη τὸν νοῦν».] (v. 51) Ὀνομάκλυτος δὲ ὁ καὶ ἐκ μόνου ὀνόματος κλυτὸς καί, ὡς εἰπεῖν, περιώνυμος. ἐκ τούτου διαλέλυται τὸ «εἰρωτᾷς μ’ ὄνομα κλυτόν» ἐν Ὀδυσσείᾳ. (v. 52) Τὸ δὲ «καὶ εἰν Ἀΐδαο δόμοισιν» ἢ περιττῶς κεῖται εἰς ἐκπλήρωμα στίχου, ἢ πρὸς διαστολὴν τῶν ἄλλως λεγομένων θνήσκειν, ὁποῖόν τι τὸ «γέλῳ ἔκθανον», καὶ τὸ «ἐγχανὼν τεθνήξῃ», τῷ γέλωτι δηλαδή, καὶ τὸ τραγικὸν «εἰ καὶ ζῇς θανών», καὶ τὸ «τέθνηκε τὰ τῆς πόλεως πράγματα», καὶ τὸ «ἅμ’ ἠλέηται καὶ τέθνηκεν ἡ χάρις», καὶ τὸ «τέθνηκα συμφορᾶς ὕπο», καὶ τὸ λέγεσθαί τινα γραῦν μὴ ζῆν, ἐπεὶ κατατέτηκε γήρᾳ ἢ κατασέσηπεν, ἤδη δὲ καὶ τὸ «βόες ἀποτέθνασαν ἤδη», οἳ οὐκ ἂν εἶεν ἐν Ἅιδου δόμοις. [(v. 53) Τὸ δὲ «τοὶ τεκόμεθα», ἤγουν οἳ ἐτέκομεν, ἀκριβῶς πρόσκειται, ἵνα μὴ νοοῖτο ἴσως ἡ Λαοθόη ἐξ ἄλλου ἀνδρὸς γενέσθαι μήτηρ τῶν εἰρημένων παίδων, ἀλλ’ ἐξ αὐτοῦ Πριάμου.] (v. 56—9) Ὅρα δὲ καὶ ὅτι χρῴζων εὐσχημόνως τὸν λόγον ὁ γέρων παρακαλεῖ τὸν Ἕκτορα εἰσέρχεσθαι τὸ τεῖχος, οὐ διὰ φόβον δῆθεν, οὐδ’ ἵνα σωθῇ αὐτός, ἀλλ’ ἵνα σαώσῃ τοὺς πολίτας, καὶ μὴ τὸν ἐχθρὸν κυδάνῃ πεσών. ἔτι δὲ καὶ διὰ τὸν πατέρα. Ἔνθα καὶ ὅρα τὰ ῥηθέντα συχνὰ κόμματα διά τε σπουδὴν ῥήτορος καὶ διὰ τὸν τῆς ἠθοποιΐας κανόνα καὶ μάλιστα τῆς παθητικῆς. (v. 56) Τὸ δὲ «ἐμὸν τέκος» ἐν τοῖς ἑξῆς καὶ τέκνον ἐμὸν ὁ ποιητὴς ἐρεῖ καὶ φίλον υἱὸν καὶ φίλον θάλος, καὶ φίλε τέκνον, Ἀττικῶς, ὡς εἴπερ ἔφη «φίλε υἱέ». (v. 57) Τὸ δὲ «Τρῶας καὶ Τρῳάς» ἔχει τι κατὰ τὴν φράσιν γλυκύ, εἰ καὶ μέτριον. γοργὸν μέντοι καὶ πάνυ ἐστίν.

4.571 (v. 53) Αἰῶνα δὲ καὶ ἐνταῦθα τὴν ἀνθρωπίνην ἔφη ζωὴν καὶ τὸν κατ’ αὐτὴν χρόνον κατὰ γένος θηλυκὸν Ἰωνικῶς, ὡς δηλοῖ τὸ φίλης αἰῶνος. (v. 58) Τοῦ δὲ «ἀμερθῇς» ἀμέρδειν τὸ θέμα, ὃ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δηλοῖ στέρησιν μερίδος. ποιητικὸς δὲ ἀνὴρ οὕτω φράζειν φιλεῖ. ὅτι δὲ καὶ σκότωσιν τὸ ἀμέρδειν σημαίνει, δῆλον ἐκ τοῦ «ὄσσε δ’ ἄμερδεν αὐγὴ χαλκείη». (v. 59) Τὸ δὲ «πρὸς δέ με τὸν δύστηνον ἔτι φρονέοντ’ ἐλέησον» ἐξ ὀκτὼ τοῦ λόγου μερῶν συγκεκρότηται, τυχὸν μὲν σκευωρηθὲν ἐπίτηδες ὑπὸ τοῦ ποιητοῦ, τυχὸν δὲ καὶ ἁπλῶς οὕτω συμπεσόν. παρὰ μέντοι τοῖς μεθ’ Ὅμηρον πολλὰ τοιαῦτα ἐπιτετήδευται, ἐν οἷς καί τινος ἀγαθοῦ ἀνδρὸς ἴαμβος οὗτος «ὁ νῦν δὲ σὺν σοὶ καὶ θανὼν ζήσει, Λόγε». Τὸ δὲ «ἔτι φρονέοντα» ἔχει τι ἀστειότητος. αἰνίττεται γὰρ ὡς μικρὸν ὅσον καὶ ἀλλοφρονήσει ὁ γέρων ὑπὸ πένθους, ὅτε οὐδ’ ἂν αἴσθοιτο ἐλεούμενος, ἢ καὶ ἀντὶ τοῦ ἔτι ζῶντά με ἐλέησον. τεθνεὼς γὰρ τί ἂν δεοίμην σοῦ; οὕτω καὶ ὁ Ἕκτωρ καλῶς ἂν ἐποίησε τοὺς πατρικοὺς θρήνους δυσωπηθείς. θανὼν γὰρ οὐδὲν τῶν ἐπ’ αὐτῷ γόων ἀπώνατο. (v. 60) Τὸ δὲ «ἐπὶ γήραος οὐδῷ» ταὐτόν ἐστι τῷ «ἐπ’ ἐξόδῳ γήρως καὶ βίου». ὁ γὰρ οὐδὸς καὶ εἰσόδῳ καὶ ἐξόδῳ ὑπόκειται. διόπερ ὁ μὲν ὠμογέρων ἐπ’ οὐδῷ ἂν εἴη γήραος, ὡς νῦν ἄρτι γηράσκων καὶ εἰσιὼν τὸ γῆρας, ὁ δὲ κατὰ τὸν Πρίαμον πέμπελος ἐπ’ οὐδῷ ἐστι γήραος ὡς ὑπέργηρως καὶ ἤδη καὶ αὐτὸ τὸ γῆρας ὑπεξιὼν καὶ πρὸς τῷ θανάτῳ ὤν. (v. 61) Τὸ δὲ «κακὰ πόλλ’ ἐπιδόντα» ὑποσχετικόν ἐστι τῶν ἑξῆς εὐθύς, ἐν οἷς σχῆμα φράζεται ἁλώσεως πόλεως. (v. 63) Τὸ δὲ «κεραΐζεσθαι» κἀνταῦθα φθορὰν ἁπλῶς καὶ βλάβην δηλοῖ παρὰ τὰ κέρατα. ὅθεν, φασίν, ὁ ἄθυμος καὶ ἀόργητος ἀκέραιος λέγεται ὡς μηδένα κεραΐζων, ὅ ἐστι βλάπτων. (v. 64) Τὸ δὲ «βαλλόμενα πρὸς τῇ γῇ» ὅμοιόν ἐστι τῷ «ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ». ἐνθυμητέον δὲ ἐνταῦθα καὶ τὴν τοῦ βασιλικοῦ βρέφους τοῦ Ἀστυάνακτος ἀπώλειαν, οὕτω πως γενομένην ἐξ ἄκρου θυμοῦ, ὃν εἰς τοσοῦτον ἔπαθον Ἀχαιοί, ὡς μὴ ἂν φείσεσθαι μηδ’ ἐμβρύου, ὃ κατὰ γαστρὸς κεύθει μήτηρ. (v. 65) Τὸ δὲ «ἑλκομένας νυούς» ὅμοιόν ἐστι τῷ «ἑλκηθείσας θύγατρας», πλὴν ὅσον ἐκεῖνο μὲν περισπωμένης ἐστὶ συζυγίας.

4.572 ἑλκῶ γὰρ ἑλκήσω, τὸ βιάζομαι, ἀφ’ οὗ καὶ ὁ προρρηθείς που ἑλκηθμός, καὶ ἐν Ὀδυσσείᾳ τὸ «Λητὼ γὰρ ἥλκησε». τὸ δὲ ἕλκω βεβαρυτόνηται, ὥστε διφορεῖται καὶ τὸ ἕλκω, οὐ μόνον βαρυτόνως προφερόμενον, ἀλλὰ καὶ περισπώμενον. [Οὕτω καὶ ἐπιμέλομαι καὶ ἐπιμελοῦμαι σὺν ἑτέροις πολλοῖς, καὶ αἴδομαι καὶ αἰδοῦμαι, καὶ ξυροῦμαι, ὡς τὸ «ξυρεῖ γὰρ ἐν χρῷ», καὶ ξύρομαι, οἷον «ξύρεσθαι τὸν πώγωνα», καὶ «πιττοκοπούμενον ἢ ξυρόμενον», καὶ «ξυρόμενον τὴν ὑπήνην καὶ τὸν ὄρρον», καὶ «νόμου ὄντος ἐν Ῥόδῳ μὴ ξύρεσθαι». κεῖται δὲ ταῦτα ἐν τοῖς τοῦ Δειπνοσοφιστοῦ.] Σημειοῦνται δὲ ἐνταῦθα οἱ παλαιοὶ καὶ ὅτι νυοὺς ὁ γέρων εἰπὼν καὶ τὴν Ἀνδρομάχην συμπεριέλαβεν, ἣν αὐτὸς μὲν σιωπᾷ, ἡ δὲ μήτηρ Ἑκάβη ἐξονομάσει ἐν τοῖς ἑξῆς, καὶ ὅτι ἐν τῷ «υἷας ὀλλυμένους» καὶ ἑξῆς, ἔκφρασιν ὁ γέρων ποιεῖται κακῶν, ἃ πάθοι ἂν τὸ ἀρχεῖον ἁλούσης τῆς Τροίας. ὡς δὲ καὶ πόλεως ἅλωσιν ἐν δυσὶ μόνοις ἀλλαχοῦ ἐξέφρασε στίχοις, προδεδήλωται. (v. 66) Πρώτας δὲ θύρας λέγει τὰς αὐλείους, ἃς ἔθος ἦν τηρεῖσθαι ὑπὸ κυνῶν. τὰς αὐτὰς δὲ κατωτέρω σαφέστερον καὶ πρόθυρα εἶπεν ἐν μιᾷ λέξει. Ἰστέον δὲ ὅτι, εἰ καὶ ὑπόψυχρον εἰπεῖν, ἀλλ’ οὖν ὅμως δοκεῖ τὸ «πύματόν με κύνες πρώταις θύραις ἐρύουσιν» ἀντιθετικῶς εἰρῆσθαι, ἐπεὶ καὶ ἀντίκεινται τὸ πρῶτον καὶ τὸ πύματον. (v. 68) Τὸ δὲ «τύψας ἠὲ βαλών» διδασκαλικῶς κἀνταῦθα διαφορὰν τῶν τοιούτων λέξεων δηλοῖ, ὡς καὶ ἀλλαχοῦ πολλαχοῦ. Ῥέθεα δὲ οὐ μόνον τὰ ὅλα μέλη, ἀλλὰ καὶ ἰδίως τὸ πρόσωπον, ὡς καὶ ἑτέρωθι δεδήλωται. Τὸ δὲ «ἐκ θυμὸν ἕληται» ἀντὶ τοῦ τὸ ἐξαίρετον ἐν ἀνθρώποις λήψεται, τὴν ψυχήν. οὕτω γὰρ πολλάκις παρὰ τῷ ποιητῇ τὸ ἐξελέσθαι νοεῖται. (v. 69) Τραπεζῆες δὲ κύνες οἱ καὶ τραπεζεῖται, οὓς ἀγλαΐας ἕνεκεν κομόωσιν ἄνακτες, ὡς ἐν Ὀδυσσείᾳ εἴρηται.

4.573 ἐν δὲ ῥητορικῷ Λεξικῷ ἑρμηνεία τῆς λέξεως ταύτης κεῖται αὕτη· τραπεζῆες, παράσιτοι, οἰκοτραφεῖς. οὗ περίφρασις τὸ «οὓς τρέφον ἐν μεγάροισι». δῆλον δ’ ὅτι πρωτότυπον τοῦ τραπεζείτης κύων ὁ ἐνταῦθα τραπεζεύς, ἐξ οὗ καὶ ἔστιν ἐκεῖ ἡ ει δίφθογγος. ὁ μέντοι ἀργυραμοιβὸς τραπεζίτης οὐκ ἐκ τοῦ τραπεζέως, ἀλλ’ ἐκ τραπέζης γίνεται. [Ἰστέον δὲ ὅτι οὐ μόνον κύνας ἐπ’ ἀγλαΐᾳ ἔτρεφον οἱ σεμνοί, ἀλλὰ καὶ ἕτερα ζῷα. Πτολεμαῖος οὖν, φασίν, ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βασιλεύς, μὴ γεύσασθαι φασιανοῦ ὄρνιθος ὡμολόγησεν. ἐχρῶντο γὰρ οἱ παλαιοὶ αὐτοῖς ὡς ἀγάλμασιν. ὡς δὲ καὶ χῆνες ἱέρωντο, Ῥωμαϊκαὶ ἱστορίαι δηλοῦσιν, οἷς καὶ χάρις ὠφείλετο ἐπὶ νυκτέρῳ σωτηρίᾳ τῆς πόλεως. ταὼς δὲ τοῖς περὶ Λιβύην ἱερὸς ἦν καὶ ὁ βλάψας αὐτὸν ζημίαν εἶχεν. ἡ δὲ τῆς Ἀρτέμιδος ἔλαφος καὶ αἱ τοῦ Ἡλίου βόες μύθοις μέλονται. εἶχε δέ τι σέμνωμα καὶ ἶβις παρὰ Λίβυσιν, ὡς εὐεργετοῦσά τι κατὰ τὴν ἱστορίαν καὶ αὐτὴ καὶ διὰ τοῦτο τημελουμένη. ἐλέφαντι γὰρ καὶ παρδάλει καὶ λέοντι καὶ συάγροις καὶ τοιοῖσδέ τισιν ἐναγλαΐζεσθαι μόνοι ἂν αὐχήσαιεν, οἷς ὁ κατὰ τὸν παλαίτατον Κρόνον μακάριος βίος ἐννεάζει, οὐ κυμίνῳ κατὰ τοὺς ἀστεϊζομένους καὶ ὄξει καὶ σιλφίῳ καὶ κοριάννῳ καὶ τοῖς τοιούτοις, ἃ δὴ ἀρτύματα Κρόνου παίζονται εἶναι, περιγραφόμενος, ἀλλὰ τοῖς κάτω μέν, μεγίστοις δέ, δι’ ὧν ἔχουσι καὶ τὰ τοιαῦτα περιττῶς ἐκτρέφεσθαι, καὶ ὡς ἂν ζηλοῖεν οἱ τὴν ζωὴν μέτριοι.

4.574 ] Τὸ δὲ πυλαωρούς θυραωρούς οἱ πλείονες γράφουσι, λέγοντες θύρας μὲν ἐπὶ οἴκου, πύλας δὲ ἐπὶ πόλεως λέγεσθαι. παρατηρητέον δὲ ὅτι οὐ μόνον ἀνθρώποις προσλαλεῖται τὸ πυλωροί, ἀλλ’ ἰδοὺ καὶ κύνες τὸ τοιοῦτον ἀπειλήχασιν ὄνομα. (v. 70) Τὸ δὲ «ἀλύσσοντες» γεροντικὴν πολυπειρίαν δηλοῖ, ὡς καὶ τοιαῦτα φυσικὰ εἰδότος πάθη τοῦ γέροντος. ἔστι δὲ τὸ ἀλύσσοντες ἢ ἄλυν ἔχοντες ἤτοι ἀδημονίαν διὰ τὸ πολὺ τοῦ κόρου, ἢ λυσσῶντες, ὅπερ τοῖς κατοικιδίοις συμβαίνει κυσίν, ὅτε τοιούτου κορεσθῶσι κρέατος. ἐν δὲ ῥητορικῷ Λεξικῷ εὕρηται καὶ ταῦτα. ἀλύσσειν· τρέμειν, πάλλεσθαι, πηδᾶν, δυσφορεῖν, λύσιν μὴ εὑρίσκειν, μαίνεσθαι. εἴρηται δέ τι περὶ τούτου καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν, ἔνθα τὰ κατὰ τὸν Ἶρον. (v. 72) Τὸ δὲ «Ἄρηϊ» ἀντὶ τοῦ σιδήρῳ. διὸ καὶ ἑρμηνεύων ἐπάγει «δεδαϊγμένῳ ὀξέϊ χαλκῷ», ἵνα εἴη ταὐτὸν Ἄρηϊ κταθῆναι καὶ δαϊχθῆναι ὀξέϊ χαλκῷ. (v. 73) Τὸ δὲ «πάντα δὲ καλὰ θανόντι περ, ὅττι φανείη» ἡρωϊκῇ σεμνότητι κέκραται κατὰ τοὺς παλαιούς. δηλοῖ γὰρ ἐνταῦθα σεμνῶς καὶ τὰ περὶ τὴν αἰδῶ τοῦ κειμένου ἔν τε τῷ «πάντα» καὶ ἐν τῷ «ὅτι φανείη». ὅπερ ἐνταῦθα σιγήσας ὁ γέρων ἐφ’ ἑαυτοῦ ἐξεφώνησε, λέγων ἐν γοργότητι, ὅτι νέῳ μὲν καλὰ πάντα, κἂν γυμνὸς εἴη πεσὼν ἐν μάχῃ, κἂν πάντα τὰ αὐτοῦ φαίνοιτο ἀκατακάλυπτα, καὶ αὐτὰ δηλαδὴ τὰ περὶ τὴν αἰδῶ. ἐπιπρέπει γὰρ ἐκείνῳ κεῖσθαι οὕτω. γέροντι δὲ τοῦτο οὐ κόσμιον, ἀλλὰ καὶ ἐλεεινόν, μάλιστα δὲ οἴκτιστον. ἐπίτασις γὰρ ἐλέου ὁ οἶκτος. Καλὰ δὲ ἀντὶ τοῦ κόσμια ἢ μᾶλλον εὐειδῆ ὅθεν ὁ γέρων ἀφ’ ἑαυτοῦ εἶπε τὸ «αἰδῶ τ’ αἰσχύνωσι».

4.575 δῆλον δὲ ὅτι, ὥσπερ κάλλος καὶ αἶσχος, οὕτω καὶ τὸ καλὸν εἶναι καὶ τὸ αἰσχύνεσθαι ἀλλήλοις ἀντίκεινται. τὸ δὲ σημαινόμενον τοῦτο τῆς αἰδοῦς καὶ ἐν τῇ βῆτα ῥαψῳδίᾳ κεῖται ἐν τῷ «τά τ’ αἰδῶ ἀμφικαλύπτει». Τινὲς δὲ τὸ «ὅττι φανείη» ἄλλως νοοῦσι, λέγοντες ὅτι τὸ μὲν ῥιψοκίνδυνον αἰτιᾶται ὁ γέρων ὡς ἀνωφελές, καλὸν δὲ λέγει εἶναι τῷ ἐν μάχῃ πεσόντι, ὅπερ ἂν φανείη, ἤγουν τὸ κυρίως καλόν, καὶ ὅπερ ἂν φαίνοιτο, ἤτοι περιφανὲς εἴη. τὸ δὲ ἁπλῶς οὕτω διὰ θρασύτητα θανεῖν οὐ καλόν. (v. 74) Τὸ δὲ «κάρη» κατὰ μὲν Ὅμηρον βαρυτόνως προάγεται καὶ οὐδετέρως, ἀποκοπὲν ἐκ τοῦ κάρηνον. Ἡρόδωρος δὲ καὶ Ἀπίων ἐν τοῖς εἰς τὸ πι σχολίοις λέγουσιν καὶ ὀξυτόνως εὑρίσκεσθαι καρή καὶ θηλυκῶς. ὅθεν γίνεσθαι καὶ τὸ «Τρῶας δὲ κατακρῆθεν λάβε πένθος», καὶ τὸ παρ’ Ἡσιόδῳ «ἀποκρῆθεν βλεφάρων». εἰ δὲ μὴ ἐπίσταται, φασίν, ὁ ποιητὴς τὸ καρή ὀξυνόμενον θηλυκόν, ὡς οἱ ἄλλοι, οὐδὲν θαυμαστόν. καὶ γὰρ ἄλλας παραλόγους φωνὰς ἐπίσταται ἀγνοῶν τὰς πρωτοθέτους λέξεις αὐτῶν. καὶ τοιαῦτα μὲν αὐτοί, εὖ εἰδότες ἃ εἶπον. Περὶ δὲ γενείου γράφει Αἴλιος Διονύσιος, ὅτι γένεια αἱ τρίχες, γένειον δὲ ὁ τόπος. ἐνταῦθα δὲ ἰστέον καὶ ὅτι πολιὸν μὲν εἰπεῖν κάρη καὶ πολιὸν γένειον, σωφρόνως ἐστὶ λέγειν, ὁ δὲ τὸν πολιὸν ἀλφιτόχρωτα εἰπὼν κωμικεύεται. (v. 76) Τὸ δὲ «πέλεται» παθητικῶς εἶπεν ἀντὶ τοῦ πέλει, ὡς καὶ τὸ ἕλκετο ἀντὶ τοῦ εἷλκε. κεῖται δὲ καὶ ἐν ἄλλοις ὁμοίως τὸ πέλεται, ὡς καὶ ἐν τῷ «ἤματα μακρὰ πέλονται». (v. 77) Ὅρα δὲ καὶ ὅτι ἐπιλογικῶς ὁ γέρων ῥήτωρ μετὰ τὴν ἐν λόγοις παράκλησιν δυσωπεῖν καὶ ἔργοις τὸν υἱὸν ἐθέλων καὶ ἔλεον εἰσβαλεῖν πολιὰς τρίχας ἕλκει, οὐκέτι λαλῶν τὰ εἰς οἶκτον, ἀλλὰ ποιῶν. ἀκοσμίαν δὲ κεφαλῆς

ἡ ῥηθεῖσα τῶν τριχῶν ἕλξις δηλοῖ. αἰσχύνει γὰρ καὶ αὕτη κεφαλήν, ὡς καὶ τὸ κόνιν καταπάττεσθαι, καὶ εἴ τι δὲ ἄλλο τοιοῦτον. (v. 78) Ἐπίτασις δὲ τοῦ ἕλκειν τὸ καὶ τίλλειν.

4.576 οὐ γὰρ πᾶν τὸ ἑλκόμενον ἤδη καὶ τίλλεται. [Εἰ δὲ τὸ μὲν Ὁμηρικὸν τίλλειν οἶκτον ἔχει, ὁ δὲ παρὰ τῷ Κωμικῷ τιλμὸς καὶ τὸ ἐκτίλλειν καὶ παρατίλλειν, ἐξ οὗπερ αὐτὸς γίνεται, σκῶμμα ἔχει παικτικόν τι τοῦτο πρὸς τὴν Ὁμήρου ἐμβρίθειαν καὶ σεμνότητα.] Σημείωσαι δὲ καὶ ὅτι πολὺ τὸ οἰκτρὸν καὶ ὀδυρτικὸν καὶ μονῳδικὸν καὶ ἐκ πολλῶν προσώπων ἐπὶ τῷ Ἕκτορι ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ. εὐθὺς οὖν τὸν γέροντα ἡ μήτηρ διαδεξαμένη ποιήσει τε καὶ εἴπῃ τὰ δηλωθησόμενα, καὶ ἐν τῷ τέλει δὲ τῆς ῥαψῳδίας ἐρεῖ τὰ πρὸς οἶκτον ὁ γέρων ἐπὶ θανόντι τῷ υἱῷ, καὶ ἡ Ἑκάβη δὲ ὁμοίως βραχύτερα καὶ ἐκεῖ τοῦ γέροντος λαλήσασα. τελευταία δὲ ἡ Ἀνδρομάχη πλατύτερον ἐλεεινολογήσεται καὶ ἀφελέστερον, οἷα τὴν στρυφνοτέραν μονῳδίαν αὐτῇ ταμιευσαμένου τοῦ ποιητοῦ, ὅτε πρὸ χειρῶν ἕξει τὸν Ἕκτορα, ὁπηνίκα καὶ ἡ Ἑλένη καὶ ἡ Ἑκάβη τῶν θρήνων αὐτῇ συνεπιλήψονται. Ὅρα δὲ καὶ ὅτι καθηγούμενος καὶ τῆς ἐν ἠθοποιΐαις μεθόδου ὁ ποιητὴς καὶ μέλλοντα χρόνον τοῖς τοῦ γέροντος λόγοις τεχνικῶς ἀποδέδωκεν, εἰπόντος ἃ μέλλει συμβῆναι ὕστερον μετὰ τὸ πεσεῖν τὸν Ἕκτορα. (v. 66) Διὸ καὶ ἐπεσημήνατο εἰπὼν «πύματόν με κύνες ἐρύουσι». πύματον γὰρ νῦν τὸ ἐν τῷ μέλλοντι χρόνῳ ἔσχατον. Εἰ δὲ καὶ νῦν μὴ ἐδάκρυσεν ὁ γέρων—Ἑκάβη γὰρ τοῦτο ποιήσει δακρυχέουσα ἐν οἷς αὐτὴ λέγει—, ἀλλ᾽ ὅτε ἴδωσι τὸν Ἕκτορα νεκρὸν ἑλκόμενον, ἀμφότεροι κλαύσουσι. τὸ δ᾽ ἀκριβὲς εἰπεῖν, καὶ νῦν ὁ γέρων κλαίων ἐλάλει, ὡς δηλώσει ὁ ποιητὴς ἐν τῷ «ὣς τώ γε κλαίοντε» εἶπον, εἰ καὶ ἐσιώπησεν ἐνταῦθα τὸν τοῦ γέροντος κλαυθμόν, εἰωθὼς οὕτω ποιεῖν ἐν πολλοῖς. Ὅτι δὲ πολλὰ τῶν τοῦ Πριάμου δύνανται λόγοις πεζοῖς παραπλέκεσθαι, ὁ θέλων κατανοήσεται, οἷον ἐπὶ ἐχθρῷ παρῳδηθήσεται τὸ «αἴθε θεῷ φίλος τοσόνδε γένοιτο, ὅσσον ἐμοί», καὶ τὸ ἑξῆς, ἐπὶ δὲ λύσει αἰχμαλώτων ῥηθήσεται τὸ «ἀλλ᾽ εἰ μὲν ζώουσιν, ἦ τ᾽ ἂν ἔπειτα χαλκοῦ τε χρυσοῦ τε ἀπολυσόμεθα», ἐπὶ δὲ γέροντος δυστυχῆ μόρον ἐλπίζοντος τὸ «δύστηνος, δύσμορος ὃν θεὸς ἐπὶ γήραος οὐδῷ», καὶ τὰ ἑξῆς. (v. 79—89) Ὅτι μετὰ τὸν Πρίαμον ἡ τοῦ Ἕκτορος «μήτηρ ἑτέρωθεν ὠδύρετο δακρυχέουσα, κόλπον ἀνιεμένη, ἑτέρηφι δὲ μαζὸν ἀνέσχε, καί μιν δακρυχέουσα προσηύδα· Ἕκτορ, τέκνον ἐμόν, τάδε τ᾽ αἴδεο καί μ᾽ ἐλέησον αὐτήν, εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον, τῶν μνῆσαι, φίλε τέκνον», περὶ οὗ ἐρρέθη, «ἄμυνε δὲ δήϊον ἄνδρα τείχεος ἐντὸς ἰών, μηδὲ πρόμος ἵστασο τούτῳ· σχέτλιος· εἴ περ γάρ σε κατακτείνῃ, οὔ σέ τ᾽ ἔγωγε κλαύσομαι ἐν λεχέεσσι, φίλον θάλος, ὃν τέκον αὐτή, οὐδ᾽ ἄλοχος πολύδωρος· ἄνευθε δέ σε μέγα νῶϊν Ἀργείων παρὰ νηυσὶ κύνες ταχέες κατέδονται».

4.577 τοιαῦτα καὶ ἡ μήτηρ. Οὐ πείθει δὲ οὐδ᾽ αὐτὴ τὸν υἱὸν κατεπᾴδουσα τοῦ χόλου, ἀλλὰ τέως μὲν ἰσχυρογνωμονεῖ ἐκεῖνος, ἄγοντος τοῦ μοιριδίου εἰς θάνατον, μικρὸν δὲ ὅσον μετάμελος αὐτὸν εἰσελεύσεται. (v. 79 s.) Ὅρα δὲ ὅτι, ὥσπερ ὁ πατὴρ προέθετο τοῦ οἰκείου λόγου τὸ κόπτεσθαι κεφαλὴν χερσὶ καὶ χεῖρας ὀρεγνύναι, οὕτω καὶ ἡ μήτηρ δακρυχέουσά τε ὀδύρεται πρὸ τοῦ λαλῆσαι καὶ κόλπον ἀνίεται καὶ τῇ ἑτέρῃ μαζὸν ἀνέσχε. δὶς δὲ ῥηθὲν παράκειται τὸ «δακρυχέουσα». ἔστι δὲ κόλπος μὲν τὸ ἐπάνω τῆς ζώνης κόλπωμα τοῦ πέπλου, γινόμενος ἀπὸ τοῦ κοῖλον καὶ τοῦ ἕπω, ᾧ δηλαδὴ κοιλότης ἕπεται, καθὰ καὶ τοῖς κατὰ θάλασσαν κόλποις. Ἀνίεσθαι δὲ τὸ γυμνοῦν πρὸς τὸν υἱὸν τὰ βαστάξαντα ἐκεῖνον καὶ θρέψαντα μέρη, ὡς καὶ οἱ ἐν Ὀδυσσείᾳ μνηστῆρες ἀνίεσθαι λέγονται αἶγας ἤτοι γυμνοῦν ἐν τῷ ἐκδέρειν, ἢ τὸ «ἀνιεμένη κόλπον» ἀντὶ τοῦ ἀνατείνουσα, καθὰ καὶ τὸ «μαζὸν ἀνέσχεν» ἀντὶ τοῦ παρέτεινε βαστάζουσα, τροφεῖα μονονουχὶ τὸν υἱὸν αἰτοῦσα τῷ σχήματι. (v. 82) Διὸ καὶ λέγει ὅτι ταῦτά τε αἴδεο καὶ ἐμὲ αὐτὴν ἐλέησον, τουτέστι καὶ τὰ θρεψάμενά σε μόρια αἰδέσθητι καὶ ἐμὲ ὅλην αὐτήν, μητέρα. [(v. 80) Ἔτι ἰστέον καὶ ὅτι τὸ ἀνιεμένους, ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται, ταὐτὸν ἐστί πως τῷ ἀνατέμνοντας, εἰ καὶ ἄλλως ἐπὶ τοῦ ἐκδέρειν εἴληπται. ὡς γὰρ ὁ ἐκδέρων ἄνω ἵεται ἀπὸ τῶν κάτω, οὕτω καὶ ὁ ἀνατέμνων, ὡς δηλοῖ ὁ γράψας ὅτι Κότυς, Θρᾳκῶν βασιλεύς, φόνους ἀδίκους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τολμῶν, καὶ τὴν ἑαυτοῦ ποτὲ γυναῖκα ζηλοτυπήσας ἀνέτεμε τὴν ἄνθρωπον ἐκ τῶν αἰδοίων ἀρξάμενος, ἀνιέμενος οἷον καὶ αὐτὸς κατὰ τὸ ἐν Ὀδυσσείᾳ ἀνίεσθαι.

4.578 Ἑκάβη δὲ κόλπον ἀνιεμένη μεταφορικῶς λέγεται οὕτω ποιεῖν, οὐ μὴν κυριολεκτικῶς.] Τὸ δὲ «ἑτέρῃφι» καὶ αὐτὸ ἐλλειπτικῶς ἔχει. καὶ πρὸ αὐτοῦ δὲ πλείων ἑτέρα ἔλλειψίς ἐστι. χρὴ γὰρ νοεῖν, ὅτι τῇ ἑτέρᾳ μὲν χειρὶ κόλπον ἡ μήτηρ ἀνίεται, ἑτέρᾳ δὲ δηλαδὴ χειρὶ μαζὸν ἀνίσχει. (v. 78) Τὸ δὲ «Ἕκτορ» ὡς ἀπὸ διδασκάλου τοῦ ἀνδρὸς ἡ γυνὴ ἔσχεν. οὕτω γὰρ καὶ ἐκεῖνος τοῦ λόγου κατήρξατο. (v. 82) Τὸ δὲ «τέκνον ἐμόν» παραφράζουσα κατωτέρω φησὶν «ὃν τέκον αὐτή». Πρίαμος δὲ ἄλλως ἐφ' ἑαυτοῦ κοινῶς καὶ Λαοθόης τὸ τοιοῦτον ἔφη, ἔνθα εἶπε τὸ «οὓ τεκόμεθα», τὸν Λυκάονα δηλαδὴ καὶ τὸν Πολύδωρον. Τὸ δὲ «αἴδεο καί μ' ἐλέησον» ἐπισπαστικόν ἐστι εἰς πειθὼ καὶ αὐτό. αἰδὼς γὰρ ὡς τὰ πολλὰ καὶ ἔλεος τοὺς ἱκετευομένους ἐφέλκονται, διὸ καὶ μετ' ὀλίγα λέγει ὁ Ἕκτωρ «ὃ δέ μ' οὐκ ἐλεήσει οὐδὲ αἰδέσεται», καὶ ἀλλαχοῦ «ἔλεον ἀπώλεσεν, οὐδέ οἱ αἰδὼς γίνεται». εὔχεται δὲ καὶ ἐν Ὀδυσσείᾳ ὁ Λαερτιάδης φίλος ἐλθεῖν καὶ ἐλεεινός. καὶ τοῦτο μὲν οὕτω. (v. 84 s.) Τροφεῖα δὲ ἡ μήτηρ τὸν υἱὸν οὐκ ἄλλο τι ἀπαιτεῖ, ἀλλὰ τὴν ἑαυτοῦ σωτηρίαν, ἵνα μνησθεὶς τῶν θρεψαμένων ἀμύνῃ τὸν πολέμιον. (v. 83) Τὸ δὲ «λαθικηδέα» δηλοῖ μὲν τὸν παυσίλυπον καὶ εἰς λήθην παντὸς βλάβους τὰ βρέφη ἄγοντα, ἐστὶ δὲ ὅμοιον τῷ «κακὸν ἐπίληθον ἁπάντων», ὅπερ ἐν Ὀδυσσείᾳ εἴρηται. ἀντέκτισιν δὲ ἀγαθοῦ ἡ μήτηρ ζητεῖ διὰ τοῦ λαθικηδέος μαζοῦ. ὡς γὰρ αὐτὴ λαθικηδέα μαζὸν ἐπέσχε ποτὲ τῷ υἱῷ, οὕτω καὶ αὐτὸν χρὴ λαθικηδέα γενέσθαι νῦν τῇ μητρί. [Ὁ δὲ μαζὸς δῆλον ἐκ τῶν παλαιῶν ὅτι καὶ μαστὸς λέγεται διὰ τοῦ τ ὡς μασητός, καὶ μασθὸς δὲ διὰ τοῦ θ ἐκ τοῦ μαδός, καθὰ προδεδήλωται. ἐκ δὲ τούτου ἴσως καὶ μασθάλης, κύλιξ τις παρὰ τοῖς παλαιοῖς, καὶ παρὰ Παφίοις δὲ μασθός ποτήριον σύστομον, ὡς εἰκός, ἐξ οὗ ἐβδάλλετο τρόπον τινὰ ὡς ἐκ μασθοῦ τὸ πινόμενον.

4.579 καινὸν δὲ οὐδὲν μασθῷ εἰκάζειν ποτήριον, εἰ καὶ οὖθαρ ἀρούρης Ὅμηρος φθάσας ἔφη, καὶ Ἀρχέστρατος δὲ πίονα τινὰ τόπον Λέσβιον κλεινῆς Λέσβου περικύμονα μαστὸν λέγει.] Τὸ δὲ «ἐπέσχον»—οὕτω γὰρ δεῖ γράφειν, οὐ μὴν «ἀνέσχον», ὥς τινα τῶν ἀντιγράφων βούλονται—εἴληπται καὶ νῦν ἀντὶ τοῦ ἐπὶ σοὶ καὶ ἔμπροσθέν σου ἔσχον, ὥσπερ καὶ ὁ Φοῖνιξ οἶνόν που ἔφη τῷ Ἀχιλλεῖ ἐπισχεῖν, ἤγουν δοῦναι παιδὶ ἔτι ὄντι. ὅτι δὲ τὸ ἐπέχειν καὶ ἔχθραν τινὰ δηλοῖ, ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν φαίνεται κατὰ τὸ «δαιμονίη, τί μοι ἐπέχεις»; ἐξ οὗ διῄρηται τὸ «ἐπὶ Τυδείδῃ εἶχεν», ἤγουν ἤλαυνε κατὰ Διομήδους. [Ὅρα δ' ἐνταῦθα καὶ σπέρμα μεθόδου ἐπιλογικῆς, ἣν ἠκριβώσαντο οἱ μεθ' Ὅμηρον, παρ' οἷς ἡ τοῦ ἐλέου εἰσβολὴ ὁμοίως πως τῇ Ἑκάβῃ μεθωδεύετο. Ὑπερίδης γοῦν, φασί, τῇ ἑταίρᾳ Φρύνῃ κρινομένῃ ὑπὸ Εὐθίου τὴν ἐπὶ θανάτῳ δι' ἀσέβειαν, ὅτε εἰς τοὺς ἐπιλογικοὺς ἦλθεν οἴκτους, ἐκ τῆς ὄψεως αὐτῆς, φασίν, ἐπερρητόρευσε, παραγαγὼν τὴν γυναῖκα εἰς ἐμφανὲς καὶ περιρρήξας τοὺς χιτωνίσκους καὶ γυμνὰ τὰ στέρνα δείξας, ὡς δεισιδαιμονῆσαί φασι τοὺς δικαστὰς καὶ δι' ἔλεον μὴ ἀποκτεῖναι τὴν ὑποφῆτιν καὶ ζάκορον τῆς Ἀφροδίτης. ἀφεθείσης δὲ ἐγράφη ψήφισμα μηδένα τῶν λεγόντων ὑπέρ τινος οἰκτίζεσθαι μηδὲ βλεπομένους τὸν κατήγορον καὶ τὴν κατηγορουμένην κρίνεσθαι. προσιστορεῖ δὲ τούτοις ὁ Ναυκρατίτης σοφὸς καὶ ὅτι ὁ ῥηθεὶς Εὐθίας, ὀργισθεὶς ἐφ' οἷς ἡττήθη, οὐκέτι ἄλλην δίκην εἶπε, καὶ ὅτι ἐκ Θεσπιέων ἦν ἡ δηλωθεῖσα Φρύνη, καὶ ὅτι καὶ ἄλλη τις ἦν ὁμώνυμος αὐτῇ. φησὶ γάρ· δύο Φρῦναι, ἡ μὲν Σηστὸς καλουμένη διὰ τὸ ἀποσήθειν καὶ ἀποδύειν τοὺς αὐτῇ συνόντας, ἡ δὲ Θεσπική. κατὰ δέ τινας ἡ μὲν ἐπικαλουμένη Κλαυσίγελως, ἡ δὲ Σαπέρδιον. καὶ οὕτω μὲν ἔχει ταῦτα.] (v. 85 s.) Τὸ δὲ «τείχεος ἐντὸς ἰών», καὶ τὸ «σχέτλιος» εἶπε καὶ ὁ Πρίαμος ῥητῶς. ἀμφίβολον δὲ καὶ ἐπ' ἀμφοῖν, εἴτ' ἐπὶ Ἀχιλλέως τὸ «σχέτλιος» εἴρηται εἴτε ἐπὶ Ἕκτορος.

4.580 Τὸ δὲ «μηδὲ πρόμος ἵστασο τούτῳ» αὐτολεξεὶ μὲν οὐκ εἶπεν ὁ γέρων, ἦν δὲ παρ' ἐκείνῳ ἰσοδύναμον τούτῳ τὸ «μή μοι ἄνδρα τοῦτον μένε μόνος ἄνευθεν ἄλλων», καὶ τὸ περὶ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολυδώρου δὲ ἀλόχου, ἤτοι τῆς Ἀνδρομάχης, ὁ γέρων μὲν ψιλῶς ἐνέφηνεν, ὅτε «νυοὺς ἑλκομένας» εἶπε, νυὸς γὰρ τοῖς βασιλεῦσι καὶ ἡ Ἀνδρομάχη, Ἑκάβη δὲ νῦν ἀριδηλότερον ἔφηνεν. (v. 89) Τὸ δὲ περὶ τῶν κυνῶν ἔλαβε μὲν ἡ Ἑκάβη ἀπὸ τοῦ Πριάμου, ἄλλως δὲ αὐτὸ ἔφρασεν. οὐ γὰρ περὶ ἑαυτῆς λέγει ὅτι κύνες αὐτὴν ἐν Τροίᾳ τραπεζῆες ἔδονται, ἀλλὰ τὸν Ἕκτορα παρὰ ταῖς τῶν Ἀργείων ναυσὶ κύνες ταχέες, οἵ ἕτεροι παρὰ τοὺς ἀργοὺς τραπεζῆάς εἰσι. (v. 88) Τὸ δὲ «ἄνευθεν δέ σε μέγα» ἢ ἀντὶ τοῦ μεγάλως ἄνευθεν καὶ πάνυ πόρρωθεν ἡμῶν, ἢ κλητικῶς «ὦ μέγα», τουτέστιν ὦ ὑψηλὲ ἄνθρωπε. ταῦτα δὲ καὶ πρὸς τὴν τοῦ υἱοῦ ἔφεσιν ἡ μήτηρ λέγει, φιλοτίμου ὄντος καὶ λαμπρᾶς ἐφιεμένου ταφῆς, ὡς αὐτὸς ἐν τῇ πρὸς τὸν Αἴαντα μονομαχίᾳ ἐδήλωσεν. Ὅρα δὲ καὶ ὡς ἡ μήτηρ φίλοικτος μᾶλλον τοῦ πατρός. ὁ μὲν γὰρ καὶ ὑπὲρ ἑαυτοῦ δεδιὼς καὶ ὑπὲρ ἑτέρων ἱκετεύει τὸν υἱὸν τὴν πόλιν εἰσελθεῖν, ἡ δὲ ὑπὲρ μόνου τοῦ σωθῆναι τὸν Ἕκτορα πάντα λόγον ποιεῖται. καὶ μὴν εἶχε καὶ προβαλέσθαι εἰς οἶκτον τήν τε κατ’ αὐτὴν αἰχμαλωσίαν καὶ ἄλλα πολλά. (v. 92—6) Ὅτι ἐπεὶ Ἕκτωρ πρὸ τῶν πυλῶν «μίμν’ Ἀχιλῆα πελώριον ἆσσον ἰόντα» μὴ ὑποχωρῶν, παραβολικῶς αὐτὸν εἰκάζων φησὶν «ὡς δὲ δράκων ἐπὶ χειῇ ὀρέστερος ἄνδρα μένῃσι βεβρωκὼς κακὰ φάρμακα, ἔδυ δέ τέ μιν χόλος αἰνός, σμερδαλέον δὲ δέδορκεν ἑλισσόμενος περὶ χειῇ, ὣς Ἕκτωρ», ἔχων ἄσβεστον μένος, «οὐχ’ ὑπεχώρει», ἀλλὰ δηλαδὴ ἔμιμνεν, ὡς εἴρηται. (v. 93) Καιρία δὲ λέξις ἡ χειά, ὡς ἐν ποιήσει, ἀπὸ τοῦ χῶ χείω, τὸ χωρῶ, ἐξ οὗ ἐν Ὀδυσσείᾳ τὸ «οὐδὸς δ’ ἀμφοτέρους ὅδε χείσεται», ἤγουν χωρήσει, ὃ διὰ διφθόγγου γράφεται ὁμοίως τῷ κείσεται. λέγονται δὲ αἱ τοιαῦται χειαὶ τῶν ὄφεων καὶ εἰλυοὶ καὶ τρόχμαλοι καὶ αἱμασιαί.

4.581 [Ἰστέον δ’ ὅτι γράψας τις ὡς ἡ χειά, ἤγουν ἡ κατάδυσις τοῦ ὄφεως, παρὰ τὸ χεῖσθαι γίνεται, ἤγουν χωρεῖν, ἐπάγει ὡς καὶ χήτιον ἐκεῖθεν τὸ χωροῦν ἀστραγάλους, ὃ καὶ κήθιον Ἰωνικῶς λέγεται κατὰ τὸ ἐντεῦθεν ἐνθεῦτεν. οἷς ὅμοιον ἰδιωτικῶς καὶ τὸ φάτνη πάθνη ἐναλλαγῇ φωνημάτων.] Τὸ δὲ ὀρέστερος» ἀντὶ τοῦ ἄγριός φασιν οἱ παλαιοί. τοιαῦτα γὰρ τὰ ἐν ὄρει διαιτώμενα. (v. 94) Κακὰ δὲ φάρμακα οἱ μὲν πόαν τινά φασι χολῆς γεννητικήν, ἣν ἐσθίων ὄφις εἰς χολὴν ἐρεθίζεται. ἕτεροι δὲ ὅτι δράκων ἐσθίων μύρμηκας καὶ κανθαρίδας ἰοῦ πληροῦται καὶ εἰς λύσσαν ἄγεται, καὶ ταῦτά ἐστιν, ἅπερ ὁ ποιητὴς λέγει κακὰ φάρμακα πρὸς διαστολὴν τῶν ἀγαθῶν. τὸ δὲ ἐκ τῶν μυρμήκων κακὸν δηλοῦται καὶ ἐν τῷ μυρμηκιᾶν, ὅπερ ἐλέχθη, ὡς ἐν ῥητορικῷ εὕρηται Λεξικῷ, ἐπειδὴ τοὺς εἰς μυρμηκιὰν λαλήσαντας ἑλκοῦσθαι τὴν γλῶσσάν φασιν. [Αἴτιον δ’ ὅτι ἔοικεν ἡ μυρμηκιὰ ἰοῦ ἀναπεπλῆσθαι. ὡμολόγηται γὰρ ὡς οἱ μύρμηκες χαίρουσιν ἐσθίοντες νεκρῶν ὄφεων. διὸ καὶ τὸν ἀέρα τῆς μυρμηκιᾶς μιάναντες βλάπτουσι τὴν κατ’ αὐτῆς γυμνωθεῖσαν γλῶσσαν, καθὰ καὶ οἱ σῆπες, τὸ μέγα κακόν, τοὺς ἐπ’ αὐτοῖς διασκελίσαντας. καί πως οἱ ῥηθέντες μύρμηκες κακὰ φάρμακα ἐξ ὄφεων λαμβάνοντες ἀποτίνουσιν αὖθις αὐτὰ τοῖς ὄφεσι, βιβρωσκόμενοι ὑπ’ αὐτῶν.] (v. 95) Τὸ δὲ «δέδορκε» τὸ ῥῆμά ἐστιν, ἐξ οὗ δράκων ἐτυμολογεῖται. ἀπὸ γὰρ τοῦ δέρκω ἐκεῖνος οὕτω λέγεται ὡς τῇ ὄψει καταπλήττων.

4.582 [Ἴσως δὲ καὶ ὡς ὀξὺ βλέπων, ᾧ λόγῳ καὶ δορκάς, ἧς «ὀξύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε». ἡ δ’ αὐτὴ καὶ δόρκων καὶ ζόρκων δὲ μεταχωρήσει ἐθίμῳ τοῦ δέλτα εἰς ζῆτα.] Ἰστέον δὲ ὅτι ἐνταῦθα μὲν συνήθως τὸ «δέδορκεν» ἀντὶ τοῦ βλέπει λαμβάνεται, Σοφοκλῆς δὲ ἐν τῷ «ἐχθροῖς δεδορκότα λάμψειν ὡς ἄστρον» ἐπὶ τοῦ ὁραθῆναι παθητικῶς τὴν λέξιν τίθησιν, ὡς τοῦ μέσου παρακειμένου ἐν πολλοῖς ἐπαμφοτερίζοντος. (v. 96) Τὸ δὲ ἄσβεστον μένος τὸ τοῦ θυμοῦ πυρόεν δηλοῖ. [Ἐνθυμητέον δ’ ἐνταῦθα καὶ ὅτι τὸ σβέννυσθαι οὐ μόνον ἐπὶ πυρός, ἀλλὰ καὶ ἐπὶ ἄλλων, ὡς μυριαχοῦ φαίνεται. ἐν οἷς καὶ τὸ καθ’ Ἡσίοδον «γάλα αἰγῶν σβεννυμενάων», ὅ ἐστιν παυσαμένων τοῦ θηλάζειν, ὅτε δηλαδὴ τῷ γάλατι τὸ ἐκ τοῦ λίπους θερμὸν ἐπιλείπει, ὅπερ πρώην ἡ φύσις ἐχορήγει ἐπὶ ἀξιολόγῳ ἐκτροφῇ τῶν νεογνῶν.] (v. 95) Ἰστέον δὲ ὡς οὐ μάτην ὁ ποιητὴς ἔθετο ἐν τῇ παραβολῇ τὸ «ἑλισσόμενος περὶ χειῇ», οὕτω καὶ ὁ Ἕκτωρ ἔμιμνε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περὶ ἕνα τόπον πύργῳ ἐπὶ προὔχοντι, ἤγουν ἐπὶ τῷ ἐξέχοντι μέρει τοῦ πύργου, καί, ἄλλως δὲ εἰπεῖν, ἐν τινὶ ἐξοχῇ πύργου φαεινὴν ἀσπίδ᾽ ἐρείσας. (v. 96) Εἰ δὲ ἀπὸ τοῦ μένω καὶ τὸ μίμνω γίνεται καὶ τὸ μένος, προσφῶς ἄρα ἐφράσθη τὸ «ἔχων μένος» ἐπὶ τοῦ, ὡς εἴρηται, μίμνοντος ἥρωος. (v. 97) Δῆλον δ᾽ ἐκ τοῦ «πύργῳ ἐπὶ προὔχοντι» καὶ ἑξῆς, ὅτι ἄχρι καὶ αὐτοῦ τοῦ τῆς πόλεως τείχους ὁ Ἕκτωρ ἔφυγεν, ἔνθα καὶ ἵσταται παλαίων λογισμοῖς. (v. 99—110) Καὶ ἀναμνησθεὶς ὅτι χθὲς οὐκ ἐπείσθη τῷ Πολυδάμαντι, συμβουλεύοντι ἐπ᾽ ἀγαθῷ εἰσελθεῖν τὴν πόλιν, φησὶν «ὤμοι ἐγών, εἰ μέν κε πύλας καὶ τείχεα δύω, Πολυδάμας μοι πρῶτος», ἢ «πρῶτον, ἐλεγχείην καταχεύει», ἢ ἀναθήσει, «ὅς μ᾽ ἐκέλευε Τρωσὶ ποτὶ πτόλιν ἡγήσασθαι νύχθ᾽ ὕπο τήνδ᾽ ὀλοήν.

4.583 ἀλλ᾽ ἐγὼ οὐ πιθόμην, ἦ τ᾽ ἂν πολὺ κέρδιον ἦεν. νῦν δ᾽ ἐπεὶ ὤλεσα λαὸν ἀτασθαλίῃσιν ἐμῇσιν, αἰδέομαι Τρῶας καὶ Τρωιάδας ἑλκεσιπέπλους, μή ποτέ τις εἴπῃσι κακώτερος ἄλλος ἐμεῖο· Ἕκτωρ ἧφι βίῃφι πιθήσας ὤλεσε λαόν. ὣς ἐρέουσιν, ἐμοὶ δὲ τότ᾽ ἂν πολὺ κέρδιον εἴη ἄντην ἢ Ἀχιλῆα κατακτείναντα νέεσθαι, ἠέ κεν αὐτῷ ὀλέσθαι ἐϋκλειῶς», ἤγουν εὐκλεῶς, «πρὸ πόληος». Καὶ ὅρα ὅτι τε εὐγενῶς ὁ Ἕκτωρ ἐπονειδίστου σωτηρίας θάνατον εὐκλεῆ ἀνθαιρεῖται, καὶ ὡς ὁμολογῶν αὐτὸς ὑπὸ ἀτασθαλίας ὀλέσαι λαόν, ὅμως ὑπό τινος ἑτέρου κακωτέρου, ὅ ἐστι δυσγενοῦς ἢ δειλοῦ, ἀκοῦσαι οὐκ ἀνέχεται ὅπερ αὐτὸς ὁμολογεῖ. δι᾽ οὗ δείκνυται, ὡς πολλὰ φαῦλα συνειδότες πολλοὶ σφίσιν αὐτοῖς οὐκ ἀνέχονται ὑφ᾽ ἑτέρω αὐτὰ ὀνειδίζεσθαι, οὕτω τις καὶ ἑαυτὸν τύπτων ἢ τὰ οἰκεῖα κατασωτευόμενος ἢ τοὺς ἑαυτοῦ καταβλάπτων οὐκ ἂν ὑπὸ ἄλλων αἱροῖτο ὥσπερ οὐ πάσχειν, οὕτως οὐδ᾽ ἀκούειν τοιαῦτα. Ἔτι ὅρα καὶ ὡς ὁ κίνδυνος ἀδέκαστα κρίνει. ὁ γὰρ πρὸ τούτου παρὰ φαῦλον θεὶς τὸν Πολυδάμαντα νῦν ἐπιμηθευσάμενος ἑαυτὸν μὲν καταλαμβάνει θρασὺν καὶ ἀτάσθαλον, ἐκεῖνον δὲ διαγινώσκει καλῶς βουλευσάμενον. διὸ καὶ πρὸ πάντων ἐκεῖνον αἰδεῖται. (v. 100) Τὸ δὲ «ἀναθήσει» ἀντὶ τοῦ ἀνάψει, ὅ ἐστιν ἐκκρεμάσει, ἐκ μεταφορᾶς τῶν ἀναθημάτων, ἢ ἀντὶ τοῦ ἐπιθήσει. Ἀττικῶν δὲ ἡ λέξις, οἳ καὶ ἀναθεῖναι φορτίον φασὶ τὸ ἐπιθεῖναι. τοιοῦτον δέ τι καὶ τοῦ Κωμικοῦ τὸ «ἐπὶ κρημνὸν ἀναθείς».

4.584 Τὸ μέντοι «καταχεύει» οὔτε τοῦ «ῥέεν αὐδή» ἀπέοικε πάντη, καὶ δαψίλειαν δὲ ὕβρεως ἐμφαίνει ὄμβρου δίκην καταρρηγνυμένης. (v. 102) Ἐν δὲ τῷ «νύκτα ὑπὸ τήνδε» ἀντὶ προθέσεως εἴληπται πρόθεσις. κατὰ νύκτα γὰρ νοεῖται. Ὀλοὴν δὲ εἰπὼν ἑρμηνεύει, διὰ τί οὕτως εἶπεν, ἐπαγαγὼν τὸ «ὅτε ὤρετο δῖος Ἀχιλλεύς». διὰ τοῦτο γὰρ ἡ τοιαύτη «νὺξ ὀλοή. ἄλλως γὰρ ἀναπαύσιμος ἡ νύξ, εἴ τις αὐτῇ πείθοιτο κατὰ τὸν ποιητήν. (v. 104) Τὸ δὲ «ἀτασθαλίαις ὤλεσα λαόν» ταὐτόν ἐστι τῷ «ἧφι βίῃφι πιθήσας ὤλεσε λαόν». (v. 105) Τὸ δὲ «Τρῶας καὶ Τρωιάδας», ὃ Τρῳάς» πρὸ βραχέων εἶπε, κοινὴν τὴν ἀπὸ πάντων ἐλεγχείαν δηλοῖ. πάντως δὲ ὥσπερ ἔχαιρέ τις, ὃν ἄνδρες καὶ καλλίζωνοι γυναῖκες εὐφήμως ἦγον, οὕτω λυπεῖ τὸν σπουδαῖον τὸ ἀνδράσι καὶ γυναιξὶν ὀνειδίζεσθαι. Τὸ «ἑλκεσίπεπλον» δὲ γυναικῶν ἐστι κἀνταῦθα βαρβάρων ἐπίθετον, ὧν οἱ χιτῶνες συρτοί, ὡς εἰκός, ἀπ᾽ ἐναντίας τοῖς στατοῖς, περὶ ὧν ἐγράφη ἀλλαχοῦ. (v. 109) Ὅρα δὲ καὶ τὸ ἐν κινδύνοις ἀγέρωχον τοῦ Ἕκτορος καὶ τὴν ἀγαθὴν ἐλπίδα. οὐ γὰρ τὸν ἑαυτοῦ προέταξεν ὄλεθρον, ἀλλὰ τὸν τοῦ Ἀχιλλέως, ἐν τῷ εἰπεῖν κέρδιον εἶναι ἢ κτεῖναι τὸν Ἀχιλλέα ἢ ὑπ᾽ ἐκείνου πεσεῖν, ὡς δῆθεν ἐν ἀμφιβόλῳ κειμένου τοῦ τέλους. διὸ καὶ προϊὼν ἐρεῖ· «εἴδομεν, ὁπποτέρῳ κεν Ὀλύμπιος εὖχος ὀρέξει». Οὕτω δὲ μελετήσας ὁ Ἕκτωρ τὸ «εἰ τὴν πόλιν εἰσελευστέον», καὶ πείσας ἑαυτὸν μὴ εἰσελθεῖν τὸ τεῖχος, λογίζεται αὖθις, εἰ χρὴ αὐτὸν γυμνωθέντα τῶν ὅπλων ἐλθεῖν ἀντίον τοῦ Ἀχιλλέως, (v. 111—21) λέγων οὕτως «εἰ δέ κεν ἀσπίδα μὲν καταθείομαι», ἤγουν κατάθωμαι, «ὀμφαλόεσσαν», τὴν καὶ προεξηγηθεῖσαν, «καὶ κόρυθα βριαρήν, δόρυ δὲ πρὸς τεῖχος ἐρείσας», καθὰ καὶ πύργῳ ἐπὶ προὔχοντι φαεινὴν ἀσπίδα, «αὐτὸς ἰὼν Ἀχιλῆος ἀμύμονος ἀντίος ἔλθω, καί οἱ ὑπόσχωμαι Ἑλένην καὶ κτήμαθ᾽ ἅμ᾽ αὐτῇ πάντα μάλ᾽, ὅσσα τ᾽ Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν ἠγάγετο

Τροίηνδ’, ἥ τ’ ἔπλετο νείκεος ἀρχή, δωσέμεν Ἀτρείδῃσιν ἄγειν, ἅμα τ’ ἀμφὶς Ἀχαιοῖς ἄλλ’ ἀποδάσσασθαι, ὅσσα πτόλις ἥδε κέκευθεν», ἤγουν ἔνδον κρύπτει, «Τρωσὶ δ’ αὖ μετόπισθε γερούσιον ὅρκον ἕλωμαι μή τι κατακρύψειν, ἀλλ’ ἄνδιχα πάντα δάσασθαι κτῆσιν, ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει», ὃ καὶ ἀλλαχοῦ ἐγράφη.

4.585 (v. 122—5) Καὶ μέχρι τούτου ἀπρόσκοπ〈τ〉ος καὶ νῦν ἐλθὼν ὁ Ἕκτωρ τῇ φράσει, τὸ ἐντεῦθεν οἷον χωλεύσας καὶ ἀναπόδοτον ἐάσας τὸ νόημα διὰ τὸ ἀσύμφορον τοῦ βουλεύματος, λέγει, ὡς καὶ πρὸ τούτου ὁ Ἀγήνωρ, ἑαυτὸν ἐφ’ οἷς εἶπε μεμφόμενος, τὸ «ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός; μή μιν ἐγὼ μὲν ἵκωμαι», ἤγουν ἱκετεύσω, «ἰών, ὃ δέ μ’ οὐκ ἐλεήσει οὐδέ τι μ’ αἰδέσεται», ὡς ἱκέτην δηλαδή «κτενέει δέ με γυμνὸν ἐόντα αὔτως ὥς τε γυναῖκα, ἐπεί κ’ ἀπὸ τεύχεα δύω», ἤγουν ἐπειδὰν ἀπεκδυθῶ τὰ ὅπλα. (v. 129 s.) Εἶτα κρίνει ὡς βέλτερον ἔριδι ξυνελαύνειν καὶ γνῶναι, «ὁπποτέρῳ, καθὰ εἴρηται, «εὖχος θεὸς ὀρέξει». ὅπερ δὲ ἐπὶ τοῦ Ἀγήνορος πρὸ μικροῦ μετὰ τὸ «τί μοι ταῦτα ὁ θυμὸς διελέξατο» ἔκειτο καὶ δευτέρα ἔλλειψις ἐν τῷ «μή με ἀπαειρόμενον πόλεως πεδίονδε νοήσῃ»—ἔλειπε γὰρ τὸ δείδια ἢ ἕτερόν τι τοιοῦτον —, οὕτω καὶ ἐνταῦθα. μετὰ γὰρ τὴν ἀναπάρτιστον σύνταξιν τῶν ια στίχων τῶν ἀρχομένων ἀπὸ τοῦ «εἰ δέ κεν ἀσπίδα μὲν καταθείομαι», ληγόντων δὲ εἰς τὸ «ἐντὸς ἐέργει» εἰπὼν τὸ «ἀλλὰ τί μοι ταῦτα διελέξατο θυμός», ἐπήγαγε «μή μιν ἐγὼ μὲν ἵκωμαι» καὶ ἑξῆς, λέγων ὅτι δέδοικα μὴ τάδε ποιήσας τάδε πάθω. δύο οὖν κἀνταῦθα οὐσῶν ἐλλείψεων λείπει τῆς μὲν πρώτης τὸ τελειωτικὸν ῥῆμα, ἔμεινε γὰρ ἀτελὲς διὰ τὸ τοῦ λόγου ἀλυσιτελές, τῆς δὲ δευτέρας ἡ ἀρχή, τὸ δέδοικα ἢ δείδια ἢ ἕτερόν τι ὅμοιον. Ἐν δὲ τῷ χώρῳ τούτῳ σημείωσαι καὶ ὅτι τὰ μέγιστα ὁ Ἕκτωρ ἐν τῇ Τροίᾳ ἴσχυεν, εἴγε παρ’ αὐτῷ κεῖται λῦσαι τὴν μάχην καὶ μή. ὥστε καὶ τῆς ἐν τῇ γʹ ῥαψῳδίᾳ παραβάσεως τῶν ὅρκων αὐτὸς αἴτιος ὁ δυνάμενος μὲν ἀναλαβέσθαι τὸ πταῖσμα, ὀκνήσας δέ. ὑπερφίαλος ἄρα κατὰ τοὺς λοιποὺς Πριαμίδας καὶ αὐτός. Ἔτι δὲ καὶ κοινὸν Τρωσί τε καὶ Ἕλλησιν, εἰ δυνάμενος ποιῆσαι ἃ λέγει, ὅμως οὐκ ἐποίησεν, ἀλλὰ συνετήρησεν ἐπὶ πανωλεθρίᾳ τὸν πολυετῆ πόλεμον.

4.586 (v. 111) Καταθέσθαι δὲ νῦν μὲν τὸ κάτω θεῖναι εἰς γῆν, ὃ ἀντίκειται πρὸς τὸ ἀναθεῖναι. οἱ δὲ μεθ’ Ὅμηρον καὶ ἐπὶ τοῦ ὁμολογητικῶς συγκατατίθεσθαι τὴν λέξιν τιθέασιν. [Εἰ δὲ καὶ προείρηται περὶ ὀμφαλοέσσης, ὅμως ῥητέον καὶ νῦν ὡς ἐκ τοῦ κατὰ ζῷα ὀμφαλοῦ καὶ βίβλων καὶ ἀσπίδων λέγονται ὀμφαλοί. καὶ γῆς δὲ ὀμφαλὸς τὸ αὐτῆς μεσαίτατον. καὶ φιάλαι δέ τινες παρὰ Κρατίνῳ βαλανειόμφαλοι, διότι οἱ ὀμφαλοὶ αὐτῶν καὶ οἱ θόλοι τῶν βαλανείων ὅμοιοί εἰσι, κατὰ δέ τινας ἀπὸ τῶν ἐν ταῖς γυναικείαις πυέλοις ὀμφαλῶν, ἢ καὶ διότι τῶν Ἀθήνῃσι βαλανείων τὰ πλεῖστα κυκλοειδῆ ὄντα τὰς ἐξαγωγὰς ἔχει κατὰ μέσον, ὅθι χαλκοῦς ὀμφαλὸς ἔπεστι. διὸ καὶ μεσομφάλους αὐτὰς Ἴων λέγει ἐν τῷ «ἴτ’ ἐκφορεῖτε παρθένοι κύπελλα καὶ μεσομφάλους» φιάλας. δηλαδὴ τὰς εἰρημένας. Ἀθήναιος δὲ ταῦτα ἱστορεῖ.] Ἰστέον δὲ ὅτι τὸ ἀσπίδα καταθέσθαι καὶ τὰ ἑξῆς, ὡς προγέγραπται, δύναται καὶ ἐπὶ ἀργίας πολέμου ῥηθῆναί ποτε, καὶ ὅτι νῦν μὲν τὸ δόρυ δίχα ἐπιθέτου τινὸς προήγαγεν, ἐν δὲ τοῖς ἑξῆς ἐρεῖ αὐτὸ μελίαν χαλκογλώχινα, γλωχῖνα λέγων ἐκεῖ τὴν ἄκραν γωνιάν, ἤγουν τὸ τῆς αἰχμῆς τμητικόν, τουτέστι τὸ ἔμπροσθεν ὀξύ. (v. 113) Ἀμύμονα δὲ τὸν Ἀχιλλέα καλεῖ ὁ Ἕκτωρ, ὡς μὴ ἔχων κρύπτειν τὴν τοῦ πολεμίου ἥρωος ἀρετήν. Τὸ δὲ «ἀντίος ἔλθω» οὐκ ἐναντιότητα ἐνταῦθα δηλοῖ, ἀλλὰ τὸ ἁπλῶς ἐκ τῶν ἔμπροσθεν συναντῆσαι. (v. 114) Τὸ δὲ «ὑπόσχωμαι» ἡ σαφὴς ἑρμηνεία ἐστὶ τοῦ ὑποστῆναι καὶ ὑποστάς καὶ τῶν ὁμοίων, ἅπερ ἐν ἄλλοις κεῖνται δηλωτικὰ ὄντα ὑποσχέσεως, ἧς ἡ ἐτυμολογία προγέγραπται. (v. 116) Τὸ δὲ «ἣ ἔπλετο νείκεος ἀρχή» ἢ Ἀττικῶς ἐσχημάτισται ἀντὶ τοῦ «ὅπερ γέγονε μάχης ἀρχή», περὶ οὗ σχήματος ἀλλαχοῦ προερρέθη σαφῶς (v. 114) ἢ τὸ «ἥ» διὰ τὴν Ἑλένην εἴρηται, ἧς τὴν ἱστορίαν εὐμεθόδως ὁ ποιητὴς καὶ ἐνταῦθα παρέρριψεν, ὑποδηλώσας καὶ πολλὰ κτήματα ἅμα αὐτῇ τὸν Πάριν

ἀγαγέσθαι εἰς Τροίαν. [Ἐνθυμητέον δ’ ἐνταῦθα ὡς, εἰ καὶ μέγα τὸ τῆς Ἑλένης ὄνομα τότε, ἀλλ’ ὕστερον ἑταίρα τις παρώνυμος τῇ Ἑλένῃ γέγονεν, ἧς δύο κλήσεις Καλλίστιον καὶ Πτωχελένη.

4.587 ] (v. 114 et 121) Ἰστέον δὲ ὅτι «κτῆσιν» ἤγουν «κτήματα» καὶ ἐνταῦθα καλεῖ τὰ ἀπόθετα, συνήθως ἑαυτῷ φράζων. περὶ δὲ τῆς λέξεως ταύτης ἔστιν εἰπεῖν ὅτι ἐκ τοῦ κέω κῶ προάγεται καὶ τὸ κέημι κέεμαι κεῖμαι, ὅθεν παράγεται τὸ κειμήλιον, ἀπόθετον πάντως ὄν, ὡς δηλοῖ καὶ τοὔνομα, καὶ αὖ πάλιν ἐκ τοῦ αὐτοῦ κέω κῶ πλεονασμῷ τοῦ τ γίνεται κτῶ κτήσω, ἀφ’ οὗ κτῆσις, ἤτοι κτῆμα, κείμενον εἰς ἀπόθεσιν καὶ αὐτό. ὁποῖα κἀνταῦθα τὰ πρὸ πολλῶν ἐτῶν ἐξ ἁρπαγῆς περιόντα τῷ Ἀλεξάνδρῳ ὡς οἷον κειμήλια καὶ αὐτὰ διὰ τὸ ἀμεταχείριστον, ὡς τάγε μὴ τοιαῦτα κτήματα χρήματα μάλιστα λέγεται παρὰ τὸ χειρίζεσθαι, ἤτοι χρᾶσθαι. διὸ καὶ τὸ δέμνιον, ἐν ᾧ ὁ νοσῶν χρηστικῶς κεῖται, χρῆμα ἡ Τραγῳδία φησίν. καὶ οὕτω μὲν καὶ ταῦτα, (v. 115) ἐν οἷς τὸ «ἐν νηυσὶν ἠγάγετο» καὶ τὸ ἄγειν τὴν ναυτικὴν φορτηγίαν συντιθέασι καὶ τὰ κατὰ θάλασσαν ἀγώγιμα παράγουσιν. [(v. 116) Σημείωσαι δὲ ὡς, εἰ καὶ ἀρχὴ νείκεος ἡ Ἑλένη γενέσθαι λέγεται, ἀλλ’ ἡ τοῦ Πάριδος κρίσις, ἧς ὡς μάχλου καὶ Ὅμηρος μέμνηται, ἄλλο τι δηλοῖ, λέγουσα τὴν μυθευομένην τοῦ Πάριδος κρίσιν ἡδονῆς πρὸς ἀρετὴν εἶναι σύγκρισιν, ἐν ᾗ προκριθείσης τῆς Ἀφροδίτης—αὕτη δ’ ἐστί, φασίν, ἡδονή—πάντα συνεταράχθη. τῷ τοιούτῳ δὲ νοήματι συμβαίνει καὶ Ἐμπεδοκλέους τὸ «οὐδέ τις ἦν κείνοισιν Ἄρης θεὸς οὐδὲ Κυδοιμὸς οὐδὲ Ζεὺς βασιλεὺς οὐδὲ Ποσειδῶν, ἀλλὰ Κύπρις βασίλεια», δι’ ἣν πολλὰ συνέβη κακὰ Τρωσὶ καὶ Ἀχαιοῖς, καὶ πολὺς μετάμελος.

4.588 ὡς ἐξεῖναι εἰπεῖν, ὅτι καλῶς Ἀντισθένης τὴν ἡδονὴν ἀγαθὸν εἶναι φάσκων προσέθηκε τὴν ἀμεταμέλητον. ἡ τοιαύτη γὰρ μόνη ἀγαθόν, οὐ μὴν ἅπασα ἡδονή.] (v. 117 s.) Ἐν τούτῳ δὲ τῷ τόπῳ καὶ ἔθος παραλαλεῖ ὁ ποιητὴς ἀρχαῖον τὸ πολλάκις τοῖς πολεμίοις τὰς πόλεις ἐπὶ εἰρήνῃ συμβαίνειν, τουτέστι συμβιβάζεσθαι, ἀπομερίζεσθαι τὰ ἡμίση τῶν πολιτικῶν κτημάτων, ὡς καὶ ἐν τῇ ὁπλοποιΐᾳ ἐμφαίνεται, ἐν ᾗ συμβιβάσει καὶ ὅρκος, οἷα εἰκός, ἐγίνετο μή τι κατακρύψειν τοὺς πολίτας. Ἐνταῦθα δὲ σημείωσαι καὶ ὅτι ποσὸν τῆς ποινῆς, ἣν ὁ Ἀγαμέμνων ἀπῄτησεν ἐν τῇ γάμμα ῥαψῳδίᾳ, τοῦτο Ἕκτωρ, ὡς εἰκός, ἐκύρωσεν ἔκτοτε παρ’ ἑαυτῷ, εἰ καὶ ἠμέλησε, τὸ δάσασθαι δηλαδὴ σὺν ὅρκῳ ἄνδιχα πάντα, ὅσα ἡ πόλις ἔνδον κέκευθε. (v. 119) Γερούσιον δὲ ὅρκον λέγει τὸν τοῖς γέρουσι πρέποντα, νέων γὰρ φρένες ἠερέθονται. (v. 121) Τὸ δὲ «κτῆσιν ὅσην πόλις ἐντὸς ἐέργει» ἐφερμηνευτικόν ἐστι τοῦ «πάντα δάσασθαι». πάντα γὰρ ἡ κτῆσις, ἤτοι τὰ ῥηθέντα κτήματα. (v. 122) Ἐν δὲ τῷ «ἀλλὰ τί μοι ταῦτα φίλος διελέξατο θυμός» ὅπερ πᾶς εἴποι ἂν μεταμελόμενος ἐφ’ οἷς βεβούλευται, τὸ «διελέξατο» πρωτότυπόν ἐστι ῥῆμα τοῦ τῆς διαλέξεως ὀνόματος, πραγματικῶς οὕτω λεχθέν. τρόπον γάρ τινα τοιαῦτα ἑαυτῷ διελέξατο Ἕκτωρ· εἰσελεύσομαι τὸ τεῖχος; ἀλλ’ αἰδοῦμαι διὰ τάδε. ἀλλ’ ἱκετεύσω; καὶ μὴν σκληρὸς ὁ Ἀχιλλεύς. ἀντιστήσομαι ἄρα. εἰ δὲ καὶ ἄλλος ἐστὶ λογισμὸς τὸ φεύξεσθαι, ποιήσει μὲν ὕστερον ὁ Ἕκτωρ αὐτό, ἀνύων δὲ οὐδέν, ἀλλ’ ἐν στενῷ γενόμενος, εἰς τὸ πρῶτον ἐπανακάμπτει, ὅπου κατέληξεν αὐτῷ νῦν ἡ διάλεξις. (v. 123) Ἐν δὲ τῷ «ὃ δέ μ’ οὐκ ἐλεήσει» καὶ ἑξῆς, ὅρα συνεχῶς τρὶς τεθεῖσαν τὴν με ἀντωνυμίαν, οὐκ ὀκνήσαντος Ὁμήρου τὸ τῆς ταὐτολογίας καίριον.

4.589 (v. 125) Τὸ δὲ «ὥς τε γυναῖκα» παραποιήσαντες οἱ μεθ’ Ὅμηρον γυναικίας καὶ γυναικιζομένους τοὺς ἐν πολέμῳ ἀτόλμους φασίν. ὅπερ ὁ Ἕκτωρ οὐκ ἐθέλει παθεῖν, κρεῖττον λογισάμενος καὶ αὐτὸς ἀγαθὸς ὑπ’ ἀγαθοῦ πεσεῖσθαι, ὃ φθάσας καὶ Ἀχιλλεὺς εἶπε περὶ ἑαυτοῦ. ὑπὸ γὰρ κακωτέρου μὴ ὅτι γε πεσεῖν, ἀλλὰ καὶ ὄνειδος ἀκοῦσαι μισεῖ ὁ Ἕκτωρ, ὡς εἴρηται. [Ἀφελῶς δὲ πέφρασται τὸ «ὡς γυναῖκα». οὐ μὴν τοιαῦτα τὸ «γυναικὸς ἂρ ἀντετέτυξο», καὶ τὸ «Ἀχαιΐδες οὐκέτ’ Ἀχαιοί», καὶ Σοφοκλέους τὸ «μὴ γυναῖκες ἀντ’ ἀνδρῶν πέλας ἕστατε».] (v. 126—8) Ἐπὶ δὲ τούτοις μὴ θαρρῶν ὁ Ἕκτωρ, ὡς ὑποσχέσεσι τὸν Ἀχιλλέα πείσει καὶ λόγοις φησὶν «οὐ μέν πως νῦν ἔστιν ἀπὸ δρυὸς οὐδ’ ἀπὸ πέτρης τῷ», ἤτοι τούτῳ, «ὀαριζέμεναι», ἤγουν ὥστε ὀαρίζειν καὶ ὁμιλεῖν αὐτῷ, «ἅτε παρθένος ἠΐθεός τε, παρθένος ἠΐθεός τ’ ὀαρίζετον ἀλλήλοισιν». Τὸ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σχῆμα ἐπανάληψις δι’ ἐπαναστροφῆς, ὅμοιον τῷ «εἰ πυρὶ χεῖρας ἔοικεν, εἰ πυρὶ χεῖρας ἔοικε, μένος δὲ σιδήρῳ». καὶ τοῦτο γὰρ ἐπαναστροφῆς ἦν σχῆμα κατὰ τοὺς ῥήτορας. καὶ ἔχει μέν τι καὶ κάλλους κατὰ τοὺς Τεχνικοὺς κἀνταῦθα ἡ ἐπαναστροφή. τὸ δὲ πλέον ἀγωνιῶντος καὶ τοῦτο ἤθους ἐστὶν ἐνδεικτικόν, ὡς μὴ δυναμένου τοῦ λαλοῦντος προσώπου ἐγκροαίνειν διαφόροις ἐννοίαις, ἀλλ’ ἀνακοπτομένον καὶ ταὐτολογικῶς ὑποβραδύνοντος. ὁ δὲ νοῦς τοῦ λόγου τοιοῦτος· οὐκ ἔστιν ἀποίκιλος ὁ Ἀχιλλεύς, ἀλλ’, ὡς προϊὼν αὐτὸς ὁ Ἕκτωρ ἐρεῖ, ἀρτιεπὴς καὶ ἐπίκλοπος μύθων. οὔκουν ἁπλοῦς τὸ ἦθός ἐστι καὶ ἀρχαϊκὸς καὶ εὐήθης, ὁποῖοι πάλαι ποτ’ ἦσαν ἐκεῖνοι, οὓς λόγος ἔχει ἀπὸ δρυὸς καὶ ἀπὸ πέτρας γίνεσθαι, ὅτε δηλαδὴ νομάδα βίον εἷλκον οἱ ἄνθρωποι καὶ ὠρεινόμουν καὶ δρυῶν καὶ λίθων κοιλότησιν ἐπίστευον τὰ νεογνά, ἐκτιθέμενοι διὰ πενίαν τὰ φίλτατα. ὅθεν καὶ φήμη διεσπάρη ἐκ τῶν εὑρισκόντων τὰ ἔκθετα βρέφη, ὡς ἄρα ἐκ δρυῶν καὶ λίθων καὶ μελιῶν, καθὰ καὶ Ἡσίοδός φησι, γεννῶνται ἄνθρωποι, ὡς οἷα οὕτω προμηθουμένου Διὸς τὸ ἀνθρώπειον γένος πληθῦναι.

4.590 ὅτι γοῦν οὐχ’ ἁπλοῦς ἐστιν ὁ Ἀχιλλεύς, ὥστε ὀαρίζειν ἐμὲ αὐτῷ, καθάπερ εἰ καὶ παρθένος καὶ ἠΐθεος ἀλλήλοις ὀαρίζουσι, βέλτερον ἄρα ἔριδι ξυνελαυνέμεν, ὡς εἴρηται, ἤγουν εἰς ἔριν συνελθεῖν ἀνδρικῶς. καὶ οὕτω μὲν ἡ περὶ δρυὸς καὶ πέτρης παροιμία καθέσταται. εἰ δέ τις τὸ «ἀπὸ δρυὸς ἢ ἀπὸ πέτρης» ἐπὶ σκληρότητος ἤθους λάβοι ποτέ, ὅπερ ἐνταῦθα οὐδ’ ὅλως συμβιβάζεται, ὁ τοιοῦτος παραχρᾶται τῇ Ὁμηρικῇ παροιμίᾳ καὶ εἰς ἄλλο τι μεθέλκει τὸν νοῦν, ἴδιόν τι ποιῶν αὐτὸς ἕτερον νόημα, οὐ τῷ ἀρχαίῳ κατακολουθῶν, καὶ σολοικίζων οὕτω κατὰ τοὺς παλαιοὺς τῷ νοήματι. καὶ γὰρ καὶ τοιοῦτοί τινες ἐλέγοντο σολοικισμοί, καθάπερ καὶ τὸ «ἵππος εἰς πεδίον» ἀντὶ τοῦ εἰς πεδιάδα οἱ ἱππόται χρήσιμοι, ἐάν τις καὶ ἐπὶ ἑνὸς ἵππου νοήσῃ, ἐξεφαυλίζετο παρὰ τοῖς σοφοῖς καὶ αὐτὸς καὶ σολοικίζειν κατὰ νοῦν ἐλέγετο οἷα τὴν παροιμίαν οὕτω παραποιῶν. καινὸν δὲ οὐδὲν σολοικίζειν ἐν νοήματι λέγεσθαι, εἴγε καὶ νεύματι σολοικίζειν τινὲς ἐσκώπτοντο. ἀλλ’ οὕτω μέν, ὡς ἐρρέθη, οὐκ ἔστι λαμβάνεσθαι νῦν εἰς σκληρότητα ἤθους τὴν ῥηθεῖσαν Ὁμηρικὴν παροιμίαν διὰ τὸ ἀσυμβίβαστον. ἄλλως μέντοι παραποιῆσαί ποτε τὸν νοῦν αὐτῆς, ὡς ἐπὶ σκληρότητος νοηθῆναι, οὐχ’ ὑποδύσκολον, ἐπεὶ καὶ αὐτὸς ὁ ποιητὴς ἐν Ὀδυσσείᾳ περὶ Ὀδυσσέως εἰπὼν τὸ «οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου οὐδ’ ἀπὸ πέτρης» ἑτέρως ἐκεῖ χρᾶται τῇ παροιμίᾳ καὶ οὐκ ἐπὶ τῆς ἐνταῦθα κειμένης ἐννοίας. βούλεται γὰρ ἐκεῖ νοεῖν, ὅτι δεῖ σε εἰπεῖν τὸ σὸν γένος. οὐ γὰρ πάντως ἀγενεαλόγητος εἶ, ὡς μήτε πατρὸς προαχθεὶς μήτε μητρὸς ἐκφὺς κατὰ τοὺς πάλαι λεγομένους ἐκ δρυὸς καὶ πέτρας εἶναι, οὓς εἴ τις ἤρετο, τίνων κατάγονται, οὐκ ἂν εἶχον τὸ γένος εἰπεῖν. Καὶ ὅρα ἐν τῷ λόγῳ τούτῳ, ὡς αἱ παροιμίαι πρὸς διαφόρους ἐννοίας ἀμέμπτως ἔστιν ὅτε στρέφονται, ὡς καὶ ἐπὶ τῆς Καδμείας νίκης γίνεται, καθὰ προδεδήλωται. (v. 126) Δρῦς δὲ κἀνταῦθα πᾶν ξύλον, ὡς προέγνωσται.

4.591 (v. 127) Ὀαρίζειν δὲ πόθεν μὲν παράγεται, προερρέθη καὶ αὐτό. δηλοῖ δὲ νῦν τὸ ἁπλῶς καὶ ἀκάκως ὁμιλεῖν ὡς ἡ παρθένος καὶ ὁ ἠΐθεος, περὶ οὗ καὶ αὐτοῦ ἑτέρωθι γέγραπται. καλῶς δὲ τὴν ἱκετευτικὴν ἐνταῦθα ἐντυχίαν ὁ Ἕκτωρ ὁμιλίᾳ εἰκάζει παρθένου καὶ ἠϊθέου, ὃς καὶ τὸ γυμνωθῆναι τῶν ὅπλων γυναικισμῷ εἴκασε. προκλητικὸν γὰρ ἐκεῖνο τούτου τὸ νόημα εἶναι δοκεῖ. καὶ Αἰνείας δὲ πρὸ τούτου τὴν μέσον αὐτοῦ καὶ τοῦ Ἀχιλλέως φιλονεικίαν ἔριδι ἀγοραίων ὡμοίωσε γυναικῶν. ἔστι δὲ καὶ λόγος παλαιὸς ἀνδρῶν μὲν εἶναι τὸ πράττειν, γυναικῶν δὲ τὸ λαλεῖν. (v. 131—2) Ὅτι τὸν Ἀχιλλέα, ὅτε καθ’ Ἕκτορος ὁρμᾷ, τῷ Ἄρεϊ ὁ ποιητὴς ὁμοιοῖ, λέγων «ὃ δέ οἱ σχεδὸν ἦλθεν ἶσος Ἐνυαλίῳ κορυθάϊκι πολεμιστῇ». Καὶ ὅρα τρία ἐπίθετα κείμενα ἀντὶ ἑνὸς κυρίου τοῦ Ἄρεος. εἴληπται δὲ ὡς κύριον μὲν ὁ Ἐνυάλιος, καθὰ καὶ προϊστόρηται, τὰ δὲ λοιπὰ δύο ὡς ἀληθῶς ἐπίθετα. (v. 133—5) Ἐπάγει δὲ ὁ ποιητὴς καὶ τὰ ἑξῆς μεγαλοπρεπῶς λέγων «σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον, δεινήν· ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο ἴκελος αὐγῇ ἢ πυρὸς αἰθομένου ἢ ἠελίου ἀνιόντος». Καὶ ὅρα ὅτι καὶ ἐνταῦθα ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐλάσσονος τοῦ πυρίνου φωτὸς ἐπὶ τὸ μεῖζον προέβη τὸν ἥλιον, καὶ ὅτι οὐδὲ νῦν ἀπέστη τοῦ κατὰ τὸ πῦρ εἰκασμοῦ ἐπὶ τῷ Ἀχιλλεῖ, καὶ ὡς ἀντὶ ἄστρου ἑτέρου τὸν ἥλιον ὑπεροχικῶς παρέλαβεν, ἀνατέλλοντα μέντοι, ὅτε καὶ ἱλαρὸν αὐγάζει—οὐ μὴν τὸ μεσημβρινὸν καυσοῦντα. οὐ γὰρ ἦν ἐνταῦθα χρεία ἡλίου τοιοῦδε—, καὶ ὡς τὰς πολλὰς παραβολὰς τοῦ πυρὸς καὶ τῆς ἄλλοθεν αὐγῆς ἐνταῦθα συνέτεμε. τίς δὲ ἡ Πηλιὰς μελία, προείρηται. (v. 136—7) Ὅτι πολεμικὸν φόβον φράζει τὸ τὸν δεῖνα «ὡς ἐνόησεν, ἕλε τρόμος, οὐδ᾽ ἂρ ἔτι ἔτλη αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς». Περὶ Ἕκτορος δὲ ὁ λόγος, ὃς δυνάμενος ἔσω πυλῶν σωθῆναι ἀφεὶς αὐτὰς ᾤχετο καὶ οὕτως ἐξώλετο δι᾽ οὐκ ἀγαθὴν αἰδῶ, αἰδεσθεὶς δηλαδὴ τὴν εἰς τὸ τεῖχος εἴσοδον διὰ ἐλεγχείην ἐκείνην τὴν ἐκ τοῦ Πολυδάμαντος.

4.592 (v. 136—44) Ὅτι Ἀχιλλέως ἐπιδραμόντος εἷλε τρόμος Ἕκτορα, «οὐδ᾽ ἂρ ἔτλη αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς, Πηλείδης δ᾽ ἐπόρουσε, ποσὶ κραιπνοῖσι πεποιθώς. ἠΰτε κίρκος ὄρεσφιν ἐλαφρότατος πετεηνῶν ῥηϊδίως οἴμησε μετὰ τρήρωνα πέλειαν, ἣ δέ θ᾽ ὕπαιθα φοβεῖται, ὃ δ᾽ ἐγγύθεν ὀξὺ λεληκὼς ταρφέ᾽ ἐπαΐσσει, ἑλέειν τέ ἑ θυμὸς ἀνώγει, ὣς ἂρ ὅ γ᾽ ἐμμεμαὼς ἰθὺς πέτετο, τρέσε δ᾽ Ἕκτωρ τεῖχος ὑπὸ Τρώων». Καὶ ὅρα ὅπως εἰς τὴν τολμηρὰν τοῦ πέτεσθαι λέξιν ἐβοήθησε τῷ ποιητῇ τοῦ κίρκου ἡ παραβολή, καθὰ καὶ πρὸ τούτου ἡ τοῦ ἀετοῦ. διὸ προϊὼν θαρρούντως ἐρεῖ, ὡς ὁ Ἀχιλλεὺς πρὸ πόλεως ἐπέτετο αἰεί. ἐδήλου μὲν οὖν ποδῶν ὠκύτητα πρὸ ὀλίγων καὶ ἡ πρὸς ἀεθλοφόρον ἵππον θέοντα παραβολή, ἐνταῦθα δὲ τὸ τάχος διὰ τοῦ κίρκου ἐπιτέταται. καλῶς δέ, ὅτε ὁ δρόμος ἐναγωνιώτερος, ἡ πρὸς τὸν κίρκον εἰκασία γέγονεν. Ἰστέον δὲ ὡς οἱ τὰ περὶ ζῴων φυλοκρινήσαντες καὶ κίρκην κατὰ γένος θηλυκὸν εἶδός τι πτηνοῦ καλεῖσθαι ἱστόρησαν, οὐ μὴν τοῦ κατὰ τὸν κίρκον εἴδους, ἀλλά τι ἑτεροῖον. χαρίεν δὲ εἰπεῖν καὶ ὅτι οὐ μόνον ἡ τοῦ Ἀχιλλέως μελία ἰθὺς ἐπέτετο, διὸ καὶ ἰθυπτίων ἐκλήθη, ἀλλ᾽ ἰδοὺ καὶ ὁ Ἀχιλλεὺς ἰθὺς πέτεται, καὶ ὅτι ἐπαλλάξας ἐπαΐσσειν μὲν εἶπε τὸν κίρκον, τὸν δὲ Ἀχιλλέα πέτεσθαι. (v. 136—7) Τὸ δὲ «ἕλε τρόμος» ἑρμηνεύων ὁ ποιητής φησιν «οὐδ᾽ ἂρ ἔτλη αὐτόθι μένειν», ὅπερ σαφηνίζων πάλιν λέγει «ὀπίσω δὲ πύλας λίπε». μεθὸ ἐπὶ πλέον ἐν ὀλιγίστῳ διασαφῶν φησιν «ἔβη δὲ φοβηθείς», καὶ προϊὼν δὲ δι᾽ ὀλίγου ὡσαύτως ἑρμηνεύει τὸ ῥῆμα τοῦ τρόμου, εἰπὼν «τρέσε δ᾽ Ἕκτωρ τεῖχος ὑπὸ Τρώων». (v. 138) Τὸ δὲ «ποσὶ κραιπνοῖσι πεποιθώς» ὅμοιόν τι πρὸς τὸ «λέων ἀλκὶ πεποιθώς». οὗτός τε γὰρ ἀλκιμώτατος καὶ ὁ Ἀχιλλεὺς ποδωκέστατος. (v. 139) Ὁ δὲ κίρκος ἐκ τοῦ κρίζειν ἴσως, ὠνοματοπεποιημένου ῥήματος, παρῆκται, οὗ χρῆσις καὶ παρ᾽ Ὁμήρῳ ἐν τοῖς ἑξῆς, ἀφ᾽ οὗ καὶ ὁ σιδηροῦς κρίκος. ἀλλ᾽ οὗτος μὲν ἐξ ὀρθοῦ ἐκεῖθέν ἐστιν, ὁ δὲ κίρκος κατὰ μετάθεσιν.

4.593 Τὸ δὲ ἐλαφρότατος» τῇ ἐκ τῆς ἐλάφου παραγωγῇ τὸ ταχὺ τοῦ κίρκου δηλοῖ, ἄλλως δὲ καὶ τὸ κοῦφον δι᾽ ὀλιγοσαρκίαν. τοιαῦτα γὰρ κατὰ κοινὴν φράσιν τὰ ἐλαφρά. (v. 140) Πέλεια δὲ οὐχ᾽ ἁπλῶς περιστερά, εἶδος δέ τι περιστερᾶς μελαντέρας, ὡς ἡ λέξις ὑποδηλοῖ. πελὸν γὰρ τὸ μελανίζον, ἐξ οὗ καὶ ὁ πελαργός. κοινὸν δὲ ἴδιον ἁπάσης περιστερᾶς τὸ «τρήρων». (v. 141) Τὸ δὲ «ὕπαιθα» δύναται μὲν καὶ νῦν δηλοῦν καὶ τὸ εἰς πλάγιον, πλαγιάζουσα γὰρ ἂν ἐγκόπτοι τὴν τοῦ κίρκου κατ᾽ εὐθὺ πτῆσιν ἡ πέλεια καὶ οὕτω ταρφέα ποιεῖ αὐτὸν ἀΐσσειν, βοηθεῖται δὲ καὶ εἰς τὸ νοεῖσθαι ἐπὶ τοῦ ἔμπροσθεν ἀπὸ τοῦ «ἰθὺς ἐπέτετο». πέτεται γὰρ πάντως ἰθὺς ὁ Ἀχιλλεύς, καθὰ καὶ κίρκος. αὐτὸς δὲ πάλιν ἰθὺς πέτεται κατὰ πελείας φευγούσης ἀεὶ ὕπαιθα, τουτέστιν ἔμπροσθεν αὐτοῦ. οὐ γὰρ ἂν διώκοι τὴν μὴ πρὸ αὐτοῦ φεύγουσαν. Τὸ δὲ «ὀξὺ λεληκέναι» τὴν ἰδιότητα τοῦ κίρκου δηλοῖ, ὀξὺ φωνοῦντος ὅτε ἀγωνιᾷ ἐγγὺς τοῦ διωκομένου γινόμενος. ὠνοματοπεποίηται δὲ τὸ «λεληκώς», καθὰ καὶ τὸ ἔλακε καὶ τὸ λακεῖν, ἐξ ὧν καὶ τὸ λεληκώς δοκεῖ γενέσθαι, οὐ συγκοπὲν ἐκ τοῦ λελαληκώς, ὃ δὴ ἀνθρωπίνην σημαίνει φωνήν, ἀλλ᾽ ἐκ τοῦ ληκῶ ἀχρείου ἐνεστῶτος παραχθέν, ἢ καὶ συγκοπὴν παθὸν ἐκ τοῦ λελαληκώς. (v. 142) Τὸ δὲ «ταρφέα» ἐπὶ μὲν τῶν κατὰ γῆν κυριολεκτεῖται. ταρφέα γὰρ φυτὰ τὰ πυκνὰ καὶ ταρφεῖα ὕλη παρηχεῖταί πως καὶ τῇ τραφερᾷ γῇ ὡς ἀπὸ τοῦ τρέφω ἔταρφον, καθὰ δέρκω

ἔδαρκον. ἐπὶ δὲ τοῦ «ταρφέα ἀΐσσειν» πολλὴ τοῦ ταρφέος ἡ ἐκ τῆς κυριολεξίας διάστασις καὶ οὐδ’ ὅσον ὑψοῦ πετόμενος κίρκος ἔστ’ ἀπὸ γαίης.

4.594 ψιλὴν γὰρ μόνην δηλοῖ πυκνότητα ὁρμῆς, κοινωνίαν δὲ οὐδεμίαν ἔχει πρὸς τὸ τρέφειν, εἰ μὴ ἄρα τις εἰπεῖν τολμήσει ὅτι καὶ ὁ κίρκος πυκνὰ ἀΐσσει, ἵνα τραφῇ ἑλὼν τὴν πέλειαν. οὕτω δὲ καὶ «ταρφέες ἰοί» οὐ κατὰ κυριολεξίαν λέγονται. οὐ μέντοι οὕτως ἀναιδὴς ἐν αὐτοῖς ἡ τροπή, ὡς ἐπὶ τοῦ «ταρφέα ἀίσσειν». ἔχουσι γάρ πως οἱ συχνοὶ ὀϊστοὶ ὁμοιότητά τινα πρὸς τάρφος, ἤγουν δάσος, φυτῶν. Τὸ δὲ «ἑλέειν τέ ἑ θυμὸς ἀνώγει» περιφραστικῶς ἀντὶ τοῦ προθυμεῖται ἑλεῖν. ἔχει δέ τι καὶ ἄλλως ἀστεῖον ὁ λόγος. οἱονεὶ γὰρ ἐφίστασθαι τῷ κίρκῳ λέγει δεσποτικῶς θυμόν, ὅστις πότε οὗτός ἐστι, καὶ κελεύειν ἑλεῖν τὴν διωκομένην πέλειαν, ὡς εἰ καὶ κύων ἐπισπεύδεται ὑπὸ κυνηγέτου θηρίον ἑλεῖν. (v. 145 s.) Ὅτι μέμνηται Ὅμηρος καὶ ἐνταῦθα ἐρινεοῦ τοῦ Τρωϊκοῦ, ἤγουν τόπου τινὸς ἐρινεώδους, ὡς καὶ ἐν ἄλλοις εἴρηται. οὐ γὰρ ὥσπερ ἡ τοῦ Διὸς φηγὸς μία ἦν ἐν Τροίᾳ, οὕτω καὶ εἷς τις ἐρινεὸς περὶ τὸ τεῖχος. οὐ γάρ. ὅτι μηδὲ δοκεῖ ὅλως τοῦτο τοῖς παλαιοῖς. ῥάχις δέ τις ἦν ἐρινεοὺς ἔχουσα ὑψηλὴ πρὸ τῆς Τροίας. διό φησι «οἳ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα τείχεος αἰὲν ὑπ’ ἐκ κατ’ ἀμαξιτὸν ἐσσεύοντο». καὶ διὰ τὸ τοιοῦτον τῆς ῥάχεως ὕψος εὐεπίβατος ἦν καί, ὡς ὁ ποιητὴς ἔφη, ἄμβατος ἐκεῖθεν ἡ ἠνεμόεσσα Τροία. διὸ καὶ σκοπιὰ ἦν ἐκεῖ ἀναγκαίᾳ φυλακῇ τοῦ τείχους. περιεκτικὴ γοῦν τις, καθὰ καὶ προεδηλώθη, λέξις ὁ ἐρινεός. οὕτω δὲ καὶ ὁ ἀσφοδελός, ὡς ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν εἴρηται. Ὅτι δὲ ἡ σκοπιὰ φυλακῆς ἐστι τόπος, δηλοῖ ἐν Ὀδυσσείᾳ τὸ «ὀπτῆρας δὲ κατὰ σκοπιὰς ὤτρυνα νέεσθαι». Αἱ δὲ τρεῖς ἐνταῦθα προθέσεις οὐ μάτην ἐστοιβάσθησαν, ὡς οὐδ’ ἀλλαχοῦ ποιεῖ Ὅμηρος τοῦτο, ἀλλ’ ἡ μὲν ὑπο πρόθεσις τὸν κάτω δρόμον δηλοῖ τὸν ὑπὸ τῇ Τροίᾳ, ἡ δὲ ἐκ τὸ ἔξω καὶ πορρωτέρω τοῦ τείχους—οὕτω γὰρ ἐπίτηδες Ἀχιλλεὺς διώκει τὸν Ἕκτορα—, ἡ δὲ κατα τὸν ἐπ’ αὐτῇ τῇ ἀμαξιτῷ δρόμον. Καὶ ὅρα ὅτι ψιλοῦσθαι ὁ ποιητὴς τὴν ἄμαξαν βούλεται, ὡς δηλοῖ τὸ «κατ’ ἀμαξιτόν».

4.595 τὸ δ’ αὐτὸ καὶ ἀπὸ τοῦ κατημαξευμένου φαίνεται. γίνεται γάρ, φασίν, ἅμαξα παρὰ τὸ ἄγειν τὰ ἀμώμενα, ἤτοι θεριζόμενα. οἱ δὲ δασύνοντες ἀπὸ τοῦ ἅμα καὶ τοῦ ἄξονος αὐτὴν συντιθέασιν. (v. 147—52) Εἶτα λέγει καὶ ὡς θέοντες ὁ Ἀχιλλεὺς καὶ ὁ Ἕκτωρ «κρουνὼ ἵκανον καλλιρρόω», «ἔνθα δέ», ἤγουν ὅπου δή, «πηγαὶ δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος· ἣ μὲν γάρ θ’ ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς γίνεται ἐξ αὐτῆς ὡς εἰ πυρὸς αἰθομένοιο, ἣ δ’ ἑτέρη θέρεϊ προρέει εἰκυῖα χαλάζῃ ἢ χιόνι ψυχρῇ ἢ ἐξ ὕδατος κρυστάλλῳ». Καὶ ὅρα ὅτι οὐδεμίαν ἀφῆκε ψύχους ὑπερβολὴν ὑφ’ ἑτέρου τινὸς ῥηθῆναι ὁ ποιητής, καὶ ὅτι οὐδὲ καινῶν ἀκουσμάτων ἄμοιρον εἴασε τὴν ἑαυτοῦ ποίησιν, καὶ ὅτι οὐδὲ καινῶν ἀκουσμάτων ἄμοιρον εἴασε τὴν ἑαυτοῦ ποίησιν. καινὸν γάρ τι καὶ ἡ περὶ τῶν πηγῶν τούτων τοῦ Σκαμάνδρου ἱστορία, παραρριφεῖσα ἐν παρέργῳ, καί, ὡς εἰπεῖν, ἐκ παρόδου, ὡς οἷα καὶ ἐκεῖ ἐλθόντων τῶν ἄρτι τρεχόντων ἡρώων. (v. 156) Φησὶ γὰρ «τῇ γάρ», ἤγουν ἐνταῦθα, «παραδραμέτην» καὶ ἑξῆς. ὦπται δὲ καὶ νῦν περὶ τὴν τῶν Βουλγάρων ἀνάδοσις δύο τοιούτων πηγῶν, ὧν ἡ μία καίουσα ζωογονεῖ ὅμως σκώληκας, οἳ ἐξαιρεθέντες τοῦ ζέοντος καὶ ἀέρι ὁμιλήσαντες ἐκλείπουσι. λέγει δὲ καὶ Ἡρόδοτος ποταμὸν Σκυθικὸν Τέαρον τά τε ἄλλα εἰς ἄκεσιν φέροντα καὶ δὴ καὶ ἀνδράσι καὶ ἵπποις ἀγαθὸν ψώραν ἀκέσασθαι. πηγαὶ δέ, φησίν, τούτου δυοῖν δέουσαι τεσσαράκοντα, ἐκ πέτρας τῆς αὐτῆς ῥέουσαι, καὶ αἳ μὲν αὐτῶν εἰσι ψυχραί, αἳ δὲ θερμαί. Ὁ δὲ Γεωγράφος λέγει μὴ εὑρίσκεσθαι θερμὰ ἐν τῷ Σκαμάνδρῳ, καὶ ὅτι οὐδὲ πηγαὶ Σκαμάνδρου ἐνταῦθα, ὅπου ὁ ποιητὴς ἱστορεῖ, ἀλλ’ ἐν τῷ ὄρει, καὶ μία, ἀλλ’ οὐ δύο. εἰκὸς οὖν, φησί, τὰ θερμὰ ἐκλελεῖφθαι, τὸ δὲ ψυχρὸν κατὰ διάδοσιν ὑπεκρέον ἐκ τοῦ Σκαμάνδρου, αὐτόθι ἀνατέλλειν, διὸ καὶ λέγεσθαι Σκαμάνδρου πηγήν, ἢ καὶ διὰ τὸ πλησίον εἶναι Σκαμάνδρου. καὶ οὕτω μὲν αὐτός. ἕτεροι δὲ σὺν τῷ εἰπεῖν ἐκλελεῖφθαι, ὡς εἰκός, τὰ θερμά, ὥσπερ καὶ ἄλλα πολλά, λέγουσι καὶ ὅτι αἱ ἀληθιναὶ πηγαὶ τοῦ Σκαμάνδρου πρὸς ἀνατολὰς τῆς Ἴδης πρὸ τριακοσίων εἰσὶ σταδίων Ἰλίου, ἕτεραι δηλονότι οὖσαι παρὰ τὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁμηρικὰς διὰ τὸ πλείους εἶναι τοῦ αὐτοῦ ποταμοῦ πηγάς. [Ἰστέον δὲ καὶ ὅτι θαυμασία ἐν τοῖς εἰρημένοις καὶ ἡ Ὁμηρικὴ φράσις, οὔτε πάντη λογοειδὴς οὖσα, ὡς ψέγεσθαι διὰ τὸ ἀμέγεθες, οὔτε σκληρά, ὥστε φεύγεσθαι εἰς λόγου πεζοῦ παραπλοκήν.

4.596 ἐφιστῶσι δ’ ἐνταῦθα οἱ παλαιοί, λιαρὸν ῥηθῆναι τὸ θερμόν, πυθόμενοι ὡς ἄρα τοῦτο λιαρόν ἐστιν, ἀφ’ οὗ πυρὸς ἀτμὶς καὶ καπνὸς ἔμπυρος ἀναφέρεται. εἰ δέ τι ἔστιν αὐτοῖς ἀντιπεσεῖν, μετὰ βραχέα φανεῖται. ὡς δὲ καὶ ἄλλα ὕδατα ἱστορεῖται ψυχρότατα, οἴδασιν οἱ μανθάνοντες. τοιοῦτον ἐν τοῖς μάλιστα καὶ ἡ περιᾳδομένη Στύξ, ὡς πολλαχοῦ δηλοῦται. λέγεται δὲ καὶ Τιλφῶσσα κρήνη ἐν Βοιωτίᾳ εἶναι, ἀφ’ ἧς Τειρεσίαν πιόντα καὶ διὰ γῆρας οὐχ’ ὑπομείναντα τὴν ψυχρότητα ἀποθανεῖν. φέρεται δὲ ἱστορία καὶ Πτολεμαῖον ἐπὶ Κορίνθου προάγοντα κρήνῃ περιτυχεῖν ἀναβαλλούσῃ νᾶμα χιόνος ψυχρότερον, ἐξ ἧς πολλοὺς μὴ πίνειν ἀποπαγήσεσθαι προσδοκῶντας, αὐτὸς δὲ λέγει πεπωκέναι.] (v. 153—6) Ὁ δὲ ποιητὴς λέγει καὶ ὅτι ἐπὶ τῶν τοιούτων πηγῶν «πλυνοὶ εὐρέες ἐγγὺς ἔασι καλοὶ λαΐνεοι, ὅθι εἵματα σιγαλόεντα πλύνεσκον Τρώων ἄλοχοι καλαί τε θύγατρες τὸ πρίν». ὅπερ ἑρμηνεύων, ὥς που καὶ ἐν τοῖς πρὸ τούτων, φησὶ «ἐπ’ εἰρήνης». ὃ πάλιν σαφηνίζων ἐπάγει «πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν». τότε γὰρ ἦν εἰρήνη δηλαδή. (v. 147) Ἰστέον δὲ ὅτι κρουνοὶ κυρίως οἱ καταρρέοντες ἐξ ὄρους μετὰ ψόφου καί τινος κρούσεως. διὸ κἀνταῦθα δοκεῖ τισιν ἄλλο εἶναι τοὺς κρουνοὺς παρὰ τὰς πηγάς, ἴσως δὲ οὐ καλῶς. (v. 149) Καπνὸν δὲ πηγῆς λέγει παραβολικῶς τὸ ἄθρουν τῆς ἐκ θερμῶν ὑδάτων θειώδους ἀναθυμιάσεως, ὅπερ καπνοῦ φαντασίαν τοῖς βλέπουσιν ἔπεμπε. καὶ ἄλλως δὲ καπνὸς ἐνταῦθα οὐχ’ ὁ αὐτόχρημα, ἀλλὰ τὸ οἱονεὶ καπνῶδες τῆς ἀναθυμιάσεως. οἶδε γὰρ ὁ ποιητὴς ἐνεῖναί τι τοιοῦτον καὶ τῇ ἀτμίδι, διὸ καὶ ἀνωφορεῖται, καθάπερ αὖ πάλιν καὶ τῷ καπνῷ ὑγρότης ἀναμέμικταί τις. ἴσως δὲ καὶ παραβολικὸν ἐνταῦθα προσυπακουστέον συνήθως ἐπίρρημα, ἵνα λέγῃ ὅτι ὡς καπνὸς ἐγίνετο ἐξ αὐτῆς. (v. 151) Τὸ δὲ «προρέει» ἁπλοῦν ἔχει τὸ ρ τοῦ μέτρου ὑφελομένου τὸ Ἀττικὸν δίπλασμα. εἰ δέ τις διαφορά ἐστι τοῦ «ἣ μὲν ῥέει» «ἣ δὲ προρέει», οὐκ ἂν ἄρτι ζητοίη τις.

4.597 (v. 152) Κρύσταλλος δὲ φανερῶς νῦν ἐν δυσὶ λ , ᾧ οὐ συνυπακτέον καὶ τὸν ὕαλον. [Ἐρρέθη δὲ τὸ «ἐξ ὕδατος κρυστάλλῳ» πρὸς διαστολὴν τοῦ ἄλλως πηκτοῦ ἐξ ἀναθυμιάσεως, ᾧ οὐκ ἂν ὕδωρ ψυχρότατον παραβάλλοιτο, ἀλλὰ μάλιστα τῷ ἐξ ὕδατος.] (v. 153) Πλυνοὶ δὲ νῦν μὲν πύελοι, ὁποῖαί τινες καὶ περὶ Εὔβοιαν φαίνονται, τουτέστι λεκανίδες ἐκ λίθων, ἐπιτήδειαι πλύνειν. (v. 154 s.) Ὅθεν ὁ ποιητὴς ἐτυμολογῶν φησιν «ὅθι πλύνεσκον γυναῖκες», ὧν ἔργον τὰ τοιαῦτα. δηλοῖ δὲ τὴν τοιαύτην ἐτυμολογίαν καὶ ὁ Κωμικός, ἐν οἷς πρὸς γυναῖκα ὀνομάσασαν ἑαυτὸν πλυνὸν φησί τις «ὄναιο μὲν οὖν, εἴ τις ἐκπλύνειέ σε». καὶ οὕτω μὲν ἐνταῦθα. ἐν δὲ τῇ Ὀδυσσείᾳ βόθροι τινὲς οἱ πλυνοὶ παραποτάμιοι, πρὸς πλύσιν χρήσιμοι καὶ αὐτοί, ὧν πρὸς διαστολὴν οἱ ἐνταῦθα λαΐνεοι λέγονται, ὅ ἐστι λίθινοι. (v. 157 et 165) Ὅτι «τρὶς πόλιν Πριάμου περιδινηθήτην» Ἀχιλλεὺς καὶ Ἕκτωρ, «ὃ μὲν φεύγων, ὁ δὲ ὄπισθε διώκων». (v. 157—61) Τοῦτο δὲ ὁ ποιητὴς συστρέφων ἐλλειπτικῶς καὶ γοργῶς καὶ οἷον συντροχάζουσαν καὶ τὴν φράσιν ποιῶν εἰς ὁμοιότητα τῶν φραζομένων φησὶν ἐνταῦθα, ὡς εἴρηται, «παραδραμέτην, φεύγων, ὃ δ’ ὄπισθε διώκων· πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ’ ἀμείνων καρπαλίμως, ἐπεὶ οὐχ’ ἱερήϊον οὐδὲ βοείην ἀρνύσθην, ἅ τε ποσσὶν ἀέθλια γίνεται ἀνδρῶν, ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδάμοιο». (v. 165) Ἰστέον δὲ ὅτι οὐ μάτην τὸ περιδινηθῆναι εἶπεν ὁ ποιητής, ἀλλ’ ἐπιτυχῶς καθ’ ἱστορίαν χωρογραφικήν. ἐν οἷς γὰρ ὁ Γεωγράφος δείκνυσιν ἀπολωλέναι μὲν τὸ παλαιὸν Ἴλιον, ἕτερον δὲ εἶναι τὸ ἐπ’ αὐτοῦ φαινόμενον, λέγει ὅτι ὁ Ἕκτωρ φεύγων περιέδραμε τὸ Ἴλιον, τὸ δὲ νῦν οὐκ ἔστι περίδρομον διὰ τὴν συνεχῆ ῥάχιν, ἡ δὲ παλαιὰ πόλις ἔχει περίδρομον.

4.598 πάνυ δὲ καίριον ἐπὶ τοιούτων περιοδικῶν κλωσμάτων καὶ περιδρόμων τὸ ἐκ τοῦ δίνου. ὅ ἐστι τόρνου, παρηγμένον δινεῖν. (v. 157) Τὸ δὲ «φεύγων, ὃ δ’ ὄπισθε διώκων» ἐστρύφνωται κατ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔλλειψιν, ὡς εἴρηται. τὸ γὰρ ἐντελὲς οὕτω· ἐγγὺς τῶν πηγῶν ἔδραμον, ὁ μὲν Ἕκτωρ φεύγων, ὁ δ’ ὄπισθε διώκων. (v. 158) Διὸ εὐθὺς λύσας ὁ ποιητὴς χάριν σαφηνείας καὶ οἷον ἁπλώσας τὸ νόημα καὶ τὴν ἑαυτοῦ δὲ γνώμην ἐπὶ τοῖς ἥρωσιν ἐξάγων, ἐπάγει τὸ «πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δὲ μέγ’ ἀμείνων». ὅπερ οἰκεῖον ἐπὶ ἀντιπάλων ἐνδόξων λέγεσθαι, ὧν κρείττων ἀναμφιλόγως ὁ ἕτερος. (v. 159) Ἱερεῖον δὲ Ἀττικῶς ὀνομάζει τὸ θυόμενον ζῷον, τινὲς δὲ τὸν βοῦν κατ’ ἐξαίρετον. Βοείην δὲ ἢ τὴν βύρσαν τοῦ τοιούτου βοὸς ἢ ἀσπίδα, ὁποῖα ποδῶν ἄεθλα τοῖς παλαιοῖς ἀθληταῖς ἔκειντο, καθὰ ἐμφαίνει ὁ ποιητής. (v. 160) Ἄρνυσθαι δὲ καὶ νῦν τὸ ἀντικαταλλάσσεσθαι. συνάλλαγμα γάρ τι καὶ τὰ τοιαῦτα, ἐπεὶ τρόπον τινὰ συνήλλαττον καὶ οἱ ἀθληταὶ διδόντες τὴν παρ’ ἑαυτῶν ἀρετὴν καὶ ἀντιλαμβάνοντες ἀέθλια. (v. 161) Τὸ δὲ «περὶ ψυχῆς ἔθεον» παροιμίαν ἀπετέλεσε, λέγουσαν τὸ περὶ ψυχῆς θέειν, ὅτε τις ἀγωνιῶν ἐπὶ ἐσχάτῳ κινδύνῳ διαπράττεταί τι. τοῦτο δὲ καὶ ἀγῶνα θανάσιμον Εὐριπίδης φησίν, ἐξ Ὁμηρικοῦ κερδήσας τὸ νόημα, ὃς καὶ ἄλλως ἑρμηνεύων περιφραστικώτερον τὸν περὶ ψυχῆς δρόμον ἀγῶνά φησιν «ἐν ᾧ ζῆν ἢ θανεῖν χρεών».

4.599 τούτοις ὅμοιον καὶ παρὰ Ἡροδότῳ τὸ «θέοντες τὸν περὶ τοῦ παντὸς ἤδη δρόμον». Ἦν δὲ ὁ κατὰ τὸν ποιητὴν περὶ τῆς τοῦ Ἕκτορος ψυχῆς δρόμος—οὐ γὰρ περὶ δύο ψυχῶν ἔτρεχεν—, ἀλλὰ μιᾶς—τὸ τὸν μὲν Ἀχιλλέα διώκειν ἀφελέσθαι τὴν ἐκείνου ψυχὴν ἐθέλοντα, τὸν δὲ Ἕκτορα φεύγειν, περιποιήσασθαι αὐτὴν σπεύδοντα. (v. 162—5) Ὅτι τὸν Ἀχιλλέα ἤδη ἑνί, ὡς καὶ ἔδει, ἀεθλοφόρῳ εἰκάσας ἵππῳ, ἐνταῦθα τὸ τάχος ἐπιτείνων παραβάλλει αὐτόν τε καὶ τὸν Ἕκτορα τοιούτοις ἵπποις, οὐ τρέχειν ἀρξαμένοις, ἀλλὰ πρὸς τῷ τέλει τοῦ δρόμου τυγχάνουσιν, ὅτε καὶ μείζων αὐτοῖς ἡ τοῦ δρόμου ὑπὸ τῶν ἡνιόχων ἐπίτασις, καί φησιν «ὡς δ’ ὅτ’ ἀεθλοφόροι περὶ τέρματα μώνυχες ἵπποι ῥίμφα μάλα τρωχῶσι, τὸ δὲ μέγα κεῖται ἄεθλον, ἢ τρίπος ἠὲ γυνή, ἀνδρὸς κατατεθνειῶτος, ὣς οὗτοι τρὶς περιδινηθήτην», ὡς προγέγραπται. (v. 163 s.) Καὶ ὅρα κἀνταῦθα τὴν τῶν παλαιῶν ἄθλων φύσει μὲν εὐτέλειαν, θέσει δὲ μεγαλειότητα. τὸν γὰρ τρίποδα ἢ τὴν γυναῖκα μέγα ἔπαθλον καλεῖ. Τὸ δὲ τρωχᾶν ἐκτείνει τὴν ἄρχουσαν, ὡς καὶ τὸ τρωπᾶν καὶ νωμᾶν καὶ στρωφᾶν, περὶ ὧν προγέγραπται. (v. 164) Τὸ δὲ τρίπος ἔνδειαν ἔπαθε τοῦ υ , ὡς καὶ τὸ «Ἶρις ἀελλόπος». Γυναῖκα δὲ δούλην ἐνταῦθα νοητέον, προβληθεῖσαν εἰς ἔπαθλον. καὶ ἀναγνωστέον ἰδίᾳ τὸ «ἀνδρὸς κατατεθνειῶτος», ἵνα δηλοῖ, γίνεσθαι ἀγῶνα ἐπιτάφιον ἀνδρὶ τεθνεῶτι. τὸ γὰρ εἰπεῖν, ὅτι γυνὴ ἀνδρὸς τεθνειῶτος, οὐκ ἀρέσκει τοῖς παλαιοῖς, εἰ καὶ μέγα τοῦτο ἄεθλον. Ὅρα δὲ καὶ ὅτι πρὸ ὀλίγου μὲν ἱερεῖον καὶ βύρσαν ποδῶν ἀέθλια ἔφη, νῦν δὲ ἱππέων τρίποδα καὶ γυναῖκα, μεγάλα καὶ αὐτὰ τοῖς τότε. (v. 168—9) Ὅτι ἐπὶ φίλῳ ἡττωμένῳ ἢ ἄλλως βλαπτομένῳ ῥηθήσεται τὸ «ὢ πόποι· ἦ φίλον ἄνδρα διωκόμενον ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ’ ὀλοφύρεται ἦτορ». ὁ τοῦ μύθου δὲ Ζεὺς τοῦτο λέγει ἐπὶ Ἕκτορι διωκομένῳ περὶ τεῖχος ὑπ’ Ἀχιλλέως. Ὀλοφύρεσθαι δὲ Ὅμηρος τὸν Δία λέγει ἐπὶ Ἕκτορι δι’ εὐσέβειαν. (v. 170—2) Ἐπάγει γὰρ «ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί’ ἔκηε» καὶ ἑξῆς.

4.600 δοκεῖ γὰρ τῷ Διΐ, καθὸ αἰθέρι καὶ ἀέρι καὶ Ὀλυμπίῳ, θύειν ὁ Ἕκτωρ, κατὰ ἔθος δηλαδὴ ἐγχώριον, ποτὲ μὲν Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ἄλλοτε δ’ αὖτε ἐν πόλει ἀκροτάτῃ. βοῶν δὲ μάλιστα μηρί’ ἔκαιεν, ὧν ἡ ἑκατόμβη παρώνυμος. καὶ διὰ ταῦτα φρονεῖ τι δῆθεν ὁ Ζεὺς ὑπὲρ αὐτοῦ. (v. 172) Ὅρα δὲ ὅτι οὐ πόλιν ἁπλῶς ἄκραν τὴν Τρωϊκὴν ἀκρόπολιν διαλύσας ἔφη, ὡς ἐν ἄλλοις, ἣν καὶ Πέργαμον εἶπεν, ἀλλὰ πόλιν ἀκροτάτην, ἤτοι κορυφαίαν, ἐφ’ ἧς ὥσπερ καὶ ἐν κορυφαῖς Ἴδης ὁ Ἕκτωρ ἔθυεν. (v. 174) Ὅτι τὸ «ἀλλ’ ἄγετε φράζεσθε θεοί» καὶ τὸ «μητιάασθε» ἐκ παραλλήλου τὸ αὐτὸ σημαίνει, ὥσπερ καὶ κατωτέρω τῆς αὐτῆς ἐννοίας ἀλλήλοις εἰσὶ τὸ «πύματόν τε καὶ ὕστατον». ἐπίτασιν δὲ νοήματος τὸ τοιοῦτον σχῆμα ἐνταῦθα ἐμφαίνει, τὸ μὲν πρῶτον προκαλούμενον τῷ διπλασιασμῷ εἰς τὸ πάνυ προσεχόντως βουλεύσασθαι, τὸ δὲ δεύτερον δηλοῦν τὸ ἄκρως ἔσχατον. (v. 175 s.) Ἐν τούτοις δὲ ἐκφαίνεται καὶ ὡς τὸ δαμάσαι ποτὲ μὲν αὐτοπαθῶς λέγεται, οἷον «δαμάσαι θυμόν», ἔστι δ’ ὅτε καὶ ἀλλοπαθῶς, ὡς δηλοῖ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«ἢ Ἕκτορα ἤδη τῷ Ἀχιλλεῖ δαμάσομεν», καὶ μετ’ ὀλίγα «ἄφαρ δέ σε Ἀθήνη ἔγχει ἐμῷ δαμάᾳ». Ἰστέον δὲ ὅτι μέγα τι κρίνων Ὅμηρος τὸ πεσεῖν ὑπὸ Ἀχιλλεῖ τὸν Ἕκτορα πλάττει θείαν βουλὴν καὶ τοῦ τοιούτου ἔργου προηγουμένην. (v. 174—6) Ζεὺς τοίνυν μνησθεὶς μηρίων βοῶν ἐκείνων, ἃ δὴ πολλὰ ὁ Ἕκτωρ αὐτῷ ἔκηεν «ἄγετε» φησί «φράζεσθε», ὡς ἐρρέθη, ὦ «θεοί, ἠέ μιν ἐκ θανάτοιο σαώσομεν, ἠέ μιν ἤδη Ἀχιλῆϊ δαμάσσομεν ἐσθλὸν ἐόντα». καὶ ἔστιν ὃ ἐκ τοῦ Διὸς ὁ Ἕκτωρ ἐκέρδανεν ὁ ῥηθεὶς ὀλοφυρμὸς ὁ κατὰ ἦτορ καὶ ὁ παρὼν ἔπαινος. ἄλλο γὰρ οὐδέν τι πλέον ἔχει ἐκ Διὸς ἄρτι. αὐτίκα γὰρ ἀγανακτοῦσα ἡ Ἀθηνᾶ ἐρεῖ τὰ ἐφεξῆς δηλωθησόμενα καὶ πείσει τὸν Δία φάναι πρὸς αὐτὴν τὸ «θάρσει, Τριτογένεια, φίλον τέκος» καὶ ἑξῆς. καὶ εὐθὺς βήσεται κάτω εἰς Ἀχιλλέα καὶ ἀνύσει τὰ κατὰ τοῦ Ἕκτορος. ἔστιν οὖν ὁ παρὼν Ὁμηρικὸς τόπος προεκθετικὸς καὶ αὐτὸς τῶν γενησομένων καθ’ ἔθος Ὁμηρικόν. ἀνεπιτηδεύτου δὲ κάλλους ἐν τούτοις ἡ ποιητική τε ἐπαναφορὰ καὶ ἡ παρίσωσις, ἤγουν τὸ «σαώσομεν» καὶ «δαμάσσομεν», καὶ τὸ «ἠέ μιν» δὶς ῥηθὲν συνεχῶς ἐν ἀρχαῖς νοημάτων.

4.601 (v. 178—81) Ἃ δ’ ἐν τούτοις φησὶν ἡ Ἀθηνᾶ, εἴποι ἄν τις βραχὺ παρῳδήσας ἐπί τινι ῥυομένῳ καινῶς ἐκ θανάτου πρὸς τὸν ἐκείνῳ κατ’ ἰσχὺν βοηθοῦντα, οἷον· ὦ πατὲρ τυχὸν ἢ ἄλλο τι, «οἷον ἔειπες, ἄνδρα θνητὸν ἐόντα ἂψ ἐθέλεις», καθὰ καὶ ἀλλαχοῦ ἐγράφη, «θανάτοιο δυσηχέος ἐξαναλῦσαι; ἔρδε, ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν ἄλλοι». (v. 180) Ἔστι δὲ «ἀναλῦσαι» τὸ ποιῆσαι ἀναζῆσαι καὶ εἰς ζωῆς ἐπανακάμψαι ἀρχήν, ῥηθὲν μεταφορικῶς ἀπὸ τῶν ἀναλυομένων ὑφασμάτων. οὕτω γὰρ ἡ μὲν αἶσα ἐπινήθει λίνῳ, ὁ δὲ ἀνατρέπων αὐτὴν ἀναλύειν ἂν τὰ ἐκείνης λέγοιτο. ἡ δὲ τοιαύτη λέξις καὶ ἐν Ὀδυσσείᾳ κεῖται, ὅπου καὶ ὁ τῆς Πηνελόπης ἱστός. Ἰστέον δὲ ὅτι τὸ «θνητὸν ἐόντα» καὶ ἑτέρως φράζων καὶ νῦν, ὡς καὶ πρὸ τούτων, ὁ ποιητής φησι «πάλαι πεπρωμένον αἴσῃ», τουτέστι πεπερατωμένον, καὶ εἰς τέλος ἐλθόντα τοῦ ζῆν. (v. 183) Τριτογένεια δὲ κἀνταῦθα ἡ Ἀθηνᾶ. καὶ διὰ τί μὲν οὕτω καλεῖται, ἀλλαχόθι δεδήλωται. ὅτι δὲ καὶ παρὰ τὸν Τρίτωνα ποταμὸν ἡ λέξις λέγεται, ὡς ἐκεῖ γεννηθείσης τῆς Ἀθηνᾶς, ῥητέον εἰς τοῦτο νῦν ἐκεῖνο μόνον, ὡς διὰ τοῦτο καὶ οἱ περὶ τὴν Τριτωνίδα λίμνην θύουσι τῇ Ἀθηνᾷ μάλιστα καθ’ Ἡρόδοτον, μετὰ δέ, τῷ Τρίτωνι καὶ τῷ Ποσειδῶνι, οὗ φύσει θυγατέρα τὴν Ἀθηνᾶν οἱ ἐν Λιβύῃ νομίζουσιν, ὡς καὶ προγέγραπται. ἐν τούτοις δὲ καὶ ὁ παραχωρῶν νεωτέρῳ φίλῳ πρᾶξαί τι τῶν αὐτῷ φίλων, οὗ πρὶν ἐκωλύετο, εἴποι ἂν «θάρσει, φίλον τέκος, οὔ νύ τι θυμῷ πρόφρονι μυθέομαι· ἐθέλω δέ τοι», ὡς καὶ ἑτέρωθι γέγραπται, «ἤπιος εἶναι. ἔρξον ὅπῃ δή τοι», ἤγουν σοι, «νόος ἔπλετο» τουτέστι πέλεται, δυσαρεστουμένη, εἴπερ ὁ Ἕκτωρ περισωθήσεται. προαναφωνεῖται δ’ ἐν τούτοις καὶ ὡς βλάψει ἐν τοῖς ἑξῆς ἡ Ἀθηνᾶ τὸν Ἕκτορα. (v. 188—94) Ὅτι ἐν στενῷ εἰπὼν ὁ ποιητὴς «Ἕκτορα δ’ ἀσπερχὲς κλονέων ἔφεπεν ὠκὺς Ἀχιλλεύς», ἐπάγει τοιαύτην παραβολὴν «ὡς δ’ ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται», ὅ ἐστι διώξει, «ὄρσας ἐξ εὐνῆς διά τ’ ἄγκεα καὶ διὰ βήσσας, τὸν δ’ εἴ πέρ τε λάθῃσι καταπτήξας ὑπὸ θάμνῳ, ἀλλά τ’ ἀνιχνεύων θέει ἔμπεδον, ὄφρα κεν εὕρῃ, ὣς Ἕκτωρ οὐ λῆθε ποδώκεα Πηλείωνα».

4.602 Καὶ σημείωσαι ὅτι φθάσας εἰπεῖν ὁ ποιητής, ὡς ἐσθλὸς μὲν ὁ Ἕκτωρ ἔφευγε, μέγα δὲ ἀμείνων ὁ Ἀχιλλεὺς ἐδίωκεν, ἐνταῦθα ὑπερεξαίρων τὸν Ἀχιλλέα κατ’ αὐτὸ δὴ τοῦτο τὸ διώκειν τὸν Ἕκτορα εἰς τὴν ῥηθεῖσαν ἦλθε παραβολήν, ἐν ᾗ καὶ κυνὸς ἀρετὴν παραδίδωσι, ὡς καὶ ἐν Ὀδυσσείᾳ, οὐ μόνον τὸ τάχος, ἀλλὰ καὶ τὸ εἰδέναι ἀνιχνεύειν. (v. 189) Ὅρα δὲ ὅτι φανερῶς ἐνταῦθα νεβρὸν τὸ νεογνὸν τῆς ἐλάφου λέγει. οὐ γὰρ ἁλῶς ἔφη νεβρόν, ἀλλὰ νεβρὸν ἐλάφου, ἀλλαχοῦ δὲ καὶ ἐντελέστερον «νεβρόν, τέκος ἐλάφοιο ταχείης». (v. 190) Εὐνὴν δὲ νεβροῦ τὴν διατριβὴν λέγει δυναμένην καὶ κοίτην καλεῖσθαι, ὅθεν Ἡσίοδος θῆρας ὑληκοίτας φησίν. (v. 191) Ὅρα δὲ καὶ τὴν ὑπο πρόθεσιν δοτικῇ κἀνταῦθα συνταχθεῖσαν ἐν τῷ «ὑπὸ θάμνῳ», καὶ ὡς οὐ μόνον λαγωὸς πτώσσειν καὶ πτήσσειν λέγεται, ὅθεν καὶ γίνεται ὁ πτώξ, ἀλλ’ ἰδοὺ καὶ νεβρὸς πτήσσει ὑπὸ θάμνῳ. (v. 194—8) Ὅτι «ὁσσάκις ὁρμήσειε πυλάων Δαρδανιάων Ἕκτωρ ἀντίον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀΐξεσθαι ἐϋδμήτους ἐπὶ πύργους, εἴ πώς οἱ», ἤγουν ὅπως αὐτῷ, καθύπερθεν ἀλάλκοιεν βελέεσσιν», οἱ ἐπὶ τοῦ τείχους δηλαδή, —τοῦτο γὰρ διὰ συντομίαν σεσίγηται τῷ ποιητῇ —«τοσσάκι μιν προπάροιθεν ἀποστρέψασκε παραφθάς», ἤτοι προφθάσας, «πρὸς πεδίον» Ἀχιλλεύς, «αὐτὸς δὲ ποτὶ πτόλιος», ἤγουν πρὸς πόλεως, «πέτετ' αἰεί». Ἐνταῦθα δὲ οἱ παλαιοὶ στοχαζόμενοι, ὡς Ἀχιλλεὺς μὲν ἐλάττω κύκλον περίεισι τὸν πρὸς τῇ πόλει, Ἕκτωρ δὲ μείζω τὸν ἐξωτέρω, φασὶν ὡς, εἰ τοῦθ' οὕτως ἔχει, πῶς ἔτι ποδωκέστατος ὁ Ἀχιλλεύς, πῶς δὲ καὶ πέτεται ὁ παρὰ πόδας ἥκων τοῦ Ἕκτορος, καὶ ταῦτα κύκλον μείζονα περιθέοντος; καὶ τοιαῦτα μὲν ἀποροῦσιν αὐτοί.

4.603 ὁ δὲ ποιητὴς λύσει πιθανῶς τὸ ἄπορον τῇ τοῦ κατὰ Ἀπόλλωνα μοιριδίου μεσολαβήσει, ὡς αὐτοῦ βοηθοῦντος καὶ μένος ἐντιθέντος τοῖς Ἕκτορος γόνασι καὶ οἷον πτερύσσοντος ὡς ἀντιπέτεσθαι τῷ Ἀχιλλεῖ. (v. 202- 4) Ἐρεῖ γὰρ ἐνδιαθέτως κατὰ σχῆμα ἐπαπορητικὸν οὕτω «πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγε θανάτοιο, εἰ μή οἱ πύματόν τε καὶ ὕστατον ἤντετ' Ἀπόλλων ἐγγύθεν, ὅς οἱ ἐπῶρσε μένος λαιψηρά τε γοῦνα». καὶ τοιοῦτον μὲν τοῦτο. ἔφθασε δὲ καὶ ἄλλως λῦσαι τὴν ἀπορίαν, ὅτε εἶπεν οὐ περὶ βύρσης ἢ τοῦ τυχόντος ἀέθλου θέειν αὐτούς, ἀλλὰ περὶ ψυχῆς Ἕκτορος, ὥστε ἡ ἀνάγκη ἐπτέρου καὶ τὸν Ἕκτορα εἰς τὸ φεύγειν. Οἱ δὲ παλαιοὶ λυτικοὶ λέγουσι πολλὰ καὶ ἄλλα εἰς λύσιν τῆς ῥηθείσης ἀπορίας, ὧν ἓν καὶ τὸ μὴ ἐξ εὐθείας εἶναι τὴν δίωξιν τῷ Ἀχιλλεῖ διὰ τὸ ὑποτρέχειν καὶ ἀπάγειν συχνὰ πόλεως τὸν Ἕκτορα ὧδε καὶ ἐκεῖ κάμπτοντα καὶ οὕτως ἀεὶ ἀποστρέφειν ἐκεῖνον ἐν τῷ προπάροιθε παραφθάνειν. Ἰστέον δὲ ὅτι τὸ «πῶς δέ κε κῆρας ὑπεξέφυγε θανάτοιο, εἰ μή οἱ πύματόν τε καὶ ὕστατον ἤντετο ἐγγύθεν» ῥηθείη ἂν ἐπὶ τοῦ ῥυομένου ἐκ κινδύνου διὰ συνάρσεως κρείττονος. (v. 195) Ὅρα δὲ καὶ ὅτι τὸ ἀΐξαι ἀΐξασθαι εἶπε παθητικῶς. (v. 197) Τοῦ δὲ «παραφθάς» ἄχρηστον θέμα τὸ φθῆμι ὡς ἵστημι, ἐξ οὗ καὶ φθάμενος ὡς ἱστάμενος καὶ φθαίη ὡς σταίη. (v. 198) Τὸ δὲ «ποτὶ πτόλιος» ἡ ἀντίπτωσις ταὐτὸν εἶναι ποιεῖ τῷ «πρὸς πόλει», ἤγουν ἐγγὺς πόλεως. (v. 204) Τὰ δὲ γοῦνα ἢ ἐκ τοῦ γούνατα ἀποκέκοπται, ἢ ἐκ τῆς γουνός γενικῆς κέκλιται. καὶ ἔστι τοιοῦτον καὶ τὸ δοῦρα ἢ ἐκ τοῦ δουρός ἢ ἐκ τοῦ δούρατα. Ὅτι τὸ μὲν τάχος τῆς διώξεως καὶ φυγῆς τῶν δύο ἀριστέων ἐναργῶς ἤδη ὁ ποιητὴς ἐδήλωσε διὰ δύο παραβολῶν, ἐνταῦθα δὲ θέλων ἐνδείξεσθαι τὴν τοῦ δρόμου τῶν ἡρώων ταὐτότητα καὶ τὴν οἷον ἐν τῷ αὐτῷ μονὴν διὰ ἰσότητα τοῦ διώκειν καὶ φεύγειν, καὶ ὡς οὔτε Ἀχιλλεὺς ἐγγίσαι εἶχεν Ἕκτορι ὡς ἤθελεν, οὔτε αὖ ἐκεῖνος πόρρω διεκφυγεῖν, παραβολῇ τῇ ἀπὸ φαντασίας, οὐ μὴν οὐκ ἀληθείας, χρᾶται τοιαύτῃ, συγχέων τὴν φράσιν ἀναλόγως τῷ φραζομένῳ πράγματι.

4.604 (v. 199—201) Ὡς δ' ἐν ὀνείρῳ οὐ δύναται φεύγοντα διώκειν, οὔτ' ἄρ ὃ τὸν δύναται ὑποφεύγειν, οὔθ' ὃ διώκειν, ὥς ῥα τὸν οὐ δύνατο μάρψαι ποσίν, οὐδ' ὃς ἀλύξαι». (v. 202—4) Εἶτα ἐπάγει τὸ «πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγε», καὶ ἑξῆς, ὡς ἀνωτέρω κεῖται. Καὶ ὅρα ὅπως ἐπίτομος ἡ παραβολὴ καὶ συνεστραμμένη καὶ τροχαστικὴ διὰ τῆς συντομίας τῶν συχνῶν μονοσυλλάβων ἀντωνυμιῶν καὶ τῶν ἀπὸ κοινοῦ σχημάτων τῇ σπουδῇ τῶν ἀγωνιώντων συντρέχουσα. ἐκ τοῦ διώκειν γὰρ ἀπαρεμφάτου ἐν τῷ πρώτῳ στίχῳ κειμένου τρεῖς τόποι μετοχὴν τοῦ τοιούτου ῥήματος νοοῦσιν ἀπὸ κοινοῦ, ἵνα λέγῃ ὅτι οὐ δύναται τὸν φεύγοντα διώκειν, ὁ διώκων δηλαδή, οὔτε μὴν ὁ φεύγων δύναται ὑποφεύγειν, τὸν διώκοντα δηλονότι, οὔτε οὗτος, ἤγουν ὁ διώκων, δύναται διώκειν τὸν φεύγοντα. τοῦτο δὲ καὶ φανερὰ διττολογία ἐστί. τὸ γὰρ «οὔθ' ὃ διώκειν» εἴρηται μὲν ἀνωτέρω σαφέστερον ἐν τῷ «οὐ δύναται φεύγοντα διώκειν», ἐνταῦθα δὲ συνετμήθη, ὡς φιλοτιμησαμένου τοῦ ποιητοῦ τὸ γοργὸν φράσαι γοργότατα. ἦν δέ τι σχῆμα τοιοῦτον ἀλλαχοῦ καὶ τὸ «καί τε πρὸ ὁ τοῦ ἐνόησε». τινὲς μέντοι ἀθετοῦσιν, ὥς φασιν οἱ παλαιοί, τὰ ἔπη ταῦτα ὡς εὐτελῆ τε τῇ κατασκευῇ καὶ τῷ νοήματι καὶ ὡς ἀπραξίαν δρόμου καὶ στάσιν σημαίνοντα ἐπὶ τῶν οὕτω συντόνως τρεχόντων. καὶ μὴν ἄλλως ἐν τούτῳ μάλιστα ὁ ποιητὴς θαυμάζεται, ὅτι τὴν τοσαύτην ἀγωνίαν τοῦ δρόμου διὰ τὸ ἰσοταχὲς καὶ ἄπρακτον οὐ

στάσει, ὡς αὐτοί φασιν, ἀλλὰ φαντασίᾳ δρόμου ἀπείκασεν. Ὅρα δὲ καὶ ὅτι ἐλλείψας ὁ ποιητὴς ταῖς ἀπὸ τοῦ διώκειν μετοχαῖς ὅμως τῇ λέξει τοῦ «δύναται» τρὶς ἐνταῦθα προσέσχε διὰ τὸ καίριον. (v. 205—7) Ὅτι «ἄλλοισιν», ἢ μάλιστα λαοῖσι τοῖς Ἀχαϊκοῖς δηλαδή, «ἀνένευε καρήατι δῖος Ἀχιλλεύς, οὐδ’ ἔα ἔμεναι», ἤγουν πέμπειν, «ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα, μή τις κῦδος ἄροιτο βαλών, ὁ δὲ δεύτερος ἔλθοι». οὗτος δὲ ὁ στίχος οἰκεῖος ἐπὶ παντὸς λέγεσθαι τυχεῖν ἐφιεμένου τοῦ κατὰ σκοπόν.

4.605 (v. 207) Καὶ ὅρα ὅτι κῦδος ἀρέσθαι εἰπὼν τὸν περιγενησόμενον Ἕκτορος ἄριστα ἂν ἐντεῦθεν πλέξῃ παιήονα, ὅτε αὐτὸν ἀνέλῃ. ἐρεῖ γάρ «ἠράμεθα μέγα κῦδος» καὶ ἑξῆς. καὶ Ἀθηνᾶ δὲ μετ’ ὀλίγα λέγει μέγα κῦδος Ἀχαιοῖς οἴσεσθαι τὸν Ἀχιλλέα διὰ τοῦ ἀνελεῖν Ἕκτορα. πολλαχοῦ δὲ ὁ ποιητής, ὡς ἔγνωσται, καὶ ἐπὶ διαφόρων προσώπων τὸ τοιοῦτον κατέσπειρε νόημα, κῦδος ἀρέσθαι λέγων καὶ εὖχος, καὶ μέγα κῦδος, καὶ μέγα εὖχος. (v. 205) Ἀνανεύει δὲ ὁ Ἀχιλλεύς, οἷα μὴ ἐν ὄχλῳ τοσούτῳ βοᾶν δυνάμενος. δῆλον δὲ ὅτι παρῆσαν τῷ δρόμῳ τῶν ἡρώων οἱ Ἀχαιοί, καὶ ἐν θεάτρῳ οὐ μόνον Πανελληνίῳ, ἀλλὰ καὶ ἐκ τῶν πολεμίων ἄνω τοῦ τείχους συγκεκροτημένῳ, κατὰ τοὺς ἀεθλοφόρους ἐκείνους τῆς παραβολῆς ἵππους ἔθεον περὶ τῆς τοῦ Ἕκτορος ψυχῆς, καὶ ὅτι ἔσω κινδύνου ἦν ὁ Ἕκτωρ, ὡς εἰ καὶ τὸν Ἀχιλλέα διεκφύγοι, ἄλλοθεν ἐκ τῶν Ἀχαιῶν ἐπιπεμφθῆναι αὐτῷ πικρὰ βέλεμνα. διὸ καὶ ἀναγκαίως ἔρχεται κατὰ ἀκολουθίαν ὁ ποιητὴς εἰς τὸ περὶ τῶν ταλάντων τοῦ Διὸς πλάσμα. (v. 208—13) Φησὶ γὰρ «ἀλλ’ ὅτε δὴ τὸ τέταρτον», θέοντες, δηλαδὴ Ἕκτωρ καὶ Ἀχιλλεύς, ἐπὶ τοὺς ῥηθέντας κρουνοὺς ἀφίκοντο, καὶ τότε δὴ ἄνωθεν κυροῦται θανεῖν τὸν Ἕκτορα, ὁπηνίκα καὶ ὡς ἐπὶ μεγάλῳ πράγματι «χρύσεια πατὴρ ἐτίταινε», καθὰ καὶ ἀλλαχοῦ, «τάλαντα, ἐν δ’ ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο, τὴν μὲν Ἀχιλλῆος, τὴν δ’ Ἕκτορος ἱπποδάμοιο. ἕλκε δὲ μέσσα λαβῶν· ῥέπε δ’ Ἕκτορος αἴσιμον ἦμαρ, ᾤχετο δ’ εἰς Ἀΐδαο». καὶ τὸ ἐντεῦθεν ἔλιπε μὲν αὐτὸν Φοῖβος Ἀπόλλων, τῷ δ’ Ἀχιλλεῖ παρίσταται ἡ Ἀθηνᾶ, ἵνα ὁ μὲν ὑψωθῇ, ὁ δὲ Ἕκτωρ ταπεινωθεὶς ὑπὸ γῆν γένηται κατὰ τὸ σύμβολον τῶν ταλάντων. (v. 209 et 212) Καὶ εἴρηται μέν που ἤδη περὶ τῶν τοιούτων ταλάντων τὰ δέοντα. νῦν δὲ ῥητέον, ὡς ἐνταῦθα σαφέστατα ἐδήλωσεν ὁ ποιητής, τί βούλεται νοεῖν αὐτῷ ἡ τούτων ῥοπή, ὅτι δηλαδὴ τὴν κάτω νεῦσιν οὐ περὶ γῆν ἀλλ’ ὑπὸ γῆν εἰς αὐτὸν τὸν Ἅιδην.

4.606 ἡ μέντοι λοιπὴ πλάστιγξ ἡ μὴ ῥέπουσα τὸ τέως μετέωρον τοῦ θανάτου δηλοῖ. ἔνθα μὲν γὰρ ἡ ῥοπή, βαρὺς ἐκεῖνος θάνατος, καί, ὡς εἰπεῖν, καθέλκει. ἑτέρωθι δὲ ἐν μετεώρῳ ἔτι τὸ κακὸν καὶ κουφότερον διὰ τὸ ἀνωφορεῖσθαι. Φασὶ δὲ οἱ παλαιοὶ ἐκ τούτου τοῦ χωρίου πεπλάσθαι, ὡς καὶ αὐτὸ προεδηλώθη, τὴν ψυχοστασίαν τῷ Αἰσχύλῳ, κῆρε νοήσαντι τὰς ψυχάς, ὡς καθόλου τοῦ Διὸς ψυχὰς ἱστῶντος. Ἰστέον δὲ ὅτι οὐ μόνον τὸ ῥέπειν καὶ ἡ ῥοπὴ λέξεις εἰσὶ σταθμητικαί, ἀλλὰ καὶ τὸ ἕλκειν, ὡς καὶ τὸ καθέλκειν καὶ ἡ ὁλκή, καὶ ὅτι ἐκ τῶν Ὁμηρικῶν ταλάντων λαβὼν Σοφοκλῆς ἔφη τὸ «βίου ῥοπή», καὶ τὸ «σμικρὰ παλαιὰ σώματ’ εὐνάζει ῥοπή», ὡς τοῦ ποιητικοῦ ῥέπειν καὶ τῆς ἐξ αὐτοῦ ῥοπῆς τὰς θανατηρὰς ὑποδηλούντων αἰτίας. ἐκεῖθεν δὲ καὶ Εὐριπίδης μεταλαβὼν ἔφη τὸ «βροτῶν ὁ πᾶς ἀστάθμητος αἰών», ἤγουν ὧδε καὶ ἐκεῖ ῥέπων καὶ μὴ μένων ὡς ἐν ἰσότητι σταθμοῦ. Ἔτι ἰστέον καὶ ὡς ἐκ τῶν αὐτῶν ταλάντων καὶ ἡ καθωμιλημένη γλῶσσα τὸν θανεῖν κινδυνεύοντα ἐλθεῖν εἰς τὰ τοῦ θανάτου λέγει ζυγά, καὶ ὅτι ἀπ’ ἐναντίας τῷ καθ’ ἡμᾶς ταλάντῳ τὰ τοῦ Διός. ἡμῖν μὲν γὰρ ἀγαθὸν ὡς τὰ πολλὰ ἡ ῥοπή, ἐκεῖ δὲ οὔ, καὶ ὅτι ἁρμόσῃ ἄν ποτε ἡ τῶν τοιούτων ταλάντων θανατηρὰ ῥοπὴ προσώπῳ δωροδοκουμένῳ ἐπὶ κακώσει τινῶν. (v. 213) Τὸ δὲ τὸν Φοῖβον Ἀπόλλωνα λιπεῖν τὸν Ἕκτορα ταὐτόν ἐστι τῷ ἐπιλιπεῖν αὐτῷ τὸν ἥλιον, οὗ τὸ φῶς ἡλίου «φοίβην φλόγα» Αἰσχύλος φησίν. ἐντεῦθεν δὲ ὀνάμενος Θεόκριτός φησι τὸ «οὐ πάντα τὸν ἥλιον δεδυκεῖν», ἤγουν οὐ πάσας συντελεσθῆναι τὰς ἡμέρας τοῦ ζῆν. (v. 206) Ἰστέον δὲ καὶ ὅτι τὸ ῥηθὲν «ἔμεναι» ἤγουν πέμπειν, ἐκ τοῦ εἶναί ἐστι τοῦ δασυνομένου καὶ δηλοῦντος τὸ ἀφιέναι, οὗ σύνθετον τὸ ἀφεῖναι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

[(v. 212) Ἔτι ἰστέον καὶ ὅτι ἐν τῷ «ῥέπε δ’ Ἕκτορος αἴσιμον ἦμαρ, ᾤχετο δ’ εἰς Ἀΐδαο» τὸ αἴσιμον ἦμαρ ταὐτόν τέ ἐστι κηρὶ μιᾷ τῇ τοῦ Ἕκτορος καὶ σωματοειδὲς νοεῖται καὶ βάρος ἔχον οἷον δύεσθαι εἰς Ἅιδου, καὶ ὅτι ἔχων ὁ ποιητὴς πλάσαι καὶ ψιάδας αἱματοέσσας ἄνωθεν ἐπιψεκαζομένας καινότερον ἐπὶ οἴκτῳ τῷ ἐκ Διὸς ὤκνησεν ἐπὶ Ἕκτορι ποιῆσαι τοῦτο, οἷα, ὡς εἰκός, μὴ ἐθέλων οὕτω σεμνῦναι τὸν τῷ φίλῳ Ἀχιλλεῖ ἀντίθετον Ἕκτορα.

4.607 οὐ μὴν ἀλλ’ ἡμῖν μὴ ὀκνητέον σὺν τοῖς προγραφεῖσι περὶ αἱμάτων ῥοῆς προσθεῖναι καί, ὡς φέρεται ἱστορία, ὅτι παρὰ Συβαρίταις, ἐπειδὰν τριάκοντα πρεσβευτὰς Κροτωνιατῶν κτείναντες πρὸ τοῦ τείχους ἔρριψαν εἰς βορὰν θηρίοις, ἔδοξαν μὲν καὶ οἱ ἄρχοντες αὐτῶν κατ’ ὄναρ ἰδεῖν τὴν Ἥραν ἐμοῦσαν χολὴν ἐν ἀγορᾷ μέσῃ, ἀνέβλυσε δὲ καὶ αἵματος πηγὴ ἔν τινι τῶν βωμῶν, ὅτε τὸν σύνεγγυς ἅπαντα τόπον κατεχάλκωσαν θυρίσι, βουλόμενοι στῆσαι τὴν τοῦ αἵματος ἀναφοράν. ὡς δὲ πάνυ προσπαθῶς τῷ Ἀχιλλεῖ Ὅμηρος ἔχει, διωμολόγηται.] (v. 219—21) Ὅτι Ἀθηνᾶ παραστᾶσα τῷ Ἀχιλλεῖ πείθει, ὡς οὐκέτ’ ἔστι τὸν Ἕκτορα φυγεῖν ἐκ τούτου, οὐδ’ εἰ πολλὰ πάθοι Ἀπόλλων προσπίπτων τῷ Διΐ. (v. 225) Ὅθεν καὶ Ἀχιλλεὺς μὲν ἵσταται ἀναπαύων ἑαυτὸν «ἐπὶ μελίης», τῆς, ὡς προγέγραπται, «χαλκογλώχινος, ἐρεισθείς». Ἀθηνᾶ δὲ εἰκάζεται Δηϊφόβῳ τῷ Πριαμίδῃ καὶ ἀπατᾷ τὸν Ἕκτορα καὶ ἀνύει πεῖσαι τολμῆσαι ἀντιστῆναι τῷ Ἀχιλλεῖ καὶ ἀρτύει αὐτῷ οὕτω τὸν θάνατον, ἡγησαμένη ἐν κερδοσύνῃ, ὅ ἐστι προηγησαμένη ἐν ἀπάτῃ, ὡς ῥηθήσεται, τῆς πρὸς τὸν Ἀχιλλέα ὁδοῦ τῷ Ἕκτορι. Καὶ σημείωσαι ὡς, εἰ καὶ καταβάλλειν δοκεῖ ὁ ποιητὴς τὴν τοῦ Ἀχιλλέως ἀρετὴν ἐν οἷς τὸ πᾶν τῆς κατὰ τοῦ Ἕκτορος νίκης ἀναθήσει τῇ Ἀθηνᾷ, οὔ οἱ μέλον. τὸ μὲν γὰρ τῆς ἱστορίας φανερόν, ὅτι δηλαδὴ ἀνδρεῖον τὸν Ἕκτορα ἔρριψεν Ἀχιλλεύς, αὐτὸς ἀνδρειότατος ὤν. ἡ δὲ ποίησις τῷ ἑαυτῆς νόμῳ τερατωδέστερον λέγειν βούλεται τὰ πράγματα ἤπερ ἀληθῶς μέν, ταπεινότερον δέ, καὶ μᾶλλον προκρίνει θεοφιλῆ τὸν Ἀχιλλέα ἤπερ ἁπλῶς ἀνδρεῖον ἐνδείξασθαι. τοῦτο μὲν γὰρ καὶ ἄλλοις ἐστὶ πολλοῖς, θεοῖς δὲ οὕτω φιλεῖσθαι σπάνιον. (v. 216) Παρασημαινομένη γοῦν τοῦτο καὶ ἡ μυθικὴ Ἀθηνᾶ φησι «Διῒ φίλε, φαίδιμ’ Ἀχιλλεῦ». πιθανεύεται δὲ καὶ τὴν μυθικὴν ταύτην πλάσιν ὁ ποιητὴς ἐκ τοῦ μυριαχοῦ φανῆναι τοιαύτας θεοφιλείας ἐν τῇ κατ’ αὐτὸν ποιήσει.

4.608 ἔχει δέ τι καὶ παιδεύσεως ὁ λόγος, εἴπερ ἀνθρώπων οὕτω τὸ θεῖον ἐπίστροφόν ἐστι. δοκεῖ δὲ κἀνταῦθα τὸ τῆς Ἀθηνᾶς ἐπεισόδιον φρόνησίν τινα ὑπεμφαίνειν ἐπικουρήσασαν τῷ Ἀχιλλεῖ. αἰσθόμενος γὰρ Ἀχιλλεύς, ὡς εἰκός, μὴ ἂν ἐξισχύειν ἔτι τὸν Ἕκτορα εἰς δρόμον αὐτῷ ἀντεπεξάγεσθαι καί που καὶ αὐτὸς ὑποκαμών, ἵσταται ἀναπαύων ἠρέμα ἑαυτὸν τοῦ καμάτου. καὶ οὕτως ἢ ὁ Ἕκτωρ ἀναθαρρήσας κατά τι φρόνημα οἰκεῖον, δι’ οὗ ἠπατήθη, καθά που καὶ Πάνδαρος, ἀφῆκε μὲν φεύγειν, ἀντικατέστη δὲ τῷ Ἀχιλλεῖ, καὶ οὕτω περιέπεσεν οἷς οὐκ ἤθελεν, ἢ ὁ Ἀχιλλεὺς ἐπιρρωσθεὶς εἰς δρόμον μετὰ ἀνάπαυσιν γίνεται δραστικώτερος κατὰ τοῦ ἐχθροῦ, ἢ καὶ ἄμφω γίνονται, ἤγουν ἀναθάρρησις Ἕκτορος καὶ ἐπίρρωσις Ἀχιλλέως. καὶ οὕτω συμμίσγουσι καὶ γίνεται ἡ πτῶσις τοῦ Πριαμίδου, καθὰ ἡ ἐπ’ ἀμφοῖν Ἀθηνᾶ, τουτέστιν ἡ παρ’ ἑκατέρῳ φρόνησις, διῳκονομήσατο, ἡ τὸν μὲν βλάψασα, τὸν δὲ κλεΐσασα. (v. 216—23) Εἰσὶ δὲ ἅπερ νῦν ἡ Ἀθηνᾶ τῷ Ἀχιλλεῖ λέγει [προεκθετικῶς] τοιαῦτα «νῦν δὴ νῶϊ γ’ ἔολπα», ἤγουν ἡμᾶς, «οἴσεσθαι μέγα κῦδος Ἀχαιοῖσι προτὶ νῆας, Ἕκτορα δηϊώσαντε μάχης ἆτον περ», ἤγουν ἀκόρεστον, «ἐόντα. οὔ οἱ νῦν ἔτι γ’ ἔστι πεφυγμένον ἄμμε γενέσθαι, οὐδ’ εἴ κεν μάλα πολλὰ πάθοι», ἢ κάμοι, «ἑκάεργος Ἀπόλλων προπροκυλινδόμενος Διός. ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυε», ἤγουν ἀνάπνεε, «τόνδε δ’ ἐγώ τοι οἰχομένη πεπιθήσω», ἤγουν πείσω, «ἐναντίβιον μαχέσασθαι». Ἰστέον δὲ ὅτι τῶν ῥηθέντων προβολὴν μὲν ἀγαθῆς ἐλπίδος φράζει τὸ «νῦν δὴ ἔολπα οἴσεσθαι μέγα κῦδος»; τὸ δὲ «οὔ οἱ νῦν ἔτι ἔστι πεφυγμένον ἄμμε γενέσθαι, οὐδ’ εἴ περ μάλα πολλὰ πάθοι ὁ δεῖνα προπροκυλινδόμενος» ῥηθήσεται ὅτε τις ἀποφάσκει μὴ ἂν τόνδε τινὰ ὑπὸ μεσίτου ὠφεληθῆναι. φίλος δέ τινι βοηθῶν κατὰ τοῦ ἐχθροῦ ἐρεῖ τὸ «ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυε, τὸν δ’ ἐγώ τοι πεπιθήσω» ποιῆσαι τόδε τι. ἐπὶ δὲ τοῦ πεισθέντος τοιούτῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φίλῳ ἁρμόττει κείμενον ἐν τοῖς ἑξῆς τὸ «ὣς φάτο, ὃ δ’ ἐπείθετο, χαῖρε δὲ θυμῷ». (v. 218) Ἆτος δὲ ὁ ἀκόρεστος κέκραται ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ ἆσαι τὸ κορέσαι, ἀφ’ ὧν ἄατος καὶ κατὰ κρᾶσιν ἆτος. (v. 219) Ὅρα δὲ καὶ τὸ «πεφυγμένον ἄμμε», ἤγουν φυγόντα ἡμᾶς, ἑτεροίως ἔχον συντάξεως ἤπερ ἐν Ὀδυσσείᾳ τὸ «πεφυγμένος ἦεν ἀέθλων».

4.609 ὥστε διφορεῖται ἡ σύνταξις τοῦ πεφυγμένος. (v. 221) Τὸ δὲ «προπροκυλινδόμενος» τὸ ἐπίμονον τῆς ἱκετείας δηλοῖ διὰ τῶν δύο προθέσεων. (v. 223) Τὸ δὲ «πεπιθήσω» Ἰωνικὸς μέλλων ἐστὶ διπλασιασθεὶς ἐκ τοῦ πιθῶ πιθήσω. (v. 225) Ὅτι στρατιωτικὴ ἀνάπνευσις τὸ «στῆ δ’ ἄρ ἐπὶ μελίης χαλκογλώχινος ἐρεισθείς». τίς δὲ ἡ χαλκογλώχιν μελία, οὐ πρὸ πολλῶν εἴρηται. (v. 227) Ὅτι τὸ «ἀτειρέα φωνήν», ὁποία νῦν ἡ τοῦ Δηϊφόβου πλάττεται, δοκεῖ συμβάλλεσθαί τι τοῖς δοξάζουσι σῶμα εἶναι τὴν φωνήν, ὥς που προγέγραπται. σωμάτων γὰρ τὸ τείρεσθαι, ὅ ἐστι δαμάζεσθαι. ἀληθῶς δὲ σκληρὰ τροπὴ τὸ τοιοῦτόν ἐστιν. ὅθεν καὶ θυμός που λέγεται τείρεσθαι. ὅτε μέντοι χαλκὸς ἀτειρὴς ῥηθείη, καὶ τέρην χροῦς, καὶ τέρεν δάκρυον, τότε ἡ κυριολεξία διεκφαίνεται. (v. 229) Ὅτι τὸ «ἠθεῖος» δὶς ἐνταῦθα κεῖται, ὅπερ ἐστὶν Ἰωνικὴ προσφώνησις σεπτικὴ νεωτέρου πρὸς πρεσβύτερον ἀδελφόν. εἴρηται δὲ περὶ αὐτοῦ καὶ ἀλλαχοῦ πλατύτερον. καλεῖ δὲ ἠθεῖον ἐνταῦθα τὸν ἀδελφὸν Ἕκτορα ὁ τῇ Ἀθηνᾷ ἐμφαινόμενος Πριαμίδης Δηΐφοβος. (v. 231) Οὗ λόγος ὀτρυντικὸς εἰς συνασπισμὸν τὸ «ἀλλ’ ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεθα μένοντες». (v. 233—7) Ὅτι ἐπίτασιν φιλίας δηλοῖ ῥηθὲν ὑπὸ Ἕκτορος πρὸς τὸν φαντασιώδη Δηΐφοβον τὸ «ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα γνωτῶν» «νῦν δ’ ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι, ὡς ἔτλης ἐμοῦ ἕνεκα» τόδε τι ποιῆσαι. (v. 239—42) Ὁμοίως φιλίας ἔνδειξις καὶ τὸ «ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ λίσσοντο γουνούμενοι, ἀμφὶ δ’ ἑταῖροι, αὖθι μένειν· τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντες. ἀλλ’ ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεϊ λυγρῷ». ἡ ψευδοδηΐφοβος δὲ Ἀθηνᾶ ταῦτά φησιν ὑπερπονουμένη τοῦ δῆθεν ἀδελφοῦ Ἕκτορος.

4.610 (v. 243—6) Προθυμίας δὲ στρατιωτικῆς δηλωτικὸν τὸ «νῦν δ’ ἰθὺς μεμαῶτες μαχώμεθα, μήδ’ ἔτι δούρων ἔστω φειδωλή, ἵνα εἴδομεν, εἰ» τόδε τι γένηται. (v. 244) Ὅρα δὲ ὅτι φειδωλὴ ἐνταῦθα ἡ φειδὼ ἐρρέθη, γενομένη ἐκ τοῦ φείδω κατὰ πρόσληψιν συλλαβῆς, ὁμοίως τῷ τερπωλή καὶ παυσωλή. καὶ ἔστιν αὐτὴ μὲν μονογενής, ἡ δὲ φειδωλὴ χεὶρ ἢ ψυχὴ ἢ γνώμη ἔχει καὶ ἀρσενικὸν γένος καὶ οὐδέτερον. (v. 234) Ἐν τούτοις δὲ καὶ τοὺς ῥηθέντας γνωτοὺς ἑρμηνεύων ὁ ποιητὴς τί δηλοῦσιν, ὅτι δηλαδὴ τοὺς Ἕκτορος ἀδελφούς, φησὶ γνωτούς, οὓς Ἑκάβη καὶ Πρίαμος ἔτεκον. (v. 247) Ὅτι ἐπὶ δόλου καὶ ἀπάτης ἐνταῦθα ἡ κερδοσύνη κεῖται. φησὶ γοῦν «ὣς φαμένη καὶ κερδοσύνῃ ἡγήσατο ἡ Ἀθηνᾶ». ὅπερ ἑξῆς ἐφερμηνεύων ἐρεῖ ἐξηπάτησεν Ἀθήνη. ἐντεῦθεν δὲ καὶ κέρδεα τὰ βουλεύματα καὶ κερδῷος Ἑρμῆς, ὃς καὶ κέρδιστον νόημα περιφραστικῶς εἴρηται παρά τινι τῶν ποιητῶν. μάλιστα δὲ προσφυὴς τῇ ἐνταῦθα κερδοσύνῃ ἡ κερδὼ ἀλώπηξ, ὅ ἐστιν ἀπατητική, δολερά, ἧς καὶ τὸ κύριον παρὰ τὸ ἀλᾶν, ὅ ἐστι πλανᾶν, σύγκειται. ὅτι δὲ κέρδος, εἰ καὶ διάφορόν ἐστι πρὸς τὸ κρήγυον, ὅμως ἀπὸ τοῦ τὸ κέαρ ἥδειν γίνεται, ὥσπερ ἐκεῖνο ἀπὸ τοῦ κῆρ ἡδύνειν, οὐδ’ αὐτὸ ἄκαιρον ἄρτι φάναι. περιττὸς δὲ ὁ καί σύνδεσμος ἐν τῷ «καὶ κερδοσύνῃ». (v. 250—3) Ὅτι προθυμίαν ἀντιμάχου δηλοῖ τὸ «οὔ ς’ ἔτι φοβήσομαι, ὡς τὸ πάρος περ», ὃς «οὐδέ ποτ’ ἔτλην μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸς ἀνῆκε στήμεναι ἀντία σεῖο· ἕλοιμί κεν ἤ κεν ἁλοίην». Ἕκτωρ δὲ ταῦτα πρὸς Ἀχιλλέα φησί. Ἔνθα καὶ ὅρα τήν τε συντομίαν τοῦ «ἕλοιμι κεν ἤ κεν ἁλοίην» πρέπουσαν τῷ ἐναγωνίως λέγοντι, καὶ ὅτι οὐδ’ ἐνταῦθα ὤκνησε μὴ εὐφήμως ἑαυτὸν προθεῖναι τοῦ Ἀχιλλέως, πρῶτον εἰπὼν τὸ «ἕλοιμι», εἶτα τὸ «ἁλοίην».

4.611 (v. 256—9) Οὕτω δὲ καὶ μετ’ ὀλίγα εἰπὼν «οὐ γὰρ ἐγώ σε ἔκπαγλον αἰκίσομαι», οὕτω δὲ καὶ σύ, τὴν ἀγαθὴν ἐλπίδα ἡρωϊκῶς προβέβληται. (v. 251 s.) Κεῖται δ’ ἐνταῦθα καὶ τὸ «δίω» ἀντὶ τοῦ διώκομαι παθητικῶς κατὰ τὸ πάντῃ ἀσύνηθες. διὸ καὶ ἑρμηνείας ἐδέησε τῇ λέξει. εἰπὼν γὰρ ὁ Ἕκτωρ, ὅτι «τρὶς περὶ τὸ ἄστυ δίον», ἐπάγει «οὐδέ ποτε ἔτλην μεῖναι ἐπερχόμενον». μέση

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοίνυν λέξις καὶ τὸ δίω, τὸ ἄχρηστον, ἐξ οὗ εὔχρηστον τὸ διώκω. διώκειν γὰρ τὸ δίειν ὦκα. ἔοικε δὲ τὸ τοιοῦτον δίω ἀπὸ τοῦ Διός παρῆχθαι, ὅ ἐστιν ἀέρος, καὶ δηλοῦν τὸ τρέχειν ταχὺ καὶ κοῦφον καί, ὡς εἰπεῖν, ἀέριον ἀπὸ τοῦ Ζεύς Διός. [Ὅρα δὲ πιστὴν μαρτυρίαν Ἕκτορος ὁμολογοῦντος οὐδέποτε τλῆναι μεῖναι τὸν Ἀχιλλέα ἐπερχόμενον, νῦν δὲ πρωτόπειρον ἵστασθαι τῆς πρὸς αὐτὸν μαχῆς. ἐξ οὗ δῆλον ἐχρῆν αὐτῷ εἶναι, ὡς δυστυχήσει μὴ ἐμπειρίαν ἔχων, ὅπως χρὴ διαχειρίσασθαι τὴν κατὰ τοῦ Ἀχιλλέως ἔνστασιν.] (v. 253) Τὸ δὲ ἁλοίη καὶ ἁλῴη λέγεται κατ’ ἔκτασιν τῆς παραληγούσης οἷον «ἄστυ ἁλῴη». (v. 254) Ὅτι περιδόσθαι μὲν τὸ στοίχημα θέσθαι καὶ συμφωνῆσαι περί τινος, ὡς ἐν τοῖς ἑξῆς φανήσεται, ἐπιδόσθαι δὲ τὸ μάρτυρας δοῦναι. (v. 254—5) Φησὶ γοῦν ἐνταῦθα ὁ Ἕκτωρ «ἀλλ’ ἄγε δεῦρο θεοὺς ἐπιδώμεθα», ὅπερ ἀλλαχοῦ σαφέστερον φράζων φησὶ «θεοὶ δ’ ἐπιμάρτυροι ἔστων». διὸ κἀνταῦθα ὁμοίως φησὶ «τοὶ γάρ», ἤγουν οὗτοι, «ἄριστοι μάρτυροι ἔσονται καὶ ἐπίσκοποι ἁρμονιάων», τουτέστιν ἀνάδοχοι τῶν συνθηκῶν. ἁρμονία γὰρ ἡ συνθήκη, ὡς ἐν τῷ συνάγειν τὰ μέρη ἁρμόττουσα καὶ ποιοῦσα εἰς ἓν συνιέναι, ἤγουν συμβαίνειν.

4.612 ὅθεν καὶ συνημοσύνη λέγεται ἡ αὐτὴ ἀπὸ τοῦ συνίημι, ὡς ἀπὸ συμβαίνειν σύμβασις καὶ συμβίβασις. (v. 261) Φησὶ γοῦν Ἀχιλλεὺς μετ’ ὀλίγα «μή μοι συνημοσύνας ἀγόρευε» δηλῶν ὡς ταὐτὸν ἁρμονίαι τε καὶ συνημοσύναι, ὅ ἐστι συνθῆκαι, ἃς ἀλλαχοῦ συνθεσίας φησίν. (v. 265 s.) Ὅτι δὲ καὶ ἔνορκοι αἱ νῦν αὗται συνημοσύναι, ὥσπερ ἴσως καὶ αἱ ἁρμονίαι, δηλοῖ Ἀχιλλεὺς εἰπὼν μετ’ ὀλίγα «οὔτε νῶϊν ὅρκια ἔσονται» εἰς ταὐτὸν ἄγων οὕτω συνημοσύνας καὶ ὅρκια. (v. 256—9) Τίνες δὲ ἁρμονίαι τῷ Ἕκτορι, αὐτὸς λέγει πρὸς Ἀχιλλέα «οὐ γὰρ ἐγώ ς’ ἔκπαγλον ἀεικιῶ» ἤγουν αἰκίσομαι, «αἴ κεν ἐμοὶ Ζεὺς δῴη καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι· ἀλλ’ ἐπάν σε συλήσω κλυτὰ τεύχε’, Ἀχιλλεῦ, νεκρὸν Ἀχαιοῖσι δώσω πάλιν, ὣς δὲ σὺ ῥέζειν», ἀντὶ τοῦ ῥέζε καὶ ποίει. Καὶ ὅρα τοῦτο τὸ κόμμα τὸ «ὣς δὲ σὺ ῥέζειν» συμφωνίας μὲν ὅλης ὂν περιεκτικόν, γοργῶς δὲ ῥηθὲν διὰ κατέπειξιν, καὶ διὰ τοῦτο καὶ πάνυ ἐλλειπτικῶς. τὸ γὰρ ὅλον οὕτως· ὡς δὲ καὶ σὺ ῥέζειν ἐπ’ ἐμοί, ἐάν σοι Διὸς νίκην δόντος τὴν ἐμὴν ἀφέλῃ ψυχήν. ἅπερ ἐσίγησεν Ἕκτωρ ὡς μηδὲ νῦν εἰπεῖν τι δύσφημον ἐθέλων περὶ ἑαυτοῦ, ἀλλὰ τὸ μὲν νικῆσαι λαλήσας καὶ πρῶτον θέμενος, τὸ δὲ νικηθῆναι ὕστερόν τι παραρρίψας καὶ τῇ συντομίᾳ τῆς φράσεως ἐπικρύψας. δῆλον δὲ καὶ ἐκ τῶν ἄρτι ὅτι εὐκλείας τῆς μετὰ θάνατον ὁ Ἕκτωρ ἐφίεται καὶ οὐδὲ τὸ σῶμα αἰκισθῆναι θέλει, ἀλλὰ μετὰ τὸ συληθῆναι τὰ ὅπλα, ὅ ἐστι σκυλευθῆναι, δοθῆναι ἀξιοῖ τοῖς ἑαυτοῦ εἰς ἔντιμον ταφήν, ὡς καὶ ἐν τῇ μετὰ τοῦ Αἴαντος μονομαχίᾳ συνέθετο. [(v. 257) Τοῦ δὲ «δῴη» προϋπάρχει τὸ δοίη, ἐξ οὗ τὸ «θεοὶ δοῖεν», ὡς καὶ τοῦ «ἁλῴη» πρόεστι τὸ ἁλοίη, ὡς εἴρηται. οὕτω δὲ καὶ τὸ γνοίη τοῦ γνῴη.] Καμμονία δὲ οὐχ’ ἁπλῶς ἡ νίκη, οἷον ἡ τῶν δρομέων ἢ τῶν ἱππέων, ἀλλ’ ἡ ἐκ καταμονῆς, ὡς ἡ τῶν μονομαχούντων καὶ πυκτευόντων. οὗτοι γὰρ καταμένοντες ὡς τὰ πολλὰ καὶ διακαρτεροῦντες ἀποκάμνειν τοὺς ἐναντίους ποιοῦσι καὶ οὕτω νικῶσι. καὶ τοῦτο μὲν ὀρθῶς. ἕτεροι δὲ ἁπλῶς οὕτω καμμονίαν τὴν ἐκ μονομερείας νίκην φασίν, οὐ σαφῶς λαλοῦντες ἐν τῷ «ἐκ μονομερείας».

4.613 πᾶσα γὰρ νίκη μονομερής, εἴγε καὶ ἑτεραλκής. (v. 258) Τὸ δὲ «Ἀχιλλεῦ» εἰκῇ παρέρριπται οὕτω καὶ ἀφελῶς. οὐ γὰρ ἀναγκαῖον ἀνωτέρω εἰπόντα τὸν Ἕκτορα «Πηλέος υἱέ» πάλιν ἐνταῦθα προσφωνῆσαι τὸ «ὦ Ἀχιλλεῦ». (v. 257) Ὅρα δὲ τὸ «σὴν δὲ ψυχὴν ἀφέλωμαι» περιφραστικῶς μὲν τεθὲν ἀντὶ τοῦ θανατώσω, γλυκέως δὲ φρασθὲν ὡς ἐπὶ κτήματος, οὗπερ οὐκ ἀντάξια ὅσα φησὶν ἐν ταῖς Λιταῖς ὁ Ἀχιλλεύς. (v. 261) Ὅτι τὸ «Ἕκτορ μή μοι ἄλαστε συνημοσύνας ἀγόρευε» ἤθους ἐστὶν ἀκαταλλάκτου δηλωτικόν. Ὅρα δέ, ὡς ἠρκέσθη νῦν σωφρόνως ὁ Ἀχιλλεὺς ἄλαστον εἰπεῖν τὸν Ἕκτορα, ὡς ἀλάθητα λυπήσαντα. σπεύδων γὰρ εἰς ἔργον ὕβρεσιν οὐκ ἐνευκαιρεῖ. ἐκ δὲ τοῦ ἄλαστος οὐ μόνον ὁ ἀλάστωρ παράγεται, ἀλλὰ καὶ τὸ ἀλαστεῖν καὶ συνθέτως δὲ ἐπαλαστεῖν, ὅπερ ἐν Ὀδυσσείᾳ κεῖται. Τίνες δὲ αἱ συνημοσύναι, εἴρηται προσεχῶς ἀνωτέρω. (v. 262—7) Εἶτα δεικνύων εἰς ὅσον ἀποστέργει τὰς ῥηθείσας συνθήκας, λέγει ἅπερ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πᾶς ἂν εἴποι ἐγκοτήσας λίαν τινί, τὰ καὶ εἰς παροιμίαν πεσόντα τὴν ἐπὶ ἀσπόνδῳ ἔχθρᾳ τεθεῖσαν, «ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά, οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν, ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν. ὣς οὐκ ἔστ᾽ ἐμὲ καὶ σὲ φιλήμεναι, οὔτε τι νῶϊν ὅρκια ἔσονται, πρὶν ἢ ἕτερόν γε πεσόντα αἵματος ἆσαι Ἄρηα», καὶ ἑξῆς ὡς προεγράφη ἀλλαχοῦ. Καὶ ὅρα ὅπως μεγαλοφρόνως ἑαυτὸν Ἀχιλλεὺς εἰκάζει ὡς λέοντα πρὸς ἄνδρα καὶ ὡς λύκον πρὸς ἄρνα. (v. 265) Τὸ δὲ «φιλήμεναι» ἀπὸ σεσιγημένου ῥήματος γίνεται τοῦ φίλημι, ἐξ οὗ καὶ τὸ «φίλατο» ἀντὶ τοῦ ἠγάπησε, καὶ τὸ «νῦν αὖ με φίλαι Ἀθήνη». οὕτω γάρ τινες γράφουσι τῶν ἀκριβεστέρων, ὡς προεδηλώθη, καὶ οὐ «φίλεε».

4.614 ἐκ τοῦ τοιούτου γοῦν ῥήματος καὶ τὸ φιλῆναι ὡς στῆναι, ἐξ οὗ φιλήμεναι ὡς στήμεναι. (v. 268—72) Ὅτι λόγος στρατηγικὸς ἀπειλητικὸς πρὸς ἐχθρὸν καὶ ἐγερτήριος εἰς μάχην τὸ «παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρὴ αἰχμητήν τ᾽ ἔμεναι καὶ θαρσαλέον πολεμιστήν. οὔ τοι ἔτ᾽ ἔσθ᾽ ὑπάλυξις, ἄφαρ δέ σε θεὸς ἔγχει ἐμῷ δαμάᾳ. νῦν δ᾽ ἀθρόα πάντ᾽ ἀποτίσεις κήδε᾽ ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θύων». (v. 271) Τὸ δὲ «νῦν δ᾽ ἀθρόα πάντ᾽ ἀποτίσεις» καὶ παροιμιῶδές ἐστιν ἐπὶ τῶν ἀντὶ πολλῶν κακῶν ἕν τι μέγα βλαπτομένων καὶ λόγου ἄξιον. [Μετήνεκται δὲ ὁ λόγος ἐκ τῶν καταβαλλομένων χρέος μὴ ἐν κατατομαῖς λεπταῖς, ἀλλ᾽ ὁμοῦ τὸ πᾶν.] Ἀχιλλεὺς δὲ ταῦτα ἔφη πρὸς Ἕκτορα, ἐρεθίζων εἰς μάχην καὶ οἷον παιδοτριβικῶς ὑπαλείφων, ἵνα μὴ δόξῃ κλέψαι τὴν νίκην, ὃ τοῖς εὐγενῶς ἀνδρείοις, ὁποῖος καὶ ὁ μέγας Ἀλέξανδρος, ἀπώμοτον ἦν. ἀρετὴν δὲ καὶ νῦν τὴν ἀνδρίαν λέγει, ὡς δηλοῖ τὸ «αἰχμητὴν εἶναι» καὶ «πολεμιστήν». (v. 273—7) Ὅτι προΐει μὲν ἔγχος ὁ Ἀχιλλεύς, οὐ βάλλει δὲ τὸν Ἕκτορα. «ἕζετο γάρ», φησί, «προϊδών, τὸ δ᾽ ὑπέρπτατο χάλκεον ἔγχος», ὃ καὶ ἀλλαχοῦ ἐρρέθη πέτεσθαι, «ἐν γαίῃ δ᾽ ἐπάγη». Ἀθηνᾶ δὲ ἁρπάσασα ἐδίδου τῷ Ἀχιλλεῖ, ἔλαθε δὲ τὸν Ἕκτορα. κατὰ γοῦν τὸν μῦθον, ὡς καὶ προείρηται, τῇ Ἀθηνᾷ ἐπιγραπτέον τὸ πλέον τῆς νίκης τοῦ Ἀχιλλέως. τεχνίτης δὲ πολέμου ὁ Ἕκτωρ, ὃς ἐπιτηδείως ἐξέφυγε τὴν βολήν. Ἔνθα καὶ ὅρα, ὡς ὁ ποιητὴς τὸν ἀκροατὴν ἐξ αὐτῆς ἀρχῆς μεγάλα ἐλπίζοντα ἔψευσε τῆς ἐλπίδος, ὡς καὶ ἐν ἄλλοις ἐναρτῶν ἐποίησε. γράφει γὰρ οὐκ εὐθὺς εὐστοχοῦντα τὸν Ἀχιλλέα, σκοποῦ δὲ μακρὰν βαλόντα. (v. 289—91) Δυστυχεῖ δὲ ἄλλως καὶ ὁ Ἕκτωρ, βαλὼν μὲν αὐτὸς καὶ οὐκ ἀφαμαρτών, ἐτώσιον δὲ «τῆλε γὰρ ἀπεπλάγχθη σάκεος δόρυ». (v. 280) Ὅτι καὶ ἐνταῦθα λέξις κεῖται δύσχρηστος καὶ καινόφωνος, τὸ «ἠείδεις» ἀντὶ τοῦ ἠπίστασο, καὶ ἔστιν ἴσως ἀπὸ τοῦ ᾔδεις πλεονασμῷ τῆς ει διφθόγγου.

4.615 (v. 279—81) Φησὶ γὰρ Ἕκτωρ «ἤμβροτες, οὐδ᾽ ἄρα πώ τι», ἤγουν οὔτι δὲ ἄρα πω, «θεοῖς ἐπιείκελ᾽ Ἀχιλλεῦ, ἐκ Διὸς ἠείδεις τὸν ἐμὸν μόρον, ἦ τοι ἔφης γε, ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθοις», ἢ μύθῳ κατὰ δοτικὴν πτῶσιν ἢ μύθων κατὰ γενικὴν πληθυντικήν. (v. 281) Λέγει δὲ ἀρτιεπῆ τὸν γλαφυρὸν καὶ εὐεπῆ καὶ ἀπηρτισμένον ἐν τῷ παραλογίζεσθαι. οὐ δήπου γὰρ ἐπὶ ἐπαίνῳ τοῦ ἐχθροῦ τίθησι τὸ ἐπίθετον. ἡ μέντοι ὑστέρα χρῆσις εἰς ἐναντίον τῷ ἀμετροεπεῖ καὶ ἀκριτομύθῳ τὴν λέξιν λαμβάνουσα ἀρτιεπῆ λέγει τὸν κατὰ τὴν ποίησιν ἄρτια βάζοντα. τέως γε μὴν παρὰ τῷ ποιητῇ οὐ ταὐτὸν τὸ ἀρτιεπῆ τινα εἶναι καὶ τὸ ἄρτια βάζειν, καθάπερ οὐδὲ τὸ λογίζεσθαι ταὐτὸν τῷ παραλογίζεσθαι. Ἐπίκλοπος δὲ μύθων ὁ ἐπιθυμητὴς τοῦ διὰ λόγων ἀπατᾶν. κλέπτεσθαι γάρ φασιν οἱ παλαιοὶ καὶ τὸ ὀρέγεσθαι, ὡς τὸ «ἐπίκλοπος τόξων» ἐν Ὀδυσσείᾳ, ἢ ἐπίκλοπος μύθοις ὁ ἠσκηκὼς λόγοις παραλογίζεσθαι καθ᾽ ὁμοιότητα τοῦ «κλέπτε νόῳ». ἔστι γὰρ κλέπτειν οὐ μόνον χερσίν, ἀλλὰ καὶ νόῳ καὶ λόγῳ. (v. 281—2) Ἰστέον δὲ καὶ ὅτι τὸ «ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων, ὄφρα σ᾽ ὑποδδείσας μένεος ἀλκῆς τε λάθωμαι» εἴποι ἂν ὁ μὴ δειλιῶν ἐπὶ ἐχθροῦ ἀπειλαῖς. Ἔνθα ὅρα τὸ «μένεος» ἐκτεῖνον τὴν λήγουσαν καὶ δίχα στιγμῆς, ὥστε καινοπραγοῦσιν οἱ ἐν τῷ «μή μ᾽ ἀπογυιώσῃς μένεος» στίζοντες μέσην ἐν τῷ μένεος.

4.616

δύναται γὰρ ἡ λέξις, κἂν ἄλλως ἀναγνωσθείη «μένεος ἀλκῆς τε λάθωμαι», ἐκτείνειν τὸ ος , καθὰ καὶ ἐνταῦθα. Τὸ δὲ «ἔπλεο» τουτέστιν ἐπέλεο καὶ ὑπῆρχες, παρῳχημένος ἐστὶν εἰλημμένος ἀντὶ ἐνεστῶτος τοῦ πέλεις, Ἰωνικῶς. (v. 280) Ὅρα δὲ καὶ τὸ «ἦ τοι ἔφης γε» κομματικῶς ῥηθὲν καὶ οὐ πόρρω στρυφνότητος καὶ συστροφῆς μακροτέρου νοήματος ἐν οὕτως ὀλιγίστῃ φράσει. βούλεται γὰρ εἰπεῖν, ὡς καὶ μὴν ἔφης γε ἀνελεῖν με ὡς οἷα εὖ εἰδώς, οὐκ ἐχρῆν δὲ λαλῆσαι, ἃ μὴ οἶδας. ἴσως δὲ καὶ ἄλλως ὡς ψεύστην τὸν Ἀχιλλέα ὀνειδίζει ἐν τῷ «ἦ τοι ἔφης γε», ἵνα ᾖ ὅτι καὶ μὴν ἔφης ἐκ Διὸς εἰδέναι τὸν ἐμὸν μόρον. εἰπὼν γὰρ ἀνωτέρω «ἄφαρ δέ σε Παλλὰς Ἀθήνη ἔγχει ἐμῷ δαμάᾳ», δοκεῖς οὕτως ὡς ἐκ Διὸς πανομφαίου τὸν τοιοῦτον λόγον εἰπεῖν. (v. 283—5) Ὅτι ἀνδρείου στρατιώτου λόγος πρὸς ἀντίπαλον τὸ «οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις, ἀλλ’ ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον, εἴ τοι ἔδωκε θεός». τούτου δὲ τοῦ ἔπους οἱ Λάκωνες ζηλωταί, παρ’ οἷς οὐκ ἦν θέμις ὁσίας τυχεῖν ἄνδρα νεκρὸν βεβλημένον τὰ ὀπίσω. (v. 285 s.) Ὁμοίως δὲ ῥωμαλεότητος καὶ τὸ «νῦν αὖτ’ ἐμὸν ἔγχος ἄλευαι χάλκεον, ὡς δή μιν ἐν χροῒ πᾶν κομίσαιο», ἤγουν διαμπερὲς ἐλαθείης ὑπ’ αὐτοῦ. Ἕκτορος δὲ καὶ τοῦτο πρὸς Ἀχιλλέα, ὃς μιμούμενος αὐτόν, ἐφ’ οἷς εἶπε «παντοίης ἀρετῆς μιμνήσκεο», καὶ τὰ ἑξῆς, ἔφη καὶ αὐτὸς τὸ «νῦν ἐμὸν ἔγχος ἄλευαι», ὅ ἐστι πειράθητι ἐκκλῖναι τὴν ἐξ ἐμοῦ βολήν, κομματικῶς αὐτὸς φράσας ἐν στενῷ κἀνταῦθα, οἷα ὥσπερ κατ’ ἀνδρίαν, οὕτως οὐδὲ κατὰ προφορὰν λόγου τῷ Ἀχιλλεῖ ἐξισοῦσθαι δυνάμενος. (v. 287 s.) Λέγει δὲ ὁ Ἕκτωρ καὶ ὅπερ οἰκεῖον ῥηθῆναι πρὸς βαρὺν ἐχθρὸν πεσόντα «καί κεν ἐλαφρότερος πόλεμος» τοῖς δεῖνα «γένοιτο, σεῖο καταφθιμένοιο· σὺ γάρ σφισι πῆμα μέγιστον».

4.617 (v. 283) Ἰστέον δὲ ὅτι [νῦν μὲν ἡ κατὰ μεταφρένου ἔμπηξις τοῦ δουρὸς φεύγοντι ἀνδρὶ ἐπαπειλεῖται, ἀλλαχοῦ δὲ πρηνεῖ, ὡς εἰκός, κειμένῳ κατά τι σύμπτωμα οὐ καθολικὸν οὐδὲ ἐξ ἀνάγκης, ὁποῖόν τι πάσχειν ἱστοροῦνταί τινες διὰ μέθην. λέγεται γὰρ ὡς οἱ τὸν κρίθινον πεπωκότες οἶνον, ὃν πῖνον μέν τινες, ἕτεροι δὲ βρῦτον καλοῦσιν, ὕπτιοι κατακλίνονται. ὁ δὲ τοῦτο φάμενος Δειπνοσοφιστὴς λέγει καὶ ὅτι τινὲς τοῦ πίνου τὸν βρῦτον διϊστῶσιν ὡς καὶ ἀπὸ ῥιζῶν γινόμενον, καὶ ὅτι εἰσὶ τοιουτοπόται καὶ οἱ Αἰγύπτιοι, οἵ, ὡς Ἑκαταῖός φησιν, ἀρτοφάγοι ὄντες τὰς κριθὰς εἰς τὸ πόμα καταλέουσιν, ἤγουν ἀλήθουσιν. (v. 285) Ἔτι ἰστέον καὶ ὅτι] τὸ «εἴ τοι ἔδωκε θεός» ὀνειδίζει πάλιν ὡς οὐ θεόθεν οἶδεν ὁ Ἀχιλλεὺς τὸν τοῦ Ἕκτορος μόρον. Τὸ δὲ «ἄλευαι», ὅ ἐστιν ἔκκλινον, μέσου ἀορίστου πρώτου ἐστὶ προστακτικὸν τοῦ «ἀλευάμενος», οὗ συχνὴ χρῆσις παρὰ τῷ ποιητῇ. (v. 286) Τὸ δὲ «ἐν χροῒ πᾶν», ἤγουν τὸ ὅλον, ἔγχος κομίσασθαι ἢ ταὐτόν ἐστι τῷ διελάσαι, ὃ ἀνωτέρω κεῖται, ἢ τῷ διαμπερὲς βαλεῖν. [Παραλαλεῖ δέ τι καὶ ἀστεῖον ὁ λόγος, εἴπερ ὁ χροῦς ὡς οἷον δουροδόκη ἔσται τῷ δόρατι.] (v. 291) Ὅτι τὸ «τῆλε δ’ ἀπεπλάγχθη σάκεος δόρυ» ἄλλως προέφρασεν ὁ ποιητής, εἰπὼν «πάλιν δ’ ἀπὸ χαλκὸς ὄρουσε». (v. 291 s.) Κεῖται δ’ ἐνταῦθα καὶ τὸ χώεσθαι ἐπὶ τοῦ συγκεχύσθαι τῇ λύπῃ. φησὶ γάρ «χώσατο δ’ Ἕκτωρ, ὅτι οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός». Καὶ ὅρα τὸ «ἔκφυγε», δηλωτικὸν ὂν τῆς ἐτωσίου βολῆς, ὥσπερ καὶ λόγος ἐκφυγὼν ἕρκος ὀδόντων ματαιολογίαν δηλοῖ.

4.618 (v. 293) Λέγει δὲ καὶ «κατηφῆσαι» τὸ κατηφιᾶσαι, ὡς ἀλλαχοῦ μειδῆσαι τὸ μειδιᾶσαι, εἰπὼν «στῆ δὲ κατηφήσας». (v. 294) Καλεῖ δὲ καὶ τὸν Δηΐφοβον ἐν τούτοις λευκάσπιδα, οἷα ἐπίσημον, ὡς εἰκός, ἔχοντα λευκὸν σάκος, καθὰ καὶ Ἀργεῖοι παρὰ Σοφοκλεῖ λευκάσπιδες ἱστοροῦνται. τῷ δὲ παρασήμῳ, φασί, τοῦ ὅπλου ἡ τοῦ φοροῦντος ἐμφαίνεται ἀρετή. (v. 297) Ὅτι κινδυνεύοντος ἀνθρώπου λόγος τὸ «ὢ πόποι, ἦ μάλα δή με θεὸς θάνατόνδ’ ἐκάλεσεν». (v. 300 s.) Ὁμοίως καὶ τὸ «νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακός, οὐδέ τ’ ἄνευθεν, οὐδ’ ἀλέη», τουτέστιν οὐδ’ ἔστιν ἀποφυγή, ἐκ τοῦ ἀλέω, ἐξ οὗ κατὰ πρόσληψιν συλλαβῆς ἡ ἀλεωρή. (v. 304—5) Ὁ δὲ τοῦ ζῆν ἀπογνούς, μὴ ἐκπεσὼν δὲ τοῦ ἀνδρείου φρονήματος, ἐρεῖ ἂν κατὰ τὸν Ἕκτορα «μὴ δὴ ἀσπουδεί γε καὶ ἀκλειῶς ἀπολοίμην, ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι». ἔστι δὲ καὶ νῦν ἀσπουδεί τὸ ἀμογητί. (v. 300 s.) Ὅρα δὲ ὅτι ἐν τρισὶ κόμμασι, τῷ «νῦν δὲ δὴ ἐγγύθι μοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θάνατος», καὶ τῷ «οὐδέ τ' ἄνευθεν», καὶ τῷ «οὐδ' ἀλέη» μία ἐδηλώθη ἔννοια. Ὅρα δὲ ὡς ὀψὲ καὶ νῦν ἐπιμηθευσάμενος ὁ Ἕκτωρ ἔγνω θεόθεν αὐτῷ εἶναι τὰ κακά, εἰ καὶ πρὸ τούτου ἄλλως ἐλάλει. ἀλέαν δὲ οἱ μεθ' Ὅμηρον τὴν θερμότητά φασιν. (v. 306—11) Ὅτι Ἕκτωρ μετὰ τὸ ἐτώσιον βέλος τοῦ δόρατος ἀναθαρρύνας αὖθις ἑαυτὸν καὶ ἐρυσάμενος «φάσγανον ὀξύ, τό οἱ ὑπὸ λαπάρην τέτατο μέγα τε στιβαρόν τε, οἴμησεν ἀλεὶς ὥς τ' αἰετὸς ὑψιπετήεις, ὅς τ' εἶσι πεδίονδε διὰ νεφέων ἐρεβεννῶν, ἁρπάξων ἢ ἄρν' ἀμαλὴν ἢ πτῶκα λαγωόν. ὣς Ἕκτωρ οἴμησε τινάσσων φάσγανον ὀξύ». Καὶ ὅρα ὅτι οὐδὲ νῦν ὤκνησεν ὁ ποιητὴς τὴν καίριον ταὐτολογίαν, δὶς εἰπὼν τὸ «φάσγανον ὀξύ», καὶ τὸ «οἴμησεν», ὅπερ ποιητικὸν ὂν ἑρμηνεύει εὐθὺς ἐπαγαγὼν (v. 312) «ὡρμήθη δ' Ἀχιλλεὺς μένεος δ' ἐμπλήσατο θυμὸν ἀγρίου», ὃ δὴ ταὐτόν πώς ἐστι τῷ «ἔδυ δέ μιν χόλος αἰνός», ὅπερ εἶπεν ἐπὶ δράκοντος.

4.619 σεμνύνει δὲ καὶ τὸν Ἕκτορα τῇ κατὰ τὸν αἰετὸν παραβολῇ, ὡς ἂν μεγεθύνῃ τὸ τοῦ Ἀχιλλέως ἀρίστευμα. [Ἦν δὲ καὶ ἄλλως μεγαλόφρον τὸ ἐν ἀπογνώσει ζωῆς μὴ παρεθῆναι, ἀλλ' ἀναθερμανθῆναι εἰς ἄμυναν κατὰ τοῦ Ἀχιλλέως τὸν Ἕκτορα, εἴ πως μέγα τι ἀποτελέσει καὶ μνήμης ἄξιον τοῖς ὕστερον.] (v. 311) Ἰστέον δὲ ὅτι τὸ οἰμῶ παρῆχθαί φασι ἐκ τοῦ ὁμῶ, ὃ δηλοῖ τὸ ὁμοῦ γίνομαι, οὗ ἡ χρῆσις προδεδήλωται, ὅπου τὸν Δία δόλῳ ἡ Ἥρα μελετᾷ περιελθεῖν. ἔστι γὰρ οἰμᾶν τὸ πυκνωθέντα τινὰ καὶ ὁμοῦ εἰληθέντα ἢ ἀλέντα, ὅ ἐστιν ἑαυτὸν συστρέψαντα, ὁρμᾶν. ὃ δηλοῦται καὶ ἐν τῷ «οἴμησεν ἀλείς», ὅ ἐστι κατὰ τοὺς παλαιοὺς ἄθρουν συστρέψας ἑαυτὸν ὥρμησεν. (v. 310) Ἀμαλὴν δὲ λέγει ἢ τὴν ἁπαλήν, ὡς προγέγραπται ἀλλαχοῦ, ἢ τὴν μαλλωτὴν καὶ τριχώδη κατὰ τοὺς παλαιούς, ὧν τινες καὶ μαλήν δισυλλάβως γράφουσιν, ὡς καὶ τοῦτο προδεδήλωται. Τὸ δὲ πτὼξ λαγωοῦ συνήθως ἐπίθετον κατ' ἐξαίρετον, ὥστε ὅτε τις εἴπῃ μόνον τὸ πτώξ, λείπει τότε τὸ κύριον ὁ λαγωός, ὡς καὶ ἐν τῷ «βροτοὶ ἄνδρες» μόνον λεχθὲν τὸ βροτοί ἐλλειπές ἐστι τοῦ ἄνδρες. πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα πολλαχοῦ δηλοῦνται.

4.620 [Λαγωὸς δὲ ἀμφιβάλλεται εἴτε ἀπὸ τοῦ λαγώς ἐκτεινομένου κατὰ τὴν λήγουσαν γέγονε πλεονασμῷ τοῦ ο μικροῦ, εἴτε καὶ ἀνάπαλιν ἐκ τοῦ λαγός σμικρυνομένου ἐμεγεθύνθη ὁ τῷ ω μεγάλῳ παραληγόμενος λαγωός. Ἰστέον γὰρ ὅτι διφορεῖται, καθὰ προπαρεδόθη, καὶ ὁ λαγός, καὶ ὁ μὲν διὰ τοῦ ο μικροῦ παλαιὸς καὶ κοινότερος, ὁ δὲ ἐκτεταμένος Ἀττικῶς παρεισέδυ. ὡς γὰρ κάλος κάλου, τὸ σχοινίον, ὁ δ' αὐτὸς καὶ κάλως κάλωος παρ' Ἀττικοῖς ὕστερον ἢ κάλως κάλω, οὕτω καὶ λαγός λαγοῦ, ἀφ' οὗ ἐξέδραμεν ὁ Λάγος, τὸ κύριον, καὶ λαγώς λαγώ. οὕτω δὲ κατὰ τὴν τοῦ Ἀθηναίου παράδοσιν. καὶ οὐ μόνον ὁ ταώς τοῦ ταώ, ἀλλὰ καὶ ὁ ταός τοῦ ταοῦ, οἷον «ψιττακοί, ταοί, μελεαγρίδες, φασιανοί». οὐ μὲν τοιοῦτον καὶ ὁ τυφώς, αὐτὸς γὰρ ἀεὶ τῷ ω μεγάλῳ ὤγκωται. Ὅτι δὲ ὁ λαγωός, ταὐτὸν δ' εἰπεῖν ὁ δασύπους, ἐψίλου τὴν λήγουσαν, δηλοῖ ὁ καλὸς Ἀθήναιος, εἰπὼν οὕτω· τὰ ὑπὲρ μίαν συλλαβὴν ὀνόματα, ὧν ἡ λήγουσα εἰς ος ἐστι καθαρόν, ψιλοῖ τὸ λῆγον, οἷον· πρᾶὀς, Κεῖὀς, υἱὀς, λαὀς, πηὀς, γόὀς, ζωὀς, οὕτω καὶ λαγωός.

4.621 ὁμοίως δὲ καὶ νεὼς, λεὼς, Τυνδάρεὼς. Τρύφων δὲ λέγει τοὺς Ἀθηναίους περισπᾶν τὸ ταὧς καὶ δασύνειν τὴν λήγουσαν. ἕτεροι δὲ ἀμήχανόν φασι παρὰ Ἀττικοῖς καὶ Ἴωσιν ἐν τοῖς τοιούτοις ὀνόμασι τὴν τελευτῶσαν δασύνεσθαι. πάντως γὰρ εἶναι ψιλὴν αὐτὴν παρηκολούθησε, οὐ μὴν μετὰ δασείας. φίλαρχος γὰρ οὖσα καὶ ἡγεμονικὴ τὴν φύσιν ἡ δασύτης τοῖς τελευταίοις μέρεσι τῶν ὀνομάτων οὐκ ἐγκαθείργνυται. καὶ οὕτω μὲν αὐτοί. Σέλευκος δὲ τοῦτο ἄλλως φράζει. σεμνύνας γὰρ καὶ αὐτὸς τὴν δασεῖαν τῷ προάττειν καὶ τάχιόν, φησίν, ἐκθέειν καὶ δι' ἐπιπολῆς εἶναι τῶν λέξεων καὶ πρὸ τῶν φωνημάτων τάττεσθαι, ἐπάγει· εἰ δὲ τοιαύτη ἡ δασύτης, ἀλόγως ἄρα κατὰ τὴν τελευταίαν συλλαβὴν τοῦ ταώς πρὸς τῶν Ἀττικῶν προσπνεῖται.] (v. 312—6) Ὅτι τὴν τοῦ Ἀχιλλέως ὁρμὴν καθ' Ἕκτορος οὕτω φράζει «ὁρμήθη δ' Ἀχιλλεύς, μένεος δ' ἐμπλήσατο θυμὸν ἀγρίου», ὡς εἴρηται προσεχῶς, «πρόσθεν δὲ σάκος στέρνοιο κάλυψε καλόν, δαιδάλεον, κόρυθι δ' ἐπένευε φαεινῇ, τετραφάλῳ· καλαὶ δὲ περισείοντο ἔθειραι, χρύσεαι, ἅς»,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς καὶ προεγέγραπται, «Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμείας». καὶ οὕτω μὲν καλλιγραφεῖ τὰ κατὰ τὸν φίλον ἀριστέα ὁ ποιητής. (v. 317—20) Θέλων δὲ μηδ’ ἐνταῦθα τοῦ ποιητικοῦ ἀρτύματος ἀποσχέσθαι τῆς παραβολῆς φησιν «οἷος δ’ ἀστὴρ εἶσι μετ’ ἄστρασι νυκτὸς ἀμολγῷ», τῷ πολλαχοῦ γραφέντι, «ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ, ὣς αἰχμῆς ἀπέλαμπεν εὐήκεος, ἣν ἄρ Ἀχιλλεὺς πάλλεν δεξιτερῇ, φρονέων κακὸν Ἕκτορι δίῳ». φθάσας μὲν οὖν τὸν τοῦ Ὠρίωνος κύνα, νῦν δὲ τὸν ἕσπερον εἰς παραβολὴν ὁμοίαν εἵλκυσεν. [(v. 312 s.) Μένος δὲ ἄγριον τὸ θηριῶδες λέγει. ἄγρια δὲ οὐ μόνον λέοντες καὶ τὰ τοιαῦτα, ἀλλὰ πᾶν τὸ μὴ ἥμερον. διὸ καὶ τὸ ἐκεῖθεν ἀγριμαῖον ἀντιδιαστέλλεται τοῖς τιθασοῖς, οἷον «πολλὰ μὲν τῶν ἀγριμαίων ἔγκειται πεπονημένα, πολλὰ δὲ σῖτα καὶ τῶν ἡμέρων ὀρνίθων, ἤγουν καὶ ἥμεροι ὄρνιθες.] (v. 314) Ὅρα δὲ ὅτι τε τὸ ἐπινεύειν, ὅπερ τῶν τριχῶν ἦν τῆς κόρυθος, τῷ Ἀχιλλεῖ προσήρμοσεν ἐν τῷ «κόρυθι δ’ ἐπένευεν», ᾧ λόγῳ καὶ μάχη φρίσσει ἐγχείαις, καὶ λήϊον ἀσταχύεσσι, καὶ ὅτι τετράφαλον λέγει τὴν τοῦ Ἀχιλλέως κόρυθα, ὅπερ ἐν τῇ ὁπλοποιΐα ἐσίγησεν, ὥσπερ καὶ τὰς περὶ τὸν λόφον χρυσᾶς ἶνας, αἳ τρίχας ἐμιμοῦντο, οὐ δεινὸν αὐταὶ ποιοῦσαι τὸν λόφον κατὰ τὰς τριχωτάς, ἀλλὰ λαμπρόν.

4.622 [(v. 316) Λόφος δὲ πόθεν γίνεται, προείρηται. οὗ παράγωγον περιεκτικῷ τύπῳ λοφεῖον, ἡ τοῦ λόφου θήκη παρὰ τῷ Κωμικῷ, καθά, φασί, καὶ κυλικεῖον, ἡ τῶν κυλίκων σκευοθήκη, οἷον «μόλις εἰς τὸ κυλικεῖον ἐνεγράφη», ἤγουν εἰς τὸ συμπόσιον, ὡς οἷα πολιτογραφηθείς που.] (v. 317) Περὶ δὲ ἀμολγοῦ προγέγραπταί τι, ὅπου καὶ περὶ τοῦ «ἄστρασι». λαμπρότατον δὲ τὸν κύνα ἐκεῖ φάμενος κάλλιστον ἐνταῦθα τὸν ἕσπερόν φησιν, ἤτοι τὸν τῆς Ἀφροδίτης, ὃς καὶ στίλβων καλεῖται, καὶ ἑωσφόρος δὲ κατὰ καιροῦ μεταβολήν, ὡς καὶ Καλλιμάχῳ δοκεῖ, ἔνθα φησὶν ὡς «ἑσπέριον φιλέουσιν, ἀτὰρ στυγέουσιν ἑῷον». ὅταν μὲν γάρ, φασίν, ἡλίῳ προηγουμένῳ καὶ δύνοντι ἐπικαταδύνῃ, ἕσπερος λέγεται, ὅτε ἀνατέλλοντα οὐδεὶς αὐτὸν ὁρᾷ, ὁπηνίκα δὲ προανατέλλει τοῦ ἡλίου, ἑωσφόρος καλεῖται. μέγας δέ ἐστι καὶ προσηνής, καὶ οὐ κατὰ τὸν κύνα οὔλιος. Νυκτὸς δὲ ἀμολγὸν λέγει νῦν τὸν προσεχῶς μετὰ τὴν ἡμέραν, ἤτοι μετὰ τὸ τῆς ἕω πέρας, ὡς δηλοῖ ὁ κατ’ αὐτὸν ἕσπερος, ἤτοι ὁ ἀφ’ ἑσπέρας ἀνατέλλων.

4.623 (v. 318) Τὸ δὲ «ἵσταται» ἀντὶ τοῦ ἀνίσταται, ἀνίσχει, ἀνατέλλει. ἄλλως γὰρ οὐκ ἔστι νοεῖν αὐτὸν ἱστάμενον, πλανήτην ὄντα. (v. 319) Εὐήκης δὲ αἰχμὴ ἡ εὖ ἔχουσα τῆς ἀκῆς, ὅ ἐστι τῆς ἀκμῆς καὶ ὀξύτητος, ἣν καὶ ἀκωκήν φαμεν. τῷ δὲ τόνῳ βαρυτόνως φέρεται ὡς καὶ τὸ τανυήκης. Ὅρα δὲ καὶ ὡς οὐ πρὸς ἀνδρίας ἔνδειξιν ἐπὶ Ἀχιλλέως ἡ τοῦ ἀστέρος αὕτη παραβολή, ἀλλὰ πρὸς μόνην καλλιγραφίαν τῆς κατὰ τὸν Ἀχιλλέα λαμπρότητος, ὡς ἂν ἐκκλίνῃ τὸ μονοειδές, οἷα τὴν τοῦ Ἕκτορος ὁρμὴν διὰ ἀετοῦ ἐπὶ ἀνδρίᾳ σεμνολογήσας προσεχῶς. Τὸ δὲ «αἰχμῆς ἀπέλαμπεν» ἦν μὲν γράψαι καὶ «αἰχμὴ ἀπέλαμπε», κάλλιον δὲ τὸ «αἰχμῆς» διὰ τὴν ἀπο πρόθεσιν. (v. 320) Τὸ δὲ «φρονέων κακόν» καὶ πληθυντικῶς που φράζει «κακὰ φρονέων ἐβεβήκει». ἐν οἷς ὅρα τὸ κακὰ φρονέων ἢ κακὸν φρονέων ἀντὶ τοῦ ἐγκοτῶν. παρὰ δέ γε τοῖς ὕστερον χυδαΐζει τὸ «κακὰ φρονέων» ἀντὶ τοῦ μωραίνων. ὁ δὲ κακά τινι φρονέων καὶ κακόφρων συνθέτως λέγεται. (v. 322) Ὅτι τὸ «τόσον» εἴωθε πολλάκις τιθέναι Ὅμηρος ἐπὶ τοῖς παρ’ ὀλίγον τι ὁλότητος, οἷον ἐν τῇ ὁπλοποιΐᾳ ἔφη περὶ τριπόδων, ὅτι τόσον εἶχον τέλος, ἤγουν κατὰ μὲν τὸ ἄλλο πᾶν ἀπηρτίσθησαν, οὔατα δ’ οὔπω προσέκειντο. καὶ ἐν τῇ ψ δὲ ῥαψῳδίᾳ φησὶ περί τινος ἵππου, ὅτι «τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν», ἐν δὲ μετώπῳ σῆμα εἶχε λευκόν. (v. 321—5) Οὕτω γοῦν κἀνταῦθα λέγει ὅτι Ἀχιλλεὺς εἰσορόων ἦν «χρόα καλὸν Ἕκτορος, ὅπῃ εἴξειε μάλιστα. τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα τεύχη καλά», τὰ τοῦ Πατρόκλου, ἃ πρὶν δηλαδὴ Ἀχιλλεὺς εἶχε, «φαίνετο» δὲ ὁ χροῦς «ᾗ», ἤγουν ὅπου. «κληῗδες ἀπ’ ὤμων αὐχένα ἔχουσι, λαυκανίας, ἵνα τε», ἤγουν ὅπου, «ψυχῆς ὤκιστος ὄλεθρος». καθ’ ὃ μέρος καὶ ἔτυχε τοῦ Ἕκτορος ὁ Ἀχιλλεὺς ἐλάσας ἔγχεϊ, «ἀντικρὺ δ’ ἁπαλοῖο δι’ αὐχένος ἤλυθ’ ἀκωκή». ἐνταῦθα γὰρ τὸ «τόσον μὲν εἴχετο τοῖς ὅπλοις» ἀντὶ τοῦ τὸ μὲν λοιπὸν τοῦ σώματος ἐκρύπτετο, ἐπὶ δὲ

μόνης τῆς λαυκανίας, ἤτοι τοῦ λαιμοῦ, ἐφαίνετο. Σημείωσαι δὲ ὅτι οὐ μάτην ὁ ποιητὴς ἀνέμνησεν ἡμᾶς ὅπλων Πατρόκλου, ἤτοι τῶν τοῦ Ἀχιλλέως, ἀλλ' ἐπίτηδες, ἵνα τε πιθανὴ δόξῃ ἡ τοῦ Ἀχιλλέως τήρησις, ὅπῃ ἂν αὐτῷ οὐχ' ἁπλῶς, ἀλλὰ μάλιστα εἴξῃ ὁ χροῦς τοῦ Ἕκτορος, ἄλλως γὰρ οὐκ ἠδύνατο βλάψαι αὐτὸν διὰ τὸ ἡφαιστότευκτα κἀκεῖνα εἶναι τὰ ὅπλα, καὶ ἵνα καὶ ἡ γύμνωσις τῆς λαυκανίας πιθανευθείη.

4.624 εἰ γὰρ οἰκεῖα ὅπλα ὁ Ἕκτωρ ἐφόρει, δι' ὅλου ἂν ἥρμοττον τοῦ σώματος. ἐπεὶ δὲ τὰ τοῦ μεγάλου Ἀχιλλέως φορεῖ, διὰ τοῦτο οὐκ ἂν λίαν προσαρμόττοιεν ἴσως, ὡς οἷα τυχὸν εὐρυτέρους ἔχοντος ὤμους τοῦ Ἀχιλλέως. ὅθεν ἀπροσάρμοστος ἦν αὐτῷ περὶ τὰς κλεῖδας ὁ θώραξ. (v. 325) Λαυκανία δὲ παράγεται ὅθεν καὶ ὁ λαιμός. ὡς γὰρ ἐκ τοῦ λάω λαμός καὶ λαιμός, οὕτως ἐκ τοῦ λάω λαύω λαυκανία ὁ ἀπολαυστικός, φασί, τόπος. Ὅρα δὲ ὡς καὶ ἐνταῦθα σαφῶς ὁ ποιητὴς δηλοῖ, τίνα λέγει ἁπαλὸν αὐχένα πανταχοῦ, ὅτι δηλαδὴ τὰ περὶ τὴν λαυκανίαν ἀνωτέρω που τῆς κλειδὸς ἔνθεν καὶ ἔνθεν, ἃ οὐκ ἔχουσιν ὀστεώδη τραχύτητα. Ψυχῆς δὲ ὄλεθρον ἔφη τὴν ἀφάνειαν καὶ τὸν ἀπὸ τοῦ σώματος χωρισμὸν αὐτῆς κατὰ τὸ «Ἕκτορος τ' ἀπόλλυται ψυχή», ὅπερ Εὐριπίδης ἔφη ἐντεῦθεν λαβών. (v. 326) Πάνυ δὲ δεξιὸς ὁ Ἀχιλλεύς, ὃς βραχύν τινα τόπον τοῦ σώματος τοῦ Ἕκτορος ἰδὼν ἀκάλυπτον εὐστόχως εὐθὺς ἔβαλεν. Ὅτι πολλάκις ὁ ποιητὴς τὰ ἐκ τύχης ὡς ἐξ αἰτίας τινὸς ἀποτελούμενα λέγει καὶ ἐκ προνοίας βουλευτικῆς, οἷον «ἦλθε δ' ἐπὶ Νότος ὄφρ' ἔτι τὴν ὀλοὴν ἀναμετρήσαιμι Χάρυβδιν». τοιοῦτον κοινότερον καὶ τὸ ἔπνευσεν ἄνεμος, ἵνα ὁ οἶκος καταρριφῇ ἢ ἀπόληται ἡ ναῦς. (v. 328 s.) Ὅμοιον κἀνταῦθα τὸ εἰπεῖν, ὡς ἡ τοῦ Ἀχιλλέως μελία οὐκ ἀπέτεμε τὸν τοῦ Ἕκτορος ἀσφάραγον, ἵνα τι λαλήσῃ. τὸ γὰρ κατὰ τύχην γενόμενον αἰτιατικῶς ἐξήνεγκεν, ὅ ἐστιν αἰτιωδῶς καὶ κατ' αἰτίαν, εἰπών «οὐδ' ἂρ ἀπ' ἀσφάραγον μελίη τάμε χαλκοβάρεια, ὄφρα τί μιν προτιείποι ἀμειβόμενος ἐπέεσσι». λέγει οὖν ἐνταῦθα, ὡς ἐὰν καὶ ἔμψυχον τὸ ἔγχος ἦν καὶ ἔμφρον καὶ διὰ τοῦτο προνοητικῶς οὐκ ἀπέτεμε τὸν ἀσφάραγον.

4.625 οὕτω δὲ καὶ ἐν ἄλλοις τόποις, ὡς πολλαχοῦ παρεσημάνθη, ψυχοῖ τὰ ὅπλα ὁ ποιητὴς κατὰ αὐτόνομον γλυκύτητα. καὶ ἄλλως δέ, οἷον ἀνθομολογεῖται νῦν ἡ καθ' Ὅμηρον Μοῦσα διὰ τοῦτο πλάσαι τὴν μελίαν μὴ τέμνουσαν τὸν ἀσφάραγον, ἵνα λαλήσῃ ὁ πεσὼν καί τι ἐπιθανάτιον. (v. 328) Ἀσφάραγος δέ, φασί, ἀπὸ τοῦ ἀσπαίρω τροπῇ τοῦ ψιλοῦ εἰς δασύ, ὃ καὶ ἐπὶ τῶν προγραφέντων σφονδυλίων γέγονεν. ἐν γὰρ τῷ καταπίνειν καὶ ἐν τῷ λαλεῖν κινεῖται, φασί, καὶ τείνεται. Σημείωσαι δὲ ὅτι ἀρέσκει τῶν τισι παλαιῶν μὴ γράφειν «οὐδ' ἂρ ἀπ' ἀσφάραγον μελίη τάμεν», ἀλλ' «ἀπὸ σφάραγον». γράφουσι γὰρ δίχα τοῦ κατ' ἀρχὰς α τρισυλλάβως «σφάραγον», λέγοντες οὕτω· σφάραγος, λαιμός, βρόχος, τράχηλος, ἀπὸ τοῦ περὶ τὸν τόπον ψόφου. τὸν μέντοι μετὰ τοῦ α τετρασυλλάβως ἀσφάραγον καυλὸν εἶναί φασιν ἀκάνθων, ὡς καὶ πρὸ ὀλίγου σαφῶς ἐδηλώθη. ὁ δ' αὐτὸς καὶ διὰ τοῦ π ἀσπάραγος φυταρίου γνώριμος καυλός, [ἐνευθηνούμενος μάλιστα τῇ νήσῳ Τήνῳ εἰς πάχος, φασί, νάρθηκος,] ὁ καὶ ἐσθιόμενος. (v. 330—5) Ὅτι μετὰ τὸ «ἤριπε δ' ἐν κονίῃσιν», ὁ Ἕκτωρ δηλαδή, «ὃ δ' ἐπεύξατο δῖος Ἀχιλλεύς» κεῖται ἅπερ ἂν εἴποι τις ῥίψας ἢ ἄλλως βλάψας ἐχθρὸν φίλου ἀπελπισθέντος ἔχειν τὸν βοηθήσοντα, παραποιήσας τὰ Ὁμηρικά· ὦ δεῖνα, οἷον ὦ Ἕκτορ, «ἀτάρ που ἔφης» τὸν δεῖνα ἐξεναρίζων σῶς ἔσεσθαι· ἐμὲ δ' οὐδὲν ὀπίζεο νόσφιν ἐόντα, νήπιε.

4.626 τοῖο δ' ἄνευθεν ἀοσσητὴρ μέγ' ἀμείνων ἐγὼ μετόπισθε λελείμμην, ὅς τοι γούνατα ἔλυσα», ὃ διασαφητικόν ἐστι τοῦ «ἀοσσητὴρ ἦν ἀμείνων ἐγώ». πάντως γὰρ ἀμείνων τινὸς ὁ καταρρίψας καὶ οὕτω τὰ ἐκείνου λύσας γούνατα. (v. 332) Ἔστι δὲ ὀπίζεσθαι μὲν τὸ ἐπιστρέφεσθαι καὶ ὄπις ἡ ἐπιστροφή. (v. 333) Ἀοσσητὴρ δὲ ὁ σπουδαῖος βοηθὸς καὶ δίχα ὄσσης ἀρήγων, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη. (v. 335) Γούνατα δὲ λῦσαι τὸ τῆς ἁρμονίας παραλῦσαι καὶ οὕτω καταρρῖψαι. (v. 331) Ὅρα ἐν τοῖς ῥηθεῖσι καὶ τὸ «ἀτάρ που ἔφης» ἀντὶ τοῦ «ἔφης δή», ὡς τοῦ «ἀτάρ» ληφθέντος ἀντὶ τοῦ δε τοῦ ἰσοδυναμοῦντος τῷ δῆ. (v. 336) Κεῖται δ' ἐνταῦθα καὶ τὸ ἑλκῆσαι ἐπὶ τοῦ ἁπλῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑλκυσμοῦ ἢ καὶ ἐπὶ σπαραγμοῦ καὶ κατακοπῆς. Φησὶ γὰρ Ἀχιλλεύς, ὅτι «σὲ μὲν κύνες καὶ οἰωνοὶ ἑλκήσους' ἀεικῶς», Πάτροκλον «δὲ κτεριοῦσιν Ἀχαιοί». (v. 338—43) Ὅπερ ἀκούσας Ἕκτωρ ὀλιγοδρανέων λέγει «λίσσομαι ὑπὲρ ψυχῆς» καὶ ἑξῆς, ὡς εὐθὺς δηλωθήσεται. (v. 336) Ἰστέον δὲ ὅτι τὸ «ἀεικῶς» ἐνταῦθα φέρεται διὰ μόνου τοῦ ι κατὰ τὴν παραλήγουσαν ἔν τισιν ἀντιγράφοις λόγῳ μετρικοῦ δακτύλου. καὶ ἔχει μὲν ἡ τοιαύτη γραφὴ ἀπολογίαν τινά, ὁποίαν καὶ τὸ ἀλγινόεν διὰ τοῦ ἰῶτα γραφόμενον καὶ τὸ ἰκόνιον καὶ ἄλλα προσημειωθέντα. ἔστι δὲ ὅμως ἀσύνηθες εἰς τοιαύτην γραφήν, ὡς δῆλον ἔκ τε τοῦ ἀεικές καὶ ἐπιεικές. εἰ δὲ ῥᾴων οὕτως ἡ συναίρεσις τῆς αἰκίας γίνεται, ἀλλ' οὐδὲν τοῦτο πρὸς ἀπόλογον εὔλογον.

4.627 (v. 338) Ὅτι μεγάλη καὶ θερμὴ δυσωπία τὸ «λίσσομαι ὑπὲρ ψυχῆς καὶ γούνων σῶν τε τοκήων». Ἕκτωρ δὲ τοῦτο λέγει ὀλιγοδρανέων, ὡς προσεχῶς ἐρρέθη, ὅτε δυσωπεῖ τὸν Ἀχιλλέα, λέγων (v. 339—43) [προεκθετικῷ τινι λόγῳ] καί, ὅτι μή με ἔα παρὰ νηυσὶ κύνας καταδάψαι Ἀχαιῶν, ἀλλὰ σὺ μὲν χαλκόν τε ἅλις χρυσόν τε δέδεξο δῶρα, τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ, σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι», ἤγουν δὸς πάλιν, «ὄφρα πυρός με Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα», ἅπερ καὶ ἐν τῇ πρὸς Αἴαντος μονομαχίᾳ ἐλάλησε. (v. 341) Καὶ ὅρα ὅτι τε οὐκ εἶπεν ἄποινα, ἀλλὰ δῶρα ὀνόματι γενικῷ σεμνότερον, ὡς καὶ ἀλλαχοῦ ἐποίησε, καὶ ὅτι ἐτυμολογῶν τὴν λέξιν φησὶν «ἅ σοι δώσουσιν». ἀπὸ γὰρ τοῦ δώσειν τὸ δῶρον. (v. 339) Τὸ δὲ δάψαι πρωτότυπόν ἐστι καὶ νῦν τοῦ δαρδάπτω ῥήματος. καὶ οὕτω μὲν αὐτός. Ἀκούει δὲ ἅπερ οὐ βούλεται. εἰδὼς γὰρ ὁ ποιητὴς ὡς ὠμότητος γραφὴν ἀποίσεται Ἀχιλλεύς, ἐφ' οἷς τεθνεῶτα τὸν Ἕκτορα καταικίσεται, καὶ ὡς τυχὸν ἂν ἐρεῖ τις ὡς λείπεται καὶ τῶν τοῦ νεκροῦ σαρκῶν αὐτὸν ἀπογεύσασθαι, καὶ θέλων εἰπεῖν ὅτι πρὸς τὸ τῆς λύπης περιὸν τάχ' ἄν, εἴπερ ἦν, ἐποίησε καὶ τοῦτο, πλάττει τὸν Ἀχιλλέα λέγοντα. (v. 345—7) «Μή με, κύον, γούνων γουνάζεο μηδὲ τοκήων· αἲ γάρ πως», ἤγουν αἴθε, «αὐτόν με μένος καὶ θυμὸς ἀνείη», ἤτοι ἀναπείσοι, «ὦμ' ἀποταμνόμενον κρέα ἔδμεναι, οἷά μ' ἔοργας». Καὶ ὅρα καὶ τοῦτο τὸ βραχὺ κόμμα τὸ «οἷά μ' ἔοργας» ὅσην ἔχει καὶ ἀφηγήσεως καὶ θλίψεως ἔμφασιν, ἐφ' οἷς καὶ ἀνεῖλεν Ἕκτωρ τὸν Πάτροκλον καὶ ᾐκίσατο. κἀντεῦθεν πιθανὸς γίνεται ὁ ἐν τοῖς ἑξῆς τοῦ Ἕκτορος ἑλκυσμός.

4.628 τὸν γὰρ οὕτω κατὰ Ἕκτορος ἀγριαινόμενον εἰκὸς καὶ ἀπανθρώπως ἐκεῖνον ἑλκύσαι. καὶ Ἀχιλλεὺς μὲν οὕτως εὔχεται ὄρεξιν αὐτῷ ἐγγενέσθαι φαγεῖν τῶν τοῦ κυνὸς Ἕκτορος σαρκῶν, ὡς δῆθεν ἄλλως οὐ θεμιτὸν ὂν ἢ δυνατὸν ἄνευ ἀλλοκότου τινὸς ὀρέξεως κυνείων τούτων κρεάτων μετασχεῖν. ἡ δὲ Ἑκάβη οὐχ' οὕτως ἐν τοῖς ἑξῆς, ἀλλ' ἐκείνη εὔξεται τοῦ ἥπατος ἅψεσθαι τοῦ Ἀχιλλέως, ὡς πάντως ἂν φαγουμένη. καὶ ἔστιν ἐκεῖνο πρέπον βαρβάρῳ γραῒ μητρὶ φιλοτέκνῳ. ταῦτα δὲ τὰ νοήματα τὴν ἀρχὴν ἔχει ἐκ τοῦ λόγου τοῦ Διός, εἰπόντος που πρὸς τὴν Ἥραν, ὡς εἰ δὲ σὺ ὠμὸν βεβρώθοις Πρίαμον καὶ τὰ ἑξῆς. Ἰστέον δὲ [ὅτι τε οὐ καινὸν τὸν Ἀχιλλέα ἐθελῆσαι ὠμὰ κρέα Ἕκτορος δαίσασθαι ἢ τὴν Ἑκάβην εὔξασθαι ἥπατι ἐμφῦναι ἀνδρὸς ἐχθροτάτου, εἰ καὶ Τυδεὺς ἐγκεφάλου ἐχθροῦ κατὰ τὴν ἱστορίαν ἐρρόφησε, καὶ Ἀνάξαρχος δέ, ὁ εὐδαιμονικὸς φιλόσοφος, ἐδίδασκε κολακεύων τὸν μέγαν Ἀλέξανδρον τὰς τῶν σατραπῶν καὶ βασιλέων δειπνοῦντα προσφέρεσθαι κεφαλάς, καὶ ὅτι πολλάκις ὁ θυμὸς μὴ ὅτι γε τοῖς ἐμψύχοις, ἀλλὰ καὶ ἀψύχοις κυνηδὸν ἐπεμπηδᾷ. οὕτω Πάνδαρος θυμῷ κινηθεὶς ἠπειλήσατό που τοῖς τόξοις φθοράν. οὕτω καὶ Ἀναξανδρίδης, πικρὸς τὸ ἦθος ἀποβάς, ἐκόλαζέ ποτε ἃς ἐποίει κωμῳδίας. ὅτε γὰρ μὴ νικῴη, λαμβάνων αὐτὰς ἐδίδου κατατεμεῖν εἰς λιβανωτόν, μὴ μετασκευάζων ὡς οἱ πολλοί. διὸ πολλὰ τῶν δραμάτων κομψῶς ἔχοντα ἠφάνιζε, δυσκολαίνων τοῖς θεαταῖς διὰ τὸ γῆρας], καὶ ὅτι ἀποτεινόμενος ὁ Ἀχιλλεὺς πρὸς τὴν τοῦ Ἕκτορος ἱκετείαν πρὸς μὲν τὸ «λίσσομαι ὑπὲρ ψυχῆς καὶ γούνων καὶ τοκήων» φησὶ «μή με γουνάζεο μηδὲ τοκήων», παραλιπὼν διὰ συντομίαν ἐναγώνιον τὸ «ψυχῆς». πρὸς δὲ τὸ «μή με ἔα κύνας καταδάψαι» οὐ μόνον ἀπειλεῖται κυσὶ παραθεῖναι αὐτόν, ἀλλὰ καὶ κύνα αὐτὸν ἀποκαλεῖ. κεῖται δὲ ἡ περὶ τῶν ῥηθέντων κυνῶν ἑξῆς ἀπειλὴ ἐν τόποις δυσίν, ἤγουν ἐν τῷ «ὡς

οὐκ ἔσθ’ ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι», ἤγουν οὐκ ἔστιν ὃς ἀπαγάγοι ἄν σου τοὺς κύνας—κεφαλὴν γὰρ κἀνταῦθα τὸν ὅλον Ἕκτορα λέγει—, καὶ μετ’ ὀλίγα ἐν τῷ «ἀλλὰ κύνες τε καὶ οἰωνοὶ κατὰ πάντα δάσονται».

4.629 καὶ οὕτω μὲν πρὸς τὰ δύο Ἀχιλλεὺς ἀπετείνατο. (v. 349—53) Πρὸς δὲ τὸ «ἄλις δέδεξο δῶρα» λέγει ὅτι «οὐδ’ εἴ κεν δεκάκις τε καὶ εἰκοσινήριτ’ ἄποινα στήσως’ ἐνθάδ’ ἄγοντες, ὑπόσχωνται δὲ καὶ ἄλλα, οὐδ’ εἴ κέν ς’ αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγοι Δαρδανίδης Πρίαμος, οὐδ’ ὣς σέ γε πότνια μήτηρ ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν τέκεν αὐτή», τοῦτο δὴ ὃ προέλεγεν ἡ Ἑκάβη, ὅπερ καὶ πρὸς τὸ «ἵνα πυρός με λελάχωσι θανόντα» εἶπεν ὁ Ἀχιλλεύς. Σημείωσαι δὲ ὡς τὸ τοῦ Ἀχιλλέως ἦθος στρεπτὸν εὑρεθήσεται καὶ διὰ τοῦτο ἀγαθόν, εἴγε «στρεπταὶ φρένες ἐσθλῶν». εἰ γὰρ καὶ μήτε ἄποινα λήψεσθαι ὑπὲρ τοῦ Ἕκτορός φησι, ἅπερ ἐκεῖνος δῶρα σεμνῶς, ὡς εἴρηται, εἶπεν, καὶ κυσὶ δὲ καὶ οἰωνοῖς ἐκθέσθαι αὐτόν, ἀλλὰ προϊὼν οὐχ’ οὕτω ποιήσει. Ὅρα δὲ καὶ τὸν τοῦ λόγου χαρακτῆρα ὅμοιον ὄντα τοῖς ἐν τῇ ῥαψῳδίᾳ τῶν Λιτῶν. καὶ ἐκεῖ γὰρ ὀξύτερον κατὰ κίνησιν ὀργῆς τοῖς πρέσβεσιν ὑποσχόμενος ἄλλα ὕστερον ἐποίησε χρηστότερα καὶ νῦν τοσαῦτα λύτρα μετρήσας οὐ πολλῶν δώρων μετὰ ταῦτα τὸν Ἕκτορα λύσεται. Σημείωσαι δὲ καὶ ὅτι εὐεπίφορος ὁ ἥρως ὥσπερ ἐν ταῖς Λιταῖς, οὕτω κἀνταῦθα εἰς τὰς τῶν δώρων ὑπερβολάς, δεκάκις λέγων καὶ εἰκοσινήριτα καὶ ἑξῆς, ὡς ἐρρέθη. Καὶ ταῦτα μὲν ἐν τούτοις, τῶν δὲ κατὰ μέρος τὰ ἐπιδρομῆς ἄξια τοιαῦτα. (v. 345) Τὸ μὲν «γούνων γουνάζεο» ὅμοιόν ἐστι τῷ «οἶνον οἰνοχοεῖν», μάλιστα δὲ τῷ «πόλεμον πολεμίζειν» καὶ τοῖς ὁμοίοις. (v. 346) Τὸ δὲ πως ἐν τῷ «αἲ γάρ πως» πολύνουν φαίνεται. θηριώδους γὰρ ὄντος τοῦ ἐθέλειν ἀνθρωπείων σαρκῶν ἀποφαγεῖν λέγει ὡς, εἰ καὶ μὴ κατὰ φύσιν ἔχω τοῦ οὕτως ἐφίεσθαι, ὅμως εὔχομαι ἐπελθεῖν πως ἐμοί, ἤγουν ὅπως δήποτε, ἐκ θεομηνίας τυχὸν ἢ ἑτεροίου θυμοῦ ἐγγενέσθαι μοι τοιαύτην ὄρεξιν. Τὸ δὲ «ἀνείη» γράφεται καὶ διὰ τοῦ η παρά τισιν, ἢ τροπῇ τοῦ η τῆς ει διφθόγγου εἰς η , ἢ καὶ ἐκ τοῦ ἀνῆ πλεονασμῷ τοῦ η ὅτε οὐδὲ προσγράφεται τὸ ι κατὰ τὴν παραλήγουσαν.

4.630 (v. 349) Τὸ δὲ «εἰκοσινήριτα» ἀντὶ τοῦ πρὸς εἴκοσιν ἐριστά, ἤτοι ἐρίζοντα καὶ ἰσάζοντα, τουτέστιν οὐ δεκάκις μόνον, ἀλλὰ καὶ εἰκοσάκις τοῖς σοῖς κτήμασιν ἐξισούμενα. ἢ καὶ ἄλλως κατὰ τοὺς παλαιοὺς ἐριστὸν μὲν εἴη ἂν τὸ ἀντιλεγόμενον τίμημα τοῦ νεκροῦ, νήριστον δὲ καὶ ἀποβολῇ τοῦ ς νήριτον, ὅπερ καὶ ἐπὶ τοῦ γνωστός καὶ γνωτός γίνεται, τὸ ἀνέριστον καὶ ἀναντίρρητον καὶ ἤδη τυπωθὲν καὶ ὁρισθὲν καὶ δίκαιον. δεκάκις οὖν νήριτον ἀπὸ κοινοῦ κατὰ παράθεσιν καὶ εἰκοσινήριτον κατὰ σύνθεσιν τὸ δεκαπλοῦν καὶ εἰκοσαπλοῦν ἄξιον τίμημα. ἔστι δὲ ἡ τοῦ εἰκοσινηρίτου σύνθεσις ὁμοία τῷ εἰκοσίπηχυ. [Καὶ ἐπαινεῖται ἡ τοιαύτη μάλιστα σύνθεσις, καθὰ δηλοῖ καὶ ὁ γράψας τὸ «εἰκοσίκλινον εἶχεν οἶκον ἐπιτήδειον πρὸς τὰς ὑποδοχάς». εἰκοσάπηχυ δέ, φασίν, εἰπεῖν καὶ εἰκοσάκλινον οὐ χρή, κἂν ἔδοξε τοῖς ὕστερον οὕτω λέγειν, οἳ καὶ πεντάκλινον καὶ τοιαῦτά τινα λέγουσι.] (v. 350) Τὸ δὲ «στήσωσι» τεχνικὴ λέξις, ὡς καὶ ἀλλαχοῦ προείρηται. (v. 351) Τὸ δὲ «σὲ αὐτὸν χρυσῷ ἐρύσεσθαι» δηλοῖ μὲν τὸ χρυσῷ λύσασθαι, ἔστι δὲ τὸ ἐρύσεσθαι παρακτικὸν τοῦ χρυσοῦ. ἀπὸ γὰρ τοῦ τοιούτου ἔοικε παρονομάζεσθαι ὁ χρυσός. Τὸ δὲ «σὲ αὐτόν» οὐδ’ αὐτὸ σύνθετον ἀντωνυμίαν δηλοῖ τὴν σαυτόν, ἀλλ’ ἐν ἐξοχῇ τινι κεῖται, καθά που πρὸ τούτων καὶ τὸ «αὐτόν μιν». Τὸ δὲ «ἀνώγοι» οὐ δύναται δηλοῦν τὴν παρὰ τοῖς ὕστερον κέλευσιν, οὐ γὰρ ἂν κελεύσοι ὁ Πρίαμος τῷ Ἀχιλλεῖ, σημαίνει δὲ ἢ τὸ ἱκετεύειν ἢ τὸ ἁπλῶς λέγειν. ἴσως δὲ καὶ εἰρωνικῶς αὐτό φησιν ὁ Ἀχιλλεὺς ὡς βασιλέως ὄντος τοῦ Πριάμου καὶ κελεύειν ἐθέλοντος.

4.631 Ἰστέον δὲ καὶ ὅτι τὸ χρυσῷ σταθμηθέντα τὸν Ἕκτορα λυθῆναι παρὰ Πριάμου Ὁμήρῳ μὲν οὐ δοκεῖ, οἱ δὲ ὕστερον ἱστοροῦσι τοῦτο γενέσθαι λέγοντες ὅτι ὁ Ἀχιλλεὺς χρυσὸν τῷ Ἕκτορι ἀντιστήσας καὶ λαβὼν οὕτω τὸν νεκρὸν ἀπέδοτο τῷ πατρί. τὸ δ’ αὐτό φασι παθόντα ὕστερον καὶ αὐτὸν ἀποδοθῆναι τοῖς Ἕλλησιν, ὡς καὶ Λυκόφρων ἱστορεῖ, ὅτε τοξευθεὶς Ἀχιλλεὺς ὑπ’ Ἀλεξάνδρου ἔπεσε. (v. 353) Τὸ δὲ «ὃν τέκεν αὐτή» ἢ ἐκ περισσοῦ εἰς οὐδὲν δέον κεῖται ἀφελῶς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὕτω λεχθέν, ἢ πρὸς σαφήνειαν, ἵνα μὴ ἁπλῶς μήτηρ αὐτὸν γοήσεται ἀορίστως, ἀλλ’ ἡ τοῦτον τεκοῦσα. ἢ καὶ ἄλλως, ἵνα μήτηρ νοηθείη ἡ κατὰ φύσιν, οὐ μὴν θέσει κατὰ διάθεσιν, ὁποία τις ἐστὶ τῷ Εὐμαίῳ ἐν Ὀδυσσείᾳ ἡ δέσποινα Ἀντίκλεια. [(v. 354) Τὸ δὲ «κατὰ πάντα δάσονται» ἀντὶ τοῦ καταμερίσονται ὅλον τὸν Ἕκτορα. καὶ ἔστι σύνηθες Ὁμήρῳ νοεῖν τὸ πᾶς ἀντὶ τοῦ ὅλος.] (v. 345) Ἰστέον δὲ ὅτι τὸ «μή με κύον γούνων γουνάζεο», καὶ τὰ ἑξῆς χρήσιμά εἰσιν εἰς λόγου πεζοῦ παραπλοκὴν, πῇ μὲν ἐπί τισι θυμουμένοις, πῇ δὲ ἐπὶ ἀδωροδοκήτοις. (v. 356—60) Ἃ δὲ ὁ Ἕκτωρ καταθνήσκων προσείπη τὸν Ἀχιλλέα, ἤγουν τὸ «ἦ σ’ εὖ γινώσκων προτιόσσομαι, οὐδ’ ἄρ ἔμελλον πείσειν· ἦ γὰρ σοί γε σιδήρεος ἔνδοθι θυμός· φράζεο νῦν μὴ τί τοι θεοῦ μήνιμα γένωμαι ἤματι τῷ, ὅτε κεν» καὶ τὰ ἑξῆς ἐρεῖ ἄν τις ἱκετεύσας μέν τινα ἐν κινδύνῳ, μὴ πείσας δέ. Δηλοῖ δὲ τὸ μὲν «προτιόσσομαι» τὸ προσβλέπω ἢ τὸ οἶδα καὶ μαντεύομαι. (v. 358) Τὸ δὲ «μή τί τοι θεοῦ μήνιμα γένωμαι» ἀντὶ τοῦ μή σοι ὀργισθῇ θεὸς δι’ ἐμέ. Τὸ δέ γε «καταθνῄσκων» περιττῶς κεῖται μετὰ προθέσεως, καθὰ καὶ τὸ κατατεθνειώτων ἐν τῷ «νεκύων κατατεθνειώτων».

4.632 ὅτι δὲ καὶ εὖ γινώσκων προμαντεύεται τὸν τοῦ Ἀχιλλέως ἄρτι θάνατον ὁ Ἕκτωρ, αὐτίκα εἰρήσεται. (v. 357) Σημείωσαι δὲ ὅτι τὸ «σιδήρεός σοι ἔνδοθι θυμός» σεμνότερον ὁ Ἕκτωρ εἶπεν ἤπερ ὁ Ἀχιλλεὺς ἔφρασε περὶ ἑαυτοῦ. ὁ μὲν γὰρ εὐξάμενος φαγεῖν ὠμὰ Ἕκτορος κρέα ἀπεθηρίωσεν ἑαυτόν, Ἕκτωρ δὲ μέσως πως ἔσκωψε. σιδηρέα γὰρ ψυχὴ οὐ μόνον ἀπήνειαν δηλοῖ, ἀλλά που καὶ στερρότητα. Ὅμηρος γοῦν οὕτω ἔφη· μὴ ἂν δυνήσεσθαι φράσαι πληθὺν Ἀχαιῶν, οὐδ’ εἰ χάλκεον αὐτῷ ἦτορ ἐνείη. τοιοῦτος δέ τις νοῦς καὶ ἐν τῷ «ὀφθαλμοὶ ὡσεὶ κέρα ἕστασαν ἠὲ σίδηρος». καὶ ἴσως πραΰνων τὸν Ἀχιλλέα οὕτως ἔφρασεν ὁ Ἕκτωρ, εἴ πως μετὰ θάνατον φείσαιτο αὐτοῦ. ὡς εἰ μή γε τοῦτ’ ἦν, τί ἐκώλυε κύνα προσφυέστερον ἀντικαλέσαι τὸν Ἀχιλλέα; Τὸ δὲ «ἔνδοθι» οὐκ ἀναγκαίως κεῖται ἐν τῷ «σιδήρεος ἔνδοθι θυμός», ἀναπληροῖ δὲ ὅμως στίχον. Ὅτι καὶ ἡ τοῦ Ἕκτορος ψυχή, ὡς καὶ πρὸ τούτου ἡ τοῦ Πατρόκλου, ἀπαλλαττομένη τοῦ σώματος ἤδη καὶ κατὰ σημεῖον οἷον ἐφαπτομένη αὐτοῦ προορᾷ τὸ μέλλον καί, ὡς εἴρηται, προλέγει τῷ Ἀχιλλεῖ. (v. 359 s.) Ἔνθα δεξιῶς ὁ ποιητὴς ἐν στενῷ, καθὰ καὶ ἐν ἄλλοις, παραρρίπτων τὸν Ἀχιλλέως θάνατόν φησιν «ἤματι τῷ, ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων ἐσθλὸν ἐόντα ὀλέσωσιν ἐνὶ Σκαιῇσι πύλῃσιν». ἃς ἑτέρας τινὲς εἶναί φασι τῶν πρὸ βραχέων εἰρημένων Δαρδανιάων. αὗται μὲν γάρ, φασί, πρὸς τῇ δυσμῇ, αἱ δὲ Δαρδάνειαι ἀνατολικαί. (v. 361) Ὅτι δὲ πρὸς τῷ θανεῖν ὢν ὁ Ἕκτωρ ταῦτα εἶπε, δηλοῖ ὁ ποιητής, φάμενος «ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε». (v. 362) Τὸ δὲ ἑξῆς «ψυχὴ δ’ ἐκ ῥεθέων πταμένη» καὶ τὰ ἑπόμενα, καὶ ἐν τῇ πῖ ῥαψῳδίᾳ καὶ ἀλλαχοῦ δὲ εἴρηται. (v. 365 s.) Ὅτι τὸ «τέθναθι, κῆρα δ’ ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ θεὸς ἐθέλει τελέσαι» οἰκεῖον ῥηθῆναι πρός τινα κινδυνεύοντα μέν, θρασέως δὲ ἀπειλούμενον, ὁποῖός τις καὶ ὁ Ἕκτωρ καταμαντευόμενος θάνατον τοῦ ταῦτα εἰπόντος Ἀχιλλέως, ὁπηνίκα ἔθνῃσκε. Τὸ δὲ «τέθναθι» ὡς τὸ τέτλαθι κανονίζεται.

4.633 (v. 368—71) Ὅτι κειμένου Ἕκτορος περιδραμόντες Ἀχαιοί, ὅτε Ἀχιλλεὺς «ἀπ’ ὤμων τεύχεα ἐσύλα», «θηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν Ἕκτορος». κἂν γὰρ ὁ στάχυς οὐκ ἦν, ἀλλ’ ἡ καλάμη διέφαινεν ἐκεῖνον, καὶ συμμετρίας μελῶν καὶ μερῶν ἀπαρτιζούσης καθόλου τὸ κάλλος μετὰ καὶ εὐχροίας ἐπανθούσης. ἡ μὲν εὔχροια τοῦ νεκροῦ Ἕκτορος ᾤχετο, ἡ δὲ συμμετρία ἐσῴζετο, ἀφ’ ἧς τὸ εἶδος ἀγαστὸν ἔτι ἐφαίνετο. Καὶ ὅρα ὅτι οὐ κατὰ τὴν ἀλλαχοῦ γραφεῖσαν ἱστορίαν οὐκ εὖ εἶχε τοῦ εἴδους ὁ Ἕκτωρ κατά τινας, ὃς καὶ τεθνεὼς ἀγητὸν εἶδος ἐκφαίνει. οὕτω δὲ ἦν περίκλυτος ὁ Ἕκτωρ καὶ θέας ἄξιος, ὥστε, καθὰ Πλούταρχος ἐν τοῖς κατὰ τὸν Ἄρατον ἱστορεῖ, νεανίσκος τις, ἐν Λακεδαίμονι ἐμφερέστατος Ἕκτορι γενέσθαι λεγόμενος, ὑπὸ τοῦ πλήθους τῶν θεωμένων κατεπατήθη, ὡς τοῦτο ἔγνωσαν. τοῦτο δὲ οὐ πρὸς ὀργὴν γέγονεν, ἀλλ’ ὅτι διὰ θαῦμα οἱ θεαταὶ εἰς πύκνωμα συνεστράφησαν. καὶ τοῦτο μὲν οὕτως. (v. 372) Ὁ δὲ ποιητὴς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἑλληνικὴν ἐνταῦθα οὐ καίριον ὠμότητα διαγράφων φησὶ καὶ ὅτι «οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη». (v. 372—4) Ἑρμηνεύων δὲ τὸ «ἀνουτητί» πρῶτα μὲν τίθησι βραχεῖαν συνήθως ἠθοποιΐαν τοῦ δήμου, εἰπὼν «ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον· ἦ μάλα δὴ μαλακώτερος ἀμφαφάασθαι», ἤτοι ψηλαφᾶσθαι, «Ἕκτωρ ἢ ὅτε νῆας ἐνέπρησε πυρὶ κηλέῳ». (v. 375) Εἶτα ἐπάγει τὴν ἑρμηνείαν τοῦ ἀνουτητί «ὣς ἄρα τις εἴπεσκε καὶ οὐτήσασκε παραστάς», κορεννύμενος οἷον τοῦ κειμένου μετὰ θάνατον, ἴσως μὲν θυμοῦ χάριν, ἴσως δὲ καὶ Ἀχιλλεῖ χαριζόμενος. εὖ δὲ ποιῶν Ὅμηρος ἡρμήνευσε τὸ ἀνουτητί, ὡς μὴ ἀμφίβολος ἔννοια εἴη, δυναμένων τινῶν ὑπονοεῖν ὡς οὔτις παρέστη μὴ φθάσας οὐτασθῆναι ὑπὸ τοῦ ἦν μὲν ὅτε ἀτειρέος καὶ σκληροῦ, νῦν δὲ μαλακοῦ Ἕκτορος. Σημείωσαι δὲ καὶ ὅτι προοικονομία ἐστὶ καὶ ταῦτα τῆς μικρὸν ὅσον εἰς τὸν Ἕκτορα τοῦ Ἀχιλλέως ὠμότητος. εἰ γὰρ οἱ ἄλλοι οὕτω διάκεινται πρὸς τὸν κείμενον, πολλῷ πλέον Ἀχιλλεὺς ἀγριαίνοιτ' ἂν κατ' αὐτοῦ. (v. 379—84) Ὃς καὶ μεγεθύνων τὸ οἰκεῖον κατόρθωμα μετὰ καὶ ἐπιεικείας λέγει ὡς «ἐπεὶ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν, ὃς κακὰ πόλλ' ἔρρεξεν», ἢ ἔρδεσκεν, «ὅς' οὐ σύμπαντες οἱ ἄλλοι» καὶ ἑξῆς, ἐρεθίζων εἰς θυμὸν οὕτω καὶ ἑαυτὸν καὶ τοὺς Ἀχαιούς. τὸν δὲ τοιοῦτον λόγον παρῳδήσας τις εἰς τὸ «θεὸς ἔδωκεν» ἐρεῖ ἐπί τινος κακοποιοῦ ἀνθρώπου πεσόντος ἢ καὶ ἁπλῶς ἡττηθέντος, ὥσπερ καὶ τὸ «ὢ πόποι, ἦ μάλα δὴ μαλακώτερος ἀμφαφάασθαι» ῥηθήσεταί ποτε πρὸς τὸν ἐκ πολλῆς σκληρότητος ταπεινωθέντα ἢ ἄλλως μαλακώτερον γενόμενον.

4.634 ἐν ᾧ καί τι κάλλους ἔχει τὸ «μάλα δὴ μαλακώτερος» ἀλλοῖόν τε καὶ τὸ ἐκ παρηχήσεως. [Ἀστεῖον δὲ τὸ «μαλακὸς ἀμφαφάασθαι» ῥηθὲν τροπικῶς ὡς ἐπὶ σκληροῦ καὶ ἀτέγκτου καὶ ἀτειροῦς σώματος ἁπαλυνθέντος ὁπωσοῦν.] (v. 379) Ἰστέον δὲ καὶ ὅτι τὸ «ἐπεὶ δὴ τόνδ' ἄνδρα», καὶ ἑξῆς, ἀκέφαλον στίχον οἱ παλαιοί φασιν, ὅμοιον τῷ «φίλε κασίγνητε» ὥστε οὐκ ἀναγκαῖον προπερισπᾶν ἐκεῖ τὸ «φίλε», ὡς ἂν ἀποτελεσθείη δάκτυλος, ἀλλ' ὀξυνομένης τῆς ἀρχούσης μετρηθῆναι κἀκεῖνον τὸν στίχον ὡς ἀκέφαλον. (v. 380) Σημείωσαι δὲ ὅτι τοῦ «κακὰ ἔρδεσκεν ὅσα οὐ σύμπαντες ἄλλοι» οὐκ ἔστιν ἐπινοήσασθαι καιριωτέραν σύγκρισιν. πολλὰ μὲν γὰρ εἰπεῖν καὶ ἄπειρα καὶ ἀπειρέσια καὶ εἴ τι τοιοῦτον οὐδέν τι λέγει μέγα διὰ τὸ ἀόριστον. προσώπῳ δέ τινι ἑνὶ παραβαλεῖν εἴτε καί τισι πλείοσι τὰ τοῦ Ἕκτορος ἐπὶ Ἀχαιοῖς, οὐδ' αὐτὸ μεγαλεῖον ἔχει. μεῖζον δὲ πάνυ τὸ παραθεῖναι τὰς ἐκείνου βλάβας ταῖς ἐκ τῶν ὅλων Τρώων τε καὶ ἐπικούρων. τούτους γὰρ δηλοῖ τὸ «οἱ ἄλλοι», οἱ ἑτερογενεῖς δηλαδὴ ἡμῖν τοῖς Ἀχαιοῖς. ὃ δὴ ὁμοίως ἔχει πρὸς τὸ «ἰχθύες οἱ ἄλλοι», τὸ πρὸ ὀλίγων γραφέν. ὃ δὲ ἀντεσήκου πρὸς πάνυ σεμνὴν σύγκρισιν καὶ τὸ εἰπεῖν ὡς τόσα κακὰ Ἕκτωρ ἔρεξεν, ὅσα οὐδ' ἄν τις θεός, ἰστέον ὡς δοκεῖ καὶ ὁ ποιητὴς ἐθέλειν μὲν εἰπεῖν καὶ τοιοῦτόν τι, ὀκνῆσαι δὲ φάναι θεὸν ῥεκτῆρα κακῶν. διὸ σιγήσας αὐτὸ ἐνταῦθα διὰ τὸ βλάσφημόν φησιν αὐτὸ κατωτέρω ἀσφαλῶς κατ' ἐνδοιασμὸν ἐν τῷ «Ἕκτορα δῖον, ᾧ Τρῶες κατὰ ἄστυ ὡς θεῷ εὔχοντο». (v. 385) Ὅτι σύνηθες τῷ ποιητῇ, ὡς προέγνωσται, ἀνωφελέσιν ἐννοίαις ἐπιλέγειν τὸ «ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός»; οὕτως ὁ Ἀγήνωρ ἔφη, οὕτως ὁ Ἕκτωρ. (v. 381—4) Οὕτω καὶ νῦν Ἀχιλλεύς, ὃς εἰπὼν ὡς πολέμαρχος «εἰ δ' ἄγετ' ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν, ὄφρα ἔτι γνῶμεν Τρώων νόον ὅν τινα ἔχουσιν, ἢ καταλείψουσι πόλιν ἄκρην τοῦδε πεσόντος, ἢ μενοῦσιν Ἕκτορος οὐκέτ' ἐόντος», μεταμέλεται εἰπὼν τὸ «ἀλλὰ τίη μοι ταῦτα» καὶ ἑξῆς.

4.635 (v. 386—8) Εἶτα ἐπαγαγὼν τὸ ὅτι κεῖται παρὰ νήεσσιν νέκυς ἄκλαυτος ἄθαπτος Πάτροκλος, τοῦ δ' οὐκ ἐπιλήσομαι, ὄφρ' ἂν ἔγωγε ζωὸς ἐν Ἀργείοισι φιλοπτολέμοισι μετείω», ἢ καθ' ἑτέραν γραφὴν «ζωοῖσι μετέω καί μοι φίλα γούνατ' ὀρώρῃ». τοῦτο δὲ οὐ παρέργως ἔρριπται, ἀλλὰ τὴν ταχύτητα τῶν ποδῶν ἐμφαίνει τοῦ ἥρωος. (v. 389 s.) Εἶτα διὰ θερμότητα φιλίας προστίθησι καὶ ὑπερβολήν, λέγων ἃ δὴ καὶ αὐτά, καθὰ καὶ τὰ προσεχῶς ῥηθέντα ἀνωτέρω, πᾶς ἂν εἴποι ἐπὶ ἀγαθῷ φίλῳ κειμένῳ «εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀΐδαο», ἤγουν ἐν Ἅιδου, «αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου», μονονουχὶ λέγων ὅτι, ὥσπερ ἐν τῷ ζῆν περιῆν ἐγὼ

ἁπάντων τὰ φιλικά, οὕτω δὴ καὶ θανών, κἂν γοῦν πάντες θανόντες λανθάνωνται, ἀλλ’ ἐγὼ οὐ τὸ τοῖς ἄλλοις ὅμοιον πείσομαι. Σημείωσαι δὲ ὅτι τὸ μὴ θελῆσαι τὸν Ἀχιλλέα πειραθῆναι τοῦ τείχους τῷ φαινομένῳ μὲν διὰ Πάτροκλον, ὡς ἐρρέθη, γίνεται, ἵνα ταχὺ τῇ ταφῇ ὁσιωθῇ, ἀληθῶς δὲ οὐκ ἐθέλει Ὅμηρος τοῦτο ποιῆσαι, ἵνα μὴ ἀχρεῖον δείξῃ τὸν κάματον τῷ Ἀχιλλεῖ. οὐ γὰρ ἦν γενναῖόν τι δρᾶσαι αὐτόν, ὅτι μηδὲ πέπρωτο τὴν Τροίαν ὑπ’ αὐτοῦ ἁλῶναι. (v. 386) Ὅρα δὲ καὶ ὡς ἐκαλλώπισε ῥυθμῷ προπαροξυτόνων λέξεων τὰ κατὰ Πάτροκλον, εἰπὼν «κεῖται πὰρ νήεσσι νέκυς ἄκλαυτος ἄθαπτος Πάτροκλος». ἔχει δὲ κάλλος πρὸ τούτων καὶ τὰ ἐν τέλει στίχων δύο πάρισα τὸ «τοῦδε πεσόντος», καὶ «Ἕκτορος οὐκέτ’ ἐόντος», ἃ καὶ ἰσοδύναμά εἰσι. (v. 388) Τὸ δὲ «μετείω» ἀντὶ τοῦ σύνειμι. πρωτότυπον δὲ αὐτοῦ τὸ μετέω, ἐξ οὗ μετέῃσι, τὸ συνυπάρχει. Τὸ δὲ «ὀρώρῃ» ὅμοιόν ἐστι καὶ νῦν τῷ «ὀλώλῃ». ὡς γὰρ ἐκεῖνο παρακείμενός ἐστιν ὑποτακτικὸς ἐκ τοῦ ὄλωλα, οὕτω καὶ τοῦτο ἐκ τοῦ ὄρωρα.

4.636 δῆλον δὲ καὶ ὅτι οὐ παντὶ ζῶντι ὄρωρε γούνατα. διὸ καὶ ἐνταῦθα τῷ ζωοῖς μετεῖναι προσετέθη τὸ καὶ ἐρρωμένως ἔχειν τῶν γονάτων. (v. 391 s.) Ὅτι δεικνύων ὁ ποιητὴς ταῖς ψυχικαῖς εἰσάγαν διαχύσεσι παρέπεσθαι, ὡς εἰκός, καὶ τὸ ἐθέλειν ᾄδειν, ὅτε καὶ λέγοι ἂν ὁ Πλάτων ὡς οὐδὲν ζῷον λυπούμενον ᾄδει, πλάττει τὸν Ἀχιλλέα ἐνταῦθα δι’ ὑπερβολὴν τοῦ χαίρειν λέγοντα «νῦν δ’ ἄγ’ ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν νηυσὶν ἐπὶ γλαφυρῇσι νεώμεθα», ἤγουν εἰς νῆας ἐπανέλθωμεν. (v. 393—4) Καὶ εὐθὺς μέλος σχεδιάζει αὐτὸς οἷα μουσικὸς ὤν, ὡς καὶ ἐν τῇ ῥαψῳδίᾳ ἔγνωσται τῶν Λιτῶν, καὶ ἀναμέλπει παιήονα, τουτέστι παιᾶνα τοιοῦτον [σεμνῶς ὁλοδάκτυλον] «ἠράμεθα μέγα κῦδος, ἐπέφνομεν Ἕκτορα δῖον, ᾧ Τρῶες κατὰ ἄστυ θεῷ ὣς εὐχετόωντο». καὶ θαυμαστέον τῆς συντομίας τὸ μέλος, οἷα ἐπιτμηθὲν οὐ μόνον διὰ τὸ αὐθωρὸν σχεδιασθῆναι, ἀλλὰ καὶ ὡς ἂν εἴη τῷ πανελληνίῳ ἐφικτόν τε καὶ εὐπερίληπτον. τινὲς δὲ ἠθέλησαν αὐτὸ ἀθετῆσαι ὡς παρὰ τὴν ἀξίαν τοῦ Ἀχιλλέως ὄν. ὁ γὰρ ἐξευτελίσαι φθάσας ἀλλαχοῦ τὸν Ἕκτορα εἰς τοσοῦτον ὡς δοκεῖν εὐκαταφρόνητον εἶναι καὶ τῷ Πατρόκλῳ, πῶς νῦν μέγα κῦδος ἀρέσθαι φησί, τὸν τοιοῦτον ἀνελών; ἔστι δὲ πρὸς τοῦτο εἰπεῖν ὅτι οὐχ’ ὡς τῷ ὄντι μεγίστου ὄντος τοῦ Ἕκτορος ᾄδει ταῦτα ὁ Ἀχιλλεύς, ἀλλ’ ἐπὶ ἐρεθισμῷ καὶ λύπῃ τῶν ἀκροωμένων πολεμίων, ὡς τοῦ δήμου τῶν Τρώων θεὸν ἡγουμένων τὸν Ἕκτορα, καθὰ καὶ αὐτὸς νῦν λέγει καὶ ἡ Ἑκάβη δὲ μετ’ ὀλίγα δηλοῖ ἐν τῷ εἰπεῖν, ὅτι οἱ Τρῶες ὡς θεὸν ἐδεξιοῦντο τὸν Ἕκτορα. καὶ ἄλλως δὲ ἡ κατὰ τὴν Τραγῳδίαν παρ’ ἐλπίδας χαρὰ τοιαῦτα πείθει ἐξ αὐτοσχεδίου ᾄδειν τὸν ἥρωα. [Ἔστι δὲ οὐδ’ ἀληθῶς ᾠδὴ πρὸς ἀκρίβειαν ὁ ἐνταῦθα παιήων, ἀλλ’ ὡς οἷον ἐπῳδός τις.

4.637 στίχῳ γὰρ ἑνὶ σφίγγεται πάνυ γοργῶς δυσὶ κόμμασι διοικουμένῳ, ὡς εἶναι νοεῖν ὅτι πρὸ τοῦ ἑνὸς τούτου ἔπους ἄλλων τινῶν ᾀδομένων ἐννοιῶν εἶτα ἐπήγετο αὐτὸς νόμῳ ἐπῳδοῦ. εἰ δὲ σιωπᾷ Ὅμηρος τὰς πρὸ τοῦ ἐπῳδοῦ ᾠδάς, αἷς αὐτὸς ἐπιφέρεται, τί καινόν, εἴγε καὶ τὸν παιήονα οὐκ ἐπισημαίνεται, εἴπερ ὑπὸ τῶν Ἀχαιῶν ᾔσθη. ὡς μὲν γὰρ ἐνέδωκεν αὐτὸν ὁ Ἀχιλλεύς, ἔγνωμεν, εἰ δέ γε οἱ Ἀχαιοὶ αὐτὸν ἔμελψαν, οὐ παρεσημήνατο. ἐν τούτοις δὲ ἀναμνηστέον καὶ ὅτι τοῦ ᾄδειν μὲν καὶ μέλπειν οὐ δοκεῖ διαφορὰ εἶναι. τὸ μέντοι ψάλλειν ἀμφοῖν διαφέρει, καθὰ δηλοῖ ὁ φράσας τὸ «παρὰ τὸ δεῖπνον ᾄδουσι καὶ ψάλλουσιν αἱ παλλακαὶ τῷ βασιλεῖ, καὶ μία μὲν ἐξάρχει, αἱ δὲ ἄλλαι ἀθρόως ᾄδουσιν». ἔστι δὲ ᾠδὴ μὲν ἡ παρὰ τὸ ᾄδειν λόγος μεμελισμένος, ψάλλειν δὲ τὸ δι’ ὀργάνων μουσικῶν καὶ μάλιστα τοῦ ἰδίως λεγομένου ψαλτηρίου. Ἐνταῦθα σημείωσαι καὶ ὅτι, καθὰ στενοῦνται παντελῶς αἱ κατὰ τὸ πλῆθος ἠθοποιΐαι, ὡς μυριαχοῦ ἔγνωσται, οὕτω πολλῷ πλέον καὶ ὁ παιήων, ὃς παντὶ τῷ στρατῷ ἐπετάχθη ᾄδεσθαι. ἓν γὰρ ἔπος περαίνει αὐτόν. εἰ δὲ καὶ τὰ σκόλια βραχυλογοῦνται, ἄλλος ὁ περὶ ἐκείνων λόγος.] Ὅτι δὲ παιήων οὐ μόνον ὁ εἰς Ἀπόλλωνα ὕμνος, ἀλλὰ καὶ ὁ ἁπλῶς ἐπὶ καταπαύσει κακῶν ἢ ὄντων ἢ ἐλπιζομένων, προδεδήλωται, καὶ ὅτι καὶ Ἀπόλλωνός ἐστιν ἐπίθετον, καὶ κύριον δὲ ὄνομα τοῦ παρὰ θεοῖς ἰατροῦ, καὶ ὅτι ὁ ᾀδόμενος παιήων καὶ παιὰν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐλέγετο. εὕρημα δέ, φασίν, Ἀπόλλωνος ὁ τοιοῦτος παιάν, ἐξευρεθεὶς μετὰ τὴν νίκην τοῦ ἐν Πυθοῖ δράκοντος, ἐξ οὗ καὶ Πύθιος δοκεῖ λέγεσθαι. Ἰστέον δὲ ὅτι προϋπάρχει μὲν ῥῆμα παίω, τὸ θεραπεύω, ἐξ αὐτοῦ δὲ γίνεται Παιάων ὄνομα ὡς Μαχάων, καὶ δηλοῖ τὸν θεραπευτικόν. τοῦτο δὲ τρέψαν μὲν τὸ α εἰς η ποιεῖ τὸν Παιήονα. εἰ δὲ συγκοπῇ, τοῦ ω μὲν συγκοπέντος, γίνεται ἐξ αὐτοῦ Παιάν, ὡς Ἀλκμάων Ἀλκμάν, καὶ Ἀμυθάων Ἀμυθάν παρὰ Πινδάρῳ.

4.638 τοῦ δὲ α συγκοπέντος, γίνεται ὁ Παιών, ὡς τὸ «Ἀσκληπιοῦ Παιῶνος εὐμενοῦς τυχών». (v. 393) Σημείωσαι δὲ καὶ ὅτι τῷ μὲν ἐχθρῷ Ἀχιλλεῖ δέδωκεν ὁ ποιητὴς ἐνταῦθα εἰπεῖν μέγα κῦδος τὸ πεσεῖν τὸν δῖον Ἕκτορα, τῇ δὲ φίλῃ μητρὶ ἐπὶ τῷ υἱῷ καὶ τρίτην ἐπιφιλοτιμεῖται λέξιν, ἐν οἷς ἐρεῖ μάλα μέγα κῦδος εἶναι τοῖς Τρωσὶ τὸν υἱόν. (v. 394) Ἔνθα καὶ ὅρα ὅπως τὸ Ἀχίλλειον ἔπος τὸ «ᾧ Τρῶες κατὰ ἄστυ θεῷ ὣς εὔχοντο» ἡ γραῦς εἰς κόμμα κατέκλεισεν, εἰποῦσα «οἵ σε θεὸν ὣς δειδέχατο», τουτέστιν ἐδεξιοῦντο. αἰτία δὲ τῆς τοιαύτης εὐχῆς τὸ «δῖον Ἕκτορα». ὡς γὰρ τὸ ἁπλῶς θεῖον εἰς θεοῦ μοῖραν ἡ κοινὴ θερμότης ἀνῆγεν, οὕτω καὶ τὸ δῖον διὰ τὸ παρωνομάσθαι ἀπὸ Διός, διὸ καὶ προσκυνητὸν ἦν ἐκείνοις τὸ δῖον ὅσα καὶ δαίμων. Τὸ δὲ «ἠράμεθα» καὶ «ἐπέφνομεν» δοκεῖ μὲν ἐκ φιλαλληλίας ᾄδεσθαι, κοινουμένου Ἀχιλλέως τὴν νίκην καὶ τοῖς λοιποῖς Ἀχαιοῖς, εἴπερ εἰ μὴ Ἀχιλλεὺς ἀνένευεν, οὐκ ἂν ἀφῆκαν πεσεῖν ὑπ' αὐτῷ τὸν Ἕκτορα, βελέμνοις πικροῖς καταρρίψαντες. ἔχει δέ τι καὶ μεγαλοφροσύνης, οἷα τοῦ Ἀχιλλέως ἑαυτὸν εἶναι τιθεμένου τοὺς πάντας Ἀχαιοὺς καὶ διὰ τοῦτο μὴ θελήσαντος εἰπεῖν, ὡς μέγα κῦδος ἠράμην καὶ ἔπεφνον, ἀλλ' ἠράμεθα καὶ ἐπέφνομεν, ἐγὼ οἱ πάντες Ἀχαιοὶ δηλαδή. πρέπει δὲ τοιούτῳ στενῷ μέλει καὶ τὸ ἀσύνδετον, τὸ «ἠράμεθα, ἐπέφνομεν», οὗπερ ὁ ἐνεστὼς τριπαθής· ἔπαθε γὰρ διπλασιασμὸν, γενόμενος ἐκ δισυλλάβου τοῦ φένω, φεφένω, καὶ ἀντιστοιχίαν δασέος ἐν τῷ πεφένω, καὶ συγκοπὴν ἐν τῷ πέφνω. [Ἰστέον δὲ ὅτι τὸ «ἠράμεθα μέγα κῦδος» καὶ ἑξῆς, ἐχρησίμευσέ ποτε καὶ τῷ τῆς ἱστορίας Τίμωνι, ὃς ἐν τῷ συμπίνειν Λακύδῃ κατὰ τὴν Ἀθηναίου ἱστορίαν νικήσας καὶ ἰδὼν ἐκεῖνον πρότερον ἀπιόντα ἐκ τοῦ συμποσίου ἔφη τὸ «ἠράμεθα μέγα κῦδος» καὶ ἑξῆς ὅλον τὸν στίχον.

4.639 τῇ δ' ὑστεραίᾳ, φασί, Τίμωνος προαπίοντος ἐκ τοῦ πότου διὰ τὸ μὴ δυνηθῆναι ἐκπιεῖν τὴν προποθεῖσαν αὐτῷ κύλικα, ὁ νικήσας Λακύδης ἐπιλεξάμενος τῶν Ὁμήρου ἔφη τὸ «δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσιν». ἀλλὰ ταῦτα μὲν ἀκέραια Ὁμηρικά, καθὰ καὶ ἄλλα πάνυ μυρία ὡς ἑκάστοτε χρηστὰ γίνονται. ὡς δὲ καὶ εἰς κέντρωνας χρησιμεύει τὰ τοῦ Ὁμήρου, οἴδασιν οἱ τοιούτοις περιτυχόντες. ὅτι δὲ καὶ τοῖς παρῳδοῖς χορηγοῦσιν ἁδρὰν συμβολὴν, οὐδ' αὐτὸ ἄδηλον. καί εἰσι μὲν ἀμύθητα καὶ τὰ τοιαῦτα, λάμπει δὲ ἐν αὐτοῖς καὶ τὸ «τοῖς δ' ὁ κόλαξ πάμπρωτος ὑφαίνειν ἤρξατο μῶκον», ἤγουν μωκίαν καὶ χλεύην, παρῳδηθὲν ἐκ τοῦ «τοῖς δ' ὁ γέρων πάμπρωτος ὑφαίνειν ἤρξατο μῆτιν».] (v. 392) Ὅτι ἐπὶ ἀψύχου τοῦ Ἕκτορος τὸ ἄγειν ἐνταῦθα κεῖται. φησὶ γὰρ «τόνδε δ' ἄγωμεν». οὕτω καὶ ἐν τῇ ψῖ ῥαψῳδίᾳ ἡ λέξις εὕρηται ἐν τῷ «ὕλην ἄγειν». ἔστι δ' ἐνταῦθα τὸ μὲν ἄγωμεν ἀντὶ τοῦ ἀπάγωμεν, τὸ δὲ ὕλην ἄγειν δύναται καὶ ἀντὶ τοῦ κλᾶν καὶ θραύειν εἶναι κατὰ τὸ «νέα μέν μοι ἔαξε Ποσειδῶν». τὸ δὲ τοιοῦτον ἄγειν καὶ ἀγνύειν λέγεται. (v. 395) Ὅτι κατὰ τοῦ ἑλκυσμοῦ τοῦ Ἕκτορος γνωματεύων ὁ ποιητὴς ὡς οὐκ εὖ γενομένου αὐτὸν μὲν δῖον καλεῖ, τὰ δὲ εἰς αὐτὸν ἔργα ἀεικέα, ὅ ἐστιν ἀπρεπῆ, εἰ καί τινες αἰκιστικὰ εἶπον διὰ τὸ κατωτέρω εἰπεῖν ἐπὶ Ἕκτορος τὸ «ἀεικισθῆναι». (v. 395—404) Τὸν τρόπον οὖν ἐκτιθέμενος τῆς ἑλκύσεως λέγει ὅτι ταῦτα ἔφη Ἀχιλλεὺς καὶ ἅμα Ἕκτορος «ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε ἐς σφυρὸν ἐκ πτέρνης, βοέους δ' ἐξῆπτεν ἱμάντας, ἐκ δίφροιο δ' ἔδησε, κάρη δ' ἕλκεσθαι ἔασεν, ἐς δίφρον δ' ἀναβὰς ἀνά τε κλυτὰ τεύχε' ἀείρας», τὰ τοῦ Ἕκτορος δηλαδή, ἅπερ ἐκεῖνος ἐκ Πατρόκλου σκυλεύσας εἶχε, «μάστιξεν δ' ἐλάαν· τὼ δ' οὐκ ἄκοντε πετέσθην.

4.640 τοῦ δ' ἦν ἑλκομένοιο κονίσαλος, ἀμφὶ δὲ χαῖται κυάνεαι πίμπλαντο» τοῦ τοιούτου θερινοῦ κονισάλου, ἢ πίλναντο, τουτέστιν ἐπέλαζον, τῷ κονισάλῳ, «κάρη δ' ἅπαν», ἤγουν ὅλον, «ἐν

κονίῃσι κεῖτο πάρος χαρίεν, τότε δὲ Ζεὺς δυσμενέεσσι δῶκεν ἀεικίσσασθαι», ἀφ’ οὗ ἐκβολῇ τοῦ ε καὶ συναιρέσει τοῦ α καὶ ι γίνεται τὸ αἰκίσασθαι. μνηστέον δ’ ἐνταῦθα ὅτι τὸ παρ’ Εὐριπίδῃ ἁρμάτειον μέλος ἐξηγοῦνται μὲν καὶ ἄλλως οἱ παλαιοί, φασὶ δὲ εἶναι αὐτὸ καὶ τὸ ἐπὶ τῷ ῥηθέντι ἑλκυσμῷ τοῦ Ἕκτορος γενόμενον μέλος ἀπὸ τοῦ θρήνου τῶν Τρῳάδων. (v. 397) Ὅρα δὲ καὶ ὡς φανερῶς ἡρμήνευσεν ἐνταῦθα τὰ σφυρά, πέρας φράσας τῶν ὄπισθε τοῦ ποδὸς τενόντων, κάτω μὲν τὴν πτέρναν, ἄνω δὲ τὰ σφυρά. Ἱμάντας δὲ στρατιωτικῶς νοητέον ἔχειν καὶ τὸν Ἀχιλλέα, καθὰ καὶ πρὸ ὀλίγου εἶχέ τις ἕτερος. (v. 398) Σημείωσαι δὲ καὶ ὅτι μόνη ἡ κεφαλὴ τοῦ Ἕκτορος εἰάθη ἕλκεσθαι, ὡς τοῦ λοιποῦ σώματος ἐκ τοῦ δίφρου δεδεμένου κατὰ τὸν ποιητήν. ἴσως γὰρ ὁ Ἀχιλλεὺς ἐκεῖνο ταμιεύεται κύνεσί τε καὶ οἰωνοῖς, τυχὸν δὲ καὶ μεταμέλου τινὸς ἤδη ἄρχεται, καὶ οὐ θέλει διασπαράξαι μελεϊστὶ τὸν νεκρόν, ἵνα δῶρα λαβὼν λύσηται. (v. 399) Δῆλον δὲ καὶ νῦν ὅτι τε δίφρον λέγει τὸν ἐπὶ τοῦ ἅρματος κορυφαῖον τόπον, ἐφ’ οὗ παραιβάτης καὶ ὁ ἡνίοχος, καὶ ὅτι ὑψηλὸς ἦν, ὡς δηλοῖ τὸ «ἐς δίφρον ἀναβάς», καὶ τὸ «ἀνά τε κλυτὰ τεύχε’ ἀείρας». ἀναεῖραι γὰρ τὸ ἀνυψῶσαι καὶ ἄνω ἆραι. (v. 400) Ἐν δὲ τῷ «μάστιξε δ’ ἐλάαν» λείπει τὸ ἵππους. Καὶ σημείωσαι τὴν ἔλλειψιν, ἣν ἔπαθεν ὁ στίχος, οἷα τοῦ ποιητοῦ μὴ ἀκριβοῦντος διὰ τὸ συνεναγώνιον.

4.641 διὸ προϊὼν εἰς ἄδειαν ἐρεῖ τὸ σιγηθέν, εἰπὼν «ταχέες δέ μιν ἵπποι ἕλκον». (v. 401—3) Τὸ δὲ «ἀμφὶ χαῖται κυάνεαι πίμπλαντο» εὐθὺς παραφράζων εἰς τὸ σαφές φησι «κάρη δ’ ἅπαν ἐν κονίῃσι κεῖτο», κατωτέρω δὲ σαφέστερον λέγει «ὣς τοῦ μὲν κεκόνιτο κάρη ἅπαν». ἐν τούτοις δὲ καὶ κυανότριχα τὸν Ἕκτορα ἱστόρησεν. οὐ γὰρ ἦν χρυσοκόμης κατὰ τὸν Ἀχιλλέα, ὃς ξανθὴν ἔφερε κόμην, οὐδὲ κατὰ τὸν ἀδελφὸν Πάριν κόμην εἶχεν ἐπαφρόδιτον. καὶ ὅμως περιᾴδεται κόμη Ἑκτόρειος, ἡ περικεχυμένη, φασίν, ἧς καὶ Λυκόφρων μέμνηται. [Ἰστέον δὲ ὅτι τοῦ κόμη, ἔθειρα, θρίξ, χαίτη, πολυωνύμῳ συστοιχίᾳ περιειλημμένων, τὰ μὲν ἐκ τῶν ἄλλων τριῶν ὁποσοῦν παράγωγα τέτριπται, τοῦ δὲ θρίξ τριχός ὅτι παράγωγον ἡ τριχίς, οὐ πολλὴ χρῆσις. Μέμνηται δ’ αὐτῆς καὶ ὁ Κωμικὸς ἐν τῷ «αἱ τριχίδες εἰ γενοίαθ’ ἑκατὸν τοὖβολοῦ». ἡ δ’ αὐτὴ καὶ τριχία ἐλέγετο, ἥν φασιν ἥδεσθαι ὀρχήσει καὶ ᾠδῇ, καὶ ἀκούουσαν ἀναπηδᾶν ἐκ τῆς θαλάσσης. καὶ φαίνεται καὶ νῦν κρότοις ἁλισκομένη. ὅτι δὲ παρὰ τὸ θρίξ καὶ ἡ θρίσσα γίνεται, δῆλόν ἐστιν. ἡ δὲ χαίτη καινῶς καὶ ἐπὶ φύλλων ἀμπέλου τίθεται. περιφέρεται γοῦν χρῆσις Ἀρχεστράτου αὕτη «ἡνίκα δ’ ἂν δύνοντος ἐν οὐρανῷ Ὠρίωνος μήτηρ οἰνοφόρου βότρυος χαίτην ἀποβάλλει», ὅπερ ἐστὶν ἡνίκα ἡ ἄμπελος καταρριπτεῖ τὰ φύλλα.] (v. 403) Τὸ δὲ «χαρίεν» ἀναλόγως καὶ ἐνταῦθα παροξύνεται ὡς οὐδέτερον. τὸ γὰρ προπαροξύτονον ἐπίρρημά ἐστιν ἀντὶ τοῦ χαριέντως λαμβανόμενον. (v. 406) Ὅτι μετ’ ὀλίγα μὲν ὁ ποιητὴς ἄλλως μονῳδῶς θρηνοῦντας ποιήσει τόν τε Πρίαμον καὶ τὴν Ἑκάβην, νῦν δὲ γοργῶς ἐπιτρέχων φησίν, ὡς ἡ μήτηρ ἔτιλλε «κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην τηλόσε», ὡς οἷον συνατιμοῦσα τὴν ἑαυτῆς κεφαλὴν τῇ τοῦ υἱοῦ Ἕκτορος.

4.642 (v. 407—11) «Κώκυσε δὲ μάλα μέγα παῖδ’ ἐσιδοῦσα· ᾤμωξε δ’ ἐλεεινὰ πατὴρ φίλος, ἀμφὶ δὲ λαοὶ κωκυτῷ τ’ εἴχοντο καὶ οἰμωγῇ κατὰ ἄστυ. τῷ δὲ μάλιστ’ ἂρ ἔην ἐναλίγκιον, ὡς εἰ ἅπασα Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατάκρης», τουτέστιν ὡς ἐὰν ἡ πᾶσα Τροία πυρὶ καίοιτο διόλου, ἵνα ᾖ μέρος ἓν λόγου τὸ κατάκρης, ἢ κατὰ τῆς ἀκροπόλεως, ἐν δυσὶ λόγου μέρεσιν. (v. 410) Ἐλλιπῶς δὲ ἔχει τὸ «τῷ δὲ μάλιστα ἔνη ἐναλίγκιον». λείπει γὰρ τὸ θρηνῴδημα ἤ τι τοιοῦτον, ἵνα λέγῃ ὅτι ὅμοιον ἦν τὸ θρηνῴδημα, ὡς εἴπερ ἐπολιορκήθη ἡ Ἴλιος. τοῦτο δὲ ἀκριβῶς εἴρηται διὰ τὸ τὸν Ἕκτορα τὸ πᾶν ἐν τῇ Τροίᾳ εἶναι. διὸ καὶ Ἀχιλλεὺς πρὸ βραχέων εἶπεν ὡς «κακὰ πολλὰ ἔρεξε» ζῶν ὁ Ἕκτωρ, «ὅσα οὐ σύμπαντες οἱ ἄλλοι». (v. 406) Λιπαρὰ δὲ καλύπτρα ἤτοι τὸ ἐν ἄλλοις κρήδεμνον, ἡ καὶ λευκὴ καὶ λεία, ὡς ἀλλαχοῦ εἴρηται. (v. 407—8) Τὸ δὲ κωκύειν καὶ τὸ οἰμώζειν καίρια ἐπὶ θρήνων, ὥσπερ καὶ τὰ ἐξ αὐτῶν ὁ κωκυτὸς καὶ ἡ οἰμωγή. (v. 407 s.) Ἐλεεινὰ δὲ οἰμώζει ὁ προκαλούμενος εἰς οἶκτον τὸν ἀκροατήν, ὃς εἰ μὴ ἐλεεῖ

ἀκούων, ἀνηλεὴς εἴη ἄν. Ὅτι δὲ τὸ ἐλεεινόν καὶ ἐλεινόν τρισυλλάβως ἐλέγετο, παραδεδώκασιν οἱ Τεχνικοί. [(v. 407) Ἰστέον δὲ ὅτι οὐδεμία ὁμοιότης πρὸς τὸ κωκύειν τοῦ κοκκύζειν. ἐκεῖνο γὰρ ὠνοματοπεποιημένη ἐστὶν ὀρνέου φωνή, ὃ καὶ ἐξ αὐτοῦ κόκκυξ ὠνόμασται.] (v. 411) Ὀφρυόεσσα δὲ ἡ ἐπὶ ὀφρυώδους τόπου κειμένη καὶ διὰ τοῦτο καὶ ἠνεμόεσσα. ὀφρύες γὰρ αἱ ὀρειναὶ ἐξοχαί, ὡς καὶ ἐν τῇ Βοιωτίᾳ εἴρηται. Τὸ δὲ «πυρὶ σμύχεσθαι», ὅ ἐστι καίεσθαι, πολύχρηστόν ἐστι. γίνεται δὲ ἐξ αὐτοῦ καὶ τὸ σμυγερόν. δοκεῖ δὲ τοῦ σμύχειν προϋπάρχειν τὸ σμῶ, οὐκ ἐξ οὗ κινεῖται τὸ σμήχω, ὅ ἐστι καθαίρω, ἀλλ' ὅθεν τὸ σμῶξαι, ἤγουν πλῆξαι, καὶ ἡ ἐξ αὐτοῦ, ὥς που προηρμήνευται, σμῶδιγξ, ἵνα ᾖ, ὥσπερ ψῶ ψύχω, τρῶ τρύχω, οὕτω καὶ σμῶ σμύχω τὸ οἱονεὶ πλήττω.

4.643 οὐδεὶς γὰρ ἀντειπεῖν ἔχει ὡς χειρίστη πληγῶν ἐστι καὶ ὁ πανώλεθρος ἐμπρησμός. ὅτε μέντοι οὐ μέγα κακὸν καί, ὡς εἰπεῖν, λαμπρὸν τὸ σμύχειν δηλοῖ, τότε μετὰ τῆς ὑπο προθέσεως ὑποσμύχειν λέγεται, ὡς τέως μὲν ἐνδομυχοῦντος τοῦ κακοῦ, δυναμένου δὲ ἀναλάμψαι. (v. 412—8) Ὅτι τὸν γέροντα Πρίαμον μόλις ἔσχον οἱ λαοὶ «ἀσχαλόωντα ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων», ὅτε τὸν υἱὸν εἶδεν ἑλκόμενον, «πάντας δ' ἐλιτάνευε κυλινδόμενος κατὰ κόπρον, ἐξονομακλήδην ὀνομάζων ἄνδρα ἕκαστον· σχέσθε φίλοι, καί μ' οἶον ἐάσατε, κηδόμενον περ, ἐξελθόντα πόληος ἱκέσθαι ἐπὶ νῆας Ἀχαιῶν· λίσσομαι ἀνέρα τοῦτον ἀτάσθαλον ὀβριμοεργόν», καὶ τὰ ἑξῆς. Καὶ ὅρα κἀνταῦθα δύο ἐλλείψεις, μίαν μὲν ἐν τῷ «σχέσθε», λείπει γὰρ τὸ εἰπών ἢ τοιοῦτόν τι, ἵνα λέγῃ, ὅτι πάντας ἐλιτάνευε, λέγων «σχέσθε φίλοι», καὶ ἑξῆς, ἑτέραν δὲ ἐν τῷ «λίσσομαι», λείπει γὰρ σύνδεσμος αἰτιολογικός, οἷον· ὄφρα λίσσομαι ἢ ἕτερόν τι ὅμοιον. (v. 415) Τὸ δὲ «ἐξονομακλήδην ὀνομάζων» πρὸς διαστολὴν εἴρηται τοῦ πολλαχοῦ λεγομένου «ἔκ τ' ὀνόμαζε», καὶ τοῦ «πατρόθεν ἐκ γενεῆς ὀνομάζων». οὐ γὰρ ὥσπερ ἐκεῖ, οὕτω κἀνταῦθα τὸ ὀνομάζειν, ἀλλὰ τὸ ἐκ τῶν κυρίων ὀνομάτων καλεῖν, οἷον· σχέσθε ὦ Ἀντῆνορ, καὶ ὦ Πάνθοε καὶ Θυμοῖτα καὶ Λάμπε καὶ Κλυτίε καὶ οἱ λοιποὶ δημογέροντες. καὶ ταῦτα μὲν ἐν τούτοις. (v. 419—28) Τοῦ δὲ λοιποῦ ὁ ποιητὴς νοεῖν ὑποβάλλων τεχνικῶς, ποίοις ἂν ὁ βασιλεὺς ἐχρήσατο νοήμασιν ἐκδραμὼν τῆς πόλεως εἰς ἱκετείαν Ἀχιλλέως ὑπὲρ τοῦ υἱοῦ, πλάττει τὸν γέροντα ὡς ἐν ἠθοποιΐᾳ λέγοντα ταῦτα «ἤν πως ἡλικίην αἰδέσσεται ἠδ' ἐλεήσῃ γῆρας.

4.644 καὶ δέ νυ», ἤγουν καὶ δή, «τῷ γε, πατὴρ τοιόσδε τέτυκται, Πηλεύς, ὅς μιν ἔτικτε καὶ ἔτρεφε πῆμα γενέσθαι Τρωσί, μάλιστα δ' ἐμοὶ περὶ πάντων ἄλγεα θῆκεν», ἢ ἄλγε' ἔθηκε, «τόσσους γάρ μοι παῖδας ἀπέκτανε τηλεθάοντας· τῶν πάντων οὐ τόσσον ὀδύρομαι ἀχνύμενός περ, ὡς ἑνός, οὗ μ' ἄχος ὀξὺ κατοίσεται Ἄϊδος εἴσω, Ἕκτορος. ὡς ὤφελε θανέειν ἐν χερσὶν ἐμῇσι. τῷ κεν», ἤγουν οὕτως, «ἂν κορεσσάμεθα κλαίοντε τε μυρομένω τε, μήτηρ θ' ἥ μιν ἔτικτε δυσάμμορος ἠδ' ἐγὼ αὐτός». Ταῦτα τὰ τοῦ Πριάμου, ἅπερ ἂν ὁ γέρων σχηματίσας κατὰ ἀποστροφὴν εἶχεν εἰπεῖν καὶ πρὸς Ἀχιλλέα, εἴπερ ἐξῆλθεν εἰς αὐτόν. (v. 429) Νῦν δὲ ἐπισχεθεὶς αὐτὸς μὲν «ὣς ἔφατο κλαίων, ἐπὶ δ' ἐστενάχοντο πολῖται», ὃ παρῴδηται ἐκ τοῦ «ἐπὶ δ' ἐστενάχοντο γέροντες», καὶ «ἐπὶ δ' ἐστενάχοντο γυναῖκες». (v. 419 s.) Ἰστέον δὲ ὅτι ἡλικίαν τὴν γεροντικὴν ὁ Πρίαμος ἔφη τὴν διὰ τοῦτο ὁμηλικίην τῷ Πηλεῖ, καθ' ἣν ὁ Ἕκτωρ αἰδέσσεται τὸν γέροντα ὡς ὅμοιον τῷ πατρί. (v. 417 s.) Τὸ δὲ «ἱκέσθαι ἐπὶ νῆας» δύναται καὶ ἀντὶ τοῦ ἱκετεῦσαι εἶναι. διὸ καὶ ἐπάγει πρὸς σαφήνειαν τὸ «λίσσομαι ἀνέρα τοῦτον». (v. 422) Τὸ δὲ «ἄλγε' ἔθηκεν», εἰ μὲν μὴ προσέκειτο, οὐδὲν εἰς ἀπαρτισμὸν ἐννοίας ἔβλαπτε, τεθὲν δὲ εἰς ἀναπλήρωσιν στίχου καινότερον ἐσχημάτισται. τὸ γὰρ ἀκόλουθόν ἐστιν ἄλγεα θεῖναι, ὡς πρὸς τὸ πῆμα γενέσθαι, ἵνα ᾖν «ἔτρεφε πῆμα γενέσθαι Τρωσί, μάλιστα δ' ἐμοὶ ἄλγεα θεῖναι». Ἐνταῦθα δὲ σημείωσαι ὅτι, εἴ τις λογίσεται ὡς πρὸ μικροῦ ὁ Ἀχιλλεὺς οὖλος ἀνὴρ ὑπὸ Πριάμου ὠνόμασται, προσλογίσεται δὲ καὶ νῦν ῥηθὲν τὸ «ἄλγε' ἔθηκε», νοήσοι ἂν ἀστείως τὴν αὐτὴν ἐνέργειαν τοῦ τε Ἀχιλλέως καὶ τῆς αὐτοῦ μήνιδος. μῆνίς τε γὰρ Ἀχιλλέως οὐλομένη ἄλγε' ἔθηκε, καὶ Ἀχιλλεὺς οὖλος ἄλγε' ἔθηκεν, ἐπίτηδες τοῦ ποιητοῦ ἐκεῖ μὲν στίχῳ ἑνὶ ἐνθεμένου τὸ ὅλον νόημα, ἐν τούτοις δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μερίσαντος ἑτέρῳ μὲν τόπῳ τὸ «οὖλος», ἑτέρῳ δὲ τὸ «ἄλγε' ἔθηκε». (v. 423) Τὸ δὲ «τηλεθάοντας» ὡς ἐπὶ φυτῶν εἶπεν, ὧν τὸ τηλεθάειν, ὅ ἐστι θαλέθειν καὶ θάλλειν. καὶ ἐνθυμητέον πρέπουσαν κἀνταῦθα τὴν ἀλλαχοῦ ῥηθεῖσαν τοῦ ἔρνους παραβολήν, [ἔτι δὲ καὶ τὸ «φίλον θάλος», ἤγουν θαλερὸν τέκνον, ὃ πρὸ ὀλίγων εἴρηται.

4.645 ] (v. 424 s.) Ὑπερτίθησι δὲ Πρίαμος τὸν Ἕκτορα πάντων τῶν ἑαυτοῦ παίδων διὰ τὸ πολὺ τῆς ἀνδρίας, δι' ἣν καὶ Ἀχιλλεὺς ἔφη ἐκεῖνον κακῶσαι τοὺς Ἀχαιοὺς «ὅσα οὐ σύμπαντες οἱ ἄλλοι». Τὸ δὲ «οὐ τόσσον ὀδύρομαι ἀχνύμενός περ» ἐπίτασιν ἄχους εἶναι δηλοῖ τὸ ὀδύρεσθαι. (v. 425) Ὀξὺ δὲ ἄχος ὡς ἐπί τινος ξίφους εἶπε. Τὸ δὲ «Ἄϊδος εἴσω» ταὐτόν ἐστι τῷ «εἰς Ἀΐδαο» καὶ τῷ «Ἄϊδόσδε». Ἀττικοὶ δὲ «εἰς Ἅιδου» φασί. (v. 427) Τὸ δὲ «κλαίοντέ τε μυρομένω τε» ταὐτολογικῶς ἔχει. (v. 428) Τὸ δὲ «δυσάμμορος» δεδιπλασίασται καὶ νῦν τῷ δυς καὶ τῷ α πρὸς ἐπίτασιν καὶ πολλῆς δυστυχίας ἔμφασιν. σεσημείωται δὲ παρ' Ὁμήρῳ καὶ τοῦτο ἐκ τριῶν συγκείμενον λέξεων, ὡς καὶ τὸ δυσαριστοτόκεια. σεμνότερον μέντοι ἐκεῖνο τούτου, εἰ καὶ ἄλλως ἀναιδεστέρα ἡ σύνθεσις ἐκεῖ. ἐνταῦθα γὰρ οὐ τοσοῦτον ἐκφαίνεται διά τε τὸ ἰσοδύναμον τοῦ δυς καὶ τοῦ α καὶ διὰ τὸ ὀλιγοσύλλαβον, καὶ διότι ταῦτα τὰ δύο ἰδίᾳ μὲν νοοῦνται, οὐδέποτε δὲ ἰδίᾳ ἐκφωνοῦνται. [Παρέοικε δὲ τούτῳ καὶ τὸ παναώριος, Ὁμηρικὸν ὂν καὶ αὐτό. Ἰστέον δὲ ὡς, εἰ καὶ Ὅμηρος μὴ φιλεῖ χρῆσθαι πολυσυνθέτοις λέξεσιν, ἀλλ' οἱ μετ' ἐκεῖνον ἐπλεόνασαν τοῖς τοιούτοις, καὶ μάλιστα οἱ Ἀττικοί. τῇ δὲ Κωμῳδίᾳ λίαν πάνυ τὸ τοιοῦτον ὑπερεσπούδασται. εὕρηται γοῦν παρὰ τῷ Κωμικῷ χωρίον ἔν τινι ἀσυνήθει κωμῳδίᾳ οὕτω συχνοσύνθετον, ὥστε ὁ καταρξάμενος αὐτὸ ἀναγνῶναι ἢ οὐ διΐξεται τὸ πᾶν ἀπνευστὶ ἢ ἀλλὰ πνευστιῶν αὐτοῦ ἀπαλλαγήσεται. Λέγεται δὲ Ἀνθέας ἄνθρωπος εὐφυὴς διονυσιάζειν φιλῶν, ὡς ἱστορεῖ Ἀθήναιος, πρῶτος εὑρεῖν τὴν διὰ συνθέτων ὀνομάτων ποίησιν.] Ὅλον δὲ τὸ ῥηθὲν χωρίον ἔχει καὶ αὐτὸ πολλὰ χρήσιμα παραπλεχθῆναι λόγῳ πεζῷ, οἷον τὸ «πάντας δ' ἐλιτάνευε» καὶ ἑξῆς ποιεῖ ῥηθῆναι εἰς ἄνδρα ὁμοίως τῷ Πριάμῳ παθαινόμενον.

4.646 (v. 416) Τὸ δὲ «σχέσθε φίλοι καί με οἶον ἐάσατε κηδόμενον περ» εἴποι ἂν ὁ ἐν λύπαις παρηγορίας φιλικὰς παραιτούμενος. (v. 418) Τὸ δὲ «λίσσομαι ἀνέρα τοῦτον» [ἢ κατά τινα τῶν ἀντιγράφων «λίσσωμ' ἀνέρα τοῦτον»] καὶ ἑξῆς ἐρεῖ ἄν ποτε γέρων ἱκετεύσων ἄγριον ἄνθρωπον. (v. 424 s.) Ὁ δὲ στερηθεὶς πολλῶν ἑταίρων ἢ ὅλως συνήθων καὶ ἑνὸς πάντων κρείττονος ἔχει προσφυῶς εἰπεῖν παρῳδήσας, ὡς βούλεται, τὸ «ὧν πάντων οὐ τόσον ὀδύρομαι» καὶ ἑξῆς. (v. 429) Ἐν δὲ τῷ «πολῖται» σημείωσαι ὡς ἡ μὲν πόλις συστέλλει τὸ δίχρονον, ὁ δὲ πολίτης ἐκτείνει αὐτό. (v. 431—6) Ὅτι Ἑκάβη οὕτως ἀδινοῦ ἐπὶ Ἕκτορι ἐξάρχει γόου ταῖς περὶ αὐτὴν «τέκνον, ἐγὼ δειλή· τί νυ βείομαι», ἤγουν τί δὴ βιώσομαι, «αἰνὰ παθοῦσα σεῦ ἀποτεθνειῶτος, ὅ», ἤγουν ὅς, «μοι νύκτας τε καὶ ἦμαρ εὐχωλὴ κατὰ ἄστυ πελέσκεο, πᾶσι τ' ὄνειαρ Τρωσί τε καὶ Τρῳῇσι κατὰ πτόλιν, οἵ σε θεὸν ὣς δειδέχατο· ἦ γάρ κέ σφι μάλα μέγα κῦδος ἔησθα ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει». ὃ γυναικικῶς ἡ γραῦς κατ' ἀφέλειαν προσέθετο. ἤρκει γὰρ ἄλλως καὶ δίχα τούτου τὸ «ζωὸς ἐών» εἰς τὸ ἐμφῆναι μηκέτι ζῆν τὸν Ἕκτορα. ἔστι δὲ ὅμως αὐτὸ σαφέστερον διὰ τοῦ «νῦν αὖ θάνατος» καὶ ἑξῆς. καὶ μὴν ἤρκει πρὸς σαφήνειαν καὶ τὸ «σεῦ ἀποτεθνεῶτος» ἀνωτέρω λεχθέν. [Ὅτι δὲ τοῦ μοῖρα παράγωγον καὶ Μοίριχος τὸ κύριον, δῆλον ἐκ τῶν παλαιῶν.] Ὅρα δὲ ὅτι ὁ μὲν γέρων ἀνωτέρω μετὰ καὶ σχήματος ἐλάλει κυλιόμενος εἰς γῆν, ἡ δὲ Ἑκάβη λαλεῖ μόνον, οἷα πρὸ ὀλίγου καὶ αὐτὴ ἀρκούντως ἑαυτὴν σχηματίσασα πρὸς πένθος, ὅτε τὸν πέπλον ἀνεῖχε καὶ τὸν μαζὸν ζῶντι τῷ Ἕκτορι. ὀλιγολαλεῖ δὲ κἀνταῦθα, ὡς καὶ πρὸ τούτου, οἷα γυνὴ μὴ λέγειν εὔπορος. (v. 431) Δειλὴ δὲ καὶ νῦν ἡ δειλαία, καθὰ καὶ ἐν τῷ «Πάτροκλέ μοι δειλῇ κεχαρισμένε».

4.647 Τὸ δὲ «βείομαι» ἄχρηστον λόγῳ πεζῷ. γίνεται δὲ ἀπὸ τοῦ βῶ βείω, ὡς χρῶ χρείω, θῶ θείω, ἢ καὶ ἄλλως ἀπὸ τοῦ βέω πλεονασμῷ τοῦ ι ὁμοίως τῷ σέω σείω. (v. 432) Τὸ δὲ «ἀποτεθνειῶτος» περισσὴν ἔχει τὴν πρόθεσιν, ὡς καὶ τὸ «κατατεθνειῶτος», ἢ καὶ ἄλλως, ἐκεῖ μὲν ἡ κατα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρόθεσις τὸν κάτω ἐν Ἅιδου τόπον δηλοῖ, ἐνταῦθα δὲ ἡ ἀπο τὸν μακρυσμὸν τῶν θνῃσκόντων. (v. 433) Εὐχωλὴ δὲ ἦν ὁ Ἕκτωρ τῇ μητρὶ καὶ τοῖς ἐν τῷ ἄστει, ἤγουν καύχημα, ἢ μᾶλλον σεμνότερον, κατὰ τὴν κοινῶς λεγομένην εὐχήν, ὡς καὶ Ἀχιλλεὺς ἐν τῷ ἑαυτοῦ παιήονι ἐδήλωσεν. ἐθέλει γὰρ ὁ εὐεργετούμενος ὡς οἷα θεῷ τῷ εὐεργετοῦντι εὔχεσθαι. διὸ καὶ ἐν Ὀδυσσείᾳ φησί τις πρὸς εὐεργέτην, ὅτι θεῷ ὣς εὐχοίμην ἄν σοι. καὶ πρὸ τούτων δέ που ηὔχοντό τινες «θεῶν Διῒ Νέστορί τε ἀνδρῶν». καὶ ἡ Ἑκάβη δὲ ἐρεῖ ὅτι θεὸν ὣς δειδέχατο τὸν Ἕκτορα οἱ ἐν τῇ Τροίᾳ, ἤγουν ἐδέχοντο, ἐδεξιοῦντο. τοῦτο δὲ καὶ ὁρισμός ἐστιν οἷον εὐχῆς ἵνα εἴη εὐχὴ θεοῦ δεξίωσις ὑπ' ἀνθρώπων, ὅθεν ἴσως καὶ εὐχὴ λέγεται οἱονεὶ εὐεχὴ διὰ τὸ τοῦ εὖ ἔχεσθαι, ἤτοι τοῦ ἀρίστου, τὸν τοῦτο ποιοῦντα. [Ἰστέον δὲ ὅτι τῆς εὐχωλῆς παρώνυμόν ἐστι παρὰ τῷ Δειπνοσοφιστῇ οἱ εὐχωλιμαῖοι, ὅπερ ἐστὶν Ἑλληνιστὶ ἑρμηνευτικὸν λέξεως Γαλατικῆς, λεγούσης σιλοδούρους τοὺς τῷ βασιλεῖ σφῶν συζῶντας καὶ συναποθνῄσκοντας καὶ τοῦτ' αὐτὸ εὐχομένους. ὅτι δὲ καὶ παρὰ Πέρσαις τοιούτου βίου ἦσαν ἄνθρωποι συναπολήγοντες τῇ βασιλικῇ ζωῇ, καὶ τέλος τῆς μετ' ἐκείνων τρυφῆς τὸ καὶ συναποθνῄσκειν ἔχοντες, αἱ ἱστορίαι δηλοῦσιν.

4.648 ] Ἰστέον δὲ ὅτι ἀπορούντων τινῶν, πῶς οὐκ ἔπαθέ τι μέγα κακὸν ἡ Ἑκάβη ὁμοίως τῇ Ἀνδρομάχῃ, ἐφ' οἷς ἑώρα τὸν Ἕκτορα πάσχοντα—ἡ γὰρ Ἀνδρομάχη ἐγγὺς ἦλθεν ἀπολέσθαι, ὡς εἰσόμεθα—φασὶν οἱ παλαιοὶ ἐν τῷ καθεστῶτι τὴν Ἑκάβην εἶναι καὶ διὰ τοῦτο μὴ λειποψυχῆσαι, διότι ἐθὰς ἦν φόνων υἱῶν. καὶ ἄλλως δέ, προενήρξατο τῆς λύπης, ὅτε διωκόμενον ἑώρα τὸν Ἕκτορα, τῇ μέντοι Ἀνδρομάχῃ ἄθρουν προσπίπτει τὸ κακόν, διὸ καὶ πάσχει ὅσα ἐρεῖ ὁ ποιητής. (v. 437 s.) Ὅτι κἀνταῦθα κεῖται τρόπος ἐτυμολογικὸς ἐν τῷ «οὔ πώ τι πέπυστο», οὐ γάρ οἱ ἄγγελος ἐλθὼν ἤγγειλεν. ἀπὸ τοῦ ἀγγέλλειν γὰρ ὁ ἄγγελος. ὁ δὲ λόγος οἰκεῖος ἐπὶ ἔτι ἀνηκούστου κακοῦ. ἡ δὲ ῥηθεῖσα ἐτυμολογία συγγενὴς μέν ἐστι πρὸς τὸ «Ἶρις ἐρέουσα», κοινοτέρα δὲ ἐκείνης καὶ σαφεστέρα. Ἰστέον δὲ ὅτι περὶ Ἀνδρομάχης ἐλέχθη ὁ ῥηθεῖς ἐτυμολογικὸς λόγος. (v. 437- 9) Φησὶ γὰρ «ἄλοχος δ' οὔ πώ τι πέπυστο Ἕκτορος· οὐ γάρ οἵ τις ἐτήτυμος ἄγγελος ἐλθὼν ἤγγειλ', ὅττι ῥά οἱ πόσις ἔκτοθι μίμνε πυλάων», ἀλλ', ὡς ἅπαξ που ὁ ἀνὴρ ἐπέσκηψεν αὐτῇ, ἐταλασιούργει. (v. 440 s.) Φησὶ γὰρ «ἀλλ' ἥ γ' ἱστὸν ὕφαινε μυχῷ δόμου ὑψηλοῖο, δίπλακα πορφυρέην», καθά που πρὸ αὐτῆς ἡ Ἑλένη, «ἐν δὲ θρόνα ποικίλ' ἔπασσε», καὶ ἑξῆς. τί μὲν οὖν ἡ δίπλαξ δηλοῖ, προείρηται. Θρόνα δὲ κυρίως μὲν τὰ ἐκ θηρίων ἢ τὰ ἐκ γῆς ἀναθορόντα ὀνήσιμα φάρμακα, νῦν δὲ κατὰ μετουσίαν θρόνα, ἤγουν φάρμακα, ἔφη τὰ βεβαμμένα λίνα ἢ ἔρια. ἐπεὶ καὶ φαρμακῶνες τὰ βαφεῖα ἐκαλοῦντο, καὶ φαρμάσσειν τὸ βάπτειν ἐλέγετο παρὰ τοῖς παλαιοῖς, ὥστε ὁμωνυμεῖ τοῖς ἐνεργητικῶς ποιοῦσι θρόνοις, ἤγουν τοῖς βοτανώδεσι φαρμάκοις, τὰ πάσχοντα τὴν βαφὴν ἔρια καί, ὡς εἰπεῖν, θρονευόμενα ἤτοι φαρμακευόμενα.

4.649 Ἰστέον δὲ ὅτι κατὰ πολυωνυμίας λόγον τὰ θρόνα καὶ φάρμακα καὶ κάλλη ἐλέγοντο παρὰ τοῖς παλαιοῖς. φησὶ γοῦν Παυσανίας· κάλλη, ἄνθη, βάμματα, ὅθεν καὶ καλλύνειν τὸ κοσμεῖν καὶ σαροῦν. ἴσως δὲ ἐκ τούτου καὶ κάλλαια παρὰ τῷ Κωμικῷ οἱ πώγωνες τῶν ἀλεκτρυόνων, καὶ τὰ ἐν τῇ αὐτῶν δὲ οὐρᾷ πτερὰ κατὰ Αἴλιον Διονύσιον. εἰ δὲ καὶ ὁ καλλάϊνος χιτὼν ἐντεῦθέν ποθεν παρωνόμασται, οὐκ ἔστιν ἀπισχυρίσασθαι, εἰ καὶ εἰκός ἐστι. Τὸ δὲ ῥηθὲν πάσσειν Κυπρίων, φασί, λέξις, ὅθεν καὶ ὁ παστός. τὸ μέντοι ἕτερον πάσσειν τὸ ἐν τῇ ι' ῥαψῳδίᾳ κοινόν ἐστιν, ἐξ οὗ καὶ τὸ ἁλίπαστον καὶ τὰ παρὰ Αἰλίῳ Διονυσίῳ παστά, ἔτνος δηλαδὴ ἀλφίτοις μεμιγμένον. καὶ ἐπίπαστα, φησίν, αὐτὰ τὰ ἄλφιτα. Ὅρα δὲ καὶ ὅτι ἐπὶ Ἑλένης μὲν ὥρισε, τί ἐνεποίκιλλε τῇ δίπλακι, ἐνταῦθα δὲ οὐχ' ὥρισται ὁ ποικιλμός. Ἰστέον δὲ καὶ ὅτι τὸ «μυχῷ δόμου» περιέργως εἶπεν ὁ ποιητής, ἵνα δυσηκόως ἔχῃ τῶν κατὰ τὸν Ἕκτορα ἡ Ἀνδρομάχη ἐνδοτάτω οὖσα. ἐκώλυε δὲ ῥᾳόνως ἀκούειν καὶ ὁ τοῦ ὑφαίνειν κτύπος, ὃν ἡ κερκὶς ἐποίει. (v. 442—4) Ὅτι περιπαθὲς ἐνταῦθα καὶ τὸ «κέκλετο Ἀνδρομάχη ἀμφιπόλοισιν ἐϋπλοκάμοις κατὰ

δῶμα ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα πέλοιτο Ἕκτορι θερμὰ λοετρὰ μάχης ἐκ νοστήσαντι». αὐτὰ δὲ οὐ μόνον οὐκ εἰς ἀπόλαυσιν ἄρτι, ἀλλ' οὐδὲ τεθνεῶτι τῷ ἀνδρί, ὡς γοῦν χθόνια, φασί, λουτρά, ἐγένοντο χρήσιμα, ἑλκυσθέντι, ὡς ὁ ποιητὴς ἐρεῖ, ἀκηδέστως, ἤτοι ἀφροντίστως ἢ ἀνενταφιάστως. ἐπισημαίνεται δὲ τὴν ἀτυχίαν καὶ ὁ ποιητὴς εἰπὼν (v. 445 s.) «νηπίη, οὐδ' ἐνόησεν, ὅ μιν», ἤγουν ὅτι αὐτόν, «μάλα τῆλε λοετρῶν χερσὶν Ἀχιλλῆος δάμασε γλαυκῶπις Ἀθήνη». (v. 443) Ὅρα δὲ καὶ ἐνταῦθα τὴν ἀμφι πρόθεσιν δοτικῇ συνοῦσαν ἐν τῷ «ἀμφὶ πυρὶ στῆσαι». Τρίποδα δὲ λέγει μέγαν τὸν καὶ λοετροχόον καλούμενον, ὁποῖον καὶ τῷ Ἀχιλλεῖ ἐν τοῖς ἑξῆς θερμαίνει ὁ βασιλεύς, εἰ καὶ μὴ πείθει λούσασθαι.

4.650 εἰς ὅσον δ' ἂν ἦν μέγας, ἐλέγχειν ὅμως ἔχει τὴν ὑστέραν βλακείαν τῶν ἡρωΐζειν δοκούντων στρατηγῶν, οἳ οὐ τρίποδας θερμαίνουσιν, ἀλλὰ ποταμοὺς ὅλους πυριφλεγέθοντας ἀναστομοῦσιν ἑαυτοῖς, οὐ ῥύπους ἢ βρότους αἱματόεντας ἀπολουόμενοι, ἀλλ' ὡσεὶ καὶ ἰχθύες ἐγκυβιστῶντες πρὸς ἄνεσιν. (v. 444) Θερμὰ δὲ λοετρὰ ἔφη πρὸς διαφορὰν τῶν ψυχρῶν, οἷς οἱ καλοὶ ἥρωες «ἱδρῶ ἀπεψύχοντο». τὰ δὲ τοιαῦτα καὶ Ἡράκλεια λουτρὰ ἡ παροιμία ἔλεγεν. ἦσαν δὲ ταῦτα πρώτως καὶ κυρίως τὰ ἐκ γῆς αὐτοφυῶς ἀναδιδόμενα ἐπὶ ἀναψυχῇ, φασίν, Ἡρακλέος ἀθλοῦντος. [Ἀλλ' οὗτος μὲν ὁ λόγος, ὃν οἶδε καὶ ὁ Κωμικὸς ἐν Νεφέλαις, τοῖς ἀποσεμνύνουσι τὴν τρυφὴν ἐθέλει συμφωνεῖν, οἵπερ οὐ μόνον τὰ ἐκ γῆς φαινόμενα πάντα θερμὰ λοετρὰ ἵερουν τῷ Ἡρακλεῖ, ἀλλὰ καὶ τὰς μαλακὰς στρωμνὰς Ἡρακλέους κοίτας ἐκάλουν ὡς οἷα τρυφεροῦ. ἕτεροι δὲ τῶν μάλιστα νεωτέρων, ὡς καὶ ὁ Ἱμεραῖος Στησίχορος, ἀλλοῖον παραδεικνύουσι τὸν Ἡρακλέα, ἐν ληστοῦ σχήματι περιπορευόμενον, ξύλον ἔχοντα καὶ λεοντῆν καὶ τόξον.] (v. 445) Τὸ δὲ «νηπίη» καινότερον διάκειται. εἰωθὼς γὰρ ὁ ποιητὴς τὸ νήπιος ἐπὶ μυκτηρισμῷ καὶ ψόγῳ ἐπιφωνεῖν ἐνταῦθα ὡς οἰκτιζόμενος τὴν Ἀνδρομάχην οὕτως ἐπεφώνησε. νηπία γὰρ αὕτη, οὐχ' ὅτι φαῦλόν τι διαπράττεται, ἀλλ' ὅτι αὐτὴ μὲν διανοεῖται τὰ ῥηθέντα, ὁ δὲ ἀνὴρ μάλα τῆλε λοετρῶν δεδάμασται. Καὶ ὅρα τὸ «μάλα» ἢ ἀκαίρως καὶ αὐτὸ προστεθέν, ὡς καὶ ἐπὶ ἄλλων ἔγνωσται, οὐ γὰρ μάλα τῆλε ὁ Ἕκτωρ ἔπεσεν, ὁ ἐγγύς που τῆς Τροίας δαμασθείς, ὡς καὶ βλέπεσθαι. ἢ οὐ τοπικῶς κείμενον ἀλλὰ πραγματικῶς, ὡς τοῦ Ἕκτορος μάλα τῆλε γενομένου τοῦ ἐπὶ ἀναψυχῇ λούσασθαι κατὰ τὸν γυναικὸς σκοπόν.

4.651 [(v. 446) Εἰς δὲ τὸ «γλαυκῶπις Ἀθηνᾶ», εἰ καὶ πολλὰ προείρηται, ὅμως ἀναμνηστέον κἀνταῦθα, ὅτι τὰ παρὰ τὸν ὦπα τετραχῶς οἱ ὀνοματοθέται ἔστρεψαν. ἐξ αὐτοῦ γὰρ τὰ μὲν διὰ τοῦ ωπος οἷον εὐωπός, τὰ δὲ διὰ τοῦ ωπης , οἷον ὁ κυνώπης, οὗ κλητικὴ ὦ κυνῶπα, καὶ θηλυκὸν ἡ κυνῶπις, ὁποῖον καὶ ἡ γλαυκῶπις, τὰ δὲ διὰ τοῦ ωψ , καὶ αὐτῶν τὰ μὲν βαρύτονα, ὡς ὁ Κέρκωψ καὶ ὁ Κύκλωψ, τὰ δὲ ὀξύτονα, ὡς τὸ εὐώψ εὐῶπος, καὶ γλαυκώψ γλαυκῶπος παρὰ Πινδάρῳ. δῆλον δὲ ἐκ τῶν παλαιῶν καὶ ὅτι τὸ γλαυκόν ὀφθαλμῷ τε ἐπιλέγεται καὶ θαλάσσῃ καὶ ἐλαίᾳ διὰ τὰ φύλλα καὶ ἐλαίῳ. φέρεται γὰρ καὶ γλαυκοῦ ἐλαίου χρῆσις ἐν τοῖς τοῦ Ἀθηναίου.] (v. 447) Ὅτι κωκυτοῦ ἤκουσεν ἡ Ἀνδρομάχη καὶ οἰμωγῆς ἀπὸ πύργου, ἧς πάνυ μεγάλης οὔσης, ὡς προδεδήλωται, ᾔσθετο ἡ γυνή, ὡς εἰκός, εἰ καὶ ἐν μυχῷ δόμου ὕφαινεν. (v. 448) «Τῆς δ' ἐλελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔκπεσε κερκίς». ὑπὸ γὰρ πάθους τῶν μελῶν αὐτῇ χαλασθέντων ἀκρατὴς γίνεται τῶν ἐν χερσίν. (v. 450—2) Ὡς δὲ καὶ αἰδοίης ἑκυρῆς ὀπὸς ἔκλυε, τουτέστι τῆς πενθερᾶς Ἑκάβης, ἧς καὶ ὁ ἀνὴρ αἰδοῖος ἑκυρὸς τῇ Ἑλένῃ που προσεφωνήθη, τότε δὴ τοῦ κακοῦ ἐπαυξανομένου, ἐγκελεύεται δμῳῇσιν ἐϋπλοκάμοισιν οὕτω «δεῦτε, δύω μοι ἕπεσθον, ἴδωμ', ὅτιν' ἔργα τέτυκται· αἰδοίης ἑκυρῆς ὀπὸς ἔκλυον», ὡς ἐγράφη, «ἐν δέ μοι αὐτῇ στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ γοῦνα πήγνυται». ὃ δὴ πᾶς εἴποι ἂν φόβῳ μεγάλῳ ἐναποληφθείς. (v. 453) Εἶτα καὶ στοχασαμένη τοῦ κακοῦ πρῶτα μὲν ἀορίστως φησὶν «ἐγγὺς δή τι κακὸν Πριάμοιο τέκεσσιν». (v. 454—9) Εἶτα καὶ εὐστοχώτερον ἐπιβάλλουσα ἐπάγει μετὰ οἰκτίστης προαναφωνήσεως «αἲ γὰρ ἀπ' οὔατος εἴη ἐμεῦ ἔπος, ἀλλὰ μάλ' αἰνῶς δείδω, μὴ δή

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μοι θρασὺν Ἕκτορα δῖος Ἀχιλλεὺς μόνον ἀποτμήξας πόλιος πεδίονδε δίηται», ἤγουν διώκῃ κατὰ τὸ πεδίον, «καὶ δή μιν καταπαύσῃ ἀγηνορίης ἀλεγεινῆς, ἥ μιν ἔχεσκεν».

4.652 ἣν καὶ ἐφερμηνεύουσά φησιν «ἐπεὶ οὔ ποτ᾽ ἐνὶ πληθυῖ μένεν ἀνδρῶν, ἀλλὰ πολὺ προθέεσκεν, τὸ ὃν μένος οὐδενὶ εἴκων», ἤγουν οὐδενὶ κατὰ τὸ μένος ὑποτασσόμενος. ὃ δὴ ἀγηνορία ἐστίν. οἱ δὲ μεθ᾽ Ὅμηρον οὐχ᾽ οὕτω φράζουσιν, ἀλλ᾽ αὐτοὶ τοῦ οἰκείου μένους οὐδενὶ εἴκων εἴποιεν ἄν, ὡς αὐτοῖς σύνηθες. [Δύναται δὲ καὶ ἄλλως τὸ Ὁμηρικὸν εἰρῆσθαι ἀντὶ τοῦ μηδενὶ ὑπάγων καὶ ὑποτάσσων ἑαυτόν.] Καὶ ταῦτα μὲν ἡ Ἀνδρομάχη καὶ, ὅτε δὲ στᾶσα ἐπὶ τοῦ τείχους ἐνόησε τὸν ἄνδρα ἑλκόμενον πρόσθε πόληος ἀκηδέστως, ὡς προείρηται, τότε δὴ ἐκπεσοῦσα τοῦ προοιμιάζεσθαι τὸ πάθος τοῦ μεγάλου ἀγῶνος γίνεται καρδιώξασα, ὡς ῥηθήσεται. (v. 447) Ἰστέον δὲ ὡς οἰμωγὴ μὲν ἐκ τοῦ οἰμώζω, αὐτὸ δὲ ἐκ τοῦ οἴ μοι καὶ τοῦ ὤζειν, ὅπερ ἀπὸ τοῦ ὢ γίνεται. τούτου δὲ ἡ χρῆσις παρ᾽ Αἰσχύλῳ ἐν Εὐμενίσι. λέγει δὲ περὶ τοιούτου ῥήματος καὶ Αἴλιος Διονύσιος οὕτω· ὤζειν, τὸ θαυμάζειν, ὡς «ὢ» λέγειν, καθὰ καὶ οἰμώζειν τὸ «οἴμοι» λέγειν καὶ φεύζειν τὸ «φεῦ» λέγειν. (v. 451) Σημείωσαι δὲ καὶ ὅτι Ἑλένη μὲν τὸν ἑκυρὸν Πρίαμον αἰδοῖον καὶ δεινὸν προσφωνεῖ, τῇ αἰδοῖ τὸ δέος συγκεράσασα ὡς ἐχρῆν, Ἀνδρομάχη δὲ οὐχ᾽ οὕτω τὴν ἑκυρὰν Ἑκάβην προσεῖπεν, ἀλλὰ μόνον αἰδοίην. καὶ ἔστι μέν ποτε σύγκρατον αἰδοῖ τὸ δέος, ὡς τὰ πολλὰ δὲ ἀδεὴς ἡ αἰδὼς καὶ ἄκρατος φόβῳ, ὡς ἡ ἐπὶ διδασκάλων τοῖς ἤδη τελείοις καὶ ἡ ἐπὶ γονέων καὶ φίλων καὶ εὐεργετῶν, ἥτις ἁπλούστερον ἔχει καὶ ἀφελέστερον. διὸ κατὰ τοὺς παλαιοὺς Ἀθήνησιν Αἰδοῦς καὶ Ἀφελείας ἦν βωμὸς περὶ τὸν τῆς Πολιάδος Ἀθηνᾶς νεών, καθὰ καὶ Παυσανίας ἱστορεῖ, ἃς οἱ μὲν παιδαγωγούς, οἱ δὲ τροφοὺς τῆς θεᾶς γενέσθαι φασίν. [Ἔστι δὲ αὐτὸ αἴνιγμα τοῦ χρῆναι τὸν διδασκόμενον ἢ τὰ πρὸς φρόνησιν Ἀθηνᾶν ἢ τὰ πρὸς ἄλλας τέχνας, ὧν Ἀθηνᾶ ἐπιστατεῖ, αἰδῶ τε τηρεῖν εἰς τοὺς διδασκάλους καὶ ἀφελῶς αὐτοῖς προσφέρεσθαι καὶ ἀπεριέργως οἷα μὴ εἰδότας.

4.653 τὸ γὰρ ἔξω τοῦ δέοντος περίεργον πονηρίαν τε ἔχει ἀπρεπῆ καὶ τοὺς διδασκάλους λυπεῖ.] Ὅτι δὲ ἀφέλειαν οὐ μόνον ἐπὶ ἁπλότητος οἱ παλαιοὶ ἐτίθουν, ἀλλὰ καὶ ἐπὶ μεγαλείου τινὸς καὶ ἐνδοξότητος, ἐν ῥητορικοῖς δηλοῦται Λεξικοῖς. (v. 448) Τὸ δὲ χαμαὶ ἐκπεσὸν χαμαιριφὲς λέγεται. Κερκὶς δέ, ὡς πολλαχοῦ δηλοῦται, ὠνοματοπεποίηται. ἀπὸ τοῦ κρέκω γάρ, ὃ δηλοῖ τὸ ἠχῶ, γίνεται κατὰ μετάθεσιν. ἐκ τούτου δὲ καὶ ὄρνεον ἡ κρέξ, ὡς παρεμφαίνει ὁ Κωμικὸς ἐν ταῖς Ὄρνισιν. ἴσως δὲ οὕτω, καθὰ καὶ προεγράφη, καὶ ὁ κίρκος ἀπὸ τοῦ κρίζειν κατὰ μετάθεσιν πρὸς διαστολὴν τοῦ ὀργάνου κρίκου, ἐξ ὧν καὶ ῥῆμα τὸ κρικῶ. (v. 450) Τὸ δὲ «ἴδωμι» ἐκ τοῦ ἴδοιμι ἐκτέταται τὴν παραλήγουσαν, ὥς που καὶ τὸ τύχωμι ἐκ τοῦ τύχοιμι. δεύτερα δὲ αὐτῶν ἴδῳς καὶ τύχῳς οὐχ᾽ εὕρηται, εἰ καὶ τὸ ἀνάλογον ἀπαιτεῖ. [Ἴσως δὲ οὐ γέγονε συναλιφὴ διχρόνου ἐκ τοῦ ἴδωμι, ἀλλὰ διφθόγγου ἐκ τοῦ ἴδωμαι, ἤγουν θεάσωμαι.] Τὸ δὲ «ὅτινα ἔργα» ποιητική ἐστι καὶ αὐτὸ λέξις ἀντὶ τοῦ τίνα πλεονασμῷ τοῦ ο ὁμοίως τῷ ὅτῳ καὶ ὅτοισι καὶ ὁτέοισι καὶ ὅτεο ἀντὶ τοῦ οὗτινος, [οὗ κοινότερον τὸ ὅτου, ᾧ ἰσοδύναμον καὶ τὸ ὅου ἀντὶ τοῦ οὗ, οἷον, «ὅου κράτος ἐστὶ μέγιστον».] (v. 452) Τὸ δὲ «πάλλεται ἦτορ ἀνὰ στόμα» ἀντὶ τοῦ οὕτως ἡ καρδία πατάσσει, ὡς εἰ μὴ τὰ ἐπέχοντα ἦν, γενέσθαι ἂν αὐτὴν ἀνὰ τὸ στόμα καὶ διεκπεσεῖν τῆς κατὰ φύσιν θέσεως τῷ ἄνω παλμῷ, κατὰ τὸ «κραδίη δέ μοι στηθέων ἐκθρῴσκει». ὅτι δὲ ἦτορ καὶ νῦν τὴν καρδίαν ἔφη, δηλώσει κατωτέρω ὁ ποιητὴς ἐν τῷ «παλλομένη κραδίην». [Ἰστέον δὲ ὡς, εἰ καὶ πατάσσει κραδίη καὶ ἅλλεται τοῖς οὕτως ἀγωνιῶσιν, ἀλλ᾽ οὐ βλάπτεται, φασί, διὰ τὸ παρακεῖσθαι τῇ καρδίᾳ τὸν πνεύμονα μαλακὸν καὶ ἄναιμον ὄντα καὶ σήραγγας ἔχοντα οἷον σπόγγου κατατετρημένας, ὡς γίνεσθαι αὐτῇ τὸν παλμὸν εἰς ὑπεῖκον καὶ μαλθακόν.

4.654 ] (v. 453) Γόνατα δὲ πήγνυται ὡς κρυερὰ τῷ δέει γινόμενα. Τὸ δὲ «ἐγγὺς δή τι κακόν» ἐπὶ κινδύνου ἐλπιζομένου ῥηθήσεται. (v. 454—6) Ὁ δὲ ἀπευχόμενος οἷα δεδιώς τι ἀκοῦσαι κακὸν εἴποι ἂν τὸ «αἲ γὰρ ἀπ᾽ οὔατος εἴη ἐμεῦ ἔπος· ἀλλὰ μάλα αἰνῶς δείδω, μὴ δή μοι τόδε γένηται».

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔφη δέ που τοιοῦτόν τι καὶ ὁ Πολυδάμας. ἔστι δὲ τὸ «αἲ γὰρ ἀπ’ οὔατος εἴη ἐμεῦ ἔπος» περίφρασις τοῦ «εἴθε μὴ ἀκούσαιμι, ἀλλὰ δηλονότι πόρρω εἴη τῆς ἐμῆς ἀκοῆς». (v. 457) Ἀγηνορίαν δὲ δοκεῖ καὶ ἐνταῦθα λέγειν φιλαλήθως τὴν θρασύτητα. ὁ γάρ, ὡς ἐρρέθη, θρασὺς Ἕκτωρ καθ’ ὅμοιον λόγον καὶ ἀγηνορίαν ἔχειν ῥηθήσεται. εἰ δέ ποτε καὶ ἐπὶ ἀνδρίας ἡ ἀγηνορία, ἐνταῦθα γοῦν οὐχ’ οὕτω φαίνεται διά τε τὴν εἰρημένην ἀκολουθίαν καὶ διὰ τὴν προσθήκην τοῦ «ἀλεγεινῆς». ἡ γὰρ ἐπ’ ἀνδρίας ἀγηνορία οὐχ’ οὕτως ἀλεγεινή. ταύτην δὲ καὶ μένος που ἔφη, σεμνότερον τοῦτό γε εἰποῦσα, οὐχ’ ὅτι ἐπὶ ψόγῳ ἡ γυνὴ ἔφη τὸ «θρασὺν Ἕκτορα», ἢ τὸ «ἀγηνορίας ἀλεγεινῆς». καὶ αὐτὰ γάρ, εἰ καὶ μετά τινος βαρύτητος καὶ ἀφελείας, ἐπαινετικῶς ὅμως ἐπὶ ἀνδρίᾳ ἔφη. οὐ γὰρ ἂν τὸν ἔχθιστον Ἀχιλλέα δῖον καλοῦσα δυσφημοίη ἂν τὸν ἄνδρα ἡ γυνή, ὥσπερ οὐδὲ ὅτε ἔλεγε «δαιμόνιε, φθίσει σε τὸ σὸν μένος». Ἰστέον δὲ καὶ ὅτι ἡ ἀγηνορία καὶ ἄλλως ἐτυμολογουμένη δύναται καὶ οὕτω καθίστασθαι. λέγοιτο γὰρ ἂν ἀγήνωρ καὶ ὁ τῶν ἄλλων προάγων ἀνέρων ἤτοι ἀνδρῶν. (v. 458 s.) Διὸ καὶ ὁ ποιητὴς ἐνταῦθα εἰπὼν ἀγηνορίαν ἐπάγει «ἐπεὶ οὔ ποτε ἐν πληθυῖ μένεν ἀνδρῶν, ἀλλὰ πολὺ προθέεσκεν». ὁ δὲ προθέων ἤτοι προάγων τῶν ἀνδρῶν καλῶς ἂν ἀγήνωρ λέγοιτο. Ὅρα δὲ τὸ «ἐν πληθυῖ», πρὸς ὃ ἀντιδιαστέλλεται τὸ «μοῦνον ἀποτμήξας». ὁ γὰρ μόνος πρὸς πλῆθος λέγεται. Ὅρα δὲ καὶ τὸ «ἥ μιν ἔχεσκε», ἀντὶ τοῦ ἥτις αὐτὸν εἶχεν. οὐ γὰρ αὐτός, φησίν, εἶχεν ἀγηνορίαν, ἀλλ’ ἐκείνη αὐτὸν εἶχεν ὡς οἷα δεσπόζουσα, ὃ δὴ πάνυ ἀγήνορα δηλοῖ τὸν Ἕκτορα. (v. 459) Τὸ δὲ «προθέεσκεν ἀνδρῶν» τὸν Προθοήνορα ποιεῖ κύριον φερώνυμον ὄνομα ὁ δὲ τοιοῦτος τόπος ἐγκώμιόν ἐστι θαρραλέου ἀνδρός.

4.655 [Ποιητικὴ δὲ πάντως παρίσωσις τὸ «ἔχεσκε» καὶ «προθέεσκεν».] (v. 461) Ὅτι ἡ Ἀνδρομάχη διὰ λύπην τὴν ἐπὶ τῷ ἀνδρὶ παλλομένη κραδίην «μεγάροιο διέσσυτο μαινάδι ἴση», τουτέστι βακχικῶς, μανικῶς, οὐ κατὰ κόσμον. σὺν οὐδενὶ γὰρ κόσμῳ ἐκινοῦντο αἱ Βάκχαι, ὀπαδοὶ οὖσαι Διονύσῳ πρέπουσαι τῷ μαινόλῃ. διὸ καὶ αὐταὶ Μαινάδες, αἳ καὶ τιθῆναι Διονύσου προερρέθησαν. Ὅρα δὲ ὅτι τὸ «ἴση» ἀντὶ τοῦ ὁμοία εἶπεν, οὐκ ἐπὶ ποσοῦ λαβὼν ἀλλὰ ποιότητος, καὶ ὅτι οὐκ ἠθέλησε πλατῦναι τὴν παραβολήν, ἵνα μὴ τὰ περὶ τὰς Μαινάδας ἐκθέμενος δόξῃ λέγειν οὐ σεμνά, ἔτι δὲ καὶ ἐκφαίνειν μυστήρια. (v. 462—72) Ὅτι Ἀνδρομάχη, ὡς εἶδεν ἐκ τοῦ τείχους τὰ κατὰ τὸν ἄνδρα, ἔπαθεν ἅπερ ἱστορεῖ Ὅμηρος, εἰπὼν «αὐτὰρ ἐπεὶ πύργον τε καὶ ἀνδρῶν ἷξεν ὅμιλον, ἔστη παπτήνας’ ἐπὶ τείχεϊ, τὸν δ’ ἐνόησεν ἑλκόμενον πρόσθε πόλιος· ταχέες δέ μιν ἵπποι ἕλκον ἀκηδέστως», ὡς ἐρρέθη, «κοίλας ἐπὶ νῆας· τὴν δὲ κατ’ ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν», ὅ ἐστι βαθεῖα σκότωσις ὡς οἷα καί τις νύξ, «ἤριπε δ’ ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε. τῆλε δ’ ἀπὸ κρατὸς χέε δέσματα σιγαλόεντα, ἄμπυκα κεκρύφαλόν τε ἰδὲ πλεκτὴν ἀναδέσμην κρήδεμνόν θ’, ὃ ῥά οἱ δῶκε χρυσῆ Ἀφροδίτη ἤματι τῷ, ὅτε μιν ἠγάγεθ’ Ἕκτωρ ἐκ δόμου Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἕδνα», ὅ ἐστι δῶρα προικῷα. (v. 467) Ἔστι δ’ ἐριπεῖν μὲν τὸ εἰς ἔραν πεσεῖν ἁπλῶς, ἐριπεῖν δὲ ἐξοπίσω τὸ κλιθεῖσαν ὑπτίαν πεσεῖν. Ἀποκαπύσαι δὲ ψυχὴν τὸ ἀποπνεῦσαι. κάφος γάρ, φασί, τὸ πνεῦμα, ἐξ οὗ τὸ «κεκαφηότα θυμόν». τὸ δ’ αὐτὸ καὶ ὁ κάπος, ἐξ οὗ καὶ ὁ κῆπος, ὡς ἀλλαχοῦ εἴρηται. ἐξ αὐτοῦ δὲ καὶ κάπη ἡ καταπνεομένη ὑπὸ τῶν ἵππων φάτνη. αὐτὴ δὲ καὶ ἀπὸ τοῦ κάπτω δοκεῖ γίνεσθαι. ἀπ’ αὐτῆς δὲ παυσικάπη κατὰ Αἴλιον Διονύσιον, μηχάνημά τι τροχῷ ἐμφερές, δι’ οὗ τὸν τράχηλον διεῖρον τῶν ὑποζυγίων ὥστε μὴ ἐσθίειν, ὁμοίως δὲ καὶ τῶν ἀνθρώπων, ὥστε, φησί, μὴ δύνασθαι τὰς χεῖρας τῷ στόματι προσάγειν.

4.656 καὶ ἔοικε κατὰ τούτους τοὺς λόγους παυσικάπη λέγεσθαι, ὡς παύουσα τῆς κάπης ἢ τοῦ κάπτειν, ὅ ἐστι τοῦ ἐσθίειν. (v. 475) Πρὸς δὲ τὸ «ψυχὴν ἐκάπυσεν» ἐναντίον τὸ «ἄμπνυτο», τουτέστιν ἀνέπνευσεν, ὡς κατωτέρω φησίν, ὅ ἐστιν ἦλθεν εἰς τὴν προτέραν πνοήν. ὃ καὶ ἑφερμηνεύων εὐθὺς ἐπάγει «καὶ ἐς φρένα θυμὸς ἀγέρθη», τουτέστιν ἡ ζωτικὴ ψυχικὴ δύναμις συνήχθη, σκεδασθεῖσα οἷον τῇ λειποθυμίᾳ, ὃ δὴ καὶ θυμηγερεῖν συνθέτως λέγεται, καὶ ζωγρεῖν

δέ, ἤτοι ζωὴν ἀγείρειν, ὡς εἶναι ταὐτὰ κατὰ πολυωνυμίαν τὸ ἄμπνυσθαι καὶ ἐς φρένα θυμὸν ἀγείρειν καὶ θυμηγερεῖν καὶ ζωγρεῖν. Ἰστέον δὲ καὶ ὅτι, ὥσπερ τολμήσας ἐρεβεννήν, ὅ ἐστι σκοτεινήν, νύκτα τὴν σκοτοδίνην ἐκάλεσεν, οὕτω καὶ τὴν λειποθυμίαν ψυχῆς ἀπόπνοιαν, καὶ ὅτι καθ’ ὁμοιότητα τοῦ «ἄμπνυτο», ἤγουν ἀνέπνευσεν, εἴρηκέ τις ἀναφρονῆσαι τὸ τὴν πρώτην ἀναλαβεῖν φρόνησιν. (v. 468) Δέσματα δὲ ἐν Ὀδυσσείᾳ μὲν ἐπὶ δεσμοῦ ἔθετο βιαίου, ἐνταῦθα δὲ οὕτω λέγει τὰ ἐπὶ κόσμῳ τὸ γυναικεῖον κάρη δεσμοῦντα. ὅθεν καὶ τὸ κρήδεμνον σύγκειται. Ἀττικὴ δέ, φασίν, ἡ λέξις. ὡς γὰρ ξεσμός ξέσμα, οὕτω δεσμός δέσμα. Σιγαλόεντα δὲ ταῦτα, ᾧ λόγῳ καὶ εἵματα ἔφη σιγαλόεντα, τὰ σιγὴν δηλαδὴ ἐμποιοῦντα δι’ ἔκπληξιν, ἢ σιγηλὰ καὶ ἄκτυπα δι’ ἁπαλότητα. ἡνία δέ γε σιγαλόεντα καὶ κατὰ ἄλλον τινὰ τρόπον, ὡς ἀλλαχοῦ δεδήλωται.

4.657 Ἕρμιππος δὲ καὶ ἀμύγδαλα σιγαλόεντα λέγει τὰ εὔθραυστα, ὁποῖα τὰ λεγόμενα Θάσια. (v. 468—70) Ὅρα δὲ καὶ ὅτι γενικῶς γυναικεῖον κόσμον δηλώσας ἐν τῷ εἰπεῖν «δέσματα», εἶτα ἐπάγει κατὰ μέρος τὰ εἴδη, τὴν ἄμπυκα καὶ τὰ ἐφεξῆς. (v. 469) Ἔστι δὲ ἄμπυξ μὲν ἀρσενικῶς κατὰ τοὺς παλαιοὺς διάδημά τι πρὸς ἀνάδεσιν τριχῶν, ἃς περιστέλλοντες οἱ παλαιοὶ ὑπὸ τοῦτον παρῆγον. ἡ δὲ τοιαύτη φράσις οἷόν τινα κούφιαν, ἰδιωτικῶς εἰπεῖν, διαγράφει τὸν ἄμπυκα. καὶ νῦν δέ φασιν ἀμπυκίζειν τὸ τὰς ἐμπροσθίας τρίχας ἀναδεῖν. ἐντεῦθεν δὲ καὶ «χρυσάμπυκες ἵπποι» διὰ τὸ δεῖσθαι στροφίῳ τὰς κορυφὰς τῶν τριχῶν. Ἐν δὲ ῥητορικοῖς Λεξικοῖς εὑρέθη καὶ ταῦτα· ἀμπυκάσαι ἀναδῆσαι, χαλινῶσαι, στεφανῶσαι, καὶ ἄμπυξ· χαλινός, συγκάθαμμα, ἐπίκρανον, καλύπτρα, διάδημα, στεφάνη, καὶ ὅτι ἄμπυκες διαδήματα κατὰ μεταφοράν, καὶ ὅτι ἀμπυκῖται· διαδήματα, ἴσως διὰ τὸ ἀμπέχειν τὰς τρίχας, ὥς φησι Παυσανίας, ὃ καὶ ἀμπυκίζειν ἔλεγον. ἐκ μεταφορᾶς δέ, φασί, καὶ ὁ τροχὸς διὰ τὸ κυκλοτερὴς εἶναι. δῆλον δὲ ὡς καὶ ἡ κοινὴ γλῶσσα παραμπύκια ἐπὶ τριχῶν λέγειν εἴωθεν. εὕρηται δὲ καὶ παρὰ τοῖς ἀρχαίοις καὶ ὅτι παραμπυκίζεται τὸ παραπλέκεται τὰς τρίχας. κεκρύφαλος δέ, φασί, κόσμος τις περὶ κεφαλὴν καὶ αὐτός, λεγόμενος κροκύφαντος. ἀναδέσμη δὲ σειρά, ἣν κύκλῳ περὶ τοὺς κροτάφους ἀναδοῦσι. (v. 470) Κρήδεμνον δὲ τὸ μαφόριον. Σημειοῦνται δὲ οἱ παλαιοὶ καὶ ὅτι καλῶς ἐπὶ μὲν Ἑκάβης τῆς γραὸς συντόμως εἶπε «λιπαρὰν ἔρριψε καλύπτρην», ἐπὶ δὲ ταύτης ὡς νέας ἐξειργάσατο ἐνδιασκεύως τὸν κόσμον τῆς κεφαλῆς. εἰ δὲ δῶρον χρυσῆς Ἀφροδίτης τὸ κρήδεμνον τοῦτο, ἔοικέ τι καὶ ἀπὸ χρυσέας ὕλης ἔχειν ἐπαφρόδιτον. Ἰστέον δὲ ὅτι φέρεται παρὰ τοῖς παλαιοῖς κόσμος γυναικεῖος, ὃν περίθετον κεφαλὴν ἐκάλουν.

4.658 Ἀριστοφάνης Θεσμοφόροις «κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ». ἄδηλον δὲ εἴτε κρήδεμνον αὕτη εἴτε ἄμπυξ εἴτε κεκρύφαλον εἴτε ὁμοῦ πάντα ταῦτα μετὰ τῆς ἀναδέσμης. ἡ δὲ ῥηθεῖσα περίθετος κεφαλὴ καὶ περικεφαλαία, φασίν, ἐλέγετο, καθὰ καὶ παραπροσωπὶς ἡ παρὰ τῷ προσώπῳ τιθεμένη, ἧς καθ’ ὁμοιότητα καὶ παρώπια τὰ ὀφθαλμοῖς ἵππων περιτιθέμενα δέρματα καὶ τὰ χάριν σκιᾶς ἀντήλια, τὰ προβεβλημένα δηλαδὴ τῶν προσώπων τοῖς ἡλιαζομένοις. (v. 471) Τὸ δὲ «ἠγάγετο Ἕκτωρ» καιριωτάτη λέξις ἐπὶ γάμου. ἄγεσθαι γάρ τινα γυναῖκα κυριολεκτοῦντές φαμεν. ἡ δὲ μεταφορὰ ἐκ τῶν ὑπὸ ζυγὸν ἀγομένων δαμάλεων. (v. 473—4) Ὅτι οὐ λόγους μόνον ὁ ποιητὴς οἰκτροὺς ἐνταῦθα ποιεῖ, ἀλλὰ καὶ ὄψεις περιπαθεῖς, πῇ μὲν τὸν Πρίαμον θανατῶντα εἰσάγων καὶ ἐξελθεῖν ἐπ’ Ἀχιλλέα θέλοντα, κατεχόμενον δὲ ὑπὸ τοῦ λαοῦ, πῇ δὲ τὴν Ἀνδρομάχην θέλουσαν ἀπολέσθαι, εἰ μὴ αὐτὴν εἶχον, ὅ ἐστι κατεῖχον, γαλόῳ καὶ εἰνάτειρες, ὅ ἐστιν αἱ ἀνδράδελφοι καὶ αἱ σύννυμφοι, ὡς πολλαχοῦ ἐρρέθη. Καὶ ὅρα τὸ «γαλόῳ» πρὸ μιᾶς ἔχον τὸν τόνον, ὡς ἐν τοῖς τοῦ Ἡροδώρου κεῖται καὶ Ἀπίωνος. φράζει δ’ ἐνταῦθα Ὅμηρος οὕτω «ἀμφὶ δέ μιν γαλόῳ τε καὶ εἰνάτερες ἅλις ἔσαν», διὰ τὸ ἐν αὐταῖς πολυπληθές, «αἵ ἑ», ἤγουν αἵτινες αὐτήν, «μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσθαι», ἢ ὀλέεσθαι. (v. 476 s.) Ὅτι «ἀμβλήδην γοόωσα» ἡ Ἀνδρομάχη τοιαῦτα λέγει μονῳδικῶς· «Ἕκτορ», [ἐγὼ δύστηνος] καὶ ἑξῆς, ὡς ῥηθήσεται. Χρὴ γὰρ πρῶτον παρασημήνασθαι

προθεωρητικῶς, ὡς οὐκ ἀπὸ τῶν παρεστώτων ἁπλούστερον ἡ γυνὴ ἄρχεται περιπαθῶς, οἷον τοῦ φόνου καὶ τοῦ ἑλκυσμοῦ, ἀλλ’ ἐκ τῶν πορρωτέρω προοιμιάζεται, πατρίδος μεμνημένη καὶ προγόνων καὶ τύχης παλαιᾶς.

4.659 ὅλως δὲ εἰπεῖν, συνάξας ὁ ποιητὴς τὸν ἀκροατὴν καὶ συγχέας οἷς μικροῦ ἂν ἡ γυνὴ τῷ πάθει ἐξέλιπε, διαχέει αὖθις καὶ εἰς ἄνετον ἀπολύει τῇ ἐνταῦθα μονῳδικῇ ἀφελείᾳ, ἵνα μὴ διόλου στύφων εἴη ὁ ἐπὶ τῷ πένθει λόγος, ἀλλὰ μετέχῃ πῃ καὶ γλυκύτητος. (v. 477—98) Ἔχει δὲ τῇ γυναικὶ τὸ προοίμιον καὶ τὰ μετ’ αὐτὸ οὕτως «Ἕκτορ, ἐγὼ δύστηνος «ἰῇ ἄρα», τουτέστι μιᾷ, «γεινόμεθα», ἤγουν ἐγεννήθημεν, «αἴσῃ» ἀμφότεροι, σὺ μὲν ἐν Τροίῃ Πριάμου κατὰ δῶμα, αὐτὰρ ἐγὼ Θήβῃσιν, Ὑποπλάκῳ ὑληέσσῃ, ἐν δόμῳ Ἠετίωνος, ὅ», ἤγουν ὅς, «μ’ ἔτρεφε τυτθὸν ἐοῦσαν, δύσμορος αἰνόμορον· ὡς μὴ ὤφελλε τεκέσθαι. νῦν δὲ σὺ μὲν Ἄιδου δόμους ὑπὸ κεύθεσι γαίης ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῷ ἐνὶ πένθεϊ λείπεις χήρην ἐν μεγάροισι· πάϊς δ’ ἔτι νήπιος αὕτως, ὃν τέκομεν, σύ τ’ ἐγώ τε, δυσάμμοροι· οὔτε σὺ τούτῳ ἔσσεαι, Ἕκτορ, ὄνειαρ, ἐπεὶ θάνες, οὔτε σοὶ οὗτος. ἤν περ γὰρ πόλεμόν τε φύγοι πολύδακρυν Ἀχαιῶν, αἰεί τοι τούτῳ γε πόνος καὶ κήδε’ ἔσονται· ἄλλοι γάρ οἱ ἀπουρίσουσιν ἀρούρας. ἦμαρ δ’ ὀρφανικὸν παναφήλικα παῖδα τίθησι· πάντα δ’ ὑπεμνήμυκε, δεδάκρυνται δὲ παρειαί, δευόμενος δέ τ’ ἄνεισι πάϊς ἐς πατρὸς ἑταίρους, ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος. τῶν δ’ ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέσχε, χείλεα μέν τ’ ἐδίην’, ὑπερῴην δ’ οὐκ ἐδίηνε. τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξε, χερσὶ πεπληγὼς καὶ ὀνειδείοις ἐνίσσων. ἔρρ’ οὕτως· οὐ σός γε πατὴρ μεταδαίνυται ἡμῖν». Καὶ μέχρι τούτων ἐν στίχοις ἐννέα φράσας καθολικώτερον ὁ ποιητὴς διὰ τῆς μητρὸς τὰ τῆς ὀρφανίας δεινά, εἶτα μερικεύει ἀνελπίστως τὸ νόημα, δι’ οὗ γνωμικῶς ἤδη ἐχαρακτηρίσθη, ὁποῖα πάθοι ἂν κακὰ παῖς τις ἁπλῶς πατρὸς ὀρφανισθείς, οὐ μὴν τοιοῦτος, οἷος νῦν ὁ τοῦ Ἕκτορος, βασιλικὸς δηλαδή, καὶ ὑπὸ μητρὶ ὢν τοιαύτῃ καὶ πάτρωσιν, ὅ ἐστι θείοις, ὁμοίοις καὶ πάππῳ βασιλεῖ. διὸ καὶ ἠθέτησάν τινες τὰ τοιαῦτα ἔπη, ὡς καὶ μετ’ ὀλίγα δηλωθήσεται. (v. 499—514) Μερικεύων οὖν, ὡς ἐρρέθη, ὁ ποιητὴς τὸ ἐν τῷ καθόλου γνωματευθὲν καὶ εἰς τὸ κατὰ φύσιν ἐπανιών, ὅ ἐστιν εἰς τὸ προκείμενον, τὸν Ἀστυάνακτα δηλαδή, ἐπάγει ταῦτα «δακρυόεις δέ τ’ ἄνεισι πάϊς ἐς μητέρα χήρην, Ἀστυάναξ, ὃς πρὶν μὲν ἑοῦ ἐπὶ γούνασι πατρὸς μυελὸν οἶον», ἤγουν μόνον, «ἔδεσκε, καὶ οἰῶν πίονα δημόν», ἤτοι λίπος, «αὐτὰρ ὅθ’ ὕπνος ἕλοι παύσαιτό τε νηπιαχεύων, εὕδεσκεν ἐν λέκτροισιν ἐν ἀγκαλίδεσσι τιθήνης εὐνῇ ἐνὶ μαλακῇ θαλέων ἐμπλησάμενος κῆρ», [ὅπερ ὁ Κωμικὸς «ἐμπλήμενος» λέγει], «νῦν δ’ ἂν πολλὰ πάθῃσι φίλου ἀπὸ πατρὸς ἁμαρτών, Ἀστυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσιν· οἷος γάρ σφιν ἔρυσο πύλας καὶ τείχεα μακρά.

4.660 νῦν δὲ σὲ μὲν παρὰ νηυσὶ κορωνίσι νόσφι τοκήων αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κεν», ἤγουν ἐπειδάν, «κύνες κορέσωνται, γυμνόν· ἀτάρ τοι εἵματα ἐν μεγάροισι κέονται λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν. ἀλλ’ ἤ τοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ, οὐδὲν σοί γ’ ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς, ἀλλὰ πρὸς Τρώων καὶ Τρωϊάδων κλέος εἶναι». Καὶ τοιοῦτον μὲν τὸ τῆς γυναικὸς μονῳδικὸν χωρίον. Τὰ δ’ ἐν αὐτῷ ἐπιστασίας ἄξια ταῦτα. (v. 476) Τὸ μὲν «ἀμβλήδην» ἀντὶ τοῦ ἀναβλητικῶς, ἤτοι προοιμιακῶς. προοιμιάζεται γὰρ ἡ γυνή, ὡς προείρηται, ὥστε γίνεσθαι τὴν λέξιν ἀπὸ τοῦ ἀναβάλλεσθαι, ὅ ἐστι προοιμιάζεσθαι, ὡς τὸ «ὃ δ’ ἀνεβάλλετο καλὸν ἀείδειν». ἢ καὶ ἄλλως ἀμβλήδην τὸ ἀναβλητικῶς, ὁρμητικῶς, ἀθρόως. καὶ συγκέκοπται ἀπὸ τοῦ ἀμβολάδην, ὅπερ πρὸ μικροῦ ἐρρέθη ἐπὶ ἀναζέοντος λέβητος. Ἡ δὲ καταρχὴ τῆς ῥηθείσης μονῳδίας ὁμοία τῇ τῆς Ἑκάβης. ἐκείνη μὲν γὰρ ἔφη «τέκνον, ἐγὼ δειλή», αὕτη δὲ «Ἕκτορ, ἐγὼ δύστηνος. λέγει δὲ καὶ κατωτέρω τὸ «Ἕκτορ», ἐπιμένουσα φιλίως τῷ ὀνόματι τοῦ ἀνδρός. μίαν δὲ αἶσαν λέγει τὴν ἐπίσης ἐπ’ ἀμφοῖν ἔχουσαν κατά γε τὸ δυστυχές. (v. 479) Τὸ δὲ «Θήβαις ὑποπλάκῳ ὑληέσσῃ» καινότερον συντέτακται, ἢ διὰ

σαφήνειαν, ἵνα λέγῃ, ταῖς Θήβαις, ἤγουν τῇ ὑποπλάκῳ πόλει, ἢ ὡς ἂν ἐμφήνῃ ὅτι δύναται καὶ Θήβη ὑπόπλακος λέγεσθαι ἑνικῶς, ὡς τὸ «ᾠχόμεθα ἐς Θήβην».

4.661 διὰ τοῦτο γὰρ τῇ πληθυντικῇ δοτικῇ ἑνικὴν ἐπήγαγε. περὶ δὲ Θηβῶν τούτων προδεδήλωται. (v. 480) Τὸ δὲ «τυτθὸν ἐοῦσαν» ὅμοιον τῷ «κοτύλην τυτθὸν ἐπέσχεν» ἤτοι μικράν, κατὰ τὸ «κλυτὸς Ἱπποδάμεια». (v. 481) Τὸ δὲ «δύσμορος αἰνόμορον» δηλοῖ μὲν ἐκ παραλλήλου τὸ αὐτό, ἐχρησίμευσε δὲ τῷ, καθά που προδεδήλωται, γράψαντι «δύσπαρις, αἰνόπαρις», ἔχει δὲ πρὸς ταῦτα ὁμοιότητα καὶ τὸ «δυσάμμοροι», κοινῶς περὶ τῶν δύο λεχθὲν ὁμοζύγων, περὶ οὗ πρὸ βραχέων γέγραπται. (v. 482) Τὸ δὲ «ὑπὸ κεύθεσι γαίης» ἀντὶ τοῦ ὑπὸ τοῖς κευθμῶσιν, ἑρμηνεία ἐστὶ τοῦ δόμους Ἀΐδου, ὃς τόπος ἐστὶν ὑπόγαιος καὶ οὕτω κεκρυμμένος. διὸ καὶ Ἀΐδης λέγεται, ἤγουν ἀὴρ ἀφανής, ὃν οὐκ ἔστιν ἰδεῖν. (v. 489) Ἀπουρίσαι δὲ ἀρούρας τὸ ἀφορίσαι καὶ ἀφελέσθαι. καὶ ἔστι καιριωτάτη ἡ λέξις, τιθεμένη καὶ ἐπὶ ἐξορίας. ἐκ δὲ τοῦ τοιούτου ῥήματος καὶ τὸ ἀποῦραι ἢ μᾶλλον τοῦτο πρωτότυπον τοῦ ἀπουρίζειν, ὁμοίως τῷ ἐρέθω ἐρεθίζω, ὁπλέω ὁπλίζω, ἀφρέω ἀφρίζω. [Καὶ τοιοῦτον μὲν τὸ ἀπουρίζειν. κατουρίζειν δέ γε τὸ κατ' οὖρον πλέειν, ὡς τὸ «πόλιν κατ' ὀρθὸν οὔρισας.] Ἐντεῦθεν δὲ ἄρχεται ὁ γνωμικὸς χαρακτήρ, ὁ, καθὰ εἴρηται, περὶ τῆς ἁπλῶς ὀρφανίας μετρούμενος ἐν στίχοις, ὡς προεδηλώθη, ἐννέα, οὕς, καθὰ ἐρρέθη, ἀθετοῦσί τινες, ὡς ἀδιαθέτους, φασί, καὶ κοινῶς τῷ τυχόντι παντὶ ὀρφανῷ πρέποντας, οὐ μὴν τοιῷδε, ὁποῖος ὁ Ἀστυάναξ ἔσται, εἰ τυχὸν φύγῃ τὸν πόλεμον.

4.662 οὐ γὰρ δήπου τὰ τοῦ τυχόντος ὀρφανοῦ πείσεται καὶ αὐτὸς ὁ βασιλικὸς ὀρφανός. ἔτι γε μὴν ὠβέλισαν τοὺς τοιούτους στίχους οὐ μόνον ὡς ἀναρμόστους τῷ καιρῷ, ἀλλὰ καὶ ὡς εὐτελεῖς τῇ συνθήκῃ, καθὰ ἐκεῖνοι λέγουσι, μὴ θέλοντες γυναικείου στοχάσασθαι ἤθους, ἐν πένθει μεγάλῳ ταῦτα λέγοντος, ὅτε τοῦ πρὸς ἀκρίβειαν λαλεῖν ἐξεκρούετο. (v. 490) Παναφῆλιξ δὲ παῖς ὁ τῶν ἡλικιωτῶν ἁπάντων ἀπηλασμένος, ἢ πάντῃ ἀφῆλιξ, οἷα τῇ ἀφηλικιότητι προστεθέντων καὶ τῶν τῆς ὀρφανίας κακῶν. (v. 491) Τὸ δὲ «πάντα ὑπεμνήμυκεν» ἀντὶ τοῦ κατὰ πάντα ἐστύγνακε. διὸ καὶ ἐπάγει «δεδάκρυνται δὲ παρειαί». ἢ μᾶλλον τεταπείνωται, καταβέβληται. τοῦτο δὲ εἰς γραφὴν μὲν πεζὴν οὐχ' ἕλκεται, γίνεται δὲ ἐκ τοῦ ἠμύω, τὸ ἐπικλίνω, ἤμυκε, καὶ Ἀττικῶς ἐμήμυκε, καὶ πλεονασμῷ τοῦ ν ἐμνήμυκε, ἀντὶ τοῦ κάτω οἷον κεῖται καὶ στυγνάζων κατακέκλιται. [Ὅτι δὲ τοῦ ἠμύω πρωτότυπόν ἐστι τὸ μύω, ἐκδηλότατόν ἐστιν. αὐτὸ δὲ ἐπὶ βλεφάρων καὶ χειλέων καί τινων ἑτέρων λέγεται. μέλλων δὲ αὐτοῦ μύσω, ἐξ οὗ καὶ μύες καὶ μυῶνες οἱ κατὰ σῶμα, καὶ μῦς τὸ ζῴφιον. ἐκ δὲ τοῦ μύειν, ὡς καὶ ἀλλαχοῦ δεδήλωται, καὶ ποτήριον ἡ ἄμυστις, ἀφ' οὗ ἔστιν εὐμαρῶς πιεῖν, καὶ πόσις δέ, ἣν ἀπνευστὶ πίνει τις μὴ μύσας, καὶ ῥῆμα ἐκμυστίζειν τὸ ἐφ' ἓν πνεῦμα πίνειν, οἷον «λύσας δὲ ἀργὴν στάμνον εὐώδους ποτοῦ ἵησιν εὐθὺς κύλικος εἰς κοῖλον πλάτος· ἔπειτ' ἄκρατον καὶ οὐ τεταργανωμένον ἔπινε κἀξεμύστισε».

4.663 Πλάτωνος τοῦτο τοῦ Κωμικοῦ, ὥς φησιν Ἀθήναιος, ὡς καὶ τὸ «ἔπινον δὲ τὴν ἄμυστιν μετὰ μέλους, μεμετρημένου πρὸς ὠκύτητα χρόνου».] (v. 493) Ἐν δὲ τῷ «ἄλλον χλαίνης ἐρύων, ἄλλον χιτῶνος» διαφοράν τε φανερὰν δηλοῖ χιτῶνος καὶ χλαίνης, καὶ ἰδίωμα ὑπογράφει παιδός, λαλῆσαι μὲν οὐκ ἔχοντος, ἑλκυσμῷ δὲ τοὺς ἱκετευομένους ἐπιστρέφοντος. [Ὅτι δὲ χιτὼν οὐκ ἐξ ἀνάγκης ἀεὶ λέγεται τὸ ἀμέσως περικεχυμένον λίνεον ταῖς σαρξίν, ἀλλὰ καὶ τὸ ἁπλῶς ἱμάτιον, δεδήλωται μὲν καὶ ἄλλοθι, φαίνεται δὲ καὶ ἐκ τῶν τοῦ Ἀθηναίου, ἔνθα δηλοῦται ὡς κόρυμβος οὐ μόνον ὄρους, ἀλλὰ καὶ ὁ ἐπὶ κεφαλῆς, οἷον «Ἀθηναῖοι ποικίλους ποτὲ ὑπέδυνον χιτῶνας, κορύμβους δ' ἀναδούμενοι τῶν τριχῶν χρυσοῦς τέττιγας περὶ τὸ μέτωπον καὶ τὰς κόμας ἐφόρουν». ἐν τούτοις γὰρ οἱ ποικίλοι χιτῶνες οὐκ ἂν εἶεν ἐπικάμισα κατὰ τὴν κοινὴν παρατήρησιν. εἰ δὲ παρὰ τὴν κάραν ἡ κόρυς, καὶ ἐξ αὐτῆς ὁ κόρυμβος, ἑτέρου τοῦτο λόγου, ὥσπερ καὶ ἐὰν ὁ ῥηθεὶς Ἀθηναϊκὸς τέττιξ κρωβύλος ἐλέγετο καὶ εἰ λάλον ὁ τέττιξ, τὸ ζῷον. ὁμοίως δὲ καὶ ἡ κερκώπη ζῷον αὐτὴ ὅμοιον τέττιγι καὶ τρυγονίῳ, περὶ ὧν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δηλοῖ ὁ Κωμικὸς Ἄλεξις, εἰπὼν «σοῦ δ’ ἐγὼ λαλιστέραν οὐ πώποτ’ εἶδον οὔτε κερκώπην, γύναι, οὐ κίτταν, οὐκ ἀηδόνα, οὐ τρυγόνα, οὐ τέττιγα». χρῆσις δὲ κερκώπης καὶ παρὰ Λιβανίῳ.] (v. 494) Κοτύλην δέ φησι τυτθὸν τὴν μικρὰν κυπελλίδα. Ἀττικῶς δὲ εἴρηται καὶ Ἰωνικῶς καὶ ἡ τυτθός. Κοτύλη δὲ οὐ μόνον εἶδος [λεπτοῦ] ποτηρίου, ὡς ἐνταῦθα κεῖται, ἀλλὰ καὶ παλάμης κοίλωμα. ὅθεν καὶ κοτυλήρυτον, ὃ τοιαύταις ἄν τις κοτύλαις ἀρύσαιτο, [ἤγουν ἀμφοῖν χεροῖν.] Λέγεται δὲ κοτύλη καὶ ἐπὶ ποδῶν πολύποδος, [ἐφ’ ὧν κοτυληδόνες αἱ ἐν ταῖς πλεκτάναις αὐτῶν ἐπιχύσεις], καὶ ἡ κατὰ τὸ ἰσχίον δὲ τοῦ μηροῦ κοιλότης.

4.664 ὅλως δέ, κοίλη πᾶσα κοτύλη, [ὡς καὶ τὸ τῆς χειρὸς κοῖλον. ὅθεν καὶ κοτυλήρυτον, ὅπερ ἄν τις κοίλῳ τινὶ ἀρύσηται. παρὰ δὲ Ἀθηναίῳ κοτύλη πᾶν κοῖλον.] Φέρεται δὲ καὶ τοιαῦτα περὶ κοτύλης ἔν τινι τῶν παλαιῶν· κοτύλη· μέτρον καὶ τὸ κοῖλον τῆς χειρός. ἡ μὲν δὴ κοτύλη, φησίν, Ἑλληνικόν, ἡ δὲ ἡμίνα οὐδαμοῦ. ἔστι δ’ οὖν παρ’ Ἐπιχάρμῳ, ὃς καὶ ὀγγίαν λέγει καὶ λίτραν. [Ἕτερος δέ τίς φησιν, ὅτι Διόδωρος τὴν κοτύλην καλεῖσθαι λέγει καὶ ἡμίναν, ἧς χρῆσις καὶ παρ’ Ἐπιχάρμῳ ἐν τῷ «ὕδωρ χλιαρόν, ἡμίνας δύο», καὶ παρὰ Σώφρονι ἐν τῷ «κατάστρεψον, τέκνον, τὴν ἡμίναν». περὶ ἧς χρὴ σκοπεῖν ἡμᾶς μή ποτε ἡμίνα ᾖ τὸ ἥμισυ τοῦ ἴν, οὗ χρῆσις ἐν τῷ «πλέον ἤπερ ἴν».] Κοτύλη δέ, φασίν, οὐ μόνον ἐπὶ ξηρῶν, ἀλλὰ καὶ ἐπὶ ὑγρῶν. κοτύλην γοῦν ὕδατος καὶ δύο κοτύλας κριθῶν Θουκυδίδης φησί, [καὶ Ἀριστοφάνης «ἀλφίτων χοίνικας τρεῖς κοτύλης δεούσας».] Ἔστι δὲ καὶ κότυλος ποτήριον μόνωτον, [λουτηρίῳ ἐοικὸς βαθεῖ, φασί.] Παυσανίας δὲ ἱστορεῖ ὅτι παιδία τις ἦν καλουμένη ἐν κοτύλῃ, ἐν ᾗ διαπλέξας τις ὀπίσω[, καθὰ καὶ προδεδήλωται,] τοὺς δακτύλους τῶν χειρῶν ἐπενωτίζετο τὸν ἀναιρούμενον. ὁ δ’ ἐνθεὶς τὸ γόνυ ταῖς χερσὶ καὶ περιλαβὼν τοῦ αἴροντος τὴν κεφαλὴν ἢ τὸν τράχηλον ἐβαστάζετο. ἐκλήθη δέ, φησίν, ἐν κοτύλῃ, ἐπεὶ τὸ κοῖλον τῆς χειρὸς κοτύλη λέγεται, εἰς ὃ κοῖλον ἐνετίθει τὸ γόνυ ὁ βασταζόμενος. Ἀλλαχοῦ δὲ γράφεται οὕτω· ἐγκοτύλη, παιδιά τις, ὡς καὶ ἑτέρωθι γέγραπται, ἐν ᾗ κοιλάναντες χεῖρα δέχονται τὰ γόνατα τῶν νενικηκότων οἱ νενικημένοι καὶ βαστάζουσιν αὐτούς.

4.665 [Ἔτι ἰστέον καὶ ὅτι παράγωγον κοτύλης κοτυλίσκη τε καὶ κοτυλίσκιον, οὗ μνεῖα παρὰ Ἀριστοφάνει ἐν τῷ «κοτυλίσκιον τὸ χεῖλος ἀποκεκρουσμένον», καὶ ὅτι Αἰσχύλος καὶ τὰ κύμβαλα κοτύλας φησίν, οἷον «χαλκοδέτοις κοτύλαις ὀτοβεῖ».] (v. 494) Τὸ δὲ «ἐπέσχε» τί σημαίνει, δεδήλωται καὶ ἐν ταῖς Λιταῖς. (v. 495) Τὸ δὲ «χείλεα μὲν ἐδίηνεν, ὑπερῴην δ’ οὐκ ἐδίηνε» κάλλους μέν ἐστι σχῆμα, ὅμοιον τῷ «ταξιάρχους παρ’ ὑμῶν, ἱππάρχους παρ’ ὑμῶν» ἑλκυσθὲν δὲ καὶ εἰς παροιμίαν λέγεται ἐπὶ τῶν μικρά τινα δωρουμένων, δι’ ὧν χείλη μὲν ὑγραίνεται, εἰς δὲ τὸ κατὰ στόμα ὑπερῷον ὑγρότης οὐκ ἄνεισι. λαμβάνεται δὲ καὶ ἐπὶ τῶν λόγοις μὲν ὑποσχετικοῖς εὐφραινόντων, οὐ μὴν καὶ τῇ ἔνδον ἀγαθῇ διαθέσει. Δῆλον δὲ ὅτι ὑπερῴην λέγει τὸν κατὰ στόμα οὐρανόν, ἄμφω καλούμενον διὰ τὸ μετὰ ὕψους κατηρεφὲς καθ’ ὁμοιότητα ὑπερῴου τε οἰκήματος καὶ οὐρανοῦ. (v. 496) Ἀμφιθαλὴς δὲ παῖς ὁ ἀμφοτέρωθεν θάλλων ἤτοι εὐδαιμονῶν, ἤγουν ᾧ πατὴρ καὶ μήτηρ περίεισιν. ἅπαξ δὲ ἡ λέξις εἴρηται παρὰ τῷ ποιητῇ. ἑτεροθαλὴς μέντοι, ᾧ θάτερος τῶν φυσικῶν τούτων κλάδων ἀπέσπασται. καθ’ ἣν ἔννοιαν καὶ παῖδες πατρὸς μὴ ὁμομήτριοι ἑτεροθαλεῖς λέγονται. ἐκ δὲ τοῦ τοιούτου θάλλειν καὶ θάλεά φησιν ἐν τούτοις ὁ ποιητὴς τὰ ἀγαθά, ὧν ἐμπίπλαται παῖς εὐδαίμονος πατρός, ὃς καὶ φίλον θάλος τοῖς γειναμένοις ἐστίν. οἱ δὲ παλαιοί, λέγοντες ὅτι ἀμφιθαλεῖς οἱ ἔχοντες ζῶντας τοὺς δύο γονεῖς, προστιθέασι καὶ ὅτι οἱ τοιοῦτοι τὰς τότε εἰρεσιώνας διεκόσμουν.

4.666 ἐν δὲ τοῖς Παυσανίου κεῖται ταῦτα· εἰρεσιώνη· θαλλὸς ἐλαίας ἐστεμμένος ἐρίῳ, προσκρεμαμένους ἔχων διαφόρους ἐκ γῆς καρπούς. τοῦτον ἐκφέρει παῖς ἀμφιθαλὴς καὶ τίθησι πρὸ θυρῶν τοῦ Ἀπόλλωνος ἱεροῦ ἐν τοῖς Πυανεψίοις. λέγεται γάρ, φησί, Θησέα, ὅτε εἰς Κρήτην ἔπλει, προσσχόντα Δήλῳ τῇ νήσῳ διὰ χειμῶνα εὔξασθαι Ἀπόλλωνι καταστέψασθαι κλάδοις ἐλαίας, εἰ τὸν Μινώταυρον κτείνας σωθῇ, καὶ θυσιάσειν. καὶ γοῦν τὴν ἱκετηρίαν ταύτην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καταστέψας ἑψῆσαι λέγεται χύτρας ἀθάρας καὶ ἔτνους καὶ βωμὸν ἱδρύσασθαι. διὸ καὶ Πυανέψια λέγεσθαι, οἷον Κυαμέψια, διὰ τὸ πυάμους πρότερον τοὺς κυάμους καλεῖσθαι. ἦγον δὲ ἔσθ’ ὅτε ταῦτα καὶ ἐπὶ ἀποτροπῇ λιμοῦ. ᾖδον δὲ παῖδες οὕτω «Εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους καὶ μέλιτος κοτύλην καὶ ἔλαιον ἐπικρήσασθαι καὶ κύλικ’ εὔζωρον, ἵνα μεθύουσα καθεύδῃ». μετὰ δὲ τὴν ἑορτὴν ἔξω ἀγρῶν τιθέασι παρὰ τὰς θύρας. Κράτης δέ φησιν ἀφορίας ποτὲ κατασχούσης Ἀθήνας θαλλοὺς καταστέψαντας ἐρίοις ἱκετηρίαν ἀναθεῖναι Ἀπόλλωνι. [Ἀλλαχοῦ δὲ λέγεται καὶ ὅτι στέμμα λευκὸν καὶ φοινικοῦν ἀπήρτητο τοῦ θαλλοῦ καὶ ὅτι προὐτίθετο ἱκεσία τῷ Ἀπόλλωνι, καθ’ ἣν ἡμέραν οἱ περὶ Θησέα σωθῆναι δοκοῦσι, καὶ ὅτι καταχύσματα καὶ κύλικα οἴνου κεκραμένην καταχέοντες αὐτῆς ἐπέλεγον τὴν ῥηθεῖσαν ᾠδήν.] Δαιτὺν δὲ τὴν δαῖτα λέγει, ὡς τὸ βρωτὺν καὶ ἐδητύν. (v. 497) Τὸ δὲ «πεπληγώς» νῦν μὲν ἐνέργειαν δηλοῖ, τεθὲν ἀντὶ τοῦ πλήξας, σημαίνει δέ ποτε καὶ πάθος κατ’ ἔθος ἐνεργητικοῦ μέσου παρακειμένου. Τὸ δὲ «ὀνειδείοις» ἐλλέλειπται τοῦ ἐπέεσσι. Τὸ δὲ «ἐνίσσων», ὅ ἐστι κακολογῶν, ἐκ τοῦ ἐνίπτω παρῆκται, ἀφ’ οὗ ἐνιπή, ἡ δι’ ἐπέων ἐπίπληξις, ὧν προηγεῖται τὸ ἐνέπω.

4.667 (v. 498) Τὸ δὲ «ἔρρε», καὶ ἑξῆς ὁ στίχος ὅλος εὐτελὲς τῇ διανοίᾳ ἐστὶ καὶ εὐπερίγραπτον. ἠθοποιΐα γάρ ἐστιν ὡς ἀπὸ νηπίου μὴ δυναμένου κάλλιον λαλεῖν. (v. 499) Τὸ δὲ «δακρυόεις δέ τ’ ἄνεισι πάϊς ἐς μητέρα χήρην» δύναται καὶ αὐτὸ προσνεμηθῆναι τοῖς ἀνωτέρω αὐτοῦ κειμένοις ἐννέα στίχοις τοῦ γνωμικοῦ, εἶτα ἐπάγεσθαι ἀσυνθέτως κατὰ ἀπόστασιν τὸ «Ἀστυάναξ», ὡς εἴπερ εἰπὼν ἐν τοῖς δέκα στίχοις ὅτι τάδε καὶ τάδε, καθολικῶς εἰπεῖν, πάσχει ὁ ὀρφανικὸς παῖς, εἶτα ἐπέφερεν ὅτι ὁποῖος καὶ Ἀστυάναξ, ἢ τοιοῦτος καὶ ὁ Ἀστυάναξ, ἢ ἄλλο τι τοιοῦτον. [Ὡς δὲ ὁ Ὁμηρικὸς Ἀστυάναξ δριμέως πέπαικται καὶ ἐπί τινος δυσκινήτου τὰ εἰς λαγνείαν ἀπὸ τοῦ στύειν, ὃ κεῖται παρὰ τῷ Κωμικῷ, δεδήλωται καὶ ἀλλαχοῦ, καὶ ὅτι ἐκ τοῦ στύειν γίνεται καὶ ὁ ἄστυτος, οἷον παρὰ Ξενάρχῳ «Πελοπιδῶν ἄστυτος οἶκος», ἤγουν ἄκαρπος, ἄγονος, καὶ «φθίνει δόμος ἀστύτοισι δεσποτῶν κεχρημένος τύχαις». Φασὶ δὲ κατὰ τὴν παρὰ τῷ Ἀθηναίῳ ἱστορίαν καὶ θρίδακα τὴν ἐκ γενέσεως πλατύφυλλον καὶ τετανὴν καὶ ἄκαυλον ἀστύτιδα καλεῖσθαι ὑπὸ γυναικῶν, εὐνοῦχον δέ γε ὑπὸ τῶν Πυθαγορείων, ἐπειδή, φησίν, ἀσθενεῖς εἰσι πρὸς τὰ κατ’ Ἀφροδίτην οἱ συνεχῶς χρώμενοι θρίδαξι. διὸ καὶ δοκεῖ τὸ φυτὸν μισητὸν εἶναι τῇ Ἀφροδίτῃ τά τε ἄλλα καὶ κατὰ μῦθον Κύπριον, ὃς λέγει Ἄδωνιν καταφυγόντα εἰς θρίδακα ὑπὸ κάπρου ἀναιρεθῆναι. δοκεῖ δὲ καὶ ἡ τρίγλη ἄστυτις εἶναι, ὡς δῆλον ἐκ τοῦ «οὐκ ἐθέλει νεύρων ἐπιήρανος εἶναι», ἤγουν ἐράστρια τοῦ κατ’ ἄνθρωπον σπερματικοῦ νεύρου. διὸ ἐπάγει «καὶ στύματα μισεῖ», ἤγουν αἰδοίου τάσεις. τὸ δὲ τοιοῦτον νεῦρον Ἀριστοφάνης ἐν Ὄρνισι κοινῶς εἶπεν, ὡς οἱ πολλοὶ λέγουσιν, οἱ δὲ σεμνότεροι δέμας καλοῦσι. καὶ κατῆρξεν εἰς τοῦτο Πλάτων ὁ Κωμικός, εἰπὼν περὶ βολβοῦ, ὃς πολὺς ἐν Ἀθήναις φύεται, ὅτι τὸ δέμας ἀνορθοῖ, τουτέστι τὸ αἰδοῖον ἐντείνει.

4.668 τοιοῦτον γὰρ φύσει κατὰ ἰδιότητα ὁ βολβός.] (v. 500) Τὸ δὲ «ἐπὶ γούνασι πατρός» συγκροτεῖται ὑπὸ τοῦ «παῖδες ἐν γούνασι παππάζουσι», καὶ «ἐπ’ ἐμοῖς ἐγὼ γούνασι καθίσας», καὶ «δακρυόεσσα γούνασι πατρὸς ἐφέζετο». [Ὅτι δὲ παππάζειν τὸ πάππαν ἤγουν πατέρα προσφωνεῖν, προδεδήλωται. χρῆσις δέ, φασίν, αὐτοῦ παρὰ Φιλήμονι ἐν τῷ «Ἀγύρριος δὲ παρατεθέντος καράβου, ὡς εἶδεν αὐτόν «χαῖρε πάππα φίλτατε εἴπας», ἤγουν εἰπών, «τὸν πατέρα κατήσθιεν». ἦν γὰρ ἴσως ὁ Ἀγύρριος υἱὸς Καράβου τοῦ φιλίχθυος.] (v. 501) Τὸ δὲ «μυελὸν οἶον» πιθανὸν ποιεῖ καὶ τὸ τὸν Ἀχιλλέα κατά τινας οὕτως ἐκτραφῆναι. (v. 502) Τοῦ δὲ «νηπιαχεύων» πρωτότυπον τὸ νηπιάχων ἐστί. (v. 503) Τὰς δὲ ἀγκάλας ἀγκαλίδας εἰπὼν συνυποκορίζει αὐτὰς τῇ βραχύτητι τοῦ ἐγκοιμωμένου αὐταῖς βρεφυλλίου. ἐμνήσθημεν δέ που καὶ πρὸ τούτου ἀγκαλίδων, ἐξ ὧν οὐ μόνον οἱ, ὡς ἐκεῖ ἐγράφη, ἀγκαλιδαγωγοί, ἀλλὰ καὶ ἀγκαλιδαγωγεῖν κατὰ Παυσανίαν τὸ ἀγκαλίδας ἄγειν ἐπὶ κτηνῶν ἢ πλοίου, οὐκ αὐτὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φέροντα. τοῦτο γὰρ ἀγκαλιδοφορεῖν. ὥστε ὁμώνυμον καὶ ἡ ἀγκαλίς, οὐ μόνον Ὁμηρικῶς ἀγκάλην δηλοῦσα, ἀλλὰ καὶ δεσμὸν ξύλων ἢ τοιούτων τινῶν. Κοιμᾶσθαι δὲ ἐν ἀγκάλαις ὁ παῖς λέγεται ἢ ὡς συγκοιμώμενος τῇ τιθήνῃ ἢ ὅτι καὶ ἄϋπνος ἐκείνη οὖσα εἶχέ τι λέκτρον σύμμετρον πρὸς ταῖς ἀγκάλαις, ἐν ᾧ ἐκάθευδεν ὁ παῖς, ὥς φασιν οἱ παλαιοί. (v. 504) Θάλεα δέ, ὡς καὶ προείρηται, τὰ τοῦ θάλλειν αἴτια ἀγαθά, κεῖται δέ ποτε ἡ λέξις καὶ ἐπὶ φυτοῦ. (v. 506) Τὸ δὲ «ἐπίκλησιν» ἀντὶ τοῦ ἐπίκλην, ὡς προδεδήλωται. διώνυμος γὰρ ὁ Ἀστυάναξ, τῷ μὲν κυρίῳ Σκαμάνδριος καλούμενος καθ᾽ Ὅμηρον, ὡς καὶ πρὸ τούτων δεδήλωταί που, ἐπίκλην δὲ ὁ Ἀστυάναξ. διὰ τί; διότι, φησί, μόνος σύ, ὦ Ἕκτορ, «ἔρυσο», τουτέστιν ἐφύλασσες, «πύλας αὐτοῖς καὶ τείχεα μακρά», ὡς εἶναι τὸ ἐπώνυμον ὄνομα τῷ βρέφει οὐ δι᾽ ἑαυτό, ἀλλὰ διὰ τὸν πατέρα, ὡς καὶ Ὀδυσσεὺς τοὔνομα διὰ τὸν πάππον εἶχεν Αὐτόλυκον, καθὰ καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται, καὶ ὡς ἡ Κλεοπάτρα ἐν ταῖς Λιταῖς Ἀλκυόνη ἐπικληθῆναι ἱστόρηται διὰ τὸ πενθητικὸν τῆς μητρός.

4.669 Καὶ ὅρα ὅτι Ἀστυάναξ οὐχ᾽ ὡς ἁπλῶς βασιλέως ὄντος τοῦ πατρός, ἀλλ᾽ ὡς ἐρυομένου τὸ ἄστυ, τουτέστι φυλάσσοντος, ὃ δὴ ἔργον ἄνακτος, ὃς ἀπὸ τοῦ ἀνακῶς ἔχειν, ὅ ἐστιν ἐπιμελῶς, ἐτυμολογούμενος, ὡς ἐν ἄλλοις ἐρρέθη, πόλεών ἐστιν ἐπιμελητής, καὶ ὡς οὕτως εἰπεῖν, ἐρυσίπτολις. τοῦτο γὰρ δηλοῖ τὸ «ἔρυσο πύλας καὶ τείχεα μακρά». ὁ δὲ τόπος οὗτος τρόπου ἐστὶν ἐτυμολογικοῦ, οὗ χάριν καὶ ἡ τοῦ Ἀστυάνακτος ἐπανάληψις γέγονεν. Ἰστέον δὲ ὅτι καὶ αὐτὸ τοῦτο τὸ Ἕκτωρ ὄνομα τῆς τοῦ ἥρωος περὶ τὴν πόλιν φυλακτικῆς προμηθείας ἐστὶ σημαντικὸν καὶ τῆς, ὡς εἰπεῖν, συγκρατήσεως. ταὐτὸν γὰρ Ἕκτωρ εἰπεῖν καὶ συνοχεύς, ἤτοι κρατητής, ὡς δηλοῖ καὶ Λυκόφρων, εἰπὼν τὰς ἀγκύρας «ἕκτορας πλημυρίδος», ἤγουν ἐφεκτικὰς τῆς τῶν κυμάτων ῥύμης. (v. 509) Εὐλαὶ δὲ καὶ νῦν σκώληκες σαρκῶν παρὰ τὸ εἰλεῖσθαι τροπῇ τοῦ ι εἰς υ . (v. 511) Τὸ δὲ «χερσὶ γυναικῶν» εἶπεν, ὡς τοῦ ὑφαίνειν γυναιξὶ μόναις τότε ἀνειμένου. (v. 514) Τὸ δὲ «ἀλλὰ πρὸς Τρώων καὶ Τρωιάδων κλέος εἶναι» δυσκόλως μὲν πέφρασται, δηλοῖ δὲ τὸ ἀλλ᾽ ἔστω σοι κλέος ἡ τῶν ἱματίων καῦσις ἔμπροσθεν πάντων τῶν ἐν τῇ Τροίᾳ, ὁμοίως τῷ «πρός τε θεῶν μακάρων πρός τε θνητῶν ἀνθρώπων», ἤγουν ἔμπροσθεν θεῶν καὶ ἀνθρώπων, ἵνα λέγῃ ὅτι οὐδὲν μέν σοι ὄφελος τοῦ καταφλεχθῆναι πυρὶ τὰ εἵματα, ἐπεὶ οὐδὲ ἐγκεῖσθαι μέλλεις αὐτοῖς, ὃ δὴ ὄφελός τί ἐστι τοῖς κεκτημένοις εἵματα, ὅμως δὲ κλέος σοι ἔσονται. «τὸ γὰρ γέρας ἐστὶ θανόντων». Ἰστέον δὲ ὅτι τε πολλὰ καὶ τοῦ κατὰ τὴν Ἀνδρομάχην Ὁμηρικοῦ τούτου χωρίου εἰς πεζογραφίαν παρελκύσει τις κατὰ λόγον παραπλοκῆς, καὶ μᾶλλον ὅτε χηρείαν τις ἢ ὀρφανίαν ἀποδύρεται, καὶ ὅτι ἐντεῦθέν τις πενητεύων μεταλαβὼν συγκριτικῶς ἐπὶ ἀνηλεοῦς καὶ σμικροδώρου ἐρεῖ, ὡς κρεῖττον χείλεα μὲν διῆναι, ὑπερῴην δὲ μὴ διῆναι ἤπερ ἐκ δαιτύος στυφελίξαι χερσὶ πεπληγότα.

4.670 (v. 501—3) Τὸ δὲ μυελὸν ἐσθίειν καὶ θρεμμάτων δημοὺς ἐπὶ τρυφώντων ῥηθήσεταί ποτε καθ᾽ ὁμοιότητα τοῦ ἀληλεσμένου βίου, ὥσπερ καὶ τὸ εὕδειν ἐν λέκτροις εὐνῇ ἐν μαλακῇ θαλέων ἐμπλησάμενον κῆρ. (v. 503) Εἰ δὲ καὶ κακόβιος ὁ τρυφῶν, προσαρμόσει καὶ τὸ «ἐν ἀγκαλίδεσσι» τῆς δεῖνος. (v. 513) Τὸ δὲ «οὐδέν σοί γ᾽ ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς» νῦν μὲν ἐπὶ ἀνδρὸς εἴρηται μάτην σχόντος ὑφάσματα πολλά, παρῳδηθέντος δὲ τοῦ «οὐκ ἐγκείσεαι» εἰς τὸ «οὐ χρήσεαι» σκῶμμα ἔσται εἰς πολυχρήμονα φειδωλόν. κυριολεκτεῖται δ᾽ ἐνταῦθα τὸ «ἐγκείσεαι». τὸ μέντοι κοινῶς ἐγκεῖσθαι λεγόμενον, οἷον τὸ καρδίαν ἐπιμελῶς ἐγκεῖσθαι περὶ πονηρὰ καὶ εἴ τι τοιοῦτον, ἐπὶ ἐνστάσεώς τινος καὶ ἐπιμονῆς λαμβάνεται. Ἰστέον δὲ ὅτι τὸ «οὐδὲν σοί γ᾽ ὄφελος» ἀσυνδέτως φρασθέν, καθὰ καὶ ἄλλα πρὸ αὐτοῦ διὰ τὴν ἀγωνίαν τοῦ λαλοῦντος προσώπου, δύναται καὶ ἐλλιπῶς ἔχειν, ἵνα λείπῃ σύνδεσμος αἰτιολογικός, οἷον ὁ γαρ ἢ ὁ ἐπει , ὡς λεγούσης τῆς Ἀνδρομάχης «ἐπεὶ οὐδέν σοί γ᾽ ὄφελος» ἢ «οὐδὲν γάρ σοί γ᾽ ὄφελος». ΕΚ ΤΩΝ ΤΗΣ Ψ Ι Ὅτι τὸ ψῖ κοινῶς μὲν ἀγὼν ἐπιτάφιος ἐπιγράφεται, ἡρωϊκῶς δέ· ψῖ, Δαναοῖσιν ἀγῶνα διδοὺς ἐτέλεσσεν Ἀχιλλεύς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4.671.(t) (v. 1) Ὅτι ἐν τῷ «ὣς οἳ μὲν στενάχοντο κατὰ πτόλιν» φασὶν οἱ παλαιοὶ ὡς Κυπρίων ἐστὶ τῶν ἐν Σαλαμῖνι λέξις τὸ πτόλις, ὃ καὶ ἀλλαχοῦ ἐδηλώθη. (v. 2) Ἐν δὲ τῷ «Ἀχαιοὶ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο» φασὶν ὅτι ἡ μέχρι Σιγείου θάλασσα Ἑλλήσποντος ἐλέγετο, ἡ δ' αὐτὴ καὶ πλατὺς Ἑλλήσποντος, περὶ οὗ προγέγραπται. (v. 6) Ὅτι ἐν τῷ «Μυρμιδόνες ταχύπωλοι»—κατὰ τοὺς ἀλλαχοῦ αἰολοπώλους— «ἐμοὶ ἐρίηρες ἑταῖροι» κολακευτικῶς ὁ Ἀχιλλεὺς προσφέρεται τοῖς ὑπ' αὐτόν, ἵνα προθύμως ποιήσωσιν, ὅπερ ἀξιώσει. (v. 7—9) Τὸ δέ ἐστι τοιοῦτον «μὴ δή πω ὑπ' ὄχεσφι λυώμεθα μώνυχας ἵππους, ἀλλ' αὐτοῖς ἵπποισι καὶ ἅρμασιν ἆσσον ἰόντες Πάτροκλον κλαίωμεν· ὃ γὰρ», ἤγουν τοῦτο, «γέρας ἐστὶ θανόντων. (v. 12) Οἱ δὲ ποιοῦσιν οὕτω καὶ εὐθὺς «ᾤμωξαν ἀολλέες, ἦρχε δ' Ἀχιλλεύς». Ἔστι δὲ οἰμώζειν τὸ κατὰ ὀνοματοποιΐαν οἵ τε λέγειν καὶ ὤ. ἐξ ὧν, ὡς καὶ προδεδήλωται, τὸ οἰμώζειν σύγκειται. οὔκουν ἐλάλησάν τι οἰμώζοντες, Ἀχιλλεὺς δέ γε κατωτέρω ἐν λόγῳ διεξοδικῷ ἀδινοῦ ἐξάρχων γόοιο λέγει, ἃ θέλει. (v. 7 et 11) Τὸ δὲ «λυώμεθα ἵππους», οὕτω δὲ καὶ μετ' ὀλίγα τὸ «ἵππους λυσάμενοι δορπήσομεν ἐνθάδε πάντες» ἔστι καὶ ἐνεργητικῶς λέγειν «λύωμεν» καὶ «λύσαντες».

4.672 διὸ κατωτέρω «λύον ἵππους» φησὶ, δυνάμενος καὶ ἐνεργητικῶς φάναι «λύοντο». Καιρία δὲ λέξις τὸ λύειν ἐπὶ τοῦ ἀποζευγνύειν ἵππους, διὸ καὶ ἐπέμεινεν αὐτῇ. Σημείωσαι δὲ ὅτι ἐν μὲν τῷ «λυώμεθα» καὶ «λύον» συστέλλεται ἡ ἄρχουσα, ἐν δὲ τῷ «λυσάμενοι» ἐκτέταται. (v. 8) Τὸ δὲ «αὐτοῖς ἅρμασιν» Ἀττικῶς ἔχει ἀντὶ τοῦ σὺν αὐτοῖς ἅρμασιν. (v. 10) Ἐν τούτοις δὲ κεῖται καὶ τὸ «ὀλοοῖο τεταρπώμεσθα γόοιο», οὗ σαφέστερον πρὸ τούτων ἔφη Πρίαμος τὸ «κορεσσάμεθα κλαίοντε». ἔστι δ' ἐν ἀμφοῖν ταὐτότης διὰ τὸ τέρψιν τινὰ καὶ τῷ τοῦ γόου κόρῳ παρέπεσθαι κατὰ τὸ «μετὰ γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνήρ». (v. 13) Ὅτι ὥσπερ τεῖχος ἐλάσαι πόλει λέγεταί τις, ὅτε δηλαδὴ κύκλῳ αὐτὴν περιθέει, οὕτω πως κἀνταῦθα ἐπὶ κυκλωτεροῦς ἑλιγμοῦ τὴν λέξιν θεὶς ὁ ποιητής φησιν «οἳ δὲ τρὶς περὶ νεκρόν», ὥς ποτε ἡνίοχον Ἀχιλλέως, «ἐΰτριχας ἤλασαν ἵππους, μυρόμενοι». τοῦτο δὲ νῦν τὸ «ἤλασαν» ἡνιοχικὴ ἄλλως λέξις ἐστίν. Καὶ ὅρα ὅτι οὐκ ἐγγύς που τοῦ «μυρόμενοι» τοὺς Μυρμιδόνας παρέθετο, ἀλλὰ μετὰ στίχους ὀκτώ, ἵνα μὴ δόξῃ διὰ τὸ Μυρμιδόνες μυρόμενοι παρηχήσει ἀκαίρῳ παίζειν ἐφ' οἷς οὐκ ἐχρῆν. Δῆλον δ' ὅτι δαψίλειαν ῥοῆς δακρύων δηλοῖ τὸ μύρεσθαι, οἷα κυριολεκτούμενον ἐπὶ ὑδάτων, ἐφ' ὧν καὶ τὸ μορμύρειν, ὡς προείρηται. (v. 15) Διὸ καὶ ἑρμηνεύων τὸ τῆς λέξεως ὑποτόλμηρον ἐπάγει «δεύοντο ψάμαθοι, δεύοντο δὲ τεύχεα φωτῶν δάκρυσι». καί εἰσιν, ὡς εἰκός, καὶ ταῦτα κατὰ τὰ ὡς ἀπὸ κρήνης που μελανύδρου καταρρεύσαντα τῆς βασιλικῆς κεφαλῆς. αἴτιον δὲ οὐ μόνον ὁ πόθος—(v. 13 et 16) «τοῖον γάρ», φασίν, «ἐπόθεον μήστωρα φόβοιο», ἤγουν τὸν Πάτροκλον, —ἀλλὰ καὶ τὸ μυθικῶς θεόθεν, «ἐπεί σφι Θέτις γόου ἵμερον ὦρσεν», ὡς ἄλλως ἀμήχανον ὂν οὕτω δαψιλές, ὡς οἷα κρουνηδόν, κατενεγκεῖν δάκρυον. Ἰστέον δὲ ὅτι τὸ «δεύοντο ψάμαθοι, δεύοντο δὲ τεύχεα φωτῶν δάκρυσι» καὶ ἑξῆς, ὡς ἐπὶ αἰσθανομένων αὐτῶν δὴ τῶν ψάμμων καὶ τῶν τευχέων τινὲς ἐνόησαν, καὶ ποθούντων καὶ δακρυόντων ἐπὶ τῷ κειμένῳ.

4.673 οὐκ ἄδηλον δὲ ὅτι πάνυ τερατῶδές ἐστι τὸ οὕτω νοῆσαι. καὶ ὅμως κείσθω καὶ τοῦτο εἰς ἐννοίας ἀμφιβόλου παράδειγμα. κάλλος δὲ κατ' ἐπαναφορὰν τὸ «δεύοντο ψάμαθοι, δεύοντο τεύχεα». Ὁμόστοιχον δὲ ὥσπερ τὸ Διός καὶ διαίω, τὸ ὑγραίνω, οὕτω καὶ Ζεύς καὶ δεύω. [Τὸ μέντοι δεύω, τὸ ἐλλείπω, ἄλλως ἔχει. ἐκ τοῦ δέω γὰρ ἐκεῖνο Αἰολικῇ ἐπενθέσει τοῦ υ γίνεται. ἀπ' αὐτοῦ δὲ ὁ δεύτερος καὶ δεύτατος.] (v. 18—20) Ὅτι Ἀχιλλεὺς «χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσιν ἑταίρου», ἤγουν τὰς ἑαυτοῦ ἐπὶ τοῖς τοῦ ἑταίρου στήθεσσιν, ἢ τὰς τοῦ ἑταίρου ἐπὶ τοῖς ἑαυτοῦ—ἀμφίβολος γὰρ καὶ αὕτη, ὡς καὶ προερρέθη, ἔννοια—τοιοῦδε γόου ἐξῆρχεν, ὃν πᾶς εἴποι ἂν βραχὺ παρῳδήσας ἐπὶ νεκρῷ φίλῳ τιμωμένῳ κατὰ τὸ ὑπεσχημένον «χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀΐδαο δόμοισι· πάντα γὰρ ἤδη τοι τελέω, τὰ πάροιθεν ὑπέστην. (v. 21—3) Εἶτα ἑρμηνεύων τὸ «πάντα» μετρεῖ δύο μόνα· τὸ τὸν Ἕκτορα δώσειν κυσὶν ὠμὰ δάσασθαι, καὶ τὸ δώδεκα πρὸ τῆς πυρᾶς ἀποδειροτομήσειν Τρώων ἀγλαὰ τέκνα, «σέθεν», φησί, «κταμένοιο

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χολωθείς». ταῦτα γὰρ τὰ δύο τῷ Πατρόκλῳ προσλογίζονται, ὁ δὲ πολὺς ἐκεῖνος φόνος ὑπὲρ τοῦ κοινοῦ τῶν Ἑλλήνων αὐτῷ κατεπράχθη. Ἰστέον δὲ ὅτι καὶ τὰ ὑπεσχημένα τελέσας ἐν τοῖς ἑξῆς ὁ Ἀχιλλεὺς ἐρεῖ· «πάντα ἤδη τοι τετελεσμένα ὥσπερ ὑπέστην». ἔνθα καὶ τὸ «Τρώων ἀγλαὰ τέκνα» περιφράζων φησὶ· «Τρώων μεγαθύμων υἱέας ἐσθλούς». (v. 21) «Ὠμά» δὲ «δάσασθαι» ἢ ἀντὶ τοῦ ὠμῶς ἢ καὶ κατ᾽ ἔλλειψιν τοῦ κρέατα. δύναται γὰρ καὶ οὕτως. (v. 19) Ἰστέον δὲ ὅτι οἴκτου κινητικὸν ἡ πρὸς νεκρὸν ὁμιλία, εἰ καὶ ἄλλως γλυκείας ἐννοίας ἐστὶν ἡ τῶν ἀψύχων προσφώνησις. Τὸ δὲ «χαῖρε καὶ ἐν Ἅιδου δόμοις» ὁμοίωταί πως τῷ εἴπερ ἐστὶ καὶ ἐν Ἅιδου χαίρειν τινά, ἔχε τοῦτο ἀφ᾽ ἡμῶν. [Καὶ δὴ παραδίδωσιν ἡ ἐν Ὀδυσσείᾳ μυθικὴ Νέκυια τοιαῦτά τινα. Ἀχιλλεὺς γοῦν ἐκεῖ χαίρει μαθὼν ἀγαθὰ περὶ τοῦ υἱοῦ. ἀνάπαλιν δὲ τοῦ χαίρειν διατίθεται ὁ μέγας Αἴας ἐπὶ τῷ ἐχθρῷ Ὀδυσσεῖ.

4.674 εἰ δὲ τὸ χαίρειν οἱ ὕστερον ταῖς ἐπιστολαῖς ἀπεχαρίσαντο, ἀλλ᾽ ὁ ποιητὴς ἄλλα οἶδεν.] (v. 24—6) Ὅτι θυμῷ νικώμενος Ἀχιλλεὺς ἅμα τῷ ῥηθέντι γόῳ αὐτοῦ ἀεικέα μήδετο ἔργα εἰς Ἕκτορα «πρηνέα πὰρ λεχέεσσι Πατρόκλου τανύσας ἐν κονίῃσι». τίνα δὲ ἦν ἃ μήδετο ἀεικῆ ἔργα, σιωπᾷ. οἱ δὲ παλαιοί φασιν ἀεικέα ἔργα ἐξ αὐτοῦ Ὁμήρου νοεῖσθαι τὸ ἐπὶ στόμα τε ἐκτεῖναι κατὰ κόνεως καὶ ἐνυβρίζειν τῷ οὐκ ἀντιλαμβανομένῳ καὶ γῆν οἷον αἰκίζεσθαι κωφὴν καὶ τὸ τρὶς ἕλκεσθαι περὶ τὸ σῆμα τοῦ Πατρόκλου, ὡς ἐν τοῖς ἑξῆς ἱστορήσει. ἔστι δὲ καὶ περιφραστικῶς νοῆσαι ἀεικέα μήδεσθαι ἔργα τὸ αἰκίζεσθαι πληγαῖς, ἵνα λέγῃ ἀεικέα ἔργα τὰ αἰκιστικά. διὸ καὶ πρηνὴς ἥπλωται. καὶ μὴν τοῦτο καὶ ἄλλως πρὸς ὕβριν γενέσθαι φαίνεται, ἵνα μηδὲ ὕπτιος νεκρικῷ νόμῃ κέοιτο. δύναται δὲ καὶ ἄλλως τὸ «ἀεικέα ἔργα» περὶ μόνου εἰρῆσθαι τοῦ πρηνέα τανυσθῆναι τὸν νεκρὸν ἐν κονίῃσι, καθὰ καὶ ἀνωτέρω τὸ «πάντα τελέω» περὶ δύο τινῶν ἐρρέθη, οὐ μὴν πλειόνων. (v. 26 s.) Ὅτι τὸ ἀπεκδύεσθαι τὰ τοῦ πολέμου τεύχη ἔντεα ἀφοπλίζεσθαι λέγει, οὐ μὴν ἁπλῶς ἀφοπλίζεσθαι. οὔπω γὰρ τότε τὰ ὅπλα ἐπὶ πολεμικῆς ἐκυριολεκτοῦντο σκευῆς, ὡς καὶ ἀλλαχοῦ ἔγνωσται. φησὶ γοῦν «οἳ δ᾽ ἔντε᾽ ἀφωπλίζοντο ἕκαστος χάλκεα μαρμαίροντα, λύον δ᾽ ὑψηχέας ἵππους», τοὺς καὶ ἀλλαχοῦ ῥηθέντας. (v. 29) Ὅτι ἐν τῷ «τάφον μενοεικέα δαίνυ» Ἀχιλλεύς, τάφος οὐ κατά τινας ὁ μετὰ τὸ ταφῆναι τινα περίδειπνος, ἀλλ᾽ ἁπλῶς ὁ ἐπὶ νεκρῷ. ἐπὶ γοῦν Πατρόκλου μήπω ταφέντος τάφος τοιοῦτος νῦν γίνεται, ὃς πρὸς ἑσπέραν γενόμενος νῦν καὶ δόρπος ὑπὸ τοῦ ποιητοῦ λέγεται, ὡς δηλοῖ τὸ «δορπήσομεν ἐνθάδε πάντες», καὶ «δόρπον ἐφωπλίσαντο ἕκαστοι». τὸ δ᾽ αὐτὸ καὶ δαῖτα ἐν τοῖς ἑξῆς ἐρεῖ, οὐχ᾽ ἁπλῶς μέντοι, ἀλλὰ «στυγεράν», ὡς ἐπὶ νεκρῷ γινομένην, ὃς ἐς Στυγὸς κατὰ μῦθον ἄπεισιν. οἱ δὲ Γλωσσογράφοι φασίν, ὅτι Κύπριοι καὶ τὸν φόνον τάφον καλοῦσιν. ἕτεροι δὲ καὶ τὴν ταφὴν τάφον λέγεσθαι οἴονται, ὡς καὶ τὴν χολὴν χόλον, οἷον τάφου μνῆμα, ἤγουν ταφῆς μνημόσυνον, ὃ δή φησιν ἐν τοῖς ἑξῆς ὁ ποιητής, καὶ τὸν ἐπιτάφιον δὲ ἀγῶνα τάφον καλεῖσθαί φασιν, ὡς τὸ «ἐς τάφον, ὅθι πάντας ἐνίκα».

4.675 Τὸ δὲ «μενοεικέα» νῦν μὲν δαιτὸς ἐπίθετον, ἀλλαχοῦ δὲ καὶ «κτήματα μενοεικέα» κεῖται. Τὸ δὲ «δαίνυ» ἑρμηνευτικόν ἐστι τοῦ ῥηθέντος τάφου, ὡς δαιτὸς ὄντος, ἵνα λέγῃ ὅτι δαῖτα ἐπιτάφιον ἐδαίνυεν. Ἰστέον δὲ ὅτι διασκευάζων τὸν εἰρημένον τάφον λέγει, ἃ δὴ παρὰ βραχὺ καὶ τελετῇ γάμου ἢ δημοτελοῦς πανηγύρεως προσαρμόσει. (v. 30—4) Φησὶ γὰρ «πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ σφαζόμενοι, πολλοὶ δ᾽ ὄϊες καὶ μηκάδες αἶγες, πολλοὶ δ᾽ ἀργιόδοντες ὕες θαλέθοντες ἀλοιφῇ, εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο· πάντῃ δ᾽ ἀμφὶ νέκυν κοτυλήρυτον ἔρρεεν αἷμα», [οὗ καὶ μόνου μετῆν τῷ νεκρῷ]. καὶ ἐν τοῖς ἑξῆς δὲ τοιοῦτόν τι κεῖται «πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς ἔδερόν τε καὶ ἄμφεπον». ἀλλὰ ταῦτα μὲν ἀλλαχοῦ. Ἐνταῦθα [δὲ ἐνθυμητέον, ὡς οὐ σύντροχα τὰ τοῦ εἰρημένου ἐπιδορπίου τάφου τῇ παλαιᾷ ἡρωϊκῇ εὐτελείᾳ καὶ ἀφελείᾳ τῇ περὶ τὰς δαῖτας, ἀλλ᾽ ἀκολούθως τῷ πράγματι συνδιεξῆρται καὶ ὁ τάφος. Ἀχιλλεὺς γὰρ ὁ τελῶν, ὁ ἐν Ἕλλησιν ὕπατος, καὶ ἐπὶ Πατρόκλῳ τὰ τελούμενα, ὃς τῷ Ἀχιλλεῖ φίλτατος ἤγετο. καὶ ὅμως εἰ καὶ πολυτελῆ τὰ ἐνταῦθα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συγκρινόμενα ταῖς μεθ' Ὅμηρον περιᾳδομέναις πολυτελείαις, πολλοστημόριον ἂν εἶεν ἐκείνων. κεῖται γοῦν ἐν τοῖς τοῦ Δειπνοσοφιστοῦ σὺν ἄλλοις καὶ ὅτι τῷ βασιλεῖ τῶν Περσῶν χίλια ἱερεῖα τῆς ἡμέρας κατεκόπτοντο. τὰ δὲ ἦσαν οὐχ' Ἑλληνικὴ χιλιόμβη, ἀλλά, φησίν, ἵπποι, κάμηλοι, βόες, ὄνοι, ἔλαφοι καὶ τὰ πλεῖστα πρόβατα. ἀνηλίσκοντο δὲ καὶ ὄρνιθες πολλοὶ καὶ στρουθοὶ Ἀράβιοι, ζῷον μέγα, καὶ χῆνες καὶ ἀλεκτρυόνες, ὧν τὰ πλεῖστα τοῖς δορυφόροις καὶ πελτασταῖς ἐξεφέρετο εἰς τὴν αὐλήν. καὶ ἦν αὐτοῖς τὰ σιτία ταῦτα εἰς ὑπόλογον, ὡς Ἡρακλείδης ὁ Κυμαῖός φησιν, ἀντὶ μισθοφορᾶς.

4.676 καὶ τοιοῦτο καὶ τοῦτο. (v. 30) Τῶν δὲ Ὁμηρικῶν τὸ μὲν] «ὀρέχθεον» μίμημά ἐστι τραχέος ἤχου γινομένου ἐν τῷ σφάζεσθαι βοῦν. Θεόκριτος δὲ ἐπὶ θαλάσσης τὴν λέξιν τίθησι καθ' ὁμοιότητα τοῦ «ῥόχθει δὲ μέγα κῦμα». δῆλον δὲ ὅτι καὶ ἐπὶ πατάγου καρδίας ἡ λέξις τίθεται, ὡς τὸ «κραδίη δέ οἱ ἔνδον ὀρέχθει». οἱ δὲ παλαιοί φασι καὶ ὅτι τὸ «ὀρέχθεον» ἀντὶ τοῦ ἀναιρούμενοι ὠρέγοντο ἤτοι ἐξετείνοντο, καὶ κατὰ τὸν ποιητὴν εἰπεῖν, τανύοντο ἀναιρούμενοι. ἢ καὶ ἄλλως· ὀρέχθεον ἤτοι διεκόπτοντο. ὅθεν καὶ ἐρεγμός, φασίν, ὁ διακεκομμένος κύαμος. Εἰς δὲ τὸ «βόες ἀργοί» ἀποροῦσιν οὕτω γοργῶς τίνες ἀργοὶ βόες; οἱ ταχεῖς. καὶ μὴν εἰλίποδες. ἀλλὰ οἱ λευκοί. καὶ μὴν μέλανα τοῖς τεθνεῶσι θύονται. εἶτα λύοντές φασιν ὅτι ἀργοὶ βόες οἱ μετὰ τὸ σφαγῆναι καὶ ἀποδαρῆναι λευκοὶ τῇ πιότητι, ὁποῖοι καὶ οἱ παρὰ τῷ Πινδάρῳ ἀργᾶντες. οἱ δὲ τοῖς ἑξῆς τὸ ἀργοί συνάπτοντές φασιν, ὅτι «ἀργοὶ ὀρέχθεον», ὅ ἐστι ταχεῖς, τουτέστι ταχέως, ἐσφάττοντο οἱ βόες. (v. 30) Ὅρα δὲ ὅτι κἀνταῦθα μετὰ δοτικῆς ἡ ἀμφι πρόθεσις ἐν τῷ «ἀμφὶ σιδήρῳ». οὕτω δὲ μετ' ὀλίγα καὶ ἡ περι ἐν τῷ «περὶ δὲ χροῒ εἵματα ἕστο». [Τοῦ δὲ σφάζειν πρωτότυπον, ὡς καὶ ἀλλαχοῦ δεδήλωται, φῶ, τὸ φονεύω, ἐξ οὗ παραγωγῇ καὶ πλεονασμῷ τοῦ ς τὸ σφάζω, οὗ παράγωγον οὐ μόνον ἡ διασφάξ, ἥ τε ἄλλως ἐν ζῴων σώμασι καὶ ἡ κωμικευομένη, ἀλλὰ καὶ σηπίας ὑπόσφαγμα παρὰ Ἱππώνακτι, τὸ αὐτῆς μέλαν, ἔτι δὲ ὑπόσφαγμα καὶ ὑπότριμμά τι χρήσιμον ὀψαρτυταῖς, ἐξ αἵματος, φασί, τεταραγμένου μέλιτι, τυρῷ, ἁλί, κυμίνῳ, κατὰ δέ τινας καὶ ὄξει καὶ γάλατι καὶ φύλλοις εὐώδεσι τετριμμένοις.] (v. 32) Ἐν δὲ τῷ «ἀργιόδοντες» ἢ πλεονάζει τὸ ι , ὡς καὶ ἐν τῷ ἱππιοχάρμης, ἢ τροπῇ τοῦ ο εἰς ι γέγονεν ἐκ τοῦ ἀργόν. Τὸ δὲ «ὕες» συστέλλει τὸ δίχρονον, ἐπεὶ τὰ εἰς υς τοιαῦτα συστέλλει τὸ υ ἐν ταῖς πλαγίαις, μῦς μυός, δρῦς δρυός.

4.677 οὕτως οὖν καὶ σῦς καὶ ὗς συός καὶ ὑός. Ἀλοιφὴν δὲ καὶ νῦν τὸ λίπος φησίν, ὃ δηλωτικὸν εὐεξίας ἐν ζῴοις ἐστί. διὸ τὰ λιπῶντα θαλέθειν, ὅ ἐστι θάλλειν, λέγονται ἀλοιφῇ τῇ κατὰ στέαρ ἢ πιμελήν, ἃ συντελεῖ ποτε καὶ εἰς τὸ ἀλείφειν. διὸ καὶ κατηγορεῖται αὐτῶν τὸ τῆς ἀλοιφῆς ὄνομα. (v. 33) Τὸ δὲ «εὑόμενοι τανύοντο» ἀναστρόφως εἴρηται ἀντὶ τοῦ «τανυόμενοι εὕοντο», ἤγουν τεινόμενοι ἐφλέγοντο, καὶ ἔστιν ὅμοιον τῷ «χασάμενος πελεμίχθη», ἤγουν πελεμιχθεὶς χάσατο, καὶ τοῖς τοιούτοις. οὕτω καὶ πρὸ ὀλίγου ἔφη «ἔστη παπτήνασα ἐπὶ τείχεϊ». τὸ γὰρ ὀρθόν· στᾶσα ἐπὶ τῷ τείχεϊ ἐπάπτηνεν. Ὅτι δὲ ταμίας φλογὸς ὁ Ἥφαιστος, μυθικῶς ἐν τοῖς κατὰ τὸν Ξάνθον δεδήλωται. (v. 34) Τὸ δὲ «κοτυλήρυτον αἷμα» τί σημαίνει, πρὸ ὀλίγων εἴρηται. (v. 33) Ἰστέον δὲ καὶ ὅτι «εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο» περίφρασίς ἐστι τοῦ ὠπτῶντο πυρί. ἐμφαίνεται δὲ τῷ τοιούτῳ λόγῳ καὶ ὡς ἀκέραιοι εὕοντο ὕες ἐν τῇ ῥηθείσῃ δαιτί. καὶ οὐκ ἀπεικὸς οὐδὲ τοῦτο, [εἴ τις διανοοῖτο τὰ μέχρι καὶ εἰσάρτι διάφορα κλιβανωτὰ ἤ, ὡς ἂν ὁ Κωμικὸς εἴποι, «κριβανωτά» ζῷα.] Ὅτι δὲ ἐκ τοῦ ἐνταῦθα κειμένου εὕειν παρῆκται καὶ εὗστρα ἡ τῶν συῶν φλογίστρα, δηλοῖ καὶ ἡ Κωμῳδία. [Εὕρηται δὲ καὶ παθητικὴ μετοχὴ τοῦ τοιούτου ῥήματος ἐν τῷ «λεπτὸς καὶ καλὸς ἡφευμένος». Ἔνθα ὅρα καὶ τὴν αὔξησιν τῆς ἀπο προθέσεως, ὁποία γίνεται καὶ ἐν τῷ «ἠφίει» καὶ τοῖς ὁμοίοις. (v. 34) Τοῦ δὲ ῥέειν καὶ τοῦ ῥύειν συστοίχων ὄντων ἐκ μὲν τοῦ ῥέειν ἄλλα τε μυρία γίνονται, καὶ ῥέος τὸ ῥεῦμα, πρὸς ὁμοιότητα τοῦ βλέπω βλέπος παρὰ τῷ Κωμικῷ, ἀπ' αὐτοῦ δὲ καὶ ῥοτός ὀξυτόνως, ὁ ῥευστὸς ἄνθρωπος,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ πλεονασμῷ Αἰολικῷ τοῦ β βροτός, καὶ ῥότος βρότος βαρυτόνως ὁ μετ’ ὀλίγα ῥηθησόμενος, ὅπερ ἐστὶ μολυσμὸς ῥέοντος αἵματος.

4.678 Ἔτι παρὰ τὸ ῥέειν καί τινα ποτήρια καλούμενα ῥέοντα, οἷον «ῥέοντα δέδωκα τόσα ἀργυρᾶ, δύο δὲ χρυσᾶ γρυψί, τὸ δ’ ἕτερον Πήγασος». ἐκ μέντοι τοῦ ῥύειν ποτήριον ἄλλο ἥρωσιν ἀνειμένον τὸ ῥυτόν, ὅμοιόν, φασί, κέρατι, διατετρημένον, ἐξ οὗ κρουνίζοντος λεπτῶς, ὥς φησιν Ἀθήναιος, κάτωθεν πίνουσι. Δίφιλος «ῥυτὸν χωροῦντα δύο χοᾶς, ὃν οὐδ’ ἂν ἐλέφας ἐκπίῃ». Καὶ σημείωσαι τὸ ῥυτός ἐνταῦθα ἀρσενικόν. κεῖται δὲ καὶ οὐδετέρως ἐν τῷ «ἐλέφας ἐστὶ ῥυτὸν δίκρουνον τρεῖς χωροῦν χοᾶς». ὥστε καὶ ποτηρίου εἶδος ἐλέφας.] (v. 35—42) Ὅτι οἱ βασιλεῖς τὸν Ἀχιλλέα «σπουδῇ παρπεπιθόντες», ἤγουν παραπείσαντες, «εἰς Ἀγαμέμνονα ἦγον· ὃ δὲ κηρύκεσσι λιγυφθόγγοισι κέλευσεν ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν», ὁποῖός τις καὶ ὁ πρὸ ὀλίγου γραφείς, «εἰ πεπίθοιεν», ἤγουν εἰ πείσοιεν, «Πηλείδην λούσασθαι ἀπὸ βρότον αἱματόεντα. αὐτὰρ ὅ γ’ ἀρνούμενος στερεῶς» εἶπε τὰ ἐφεξῆς ῥηθησόμενα. (v. 39) Καὶ ὅρα ὅτι κηρύκων ἦν ἔστιν ὅτε καὶ ἡ ἐν λοετροῖς ὑπουργία. [Ἰστέον δὲ ὅτι τοῦ κήρυκος ἡ γενικὴ ἐκτείνει τὴν παραλήγουσαν κανόνι τοιούτῳ. τὰ εἰς ξ ἀρσενικὰ ἁπλᾶ δισύλλαβα, ὅταν τῷ υ παρεδρεύηται, ἔχῃ δὲ τῆς τελευταίας συλλαβῆς ἄρχον ἀμετάβολον ἢ δι’ ὧν πρώτη συζυγία βαρύτονος λέγεται, διὰ τοῦ κ κλίνεται. κήρυκος, πέλυκος, Ἔρυκος, Βέβρυκος. ὅσα δὲ μὴ τοῦτον ἔχει τὸν χαρακτῆρα, διὰ τοῦ γ κλίνεται. ὄρτυγος, κόκκυγος.

4.679 σημειῶδες τὸ ὄνυξ ὄνυχος, παραληγόμενον μὲν ἀμεταβόλῳ, μὴ κλινόμενον δὲ διὰ τοῦ κ . ζητητέον δέ τι περὶ τοῦ ὄρτυγος καὶ δοίδυκος παρὰ τῷ κανονιστῇ Ἀθηναίῳ.] (v. 37) Σπουδῇ δὲ πεῖσαι τὸ μόλις καὶ δυσχερῶς. Καὶ σημείωσαι τὴν λέξιν εἰς τὸ Ὁμηρικὸν ἀσπουδεί, τὸ ἀλλαχοῦ ῥηθέν. (v. 40) Ὅρα δὲ καὶ τὸν εἰ σύνδεσμον ἀντὶ τοῦ «ὅπως» ληφθέντα ἐν τῷ «εἰ πείσοιεν Πηλείδην λούσασθαι». καὶ γέγονε σύνηθες οὕτω γράφειν καὶ τοῖς μεθ’ Ὅμηρον, οἷον· σπεύδω, εἴ πως ἀνύσω τόδε. (v. 42—7) Ὅτι ἐπί τινι διὰ πένθος φίλου τεθνεῶτος ἀπαρνουμένῳ λούσασθαι καλῶς ἂν ῥηθείη τὸ «ὃ δ’ ἠρνεῖτο στερεῶς, ἐπὶ δ’ ὅρκον ὤμοσεν· οὐ μὰ τόδε, οὐ θέμις ἐστὶ λοετρὰ καρήατος ἆσσον ἱκέσθαι πρὶν κείρασθαι» τυχὸν κόμην ἢ ἕτερόν τι τοιοῦτον ἐπὶ τῷ κειμένῳ ποιῆσαι. «ἐπεὶ οὔ μ’ ἔτι δεύτερον ὧδε ἵξετ’ ἄχος κραδίην, ὄφρα ζωοῖσι μετείω», τουτέστιν ἕως ἂν τοῖς ζῶσι συνῶ· ὅπερ ἀλλαχοῦ «μετέω» εἰπὼν ἐνταῦθα μετὰ προσθήκης τοῦ ι ἐξεφώνησεν. Ἀχιλλέως δὲ ταῦτα λόγοι, εἰπόντος «οὐ μὰ Ζῆν’, ὅς τις θεῶν ὕπατος καὶ ἄριστος, οὐ θέμις ἐστί», καὶ ἑξῆς, ἐν οἷς ἀπαρνεῖται λούσασθαι πρὶν τὸν φίλον ἐνθεῖναι πυρὶ σῆμά τε χεῦαι, τουτέστι τάφον ἀναχωματίσαι, κείρασθαί τε κόμην. (v. 43 s.) Ἰστέον δὲ [ὅτι τε τὸ «λοετρὰ καρήατος ἆσσον ἱκέσθαι» περίφρασίς ἐστι τοῦ λούσασθαι,] καὶ ὅτι ὅμοιός τις τῷ ῥηθέντι καὶ ἐν Ὀδυσσείᾳ ὅρκος κεῖται τὸ «οὐ μὰ Ζῆν’ Ἀγέλαε». Ὅτι δὲ πολυώνυμος ἡ κεφαλὴ οὖσα λέγεται καὶ κάρηαρ, προγέγραπται. Ἰστέον δὲ ὅτι μὴ τοιοῦτον δεύτερον ἄχος ἵξεσθαι αὐτῷ ζῶντί φησιν Ἀχιλλεύς, οἷα εἰδὼς ὅτι προτεθνήξεται τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ὃς καὶ αὐτοὺς φθάσας ἀλλαχοῦ ἐν δευτέρῳ τοῦ Πατρόκλου ἐῴκει τίθεσθαι. Καὶ σημείωσαι ὅτι ἐκεῖ μὲν ἐπλάτυνε τὸ νόημα τοῦτο διασκευῇ τε καὶ λογισμοῖς, ἐνταῦθα δὲ στενῶς ἔφρασε πάνυ, διδάσκων ὅπως χρὴ ταὐτολογεῖν ἐν πλατυσμῷ νοημάτων καὶ βραχύτητι. (v. 46) Τὸ δὲ κείρεσθαι κόμην ἐπὶ νεκροῖς, πλατὺ ἔθιμον ὂν καὶ τοῖς πάλαι, ἦν καὶ αὐτὸ λύπης τε ἔνδειξις, καθὰ καὶ τὸ τίλλειν πενθητικῶς κεφαλῆς τρίχας, καὶ ἀφοσίωσις δὲ τιμῆς, ὡς τῇ φίλῃ κεφαλῇ τοῦ κατὰ κεφαλὴν ἀνατιθεμένου κόσμου, ᾧ παρώνυμος ἡ κόμη.

4.680 καὶ ὥσπερ ἡ ταφὴ καὶ ἡ ἐπ’ αὐτῇ στήλη καὶ τὸ δάκρυον, οὕτω καὶ ἡ τῆς κόμης κουρὰ γέρας θανόντων, καθὰ μυριαχοῦ δηλοῦται. (v. 48) Ὅτι καθ’ ὁμοιότητα τοῦ «ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι» φησὶν «ἀλλὰ νῦν μὲν πειθώμεθα δαιτί». Ἀχιλλέως δὲ καὶ οὗτος λόγος, ὃς βεβαρημένος τῷ πένθει στυγερήν, ὡς καὶ προεγράφη, δαῖτά φησιν, εἰπὼν «στυγερῇ πειθώμεθα δαιτί», οὐ καθόλου πᾶσαν δαῖτα οὕτω καλέσας, ἀλλὰ τὴν σήμερον θανόντος Πατρόκλου. (v. 50)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὅτι ἐν τῷ «ὄτρυνεν ἄναξ ὕλην τ᾽ ἀξέμεναι παρά τε σχεῖν ὡς ἐπιεικές» καὶ ἑξῆς, ἤγουν ὕλην ἄξειν καὶ παρασχεῖν, τὸ μὲν ἄξειν ἐπὶ ἀψύχων τῶν ξύλων ἔθετο, καθὰ καὶ ἑξῆς που ἐν τῷ «ἄξετε νῦν Τρῶες ξύλα», [ὅθεν σύνθετα ὁ ξυληγὸς καὶ ἡ ξυληγία,] εἰ μή που, ὡς καὶ προεγράφη, τοῦ ἄγειν, ἤτοι κλᾶν, σημασία ἐνταῦθά ἐστιν, ὡς καὶ ἐν τῷ «ἆξον δὴ ἔγχος Διομήδεος». Παρασχεῖν δὲ τὸ πλησίον θεῖναι. ἀπὸ τούτου δὲ καὶ ἐπὶ πάσης χορηγίας καὶ δόσεως ἡ λέξις κεῖται. προϊὼν δὲ τὴν λέξιν ἄλλως φράζει, ἐν οἷς λέγει «κὰδ δ᾽ ἂρ ἐπ᾽ ἀκτῆς βάλλον», ἤγουν κατέβαλλον ἐπὶ τοῦ αἰγιαλοῦ. Ἰστέον δὲ ὅτι προηγεῖται τὸ καταβάλλειν τοῦ παρασχεῖν. πρῶτον γὰρ καταρρίπτεται τὸ βασταζόμενον ξύλον, εἶτα παρίσχεται. Ἐπιεικὲς δὲ καὶ νῦν οὐ τὸ προσηνές, οὐ γὰρ οἶδε τοιαύτην λέξιν ὁ ποιητής, ἀλλὰ τὸ ἐοικὸς καὶ πρέπον. (v. 51) Ὅτι τὸ ὑπὸ γῆν γενέσθαι νεκρικῶς νέεσθαι ὑπὸ ζόφον ἠερόεντά φησι. (v. 52 s.) Δοκεῖ δὲ λέγειν καὶ τὸ ταφῆναι ἀπ᾽ ὀφθαλμῶν γενέσθαι ἐν τῷ «ὄφρα τοῦτον μὲν ἐπιφλέγῃ πῦρ θᾶσσον ἀπ᾽ ὀφθαλμῶν». Τὸ δὲ ἐφεξῆς, ἤγουν τὸ «λαοὶ δ᾽ ἐπὶ ἔργα τράπωνται», δηλοῖ ὡς οὐκ ἦν εἰς ἔργον τραπέσθαι τοὺς Ἀχαιούς, ἀλλ᾽ ὡς ἐν ἑορτῇ παγκοίνῳ ἀεργοὺς εἶναι πρὸ τοῦ τὸν Πάτροκλον ταφῆναι. τοῦτο δὲ διὰ τιμὴν τοῦ νεκροῦ. ταφέντος οὖν ἐτράπησαν ἐπὶ ἔργα, δηλαδὴ τὰ τοῦ πολέμου, ὥς πού φησι «μέγα ἔργον Ἄρηος». (v. 55) Ὅτι σπουδαίαν ἑτοιμασίαν δείπνου δηλοῖ τὸ «ἐσσυμένως δ᾽ ἄρα δόρπον ἐφοπλίσαντες ἕκαστοι δαίνυντο», καὶ τὰ ἑξῆς. (v. 58—61) Ὅτι οἱ μὲν ἄλλοι ἐκοιμῶντο «κλισίηνδε ἕκαστος», Ἀχιλλεὺς «δ᾽ ἐπὶ θινὶ θαλάσσης κεῖτο βαρὺ στενάχων ἐν καθαρῷ, ὅθι κύματ᾽ ἐπ᾽ ἠϊόνος κλύζεσκον», ἤγουν ἔκλυζον, ἐξ οὗ καὶ ὁ κλύδων παράγεται. τοῦτο δὲ ἄλλως ἐν Ὀδυσσείᾳ φράζων φησὶν «ἔνθα λάϊγγας ποτὶ χέρσον ἀποπλύνεσκε θάλασσα».

4.681 ἔστι δὲ τὸ «ὅθι κύματα κλύζεσκον» ἐφερμηνευτικὸν τοῦ «ἐν καθαρῷ», δηλοῦντος τοῦ ποιητοῦ ὅτι ἐν καθαρῷ λέγει ἐκεῖνο τοῦ αἰγιαλοῦ, ὅπου ἔκλυζον, ἤγουν ποιὸν ἦχον ἀπετέλουν, τὰ κύματα ἠρέμα πελάζοντα. οὕτω καὶ ἀλλαχοῦ εἰπὼν «ἐν καθαρῷ» ἐπήγαγε πρὸς σαφήνειαν τὸ «ὅθι δὴ νεκύων διεφαίνετο χῶρος». Πένθους δέ ἐστι δήλωσις καὶ ἡ ἐπ᾽ ἀκτῆς αἴθριος τοῦ Ἀχιλλέως ἀνάκλισις. (v. 58) Ἰστέον δὲ ὅτι τὸ «οἳ μὲν ἕκαστος» σχῆμά ἐστιν Ὁμήρῳ σύνηθες, ὃ κοινότερον φράζεται «τῶν μὲν ἕκαστος». καί εἰσιν ἄμφω εὐσόλοικα. (v. 62—7) Ὅτι κείμενον τὸν Ἀχιλλέα, ὡς ἐρρέθη, ἐπὶ τῷ αἰγιαλῷ ὕπνος ἔμαρπτεν, ὅ ἐστι κατέλαβεν, «λύων μελεδήματα θυμοῦ, νήδυμος ἀμφιχυθείς· μάλα γὰρ κάμε φαίδιμα γυῖα Ἕκτορ᾽ ἐπαΐσσων. ἦλθε δ᾽ ἐπὶ ψυχὴ Πατροκλῆος δειλοῖο, πάντ᾽ αὐτῷ μέγεθός τε καὶ ὄμματα κάλ᾽ εἰκυῖα καὶ φωνήν. καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο». τοῦτο δὲ ῥηθήσεται, ἤγουν τὸ «πάντ᾽ αὐτῷ μέγεθός τε» καὶ ἑξῆς, ἐπὶ ἀκριβοῦς ὁμοιότητος εἴδους. (v. 68 s.) «Στᾶσα δέ», φησίν, «ὑπὲρ κεφαλῆς», ὡς καὶ ἀλλαχοῦ ὁ τοῦ Διὸς ὄνειρος, ἔφη· εὕδεις· αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ Ἀχιλλεῦ». τοῦτο δὲ τὸ ἔπος ὀνειδίζει ἀμνηστίαν φιλίας. (v. 70) Εἰ δὲ καὶ τεθνεὼς ἐστιν ὁ ὀνειδίζων, τεθήσεται καὶ τὸ «οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος». Καὶ ὅρα ὅτι πολυμήχανος Ὅμηρος ὢν τὰ εἰς ποίησιν οὐδὲ ὀνειροποιΐας ἀπέσχετο. παρεισκρίνει δὲ τῷ λόγῳ καὶ τὸ τοιοῦτον πλάσμα, ἵνα καὶ οὕτω ποικιλίαν τε λόγου ἐργάσηται καὶ πολυμάθειαν ἀκροατοῦ, ὡς μετ᾽ ὀλίγα φανήσεται. (v. 62) Ἰστέον δὲ ὅτι παιδευτικὸν τὸ «ὕπνος ἔμαρπτεν». οὐ γὰρ ἡμῖν ληπτέος ὁ ὕπνος ἐπιτηδευομένοις ὑπνοῦν, ἀλλ᾽ αὐτὸς μετὰ κάματον ἡμᾶς καταλήψεται, λύων μελεδήματα καματηρᾶς ψυχῆς, ἃ δὴ καὶ μελεδῶνες λέγονται ὡς τὰ μέλη ἔδουσαι καὶ τήκουσαι. ὅθεν καὶ ὕπνος ἐτυμολογεῖται κατά τινας ὡς οἱονεὶ λύπονος οἷα λύων πόνους, ὧν ἀνεπαίσθητος ὁ ὑπνῶν, ὥσπερ καὶ ὁ θανών. διὸ καὶ ἀδελφοὶ ἀλλήλοις μυθεύονται ὕπνος καὶ θάνατος, καὶ λυσιμελεῖς ἄμφω ἐπονομάζονται.

4.682 (v. 63) Τὸ δὲ «νήδυμος ἀμφιχυθείς» τί δηλοῖ, γέγραπται ἀλλαχοῦ. Σημείωσαι δὲ ὅτι οὐκ ἔστιν ἐνταῦθα ὥσπερ ἐπὶ τοῦ «Δία δ᾽ οὐκ ἔχε νήδυμος ὕπνος» πανουργεύσασθαι γράψαι ἥδυμος δίχα τοῦ ν , ὡς τῇ ὄπισθεν προσνεμηθέντος συλλαβῇ. ἐνταῦθα γὰρ οὐκ ἔστιν ἐκφυγεῖν τὸ ν ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσρυὲν τῇ γενικῇ τοῦ θυμοῦ. Τὸ δὲ «μάλα γὰρ κάμε» αἰτία ἐστὶ τοῦ βαθέος ὕπνου, γινομένου μετὰ πολὺν κάματον. ὅτε καὶ γλυκὺς ὁ ὕπνος, ὡς δηλώσει ὁ ποιητὴς ἐν τοῖς ἑξῆς, εἰπὼν κεκμηκότι τῷ Ἀχιλλεῖ γλυκὺν ὕπνον ἐφορμῆσαι. ἐνταῦθα μέντοι οὐχ' ὁ γλυκὺς ἀλλὰ μᾶλλον ὁ βαθὺς ὕπνος χρήσιμος, ἵνα οὕτω πιθανῶς ἐπιφοιτήσῃ τῷ Ἀχιλλεῖ ὄνειρος. (v. 66) Τὸ δὲ «πάντ' αὐτῷ μέγεθός τε καὶ ὄμματα» καὶ ἑξῆς, μετ' ὀλίγα βραχυτάτῳ κόμματι παραδηλώσει, εἰπὼν «ἔϊκτο δὲ θέσκελον αὐτῷ», ἤγουν ὡμοίωτο καὶ ἐῴκει, θεοείκελον, ἤτοι θεῖον, τουτέστι θαυμαστῶς πάνυ, ὡς δοκεῖν αὐτόχρημα εἶναι Πάτροκλον. Σημείωσαι δὲ ὅτι ἐντεῦθεν Ἀντισθένης κατὰ τοὺς παλαιοὺς ὁρμηθεὶς ὁμοιοσχήμονας ἐδόξασεν εἶναι τοῖς σώμασι τὰς ψυχάς. Χρύσιππος δέ, φασίν, ἄλλως ἢ καθ' Ὅμηρον λέγων, διάφορός ἐστι δοξάζων σφαιροειδεῖς τὰς ψυχὰς μετὰ θάνατον γίνεσθαι. (v. 67) Τὸ δὲ «καὶ τοῖα εἵματα ἔστο» καινότερον διὰ ποικιλίαν ἐσχημάτισται. ἤρκει γὰρ μόνον τὸ εἵματα, ἵνα ᾖν· μέγεθος καὶ ὄμματα καὶ φωνὴν καὶ εἵματα. (v. 68) Τὸ δὲ «στῆ δ' ἄρ ὑπὲρ κεφαλῆς» προϊὼν ἄλλως φησὶ μετὰ περιφράσεως «ψυχὴ ἐφειστήκει γοόωσά τε μυρομένη τε». (v. 69) Τὸ δὲ «εὕδεις» καὶ ἑξῆς, ὁμοιόσχημόν ἐστι τῷ «φεύγεις δή, Ἑκάεργε»; οὗ πρὸς μίμησιν καὶ παρ' Εὐριπίδῃ τὸ «φεύγεις ἀποστραφείς με»; (v. 70) Τὸ δὲ «ἀκήδεις» θέμα ἔχει τὸ ἀκηδῶ, ἐξ οὗ καὶ τὸ ἀκηδέστως ἐπίρρημα, ὡς προείρηται, καὶ τὸ «ἀκήδεστοι καὶ ἄφαντοι», καὶ ὁ κηδεμών. ἀπ' αὐτοῦ δὲ καὶ τὸ ἀκηδιᾶν, ὡς καὶ ἐκ τοῦ μειδῶ καὶ κατηφῶ τὸ μειδιᾶν καὶ κατηφιᾶν. (v. 71) Ὅτι σχῆμα ἐλλείψεως καὶ ἐνταῦθα ἐν τῷ «θάπτε με ὅτι τάχιστα πύλας Ἀΐδαο περήσω».

4.683 λείπει γὰρ τὸ ἵνα ἢ ἕτερόν τι ὅμοιον, ὡς ἂν λέγῃ· θάπτε με, ἵνα περήσω. μυθικοῦ δὲ λόγου τὸ «περήσω», οἷα τῶν ψυχῶν δι' Ὠκεανοῦ πορθμευομένων. τοιοῦτον σχῆμα καὶ μετ' ὀλίγα ἐν τῷ «καί μοι δὸς τὴν χεῖρα, ὀλοφύρομαι», ἤγουν ἵνα ὀλοφύρωμαι, καὶ πάλιν «ἀλλά μοι ἆσσον στῆθι μίνυνθά περ ἀμφιβαλόντε ἀλλήλους ὀλοοῖο τεταρπώμεθα γόοιο», ἤγουν ἵνα κορεσθῶμεν γόου. τοῦτο δὲ οἰκεῖον τῷ δι' ἀποδημίαν κλαίειν ἐθέλοντι, ὥσπερ εἰς ἀποδήμους ποιεῖ καὶ (v. 77 s.) τὸ «οὐ γὰρ φίλων ἀπάνευθεν ἑταίρων βουλὰς ἑζόμενοι βουλεύσομεν». Ἔνθα ὅρα ὅτι ἀδείας δέεται καὶ μονώσεως καὶ ἡ βουλή, ὥσπερ καὶ ἡ φιλόσοφος μάθησις, ὃ καὶ Ἡσίοδος δηλοῖ ἐν τοῖς καθ' ἑαυτόν. ἐν ὄρει γὰρ ἰδιάσας ταῖς Μούσαις ὡμίλησε, καὶ ὁ παρ' Ὁμήρῳ Μίνως ἐννέωρος κατὰ Κρήτην ὁμιλῶν Διῒ κατὰ μόνας χάριν μαθήσεως. (v. 78) Τὸ δὲ «βουλὰς βουλεύσομεν» Ἀττικῶς ἐσχημάτισται, ὡς πολλαχοῦ δεδήλωται. (v. 72) Ἐν τούτοις δὲ εἰπόντος τοῦ ἐν ὀνείροις Πατρόκλου καὶ τὸ «τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων» ἐφερμηνευτικόν ἐστι τοῦ «ψυχαί» τὸ «εἴδωλα καμόντων». περὶ τούτου δὲ καὶ ἐν τῇ τῆς Ὀδυσσείας Νεκυίᾳ γέγραπται. καὶ ἄλλως δὲ εἰπεῖν, ὡς ἐκ παραλλήλου ταῦτα κεῖται, τὸ «ψυχαί» καὶ τὸ «εἴδωλα καμόντων». διὸ μετ' ὀλίγα ἐρεῖ «ψυχὴ καὶ εἴδωλον», ὅπερ εἴδωλον καὶ φαίνεσθαι καθ' ὕπνους δοκεῖ τοῖς φανταζομένοις. ὅθεν καὶ παλαιὰ ἦν αἵρεσις δι' εἰδώλων ἐμπτώσεως τοὺς ὀνείρους γίνεσθαι. ἐνταῦθα δέ, ὥσπερ καὶ ἐν τῇ Ὀδυσσείᾳ, φαίνεται δόξα εἶναι Ὁμήρῳ καὶ τοῖς κατ' αὐτὸν μήτε ἐᾶσθαι ψυχὰς προσφάτως ἀπολυθείσας σώματος ταῖς λοιπαῖς ἐπιμίσγεσθαι ὑπὲρ ποταμοῖο—λέγει δὲ τὸν Ὠκεανόν—, ἀλλ' αὔτως πλανᾶσθαι περὶ τὸν Ἅιδην, εἰ μὴ καῦσις καὶ ταφὴ γένηται, ἔτι δὲ δοξάζεσθαι καὶ μηδὲ τὴν ψυχὴν αὐτὴν φαντάζεσθαί τινι μετὰ πυρὰν καὶ κηδείαν, ἀλλὰ πρὸ τοῦ ταφῆναι μὲν αὐτὴν ἐκείνην ἐπιφαίνεσθαι, ὡς καὶ Εὐριπίδης διασκευάζει ἐν τοῖς κατὰ τὸν Πολύδωρον, ἐξ Ὁμήρου τὴν δόξαν ἔχων, μετὰ δέ γε τοῦτο οὐκέτι, ἀλλ' ἑτεροῖά τινα εἰδώλων εἰκάσματα καταπέμπεσθαι.

4.684 (v. 75 s.) «Οὐ γὰρ ἔτι», φησίν, «αὖτις νίσομαι», ὅ ἐστιν ἐπανελεύσομαι, «ἐξ Ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε», ἤγουν ἀξιώσητε, λαχεῖν ποιήσητε. προϊὼν δὲ λέγει διὰ τοῦ Ἀχιλλέως ὁ ποιητής, ὡς καὶ ἐν Ὀδυσσείᾳ δοξάζει, ψυχὴν μὲν καὶ εἴδωλον ἐν Ἅιδου εἶναι, φρένας δὲ αὐτῇ οὐκ εἶναι πάμπαν, τεκμαιρομένου νῦν Ἀχιλλέως τοῦτο ἐκ τοῦ αὐτὸν μὲν οὕτω σπεύδειν τὰ ὑπὲρ Πατρόκλου, ἐκεῖνον δέ, ὡς δῆθεν ἠμελημένον, λήθην προσονειδίζειν αὐτῷ. ταῦτα δὲ ὁ

μανθάνων μεμνήσθω Ὁμήρου ἀκούειν, ἀνδρὸς ποιητοῦ καὶ Ἕλληνος, καὶ τοὺς περὶ ψυχῆς αὐτοῦ λήρους τῇ Ἑλληνικῇ ἀπάτῃ ἐπιγραφέτω, ἀγαπῶν, εἰ ὅλως ψυχῆς ἀθανασίαν οἶδε καὶ μονὴν αὐτῆς μετὰ θάνατον. (v. 72 s.) Ἰστέον δὲ ὅτι τὸ «τῆλέ με εἴργουσι ψυχαὶ εἴδωλα καμόντων, οὐδέ μέ πω μίσγεσθαι ἐῶσιν» ἔστι ῥηθῆναι παρά τινος κωλυομένου ἐπὶ πράξει παρά τινων οὐδαμινῶν, καὶ μάλιστα εἰ καὶ ἰσχνοὶ ἐκεῖνοι εἶεν ἢ μελαγχρεῖς. [Ὧν δὴ λεπτοσώμων καὶ διὰ τοῦτο ἰσχνῶν ἐν τοῖς μάλιστα Λεωτροφίδης καὶ Θεύμαντις, οἱ παρὰ Ἑρμίππῳ τῷ Κωμικῷ, λεπτότατοι ὄντες.

4.685 λέγει γὰρ ἐκεῖνος «οἱ πενόμενοι ἀνάπηρά σοι θύουσιν ἤδη βοΐδια Λεωτροφίδου λεπτότερα καὶ Θουμάντιδος». καταλέγονται δὲ τοιοῦτοι παρὰ Ἀριστοφάνει Σαννυρίων τραγῳδὸς καὶ Μέλιτος καὶ Κινησίας, οὓς καὶ πρέσβεις ὑπὸ τῶν ποιητῶν φησιν εἰς Ἅιδου πέμπεσθαι πρὸς τοὺς ἐκεῖ ποιητάς, καὶ αἰδοφοίτας τούτους καλεῖ καὶ ἐπὶ λεπτῶν ἐλπίδων ὀχεῖσθαί φησι. λέγεται δὲ καὶ Ἀρχέστρατος, ὁ μάντις, καὶ αὐτὸς ἐν τοῖς ὕστερον τῶν κηρῶν λεπτότερος εἶναι. Πολέμων οὖν φησιν ἐκεῖνον ἁλόντα ὑπὸ Πτολεμαίου καὶ ἐπὶ ζυγὸν ἐπιβληθέντα ὀβολοῦ ὁλκὴν εὑρεθῆναι ἔχοντα. εἰ δὲ καὶ Σίσυφος καὶ Πειρίθους καὶ Θησεὺς ὁ λισπόπυξ καὶ εἴ τις ἄλλος δίχα γε πάντως Ἡρακλέος δόξαιεν ἂν καὶ αὐτοὶ διὰ λειποσαρκίαν μυθευθῆναι κατελθεῖν εἰς Ἅιδην, οὐ μαρτυρεῖται ὑπὸ τῶν παλαιῶν. καὶ οὕτω μὲν ταῦτα.] (v. 74) Ὁ δὲ ἀνωφελῶς που στρεφόμενος καὶ ἀφανῶς, καὶ μάλιστα εἰ καὶ παρ' ἀνδράσιν ἀδίκοις, προσφυῶς ἂν ἐρεῖ τὸ «ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ», τουτέστι δῶμα κατὰ ἀποκοπήν. ἔφη δὲ αὐτὸ ἡ ψυχὴ τοῦ Πατρόκλου πρὸ τῆς πυρᾶς, ὡς καὶ ἀνωτέρω κεῖται. (v. 78 s.) Ἐν τούτοις δὲ καὶ τὸ τέθνηκα περιφράζων φησὶν «ἀλλ' ἐμὲ μὲν κὴρ ἀμφέχανε στυγερή». δηλοῦται δὲ διὰ τοῦ χαίνειν τὸ ἐξ αὐτοῦ τέλος, ἤγουν τὸ καταποθῆναι. Ὅρα δὲ ὅτι ἀνωτέρω εἰπὼν κατὰ γενικὴν «πυρὸς λελάχωσιν» ὑποκαταβὰς αἰτιατικὴν ἔθετο σύνταξιν ἐν τῷ «κὴρ ἀμφέχανεν, ἥ περ λάχε γεινόμενόν περ», ἤγουν γεννώμενον. ἔστι δὲ πολλὴ διαφορὰ ἐκείνου τοῦ λαχεῖν καὶ τούτου. ἐκεῖ μὲν γὰρ ἀλλοπαθῶς ἕτεροι λαγχάνουσί τινα πυρός, ἐνταῦθα δὲ αὐτός τις ἔλαχεν, ὡς καὶ ἐν ἄλλοις δηλοῦται. (v. 76) Ἰστέον δὲ καὶ ὅτι τὸ «νίσομαι», εἰ μὲν διὰ δύο σς γράφεται, τῆς ἀναλογίας ἐστὶ τοῦ δεδίσσω καὶ τῶν τοιούτων, εἰ δὲ ἐν ἑνὶ σίγμα, ἔστι μὲν χρόνου μέλλοντος, ἄδηλος δὲ ὁ ἐνεστὼς αὐτοῦ εἴτε ὁ γνώριμος νίσσω, εἴτε καὶ ὁ μὴ γνωστὸς νίω ὡς τίω.

4.686 ὅπως δ' ἂν ἔχοι, οὐκ ἂν ὁ καταλογάδην γράφων αὐτοῦ δέοιτο. ὅτι δέ που καὶ διὰ διφθόγγου γράφεται ἡ τοῦ νίσσεσθαι ἄρχουσα ἐν διαφόροις κατά τινας, ὡς ἀπὸ τοῦ νέω, τὸ πορεύομαι, κατὰ τὸ θέω θείω, βέω βείω, τὸ χύμα δηλοῖ τῆς ποιήσεως. ζήτει δὲ περὶ αὐτοῦ καὶ ἐν τῷ «ἐς Ὀρχομενὸν ποτινείσεται». (v. 80- 1) Ὅτι δηλῶν ὁ ποιητὴς κἀνταῦθα τοὺς ὀνείρους ἔστιν οὗ ἀληθεύειν, ποιεῖ τὴν τοῦ Πατρόκλου ψυχὴν λέγουσαν μοῖραν εἶναι τῷ Ἀχιλλεῖ «τείχει ὑπὸ Τρώων εὐηγενέων ἀπολέσθαι». Καὶ ὅρα τὸ τοῦ χρησμοῦ εἰ καὶ μὴ λοξόν, ἀλλ' οὐ σαφές. Ὁμήρου δὲ καὶ τοῦτο τέχνη, φθάσαντος ἑτέρως χρησμῳδῆσαι τὸ τοιοῦτον σαφέστερον. Τὸ δὲ «εὐηγενέων» πλεονασμὸν ἔχει καὶ αὐτὸ τοῦ η . (v. 82) Ὅτι ἐνδοιασμὸς ἐπὶ παραινέσει τὸ «ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι, αἴ κε πίθηαι». ἔστι δὲ τὸ «ἐφήσομαι» ἀντὶ τοῦ ἐντελοῦμαι, ἐξ οὗ καὶ ἡ παραινετικὴ ἐφημοσύνη. (v. 83—4) Ὅτι ἀξιοῖ τὸν Ἀχιλλέα Πάτροκλος ἐν ὀνείρῳ οὕτω «μὴ ἐμὰ σῶν ἀπάνευθε τιθείμεναι ὀστέ', Ἀχιλλεῦ, ἀλλ' ὁμοῦ ὡς ἐτράφημεν ἐν ὑμετέροισι» καὶ ἑξῆς. (v. 91—2) Εἶτα μετὰ στίχους ἓξ ἐπαναλαβὼν φησιν «ὣς δέ», ἤγουν οὕτω, «καὶ ὀστέα νῶϊν ὁμή», τουτέστιν ἡ αὐτή, «σορὸς ἀμφικαλύπτοι, χρύσεος ἀμφιφορεύς, τόν τοι πόρε πότνια μήτηρ», ἡ Θέτις δηλαδή. ἦν δὲ ὁ χρυσοῦς οὗτος ἀμφιφορεύς, ὃν ἡ Θέτις πρὸς Διονύσου ἔλαβεν ἐν Νάξῳ τῇ νήσῳ, χαρισαμένου, ὅτε διωχθέντα ὑπὸ Λυκούργου αὐτὴ ἐν κόλπῳ ἐδέξατο, καθὰ ὁ ποιητὴς εἶπεν ἀλλαχοῦ. Καὶ ὅρα οἷος πολυχανδὴς ὁ κρατὴρ ἐκεῖνος, εἴγε καὶ εἰς σορὸν ἐχρημάτιζεν [ὀστοῖς τοιούτοις,] οὐ χάριν σοροῦ δοθείς—δυσοιώνιστον γὰρ ἂν τοῦτό γε ἦν—, ἀλλὰ νῦν ἀξιωθεὶς ἀντὶ τοῦ οἰνοδόχος εἶναι φιάλη λάρναξ ἐπιτάφιος γενέσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4.687 κυρίως δέ, φασίν, ἀμφιφορεὺς τὸ μέγα κεράμειον, ὃ ἀμφοτέρωθεν φέρεται τῶν ὤτων αἰρόμενον, καθάπερ ἴσως καὶ ὁ κρατὴρ οὗτος φιάλη ὢν [ἄμφωτις ἢ] ἀμφωτίς, ἢ καὶ ποιητικῶς φάναι, δέπας ἄμφωες. [Ἐν τούτοις δὲ ἐνθυμητέον ὡς δυοῖν θάτερον ἢ μέγιστος ὁ τοῦ Ἀχιλλέως κρατὴρ εἰς τόσον ὡς ὕστερον ἐν αὐτῷ κοινῇ τεθῆναι τὰ ὀστᾶ τοῦ τε Πατρόκλου καὶ αὐτοῦ, ἢ οὐ πάνυ λόγου ἄξια τὰ ἐκείνων ὀστᾶ, καθὰ τὰ τοῦ Μιλησίου Ἀστυδάμαντος, οὗ τελευτήσαντος, φασί, καὶ κατακαυθέντος οὐκ ἐχώρησε μία ὑδρία τὰ ὀστᾶ, μόλις δὲ δύο. ἦν δὲ ὁ ἀνήρ, ὡς ἔοικεν, ἢ βουγάϊος ἢ καὶ ὑπὲρ αὐτόν, ἐπεὶ καὶ ὑπὲρ βουθοίναν. κληθεὶς οὖν, φασίν, ἐπὶ δεῖπνον καὶ ἀφικόμενος ὑπέσχετο πάντα φαγεῖν τὰ πᾶσιν—ἦν δέ, φασίν, ἐννέα—παρασκευασθέντα καὶ κατέφαγε. τοῦ Πέρσου δέ, φασίν, αὐτὸν ἀξιώσαντος ποιῆσαί τι ἄξιον τῶν κατὰ τὴν ἰσχύν, φακὸν κλίνης περίχαλκον ὄντα κλάσας, ἐξέτεινε μαλάξας. καὶ σημειωτέον ἐνταῦθα τήν τε ἐν χερσὶ βριαρότητα τοῦ ἀνδρός, καὶ ὅτι ὁμώνυμον καὶ ὁ φακός, οὐ δήπου ὀσπρίῳ μόνῳ ἐπιλεγόμενος. καὶ τοιόνδε μὲν καὶ τοῦτο.] Σορὸς δέ, φασί, παρὰ τὸ ἔσω ὀρούειν ἢ ἐρύειν, ὅ ἐστι φυλάσσειν, τὸν τεθέντα. ἅπαξ δέ, φασίν, ἐνταῦθα ἡ λέξις εἴρηται τῷ ποιητῇ, ἀφ’ ἧς καὶ σορέλλην παρὰ Ἀριστοφάνει σκῶμμα εἰς γέροντα, ὡς ἐν ῥητορικῷ εὕρηται Λεξικῷ. [Ἐξ αὐτῆς δὲ καὶ σοροπηγὸς πρὸς ὁμοιότητα τοῦ ναυπηγός.

4.688 δηλοῖ δὲ ἡ σορὸς καὶ αὐτὴ καθ’ αὑτὴν γέροντα σκωπτικῶς, ὡς δῆλον ἐκ τοῦ γράψαντος τὸ «γηράσασα καὶ ἤδη οὖσα σορός». τοῦ δὲ σορέλληνος σαφέστερον εἰς σκῶμμα τὸ τυμβογέρων παρὰ τῷ Κωμικῷ. (v. 92) Ὁ δὲ ῥηθεὶς χρύσεος ἀμφιφορεὺς ὁ τοσοῦτος, δι’ οὗ φθάσας ὁ Ἀχιλλεὺς ἔσπεισεν ὑπὲρ Πατρόκλου τῷ Διΐ, καλῶς ἂν ἀργυρέῳ εἰκασθείη φρέατι κατὰ τὴν ὑστερογενῆ ἀστειότητα. πίνων γοῦν τις ἐκ μεγάλου ποτηρίου ἐσκώφθη ἐξ ἀργυροῦ πίνειν φρέατος.] Ἰστέον δὲ ὅτι τὴν τοῦ Πατρόκλου προσηκάμενος ἀξίωσιν Ἀχιλλεὺς ἐθέλει ἐν τοῖς ἑξῆς τὰ τοῦ ἑταίρου ὀστᾶ ἐν χρυσέῃ φιάλῃ καὶ δίπλακι δημῷ θεῖναι, ἕως ἂν αὐτὸς θάνοι. Καὶ ὅρα τὸ «δίπλακι». συντελεῖ γάρ τι καὶ εἰς τὴν μαρμαρέην δίπλακα. εἶτα μετὰ μικρὸν ἐκεῖ καὶ ἐνεργεῖται τὸ ἀξιωθέν, ὡς ῥηθήσεται. δῆλον δὲ ὅτι φιάλην ἐκεῖ τὸν ῥηθέντα κρατῆρά φησιν. (v. 91) Ἔτι ἰστέον καὶ ὅτι τὸ «ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι» παράφρασίς ἐστι τοῦ «μὴ ἐμὰ σῶν ἀπάνευθεν τιθέναι ὀστέα, ἀλλ’ ὁμοῦ»; καὶ ὅτι δύναταί τις ἐντεῦθεν ἐπὶ φιλικῆς κοινωνίας παρῳδῆσαι τὸ «μὴ ἐμὰ σῶν ἀπάνευθεν τιθέναι, ἀλλ’ ὁμοῦ». ἐν τούτοις δὲ δεξιῶς παρεισάγων καὶ εὐμεθόδως ὁ ποιητὴς καὶ τὴν περὶ Πατρόκλου ἱστορίαν, ὅθεν τε ἦν ἱστορεῖ καὶ τίνος πατρὸς καὶ περὶ ἡλικίας, καθ’ ἣν συνανετράφη τῷ Ἀχιλλεῖ. (v. 85—90) Φησὶ γοῦν τῷ Ἀχιλλεῖ ὁ ἐν ὀνείροις Πάτροκλος περὶ ἑαυτοῦ, ὅτι «με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος ἤγαγεν ὑμέτερόνδ’ ἀνδροκτασίης ὑπὸ λυγρῆς, ἤματι τῷ ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος, νήπιος, οὐκ ἐθέλων, ἀμφ’ ἀστραγάλοισιν χολωθείς· ἔνθα με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς ἔτρεφέ τ’ ἐνδυκέως», ἤγουν ἐπιμελῶς, «καὶ σὸν θεράποντ’ ὀνόμηνε». Καὶ ὅρα ὅτι οὐκ ὤκνησεν Ὅμηρος καὶ διὰ ἱστορίας ἐλθεῖν ἀφελοῦς διὰ προσώπου ποιότητα, ὑποκαταβὰς τοῦ ὕψους τῆς σεμνότητος.

4.689 τὰ γὰρ κατὰ τὴν ἀνδροκτασίαν καὶ μᾶλλον τὰ κατὰ τοὺς ἀστραγάλους ἀφελῆ καὶ παρέλκοντα. καὶ τάχα καὶ διὰ τοῦτο παρεσημήνατο διὰ τοῦ Ἀχιλλέως ὁ ποιητὴς μὴ πάμπαν εἶναι φρένας τῷ εἰδώλῳ, οὗπερ ταῦτά εἰσι λόγοι, καταγιγνώσκων οὐ βάθος φρενῶν τοῦ ἐν μεγάλῳ πένθει παιδικὰ λαλοῦντος ἀθύρματα. (v. 85) Ὅτι δὲ Ὀπούντιος ὁ Μενοίτιος καὶ τίς ἡ Ὀπόεις πόλις ἡ ἐν συναιρέσει Ὀποῦς, πολλαχοῦ δεδήλωται. νῦν δὲ ἐξ Ὁμήρου ἐφάνη καὶ πῶς Ὀπούντιος ὁ Πάτροκλος ὢν παρὰ Θετταλοῖς ἦν, ὅτι δηλαδὴ φυγὰς διὰ φόνον γενόμενος παιδὸς ἥλικος. (v. 86) Ἰστέον δὲ ὅτι κατὰ τοὺς παλαιοὺς καταχρηστικῶς ἀνδροκτασία ἐνταῦθα εἴρηται. παῖδα γὰρ κατέκτανε, καὶ οὐ τέλειον ἄνδρα. καὶ μὴν ἄλλως κατὰ τὸ φύσει σημαινόμενον τοῦ ἀνδρός, ὅπερ ἐν πολλοῖς δηλοῦται, ἄνδρα ἀνεῖλεν, ἤγουν ἄνθρωπον ἄρρενα. ἔτι δὲ καὶ ἑτέρως, καθά φασι καὶ αὐτὸ οἱ παλαιοί, ἀνδροκτασία καὶ ἡ παιδοφονία λέγεται κατὰ τὴν ἀπὸ μέρους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δήλωσιν τοῦ παντός. ἀνδροφόνος γὰρ ὁ ἁπλῶς ἄνθρωπον ἀναιρῶν, εἴτε παῖς εἴη πεσών, εἴτε ἀκμαῖος, εἴτε καὶ γυνή. (v. 83) Τὸ δὲ «τιθείμεναι» κοινῶς μὲν τιθέναι, ποιητικῶς δὲ τιθέμεναι, προσλήψει δὲ τοῦ ι διὰ δάκτυλον μετρικὸν «τιθείμεναι». [Γραφῆναι δὲ διὰ τοῦ ἦτα τὴν προπαραλήγουσαν κατὰ τὸ βήμεναι, τυφθήμεναι καὶ τὰ ὅμοια, οὐκ ἦν ἀνάλογον. οὐ γὰρ προϋπέκειτο τοῦ τιθέναι ἦτα, ἵνα ἐξ αὐτοῦ γένηται διὰ τοῦ η καὶ τὸ «τιθείμεναι». διὰ τί δὲ οὐκ ἐδιπλασίασε τὸ μ ἐν τῷ τιθέμεναι ὁμοίως τῷ ἔμμεναι, καὶ πάλιν διὰ τί μὴ ἦν εἵμεναι ὡς τιθείμεναι, λυέτωσαν οἱ βουλόμενοι.] (v. 86) Τὸ δὲ «ὑμέτερόνδε» κατ' ἔλλειψιν ἐφράσθη τοῦ οἶκον ἢ δῶμα. οὕτω καὶ ἡ κοινὴ γλῶσσα «εἰς τὰ ὑμέτερα» φησί, δηλαδὴ δώματα ἢ οἰκία. μάλιστα δὲ ἀπὸ κοινοῦ ἐνταῦθα νοεῖται ὁ δόμος ἤγουν ἐκ τοῦ ἐν ὑμετέροισι δόμοισιν», ἵνα ᾖ· ἤγαγεν εἰς ὑμέτερον δόμον.

4.690 Ἐν δὲ τῷ «ὑπὸ λυγρῆς» αἰτιολογικοῦ συνδέσμου ἐπέχει τόπον ἡ ὑπο πρόθεσις, ἵνα ᾖ· ἕνεκεν ἀνδροκτασίας λυγρῆς. (v. 88) Τὸ δὲ «νήπιος» καὶ αὐτὸ διασαφητικόν ἐστι τοῦ «ὁμοῦ ἐτράφημεν». ὁ γὰρ οὕτω νήπιος, ὡς ἀστραγάλοις ἐναλύειν, καλῶς ἔφη ὁμοῦ τραφῆναι τῷ Ἀχιλλεῖ τυτθὸς ἐών. Τὸ δὲ «ἀμφ' ἀστραγάλοισιν», Ἀττικῶς ῥηθὲν εὕρηται καὶ γένους θηλυκοῦ. ἐν γὰρ παλαιοῖς ὑπομνήμασι φέρεται ὅτι οἱ πλείους «ἀμφ' ἀστραγάλῃσι» γράφουσι. καὶ ἔστιν Ἰωνικὸν ἡ ἀστραγάλη, ὡς καὶ ἐν ῥητορικῷ εὕρηται Λεξικῷ, ἐν ᾧ καὶ ὅτι τοὺς ἀστραγάλους καὶ ἀστρίχους λέγουσιν. [Ἰστέον δὲ ὅτι τε οἱ περὶ πόδας ἀστράγαλοι οὕτω λέγονται, ὡς οἷον ἀστράβαλοι ἐναλλαγῇ τοῦ βῆτα, δι' ὧν ἀστραβῶς ἔστι βαίνειν, καὶ ὅτι αἱ ἀστραγαλωταὶ μάστιγες ἐκ τοιούτων τινῶν ἐνειρομένων κατεκροτοῦντο, καὶ ὅτι ἐνταῦθα οὐ τοιούτους ἀναγκαίως ἀστραγάλους νοητέον, ἀλλὰ μᾶλλον παιδιάν, καθ' ἣν ἔπαιζον, φασίν, ἀστραγάλοις, καὶ τὸ οὕτω παίζειν ἀστρίζειν ἔλεγον, καὶ τοὺς τοιούτους ἀστραγάλους ἀστρίας ἢ ἄστριας. Καλλίμαχος οὖν ζορκός που λέγει δωρηθῆναί τινι πέντε νεοσμίκτους ἄστριας. ἐπαίζετο δὲ ἡ παιδιὰ τέσσαρσιν ἀστραγάλοις. ὧν ἕκαστος πτώσεις εἶχε τέσσαρας, οὐ μὴν ἓξ κατὰ τοὺς κύβους, ἐξ ἑβδομάδος κατ' ἀντίθετον συγκειμένας. ἀντέκειτο γὰρ μονὰς καὶ ἑξάς, εἶτα τριὰς καὶ τετράς, δυὰς δὲ καὶ πεντὰς ἐπὶ μόνων κύβων ἦν ὡς ἐχόντων ἐπιφανείας ἕξ. ἦσαν δέ, φασίν, αἱ πᾶσαι πτώσεις τῶν ἀστραγάλων παραλαμβανομένων, ὡς ἔθος, πέντε καὶ τριάκοντα. ὧν αἱ μὲν θεῶν ἐπώνυμοι, αἱ δὲ ἡρώων, αἱ δὲ ἐνδόξων ἀνδρῶν, αἱ δὲ ἑταιρίδων, αἱ δὲ ἀπό τινων συμβεβηκότων κατὰ τιμὴν ἢ χλεύην προσηγόρευνται.

4.691 ἐλέγετο δέ τις ἐν αὐταῖς καὶ Στησίχορος, ὁ τὴν ὀκτάδα δηλαδὴ σημαίνων, ἐπεὶ ὁ ἐν Ἱμέρᾳ τῇ Σικελικῇ τάφος τοῦδε τοῦ μελοποιοῦ ἐξ ὀκτὼ γωνιῶν συνέκειτο, ἑτέρα δὲ ἐκαλεῖτο Εὐριπίδης, ἡ δηλαδὴ σημαίνουσα τὰ τεσσαράκοντα, ἐπειδὴ δοκεῖ ὁ Εὐριπίδης γενέσθαι εἷς τῶν ἐν Ἀθήναις τεσσαράκοντα προστατῶν μετὰ τὴν κατάλυσιν τῶν τριάκοντα. τῶν δὲ βόλων, φασίν, ὁ μὲν τὸ ἓξ δυνάμενος Κῷος ἐλέγετο καὶ ἑξίτης, ὁ δὲ τὸ ἓν Χῖος καὶ κύων. ὅθεν καὶ παροιμία «Χῖος παραστὰς Κῷον οὐκ ἐάσω». καθ' ἣν παρὰ Στραττίδι τῷ Κωμικῷ τὸ «Χῖος παραστὰς Κῷον οὐκ ἐᾷ λέγειν», ὃ παραλαλεῖ καὶ Ἀριστοφάνης ἐν τῷ «οὐ Χῖος, ἀλλὰ Κεῖος» ἢ «Κῷος». δηλοῖ δὲ ὁ ῥηθεὶς κύων βόλος ἀνταναίρεσίν τινα ψήφου. ἐν χώραις γάρ τισι διαγεγραμμέναις πεττευτικῶς πολλῶν κειμένων ψήφων, ἃς ἐχρῆν ἀνταναιρεῖν, αἱ μὲν χῶραι πόλεις ἐλέγοντο νόμῳ κυβευτικῷ, κύνες δὲ αἱ ἀλλήλαις ἀντεπιβουλεύουσαι ψῆφοι. ὡς δὲ καὶ πολλοῖς ἀστραγάλοις ἔπαιζον, καθὰ καρύοις, ζητητέον ἐν τῷ Πλούτῳ τοῦ Κωμικοῦ.] (v. 87) Τὸν δὲ ῥηθέντα παῖδα οἱ μὲν Αἰάνην φασὶ καλεῖσθαι, οἱ δὲ Λύσανδρον, οἱ δὲ Κλεισώνυμον, παρὰ Ὀθρυονεῖ τῷ γραμματιστῇ ἀποκταθέντα. (v. 90) Τὸ δὲ «ἐνδυκέως», περὶ οὗ καὶ ἀλλαχοῦ κεῖται, δοκεῖ Αἰολικὸν εἶναι καὶ τρέψαι 〈τὸ〉 πρωτότυπον ο εἰς υ , ὡς ἀπὸ τοῦ δοκεῖν, ἐξ οὗ ὁ δεδοκημένος καὶ τὸ δοκεύειν, ἢ καὶ ὅθεν ὁ πάνδοκος καὶ ἡ πανδοκεύτρια, ἵνα ᾖ ἐνδυκέως τὸ δοκευτικῶς καὶ μετ' ἐπιτηρήσεως ἢ δεξιώσεως. τινὲς μέντοι παρὰ τὴν δίκην αὐτὸ εἶπον γενέσθαι. (v. 91) Τὸ δὲ «ὁμὴ σορός» εἴληπται μὲν ἐκ τοῦ ὁμοῦ τραφῆναι, δηλοῖ δέ, ὡς οἱ ὁμοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τραφέντες καὶ ὁμῆς κύλικος πεπωκότες καὶ ὁμὴν ἕξουσι τοιαύτην σορόν, ἵνα λέγῃ ἀστείως τις, ὡς οἱ πιόντες κρατῆρα φιλοτήσιον ἐν τῷ ζῆν τὸν αὐτὸν ἔσχον καὶ θανάτου κρατῆρα ταφέντες ἐν τοιούτῳ ὁμοῦ.

4.692 δῆλον δὲ ὡς ἡ γενικὴ τοῦ ὁμός ὁμοῦ εἰς ὀνοματικὸν ἐπίρρημα μετέπεσε, τὸ ὁμοῦ, ὁμοίως τῷ αὐτοῦ, ἵνα ᾖ τὸ ὁμοῦ ἀντὶ τοῦ ἐπὶ ὁμοῦ τόπου κατὰ σχῆμα ἐλλειπτικόν, ὥσπερ καὶ τὸ αὐτοῦ, ἤγουν αὐτόθι, ἀντὶ τοῦ ἐπ' αὐτοῦ τοῦ τόπου. (v. 94—6) Ὅτι ὁ ἱκετευθεὶς ὑπὸ γνησίου φίλου καὶ καταπεισθεὶς δύναται εἰπεῖν τὸ «τίπτε μοι ἠθείη», τουτέστιν ἀδελφική, «κεφαλὴ δεῦρ' εἰλήλουθας, καί μοι ταῦτα ἕκαστ' ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι πάντα μάλ' ἐκτελέω καὶ πείσομαι, ὡς σὺ κελεύεις». Ἰστέον δὲ ὅτι, ὥσπερ πρὸ ὀλίγου μακρὰν ἔννοιαν τὴν τοῦ εἰκασμοῦ τοῦ Πατρόκλου ἑνὶ κόμματι ὁ ποιητὴς προϊὼν ἐμπεριέγραψεν, εἰπὼν ὅτι «ἔϊκτο δὲ θέσκελον αὐτῷ», οὕτω καὶ νῦν, τοῦ Πατρόκλου ἐν ὕπνῳ διάφορα τῷ Ἀχιλλεῖ ἐντειλαμένου κομματικῶς, ἐκεῖνα δηλοῖ Ὅμηρος ἐν τῷ «ταῦτα ἕκαστα ἐπιτέλλεαι», καὶ πάλιν μετ' ὀλίγα «καί μοι ἕκαστα ἐπέτελλε». ταὐτολογεῖν γὰρ οὐδ' ἐνταῦθα βούλεται εἰς οὐδὲν καίριον. (v. 94) Ἠθεῖα δὲ κεφαλή ἐκ τοῦ ἠθεῖος γίνεται, περὶ οὗ πολλαχοῦ δεδήλωται, Χαμαιλέοντος δέ, φασί, τοῦ γραμματικοῦ, γράψαντος «ὦ θείη κεφαλή» μέμφονται οἱ παλαιοί. ἠθεῖον μὲν γὰρ ὀνομάσαι ἀδελφικῶς τὸν προγενέστερον φίλον εἴη ἂν καλόν. τὴν δὲ τοῦ θείου πρόσρησιν, οἷον «θεῖος ὄνειρος» καὶ τὰ τοιαῦτα, οὐ τῷ τυχόντι διδόναι χρή, καὶ μάλιστα νεκρῷ ἁπλῶς. (v. 97 s.) Ὅτι δεξιωτικὸν ἐπὶ φίλῳ οἰκτρῷ τὸ «ἀλλά μοι ἆσσον στῆθι, μίνυνθά περ ἀμφιβαλόντες ἀλλήλους ὀλοοῖο τεταρπώμεσθα γόοιο», καθὰ καὶ προγέγραπται. λέγει δὲ ἀμφιβαλεῖν τὸ περιπλακῆναι. (v. 99 s.) Ὅτι ἐπί τινος ἐκπεσόντος ὧν ὡς οἷον ὀνειροπολῶν ἐν χερσὶν ἔχειν ἐδόκει, ῥηθήσεται τὸ «ὠρέξατο χερσὶ φίλῃσιν, οὐδ' ἔλαβεν». Ἀχιλλεὺς δὲ τοῦτο ἔπαθε καθ' ὕπνον, ταῖς χερσὶν ἐκταθεὶς ἅψασθαι τῆς ψυχῆς Πατρόκλου, μὴ λαβὼν δέ. (v. 100 s.) «Κατὰ χθονὸς» γάρ, φησίν, «ἠΰτε καπνὸς ᾤχετο τετριγυῖα». καὶ τὸ μὲν «τετριγυῖα», ληφθὲν ἀπὸ νυκτερίδων, ἐν τῷ τῆς Ὀδυσσείας ω' φαίνεται, τί δηλοῖ.

4.693 τὸ δὲ «καθὰ καπνός» διὰ τὸ πνευματῶδες καὶ φαντασιῶδες εἴρηται. [Ἰστέον δὲ ὅτι λέγεται μὲν καὶ χιὼν τετριγέναι, ὅτε πλατεῖ ποδὶ καταπατεῖται, μάλιστα δέ, φασί, στρουθάρια, ὧν καὶ ἡ βῆτα ῥαψῳδία ἐμνήσθη, τρίζουσιν ἢ τιτίζουσι κατὰ Ζηνόδοτον. τρυγὼν μέντοι τρύζει, ὡς καὶ τοὔνομα ἐκείνης δηλοῖ, ὥσπερ ἡ ὀλολυγὼν ὀλολύζει. πέρδικες δέ τινες κακκαβίζουσιν, οἳ καὶ καλοῦνται δι' αὐτὸ κακκάβαι. ἴσως δὲ καὶ κικκαβάζουσιν, ὡς ἐμφαίνει ὁ Κωμικὸς ἐν τῷ κικκαβαῦ». ὅτι δὲ κακκάβη καὶ σκεῦός ἐστι χαλκοῦν, ὅπερ κοινῶς κακκάβιον λέγεται, δηλοῖ ὁ γράψας τὸ «ἐν κακκάβᾳ ζεούσῃ». ὡς δὲ οἱ πέρδικες καὶ τιτυβίζουσι, Θεόφραστος ἱστορεῖ. δῆλον δὲ καὶ ὅτι, ὥσπερ ἐν τῷ «λέβης ζέων», οὕτω καὶ ἐν τῷ «κακκάβᾳ ζεούσῃ» ἀνεῖται τὸ ζέειν πρὸς τὸ βράττειν καὶ τὸ ἐξ αὐτοῦ βράσμα καὶ πρὸς τὸ κάχλασμα καὶ πρὸς τὸ παφλάζειν, εἰς ὃ ποιεῖ Φερεκράτης τὸ «λοπὰς παφλάζει βαρβάροις λαλήμασι». (v. 101 s.) Τοῖς δὲ Ὁμηρικῶς ῥηθεῖσιν] ἐπαχθὲν μετὰ τὸ «ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς» τὸ χερσί τε συμπλατάγησεν», ὅ ἐστι τὰς χεῖρας συνεκρότησεν ὡς ἐπὶ παραδοξίᾳ τινί, θρῆνον μὲν δηλοῖ τινα καὶ αὐτό. διὸ ἐπάγει «ἔπος δ' ὀλοφυδνὸν ἔειπε». δύναται δὲ καὶ ἐπὶ ἐκπλήξεως καὶ θάμβους τὸ αὐτό ποτε γενέσθαι.

4.694 Ὀππιανὸς δὲ καὶ ἐπὶ ὀστρέων τῇ λέξει ἐχρήσατο, εἰπὼν «ὄστρακα συμπλατάγησε». Τοῦ δὲ «ὀλοφυδνόν» πρωτότυπον τὸ ὀλοφύζω, δύσχρηστον ῥῆμα, ὡς καὶ ἀλλαχοῦ δεδήλωται. (v. 101) Ἰστέον δὲ ὅτι ἐν τούτοις τὸ «ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς» ἐπίτασιν ἔχει τοῦ ἐν ταῖς Λιταῖς εἰρημένου τάφου, ὅ ἐστι τῆς κατὰ ψυχὴν ἐκπλήξεως, ἔτι δὲ καὶ τῆς ἀνορούσεως, εἴτ' οὖν σπουδαίας ἀναστάσεως. βάλλει δέ τισιν ἐς νοῦν ἴσως καὶ ὡς δεξιῶς ἐνταῦθα κεῖται τὸ ταφών, ἔνθα περὶ νεκροῦ ὁ λόγος καὶ τῆς κατ' αὐτὸν ταφῆς. (v. 103—4) Ὅτι ἐπί τινος ψευδομένου τὸν κυρίως ἄνθρωπον ἔστιν εἰπεῖν σκωπτικῶς τὸ «ὢ πόποι, ἦ ῥά τίς ἐστι καὶ τῷ δεῖνι ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν». (v. 105—7) Ἐπὶ δὲ φίλου δι' ὄναρ οἰκτιζομένου καλὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰπεῖν τὸ «παννυχίη γάρ μοι ἡ τοῦ δεῖνος ψυχὴ ἐφειστήκει γοόωσά τε μυρομένη τε, καί μοι ἕκαστ' ἐπέτελλεν». Ἀχιλλεὺς δὲ καὶ ταῦτα περὶ τοῦ φίλου Πατρόκλου φησίν. (v. 108—10) Ὅτι κοινοῦ θρήνου μακροῦ νυκτέρου ἐπὶ νεκρῷ δηλωτικὸν τὸ «τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο. μυρομένοισι δὲ τοῖσι φάνη ῥοδοδάκτυλος ἠὼς ἀμφὶ νέκυν ἐλεεινόν». λέγει δὲ νῦν «ἐλεεινόν» τὸν ὑπὸ πάντων οἰκτιζόμενον Πάτροκλον. σημαίνει δέ ποτε ἡ λέξις καὶ τὸν μήπω μὲν ἠλεημένον, δεόμενον δὲ τοῦ ἐλεηθῆναι. Ὅρα δὲ καὶ ὡς οὐκ ὤκνησε τὸ «τοῖσι» δὶς θεῖναι ὡς ἐν σχεδιασμῷ. (v. 112 s. et 123) Ὅτι ἐπεὶ παντὶ ἔργῳ σπουδαίῳ οἷα καὶ σώματι κεφαλὴν ἐπεῖναι δεῖ, ἐπιστατεῖν ἐνταῦθα Μηριόνης ᾑρέθη τοῖς ἄγουσιν ὕλην εἰς τὴν τοῦ Πατρόκλου πυράν, ὡς ἂν ἐπισπέρχῃ αὐτούς, ἢ καὶ ὡς εὖ πάλαι εἰδὼς τὰ τοιαῦτα κελεύειν, ὅσγε προϊὼν ἀνώγει τοὺς ὑλοτόμους φέρειν φιτροὺς ἐπὶ τῶν ὤμων, γυμνάζων εἰδημόνως μὴ κούφους ἐν ταῖς χρείαις διατελεῖν. καὶ οὕτω μὲν ὁ Μηριόνης ἐπιστάτης τοῦ ἔργου πρὸς βασιλέως ᾑρέθη. (v. 110—2) Ὁ δὲ βασιλεὺς αὐτὸς ἐκεῖνος ἐξελαύνων, ὡς ἡ καθ' ἡμᾶς νῦν φράσοι ἂν γενεά, τοὺς ὑλοτομήσοντας «οὐρῆάς τ' ὤτρυνε καὶ ἀνέρας ἀξέμεν», ὅ ἐστι κλάσειν, ὡς εἴρηται, ἢ ἀγαγεῖν «ὕλην, πάντοθεν ἐκ κλισιέων», κατὰ ἐπιλογὴν δηλαδὴ καὶ πρὸς ἔνδειξιν δὲ τοῦ εὐρυκρείων εἶναι.

4.695 (v. 114—23) Εἶτα φράζει ὁ ποιητὴς τὴν ἀκολουθίαν τῆς ὑλοτομίας, εἰπὼν «οἳ δ' ἴσαν ὑλοτόμους πελέκεας ἐν χερσὶν ἔχοντες σειράς τ' εὐπλέκτους, πρὸ δ' ἄρ οὐρῆες κίον αὐτῶν», ἤγουν προεπορεύοντο αὐτῶν, «πολλὰ δ' ἄναντα κάταντα πάραντά τε δόχμιά τ' ἦλθον. ἀλλ' ὅτε δὴ κνημοὺς προσέβαν πολυπίδακος Ἴδης», τῆς προγραφείσης, «αὐτίκ' ἄρα δρῦς ὑψικόμους ταναηκέϊ χαλκῷ τάμνον ἐπειγόμενοι· ταὶ δὲ μεγάλα κτυπέουσαι πῖπτον. τὰς μὲν ἔπειτα διαπλήσσοντες Ἀχαιοὶ ἔκδεον ἡμιόνων· ταὶ δὲ χθόνα ποσὶ δατεῦντο», τουτέστι συντεταμένως ὥδευον «ἐλδόμεναι πεδίοιο διὰ ῥωπήϊα πυκνά. πάντες δ' ὑλοτόμοι», ὡς Ἰδομενεὺς ἐκέλευσε, «φιτρούς», ὡς ἐρρέθη, «φέρον», ὅ ἐστι κορμούς. (v. 123) Περὶ ὧν εἰ καὶ προείρηται, ἀλλὰ καὶ νῦν ἐπισημαντέον, ὡς μάλιστα ἔοικεν ὁ φιτρός φίτυρός τις εἶναι ὡς ἀπὸ τοῦ φῖτυ, ὃ δηλοῖ φυτὸν ἢ φύτευμα, ὡς Ἀριστοφάνης Εἰρήνῃ «πόθεν τὸ φῖτυ; τί τὸ γένος; τίς ἡ σπορά» πάντως δ' ἐκ τοῦ φιτύω φιτύσω, τὸ γεννῶ, φῖτυς ὁ γεννῶν, καὶ τὸ οὐδέτερον φῖτυ. (v. 114) Ὑλοτόμους δὲ πελέκεας εἶπε πρὸς διαστολὴν τῶν τε σφαγέων καὶ τῶν εἰς ἆθλα τιθεμένων καὶ τῶν ἄλλων ἐν οἷς καὶ αἱ προϊστορηθεῖσαι πολεμικαὶ ἀξῖναι. (v. 115) Σειραὶ δὲ πλέγματά τινα ἢ ἀπὸ σχοίνων ἢ σπάρτων ἢ ἄλλοθεν. Κεκοίνωται δὲ ἡ λέξις, ὡς δηλοῖ παρ' ἡμῖν τὰ σειράδια. Οὐρῆες δὲ πόθεν ἐτυμολογοῦνται, προδεδήλωται. φαίνεται δὲ νῦν εὔλογον εἶναι καὶ ἀπὸ τοῦ ὄρους αὐτὰς παρωνομάσθαι. ἰδοὺ γὰρ νῦν χρησίμως ἐν κνημοῖς ἢ κατά τινας κρημνοῖς, τοῦ κατὰ τὴν Ἴδην ὄρους πονοῦνται. (v. 121) Ὅτι δὲ ταὐτὸν ὀρέα εἰπεῖν καὶ ἡμίονον, δηλοῖ τὸ «ἔκδεον ἡμιόνων», αἳ καὶ θηλυκῶς προφέρονται. (v.

4.696 116) Ἄναντα δὲ τὰ προσάντη καὶ ἀνωφερῆ, κάταντα δὲ τὰ κατωφερῆ, πάραντα δέ, ὡς ἐν ῥητορικῷ κεῖται Λεξικῷ, πλάγια, ἑτεροκλινῆ, ἢ προσώμαλα καὶ γήλοφα, δόχμια δὲ τὰ πλάγια. Τούτοις δὲ πᾶσιν ἡ πεδιὰς διαφέρει τῆς ὀρεινῆς, ἐφ' ἧς αἱ ἡμίονοι πονούμεναι τοῦ πεδίου ἔλδονται. [Ἰστέον δὲ ὅτι τε τὸ ἄναντα ἐκ τοῦ ἀνάντεα δοκεῖ συγκεκόφθαι. ὡς γὰρ ἐξάντης ἀρσενικὸν καὶ ἔξαντες οὐδέτερον, οὗ πληθυντικὸν ἐξάντεα, οὕτω καὶ ἀνάντης ἄναντες ἀνάντεα, ὅθεν τὸ ἄναντα. τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ κάταντα καὶ πάραντα πρὸς ὁμοιότητα τοῦ ἐναντία ἔναντα, καὶ ὅτι ἢ ἓξ οὐσῶν κακιῶν τοῦ ἔπους, ὡς ἑτέρωθι σαφῶς δεδήλωται, κακίζεται καὶ τὸ «πολλὰ δ' ἄναντα» καὶ ἑξῆς. καὶ λέγεται ἡ τοιαύτη ἐπικὴ κακία, ἐπισυνέμπτωσις οὖσα λέξεων, ὁμοιοκαταληξία καὶ τῶν αὐτῶν συμφώνων ἐπαλληλία.] Ἔτι ἰστέον καὶ ὅτι ἀπὸ τῆς δοχμῆς ἢ δόκμης βαρυτόνως γίνεται τὸ δόχμιον, περὶ ἧς Αἴλιος Διονύσιος φησιν οὕτω· δόχμη τὸ τετραδάκτυλον. Ἀρίσταρχος δὲ ὀξύνει, ὡς δηλοῖ καὶ ὁ Κωμικὸς ἐν τῷ «οὗτοι δ' ἀφεστήκασι πλεῖν ἢ δύο δοχμά». ἐν μέντοι, φησί, τοῖς ἀκριβεστέροις

ἀντιγράφοις ὀξεῖα ἐπίκειται τῇ πρώτῃ συλλαβῇ κατὰ τὸ λόχμη, λόγχη, ὄχθη, ὄγχνη. Ἕτερος δέ τις λέγει καὶ αὐτός, ὅτι δόχμη, ὡς ὄχθη καὶ στάθμη κατὰ Τρύφωνα, εἰ καὶ Ἀρίσταρχος ὀξύνειν ἀξιοῖ. Παυσανίας δὲ εἰπὼν καὶ αὐτὸς ὅτι δόχμη τὸ τετραδάκτυλον, ἐπάγει· Κύπριοι δὲ τὴν παλαιστήν. ἴσως δέ, φησί, διὰ τὸ πλαγιάζειν τῇ χειρὶ ἐν τῷ μετρεῖν.

4.697 δόχμιον γὰρ τὸ πλάγιον. ὥστε οὗτος προϋπάρχειν βούλεται τῆς δόχμης τὸ δόχμιον. (v. 117) Κνημοὶ δέ, ὡς καὶ ἀλλαχοῦ δεδήλωται, τὰ ὑψηλότερα τῆς ὑπωρείας, ἔνθα συλλειβομένων τῶν ὑδάτων ὕλη πυκνοῦται. τὰ γὰρ κορυφαῖα τοῦ ὄρους δυσάντη τε ὑλοτόμοις καὶ οὐδὲ λάσιά εἰσι. (v. 119) Τὸ δὲ «κτυπέουσαι πῖπτον» καὶ αὐτὸ ἀνέστραπται. πίπτουσαι γὰρ μᾶλλον ἐκτύπουν. (v. 120) Διαπλήσσειν δὲ τὸ εἰς μικρὰ τέμνειν φησίν, ὅπερ ὁ Παυσανίας κατακορμίσαι λέγει, ἕτεροι δὲ ἀντὶ τοῦ «διαπλήσσοντες» «διαρρήσοντες» γράφουσιν. (v. 121) Ἐκδεῖσθαι δὲ ἡμιόνων τὴν ὕλην ἢ κατὰ λόγον φόρτου νοητέον ἢ ἐφ᾽ ᾧ ἕλκεσθαι αὐτὴν συρομένην, ὅπερ νοεῖν ὑποβάλλει που καὶ ὁ κολοσυρτός, περὶ οὗ ἀλλαχοῦ εἴρηται. Δατεῖσθαι δὲ χθόνα ποσσὶν ἀντὶ τοῦ μερίζεσθαι, κόπτεσθαι. διὸ καὶ κόνις ἡ οὕτω κνωμένη γῆ. καὶ ἄλλως δὲ δατεῖται γῆ ποσὶν ἐν τῷ εὐτάκτως βαδίζειν καὶ ὡς ἐν μερισμῷ τοὺς μὲν τῇδε, τοὺς δὲ ἑτέρωσε βαίνειν. (v. 122) Ἔλδονται δὲ πεδιάδος αἱ ἡμίονοι, ὡς φύσει τῶν τραχέων τόπων μὴ φιλουμένων ζῴοις. δηλοῖ δὲ αὐτὸ καὶ τὸ «ἵππος εἰς πεδίον». (v. 124) Ἐν τούτοις δὲ τὸν Μηριόνην θεράποντα Ἰδομενέως εἰπὼν ἀγαπήνορος ὑποδηλοῖ οὕτω πως καὶ ἀγήνοράς τινας λέγεσθαι. ὡς γὰρ ἀγαπήνωρ ὁ ἀγαπῶν ἠνορέην, οὕτω καὶ ἀγήνωρ ὁ ἀγώμενος, ὅ ἐστι θαυμάζων, ἠνορέην. ὁ τοιοῦτος δὲ νοῦς καὶ τὸν Ἀγαπήνορα καὶ τὸν Ἀγήνορα τὰ κύρια παρήγαγε. [Πρὸς τοῖς εἰρημένοις ἐπισημαντέον περὶ Μηριόνου μέν, ὡς καλῶς εἰς ἐπιστασίαν ἐπελέγη τῶν ὑλοτόμων οἷα εὖ εἰδὼς ἔθει Κρητικῷ. εἶχε γὰρ ἡ Κρήτη θεράποντας, οὓς ἐκάλουν οἱ ἐγχώριοι καλοφόρους, ἤγουν ξυλοφόρους. κᾶλα γὰρ τὰ ξύλα, ἐξ ὧν κατά τινας καὶ κῆλα τὰ βέλη. τάχα οὖν καὶ ἐσπουδάζετο ἐκεῖ τὸ ξυλοφορεῖν. ἴσως δὲ καὶ Κρητικὴ λέξις τὸ κᾶλον. Περὶ δὲ ἡμιόνων ἐνθυμητέον παροιμίαν ἐκ τῶν τοῦ Θεόγνιδος, τὸ «ἵνα γνοίη ὅσσον ὄνων κρέσσονες ἡμίονοι», ταλαεργοὶ δηλαδὴ ὄντες καὶ δεξιοὶ πονεῖν καὶ ἀχθοφορεῖν.

4.698 ἔτι ῥητέον καὶ ὡς οὐ μόνον ὑλοτόμοι πελέκεες, ἀλλὰ πάντως καὶ ἄνδρες, εἴγε καὶ δρυτόμος λέγεται ἀνήρ. εἰς τὸν αὐτὸν δὲ νοῦν ἄγεται δρυτόμος καὶ ὑλοτόμος.] (v. 125—7) Ὅτι τὸ τὴν ὕλην ἐκ τῶν ἡμιόνων καταρρῖψαι καταβαλεῖν τε ἐπ᾽ ἀκτῆς λέγει, οἷον «κὰδ δ᾽ ἂρ ἐπ᾽ ἀκτῆς βάλλον ἐπισχερώ», καὶ πάντῃ παρακαταβαλεῖν, οἷον «πάντῃ παρακάββαλον ἄσπετον ὕλην». ἔστι δὲ καταβαλεῖν μὲν τὸ κάτω θεῖναι ἢ ῥῖψαι, παρακαταβαλεῖν δὲ τὸ καταθεῖναι ἢ καταρρῖψαι ἐγγὺς τοῦ δέοντος τόπου, ὅπερ πρὸ ὀλίγου παρασχεῖν ἔφη, ὡς ἐκεῖ γέγραπται, ἀφ᾽ οὗ καὶ νῦν οἱ περὶ τέχνας παροχὴν λέγουσι τὴν εἰς τὸ κατ᾽ αὐτοὺς ἔργον ὑλικὴν χορηγίαν. ὥσπερ δὲ οὗτοι ἀπὸ τοῦ παρέχειν φασὶ παροχήν, οὕτως οἱ σοφοὶ ἀπὸ τοῦ καταβάλλειν καταβολὴν τὴν θέσιν ἤτοι δόσιν, οἷον καταβολὴν χρέους ἢ χάριτος. οἱ δ᾽ αὐτοὶ καὶ ἐκ τοῦ παρακαταβαλεῖν ὕλην, ἤγουν παρακαταθεῖναι, τὸ τῆς παρακαταθήκης ἐποίησαν ὄνομα, ὥσπερ καὶ τὸ τῆς παραθήκης ἐκ τοῦ παραβαλεῖν, ὅπερ ἀλλαχοῦ γέγραπται. ἀκολούθως δὲ καὶ τὸ παρακαταθέσθαι καὶ τὸ καταθέσθαι τὰ τῇ παραθήκῃ καὶ τῇ παρακαταθήκῃ σύστοιχα. (v. 125) Τὸ δὲ «ἐπισχερώ» ποιητικόν ἐστι ἐπίρρημα, ὀξυνόμενον μὲν ὡς τὸ ἰώ, καθὰ καὶ ἀλλαχοῦ ἐγράφη, δηλοῦν δὲ τὸ ἐχομένως ἀπὸ τοῦ σχῶ ἢ τοῦ ἔχω, ἐξ ὧν καὶ τὸ σχεδόν καὶ τὸ ἐφεξῆς. (v. 125—37) Ὅτι μέλλοντος ταφῆναι Πατρόκλου φρασάμενος Ἀχιλλεὺς μέγα ἠρίον ἐκείνῳ τε καὶ ἑαυτῷ, περὶ οὗ φανεῖται πῶς μέγα ἐρρέθη, εἶτα «Μυρμιδόνεσσι φιλοπτολέμοισι κέλευσε χαλκὸν ζώνυσθαι», ἢ «χαλκῷ» κατὰ δοτικήν, «ζεῦξαι δ᾽ ὑπ᾽ ὄχεσφιν ἕκαστον ἵππους. οἱ δ᾽ ὤρνυντο καὶ ἐν τεύχεσιν ἔδυνον, ἂν δ᾽ ἔβαν ἐν δίφροισι παραιβάται ἡνίοχοί τε, πρόσθε μὲν ἱππῆες, μετὰ δὲ νέφος εἵπετο πεζῶν, μυρίοι· ἐν δὲ μέσοισι φέρον Πάτροκλον ἑταῖροι. θριξὶ δὲ πάντα νέκυν καταείνυον»,

ἤγουν κατεκάλυπτον, «ἃς ἐπέβαλλον», ἤγουν ἐπέρριπτον, «κειρόμενοι· ὄπιθεν δὲ κάρη ἔχε δῖος Ἀχιλλεὺς ἀχνύμενος· ἕταρον γὰρ ἀμύμονα πέμπ’ Ἄϊδόσδε». (v. 137) Καὶ ὅρα τὸ «πέμπεν».

4.699 ἐντεῦθεν γὰρ παρὰ τοῖς ὕστερον ἡ πομπὴ καὶ τὸ πέμπειν ἐπὶ θριαμβικῆς προελεύσεως. (v. 129 s.) Ὅρα δὲ καὶ ὅτι ὡς εἰς μάχην οἱ Μυρμιδόνες διετάχθησαν ἐπὶ τιμῇ τοῦ κειμένου. διὸ καὶ φιλοπτολέμους καὶ νῦν οὐ παρέργως ὁ ποιητὴς εἶπεν αὐτούς, χαλκῷ δὲ ζώνυσθαι, ὡς ἀπὸ μέρους τὸ ἁπλῶς ὁπλίζεσθαι. μέρος γὰρ ἡ ζώνη τοῦ ὅλου ὁπλισμοῦ, ὥσπερ καὶ ὁ θώραξ, ἀφ’ οὗ τὸ θωρήσσεσθαι, καὶ ἡ αἰχμή, ὅθεν τὸ αἰχμάζειν ἢ αἰχμάσσειν, ὡς ἀπὸ τοῦ δόρυ τὸ δορύσσειν. (v. 130) Τὸ δὲ ζεῦξαι καὶ παθητικῶς ἐν ἄλλοις λέγεται. τὸ δ’ αὐτὸ καὶ ζεύγνυσθαι. (v. 131) Τὸ δὲ «ἐνδύσασθαι τεύχη» ἐν τεύχεσι καὶ νῦν δῦναι εἶπε διὰ καινοτροπίαν φράσεως. ἀλλαχοῦ δὲ «τεύχεα δῦναι» φησὶ καὶ «κατὰ τεύχεα δῦναι». (v. 132) Ὅρα δὲ καὶ ὅτι κἀνταῦθα διαφορὰν φανερὰν παραιβάτου καὶ ἡνιόχου ἔδειξε. (v. 133) Νέφος δὲ πεζῶν καὶ ἀλλαχοῦ ἐρρέθη. πλὴν ἐκεῖ μὲν ἄλλως εἶχεν ἡ τῆς νεφώσεως διάθεσις, ἐνταῦθα δὲ δοκεῖ πλῆθος μόνον δηλοῦν. (v. 134) Διὸ ἐπῆκται σαφηνείας χάριν τὸ «μυρίοι». προείρηται δὲ καὶ ὡς νεκροῖς οἰκεῖον τὸ φέρεσθαι. (v. 135) Τὸ δὲ «καταείνυον» γίνεται ἀπὸ τοῦ ἕω, τὸ ἐνδύω καὶ οὕτω καλύπτω, καὶ πλεονασμῷ τοῦ ι καὶ τοῦ ν εἴνω καὶ παραγώγως εἰνύω, ἐξ οὗ παρατατικὸς εἴνυον καὶ «καταείνυον». ἔοικε δὲ τὸ εἰνύω προσλαβεῖν τὸ ι πρὸς διαστολὴν τοῦ ἐνύω, ἀφ’ οὗ τὸ ἀμφιεννύω καὶ τὰ ἐξ αὐτοῦ.

4.700 Ἐπέβαλλον δέ, ὡς καὶ προεδηλώθη, τρίχας τοῖς νεκροῖς, ὡς οἷα τινα τοῦ σώματος ἀπαρχήν, καθὰ καὶ ἐν Ὀδυσσείᾳ δηλοῦται, οὐ γὰρ εἶχον τεμεῖν τι καὶ τῶν μελῶν, ἢ καὶ ὡς ἀψύχοις τὸ ὅμοιον ἀφοσιούμενοι. διὸ καὶ τῶν ζώντων τὰ μὴ γεννῶντα ζῷα ἔσφαζον ἐπ’ αὐτοῖς, ὅσα τε ἐστείρευον καὶ ὅσα μὴ ἦσαν ἔνορχα. ὅτι δὲ πολλάκις καὶ ζῷα ἔκειρόν τινες, Ἡρόδοτος ἱστορεῖ εἰπὼν ὡς ἐπὶ τῷ Μασιστίῳ Μαρδόνιος καὶ ὁ στρατὸς ἐπένθησαν, σφέας τε αὐτοὺς κείροντες καὶ τοὺς ἵππους καὶ τὰ ὑποζύγια. (v. 136) Τὸ δὲ κάρη τοῦ νεκροῦ ὁ Ἀχιλλεὺς ἔχει, ὅτι μὴ ἐπί τινος ὀργάνου ὁ νεκρὸς ἐφέρετο, ἀλλ’ ὑπὸ ἀνδρῶν, καὶ ἦν ἀνάγκη ἀπηρτῆσθαι τὴν κεφαλήν, εἰ μὴ ὑπανείχετο. (v. 137) Ἐπιφωνηματικὸν δέ τι κόμμα τὸ «ἕταρον ἀμύμονα πέμπεν Ἄϊδόσδε», δι’ οὗ δηλοῖ τὰ πρὸ αὐτοῦ πλατέως ῥηθέντα νεκρικὴν εἶναι πομπήν, ἀφ’ ἧς ὁ νεκροπομπός σύγκειται. ἔχει δέ τι αὐτὸ καὶ οἴκτου ἐπὶ τῷ Ἀχιλλεῖ. (v. 139) Ὅτι ἐν μὲν Ὀδυσσείᾳ ἐπὶ ἄρτων κεῖται τὸ «ἐνήνεον», τουτέστιν ἐσώρευον, ἐνταῦθα δὲ ἐπὶ ὕλης τῆς κατὰ ξύλα. φησὶ γὰρ «αἶψα δὲ μενοεικέα νήνεον ὕλην», ὅπερ ἐκεῖ «παρενήνεον» λέγει. δῆλον δὲ ὅτι τὸ αὐτὸ καὶ νηεῖν λέγεται, ὡς δηλοῖ μετ’ ὀλίγα τὸ «περὶ δὲ δρατὰ σώματα νήει», ὅ ἐστιν ἐσώρευε, καὶ ἀλλαχοῦ τὸ «νῆα νηήσασθαι». πότερον δὲ πρωτότυπον τὸ νηῶ ἢ τὸ νηνῶ, οὐκ εὔδηλον. Ὅρα δὲ καὶ ὅτι μενοεικέα ἰδοὺ καὶ ὕλην λέγει, καὶ ὅτι ἑρμηνευτικόν ἐστι τοῦτο τοῦ «ἄσπετον ὕλην», μᾶλλον δὲ διορθωτικόν. τὸ μὲν γὰρ ἄσπετον ἔχει τι καὶ ὑπερβολῆς, τὸ δὲ μενοεικές, εἰ καὶ ἀορίστως φράζεται, ὅμως συμμετρίαν δηλοῖ τινα τὴν κατὰ τὸ ἀρκοῦν. (v. 141) Ὅτι οὐδ’ Ἀχιλλεὺς ἐφείσατο κείρασθαι ἀλλὰ «στὰς ἀπάνευθε πυρᾶς ξανθὴν ἀπεκείρατο χαίτην».

4.701 Πυρὰν δὲ νῦν τὸν τόπον ἔφη τῆς πυρᾶς. οὔπω γὰρ καὶ ἀνήφθη. ταύτην δὲ καὶ ἠρίον ἀνωτέρω ἔφη. [Εἰ δὲ παράκεινται ἡ πυρὰ καὶ ἡ ξανθὴ χαίτη, ἀλλ’ αὐτὸ ἐκ τοῦ παρατυχόντος γέγονεν. οὐ δή που γὰρ ἀστεΐζεται Ὅμηρος παραθεὶς τῇ πυρρᾷ κόμῃ τὴν δι’ ἑνὸς ῥῶ ἐκφωνουμένην πυράν. Ἰστέον δὲ καὶ ὅτι καρηκομόωντες συνθέτως ἢ κάρη κομόωντες ἐν παραθέσει οὐ πάντοτε ἦσαν οὐδὲ πάντες οἱ παλαιοί, καὶ ὡς μὲν οὐ πάντες, αἱ ἱστορίαι δηλοῦσιν, ὡς δὲ οὐδὲ πάντοτε, οὐδ’ αὐτὸ ἄδηλόν ἐστιν. Ἀχιλλεὺς οὖν κόμης κουρὰν ὀφείλων τῷ Σπερχειῷ κείρει αὐτὴν ἐνταῦθα τῷ Πατρόκλῳ πενθητήριον. Κουρῆτες δέ, περὶ ὧν εἰς πλάτος προγέγραπται, «χλιδῶντα πλόκαμον» τρέφοντες «ὥστε παρθένου ἁβρᾶς» Κουρῆτες ἐκλήθησαν κουρᾶς ἕνεκεν. Ἀγάθων γοῦν, φασί, περὶ αὐτῶν ἱστορεῖ λεγόντων ὡς, ἐπεὶ τὴν Πρώνακτος θυγατέρα μνηστεύοντες οὐκ ἐτύχομεν γάμου, «κόμας ἐκειράμεθα μάρτυρας τρυφῆς, ἣ που ποθεινὸν χρῆμα παιζούσῃ φρενί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπώνυμον γοῦν εὐθὺς ἔσχομεν κλέος Κουρῆτες εἶναι, κουρίμου χάριν τριχός». κείρονται δὲ καὶ μέχρι νῦν οἱ μὲν ἐν χρῷ καθὰ καὶ Ἀλανοί, οἱ δὲ σκάφιον, ὃ παρὰ τῷ Κωμικῷ κεῖται, τινὲς δὲ καὶ Ἑκτορέην φιλοῦσι κουράν, ἣν παραλαλεῖ καὶ Λυκόφρων, φιλητὸς δέ τισι καὶ ὁ λεγόμενος κῆπος. καὶ ὅμως ἦν, φασί, καὶ φορτικὴ κουρά, ὡς καὶ ἣν ἔπασχόν τινες ὑπὸ Σκυθῶν, ἣν καὶ μισοῦντες τὸ οὕτω πάσχειν ἀπεσκυθίσθαι προσηγόρευον.] Ὅτι ἔθος ἦν τρέφειν κόμην τοὺς νέους μέχρι καὶ ἀκμῆς, εἶτα κείρειν αὐτὴν ἐγχωρίοις ποταμοῖς.

4.702 ἐποίουν δὲ οὕτω τιμῶντες τὸ καλὸν ὕδωρ. τρόφιμον γάρ, φασί, καὶ συστατικόν ἐστι τοῦ ζῆν, καὶ μάλιστα τὸ γλυκύ. διὸ οἱ βουλιμιῶντες πίνοντες κορέννυνται καὶ τὰ βρέφη δὲ ὑγρῷ, φασί, μόνῳ διοικοῦνται. κουροτρόφοι οὖν ἐνομίζοντο οἱ ποταμοὶ διὰ τὴν ὑγρότητα, καθὰ καὶ ὁ ἥλιος Ἀπόλλων διὰ θερμότητα. κουροτρόφους δέ φαμεν τοὺς τὴν νεότητα τρέφοντας. εἰ δὲ καὶ «κούριμος θρίξ» παρὰ τῇ Τραγῳδίᾳ, καί τις εἰπεῖν τολμήσει τὴν λέξιν καὶ ἀπὸ ταύτης, ἔστωσαν καὶ οὕτω κουροτρόφοι κατὰ θρασύτητα λέξεως. οἱ δὲ παλαιοὶ σεμνύνουσι τὸ ποτάμιον ὑγρόν, καὶ ταῦτα λέγοντες· τὸ λουτρὸν ἐκ ποταμοῦ τοῖς νυμφίοις ἐκομίζετο, οἰωνιζομένοις τὸ γόνιμον. διὸ καὶ ἔνορχα μῆλα ἱέρευον, ὥσπερ τῷ Ποσειδῶνι, οὕτω καὶ τοῖς ποταμοῖς εἰς τὰς πηγάς, γόνιμα γὰρ καὶ τὰ ἄρρενα, καὶ τοῖς πρὸ γάμου δὲ τελευτῶσιν ἡ λουτροφόρος, φασίν, ἐπετίθετο κάλπις εἰς ἔνδειξιν τοῦ ὅτι ἄλουτος τὰ νυμφικὰ καὶ ἄγονος ἄπεισι. (v. 141—3) Κατὰ τοίνυν τὸ ἔθος κειράμενος καὶ Ἀχιλλεὺς χαίτην, ἣν Σπερχειῷ ποταμῷ ἔτρεφε τηλεθόωσαν, ἰδὼν ἐπὶ οἴνοπα πόντον ὡς οἷα πρὸς τὸν πατριώτην ποταμὸν ῥίπτων τὰς ὄψεις, ὁποῖον δή τι καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ ἐποίησε, προσφωνεῖ ἀφελῶς καὶ γλυκέως, λέγων (v. 144—53) «Σπερχεῖ' ἄλλως», ἤγουν ὦ Σπερχειὲ μάτην, «σοί γε πατὴρ ἠρήσατο Πηλεύς», ὅ ἐστιν ηὔξατο, «κεῖσέ με νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν σοί τε κόμην κερέειν ῥέξειν θ' ἱερὴν ἑκατόμβην, πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλα ἱερεύσειν ἐς πηγάς, ὅθι τοι τέμενος βωμός τε θυήεις. ὣς ἠρᾶθ' ὁ γέρων, σὺ δέ οἱ νόον οὐκ ἐτέλεσσας. νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐξ πατρίδα γαῖαν, Πατρόκλῳ ἥρωϊ κόμην ὀπάσαιμι φέρεσθαι. ὣς εἰπὼν ἐν χερσὶ κόμην ἑτάροιο φίλοιο θῆκε, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο», καθὰ καὶ προεγράφη, οὐ διὰ τὸ τῆς μονῳδίας περιπαθές, οὐδὲν γάρ τι οἴκτου ἔχει, ἀλλ' ἐπὶ τῇ μεταχειρίσει τοῦ ἔργου. ἐπεὶ ὡς οἷα ἐμψύχου ὄντος τοῦ ἑταίρου, ὃν ὡς ἐνηῆ πάντες ἐφίλουν, ἐν χειρὶ τὴν κόμην τίθησιν, ὡς εἴπερ ἐς Σπερχειοῦ ταύτην ἀνέθετο.

4.703 ποταμὸς δὲ ὁ Σπερχειὸς ἐκδιδοὺς πλησίον Θερμοπυλῶν. (v. 142) Τηλεθόωσα δὲ οὐχ' ἁπλῶς ἡ τοῦ Ἀχιλλέως ἐρρέθη κόμη, ἀλλ' εἰς ἔμφασιν θάλους. σκοπητέον γὰρ οἵαν εἶχε κόμην ἐκεῖνος, ἄλλως τε ἐπιμεμελημένην καὶ ἐς τοσοῦτον ἄκουρον. Ὅρα δὲ ὡς οὐ μόνον δένδρεα τηλεθόωντα, καὶ ἐλαῖαι τηλεθόωσαι, καὶ ὕλη τηλεθόωσα, ἀλλ' ἰδοὺ καὶ κόμη τηλεθόωσα. καί πως ἐπαλλάττουσιν ἀλλήλαις ἡ κόμη καὶ τὸ «τηλεθόωσα». κόμη τε γάρ ποτε τὰ τῶν δένδρων λέγεται τηλεθόωντα φύλλα, καὶ κατ' ἐπάλλαξιν αὖθις τηλεθόωσα κόμη κατὰ τὴν ἐκεῖθεν μεταφοράν. (v. 144) Τὸ δὲ «ἄλλως» ἀντὶ τοῦ μάτην εὐφήμως πέφρασται. τὸ γὰρ μὴ κατὰ σκοπὸν ἢ κατ' εὐχὴν ἀποβεβηκός, ἀλλ' ἑτέρως, ἄλλως ἀποβῆναί φαμεν κατά τινα δηλαδὴ ματίην ἔργου, ὅ ἐστι ματαιότητα. διὸ καὶ ἀναγκαίως ἀντὶ τοῦ μάτην νοεῖται τὸ τοιοῦτον «ἄλλως» διὰ τὴν εἰς μάτην ἑτεροιότητα τῆς πραγματικῆς ἀποβάσεως. (v. 147) Ἔνορχα δὲ διὰ τί ἐθύετο εἴρηται. Μῆλα δὲ εἰπὼν καὶ ταύρους νοεῖν, ὡς εἰκός, ἀφίησιν, οἷς ἔθυον, ὡς καὶ προϊστόρηται, θαλάσσῃ τε καὶ ποταμοῖς. (v. 148) Ἐς πηγὰς δὲ ἱερεύονται μῆλα διὰ τὸ αὐτὰς γονίμους εἶναι τοῦ ὅλου ποταμοῦ, ἔτι δὲ καὶ τιμίας ἀρχικῷ λόγῳ, καθὰ παραδηλοῖ καὶ Ἡσίοδος. διὸ καὶ βωμὸς ἦν περὶ αὐτὰς ἐπώνυμος τῷ ἐκεῖσε ὑγρῷ δαίμονι. πρὸ δέ γε τούτων δεδήλωται ὡς οὐ μόνον ταῦροι ποταμοῖς ἱερεύοντο, ἀλλὰ καὶ ἵπποι ζωοὶ ἐν δίναις καθίεντο, οὐ μὴν ἐν πηγαῖς. Τέμενος δὲ νῦν ἱερὸς τόπος ἀποτετμημένος τῶν πέριξ, οὗ μέρος βωμός, ἐφ' οὗ τὰ θυόμενα ἔκαιον, διὸ θυήεις λέγεται.

4.704 ἐπεὶ καὶ θύος τὸ θυόμενον. δῆλον δὲ ὡς οὐκ ἀεὶ παρὰ τῷ ποιητῇ τὸ τέμενος ἱέρωται, ἀλλὰ πᾶς τόπος ἀποτομὴν τῶν πέριξ ἔχων ἐκαλεῖτο τέμενος. Ἰστέον δὲ ὡς οὐκ ἐξ ὁμοίας παραγωγῆς τὸ προρρηθέν που θυόεν νέφος ἐστὶ καὶ ὁ θυήεις βωμός. ἐνθυμητέον δ' ἐνταῦθα καὶ ὅτι ὁ φιλόμηρος Σοφοκλῆς, κόμην Τεύκρου κείρας ἐν τῷ μαστιγοφόρῳ Αἴαντι, τῷ παιδὶ Εὐρυσάκει δίδωσι φέρειν αὐτήν, οὐ μὴν τῷ νεκρῷ, ἑτεροῖον μέν τι ποιήσας Ὁμήρου, ἀπαθέστερον δέ. (v. 153—5) Ἰστέον δὲ καὶ ὅτι κἀνταῦθα θρήνου δηλοῖ ἐπίτασιν τὸ «πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο», καὶ ἑξῆς τὸ «καί νύ κεν», ἤγουν καὶ δὴ ἄν, «ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο», εἰ μὴ τόδε ἐγένετο. Ὅρα δὲ ὅτι, εἰ καὶ ὁ λόγος πένθος δηλοῖ, ἀλλ' ὁ ἀκροατὴς διαχέεται τοῖς παρίσοις τῷ «γόοιο» καὶ «ἠελίοιο». (v. 156) Ὅτι τὸ «σοὶ μέν τε μάλιστά γε λαὸς πείσονται μύθοισιν», ἀνδρὶ πρέπει, ὃν αἰδοῦνται οἱ ἀκροαταί. (v. 158—60) Εἰς δὲ νεκροῦ ἐπιμέλειαν καὶ τὸν ἐπ' αὐτῷ περίδειπνον οἰκεῖον τὸ «δεῖπνον ἄνωχθι ὅπλεσθαι. τάδε δ' ἀμφιπονησόμεθα, οἷσι μάλιστα κήδεός ἐστι νέκυς», τουτέστι φροντίδος ἄξιος. γίνεται δὲ παρὰ τὸ κηδεύω ἀποβολῇ τοῦ υ , ἀφ' οὗ καὶ κηδεμόνες μετ' ὀλίγα εὐθὺς οἱ τῆς κηδείας φροντισταί. Ὀξύνεται δὲ, φασί, τὸ κηδεός, διότι τὰ εἰς ος καθαρεύοντα τῷ ε παραληγόμενα ὀξύνονται· ὀχεύω ὀχεός, καὶ πλεονασμῷ τοῦ ς ὀσχεός, σωρεύω σωρεός, καὶ ἐν συγκοπῇ σωρός, φωλεύω φωλεός, οὕτω καὶ κηδεύω κηδεός. τινὲς δὲ προπαροξύνουσι, λέγοντες ὅτι ὡς καθαρεύω καθάρειος, ἐπιτηδεύω ἐπιτήδειος, οὕτω κηδεύω κήδειος, ἐξ οὗ καὶ τὸ ἐπικήδειος, ἀποβληθέντος δὲ τοῦ ι ἔμεινε κήδεος. (v. 158 s.) Τὸ δὲ «ἄνωχθι» ὅτι ἀπὸ τοῦ ἄνωγε, ὃ δηλοῖ τὸ κέλευε, γίνεται, καὶ ὅτι τὸ ὅπλεσθαι παράγωγόν ἐστι τοῦ ὁπλίζεσθαι, προέγνωσται. (v. 157) Τὸ δὲ «πείσονται μύθοις» διέσταλται τῆς δι' ἔργων πειθοῦς. [Ἐνταῦθα δὲ μνηστέον ὅτι μῦθος κοινῶς μὲν ἔγνωσται ὅστις ἐστὶ παρά, τε τῷ ποιητῇ καὶ τοῖς ὕστερον, ἡ δὲ ἱστορία καὶ ἄλλο τι καινοτομεῖ. λέγεται γὰρ ἐν Συρακούσαις εἶναι ποτε πολυτελὴς κῆπος, ὃς ἐκαλεῖτο Μῦθος, ἐν ᾧ Ἱέρων ἐχρημάτιζεν.

4.705 εἰκὸς δὲ Μῦθον αὐτὸν λεχθῆναι ἢ διὰ τὸ μύθου ἤγουν λόγου ἄξιος εἶναι, πολλοῦ δηλαδή, ἢ διὰ τὸ μὴ ἂν πιστεύεσθαι τοῖς πολλοῖς οὕτω καλὸς εἶναι, ἀλλὰ μυθικὰ δοκεῖν τὰ ὑπὲρ αὐτοῦ λαλούμενα.] (v. 160) Κεῖνται δ' ἐν τούτοις καὶ ταγοὶ οἱ ἡγεμόνες, ἤγουν οἱ τάσσοντες τὰ τοῦ λαοῦ, οἱ καὶ κοσμήτορες διὰ τὸ κοσμεῖν. φησὶ γὰρ «παρὰ δ' οἱ ταγοὶ ἄμμι μενόντων», ἤγουν παραμενέτωσαν ἡμῖν οἱ ἔνδοξοι τῇ τοῦ Πατρόκλου πυρᾷ. (v. 164) Ὅτι ἑρμηνεύων τὸ «φράσατο μέγα ἠρίον» φησὶ «ποίησαν δὲ πυρὴν ἑκατόμποδον ἔνθα καὶ ἔνθα», ὅ ἐστιν ἑκατὸν ποδῶν ἔχουσαν ἑκάστην πλευράν, Ἀχιλλέως δηλαδὴ κατὰ τὸ σιωπώμενον ἐπιτάξαντος, τοῦ καὶ φρασαμένου τὸ ἠρίον, ὡς εἴρηται. (v. 165) Ὅτι τὸ «ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν» ἑρμηνεύων μετ' ὀλίγα ὁ ποιητής φησι «ἐν μέσσῃ γὰρ ἔκειτο πυρῇ, οἳ δ' ἄλλοι ἄνευθεν ἐσχατιῇ», ἤγουν ἐσχάτοις μέρεσι τῆς πυρᾶς. προδέδεικται γὰρ ὡς οὐ μόνον ἐπὶ ἀγροῦ ἡ ἐσχατιὰ λέγεται. ἔστι δὲ ὑπάτη οὐχ' ἁπλῶς ἡ μέση, ἀλλ' ἡ ἐν τῷ μέσῃ εἶναι ἔχουσα καὶ τὸ ὑπερκεῖσθαι, ὅ ἐστιν ὑπερέχειν, ἐπεὶ καὶ Ζεὺς θεῶν ὕπατος, οὐχ' ὁ μέσος, ἀλλ' ὁ ὑπέρτατος, ᾧ ἀντίκειται ὁ κατὰ χθαμαλότητα νέατος. (v. 166- 76) Ὅτι «πολλὰ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βόας ἐπὶ τῷ νεκρῷ πρόσθε πυρῆς ἔδερόν τε καὶ ἄμφεπον· ἐκ δ' ἄρα πάντων δημὸν ἑλὼν ἐκάλυψε νέκυν μεγάθυμος Ἀχιλλεὺς ἐς πόδας ἐκ κεφαλῆς», ἵνα δηλαδὴ ῥᾷον καίοιτο, «περὶ δὲ δρατὰ σώματα νήει», ἤγουν περιεσώρευε τὰ ἐκδεδαρμένα νεκριμαῖα, «ἐν δ' ἐτίθει μέλιτος καὶ ἀλείφατος ἀμφιφορῆας πρὸς λέχεα κλίνων», μέλιτος μὲν, ὅτι νεκροῖς ᾠκείωται, καθὰ καὶ Πορφύριος δηλοῖ, ἀλείφατος δὲ καὶ αὐτοῦ διὰ τὸ τῆς πυρᾶς εὐέξαπτον. «πίσυρας δέ», ὅ ἐστι τέσσαρας, «ἐριαύχενας ἵππους ἐσσυμένως ἐνέβαλε πυρῇ, μεγάλα στοναχίζων», τετρώρου τούτους ἵππους τῷ ποτε ἡνιόχῳ χαρισάμενος.

4.706 «ἐννέα τῷ γε ἄνακτι τραπεζῆες κύνες ἦσαν». καὶ τούτων «ἐνέβαλε πυρῇ δύο δειροτομήσας», ἵνα, ὡς ἔοικε, τῶν παρ' ἑαυτῷ ἀξίων λόγου πάντων τῷ φίλῳ ἀπάρξηται. «δώδεκα δὲ Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς χαλκῷ δηϊόων», ἐνέβαλε δηλαδὴ τῇ πυρᾷ. ἐκφωνῆσαι γὰρ ὀκνεῖ τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρᾶξιν ταύτην μετὰ καὶ ῥήματος ὁ ποιητής, καιρίαν καὶ ταύτην τεχνησάμενος ἔλλειψιν. ὃς καὶ τοὺς πεσόντας ἀποσεμνύνας οὐ μόνον ἐσθλοὺς ὠνόμασε καὶ υἱοὺς πατέρων μεγαθύμων, ἀλλὰ καὶ τὸν Ἀχιλλέα ἐμέμψατο, εἰπὼν «κακὰ δὲ φρεσὶ μήδετο ἔργα», κρίνων μὴ ἀγαθὴν εἶναι τὴν τοιαύτην τοῦ Ἀχιλλέως πρᾶξιν, [ἀλλὰ θηριώδη καὶ τῷ ὄντι βαρβαρικήν, εἴ τις ἐνθυμοῖτο τὴν λέγουσαν ἱστορίαν, ὅτι Γαλάταις ἔθος, ἡνίκα προτέρημά τι ἐν τοῖς πολέμοις λάβωσι, θύειν τοὺς αἰχμαλώτους. ἀλλ' ἐκεῖνο μὲν εἶχέ τινα λόγον. ἦν γάρ τις ἀπαρχὴ πρὸς τὸ θεῖον οἷα θυσία, τὸ δὲ τοῦ Ἀχιλλέως πάντῃ ἀλλοῖον ἦν.] (v. 173) Ὅρα δὲ κἀνταῦθα τὴν παρὰ τοῖς ἥρωσι τῶν τραπεζέων κυνῶν ἐπιμέλειαν. (v. 169) Τοῦ δὲ «δρατὰ σώματα» προϋπάρχει τὸ δαρτά, ὡς καὶ τοῦ κραδίη τὸ καρδίη, καὶ τοῦ ἔδρακον τὸ ἔδαρκον. (v. 170) Τὸ δὲ ἄλειφαρ διενήνοχε τοῦ ῥηθέντος δημοῦ, ἴσως μὲν ὡς ἐλαιῶδές τι ὂν ἢ αὐτόχρημα ἔλαιον, ἴσως δὲ καὶ ὡς ἐκπιεσθὲν δημοῦ καὶ ἀγγείοις προεναποτεθέν. (v. 172) Πυρῆς δὲ καὶ πυρὸς πολλὴ διαφορὰ παρὰ τοῖς ῥήτορσι. Τὸ δὲ «ἐνέβαλλε» ταὐτὸν τῷ ἐνετίθει. διὸ εἰπὼν «ἐν δ' ἐτίθει μέλιτος ἀμφιφορῆας», ἐπήγαγε τὸ «ἵππους ἐνέβαλλε» καὶ «δύο κύνας ἐνέβαλλε». δύναται δὲ τὸ ἐνέβαλλε νοεῖσθαι καὶ ἀντὶ τοῦ ἐνέρριπτεν. (v. 177) Ὅτι ἐν τῷ «ἐν δὲ πυρὸς μένος ἧκε σιδήρεον, ὄφρα νέμοιτο» ἀνταπόδοσις γέγονε τροπῆς. τὴν γὰρ μετὰ σιδήρου μάχην ἐν πολλοῖς εἰκάζων πυρὶ καὶ καυστειρὰν ὀνομάζων καὶ «δέμας πυρός» μάχεσθαί τινας λέγων, ἐνταῦθα σιδήρῳ τὸ πῦρ εἴκασε. (v. 182) Τὸ δὲ νέμεσθαι ἐσθίειν μετ' ὀλίγα φησὶν ἐν τῷ «τοὺς πάντας πῦρ ἐσθίει», ἐξ οὗ ἐπενοήθη τοῖς μεθ' Ὅμηρον παμφάγον καλέσαι τὸ πῦρ, οὗ ὡς φάγου καὶ τὸ δάπτειν ἐστίν, ὡς μετ' ὀλίγα Ὅμηρος ἐρεῖ. ὅθεν λαβὼν ἀρχὴν καὶ χρόνος παμφάγος κέκληται.

4.707 (v. 179 s.) Ὅτι ὁ τελέσας οἰχομένῳ φίλῳ, ἃ ζῶντι καθυπέσχετο, εἴποι ἂν τὸ τοῦ Ἀχιλλέως πρὸς Πάτροκλον «χαῖρέ μοι, ὦ δεῖνα, καὶ εἰν Ἀΐδαο δόμοισι· πάντα γὰρ ἤδη τοι τελέω ἃ πάροιθεν ὑπέστην». (v. 184) Ὅτι ὥσπερ πρὸ τούτου τὸ ἀμφέπειν ἀντὶ τοῦ ἐνεργεῖν, οὕτω κἀνταῦθα τὸ ἀμφιπένεσθαι. (v. 182—4) Φησὶ γοῦν περὶ Ἕκτορος ἀτάφου καὶ γυμνοῦ ἐκκειμένου, ὅτι «τὸν δ' οὐ κύνες ἀμφεπένοντο», καθὰ ἤθελεν Ἀχιλλεύς, ἀπειλήσας καὶ νῦν, ὡς Ἕκτορα «οὔ τι δώσω πυρὶ δαπτέμεν, ἀλλὰ κύνεσσιν». (v. 185—7) Οὔκουν ἀμφεῖπον κύνες τὸν τοῦ Ἕκτορος νεκρόν, «ἀλλὰ κύνας μέν», φησί, «ἄλαλκεν ἡ μυθικὴ «Ἀφροδίτη ἤματα καὶ νύκτας», ἤγουν ἀεί, «ῥοδόεντι δέ», τουτέστι ῥοδίνῳ, «χρῖεν ἐλαίῳ ἀμβροσίῳ», οὐ μόνον τοῦ μὴ δυσόδμως ἔχειν, ἀλλὰ μᾶλλον κατὰ τὸν ποιητήν, «ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων», ὁ Ἀχιλλεὺς δηλαδή, οἷα τοῦ ἀμβροσίου ῥοδίνου στερεοῦντος τὸ σῶμα ὡς μὴ ἀποδρύπτεσθαι. νοητέον γὰρ ὅτι τὸν Ἕκτορα εἷλκεν ὁ Ἀχιλλεὺς οὕτω συχνά, εἰ καὶ ὁ ποιητὴς οὐκ ἐπισημαίνεται, φειδόμενος ὀλιγάκις λέγειν κακά, ὃ δή φησιν Εὐριπίδης. διὸ καὶ τὸ τοῦ φίλου Ἀχιλλέως ὄνομα, δέον ὂν εἰπεῖν ἐνταῦθα πρὸς λόγου σαφήνειαν, ὁ δὲ σεσίγηκεν, ἀφεὶς ἀπὸ μακροῦ ἑλκύσαι αὐτὸ κοινοῦ, ἤγουν ἀπὸ μακροῦ ἑλκύσαι αὐτὸ κατὰ κοινοῦ, ἤγουν ἀπὸ στίχων δέκα καὶ ὀκτὼ φθασάντων γραφῆναι. καὶ μὴν οὕτω φιλαχιλλεὺς ἄλλως ὁ ἀνήρ, ὥστε κατὰ τὴν πομπὴν τοῦ νεκροῦ, ἀγαθὴν οὖσαν, ἐν στίχοις ἓξ τρισσάκις τὸ Ἀχιλλεύς ὄνομα ἔθετο. ἐνταῦθα δὲ ἀπέστερξεν ὀνομάσαι αὐτόν. καὶ οὕτω μὲν ἡ τοῦ Διὸς θυγάτηρ ποιεῖ ἐπὶ τῷ Ἕκτορι. (v. 188 s.) Ἀπόλλων δὲ «κυάνεον», φησί, «νέφος ἤγαγεν οὐρανόθεν πεδίονδε, κάλυψε δὲ χῶρον ἅπαντα». ὃ δὴ πρέπει εἰπεῖν ἕως ὧδε εἰς παράδοξον ἐκ νέφους σκιάν. (v. 189- 91) Ἡ δὲ ποίησις λέγει τὸν χῶρον καλύπτεσθαι «ὅσσον ἐπεῖχε νέκυς», ὁ τοῦ Ἕκτορος δηλαδή, «μὴ πρὶν μένος ἠελίοιο σκήλῃ ἀμφὶ περὶ χρόα ἴνεσιν ἠδὲ μέλεσσι», τουτέστι μὴ ξηράνῃ ὁ ἥλιος καὶ σκληρύνῃ τὸν χρόα, μάλιστα δὲ σκελετὸν ποιήσῃ ἀνιμηθέντος τοῦ ὑγροῦ τῇ θερμότητι τοῦ περιέχοντος.

4.708 ὥστε ὅρα κἀνταῦθα, ὅτι τῶν ἐναντίων ποιητικὸς ὁ Ἀπόλλων, ἤγουν θερμότητός τε καὶ ψύχους δὲ κατὰ συμβεβηκὸς διὰ τὴν σκιάν, ἣν ποιεῖ τὰς ὑγρότητας ἀνιμώμενος, ἐξ ὧν τὰ σκιάζοντα νέφη συνίσταται. (v. 186) Ἰστέον δὲ [ὅτι τε θεῖόν τι καὶ οὐχ' ἁπλῶς ἐκ τῶν κατ' ἀνθρώπους τὸ ῥηθὲν ὑπόκειται ῥοδόεν ἀμβροσίον ἔλαιον, καὶ ὅτι ἐκ τῶν κάτω καὶ τὰ θεῖα Ὅμηρος κοσμεῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σεμνὸν γὰρ ἀνθρώποις τὸ ῥόδον. διὸ οὐ μόνον Ζεφύρῳ ἀνεῖσθαι λέγεται ἄγαλμα, καὶ γῆς καλεῖται ἄστρα καὶ ἀνθέων βασιλεύς, ἀλλὰ καὶ εἰς μύρου θειοτέρου σκευὴν ἐγκρίνεται. Ἀθήναιος δὲ λέγει καὶ ὡς Ἀρκάδες μὲν εὐόμφαλον αὐτὸ καλοῦσιν, ἤγουν εὔοσμον, Νίκανδρος δέ που ἀκανθοβόλον, ὡς ἀκάνθης προβολήν, ἱστορῶν καὶ ὡς οὐκ ἀγλαφύρως Ἀλεξανδρεύς τις ποιητὴς εἴρηκεν «οὔλην ἕρπυλον», τὴν καὶ ζυγίδα, λευκὸν κρίνον ἠδ’ ὑάκινθον πορφυρέην», «καὶ ῥόδον εἰαρινοῖσιν ἀνοιγόμενον Ζεφύροισιν». οὗπερ ἕτερος τὰ φύλλα γελᾶν τῷ Ζεφύρῳ φησίν. ὡς δὲ μύρων μὲν χρῆσιν οἶδεν ὁ ποιητής, ἔλαια δ’ αὐτὰ καλεῖ μετ’ ἐπιθέτου, καὶ ὡς μυρίσασθαι μὲν Ἀλκαῖος λέγει, τὸ δ’ ὄνομα μύρωμα καὶ οὐ μύρισμα, καὶ ὅτι Σόλων ἐκώλυεν ἐν νόμοις τοὺς ἄνδρας μυροπωλεῖν, καὶ ὅτι Λάκωνες ἐξήλαυνον τοὺς μύρα σκευάζοντας καὶ τοὺς ἔρια βάπτοντας, τοὺς μὲν ὡς διαφθείροντας τοὔλαιον, τοὺς δὲ ὡς ἀφανίζοντας ἐρίων λευκότητα, καὶ ὅτι τὸ ῥόδον ὑστεροῦν λευκοΐου, ὃ πρῶτον ἀνθέων ἐκφαίνεται, ἔτι δὲ καὶ ναρκίσσου, πρῶτον παύεται, ὁ αὐτὸς ἱστορεῖ, λέγων καὶ ὅτι Κορίνθιοι, ὡς Νίκανδρος ἐν Γλώσσαις φησίν, ἀμβροσίαν, ἧς παρώνυμον τὸ ἀμβρόσιον, τὸ λείριον ἐκάλουν, ὃ κατὰ τὴν Φιλίνου ἱστορίαν οἱ μὲν κρίνον, οἱ δὲ ἴον ᾔδεισαν.

4.709 ταῦτά τε οὖν οὕτως ἰστέον, καὶ] ὅτι μυθικῶς μὲν θεοφιλὴς ὁ Ἕκτωρ, οὗ καὶ Ζεὺς ἐκήδετο, φίλον ἄνδρα καλέσας διὰ τὰς εἰς αὐτὸν θυσίας. ἄλλως δὲ νοῆσαι χρή, ὡς ὑπῆλθε φιλανθρωπία τῶν τινας περὶ Ἀχιλλέα ἢ καὶ αὐτὸν Ἀχιλλέα. διὸ οὔτε κυσὶν ἄνετος πάντῃ Ἕκτωρ ἐξέκειτο οὔτε πυρὶ ἐδόθη. καὶ ἐν σκιᾷ δέ, ὡς εἰκός, περιείπετο, ἴσως μὲν αἰδοῖ φύσεως, ἴσως δὲ καὶ ἐλπίδι δώρων λήψεως ἐπ’ ἀφορμῇ λύσεως, [ὡς δηλωθήσεται.] (v. 187) Δρύπτειν δὲ ὅτι τὸ ξέειν καὶ ἀπάγειν τῶν σαρκῶν τὸ δέρμα ὄνυξιν ἢ ἑλκυσμῷ, δῆλόν ἐστι. φαίνεται δὲ διφορεῖσθαι καὶ τουτὶ τὸ ῥῆμα. δρύπτω τε γὰρ καὶ δρύφω. εἰπεῖν δὲ ὡς εὐκτικόν ἐστι παρακειμένου τοῦ δέδρυφα τὸ δρύφοι, οὐκ εὔοδόν ἐστιν. οἱ γὰρ τῶν παρακειμένων ἀναδιπλασιασμοὶ οὐκ ἀφαιροῦνται Ἰωνικῶς, εἰ μή τι ἄρα Αἰολικῶς κατὰ τὸ «δέγμενος», ὃ μᾶλλον συγκεκόφθαι δοκεῖ, οὐ μὴν παθεῖν ἀφαίρεσιν. Τὸ δὲ ἑλκυστάζειν τρεῖς ἔχει παραγωγὰς ἐκ τοῦ ἕλκω. ἑλκύω γάρ, εἶτα ἑλκυστῶ, ἐξ οὗ ἑλκυστάζω. (v. 188) Κυάνεον δὲ νέφος πρὸς διαστολὴν τῶν ἀλλαχοῦ χρυσέων, ἔτι δὲ καὶ τῶν διαλεύκων. Τὸ δὲ «ἤγαγε» δῆλον ὡς οὐκ ἐμψύχῳ ὄντι τῷ νέφει ἐπιλαλεῖται. (v. 190) Τὸ δὲ «μὴ πρὶν μένος ἠελίοιο σκήλῃ» ἐλλέλειπται συνδέσμου αἰτιολογικοῦ, ἵνα λέγῃ, ὅπως ἢ ὄφρα ἢ ἵνα μὴ πρὶν ἥλιος σκήλῃ, ὅπερ ἔοικεν ἐκ τοῦ σκάλλω γενέσθαι.

4.710 εἰ γὰρ ἐκ τοῦ σκέλλω ἦν, ὅθεν καὶ τὸ σκέλος καὶ ὁ σκελετός, διὰ διφθόγγου ἂν εἶχε τὴν παραλήγουσαν, ὡς καὶ τὸ «ἀγγείλῃ» καὶ «ἀνατείλῃ» καὶ τὰ ὅμοια. δῆλον δὲ ὅτι τὸ σκαλλόμενον λύεται τῆς συνεχείας καί πως ἀπ’ ἐναντίας ἔχει πρὸς τὸ σκέλλειν, ἐξ οὗ καὶ ὁ σκληρός, σκεληρός τις ὢν καὶ σκληρὸς κατὰ συγκοπήν. ὁμοίως δῆλον καὶ ὅτι τὸ σκέλλω συγκοπὲν ποιεῖ ἄρρητον θέμα τὸ σκλῶ, ἐξ οὗ τὸ κατεσκληκέναι. τὸ μέντοι παρὰ Ἀλκίφρονι «ἀποσκλῆναι κινδυνεύω λιμῷ» καὶ ἀλλοῖόν τινα ἐνεστῶτα νοεῖν ἀπαιτεῖ. σκλῆμι γὰρ ἀχρεῖον ῥῆμα, ἐξ οὗ τὸ σκλῆναι, ὡς ἐκ τοῦ ἵστημι τὸ στῆναι. (v. 191) Τὸ δὲ «ἴνεσι καὶ μέλεσσι» τὰ μόρια δηλοῖ, ἐν οἷς τὸ σκῆλαι γίνεται. (v. 192) Ὅτι καίεσθαι λέγεται οὐ μόνον τὰ ἐν τῇ πυρᾷ, ἀλλὰ καὶ αὐτὴ ἡ πυρά, ὡς δηλοῖ τὸ «οὐδὲ πυρὴ Πατρόκλου καίετο», ἤτοι ἀνήπτετο. (v. 193—7) Ἔνθα, φησίν, «ἀλλ’ ἐνόησεν Ἀχιλλεύς». ποῖον ἐκεῖνο; «στὰς ἀπάνευθε πυρῆς δοιοῖς ἠρᾶτ’ ἀνέμοισι, Βορέῃ καὶ Ζεφύρῳ, καὶ ὑπέσχετο», ἢ «ὑπίσχετο», «ἱερὰ καλά· πολλὰ δὲ καὶ σπένδων χρυσέῳ δέπαϊ λιτάνευεν ἐλθεῖν». ὃ δὴ παραποιηθήσεταί ποτε καὶ εἰς ἱκεσίαν φιλοτήσιον. (v. 197 s.) Καὶ ἦν ἡ λιτὴ «ὄφρα τάχιστα πυρῇ φλεγεθοίατο νεκρόν, ὕλη τε σεύαιτο», ἤγουν ὁρμηθείη, κατασπευθείη, «καήμεναι». Καὶ ὅρα καὶ νῦν τὸ «ὑπέσχετο» κοινῶς λεχθέν. τὸ γὰρ ποιητικὸν «ὑπέστη» λέγεται.

4.711

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγει δὲ καὶ μετ᾽ ὀλίγα «ὑπίσχεται ἱερὰ καλά». ἐκ δὲ τούτου τὸ ὑπισχνεῖσθαι γίνεται πλεονασμῷ συνήθει τοῦ ν . Δοκεῖ δὲ τὴν τοῦ Βορέου καὶ Ζεφύρου καταπνοὴν ἐναργεστάτην Ὅμηρος εἰδέναι περὶ τὰ ἐκεῖ. διὸ καὶ πλάττει τὸν Ἀχιλλέα ἐπιλεγόμενον αὐτοὺς εἰς εὐχήν. Τὸ δὲ «φλεγεθοίατο» Ἀττικῶς κατὰ πάθος ἐσχηματίσθη, τεθὲν ἀντὶ τοῦ «φλέγοιεν». Ἰστέον δὲ ὅτι [τε παραδίδωσι τὰ ἐφετὰ καὶ εὐκταῖα ἐξ ἀνάγκης εἶναι ὁ ποιητής, καὶ ὅτι τὰς μὴ φαύλας εὐχὰς ἀπεκβαινούσας οἶδε, παιδευτικὸς ὢν καὶ ἐν μύθοις, καὶ ὅτι τὸ ἀπὸ τύχης. ὅπερ ἐστὶν ἡ τῶν ἀνέμων πνοή, ὡς ἐκ προνοίας γενέσθαι λέγει, εἰ μή τι ἄρα ἐπῳδή τις καὶ γοητεία ἐκείνους πνέειν ἠνάγκασε, καὶ ὅτι] τὸ «πυρῇ φλεγεθοίατο» συστοιχεῖ πως τῷ «Ἥφαιστος πυρὶ φλεγέθων», ἐν παραθέσει, καὶ τῷ Πυριφλεγέθων ποταμὸς ἐν Ἅιδου κατὰ σύνθεσιν, καὶ ὅτι νοήματος ἀλλαγῇ οἰκεῖον τὸ «ἔνθ᾽ αὖτ᾽ ἀλλ᾽ ἐνόησεν» ὁ δεῖνα, ὥσπερ ἐκ τῶν ἐφεξῆς κειμένων σπουδῆς μὲν δηλωτικὸν τὸ «ἕζεσθαι μὲν ἀνήνατο εἶπέ τε μῦθον· οὐχ᾽ ἕδος, εἶμι γάρ» ποιήσων τόδε, προκλήσεως δὲ βοηθητικῆς τὸ (v. 209) «ἐλθεῖν ἀρᾶται καὶ ὑπίσχεται τόδε», (v. 210 s.) πένθιμον δὲ τὸ «κεῖται» ὁ δεῖνα, «ὃν πάντες ἀναστενάχουσιν» οἱ δεῖνα. λογοειδὴς δὲ σχεδὸν καὶ οὗτος ὁ στίχος καὶ οὐκ ἔχων δίαρμα ποιητικόν. Ἔστι δὲ ἀναστενάζειν ἢ τὸ ἄνω τὸν στεναγμὸν ὑψοῦν ἢ τὸ πολλάκις στενάζειν. (v. 205) Τὸ δὲ «οὐχ᾽ ἕδος», καθὰ καὶ ἀλλαχοῦ, οὕτω καὶ νῦν ἀντὶ τοῦ οὐ καθέδρα ἤγουν οὐκ ἔστιν ἕζεσθαι. Σοφοκλῆς δὲ σαφέστερον φράζει ἐν τῷ «οὐχ᾽ ἕδρας ἀκμή». (v. 198—207) Ὅτι ἡ Ἶρις «ἀράων», ἤγουν εὐχῶν, «ἀΐουσα» τῶν τοῦ Ἀχιλλέως, «μετάγγελος ἦλθε τοῖς ἀνέμοις. οἳ μὲν ἄρα Ζεφύροιο δυσαέος ἀθρόοι ἔνδον εἰλαπίνην δαίνυντο. θέουσα δὲ Ἶρις ἐπέστη βηλῷ ἐπὶ λιθέῳ· τοὶ δ᾽ ὡς ἴδον ὀφθαλμοῖσι, πάντες ἀνήϊξαν κάλεον τέ μιν εἰς ἓ ἕκαστος.

4.712 ἣ δὲ ἕζεσθαι μὲν ἀνήνατο», ὡς ἀνωτέρω ἐγράφη, θέλουσα ἐπ᾽ Ὠκεανὸν ἐλθεῖν Αἰθιόπων ἐς γαῖαν διὰ τὰς ἐκεῖ ἑκατόμβας, ἅς ἔστιν εἰπεῖν ὡς ἐδαίνυντο ἀθάνατοι, καθὰ εἰλαπίνην οἱ ἄνεμοι. (v. 208- 12) Εἶτα δηλώσασα ὡς Ἀχιλλεὺς ἐπὶ τὴν τοῦ ἑταίρου πυρὰν Βορέην ἠδὲ Ζέφυρον κελαδεινὸν ἐλθεῖν ἀρᾶται, αὐτὴ ἀπέβη, οἱ δὲ ἐποίησαν ἃ ἑξῆς λέγει ὁ ποιητής. (v. 201—12) Καὶ ὅρα τὸ κατὰ τὴν Ἶριν. ἢ γὰρ κατὰ τὸ σιωπώμενον ηὔξατο Ἀχιλλεὺς καὶ αὐτῇ, διὸ καὶ ὠκεῖα καὶ θέουσα ἦλθεν, ἢ ὀφειλέτης ἦν μυθικῶς ἀγγέλλειν τὰ τοιαῦτα τοῖς ἀνέμοις. ἡ δὲ ἀλληγορία, κἀνταῦθα Ἶριν νοοῦσα τὸ φυσικὸν ἐν ἀέρι πάθος τοῦ καλουμένου τόξου, λέγει οὐ μόνον ὑετῶν καὶ πολέμων, ἀλλὰ καὶ ἀνέμων εἶναι σημαντικὴν τὴν κατὰ τὸν ἀέρα φανταζομένην Ἶριν, καὶ ᾠκειῶσθαι κατὰ τοῦτο ἀνέμοις, οἳ καὶ ἀναΐσσουσιν ἐπ᾽ αὐτῇ, ὅτι ἔστιν ὅτε σημεῖον ἐγέρσεως ἀνέμων ἐστί, καὶ καλοῦσιν ἕκαστος. πάντας γὰρ ἄλλοτε ἄλλον ἐγείρειν φιλεῖ, καὶ οὐδὲ ἕζεσθαι θέλει. ἀστατεῖ γὰρ ἐπ᾽ ὀλίγον φαινομένη καὶ ὡς τάχος ἀφανιζομένη, καὶ εἰς Ὠκεανὸν ἄπεισιν, ὡς ὑγρότητι χαίρουσα καὶ σταγόσιν ἀερίαις ἐμφαινομένη ὁποῖα καί τισι κατόπτροις. [(v. 207) Διὸ καὶ μεταδαίσασθαι τῶν ἐκεῖθεν ἱρῶν, ἤγουν θυμάτων, ἐθέλει.] Τοιαῦτα μὲν τὰ κατὰ ἀλληγορίαν. ὁ δὲ μῦθος καὶ ὡς ἐρῶντας τοὺς ἀνέμους καλεῖν τὴν Ἶριν ἕκαστον λέγει. (v. 199) Ὅρα δὲ κἀνταῦθα τὸ «μετάγγελος», ὅ ἐστιν ἄγγελος, καιρίαν ἑρμηνείαν τῆς Ἴριδος. εἰπεῖν γὰρ ἓν πρὸς ἕν, Ἶρις ἡ ἄγγελός ἐστι παρὰ τὸ εἴρειν, ὃ δηλοῖ τὸ δηλοῖ τὸ ἀγγέλλειν. [Τινὰ δὲ τῶν ἀντιγράφων ἐν δυσὶ μέρεσι λόγου ἔχει τὸ «μετ᾽ ἄγγελος», ἵνα λέγῃ ὅτι ἄγγελος μετ᾽ ἀνέμοισιν, ἤγουν ἐπ᾽ ἀνέμοις καὶ εἰς ἀνέμους, ἦλθεν ἡ Ἶρις.] (v. 200) Τὸ δὲ παρὰ Ζεφύρῳ τοὺς ἀνέμους πάντας λαχεῖν εἶναι οὔτε μῦθον ἰδιαίτατον ἔχει οὔτε βαθεῖαν ἀλληγορίαν, ἀλλ᾽ ἢ μόνον ἔνδειξιν τοῦ εἰς ἓν δύνασθαι τοὺς ἀνέμους ἥκειν τῇ κατ᾽ οὐσίαν οἰκειότητι. πάντες γὰρ «ὑγρὸν ἀέντες» εἰσὶ κατὰ τὴν ποίησιν καὶ ἐξ ἀναθυμιάσεως, τῆς ξηροτέρας δηλαδή, ἧς χορηγὸς ἡ γῆ. διὸ καὶ λίθεος αὐτοῖς ὁ βηλὸς εἰς αἴνιγμα τῆς γῆς.

4.713 (v. 200—2) Ἐν δὲ τῷ «Ζεφύρου ἔνδον» λείπει τὸ «δόμου» ἢ «σπηλαίου» ἢ τοιοῦτόν τι, σιγήσαντος μὲν Ὁμήρου τὸ λεῖπον διὰ τὸ μὴ ἔχειν εἰπεῖν τι τέως καίριον, ἐμφήναντος δὲ σπηλαίου ἔλλειψιν διὰ τοῦ εἰπεῖν «βηλῷ ἐπὶ λιθέῳ». ὁ γὰρ λίθεος βηλὸς σπηλαίου εἶναι

ὑπονοεῖται. καὶ ἔχει τὸ εὔλογον ἡ ὑπόνοια, οὐ μόνον διότι τὰ σπήλαια κόσμου σύμβολα παρὰ τοῖς παλαιοῖς, οὗ ἐντὸς τοῖς ἀνέμοις αἱ κατ' αὐτοὺς εἰλαπίναι, ἀλλὰ καὶ ὡς ἐκ τῶν ὑπὸ γῆν τόπων ἐκπνεόντων ἀνέμων ὡς οἷα καὶ ἀπὸ θαλάμων τινῶν, δοτέον δὲ καὶ οἴκων εἰπεῖν. (v. 229) Ἐπεὶ καὶ ὁ ποιητὴς μετ' ὀλίγα οὕτω φησὶν «οἱ δ' ἄνεμοι πάλιν ἔβαν οἶκόνδε νέεσθαι», ἄμφω προσαρμόσας αὐτοῖς, τόν τε οἶκον ῥητῶς καὶ τὸ σπήλαιον συμβολικῶς καὶ ὡς ἐκ μέρους δὲ τοῦ λιθέου βηλοῦ. εἰ δέ που καὶ ἐπὶ ἀετῶν οἶκος λέγεται, ὡς τὸ «οἰκία καὶ πόλιν αὐτῶν», ἀλλὰ προσφυέστερον ἐνταῦθα ἐπὶ ἀνέμων, οἳ καὶ ὁμιλοῦσι καὶ δαίνυνται κοινωνικῶς καὶ θεῖόν τί εἰσι. (v. 201) Τὸ δὲ «θεούσα» τὸ τῆς Ἴριδος θοὸν ὑπολαλεῖ. [(v. 203) Καίριον δ' ἐπ' ἀνέμων τὸ ἀνήϊξαν, εἴγε τὸ ἀΐσσω, ἐξ οὗ τὸ ἀναΐσσω, ἐκ τοῦ ἄω, τὸ πνέω, γίνεται, ἀφ' οὗ καὶ ὁ ἄνεμος. εἰ δὲ τὸ ἄω προϋπόκειται καὶ τοῦ ἀΐω, ἀλλ' ἐκεῖνο μὲν ἀλλοῖον ἄημα δηλοῖ, ψυχικὸν δηλαδή, οὗ ἔχεται καὶ τὸ ἀΐσθειν, καὶ τὸ ἐξ αὐτοῦ αἰσθάνεσθαι καὶ ἡ αἴσθησις. τὸ δὲ νῦν λεχθὲν ἄω καὶ τὸ ἐξ αὐτοῦ ἄημα πνοὴν ἀερίαν δηλοῖ οὐδέποτε παραμόνιμον.] (v. 206) Τὸ δὲ «Αἰθιόπων ἐς γαῖαν» καὶ ἑξῆς, παραδηλοῖ ὡς ἀπηλλάγησαν ἤδη ἀγώνων οἱ θεοί. ὅθεν καὶ πανηγυρίζουσιν, ἐπεὶ πέρας ἡ τοῦ Διὸς εἴληφε βουλή.

4.714 τάχα δὲ καὶ ἐπίτηδες ὁ ποιητὴς τοῦ τε μετὰ τὴν μῆνιν πολέμου τοῦ κατὰ τὴν Ἰλιάδα Αἰθιοπικὰς θυσίας προϊστόρησε καὶ νῦν δὲ τοῦ ἀγῶνος λωφήσαντος ὁμοίων μέμνηται. εἰ δὲ μὴ ὡς ἐκεῖ, ἀλλ' ὅμως καὶ τοῦτο δεινότης Ὁμήρου, ἐκκλίνοντος τὸ τῆς γραφῆς ὁμοειδές, εἰς ὅσον ἔνεστι. (v. 208) Κελαδεινὸν δὲ Ζέφυρον λέγει, ὡς τοῦ Ἀχιλλέως τοιοῦτον προκαλουμένου Ζέφυρον ἐπὶ ἐξάψει τῆς πυρᾶς. ὁ δ' αὐτὸς καὶ δυσαὴς ἀνωτέρω ἐρρέθη, οὐχ' ὡς ἀεὶ τοιοῦτος, ἀλλ' ἢ ὅτε καταιγίζει, [ὡς καὶ νῦν ὀφείλει ποιῆσαι.] ἄλλως γὰρ προσηνής ἐστι συννοητέον δὲ καὶ ἐπὶ Βορέου τὸ κελαδεινόν. ἑξῆς οὖν ἀμφότεροι φυσῶσι λιγέως. (v. 212—5) Ὅτι πνοῆς οὐκ ἠρεμαίας ἀνέμων δηλωτικὸν τὸ «οἳ δ' ὀρέοντο ἠχῇ θεσπεσίῃ νέφεα κλονέοντε πάροιθεν, αἶψα δὲ πόντον ἵκανον ἀήμεναι», ἤγουν ὥστε πνέειν, «ὦρτο δὲ κῦμα πνοιῇ ὑπὸ λιγυρῇ». ἠχὴν δὲ θεσπεσίαν λέγει τὴν μὴ τυχοῦσαν, ἀλλὰ θείως συμπεσοῦσαν ἤγουν συμβᾶσαν ἢ ἐμπεσοῦσαν κατὰ τὸ «ἐν δὲ πυρῇ πεσέτην». Τὸ δὲ «νέφεα κλονέοντες πάροιθεν» ὡς ἐπὶ διωκόντων μὲν ἀνέμων, φευγόντων δὲ νεφῶν εἴρηκεν. πολεμικὴ γάρ τις ἡ λέξις. (v. 217) Διὸ οἱ αὐτοὶ μετ' ὀλίγα βάλλειν λέγονται ἐν τῷ «παννύχιοι δ' ἄρα τοί γε πυρῆς ἄμυδις φλόγ' ἔβαλλον». ἔστι δὲ βολὴ αὕτη ἡ φύσησις. διὸ ἐπάγει «φυσῶντες λιγέως». (v. 214) Τὸ δὲ «πόντον ἵκανον» ἠδύνατο μὲν εἰπεῖν καὶ «ἐν δ' ἔπεσον πόντῳ», ἐφύλαξε δ' αὐτὸ τῇ πυρᾷ. (v. 216) Φησὶ γὰρ «ἐν δὲ πυρῇ πεσέτην», ἧς τὸ πῦρ θεσπιδαές, ᾧ λόγῳ καὶ θεσπεσίην τὴν τῶν ἀνέμων ἠχήν. ἐπιφέρει γὰρ «μέγα δ' ἴαχε θεσπιδαὲς πῦρ». Ἔνθα πάλιν ὅρα διαφορὰν πυρᾶς καὶ πυρός. ἡ μὲν γὰρ περιεκτική, τὸ δὲ περιέχεται. (v. 218—21) Ὅτι δαπάνην οἴνου πολλοῦ δηλώσει ποτὲ παραποιηθὲν τεχνικῶς, ὃ ἐποίει Ἀχιλλεύς «ψυχὴν κικλήσκων Πατροκλῆος δειλοῖο», ἤγουν τὸ «ὃ δὲ πάννυχος χρυσέου ἐκ κρητῆρος, ἔχων δέπας ἀμφικύπελλον, οἶνον ἀφυσσόμενος χαμάδις χέε, δεῦε δὲ γαῖαν». τοῦτο δὲ καὶ μεθύσῳ ἂν ἐπισκωφθήσεται ἀνδρί.

4.715 (v. 220) Ὅρα δὲ τὸ «χέεν», ἀφ' οὗ χοαὶ λέγονται αἱ τῶν νεκρῶν σπονδαί, καὶ ὅτι τὸ «δεῦε δὲ γαῖαν» οὐκ ἀναγκαίως ἐπήχθη, ἀλλ' αὕτως εἰς ἀναπλήρωσιν στίχου. ἤρκει γὰρ ἀντ' αὐτοῦ τὸ «χαμάδις χέεν». (v. 217 s.) Ὅρα δὲ καὶ ὅτι ἀνωτέρω «παννύχιοι» τετρασυλλάβως Ὅμηρος εἰπὼν ἐπήγαγε νῦν τρισύλλαβον τὸ αὐτοῦ πρωτότυπον ἐν τῷ «πάννυχος Ἀχιλλεύς». [Εἰ δὲ τὸ «ἔχων» καὶ τὸ «χέεν» ἀστεῖόν τι ἐμφαίνουσι κατὰ τὸ θυμός καὶ μῦθος καὶ τὰ τοιαῦτα, ἔτι δὲ καὶ εἰ τὸ «φυσῶντες» καὶ «ἀφυσσάμενος» ἔχουσί τι κάλλους, εἰς τοσοῦτον καὶ μόνον ἐπισημαντέον.] (v. 222—5) Ὅτι καὶ τοιαύτην παραβολὴν ἐνταῦθα ὁ ποιητὴς τίθησι δηλοῦσαν τὸ ἐπὶ Πατρόκλῳ πένθος τοῦ Ἀχιλλέως «ὡς δὲ πατὴρ οὗ παιδὸς ὀδύρεται ὀστέα καίων, νυμφίου, ὅς τε θανὼν δειλοὺς ἀκάχησε τοκῆας, ὣς Ἀχιλλεὺς ἑτάροιο ὀδύρετο ὀστέα καίων, ἑρπύζων παρὰ πυρκαϊήν, ἀδινὰ στοναχίζων». ἡ δὲ παραβολή, φασίν, αὐξητικὴ πρὸς ἔνδειξιν πολλῆς

στοργῆς. ὡς πατὴρ γάρ, φησίν, ἐπὶ υἱῷ καὶ τούτῳ οὐ τῆς τυχούσης ἡλικίας, ἀλλὰ νυμφίῳ, ἀφ' οὗ εἶχε μὲν ἐλπίδας ὄψεσθαι παῖδας, ὁ δὲ ταῖς δευτέραις ἐλπίσι καὶ τὴν πρώτην προσαπολωλέκει. (v. 225) Τὸ δὲ «ἑρπύζων» κλίσιν μέν τινα τοῦ ἥρωος δηλοῖ, δυσανάπαυστον δὲ διὰ τὴν ἐπὶ τῇ πυρᾷ φροντίδα. διὸ παυσαμένης τῆς φλογὸς ἀπὸ πυρκαΐῆς ἑτέρωθι λιασθεὶς κλίνεται καὶ ὑπνοῖ γλυκὺ ἐπ' ὀλίγον διὰ τὸ γενέσθαι ἡμέραν εὐθύς. (v. 231 s.) Ἔνθα καὶ φραστικὸν γλυκέος ὕπνου τὸ «ἑτέρωσε λιασθεὶς κλίνθη κεκμηώς, ἐπὶ δὲ γλυκὺς ὕπνος ὄρουσεν». (v. 226—8) Ὅτι καιρὸς πράξεως τὸ «ἦμος δ' ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν, ὅν τε μετὰ κροκόπεπλος ὑπεὶρ ἅλα κίδναται ἠώς, τῆμος» γέγονε τόδε τι. τὸ δὲ Ὁμηρικὸν ἑξῆς ὅτι «τῆμος πυρκαϊὴ ἐμαραίνετο». τοῦτο δὲ ἑρμηνεύων ἐπάγει «παύσατο δὲ φλόξ». μαραίνεται γὰρ πυρκαϊὰ παυσαμένης φλογός. Καὶ ὅρα ὅτι τὴν πυρὰν πυρκαϊὰν ἑρμήνευσε, καὶ ὅτι «ἑωσφόρος» εἰπὼν ἑρμηνεύει αὐτὸν ἐτυμολογικῶς διὰ τοῦ φόως ἐρέων, ὡς ταὐτὸν ὂν ἕω φέρειν καὶ φῶς ἐρεῖν ἤτοι ἀγγεῖλαι, ὡς καὶ φθάσας εἶπεν «ἀγγέλλων φάος ἠριγενείης». τοιοῦτον δὲ καὶ τὸ «Ζηνὶ φόως ἐρέουσα», τουτέστι τῷ ἀέρι, ὅπερ ἐνταῦθα ἐνέλιπεν. οὐ γὰρ εἶπε «Ζηνὶ φόως ἐρέων», ἀλλ' ἁπλῶς οὕτω «φόως ἐρέων». Ὅρα δὲ καὶ ὅτι οὐκ εἶπε μετὰ τὸν ἑωσφόρον εὐθὺς προσεχῶς ἥκειν τὴν ῥοδοδάκτυλον ἠῶ, ἀλλὰ τὴν κροκόπεπλον, μεθ' ἣν ἡ ῥοδοδάκτυλος, περὶ ὧν ἀλλαχοῦ εἴρηται. (v. 227) Τὸ δὲ «ὑπὲρ ἅλα κίδναται» παρατετηρημένως φησὶν ὁ ποιητής. πρώταις τε γὰρ ἀκτῖσιν ἥλιος ἅλα βάλλει τὴν ἔξω, ἥ ἐστιν Ὠκεανός, καὶ ὑψωθεὶς δὲ οὐχ' οὕτως ἀλλαχοῦ διασκίδνησι τὸ φῶς ὡς περὶ τὴν ἅλα διὰ τὸ ἀναπεπταμένον αὐτῆς καὶ ἀνεπιπρόσθητον.

4.716 [Διὸ καὶ οἰκειούμενος τὴν ἅλα ἐξ αὐτῆς καλεῖται κατά τινας τῶν παλαιῶν ἅλιος καὶ τροπῇ ἥλιος. καὶ ἔστι καὶ ἁλίου χρῆσις πολλὴ παρὰ ποιηταῖς.] (v. 230) Ὅτι ὥσπερ Θρῄκηθέν που ἐρρέθησαν πνέειν ὁ Βορρᾶς καὶ ὁ Ζέφυρος, οὕτω κἀνταῦθα πνέειν οὐ θέλοντες παλιννοστοῦσιν οἴκαδε «Θρηΐκιον κατὰ πόντον», ὃς εἴη ἂν μάλιστα ὁ Εὔξεινος, καὶ ἡ προκειμένη δὲ αὐτοῦ ἅπασα Προποντίς. (v. 229 s.) Ἔστι δὲ ἡ Ὁμηρικὴ φράσις αὕτη χρησιμεύουσα εἰς φράσιν ἀρχομένης γαλήνης «οἱ δ' ἄνεμοι πάλιν αὖθις ἔβαν οἶκόνδε νέεσθαι Θρηΐκιον κατὰ πόντον. ὃ δ' ἔστενεν οἴδματι θύων», τῷ ἐκ τῆς παλιννοστήσεως δηλαδὴ τῶν ἀνέμων. ἴσως δὲ καὶ αὐτῶν παυσαμένων ὁ πόντος ἔστενεν, ἔτι ἐγείρων κύματα, ὁποῖα τὰ ἐν Ὀδυσσείᾳ δηλωθέντα κωφά. (v. 229) Ὅρα δὲ τὸ «οἶκόνδε» ἐπὶ ἀνέμων ῥηθὲν ὡς ἐπὶ θείων τινῶν. ἄλλως γὰρ τὸ σπήλαιον ἐπ' αὐτῶν κυριολεκτεῖται, ὡς καὶ προδεδήλωται. (v. 230) Τοῦ δὲ «στένειν» ἡ χρῆσις καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ «στένοντα πόντον». οὐκ εὔδηλον δὲ εἴτε ἐπὶ ζῴων εἴτε ἐπὶ πόντου ἡ τοῦ στένειν κυριολεξία ἐστί. [(v. 230) Περὶ δὲ Θρᾴκης ἤτοι Θρῄκης, ἧς παρώνυμον ὁ Θρηΐκιος πόντος, παραπεπήχθω τοῖς ἀλλαχοῦ προγεγραμμένοις καὶ ταῦτα ἐπιτομώτερον, ὅτι ἐπιεικῶς εἰπεῖν κατὰ τὸν Ἀθήναιον ἡ Θρᾴκη ἐθαυμάζετο ὡς ἡδύοινος, ἔτι δὲ καὶ πολύοινος. διὸ καὶ οἱ περὶ Τροίαν Ἀχαιοὶ ἐκεῖθεν οἰνίζοντο, ὡς δῆλον ἐκ τοῦ «νῆες δ' ἐκ Λήμνοιο παρέστασαν οἶνον ἄγουσαι. Θρᾳκία δὲ πάντως καὶ ἡ Λῆμνος, καθὰ καὶ ἡ Θάσος. ἀγαθοῦ καὶ αὐτὴ εὐφοροῦσα οἴνου. καὶ εἴη ἄν, ὥς που καὶ προδεδήλωται, ἡ τοιαύτη κατ' οἶνον εὐφορία αἰτία τοῦ καὶ Ἄρεος οἰκητήριον τὴν Θρᾴκην λέγεσθαι, ὡς τοῦ πολλοῦ οἴνου ἔριν καὶ στάσεις καὶ τὰ ἐχόμενα ἐξεγείροντος.

4.717 ἐθνικὸν δὲ Θρᾴκης Θρᾷξ, ὅθεν Θρᾷττα γυνή. καὶ ἰχθύος δὲ ὄνομα παρὰ τῷ Δειπνοσοφιστῇ. ταύτην δέ, φησί, θέτταν γράφει Δωρόθεος, βιβλίῳ περιτυχών, ὡς εἰκός, ἡμαρτημένῳ, ἢ καὶ διὰ τὸ ἄηθες τοῦ ὀνόματος διορθώσας αὐτός. ὅλως δέ, φασίν, Θρᾴττης ὄνομα παρ' οὐδενὶ τῶν Ἀττικῶν ἐστιν.] (v. 232—4) Ὅτι γλυκὺς μὲν ὕπνος ἐφώρμισε τῷ Ἀχιλλεῖ κλιθέντι περὶ ἑωσφόρου ἀνατολάς, ὡς προείρηται. τοῦ δὲ βασιλέως καὶ τῶν ἀμφ' αὐτὸν ἐπερχομένων ὅμαδος καὶ δοῦπος ἔγειρεν αὐτόν. ἐλαφρὸς γάρ, φασίν, ὁ τῶν ἐν λύπαις ὕπνος καί, κατὰ τὴν Τραγῳδίαν, «ὕπνος ἄϋπνος». (v. 234) Σημείωσαι δὲ τὸ ὅμαδος οὐκ ἐπὶ ἀπαιδεύτου ἤχου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐνταῦθα ληφθέν, ὡς ἐν Ὀδυσσείᾳ ἐπὶ μνηστήρων, ἀλλ' ἁπλῶς ἐπὶ σώφρονος ὁμοῦ αὐδῆς ἤτοι συλλαλιᾶς, ἣ πάντως γίνεται, ὅτε τινὲς ἀολλέες ἠγερέθονται, ὡς ὁ ποιητὴς ἐνταῦθά φησιν. Ὅρα δὲ καὶ ὅτι ἔχων ὁ ποιητὴς πλάσαι τι καὶ ἐνταῦθα περὶ ὀνείρου, ἔνθα καὶ μάλιστα τὴν τοῦ Πατρόκλου ψυχὴν ὁ θάπτων ἐκίκλησκεν, ἀφῆκεν οὕτω γράψαι, ὡς ἂν ἐκφύγῃ τὸ τῆς πλάσεως ὁμοειδές, πιθανευσάμενος διὰ τοῦτο τὸν ταχὺν τοῦ Ἀχιλλέως ἀφυπνισμόν. (v. 237 s.) Ὅτι σαφῶς ἐνταῦθα παραδηλῶν διὰ τοῦ Ἀχιλλέως ὁ ποιητὴς, ὡς περιοχήν τινα δηλοῖ ἡ πυρὰ ἤτοι πυρκαϊά—οὐκ ἔχει γὰρ καιριωτέραν λέξιν εἰπεῖν, ὥσπερ οὐδὲ πυρᾶς οὕτως οὐδὲ πυρκαϊᾶς—φησὶν «πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσατ' αἴθοπι οἴνῳ, πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος», ἑρμηνεύων πυράν, ἤγουν πυρκαϊάν εἶναι τόπον, ὁπόσον ἐπέσχε τὸ πῦρ. ὃ περιφράζων ἐν τοῖς ἑξῆς λέγει «πυρκαϊὰν σβέσαν, ὅσσον ἐπὶ φλὸξ ἦλθε», δραττομένη δηλαδὴ τῆς τοπικῆς ὑποκειμένης ὕλης. διὸ ἐπάγει «βαθεῖα δὲ κάππεσε τέφρη», ἡ ἐκ τῆς ῥηθείσης ὕλης. Ἔνθα καὶ ὅρα τὸ καταπεσεῖν καιριώτατα λεχθὲν ἐπὶ βαθείας καὶ ὑγρανθείσης τέφρας. Τὸ δὲ «σβέσατε» τὸ τῶν ἡρώων δηλοῖ αὐτοδιάκονον. ἀριστῆες γὰρ Παναχαιῶν οἱ ἀμφ' Ἀτρείδην τὴν πυρὰν ἔσβεσαν. Οἴνῳ δὲ σβεννύεται ἡ πυρκαϊὰ διὰ τιμὴν τοῦ ἥρωος Πατρόκλου. καὶ ἔστι καὶ τοῦτο χοή τις νεκρική. (v. 238) Τὸ δὲ «ὁπόσον» ἐσχημάτισται κατ' ἔλλειψιν τοῦ τόπον ἢ τοῦ μέρος ἢ κατά τινα τοιαύτην λέξιν.

4.718 ἄλλως γὰρ τὸ ὀρθὸν ἦν εἰπεῖν «σβέσατε πυρκαϊὴν πᾶσαν, ὁπόσην ἐπέσχε πυρὸς μένος». γέγονε δὲ ὁ σχηματισμὸς ἀναγκαίως. οὐ γὰρ ἦν χρήσιμον εἰς μέτρον εἰπεῖν «ὁπόσην ἐπέσχε». Τὸ δὲ «μένος πυρός», ὡς ἐπὶ ἐμψύχου εἴρηται. οὕτω δὲ καὶ «δέμας πυρός» εἰπεῖν τετόλμηται ὡς ἐπὶ αἰσθητικοῦ τοῦ πυρός. Ὅτι ἐπὶ πραγμάτων ἀριδήλων ἐρεῖ ἄν τις τὸ «εὖ διαγινώσκοντες, ἀριφραδέα δὲ τέτυκται», τοῦτο δὴ ὃ περὶ τῶν τοῦ Πατρόκλου ὀστῶν εἶπεν Ἀχιλλεύς. ἃ εὔγνωστα ἦν λέγεσθαι, ὅ ἐστι συλλεγῆναι. (v. 241 s.) «Ἐν μέσσῃ γὰρ ἔκειτο πυρᾷ», ὡς καὶ προερρέθη, «οἱ δὲ ἄλλοι ἄνευθεν ἐσχατιῇ ἐπὶ μίξ, ἵπποι τε καὶ ἄνδρες», οἱ συγκαυθέντες. Καὶ ὅρα καὶ νῦν τὸ «ἐσχατιᾷ» ἀντὶ τοῦ ἐν ἐσχάτῃ πυρᾷ, ὃ τοῖς μεθ' Ὅμηρον οὐ σύνηθες, οἳ ἐπὶ ἑτεροίου ἐκτοπισμοῦ τὴν λέξιν τιθέασι, ποτὲ μὲν ἀπολύτως, οἷον· ὁ δεῖνα ἐν ἐσχατιαῖς διατρίβει, ὡς οἷον ἐρημάζων, ποτὲ δὲ μετὰ προσθήκης, οἷον· ἐν ἐσχατιᾷ ὄρους. οὕτω δὲ καὶ Ὅμηρος, οἷον· «ἀγροῦ ἐν ἐσχατιῇ». Τὸ δὲ «ἐπὶ μὶξ ἵπποι τε καὶ ἄνδρες», καὶ ἄνδρες», καὶ ἐπὶ θεωρικῆς λεχθείη ἄν ποτε ἢ καὶ ἄλλως ὀχληρᾶς συνάξεως, [ὅτε καὶ ἔστιν ἶσον παροιμιακῷ τῷ «ἀναμὶξ ἀγκύλων ἱππόται».] (v. 243 s.) Ὅτι τέως μὲν ἐθέλει Ἀχιλλεὺς ἐν χρυσέῃ φιάλῃ τῇ προειρημένῃ καὶ δίπλακι δημῷ θεῖναι τὰ τοῦ Πατρόκλου ὀστᾶ, «εἰς ὅ κεν», ἤγουν ἕως ἄν, «αὐτός», φησίν, «ἐγὼ Ἄϊδι κεύθωμαι». ἔστι δὲ ἡ μὲν φιάλη ὡς οἷα σορός. ὁ δὲ δίπλαξ δημὸς φυλακτικὸς τῆς τῶν ὀστέων εἰς χοῦν ἀλλαγῆς ἐξ ἄκρας ξηρότητος, ἣν πάσχουσι τὰ κραυρούμενα. Ἔνθα ὅρα τὸν δίπλακα δημὸν χρήσιμον καὶ αὐτὸν ὄντα πως εἰς τὸ «δίπτυχα ποιήσαντες», ἔτι δὲ καὶ εἰς τὸ νοεῖν ὡς καὶ δίπλαξ χλαῖνα ἡ διπλῆ λέγοιτ' ἄν.

4.719 σημειώδης δὲ ἡ τοιαύτη λέξις. οὔτε γὰρ τὸ ἁπλοῦν οὔτε τὸ τριπλοῦν οὔτε ἄλλο τοιοῦτον κατὰ τὸ δίπλαξ ἐσχημάτισται. Τὸ δὲ Ἄϊδι κεύθωμαι» ἐχορήγησε τὸ «κευθμῶνας Ἅιδου» εἰπεῖν, καὶ «νεκρῶν κευθμῶνα». (v. 245—8) Εἶτα ὁ Ἀχιλλεὺς καὶ «τύμβον οὐ μάλα πολλὸν πονέεσθαι» κελεύει, «ἀλλ' ἐπιεικέα τοῖον, ἔπειτα δὲ εὐρύν θ' ὑψηλόν τε» γενέσθαι αὐτὸν ὑπὸ τῶν Ἀχαιῶν, οἳ ἄν, φησίν, ἐμοῦ δεύτεροι ἐν νήεσσι λίπησθε». Καὶ ὅρα ὡς ἑαυτῷ τὸ πλεῖον τῆς τιμῆς ἐς ὕστερον ἀποτεθεῖσθαι ἀξιοῖ τοὺς Ἀχαιούς, ὡς τῆς τῶν ἀρίστων ὁσιώσεως κοινῇ γινομένης καί, ὅ φασι, δημοσίᾳ, καθὰ καὶ παρὰ τοῖς μεθ' Ὅμηρον ἐπεκράτει τοῖς καὶ ῥητορεύουσιν ἐπὶ τοιαύταις ταφαῖς. καὶ οὔτε τὰ τοῦ Πατρόκλου ὁ Ἀχιλλεὺς ὀστᾶ νῦν αὐτίκα τῷ λαμπρῷ κρατῆρι ἐντίθησι πρὸ ἑαυτοῦ, καὶ τὸ πολὺ δὲ εὖρος καὶ ὕψος τοῦ τύμβου ἑαυτῷ ταμιεύεται. (v. 246) Ἐπιεικέα δὲ καὶ νῦν τὸν εἴκοντα καὶ πρέποντα τῷ Πατρόκλῳ λέγει. ἔγνωσται γὰρ ὡς οὐκ οἶδε τὴν λέξιν ἐπὶ ἑτέρου σημαινομένου ὁ ποιητής. εἶχε δ' ἂν ἴσως καὶ μενοεικέα ἐνταῦθα εἰπεῖν, ὡς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ πρὸ τούτων «μενοεικέα ὕλην ἔφη τὴν τῆς πυρᾶς τοῦ Πατρόκλου. Τὸ δὲ «τοῖον», ὅ ἐστι τοιοῦτον, οὐδέν τι οὐδὲ νῦν ὡρισμένον δηλοῖ, ἀλλὰ πάντῃ ἀσαφῶς ἔχει, ἐπίτηδες οὕτω ῥηθέν, ἵνα τῇ τῶν Ἀχαιῶν ἐπικρίσει ἀνατεθῇ τοῦ τύμβου ἡ ποιότης. (v. 248) Ὅρα δὲ καὶ τὸ «δεύτεροι λίπησθε» οὐκ ἐπὶ ἐλαττώσεως τεθέν, ἀλλ' ἐπὶ ὑστεροχρονίας. Ὅτι τὰ κατὰ τὴν καῦσιν τοῦ νεκροῦ πλατύνας ὁ ποιητὴς στενοχωρεῖ τὰ μετ' αὐτὴν ἐν στίχοις ἑπτά, ἵνα μὴ προσκορὴς εἴη ταῖς συχναῖς διασκευαῖς. εἰπὼν οὖν ἐν δυσὶ στίχοις τὴν σβέσιν τῆς πυρκαϊᾶς, ὡς καὶ προέκκειται, ἐν δὲ ἑνὶ τὴν τῶν ὀστῶν ἀνάλεξιν ἐς χρυσέην φιάλην καὶ δίπλακα δημόν, ἐπάγει (v. 254—6) «ἐν κλισίῃ δὲ θέντες ἑανῷ λιτὶ κάλυψαν· τορνώσαντο δὲ σῆμα θεμείλιά τε προβάλοντο ἀμφὶ πυρήν· εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν». Κατὰ ὁμοίαν δὲ μέθοδον καὶ ἐν τοῖς ἐφεξῆς πολλῶν ἀεθλευσάντων τὰ ἐπιτάφια τοῖς μὲν ἡνιόχοις τὸ ἥμισυ τοῦ λόγου, καί τι δέ που πλέον, προσδαπανᾷ, μακροῦ λόγου αὐτοὺς ἀξιῶν, τοὺς δὲ ἑτέρους ἄθλους ἅπαντας διὰ τοῦ λοιποῦ φράζει ἡμίσεος λόγου.

4.720 ὃ δὲ καὶ αὐτὸ ἐπισημάνσεως ἄξιον, ἰστέον ὡς ὅλῳ γράμματι ἐμπλατυνάμενος ὁ ποιητὴς ἐπὶ τοῖς ἐν τῇ ταφῇ τοῦ Πατρόκλου τὸν τοσοῦτον Ἕκτορα διὰ πάνυ ταχέων ἔθαψεν, οὐδὲ ὅλα δεκαεπτὰ ἔπη λαλήσας εἰς τὴν ἐκείνου ταφήν, ἀλλὰ διὰ τῶν αὐτῶν μὲν τῆς ταφῆς νοημάτων ἐλθὼν δίχα γε τῶν ἀγώνων, οὕτω δὲ ἐπιδραμὼν, ὡς εἰ καί, ὅ φασιν, ἐδιώκετο καὶ τοῦ πλείω λαλεῖν ἐνεκόπτετο. αἴτιον δὲ τὸ συνεξομοιωθῆναι καὶ ἐκεῖ τὸν λόγον τοῖς πράγμασιν. οὔτε γὰρ καιρὸς ἦν ἀργίας τοῖς ἐκεῖ, καὶ ὁ λόγος δὲ τοῖς ἐπείγουσι πολεμικοῖς ἔργοις συνετροχάζετο. (v. 254) Φιάλη δέ, φασίν, ἀγγεῖον λεβητοειδὲς πεπλατυσμένον ἄνωθεν. Ὁ δὲ δίπλαξ δημὸς τῷ τῶν ὀστέων ἀσήπτῳ καὶ ἀθρύπτῳ, καθὰ καὶ ἐρρέθη, συμβάλλεται. (v. 254) Τὸ δὲ «ἐν κλισίῃ θέντες» τὴν ὀστεοφόρον δηλαδὴ φιάλην, φανερῶς δηλοῖ κενήριον εἶναι τὸ ἀμφὶ τὴν ἔξω τῆς κλισίας πυρὰν γεγονὸς τῷ Πατρόκλῳ σῆμα. Τὸ δὲ «ἑανῷ λιτί» τί τε δηλοῖ καὶ πῶς τὰ εἰς λέξιν καθίσταται, ἀλλαχοῦ γέγραπται. (v. 255) Τορνώσασθαι δὲ κυρίως τὸ κυκλοτερῶς διαγράψαι ὡς ἀπὸ τοῦ τόρνου. λαμβάνεται δὲ καὶ ἀντὶ τοῦ ἁπλῶς περιγράψαι, ὡς δηλοῖ καὶ τὸ «ἔδαφος τορνώσεται νηός». Προβαλέσθαι δὲ πάνυ κυρίως ἐπὶ θεμελίων λέγεται, ταὐτὸν ὂν τῷ προθέσθαι, ὅθεν τὰ θεμέλια. (v. 256) Τὸ δὲ «χυτὴν γαῖαν ἐπέχευαν» τρόπου μέν ἐστιν ἐτυμολογικοῦ, δηλοῖ δὲ συνήθως τύμβου ἀναχωματισμόν. (v. 257) Σαφηνίζεται δὲ δι' αὐτοῦ κλιμακωτῶς εὐθὺς τεθὲν τὸ «χεύαντες δὲ τὸ σῆμα πάλιν κίον», ὅ ἐστιν ὑπεχώρησαν, ὃ καὶ ἐπὶ Ἕκτορος ῥηθήσεται. ἔστι γὰρ ἑρμηνεία τοῦ «χεύαντες τὸ σῆμα» τὸ «χυτὴν ἐπὶ γαῖαν ἔχευαν», ὅπερ σῆμά ἐστι τεθνεῶτός τινος, ὡς καὶ ἀλλαχοῦ εἴρηται.

4.721 [Σκοπητέον δὲ καὶ ἐν τούτοις διὰ τοὺς ἅμα θανάτῳ ἀπάγοντας τῆς ψυχῆς τὴν τῶν γνωρίμων καὶ φίλων μνείαν, οἵαν ἐπ' αὐτοῖς τύρβην εἶχον οἱ παλαιοί, πάνυ ἐπιμελούμενοι τῶν κατὰ τοὺς νεκρούς, καὶ μάλιστα τῆς αὐτῶν ὁσίας, ὡς δῆλον καὶ ἐκ τῆς πρὸ τούτων βουλῆς τοῦ τε Νέστορος καὶ τῶν Τρώων, καὶ μεθ' Ὅμηρον ἐκ τῆς συμβάσεως πολλαχοῦ τῆς ἐπὶ ἀναλήψει νεκρῶν ἐν πολέμῳ πεσόντων, ἔτι δὲ καὶ τῶν κακῶς παθόντων δέκα στρατηγῶν, ἐπεὶ οὐκ ἀνείλοντο τοὺς ἐν Ἀργινούσσαις ἀπολομένους ἐν ναυμαχίᾳ, ὧν κατηγόρησε Καλλίξεινος, καθ' οὗ ἐμελέτησεν Ἀριστείδης. ἦν δ' ἄρα τοῖς ἀρχαίοις ἐν σπουδῇ καὶ τὸ ἐπὶ τοῖς τάφοις μεγαλεῖον. καὶ ὁ μὲν τοῦ Μαυσώλου μάλα πολλὸς τάφος ἄκρως περιείργασται καὶ θαῦμα καὶ ἦν καὶ ἔστιν. οἱ δὲ ἄλλοι, ἐν οἷς καὶ τὸ τοῦ Πατρόκλου ἑκατόμποδον σῆμα, εἶχον μιμήσεις. αἰτία δὲ τῆς περὶ τὰ τοιάδε ἀσχολίας ἡ πραγματεία τοῦ διὰ μακροῦ τὴν χάριν τοῖς κειμένοις εἶναι, καθὰ καὶ διὰ στηλῶν καὶ ἐπιγραμμάτων, ὡς δῆλον καὶ ἐκ τοῦ «καί ποτέ τις εἴπησιν», ἔνθα χρόνῳ ἀνατίθησιν ὁ Ἕκτωρ τὸ ἑαυτοῦ ἔργον, ὃ δὴ καὶ ὁ καλὸς Αἰσχύλος ἐποίει, ὃς τὰς αὐτοῦ τραγῳδίας τεμάχη λέγων εἶναι τῶν Ὁμήρου μεγάλων δείπνων διὰ τὸ λαμπρῶς ἀπομάττεσθαι τὰς Ὁμηρικὰς μεθόδους, ὥς ποτε ἀδίκως ἡττήθη, ἀνατιθέναι τὴν τραγῳδίαν ἔφη χρόνῳ, εἰδὼς ὡς κομιεῖται κατὰ καιρὸν ὑπὸ τῶν ὀρθῶς ἀνακρινόντων τὴν προσήκουσαν τιμήν.] (v. 258) Ὅτι

οὐδὲ τὸ ἀεθλευτικὸν καὶ ἐναγώνιον εἶδος ἀργὸν ὁ ποιητὴς ἐᾷ, σποράδην δέ που αὐτοῦ τὰ πρὸ τούτων μνησθείς, ἐν οἷς ἵππους ἀεθλοφόρους ἔφη, καὶ ἄεθλον μέγα τρίποδα ἢ γυναῖκα, ἐνταῦθα καιρὸν εὑρὼν ἀνέσεως—ἤμβλυνται γὰρ τῇ τοῦ Ἕκτορος ἀναιρέσει ἡ τοῦ πολέμου ἀκμή—ἐμπλατύνεται τῷ τοιούτῳ εἴδει τοῦ λόγου, γινομένων μέν, ὡς, εἰκός, καὶ ἄλλων πρὸ τούτου ἐπιταφίων ἀγώνων περὶ τὸ ναύσταθμον, ἐν οἷς εὐδοκιμεῖν τοὺς τοῦ Ἀγαμέμνονος ἵππους ἡ κατὰ τὸ ι′ ῥαψῳδία ἐδήλωσε, τοῦ δὲ ἐπὶ Πατρόκλῳ ἀγῶνος πάντας ὑπερβεβηκότος τῷ μεγαλείῳ τῶν τε ἀθλητῶν τῶν τε ἄθλων καὶ διὰ τοῦτο καὶ ἀξιωθέντος λόγου πολλοῦ παρὰ τῷ ποιητῇ.

4.722 (v. 257—61) Ὃς καί φησι προεκθετικῶς, ὅτι Ἀχιλλεὺς μετὰ τὴν τοῦ Πατρόκλου ταφὴν «αὐτοῦ λαὸν ἔρυκε καὶ ἵζανεν εὐρὺν ἀγῶνα», ἤγουν ἐκάθιζε, ὃ καὶ καθιστᾶν ἀγῶνα λέγεται, «νηῶν δ’ ἔκφερεν ἄεθλα, λέβητάς τε τρίποδάς τε ἵππους θ’ ἡμιόνους τε βοῶν τ’ ἴφθιμα κάρηνα, ἠδὲ γυναῖκας ἐϋζώνους πολιόν τε σίδηρον». Καὶ ὅρα σχῆμα πολυσύνδετον. οὐδὲ ἓν γὰρ τῶν ἐπάθλων δίχα συνδέσμου προήγαγεν. Ὅρα δὲ καὶ ὅτι, ὃν ἐν ἄλλοις τιμῆντα ἔφη χρυσόν, ἐσίγησε νῦν, οὐχ’ ὅτι ὀλίγος ὢν τῷ Ἀχιλλεῖ οὐκ ἐξήνεκται—πολὺς γὰρ χρυσὸς καὶ αὐτῷ καὶ χαλκὸς ἐν κλισίῃ, ὡς ἐν τοῖς ἑξῆς ῥηθήσεται—, οὐδ’ ὅτι ἐξελάθετο τῆς οὕτω τιμίας ἐν ὕλαις, ἀλλ’ ἢ ὅτι οὐ πολὺν χρυσὸν εἰς ἐπάθλων δόσιν προήγαγεν, ἢ ὅτι κατὰ λόγον συλλήψεως, ἤτοι συνεκδοχῆς, τῷ τοῦ σιδήρου μετάλλῳ συνεπινοεῖται καὶ ὁ χρυσός. τῷ γοῦν τετάρτῳ ἡνιόχῳ δύο χρυσοῦ τίθησι τάλαντα, ὡς μετ’ ὀλίγα ῥηθήσεται, ἡμιτάλαντον δὲ χρυσοῦ ἐν τοῖς ἑξῆς τεθὲν εἰς ἀγῶνος ἔπαθλον τῷ αὐτὸν ἐπαινέσαντι ἐπιτίθησι. τῷ δ’ αὐτῷ τρόπῳ οὐδὲ ἀργύρου προέκθεσιν ἐποιήσατο, οὔτε μὴν ὅπλων, ἀφεὶς καὶ αὐτὰ συλληπτικῶς ἐκδέχεσθαι, ὥσπερ καὶ τὸν χαλκόν, ἵνα ὥσπερ ὄνομα χαλκοῦ εἰσάγῃ σίδηρον ἐν τῇ τῶν χαλκέων ὅπλων κλήσει, οὕτω καὶ σιδήρῳ νῦν χαλκὸς εἰς νοῦν συνεισάγηται. (v. 259) Ἰστέον δὲ καὶ ὅτι ἄεθλα μὲν οὐδετέρως τὰ ἐπὶ τοῖς ἀγῶσιν ἔπαθλα, ἆθλοι δὲ οἱ ἀγῶνες αὐτοί. γίνεται δὲ ἡ λέξις κατὰ τοὺς παλαιοὺς ἀπὸ τοῦ ἐθέλειν. αἱρετὸν γὰρ καὶ θελητὸν καὶ ὁ ἄεθλος καὶ τὸ ἄεθλον. Ἐν δὲ τῷ «λέβητας καὶ τρίποδας» διαφορὰ δηλοῦται φανερὰ τῶν σκευῶν. ἴσως δέ, φασίν, καὶ λέβης πόδας ποτὲ ὑποβεβλημένος τρίπους εἴη ἄν. (v. 261) Πολιὸς δὲ κἀνταῦθα σίδηρος ἢ ὁ ἔντιμος παρὰ τὴν πολιὰν ἢ ὁ πολιτικός. πολιτικώτερον γὰρ ὁ σίδηρος χρυσοῦ καὶ ἀργύρου καὶ χαλκοῦ διὰ τὸ εὐποριστότερον. [Ἰστέον δὲ ὅτι τῶν παρὰ τοῖς παλαιοῖς ἀθλητῶν ἐπισυρομένων καί τι ψόγου, εἴ τις ἐνθυμηθείη, ὡς καὶ κρέασιν ἀνῳκοδομῆσθαι σκώπτονται διὰ τὸ καὶ εἰς εὐσαρκίαν τοὺς τοιούτους γυμνάζεσθαι, καὶ οὕτω σκωπτικῶς παχεῖς καὶ αὐτοὺς λέγεσθαι, οἷα μὴ λεπτοὺς τὸν νοῦν καὶ ὀξεῖς, μηδὲ οἵους ἀρέσκειν τῷ εἰπόντι ὅτι ξηρὴ ψυχὴ σοφωτάτη, ὅμως οἱ Ὁμηρικοὶ ἀθληταὶ οὐ φαίνονται κατὰ τοὺς ἄλλους εἶναι, ἀλλὰ πρὸ ἔργου μὲν ἑτεροίας ἀρετὰς τίθεσθαι, πάρεργον δέ τι ἔχειν καὶ τὸ ἀθλεῖν.

4.723 τοιοῦτος ὁ σοφὸς Νέστωρ, ὡς δῆλον ἐξ ὧν αὐχητικῶς ἱστορεῖ. τοιοῦτος ὁ καλὸς Ὀδυσσεύς, ὡς ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια δηλοῖ. τοιοῦτοι δέ, ὡς εἰκός, καὶ ἄλλοι τῶν ἡρώων. οὐκοῦν Εὐριπίδου εἰπόντος τὸ «κακῶν γὰρ ὄντων μυρίων καθ’ Ἑλλάδα, οὐδὲν κάκιόν ἐστιν ἀθλητῶν γένους», καὶ κατασκευάσαντος τὴν γνώμην καλῶς εἰς πλάτος, ἑτέρου δέ τινος φαμένου, ὡς τὰ τῶν ἀθλητῶν οὐ πιαίνει μυχοὺς πόλεως, κεῖται παρὰ τῷ Ἀθηναίῳ τό· οὐ μὴν ἀλλ’ εἰ καὶ ταῦθ’ οὕτως ἔχει, οἱ γοῦν Ἕλληνες οὐκ ἦσαν αὐτὸ τοῦτο ἀθληταί, ἀλλὰ καὶ μαχηταὶ ἄριστοι καὶ δεξιοὶ ἀθλεῖν, ὅτε καιρός.] (v. 262—70) Ὅτι «ἱππεῦσι μὲν πρῶτα ποδώκεσιν ἀγλά’ ἄεθλα θῆκεν» Ἀχιλλεύς· τῷ πρώτῳ μὲν «γυναῖκα ἄγεσθαι ἀμύμονα ἔργα εἰδυῖαν καὶ τρίποδ’ ὠτώεντα δύω καὶ εἰκοσίμετρον», τῷ δευτέρῳ δὲ «ἵππον» ἔθηκεν ἑξέτε’ ἀδμήτην, βρέφος ἡμίονον κυέουσαν· αὐτὰρ τῷ τριτάτῳ ἄπυρον κατέθηκε λέβητα, καλόν, τέσσαρα μέτρα κεχανδότα, λευκὸν ἔτ’ αὔτως· τῷ δὲ τετάρτῳ θῆκε δύο χρυσοῖο τάλαντα· πέμπτῳ δ’ ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκε». Καὶ ὅρα ὅπως ἐφ’ ἑκάστου ἐπάθλου ἔθετο τὸ «ἔθηκεν», οὐκ ὀκνήσας τὴν ταὐτολογίαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὰ τὸ τῆς λέξεως καίριον. καὶ ἐν τοῖς ἑξῆς δὲ ἀγῶσιν οὕτω ποιήσει, ὡς φανήσεται, κατακόρως χρησάμενος τοῖς ἐκ τοῦ «τίθημι» κινουμένοις ῥήμασι διὰ τὸ μὴ εὐπορεῖν κρείττονος, ἐξ οὗ καὶ ὁ ἀγωνοθέτης καὶ ὁ ἀθλοθέτης καὶ τὰ τούτων ῥήματα. (v. 263) Ἰστέον δὲ ὅτι τὸ «γυναῖκα ἀμύμονα ἔργα εἰδυῖαν» τρόπος ἀμφιβολίας ἐστί. δύναται γὰρ τὸ «ἀμύμονα» καὶ τοῖς ἔργοις συνῆφθαι, ἵνα ᾖ «ἀμύμονα ἔργα», καὶ τῇ γυναικὶ δέ, ἵνα λέγῃ· ἀμύμονα γυναῖκα ἔργα εἰδυῖαν, ὡς καὶ προϊὼν ἐρεῖ ἁπλῶς περὶ ἑτέρας γυναικός, ὅτι «πολλὰ ἐπίστατο ἔργα». κάλλιον δὲ τὸ πρῶτον. (v. 264) Τὸ δὲ «ὠτώεντα» γίνεται μὲν ἀπὸ τοῦ ὠτός, ἐκτείνει δὲ τὴν προπαραλήγουσαν καὶ αὐτό, καθὰ καὶ τὸ κητώεις καὶ εὐρώεις καὶ τὰ ὅμοια, διὰ τὸ πρὸ αὐτῆς μακρόν.

4.724 τοιαῦτα γὰρ τὰ διὰ τοῦ ωεις . μακρὰν μὲν γάρ, ὡς καὶ προπαρεδόθη, ἔχοντα τὴν πρὸ τοῦ ω συλλαβήν, ἐκτείνεται δι’ εὐχρηστίαν μέτρου σπονδειακοῦ, ἐκείνης δὲ βραχυνομένης, καὶ ἡ παραλήγουσα τὸ αὐτὸ πάσχει, γραφομένη ἐν τῷ ο μικρῷ διὰ δακτύλου ἀπαρτισμόν. τοιοῦτον τὸ σκιόεις, ἐρόεις ὁ ἐπιθυμητός, κερόεις ὁ κερασφόρος, καὶ τὰ ὅμοια. διὸ καὶ τὸ «θὴρ οὐατόεις», ἤγουν ὠτώεις, τουτέστιν ὄνος, παρὰ Καλλιμάχῳ, συστέλλει τὴν παραλήγουσαν διὰ τὴν τῆς προπαραληγούσης βραχύτητα. Τὸ δὲ «δύω καὶ εἰκοσίμετρον» ὅμοιον κατὰ προφορὰν τῷ «δύω καὶ εἰκοσίπηχυ», καὶ «δεκάκις καὶ εἰκοσινήριτα». τινὲς δὲ κατὰ τὸ «δυοκαίδεκα» οὕτω προάγουσιν ὑφὲν ὡς μίαν λέξιν «δυωκαιεικοσίμετρον», ὅπερ οὐκ ἂν ἀρέσκοι τοῖς παρασημειωσαμένοις ὥς τι καινὸν τὸ «δυσαρτοτόκεια» ὡς ἐκ τριῶν λέξεων σύνθετον. οὕτω δὲ καὶ τὸ «δυσάμμορος». (v. 266) Τὸ δὲ «ἑξέτεα» οἱ μὲν προπαροξύνουσιν, ὡς ὁ Ἀσκαλωνίτης, καθὰ καὶ τὸ «ὄτριχας οἰέτεας», ὡς καὶ ἐν Βοιωτίᾳ εἴρηται, οἱ δὲ παροξύνουσιν, ὡς τὸ εὐγενέα, οἷς, φασίν, ἕπεται καὶ ἡ παράδοσις. Τὸ δὲ «βρέφος ἡμίονον κυέουσαν» δηλοῖ μὲν τὸ ἐγκυμονοῦσαν, ἀσυνήθως δὲ βρέφος εἶπεν ἐπὶ ἐμβρύου. ἔμβρυον γὰρ τὸ ἐντὸς βρύον, ἤτοι αὐξόμενον, κατὰ τὸ «καί τε βρύει ἄνθεσιν». ἐν δέ γε τῇ Ὀδυσσείᾳ τὸ ἀνάπαλιν ποιεῖ ἐν τῷ «ὑπ’ ἔμβρυον ἧκεν ἑκάστῃ». τὸ γὰρ ἔμβρυον ἐκεῖ ἀντὶ βρέφους ἔλαβε. πιθανῶς δὲ εἰς ἐπάθλου τιμιότητα οὐχ’ ἵππον ἁπλῶς ἱστορεῖ, ἀλλὰ κυοφοροῦσαν, καὶ οὐχ’ ὁμοειδὲς ἔμβρυον, ἀλλὰ ἡμίονον. (v. 267) Ἄπυρον δὲ λέβητά φησι τὸν μήπω τεθέντα εἰς πῦρ καὶ διὰ τοῦτο καὶ λευκὸν ἀπὸ χεύματος δηλαδὴ κασσιτέρου, ὃ δὴ ἄλλοθι ἐρεῖ ὁ ποιητής.

4.725 (v. 268) «Μέτρα» δὲ ξέσται ἦσάν τινες. μείζονα δὲ ταῦτα εἶναι δοκεῖ τῶν ἐφεξῆς, ἔνθα κρατὴρ ἀργύρεος ἓξ μέτρα χανδάνει. οὐ γὰρ εὐπετῶς δέξεταί τις μείζω τὸν κρατῆρα ἐκεῖνον, τὸ τοῦ δρόμου ἔπαθλον, παρὰ τὸν ἐνταῦθα λέβητα. (v. 269) Τὰ δὲ «δύο τάλαντα» τοῦ χρυσοῦ σμικρόν τι ποσὸν ὑποβάλλουσι νοεῖν τὸ τάλαντον, εἴγε οὐ μόνον ἵππου τοῦ τῷ δευτέρῳ τεθέντος ὑποδεές ἐστιν, ἀλλὰ καὶ τοῦ τετραμέτρου λέβητος, ὃς τῷ τρίτῳ κεῖται. οὕτω καὶ ἐν Ὀδυσσείᾳ οὐ μέγα τι τὸ τάλαντον, ἔνθα ἱμάτια καὶ χιτῶνας καὶ δεκατρία τάλαντα χρυσοῦ ἐν κιβωτίῳ κείμενα θεραπαινὶς μία μόνη ἐπὶ τὴν νῆα ἄγει. ἐν μέντοι ταῖς Λιταῖς ἐπὶ μεγίστων τὰ ἐκεῖ βασιλικὰ νοοῦνται τάλαντα, ὁμοίως μεγάλα καὶ ἅπερ ὁ Μενέλαος ἐν τῷ πλανᾶσθαι ἀγείρει, ὥστε καὶ νῦν συνάγεσθαι ἄνισον εἶναι πάλαι ποτὲ τὸ τάλαντον, καθὰ καὶ προδεδήλωται. ὅθεν ἀτάλαντος κατὰ Πορφύριον ὁ ἀπεοικὼς τῷ ταλάντῳ καὶ μὴ ταλάντου ἀνισότητα ἔχων, ἀλλὰ ἴσος. (v. 270) Ἀμφίθετος δὲ φιάλη ἡ ἀμφοτέρωθεν αἰρομένη [τῶν ὤτων κατὰ τοὺς ἀμφιφορεῖς, ἢ κατὰ Ἀρίσταρχον] ἡ ἑκατέρωθεν τίθεσθαι δυναμένη κατὰ πυθμένα καὶ κατὰ στόμα [ἤτοι πρόσωπον, ὡς δῆλον ἐκ τοῦ· τιθέασι Μασσαλιῶται τὰς φιάλας ἐπὶ πρόσωπον. ἦν δὲ καὶ Ἰώνων, φασίν, ἡ τοιαύτη θέσις. ἄλλως δὲ] κατὰ τὸν Θρᾷκα Διονύσιον ἀμφίθετος ἡ ἀμφιθέουσα, ὅ ἐστι κυκλοτερὲς ἔχουσα σχῆμα, παρὰ τὸ θέειν, ἐξ οὗ καὶ ὁ θόλος, οὗ χρῆσις ἐν Ὀδυσσείᾳ, ἢ δύο βάσεις ἔχον ποτήριον [ἐξ ἑκατέρου, φασί, μέρους.

4.726 ὡς δὲ Παρθένιος νοεῖ, ἀπύθμενος.] ἢ περιττῶς πεποιημένη. ἡ γὰρ ἀμφι ἶσον δύναται τῇ περι , αὕτη δὲ σημαίνει τὸ περιττόν. καὶ ἔστι καὶ ἡ τοιαύτη ἑρμηνεία μεταληπτικὴ διὰ τὴν ἀμφι πρόθεσιν μεταλαμβανομένην εἰς τὴν περι τὴν δηλοῦσαν τὸ περιττόν. περὶ δὲ τοιαύτης

γραμματικῆς μεταλήψεως προδεδήλωται ἱκανῶς. ἔστι δέ, φασίν, ἡ φιάλη αὕτη χαλκεῖον ἐκπέταλον λεβητῶδες, δύο ἔχον ὦτα, δεχόμενον ψυχρὸν ὕδωρ, ἐπὶ πῦρ οὐκ ἐπιτιθέμενον. διὸ καὶ ἀπύρωτον αὐτήν φησι. [Τῷ δὲ τοιούτῳ λεβητώδει χαλκείῳ εἰκὸς παρόμοιον εἶναι καὶ τὸν παρὰ τῷ Κωμικῷ Φιλήμονι ἐμβαθυχύταν, ὃς καὶ ἔφηβος ἐκαλεῖτο. ποτηρίου δὲ ἦν εἶδος κατὰ τὴν τοῦ Δειπνοσοφιστοῦ ἱστορίαν. Ἀπολλόδωρος δέ, φασίν, ἀμφίθετον λέγει τὴν μὴ κατὰ πυθμένα, κατὰ μόνον δὲ στόμα δυναμένην ἐρείδεσθαι. ἄλλοι δέ φασιν, ὅτι καθότι λέβης ὁ μὲν ἐμπυριβήτης, ὁ δὲ ἄπυρος, ὁ δεχόμενος ἴσως ψυχρόν, οὕτω καὶ φιάλη ἀπύρωτος ἡ ἐπὶ πῦρ οὐκ ἐπιτιθεμένη, ἢ ψυχρήλατος. ὅτι δὲ φιάλη κατὰ ἀντιστοιχίαν πιάλη ἐτυμολογεῖται, ἀφ’ ἧς δηλαδὴ ἔστι πιεῖν ἅλις, μείζων γὰρ αὕτη ποτηρίου, καὶ ὅτι τὸ ῥηθὲν λεβητῶδες ἐκπέταλον ἀπύρωτον δακτυλωτόν τε ἐλέγετο, καὶ κέρας δὲ εἶναι ὑπωπτεύθη, ἐπεὶ μὴ γίνεται διὰ πυρός, ὡς Ἴων ὁ ποιητὴς ὑπεμφαίνει ἐν τῷ «ἔκπωμα δακτυλωτόν, ἄχραντον πυρί», καὶ ὅτι ψέγεται ὁ εἰπὼν τὴν τοιαύτην φιάλην ἔκπωμα, Δίδυμος γὰρ ὁ γραμματικὸς ποτήριον χαλκοῦν αὐτὴν οἶδεν ἐκπέταλον, ὡς ἐρρέθη, λεβητοειδές, εὔθετον εἰς ψυχροποσίαν, καὶ ὅτι δακτυλωτὸν λέγεται, ὡς κοιλότητας ἔχον ἔνδοθεν οἷον δακτύλων κατὰ τὸν Δίδυμον, ἢ ὡς ἔχον ἐξοχάς, ἢ καὶ διότι ἄμφωτον ὂν ἐδίδου διείρειν δακτύλους ἑκατέρωθεν, καὶ ὅτι ἀπύρωτος μὲν ἰδοὺ φιάλη παρὰ τῷ ποιητῇ, ἄπυρος δὲ οἶνος ὁ μὴ ἡψημένος—ἐχρῶντο γὰρ οἱ παλαιοὶ καὶ ἑφθοῖς οἴνοις—ἔστιν ἐκ τῶν παλαιῶν πλατύτερον ἀναλέγεσθαι.

4.727 ὡς δὲ φιάλη ἀμφίθετος, ἧς ἔστιν πάντοθεν πίνειν ἐπιθέντα τὸ στόμα, ὡς Ἡρῳδιανὸς λέγει—ὦτα γάρ, φησίν, οὐκ ἔχει—ἢ κατ’ ἄμφω τιθεμένη, ἵνα σημαίνῃ, φησίν, ἐκπέταλον.] Ἰστέον δὲ ὅτι καὶ τὰ τοῦ ἱππικοῦ καὶ τὰ τῶν ἐφεξῆς ἀγώνων ἔπαθλα τῷ Πατρόκλῳ συνήθως προσλογίζονται, οὐ μὴν τῷ τιθέντι ἀγωνοθέτῃ, καθὰ καὶ τὰ δαπανηθέντα εἰς τὴν ἐκείνου πυράν, καὶ ὅτι οὕτως δοκοῦν τῷ Ἀχιλλεῖ δραμοῦνται πέντε ἱππεῖς. ἐξῆν γὰρ καὶ ὀλιγωτέρους τρέχειν καὶ πλείονας, ὡς αἱ ἱστορίαι δηλοῦσι. μάλιστα δὲ πλείους ἠγωνίζοντο ἐν τοῖς ὕστερον ἱεροῖς ἀγῶσι καὶ τοῖς ὁμοίοις, ὅτε οὐκ ἂν φειδωλῶς εἶχον ἐπάθλων οἱ ἀθλοθέται κοτίνων καὶ σελίνων καὶ πιτύων καὶ τῶν ὁμοίων λήρων. ὡς νῦν γε τῷ Ἀχιλλεῖ καὶ τοῖς ὁμοίοις χρεία φείδεσθαι διὰ τὸ πολυτελὲς τῶν προτιθεμένων ἐπάθλων. (v. 273) Ὅτι τὸ «ἱππεῦσι τάδε τὰ ἆθλα κεῖται» καινότερον φράζων ὁ ποιητὴς ὡσεὶ καὶ ἐπὶ ἐμψύχων τινῶν τῶν ἐπάθλων φησὶν «ἱππῆας τάδ’ ἄεθλα δεδεγμένα κεῖτ’ ἐν ἀγῶνι», τουτέστι τοὺς ἱππεῖς ταῦτα προσδέχονται ἢ ἐκδέχονται. δῆλον δ’ ὅτι τὸ «κεῖται» σύστοιχόν ἐστι τῷ τίθεται, ᾧ χαίρει, ὡς ἐρρέθη, ὁ ποιητής. (v. 274—81) Ὅτι σεμνολογῶν τοὺς οἰκείους ἵππους ὁ Ἀχιλλεὺς καὶ ἅμα καὶ προοίμιον συνήθως ἐκ τῶν παρὰ πόδας ποριζόμενός φησιν, ὡς «εἰ μὲν νῦν ἐπὶ ἄλλῳ ἀεθλεύοιμεν Ἀχαιοί, ἦ τ’ ἂν ἐγὼ τὰ πρῶτα λαβὼν κλισίηνδε φεροίμην. ἴστε γὰρ ὅσσον ἐμοὶ ἀρετῇ περιβάλλετον ἵπποι· ἀθάνατοί τε γάρ εἰσι» καὶ ἐκ Ποσειδῶνος, ἱππίου δηλαδή, δῶρον τῷ Πηλεῖ, ἐμοὶ δὲ ἐξ αὐτοῦ.

4.728 «ἀλλ’ ἤτοι μὲν ἐγὼ μενέω καὶ μώνυχες ἵπποι. τοίου γὰρ σθένος», ἢ κλέος, «ἐσθλὸν ἀπώλεσαν ἡνιόχοιο ἠπίου», ἤτοι ἐνηέος, ὃ πολλαχοῦ ἐπεμαρτυρήθη τῷ Πατρόκλῳ. (v. 281 s.) Εἶτα ἐπαινῶν ἐκεῖνον τῆς ἱπποκομίας φησὶν «ὃς σφῶϊν μάλα πολλάκις ὑγρὸν ἔλαιον χαιτάων κατέχευε, λοέσσας ὕδατι λευκῷ», οἷα δηλαδὴ τοῦ ἵππου χαίροντος λουτροῖς, ὡς καὶ προδεδήλωται. ἐνταῦθα δέ φασιν οἱ παλαιοί, ὅτι ἐντεῦθεν Ξενοφῶν τὴν κεφαλὴν τοῦ ἵππου καταπλύνειν ὕδατι ἀξιοῖ. Τὸ δὲ ἔλαιον οὐ μόνον δι’ εὐκολίαν κτενισμοῦ κατεχέετο τῆς χαίτης, ἀλλά που καὶ διὰ στιλπνότητα. [Εἰ μή τι ἴσως καὶ τεθυωμένον ἦν τὸ τοιοῦτον ἔλαιον καί, ὡς εἰπεῖν, μεμυρωμένον, καθὰ καὶ τὸ ῥοδόεν πρὸ τούτων ἔλαιον. Ὅμηρος γάρ, φασί, μύρων μὲν χρῆσιν οἶδεν, ἔλαια δ’ αὐτὰ καλεῖ. Μύρου δέ, φασίν, ὀνόματι πρῶτος Ἀρχίλοχος ἐχρήσατο.] (v. 283 s.) Ἐφ’ οἷς ὁ Ἀχιλλεὺς φρόνησίν τινα καινὴν τοῖς ἵπποις ἐπιμαρτυρόμενος λέγει, ὅτι «ἑσταῶτες πενθοῦσιν, οὔδεϊ δέ σφιν χαῖται ἐρηρέδαται· τὼ δ’ ἕστατον ἀχνυμένω κῆρ», ὃ ταὐτόν ἐστι τῷ «ἑσταῶτες πενθοῦσιν». ἐγγὺς γὰρ λογικῶν, ὡς καὶ θείους κατὰ μῦθον, τοὺς τοιούτους

ἵππους ἔθετο. (v. 285) Ἐφ’ οἷς ἐπάγει τὴν τοῦ λόγου ἀξίωσιν τὸ «ἄλλοι δὲ στέλλεσθε κατὰ στρατόν», τουτέστιν ἐπεὶ ἐγὼ μενῶ, ὑμεῖς εὐτρεπίζεσθε εἰς ἀγῶνα [καί, ὡς εἰπεῖν, κοσμήθητε. τοιοῦτον γάρ τι τὸ στέλλεσθαι καὶ τὰ ἐξ αὐτοῦ, ὁ στόλος, ὁ στολμός, ἡ στολή.] (v. 285 s.) Εἶτα, ὡς αὐτῷ σύνηθες, μερικεύων τὸ πληθυντικὸν εἰς ἑνικόν φησιν «ὅς τις Ἀχαιῶν ἵπποισίν τε πέποιθε καὶ ἅρμασι κολλητοῖσιν». οὐ γὰρ πάντες ἄλλοι σταλήσονται, ἀλλ’ ὁ πεποιθὼς δύνασθαι.

4.729 Σημείωσαι δὲ ὅτι, ὡς ἂν μὴ λυπήσῃ τοὺς ἀριστεῖς οἷα κατ’ αὐτῶν ἀλαζονευόμενος, οὐχ’ ἑαυτῷ ἀλλὰ τῇ τῶν ἵππων ἀρετῇ τὴν νίκην ἐπιγράφεται Ἀχιλλεύς, τουτέστι τῇ ἄγαν ὠκύτητι. ἀρετὴ γὰρ ζῴου παντὸς τὸ ἐν ἐκείνῳ ἄριστον, καθὰ καὶ ἐν ἀνθρώπῳ. οὕτως ἀρετὴ λέοντος ἡ ἀνδρία, καὶ κίρκου τὸ ὀξὺ πέτεσθαι, καὶ ἑτέρου τινὸς τὸ ὀξὺ δέρκεσθαι, καὶ ἄλλων ἄλλα. (v. 275) Τὸ δὲ «τὰ πρῶτα λαβών» ἢ ἀντὶ τοῦ τὰ πρωτεῖα ἢ μᾶλλον τὰ πρῶτα ἄεθλα, ληφθείσης τῆς λέξεως τῶν ἄθλων ἀπὸ ῥήματος τοῦ ἀεθλεύοιμεν, ὃ καὶ ἐπὶ ἄλλων ὁμοίων γίνεται, ὡς καὶ μετ’ ὀλίγα φανήσεται. (v. 276) Περιβάλλειν δὲ καὶ νῦν τὸ ὑπερβάλλειν, ληφθείσης τῆς περι προθέσεως ἰσοδυνάμου τῇ ὑπερ . (v. 277) Ἀθάνατοι δὲ ἵπποι ὅτι οἱ ἄρρενες διὰ τὴν ἐπιγονήν, προδεδήλωται. (v. 280) Ὅρα δὲ καὶ ὅτι ἐπιτηδείως ὁ ῥήτωρ Ἀχιλλεὺς μνήμην ἐπαινετικὴν παρέρριψε τοῦ ἑταίρου Πατρόκλου, δι’ ὃν οἱ ἀγῶνες. καὶ ἡ τῶν ἵππων δὲ παρένθεσις τῷ ἱππικῷ ἀγῶνι ᾠκείωται. [Τὸ δὲ «κλέος ἐσθλόν» κλεινὸν εἶναι τὸν Πάτροκλον δηλοῖ, τουτέστιν, ἁπλῶς καὶ σεμνῶς εἰπεῖν, εὐκλεῆ. Κρῆτες μέντοι ἄλλως ἔρωτι τὸν κλεινὸν ὑπάγουσι, καθὰ καὶ τὸν ἐν ἄλλοις δεδηλωμένον ἀΐταν, ὃν οἱ ἀπειρότεροι διὰ διφθόγγου γράφουσι, λέγοντες φίλον ἁπλῶς τὴν τοιαύτην λέξιν δηλοῦν. ὡς δὲ συστοιχοῦσι τοῖς Κρητικοῖς κλεινοῖς καὶ ἀΐταις καὶ οἱ παρασταθέντες, ὁ Ἀθήναιος οἶδε.] Τὸ δὲ «τοίου γάρ» σύνηθες Ὁμήρῳ εἰς ἐμφαντικὸν μυστηριώδη ἔπαινον. πολλαχοῦ γὰρ τῇ τοιαύτῃ λέξει σεμνῶς χρῆται διὰ γοργότητα. (v. 281) «Ἔλαιον δὲ ὑγρόν», ὡς καὶ ἐν Ὀδυσσείᾳ, τὸ μὴ ταχὺ ἰκμαζόμενον, ἀλλὰ παραμένον τοῖς ἀλειφομένοις καὶ ἀποκωλῦον τὴν κραύρωσιν. (v. 282) Τοῦ δὲ «λοέσσαι» χρήσεις καὶ ἐν ἄλλοις. δοκεῖ δὲ μὴ ἐκ περισπωμένου ἐνεστῶτος τοσοῦτον γενέσθαι τοῦ λοῶ λοέσω, ὅσον κατὰ ἀνάλυσιν ἐκ τοῦ λοῦσαι. κιρναμένη γὰρ ἡ ου δίφθογγος ἐκ τοῦ ε καὶ ο εἰς αὐτὴν καὶ ἀναλύεται.

4.730 [Ἔστιν οὖν ἡ πρωτοτυπία τοῦ «λοέσσας» ἢ λούω καὶ ἐν διαλύσει λοέω, ἢ ἀνάπαλιν, καὶ ἐξ αὐτῶν τὸ λοετρὸν καὶ τὸ λουτρὸν καὶ τὸ λόεσθαι λοῦσθαι. (v. 282) Ὕδωρ δὲ λευκὸν τὸ ἀλλαχοῦ καὶ μέλαν, περὶ ὧν πολλαχοῦ δεδήλωται. εἰ δέ τις τοιοῦτον ὕδωρ καλλιλογῶν λιβάδα θεὰν δροσώδη αὐτὸ περιέφρασε, ποιητικώτερον ἔφρασε.] Τὸ δὲ «ἐρηρέδαται» Ἰωνικὸν μέν ἐστι, γίνεται δὲ συνήθως ἀπὸ τοῦ ἐρήρεισται, τρίτου προσώπου τῶν Ἰωνικῶν ἀποβολῇ δύο στοιχείων καὶ προσθέσει τῆς δα συλλαβῆς, ὃ γίνεται καὶ ἐπὶ τοῦ ὠνόμασται ὠνομάδαται καὶ τῶν ὁμοίων. Ἰστέον γὰρ ὅτι οἱ Ἴωνες οἰκεῖα τρίτα πληθυντικὰ ῥήματα ἐκ τρίτων κοινῶν ἑνικῶν ποιοῦσι, ποτὲ μὲν μόνην ποιούμενοι προσθήκην τοῦ α , ὡς καὶ προπαραδέδοται, οἷον ἔσταλται ἐστάλαται, ἔσπαρται ἐσπάραται, πολλαχοῦ δὲ καὶ τὸ ψιλὸν τοῦ τρίτου ἑνικοῦ σύμφωνον εἰς δασὺ τρέποντες· τέτυπται τετύφαται, εἶρκται ἔρχαται, ἐνίοτε δὲ τῷ συνήθως πλεονάζοντι ἄλφα καὶ τὸ δ προσελάμβανον ἀποβαλόντες τι τοῦ πρωτοτύπου τρίτου ἑνικοῦ. ἐν γοῦν τῷ ἐρήρεισται καὶ ὠνόμασται ἐξεβλήθη μὲν τὸ ς , ἀντεισήχθη δὲ μετὰ τοῦ συνήθους τοῖς Ἴωσιν α καὶ τὸ δ . καὶ γέγονεν ἡ δα συλλαβὴ συντελοῦσα εἰς τὸ ἐρηρέδαται καὶ ὠνομάδαται, ὡς καὶ ἐν τῷ πεφράδαται. (v. 287—90, 293, 301, 351) Ὅτι πρὸς τὸν τοῦ Ἀχιλλέως λόγον «ταχέες ἱππῆες ἄγερθεν. ὦρτο πολὺ πρῶτος» μὲν Εὔμηλος, ἐπὶ δ’ αὐτῷ Διομήδης, ἐπὶ δὲ τούτῳ Μενέλαος, «Ἀντίλοχος δὲ τέταρτος ἐΰτριχας ὡπλίσαθ’ ἵππους», καὶ πέμπτος Μηριόνης. (v. 288 s., 290, 293 s.

4.731 , 301 s.) Ἐνταῦθα δὲ τοὺς μὲν τέσσαρας ἐπαίνοις κοσμεῖ, ὀνομάζων αὐτοὺς καὶ πατρόθεν, οἷον «ἄναξ ἀνδρῶν Εὔμηλος, Ἀδμήτου φίλος υἱός, ὃς ἱπποσύνῃ ἐκέκαστο», καὶ «Τυδείδης, κρατερὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Διομήδης», καὶ «Ἀτρεΐδης, ξανθὸς Μενέλαος διογενής», καὶ «Ἀντίλοχος, Νέστορος ἀγλαὸς υἱός, ὑπερθύμοιο ἄνακτος τοῦ Νηληϊάδαο», τὸν δὲ Μηριόνην ψιλῶς οὕτω προήνεγκεν, ὀκνήσας ἀποσεμνῦναι τὸν ἐκπεσούμενον ὕστατον καὶ ἐν τῷ ἀγῶνι. (v. 301—3) Ὅρα δὲ καὶ ὡς προσπαθῶς Ὅμηρος ἔχει τῷ Νέστορι, οὐ Νεστορίδην εἰπὼν τὸν Ἀντίλοχον ὁμοίως τῷ Τυδείδης, Ἀτρείδης, οὐδὲ Νέστορος φίλον υἱὸν κατὰ τὸ «Ἀδμήτου φίλος υἱός», ἀλλ' ἐπαινέσας τὸν γέροντα ῥήτορα καὶ γενεαλογήσας καὶ αὐτὸν κατὰ τοὺς τέσσαρας ἱππέας διὰ τὸ μέλλειν καὶ αὐτὸν ἄεθλον λαβεῖν ἐν τοῖς ἑξῆς τά τε ἄλλα καὶ διὰ τὸ οἷον δοκεῖν καὶ αὐτὸν ἀγωνίσασθαι, οἷς τῷ υἱῷ Ἀντιλόχῳ παραινέσει τὰ εἰς νίκην, ὡς μετ' ὀλίγα ῥηθήσεται. ὅλως δὲ εἰδέναι χρὴ ὡς ἐπίτηδες τὸν Νέστορα ὁ ποιητὴς ἐνταῦθα παρεισεκύκλησεν, ὡς ἂν ὁ πολύπειρος καὶ νῦν καὶ ἐν τοῖς ἑξῆς παραρτύσῃ τὴν Ὁμηρικὴν ῥητορείαν τὰ συνήθη λαλῶν. [Μόνον γὰρ Ὅμηρος αὐτὸν ὡς οἷον αὐτορήτορα εἰδοποιεῖ, τὸν Ὀδυσσέα ἔμπρακτον ἄλλως ἱστορῶν σοφόν. δοκεῖ δὲ κατὰ τὸν Νέστορα εἶναι καὶ ὁ Ἀντήνωρ παρά γε τοῖς Τρωσί. καὶ δηλοῖ αὐτὸ καὶ Εὐριπίδης, εἰπὼν «εἴ μοι», ἤγουν εἴθε μοι, «τὸ Νεστόρειον εὔγλωττον μέλος Ἀντήνορός τε τοῦ Φρυγὸς δοίη θεός».] (v. 303) Τὸ δὲ σὺν ἄρθρῳ εἰπεῖν «τοῦ Νηληϊάδαο» ἐξοχήν τινα ἐμφαίνει τοῦ γέροντος Νέστορος ἢ καὶ τοῦ πατρὸς αὐτοῦ μάλιστα Νηλέως. (v. 289) Ἰστέον δὲ καὶ ὅτι Διομήδους μὲν καὶ Μενελάου καὶ Ἀντιλόχου τίνες ἦσαν ἵπποι, ἐρεῖ, Εὐμήλου δὲ οὔ. ποιεῖ δὲ τοῦτο διὰ τὸ ἤδη ἐν τῇ Βοιωτίᾳ ἱστορῆσαι τὸ καλλιστεῖον τῶν τοῦ Εὐμήλου ἵππων. ὅθεν ἀρκεῖται νῦν εἰπὼν τὸ «ἱπποσύνῃ ἐκέκαστο», ἤγουν τῇ ἡνιοχικῇ τέχνῃ, ὡς τῶν ἵππων ἤδη δεδηλωμένων. ἅμα δὲ καὶ ἀσχάλλων οἷον ὁ ποιητής, οἷς ἐκπεσεῖται τοῦ πρώτου ἄθλου ὁ Εὔμηλος, ὀκνεῖ ἐνδιατρῖψαι τοῖς κατ' αὐτόν. (v. 291 s.) Ἦσαν δὲ ἵπποι τῷ Διομήδει μὲν οἱ τοῦ Αἰνείου. φησὶ γὰρ «ἵππους δὲ Τρῳοὺς ὕπαγε ζυγόν, οὕς ποτε ἀπηύρα», ἤτοι ἀφείλετο, «Αἰνείαν, αὐτὰρ αὐτὸν ὑπεξεσάωσεν Ἀπόλλων».

4.732 Καὶ ὅρα ἐνταῦθα ἱστορίας κεφαλαιωτικὴν συντομίαν, δι' ἧς ὁ ἀκροατὴς τὰ περὶ τῶν τοιούτων ἵππων ἀναμνηστικῶς καὶ νῦν ἔγνω μαθών. οὓς καὶ Τρῳοὺς λέγει, ὅπερ ἕτερόν ἐστι παρὰ τὸ «Τρώϊοι ἵπποι». τοῦτο μὲν γὰρ τοὺς τοῦ Τρωὸς δηλοῖ μάλιστα, Τρῳοὶ δὲ ἵπποι ἁπλῶς οἱ Τρωϊκοὶ ἐθνικῶς. φησὶ γὰρ «ἵππους δὲ Τρῳοὺς ὕπαγε ζυγόν», ἀντὶ τοῦ ὑπὸ τὸν ζυγὸν ἦγεν, ὡς κατωτέρω ἐρεῖ. ἄλλως γὰρ ἡ κοινὴ χρῆσις δοτικῇ τὸ ὑπάγειν συντάσσει. καὶ οὗτοι μὲν ἵπποι τῷ Διομήδει. (v. 293- 5) Μενέλαος δὲ «ὑπὸ ζυγὸν ἤγαγεν ὠκέας ἵππους, Αἴθην τὴν Ἀγαμεμνονέην τὸν ἑόν τε Πόδαργον», ἤτοι τὸν ἴδιον ἵππον τὸν οὕτω καλούμενον Πόδαργον, ὅπερ ἄλλοι ἐπίθετον ἵππου ἔγραψαν κατὰ τὸ «ὁ τὴν πόδαργον Ψύλλαν ἡνιοστροφῶν». (v. 296—9) Εἶτα ἑρμηνεύων τὸ «Ἀγαμεμνονέην», φησὶν «ἣν Ἀγαμέμνονι ἔδωκεν Ἀγχισιάδης Ἐχέπωλος, δῶρ', ἵνα μή οἱ ἕποιτο ὑπὸ Ἴλιον ἠνεμόεσσαν, ἀλλ' αὐτοῦ τέρποιτο μένων· μέγα γάρ οἱ ἔδωκε Ζεὺς ἄφενος, ναῖε δ' ἐν εὐρυχώρῳ Σικυῶνι», οὔσῃ δηλαδὴ ὑπὸ τὴν τοῦ Ἀγαμέμνονος βασιλείαν. (v. 300) Εἶτα συμπεραίνων φησὶν ἐπαναληπτικῶς «τήν», ἤγουν ταύτην, «ὑπὸ ζυγὸν ἦγε μέγα δρόμου ἰσχανόωσαν», ἤτοι πάνυ ἐφιεμένην δραμεῖν. ὅπερ φασὶν οἱ παλαιοὶ ἔπαινον τοῦ Μενελάου εἶναι, ὡς δυναμένου κατευθύνειν τὸ ἐξ ἀνομοίων ζεῦγος καὶ ἐξισοῦν τῷ Ποδάργῳ τὴν ἰσχανόωσαν δρόμου καὶ μὴ διδοῦσαν τῷ Ποδάργῳ ἀνοχήν. παρασημειοῦνται δὲ καὶ ὅτι ἐν τοῖς κατὰ τὴν θήλειαν Αἴθην ὑπαινίττεται ὁ ποιητὴς περὶ μόνα τὰ παιδουργὰ μόρια διαφέρειν ἄρρεν καὶ θῆλυ, κατὰ δὲ ἀρετὴν καὶ τὰ λοιπὰ οὐδεμίαν αὐτοῖς εἶναι διαφοράν. παρασημαίνονται δὲ καὶ τὸ τῶν Ἀτρειδῶν φιλάδελφον.

4.733 οὐ γὰρ ἐντυγχάνει ὁ Μενέλαος περὶ τῆς Αἴθης τῷ ἀδελφῷ, ἀλλ' αὐτεξουσίως τῷ ἰδίῳ Ποδάργῳ συζευγνύει αὐτήν, εἰ μὴ ἄρα κατὰ τὸ σιωπώμενον ἐντυχεῖν περὶ ταύτης τῷ ἀδελφῷ νοηθήσεται. (v. 298 s.) Ὅρα δὲ καὶ οἷον ὁ πλοῦτος, καὶ ὅπως φιλοψυχεῖν ποιεῖ τὸν ἔχοντα, κακὸν ἐκεῖνος ὢν δειλόν, ὅ φασι, καὶ φιλόψυχον, καὶ μᾶλλον εἴπερ φιλήδονος ὁ πλουτῶν, ὁποῖος καὶ ὁ ῥηθεὶς Ἐχέπωλος, ὡς δηλοῖ τὸ «ἀλλ' αὐτοῦ τέρποιτο μένων». ἰδοὺ γὰρ αὐτὸς μέν,

ἵνα μὴ στρατεύσηται, ἀλλ' ἀπολαύοι τοῦ οἴκαδε πλούτου, δῶρον ἐξαίρετον τὴν Αἴθην δίδωσι, κακοῦ τούτου, οἶμαι, κατάρξας ἐκεῖνος τῆς τῶν, ὡς ἂν φορολόγος τις εἴποι ἀνήρ, ἀλόγων ἐκβολῆς. ὁ δὲ ἀγαθὸς βασιλεὺς κρεῖττον ἡγεῖται πολεμιστὴν ἵππον ὑπὲρ ἀπόλεμον ἄνθρωπον, δοὺς ἐκείνῳ τρυφᾶν καὶ ἀλλαξάμενος ἀρετὴν ἵππου ψυχῆς ἀγεννοῦς. τί γὰρ καὶ ἔδει αὐτῷ ἐν μάχῃ τοιούτου ἀνδρός; οὕτω κατὰ τὴν Διοδώρου ἱστορίαν καὶ Σκιπίων ὁ στρατηγὸς τοῖς πρώτοις τῶν Σικελιωτῶν προέθηκεν ἢ στρατεύειν μετ' αὐτοῦ εἰς Λιβύην ἢ τοὺς ἵππους καὶ τοὺς οἰκέτας παραδοῦναι τοῖς μετ' αὐτοῦ. (v. 296) Ὅρα δὲ καὶ ὅτι οὐ Τρωϊκὸς μόνον Ἀγχίσης, ἀλλ' ἰδοὺ καὶ Ἑλληνικός, ὁ τοῦ ῥηθέντος Σικυωνίου τυράννου πάππος, (v. 297) καὶ ὅτι ἀντὶ τοῦ δῶρον δῶρα εἶπε, πληθύνας τὸ ἑνικὸν συνήθως, ἵνα ἐνδείξηται τὸ τοῦ δώρου τίμιον. τοῦτο δὲ καὶ ἄλλως ἁπλοϊκῶς ποτε γίνεται, ἤγουν τὸ πληθῦναι τὸ ἑνικόν, ὡς μετ' ὀλίγα ἔχει τὸ «δῶμεν ἀέθλιον δεύτερα». τὸ γὰρ σύνηθες ἦν εἰπεῖν ἀέθλιον δεύτερον. τοιοῦτον δέ τι καὶ τὸ «ἵνα μή σε παρεκπροφύγῃσιν ἄεθλα», ἤγουν ἄεθλον. ἓν γὰρ πάντως ἆθλον ἑνὶ δίδοται. Τὸ δὲ «ὑπὸ Ἴλιον» ἀλλαχοῦ «ὑπὸ Ἰλίῳ», λέγων Ἀττικῶς, ἐνταῦθα κατὰ αἰτιατικὴν σύνταξιν κοινότερον ἔφρασε. (v. 299) Τὸ δὲ ἄφενος οὐδετέρου γένους, ὡς ἐν τῇ α' ῥαψῳδίᾳ, οὕτω καὶ ἐνταῦθα. παρ' ἄλλοις δὲ καὶ ἀρσενικῶς ὁ ἄφενος εὕρηται. [(v. 299) Περὶ δὲ Σικυῶνος, ἧς καὶ ἐν τῇ Βοιωτίᾳ μέμνηται, ἰστέον ὅτι δοκεῖ περιεκτικόν τι κοινότερον ὄνομα εἶναι, καθὰ κρομυών, οὕτω καὶ σικυών, τόπος δηλαδὴ περιέχων σικυοὺς ἢ σίκυας, ἐξ ὧν σύγκειται τὸ σικυήλατον.

4.734 ἐκ δὲ κρομύων καὶ σικύων Σικυὼν καὶ Κρομυὼν τὰ τοπικά, ὧν παράγωγα ὁ Σικυώνιος καὶ ὁ Κρομυώνιος, ὧν θηλυκὰ ἡ Σικυωνία Αἴθη καὶ ἡ Κρομυωνία σῦς. παρώνυμον δὲ τῇ Ὁμηρικῇ Σικυῶνι καὶ ὑπόδημα Σικυώνιον. περιᾴδονται δὲ τὰ τοιαῦτα, ὡς καὶ ἱστορία δηλοῖ, λέγουσα Πολυσπέρχοντα, τὸν ἔνδοξον Μακεδόνα στρατηγόν, ἐνδυόμενον κροκωτὸν καὶ ὑποδούμενον Σικυώνια διατελεῖν ὀρχούμενον.] (v. 300) Τὸ δὲ ἰσχανᾶν, λέξις αὕτη οὐδὲν χρήσιμος αὐτὴ καθ' αὑτὴν λόγῳ πεζῷ, γίνεται κατὰ τρεῖς παραγωγὰς καὶ αὐτή. ἔχω γὰρ τὸ ἀντέχομαι ἀφ' οὗ ἴσχω, ἐξ οὗ ἰσχαίνω, ἀπ' αὐτοῦ τὸ ἰσχανῶ. ταῦτα καὶ περὶ τῶν κατὰ Μενέλαον. (v. 301—4) Ἐπὶ δὲ Ἀντιλόχῳ οὐ λαλεῖ πλείω ἀλλ' ἢ μόνον ὅτι ἐΰτριχας ὡπλίσατο ἵππους, καὶ ὅτι Πυλοιγενέες αὐτῷ ἵπποι ὠκύποδες ἔφερον ἅρμα. οὐ γὰρ εἶχόν τι ἐπίσημον οἱ γέροντες ἵπποι οὗτοι, ὡς ἱστορηθῆναί τι καὶ περὶ αὐτῶν. «ὡπλίσατο» δὲ εἶπεν ἀντὶ τοῦ εὐτρέπισε τοῖς ὅπλοις, ὅ ἐστι τοῖς ἡνιοχευτικοῖς τεύχεσιν ἢ ὀργάνοις ἢ σκεύεσι. (v. 303) Τὸ δὲ «Πυλοιγενέες» ἀπὸ τοῦ Πύλος γίνεται πλεονασμῷ τοῦ ι , ὁμοίως τῷ ὀλοότροχος ὀλοοίτροχος, [ὁδοδόκος ὁδοιδόκος, ὁδοπόρος ὁδοιπόρος.] Ἦν δὲ οὐκ ἔξω λόγου καὶ διὰ τοῦ η γράφεσθαι τροπῇ τοῦ ο εἰς η . (v. 287) Ἰστέον δὲ καὶ ὅτι ἐν τῷ «ταχέες ἱππῆες ἄγερθεν» τὸ μὲν «ταχέες» ἐπιρρηματικῶς κεῖται ἀντὶ τοῦ κατὰ τάχος.

4.735 τὸ δὲ «ἄγερθεν» δύναται μὲν καὶ ἀπὸ τοῦ ἀγείρω εἶναι, μάλιστα δὲ τὸ ἀνέστησαν δηλοῖ ἐκ τοῦ ἐγείρω. διὸ ἐπῆκται αὐτίκα τὸ «ὦρτο», ταὐτὸν ὂν τῷ «ἀνέστη ἐκπηδήσας». καίριον δὲ ὡς ἐν ποιήσει τὸ «ὦρτο», διὸ καὶ τρὶς ἐρρέθη, ὥσπερ καὶ τὸ «ὑπὸ ζυγὸν ἄγειν», καθὰ προέκκειται. (v. 304 s.) Ὅτι ὁπηνίκα νοήμονι ἀνδρὶ ἀγαθά τις συμβουλεύεται, οἰκεῖον ῥηθῆναι τὸ «ὃ δ' ἄγχι παραστὰς μυθεῖτο εἰς ἀγαθὰ φρονέων νοέοντι καὶ αὐτῷ», καθὰ καὶ Νέστωρ μυθεῖται τῷ υἱῷ, πεπνυμένῳ ὄντι, ὡς δηλοῦται καὶ ἐν τοῖς ἑξῆς. (v. 308) Διὸ καὶ ὁ πατὴρ ἐρεῖ ὡς οὔ σε χρὴ μάλα διδάσκειν. Ἔνθα καὶ ὅρα τὸ «μάλα». διδαχθήσεται μὲν γάρ ποτε καὶ ὁ εἰδώς, οὐ μὴν μάλα κατὰ τὸν ἄϊδριν. (v. 306—9) Θεοφιλεῖ δὲ σοφῷ πρέπει τὸ «ἤτοι μέν σε νέον περ ἐόντ' ἐφίλησε» θεὸς καὶ ἐδίδαξε παντοῖα, «τῷ καί σε διδασκέμεν οὔ τι μάλα χρεώ· οἶσθα γὰρ εὖ». παρῴδηται δὲ ταῦτα, ἐξ ὧν ὁ Νέστωρ ἐνταῦθα νῦν λέγει τῷ υἱῷ, ὅτι Ζεὺς καὶ Ποσειδῶν ἱπποσύνας αὐτὸν ἐδίδαξε παντοίας. διὸ οὐ χρεία διδασκαλίας αὐτῷ. (v. 309) «Οἶσθα γάρ», φησίν, «εὖ περὶ τέρματα ἑλισσέμεν», ὅ ἐστι κάμπτειν περὶ τὸ τέλος τῆς νύσσης. (v. 309 s.) Ἔνθα οὕτω προοιμιασάμενος ὁ γέρων καὶ σεμνύνας τὸν υἱὸν ὡς μὴ διδασκαλίας δεόμενον, ἐπάγει «ἀλλά

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοι ἵπποι βάρδιστοι», τουτέστι βραδύτατοι, «θείειν», ὅ ἐστι θέειν, «τῷ τ’ οἴω», ἤγουν διὸ οἴομαι, «λοίγια ἔσεσθαι», λοίγια λέγων τὸ τῆς νίκης ἐκπεσεῖν, οἷα τοῖς φιλοτίμοις ὀλέθριον. (v. 311 s.) Εἶτα ποιῶν ὁ γέρων ἀντανίσωσιν λέγει ὅτι τῶν δ’ ἄλλων «ἵπποι μὲν ἔασιν ἀφάρτεροι», τουτέστι ταχύτεροι, ὡς ἄφαρ, ἤγουν εὐθέως καὶ οὐκ ἐκ περιόδου τινὸς κατευστοχοῦντες τῆς νίκης, «οὐδὲ μὲν αὐτοὶ πλείονα ἴσασι σέθεν αὐτοῦ μητίσασθαι», ὅ ἐστι βουλεύσασθαι.

4.736 καὶ ἔστι τὸ νόημα τοῦ γέροντος, ὡς ἐν ὀλιγίστῳ εἰπεῖν, ὅτι σὺ μέν, ὦ υἱέ, εἰδήμων, βραδίστους δὲ ἵππους ἔχεις, τοῖς δὲ οἱ μὲν ἵπποι ταχεῖς, αὐτοὶ δὲ βραδεῖς βουλεύσασθαι. διὸ βουλευτέον σοι. (v. 313 s.) Καὶ εὐθὺς δεικνύων ἐπιχειρηματικῶς καὶ γνωμολογικῶς, ὅτι τὰ κατ’ ἀνθρώπους, ἐν οἷς καὶ τὸ ἱππεύειν, μήτι, τουτέστι μήτιδι καὶ βουλῇ, ἀνύονται, φησὶ πρῶτον μὲν ἀλειπτικὸν εἰς ἀγῶνα νόημα τὸ «ἀλλ’ ἄγε δὴ σὺ φίλος μῆτιν ἐμβάλλεο θυμῷ παντοίην, ἵνα μή σε παρεκπροφύγῃσιν ἄεθλα», ὃ περίφρασίς ἐστι τοῦ «ἵνα μὴ ἡττηθῇς». (v. 315—7) Εἶτα πιστούμενος ἐπαγωγικῶς διὰ δρυτόμου καὶ κυβερνήτου καὶ ἡνιόχου τὸ πάντα βουλῇ καὶ τέχνῃ κατορθοῦσθαι—πρῶτος γάρ, φασίν, Ὅμηρος τῇ κατὰ φιλοσόφους ἐπαγωγῇ ἐνταῦθα χρᾶται, ἤγουν τῇ τοῦ καθόλου πιστώσει ἐκ μερικῶν—φησὶν «μήτι τοι δρυτόμος μέγ’ ἀμείνων ἠὲ βίηφι· μήτι δ’ αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντῳ νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισι· μήτι δ’ ἡνίοχος περιγίνεται ἡνιόχοιο». καὶ ὡς μέν ἐστι κυβερνήτου σοφία καὶ βουλευτικὴ μηχανή, πᾶς οἶδεν. ἔστι δὲ τέχνη καὶ δρυτόμου τὸ κατὰ φύσιν τὰς τῶν ξύλων, φασίν, ἁρμονίας κόπτειν καὶ μηδὲ πρὸς ἀντίπνοιαν ἀνέμου, ἀλλὰ πρὸς πνεῦμα, ὡς ἂν ὠθούμενα πνεύματι κατακλᾶται τάχιον. σοφίας δὲ εὕρημα καὶ οἱ σφῆνες. βουλὰς δὲ ἡνιοχικὰς ὁ γέρων ἐνταῦθα κατωτέρω παραδώσει τῷ υἱῷ. (v. 309) Ἰστέον δὲ ὅτι τὸ «οἶσθα γὰρ εὖ περὶ τέρμαθ’ ἑλισσέμεν» οἰκεῖον ἐξ ἡνιόχων μετενεχθῆναι εἰς πάντα τὸν εὖ τοῦ κατ’ αὐτὸν στοχαζόμενον πέρατος. (v. 310) Τὸ δὲ «βάρδιστοι» ἐκ τοῦ βράδιστοι μετατέθειται διὰ μέτρον ἀνάπαλιν ἤπερ τὸ «δρατὰ σώματα» ἐν τοῖς πρὸ τούτων, ἤγουν δαρτά, γυμνὰ δέρματος. (v. 312) Τὸ δὲ «σέθεν αὐτοῦ» πάνυ σεμνύνει τὸν Ἀντίλοχον. οὐ γὰρ μόνον, φησί, τοῦ πατρὸς διδάσκοντος ὑπερτερεῖς ἄλλων, ἀλλὰ καὶ αὐτὸς σὺ κατὰ μόνας βουλευόμενος. (v. 314) Ὅρα δὲ καὶ τὸ «μή σε παρεκπροφύγῃ ἄεθλα». δοκεῖ γὰρ ἄπορον πῶς ἂν τὸν Ἀντίλοχον, ὅπως ἂν καὶ ἱππεύσῃ, παρεκπροφύγῃ ἄεθλα, ὅπου καὶ ὁ ἔσχατος ἄεθλον λήψεται. λύεται δὲ ἡ ἀπορία ἐκ τῆς δεξιᾶς ῥητορείας τοῦ γέροντος, ὃς τὸν υἱὸν εἰς νίκην ἐρεθίζων παραδηλοῖ ὡς ὁ τὸ ἔσχατον ἄεθλον λαβὼν οὐκ ἄεθλον ἔλαβε, καὶ οὕτως ὑπαλείφει αὐτόν, μονονουχὶ λέγων, ὡς εἴπερ ἄεθλον τὸ ἐπὶ νίκῃ, τὸ ἔσχατον οὐκ ἄεθλον.

4.737 ἀλλὰ τοῦτο μὲν ῥητορικώτερον. ἀληθῶς δὲ ἄεθλον καὶ ἐκεῖνό ἐστιν, ὡς εἰ καὶ μὴ νικῶντι, ἀλλ’ ἀγωνιζομένῳ διδόμενον. ἄεθλα γὰρ τὰ τεθέντα πάντα εἶπε καὶ ὁ ποιητὴς ἐν τῷ «ἱππεῦσι μὲν πρῶτα ἀγλαὰ ἔθηκεν ἄεθλα». ὅμως μέντοι οὐδενὶ τῶν ἐνταῦθα ἱππέων ἠξίωσεν ὁ ποιητὴς τὸ πέμπτον ἄεθλον δοῦναι, ἀλλ’ ἀρετῇ ἀπρακτούσῃ τῇ τοῦ Νέστορος αὐτὸ δίδωσιν. ἴσως γὰρ καὶ αὐτὸς ἐν τῷ υἱῷ νενίκηκέ πως διὰ τῆς ἐν τοῖς ῥηθεῖσι συμβουλῆς. διὸ καὶ χρεία καὶ αὐτῷ ἐπάθλου τινός. ἔτι δὲ λυθήσεται ἡ ἀπορία προσυπακουομένου τοῦ «κρείττονα», ἵνα ᾖ· μή σε παρεκφύγῃ ἄεθλα τὰ μετὰ τὸ πρῶτον ἄεθλον περιλειπόμενα κρείττονα, ὅπερ Νέστωρ οὐκ εἶπεν, ὀκνῶν ἴσως τὴν λέξιν διὰ τὸ δυσοιώνιστον. ἤθελε γὰρ τὰ πρῶτα εἰπεῖν, ὃ πάλιν ἦν τῷ βραδίστους ἵππους ἔχοντι δυσχερές. διὸ καὶ ἄμφω σεσίγηκεν, οὔτε πρῶτα εἰπὼν διὰ τὸ δύσελπι, οὔτε τὰ μετ’ αὐτά, ἵνα μὴ οἰωνίσηται. Ἀντίλοχος δὲ προϊὼν καὶ ὁρῶν ὡς οὐ νικᾷ, φησὶν «εἴ περ φερόμεθα χεῖρον ἄεθλον», ἤγουν τὸ μετὰ τὸ πρῶτον. Ἰστέον δὲ καὶ ὅτι ὁ ῥήτωρ ἠρκέσθη ἐμφήνας ἆθλον ἀγαθὸν καὶ οὐκ ἔσχατον ἐν τῷ πληθυντικῶς καὶ οὕτω σεμνῶς εἰπεῖν ἄεθλα. (v. 315) Τὸ δὲ «μήτι», ὅ ἐστι τῇ βουλῇ, οὐκ ἀπὸ τοῦ μήτιδι γέγονε κατὰ ἀποκοπήν. —συνεστέλλετο γὰρ ἂν ἡ τούτου λήγουσα καὶ προπεριεσπᾶτο ἡ λέξις. —ἀλλ’ ἔστι μῆτις μήτιδος, καὶ Ἰωνικῶς μήτιος, ὡς Θέτις Θέτιος, μῆνις μήνιος. ἡ δοτικὴ μήτιϊ καὶ κατὰ κρᾶσιν μήτι. Ἔνθα καὶ ὅρα ὅτι

ἀσυνήθους τῆς λέξεως οὔσης καὶ συνεμπιπτούσης κατὰ προφορὰν τῷ μήτι ἐπιρρήματι, ἔφθη ὁ ποιητὴς ῥῆμά τε εἰπὼν τὸ μητίσασθαι καὶ μήτιν τὴν βουλήν, ἵνα ὁ ἀκροατὴς ἀκούσας τὸ «μήτι» ἐπὶ τῆς βουλῆς συστοίχως νοήσῃ καὶ αὐτό. Κάλλους δὲ ποιητικὸν τὸ κατὰ σχῆμα ἐπαναφορᾶς ἐν τρισὶ στίχοις τεθῆναι τὸ «μήτι» κατ' ἀρχάς. (v. 317) Ἐρέχθεσθαι δὲ κατὰ ὀνοματοποιΐαν τὸ ἐρεθίζεσθαι, ἄλλο πάντως ὂν παρὰ τὸ ὀρεχθεῖν, ὃ πρὸ μικροῦ εἴρητο. (v. 319— 21) Ὅτι τέχνης ἱππικῆς λόγους ἐκτιθεὶς ὁ Νέστωρ τῷ υἱῷ ἄρχεται πρῶτον ἐκ τοῦ ἐναντίου, λέγων «ἀλλ' ὃς μὲν ἵπποισι καὶ ἅρμασιν οἷσι πεποιθώς», ἤγουν «πέποιθε» κατά τινας ἢ μάλιστα «πεποιθὼς εἴη» κατὰ σχῆμα ἐλλείψεως, «ἀφραδέως ἐπὶ πολλὸν ἑλίσσεται ἔνθα καὶ ἔνθα, ἵπποι δὲ πλανόωνται ἀνὰ δρόμον, οὐδὲ κατίσχει», ἤγουν οὐ κατέχει ἐπὶ πολὺ ἑλισσομένους, ὃ ταὐτόν ἐστι τῷ ἀνὰ δρόμον πλανωμένους.

4.738 Καὶ ὅρα ἐν τῇ ἀρχῇ τοῦ νοήματος τούτου ἐκ περισσοῦ κείμενον τὸν ἀλλα σύνδεσμον καὶ οὐδεμίαν δηλοῦντα ἑρμηνείαν αὐτῷ ἀνήκουσαν. (v. 322—5) Εἶτα ὁ γέρων μετὰ τὸ ἐξ ἐναντίου νόημα, ἤγουν τὸ περὶ ἡνιοχικῆς ἀτεχνίας, πρὸς τέχνην λαλῶν φησιν «ὃς δέ κε κέρδεα εἰδῇ ἐλαύνων ἥσσονας ἵππους, αἰεὶ τέρμ' ὁρόων στρέφει ἐγγύθεν, οὐδέ ἑ λήθει ὅππως τὸ πρῶτον τανύσῃ βοέοισιν ἱμᾶσι», τουτέστι οὐδὲ λανθάνει αὐτὸν πῶς ἡνιοστροφήσει τοὺς ἵππους τὸ πρῶτον, ἤγουν πρὸ τοῦ εἰς τὸ τέρμα ἐλθεῖν, «ἀλλ' ἔχει ἀσφαλέως», τοὺς ἵππους δηλαδή, οὐ μὴν ἀφραδέως κατὰ τὸν προρρηθέντα, «καὶ τὸν προὔχοντα δοκεύει», ἤγουν ἐπιτηρεῖ τὸν προελαύνοντα, ἁμιλλώμενος μὴ λιπέσθαι πολύ. (v. 322) Κέρδεα δὲ εἶπεν οὐχ' οὕτω τοὺς δόλους, ὅσον τὰς ἁπλῶς κερδαλέας, ὅ ἐστιν ἐπωφελεῖς, ἐπινοίας. (v. 319) Τὸ δὲ «ὃς ἵπποισι καὶ ἅρμασι πεποιθώς» ἕτεροι γράφοντες «πέποιθεν» ἀφίενται πραγμάτων διὰ τὸ κοινὸν τῆς συντάξεως. (v. 323) Τὸ δὲ «αἰεί» ἐπίτασιν ἔχει προσοχῆς. οὐ γὰρ ἁπλῶς χρὴ τὸν ἡνίοχον τέρμα ὁρᾶν, ἀλλὰ καὶ αἰεί. Τὸ δὲ «στρέφει ἐγγύθεν» ἀνάπαλιν ἔχει πρὸς τὸ ἐπὶ πολλὸν ἑλίσσεσθαι ἔνθα καὶ ἔνθα.

4.739 ἑλίξεται μὲν γάρ τίς ποτε, ὡς εἰκός, οὐ μὴν ἐπὶ πολλόν, ὃ δὴ πλανᾶσθαι τοὺς ἵππους ποιεῖ. (v. 324) Βοέους δὲ ἱμάντας λέγει, ἅπερ κατωτέρω ἡνία φησί. (v. 325) Τὸ δὲ «ἀλλ' ἔχει ἀσφαλέως» πρός τε τὸ «οὐδὲ κατίσχει» ἀντίκειται, καὶ πρὸς τὸ ἐπὶ πολλὸν ἑλίσσεσθαι καὶ πλανᾶσθαι δὲ τοὺς ἵππους, ὅτε οὐδὲ δύναται τὸν προὔχοντα δοκεύειν ὁ οὕτως ἀτεχνῶς ἡνιοχεύων. (v. 322) Ἰστέον δὲ ὅτι τὸ «ὃς κέρδεα οἶδεν, ἀεὶ τέρμα ὁρόων στρέφει ἐγγύθεν οὐδέ ἑ λήθει» παραίνεσίς ἐστι τοῦ πάντα συνετὸν ἄνθρωπον πρὸς τὸ κατ' αὐτὸν τέλος ὁρᾶν. (v. 325) Μιμήσεως δὲ ἀγαθῆς τὸ «ἀλλ' ἔχει ἀσφαλέως καὶ τὸν προὔχοντα δοκεύει». δῆλον γὰρ ὅτι ὁ τὸν ἁπλῶς προὔχοντα δοκεύων ἐπὶ καλῷ, ἀγαθόν τι μιμεῖται. ὁμοίως δὲ δῆλον καὶ ὅτι ὁμώνυμος λέξις τὸ προὔχειν. καὶ ἐνταῦθα μέν, ὡς προεδηλώθη, τὸ ἔμπροσθεν ἐλαύνειν δηλοῖ, παρὰ δὲ τοῖς μεθ' Ὅμηρον καὶ ἐπὶ ὑπεροχῆς τίθεται. οὕτω γὰρ προὔχοντας τοὺς ἐν ἀξίαις φαμέν. παρὰ μέντοι Εὐριπίδῃ ὁ προὔχων τοῦ ἀσκοῦ ποὺς ἑτεροίαν ἔννοιαν ἔχει, ὁποίαν τινὰ καὶ ἐν τῇ φῖ ῥαψῳδίᾳ τὸ «πύργῳ ἐπὶ προὔχοντι ἀσπίδα ἐρείσας». [Ἐν τούτοις δὲ ἰστέον ὅτι τε καλῶς προὔχοντα τὸν προελαύνοντα νοοῦμεν, ἐπειδὴ καὶ ἔχειν λέγεται τὸ ἡνιοχικῶς ἐλαύνειν κατὰ τὸ «ἔχε μώνυχας ἵππους», καὶ ὅτι τὸ τὸν προὔχοντα δοκεύειν καὶ γυναικὶ μαχλάδι σκωπτικῶς ἂν ἐπιρρηθείη, τῇ κατ' Εὐριπίδην εἰπεῖν φιλάνδρῳ. αἱ γὰρ τοιαῦται τὸν προὔχοντα καὶ αὐταὶ δοκεύουσιν, οὐ τὸν ἁπλῶς μέντοι, ἀλλὰ τόν, ὡς εἴρηται, ἀσκοῦ προὔχοντα πόδα, ἤγουν τὸν τοῦ κατ' ἄνθρωπον σώματος προϊσχόμενον. δῆλον γὰρ ὅτι, καθὰ θύλακος τὸ ἀνθρώπινον σῶμα, οὕτω κατὰ τοὺς παλαιοὺς καὶ ἀσκός. Ἰστέον δὲ ὅτι τοῦ προὔχειν ἐστὶ καὶ παθητικὸν παρὰ Σοφοκλεῖ ἐν τῷ «τάδε μὲν σὺ προὔχοιο», ἤγουν προφασίζοιο. τὸ δὲ τοιοῦτον προὔχεσθαι προΐσχεσθαι κοινότερον λέγεται, καθ' ὃ λόγῳ συστοιχίας τροπικῆς καὶ τὸ προΐσχεσθαι χεῖρας εἰς ἱκετείαν καὶ βρέφος δὲ εἰς ἀφόδευμα καὶ ὅσα τοιαῦτα.

4.740

Eulogikon public reading copy · View original HTML at eulogikon.org

] (v. 326) Ὅτι σαφοῦς γνωρίσματος τὸ «σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδὲς οὐδέ σε λήσει». (v. 327—33) Ὅτι ἡ τοῦ ἱππικοῦ δρόμου νύσσα, ἤτοι ὁ καμπτήρ, τοιαύτη τις ἦν τοῖς ἐνταῦθα ἱππεῦσιν, ὡς εἰκός, καθὰ δηλοῦται διὰ τοῦ Νέστορος «ἕστηκε ξύλον αὖον ὅσον τ' ὄργυια ὑπὲρ αἴης, ἢ δρυὸς ἢ πεύκης, τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ. λᾶε δέ», ἤγουν λίθοι, «τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκὼ ἐν ξυνοχῇσιν ὁδοῦ, λεῖος δ' ἱππόδρομος ἀμφίς, ἤ τευ», ἤγουν ἤ τινος, «σῆμα βροτοῖο πάλαι κατατεθνειῶτος, ἢ τό γε νύσσα τέτυκτο ἐπὶ προτέρων ἀνθρώπων. καὶ νῦν τέρματ' ἔθηκεν Ἀχιλλεύς». (v. 333) Καὶ σημείωσαι τὸ τοιοῦτον «ἔθηκεν». οὐ γὰρ συνήθως εἴληπται, ἀλλὰ δηλοῖ τὸ ὥρισε. προϊὼν δὲ ἄλλως ἐρεῖ «σήμηνε δὲ τέρματ' Ἀχιλλεύς», ὡς ταὐτὸν ὂν ἐνταῦθα εἰπεῖν «ἔθηκεν» ἢ «ἐσήμηνε τέρμα». [Ὅρα δὲ τὸν γρῖφον τοῦ «τέρματ' ἔθηκεν». εἰ γάρ τις γράψοι ἐν χρόνῳ παρακειμένῳ αὐτό, ἵνα ᾖ «τέθεικε τέρμα», ἔχοι ἂν καὶ λόγον καὶ οὐκ ἐξουθενοῖτο. ἀκολουθητέον δὲ ὅμως τοῖς παλαιοῖς ἀντιγράφοις.] Σημείωσαι δὲ ὅτι κατὰ τὸ σιωπώμενον ἔθηκε τέρματα Ἀχιλλεύς. ῥητῶς γὰρ ὁ ποιητὴς αὐτὸ οὐκ ἔγραψεν, ἀλλ' ὁ Νέστωρ οἷα εἰδὼς λαλεῖ. καὶ μετ' ὀλίγα δὲ ἐν τῷ «σήμηνε δὲ τέρματ' Ἀχιλλεύς» ὁμοίως νοητέον, ὅτι φθάσας ἐσήμανε κατὰ τὸν λόγον τοῦ Νέστορος. (v. 327) Ὅρα δὲ εἰσβολὴν διηγήματος ἐν τῷ «ἕστηκε ξύλον» ἁπλῆν καὶ σαφῆ, ὡς τῷ νῦν καιρῷ ἔπρεπε. Τὸ δὲ «αὖον» κοινῶς μὲν ψιλοῦται, ἐν δὲ τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται ὅτι δασυντέον τὸ αὖον. καὶ ἔστιν Ἀττικὸς ὁ πνευματισμὸς οὗτος καὶ ἐν τῷ αὑαίνω, ὡς δηλοῖ καὶ τὸ «ἀφαυάνθην» παρὰ τῷ Κωμικῷ.

4.741 εἴρηται δὲ περὶ τοιούτου πνευματισμοῦ καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. πρωτότυπον δὲ τούτων τὸ αὔω, ἐξ οὗ καὶ πυραύστης, ζωΰφιον καταπετόμενον φλογὸς καὶ οὕτως ὀλλύμενον. ὅθεν παροιμία τὸ «πυραύστου μόρος» ἐπὶ τῶν καὶ ῥᾳδίως καὶ ἑκουσίως θνησκόντων ἀγεννῶς ἐξ ἀφροσύνης. Τὸ δὲ ὄργυια κἀνταῦθα προπαροξύνεται, εἰ καὶ ἡ κοινὴ χρῆσις παροξύνει αὐτό. (v. 328) Τὸ δὲ «ἢ δρυὸς ἢ πεύκης» πιθανεύεται ἀλήθειαν τῷ διηγήματι, ὡς τῶν μὲν γινωσκομένων ἀνενδοιάστως λεγομένων ὑπὸ τοῦ ποιητοῦ, διστάζομένων δὲ τῶν μὴ ἐγνωσμένων. τοιοῦτον δὲ καὶ τό· ἢ σῆμα παλαιοῦ τάφου ἢ νύσσα. Τὸ δὲ «οὐ καταπύθεται ὄμβρῳ» ἐκ τοῦ τέλους εἴρηται τῷ γέροντι, ὡς ἐπὶ τοσαῦτα ἔτη τοῦ ξύλου ἐξαρκέσαντος ἵστασθαι. ἐνταῦθα δὲ καὶ τὴν Ἑλληνικὴν ὅρα παίδευσιν, ἐφ' οἷς εἴτε νύσσα τὸ ξύλον εἴτε σῆμα, οὐδεὶς αὐτὸ μετέστησεν, ἵνα μὴ ἀφανίσῃ μνήμην ἀγαθήν. προσνεμητέον δὲ μᾶλλον τῇ δρυῒ τὸ ὑπὸ ὄμβρου ἄσηπτον. τῇ πεύκῃ γὰρ οὐκ ἐπὶ τοσοῦτον. Τὸ δὲ «ἐρηρέδαται» δηλοῖ μὲν τὸ «ἔχουσιν ἑδραίωσιν ἐν τῇ ἔρᾳ». πῶς δὲ γίνεται, πρὸ ὀλίγου εἴρηται. (v. 329) Τὸ δὲ «λευκώ» πρὸς πιθανότητά τινα εἰδήσεως εἴρηται, ὡς σεσημειωμένων ὄντων καὶ τῶν λίθων. τοιοῦτον δέ που καὶ τὸ «λίθον τρηχὺν μέλανα». εἰωθυῖα δὲ ἡ διὰ λίθων ἔρεισις τῶν ἐν ὑπαίθρῳ ἑστηκότων ξύλων. (v. 330) Ξυνοχὴ δὲ ὁδοῦ ἡ στενότης καὶ ἀπὸ εὐρυχωρίας εἰς στενὸν σύμπτωσίς τε καὶ σύγκλεισις. ὅθεν καὶ τὸ «ἐπὶ στήθεσι συνοχωκότε» ἐν τῇ β′ ῥαψῳδίᾳ εἴρηται. κατὰ δὲ παλαιοὺς εἰπεῖν, συνοχή ἐστι τὸ τῶν σταδίων σιγματοειδές, ὁποῖον μάλιστα τὸ κατὰ τὸν καμπτῆρα εἴτ' οὖν τὴν νύσσαν.

4.742 αὐτοὶ δέ φασι ὅτι οὐ μόνον ἀγάλματα ἦσαν τοῖς τύμβοις ἐφιστάμενα, ἀλλὰ καὶ ἁπλῶς ξύλα, ὡς ἐνταῦθα φαίνεται, καὶ λίθοι ἀνεικόνιστοι. διὸ καὶ ὁ ἐν Ὀδυσσείᾳ Ἐλπήνωρ εὐῆρες ἐρετμὸν ἐθέλει στῆναι ἄνω τοῦ κατ' αὐτὸν τύμβου. Λεῖον δὲ ἱππόδρομον λέγει τὸ περὶ τὸν καμπτῆρα μάλιστα χωρίον τὸ ἐν ξυνοχαῖς ὁδοῦ, περὶ οὗ ἦν ὁ λόγος. λέγει δὲ καὶ μετ' ὀλίγα «τέρματα τηλόθεν ἐν λείῳ πεδίῳ». τὸ γὰρ ἄλλο πᾶν οὐκ ἦν εἰκὸς λεῖον εἶναι, ὡς δηλώσει καὶ ὁ ῥωχμὸς ὁ τὸν Μενέλαον ἀποκωλύσας τοῦ κατ' εὐθὺ δρόμου. (v. 332 s.) Ἐν δὲ τῷ «ἢ τόγε νύσσα τέτυκτο» καὶ ἑξῆς, φασὶν οἱ παλαιοὶ ὅτι Ἀρίσταρχος γράφει «ἢ τό γε σκῖρος ἔην, νῦν αὖ θέτο τέρματ' Ἀχιλλεύς, ἑνὸς τούτου στίχου τεθέντος ὑπ' ἐκείνου ἀντὶ τῶν ἀνωτέρω γραφέντων δύο. καί φασι σκῖρον τὴν ῥίζαν λέγεσθαι παρὰ τὸ ἐσκιάσθαι. ὅθεν καὶ σκίρον τὸ σκιάδιον παρὰ Ἀττικοῖς. [Περὶ δὲ σκίρου καὶ τῆς ἐξ αὐτοῦ σκιράδος Ἀθηνᾶς, καὶ ὅτι ὁ σκῖρος καὶ γύψον ἢ γῆν γυψώδη

δηλοῖ, σημαίνει δὲ καὶ τυροῦ ῥύπον, ἐξ ὧν καὶ τὸ σκιροῦσθαι ῥῆμα, ἀλλαχοῦ παρεσημάνθη καλῶς.] (v. 334—43) Ἐπὶ δὲ τούτοις ὁ γέρων Νέστωρ ὑποτίθεται τῷ παιδί, ὅπως χρὴ τόν τε δεξιὸν ἵππον διατίθεσθαι ἐν τῷ ἱππεύειν τόν τε ἀριστερόν, καὶ ὅπως δεῖ αὐτὸν κλινόμενον ἐν τῷ κάμπτειν σχηματίζεσθαι καὶ τῷ δεξιῷ μὲν ἀπειλησάμενον καὶ κεντήσαντα εἶξαι τὰ ἡνία, τῇ δὲ νύσσῃ τὸν ἀριστερὸν ἵππον ἐγχρίμπτειν. ἔστι δὲ ἡ ὅλη αὕτη φράσις τοῦ ποιητοῦ τοιαύτη, σκληρότερον ἔχουσα διὰ τὸ τοῦ λέγοντος ἐναγώνιον καὶ σύννουν, καὶ οὐδὲ ἐσκευασμένη ὅλως πρὸς λειότητα γραφικήν «ᾧ», τουτέστι τῷ τέρματι, «σὺ μάλ' ἐγχρίμψας ἐλάαν σχεδόν», ἤγουν ἐγγὺς ἔλαυνε, «ἅρμα καὶ ἵππους, αὐτὸς δὲ κλινθῆναι», τουτέστι κλίθητι, «ἐϋπλέκτῳ ἐνὶ δίφρῳ ἦκ' ἐπ' ἀριστερὰ τοῖϊν», ἤγουν τούτων τῶν δύο ἵππων, «ἀτὰρ τὸν δεξιὸν ἵππον κένσαι ὁμοκλήσας, εἶξαί τε οἱ ἡνία χερσίν.

4.743 ἐν νύσσῃ δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω, ὡς ἄν τοι πλήμνη γε», ἡ καὶ ἀλλαχοῦ προγραφεῖσα, δοάσσεται ἄκρον ἱκέσθαι κύκλου ποιητοῖο, τουτέστιν ὡς ἂν τὸ ἄκρον τοῦ ἄξονος τὸ κατὰ τὸν τροχόν, τοῦτο γάρ ἐστι πλήμνη τροχοῦ, δόξῃ ἐγγίσαι ἄκρᾳ τῇ νύσσῃ, περὶ ἣν ὁ λίθος. «λίθου δέ», φησίν, «ἀλέασθαι ἐπαυρεῖν, μή πως ἵππους τε τρώσῃς κατά θ' ἅρματα ἄξῃς· χάρμα δὲ τοῖς ἄλλοισιν, ἐλεγχείη δὲ σοὶ αὐτῷ ἔσσεται», [ἢ «ἔσσεαι».] Καὶ ὅρα ἐνταῦθα τέσσαρας ταύτας ἐννοίας αἰτιολογικὰς δυσὶ στίχοις ἐμπεριγραφείσας κομματικῶς διὰ τὸ σπεύδειν τὸν ταῦτα λαλοῦντα. (v. 335) Ἰστέον δὲ καὶ ὅτι εὔπλεκτον δίφρον φησίν, ἐπεὶ εἶχέ τι πλέγματος, ὡς δεδήλωται, ὅπου ὁ ποιητὴς ἔφη «ἐρινεὸν νέους ὅρπηκας». καὶ προϊὼν δὲ «δίφρους εὐπλεκέας» ἐρεῖ, ὡς μὴ γομφωτοὺς ὄντας καὶ κολλητούς, ὅ ἐστιν ἡρμοσμένους ἐξ ὕλης βαρυτέρας, ἀλλὰ καὶ ἔκ τινων πλεγμάτων εὐθετισμένους δι' ἐλαφρότητα. (v. 340) Κύκλον δὲ ποιητὸν λέγει συνήθως τὸν τοῦ ἅρματος τροχόν, ὡς καὶ αὐτὸν εὖ πεποιημένον, ἢ καὶ πρὸς διαστολὴν τῶν παρὰ τοῖς σοφοῖς διανοητῶν κύκλων. Τὸ δὲ προσκροῦσαι λίθῳ εὐφήμως καὶ γλυκέως κατ' ἀφέλειαν ἐνταῦθα εἶπε «λίθου ἐπαυρεῖν», ἤτοι ἀπολαῦσαι, οὐκ εἰς ἀγαθόν τι δηλαδή, ἀλλ' εἰς κάκωσιν, καθ' ὁμοιότητα τοῦ «ἵνα πάντες ἐπαύρωνται βασιλῆος», καὶ τῶν ὁμοίων. (v. 341) Τὸ δὲ «τρώσῃς» ἀντὶ τοῦ βλάψῃς Ἰωνικῶς, ὡς καὶ ἐν Ὀδυσσείᾳ ἐν τῷ «οἶνός σε τρώει μελιηδής», ἤγουν βλάπτει. καὶ οἶδε τὴν τοιαύτην σημασίαν καὶ Ἡρόδοτος. ὠνοματοπεποίηται δὲ ἡ λέξις, ὡς καὶ τὸ τρῶ, τὸ τρυπῶ, ἐξ οὗ, ὡς καὶ ἀλλαχοῦ παρεσημάνθη, καὶ τὸ τετραίνω καὶ ὁ τόρνος.

4.744 (v. 341—2) Σημείωσαι δὲ καὶ ὅτι ἐκ τοῦ «κατά τε ἅρματα ἄξῃς, χάρμα δὲ τοῖς ἄλλοις ἔσῃ» ὡρμήθη γράψαι τις τὸ ἰαμβεῖον ἐκεῖνο «σὸν ἅρμα χάρμα καὶ γέλως Ἰεφθάε». (v. 344—5) Κεῖται δ' ἐν τῷ χωρίῳ τούτῳ μετ' ὀλίγα καὶ τὸ «ἕλῃ» ἀντὶ τοῦ καταλάβῃ ἐν τῷ τρέχειν. φησὶ γὰρ ὡς «εἴ περ νύσσῃ γε παρεξελάσῃσθα διώκων», ἤτοι σπουδαίως θέων, ὡς καὶ ἐν ἄλλοις κεῖται, «οὐκ ἔσθ' ὅς κέ σ' ἕλῃσι μετάλμενος οὔτε παρέλθῃ», ἤγουν οὔτε ἐγγίσει οὔτε νικήσει σε. Καὶ ὅρα τὸ «παρέλθῃ» κυριολεκτούμενον ἐνταυθοῖ, ἐξ οὗ τέτραπται ἀλλαχοῦ τὸ «ἐπεὶ οὐ παρελεύσεαι». (v. 343) Ὅτι χρήσιμον εἰς προσοχὴν τὸ «ἀλλὰ φίλος», ἤγουν ὦ φίλε, «φρονέων πεφυλαγμένος εἶναι», ἀντὶ τοῦ ἔσο. (v. 344 s.) Ὅτι ὁ πολυΐστωρ Νέστωρ θαρρύνων τὸν υἱὸν λέγει ὡς, εἴπερ τὴν νύσσαν, ὡς παρηγγέλθη, παρεξελάσει, τουτέστι κάμψας παρέλθῃ, οὐδεὶς αὐτὸν νικήσει, (v. 346—8) «οὐδ' εἴ κεν μετόπισθεν Ἀρείονα δῖον ἐλαύνοι Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν, ἢ τοὺς Λαομέδοντος, οἵ», ὡς δηλοῦται καὶ ἀλλαχοῦ, «ἐνθάδε τέτραφεν ἐσθλοί». καὶ ἰδοὺ ἱστορίαι χρήσιμοι πρὸς ἵππων σύγκρισιν χορηγηθεῖσαι ὑπὸ Νέστορος. (v. 346) Ἀρείων δὲ ἵππου ὄνομα, ᾧ ἐποχούμενος Ἄδραστος ἐν τῷ Θηβαϊκῷ πολέμῳ διέδρα τὸν θάνατον εὐτυχῶς, ὡς καὶ ἡ Βοιωτία δηλοῖ. θεῖον δὲ γένος ὁ Ἀρείων, ὅτι κατὰ τὸν μῦθον Ποσειδῶνος καὶ Ἁρπυίας ἢ Ἐριννύος γενεαλογεῖται. φασὶ δὲ καὶ ὅτι ὁ Ποσειδῶν μὲν αὐτὸν Κοπρεῖ δίδωσι τῷ Ἁλιαρτίῳ, Κοπρεὺς δὲ Ἡρακλεῖ, ἐφ' οὗ μαχόμενος Κύκνον ἀνελών, εἶτα τῷ Ἀδράστῳ αὐτὸν ἐχαρίσατο. ἐπίτηδες δὲ κἀνταῦθα ἵππων ἀρίστων ἐμνήσθη πρὸς πιθανότητα τῶν τοῦ Ἀχιλλέως, περὶ ὧν προγέγραπται. Ἀρείων δὲ ὁ μὲν ἵππος διφθόγγῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παραλήγεται καθ’ ὁμωνυμίαν τὴν πρὸς τὸ συγκριτικόν, ὃ δηλοῖ τὸν κρείττονα. τὸ μέντοι κύριον ὁ μελῳδὸς Ἀρίων διχρόνῳ τε μόνῳ παραλήγεται πρὸς διαστολὴν καὶ τὸ ω δὲ τῆς εὐθείας φυλάσσει ἐν τῇ ἐφεξῆς κλίσει τῶν πλαγίων.

4.745 [Ἰστέον δὲ ὅτι τε ἔν τισι τῶν ἀντιγράφων τόν, ὡς εἴρηται, Ἀρείονα ἵππον διὰ τοῦ ι καὶ ο μικροῦ γράφουσιν ὁμοίως τῷ Ἰξίων Ἰξίονος καὶ τοῖς ἄλλοις, ὅσα μακρῷ διχρόνῳ παραλήγεται. οἱ μέντοι πλείους καὶ ἀκριβέστεροι διὰ τῆς ει διφθόγγου τὸν τοιοῦτον Ἀρείονα τυποῦσι, καὶ ὅτι ὁ εἰδώς, τί σημαίνει τῷ ποιητῇ τὸ πάρεξ ἐπίρρημα, καλῶς ἂν εἴποι ἐξ ἐκείνου συντεθῆναι τὸ «παρεξέλθῃσθα», ἵνα ᾖ παρὲξ ἔλθῃς.] (v. 350) Ὅτι τὴν ὅλην διδασκαλίαν τοῦ γέροντος κόμματι συλλαβῶν φησιν «ὣς εἰπὼν ἕζετο, ἐπεὶ ἑκάστου πείρατα ἔειπεν», ἤγουν ἐπεὶ τῷ υἱῷ ἑκάστου πρακτέου πέρας ὑπέθετο. (v. 352—7) Ὅτι κλήρους ἐβάλοντο, ἤγουν ἔθεντο οἱ ἱππεῖς, καθὰ ἦν, ὡς εἰκός, ἔπαλλε δὲ Ἀχιλλεύς, ἐξέθορε δὲ εὐτυχῶς ὁ τοῦ Ἀντιλόχου κλῆρος. μετὰ δὲ αὐτὸν ἔλαχεν Εὔμηλος, ὁ τῶν ἄλλων προαναστάς, ἐπὶ δὲ τούτῳ Μενέλαος, ἐπὶ δ’ αὐτῷ Μηριόνης ἔλαχεν ἐλαύνειν, ὕστατος δὲ Τυδείδης, «ὄχ’ ἄριστος ἐὼν λάχε ἐλαυνέμεν ἵππους». Καὶ ὅρα ὅτι τε τρὶς ἐνταῦθα εἶπε τὸ «ἔλαχεν» ἐπιμείνας τῇ λέξει διὰ τὸ καίριον, καὶ ὅτι τὸ μὲν εἰπεῖν ἁπλῶς «ἔλαχεν» ἔλλειψιν ἔχει δύο λέξεων, τὸ δὲ «ἔλαχεν ἐλαύνειν» μιᾶς. τὸ δὲ «ἔλαχεν ἐλαύνειν ἵππους», ἀλλ’ αὐτὸ ἐντελέστατα ἔχει. (v. 357) Σημείωσαι καὶ ὅτι τὸ ὕστατον τὸν Διομήδην λαχεῖν ἐξόχως ἄριστον ὄντα διὰ τὸ τοῦ λάχους τε δυσκλήρημα Ὅμηρος παρεσημήνατο καὶ εἰς ἔνδειξιν δὲ τοῦ μηδὲν ἂν ἐντεῦθεν αὐτὸν βλαβήσεσθαι. νικήσει γὰρ αὐτὸς δραμών. περὶ δὲ τοῦ κλήροις λαγχάνειν ἑτέρωθι προδεδήλωται. (v. 358—61) Ὅτι οἱ μὲν ῥηθέντες ἱππεῖς «στάν», ἤγουν ἔστησαν, «μεταστοιχεί», τουτέστιν ἐπὶ στοῖχον καὶ τάξιν τινά, Ἀχιλλεὺς δέ, ὡς καὶ προερρέθη, σήμηνε τέρματα, «παρὰ δὲ σκοπόν», ἤτοι κατάσκοπον, «εἷσεν», ὅ ἐστιν ἐκάθισεν, «ἀντίθεον Φοίνικα, ὀπάονα πατρὸς ἑοῖο», ἤτοι ἀκόλουθόν ποτε τοῦ Πηλέως, «ὡς μεμνέῳτο», φησί, «δρόμου καὶ ἀληθείην ἀποείποι».

4.746 καί τινες μὲν γοργῶς ἐνταῦθά φασιν ὡς οὐκ ἀπὸ τοῦ αὐτοῦ τέρματος, καθὰ ἐπὶ τῶν δρομέων, ἡ ἄφεσις. διὸ ἐκεῖνοι μὲν ἐν τοῖς ἑξῆς μεταστοιχεὶ στάντες οὐ κληροῦνται, οἱ δὲ ἱππεῖς κλήρους βάλλονται περὶ τῆς στάσεως. ἕτεροι δὲ πλατύτερον οὕτω φασίν. μεταστοιχεί λέγεται τὸ ἐπὶ στίχον. στίχος δὲ ἡ ἐπὶ βάθος στάσις τῶν χορευτῶν, ὁποία καὶ ἡ τῶν Ὁμηρικῶν τούτων ἡνιόχων στάσις. οὐ γὰρ κατὰ μέτωπον ἔστησαν. εἰ γὰρ τοῦτο, τί, φασίν, ἔδει κλήρου ἐπὶ τῇ στάσει τοῖς ἐν ἰσότητι ἱσταμένοις ἐπὶ στίχῳ, ἐὰν κατὰ μόνον τὸ δεξιὸν καὶ ἀριστερὸν ἦν αὐτοῖς διαφορά; ἡ δὲ μεταφορά, φασί, τοῦ μεταστοιχεί ἀπὸ τῶν παρ’ ἡμῖν στίχων, οὓς οἱ παλαιοὶ οὐχ’ ὡς νῦν ἡμεῖς κατὰ μέτωπον ἀλλὰ κατὰ βάθος ἔγραφον· ἕν, φασίν, εἶτα ἕτερον καὶ τρίτον καὶ τέταρτον. καὶ ταῦτα μὲν οἱ παλαιοί. ἐξ ὧν ἔστι νοῆσαι ὡς οὐ κατὰ τὸ λεγόμενον ἐνορδίνως ἵσταντο οὗτοι κατὰ πλάτος, ἀλλ’ ὁ μὲν ἔμπροσθεν, ὁ δ’ ὄπισθεν, καὶ μετ’ ἐκεῖνον ἄλλος καὶ ἑξῆς ἕως τοῦ κατὰ βάθος τελευταίου. διὸ καὶ ὁ Τυδείδης δυσκληρεῖ, ὡς εἴρηται, λαχὼν ὕστατος, εἰ καὶ τῇ τῶν ἵππων ἀρετῇ προέδραμεν. ὅτι δέ ποτε καὶ ἡ ἐν βίβλοις γραφὴ οὕτως ἐτάττετο, οὐ μόνον σπυρηδὸν καὶ πλινθηδὸν σχηματιζομένη, ἀλλὰ καὶ πυργηδὸν κατὰ βάθος, ὅθεν ἐξεύρηνται καὶ τὰ κοινῶς διπάγια λεγόμενα καὶ τριπάγια, ἑτέρωθεν ἔστι γνῶναι. οἱ δὲ παλαιοί φασι καὶ ὅτι οὐ δολιχὸς ὁ δρόμος, κάμπτουσι γάρ. ἀλλ’ οὐδ’ ἐγγὺς ὁ καμπτήρ. τηλόθεν γὰρ ἐν λείῳ πεδίῳ τὰ τέρματα.

4.747 διὸ οὐδὲ πολλάκις κάμπτουσιν ὡς οἱ ἐν Ὀλυμπίοις καὶ τοῖς λοιποῖς ἀγῶσιν ὕστερον. ἔδει γάρ, φασίν, ἐγγὺς εἶναι τὸν καμπτῆρα, εἰ πολλάκις δηλαδὴ ἔκαμπτον. ἅπαξ οὖν πρὸς τῷ αἰγιαλῷ ὁρῶνται πύματον τελοῦντες δρόμον «ἄψ», ὅ ἐστιν ὀπίσω, «ἐφ’ ἁλὸς πολιῆς», ἔνθα δηλαδὴ καὶ τὸ τέρμα, τὸ ξύλον, ἵστατο. καὶ ἅπαξ φιλονεικία τις γίνεται περὶ αὐτῶν. Δίαυλος οὖν, φασί, μακρότατος ὁ δρόμος οὗτος τῶν ἱππέων. διὸ καὶ σκοπὸς κάθηται ὁ Φοῖνιξ καὶ σημειοῦται τηλόθεν τὸ τέρμα, μήποτέ τις λάθῃ κάμψας ἐντὸς τοῦ μακροτάτου δρόμου. καὶ οὕτω μέν τινες

μακρὸν εἶναι δίαυλον τὸν παρόντα δρόμον εἶπον. ἕτεροι δὲ πολλάκις κάμψαι τοὺς ἡνιόχους ὑπονοοῦσι διὰ τὸ τὸν ποιητὴν εἰπεῖν, «ὡς μεμνέῳτο δρόμου» ὁ Φοῖνιξ, ἤγουν μνήμην ἔχοι τοῦ ἀριθμοῦ τῶν κάμψεων. ἀκριβέστερον δὲ εἶπον οἱ δίαυλον φάμενοι, ὡς τοῦ μεμνῆσθαι μὴ μόνον διὰ τὸν καμπτῆρα λεχθέντος, ἀλλὰ καὶ εἴ τί που ἄλλο ῥᾳδιουργηθείη ὑπὸ τῶν οὕτω τηλόθι τρεχόντων, οὗ καὶ αὐτοῦ ἔδει τὸν Φοίνικα μεμνημένον ἀπειπεῖν τῷ Ἀχιλλεῖ. λέγουσι δὲ οἱ παλαιοὶ καὶ ὅτι οἱ ἐνταῦθα ἡνίοχοι ἀρξάμενοι ἀπὸ Σιγείου, ἔνθα αἱ τοῦ Ἀχιλλέως νῆες ἦσαν, ἔτρεχον ἐπὶ τὸ Ῥοίτειον νόσφι νεῶν τῶν πρὸς τῷ αἰγιαλῷ, «ἐφ’ ἁλός», ἢ «ἀφ’ ἁλός, πολιῆς» κατὰ τὸν ποιητήν. κατὰ μέντοι Ἀρίσταρχον ὁ τῶν ἱππέων τούτων δρόμος ἐγίνετο ἐν τῷ ἀπὸ τοῦ τείχους ἄχρι τῆς θαλάσσης καὶ τῶν ἐκεῖ κλισιῶν πεντασταδίῳ διαστήματι. (v. 361) Τὸ δὲ «μεμνέῳτο» ἢ ἐκ τοῦ μεμνέοιτο γίνεται κατ’ ἔκτασιν τοῦ ο , ὁποῖα καὶ ἄλλα εὐκτικὰ τοιαῦτα ἐν Ὀδυσσείᾳ κεῖνται, ἢ ἀπὸ τοῦ μεμνῷτο ἐπεντεθέντος τοῦ ε . σύστοιχον δὲ τῷ «μεμνέῳτο» πλὴν ἁπλούστερον καὶ τὸ «ἀρχῆς δὲ τῆς σῆς μηδαμῶς μεμνῴμεθα», ὃ κεῖται παρὰ Σοφοκλεῖ. Τὸ δὲ «ἀποείποι» ἀντὶ τοῦ εἴποι, περιττῆς καὶ νῦν κειμένης τῆς προθέσεως, ὡς καὶ ἐπὶ ἄλλων προδεδήλωται. [Κοινότερον μέντοι ἀπειπεῖν ἢ τὸ ἀποφῆσαι, οἷον· ἢ εἰπὲ ἢ ἀπόειπε, ὅμοιον ὂν τῷ· ἢ φάθι ἢ ἀπόφαθι, ἢ καὶ ἄλλως, τὸ ἀπαγορεῦσαι καὶ μηκέτι ἔχειν τι εἰπεῖν, κατὰ τὸ «τάλαιν’ ἀπεῖπον ἄλγει».

4.748 δῆλον δ’ ὅτι τὸ ἀπειπεῖν καὶ ἀπείπασθαί ποτε λέγεται.] (v. 362—75) Ὅτι διάθεσιν δρόμου ἁρματηλατῶν ὑπογράφων διασκευαστικῶς ὁ ποιητὴς τὴν κατά τε τὸ ἅρμα καὶ τοὺς ἵππους καὶ τοὺς ἐπιβάτας, φησὶν «οἳ δ’ ἅμα πάντες ἐφ’ ἵπποιϊν μάστιγας ἄειραν, πέπληγόν τε ἱμᾶσιν· ὁμόκλησάν τε ἐπέεσσιν ἐσσυμένως. οἳ δ’ ὦκα διέπρησσον πεδίοιο νόσφι νεῶν ταχέως, ὑπὸ δὲ στέρνοισι κονίη ἵστατ’ ἀειρομένη ὥστε νέφος ἠὲ θύελλα, χαῖται δ’ ἐρρώοντο μετὰ πνοιῇς ἀνέμοιο, ἅρματα δ’ ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ, ἄλλοτε δ’ ἀΐξασκε μετήορα, τοὶ δ’ ἐλατῆρες ἕστασαν ἐν δίφροισι, πάτασσε δὲ θυμὸς ἑκάστου νίκης ἱεμένων, κέκλοντο δὲ οἷσιν ἕκαστος ἵπποις, οἳ δ’ ἐπέτοντο κονίοντες πεδίοιο. ἀλλ’ ὅτε δὴ πύματον τέλεον δρόμον ὠκέες ἵπποι ἂψ ἀφ’ ἁλὸς πολιῆς», ὡς προεγράφη, τότε δὴ ἀρετή γε ἑκάστου φαίνετο». (v. 375) Εἶτα ἑρμηνεύων τί λέγει ἀρετὴν ἵππου, ἐπάγει «ἄφαρ δ’ ἵπποισι τάθη δρόμος», οἱονεὶ λέγων ὅτι ἀρετὴν ἵππου φημὶ τὴν ταχεῖαν τοῦ δρόμου τάσιν. καὶ τοιαύτη μὲν ἡ παρὰ τῷ ποιητῇ τοῦ ἱππικοῦ δρόμου εἴτε διασκευὴ εἴτε ἔκφρασις. (v. 363) Τὸ δὲ ὁμοκλῆσαι, ὅ ἐστιν ἀπειλήσασθαι τοῖς ἵπποις, οἷα δύναται, καὶ ὡς ἐρεθίζει αὐτοὺς εἰς δρόμον, ἐν τοῖς ἑξῆς δηλωθήσεται. ὅμοιον δὲ τὸ ὁμοκλᾶν πρὸς τὸ κέκλεσθαι, ὅ ἐστιν ἐγκελεύεσθαι. καὶ ἡ ὁμοκλὴ γὰρ ἀπὸ τοῦ ὁμοῦ κέλεσθαι γίνεται, ὃ ταὐτόν ἐστι τῷ κέκλεσθαι, πρωτότυπον ὂν αὐτοῦ. κέλω γάρ, καὶ ἐν διπλασιασμῷ κεκέλω, καὶ ἐν συγκοπῇ κέκλω, ἐξ οὗ τὸ κέκλεσθαι. (v. 364 s.) Ἐν δὲ τῷ «ὦκα διέπρησσον ταχέως», τὸ μὲν «ὦκα» καὶ τὸ «ταχέως» ἐκ παραλλήλου τὸ αὐτὸ δηλοῦσι, καθὰ καὶ τὸ «ἐσσυμένως». Τὸ δὲ διαπρήσσειν καταχρηστικῶς καὶ νῦν ἐρρέθη. ἐπὶ θαλάσσης γὰρ κυριολεκτεῖται, ὥσπερ καὶ τὸ περᾶν.

4.749 (v. 366) Τὸ δὲ «ὡς νέφος ἠὲ θύελλα» ἐκ τῆς ὁμίχλης ὥρμηται, πρὸς ἣν ἀλλαχοῦ παρεικάσθη ἀειρόμενος πολὺς κονίσαλος. καὶ οὐκ ἔστιν εἰς τοιαύτην παραβολὴν ἄλλο τι παρὰ τὰ τρία ταῦτα θεῖναι, τὴν ὁμίχλην, τὸ νέφος, τὴν θύελλαν. πάνυ δὲ γοργῶς καὶ οἰκείως τῷ καιρῷ παραβέβληται τὸ «ὡς νέφος ἠὲ θύελλα», δύο αὗται παραβολαὶ σύντομοι συνεπισπεύδουσαι τοῖς ἱππεύουσι. (v. 365 s.) Τὸ δὲ «κονίη ἵστατο» ἀντὶ τοῦ ἀνίστατο, ἀνυψοῦτο. διὸ καὶ ἐπῆκται πρὸς ἑρμηνείαν τὸ «ἀειρομένη», ἤγουν εἰς ἀέρα ἐγειρομένη. ὅτε δὲ καὶ ὄρνυσθαι ῥηθείη, τότε ὁ κονιορτὸς ἐκ τοῦ «κονίη ὄρνυται» σύγκειται. (v. 367) Τὸ δὲ «χαῖται ἐρρώοντο» κεῖται καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ ἐπὶ Διός, πλὴν ὅσον ἐκεῖ μὲν ἄλλως ἐρρώοντο, ἐνταῦθα δὲ «μετὰ πνοαῖς», ἤγουν ἐν πνοαῖς, «ἀνέμου». (v. 368) Τὸ δὲ «πίλνατο» δύο ἔχειν προεφάνη παραγωγάς. πέλω γὰρ τὸ πλησιάζω, ἐξ οὗ πιλνῶ, ἀφ’ οὗ τὸ πίλνημι, ὡς ἵστημι, καὶ πίλνατο, ὡς ἵστατο. Τὸ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«πουλυβοτείρῃ» φανερῶς πρὸς μόνην στίχου κεῖται ἀναπλήρωσιν καὶ εἰς πλέον οὐδέν. (v. 369) Τὸ δὲ «μετῄορα» ἐκ τοῦ ἀείρω γίνεται, ὡς καὶ ἀλλαχοῦ δεδήλωται, οὐκ ἐκ τοιούτου μέντοι, ὅθεν ὁ παρῄορος ἵππος. [(v. 369) Ἐν δὲ τῷ «τοὶ δ' ἐλατῆρες» ἀρέσκει μάλιστα γράφειν «τοὶ δ' ἐλατῆρες» Δωρικῶς, ἤγουν οἱ ἐλαύνοντες.] (v. 370) Τὸ δὲ πατάσσειν ὠνοματοπεποίηται μέν, ὡς καὶ ἐν ἄλλοις γέγραπται, δηλοῖ δὲ τὸν τῆς καρδίας ἐναγώνιον παλμὸν καὶ τὸν ποιὸν ἦχον τῶν ἐντός. [Ἐν δὲ τῷ «ἑκάστου νίκης ἱεμένων» ταὐτόν ἐστι πάντως τὸ «ἑκάστου» πρὸς τὸ «πάντων». τοιαύτη γὰρ ἡ ἐπιμεριστικὴ φύσις τοῦ «ἕκαστος», ἵνα λέγῃ· ἑνὸς ἑκάστου, ἤγουν πάντων ἐφιεμένων τοῦ νικῆσαι.] (v. 372) Τὸ δὲ πέτεσθαι τοὺς ἵππους καὶ ἐν τοῖς ἑξῆς ῥηθήσεται ὑπὸ τοῦ ποιητοῦ, δηλοῦντος τὸ τοῦ δρόμου κατεσπευσμένον καὶ ταχύ. Τὸ δὲ «κονίοντες πεδίοιο» καὶ νῦν ἀντὶ τοῦ κόνιν ἐγείροντες διὰ τοῦ πεδίου, ἢ μᾶλλον ἐπὶ τοῦ πεδίου, ἤτοι τῆς πεδιάδος, κατὰ τὸ «ἵππος εἰς πεδίον».

4.750 πρὸς διασάφησιν δὲ τοῦ «κονίη ἵστατο» εἴρηται τὸ «κονίοντες πεδίοιο», ἵνα ᾖ δῆλον, ὡς οὐκ ἄνεμος ἀνίστα κόνιν, ἀλλὰ οἱ ἵπποι συντόνως θέοντες. ἐκ δὲ τοῦ «κονίειν πεδίοιο» καὶ τὸ ἐγκονεῖν ἐπενοήθη, ὡς τὸ «χωρῶμεν, ἐγκονῶμεν». (v. 376) Ὅτι ἐν τῷ «αἱ Φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι» τίνα μὲν λέγει Φηρητιάδην, ἐν τῇ Βοιωτίᾳ εἴρηται, ὅτι δηλαδὴ τὸν τοῦ Φέρητος υἱὸν Ἄδμητον ἢ τὸν ἔγγονον Εὔμηλον. Ἐκφέρειν δὲ ἀλλαχοῦ μὲν τὸ εἰς ταφὴν τὸν τεθνεῶτα ἐξάγειν, ἔτι δὲ καὶ τὸ κοινῶς λεγόμενον ἐκφορεῖν, ἐνταῦθα δὲ τὸ προτρέχειν ἢ καὶ ὑπερφέρειν τῶν ἄλλων. δῆλον γὰρ ὅτι ὁμοίως τῇ ὑπερ καὶ ἡ ἐκ πρόθεσις ἐξοχήν τινά ποτε δηλοῖ καὶ ἐπίτασιν, ὡς δηλοῖ καὶ ὁ Κωμικός. (v. 377) Ὅμοιον δὲ καὶ τὸ ἐπαγόμενον τὸ «τὰς δὲ μετεξέφερον Διομήδεος ἄρσενες ἵπποι», ἤγουν μετὰ τὰς θηλείας τοῦ Ἀδμήτου ἵππους προέτρεχον τῶν λοιπῶν οἱ τοῦ Διομήδους, οἱ πρὸς διαστολὴν τῶν τε προρρηθεισῶν ἵππων τοῦ Εὐμήλου, ἔτι δὲ καὶ τῆς Αἴθης, λεχθέντες ἄρσενες, ἔτι δὲ καὶ ὡς πρὸς τοὺς τομίας, οἵους, ὡς εἰκός, οἱ λοιποὶ εἶχον ἱππεῖς. ἴσως δὲ καὶ θεραπείαν τινὰ νοεῖν ὑποβάλλει τῆς προδηλωθείσης κατὰ τοὺς τοιούτους ἵππους μυθικῆς θειότητος καὶ ἀθανασίας. οἱ γὰρ ἄρσενες καὶ ὀχευτικοὶ θεῖοι ἂν καὶ ἀθάνατοι μυθεύεσθαι νοηθεῖεν διὰ τὸ ὀχευτικὸν καὶ τὴν ἐντεῦθεν ἐπιγονήν, δι' ἧς ἐξαρκεῖ θειότερον τὰ γένη ἐπὶ μακρόν. [Ἰστέον δὲ ὅτι τὸ «μετεξέφερον» καὶ εἴ τι δὲ ἄλλο κατ' αὐτό, ἰωνίζειν δοκεῖ, ὡς δηλοῖ καὶ Ἡροδότου τὸ «μετεξέτεροι».] Ἐν τούτοις δὲ καὶ τοὺς Διομήδους ἵππους δηλῶσαι θέλων ἐγγυτάτω εἶναι τῶν τοῦ Εὐμήλου ποικίλως φράζει, στρέφων πολλάκις τὸ νόημα. (v. 378—82) Φησὶ γὰρ πρῶτον μὲν ἀορίστως «οὐδέ τι πολλόν» ἀπάνευθεν ἦσαν, εἶτα ὡρισμένως «ἀλλὰ μάλα ἐγγύς», εἶτα πλατύτερον «ἀεὶ γὰρ δίφρου ἐπιβησομένοις» ἐῴκεισαν, καὶ πάλιν ἑτέρως «πνοιῇ δ' Εὐμήλου μετάφρενον εὐρέε τε ὤμω θέρμετο», ἤτοι τῷ ἄσθματι ἐθερμαίνετο, καὶ αὖθις ἄλλως τὸ αὐτὸ «ἐπ' αὐτῷ κεφαλὰς καταθέντε πετέσθην». εἶτα δυσκολώτερον ἐπὶ τῆς αὐτῆς ἐννοίας φησὶ «καὶ δὴ ἂν παρήλασεν ἢ ἀμφήριστον ἔθηκε», διὰ τὴν ἄγαν δηλαδὴ ἐγγύτητα.

4.751 καὶ ἰδοὺ ἑξάκις ἦλθεν ὁ ποιητὴς διὰ τοῦ αὐτοῦ νοήματος, εὐπορίαν καὶ οὕτω λόγου καὶ πλοῦτον ἐπιδεικνύμενος. (v. 381) Τὸ δὲ «θέρμετο» πρὸς τὸ μετάφρενον εἴρηται, ἴσως δὲ καὶ πρὸς τὸ ὤμω, Δωρικώτερον. δῆλον δὲ ὅτι ὅμοιον εἰπεῖν μετάφρενον καὶ ὦμοι ἐθερμαίνοντο ἵππων πνοῇ, καὶ μετάφρενα ἵπποι κατέπνεον, ἐγγὺς δηλαδὴ ὄντες τοῦ προθέοντος. Ὅτι δὲ τὸ θέρμω πρωτότυπόν ἐστι τοῦ θερμαίνω, πολλαχοῦ δηλοῦται. [Οὕτω δὲ σὺν ἄλλοις πολλοῖς καὶ τὸ νήφω τοῦ νηφαίνω, οὗ χρήσεως φανερᾶς μὴ οὔσης ὅμως ἔμφασις γίνεται παρὰ τῷ Δειπνοσοφιστῇ ἐν τῷ «νηφαντὸν καὶ ἄοινον». δῆλον γὰρ ὅτι ὡς ὀσφραίνω ὀσφραντόν, θερμαίνω θερμαντόν, οὕτω καὶ νήφω νηφαντόν.] (v. 382) Ἐν δὲ τῷ «ἀμφήριστον ἔθηκε» ληπτέον ἀπὸ κοινοῦ τὸ ἔλασμα ἐκ τοῦ παρήλασε ῥήματος, ἵνα λέγῃ ὅτι ἔθηκεν ἂν ἀμφίβολον τὸ ἔλασμα. Ὅτι καὶ τάς, ὡς εἰκός, τῶν ἱππέων δυστυχίας παραδιδοὺς ὁ ποιητής, ὡς μὲν Μενέλαος δείσας τὸν τῆς γῆς ῥωχμὸν ἐπεσχέθη τοῦ τρέχειν, μετ' ὀλίγα ἐρεῖ. (v. 382 s.) Νῦν δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέγει ὅτι ἢ παρέλασεν ἂν τὸν Ἄδμητον, ὡς ἐρρέθη, ὁ Διομήδης, «ἢ ἀμφήριστον ἔθηκεν, εἰ μὴ κοτέσσατο αὐτῷ Φοῖβος Ἀπόλλων, ἐκ χειρῶν δέ οἱ ἔβαλεν», ἤτοι ἐξέβαλεν, ἐξέρριψε, «μάστιγα φαεινήν». εἶτα καὶ τὴν ἐν τοῖς τοιούτοις ἀγῶσι διαγράφων κενοσπουδίαν, καὶ οἵα ἡ τοῦ νικᾶν ἐν αὐτοῖς ἔφεσις, δάκρυον ἐπὶ τῇ ἐκβολῇ τῆς μάστιγος προκαλεῖται τῷ Διομήδει, ὃν δι' ὅλης τῆς Ἰλιάδος οὐκ ἐμάθομεν οὐδ' ἐπὶ τοῖς μεγίστοις τῶν κινδύνων δακρύσαντα. (v. 385) Φησὶ γὰρ «τοῖο δ' ἀπ' ὀφθαλμῶν χύτο δάκρυα χωομένοιο», τουτέστι λυπηθέντος, συγχυθέντος, ὡς πολλαχοῦ λέγεται. ἐπὶ ὀργῆς γὰρ νοηθῆναι νῦν τὴν λέξιν οὐκ ἔχει λόγον στερρόν. δακρύσει μὲν οὖν καὶ Εὔμηλος ἐν τοῖς ἑξῆς, ἀλλὰ περιαλγὴς γενόμενος ἐξ ὧν δεινῶς ἔπαθε. (v. 386 s.) Διομήδης δὲ ἐπὶ δυσελπιστίᾳ ἐνταῦθα ἐδάκρυσεν, «οὕνεκα». φησί, τὰς μὲν τοῦ Εὐμήλου «ὅρα ἔτι καὶ πολὺ μᾶλλον ἰούσας. οἱ δέ οἱ ἐβλάφθησαν ἄνευ κέντροιο», [ταὐτὸν δ' εἰπεῖν μάστιγος,] «θέοντες». Καὶ ὅρα φανερῶς καὶ νῦν θηλείας τὰς τοῦ Εὐμήλου ἵππους, ὡς προείρηται. (v. 382) Τὸ δὲ «παρήλασε» κεκοίνωται παρὰ τοῖς ὕστερον τροπικῶς ἐπὶ νίκης τῆς οἰασοῦν.

4.752 Τίς δὲ ἡ φαεινὴ μάστιξ, πολλαχοῦ ἐδηλώθη. (v. 387) Ἐν δὲ τῷ «οἱ δέ οἱ» ἀστεία ἡ φράσις. ἀρκεσθεὶς γὰρ εἰπεῖν ἐπὶ Εὐμήλου «τὰς μέν», ἀρκεῖται καὶ ὧδε τῷ «οἱ δέ» πρὸς ἔνδειξιν τῶν τοῦ Διομήδους ἀρρένων ἵππων. γοργότητος δὲ καὶ ταῦτα. τὸ δὲ «βλάφθησαν» σύνηθες τῷ ποιητῇ, καθὰ προδεδήλωται. ὡς δὲ δύναται εἰπεῖν καὶ ἐβλάβησαν, δηλώσει ἐν τοῖς ἑξῆς ἐν τῷ «ἔβλαβεν ἐν πεδίῳ». (v. 384) Ὅρα δὲ καὶ τὸ «ἐκ χειρῶν». εἰ γὰρ μὴ ἀντὶ ἑνικοῦ νοηθῇ, ἤγουν ἀντὶ τοῦ ἐκ χειρός, ἀμφιδέξιον ἐν τῷ ἱππεύειν τὸν Διομήδην εἶναι δηλοῖ, ὡς ἀμφοῖν τοῖν χεροῖν μαστίζοντα. Ἰστέον δὲ ὅτι ἁπλότητος ἡρωϊκῆς καὶ τὸ μίαν ἔχειν μάστιγα ἐν τῷ ἡνιοχεῖν. οἱ μέντοι ὕστερον πολλαῖς ἐχρῶντο. καὶ τόπος ἦν τῷ δίφρῳ εἰς τὸ κεῖσθαι αὐτάς, ὃς ἐκαλεῖτο γρώνη, ὁμωνύμως τῇ παρὰ Λυκόφρονι θαλασσίᾳ γρώνῃ. φησὶ γοῦν Αἴλιος Διονύσιος· γρώνη, τὸ κοῖλον τοῦ ἁρματείου δίφρου, εἰς ὃ τὰς μάστιγας οἱ ἡνίοχοι ἀπετίθεντο. τὸ δ' αὐτὸ τοῦτο καὶ ληνόν τινες ἔλεγον. (v. 388) Ὅτι ἐν τῇ Ὀδυσσείᾳ μὲν τὸ ἐλεφαίρω φαίνεται κεῖσθαι ἐπὶ τοῦ ἐλπίσιν ἀπατᾶν, ὡς ἀπὸ τοῦ ἔλπω ἐλπαίρω, ἐνταῦθα δὲ ἐπὶ τοῦ ἁπλῶς βλάπτειν, ἐν τῷ «ἐλεφηράμενος Τυδείδην Ἀπόλλων». οὗ τὴν βλάβην ἡ Ἀθηνᾶ ἐκθεραπεύει, δοῦσα ἑτέραν μάστιγα τῷ Διομήδει. ἴσως γὰρ προὐνοήσατο Διομήδης μὴ ἔχειν μίαν μάστιγα, κατ' Ἀθηνᾶν ἐκεῖνος, ἤτοι φρονίμως, διανοηθείς. διὸ οὐκ εἶπε μετὰ ἄρθρου τὴν μάστιγα τὴν ἐκπεσοῦσαν δηλαδὴ τῶν χειρῶν, ἀλλ' ἀορίστως μάστιγα, ἣν ὥσπερ καὶ ἑτέρας εἰκὸς ἔχειν αὐτὸν ἐπὶ δίφρου. βλάπτει δὲ τὸν Τυδείδην ὁ Ἀπόλλων φιλίᾳ τῇ πρὸς τὸν Εὔμηλον, ἣν εἶχε διὰ τὸν αὐτοῦ πατέρα, τὸν Ἄδμητον, ὡς μῦθος δηλοῖ αἰσχρορρημονῶν. (v. 388—90) Ἔστι δὲ ἡ Ὁμηρικὴ ἐνταῦθα φράσις αὕτη «οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος λάθ' Ἀπόλλων Τυδεΐδην». διὸ «μάλα ὦκα μετέσσυτο, δῶκε δέ οἱ μάστιγα, μένος δ' ἵπποιϊν ἐνῆκεν». Ὁμηρικὸν δὲ τὸ καὶ τὰς τοιαύτας δυστυχίας τε καὶ εὐτυχίας εἴς τι θεῖον ἀνάγειν.

4.753 (v. 391—7) Ὅτι κατὰ τὸν προσεχῶς εἰρημένον μῦθον κοτέουσα ὥσπερ Ἀπόλλων τῷ Διομήδεϊ, οὕτως Ἀθηνᾶ τῷ Εὐμήλῳ εἰς ἔσχατον αὐτὸν κινδύνου κατέρριψεν. «ἵππειον» γὰρ «οἱ ἦξεν», ὅ ἐστι ἔαξε, «ζυγόν, αἱ δέ οἱ ἵπποι ἀμφὶς ὁδοῦ δραμέτην», ἤγουν ἐνταῦθα καὶ ἐκεῖ τῆς ὁδοῦ, «ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλύσθη. αὐτὸς δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη, ἀγκῶνάς τε περιδρύφθη στόμα τε ῥῖνάς τε, θρυλλίχθη δὲ μέτωπον ἐπ' ὀφρύσι. τὼ δέ οἱ ὄσσε δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή». Καὶ ὅρα τὴν παθητικὴν ἔννοιαν γλυκάζει παρίσοις ὁ ποιητής, τῷ «ἐλύσθη, ἐξεκυλίσθη, ἐδρύφθη, ἐθρυλλίχθη», ὧν τὰ μὲν δύο λεῖα καὶ εὔφωνα, τὸ δὲ ἐδρύφθη καὶ ἐθρυλλίχθη τῷ πάθει συνεκτραχύνονται. (v. 392) Ἰστέον δὲ ὅτι ζυγὸν μὲν ἵππειον λέγει πρὸς διαστολὴν βοείου καὶ λοιπῶν, ἐν οἷς καὶ ὁ σταθμητικός. (v. 393) Τὸ δὲ «ἐλύσθη» ἀντὶ τοῦ συνεστράφη τοῖς ἡνίοις, ἀπὸ τοῦ εἰλῶ εἰλύω ἀπελεύσει τοῦ ι . (v. 395) Τὸ δὲ «ἐδρύφθη» ἀπὸ τοῦ δόρυ, τὸ ξύλον, καθά που καὶ προδεδήλωται, δορύπτω καὶ συγκοπῇ δρύπτω, ἵνα λέγηται καθ' ὁμοιότητα τῶν ἐκδερομένων καὶ ξυομένων δρυῶν, ὅ ἐστι ξύλων. (v.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

396) Τὸ δὲ θρυλλίσεσθαι πλεῖόν τι κακὸν δηλοῖ τοῦ δρύπτεσθαι. ὠνοματοπεποίηται δέ, καθὰ καὶ τὸ θραύεσθαι. ἐξ αὐτοῦ δὲ παρὰ Λυκόφρονι τὸ θρύλλιγμα. ἴσως δὲ προϋπόκειται τοῦ θρυλλίσσειν τὸ θρυλλῶ, ἐξ οὗ καὶ ὁ κατὰ φήμην καὶ ὄχλον θρύλλος. ταῦτα δὲ ἡ πλείων χρῆσις δι' ἑνὸς λ οἶδε προφέρειν. Ὅτι γλυκὺ χωρίον, ἔνθα τοῖς ἵπποις ὁ Ἀντίλοχος οὐκ ὀλίγα, καθά που ὁ Ἕκτωρ, ἀλλὰ πολλὰ λαλεῖ, ἐπιτάσσων, κολακεύων, συμβουλευόμενος, ἀπειλούμενος, ὡς εἴπερ ἦσαν λογικοί. (v. 403—6) Καὶ πρῶτα μὲν κεκλόμενος, ἤτοι ἐγκελευόμενος, φησὶν «ἔμβητον καὶ σφῶϊ» τουτέστιν ὑμᾶς αὐτούς, «τιταίνετον ὅττι τάχιστα.

4.754 ἤτοι μὲν κείνοισιν ἐριζέμεν οὔ τι κελεύω Τυδείδεω ἵπποισι δαΐφρονος, οἷσιν Ἀθήνη νῦν ὤρεξε τάχος καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκεν». (v. 407—9) Εἶτα ἀξιοῖ τοὺς τοῦ Ἀτρείδου καταλαμβάνειν ἵππους ταχύ, εἰπὼν «κιχάνετε μηδὲ λίπησθον καρπαλίμως, μὴ σφῶϊν», ἤγουν ὑμῶν, «ἐλεγχείην καταχεύῃ Αἴθη, θῆλυς ἐοῦσα». (v. 409—16) Εἶτα καὶ κολακεύσας ἐν τῷ «τίη λείπεσθε, φέριστοι», ἐπάγει ἀπειλητικῶς «ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται, οὐ σφῶϊν», ἤγουν ὑμῖν, «κομιδή», τουτέστιν ἐπιμέλεια, «παρὰ Νέστορι ποιμένι λαῶν ἔσσεται, αὐτίκα δ' ὔμμε κατακτανεῖ ὀξέϊ χαλκῷ, αἴ κ' ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄεθλον. ἀλλ' ἐφομαρτεῖτον καὶ σπεύδετον ὅττι τάχιστα. ταῦτα δ' ἐγὼν αὐτός», καὶ ἑξῆς. καὶ οὕτω μὲν Διομήδης. (v. 417 s.) Οἱ δὲ ἵπποι «ἄνακτος ὑποδείσαντες ὁμοκλήν», ὡς καὶ ἐν τοῖς ἑξῆς αἱ τοῦ Μενελάου πείσονται—αἰδεῖται γὰρ ὁ ποιητὴς κἀν τούτοις τὴν τοῦ λόγου ἀπραξίαν—«μᾶλλον ἐπιδραμέτην ὀλίγον χρόνον», διὰ τὸ πολὺ γῆρας δηλαδή, ὅπερ ἄλλοι ἐν τοῖς τοιούτοις ἵπποις δεικνύουσιν. Ἰστέον δὲ ὅτι τὸ μὲν τοῦ Ἀντιλόχου ἀφελές ἐστι μόνον ἐνταῦθα καὶ γλυκύ. ὅτε δὲ ὁ Ἀχιλλεὺς ὡμίλει τοῖς οἰκείοις ἵπποις, εἶχέ τι καὶ περιπαθὲς ὁ ἐκεῖ λόγος, καὶ ὅτι προσλαλεῖ τοῖς ἵπποις καὶ Μενέλαος, ὀλίγα μέντοι ἐν τοῖς ἑξῆς. φρενήρης γὰρ ὁ ἀνὴρ, καὶ οὐχ' οὕτω προσήκων τῇ ἀφελείᾳ, ὡς ὁ νεώτατος Ἀντίλοχος. (v. 403) Ὅρα δὲ τὸ «ἔμβητον», ὅπερ τοῖς νῦν ἀνθρώποις εἰς κοινολεξίαν κεῖται, λαμβανόμενον ἐπὶ ἐναγωνίου σπουδῆς, ὡς τοῦ ἀγωνιζομένου ἐκ τοῦ ἔξω εἶναι εἰς ἀγῶνα ἐμβαίνοντος. τούτου δὲ τὸ πρῶτον ἑνικόν, ἤγουν τὸ ἔμβηθι, «ἔμβα» λέγει ὁ Κωμικὸς, καθὰ καὶ τὸ κατάβηθι «κατάβα». Τὸ δὲ «τιταίνετον ὅττι τάχιστα» διασαφεῖται ἐν τῷ «σπεύδετον ὅττι τάχιστα».

4.755 τιταίνεσθαι γὰρ εἰς δρόμον τὸ σπεύδειν ἐστί. (v. 407 s.) Τὸ δὲ «κιχάνειν καρπαλίμως» ταὐτὸν τῷ «ἄφαρ ἵπποισι τείνεσθαι δρόμον». ἐν τούτοις δ' ἔστιν ἰδεῖν συνήθη ἀδιαφορίαν δυϊκοῦ ἀριθμοῦ καὶ πληθυντικοῦ τοῦ ἔμβητον, τιταίνετον, μὴ λίπησθον, καὶ αὖθις τοῦ κιχάνετε καὶ τοῦ λείπεσθε, ἃ δὴ πάντα ἐπὶ τῆς αὐτῆς ξυνωρίδος κεῖται. (v. 406) Τὸ δὲ «νῦν ὤρεξε τάχος» διαβλητικόν ἐστι τῶν τοῦ Διομήδους ἵππων, ἵνα οἱ τοῦ Ἀντιλόχου ἐνταθῶσιν εἰς δρόμον, οἷα δῆθεν αἰσθόμενοι ὡς ὡριαῖόν ἐστι τὸ τάχος τοῖς ἀντιδρόμοις ἵπποις. (v. 409) Τὸ δὲ θῆλυς ἀντὶ τοῦ θήλεια κἀνταῦθά ἐστιν, ὁμοίως τῷ «θῆλυς ἐέρση». (v. 411—2) Τὸ δὲ «οὐκ ἔσσεται ὑμῖν κομιδὴ παρὰ Νέστορι», καὶ τὸ «αὐτίκα ὑμᾶς κατακτενεῖ» οὐ μόνον ἀφελῶς ἐρρέθη, ἀλλὰ καὶ μάλλον παιδευτικῶς, ὡς μηδενὸς παιδὸς δυναμένου ποιεῖν ἐπὶ τοῖς τοῦ πατρὸς ἃ βούλεται, εἰ καὶ ἄριστος κατὰ τὸν Νεστορίδην τοῦτον εἴη ἐκεῖνος ὁ παῖς. Ὅρα δὲ ὡς «ἔσεται» εἰπὼν ἀπαθῶς ἀνωτέρω «ἔσται» εἶπε τὸ συγκεκομμένον ἐκ τοῦ «ἔσεται». (v. 413) Ἀποκηδῆσαι δὲ τὸ ἀφροντιστῆσαι, ὃ πρὸ ὀλίγου ἀκηδῆσαι εἶπεν, ὡς τῆς ἀπο προθέσεως μὴ ἀργῆς οὔσης, ἀλλὰ δηλούσης πέρας καὶ ἀπόθεσιν τοῦ κήδεσθαι. εἴη δ' ἂν καὶ ἀντὶ τοῦ ἀκηδιάσαντες ἡ τοιαύτη λέξις. Τὸ δὲ «ἐὰν ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄεθλον», εἰ μὲν καὶ τὸν Ἀντίλοχον συμπεριλαμβάνει, ὀρθῶς συντέτακται, ἵνα κοινούμενος τὴν πρᾶξιν λέγῃ ὅτι, ἐὰν ἐγὼ καὶ ὑμεῖς ἀμελήσαντες ποιήσωμεν τόδε. εἰ δὲ περὶ μόνων τῶν ἵππων ὁ λόγος ἐστί, σόλοικον τὸ σχῆμα φαίνεται. οὐ γὰρ ἀσολοίκιστον τὸ εἰπεῖν ὅτι, ἐὰν ἀκηδήσαντες οἱ ἵπποι φερώμεθα ἡμεῖς χεῖρον ἄεθλον. ὥστε κατὰ τοῦτον τὸν νοῦν ἡ πάνυ πολλὴ σπουδὴ καὶ ἀγωνία τοῦ ἱππέως οὐκ ἐκράτησε τῆς ὀρθῆς συντάξεως μέχρι παντός. τὴν δὲ ἡνιοχικὴν ὁμοκλὴν ὅτι καὶ δεινὴ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξάκουστος ἦν καὶ διηνεκὲς ἔργον τοῖς ἱππεύουσι, δηλώσει ἐν τοῖς ἑξῆς καὶ ὁ ἄνευθεν ἐόντος ὁμοκλητῆρος ἀκούσας, ἤγουν τοῦ ἀπειλουμένου τοῖς ἵπποις ἡνιόχου. (v. 404) Ἰστέον δὲ καὶ ὡς τὸ «ἤτοι μὲν κείνοισιν ἐριζέμεν οὔ τι κελεύω» οἰκεῖον λεχθῆναι ἐπὶ τῶν ἀναμφηρίστως ὑπερφερόντων, (v.

4.756 415) ἐπὶ δὲ μηχανικῆς ἐπινοίας τὸ «ταῦτα δ’ ἐγὼν αὐτὸς τεχνήσομαι ἠδὲ νοήσω». λόγος δὲ καὶ τοῦτο Ἀντιλόχου πρὸς τοὺς ἵππους. πρωτότυπον δὲ τὸ τεχνήσομαι τοῦ τεχνάσομαι, ὡς καὶ τὸ τεχνῶ τοῦ τεχνάζω. (v. 416) Τέχνημα δὲ ἢ τέχνασμα καὶ νόημα τῷ Ἀντιλόχῳ «στεινωπῷ», φησίν, «ἐν ὁδῷ παραδύμεναι». καὶ ἔστι καιριωτάτη νῦν λέξις τὸ «παραδῦναι», ὅ ἐστιν ἐκ πλαγίου ἐπιδραμεῖν καὶ οὕτως ἔμπροσθε γενέσθαι, ὃ καὶ παρεισδῦναί φαμεν. Τὴν δὲ στεινωπόν, ἣ καὶ ἐφεξῆς κεῖται, στεῖνος εὐθὺς κατωτέρω φησί. χρῆσις δὲ στείνους καὶ ἐν τοῖς πρὸ τούτων. κυρίως δὲ στεινωπός, ὥς που καὶ ἀλλαχοῦ, ἔνθα οὐκ ἔχουσι διαπετάννυσθαι εἰς θέαν, ἀλλ’ ἀποστενοῦνται οἱ ὦπες. [Ἰστέον δὲ ὅτι τε τῷ στεινωπός ἐναντίον ἐστὶ τὸ εὐρωπός, καὶ ὅτι ὡς ἐπὶ πολὺ στενωπὸς ἐλλειπτικῶς λέγεται κατὰ στέρησιν τοῦ ὁδός ἢ ῥύμη ἢ τόπος.] (v. 418—24) Ὅτι ὁ Ἀντίλοχος κατ’ εὐθὺ τρέχων ἀπεριπλάνητος καὶ τὸν προὔχοντα δοκεύων, ὡς ὁ πατὴρ παρῄνεσεν, ἰδὼν στεῖνος ὁδοῦ κοίλης «τῇ ῥα», ἤγουν ὅπου δή, «εἶχε Μενέλαος ἁματροχιὰς ἀλεείνων», «παρατρέψας ἔχε μώνυχας ἵππους ἐκτὸς ὁδοῦ», τῆς εὐθείας δηλονότι, καθ’ ἣν πρῴην ἤλαυνεν, «ὀλίγον δὲ παρακλίνας ἐδίωκεν», ἤτοι κατὰ σπουδὴν ἤλαυνε. (v. 425—30) Μενελάου δὲ δείσαντος καὶ εἰπόντος «Ἀντίλοχε, ἀφραδέως», ἤτοι ἀνεπιστημόνως, «ἱππάζεαι, ἀλλ’ ἄνεχε ἵππους. στεινωπὸς γὰρ ὁδός, τάχα δ’ εὐρυτέρη παρελάσεις, μή πως ἀμφοτέρους δηλήσεαι ἅρματι κύρσας, Ἀντίλοχος ἔτι καὶ πολὺ μᾶλλον ἤλαυνε, κέντρῳ ἐπισπέρχων, ὡς οὐκ ἀΐοντι ἐοικώς», φιλίαν ἐν δευτέρῳ νίκης θέμενος. (v. 434—7) Μενέλαος δὲ «ἑκὼν μεθέηκεν ἐλαύνειν, μή πως συγκύρσειαν ὁδῷ ἔνι μώνυχες ἵπποι, δίφρους τ’ ἀνστρέψειαν ἐΰπλεκέας, κατὰ δ’ αὐτοὶ ἐν κονίῃσι πέσοιεν ἐπειγόμενοι περὶ νίκης». καὶ ἔστιν ἰδοὺ τοῦτο μῆτις Ἀντιλόχου κατὰ πατρικὴν ὑποθήκην, δι’ ἧς τοῦ ἀντιπάλου ἡνιόχου περιγίνεται.

4.757 στεινωπῷ γὰρ ἐν ὁδῷ παραδὺς καὶ στενοχωρήσας τὸν Ἀτρείδην, ἔνθα γῆς ἦν ῥωχμός, ἠνάγκασεν αὐτὸν στῆναι τοῦ ἐλαύνειν δέει τοῦ καταπεσεῖν ἀμφοτέρους εἰς τὸν ῥωχμόν, καὶ οὕτω παρέδραμεν. οἷα γοῦν ἀκούσει καὶ οἷον ὄχλον διὰ τοῦτο πείσεται, δηλωθήσεται ἐν τοῖς ἑξῆς. [(v. 430) Κέντρον δὲ ᾧ σπέρχονται ἵπποι, κἀνταῦθα ἡ μάστιξ παρὰ τὸ κεντεῖν, ἀφ’ οὗ καὶ κέντορες ἵππων, οἱ νόῳ ἐπιβάλλοντες ἱμάσθλην, ἤγουν μάστιγα, ὅπερ ἐκ μέρους τὸ πᾶν δηλοῖ, ἤτοι ἐκ μόνου τοῦ ἱμάντος τὴν ἐξ αὐτοῦ καὶ τοῦ ξύλου συγκειμένην μάστιγα. δοκεῖ δὲ κέντρον εἶναι ἄλλως καὶ τὸ ἁπλῶς κεντοῦν, ὡς τὸ βούκεντρον καὶ τὸ περὶ πτέρναν σιδήριον, ᾧ νύσσονται ἵπποι. διὸ καὶ τρυγόνος θαλασσίας κέντρον λέγεται, καὶ σκορπίου δέ, καὶ σφηκὸς καὶ ἀλκαίας λέοντος καὶ ἑτέρων. τοιούτου δὲ κέντρου παρώνυμον καὶ οἱ κέντρωνες οἵ τε ῥαπτόμενοι καὶ οἱ γραφόμενοι, ἔτι δὲ καὶ τὸ ἐγκεντρίζειν ἐπὶ φυτῶν, ἵνα ὥσπερ ἐγκεντρίζειν ἐστὶ τὸ ἐγκεντεῖν καὶ ἐμβάλλειν φυτῷ τινι κλαδίσκον ἀλλοίου φυτοῦ, οὕτω καὶ κέντρων ῥαπτὸς μέν, ᾧπερ ὡσανεὶ παρακεντοῦνται διάφοροι χροιαὶ ὑφασμάτων, γραπτὸς δέ, ᾧ παρατίθενται τοιούτου παρακεντήματος δίκην μέρη ποιημάτων καὶ στίχων ἄλλοθεν ἄλλα, ὁποῖα καὶ τὰ ἐντεῦθεν κληθέντα Ὁμηρόκεντρα, τουτέστιν οἱ Ὁμηρικοὶ κέντρωνες.

4.758 οἷς ὅμοιοι γένοιντ’ ἂν καὶ ἐξ ἑτέρων ποιητῶν, ἤδη δέ που καὶ ἐκ πεζολογιῶν, ὁποῖοι σκωφθήσονται εἶναι οἱ μὴ γεννῶντες ῥητορείας οἰκείας, ἀλλ’ ὡς εἰπεῖν, λογοσυλλεκτάδαι ὄντες καὶ δι’ ὅλου σπερμολογοῦντες ἐν ἐγκωμίοις. Ἰστέον δὲ καὶ ὅτι κυρίως κέντρον τὸ στίζον ἐστί. διὸ καὶ ταὐτὸν παρ’ Ὁμήρῳ κέντρον καὶ μάστιξ. ἐκ τοῦ στίζειν γὰρ ἤτοι κεντεῖν ἡ μάστιξ ὡς καὶ ὁ μαστιγίας καὶ τὰ στικτά, οἷς καὶ τὸ βαλιὸν ᾠκείωται ἀπὸ τοῦ βάλλειν, ὅπερ ἐστὶ κεντεῖν καὶ στίζειν.] (v. 420) Ῥωχμός δὲ καὶ ῥῆγμα ταὐτά εἰσιν, ὡς καὶ βρεχμός καὶ βρέχμα, καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλεχμός καὶ πλέχμα. γίνεται δὲ ὁ ῥωχμὸς παρὰ τὸ ῥῆξαι τροπῇ τοῦ η εἰς ω . (v. 420 s.) Διὸ καὶ ὁ ποιητὴς ἐτυμολογῶν ἅμα καὶ ἑρμηνεύων τὴν λέξιν φησὶ «ῥωχμὸς ἔην γαίης ᾗ», τουτέστιν ὅπου, «χειμέριον ἀλέν», ὅ ἐστι συστραφέν, συναχθέν, «ὕδωρ ἐξέρρηξεν ὁδοῖο· βάθυνε δὲ χῶρον ἅπαντα», ὡς εἶναι δηλαδὴ τὸν τόπον ταφρώδη. ἔστιν οὖν ῥωχμὸς καθ' Ὅμηρον ἔκρηξις ὁδοῦ ἐτυμολογικῶς, ἢ καὶ ἄλλως εἰπεῖν, ῥωχμός ἐστι χῶρος, ὃν ἐβάθυνε χειμέριον ὕδωρ ἐκρῆξαν ὁδοῦ. ἀπέρρηκται γὰρ ὁ τοιοῦτος χῶρος τῆς τε συνεχείας καὶ τοῦ ὁδεύεσθαι. ὁ δὲ τοιοῦτος καὶ «στεῖνος ὁδοῦ κοίλης» ἀνωτέρω ἐλέχθη. (v. 422) Ἁματροχιαὶ δὲ αἱ ὁμοδρομίαι ἢ μᾶλλον αἱ ὁμοῦ συμβολαὶ τῶν τροχῶν, εἰπεῖν δὲ καὶ κατὰ τοὺς παλαιούς, αἱ εἰς ταὐτὸ σύνοδοι τῶν τροχῶν.

4.759 (v. 423) Τὸ δὲ «παρατρέψας» καὶ «παρεκκλίνας» παρ' ἄλληλα κείμενα δηλοῦσι ταὐτό. (v. 426) Τὸ δὲ «ἄνεχε» ἀντὶ τοῦ ἔπεχε, ἀνασείραζε, ὃ δὴ ἀνάπαλιν ἔχει πρὸς τὸ «εἶχε Μενέλαος», τουτέστιν ἤλαυνε, καὶ Ἀντίλοχος ἔχεν ἵππους», οὗ ἑρμηνευτικὸν τὸ «καὶ πολὺ μᾶλλον ἔλαυνεν». (v. 427) Ἡ δὲ εὐρυτέρα ὁδὸς δῆλον ὅτι τῇ στενωπῷ ἀντίκειται. Καὶ ὅρα τὸ «εὐρυτέρα», ὡς ἐχούσης δῆθεν καὶ τῆς στεινωποῦ ὁδοῦ εὖρος, εἰ καὶ βραχύ, καὶ ὁδευομένης καὶ αὐτῆς. ἔοικε γὰρ διπλοῦς μὲν ῥωχμὸς ἑκατέρωθεν ἀνεῳγέναι, μέσον δὲ στεινωπὸς ὁδός, ἤτοι στεῖνος ὁδοῦ, κλεισουροειδῶς ἐσφίγχθαι. ἔνθα ἓν μὲν ἅρμα ἐχώρει, δύο δὲ συμβαλόντα κίνδυνον ἂν ἔπαθον. αὐτὸ γὰρ καθ' αὑτὸ τὸ κοῖλον, ἤτοι τὸν ῥωχμόν, οὐκ ἄν τις νοήσοι ὁδόν. οἱ δὲ παλαιοὶ λέγουσι καὶ ὅτι ἐκ τῆς ὁδοῦ εἰς τὰς ῥωγάδας Ἀντίλοχος ἑαυτὸν ἔδωκε, παρατρέψας, ἵνα παρελάσῃ, οἷα τὸν ἐντὸς ἔχων δρόμον ὀρθότερον, καὶ φθάσῃ ἐπὶ καμπτῆρα. Μενέλαος δὲ ἐξωτέρω τὸν ἀσφαλέστερον ἤλαυνε δρόμον. ὅτι δὲ οὐ σαφῶς ταῦτα ἔχει, γνώσεται ὁ συμβιβάζων τῇ Ὁμηρικῇ φράσει αὐτά. (v. 428) Τὸ δὲ «παρελάσεις» ἀντὶ τοῦ παραδραμεῖς, νικήσεις, ὡς καὶ πρὸ ὀλίγων. (v. 428) Τὸ δὲ «ἀμφοτέρους» ἔχει τι ἀσαφὲς διὰ τὴν τοῦ λέγοντος σύγχυσιν. οὐ δηλοῖ μὲν γάρ, τίνας ἀμφοτέρους φησίν, εἴτε ἵππους, εἴτε καὶ μή. δοκεῖ δὲ μᾶλλον δηλοῦν τοὺς ἡνιόχους, τὸν Ἀτρείδην καὶ τὸν τοῦ Νέστορος. Κύρσαι δὲ ἅρματι καὶ ἐν ὁδῷ συγκύρσαι τὸ προσκροῦσαι δηλοῖ κατά τινα συγκυρίαν ὁμοῦ γενόμενον ἤγουν εἰς ἓν ἐλθόντα. (v. 434) «Μεθέηκε» δὲ ἀντὶ τοῦ ἠμέλησεν ἐκ τοῦ μεθίημι, ἐξ οὗ καὶ μεθήμων ὁ ἀμελητής, καὶ μεθημοσύνη ἡ ἀμέλεια, καὶ ἡ μέθη καὶ τὸ μέθυ, ὡς καὶ ἀλλαχοῦ εἴρηται. ἐναντίον δὲ τὸ μεθεῖναι πρὸς τὸ ἐφεῖναι, ὃ δηλοῖ τὸ ἐντείλασθαι, ἀφ' οὗ καὶ ἐφήσεσθαι τὸ ἐντελεῖσθαι πρὸ ὀλίγων που εἶπεν ὁ ποιητής. (v. 437) Τὸ δὲ «ἐπειγόμενοι περὶ νίκης» ἀστείως πρόσκειται, ὡς μὴ δέον ὂν προφανεῖ κινδύνῳ διὰ νίκην τοιαύτην ἐπιβαλεῖν. Ἐν τούτοις δὲ καὶ μετρῶν ὁ ποιητής, ὅσον οἱ τοῦ Ἀντιλόχου μὲν ἐπέδραμον ἵπποι μετὰ τὸν κατὰ Μενελάου δόλον, αἱ δὲ τοῦ Μενελάου λειφθεῖσαι ἠρώησαν ὀπίσσω, φησὶν (v.

4.760 431—3) «ὅσσα δὲ δίσκου οὖρα κατωμαδίοιο πέλονται, ὅντ' αἰζηὸς ἀφῆκεν ἀνὴρ πειρώμενος ἥβης, τόσσον ἐπιδραμέτην», τουτέστι προέδραμον ἢ ἐπὶ πλέον ἔδραμον. οὕτω γὰρ ἑξῆς καὶ οἱ τοῦ Μενελάου μᾶλλον ἐπιδραμέτην, οὐ προδραμόντες τῶν τοῦ Ἀντιλόχου, ἀλλὰ τὸν δρόμον ἐπιτείναντες. (v. 433) Τὸ δὲ «ἠρώησαν ὀπίσω» περιφραστικῶς καὶ διαλελυμένως ῥηθὲν δηλοῖ τὸ ἀνεχώρησαν, ἀνεπόδισαν. τοιοῦτον γὰρ τὸ ὀπίσω ὥρμησαν, ὅπερ ἠδύνατο ἀνηρώησαν εἰπεῖν, εἴπερ ἤθελεν, ὥσπερ καὶ τὸ ἐκτὸς ὥρμησαν τῆς ὁδοῦ ἐξηρώησαν ἐρεῖ ἐν τοῖς ἐφεξῆς. ἠρώησαν δὲ ὀπίσω αἱ τοῦ Μενελάου ἵπποι, ἀνασειρασθεῖσαι δηλαδή, ὡς ἂν μὴ ἐμπέσοιεν τῷ ῥωχμῷ. (v. 431) Οὖρα δὲ δίσκου οἱ παλαιοὶ τὰ ὁρμήματά φασι παρὰ τὸ ὀρούω, τὸ ὁρμῶ. καὶ νῦν μὲν διαλύσας τὰς λέξεις ἔφη, μετ' ὀλίγα δὲ ὑφ' ἓν συνθέτως ἐρεῖ δίσκουρα. τινὰ μέντοι τῶν ἀντιγράφων καὶ ἐκεῖνο «δίσκ' οὖρα» ἔχουσιν ἐν δυσὶ μέρεσι λόγου κατὰ συναλιφήν. μεταπέπλασται δὲ ὁ οὖρος εἰς τὸ ἐνταῦθα οὖρον, ἤγουν, ὡς ἐρρέθη, ὅρμημα, [καθὰ καὶ εἰς τὸ λύθρον ὁ λύθρος, οὗ χρῆσις παρὰ τῷ Ὀππιανῷ, καθὰ καὶ ὁ κατὰ εἰρήνην ὅμηρος εἰς τὸ ὅμηρον, ὅθεν καὶ τὸ ὁμηρεύειν καὶ ἡ ὁμηρεία.] Κατωμάδιος δὲ δίσκος ὁ τῆς χειρὸς ἀνατεινομένης ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὤμου πεμπόμενος. οὕτω γὰρ καὶ κατωμαδόν τις ἵππους ἐλαύνει, ἀνάγων τὴν μάστιγα κατ' ὤμους, κἀκεῖθεν αὐτὴν κατάγων τῶν ἵππων. τὸ δὲ εἰπεῖν κατωμάδιον δίσκον, ὅν, ὡς εἰκός, ἐπὶ τὰ ὀπίσω τις ἀφίησιν, ἀνιστόρητόν ἐστι καὶ ἀμάρτυρον. (v. 432) Αἰζηὸς δὲ φανερῶς ἐνταῦθα ὁ νέος καὶ ἔχων ἥβην, ὃς καὶ ἐπὶ μακρὸν ἔχοι ἂν πέμπειν τὸν δίσκον. (v. 439 s.) Ὅτι πρὸς τὸν ἐν τῷ νομίζεσθαι ἀγαθὸν ἀλλοῖον φανέντα οἰκεῖον εἰπεῖν, ὅπερ ὁ Μενέλαος πρὸς Ἀντίλοχον «οὔ τις σεῖο βροτῶν ὀλοώτερος ἄλλος· ἔρρ', ἐπεὶ οὐ ς' ἐτυμόν γε», ἤγουν ἀληθῶς, «φάμεν πεπνῦσθαι».

4.761 παρῴδηται δὲ τὸ «βροτῶν ὀλοώτερος» ἐκ τοῦ «οὔ τις σεῖο θεῶν ὀλοώτερος». (v. 441) Πρὸς δὲ τὸν μὴ δίχα ὅρκου ἀποισόμενον ὃ θέλει, ῥηθήσεται τὸ «ἀλλ' οὐ μὰν οὐδ' ὧς ἄτερ ὅρκου οἴσῃ ἄεθλον». Μενέλαος δὲ πρὸς τὸν αὐτὸν καὶ τοῦτό φησι. (v. 446 s.) Σπουδῆς δὲ δηλωτικὸν τὸ «οἳ δὲ ἄνακτος ὑποδδείσαντες ὁμοκλὴν μᾶλλον ἐπέδραμον», [ὃ καὶ πρὸ βραχέων κεῖται.] (v. 444 s.) Ὅτι τὴν τοῦ φθάσαι λέξιν διὰ τοῦ η φησὶν Ὅμηρος ἐν τῷ «φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα ἢ ὑμῖν. ἄμφω γὰρ ἀτέμβονται», ἤτοι στέρονται, «νεότητος». χρήσιμος δέ ποτε ὁ λόγος ἐρεθίσαι νέους, εἰ συντρέχοιεν γηραιοῖς. Μενελάου δὲ ταῦτα πρὸς τοὺς ἑαυτοῦ ἵππους, ὃς λαλεῖ μέν τι καὶ αὐτὸς τούτοις, καθὰ καὶ Ἀντίλοχος, οὐ μακρὰ δέ, ὡς καὶ προείρηται, οἷα ἀρκεσθεὶς εἰπεῖν τὸ (v. 443—5) «μή μοι ἐρύκεσθον μηδ' ἕστατον ἀχνυμένω κῆρ. φθήσονται γὰρ τούτοισι πόδες», καὶ ἑξῆς, ὡς ἀνωτέρω ἐγράφη. παῦρα γὰρ καὶ νῦν λαλεῖ καὶ οὐ πολύμυθός ἐστι. (v. 444) Γίνεται δὲ τὸ «φθήσονται» ἢ ἐκ τοῦ φθῶ φθήσω ἢ μᾶλλον ἐκ τοῦ φθῆμι, ὅθεν καὶ ὁ παραφθάμενος καὶ ὁ φθάς καὶ τὸ ἔφθη. τὸ δέ γε «ἔφθασε» καὶ τὰ κατ' αὐτὸ δοκεῖ ἐκ παραγώγου τοῦ φθῶ φθάζω γίνεσθαι. [Τὸ δὲ φθῶ ἐκ τοῦ φῶ, τὸ φαίνω, πλεονασμῷ τοῦ θ , ἢ ἐκ τοῦ ὁμοίου φῶ, καὶ τοῦ θῶ, τὸ τίθημι, ἤγουν ποιῶ. τὸ γὰρ φθάσαν γενέσθαι πέφανται καὶ τέθειται.] (v. 443) Τὸ δὲ «ἕστατον» ἐκ τοῦ ἕστακα παρακειμένου δασύνεται. ἑστάκατον γὰρ ἐκεῖθεν τὸ τρίτον δυϊκὸν καὶ συγκοπῇ ἕστατον. (v. 448 s.) Ὅτι θεωρικὸν τὸ «οἳ δ' ἐν ἀγῶνι καθήμενοι εἰσορόωντο ἵππους· τοὶ δὲ πέτοντο κονίοντες πεδίοιο». (v. 450—3) Ὅτι Ἰδομενεὺς ἐκτὸς ἀγῶνος ὑπέρτατος ἐν περιωπῇ[, ὡς ἐχρῆν,] καθήμενος καὶ διὰ τοῦτο βλέπων ὀξύτερον τῶν λοιπῶν ὡς καὶ τῶν καθημένων ὁ ἱστάμενος, ἔτι δὲ καὶ ὁμοκλητῆρος ἀκούσας, ὅπερ καὶ προεγράφη, καὶ ὄψει καὶ ἀκοῇ σημηνάμενος, «ἐφράσατο», φησίν, «ἵππους», τοὺς προθέοντας δηλαδή, ἔγνω δὲ καὶ τόν, ὡς προείρηται, ὁμοκλητῆρα.

4.762 μάλιστα δὲ ἀπὸ παρασήμου χροιᾶς ἵππου μανθάνει τὸ πᾶν. (v. 453—5) Φησὶ γὰρ Ὅμηρος «φράσατο δ' ἵππον ἀριπρεπέα προὔχοντα, ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν, ἐν δὲ μετώπῳ λευκὸν σῆμα τέτυκτο περίτροχον ἠΰτε μήνη». Καὶ ὅρα ὅτι καθηγητὴς γέγονε τοῖς μετ' αὐτὸν ὁ ποιητὴς καὶ τοῦ τοιαῦτα ἐν ἵπποις παρασημαίνεσθαι, ἅ φασιν οἱ χυδαΐζοντες σύσσημα. (v. 452) Σημείωσαι δὲ ὅτι Ἕκτορα μέν που ἀκοῦσαι ὁμοκλητῆρα ἔχει τι καὶ σκώμματος, ὡς καὶ προδεδήλωται, ὁμοκλητὴρ δὲ νῦν ὁ Διομήδης οὐχ' οὕτως, ἀλλ' ἁπλῶς ἄλλως λέγεται, ὡς δέον ὂν ἀναγκαίως τὸν ἡνιοχοῦντα ἐμβοᾶσθαι ἵπποις κατὰ ὁμοκλήν. (v. 453) Τὸ δὲ «φράσατο ἵππον» ἐπιδιόρθωσίς ἐστι τοῦ «ἐφράσατο ἵππους». δηλοῖ γὰρ μὴ τοὺς δύο, ἀλλὰ τὸν ἕνα μάλιστα φράσασθαι. Τὸ δὲ «ἀριπρεπέα» ταὐτόν ἐστι τῷ ἐκπρεπέα ἐν πολλοῖς. ἐπίτασιν γὰρ σημαίνει καὶ ἡ ἐκ πρόθεσις ἐνταῦθα, ὡς καὶ τὸ ἀρι ἐπίρρημα. (v. 454) Τὸ δὲ «τὸ μὲν ἄλλο τόσον» σχῆμά ἐστιν Ὁμηρικόν, κείμενον, ὡς καὶ προπαρεσημάνθη, ἐπὶ τῶν παρ' ὀλίγον ἐντελῶς ἐχόντων κατά τι. καὶ σημαίνει τὸ πᾶν καὶ μικροῦ δεῖν ὅλον. τοιοῦτον πρὸ τούτων ἐπὶ Ἕκτορος τὸ «τοῦ δὲ καὶ ἄλλο τόσον μέν» ὅπλοις ἐκρύπτετο, καὶ ἐπὶ τῶν κατὰ Ἥφαιστον τὸ οἱ τρίποδες «τόσον μὲν ἔχον τέλος» καὶ ἑξῆς. οὕτω γοῦν καὶ ἐνταῦθά φησιν ὅτι ὁ ἕτερος τῶν τοῦ Διομήδους ἵππων τὸ μὲν ἄλλο τόσον, ἤγουν τὸ μὲν ἄλλο ὅλον, τοῦ σώματος φοῖνιξ ἦν, ἐν δὲ μετώπῳ λευκὸν εἶχε σῆμα, ὥσπερ καὶ ὁ Ἕκτωρ τὸ μὲν ἄλλο πᾶν σῶμα ἐκρύπτετο, περὶ δὲ τὰς ἀνὼ κλεῖδας ἐφαίνετο, καὶ οἱ τρίποδες δὲ τὸ μὲν ἄλλο πᾶν εἶχον, οὔατα δὲ οὔπω. οἱ μέντοι Γλωσσογράφοι κατὰ τοὺς

παλαιοὺς τὸ τόσον ἀντὶ τοῦ σῶμά φασιν, ἵνα λέγῃ ὅτι τὸ μὲν ἄλλο σῶμα εἶχε τοιῶσδε. Φοῖνιξ δὲ νῦν ὁ πυρρός, ὅθεν καὶ φοίνικες ἡ ὀπώρα διὰ τὸ ὁμοιόχροον. ἤδη δὲ καὶ τὸ ἐθνικόν, ἐπεὶ καὶ Ἐρυθραῖοι ἀνέκαθεν οἱ αὐτοί, ὡς ταὐτὸν ὂν οὕτως αὐτοὺς ἢ οὕτω καλέσαι, ἐπεὶ καὶ ὅμοιόν ἐστιν ἐρυθρὸν εἰπεῖν χρῶμα καὶ φοινικοῦν, περὶ ὧν δεδήλωται καὶ ἐν τοῖς τοῦ Περιηγητοῦ.

4.763 ἴσως δὲ ἐντεῦθεν καὶ Φοῖνιξ τὸ κύριον ὄνομα, διὰ τό, ὡς εἰκός, ἐν αὐτῷ φοινίκεον τῆς χροιᾶς, ὃ καὶ τὸν Ἐρύθραν, τὸ κύριον, ἐπενοήσατο, καὶ τὸν ἐρυθῖνον ἰχθὺν [καὶ τὸν Ἐρευθαλίωνα. προηγεῖται δὲ τοῦ φοίνικος ἢ ἵππου ἤ τινος ἑτεροίου ὁ φόνος, ὃ δηλοῖ τὸ αἷμα. ἐκεῖθεν γὰρ τὰ τοιαῦτα ἐρυθρά πως ὄντα κατ' αὐτό.] (v. 455) Τὸ δὲ σῆμα γενικὴ λέξις ἐπί τε τῆς νῦν δηλουμένης ἐννοίας λεγομένη καὶ ἐπὶ ἄλλων διαφόρων, ἐν οἷς καὶ τὸ «ξύλον αὖον σῆμα βροτοῦ τεθνεῶτος». [Τούτου δὲ τοῦ γένους ἤρτηται καὶ τὸ νεκρικὸν σῆμα, ἤγουν ὁ τάφος. καὶ αὐτὸ γὰρ οὕτω καλεῖται διὰ τὸ σημαίνειν, ὡς ἐν αὐτῷ κεῖταί τις. καὶ καλεῖται οὕτως ἐξοχικῶς εὐφήμῳ λόγῳ κατά τι κύριον. διὸ σῆμα μὲν λέγεται, οὐ μὴν καὶ σημεῖον ῥητῶς, εἰ καὶ ἄλλως ἐχρῆν κατά γε τὸ μνῆμα μνημεῖον.] Τὸ δὲ «περίτροχον», ὅ ἐστι περιφερές, τὴν αὐτὴν ἐτυμολογίαν ἔχει τῷ τροχῷ. Τὸ δὲ «καθὰ μήνη», ὅ ἐστι σελήνη, πιθανὸν ποιεῖ τὸ πόρρωθεν τὸν ἵππον βλέπεσθαι. διάδηλος γὰρ ἦν μακρόθεν τῇ τοιαύτῃ λευκότητι. Ἰστέον δὲ καὶ ὅτι τοὺς τοιούτους ἵππους ἀρίστους ὁ Χαμαιλέων ἱστορεῖ, ὥς φασιν οἱ Ὑπομνηματισταί. Τὸ δὲ «ἠΰτε μήνη» χρήσιμον γέγονε καὶ πρὸ τούτων τῷ ποιητῇ σεμνότερον ἐν τῇ κατὰ τὸ Ἀχίλλειον σάκος παραβολῇ περιγραφὲν καὶ ἐκεῖ τισιν οὕτω λέξεσιν [ἐν τῷ «τοῦ δ' ἀπάνευθε σέλας γένετ' ἠΰτε μήνης». καὶ ἔστι λαμπροτέρα ἐκείνη τῆς ἐνταῦθα παραβολῆς.] (v. 457 s.) Ὅτι ὁ μὴ ἀκριβούμενος ἅπερ ὁρᾷ, εἴποι ἂν «ὦ φίλοι», «οἶος ἐγὼν αὐγάζομαι ἠὲ καὶ ὑμεῖς;

4.764 » (v. 463 s. et 469 s.) Ὁμοίως καὶ τὸ «οὔ πῃ δύναμαι ἰδέειν, πάντῃ δέ μοι ὄσσε ἂν πεδίον», ἤγουν ἀνὰ πεδιάδα, «παπταίνετον εἰσορόωντι· ἀλλὰ ἴδεσθε καὶ ὔμμες ἀνασταδόν, οὐ γὰρ ἔγωγε εὖ διαγινώσκω». ἔστι δὲ ταὐτὸν ἐνταῦθα αὐγάσασθαι καὶ ἰδεῖν. Ἰστέον δὲ ὡς ἐνταῦθα Ἰδομενεὺς ἐρωτᾷ ἢ ἀληθῶς ἴσως ἀπορῶν ἢ μάλλον ἀκκιζόμενος ὡς οἷα διαπιστῶν ἑαυτῷ· ὦ φίλοι Ἀργείων ἡγήτορες, μόνος ἐγὼ ἵππους, ὡς ἐρρέθη, αὐγάζομαι ἢ καὶ ὑμεῖς; (v. 459—64) «Ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι, ἄλλος δ' ἡνίοχος ἰνδάλλεται· αἳ δέ που αὐτοῦ ἔβλαβεν ἐν πεδίῳ», ἤγουν ἐβλάβησαν, «αἳ κεῖσε φέρτεραι ἦσαν· ἤτοι γὰρ τάς», ἤγουν ταύτας, «πρῶτα ἴδον περὶ τέρμα βαλούσας, νῦν δ' οὔ πῃ δύναμαι ἰδέειν», καὶ ἑξῆς, ὡς προγέγραπται. (v. 465—72) Εἶτα τὸ «ἠὲ τὸν ἡνίοχον φύγον ἡνία, οὐδὲ δυνάσθη εὖ σχεθέειν περὶ τέρμα καὶ οὐκ ἐτύχησεν ἑλίξας. ἔνθα μιν ἐκπεσέειν ὀΐω κατά θ' ἅρματα ἆξαι, αἳ δ' ἐξηρώησαν, ἐπεὶ μένος ἔλλαβε θυμόν· ἀλλὰ ἴδεσθε καὶ ὔμμες ἀνασταδόν», ὡς καὶ προείρηται, «οὐ γὰρ ἔγωγε εὖ διαγινώσκω, δοκέει δέ μοι ἔμμεναι ἀνὴρ Αἰτωλὸς γενεήν, μετὰ δ' Ἀργείοισιν ἀνάσσει, Τυδέος ἱπποδάμου υἱός, κρατερὸς Διομήδης». Καὶ ὅρα τὸν ἔπαινον τοῦ ἥρωος, δοκοῦντα μὲν ἄκαιρον εἶναι, ἐμφαίνοντα δὲ ὡς φιλίως ὁ Ἰδομενεὺς ἔχει τῷ Διομήδει, καὶ οὐδὲ πάνυ ἄχθεται οἷς ὁ Εὔμηλος δυστυχεῖ. (v. 465) Ἔτι ὅρα καὶ ὡς ἀπορήσας καὶ εἰπὼν «ἠὲ τὸν ἡνίοχον ἔφυγον ἡνία» οὐ προσέθετο ἀκολούθως ὁ Ἰδομενεὺς ὅτι «ἢ τόδε τι ἕτερον ἔπαθεν», ὡς μήτε τοῦ σχεδιασμοῦ διδόντος εὐπορεῖν ταῖς ἐννοίαις, καὶ ὅτι οὐδὲ εἰκῇ ἐθέλει δυσφημεῖν κατὰ τοῦ Εὐμήλου καὶ δυστυχίας αὐτοῦ λογίζεσθαι. δύναται δὲ καὶ μὴ ἀπορητικῶς λεχθῆναι τὸ «ἠέ» ἀλλ' ὡς οἷον πρὸς λύσιν ἀπορίας ὁμοίως τῷ «ἢ οὐκ Ἄργεος ἦεν Ἀχαϊκοῦ», τουτέστιν ἴσως οὐκ ἦν ἐν τῷ Ἄργει. κἀνταῦθα γὰρ ὁμοίως ἔστιν εἰπεῖν ὅτι ὁ δεῖνα ἐξέπεσε τοῦ τέρματος, καὶ πάντως ἢ ἴσως αὐτὸν ἔφυγον τὰ ἡνία. Ἰστέον δὲ καὶ ὡς οὐ μάτην Ἰδομενεὺς περιέργως θεᾶται τῆς περιωπῆς γενόμενος, ἀλλ' ὅτι καθὰ τῷ Νέστορι διὰ τὸν υἱόν, οὕτω καὶ αὐτῷ μέτεστί τι τοῦ ἀγῶνος διὰ τὸν θεράποντα Μηριόνην.

4.765 διὸ καὶ παρασημειοῦται τὰ κατὰ τὸν ἄριστον Εὔμηλον ὡς οἷον ἀντίπαλον ἑαυτῷ, παραμυθησόμενος ἐπὶ τῇ τοῦ Μηριόνου ἐλαττώσει, ἐὰν καὶ ὁ ἄριστος ἔλθοι πανύστατος, καί

Eulogikon public reading copy · View original HTML at eulogikon.org

που καὶ χαίρων, εἴπερ ὁ τοιοῦτος λειφθῇ ἐν δρόμῳ, ἵνα συνατυχήσῃ τῷ Μηριόνῃ, καὶ διὰ ταῦτα οὐδὲ βαρυνόμενος, εἰ παροίτεροί εἰσιν οἱ τοῦ Διομήδους ἵπποι. (v. 459) Ἔστι δὲ τὸ «παροίτεροι» ταὐτὸν τῷ φέρτεροι καὶ τῷ «οἱ πάροιθεν». ἄμφω δ’ ἀντίκειται πρὸς τὸ «δεύτεροι». διό φησιν «οἱ δεύτεροι οἵ τε πάροιθεν». ἡ δὲ παραγωγὴ τοῦ παροίτερος ὁμοία τῇ μυχός μυχοίτατος. (v. 459 s.) Ὅρα δὲ καὶ ὅτι τὸ δοκεῖν ταὐτὸν εἶναι δοξάζει Ὅμηρος τῷ ἰνδάλλεσθαι ἐν τῷ «ἄλλοι μοι δοκέουσι», καὶ «ἄλλος ἰνδάλλεται». λέγεται δὲ ἐπὶ εἰκασμοῦ καὶ ὁμοιώσεως καὶ δοκήσεως τὸ ἰνδάλλεσθαι, ἀφ’ οὗ καὶ ἐπὶ εἰδώλων τὸ ἴνδαλμα λέγεται. ἰνδάλλεται δέ τις καὶ ἐν ὀνείρασιν. ἀντίκειται δὲ πρὸς τὸ ἰνδάλλεσθαι καὶ τὸ δοκεῖν τὸ εὖ διαγινώσκειν. γίνεται δὲ τὸ ἰνδάλλω ἐκ τοῦ εἴδω, τὸ ὁμοιῶ, τραπέντος τοῦ ι εἰς ν ὡς ἐπὶ τοῦ αἰεί αἰέν, καὶ αὐτίκα τετραμμένου καὶ τοῦ ε εἰς ι , ὡς ἐπὶ τοῦ ἔχω ἴσχω καὶ τῶν ὁμοίων γίνεται. (v. 460 s.) Τὸ δὲ «αἳ δὲ ἔβλαβεν» παρασήμως καὶ νῦν δηλοῖ τὰς τοῦ Εὐμήλου ἵππους ἐν μόναις ταύταις δυσὶ συλλαβαῖς. (v. 462) Τέρμα δὲ φανερῶς ἐνταῦθα τὸν καμπτῆρα λέγει ἐν τῷ «περὶ τέρμα βαλούσας», ἤγουν καμψάσας καὶ τοῦ τέρματος ἐπιτυχούσας. (v. 465 s.) Οὗ τὸ ἐναντίον οὐκ «ἐτύχησεν ἑλίξας», οὗ ἑρμηνευτικὸν τὸ «οὐκ ἐδυνάσθη εὖ σχεθέειν περὶ τέρμα», ἤγουν οὐκ ἠδυνήθη σχεῖν τὰς ἵππους περὶ τὴν νύσσαν, ὥστε ἑλίξαι καὶ οὕτω περὶ τέρμα βαλεῖν, ὅ ἐστιν ἐπιτυχεῖν τῆς ἑλίξεως, κατὰ τὸ «ἣ δὲ Φερὰς ἐπέβαλλεν», ἤγουν ἐπέτυχε τοῦ εἰς αὐτὰς πλόου ἡ ναῦς. (v. 465) Ὅρα δὲ καὶ τὸ «ἐδυνάσθη» ὡς ἀπὸ τοῦ δυνάζω, ἀρρήτου ῥήματος, γεγονός.

4.766 ἐνταῦθα δὲ γράφουσιν οἱ παλαιοὶ καὶ ὅτι εἰωθότα καὶ τὰ κατὰ τὸν Ἰδομενέα ταῦτα ἐν ἀγῶνι. θρύπτονται γάρ τινες ὡς μὴ ἀκριβῶς θεώμενοι. οἱ δὲ καὶ ἐν ἤθει καταλαζονεύονται τῶν πολλῶν. (v. 459 s. et v. 467) Οὐ μόνον γοῦν φησιν, Ἰδομενεύς, ὡς «ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι», καὶ «ἄλλος ἡνίοχος ἰνδάλλεται», ἀλλὰ καὶ ὅτι ἐκπεσέειν ὀΐω τὸν Εὔμηλον καὶ ἑξῆς. ἃ δὴ πάντα οὕτω συνέβη ἀληθῶς, καὶ οὐ κατὰ δόκησιν. πρωθύστερον δὲ τὸ ἐκπεσεῖν καὶ ἅρμα κατᾶξαι. δῆλον γὰρ ὡς κατεαγότος τοῦ ἅρματος εἶτα κατέπεσεν ὁ ἡνίοχος. (v. 468) Τὸ δὲ «ἐξηρώησαν» δίχα προθέσεως πρὸ τούτων ἐρρέθη. Τὸ δὲ «μένος ἔλλαβε θυμόν» ἀντὶ τοῦ προεθυμήθησαν ἢ καὶ ἐθυμώθησαν αἱ ἵπποι. Ὅτι φιλοτιμησάμενος ὁ ποιητής, ὡς ἐξόν, ἐκθέσθαι τὰ τοῖς ἱππικοῖς ἀγῶσι συμπίπτοντα, ὡς εἰκός, ὧν ἔστι πρὸς ἄλλοις καὶ τὸ προσπαθῶς ἑκάστους ἔχειν μέρεσι καὶ ἀψιμαχίας ἐν λόγοις τίθεσθαι καὶ χρήμασι ζημιοῦν ἑαυτοὺς ἐπὶ λύσει φιλονεικίας καὶ κριτὰς ἑαυτοῖς καθίζειν, τὸν μὲν Ἰδομενέα ἐποίησεν εἰπόντα, ὅσα ἐρρέθη, (v. 473—5) Αἴας δὲ ὁ Λοκρὸς εἰς οὐδὲν δέον θυμὸν ἀναλαβών, «αἰσχρῶς», φησίν, «ἐνένιπεν», ἤτοι λόγοις ἐπέπληξεν, εἰπὼν «Ἰδομενεῦ, τί πάρος λαβρεύεαι; αἳ δέ τ’ ἄνευθεν ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται». (v. 476 s.) Εἶτα καὶ ἀμβλυωπίαν εἰκῇ οὕτως ὀνειδίζων αὐτῷ φησιν «οὔτε νεώτατός ἐσσι μετ’ Ἀργείοισι τοσοῦτον, οὔτε τοι ὀξύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε», ὥστε δηλαδὴ τῇ θέᾳ τέμνεσθαι ὀξὺ τὸν ὑποκείμενον ἀέρα. (v. 478 s.) Εἶτα καὶ ἐπιτείνων τὸ σκῶμμα καὶ διδάσκειν δὲ ἐθέλων, ἐπάγει «ἀλλ’ αἰεὶ μύθοις λαβρεύεαι, οὐδέ τί σε χρὴ λαβρογόρην ἔμεναι· πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι». Καὶ ὅρα ἐνταῦθα οἷόν τι τὸ ἀσκέπτως λαλεῖν. ὁ γὰρ λαβρογόρην τὸν Ἰδομενέα σκώπτων ἁλώσεται ψεύδους εἰς τὸ πᾶν καὶ ἀφροσύνης αὐτός, εἰ μηδὲν ἰδὼν μήτε εἰδὼς τὸν εὖ εἰδότα λόγοις αἰσχύνει, ἀπ’ ἐναντίας πάντῃ ἐκείνῳ ἐλθὼν ἐν τῷ εἰπεῖν (v. 480s.) ὅτι «ἵπποι δ’ αὖτε ἔασιν», ἤγουν εἰσί», παροίτεραι, αἳ τὸ πάρος περ, Εὐμήλου, ἐν δ’ αὐτὸς ἔχων εὔληρα βέβηκεν», ἤγουν ἐμβέβηκε τῷ δίφρῳ ἡνιοχῶν. (v. 481) Εὔληρα δὲ λέγει μὲν τὰ ἡνία. ἅπαξ δὲ καὶ τὴν τοιαύτην ἔφη λέξιν, ἐνταῦθα δηλαδή. γίνεται δὲ παρὰ τὸ εἰλεῖν, [ὅθεν καὶ ἡ εὐλή,] τροπῇ τοῦ υ εἰς ι , δι’ ὧν ἔστι τοὺς ἵππους εἰλεῖσθαι, ὅ ἐστι στρέφεσθαι. καὶ ἔστι μὲν ταὐτὸν ἡνία ἔχειν καὶ εὔληρα ἔχειν, πλὴν ἐκεῖθεν μὲν ὁ ἡνίοχος σύγκειται συνήθους οὔσης τῆς λέξεως, ἀπὸ δὲ τοῦ εὔληρα ἔχειν τολμηρὸς ἂν εἴη ὁ ἀναιδευσάμενος συνθεῖναι ὄνομα.

4.767

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ' οὕτω μὲν, ὡς ἐρρέθη, ὁ Λοκρὸς Αἴας. (v. 483 s.) Ἰδομενεὺς δὲ φιλόνεικον καὶ κακολόγον καί τινα οὐδαμινὸν ὡς ἀπηνῆ τὸν Αἴαντα καλεῖ, εἰπὼν «Αἶαν, νείκει ἄριστε, κακοφραδές, ἄλλα τε πάντα δεύεαι Ἀργείων, ὅτι τοι νόος ἐστὶν ἀπηνής», ὃ καὶ Ἀχιλλεύς που ἤκουσεν. Ἔνθα ὅρα ὅτι τε τὸ «πάντα Ἀργείων δεύεαι» δριμύτερον ὁ Ἰδομενεὺς ἀντέσκωψε πρὸς τὸ «πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι»—σφοδρότερον γὰρ τοῦτο ἐκείνου—, καὶ ὅτι διὰ θυμὸν μὴ ὀρθώσας τὴν φράσιν ἔφη τὸ «ἄλλα τε πάντα δεύεαι Ἀργείων», καινῶς καὶ ἀκαταλλήλως συντάξας. ἦν γὰρ τὸ ὀρθὸν οὕτω· κακοφραδές, ἄλλα τε πάντα δευόμενε Ἀργείων. λέγει δὲ «πάντα» τά τε ἐν ἔργοις τά τε ἐν λόγοις, ἴσως δὲ [καὶ τὰ κατ' ὄψιν καὶ] κατὰ γένος. (v. 485—7) Εἶτα ἐπάγει καὶ ὅτι «δεῦρο νῦν ἢ τρίποδος περιδώμεθον ἠὲ λέβητος, ἵστορα δ' Ἀτρεΐδην Ἀγαμέμνονα θείομεν ἄμφω, ὁππότεραι πρόσθεν ἵπποι, ἵνα γνοίης ἀποτίνων». (v. 488—91) Ἐπεὶ δὲ κίνδυνος ἦν προτέρω, ἤγουν προσωτέρω, ἔριν γενέσθαι ἀμφοτέροις—ἤδη γὰρ ὄρνυτο ὁ Λοκρὸς «χωόμενος χαλεποῖσιν ἀμείψασθαι ἐπέεσσιν»—, ἀνίσταται ὡς ἀγωνοθέτης αὐτὸς Ἀχιλλεὺς καὶ καταλλάσσει λαλήσας ὅσα ἐχρῆν. (v. 474—9) Ἰστέον δὲ ὅτι τῶν ἐν τῷ χωρίῳ τούτῳ στίχων τὸ μὲν «τί πάρος λαβρεύεαι», καὶ τὸ «ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι, οὐδέ τί σε χρὴ λαβραγόρην» καὶ ἑξῆς, ἐποχὴ στωμυλίας ἐστί. (v. 483 s.) Τὸ δὲ «νείκει ἄριστε, κακοφραδές, ἄλλα τε πάντα δεύεαι Ἀργείων», ἢ ἁπλῶς τῶνδέ τινων, καὶ τὸ ἑξῆς, σκῶμμά ἐστι πολυφαύλου ἀνδρός, ὥσπερ ἀμβλυωποῦντος τὸ «οὔτε νεώτατός ἐσσι» τοσοῦτον, «οὔτε ὀξύτατον», καὶ ἑξῆς. (v. 477) Σημείωσαι δὲ ὅτι τὸ ἐκδέρκεσθαι φιλοσόφως φασὶν ἔχειν οἱ παλαιοὶ τὴν ἐκ πρόθεσιν, διότι οὐ κατὰ εἰσδοχὴν ἀλλ' ἔκπεμψιν φωτοειδῶν δηλαδὴ ἀκτίνων τὸ ὁρᾶν γίνεται.

4.768 (v. 478) Τὸ δὲ λαβρεύεσθαι καιρία λέξις ἐστί, δηλοῦσα τὸ λάβρως καὶ οὐ μετὰ σκέψεως λαλεῖν. ἢ καὶ ἄλλως εἰπεῖν, στωμύλλεσθαι καὶ τὸν ἀκούοντα λίαν βαρύνειν τῇ φράσει. ὅθεν καὶ λαβραγόρας ὁ ἐν τῷ ἀγορεύειν λάβρος. διὸ καὶ ἐπέμεινε τῇ λέξει συνήθως ὁ ποιητὴς διὰ τὸ καίριον. τῶν τις δὲ παλαιῶν λαβρεύειν τὸ προγλωσσεύειν φησί. (v. 475) Ἀερσίποδες δὲ ἵπποι καὶ νῦν ἐπὶ τάχους, ἵνα ἦεν αἱ ὅσα καὶ πτεροῖς τοῖς ποσὶν ἀειρόμεναι, ὡς δηλοῖ μετ' ὀλίγα καὶ τὸ «ὑψός' ἀειρέσθην ῥίμφα», καὶ ἑξῆς, ἀφ' οὗ ἀείρεσθαι καὶ «ἀράχνης ἀερσιπότητος». Τοῦ δὲ δίενται», ὅ ἐστι διώκουσι, θέμα τὸ δίημι ἐκ τοῦ δίω, ἀφ' οὗ τὸ διώκω, ῥῆμα τοῦτο χρηστὸν πεζολόγοις. ἐκεῖνα γὰρ ποίησις ἀνασκάλλειν φιλεῖ, [τουτέστι τὸ δίω καὶ τὸ δίημι, ἤγουν σπουδαίως τρέχω. ἔστι δὲ καὶ ἕτερον δίημι Ἀττικόν, γινόμενον οὕτω. Ζεύς Διός, ἐξ οὗ διερός, ὁ δίυγρος. Διὸς δὲ ῥῆμα δίω, ἀφ' οὗπερ οὐ μόνον τὸ διαίνω, καθὰ πολλαχοῦ δηλοῦται, ἀλλὰ καὶ δίημι, οὗ μετοχὴ παθητικὴ «διέμενος», ὡς τιθέμενος. Ἀριστοφάνης «διέμενος ὄξει Σφηττίῳ», ἤγουν ὑγράνας δι' ὄξους δριμέος, ὡς ἐκεῖνος οἶδεν εἰπεῖν.] (v. 476) Τὸ δὲ «οὐ νεώτατος τοσοῦτον» λεαίνει τὸ τραχὺ τοῦ σκώμματος ἐπί τι βραχύ. ἄλλως γὰρ ψεύδεται ὅλως οὐ μόνον τὸ «νεώτατος» ἐπὶ τοῦ [μεσαιπολίου] Ἰδομενέως, ἀλλὰ καὶ αὐτὸ τὸ νέος. (v. 483) Νεῖκος δὲ κεῖται μὲν καὶ ἐπὶ μάχης, καὶ μᾶλλον ὅτε πόλεμος ἢ τοιοῦτόν τι αὐτῷ παράκειται, οἷον «νεῖκος πολέμοιο». ἐνταῦθα μέντοι ἡ λέξις, ὡς καὶ ἐν ἄλλοις, τὴν ἁπλῶς φιλονεικίαν δηλοῖ ὁμώνυμος οὖσα. [(v. 483 s.) Τὸ δὲ «πάντα δεύεαι Ἀργείων» αὐξητικὴν ἔχει δριμύτητα σκώμματος. τοῦ Λοκροῦ γὰρ εἰπόντος ἀμείνονας καὶ ἄλλους εἶναι τοῖς Ἀργείοις, ὁ Κρὴς πάντῃ ἀποφάσκει ἐκείνου τὸ ἄμεινον, εἰπὼν πάντα δεύεσθαι Ἀργείων αὐτόν, αἴτιον ἐπάγων τὸ «ὅτι τοι νόος ἐστὶν ἀπηνής».

4.769 διὸ καὶ ἄπο αἴνου ἐστὶ κατὰ τὴν ἐτυμολογίαν τοῦ ἀπηνέος. εἰ δὲ εἶπεν ἄλλην αἰτίαν, ἠλέγχθη ἂν ὁ Ἰδομενεύς. πολλὰ γὰρ εἶχεν ὁ Λοκρὸς ἐπαίνου ἄξια.] (v. 485) Ἐν δὲ τῷ «δεῦρο νῦν» συνέσταλται ἀσυνήθως τὸ υ δίχρονον. καὶ ἴσως οὐδὲ περισπᾶν χρὴ τὴν λέξιν, ἀλλ' ἀφιέναι κενὴν κεῖσθαι τόνου. μήποτε δὲ οὐδὲ χρονικὸν ἐπίρρημά ἐστιν, ἀλλὰ σύνδεσμός τις παραπληρωματικός, ὁποῖος ὁ νυ , κατὰ πρόσληψιν στοιχείου τοῦ νῦ. ὅθεν καὶ ὁ «τοίνυν» σύνδεσμος γίνεται ἀπὸ τοῦ τοι καὶ τοῦ νυν . τοιοῦτόν τι καὶ παρὰ Σοφοκλεῖ ἐν ἰάμβῳ τὸ «σίγα

νυν ἑστὼς καὶ μέν’ ὡς κυρεῖς ἔχων». κἀκεῖ γὰρ τὸ νυν , ὅ τι ἂν καὶ σημαίνῃ, συστέλλεται. ὁμοίως, καθά που προγέγραπται, καὶ παρ’ Εὐριπίδει ἐν τῷ «σῶσόν νυν αὐτὸν μηδ’ ἔρα τοῦ πλησίον». «Περιδώμεθον» δὲ ἀντὶ τοῦ συνθώμεθα, συμφωνήσωμεν, καὶ ὡς οἱ πολλοί φασι, θῶμεν στοίχημα, ἢ σαφέστερον καὶ κοινότερον εἰπεῖν, δώμεθα, ὅ ἐστι δεσμηθῶμεν συνθήκαις, ὧν ὁ διαιτητὴς καὶ κριτὴς ἢ μάρτυς ἵστωρ ἐλέγετο, παρὰ τὸ εἰδέναι, ὁποῖός τις κεῖται καὶ ἐν τῷ «ἄμφω δ’ ἱέσθην ἐπὶ ἵστορι πεῖραρ ἑλέσθαι». (v. 487) Τὸ δὲ «ἵνα γνοίης ἀποτίνων» τὸ τέλος ἐστὶ τοῦ περιδώμεθα. στοιχήματος γὰρ τέλος ἀπότισις. (v. 485) Ἰστέον δὲ ὅτι καὶ ἐν τῷ «τρίποδος περιδώμεθον ἠὲ λέβητος» ἀπὸ κρείττονος τοῦ τρίποδος κατέβη ἐπὶ τὸν λέβητα, καθὰ καὶ ἐν τῷ «ἠελίου αἴγλη ἠὲ σελήνης», καὶ ἐν ἑτέροις. εἰ μὴ ἄρα τυχὸν ὁ λέβης οὐκ εὐτελής ἐστι νῦν κατὰ τοὺς ὑποκειμένους τοῖς νιπτομένοις, ὡς ἡ Ὀδύσσεια δηλοῖ ἐν τῷ «ὑπὲρ ἀργυρέοιο λέβητος», καὶ ἔνθα τὰ ποδάνιπτρα τοῦ Ὀδυσσέως, ἀλλὰ τοιοῦτος οἷος ἀναβράττειν τὰ ἐμβαλλόμενα κατὰ τὸν ζέοντα ἐν «πυρὶ πολλῷ», καὶ «κνίσσῃ μελδόμενον ἁπαλοτρεφέος σιάλοιο».

4.770 ὁ γὰρ τοιοῦτος λέβης οὐ κατὰ τοὺς λοιπούς ἐστιν, ἀλλὰ τριποδοειδὴς φαίνεται εἶναι καὶ οὐκ εἰς ἔλαττον ἥκειν τοῦ τρίποδος. καὶ ἔστι τηνικαῦτα τὸ «τρίποδος περιδώμεθον ἠὲ λέβητος» μετάβασις ἀπὸ ὁμοίου εἰς ὅμοιον. (v. 488—91) Ἰστέον δὲ καὶ ὡς ἐριστικὸν ἄνδρα φράζει τὸ «ὄρνυτο δ’ αὐτίκα» ὁ δεῖνα «χωόμενος, χαλεποῖσιν ἀμείψασθ’ ἐπέεσσι· καί νύ κε δὴ προτέρω ἔρις γένετ’ ἀμφοτέροισιν, εἰ μή» ὁ δεῖνα αὐτὸς «ἀνίστατο καὶ φάτο μῦθον». Ἀχιλλεὺς δὲ οὗτος ὁ ἐνταῦθα καταλλάσσων, ὡς ἐρρέθη, ἐρίζοντας τόν τε Ἰδομενέα καὶ τὸν Λοκρόν. καθίσας γὰρ σκοπὸν τῶν ἀεθλευόντων τὸν Φοίνικα ὑπεκράτησεν ἑαυτῷ κριτῇ τοῦ τῶν θεατῶν νείκους γίνεσθαι. (v. 492—4) Ὃς καὶ παραινῶν ἐπὶ λογομαχίας λύσει φησὶ «μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθ’ ἐπέεσσι κακοῖς, ἐπεὶ οὐδὲ ἔοικε. καὶ δ’ ἄλλῳ νεμεσᾶτον, ὅτις», ἤγουν ὅς τις, «τοιαῦτά γε ῥέζοι». ἐκ παραλλήλου δὲ ταῦτα τὸ «χαλεποῖς» καὶ «κακοῖς». τοῦ δὲ «νεμεσᾶτον» ἑνικὸν τὸ νεμέσα. (v. 495—8) Εἶτα λαλῶν θεατρικῆς κατάπαυσιν ἔριδός φησιν «ἀλλ’ ὑμεῖς ἐν ἀγῶνι καθήμενοι εἰσοράασθε ἵππους· οἳ δὲ τάχα αὐτοὶ ἐπειγόμενοι περὶ νίκης ἐνθάδ’ ἐλεύσονται· τότε δὲ γνώσεσθε ἕκαστος ἵππους, οἳ δεύτεροι οἵ τε πάροιθεν». [Ἐν δὲ τοῖς περὶ τὸν Ἰδομενέα καὶ τὸν Λοκρὸν Αἴαντα καὶ τῇ κατ’ αὐτοὺς ἐναγωνίῳ λογομαχίᾳ ἐνθυμητέον καὶ παλαιὰν γνώμην, λέγουσαν ὅτι «ἡ σκῶψις λυπεῖ πλέον ἢ τέρπει πολύ. τοῦ κακῶς λέγειν γὰρ ἀρχὴ γίνεται. ἂν δ’ εἴπῃς ἅπαξ, εὐθὺς ἀντήκουσας. ἤδη λοιδορεῖσθαι λείπεται, εἶτα τύπτεσθαι». Ὅρα δ’ ἐν τούτοις ἀσύνηθες ὂν τὸ «ἡ σκῶψις», καθὰ καὶ ἡ ᾆσις ἡ ἁρμονικὴ ἡ παρὰ Πτολεμαίῳ, ἡ δηλοῦσα τὴν ᾠδήν, οὐ μὴν ἡ Ὁμηρική, ἐξ ἧς καὶ ὁ Ἄσιος λειμὼν καὶ ἡ Ἀσία χώρα, ὡς ἀλλαχοῦ δηλοῦται. Ἔτι δὲ ὅρα καὶ τὸ «ἂν δ’ εἴπῃς ἅπαξ, εὐθὺς ἀντήκουσας», ὡς χρήσιμον εἰς τὸ «οἷον εἴπησθα ἔπος, τοῖον κ’ ἐπακούσῃς».] (v. 499—506) ὅτι σπουδὴν ἡνιόχου ἱππευτικὴν τὴν πρὸς τῷ τέλει οὕτω φράζει «ὃ δέ», λέγει δὲ τὸν Διομήδην, «μάλα σχεδὸν ἦλθε διώκων· μάστιγι δ’ αἰὲν ἤλαυνε κατωμαδόν», ὡς προδεδήλωται, «οἱ δέ οἱ ἵπποι ὑψόσε ἀειρέσθην, ῥίμφα πρήσσοντε κέλευθον.

4.771 αἰεὶ δ’ ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον, ἅρματα δὲ χρυσῷ πεπυκασμένα κασσιτέρῳ τε», ἃ δὴ καὶ παμφανόωντα εἶεν ἄν, «ἵπποις ὠκυπόδεσσιν ἐπέτρεχον, οὐδέ τι πολλὴ γίνετ’ ἐπισσώτρων ἁρμοτροχιὴ κατόπισθεν ἐν λεπτῇ κονίῃ· τὼ δὲ σπεύδοντε πετέσθην». (v. 503—6) Ἔστι δὲ τὸ «ἅρματα χρυσῷ» καὶ ἑξῆς ἕως τοῦ «ἐν λεπτῇ κονίῃ» ἐνδεικτικὸν κουφότητος καὶ κάλλους ἅρματος καὶ τάχους ἵππων. (v. 500) Τὸ δὲ «μάστιγι» «μάστι» τινὲς γράφουσι δισυλλάβως, ἐκτείνοντες τὴν λήγουσαν ὁμοίως τῷ «μήτι τοι δρυτόμος μέγ’ ἀμείνων». καὶ ἔστιν ὥσπερ μῆτις μήτιος μήτιϊ καὶ κατὰ κρᾶσιν μήτι, οὕτω καὶ μάστις μάστιος μάστιϊ μάστι. τοῦ δὲ μάστις ἀρχὴ τὸ μαστίω μαστίσω, ὥσπερ τοῦ μῆτις τὸ μητίω μητίσω. (v. 501) Τὸ δὲ «ἀειρέσθην» τὸ ῥῆμά ἐστιν, ἐξ οὗ καὶ πρὸ ὀλίγων ἵππους ἔφη ἀερσίποδας, ἤγουν ἀειρομένους καί, ὡς εἰπεῖν, ἀερίους τοῖς ποσίν, οἷς καὶ προσαρμόζει διὰ τοῦτο τὸ «πετέσθην». ἐκ δὲ τοῦ τοιούτου «ἀειρέσθην» ἀσφάλειαν ἔχει καὶ τὸ «πρήσσοντε κέλευθον», ὡς οἷα ἐπὶ νηὸς λεχθέν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἥτις οὐ μόνον ἅρμα θαλάσσης, ἀλλὰ καὶ ἵππος παρὰ τοῦ ποιητοῦ λέγεται. διὸ ἡ ἐν Ὀδυσσείᾳ ναῦς τῶν Φαιάκων ταχυπλοοῦσα τετρώρῳ ἵππων εἰκάζεται, ὅπερ τέτρωρον ἀπὸ τοῦ ἀείρω καὶ αὐτὸ παράγεται ὡς οἱονεὶ τετράορον, ὅθεν καὶ «τετραόρου ταύρου φάσμα» ἡ Τραγῳδία φησί. καὶ οὕτω μὲν ἐκ τοῦ ἀειρέσθην ἀσφαλές τι ἔχει τὸ «πρήσσοντε κέλευθον». ἄλλως δὲ οὔτε τὸ πρήσσειν ἐπὶ ἵππων κυριολεκτεῖται. οὔτε ἡ κέλευθος πάνυ ἐπὶ ξηρᾶς. (v. 502) Τὸ δὲ ῥαθάμιγγες, εἰωθὸς ἐπὶ αἵματος ἢ ὅλως ἐπὶ ὑγρῶν λέγεσθαι, [παρὰ τὸ ῥαίνειν θαμά], καινότερον ἐπὶ κόνεως ἐλέχθη ἐν τῷ «αἰεὶ κονίης ῥαθάμιγγες». καὶ ἴσως ἔχει συμβιβασθῆναι εἰς τὸ σύνηθες ἡ λέξις διὰ τοῦ εὐθὺς δηλωθησομένου πολλοῦ ἱδρῶτος τῶν ἵππων, ὃς πολὺς εἰς γῆν ἐν τῷ τρέχειν καταρρέων ὕγραινε τὴν κόνιν, ὡς οὕτω ῥαθάμιγγας ἐξ αὐτῆς ὑγρὰς βάλλειν τοὺς ἵππους.

4.772 ἐνταῦθα δὲ ὅρα καὶ τὸ «αἰεί» ἐπὶ καιροῦ ὀλίγου λεχθὲν κατά τινα ὁμοιότητα τοῦ «αἰεὶ πυραὶ νεκύων καίοντο», καὶ τοῦ «αἰεὶ ῥίμφα θέων», καὶ τοῦ «τὸν εἰσαεὶ λεηλατήσει χρόνον» παρὰ Σοφοκλεῖ. τοιοῦτον δὲ καὶ τὸ πάλαι πολλάκις παρὰ τοῖς Ἀττικοῖς, οὐδ᾽ αὐτὸ δηλοῦν ἀεὶ χρόνου μακρότητα. (v. 504 s.) Τὸ δὲ «ἐπέτρεχον» ἀντὶ τοῦ ἐλαφρῶς ἔτρεχον καὶ ὡς οἷον ἔμψυχα τοῖς ἵπποις συνέτρεχον, ὡς εἴπερ μὴ εἵλκοντο. ἢ ἀντὶ τοῦ ἐπιπολῆς ἔτρεχον, ὅπερ ἑρμηνεύων διεξοδικώτερον εἶπε τό· οὐδὲ πολλὴ ἐγίνετο ἐπισσώτρων ἁρματροχιή, τουτέστιν ἐλαφρῶς οὕτως ἔτρεχον, ὡς μὴ πολλὴν γίνεσθαι τῶν τροχῶν ἐγχάραξιν, καὶ ταῦτα ἐν λεπτῇ κονίῃ. Ἁρματροχιὰ γὰρ ἄλλο ἐστὶ παρὰ τὴν ἁματροχιάν. ἐκείνη μὲν γὰρ τί δηλοῖ, προείρηται. αὕτη δὲ ἴχνος δηλοῖ τροχῶν ἅρματος. Ἰστέον δὲ ὅτι τὸ μὴ βαθεῖαν γίνεσθαι νῦν ἁρματροχιὰν οὐ λίαν ὑπερβολικῶς εἴρηται διά τε τὸ πολὺ τάχος τῶν ἵππων καὶ τὸ κοῦφον τοῦ ἅρματος, ἐξ ὧν δοκεῖ πιθανὸν εἶναι τὸ μὴ πάνυ τοῖς τροχοῖς τὴν κόνιν χαράσσεσθαι. ὑπερβολὴ δὲ τὸ μέτριον ἔχουσα πιστεύεται, ὥς φασιν οἱ παλαιοί. ἦν δὲ ἂν ὑπερβολὴ ἄμετρος, εἰ μηδὲ ψαύειν εἶπε τῆς γῆς τοὺς τροχοὺς ἢ μὴ ἐντυποῦν ὅλως ἴχνος, ὅπερ οὐκ εἶχεν εἰπεῖν, οἷα θνητῶν ὄντων τῶν τρεχόντων ἵππων. ὅτε γὰρ ἀθάνατοι πλάττονται ἵπποι, ἄκρων ἐπὶ κυμάτων θέουσι, καὶ ὅσα ἄλλα περὶ τοιούτων ἵππων ἡ ποίησις ἔφρασεν. (v. 505) Ἐπίσσωτρα δὲ ὅτι τε οἱ κανθοὶ τῶν τροχῶν, καὶ πόθεν ἡ λέξις παράγεται, ἀλλαχοῦ προείρηται. [Δοκεῖ δὲ καὶ ἡ λέξις αὕτη ἔλλειψιν ἔχειν τοῦ ς ἐν τῇ παραληγούσῃ κατὰ τὸ γνωστός γνωτός καὶ τὰ ὅμοια. ἐπίσσωστρα γὰρ ἤγουν σωστικὰ τῶν τροχῶν τὰ ἔξω αὐτῶν σιδήρεα κύκλα, ἤγουν οἱ κανθοί.

4.773 ] (v. 507 s.) Ὅτι συντόμου δρόμου ἱππέως δηλωτικὸν τὸ «στῆ δὲ μέσῳ ἐν ἀγῶνι, πολὺς δ᾽ ἀνεκήκιεν ἱδρὼς ἵππων ἔκ τε λόφων καὶ ἀπὸ στέρνοιο χαμάζε». (v. 508) Λόφος δὲ ἐπί τε βοῶν καὶ ἵππων καὶ ἡμιόνων τόπος τοῦ τραχήλου, ᾧ ἐπιτίθεται ὁ ζυγός, ὡς καὶ ἐν ἄλλοις δηλοῦται. ὅθεν καὶ νῶτος εὔλοφος παρὰ Σοφοκλεῖ ὁ εὔεικτος, καὶ λοφιὰ ἡ περὶ τοιοῦτον τόπον τρίχωσις, καὶ καταλοφάδια ἐπίρρημα ἐν Ὀδυσσείᾳ, καὶ λόφουρα ζῷα τὰ οὐρὰν καὶ λοφιὰν ἔχοντα. γίνεται δέ, φασίν, λόφος ἀπὸ τοῦ λέπω, τὸ ἐκλεπίζω, λόπος καὶ λόφος, ἀφ᾽ οὗ ἄρχεται ἐκλέπεσθαι καὶ ἐκδέρεσθαι τὸ σφαγέν. σημαίνει δέ ποτε καὶ ἁπλῶς τράχηλον, ὡς ἐν τῷ «κνήμας ἠδὲ λόφον ἀμφί τε μηρούς», δηλοῖ δὲ καὶ τὸ ἄκρον ἐκ τριχῶν ἐπανάστημα τῆς περικεφαλαίας, ὡς τὸ «δεινὸν δὲ λόφος καθύπερθεν ἔνευε». λαμβάνεται δὲ καὶ ἐπὶ ὕψους ὀρεινοῦ, ὅθεν καὶ γήλοφος καὶ γεώλοφος. ἐκ δὲ τοῦ τοιούτου λόφου καὶ λοφνίδες παρὰ Λυκόφρονι αἱ ἐξ ὄρους μονόξυλοι λαμπάδες. Περὶ δὲ τοῦ «ἀνεκήκιε» προείρηται. (v. 510) Ὅτι καὶ ἐνταῦθα σαφῶς δηλοῖ ὡς τὸ ματᾶν στάσιν καὶ βραδυτῆτα ματαίαν σημαίνει. φησὶ γὰρ «οὐδὲ ἐμάτησε Σθένελος, ἀλλ᾽ ἐσσυμένως ἔλαβεν ἄεθλον», τὸ τοῦ ἑταίρου Διομήδους δηλαδή. Ἰστέον δὲ ὅτι δύναται τὸ «οὐκ ἐμάτησε» καὶ ἄλλως οὐκ ἀπὸ τοῦ μάτην γίνεσθαι, ἀλλ᾽ ὡς ἀπὸ τοῦ μῶ μάσω, τὸ ζητῶ, ἵνα λέγῃ ὡς οὐκ ἐζήτησε τὸ ποιητέον, ἀλλ᾽ εὐθὺς ἥψατο τοῦ πράγματος, ὥστε καὶ ματᾶν κατὰ τὸν λόγον τοῦτον τὸ οἱονεὶ ζητεῖν καὶ ἐνίστασθαι καὶ μὴ θέλειν ἐγχειρεῖν ἔργῳ. (v. 512 s.) Σημείωσαι δὲ καὶ ὡς διαφορὰ τοῦ ἄγειν ἐνταῦθα καὶ φέρειν τὸ «δῶκε δ᾽ ἄγειν γυναῖκα», τὴν ἔμψυχον, καὶ τρίποδα φέρειν, τὸν ἄψυχον. [ὃν εἰκὸς ὑπὸ Διομήδους ἀνατεθῆναι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὕστερον ἐν Δελφοῖς, ὡς δῆλον ἐξ ἐπιγράμματος τοῦδε· χάλκεός εἰμι τρίπους, Πυθοῖ δ’ ἀνάκειμαι ἄγαλμα, καί μ’ ἐπὶ Πατρόκλῳ θῆκε πόδας ὠκὺς Ἀχιλλεύς.

4.774 Τυδείδης δ’ ἀνέθηκε βοὴν ἀγαθὸς Διομήδης, νικήσας ἵπποισι παρὰ πλατὺν Ἑλλήσποντον.] (v. 515) Ὅτι ἐπικρίνει αὐτὸς Ὅμηρος δόλῳ νικηθῆναι Μενέλαον ὑπ’ Ἀντιλόχου. φησὶ γὰρ «κέρδεσιν οὔ τι τάχει γε παραφθάμενος Μενέλαον». διὸ καὶ εἰς λογομαχίαν ἐμπεσεῖται καὶ οὐκ ἀποίσεται ἄτερ ἀγῶνος τὸ ἄεθλον, ὡς ῥηθήσεται. (v. 517) Ὅτι πρὸ μικροῦ μὲν ἁρμάτων ἐναγωνίως τρεχόντων διάστασιν ἐδήλωσεν ἐκ δίσκου, εἰπὼν τοσοῦτον ἐπιδραμεῖν τοὺς Ἀντιλόχου ἵππους ἔμπροσθεν τῶν Μενελάου, ὅσον δίσκου οὖρα κατωμαδίου, ἐνταῦθα δὲ [μεμνημένος ἐπαναληπτικῶς καὶ ἐκείνου τοῦ διαστήματος] λείπεσθαι τοῦ Ἀντιλόχου λέγει τὸν Μενέλαον, ὅσον τροχοῦ διέστηκεν ἵππος, τοῖς ὀπισθίοις δηλαδὴ ποσὶν ἐν τῷ ὑπεζεῦχθαι ἅρματι καὶ θέειν. καὶ πόσον τοῦτο; οὐ πολύ φησι. (v. 519) Ψαύουσι γὰρ ἐπισσώτρου τρίχες αἱ τῆς οὐρᾶς. (v. 520) Εἶτα τὸ αὐτὸ ἄλλως λέγων ἐν κόμματί φησιν «ὃ δὲ ἄγχι μάλα τρέχει», τουτέστιν ὁ δὲ τοιοῦτος ἵππος τρέχει ἐγγὺς ὢν τοῦ κατ’ αὐτὸν ἐπισσώτρου. (v. 520 s.) Τὸ δ’ αὐτὸ καὶ ἑτέρως φράζων φησίν· οὐδὲ πολλὴ χῶρα μέσον τοῦ ἵππου καὶ τοῦ τροχοῦ, ἀλλὰ δηλαδὴ κατὰ μῆκος οὐρᾶς, ὡς προείρηται. (v. 517—23) Φράζει δὲ ταῦτα Ὅμηρος οὕτω «ὅσσον δὲ τροχοῦ ἵππος ἀφίσταται, ὅς ῥα ἄνακτα ἕλκησι πεδίοιο τιταινόμενος σὺν ὄχεσφι· τοῦ μέν τε ψαύουσιν ἐπισσώτρου τρίχες ἄκραι οὐραῖαι, ὃ δέ τ’ ἄγχι μάλα τρέχει, οὐδέ τε πολλὴ χώρη μεσσηγὺς πολέος πεδίοιο θέοντος», ὃ διασαφητικόν ἐστι τοῦ «τιταινόμενος πεδίοιο», τόσσον Μενέλαος Ἀντιλόχου λείπετο. «ἀτὰρ τὰ πρῶτα καὶ ἐς δίσκουρα λέλειπτο». καὶ οὕτω μὲν κἀνταῦθα. ἐν δὲ τοῖς ἑξῆς τὸν Μηριόνην λείπεσθαί φησι Μενελάου δουρὸς ἐρωήν. πρὸ δὲ τούτων ἑτεροίως ἔφραζεν ἐγγύτητα τῶν Εὐμήλου καὶ Διομήδους ἵππων, ἔνθα δίφρου ἐπιβησομένοις ἐῴκεισαν θερμαίνοντες πνοιῇ τὸ τοῦ Εὐμήλου μετάφρενον. ἐν δὲ τῷ τῶν δρομέων ἀγῶνι κανὼν γυναικεῖος καὶ ἰχνῶν τύψις καὶ ἆσθμα κατὰ κεφαλῆς ἐνδείξεται τρεχόντων δύο πλησιασμόν. καὶ καλαῦροψ δὲ ἐν τοῖς ἑξῆς ὑπερβολὴν δηλώσει δίσκου ἀφέσεως.

4.775 οὕτω καὶ τὰ τοιαῦτα ποικίλος καὶ πόριμος μετρητὴς ὁ ποιητής. (v. 521—3) Ὅρα δὲ ὅτι μετὰ τὸ «οὐδέ τι πολλὴ χώρη μεσσηγύς» ἐπαναλήψει χρᾶται βραχείᾳ ὁ ποιητὴς πρὸς ἀνάμνησίν τε καὶ ἔνδειξιν τοῦ χρῆναι στενολογεῖν ἐν καιρῷ τὰ εἰς πλάτος προπεφρασμένα. εἰπὼν γὰρ ἤδη πρὸ ὀλίγων ἐν δυσὶ στίχοις τὰ περὶ τοῦ κατωμαδίου δίσκου, ἐνταῦθα ἐν ὀλιγίστῳ αὖθις ἐκεῖνα παραλαλεῖ, εἰπὼν ὅτι «τὰ δὲ πρῶτα καὶ ἐς δίσκουρα λέλειπτο», ἢ «δίσκ’ οὖρα», ὡς προγέγραπται. ἡ δὲ αἰτία τῆς ὕστερον ἄγαν ἐγγύτητος τὸ τάχος τῆς Αἴθης. (v. 524—7) Φησὶ γὰρ «ἀλλά μιν αἶψα κίχανεν· ὀφέλλετο γὰρ μένος ἵππου τῆς Ἀγαμεμνονέης καλλίτριχος Αἴθης». καὶ εἴπερ «ἔτι προτέρω», ἤτοι προσωτέρω, «γένετο δρόμος ἀμφοτέροισι», παρήλασεν ἂν «οὐδ’ ἀμφήριστον ἔθηκε», τὸν δρόμον δηλαδή. ὁ δὲ λόγος οὗτος καὶ ἐπὶ ἄλλου παρὰ βραχὺ ἐλθόντος τοῦ νικῆσαι ῥηθείη ἄν ποτε. (v. 517 s.) Ὅρα δὲ ὅτι ζύγιος ἵππος ἕλκειν ἐρρέθη ἄνακτα. φέρειν γὰρ εἰπεῖν ἢ ἄγειν οὐκ ἐνέκρινεν Ὅμηρος. κέλητος γὰρ ταῦτα. διὸ καὶ ἐπήγαγε τὸ «σὺν ὄχεσφιν», ἅπερ ἕλκων ἵππος συνέλκει πάντως καὶ τὸν ἀναβάτην. (v. 519) Τὸ δὲ «ψαύουσι», πάνυ καιρίως ἐπὶ βραχείας κεῖται θίξεως, ὁποία καὶ ἡ τῶν οὐραίων ἐνταῦθα τριχῶν, αἳ ἀκροθιγῶς ἅπτονται τροχοῦ, ὡς δοκεῖν ψᾶν αὐτόν, ὅθεν τὸ ψαύειν παράγεται καταψήσει ἐοικός. [Γίνεται δὲ τὸ ψαύειν ἐκ τοῦ ψάω Αἰολικῇ ἐπενθέσει τοῦ υ , ὁμοίως τῷ λάω λαύω καὶ ἀπολαύω, χνάω χναύω, τὸ καταπίνω, ἄω αὔω, τὸ λάμπω, χράω χραύω, τὸ παρ’ Ὁμήρῳ, ὡς τὸ «χραύσει μέν τ’ αὐλῆς ὑπεράλμενον», καὶ τὰ ὅμοια.

4.776 ] (v. 520 s.) Ἡ δὲ ῥηθεῖσα μεσσηγὺς χώρη ἀέριον διάστημα δηλοῖ μεταξὺ τριχῶν ἵππου καὶ τροχοῦ, ἵππου δὲ συντόνως ὑφ’ ἅρματι θέοντος. τοῦ τοιούτου γὰρ αἱ οὐραῖαι τρίχες οὐ χαλαραί, ἀλλ’ εἰς μῆκος οἷον ὀρθιάζουσαι. (v. 523) Τὸ δὲ «λείπετο» καὶ τὸ «λέλειπτο» καὶ τοῖς ἄρτι κοινολεκτεῖται. τὸν γὰρ ἁπλῶς ἡττηθέντα λειφθῆναί φαμεν. (v. 524) Τὸ δὲ ὀφέλλεσθαι οὐ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μόνον ἐπὶ ἔργων ἁπλῶς, ἀλλ’ ἰδοὺ καὶ ἐπὶ προθυμίας. δῆλον δὲ ὡς ἐκ τοῦ τοιούτου ῥήματος οὐ μόνον τὸ ὄφελος, δι’ οὗ αὔξεταί τις ὁπωσοῦν, ἀλλὰ καὶ ἡ ὠφέλεια κατ’ ἔκτασιν τῆς ἀρχούσης, ἀφ’ ἧς καὶ ἡ ἐν Ὀδυσσείᾳ οἰκωφελία. [(v. 525) Ἰστέον δὲ ὅτι Αἴθη βαρυτόνως ἡ τοῦ Ἀγαμέμνονος ἵππος κατά τινα κυριωνυμίαν πρὸς διαστολὴν τοῦ ἐπιθέτου. αἰθός γὰρ ὀξυτόνως ὁ οἷον ἀπηνθρακωμένος κατὰ τὸ «αἰθὸς γεγένημαι» παρὰ τῷ Κωμικῷ, ἐξ οὗ ἵππος Αἴθη ἡ πυρρὰ καί, ὡς εἰπεῖν, αἴθων ἵππος.] (v. 529) Ὅτι αἴτιον τοῦ λείπεσθαι, ὡς ἀνωτέρω ἐρρέθη, τὸν Μηριόνην Μενελάου δουρὸς ἐρωήν, ἤγουν εἰς ὅσον ἂν ἔλθοι ἀφεθὲν δόρυ, τὸ τοῦ ἡνιόχου τε καὶ τῶν ἵππων ἀχρεῖον. (v. 530 s.) «Βάρδιστοι μὲν γάρ οἱ ἔσαν», φησί, «καλλίτριχες ἵπποι. ἥκιστος δ’ ἦν αὐτὸς ἐλαυνέμεν ἅρμ’ ἐν ἀγῶνι». Καὶ ὅρα τὸ «ἐν ἀγῶνι». ἐν πολέμῳ γὰρ ἐλαύνειν ἅρμα οὐκ ἦν ἥκιστος ὁ Μηριόνης. οὐ γὰρ ἂν τῷ Ἰδομενεῖ αὐτὸς ἡνιόχευεν. γίνεται δὲ τὸ ἥκιστος παρὰ τὸ ἦκα, ὅ ἐστιν ἡσυχῇ, ἠρέμα, ἐπ’ ὀλίγον. ὅθεν καὶ «ἥκιστα» ἐπιρρηματικῶς τὸ οὐδ’ ὅλως καὶ «οὐχ’ ἥκιστα τὸ μάλιστα. εἰ δὲ τὸ μὲν ἦκα ψιλοῦται κοινότερον, τὸ δ’ ἐξ αὐτοῦ παράγωγον, τὸ ἥκιστος, δασύνεται, ἀλλὰ δοκεῖ καὶ ἐκεῖνο δασύνεσθαι Ἀττικῶς.

4.777 δῆλον δ’ ὅτι ἐξ οὐδετέρου πληθυντικοῦ, οὗ εὐθεῖα τὸ ἥκιστον, γίνεται τὸ ἥκιστα ἐπίρρημα. ἔστι δὲ ἥκιστος ὁ ὀλίγος καὶ οὐδαμινός. καὶ Μηριόνης μὲν οὕτω τέταρτος ἤλασεν, (v. 532—4) «υἱὸς δ’ Ἀδμήτοιο πανύστατος ἤλυθεν ἄλλων, ἕλκων ἅρματα καλά, ἐλαύνων πρόσσωθ’ ἵππους. τὸν δὲ ἰδὼν ᾤκτειρεν Ἀχιλλεύς», διδάσκων, φασίν, ὅτι δεῖ τοὺς παρ’ ἀξίαν δυστυχοῦντας ἐλεεῖν καὶ μὴ ἐθέλειν τύχην ὑπερτερεῖν ἀρετῆς. ἄλλως δὲ καὶ ὡς Θετταλὸν ὄντα τὸν Εὔμηλον ἐλεεῖ. (v. 536) Καὶ στὰς ἐν μέσῳ ἔφη «λοῖσθος ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους», ὃ δὴ καὶ εἰς παροιμίαν ἔπεσεν ἐπὶ τῶν κατά τι εὐδοκιμούντων, εἰ τελευταῖοι ἐκπέσοιεν. (v. 537—9) Καὶ ἐθέλει μὲν ὁ ἀθλοθέτης ἀγαθόν τι ἐπ’ αὐτῷ, εἰπὼν «ἀλλ’ ἄγε δή οἱ δῶμεν ἀέθλιον, ὡς ἐπιεικές, δεύτερ’, ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός». καὶ πάντες Ἀχαιοὶ «ἐπήνεον ὡς ἐκέλευε», καὶ πόρεν ἄν, φησίν, ἵππον τῷ Εὐμήλῳ, εἰ μὴ ἂρ Ἀντίλοχος δικαίως ἐνστάς, ὡς ἐν τοῖς ἑξῆς ῥηθήσεται, κωλύει καὶ νικᾷ λέγων, καὶ εἰς μειδίαμα τὸν Ἀχιλλέα προκαλεῖται. καὶ αὐτὸς μὲν λαμβάνει τὰ δεύτερα, (v. 560—2) Εὐμήλῳ δὲ δίδωσιν Ἀχιλλεὺς θώρηκα, «ὅν», φησίν, «Ἀστεροπαῖον ἀπηύρων», ἤγουν ἀφειλόμην, «χάλκεον, ᾧ περὶ χεῦμα φαεινοῦ κασσιτέροιο ἀμφιδεδίνηται.

4.778 πολέος δέ οἱ ἄξιον ἔσται» ὡς πολύτιμον. δηλοῖ δ’ ἐν τούτῳ ἡ ἀμφιδίνησις τοῦ κασσιτερίνου χεύματος τὸ γάνωμα, ὅπερ ἐπινενόηται πρὸς ἀργύρου ὑποκόρισμα, καὶ εἰς ἀπάτην οὐ μόνον τῶν ἄλλως βλεπόντων, ἀλλά που καὶ τοῦ ἔχοντος. Ὅρα δ’ ἐν τούτοις τροχὸν δίκης εὐτέχνως περιηγμένον τῷ ποιητῇ, δι’ οὗ ὁ μὲν ἄριστος Εὔμηλος καταπίπτει τῶν πρωτείων, ὁ δὲ πέμπτος Μηριόνης καὶ ἥκιστος εἰς μεῖζον, τὸ τοῦ τετάρτου ἆθλον, ἀνάγεται. πανύστατον δὲ τὸν Ἄδμητον μὲν καλῶς εἶπεν ὁ ποιητής. Ἀντίλοχος δὲ ἐν τοῖς ἑξῆς πανύστατον ἐρεῖ τὸν τρίτον Μενέλαον οὐ πρὸς ἀλήθειαν, ἀλλὰ κατὰ λύπην καὶ θυμόν. (v. 533) Τὸ δὲ «ἕλκων» ἔχει τι ἀστεῖον τῇ περιπετείᾳ εἴπερ οὕτως ὁ Εὔμηλος ἐσχημάτισται, ὡς αὐτὸς ἕλκων τὸ ἅρμα κατά τινας καὶ τοὺς ἵππους ἐλαύνων, ἀβαρεῖς προϊόντας, ὡς εἴπερ ἡγοῦντο αὐτῷ τῆς ὁδοῦ. νοητέον δ’ ἐντεῦθεν, κατὰ τρόπον συλλογισμοῦ ποιητικοῦ εὐπειθεῖς καὶ πάνυ ἡμέρους τοὺς τοῦ Εὐμήλου ἵππους. εἰ δὲ κακῶς παθὼν ἐν τῷ πεσεῖν εἶτα καὶ διὰ οὕτω δολιχοῦ ἱπποδρόμου τὸ ἅρμα ἕλκει, τὸ ῥωμαλέον συλλογιστέον τοῦ ἥρωος. καὶ οὕτω μέν τινες. ἕτεροι δὲ ἐνόησαν, ὅτι Εὔμηλος οὐκ ἐφ’ ἅρματος πάντως ἐλθών, ἀλλὰ οἷον ἕλκων τὸ ἅρμα, ἐκ τῶν ἔμπροσθεν κατά τε αὐχένας καὶ πλευρὰς ὡς οἱ ζευγηλάται τῇ μάστιγι τοὺς ἵππους προκαλούμενος, ἤπου καὶ πλήττων, ἤλαυνε συσχὼν καὶ ὑποζεύξας αὖθις κατὰ τὸ σιωπώμενον αὐτούς. ὤκνησε γὰρ ἐπιβῆναι ἅρματος, κρίνας πεζῇ θριαμβεῦσαι δεδυστυχηκότα ἑαυτόν.

4.779 (v. 534) Διὸ καὶ οἰκτείρεται. οἰκτείρειν δὲ κυρίως τὸ λαλεῖν λόγους, οἳ κινοῦσιν εἰς οἶκτον ἤτοι ἔλεον. (v. 536) Τοιοῦτος δὲ καὶ ἐνταῦθα λόγος τὸ «λοῖσθος ἀνὴρ ὁ ἄριστος» καὶ ἑξῆς. Τὸ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λοῖσθος παρονομασθὲν μετ' ὀλίγα λοισθεύς εὑρεθήσεται ὁμοίως τῷ Μελάνθιος Μελανθεύς, ἡνιοχεύς. (v. 538) Τὸ δέ «δεύτερα» ὤφειλε μὲν δεύτερον εἶναι ὡς πρὸς τὸ ἀέθλιον, καθὰ καὶ προδεδήλωται, ἵνα ἣν δῶμεν ἀέθλιον δεύτερον. ἐπληθύνθη δὲ Ἀττικῶς καὶ αὐτό, ἵνα καὶ τῷ μετρῷ χρησιμεύσῃ. οὐχ' ὑποκοριστικὸν δὲ οὐδὲ τὸ ἀέθλιον. οὐ γὰρ εἴωθεν ἁπλῶς οὕτω σχηματίζειν ὁ ποιητὴς ὑποκορισμούς, ὡς καὶ ἐν ἄλλοις ἐφάνη. παρωνόμασται δὲ ἐκ τοῦ ἄεθλον ὁμοίως τῷ ἴχνιον καὶ τοῖς τοιούτοις. (v. 539) Τὸ δὲ «ἐπῄνεον» ἐδίπλασεν ὁ ποιητής, εἰπὼν εὐθὺς πάλιν κατωτέρω «ἐπῄνησαν γὰρ Ἀχαιοί», καὶ δηλοῖ τῇ ταὐτολογίᾳ τὴν τοῦ ἐπαίνου ἐπιμονήν. τοῦ δὲ ἐπαινῆσαι καὶ μετ' ὀλίγα κεῖται χρῆσις, καὶ παρ' Ἡσιόδῳ δὲ ἐν τῷ «τὴν μέν κεν ἐπαινήσειε νοήσας». Ὅτι ἑλομένου, ὡς ἐρρέθη, τοῦ Ἀχιλλέως Εὐμήλῳ τῷ ἀρίστῳ μέν, δυστυχήσαντι δέ, δοῦναι τὸ δεύτερον ἀέθλιον, ἀντεχόμενος αὐτοῦ ἐναγωνιώτερον ὁ Ἀντίλοχός φησιν (v. 543—7) «ὦ Ἀχιλλεῦ, μάλα τοι κεχολώσομαι, αἴ κε τελέσσῃς τοῦτο ἔπος», τὸ δοῦναι δηλαδὴ Εὐμήλῳ δεύτερον ἄεθλον ὑστάτῳ ἥκοντι, «μέλλεις γὰρ ἀφαιρήσεσθαι ἄεθλον· τὰ φρονέων, ὅτι οἱ βλάβεν ἅρματα καὶ ταχέ' ἵππω αὐτός τ' ἐσθλὸς ἐών· ἀλλ' ὤφελεν ἀθανάτοισιν εὔχεσθαι, τό κεν», ἤγουν διὸ ἢ οὕτως ἄν, «οὔ τι πανύστατος ἦλθε διώκων». Καὶ ὅρα τὴν σύντομον τοῦ Νεστορίδου ῥήτορος ἀντίθεσιν καὶ λύσιν. εἰπὼν γὰρ τοῦτο φρονεῖν τὸν Ἀχιλλέα δικαιολογικῶς, ὅτι ἐσθλὸς ἀνὴρ ὁ Εὔμηλος αὐτός τε ἐβλάβη καὶ τὸ ἅρμα καὶ οἱ ἵπποι καὶ διὰ τοῦτο ἐλεητέον καὶ δοτέον αὐτῷ τὸ γοῦν δεύτερον ἔπαθλον, λύει φάμενος ὅτι ὤφειλεν εὔξασθαι, καὶ οὐκ ἂν τοιαῦτ' ἔπαθε. καὶ ἔστι, φασίν, ἡ λύσις δεινή. ἡ μὲν γὰρ ἀντίθεσις δυστυχίαν Εὐμήλου προβάλλεται, ἡ δὲ λύσις περιφρονήσεως τοῦ θείου αἰτιᾶται αὐτόν, καί πως λέγει ὡς, εἰ καὶ διὰ δυστυχίαν ἄξιος οἴκτου Εὔμηλος, ἀλλὰ μίσους ἄλλως ἄξιος, ὅτι μὴ ηὔξατο. ἔνθα νοητέον καὶ ὅτι κατὰ τὸ σιωπώμενον ὁ Ἀντίλοχος ηὔξατο φθάσας περὶ νίκης. οὐ γὰρ ἂν ἄλλως ὠνείδιζεν Εὐμήλῳ τὸ μὴ εὔξασθαι.

4.780 (v. 541 s.) Ὅτι δὲ δικανίζει ὁ νεανίας ἐνταῦθα, ἐπεσημήνατο ὁ ποιητὴς ἐν τῷ «Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱός, Πηλείδην Ἀχιλῆα δίκῃ ἠμείψατο ἀναστάς», ἤγουν δικανικῶς. τινὲς δὲ ἀντὶ τοῦ δικαίως τὸ «δίκῃ» φασίν. Ἰστέον δὲ ὅτι τὸ «Νέστορος υἱός» οὐ λίαν ἐκ περιττοῦ κεῖται, ἀλλ' εἰς ἔμφασιν τοῦ καὶ τὸν υἱὸν ῥητορικόν, ὡς εἰκός, εἶναι τοιοῦδε ῥήτορος ἐκγενόμενον. (v. 543) Τὸ δὲ «κεχολώσομαι» μετὰ ἁπλουστάτης διαθέσεως, ἔτι δὲ καὶ κατὰ τὴν ἐν δίκαις προαναφώνησιν εἴρηται. διὸ καὶ ἐμείδησεν Ἀχιλλεὺς καὶ μᾶλλον, ἐπεὶ προσέθετο εἰπεῖν ὁ ἑταῖρος ὡς εἴπερ αὐτὸν οἰκτείρεις, ἔστι σοι πολλά, ὧν ἀνελὼν δὸς καὶ μεῖζον ἄεθλον. δῆλον γὰρ ὡς οἰκτιρμοῦ χάριν δώσεις καὶ οὐχ' ὡς ἀέθλιον. ἔτι δὲ μάλιστα ἐμείδησεν, ἐπεὶ ἔφη περὶ τῆς ἵππου καὶ χερσὶ μαχήσεσθαι τῷ βουλομένῳ πειρηθῆναι, καθά που καὶ Ἀχιλλεὺς ἔφη «τῶν δ' ἄλλων, ἅ μοί ἐστι θοῇ παρὰ νηΐ, τῶν οὐκ ἄν τι ἕλοις». εὐγένειαν τοίνυν οἰκείαν ὁ ἥρως ἐν τῷ Ἀντιλόχῳ φαντασάμενος μειδιᾷ. καὶ ἄλλως δὲ μειδιᾷ ὁ γλυκὺς εἰπεῖν Ἀχιλλεύς, ἐπεὶ καὶ τῷ Ἀντιλόχῳ ἀστεία ἡ ὅλη λαλιὰ φαίνεται. (v. 558—62) Τοίνυν ἀποτεινόμενος ἀστείως πρὸς τὸ «κεχολώσομαι» ὡς οἷα δεσποτικῶς ῥηθέν φησιν «εἰ μὲν δή με κελεύεις καὶ οἴκοθεν ἄλλο Εὐμήλῳ ἐπιδοῦναι, ἐγὼ δέ κε καὶ τὸ τελέσω· δώσω οἱ θώρηκα», καὶ ἑξῆς. καὶ δίδωσιν εὐθὺς Εὐμήλῳ μεῖζον ἄεθλον τὸν τοῦ Ἀστεροπαίου, ὡς ἐρρέθη, θώρακα, κλισίηθεν ἀχθέντα. [Ἰστέον δὲ ὅτι καὶ τὸ «κεχολώσομαι» δικανικῶς ἐνταῦθα ὑπολαλεῖται. ἄμυναν γὰρ ἡ λέξις παρεμφαίνει, εἴγε καὶ μάχην μελετᾷ ὁ τοῦτο εἰπὼν Ἀντίλοχος περὶ τῆς ἵππου. ἀμύνεσθαι δὲ καὶ μάχεσθαι οὐκ ἂν εἴη δίχα τοῦ καὶ χολοῦσθαι. ὅτι δικανικόν ἐστι καὶ τὸ ἀμυντικόν, δηλοῖ ὁ ἐθελήσας ὁρίσασθαι τὴν ῥητορικὴν διὰ τοῦ «ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ».

4.781 ] (v. 544) Τὸ δὲ «μέλλεις ἀφαιρήσεσθαι ἄεθλον» ἀορίστως εἶπε, δυνάμενος μὲν εἰπεῖν· ἀφαιρήσεσθαί με, ὀκνήσας δὲ τάχα διὰ τὸ δεδιέναι τὸν Μενέλαον ὡς ἐρίσει δικαίως αὐτῷ τοῦ δευτερείου. διό φησι ὅτι ἁπλῶς ἄεθλον ἀφαιρήσῃ, ἑτέρῳ οὐ μὴν τῷ Εὐμήλῳ προσῆκον. (v. 547) Τὸ δὲ «οὔ τι πανύστατος ἦλθεν» ὑπὲρ ἑαυτοῦ ὁ ῥήτωρ παῖς ἔφη. ὡς γάρ τινος λέξοντος· καὶ πῶς

σὺ εὐξάμενος οὐκ ἦλθες πρῶτος, λέγει μονονουχὶ ὅτι οὐ μὴν οὐδὲ πανύστατος ἦλθον, ὅ ἐστι δεύτατος, ἀλλὰ δεύτερος μετὰ τὸν πρῶτον. (v. 548—52) Ἰστέον δὲ ὅτι πλουσίου δωρουμένου τὸ ἀλλότριον φίλῳ τινὶ κωλυτικὸν τὸ «εἰ δέ μιν οἰκτείρεις καί τοι φίλος ἔπλετο θυμῷ, ἐστί τοι ἐν κλισίῃ χρυσὸς πολύς, ἔστι δὲ χαλκὸς καὶ πρόβατα, εἰσὶ δέ τοι δμῳαὶ καὶ μώνυχες ἵπποι, τῶν οἱ ἔπειτ’ ἀνελών», ἤτοι ὕστερον λαβών, «δόμεναι», ἤγουν δός «καὶ μεῖζον ἄεθλον, ἠὲ καὶ αὐτίκα νῦν, ἵνα ς’ αἰνήσωσιν Ἀχαιοί» τυχόν, ἢ οἵδε τινές. (v. 558 s.) Ὁ δὲ τοιοῦτος πλούσιος ἔχοι ἂν ἀποκρινεῖσθαι τὸ «εἰ μὲν δή με κελεύεις καὶ οἴκοθεν» καὶ ἑξῆς. καί εἰσιν ἐκεῖνα μὲν Ἀντιλόχου λόγοι, ταῦτα δὲ Ἀχιλλέως. (v. 555 s.) Οὗ ἡ πρὸς Ἀντίλοχον φιλία φαίνεται καὶ ἐν τῷ «μείδησεν Ἀχιλλεὺς χαίρων Ἀντιλόχῳ, ὅτι οἱ φίλος ἦεν ἑταῖρος». (v. 553) Ἐν τούτοις δὲ σημείωσαι καὶ ὅτι οὐχ’ ὡς κτήματος διὰ σμικρολογίαν ἀντιποιεῖται τῆς ῥηθείσης ἵππου Ἀντίλοχος, ἀλλ’ ὡς ἐπάθλου, χρηστοῦ, φασί, νέου ἦθος ἔχων, καὶ φιλότιμος ὢν περὶ νίκην, ὃ φύσει πάντες πάσχομεν νικᾶν ἐθέλοντες. διὸ οὐ φθονεῖ καὶ μεῖζον δοθῆναι τῷ ἀντιπάλῳ, κτῆμα πάντως ἐκείνῳ καὶ δῶρον λογισθησόμενον. αὐτὸς δ’ αἱρεῖται τὸ ἔλαττον, ποιότητι μεῖζον κρίνων αὐτό.

4.782 διὸ καὶ Ἀχιλλεὺς ἀγαλλιασάμενος ποιεῖ οὕτω. καὶ ἑτέρως δὲ φράσαι, τιμῆς ἀντιποιεῖται Ἀντίλοχος, καὶ οὐ χαίρει γέρας ἀφαιρούμενος οἰκεῖον, ἀλλὰ δικαιολογεῖται περὶ τούτου τῷ Ἀχιλλεῖ, ὃς πεπειραμένος οἶδεν οἷόν ἐστιν ἡ τοῦ γέρως ἀφαίρεσις. (v. 553 s.) Φράζει δ’ Ἀντίλοχος οὕτω περὶ τοῦ δευτερείου, ἤγουν τῆς ἵππου «τὴν δ’ ἐγὼ οὐ δώσω· περὶ δ’ αὐτῆς πειρηθήτω ἀνδρῶν ὅς κ’ ἐθέλησιν ἐμοὶ χείρεσσι μάχεσθαι». περιμάχητος ἄρα ἡ ἵππος αὕτη. Ὅτι δὲ τὸ χερσὶ μάχεσθαι διαστολὴν ἔχει τοῦ θυμομαχεῖν καὶ λογομαχεῖν, προδεδήλωται. ὡς δὲ ἡδέα τὰ ἔπαθλα, δηλοῖ μὲν καὶ ἡ ἄρτι ἔρις, καὶ ἐφεξῆς δὲ ἡ κατὰ τὸν Μενέλαον, καὶ τὸ (v. 565) «Εὐμήλῳ ἐν χερσὶ τίθει» τὸν ῥηθέντα θώρακα, «ὃ δὲ δέξατο χαίρων», μάλιστα δὲ ἡ τούτων ἡδύτης ἐν τῇ κοινῇ τῶν ἀεθλευόντων ὑπολήψει σαφῶς διαφαίνεται ἀεί. Ὅρα δὲ [ὅτι τε προκλητικὸν τῶν ἐφεξῆς τὸ «περὶ δ’ αὐτῆς πειρηθήτω» καὶ ἑξῆς. οἶδε γὰρ ὁ ἀγχίνους Νεστορίδης ὡς ἐρίσει δι’ αὐτὴν ὁ Μενέλαος, καὶ] ὅτι ἐν τῷ «πρόβατα καὶ δμῳαὶ καὶ μώνυχες ἵπποι» ἁπλοϊκῶς καὶ οὐ κατά τινα τιμίαν τάξιν ὁ Ἀντίλοχος ἔφρασεν οἷα καὶ σχεδιάζων καὶ χολούμενος. [Διὸ καὶ δυσὶν ἐνταῦθα εἰς οὐδὲν δέον ἐχρήσατο συνεκδοχαῖς, ἤγουν συλλήψεσι, μνείᾳ μὲν προβάτων συνεκδεξάμενος καὶ βόας καὶ αἶγας, ἵππους δέ γε τοὺς ποθεινοὺς ἰδίᾳ ἐκλαλήσας, (v. 551) τῷ ἀνελεῖν δέ, ἤγουν κάτωθεν ἐκ γῆς ἀναλαβέσθαι, χρυσὸν καὶ χαλκὸν καὶ τοιαῦτα συλλαβὼν καὶ πρόβατα καὶ ἵππους καὶ λοιπά, ὧν οὐκ ἔστιν οἰκεῖον τὸ ἀνελεῖν. δοκεῖ δὲ ἀστείως ἐν τῷ «χρυσὸς πολύς» ὑποδάκνειν τὸν Ἀχιλλέα, εἰ οὕτω πολύχρυσος ὢν βραχύ τι χρυσοῦ προὐβάλλετο εἰς ἀέθλιον. (v. 553) Ἔχει δέ τι δριμὺ καὶ τὸ «τὴν δ’ ἐγὼ οὐ δώσω», παρῳδηθὲν ἐκ τοῦ «τὴν δ’ ἐγὼ οὐ λύσω», τὴν Χρυσηΐδα δηλαδή, ἧς Ἀγαμέμνων πρὸ τούτων ἀντεποιεῖτο περιέπων ὡς γέρας, καθὰ καὶ ὁ Μενέλαος ἀντιποιήσεται τῆς ἵππου μετ’ ὀλίγα, πρὸς ὃν δυνήσεται εἰπεῖν ὁ Ἀντίλοχος τὸ «τὴν δ’ ἐγὼ οὐ δώσω», καθὰ καὶ ὁ βασιλεὺς ἐκεῖ ἔφη τὸ «τὴν δ’ ἐγὼ οὐ λύσω».

4.783 πρὸς ἃ δὴ μειδιᾷ ὁ Ἀχιλλεύς.] (v. 566) Ὅτι μετὰ δίκην Ἀντίλοχος ἄεθλον τὸ δεύτερον λαβών, εἶτα δευτέροις ἀγῶσι περιπίπτει. ἀντιπίπτει γὰρ αὐτῷ Μενέλαος, ἐπείπερ αὐτὸν ἐνίκησε «κέρδεσι» κατὰ τὸν ποιητήν, «οὔ τι τάχει παρφθάμενος». καὶ τὸ ῥηθὲν ἆθλον, τὴν ἵππον, εἰς ἑαυτὸν ἕλκει. καὶ ἐπεὶ ἔφη Ἀντίλοχος «τὴν δ’ ἐγὼ οὐ δώσω, περὶ δ’ αὐτῆς πειρηθήτω» καὶ ἑξῆς, οὐ κεχολώσεται κατ’ ἐκεῖνον ὁ Μενέλαος, (v. 566—8) ἀλλὰ ἤδη χολοῦται ἄμοτον καὶ ἀνίσταται «θυμὸν ἀχεύων». καὶ ὁ κῆρυξ μὲν σκῆπτρον ἐν χερσὶν αὐτῷ τίθησι καὶ σιωπῆσαι κελεύει Ἀργείους, (v. 570—8) Μενέλαος δέ φησιν «Ἀντίλοχε, πρόσθε πεπνυμένε, ποῖον ἔρεξας; ἤσχυνας μὲν ἐμὴν ἀρετήν, βλάψας δέ μοι ἵππους, τοὺς σοὺς πρόσθε βαλών, οἳ πολὺ χείρονες ἦσαν. ἀλλ’ ἄγετε Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες», ὃ καὶ ἐν ἄλλοις ἐγράφη, «ἐς μέσον ἀμφοτέροισι δικάσσατε, μηδ’ ἐπ’ ἀρωγῇ, μή ποτέ τις εἴπησιν Ἀχαιῶν· Ἀντίλοχον ψεύδεσι βιησάμενος

Μενέλαος οἴχεται ἵππον ἄγων, ὅττι οἱ», τουτέστι τῷ Ἀντιλόχῳ, «πολὺ χείρονες ἦσαν ἵπποι, αὐτὸς δέ», ἤγουν ὁ Ἀντίλοχος, «κρείσσων ἀρετῇ τε βίῃ τε». (v. 574) Οὕτως εἰπὼν ὁ Μενέλαος, καὶ «δικάσσατε», φάμενος, «εἰς μέσον», ἤγουν ἐξ ἴσου, ἵνα μέσοι γένησθε καὶ μὴ ἑτεροβαρεῖς, ὥς φασιν οἱ παλαιοί, οὗ δὴ ἐκ παραλλήλου ἐφερμηνευτικὸν τὸ «μήδ' ἐπ' ἀρωγῇ», ταὐτὸν γὰρ τὸ «ἐς μέσον» καὶ τὸ «μηδ' ἐπ' ἀρωγῇ», ἤτοι μέσως καὶ μὴ κατὰ χάριν. οὕτω τοίνυν ζητήσας δικάσασθαι ὁ βασιλεὺς οἷα θαρρῶν τῷ δικαίῳ καὶ ὡς οὔτις αὐτοῦ καταψηφιεῖται, μεταβουλεύεται ταχὺ καὶ τὸ τίμιον καὶ βασιλικὸν φυλάττων ἑαυτῷ τοὺς μὲν αἱρετοὺς ἀφίησι δικαστάς, γνωματεύει δ' αὐτὸς ἐκεῖνος κρίνας, (v. 579—85) καί φησιν «εἰ δ' ἄγ' ἐγὼν αὐτὸς δικάσω καί μ' οὔ τινά φημι ἄλλον ἐπιπλήξειν Δαναῶν· ἰθεῖα γὰρ ἔσται. Ἀντίλοχ', αἴ δ' ἄγε δεῦρο, διοτρεφές, ἣ θέμις ἐστί, στὰς ἵππων προπάροιθε καὶ ἅρματος, αὐτὰρ ἱμάσθλην χερσὶν ἔχων ῥαδινήν, ᾗ περ τὸ πρόσθεν ἔλαυνες, ἵππων ἁψάμενος γαιήοχον ὄμνυθι μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλῳ ἅρμα πεδῆσαι».

4.784 ταῦτα τὰ τοῦ Μενελάου, μὴ φέροντος ἢ νικηθῆναι ἢ λαβεῖν μὲν τὸ ἆθλον, δόξαι δὲ βιάσασθαι τὸν αὐτοῦ ἡνιοχικώτερον καὶ διὰ τὸ ἀξίωμα πλεονεκτεῖν. τηρητέον δὲ ὅτι ἔνια καὶ τῶν ἐνταῦθα ῥηθέντων ἐπῶν δύνανται παραπλακῆναι λόγῳ πεζῷ, οἷον ἐπὶ ἀνδρὸς θαρροῦντος τῷ δικαίῳ ῥηθήσεται τὸ «ἀλλ' ἄγετε», ὦ δεῖνα, καὶ ἑξῆς ἕως τοῦ «μή ποτέ τις εἴπησι» τάδε. ὁ δὲ τοιοῦτος εἴπῃ ἂν καὶ τὸ «εἰ δ' ἄγ' ἐγὼν αὐτὸς δικάσω», καὶ ἑξῆς ἕως τοῦ «ἰθεῖα γὰρ ἔσται». (v. 579) Σημείωσαι δ' ἐν τούτοις καὶ ὅτι τὸ «εἰ δ' ἄγε δικάσω» κάλλιόν ἐστι νοηθῆναι ἀντὶ τοῦ «εἰ δὲ βούλει, ἄγε», καθὰ καὶ ἀλλαχοῦ ἡρμήνευται, ἤπερ εἰπεῖν· εἶα δὲ ἄγε, καθὰ καὶ αὐτὸ εἴρηται. (v. 581) Προϊὼν γὰρ εὐθὺς λέγει «Ἀντίλοχ', αἴ δ' ἄγε δεῦρο», καὶ ἑξῆς. τὸ γὰρ «αἴ δ' ἄγε» ταὐτὸν τῷ «ἐὰν δ' ἄγε» καὶ τῷ «εἰ δ' ἄγε». καὶ δύναται μὲν γραφῆναι καὶ αὐτὸ «Ἀντίλοχ' εἰ δ' ἄγε», τὰ δὲ πλείω καὶ ἀκριβέστερα τῶν ἀντιγράφων «αἴ δ' ἄγε» φασὶν ὁμοίως τῷ «αἴ δὲ λῇς», ἀντὶ τοῦ ἐὰν θέλῃς, καὶ τῷ «αἴ κεν ἄτερ σπείρου κεῖται», καὶ τοῖς ὁμοίοις. (v. 567) Ἰστέον δὲ καὶ ὅτι «ἄμοτον» καὶ νῦν τὸ πλῆρες ἁπλῶς καὶ μὴ κενὸν καὶ μότου δεόμενον. (v. 570) Τὸ δὲ «πρόσθε πεπνυμένε» δεξιῶς εἴρηται. ὁμολογεῖ γὰρ φρόνιμον τὰ πρὶν τὸν Ἀντίλοχον εἶναι, ἵνα πιστευθῇ μὴ πεπνῦσθαι νῦν αὐτόν. ἐνταῦθα δὲ φθάνει καὶ ἀπολογίαν τοῦ Ἀντιλόχου ἀνατρέπων. ἵνα γὰρ μὴ ἁπλότητα ἤθους ἐκεῖνος προβαλεῖται, φησὶν «πρόσθε πεπνυμένε», ὃ δή, φασί, μεῖζον ἀποφαίνει τὸ ἔγκλημα· ὁ γὰρ πεπνυμένος οὐχ' ἁπλοῦς, ὅθεν καὶ ἑκὼν ἥμαρτε δολιευσάμενος. Τὸ δὲ «ἔρεξας» διὰ μέτρον οὐ διπλασιάζει τὸ ρ . Τὸ δὲ «ποῖον ἔρεξας» καλῶς κεῖται. τί μὲν γὰρ ἔρεξεν, οὐκ ἐρωτᾷ, ὡς πᾶσι δῆλον ἐκ θέας. (v. 571 s.) Πολυπραγμονεῖ δὲ τὴν τοῦ πραχθέντος φαύλην ποιότητα, ἣν καὶ ἑρμηνεύει ἐπαγαγὼν τὸ «ᾔσχυνας μὲν ἐμὴν ἀρετήν», καὶ ἑξῆς. λέγει δὲ καὶ νῦν ἀρετήν, ὡς καὶ κατωτέρω, τὴν ἡνιοχικήν.

4.785 [Ὅρα δ' ἐνταῦθα καὶ τὸ «ᾔσχυνας» καιρίως λεχθὲν καὶ οὐ μόνον διότι ἀντὶ κάλλους αἰσχύνη, τὸ ἐναντίον τῷ κάλλει, καταχέεται τοῦ προσώπου τοῖς ἡττωμένοις, ἀλλὰ καὶ ὅτι καλὸν μὲν ἀρετὴ πᾶσα, αἰσχρὸν δὲ ἐξ ἐναντίου ἅπασα κακία. αἱ δέ γε κατὰ ψυχὴν ἀρεταί, ὅσαι τε κατὰ πρᾶξιν καὶ αἱ διανοηταί, ἤδη καὶ κάλλισται, ὡς λείπεσθαι τὰς αὐταῖς ἀντιθέτους κακίας αἰσχίστας εἶναι καὶ ἀναλόγως αἰσχύνειν τοὺς ἐνισχομένους αὐταῖς.] Τὸ δὲ «ἔβλαψας ἵππους» κυριολεκτεῖται καὶ νῦν ὡς ἐπὶ ἐμποδισμοῦ. (v. 572) Τὸ δὲ «τοὺς σοὺς ἵππους πρόσθε βαλών» ἀντὶ τοῦ ἐπιτυχῶς ἀγαγὼν ἔμπροσθεν, ὁποῖόν τι μετ' ὀλίγα καὶ τὸ «πλήθει πρόσθε βαλόντες». (v. 574) Τὸ δὲ «ἐς μέσον δικάσατε μηδ' ἐπ' ἀρωγῇ ἀντὶ τοῦ μέσως καὶ δικαίως, ὡς εἴρηται. (v. 576 s.) Τὸ δὲ «Ἀντίλοχον ψεύδεσι βιασάμενος οἴχεται ἵππον ἄγων» ἀποστατικῶς ῥηθὲν καὶ ἀσυνδέτως κατὰ ἦθος θυμοῦ δοκεῖ καὶ ἔλλειψίν τινα ἔχειν. τὸ δὲ ἀνελλιπὲς ἦν φράσαι οὕτως· μή ποτέ τις εἴπῃ ὡς Ἀντίλοχον ἐβιάσατο Μενέλαος. (v. 578) Τὸ δὲ «βίῃ τε» λόγον ἔχει ὡς τῶν ψογερῶν αἰτιασομένων τὸν βασιλέα οἷα μήτε ἀρετῆς εὖ εἰδότα ἡνιοχικῆς μήτε ῥωμαλέον ὡς δύνασθαι βιάζεσθαι καὶ περιάγειν θρασεῖς ἵππους ὅποι χρή. (v. 580) Τὸ δὲ «ἰθεῖα» ἐλλιπῶς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὸ εἴρηται. εἴληπται γὰρ ἀπὸ κοινοῦ τὸ δίκη ὄνομα ἐκ τοῦ δικάσασθαι ῥήματος. εἰς δὲ σαφήνειαν τῆς τοιαύτης λέξεως χρήσιμον καὶ Ἡσιόδου τὸ «ἰθεῖαν ἔνειμαν», ἤτοι τὴν εὐθυτάτην δίκην. ἔστι δὲ καὶ ἐν Ὀδυσσείᾳ σχῆμα τοιοῦτον, ἔνθα ἑπταχῇ διαμοιρᾶται ὁ Εὔμαιος. (v. 581) Τὸ δὲ «ἣ θέμις ἐστίν» ἔοικε δηλοῦν μὴ πρὸς Μενελάου πρώτου ἐπινοηθῆναι τὴν ἐνταῦθα κρίσιν, ἀλλ' οὕτως ἐκ παλαιοῦ τὰ τοιαῦτα θεμιστεύεσθαι. [Ὡς δὲ καὶ περισπᾶται, καὶ αὖ πάλιν ὀξύνεται ἄλλως τὸ ἥ, ἐν τῷ «ἣ θέμις» δεδήλωται καὶ ἐν ἄλλοις.

4.786 ] (v. 583) Ῥαδινὴ δὲ ἱμάσθλη ἡ λεπτὴ καὶ μακρὰ κατὰ τοὺς παλαιούς, καὶ διὰ ταῦτα καὶ λιγυρά. δοκεῖ δὲ γίνεσθαι ἢ παρὰ τὸ ῥᾷον δινεῖσθαι, ἤτοι κάμπτεσθαι, διὰ λεπτότητα, ἢ παρὰ τὸ ποιεῖν τοὺς ἵππους ῥᾷον ἰέναι πλεονασμῷ τοῦ δ . (v. 582 s.) Ἐν δὲ τῷ «αὐτὰρ ἱμάσθλην χερσὶν ἔχων» δοκεῖ περιττὸς εἶναι ὁ σύνδεσμος τεθεὶς ἀντὶ τοῦ δή. δῆλον δὲ καὶ ὅτι συγκέκοπται ἡ ἱμάσθλη διὰ τὸ εὐφωνότερον. τὸ γὰρ ἐντελὲς ἱμαμάσθλη ἐστίν, ὡς οἷον εἰπεῖν· ἱμάς μάσθλης, τουτέστι λῶρος μεμαλαγμένος. (v. 584) Τὸ δὲ τῶν ἵππων ἅψασθαι βούλεται τοῖς ἵπποις τὸ τῆς ἐπιορκίας κακὸν κατασκήπτειν, εἰ ὁ ἡνίοχος ψεύσεται, ὥσπερ καὶ τὸ τὴν ἱμάσθλην ἔχειν αἴνιγμά ἐστι τοῦ καὶ αὐτὴν καὶ τὴν κατέχουσαν χεῖρα εἰς ἀχρεῖον ἐλθεῖν, ὃ τοῖς ἐπιορκοῦσιν ὀφείλεται. (v. 585) Τὸ δὲ «ὄμνυθι μὴ μὲν ἑκὼν τὸ ἐμὸν ἅρμα δόλῳ πεδῆσαι» φανερῶς δηλοῖ ὅτι καὶ ἐν τῇ υ' ῥαψῳδίᾳ εἰς τὸ «μὴ μὲν ἐγὼ Βρισηΐδι χεῖρα ἐπενεῖκαι» λείπει τὸ ὄμνυμι, ἵνα λέγῃ ἐκεῖ· ὄμνυμι μὴ βιάσασθαι τὴν κόρην. Τὸ δὲ «πεδῆσαι» δριμέως εἴρηται. τὸ γὰρ κωλῦσαι τοῦ δρόμου πεδῆσαί φησιν ὁ βασιλεύς, αὐξάνων τὸ τοῦ νεανίσκου ἀδίκημα. φθάσας μέντοι ἐρωῆσαι εἶπε τοὺς ἵππους ὁ ποιητής, πρὸ δὲ ὀλίγων καὶ βλαβῆναι ἔφη αὐτούς. Σημείωσαι δὲ καὶ ὅτι οὐκ ἐξῆν ἐν τοῖς ἀγῶσι δόλους τεχνάζεσθαι. διὸ δίκην ἔλαχεν Ἀντίλοχος δόλου. ὡς εἰ μὴ τοῦτ' ἦν, τί ἐκώλυε καὶ ἐν τοῖς ἑξῆς τὸν ὄπισθεν τρέχοντα πεζὸν καὶ τὰ ἴχνη τοῦ ἀντιτρέχοντος τύπτοντα χερσὶν αὐτοῦ λαβέσθαι ἢ προῶσαι καὶ καταβαλεῖν εἰς γῆν; δῆλον δὲ καὶ ὡς οὐ δύσερις ὁ Μενέλαος, ἑαυτὸν ἐκδικῶν ἐφ' οἷς ἐδηλώθη, ἀλλ' αὐτὸς μὲν ἀληθῶς ἤπιος ὁ παραχρῆμα φιλοτίμως διαλυσάμενος, ἡ δὲ ῥᾳδιουργία κολαστέα παρὰ τὴν ἡρωϊκὴν πανουργευσαμένη ἁπλότητα. οὕτω καὶ Ἀχιλλεὺς τῷ βασιλεῖ ἐπιμεμφόμενός φησιν «ἐκ γὰρ δή μ' ἀπάτησε καὶ ἤλιτεν», ὅ ἐστιν ἥμαρτεν, ἀφ' οὗ ὁ ἀλιτρός.

4.787 [Ἰστέον δὲ ὅτι ἡ τοῦ Ἀντιλόχου κατὰ Μενελάου περιεργία, καθ' ἣν παρατρέψας ἵππους ἐκτὸς ὁδοῦ καὶ ὀλίγον παρακλίνας ἤνυσε κατὰ σπουδὴν εὖ τὸ τοῦ δρόμου τέλος δοκεῖ συμβάλλεσθαί τι καὶ εἰς Πυθαγορικὸν ῥητὸν ἐκεῖνο τὸ «λεωφόρους ὁδοὺς μὴ στεῖχε». τὸ δὲ ἦν, φασίν, ἶσον τῷ «γνώμῃ πολλῶν μὴ ἀκολούθει». εὐθεῖαν μὲν γὰρ ἄγει ὁ χρώμενος ἡγεμόνι μόνῳ τῷ νόῳ, τῶν δ' ἄλλων ἕκαστος ὅ τι ἂν δόξοι ἀποφαίνεται, ὡς κἀνταῦθα Μενέλαος μὲν ἄλλα ἐβούλετο, τῆς λεωφόρου αὐτὸς ὤν, Ἀντιλόχου δὲ ἄλλως ὁ νοῦς ἡγήσατο, παρακλιδὸν ἐλάσαντος καί, ὡς ἂν ὁ Καλλίμαχος εἴποι, δραμόντος «ἑτέρων ἴχνια μὴ καθ' ὁμά», «εἰ καὶ στεινοτέρην» ἤλασεν, ὡς εἰκός, καθὰ καὶ αὐτὸ ἐκεῖνος ἔφη.] (v. 586—95) Ὅτι ὁ Ἀντίλοχος λαλῶν μετὰ τὸν Μενέλαον τοιαῦτά φησι «ἄνσχεο νῦν», ἤτοι ἀνάσχου, «πολλὸν γὰρ ἔγωγε νεώτερός εἰμι σεῖο, ἄναξ Μενέλαε, σὺ δὲ πρότερος καὶ ἀρείων. οἶσθ' οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσι· κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις. τῷ τοι ἐπιτλήτω κραδίη. ἵππον δέ τοι αὐτὸς δώσω, τὴν ἀρόμην. εἰ καὶ νύ κεν οἴκοθεν ἄλλο μεῖζον ἀπαιτήσειας» ἢ μᾶλλον σαφέστερον «ἐπαιτήσειας», «ἄφαρ κέ τοι αὐτίκα δοῦναι βουλοίμην ἢ σοί γε, διοτρεφές, ἤματα πάντα ἐκ θυμοῦ πεσέειν καὶ θεοῖς εἶναι ἀλιτρός», ὡς εἰς τὸ θεῖον δηλαδὴ ἁμαρτανόντων τῶν τοῖς βασιλεῦσιν ἀντιβαινόντων. Ἰστέον δὲ ὅτι τὰ ῥηθέντα ἔπη, βραχύ τι παρῳδούμενα, δύνανται λέγεσθαι πρὸς νέου, ἐνδόξῳ γηραιτέρῳ εἴκοντος, καὶ ὅτι τὸ «οἶσθα γάρ» καὶ ἑξῆς ἕως τοῦ «λεπτὴ δέ τε μῆτις» γνωμικῶς εἴρηνται, δι' ὧν ὑπογράφεται φύσις νεότητος. Ὅρα δὲ καὶ ὅπως ὁ Ἀντίλοχος ὑποπίπτει τῷ βασιλεῖ καὶ ἑαυτὸν ὑποβιβάζων ἐξαίρει ἐκεῖνον κἀντεῦθεν πραΰνει,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ οὕτω μεθεμένου ἐκείνου λαμβάνει ἀμάχως τὸ ἔπαθλον. λόγος γὰρ ἀφελής τε καὶ ἐπιεικὴς οἶδε μαλθάσσειν ὀργήν.

4.788 ποιεῖ δὲ οὕτως Ἀντίλοχος, οἷα τὴν ψευδορκίαν εὐπαιδεύτως εὐλαβηθείς. (v. 589) Ὑπερβασίαι δὲ αἱ παραβάσεις τοῦ δέοντος, αἷς ὡς ἐπὶ πολὺ ἁλίσκονται νέοι, ὁποῖος καὶ ὁ Νεστορίδης, πολὺ νεώτερος ἱστορούμενος εἶναι τοῦ Μενελάου, νέου δηλαδὴ καὶ αὐτοῦ ὄντος. (v. 590) Σημείωσαι δὲ ὅτι οἷς ἑαυτὸν ὁ Ἀντίλοχος ταπεινοῖ, ἐμπλέκει λεληθότως τῷ καθόλου καὶ οἰκεῖον ἐγκώμιον, ταχύτερον εἰπὼν εἶναι τῷ νέῳ τὸν νοῦν, λεπτὴν δὲ τὴν βουλήν, ὡς τοῦ Μενελάου μὴ τοιούτου δῆθεν ὄντος, ἀλλὰ βραδὺν καὶ παχὺν ἔχοντος νοῦν. (v. 589) Καὶ τὰς ὑπερβασίας δὲ οὐ τραχύνει. οὐ γὰρ εἶπε δειναὶ ἢ βαρεῖαι ἢ ὑπερφίαλοι ἤ τι τοιοῦτον, ἀλλὰ ἀορίστως «οἷαι» ὅπερ μέση λέξις ἐστί, [καθάπερ ἴσως καὶ ἡ ὑπερβασία, εἴ τις αὐτὴν ἀντὶ τοῦ ὑπερβαίνειν λήψοιτο. ὑπερβαίνειν γὰρ οὐ μόνον τὸ ἁμαρτάνειν, ἀλλὰ καὶ τὸ ὑπερνικᾶν πρὸς ὁμοιότητα τοῦ ὑπερτρέχειν καὶ ὑπερελαύνειν καὶ ὑπερακοντίζειν καὶ ὑπερβάλλειν. καὶ τοιαύτη μὲν ἡ μία ἐπιφάνεια τῆς Ὁμηρικῆς δίπλακος, ἣν ὁ σοφὸς νεανίας ἐξύφηνε, μεμαθηκὼς ἐκ τοῦ σοφωτάτου πατρὸς εὖ ὑφαίνειν μύθους. ἐν ᾗ ἐπιφανείᾳ παραυγάζει ἔννοιαν κατὰ τοῦ ἄνακτος Μενελάου, ὡς εἴρηται. ἡ δὲ ἑτέρα, καθ’ ἣν σχηματίζει καταλαλεῖν ἑαυτοῦ—οὐ δήπου γὰρ ἀνέδην κακολογῆσαι τὸν βασιλέα προὔθετο—τοιάδε τίς ἐστι.

4.789 (v. 590) Κραιπνὸν μὲν ἑαυτῷ μαρτύρεται νόον καὶ διὰ τοῦτο δῆθεν οὐδὲ ἀσφαλῆ. κατὰ γὰρ τὸν φιλόμηρον Σοφοκλῆ «οἱ ταχεῖς φρονεῖν οὐκ ἀσφαλεῖς» εἰσι. Λεπτὴν δὲ μῆτιν λέγει τὴν αὑτοῦ ὡς οἷα μηδὲν ἁδρὸν καὶ στερρὸν προμηθουμένου. οὐ γὰρ ἔπαινος ἐμφανῶς ἡ λεπτὴ μῆτις, εἴ τις ἐπὶ νοῦν φέρει τὸ «βράσσων τε νόος λεπτὴ δέ τε μῆτις», ἤγουν ἰσχνή, εὐδιάλυτος, εὐδιάρρηκτος, οὐ δραστήριος, ἀπαχής. τοῦτο δὲ ἀπὸ ἰσχνῶν μετῆκται σωμάτων, οἷς οὐδέν τι γενναῖόν ἐστιν ἀνύειν, ἵνα λέγῃ ὁ Ἀντίλοχος μηδὲν καινὸν εἶναι, εἰ νέος ὢν σοφὸς μέν ἐστι, οὐ φρόνιμος δέ. πρὸς δὲ ταῦτα νοεῖται καὶ ἡ ὑπερβασία οὐκ ἐπ’ ἀγαθῷ. καὶ τὸ «οἷαι» δὲ ὁμοίως διὰ τὸ μέσως ἔχειν πρὸς νοῦν ὅμοιον συμβιβάζεται. ἐσχημάτισται οὖν τὸ τοῦ Ἀντιλόχου γνωμικὸν διχῇ, σχιζόμενον εἴς τε τὸ ἑαυτὸν συνιστᾶν ὑπὲρ τὸν Μενέλαον, καὶ εἰς τὸ δῆθεν ψέγειν ἑαυτόν. ἔχει δέ τι] καὶ μεγαλόφρον ὁ τοῦ νέου λόγος, ἐν οἷς ἐμφαίνει τὴν ἵππον οὐκ ἐκ μέσου, ἀλλὰ παρ’ ἑαυτοῦ διδόναι ὡς οἰκείαν, φασίν, οὖσαν, καὶ τοῦ ἄθλου ἑκὼν ἐξίστασθαι, ὡς δῆθεν τοῦ Μενελάου αἰτήσαντος. διὸ χώραν ἔχει καὶ τό, ὡς ἐρρέθη, ἐπαιτῆσαι. (v. 592—5) Εἰ γὰρ ἐπὶ τῇ ἵππῳ καὶ ἄλλο τι μεῖζον αἰτήσειας, καὶ αὐτό, φησί, δώσω «αὐτίκα», οὐ μὴν δέει τινί, ἀλλ’ ἵνα σὺν τῷ φιλεῖσθαί σοι μηδὲ θεομισὴς γένωμαι. οἱ δὲ παλαιοί φασι καὶ ὅτι διὰ τοῦ «καὶ ἄλλο τι μεῖζον», διδάσκει ὁ νεανίας ὡς καὶ τοῦτο οἴκοθέν ἐστι καὶ ἤδη ἐμόν. (v. 592) Ὅρα δ’ ἐν τούτοις καὶ τὴν ἀσφάλειαν τοῦ «ἣν ἀρόμην». οὐ γὰρ φανερῶς ἔφη τὴν ἐμὴν ἵππον, οὐδὲ ἣν ἔσχον ἔπαθλον, ἀλλὰ μέσως πως «ἣν ἠρόμην», ὅπως ἂν καὶ ἠρόμην. θέλει γὰρ δεῖξαι, ὡς οὐ πρόσθεν μόνον ἐπέπνυτο, ἀλλὰ καὶ νῦν πέπνυται, [καθὰ καὶ Ὅμηρος ἐπέκρινε, πεπνυμένον κἀνταῦθα εἰπὼν τὸν Ἀντίλοχον, εἰ καὶ ὁ Μενέλαος ἀφραδέως τε αὐτὸν εἶπεν ἐλάσαι καὶ «πρόσθε πεπνυμένον» ὠνόμασε.] Διὸ τὸν νοῦν πρὸς ἑαυτῷ ἔχων λαλεῖ ἐσκεμμένα. (v. 588) Ὅθεν καὶ εἰπὼν «σὺ δὲ πρότερος», ἤτοι ἀρχαιότερος, ἐπήγαγε τὸ «καὶ ἀρείων», ἵνα μὴ τὸ πρότερος νοηθείη φορτικῶς ὁμοίως τῷ ἀρχαιότερος, ὡς πολλαχοῦ φαίνεται.

4.790 Τὸ δὲ «ἀρείων» συγκροτεῖ διὰ τοῦ «ἄναξ» καὶ διὰ τοῦ «διοτρεφές». (v. 589 s.) Ἰστέον δὲ ὅτι τὸ ὑπερβασία καὶ τὸ ὑπερβαίνειν, ὃ ταὐτόν πώς ἐστι τῷ ὑπερπηδᾶν, προσφυῶς ἔχει πρὸς τὸ «κραιπνότερος νόος» κατά γε τὴν τροπήν. κραιπνοῖς γὰρ οἰκεῖον τὸ ὑπερπηδᾶν καὶ τὸ ὑπερπήδημα, οἷς ὅμοια τὸ ὑπερβαίνειν καὶ ἡ ἐξ αὐτοῦ ὑπερβασία, ἧς καὶ παρ’ Ἡσιόδῳ χρῆσίς ἐστιν ἐν τῷ «ὑπερβασίαι δ’ ἀλεγειναί». (v. 595) Τὸ δὲ «ἐκ θυμοῦ πεσεῖν» ἔχει τι καὶ ὀνείδους, εἴπερ ὁ τοσοῦτος τὸν ἔσω τῆς ψυχῆς ἔξω βάλῃ αὐτῆς διὰ τὴν τυχοῦσαν ἵππον. (v. 596 s.) Οὕτω δὲ διαθέμενος τὸν λόγον ὁ Νεστορίδης ἐν χερσὶ Μενελάου ἄγων ἐτίθει τὴν ἵππον, ὅ ἐστιν

ἔβαλλεν, ἐδίδου, καθὰ καὶ ἀνωτέρω κῆρυξ ἐν χερσὶ σκῆπτρον ἔθηκεν. Τὸ μέντοι «ἐν χερσὶ τίθει» Νέστορος «ἀμφίθετον φιάλην» ἑρμηνείας οὐ δεήσεται, ὡς οὐδ’ ἐπὶ τοῦ Λοκροῦ Αἴαντος τὸ «ἡμιτάλαντον χρυσοῦ ἐπιθήσω». ταῦτα δὲ ὅμοιά ἐστι πρὸς τὸ «δώσω οἱ θώρηκα», ὃ φθάσας εἶπεν ὁ ποιητής, ὡς καὶ τὸ ἐν χερσὶ τίθει» φιάλην «Νέστορι δῶκεν Ἀχιλλεύς», εἶπεν, εἰς ταὐτὸν ἄγων τὸ ἔθηκε καὶ τὸ ἔδωκεν. Ὅτι Μενέλαος Ἀντιλόχου εἴξαντος αὐτῷ τοῦ ἐπάθλου πάνυ χαίρει ὡς τιμηθείς. (v. 597—9) Φησὶ γὰρ «τοῦ δὲ θυμὸς ἰάνθη ὡς εἴ τε περὶ σταχύεσιν ἐέρση ληΐου ἀλδήσκοντος, ὅτε φρίσσουσιν ἄρουραι», ὅπερ λαληθῆναι οἰκεῖον ἐπὶ τοῦ μετὰ θυμὸν γαληνιάσαντος διὰ χρηστολογίας ἢ τοιούτου τινός. (v. 600) Ἐνταῦθα δὲ ὁ ποιητὴς ἀποδεξάμενος τῆς ἐνηείας τὸν βασιλέα φησὶν ἐν σχήματι ἀποστροφῆς ἀποδιδοὺς τὴν παραβολήν «ὣς ἄρα σοι Μενέλαε μετὰ φρεσὶ θυμὸς ἰάνθη», ὅ ἐστι διεχέθη. Καὶ σημείωσαι ὅτι τριῶν ἐνταῦθα στίχων ἐφεξῆς ἀλλήλοις κειμένων τὸ «ἰάνθη» ἐν τῇ ἀρχῇ τοῦ πρώτου στίχου καὶ ἐν τῷ τέλει τοῦ τρίτου κείμενον σχῆμα κύκλου ἀποτελεῖ.

4.791 ὁ δὲ νοῦς τῆς παραβολῆς τοιοῦτός τις· γέγονε τῇ ψυχῇ τοῦ Μενελάου ὁ τοῦ Ἀντιλόχου λόγος καὶ τὸ ἔργον, ἑαυτῷ τε φυλάξαντος τὸ σεμνὸν καὶ μηδὲ τῷ βασιλεῖ προσκρούσαντος, καθὰ δρόσος σταχύεσι καὶ ἑξῆς, τουτέστι, καθάπερ ἡ δρόσος χαλαροὺς ἄλλως τυχὸν ὄντας τοὺς στάχυας ἀνιστᾷ καὶ φρίσσειν ποιεῖ εἰσδυομένη καὶ τὸ πνεῦμα τοῖς πόροις διαπορθμεύουσα καὶ ὀγκοῦσα καὶ φυσῶσα καὶ εἰς ὀρθὸν ἐγείρουσα, οὕτω καὶ τὸ τοῦ Ἀντιλόχου ἔργον ὤρθωσε τὸν Μενέλαον κατακεκλιμένον οἷον καὶ κάτω νεύοντα τῇ ἀποπτώσει τοῦ ἄθλου. καὶ οὕτω μὲν ὁ νοῦς καθέσταται τῆς παραβολῆς. ἡ δὲ φράσις εἴη ἂν σαφεστάτη, στιγμῆς τελείας τεθείσης ἐν τῷ «τοῖο δὲ θυμὸς ἰάνθη», ἵνα λέγῃ ὁ ποιητὴς ἀποστατικῶς ὅτι, καθὰ δρόσος ἐν σταχύεσίν ἐστι δηλαδή, ᾗ γίνεται ὅτε τῇ τοῦ ληΐου αὐξήσει φρίσσουσιν ἄρουραι—φρίσσει γάρ πως τὸ αὐξόμενον—, οὕτω σοί, ὦ Μενέλαε, ὁ θυμὸς ἰάνθη, ὡς καὶ τοῦ ληΐου τρόπον τινὰ ἰαινομένου ἐν τῷ διαχέεσθαι τῇ δρόσῳ πρὸς αὔξησιν. τινὲς μέντοι τὸ «καθὰ περὶ σταχύεσσιν ἐέρση» ἀντιπτωτικῶς συνέταξαν, εἰπόντες, καθὰ οἱ στάχυες τῇ ἐέρσῃ, ἰαίνονται δηλαδή. συνέταξαν δὲ οἱ τοιοῦτοι οὕτως κατὰ ἀνάγκην, ἐπεὶ μὴ ἔστιξαν τελείαν ἐν τῷ «τοῦ δὲ θυμὸς ἰάνθη», ἀλλὰ συνημμένως ἀνέγνων «τοῖο δὲ θυμὸς ἰάνθη, ὡς εἴ τε περὶ σταχύεσσιν ἐέρση», ὡς ἐντεῦθεν δοκεῖν λέγειν τὸν ποιητὴν οὕτως ἰανθῆναι τῷ βασιλεῖ τὴν ψυχήν, ὡς περὶ σταχύεσσιν ἰαίνεται δρόσος, ὅπερ ἀπεμφαῖνόν ἐστιν.

4.792 οὐ γὰρ ἐέρση ἀσταχύεσσιν ἰαίνεται, ἀλλ’ ἀνάπαλιν οἱ στάχυες τῇ δρόσῳ. οἱ δὲ παλαιοὶ φράζουσι καὶ οὕτως· ὡς λήϊον περιχυθὲν δρόσῳ φαιδρύνεται μεταβάλλον ἐκ τῆς πρῴην στυγνότητος, ὅτε δηλαδὴ τελειοῦνται οἱ στάχυες, τότε γὰρ φανερὰ ἡ ἐπίδοσις, οὕτω καὶ σοὶ θυμὸς ἰάνθη. ὅτι δὲ τὸ ἰαίνεσθαι οὐκ ἐπὶ μόνου ἀνθρώπου λέγεται, δῆλον. ἰδοὺ γὰρ νῦν κατά τινας καὶ ἐπὶ ἀσταχύων εἰρῆσθαι δοκεῖ. ἀλλαχοῦ δὲ καὶ χαλκὸς ἰαίνεται πυρούμενος, ὡς εἴ τις εἴπῃ χλιαίνεται. (v. 599) Ἀλδήσκειν δὲ κυρίως τὸ ἐκ ποτισμοῦ αὔξειν, ὡς ἀπὸ τοῦ ἄρδω, τραπέντος ὡς καὶ ἐν ἄλλοις τοῦ ρ εἰς λ . Φρίσσουσι δὲ ἄρουραι ὡς πρὸ τούτων ἀλλαχοῦ τὸ λήϊον. Ὅτι ἔνδοξος ἀνὴρ νεωτέρῳ εἴκων, ζημιοῦντι αὐτὸν διὰ φιλίαν, ἐπιλεξάμενος πολλὰ ὧν ὁ Μενέλαος ἔφη πρὸς Ἀντίλοχον, οἰκειώσεται αὐτὰ λέγων ἢ γράφων. (v. 602—11) Εἰσὶ δὲ τὰ Ὁμηρικὰ τοιαῦτα «Ἀντίλοχε, νῦν μέν τοι ἐγὼν ὑποείξομαι αὐτός, χωόμενος, ἐπεὶ οὔ τι παρήορος οὐδ’ ἀεσίφρων ἦσθα πάρος· νῦν αὖτε νόον νίκησε νεοίη. δεύτερον αὖτ’ ἀλέασθαι», ὅ ἐστιν ἔκφυγε, «ἀμείνονας ἠπεροπεύειν. οὐ γάρ κέν με τάχ’ ἄλλος ἀνὴρ παρέπεισεν Ἀχαιῶν. ἀλλὰ σὺ γὰρ δὴ πόλλ’ ἔπαθες καὶ πόλλ’ ἐμόγησας, σός τε πατὴρ ἀγαθὸς καὶ ἀδελφεὸς εἵνεκ’ ἐμεῖο. τῷ τοι λισσομένῳ ἐπιπείσομαι, ἠδὲ καὶ ἵππον δώσω ἐμήν περ ἐοῦσαν, ἵνα γνώωσι καὶ οἵδε, ὡς ἐμὸς οὔ ποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής». τοῦτο δὲ εἶπε πρὸς τὸ «οἷαι νέου ὑπερβασίαι», οἱονεὶ λέγων ὡς, εἰ καὶ Ἀντίλοχος ὑπερβαίνει, ἀλλ’ ὁ Μενέλαος οὐ τοιοῦτός ἐστιν.

4.793

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὅρα δὲ καὶ τῆς τοῦ βασιλέως δημηγορίας τὸ μεγαλεῖον, ἀντεπεξαγομένου φιλοτίμως, οἷς ὁ νεανίας ῥήτωρ δεινῶς ἐδημηγόρησε. καὶ γὰρ φανερῶς ἑαυτὸν ἀμείνονα τοῦ Ἀντιλόχου φησίν, ὡς καὶ ἐκεῖνος αὐτὸν ἀρείονα ἔφη, καὶ τὴν ἵππον αὐτοῦ εἶναι λέγει, καὶ οὐχ' ἁπλῶς, ἀλλὰ λισσομένῳ διδόναι τῷ Ἀντιλόχῳ, καὶ οὐδὲ ὡς ἔπαθλον, ἀλλ' ὡς χάριν ἀνθ' ὧν ὑπὲρ αὐτοῦ ὁ πατήρ τε Νέστωρ καὶ αὐτὸς καὶ ὁ ἀδελφὸς Θρασυμήδης ἔπαθον. (v. 602) Ἰστέον δὲ καὶ ὅτι τὸ «ἐγὼν ὑπείξομαι» γινώσκειν δηλοῖ, φασί, τὸν βασιλέα, ὡς οἱ εἴκοντες νικῶσι τοὺς φίλους κατὰ τὸ «κρατεῖς τοι τῶν φίλων νικώμενος», ἤγουν νικᾷς εἴκων τοῖς φίλοις. (v. 603) Τὸ δὲ «χωόμενος» τὸ τοῦ βασιλέως αὔξει ἐπιεικές, εἰ καὶ χωόμενος ὅμως ταχὺ μεταβαλεῖται καὶ φιλοφρονήσεται τὸν Ἀντίλοχον. (v. 603 s.) Ἐν δὲ τῷ «ἐπεὶ οὔ τι παρήορος, νῦν δὲ νόον ἐνίκησε νεοίη» ἑκάτερα συλλαβών φησιν ὁ Μενέλαος, ἤγουν ὅπερ τε αὐτὸς φθάσας εἶπε πρὸς Ἀντίλοχον καὶ ὅπερ ὁ Ἀντίλοχος ἔφη περὶ ἑαυτοῦ, ἤγουν τὸ «Ἀντίλοχε, πρόσθε πεπνυμένε», καὶ τὸ «οἶσθα οἷαι νέου ὑπερβασίαι». τὸ μὲν γὰρ «ἐπεὶ οὔ τι παρήορος» παράφρασίς ἐστι τοῦ «πρόσθε πεπνυμένε» τὸ δὲ «νόον νίκησε νεοίη» παραφράζει τὰς τοῦ νέου ὑπερβασίας σεμνότερον. ἔστι γὰρ οὐ παρήορος μὲν ὁ οὐκ ἄφρων, ἀλλὰ δηλαδὴ πεπνυμένος· νεοίη δὲ ἡ νεότης, ἧς αἱ ὑπερβασίαι. καὶ ἔστιν ὁ νοῦς τοῦ ῥητοῦ, ὅτι πάρος μὴ ὄντα σε ἄφρονα νῦν ἡ νεότης ἐνίκησεν. εἴρηται δὲ τὸ «παρήορος» ἐκ μεταφορᾶς τῶν παρηόρων ἵππων, ὧν ἡ ἐτυμολογία εἴρηται ἀλλαχοῦ. ὡς γὰρ αὐτοὶ οὐ κατὰ τοὺς ζυγίους ἀσφαλῶς καὶ στερεῶς, ὅμοιον δ' ἂν εἴη εἰπεῖν καὶ ἀραρότως, συνδέδενται τῷ ἅρματι, ἀλλ' ἄφετοι παραείρονται, ἤτοι παραζεύγνυνται, οὕτω καὶ ὁ μὴ φρενήρης οὐ συνῆκται εἰς ἑαυτὸν ὡς ὁ ἀρηρὼς τὰς φρένας, ἀλλὰ κατὰ τοὺς παρηόρους ἀνίεται θέλων πλάζεσθαι.

4.794 οἱ δὲ παλαιοὶ γράφουσιν οὕτω· παρήορος παρατεταμένος, ἄφρων, καὶ ἵππος συνδεδεμένος τῇ ξυνωρίδι. βούλεται δὲ αὐτοῖς ὁ λόγος οὗτος δηλοῦν, ὡς τρία ταῦτα τὰ ῥηθέντα σημαίνει ὁ παρήορος. ὁ δέ γε παρὰ Θεοκρίτῳ πάραρος δηλοῖ μὲν ὅπερ καὶ ὁ ἐνταῦθα παρήορος, γίνεται δὲ οὐ παρὰ τὸ ἀείρω, ἀλλὰ παρὰ τὸ ἄρω, τὸ ἁρμόζω, οἱονεὶ ὁ παρηρμοσμένος, ὁ μὴ συνέχειαν ἔχων, ὁ μὴ πυκινός, ὁ μὴ φρενήρης, ὁ ἀραιὸς τὸν νοῦν. πρὸς ἅπερ ἔχοι ἂν ὁμοιότητα καὶ ἡ κακορραφία τοῦ λογισμοῦ καὶ τὸ μὴ εὖ μῆτιν ὑφαίνεσθαι. εἰς δὲ τὸ ῥηθὲν ἀραιόν συγκροτεῖ καὶ ἡ μανία παρὰ τὸ μανόν γινομένη, ὃ δηλοῖ τὸ ἀραιόν. (v. 603) Τὸ δὲ «ἀεσίφρων» ἐφερμηνευτικὸν μέν ἐστι τοῦ παρήορος, οὐχ' ἧττον δ' ἐκείνου ἀσαφές, εἰς δὲ γραφὴν πεζὴν δυσχρηστότερον. γίνεται δὲ παρὰ τὸ ἀέσω, τὸ βλάψω, καὶ τὸ φρήν. καὶ δηλοῦται δι' αὐτοῦ ὁ φρενοβλαβής. καὶ ἄλλως δέ, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, ἀεσίφρων, οὗ αἱ φρένες ἠερέθονται, ὡς ἀπὸ τοῦ ἀείρω, ἵνα ᾖ ἀερσίφρων, καὶ ὑπεξαιρέσει τοῦ ρ ἀεσίφρων. εἰ δέ που ἐν δυσὶ σίγμα γράφεται ἡ λέξις αὕτη, Αἰολικόν ἐστι τὸ τοῦ ἡμιφώνου δίπλασμα. (v. 604) Νεοίη δὲ κυρίως ἡ νεωτερικὴ κατάστασις ἀπὸ τοῦ νέος νεοῖος, οὗ θηλυκὸν ἡ νεοίη, ὥσπερ καὶ ἄλλος ἀλλοῖος ἀλλοίη καὶ ἕτερα πολλά.

4.795 ὅμοιον δὲ καὶ τὸ ἠώς ἠόος ἠοῖος, καὶ θηλυκὸν ἠοίη, ὃ δηλοῖ πρωϊνὴν ἢ ἀνατολικήν. ἔστι δὲ ἡ νεοίη ἡ αὐτὴ τῇ πολλαχοῦ ῥηθείσῃ νηπιέῃ, ἵνα εἴη ὥσπερ ἠοῖος οὐχ' ἡ πρωΐα ἢ ἡ ἀνατολή, ἀλλ' ὁ πρωϊνὸς καὶ ὁ ἀνατολικός, οὕτω κτητικῶς καὶ νεοῖος καὶ νεοίη ὁ νεωτερικὸς νοῦς καὶ ἡ νεάζουσα φρήν. (v. 605) Τὸ δὲ «ἀλέασθαι ἀμείνονας ἠπεροπεύειν» καὶ γνωμικῶς ἐν τῷ καθόλου δύναταί ποτε λέγεσθαι. καὶ ἔστιν ὅμοιον τῷ «μὴ πρὸς κρείσσονας ἀντιφερίζειν». (v. 606) Τὸ δὲ «οὐ γάρ με τάχ' ἄλλος παρέπεισε» τὸ κατὰ φιλίαν ἐνηὲς δηλοῖ τοῦ βασιλέως. Τὸ δὲ, μὴ πεισθῆναι μὲν γὰρ ὅλως θυμοῦ ὑπερφιάλου καὶ ἀπηνοῦς, ὅπερ ἀπέφησεν ἑαυτοῦ ὁ βασιλεύς. Τὸ δὲ, «μὴ [τάχα», ἤγουν] ταχύ, πεισθῆναι, εἰ καὶ κάλλιον ἐστι τοῦ ἀμετάθετα χολοῦσθαι, ὅμως ἀναρτᾷ τὴν χάριν καὶ εἰς κακόχαρτον αὐτὴν ἄγει καὶ ἄχαρι. Τὸ δὲ ταχέως οὕτω παραπεισθῆναι, ἀλλὰ τοῦτό γε ἀληθῶς ἠπίου ἀνδρός, ὁποῖος καὶ Μενέλαος, ἐν ὀλιγίστῳ παραπεισθεὶς καὶ τοῦ δευτέρου ἑκὼν ὑπεκστὰς ἄθλου καὶ τὸ τρίτον λαβών. ἐνταῦθα δὲ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«παρέπεισε» πλεῖόν τι δηλοῖ τοῦ ἔπεισε. πειθοῦς γὰρ τάχος ἡ παρα πρόθεσις ἐμφαίνει, σημαντικὴ οὖσα ἐγγύτητος. τὴν δὲ τοιαύτην παρασήμανσιν ἑλκυστέον καὶ εἰς τὸ παραιφάσκειν καὶ εἰς τὸ παρειπεῖν καὶ εἰς τὰ ὅμοια. (v. 611) Ἐν δὲ τῷ «οὔ μοι θυμὸς ὑπερφίαλος καὶ ἀπηνής», ἀλλὰ δηλονότι ἐνηής, οὐ καινόν, εἴπερ ἀνεπαχθῶς ἑαυτὸν ὁ βασιλεὺς ἐπαινεῖ. καὶ Νέστωρ γὰρ οὕτως ἐν τοῖς ἑξῆς ἑαυτὸν ἐνηέα καλεῖ ἐν τῷ «ὥς μευ ἀεὶ μέμνηαι ἐνηέος». οὕτω καὶ Ἀχιλλεὺς ἄριστον Ἀχαιῶν ἑαυτόν που προσεῖπε, καὶ ἄλλοι δὲ ἄλλως τὰ καθ' ἑαυτοὺς ἐσέμνυναν. (v. 612 s.) Ταῦτα δὲ εἰπὼν ὁ βασιλεὺς Ἀντιλόχῳ μὲν ὑπεῖξε λαβόντι τὴν ἵππον, ἣν ἐκεῖνος «Νοήμονι δῶκεν ἑταίρῳ ἄγειν· ὃ δ' ἔπειτα λέβητα ἕλε παμφανόωντα», τὸ ὑποδεέστερον ἄεθλον.

4.796 ὁ δὲ ῥηθεὶς Πύλιος Νοήμων ὁμώνυμός ἐστιν ἑτέρῳ Ἰθακησίῳ τῷ ἐν Ὀδυσσείᾳ. (v. 614—23) Ὅτι ἐπειδὴ ὁ πέμπτος Μηριόνης «ἀνάειρε δύο χρυσοῖο τάλαντα τέτρατος ὡς ἔλασε, πέμπτον δ' ὑπελείπετ' ἄεθλον ἀμφίθετος φιάλη», ἡ προρρηθεῖσα, ταύτην Νέστορι ἔδωκεν Ἀχιλλεὺς ἄεθλον ἄπονον, «Ἀργείων ἀν' ἀγῶνα φέρων», εἰπὼν «τῆ», τουτέστι λάβε νῦν, «καί σοι τοῦτο γέρον κειμήλιον ἔστω Πατρόκλοιο τάφου μνῆμ' ἔμμεναι· οὐ γὰρ ἔτ' αὐτὸν ὄψει ἐν Ἀργείοισι. δίδωμι δέ τοι τόδ' ἄεθλον αὔτως· οὐ γὰρ πὺξ μεμαχήσεαι, οὐδὲ παλαίσεις, οὐδέ τ' ἀκοντιστὺν ἐσδύσσεαι, οὐδὲ πόδεσσι θεύσεαι· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει», ἢ «ἔπεισιν». (v. 616) Ἐν τούτοις δὲ ὅρα ὅτι τὸ «Νέστορι ἔδωκεν Ἀχιλλεύς» προληπτικῶς εἴρηται, ἤγουν ἀναπεφώνηται πρὸ τῆς δόσεως. (v. 624) Μετὰ γὰρ τὰ ῥηθέντα, τότε δὴ ἐπάγει ὁ ποιητὴς «ὣς εἰπὼν ἐν χερσὶ τίθει, ὃ δ' ἐδέξατο χαίρων» καὶ αὐτός, διὰ τὴν τιμὴν δηλαδή. ἐφετὸν γὰρ καὶ αὐτή. ὅτι δὲ τὸ τιθέναι καὶ ἐνταῦθα καὶ ἐν τοῖς ὁμοίοις ταὐτόν ἐστι τῷ διδόναι, πρὸ βραχέων εἴρηται, καθὰ δηλοῖ καὶ τὸ «δίδωμι δέ τοι τόδε ἄεθλον». [Ὧι χαίροι ἂν ἴσως ὁ γέρων ὡς φιλοτοιοῦτος, ὅσγε καὶ τὸ περίπυστον δέπας εἶχεν, ὅπερ ἄλλος μὲν μογέων ἀποκινήσασκε τραπέζης, αὐτὸς δ' ἀμογητὶ ἄειρε. καινὸν δ' οὐδὲν φιλεῖσθαι τῷ γηραλέῳ ἥρωϊ τὰ τοιαῦτα, εἴγε κοινὸν τοῦτ' ἦν φίλημα τῷ ἡρωϊκῷ γένει. καὶ ᾧ μὲν Ἡρακλῆς λέγεται διαπεραιώσασθαι λέβητι εἰς τὴν Ὠκεανῖτιν Ἐρύθειαν, ἰδίᾳ κείσθω θεραπείας μεταληπτικῆς δεόμενον. τὸ δὲ τοῦ Ἀτρέως χρυσόμαλλον ἀρνίον συμφωνεῖται ποτήριον ἀργύρεον εἶναι, χρυσέῳ ἐμπεπαισμένον ἀρνίῳ περὶ τὸ τοῦ πυθμένος μέσον.

4.797 περιᾴδεται δὲ καὶ ὁ παρὰ τῷ Ἀχιλλεῖ κρατὴρ τοῦ Διονύσου. παραδίδωσι δὲ πολλὰ τοιαῦτα καὶ ὁ Δειπνοσοφιστής, ἐν οἷς καὶ Σοφοκλοῦς περὶ Ἀκρισίου τὸ «καὶ κοῖλα χρυσόκολλα καὶ πανάργυρα ἐκπώματ' εἰς ἀριθμὸν ἑξήκοντα δίς». μνηστέον δ' ἐνταῦθα καὶ τοῦ Ἀρκάδος Βαθυκλέος, ὃς ποτήριον ἀπέλιπεν ἆθλον τῷ κριθέντι ἀρίστῳ τῶν καλουμένων σοφῶν.] (v. 618) Τὸ δὲ «κειμήλιον ἔστω» τοῦ παλαιοῦ καὶ αὐτὸ ἔθους ἦν, ὃ πολλαχοῦ δηλοῦται. ἀπέκειντο γὰρ τὰ ξένια εἰς μνήμην φιλίας. (v. 619) Διὸ καὶ ἐν τούτοις φησὶ «μνῆμα εἶναι», τουτέστι μνήμην, καὶ ἰδιωτικῶς εἰπεῖν, ὑπόμνησιν, ὃ καὶ σημείωσαι, ὡς μὴ ἀεὶ τοῦ μνήματος τάφον σημαίνοντος. ἔστι δὲ τὸ δῶρον νῦν μὲν τάφου μνῆμα, ἤγουν ταφῆς, ὡς καὶ προεγράφη, ἀλλαχοῦ δὲ ξενίας ἢ ὁδοιπορίας ἢ ὅλως συναλλαγῆς φιλικῆς. Ἰστέον δὲ ὅτι οὐ μόνον τάφος νῦν ἡ ταφή, ὡς ἐγράφη, ὁμοίως τῷ χολή χόλος καὶ τοῖς τοιούτοις, ἀλλὰ καὶ ὁ ἐπιτάφιος κατὰ τοὺς παλαιούς, ὡς καὶ ἐν τῷ «ἐς τάφον ἔνθα πάντας ἐνίκα». (v. 619) Τὸ δὲ «οὐ γὰρ ἔτ' αὐτὸν ὄψει» πρὸς οἶκτον εἴρηται, ὡς τοῦ Πατρόκλου, δι' ὃν τὸ δῶρον, οὐκ ὀφειλέτην ἔχοντος ἀντιχάριτος τὸν αὐτὸ λαβόντα Νέστορα διὰ τὸ θανεῖν. διὸ καὶ κυρίως ἂν εἴη δῶρον, ὡς μήτε ἀέθλιον ὂν μήτε πρὸς ἀντίδοσιν χαρισθέν. (v. 620) Ἀχιλλεὺς μέντοι ὀκνεῖ δῶρον εἰπεῖν, ἀέθλιον δὲ λέγει αὐτό, οὐχ' ἁπλῶς, ἀλλὰ τιμῶν καὶ οὕτω τὸν γέροντα, ἵνα λάβῃ αὐτὸ ἄεθλον ἀρετῆς ἀποθέτου, ἤδη δὲ καὶ συμβουλῆς, δι' ἧς οἷον συννενίκηκε τῷ υἱῷ Ἀντιλόχῳ. διὰ τοῦτο γὰρ καὶ αὐτῶς διδόναι εἶπεν, ἤγουν οὕτως ἁπλῶς καὶ ἀδιορίστως, διὰ τὸ εὐφημότερον, οὐ θέλει γὰρ δῶρον εἰπεῖν, ὡς εἴρηται, εἰ καὶ ἀληθῶς δῶρόν ἐστιν. [Ἐχρῆν δὲ ἄρα τὸν καὶ σοφὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γέροντα, ἣν δὲ ὅτε καὶ ἀνδρεῖον, γέρας ἔχειν ὑπὲρ ἀμφοῖν ταύταιν ἀρεταῖν, ὑφ’ ὧν ὅσα καὶ ξυνωρίδος τιμίας μετέωρος ἔποχος αἴρεται.

4.798 Ἰστέον δὲ ὅτι κατὰ τὴν παλαιὰν ἱστορίαν, εἰ καὶ μεγίστη τῶν πολιτικῶν ἀρετῶν ἡ ἀνδρία ὑπελαμβάνετο εἶναι, ὅμως οὐδὲ τοῦ σοφοὶ εἶναι ἀπείχοντο οἱ ἀνδριζόμενοι. ἦν γάρ, φασί, χρεία καὶ τῇ ἀνδρίᾳ σοφίας, ὡς δηλοῖ Παλαμήδης, καί τι καὶ Ἡρακλῆς. περιᾴδεται δὲ καὶ ἱστορία Δίκτυος, ὃς ἦν στρατιώτης ὑπὸ τῷ Ἰδομενεῖ. τῶν τε ὕστερον μεγάλων Ῥωμαίων πολλοὶ καὶ σοφοὶ καὶ ἀνδρεῖοι ἦσαν. Ἀλκαῖος δὲ ὁ ποιητὴς κατὰ τὴν ἱστορίαν τοῦ Ἀθηναίου μουσικώτατος γενόμενος, ὅμως «μαρμαίρει», φησί, «μέγας δόμος χαλκῷ», καὶ ἄλλα τοιαῦτα. καίτοι ἥρμοττεν ἴσως τὴν οἰκίαν εἰπεῖν πλήρη αὐτῷ εἶναι μουσικῶν ὀργάνων. καὶ Ἀρχίλοχος δέ, ἀγαθὸς ὢν ποιητής, «εἰμὶ δ’ ἐγώ», φησί, «θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος καὶ Μουσάων ἐρατὸν δῶρον ἐπιστάμενος». Λακεδαιμόνιοι δὲ μετὰ αὐλῶν ἐστρατεύοντο, Κρῆτες μετὰ λύρας, Λυδοὶ μετὰ συρίγγων καὶ αὐλῶν, Γέται δὲ κιθάρας ἔχοντες ἐπικηρυκείας ἐποιοῦντο, φησί, καταπραΰνοντες τῶν ἐναντίων τὰς ψυχάς. τοιοῦτον ἄρτυμα τῶν τε ἄλλων ἀρετῶν καὶ τῆς ἀνδρίας ἡ σοφία.] (v. 621) Ὅρα δὲ καὶ ὅτι τῶν ἀπηριθμημένων τεσσάρων ἀγωνισμάτων τὸ τῆς πάλης μόνον ἁπλῶς ἔφη, εἰπὼν «οὐδὲ παλαίσεις», τὰ δὲ λοιπὰ περιέφρασε, τὸ πυγμαχήσεις, τὸ ἀκοντίσεις, τὸ δραμῇ. (v. 634—7) Τῇ δ’ αὐτῇ τάξει τῶν ἀγώνων καὶ Νέστωρ μετ’ ὀλίγα χρήσεται ἀπὸ τῆς πυγμικῆς ἀρξάμενος ἐν τῷ «πυγμῇ μὲν ἐνίκησα» καὶ ἑξῆς. Σημείωσαι δὲ ὡς, εἰ καὶ εἰς τέσσαρας Ἀχιλλεὺς τοὺς ἀγῶνας περιγράφει κατὰ σπουδήν, οὐ γὰρ ἦν ἀνάγκη καὶ ἀκριβοῦν, ἀλλ’ οἱ ἐπὶ τῷ Πατρόκλῳ πλείους φανήσονται ἐν τοῖς ἐφεξῆς. ὁ μὲν γὰρ ἱππέων ἤδη δρόμος, ὃν Διομήδης νενίκηκε, εἶτα πυγμή, ἣν νικᾷ Ἐπειός, ἑξῆς πάλη, ἧς ἡ ἀμφήριστον τὸ τέλος ἢ Ὀδυσσεῖ τὰ τῆς νίκης προσλογίζεται, μεθ’ ἣν ποδῶν τάχος, ὃ νικᾷ Ὀδυσσεύς, ἐπὶ δ’ αὐτῷ ὁπλῖται, καὶ εὐδοκιμεῖ κἀνταῦθα Διομήδης κατὰ Αἴαντος, μεθ’ οὓς δίσκος, καὶ ὑπερβάλλει Πολυποίτης, ἐφεξῆς τόξον, καὶ εὐστοχεῖ Μηριόνης, ἐφ’ οἷς ἄκων.

4.799 καὶ λαμβάνει τὸ πρῶτον ἄεθλον Ἀγαμέμνων, λοῖσθος μὲν ἐν ἀγωνισταῖς ἀναστὰς ὁ ἄριστος, οὐ πύματος δὲ ἐκπεσών. ἐν οἷς καὶ τηρητέον ὡς ὁ τηλικοῦτος Αἴας κατὰ πᾶν ἀγώνισμα δυσπραγεῖ, ὃ μετῆλθε· τὴν πάλην, τὸν δίσκον, τὴν ὁπλιτικήν. καὶ ταῦτα μὲν ἐνταῦθα. ἐν τῇ Ὀδυσσείᾳ δὲ ἀγῶνες οὗτοι παρὰ Φαίαξι. θέειν ὄχ’ ἄριστος ὁ δεῖνα· πάλῃ ἐνίκα πάντας ὁ δεῖνα· ἅλματι δὲ ὁ δεῖνα προφερέστατος ἦν· πὺξ δὲ ὁ δεῖνα ἦν ἀγαθός· Ὀδυσσεὺς δὲ δίσκῳ ὑπερβαλὼν εἶτα προκαλεῖται τὸν βουλόμενον πειράσασθαι ἢ πὺξ ἢ πάλῃ ἢ ποσίν. οἱ μέντοι τὰ περὶ ἱερῶν ἀγώνων ἐπισκεψάμενοι οὕτως ἐμμέτρως τοὺς ἄθλους μετροῦσιν «ἅλμα ποδῶν, δίσκου τε βολὴ καὶ ἄκοντος ἐρωή, καὶ δρόμος ἠδὲ πάλη, μία δ’ ἔπλετο πᾶσι τελευτή». καὶ τοῦτό ἐστι, φασί, πένταθλον. ἕτεροι δὲ οὕτως· ἅλμα, πάλη, δίσκευμα, κοντὸν καὶ δρόμος. εἴδη δὲ δρόμου δίαυλος, δολιχός, τέθριππον, κέλης, ἀπήνη. μανθάνομεν δὲ καὶ μουσικοὺς ἐπὶ τάφοις ἀγῶνας εἶναι. οὐκοῦν ἀορισταίνει ὁ τῶν ἄθλων ἀριθμός; κἀκεῖνο δὲ ἰστέον, ὡς οὐ πάντως ἐξ ἀνάγκης ὁ ἱππικὸς ἀγὼν προήγετο, ἀλλ’ ὡς ἐπὶ πολύ. μετ’ ὀλίγα γοῦν δηλώσει ὁ ποιητὴς ἐν Βουπρασίῳ ἡνιοχικὸν ἀγῶνα ὕστερον τελεσθέντα, εἰπὼν τὰ μέγιστα ἐν τῷ τοιούτῳ ἀγῶνι λείπεσθαι ἄεθλα. ὅτι γὰρ τὸ λείπεσθαι ὑστερότητα σημαίνει, δῆλον καὶ ἐκ τοῦ «πέμπτον δ’ ὑπελείπετ’ ἄεθλον», ἤγουν ὕστερον ἔμεινεν. ὁ δὲ Κωμικὸς καὶ ἡ κυριολεξία ὑπολείπεσθαι ἐν δρόμῳ λέγει καὶ τὸν ὑστεροῦντα ἐν τῷ τρέχειν.

4.800 καὶ οὕτω μὲν ταῦτα. (v. 621 s.) Τί δὲ τὸ πύξ καὶ τίς ἡ ἀκοντιστύς, ἑξῆς δηλωθήσεται, ἧς τὸ ἀνάλογον κατὰ τὸ ὀτρυντύς, ἐδητύς, βρωτύς. Ὅρα δὲ καὶ ὅτι κοσμεῖ τοὺς λόγους παρίσοις ὁ καλὸς ῥήτωρ, τῷ μαχήσεαι, εἰσδύσεαι, θεύσεαι. ποιητικὰ δὲ ταῦτα καὶ πρέποντα Ὁμήρῳ. (v. 623) Τὸ δὲ «γῆρας ἐπείγει» εὐφήμως καὶ αὐτὸ ἐρρέθη κατ’ ἔλλειψιν. δῆλον γὰρ ὡς εἰς Ἅιδου κατεπείγει καὶ πρὸς θάνατον. Ὅτι λαβὼν ὁ γέρων ῥήτωρ τὴν φιάλην οὐχ’ ὡς ἀεθλεύσων, κωλύει γὰρ τὸ γῆρας, ποιεῖ ὅμως τὸ βουλητὸν Ὁμήρῳ, καὶ συνήθως ἱστορεῖ τινα προσήκοντα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ καιρῷ. καὶ μὴ ἔχων ἔργοις ἀγωνίζεσθαι ἀθλεῖ ἀναμνηστικῶς οἷς πάλαι ἀγωνισάμενος εὐδοκίμηκε. (v. 626—8) Καὶ πρῶτα τέως φησίν, ὃ δὴ πᾶς γέρων ὁμολογήσοι ἂν καθ' ἑαυτοῦ «ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες· οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα, φίλος», ἤγουν ὦ φίλε, «πόδες, οὐδέ τε χεῖρες ὤμων ἀμφοτέρωθεν ἀπαΐσσονται», ἢ «ἐπαΐσσονται, «ἐλαφραί». (v. 628) Καὶ ὅρα τὸ «ἐλαφραί». κινοῦνται μὲν γὰρ ὡς καὶ οἱ πόδες, οὐ κοῦφα δὲ οὐδ' αὐταί, ὡς καὶ παλαῖσαι καὶ πάντα τὰ δέοντα καλῶς διαχειρίσασθαι. Ἰστέον δὲ ὅτι τὸ χεῖρας ἀμφοτέρωθεν μὴ ἐλαφρὰς ἀΐσσεσθαι καὶ τοῖς ποσὶ προσαρμόττει τοῦ γέροντος. οὐδὲ γὰρ οὐδ' αὐτοὶ τῷ γέροντι ἔχουσιν ἐλαφροὶ ὁρμᾶσθαι, καὶ ὅτι ἀπὸ τῆς ἐλάφου τὸ ἐλαφρὸν κυρίως ἐπὶ ποδῶν, οἳ κοῦφα θέοντες ἐλαφροὶ ἂν κυρίως λέγοιντο ὡς οἷον ἐλαφηροί. ὠκύπους γὰρ ἡ ἔλαφος. Ἰστέον δὲ ὡς τὸ μὲν ἀδρανὲς τῶν ποδῶν καὶ τῶν χειρῶν τοῦ Νέστορος πρὸς σαφήνειαν εἴρηται τοῦ «ἤδη γὰρ χαλεπὸν γῆρας ἐπείγει». αὐτὸ δὲ πάλιν ἐρρέθη πρὸς ἔνδειξιν τοῦ μὴ ἀφυῶς μὲν ἔχειν πρὸς ἆθλα τὸν Νέστορα, ἀσθενῶς δὲ διὰ βαθὺ γῆρας. (v. 627 s.) Ὅρα δὲ ὅτι ἐν ἄλλοις εἰπὼν «γυῖα, πόδες καὶ χεῖρες ὕπερθεν», ἐνταῦθα περιέφρασεν ἐν ὀλίγῳ στίχῳ τὸ «χεῖρες ὕπερθεν». καὶ τοιαῦτα μὲν καὶ ταῦτα. (v. 629) Τῶν δὲ ἐφεξῆς λόγων τοῦ γέροντος τὸ μὲν προοιμιακὸν νόημα, ὁποῖον καὶ ἀλλαχοῦ «εἴθ' ὣς ἡβώοιμι βίη τέ μοι ἔμπεδος εἴη», ὡς μὴ ἀρκοῦν ἡβᾶν τινα, εἰ μὴ καὶ βίην ἔχει.

4.801 (v. 629—33) Ἡ δ' εὐθὺς ἱστορία, ἣν χορηγεῖ ὁ γέρων ῥήτωρ τῷ ποιητῇ, τοιαύτη «ἡβώοιμι, ὡς ὁπότε κρείοντ' Ἀμαρυγκέα θάπτον Ἐπειοὶ Βουπρασίῳ, παῖδες δ' ἔθεσαν βασιλῆος ἄεθλα· ἔνθ' οὔ τίς μοι ὁμοῖος ἀνὴρ γένετο, οὔτ' ἂρ Ἐπειῶν οὔτ' αὐτῶν Πυλίων οὔτ' Αἰτωλῶν μεγαθύμων, τῶν ἐκεῖ δηλαδή, ὡς εἰκός, μετοίκων, ἢ καὶ ἄλλως, τῶν παρατυχόντων τῷ ἀγῶνι, ὡς ὑποδηλοῖ μετ' ὀλίγα ὁ νικηθεὶς τότε παρ' αὐτοῦ Ἀγκαῖος Πλευρώνιος, ἤγουν πολίτης Πλευρῶνος τῆς Αἰτωλικῆς. (v. 634—7) Εἶτα ὁ γέρων ἱστορῶν καὶ οὓς ἐνίκησε, φησί «πὺξ μὲν ἐνίκησα Κλυτομήδεα Ἤνοπος υἱόν· Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέστη· Ἴφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα, δουρὶ δ' ὑπειρέβαλον Φυλῆα τε καὶ Πολύδωρον». καὶ μέχρι τούτων ἀήττητος ἐκβὰς εἶτα ὁμολογεῖ μὲν ἧτταν αὐτοῦ ἐπὶ μείζονι ἄθλῳ. ὑπεραπολογεῖται δὲ κατὰ τοὺς αἰσχυντηλῶς ἐν τοῖς τοιούτοις ἔχοντας, εἰπὼν (v. 638—42) ὅτι «οἰοισιν», ὅ ἐστι μόνοις, «με ἵπποισι παρήλασαν Ἀκτορίωνε, πλήθει πρόσθε βαλόντες, ἀγασσάμενοι περὶ νίκης, οὕνεκα δὴ τὰ μέγιστα παρ' αὐτόφι», ἤγουν ἐν τῷ ἱππεύειν ἢ παρὰ τοῖς ἵπποις, «λείπετ' ἄεθλα. οἳ δ' ἂρ ἔσαν δίδυμοι. ὃ μὲν ἔμπεδον ἡνιόχευεν· ἔμπεδον ἡνιόχευεν. ὃ δ' ἄρα μάστιγι κέλευε», καὶ τὰ ἑξῆς, ἱστορίαν μὲν οὐκέτι παλαιὰν ἔχοντα, χρήσιμα δὲ ἄλλως εἰς πεζολογίαν τοῖς χρῄζουσιν, ὡς ἑξῆς ἐκτεθήσονται. Ἰστέον δὲ ὅτι περὶ Ἐπειῶν μὲν καὶ Βουπρασίου ἐν τῇ Βοιωτίᾳ γέγραπται, [καὶ περὶ Αἰτωλῶν δέ, οὓς ἡ ἱστορία ψέγουσα λέγει ὅτι διὰ τὴν τῶν πολέμων συνέχειαν καὶ τὴν τῶν βίων πολυτέλειαν κατάχρεοι ἐγένοντο. (v. 633) Τὸ δὲ «οὔτ' αὐτῶν Πυλίων» ἐξοχικῶς εἰρῆσθαι δοκεῖ, ὡς τῶν Πυλίων ἐξόχων καὶ τότε ὄντων ἀεθλεύειν ἐν τοῖς ἐκεῖ. πολλαχοῦ γὰρ εὕρηται ἡ αὐτὸς ἀντωνυμία ἐξοχική.] (v. 635) Τὴν δὲ τοῦ Ἀγκαίου κλῆσιν πεπλάσθαι φασί τινες ὑπὸ τοῦ ποιητοῦ δεξιῶς οἷα ὄνομα οἰκεῖον παλαιστῇ παρὰ τὸ «ἀγκὰς δ' ἀλλήλων λαβέτην».

4.802 τάχα δέ, φασί, καὶ τὸ Πλευρώνιος παρὰ τὰς πλευρὰς διὰ τὸ «πυκναὶ σμώδιγγες παρὰ πλευράς». ἄλλως μέντοι Αἰτωλός, ὡς εἴρηται, ὁ Πλευρώνιος. πόλις γὰρ Αἰτωλῶν ἡ Πλευρών. εἰ δὲ καὶ ὁ Ἀγκαῖος οὗτος, ὡς ἐρρέθη, πέπλασται, ἀλλ' εἰσὶ παρὰ τῇ ἱστορίᾳ ἕτεροι Ἀγκαῖοι λόγου ἄξιοι, ὧν εἷς ἤκουσε τὸ παροιμιῶδες ἐκεῖνο, οὗ μέμνηται καὶ Λυκόφρων παραφραστικῶς τὸ «πολλὰ μεταξὺ χείλους καὶ κύλικος». (v. 635) Τὸ δὲ «ὅς μοι ἀνέστη», ἤγουν κατ' ἐμοῦ, ἢ ἄλλως ἐλλειπτικῶς ἀνέστη παλαίσων, ἁπλῶς ἐρρέθη πρὸς ἀναπλήρωσιν στίχου, καθὰ καὶ κατωτέρω τὸ «ἐσθλὸν ἐόντα». [(v. 636) Τὸ δὲ «πόδεσσι παρέδραμον» πρὸς διαστολὴν ἐρρέθη τοῦ ἡνιοχικῶς παρατρέχειν, καὶ ἄλλως δὲ κατὰ νοῦν, ὁποῖον τὸ «ἐπεὶ οὐ παρελεύσεαι, οὐδέ με

πείσεις».] Ὅρα δ’ ἐν τοῖς ῥηθεῖσιν ἀγῶσι καὶ τὰς κυριολεξίας, τὸ «παρέδραμον», τὸ «ὑπερέβαλον», ὅ ἐστιν ὑπερηκόντισα, καὶ τὸ «παρήλασαν», ἀντὶ τοῦ ἐλαύνοντες ἐνίκησαν, καὶ ὅπως ἐφιλοτιμήσατο μονόστιχον εἰπεῖν ἑκάστην τοῦ γέροντος νίκην τύπῳ ἐπιγράμματος, καὶ ὅτι φιλαλήθης ὁ γέρων δοκεῖ προσθεὶς καὶ ἧτταν τοῖς κατ’ αὐτὸν ἀριστεύμασιν. (v. 638) Ἀκτορίωνες δὲ παῖδες Ἄκτορος, Κτέατος καὶ Εὔρυτος, ἀνδρεῖοι καὶ ἡνιοχικοί, ῥηθέντες που καὶ Μολίονες παρ’ Ὁμήρῳ παρὰ δὲ τοῖς ὕστερον Μολιονίδαι. οὓς Ὅμηρος μὲν διδύμους ἱστορεῖ ἁπλῶς, οἱ δὲ κατ’ Ἀρίσταρχον οὐχ’ οὕτως οἷον κατὰ τοὺς Διοσκόρους, ἀλλὰ κατὰ τὸν Ἡσιόδου μῦθον καὶ διφυεῖς, δύο μὲν ἔχοντας σώματα, συμπεφυκότας δέ γε ἀλλήλοις. (v. 639) Οὗτοι παρήλασαν τὸν Νέστορα, ὡς αὐτός φησι, πρόσθε βαλόντες τοὺς ἑαυτῶν δηλαδὴ ἵππους κατὰ τὸ «τοὺς σοὺς πρόσθε βαλών», περὶ οὗ εἴρηται, καὶ οὐχ’ ἁπλῶς οὕτω παρήλασαν, ἀλλὰ πλήθει νικήσαντες, ἤτοι διὰ πλῆθος, τουτέστι διότι δίδυμοι, ὡς ἐρρέθη, ἦσαν κατὰ Ἀρίσταρχον.

4.803 φασὶ δέ τινες, ἀνταναστάντων ἐκείνων εἰς ἀγῶνα τότε τῷ Νέστορι, αὐτὸν μὲν λέγειν ὡς οὐ δίκαιοι ἂν εἶεν ἀγωνίζεσθαι ἀλλόκοτοι ὄντες καὶ τὴν φύσιν ἐκτράπελοι, τὸν δὲ δῆμον συναγωνίζεσθαι τοῖς Ἀκτορίδαις, λέγοντας ἓν ἀμφοτέρους εἶναι ὡς συμπεφυκότας. τοῦτο οὖν εἶναι τὸ παρ’ Ὁμήρου νῦν ῥηθὲν τὸ «πλήθει πρόσθε βαλόντες», ἀντὶ τοῦ νικήσαντες διὰ τὸ πολλοὶ εἶναι. ἀλλὰ πῶς ἂν εἴη πλῆθος ἡ δυάς; πῶς δὲ οἱ τῇ συμφυΐᾳ μοναζόμενοι νοηθεῖεν ἂν πολλοί; εἰ μὴ ἄρα, ὅτι ἄλλως διφυεῖς ὄντες καὶ δισώματοι, καὶ ἀνὰ τέσσαρας χεῖρας εἶχον καὶ τἆλλα μέρη ὁμοίως, καὶ τοῦτο αὐτοῖς τὸ πλῆθος, τὸ κατὰ μέρη δηλαδή. ἕτεροι δὲ τὸ «πλήθει πρόσθε βάλοντες» ἀντὶ τοῦ νικήσαντες πολλοῖς ἅρμασιν οἷς ἐνεπόδιζον. πολλὰ γὰρ ἴσως εἰς τὸν ἀγῶνα διὰ τῶν ὑπ’ αὐτοὺς θεραπόντων καθῆκαν ἅρματα. ἄλλοι δὲ ἀντὶ τοῦ τῷ πλήθει τῶν θεατῶν νικήσαντες, ὡς τῶν ἀθλοθετούντων πρὸς αὐτῶν ὄντων. [Ῥητέον δ’ ἐνταῦθα καὶ ὅτι τῷ διφυεῖ τῶν Ἀκτοριώνων τιθέμενος καὶ ὁ μελοποιὸς Ἴβυκος, ἐξ οὗ παρεφθάρθαι τοῖς Τεχνικοῖς δοκεῖ τὸ βυκινίζειν, φησὶ καὶ τοὺς Μολιονίδας ἐξ ᾠοῦ γεννηθῆναι, ὁμοίως δηλαδὴ τοῖς Διοσκούροις, εἰπὼν αὐτοὺς «ἅλικας ἰσοκεφάλους, ἑνιγυίους, ἀμφοτέρους γεγαῶτας ἐν ὠέῳ ἀργυρέῳ», καθὰ καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν γέγραπται, ὅπου δεδήλωται καὶ ὡς οὐ μόνον δισυλλάβως ᾠόν λέγεται, ἀλλὰ καὶ τρισυλλάβως ὤεον διὰ τοῦ ε καὶ ὤιον διὰ τοῦ ἰῶτα, καὶ τετρασυλλάβως δὲ ὠάριον.

4.804 Τὸ δὲ ζητεῖν ἐξ ὁποίου ᾠοῦ οἱ Διόσκουροι καὶ αὖ πάλιν οἱ Μολιονίδαι, μῦθος ἂν φιλοίη, ὃς οὐδὲ τὴν Λήδαν ἀφίησιν εἶναι αὐτοῖς μητέρα, λέγων διὰ τοῦ ποιήσαντος τὰ Κύπρια, ὅτι Διοσκούρους καὶ Ἑλένην ἡ Νέμεσις ἔτεκεν, ἣ διωκομένη, φησίν, ὑπὸ Διὸς μετεμορφοῦτο. κύριον δὲ πάντως ἐνταῦθα ἡ Νέμεσις, οὐ μὴν ἡ ψυχικὴ ποιότης, καθ’ ἣν εἴρηται τὸ «μή μοι νέμεσις θεόθεν καταπνεύσῃ», ἤγουν μή με νεμεσήσῃ τὸ θεῖον. καὶ τοιάδε μὲν καὶ ταῦτα.] (v. 639) Τὸ δὲ «ἀγασσάμενοι» ἀντὶ τοῦ φθονήσαντες, ὅθεν καὶ ἀγαστὸν εἶδος τὸ ἐπίφθονον. Τὸ δὲ ἀγᾶσθαι καὶ ἀγαίειν λέγεται. τὸ μέντοι ἄγασθαι προπαροξυτόνως ἐπὶ ἐκπλήξεως νοεῖται. καὶ δύναται καὶ ἐξ αὐτοῦ γίνεσθαι τὸ ἀγαστόν, ὥσπερ καὶ τὸ ἀγαθόν. (v. 640) Ὅρα δὲ καὶ ὅτι τὰ μέγιστα ἄεθλα φαίνεται εἰωθέναι τοῖς ἱππεῦσι κεῖσθαι. (v. 641 s.) Τὸ δὲ «ἔμπεδον ἡνιόχευεν, ἔμπεδον ἡνιόχευε» σχῆμά ἐστιν ἐπαναστροφῆς, ὅμοιον τῷ «οὐδ’ εἰ πυρὶ χεῖρας ἔοικεν, εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ’ αἴθωνι σιδήρῳ», καὶ τῷ «παρθένος ἠΐθεός τε, παρθένος ἠΐθεός τε ὀαρίζετον», καὶ τοῖς ὁμοίοις.

4.805 ἐνδιάθετος δὲ ἡ τοιαύτη ἐπανάληψις καὶ ἐνταῦθα κατὰ θαῦμά τε καὶ πρὸς ἀλήθειαν. Ὅρα δὲ καὶ τὸ «ἡνιόχευεν», αὐτὸ τοῦτο μόνον δηλοῦν τὸ τὰ ἡνία ἔχειν. τὸ γὰρ μάστιγι κελεύειν θατέρῳ τοῖν ἀδελφοῖν δίδωσι, φανερῶς λέγων δύο εἶναι τοὺς Ἀκτορίωνας ἐφ’ ἑνὸς ἅρματος τέσσαρσι διοικουμένους χερσί, πλεῖον δέ τι μὴ παρεμφήνας, ἐξ ὧν ὁ μῦθος τερατεύεται. [Ὅτι δὲ τὸ ἡνιοχεύειν κοινῶς αἰτιατικῇ συντασσόμενον οἱ ὕστερον γενικῇ συνέταξαν, δηλοῖ χρῆσις ἡ λέγουσα τὸ «τῆς ἐμῆς ψυχῆς ἡνιοχεύεις».] (v. 643) Ἰστέον δὲ καὶ ὅτι συμπληρῶν ὁ Νέστωρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γεροντικῶς τὸ κατ’ αὐτὸν αὔχημα ἐπιφέρει «ὥς ποτ’ ἔον, νῦν αὖτε νεώτεροι», καὶ ἑξῆς, ὡς εὐθὺς γραφήσεται. ἔστι δὲ τὸ «ἔον» ῥῆμα τῆς ἐών μετοχῆς, ὡς τὸ ἔτυπον τοῦ τυπών. (v. 643—5) Ὅτι γέρων ἀριστεὺς παραιτούμενος ἀγῶνας τὰ τοῦ Νέστορος ἐρεῖ ἂν «νῦν αὖτε νεώτεροι ἀντιοώντων ἔργων τοιούτων, ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ πείθεσθαι» ὅπερ ὅμοιόν ἐστι τῷ «νυκτὶ πείθεσθαι», καὶ «δαιτὶ στυγερῇ πείθεσθαι». «τότε δ’ αὖτε», φησί, «μετέπρεπον ἡρώεσσι». (v. 646) Προτροπὴ δὲ εἰς τιμὴν τεθνεῶτος φίλου τὸ «ἀλλ’ ἴθι καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερέϊζε», ἤγουν ἐνταφίαζε, κτέρας δίδου ἐπιτάφιον, καί, ὡς εἰπεῖν, κτημάτιζε. (v. 647- 50) Τιμηθεὶς δέ τις ἀγαθὸς ἀνὴρ δώροις πρός τινος ἐνδόξου εἴποι ἂν «τοῦτο δ’ ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ, ὥς μευ ἀεὶ μέμνησαι ἐνηέος οὐδέ σε λήθω, τιμῆς ἧς τέ μ’ ἔοικε τετιμῆσθαι· σοὶ δὲ θεὸς τῶνδ’ ἀντὶ χάριν μενοεικέα δοίη». ἐκ τούτου δὲ τοῦ Ὁμηρικοῦ τὴν ἀντίχαριν οἱ ὕστερον συνέθεντο. (v. 649) Ἐν δὲ τῷ «τιμῆς» λείπει ἡ δια πρόθεσις, ἵνα λέγῃ, ὅτι ἀεὶ μέμνησαί μου διὰ τιμῆς. τοῦτο δὲ πρὸς διαστολὴν ἑτέρας μνήμης τῆς ἐπιψόγου. ἢ καὶ ἄλλως, χαίρει μοι τὸ ἦτορ, ὅτι μέμνησαί μοι τῆς ἐοικυίας τιμῆς. Τὸ δὲ «ἧς μ’ ἔοικε τετιμῆσθαι», πρὸς ἀκολουθίαν συντέτακται τοῦ τιμῆς. ἄλλως δὲ ἀσφαλὲς ἦν τὸ «ἣν ἔοικέ με τετιμῆσθαι». Φασὶ δ’ ἐν τούτοις οἱ παλαιοί, ὅτι ὕψωσεν ἑαυτὸν ὁ γέρων ἐνταῦθα, εἰπὼν ἄξιος εἶναι τιμῆς ὡς ἐνηής, καὶ εὐλόγιστον οὕτως ἀποδεδειχὼς τὸν τιμήσαντα, καὶ ὅτι τιμῆς μόνης ὁ Νέστωρ ἐδεῖτο. τίνος γὰρ ἄλλου πρεσβύτης, διηνυκὼς μὲν τοσαῦτα ἐν νεότητι, πρὸς χάριν δὲ φίλων ἄρτι στρατεύων, ἐπ’ ἀξιώματος δὲ τοιούτου ὢν καὶ παίδων ἀγαθῶν πατὴρ καὶ οἴκου δεσπότης εὐδαίμονος.

4.806 διὸ καὶ ὁ ἐν τῇ γ′ τῆς Ὀδυσσείας φαινόμενος Μέντωρ οὐδὲν ἀλλ’ ἢ κῦδος ἐπεύχεται τῷ Νέστορι καὶ τοῖς υἱοῖς. (v. 646) Ἰστέον δὲ καὶ ὅτι τὸ «σὸν ἑταῖρον, ὡς ἐρρέθη, «ἀέθλοισι κτερέϊζε» καινότερον εἴρηται οὐχ’ ὡς ἐπὶ ἐνταφιασμοῦ, ἄλλως γὰρ ἤδη προεντεταφίασται Πάτροκλος. ἔστι δὲ ἁπλούστερον φράσαι, ὡς τὰ πρὸ τούτων μὲν ἄλλως ἐκτερεΐσθη, τουτέστι κτέρεα, ἤτοι κτήματα, ἔλαβεν ἐκεῖνος νεκρικά, νῦν δὲ καὶ ἀέθλοις κτερεΐζεται τοῖς ἐπ’ ἐκείνῳ γενομένοις. (v. 651 s.) Ὅτι φιλοτίμως χαίρειν τὸν Ἀχιλλέα τοῖς εἰς ἑαυτὸν ἐπαίνοις δηλοῖ ὁ ποιητὴς καὶ νῦν ἐν τῷ «Πηλεΐδης δὲ πολὺν καθ’ ὅμιλον Ἀχαιῶν ᾤχετ’, ἐπεὶ πάντ’ αἶνον ἐπέκλυε Νηλεΐδαο». Παρίστατο γὰρ δηλονότι αὐτῷ φιλικῶς διὰ παντὸς τοῦ λόγου, [δεικνὺς δεῖν εἶναι τὸν φιλότιμον μὴ ἐξουθενοῦν καὶ παρ’ οὐδὲν τίθεσθαι τὰ τῶν ἐπαίνων, ἵνα μή ποθεν ἀκούσοι τὸ «ὄνος λύρας» παροιμιακῶς, καὶ ἅμα κατακριθείη ἄχαρίς τε εἶναι καὶ μηδὲ ἑαυτὸν φιλῶν. τοιοῦτοι γὰρ οἱ μὴ χαίροντες τοῖς εἰς σφᾶς αὐτοὺς ἐπαίνοις.] Ὅρα δὲ τὸ «πολὺν καθ’ ὅμιλον». ἐκ τούτου γὰρ οἱ μεθ’ Ὅμηρον πολὺν ἄνθρωπον καὶ πολὺν λαὸν τὸν χυδαῖόν φασιν. (v. 653) Ὅτι Ἀχιλλεὺς μετὰ τοὺς ἱππεῖς «πυγμαχίης ἀλεγεινῆς θῆκεν ἄεθλα», ἤγουν προέθετο. φιλοσόφος δὲ κἀνταῦθα ἡ λέξις κεῖται. εἴτε γὰρ ἵστανται τὰ ἔπαθλα ζῷα ὄντα εἴτε κάθηνται εἴτε κεῖνται, οἰκεῖον γενικῶς ἐπ’ αὐτῶν τὸ τίθεσθαι. (v. 654—6) Εἶτα τὸ εἶδος τῆς θέσεως ἑρμηνεύων ἐπάγει ἀσυνδέτως «ἡμίονον ταλαεργὸν ἄγων κατέδης’ ἐν ἀγῶνι, ἑξέτε’, ἀδμήτην, ἥ τ’ ἀλγίστη δαμάσασθαι· τῷ δ’ ἄρα νικηθέντι τίθει δέπας ἀμφικύπελλον», ὅ ἐστι στρογγύλον, ὡς μυριαχοῦ φαίνεται.

4.807 εὐτελοῦς δὲ ὕλης ἔοικε τοῦτο εἶναι. Ὅρα δὲ ὅτι, εἰ καὶ διὰ συντομίαν οὐκ ἐπεσημήνατο ῥητῶς ὅτι τῷ νικήσαντι ἀέθλιον ἡ ἡμίονος, ἀλλ’ οἷς τῷ νικηθέντι τὸ δέπας τεθῆναί φησιν, ἐνέφηνε γοργῶς καὶ τὸ σιωπηθέν. ἐσιώπησε δέ, ἵνα προϊὼν περιφράσῃ τὸν νικητήν. (v. 660—2) Ἐρεῖ γὰρ «ᾧ δέ κ’ Ἀπόλλων δῴη καμμονίην, γνώωσι δὲ πάντες Ἀχαιοί, ἡμίονον ταλαεργὸν ἄγων κλισίηνδε νεέσθω». ὑποκαταβὰς δὲ διὰ τοῦ Ἀχιλλέως ἄμφω λέγει. ὁ μὲν γάρ, ὡς ἐρρέθη, ἡμίονον ἀγέτω, (v. 663) «αὐτὰρ ὁ νικηθεὶς δέπας οἴσεται» τὸ ῥηθέν, καμμονίην κἀνταῦθα εἰπών, ὡς καὶ προερρέθη, τὴν ἐκ καταμονῆς νίκην. ἣν καταμονήν, τουτέστιν ἐπιμονήν, δηλοῖ τὸ (v. 659 s.) «ἄνδρε δύο περὶ τῶνδε κελεύομεν πὺξ μάλ’ ἀνασχομένω πεπληγέμεν», ἤγουν πὺξ ἀλλήλους πλῆξαι ἀνατείναντας τὰς χεῖρας. ἦν γὰρ ὡς ἐπὶ πλεῖστον ἐπιτήδευμα πυγμάχων τὸ

ἐπὶ ποὺ ἀντέχειν ἀνατεταμέναις χερσίν. καί τινα πύκτην Ἀριστείδης ἐπαινεῖ, ὅτι διεκαρτέρει, τῶν ἀντιπάλων οὕτω περιγινόμενος. (v. 653) Ἀλεγεινὴν δὲ τὴν πυγμαχίαν λέγει, καθὰ προϊὼν καὶ τὴν παλαισμοσύνην, διὰ τὰ ἐξ αὐτῶν δυσχερῆ, ὡς φανήσεται. (v. 654) Τὸ δὲ «ταλαεργόν» ταῖς ἡμιόνοις ᾠκείωται μάλιστα εἰς ἐπώνυμον. βόες γὰρ καὶ ἵπποι οὐχ' οὕτω ταλαεργοί, ὧν ὡς τὰ πολλὰ τὸ ἀγελαῖον καὶ ἄνετον. ἄλλως δὲ καὶ φερέπονοι αἱ ἡμίονοι μάλιστα. διὸ καὶ οἰκεῖον ἡ τοιαύτη ἆθλον τῷ τλησιπόνῳ πύκτῃ, καὶ μᾶλλον, ὅτι καὶ ἀλγίστη δαμάσασθαι. ἀλγεινὸς μὲν γὰρ καὶ βοῦς καὶ ἵππος δαμασθῆναι μετὰ ἓξ ἔτη, ἀλγίστη δὲ καὶ οὐ ῥᾳδίως εἴκουσα ζυγῷ ἡ σφριγῶσα ἡμίονος. [Δῆλον δὲ ὅτι ταὐτόν ἐστι ἀλγίστην Ὁμηρικῶς εἰπεῖν καὶ ἀργαλέην Ἀττικῶς. διὸ καλῶς οἱ Ἐτυμολόγοι τὸ ἀργαλέον οὐ μόνον ἀπὸ τοῦ ἔργου ἀλλὰ καὶ ἀπὸ τοῦ ἄλγους ἐτυμολογοῦντες εὑρίσκονται τροπῇ τοῦ λ εἰς ρ .] (v. 655) Τὸ δὲ «ἑξέτεα» διφορεῖται κατὰ τὸν τόνον, καὶ ζητητέον περὶ τούτου καὶ ἐν τοῖς εἰς τὴν Βοιωτίαν, ἔνθα ἐρρέθη τὰ τοιαῦτα καὶ ὀξύνεσθαι κατὰ τὰς εὐθείας καὶ βαρύνεσθαι.

4.808 (v. 660) Τὸ δὲ πύξ ἀπὸ τοῦ πτύσσω πτύξω ἀποβολῇ τοῦ ω γίνεται. πτύσσοντες γὰρ τοὺς τῆς χειρὸς δακτύλους καὶ οὕτω στρυφνοῦντες εἰς πύκνωσιν οἱ πυγμάχοι ἀθλοῦσιν, εἰς γρόνθον συστρέφοντες, ὅπερ κόνδυλόν φασιν οἱ σοφοί, [ῥῆμά τε παράγοντες ἐξ αὐτοῦ τὸ κονδυλίζειν, ἤγουν τοιούτῳ κονδύλῳ παίειν, καὶ παροιμίαν προάγοντες τὴν «δὸς ἄρτον», τυχόν, «καὶ κόνδυλον ὄψον ἐπ' αὐτῷ», ἤγουν χορήγησον τὸ ἀρκοῦν παιδίῳ ἤ τινι τοιούτῳ προσώπῳ, καὶ εἰ μὴ ἀρκεῖται ἀλλ' ὀχλεῖ ἐς πλέον, τότε δὴ ἐπίβαλε ἀντὶ τοῦ ὄψου κόνδυλον, παίσας δηλαδὴ τὸν ἄφρονα.] Ἐκ δὲ τοῦ τοιούτου πτύσσω, ἀφ' οὗ τὸ πύξ, καὶ τὸ πυκνόν γίνεται καὶ ὁ πύξος. καὶ ταῦτα μὲν ἐκ τοῦ πτύξω. ἡ δέ γε πυγμή καὶ ὁ πυγμάχος καὶ ἡ πυγμαχία καὶ τὸ ἐξ αὐτῶν πυγμαχεῖν ἐκ τοῦ ἔπτυγα, μέσου παρακειμένου, σύγκεινται. διὸ καὶ ἔχουσι τὸ γ . [Ἢ μᾶλλον πυγμὴ μὲν ἐκ τοῦ ἔπτυγμαι παθητικοῦ παρακειμένου, ἀπὸ δὲ τοῦ ἔπτυγα σὺν τοῖς ἄλλοις καὶ ἡ πυγὼν καὶ αἱ κατὰ σῶμα πυγαὶ καὶ τὸ πυγούσιον μέτρον. τοῦ δέ γε εἰρημένου παρακειμένου καὶ οἱ Πυγμαῖοι ἤρτηνται, περὶ ὧν, εἰ καὶ προγέγραπται, ὅμως καὶ νῦν μνηστέον οὐκ ἀσυντελῶς, ὡς οἱ τοιοῦτοι μικροὶ ἄνδρες, οἳ ταῖς γεράνοις διαπολεμοῦντες πέρδιξιν εἰς ὄχημα χρῶνται. κατὰ δὲ Μενεκλῆν, καθὰ γεράνοις πολεμοῦσιν, οὕτω καὶ πέρδιξιν, ὧν τινας τὸ ῥύγχος οὐ κινναβάρινον ἔχειν ἐκεῖνός φησι.

4.809 λέγεται δὲ καὶ γυναῖκα εἶναι διάσημον ἐν αὐτοῖς, Γεράναν τοὔνομα, ἣ κατὰ θεὸν τιμωμένη ταπεινούς, φασίν, ἦγε τοὺς θεοὺς καὶ μάλιστα Ἥραν. διὸ ἀγανακτήσασα ἐκείνη μετεμόρφωσε τὴν ἀλαζόνα εἰς ἀπρεπῆ ὄψιν ἀπορνιθώσασα, πολέμιόν τε καὶ στυγητήν, φασί, κατέστησε τοῖς τιμήσασι Πυγμαίοις. Τοῦ δὲ ῥηθέντος ἔπτυγμαι παράγωγον καὶ τὸ τοῦ πέπλου πτύγμα καὶ ὁ πύκτης. ἐκβληθέντος τοῦ ταῦ ἐκ τοῦ πῖ διὰ καλλιφωνίαν. ἐξ αὐτοῦ δὲ παράγωγον ῥῆμα τὸ πυκταλίζειν, οὗ χρῆσις παρὰ Ἀνακρέοντι, οἷον «ὡς μὴ πρὸς τὸν ἔρωτα πυκταλίζω», ἤγουν πυκτεύω. ὡς δὲ ἐκ τοῦ πτύσσω πτύξω γίνεται καὶ τὸ πτύξ πτυχός, καὶ τὸ Πνύξ Πυκνός, ὄνομα δικαστηρίου Ἀττικοῦ, ὅπερ ἡ κοινὴ χρῆσις Πνυκός κλίνει, καὶ ἀλλαχοῦ σαφῶς δεδήλωται.] Ἀπόλλωνος δ' ἐνταῦθα μέμνηται ὁ ποιητὴς διὰ τὸ δοκεῖν ἐναγώνιον εἶναι καὶ αὐτὸν ὁμοίως τῷ Ἑρμῇ. (v. 661) Τὸ δὲ «γνώωσι πάντες» τὸ ἀναγκαίως ἀναμφήριστον τῆς νίκης δηλοῖ. (v. 664) Ὅτι «ἀνὴρ ἠΰς τε μέγας τε ἦν εἰδὼς πυγμαχίης, υἱὸς Πανοπῆος, Ἐπειός», δειλὸς μέντοι καὶ ἀπόλεμος, ὡς καὶ Λυκόφρων ἱστορεῖ. (v. 669—71) Διὸ καὶ αὐτὸς εἰπὼν ἐνταῦθα ὅτι «εὔχομαι», ὅ ἐστι καυχῶμαι, «εἶναι ἄριστος πυγμῇ», ἐπάγει, «ἦ οὐχ' ἅλις ὅττι μάχης ἐπιδεύομαι», καὶ ἑξῆς. προϊὼν μέντοι γελοῖος ἐν τῷ δισκεύειν εὑρεθήσεται ὁ τὴν πυγμὴν ἄριστος.

4.810 ὡς γὰρ αὐτὸς γνωματεύων φησὶν «οὐδ' ἄρα πως ἦν ἐν πάντεσσιν ἔργοισι δαήμονα φῶτα γενέσθαι», ὅπερ ὅμοιόν ἐστι τῷ οὐκ ἄρα θεὸς πάντα δῶκεν ἀνθρώποις. (v. 667—9) Οὕτω δὲ θαρρεῖ τὴν πυγμαχίαν ὁ Ἐπειός, ὥστε τῆς ἡμιόνου ἁψάμενος εἰπεῖν «ἆσσον», ἤγουν ἐγγύς, «ἴτω ὅστις δέπας οἴσεται», τὸ δευτερεῖον δηλαδὴ «ἡμίονον δ' οὔ φημί τιν' ἀξέμεν ἄλλον

Ἀχαιῶν πυγμῇ νικήσαντα, ἐπεὶ εὔχομαι εἶναι», ὡς ἐρρέθη, «ἄριστος», κατὰ τὴν πρόκλησιν δηλαδὴ τοῦ Ἀχιλλέως, εἰπόντος «ἄνδρε κελεύομεν ὣ περ ἀρίστω πὺξ πεπληγέμεν», ὡς εἴρηται. (v. 672—5) Εἶτα καὶ ἀπειλούμενος εὐμεθόδως καὶ πρὸς ἀλήθειαν τῷ ἀντιπάλῳ φησὶν «ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται· ἀντικρὺ χρόα τε ῥήξω σὺν δ' ὀστέ' ἀράξω· κηδεμόνες δέ οἱ ἐνθάδ' ἀολλέες αὖθι μενόντων», ἤτοι μενέτωσαν, «οἵ κέ μιν ἐξοίσουσιν ἐμῇς ὑπὸ χερσὶ δαμέντα». καὶ αὐτίκα ἔοικεν ἑλεῖν τὸ ἔπαθλον. ἀμέλει μετὰ τὸν ἀγῶνα οὐ μέμνηται τούτου ὁ ποιητής, ἀλλὰ τῶν τοῦ Εὐρυάλου ἑταίρων, οἳ «ἐκόμισαν», φησί, «δέπας ἀμφικύπελλον». (v. 673) Ὅρα δ' ἐν τούτοις τὴν τῶν γοργῶν παρίσων ἁβρότητα, ἐν οἷς λαλεῖ ὁ θαρρῶν ἄριστος ἀθλητής, τοῦ «χρόα ῥήξω», καὶ «ὀστέα ἀράξω», τουτέστι θραύσω κατά τινα ὀνοματοποιΐαν. (v. 665) Τὸ δὲ «εἰδὼς πυγμαχίης» οὐκ ἀσυνήθως συντέτακται καθ' ὁμοιότητα τοῦ «τόξων εὖ εἰδώς» καὶ τῶν ὁμοίων. δῆλον δὲ καὶ ὅτι ἄλλως ἔστιν ὅτε κοινότερον συντάσσεται, ὡς δηλοῖ καὶ ἐν Ὀδυσσείᾳ τὸ «εἰδότες ἄμφω κέρδεα». (v. 673) Τὸ δὲ «ἀντικρύ» κατὰ τοὺς παλαιοὺς ἀντὶ τοῦ διόλου καί, ὡς εἰπεῖν, διαμπερές. ἐμφαίνει δὲ ἡ λέξις ἀντέρεισίν τινα τῶν ἔνδον ὡς ἀντικρουόντων καὶ οὕτω βλαπτόντων τὸ πληγέν. δοκεῖ γὰρ ἐκ τοῦ ἀντικρούειν τὸ ἀντικρύ γίνεσθαι, καὶ δηλοῖ πληγὴν ἀντήρειδα. (v. 674) Κηδεμόνες δὲ οἱ ἁπλῶς ἐπιμεληταί, οἳ μετ' ὀλίγα φίλοι ἑταῖροι λέγονται.

4.811 Τὸ δὲ «ἐνθάδε» καὶ «αὖθι», κατὰ λόγου ἀγωνίαν ἐκ παραλλήλου ἕν τι δηλοῦσι. (v. 665) ἐπισημαντέον δὲ διὰ τοὺς καὶ τοιούτοις χαίροντας, ὅτι τὸ «Πανοπῆος Ἐπειός» ἔχει τι ψευδοπαρηχήσεως κατὰ τὰς παραληγούσας, ὥσπερ μετ' ὀλίγα καὶ τὸ «οἵ μιν ἄγον δι' ἀγῶνος». τηρητέον δὲ καὶ τὸ ἐπικίνδυνον τῆς πυγμαχίας ἀεὶ τοιαύτης οὔσης. πολλοὺς γὰρ τῆς κατὰ φύσιν σωματικῆς ἁρμονίας παρέλυεν. (v. 678—80) Ὅτι Μηκιστεύς, υἱὸς Ταλαοῦ ἢ Ταλαΐονος, ὅθεν καὶ Ταλαϊονίδης λέγεται, ὡς δηλοῖ τὸ «υἱὸς Ταλαϊονίδαο ἄνακτος», ἦλθέ ποτε Θήβας, «δεδουπότος Οἰδιπόδαο ἐς τάφον. ἔνθα δὲ πάντας ἐνίκα Καδμείωνας», τῇ πυγμῇ δηλαδή, ὡς ἔστι νοῆσαι ἀπὸ τοῦ υἱοῦ. τούτου γὰρ υἱὸς Εὐρύαλος νῦν οἷος, ἤτοι μόνος, «ἀνίστατο, ἰσόθεος φώς», ἀντικαταστησόμενος πυγμαχικῶς τῷ Ἐπειῷ κατὰ τέχνην, ὡς εἰκός, πατρικήν. (v. 677) Καὶ ὅρα τὸ «οἷος», δι' οὗ φαίνεται ἡ κατὰ πυγμὴν ἐξοχὴ τοῦ Ἐπειοῦ, ἧς ἕνεκεν οὐδεὶς ἐτόλμησε τούτῳ ἀντιστῆναι, ὅτι μὴ μόνος Εὐρύαλος. ἀλλὰ καὶ αὐτὸς οὐκ εὐτυχῶς ἑαυτῷ. ὁμοίως δὲ ὅρα καὶ τὸ «ἀνίστατο», ἐν ᾧ μὴ πάντῃ θαρρεῖν ὁ Εὐρύαλος φαίνεται. οὐ γὰρ ἀνέστη, φησίν, ἀλλ' ἀνίστατο, σχολαίως ὀρθούμενος εἰς ἀγῶνα δέει τοῦ μέλλοντος, καθά που καὶ ὁ γέρων Νέστωρ ἵππου παρηορίας οὐκ εἶχε ῥᾷον τεμεῖν, ἀλλ' ἔτεμνε σχολαιότερον. Τὸ δέ «ἰσόθεος φώς» ὑπερεξαίρει τόν, ὡς εἴρηται, ἄριστον Ἐπειόν, εἴπερ ἰσόθεον ἀντίμαχον καταβαλεῖ. (v. 679 s.) Ἐν δὲ τῷ «Θήβας ἦλθεν» ἡ εἰς πρόθεσις λείπει. Δεδουπότος δὲ ἀντὶ τοῦ πεσόντος, ἐκ τοῦ παρεπομένου δούπου, ἤτοι ψόφου καὶ κτύπου, τοῖς πίπτουσιν, ὡς δηλοῖ τὸ «δούπησε δὲ πεσών».

4.812 εἴρηται δὲ ἡ λέξις ὡς ἢ ἐν πολέμῳ θανόντος τοῦ Οἰδίποδος ἢ ὡς ὑπερπαθήσαντος καὶ κατακρημνίσαντος ἑαυτόν. Ὅρα δὲ καὶ ὅτι οὐκ ἐν Ἀθήναις κατὰ τοὺς τραγικούς, ὧν καὶ ὁ Σοφοκλῆς, ἀλλ' ἐν Θήβαις θανεῖν τὸν Οἰδίποδα φαίνεται εἰδὼς ὁ ποιητής, καὶ ὅτι οὐδὲν οὐδὲ τὸν Εὐρύαλον τοῦτον ἡ πατραγαθία ὤνησεν, ὃς κακῶς ἀπαλλάξει πυγμαχήσας τῷ Ἐπειῷ. Ἰστέον δὲ καὶ ὅτι συγγενὴς ἦν τῷ Διομήδει Εὐρύαλος οὕτω. Ἀδράστου ἀδελφὸς Μηκιστεύς, οὗ Εὐρύαλος. πάλιν Ἀδράστου θυγάτηρ Δηϊπύλη, ἧς Διομήδης. (v. 681.) Διὸ καί, καθὰ φανεῖται, ἀμφεπονεῖτο αὐτὸν ὁ Διομήδης «θαρσύνων ἐπέεσσι, μέγα δ' αὐτῷ βούλετο νίκην», ἐθέλων κενεαυχέα δεῖξαι τὸν Ἐπειόν. (v. 679) Ὁ δὲ Οἰδίπους πολλαχοῦ εὕρηται τετρασυλλάβως καὶ Οἰδιπόδης λεγόμενος. [Τὸν δὲ εἰρημένον Ἐπειὸν ὑδροφορεῖν τοῖς Ἀτρείδαις ἱστορεῖ Στησίχορος ἐν τῷ «ᾤκτειρε δ' αὐτὸν ὕδωρ ἀεὶ φορέοντα Διὸς κούροις βασιλεῦσιν». ἔνθα ὅρα τὸ «Διὸς κούροις», καθ' ὃ καὶ Διὸς κούρη ἡ Ἀφροδίτη ἐν παραθέσει, ὥστε κατ' ἐξοχήν τινα Διόσκουροι

συνθέτως οἱ τῆς Λήδας καὶ τοῦ Διός. ἡ δὲ ῥηθεῖσα ἱστορία τῆς τοῦ Ἐπειοῦ ὑδροφορήσεως ὑπεκίνησε τὸν Σιμωνίδην αἴνιγμα θέσθαι ἐπὶ ὄνῳ ὑδροφοροῦντι αὐτῷ τε καὶ τοῖς μαθηταῖς, ἐν ᾧ Πανοπηϊάδην ἐκεῖνος τὸν ῥηθέντα ὄνον εἶπεν, ἤγουν Πανοπέως υἱόν, Ἐπειόν. ὡς δὲ κατὰ γαστρὸς ἔτι ὢν ἔμβρυον ὁ Ἐπειὸς ἐπύκτευσέ πως τῷ διδύμῳ ἀδελφῷ καὶ νικήσας προεξώδευσεν, ὁ Λυκόφρων ἱστορεῖ.] (v. 683—91) Ὅτι Διομήδης τῷ, ὡς ἐρρέθη, φίλῳ συγγενεῖ Εὐρυάλῳ «ζῶμα πρῶτον παρακάββαλεν», ἤτοι παρακατέβαλεν ἤγουν περὶ τὰ αἰδοῖα ἔθετο, «αὐτὰρ ἔπειτα δῶκεν ἱμάντας ἐϋτμήτους βοὸς ἀγραύλοιο.

4.813 τὼ δὲ ζωσαμένω βήτην ἐς μέσον ἀγῶνα, ἄντα δ' ἀνασχομένω», καθὰ προδεδήλωται, «χερσὶ στιβαρῇσιν ἅμ' ἄμφω σύν ῥ' ἔπεσον, σὺν δέ σφι βαρεῖαι χεῖρες ἔμιχθεν. δεινὸς δὲ χρόμαδος γενύων γένετο, ἔρρεε δ' ἱδρὼς πάντοθεν ἐκ μελέων, ἐπὶ δ' ὤρνυτο θεῖος» ἢ «δῖος Ἐπειός, κόψε δὲ παπτήναντα παρήϊον, οὐδ' ἄρ ἔτι δὴν εἱστήκει» ἢ «ἑστήκειν», «αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γύια». (v. 692—9) Εἶτα διαγράφων τὸν τρόπον τοῦ πτώματος διὰ παραβολῆς φησιν «ὡς δ' ὅθ' ὑπὸ φρικὸς Βορέω ἀναπάλλεται ἰχθὺς θῖν' ἐπὶ φυκιόεντι, μέλαν τέ ἑ κῦμ' ἐκάλυψεν, ὣς πληγεὶς ἀνέπαλτο, ἀτὰρ μεγάθυμος Ἐπειὸς χερσὶ λαβὼν ὤρθωσε, φίλοι δ' ἀμφέσταν ἑταῖροι, οἵ μιν ἄγον δι' ἀγῶνος ἐφελκομένοισι πόδεσσιν, αἷμα παχὺ πτύοντα, κάρη βάλλονθ' ἑτέρωσε, κὰδ δ' ἀλλοφρονέοντα μετὰ σφίσιν εἷσαν», ὅ ἐστιν ἐκάθισαν, «ἄγοντες· αὐτοὶ δ' οἰχόμενοι κόμισαν δέπας ἀμφικύπελλον». (v. 698) Ἔστι δὲ τὸ «ἀλλοφρονέοντα» ἀντὶ τοῦ ἐξεστηκότα φρενῶν κατὰ τοὺς παλαιούς, κρεῖττον δ' εἰπεῖν, ἠλλοιωμένον τὴν φρόνησιν. Τὸ δὲ εἰπεῖν ἄλλο φρονοῦντα, παρ' ὃ πρῴην ἐφρόνει, κακίζεται τοῖς πάλαι σοφοῖς, ἵνα μὴ τὸ παραφρονεῖν, φρονεῖν λεγόμενον καὶ αὐτό, νόμῳ καθυπαγάγῃ τὴν φρόνησιν κατὰ τὸ «νόμῳ γλυκύ» καὶ «νόμῳ πικρόν».

4.814 ὁ δὲ ὡς ἐρρέθη, ἀλλοφρονῶν καὶ ἀλλότριος τοῦ φρονεῖν ἑρμηνευθείη ἄν. [Οἱ δέ γε παρὰ τοῖς ἰατρικῶς ἰωνίζουσιν ἀλλοφάσσοντες οὐδέν τι ὅμοιον δηλοῦσιν, ἀλλὰ σημαίνουσι τοὺς ἄλλοτε ἄλλα φράζοντας καὶ μηδὲν ὅλως διασαφοῦντας.] (v. 683) Ζῶμα δὲ οὐ μόνον ἐν πυγμαχίᾳ, ἀλλὰ ἐζώννυντο καὶ οἱ παλαίοντες, ὡς δηλώσει προϊὼν ὁ ποιητής. Ὅτι δὲ καὶ ἐγυμνοῦντο οἱ οὕτω ζωνύμενοι, σιγᾷ ὡς φανερόν, καθὰ παντελῶς ἐσίγησε καὶ τὸ ζώσασθαι τὸν Ἐπειόν, ὡς ἀπὸ τοῦ Εὐρυάλου γνωσθησόμενον. ἐνέφηνε δὲ μόνον τὸ καὶ ἀμφοτέρους ἐνταῦθα ζώσασθαι ἐν τῷ εἰπεῖν «οἳ δὲ ζωσάμενοι». Περὶ δὲ τοῦ ζώματος φέρεται ἱστορία, ὅτι μετὰ τὴν ιδ ην Ὀλυμπιάδα συνέβη Ὄρσιππόν τινα ἐμποδισθέντα ὑπὸ τοῦ περιζώματος πεσεῖν καὶ τελευτῆσαι, ἢ κατά τινας νικηθῆναι. ὅθεν ἐθεσπίσθη γυμνοὺς τοὺς τοιούτους ἀγωνίζεσθαι. ἀφ' οὗ καὶ γυμνάσιον ὁ τόπος, ἐν ᾧ τοὺς ἀγῶνας ἐποιοῦντο. ὥστε, φασί, νεώτερος Ὁμήρου Ἡσίοδος, γυμνὸν εἰσάγων Ἱππομένην ἀγωνιζόμενον τῇ Ἀταλάντῃ. (v. 684) Οἱ δὲ τῶν πυγμάχων ἱμάντες οἱ βόειοι περὶ τὰς χεῖρας αὐτοῖς εἱλοῦντο, συνεργαζόμενοί τι ταῖς πληγαῖς καὶ τοὺς δακτύλους δὲ συνέχοντες, καὶ ὡσεί τινα κορύνην σφαιροῦντες στερρῶς. καὶ ὤφθη οὐ πρὸ πολλοῦ Πέρσης ἀνὴρ πυγμικὸς ἐν τοῖς βασιλείοις οὕτω διατεθειμένος. ἐκαλοῦντο δέ, φασί, καὶ μύρμηκες οἱ τοιοῦτοι ἱμάντες, ὅθεν καὶ τὸ ἀστεῖον ἐκεῖνο ἱστόρηται, ὡς ἀνὴρ ἀχρεῖος τὴν πυγμικὴν καὶ πολλὰς παθὼν πληγάς, τόπον ὠνούμενος ἐν ᾧ μάθοι πολλοὺς εἶναι μύρμηκας, ἀφῆκε συναλλάξαι, βαρυνθεὶς ὡς εἴπερ καὶ ἐπλήγη τῷ τῶν μυρμήκων ὀνόματι.

4.815 [Ἀλλὰ τοῦτο μέν, εἰ καὶ ἡδὺ τοῖς ἀκούουσιν, ἀλλ' ὁ ταπεινὸς ἐκεῖνος πύκτης οὐκ εὐτραπέλως ἐποίησεν, ἀλλὰ δειλιῶν καὶ πρὸς μόνην ἀκοὴν μύρμηκος. ὁ δὲ ἀστεῖος μουσικὸς Στρατόνικος πρὸς ὄνομα κηρύκων, ὡς καὶ ἐν ἄλλοις δεδήλωται, ἄλλως εὐτραπελεύσατο, σχήματι δέους διαχέας τοὺς θεατάς. μαθὼν γὰρ τὴν πόλιν, ἐν ᾗ παρέτυχε, πολλοὺς ἔχειν κήρυκας, δακτύλοις ἄκροις διέβαινεν, αἰτίαν εἰπὼν τοῦδε τοῦ περιπάτου τὸ δεδιέναι, μήποτε πλατεῖ ποδὶ βαίνων περιπαρῇ πατήσας κήρυκα, ὡς τοῦ θαλασσίου κήρυκος διὰ τὸ κογχυλοειδὲς ὀξύτητας πέριξ ἔχοντος.] (v. 686) Τὸ δὲ «ἄντα δ' ἀνασχόμενοι», τουτέστιν ἀνατείναντες τὰς χεῖρας, ἕως τοῦ «ἐκ

μελέων» ἔκφρασίς ἐστι τῆς τῶν πυγμάχων συμπλοκῆς. (v. 687) Συμπεσεῖν δὲ κυριωτάτη λέξις κἀνταῦθα ὥσπερ καὶ ἐπὶ μάχης καὶ ὅλως ἁπάσης συμβολῆς. Βαρεῖαι δὲ χεῖρες ἐνταῦθα κυρίως εἴρηνται παρὰ τὸ βίᾳ αἵρεσθαι. (v. 688) Χρόμαδος δὲ κατὰ ὀνοματοποιΐαν ὁ ἐν ταῖς γένυσι ψόφος καὶ οἷον τρισμός, ὃς μάλιστα ἐν ταῖς πληγαῖς γίνεται. Τὸ δὲ «γενύων γένετο» ἔχει τι κάλλους ὁμοίως τῷ «προσήκει προθύμως». (v. 690) Τὸ δὲ «κόψεν» ἐπὶ πληγῆς φησιν, ὡς καὶ ἐν ἄλλοις. οὕτω δὲ καὶ μετ' ὀλίγα Ὀδυσσεὺς κόψεν Αἴαντος κώληπα. ἐκ τούτου δὲ καὶ κόπτεσθαι παθητικῶς ἐπὶ θρήνου, ὅθεν ὁ κοπετός. ἐκ τοῦ τοιούτου δὲ καὶ τὸ πληκτικὸν κόπανον, [ἵνα ᾖ, ὡς ξέω ξόανον, οὕτω καὶ κόπανον.] Τὸ μέντοι κατακόπτειν ἐπὶ σφαγῆς οἱ μεθ' Ὅμηρον τιθέασι ῥήτορες, οἷον «κατεκόπησαν ἐν πολέμῳ», καὶ ὁ Κωμικὸς δὲ ὄρνιθας κατακοπῆναί φησι. Τὸ δὲ «παπτήναντα» σημαίνει μὲν τὸ περιβλεψάμενόν που εἰς ἕτερον μέρος, οἷα εἰκός, ἐμφαίνει δὲ προσοχὴν τοῦ Ἐπειοῦ, ὃς καιρὸν τοῦτον εὑρὼν ἔπληξεν εὐθὺς τὸν Εὐρύαλον. πιθανεύεται δὲ οὕτω καὶ τὸ κατὰ τῆς παρειᾶς κροῦσμα.

4.816 εἰ μὴ γὰρ ἐπλαγίασεν Εὐρύαλος, τὰ κατὰ στόμα καὶ ὀφθαλμοὺς εἰκὸς ἦν κρουσθῆναι, ὧν καὶ αὐτῶν ἐστοχάζοντο πάντως οἱ πύκται, καθὰ καὶ ὤτων. ὅθεν ὠτοκάταξις κατὰ Αἴλιον Διονύσιον ὠτοθλαδίας, τὰ ὦτα τεθλασμένος ἐν παλαίστρᾳ, καὶ ἀμφώτιδες κατὰ Παυσανίαν, ἃς οἱ παλαισταὶ παρὰ τοῖς ὠσὶν εἶχον. ἄλλως δέ γε καὶ ἐκπώματος εἶδος αἱ ἀμφώτιδες. Παρήϊον δὲ νῦν μὲν αὐτὴ ἡ παρειά, ἑτέρωθι δὲ κόσμος ἵππου παραγναθίδιος. (v. 691) Τὸ δὲ «ἑστήκειν» δύναται μὲν καὶ δίχα τοῦ ν κοινῶς γράφεσθαι, ἡ δὲ ἀκρίβεια τῆς ἀντιγραφῆς μετὰ τοῦ ν γράφει ἀπὸ Ἰωνικοῦ τοῦ ἑστήκεεν, ὡς εἶναι ὅμοιον τῷ «ἤσκειν εἴρια καλά». (v. 692) Εἰς δὲ τὸ «ἀναπάλλεται ἰχθύς» φασὶν οἱ παλαιοὶ ὅτι, ἐπειδὰν τὸ πέλαγος στίζηται ἀρχομένου πνέειν ἀνέμου, ἀναπάλλονται ἰχθύες. στίζεται δὲ πάντως πέλαγος, ὅτε φρῖκα πάσχει, περὶ ἧς πολλαχοῦ εἴρηται. (v. 695) Τὸ δὲ «χερσὶ λαβὼν ὤρθωσε» φιλοίκτως τῷ Ἐπειῷ πέπαικται, ὀρθοῦντι ὃν κατέρριψε. (v. 696) Τὸ δὲ «ἄγον δι' ἀγῶνος» σὺν τῷ παρηχεῖν καὶ ἐτυμολογεῖ. ἀπὸ τοῦ ἄγειν γὰρ ὁ ἀγών, ἔχων καὶ ἑτέρας ἐτυμολογίας, ὡς ἐν ἀρχῇ τῆς ω' ῥαψῳδίας ῥηθήσεται. Τὸ δὲ «ἐφελκομένοις ποσίν» ὅ ἐστι συρομένοις, ἀκρατῆ ἑαυτοῦ δηλοῖ τὸν Εὐρύαλον, ἐξ οὗ πιθανολογεῖται καὶ τὸ ἀλλοφρονεῖν. Σημείωσαι δὲ ὅτι ἐκ τοῦ τοιούτου ἐφέλκεσθαι παράγεται καὶ τὸ τῆς φορτηγοῦ νηὸς ἐφόλκιον.

4.817 Ἰστέον δὲ καὶ ὅτι νῦν μὲν αὐθωρὸν οἱ πυγμάχοι ἀλλήλοις ἐνέπεσον. ἦν δέ ποτε αὐτοῖς τέχνη καὶ τρίβειν συχνὰς ὥρας ἐπὶ κακῷ τῶν ἀντιπάλων, [ἀνατάσει καὶ καταφορᾷ χειρῶν, ὡς εἰ καὶ ἀέρα, ὃ δὴ λέγεται, ἔδαιρον, ἢ καὶ ἐσκιαμάχουν πολεμικῶς. ἐζηλοῦτο γὰρ τοῖς παλαιοῖς καὶ σκιαμαχία εὐγενής. Κελτοὶ γοῦν, φασί, παρὰ τὸ δεῖπνον ἐνίοτε πρῶτα μὲν ἐν ὅπλοις ἐγερθέντες σκιαμαχοῦσι καὶ πρὸς ἀλλήλους ἀκροχειρίζονται, καὶ ἑξῆς, τὰ τοῦ ἱστοροῦντος αὐτὸ Ποσειδωνίου.] Περιᾴδεται οὖν τις [πυγμάχος], ὡς καὶ προερρέθη, κρατερὸς ἑαυτοῦ εἰς τὸ φερεπόνως ἐπὶ πολὺ ἀνέχειν τὴν χεῖρα καὶ πληγὰς μὲν μὴ καταφέρειν, ἀποκναίειν δὲ οὕτω τὸν ἀνταγωνιζόμενον. ὅτε οὖν τοιοῦτόν τι γίνεται ἢ καὶ ἄλλως παρατείνοιτο τὸ ἔργον, ἐγίνετο τηνικαῦτα τοῖς ἀθλοῦσι βοήθημα, ὁποῖον καὶ Παυσανίας ἱστορεῖ, λέγων ὅτι ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὅτε χρονοτριβοῖεν οἱ πύκται, κλῖμαξ εἰσεφέρετο, ὥστε διαστάντας καὶ χώραν λαβόντας ἐκείνους μένειν ἐν ταύτῃ ἕνεκεν τοῦ μὴ περιΐστασθαι, τουτέστιν ὑφίστασθαι, τὰς φερομένας πληγὰς περιτρέχοντας, ἀλλὰ μένοντας ἐπὶ τοῦ αὐτοῦ τῇ ποιᾷ τῶν χειρῶν ἐκτάσει φυλάττεσθαι. καὶ ἐλέγετο τοῦτο «ἐκ κλίμακος», παροιμιαζόμενον ἴσως ἐπὶ τῶν ἐκ προμηθείας τινὸς λαμβανόντων ἐν πόνοις ἄνεσιν. [Ἰστέον δὲ ὡς ἡ ἱστορία σὺν ἄλλοις τισὶ καὶ Τιμοκρέοντα, τὸν Ῥόδιον ποιητὴν καὶ ἀθλητήν, σεμνύνει ὡς πύκτην ἄριστον, ὅς, φασί, παρὰ τὸν μέγαν ἀφικόμενος βασιλέα καὶ ἐμφορηθεὶς βρωμάτων καὶ πολλὰ πιών, εἶτα ἐρωτηθεὶς ὅ τι ποτε ἀπὸ τούτων ἐργάζοιτο, καὶ εἰπὼν Περσῶν ἀναριθμήτους συγκόψειν, εἴπερ δηλαδὴ ἀεθλεύσει κατ'

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκείνων, τῇ ὑστεραίᾳ πολλοὺς καθ’ ἕνα νικήσας, εἶτα χειρονομήσας καὶ ζητηθεὶς τὴν τοῦ χειρονομῆσαι πρόφασιν, ἀπολείπεσθαι ἔφη τοσαύτας πληγάς, εἴ τις τολμήσει προσελθεῖν.

4.818 δοκεῖ γοῦν καὶ ὁ Ἐπειὸς πολλοὺς ἂν ἔτι καταρρίψειν, εἰ κατ’ αὐτοῦ ἀνέστησαν, καί που καὶ χειρονομῆσαι κατ’ ἐκεῖνον τὸν Τιμοκρέοντα, καὶ ἐρωτηθεὶς εἰπεῖν, ὃ καὶ ἐκεῖνος ἔφη. Ὅρα δὲ ὅτι καὶ Τιμοκρέων τῇ τοῦ κόψειν λέξει Ὁμηρικῶς ἐχρήσατο ἐν τοῖς κατ’ αὐτόν. λέγεται δὲ καὶ Φιλάμμων, πύκτης Ἀθηναῖος, νικᾶν τοὺς ἀντιπάλους πάντα τὸν χρόνον.] (v. 701) Ὅτι τὴν παλαισμοσύνην ἔστιν εὑρεῖν καὶ παλαιμοσύνην δίχα τοῦ ς γραφομένην τοῖς παλαιοῖς καθ’ ὁμοιότητα τοῦ Παλαίμων κυρίου ὀνόματος, ὃ καὶ αὐτὸ δοκεῖ ἐκ τοῦ παλαίειν γίνεσθαι. (v. 700—5) Ἰστέον δὲ ὡς ἆθλα παλαισμοσύνης Ἀχιλλεὺς τέθεικε «τῷ μὲν νικήσαντι μέγαν τρίποδ’ ἐμπυριβήτην, τὸν δὲ δυωδεκάβοιον ἐνὶ σφίσι τῖον Ἀχαιοί· ἀνδρὶ δὲ νικηθέντι γυναῖκ’ ἐς μέσον ἔθηκε, πολλὰ δ’ ἐπίστατο ἔργα, τίον δέ ἑ τεσσαράβοιον». ὅτι δὲ τὰ τοιαῦτα σταθμός τις ἦν, δι’ οὗ τοσοίδε βόες ὠνοῦντο, προδεδήλωται. Ἰστέον δὲ ὅτι, ὅπερ Ὅμηρός φησι «δωδεκάβοιον τῖον» καὶ «τίον τεσσαράβοιον», οἱ μεθ’ Ὅμηρον γενικῇ συντάσσουσιν, οἷον· δωδεκαβοίου τιμῶμαι τόδε, καί· τεσσαραβοίου ἐτιμῶντο, παθητικῶς τὸ τίειν σχηματίζοντες. (v. 702) Ἐμπυριβήτης δὲ τρίπους πρὸς διαστολὴν τοῦ ἀναθηματικοῦ, ὡς προγέγραπταί που. (v. 703) Τὸ δὲ «ἐνὶ σφίσιν» ἀντὶ τοῦ καθ’ ἑαυτούς. τοῦτο δὲ πρὸς διαστολὴν τῶν ἄλλως ἐπί τινι συναλλάγματι ἐκφωνούντων τίμημα. (v. 704) Τὸ δὲ «ἀνδρὶ νικηθέντι» ἔχει ἀντιθετικήν τινα γλυκύτητα. τοιοῦτον γὰρ τὸ ἀνδρὶ τοιούτῳ γυναῖκα ἔπαθλον δοθῆναι ὡς οἷα γυναικισθέντι καὶ αὐτῷ τῇ κατὰ πάλην μαλθακότητι. (v. 705) Πολλὰ δὲ ἔργα τὰ γυναικὶ δηλαδὴ πρέποντα. ἐπ’ ἄλλης δὲ φθάσας «ἀμύμονα» εἶπεν «ἔργα».

4.819 [Τὸ δὲ «ἐπίστατο» παρ’ Ὁμήρῳ μὲν εὖ ἔχει, οἱ δὲ μεθ’ Ὅμηρον καινότερον «ἠπίστατο» φασίν, ὁμοίως πως τῷ ἠδύνατο καὶ ἤμελλε καὶ διηκόνησε καὶ τοῖς τοιούτοις. ἐκεῖνοι δὲ καὶ ἄλλως καινοτομοῦσι τὰς αὐξήσεις, ποτὲ μὲν ἔξω αὔξοντες, τὸ δὲ ἔσω ἀφιέντες ἀναύξητον, οἷον «τέλος ἔχει μοι τὰ πάντα, ἰατρέ, καὶ δεδιοίκηται πάλαι», ποτὲ δὲ διχῇ αὔξοντες, ἤγουν ἔσω καὶ ἔξω. τοιοῦτον γὰρ τὸ «δεδιῴκηται» ἐκ τοῦ διοικῶ, καὶ τὸ «ἐκδεδιῃτημένος» ἀπὸ τοῦ ἐκδιαιτῶ, καὶ τὸ «μεμεθωδευμένος», καὶ τὸ «πεπαρῳνηκώς», καὶ τὸ «μεμελοπεποιημένος», καὶ τὸ «ἠνώχλησε», καὶ τὸ «ἠνέῳγεν», ἵνα μή τις τἆλλα λέγῃ, ὅσα χύδην ἔχει καὶ εἰς γνῶσιν πρόκειται.] (v. 703 et 705) Σημείωσαι δὲ ὅτι τόπος εἷς οὗτος ὁ ῥηθεὶς ἐν μὲν τῷ «τῖον Ἀχαιοί» ἐκτείνει τὴν ἄρχουσαν τοῦ ῥήματος, ἐν δὲ τῷ «τίον δέ ἑ τεσσαράβοιον» συστέλλει. (v. 700 s.) Ἐν τούτοις δὲ κεῖται καὶ δεικνύμενος, ὃ παρὰ τοῖς μεθ’ Ὅμηρον ἐπιδεικνύμενος λέγεται, ἀντὶ τοῦ φιλοτιμούμενος, φιλενδεικτῶν. φησὶ γὰρ «Πηλείδης δ’ αἶψ’ ἄλλα κατὰ τρίτα θῆκεν ἄεθλα δεικνύμενος Δαναοῖσιν. τὰ δὲ ἦν τὰ τῆς, ὡς ἐρρέθη πρὸ ὀλίγων, ἀλεγεινῆς παλαισμοσύνης, ἧς ἀναλογία ἡ τοξοσύνη καὶ τὰ κατ’ αὐτήν. ὡς γὰρ ἱπποσύνη ἡ ἱππική, καὶ βριθοσύνη τὸ βάρος, καὶ τοξοσύνη ἡ τοξικὴ τέχνη, οὕτω καὶ παλαισμοσύνη ἡ πάλη. (v. 706) Ὅτι ἐφ’ ἑκάστου ἄθλου δίχα δύο τῶν τελευταίων ὀρθὸς ἀνιστάμενος Ἀχιλλεύς, ὡς ἔθος ἦν, μετακαλεῖται τοὺς ἀεθλεύσοντας.

4.820 Φησὶ γὰρ «στῆ δ’ ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν», ὃ δὴ καὶ ἐν δημηγορίαις ἐγίνετο, ἵνα ὁ λέγων ἀκούοιτο. (v. 704) Λέγει δ’ ἐνταῦθα προτρεπτικῶς εἰς ἀγῶνα τὸ «ὄρνυσθε, οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε», ὥσπερ ἀποτρεπτικὸν ἐν τοῖς ἑξῆς κείσεται τὸ «μηκέτ’ ἐρείδεσθον μηδὲ τρίβεσθε κακοῖσιν». (v. 736 s.) Εἰ δὲ καὶ ἰσοπαλεῖς οἱ ἀθλοῦντες, προσφυὲς εἰπεῖν καὶ τὸ εὐθὺς ἐφεξῆς «νίκη δ’ ἀμφοτέροισιν, ἀέθλια δ’ ἶς’ ἀνελόντες ἔρχεσθε, ὄφρα καὶ ἄλλοι ἀεθλεύωσιν Ἀχαιοί». πρὸς Ὀδυσσέα δὲ καὶ Αἴαντα ἐρεῖ μετ’ ὀλίγα Ἀχιλλεὺς ταῦτα. Ἔνθα καὶ ἀποροῦσιν οἱ παλαιοί, ὡς τοῦ ποιητοῦ σιγήσαντος καὶ μὴ ἑρμηνεύσαντος, πῶς ἶσα λήψονται ὁ νικήσας καὶ ὁ μή, πῶς δ’ ἂν ἶσα γένοιντο τὰ προσεχῶς ῥηθέντα, τὸ «δυωδεκάβοιον» καὶ τὸ «τεσσαράβοιον» λύεται δὲ τὸ ἄπορον, ὅτι κατὰ τὸ σιωπώμενον οὐχ’ ὁ μὲν πρῶτος ἔλαβεν, ὁ δὲ δεύτερος, ὡς ἐπὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν ἄλλων ἄθλων εἰκός, ἀλλ’ ὁμοῦ οἱ δύο, καὶ οὕτως ἔδοξαν ἀνελέσθαι ἶσα τῇ κατὰ τὸν αὐτὸν στιγμιαῖον χρόνον ἀναλήψει. μᾶλλον δὲ ὅτι κατά τινα συναλλαγὴν σιωπηρῶς ἀνισάσθησαν προσθήκης λόγῳ καὶ ὑφέσεως, καὶ ὅλως κατὰ ἰσομοιρίαν τινὰ ἢ νῦν αὐτοῖς γενομένην ἢ ὕστερον, ὁποία τις γίνεται καὶ ἐν τοῖς ἑξῆς τοῖς φερομένοις ἔπαθλον «ξυνήϊα τεύχεα». ἴσως γὰρ διὰ τοῦτο καὶ τὴν τιμὴν τῶν ἀέθλων ὁ ποιητὴς παρεσημήνατο, διδοὺς τοῖς ἀποροῦσιν ἀφορμὴν λύσεως. τάχα δέ τι καὶ ὁ ἀθλοθέτης ἐπέρριψε σιγηλῶς ἐπιθήκης λόγῳ πρὸς ἐξισασμόν. καὶ οὕτω μὲν ταῦτα. (v. 708 s.) Ὁ δὲ ποιητὴς ἱστορεῖ ὅτι ἀνέστησαν παλαίσοντες μέγας Τελαμώνιος Αἴας καὶ Ὀδυσσεὺς πολύμητις κέρδεα εἰδώς. Καὶ σημείωσαι ὅτι ἐξ αὐτῆς [ἀρχῆς] παραδηλοῖ, ὡς νικήσει τὴν πάλην Ὀδυσσεὺς ὁ κέρδεα εἰδὼς καὶ πολύμητις, ὡς δὲ μετ’ ὀλίγα ὁ Αἴας ἐρεῖ, καὶ πολυμήχανος. εἰ δὲ καὶ ὁ Αἴας τῇ ἐκ μεγέθους βαρύτητι καταπονήσει τὸν Ὀδυσσέα, παρεσημάνθη τῷ ποιητῇ καὶ τοῦτο νῦν ἐν τῷ «μέγας Αἴας». (v. 710 s.) Εἶτα ἐκφράζων κἀνταῦθα τὰ τοῦ ἀγῶνός φησι «ζωσαμένω δ’ ἄρα τώ γε βάτην ἐς μέσον ἀγῶνα, ἀγκὰς δ’ ἀλλήλων λαβέτην χερσὶ στιβαρῇσι». (v. 712—3) Πρὸς δὲ τὴν τοιαύτην παλαιστικὴν λαβὴν παραβολὴν εἰπὼν σύντομον τὸ «ὡς δ’ ὅτ’ ἀμείβοντες, τούς τε κλυτὸς ἤραρε τέκτων δώματος ὑψηλοῖο βίας ἀνέμων ἀλεείνων», ἐπάγει τὸ ἑξῆς τῆς ἐκφράσεως, φαίνων ἃ οἱ παλαίοντες ἔπασχον ὑπ’ ἀλλήλων τῇ βιαίᾳ προστρίψει καὶ τῷ σφιγμῷ καὶ τῇ ἀνάγκῃ τῆς διατάσεως, καί φησι (v.
4.821 714—35) «τετρίγει δ’ ἄρα νῶτα θρασειάων ἀπὸ χειρῶν ἑλκόμενα στερεῶς, κατὰ δὲ νότιος ῥέεν ἱδρώς, πυκναὶ δὲ σμώδιγγες ἀνὰ πλευράς τε καὶ ὤμους αἵματι φοινικόεσσαι ἀνέδραμον. οἳ δὲ μάλ’ αἰεὶ νίκης ἱέσθην τρίποδος πέρι ποιητοῖο· οὔτ’ Ὀδυσσεὺς δύνατο σφῆλαι οὔδει τε πελάσαι, οὔτ’ Αἴας δύνατο, κρατερὴ δ’ ἔχεν», ἤγουν ἀντεῖχεν, ἲς Ὀδυσῆος. ἀλλ’ ὅτε δή ῥ’ ἀνίαζον ἐϋκνήμιδες Ἀχαιοί, δὴ τότε μιν προσέειπε μέγας Τελαμώνιος Αἴας· Διογενὲς Λαερτιάδη, πολυμήχαν’ Ὀδυσσεῦ, ἤ μ’ ἀνάειρ’ ἢ ἐγὼ σέ. τὰ δ’ αὖ Διῒ πάντα μελήσει. ὣς εἰπὼν ἀνάειρε. δόλου δ’ οὐ λήθετ’ Ὀδυσσεύς· κόψ’ ὄπιθεν κώληπα τυχών, ὑπέλυσε δὲ γυῖα, κὰδ δ’ ἔβαλ’ ἐξοπίσω, ἐπὶ δὲ στήθεσσιν Ὀδυσσεὺς κάππεσε, λαοὶ δ’ αὖ θηεῦντό τε θάμβησάν τε. δεύτερος δ’ αὖτ’ ἀνάειρε πολύτλας δῖος Ὀδυσσεύς, κίνησεν δ’ ἄρα τυτθὸν ἀπὸ χθονὸς οὐδέ τ’ ἄειρεν, ἐν δὲ γόνυ γνάμψεν, ἐπὶ δὲ χθονὶ κάππεσον ἄμφω πλησίοι ἀλλήλοισι, μιάνθησαν δὲ κονίῃ. καὶ νύ κε τὸ τρίτον αὖτις ἀναΐξαντ’ ἐπάλαιον, εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο καὶ κατέρυκε· μηκέτ’ ἐρείδεσθον», καὶ ἑξῆς, ὡς προγέγραπται. (v. 739) Οἱ δὲ πεισθέντες «ἀπομορξαμένω κονίην δύσαντο χιτῶνας». Καὶ ὅρα ὡς ἀξίως τῶν ἡρώων διεσκεύασται ὁ ἀγὼν πρὸς ἐμβρίθειαν τῇ τε φράσει καὶ τῇ περιπετείᾳ τῆς ἀθλητικῆς διαθέσεως. Καὶ τὸ μὲν ὅλον οὕτω. τὰ δὲ κατὰ μέρος τοῦ χωρίου τοιαῦτα. (v. 710) Ζώνυνται μὲν οἱ παλαισταὶ καθὰ καὶ οἱ πυγμάχοι. (v. 711) «Ἀγκάς» δὲ κἀνταῦθα ἢ ἐπιρρηματικῶς νοητέον ἢ καὶ ὡς ὄνομα, ἵνα οὕτω μὲν λέγῃ ὅτι τὰς ἀγκὰς ἀλλήλων ἔλαβον, ἄλλως δέ, ὅτι ἀγκαλικῶς ἀλλήλων ἥψαντο. (v. 712) Ἀμείβοντες δὲ λέγονται ξύλα ὑπανέχοντα τὴν στέγην, ἅπερ σύνδυο ἐξ ἀποστάσεως τῆς κάτω ἄνω συναγόμενα ἀντερείδουσιν ἄλληλα, οἷς δεξιῶς εἰκάζε ὁ ποιητὴς ἐνταῦθα τοὺς ἥρωας ἀλλήλοις ἐν τῷ παλαίειν ἀντικειμένους, καὶ τὰ μὲν ἄνω εἰς ἓν ἥκοντας κατὰ τὰς δοκοὺς καὶ ἐρειδομένους, τὰ δὲ κάτω διεστῶτας.

4.822 ὅτι δὲ κατὰ τοιούτους ἀμείβοντας ἀντερείδουσι, δηλοῖ καὶ τὸ «μηκέτι ἐρείδεσθον», ἐξ οὗ λαβόντες οἱ μετὰ ταῦτα σοφοὶ τὴν τῶν πρός τι ἀντίθεσιν εἶπον πάνυ προσφυῶς εἶναι κατὰ τὴν τοιαύτην τῶν ξύλων ἀντέρεισιν. Ἰστέον δὲ ὅτι ἐν τῷ «ὡς δ’ ὅτ’ ἀμείβοντες», ἢ ἀντὶ τοῦ δή κεῖται ὁ δε σύνδεσμος, ἢ φανερῶς παρέλκει. οὐ γὰρ ἀπαιτεῖ ὅλως ἀπόδοσιν ἡ τοιαύτη παραβολή, ἀλλὰ ψιλὴ ἐπῆκται πρὸς τὴν δεδηλωμένην τῶν ἡρώων ἀντέρεισιν. ὅτι δὲ ἀραρότως ἔχειν χρὴ τοὺς τοιούτους ἀμείβοντας καὶ μάλιστα τοὺς τῶν ὑψηλῶν δόμων, ἵνα μὴ διασαλεύοιντο ὑπ’ ἀνέμων βίας, οὐκ ἄδηλόν ἐστι. (v. 714) Τὸ δὲ «τετρίγει» ὠνοματοπεποίηται, καθὰ ἐπὶ τῶν πυγμάχων ὁ χρόμαδος. ὡς δὲ καὶ χιὼν τετριγέναι λέγεται πατουμένη, δῆλόν ἐστι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τέτριγε δὲ καὶ ὀδόντας ὁ θυμομαχῶν. εἰ δὲ καὶ ζυγός ποτε τρίζει, ἀλλ' Ὁμήρῳ ἔδοξε τὸ «κρίγεν» ἐν τοῖς ἑξῆς εἰπεῖν ἐπ' αὐτῷ. ὡς δὲ καὶ διαφορὰ τούτου τοῦ τρίζειν, ὃ καὶ ἐπὶ μυῶν καὶ νυκτερίδων λέγεται, καὶ τοῦ ἑτέρου τρύζειν, ὅθεν ἡ τρυγών, οὐδ' αὐτὸ ἐν ἀδήλῳ κεῖται. Θρασεῖαι δὲ χεῖρες ἃς ἐν τῇ πυγμῇ βαρείας εἶπε. (v. 715) Τὸ δὲ «νότιος ἱδρώς» δηλοῖ μὲν τὸν ὑγρόν, παρηχεῖται δέ πως πρὸς τὸ νῶτα, ὁποῖαι καὶ ἄλλαι ψυχροπαρηχήσεις ἀνεπιτήδευτοι παραρριπτεῖσθαι ταῖς γραφαῖς ἐφάνησαν. (v. 716) Αἱ δὲ πυκιναὶ σμώδιγγες, περὶ ὧν που προδεδίδακται, πιθανὸν ποιοῦσι καὶ τό, ὡς εἴρηται, τετριγέναι.

4.823 βίας γὰρ καὶ αὗται, καθὰ καὶ ἐκεῖνο. (v. 717) Οἰκεῖον δὲ τῷ τῶν σμωδίγγων ἐπαναστήματι τὸ «ἀνέδραμον», ὅ ἐστιν ἐξωγκώθησαν. Τὸ δὲ «φοινικόεσσαι» σαφῶς δηλοῖ καὶ φοίνικα ἵππον πρὸ μικροῦ ῥηθῆναι τὸν τοιουτόχροον, ἤγουν τὸν κατακόρως πυρρόν, καὶ ὡς οἷον ῥόδεον ἢ αἱμοβαφῆ, ὅθεν καὶ τὸ φοινικοῦν παρωνόμασται χρῶμα. παρὰ τὸν φόνον γάρ, ὃς ἔστιν ὅτε τὸ αἷμα δηλοῖ. Τὸ δὲ «αἰεί» κἀνταῦθα οὐ μακρὸν χρόνον δηλοῖ. τοῦτο δὲ καὶ πρὸ ὀλίγων ἐφάνη. (v. 718) Τρίπους δὲ ποιητὸς ὁ ἔντεχνος κατὰ ἔλλειψιν τοῦ εὖ, ἴσως δὲ καὶ πρὸς διαστολὴν τοῦ κατὰ χρησμὸν τρίποδος, ὃς ἐδήλου τὸν γέροντα. οὕτω καὶ κρατῆρα μετ' ὀλίγα τετυγμένον ἐρεῖ ἢ τὸν εὔτυκτον ἢ ὡς ὄντων καὶ μὴ τυκτῶν κρατήρων, ὁποίοις τε ὁ ἀπέριττος καὶ ὑδροχαρὴς Διογένης ἦν φιληδῶν, καὶ τῶν τοῦ Ἡφαίστου δὲ πολλαχοῦ γῆς πυροέντων, ὁποῖοί ποτε καὶ οἱ κατὰ Λῆμνον. (v. 719) Τὸ δὲ «οὔδει πελάσαι» ἐφερμηνευτικόν ἐστι τοῦ σφῆλαι. σφῆλαι γὰρ κυρίως τὸ συμποδίσαι καὶ ῥῖψαι εἰς γῆν, ἐξ οὗ καὶ τὸ ἐν Ὀδυσσείᾳ σφέλας, ὡς ἐκεῖ φαίνεται. τὸ δὲ τοῦ σφῆλαι ἀνάπαλιν ἀνασφῆλαι, ὅ ἐστιν ἀνεγερθῆναι τοῦ πτώματος. (v. 720) «Τὸ δὲ οὔτε Αἴας δύνατο» ἔλλειψιν ἔχει τοῦ «σφῆλαι οὔδει τε πελάσαι». Ἰστέον γὰρ ὡς διὰ τὸ ἐναγώνιον τοῦ ἔργου συχνὴ ἐνταῦθα ἡ ἔλλειψις. μετ' ὀλίγα γοῦν ἐν τῷ «ἢ ἐγὼ σέ» λείπει τὸ ἀναείρω, ἵνα ᾖ «ἢ ἀνάειρέ με, ἢ ἐγὼ ἀναείρω σε», καὶ ἑξῆς δὲ ἐν τῷ «κόψ' ὄπιθεν» λείπει σύνδεσμος ὁ ἀλλα ἢ ὁ δε , καὶ ἐν τῷ «μηκέτ' ἐρείδεσθον» λείπει τὸ εἰπών, ἵνα ᾖ, ὅτι Ἀχιλλεὺς ἐκώλυεν εἰπὼν «μηκέτ' ἐρείδεσθον». καὶ ἡ παραβολὴ δὲ τὸ «ὡς δ' ὅτ' ἀμείβοντες» ἐλλελεῖφθαί τισι δοκεῖ συνήθους ἀποδόσεως, ὡς οἷα τῷ ἐναγωνίῳ τῶν ἡρώων συμπεπονθυίας καὶ τῆς φράσεως.

4.824 εἰ μὴ ἄρα τις ἄλλως αὐτὸ συμβιβάσει θεραπεύσας, ὡς προγέγραπται. (v. 721) Τὸ δὲ ἐν τοιούτοις ἀνιάζειν σύνηθες. ἀηδὲς γάρ ἐστι θεαταῖς παλαιστῶν ἐπὶ πολὺ ἰσόρροπος ἅμιλλα. ἔστι δὲ τὸ «ἀνίαζον Ἀχαιοί» ἀντὶ τοῦ ἠνιῶντο, ἀνίαν εἶχον. γράφεται δὲ καὶ «ἀλλ' ὅτε δή ῥ' ἀνίαζον Ἀχαιούς». καὶ ἔστι τοῦτο σαφέστερον μέν, οὐκ ἐν πολλοῖς δὲ ἀντιγράφοις κείμενον. (v. 724) Τὸ δὲ «ἀναεῖραι» δηλοῖ μὲν τὸ ἀναβαστάξαι. καιριωτάτη δὲ λέξις ἐστί. διὸ καὶ ἐπιμένει αὐτῇ ὁ ποιητής. Τὸ δὲ «τὰ δ' αὖ Διῒ πάντα μελήσει» παρῳδηθὲν εὐχρηστεῖται εἰς τὸ «τὰ δ' αὖ θεῷ πάντα μελήσει». (v. 725) Τὸ δὲ «δόλου δ' οὐ λήθετο» σημειῶδές ἐστιν, ὡς τοῖς μὲν ἱππεῦσι καὶ τοῖς δρομεῦσιν οὐ θεμιτὸν ὂν δολιεύεσθαι, τοῖς δὲ παλαισταῖς ἐξὸν ὄν. δῆλον δὲ καὶ ὅτι ταὐτὰ κέρδος καὶ δόλος, εἴπερ ὁ κέρδεα εἰδὼς Ὀδυσσεὺς δόλου οὐ λήθεται, ὃν οἶδε δηλαδή. (v. 726) Περὶ δὲ τοῦ «κόψε» προγέγραπται. Κώληπα δὲ λέγει τὴν ἀγκύλην κατὰ τοὺς παλαιοὺς τὴν περὶ τὰς ἰγνύας, ἥν τινες ἄνταν ἢ ἄνζαν φασί. ζήτει δὲ οἵου γένους ἐστὶ τὸ «κώληπα». γίνεται δέ, ὡς εἰκός, παρὰ τὸ κῶλον ὅθεν καὶ ἡ κωλῆ, σωματικὸν καὶ αὐτὴ μόριον, καὶ Ἀφροδίτη Κωλιάς, καὶ Κωλήν, στρατηγὸς παλαιός, στερεός, φασί, τὰ κῶλα.

4.825 σκοπητέον δὲ καὶ εἰ τὸ «κόψαι κώληπα» ὅμοιόν ἐστι τῷ «πρὸς τὸ σκέλος κυρηβάσαι», ὃ κεῖται παρὰ τῷ Κωμικῷ. (v. 727) Τὸ δὲ «κὰδ δ' ἔβαλεν» ἀντὶ τοῦ κατέβαλε, κατέρριψεν. ἐπεὶ δὲ πολυτρόπως ἔστι καταβαλεῖν, προσέθηκε τὸ «ἐξοπίσω», ἵνα πιθανὸν εἴη ἐπὶ στήθεσι τὸν Ὀδυσσέα καταπεσεῖν. (v. 728) Τὸ δὲ «θηεῦντο θάμβησάν τε», κείμενα ἐκ παραλλήλου, τὸ αὐτὸ δηλοῦσι, ἤγουν τὴν ἐκ θέας ἔκπληξιν. ἴσως δὲ καὶ ἐπίτασίς ἐστι τοῦ «θηεῦντο» τὸ «θάμβησαν». ὅτι δὲ ἀναλόγως πρόσκειται τὸ νῦ ἐν τῷ «θηεῦντο», δῆλον καὶ ἐκ τοῦ «βεβούλευνται ποεῖν» παρὰ Σοφοκλεῖ. (v. 730) Τὸ δὲ «οὐδέ τ' ἄειρεν» ἑρμηνεία ἐστὶν ἢ παράφρασις τοῦ «κίνησε δ' ἄρα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τυτθὸν ἀπὸ χθονός», διὰ βάρος δηλαδή, ᾧ καὶ πιεσθεὶς ἔκαμψε τὸ γόνυ. τυχὸν δὲ καὶ δόλῳ τοῦτο οὐκ ἔπαθεν, ἀλλ' ἔδρασεν ὁ κέρδεα εἰδώς, ὡς ἂν συναποκυλίσῃ τὸν Αἴαντα. καὶ εἰ μὲν τὸ πρῶτον ἀληθές, Ὀδυσσέως ἄρα τὸ πτῶμα, καὶ ἔχει τι ὁ Αἴας σεμνύνασθαι, εἰ καὶ μὴ πολύ, εἰ δὲ τὸ δεύτερον, ὡς πάντῃ δυστυχὴς ὁ Αἴας δεύτερον καταπαλαισθείς. ὅπερ οὐ δοκεῖν φαίνεται τῷ ἀθλοθέτῃ Ἀχιλλεῖ, ὃς ἀεθλίων αὐτοῖς ἐπιψηφίζεται ἰσότητα. ἐν δὲ τούτοις φασὶν οἱ παλαιοὶ καὶ ὅτι παλαιὸς καὶ ἀγροικικώτερος ὁ τρόπος ἐνταῦθα τῆς Ὁμηρικῆς πάλης, ἣν οὕτως αὐτοὶ φράζουσι· τὴν εὐώνυμον χεῖρα ἑκάτερος ὑπὸ τὴν πλευρὰν ἔβαλε τοῦ ἀγωνιστοῦ, τῇ δὲ δεξιᾷ χειρὶ ἑκάτεροι τοῦ λαιοῦ ἀγκῶνος τοῦ ἐναντίου ἐλαμβάνοντο, τοῖς δὲ μετώποις ἀντηρείδοντο. καὶ εἶχον ὁμοιότητα πρὸς τοὺς ῥηθέντας ἀμείβοντας, οὓς ἡ τεχνικὴ χυδαία γλῶσσα προσφιλοῦντάς φησιν.

4.826 οἱ δ' αὐτοὶ λέγουσι καὶ ὅτι τὸ «ἤ μ' ἀνάειρε ἢ ἐγὼ σέ» εἰώθει ἐπιλέγεσθαι παρὰ τῶν παλαιστῶν ἐν τῷ ἀγῶνι, καὶ ἐγίνετο καὶ ἐκαλεῖτο λαβή, καθ' ὃ καὶ παρὰ τῷ Κωμικῷ εἴρηται τὸ «λαβὴν ἐνδέδωκας». ἀντεδίδουν δὲ ἀλλήλοις καὶ ἢ νῶτον ἢ αὐχένα ἢ καὶ πόδα πολλάκις, ἵνα λυθῇ τὸ τοῦ ἀγῶνος ἰσόρροπον καὶ μὴ ἀνιάζωσιν οἱ θεαταί. παρὰ τοῖς αὐτοῖς δὲ ἡ μὲν πρώτη πάλη οὕτως ἐκφράζεται. λαβόμενος τοῦ νώτου Ὀδυσσέως ὁ Αἴας ἐπῆρεν. ὡς δὲ μετεωρισθέντος αὐτοῦ οἱ πόδες πρὸς τοῖς τοῦ ἀντιπάλου γεγόνασι γόνασι καὶ ἦν ὀπισθοβαρὴς ὁ Αἴας, τότε δὴ τῇ πτέρνῃ βάλλει τὴν ἰγνύην. ταύτην γὰρ λέγει κώληπα. καὶ ὑπτιάζεται ὁ Αἴας, καὶ Ὀδυσσεὺς ἐπιπίπτει τοῖς ἐκείνου στήθεσιν. ὃ δὴ καὶ θαυμάζουσιν Ἀχαιοί, ἐὰν τοῦ βουγαΐου ὁ ὠμογέρων περιγίνηται. πρῶτος δέ, φασί, Κερκυὼν εὗρε τὴν τοιαύτην παλαιστικὴν μηχανήν. καὶ καλεῖται ἰγνύων ἀφαίρεσις. καὶ οὕτω μὲν αὐτοῖς ἡ πρώτη πάλη φράζεται. ἡ δὲ δευτέρα οὕτως. εἰς ὕψος μὲν ἆραι Ὀδυσσεὺς τὸν Αἴαντα οὐ δύναται διὰ τὸ βάρος. τάχα δὲ οὐδὲ βούλεται, ἵνα μὴ πάθῃ ὅπερ ἐποίησεν. ἄρας δὲ ὀλίγον καὶ ὅσον τῆς στάσεως παρασαλεῦσαι τῷ δεξιῷ γόνατι περιτρίβει τὸ ἀριστερὸν σκέλος. καὶ πίπτουσι πλάγιοι, ἢ ἄκοντος Ὀδυσσέως τοῦτο παθόντος, ἢ ἐντάσει τοῦ βάρους συναποκυλίσαντος ἑαυτῷ τὸν Αἴαντα. τοῦτο δὲ τὸ σχῆμα τῆς πάλης οἱ μὲν μεταπλασμόν, οἱ δὲ παρακαταγωγὴν ὀνομάζουσι. καὶ ταῦτα μὲν οἱ παλαιοί. (v. 732) Ὅρα δὲ καὶ τὸ «πλησίοι» ἀπὸ εὐθείας τῆς ὁ πλησίος, οὗ ἡ κλίσις καὶ ἐν ἄλλοις εὕρηται πολλοῖς. (v. 735) Τὸ δὲ ἐρείδεσθαι καὶ ἐν λόγοις γίνεται, ὡς δηλοῖ καὶ παρὰ τῷ Κωμικῷ τὸ «ἔπος πρὸς ἔπος ἠρειδόμεθα», ὃ ταὐτόν ἐστι τῷ λόγοις ἀλλήλους ἠμειβόμεθα, καθὰ καὶ ἐνταῦθα τὸ ἐρείδειν ἐρρέθη ἔχειν οἰκείως πρὸς τοὺς ἀμείβοντας. Τὸ δὲ «τρίβεσθε» ἔοικεν ὠνοματοπεποιῆσθαι καθ' ὁμοιότητα τοῦ «τετρίγει δ' ἄρα νῶτα».

4.827 [Καὶ γίνεται ἀπὸ τοῦ τοιούτου τρίβειν, ὥσπερ τρίβος ἡ ὁδός, καὶ τρίβων τρίβωνος τὸ τετριμμένον ῥάκος, οὕτω καὶ τριβακός κοινότερον ὁ ἐντριβὴς πράγμασιν. ὁ δ' αὐτὸς καὶ τρίβων τρίβωνος Ἀττικῶς, ὡς τὸ «καὶ τῶν κρεμαθρῶν οὐ τρίβων τῶν ἐνθάδε». τοῦ τοιούτου δὲ τρίβειν σύνθετον καὶ τὸ συντρίβειν, οὗπερ σημασίαι πολλαί, αἱ μὲν κυριολεκτικῶς, αἱ δὲ κατὰ μεταφοράν. τὸ δὲ ἐπιτρίβειν, ἐκεῖθεν ὂν καὶ αὐτό, δριμύτερόν τι τοῦ συντρίβειν σημαίνει, ὡς δηλοῖ καὶ τὸ σύνθετον ὁ ἐπίτριπτος. ὅτι δὲ καὶ χρόνῳ τὸ τρίβειν ᾠκείωται, οὐκ ἄδηλόν ἐστιν. τρίβειν γάρ τις λέγεται χρόνον, καὶ συνθέτως δὲ χρονοτριβεῖν. ἀπ' αὐτοῦ δὲ καὶ οἰκότριβες οἱ οἰκογενεῖς δοῦλοι διὰ τὸ ἐγκεχρονικέναι, ὥς φησιν ὁ γραμματικὸς Ἀριστοφάνης, οἴκῳ καὶ κατατετρίφθαι. μετήνεκται δέ, φησίν, ἀπὸ ἱματίων ἢ στρωμάτων ἤ τινων ἄλλων χρονίων σκευῶν. τῷ δὲ ῥηθέντι ἐπιτρίπτῳ παρῳμοίωται καὶ τὸ παρὰ τῷ Κωμικῷ τρίμμα, συγγενὲς ὂν τῷ ἐξ ὀπτῆς λίθου κροτάλῳ, οὗ τριβομένου παιπάλη καταπίπτει.

4.828 φησὶ γοῦν «λέγειν γενήσῃ τρίμμα, κρόταλον». τοῦ δὲ τρίβειν χρόνον οὐ μακράν ἐστιν οὐδὲ τὸ «μή τι διατρίβειν ἐμὸν χόλον».] (v. 739) Τὸ δὲ ἀπομόργνυσθαι οὐκ ἐπὶ δακρύων μόνον ἢ ὅλως ὑγρῶν, ἀλλ' ἰδοὺ ἐνταῦθα οἱ ἥρωες ἀπωμόρξαντο, ταὐτὸν δὲ εἰπεῖν, ἀπεψήσαντο κονίην, ᾗ ἐμιάνθησαν. ὅθεν καὶ παροιμία ἐκ τῶν ἀναπαλαιόντων, ἐφ' οἷς ἔπταισαν, τὸ «τὴν κόνιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποψησάμενος ἠγωνίζετο». (v. 740—7) Ὅτι ταχυτῆτος ἄεθλα ἐτίθει Ἀχιλλεὺς «ἀργύρεον κρατῆρα τετυγμένον», ὡς εἴρηται, «ἓξ δ᾽ ἄρα μέτρα», τὰ καὶ προγραφέντα, «χάνδανεν. αὐτὰρ κάλλει ἐνίκα πᾶσαν ἐπ᾽ αἶαν πολλόν, ἐπεὶ Σιδόνες πολυδαίδαλοι εὖ ἤσκησαν, Φοίνικες δ᾽ ἄγον ἄνδρες ἐπ᾽ ἠεροειδέα πόντον, στῆσαν δ᾽ ἐν λιμένεσσι, Θόαντι δέ», τῷ Λημνίῳ δηλαδή, «δῶρον ἔδωκαν. Εὔνηος δέ», ὁ τοῦ Ἰάσονος, «Λυκάονος», τοῦ Πριαμίδου, «ὦνον ἔδωκε Πατρόκλῳ ἥρωϊ». εἰ δὲ φθάσας ὁ Λυκάων ἁλῶναι εἶπε πρὸς Ἀχιλλέως καὶ πραθῆναι κατὰ Λῆμνον εἰς ἑκατόμβοιον, δῆλον ὡς καὶ ἐκεῖνα εἰκὸς γενέσθαι καὶ τὸ ἐνταῦθα λεχθέν. Ἰστέον δὲ ὡς οὐ μόνον Εὔνηος τὸ κύριον, ἀλλὰ καὶ Εὔνεως, ὅθεν Εὐνεῖδαι, γένος μουσικόν, ἀπὸ Εὔνεω δηλαδή, φασί, τοῦ τοῦ Ἰάσονος. (v. 740) Ἔτι ἰστέον καὶ ὅτι τὸ «ταχυτῆτος ἀέθλον», παρακατιὼν οὕτω περιφραστικῶς ἑρμηνεύει «ἀέθλιον, ὅστις ἐλαφρότατος ποσσὶ κραιπνοῖσι πέλοιτο». (v. 741) Τὰ δὲ μέτρα ξέσται τινὲς μέτριοι. (v. 743) Ὅρα δὲ ὅτι τοὺς ἐν ἄλλοις κοινότερον Σιδονίους Σιδόνας ἐνταῦθα γράφει, συστείλας τὴν ἄρχουσαν καὶ κλίνας ὁμοίως τῇ πόλει τὸ ἐθνικόν. καλλίτεχνοι δὲ κατ᾽ ἐξαίρετον οἱ Σιδόνες, ναὶ μὴν καὶ πολύτεχνοι. Οὐ μόνον γὰρ δι᾽ ᾠδῆς ἄγονται πέπλοι Σιδόνιοι, ἀλλ᾽ ἰδοὺ καὶ κρατὴρ οὐχ᾽ ἁπλῶς καλός, ἀλλὰ κατ᾽ ἐπίτασιν. «κάλλει» τε γὰρ ἐνίκα καὶ «πᾶσαν ἐπ᾽ αἶαν» καὶ κατὰ πολύ. καὶ χαλκευτικῆς οὖν τεχνῖται οἱ Σιδόνες, καὶ ἀληθῶς πολυδαίδαλοι. Ὅτι δὲ οἱ Φοίνικες ἐμπορικώτατοι, δηλοῖ σαφῶς καὶ ἡ Ὀδύσσεια. ἔστι δὲ τὸ μὲν «Φοίνικες» ὅλον τι, ἔθνους γὰρ ὅλου τοῦτό ἐστιν ὄνομα, τὸ δὲ «Σιδόνες» μέρος.

4.829 μέρος γὰρ Φοινίκων οἱ εἴτε Σιδόνες εἴτε Σιδόνιοι. καὶ συλλαλοῦνται κἀνταῦθα τὸ μέρος καὶ τὸ ὅλον ἔθει ποιητικῷ, ἢ καὶ ἄλλως εἰπεῖν, ῥητορικῷ, κατὰ ἰδέαν δηλαδὴ περιβολῆς. Φοίνικες δὲ ἄνδρες πρὸς διαστολὴν ἑτεροίων φοινίκων, οἷον ἵππου καὶ ὀπώρας. (v. 744) Τίς δὲ ὁ ἠεροειδὴς πόντος, δηλοῖ καὶ ἡ Ὀδύσσεια. (v. 745) Τὸ δὲ «ἐν λιμένεσσι» τὸ ἀληθῶς πολυλίμενον τῆς Λήμνου ἱστορεῖ. Δῶρον δὲ Θόαντι ἐκείνῳ δέδοται ὁ κρατὴρ διὰ τὴν ἐν λιμένεσσι στάσιν. [(v. 748) Τὸ δέ «καὶ τὸν Ἀχιλλεὺς θῆκεν ἀέθλιον» θαῦμά τί ἐστιν, εἰ καὶ τὸν οὕτω κάλλιστον κρατῆρα περιεῖδεν ὁ ἥρως, προέμενος αὐτὸν ἐπὶ τιμῇ τοῦ ἑτάρου Πατρόκλου.] Καὶ οὗτος μὲν ὁ κρατὴρ τῷ νικῶντι ἀέθλιον τέθειται τῷ Πατρόκλῳ κτηθείς, ὡς εἴρηται. (v. 750—1) Τῷ δευτέρῳ δὲ Ἀχιλλεὺς «βοῦν ἔθηκε μέγαν καὶ πίονα δημῷ· ἡμιτάλαντον δὲ χρυσοῦ λοισθῆϊ ἔθηκε». Καὶ ὅρα τὸ «λοισθῆϊ», ἀπὸ εὐθείας τῆς ὁ λοισθεύς, ὡς καὶ προεμνημονεύθη, ἐξ οὗ μετ᾽ ὀλίγα «λοισθήϊον ἄεθλον», οἱονεὶ λοίσθειον ὡς ἀπὸ τοῦ λοισθεύς, καὶ διαλύσει καὶ ἐκτάσει λοισθήϊον. (v. 741) Ἰστέον δὲ καὶ ὅτι τὸ «ἓξ δ᾽ ἄρα μέτρα χάνδανε» καί τινι μεθύσῳ ἐπιφωνηθήσεταί ποτε. (v. 742) Τὸ δὲ «αὐτὰρ κάλλει ἐνίκα» καὶ ἑξῆς, καὶ ἀνθρώπου ἔπαινος εἶναι δύναται. (v. 754—6) Ὅτι δραμεῖν ἀνέστησαν ταχὺς Αἴας ὁ Λοκρὸς καὶ Ὀδυσσεὺς πολύμητις, εἶτα «Νέστορος υἱὸς Ἀντίλοχος ὃ γὰρ αὖτε νέους ποσὶ πάντας ἐνίκα». Καὶ ὅρα τὸ «νέους». οὐ γὰρ ἁπλῶς πάντας, τὸν γοῦν, ὡς ἐρρέθη, ταχὺν Αἴαντα οὐκ ἂν παρῆλθεν, εἰ μὴ ἔσφηλεν αὐτὸν Ἀθηνᾶ βλάψασα πόδας, Ὀδυσσέα δὲ ἂν ἴσως ἐνίκησεν, ᾧ τάχος οὐ προσεμαρτύρησεν ὁ ποιητής, εἰ μὴ εὐξάμενος ἐκεῖνος ἐλαφρότερος δραμεῖν γέγονεν. (v. 757) Ὅτι ὡς ἐπὶ τῶν ἱππέων, οὕτω κἀνταῦθα ἐπὶ τῶν δρομέων φησὶν «στὰν δὲ μεταστοιχί, σήμηνε δὲ τέρματ᾽ Ἀχιλλεύς».

4.830 (v. 758—60) Εἶτα λέγει ὅτι «τοῖσι δ᾽ ἀπὸ νύσσης τέτατο δρόμος, ὦκα δ᾽ ἔπειτα ἔκφερ᾽ Ὀϊλιάδης, ἐπὶ δ᾽ ὤρνυτο δῖος Ὀδυσσεὺς ἄγχι μάλα», καὶ τὰ ἑξῆς. Φασὶ δ᾽ ἐνταῦθα οἱ παλαιοί· πῶς κλήρου μὴ βληθέντος ἵστανται μεταστοιχὶ οἱ δρομεῖς, ὡς πρὸ τούτου οἱ ἱππεῖς; καὶ μὴ ἔχοντες λύσιν εἰπεῖν γενναίαν φασὶν ἀπὸ τοῦ ἱππικοῦ ἀγῶνος εἰκῇ οὕτω μετῆχθαι τὸν στίχον. τοῦτο δὲ οὕτω φασὶ διὰ τὸ μὴ εἶναι στοῖχον νοεῖσθαι τὴν κατὰ μέτωπον τάξιν, ἀλλὰ τὴν κατὰ βάθος, ὡς προγέγραπται, ὡς, εἴπερ ἦν στοῖχον τὸν ἁπλῶς νοηθῆναι ὄρδινον, οὐκ εἶχεν ἂν ὁ λόγος ἀπορίαν τινά. (v. 758) Εἰς δὲ τὸ «ἀπὸ νύσσης» φασὶν ὅτι δολιχὸς ἦν ὁ δρόμος καὶ ἡ ἄφεσις ἀπὸ τοῦ καμπτῆρος ἐγένετο ἄνω πρὸς τὴν ἀφετηρίαν. καὶ ἴσως οὗτός ἐστιν ὁ λεγόμενος ἀκάμπιος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δρόμος, οὗ μέμνηται Παυσανίας, εἰπών· ἀκάμπιος δρόμος· μακρὸς καὶ δι’ εὐθείας περίπατος. Εἰς δὲ τὸ «τέτατο δρόμος» φασὶν ὅτι ἐπεὶ μὴ κάμπτουσιν, οὐ ταμιεύουσιν εἰς τέλος τὸ τάχος, ἀλλ’ εὐθέως συντόνως προπηδῶσιν. (v. 759) Ἐκφέρειν δὲ καὶ νῦν τὸ προφερῶς θέειν. προϊὼν δὲ τὴν λέξιν ἐπὶ τοῦ ἁπλῶς λαβεῖν τίθησιν ἐν τῷ «Ἀντίλοχος ἔκφερεν ἄεθλον», ἤγουν ἐξῆγε λαβών. Ἰστέον δὲ ὅτι τὸν Ὀδυσσέα εἰπὼν ἄγχι μάλα, ὡς ἐρρέθη, τοῦ Αἴαντος εἶναι, ὁρίζει εὐθὺς τὸ «ἄγχι μάλα» ἐν τρισὶ νοήμασι, τῷ ἐκ προστηθείου γυναικείου κανόνος, καὶ τῷ ἀπὸ τοῦ κατ’ ἴχνη, ὅ φασι, θέειν, καὶ τῷ καταπνέειν τὴν τοῦ Αἴαντος κεφαλὴν ὡς κολοβωτέρου, φασίν, ὄντος. (v. 760—7) Φησὶ οὖν «ἄγχι μάλ’, ὡς ὅτε τίς τε γυναικὸς ἐϋζώνοιο στήθεός ἐστι κανών, ὅν τ’ εὖ μάλα χερσὶ τανύσσῃ, πηνίον ἐξέλκουσα παρὲκ μίτον, ἀγχόθι δ’ ἴσχει στήθεος, ὣς Ὀδυσσεὺς θέεν ἐγγύθεν, αὐτὰρ ὄπισθεν ἴχνια τύπτε πόδεσσι πάρος κόνιν ἀμφιχυθῆναι· κὰδ δ’ ἄρα οἱ κεφαλῆς χέ’ ἀϋτμένα», ἤγουν ἔχεεν πνοήν, «δῖος Ὀδυσσεύς, αἰεὶ ῥίμφα θέων· ἴαχον δ’ ἐπὶ πάντες Ἀχαιοὶ νίκης ἱεμένῳ», ἢ «ἱεμένων», «μάλα δὲ σπεύδοντι κέλευον», ὅπερ παροιμίαν ἀπετέλεσε τὴν λέγουσαν «σπεύδοντα ἐποτρύνεις», ἧπερ ἀνόμοιον τὸ «κοιμώμενον ἐξεγείρεις».

4.831 (v. 761) Τὸ δὲ «κανών» οὐ συντακτέον μετὰ τοῦ «στήθεος», ἀλλ’ ἰδίᾳ καθ’ αὑτό. ἔστι γὰρ ὁ νοῦς, ὅτι ἄγχι μάλα Αἴαντος ἦν Ὀδυσσεύς, καθάπερ στήθεος γυναικὸς ἄγχι μάλα ἐστὶν ὁ τοιόσδε κανών. ἔοικε δὲ ξύλον εὐθὺ εἶναι ὁ ῥηθεὶς κανών, τορευτόν, οἷα εἰκός, [ὁμώνυμον τῷ ἀπορθοῦντι τὰ ξεόμενα κανόνι,] χρήσιμον γυναιξὶν ἢ κλώθειν ἢ ἄλλως νῆμα ἐξέλκειν ἐν τῷ πρὸ τοῦ στήθους ἢ κρατεῖσθαι ἢ ἵστασθαι. σαφὲς γάρ τι οὐκ ἐτύχομεν γνῶναι ἀπὸ τοῦ μαθεῖν κάλαμον μίτων τὸν κανόνα εἶναι ἢ ἐργαλεῖον ἀτρακτῶδες εἴτε ἠλακατῶδες. Τανύεται δὲ χερσὶν ὁ τοιοῦτος κανὼν ἀντὶ τοῦ τετανυσμένος εἰς ὀρθὸν ἵσταται, ἢ καὶ ἄλλως τανύεται, ὡς καὶ ἄρουρα οἶδεν αὔξειν ἀσταχύεσσιν. αὐτή τε γὰρ σταχύων αὐξομένων αὔξεσθαι λέγεται, καὶ ὁ κανὼν διὰ τὸ ἐξελκόμενον ἀπ’ αὐτοῦ πηνίον τανύεσθαι εἴρηται. (v. 762) Πηνίον δὲ παρὰ τὸν Πᾶνα, ὅς ἐστι, φασίν, εὑρετὴς ὑφαντικῆς, ἀφ’ οὗ καὶ τὸ πανίον, ἡ ἀγοραία λέξις.

4.832 ἐκ δὲ τοῦ πηνίου καὶ τὸ ἐκπηνίζειν παρὰ τῷ Κωμικῷ. καὶ ἡ Πηνελόπη δὲ ἀπ’ αὐτοῦ, ὡς καὶ ἐν Ὀδυσσείᾳ ἐρρέθη, καὶ τὸ χρυσεοπήνιτον. ἑρμηνεία δὲ τοῦ πηνίου τὸ μίτον. πηνίον γὰρ τὸ εἰς μίτον χρήσιμον, ὃς δὴ μίτος ἢ ὁ αὐτὸς τῷ πηνίῳ ἐνταῦθά ἐστι, διασαφητικὸς ὢν τοῦ πηνίου, ἢ ἀντιδιαιρεῖται τῷ στήμονι καὶ τῇ κρόκῃ, ἣν καὶ ῥοδάνην φασίν, ὡς ἐν ῥητορικῷ εὕρηται Λεξικῷ. γενικὴ δὲ λέξις ἐν τούτοις καὶ τὸ νῆμα. Τὸ δὲ «παρέκ» ὅτι ἐκ δύο προθέσεων σύγκειται, καὶ ὅτι καὶ παρέξ λέγεται, ὅτε φωνῆεν ἔμπροσθεν εἴη ὡς τὸ «παρὲξ ἅλα», καὶ ὅτι διφορεῖται κατὰ τὴν σύνταξιν, καὶ ὅτι ἐκ τούτου τὸ πάρεξ ἐπίρρημα παρὰ τοῖς ὕστερον ἐπινενόηται, καὶ ὅτι διάστασιν μὲν δηλοῖ διὰ τῆς ἐκ ἢ ἐξ , ἐγγύτητα δὲ διὰ τῆς παρα , δῆλα μᾶλλον ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. (v. 764) Ἴχνιον δὲ παρῆκται μὲν ὡς καὶ τὸ ἀέθλιον, καθὰ πρὸ ὀλίγων γέγραπται. ὀφεῖλον δὲ δασύνεσθαι ὡς ἀπὸ τοῦ ἱκνῶ, ψιλοῦται διὰ τὸ χ , οὗπερ οὐ δύναται προκαθῆσθαι δασεῖα δίχα τοῦ ἦχι, ὃ δηλοῖ τὸ ὅπου. Τὸ δὲ τύπτειν πάνυ καιρίως ἐνταῦθα ἔχει τῆς ὀνοματοποιΐας. κἂν ἐπ’ ἄλλων τινῶν ῥηθείη, ἐντεῦθεν ἐκεῖ μετέπεσεν, οἷον ὁ βουτύπος, καὶ μάλιστα ὁ χοροιτύπος ὁ ἐν τῷ χορεύειν τύπτων γῆν. τὸ τύμπανον ἐντεῦθεν μὲν καὶ αὐτό, δηλοῖ δὲ ἦχον τραχύτερον. Καιρίως δὲ καὶ τὸ ἀμφιχυθῆναι ἐπὶ κόνεως ἔφη, [ἐφ’ ἧς ὥσπερ τὸ χύω, οὕτω καὶ ὁ χοῦς κυριολεκτεῖται.

4.833 ] (v. 765) Ὁ δὲ ἀϋτμήν κλίνεται μὲν ὡς ὁ ποιμήν, ὁ αὐτὸς δέ ἐστι τῇ ἀϋτμῇ, ὅ ἐστι τῇ πνοῇ. καὶ γίνεται ἀπὸ τοῦ ἄω, καὶ παραγώγως ἀΰω, καθ’ ὁμοιότητα τοῦ ἄω ἀΰω, τὸ φωνῶ. ἐκ δὲ τοῦ προρρηθέντος ἄω καὶ τὸ ἆσθμα γίνεται. (v. 766) Τὸ δὲ «ἴαχον πάντες Ἀχαιοί» διὰ τὸν ἱέμενον ἢ τοὺς ἱεμένους νίκης παρακολούθημα καὶ αὐτὸ ἀγῶνος, ὡς τῶν θεατῶν συναγωνιώντων τοῖς τοιούτοις, οἳ συνδιατιθέμενοι ἐρίζουσιν, ἰάχουσι, σιωπῶσιν αὖθις, ἡδὺ γελῶσιν, ἄχθονται, παιανίζουσι, καὶ ὅλως παντοῖοι γίνονται. (v. 768—70) Σημείωσαι δὲ ὅτι, ὡς μετ’ ὀλίγα ἐπὶ τῆς τοξείας, οὕτω κἀνταῦθα ἐνέργεια εὐχῆς ἐν τῷ «εὔχετο Ἀθηναίῃ ὃν κατὰ θυμόν» Ὀδυσσεύς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«κλῦθι θεά, ἀγαθή μοι ἐπίρροθος ἐλθὲ ποδοῖϊν». Καὶ ὅρα συντομοτάτην προφορὰν εὐχῆς διὰ τὸ μὴ εἶναι πολυλογίας καιρόν. (v. 773—83) Ὤνησε δὲ τὸν Ὀδυσσέα ἡ εὐχὴ οὕτω «ἀλλ᾽ ὅτε δὴ τάχ᾽ ἔμελλον ἐπαΐξεσθαι ἄεθλον, ἔνθ᾽ Αἴας μὲν ὄλισθε θέων, βλάψε γὰρ Ἀθήνη, τῇ ῥα», ἤγουν ἔνθα δή, «βοῶν κέχυτο ὄνθος ἀποκταμένων ἐριμύκων, οὓς ἐπὶ Πατρόκλῳ πέφνε πόδας ὠκὺς Ἀχιλλεύς· ἐνθ᾽ ὄνθου βοέου πλῆτο στόμα τε ῥῖνάς τε· κρητῆρ᾽ αὖτ᾽ ἀνάειρε πολύτλας δῖος Ὀδυσσεύς, ὡς ἦλθε φθάμενος· ὃ δὲ βοῦν ἕλε φαίδιμος Αἴας· στῆ δὲ κέρας μετὰ χερσὶν ἔχων βοὸς ἀγραύλοιο, ὄνθον», ἢ «ὄνθου, ἀποπτύων», καὶ εἶπεν «ὢ πόποι, ἦ μ᾽ ἔβλαψε θεὰ πόδας, ἣ τὸ πάρος περ μήτηρ ὣς Ὀδυσῆϊ παρίσταται ἠδ᾽ ἐπαρήγει». ὅπερ παντὶ προσαρμόζει ἀντιληπτικῷ προσώπῳ. καὶ οὕτω μὲν ἔφη Αἴας. (v. 784) Οἳ δ᾽ ἄρα πάντες ἐπ᾽ αὐτῷ ἡδὺ γέλασαν, ὥς που καὶ ἐπὶ Θερσίτῃ γέγονεν, εἰ καὶ κατ᾽ ἄλλον λόγον ἐκεῖ. ἐνταῦθα δὲ σημειοῦνται οἱ παλαιοί, ὅτι ὁ τὸν πρεσβύτην λαβραγόραν εἰπὼν οἰκείως κολάζεται κατὰ στόματος, οὗπερ ἡ ὕβρις προήνεκτο.

4.834 καὶ ἄλλως δέ, νικᾷ μὲν ὁ εὐξάμενος, μιαίνεται δὲ τὸ στόμα ὁ μὴ οὕτω ποιήσας. τάχα δέ, φασί, κεχηνώς, οἷα εἰκός, ἔτρεχε. διὸ ἔπλητο ὄνθου τὸ στόμα, δυστυχήσας, εἰ τὸ ἄεθλον χειρὶ ληψόμενος, εἶτα ὄνθου τὸ στόμα ἀντιλαμβάνεται. καιρία δὲ λέξις ὁ «ὄνθος», καθὰ καὶ τὸ «ἔβλαψε». διὸ ἐπέμεινεν αὐταῖς ὁ ποιητής. Ἔνθα ὅρα καὶ ὅτι τρὶς τῇ λέξει τοῦ ὄνθου ἢ τῆς ὄνθου χρησάμενος οὐχ᾽ ὡσαύτως ἔφρασεν, ἀλλὰ πρῶτον μὲν βοῶν ὄνθον ἔφη, εἶτα βόειον ὄνθον, εἶτα ὄνθον ἐν ἁπλότητι. [Ἐνταῦθα δὲ σκοπητέον, εἰ καὶ τὸ ὀνθυλεύειν ἐκ τοῦ ὄνθος παράγεται κωμικώτερον διὰ τὴν τῶν ὀνθυλευόντων περιεργίαν. χρῆσις δὲ τοιαύτης λέξεως καὶ παρὰ τῷ εἰπόντι ὡς ὀνθυλεύουσι τὸν οἶνον παραμιγνῦντες αὐτῷ σαπρόν. ἐκεῖθεν δὲ καὶ σηπία ὠνθυλευμένη.] Τὸ δὲ σχῆμα τῆς τοῦ Αἴαντος στάσεως ἔχει τι γραφικῆς ἀστειότητος. ἵσταται γὰρ κέρας ἔχων καί, ὡς εἰκός, ἐπικύπτων ἐν τῷ ἀποπτύειν ὄνθον, καὶ οὕτω διακεκομμένα λαλῶν, ὅθεν καὶ γελῶσιν οἱ θεαταί. Ὅρα δὲ καὶ ὅτι οὐκ εἰς εὐτυχίαν ὁ νικηθεὶς ἀνάγει τὴν εὐδρομίαν τοῦ Ὀδυσσέως, ἀλλ᾽ εἰς θεοφίλειαν, εἰωθότος Ὁμήρου οὕτω ποιεῖν. (v. 769) Τὸ δὲ «ὃν κατὰ θυμόν» ἀγωνίαν ἐμφαίνει πολλὴν δρομέως πνευστιῶντος καὶ μὴ ἔχοντος μεγάλα εὔχεσθαι κατὰ προφοράν. ἔχεται δέ πως ἡ τοιαύτη τοῦ Ὀδυσσέως εὐχὴ καὶ τοῦ «οὐδέ σε λήθω κινύμενος», ὅπερ ἀλλαχοῦ σεμνῶς ἔφη ὁ αὐτὸς ἥρως. (v. 770) Τὸ δὲ ἐπίρροθος πρωτότυπόν ἐστι τοῦ ἐπιτάρροθος. (v. 773) Τὸ δὲ ἐπαΐξεσθαι Ἀττικόν. ἄλλως γὰρ καὶ ἐπαΐξειν λέγεται. (v. 774) Ἐν δὲ τῷ «ὄλισθε θέων» καιρίαν ἔχει λέξιν, ὥσπερ τὸ «θέων», οὕτω καὶ τὸ «ὄλισθεν», ὃ ἰσοδυναμεῖ τῷ βλάπτεσθαι. διὸ ἐπάγει «ἔβλαψε γὰρ Ἀθήνη», ὃ δὶς ἐνταῦθα κεῖται. ἐπαναφορὰ δέ τις καὶ τὸ «ὄλισθε θέων», ὡς καὶ τὸ «βοὴ ἦν» καὶ τὰ ὅμοια, ὧν πολλαχοῦ μνεία γέγονεν. ὅμοιον δὲ καὶ τὸ «ἀντιάασθε θεοὶ γάμου», καὶ τὸ «Αἴθη θῆλυς ἐοῦσα».

4.835 [(v. 775) Ἐκ δὲ τοῦ ὄνθου ἢ θηλυκῶς τῆς ὄνθου δόξοι ἄν τις ἴσως καὶ τὴν παρ᾽ Ἀττικοῖς μηλόνθην συγκεῖσθαι. τὸ δ᾽ ἐστὶν οὐ τοιοῦτον, ἐκ τοῦ ἄνθους γὰρ ἐκείνη γέγονε τροπῇ συνήθει τοῦ α εἰς ο , καθὰ δηλοῖ ὁ γράψας οὕτω. μηλάνθη ζῷόν ἐστι μεῖζον σφηκός, ἐκ τῆς ἀνθήσεως τῶν μηλεῶν γεννώμενον, ἢ ἀρχομέναις ἀνθεῖν προσιπτάμενον, οὗ παῖδες λίνον τρίπηχυ ἐξάπτοντες ἐῶσι πέτεσθαι, καὶ φερομένου δι᾽ ἀέρος ἑλικοειδῶς, ἡδόμενοι τῇ θέᾳ, παρέπονται, τὰς χεῖρας ἐπικροτοῦντες. Ἀττικοὶ δὲ αὐτὴν μηλόνθην ὀνομάζουσιν. ἐκάλουν δέ, φησίν, αὐτὴν καὶ χρυσαλλίδα. καὶ οὕτω μὲν ὁ παλαιός. τὰ δὲ νῦν τοῦ Κωμικοῦ ἀντίγραφα μηλολόνθην αὐτὴν τετρασυλλάβως οἴδασιν.] Ἔπαιξέ τις ὕστερον ὅλονθον γνάθον εἰπὼν τὴν ὅλην ὄνθου, ἤτοι γέμουσαν πικρίας. τοῦτο δὲ κατὰ λόγον δριμύτητος. ἄλλως γὰρ κοινότερον ὄλονθος μετὰ πνεύματος ψιλοῦ ὁ καρπὸς τῆς ἀγρίας συκῆς. [Ἐνταῦθα δὲ οὐκ ἄκαιρον εἰπεῖν καὶ ὅτι στόμα τὸ οὕτως ἀποπτύον ὄνθου λεχθείη ἂν καὶ βορβόρου ὀπή, ὅπερ κατὰ παλαιὰν ἱστορίαν συνθεὶς ὁ βαρύγλωσσος Ἱππῶναξ βορβορόπην ὕβρισε γυναῖκά τινα, σκώπτων ἐκείνην εἰς τὸ παιδογόνον ὡς ἀκάθαρτον, ὃς καὶ ἀνασεισίφαλλον ἄλλην τινὰ διέσυρεν ὡς ἀνασείουσαν, φασί, τὸν

φάλητα. καὶ μὴν ὁ Ἀνακρέων τὴν τοιαύτην οὐ πάνυ σφοδρῶς, ἀλλὰ περιεσκεμμένως, πανδοσίαν ὠνείδισε καὶ λεωφόρον καὶ πολύϋμνον. ἄλλος δέ τις χαλκιδῖτιν, δι’ εὐτέλειαν, φασί, τοῦ διδομένου νομίσματος, Ἀρχίλοχος δὲ παχεῖαν καὶ δῆμον, ἤγουν κοινὴν τῷ δήμῳ, καὶ ἐργάτιν, ἔτι δὲ καὶ μυσάχνην πρὸς ἀναλογίαν τοῦ ἁλὸς ἄχνη, καὶ εἴ τι τοιοῦτον.

4.836 καὶ οὕτω μὲν ταῦτα.] (v. 775) Τὸ δὲ «ἐριμύκων» οὐ πάνυ δοκεῖ πρὸς διαστολήν τινα εἰρῆσθαι. μᾶλλον γὰρ κατά γε τοῦτο βρονταῖς καὶ τυφώνων ἐκπνοαῖς οἰκειότερον τὸ ἐρίμυκον. (v. 783) Τὸ δὲ δίκην μητρὸς τὴν Ἀθηνᾶν τοῦ Ὀδυσσέως κήδεσθαι ἄκραν στοργὴν δηλοῖ, καὶ ἔχει δι’ ὅλου ὁ μῦθος τὸν Ὀδυσσέα οὕτω φιλούμενον τῇ Ἀθηνᾷ. ἔστι δὲ καὶ ἀλλαχοῦ ὁμοία στοργή, ἔνθα θεόθεν βέλος ἔκ τινος κωλύεται, ὡς εἰ καὶ μυῖάν τις διώκει ἀπὸ παιδός. Τὸ δὲ «καὶ ἐπαρήγει» πρὸς ἀκρίβειαν κεῖται. οὐ γὰρ πᾶς, ὃς παρίσταταί τινι, ἤδη καὶ ἐπαρήγει. Ἀθηνᾶ δὲ ἐνταῦθα ποιεῖν λέγεται ἄμφω. (v. 768 s.) Ἐν τούτοις δὲ Ὅμηρος παραδίδωσι καὶ ὡς αἱ ἀνάγκαι προκαλοῦνται μάλιστα εὐχάς. τὸν γὰρ Ὀδυσσέα ἔπλασεν εὐξάμενον, οὐκ ἀπ’ αὐτῆς νύσσης, «ἀλλ’ ὅτε δή», φησί, «πύματον τέλεον», ἤγουν ἐτέλουν, «δρόμον». Ὅτι Ἀντίλοχος ὕστερος ἐλθὼν καὶ τήν τε ἧτταν παραμυθούμενος καὶ τὸ τῶν νικησάντων δὲ ὑπεκλύων φιλότιμον, εἰς τὸ τῶν παλαιοτέρων ἀνθρώπων θεοφιλὲς ἀναφέρει τὸ αἴτιον. (v. 785- 92) Φησὶ γὰρ Ὅμηρος «Ἀντίλοχος δ’ ἄρα λοισθήϊον ἔκφερεν», ὡς καὶ προεγράφη, «ἄεθλον, μειδιόων», καὶ εἶπεν, ἃ δὴ καὶ ἕτερος μεταποιήσας ἐφ’ ὁμοίοις πράγμασιν ἐρεῖ ἄν «εἰδόσιν ὔμμ’ ἐρέω πᾶσι, φίλοι, ὡς ἔτι καὶ νῦν ἀθάνατοι τιμῶσι παλαιοτέρους ἀνθρώπους. Αἴας μὲν γὰρ ἐμεῖ’ ὀλίγον προγενέστερός ἐστιν· οὗτος δὲ προτέρης γενεῆς προτέρων τ’ ἀνθρώπων· ὠμογέροντα δέ μίν φας’ ἔμμεναι, ἀργαλέον δὲ ποσὶν ἐριδήσασθαι Ἀχαιοῖς, εἰ μὴ Ἀχιλλεῖ», τουτέστι, δυσχερὲς τοῖς ἄλλοις Ἀχαιοῖς ἐρίσαι τῷ Ὀδυσσεῖ περὶ δρόμου, εἰ μὴ μόνῳ τῷ Ἀχιλλεῖ. (v. 792) Καὶ ὅρα κἀνταῦθα ἔλλειψιν. τὸ γὰρ «εἰ μὴ Ἀχιλλεῖ» ἀντὶ τοῦ εἰ μὴ ἄρα μόνῳ τῷ Ἀχιλλεῖ οὐκ ἀργαλέον ἐστί. τοῦτο δὲ πάλιν κατ’ ἐναλλαγὴν ἐρρέθη σχήματος, ἤγουν ἐνδοιαστικῶς ἀντὶ τοῦ ἀποφαντικοῦ. τὸ γὰρ «εἰ μὴ Ἀχιλλεῖ» ἀντὶ τοῦ «ἀλλὰ τῷ Ἀχιλλεῖ». οὐ γάρ ἐστιν ἐνδοιάσαι, ὡς Ἀχιλλεὺς Ὀδυσσέως ποδωκέστερος. φράζει δὲ οὕτως ὁ τοῦ ῥήτορος παῖς διὰ τὸ μὴ μόνον αὐτοσχεδιάζειν, ἀλλὰ καὶ ἀγωνιᾶν. διὸ καὶ πάνυ στενῶς ἔφρασεν ἐν τρισὶ λέξεσι τὸ «εἰ μὴ Ἀχιλλεῖ». καὶ τοῦτο μὲν οὕτως. (v.

4.837 787 s.) Σημείωσαι δὲ ὅτι ἐξ Αἴαντος ἔχει λαβὼν Ἀντίλοχος τὸ περὶ θεοφιλίας νόημα. ὁ μὲν γὰρ μερικῶς ἔφη τὸν Ὀδυσσέα φιλεῖσθαι ὑπ’ Ἀθηνᾶς, ὁ δὲ σεμνότερόν φησιν ἐν τῷ καθόλου κατὰ κοινὴν εἴδησιν, ὅ ἐστι δόξαν καὶ ἔννοιαν, ὡς θεοφιλεῖς εἰσιν οἱ πρεσβύτεροι, ἐπεὶ καὶ τίμιον τὸ πολυχρόνιον οἷα καὶ θεῖόν τι. πρεσβύτεροι δὲ Ἀντιλόχου δηλαδὴ Αἴας τε καὶ Ὀδυσσεύς. συλλογιστέον δὲ καὶ ὡς, εἴπερ θεοῖς τίμιοι κατὰ τὸν ποιητὴν οἱ παλαιότεροι, τῷ παντὶ πλέον ἀνθρώποις τιμηθήσονται. (v. 786) Μειδιᾷ δὲ Ἀντίλοχος ἢ προκαταλαμβάνων τὸν ἐκ τῶν ἄλλων κατάγελων ἢ καὶ συγγελᾶν μὲν ἅπασιν ἐθέλων ἡδύ, τῇ δὲ τοῦ νικηθῆναι βαρύτητι καταλύων τὸν ἄθρουν γέλωτα εἰς μειδίαμα, καὶ ἄλλως δέ, σκυθρωπάζειν μὲν ἴσως θέλων, αἰδούμενος δέ, καὶ διὰ τοῦτο σαρδάνιον σχηματιζόμενος μειδιᾶν, ἵνα ᾖ τὸ τοιοῦτον μειδίαμα ὅμοιον τῷ παρ’ Ἡσιόδῳ ἐκγελᾶν, ἤγουν ἔξω καὶ ἐπιπολῆς γελᾶν. (v. 787) Τὸ δὲ «ἔτι καὶ νῦν» τὸ ἀεί δηλοῖ, τὸ προχρόνιον καὶ εἰς πεῖραν ἐλθόν. (v. 790) Τὸ δὲ «προτέρης γενεῆς προτέρων τ’ ἀνθρώπων» ἢ ἐκ παραλλήλου ταὐτὰ λαλεῖ, ἢ πρὸς διαστολὴν τῆς ὁμωνύμου γενεᾶς, λεγομένης καὶ ἐπὶ ἀψύχων σωμάτων καὶ ἐπὶ ἀλόγων ζῴων, ἐπῆκται τὸ «ἀνθρώπων». (v. 791) Ὠμογέρων δὲ ἡλικία πρεσβυτική, μεθ’ ἣν γέρων, εἶτα πέμπελος, ἔπειτα σῦφαρ, καθὰ καὶ Λυκόφρων οἶδεν. ἅπαξ δὲ καὶ αὕτη Ὁμήρῳ ἡ λέξις εἴρηται. καὶ ἔστιν ὠμογέρων ὁ μήπω καθεψηθεὶς καὶ οἷον ἑφθὸς τῷ γήρᾳ γενόμενος, ἢ ὁ ἄωρος καὶ στερρὸς καὶ σκληρὸς καὶ μήπω πέπων, ἐξ οὗ ὁ πέμπελος.

4.838 ζητητέον δέ, εἰ ταὐτόν ἐστιν ὠμογέροντα εἰπεῖν καὶ προπόλιον. ἔστι δὲ προπόλιος κατὰ Αἴλιον Διονύσιον ὁ θᾶττον καὶ πρὸ τοῦ δέοντος πολιὰς ἐσχηκώς. [Ἀλλὰ ταῦτα μὲν ἄψογα πρεσβυτικὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀνόματα. ἐν δὲ ἰδέᾳ σκώμματος βλασφημοῦνται οἱ πάνυ γέροντες Κρόνοι, Ἰαπετοί, Τιθωνοί, σαπροί, βεκκεσέληνοι, πρωτοσέληνοι, τυμβογέροντες, παρεξηυλημένοι, ὅπερ ἐστὶν ὑπὸ γήρως ἀχρεῖοι, ὡς ἀπὸ ἐκτετριμμένων γλωσσίδων αὐλοῦ, ἔτι δὲ σορόπληκτοι, καὶ σοροπλῆγες, καὶ σορέλληνες, περὶ οὗ καὶ προεγράφη. τούτου δὲ καὶ θηλυκόν, φασί, ἐπὶ πρεσβύτου τὴν σορέλλην ἀνάκρουσιν. οἱ δὲ τὰ τοιαῦτα γράψαντες λαλοῦσι καὶ περὶ Τιθωνοῦ ὅτι τε εἰς τέττιγα διὰ γῆρας μετεβλήθη καὶ ὅτι ἐν ταλάρῳ ἢ ἐν καρτάλῳ ἐκρεμάσθη.] (v. 792) Ἐριδήσασθαι δὲ τὸ ἐρίσαι ἀπὸ τοῦ ἐριδῶ, ἀφ’ οὗ ἐριδαίνω καὶ ἐριδμαίνω.

4.839 ὡς γὰρ δεύτερος μέλλων τοῦ καθέζω ὁ καθεδῶ, οὕτως ἐρίζω ἐριδῶ, οὗ ἀναδραμόντος εἰς ἐνεστῶτα γίνεται τὸ ἐριδῶ ἐριδήσω ποιητικῶς. Τὸ δὲ «εἰ μὴ Ἀχιλλεῖ» οἱ μεθ’ Ὅμηρον ῥήτορες «ὅτι μὴ Ἀχιλλεῖ» εἴποιεν ἄν. οἷς ἔθος οὕτω φράζειν, οἳ τὸ «οὐκ ἄλλο τι ἐποίησα εἰ μὴ τόδε» «ὅτι μὴ τόδε» φασί, καὶ τὰ ἄλλα ὁμοίως. (v. 795 s.) Ὅτι οὕτω μεγαλοπρεπὴς καὶ φιλότιμος Ἀχιλλεύς, ὡς διὰ βραχὺν ἔπαινον τοῦ Νεστορίδου ῥήτορος, ὃς αὐτὸν ἐν δυσὶν ἡρῴοις ποσὶ κύδηνε—τοιοῦτον γὰρ τὸ «εἰ μὴ Ἀχιλλεῖ—ὡς προσεχῶς γέγραπται, δωρεῖται αὐτόν, εἰπὼν «Ἀντίλοχ’, οὐ μέν τοι μέλεος εἰρήσεται αἶνος, ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρυσοῦ ἐπιθήσω», ἤγουν ἐπιβαλῶ, ἐπέκεινα τοῦ ἀέθλου δώσω. ἐξ οὗ νοητέον ὅτι ἐκ περισσοῦ τοῖς ἀγωνοθέταις ἔκειντο καὶ τὰ εἰς φιλοτιμίαν, εἴ που δεήσειε. καὶ οὕτω μὲν ὁ φιλόδωρος ἥρως. οἱ δὲ μὴ κατ’ αὐτὸν ἕλοιντο ἂν πρὸς τοῖς ἐπαινετηρίοις λόγοις καὶ δῶρα ἐκ τῶν ἐπαινούντων δέχεσθαι, ὡς μὴ μέλεος εἴη ὁ ἔπαινος. (v. 793) Ὅτι δὲ ἐπὶ ἐπαίνῳ ἔφη Ἀντίλοχος τὸ «εἰ μὴ Ἀχιλλεῖ», παρεσημήνατο καὶ ὁ ποιητής, εἰπὼν «ὣς φάτο, κύδηνε δὲ ποδώκεα Πηλείωνα» ἐκ τοῦ παρὰ πόδας ἐκεῖνος ἔργου, ἤτοι τοῦ δρόμου, λαβὼν ἔπαινον. διὸ καὶ τὸ «ποδώκεα Πηλείωνα» οὐχ’ ἁπλῶς νοητέον, ἀλλ’ ὅτι ἐκύδανε τὸν Ἀχιλλέα νῦν ὡς ποδώκεα. (v. 652) Σημείωσαι δὲ καὶ ὅτι αἶνον οἱ παλαιοὶ τὸν ἀπόκρυφον λόγον καὶ ἐσχηματισμένον λέγοντες καὶ ὡς οἷον εἰπεῖν αἰανὸν διὰ τὸ βάθος, ὡς τὸ «νῦν δ’ αἶνον βασιλεῦσιν ἐρέω», καὶ ὅσα τοιαῦτα, ὅθεν καὶ τὸ αἰνίζομαι ἐπὶ αἰνίγματος, οὐκ ἂν ἔχοιεν τὸν τοιοῦτον νοῦν συμβιβάζειν καὶ ἐπὶ τοῦ ἐνταῦθα κειμένου αἴνου.

4.840 νῦν γὰρ φανερῶς αἶνος ὁ ἔπαινος, εἰ μὴ ἄρα καὶ αὐτὸς αἶνος λέγεται διὰ τὸ βάθος ἔχειν. (v. 797) Κεῖται δὲ καὶ ἐνταῦθα τὸ «ὃ δ’ ἐδέξατο χαίρων». χαρτὰ γάρ, ὥσπερ τὰ ἄεθλα, οὕτω καὶ τὰ τῶν δωρεῶν. (v. 798—800) Ὅτι τοῖς ὑπομένουσι τὸν ὁπλιτικὸν ἀγῶνα, ἤγουν τῶν μονομάχων, δολιχόσκιον ἔγχος Ἀχιλλεὺς ἔθηκεν «ἐς ἀγῶνα φέρων, κατὰ δ’ ἀσπίδα καὶ τρυφάλειαν, τεύχεα Σαρπήδοντος», τοῦ κοινῶς Σαρπηδόνος, ἃ Πάτροκλος ἐξ ἐκείνου ἀφείλετο. (v. 807 s.) Καὶ τῷ μὲν νικήσαντι δώσειν αὐτὸς ἰδίᾳ ἔφη «φάσγανον ἀργυρόηλον, καλόν, Θρηΐκιον», τὸ τοῦ Ἀστεροπαίου ἐκείνου. φησὶ γὰρ «τὸ μέν», ἤγουν ὃ δή, «Ἀστεροπαῖον ἀπηύρων», ὡς καὶ πρὸ τούτου ἐγράφη. (v. 809) Τὰ δὲ ῥηθέντα τοῦ Σαρπηδόνος τεύχεα ἀμφοτέρους ἐκέλευσε ξυνήϊα φέρεσθαι, τουτέστιν, ὡς καὶ ἀλλαχοῦ κεῖται, κοινά. κατωτέρω δὲ ἀέθλια ἶσα ἀνελέσθαι φησί, μοιρασαμένους ὡς βούλονται, καθὰ καὶ ἐπὶ τῶν παλαισάντων γέγονεν. (v. 810) Ὑπέσχετο δὲ ὡς «καί σφιν δαῖτ’ ἀγαθὴν παραθήσομαι ἐν κλισίῃσιν», ὅπερ ἐπ’ ἄλλου ἀγῶνος οὐκ εἶπε. (v. 803) Περιφράζει δ’ ἐνταῦθα τὴν μὲν τῶν μονομάχων αἰχμὴν «ταμεσίχροα χαλκόν» ὡς τμητικὸν τοῦ χροὸς παρὰ τὸ ταμῶ ταμέσω, ἐξ οὗ κατὰ συγκοπὴν τὸ τμῶ τμήσω, (v. 804—6) τὸν δὲ ὁπλίτην νικητὴν οὕτως «ὁππότερός κε φθῆσιν ὀρεξάμενος χρόα καλὸν, ψαύσῃ δ’ ἐνδίνων διά τ’ ἔντεα καὶ μέλαν αἷμα», τὸ δὲ μονομαχῆσαι «ἀλλήλων προπάροιθεν ὁμίλου πειρηθῆναι». Ἔστι δὲ τὸ μὲν «φθῇσιν» ἀντὶ τοῦ φθῇ, καὶ κοινότερον εἰπεῖν, φθαίη καὶ προλάβῃ. Τὸ δὲ «ὀρεξάμενος χρόα καλόν» ἁπλῶς μὲν ἀντὶ τοῦ ἐκταθεὶς εἰς τὸ σῶμα, σαφέστερον δὲ εἰπεῖν, τὸ ἀλλαχοῦ ῥηθὲν ὀρεκτὸν δόρυ τείνας εἰς τὴν τοῦ σώματος τοῦ ἀνθοπλίτου ἐπιφάνειαν. (v. 806) Ἔνδινα δὲ κατὰ μέν τινας ἔντερα παρὰ τὸ ἔνδον εἶναι ἰνῶν ἢ ἐντὸς δινεῖσθαι, κατὰ δὲ ἑτέρους ἡ ἔνδον τῶν ὅπλων σάρξ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4.841 ἦν δὲ σκοπὸς τοῖς ὁπλίταις ἀεθλευταῖς ψαύειν ἐνδίνων ἐν τῷ διασχεῖν δόρατι τὰ ἐπιπολάζοντα ὅπλα, ὡς δηλοῖ καὶ τὸ «διά τ’ ἔντεα καὶ μέλαν αἷμα», ὅπερ ἢ τὴν δια πρόθεσιν ἀντὶ τῆς κατα συντάσσει, ἢ ἀντιπτωτικῶς εἴληπται ἀντὶ τοῦ διά τε ὅπλων καὶ αἵματος. ἐνταῦθα δὲ κατὰ τοὺς παλαιοὺς Ἀριστοφάνης ὁ γραμματικὸς φορτικὸν ἡγησάμενος τὸ οὕτως ἐπικινδύνως ὁπλομαχεῖν, μεταγράφει τὸν τόπον τοῦτον οὕτως «ὁππότερός κεν πρῶτος ἐπιγράψας χρόα καλὸν φθήῃ ἐπευξάμενος διά τ’ ἔντεα καὶ φόνον ἀνδρός». καὶ μὴν καὶ τὸ «ψαύσῃ» ταῦτα ἐδήλου. τάχα δὲ καὶ ἧττον ἐκεῖνο κινδυνῶδες κακὸν τὸ τοῦ ποιητοῦ ἤπερ τὸ μεταγραφέν. ὅτι δὲ οὐκ ἐπικινδύνως ἠγωνίζοντο, δῆλον δίχα τῶν ἄλλων καὶ ἐκ τῆς δαιτός. πῶς γὰρ αὐτὴν Ἀχιλλεὺς τοῖς ἐπὶ θανάτῳ ἀγωνιζομένοις, ὑπέσχετο; ἦν οὖν σκοπὸς τοῖς ὁπλίταις μικρόν τι ψαῦσαι χροὸς εἰς ἔνδειξιν ἐπιτηδειότητος τῆς εἰς μάχην, ὃ δὴ καὶ εἰσέτι νῦν πολλοὶ μιμούμενοι σπεύδουσιν, ὡς αὐτοί φασι, μόνον ἀλλήλους εὑρεῖν. [Ὅτι δὲ ζηλωτὸν ἦν τοῖς παλαιοῖς καὶ τὸ μονομαχεῖν ὡς μέγα πολέμου γύμνασμα καὶ ὡς ἀνδρίας καὶ ῥωμαλειότητος ἔνδειξις, πρόδηλόν ἐστιν. ὡς δὲ οὐκ ἀεὶ σκοπὸς ἦν μονομαχίας ἐνδίνων ψαύειν, ἀλλ’ ἔστιν οὗ εἰς μόνην σκιαμαχίαν ἀπετελεύτα τὸ ἔργον, ἤδη προδεδήλωται.

4.842 διὸ πολλοὶ καὶ ῥαβδίοις ἢ καλαμίσκοις ἀλλήλων κατατιτύσκονται οἷα μὴ στοχαζόμενοι πληγῶν. ἡ δὲ ἱστορία μονομαχούντων ζηλωτὰς γενέσθαι φησὶν Κυρηναίους καὶ Μαντινεῖς.] (v. 800) Τὸ δὲ «Σαρπήδοντος» ἀπὸ εὐθείας βαρυτόνου ἐστὶ τῆς ὁ Σαρπήδων, ἥτις προέγνωσται. (v. 810) Δαῖτα δὲ ἀγαθὴν λέγει τὴν σωφρόνως ἔχουσαν ὡς ἡρωϊκήν. (v. 811) Ἐπὶ δὲ τούτοις κατὰ τὸν ποιητὴν ὁπλῖται ἀνέστησαν μέγας Τελαμώνιος Αἴας καὶ κρατερὸς Διομήδης. (v. 813—21) Περὶ ὧν φησιν, ὅπερ ἐπὶ δεινῶν ἀντιμάχων οἰκεῖον λέγεσθαι «οἳ δ’ ἐπεὶ οὖν», ἤγουν ἐπειδή, «ἑκάτερθεν ὁμίλου θωρήχθησαν, ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι, δεινὸν δερκομένω, θάμβος δ’ ἔχε πάντας Ἀχαιούς. ἀλλ’ ὅτε δὴ σχεδὸν ἦσαν», διὰ τοῦ η , ἢ «ἶσαν» διὰ τοῦ ι , ὅ ἐστιν ἐπορεύθησαν, «ἐπ’ ἀλλήλοισιν ἰόντες, τρὶς μὲν ἐπήϊξαν, τρὶς δὲ σχεδὸν ὡρμήθησαν. ἔνθ’ Αἴας μὲν ἔπειτα κατ’ ἀσπίδα πάντοσε ἴσην νύξ’, οὐδὲ χρό’ ἵκανεν, ἔρυτο γὰρ ἔνδοθι θώρηξ. Τυδεΐδης δ’ ἂρ ἔπειτα ὑπὲρ σάκεος μεγάλοιο αἰὲν ἐπ’ αὐχένι κῦρε φαεινοῦ δουρὸς ἀκωκῇ», τουτέστιν ἐπετύγχανε καὶ κατηυστόχει τοῦ αὐχένος τῇ τοῦ δουρὸς ὀξύτητι. Ἔνθα καὶ ὅρα ὡς ὁ μὲν Αἴας ἁπλούστερον τὴν τοῦ Διομήδους ἀσπίδα νύσσει, διὸ οὐδὲ γενναῖόν τι δρᾷ ὡς μηδὲ προθέμενος, Διομήδης δὲ κακοτέχνως τὸν ἀγῶνα μέτεισιν, ἐπὶ τῷ αὐχένι πανουργευόμενος. ὅθεν «Αἴαντι περιδδείσαντες Ἀχαιοί», —ἑώρων γὰρ τοὺς κρείττονας ἐν τῷ Ἐπιταφίῳ τούτῳ δυστυχοῦντας καὶ ἡττωμένους— «παυσαμένους ἐκέλευσαν ἀέθλια», ὡς καὶ προεγράφη, «ἀνελέσθαι ἶσα». (v. 824 s.) Ἀχιλλεὺς δὲ τῷ Διομήδει μέγα φάσγανον, τὸ ῥηθέν, ἔδωκεν ὡς νικητῇ, «σὺν κολεῷ τε φέρων καὶ ἐϋτμήτῳ τελαμῶνι». εἰ δὲ μὴ ἔψαυσεν ἐνδίνων, ἀλλὰ τὸ αἰὲν κυρεῖν, ἤγουν ἐπιτυγχάνειν, ἀντὶ ψαύσεως ἦν. τάχα γὰρ καὶ τούτου μόνου τὸ πλέον ἐστοχάζοντο. ἡ δέ γε τῶν λοιπῶν ὅπλων ἀνάληψις καὶ ὁ μερισμὸς αὐτῶν σιγᾶται διὰ τὸ συνεπινοεῖσθαι. Σημείωσαι δὲ καὶ ὅτι καθ’ Ὅμηρον οὐ τὴν πλευρὰν μόνην τρωτὸς ἦν ὁ Αἴας, ὡς οἱ μεθ’ Ὅμηρον εἶπον, εἴπερ ὁ Διομήδης καταθαρρεῖ τοῦ αὐχένος διὰ τὸ τοῦ λοιποῦ κατάφρακτον σώματος.

4.843 ἐκράτησε δὲ φήμη τοῦ μηδαμοῦ τρωτὸν ἢ βλητὸν εἶναι τὸν Αἴαντα, εἰ μὴ ὅτι γε κατὰ μόνην πλευράν, ἐπεὶ οὐδαμοῦ τῆς Ἰλιάδος εὕρηται τρωθείς. ὡς δ’ ἐν ἅπασι τοῖς ἀγῶσι δυστυχῶς ἔσχεν ὁ Σαλαμίνιος, προέγνωσται. οὔτε γὰρ παλαίσας εὖ ἀπήλλαξε, καὶ νῦν δεύτερος ἥκει, καὶ τὸν σόλον δὲ μετ’ ὀλίγα οὐ πρὸς νίκην ῥίψει. ὁ δὲ τοξικὸς ἀγὼν καὶ τὸν αὐτοῦ ἀδελφὸν Τεῦκρον οὐ νικῶντα ἕξει. (v. 822 s.) Ὅρα δὲ καὶ τὸ «περιδείσαντες» καὶ τὸ «κέλευσαν». φθάνουσι γὰρ οἱ θεαταὶ πόθῳ τῶν ἀριστέων λύσαντες τὴν συμπλοκήν, ἵνα μὴ εἰς κακὸν μέγα τελευτήσῃ ὁ ἀγών. Ὅρα δ’ ἐν τούτοις καὶ τὸ «ἔπειτα», ὡς ἐν τῷ «Αἴας μὲν ἔπειτα ἀσπίδα νύξεν» ἀργὸν κεῖται, ἐν δὲ τῷ «Τυδείδης δ’ ἂρ ἔπειτα» τὸ μετὰ ταῦτα χρονικῶς δηλοῖ. (v. 826—9) Ὅτι τοῖς

δισκεύουσιν Ἀχιλλεὺς θῆκεν «σόλον αὐτοχόωνον, τόν», ἤγουν ὃν, «πρὶν μὲν ῥίπτασκε μέγα σθένος Ἠετίωνος», ἤγουν ἔρριπτεν Ἠετίων, ὁ πενθερὸς Ἕκτορος, Ἀχιλλεὺς δὲ κτείνας ἐκεῖνον τὸν σόλον «ἄγετο ἐν νήεσσι σὺν ἄλλοις κτεάτεσσιν». Καὶ ὅρα καὶ νῦν ὅτι ἐνοσφίζετό τι τῆς λείας ὁ πολέμαρχος, τυχὸν δὲ καὶ κατὰ λάχος ἐδόθη αὐτῷ, καὶ ὅτι μόνῳ τῷ νικήσαντι γέρας ἐνταῦθα ὁ σόλος, δευτερεῖον δὲ οὐκ ἔστι, καὶ ὅτι τὸ ῥίπτειν, ὅ ἐστιν ἀφιέναι καὶ πέμπειν, καιρία λέξις ἐπὶ σόλου, ὅ ἐστι δίσκου, διὸ καὶ τρὶς ἐν τῷ ἀγῶνι τούτῳ χρᾶται αὐτῇ ὁ ποιητής, καὶ ὅτι ἐθελήσας μετρῆσαι τὸν τοιοῦτον σόλον οὐ σταθμῷ παριστᾷ, ἀλλὰ τῇ ἐξ αὐτοῦ πολυχρονίῳ χρήσει ἐμφαίνει τὸ μέγεθος, εἰπὼν (v. 832—4) «εἴ οἱ καὶ μάλα πολλὸν ἀπόπροθι πίονες ἀγροί, ἕξει μιν καὶ πένε περιπλομένους ἐνιαυτοὺς χρεώμενος». (v. 834 s.) Ὅπερ ἐφερμηνεύων φησὶν «οὐ μὲν γάρ οἱ ἀτεμβόμενός γε σιδήρου ποιμὴν οὐδ᾽ ἀροτὴρ εἶσιν ἐς πόλιν, ἀλλὰ παρέξει», τουτέστιν οὐκ ἀγρόθεν εἰς τὴν πόλιν ἥξει κατὰ σιδήρου χρείαν ποιμὴν αὐτοῦ ἢ ἀροτήρ, ἀλλ᾽ ὁ χρώμενος τῷ σόλῳ παρέξει αὐτοῖς, εἰς πολυετῆ δαπάνην τὸν σόλον κτησάμενος. οἰκονομικὸν δὲ καὶ τοῦτο παραλάλημα τῷ ποιητῇ, ὑποτιθεμένῳ χρῆσθαι καὶ τοῖς ἐπάθλοις εἰς οἰκωφελίαν. πολυειδείας δὲ Ὁμηρικῆς καὶ τὸ παραδοῦναι ἆθλον ἐνταῦθα, οὗπερ οἱ δεύτεροι κερδαίνουσιν οὐδὲν ἀλλ᾽ ἢ μόνον αἰσχύνην, ὡς εἰκός.

4.844 (v. 826) Γίνεται δὲ σόλος μὲν παρὰ τὸ σεύεσθαι ὅλος, τουτέστι περιδεδινῆσθαι, σφαιροειδὴς γὰρ ἦν. οὕτω δέ πως καὶ ὁ σωλήν. ἐκεῖνος μέντοι γίνεται κατὰ κρᾶσιν δύο ο , τοῦ τε ῥηματικοῦ τοῦ γινομένου ἀπὸ τοῦ σέω σεύω καὶ τοῦ ὅλος, οἱονεὶ σοολήν, καὶ κράσει σωλήν. [Δῆλον δ᾽ ὅτι Σόλος καὶ πόλεως ὄνομα, ἧς οἱ πολῖται Σολεῖς. ἦσαν δὲ καὶ Κύπριοι Σόλοι, ὧν ἱστορεῖται βασιλεὺς Εὔνοστος, ὁμώνυμος Εὐνόστῳ, δαίμονι ἐπιμυλίῳ, περὶ οὗ καὶ ἀλλαχοῦ εἴρηται. ὡς δὲ καὶ ὁ σολοικισμὸς τοιαύτης Σόλου ἢ τοιούτων Σόλων ἐστὶ σύνθεσις, ἐν τοῖς τοῦ Περιηγητοῦ κεῖται. δοκεῖ δὲ καὶ ὁ νομοθέτης Σόλων ἐκεῖθεν παρωνομάσθαι.] Αὐτοχόωνος δὲ ὁ αὕτως καὶ εἰκῇ κεχωνευμένος ἐπ᾽ οὐδενὶ ἄλλῳ χρησίμῳ τέλει ἀλλ᾽ ἢ μόνον ἐπὶ γυμνασίῳ. ἐντεῦθεν δὲ καὶ χαλκοῦν αὐτὸν εἶναί τινες οἴονται. σίδηρος γάρ, φασίν, οὐ χωνεύεται. εἰ δὲ καὶ σίδηρος ἐξ αὐτοῦ πορίζεσθαι τοῖς ἀγρόταις λέγεται, ἀλλὰ τοῦτο διὰ τὸ εἰς σίδηρον, φασίν, ἀντικαταλλάσσεσθαι. εἰ δ᾽ ἄρα τις καὶ σιδηροῦν αὐτόν, φασί, δέχεται, καταχρηστικῶς ἂν αὐτοχόωνος λέγοιτο. καὶ αὐτοὶ μὲν οὕτω. εἰ δέ τις μάθοι, ὅπως τὴν ἀρχὴν τὰ σιδηρᾶ μέταλλα πυρὶ τηκόμενα καταστάζουσιν, οὐκ ἂν κατάχρησιν τῆς τοῦ σιδηροῦ σόλου καταγνῷ χωνείας, ὅτε τις ἐπίτηδες αὐτὸν μεθοδεύοι ἐν τῷ χωνεύειν μέταλλα. ἦσαν δὲ καὶ λίθινοι δίσκοι, ὁποῖος καὶ ὁ ἐν Ὀδυσσείᾳ μεσόθι ἔχων ὀπήν, ἧς διείρετο καλῴδιον, ἐξ οὗ μετεωρίζοντες ἐρρίπτουν αὐτόν. Παυσανίας δέ φησιν, ὅτι αὐτοχόωνος ὁ ἐξ αὐτοῦ τοῦ χώνου ἄλλην μηδεμίαν προσειληφὼς ἐπισκευήν.

4.845 καὶ οὕτω μὲν ἐνταῦθα ἡ αὐτός ἀντωνυμία σύγκειται, ἡ δέ γε αὐτόχθων ἑστία ἡ τοῦ Χείρωνος ἀλλοίαν ἔχει τὴν σύνθεσιν. δηλοῖ γὰρ τὴν αὐτοφυῆ καὶ σπηλαιώδη, ἣν ἕτερος τις λέγει αὐτόροφον. ὁ δὲ τῷ βασιλεῖ ἐλθὼν αὐτόματος ἀδελφὸς εἰς δαῖτα ὁμοιότητα ἔχει ἄλλως πρὸς τὸν ἐφεξῆς που ῥηθησόμενον αὐθέντην, ὅ ἐστι αὐτοφόντην. οἱ αὐτερέται δὲ ἄλλο τι δηλοῦσιν, ὅτι δηλαδὴ οἱ αὐτοὶ ἐρέται εἰσὶ καὶ ὁπλῖται. ὅμοιον δὲ πρὸς τὸ αὐτοχόωνον τὸ αὐτοκάβδαλον καὶ τὸ παρὰ Σοφοκλεῖ «αὐτόξυλον ἔκπωμα», καὶ ὅλως ὅσα ἔργα οὐκ εἰς κάλλος ἐσκεύασται. (v. 834) Τὸ δὲ «χρεώμενος» πλεονασμὸν ἔχει τοῦ ε κατὰ τὴν ἄρχουσαν, ὁποῖον καὶ τὸ «μεμνέῳτο» οὗ τὸ ἀπαθὲς δίχα τοῦ ε , ὡς δηλοῖ παρὰ Σοφοκλεῖ τὸ «οὐδαμῶς μεμνῴμεθα». (v. 832) Ἐν δὲ τῷ «εἴ οἱ καὶ μάλα ἀπόπροθι ἀγροί» ὅρα τὸ τῆς ἀντωνυμίας ἀόριστον εἴτε ἀγνώριστον. οὐ γὰρ δῆλον ποίῳ «οἵ», ὅ ἐστιν αὐτῷ, μακρὰν οἱ ἀγροί, ὥσπερ ἄδηλον καὶ τίς ὁ δώσων ἐν τῷ «ἀλλὰ παρέξει», εἰ μὴ ἄρα ἢ ἔξωθέν τις προσλήψεται τὸν τοῦ σόλου κτήτορα ἢ ἀναγάγῃ πρὸς τὸ «χρεώμενος», ἵνα λέγῃ ὅτι ὁ χρώμενος τῷ σόλῳ, εἴ οἱ καὶ μάλα μακρὰν ἀγροὶ πίονες, ἕξει αὐτὸν ἐπὶ πολύ. Τὸ δὲ «εἰ καὶ μάλα μακρὰν ἀγροί» διὰ τοὺς καθ᾽ Ἑλλάδα τόπους εἴρηται. εἰ γάρ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φησί, καὶ ἀποκναίει τινὰ τὸ μήκιστον τῆς ὁδοῦ, ἀλλὰ τὸ τοῦ σόλου χρειῶδές τε καὶ πολύχρηστον ἐφελκύσεται τὸν νικητὴν μὴ ἀμελῆσαι νῦν αὐτοῦ. Τὸ δὲ «πίονες» αὔξει τὸ τοῦ σόλου μέγεθος. οἱ γὰρ τοιοῦτοι καὶ πολλοῦ τοῦ σιδήρου διὰ τὸ τῆς ἐργατείας συχνόν τε καὶ ἐπιμελὲς δέονται.

4.846 [Κεῖται δὲ καὶ εἰς βιωτικὴν παραγγελίαν, ὡς μὴ δέον ὂν ἀγροὺς κτᾶσθαί που, εἰ μὴ γῆν εὑρήσει τις πίονα.] (v. 834) Τὸ δὲ «ἀτεμβόμενος» σκορακιστέον μὲν ἐν γραφῇ πεζῇ, δηλοῖ δὲ καὶ νῦν συνήθως τὸ στερισκόμενος. σκοπητέον δὲ διὰ ζητήσεως εἴτε καὶ ὁ ἁπλῶς δίσκος σόλος που εὕρηται, εἴτε καὶ μόνῳ τῷ αὐτοχοώνῳ κεκλήρωται τοὔνομα. καὶ τοιαῦτα μὲν τὰ κατὰ τὸν σόλον. (v. 836—47) «Ὦρτο δέ», φησί, «μενεπτόλεμος Πολυποίτης, ἂν δὲ Λεοντῆος κρατερὸν μένος ἀντιθέοιο, ἂν δ' Αἴας Τελαμωνιάδης καὶ δῖος Ἐπειός», δισκεύσοντες οὗτοι «ἑξείης δ' ἵσταντο, σόλον δ' ἕλε δῖος Ἐπειός, ἧκε δὲ δινήσας», ὡς ἔθος, «γέλασαν δ' ἐπὶ πάντες Ἀχαιοί. δεύτερος δ' αὖτ' ἀφέηκε Λεοντεύς, ὄζος Ἄρηος. τὸ τρίτον δ' αὖτ' ἔρριψε μέγας Τελαμώνιος Αἴας χειρὸς ἀπὸ στιβαρῆς, καὶ ὑπέρβαλε σήματα πάντα» ἢ «πάντων». «ἀλλ' ὅτε δὴ σόλον εἷλε μενεπτόλεμος Πολυποίτης, ὅσσον τίς τ' ἔρριψε καλαύροπα βουκόλος ἀνήρ, ἣ δέ θ' ἑλισσομένη πέτεται διὰ βοῦς ἀγελαίας, τόσσον παντὸς ἀγῶνος ὑπέρβαλε. τοὶ δ' ἐβόησαν», οἱ θεώμενοι δηλαδή. καὶ ἔστι καὶ νῦν ἡ βοὴ διὰ τὸν νικητήν. Ὅρα δὲ κἀνταῦθα τὸν ποιητὴν ἀφειδῆ τῶν ἐπιθέτων συνήθως. τὸν μὲν γὰρ νικήσαντα Πολυποίτην δὶς μενεπτόλεμον λέγει, ὥσπερ καὶ δῖον τὸν Ἐπειόν, ὃς τέταρτος μὲν ἠρίθμηται, πρῶτος δὲ ἀφῆκε τὸν σόλον διά τε τὸ τῆς φράσεως συνεχές, καὶ ἵνα δὲ μὴ μακρὸς γέλως ταθείη, ἀλλ' ἐγκοπείη ταῖς ἐφεξῆς ῥίψεσι. τὸν δὲ Λεοντέα, ὃν ἁπλῶς ἀφεῖναι εἶπε μηδέν τι πλέον ἐπισημηνάμενος περὶ αὐτοῦ διὰ τὸ τῆς τοῦ σόλου ἀφέσεως ἀφανές, πλείοσιν ἐπιθέτοις τῶν ἄλλων κοσμεῖ, εἰπὼν «Λεοντῆος κρατερὸν μένος ἀντιθέοιο», καὶ «Λεοντεύς, ὄζος Ἄρηος», τὸν δὲ Αἴαντα Τελαμωνιάδην καὶ μέγαν Τελαμώνιον Αἴαντα καλεῖ. (v. 839) Τὸ δὲ «ἑξείης», ἕτερον ὂν τοῦ «μεταστοιχί», τὴν κατὰ μέτωπον πάντως τάξιν δηλοῖ. (v. 840) Τὸ δὲ «γέλασαν Ἀχαιοί» τὸ τῆς ῥίψεώς τε δηλοῖ ἀγεννές, καὶ ὅτι, φασίν, οὐδὲ τοὺς πόδας τάχα διέστησεν, οὐδὲ τὰς χεῖρας τεχνικῶς ἐσχημάτισε. (v. 841) Τὸ δὲ «ἀφέηκεν», ὥσπερ καὶ τὸ «ἧκε», ταὐτόν ἐστι τῷ ἔρριψε. (v. 843) Τὸ δὲ «σήματα πάντα» τὰ τῶν δύο δηλοῖ. καὶ εἶχε μὲν δύο εἰπεῖν ἢ δοίω, χαίρει δὲ πάντα λέγων καὶ πάντας καὶ τὰ τοιαῦτα, ὡς μυριαχοῦ φαίνεται. εἰ δὲ ἐν τῷ «ὑπέρβαλεν» εἶχεν εἰπεῖν «ὑπέρπτατο σήματα πάντα», ἀλλ' ἐσίγησεν αὐτὸ φυλάξας τὴν τοιαύτην λέξιν τῇ καλαύροπι, ἵνα μὴ τὴν τῶν δισκευτῶν ἀρετὴν αἰσχύνῃ ὡς μὴ βαρέος ὄντος τοῦ δίσκου ἀλλ' οἷον πτηνοῦ δι' ἐλαφρότητα.

4.847 (v. 845) Καλαῦροψ δὲ ῥόπαλον ἐπικαμπὲς ἐν ἄκρῳ, οὗ τὸ κᾶλον, ὅ ἐστι ξύλον, αὖ ῥέπει. ἅπαξ δὲ καὶ τοῦτο εἴρηται παρὰ τῷ ποιητῇ. ἴσως δὲ ὅμοιόν τί ἐστι καλαύροπι καὶ τὸ παρὰ Θεοκρίτῳ ῥοικὸν λαγώβολον. ἀπὸ τοῦ ῥέπειν γάρ τινες ἐτυμολογοῦσι καὶ τὸ ῥοικόν. πέτεται δὲ κατὰ βοῦς, ὅτε, φασί, τυχὸν χρὴ συμμιγείσας αὐτὰς διακρῖναι. (v. 847) Τὸ δὲ «ὑπέρβαλε παντὸς ἀγῶνος» οὐκ ἐξ ὀρθοῦ τὸ ῥῆμα ἔχει μετὰ γενικῆς, ἀλλ' αὐτὸ μὲν ἀπὸ κοινοῦ προσυπακουόμενον ἔχει τὸ «σήματα πάντα», τὸ δὲ «παντὸς ἀγῶνος» ἔλλειψιν ἔχει προθέσεως, ἵνα ᾖ· διὰ παντὸς ἢ ἐπὶ παντὸς ἀγῶνος. Τὸ δὲ «τοὶ δ' ἐβόησαν» τοῖς τε θεαταῖς ἔθιμον πάθος καὶ τῷ ποιητῇ σύνηθες ἐπιφώνημα, ὅμοιον τῷ «ἴαχον δ' ἐπὶ πάντες Ἀχαιοί», καὶ τῷ «ἀτὰρ κελάδησαν Ἀχαιοί». τοῦ δ' αὐτοῦ τύπου καὶ τὸ «οἳ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασαν», καὶ τὸ «γέλασαν δ' ἐπὶ πάντες Ἀχαιοί», καὶ τὸ «λαοὶ δ' αὖ θηεῦντό τε θάμβησάν τε». [(v. 844) Ἰστέον δὲ ὡς οἱ κατὰ τὸν Πολυποίτην ἀφιέντες ἐν τῷ δισκεύειν ἀκρότονοι ἐλέγοντο, καθά, φασί, δηλοῖ τὸ Ἱππῶναξ ὁ ποιητής, καίτοι μικρὸς ὢν τὸ σῶμα καὶ λεπτός, ὅμως ἀκρότονος οὗτος ἦν, ὡς πρὸς ἄλλοις καὶ κενὴν λήκυθον βάλλειν μέγιστόν τι διάστημα, καὶ ταῦτα τῶν ἐλαφρῶν σωμάτων, ὁποία καὶ ἡ κενὴ λήκυθος, οὐκ ἐχόντων βιαίαν φορὰν διὰ τὸ μὴ δύνασθαί, φασί, τὸν ἀέρα τέμνειν.] (v. 850) Ὅτι τοῖς τοξευταῖς Ἀχιλλεὺς «ἐτίθει ἰόεντα σίδηρον», τουτέστι μέλανα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁμοίως τῷ «ἰοειδέα πόντον», ἢ ἐπιτήδειον εἰς ἰοὺς ἤγουν εἰς βελῶν ἐργασίαν, ἐξ οὗ νοεῖται ὁ καθαρός, ἡ γὰρ λεπτή, φασί, κατατομὴ καθαροῦ δεῖται σιδήρου, ἢ τὸν μάλιστα ἰοῦ δεκτικόν. (v. 851) Εἶτα ἑρμηνεύων ὡς καὶ εἰδοπεποίηται ὁ τεθεὶς σίδηρος, ἐπάγει, ὅτι «κὰδ δ’ ἐτίθει δέκα μὲν πελέκεας, δέκα δ’ ἡμιπέλεκκα».

4.848 (v. 852—8) Οἷς ἐπιφέρων τὰ ἐφεξῆς φησιν «ἱστὸν δ’ ἔστησε νηὸς κυανοπρῴροιο τηλοῦ ἐπὶ ψαμάθοις, ἐκ δὲ τρήρωνα πέλειαν λεπτῇ μηρίνθῳ δῆσε ποδός, ἧς ἄρ ἀνώγει τοξεύειν· ὃς μέν κε βάλῃ τρήρωνα πέλειαν, πάντας ἀειράμενος πελέκεας κλισίηνδε φέρεσθαι», ἢ «φερέσθω», «ὃς δέ κε μηρίνθοιο τύχῃ ὄρνιθος ἁμαρτών, ἥσσων γὰρ δὴ κεῖνος, ὃ δ’ οἴσεται ἡμιπέλεκκα». Καὶ ὅρα κἀνταῦθα συνήθως προτεθειμένον τὸν γαρ σύνδεσμον. τὸ γὰρ ἀκόλουθον οὕτως· ὃ δ’ οἴσεται ἡμιπέλεκκα, ἥσσων γὰρ δὴ ἐκεῖνος, καὶ ὅτι ἐν τῷ «ὃς μέν κεν βάλῃ πέλειαν» λείπει τὸ εἰπών ἤ τι τοιοῦτον, καί φασιν οἱ παλαιοὶ ὅτι ἀπροσδοκήτως ἐνταῦθα ὁ ποιητὴς ἀπὸ τοῦ διηγηματικοῦ μετέβη ἐπὶ τὸ μιμητικόν. ἕως μὲν γὰρ τοῦ «ἀνώγει τοξεύειν» αὐτὸς ὁ ποιητὴς διηγεῖτο, ἀπὸ δὲ τοῦ «ὃς μὲν βάλῃ τρήρωνα πέλειαν» καὶ ἑξῆς, μιμεῖται, τί ἂν εἶπεν ὁ Ἀχιλλεύς. οὕτω καὶ πρὸ τούτου ἐσχημάτισται τὸ «μηκέτ’ ἐρείδεσθον» καὶ τὰ ἑξῆς. (v. 854) Ἰστέον δὲ ὅτι τῷ «πέλειαν δῆσεν ἐκ ποδός» συνακουστέον τὸ καὶ καθεσθῆναι τὴν πέλειαν εὐθὺς καὶ δοῦναι εἰς σκοπὸν βέλους ἑαυτήν, καὶ ὅτι παροιμία ἐπὶ τῶν ἁπλουστάτων τὸ «ἡμένη πελειάς», διὰ τὸ εὔηθες τοῦ ζῴου. (v. 851) Τὸ δὲ «ἡμιπέλεκκα» διὰ μέτρον κἀνταῦθα ὡς καὶ ἐν Ὀδυσσείᾳ διπλάζει τὸ κάππα σημαίνει δὲ μονοστόμους πελέκεις. [Καὶ δοκεῖ Ἀττικὸν μὲν καὶ κοινὸν εἶναι τὸ «πελέκεας», Αἰολικὸν δὲ τὸ «ἡμιπέλεκκα». καὶ ἦν μὲν καὶ τὸ «πελέκεας» δυσχερὲς εἰς μέτρον, εἰ μὴ συνίζησαν αἱ δύο τελευταῖαι βραχεῖαι εἰς μίαν μακράν, τὸ δὲ «ἡμιπέλεκκα» οὐδ’ ἂν αὐτὸ χρηστὸν ἐγένετο ἡρωϊκῷ ἔπει δίχα τῆς τοῦ κάππα διπλόης.] (v. 852) Τὸ δὲ «ἱστὸν ἔστησε» τρόπος ἐστὶν ἐτυμολογικός, κείμενος καὶ ἐν Ὀδυσσείᾳ ἐπὶ τοῦ τῆς Πηνελόπης ἱστοῦ. Τὸ δὲ «νηός» πρὸς διαστολὴν τοῦ ὑφαντικοῦ εἴρηται ἱστοῦ. Τὸ δὲ «κυανοπρῴρου» παρατετήρηται διεστάλθαι τῶν τοῦ Ὀδυσσέως. μόναι γάρ, ὡς καὶ προϊστόρηται, αἱ ἐξ Ἰθάκης νῆες μιλτοπάρῃοι.

4.849 (v. 853) Τὸ δὲ «τηλοῦ» διὰ τὴν τοξικὴν ἐκβολίαν εἶπε, καὶ διότι τὸ τόξον τηλεβόλον ἐστὶν ὄργανον. (v. 854) Μήρινθος δὲ λεπτὴ σχοῖνος. ἡ δὲ ταύτης κυριολεξία ἐπιμονὴν πεποίηκε, πεντάκις ἐνταῦθα χρησαμένου τοῦ ποιητοῦ τῇ λέξει. Ἰστέον δὲ ὅτι Ὅμηρος μὲν μήρινθον οἶδε, Παυσανίας δὲ καὶ μετὰ τοῦ σίγμα σμηρίνθους τινάς. λέγει γὰρ ἐν τῷ καθ’ αὑτὸν Λεξικῷ ὅτι σμήρινθοι δεσμοὶ ἢ σπασμοί, Πλάτων Νόμων πρώτῳ· ταῦτα τὰ πάθη νεῦρα ἢ σμήρινθοί τινες ἐνοῦσαι σπῶσί τε ἡμᾶς καὶ ἀλλήλοις ἀνθέλκουσιν. [Ἐκ τοῦ μερίζεσθαι δὲ ἡ λεπτὴ μήρινθος τροπῇ, ὁποίαν πάσχει καὶ τὸ μερμηρίζειν καὶ ὁ μηρός καὶ μέρμηραι, αἱ φροντίδες. δοκοίη γὰρ ἂν συντεθεῖσθαι μὲν καὶ ἐστοιβάσθαι τὸ παχύ, μεμερίσθαι δὲ τὸ λεπτόν.] Λεπτὴ δὲ ἡ μήρινθος, ἵνα διακοπεῖσα μετ’ ὀλίγα ῥᾷον καὶ ἀπολύσασα τὴν πέλειαν ἀστεῖον ἀποτελέσῃ τὸν ἄεθλον. ἥσσονα δὲ λέγει τὸν τοῦ μηρίνθου μὲν τυχόντα, τῆς δὲ ὄρνιθος ἁμαρτόντα, ἐπεὶ κἂν τοῦ λεπτοτάτου ἔτυχεν, ἀλλ’ οὐχ’ ἑκών. τί γὰρ μὴ μᾶλλον τοῦ μείζονος τυγχάνει, ὃ καὶ εἰς σκοπὸν κεῖται; καὶ ἰστέον ὡς, εἰ μὴ προεῖπε τὸ περὶ τῆς μηρίνθου, εἶχεν ἂν ὕστερον λόγους, καθά φασι καὶ οἱ παλαιοί, ὁ τῆς μηρίνθου τυχὼν ἀντιποιούμενος τοῦ ἄθλου, ὡς οἷα τοῦ δυστυχεστέρου ἐπιτυχών. ἔστι δὲ ἡ εἰς τοῦτο παλαιὰ φράσις τοιαύτη, ὡς, εἰ μὴ προεῖπε περὶ τῆς μηρίνθου, ἐναγώνιον ἂν ὕστερον ἦν συμβεβηκός. Ἰστέον δὲ ὅτι τοιοῦτόν τι καὶ τὸ κατὰ τὸν περιφερόμενον χρυσοῦν δακτύλιον, ὃς τριχὸς μὲν ἐξήρτητο, ἐκρέματο δὲ ὑπὲρ στομίου φρέατος, καὶ ἔδει τοῦ δακτυλίου διοϊστεῦσαι τὸν εἰς τοῦτο λαχόντα. εἰ μὲν δὴ τούτου ἔτυχεν, εὐστόχησεν ἄν, εἰ δὲ τὴν τρίχα ἔβαλε, τῷ λεπτοτάτῳ μὲν προσέβαλεν, ἔξω δὲ σκοποῦ τοξεύσας εἶχεν οὐδὲν χάριτος. ὅτι δὲ δυσχερὲς ἐνταῦθα καὶ τὸ τῆς περιστερᾶς, δῆλον. τοῦ ἑνός τε γάρ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φασί, δέδεται ποδός, πτερυσσομένη δὲ δυσχερής ἐστιν εἰς βολήν. κατὰ δὴ ταύτης κληροῦνται ὥσπερ οἱ ἱππεῖς ἐν τῷ πρώτῳ ἀγῶνι, οὕτω νῦν οἱ τοξόται.

4.850 (v. 861) «Κλήρους» γάρ, φησίν, «ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες», ἐπειδὴ καὶ ἐν αὐτοῖς ἐξ ἀνάγκης δεῖ εἶναι τὸ πρῶτον καὶ τὸ δεύτερον. (v. 862) Καὶ τὸ μὲν τῆς τύχης ἔσχε Τεῦκρος. πρῶτος γὰρ κλήρῳ ἔλαχε. τὰ δὲ εἰς ἀρετὴν οὐκ ἐπιτυχῶς ἔσχεν, ἐπεὶ μηδ᾽ αὐτὸς εὔξατο, καθὰ φανεῖται. (v. 862—81) «Αὐτίκα» μὲν γὰρ «ἰὸν ἧκεν ἐπικρατέως, οὐδ᾽ ἠπείλησεν ἄνακτι ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην», ὃ δήπου καὶ περὶ ἄλλου τινὸς προεγράφη. «ὄρνιθος μὲν ἄμαρτε, μέγηρε γάρ οἱ τό γ᾽ Ἀπόλλων· αὐτὰρ ὁ μήρινθον βάλε πὰρ πόδα, τῇ δέδετ᾽ ὄρνις. ἀντικρὺ δ᾽ ἀπὸ μήρινθον τάμε πικρὸς ὀϊστός. ἣ μὲν ἔπειτ᾽ ἤϊξε πρὸς οὐρανόν, ἣ δὲ παρείθη μήρινθος», ὅ ἐστιν ἐχαλάσθη, «ποτὶ γαῖαν, ἀτὰρ κελάδησαν Ἀχαιοί. σπερχόμενος δ᾽ ἄρα Μηριόνης ἐξείρυσεν», ὅ ἐστιν ἐξείλκυσε, «χειρός», τῆς τοῦ Τεύκρου δηλαδή, «τόξον. ἀτὰρ δὴ ὀϊστὸν ἔχε», ἤγουν εἶχε, «πάλαι ὡς ἴθυνεν. αὐτίκα δ᾽ ἠπείλησεν ἑκηβόλῳ Ἀπόλλωνι ἀρνῶν ἑκατόμβην», ὁποίαν που καὶ ὁ Πάνδαρος, ὡς οὕτως εἰωθὸς ὂν εὔχεσθαι τοὺς τοξεύοντας. «ὕψι δ᾽ ὑπαὶ νεφέων εἶδε τρήρωνα πέλειαν. τῇ ῥ᾽ ὅγε», ἤγουν ἐκεῖ δὴ οὗτος, «δινεύουσαν ὑπὸ πτερύγος βάλε μέσσης», ἢ «μέσσην», «ἀντικρὺ δὲ διῆλθε βέλος· τὸ μὲν ἂψ ἐπὶ γαίῃ πρόσθε Μηριόναο πάγη ποδός· αὐτὰρ ὄρνις ἱστῷ», τῷ ῥηθέντι, «ἐφεζομένη αὐχέν᾽ ἀπεκρέμασε, σὺν δὲ πτερὰ πυκνὰ λίασθεν», ἤγουν ἡ δὲ τῶν πτερῶν πυκνότης ἐξέκλινεν, ὡς ἢ ἀραιωθεῖσα τῇ παρέσει ἢ ψιλωθεῖσα τῇ βολῇ. «ὠκὺς δ᾽ ἐκ μελέων θυμὸς πτάτο», τοῦτο δὴ τὸ τοῖς ὠκυμόροις ἐπιλεγόμενον, «τῆλε δ᾽ ἀπ᾽ αὐτοῦ κάππεσε», μικρόν τι δηλαδὴ ἐπικαθεσθεῖσα τῷ τῆς νηὸς ἱστῷ, εἶτα ἐν τῷ ἐκπετασθῆναι ἐκψύξασα καὶ καταπεσοῦσα. «λαοὶ δ᾽ αὖ θηεῦντό τε», ὡς καὶ προεγράφη, «θάμβησάν τε», μάλιστα μὲν δηλονότι τὸ τοῦ Μηριόνου περισπερχὲς καὶ εὔστοχον, τάχα δὲ καὶ τὸ τοῦ Τεύκρου δυστυχές, ἐφ᾽ οἷς οὕτω παρ᾽ ὀλίγον ἦλθε τοῦ τυχεῖν, καὶ τὴν τοῦ ὀϊστοῦ δὲ κατάπτωσιν ἐγγὺς τοῦ Μηριόνου, καὶ ὡς ἡ ὄρνις, μὴ ἔχουσα πόρρω που φυγεῖν, καθῆκεν ἑαυτὴν αὖθις ὅθεν ἐξεπετάσθη.

4.851 ἔχει δέ τι γραφικὸν εἰς θέαν καὶ τὸ τοῦ αὐχένος ἀποκρέμασμα, καὶ ἡ τῶν πτερῶν χαλαρότης, ὁποίαν καὶ Πίνδαρος Ὁμηρικῷ ζήλῳ ἐπὶ τοῦ κατὰ τὸν Δία ἔπλασεν ἀετοῦ. (v. 877) Ἰστέον δὲ ὡς ἡ πρὸ ποδὸς τοῦ Μηριόνου κατάπτηξις τοῦ βέλους νοεῖν δίδωσιν, ὅτι τμηθείσης τῆς μηρίνθου ἐπάνω αὐτοῦ ἐπετάσθη ἡ πελεία, καὶ οὕτω βληθείσης αὐτῆς κατῆλθε τὸ βέλος ὡς ἐπὶ τὸν βαλόντα κατά τινα κάθετον. (v. 870 s.) Σημείωσαι δὲ καὶ ὅτι πολλῶν ἐκδόσεων Ὁμηρικῶν γενομένων, ὡς καὶ προδεδήλωται, ἡ Μασσαλιωτικὴ ἔκδοσις κατὰ τοὺς παλαιοὺς δυσὶ τόξοις χρωμένους ἐνταῦθα τοὺς ἠγωνισμένους ποιεῖ, μεταγράφουσα οὕτως «σπερχόμενος δ᾽ ἄρα Μηριόνης ἐπεθήκατ᾽ ὀϊστὸν τόξῳ· ἐν γὰρ χερσὶν ἔχε πάλαι ὡς ἴθυνεν». Ἀντίμαχος δὲ οὕτω γράφει «σπερχόμενος δ᾽ ἄρα Μηριόνης ἐξείρυσε Τεύκρου τόξον· χερσὶ δ᾽ ὀϊστὸν ἔχεν πάλαι ὡς ἴθυνεν», συντρέχων μὲν αὐτὸς τῷ Ὁμήρῳ, σαφέστερον δὲ μεταγράψας. ἑνὶ γὰρ τόξῳ ἠγωνίσαντο οἱ τοξόται, ὡς καὶ οἱ δισκευταὶ σόλῳ ἑνί. διὸ τοξεύσαντος Τεύκρου ἁρπάζει τόξον ὁ Μηριόνης κατὰ σπουδήν, ὡς ἂν μὴ φύγῃ τὸ πτηνόν. Ὅρα δὲ καὶ ὅτι φεύγων ὁ ποιητὴς παρήχησιν φλύαρον οὐδαμοῦ τὸν Μηριόνην τῇ μηρίνθῳ παρέθετο, ἵνα μὴ δόξῃ παιγνιήμων εἶναι. ἴσως δ᾽ ἄν τις οἰηθείη ὡς διὰ τοῦτο καὶ τὸν Τεῦκρον ἁμαρτόντα μὲν πλάττει τῆς ὄρνιθος, τυχόντα δὲ τῆς μηρίνθου, ἵνα μὴ μεμνημένος ἐγγὺς Μηριόνου καὶ μηρίνθου περιπέσοι ἄκων ψυχρότητι. [(v. 863) Τὸ δὲ «ἐπικρατέως» οὐ μόνον γενναιότητα δηλοῖ ῥωμαλέου ἀνδρός, ἀλλά τι καὶ ψεκτόν· ἀγερωχίαν γὰρ ἀλαζονικήν, δι᾽ ἣν οὐδὲ εὔξατο Τεῦκρος ἀρνῶν ἑκατόμβην. ὃ καὶ σημείωσαι διὰ τὸ ἀκύρως λεχθῆναι κατὰ τὸ «νέκταρ ἐῳνοχόει», καὶ «ἵπποι ἐβουκολοῦντο», καὶ «ἐχειρονόμησε σκέλεσι», καὶ «ἐκέρασεν ἐν χρυσῷ δέπαϊ», μάλιστα δὲ κατὰ τὸ «ᾠῶν ἑκατόμβην», καὶ ὅσα τοιαῦτα προεσημειώθησαν. μοσχαρίων μὲν γὰρ ἑκατόμβην ἔστιν εἰπεῖν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρνῶν δὲ οὐκ ἂν κυριολεκτικῶς.] Τὸ δὲ «οὐδ’ ἠπείλησεν ἄνακτι» ἀσαφῶς ἔχει καὶ διθυραμβικῶς, οἷα ἠπειγμένως φρασθέν.

4.852 καὶ τέως μὲν μετ’ ὀλίγον διασαφεῖται τὸ «ἄνακτι» ἐν τῷ «μέγηρε γὰρ Ἀπόλλων», ὡς τοῦ Ἀπόλλωνος [ἐξοχικῶς] ῥηθέντος ἄνακτος, (v. 863 s.) ἑξῆς δὲ αὐτίκα τὸ ὅλον περιφραστικῶς ἑρμηνεύεται νόημα ἐν τῷ «ἠπείλησεν Ἀπόλλωνι ἀρνῶν ἑκατόμβην», τουτέστιν ηὔξατο, ἀφ’ οὗ καὶ ἀπειλὴ ἡ μετά τινος ἀρᾶς ἐκφόβησις. (v. 865) Γίνεται δὲ τὸ μὲν μεγαίρειν ἀπὸ τοῦ μέγα καὶ τοῦ αἴρω. ὁ γὰρ μεγαίρων, ἤτοι φθονῶν, τὸ μεγαλεῖον αἴρει πως τοῦ φθονουμένου. Τὸ δὲ ἀπειλεῖν ἐπὶ μὲν εὐχῆς κατὰ τοὺς παλαιοὺς παρὰ τὰς πέλλας, ἤτοι φιάλας, αἷς ἔσπενδον, πλεονασμῷ τοῦ ι , ἐπὶ δὲ τῆς ὀργίλου παρὰ τὸ ἀπὸ ἐλέους εἶναι ἢ ἀπὸ εἰλεῖν ἀφοριστικῶς τὸν ἐκφοβούμενον. (v. 868 et 874) Τὸ δὲ «πρὸς οὐρανόν», ὅτι τὸ ὑψοῦ δηλοῖ, ἑρμηνεύει ὁ ποιητὴς εἰπὼν «ὕψι δ’ ὑπαὶ νεφέων», ἤγουν ὑψοῦ ὑπὸ τὰ νέφη, ὅ ἐστιν ὑποκάτω τῶν νεφῶν. ᾧπερ ὅμοιον καὶ τὸ «ὑπὸ πτερύγος βάλε μέσσης», ἤγουν ὑπὸ τὴν πτερύγα. (v. 871) Ἐν δὲ τῷ «ὀϊστὸν ἔχε πάλαι» φανερῶς τὸ «πάλαι» ἐπὶ ὀλιγίστου χρόνου ἔθετο, ταὐτὸν ὂν τῷ πρότερον. (v. 875) Τὸ δὲ «πτερύγος», ὃ δηλοῖ τὸ σαρκῶδες τῆς πτέρυγος, κἀνταῦθα ὡς καὶ ἐν τῇ β′ ῥαψῳδίᾳ παροξύνει Ἀρίσταρχος, τῶν ἄλλων προπαροξυνόντων ὡς τὸ ὄρτυγος.

4.853 (v. 879) Τὸ δὲ «ἀπεκρέμασεν» οὐκ ἔχει μεταληφθῆναι εἰς λέξιν κρείττονα. (v. 886—8) Ὅτι «ἥμονες ἄνδρες», ὅ ἐστιν ἀκοντισταί, «ἀνέσταν· ἂν μὲν ἂρ Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων, ἂν δ’ ἄρα Μηριόνης», θεράπων Ἰδομενῆος, ὃν ἡ προσεχὴς νίκη τῆς τοξείας ἐπῆρεν. (v. 884 s.) Ὄγδοος δὲ καὶ τελευταῖος οὗτος ἀγών, ἐν ᾧ πρὸς Ἀχιλλέως τεθῆναί φησιν εἰς ἀγῶνα «κατὰ μὲν δολιχόσκιον ἔγχος, κὰδ δὲ λέβητ’ ἄπυρον», ἤγουν, ὡς προεγράφη, ἀπύρωτον, «βοὸς ἄξιον, ἀνθεμόεντα», ἤγουν ἀνθηρόν, ἢ ἀναθηματικόν, ὡς καὶ ἀλλαχοῦ προγέγραπται. (v. 890—4) Ἀχιλλεὺς δὲ κωλύει ἀγωνίσασθαι τὸν βασιλέα, εἰπὼν «Ἀτρεΐδη, ἴδμεν γάρ, ὅσον προβέβηκας ἁπάντων, ἠδ’ ὅσσον δυνάμει τε καὶ ἥμασιν ἔπλευ ἄριστος· ἀλλὰ σὺ μὲν τόδ’ ἄεθλον ἔχων κοίλας ἐπὶ νῆας ἔρχευ», τὸν λέβητα δηλαδὴ τόνδε, τὸν ἢ ὑποδεδειγμένον ἢ καὶ δεδομένον εὐθύς, «ἀτὰρ δόρυ Μηριόνῃ ἥρωϊ πόρωμεν», ἤτοι δώσωμεν, «εἰ σύ γε σῷ θυμῷ ἐθέλεις· κέλομαι γὰρ ἔγωγε». (v. 895—7) Καὶ ὁ βασιλεὺς πείθεται καὶ λαβὼν περικαλλὲς ἄεθλον Ταλθυβίῳ τῷ κήρυκι δίδωσιν, ἢ ὥστε εἰς τὰς σκηνὰς καταθέσθαι, ἢ κατά τινας, ὡς δῶρον αὐτὸν ἔχειν, μεγαλοψύχως καὶ βασιλικῶς. Καὶ ὅρα ὅτι καὶ μὴ Ἀχιλλέως εἰπόντος «ὄρνυσθε, οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε» ἢ «ἄνδρε δύο περὶ τῶνδε κελεύομεν ἀγωνίσασθαι», ἢ ὅτι «ἥμονας ἄνδρας τάδε ἄεθλα δεδεγμένα κεῖται ἀγῶνι», ἢ ὅτι· ὃς βάλῃ τοιῶσδε, ἐκεῖνος οἴσεται τόδε, ἃ δὴ προέλεγε τῶν ἀγώνων ὁ Ἀχιλλεύς, ὅμως ἀνέστησαν Ἀγαμέμνων καὶ Μηριόνης ἀγωνιούμενοι. καὶ τάχα μὲν κατὰ τὸ σιωπώμενον ἔφη τοιοῦτόν τι κἀνταῦθα ὁ ἀγωνοθέτης, ἴσως δὲ καὶ ἐπεὶ ὕστερος πάντων ἦν ὁ τῶν ἡμόνων ἀγών, οὐκ ἀναμένουσιν οἱ ἀεθλεύσοντες κήρυγμα. καλῶς δέ, φασίν, ἀγῶνα τοιοῦτον ὁ βασιλεὺς ἀγωνίζεται, ἔνθα οὐκ ἦν ἀνάγκη τῆς βασιλικῆς γυμνοῦσθαι στολῆς.

4.854 ἠγωνίζοντο δὲ οἱ ἀκοντισταί, καθὰ καὶ οἱ δισκευταί, τίς πλέον ἀκοντίσας ἥσει, ὅ ἐστι πέμψει, ἀφήσει. φησὶ γοῦν Ὀδυσσεὺς παρὰ Φαίαξι «δουρὶ δ’ ἀκοντίζω, ὅσον οὐκ ἄλλος τις ὀϊστῷ». θαρρεῖ δὲ τὸν ἀγῶνα ὁ βασιλεὺς ὡς πανταχοῦ ἀκοντιστὴς ὢν εὔστοχος. Ὅρα δὲ καὶ ὅτι ἐν μὲν τῷ πρώτῳ ἀγῶνι πολλοὺς καὶ ποικίλους ἐκένωσε λόγους ὁ ποιητής, τῷ δὲ τελευταίῳ ἐπεξῆλθε συντομώτατα, καὶ ὡς ἐκεῖ τε καὶ ὧδε βασιλεὺς ἀγωνίζεται, ἀλλ’ ὁ μὲν ἐκεῖ ἐπὶ τῷ δευτερείῳ ἤρισεν, ὁ δ’ ἐνταῦθα τὸ πρωτεῖον ἔχει ἀναμφήριστον. Ὅτι δὲ οὐδ’ ἀκλεὴς ὁ ὕστερος ἀγών, ὁ βασιλεὺς δείκνυσιν ὁ τοῦτον καθυποδύς. εἰ δὲ καὶ μὴ πολυτελὴς οὗτος κατὰ τὸ ἔπαθλον, ἀλλ’ ὁ βασιλεὺς φιλότιμος, οὐ μὴν φιλοχρήμων ἦν, καὶ ὡς Ἀχιλλεὺς ὠνείδισέ που, φιλοκτέανος. [Διὸ οὐδ’ ἀνέστη ἐπί τινι ἀέθλῳ ἑτέρῳ, οὗ μεῖζον τὸ ἔπαθλον, ἀλλ’ ἐν τῷ τελευταίῳ, καὶ οὐδὲ ἄλλως πολυζήλῳ, τιμῶν οὕτω καὶ ἑαυτὸν ὡς οὐ φιλοχρήμονα, καὶ τὸν κείμενον Πάτροκλον, καὶ δι’

αὐτοῦ τὸν Ἀχιλλέα.] (v. 890—2) Ἐν δὲ τῷ «ἴδμεν γὰρ ὅσον προβέβηκας» καὶ ἑξῆς, ὅρα πάλιν τὸν γαρ σύνδεσμον προτεθέντα, οὗ ἀπόδοσις τὸ «ἀλλὰ σὺ μέν», ἰσοδυναμοῦν τῷ «σὺ μὲν δή», ἵνα λέγῃ, ὅτι ἐπεὶ ἴσμεν ὅσον ὑπερέχεις τῶν ἄλλων, σὺ μὲν δὴ τόδ' ἄεθλον ἔχε. πολλὴ δὲ τοῦ τοιούτου σχήματος χρῆσις καὶ ἐν Ὀδυσσείᾳ. Τὸ δὲ «προβέβηκας» ἀντὶ τοῦ ἁπλῶς προέχεις. διὸ καὶ γενικῇ συντάσσεται, ἀσυνήθως μέντοι, κυρίως δὲ προβεβηκέναι ἐπὶ τῶν ἐν ὁδῷ ἢ δρόμῳ προβαινόντων, ἐξ αὐτοῦ δὲ καὶ ἡλικίᾳ καὶ ἁπλῶς χρόνῳ προβεβηκέναι τις λέγεται. (v. 886) Ἧμα δὲ τὸ ἀκόντισμα, καὶ ἥμων ὁ ἀκοντιστής, παρὰ τὸ ἵημι ἥσω, τὸ πέμψω, ὅθεν καὶ ὁ ἀφέτης καὶ ἡ ἀφετηρία. (v. 890 s.) Ἰστέον δὲ καὶ ὅτι τὸ μὲν «ἴδμεν ὅσον προβέβηκας ἁπάντων καὶ ὅσον δυνάμει ἔπλευ ἄριστος» ὑψηλῷ πρέπει ἀνδρί. εἰ δὲ καὶ νοήμων ἐκεῖνος, δύναται παρῳδηθέντος τοῦ «ἥμασι» ῥηθῆναι «δυνάμει τε καὶ νοήμασιν ἄριστος». (v. 893 s.) Τὸ δέ· ἀτὰρ ποιήσομεν τόδε, «εἰ σύ γε σῷ θυμῷ ἐθέλεις, κέλομαι γὰρ ἔγωγε» ἤθους ἐστὶν εἴκειν φίλῳ ἐθέλοντος. Ἔνθα καὶ σημείωσαι τὸ «κέλομαι» ἁπλῶς λεχθὲν ἀντὶ τοῦ θέλων λέγω. οὐ γὰρ ἂν ὁ Ἀχιλλεὺς δεσποτικῶς τῷ βασιλεῖ κελεύειν ἐρεῖ. μυριαχοῦ δὲ τὸ τοιοῦτον εὕρηται σημαινόμενον.

4.855 (v. 884 s. et 887 s.) Ὡς δὲ τὸ «κατὰ μὲν ἔγχος, κατὰ δὲ λέβητα θῆκε», καὶ τὸ «ἀνέσταν, ἂν μὲν ἄρα Ἀγαμέμνων, ἂν δ' ἄρα Μηριόνης» ἀναφορικὸν κάλλος ἔχουσι, δῆλον. (v. 891) Δύναμιν δὲ κἀνταῦθα τὴν ἰσχύν, ὅ ἐστι ῥώμην, ἔφη, καθὰ καὶ ἐν τῷ «ἀμυναίμην, εἴ μοι δύναμίς γε πάρεστιν». ΕΚ ΤΩΝ ΤΗΣ Ω Ὅτι ἐπιγραφὴ τῆς ῥαψῳδίας ταύτης ἔμμετρος αὕτη· ὦ, νέκυν Ἕκτορα πατρὶ λύτρων πόρεν ὠκὺς Ἀχιλλεύς, κοινὴ δὲ ἥδε· Ἕκτορος λύτρα.

4.856.(t) (v. 1—5) Ὅτι ἀκροστιχὶς τῶν πρώτων πέντε τῆς ῥαψῳδίας ταύτης ἐπῶν «λεύκη», ὅπερ καὶ τὸ πάθος δηλοῖ σωματικὸν καὶ εἰς φυτοῦ δὲ τέθειται ὄνομα. οὐκ ἐπετηδεύθη δὲ τῷ ποιητῇ, ἀλλ' οὕτω παρατυχὸν τὸ τῆς ἀκροστιχίδος συνέπεσεν, ὁποῖα καὶ ἄλλα παραπίπτουσιν, [εἰ καὶ μὴ τοιαῦτα. τῶν τινες γοῦν παλαιῶν ἀστείως περιεργαζόμενοι ἐζήτουν στίχους εὑρέσθαι, ἐν οἷς ἢ τὰ τέλη καὶ αἱ ἀρχαὶ εἰς τὸ αὐτὸ φωνῆεν κατέληγον, οἷον «ἀλλ' ἄγε νῦν μάστιγα καὶ ἡνία σιγαλόεντα», καὶ «εὗρε Λυκάονος υἱὸν ἀμύμονά τε κρατερόν τε», ἢ ἐφ' ὧν στίχων ἀπὸ πρώτης καὶ ἐσχάτης συλλαβῆς δηλοῦται κύριον ὄνομα, οἷον «Αἶας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας», ἢ ὧν στίχων ἡ κεφαλὴ καὶ ὁ ποὺς σκεύους ἀπαρτίζει ὄνομα, οἷον ὅλμος μὲν ἀναφαίνεται ἐν τῷ «ὀλλομένων Δαναῶν ὀλοφύρεται ἐν φρεσὶ θυμός», μύλος δὲ ἐν τῷ «μυθεῖται κατὰ μοῖραν, ἅπερ κ' οἴοιτο καὶ ἄλλος», λύρη δὲ ἐν τῷ «λυγρὸς ἐών, μή πού τι καὶ μεῖζον ἐπαύρῃ». οὕτω δὲ καί τινα ἐδώδιμα στίχοι φαίνουσιν ἐν ταῖς αὐτῶν ἀρχαῖς καὶ λήξεσι. κεῖται γὰρ ἄρτος μὲν ἐν τῷ «ἀργυρόπεζα Θέτις, θυγάτηρ ἁλίοιο γέροντος», μῆλα δὲ ἐν τῷ «μή τι σὺ ταῦτα ἕκαστα διείρεο, μηδὲ μετάλλα». οἱ δὲ ταῦτα ἐνοπτρισάμενοι παρὰ τῷ ποιητῇ, εὑρόντες παρ' αὐτῷ καὶ ἄσιγμον ἔπος τὸ «πάντ' ἐθέλω δόμεναι καὶ οἴκοθεν ἄλλ' ἐπιδοῦναι», ἀρχὴν ἐνδεδώκασιν εἰκαίου ζήλου καὶ πόνου τοῖς ὕστερον.

4.857 λέγεται γοῦν καὶ Πινδάρῳ πονηθῆναι ἀσιγμοποιηθεῖσα ᾠδὴ καὶ τῷ Ἑρμιονεῖ δὲ Λάσῳ ἄσιγμος ὕμνος εἰς Δήμητραν.] (v. 1—2) Ὅτι οἰκεῖον λύσει ἀγῶνος ἢ ἁπλῶς συνάξεως λαοῦ τὸ «λῦτο δ' ἀγών, λαοὶ δὲ θοὰς ἐπὶ νῆας ἕκαστοι ἐσκίδναντ' ἰέναι. Ἀγὼν δὲ καὶ νῦν τὸ πλῆθος. παρὰ δὲ Βοιωτοῖς ἀγὼν κατὰ τοὺς παλαιοὺς ἡ ἀγορά. ὅθεν καὶ ἀγορανόμος ὁ ἀγωνάρχης, καὶ παρ' Αἰσχύλῳ «ἀγώνιοι θεοί» οἱ ἀγοραῖοι. ἐτυμολογεῖται δὲ ἀγὼν ἢ παρὰ τὸ ἄγω, ἢ ἀπὸ Ἀγώνου, ἡνιόχου, φασί, Πέλοπος, ἢ παρὰ τὴν α στέρησιν καὶ τὴν γωνίαν ἀγών, οἱονεὶ τόπος κυκλοτερής, γωνίαν οὐκ ἔχων καὶ διὰ τοῦτο εὐρύς. καὶ Ὅμηρος γὰρ φθάσας ἱερὸν κύκλον ἔφη τὴν ἀγοράν, καὶ Σοφοκλῆς δέ που «κυκλόεντα θῶκον ἀγορᾶς εὐκλεῆ» λέγει, καὶ Εὐριπίδης δὲ οὕτως οἶδεν ἐν τῷ «ἀγορᾶς χραίνων κύκλον». (v. 2—9) Ὅτι λύπην Ἀχιλλέως ὑπογράφων τὴν ἐπὶ τῷ Πατρόκλῳ, δι' ἣν καὶ ἄσιτος καὶ ἄϋπνος ἦν, φησίν, ἃ καὶ ἐπὶ ἑτέρων ῥηθήσεταί τινων πασχόντων ὅμοια, ὡς οἱ μὲν ἄλλοι «δόρποιο μέδοντο ὕπνου τε γλυκεροῖο ταρπήμεναι· αὐτὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀχιλλεὺς κλαῖε φίλου ἑτάρου μεμνημένος, οὐδέ μιν ὕπνος ᾕρει πανδαμάτωρ, ἀλλ’ ἐστρέφετ’ ἔνθα καὶ ἔνθα, Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένος ἠΰ». ἅπερ καὶ ἐνταῦθα, ὥς που καὶ ἐν τοῖς πρὸ τούτων, ἐκ παραλλήλου τὴν ἀνδρίαν δηλοῦσιν, «ἠδ’ ὁπόσα τολύπευσε σὺν αὐτῷ καὶ πάθεν ἄλγεα, ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων· τῶν» νῦν «μιμνησκόμενος θαλερὸν κατὰ δάκρυον εἶβεν». (v. 10—3) Εἶτα ἑρμηνεύων τὸ «ἐστρέφετο ἔνθα καὶ ἔνθα» ἐπάγει «ἄλλοτ’ ἐπὶ πλευρὰς κατακείμενος, ἄλλοτε δ’ αὖτε ὕπτιος, ἄλλοτε δὲ πρηνής, τότε δ’ ὀρθὸς ἀναστὰς δινεύεσκ’ ἀλύων παρὰ θῖν’ ἁλός· οὐδέ μιν ἠὼς φαινομένη λήθεσκεν ὑπεὶρ ἅλα τ’ ἠϊόνας τε», διὰ τὸ ἀγρυπνεῖν δηλαδὴ καὶ φροντίζειν. ὁποῖόν τι καὶ ἐν Ὀδυσσείᾳ λέγει ὁ ποιητής, ἔνθα τῷ δούλῳ Μελανθίῳ ἐμπαίζων τις ἦρεν αὐτὸν μετέωρον. (v. 5) Ἰστέον δὲ ὅτι Ὅμηρος μὲν πανδαμάτορα τὸν ὕπνον ἔφη, Σιμωνίδης δὲ σμικροπρεπῶς, φασί, δαμασίφωτα, [δέει τοῦ μὴ καὶ τὸ θεῖον κοιμᾶσθαι παραποιήσας τὴν Ὁμηρικὴν ἀκρίβειαν, ὃς οὐ πάντας, ἀλλὰ πάντα δαμάζεσθαι ὕπνῳ φησὶ τὰ πεφυκότα ὑπνοῦν, ὡς οἷα τῶν τοιούτων πάντων ἰσχυροτέρῳ ἢ πάντων ἄνακτι, κατὰ τὸ «Ὕπνε ἄναξ».

4.858 δαμᾶν γὰρ καὶ δαμάζειν τὸ ταπεινοῦν καὶ ὑποτάσσειν. ὅθεν καὶ δμῶες καὶ δμωΐδες παρὰ τὸ δεδμῆσθαι, τοῦτο δὲ ἀπὸ κτηνῶν, φασίν, ὑποζυγίων, ἃ δαμαζόμενα εὐπειθέστερον ὕπεισι τὸν ζυγὸν καὶ ἡσυχαίτερον σφαδᾴζουσι. καὶ ἡ δάμαρ δὲ ἐνθένδε κέκληται, φασί, ἀνδρὶ συνεζευγμένη καὶ δεδαμασμένη. τοιαύτην δὲ ὑποβάλλει ἔννοιαν καὶ ὁ λαοδάμας καὶ ὁ λαγέτας, ὃς δηλαδὴ δαμάζει καὶ ὑφ’ ἑαυτῷ ἄγει λαὸν ὑπὸ ζυγῷ νῶτον εὐλόφως φέροντα. καὶ οὕτω μὲν πανδαμάτωρ ὁ ὕπνος. εἰ δὲ καὶ λυσίπονος καὶ λυσιμελής ἐστιν ὡς λύων μελεδήματα θυμοῦ, ἐρρέθη ἀλλαχοῦ. ὡς δὲ καὶ καμάτων λιμήν ἐστι, δηλοῖ ὁ καὶ τὴν ὑγείαν εἰπὼν τερπνοτάτην θεῶν βροτοῖς καὶ τὴν σωφροσύνην εὐσεβείης γείτονα. Ἄλεξις δὲ σεμνύνων τὸν ὕπνον, «βροτείων πόνων παυστῆρα» καλεῖ, καὶ γρῖφον ἐπ’ αὐτῷ τοιοῦτον προβάλλει «οὐ θνητὸς οὐδ’ ἀθάνατος, ἀλλ’ ἔχων τινὰ σύγκρασιν, ὥστε μήτ’ ἐν ἀνθρώπου μέρει μήτ’ ἐν θεοῖς ζῆν, ἀλλὰ φύεσθαί τε ἀεὶ καινῶς φθίνειν τε τὴν παρουσίαν πάλιν, ἀόρατος ὄψιν, γνώριμος δ’ ἅπασιν ὢν ἀεί». ἔστι δὲ τοῦ τοιούτου γρίφου τὸ «ἀόρατος ὄψιν» ἐξ Ὁμήρου, ὃς ἀόρατον Διῒ τὸν ὕπνον πεποίηκε. καὶ τοῦτο μὲν τοιοῦτον.] (v. 7) Ἰστέον δὲ καὶ ὅτι τολύπη κατὰ τοὺς παλαιοὺς ἐρίων σφαῖρα, ὅθεν τὸ τὰ πολλὰ εἰς τέλος ἓν συγκεφαλαιοῦν τολυπεύειν λέγεται.

4.859 καὶ ἄλλως δὲ τολυπεύειν, ὡς καὶ ἐν Ὀδυσσείᾳ κεῖται, τὸ κατεργάζεσθαι, παρόσον καὶ ἡ τολύπη κατείργασται. τὸ δὲ λέγειν τολυπεύειν τὸ κακοπαθεῖν, ὡς ἀπὸ τολύπης θανατηρᾶς βοτάνης, οὐχ’ Ὁμηρικόν, τά τε ἄλλα, καὶ ὅτι οὐδὲ παθητικὴ παρ’ αὐτῷ λέξις τὸ τολυπεύειν οὔτ’ ἐνταῦθα οὔτ’ ἐν Ὀδυσσείᾳ. ἐνεργητικῶς οὖν εἴρηται τὸ «ὅσα τολύπευσεν», οὗ ἐναντίον τὸ «καὶ πάθεν ἄλγεα». (v. 8) Τὸ δὲ «πείρων» τοῖς κύμασι προσνεμετέον. τοῖς δέ γε πολέμοις ἐπιλογιστέον οἰκείαν τινὰ ἑτέραν μετοχήν. συνήθη δὲ τῇ ποιήσει καὶ τὰ τοιαῦτα, ὁποῖον σὺν πολλοῖς ἄλλοις καὶ τὸ «σῖτον καὶ οἶνον ἔδοντες». Πάμφιλος δέ, φασί, περισπᾷ τὸ «πείρων», παράγων εἰς ὁμοιότητα τὸ «περόωσι», καὶ τὸ «περάᾳ μέγα λαῖτμα», ἀφ’ ὧν φησιν εἶναι καὶ τὸ πειρῶν. τὴν γὰρ τοῦ ι πρόσθεσιν μὴ ἐξαλλάσσειν τὸν τόνον. Ἀρίσταρχος δὲ βαρύνει ὡς τὸ κείρων. ἐν Ὀδυσσείᾳ γοῦν λέγεται «παννυχίη πεῖρε κέλευθον». ὡς οὖν ἔκειρε κείρων, οὕτως ἔπειρε πείρων. διαιτῶσιν οὖν οἱ παλαιοί, ὅτι τὸ μὲν σὺν τῷ ι βαρυνθήσεται, τὸ δὲ χωρὶς τοῦ ι περισπασθήσεται. (v. 9) Τοῦ δὲ εἴβειν καὶ ὄνομα παράγεται κατὰ τοὺς παλαιοὺς ὁ Εἴβιμος. (v. 10 s.) Τὸ δὲ «ἐπὶ πλευράς τε», ὅ ἐστι κατὰ δεξιὰ καὶ ἀριστερά, καὶ τὸ «ὕπτιος» καὶ «πρηνής» εἰλεῖσθαι κύκλῳ δηλοῖ τὸν ἥρωα, ἤγουν κατὰ μίαν συζυγίαν τὴν τῶν πλευρῶν καὶ καθ’ ἑτέραν τὴν τοῦ ὑπτίου καὶ πρανοῦς, ὅπερ ἀμφὶς ὂν διὰ τὰ δύο συζυγοῦντα χρήσιμόν ἐστιν εἰς τὸ «ἀμφίαλος νῆσος». (v. 12) Τὸ δὲ ἀλύειν ψιλοῦται, ὡς ἡ συναλιφὴ δηλοῖ τὸ «δινεύεσκ’ ἀλύων». ἔστι δὲ ἀλύειν τὸ ἀδημονεῖν καὶ οἷον ἐκλελῦσθαι. ὅτι δέ ποτε καὶ ἐπὶ τοῦ ἀνάπαλιν τίθεται, ἐν ἄλλοις δεδήλωται, καὶ μάλιστα ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. (v. 13) Τὸ δὲ «ὑπὲρ ἅλα καὶ ἠόνας»

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐκ ἀναγκαίως μὲν κεῖται, ἀλλὰ πρὸς ἀναπλήρωσιν στίχου. ἔχει δὲ ὅμως ἀνθρωπίνως. οὐ γὰρ ἐφιλοτιμεῖτο τὴν τῆς ἠοῦς θέαν ὁ Ἀχιλλεύς, ἀλλ' ἔβλεπεν ἄλλως αὐτήν, ὅτε [πρῶτον] τὸ ναύσταθμον περιέλαμψεν.

4.860 Ὅρα δὲ ὅπως μετὰ τὸν ἐπιτάφιον ἀγῶνα μέλλων ὁ ποιητὴς περιαγαγεῖν τὸν λόγον εἰς τὰ κατὰ τὸν Ἕκτορα, εὐτάκτως ἐκ τῶν ὧδε πρόεισιν. ἄχθεται γὰρ ἀναμνησθεὶς τοῦ Πατρόκλου καὶ χολοῦται κατὰ τοῦ Ἕκτορος, ὡς εἰκός, καὶ εὐθὺς δήσας ἕλκει ἀεικῶς. καὶ οἱ μάκαρες εἰσορῶντες ἐλεοῦσιν ἀναγκαίως. καὶ πρῶτα μὲν βουλεύονται κλαπῆναι τὸν νεκρὸν ὑπὸ Ἑρμοῦ, καὶ κινοῦνται εἰς τοῦτο λόγοι καλοὶ καὶ Ὁμήρῳ πρέποντες. καὶ ἐπέχεται μὲν ἡ κλοπή, γίνεται δὲ ἄλλως τὸ πιθανὸν διὰ τῆς μητρὸς μὲν Θέτιδος ἐπὶ τῷ Ἀχιλλεῖ, διὰ δὲ τῆς Ἴριδος ἐπὶ τῷ Πριάμῳ. καὶ αὐτὸς μὲν θαρρεῖ τὴν λιτήν, ὁ δὲ Ἀχιλλεὺς πραΰνεται καὶ κατακάμπτεται. καὶ οὕτω τῇ τοῦ Ἕκτορος λύσει καὶ ταφῇ συγκαταπαύεται καὶ ἡ Ἰλιάς, οὐκ ἀνασχομένη ἐμπεσεῖν καὶ εἰς ἀφήγησιν καὶ διατριβὴν τοῦ κατὰ τὸν φίλον Ἀχιλλέα θανάτου καὶ ἐπικλαῦσαι πεσόντι, οὗ χάριν ζῶντος τοσαῦτα ἐχόρευσεν. (v. 14—8) Ὅτι Ἀχιλλεύς, «ἐπεὶ ζεύξειεν ὑφ' ἅρμασιν ὠκέας ἵππους, Ἕκτορα ἕλκεσθαι» καὶ νῦν «δησάσκετο δίφρου ὄπισθε, τρὶς δ' ἐρύσας περὶ σῆμα Πατρόκλου αὖτις ἐνὶ κλισίῃ παυέσκετο, τόνδε δ' ἔασκεν ἐν κόνει ἐκτανύσας προπρηνέα», ἐν οἵῳ δηλαδὴ σχήματι καὶ πρὸ τούτων αὐτὸν ἐτάνυσεν, [ἵνα δηλαδὴ μὴ βλέποιτο ἡλίῳ τὸ αὐτοῦ πρόσωπον, ἢ καὶ πρὸς ὁμοιότητα τῶν κατὰ γῆς τεινομένων, ὥστε τὰ ὀπίσω κολάζεσθαι, καὶ ἵνα δὲ ἀποδρύπτοιτο τὰ κατ' ὄψιν.] (v. 22 s.) Ὅτι δὲ ἀπηνὲς τὸ ἔργον, ἐπισημανεῖται καὶ ὁ ποιητὴς εἰπών, ὅτι ἐφ' οἷς «Ἕκτορα δῖον ἀείκιζε μενεαίνων» Ἀχιλλεύς, «ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες». (v. 14—6) Ἰστέον δὲ ὅτι νῦν μὲν καὶ ἅρματος ὁ ποιητὴς ἐμνήσθη καὶ ἵππων ὑπ' αὐτῷ ζευχθέντων, προϊὼν δὲ σιγᾷ μὲν τὸ ἅρμα, λέγει δὲ ὅτι Ἀχιλλεὺς Ἕκτορα δῖον ἵππων ἐξάπτων περὶ σῆμα ἑτάρου ἕλκει. (v. 31) Ὁσημέραι δὲ τοῦτο ἐποίει, καὶ ὡς ὁ ποιητὴς λέγει, ἐπὶ δυώδεκα ἡμέραις, ὃ καὶ ποιεῖ τὴν παραδοξίαν τοῦ μὴ σαπῆναι τὸν Ἕκτορα.

4.861 (v. 18—21) Ὅθεν καὶ ὁ ποιητὴς τοῦτο εἰς θεῖόν τι ἀνάγων Ἀπόλλωνι ἐνταῦθα τὸ αἴτιον ἀνατίθησιν, εἰπὼν «τοῖο δ' Ἀπόλλων πᾶσαν ἀεικίην ἄπεχε χροΐ», ἤγουν ἀπεῖχε, πόρρω εἶχε τοῦ χροός, ἐκώλυε, «φῶτ' ἐλεαίρων καὶ τεθνειότα περ, περὶ δ' αἰγίδι πάντα κάλυπτε χρυσείῃ, ἵνα μή μιν ἀποδρύφοι», ὡς καὶ προγέγραπται. (v. 20) Καὶ ὅρα καὶ Ἀπόλλωνος ταύτην αἰγίδα, θεῖαν μὲν οὖσαν, σκέπουσαν δὲ τὸν θεοῖς, ὡς ὁ μῦθός φησι, φίλτατον Ἕκτορα διὰ τὴν ἀφθονίαν τῶν θυσιῶν, ἃς ἐκεῖνοι γέρας ἔλαχον. ἄλλως γάρ τοι οὐκ εὐκάθαρτον ἦν νεκροῦ ταύτην περίβλημα γίνεσθαι. νοεῖται δὲ νῦν αἰγὶς Ἀπόλλωνος ἡ σκιὰ καὶ τὸ νέφος, ὃ καὶ πρὸ ὀλίγου περὶ τὸν κείμενον Ἀπόλλων ἔστησεν, ὡς ἂν ἔνικμος διαμείνῃ. κωλύσει δὲ οὐδὲν εἰς ἔννοιαν νέφους τὸ τῆς αἰγίδος χρύσεον, εἴγε καὶ νέφη πολλάκις τῷ χρυσῷ παρονομάζονται, ὥς που ἐδήλωσεν Ὅμηρος. (v. 19) Τὴν δὲ ἀεικίην, ὅ ἐστιν αἰκίαν, ἑρμηνεύων Ὅμηρος ἐπάγει, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων, ἤγουν ἵνα μὴ αἰκίζηται τὸν νεκρόν, ὡς ταὐτὸν ὂν ἀεικίαν καὶ δρύψιν εἰπεῖν καὶ ἀεικίζεσθαι καὶ δρύπτεσθαι. διφορεῖται δὲ κἀνταῦθα, ὡς καὶ ἐν Ὀδυσσείᾳ, ἡ παραλήγουσα τῆς ἀεικείας. οὐ μόνον γὰρ διὰ τοῦ ι γράφεται τῷ λόγῳ τῆς αἰκίας, ἀλλὰ καὶ διὰ διφθόγγου, ὡς ἀπὸ τοῦ ἀεικής, ὅθεν ἀείκεια, ὡς ἐπιεικὴς ἐπιείκεια. δῆλον δ' ὅτι ὡς ἀπὸ τοῦ ἀείρω καὶ φαείνω τὸ αἴρω καὶ φαίνω γίνεται, οὕτω καὶ ἀπὸ τοῦ ἀεικίζω καὶ ἀεικίας τὸ αἰκίζω καὶ ἡ αἰκία. (v. 20) Τὸ δὲ «καὶ τεθνειότα περ» ἐπεσημήνατο εἰς δεῖξιν τοῦ καὶ ἐπὶ νεκρῶν κυριολεκτεῖσθαι τὸ ἐλεεῖν, ὥσπερ καὶ τὸ σῴζειν, καθὰ δηλοῖ μετ' ὀλίγα τὸ «νέκυν σαῶσαι». Ὅρα δὲ ὅτι τὸ «τεθνειότα» συνέστειλε καὶ νῦν κοινῶς τὴν παραλήγουσαν τῷ συνήθει λόγῳ τῶν μετοχῶν. τὸ γάρ τοι ἐκτεταμένον Ἰωνικόν ἐστιν.

4.862 (v. 22) Ἐν τούτοις δὲ κεῖται καὶ τὸ μενεαίνειν οὐκ ἐπὶ προθυμίας ἁπλῶς, ἀλλ' ἐπὶ θυμοῦ. φησὶ γάρ, ὡς Ἕκτορα δῖον ἀείκιζεν Ἀχιλλεὺς μενεαίνων. (v. 23 s.) Ὅτι ἐνδεικνύμενος Ὅμηρος δυνατῶς ἔχειν ὥσπερ λύσασθαι δώρων τὸν Ἕκτορα, οὕτω καὶ διὰ κλοπῆς ὑφελέσθαι, πλάττει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς μάκαρας ἐλεαίροντας αἰκιζόμενον Ἕκτορα καὶ ὀτρύνοντας τὸν Ἑρμῆν εἰς κλοπήν. «κλέψαι» γάρ, φησίν, «ὠτρύνεσκον ἐΰσκοπον Ἀργεϊφόντην». καὶ τοῖς μὲν ἄλλοις ἤρεσκεν, τρισὶ δέ τισιν οὔ. διὸ κεκώλυτο ἡ κλοπή. (v. 25—30) Φησὶ γὰρ «ἔνθ’ ἄλλοις μὲν πᾶσιν ἑήνδανεν, οὐδέ ποθ’ Ἥρῃ οὐδὲ Ποσειδῶνι», οὐδὲ Ἀθηνᾷ, «ἀλλ’ ἔχον, ὥς σφιν πρῶτον ἀπήχθετο Ἴλιος ἱρὴ καὶ Πρίαμος καὶ λαὸς Ἀλεξάνδρου ἕνεκ’ ἄτης, ὃς νείκεσσε θεάς, ὅτε οἱ», καὶ ἑξῆς. Πλάττει δὲ τὴν ῥηθεῖσαν κωλύμην ὁ ποιητὴς διὰ τὸ τὴν μὲν κλοπὴν οὐ πάνυ πιθανῶς ἔχειν ἂν πλασθῆναι, τὴν δὲ λύτρωσιν καὶ εὐπλαστοτέραν ἔσεσθαι, καὶ πρὸς τιμῆς δὲ τῷ Ἀχιλλεῖ, καὶ ἔτι γλυκυτέραν διὰ τὸ τῆς ποιητικῆς ἐνταῦθα ῥητορείας πολυειδές, ὡς φανήσεται.

4.863 Δῆλον δὲ ὅτι κλοπῆς ἐπεστάτει Ἑρμῆς, ὃς καὶ βρέφος ἔτι ὤν, λουομένων τῆς τε μητρὸς καὶ τῶν ἀδελφῶν, τὰς ἐσθῆτας ὑφείλετο καὶ γέλωτα ποιήσας ἀπέδωκεν. ὁ δ’ αὐτὸς καὶ τὰς Ἀπόλλωνος ἔκλεψε βοῦς, ἀνθ’ ὧν καὶ τὴν χέλυν, ὅ ἐστι τὴν ἐξ ὀστράκου χελώνης γενομένην κατ’ ἀρχὰς λύραν, ἀντέδωκεν. ἐπιστατεῖ δὲ κλοπῆς, ὥσπερ καὶ λόγου καὶ κερδῶν, καὶ ἀστὴρ Ἑρμῆς κατὰ τοὺς οὐρανογνώμονας. Ἰστέον δὲ ὅτι τὸ «κλέψαι δ’ ὠτρύνεσκον» καὶ ἑξῆς τοὺς πέντε στίχους, ἀθετοῦσιν οἱ παλαιοὶ διά τε ἄλλα, καὶ ὅτι ἀπρεπὲς τοὺς ἀμφὶ τὴν Ἀθηνᾶν θυμὸν ἔχειν τὸν αὐτὸν τῷ Ἀχιλλεῖ, καὶ ὅτι θεοῖς οὐ πρέπον τὸ κλέπτειν. (v. 24) Ἐΰσκοπος δὲ Ἑρμῆς μυθικῶς μὲν ὁ δεξιὸς σκοπεῦσαι, ὃ δὴ καὶ αὐτὸ ἀγαθοῦ ἀγγέλου ἔργον ἐστίν, ἀλληγορικῶς δὲ ὁ πάντα κατὰ σκοπὸν ποιῶν. οὐδεμία γὰρ λογικὴ μέθοδος ἄλλως προβάλλεται, εἰ μὴ πρός τινα βάλῃ σκοπόν. [Ὃς δὴ σκοπὸς παντὸς ἔργου πρόκειται. ὁ δὲ τοιοῦτος ἐΰσκοπος Ἑρμῆς, ἤγουν λόγος, εἰ καὶ βρέφος ἔτι ὤν, ἀμεθόδως καὶ οὐδὲ εὐσκόπως ἔκλεπτεν, ὡς εἴρηται, ἀλλὰ τελειωθεὶς καὶ τοῦ εὖ γενόμενος κατὰ σπουδὴν κλέπτοι ἄν, ἤγουν ἐπὶ καλῷ, οὕτω δὲ καὶ δολιεύσηται, καθότι κλέπτης ὁ αὐτὸς ὑπόκειται καὶ δόλιος. καλῶς ἄρα Ἑρμοῦ λέγεται κατάγεσθαι καὶ Ὀδυσσεύς, ὁ καὶ «δόλων ἆτος» καθ’ Ὅμηρον, καὶ κλέπτειν δὲ εὖ εἰδὼς ἐπ’ ὠφελείᾳ ἑαυτοῦ τε καὶ τῶν αὐτοῦ.] (v. 28—30) Ὅτι ἐνταῦθα Ὅμηρος μέμνηται τῆς ἀλλαχοῦ ῥηθείσης τοῦ Πάριδος κρίσεως, εἰπὼν «ὃς νείκεσσε θεάς, ὅτε οἱ μέσαυλον ἵκοντο, τὴν δ’ ᾔνησεν», ἤγουν ἐπῄνεσεν, «ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν», σεμνῶς κἀνταῦθα φράσας τῇ τε σιωπῇ τῶν θείων προσώπων καὶ τῷ τῆς διηγήσεως ἀπλατεῖ καί πως καὶ μυστικῷ διὰ τὸ ἀσαφὲς τοῦ «νείκεσσε» καὶ τῶν λοιπῶν. Καὶ ὅρα ὅπως τὴν τοῦ Τρωϊκοῦ πολέμου αἰτιωτάτην πρᾶξιν τῷ τέλει τῆς Ἰλιάδος ἐταμιεύσατο, ἐπὶ τοσοῦτον ἀναρτήσας τὸν ἀκροατήν. Τινὲς δὲ ἀθετοῦσι καὶ τοῦτον τὸν τόπον.

4.864 εἰ γὰρ ᾔδει, φασί, τὴν περὶ τοῦ κάλλους κρίσιν ὁ ποιητής, πολλαχοῦ ἂν ἐμνήσθη αὐτῆς. καὶ μὴν ἔστι πρὸς τοῦτο εἰπεῖν, ὅτι πολλῶν καὶ ἄλλων ἅπαξ ὁ ποιητὴς ἐμνήσθη, ἅπερ οὐκ ἠθέτηνται. Ἀρίσταρχος δὲ διὰ τὴν τῆς μαχλοσύνης λέξιν ἀθετεῖ τὸν στίχον. νεωτέρων γὰρ ἡ λέξις καὶ Ἡσιόδειος, ἐκείνου πρώτου χρησαμένου αὐτῇ ἐπὶ τῶν Προίτου θυγατέρων. καὶ ἔτι μαχλοσύνη, φησί, κοινῶς ἐστιν ἡ ἐν γυναιξὶ μανία, ἐπὶ ἀνδρῶν δὲ οὐ τίθεται. δέδωκε δὲ Ἀφροδίτη τῷ Πάριδι οὐ ταύτην, ἀλλὰ τὴν καλλίστην Ἑλένην. διό τινες γράφουσιν οὕτως «τὴν δὲ ᾔνεσεν, ἥ οἱ κεχαρισμένα δῶρ’ ὀνόμηνε». καὶ ἄλλως δὲ φράσαι, ἀθετοῦνται κατὰ τοὺς παλαιοὺς ὥσπερ οἱ ἄνω αὐτῶν πέντε στίχοι, οὕτως καὶ οἱ ῥηθέντες δύο. νεωτέρων τε γὰρ λέξις ἡ μαχλοσύνη, καὶ οὐδὲ ἐπὶ ἀνδρῶν τίθεται. οὕτω δὲ καὶ δύο ἀνωτέρω ἠθετοῦντο ἐν τῷ περὶ αἰγίδος λόγῳ. νέφει τε γάρ, φασί, σκέπεταί τις κυανέῳ, καὶ ἡ αἰγὶς δὲ οὐκ ἔστιν Ἀπόλλωνος. ὡς δὲ ἀντιλέγεται ἡ τοιαύτη ἀθέτησις, δῆλον τοῖς εὐφυῶς ἐπιβάλλουσιν. (v. 29) Ἔστι δὲ τὸ μὲν «νείκεσσεν» ἀντὶ τοῦ κατεδίκασε φιλονείκως καὶ ὀνειδιστικῶς. εἰκὸς γὰρ τὸν χαρισάμενον τῇ Ἀφροδίτῃ φιλόνεικον ἐξενεχθῆναι ταῖς ἀντιδίκοις. Μέσαυλον δὲ ποιμενικὴ κατοικία ἤτοι ἔπαυλις, ἀγροτικὸς σταθμός.

4.865 πολλαχοῦ δὲ ἡ λέξις κεῖται, παραγομένη ἐκ τῆς αὐλῆς, ἥτις ἐκ τοῦ ἄω, τὸ πνέω, ἐπενθέσει τοῦ υ γίνεται, ὅθεν καὶ ὁ αὐλὸς καὶ ὁ αὐλών. ἀπὸ δὲ τῆς αὐλῆς καὶ τὸ αὔλιον ὑποκοριστικῶς ἢ κατὰ παραγωγήν, ὡς τὸ ἴχνιον, καὶ ἡ αὔλειος θύρα, καὶ ἐπαύλια τὰ μετὰ τὸν γάμον, ὡς δηλοῖ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Παυσανίας, ἐν οἷς λέγει ἐπαυλίαν ἡμέραν, καθ’ ἣν ἐν τῇ τοῦ νυμφίου οἰκίᾳ ἡ νύμφη πρῶτον ἐπηύλισται, καὶ ἐπαύλια τὰ μετὰ τὴν ἐχομένην ἡμέραν τοῦ γάμου δῶρα παρὰ τοῦ τῆς νύμφης πατρὸς φερόμενα τοῖς νυμφίοις ἐν σχήματι πομπῆς. παῖς γάρ, φησίν, ἡγεῖτο, χλανίδα λευκὴν ἔχων καὶ λαμπάδα καιομένην, ἔπειτα παῖς ἑτέρα κανηφόρος, εἶτα λοιπαὶ φέρουσαι λεκανίδας, σμήγματα, φορεῖα, κτένας, κοίτας, ἀλαβάστρους, σανδάλια, θήκας, μύρα, νίτρα, ἐνίοτε, φησί, καὶ τὴν προῖκα. (v. 33) Ὅτι τὸ «σχέτλιοί ἐστε, δηλήμονες» Ἀπόλλωνος μέν ἐστι λόγος πρὸς τοὺς ἀμφὶ τὸν Δία, φαύλοις δὲ ἀνδράσιν ἐπιρρηθήσεται. ἐκ τούτου δὲ παρῳδήσας ἐν Ὀδυσσείᾳ φησὶ «σχέτλιοί ἐστε θεοὶ ζηλήμονες». (v. 35—7) Ὅτι σχῆμα γοργὸν κατὰ κόμμα τὸ «οὐκ ἔτλητε νέκυν σαῶσαι ἀλόχῳ τε ἰδέειν καὶ μητέρι καὶ τέκεϊ ᾧ καὶ πατέρι Πριάμῳ λαοῖσί τε». κεῖται δὲ καὶ αὐτά, ἐν οἷς Ἀπόλλων ὀνειδίζει θεοῖς, ὡς τοσαῦτα τοῦ Ἕκτορος αὐτοῖς θύοντος, ὅτε ζῶν ἦν, ὑμεῖς, φησίν, οὐκ ἔτλητε οὐδὲ νεκρὸν αὐτὸν περισώσασθαι τοῖς ἑαυτοῦ χάριν ταφῆς, «ἀλλὰ ὀλοῷ», φησίν, «Ἀχιλῆϊ ἐπαρήγετε», καὶ ἑξῆς ὡς εὐθὺς γραφήσεται. (v. 35) Καὶ ὅρα τὸ «οὐκ ἔτλητε», δηλοῦν ὡς ἐχρῆν τλῆναι. καλῶς ἄρα σχέτλιοι προσεχῶς ἐρρέθησαν οἱ τοιοῦτοι, ὡς χρεὼν ὂν σχέσθαι αὐτοὺς καὶ τλῆναι, καθὰ εἴρηται. Ὁ δὲ τοῦ Ἀχιλλέως ἐνταῦθα ψόγος ὑπὸ Ἀπόλλωνος δίγλωσσον καὶ αὐτὸς τὸν ποιητὴν παριστᾷ, παρ’ ᾧ καὶ ἔπαινοι τοῦ Ἀχιλλέως κεῖνται καὶ ψόγοι παρεσπαρμένοι πολλαχοῦ, ὡς καὶ ἐν τοῖς ἑξῆς ἐρεῖ διὰ τοῦ Διὸς ἀπ’ ἐναντίας τοῖς ἄρτι, ὡς οὔτε ἄφρων ὁ Ἀχιλλεὺς οὔτε ἄσκοπος οὔτε ἀλιτήμων.

4.866 (v. 39) Ἀνεκτὸν δὲ «ὀλοόν» Ἀχιλλέα λέγεσθαι πρὸς τοῦ ἐχθροῦ, ὃ καὶ τοῦ Διός ποτε καταλέγεται ἐν τῷ «θεῶν ὀλοώτερος». κεφάλαιον δὲ τοῦ ψόγου ἐνταῦθα τὸ ἀπηνῆ τὸν Ἀχιλλέα εἶναι ὑπὲρ τὸ δέον, ὡς καὶ τὰ ἑξῆς δείξει. (v. 39—45) Ὅτι τοῖς ἀγαπῶσιν ἀπηνῆ ἄνδρα, ὁποῖος ἐνταῦθα λέγεται, ἐρεῖ τις βραχὺ παρῳδήσας τὸ «ἀλλὰ ὀλοῷ ἀνδρὶ βούλεσθ’ ἐπαρήγειν, ᾧ οὔτ’ ἂρ φρένες εἰσὶν ἐναίσιμοι οὔτε νόημα γναμπτὸν ἐνὶ στήθεσσι, λέων δ’ ὣς ἄγρια οἶδεν, ὅς τ’ ἐπεὶ ἂρ μεγάλῃ τε βίῃ καὶ ἀγήνορι θυμῷ εἴξας εἶσιν ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβῃσιν· ὣς ὁ δεῖνα ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδὼς γίνεται, ἥ τ’ ἄνδρας μέγα σίνεται ἠδ’ ὀνίνησιν». Ἀπόλλων δὲ ταῦτά φησιν αἰτιώμενος, ὅτι τὸν Ἀχιλλέα ἐφ’ οἷς ἀπηνῶς ἔχει ἐφ’ Ἕκτορι, οὔτε ἔλεος ὕπεισιν οὔτε αἰδώς. ὧν καὶ θάτερον καταπαύειν οἶδεν ἄμετρον ὀργήν. (v. 40 s.) Νόημα δὲ γναμπτὸν τὴν ἐπιείκειαν λέγει καὶ τὸ ἐκ μεταμέλου στρεπτὸν κατὰ τὸ «στρεπταὶ δέ τοι φρένες ἐσθλῶν», καὶ κατὰ τὸ «ἐπέγναμψεν γὰρ ἅπαντας Ἥρη». (v. 42 s.) Ὅρα δὲ ὡς καὶ ἐνταῦθα μετοχὴ ἀντὶ ὁριστικοῦ ῥήματος κεῖται. τὸ γὰρ «ἐπεὶ εἴξας θυμῷ» ταὐτόν ἐστι τῷ «ἐπειδὰν εἴξῃ». τοιοῦτον δὲ ἦν σὺν ἄλλοις καὶ τὸ «μήκων ἥ τ’ ἐνὶ κήπῳ καρπῷ βριθομένη», ἀντὶ τοῦ βρίθεται. ἔστι δὲ καὶ ὧδε ὑπαρκτικοῦ ῥήματος ἔλλειψις, ὡς καὶ ἐκεῖ. τὸ γὰρ «ἐπεὶ θυμῷ εἴξας» ταὐτόν ἐστι τῷ «ἐπειδὰν θυμῷ εἴξας εἴῃ», ὃ περίφρασίς ἐστι τοῦ θυμωθείη. εἰ δ’ ἴσως γράφεταί που «ὅς τ’ ἐπὶ ἂρ μεγάλῃ τε βίῃ» καὶ ἑξῆς, τότε δὴ ἀπράγμων ἐστὶν ἡ φράσις. λέγει γὰρ ὅτι, ὃς, ἤγουν ὁ λέων, ἐπὶ σθένει καὶ θυμῷ πεποιθὼς εἶσιν ἐπὶ μῆλα, ὃ καὶ νῦν ἁπλῶς δηλοῖ τὰ βοσκήματα. [(v. 42) Ὅρα δ’ ἐνταῦθα ἔπαινον Ἀχιλλέως συναναμεμιγμένον οἷς πρὸς Ἀπόλλωνος ἔσκωπται. τὸ γὰρ «μεγάλῃ βίῃ καὶ ἀγήνορι θυμῷ» ἀνδρίαν τῷ ἥρωϊ καὶ θαρραλεότητα ἐπιμαρτύρεται. (v. 43) Ἀστεῖον δ’ ἐνταῦθα τὸ «εἴξας». εἴκειν γὰρ δοκεῖ Ἀχιλλεὺς τῇ μεγάλῃ βίᾳ καὶ τῇ ἀγηνορίᾳ, ὅσα καὶ δεσπόταις ἐγκελευομένοις αὐτῷ.

4.867 Τὸ δὲ «ἵνα δαῖτα λάβῃσι» σκώπτει ἐς Ἀχιλλέα, ὡς καὶ μετὰ τὴν ἄνυσιν τοῦ σκοποῦ καὶ τὴν ἐφετὴν ἄγραν ἔτι ἐκθηριούμενον.] (v. 45) Τὸ δὲ περὶ τῆς αἰδοῦς γνωμικόν, δι’ οὗ δηλοῦται ὡς ἡ αἰδὼς διπλῆ ἔστιν, ἡ μὲν μέγα βλάπτουσα, ἡ δὲ ὠφελοῦσα, καὶ παρ’ Ἡσιόδῳ κεῖται, καὶ Εὐριπίδης δὲ οὕτω δοξάζει, γνωμολογεῖ δὲ οὕτω καὶ ἡ Ὀδύσσεια. (v. 46—9) Ὅτι παραμυθητικόν ποτε πένθους τὸ «μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι ἠὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν, ἀλλ’ ἤτοι κλαύσας καὶ ὀδυρόμενος μεθέηκε», τουτέστιν ἠμέλησε, «τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισι». τοῦτο δὲ γνωμικῶς εἴρηται διὰ τὸ ἐν ἀνθρώποις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τλησίπονον, ὑφ’ οὗ καὶ ὁ τοῦ γόου κόρος ταχὺ γίνεται, ὡς καὶ αὐτὸ λέγει που ὁ ποιητής. [Δείκνυται δὲ τλητὸς ὁ τοῦ ἀνθρώπου θυμὸς ἐν ἄλλοις, ὅπου γνωματεύει ὁ ποιητὴς πολλάκις δυστυχοῦντα τὸν ἄνθρωπον ἀποφάσκειν μὴ ἂν ὑπομεῖναι τοῦ λοιποῦ δυσπραγίαν, φέροντα δὲ ὅμως, εἴ που καὶ εἰσαῦθις κακόν τι καταράξει εἰς αὐτόν. διὸ καὶ ὀϊζυρότατον ἀποφαίνεται τὸ κατ’ ἄνθρωπον γένος, ὅτι καὶ τλημονέστατον.] (v. 46) Ἰστέον δὲ ὅτι τὸ «μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον» καὶ ἑξῆς, ὀνειδιστικῶς ὁ Ἀπόλλων φησὶ κατὰ προσώπου διαφορὰν περὶ Ἀχιλλέως, λέγων ὡς οἱ μὲν ἄλλοι τῶν ἀνθρώπων καὶ ἐπὶ τῶν γνησιωτάτων μεθίενταί ποτε τοῦ ἐπὶ τεθνεῶσιν αὐτοῖς ὀδύρεσθαι, Ἀχιλλεὺς δὲ οὐ τοιοῦτος ἐπὶ τῷ Πατρόκλῳ, ἀλλὰ τὸν τοῦ Ἕκτορος νεκρὸν χάριν ἐκείνου ἀπηνῶς ἀεὶ αἰκίζεται, ἵππων ἐξάπτων, ὥς που καὶ ἀλλαχοῦ προείρηται, καὶ περὶ τὸ ἐκείνου σῆμα ἕλκων. (v. 47) Τὸ δὲ «ὁμογάστριον» οὐ μάτην πρόσκειται ἀλλ’ ἢ πρὸς σαφήνειαν, ἔφθη γάρ που κασιγνήτους καὶ τοὺς αὐτανεψιοὺς εἰπεῖν, ἢ μᾶλλον ὅτι οὗτοι, ὡς καὶ ἀλλαχοῦ ἐρρέθη, ἐνδιάθετοί εἰσι τοῖς ἀδελφοῖς. τούτους μὲν γὰρ ἴσασιν ἀδελφοὺς ὄντας, τοὺς δὲ μόνον ὁμοπατρίους οἴονται. ὅθεν καὶ Λυκάων εἶπεν οὐχ’ ὁμογάστριος εἶναι τῷ Ἕκτορι, διὸ μηδὲ πάνυ φιλεῖσθαι, καὶ Ἑλένη δὲ φιλίας ἀδελφικῆς ἐπίτασιν ἐμφαίνει ἐν τῷ «οὕς μοι μία γείνατο μήτηρ». (v. 52 s.) Ὅτι ἀπειλὴ μεγιστάνων πρός τινα ἥττονα μὴ εἴκοντα τὸ «οὐ μήν οἱ τό γε κάλλιον οὐδέ τ’ ἄμεινον. μὴ ἀγαθῷ περ ἐόντι νεμεσσηθῶμέν οἱ ἡμεῖς». Ἀπόλλωνος δὲ καὶ ταῦτα κατὰ Ἀχιλλέως, ἐφ’ οἷς οὐκ ἐλεεῖ ἐκεῖνος αἰκιζόμενος τὸν Ἕκτορα. Ὅρα δὲ τὸ «νεμεσσηθῶμεν» παθητικῶς τε προφερόμενον καὶ ἐνεργητικῶς δὲ πολλαχοῦ. (v. 54) Τοῖς δὲ ῥηθεῖσιν ἐπάγει ὁ Φοῖβος καὶ τὸ «κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων», ὃ δὴ οὐκ ἐπὶ νεκρικῆς μόνον ὕβρεως, ἀλλά ποτε καὶ ἐπὶ τῶν ἄλλως δυστυχῶς καταβεβλημένων παροιμιακῶς λέγεται.

4.868 κωφὴν δὲ γῆν ἁπλῶς φησιν ἀντὶ τοῦ ἀναίσθητον διὰ τὸ καὶ ἀπὸ γῆς τὸ σῶμα εἶναι καὶ βαρὺ καὶ γεῶδες. τὸ δέ γε σῶμα τοῦ ζῶντος γαῖα μέν, οὐ κωφὴ δέ. σεμνότερον δὲ ὁ ποιητὴς Ἐμπεδοκλέος εἶπεν. ἐκεῖνος γὰρ «νέκυες» φησὶ «κοπρίων ἐκβλητότεροι». (v. 56—60) Ὅτι φορτικός τις τοξότης τυχὸν ἢ ἄλλως ἐπεσβόλος μεσιτεύων ἰσότητα τιμῆς τοῖς μὴ ἐπίσης ἀρίστοις, ἀκούσοι ἄν ποθεν τὸ «εἴη κεν καὶ τοῦτο τεόν», ἤγουν σόν, «ἔπος, ἀργυρότοξε, εἰ δὴ» ὁμοίαν τῷ δείνι καὶ δεῖνι θήσετε τιμήν». ὁ μὲν γὰρ τοιόσδε, ὁ δὲ τοιόσδε. Ἥρα δὲ ταῦτά φησι τῷ Ἀπόλλωνι, ὑπερτιθεῖσα τὸν ἐκ θεᾶς Ἀχιλλέα Ἕκτορος. (v. 57—63) Φράζει δ’ ἐνταῦθα ὁ ποιητὴς οὕτω μετὰ τὸ «ἀργυρότοξε»· «εἰ δὴ ὁμὴν Ἀχιλῆϊ καὶ Ἕκτορι θήσετε τιμήν, Ἕκτωρ μὲν θνητός τε γυναῖκά τε θήσατο μαζόν· αὐτὰρ Ἀχιλλεύς ἐστι θεᾶς γόνος, ἣν ἐγὼ αὐτὴ θρέψα τε καὶ ἀτίτηλα καὶ ἀνδρὶ πόρον παράκοιτιν Πηλεῖ, ὃς περὶ κῆρι φίλος γένετ’ ἀθανάτοισι. πάντες δ’ ἀντιάασθε θεοὶ γάμου· ἐν δὲ σὺ τοῖσι δαίνυς’ ἔχων φόρμιγγα, κακῶν ἕταρ’ αἰὲν ἄπιστε». οὗ ἀπόδειξις καὶ τὸ μυθικῶς προϊστορηθέν, ὅτι δηλαδὴ μετὰ Ποσειδῶνος συνθητεύσας τῷ Λαομέδοντι καὶ μισεῖν ὀφείλων τοὺς ἐξ ἐκείνου, καθὰ καὶ ὁ Ποσειδῶν διάκειται, ὅμως ἑταιρισάμενος αὐτοὺς ἐπικουρεῖ, τῷ ἅρπαγι καὶ κακῷ Πάριδι βοηθῶν. Σημείωσαι δὲ ὅτι τῶν μὲν κατὰ πράξεις ἐγκωμίων ἅλις ἤδη ἔχει ὁ Ἀχιλλεὺς παρὰ τῷ φίλῳ ποιητῇ, τὰ δὲ νῦν λεχθέντα τοῦ κατὰ πατέρας ἐγκωμιαστικοῦ κεφαλαίου ἔχεται, περὶ ὧν πολλαχοῦ μὲν δεδήλωται ἱστορικώτερον, ἐνταῦθα δὲ σεμνότερον διὰ τὸ ὑπὸ θείου προσώπου τὰ λεγόμενα φράζεσθαι. εἰ δὲ καὶ πρὸ τούτων συγκρίσεις τοιαῦταί τινες ἦσαν, ἀλλ’ αὕτη οὐχ’ ὁμοία ἐστὶν ἐκείναις, οὐδὲ ἀνδρίαν παραβάλλουσα, ἀλλὰ μόνην εὐγένειαν. (v. 57) Τοῦ δὲ «ὁμήν» ὅ ἐστιν ὁμοίαν, εἴρηται καὶ οὐδέτερον οὐ πρὸ πολλῶν ἐν τῷ «ὁμὸν λέχος εἰσαναβαίνοι». ἐξ ὧν ἐπίρρημα μεσότητος τὸ ὁμῶς ἤγουν ὁμοίως. (v. 58) Τὸ δὲ «Ἕκτωρ μὲν θνητός» ἦν ἂν τέλειον μετὰ συνδέσμου λεχθέν, οἷον «Ἕκτωρ μὲν γὰρ θνητός».

4.869 εἴρηται δὲ ὅμως ἀσυνδέτως, οἷα τῆς Ἥρας θυμῷ ἐγκοπτομένης τοῦ λαλεῖν ἐντελῶς. Τὸ δὲ «γυναῖκα μαζόν» ἀντὶ τοῦ γυναικεῖον κτητικοῦ ὀνόματος. Ἀττικοὶ γὰρ καὶ Δωριεῖς τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κυριωτέροις χρῶνται ἀντὶ κτητικῶν, ὥς φασιν οἱ παλαιοί, οἷον «Ἕλληνα στρατόν» τὸν Ἑλληνικόν, «ἄνθρωπον ἦθος» ἀντὶ τοῦ ἀνθρώπινον, Ἑλλάδα διάλεκτον, «δοῦλον γένος», «Σκύθην οἶμον». ἔνιοι δὲ τῶν κριτικῶν κατὰ συνωνυμίαν νοοῦσι, μεταλαμβάνοντες καὶ ταὐτὸν εἶναι λέγοντες γυναῖκα καὶ ἄνθρωπον θνητόν, ὡς λέγειν, ὅτι θνητὸν Ἕκτωρ ἐθήλαζε μαζόν. ἄλλως μέντοι ἁπλούστερον Ὁμηρικὸν τὸ σχῆμα, ἢ τῆς μιᾶς αἰτιατικῆς, ἤτοι τοῦ ὅλου, νοουμένης ἀντὶ γενικῆς, οἷον γυναικὸς μαζόν, ἢ συννοουμένης προθέσεως, ἵνα λέγῃ ὅτι γυναῖκα ἐθήλασε κατὰ τὸν μαζόν, ἢ τῷ ὅλῳ ἐπαγομένου μέρους διὰ σαφήνειαν, οἷον γυναῖκα ἐθήλασεν, ἤγουν μαζόν. οἱ μέντοι Στωϊκοὶ τοῦ πολυλογεῖν ἀφέμενοι σόλοικα τὰ τοιαῦτά φασιν. ἐνταῦθα δὲ καὶ ἔννοιαι κεῖνται συχναὶ κομματικαὶ κατὰ ὀργὴν καὶ αὐταὶ Ἥρας, ἃς ὁ θέλων ἀναλέξεται εἰς μίμησιν. (v. 60) Θρέψαι δὲ τὴν Θέτιν ἡ Ἥρα λέγει μυθικῶς μὲν χάριν σεμνώματος κατά τι ἔθος βιωτικόν, κατὰ ἀλληγορίαν δέ, ὡς τῆς Θέτιδος καὶ εἰς ἀτμίδα νοουμένης, ἥτις κουφιζομένη πρὸς ἀέρα τρέφεται, ὅ ἐστι πήγνυται καὶ πυκνοῦται καὶ οὕτω συνίσταται. ὅτι δὲ τὸ τρέφεσθαι καὶ ἐπὶ τοιούτου σημαινομένου νοεῖται, δῆλον ἐξ οὗ καὶ «τρόφι κῦμα» εἴρηται, [καὶ τροφαλίς δὲ κατὰ Ἡρῳδιανὸν ἐπὶ τυροῦ, ἧς χρῆσις καὶ παρὰ τῷ Κωμικῷ Ἀντιφάνει ἐν τῷ «τροφαλίδας τε λινοσάρκους. μανθάνεις; τυρὸν λέγω», ἵνα εἴη αἰνιγματωδῶς λέγων λινοσάρκους, ἤγουν λεπτὰς καὶ ἁπαλὰς τροφαλίδας, τὸν τοιοῦτον τυρόν. χρῆσις δὲ τοῦ εἰρημένου τρέφεσθαι παρὰ τῷ ποιητῇ ἐν τῷ «μάλα δ’ ὦκα περιτρέφεται κυκόωντι».

4.870 τῷ δὲ τοιούτῳ τρέφειν καὶ τρέφεσθαι.] ἀκολούθως καὶ ἐν τοῖς ἑξῆς ἡ Ἶρις ἄγγελος τῇ Θέτιδι πέμπεται. συνεστηκυίαις γὰρ ἀτμίσι καὶ ἤδη πεπυκνωμέναις εἰς σταγόνας, ἡ κατὰ οὐρανὸν Ἶρις ἐμφαίνεται ἀγγέλλουσα ὑετόν. (v. 60) Τὸ δὲ «θρέψα τε καὶ ἀτίτηλα καὶ πόρον παράκοιτιν» συχνὴν ἔχει χάριν. πολλοὶ γὰρ τρέφουσι μὲν θρεπτοὺς ἢ θρεπτάς τινας, οὐκ ἀτιτάλλουσι δέ, ἀλλὰ βίῳ τρύχουσι τάλανι, ἢ καὶ ἄμφω ταῦτα ποιοῦντες, οὐ τελοῦσι καὶ γάμους αὐτοῖς, ἀλλ’ ἀφιᾶσιν ἀσπέρμους οἴχεσθαι. [Τὸ δὲ «ἀνδρὶ πόρον» Ὁμήρῳ σύνηθες λέγειν. οὐ γὰρ ἀνὴρ γυναικί, ἀλλὰ γυνὴ ἀνδρὶ ὀρθῶς λέγεται δίδοσθαι, ὡς μὴ ἄρξουσα τοῦ ἀνδρὸς ἀλλ’ ἀνάπαλιν πεισομένη. ἔχει δέ τι καὶ ἀστειότητος τὸ «πόρον παράκοιτιν Πηλεῖ», ὡς οἷά τι δηλαδὴ δῶρον, κατὰ τὸ «ἀτὰρ δόρυ Μηριόνῃ πόρωμεν». δῶρον γὰρ καὶ ἐκεῖνο τὸ δόρυ. ὅτι δὲ τοιούτου δώρου, ἀγαθῆς δηλονότι γυναικός, οὐκ ἔστι ληΐσασθαί τι ἄμεινον, ποιητικὴ γνώμη μαρτυρεῖ.] (v. 62) Τὸ δὲ «πάντες ἀντιάασθε θεοὶ γάμου», καὶ ἑξῆς, χρησιμεύσει μέν πως καὶ εἰς λόγον γαμήλιον παρῳδηθέν, παραποιηθήσεται δὲ ἐν μέρει καὶ εἰς ὄνειδος ἀνδρὸς βλάπτοντος τοὺς συμποσιάσαντας. Ὅρα δ’ ἐνταῦθα καὶ ὅτι τὸ «ἐν δὲ σύ» τούτοις, ἐκ περισσοῦ κεῖται. ἐν γὰρ τῷ «πάντες ἀντιάασθε» νοεῖται πάντως τὸ σύ. θυμοῦ δὲ ὅμως ταράττοντος καὶ οἷον λήθης γενομένης ἰδίᾳ τὸ σύ κατὰ τὸ πλεονάζον ἐκπεφώνηται. (v. 63) Κακῶν δὲ ἕταρον τὸν Ἀπόλλωνα λέγει, οἷον Ἀλεξάνδρου, ὡς ἐρρέθη, καὶ Ἕκτορος, καὶ ὅλως τῶν ὑπερφιάλων Τρώων. μέγα δὲ πάντως εἰς ὕβριν τὸ τοὺς κακοὺς ἑταιρίζεσθαι. διὸ καὶ Ἡσίοδος παραινεῖ μὴ κακῶν ἕταρον εἶναι. [Τὸ δὲ «αἰὲν ἄπιστε» οὐ μακράν ἐστι τοῦ ἀλλοπρόσαλλον σκῶψαι καὶ τὸν Ἀπόλλωνα.] (v. 65—8) Ὅτι ἀπολύων τις ἑαυτὸν αἰτίας ἐφ’ οἷς ὀργὴν ἔχει ὡς μεγίστῳ τινὶ παρεξισῶν ἐλάττονα φιλότιμον ἄνδρα, εἴποι ἂν «μὴ δὴ πάμπαν ἀποσκύδμαινε· οὐ μὲν γὰρ τιμή γε μί’ ἔσσεται· ἀλλὰ καὶ ὁ δεῖνα φίλτατος ἔσκεν· ὣς γὰρ ἔμοιγε, ἐπεὶ οὔ τι φίλων ἡμάρτανε δώρων», ἤγουν ἐπεὶ μεγαλόδωρος ἦν. Ζεὺς δὲ ἄλλως τοῦτό φησι πρὸς Ἥραν περὶ Ἕκτορος, λέγων μὴ δεῖν εἶναι σκυδμαίνειν ἐκείνην. εἰ γὰρ καὶ μὴ ἐν μιᾷ ἔσται τιμῇ Ἕκτωρ καὶ Ἀχιλλεύς, ἀλλ’ ὅμως καὶ ὁ Ἕκτωρ φίλος οὐχ’ ἁπλῶς, ἀλλὰ φίλτατος Ἰλιέων διὰ λοιβὰς καὶ κνίσσας, ἅς οἱ κατὰ τὸν Δία γέρας ἔλαχον. [(v. 66) Τὸ δὲ μία ἐν τῷ «τιμή γε μία» ἶσόν ἐστι τῷ τιμὴ ὁμή, ὅπερ εἴρηται πρὸ βραχέων.] (v. 68) Τὸ δὲ «ὣς γὰρ ἔμοιγε» γοργῶς εἴρηται ἀντὶ τοῦ οὕτω γὰρ ἔμοιγε ἦν, φίλτατος δηλαδή.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4.871 (v. 71 s.) Ὅτι ἀπανούργου ἤθους τὸ «ἀλλὰ κλέψαι μὲν ἐάσομεν, οὐδέ πῃ ἔστι λάθρῃ» τοῦ δεῖνος. περὶ Ἀχιλλέως δὲ ὁ λόγος τῷ Διῒ κωλύοντι κλαπῆναι τὸν Ἕκτορα διὰ τὰς προρρηθείσας αἰτίας, καὶ μάλιστα κατὰ μῦθον, ἐπεὶ μὴ δυνατὸν λαθεῖν τὸν Ἀχιλλέα διὰ τὸ τὴν μητέρα Θέτιν ἀεὶ σὺν αὐτῷ εἶναι παραμυθουμένην. (v. 73) Κεῖται δ' ἐνταῦθα καὶ τὸ «παραμέμβλωκεν» ἀντὶ τοῦ παραμεμέληκεν ἢ παραμεμόληκε, περὶ οὗ προδεδήλωται. φησὶ γὰρ ὅτι τῷ Ἀχιλλεῖ «αἰεὶ μήτηρ παρμέμβλωκεν ὁμῶς νύκτας τε καὶ ἦμαρ», ὅπερ ἐπιμέλειαν δηλοῖ παράμονον. Καὶ ὅρα καὶ νῦν ὡς οὐδὲν κωλύει νύκτας τε καὶ ἦμαρ εἰπεῖν καὶ νύκτας καὶ ἤματα. καὶ γὰρ καὶ τὸ ἦμαρ κατὰ προσηγορίας ἔννοιαν καθολικὴν ταὐτόν ἐστι τῷ ἤματα. (v. 74) Ὅτι τὸ «ἀλλ' εἴ τις καλέσειε Θέτιν»—Ζεὺς δὲ καὶ τοῦτό φησι—ταὐτόν ἐστι τῷ «ἀλλ' ἄγε τις καλεσάτω». κατ' ἔλλειψιν δὲ δοκεῖ καὶ αὐτὸ ἐσχηματίσθαι, ὡς τοῦ ὅλου τοιούτου ὄντος «ἀλλ' εἴ τις καλέσειε» τὴν Θέτιν, θέλοιμι ἂν τοῦτο, ἢ βουλοίμην, ἢ τοιόνδε τι, ὥστε καὶ ἐν τῷ «εἰ δ' ἄγε μὴν πείρησαι» καὶ τοῖς ὁμοίοις λείπει ῥῆμα, ἵνα λέγῃ· εἰ δὲ βούλει ἢ θέλεις. οὕτω καὶ ἐνταῦθα ὁ ει σύνδεσμος ῥῆμα ἐπαγόμενον ἔχει τὸ «καλέσειε». δύναται μέντοι ἄλλως καὶ αὐτὸς νοεῖσθαι ἀντὶ τοῦ εἶα δὲ φέρε, καθάπερ καὶ ἐκεῖ, ἵνα νοηθέντος τοῦ «καλέσειε» προστακτικῶς λέγῃ, ἀλλ' εἶα δὴ φέρε καλέσειεν ἤτοι καλεσάτω τις. (v. 75 s.) Ὅτι ἀνωτέρω τὸ λαχεῖν αἰτιατικῇ συντάξας ἐν τῷ «τὸ γὰρ λάχομεν γέρας ἡμεῖς», ἐνταῦθα γενικὴν ἐπ' αὐτοῦ ποιεῖται σύνταξιν, εἰπὼν «ὥς κεν Ἀχιλλεὺς δώρων ἐκ Πριάμου λάχῃ ἀπό θ' Ἕκτορα λύσῃ». ἡ δ' αὐτὴ σύνταξις καὶ ἐν τῷ «πυρὸς λαχεῖν». Κυροῦται δὲ ἐν τούτοις ὑπὸ Διὸς ἡ διὰ δώρων λύσις τοῦ Ἕκτορος διὰ μέσης τῆς μητρὸς Θέτιδος, ἣν λύσιν καὶ ἐπαινῶν ὁ τοῦ μύθου Ζεὺς πυκινὸν ἔπος λέγει τὴν περὶ ταύτης συμβουλήν. δῆλον δὲ ὡς τὸν ἐν ἑαυτῷ Δία νοῦν Ὅμηρος ἐπαινεῖ διὰ τὸ πιθανὸν τῆς τοιαύτης πλάσεως. (v.

4.872 78 s.) Ὅτι πεμφθεῖσα πρὸς Διὸς εἰς Θέτιν ἡ μυθικὴ Ἶρις «μεσσηγὺς Σάμου τε καὶ Ἴμβρου παιπαλοέσσης ἔνθορε μείλανι πόντῳ», οὕτω κειμένῳ τοπικῶς. Σάμον δ' ἐνταῦθα τὴν Θρῃκίην Σάμον, ἤτοι Σαμοθρᾴκην, φησίν, ἣ Λευκωνία, φασί, πρότερον ἐκαλεῖτο, εἶτα ὑπὸ Σαμίων οἰκισθεῖσα, ὧν τὰ σκάφη αὐτόθι αἰχμάλωτοι Θρῇσσαι κατέκαυσαν, Σαμοθρᾴκη ὠνόμασται. Σάμος δὲ ἐλέγετο διὰ τὸ ὑψηλόν. σάμους γὰρ οἱ τότε τοὺς λόφους ἔλεγον, ὡς ἔν τε ἄλλοις καὶ τοῖς τοῦ Περιηγητοῦ εἴρηται. (v. 79) Τὸ δὲ «μείλανι» ἐπενθέσει τοῦ ι γέγονεν ἐκ τοῦ μέλας μέλανος, ὃν τρόπον καὶ ὁ Μελανίων τὸ κύριον Μειλανίων λέγεται καὶ τὸ θεμέλιον θεμείλιον καὶ τὸ μελίσσειν καὶ ὁ μέλιχος μειλίσσειν καὶ μείλιχος, ὅθεν καὶ τὰ προηρμηνευμένα ἐπιμείλια. Μέλας δὲ πόντος ὁ ὕστερον Καρδιανὸς κόλπος ἀπὸ Καρδίας πόλεως. καλεῖται δὲ Μέλας ἢ ἀπὸ ποταμοῦ Μέλανος ἐκεῖ που ἐμβάλλοντος, ἢ διὰ τὴν ἐκ βάθους μελανίαν, ἢ διότι ποταμὸς διὰ μελαγγείων ῥέων μελαίνει αὐτόν. ἐκεῖ δέ πού ἐστι καὶ ἡ λεγομένη Σαρπηδονία ἄκρα. γέγονε δέ τις μνεία τοῦ τοιούτου πόντου ἤτοι κόλπου [καὶ] ἐν τοῖς τοῦ Περιηγητοῦ, ὃν ὁ ποιητὴς καὶ λίμνην λέγει, εἰπὼν «ἐπεστενάχισε δέ», ἢ ἐπεστονάχισε, «λίμνη». σύνηθες δὲ τὸ τοιοῦτον ῥῆμα τῇ ποιήσει, καθὰ καὶ τὸ στένειν, ἐπὶ θαλάσσης καὶ αὐτό που λεχθέν. (v. 80) Ὅτι Θέτιν μὲν ἀνιοῦσαν ἐκ θαλάττης εἴκασεν ὁμίχλῃ ἀλλαχοῦ, ὡς δεδήλωται, Ἶρις δὲ ἐνταῦθα τῇ Θέτιδι ἄγγελος ἐκ Διὸς κατὰ μῦθον ἥκουσα—ἡ γὰρ ταύτης ἀλληγορία πρὸ βραχέων εἴρηται—«μολυβδαίνῃ ἰκέλη ἐς βυσσὸν ὄρουσεν». ἦν γὰρ ἐκεῖ μὲν χρεία κουφότητος εἰς ἄνοδον, ἧπερ οἰκεῖον τὸ τῆς ὁμίχλης ἀνωφορούμενον, ἐνταῦθα δὲ βάρους εἰς κατάδυσιν, ὃ ῥᾷον πάσχει μόλιβδος.

4.873 (v. 81 s.) Εἶτα ἑρμηνεύων, τίνα λέγει μολύβδαιναν, φησὶν «ἥ τε κατ' ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα ἔρχεται», ὅ ἐστι κατέρχεται, «ὠμηστῇσιν ἐπ' ἰχθύσι κῆρα φέρουσα». ἔστι γὰρ μολύβδαινα ὁ πρὸς τῇ ὁρμιᾷ καὶ τῷ ἀγκίστρῳ περιτιθέμενος μόλιβδος διὰ τὸ θᾶττον καθικνεῖσθαι, ὅ ἐστι καθίεσθαι, τὸ ἄγκιστρον. Ἰστέον δὲ ὅτι τὴν παραλήγουσαν τοῦ μόλιβδος διὰ τοῦ υ προέφερον οἱ ἀρχαῖοι, ὡς καὶ τοῦ βίβλος. Αἴλιος γοῦν Διονύσιός φησιν, ὅτι μόλυβδος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὰ τοῦ υ καὶ δ . ὅθεν δηλαδὴ ὁμοιόγραφος καὶ ἡ μολύβδαινα. ἐν δὲ τῷ «μόλιβος ὡς ἐτράπετ' αἰχμή» διὰ μέτρον, φασίν, οὕτω γέγραπται. ἐπεὶ καὶ Ἴωνες ὁμοίως Ἀττικοῖς μόλιβδον λέγουσιν. ὅθεν καὶ τὸ «μολυβδαίνῃ ἰκέλη». Βοὸς δὲ κέρας μέρος τι ἀπὸ ὅλου κέρατος, ᾧ τρόπῳ καὶ ἐλέφας ἀλλαχοῦ τὸ ἐξ ἐλέφαντος ὀστοῦν. ἦν γὰρ σύριγξ κερατίνη ἐκ βοός, ἣν προσῆπτον μεταξὺ ὁρμιᾶς καὶ ἀγκίστρου διά τε τὸ πρὸς τὴν θάλασσαν ὁμόχροον τοῦ κέρατος, καὶ ὅπως μὴ ἀποτρώγωσιν οἱ ἰχθύες τὸ λίνον. οἱ δὲ νεώτεροι κέρας καὶ νῦν εἶπον συμπλοκὴν τριχῶν, ὡς εἶναι κέρας βοὸς πλέγμα βοείων τριχῶν, οἷα τοιαύτης πάλαι ποτὲ οὔσης τῆς ὁρμιᾶς. ὁ δέ γε ποιητὴς λίνῳ φησί που καὶ ἤνοπι χαλκῷ, ὡς καὶ λιναῖς χρωμένων ὁρμιαῖς. οἱ δὲ ὕστερον καὶ ἱππείαις θριξὶ χρῶνται. ὅτι δὲ κέρας καὶ ἐπὶ τριχῶν λέγεται, δηλοῦσι καὶ οἱ ἐπὶ Ἀλεξάνδρου τὸ «κέρ' ἀγλαέ» εἰπόντες ἀντὶ τοῦ λαμπρὲ τὴν ἐπιπλοκὴν τῶν τριχῶν. (v. 80) Τὸ δὲ βυσσός, ὃ πλεονασμῷ ἢ ἐπιτάσει γίνεται ἄβυσσος, ὀξύνεται κανόνι τοιούτῳ.

4.874 τὰ εἰς ος ὀνόματα δισύλλαβα, μὴ ἀπὸ φωνήεντος ἀρχόμενα, διπλοῦν ἔχοντα τὸ ς , ὀξύνεται· κισσός, βυσσός. ἀντιπίπτει τὸ Νέσσος, κύριον ὄνομα. (v. 81) Τὸ δὲ «ἐμβεβαυῖα» ταὐτὸν ἂν εἴη τῷ ἐπιβεβηκυῖα ἤτοι ἐπικειμένη. οἱ δέ γε μεθ' Ὅμηρον καὶ στασιώδη τὴν τοιαύτην οἴδασι λέξιν, ὅτε μετὰ τῆς ἐπι ἢ προς προθέσεως σύγκειται. ἐπεμβαίνει γοῦν τις ἐχθρῷ κειμένῳ, ναὶ μὴν καὶ προσεμβαίνει κατὰ τὸ «οὐ γὰρ θανόντι καὶ προσεμβῆναί σε χρή». (v. 82) Τὸ δὲ ὠμηστής οὐ μόνον ἰχθύων, ἀλλὰ καὶ λεόντων καὶ τῶν ὁμοίων θηρίων ἐπίθετόν ἐστιν. (v. 83—5) Ὅτι Θέτις ἐν μέσαις Νηρηΐσιν, ἃς καὶ ὧδε καλεῖ ἁλίας θεάς, ἔκλαιε τὸν υἱὸν Ἀχιλλέα θανούμενον. Καὶ ὅρα ὡς οὕτω πάνυ συχνὰ ὁ ποιητὴς ἀναφωνεῖ τὰ κατὰ τὸν Ἀχιλλέα, μεμνημένος αὐτοῦ τὸν μὲν καιρὸν τοῦ μηνίειν, ὡς ἐξελευσομένου εἰς μάχην, εἶτα ὕστερον καὶ ὡς τεθνηξομένου. περιπαθὲς δὲ τὸ κλαίειν τὸν ζῶντα, ὅπερ ἡ Θέτις ἐπὶ τῷ υἱῷ ποιεῖ. καί φασιν οἱ παλαιοί, ὡς ἐπεὶ μέλλει καταστρέφειν, ἤγουν τελειοῦν, τὸν λόγον ὁ ποιητὴς εἰς τὰς τοῦ Ἕκτορος ταφάς, ἐγκαταλείπει πόθου τι κέντρον τοῖς ἀκροαταῖς δι' ὧν ἐν τούτοις λαλεῖ, ὥστε ποθεῖν ἀκοῦσαί τι καὶ περὶ τῆς Ἀχιλλέως ἀναιρέσεως καὶ ἐννοεῖσθαι οἷος ἂν ὁ ποιητὴς ἐγένετο καὶ αὐτὰ διατιθέμενος. (v. 83—6) Φράζει δ' ἐνταῦθα ὁ ποιητὴς οὕτως «εὗρε δ' ἐνὶ σπῆϊ γλαφυρῷ Θέτιν», ἡ Ἶρις δηλαδή, «ἀμφὶ δέ τ' ἄλλαι εἵαθ' ὁμηγερέες ἅλιαι θεαί· ἣ δ' ἐν μέσσῃς' ἔκλαιε μόρον οὗ παιδὸς ἀμύμονος, ὅς οἱ ἔμελλε φθίσεσθαι», καὶ ἑξῆς. ταῦτα δὲ παρῳδηθήσεταί ποτε καὶ εἰς ἑτεροῖον συγγενικὸν κλαυθμόν. (v. 90—2) Ὥσπερ καὶ ὁ ἐν τῷ πάνυ λυπεῖσθαι κληθεὶς ὑπό τινος μεγάλου καὶ ὑπακούσας ἐρεῖ ἄν, παρῳδήσας τὰ ἑξῆς τῆς Θέτιδος παρὰ δύο μόνας λέξεις, «τίπτε με κεῖνος ἄνωγε μέγας θεός; αἰδέομαι δὲ μίσγεσθ' ἀθανάτοισιν· ἔχω δ' ἄχε' ἄκριτα θυμῷ· εἶμι μέν, οὐδ' ἅλιον ἔπος ἔσσεται ὅττι κεν εἴπῃ». ἀλλαγὲν γὰρ τὸ θεός εἰς τὸ ἀνήρ καὶ τὸ ἀθανάτοισιν εἰς τὸ κρείττοσι ποιήσοι ἂν παρῳδίαν εὔχρηστον. (v. 104—6) Ὁ δέ γε τοιοῦτον πρόσωπον καλέσας ἐρεῖ ἂν ἐλθόντι κατὰ παρῴδησιν ὁμοίαν τὸ «ἤλυθες κηδόμενός περ, πένθος ἄλαστον ἔχων μετὰ φρεσίν· οἶδα καὶ αὐτός. ἀλλὰ καὶ ὣς ἐρέω τοῦ ς' εἵνεκα δεῦρο κάλεσσα». Ζεὺς δὲ τὸ τοιοῦτον πρὸς τὴν Θέτιν εἶπε κατὰ σχηματισμὸν δηλαδὴ γένους θηλυκοῦ.

4.875 Ἰστέον δὲ ὅτι, ὅπερ οἱ οἶκοι ἀνθρώποις, τοῦτο καὶ σπήλαια δαίμοσι τοῖς κάτω κατὰ τὸν μῦθον. οὕτως ἡ Καλυψὼ οἰκεῖ, οὕτως ἡ Κίρκη, οὕτω καὶ ἡ Θέτις, καὶ τὰ κατ' αὐτὴν δαιμόνια. (v. 91) Ἄκριτα δὲ ἄχεα τὰ πολλά, ὡς καὶ ἀκριτόμυθος ὁ πολύμυθος. κομματικὸν δὲ ἡ ῥηθεῖσα φράσις τῆς Θέτιδος, ἀναλόγως προσώπῳ ἐγκοπτομένῳ τὸ πνεῦμα ὑπὸ κλαυθμοῦ. (v. 105) Τὸ δὲ πένθος ἔχειν ἄλαστον, ἐξ οὗ τὸ ἐπαλαστεῖν, ἐφερμηνευτικόν ἐστι τοῦ κήδεσθαι, ἵνα ᾖ ἐν τοῖς ῥηθεῖσι κήδεσθαι τὸ πενθικῶς βλάπτεσθαι. (v. 93 s.) Ὅτι διὰ πένθος τὸ ἐπὶ Ἀχιλλεῖ, καὶ ταῦτα ζῶντι ἔτι, κάλυμμα ἡ Θέτις ἕλε κυάνεον, ὡς εἰκὸς τοὺς ἐπὶ νεκροῖς παθαινομένους. «τοῦ δ' οὔ τι μελάντερον ἔπλετο ἔσθος». προσέθετο δὲ τὸ «ἔσθος» διά τε νύκτα βαθεῖαν καὶ νέφη μέλανα, ἴσως δὲ καὶ πίσσαν κατὰ τὸ «μελάντερον ἠΰτε πίσσα», καὶ ἕτερα τοιαῦτα, ἤδη δὲ μᾶλλον διὰ τὴν τοῦ Ἄϊδος κυνέην, ἥτις εἰ καὶ μελαντάτη, ἀλλ' ὅπλον ἦν, οὐ μὴν ἔσθος. ψιλοῦται δὲ τὸ

ἔσθος κανόνι τοιούτῳ. τὸ ς , πρὸ δασέος κείμενον, ψιλοῖ τὸ πρὸ αὐτοῦ φωνῆεν· ὀσφύς, ἀσφόδελος, ἀσφάραγος, ἀσχάλλω, ὀσχεός, ἰσχάς, ἐσθλός. οὕτως οὖν καὶ ἔσθος. (v. 96) Ὅτι λιάζεσθαι ἐνταῦθα τὸ διαχωρίζεσθαι καὶ διΐστασθαι, ἢ καὶ ἁπλῶς κινεῖσθαι. φησὶ γοῦν «ἀμφὶ δέ σφι λιάζετο κῦμα θαλάσσης», ἤγουν ἀμφὶ τῇ Ἴριδι καὶ τῇ Θέτιδι ἐκινεῖτο, οἷά τι αἰσθητικὸν καὶ νοοῦν, καθὰ καὶ εἴ τις ὁδοῦ ὑπεξίσταται διερχομένοις τοῖς κρείττοσιν. (v. 97) Ὅτι τὸ «ἀκτὴν δ' εἰσαναβᾶσαι εἰς οὐρανὸν ἀϊχθήτην» παρῳδηθήσεται ἂν εἴς τινας ὡς ἐκ βυθοῦ δυστυχίας ἠρέμα παρυψωθέντας εἰς τὸ τῆς εὐδαιμονίας ἀκρότατον. Ἶρις δὲ καὶ Θέτις ἐνταῦθά εἰσιν αἱ ἐκ βάθους θαλάσσης οὐρανόθι ἀΐξασαι. εἰ δὲ ἀναβαίνεται ἡ ἀκτή, καλῶς ἄρα εἴρηται τὸ «ὑψοῦ ἐπὶ ψαμάθοισι». (v. 98 s.) Τὸ δὲ «εὗρον εὐρύοπα Κρονίδην, περὶ δ' ἄλλοι ἅπαντες εἵαθ' ὁμηγερέες μάκαρες θεοὶ αἰὲν ἐόντες» παρῳδήσοι τις ἂν εἰς συνεδρίαν μεγάλων ἀνδρῶν. (v. 101 s.) Ὅτι δεξιωτικὴν δηλοῖ πρόποσιν τὸ «Ἥρη δὲ χρύσεον καλὸν δέπας ἐν χερὶ θῆκε καί ῥ' εὔφρην' ἐπέεσσι. Θέτις δ' ὤρεξε πιοῦσα», ἤτοι ἀντέστρεψε τὸ ποτήριον. Ἰστέον δὲ ὅτι τὸ «εὔφρην' ἐπέεσιν» ἔπαιξέ τις [ἀσυναλείπτως] οὐ πρὸ μακροῦ ἐπὶ γυναικός, ἣν ἔγνω χαίρουσαν εἰς τὸ πέος, οὗ χρῆσις καὶ παρὰ τῷ Κωμικῷ, ἀφ' οὗ καὶ ὁ πειώλης παράγεται.

4.876 (v. 108) Ὅτι πτολίπορθον κἀνταῦθα τὸν Ἀχιλλέα λέγει, συντάσσων καὶ τὴν ἀμφι πρόθεσιν μετὰ δοτικῆς ἐν τῷ «ἐννῆμαρ δὴ νεῖκος ἐν ἀθανάτοισεν ὄρωρεν Ἕκτορος ἀμφὶ νέκυϊ καὶ Ἀχιλλῆϊ πτολιπόρθῳ». (v. 107 s.) Καὶ ὅρα πάλιν τὸ ἐννῆμαρ», ἀμάρτυρον μὲν ὄν, ποθητὸν δὲ τῷ φιλομούσῳ ποιητῇ. λέγει δὲ νεῖκος τὸ περὶ τῆς, ὡς ἐρρέθη, μελετωμένης κλοπῆς ἐπὶ Ἕκτορι. (v. 109) Ἐπάγει οὖν «κλέψαι δ' ὠτρύνεσκον ἐΰσκοπον Ἀργεϊφόντην», ὡς καὶ προγέγραπται. (v. 110 s.) Ὅπερ κωλύων ὁ τοῦ μύθου Ζεὺς λέγει πρεπόντως χάριτι φιλικῇ τὸ «αὐτὰρ ἐγὼ τόδε κῦδος Ἀχιλλῆϊ προτιάπτω, αἰδῶ καὶ φιλότητα τεὴν μετόπισθε φυλάττων». Καὶ ὅρα τὸ «προτιάπτω», ἤγουν προσάπτω καί, ὡς εἰπεῖν, προσκολλῶ, ἐξ οὗ λαβόντες οἱ μεθ' Ὅμηρόν φασι προσάπτεσθαί τινι αἰτίασιν καὶ ὅσα τοιαῦτα. εἰ δὲ γράφεται κατά τινα τῶν ἀντιγράφων «προϊάπτω», σημείωσαι ἄλλο τοῦτο προϊάπτειν παρὰ τὰ δεδηλωμένα ἤδη πρὸ τούτων. (v. 113—6) Ὅτι κρίνων ὁ ποιητὴς οὐκ ἀγαθὸν εἶναι τὸν Ἀχιλλέα τῷ Ἕκτορι, ποιεῖ τὸν Δία δηλοῦντα τῷ Ἀχιλλεῖ διὰ τῆς μητρὸς Θέτιδος, ὡς μαινόμενος τὸν Ἕκτορα ἔχει παρὰ νηυσὶν οὐδ' ἀπέλυσεν. (v. 116) Ἐπεὶ δὲ ἀλόγιστον δοκεῖ τὸ λεχθέν. πῶς γὰρ ἂν ἀπέλυσεν Ἀχιλλεὺς τὸν μή ποθεν αἰτηθέντα; —ἦν δὲ καὶ σφοδρὰ ἡ λέξις τοῦ μαίνεσθαι—φησὶν «αἴ κέν πως ἐμέ τε δείσῃ» καὶ ἑξῆς, διδάσκων ἐν τούτοις ὡς ἔστιν οὗ ὁ ἐνδόξως μηνύων τῷ πάνυ ἐλάττονι αὐστηρότερον τοὺς λόγους μεταχειρίσεται καὶ βαρύτερον ἐνσκήψει. οὕτω γὰρ καὶ ἐνταῦθα οὐ μόνον σφοδρὸν τὸ μαίνεσθαι τὸν Ἀχιλλέα φρεσίν, ἀλλὰ καὶ ἀχθεινὸν τὸ «οὐδ' ἀπέλυσε».

4.877 μονονουχὶ γὰρ ἀπαιτεῖ τὸν Ἀχιλλέα, ἐκεῖνον φθάσαι ποτνιάσασθαι πρὸς τῶν Τρώων τὴν λύσιν τοῦ Ἕκτορος. ὅτι δὲ ἄλλως ὁ Ὁμηρικὸς Ζεύς, ἤτοι νοῦς, οὐ φύσει μαινόμενον φρεσὶν οἶδε τὸν Ἀχιλλέα, δηλοῖ ἐν οἷς ἐρεῖ ὅτι οὔτε ἄφρων ἐστὶ καὶ ἑξῆς. (v. 112—6) Ἡ δὲ ποιητικὴ ἐνταῦθα φράσις τοιαύτη «αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ καὶ υἱέϊ σῷ ἐπίτειλον· σκύζεσθαί οἱ εἰπὲ θεούς, ἐμὲ δ' ἔξοχα πάντων ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν Ἕκτορ' ἔχει παρὰ νηυσὶν οὐδ' ἀπέλυσεν, αἴ κέν πως ἐμέ τε δείσῃ ἀπό θ' Ἕκτορα λύσῃ». (v. 117—9) Εἶτα καὶ προέκθεσιν γράφων τῶν ἐφεξῆς ἱστορηθησομένων ἐπιφέρει «αὐτὰρ ἐγὼ Πριάμῳ μεγαλήτορι Ἶριν ἐφήσω λύσασθαι φίλον υἱόν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν, δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ», τουτέστιν εὐφράνῃ, διαχέῃ. οὓς δὴ δύο στίχους καὶ μετ' ὀλίγα ἐν τοῖς κατὰ τὴν Ἶριν θήσει ὁ ποιητής. (v. 112) Ἰστέον δὲ ὅτι τε πάνυ πιθανολογεῖ τὴν τοῦ Ἕκτορος λύσιν ἡ τοῦ Διὸς ἀπειλὴ κατὰ Ἀχιλλέως καὶ ἡ τῆς μητρὸς πρὸς αὐτὸν ἀγγελία καὶ ὁμιλία, καὶ ὅτι τὸ «υἱέϊ σῷ ἐπίτειλον» ταὐτόν ἐστι τῷ «ἄγγειλον», ὡς δηλοῖ ἐν τοῖς ἑξῆς τὸ «ἄγγειλον Πριάμῳ». ὃν μεγαλήτορα λέγει ὡς μεγάλου κατατολμήσαντα πράγματος τοῦ εἰς τὸν ἔχθιστον Ἀχιλλέα τε καὶ στρατὸν νύκτωρ ἐλθεῖν. Ὅρα δὲ ὅτι τοῖς παίζειν τὰ σχεδικὰ ἐθέλουσιν ἀφορμὴν δίδωσι τὸ «αἴ κέν πως ἐμέ τε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δείσῃ ἀπό θ’ Ἕκτορα λύσῃ», ὡς τοῦ «δείσῃ» καὶ δειλίαν δηλοῦντος καὶ δεσμὸν κατά γε μόνην τὴν προφοράν, ᾧ δὴ δεσμῷ λύσις ἀντίκειται, ὡς καὶ τῷ δήσειν τὸ λύσειν. Σημείωσαι δὲ καὶ ὅτι πλείστη ἐν τῷ γράμματι τούτῳ ἡ χρῆσις τῶν κινήσεων τοῦ λύω ῥήματος ἁπλῶς τε καὶ μετὰ τῆς απο προθέσεως, καὶ ἐνεργητικῶς καὶ παθητικῶς, οἷον «οὐδ’ ἀπέλυσε», καὶ «ἀπό θ’ Ἕκτορα λύσῃ», καὶ «λύσασθαι φίλον υἱόν», καὶ «ἀλλά γε δὴ λῦσον», καὶ ἄλλα. οὐ γὰρ ἔχει λέξιν καιριωτέραν ἐπὶ τῆς τοῦ Ἕκτορος λύσεως, ἤγουν ἀποδόσεως τῆς διὰ λύτρων. [(v. 117) Τὸ δὲ «ἐφήσω» ἐνταῦθα μὲν ἀντὶ τοῦ ἐπιπέμψω κεῖται, ἀλλαχοῦ δὲ δύναται ἶσον τῷ ἐντελοῦμαι, ἀφ’ οὗ καὶ ἐφημοσύνη ἡ ἐντολή.] Ἰστέον δὲ καὶ ὅτι δύο ἀγγελιῶν γεγονυιῶν ἐνταῦθα, μιᾶς, ἣν ἡ Θέτις ἤγγειλε τῷ υἱῷ, ἑτέρας δέ, ἣν ἡ Ἶρις τῷ Πριάμῳ, αἳ δὴ καὶ ἄμφω Διὸς εἶναι εἶπον ἄγγελοι, αὐτὰ ἐκεῖνα Ὁμηρικῷ ἔθει λέγουσιν ἀπαραποιήτως αἱ ἀγγέλλουσαι, ἅπερ ὁ στείλας ἐκέλευσε Ζεύς, ἡ Θέτις μὲν ἐν στίχοις τρισίν, ἡ δὲ Ἶρις ἐν ιβʹ μικρόν τι παραποιήσασαι τὰς τοῦ Διὸς ἐπιτολὰς ἐν ἀντωνυμίαις καὶ ἑτέροις ὀλίγοις, ὡς ἂν ἐκ πρώτου προσώπου τοῦ κελεύοντος ἑτέρῳ τρίτῳ δηλαδὴ προσώπῳ τῷ κελευομένῳ οἱ λόγοι ἁρμόσαιεν.

4.878 (v. 123 s.) Ὅτι πενθίμου τραπέζης δηλοῖ σχῆμα τὸ «φίλοι δ’ ἀμφ’ αὐτὸν ἑταῖροι ἀδινὰ στενάχοντα ἐσσυμένως ἐπένοντο καὶ ἐντύνοντο ἄριστον». Καὶ ὅρα ὅτι κατὰ τὴν παρατήρησιν τῶν παλαιῶν ἅπαξ νῦν ὧδε ἄριστον εἶπε τὸ πρωϊνὸν ἔμβρωμα. οὕτω δὲ καὶ ἐν Ὀδυσσείᾳ. καὶ ζητητέον ἐκεῖ περὶ τούτου. τί δὲ νῦν τὸ ἡρωϊκὸν ἄριστον; (v. 125) «Τοῖσι δ’ ὄϊς λάσιος μέγας ἐν κλισίῃ ἱέρευτο». καίρια δ’ ἐνταῦθα πάρισα τὸ «ἐπένοντο» καὶ «ἐντύνοντο», καθὰ καὶ ἀνωτέρω τὸ «ἐμέ τε δείσῃ ἀπό θ’ Ἕκτορα λύσῃ». Ὅρα δὲ τὸ τῆς φράσεως γοργὸν ἔν τε τῇ κατασκευῇ τοῦ ἀρίστου ταύτῃ, ἀδιάσκευος γὰρ πάντῃ κεῖται, καὶ ἐν τῷ «ἀδινὰ στενάχοντα». ὡς γὰρ πρὸ ὀλίγων ἐν τῷ «κλαῖε μόρον οὗ παιδός» ἀπεριλάλητον ἀφῆκε τὸν κλαυθμόν, οὕτω κἀνταῦθα τὴν ἀδινὴν στοναχὴν οἷα μεθοδεύσας μὴ δέον εἶναι ἀκαίρως νῦν τοιούτοις ἐμπλατύνασθαι. (v. 125) Τὸν δὲ λάσιον ὄϊν στεινόμενον μαλλοῖς φησιν ἡ Ὀδύσσεια. Τὸ δὲ «ἱέρευτο» ἁπλῶς ἀντὶ τοῦ ἔσφακτο, ἐπεὶ καὶ ἱερεῖα τὰ σφάγια. (v. 128—31) Ὅτι τὸ κατὰ Πυθαγόραν μὴ ἐσθίειν καρδίαν, ὅ ἐστιν ἄλυπον καὶ ἀτάραχον διαμένειν τὸν ἄνθρωπον, [καί, ὡς εἰπεῖν, ἀλυπίαν ἀσκεῖν,] ἐκ τῶν Ὁμήρου παρέξεσται, εἰπόντος «τέκνον ἐμὸν, τέο μέχρις», ἤγουν μέχρι τίνος, «ὀδυρόμενος καὶ ἀχεύων σὴν ἔδεαι κραδίην, μεμνημένος οὔτε τι σίτου οὔτ’ εὐνῆς», καὶ ἑξῆς. (v. 129) Τὸ δὲ «ἔδεαι» οὐκ ἐνέργειαν δηλοῖ κατὰ τὸ ἔδοντες καὶ ὅσα τοιαῦτα, πάθος δὲ μᾶλλον. ἐσθίεται γάρ τις τὴν καρδίαν ἀχεύων. ἔχει δέ τε καὶ ἀντιθετικὸν ὁ τόπος οὗτος. οἱονεὶ γάρ φησιν ὡς· τί δήποτε τὴν καρδίαν ὀδυρμοῖς ἐδόμενος αὐτὸς ἄσιτος μένεις; (v. 129—31) Ἰστέον δὲ ὅτι Θέτιδος εἰπούσης ἐν τῇ πρὸς τὸν υἱὸν προαναφωνήσει χρῆναι μεμνῆσθαι τὸν Ἀχιλλέα σίτου, ὡς ἐρρέθη, καὶ εὐνῆς, «ἀγαθὸν δέ», φησί, «γυναικί περ ἐν φιλότητι μίσγεσθαι, οὐ γάρ μοι δηρὸν βέῃ, ἀλλά τοι ἤδη ἄγχι παρέστηκε θάνατος καὶ μοῖρα κραταιή» ἀθετοῦσι τοὺς στίχους τούτους οἱ παλαιοί, διά τε ἄλλα, καὶ μάλιστα διὰ τὴν εὐνήν, ὅ ἐστι μῖξιν. τοῖς γὰρ πολεμοῦσιν οὐ τοιούτων ἀλλ’ εὐτονίας χρεία, φασί, καὶ πνεύματος, ὡς καὶ τοῖς γυμναζομένοις.

4.879 διὸ καὶ οἱ ἀθληταὶ τὸν τοῦ ἀθλεῖν πάντα καιρὸν οὐκ ἀφίεντο πλησιάζειν γυναιξί. Τὸ δὲ «βέῃ» δηλοῖ μὲν τὸ βιώσῃ, ἔχει δὲ πρῶτον πρόσωπον μετὰ παρενθέσεως τοῦ ι τὸ «τέκνον τί νυ βείομαι»; τουτέστι βιώσομαι. (v. 132) Μοῖρα δὲ κραταιὴ ἡ αὐτὴ τῷ θανάτῳ πρὸς διαστολὴν ῥηθεῖσα μοιρῶν ἑτέρων, ὧν οὐδεμία κραταιοτέρα θανάτου ἐστί. (v. 134) Ὅτι κεῖται καὶ ἐνταῦθα σύνθετος ἀντωνυμία «ἑέ» ἀντὶ τοῦ ἑαυτόν, ἔνθα Διὸς εἰπόντος «σκύζεσθαί οἱ εἰπὲ θεούς, ἐμὲ δ’ ἔξοχα πάντων», Θέτις ἀγγέλλουσά φησι «σκύζεσθαι σοί φησι θεούς, ἑὲ δ’ ἔξοχα πάντων». ἴσως δὲ καὶ κατὰ παράθεσιν δεδίπλασται, ἵνα ᾖ ἓ ἓ ἀντὶ τοῦ αὐτόν κατ’ ἐξοχὴν τὸν Δία. πρωτότυπον δέ ἐστι τοῦ σκυδμαίνειν τὸ σκύζεσθαι, ὃ πολλαχοῦ κεῖται, ὡς καὶ τοῦ ἐριδμαίνειν τὸ ἐρίζειν. (v. 137) Ὅτι ὁ ὑπὲρ χρεώστου ἀρρώστου μεσιτεύων εὐφυῶς ἂν εἴποι τὸ πρὸς Ἀχιλλέα ὑπὸ Θέτιδος περὶ Ἕκτορος ῥηθὲν «ἀλλ’ ἄγε δή, λῦσον, νεκροῖο δὲ δέξαι ἄποινα». (v. 139) Ὅτι μαθὼν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀχιλλεὺς τοὺς θεοὺς αὐτῷ σκύζεσθαι δι᾽ Ἕκτορα, καὶ ὅτι δοκεῖ φρεσὶ μαινομέναις αὐτὸν κατέχειν, καὶ ὅτι ἐπιτέλλουσιν ἀποίνων λῦσαι αὐτὸν, ἁρπάζει πιθανῶς τὸν λόγον οἷα ἐχέφρων καὶ κατ᾽ ἀγχίνοιαν προεσκεμμένος, καί φησιν ἅπερ ἂν καὶ ἄλλος τις ἐρεῖ ἐπὶ δώροις καταλαμβανόμενος «τῇδ᾽ εἴη, ὃς ἄποινα φέροι καὶ νεκρὸν ἄγοιτο», μεταβουλευσάμενος ὁ ἥρως, ὡς εἰκός. Καὶ σημείωσαι καὶ νῦν ὡς ἐπὶ νεκροῦ ἐρρέθη τὸ «ἄγοιτο», καθὰ καὶ μετ᾽ ὀλίγα τὸ «νεκρὸν ἄγοι προτὶ ἄστυ». Ἐν οἷς ὅρα καὶ ὅτι παθητικῶς τε «ἄγοιτο» εἶπε καὶ αὖθις «ἄγοι» ἐνεργητικῶς, καὶ ὡς τὰ δῶρα θυμοῦ πραϋντικά, καὶ ὡς ὁ φόβος τῶν κρειττόνων ὑπενδιδόναι ποιεῖ τοὺς ἀγριουμένους, καὶ ὡς ὁ διὰ μέσου καιρὸς μαλάττει τὴν ἐν τοῖς θυμουμένοις σκληρότητα, ὥστε ἀληθεύειν τὸν εἰπόντα ὅτι «χρόνος εὐμαρὴς θεός». Τὸ δὲ «τῇδε εἴη» ἀντὶ τοῦ ὑπάρχοι ἢ ἀντὶ τοῦ ἔρχοιτο. δῆλον γὰρ ὅτι ἐστὶν ἐνεστὼς εἴω, τὸ πορεύομαι, οὗ καὶ χρῆσις παρὰ τοῖς παλαιοῖς προδεδήλωται, ἀφ᾽ οὗ καὶ τὸ ἴον, ὅθεν ἡ μετοχὴ ἰών.

4.880 ἐκ τοῦ τοιούτου δὲ εἴω καὶ ᾔειν ὑπερσυντέλικος ἀντὶ τοῦ ἦλθον, ὡς καὶ αὐτὸ προπαραδέδοται, καθὰ καὶ ἐκ τοῦ εἴδω τὸ ᾔδειν, ὅ ἐστιν ἠπιστάμην. [Ἀλλὰ τὸ τοιοῦτον μὲν «εἴη» δυσκόλως ἂν λογισθείη εὐκτικόν. ἔστι γὰρ μάλιστα ἐνεστῶτος θεματικοῦ καὶ σημαίνει τὸ ἔρχεται. κρεῖττον οὖν κανονίσαι αὐτὸ εἶμι, ὃ δηλοῖ τὸ πορεύομαι, ὃ καὶ αὐτὸ ἐκ τοῦ εἰρημένου εἴω γίνεται, ἵνα ᾖ ὥσπερ τίθημι τιθείς τιθέντος τιθείη, οὕτω καὶ εἶμι εἴς ἔντος εἴη.] (v. 140) Ὅτι θείαν δηλοῖ κέλευσιν τὸ «εἰ δὴ πρόφρονι θυμῷ Ὀλύμπιος αὐτὸς ἀνώγει». ζήτει δὲ εἰ ταὐτὸν εἰπεῖν πρόφρονα θυμὸν καὶ ἐπίφρονα βουλήν. (v. 141 s.) Ὅτι τὸ ναύσταθμον νηῶν ἄγυριν λέγει, ὅ ἐστιν ἄθροισιν, ἤ, ὡς εἰπεῖν, πανήγυριν. φησὶ γάρ «ὡς οἵ γ᾽ ἐν νηῶν ἀγύρει μήτηρ τε καὶ υἱὸς πολλὰ πρὸς ἀλλήλους ἀγόρευον». ταὐτὸν δὲ νηῶν ἄγυριν εἰπεῖν καὶ ἀγῶνα, ὡς δηλοῖ καὶ τὸ «νηῶν ἐν ἀγῶνι πεσόντα». (v. 145—7) Ὅτι συνετοῦ μεσίτου τὸ μὴ θέλειν ζημιοῦν τὸν φίλον διὰ φιλίαν ἑτέρου. Ζεὺς γοῦν ὁ Ὁμηρικὸς κελεύει τὸν Πρίαμον δῶρα φέρειν Ἀχιλλεῖ, «ἅ κεν θυμὸν ἰήνῃ», ὡς εἴρηται, ἤγουν εὐφράνῃ, ἀπὸ τοῦ ἰαίνω, τὸ διαχέω. οὐ γὰρ, εἰ καὶ μέγας τὸ κράτος ὁ μέσος, εὖ ἔχει ζημιῶσαι τὸν Ἀχιλλέα διὰ τὸν Πρίαμον. (v. 148—50) Ὅτι προεκτίθεται διὰ τοῦ Διὸς ὁ ποιητής, ὡς χρὴ τὸν Πρίαμον ἐς Ἀχιλλέως ἀπελθεῖν οἶον, τουτέστι μόνον. ὃ καὶ αὐτὸς περιφραστικῶς ἑρμηνεύων φησὶ «μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ. κῆρυξ τίς οἱ ἕποιτο γεραίτερος, ὅς κ᾽ ἰθύνῃ ἡμιόνους καὶ ἅμαξαν ἐΰτροχον», καὶ ἑξῆς. οὕτω γὰρ ἔκρινε δέον εἶναι ὁ ποιητής, ἐπεὶ μηδεμία χρεία ἦν περιττότητος τῷ Πριάμῳ εἰς ἔργον ἀπιόντι, ἔνθα εἰ μὴ καὶ γέρων ἦν καὶ λύτρα ἦγεν, ἔδει πεζῇ αὐτὸν ἀπελθεῖν, ὡς ἂν καὶ λάθῃ τοὺς Ἑλληνικοὺς φύλακας.

4.881 διὸ ἅρμα μὲν ζεύγνυσιν ἐν τοῖς ἑξῆς καὶ ἵππους ἄτερ ἡνιόχου, ταλαεργοὺς δὲ ἡμιόνους ὑπὸ ἅμαξαν ἄγειν ἐνταῦθα κελεύει τοῖς υἱοῖς εὔτροχον ἡμιονείην, ἣν ἐν τοῖς ἑξῆς ἐρεῖ καὶ ἀπήνην τετράκυκλον, ὅ ἐστι τετράτροχον, καὶ καλήν, πρωτοπαγέα, εὐξέστην, ᾗ μόνος κῆρυξ ἕπεται, νῦν μὲν λύτρα φερούσῃ, ὕστερον δὲ νεκροφορούσῃ. (v. 148) Ἰστέον δὲ ὅτι ὧδε μὲν τό τις, φύσει βραχὺ ὄν, ἐκτείνεται ἄλλως πολυτρόπως λόγῳ κοινῆς συλλαβῆς, μετ᾽ ὀλίγα δ᾽ ἐν τῷ «κῆρύξ τίς τοι ἕποιτο» θέσει μακρὸν ἑτεροίως γίνεται. [(v. 149) Ἔτι ἰστέον καὶ ὅτι τὸ «γεραίτερος» ἀφοβίαν στερεοῖ τῷ γέροντι Πριάμῳ. εἰ γὰρ γέρων μὲν ἐκεῖνος, παραγγέλλεται δὲ καὶ γεραίτερον προσλαβέσθαι ἡνίοχον, οὐδαμοῦ ἄρα κίνδυνος ἔσται αὐτῷ. ἐκ τοῦ γεραιός δὲ ὁ γεραίτερος, συγκοπεὶς ἐκ τοῦ γεραιότερος. οὐ δήπου γὰρ ἐκ τοῦ γέρων γέγονε. μνηστέον δ᾽ ἐνταῦθα καὶ ὅτι γέρων οὐ μόνον ἡλικίας ὄνομα τῆς κατ᾽ ἄνθρωπον, ἀλλὰ καὶ ἀκάνθης ἐπάνθημα κατὰ τὸν Δειπνοσοφιστήν, ἐφ᾽ ᾧ καὶ αἴνιγμα ἦν τὸ «κἂν γέρων ᾖ, ἄπτερος ὢν κοῦφον πέτεται». διὸ καὶ χαίρουσιν αὐτῷ παῖδες, φυσῶντες ὡς πέτεσθαι. ὁ δὲ τοιοῦτος γέρων ἀστείως καὶ πάππος ἐκλήθη, λευκῆς γήρειον ἀκάνθης ὢν κατὰ τὸν Ἄρατον. καὶ ἦν τῷ τοιούτῳ γηρείῳ εὐτράπελος ὁμωνυμία πρὸς τὸν κατὰ συγγένειαν πολιὸν πάππον, ἴσως δὲ καὶ τῆς πρὸς τὸν πάππαν, ἐξ οὗ τὸ παππάζειν προέγνωσται. οὐκοῦν ὁ τῆς ἀκάνθης γέρων ὁ καὶ πάππος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξάνθημα μὲν ἀκάνθης οἷον κινάρας καὶ τῶν τοιούτων διασαφητικῶς λέγεται, λευκῆς δὲ γήρειον ἀκάνθης ὁριστικῶς; ἐν οἷς τὸ γήρειον ἐκ τοῦ γῆρος γίνεται οὐδετέρου ἑνικοῦ ὀνόματος ὁμοίως τῷ κῆτος κήτειος, κῆδος κήδειος, καὶ τοῖς τοιούτοις.

4.882 ] (v. 152 s.) Ὅτι ἀσφαλοῦς πομπῆς εἰς ὁδὸν δηλωτικὸν τὸ «μηδέ τί οἱ θάνατος μελέτω φρεσὶ μηδέ τι τάρβος· τοῖον γάρ οἱ πομπὸν ὀπάσσομεν». εἰ δὲ καὶ λόγιος εἴη ὁ τῆς ὁδοῦ προάγων, εἰπεῖν ἁρμόσει καὶ τὸ «Ἀργεϊφόντην», ὃ δηλοῖ τὸν Ἑρμῆν λόγον, ἵνα ᾖ· τοῖον πομπὸν ὀπάσσομεν Ἀργεϊφόντην, ὃς ἄξει ἕως τοῦδε. Τὸ δὲ «μή οἱ θάνατος μελέτω φρεσίν» ἀλλαχοῦ [παραφραστικῶς] «μηδέ τί οἱ θάνατος καταθύμιος ἔστω» φησίν. (v. 155 s.) Ὅτι ἀγαθοῦ ἐχθροῦ σέμνωμα τὸ «αὐτὰρ ἐπὴν ἀγάγησιν ἔσω κλισίην», ἤγουν ἐς τὴν σκηνήν, «οὔτ' αὐτὸς κτενέει ἀπό τ' ἄλλους πάντας ἐρύξει». (v. 157 s.) Ἔπαινος δὲ τελείου καὶ φιλοξένου ἀνδρὸς πρὸς Διὸς καὶ αὐτὸ περὶ Ἀχιλλέως ῥηθὲν τὸ «οὔτε γάρ ἐστ' ἄφρων, οὔτ' ἄσκοπος, οὔτ' ἀλιτήμων, ἀλλὰ μάλ' ἐνδυκέως», ἤγουν ἐπιμελῶς, ὡς προγέγραπται, «ἱκέτεω», ἤγουν ἱκέτου, «πεφιδήσεται ἀνδρός», καθότι αἰδοῖοι πανταχοῦ ὥσπερ οἱ ἁπλῶς ξένοι, οὕτω καὶ οἱ ἱκέται, ὁποῖος ἔσται καὶ ὁ Πρίαμος τῷ Ἀχιλλεῖ. ἐνταῦθα δὲ κατὰ τοὺς παλαιοὺς διέλαβεν ὁ ποιητὴς διὰ ταχέων, ὅθεν ἔρχονται εἰς τὸ ἀδικεῖν ἄνθρωποι· ἢ γὰρ δι' ἀσυνεσίαν, ὃ δηλοῦται διὰ τοῦ «ἄφρων», ἢ ἀκόντως, ὃ δηλοῖ Ὅμηρος διὰ τοῦ «ἄσκοπος», ὃ σημαίνει τὸν μὴ τοῦ συμφέροντος προνοούμενον κατὰ τὸν εὔσκοπον Ἑρμῆν, ἢ ἑκουσίως, ὃ διὰ τοῦ «ἀλιτήμων» ἐδήλωσεν, ἀλιτήμων γὰρ ὁ ἑκουσίως ἁμαρτάνων τοῦ δέοντος. τινὲς δὲ τὸ ἀλιτήμων ἀντὶ τοῦ ἀλιτάνευτος. διὸ καὶ ἐπάγει «ἀλλὰ μάλα ἐνδυκέως ἱκέτεω πεφιδήσεται». τίς δὲ ἡ φειδὼ αὕτη; «οὔτ' αὐτός», φησί, «κτενέει», καὶ τοὺς ἄλλους κωλύσει. προαναφώνησις δὲ Ὁμηρικὴ καὶ αὐτό, προεκτεθεῖσα μηδὲν δεινὸν πρὸς Ἀχιλλέως τὸν Πρίαμον πείσεσθαι. κάλλους δὲ σχῆμα ἡ κατὰ ἄρσιν καὶ θέσιν φράσις ἐν τῷ «οὔτ' αὐτὸς κτενέει ἀπό τ' ἄλλους ἐρύξει». τὸ γὰρ κοινὸν ἦν «οὔτ' αὐτὸς κτενέει οὔτ' ἄλλον ἐάσει». (v. 160—8) Ὅτι διασκευάζων Ὅμηρος τὸ ἐν τῇ πόλει πένθος ἐπὶ τῷ Ἕκτορί φησιν, ὡς ἡ Ἶρις ἐλθοῦσα «ἐς Πριάμου κίχεν», ἤγουν εὗρεν, «ἐνοπήν τε γόον τε. παῖδες μὲν πατέρ' ἀμφικαθήμενοι ἔνδοθεν αὐλῆς δάκρυσιν εἵματ' ἔφυρον, ὃ δ' ἐν μέσοισι γεραιὸς ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος ἀμφὶ δὲ πολλὴ κόπρος ἔην κεφαλῇ τε καὶ αὐχένι τοῖο γέροντος, τήν ῥα», ἤγουν ἣν δή, «κυλινδόμενος καταμήσατο χερσὶν ἑῇσι.

4.883 θυγατέρες δ' ἀνὰ δώματ' ἰδὲ νυοὶ ὠδύροντο, τῶν μιμνησκόμεναι, οἳ δὴ πολέες τε καὶ ἐσθλοὶ χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες». Καὶ σημείωσαι θρῆνον, Ἕκτορα πρόφασιν, καθ' ὁμοιότητα τοῦ «Πάτροκλον πρόφασιν». οὐ γὰρ ἐπὶ Ἕκτορι ἀλλὰ τοῖς πολλοῖς καὶ ἐσθλοῖς, τοῖς ἑαυτῶν δηλαδή, ἔκλαιον αἱ γυναῖκες. (v. 162) Ὅρα δὲ τὸ «ἔφυρον» ἐνταῦθα. ὡς γὰρ χείλη αἵματι φύρεται, οὕτω καὶ εἵματα δάκρυσιν. οὐ πάνυ δὲ πολὺ ἐνταῦθα τὸ δάκρυον, καθάπερ ὅπου καὶ ψάμαθοι δεύοντο. (v. 163) Τὸ δὲ «ἐντυπάς» ἀντὶ τοῦ ἐντυπωδῶς καὶ οἷον ἐντετυπωμένως τῷ ἱματίῳ, ὥστε δι' αὐτοῦ σώματος μόνον τύπον φαίνεσθαι καὶ διὰ τοῦ σκέποντος ὁρᾶσθαι τὸν τοῦ σκεπομένου τύπον. ἕτεροι δὲ οὕτω συντόμως φράζουσιν· ἐντυπάς· ἐν χρῷ, ἐντετυπωμένως ἐν ἱματίῳ, ὥστε δι' αὐτοῦ βλέπειν. ἔστι δὲ κατὰ τοὺς παλαιοὺς ἐπίρρημα ποιότητος τὸ ἐντυπάς, τῷ τόνῳ ὡς ἑκάς, ἀνδρακάς. κεκάλυπτο δὲ οὕτως ὁ γέρων τάχα μὲν καὶ ἐπεὶ ἄϋπνος ἦν, ἀφ' οὗ Ἕκτωρ τέθνηκε, μάλιστα δὲ διὰ τὸ πένθος οὕτω διάκειται. ὑπερβολὴν γάρ, φασί, πένθους ἀξίαν οὐχ' εὑρίσκων ὁ ποιητὴς τῷ γέροντι περιθεῖναι καλύπτει αὐτόν, καὶ οὐ μόνον σιγῶντα ποιεῖ, ἀλλὰ καὶ μηδὲ βλεπόμενον. ἐντεῦθεν, φασίν, ὁ Σικυώνιος γραφεὺς Σημάνθης τὴν ἐν Αὐλίδι γράφων σφαγὴν τῆς Ἰφιγενείας ἐκάλυψε τὸν Ἀγαμέμνονα, ὅπερ καὶ Αἰσχύλος μιμησάμενος τήν τε Νιόβην καὶ ἄλλα πρόσωπα ὁμοίως ἐσχημάτισε, σκωπτόμενος μὲν ὑπὸ τοῦ Κωμικοῦ, ἐπαινούμενος δὲ ἄλλως διὰ τὸ τῆς μιμήσεως ἀξιόχρεων. οὐ γὰρ μόνον βλέπεσθαι ἀπαξιοῖ ὁ ἐν ἄκρᾳ θλίψει, ἀλλ' οὐδὲ βλέπει, ὡς οἷα νύκτερον βίον αἱρούμενος ἢ καὶ ὑπόγαιον. διὸ καὶ τῇ κεφαλῇ κόπρος ἐπαμᾶται τῷ γέροντι πρὸς τύπον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιταφίου κόνεως καὶ οὐδὲ αὐτῆς αἱρετῆς τοῖς πλείοσι. (v. 164) Τὸ δὲ «τοῖο γέροντος» ἢ τούτου τοῦ γέροντος, ἢ μᾶλλον ἀντὶ τοῦ «τοῦ γέροντος», ἵνα ᾖ ἄρθρον τὸ τοῖο καὶ μὴ ἀντωνυμία.

4.884 (v. 165) Τὸ δὲ «καταμήσατο χερσίν» ἀντὶ τοῦ συνῆξε ταῖς δραξί, κατὰ μίμησιν τῶν ἀμώντων. Ἰστέον δὲ ὅτι Ὁμήρου ἐφ' ὅσον ἐχρῆν διασκευάσαντος τὸ κατὰ Πρίαμον πάθος, οἱ μεθ' Ὅμηρον καὶ κείρουσιν αὐτόν. ὅθεν καὶ πριαμωθῆναι τὸ ξυρηθῆναι. ἦν δέ, φασί, σκῶμμα, ἐπεὶ ὁ τραγικὸς Πρίαμος ξυρίας εἰσήγετο. δοκεῖ δὲ καὶ τὸ τοιοῦτον σύνηθες εἶναι τοῖς παλαιοῖς, ὡς δηλοῖ καὶ τὸ «δεσπότου κειραμένου». (v. 171) Ὅτι Ἶρις μὲν λαλεῖ πρὸς Πρίαμον τυτθὸν φθεγξαμένη, ὡς μὴ καταπλήξῃ τὸν ἐντυπὰς καθήμενον, «τὸν δὲ τρόμος ἔλλαβε γυῖα». τοιοῦτον γὰρ ψυχὴ προπεπονθυῖα, εὐθορύβητος καὶ ἐν τοῖς τυχοῦσιν οὖσα. (v. 171—3) Τῶν δὲ τῆς Ἴριδος θαρσοποιὸν τὸ «θάρσει, Δαρδανίδη, φρεσί, μηδέ τι τάρβει· οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ' ἱκάνω», ἀντὶ τοῦ ἐνταῦθα, ὡς καὶ ἐν Ὀδυσσείᾳ κεῖται, «ἀλλ' ἀγαθὰ φρονέουσα». (v. 172) Καὶ ὅρα ὅτι ἕτερον τὸ «κακοσσόμενος», καὶ ἕτερον τὸ «κακὸν ὀσσομένη». ἐκεῖνο μὲν γὰρ τί δηλοῖ, προδεδήλωται. τὸ δὲ «κακὸν ὀσσομένη» ἀντὶ τοῦ «προλέγουσα κακόν». [Σημείωσαι δ' ἐνταῦθα, ὅτι τε γυῖα Πριάμου τὰ καθ' ὅλον αὐτοῦ τὸ σῶμα ἔφη, καὶ ὅτι ἐν ἄλλοις ἡ λέξις ἐπὶ ποδῶν τε ἰδιάζεται καὶ ἔτι ἐπὶ χειρῶν μόνων, ὅτε καὶ ἐγγυαλίζειν νοεῖται τὸ παρέχειν καὶ ἐν χερσὶ διδόναι, καὶ ἡ ἐγγύη γίνεται ἐν γυίοις, ὅ ἐστι χερσί, τιθεῖσα τὸ πρᾶγμα τῷ δεχομένῳ τὸν ἐγγυητὴν καὶ οὕτως ὀχυρὸν ποιοῦσα τὸ συνάλλαγμα, ὡς εἰ καὶ ἐνέχυρα ἐκεῖνος ἐχειρίζετο, καὶ ὅτι ἡ τῆς Ἴριδος εἰς τὸν Πρίαμον πάροδος ἀγγελίαν συνήθως δηλοῖ, δηλώσασαν τῷ γέροντι βασιλεῖ ὅτι, ὡς εἰκός, ὁ Ἀχιλλεὺς ὑπομαλαχθεὶς ἕτοιμος λύσασθαι δώρων τὸν Ἕκτορα.

4.885 διὸ καὶ ὁ γέρων κατὰ τὴν τοιαύτην ἄγγελον ποιήσει τὰ εἰρησόμενα ἐν τοῖς ἐφεξῆς. καὶ ἔστιν ἐνταῦθα λογίσασθαι ὅτι τὸ «οὐδ' ἀπέλυσεν Ἕκτορα» ὁ Ἀχιλλεύς, ὃ φθάσας ὁ Ζεὺς ᾐτιάσατο ἐπὶ τῷ Ἀχιλλεῖ, προαναφώνησις ἦν τις, ἐμφαίνουσα ὡς μικρὸν ὅσον λελύσεται ὁ Ἕκτωρ ὑπ' Ἀχιλλέως, αἰτίαν ἤδη σχόντος ὅτι μὴ πάλαι φθάσας τοῦτο ἐποίησεν.] (v. 189 s.) Ὅτι ἐν τῷ «ἅμαξαν ὁπλίσαι ἠνώγει ἐΰτροχον», ὡς εἴρηται, ἡμιονείην, πείρινθα δὲ δῆσαι ἐπ' αὐτῆς», ὁπλίσαι μὲν λέγει συνήθως τὸ εὐτρεπίσαι, πείρινθα δὲ τὸ πλινθίον τὸ ἄνω τῆς ἁμάξης, ὅπου τὰ φορτία ἐπιτίθενται, ὃ καὶ ὑπερτερίη λέγεται διὰ τὸ ὑπερκεῖσθαι τοῦ ἄξονος. οἱ δὲ παλαιοὶ οὕτω φασί· πείρινθα, τὸ τετράγωνον πλινθίον τὸ ἄνω περιδούμενον ταῖς ἁμάξαις, πλεκόμενον ἀπὸ ῥιπῶν. ῥῖπες δέ, οἱ τῆς οἰσύας λύγοι, ὥστε εἶναι ῥίπινθα, καὶ μεταθέσει καὶ πλεονασμῷ τοῦ ε πείρινθα. ὁ δὲ Ξενοφῶν κάνναθρον αὐτό φησι. κάννη γὰρ ἡ ψίαθος. πλέγμα δὲ καὶ αὐτὸ ψιαθῶδες, συνέχειν φόρτον ἰσχῦον. δύναται δὲ καὶ ἀπὸ τοῦ περιθέειν γίνεσθαι, ἀφ' οὗ καὶ ὁ Πειρίθους, ἢ ἀπὸ τοῦ πέρας εἶναι τοῦ κατὰ ἅμαξαν ὕψους. περὶ δὲ τῆς τοιαύτης λέξεως κεῖταί τι καὶ ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν. (v. 191 s.) Ὅτι τὸν τοῦ Πριάμου θάλαμον «κηώεντα κέδρινον ὑψόροφον» λέγει, ὃς «γλήνεα πολλὰ κεχάνδει», ἤγουν πολλὰ ἐχώρει κειμήλια γλήνης ἄξια. γλήνη δέ, φασίν, οὐ μόνον ἡ τοῦ ὀφθαλμοῦ κόρη καὶ ἡ πρόσοψις, ἀλλὰ καὶ κηρία μελισσῶν, καὶ παίγνιον, οἱ δέ· τὸ οὐδενὸς ἄξιον. ὡς δὲ καὶ διὰ τοῦ ι γλίνη εὕρηταί που ὁ ῥύπος, ὅ ἐστι γλοιός, ἕτεροι δηλοῦσιν.

4.886 ἄλλοι δὲ γλήνεα ἑρμηνεύουσι τὰ ποικίλα, οἱ δέ τινες ζῴδια, καθά που ὑποδηλοῦται καὶ ἐν τῷ «τρίγληνα μορόεντα». Ἰστέον δὲ ὅτι καὶ ἄλλοι τῶν ποιητῶν τοὺς τῶν βασιλέων οἴκους ἐκ κεδρῶν ποιοῦσι διὰ τὸ τοῦ δένδρου ἄσηπτον καὶ εὐῶδες, ὅθεν καὶ «κεδρωταὶ παστάδες» παρά τινι. ἡ δὲ ὕστερον πολυτέλεια οὔπω τότε ἦν. τὰ μέντοι τοῦ Μενελάου εἶχόν τι τῆς μεταγενεστέρας περινοίας, ὡς ἐν τῇ Ὀδυσσείᾳ φαίνεται. (v. 192) Τοῦ δὲ «κεχάνδει» ἐστὶ καὶ μετοχὴ τὸ «κεχανδότα πολλὰ καὶ ἐσθλά». φαίνεται δ' ἐκ τούτων, ὅτι ἐν τῷ «Ἥρῃ δ' οὐκ ἔχαδε στῆθος χόλον» ἔχαδε δεῖ γράφειν ὡς δεύτερον ἀόριστον. εἰ γὰρ ἦν κέχαδεν, ὤφειλε καὶ αὐτὸ εἶναι διὰ τοῦ ν «κέχανδε» [καὶ γεννᾶν ὑπερσυντέλικον κεχάνδει.] Τοῦ δὲ γλήνεα ζητητέον εἴτε

γλῆνος ἡ εὐθεῖα εἴτε μᾶλλον γλήνειον καὶ Ἰωνικῶς γλήνεον, ὡς δαιδάλειον δαιδάλεον, καὶ κήλειον κήλεον. [Τὸ δ’ ὅμοιον ζητητέον καὶ περὶ τοῦ δήνεα, τὰ βουλεύματα.] (v. 193) Ὅτι κοινοῦται τῇ Ἑκάβῃ ὁ γέρων Πρίαμος τὰ περὶ τῆς λύσεως τοῦ νεκροῦ Ἕκτορος. καὶ ἔστιν, ὡς καὶ οἱ παλαιοί φασιν, ἀνθρώπινον τὸ ἀνατίθεσθαι τὸ πρᾶγμα γυναικὶ κοινωνῷ τῶν παθημάτων. καὶ αὐτὸς μὲν ἤδη κέκρικε τὸ ποιητέον, ἐρωτᾷ δὲ ὅμως, εἰ καὶ αὐτὴ ἐπὶ τοῖς δεδογμένοις σύμψηφός ἐστιν. ἡ δὲ ποθεῖ μὲν καὶ τὸν υἱόν, ἀδύνατον δὲ νομίζουσα ἐκεῖνον κομίσασθαι κωλύει τὴν ὁδόν, ἵνα μὴ προσαποβαλεῖται καὶ Πρίαμον. ὁ δ’ οὐ πείθεται, κρίνας καθάπαξ, ὃ ποιήσει, ὡς ὁ Ζεὺς ἐκέλευσεν, ὁ παρ’ αὐτῷ δηλαδὴ νοῦς, ἤδη δὲ καὶ ὡς ἡ Ἶρις ἐδήλωσε, φήμη τις δηλαδὴ ἀγγείλασα, ὡς εἰκός, ὅτι δῶρα λαβὼν Ἀχιλλεὺς λύσεται τὸν Ἕκτορα. (v. 197—9) Ἔστι δὲ ἡ μὲν ἐρώτησις τοῦ Πριάμου τοιαύτη «ἀλλ’ ἄγε μοι τόδε εἰπὲ τί τοι φρεσὶν εἴδεται εἶναι; αἰνῶς γάρ με αὐτόν γε μένος καὶ θυμὸς ἀνώγει κεῖς’ ἰέναι ἐπὶ νῆας ἔσω στρατὸν εὐρὺν Ἀχαιῶν», ἤγουν εἰς τὸν Ἑλληνικὸν στρατόν.

4.887 καὶ οὕτω μὲν αὐτός. (v. 200—16) Ἡ δὲ γυνὴ ταῦτα μαθοῦσα «κώκυσε», καὶ «ὤμοι» φησὶ «πῇ δή τοι φρένες οἴχονθ’, ᾗς», ἤγουν αἷς, «τὸ πάρος περ ἔκλεο», τουτέστιν ἐδοξάζου, «ἐπ’ ἀνθρώπους ξείνους ἠδ’ οἷσιν ἀνάσσεις; πῶς ἐθέλεις ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος ἀνδρὸς ἐς ὀφθαλμούς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς υἱέας ἐξενάριξε; σιδήρειον νύ τοι ἦτορ. εἰ γάρ ς’ αἱρήσει καὶ ἐσόψεται ὀφθαλμοῖσιν ὠμηστὴς καὶ ἄπιστος ἀνὴρ ὅδε, οὔ ς’ ἐλεήσει, οὐδέ τί ς’ αἰδέσεται. νῦν δὲ κλαίωμεν ἄνευθεν ἥμενοι ἐν μεγάρῳ. τῷ δ’ ὥς ποθι μοῖρα κραταιὴ γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκον αὐτή», ἤγουν τῷ δὲ Ἕκτορι οὕτω που ἦν ἐκ γενετῆς πεπρωμένον. πῶς οὕτω; «ἀργίποδας κύνας ἆσαι», ὅ ἐστι κορέσαι, «ἑῶν ἀπάνευθεν τοκήων ἀνδρὶ παρὰ κρατερῷ. τοῦ δ’ ἐγὼ μέσον ἧπαρ ἔχοιμι ἐσθέμεναι προσφῦσα. τότ’ ἄντιτα ἔργα γένοιτο παιδὸς ἐμοῦ. ἐπεὶ οὔ ἑ κακιζόμενόν γε κατέκτα, ἀλλὰ πρὸ Τρώων καὶ Τρωϊάδων βαθυκόλπων ἑσταότα, οὔτε φόβου μεμνημένον οὔτ’ ἀλεωρῆς». καὶ ἔστιν ὁ τῆς γραὸς λόγος κεκραμένος ἀποτροπῇ τοῦ ἀνδρὸς οἴκτῳ τοῦ παιδὸς καὶ χόλῳ κατὰ ἐχθροῦ. Ἔνθα ὅρα ὅτι Ἑκάβη μὲν ὡς καὶ γυνὴ καὶ πρεσβῦτις καὶ μήτηρ ἀγαθοῦ τέκνου, καὶ οὐ μόνον ἀναιρεθέντος ἀλλὰ καὶ ἀτάφου αἰκιζομένου, εἰ καὶ ἀγριώτερον λαλεῖ καὶ οὐ φαγεῖν ἁπλῶς ἐθέλει ἀλλὰ ἐν παρατάσει ἐσθίειν, καὶ οὐ λαβοῦσα, ἀλλ’ αὐτῷ προσφῦσα τὸ στόμα τῷ ἥπατι ὡς εἴ τι σαρκοφάγον θηρίον, εὐπαράδεκτός ἐστιν ὅμως καὶ ἡ ὑπερβολὴ πιθανή. προείληπται γὰρ τὸ κατ’ αὐτὴν ὑπερπαθές. Ἀχιλλεὺς δέ, εἴπερ φθάσας οὕτως εἶπεν, ἀσύγγνωστος ἂν ἦν. διὸ οὐ τοιαῦτα ἐπὶ τῷ ἐχθρῷ ἐλάλησεν Ἕκτορι, ἀλλ’ αὐτὸ τοῦτο εὔξατο, γενέσθαι οἱ ἐπιθυμίαν γεύσασθαι τῶν τοῦ Ἕκτορος σαρκῶν, ὡς μὴ ἔχοντι αὐτὸ δι’ ἐφέσεως [καὶ οὐδὲ σαρκῶν ἁπλῶς φαγεῖν, ἀλλὰ τῶν ἐντοσθίων κορέσασθαι, ὡς εἴπερ σπλάγχνα ἱερείου ἐπεθύμει φαγεῖν. ἐξ ὧν ἀστείως ὁ Κωμικὸς Πλάτων ἔφη κατὰ τὴν τοῦ Δειπνοσοφιστοῦ ἱστορίαν τὸ «ἄγευστος, ἄσπλαγχνος, ἀπλάκουντος, ἀλιβάνωτος». δῆλον οὖν ὡς κἀνταῦθα πάνυ Ἀχιλλέως ἀγριωτέρα ἡ γραῦς αὕτη. ὁ μὲν γὰρ οὐδέν τι πλέον ἑλκυσμοῦ εἰς τὸν Ἕκτορα πλημελεῖ. σῷον γοῦν ἐκεῖνον ἀπολύσει, αὐτὴ δὲ ἀναρρῆξαι τὸν ἥρωα ἐθέλει, ὡς ἂν τῶν ἐντὸς αὐτοῦ ἐμφάγοι.

4.888 Μύσος δὲ τοιαύτης κρεωφαγίας ἐν τοῖς ὕστερον καὶ ἐκ τῶν κατὰ τὸν κακὸν Διονύσιον, οὗ γυναῖκα καὶ τέκνα λαβόντες ὑποχείρια οἱ ἑσπέριοι Λοκροὶ καὶ ἐνακολασταίνοντες αὐτοῖς, ἐπεὶ τῆς ὕβρεως πλήρεις ἦσαν, κεντοῦντες, φασίν, ὑπὸ τοὺς τῶν χειρῶν ὄνυχας βελόναις ἀνεῖλον, εἶτα τὰ μὲν ὀστᾶ ἐν ὅλμοις κατέκοψαν, καταλέσαντες αὐτῶν τὰς σάρκας, τὰ δὲ λοιπὰ κρέα νεμησάμενοι ἐπηράσαντο τοῖς μὴ γευσαμένοις αὐτῶν. εἰ δὲ δεινὸν καὶ ὁ ἀλλαχοῦ δηλωθεὶς Μιλήσιος ἀλοητὸς καὶ ἡ καταπίττωσις, ἀλλὰ τοῦτο θηριωδέστερον διὰ τὴν κρεωβορίαν.] Ὅρα δὲ καὶ ὅτι ὡς μήτηρ ἐπέκρυψε τὸν τοῦ υἱοῦ ψόγον. ὁ μὲν γὰρ τρὶς περιέδραμε τὴν Ἴλιον φεύγων, ἡ δὲ ταῦτα μὲν σιγᾷ, τῆς δὲ ὕστερον ἀντιστάσεως μέμνηται, καθ’ ἣν οὐκ ἔτι ἔφευγεν. ἡ δ’ αὐτὴ καὶ ἐν τῷ «ἄπιστος ἀνὴρ ὅδε» ψεύδεται. ἀμάρτυρον γὰρ ἄπιστον εἶναι τὸν Ἀχιλλέα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τρῶες μέντοι τοιοῦτοι καὶ οἱ Πριαμίδαι, καὶ αὐτὸς μάλιστα Ἕκτωρ, ᾧ παρὸν λῦσαι τὸν πόλεμον κατὰ τοὺς ὅρκους, ὡς προϊστόρηται, ὁ δὲ οὐκ ἐποίησεν οὕτως. ἡ δὲ καὶ εὐχομένη σχεῖν μέσον τὸ τοῦ Ἀχιλλέως ἧπαρ ἐφ' ᾧ ἀπεσθίειν οὐκ ἂν ἀληθῶς ὠμηστὴν λέγοι ἐκεῖνον τὸν μηδὲν τοιοῦτον ἐπὶ τῷ Ἕκτορι δράσαντα, [εὐξάμενον δὲ μόνον ἐπιθυμίαν ἐγγενέσθαι αὐτῷ ἀποταμνόμενον ὠμὰ κρέα ἔδμεναι τὰ τοῦ Ἕκτορος.] Εἴη δ' ἂν τὸ ἐκείνου ὀργίλον στοχαστικῶς χαρακτηρίζουσα ἐξ ἑαυτῆς. Σημείωσαι δὲ ὅτι καὶ Ἀχιλλεὺς ἐν τοῖς ἑξῆς, θαυμάσας τὴν τοῦ Πριάμου ὁδόν, ἐρεῖ τινα τῶν τῆς Ἑκάβης, οἷον τὸ «σιδήρειον νύ τοι ἦτορ», ὃ καὶ ἐν Ὀδυσσείᾳ κεῖται, καὶ «πῶς ἔτλης ἐλθεῖν μόνος εἰς ἄνδρα, ὅς σοι πολλοὺς καὶ ἐσθλοὺς υἱοὺς ἐξενάριξα»; (v. 202) Ἰστέον δὲ ὅτι τοῦ «ἔκλεο», τουτέστιν ἐφημίζου, τὸ θέμα κλέω, ἀφ' οὗ τὸ κλεΐζω. χρῆσις δὲ αὐτοῦ σὺν τῷ ἰῶτα ἐν Ὀδυσσείᾳ, ἵνα ᾖ ὡς θέω θείω τὸ τρέχω, οἷον «θείειν ἀνέμοισιν ὁμοῖοι», οὕτω καὶ κλέω κλείω.

4.889 Τὸ δὲ «ἠδ' οἷσιν ἀνάσσεις» ἐξαλλαγὴν ἐποίησε σχήματος. ἦν γὰρ τὸ κοινὸν ἐπ' ἀνθρώπους ξείνους καὶ Τρῶας, ὧν δηλαδὴ ἀνάσσει ὁ Πρίαμος. (v. 204) Τὸ δὲ «πολέας υἱούς» ἐπιτείνει τὴν δυστυχίαν τῇ προσθήκῃ τοῦ «καὶ ἐσθλούς». [Ὡς δὲ πολύτεκνος ὁ Πρίαμος, φανεῖται μὲν καὶ ἐν τοῖς ἑξῆς, ἐνταῦθα δὲ ῥητέον ὅτι, καθὰ ὁ Πρίαμος, πολλοὶ δὲ ὕστερον καὶ ἄλλοι. οὕτω πολυγύναιος παραδέδοται καὶ ὁ παλαιὸς Αἰγεύς, τήν τε τοῦ Ὅπλητος θυγατέρα σχὼν καὶ τὴν τοῦ Χαλκώδοντος γάμου νόμῳ, πολλαῖς δὲ καὶ ἄλλαις χωρὶς γάμων συνών. Αἴθραν τε γὰρ μετ' αὐτὰς ἔλαβεν, εἶτα Μήδειαν καὶ ἄλλας, τὰς μὲν ἐξ ἔρωτος, ἃς δ' ἐξ ἁρπαγῆς, φασί, καὶ νομίμων γάμων, ὡς Ἑλένην, Ἀριάδνην, Ἱππολύτην τὴν Ἀμαζόνα, Φαίδραν τὴν ἐκ Κρήτης. καὶ Φίλιππος δὲ ἐν τοῖς ὕστερον Φεραίαν μέν, φασίν, ἔγημε γυναῖκα, Νικησίπολιν, ἐξ ἧς αὐτῷ ἐγένετο Θετταλονίκη, καὶ Λαρισσαίαν Φίλινναν, ἧς ὁ περιᾳδόμενος Ἀρριδαῖος. προσεκτήσατο δέ, φασί, καὶ τὴν ἐκ Μολοττῶν Ὀλυμπιάδα, τὴν Ἀλεξάνδρου τοῦ μεγάλου καὶ Κλεοπάτρας μητέρα. δῆλον δὲ ὡς ἐν ἔτι νεότητι τὰς πολλὰς ἔσχε γυναῖκας ὁ νῦν γέρων Πρίαμος. ἄλλως γὰρ κατὰ τὸν ποιητὴν Θέογνιν οὐ σύμφορος γυνὴ νέα ἀνδρὶ γεραιῷ. οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος, οὐδ' ἄγκυραν ἔχουσιν, ἀπορρήξασα δὲ δεσμὰ πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα. τοῦτο δὲ προσφυὲς καὶ τοῖς κατὰ τὸν γέροντα Τιθωνὸν καὶ τὴν Ἠῶ, τὴν ἢ μυθευομένην ἢ κυριωνυμουμένην, μάλιστα δὲ τὴν τοῦ μύθου. οὐδ' αὐτὴ γὰρ ἀεὶ νεάζουσα προσήκοι ἂν ἐραστῇ πεμπέλῳ.] (v. 205) Σιδήρειον δὲ ἦτορ νῦν μὲν τὸ στερρόν, οὗ δέος οὐχ' ἅπτεται, δηλοῖ δέ ποτε καὶ τὸ σκληρὸν καὶ ἄτεγκτον ὡς ἀνηλεές, [καθὰ καὶ ὁ προγεγραμμένος σιδήρειος θυμός.] (v. 206) Τὸ δὲ «εἰ γάρ ς' αἱρήσει καὶ ἐσόψεται» σύγχυσιν λογισμοῦ δηλοῖ τῷ πρωθυστέρῳ σχηματισμῷ. πρῶτον γὰρ φύσει τὸ «ἐσόψεται», εἶτα τὸ «αἱρήσει». (v. 207 s.) Τὸ δὲ «οὔ ς' ἐλεήσει οὐδ' αἰδέσεται» καὶ Ἕκτωρ προλαβὼν εἶπε περὶ αὐτοῦ.

4.890 (v. 210) Τὸ δὲ «γεινομένῳ» ἐφερμηνεύων ἐπήγαγε τὸ «ὅν τέκον αὐτή». Τὸ δὲ κλῶσμα τοῦ λίνου τῆς Μοίρας τί ποτε δηλοῖ, ἀλλαχοῦ γέγραπται. (v. 211) Τὸ δὲ «ἑῶν ἀπάνευθε τοκήων» γενναίως βούλεται κωλῦσαι τῆς ὁδοῦ τὸν γέροντα. εἰ γὰρ μεμοίραται ὀλέσθαι τὸν υἱὸν ἀπάνευθε τῶν αὐτοῦ, οὐδ' ἄρα ἐκείνους χρὴ ἀπελθεῖν ἔνθα ἐκεῖνος κεῖται. (v. 212) Κρατερὸς δ' ἐνταῦθα οὐχ' οὕτως εἰς ἔπαινον, ὅσον μάλιστα εἰς ψόγον ὡς ἐπὶ βιαίου. (v. 213) Τὸ δὲ «προσφῦσα» ὅμοιόν ἐστιν τῷ «ἐμφῦσα», ὅ ἐστιν ἐμπλακεῖσα, μᾶλλον δὲ ἐμφαντικώτερον ἐκείνου εἰς ἐπιθετικὴν ἐμπλοκήν. Τὸ δὲ «ἄντιτα ἔργα παιδὸς ἐμοῦ» ἀντὶ τοῦ ἀντίποινα, ἀντιτιμώρητα, ἀντίσηκα τοῦ Ἕκτορος φόνου. καὶ ἔστι χρήσιμον εἰς τὸ «τρεῖς ἑνὸς ἀντιπεφάσθαι». Καὶ ὅρα τὴν ἀντισήκωσιν. οὐ γὰρ ἀξιόχρεων ἡγεῖται, φασίν, ἀντιθανεῖν τὸν τοῦ ἐχθροῦ φονέα ἡ μήτηρ, εἰ μὴ καὶ τῶν σαρκῶν αὐτοῦ ἐμφάγοι. (v. 214) Τὸ δὲ «ἐπεὶ οὔ ἑ κακιζόμενον κατέκτα» αἱ κοιναὶ ἤγουν αἱ πλείους ἐκδόσεις γράφουσιν «ἐπεὶ οὔ τι κακιζόμενον». δηλοῖ δὲ ὅτι οὐχ' ὁ τυχὼν ἦν οὐδὲ γύννις. πῶς γὰρ τοιοῦτος ὁ πρὸ τῶν πολιτῶν μόνος ἑστώς; αὔξεται οὖν, φασί, τὸ πάθος, εἰ ἀναξίως ὕβρισται, δέον ὃν μὴ οὕτω παθεῖν. τοιαῦτα δέ τινα καὶ Πρίαμος ἐρεῖ πρὸς Ἀχιλλέα,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πεφεισμένως μέντοι, ἐν τῷ «τὸν δὲ σὺ πρῴην κτεῖνας ἀμυνόμενον περὶ πάτρης». (v. 215) Τὸ δὲ «πρὸ Τρώων» καὶ ἑξῆς, εἰ γράφεται «πρὸς Τρώων»—φέρεται γὰρ καὶ τοιαύτη γραφή—δηλοῖ τὸ ἔμπροσθεν, ὡς καὶ ἐν ἄλλοις. Τὸ δὲ «βαθύκολπον» ὅτι ἐπὶ βαρβάρων τίθησιν ὁ ποιητής, προγέγραπται. (v. 216) Τὴν δὲ ἀλεωρὴν διαστέλλει τοῦ φόβου, ἐπεὶ ὃ μὲν φυγὴν δηλοῖ, ἀλεωρὴ δὲ ἡ κατ’ ἐπιτηδειότητα ἔκκλισίς ἐστι κατὰ τὸ «ἔγχος ἐμὸν ἄλευαι». (v. 194) Ἰστέον δὲ καὶ ὅτι ὁ γέρων, λαλεῖν τῇ Ἑκάβῃ ἀρξάμενος, δαιμονίην ἐκείνην αὐτίκα προσέφη, ὅ ἐστι δυστυχῆ, εἰπὼν «δαιμονίη, Διόθεν μοι Ὀλύμπιος ἄγγελος ἦλθεν».

4.891 (v. 218—24) Ὅτι ὁ διὰ θεῖον θάρρος μὴ πειθόμενος τῷ εἰς ἀγαθὸν ἔργον κωλύοντι ἐρεῖ ἂν «μή μ’ ἐθέλοντ’ ἰέναι κατερύκανε, μηδέ μοι ὄρνις ἐν μεγάροις κακὸς πέλευ· οὐδέ με πείσεις. εἰ μὲν γάρ τις μ’ ἄλλος ἐπιχθονίων ἐκέλευε, ψεῦδός κε φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον· νῦν δ’ αὐτὸς γὰρ ἄκουσα θεοῦ καὶ ἐσέδρακον ἄντην», ἤγουν καὶ ἀντικρὺ εἶδον, «εἶμι καὶ οὐχ’ ἅλιον ἔπος ἔσσεται», ἢ «οὐχ’ ἁλίη ὁδὸς ἔσσεται». (v. 224—7) Πρίαμος δέ φησι ταῦτα πρὸς Ἑκάβην, ἐπάγων καὶ ὅτι «εἰ δέ μοι αἶσα τεθνᾶναι παρὰ νηυσὶν Ἀχαιῶν, βούλομαι· αὐτίκα γάρ με κατακτείνειεν Ἀχιλλεὺς ἀγκὰς ἑλόντ’ ἐμὸν υἱόν, ἐπὴν γόου ἐξ ἔρον εἵην», ἤγουν ἐπειδὰν ἐκπληρώσαιμι τὸν τοῦ κλαίειν ἔρωτα, καθ’ ὁμοιότητα τοῦ «ἐδητύος ἐξ ἔρον ἕντο». διὸ καὶ δασύνεται τὸ «εἵην» ὡς ἐκεῖ τὸ «ἕντο», καθὰ καὶ ἀλλαχοῦ τὸ εἶναι ἐν τῷ «ἐξ ἔρον εἷναι». (v. 220 s.) Ὁ δὲ γέρων καὶ μετὰ τὸ «εἰ γάρ τίς με ἄλλος ἐκέλευεν» ἐφερμηνεύων τίς ἂν εἴη ὁ ἄλλος, ἐπάγει «οἷοι», μᾶλλον δέ «ἢ οἳ μάντιές εἰσι θυοσκόοι ἢ ἱερῆες», προθεὶς μὲν καὶ νῦν, ὡς καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ, τὸ γενικὸν τὸ μάντεις, ἐπαγαγὼν δὲ τὰ εἴδη, τὸ ἱερῆες καὶ τὸ θυοσκόοι, ὅπερ ἐκεῖ οὐκ ἐξεφώνησεν, ἕτερον εἶδος εἰπὼν τὸν ὀνειροπόλον. Εἰσὶ δὲ θυοσκόοι μὲν κατὰ τοὺς παλαιούς, περὶ ὧν δηλοῖ καὶ ἡ Ὀδύσσεια, οἱ διὰ τῶν ἐπιθυμιωμένων μαντευόμενοι, οἱ καὶ ἐμπυροσκόποι καὶ λιβανομάντεις, ἱερεῖς δὲ οἱ διὰ σπλάγχνων. θύη μὲν γάρ, φασί, τὰ θυμιάματα, ἱερὰ δὲ τὰ σπλάγχνα. καὶ ταῦτα μὲν οὕτως. (v. 219) Τὸ δὲ «μή μοι ὄρνις κακὸς πέλευ», ἤγουν πέλε, ὅ ἐστι γίνου, καὶ παροιμιῶδες γέγονεν ἐν ἴσῳ τῷ «κακὸς οἰωνός». Ὅτι δὲ πᾶν σύμβολον μέλλοντος ὄρνις ὡς ἀπὸ μέρους ἐλέγετο, καὶ ὁ Κωμικὸς ἐν Ὄρνισι δηλοῖ σαφέστατα.

4.892 ὄρνις δὲ κακὸς ἡ Ἑκάβη τῷ ἀνδρί, διότι δυσφημεῖ καὶ κλαίει ἀπιόντος λύσασθαι τὸν υἱόν, ὅπερ ἐν τῷ περὶ ὀλολυγῆς λόγῳ ἀπαίσιον εἶναι δεδήλωται. (v. 222) Τὸ δὲ «ψεῦδός κε φαῖμεν» καὶ ἑξῆς, φασὶν οἱ παλαιοὶ ἐνταῦθα μᾶλλον οἰκεῖον εἶναι ῥηθῆναι ἤπερ ἐν τῇ β′ ῥαψῳδίᾳ. ἐκεῖ μὲν γὰρ ὁ στίχος εἶχεν ἀπορίαν, ἐνταῦθα δὲ ἀσφαλὴς ἡ ἔννοια. οὐ γὰρ οὕτω πειστέον ἑτέροις ὡς θεῷ αὐτῷ. (v. 224—7) Σημείωσαι δὲ ὅτι, εἰ καὶ θαρρεῖ ἄλλως ὁ γέρων μὴ ἂν παθεῖν τι κακόν, ὅμως ἵνα παύσῃ τὴν Ἑκάβην, φησὶν ἀντιπαραστατικῶς ὡς, εἰ καί με χρὴ θανεῖν, πεσοῦμαι ἀγκὰς ἑλὼν ἐμὸν υἱὸν καὶ ἑξῆς, οὐχ’ ἁπλῶς ἀποφηνάμενος ὁ γέρων, ἀλλ’ εὐξάμενος οὕτω παθεῖν. καὶ ἔστι τὸ σχῆμα τοῦ λόγου ὅμοιόν τι τῷ «ἰδόντα με καὶ λίπῃ αἰών». (v. 227) Ἐν τούτοις δὲ ὅρα καὶ τὸ «ἐμὸν υἱόν», δριμέως πρὸς ἐντροπὴν τῆς Ἑκάβης ῥηθέν. αὐτῆς γὰρ οὐκ ἂν εἴη τῆς κωλυούσης τὰ εἰς ἐκείνου τιμήν. καὶ οὕτω μὲν ἐνταῦθα. προϊὼν δὲ καὶ τὸν υἱὸν ἀποσεμνύνων ἀπονοσφίσει πως ἑαυτοῦ, εἰπὼν ἐκεῖνον ἐκ θεοῦ εἶναι, οὐχ’ ἁπλῶς μέντοι, ἀλλ’ ἐοικέναι. (v. 224) Τὸ δὲ «εἶμι» ἀσυνδέτως εἰπὼν ὁ γέρων εἴποις ἂν ὡς αὐτίκα ὁρμᾶται. διὸ καὶ τὴν φράσιν τῷ ἔργῳ συνετρόχασεν. (v. 227) Ὅρα δὲ καὶ ὅτι τὸ «ἀγκάς» κἀνταῦθα συνέσταλται κατὰ τὴν λήγουσαν, εἴτε ὄνομά ἐστιν εἴτε ἐπίρρημα. (v. 228) Ὅτι τὸ ἀνοῖξαι κιβώτια οὕτω φράζει· «φωριαμῶν ἐπιθήματα κάλ’ ἀνέῳγε». λέγει δὲ ἐπιθήματα τὰ πώματα, ἤτοι τὰ σκεπάσματα, παρὰ τὸ ἐπιθεῖναι, τὸ κλεῖσαι, κατὰ τὸ «ἀνακλῖναι πυκινὸν νέφος ἠδ’ ἐπιθεῖναι», ἢ μᾶλλον παρὰ τὸ ἐπιθεῖναι, ἤγουν ἐπάνω θεῖναι. μετ’ ὀλίγα γοῦν ἐρεῖ «ταῦτά τε πάντ’ ἐπιθεῖτε». ἐντεῦθεν δὲ μεταφορικῶς καὶ ἐπιθεῖναι τὸ ἐπιβαλεῖν, ὡς τὸ «ἡμιτάλαντον ἐπιθήσω».

4.893 Φωριαμὸς δὲ ἢ παρὰ τὸ αὐτόθι τὰ φάρη ἀμᾶσθαι, ὅ ἐστι συνάγεσθαι, ἢ διὰ τὸ τοὺς φῶρας ἀπείργειν. ὀξύνεται δὲ ἡ λέξις κανόνι τοιούτῳ. τὰ διὰ τοῦ αμος τριβράχεα, μὴ ἐπιθετικὰ ὄντα, βαρύνεται· κάλαμος, Πρίαμος, τὸ ἰταμός ἐπίθετον, τὸ ποταμός ἐκ τοῦ ποτασμός γέγονεν ἀφαιρέσει τοῦ ς . ἔτι δὲ τὰ ἔχοντα τὴν ἄρχουσαν μακρὰν θέσει βαρύνεται· ὄρχαμος, Τύρταμος, Πέργαμος. τὰ δὲ φύσει, εἰ μέν εἰσι κύρια, βαρύνεται· Πύραμος, Τεύταμος. εἰ δὲ μή, ὀξύνεται· χηραμός, οὐλαμός. οὕτω καὶ φωριαμός, ἡ κιβωτός. (v. 229- 35) Ὅτι τὰ ὑπὲρ Ἕκτορος δῶρα, ὅ ἐστι λύτρα, οὕτω μετρεῖ Ὅμηρος «ἔνθεν δώδεκα μὲν περικαλλέας ἔξελε πέπλους, δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας, τόσσα δὲ φάρεα καλά, τόσσους δ' ἐπὶ τοῖσι χιτῶνας. χρυσοῦ δὲ στήσας ἔφερεν δέκα πάντα τάλαντα, ἐκ δὲ δύ' αἴθωνας τρίποδας, πίσυρας δὲ λέβητας, ἐκ δὲ δέπας περικαλλές, ὅ οἱ Θρῇκες πόρον ἄνδρες ἐξεσίηνδ' ἐλθόντι» ἢ «ἐξεσίην ἐλθόντι», «μέγα κτέρας». Καὶ ὅρα τὴν τοῦ σκεύους αὔξησιν. καλόν τε γὰρ αὐτὸ καὶ παλαιὸν κειμήλιον εἶναι δηλοῖ, καὶ ἐξεσίας, ἤτοι πρεσβείας, δῶρον, καὶ οὐχ' ἁπλῶς, ἀλλὰ ἔθνους ὅλου δῶρον πρεσβεῖ βασιλεῖ. καὶ καλὰ μὲν καὶ τὰ ἄλλα, τοῦτο δὲ καὶ περικαλλὲς καὶ μέγα κτέρας, ὡς καὶ ἀπερείσια σὺν αὐτῷ τὰ ῥηθέντα δῶρα ῥηθῆναι ἐν τοῖς ἑξῆς. διὸ ἐπάγει πρὸς ἐξοχήν, ὡς οὐδὲ τούτου ὁ γέρων ἐφείσατο διὰ τὸν φίλον υἱόν. (v. 235—7) Φησὶ γὰρ «οὐδέ νυ τοῦ περ φείσατ' ἐνὶ μεγάροις ὁ γέρων, περὶ δ' ἤθελε θυμῷ λύσασθαι φίλον υἱόν». [Καὶ ἔστιν ὅμοιον τοῦτο πρὸς τὸ «καὶ τὸν Ἀχιλλεὺς θῆκεν ἄεθλον», ἤγουν τὸν ἀργύρεον κρητῆρα, οὗ ποτε ὁ Πριαμίδης Λυκάων ἐξωνήθη. καὶ ἰδοὺ δέπας καὶ τοῦτο περιώνυμον, καθὰ καὶ κρατὴρ ἐκεῖνος.] Καὶ ὅρα ἐν τούτοις ὡς παρελάλησε μὲν ὁ ποιητὴς ἱστορίαν. ἀφῆκε δὲ διασκευάσαι αὐτήν. εἶχε μὲν γὰρ ἱστορῆσαι τὸ τῆς ἐξεσίας αἴτιον, ἀφῆκε δὲ εἰπεῖν, ὡς ἂν μὴ καὶ ἐγκόψῃ τὴν τοῦ λόγου συνέχειαν καὶ ὑπτιάσῃ τὸ ἐναγώνιον τῷ ἀφηγηματικῷ εἴδει ἔξω καιροῦ. εἴρηται δὲ ἐξεσία παρὰ τὴν ἕσιν, τὴν πέμψιν. ὡς γὰρ θήσω θεσία καὶ συνθεσία, καὶ θύσω θυσία, οὕτω καὶ παρὰ τὸν ἥσω δασυνόμενον μέλλοντα, ὡς δηλοῖ τὸ ἀφήσω καὶ μέμψω, ὡς τὸ «ἥσω γὰρ καὶ ἐγώ», ἑσία καὶ ἐξεσία ἡ εἰς πρεσβείαν ἔκπεμψις καὶ ἀποστολή. διό, φασι, καὶ Ἀρίσταρχος δασύνει τὴν λέξιν ἐν τῇ μέσῃ δηλαδὴ συλλαβῇ κατὰ παλαιὰν συνήθειαν, τὴν δηλωθεῖσαν καὶ ἀλλαχοῦ. Νεοπτόλεμος δέ, φασίν, ὁ Παριανός, ψιλοῖ, ἀπὸ τοῦ ἐξιέναι.

4.894 Ἰστέον δὲ ὅτι ἐκ τοῦ ἵημι ἥσω, ἐξ οὗ ὡς εἴρηται ἐξεσία, ἡ ἔκπεμψις, κεῖται καὶ ἐν τῇ λ' ῥαψῳδίᾳ τὸ ἐξέμεν ἀντὶ τοῦ ἐκπέμψαι. χρῆσις δὲ τῆς ἐξεσίας καὶ ἐν Ὀδυσσείᾳ. καὶ τοιαῦτα μὲν ταῦτα. (v. 229) Πέπλοι δὲ γυναικεῖον φόρημα κατὰ τοὺς παλαιούς, ἃ ἐπερονῶντο αἱ γυναῖκες, οἳ καὶ ἑανοὶ ἐκαλοῦντο. δῆλον δὲ ὅτι καὶ ἐπὶ ἀρραφοῦς ὑφάσματος ἡ λέξις ἐλαμβάνετό ποτε, ἐτυμολογουμένη παρὰ τὸ διαπεπτάσθαι. τοιοῦτος γοῦν πέπλος δοκεῖ καὶ ἐν Ὀδυσσείᾳ τῷ Τηλεμάχῳ παρὰ τῆς Ἑλένης δεδόσθαι, καὶ τῇ Τρωϊκῇ δὲ Ἀθηνᾷ ὅμοιος ἐν γούνασι τεθῆναι. ὡς δὲ καὶ ταὐτόν τι πέπλος καὶ ἑανός, παραδηλοῦται ἀπὸ τοῦ ἐς φιάλην χρυσῆν τὰ τοῦ Πατρόκλου ὀστᾶ τεθέντα ἑανῷ λιτὶ καλυφθῆναι. ὁμοίως δὲ καὶ τὰ τοῦ Ἕκτορος πορφυρέοις πέπλοις ἐν τοῖς ἑξῆς κατατεθέντα εἰς χρυσῆν λάρνακα. (v. 230) Αἱ δὲ χλαῖναι περιβλήματα, φασίν, ἦσαν κλίνης. ἐοίκασι δέ ποτε καὶ δεδιπλῶσθαι, ὡς ἂν πλέον χλιαίνοιεν. ὧν πρὸς διαστολὴν αἱ ἁπλοΐδες ἐνταῦθα εἴρηνται. Οἱ δὲ τάπητες πολλαχοῦ φαίνονται ὑποκεῖσθαι κατά τι εἶδος στρωμνῆς, ὁποῖα ἴσως καὶ τὰ καλούμενα ἐπεύχια. διὸ καὶ ἡ πολλὴ ἐτυμολογία ἐκ τοῦ πατεῖσθαι αὐτὰ παράγει. εἰ δέ τις μάθοι ἐν τοῖς ἑξῆς τὸ «δέμνια θεῖναι καὶ ῥήγεα ἐμβαλεῖν στορέσαι τ' ἐφύπερθε τάπητας» ἕτερόν τι νοήσει τοὺς τάπητας, οὓς οἱ παλαιοὶ μεταβολεῖς τῶν λέξεων ἓν πρὸς ἓν φράζοντες ἐφαπλώματα ἑρμηνεύουσι, συγκροτούμενοι ἐκ τοῦ «ἐφύπερθεν». καὶ ἀργεῖ ἐνταῦθα ἡ ἐκ τοῦ πατεῖν ἐτυμολογία. κρεῖττον δὲ ἢ ἐκ τοῦ θάλπω εἰπεῖν κατὰ τοὺς παλαιοὺς θάλπης, καὶ μεταθέσει Ἰωνικῇ καὶ ἐκβολῇ τοῦ λ , τάπης, ἢ ἐκ τοῦ ταφών, ὁ ἐκπλαγεὶς τάφης καὶ τάπης ὁ τὸν ὁρῶντα ἐκπλήττων. λέγονται δέ, φασίν, οἱ τάπητες καὶ δάπιδες παρὰ τὸ ἐν δαπέδῳ στρώνυσθαι. (v. 231) Τὰ δὲ φάρεα γυναικῶν τε καὶ ἀνδρῶν ἱμάτια.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4.895 (v. 232) Χιτῶνες δὲ ἀνδρεῖα ἐνδύματα, καθὰ καὶ ταῦτά φασιν οἱ παλαιοί. (v. 232) Τὸ δὲ «στήσας» ἀντὶ τοῦ σταθμήσας ὡς πρὸς ἀκρίβειαν, ἵνα μὴ καὶ ψεύσηται τὸν σταθμὸν τυχὸν ἐρωτηθείς. ἐκ τούτου δὲ καὶ πρὸ τούτων τὸ «χθιζὸν ἀποστήσονται χρέος», ὡς προηρμήνευται, καὶ μεταστῆσαι ἐν Ὀδυσσείᾳ τὸ μεταλλάξαι εἴρηται μεταφορικῶς. (v. 233) Αἴθωνες δὲ τρίποδες οἱ αἰθόμενοι, ὅ ἐστι λάμποντες ὡς γεγανωμένοι. οὐ γὰρ ἂν εἶεν ἀφιλότιμοι ὡς ἀπὸ πυρὸς αἰθομένου, τιμιώτεροι δὲ λεβήτων ὄντες ὑποδιπλασίονες ἐκείνων εἰσί. (v. 234) Τὸ δὲ ῥηθὲν δέπας ἴσως ἂν χρυσοῦν ἦν, ὡς ἔστιν ἐκ τοῦ «περικαλλές» τεκμήρασθαι. χρυσοῦ γὰρ ἐν πολλοῖς ἐπίθετον τὸ καλόν. διὸ καὶ τὸ περικαλλές, ὅπερ ἐστὶ καλὸν λίαν, ὅθεν συγκοπὲν τὸ κάλλος ἐν δυσὶ λ προφέρεται. οὕτω δ᾽ ἐπαγωγὸν φαίνεται τὸ ῥηθὲν δέπας, ὡς φυλαχθῆναι μέχρι καὶ νῦν τῷ γέροντι ἐν τοσαύταις δαπάναις ταῖς εἰς πόλεμον. (v. 238) Ὅτι τὰς αἰθούσας οὐχ᾽ ὑψηλάς τινας ἀλλὰ περί που τὴν αὐλὴν οὔσας ὁ ποιητὴς καὶ ἐνταῦθα δηλοῖ, λέγων ὅτι ὁ Πρίαμος Τρῶας «ἄπαντας αἰθούσης ἀπέεργεν» ἢ «ἀνέεργεν ἔπεσσιν αἰσχροῖσιν ἐνίπτων», ἤγουν ἐπιπλήττων. καὶ προϊὼν δέ φησι «ἐκ δ᾽ ἔλασεν», ἤτοι ἐξῆλθεν ἔφιππος, «προθύροιο καὶ αἰθούσης», ἣν καὶ ἐρίδουπον συνήθως, ὡς καὶ ἐν Ὀδυσσείᾳ, λέγει διὰ τὸ ἐκκεῖσθαι ἀνέμοις καθὰ καὶ τὴν αὐλήν, περὶ ἣν ἡ αἴθουσα ἦν. καὶ ἡ αὐλὴ γὰρ ἀπὸ τοῦ ἄω τὸ πνέω, λέγεται. οἱ δὲ παλαιοί φασι καὶ ταῦτα· αἴθουσαι· αὐλῆς τειχία. Σικελοὶ δὲ τὴν αἴθουσαν αὔλειον θύραν φασί, Κύπριοι δὲ παστάδα ἀμφίθυρον. [Ἰστέον δὲ ὅτι τὸ «ἔπεσς᾽ αἰσχροῖσιν ἐνίπτων», ἐξ οὗ καὶ ἐνιπή, ἡ δι᾽ αἰσχρολογίας ἐπίπληξις, γράφεται καὶ ἐνίσσων. καὶ ἔστι γλώσσης καὶ αὐτό, ὁποίας καὶ τὸ πέπτω πέσσω, περὶ οὗ προγέγραπται.

4.896 ] (v. 238—44) Ὅτι ἔπεσιν αἰσχροῖς ὁ γέρων τὸν λαὸν ἀπάγων ἑαυτοῦ φησιν «ἔρρετε λωβητῆρες, ἐλεγχέες, οὔ νυ καὶ ὑμῖν οἴκοι ἔνεστι γόος, ὅτι μ᾽ ἤλθετε κηδήσοντες; ἢ οὔνεσθε», τουτέστιν ὀνεῖσθε, «ὅτι μοι θεὸς ἄλγε᾽ ἔδωκε, παῖδ᾽ ὀλέσαι τὸν ἄριστον; ἀτὰρ γνώσεσθε καὶ ὔμμες· ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσι δὴ ἔσεσθε κείνου τεθνειῶτος ἐναιρέμεν», ἤτοι φονεύεσθαι, ἢ μάλιστα· ῥᾴονες εἰς τὸ ἐναίρειν ἐκείνους δρῶντας τοῦτο ἐφ᾽ ἡμῖν. Ἰστέον δὲ ὅτι τὸ μὲν «οὐχὶ καὶ ὑμῖν οἴκοι γόος» ἕως τοῦ «κηδήσοντες» ῥηθήσεται πρὸς τοὺς πενθεῖν τινα ἐρεθίζοντας ἐν τῷ ἀκαίρως συμπαθεῖν. Τὸ δὲ «ἀτὰρ γνώσεσθε» καὶ ἑξῆς, πρὸς τοὺς μὴ ἐξ ὀρθοῦ ἀχθομένους ἐπὶ ἀριστέως θανάτῳ. νοητέον δ᾽ ἐν τούτοις ὡς γοῶντες ἦσαν οἱ Τρῶες ἐν τῇ βασιλικῇ αὐλῇ. (v. 239) Λωβητῆρες δὲ ἢ οἱ λώβας ποιοῦντες ἢ οἱ λωβᾶσθαι ἄξιοι. αἰσχρὸν δὲ πάντως ἔπος τοῦτο, καθὰ καὶ τὸ «ἐλεγχέες», τουτέστιν αἰσχυντηλόν, ὑβριστικόν, ὡς ὁ ποιητὴς προεθεώρησεν. (v. 239 s.) Ἡ δὲ ἔννοια τοῦ «οὐ καὶ ὑμῖν γόος» διπλῆ· οὐχὶ καὶ ὑμῖν οἴκαδε ἴδιός τις γόος ἐστί, καὶ διὰ τοῦτο ἥκετε λυπήσοντές με μᾶλλον ἢ συμπενθήσοντες, ἢ ὅτι οὐχὶ καὶ οἴκαδε γοήσεσθε τὸν Ἕκτορα ἕκαστος, ἀλλὰ παρ᾽ ἐμοί; οἱ δὲ παλαιοὶ κάλλιον φράζουσιν οὕτως· οὐκ ἔχοντες πένθος ἐμὲ παραμυθεῖσθε, ἢ καὶ ἄλλως· ἐμοί, φησί, συμπαθήσοντες ἥκετε, οὐχὶ δὲ ἕκαστος ἴδιον ὁρίζεται πένθος τὸν θάνατον Ἕκτορος. βούλεται δέ, φασί, λέγειν ὡς δεῖ ἕκαστον οἴκοι μένοντα πενθεῖν τὸν Ἕκτορα. (v. 241) Τὸ δὲ «κηδήσοντες» καὶ νῦν ἀντὶ τοῦ λυπήσοντες. (v. 241) Τὸ δὲ «οὔνεσθε» Ἰωνικόν ἐστιν ἀπὸ τοῦ ὀνῶ ὄνημι, οὗ παθητικὸν ὄναμαι ὄνασθε.

4.897 Τὸ δὲ «ἄλγε᾽ ἔδωκεν» οὐ πολλά τινα μετρεῖ κήδεα, στενοχωρεῖται δὲ εἰς μόνον τὸν μέγαν Ἕκτορα, ὡς δηλοῖ τὸ «παῖδα ὀλέσαι τὸν ἄριστον», οὗ τὸ ἐξοχικὸν μεγαλεῖον ἡ σὺν τῷ ἄρθρῳ δηλοῖ προφορά. οὐ γὰρ ἁπλῶς ἔφη «ἄριστον», ἀλλὰ καθ᾽ ὑπεροχὴν «τὸν ἄριστον». (v. 244—6) Ὅτι φιλοπάτριδος ἀνδρὸς λόγος τὸ «ἀτὰρ ἔγωγε πρὶν ἀλαπαζομένην τε πόλιν κεραϊζομένην τε ὀφθαλμοῖσιν ἰδεῖν βαίην δόμον Ἄϊδος εἴσω». Ὅτι πρὸ βραχέων μὲν αἰθούσης ἀνέεργεν ἢ ἀπέεργεν τοὺς Τρῶας ὁ Πρίαμος λόγοις αἰσχροῖς ἐπιπλήττων, ὑποκαταβὰς δὲ οὐκέτι λόγοις, ἀλλὰ σκήπτρῳ, ὡς εἰκός, ἀπείργει. (v. 247) Φησὶ γὰρ «ἦ καὶ σκηπανίῳ», τῷ καὶ προερμηνευθέντι, «δίεπ᾽ ἀνέρας», τουτέστιν, εὐθὺς μετὰ τοὺς λόγους ἐποίει ἔργον «οἳ δ᾽ ἴσαν ἔξω», ἤγουν ἐξῆλθον, «σπερχομένοιο γέροντος». σεμνῶς δὲ τὸ διέπειν εἶπεν ὡς ἐπὶ βασιλέως.

βούλεται γὰρ εἰπεῖν ἐδίωκεν ἢ ἔπληττε. (v. 248) Τὸ δὲ «σπερχομένοιο» ἐνεργητικῶς νῦν ἐρρέθη ἀντὶ τοῦ σπέρχοντος καὶ κατεπείγοντος. ἴσως δὲ καὶ παθητικῶς δηλοῖ σεμνότητος λόγῳ τὸν τοῦ βασιλέως θυμόν. (v. 249—51) Ὅτι κατάλογον λεληθότως Ὅμηρος ποιούμενος τῶν ὑπολελειμμένων τῷ Πριάμῳ παίδων ἔφη «ὃ δ᾽ υἱάσιν οἷσιν ὁμόκλα νεικείων», οἵπερ ἦσαν Ἕλενος, Πάρις, Ἀγάθων, Πάμμων, ὃ συντεθὲν ποιεῖ τὸν πολυπάμμονα, ὅ ἐστι πολυθρέμμονα, Ἀντίφονος, Πολίτης, βοὴν ἀγαθός, Δηΐφοβος, Ἱππόθοος, καὶ Δῖος ἀγαυός, ἐννέα οὗτοι. (v. 251) Ἐνταῦθα δὲ οἱ μὲν τὸ Δῖός φασιν κύριον, οἱ δὲ τὸ Ἀγαυός. νικᾷ δὲ εἶναι Δίου ἐπίθετον τὸ ἀγαυός. ἦν δέ, φασίν, ὡς ἱστορεῖ Φερεκύδης, νόθος Πριάμου υἱὸς ὁ Δῖος. Ἰστέον δὲ ὅτι ὡς τῷ μέτρῳ συνήνεγκεν, ἀπηριθμήσατο τοὺς παῖδας ὁ ποιητής. οὐ γὰρ ἂν ἕβδομον τὸν Δηΐφοβον ἔταξεν ὑπερτεροῦντα τῶν ἄλλων μετὰ τὸν Ἕκτορα, περὶ οὗ φασι καί, ὅτι Ἀλεξάνδρου πεσόντος Πρίαμος τὸν Ἑλένης γάμον ἔπαθλον ἔθετο τῷ τὴν μάχην ἀρίστῳ. Δηΐφοβος οὖν, γενναίως ἀγωνισάμενος, ἔσχεν αὐτὴν ἀριστεῖον μάχης. τῷ δ᾽ αὐτῷ λόγῳ καὶ ἐφεξῆς τὸν Ἕκτορα ἐν τεθνεῶσιν υἱοῖς τρίτον ἔθηκε μετὰ Μήστορα ἀντίθεον καὶ Τρωΐλον ἱππιοχάρμην, ὅν φασιν ἵππους ἐν τῷ Θυμβραίῳ γυμνάζοντα λόγχῃ πεσεῖν ὑπ᾽ Ἀχιλλέως.

4.898 Πλὴν σημείωσαι ὡς, εἰ καὶ τὸ μέτρον τρίτην τάξιν ἔνειμεν Ἕκτορι, ἀλλὰ τῷ ἐπαίνῳ πάντων ὑπερτέθειται τῶν τε ἀπόντων καὶ τῶν περιόντων. θεῷ γὰρ εἰκάσει αὐτόν, ὡς ῥηθήσεται. Ὅρα δὲ κἀνταῦθα τοὺς υἱοὺς Πριάμου τῷ ἐννέα μετρουμένους ἀριθμῷ, ὃν στέργειν δέδεικται ὁ ποιητὴς μάλιστα. (v. 248) Ἐν δὲ τῷ «υἱάσιν οἷσιν» τὸ μὲν «υἱάσιν» ὁμοίως τοῖς συγγενικοῖς ἐσχημάτισται, τῷ πατράσι, μητράσι, θυγατράσιν. ἄλλως γὰρ «υἱεῦσιν» ἢ «υἱέσιν» ὤφειλεν εἶναι. Τὸ δὲ «οἷσιν», ἤγουν ἰδίοις, διαστολὴν ἔχει τῶν οἳ ἑτέρων πατέρων εἰσὶν υἱοί. Τὸ δὲ ὁμοκλᾶν καὶ νεικείειν ὅμοιόν ἐστι τῷ, ὡς ἐρρέθη, ἔπεσιν αἰσχροῖς ἐνίπτειν. [Ἄλλως δὲ τὸ νεικείειν εἶδός ἐστιν ὁμοκλῆς καὶ οὐκ αὐτόχρημα ὁμοκλή. ὁμοκλᾷ γοῦν τις καὶ ἀπειλῆς δίχα καὶ νείκους, ὡς δηλοῖ μετ᾽ ὀλίγα τὸ «ὁμοκλήσας ἐκέλευσεν», εἰ μὴ ἄρα νεικεῖν ἐστι καὶ ἐκεῖνο.] (v. 253 s.) Κακολογήσει γὰρ ὑβριστικῶς καὶ τοὺς ῥηθέντας υἱοὺς ὁ Πρίαμος εὐθὺς αὐτίκα, εἰπὼν «σπεύσατέ μοι, κακὰ τέκνα, κατηφόνες, αἴθ᾽ ἅμα πάντες Ἕκτορος ὠφέλετε ἀντὶ θοῇς ἐπὶ νηυσὶ πεφάσθαι». ὅπερ ὅμοιόν ἐστι τῷ «τρεῖς ἑνὸς ἀντιπεφάσθαι». (v. 255 s.) Εἶτα οἰκτιζόμενος, ἃ δὴ πατρὶ χειρόνων παίδων ἁρμόττει ἐστερημένῳ τῶν κρειττόνων, φησὶν ἠθοποιητικῶς· «ὤμοι ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους Τροίῃ ἐν εὐρείῃ, τῶν δ᾽ οὔ τινά φημι λελεῖφθαι». (v. 257—62) Ἐν οἷς μετρήσας τὸν προρρηθέντα Μήστορα καὶ τὸν Τρωΐλον μετ᾽ ἐπιθέτων σεμνῶν, ὡς προελέχθη, καὶ τὸν Ἕκτορα δὲ ἄνευ ἐπιθέτου, ὅμως ἄλλως αὐτὸν σεμνύνει, εἰπὼν «ὃς θεὸς ἔσκε μετ᾽ ἀνδράσιν, οὐδὲ ἐῴκει ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι ἀλλὰ θεοῖο. τοὺς μὲν ἀπώλες᾽ Ἄρης, τὰ δ᾽ ἐλέγχεα πάντα λέλειπται, ψεῦσταί τ᾽ ὀρχησταί τε χοροιτυπίῃσιν ἄριστοι, ἀρνῶν ἠδ᾽ ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες». (v. 263 s.) Ἦν δὲ τὸ ἔργον, εἰς ὃ τοὺς υἱοὺς ἐπέσπευδεν, ἐφοπλίσαι ἅμαξαν καὶ ἐπιθεῖναι τὰ λύτρα, μικρὸν μὲν ὂν καὶ ἐλαφρόν, δριμέως δὲ ἐπιταχθὲν ἐν ὀλιγίστῳ. φησὶ γὰρ «οὐκ ἂν δή μοι ἅμαξαν ἐφοπλίσητε», ἢ «ἐφοπλίσαιτε τάχιστα, ταῦτά τε πάντ᾽ ἐπιθεῖτε», τὰ πρὸ ὀφθαλμῶν δηλαδὴ κείμενα δῶρα, «ἵνα πρήσσωμεν ὁδοῖο», τουτέστιν, ὡς καὶ ἀλλαχοῦ κεῖται, ὁδεύσωμεν.

4.899 Καὶ ὅρα ὅπως τόπον εὗρεν ὁ ποιητής, ἐν ᾧ εὐαφόρμως κατηγόρησε τῶν Πριαμιδῶν, χαρακτηρίσας αὐτοὺς σκωπτικῶς. (v. 253) Εἰσὶ δὲ κατηφόνες μὲν οἱονεὶ αὐτόχρημα κατήφειαι. θηλυκὴ γὰρ ἡ προσηγορία κατὰ τὸν Ἀρίσταρχον. διασαφητικὸν δέ πώς ἐστι τοῦτο τοῦ «κακὰ τέκνα». [Καὶ ἄλλως δέ, κατηφόνες· καθ᾽ ὧν φόνος ψηφιστέος, ἵνα ᾖ τὸ μὲν πρῶτον ἀναλόγως τῇ κατηφείᾳ, ὧν εἶναι χρὴ κάτω τὰ φάη ἐπικρυπτομένων τὸ βλέπεσθαι, τὸ δὲ δεύτερον, ὡς ἐκ τοῦ φῶ, τὸ φονεύω, ἵνα εἶεν κατηφόνες οἱ φόνου κατάξιοι. ηρα—](v. 255) Τὸ δὲ «πανάποτμος» ταὐτὸν τῷ δυσάμμορος, περὶ οὗ ἀλλαχοῦ εἴρηται. (v. 256) Τὸ δὲ «οὔ τινά φημι λελεῖφθαι» ἢ ἐνδοιάζει πιθανῶς κατὰ τὸ φημί, ἢ καὶ ἄλλως σεμνῶς εἴρηται κατὰ ἀπόφανσιν, ὡς οἷα τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄλλων μὴ προσλογιζομένων περιεῖναι. πολλαχοῦ δὲ καὶ οὕτω σχηματίζει ὁ ποιητής. (v. 257) Σημείωσαι δὲ καὶ Μήστορα, τὸ κύριον, συστεῖλαν τὴν παραλήγουσαν. ἐπὶ δέ γε τοῦ βουλευτοῦ ἐκτείνεται, οἷον «μήστωρα φόβοιο». (v. 258 s.) Ὅρα δὲ καὶ ὅτι πολλῶν υἱῶν θανόντων τῷ γέροντι τρεῖς ἐξῆρε τοὺς ῥηθέντας, καὶ ὅτι ἐπεὶ μέγα ἦν εἰπεῖν θεὸν ἐν ἀνδράσιν εἶναι τὸν Ἕκτορα, ἐμφαίνει εὐθὺς ὁ ποιητὴς δεῖν κἀνταῦθα προσυπακούειν συνήθως τὸ ὡς , ἵνα λέγῃ ὅτι ὡς θεὸς ἦν. διὸ ἐπάγει «οὐδὲ ἐῴκει θνητοῦ παῖς εἶναι, ἀλλὰ θεοῦ», ἠθικῶς, φασί, λέγων τὸν παῖδα κρείττονα τοῦ δοκεῖν ἐξ αὐτοῦ γεγεννῆσθαι. καὶ Ὅμηρος μὲν οὕτω ῥητορικῶς τε καὶ ἀσφαλῶς. οἱ δὲ μετ᾽ αὐτὸν ἀναιδέστερον λέγοντες ἐξ Ἀπόλλωνος αὐτὸν σπερματίζουσι τὰ συνήθη παίζοντες μυθικά. περίφρασις δέ εἰσι τὰ εἰρημένα τοῦ ἀντίθεον καὶ τὸν Ἕκτορα εἶναι, καθὰ καὶ τὸν Μήστορα, πλατυνθεῖσα εἰς πλεῖον σέμνωμα τοῦ ἥρωος. (v. 260) Τὸ δὲ «ἐλέγχεα» ταὐτόν ἐστι τῷ «ἐλεγχέες». σαφέστερον δὲ τούτου ἐκεῖνο. τὸ γὰρ «ἐλέγχεα» καὶ ποιότητός ἐστι δηλωτικόν ποτε. (v. 261) Τὸ δὲ ψεῦσται ταὐτόν πως τῷ ἄπιστοι κατὰ τὸ «παῖδες ὑπερφίαλοι καὶ ἄπιστοι». [Ἐκ Πάριδος δὲ τοῦτο τὸ σκῶμμα καθήκει τοῖς ἀδελφοῖς, ὃς τοιοῦτος ἐφάνη τῷ Μενελάῳ κατὰ τὴν τοῦ Λυκόφρονος ἱστορίαν.

4.900 μήποτε δὲ τοιοῦτος καὶ ὁ Ἕκτωρ καὶ πρὸ αὐτοῦ Πρίαμος καὶ οἱ ἀμφ᾽ αὐτόν, οἳ μετὰ τὸ «νίκη μὲν δὴ φαίνεται Μενελάου» κατεπάτησαν τὰ πιστὰ ὅρκια. (v. 262) Τὸ δὲ «ἀρνῶν καὶ ἐρίφων» τρυφήν τε ἄκραν δηλοῖ τῶν οὕτω ἁπαλοῖς χαιρόντων ἐδέσμασι, καὶ τὴν ἁρπαγὴν δὲ πιθανεύεται. τοιαῦτα γὰρ ζῴδια ταχὺ καὶ ῥᾷον ἁρπάζονται. εἰκὸς δὲ ὠνειδίσθαι ταῦτα τοὺς Πριαμίδας καὶ ὡς ἀναλίσκοντας τὰ μὴ νενομισμένα τοῖς κατὰ Τροίαν, ἐπεί τοι καὶ Ἀθήνῃσι νενόμιστο, ἤγουν νόμος ἦν, ἀπέκτου ἀρνὸς μηδένα γεύεσθαι, ἐπιλιπούσης ποτέ, φασί, τῆς τῶν ζῴων τούτων γενέσεως. ἐρίφων δὲ εὐφορία, εἴπερ που, ἐν τῇ νήσῳ Μήλῳ ἦν. περιᾴδονται γὰρ οἱ ἐκεῖσε ἔριφοι, ὡς ὁ Δειπνοσοφιστὴς καὶ τοῦτο ἱστορεῖ. Ἄπεκτον δὲ ἄρνα ἡ ἱστορία ἔφη τὸν μήπω πεχθέντα, ἤγουν καρέντα, καὶ εἰπεῖν κατὰ Θεόκριτον, ποκιχθέντα. ὅτι δὲ ὁμωνυμίας λόγῳ ἔριφοι ὠνομάσθησαν καί τι κατ᾽ οὐρανὸν ἀστροθέτημα, δῆλον ἀπὸ λοπάδος, ἣν σεμνύνων τις παρὰ τῷ Δειπνοσοφιστῇ ἀστείως ἔφη τὸ «παρετέθη ὑπερήφανος ὄζουσα τῶν Ὡρῶν λοπάς, τὸ τοῦ πόλου παντὸς ἡμισφαίριον». ὃ καὶ κατασκευάζων ἐξ ὁμωνυμίας ἀστέρων πρὸς ζῷα ἐδώδιμα λοπάσιν ἑψόμενά φησιν ὡς ἅπαντ᾽ ἐκεῖ ἐνῆν τὰ οὐρανία καλά, ἰχθῦς, ἔριφοι, σκορπίος, ἃ δηλαδὴ καὶ ἐν οὐρανῷ εἰσιν. εἶτα εἰπὼν ὡς «ὑπέφαινεν ᾠῶν ἡμίτομα τοὺς ἀστέρας», ἐπάγει περὶ ταύτης «ὁ πᾶς ἀγὼν ἐπ᾽ ἐμὲ κατήντα. τὸ πέρας», ἤγουν ὕστερον, «οὐκ ἀνῆκα, ἕως τὴν λοπάδ᾽ ὀρύττων ἀποδέδειχα κόσκινον». καὶ οὕτω μέν εἰσι καὶ οὐρανοῦ ἔριφοι. Τὸ δὲ «ὄζουσα Ὡρῶν» παραπεποιῆσθαι δοκεῖ ἐκ Θεοκρίτου, ὃς πλυθῆναί τι ἔφη πρὸς κράναις Ὡρᾶν, ἤγουν πρὸς ταῖς κρήναις αὐτῶν τῶν Ὡρῶν, ἃς κάλλος ἔστι νοεῖν, σεμνύνων ἐκεῖνος οὕτω τὸ καλῶς πλυθέν. Ὅμηρος δὲ μεγάλα λέγων πρὸς ὄγκον σεμνὸν ἄλλως ταῖς Ὥραις ἀνατίθησι τὰ οὐράνια, οὐ σμικρολογούμενος ταπεινῶς. ὅτι δὲ ὥρα καὶ ἐπὶ κάλλους λέγεται, δῆλον καὶ ἐκ τοῦ «ἐν Σάμῳ Ἀφροδίτην ἑταῖραι ἱδρύσαντο, ἐργασάμεναι ἱκανῶς ἀπὸ τῆς ὥρας». τοιοῦτον δέ τι καὶ τὸ «γυναῖκες αἱ ἐν ὥρᾳ». ἴσως δὲ αὐτὸ καὶ χρόνον δηλοῖ, καθὸ καὶ ὡραῖαι γάμου αἱ αὐταὶ λέγονται, ὡς καὶ βότρυς ὡραῖος τρυγᾶσθαι.

4.901 ἡ δὲ τοιαύτη ὥρα καὶ τὸ ὡρολογεῖν ποιεῖ καὶ τὸν ἐξ αὐτοῦ ὡρολογητήν, ὃν ὁ παρὰ τῷ Ἀθηναίῳ Τίμων λαβάργυρον ἔφη ὡς ἐπὶ μισθῷ ὡρολογοῦντα. καὶ οὕτω μὲν καὶ ταῦτα. Τὸ δέ, ὡς ἐρρέθη, ἀρνῶν καὶ ἐρίφων ἐπιδήμιοι ἅρπαγες καὶ ἀναίδειαν καὶ θηριωδίαν καταλαλεῖ τῶν εἰρημένων Πριαμιδῶν. θῆρες γὰρ ἁρπακτῆρές εἰσιν, οἳ καὶ δημοτικοῖς ἐπιτίθενται ζῴοις, ὁποῖος καὶ ὁ τοῦ Ἀράτου μονόλυκος ὅτε λιμὸν καραδοκεῖ. Ὅτι δὲ σκῶμμα στρατιωτικόν ποτε καὶ τὸ λύκος, δηλοῖ καὶ Ἀθήναιος, ἔνθα ἱστορεῖ ὡς Γνάθαινα ἡ ἑταιρίς, ἐπεὶ δύο τινὲς αὐτὴν ἐμισθώσαντο, στρατιώτης καὶ μαστιγίας, ὁμώνυμοι, ὡς ἔοικε, ποταμοῖς, καὶ ὁ στρατιώτης ἀναγωγότερον, ἤγουν ἀπαιδευτότερον, λάκκον αὐτὴν ὠνόμασε, πῶς ἔφη; καὶ αὐτίκα λύουσα ἡ αὐτὴ ἐπεῖπεν· ἢ

ὅτι δύο ποταμοὶ ἐμβάλλετόν μοι ὁ Λύκος καὶ ὁ Μαστιγίας, σκώψασα ἐκείνη τὸν στρατιώτην μὲν τῷ τοῦ λύκου ὀνόματι, τὸν δὲ δοῦλον ἐραστὴν τῷ τοῦ μαστιγίου. ἐπορίσατο δὲ τὸ τῆς ἐμβολῆς τῶν δύο ποταμῶν εἰς ἕνα λάκκον ἡ Γνάθαινα νόημα ἐκ τῶν Ὁμηρικῶν δύο μεγάλων κρουνῶν, οἳ συμβάλλουσιν εἰς μίαν μισγάγκειαν. σοφὴ δὲ ἡ ῥηθεῖσα Γνάθαινα ὑποκοριζομένη καὶ εἰς Γναθαίνιον. ἧς ἀπομνημονεύεται καὶ ὅτι φαῦλον παλαιστὴν ὀνηλάτην ἀπειλήσαντα καταβαλεῖν γύναια σὺν τοῖς ὀναρίοις καὶ ταῖς ἀστράβαις, ἔσκωψεν εἰποῦσα ἰαμβικῶς· μὴ δῆτ’, ἄνερ, οὐδέποτε γὰρ τοῦτ’ ἔστι σοι πεπραγμένον, ἤγουν τὸ ῥῖψαί τινα.] (v. 261) Τὸ δὲ «ὀρχησταὶ χοροιτυπίαις ἄριστοι» ἀντὶ τοῦ οὐκ ἐν πολέμῳ ὀρχησταί, οἷός που ἐν τοῖς πρὸ τούτων ἐρρέθη τις τῶν ἡρώων, οὐδὲ τὰ ἐνόπλια πυρριχίζοντες, [ὃ δὴ πολλάκις βασιλεῦσιν ἔργον ἦν ἡδύ. Ἀντιόχῳ γοῦν, βασιλεῖ τῷ μεγάλῳ, πρὸς ὅπλα τινὲς ὠρχοῦντο ἐν τῷ δείπνῳ,] ἀλλὰ τὰ ἐς χοροὺς ὀρχούμενοι. Ἐπιδήμιοι δὲ οἱ μὴ τὰ τῶν πολεμίων ἀλλὰ τὰ τοῦ ἰδίου δήμου ἁρπάζοντες καὶ δημοβόρων δίκην ἀδικεῖν τοὺς οἰκείους γενναῖοι.

4.902 ὅθεν παροιμία «οἴκοι λέοντες, ἐν δὲ μάχῃ ἀλώπεκες». [Λέγει δὲ καὶ ἡ καθωμιλημένη γλῶσσα τοὺς ἀτυχεστέρους τῶν ἀρχόντων ἰσχυροὺς εἶναι κατὰ τοῦ ὑπ’ αὐτοὺς δήμου. Τὸ δὲ ἐπιδήμιον ἔγνωσται καὶ τοῖς Ἀσκληπιάδαις, ἐπὶ νοσημάτων μέντοι.] Τὸ δὲ ἁρπακτῆρες ποιηταῖς φίλη λέξις, καθὰ καὶ τὸ φυλακτῆρες, καὶ τὸ πρηκτήρ καὶ ῥητήρ καὶ θηρητήρ. (v. 264) Τὸ δὲ «ἐπιθεῖτε» ἐκ τοῦ ἐπιθείητε συγκέκοπται, καὶ ἔστιν ἀκόλουθον τῷ ἐφοπλίσσαιτε εὐκτικῷ. οἱ δὲ γράφοντες «ἐπιθῆτε» διὰ τοῦ η ποιοῦσιν οὕτω πρὸς ἀκολουθίαν τοῦ «ἐφοπλίσσητε» κατὰ ἔγκλισιν ὑποτακτικήν. [Ἰστέον δὲ ὅτι ἐπιθεῖναι λέγεται καὶ τὸ προσθεῖναι, εἴτ’ οὖν ἐπιβαλεῖν, ὡς καὶ προδεδήλωται ἐν τῷ τοῦ Πατρόκλου ἐπιταφίῳ ἀγῶνι, καὶ ἐξ αὐτοῦ παρὰ τοῖς ὕστερον ἐπιθήκη ἡ προσθήκη, οἷον ἐπιθήκη θαύματος ἢ ἐκπλήξεως. ἡ δ’ αὐτὴ καὶ ἐπενθήκη. ἡ δὲ λέξις τῆς ἐπενθέσεως Γραμματικοῖς μάλιστα ἔγνωσται.] (v. 265—78) Ὅτι θελήσας Ὅμηρος κατὰ συνήθη φιλοτιμίαν διασκευάσαι ζεῦγμα ἡμιονείας ἀπήνης φησὶν «ἐκ μὲν ἅμαξαν ἄειραν», οἱ Πριαμίδαι δηλαδή, «εὔτροχον, ἡμιονείην, καλήν, πρωτοπαγέα», ὥς που προεγράφη, «πείρινθα δὲ δῆσαν ἐπ’ αὐτῆς», ὡς καὶ αὐτὸ προγέγραπται, οὐ τότε ποιηθὲν ὑπὸ τῶν Πριαμιδῶν, ἀλλ’ ὅτε ὁμοκλῆς ἀκούσαντες ὑπέδεισαν «κὰδ δ’ ἀπὸ πασσαλόφιν ζυγὸν ᾕρεον ἡμιόνειον, πύξινον, ὀμφαλόεν, εὖ οἰήκεσσιν ἀρηρός· ἐκ δ’ ἔφερον ζυγόδεσμον ἅμα ζυγῷ, ἐννεάπηχυ. καὶ τὸ μὲν εὖ κατέθηκαν ἐϋξέστῳ ἐπὶ ῥυμῷ, πέζῃ ἐπὶ πρώτῃ, ἐπὶ δὲ κρίκον ἕστορι βάλλον· τρὶς δ’ ἑκάτερθεν ἔδησαν ἐπ’ ὀμφαλόν, αὐτὰρ ἔπειτα ἑξείης κατέδησαν, ὑπὸ γλωχῖνα δ’ ἔγναμψαν», ἤγουν ἔκαμψαν, «ἐκ θαλάμου δὲ φέροντες ἐϋξέστης ἐπ’ ἀπήνης νήεον Ἑκτορέης κεφαλῆς ἀπερείσι’ ἄποινα· ζεῦξαν δ’ ἡμιόνους κρατερώνυχας ἐντεσιεργούς, τούς ῥά ποτε Πριάμῳ Μυσοὶ δόσαν ἀγλαὰ δῶρα». καὶ ταῦτα οὕτω διασκευάσας τὸ ζεῦγμα τῶν ἵππων οὐ πολυλογεῖ, ὡς ἀλλαχοῦ που καὶ περὶ τοιούτων λαλήσας, (v. 279 s.) λέγει δὲ μόνον ὅτι «ἵππους δὲ Πριάμῳ ὕπαγον ζυγόν, οὓς ὁ γεραιὸς αὐτὸς ἔχων ἀτίταλλεν ἐϋξέστῳ ἐπὶ φάτνῃ». (v. 281 s.) Καὶ «ζευγνύσθην», ἤγουν ἐζεύγνυον, τούτους «ἐν δώμασιν ὑψηλοῖσιν κῆρυξ καὶ Πρίαμος πυκινὰ φρεσὶ μήδε’ ἔχοντες».

4.903 Καὶ ὅρα ὡς κἀνταῦθα βασιλικοὶ ἄνδρες αὐτοδιακονοῦσι καὶ αὐτὸς ὁ βασιλεύς, ὡς ἡρωϊκὸς νενομοθέτητο βίος. Τὰ δὲ κατὰ μέρος τοῦ χωρίου τοιαῦτα. (v. 266) Ἅμαξαν μὲν καὶ ἀπήνην εἰπεῖν, ταὐτόν ἐστιν. Ἀείρεται δέ, ὅ ἐστιν αἴρεται, ὑψοῦ βασταζομένη, ὡς ἐλαφροτέρα. τοιαῦται γάρ, ὡς εἰκός, αἱ ἡμιόνειαι, ὧν καὶ τὸ ζυγὸν ἀναλόγως εἶχε πρὸς ἐλαφρότητα. Τὸ δὲ εὔτροχος εὔκυκλος ἐν ἄλλοις λέγεται, (v. 267) καλὴ δὲ ἡ ἄλλως τε, οἷα εἰκός, εὐειδής, καὶ διὰ τὸ πρωτοπαγὲς δέ, καθ’ ὃ εἴη ἂν καλὴ καὶ ναῦς πρωτόπλοος. εὐπηγῆ δὲ εἰπὼν ἄνδρα ἐν Ὀδυσσείᾳ κατὰ χρείαν μέτρου ἐνταῦθα πρωτοπαγέα λέγει ἀπήνην διὰ τοῦ α . (v. 268) Τὸ δὲ καθῄρεον ἐκ πασσάλου ἀντὶ τοῦ κατῆγον, κατεβίβαζον. εἴρηται δέ που ἡ λέξις οὕτω καὶ ἔνθα ὁ ποταμὸς καθῄρει τὸν Ἀχιλλέα. Τὸ δὲ «ἀπὸ πασσαλόφιν» συνήθως εἴρηται. πολλὰ γὰρ χρήσιμα πασσάλων ἠώρηντο, ὡς ἐν Ὀδυσσείᾳ μάλιστα φαίνεται, εἰ καὶ οἱ μεθ’ Ὅμηρον τὰ μὴ εὔχρηστα

οὕτως αἰωρεῖσθαί φασι, καθὰ καὶ τὰ ὑπὲρ καπνοῦ, παροιμιωδῶς. [Δοκεῖ δὲ τοῦ πασσάλου προηγεῖσθαι ὁ πάσσος ἐκ τοῦ πήσσω ῥήματος, ἐκεῖθεν δὲ πλεονασμῷ μὲν τῆς αλ συλλαβῆς γενέσθαι πάσσαλος. ἄλλως δὲ καθ’ ὑποκορισμὸν ὁ παρὰ τῷ Κωμικῷ πάσσαξ, οὗ γενικὴ πάσσακος.] Τὸ δὲ ζυγόν, καθὰ καὶ τὸ ζυγόδεσμον, οὐδετέρως φησὶ κατὰ γένους μεταπλασμόν, ὡς δηλοῖ τὸ ὀμφαλόεν καὶ τὸ ἀρηρός. (v. 269) Τὸ δὲ «πύξινον» ἐστὶ μὲν καὶ πρὸς στερρότητα, ἔχει δέ τι καὶ κάλλους, βασιλικῇ πρέποντος ἀπήνῃ. οὐκ ἂν δὲ ζυγὸς βόειος τοιοῦτος εἴη. γίνεται δέ, [ὡς καὶ προερρέθη,] ὁ πύξος, ὅθεν καὶ τὸ πυκνόν· ἐκ τοῦ πτύσσω γὰρ πτύξω, ἐπειδὴ πάνυ πυκνὸν ξύλον τὸ πύξινον. ὡς δέ τις τῶν παλαιῶν ὠχρὸς τὴν ὄψιν πύξινος ἐσκώπτετο διὰ τὸ τῆς χρόας ὁμοιοειδές, ἀναλεκτέον ἐξ ἱστορίας. Ὀμφαλόεν δὲ τὸ ἢ κύκλους τινὰς κοίλους ἔχον ὀμφαλοειδεῖς ἢ γλύμμα τι κοῖλον περὶ τὸ μέσον τοῦ ζυγοῦ, ὅπου οἱ ἱμάντες περιτίθενται, ὡς δηλοῖ τὸ «τρὶς δ’ ἑκάτερθεν ἔδησαν ἐπ’ ὀμφαλόν», ὅ ἐστιν ἐπὶ τὸ μέσον τοῦ ζυγοῦ.

4.904 οἱ δὲ ἀκριβέστεροι ὀμφαλόεν φασὶ τὸ ὑπεροχάς τινας ἔχον ἐν μέσῳ, αἷς οἱ ἱμάντες περιειλοῦνται, ἢ τὸ ἔχον μέσον ὀμφαλόν, ᾧ προσδεῖται ἱμᾶσιν ὁ ῥυμός. Οἴηκες δὲ νῦν ἢ κρίκοι τινὲς συνέχοντες τὸν ζυγόν, ἢ δι’ ὧν ἐνείρονται αἱ τοὺς ἡμιόνους οἰακίζουσαι ἡνίαι. ὁμώνυμον ἄρα καὶ ὁ οἴαξ, οὐ μόνον κύριον ὂν καὶ ἐπὶ νηὸς δὲ λεγόμενον, ἀλλ’ ἰδοὺ καὶ ἐπὶ ἀπήνης. (v. 270) Τὸ δὲ ζυγόδεσμον ἱμάς ἐστιν ἢ σχοινίον, ὅπερ Ὅμηρος κατὰ πάρεργον λόγου ὡς ἐκ παρόδου μετρῶν ἐννεάπηχυ εἶναί φησι. (v. 272) Πέζαν δὲ ῥυμοῦ πρώτην τὸ ἄκρον φησίν, ᾧ ἐπίκειται ὁ ζυγός. λέγεται δὲ πέζα, ἐπεὶ κάτω καὶ αὐτὸ ἐπὶ γῆς γίνεται, ὅτε λυθῇ ὁ ῥυμός, ὃς οὕτω λέγεται παρὰ τὸ ῥύειν καὶ ἑλκύειν τὴν ἅμαξαν. Ὁ δὲ κρίκος ἐξ ὀνοματοποιΐας παρῆκται καὶ αὐτός, καθὰ καὶ ὁ κίρκος ὄρνις, τουτέστιν ἐκ τοῦ κρίζειν, οὗ ἡ χρῆσις παρὰ Μενάνδρῳ, οἷον «ἀλλὰ καὶ χαμαιτύπη κρίζει τις», ὅ ἐστι ποιόν τινα ἦχον ἀποτελεῖ, ἐξ οὗ καὶ «κρίγε» δεύτερος ἀόριστος καθ’ ὁμοιότητα τοῦ ἤρυγε καὶ τῶν ὁμοίων. Ἕστωρ δὲ πάσσαλος τῷ ζυγῷ ἐνιέμενος, ἐν ἄκρῳ τῷ ῥυμῷ πεπηγώς, ἔνθα κρίκος ἐμβάλλεται καὶ τὸ ζυγόδεσμον ἀποδέδεται εἰς συνοχὴν τοῦ ζυγοῦ. τινὲς δὲ ἕστορα εἶπον γλύμμα, ἤτοι κύκλωμα, ζυγοῦ, εἰς ὃ ὁ τῶν ζῴων ἐνίεται, ἤγουν ἐντίθεται, τράχηλος ἑκατέρωθεν.

4.905 δασύνεται δὲ ὁ ἕστωρ ἀπὸ τοῦ ἵημι ἥσω καὶ τῆς ἐκεῖθεν γινομένης ἕσεως, ἤτοι ἐμβολῆς, ὁ ἐνιέμενος ἐπ’ ἄκρῳ τοῦ ζυγοῦ, περὶ ὃν ὁ κρίκος ἐντίθεται. ἢ καὶ ἄλλως εἰπεῖν, ἕστωρ ἀπὸ τοῦ ἥσω, ἐξ οὗ καὶ ἧλος, ἵνα ᾖ ἕστωρ ὁ ἐνηλούμενος τῷ ζυγῷ. ἐν δὲ ῥητορικῷ Λεξικῷ γράφει οὕτως· ἕστωρ· σφήν, ἔμβολος, γόμφος ἢ πρῶτος τύλος τοῦ ῥυμοῦ ἢ κοίλωμα ζυγοῦ, ὑφ’ ὃ ὁ τράχηλος. (v. 273 s.) Τὸ δὲ «ἔδησαν» καὶ «κατέδησαν» διλογεῖται ὡς καίριον. (v. 274) Γλωχῖνα δὲ κάμψαι φησὶ τὸ μετὰ δεσμὸν ὑποβαλεῖν τῇ καμπῇ τοῦ δεσμοῦ τὸ τοῦ ἱμάντος ἄκρον καὶ γωνιῶσαι αὐτό, ὡς ἂν εἴη εὔλυτον ὕστερον διὰ τῆς χυδαϊστὶ λεγομένης θηλέας. οἱ δὲ γλωχῖνά φασι τὴν ἐκ τοῦ ῥυμοῦ καὶ ζυγοῦ γωνίαν, ἔνθα κάμπτεται περὶ τὸν μέσον τοῦ ζυγοῦ ὀμφαλὸν τὸ ζυγόδεσμον. δηλοῖ δέ, φασί, καὶ γλωσσίδα τινά. [Γίνεται δὲ τὸ γνάμπτειν ἐκ τοῦ γόνυ καὶ τῆς κατ’ αὐτὸ γωνίας, ὅτε κάμπτεται, ἵνα ᾖ γονάπτω, καὶ συγκοπῇ γνάπτω, καὶ πλεονασμῷ διὰ στομφασμὸν εὔφωνον γνάμπτω.] (v. 275) Ἐΰξεστος δὲ ἀπήνη, καθὰ καὶ ἅρμα ἐΰξοον. (v. 276) Τὸ δὲ «νήεον», ἤτοι συνῆγον, ἐσώρευον, πρωτότυπόν ἐστι τοῦ «παρενήνεον ἐν κανέοισιν». ἐξ αὐτοῦ δὲ καὶ τὸ «νῆα νηησάσθω», ἐν τοῖς πρὸ τούτων που εἴρηται, πρώτης ὂν συζυγίας τῶν περισπωμένων, ὡς φαίνεται. Ἡ δὲ Ἑκτορέη κεφαλὴ ἁπλοϊκῶς νῦν τὸν τοῦ Ἕκτορος φράζει νεκρόν. τὸ μέντοι «Τεῦκρε, φίλη κεφαλή» ἄλλην ἀγωγὴν ἔχει, οὗ πρὸς ὁμοιότητα «φίλτατον κάρα» φησὶ Σοφοκλῆς. (v. 277) Τοῦ δὲ «ζεῦξαν» ὁ ἐνεστὼς τὸ ζεύγω οὐχ’ εὕρηται χρηστόν, εὐχρηστεῖται δὲ ἀντ’ αὐτοῦ τὸ παράγωγον ζευγνύω.

4.906 Κρατερώνυχες δὲ ἡμίονοι, ὡς ἀλλαχοῦ, ἵπποι χαλκόποδες. καὶ λύκοι δέ που κεῖνται κρατερώνυχες. Ἐντεσιουργοὶ δὲ ἡμίονοι οἱ ἐν ἔντεσιν ἐργαζόμενοι, τουτέστιν οἱ ἁμάξας ἕλκοντες καὶ μὴ ἁπλῶς νωτοφόροι. ἔντεα γὰρ παρὰ Πινδάρῳ τὰ ἅρματα. καὶ ἄλλως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐντεσιουργοὺς λέγει τοὺς ἑτοίμους εἰς ἔργον. εἰ γὰρ ἡ ἅμαξα ὥπλισται, ὡς ἐρρέθη, εἶεν ἂν εἰς ἔργον ὡπλισμένοι καὶ αὐτοὶ διὰ τὸ συνώνυμα εἶναι τὰ ὅπλα καὶ τὰ ἔντεα. συντελεῖ δὲ ἐνταῦθα καὶ τὸ ἀλλαχοῦ ῥηθὲν «ἔντυεν ἵππους», ἤγουν εὐτρέπιζεν εἰς ἅρμα. ὅτι δὲ τὰ ἔντεα δοκεῖ δασύνειν τὴν ἀρχοῦσαν παρὰ τοῖς παλαιοῖς, δηλοῖ καὶ ὁ αὐθέντης, οὐχ' ὁ δεσπότης, ὥς φησιν Αἴλιος Διονύσιος, ἀλλ' ὁ αὐτοέντης καὶ αὐτοχειρίᾳ φονεύς, ὁ καὶ αὐτοφόντης. (v. 278) Μυσοὺς δὲ ποίους ἐνταῦθα λέγει ὁ ποιητὴς, ἄδηλον, εἴτε Εὐρωπαίους, εἴτε Ἀσιανούς. ἐμφαίνει δὲ καὶ νῦν ὅτι ἔχων ἱστορίαν εἰπεῖν, παρίησιν, ὃ καὶ πρὸ ὀλίγου πεποίηκεν. (v. 279 s.) Οἱ δὲ παρ' αὐτῷ τῷ γέροντι ἀτάλλοντες ἵπποι φίλιππον αὐτὸν παραδεικνύουσι καὶ ἐν γήρᾳ βαθεῖ. Ἡ δὲ εὔξεστος φάτνη ἄδηλον εἴπερ ἐκ λίθων ἢ ξύλων ἤσκηται, ἐπεὶ καὶ ἐπ' ἀμφοῖν τὸ ξέειν λέγεται, ὡς καὶ ὁ λιθοξόος δηλοῖ καὶ ἡ εὐξέστη ἀπήνη καὶ ὁ ξεστὸς δίφρος. (v. 281) Ἐν δὲ τῷ «δώμασιν ὑψηλοῖσι» δοκεῖ παρέλκειν τὸ «ὑψηλοῖσι», τεθὲν πρὸς ἀναπλήρωσιν ἔπους. ἄλλως γὰρ οὐκ ἐν μετεώρῳ ἐπὶ ὑπερῴου ἵπποι ἐζεύγνυντο, ἀλλ' ἁπλῶς ἔσω οἴκου. Ἰστέον δὲ ὅτι καὶ ζεῦξαι καὶ ζεύξασθαι πολλαχοῦ λέγεται. καὶ ἐνταῦθα γοῦν «ζεῦξαν ἡμιόνους» φησὶ καὶ «ζευγνύσθην ἵππους». (v. 282) Ἰστέον δὲ καὶ ὡς, ἐπεὶ φρονήσεως μάλιστα ἔδει τοῖς πρὸς Ἀχιλλέα πρεσβευσομένοις ὑπὲρ τοῦ Ἕκτορος, οὔτε νέους τινὰς Ὅμηρος πλάττει τούτους, ἀλλὰ καὶ φρόνησιν αὐτοῖς ἐπιμαρτύρεται κατ' ἐξαίρετον, εἰπών, ὡς προέκκειται, τὸ «κῆρυξ καὶ Πρίαμος πυκινὰ φρεσὶ μήδε' ἔχοντες». (v. 283—95) Ὅτι Ἑκάβη, μὴ πείσασα τὸν γέροντα, παραινεῖ σπείσαντα γοῦν τῷ Διῒ ἀπελθεῖν καὶ παρίσταται οἶνον ἔχουσα ἐν χειρὶ ὥς ποτε καὶ ἐπὶ Ἕκτορος, καὶ εὔχεσθαι ὑποτίθεται σπείσαντα, εἰποῦσα ταῦτα ἐν τῷ στῆναι ἵππων προπάροιθεν «τῆ», ὅ ἐστι λάβε, ὡς καὶ προδεδήλωται, «σπεῖσον Διῒ πατρὶ καὶ εὔχεο οἴκαδ' ἱκέσθαι ἂψ ἐκ δυσμενέων ἀνδρῶν, ἐπεὶ ἄρ σέ γε θυμὸς ὀτρύνει ἐπὶ νῆας», ἱκέσθαι δηλαδή, «ἐμεῖο μὲν οὐκ ἐθελούσης.

4.907 ἀλλ' εὔχευ», ἢ εὔχεο, «σύ γ' ἔπειτα» Διῒ «Ἰδαίῳ, ὅς τε Τροίην κατὰ πᾶσαν ὁρᾶται, αἴτει δ' οἰωνὸν ταχὺν ἄγγελον, ὅς τέ οἱ αὐτῷ», ἤγουν ἑαυτῷ, «φίλτατος οἰωνῶν, καὶ εὖ κράτος ἐστὶ μέγιστον, δεξιόν· ὄφρα μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας τῷ», ἤγουν αὐτῷ, «πίσυνος», τουτέστι θαρρῶν, «ἐπὶ νῆας ἴῃς Δαναῶν ταχυπώλων». (v. 296—8) Ὡς εἴ γε μὴ τοῦτο, οὐ θέλει ἡ γραῦς ἐποτρῦναι αὐτὸν ἀπελθεῖν. (v. 299—301) Καὶ ὁ γέρων πείθεται, καὶ [εἰπὼν «ὦ γύναι, οὐ μέν τοι τόδ' ἐφιεμένῃ», τουτέστιν ἐντελλομένῃ, «σοι ἀπιθήσω», καὶ ἐπαγαγὼν γνωμικῶς τὸ «ἐσθλὸν γὰρ Διῒ χεῖρας ἀνασχέμεν», ἤγουν ἀνατεῖναι, «αἴ κ' ἐλεήσῃ», ὅπερ ἐστὶν «εἴ πως ἐλεήσῃ», ταὐτὸν ὂν τῷ «ὅπως ἐλεήσῃ».] (v. 302—4) Εἶτα ὀτρύνει ἀμφίπολον ταμίην «χερσὶν ὕδωρ ἐπιχεῦαι ἀκήρατον. ἣ δὲ παρέστη χέρνιβον, ἀμφίπολος πρόχοόν θ' ἅμα χερσὶν ἔχουσα». (v. 305—13) Νιψάμενος δὲ καὶ δεξάμενος κύπελλον ἐκ τῆς Ἑκάβης εὔχεται μέσῳ στὰς ἕρκεϊ, λείβων οἶνον καὶ οὐρανὸν εἰσανιδών φησι «Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε, μέγιστε», ὡς καὶ ἀλλαχοῦ κεῖται, «δός μ' ἐς Ἀχιλῆος φίλον ἐλθεῖν ἠδ' ἐλεεινόν· πέμψον δ' οἰωνὸν ταχὺν ἄγγελον», καὶ ἑξῆς τοὺς τέσσαρας στίχους, ὡς ἡ Ἑκάβη ἐδίδαξε. καὶ ὁ Ζεὺς ὑπακούει καὶ στέλλει δεξιὸν οἰωνόν. Ἐν τούτοις δὲ δηλοῖ ὁ ποιητής, ὡς καὶ ἀλλαχοῦ, ταὐτὸν εἶναι λεῖψαι καὶ σπεῖσαι, ὡσαύτως καὶ δέπας καὶ κύπελλον. (v. 289) Ἔχει δὲ καὶ τὸν μεν σύνδεσμον ἀναπόδοτον ἐν τῷ «ἐμεῖο μὲν οὐκ ἐθελούσης». (v. 290 s.) Καὶ τὸν Ἰδαῖον δέ πως παρετυμολογῶν ὡς καὶ τῆς Ἴδης ἀπὸ τοῦ ἰδεῖν λεγομένης, ὃ ταὐτόν ἐστι τῷ ὁρᾶν, φησί· Διῒ Ἰδαίῳ, ὃς ὁρᾶται, ἤγουν καθορᾷ, πᾶσαν τὴν Τροίαν. (v. 283—5) Λέγει δὲ καὶ τὸν τῆς σπονδῆς οἶνον μελίφρονα, καὶ τὸ δέπας χρύσεον, κρατούμενον χειρὶ δεξιᾷ, εἰς ἀγαθὸν καὶ αὐτὸ οἰώνισμα. ἔφη γὰρ ὡς ἀγχίμολον ἦλθεν Ἑκάβη «οἶνον ἔχους' ἐν χειρὶ μελίφρονα δεξιτερῆφι χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε», ὅ ἐστι σπείσαντες, «κιοίτην».

4.908 (v. 292) Οἰωνὸν δὲ καὶ νῦν λέγει οὐχ' ἁπλῶς πτηνόν, ἀλλὰ σύμβολον μέλλοντός τινος ἀγγελτικόν. διὸ καὶ ἐπάγει τὸ «ταχὺν ἄγγελον». ἔνθα τὸ «ταχύν» ἢ ὡς ἐπίθετον κεῖται πτηνοῦ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἢ πρὸς ἔνδειξιν τοῦ χρῆναι ταχὺ καὶ αὐθωρὸν δοθῆναι τὸν αἰτούμενον ὄρνιν, [ὃς ὅτε Διὸς ἄγγελος λέγεται οἷα σημαίνων μόρσιμόν τι, ἐπεὶ καὶ εἰς μοῖραν μεταλαμβάνεται ὁ Ζεύς, οὐκ ἂν προσφυῶς ἐτυμολογοῖτο κατὰ τὸν κοινῶς λεγόμενον ὄρνιν, ἀλλὰ μάλιστα παρὰ τὸ εἴρω, τὸ ἀγγέλλω. ἄγγελος γὰρ ὑπόκειται Διὸς ὁ τοιοῦτος ὄρνις, ἵνα τὸ μὲν ο τῆς ἀρχούσης ἀντιπαρακέοιτο τῷ ψιλῷ ε τοῦ ῥήματος, ἤγουν τοῦ εἴρω, τὸ δὲ ν πλεονάζοι, ὡς καὶ ἐν ἄλλοις.] Ὅρα δὲ ὅτι ὀνειδισθεῖσα πρὸ ὀλίγων ἡ γραῦς ὄρνις κακὸς τῷ γέροντι πέλεσθαι, νῦν δι’ ὧν παραινεῖ, ἀγαθὸς ὄρνις αὐτῷ γίνεται. αἰνίττεται δὲ τὸν ῥηθέντα οἰωνὸν εἰς ἀετόν. αὐτὸς γὰρ φίλτατος τῷ Διῒ ᾄδεται ἢ ὡς βασιλεύς, ἢ ὅτι κατὰ τὸν μῦθον τῇ αὐτῇ τῷ Διῒ ἐγγεννήθη ἡμέρᾳ, ἢ ὅτι ὁρμῶντι ἐπὶ βασιλείαν εὐτυχίας σύμβολον ἐμφανισθεὶς ἔφηνε τὸ μέλλον, ἢ ὅτι γεννηθέντα τὸν Δία εἰς οὐρανὸν ἀνεκόμισε. φέρεται δὲ μῦθος καὶ ὅτι Μέροψ Κῷος, ἀπαύστως τὴν γυναῖκα πενθῶν θανοῦσαν, ξενίσας Ῥέαν, μετεβλήθη εἰς ἀετόν. καὶ σύνεστιν ἀεὶ τῷ Διΐ. Αἰλιανὸς μέντοι ληστήν ποτε γενόμενον μεταβληθῆναι εἰς ἀετὸν λέγει. διὸ καὶ γαμψώνυχον μὲν εἶναι θηρατικόν, ἐν γήρᾳ δὲ ἀχρειοῦσθαι τὸ ῥάμφος τῇ ἄγαν ἐπικάμψει, καὶ ἔχει ποινὴν τῆς ποτὲ θηριωδίας τὸν ἐν γήρᾳ λιμόν, ἤδη δὲ καὶ τὸν ἐκ κανθάρων πόλεμον, ὡς εὐθὺς μετ’ ὀλίγα ῥηθήσεται. [Ἡ δὲ Βυζαντία Μοιρώ, ποιήτρια δὲ καὶ αὕτη, γράφει κατὰ τὴν τοῦ Ἀθηναίου ἱστορίαν ἐν τῷ περὶ διαλέκτων περὶ αἰετοῦ, ὡς ἐτρέφετο μὲν Ζεὺς ἐνὶ Κρήτῃ, «νέκταρ δ’ ἐκ πέτρης μέγας αἰετὸς αἰὲν ἀφύσσων γαμφηλῇς φορέεσκε Διῒ μητιόεντι. τό», ἤγουν διό, «καὶ νικήσας Κρόνον εὐρύοπα Ζεὺς ἀθάνατον ποίησε καὶ οὐρανῷ ἐγκατένασσεν», ἀστροθετηθέντα δηλαδή. «ὡς δ’ αὔτως», φησί, «τρήρωσι πελειάσιν ὤπασε τιμήν, αἵ δή τοι θέρεος καὶ χείματος ἄγγελοί εἰσιν», ὃ δὴ καὶ Ἡσιόδῳ δοκεῖ. Ὅρα δὲ ἐν τῷ «ὡς δ’ αὔτως πελειάσιν ὤπασε τιμήν», ὅτι Ὁμήρῳ συμφωνεῖν ἡ Μοιρὼ ἐθέλει. ὡς γὰρ κατ’ αὐτὴν ὁ ἀετός, οὕτω καθ’ Ὅμηρον αἱ πελειάδες ἀμβροσίαν φέρουσι τῷ Διΐ.

4.909 διό, φασί, καὶ ἐν τῇ Ἀσπιδοποιΐᾳ τῶν ἄλλων ἄστρων τὰς Πλειάδας, ταὐτὸν δ’ εἰπεῖν πελειάδας, προΰταξε διὰ τὸ πάντῃ ἐπίσημον, εἰπὼν «Πληϊάδας θ’ Ὑάδας τε». καὶ τῶν ἄλλων δὲ πτηνῶν αὐτὰς ἐχώρισε κατά τι ἐξαίρετον ἐν τῷ «τῇ μέν τ’ οὐδὲ ποτητὰ παρέρχεται οὐδὲ πέλειαι». ὡς δὲ ταὐτίζονται πρός τινων πελειάδες καὶ Πλειάδες, δηλοῖ μὲν καὶ Ἀσκληπιάδης ὁ Μυρλεανός, ἐθέλων τὰς Πλειάδας ἀμβροσίαν τῷ Διῒ φέρειν. ἄσεμνον γάρ, φησί, τὰς Πελειάδας φέρειν αὐτό. ἔχει δέ τι γραφὲν περὶ αὐτῶν καὶ ἡ Νεστορίς, ταὐτὸν δ’ εἰπεῖν, τὸ παρ’ Ὁμήρῳ καλὸν ποτήριον τοῦ σοφοῦ Νέστορος. καὶ τοιαῦτα μὲν καὶ ταῦτα.] (v. 293) Τὸ δὲ «φίλτατος» εἰς πλέον διασαφῶν ὁ ποιητής φησιν αὐτὸν ὑποκαταβὰς καὶ οἰκεῖον ἄγγελον τῷ Διΐ, εἰπὼν «εἰ δέ τοι οὐ δώσει ἑὸν ἄγγελον, οὐκ ἂν ἔγωγέ ς’ ἔπειτα ἐποτρύνουσα κελοίμην νῆας ἐπ’ Ἀργείων ἰέναι μάλα περ μεμαῶτα». [Τὸ δὲ «φίλτατος οἰωνῶν» οὐκ ἐξ ἀνάγκης οἰωνοὺς λέγει τοὺς μαντικοὺς συμβόλους, ἀλλ’ ἴσως γενικῶς εἴρηται, ἵνα πάντων ὀρνέων φίλτατος ᾖ ὁ ἀετὸς τῷ Διΐ, ὃς καὶ στελεῖ τὸν γενικῷ λόγῳ οἰωνὸν ἀετόν, ὡς ἄλλως μαντικὸν οἰωνόν.] (v. 293) Τὸ δὲ «καὶ εὖ κράτος ἐστὶ μέγιστον», ἤγουν οὗπερ ἀετοῦ ὡς βασιλικοῦ ζῴου πολλὴ ἰσχύς, γράφεται καὶ κατ’ ἔγκλισιν «καί εὑ». καὶ ἦν μὲν φράσαι λειότερον «καί οἱ κράτος ἐστὶ μέγιστον», προεκρίθη δὲ τὸ ποιητικώτερον. γίνεται δέ, ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη, τὸ εὗ ὡς τὸ ἐμεῦ καὶ τὸ σεῦ. (v. 294) Τὸ δὲ «δεξιόν» δῆλον ὅτι πανταχοῦ χρηστόν ἐστι καὶ αἴσιον. διὸ καὶ χειρί, ὡς ἐρρέθη, δεξιτερῇ τὸ δέπας Ἑκάβη ἔχει, καὶ οἰωνὸν δεξιὸν βούλεται. καὶ ὁ αἰτηθεὶς δὲ οἰωνὸς ἐφάνη «δεξιὸς ἀΐξας ὑπὲρ ἄστεος». (v. 294) Τὸ δὲ «ὀφθαλμοῖς νοήσας» ἐδίδαξε ῥηθῆναι πρὸς τῶν ὕστερον τὸ «νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει». (v. 303) Ὕδωρ δὲ ἀκήρατον τὸ καθαρὸν καὶ μὴ ἔχον κῆρά τινα, ᾧ λόγῳ καὶ οἶνος ἐν τῇ Ὀδυσσείᾳ ἀκηράσιος, καὶ κτήματα δὲ ἀκήρατα ἐκεῖ τὰ ἀκέραια. (v. 304) Χέρνιβον δὲ Ὁμήρῳ μὲν ἀσυνήθως, ἅπαξ γὰρ νῦν εἶπεν, ἡμῖν δὲ συνήθως τὸ χερόνιπτρον, ὡς παρασημειοῦνται καὶ οἱ παλαιοί, τουτέστι τὸ τοῦ ὑγροῦ ὑποδεκτικὸν ἀγγεῖον, ὃ λέβητα καλεῖν αὐτὸς εἴωθεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4.910 ἄλλως μέντοι χέρνιβα λέγειν ἔθος αὐτῷ τὸ κατὰ χειρῶν διδόμενον ὕδωρ. Πρόχοος δὲ ὁ τὸ τοιοῦτον ὕδωρ χέων λέβης. (v. 306) Μέσῳ δὲ ἵσταται ὁ γέρων ἕρκεϊ, ὡς ἴσως βωμοῦ ὄντος αὐτόθι Ἑρκείου Διός, ὁποῖός τις καὶ ἐν Ὀδυσσείᾳ κατὰ τὸν τοῦ Ὀδυσσέως οἶκόν ἐστι. (v. 309) Τὸ δὲ «φίλον γενέσθαι καὶ ἐλεεινόν» καὶ Ὀδυσσεὺς ἐν τοῖς Φαίαξιν εὔχεται. αἰτεῖται δὲ ὁ γέρων ὡς μὲν ἐχθρὸς λύσιν ἔχθρας, ὡς δὲ δυστυχὴς ἐλέους τυχεῖν, ὃ καὶ εὑρίσκει. δικαία γὰρ εὐχὴ οὐ διαπίπτει παρὰ τῷ ποιητῇ. ἔστιν οὖν φίλος μὲν ἐνταῦθα ὁ μὴ ἐχθρῶς, φασί, προσδεχθείς, ἐλεεινὸς δὲ ὁ ἐλέους ἄξιος. (v. 301) Ἐν δὲ τοῖς ῥηθεῖσι κεῖσθαι καὶ λόγος Πριάμου ἐφάνη ἐνδεικτικὸς εὐσεβοῦς ἤθους τὸ «ἐσθλὸν θεῷ χεῖρας ἀνασχεῖν», εἴ πως ἐλεήσει, παρῳδηθὲν βραχύ τι ἐκ τοῦ ποιητικοῦ. λέγει δὲ ὁ γέρων τοῦτο πρὸς Ἑκάβην ἐφιεμένην, ὅ ἐστιν ἐντελλομένην[, ὡς εἴρηται,] αὐτῷ τὰ περὶ σπονδῆς. (v. 314—6) Ὅτι εὐξαμένου, ὡς ἐρρέθη, Πριάμου, αὐτίκα Ζεὺς «αἰετὸν ἧκε, τελειότατον πετεηνῶν, μόρφνον, θηρητῆρα, ὃν καὶ περκνὸν καλέουσι». τελειότατον δὲ λέγει τὸν ἐπιτελεστικώτατόν, φασίν, οἷς ἂν ὀφθείη Διὸς ἄγγελος, ἢ καὶ ἄλλως τὸν ἐν ἀξιώματι καὶ ὑπεροχῇ, ὡς εἴ τις καὶ λέοντα φῇ τελειότατον θηρῶν, ἤτοι βασιλικώτατον. (v. 316) Μόρφνος δὲ τῷ μὲν τόνῳ βαρυτόνως ὡς ὕπνος. ἔστι δὲ οἷον μορόφονος ὡς φόνιος καὶ μόρου αἴτιος τοῖς ἄλλοις ὀρνέοις, ἢ μεμορημένος περὶ φόνον, ἢ μόρον φέρων· οἳ δὲ εὔμορφος· κατὰ δὲ ἑτέρους μέλας, παρὰ τὴν ὄρφνην, πλεονάσαντος τοῦ μ , ὡς καὶ ἐν τῷ μοχλός· ἢ συλληπτικὸς τῶν διωκομένων, παρὰ τὸ μάρπτω, τὸ συλλαμβάνω, μέμαρφα, τροπῇ τοῦ α εἰς ο καὶ πλεονασμῷ τοῦ ν . ὁ δὲ χαρακτὴρ τοῦ τόνου τοιοῦτος κατὰ τοὺς παλαιούς. τὰ εἰς ος δισύλλαβα, ἔχοντα πρὸ τέλους τὴν ορ συλλαβήν, ἀπαρασχημάτιστα θηλυκῷ γένει, βαρύνονται· χόρτος, φόρτος, ὅρκος, πόρνος, Ὄρθος τὸ μονογενές, ἦν δὲ κύων Γηρυόνου, πτόρθος.

4.911 παραφυλακτέον ἐν τῷ κανόνι τὰ εἰς μος , οἷον· κορμός, φορμός. τὸ δὲ περκνός ὀξύνεται ὡς τὸ πυκνός. σημαίνει δὲ τὸν μέλανα ὡς ἀπὸ τῆς περκαζούσης μελαίνης σταφυλῆς, ἀφ’ ἧς καὶ ὁ μέλας οἶνος. ὁ μέντοι Ἀρίσταρχος, ὥς φασιν, ἐβάρυνε τὸ περκνός, ἀλλ’ ἡ παράδοσις ἐπείσθη τοῖς ὀξύνουσιν. Ὅρα δὲ ἐνταῦθα καὶ τὴν τοῦ πτηνοῦ διωνυμίαν, ὃς καὶ μόρφνος καὶ περκνὸς λέγεται ὁ αὐτός. οἱ δὲ παλαιοὶ τὸν ῥηθέντα περκνὸν θηρητῆρα λογίως ἐπισκεπτόμενοί φασι καὶ ὅτι μέλας μὲν ὢν τὸ τῆς εἰσόδου τῷ γέροντι ἐδήλου λαθρίδιον, ὁ δὲ θηρητὴρ τὸ ἐπιτευκτικόν, οὐδὲν δὲ κτείνων ἢ κατέχων ἐπιφαίνεται ἀλλ’ ἥμερος, δηλῶν τοιοῦτον τῷ Πριάμῳ τὸν Ἀχιλλέα ἔσεσθαι, καὶ ὡς οὐδὲ συλληφθήσεται ὑπὸ τῶν φυλάκων, καὶ ὅτι ὁ Ἀχιλλεύς ἐστιν ἐπὶ τοῦ κρείσσονος προσχήματος, ἤγουν ὁ Ἀχιλλεὺς νοεῖται διὰ τοῦ βασιλικοῦ τούτου ἀετοῦ, ὁ καὶ ἐπιτελεστικὸς ὢν ἐθέλει ὁ Πρίαμος. (v. 317—9) Ὅτι τὰς τοῦ φανέντος ἀετοῦ πτέρυγας τεταμένας διαμετρῶν ὁ ποιητής φησιν «ὅσση δ’ ὑψορόφοιο θύρη θαλάμοιο τέτυκται ἀνέρος ἀφνειοῖο ἐϋκλήϊς ἀραρυῖα, τόσς’ ἄρα τοῦ ἑκάτερθεν ἔσαν πτερά». Καὶ ὅρα ὡς τὸ τὰς θύρας διαπετάννυσθαι καὶ τὸ «πεπταμένας πύλας ἔχετε», καὶ «αἳ δὲ πετασθεῖσαι φάος τεῦξαν», καὶ τὰ ὅμοια ἐνταῦθα ἡρμήνευσεν ὁ ποιητὴς διὰ τῆς ἁπλώσεως τῶν τοῦ ἀετοῦ πτερύγων, ἃς θύραις εἴκασεν. εἰ γὰρ αὗται θύραι ὡσανεί, καλῶς ἄρα καὶ αἱ θύραι πτέρυγες ὡσανεὶ διαπεπετασμέναι. Σημείωσαι δὲ τὴν στροφὴν τοῦ νοήματος. πύλας γὰρ ἀλλαχοῦ ἀναπεπταμένας εἰπών, ὡς ἀπὸ ἡπλωμένων πτερύγων ἐνταῦθα πτέρυγας ἁπλωθείσας θύραις εἴκασεν. Ἰστέον δὲ ὅτι ἐκ τοῦ ἀετοῦ τοῦ ζώου καὶ μέρος τι τῶν ναῶν οὐ μόνον ἀέτωμα ἐλέγετο ἀλλὰ καὶ αἰετοί, διὰ τὸ ἐοικέναι, φασί, πτέρυξιν ἀετοῦ. καὶ ζήτει περὶ τούτου καὶ ἔνθα ὁ Κωμικὸς ἐρέφεσθαί τι λέγει πρὸς ἀετόν. Ὁ δὲ μῦθος ἐπὶ τοῦ βασιλικοῦ ἀετοῦ, παιδεύων ὡς ὑφεδρεύει ἀεὶ τοῖς μεγάλοις, εἰ μὴ μεγάλα, μικρὰ γοῦν τινα δυσχερῆ, πλάττει τὸν ἀετὸν κανθάρῳ μὴ φίλον, ὅς, φησίν, ἀνέρπων εἰς τὰς τοῦ ἀετοῦ καλιὰς ἢ καὶ ἀνιπτάμενος κατὰ τὸν τοῦ Κωμικοῦ ἱπποκάνθαρον ἐλυμαίνετο τοῖς ἐκείνου ᾠοῖς, ὁ δ’ ὑπ’ ἀμηχανίας ἱκετεύσας ἐννεοττεύει τοῖς τοῦ Διὸς κόλποις.

4.912

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ὁ κάνθαρος κατατολμᾷ καὶ τῶν ἐκεῖ καὶ λαθὼν γίνεται καὶ αὐτὸς τοῦ Διΐου κόλπου. καὶ ὁ Ζεὺς ἰδὼν μυσάττεται καὶ ἀνίσταται ὡς εἶχε, καὶ τὰ ᾠὰ καταπίπτει καὶ ῥήγνυται, τὸ θελητὸν τῷ κανθάρῳ. ἐκ τούτων δὴ παροιμία τὸ «αἰετὸν κάνθαρος μαιεύσομαι», ἧς τὸ ἀληθές· ἐπεὶ τὰ τῶν ἀετῶν ᾠὰ κάνθαροι διαφθείρουσι. (v. 318) Τὸ δὲ «ἐϋκλήϊς» κἀνταῦθα συνήθως ἐκτείνει τὴν λήγουσαν. (v. 319) Πτερὰ δὲ καταχρηστικῶς τὰς πτέρυγας λέγει. κυρίως μὲν γὰρ πτερὰ τὰ πτίλα, τὸ δὲ ὅλον πτέρυξ, ἢ ὀξυτόνως πτερύξ κατὰ Ἀρίσταρχον, ὡς καὶ προδεδήλωται. (v. 321 s. et 327 s.) Ὅτι χαρᾶς μὲν τῆς ἐπὶ θέᾳ τὸ «οἳ δὲ ἰδόντες γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη», λύπης δ’ ἐπὶ φίλου ἀποδημίᾳ τὸ «φίλοι δ’ ἅμα πάντες ἕποντο, πόλλ’ ὀλοφυράμενοι, ὡσεὶ θάνατόνδε κιόντα». ὃ δὴ ἔπασχον οἱ Τρῶες ἐπὶ Πριάμῳ ἀπιόντι νύκτωρ εἰς Ἀχιλλέα. (v. 322) Ὅτι φθάσας μὲν εὐπλεκέα καὶ εὔπλεκτον δίφρον ἔφη, ἐνταῦθα δὲ ξεστόν, ἐκ μέρους καὶ ἄμφω εἰπών. πῇ μὲν γὰρ ἔξεστο καθ’ ὅσον εἶχε ξύλινον, πῇ δὲ ἐπέπλεκτο. (v. 323) Ἐν τούτοις δὲ καὶ αἴθουσάν φησιν ἐρίδουπον δίχα τοῦ γ , ἥτις, ὅτι καταλάμπεται ἡλίῳ καὶ ἀνέμοις ἔκκειται ὕπαιθρος οὖσα, ἔγνωσται, ὥσπερ καὶ ὅτι περί που τὴν αὐλὴν ἦν. (v. 323) Ἔστι δ’ ἐνταῦθα καὶ σχῆμα πρωθύστερον ἐν τῷ «ἐκ δ’ ἔλασε προθύροιο καὶ αἰθούσης ἐριδούπου». πρῶτον γὰρ αἴθουσα, εἶτα πρόθυρον, οὗ ἔξεισί τις. (v. 326) Λέγει δὲ καὶ ἐφέπειν ἵππους μάστιγι ἀντὶ τοῦ πλήττειν, ὡς καὶ πρὸ ὀλίγου σκηπανίῳ διέπειν ἄνδρας. (v. 324—6) Εὕρηται δ’ ἐνταῦθα καὶ ἅρμα ἐλαυνόμενον ἡνιόχῳ μόνῳ τῷ Πριάμῳ, καθὰ καὶ τὴν ἀπήνην μόνος Ἰδαῖος ἐλαύνει προπορευόμενος τοῦ γέροντος. (v. 324—6) Φησὶ γὰρ ὅτι «πρόσθε μὲν ἡμίονοι ἕλκον τετράκυκλον ἀπήνην, τάς», ἤγουν ἅς, «Ἰδαῖος ἔλαυνε δαΐφρων, αὐτὰρ ὄπισθεν ἵπποι, τοὺς ὁ γέρων μάστιγι κέλευεν». Ἰστέον δὲ ὅτι προϊὼν ὁ ποιητὴς ἀναπληρώσει τὸ λεῖπον τῷ γέροντι, ἔνθα Ἑρμῆς ἐπαΐξας ἅρμα καὶ ἵππους, μάστιγα καὶ ἡνία λήψεται χερσίν, ἐμπνεύσας μένος ἵπποις τε καὶ ἡμιόνοις.

4.913 (v. 331 s.) Ὅτι καὶ ἐνταῦθα ἔστιν εὑρεῖν ὡς καὶ πρὸ τούτων τὴν «Ζῆνα» αἰτιατικήν, κουφίσασαν μὲν τὸ α δι’ ἐκθλίψεως ἐν τέλει στίχου, τὸ δὲ νῦ προσθεῖσαν τῷ ἐφεξῆς στίχῳ ἐν τῷ «οὐ λάθον εὐρύοπα Ζῆν’ ἐς πεδίον προφανέντε». καὶ ἡ αἰτία τῆς τοιαύτης στοιχειακῆς συνθήκης προδεδήλωται. (v. 334 s.) Ὅτι ἀνδρὶ φιλοποιῷ οἰκεῖον τὸ «ὦ δεῖνα· σοὶ γάρ τε μάλιστά γε φίλτατόν ἐστιν ἀνδρὶ ἑταιρίσσαι, καί τ’ ἔκλυες, ᾧ κ’ ἐθέλῃσθα». περὶ Ἑρμοῦ δὲ ἐκ Διὸς ὁ λόγος, ὃς φιλεῖ ἑταιρίσαι, ἤγουν φιλιωθῆναι ἢ φιλίαν καταπράξεσθαι, ὡς τῶν τοιούτων πράξεων τῷ μυθικῷ ἢ τῷ ἀστέρι ἀνακειμένων Ἑρμῇ κατὰ τοὺς οὕτω φρονοῦντας, καθὰ καὶ τῆς κλεπτικῆς καὶ τοῦ δόλῳ καὶ λάθρᾳ τι ποιεῖν, καθὰ καὶ ἐν τοῖς ἐφεξῆς φαίνεται, ὅπου ὁ Ἑρμῆς ἑαυτὸν γενεαλογεῖ. (v. 336—8) Πομπῷ δέ, ἤτοι ὁδηγῷ, ἀγαθῷ προσρηθήσεται τὸ «βάσκ’ ἴθι, καὶ τὸν δεῖνα ὧς ἄγαγ’, ὡς μήτ’ ἄρ τις ἴδῃ μήτ’ ἄρ τε νοήσῃ τῶν ἄλλων, πρὶν τὸν δεῖνα ἱκέσθαι»; ὃ δὴ καὶ αὐτὸ Ζεύς φησι τῷ Ἑρμῇ περὶ Πριάμου. Σημείωσαι δὲ ὅτι οὐ μόνον διὰ τὸ κατ’ ἐπιστήμας τετραμερὲς τῆς φιλοσοφίας τέσσαρες τῷ ῥηθέντι Ἑρμῇ κατὰ τὸν πάλαι μῦθον προσπλάττονται κεφαλαί, ἀλλὰ καὶ διὰ τὸ ἄλλως πολυδύναμον. οὐ μόνον γὰρ φιλιοποιός, ὡς ἐρρέθη, καὶ κλοπῆς τε καὶ δόλου αἴτιος, καὶ τὸ ὅλον εἰπεῖν, ἁπάσης ἀπάτης, ἀλλὰ καὶ ἐμπολαῖος καὶ ἑρμαίων δοτήρ, καὶ πειθοῦς δὲ τεχνίτης καὶ ἑτέρων τοιούτων. ἀνάκειται δὲ αὐτῷ καὶ ὡς δίχα ψόγου, φασί, τετραγώνου ἡ τετρὰς ἄλλον τρόπον ἤπερ τῷ Ἡρακλεῖ, ἐξ οὗ παροιμία τὸ «ἐν τετράδι γέγονας», ἤγουν ἐν ἀποφράδι ἡμέρα, ἐπεὶ καὶ Ἡρακλῆς ἐν τοιαύτῃ γεννηθεὶς κακὸν διήθλει βίον.

4.914 δηλοῖ δὲ τὰ κατὰ τὸν Ἑρμῆν καὶ ὁ γράψας οὕτω ῥητῶς· Ἑρμῆς τετρακέφαλος ἐν Κεραμεικῷ Τελεσαρχίδου ἔργον, ᾧ ἐπεγέγραπτο «Ἑρμῆ τετρακέφαλε, καλὸν Τελεσαρχίδου ἔργον, πάνθ’ ὁράᾳς». καὶ ἡ τετρὰς δέ, φησίν, ἱερὰ τοῦ θεοῦ. στροφαῖος δὲ Ἑρμῆς, φησίν, οὐ μόνον ὁ παρὰ τῷ στροφεῖ ἱδρυμένος, ἀλλὰ καὶ ὁ στρέφων καὶ ἐξαπατῶν οἷον στρόφις. (v. 335) Τὸ δὲ «ἔκλυες ᾧ ἐθέλῃσθα» ἀντὶ τοῦ ὑπήκουσας. ἄλλως γὰρ οὐκ ἔστι τὸ κλύειν δοτικῇ συντάσσεσθαι. (v. 337)

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὅρα δὲ καὶ ὡς διέστειλε τὸ ἰδεῖν πρὸς τὸ νοῆσαι οὐχ' ἁπλῶς, ἀλλ' ἐπειδὴ νοεῖ ποτέ τις καὶ δίχα αἰσθήσεως. (v. 340—6) Ὅτι κάλλιον ἐνταῦθα ἐπὶ Ἑρμοῦ ἤπερ ἐν Ὀδυσσείᾳ, ὥς φασιν οἱ παλαιοί, τὸ «αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα, ἀμβρόσια, χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῇς ἀνέμοιο· εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει. τὴν μετὰ χερσὶν ἔχων πέτετο κρατὺς Ἀργεϊφόντης. αἶψα δὲ ἵκανε», καὶ ἑξῆς. αἰνίττεται δὲ διὰ τούτων ἡ ποίησις τὸ βέβαιον καὶ λαμπρὸν καὶ ταχὺ τοῦ εἰς λόγον ἀλληγορουμένου Ἑρμοῦ· τὸ βέβαιον μὲν καί, ὡς εἰπεῖν, ἔμπεδον διὰ τῶν πεδίλων, τὸ δὲ λαμπρὸν διὰ τοῦ χρυσοῦ, τὸ δὲ ταχὺ διὰ τῆς πτήσεως, ὅπερ ἐπ' αὐτῷ ἐν Ὀδυσσείᾳ καὶ διὰ τῆς τοῦ λάρου ᾐνίξατο παραβολῆς. εἰ δέ πως ὁμοίως καὶ ἡ τοῦ Διὸς Ἀθηνᾶ σκευάζεται, οὐκ ἂν εἴη ἀνεύλογον, εἴ γε καὶ συγγενές τι λόγος καὶ φρόνησις, ὧν τὸ μὲν Ἑρμοῦ, τὸ δ' Ἀθηνᾶς. (v. 343) Ἡ δὲ τεραστία καὶ τὰ ἐναντία δυναμένη ῥάβδος μυθικῶς μὲν δῶρόν ἐστι τῷ Ἑρμῇ πρὸς Ἀπόλλωνος, ᾗ τὰς βοῦς Ἀδμήτου ἐκεῖνος ἐβουκόλει, ἀντιδοθεῖσα τῆς χέλυος ἤτοι λύρας, ἣν ὑφ' Ἑρμοῦ ἔλαβεν, ἄλλως δὲ ὡς οἷά τι σκῆπτρον τὸ τοῦ λόγου δηλοῖ βασιλικόν τε ἅμα καὶ ὑπερειστικόν.

4.915 ὕπνου δὲ καὶ ἐγρηγόρσεως δεσπόζει, ἐπεὶ λόγος κηλεῖ καὶ αὖθις ἀναπτεροῖ, ὃς καὶ λύραν εὗρε τὴν καὶ κηλοῦσαν καὶ πόλεμον κινοῦσαν. καὶ ἑτέρως δὲ εἰπεῖν, ἡ ῥάβδος τὴν τοῦ λόγου αἰνίττεται δύναμιν, ἥτις δυεῖν ἐναντίων κρατεῖ, τοῦ τε ποιεῖν ἐγρηγορέναι τοὺς ἐπιγνόντας ὅ τί ποτέ ἐστι τὸ τοῦ λόγου καλόν, καὶ αὖ πάλιν ἀπονυστάζειν τοὺς μὴ κατευμεγεθοῦντας αὐτοῦ. καὶ ἄλλως δὲ θεωρῆσαι, τὸ διττὸν τοῦ λόγου αἰνίττεται, ὃς ἐν κατηγορίαις μὲν καὶ λόγοις καταφορικοῖς καὶ ὅλως ἐν τῷ δικανικῷ εἴδει ἐρεθίζει θυμοῦσθαι, αὖθις δὲ κατακοιμίζει θυμὸν ἐν οἴκτοις καὶ ἐλεεινολογίαις, καὶ ὅλως ἀνίησι καὶ ὑφ' ἡδονῆς κατακηλεῖ καὶ ὑπτιάζει ἐν τοῖς πανηγυρικοῖς θέλγων, ὡς εἴωθε νοεῖν Ὅμηρος τὸ θέλγειν, περὶ οὗ σαφῶς προδεδήλωται. Τὴν δὲ ῥάβδον οἱ μὲν προπερισπῶσι διὰ τὸ ῥᾷον, φάμενοι γίνεσθαι παρὰ τὸ ῥᾷον βαδίζειν ποιεῖν, ἕτεροι δὲ παρὰ τὸ ῥαπίζειν λέγοντες αὐτὴν γίνεσθαι, φασὶ καὶ ὅτι τὸ α πρὸ τοῦ β συστέλλεσθαι θέλει· ἁβρός, Ἄβδηρος, ἀβαρβαραία, ἐπιγράβδην. οὕτω οὖν, φασί, καὶ ῥάβδος. σεσημείωται τὸ ἀβάλε. (v. 345) Τοῦ δὲ κρατύς δοκεῖ κλίσις εἶναι ὡς ὁ ἡδύς. καὶ ἴσως αὐτόθεν τὸ ἐπικρατέως ἐπίρρημα. (v. 346) Ὅτι ἐν τῷ «αἶψα Τροίην τε καὶ Ἑλλήσποντον ἵκανεν Ἑρμῆς, δηλοῖ μὴ τὸ Αἰγαῖον ἀλλὰ τὸν Ἑλλήσποντον ὑποκεῖσθαι τοῖς περὶ Τρῳάδα τόποις, ὅπερ ἀλλαχοῦ πλατὺς ἐρρέθη Ἑλλήσποντος. (v. 347 s.) Ὅτι τὸν Ἑρμῆν ἐνταῦθα Ὅμηρος νέῳ αἰσυητῆρι εἰκάζει, εἰπὼν «βῆ δ' ἰέναι κούρῳ αἰσυητῆρι ἐοικώς, πρῶτον ὑπηνήτῃ, τοῦ περ χαριεστάτη ἥβη». Καὶ ὅρα ὅτι ἥβην ἐπὶ τοῦ πρῶτον ὑπηνήτου λέγει, ὃς καὶ κυρίως ἡβῶν λέγεται.

4.916 ἡ δὲ ἡλικία τοῦ ὑπηνήτου κατὰ τοὺς παλαιοὺς μεθόριόν ἐστιν ἀνδρὸς καὶ παιδός, ἁβροτέρα μὲν ἢ κατὰ ἄνδρα, γενναιοτέρα δὲ ἢ κατὰ παῖδα. [Ὅτι δὲ τῆς ὑπήνης παράγωγον καὶ ὁ ἀνύπηνος, καθὰ τῆς ἥβης ὁ ἄνηβος, δῆλον ἐκ τῶν παλαιῶν. σημαίνει δὲ ὁ ἀνύπηνος τὸ ἀγένειος. Τὸ δὲ «χαριεστάτη» χρήσιμον εἰς τὴν ἐκ τοῦ ἥδω παλαιὰν ἐτυμολογίαν τῆς ἥβης. ἡδὺ γὰρ πάντως ἅπαν τὸ χαρίεν. οὐκοῦν καὶ ἡ ἥβη καὶ ὁ ἡβῶν ὁ καὶ ὑπηνήτης.] Ἔστι δὲ «αἰσυητήρ» μὲν βασιλεὺς ἢ βασιλικός, οἱονεὶ τηρῶν τὰ αἴσια, ὃν ἄλλοι αἰσυμνητῆρα καὶ αἰσυμνήτην φασίν, ἤγουν ἄρχοντα τῶν αἰσίων καὶ δικαίων μνήμην ποιούμενον. ὅθεν καὶ αἰσυμνᾶν τὸ ἄρχειν. οἱ δέ φασιν ὅτι αἰσυητὴρ ὄνομα ἡλικίας, ἢ ὁ ἄγαν ἐρρωμένος, παρὰ τὸ α ἐπιτατικὸν καὶ τὸ σύω, τὸ ὁρμῶ, ὁ ἄγαν συόμενος, καὶ κατὰ τοὺς παλαιοὺς εἰπεῖν, κεκινημένος, ἐντρεχὴς νεανίας, ἢ καὶ ἄλλως κατ' αὐτούς, εὔμοιρος, κόσμιος, καθήκων, παρὰ τὴν αἶσαν, ἀφ' ἧς αἰσύω ῥῆμα καὶ αἰσυητήρ. καὶ ἄλλως δέ, αἰσυητὴρ ὁ ἐπιτελεστικὸς παρὰ τὴν αὐτὴν αἶσαν, κατὰ δέ τινας νομεύς ἢ εὐκίνητος παρὰ τὸ ἀΐσσειν. Ἀρίσταρχος δὲ ἀρέσκεται βασιλέα λέγειν, ὡς εἴρηται. βασιλεῖς γάρ, φησί, τὸ αἴσιμον νέμουσιν, ὅθεν καὶ ὁ αἰσυμνητήρ. εἰ δὲ παρώνυμος τοιούτου αἰσυητῆρος ὁ Τρωϊκὸς Αἰσυήτης, τὸ κύριον, οὐκ ἔστι μετὰ μαρτυρίας εἰπεῖν. Ὑπήνη δὲ ἢ κοινῶς τὸ γένειον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατά τινας, ἢ καὶ ἄλλως, μύσταξ μέν, φασίν, αἱ τοῦ ἄνω χείλους τρίχες, αἱ δὲ κάτω πάππος, τὸ δὲ ἐξ ἀμφοῖν ὑπήνη. καὶ ὁ Κωμικὸς οὕτω νοεῖ, ἐν οἷς λέγει μολύνειν τινὰ τὴν ὑπήνην.

4.917 Ἥβη δὲ ὅτι οὐ μόνον ἡλικία νεωτερική, ἀλλὰ καὶ τόπος σωματικός, ᾧ παρώνυμον καὶ τὸ ἐφήβαιον, ὡς τῇ κεφαλῇ τὸ κεφάλαιον, καὶ ὡς ἐκεῖθεν καὶ τὸ ἡβηδόν ἐπίρρημα, καὶ ῥῆμα παρὰ τῷ Κωμικῷ τὸ ἡβυλλιᾶν, καὶ ὁ πρωθήβης καὶ ὁ ἄνηβος καὶ ὁ ἄκρηβος καὶ τὰ τοιαῦτα, πολλαχόθεν φαίνεται. (v. 349) Ὅτι τὸ παρέξ, περὶ οὗ πολλαχοῦ διείλειπται, κἀνταῦθα κεῖται μετὰ αἰτιατικῆς ἐν τῷ «μέγα σῆμα παρὲξ Ἴλοιο ἔλασαν», ὁ Πρίαμος δηλαδὴ καὶ ὁ κῆρυξ. ὁμοίως καὶ ἑξῆς ἐν τῷ «δῶρα παρὲξ Ἀχιλῆα δέχεσθαι». δῆλον δὲ ὅτι τὸ τοῦ Ἴλου σῆμα ἔξω τῆς πόλεως ἦν «μέσον κὰπ πεδίον, ὡς προείρηται, ταφέντος ἐκεῖ, ἐπεὶ πρῶτος ἐθάρρησε, φασίν, ἐν πεδίοις θέσθαι τὴν κατοικίαν. (v. 350 s.) Ὅτι κατάλυσιν ἐξ ὁδοῦ φράζει τὸ «στῆσαν ἄρ ἵππους τε καὶ ἡμιόνους, ὄφρα πίοιεν ἐν ποταμῷ· δὴ γὰρ καὶ ἐπὶ κνέφας ἤλθε γαῖαν». περὶ Πριάμου δὲ τοῦτο καὶ τοῦ σὺν αὐτῷ κήρυκος. (v. 351) Ἰστέον δὲ ὅτι τοῦ «κνέφας» γενικὴ [πρὸς ἀναλογίαν οὐχ’ εὕρηται, κνέφους δὲ κεῖται παρὰ Ἀριστοφάνει ἐν Ἐκκλησιαζούσαις ὡς ἀπὸ τοῦ κνέφος πρὸς ἀναλογίαν τοῦ γῆρος γήρους, οὗ κοινότερον τὸ γῆρας γήραος, καὶ ὅτι τοῦ φάος τὸ μὲν ἄλφα φυλάσσεται ἐν τῷ κνέφας, ὅπερ ἐστὶ κενότης φάους, τὸ δὲ ο τηρεῖται ἐν τῷ νέφος, ὃ στέρησις φάους ἐστί.] παράγωγον δὲ τοῦ κνέφας ὁ κνεφαῖος ἐν τῇ τραγῳδίᾳ. [(v. 353) Ὅτι ἐν τῷ «ποτὶ Πρίαμον φάτο φώνησέν τε» ἢ ταὐτολογεῖται τὸ «φάτο» καὶ τὸ «φώνησεν» ἢ διαφέρετον καθότι τρανέστερον τοῦ «φάτο» τὸ «φώνησεν».] (v. 354) Ὅτι βουλευτικὸν τὸ «φράζεο, ὦ δεῖνα, φραδέος νόου ἔργα τέτυκται». (v. 355—7) Εἰ δὲ καὶ πολέμιός τις καθορᾶται, οἰκεῖον καὶ τὸ «ἄνδρα ὁρῶ· τάχα δ’ ἄμμε διαρραίσεσθαι ὀΐω. ἀλλ’ ἄγε δὴ φεύγωμεν, ἢ γούνων ἁψάμενοι λιτανεύσομεν, αἴ κ’ ἐλεήσῃ». Ἰδαίου δὲ τοῦ κήρυκος ταῦτα λόγοι πρὸς Πρίαμον, ὅτε ἐξ ἀγχιμόλου, ἤτοι ἐκ τοῦ σύνεγγυς, ἰδὼν ἐφράσατο τὸν Ἑρμῆν.

4.918 Ἔνθα ὅρα τὸ «φραδέος» ἐκ τοῦ ὁ φραδής, οὗ κατὰ στέρησιν ὁ ἀφραδής καὶ τὸ ἀφραδέως ἐπίρρημα. καὶ οὕτω μὲν ταῦτα. (v. 358—60) Τοῦ δὲ Πριάμου τὸ ἐπὶ τούτοις πάθος δειλῷ πρέπει ἐπιλογισθῆναι. φησὶ γὰρ Ὅμηρος «σὺν δὲ γέροντι νόος χύτο· δείδιε δ’ αἰνῶς, ὀρθαὶ δὲ τρίχες ἔσταν ἐνὶ γναμπτοῖσι μέλεσσι», περὶ ἃ δηλαδὴ τρίχες. «στῆ δὲ ταφών», ὅ ἐστιν ἐκπλαγείς, ὡς ἀλλαχοῦ δεδήλωται. Τὸ δὲ ὀρθὰς στῆναι τρίχας τοῦτο ἦν τὸ φρίσσειν. μεγάλου δὲ φόβου πάθη ἐνταῦθα ἐδήλωσεν ὁ ποιητής. Ἐν τούτοις δέ φασιν οἱ παλαιοὶ πρὸς μὲν τὸ φεύγωμεν» καὶ «λιτανεύσομεν», ὅτι ὁ κῆρυξ τῆς ἰδίας μᾶλλον φροντίζει σωτηρίας ἢ τῆς τοῦ νεκροῦ λυτρώσεως, εἰς δὲ τὸ «σὺν δὲ γέροντι χύτο νόος», ὅτι τὴν ταραχὴν τῆς γεροντικῆς διανοίας Ὅμηρος μεμίμηται διὰ τοῦ ὑπερβατοῦ σχήματος. εἶπε δέ που πρὸ τούτων Ὅμηρος τὸ συγκεχύσθαι καὶ ἐπὶ ἡνίων. λέγεται δὲ καὶ λόγου σύγχυσις, καὶ νημάτων, καὶ οἰκημάτων πεσόντων, καὶ πολυειδῶν ὀσπρίων, καὶ στρατευμάτων δὲ καὶ ἑτέρων πολλῶν. μετήνεκται δὲ ἡ λέξις ἀπὸ χύσεως ὑγρῶν ὁμοῦ γινομένης, ὧν μιγέντων οὐ φυλάττεται τὸ ῥεῖθρον εὐκρινές. [(v. 357) Δῆλον δ’ ὅτι τοῦ λιτανεύω δύο θέματα προϋπόκεινται, πρωτότυπον μὲν τὸ λίτω, παράγωγον δὲ ἐξ αὐτοῦ τὸ λιτάνω, πρὸς ὁμοιότητα τοῦ μήθω μανθάνω καὶ τῶν ὁμοίων.] Ὅτι παρ’ ἑτέροις μὲν ἐριούνης Ἑρμῆς τετρασυλλάβως, Ὅμηρος δὲ πεντασυλλάβως φησὶν «ἐπαΐξας ἐριούνιος ἅρμα καὶ ἵππους», καὶ «Ἑρμείας ἐριούνιος ὦϊξε γέροντι», καὶ «αὐτὸς δ’ ἐριούνιος ἐγγύθεν ἐλθών» καὶ ἑξῆς. τί δὲ ἡ λέξις δηλοῖ, δεδήλωται ἀλλαχοῦ. (v. 360 s.) Ἰστέον δὲ ὅτι φιλόφρονος ἤθους τὸ «αὐτὸς δὲ ἐγγύθεν ἐλθὼν χεῖρα γέροντος ἑλὼν ἐξείρετο καὶ μετέειπε». (v. 363) Ὅτι τὴν ἀρχὴν μὲν ἡμέρα ἦν ἐξελάσαντι ἐκ Τροίας τῷ γέροντι, ἐλθόντι δὲ παρὰ τὸ ῥηθὲν τοῦ Ἴλου σῆμα, καὶ στήσαντι τὰ ζῷα πιεῖν ἐν ποταμῷ, κνέφας ἦν, ὡς ἐρρέθη, ἐπεληλυθός. Ἑρμῆς δὲ ἐπιφανεὶς καιρὸν εἶναι νυκτός φησι βαθείας.

4.919 ἐν τούτοις δὲ ὁ ποιητὴς πόρρω τε τῆς πόλεως εἶναι πραγματικῶς δηλοῖ τὸ ναύσταθμον, καὶ καιρὸν τοῦ ἱκετεύειν παραδίδωσιν, ὁποῖος καὶ ἐν Ὀδυσσείᾳ ἐπεκρίθη ἐς Φαίακας ἱκετεύσαντι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ Ὀδυσσεῖ, ὁπηνίκα δηλαδὴ ὁ ἱκετευόμενος, πραϋνθεὶς ἐκ δαιτός, ἀνίεται καὶ εὐέντευκτος γίνεται. διὸ καὶ Πρίαμος, εὐτυχήσας ἐντυχεῖν τῷ Ἀχιλλεῖ νέον ἀπολήξαντι τοῦ ἔσθειν καὶ πίνειν, ἐμειλίξατο τὸν ἄγριον. ὡς εἴγε μὴ τοῦτο ἦν, οὐκ ἂν ἴσως διεξέφυγε τὸ κακῶς παθεῖν, ὃς καὶ οὕτω βαρύν τινα βραχὺν ἐξ Ἀχιλλέως λόγον μαθὼν ἔδεισεν. (v. 362—7) Ὅτι πρὸς γέροντα ζῳοτρόφον νυκτὸς ἰόντα διὰ πολεμίας γῆς νεώτερός τις ἀντήσας ἐρεῖ «πῇ πάτερ ὧδ᾽ ἵππους τε καὶ ἡμιόνους ἰθύνεις νύκτα δι᾽ ἀμβροσίην, ὅτε θ᾽ εὕδουσι βροτοὶ ἄλλοι; οὐδὲ σύ γ᾽ ἔδδεισας μένεα πνέοντας τοὺς δεῖνα, οἵ τοι δυσμενέες καὶ ἀνάρσιοι ἐγγὺς ἔασιν», ἤγουν εἰσί; «τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν», τὴν καὶ ἀλλαχοῦ κειμένην, «τόσσαδε» ἢ «τοσσάδ᾽ ὀνείατ᾽ ἄγοντα», ἢ ἔχοντα, «τίς ἂν δή τοι νόος εἴη», ἤγουν τί νοεῖς παθεῖν; ὃ δὴ γοργῶς οὕτω ῥηθὲν μέγαν ὑποδηλοῖ καὶ δυσέκφραστον κίνδυνον. (v. 368 s.) Εἰ δὲ καὶ γέροντα ὁ τοιοῦτος ἔχει θεράποντα, προσαρμόττει καὶ τὸ ἑξῆς «οὔτ᾽ αὐτὸς νέος ἐσσί, γέρων δέ τοι οὗτος ὀπηδεῖ ἄνδρ᾽ ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ». (v. 370 s.) Ἐὰν δ᾽ ὁ ταῦτα λέγων οἷός τε ᾖ ἐπαρῆξαι τῷ γέροντι, καλὸν εἰπεῖν καὶ τὸ «ἀλλ᾽ ἐγὼ οὐδέν σε ῥέξω κακὸν ἠδέ κεν», ἢ «καὶ δέ κεν», «ἄλλον σεῦ ἀπαλεξήσαιμι», τουτέστι καὶ ἄλλον ἄν σου ἀποσοβήσαιμι, «φίλῳ δέ σε πατρὶ ἐΐσκω». (v. 373—7) Ὁ δὲ τοιοῦτος γέρων προσφυῶς ἂν ἐρεῖ τῷ τοιούτῳ ἀλεξητῆρι νέῳ, εἴπερ εὐγενής ἐστιν ἐκεῖνος καὶ ἄλλως ἀγαθός, τὸ «οὕτω πῃ τάδε γ᾽ ἐστί, φίλον τέκος, ὡς ἀγορεύεις. ἀλλ᾽ ἔτι καὶ ἐμοῦ θεὸς ὑπερέσχεθε χεῖρα, ὅς μοι τοιόνδ᾽ ἧκεν ὁδοιπόρον ἀντιβολῆσαι, αἴσιον, οἷος δὴ σὺ δέμας καὶ εἶδος ἀγητός, πέπνυσαί τε νόῳ, μακάρων δ᾽ ἔξ ἐσσὶ τοκήων». ἅπερ εὐγενοῦς ἀγαθοῦ ἀνδρός εἰσιν ἔπαινος.

4.920 (v. 368) Σημείωσαι δὲ ὅτι τὸ «οὔτ᾽ αὐτὸς νέος ἐσσί, γέρων δέ τοι οὗτος ὀπηδεῖ» γοργῶς παραπέφρασται ἀπὸ τοῦ «ὦ γέρον, σὴ δὲ βίη λέλυται, χαλεπὸν δέ σε γῆρας ὀπάζει, ἠπεδανὸς δὲ νύ τοι θεράπων». (v. 364) Τί δέ ἐστι τὸ μένεα πνέειν, προδεδήλωται. (v. 365) Δῆλον δὲ καὶ ὅτι ταὐτὸν δυσμενεῖς καὶ ἀνάρσιοι. (v. 366) Θοὴ δὲ καὶ ἐνταῦθα νὺξ κατὰ τοὺς σοφοὺς ἡ ὀξεῖα τῇ σκιᾷ, καθ᾽ ἣν γίνεται. (v. 367) Ὀνείατα δὲ νῦν τὰ δῶρα, ὡς ἂν ὠφελήματα. οὐκ ἄρα τὰ βρώματα μόνον ὀνείατα. (v. 368) Τὸ δὲ «οὔτ᾽ αὐτὸς νέος ἐσσί» ταὐτὸν μέν ἐστι τῷ «γέρων». ὅμως μέντοι εὐφήμως ἐπεφωνήθη τῷ Πριάμῳ. δυσχεραίνουσι γὰρ οἱ πολλοὶ τὴν προσωνυμίαν τοῦ γέροντος. (v. 368 s.) Τὸ δὲ «γέρων οὗτος ἄνδρ᾽ ἀπαμύνασθαι», ὡς καὶ ἀλλαχοῦ κεῖται, χαλεπήναντα, ὅμοιόν ἐστι τῷ ἀσθενής. ἀπάλαμνοι γὰρ φύσει πρὸς ἄμυναν ἰσχυρὰν οἱ γέροντες. (v. 370) Τὸ δὲ «οὐδέν σε ῥέξω κακόν, ἀλλὰ καὶ ἄλλον ἀπαλεξήσω» καὶ Ἀχιλλεὺς προερρέθη δύνασθαι κατὰ τὸν τοῦ Διὸς λόγον, εἰπόντος ὡς «οὔτ᾽ αὐτὸς κτενέει, ἀπό τ᾽ ἄλλους ἐρύξει». (v. 362 et 371) Ἐν δὲ τῷ «πῇ πάτερ», καὶ «φίλῳ δέ σε πατρὶ ἐΐσκω» διδάσκει ὁ ποιητὴς τοὺς φιλοπάτορας σέβεσθαι τοὺς ἡλικιώτας τῶν πατέρων. διὸ καὶ Πρίαμος πρὸς τὸν Ἀχιλλέα φησὶ «μνῆσαι πατρὸς σοῦ τηλίκου ὥς περ ἐγώ» καὶ ἑξῆς. Πλάτων δὲ κοινὰς εἶναι τὰς γυναῖκας ἐκέλευσεν, ὅπως οἱ γέροντες ὡς πατέρες τιμῶνται. (v. 374) Τὸ δὲ «θεὸς ὑπερέσχεθε χεῖρα», ἤγουν ὑπεράνω ἔσχεν, ἐσκέπασε, τροπικῶς ἐφράσθη ἐκ τῶν ἐν καιρῷ κινδύνου σκεπόντων κεφαλήν, μὴ καὶ πληγεῖσα διάνδιχα κεασθῇ. (v. 375) Τὸ δὲ «ὁδοιπόρον ἀντιβολῆσαι αἴσιον» τὸν αἰσυητῆρα ὑπολαλεῖν δοκεῖ κατὰ τοὺς ἐκεῖνον ἐτυμολογοῦντας ἀπὸ τοῦ αἰσίου ἢ τῆς αἴσης. (v. 377) Τὸ δὲ «μακάρων ἔξ ἐσσι τοκήων» στοχαστικῶς ἐκ τῆς ὄψεως εἴρηται, ὡς τῶν, ὅσοι δέμας καὶ εἶδος ἀγητοί, βασιλικῶν τε καὶ θείων νομιζομένων, ὡς καὶ ἐν Ὀδυσσείᾳ εὕρηται, ἐφ᾽ ὧν ἔστιν Ὁμηρικῶς εἰπεῖν μικρόν τι παρῳδήσαντα καὶ τὸ «ἐπεὶ οὐκ ἄν γε θνητοὶ τοιούσδε τέκοιεν». προσενθυμητέον δὲ καὶ ὅτι Ἀλέξανδρος διὰ μόνον καλὸν εἶδος τὸ θεοειδὴς ἔσχεν ἐπίθετον, Ἑλένη δὲ ὅτι θεαῖς εἰς ὦπα ἔοικε, Διὸς ἐκγεγαυῖα λέγεται. οἱ δὲ παλαιοὶ καὶ ταῦτά φασι· δέμας καὶ εἶδος σωματικά, τὸ πέπνυσαι ψυχικόν, μακάρων δὲ τοκήων ἐξεῖναι ὡς εὐγενῆ ἐπὶ τῶν ἐκτός.

4.921

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξ Ὁμήρου ἄρα οἱ ἐκ τοῦ Περιπάτου τὴν τριάδα τῶν ἀγαθῶν εἰλήφασιν, ἅπερ εἰσὶ τὰ κατὰ σῶμα καὶ ψυχὴν καὶ ἐκτός. ὡς δὲ καὶ ἡρῷα τοῖς περικαλλέσιν ἐγίνοντο, τουτέστιν ναοὶ πρέποντες ἥρωσι, προγέγραπται. Ὅτι πολλαχοῦ ὁ ποιητὴς φιλοτιμούμενος τὴν αὐτὴν πρᾶξιν ἐνδείκνυσθαι διαφόροις, ὡς εἰκός, ποτε γινομένην αἰτίαις καὶ οὕτω πολυπειρίαν τε τῷ ἀκροατῇ καὶ τῇ ἑαυτοῦ ποιήσει πλατυσμὸν ἐμποιεῖν, πλάττει κἀνταῦθα τὸν Ἑρμῆν ἐρωτῶντα ἐν τοιαύτῃ μεθόδῳ, ποῦ ὁ γέρων Πρίαμος ἄγει τὰ τῆς ἀπήνης. (v. 380—4) Φησὶ γὰρ «εἰπέ μοι, ἠέ πῃ ἐκπέμπεις κειμήλια πολλὰ καὶ ἐσθλὰ ἄνδρας εἰς ἀλλοδαπούς, ἵνα περ τάδε τοι σόα μίμνῃ», ὃ καὶ διὰ τοῦ τραγῳδουμένου Πολυδώρου πεποίηται, «ἢ ἤδη πάντες καταλείπετε Ἴλιον ἱρήν, δειδιότες». (v. 430 s.) Ἐφ' οἷς ὡς μὴ εὐστοχήσαντος τοῦ Ἑρμοῦ ἐρεῖ μετ' ὀλίγα ὁ γέρων αὐτὸ τὸ ὄν, οὐκ ἐν ἀφηγήσει, ἀλλὰ πάνυ στενῶς, εἰπὼν «πέμψον δέ με σύν γε θεῷ, ὄφρα κεν ἐς κλισίην Ἀχιλλέως ἀφίκωμαι», μονονουχὶ φάμενος, ὡς οὔτε εἰς ἀλλοτρίαν πέμπω κειμήλια οὔτε φεύγω σὺν τοῖς ἄλλοις ἀλλ' ἐς Ἀχιλλέως ἥκω. (v. 384 s.) Ἐπὶ δὲ τούτοις ἐπάγεται ἔπαινος ἀριστέως τεθνεῶτος, τὸ «τοῖος γὰρ ἀνὴρ ὤριστος ὄλωλε, σὸς παῖς· οὐ μὲν γάρ τι μάχης ἐπεδεύετ' Ἀχαιῶν». ἐξ οὗ προκαλεῖται ὁ γέρων εὐθὺς εὐαφόρμως εἰς τοὺς περὶ τοῦ παιδὸς Ἕκτορος λόγους. Ἰστέον δὲ ὡς, εἴγε ἀρίστου ἀνδρὸς πτῶσις τὴν Ἴλιον ὀλέσει, καλῶς ἄρα καὶ ὁ Ἑρμῆς ἑνὸς τούτου γέροντος τοῦ βασιλέως λιπόντος τὴν πόλιν λέγει καὶ τοὺς ἄλλους πάντας οὕτω ποιήσειν. (v. 387) Ὅτι ἐπὶ ἐνδόξῳ ἀγνῶτι ῥηθείη ἂν τὸ «τίς δὲ σύ ἐσσι φέριστε; τέων δ' ἔξ ἐσσι τοκήων»; (v. 388) Ὅτι κἀνταῦθα κεῖται τὸ καλά ἐπίρρημα ἀντὶ τοῦ καλῶς ἐν τῷ «ὥς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἔνισπες». ἔνθα λογιστέον ὡς, εἰ μὲν ἐπὶ θανάτου κεῖται οἶτος καὶ πότμος, λέγοι ἂν θάνατον δυσθανάτου παιδός, εἰ δὲ ἐπὶ τύχης ἀμφότερα, εἴη ἂν λέγων τύχην δυστυχοῦς παιδός. δοκεῖ δὲ περιττὸν κεῖσθαι τὸ ἄρθρον καὶ οὐ συνήθως φράζεσθαι. ἐχρῆν γὰρ ἢ τὸν οἶτον τοῦ παιδὸς εἰπεῖν ἐν δυσὶν ἄρθροις, ἢ ἀνάρθρως οἶτον παιδός. (v. 390) Ὅτι πρὸς γηραιὸν πειράζοντα οἰκεῖον εἰπεῖν «πειρᾷ ἐμεῖο, γεραιέ, καὶ εἴρεαι». καὶ ἐν τοῖς ἑξῆς δὲ παραιτητικὸν δώρου τὸ «πειρᾷ ἐμεῖο, γεραιέ, νεωτέρου, οὐδέ με πείσεις, ὅς με κέλῃ σέο δῶρα δέχεσθαι». (v. 391—4) Ἀριστέως δὲ καθ' Ἕκτορα ἔπαινος τὸ «τοῦτον μὲν ἐγὼ μάλα πολλὰ μάχῃ ἐνὶ κυδιανείρῃ ὀφθαλμοῖσιν ὄπωπα, ὅτε τοὺς κτείνεσκε δαΐζων ὀξέϊ χαλκῷ, ἡμεῖς δ' ἑσταότες θαυμάζομεν». Ἑρμοῦ δὲ καὶ ταῦτα πρὸς Πρίαμον.

4.922 (v. 396 s.) Ὅτι προϊὼν μὲν Ἑρμῆς ἐκφήνῃ ἑαυτὸν ἀναγκαίως, ἐνταῦθα δὲ πρὸς τὸν γέροντα βασιλέα ὑποψευδόμενος, καὶ εἰπὼν «τοῦ γάρ», ἤγουν τοῦ Ἀχιλλέως, «ἐγὼ θεράπων, μία δ' ἤγαγε νηῦς εὐεργής· Μυρμιδόνων δ' ἔξ εἰμι», ἅπερ πάντῃ ψευδῆ. (v. 397—400) Εἶτα ἐπάγει μέσως λέγων «πατὴρ δέ μοί ἐστι Πολύκτωρ. ἀφνειὸς μὲν ὅ γ' ἐστί, γέρων δὲ δὴ ὡς σύ περ ὧδε, ἓξ δέ οἱ υἷες ἔασιν, ἐγὼ δέ τοι ἕβδομός εἰμι· τῶν μεταπαλλόμενος κλήρῳ λάχον ἐνθάδ' ἕπεσθαι». (v. 400) Καὶ ὅρα τὸ «ἐνθάδε» μέσως ῥηθέν. πρὸς μὲν γὰρ τὸ ψευδῶς λεχθὲν ἐκ Μυρμιδόνων εἶναι τὸν φανέντα δηλοῖ τὸ «εἰς τὴν Τροίαν», κλήρῳ γὰρ δῆθεν λαχὼν ἐκ Θετταλίας ἦλθε σὺν Ἀχιλλεῖ, πρὸς δὲ τὸ ἀλληγορούμενον ἀντὶ τοῦ «εἰς σέ». εἴληχα γὰρ ὥσπερ ἐκ κλήρου ὁ ἀστὴρ Ἑρμῆς τοῖς τοιούτοις παρεῖναι ὡς φιλιοποιός. τούτῳ δ' ἀκόλουθα καὶ τὰ λοιπά. (v. 397) Πολύκτωρ μὲν γὰρ πατὴρ τῷ τοιούτῳ Ἑρμῇ, ὁ πάντα εἴσω σφίγγων καὶ οἷον κεκτημένος οὐρανὸς ἢ αἰθὴρ ἢ Ζεύς, ἡ πρόνοια ἢ ψυχὴ τοῦ παντός. (v. 398) Ἀφνειὸς δὲ οὗτος διὰ τὴν τοῦ παντὸς περιοχὴν καὶ τὸν κατὰ τὸ πᾶν οἷον περιουσιασμόν, γέρων δέ, διὰ τὸ αἰὲν εἶναι, καὶ ὅτι αἰειγενέτης κατὰ τὸν μῦθον καὶ αὐτός, ἓξ δὲ υἱοὶ αὐτῷ, ἐν οἷς οὗτος ἕβδομος, οὗ λάχος ἡ ἐνθάδε ἔλευσις, οἱ ἓξ πλάνητες, οἷς συντέτακται καὶ Ἑρμῆς, ἑταιρίζειν τε λαχὼν καὶ τὰ λοιπά, ὡς προγέγραπται. (v. 398) Τὸ δὲ «ὡς σύ περ ὧδε» ἀφιδρύματα θεῖα τοὺς γηραιοὺς εἶναι δηλοῖ, καὶ μάλιστα τοὺς καὶ βασιλικοὺς καὶ ἀγαθούς, κατά τε ἀρετὴν καὶ τιμὴν καὶ τὸ μακροχρόνιον. Ἰστέον δὲ ὅτι ποιητικώτερον μὲν καὶ τερατωδέστερον Ἑρμῆς αὐτὸς ἐκεῖνος ὁ σωματοειδὴς νοοῖτο ἂν ἐναργὴς φανῆναι τῷ Πριάμῳ, ἵνα πολλὰ λύσῃ τῶν ἀπόρων, τὸ λαθεῖν

ἐν τῇ εἰσόδῳ τοὺς πυλωρούς, τὸ τὰς πύλας τοῦ τείχους καὶ τὰς τοῦ Ἀχιλλέως ἀνοῖξαι, τὸ εἰς Ἀχιλλέα ἐλθεῖν καὶ αὖθις ἀκινδύνως ἐπανελθεῖν. καὶ οὕτω μὲν ποιητικώτερον. ἑτέρως δὲ ἀναγωγικῶς Ἑρμοῦ ταῦτα ἔργα, τοῦ ἀστέρος, οὗ συλλαβομένου ἔλαθέ τε καὶ ἐφιλιώθη, ὡς αὐτοῦ καὶ τούτοις ἐπιστατοῦντος.

4.923 ἱστορικῶς μέντοι καὶ κατά τινα ἠθικὴν ἀλληγορίαν ἔοικε τῶν τις Μυρμιδόνων ἐντυχεῖν που πρὸ τοῦ τείχους ἀγαθῇ τύχῃ τῷ Πριάμῳ, καὶ καταπράξασθαι αὐτῷ ἐλλόγως καὶ οὕτως Ἑρμαϊκῶς τὰ καιριώτατα, ὃν διὰ τὸ ἄγαν εὐτυχῶς ἐπιφανῆναι καὶ κερδῷον γενέσθαι καὶ ὡς οἷά τι ἀγαθὸν ἕρμαιον εὑρεθῆναι τῷ τε δόλῳ συμπράξαντα καὶ ἑταιρίσαντα. ταῦτα δὴ τὰ Ἑρμαϊκὰ εἰς Ἑρμῆν ὁ μῦθος εἴκασεν, ὥσπερ καὶ τὸν διὰ φρονήσεως ἐνεργοῦντα ἡ ποίησις εἰκάζει πολλαχοῦ τῇ Ἀθηνᾷ καὶ τὸν ἀρεϊκὸν Ἄρεϊ. (v. 400) Ὅρα δὲ καὶ τὸ «μεταπαλλόμενος κλήρῳ λάχον». πάνυ γὰρ δεξιῶς τὰς συγγενεῖς λέξεις ὁμοῦ παρέθετο, ἑτέραν καιριωτέραν οὐκ ἀφείς. (v. 398) Ἰστέον δὲ καὶ ὅτι ἐνταῦθα μὲν τὸ «ὡς σύ περ ὧδε» σαφῶς κεῖται ἀντὶ τοῦ οὕτως ὡς σύ, ἀλλαχοῦ δὲ τὸ «ὡς νύ περ ὧδε» οὐ πάνυ σαφῶς ἔχει, ὡς ἐκεῖ φαίνεται. (v. 401—4) Ὅτι προθυμίας ἄκρας εἰς μάχην τὸ «ἠῶθεν θήσονται περὶ ἄστυ μάχην· ἀσχαλόωσι γὰρ οἵ γε καθήμενοι οὐδὲ δύνανται ἴσχειν ἐσσυμένους πολέμου βασιλῆες Ἀχαιῶν». Ἑρμῆς δὲ τοῦτο πλάττει, ὡς οἷα εἰδὼς οὕτω γενησόμενον, εἰ μὴ ὁ Πρίαμος ἐπρέσβευσεν. (v. 409) Ὅτι στοχαζόμενος ὁ γέρων τῆς Ἀχιλλέως ὠμότητος ἐρωτᾷ, μήποτε τὸν Ἕκτορα κυσὶ μελεϊστὶ ταμὼν προὔθηκεν. (v. 410 s.) Ἀκούει δὲ ἐξ Ἑρμοῦ, ὡς οὔπω τόν γε φάγον κύνες οὐδ᾽ οἰωνοί. Καὶ ὅρα τὸ «οὔπω». δηλοῖ γὰρ ὡς, εἰ μὴ ἔσπευσεν ὁ γέρων, ἐσπαράχθη ἂν ζῴοις ὁ νεκρός. καὶ ἄλλως δέ, ἀπειλήν τινα ὑποτείνει τὸ «οὔπω», ἵνα δηλοῖ ὡς, εἰ καὶ μήπω ἔφαγον αὐτὸν κύνες, ἀλλὰ μικρὸν ὅσον ἔσται καὶ τοῦτο. προαναφωνεῖ δὲ καὶ τοῖς Ὁμηρίδαις ὁ λόγος, ὅτι οὐ πτοητέον ὡς μάτην ὁ γέρων πρεσβεύσει περὶ νεκροῦ μηκέτ᾽ ὄντος. (v. 409) Θηλυκῶς δὲ καὶ ἐνταῦθα αἱ κύνες, ὡς δηλοῖ τὸ «ἧσιν», ἤγουν ἰδίαις, «κυσὶ προὔθηκεν». (v. 412—21) Ἐπὶ δὲ τούτοις πάνυ τερατωδῶς ὁ ποιητὴς καὶ πρεπόντως τῇ κατ᾽ αὐτὸν ποιήσει φησὶ δι᾽ Ἑρμοῦ περὶ Ἕκτορος τὸ «ἀλλ᾽ ἔτι κεῖνος κεῖται Ἀχιλλῆος παρὰ νηῒ οὕτως», ἢ αὔτως, «ἐν κλισίῃσι· δυωδεκάτη δέ οἱ ἠώς», ἢ «δυωδεκάτη δέ οἱ ἥδε, κειμένῳ, οὐδὲ τί οἱ χρὼς σήπεται, οὐδέ μιν εὐλαὶ ἔσθουσιν. ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο ἕλκει ἀκηδέστως, ἠὼς ὅτε δῖα φανείη, οὐδέ μιν αἰσχύνει· θηοῖο κεν αὐτὸς ἐπελθών, οἷον ἑρσήεις κεῖται, περὶ δ᾽ αἷμα νένιπται, οὐδέ ποθι μιαρός, σὺν δ᾽ ἕλκεα πάντα μέμυκεν, ὅσς᾽ ἐτύπη.

4.924 πολέες γὰρ ἐπ᾽ αὐτῷ χαλκὸν ἔλασαν». (v. 422 s.) Ἃ δὴ ἀνάγων παιδευτικῶς εἰς θεοφίλειαν, ἐπάγει «ὥς τοι κήδονται μάκαρες θεοὶ υἷος καὶ νέκυός περ ἐόντος, ἐπεί σφι φίλος περὶ κῆρι». [ἢ σὺ ὁ πατήρ, δι᾽ ὃν ταῦτα πρὸς εὐσεβείας χάριν, ἢ μάλιστα ὁ Ἕκτωρ διὰ τὴν αὐτὴν αἰτίαν.] (v. 413) Ἔστι δ᾽ ἐν τοῖς ῥηθεῖσι τὸ μὲν αὔτως ταὐτὸν τῷ οὕτως, ὡς ἐξ ἀρχῆς δηλαδὴ ἐτέθη. (v. 414 s.) Εὐλαὶ δέ, ὡς καὶ ἀλλαχοῦ, οἱ τοῖς τεθνεῶσιν ἐγγεννώμενοι σκώληκες. διὸ ἑρμηνεύων ὁ ποιητής φησι «αἳ φῶτας ἀρηϊφάτους κατέδουσιν», ὡς εἶναι σκώληκας νεκροφάγους τὰς εὐλάς. (v. 417) Ἀκηδέστως δὲ τὸ ἀνηλεῶς, δίχα τοῦ κήδεσθαι, [ἐκ τοῦ κηδῶ κηδέσω, ἐξ οὗ καὶ κηδεμών καὶ κηδεστής. ἁπλοῦν δὲ τοῦ κηδῶ κηδέω, οὗ δεύτερον τὸ κηδεύω, ἐπί τε ταφῆς καὶ ἐπὶ γαμβρείας.] Τὸ δὲ «φανείη» ἐν πολλοῖς τῶν ἀντιγράφων διὰ τοῦ η συνήθως ἔχει τὴν παραλήγουσαν μετὰ καὶ προσγραφῆς τοῦ ι λόγῳ διφθόγγου. [Δύναται δὲ καὶ ἐκ τοῦ φανῇ δισυλλάβου εἶναι τὸ «φανήῃ» δίχα προσγραφῆς τοῦ ἰῶτα διὰ τὸν τοῦ ἦτα πλεονασμόν.] (v. 418) Τὸ δὲ «αἰσχύνει» ῥῆμά ἐστιν ἀντίθετον τοῦ καλὸν εἶναι, καθὰ καὶ τὸ αἶσχος τῷ κάλλει ἀντίκειται. αἰσχύνεται δὲ νεκρός, ὅτε ἀποδρυφθῇ ἢ ἄλλα τι τοιοῦτον πάθοι.

4.925 Τὸ δὲ «θηοῖο» ἀντὶ τοῦ θαυμάσοις πρὸς τὸ θηητόν συστοιχεῖ. (v. 419) Τὸ δὲ ἑρσήεις», ὅ ἐστι δροσώδης, τεράστιον, εἴπερ ἀντὶ σηπεδόνος καὶ τοῦ μυδᾶν δρόσος αὐτὸν περικέχυται. διὸ καὶ ὁ ποιητὴς ἐπεσημήνατο εἰπὼν «θηοῖό κεν αὐτός», τουτέστιν θηητὸν κρινεῖς ὡς ἑρσήεις κεῖται. (v.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

420) Οὕτω δὲ τέρας καὶ τὸ τὰ ἕλκη πάντα μεμυκέναι. οὐκ εἶπε δὲ οὐλωθῆναι, διότι πάνυ ἀτηρὰ ἡ τοιαύτη τόλμα. εἰ δὲ καὶ τὸ μεμυκέναι παράδοξον, τὰ γὰρ μετὰ θάνατον γινόμενα ἕλκη οὐ μύει ἀλλὰ σήπεται, ὅμως οὐ τοσαύτην ἔχει παραδοξίαν ὅσην ἡ ἀπούλωσις. [Πολλὴ δὲ καὶ ἡ ὁμωνυμία καὶ ἡ παραγωγὴ τοῦ μύειν. μύει γὰρ οὐ μόνον ἕλκη ἀλλὰ καὶ χείλη καὶ ὄμματα, καὶ ῥόδα δὲ τὰ ἔτι ἐν κάλυξι καὶ ὅσα τοιαῦτα ἐκ δὲ τοῦ μύειν ἐστὶ καὶ τὸ μυεῖν, ἱερὰ λέξις αὕτη Ἀττική, ἀφ’ ἧς καὶ ὁ μύστης καὶ ἡ μύστις, οἷς ἀνάγκη μύειν τὸ στόμα καὶ μὴ ἐκφαίνειν ἃ μεμύηνται. τοῦ δὲ μύειν παράγωγον καὶ τὸ μῦθος, πρὸς ὃ μύομεν ὄψιν, καὶ οἱ μύες δὲ οἵ τε κατὰ σῶμα καὶ τὰ ζωΐδια, καὶ ἡ μυῖα δὲ, καὶ οἱ μυῶνες, καὶ ἄλλα δέ τινα.] (v. 420) Τὸ δὲ «οὐδέ ποθι μιαρός», ἀντὶ τοῦ οὐδαμοῦ βεβαμμένος αἵματι, ἐπεὶ τὸ αἷμα, ὡς ἐρρέθη, πέριξ νένιπται. κἀνταῦθα μὲν ἰδίᾳ εἶπε τὸ «αἷμα» καὶ ἰδίᾳ τὸ «μιαρός, ἀλλαχοῦ δὲ ὁμοῦ παράκεινται ἐν τῷ «μιάνθην αἵματι μηροί». ἐν δέ γε τῷ «μιαιφόνος Ἄρης» συνετέθη ὁ αὐτὸς νοῦς, οὐ ψόγον δηλῶν ὡς παρὰ τοῖς ὕστερον, ἀλλὰ πολεμικόν τι παρακολούθημα, τὴν ἐξ αἵματος δηλαδὴ βαφήν, ὁποίαν δή τινα πάσχει καὶ ἐλέφας, ὃν γυνὴ Κάειρα φοίνικι μιήνῃ, ὡς προδεδήλωται. Σημείωσαι δὲ ὅτι πολλαὶ λέξεις, πάλαι ποτὲ μέσως λεγόμεναι, ὕστερον ἐπὶ οὐκ ἀγαθῷ ἐδέχθησαν, ὥσπερ καὶ μιαρός παρὰ τοῖς μεθ’ Ὅμηρον ὁ λυμάτων ἄξιος, ὅ ἐστι ῥυπαρός, λυμεών, ἀκάθαρτος.

4.926 οὕτω καὶ ἅγιος παρὰ τοῖς παλαιοῖς οὐ μόνον ὁ καθαρός, ἀλλὰ καὶ ὁ μιαρός, διὰ τὸ τοῦ ἅγους διπλόσημον, ἐξ οὗ καὶ ὁ εὐαγής, καὶ αὖ πάλιν ὁ ἐξάγιστος καὶ τὰ τούτῳ ἐναντία, ἡ ἁγιστεία καὶ τὸ καθαγιάζειν. οὕτω καὶ φαῦλον οὐ μόνον τὸ κακόηθες, ὡς παρὰ Δημοσθένει δηλοῖ τὸ «οὐ γὰρ εἰ φαύλοις ὑμεῖς συμμάχοις χρῆσθε», ἀλλὰ καὶ τὸ ἀγαθόν, ὡς Εὐριπίδης «φαῦλον, κομψόν, τάχιστον», οὐδὲ μόνον ἐπὶ μεγέθους, ὡς τὸ «φαῦλον στόμα», ἀλλὰ καὶ ἐπὶ σμικρότητος, ὅθεν καὶ φαύλη ἐλαία ἡ μικρόκαρπος, ἡ καὶ φαυλία, γινομένη, φασίν, ἐκ κοτίνου κοπέντος καὶ μεταφυτευθέντος. λέγεται δέ, φασί, φαῦλον καὶ τὸ ἁπλοῦν καὶ μέτριον, καὶ φαύλως τὸ ἁπλῶς καὶ ἡσυχῇ. Ἀριστοφάνης «φαύλως φέρει νῦν τὸ κακόν». καθ’ ὅμοιον τρόπον καὶ παντουργός ἦν μὲν ὅτε ὁ πανοῦργος, νῦν δὲ θεῷ ἡ λέξις ἐπίκειται. καὶ καθωσιωμένος τὸ ἀρχαῖον ὁ ὅσιος, καὶ οὐχ’ ὡς ὕστερον ἐπὶ ψόγου. μυρία δὲ καὶ ἄλλα ὅμοια, [ἐν οἷς καὶ ἡ συνωμοσία, χρόνῳ μέν ποτε λαγχάνουσα ἔπαινον ὡς ἐπὶ καλῷ οὖσα, νῦν δὲ ἀποκληρωθεῖσα τοῖς φαύλως εἰς ὅρκον συνιοῦσι καὶ ἐπιτρίβουσα τοὺς οὕτω συνωμότας.] (v. 421) Τὸ δὲ «ἐτύπη» κατὰ κυριολεξίαν φησίν. οὐ γὰρ ἐβλήθη πεσὼν ὁ Ἕκτωρ, ἀλλ’ ἕκαστος τότε «οὐτήσασκε παραστάς». (v. 422 s.) Ὅτι ἐπὶ θεοφιλεῖ νεκρῷ ῥηθείη ἂν παρῳδηθὲν τὸ «ὥς τοι κήδονται μάκαρες τοῦ δεῖνος καὶ νέκυός περ ἐόντος, ἐπεί σφι φίλος περὶ κῆρι». (v. 425) Ὅτι ἐνάγων θεοσεβεῖν ὁ Ὁμηρικὸς Πρίαμός φησιν «ἦ ῥ’ ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδόναι ἀθανάτῳ. (v. 426—8) Εἶτα ῥητορικῶς πιστούμενος ἐκ μέρους τὸ καθόλου φησὶν «ἐπεὶ οὔ ποτ’ ἐμὸς πάϊς, εἴ ποτ’ ἔην γε, λήθετ’ ἐνὶ μεγάροισι θεῶν· τῷ οἱ ἐπεμνήσαντο καὶ ἐν θανάτοιό περ αἴσῃ». Καὶ ὅρα τὸ «εἴ ποτ’ ἔην» περιπαθῶς λεχθὲν καὶ συνήθως ὡς εἰ μηδὲ γέγονέ ποτε ὁ τοσοῦτος Ἕκτωρ. (v. 425) Αἴσιμα δὲ δῶρα τὸ εὔχεσθαι, τὸ σπένδειν, τὸ θύειν καὶ τὰ τοιαῦτα.

4.927 Τὸ δὲ «διδόναι», τελευταῖος ὢν ποὺς ἐν τῷ «δῶρα διδόναι» καινῶς ποδίζει τὸ ἡρῷον μέτρον. ἐκταθῆναι μὲν γὰρ αὐτὸ κατὰ τὸ γνῶναι καὶ βιῶναι οὐ παραδέδοται, διδοῦναι δὲ γράψαι οὐκ εὐσυγχώρητον. λείπεται οὖν ἐκτείνεσθαι τὸ μικρὸν ο τοῦ διδόναι ὁμοίως τῷ «ἐρρίγησαν, ὅπως ἴδον αἰόλον ὄφιν». τινὰ δέ γε τῶν ἀντιγράφων ἐτόλμησαν γράψαι «διδοῦναι» πρὸς ὁμοιότητα ἴσως τοῦ τιθέναι τιθεῖναι διὰ διφθόγγου ἢ τιθῆναι διὰ τοῦ η , ἐξ οὗ τὸ «τιθήμεναι», παθὸν οὕτω πρὸς εὐχρηστίαν μέτρου. (v. 428) Τὸ δὲ «ἀπεμνήσαντο» γράφεται καὶ «ἐπεμνήσαντο». ἀκριβέστερον δὲ τὸ «ἀπεμνήσαντο», καὶ δηλοῖ τὸ ἐμνήσαντο, ὁμοίως τῷ ἀπομηνίσαι ἀντὶ τοῦ μηνίσαι καὶ τοῖς ὁμοίοις, περὶ ὧν δεδήλωται. ἐκ δὲ τοῦ τοιούτου ἀπομνήσασθαι καὶ τὸ ἀπομνημόνευμα γέγονε παρὰ τοῖς ὕστερον. (v. 429—31) Ὅτι ἐν τῷ «ἀλλ’ ἄγε δὴ τόδε δέξαι ἐμεῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάρα καλὸν ἄλεισον αὐτόν τε ῥῦσαι, πέμψον δέ με σύν γε θεῷ» καὶ ἑξῆς, νοητέον ὅτι κατὰ τὸ σιωπώμενον προμηθέστερον διατεθεὶς ὁ γέρων ἔφερε καί τινα ἕτερα δίχα τῶν λύτρων, εἴπως καὶ τούτων χρεία παραπέσοι. ἐν δὲ καὶ τὸ ἄλεισον, ὃ δίδωσι τῷ Ἑρμῇ. οὐ γὰρ ἂν ἐκεῖνο τὸ περικαλλὲς δέπας, τὸ μέγα κτέρας, ἐδίδου. εἰ δὲ καὶ ἐκεῖνο τυχὸν ἐθέλει δοῦναι, ἐστὶ τοῦτο τῆς τοῦ γέροντος δειλίας τε καὶ συγχύσεως. εἶδος δὲ ποτηρίου καὶ τὸ ἄλεισον, οὗ ἐτυμολογίαι διάφοροι. ἀρέσκει δὲ τοῖς πλείοσιν ἀπὸ τοῦ λεῖον γενέσθαι πλεονασμῷ τοῦ ς μετὰ τοῦ α στερητικοῦ ἢ ἐπιτατικοῦ, οἱονεὶ τὸ μὴ ὂν λεῖον ἀλλὰ περιφερὲς ἢ ἐμπαιστόν, ἢ τὸ ἄγαν λεῖον. λέγεται δὲ καὶ ἀρσενικῶς κατά τινας, οἳ καὶ χρῆσιν τούτου προφέρουσιν. [Εἰ δὲ καινὸν τοῦτο δοκεῖ, ἐνθυμητέον εἰς ὁμοιότητα καὶ τὸ σύμβολον, οὗπερ εὕρηται παρὰ πολλοῖς τῶν ῥητόρων, καὶ ἄρρεν ὁ σύμβολος.

4.928 Ἰστέον δὲ ὡς, εἰ μὴ ἡ παράδοσις ἦν, οὐκ ἂν εἶχέ τις ὄκνον γράφειν τὸ ἄλεισον ἐν μόνῳ τῷ ι , καὶ ἐν δυσὶ σίγμα, ὡς ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ λισσόν, τὸ λεῖον, οὗ χρῆσις καὶ ἐν τῷ «λισσὴ δ᾽ ἀναδέδρομε πέτρη».] (v. 435 s.) Ὅτι ὁ δῆθεν Ἀχιλλέως θεράπων Ἑρμῆς, πιστὸν ἑταῖρον ὑπογράφων, φησὶ μὴ πείσεσθαι δῶρα πρὸς Πριάμου παρὲξ Ἀχιλλέα, ὡς προεγράφη, δέξασθαι «ἐπεί», φησίν, «αὐτὸν ἐγὼ δείδοικα καὶ αἰδέομαι περὶ κῆρι συλεύειν, μή μοί τι κακὸν μετόπισθεν γένοιτο», ἢ θεόθεν δηλαδὴ ἢ ἐξ Ἀχιλλέως, εἴπερ φωραθῶ. (v. 436) Καὶ ὅρα τὸ συλεύειν φανερῶς ῥηθὲν ἐπὶ κλοπῆς. οὐ τοίνυν ἡ λέξις μόνον δηλοῖ τὸ λαφυραγωγεῖν. ἀστεῖον δέ, εἴπερ ὁ κατὰ τὸν μῦθον οἰκειούμενος τὴν κλεπτικὴν ἀποτροπιάζεται τὸ συλεύειν. πάντως δὲ ἐν καιρῷ τοῦτο ποιεῖ. παιδευτικὸν δὲ τὸ δοξάζειν κλεπτικὸν θεράποντα εἶναι καὶ τὸν πάρεξ τοῦ δεσπότου δῶρα λαμβάνοντα. (v. 435) Ὅρα δὲ κἀνταῦθα ὡς αἰδὼς καὶ δέος συνέχει τὴν πρὸς τοὺς μείζονας εὔνοιαν. ὃ δηλοῦται καὶ ἐν τῷ «αἰδοῖος τέ μοί ἐσσι φίλε ἑκυρὲ δεινός τε». Σημείωσαι δὲ καὶ ὅτι εὔλογος τῷ δῆθεν Μυρμιδόνι ὁ ἐπὶ τῷ Ἀχιλλεῖ φόβος, εἴγε καὶ ῥᾴων εἰς θυμὸν ὁ ἥρως, ὡς φανεῖται, καὶ ἀναίτιον δὲ αἰτιᾶσθαι πρόχειρος, ὡς δεδήλωται ἀλλαχοῦ. (v. 437—9) Ὅτι πομποῦ ἀγαθοῦ τὸ «σοὶ δ᾽ ἂν ἐγὼ πομπὸς καί κε κλυτὸν Ἄργος ἱκοίμην ἐνδυκέως ἐν νηῒ θοῇ ἢ πεζὸς ὁμαρτέων, οὐκ ἄν τίς τοι πομπὸν ὀνοσσάμενος μαχέσαιτο». ἄδηλον δὲ ποῖον λέγει Ἄργος. δόξειε δ᾽ ἂν μάλιστα ὡς Μυρμιδὼν τὸ Θετταλικὸν λέγειν. ἐπιστήμων δὲ πομπὸς ὁ καὶ διὰ ξηρᾶς καὶ διὰ θαλάττης πέμπειν εἰδώς. (v. 440) Ὅτι παρὰ μὲν τοῖς ὕστερον τὸ ἐπαΐξαι δοτικῇ συντάσσεται, Ὅμηρος δ᾽ ἐνταῦθά φησιν «ἐπαΐξας Ἐριούνιος ἅρμα καὶ ἵππους», ἤγουν ἀΐξας ἐπὶ ἅρμα καὶ ἵππους. ἄλλως δὲ πάντως ἐπαΐσσει τις ἅρμα, καὶ ἄλλως ἵππους, τὸ μὲν ἀναβαίνων, τοὺς δὲ ἰθύνων. (v. 442) Εἶτα κεῖται ἡνιόχου ἀρετὴ τὸ «ἐν δ᾽ ἔπνευς᾽ ἵπποισι καὶ ἡμιόνοις μένος ἠΰ». (v. 443) Ὅτι πρωθυστέρου τρόπου καὶ τὸ «ὅτε πύργους νεῶν καὶ τάφρον ἵκοντο», πρῶτον γὰρ τάφρος, εἶτα πύργοι. ὅμοιον καὶ μετ᾽ ὀλίγα τὸ «ὤϊξε πύλας καὶ ἀπῶσεν ὀχῆας».

4.929 ἀπωσθέντων γὰρ ὀχέων οἴγονται μετὰ τοῦτο πύλαι. (v. 444—6) Ὅτι ἐνδεικνύμενος ὁ ποιητής, ὅπως ἡ τοῦ Ἑρμοῦ ῥάβδος κατὰ μῦθον ἀνδρῶν ὄμματα θέλγει, φησὶν «οἱ δὲ νέον περὶ δόρπα φυλακτῆρες πονέοντο· τοῖσι δ᾽ ἐφ᾽ ὕπνον ἔχευε διάκτορος Ἀργεϊφόντης πᾶσι». Καὶ ὅρα τὸ «πᾶσιν», [εἰς ὃ καὶ μάλιστα χρεία Ἑρμοῦ τῷ ποιητῇ.] Ἐχρῆν γὰρ ὀλίγους τινὰς ἢ ἀλλ᾽ ἕνα γοῦν ἐγρηγορέναι, εἰ μὴ ἐθέλχθησαν πληγέντες καὶ τῇ ῥάβδῳ κατὰ τὸ σιωπώμενον, δι᾽ ἧς οἶδε θέλγειν Ἑρμῆς. Σημείωσαι δὲ καὶ οἷον τὸ ἀναπίπτειν, ὅτε δοκεῖ μηδὲν εἶναί ποθεν κακόν. ἰδοὺ γὰρ οἱ φύλακες ἀναπεσόντες, ὅτι μὴ ἐδεδίεσαν, αἰτιάσει περιέπεσον ἄν, ὡς εἰκός, εἰ καὶ μηδὲν τοιοῦτον ὁ ποιητὴς ἔφθη ἐπισημήνασθαι οἷα ταχὺ παύσας τὴν ποίησιν. ἔστι δ᾽ ἐν τῷ ῥηθέντι μετὰ δόρπον ὕπνῳ ὑπονοῆσαι ἀλληγορικῶς καὶ ὡς ἡ καθ᾽ Ἑρμῆν ὑπνοποιὸς ῥάβδος καὶ αὖ πάλιν ἐξεγερτικὴ τὸν ἔλλογον ὕπνον δηλοῖ καὶ τὴν ὁμοίαν αὖθις ἐγρήγορσιν. εἴη δὲ ἂν τοιοῦτος ὕπνος ὁ ἐξ ἀνάγκης καὶ φύσει νύκτερος μετὰ τὸ φαγεῖν. πάνυ γὰρ πιθανῶς ὁ μῦθος κατακοιμίζει νῦν φαγόντας τοὺς φύλακας. (v. 444) Τὸ δὲ δόρπα μεταπέπλασται, καθὰ καὶ τὸ

ζυγόν πρὸ ὀλίγου, καὶ ὡς τὸ δεσμόν καὶ τὸ κέλευθον. φησὶ δὲ καὶ Αἰσχύλος «ἄριστα δεῖπνα δόρπαθ’ αἱρεῖσθαι τρία». [Καὶ μὴν οἱ Ὁμηρίδαι ψέγουσι τοὺς λέγοντας τρὶς τῆς ἡμέρας ἐσθίειν τοὺς παρ’ Ὁμήρῳ, καθὰ καὶ ἀλλαχοῦ παρεσημάνθη. Πλάτων δέ γε ὕστερον ἔφη, ὡς ἐλθόντα με εἰς Σικελίαν ὁ ταύτῃ βίος οὐδαμῇ οὐδαμῶς ἤρεσε, δίς τε τῆς ἡμέρας ἐμπιπλάμενον ζῆν, καὶ τὰ ἑξῆς. τῷ ὄντι γὰρ τὸ τρὶς ἐσθίειν δι’ ἡμέρας τρυφῆς ἐστιν ἄκρας, δι’ ἧς πολλοὶ καὶ κατ’ ἄνδρα καὶ κατά τι πλῆθος καὶ κατὰ πόλεις δὲ ὤλοντο. καὶ τὸ Συβαριτικὸν μὲν πάθος τεθρύληται. Μιλήσιοι δὲ καὶ αὐτοὶ ἕως μέν, φασίν, οὐκ ἐτρύφων, ἐνίκων Σκύθας καὶ πόλεις ἐφ’ Ἑλλησπόντῳ ἔκτισαν καὶ τὸν Εὔξεινον κατῴκισαν πόλεσι λαμπραῖς καὶ πάντες εἰς Μίλητον ἔθεον, ὡς δ’ ὑπήχθησαν ἡδοναῖς, κατερρύη τὸ τῆς πόλεως ἀνδρεῖον, ὡς Ἀριστοτέλης φησί, καὶ παροιμία ἐντεῦθεν ἐξέπεσε τὸ «πάλαι ποτ’ ἦσαν ἄλκιμοι Μιλήσιοι». αὐτοὶ δὲ καὶ ἄλλοις διαδιδόντες τὴν τρυφὴν ἤκουσαν ὀνειδιστικῶς ἐν Λακεδαίμονι τὸ «οἴκοι τὰ Μιλήσια κἀπιχώρια», ἤγουν οἴκοι τρυφᾶτε καὶ μὴ ἐνθάδε, κατὰ δὲ ἑτεροίαν γραφήν «οἴκοι τὰ Μιλήσια, μὴ γὰρ ἐνθάδε».

4.930 ὃ δὴ μὴ μαθόντες λέγειν οἱ τῆς Ἀβύδου, ἐσκώπτοντο ἐπὶ τρυφῇ, Μιλησίων ὄντες ἄποικοι, ἀνειμένοι δὲ τὴν δίαιταν καὶ κατεαγότες, ὡς γράφει ὁ Δειπνοσοφιστής.] (v. 448—56) Ὅτι ἐκφράζων τὴν τοῦ Ἀχιλλέως κλισίαν καὶ δι’ αὐτῆς ἐμφαίνων, ὡς εἰκός, καὶ ἄλλας ὁποῖαί τινες ἦσαν, φησὶ «κλισίην Πηληϊάδεω ὑψηλήν, τὴν Μυρμιδόνες ποίησαν ἄνακτι, δοῦρ’ ἐλάτης κέρσαντες· ἀτὰρ καθύπερθεν ἔρεψαν λαχνήεντ’ ὄροφον, λειμωνόθεν ἀμήσαντες· ἀμφὶ δέ οἱ μεγάλην αὐλὴν ποίησαν ἄνακτι σταυροῖσιν πυκινοῖσι· θύρην δ’ ἔχε μοῦνος», ἤγουν εἷς, «ἐπιβλὴς εἰλάτινος, τὸν τρεῖς μὲν ἐπιρρήσεσκον Ἀχαιοί, τρεῖς δ’ ἀναοίγεσκον μεγάλην κληῗδα θυράων, τῶν ἄλλων· Ἀχιλλεὺς δ’ ἄρ ἐπιρρήσσεσκε καὶ οἶος», ἤγουν ἐπετίθει. καιρία δὲ ἡ λέξις, καὶ οὐκ ἔσχεν ὁ ποιητὴς εὑρεῖν κρείττονα. διὸ καὶ δὶς εἶπεν αὐτήν. (v. 454) Σημείωσαι δὲ ἐνταῦθα τὸ τρεῖς χρησιμεῦον εἰς τὴν ὑπόνοιαν τοῦ, ὡς προερρέθη, Μυρμιδόνα τινὰ ἴσως εἶναι τὸν ἐπιφανέντα ὡς Ἑρμῆν. εἰ γὰρ τρεῖς ἐπιρρήσεσκον τὸν ἐπιβλῆτα, ἰδοὺ εἷς ὁ Πρίαμος, δεύτερος ὁ κῆρυξ, καὶ τρίτος ὁ λεγόμενος Μυρμιδών. καὶ πιθανῶς ἀναβαλοῦνται ἂν οἱ τρεῖς τὸν ὑπὸ μόνου Ἀχιλλέως ἐπιβαλλόμενον μοχλόν, ὑπερβάντες τοὺς σταυροὺς καὶ ἔνδον γενόμενοι τῆς αὐλῆς.

4.931 Τὸ δὲ ἐπιρρήσσειν οἱ μεθ’ Ὅμηρον καταρρήσσειν καὶ καταράσσειν φασίν, ὅθεν καὶ ὁ καταράκτης, λέξις αὕτη ὁμώνυμος. ὀρνέου τε γὰρ ἅρπαγος ὄνομά ἐστι, καὶ μέρους ποταμῶν, οἳ διὰ πετρῶν καταράσσουσιν, ὁποῖοι καὶ οἱ Αἰθιοπικοί, καὶ πύλης δὲ ἐνδομύχου συντελούσης ἐν πολιορκίᾳ πόλεως. ἰδοὺ δὲ καταράκτης καὶ ὁ κατὰ πύλας ἐπιβλής, περὶ οὗ εἰρήσεται. ῥωμαλεότης δὲ Ἀχιλλέως τὸ τριῶν ἄλλων ἐπιρρησσόντων αὐτὸν μόνον τοῦτο ποιεῖν, ὃ δὴ καὶ ὁ μυθικὸς Ἑρμῆς ῥᾷον ἤνυσε. (v. 448) Σημείωσαι δὲ καὶ ὅτι ὡς ἄνακτι τῷ Ἀχιλλεῖ τοσαύτη κλισία πεποίητο. τοῖς γὰρ ταπεινοτέροις τοιαῦται μέν, οὐ τηλικαῦται δέ. διὸ προϊὼν ὁ ποιητὴς ἀξιώσει καὶ οἶκον εἰπεῖν αὐτὴν ἐν τῷ «γέρων δ’ ἰθὺς κίεν οἴκου», καὶ «οἴκοιο ἆλτο θύραζε». ἔστι δὲ καὶ ἄλλως οἶκος ἡ κλισιὰ ὀνόματι γενικῷ. (v. 449) Τὸ δὲ «ποίησαν», εἰ καὶ παρὰ τοῖς ὕστερον ταὐτόν ἐστι τῷ ποιητικῶς εἶπον, ὡς καὶ προδεδήλωται, ἀλλ’ Ὅμηρος καὶ ὧδε καὶ ἀλλαχοῦ συνήθως ποιεῖν λέγει τὸ κατασκευάζειν καὶ τεχνᾶσθαι. Τὸ δὲ «ἄνακτι» δὶς καὶ αὐτὸ ἐν τοῖς ῥηθεῖσι κεῖται ἐν τέλει στίχων ἁπλοϊκῶς οὕτω πρὸς ἀναπλήρωσιν, καθὰ καὶ τὸ «ποίησαν». κλισίην γάρ, φησί, «ποίησαν ἄνακτι», καὶ [«αὐλὴν ποίησαν ἄνακτι».] Δοκεῖ δὲ ἀρέσκεσθαι ταῖς ἐλάταις ὁ ποιητὴς εἰς κλισίας ποίησιν. (v. 450) Κέρσαι δὲ ἰδοὺ καὶ ἐπὶ ξύλων. εἰ δὲ δοκεῖ καινὸν διὰ τὸ ἀκερσεκόμης, ἀλλ’ οἶδε καὶ ἐπὶ δένδρων κόμην ἡ μεταφορά. ἐκ δὲ τοῦ τοιούτου κείρειν καὶ ὁ κορμός. Τὸ δὲ «ἔρεψαν» τοῦτό ἐστιν, ὃ ἐτυμολογικῷ τρόπῳ ποιεῖ τὸν ὄροφον. ὄροφος δὲ καλαμίσκου εἶδος ὑδροχαροῦς, ἐπιτηδείου εἰς ὀροφήν, ὃς ἐν λειμῶνι πεπανθεὶς δασεῖαν ἐπανθοῦσαν ἔχει λάχνην, ὅτε καὶ ἔστιν ἀγαθὸς ἐρέφειν. ἀπ’ αὐτοῦ δὲ διὰ τὴν παλαιτάτην

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρῆσιν καὶ ἁπλῶς αἱ τῶν οἰκιῶν στέγαι πᾶσαι ὄροφοι λέγονται, ἀφ’ ὧν καὶ φάλαγγες ἤτοι ἀράχναι ὑπωρόφιοι οἱ φωλοῦντες ὑπὸ τοὺς ὀρόφους.

4.932 (v. 451) Λειμὼν δέ, εἰς ὃν ὕδωρ λείβεται, ἀπὸ τοῦ λέλειμμαι παρακειμένου, ὃν ἡ πολλὴ γλῶσσα λιβάδιον λέγει ἀπὸ τοῦ δευτέρου ἀορίστου τοῦ ἔλιβον. Ἀμῆσαι δὲ τὸ συναγαγεῖν, ἢ μάλιστα θερίσαι. (v. 453) Σταυροὶ δὲ οἱ σκόλοπες καί, ὡς ἀλλαχοῦ ἐρρέθη, τὰ κατὰ φθορὰν λεγόμενα σταύαρα, οἷς ὅσα καὶ ἑρκίῳ τοίχου αὐλὴ φράττεται. διὸ καὶ πυκνοῦσθαι αὐτοὺς χρή. σκολόπων δὲ ὄντων τῶν σταυρῶν εἰκότως καὶ τὸ ἀνασκολοπίζειν ἀνασταυροῦν λέγεται. Ἐπιβλὴς δὲ ξύλον συνέχον ἐπικεκλεισμένας τὰς θύρας ἐν τῷ ἀπὸ τοίχου εἰς τοῖχον ἢ ἀπὸ στύλου εἰς στῦλον τῇ θύρᾳ ἢ ταῖς θύραις ἐπιβάλλεσθαι. (v. 455) Ὁ δὲ ποιητὴς ἑρμηνεύων τὴν λέξιν καὶ μεγάλην κληῗδα θυρῶν αὐτήν φησι, ταὐτὸν εἶναι κληῗδα καὶ ἐπιβλῆτα παραδιδούς. ἀμφότερα δὲ μοχλὸν δηλοῦσιν, ὃς καὶ κλεῖθρον λέγεται, ὁποῖόν τι καὶ ἡ Ὀδύσσεια δηλοῖ ἐν τῷ «ἐπὶ δὲ κληῗδ’ ἐτάνυσεν ἱμάντι». κληῖδα γὰρ καὶ ἐκεῖ τὸ κλεῖθρον καλεῖ, μικρὸν ὄν, ὡς μὴ χειρὶ καταρρήσσεσθαι, ἀλλὰ ἱμάντι τείνεσθαι. ὁ δὲ τοιοῦτος μοχλὸς καὶ ὀχεύς ἐστιν ἢ ὀχῆες, κατὰ τὸ «ὤϊξε πύλας καὶ ἀπῶσεν ὀχῆας», ὧν ῥῆμα τὸ ἔχειν. (v. 453) Διὸ θύρην ἔχε, φησίν, ἐπιβλής. φησὶ δὲ καὶ ἐν τοῖς ἑξῆς Ἀχιλλεύς, ὅτι οὐκ ἂν ὀχῆας ῥεῖα μετοχλίσειε θυράων ἡμετέρων. Ἔνθα καὶ σημείωσαι τὸ «μετοχλίσειεν», ἐξ οὗ γίνεται, ὡς μετ’ ὀλίγα ῥηθήσεται, ὁ μοχλός ὥστε ταὐτὰ κατὰ πολυωνυμίαν μοχλός, ὀχεύς, ἐπιβλής, κληῒς καὶ κλεῖθρον. Σημείωσαι δὲ καὶ ὅτι ἐξ ἑρμηνείας τοῦ ἐπιρρήσσειν ἔοικεν ἐπινοηθῆναι ὁ ἐπιβλής. ἐπιρρήσσειν γάρ, ὡς ἐρρέθη, τὸ ἐπιτιθέναι ἤτοι ἐπιβάλλειν, ὅθεν παρῆκται ὁ ἐπιβλής. οὗ ἀνάπαλιν τὸ ἀπωθεῖν. ἄνωθεν μὲν γὰρ κάτω ἐπιρρήσσεται, κάτωθεν δὲ ἄνω ἀπωθεῖται, ὡς δῆλον ἐκ τοῦ «ἀπῶσεν ὀχῆας».

4.933 εἰ δὲ ἐπιβλὴς μὲν ἑνικῶς, ὀχῆες δὲ πληθυντικῶς ἐπὶ τοῦ αὐτοῦ σημαινομένου κείμενα, καινὸν οὐδέν, ἐπεὶ καὶ τὴν θύραν, ἣν ἔχει ὁ ἐνταῦθα ἐπιβλής, καὶ πληθυντικῶς θύρας λέγει, ὥσπερ καὶ πύλας ἀνωτέρω, ἔνθα καὶ οἱ αὐτῶν ὀχῆες. Ὀξύνεται δὲ ὁ ἐπιβλὴς ὡς τὸ προβλής, ἡμιθνής, ἀδμής. τὰ γὰρ εἰς ς λήγοντα ἀρσενικὰ σύνθετα, ἔχοντα ἐν τῷ τέλει μίαν συλλαβὴν τοῦ ῥήματος καὶ διὰ τοῦ τος κλινόμενα, ὀξύνεται. διὸ καὶ παρὰ Ἀριστοφάνει τὸ «ὁ μέγας οὗτος Κολακώνυμος ἀσπιδαποβλής», ὅ ἐστι ῥίψασπις, καίτοι ἐκ τριῶν συγκείμενον λέξεων, ὅμως ὀξύνεται. οὐ καλῶς οὖν, φασί, τὸ ἐπιβλής βαρύνει Ἀρίσταρχος. (v. 454) Ὅρα δὲ καὶ ὅτι ἐλάτην ἀνωτέρω τὸ φυτὸν εἰπὼν διὰ μόνου τοῦ ε εἰλάτινον ἔφη τὸ αὐτῆς παρώνυμον κατὰ διχρόνου ἐπένθεσιν, μέτρου τοῦτο θέλοντος. (v. 460 s.) Ὅτι ἐναργείας θείας τὸ «ὦ γέρον, ἤτοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα Ἑρμείας», ταὐτὸν δ’ εἰπεῖν, λόγος, «σοὶ γάρ με πατὴρ ἅμα πομπὸν ὄπασσεν». (v. 463 s.) Ὅτι τὸ «νεμεσητὸν δέ κεν εἴη ἀθάνατον θεὸν ὧδε βροτοὺς ἀγαπαζέμεν ἄντην», ὃ δὴ ὁ τοῦ μύθου Ἑρμῆς φησι μὴ θέλων εἰς ὀφθαλμούς, ἤγουν εἰς ὄψιν, ἐλθεῖν τῷ Ἀχιλλεῖ, ποιεῖν δοκεῖ δυσεντεύκτους τοὺς ὕστερον ἄρχοντας, ἀποθεοῦντας οἷον ἑαυτοὺς καὶ ἀπαξιοῦντας βλέπεσθαι. (v. 465—7) Ὅτι ὁ λόγιος Ἑρμῆς, ὁ παρὰ τῷ συνετῷ γέροντι δηλαδὴ ἐνδιάθετος λόγος, τόπους τε αὐτῷ ἱκετευτικῶν νοημάτων μεθοδεύει, λέγων «εἰσελθὼν λάβε γούνατα Πηλεΐωνος, καί μιν ὑπὲρ πατρὸς καὶ μητρὸς ἠϋκόμοιο λίσσεο καὶ τέκεος, ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς», τουτέστιν, ἵνα σὺν τοῖς δώροις ὀρίνῃς αὐτὸν καὶ λόγοις εἰς οἶκτον. καὶ ἐν καιρῷ δὲ εὐθέτῳ, καθὰ καὶ προεγράφη, ἄγει πρὸς Ἀχιλλέα, ὅτε δηλαδὴ ὁ ἥρως ἀνειμένος τὴν γνώμην ῥᾷον ἂν δυσωπηθείη. (v. 475) «Νέον γάρ», φησίν, «ἀπέληγεν ἐδωδῆς» καὶ τὰ ἑξῆς. διὸ καὶ εἰς δάκρυον κινηθεὶς Ἀχιλλεὺς παντοῖος γίνεται, καὶ ποτὲ μὲν εἰς θρῆνον ἐρεθισθεὶς κλαίει τὸν πατέρα καὶ τὸν Πάτροκλον, ποτὲ δὲ παραμυθεῖται οἰκτιζόμενος τὸν γέροντα. καὶ ἐπαινεῖ δέ, ὡς φανήσεται. οὐκ ἐξίσταται μέντοι ἐν πᾶσι τούτοις οὐδὲ τοῦ ἀληθῶς μὲν ἐμβριθοῦς ἡρωϊκοῦ, ὡς δέ τινές φασι, παλιμβόλου ἤθους, ἀλλ’ ὅτι μικρόν τι ὁ γέρων ἀπήρεσεν αὐτῷ, ἐν οἷς οὐκ ἐπείσθη καθεσθῆναι εἰς θρόνον, «ἀλλὰ τάχιστα λῦσον» εἶπε τὸν Ἕκτορα, ἄλλως δὲ «μή μ’ ἐς θρόνον κάθιζε», ταράσσεται εἰς θυμὸν πλείω τοῦ δέοντος, ὡς ῥηθήσεται ἐν οἰκείῳ τόπῳ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4.934 Σημείωσαι δὲ ὅτι, εἰ καὶ προεκθετικῶς τῷ γέροντι ἔδοξε καὶ ἀπὸ μητρός, ὡς εἰρήσεται, καὶ τέκνου ἱκετεύσειν τὸν Ἀχιλλέα, ὅμως οὐ γίνεται τοῦτο, τάχα μὲν καὶ διότι ἐξέκρουσεν ἡ λύπη τῆς τοῦ γέροντος ψυχῆς τὴν τοῦ διδασκάλου Ἑρμοῦ μέθοδον, μάλιστα δέ, ὡς τοῦ Ἀχιλλέως τῇ τοῦ πατρὸς καὶ μόνου μνήμῃ καταμαλαχθέντος εἰς ἔλεον ἔτι τὸν μὲν Πηλέα προὐβάλετο Πρίαμος εἰς δυσωπίαν ὡς ὅμοιόν τι πρὸς ἐκεῖνον ἔχων, καθὰ καὶ ἑξῆς δηλωθήσεται, τῇ Θέτιδι δὲ καὶ αὐτῷ οὐδέν τι κοινὸν θεᾷ οὔσῃ καὶ κακῶν ἀπαθεῖ, Νεοπτόλεμος δέ, ὁ τοῦ Ἀχιλλέως παῖς, οὐδ' αὐτός πω δυστυχεῖ ὡς οὕτω πρὸς ὁμοιότητα συμβαλέσθαι τῷ γέροντι, αἰδεῖται δὲ ἴσως ὁ τηλικοῦτος γέρων καὶ καταβαλεῖν οὕτω τὴν ἀξίαν ἀγεννῶς δι' ἐπιχύσεως οἰκτρῶν ἐπιχειρημάτων οἷά τι θαρρῶν καὶ τῇ τῶν δώρων μεγαλοπρεπείᾳ. (v. 467) Ὅρα δὲ ὅτι ἐνταῦθα μὲν τὸ «θυμὸν ὀρίνῃς» τὴν εἰς ἔλεον κίνησιν δηλοῖ, ἐν δὲ τοῖς ἑξῆς τὸ «μή μοι μᾶλλον θυμὸν ὀρίνῃς», καὶ τὸ «μὴ Ἀχιλῆϊ ὀρινθείη φίλον ἦτορ», τὸν εἰς χόλον ἐρεθισμὸν συνήθως δηλοῦσιν. (v. 465) Ὅρα δὲ καὶ τὸ «λάβε γούνατα» κατὰ αἰτιατικὴν σύνταξιν, ὅπερ ἀλλαχοῦ «λάβε γούνων» φησί, καὶ μετ' ὀλίγα δὲ «χερσὶν Ἀχιλλῆος λάβε γούνατα». Ἰστέον δὲ ὅτι μέθοδος ἱκετείας τὸ «τύνη δ' εἰσελθὼν λάβε γούνατα» τοῦ δεῖνος, «καί μιν ὑπὲρ πατρός» καὶ ἑξῆς, ὡς προσεχῶς ἀνωτέρω κεῖται. Τὸ δὲ «τύνη» Δωρικὸν καὶ Ὁμήρῳ ἔγνωσται, καὶ παρ' Ἡσιόδῳ ἔστι.

4.935 γίνεται δέ, ὡς καὶ ἀλλαχοῦ ἐδηλώθη, ἀπὸ τοῦ τύ, ἤγουν σύ, κατὰ πλεονασμὸν ὅμοιον τῷ ἐγώ ἐγώνη. (v. 466) Τὸ δὲ «ὑπὲρ πατρὸς καὶ μητρός» ὅμοιον ὡς εἰ καὶ «πρὸς μητρὸς ἔφη καὶ πατρός», ὡς καὶ ἐν τοῖς 〈τοῦ〉 Κωμικοῦ κεῖται. (v. 470) Ὅτι τὸ Ἰδαῖος «ἔμιμνεν ἐρύκων ἵππους» ἀντὶ τοῦ πεζεύσαντος Πριάμου κατεῖχεν ὥστε ἐφ' ἑνὸς τόπου ἵστασθαι. (v. 471—5) Ὅτι ὁ γέρων ἰθὺς ἐλθὼν οἴκου ἔνθ' Ἀχιλλεὺς ἵζεσκε Διῒ φίλος, εὗρέ μιν αὐτόν, «ἕταροι δ' ἀπάνευθεν καθείατο», ἔθος δὴ τοῦτο Ῥωμαίοις ἔτι καὶ νῦν ἀρέσκον. δύο δὲ μόνοι περὶ αὐτὸν ἐπονοῦντο παρόντες, «ἥρως Αὐτομέδων καὶ Ἄλκιμος, ὄζος Ἄρηος», συγκοπεὶς ἐκ τοῦ Ἀλκιμέδων κατά τινας, οὓς δὴ τούτους δύο ἑταίρους, ὡς ἐν τοῖς ἑξῆς ὁ ποιητὴς ἐρεῖ, μάλιστα ἑτάρων Ἀχιλλεὺς ἐτίμα μετὰ Πάτροκλόν γε θανόντα, οἳ καὶ τοῦ ζυγοῦ λύσουσιν ἐν τοῖς ἑξῆς τοὺς τοῦ γέροντος ἵππους ἡμιόνους τε, καὶ τὰ λύτρα ἐκ τῆς ἀπήνης λήψονται, ἀλλὰ ταῦτα μὲν ἐν τοῖς μετὰ ταῦτα. (v. 475—9) Νῦν δὲ λέγει καὶ τὸ «νέον δ' ἀπέληγεν ἐδωδῆς», ὁ Ἀχιλλεὺς δηλαδή, «ἔσθων καὶ πίνων. ἔτι καὶ παρέκειτο τράπεζα. τοὺς δ' ἔλαθ' εἰσελθὼν Πρίαμος μέγας», ὃν δηλαδὴ οὐ λαθεῖν ἔδει ἐλθόντα οὕτως οἰκτρῶς, μέγαν ἄλλως ὄντα καὶ οἷον χρῆναι προϊέναι περίκλυτον. «ἄγχι δ' ἄρα στὰς χερσὶν Ἀχιλλῆος λάβε γούνατα καὶ κύσε χεῖρας, δεινάς, ἀνδροφόνους, αἵ οἱ πολέας κτάνον υἷας», ὃ δὴ καὶ αὐτὸ οἰκτρόν, εἴπερ ἃς ἡδέως ἀποτέμοι ἄν, ταύτας φιλεῖ. Ὅρα δὲ τὸ τοῦ γέροντος δεξιὸν οὕτω μετρησαμένου τὸν καιρὸν εὐτυχῶς, ὡς εὑρεῖν ἔτι τὸν Ἀχιλλέα μετὰ δόρπον καθήμενον, μεθ' ὃν δόρπον ὕπνωσεν ἂν πάντως κατὰ τοὺς φυλακτῆρας καὶ αὐτός. (v. 472) Τὸ δὲ «μιν αὐτόν» ἀντὶ τοῦ αὐτὸν ἐκεῖνον κατ' ἐξοχὴν ἀμέσως καὶ οὐ διά τινος τῶν ἑταίρων, ὧν ἕκαστος κατὰ τὴν παροιμίαν τῇ πρὸς τὸν φίλον παραθέσει ἄλλος αὐτός ἐστιν. οὐ μὴν αὐτὸς αὐτός. λαμβάνεται δέ ποτε, ὡς καὶ προδεδήλωται, τὸ αὐτόν μιν καὶ ἀντὶ τοῦ ἑαυτόν. (v. 478 s.) Τὸ δὲ «χεῖρας δεινὰς ἀνδροφόνους» λυτικόν ἐστιν ἀμφιβολίας τῆς ἐν τῷ «χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου». δοκεῖ γὰρ κρεῖττον εἶναι καὶ ἐκεῖ χεῖρας ἀνδροφόνους μὴ τὰς τοῦ Πατρόκλου, ἀλλὰ τὰς τοῦ Ἀχιλλέως μάλιστα νοεῖν. (v. 476) Τὸ δὲ «ἔτι παρέκειτο τράπεζα» ἑρμηνευτικόν ἐστι τοῦ «νέον ἀπέληγεν ἐδωδῆς». [Ἔνθα, ὥς φησιν Ἀθήναιος, ἀρέσκει τοῖς παλαιοῖς δηλαδὴ μὴ τιθέναι μετὰ τοῦ ἔσθων καὶ πίνων, ἀλλὰ συντάσσειν τοῖς ἐφεξῆς, ἵνα ᾖ «ἔτι καὶ παρέκειτο τράπεζα».

4.936 εἰ δὲ καὶ ἐσίγησεν ὁ ποιητὴς ἐν τῷ «ἔσθων καὶ πίνων», τί δή ποτε ἤσθιεν ὁ Ἀχιλλεύς, ἀλλ' ἔστι νοεῖν ἐκ τῶν ἑξῆς ὡς τοιαύτην, καθὰ εἰκός, εἶχε δαῖτα, ὁποία καὶ τῷ Πριάμῳ παρετέθη, τυχὸν δὲ καὶ δαψιλεστέρᾳ ἐχρῆτο. εἰ γὰρ καὶ ἁπλῆ παρασεσημείωται τοῖς παλαιοῖς ἡ παρ' Ὁμήρῳ ἡρωϊκὴ δίαιτα— καὶ αὐτοὶ γὰρ οἱ τρυφεροὶ Φαίακες καὶ μνηστῆρες οἱ ὑβρισταὶ παρ' Ὁμήρῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κρεῶν ὡς ἐπὶ πολὺ βοείων καὶ αὐτῶν ὠπτημένων ἤσθιον, καὶ οὐδὲ ὀπώρα παράκειται οὐδ’ αὐτοῖς Φαίαξι καίπερ οὖσα πολλὴ καὶ ἥδιστα μνημονευομένη καί πως ἀθανατιζομένη, φασίν, ἐν τῷ «ὄγχνη ἐπ’ ὄγχνῃ γηράσκει—, ἀλλ’ ἐπεμελοῦντο καὶ τῶν ἄλλων ἡδέων, ὡς μυριαχοῦ φαίνεται, καὶ οὐ μόνον ἀκροδρύων, ἃ δενδρέων καλῶν ἐκφύονται, ἀλλὰ καὶ αὐτῆς λαχανείας, οἷς ὄρχοι κοσμητῶν ἦσαν πρασιῶν. οἱ δὲ περὶ Σικελίαν ἀγκίστροις ἰχθύας ἀνάγοντες ἐν τῷ πάντως οἴκοθεν ἔχειν ἄγκιστρα ἐκεῖ τε ἰχθυοφαγοῦσι καὶ τέχνην ἔχειν τὸ ἁλιεύειν δηλοῦσιν. οἱ δὲ παρ’ ἐκείνοις ὀρνιθοθῆραι καλῶς λέγονται μηδὲ τὸν ἀέρα ἐᾶν ἐλεύθερον διὰ τὸ ἐπιβουλεύειν καὶ αὐτοῖς ὄρνισι. Τὸ δέ γε «κρειῶν πίνακας παρέθηκε παντοίων» οὐ μόνον κρεῶν, φασί, δηλοῖ ἐξαλλαγήν, οἷον ὀρνιθείων, χοιρείων, ἐριφείων, βοείων, ἀλλὰ καὶ σκευασίαν αὐτῶν περιττήν, δι’ ἧς ἀνακύπτουσι τράπεζαι Σικελικαί, φασί, καὶ Συβαριτικαὶ καὶ Ἰταλικαί, ἤδη δὲ καὶ Χῖαι. μαρτυροῦνται γὰρ καὶ Χῖοι ὀψαρτυσίαν ἀσκεῖν οὐκ ἔλαττον τῶν εἰρημένων. οὐκοῦν οὐκ ἂν εἴη ἀπεικὸς καὶ τὸν ἐκ Θέτιδος ἥρωα, εἰ καὶ μὴ βορὸν καὶ παμφάγον, ἀλλ’ οὖν μηδὲ πάντῃ ἁπλοῦν εἶναι τὴν δίαιταν;] (v. 480—4) Ὅτι παραβολικῶς ὑποδηλῶν ὁ ποιητής, ὅπως ὁ Ἀχιλλεὺς διετέθη ἐπὶ τοῖς κατὰ Πρίαμον, φησὶν «ὡς δ’ ὅτ’ ἂν ἄνδρ’ ἄτη πυκινὴ λάβῃ, ὅς τ’ ἐνὶ πάτρῃ φῶτα κατακτείνας, ἄλλων ἐξίκετο δῆμον ἀνδρὸς ἐς ἀφνειοῦ, θάμβος δ’ ἔχει εἰσορόωντας, ὣς Ἀχιλλεὺς θάμβησεν ἰδὼν Πρίαμον θεοειδέα, θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο», οἷα εἰκός, οὐ γὰρ ἦν ἄλλως γενέσθαι.

4.937 σχῆμα δὲ τοῦτο θάμβους καὶ ἀπορίας, καὶ οἷον πύσμα σιωπηρόν, τί ἂν εἴη τὸ βλεπόμενον. σημειωτέον δὲ τὴν παραβολὴν πρὸς μόνον τὸ πολὺ τοῦ θάμβους γενομένην. ἄλλως γὰρ ἀντέστραπται πρὸς τὸ πρᾶγμα. οὐ γὰρ ὁ ἱκετεύων φονεὺς νῦν, ἀλλ’ ὁ ἱκετευόμενος. Ὅρα δὲ καὶ τὴν ἐν τῷ θάμβος καὶ θαμβεῖσθαι ἐπιμονὴν διὰ τὸ καίριον τῆς λέξεως. (v. 480) Ἄτην δὲ πυκινήν, ὅ ἐστι πυκνὴν καὶ πυκνοποιόν, λέγει, ὡς τῆς κατὰ τὴν ἡδονὴν θαλπωρῆς ἀνάπαλιν δηλαδὴ χαυνούσης καὶ ἀραιούσης καὶ διαχεούσης, ὅθεν καὶ διάχυσις καὶ χάρμα καὶ χαρὰ δὲ λέγεται. Ἡ δὲ πάτρη τὸ πρωτότυπόν ἐστι τοῦ πατρίς, παρωνύμου ἐκείνου ὄντος οὐχ’ ὑποκοριστικοῦ. (v. 482) Τὸ δὲ «ἐς ἀφνειοῦ» καλῶς καὶ αὐτὸ κεῖται, ὡς τῶν φονέων τοιούτοις μάλιστα προσιόντων οὐ διὰ τροφήν, ἀλλ’ ὡς ἂν βοηθοῖντο βλαπτόμενοι. Ὅτι τοιαύτη τις ἡ τοῦ Πριάμου πρὸς τὸν Ἀχιλλέα ἱκετεία. οἵα τε οὖσα πολὺν οἶκτον ἐνθέσθαι τῷ ἀκούοντι. τοιοῦτος γὰρ ὁ ταῦτα ποιῶν καλὸς Ὅμηρος, ὁ τὴν Μοῦσαν παντοῖος, παρ’ ᾧ καὶ πτοήσεταί τις που ἀκούων καὶ ἀναθαρρήσει δὲ ἀλλαχοῦ, καὶ γελάσει ἑτέρωθι, καὶ οἰκτίσεται ἐν ἄλλοις, καὶ ὅλως παντοδαπὸς γενήσεται. [Εἰκότως οὖν ὁ ποιητὴς ἐφιλεῖτο τοῖς γε τὸ καλὸν εἰδόσιν. ἱστοροῦνται γοῦν φιλόμηροι μάλιστα μὲν ὁ μέγας Ἀλέξανδρος, ἤδη δὲ καὶ Κάσανδρος, ὁ καὶ αὐτὸς Μακεδόνων βασιλεύς, οὕτω φιλῶν Ὅμηρον ὡς διὰ στόματος, φασίν, ἔχειν τῶν ἐπῶν αὐτοῦ τὰ πολλά. ἦν δὲ τοιοῦτος καὶ ὁ Φαληρεὺς Δημήτριος, ὃς πρῶτος εἰς θέατρον παρήγαγε, φασί, ῥαψῳδοὺς τοὺς καὶ Ὁμηριστὰς καλουμένους, οἳ ἐμελῴδουν τὰ τοῦ Ὁμήρου, καθάπερ ἄλλοι τὰ Ἡσιόδου καὶ Ἀρχιλόχου καὶ ἑτέρων. καὶ τοῦ μὲν τοιοῦτον. (v. 486—94) Ἡ δὲ τοῦ Πριάμου, ὡς εἴρηται, ἱκεσία ἦν τοιαύτη] «μνῆσαι», φησί, «πατρὸς σεῖο, θεοῖς ἐπιεικέλ’ Ἀχιλλεῦ, τηλίκου ὥσπερ ἐγὼν ὀλοῷ ἐπὶ γήραος οὐδῷ. καὶ μέν που κεῖνον περιναιέται ἀμφὶς ἐόντες τείρους’, οὐδέ τίς ἐστιν ἀρὴν καὶ λοιγὸν ἀμῦναι.

4.938 ἀλλ’ ἤτοι κεῖνός γε σέθεν ζώοντος ἀκούων, χαίρει τ’ ἐν θυμῷ ἐπί τ’ ἔλπεται ἤματα πάντα ὄψεσθαι φίλον υἱὸν ἀπὸ Τροίηθεν ἰόντα. αὐτὰρ ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους Τροίῃ ἐν εὐρείῃ, τῶν δ’ οὔ τινά φημι λελεῖφθαι». (v. 495—501) Εἶτα μετρῶν τοὺς τόκους φησὶ «πεντήκοντά μοι ἦσαν, ὅτ’ ἤλυθον υἷες Ἀχαιῶν. ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν, τοὺς δ’ ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες. τῶν μὲν πολλῶν θοῦρος Ἄρης ὑπὸ γούνατ’ ἔλυσεν, ὃς δέ μοι οἶος ἔην, εἴρυτο δὲ ἄστυ καὶ αὐτούς, τὸν σὺ πρῴην κτείνας ἀμυνόμενον περὶ πάτρης, Ἕκτορα». (v. 501- 4) Ὑπὲρ οὗ ἱκετεύειν εἰπών, φέρειν δὲ καὶ ἄποινα, οὐχ’ ἁπλῶς ἀλλ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπερείσια, ὃ καὶ αὐτὸς ὁ ποιητὴς ἀποφαίνεται, ἐπάγει τὴν ἀξίωσιν «ἀλλ' αἰδεῖο θεούς, Ἀχιλεῦ· αὐτόν τ' ἐλέησον μνησάμενος σοῦ πατρός, ἐγὼ δ' ἐλεεινότερός περ». (v. 505 s.) Ὃ καὶ κατασκευάζων φησὶν «ἔτλην δ' οἷ' οὔ πώ τις ἐπιχθόνιος βροτὸς ἄλλος, ἀνδρὸς παιδοφόνοιο ποτὶ στόμα χεῖρας ὀρέξαι», ἤγουν ἐκτεῖναι, ἢ «χεῖρ' ὀρέγεσθαι». Καὶ σημείωσαι ὅπως νῦν καινότερον παρέφρασε τὸ «ὑπ' ἀνθερεῶνος ἑλεῖν» διὰ τοῦ «ποτὶ στόμα χεῖρα ὀρέξαι». Φασὶ οἱ παλαιοὶ ὅτι ἐν τῷ «τηλίκου ὥσπερ ἐγὼ ἐπὶ γήραος οὐδῷ» ψεύδεται ὁ Πρίαμος ἐπίτηδες. πρεσβύτερος γάρ, φασίν, ὁ Πηλεύς. εἴγε ὁπηνίκα τῷ Ἡρακλεῖ τέλειος αἰχμητὴς συνεστράτευσεν ἐκεῖνος εἰς Ἴλιον, τηνικαῦτα ὁ Πρίαμος ἀπεδόθη, τουτέστι διεπράθη, Τρωϊκὸς μὲν ὢν βασιλικὸς νέος παῖς, Ποδάρκης δὲ καλούμενος. ἴσως δέ, εἰ καὶ ψεύδεσθαι φαίνεται ὁ γέρων, ἀλλὰ τῇ φράσει ἐκφεύγει τὸ εἰκῇ κολακικόν. ἐπὶ γήραος γὰρ οὐδῷ εἶναί τινα διπλόην ἔχει. ὅ τε γὰρ ἔτι ὠμογέρων ἐπὶ γήραός ἐστιν οὐδῷ οἷα τρόπον τινὰ τὸ γῆρας ὑπεισερχόμενος ὁποῖος ἴσως εἴη ἂν ὁ Πρίαμος, καὶ ὁ ἤδη δὲ πέμπελος ἐν οὐδῷ γέγονε γήραος, ὡς ἤδη τὸν βίον ὑπεξιών, ὁποῖον εἶναι τὸν Πηλέα εἰκός. γήραος οὖν οὐδὸν εἰπὼν ὁ Πρίαμος, ἀφίησι νοεῖν τὸν συνετὸν ἀκροατὴν ἐπί τε αὐτοῦ καὶ ἐπὶ τοῦ Πηλέως τὸ εἰκός, οἷα τοῦ οὐδοῦ ὑποκειμένου καὶ εἰς εἴσοδον καὶ εἰς ἔξοδον. (v. 487) Ἔστι δὲ τὸ «ὥσπερ ἐγώ» καὶ ἑξῆς, διασαφητικὸν τοῦ τηλίκου.

4.939 ὁμοιότητα δέ φησιν ὁ Πρίαμος ἔχειν πρὸς τὸν Πηλέα, καὶ καθότι καὶ ἐκεῖνόν που, ἤγουν τυχόν, ἴσως, οὐ γὰρ ὁμολογούμενόν ἐστιν, οἱ περίοικοι τείρουσιν, ὥσπερ ἡμᾶς οἱ Ἀχαιοί, καὶ ὅτι οὐδ' ἐκείνῳ ἐστίν, ὃς νῦν ἐκεῖσε παρὼν ἀμυνεῖται, ὥσπερ οὐδὲ ἐμοί, ᾧ μόνος ὁ Ἕκτωρ ἦν. (v. 491 s.) Εἶτα μετὰ τὴν τοιαύτην κοινωνίαν ἐπάγει διαφοράν, ὅτι ἀλλ' ὁ μὲν Πηλεὺς ἐλπίσι θάλπεται ὄψεσθαί σε νοστήσαντα, οὗ περίφρασις τὸ «ἀπὸ Τροίηθεν ἰόντα», ἐμοὶ δὲ οὔτινα τῶν ἀρίστων υἱῶν λελεῖφθαί φημι, κἂν ἄλλοι τάχα τινὲς εἴπωσι περιεῖναί μοι. (v. 488) Ὅτι δὲ περιναιέται καὶ περιναέται οἱ περίοικοι λέγονται, πρόδηλόν ἐστιν. ὁ δὲ ποιητὴς ἐνταῦθα ἡρμήνευσεν αὐτούς, ἐπαγαγὼν διὰ συγγένειαν τῆς ἀμφι καὶ τῆς περι τὸ «ἀμφὶς ἐόντες», ἐπειδὴ καὶ περιναέται καὶ περίοικοι οἱ πέριξ, ὅ ἐστιν ἀμφίς, οἰκοῦντες καὶ ναίοντες, γενικῶς δὲ εἰπεῖν, ἐόντες. (v. 495) Ὅρα δὲ καὶ ὅτι τὸ «πεντήκοντά μοι ἦσαν» ἀσαφῶς εἶπεν ἐπίτηδες, ὡς ἂν εἴη νοεῖν, εἰ βούλοιτό τις, υἱοὺς εἶναι τοὺς πεντήκοντα πρὸς ἐπίτασιν ἀθλιότητος. διὸ καὶ τὸ «υἷες Ἀχαιῶν» εὐθὺς ἔφη, ὡς ἂν τὸ «υἷες» δοκῇ μερίζεσθαι τῇ ἄγαν ἐγγύτητι καὶ πρὸς τὸ «πεντήκοντα». ὅτι δὲ οὐχ' οὕτως ἔχει τἀληθές, δηλοῖ ὁ ποιητής, ἔνθα καὶ θυγατέρων Πριάμου θαλάμους μετρεῖ. [Καὶ μὴν ἄλλως οὐδέν τι προσίσταται καὶ υἱοὺς εἶναι τῷ Πριάμῳ πεντήκοντα, καὶ θυγατέρας δὲ κατ' ἐπιθήκην τὰς προϊστορηθείσας. (v. 497) Χρήσιμον δὲ τῷ τοιούτῳ λόγῳ καὶ τὸ «τοὺς δ' ἄλλους μοι ἔτικτον γυναῖκες». εἰπὼν γὰρ «τοὺς δ' ἄλλους» διαστολὴν αὐτῶν ἐποίησεν, οὐ πρὸς θηλείας, ἀλλὰ πρὸς ἄνδρας τοὺς ἐκ μιᾶς νηδύος, οἳ ἀλλήλοις μὲν ἦσαν ὁμογάστριοι, τοῖς δὲ ἄλλοις ἀμφιμήτριοι.] Τὸ δὲ «ἔτικτον γυναῖκες», αἱ παλλακαὶ δηλαδή, αἳ τοῖς παλαιοῖς εἰς πλῆθος ἦσαν, καὶ μάλιστα τοῖς βαρβάροις, οἳ ἐκ πλειόνων ἐπαιδοποιοῦντο. πρεσβύτερον δὲ τῶν Πριαμιδῶν τὸν Πολίτην εἶναί φασι. (v. 499) Τὸ δὲ «ὃς δέ μοι οἶος ἦν» ὡς περὶ ἀριστέως λέγει τοῦ Ἕκτορος, οἷα τὸν ἀντιζυγοῦντα μὴ ἔχοντος. ἄλλως γὰρ ὡς πρὸς τὰ πεντήκοντα τέκνα, ὅπερ ἡ παρὰ τῷ Εὐριπίδῃ Ἑκάβη λέγει κοινοποιουμένη αὐτὰ τῷ ἀνδρί, οὐ μόνος ὁ Ἕκτωρ [ἁπλῶς ἦν υἱός.

4.940 Ἰστέον δὲ ὅτι, καθὰ καὶ προεγράφη, καὶ ἄλλως δὲ ἔγνωσται, ὥσπερ ὕστερον ἡ παρὰ Πέρσαις βασιλεία τοῦ πλήθους τῶν παλλακίδων, ὥς φησιν ὁ Δειπνοσοφιστής, ἠνείχετο, διότι τε ὡς δεσπότης ἦρχε, φησί, τῆς γαμετῆς ὁ βασιλεύς, καὶ διότι ἡ βασιλὶς ὑπὸ τῶν παλλακίδων ἐθρησκεύετο, οὕτω που καὶ ἐπὶ τῶν προτέρων ἐγίνετο. Πρίαμος γοῦν πολλαῖς, φασί, χρῆται γυναιξὶ καὶ ἡ Ἑκάβη οὐ δυσχεραίνει. παρὰ δὲ Ἕλλησιν οὐκ ἀνέχεται, φησίν, ἡ τοῦ Φοίνικος μήτηρ τὴν τοῦ Ἀμύντορος παλλακίδα. καὶ Μήδεια δέ, ἡ ἐκ βαρβάρων εἰς τὰ ἀμείνω καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἑλληνικὰ ἤδη ἐκδεδιητημένη, οὐ φέρει τὸν τῆς Κορινθίας Γλαύκης γάμον. καὶ Κλυταιμνήστρα δὲ διὰ Κασάνδραν τὸν ἄνδρα ἔκτεινεν, ᾧ κατὰ τὸν Θερσίτου λόγον ὡς πολυγυναίῳ πολλαὶ γυναῖκές εἰσιν ἐν κλισίῃ ἐξαίρετοι, εἰ καὶ μὴ πρὸς χρῆσιν, ὡς ὁ Ἀριστοτέλης ἔφη, ἀλλ', ὡς εἰκός, εἰς γέρας, ἐπεί, φησίν, οὐδὲ τὸν πολὺν οἶνον εἰς τὸ αὐτὸς μεθύειν παρεσκευάσατο. ἴσως οὖν, φασίν, ὁ Μενέλαος, ἵνα μὴ τὴν γαμετὴν Ἑλένην λυποίη τῇ φήμῃ, ἐφυλάττετο τὴν πρὸς ἄλλην κοινωνίαν, ὡς καὶ προδεδήλωται. ᾧ δὴ Ἀριστοτέλης ἐπέστησε θαυμάζων, εἰ πᾶσι δοὺς γυναῖκας Ὅμηρος οὐκ ἐποίησε καὶ Μενελάου παλλακίδα. καὶ ταῦτα μὲν περὶ πολυγυναίων. τὰ δὲ πρὸ τοῦ Κέκροπος ἀτεχνῶς θηριώδη καὶ ἀλόγιστα ἦσαν. ἀνέδην γάρ, φασί, τὸ πρότερον κοινογαμείων ὄντων, αὐτὸς πρῶτος Ἀθήνησι μίαν ἑνὶ ἔζευξε, διὸ καὶ διφυὴς ἐδοξάσθη, ὡς καὶ ἐν ἄλλοις ἐρρέθη, οὐκ εἰδότων τῶν προτέρων διὰ τὸ πλῆθος τὸν πατέρα, ὃ δὴ καὶ Διογένης ἔσκωψεν εἰς παῖδα πόρνης λίθους ἐν δήμῳ ῥίπτοντα εἰπών· ὅρα, νεανίσκε, μήποτε τὸν πατέρα τρώσῃς, ὃν δηλαδὴ οὐκ οἶδας.] (v. 499) Τὸ δὲ «ἄστυ καὶ αὐτούς» ἢ τὴν πόλιν καὶ τοὺς πολίτας ἀπὸ κοινοῦ καὶ νῦν συνήθως λαμβανομένους ἐκ τοῦ ἄστεος, ἢ τὴν πόλιν καὶ τοὺς υἱούς μου. (v. 500) Τὸ δὲ «ἀμυνόμενον περὶ πάτρης» σεμνύνει τὸν Ἀχιλλέα, εἴπερ μὴ ἀγεννῶς φεύγοντα κτείνει, ἀλλ' ἀνδρείως ἱστάμενον. (v. 503) Τὸ δὲ «θεοὺς αἰδέσθητι αὐτόν τ' ἐλέησον» σαφέστερον ἡρμήνευται τῶν πρὸ ὀλίγου ῥηθέντων, ἔνθα αἰδοῦς καὶ ἐλέους ἐμέμνητο. Τὸ δὲ «αἰδεῖο θεούς», ὅ ἐστιν αἰδέσθητι, ὡς εὐκτικὸν μὲν οὐκ εὐχερῶς ἂν συμβιβασθείη.

4.941 τὰ γὰρ εἰς μην περισπώμενα εὐκτικὰ οὐ τοιαύτῃ διφθόγγῳ παραλήγονται, ὡς δῆλον ἐκ τοῦ ποιοίμην ποιοῖο, χρυσοίμην χρυσοῖο, βοῴμην βοῷο, οἷς ἀναλόγως ὤφειλεν εἶναι καὶ αἰδοίμην αἰδοῖο, ἤγουν ἀλλὰ καὶ ἀπὸ τοῦ αἴδω βαρυτόνου ἐχρῆν αἰδοίμην αἴδοιο εἶναι, ὡς τυπτοίμην τύπτοιο. ἴσως οὖν ἐκ προστακτικοῦ τοῦ αἴδεο, οἷον «τάδε τ' αἴδεο καί μ' ἐλέησον» γέγονε τὸ αἰδεῖο ἐπενθέσει τοῦ ι , καὶ ἅμα καταβιβασμῷ τοῦ τόνου πρός τινα ἔμφασιν εὐκτικοῦ. ἄλλως γὰρ οὐκ ἦν ἀνάλογος οὐδὲ ἡ τοῦ «αἴδειο» προπαροξυτόνησις. (v. 504) Τὸ δὲ «μνησάμενος σοῦ πατρός» πρὸς ἀναφορὰν εἴρηται τοῦ δοκεῖν τὸν Πηλέα ἐλεεῖσθαι διὰ τοῦ ὁμοιοπαθοῦς Πριάμου. ὅτι δὲ καὶ ἐλεεινότερος οὗτος ἐκείνου, προκατεσκεύασε τῇ τε ὁμοιότητι τοῦ καὶ ἐκεῖνον τείρεσθαι ὑπὸ τῶν πέριξ, καὶ τῇ διαφορᾷ τοῦ ἐκεῖνον μὲν εὔελπιν εἶναι, τούτῳ δὲ μὴ περιλελεῖφθαι τὸν ἀμυνούμενον. ἐν οἷς ὅρα καὶ ὅτι τῷ πένθει νικώμενος ὁ γέρων οὐκ αἰδεῖται προφαίνων τὸ ἀληθές, ὡς ἐπιλελοίπασι τοῖς Τρωσὶν οἱ ἀριστεῖς. (v. 505) Τὸ δὲ «οὔπω» ἀποφαντικῶς ὁ ποιητὴς ἔφη διὰ τοῦ Πριάμου πρός τινα παράπηξιν καινότητος, ὡς μὴ ἱστορουμένου ἑτέρου τοιούτου συμβάματος. Ὅτι τοῖς λόγοις τοῦ Πριάμου οἶκτόν τε ὁ Ἀχιλλεὺς παθὼν καὶ ἐπὶ τῷ πατρὶ δὲ Πηλεῖ παθηνάμενος ἀπάγει μὲν ἐκ τοῦ στόματος τὴν χεῖρα τοῦ γέροντος, κινεῖται δὲ εἰς κλαυθμόν. (v. 507 s.) Φησὶ γὰρ «τῷ δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὦρσε γόοιο, ἁψάμενος δ' ἄρα χειρὸς ἀπώσατο ἦκα γέροντα». Καὶ ὅρα οἵα ἡ τοῦ γέροντος λαλιά, δυνηθεῖσα καὶ αἰδοῖον τῷ Ἀχιλλεῖ καὶ ἐλεεινὸν αὐτὸν θέσθαι, καὶ δάκρυον δὲ κινήσασα τῷ ἥρωϊ, φιλοῦντι οὕτω πάσχειν ἑτοίμως, ἐφ' οἷς χρή, ὡς προδέδεικται. καλῶς δὲ κεῖται τὸ «ἀπώσατο ἦκα». εἰ γὰρ δριμέως τοῦτο γέγονεν, ἐξέθανεν ἂν τῷ δέει ὁ γέρων. (v. 509—12) Ὅτι ἐν τῷ «τὼ δὲ μνησαμένω», ἤγουν οἱ δὲ ἀναμνησθέντες, «ὃ μὲν Ἕκτορος ἔκλαιεν ἁδινά, αὐτὰρ Ἀχιλλεὺς ἔκλαιεν ἑὸν πατέρα, ἄλλοτε δὲ Πάτροκλον» καινῶς διὰ σαφήνειαν ἐσχημάτισεν ὁ ποιητής. ἠδύνατο γὰρ ἄλλως τὸ ὅλον στρυφνῶς οὕτω φράσαι· μνησαμένω ὁ μὲν Ἕκτορος, Ἀχιλλεὺς δὲ πατρός, ἔκλαιον, ὃ δὴ καιρία λέξις ὂν δὶς ἐνταῦθα κεῖται.

4.942 (v. 510) Οἰκτρὸς δὲ νῦν ὁ τοῦ γέροντος κλαυθμός, εἰ καὶ «ἀδινὰ κλαίει» καὶ «προπάροιθε ποδῶν Ἀχιλῆος ἐλυσθείς», ὅ ἐστι συστραφείς, καὶ τὸ μέγας εἶναι μεταβαλὼν οὕτω εἰς τὸ μικρὸς φαίνεσθαι καὶ οἷον δοκεῖν κεκρύφθαι. πρωτότυπον γὰρ τοῦ εἰλύειν καὶ ἐπειλύειν τὸ ἐλύειν, οὗ μετοχὴ ὁ ἐλυσθείς. (v. 513 s.) Ὅτι ἐν τῷ «γόοιο τετάρπετο Ἀχιλλεὺς καί οἱ ἀπὸ πραπίδων», ὅ ἐστι φρενῶν, «ἦλθεν ἵμερος ἠδ' ἀπὸ γύιων» ταὐτόν ἐστι τῷ διὰ μιᾶς λέξεως εἰπεῖν τερφθῆναι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ αὖ περιφραστικῶς, ἀπελθεῖν φρενῶν καὶ γύιων τὸν ἵμερον, τὸν τοῦ γόου δηλαδή. τοῦτο δὲ καὶ τὸ κορεσθῆναι γόου δηλοῖ τὸν ἥρωα. παρελκόντως δὲ κεῖται τὸ «ἠδ᾽ ἀπὸ γύιων». ἤρκει γὰρ καὶ μόνον τὸ «ἠδ᾽ ἀπὸ φρενῶν». πρόσκειται δὲ ὅμως ἐκ περισσοῦ καὶ αὐτὸ διὰ τὸ τοῖς πενθικῶς κυλιομένοις τάς τε χεῖρας τούς τε πόδας σφαδάζειν, ἕως ἂν κατάπονοι γένωνται καὶ οὕτως ἀπέλθοι ὅλων αὐτῶν ὁ ἵμερος τοῦ τε κλαυθμοῦ τοῦ τε σπασμοῦ. (v. 515 s.) Ὅτι κορεσθεὶς γόου Ἀχιλλεὺς «αὐτίκ᾽ ἀπὸ θρόνου ὦρτο. γέροντα δὲ χειρὸς ἀνίστη, οἰκτείρων πολιόν τε κάρη πολιόν τε γένειον». καὶ ἰδοὺ ὡς ἱκέτευσεν, ἐλεεῖται τῇ πρὸς τὸν Πηλέα ὁ γέρων Πρίαμος ἀναφορᾷ. οἷα δὲ καὶ ἐρεῖ ὁ Ἀχιλλεύς, εὐθὺς δηλωθήσεται. Σημείωσαι δὲ τὸ «οἰκτείρων πολιόν τε κάρη πολιόν τε γένειον», δι᾽ οὗ δηλοῦται μὴ μόνον αἰδεσιμώτερον τὸ γῆρας νεότητος εἶναι, ἀλλὰ καὶ οἴκτου ἐπὶ πλέον ἄξιον. (v. 518—21) Ὅτι οἱ πρὸς Πρίαμον λόγοι τοῦ Πηλείδου τοιοῦτοι «ἆ δεῖλ᾽, ἦ δή», τουτέστιν ὦ δειλέ, ὄντως δή, «πολλὰ κάκ᾽ ἄνσχεο σὸν κατὰ θυμόν. πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος ἀνδρὸς ἐς ὀφθαλμούς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς υἱοὺς ἐξενάριξα; σιδήρειον νύ τοι ἦτορ». ἃ δὴ καὶ ἡ γραῦς Ἑκάβη πρὸ τούτων ἔφη πρὸς Πρίαμον κατ᾽ Ἀχιλλέως. ἐξ οὗ καὶ νῦν δηλοῖ Ὅμηρος δυνατὸν εἶναι τὰ αὐτὰ νοήματα εἰς διαφόρους ἔρχεσθαι αὐτοφυῶς. (v. 520 s.) Δάκοι δὲ ἂν τὸν γέροντα, εἴπερ αὐτὸς μὲν παιδοφόνον, ὡς εἰκός, τὸν Ἀχιλλέα ἔφη διὰ τὸν τοῦ παιδὸς Ἕκτορος φόνον, ὁ δὲ ὡς οἷον εὐτελίζων ἐκεῖνον οὐ μόνον πολλοὺς ἀλλὰ καὶ ἐσθλοὺς Πριαμίδας ἐναρίξαι λέγει. (v. 522—6) Εἶτα παραμυθούμενος ὁ ἥρως τὸν γέροντά φησιν «ἀλλ᾽ ἄγε δὴ κατά ῥ᾽ ἕζευ ἐπὶ θρόνου, ἄλγεα δ᾽ ἔμπης ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν ἀχνύμενοί περ· οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.

4.943 ὣς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι ζώειν ἀχνυμένους· αὐτοὶ δέ τ᾽ ἀκηδέες εἰσίν». (v. 527—32) Ἐπὶ τούτοις δὲ φιλοτιμούμενος ὁ ποιητὴς τὸν αὐτῷ φιλούμενον Ἀχιλλέα καὶ λόγιον δεῖξαι οἷα καὶ ἀγαθοῖς διδασκάλοις φοιτήσαντα, τῷ τε Χείρωνι τῷ τε πατρὶ τῷ τε Φοίνικι, πλάττει αὐτὸν καὶ περὶ τῆς κατὰ Δία εἱμαρμένης λογοποιοῦντά τι καινότερον, ἢ αὐτὸν πλασάμενον εὐφυῶς, ἢ καὶ παραλαβόντα ἐκ διδασκαλικῆς παραδόσεως, καὶ λέγοντα οὕτω «δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει δώρων, οἷα δίδωσι, κακῶν, ἕτερος δὲ ἑάων», ἤτοι ἀγαθῶν «ᾧ μὲν καμμίξας δῴη Ζεὺς τερπικέραυνος, ἄλλοτε μέν τε κακῷ ὅ γε, ἤγουν ὁ τοιοῦτος, «κύρεται, ἄλλοτε δ᾽ ἐσθλῷ· ᾧ δέ κε τῶν λυγρῶν δῴη, λωβητὸν ἔθηκε, καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει, φοιτᾷ δ᾽ οὔτε θεοῖσι τετιμένος, οὔτε βροτοῖσι». Καὶ οὕτω καθόλου καὶ οἷον γνωμικῶς εἰπὼν ὁ Ἀχιλλεύς, (v. 534—7) εἶτα μερικεύει τὸν λόγον, κατάγων συνήθως εἰς τὸ ὑποκείμενον, πίστιν τεχνικῶς τῷ λόγῳ πορίζων τῷ περὶ τοῦ κράματος τῶν πίθων ἐκ τῶν, ὅ φασι, παρὰ πόδας, ἤγουν ἀπὸ τῆς κατὰ τὸν Πηλέα καὶ τὸν Πρίαμον ὁμοιότητος, καί φησιν «ὣς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα ἐκ γενετῆς· πάντας γὰρ ἐπ᾽ ἀνθρώπους ἐκέκαστο ὄλβῳ τε πλούτῳ τε, ἄνασσε δὲ Μυρμιδόνεσσι, καί οἱ θνητῷ ἐόντι θεὰν ποίησαν ἄκοιτιν». (v. 538—42) Καὶ στήσας ἐνταῦθα τὰ τοῦ Πηλέως ἐσθλά, ἐπάγει καὶ τὰ ἐκ τοῦ ἑτέρου πίθου λυγρά, εἰπὼν «ἀλλ᾽ ἐπὶ καὶ τῷ», ἤγουν καὶ ἐπ᾽ αὐτῷ, «θῆκε θεὸς κακόν, ὅττι οἱ οὔ τι παίδων ἐν μεγάροισι γονὴ γένετο κρειόντων, ἀλλ᾽ ἕνα παῖδα τέκεν παναώριον· οὐδέ νυ τόν γε γηράσκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρης ἧμαι ἐνὶ Τροίῃ, σέ τε κήδων ἠδὲ σὰ τέκνα». (v. 543—6) Εἶτα ἐν ὀλιγίστῳ λαλῶν καὶ τὸ δοθὲν μίγμα τῷ Πριάμῳ ἐκ τῶν παρὰ τῷ Διῒ δύο πίθων, δι᾽ ὧν ἡ κατ᾽ ἀνθρώπους εὐδαιμονία αἰνιγματωδῶς δηλοῦται, οὐ παντελῶς εἶναι κακῶν ἀμιγὲς λέγει «καὶ σέ, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι.

4.944 ὅσσον Λέσβος ἄνω Μάκαρος ἕδος ἐντὸς ἐέργει καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήσποντος ἀπείρων. τῶν», ἤγουν ἐφ᾽ ὧν ἢ ὧν πάντων πλέον, ἢ καὶ ἄλλως δίχα τοῦ ν «τῷ», ἀντὶ τοῦ διό, «σὲ γέρον πλούτῳ τε καὶ υἱάσι φασὶ κεκάσθαι». καὶ ταῦτα μὲν καὶ τὰ τοῦ γέροντος ἐσθλά. (v. 547 s.) Τὰ δὲ μὴ ἐσθλὰ φράζει οὕτως «αὐτὰρ ἐπεί τοι πῆμα τόδ᾽ ἤγαγε θεός, αἰεί τοι περὶ ἄστυ μάχαι τ᾽ ἀνδροκτασίαι τε». (v. 549—51) Ἐφ᾽ οἷς περατῶν τὸν λόγον εἰς παραμυθίαν φησὶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀσυνδέτως «ἄνσχεο, μήδ’ ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν· οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἑῆος», ὃ πολλαχοῦ κεῖται, «οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθῃσθα». Καὶ ταῦτα μὲν ὁ καὶ ἀνδρεῖος καὶ λόγιος ἑταῖρος φίλος τοῦ ποιητοῦ. πολύχρηστον δὲ τὸ ῥηθὲν χωρίον, καὶ μάλιστα ἐν λόγοις παραμυθητικοῖς, ὡς ἔστιν ἀναλέγεσθαι τῷ βουλομένῳ. (v. 518) Ἐν δὲ τῷ «ἆ δειλέ» κλητικὸν συνήθως ἐπίρρημα τὸ ἆ, οὐ μόνον ποιητικώτερον τοῦ ὦ, ἀλλὰ καὶ θυμουμένοις καὶ ἐκπληττομένοις καὶ ἀπειλοῦσι σύνηθες, καθὰ καὶ προηρμήνευται. (v. 523) Τὸ δὲ [θυμῷ οἷα καί τινι πίθῳ] κατακεῖσθαι τὰ ἄλγη, ὅμοιόν ἐστι τῷ πέττεσθαι, ἢ καὶ οἷον κειμήλια εἶναι ἀνέκφορα. [Ἀλλὰ τοῦτο μὲν ἐπὶ ἄλγους. ὅτε μέντοι χόλος θυμῷ κατάκειται πεφθείς, κότος τότε ἀποτελεῖται.] (v. 524) Τὸ δὲ «οὐ γάρ τις πρῆξις πέλεται», ἤγουν πέλει, «γόοιο» ἀντὶ τοῦ οὐδέν τι πράσσει τις θρηνῶν, ἀλλὰ μᾶλλον πάσχει. διὸ καὶ ὑποκαταβάς φησιν «οὐ γάρ τι πρήξεις ἀκαχήμενος ἐπὶ τῷ υἱῷ, οὗ διασαφητικὸν εὐθὺς ἐπαχθὲν τὸ «οὐδέ μιν ἀνστήσεις». (v. 525) Τὸ δὲ «δειλοῖσι βροτοῖσι» παραμυθητικόν ἐστι τοῦ γέροντος, ὡς μὴ περιϋβρισμένου ἐν τῷ «ἆ δειλέ», ἀλλὰ προσφωνηθέντος κατὰ κοινὸν ἐπίθετον.

4.945 δειλοὶ γὰρ πάντες ἄνθρωποι, ὅ ἐστι δείλαιοι. τοῦ δὲ τοιούτου δειλοῦ σύνθεσιν ἔχει καὶ ἡ παρὰ τῷ Κωμικῷ δειλάκρα, ὅ ἐστιν ἄκρως δειλαία, παιχθεῖσα πρός τινα ὁμοιότητα τοῦ φαλάκρα. (v. 525 s.) Πρὸς δὲ τὸ τοῖς βροτοῖς τοὺς θεοὺς ἐπικλώθειν τὸ ἄχνυσθαι, αὐτοὺς ἀκηδέας ὄντας, Ἐπίκουρος ἐναντιούμενός φησιν ὅτι τὸ ἀθάνατον καὶ ἄφθαρτον οὔτ’ αὐτὸ πράγματα ἔχει οὔτ’ ἄλλοις παρέχει. διὸ οὔτε ὀργαῖς οὔτε λύπαις συνέχεται. καὶ Πλάτων δὲ ἐν Πολιτείαις φησίν, ὡς ὁ θεὸς ἀγαθός, οὐδὲν δὲ ἀγαθὸν βλαβερόν, ὃ δὲ μὴ βλαβερόν, οὐδὲ βλάπτει. καὶ οἱ μὲν φιλόσοφοι ταῦτα. ὁ δὲ ποιητὴς ἀνθρωποπαθεῖς τοὺς θεοὺς εἰσάγων δίδωσιν, ὡς μυριαχοῦ δηλοῦται, χώραν πάθεσι περὶ αὐτούς, ὁπόσα καὶ ἄνθρωποι πάθοιεν ἄν. ἐν οἷς καὶ τὸ μὴ ἐθέλειν τοὺς ὑπερέχοντας ἶσα τοῖς ταπεινοτέροις φέρεσθαι, ἀλλὰ κολούειν αὐτούς, [εἴτε ἀγαιομένους καί, ὡς ἂν Ἡρόδοτος εἴπῃ, φθονοῦντας, εἴτε καὶ ἑτέρως ὁπωσοῦν.] Οὐκοῦν ἐπεὶ θεῖον τὸ μετὰ ῥᾳστώνης ἔμφρονος ζῆν, ὅ φησιν ἡ ποίησις «θεοὶ ῥεῖα ζώοντες», οὐκ ἂν οὕτω βιῷεν καὶ οἱ θνητοί; ἀνθρώπῳ γὰρ ἀγαπητόν, εἰ μὴ ἀκράτου τοῦ τῶν κακῶν ἀπαντλεῖται αὐτῷ πίθου. ἔχει δ’ ἀναμεμιγμένα καὶ ἀγαθὰ τοῖς κακοῖς, κατὰ τὸ «ἀλλὰ σοὶ μὲν παρὰ καὶ κακῷ καλὸν ἔθηκε δαίμων». διὸ καὶ ὁ ἐν Ὀδυσσείᾳ Δημόδοκος, τῇ Μούσῃ πεφιλημένος, οὕτω τὸν βίον κέκραται. φησὶ γὰρ «ὃν περὶ Μοῦσ’ ἐφίλησε». καὶ τί ἐστι τὸ ἐφίλησε περισσῶς;

4.946 «ἐδίδου», φησίν, «ἀγαθόν τε κακόν τε». ποῖα ταῦτα; «ὀφθαλμῶν μὲν ἄμερσεν, ἐδίδου δὲ ἡδεῖαν ἀοιδήν». καὶ οὕτω μὲν οἱ Ὁμηρικοὶ πίθοι, ὁ τῶν ἐσθλῶν καὶ ὁ τῶν κακῶν, κιρνῶσι τὴν ἐν ἀνθρώποις εὐδαιμονίαν, μίγμα οὖσαν καὶ συγκύρημα ἄλλοτε μὲν κακῶν, ἄλλοτε δὲ ἐσθλῶν. ὡς τό γε κατὰ μόνας ἐξ ἑνὸς πίθου δῶρον ἐκ μὲν τοῦ τῶν ἐσθλῶν πίθου ἀνθρώπῳ οὐκ ἄν, ἐκ δὲ τοῦ τῶν λυγρῶν γένοιτ’ ἄν. καὶ τοίνυν πανάθλιος ἐκεῖνος, πάσχων ὅσα ἐν στενῷ εἶπεν ὁ ποιητής. [Εἰ δὲ ταῦθ’ οὕτω δοκεῖ περὶ τοῦ κατὰ βίον μίγματος τῶν τε ἐσθλῶν τῶν τε λυγρῶν, μάταιος ἄρα Θεόμανδρος ὁ Κυρηναῖος, ὅς, φασί, περιϊὼν ἐπηγγέλλετο διδάξειν τὴν διὰ βίου εὐτυχίαν. εἰ δὲ αὐτὸς μάταιος, οἷός τις ἄρα Πτολεμαῖος ὁ δεύτερος, Αἰγύπτου βασιλεύς, ὅς, φασίν, ἀγαθὸς τὰ ἄλλα ὤν, ὅμως οὕτως ὑπὸ τρυφῆς διεφθάρη, ὡς τὸν πάντα χρόνον ὑπολαβεῖν βιώσεσθαι, καὶ λέγειν ὡς μόνος εὕροι τὴν ἀθανασίαν. εἴη δ’ ἂν κατ’ αὐτὸν γελοῖος καὶ ἰατρὸς ἐκεῖνος, ὃς ὑγιεινὴν παραδιδοὺς δίαιταν ηὔχησε δι’ αὐτῆς ἀπαθανατίσαι, ἢ κατά τινας ἀπαθανατῶσαι, ἄνθρωπον.] Ἡσίοδος μέντοι ἕνα πίθον κεραμεύων κατὰ ἄλλην ἔννοιαν κακῶν αὐτὸν γέμοντα ποιεῖ πάλαι ποτέ, ὃς ἀνοιγεὶς ἐσκέδασε κατὰ γῆν ἅπασαν τὰ κακά, οὐ δίκην σώματος ἐξαντλεῖσθαι πεφυκότος αὐτῷ ἐγκείμενα καὶ ἐξαντλούμενα, ὃ δὴ τοῖς Ὁμηρικοῖς ἐμφαίνεται, ἀλλ’ ἔμψυχα ὄντα ὡς οἷον δαιμόνια, καὶ ἐγκεκλεισμένα, καθά ποτε Ἄρης ἦν ἐν χαλκέῳ κεράμῳ, ὕστερον δὲ πτερυξάμενα καὶ τὸν πίθον κενώσαντα, ὅπερ οἱ Ὁμηρικοὶ πίθοι οὐκ ἂν πάθοιεν. τοῦ δὲ τοιούτου τῶν κακῶν πίθου εἴη ἂν καὶ ἡ Πιθοιγία, οὐχ’

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑορτάσιμος κατὰ τὴν παρ’ Ἡσιόδῳ, ἐν ᾗ ἀρχομένου πίθου ἐχρῆν κορέννυσθαι, ἀλλ’ εἰς τὸ πᾶν ἀποφράς.

4.947 Ἰστέον δὲ ὅτι ἐν τῷ περὶ τῶν εἰρημένων δύο πίθων λόγῳ, ἔνθα οἱ πλείους εἱμαρμένην ὑπονοοῦσι καὶ τὰ ἐξ αὐτῆς δοκοῦντα συγκυρεῖν ἀνθρώποις, δύναταί τις καὶ ἄλλως Δία μὲν ἐκλαβέσθαι εἰς νοῦν, ὃς ἀμφοτεροδύναμός ἐστιν, ἀγαθά τε δυνάμενος καὶ κακά, ὃ καὶ ὁ τῶν πλαστίγγων λόγος αἰνίττεταί πως, ἃς ὁ Ζεὺς ἐν τοῖς πρὸ τούτων μετεχειρίζετο, ἵνα μὴ μόνον κατὰ τὴν παροιμίαν λέγηται ὡς πολύποδος κεφαλή, ἔνι μὲν καλόν, ἔνι δὲ καὶ ἐσθλόν, ἀλλὰ καὶ ὅτι νοῦς ἀνθρώπινος, ὁ κατὰ βίον καὶ πράξεις πολιτικάς, γέμει μὲν καλῶν φύσει, γέμει δ’ ἄλλως κακῶν, ὅτε μὴ τὰ ἐπαινετὰ βούλοιτο. εἰ δὴ αἱ τοιαῦται δυνάμεις ὡς εἰς πίθους δύο πλασθεῖεν γέμοντας τὸν μὲν ἀγαθῶν, τὸν δὲ μὴ τοιούτων, εὐοδοῦται τὸ νόημα εἰς τὸ εἶναι τὰ μὲν ἐξ ἀκράτου τοῦ τῶν ἀγαθῶν πίθου ἄκρας μακαριότητος, τὰ δ’ ἐκ μόνου τοῦ τῶν κακῶν ἀθλιότητος ψυχικῆς, τὰ δὲ ἐξ ἀμφοῖν καταστάσεως πολιτικῆς, μέσως ἐχούσης κατὰ τὸ ἐγχωροῦν ἀνθρώπῳ ἐν τῷ κεράννυσθαι οὕτω καὶ οὕτω κατά γε τὸ ἐν πράγμασιν ἐνδεχόμενον. καὶ τοῦτο μὲν τοιοῦτον. οἱ δὲ Ὁμηρικοὶ πίθοι πρὸς ὁμοιότητά τινα σφαιρώσεως ἐπλάσθησαν, ἥτις τὰ ἄνω σεμνύνει. ἔνθα καὶ αὐτοὶ κατακεῖσθαι λέγονται, Διὸς λόγῳ, ἤγουν εἱμαρμένης. ἦν δὲ καὶ ἄλλως σεμνότερον πίθοις ἐνταμιεύσασθαι τὰ ῥηθέντα θεῖα δῶρα ἤπερ εἰπεῖν κατὰ ἐδάφους κεχῦσθαι ἢ κιβωτίοις ἐγκεκλεῖσθαι εἴτε σιροῖς. εὐεπίφορος δὲ ὁ μῦθος εἰς πιθοπλαστίαν, ὃς καὶ χάλκεον κέραμον, ὅ ἐστι πίθον, εἰς δεσμὸν τεχνάζεται Ἄρεος καὶ Δαναΐδων πίθον ἐκτίθεται. τολμᾷ δὲ ἀσφαλῶς καὶ ἡ παροιμία φρενῶν πίθον εἰπεῖν [ἐκ τοῦ κατὰ τὸν Διογένην πίθου ἀπαντληθεῖσα, οὗπερ ἐνοικοῦντος πίθῳ διὰ τὸ κατὰ βίον ἀπέριττον ὁ μέν τις «ὦ πίθε, μεστὲ φρενῶν» εἶπεν, ἕτερος δέ τις, ἐκφαυλίζων τὸ ῥηθέν, ἔφη «θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον».

4.948 ὅτι δὲ πίθος αἰνίξεταί ποτε παροιμιακῶς καὶ ψυχήν, δηλοῖ ὁ γράψας ἔν τινι σκωπτικῷ λόγῳ τὸ «ταῦτά σοι γεῦμα τοῦ πλήρους πίθου», ἤγουν βραχέα νοήματα, ἐξ ὧν πολλῶν ἐν τῇ ψυχῇ ἔχω. ἀνάπαλιν δέ ποτε καὶ ψυχὴν ὁ πίθος αἰνίττεται, καθὰ καὶ ὁ ἀσκός, ὡς ἐν τοῖς εἰς τὴν Ὀδύσσειαν δεδήλωται. ἡ γοῦν Ἡσιόδειος πιθοιγία εἰς τοιοῦτόν τι κατὰ τοὺς παλαιοὺς ἐκλαμβάνεται, παραγγέλλουσα συμβολικῶς νέον μέν τινα ὄντα ἢ γηραιὸν ἀνίεσθαι ἀναγκαίως, ἀκμάζοντα δὲ μὴ οὕτως ἔχειν, ἀλλ’ ἐν σπουδῇ γινόμενον φείδεσθαι χρόνου τοῦ πολυτελεστάτου δαπανήματος. καὶ τοιόνδε μὲν καὶ τοῦτο.] Ἡ δὲ Ὁμηρικὴ φράσις τὸ «οἱ δὲ πίθοι, κακῶν, ἕτερος δὲ ἀγαθῶν», ἀμφίβολον ἔννοιαν ἀπετέλεσε, πίθους τρεῖς νοησάντων τινῶν, δύο μὲν κακῶν, ἕνα δὲ ἀγαθῶν. Πίνδαρος οὖν οὕτω νοεῖ ἔν τε ἄλλοις, καὶ ἐν οἷς λέγει «ἓν παρ’ ἐσλόν», ὅ ἐστιν ἐσθλόν, «πήματα σύνδυο δαίονται βροτοῖς ἀθάνατοι». λέγει δὲ ἐκεῖνος ἓν μὲν ἐσθλὸν τὸ ἐκ τοῦ ἑνὸς πίθου, σύνδυο δὲ τὰ ἐκ τῶν ἑτέρων δύο πίθων. καὶ μὴν τὸ «ἕτερος» οὐκ ἐπὶ τριῶν ἢ πλειόνων παρ’ Ὁμήρῳ κεῖται ἀλλ’ ἐπὶ μόνων δύο, καὶ μερίζον παριστᾷ τὸ ἕτερον αὐτῶν. ἔπταισται οὖν ἡ Ὁμηρικὴ φράσις ὡς ἀσαφής. καὶ θεραπεύεται ὡς σχῆμα ἐλλείψεως, ἵνα ᾖ· κακῶν ὁ εἷς, ἕτερος δὲ ἀγαθῶν. (v. 528) Περὶ δὲ τοῦ «ἑάων» δηλοῦται μὲν καὶ ἐν τῷ «θεοὶ δωτῆρες ἑάων», ἤγουν ἀγαθοδόται. οὐ περιττὸν δὲ καὶ νῦν εἰπεῖν, ὡς ἔοικε γένους οὐδετέρου ἡ λέξις εἶναι ὡς ἀπὸ τοῦ ἑόν, τὸ ἴδιον.

4.949 ἰδιοποιεῖται γάρ τις τὸ ἀγαθόν. ἔχει δὲ πλεονασμὸν τοῦ α , οὐ συνήθη μέν, ὅμοιον δὲ τῷ «βλεφάρων ἀπὸ κυανεάων», ὅπερ ἐν τῇ τοῦ Ἡσιόδου Ἀσπίδι κατ’ ἀρχὰς κεῖται. [(v. 528) Τὸ δὲ «δώρων», καὶ «δίδωσι», καὶ «δῴη», τὸ δὶς λεχθέν, καὶ τὸ «δόσαν», σχῆμα ἐπιμονῆς ποιεῖ.] (v. 530) Τὸ δὲ «κύρεται» δηλοῖ μὲν τὸ ἐντυγχάνει, ἐξ αὐτοῦ δὲ γίνεται καὶ τὸ συνέκυρσε καὶ ἡ συγκυρία. λέγεται δὲ καὶ περισπωμένως κυρεῖν, ἐξ οὗ τὸ ἐκύρησεν, ὡς τὸ «συντυχία κρείσσων ἐκύρησε». (v. 531—3) Λωβητός δὲ καὶ νῦν ὁ ἐφύβριστος καὶ ἄτιμος, οὗ ἑρμηνεία τὸ «οὔτε θεοῖς τετιμένος οὔτε βροτοῖς». [Δῆλον δ’ ὅτι πολλοὶ τῶν ἀνθρώπων θεῷ τιμώμενοι, ὡς θεοφιλεῖς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνθρώποις ἀπότροποί εἰσιν, ἄλλοι δ᾽ αὖ ἀνθρώποις προσεχόμενοι ἀποθύμιοι τῷ κρείττονι διεκπίπτουσι.] (v. 531) Τὸ δὲ «ἔθηκε» κοινῶς ῥηθέν, κατωτέρω «θῆκεν» Ἰωνικῶς φησιν, οἷα πολλὴν ἔχων ἄδειαν ἐγχορεύειν, αἷς ἂν διαλέκτοις βούλοιτο. (v. 532) Βούβρωστις δὲ κυρίως μὲν κατὰ τὸ τῆς λέξεως ἔτυμον ὁ μέγας λιμός, ἡ μεγάλη πεῖνα, καὶ ὡς εἰπεῖν, βούπεινα, ἡ πολλὴ τῆς βρώσεως ἔφεσις. δηλοῖ καὶ ἁπλῶς τὴν μεγάλην ἀνίαν, ὑφ᾽ ἧς ἄσιτοι πολλοὶ γίνονται, ἢ τὴν σύντονον ὀδύνην κατὰ τοὺς παλαιούς, ὡς ἀναλωτικήν. ὑπὸ γὰρ λύπης ἑαυτοὺς ἐσθίομεν κατὰ τὸ «ὃν θυμὸν κατέδων». εἰ δὲ καὶ ὁ βούλιμος καὶ τὸ βουλιμιᾶν παρέοικε τοῖς ῥηθεῖσι, δηλοῖ ὅμως ὁ Χαιρονεὺς σοφὸς τὴν αὐτοῦ πρὸς ταῦτα διαφορὰν ἐν τοῖς αὐτοῦ Συμποσιακοῖς.

4.950 οἱ δὲ βούβρωστίν φασι δαίμονα Ἰώνων, παρ᾽ ᾗ κατηρῶντο τοῖς πολεμίοις, ἧς ἱερόν, φασίν, ἐν Σμύρνῃ. [Χθὼν δὲ δῖα, καθὰ καὶ θάλασσα, διὰ τὸ ἔντιμον. ἐκείνη δὲ καὶ παρὰ τὸ δέος κατὰ τοὺς παλαιούς, ὁμοίως τῷ «δῖα Χάρυβδις».] (v. 533) Τὸ δὲ τετιμένος» ἢ ἐκ τοῦ τετιμημένος συγκέκοπται, ἢ ἐκ τοῦ τίω, τὸ τιμῶ, κεκανόνισται. [Τοῦτο δὲ ἀνομοίως πάντως ἔχει πρὸς τὸ τετιημένος, ἐκεῖνο γὰρ οὐκ εὔκλειαν ἀλλὰ τιμωρίαν δηλοῖ, ὡς πολλαχοῦ φαίνεται.] Τὸ δὲ «θεοῖσι τετιμημένος» θεόσδοτα παρ᾽ ἀνθρώποις βούλεται εἶναι καὶ τὰ κατὰ βίον ἐπίσημα καλά, οἷον τὸ ἐκ γενετῆς ἐπὶ πάντας κεκοσμῆσθαι ὄλβῳ καὶ πλούτῳ, τὸ ἀνάσσειν, τὸ ἀγαθοῦ τυχεῖν, τὸ εὐτυχῆσαι εἰς πολλὰ τέκνα, ὑφ᾽ ὧν γηράσκων κομισθήσεται. (v. 536) Ὄλβος δὲ κατὰ μέν τινας ἡ εὐδαιμονία ἢ ἡ φρόνησις, ὅθεν κατωτέρω μὲν ὄλβιος Πρίαμος, ἄνολβος δὲ παρὰ Σοφοκλεῖ ὁ ἀπαίδευτος ἐν τῷ «ἄνολβον ἄνδρα ἐνουθέτει παρών». [Ἴσως δὲ καὶ ταὐτὸν ὄλβος καὶ πλοῦτος. διὸ εἰπὼν ἀνωτέρω «ὄλβῳ τε πλούτῳ τε» ὑποκαταβὰς πλούτῳ τε καὶ υἱάσι φησίν, ὡς τῷ πλούτῳ διὰ τὸ ταὐτοδύναμον συννοουμένου καὶ τοῦ ὄλβου.] ἕτεροι δὲ ὄλβον φασὶ τὴν τῶν ἀγρῶν κτῆσιν παρὰ τὰς ὀλάς, ὅ ἐστι κριθάς, ἵνα ᾖ ὄλβος, ὡς καὶ ἀλλαχοῦ που ἐγράφη, ὁ περὶ ὀλὰς βίος, τουτέστιν ἐκ μέρους, ὁ ἐκ γεωργίας. (v. 537) Τὸ δὲ «θεὰν ποίησαν ἄκοιτιν», ὅ ἐστιν ἔθεντο—οὐ γάρ ἐστιν ἑρμηνεῦσαι καιριώτερον—τὸ ἐξαίρετόν ἐστι τῆς τοῦ Πηλέως εὐδαιμονίας, καθὸ ὑπερέσχε Πριάμου. ἄλλως γὰρ μείζων Πηλέως ὁ Πρίαμος, εἴπερ ὁ μὲν Μυρμιδόνεσσιν ἀνάσσει, Πρίαμος δὲ εὐρυκρείων φαίνεται, ἀφ᾽ ὧν αὐτὸς εἶπεν ἐνταῦθα ὁ Ἀχιλλεύς, καὶ Πηλεῖ μὲν κακόν, ὅτι μὴ πολλοὺς ἔσχε παῖδας, Πριάμῳ δὲ τοσοῦτοι ἐγένοντο. εἰ δὲ καὶ ἡ Θέτις ἑπτὰ παῖδας ἔτεκε τῷ Πηλεῖ, οὓς ἐσπόδησε κατὰ τὸν Λυκόφρονα φέψαλος, ἀλλ᾽ ἐκείνους οὐδὲ εἶδε τάχα που ἥλιος.

4.951 εἰ δὲ καὶ κατὰ τὸν μῦθον ἀφῆκε τὸν Πηλέα ἡ Θέτις ἀχθομένη συνοικεῖν θνητῷ, ἢ κατὰ τὸν Κωμικόν, «ὅτιπερ οὐκ ἦν ἡδὺς ἐν τοῖς στρώμασι τὴν νύκτα παννυχίζειν», ἄλλο τοῦτο λυγρὸν τῷ Πηλεῖ. Ἰστέον δὲ ὅτι τὸ «θεὰν ποίησαν ἄκοιτιν», ὅ ἐστιν ἔθεντο, καθὰ εἴρηται, δηλοῖ μὴ φύσει δοθῆναι τοιαύτην γυναῖκα τῷ Πηλεῖ ὡς οἷα θείῳ, ἀλλὰ θέσει, ἤγουν θετήν, καὶ οἷον εἰπεῖν ποιητήν, ἤγουν εἰσποίητον. διὸ οὐδὲ παραμεμένηκεν αὐτῷ μέχρι γήρως, ἀλλ᾽ ἔπαθεν ὁ Πηλεὺς ἐπ᾽ αὐτῇ, ὅπερ ἡ προϊστορηθεῖσα Μάρπησσα ἔδεισεν ἐπὶ τῷ Ἀπόλλωνι, εὐλαβηθεῖσα ὃ δὴ καὶ γέγονε, μὴ γεγηρακυῖαν αὐτὴν ἐκεῖνος ἀφήσει μονάζειν ἀνδρός. ἀλλὰ τὸ μὲν οὕτω περὶ Θέτιδος εἰπεῖν μύθου παίγνιόν ἐστιν. ἄλλως δέ, θανοῦσα ἡ γυνὴ Θέτις πρὸ ὥρας, ἐσεμνώθη μὲν ἐπωνυμίᾳ Νηρηΐδος, καὶ θαλάσσῃ ἐνοικεῖν ἔλαχε θαλασσία νομισθεῖσα θεὰ κατὰ τὴν Ἰνὼ δήπουθεν. οὐκ ἀφαιρεῖται δὲ τὸν Πηλέα οὐδ᾽ οὕτω τοῦ λυγρὰ παθεῖν. (v. 538 s.) Ἀχιλλεὺς μέντοι μόνης τῆς τῶν γονέων συνοικήσεως μνησθεὶς πρὸς ῥῆμα, τὰ λοιπὰ ἐνέφηνε δεξιῶς διὰ τοῦ μὴ ἐν τοῖς τοῦ Πηλέως μεγάροις παίδων γενέσθαι γονὴν κρειόντων, ἤγουν κοινῶς μὲν εἰπεῖν, βασιλευόντων, κατὰ δέ τινας, κρατούντων τῷ πλήθει, ὅ ἐστι πολλῶν. [Ἀττικῆς δὲ φράσεως πάνυ συνήθους τὸ «γονὴ γένετο».] (v. 540) Παναώριον δὲ ἢ τὸν πάντῃ ἄωρον λέγει παρὰ τὴν ὥραν, τὸν καιρόν, διὸ καὶ ἐδασύνετο παρά τισι κατὰ τὴν προπαραλήγουσαν, ἢ παρὰ τὴν ὤραν, τὴν φροντίδα, τὸν πάνυ πεφροντισμένον, ἢ ἀνάπαλιν ὡς ἐν ἤθει, τὸν πάνυ δίχα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φροντίδος, ὅθεν τινὲς καὶ ἐψίλουν αὐτό. νοῆσαι γὰρ φιλαύτως τὸν πάντη ὡραῖον, ὃ δή τινες εἶπον, ὀκνήσοι τις ἄν. [Τρισύνθετον δὲ ἰδοὺ ὄνομα καὶ ὁ παναώριος, καθὰ καὶ ὁ δυσάμμορος καὶ ὁ πανάποτμος καὶ ἡ δυσαριστοτόκεια, οἵοις οὐ πάντη Ὅμηρος ἐφάνη ἐμφιλοχωρῶν.] (v. 541) Τὸ δὲ «γηράσκοντα κομίζω», ἐξ οὗ τὸ γηρωκομεῖν σύγκειται, φιλοπάτορα τὸν Ἀχιλλέα δηλοῖ, αἱρούμενον οὐχ' ἑαυτῷ ζῆν, ἀλλ' ἵνα ἐπιμελοῖτο πατρὸς γέροντος, ὃ δηλοῖ καὶ ὁ ἐν Ὀδυσσείᾳ καθ' Ἅιδου Ἀχιλλεύς, αἱρούμενος πτωχικῶς ἄνω γῆς εἶναι διὰ τὸν πατέρα ἢ πᾶσι νεκύεσσιν ἀνάσσειν.

4.952 (v. 542) Τὸ δὲ «σὲ κήδων καὶ σὰ τέκνα» διττόν τινα ἔχει μυκτῆρα, ἕνα μέν, ὅτι σὺ μὲν ὁ γέρων ἔφης διστάζων ὡς τὸν Πηλέα τείρουσί που οἱ περίοικοι, ἐγὼ δέ σε κήδω κατὰ τὸ ὁμολογούμενον, ἕτερον δέ, ὅτι σὺ μὲν ἔφης πολλὰ τέκνα σχεῖν, τί δέ σοι τῶν πολλῶν ὄφελος, εἴπερ ὁ εἷς ἐγὼ κήδω καὶ σὲ καὶ αὐτά. ἐκ δὲ τοῦ τοιούτου κήδειν καὶ ἀκηδέες ἀνωτέρω εἴρηνται, οὓς οὐκ ἔστι κήδειν ἢ κήδεα ἔχειν. (v. 544 s.) Ἐν δὲ τῷ μέγαν εἶναι τὸν Πρίαμον περὶ τόπον ὅσον Λέσβος ἐντὸς εἴργει καὶ Φρυγία καθ' ὕπερθεν καὶ Ἑλλήσποντος περιορισμὸς κεῖται ἱστορικὸς τῆς Πριάμου ἀρχῆς, ἣν περιώριζεν ἐκ μεσημβρίας μὲν Λέσβος, Φρυγία δὲ ἐξ ἀνατολῆς, ἐκ δὲ ἄρκτων Ἑλλήσποντος. Ἰστέον δὲ ὅτι τὴν ὑπὸ τῷ Πριάμῳ χώραν κατὰ τὴν τοῦ Γεωγράφου ἐν τρισκαιδεκάτῳ αὐτοῦ βιβλίῳ παρατήρησιν εἰς ἐννέα δυναστείας διαιροῦσιν οἱ παλαιοί, ἐξ Ὁμήρου ὁρμώμενοι, ὧν δυναστειῶν ὁ Πρίαμος ἦρχε, φησίν, ὡς δηλοῖ τὸ «καὶ σὲ γέρον τὸ πρὶν ἀκούομεν» καὶ ἑξῆς ἕως τοῦ «καὶ Ἑλλήσποντος ἀπείρων». ὑπ' αὐτῷ γάρ, φησίν, ἦν καὶ ἡ τοῦ Μύνητος πόλις ἡ Λυρνησσός, καὶ ἡ Ὑπόπλακος Θήβη. Τρωϊκὴ δὲ καὶ ἡ τῶν Λελέγων, ἧς, ὡς προϊστόρηται, ὁ Ἄλτης ἦρχε, Τρῶές τε καὶ οἱ ὑπὸ τῷ Αἰνείᾳ Δάρδανοι, καὶ οἱ ὑπὸ τῷ Πανδάρῳ δὲ Λύκιοι, καὶ οἱ μεταξὺ Αἰσήπου καὶ Ἀβύδου, καὶ οἱ Περκώσιοι, ὥστε κατὰ τὸν Γεωγράφον καὶ τοὺς κατ' αὐτὸν ἀριδήλως εὐρυκρείων καὶ ὁ Πρίαμος φαίνεται. Μάκαρος δὲ ἕδος ἡ Λέσβος νῆσος, περὶ ἣν καὶ ἡ Μιτυλήνη, ὡς Μάκαρός τινος ἐκεῖ βασιλεύσαντος, καθὰ καὶ ἡ Λεύκοφρυς Τένου ἕδος, ὅθεν εἰς Τένεδον σύγκειται. (v. 545) Τὸ δὲ «καθύπερθεν» ἀντὶ τοῦ ἡ ἐξ ἀνατολῆς. ἔστι γὰρ καὶ ἄλλη Φρυγία ἡ ἀμπελόεσσα ἡ παρὰ Σαγγαρίῳ. (v. 549) Ἀλίαστον δὲ ὀδύρεσθαί ἐστι τὸ ἀεὶ καὶ ἀχωρίστως, ὡς μὴ ἔχειν λιασθῆναι, ὅ ἐστιν ἐκκλῖναι, τὸν ὀδυρμόν. (v. 551) Τὸ δὲ «οὐδέ μιν ἀνστήσεις» ἐν τοῖς ἑξῆς ὁ ποιητὴς ἐπὶ Ἑκάβης ἄλλως μεταχειρισάμενος οὕτω σχηματίζει τὸ νόημα, ὡς ἐποίει μὲν ὁ Ἀχιλλεὺς τάδε διὰ Πάτροκλον, «ἀνέστησε δέ μιν οὐδ' ὥς».

4.953 Σοφοκλῆς δὲ, τὸ τοῦ Ἀχιλλέως μιμούμενος, φησὶν «οὐδέ μιν ἐξ Ἀΐδου παγκοίνου λίμνης ἀναστήσεις». Τὸ δὲ «πρὶν καὶ κακὸν ἄλλο πάθης» ἀπειλήν τινα παραρριπτεῖ τῶν μενόντων πολλῶν κακῶν τὸν γέροντα, οἷς μὴ φθάσας ἐνδιατρῖψαι ὁ ποιητὴς γραφικῶς ὅμως ἄλλως προαναφωνεῖ αὐτά. (v. 553 s.) Ὅτι ὁ παραιτούμενος ἀνάπαυσιν, ὅτε φίλος κακουχεῖται, εἴποι ἂν κατὰ Πρίαμον τὸ «μὴ μέ πω ἐς θρόνον ἷζε, διοτρεφές, ὄφρα κεν ὁ δεῖνα κεῖται ἐνὶ κλισίῃσιν ἀκηδής». (v. 555—7) Ὁ δὲ ἐπί τινι παραχωρήσει δῶρα ξένῳ τινὶ εὐγνωμόνως διδοὺς ἐρεῖ ἂν ὁμοίως τὸ «σὺ δὲ δέξαι ἄποινα πολλά, τά τοι φέρομαι» ἢ φέρομεν, «σὺ δὲ τῶνδ' ἀπόναιο καὶ ἔλθοις σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτος», ἢ «πρῶτον, ἔασας». (v. 557) Ἐνταῦθα δὲ ὅρα ὅτι [τε τὸ «ἔασας» ἔλλειψιν ἔχει μυστικωτέραν, οὐκ ἔχει γὰρ αὐθωρὸν ἐντελῶς φράσαι, τί ἔασεν ὁ Ἀχιλλεύς, μὴ καὶ λυπήσῃ ἐκεῖνον ἴσως, εἰπὼν ὅτι με εἴασας λαλῆσαι ἢ ζῆν ἢ πελάσαι σοι, μήποτε ὁ ἥρως δόξας εἰς ἀγριότητα ὠνειδίσθαι βλάψῃ τὸν γέροντα, καὶ ὅτι] ἀκηδῆ ἔφη οὐ τὸν ἀβλαβῆ, ὡς πρὸ βραχέων ἐφράσθη, ἀλλὰ τὸν ἀκήδεστον καὶ οὗπερ οὐδεὶς κήδεται— ὁμώνυμος γὰρ καὶ ἡ τοιαύτη λέξις—, καὶ ὅτι ἅπερ εἶπεν «ἀπερείσια ἄποινα», πολλὰ λέγει, ἑρμηνεύων ἐκείνην τὴν λέξιν, ὡς καὶ μετ' ὀλίγα ἐν τῷ «πολλὰ δ' ἔδωκας», καὶ ὅτι τὸ «φέρω» παθητικῶς φησι «φέρομαι», ὡς διφορουμένου καὶ τούτου τοῦ ῥήματος, καὶ ὅτι δὶς εἶπε τὸ «σὺ δέ» οὐκ αἰδεσθεὶς τὴν ἐν σχεδιασμῷ ταὐτολογίαν. Ἡ δὲ εὐχὴ τοῦ ἀπόνασθαι τῶν δώρων τὸν Ἀχιλλέα

καθ' ὁμοιότητα τοῦ Χρύσου πεποίηται, ὃς καὶ αὐτὸς δεόντως τοῖς πολεμίοις ηὔχετο, καὶ οὐ κολακεύει μόνον ἡ τοῦ Πριάμου εὐχή, ἀλλὰ καὶ δυσχέρειαν ἐμφαίνει πράγματος. ὡς γὰρ ἐκεῖ τὸ εὖ οἴκαδ' ἱκέσθαι τοὺς Ἀχαιοὺς ὁ Χρύσης ηὔξατο, οἷα εἰδώς, ὡς εἰκός, ἃ μετὰ Τροίας ἅλωσιν πείσονται, οὕτω καὶ Πρίαμος, μαθὼν ἴσως μαντικῶς ὡς ὁ νεκροπέρνας Ἀχιλλεὺς ὕστερον πεσὼν οὐκ ἄλλως ἐκ τῶν πολεμίων λυθήσεται, ἀλλὰ «τὸν ἀντίποινον», καθά τις ἔφη, χρυσὸν «ἐκχέας ἶσον», εὔχεται τῶν ἄρτι δώρων ἀπόνασθαι τὸν Ἀχιλλέα.

4.954 [(v. 553) Ὅτι δὲ θρόνος, οὗ καὶ ἐνταῦθα ὁ Πρίαμος μέμνηται, καὶ ἡ λοιπὴ δὲ ἅπασα κοινὴ χρῆσις ὁμωνυμίᾳ ὑπέπεσε, δηλοῖ ὁ Δειπνοσοφιστὴς ἱστορήσας ὡς καὶ εἶδός τι ἄρτου ὁ θρόνος.] (v. 560—2) Ὅτι ἐν τῷ «τὸν δ' ἄρ ὑπόδρα ἰδὼν προσέφη Ἀχιλλεύς· μηκέτι νῦν μ' ἐρέθιζε, γέρον, νοέω δὲ καὶ αὐτὸς Ἕκτορά τοι λῦσαι, Διόθεν δέ μοι ἄγγελος ἦλθε μήτηρ» καὶ ὀξὺς ἐλέγχεται εἰς θυμὸν ὁ Ἀχιλλεὺς εἰς οὐδὲν δέον χολωθεὶς κατὰ Πριάμου, δριμὺ γὰρ φανερῶς εἶπεν ὁ γέρων οὐδέν, καὶ ἀληθὴς δὲ φαίνεται. οὐ γὰρ πρὸς χάριν κενήν, ὡς ἐλεῶν, ἀλλ' ὡς Διόθεν κελευσθεὶς λύσειν φησὶ τὸν Ἕκτορα. τοῦτο δὲ καί τι βάρους ἔχει. παραλαλεῖ γὰρ ὡς, εἰ μὴ ἐδεδίει θεόν, οὐκ ἂν ἀπέλυσε τὸν τοῦ Πατρόκλου φονέα. καὶ ἄλλως δὲ παραμυθεῖται τὸν γέροντα, ὡς θεοφιλοῦς ὄντος καὶ τοῦ Ἕκτορος. παύει δὲ πάνυ δεξιῶς καὶ τὰ ἐφεξῆς τοῦ Πριάμου, οἷον μὴ καὶ πλεῖόν τι ῥητορεύσῃ, μὴ καὶ τραχυνθείη κατὰ τοῦ Ἀχιλλέως, μὴ καὶ κωκύσῃ ἐπὶ τῷ νεκρῷ, καὶ μακρολογήσῃ ἐπ' ἐκείνῳ, καὶ ἅμα, ἵνα καὶ τρέσας τάχιον ἀναχωρήσῃ ἐς Τροίαν. Ἔστι δὲ ὡς μάλιστα τῷ Ἀχιλλεῖ ὁ θυμὸς διὰ τὴν τοῦ Πατρόκλου τε ἀνάμνησιν καὶ τὴν εὐθὺς ἐπ' ἐκείνῳ λύπην, καὶ διὰ τοὺς ὑπὲρ τοῦ Ἕκτορος λόγους. (v. 568—70) Διὸ ὑποκαταβὰς καὶ διασαφῶν τὸ «μή μ' ἐρέθιζε γέρον» φησὶ «μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνῃς, μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίῃσιν ἐάσω, καὶ ἱκέτην περ ἐόντα, Διὸς δ' ἀλίτωμαι ἐφετμάς», ἤγουν ἀλιτρὸς καὶ ὡς οἷον ἀλιτήριος γένωμαι ἁμαρτὼν διὰ σὲ εἰς Διὸς ἱκεσίου ἐντολάς. δοκεῖ τοίνυν ὁ Ἀχιλλεὺς Ἡρακλέος τι ὄζειν, ὃς οὐ διὰ δάκρυον, ἀλλὰ διὰ γέλωτα ἱστόρηται ἀνελεῖν τινα, καὶ οὐδὲ τῷ διδασκάλῳ Λίνῳ, μεμψαμένῳ αὐτὸν ἐπὶ μουσικῷ κρούματι, ἀποτῖσαι ἀγαθὰ δίδακτρα. ἰδοὺ γὰρ καὶ ὁ ἥρως οὗτος εἰς οὐδὲν δέον παρὰ βραχὺ ἔρχεται τοῦ εἰς ἱκέτην ἐφάμαρτος ἐκβῆναι.

4.955 (v. 563 s.) Εἶτα λέγει καὶ λόγον γνωριμότητος καὶ θεοφιλείας τὸ «καὶ δέ σε γινώσκω φρεσὶν οὐδέ με λήθεις, ὅττι θεός σε ἤγαγεν». (v. 565 s.) Εἶτα φράζει ἀσφαλῆ φυλακὴν στρατοπέδου ἐν τῷ «οὐ γάρ κεν τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ' ἡβῶν, ἐς στρατόν· οὐδὲ γὰρ ἂν φυλάκους λάθοι». (v. 566 s.) Τὸ δὲ ἑξῆς οἴκου φράζει ἀσφάλειαν, τὸ «οὐδέ κ' ὀχῆας ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων». ἰστέον δὲ ὅτι παρὰ τῷ ποιητῇ τριχῶς λέγονται οἱ τοῦ φυλάσσειν. φυλακτῆρές τε γάρ, ὡς πρὸ ὀλίγων, καὶ φύλακες κοινῶς, καὶ ποιητικῶς φύλακοι, οὓς Ἀρίσταρχος λέγεται οὐ βαρυτόνως φυλάκους προφέρειν, ἀλλ' ὀξυτόνως, καὶ κανόνα παράγειν, ὡς τὰ εἰς κος ὑπὲρ δύο συλλαβάς, παραληγόμενα τῷ α , ἐπιθετικὰ ὄντα, ὀξύνονται· μαλακός, παρδακός, φαρμακός, ἀνακός· ὅθεν καὶ τὸ «ἀνακοῖν Διοσκούροιν». καὶ οὕτω μὲν κατὰ Ἀρίσταρχον. ἄλλως δὲ τὸ βαρυτονεῖσθαι τὴν λέξιν πιθανὸν ἐκ τοῦ φύλαξ φύλακος, ἐξ οὗ ὁ φύλακος, ἀναδραμούσης εἰς εὐθεῖαν τῆς γενικῆς. Ὅρα δὲ καὶ τό· οὐ μετοχλίσει τοὺς ὀχέας τῶν θυρῶν, ἀντὶ τοῦ οὐ μετακινήσει. ἀπὸ γὰρ τοιαύτης στερήσεως καὶ τοῦ ὀχλίζειν ῥήματος γίνεται μοχλός, ὁ μὴ ὀχλιζόμενος, ἤγουν οὐ μετακινούμενος, ἐκθλιβέντος τοῦ η . (v. 568—70) Ἰστέον δὲ καὶ ὡς ἀγρίου ἤθους παρῳδηθὲν τὸ «μή μοι μᾶλλον ἐν ἄλγεσι θυμόν», ὡς εἴρηται, «ὀρίνῃς, μὴ τόδε τι ποιήσας θεοῦ ἀλίτωμαι ἐφετμάς». (v. 570) Ὅρα δὲ καὶ ὅπως αἰδοῖος ὁ ἱκέτης διὰ τὸν ἱκέσιον Δία, εἰς ὃν ὁ ἁμαρτὼν εἰς θεοῦ ἐφετμὰς ἤλιτε. (v. 569) Τὸ δὲ «οὐδ' αὐτὸν ἐάσω» εἴρηται πρὸς τὸ «ἐπεί με πρῶτος ἔασας». οἱονεὶ γὰρ λέγει ὡς, εἰ καὶ εἴασά σε[, ζῆν δηλαδή, ὡς προείρηται,] ἀλλ' οὐκ ἔτι ἐάσω. Τὸ δὲ «οὐδ' αὐτόν» ὡς πρὸς τὸν Ἕκτορα τείνεται. οὐ γὰρ μόνον οὐ δώσω ἐκεῖνον, ἀλλ' οὐδὲ σὲ αὐτὸν ἐάσω. εὐφήμως δὲ τὸ «ἐάσω» εἶπε, χεῖρόν τι, ὡς εἰκός,

εἰπεῖν βουλόμενος, ὅπερ ἐστὶ τὸ κτεῖναι τὸν γέροντα, ὡς ἑξῆς ῥηθήσεται. καὶ Ἑρμῆς δὲ προϊὼν τῇ λέξει ταύτῃ χρᾶται ὡς καιρίᾳ ἐν τῷ «ἐπεί ς’ εἴασεν Ἀχιλλεύς».

4.956 Σημείωσαι δὲ ὅτι Ἀριστοτέλης, ὥς φασιν οἱ παλαιοί, ἀνώμαλον εἶναι τὸ τοῦ Ἀχιλλέως ἦθος συνάγει, ὃς τὰ πρῶτα μειλιχίοις δεξιωσάμενος τὸν ἱκέτην Πρίαμον, εἶτα λεοντωθεὶς οἷον, ὡς δηλοῖ τὸ «λέων ὣς ἆλτο θύραζε»—διὸ καὶ νῦν «ἔδδεισεν ὁ γέρων καὶ ἐπείθετο μύθῳ»—ἀγριοῦται καὶ ἀπειλεῖται τὰ προρρηθέντα. καὶ δοκεῖ μὲν ἐπίτηδες οὕτω ποιεῖν, ὡς ἂν ἐκπλήξῃ τὸν γέροντα καὶ ἀποστήσῃ τοῦ οἴκτου. τὸ δ’ ἔστιν οὐ τοιοῦτον. (v. 584- 6) Καὶ προϊὼν γὰρ ὁ ποιητὴς ὑπολαλεῖ δέος εἶναι, μήποτε Πρίαμος μὲν «ἀχνυμένῃ κραδίῃ χόλον οὐκ ἐρύσαιτο παῖδα ἰδών, Ἀχιλῆϊ δ’ ὀρινθείη φίλον ἦτορ καί ἑ κατακτείνειε, Διὸς δ’ ἀλίτηται ἐφετμάς», ὅ ἐστιν ἐντολάς, ἀπὸ τοῦ ἐφίημι, τὸ ἐντέλλομαι, ὡς τὸ «οὔ σοι ἐφιεμένη ἀπιθήσω», ὃ δὴ Πρίαμος ἔφη τῇ Ἑκάβῃ. ὅλως γὰρ ταράσσεται ὁ Ἀχιλλεὺς ἐνταῦθα ὡς μάλιστα, εἰ καὶ μόνον ἀκούσοι Ἕκτορος ὄνομα. [Ὃ δὴ καὶ Φίλιππος λέγεται πάσχειν μετὰ τὴν ἐν μάχῃ πήρωσιν θατέρου τοῖν ὀφθαλμοῖν, εἴ που ὀφθαλμοῦ ὄνομα λαλοῖτο.] Διὸ οὐδ’ ἐμφανίζει αὐτῷ τὸν υἱόν, μὴ καὶ ὁ ἐπὶ τῷ νεκρῷ οἶκτος τοῦ πατρὸς ἀναζωπυρήσῃ χόλον τῷ Ἀχιλλεῖ, ἅμα δὲ ἠοῖ φαινομένῃ ὄψεσθαι αὐτὸν λέγει. συνάγεται δὲ τὸ τοῦ Ἀχιλλέως ἄστατον καὶ ἐν τῇ α′ ῥαψῳδίᾳ καὶ ἐν ταῖς Λιταῖς. ἡ δὲ τοῦ λέοντος παραβολὴ ἐστένωται, ὅτι μὴ ἔχει ἐνέργειαν λέοντος εὑρεῖν τοιούτῳ πράγματι πρέπουσαν, ἀλλὰ μόνην τὴν τοῦ Ἀχιλλέως ὁρμὴν εἰκάζει ἁπλῶς κινήσει λέοντος ἀπρακτοῦντος, οὗ καθ’ ὁμοιότητα ὁ Ἀχιλλεὺς καὶ ἐν οἷς οἰκτίζεται, φρικτὸς φαίνεται. (v. 573—8) Ὅτι πεπαιδευμένως ἅμα καὶ βιωτικῶς ἐπιμελόμενοι τῶν τοῦ Πριάμου οἱ ἀμφὶ τὸν Πηλέα, ἤγουν ἥρως Αὐτομέδων καὶ Ἄλκιμος, οἱ προρρηθέντες, «ὑπὸ ζυγόφιν λύον ἵππους ἡμιόνους τε», καὶ τὸν κήρυκα Ἰδαῖον εἰσαγαγόντες ἐπὶ δίφρου ἐκάθισαν ἐϋξέστου. (v. 577) Ἰστέον δὲ ὅτι τῷ μετὰ τοῦ Πριάμου κήρυκι κύριον μὲν ὄνομα τὸ Ἰδαῖος, ἐκ Τρωϊκοῦ ὄρους τῆς Ἴδης ληφθέν, ἐπίθετα δὲ τό τε καλήτωρ, οἷον «ἐς δ’ ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντος», ὡς ἐκ τοῦ καλῶ καλήσω, ἐξ οὗ καὶ κύριόν που ἦν τὸ Καλήσιος, καὶ τὸ ἀστυβοώτης παρὰ τὸ κατὰ τὸ ἄστυ βοᾶν, ὥσπερ καὶ ἀπὸ τοῦ ἠπύειν, ὃ δηλοῖ τὸ φωνεῖν, ἠπύτα κῆρύξ που ὁ φωνητικός. ἐνδείκνυται δὲ κἀνταῦθα ὁ ποιητὴς εὐπορεῖν ὀνομάτων τοῖς κήρυξιν, εἰ βούλοιτο. (v. 580 s.) Ὅτι πυκάσαι κυρίως μὲν τὸ πυκνῶσαι, ἄλλως δὲ καὶ τὸ σκεπάσαι, ὅ ἐστι καλύψαι.

4.957 Φησὶ γοῦν δύο φάρεα καὶ ἐΰνητον, ὅ ἐστιν εὔνητον, εὔκλωστον, χιτῶνα καταλιπεῖν ἔξω τοὺς Ἀχιλλέως ἑτάρους, κελεύσει ἐκείνου δηλαδὴ κατὰ τὸ σιωπώμενον, «ὄφρα νέκυν πυκάσας δώῃ τῷ Πριάμῳ οἶκόνδε φέρεσθαι». (v. 582—6) Λούουσι δὲ καὶ δμῳαὶ τὸν Ἕκτορα, οὐ λόγῳ κηδεμονίας, ἀλλ’ ἵνα μή, ὡς ἐρρέθη, ὁ γέρων, ἰδὼν καὶ χολωθείς, ὀρίνῃ τὸ τοῦ Ἀχιλλέως ἦτορ καὶ πάθοι τι κακόν. [Ἐνταῦθα δὲ κεῖται κυριολεκτικῶς καὶ ἐκκαλέσαι τὸ ἔξω καλέσαι. φησὶ γὰρ «δμῳὰς δ’ ἐκκαλέσας λοῦσαι κέλετ’ ἀμφί τ’ ἀλεῖψαι, νόμῳ δηλαδὴ τῶν ἐν ζωῇ λουομένων». Λιβάνιος δὲ τὸ τοιοῦτον ἐκκαλέσαι παθητικῶς εἶπεν ἐν τῷ «καὶ τῶν πτερῶν ἐξεκαλεῖτο», ἤγουν ἔξω τῆς σαρκὸς ἔρριπεν, ὁ κολοιὸς δηλονότι, «ὁπόσα οἱ ὥραν οὐκ ἔφερεν». ἄλλως δὲ κοινότερον ἐκκαλεῖσθαι τί ἐστιν, οἴδασιν οἱ περὶ τὰς δίκας. ἐκεῖνο δὲ καὶ ἀσυνθέτως καλεῖσθαι λέγεται, οἷον· καλοῦμαι τὸν δεῖνα, ἤγουν ἐκκαλοῦμαι εἰς ἕτερον.] (v. 587—9) Ὅτι ἐπεὶ τὸν τοῦ Ἕκτορος νεκρὸν Ἀχιλλέως κελεύσαντος δμῳαὶ λοῦσαν καί, ὡς ἐρρέθη, «χρῖσαν ἐλαίῳ, ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον ἠδὲ χιτῶνα, αὐτὸς τόν γ’ Ἀχιλεὺς λεχέων ἐπέθηκεν ἀείρας», ἀνατλὰς τοῦτό [γε κατά τινα τρόπον ὁσίας] διὰ τὰ ἐπὶ τῷ νεκρῷ δῶρα. Καὶ ὅρα οἷόν τι χρῆμα ἡ δωροληψία, πραΰνουσα καὶ τοὺς ἐχθίστους. ἴσως δὲ καὶ διὰ τὸ ἀνεμέσητον καὶ δέει τῶν καταχθονίων οὕτω καθυπουργεῖ Ἀχιλλεύς, ἀφοσιούμενος οἷον δούλευμά τι τῷ νεκρῷ. ἄλλως γὰρ οἱ ἑταῖροι ἐκείνου τὸ πλεῖον ἔδρασαν. (v. 590) Φησὶ γὰρ «σὺν δ’ ἕταροι ἤειραν ἐϋξέστην ἐπ’ ἀπήνην». πέφρασται δὲ ἐϋξέστη ἀπήνη ὡς ἡ ἀσβέστη φλόξ. [(v. 589) Ὅρα δὲ τὸ «αὐτὸς Ἀχιλλεύς», ὃ δηλοῖ καινόν τι δοκεῖν, εἰ τὸν νεκρὸν τοῦ Ἕκτορος ὁ Ἀχιλλεὺς τημελεῖ.] Τὸ δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

«λεχέων ἐπέθηκεν», ἤγουν ἐπάνω ἔθετο, οἱ μεθ᾽ Ὅμηρον ἄλλως ἂν συντάξαιεν, [ἤγουν «λεχέεσιν ἐπέθεντο».

4.958 ] (v. 591) Ὅτι θρηνῶδες τὸ «ᾤμωξέν τ᾽ ἄρ ἔπειτα φίλον τ᾽ ὀνόμηνεν ἑταῖρον». Καὶ σημείωσαι ὅτι ὀνομαίνειν μὲν τὸ πρὸς ὄνομα καλεῖν. (v. 592) Ἐπάγει οὖν «μή μοι Πάτροκλε» καὶ ἑξῆς. Τὸ δὲ ἐξονομάζειν ἑτεροῖόν ἐστιν, ὡς πολλαχοῦ πέφανται. (v. 592 s.) Ὅτι ὁ παραιτούμενος νέμεσιν, ἐφ᾽ οἷς οἰκτίζεται νεκρὸν ἐχθροῦ φίλου τεθνεῶτος, ἐρεῖ ἂν κατὰ τὸν Ἀχιλλέα μικρὸν παρῳδήσας «μή μοι, ὦ δεῖνα, σκυδμαινέμεν, αἴ κε πύθηαι εἰν Ἄϊδός περ ἐών», ὅτι ἐσπεισάμην τῷ δεῖνι. (v. 594 s.) Εἰ δὲ καὶ δῶρα ἔλαβεν, ἁρμόττει καὶ τὸ ἑξῆς «ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα, σοὶ δ᾽ αὖ ἐγὼ καὶ τῶνδ᾽ ἀποδάσσομαι ὅσς᾽ ἐπέοικε». Καὶ ὅρα ὅτι, ἅπερ εἶπεν ἀπερείσια καὶ πολλά, νῦν «οὐχὶ ἀεικέα», δηλονότι δὲ ἐοικότα, φησίν, ἅπαξ μὲν φθάσας μετρῆσαι τὰ δῶρα, ταῦτα δὲ ὡς πρὸς εἰδότας ἀορίστως δηλῶν. καινὸν δὲ οὐδέν, εἰ καὶ τῷ φιλτάτῳ Πατρόκλῳ τῶν δώρων Ἀχιλλεὺς ἀποδάσεται, ὁ καὶ τῷ ἐχθίστῳ Ἕκτορι παραχωρήσας τινῶν χάριν τιμῆς, ὡς προείρηται. (v. 595) Τὸ δὲ «ἀποδάσομαι» τὸν ἀπόδασμον παράγει, ὥσπερ τὸν δασμὸν τὸ δάσασθαι. (v. 522, 578, 597 s.) Ὅτι μετὰ τὴν τοῦ Ἕκτορος ἐπιμέλειαν Πρίαμον μὲν ἐς θρόνον ἵζει Ἀχιλλεύς, τὸν κήρυκα δὲ ἐπὶ δίφρου ἤδη ἐκάθισαν οἱ τοῦ Ἀχιλλέως ἑταῖροι, αὐτὸς δὲ «ἕζετο ἐν κλισμῷ πολυδαιδάλῳ, ἔνθεν ἀνέστη, τοίχου τοῦ ἑτέρου», ἤγουν ἀντικρὺ κατὰ τὸν ἕτερον τοῖχον. Καὶ ὅρα ταὐτότητα, ὡς ἐν πολυωνυμίᾳ, θρόνου, δίφρου, καὶ κλισμοῦ. ἐξαίρετον δὲ τῷ τοῦ Ἀχιλλέως θρόνῳ τὸ κατὰ γλυφὴν ἢ γραφὴν πολυδαίδαλον. ὅτι δὲ καὶ θρόνος λέγεται ὁ κλισμός, αὐτὸς ὁ ποιητὴς ἐνταῦθα δηλοῖ. πρὸ ὀλίγων μὲν γὰρ ἔφη ὡς ἀπὸ θρόνου ὦρτο Ἀχιλλεύς, ἐνταῦθα δέ, ὅτι «ἕζετο ἐν κλισμῷ, ἔνθεν ἀνέστη». (v. 601) Ὅτι κἀνταῦθα τὸ ἄγειν ἐπὶ νεκροῦ τοῦ Ἕκτορος ἐν τῷ «ὄψεαι αὐτὸς ἄγων», ἐρεῖ δὲ καὶ προϊὼν «Ἴλιον εἰσαγαγών», καὶ «ἡμίονοι νέκυν ἄγον», καὶ «ξύμβληντο νεκρὸν ἄγοντι», καὶ «ἐπὴν ἀγάγοιμι δόμονδε», καὶ «εἰσάγαγον κλυτὰ δώματα». φθάσας δὲ τὴν λέξιν καὶ ἐπὶ ζῶντος εἶπεν ἐν τῷ «ἐς δ᾽ ἄγαγον κήρυκα». ἔστι δὲ τοῦτο μὲν δηλοῦν εἴσοδον τοῦ κήρυκος, ἐκεῖνα δὲ φορὰν τοῦ νεκροῦ. Ἰστέον δὲ ὅτι ἐπιδεικνύμενος Ἀχιλλεὺς κἀνταῦθα πολυπειρίαν ῥητορικήν, ἣν, ὡς εἰκός, ἀπώνατο καὶ Φοίνικος, ὃς αὐτῷ οὐ μόνον ἔργων πρηκτὴρ ἕπεται ἀλλὰ καὶ μύθου ῥητήρ, ὥς που δεδήλωται, φθάσας μὲν φιλοσοφώτερον τὸν γέροντα τοῦ πενθεῖν ἀνεκτήσατο, ἐνταῦθα δέ, ὀτρύνων αὐτὸν φαγεῖν, ἐξ ἱστορίας πειρᾶται πείθειν ὡς ἐν λόγῳ καὶ τοῦτο παραμυθητικῷ, ἐπεξεργαζόμενος τὸ ἱστορικὸν σιωπῶντι τῷ γέροντι, ὡς ἢ ἀγνοοῦντι τυχόν, ἢ καί, ὡς εἰκός, ὑποκρινομένῳ τὴν ἄγνοιαν πρὸς χάριν Ἀχιλλέως καὶ μείλιγμα.

4.959 (v. 599—613) Ἔστι δὲ ὃ λέγει τοιοῦτον «υἱὸς μὲν δή τοι λέλυται, γέρον, ὡς ἐκέλευες, κεῖται δ᾽ ἐν λεχέεσς᾽, ἅμα δ᾽ ἠοῖ φαινομένηφι ὄψεαι αὐτὸς ἄγων», ὡς ἐρρέθη, «νῦν δὲ μνησώμεθα δόρπου. καὶ γάρ τ᾽ ἠΰκομος Νιόβη ἐμνήσατο σίτου, τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο, ἓξ μὲν θυγατέρες, ἓξ δ᾽ υἱέες ἡβώοντες. τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ᾽ ἀργυρέοιο βιοῖο, χωόμενος Νιόβῃ, τὰς δ᾽ Ἄρτεμις ἰοχέαιρα, οὕνεκ᾽ ἄρα Λητοῖ ἰσάσκετο καλλιπαρῄῳ· φῆ δοιὼ τεκέειν, ἣ δ᾽ αὐτὴ γείνατο πολλούς· τὼ δ᾽ ἄρα καὶ δοιώ περ ἐόντ᾽ ἀπὸ πάντας ὄλεσαν. οἳ μὲν ἄρ ἐννῆμαρ κέατ᾽ ἐν φόνῳ, οὐδέ τις ἦεν κατθάψαι, λαοὺς δὲ λίθους ποίησε Κρονίων. τοὺς δ᾽ ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ οὐρανίωνες. ἣ δ᾽ ἄρα σίτου μνήσατο, ἐπεὶ κάμε δακρυχέουσα». μέχρι τούτου ἡ ἱστορία. (v. 614—7) Εἶτα ἐπιπλέκει καὶ μῦθον, λέγων, ὅτι «νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν», ὃ καὶ ἀλλαχοῦ κεῖται, «ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς νυμφάων, αἵ τ᾽ ἀμφ᾽ Ἀχελώϊον ἐρρώσαντο, ἔνθα, λίθος περ ἐοῦσα, θεῶν ἐκ κήδεα πέσσει». (v. 618—20) Εἶτα ἐπάγει τὴν ἀξίωσιν μετὰ καὶ ἐπαίνου «ἀλλ᾽ ἄγε δὴ καὶ νῶϊ», τουτέστιν ἡμεῖς, «μεδώμεθα, δῖε γεραιέ, σίτου, ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα Ἴλιον εἰσαγαγών· πολυδάκρυτος δέ τοι ἔσται», εἴγε δηλαδὴ δι᾽ αὐτὸν καὶ οὕτω κατετόλμησας καὶ τοσαῦτα λύτρα δέδωκας, καὶ ὧδε παρ᾽ ἡμῖν τοῖς ἐχθίστοις πενθεῖς. Ὅρα δὲ ὅτι οὐδ᾽ ἐνταῦθα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κλαίειν ἀφίησιν ἄρτι τὸν Πρίαμον ὁ Ἀχιλλεὺς διὰ τὰ προειρημένα, καὶ ὅτι τὴν μυθικήν, εἴτε ἀφέλειαν εἴτε γλυκύτητα καλοῖς, ὁ ποιητὴς ἐκόσμησε σχήμασιν, ἤγουν παρίσοις, τρισὶ μὲν κατὰ πτῶσιν δοτικήν· πέτρῃσιν, οὔρεσιν, οἰοπόλοισιν, δυσὶ δὲ κατὰ γενικήν· θεάων, νυμφάων, ἔτι δὲ καὶ ἐπαναφορᾷ τῇ κατὰ πρόθεσιν· ἐν πέτραις, ἐν Σιπύλῳ. (v. 602) Ἰστέον δὲ ὅτι τὴν Νιόβην οἱ μὲν Ταντάλου, οἱ δὲ Πέλοπος κατάγουσι, καὶ γυναῖκα δέ τινες μὲν Ζήθου φασίν, οἱ δὲ Ἀμφίονος, ἕτεροι δὲ Ἀλαλκομενέως. καὶ ἡ συμφορὰ δὲ αὐτῆς κατὰ μέν τινας ἐν Λυδίᾳ, κατὰ δέ τινας ἐν Θήβαις γενέσθαι λέγεται. Σοφοκλῆς δὲ τοὺς μὲν παῖδας αὐτῇ ἐν Θήβαις ἀπολέσθαι φησίν, αὐτὴν δὲ εἰς Λυδίαν ἐλθεῖν.

4.960 ὁ δὲ τῶν παίδων αὐτῇ ἀριθμὸς Ὁμήρῳ μὲν κατὰ ἑξάδα μετρεῖται θυγατέρων καὶ ἑξάδα υἱῶν, προτεθεισῶν ἐν τῷ μέτρῳ τῶν θηλειῶν, ἢ ἁπλοϊκῶς, ὡς Ὁμήρῳ ἔδοξεν, ἢ καὶ συνδιατιθεμένης τῆς ποιήσεως, ἐπεὶ προσπαθέστερον ἡ μήτηρ εἶχεν αὐταῖς. Εὐριπίδης δὲ θυγατέρας ἑπτὰ Νιόβης ἱστορεῖ. τῶν δὲ ἔτι νεωτέρων οἱ μὲν δεκατέσσαρας τοὺς παῖδας εἶπον, οἱ δὲ εἴκοσι. δοκεῖ δὲ ὁ τῶν παίδων τῆς Νιόβης θάνατος ἐξ αἰτίας λοιμώδους γενέσθαι, ἢ καὶ ἄλλως ἀπὸ αἰφνιδίου πάθους τινός, ὅθεν Ἀπόλλωνι καὶ Ἀρτέμιδι ἀνάπτεται, οἳ τοῦ τοιούτου θανάτου εἰσὶν αἴτιοι, τόξοις λεγόμενοι βάλλειν τοὺς οὕτω θνῄσκοντας. φησὶν οὖν καὶ Ἱπποκράτης ἐν τῷ Περὶ ὀξέων, ὅτι τοὺς ὑπὸ ὀρθοπνοίης καὶ κυνάγχης ἀπολλυμένους ᾤοντο βλητοὺς εἶναι, διὰ τὸ αἴφνης δηλαδὴ καὶ μετ' ὀδύνης τελευτᾶν. [Τροπικῶς δὲ ὥσπερ Ἀπόλλωνος τόξα, οὕτω καὶ Ἀρτέμιδος αἱ λοιμώδεις βολαί. δίδωσι δὲ ἡ τροπὴ καὶ τῷ Ἔρωτι τόξον. ἡ δ' αὐτὴ καὶ τὸν εἰς μέθην οἶνον τόξα καλεῖ κωμικώτερον ἐν τῷ «ἀέξονται φρένας ἀμπελίνοις τόξοις δαμέντες».] (v. 603 et 607) Ἐνταῦθα δὲ παρασημειοῦνται οἱ παλαιοὶ κεῖσθαι διηγηματικὴν ἀναστροφήν. εἰπὼν γάρ, φασί, δώδεκα παῖδας ἐν μεγάροις ὀλωλέναι τῇ Νιόβῃ, τότε δὴ ἐπάγει τὸ φύσει πρῶτον, ἤγουν τὴν προηγησαμένην τοῦ ὀλέθρου αἰτίαν, τὸ ὅτι ἰσάσκετο τῇ Λητοῖ. παρασημαίνονται δὲ οἱ αὐτοὶ καὶ ὅτι οὐχ' ἧττον τὸ τῆς Νιόβης πάθος τοῦ κατὰ τὸν Πρίαμον. εἰ γὰρ καὶ πλείους αὐτῷ παῖδες ὤλοντο, ἀλλὰ Νιόβη μὲν πάντων ἅμα ἐστέρητο, καὶ ἄθρουν αὐτῇ τὸ κακόν, ὁ δὲ οὐχ' οὕτως. (v. 605 s.) Ὅρα δὲ ὅτι τε τὸ «Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο», καὶ τὸ «Ἄρτεμις ἰοχέαιρα» ἥνωταί πως κατὰ νοῦν, ἐκ βιοῦ γὰρ ἰοὶ χέονται (v. 608), καὶ ὅτι πάνυ συντόμως ἡρμήνευσε, κατὰ τί παρεξισοῦτο τῇ Λητοῖ ἡ Νιόβη, λέγων «ἔφη δύο τεκεῖν, ἣ δὲ γείνατο πολλούς».

4.961 τοῦτο δὲ καινότερον ἐσχημάτισται. ἀντὶ γὰρ τοῦ εἰπεῖν «ἔφη τὴν Λητὼ μὲν δύο τεκεῖν, αὐτὴν δὲ πολλούς», ἤλλαξε τὸ σχῆμα. (v. 609) Τὸ δὲ «οἳ δὲ καὶ δύο ὄντες πάντας ἀπώλεσαν» ὅμοιόν ἐστι τοῖς κατὰ τὸν Ἀχιλλέα. καὶ αὐτὸς γὰρ εἷς ὢν τῇ Θέτιδι τοὺς τῷ Πριάμῳ πολλοὺς ἀνῄρει, καθὰ καὶ τοὺς τῆς Νιόβης Ἀπόλλων καὶ Ἄρτεμις. (v. 610) Τὸ δὲ «ἐννῆμαρ» οὐ τῇ ἱστορίᾳ μόνον ἀλλὰ καὶ τῇ Ὁμηρικῇ προσλογιστέον γνώμῃ. φιληδεῖ γὰρ τῷ τοιούτῳ ἀριθμῷ Ὅμηρος. Παραμυθεῖται δὲ τὸν Πρίαμον καὶ τὸ ἐν πολλαῖς ἡμέραις ἄταφον τῶν τῆς Νιόβης παίδων, [οἷς ὁμοίως καὶ ὁ Ἕκτωρ οὕτω κεῖται. ταῦτα δὲ καὶ τὸν Πρίαμον πλαγίως ὑποσεμνύνει ὡς ἰσασκόμενον θεοῖς, καὶ τὸν Ἕκτορα δέ, ὡς τοιούτου πατρὸς υἱόν, ἔτι δὲ καὶ τὸν Ἀχιλλέα ὡς ἀνδρισάμενον αὐτὸν ἕνα κατὰ Ἀπόλλωνα καὶ Ἄρτεμιν. ἀπολογίαν δὲ αὐτὰ ἔχει καὶ ὑπὲρ τοῦ ἀτημέλητον ἐπὶ τοσοῦτον κεῖσθαι τὸν Ἕκτορα. εἰ γὰρ ἐπὶ τῆς Νιόβης οὐδεὶς ἦν θάψαι τοὺς ἐκείνης νεκρούς, ἔνθα πολὺ τὸ ὁμόφυλον, πῶς ἂν ἐν ἐχθροῖς κηδεμονίας ὁ πολέμιος Ἕκτωρ ἔτυχεν, ὃν ἔδει καὶ κυσὶ καὶ οἰωνοῖς παραβληθῆναι.] Ἐν δὲ τῷ «ἔκειντο ἐν φόνῳ», φόνον φασὶ τὸν τόπον, ἐν ᾧ οἱ φονευθέντες ἔκειντο. (v. 611) Τὸ δὲ «λαοὺς ἐποίησεν» ὁ Ζεύς, ἀντὶ τοῦ λιθίνους τὰς ψυχὰς ἐκείνους ἀπέδειξε καὶ σκληροὺς καὶ ἀσυμπαθεῖς. ἄτεγκτοι γάρ, φασίν, ἦσαν τῇ Νιόβῃ, ὀργιζόμενοι αὐτῇ, ἐπεὶ διὰ τὴν αὐτῆς ἀσέβειαν μικροῦ δεῖν πάντες ἂν ἀπώλοντο λοιμῷ. ἔχει δέ τι καὶ ἀστεῖον ὁ λόγος, εἴπερ ὁ μῦθος μὲν λαοὺς ἐκ λάων, ὅ ἐστι λίθων, ποιεῖ, ὡς ἀλλαχοῦ εἴρηται, ἐνταῦθα δὲ οἱ λαοὶ λίθοι γίνονται. νοητέον δὲ ἐντεῦθεν κατὰ θεραπείαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μυθικὴν ὅτι, καθάπερ νῦν οἱ λαοὶ λίθοι ὡς ἀντὶ τοῦ τέγγεσθαι εἰς ἔλεον σκληρυνθέντες εἰς τὸ μὴ ἐλεεῖν, οὕτως ἀνάπαλιν οἱ λίθοι ἐκεῖ λαοὶ ἐποιήθησαν, ὡς ἐξ ἀγριότητος καὶ τοῦ σκληροὶ οὕτως εἶναι μαλθακισθέντες εἰς τὸ ἥμερον. (v. 612) Τὸ δὲ «θάψαν θεοί» τὸ ὑπὸ μειζόνων τινῶν ἀγαθῶν ἀνδρῶν ταφῆναι τοὺς νεκροὺς ἐκείνους δηλοῖ. ὁ μὲν γὰρ λαὸς ἐσκληρύνετο, προΰχοντες δέ τινες, οὓς εἰς γένος θεῖον οἱ παλαιοὶ ἀνῆγον, ἔθαψαν ἐκνικήσαντες.

4.962 (v. 613) Τὸ δὲ «σίτου μνήσατο» δὶς εἶπε, μὴ θελήσας ἀλλάξαι τὴν λεκτικήν. (v. 615) Τὸ δὲ Σίπυλον πόλις ἢ ὄρος Φρύγιον, ὅπερ οἴονταί τινες εἶναι τὸν νῦν λεγόμενον Κουζινᾶν. περὶ τοῦτο τὸ ὄρος Ἀχελῷος εἶναί τις δοκεῖ ποταμός, (v. 616) οὗ, φασίν, ὁ ποιητὴς ἐνταῦθα μέμνηται, εἰπὼν νύμφας τινάς, «αἵ ἀμφ' Ἀχελῶον ἐρρώσαντο», τουτέστιν ἐρρωμένως ἐκινήθησαν, ὅ ἐστι κινοῦνται. ὅπερ ἀντίθετόν ἐστι πρὸς τὸ «θεάων ἔμμεναι εὐνάς», ὅπερ ἐκ τοῦ «ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς» παραπέφρασται. εὐνάζονται μὲν γὰρ αἱ νύμφαι αὗται κατὰ τὴν ἐν Σιπύλῳ διατριβήν, ῥώονται δὲ κατὰ τὸν Ἀχελῷον. καινὸν δὲ οὐδὲν ὁμωνυμεῖν τὸν Ἀχελῷον τοῦτον τῷ Αἰτωλικῷ. καὶ γάρ τοι καὶ περὶ Θετταλίαν Ἀχελῷος ποταμὸς ἱστόρηται. εἰ μὴ ἄρα τις, ὡς καὶ προεγράφη, Ἀχελῷον ἁπλῶς τὸ ὕδωρ καὶ ἐνταῦθα νοεῖν βούλεται, ὡς εἶναι τῷ λόγῳ τούτῳ τὰς Νηΐδας ἁπάσας νύμφας Ἀχελωΐδας. τινὲς δὲ τὸν ἐνταῦθα εἰρημένον Ἀχελώϊον Ἀχελήϊον γράφουσι, λέγοντες ποταμὸν εἶναι ἀπὸ Σιπύλου εἰς τὴν τῶν Σμυρναίων ῥέοντα γῆν. τὸν δὲ Ἀχελῷον ἀπὸ τοῦ ἄχη λύειν ἐτυμολογοῦσί τινες. Ἰστέον δὲ ὅτι τριῶν τούτων κειμένων ἐν τοῖς ῥηθεῖσι, τοῦ «ἐν πέτρῃσι», τοῦ «ἐν οὔρεσι», τοῦ «ἐν Σιπύλῳ», τὸ μὲν «ἐν οὔρεσι» διασαφητικόν ἐστι τοῦ «ἐν πέτρῃσι», τὸ δὲ «ἐν Σιπύλῳ» ἀμφοῖν ἐκείνοιν ἐστὶν ἐφερμηνευτικόν, καταβεβηκὸς ἐξ ἀορίστου πληθυντικοῦ εἰς ὡρισμένον ἑνικόν. Ἡ δὲ τῆς Νιόβης ὕστερον ἀπολίθωσις καὶ τὸ ἐκεῖθεν δάκρυον δοκεῖ ἐνταῦθα ὑπαινιχθῆναί πως τῷ ποιητῇ πρὸς ἀλήθειαν διὰ τοῦ «λαοὺς δὲ λίθους ποίησε Κρονίων».

4.963 ὡς γὰρ ἐκείνους ἐρρέθη ἀπολιθωθῆναι 〈διὰ τὸ〉 πρὸς τοὺς κειμένους ἄτεγκτον καὶ ἀνεπίστροφον καὶ ἀπαθές, οὕτως ἂν κατ' ἄλλον λόγον ἀπολιθωθῆναι καὶ ἡ Νιόβη νοηθείη ὡς εἰς ἀφωνίαν ἢ καὶ παντελῆ ἀναισθησίαν καὶ ἠλιθιότητα μεταπεσοῦσα τῇ τοῦ πένθους ὑπερβολῇ, δάκρυον δὲ ὅμως ἐκπέμπουσα τῇ συνοχῇ τῆς ψυχῆς ἐν τῷ τοὺς παῖδας φαντάζεσθαι. Φέρεται δὲ χρῆσις, ὡς καὶ ὁ Κωμικὸς Φιλήμων λέγει, ὅτι «λίθον μὲν τὴν Νιόβην, μὰ τοὺς θεούς, οὐδέποτ' ἐπείσθην οὐδὲ νῦν πεισθήσομαι ὡς τοῦτ' ἐγένετο καὶ κήδεα πέσσει, ἀλλ' ὑπὸ τῶν κακῶν τῶν συμπεσόντων καὶ τοῦ συμβάντος πάθους οὐδὲ λαλῆσαι δυναμένη πρὸς οὐδένα προσηγορεύθη διὰ τὸ μὴ φωνεῖν λίθος». καὶ τοῦτο μὲν οὕτως. Ὁ δὲ Λυδός φησιν ὅτι ἐρασθείς τις αὐτῆς μὴ πειθομένης τὸν οἶκον ἐνέπρησεν, ἡ δὲ φεύγουσα ηὔξατο λιθωθῆναι καὶ ἐλιθώθη. Παλαιφάτῳ δὲ δοκεῖ ἄγαλμα Νιόβης ἑστάναι ὕλης στερεᾶς, ὃ τῇ κάτωθεν ἕως καὶ εἰς ὀφθαλμοὺς συντρήσει διά τινων ἀνωγέων ὕδωρ ἀναθλῖβον κατά τινα μηχανὴν διηθεῖ αὐτὸ διὰ τῶν ἐν τοῖς ὀφθαλμοῖς πυκνῶν πόρων εἴτ' οὖν τρημάτων, ὡς δοκεῖν ἐκεῖθεν καταρρέειν δάκρυον. Ἕτεροι δὲ ἄκρον τι πετρῶδες περὶ τὸ Σίπυλον εἶναί φασιν, ὅπερ ἄκρον φαντασίαν τε γυναικὸς πέμπειν τοῖς πόρρω καὶ ὕδωρ καταλείβειν, καὶ οὕτω μῦθον διαδοθῆναι, τὴν Νιόβην εἰς ἐκεῖνον τὸν λίθον μεταβεβλῆσθαι, καὶ καταστάζειν ἔτι δάκρυον, πενθοῦσαν ἐπὶ τῷ τῶν παίδων ὀλέθρῳ. καὶ τοιοῦτον μέν, φασί, τὸ ἀκρωτήριον τοῖς ἕκαθεν βλέπουσιν. εἰ δέ τις πελάσοι, ἐσκέδασται ἡ φαντασία, καὶ ὁρᾶται τὸ ἀκριβές, πέτρα δηλαδή, ἀφ' ἧς ὕδωρ ἐκπιδῦον κάτω φέρεται. οὕτω θεραπεύει τὸν μῦθον τῶν τις παλαιῶν Ἐποποιῶν, εὖ μὲν ποιῶν, καθόσον τὸ τοῦ μύθου νοσοῦν θεραπεύει, οὐ μὴν εὐστοχῶν τοῦ τῇ ποιήσει πρέποντος σκοποῦ.

4.964 ποιητοῦ γὰρ ἴδιον ἀπαραμυθήτους παραρριπεῖν μύθους, καὶ ἄλλοις μὲν ἀφιέναι ὑπονοεῖν ἀλληγορίαν, αὐτὸν δὲ τὸ φαινόμενον λέγειν, καὶ τοῦ ὡς ἐν μύθῳ πιθανοῦ μόνου γίνεσθαι, μὴ ἐξαφανίζειν δὲ δι' ἀλληγορίας αὐτόν, πλὴν εἴ που λέξεις τινὰς παραρρίψει, λαβὰς διδοὺς εἰς ἀλληγορίαν, ὃ καὶ Ὅμηρος ποιεῖ, ὃς κἀνταῦθα τὴν τοιαύτην θεραπείαν τοῦ κατὰ τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπολίθωσιν μύθου ἐνέφηνεν ἐν τῷ μνησθῆναι Σιπύλου καὶ πετρῶν ὀρεινῶν καὶ Νηΐδων νυμφῶν. τοιαῦται γὰρ αἱ ἀμφ' Ἀχελῷον, ὡς εἴρηται. ὅτι δὲ τοῖς τῶν ὀρέων ἄκροις φαντασίαι ζῴων ἐμφαίνονται, δηλοῦσι καὶ παῖδες ζωγράφων, χειρογραφοῦντες μιμητικῶς τὴν ἀλήθειαν. γράψαντες γὰρ ὄρος ἐμφαντάζουσι τεχνικῶς διὰ τῶν χρωμάτων τοῖς ἄκροις λεόντων ἤ τινων ἑτέρων ζῴων μορφάς. καὶ τοιαῦτα μὲν καὶ ταῦτα. εἰκὸς δὲ καὶ μετὰ τὸν ὄλεθρον τῶν παίδων ταχὺ τὴν Νιόβην θανοῦσαν καὶ κατορυγεῖσαν, εἶτα στεγανωθεῖσαν λίθοις τὸ πᾶν, ὁποῖόν τι καὶ περὶ τὸν Ἕκτορος γενήσεται τάφον, τοιούτῳ μύθῳ ἐντεῦθεν ἐπιγραφῆναι. ἐνάγει δὲ εἰς νοῦν τοιοῦτον καὶ Σοφοκλῆς, ὃς τὴν Ἀντιγόνην οὕτω κατορυχθεῖσαν, ὅτε τὸν ἀδελφὸν Πολυνείκην ταφῇ καθωσίωσε, τῇ Νιόβῃ παρείκασε. φέρεται δὲ καὶ ἀστεῖον ἐπὶ τῇ Νιόβῃ ἐπίγραμμα τοῦτο. ὁ τύμβος οὗτος ἔνδον οὐκ ἔχει νέκυν· ὁ νεκρὸς οὗτος ἐκτὸς οὐκ ἔχει τάφον· ἀλλ' αὐτὸς αὑτοῦ νεκρός ἐστι καὶ τάφος. καὶ μήποτε Σοφοκλῆς καὶ τούτου τὴν ἀρχὴν ἐνδέδωκεν, ἔνθα φησὶν ἐν πετραίῳ τάφῳ τὴν Νιόβην δακρύειν. (v. 617) Τὸ δὲ «κήδεα πέσσει» ὅμοιόν ἐστιν, ὡς καὶ προείρηται, τῷ «ἄλγεα ἐν θυμῷ κατακεῖσθαι ἐάσομεν». (v. 619) Τὸ δὲ «κλαίοισθα» δηλοῖ καὶ τοῖς εὐκτικοῖς ῥήμασι προσέρχεσθαι τὴν θα ἐπέκτασιν. (v. 620) Τὸ δὲ «πολυδάκρυτος δέ τοι ἔσται» ἢ ἀφελῶς οὕτως εἴρηται ὡς τῆς ἐνταῦθα ἐποχῆς τοῦ δακρύου πολλῆς ἀναρραγησομένης ἐκεῖ, ἢ δηλοῖ ὡς ἐνταῦθα μὲν οὐ πολὺ γέρας τῷ κειμένῳ, ἑνός τινος ἐπ' αὐτῷ δακρύοντος, ἐν δὲ Τροίᾳ πλεῖον τὸ γέρας, πολλῶν δακρυόντων. (v.

4.965 621) Ὅτι καὶ ἐνταῦθα τὸ ἡρωϊκὸν αὐτοδιάκονον φαίνεται, ἐν οἷς Ἀχιλλεὺς αὐτὸς ἀναΐξας ὄϊν ἄργυφον σφάζει διὰ τὸν γέροντα. (v. 622—6) Ἔνθα γοργῶς, καθὰ καὶ ἀλλαχοῦ, διασκευάζων τὰ κατὰ τὴν δαῖτα, καὶ τῷ στενῷ τοῦ καιροῦ συνεπιτέμνων τὸν λόγον, φησὶν «ἕταροι δ' ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον, μίστυλλόν τ' ἂρ ἐπισταμένως πεῖράν τ' ὀβελοῖσιν, ὤπτησάν τε περιφραδέως ἐρύσαντό τε πάντα. Αὐτομέδων δ' ἄρα σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ καλοῖς ἐν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς». (v. 621) Ἐνταῦθα δὲ ὅρα τὸ ἄργυφον ἐπὶ προβάτου τεθέν, ὥστε οὐκ ἐπὶ μόνου ἱματίου παρὰ τὸ λευκὸν τοῦ ὕφους ἡ λέξις κεῖται, ἀλλὰ καὶ ἐπὶ ζῴου ἀργοῦ φανῆναι, ἤτοι λευκοῦ, τραπέντος ὡς καὶ ἐν τῷ «ἀργύφεον σπέος», Αἰολικῶς τοῦ ο εἰς τὸ υ . (v. 622) Τὸ δὲ «εὖ» καὶ τὸ «κατὰ κόσμον» τῆς αὐτῆς ἐννοίας εἰσίν. [(v. 623) Ἰστέον δὲ ὅτι ἐκ τοῦ Ὁμηρικοῦ μιστύλλειν οὐ μόνον, ὡς καὶ ἐν ἄλλοις ἐρρέθη, τὸ μιστυλᾶσθαι παρῆκται κατά τινα ἐμφαινομένην ἀμυδρὰν ὁμοιότητα, ὃ παρὰ τῷ Κωμικῷ κεῖται, ἀλλὰ καὶ ἡ μιστύλη, ἥ, φασί, καὶ μύστρος λέγεται, ὡς δηλοῖ παρὰ τῷ Δειπνοσοφιστῇ τὸ «δοθέντων μύστρων χρυσῶν», καὶ τὸ «ἀλφιτοπώλαις, μυστριοπώλαις», καὶ ἑξῆς. δῆλον δ' ὅτι ὑποκοριστικὸν τὸ μυστρίον, ὅθεν οἱ μυστριοπῶλαι. (v. 624) Τοῦ δὲ ὀπτᾶν πολλὰ μὲν καὶ ἄλλα προῆκται, καὶ ἡ παρὰ τῷ Ἀθηναίῳ δὲ ὀπτήσιμος γογγυλίς, ἤγουν ἐπιτηδεία ὀπτᾶσθαι. (v. 626) Τὸ δὲ «νεῖμε», ταὐτὸν δ' εἰπεῖν, ἐπένειμεν, ἔστιν εἰπεῖν καὶ νεμήσασθαι, ὡς δῆλον ἐκ τοῦ «τὰ δὲ λοιπὰ κρέα νεμησάμενοι». τοῦτο δὲ καὶ νωμῆσαι οἶδε λέγειν ὁ ποιητής.] (v. 629 s.) Ὅτι Πρίαμος μετὰ τὸ φαγεῖν καθήμενος «θαύμαζ' Ἀχιλῆα, ὅσσος ἔην οἷός τε· θεοῖσι γὰρ ἄντα ἐῴκει». (v. 631 s.) Εἶτα ἀντιστρέφων τὸ θάμβος ὁ ποιητής φησιν «αὐτὰρ Πρίαμον θαύμαζεν Ἀχιλλεύς, εἰσορόων ὄψιν τ' ἀγαθὴν καὶ μῦθον ἀκούων.

4.966 αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες», ζητεῖ κοιμηθῆναι ὁ γέρων ὡς ἤδη ἐκφροντίσας, εἰπὼν ὅσα καί τις ἐν πένθει μείνας ἐπὶ μακρὸν ἄϋπνος καὶ ἄσιτος. (v. 635—42) Φησὶ γὰρ «λέξον», ἤγουν κοίμισον, «νῦν με τάχιστα, διοτρεφές, ὄφρα καὶ ἤδη ὕπνῳ ὑπὸ γλυκερῷ ταρπώμεθα κοιμηθέντες· οὐ γάρ πω μύσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσιν, ἐξ οὗ σῇς ὑπὸ χερσὶν ἐμὸς πάϊς ὤλεσε θυμόν, ἀλλ' αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον. νῦν δὴ καὶ σίτου πασάμην», ὅ ἐστιν ἐγευσάμην, «καὶ αἴθοπα οἶνον λαυκανίης καθέηκα», τουτέστι λαιμοῦ, ὡς προγέγραπται ἐν τῷ φόνῳ τοῦ Ἕκτορος, «πάρος γε μὲν οὔ τι πεπάσμην». μέγα τοίνυν εἰς οἶκτον καὶ τὸ διὰ τοσούτων ἡμερῶν καὶ ἄϋπνον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διατελέσαι τὸν γέροντα πενθοῦντα καὶ μηδέν τι πάσασθαι. Ἰστέον δὲ ὡς εἶχε μὲν ἀπαγαγεῖν Ὅμηρος αὐτίκα νῦν τοῦ ναυστάθμου τὸν Πρίαμον. ἐπεὶ δὲ τὸ ὑπνῶσαι αὐτὸν παρὰ τῇ σκηνῇ τοῦ Ἀχιλλέως ἔχει καὶ αὐτὸ ἀγαθὴν λόγου τριβήν, πλάττει καὶ τοῦτο πιθανῶς. (v. 630) Ἰστέον δὲ καὶ ὅτι τὸ «ὅσσος ἔην οἷός τε» τῷ ἀορίστῳ τῆς φράσεως αὔξει τὸν τοῦ ἥρωος ἔπαινον. ἐμφαίνει γὰρ μὴ ἂν εἶναι ῥᾷον περιηγήσασθαι τὰ ἐκείνου ἐκφραστικῶς. Τὸ δὲ «θεοῖσιν ἄντα ἐῴκει» ὁμοιοῦται μὲν πρὸς τὸ «θεαῖς εἰς ὦπα ἐῴκει», βούλεται δὲ θεοειδέα τὸν Ἀχιλλέα εἰπεῖν. καὶ ἔστι τὸ «θεοῖς ἐοικώς» περίφρασις τοῦ θεοειδής. (v. 632) Τὸ δὲ «εἰσορόων ὄψιν ἀγαθὴν καὶ μῦθον ἀκούων» δοκεῖ παραφρασθῆναι ἐκ τοῦ «ὅσσος ἔην οἷός τε», ὡς καὶ τοῦ Πριάμου θαυμαστοῦ ὄντος κατὰ τὸν Ἀχιλλέα, ἵνα ἡ μὲν ὄψις εἴη δηλωτικὴ τῆς ἐν τῷ «ὅσσος» ποσότητος, ἡ δὲ ἐν μύθοις δεξιότης τῆς ἐν τῷ «οἷος» ποιότητος. (v. 635) Τὸ δὲ «λέξον» ἀντὶ τοῦ κοίμησον, κελεύσας ὑποστρωθῆναί μοι δηλαδὴ λέχος. ἐπεὶ δὲ ὁμώνυμον ἄλλως τὸ «λέξον», διασαφεῖ ἐπαγαγὼν «ὄφρα ὕπνῳ ταρπώμεθα» καὶ ἑξῆς. (v. 636) Τοῦ δὲ «ὕπνῳ ταρπώμεθα» ὁμοιότης ἀνωτέρω ἐν τῷ «τάρπησαν ὁρόωντες», ὃ ταὐτόν ἐστι τῷ τάρπησαν τῇ ὄψει. (v. 637) Τὸ δὲ «οὐ γάρ πω μύσαν ὄσσε» μύσιν λέγει τὴν ἐπὶ ὕπνῳ. ἄλλως γὰρ οὐκ ἂν εἴη ἀληθὴς ὁ λόγος. (v.

4.967 639) Τὸ δὲ «κήδεα πέσσειν» ῥηθὲν κἀνταῦθα ὡς καὶ ἐπὶ Νιόβης, τὸ καίριον δηλοῖ τῆς φράσεως, δι’ ἣν ἡ ἐπιμονή. (v. 640) Τὸ δὲ «αὐλῆς ἐν χόρτοις», περὶ οὗ κεῖταί τι καὶ ἐν ταῖς Λιταῖς, οἳ μέν φασιν ἐν τοῖς περιχωρήμασι τῆς αὐλῆς, ἔνθα χόρτοι τὰ πολλὰ φύονται, εἴπερ εὐρεῖα ἡ αὐλὴ καὶ κόπροις πίων, οἳ δὲ περιφραστικῶς ἁπλῶς ἀντὶ τοῦ ἐν τῇ αὐλῇ, ὡς ἀπὸ ἀρχαίου ἔθους ἀγροτικοῦ, οἳ τὰς αὐλὰς περιορίζοντες χόρτοις περιέγραφον, ἀφιέντες αὐτομάτως φύεσθαι αὐτούς. (v. 641) Τὸ δὲ «σίτου πασάμην» περίφρασίς ἐστι τοῦ ἔφαγον, ὡς καὶ τὸ «αἴθοπα οἶνον» καὶ ἑξῆς τοῦ ἔπιον. (v. 642) Τὸ δὲ «πάρος γε μὲν οὔ τι πεπάσμην» ἀλλαχοῦ παρῳδηθὲν ἐπὶ ἀκοῆς, ἐρρέθη «πάρος γε μὲν οὔ τι πεπύσμην», ἤγουν οὐδέν τι προέμαθον. Τὸ δὲ «καθέηκα» πάνυ ἐστὶ καιριώτατον. ἀνίησι μὲν γὰρ ὁ ἐξεμῶν, ὁ δὲ ἐσθίων καὶ πίνων καθίησι πάντως τοῦ λαιμοῦ. (v. 644) Ὅτι σαφῶς καὶ ἐνταῦθα δηλοῦται, τί ἐστιν ἡ αἴθουσα, ὅτι δηλαδὴ ἐξωτάτω πρὸς τῇ αὐλῇ τόπος, ἐν ᾧ ἀναγκαίως κατακοιμίζεται Πρίαμος, ὡς ἂν ῥᾷον πιθανῶς ἀναχωρήσῃ. προϊὼν δὲ τὴν αἴθουσαν πρόδομόν φησιν ἐν τῷ «οἳ μὲν ἐν προδόμῳ δόμου κοιμήσαντο», ὅπερ καὶ κάλλος ἔχει φράσεως, ὁποῖον τὸ «Σαμία μία», καὶ τὰ τοιαῦτα. (v. 643—6) Ἐν τούτοις δὲ ἑρμηνεύων τὴν διάθεσιν τῆς στρωμνῆς φησι «δμῳῇσι κέλευε δέμνι’ ὑπ’ αἰθούσῃ θέμεναι καὶ ῥήγεα καλὰ πορφύρεα ἐμβαλέειν, στορέσαι τ’ ἐφύπερθε τάπητας, χλαίνας τ’ ἐνθέμεναι οὔλας καθύπερθεν ἕσασθαι», τουτέστιν ἐνδύσασθαι. ταῦτα δὲ καὶ ἐν Ὀδυσσείᾳ κεῖνται ὁμοίως. Καὶ ὅρα ὅτι τε ταὐτὸν τὸ «ἐμβαλεῖν» καὶ τὸ «ἐνθέμεναι», ὅπερ δὶς ἔφη ὁ ποιητὴς διὰ τὸ τῆς λέξεως ἐν ποιήσει καίριον, καὶ ὅτι ὑπόκειται μὲν τὰ δέμνια, ἐπιβέβληται δὲ τὰ ῥήγεα, ἐστορέσθησαν δὲ οἱ τάπητες ὕπερθεν—ἐπιφανείας γὰρ τὸ στόρεσμα πανταχοῦ—, ἔτι δὲ ὕπερθεν αἱ χλαῖναι, ὡς ὑποκεῖσθαι μὲν δέμνια δίκην κλίνης καὶ ῥήγεα χάριν ἀναπτώσεως, ὑπερκεῖσθαι δὲ τάπητας μὲν εἰς σκέπην κατά τινας, χλαίνας δὲ εἰς ἔνδυσιν.

4.968 (v. 644) Δῆλον δὲ ὡς δέμνια ἐκ μέρους καὶ ἡ ὅλη στρωμνὴ λέγεσθαι εἴωθε. παρὰ δὲ Αἰλίῳ Διονυσίῳ καὶ ἑτέροις φέρεται καὶ ταῦτα. δάπιδες· στρώματα ἄττα. Φερεκράτης «ὁ χορὸς δ’ αὐτοῖς εἶχε δάπιδας ῥυπαρὰς καὶ στρωματοδέσματα». λέγουσι δέ, φησί, καὶ ἐν τῷ ταῦ τάπιδας. καὶ δάπητας δέ, φησίν, ἔλεγον οἱ παλαιοὶ τὰ ἐπιβόλαια. οἱ δὲ νεώτεροι τάπητας ἐν δυσὶ ταῦ, τῷ κατὰ τὴν ἀρχήν, τῷ κατὰ τὸ τέλος. ὅτι δὲ οἱ τάπητες οὐ σκέπουσιν, ὡς ἐρρέθη, ἀλλ’ ὑπόκεινται μᾶλλον, ὡς καὶ ἡ ἐτυμολογία δηλοῖ, παρὰ τὸ πατεῖσθαι γὰρ γίνονται, πολλαχοῦ φαίνεται. εἴρηται δὲ περὶ αὐτῶν καὶ πρὸ μικροῦ. (v. 645) Τὸ δὲ «στορέσαι», καθὰ καὶ τὸ στρῶσαι, καὶ ἐπὶ λίθων λέγεται, ὡς δηλοῖ τὸ «ἔστρωσε λίθοις τὴν ὁδόν», καὶ τὸ «λίθοις κατεστόρεσαν μεγάλοις τὸ τοῦ Ἕκτορος σῆμα», καὶ ἐπὶ σανίδων δέ, ἐξ ὧν τὸ ἐν νηῒ κατάστρωμα, καὶ ἐπὶ κυμάτων δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γαλήνης ἡ λέξις κεῖται. (v. 644) Ὅτι δὲ ῥήγεα κυρίως τὰ βαπτά, καὶ τίνες αἱ οὖλαι χλαῖναι, ἐν ἄλλοις εἴρηται. (v. 648) Ὅτι ἐν τῷ «ἐστόρεσαν αἱ δμῳαὶ λέχε' ἐγκονέουσαι» φασὶν οἱ παλαιοί, ὡς τὸ πονεῖν καὶ ἐνεργεῖν Ἰακῶς ἐγκονεῖν λέγεται, ὥσπερ καὶ τὸ ὅπως ὅκως, καὶ τὰ ὅμοια. δουλίδων δὲ καὶ ἐνταῦθα ἔργον τὸ τοιαῦτα διακονεῖν. παρὰ δὲ τοῖς μεθ' Ὅμηρον καὶ ἄνδρες οὕτως ὑπούργουν, ὡς καὶ οἱ στρῶται δηλοῦσιν οἱ παρὰ Πέρσαις.

4.969 (v. 649—55) Ὅτι ἐπικερτομέων ὁ Ἀχιλλεύς, τουτέστι μετρίως χλευάζων, εἶπε τῷ Πριάμῳ «ἐκτὸς μὲν δὴ λέξο», τουτέστι κοιμήθητι, «γέρον φίλε, μή τις Ἀχαιῶν ἐνθάδ' ἐπέλθησι βουληφόρος, οἵ τέ μοι αἰεὶ βουλὰς βουλεύουσι παρήμενοι, ἣ θέμις ἐστί· τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν, αὐτίκ' ἂν ἐξείποι τῷ βασιλεῖ, καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένοιτο», τουτέστιν ἀναβολὴ καὶ ἀργία, ὃ δὴ μάλιστα δάκνει τὸν γέροντα. καὶ οὕτω μὲν ὁ Ἀχιλλεύς, οὐκ ἀληθῆ λέγων, ἀλλ' ὑποπαίζων, καί, ὡς εἰπεῖν, λέων καὶ οὗτος γελῶν. Ἔνθα καὶ σημείωσαι τὸ κερτομεῖν, οὐ τραχύτητα ἔχον ὑβριστικὴν ἢ ὀνειδιστικήν, ἀλλ' εἰσήγησιν φόβου ψευδοῦς, ἵνα μὴ ὁ γέρων βασιλεὺς λυπηθῇ ὡς ἔξω παραρριπτούμενος. (v. 685—8) Ἑρμῆς δὲ ἐν τοῖς ἑξῆς, ὁποῖος ἂν καὶ εἴη αὐτὸς εἴτε ὁ κατὰ ἀλληγορίαν ἐνδιάθετος εἴτε καὶ ὁ τοῦ μύθου εἴτε καὶ ὁ καθ' ἱστορίαν ὑπονοούμενος, μείζω φόβον ἐπισείει τῷ γέροντι, εἰπών, ὡς «νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ' ἔδωκας· σεῖο δέ κεν ζῴου καὶ τρὶς τόσα δοῖεν», ὡς εἰκός, «ἄποινα παῖδες τοὶ μετόπισθε λελειμμένοι, αἴκε βασιλεὺς γνοίῃσι, γνώωσι δὲ πάντες Ἀχαιοί». Καὶ τοῖς λόγοις τούτοις Ἀχιλλεὺς μὲν τὸν γέροντα πιθανῶς ἔξω κοιμίζει, Ἑρμῆς δὲ εἰς ὁδὸν ἀφυπνίζει δείσαντα, ὡς δηλοῦται ἐν τῷ «ἔδδεισε δ' ὁ γέρων», ὃ δήπου καὶ ἐπὶ Χρύσου εἴρηται, καὶ διὰ τοῦτο μηδὲ συνταξάμενον τῷ Ἀχιλλεῖ ὡς οὐδὲ ὁ Τηλέμαχος Νέστορι ἐν τοῖς κατὰ τὴν Ὀδύσσειαν. ταῦτα δὲ οἰκονομίαι εἰσὶ τοῦ ποιητοῦ εἰς τὸ λαθεῖν τὸν Πρίαμον ὥσπερ ἐλθόντα, οὕτω καὶ ἀπελθόντα, μὴ καὶ ἁλοὺς πράγματα παρέξει Ὁμήρῳ εἰς τὸ πιθανεύσασθαι δεξιῶς τὴν αὐτοῦ λύσιν. [Ἰστέον δὲ ὅτι ἐν οἷς ὁ Ἀχιλλεὺς κερτομεῖ, δοκεῖ καὶ σεμνύνεσθαι, βεβαιῶν ὡς πάντα δι' αὐτοῦ γίνεται, καὶ ὡς πάντες πρὸς αὐτὸν φοιτῶσι, θρυπτόμενος πρὸς τὸν γέροντα, ἵνα καὶ ἡ ῥηθησομένη τῆς μάχης ἀνοχὴ πιστὴ δόξῃ αὐτῷ.

4.970 Ὅρα δὲ ὡς καὶ Ζωΐλῳ καὶ ἄλλοις ἐπηρεασταῖς τόπους ἀνασκευῆς ἐν τῇ ῥαψῳδίᾳ ταύτῃ δέδωκεν Ὅμηρος. δοκεῖ γὰρ οὐ πιθανὸν ἐθελῆσαι νύκτωρ τὸν Πρίαμον ἐπιβαλεῖν τῷ ναυστάθμῳ μὴ φθάσαντα πρεσβεῦσαι καὶ σχεῖν ἐνδόσιμον. ἔτι δὲ καὶ τὸ λαθόντα τοὺς νυκτοφύλακας εἰσελθεῖν, καὶ τὸ ἔσω τῆς τοῦ Ἀχιλλέως γενέσθαι κλισίας οὕτω κατησφαλισμένης. καινότατον δὲ καὶ τὸ πεῖσαι τὸν ἄγριον καὶ λόγοις θέλξαι τὸ θηρίον. τὸ δ' ἦν ὁ Ἀχιλλεύς. ἀπίθανον δὲ καὶ τὸ τολμῆσαι τὸν γέροντα παρρησιάσασθαι τὴν δέησιν, καὶ ἐπὶ τῷ υἱῷ δὲ παθήνασθαι, οὗ καὶ μνήσασθαι μόνον ὤκνει ὁ ἥρως, καὶ τὸ μὴ ὑποπτῆξαι, ὡς εἰ καὶ τὸν Ἀχιλλέα πείσει, ἀλλ' ὁ βασιλεὺς ἴσως αὐτὸν συσχὼν ἢ λύτρα μυρία λήψεται ἢ ἀλλὰ καὶ τὴν Ἑλένην προσαπαιτήσας λάβοι. ἔχει δ' ἀπορίαν καὶ ὁ κατὰ τὸν γέροντα ὕπνος, καὶ πῶς ἔλαθεν ἐπανερχόμενος, καὶ πῶς ὁ Ἕκτωρ ἄταφος ἐπὶ πολὺ κείμενος καὶ γυμνὸς δὲ περιελκόμενος οὔτε ὦζεν ἄρτι καὶ οὐδὲ ἀπεδρύφθη τῶν σαρκῶν. ταῦτα δὲ πάντα καὶ ὅσα τοιαῦτα ὑποκρουσάμενος τοῖς Ὁμηρισταῖς ὁ ποιητὴς αὐτὸς αὖθις ἐπελύσατο διά τε θείων προσώπων καὶ διὰ λόγων δεξιότητος καὶ δι' ὀνείρου καὶ ἑτεροίων τρόπων ἐθάδων αὐτῷ, καθὰ δέδεικται. ὡς δὲ φιλοτιμότερον ὁ Ἀχιλλεὺς ἐρρητόρευσεν ἐπιδεικνύμενος τῷ σοφῷ γέροντι, δέδεικται καὶ αὐτό.] (v. 650) Ὅρα δὲ ὅτι τὸ συσσίτιον καὶ τὰ δῶρα οὕτω κατήλλαξαν τῷ Ἀχιλλεῖ τὸν Πρίαμον, ὥστε κατὰ Ἑρμοῦ ἔργον καὶ ἑταιρίσασθαι καὶ γέροντα φίλον αὐτὸν προσειπεῖν. [Τὸ δὲ ῥηθὲν «λέξο» ἐκ τοῦ ἐλελέγμην ἐλέλεξο κλιθέν, κατὰ τὸ ἐτέτυψο, ἀφαιρέσει ποιητικῇ τῶν αὐξήσεων, ὅμως οὐ χρηστόν ἐστι λέξει πεζῇ. (v. 651) Ὅρα δὲ καὶ τὸ «ἐπέλθησιν» ἀντὶ τοῦ «ἐπ' ἐμὲ ἔλθῃ», ἀσύνηθες ὂν τοῖς μεθ' Ὅμηρον.

4.971

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτοὶ γὰρ μάχιμον λέξιν ταύτην οἴδασιν, οἷον «ἐπῆλθε στρατός». Τὸ δὲ «βουληφόρος» προσηγορικῶς ἔχει. ἀντὶ πληθυντικοῦ γὰρ εἴρηταί πως, ὡς δηλοῖ τὸ «οἵ τέ μοι αἰεί», καὶ ἑξῆς.] (v. 652) Τὸ δὲ «βουλὰς βουλεύουσιν» Ἀττικῶς κεκίνηται, ὡς πολλαχοῦ εἴρηται. Τὸ δὲ «καθὰ θέμις ἐστι», καὶ τὸ «αἰεί» τῆς τοῦ Ἀχιλλέως ἐστὶ σεμνότητος, ὡς ἀεί τε τῶν βουληφόρων περὶ αὐτὸν ἀθροιζομένων, καὶ ὡς θεμιτὸν ὂν οὕτω γίνεσθαι διὰ τὸ περιφανὲς τοῦ ἥρωος. (v. 655) Τῆς δὲ ἀναβλήσεως θέμα τὸ παρ’ Ἡσιόδῳ ἀναβάλλεσθαι, ὅθεν καὶ ὁ ἀμβολιεργός. (v. 656—8) Ὅτι οὕτω φιλίως ἔσχεν ὁ Ἀχιλλεὺς τῷ ἱκέτῃ Πριάμῳ, ὡς καὶ ἐρωτῆσαι αὐθορμήτως ἐκεῖνον «ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον; ὄφρα τέως», ἤγουν ἐν τοσούτῳ, «αὐτός τε μένω καὶ λαὸν ἐρύκω», ὡς πολέμαρχος δηλαδή. καὶ οὕτω μὲν Ἀχιλλεύς. ὁ δὲ γέρων δώδεκα ἡμέρας ὁρίζει τῷ πράγματι, ὡς ῥηθήσεται. Ὅρα δὲ ὡς καθ’ ὁμοιότητα τοῦ «αὐτῆμαρ» καὶ «ἐννῆμαρ» λέγει ἐνταῦθα καὶ «ποσσῆμαρ», ἤτοι πόσας ἡμέρας, καὶ ὅτι δῖον τὸν ἔχθιστον Ἕκτορα λέγει, ὡς ἤδη καταμαλαχθεὶς εἰς πρᾳότητα, δι’ ἣν καὶ τὸν Πρίαμον γέροντα φίλον προσέφη, ὃς δὴ γέρων θαρρήσας ἤδη ὡς οὐ χολοῦται Ἀχιλλεύς, δῖον καὶ αὐτὸς τὸν υἱὸν καλεῖ, ὡς αὐτίκα εἰρήσεται, εὐκαιρήσας εἰς ἔπαινον τοῦ φιλτάτου παιδός. (v. 660—7) Ὅτι ὁ Πρίαμος δώδεκα ἡμέρας ἐνδοθῆναι, ὡς ἐρρέθη, αὐτῷ ζητεῖ πρὸς Ἀχιλλέως, ὡς πολεμάρχου δηλαδή, εἰπὼν «εἰ μὲν δή μ’ ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίῳ, ὧδε κέ μοι ῥέξας», ἢ «ῥέζων, Ἀχιλεῦ, κεχαρισμένα θείης», ὅπερ ἐστὶ περίφρασις τοῦ χαρίσαιο, τουτέστι τὰ πρὸς χάριν ποιήσοις. «οἶσθα γὰρ ὡς κατὰ ἄστυ ἐέλμεθα», ὅ ἐστιν εἰλούμεθα, συγκλειόμεθα, «τηλόθι δ’ ὕλη ἀξέμεν ἐξ ὄρεος, μάλα δὲ Τρῶες δεδίασιν. ἐννῆμαρ μὲν αὐτὸν ἐνὶ μεγάροις γοάοιμεν, τῇ δεκάτῃ δέ κε θάπτοιμεν, δαινῦτό τε λαός· ἑνδεκάτῃ δέ κε τύμβον ἐπ’ αὐτῷ ποιήσαιμεν, τῇ δὲ δυωδεκάτῃ πολεμίξομεν, εἴ περ ἀνάγκη», ἀντὶ τοῦ ἐπεὶ πέπρωται οὕτως. ἀνάγκη γὰρ νῦν μάλιστα, ἡ δοξαζομένη κρείττων εἶναι καὶ τῶν Μοιρῶν.

4.972 δύναται δὲ νοηθῆναι καὶ ἀντὶ τοῦ «ἐάν περ ἀνάγκη», ὡς μὴ φύσει μηδὲ ἀναγκαίου τοῦ πολέμου ὄντος, θέσει δὲ καὶ ἐξ ἔριδος οἷα τυκτοῦ κακοῦ, ὥς που προείρηται. Καὶ ὅρα ὅπως γοργῶς διὰ τὸ μὴ εὐκαιρεῖν ἐν ὀλίγοις ἔπεσι διασκευὴν ἐνδόξου ταφῆς προεξέθετο. (v. 664) Ἰστέον δὲ ὅτι βαρβαρικὸν τὸ ἐννῆμαρ κλαίειν τὸν νεκρόν, ὥσπερ καὶ αἱ μετ’ ὀλίγα δηλωθησόμεναι ἀοιδοὶ θρήνων ἔξαρχοι. ὁ γάρ τοι ἄγαν φιλῶν τὸν Πάτροκλον Ἀχιλλεὺς ἄλλως ἐκεῖνον Ἑλληνικῶς ἐτίμησεν. τάχα δὲ καὶ διότι τηλόθεν ἡ ὕλη τοῖς ἄνω περὶ τὴν Τροίαν, καθάπερ ὁ γέρων λέγει, ταῖς ἡμέραις τῆς κομιδῆς ἐκείνης ὁ γόος συμμεμέτρηται. Ὅρα δὲ καὶ τὰ ἐν πενθικῷ λόγῳ πάρισα, οὐ κατ’ ἐπιτήδευσιν εὑρημένα, οἴκτοις γὰρ οὐ πάνυ δοκεῖ πρέπειν τὰ τοιαῦτα, τεθειμένα δὲ κατὰ φύσιν ἀφελῶς, τὸ γοάοιμεν, θάπτοιμεν, ποιήσαιμεν, πτολεμίξομεν. [Δῆλον δ’ ὅτι καὶ ὁ γόος καὶ τὸ γοᾶν ὠνοματοπεποίηνται, ἐξ ὧν καὶ ὁ γόης, ὡς ἐν ἄλλοις δεδήλωται.] (v. 662) Ὅρα δὲ καὶ ὡς ἐκ τοῦ γαρ συνδέσμου κἀνταῦθα ἤρξατο, εἰπὼν «οἶσθα γάρ», καὶ ἑξῆς, ὅπερ καὶ ὁ ἐπει σύνδεσμος ποιεῖ, φίλαρχος ὢν ποτε καὶ αὐτός. λέγει οὖν· ἐπειδὴ τὰ καὶ τὰ πάσχομεν, ἐννῆμαρ μὲν γοάοιμεν, καὶ τὰ ἑξῆς, ὡς ἐν λόγῳ συνήθους προαναφωνήσεως. (v. 663) Τὸ δὲ «ἄγειν ὕλην» καὶ νῦν ἢ τὸ κλᾶν δηλοῖ, ὅθεν καὶ ἡ ἀξίνη, ἢ ἁπλῶς τὸ φέρειν. (v. 665) Τὸ δὲ δαίνυσθαι ἐνταῦθα τὸν τάφον δηλοῖ, τουτέστι τὸ ἐπὶ τῷ νεκρῷ περίδειπνον, ὃ καὶ αὐτὸ δαῖτα ἔστι λέγειν γενικῶς. εἴη δὲ ἂν ἐνταῦθα τὸ «δαινῦτο» συγκοπὲν ἴσως ἐκ τοῦ δαινύοιτο, ἵνα ὁμοεγκλίτως εἴη «δάπτοιμεν δαινύοιτό τε λαός». (v. 669 s.) Ἰστέον δὲ ὅτι τοῦ γέροντος δωδεκαήμερον, ὡς εἴρηται, προθεσμίαν αἰτήσαντος, Ἀχιλλεύς φησιν «ἔσται τοι καὶ ταῦτα, γέρον Πρίαμε, ὡς σὺ κελεύεις· σχήσω γὰρ τόσσον πόλεμον χρόνον, ὡς σὺ ἄνωγας», ἢ «ὅσσον ἄνωγας».

4.973 Ἔνθα ὅρα ὅτι τε ταὐτὸν κελεύειν καὶ ἀνώγειν, καὶ ὡς τὸ πᾶν δύναται Ἀχιλλεὺς παρὰ τοῖς Ἀχαιοῖς. (v. 671 s.) Λέγει δὲ ὁ ποιητὴς καὶ ὅτι οὕτως εἰπὼν Ἀχιλλεὺς «ἐπὶ καρπῷ χεῖρα γέροντος ἔλλαβε δεξιτερήν, μή πως δείσῃ ἐνὶ θυμῷ». μέγα οὖν εἰς πίστωσιν τὸ δεξιοῦσθαι, ὅ ἐστι τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δεξιῶν χειρῶν ἅπτεσθαι. Ὅρα δὲ καὶ ὡς οὐ θέναρος οἱ δεξιούμενοι, ἀλλὰ καρποῦ ἥπτοντο. οὐδαμοῦ δὲ τὸ τοιοῦτον σαφέστερον ἡρμήνευσεν ὁ ποιητής. (v. 675) Κεῖται δ’ ἐν τούτοις πάλιν τὸ εὔπηκτον, ὡς καὶ ἐν τῇ ι′ ῥαψῳδίᾳ ἐπὶ σκηνῆς, ὡς ἑτέρωθι ἐπὶ οἴκων τὸ τυκτόν καὶ εὔτυκτον. φησὶ γὰρ «αὐτὰρ Ἀχιλλεὺς εὗδε μυχῷ κλισίης εὐπήκτοιο», ἤγουν εὐπαγοῦς. εἶπε δὲ τὸ «μυχῷ» πρὸς διαστολὴν τοῦ κατὰ τὴν αἴθουσαν προδόμου, ἔνθα καὶ κοιμήσαντο κῆρυξ καὶ Πρίαμος. (v. 676) Εἶτα μέμνηται Ὅμηρος εἰς οὐδὲν ἀναγκαῖον καὶ τῆς Βρισηΐδος, ὑποκινῶν τῷ ἀκροατῇ μνήμην αὐτῆς, ὡς μυρίων περιπετειῶν αἰτίας διὰ τὴν ἐπ’ αὐτὴν μῆνιν τοῦ Ἀχιλλέως. φησὶ γὰρ «τῷ δὲ Βρισηῒς παρελέξατο καλλιπάρῃος». (v. 677- 81) Ὅτι κἀνταῦθα σχῆμα κεῖται τῷ ποιητῇ σύνηθες τὸ «ἄλλοι μὲν θεοὶ καὶ ἄνδρες εὗδον παννύχιοι μαλακῷ δεδμημένοι ὕπνῳ, ἀλλ’ οὐχὶ τὸν δεῖνα ὕπνος ἔμαρπτεν, ὁρμαίνοντα ἀνὰ θυμὸν ὅπως» τόδε τι ποιήσῃ. περὶ Ἑρμοῦ δὲ ἐριουνίου ὁ λόγος, ταὐτὸν δ’ εἰπεῖν, Ὁμήρου τοῦ κατὰ λογιότητα Ἑρμαϊκοῦ, μελετῶντος ἐκ τοῦ ναυστάθμου τὸν Πρίαμον πιθανῶς περισώσασθαι. (v. 681) Ἰστέον δὲ καὶ ὅτι, ὥσπερ ἀλλαχοῦ τὸ τῶν φυλάκων τάγμα τέλος ἱερὸν εἶπεν, οὕτω καὶ ἐνταῦθά φησιν, ὅπως Ἑρμείας Πρίαμον βασιλῆα νηῶν ἐκπέμψειε λαθὼν ἱεροὺς πυλαωρούς, καλέσας ἐν παρισώσει αὐτοὺς ἱεροὺς διὰ τὸ ἄγρυπνον αὐτῶν καὶ ὑπὲρ τοῦ κοινοῦ φροντιστικόν, ᾧ λόγῳ καὶ πόλεις φησὶν ἱεράς. (v.

4.974 683—5) Ὅτι ἐγερτικὸν τοῦ ἐν ἀλλοτρίᾳ γῇ ἀναπίπτοντος τὸ «ὦ γέρον, οὐ νύ τι σοί γε μέλει κακόν, οἷον ἔτι εὕδεις ἀνδράσιν ἐν δηΐοισιν», ὅ ἐστι πολεμίοις, ὡς ἐν τῇ τῶν φίλων οὐ χαλεπὸν ὂν ἀναπαύεσθαι. καθ’ ὕπνον δὲ στὰς ὑπὲρ κεφαλῆς ὁ Ἑρμῆς οὕτω πρὸς Πρίαμον ἐλάλησεν, ἐπαγαγὼν τὸ «καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο» καὶ ἑξῆς, ὡς προέκκειται. (v. 687) Ἔνθα κεῖται καὶ τὸ «παῖδες τοὶ μετόπισθε λελειμμένοι», ἀντὶ τοῦ οἱ ἔτι ζῶντες, τοῦ τοι Δωρικῶς λεχθέντος ἀντὶ τοῦ οἱ προτακτικοῦ πληθυντικοῦ ἄρθρου. εἰ μὴ ἄρα ἐγκλιτικῶς γράφουσι «παῖδές τοι». (v. 682 s.) Ἰστέον δὲ [ὅτι τε πιθανῶς ὁ γέρων βασιλεὺς καὶ ταχὺ ἐκοιμήθη, καὶ βαθὺ δὲ ὡς καὶ ὀνειροπολεῖν οἷα πολυήμερον ἀϋπνίαν ὑπομείνας, καὶ] ὅτι τὸ «οὔ τι σοί γε μέλει κακόν» κάλλιόν ἐστιν ἀναγινώσκεσθαι ἀποφαντικῶς. τὸ γὰρ κατ’ ἐρώτησιν οὐ τοσαύτην ἔχει χάριν ἤθους. (v. 696 s.) Ὅτι θρηνῶδες τὸ «οἳ δ’ εἰς ἄστυ ἔλων οἰμωγῇ τε στοναχῇ τε ἵππους». κεῖται δ’ ἐνταῦθα καὶ τὸ φέρειν κυριολεκτικῶς ἐπὶ νεκροῦ ἐν τῷ «ἡμίονοι δὲ νέκυν φέρον». (v. 697—701) Ὅτι τὴν Κασάνδραν, ἣν ἰκέλην χρυσῇ Ἀφροδίτῃ λέγει διὰ τὸ κάλλος, φιλάδελφον πάνυ παριστᾷ καί που ἴσως καὶ μαντικήν, ἐν οἷς λέγει προμαθεῖν αὐτὴν ἀνακομιζόμενον τὸν ἀδελφόν. φησὶ γὰρ «οὐδέ τις ἄλλος ἔγνω πρόσθ’ ἀνδρῶν καλλιζώνων τε γυναικῶν· ἀλλ’ αὐτὴ πέργαμον εἰσαναβᾶσα φίλον πατέρα εἰσενόησεν ἑσταότ’ ἐν δίφρῳ, κήρυκά τε ἀστυβοώτην» τὸν καὶ καλήτορα προρρηθέντα. (v. 702 s.) Τὸν δὲ νέκυν «ἐφ’ ἡμιόνων ἴδε κείμενον ἐν λεχέεσσι, κώκυσέ τ’ ἄρ ἔπειτα γέγωνέ τε πᾶν κατὰ ἄστυ» λόγον προκλητικὸν εἰς νεκροῦ πομπήν, καὶ αὐτὸν σύντομον διὰ τὸ πένθος ὡς ἐν σχήματι κηρύγματος. (v. 704—6) Ὁ δὲ ἦν τοιοῦτος «ὄψεσθε, Τρῶες καὶ Τρωϊάδες», ἢ «Τρῳάδες», «Ἕκτορ’ ἰόντες, εἴ ποτε καὶ ζώοντι μάχης ἐκνοστήσαντι χαίρετε· ἐπεὶ μέγα χάρμα πόλει τε ἦν παντί τε δήμῳ». καὶ αὐτὴ μὲν οὕτως. οἳ δὲ ὡς ὑπὸ κήρυκι τῇ Κασάνδρᾳ προεχέθησαν τῆς πόλεως. (v. 707—12) Φησὶ γὰρ «ὣς ἔφατο, οὐδέ τις αὐτόθ’ ἐνὶ πτόλεϊ λείπετο ἀνὴρ οὐδὲ γυνή, πάντας γὰρ ἀάσχετον ἵκετο πένθος, ἀγχοῦ δὲ ξύμβληντο πυλάων», τουτέστιν ξυνέβαλον, συνήντησαν, τῷ βασιλεῖ δηλαδή, «νεκρὸν ἄγοντι.

4.975 πρῶται τόν γ’ ἄλοχός τε φίλη καὶ πότνια μήτηρ τιλλέσθην ἐπ’ ἄμαξαν ἀΐξασαι, ἁπτόμεναι κεφαλῆς, κλαίων δ’ ἀμφίσταθ’ ὅμιλος». χρήσιμα δέ ποτε ταῦτα εἰς πομπήν, ὡς εἴρηται, νεκρικήν, ὥσπερ καὶ ἐφεξῆς τὸ (v. 713—7) καὶ «δὴ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα δακρυχέοντες ὀδύροντο πρὸ πυλάων, εἰ μὴ» ὁ δεῖνα, οἷον ὁ «γέρων, λαοῖσι μετηύδα· εἴξατέ μοι οὐρεῦσι διελθέμεν· αὐτὰρ ἔπειτα ἄσεσθε», τουτέστι κορέσεσθε, «κλαυθμοῖο, ἐπὴν ἀγάγοιμι δόμονδε». (v. 700) Ὅρα δὲ ὅτι τε τὸ «ἔγνω» ἡρμήνευσεν ὁ ποιητὴς διὰ τοῦ «εἰσενόησεν», ἐν ᾧ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιττὴ ἡ πρόθεσις, ὡς καὶ ἐν τῷ «πέργαμον εἰσαναβᾶσα», (v. 716) οὕτω καὶ τοὺς ἡμιόνους ὡς καὶ πρὸ τούτου ἑρμηνεύει οὐρεῖς αὐτοὺς εἰπών (v. 702), καὶ ὅτι λέχος ἐνταῦθα ἐπὶ τῆς ἁπλῶς ἀνακλίσεως ἔφη, ἐν ᾧ φάρος ἴσως ἓν κατὰ ἔλεον Ἀχιλλέως τῷ νεκρῷ ὑπέστρωτο Ἕκτορι ἐπὶ ἁμάξης κειμένῳ. ἐν μέντοι τῇ πόλει οὐ τοιαῦτα λέχεα τούτῳ ἔσονται ὑπνοῦντι ἀνέγερτον, ἀλλὰ τρητοῖς ἐν λεχέεσσι τεθήσεται. (v. 703) Τὸ δὲ «γέγωνε» συνήθως κἀνταῦθα δηλοῖ τὸ γνωστὸν καὶ ἐξάκουστον ἐβόησε. (v. 704) Τὸ δὲ «ἰόντες» ἐξενίκησεν ἀποδοθῆναι πρὸς τὸ «Τρῶες», ὡς ἀρσενικόν, κατὰ τὸ «Μοῦσαι καὶ Ἀπόλλων, οἷς ἐγὼ σπένδω». (v. 706) Τὸ δὲ «ἐχαίρετε» εἰς λύπην προκαλεῖται ἀνάλογον. εἰ γὰρ ἔχαιρον ζῶντι μάχης ἐκνοστοῦντι τῷ Ἕκτορι, δῆλον ὅτι τεθνεῶτος μεγάλα πενθήσουσιν, ἐπεὶ μέγα τότε χάρμα ἦν, ὅ ἐστιν ἡδονή, οὐ μὴν ἐπίχαρμα δυσμενέεσσι. Τὸ δὲ «πόλει παντί τε δήμῳ» ἢ ὡς ἐν σχεδιασμῷ ταὐτολογεῖ, ταὐτὸν γὰρ πόλις καὶ δῆμος, καθὰ δηλοῖ εὐθὺς ῥηθὲν τὸ «οὐδέ τις ἐν πτόλεϊ ἐλείπετο», καὶ Ἕκτωρ δέ που χολούμενος τῷ ἀδελφῷ ἔφη «πῆμα πόληΐ τε παντί τε δήμῳ», ἢ δῆμος μὲν οὐ δηλοῖ καὶ γυναῖκας, ἡ πόλις δὲ καὶ αὐτάς. (v. 707) Τὸ δὲ «ἐνὶ πτόλεϊ» συνίζησιν ἔχει τῶν τελευταίων δύο φωνηέντων τοῦ ε καὶ τοῦ ι εἰς μίαν βραχεῖαν, ὃ δὴ σπανίως γινόμενον συνέβη καὶ ἐν τῷ «ἀλλὰ τεὸν οὔποτε θυμόν» καὶ ἑξῆς, ὥς που προδεδήλωται.

4.976 (v. 708) Τὸ δὲ «ἀάσχετον» ἀντὶ τοῦ λίαν ἄσχετον πρὸς διαστολὴν λέγεται τοῦ μὴ λίαν ἀσχέτου, ὁποῖος καὶ ὁ γόος, οὗ αἶψα κορεννύμεθα. καὶ ἔστι καὶ ἡ τοιαύτη λέξις τρισύνθετος, εἰ καὶ μὴ κατὰ τὸ δυσαριστοτόκεια μηδὲ κατὰ τὸ πανάποτμος καὶ δυσάμμορος καὶ παναώριος, ἀλλά γε κατὰ τὸ ἀάατος. (v. 710 s.) Τὸ δὲ «πρῶται τόν γε τιλλέσθην», ἀντὶ τοῦ εἰς τοῦτον ἢ διὰ τοῦτον, τὸν φερόμενον δηλαδὴ νεκρόν. δηλοῖ δὲ ἐλλειπτικῶς τὸ τίλλεσθαι ἐνταῦθα μὲν τριχῶν πένθιμον ἔκσπασιν, ἡ δὲ παρὰ τῷ Κωμικῷ Ἀττικὴ χρῆσις οὐκ εὐσχήμονα σημασίαν δηλοῖ, δρωπακισμόν τε σημαίνουσα καί τι κακοσχημονέστερον ἕτερον. Τὸ δὲ «ἐπ’ ἄμαξαν» Ἰωνικὴν ψίλωσιν τῆς ἁμάξης δηλοῖ. εἰ δέ τις ἰσχυρογνωμονεῖ, γράφων «ἐφ’ ἅμαξαν», εἴη ἂν προσήκων ταῖς ἐξ ἁμάξης, ὅ φασιν, λοιδορίαις διὰ τὸ φίλερι. (v. 712) Τὸ δὲ «ἁπτόμεναι κεφαλῆς» τῆς ἦν ὅτε φιλτάτης, οἴκτιστον ἐν τοῖς ῥηθεῖσι καὶ αὐτό. [Μετ’ ὀλίγα οὖν καὶ ἡ φίλανδρος λευκώλενος, ὡς ἐκεῖ ὁ ποιητὴς ἐρεῖ, Ἀνδρομάχη ἐξάρχει γόου «Ἕκτορος ἀνδροφόνοιο κάρη μετὰ χερσὶν ἔχουσα».] (v. 716) Ὅτι τὸ τὸν ὄχλον ὧδε καὶ ἐκεῖ χωρισθῆναι οὐ μόνον διασχεῖν λέγεται, ἀλλὰ καὶ εἴξειν καὶ διαστῆναι. φησὶ γοῦν «εἴξατέ μοι οὐρεῦσι διελθέμεν», οὓς φθάσας ἡμιόνους ἔλεγε, καὶ μετ’ ὀλίγα, «οἳ δὲ διέστησαν καὶ εἶξαν ἀπήνῃ». (v. 720—2) Ὅτι παρεκάθισαν τῷ τοῦ Ἕκτορος νεκρῷ ἀοιδοὺς θρήνων ἐξάρχους, οἳ δέ», ἢ «οἵ τε», «στονόεσσαν ἀοιδὴν οἳ μὲν ἂρ ἐθρήνεον, ἐπὶ δ’ ἐστενάχοντο γυναῖκες», ὅπερ καὶ ἐπὶ τῆς Ἀνδρομάχης ἐρεῖ, ἐπὶ δὲ τῆς Ἑκάβης «γόον ἁλίαστον ὄρινεν», ἐπὶ δὲ Ἑλένης «ἔστενε δῆμος ἀπείρων». Βαρβαρικὸν δὲ καὶ οἱ τῶν θρήνων ἔξαρχοι ἀοιδοί.

4.977 ἦσαν γὰρ καὶ ᾠδαὶ θρηνητήριοι, ὁποῖα ὕστερον καὶ τὰ λεγόμενα μέλη Καρικά. καὶ οἱ Ἑλληνικοὶ δὲ ἔλεγοι, ὅ ἐστι θρῆνοι, οἳ μετ’ αὐλοῦ, φασίν, ᾔδοντο. πένθιμος γὰρ ἦν τὸ πρῶτον, φασίν, ὁ αὐλός. Μίδας δὲ ὁ Γορδίου παραβώμιον αὐτὸν ἐποίησεν ἀποθεῶσαι τὴν μητέρα βουληθείς. (v. 722) Τὸ δέ «οἳ μὲν ἄρ» περισσὸν κεῖται διὰ καινὸν σχηματισμόν. καὶ χωρὶς γὰρ αὐτοῦ ὁ λόγος εὐσύντακτος. ποιεῖ δὲ ὅμως αὐτὸ καινότητα σχήματος, ἧς αἴτιος δοκεῖ εἶναι ὁ σχεδιασμός. ἐπεὶ γὰρ ἡ στονόεσσα ἀοιδή, ὅ ἐστιν ὁ θρῆνος, οὐκ ἦν καὶ ἀνδρῶν καὶ γυναικῶν, ἀλλ’ αἳ μὲν ἐστενάχοντο, οἳ δ’ ἐθρήνουν, διὰ τοῦτο εἰπὼν «οἳ στονόεσσαν ἀοιδήν», ὃ οὐκ ἦν ἀμφοῖν κοινόν, ἐπαναλαβὼν καὶ μερίσας διευκρίνησεν· οἳ μὲν ἐθρήνεον διὰ τῆς εἰρημένης ἀοιδῆς, αἱ δὲ γυναῖκες ἐστέναζον, ὡς οἷον ὄργανόν τι οὖσαι βομβητικὸν αὐταὶ διὰ στεναγμοῦ ἐπὶ τῇ ἐμμελείᾳ τῆς ῥηθείσης ἀοιδῆς. (v. 721) Ὅρα δὲ τὸ «θρήνων ἔξαρχοι», ὅθεν ἐπὶ μὲν Ἀνδρομάχης ἐρεῖ ἦρχε γόοιο», ἐπὶ δὲ Ἑκάβης καὶ Ἑλένης «ἐξῆρχε γόοιο». Ὅτι ἐπεὶ ἐχρῆν μὴ μόνον ἔξω τῆς πόλεως κείμενον τὸν Ἕκτορα ἐν τοῖς πρὸ τούτων μονῳδηθῆναι, ἀλλὰ καὶ μάλιστα εἰς Τροίαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀχθέντα, τὸν μὲν Πρίαμον οὐδέν τι πένθιμον ὁ ποιητὴς πλάττει λαλοῦντα, ἱκανῶς γὰρ ἤδη ὁ γέρων ἐπαθήνατο ἔν τε τῇ Τροίᾳ καὶ παρὰ τῷ Ἀχιλλεῖ, τὴν γυναῖκα δὲ Ἀνδρομάχην ἐπιλεξάμενος, ἣ μάλιστα καὶ ἐφίλει τὸν Ἕκτορα καὶ αὖ πάλιν ἀντεφιλεῖτο, μετὰ δέ, τὴν μητέρα, οὐδὲν ἧττον τῆς γυναικὸς διατεθειμένην περὶ τὸν κείμενον, καὶ ἐπὶ ταύταις τὴν Ἑλένην διὰ τὸ καινότερον, ξενίζει γὰρ τὸ τὴν ἔπηλυν ὑπὲρ τὰς τοῦ ἄστεος ἐπὶ τῷ κειμένῳ παθαίνεσθαι, μονῳδεῖ τεχνικῶς διὰ τῶν τριῶν τούτων προσώπων τὰ καίρια, ἀπαξιώσας μὲν ἄνδρας πενθεῖν ἐξάρχοντας θρήνου ἀοιδῆς, γυναιξὶ δὲ τοὺς ὀδυρμοὺς ἀναθείς.

4.978 καὶ Ἀνδρομάχη μὲν πολυνούστερον διὰ πολλῶν κεφαλαίων τὸν οἶκτον ἐργάζεται, ἡ δὲ μήτηρ τὸ θεοφιλὲς τοῦ παιδὸς ἴσχει τοῦ λόγου κεφάλαιον, οὗ χάριν καὶ ἄσηπτος πεφύλακται, τῇ δὲ Ἑλένῃ τοῦ λόγου ὕλη τὸ πρὸς αὐτὴν μάλιστα μειλίχιον τοῦ Ἕκτορος. (v. 724—45) Ἔχει δὲ οὕτω τὰ τῆς Ἀνδρομάχης, ἅπερ ἔλεγεν, «Ἕκτορος ἀνδροφόνοιο»[, καθὰ εἴρηται,] «κάρη μετὰ χερσὶν ἔχουσα», ὅπερ οὔτε ἡ Ἑκάβη νῦν ὡς πρὸ βραχέων οὔτε ἡ Ἑλένη ποιεῖ, ὡς τὸ σχῆμα προκατασχούσης ἄρτι τῆς γυναικός «ἆνερ, ἀπ᾽ αἰῶνος νέος ὤλεο, κὰδ δέ με χήρην λείπεις ἐν μεγάροισι, πάϊς δ᾽ ἔτι νήπιος αὔτως, ὃν τέκομεν σύ τ᾽ ἐγώ τε δυσάμμοροι, οὐδέ μιν οἴω ἥβην ἵξεσθαι· πρὶν γὰρ πόλις ἥδε κατ᾽ ἄκρης πέρσεται· ἦ γὰρ ὄλωλας ἐπίσκοπος, ὅς τέ μιν αὐτὴν ῥύσκευ, ἔχες δ᾽ ἀλόχους κεδνὰς καὶ νήπια τέκνα, αἳ δή τοι τάχα νηυσὶν οἰχήσονται γλαφυρῇσι. καὶ μὲν ἐγὼ μετὰ τῇσιν», ἤγουν σὺν ταύταις, «σὺ δ᾽ αὖ, τέκος, ἢ ἐμοὶ αὐτῇ ἕψεαι ἔνθα κεν ἔργα ἀεικέα ἐργάζοιο ἀεθλεύων πρὸ ἄνακτος ἀμειλίχου, ἤ τις Ἀχαιῶν ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου λυγρὸν ὄλεθρον, χωόμενος», ᾧ τινι «δή που ἀδελφεὸν ἔκτανεν Ἕκτωρ ἢ πατέρα ἠὲ καὶ υἱόν, ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν Ἕκτορος ἐν παλάμῃσιν ὀδὰξ ἕλον ἄσπετον οὖδας. οὐ γὰρ μείλιχος ἔσκε πατὴρ τεὸς ἐν δαῒ λυγρῇ. τῷ καί μιν λαοὶ ὀδύρονται κατὰ ἄστυ, ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας, Ἕκτορ· ἐμοὶ δὲ μάλιστα λελείψεται ἄλγεα λυγρά· οὐ γάρ μοι θνῄσκων λεχέων ἐκ χεῖρας ὄρεξας, οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, οὗ τέ κεν αἰεὶ μεμνήμην νύκτας τε καὶ ἤματα δακρυχέουσα», ὡς δηλαδὴ τῶν ἐξοδίων καὶ σχημάτων καὶ λόγων ἐπὶ μνήμης φερομένων μάλιστα τοῖς ἐνδιαθέτως ἀκροωμένοις. (v. 725) Ἰστέον δὲ ὅτι τὸ μὲν «ἀπ᾽ αἰῶνος ὤλεο νέος» ἀντὶ τοῦ ἐν νεότητι ἐξεκόπης τῆς τεταγμένης ζωῆς, ὃ δή ἐστιν οἰκτρότατον. τοὺς γὰρ ἐν γήρᾳ θανόντας μᾶλλον εὐδαιμονίζομεν, εἰ καὶ ἄλλως λόγος τε σοφοῦ περιφέρεται τὸ νέους θνῄσκειν οὓς φιλοῦσι θεοί, καί τι βάρβαρον μὲν ἔθνος, ἑλληνίζον δὲ ὅμως τὰ εἰς τὸ κατανοῆσαι τὸ τοῦ βίου πραγματειῶδες, ἐπὶ γενέθλῃ μὲν παιδὸς πενθοῦσι, γέροντος δὲ οἰχομένου χαίρουσι, τὸ μέν, ὅτι πειράσεται δεινῶν ὁ γεννηθείς, τὸ δ᾽ ὅτι ἀπήλλακται κακῶν ὁ γηρῶν. (v.

4.979 727) Τὸ δὲ «ὃν τέκομεν σύ τ᾽ ἐγώ τε» πρὸς διαστολὴν ἑτεροίων παίδων ἐρρέθη, οὓς οὐ πάνυ στέργουσιν οἱ σύνευνοι διὰ τὸ ἐν αὐτοῖς οὐ γνήσιον. (v. 728) Τὸ δὲ «κατ᾽ ἄκρης» τί δηλοῖ, προηρμήνευται. (v. 729) Τὸ δὲ «ἐπίσκοπος» ἑρμηνεύων φησὶν «ὃς αὐτὴν ἐφύλαττες». τοῦτο γὰρ δηλοῖ τὸ ῥύσκεσθαι, ὃ πάλιν ἐφερμηνεύων ἐπήγαγεν «ἔχες δ᾽ ἀλόχους καὶ τέκνα». ἐπισκοπεῖν γὰρ καὶ ῥύσκεσθαι καὶ ἔχειν ταὐτὸν δηλοῦσι. [Γίνεται δὲ καὶ τὸ ῥύσκω ἀπὸ τοῦ ῥύω ῥύσω πλεονασμῷ τοῦ κάππα πρὸς ὁμοιότητα τοῦ θνῶ θνήσω θνήσκω, δαίω, τὸ μανθάνω, δαίσω δαίσκω, καὶ ἀναδιπλασιασμῷ καὶ ἀπελεύσει τοῦ ἰῶτα τῆς διφθόγγου, διδάσκω, οἷς ἐν τῇ εἰς τὸν μέλλοντα κλίσει οὐ προσλογίζεται τὸ φυσικὸν σίγμα, ἀλλὰ πρὸς τὸ τῆς παραληγούσης κάππα κλίνεται, ὡς εἴπερ ἦν θνήκω καὶ διδάκω, ὧν δηλαδὴ μέλλοντες θνήξω καὶ διδάξω. ὅτι δὲ οὐκ ἐπὶ πάντων τῶν τοιούτων τοιαύτη κλίσις γίνεται, οὐκ ἔστιν ἀμφιβαλεῖν. τοῦ γὰρ εἴσκω καὶ ῥύσκω καὶ ῥυΐσκω καὶ κικλήσκω καὶ μιμνήσκω καὶ ἄλλων οὐδ᾽ ὅλως εἰσὶ μέλλοντες.] Τὸ δὲ «ὅς τέ μιν αὐτήν», ἤγουν τὴν Τροίαν, κατ᾽ ἐξοχήν τινα κεῖται, ὡς καὶ μετ᾽ ὀλίγα τὸ «ἐμοὶ αὐτῇ ἕψεαι». ἐν ἑτέροις δὲ σύνθετοι ἐφάνησαν ἀντωνυμίαι δηλοῦσθαι διὰ τῆς παραλληλίας τῶν τοιούτων ἀντωνυμιῶν. παράγωγον δὲ τοῦ ῥύεσθαι[, ὡς ἐρρέθη,] τὸ ῥύσκεσθαι καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιητικώτερον, ὥσπερ μετ’ ὀλίγα καὶ τὸ «ῥυστάζεσκε», τρεῖς ἔχον παραγωγάς. ῥύω γάρ· ἀφ’ οὗ ῥυστῶ· ἐξ οὗ ῥυστάζω, ὅθεν τὸ ῥυσταζέσκω. (v. 732—5) Τὸ δὲ «σὺ δέ, τέκος, ἢ ἐμοὶ ἕψεαι» ἢ ἀπὸ πύργου ῥιφήσει ὡς ἐν ἠθοποιΐᾳ τοῦ μέλλοντος ἅπτεται χρόνου. λαλεῖ δὲ καὶ πολέμου ἔθος. οἱ γὰρ ἐν ἁλώσει πόλεως μὴ δυνάμενοι δουλεύειν παῖδες ῥίπτονται καὶ συντρίβονται, καὶ μᾶλλον, εἰ καὶ ἄμυνά τις προοφείλεται, ὅπερ Ἀνδρομάχη μὲν στοζαχομένη τὸν παῖδα νομίζει παθεῖν, ἡ καὶ εἰποῦσα τὸ «οὐδέ μιν οἴω ἥβην ἵξεσθαι». οἱ δὲ μεθ’ Ὅμηρον ἱστοροῦσι, φάμενοι τὸν Ἀστυάνακτα κατὰ τοῦ τείχους ῥιφῆναι διὰ τὰ εἰς τοὺς Ἀχαιοὺς κακὰ τοῦ πατρός, ἃ καὶ ἡ γυνὴ ἐκτίθεται.

4.980 (v. 733) Τὸ δὲ «ἔργα ἐργάζοιο» μυρία ὅμοια ἔχει κατὰ ἐτυμολογίαν Ἀττικῶς οὕτω φραζόμενα. (v. 734) Τοῦ δὲ «ἀεικέα ἔργα» ἑρμηνεία εὐθὺς ἐπάγεται τὸ «ἀεθλεύων πρὸ ἄνακτος», ἤγουν κατὰ τοὺς παλαιούς, ὑπὲρ δεσπότου κακοπαθῶν. ὅθεν ὁ Πίνδαρός φησι «λυσίπονοι δεσποτῶν θεράποντες», ὑπὲρ ὧν δηλαδὴ πλέουσι, γεωργοῦσιν, ἀχθοφοροῦσι καὶ πάντα τὰ τοιαῦτα πάσχουσι. (v. 735) Τὸ δὲ «λυγρὸν ὄλεθρον» ἔλλειψιν προθέσεως ἔπαθε. κεῖται γὰρ ἀντὶ τοῦ εἰς λυγρὸν ἢ κατὰ λυγρὸν ὄλεθρον. ἴσως δὲ καὶ ἀσυνδέτως ἀναφωνεῖται κατά τι πάθος ἁπλοϊκώτερον. (v. 736) Οὕτω δὲ ἁπλοϊκὸν καὶ τὸ «ᾧτινι δήπου ἀδελφεὸν ἔκτανεν». οὐ γὰρ ἀδελφοὺς μόνους ἔκτεινεν Ἕκτωρ, ἀλλὰ καὶ ἑτεροίαν συγγένειαν, ἤδη δὲ καὶ θεράποντας, ἑταίρους, φίλους, ὁποῖος καὶ ὁ Πάτροκλος τῷ Ἀχιλλεῖ. διὸ καὶ τὸ «δήπου» διστακτικὸν ἐνταῦθα εἶναι δοκεῖ, οὐ μὴν βεβαιωτικόν, ὡς καὶ τὸ δήπουθεν παρὰ τοῖς ὕστερον. (v. 738) Τὸ δὲ «ὀδὰξ ἕλον ἄσπετον οὖδας» ἐκ μέρους τοὺς ἁπλῶς ἀναιρεθέντας δηλοῖ. οὐ γὰρ ἐξ ἀνάγκης πᾶς ἐν πολέμῳ θανὼν δάκνει τὴν γῆν. Δῆλον δὲ καὶ ὅτι τὸ «ἄσπετον», τῆς ὅλης γῆς ἐπίθετον ὄν, καθὰ καὶ τὸ ἄπειρον, ὅμως ὥσπερ ἐν Ὀδυσσείᾳ, οὕτω καὶ ἐν Ἰλιάδι συνήθως ἐπὶ βραχυτάτης καὶ νῦν ἐλέχθη γῆς. (v. 739) Τὸ δὲ «οὐ μείλιχος ἐν μάχῃ» ἐρρέθη, ὡς ἄλλως μειλιχίου ὄντος Ἕκτορος, καὶ ὡς ἡ Ἑλένη ἐρεῖ «ἀγανόφρονος». (v. 741) Ὅρα δὲ καὶ τὸ «πένθος ἔθηκας, Ἕκτορ». ἐνήλλαξε γὰρ ἀνελπίστως τὸν λόγον ἀπὸ τρίτου προσώπου εἰς δεύτερον κατὰ σχῆμα ἐνδιαθέτου ἀποστροφῆς, ἵνα καταλήξῃ ὁμοίως τῇ ἀρχῇ κλητικῶς ἐκτεθείσῃ τῇ «ἆνερ, ἀπ’ αἰῶνος ὤλεο». ἔστι δέ τις ἐνταῦθα καὶ ἑτέρα ἐναλλαγὴ σχήματος. Ἑκάβη μὲν γὰρ καὶ Ἑλένη ἀπὸ τῆς τοῦ Ἕκτορος κλητικῆς ἄρχονται, Ἀνδρομάχη δέ, προτιμησαμένη ἐκ τοῦ «ἄνερ» κατάρξασθαι, εἶτα εἰς τὸ «Ἕκτορ» κατέληξεν, οἱονεὶ οὕτως εἰποῦσα «ἄνερ Ἕκτορ», ὥς που καὶ ἐχρῆν τὴν γυναῖκα εἰπεῖν, καθὰ καὶ ἡ μήτηρ Ἑκάβη «Ἕκτορ» φησὶν «ἐμῷ θυμῷ πάντων πολὺ φίλτατε παίδων», καὶ ἡ νυὸς Ἑλένη κατὰ παρῳδίαν «Ἕκτορ, ἐμῷ θυμῷ δαέρων πολὺ φίλτατε πάντων». καὶ τοιαῦτα μὲν τὰ τῆς γυναικός. (v.
4.981 742) Ἐν οἷς τὸ μὲν «λελείψεται ἄλγεα λυγρά», ὅμοιον τῷ «τὰ δὲ λείψεται ἄλγεα λυγρά», ὅ φησιν Ἡσίοδος. [(v. 745) Τὸ δὲ «μεμνήμην» ἀνάλογον εὐκτικὸν κατὰ τὸ κέκλημαι κεκλῄμην καὶ τὰ ὅμοια, ὡς οἱ Τεχνικοὶ κανονικῶς παραδιδόασιν.] (v. 747—59) Ἡ δὲ μήτηρ καὶ ζῶντα θεοφιλῆ τὸν κείμενον δεικνῦσα καὶ θανόντα φησὶν «Ἕκτορ» καὶ ἑξῆς, ὡς προείρηται, «ἦ μέν μοι, ζωός περ ἐὼν φίλος ἦσθα θεοῖσιν· οἳ δ’ ἄρα σεῦ κήδοντο καὶ ἐν θανάτοιό περ αἴσῃ. ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς πόδας ὠκὺς Ἀχιλλεὺς πέρνασκεν, ἥν τινα», ἢ «ὅν τινα ἕλεσκε πέρην ἁλὸς ἀτρυγέτοιο, ἐς Σάμον ἔς τ’ Ἴμβρον καὶ Λῆμνον ἀμιχθαλόεσσαν· σεῦ δ’ ἐπεὶ ἐξέλετο ψυχὴν ταναηκέϊ χαλκῷ, πολλὰ ῥυστάζεσκεν ἑοῦ περὶ σῆμα ἑτάροιο Πατρόκλου, τὸν ἔπεφνες. ἀνέστησε δέ μιν οὐδ’ ὥς», ὡς καὶ προεγράφη, «νῦν δέ μοι ἑρσήεις καὶ πρόσφατος ἐν μεγάροισι κεῖσαι, τῷ ἴκελος ὅν τ’ ἀργυρότοξος Ἀπόλλων οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνε», τουτέστιν, ὅμοιος οὐ πεφονευμένῳ ἀλλά τινι ἐξαίφνης θανόντι, ὡς πολλαχοῦ δεδήλωται. τοῦτο δὲ ἡ γραῦς εἶπε διὰ τὸ μεμυκέναι, ὡς καὶ προερρέθη, τὰ ἕλκη τοῦ νεκροῦ καὶ μηδὲν ἔχειν σημεῖον τρώσεως. (v. 752 s.) Τριῶν δὲ νήσων μέμνηται, ἢ γυναικικῶς οἷα μὴ πολυΐστωρ, ἢ ὅτι, ὡς εἰκός, ἐν αὐταῖς ἐπέρναντο οἱ τῶν Τρώων αἰχμάλωτοι, ὅ ἐστιν ἐπωλοῦντο πέραν ἁλὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀγόμενοι, ἀφ’ οὗ παρῆκται τὸ πέρνασθαι, πολλαχοῦ κείμενον παρὰ τῷ ποιητῇ, ὡς εἶναι τὸ «πέρνασκε πέρην ἁλός» τρόπου καὶ αὐτὸ ἐτυμολογικοῦ. Ὅρα δὲ κἀνταῦθα ποιητικὰ πάρισα, τὸ «πέρνασκε» καὶ τὸ «ἔλεσκεν», ἁπλοϊκῶς οὕτω παραπεσόντα τῇ ἠθοποιΐᾳ τῆς γραός. (v. 750) Θανάτοιο δὲ αἶσα περιφραστικῶς ὁ θάνατος πρὸς διαστολὴν ἑτέρας αἴσης. ἐν τούτοις δὲ ἡ ποίησις τὸν θεοφιλῆ ἄνδρα καὶ ζῶντα καὶ τεθνεῶτα φιλεῖσθαι λέγει θεῷ. (v. 751) Τὸ δὲ «παῖδας ἐμοὺς πόδας ὠκὺς Ἀχιλλεύς» ἔχει τι κάλλους κατὰ τὸ «παῖδας» καὶ «πόδας». (v. 753) Σάμον δὲ καὶ νῦν τὴν Θρᾳκίαν λέγει. αὕτη γὰρ τοῖς περὶ Λῆμνον καὶ Ἴμβρον τόποις παράκειται, οὐ μὴν ἡ ἀνατολικωτέρα Ἰωνική. Ἀμιχθαλόεσσα δὲ οἱονεὶ ἀμικτόεσσα, τροπῇ τῶν ψιλῶν εἰς δασέα καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ἐκ τοῦ ἄμικτος.

4.982 ἀπρόσμικτος γὰρ ἦν ἡ Λῆμνος τοῖς πλέουσιν, ἐπεὶ Σίντιες οἱ Λήμνιοι καὶ πειρατικοί. ἢ καὶ διὰ τὸ πετρῶδες ἐν πολλοῖς καὶ δυσπρόσιτον, περὶ ὧν καὶ Σοφοκλῆς φησιν «οὐκ ἐνθάδ’ οἱ πλοῖ τοῖσι σώφροσι βροτῶν». οἱ δὲ παλαιοί φασιν καί, ὅτι κατὰ Κυπρίους ἀμιχθαλόεσσα ἡ εὐδαίμων, τοῦτο δὲ ὡς οἷα πολύμικτος. [(v. 754 s.) Τὸ δὲ «σεῦ δ’ ἐπεὶ ἐξέλετο θυμὸν ῥυστάζεσκεν» οὐκ ἀναγκαίως πάντῃ πεπλαγίασται. εἶχε γὰρ καὶ κατὰ αἰτιατικὴν εἰπεῖν «σὲ δὲ ῥυστάζεσκε», εἰ μὴ τὸ μέτρον ἀπῄτησε πλαγιασμόν.] (v. 756) Τὸ δὲ «ὃν πέφνες» ἡ παραμυθία τῆς Ἑκάβης ἐστί. λέγει δὲ αὐτὸ καὶ εἰς ἔπαινον τοῦ παιδός. Τὸ δὲ «ἀνέστησε δέ μιν οὐδ’ ὥς» καταφορὰ τῆς τοῦ Ἀχιλλέως ἐστὶν ὠμότητος, ὡς ἐπὶ ἀνηνύτοις χολοῦντος. (v. 757) Τὸ δὲ «ἑρσήεις» ἀποφάσκει τοῦ Ἕκτορος τὴν νεκρικὴν ξηρότητα. εἰ γὰρ ἑρσήεις ἐστί, δῆλον ὡς οὐκ ἔστιν ἀλίβας. τοῦτο δὲ σὺν καὶ τοῖς ἑξῆς τὴν πρὸς Ἕκτορα τῶν μακάρων φιλίαν δηλοῖ. Τὸ δὲ «πρόσφατος» ἀντὶ τοῦ νεωστὶ καὶ ἐγγὺς φατός, ὅ ἐστι πεφονευμένος, ἀφ’ οὗ καὶ ἀρηΐφατος. παρὰ δὲ τοῖς μεθ’ Ὅμηρον πρόσφατον τὸ νεαρὸν καί, ὡς εἰπεῖν, ἐγγὺς φατόν, ἤτοι φανὲν καὶ δειχθέν, ἢ καὶ ἄλλως, ἐγγὺς καὶ προσεχῶς φατόν, ἤτοι λεκτόν, ἐξ οὗ καὶ φατειός, οὗ καθ’ ὁμοιότητα καὶ ποταίνιον οἱ ὕστερον τὸ νεωστὶ συμβὰν εἶπον, ταὐτὸν θέντες εἶναι τὸ ποτι καὶ τὸ προς , ὁμοίως καὶ τὸ αἶνος καὶ τὸ φατός, κἀντεῦθεν εἰς ὅμοιον ἥκειν τὸ ποταίνιον καὶ τὸ πρόσφατον. δῆλον δὲ ὅτι, ὥσπερ ἡ φάσις, οὕτω καὶ ὁ αἶνος ἐπὶ λόγου δύναται τίθεσθαι ἁπλῶς.

4.983 καὶ τοιάδε μὲν καὶ τὰ κατὰ τὴν μητέρα Ἑκάβην. (v. 761—75) Ἡ δὲ Ἑλένη τριτάτη ἐξάρχουσα γόοιο καὶ ἀρξαμένη ἔν τε πρώτῳ στίχῳ καὶ δευτέρῳ κατὰ τὴν πενθερὰν Ἑκάβην «Ἕκτορ» φησί, καὶ ἑξῆς, ὡς προγέγραπται, «ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδής, ὅς μ’ ἄγε Τροίηνδ’, ὡς πρὶν ὤφελλον ὀλέσθαι», ἢ «ὤφελλ’ ἀπολέσθαι», ἐκεῖνος δηλαδή, «ἤδη γὰρ νῦν μοι τόδ’ ἐεικοστὸν ἔτος ἐστίν, ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης· ἀλλ’ οὔ πω σεῦ ἄκουσα κακὸν ἔπος οὐδ’ ἀσύφηλον· ἀλλ’ εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι», ὅ ἐστιν ἔπεσιν ἐπιπλήττοι, «δαέρων ἢ γαλόων ἢ εἰνατέρων εὐπέπλων, ἢ ἑκυρή, ἑκυρὸς δὲ πατὴρ ὣς ἤπιος αἰεί, ἀλλὰ σὺ τόν γ’ ἐπέεσσι παραιφάμενος κατέρυκες σῇ τ’ ἀγανοφροσύνῃ καὶ σοῖς ἀγανοῖς ἐπέεσσι. τῷ σέ θ’ ἅμα κλαίω καὶ ἐμὲ ἄμμορον ἀχνυμένη κῆρ· οὐ γάρ τίς μοι ἔτ’ ἄλλος ἐνὶ Τροίῃ εὐρείῃ ἤπιος οὐδὲ φίλος, πάντες δέ με πεφρίκασιν», ἤγουν μισοῦσι κατά τινας, μάλιστα δὲ δειλιῶσιν ὡς ὀλεθρίαν, καὶ ὡς ἂν καιρίως εἴποι τις, ἐρρίγασι καὶ στυγοῦσιν. ὅθεν καὶ ῥιγεδανή που καὶ στυγερὴ ἐρρέθη Ἑλένη. Καὶ ὅρα τὸ τῆς ἡρωΐδος φιλάληθες, ἥτις ἀκρωμένης καὶ τῆς Ἑκάβης φιλαίτιον ἑαυτῇ ὥσπερ καὶ τοὺς ἄλλους, οὕτω καὶ τὴν ἑκυρὰν εἶναι δηλοῖ, δίχα γε, ὡς εἰκός, Πριάμου καὶ Ἕκτορος. ὡς εἴγε καὶ αὐτοὶ οἱ προέχοντες ἀπήχθοντο τῇ Ἑλένῃ, τί ἔδει τηλικοῦτον γενέσθαι πόλεμον καὶ μὴ ταχὺ ἐκδοθῆναι αὐτὴν τῷ ἀνδρί; ὅτι δὲ ἀγαθὸς ἦν αὐτῇ ὁ ἑκυρός, καὶ ἐν τῇ γάμμα ῥαψῳδίᾳ δεδήλωται. [(v. 763) Ὅρα δὲ τῆς αὐτῆς Ἑλένης καὶ τὸ «ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος». προλαμβάνει γὰρ κολακικώτερον καὶ αὐτὸν καὶ τοὺς λοιποὺς ἐπὶ εὐνοίᾳ, ἵνα μὴ δόξῃ πρὸς τῶν Ἀχαιῶν εἶναι καὶ δι’ αὐτὸ χαίρειν τῇ πτώσει τοῦ Ἕκτορος. διὸ καὶ ἐπῄνεσε θεοειδῆ τὸν Πάριν εἰπών. εἰ δὲ τῆς Ἀνδρομάχης εἰπούσης ἄνδρα τὸν Ἕκτορα ἐν τῷ «ἆνερ, ἀπ’ αἰῶνος ὤλεο» Ἑλένη οὐκ ἄνδρα τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πάριν ἔφη ἀλλὰ πόσιν, ζητητέον, εἴ τίς ἐστι διαφορὰ πόσιος καὶ ἀνδρός, καθὰ Σοφοκλῆς ἐν Τραχινίαις ἐμφαίνει, ὅπου ἡ Δηϊάνειρα δέδοικε, μή ποτε ὁ αὐτὴν ἔχων Ἡρακλῆς τῇ μὲν αἰχμαλώτῳ Ἰόλῃ εἴη ἀνήρ, αὐτῇ δὲ πόσις.

4.984 ] (v. 764) Τὸ δὲ «ὡς πρὶν ὤφελλον ὀλέσθαι» ἀκριβέστερον τοῦ «ὤφελλ᾽ ἀπολέσθαι». οὐ γὰρ ἂν ἐπαινετικῶς θεοειδῆ τὸν ἄνδρα εἰποῦσα, εἶτα εὐθὺς μεταβαλομένη ἐπαρῷτο ὡς οἷον ἐκλαθομένη. εἰ μὴ ἄρα κατὰ ψυχῆς βαρύτητα τοῦτο ποιεῖ, ὃ δὴ πολλαχοῦ γίνεται. (v. 765) Ἐεικοστὸν δὲ τετρασυλλάβως νοητέον ἔτος ἀπὸ τῆς ἁρπαγῆς, ὡς δεκαετίας μὲν παρελθούσης τῇ στρατολογίᾳ διὰ τὸ ἐν Ἑλλάδι ὄντας τοὺς Ἀχαιοὺς ἀθροίζεσθαί τε καὶ μανθάνειν ὅσον πλοῦτον οἱ Τρῶες καὶ ἰσχὺν περιεβέβληντο, ἄλλων δὲ δέκα ἐτῶν συντετελεσμένων τῇ τῆς Τροίας πολιορκίᾳ. τῇ μέντοι εἰκοσαετεῖ ἐπανόδῳ τοῦ Ὀδυσσέως οὐ προσλογιστέον τὰ ῥηθέντα τῆς στρατολογίας δέκα ἔτη, ἐν ᾗ, φασί, τοὺς Ἀχαιοὺς χειμάζειν μὲν ἐν ταῖς ἰδίαις, θέρους δὲ ἐν Αὐλίδι διάγειν, ἀλλὰ τὰ δέκα τοῦ πολέμου καὶ τὰ ἶσα τῆς πλάνης. παρασημείωσις δὲ Ὁμηρικὴ τὸ ῥηθέν, ὡς ἂν εἰδείη ὁ τῆς Ἰλιάδος ἀκροατής, περὶ τίνων ἡ τοῦ βιβλίου πραγματεία τῷ ποιητῇ. (v. 766) Τὸ δὲ «ἐξ οὗ κεῖθεν ἔβην» ἑρμηνεύει εἰπὼν «καὶ ἐμῆς ἀπελήλυθα πάτρης». (v. 767) Ἀσύφηλον δὲ τὸ ἀπαίδευτον καὶ βλαπτικόν, ὡς καὶ ἀλλαχοῦ ἐγράφη, παρὰ τὸ ἆσαι, τὸ βλάψαι, καὶ τὸ φηλῆσαι ἀσόφηλον καὶ Αἰολικῶς ἀσύφηλον, ὡς ὄνομα ὄνυμα καὶ τὰ ὅμοια. [Ἐπεὶ δὲ ἡ φράσις τοῦ «οὐ κακὸν ἔπος οὐδ᾽ ἀσύφηλον» διαφέρειν ἀλλήλων ἐμφαίνει τὸ κακὸν καὶ τὸ ἀσύφηλον, ζητητέον εἴ τι διαφέρουσι.] (v. 769) Περὶ δὲ δαέρων καὶ τῆς κατατριβῆς τούτων τῶν συγγενικῶν λέξεων προγέγραπται. (v. 771) Ἐν δὲ τῷ «ἀλλὰ σὺ ἐπέεσσι παραιφάμενος, τὸ μὲν ἀλλα περιττεύει Ἀττικῶς, τὸ δὲ «ἐπέεσσι» καιρίως πρόσκειται. παραίφασις, εἴρηται καὶ ὅπου μνεία παρφάσεως γέγονε τῆς κατὰ τὸν κεστόν, ἥτις ἦν παραλογισμός, οὐ μὴν κατὰ τὴν φιλικὴν παραίφασιν, ἣ καὶ παραμυθία λέγοιτ᾽ ἂν κατὰ τὸ «καὶ ἄλλοις ἐγὼ παραμυθησαίμην», ὡς ἐν τῇ ἰῶτα ῥαψῳδίᾳ κεῖται.

4.985 δεξιῶς δὲ ἡ Ἑλένη πρὸς τὸ «εἴ τίς με ἐνίπτοι» ἀντέθηκε τὸ «ἀλλὰ σὺ ἐπέεσσι παραιφάμενος κατέρυκες», οἱονεὶ φαμένη ὡς, ἐὰν καί τις ἐλύπει με λόγοις, σὺ αὖθις παρεμυθοῦ, κατεπᾴδων λόγοις καὶ κωλύων τὸν ἐνίπτοντα. [Ὃν καὶ ἐνίσσοντά ἐστι λέγειν ἐκ τοῦ ἐνίσσω, τὸ κακολογῶ, οὗ χρῆσις πρὸ βραχέων ἔκειτο. δοκεῖ δὲ καὶ ὁ Ἕκτωρ, καθὰ καὶ οἱ δημογέροντες οἱ ἐν τῇ γάμμα ἐπὶ τῷ τῆς Ἑλένης κάλλει ἐξεπλήττοντο, διατεθεῖσθαι καὶ αὐτός—καί που συλλαλεῖ ἐκείνοις τὸ «οὐ νέμεσις» καὶ ἑξῆς— καὶ πρὸς τὸ κάλλος τῆς Ἑλένης ἐκκεκωφῆσθαι, ὅπερ Εὐριπίδης γλυκέως ἅμα καὶ τολμηρῶς καί, ὡς εἰπεῖν, ἐπιφωνηματικῶς ἐπὶ ξιφῶν ἔγραψεν. εἰ δὲ τὸ κάλλος τοῖς παλαιοῖς τίμιον ἐκρίθη, οὐκ ἔστιν ἀμφιβαλεῖν. ἥρωάς τε γὰρ τοὺς καλοὺς ἐφήμιζον, καὶ ἡρῷα ἵδρυον αὐτοῖς. δι᾽ αὐτὸ δὲ καὶ τὸν Ἔρωτα πολλαχοῦ ὑπερετίμων. Θεσπίοις γοῦν Ἔρωτος χάριν τὰ Ἐρωτίδια ἦγον ὡς οἷά τινα Ὀλύμπια καὶ Παναθήναια. καθίστων δὲ πολλοὶ καὶ βασιλέας τοὺς καλλίστους, ὡς οἱ Ἀθάνατοι καλούμενοι Αἰθίοπες, καθὰ καὶ ὁ Δειπνοσοφιστὴς ἱστορεῖ, ὃς εἰπὼν καὶ ὅτι ἔοικε τὸ κάλλος βασιλείας οἰκεῖον εἶναι, καὶ λαλήσας εἰς τοῦτο, περαιοῖ τὸν λόγον, ὡς καὶ ἡμεῖς τῶν ἀψύχων τὰ κάλλιστα προκρίνομεν, θεὶς ἐν μέσῳ καὶ ὡς διὰ κάλλος καὶ Ζεὺς διὰ κεράμων χρυσὸς ἔρχεται, ταῦρος γίνεται, ἀετὸς πτεροῦται πολλάκις, ὥσπερ καὶ ἐπ᾽ Αἰγίνῃ. Πρίαμος δὲ εἰπὼν οὔπω καλὸν ἰδεῖν βασιλέα κατὰ τὸν Ἀγαμέμνονα, πρὸς ἑτέρους καλοὺς βασιλεῖς αὐτὸν παραβάλλει. ἐθαυμάζετο δέ, φασί, καὶ κατὰ Σπάρτην μᾶλλον ὁ κάλλιστος καὶ ἡ καλλίστη. πολλῶν δὲ τοιούτων ὁ τόπος εὐφόρει. διὸ καὶ Ἀρχίδαμος ὁ βασιλεὺς ἐζημιώθη πρὸς τῶν ἐφόρων, οἷα καλῆς γυναικὸς αἰσχρὰν πλουσίαν ἀλλαξάμενος, ἐπεὶ βασιλισκοὺς ἀντὶ βασιλέων τῇ Σπάρτῃ γεννᾶν προαιρεῖται.] (v. 772) Ἡ δὲ ἀγανοφροσύνη διαφέρει ἀγανῶν ἐπέων, παρόσον οὔτε ὁ ἀγανόφρων ἐξ ἀνάγκης ἀεὶ ἀγανὰ λαλεῖ, ἔστι γὰρ ὅτε καὶ δριμύξεται, οὔτε τὸ ἀγανὸν ἔπος ἀγανοφροσύνην δηλοῖ ἀεί.

4.986

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τί γάρ, εἴπερ ὑποκέκριται; (v. 773) Τὸ δὲ «ἄμμορον» σύμφωνόν ἐστι τῷ «ὡς πρὶν ὤφελλον ὀλέσθαι». δύσμορος γὰρ καὶ ὁ, μὴ δέον ὂν ζῆν, ὅμως τῷ βίῳ περιών. καὶ ἐν τούτοις μὲν καὶ τὰ τῆς Ἑλένης. Σημειωτέον δὲ ὡς ἐν κεφαλαιώδει ἐπαναλήψει, ὅτι εἰς ἔλεον καταστρέφει τὴν Ἰλιάδα ὁ ποιητής, ὅθεν λαβόντες ἀρχὴν καὶ οἱ δικανίζοντες ἐσχάτους ἐν λόγοις τοὺς οἴκτους ἐτίθεσαν, κινοῦντες τὸν ἀκροατήν. καὶ προκατάρχει μὲν θρήνου ἡ Κασσάνδρα κωκύσασα καὶ τὸν λαὸν δὲ συγκαλεσαμένη πρὸς θέαν ὡς οἷα καὶ κῆρυξ, καί τινα βραχὺν ὑπειποῦσα ἔπαινον, ὅτε καὶ οὐδεὶς ἐν τῇ πόλει ἐλείπετο ἐπὶ τῇ θέᾳ τοῦ νεκροῦ καὶ ὅτι ὁ γέρων βασιλεὺς παραδόξως σέσωστο. εἶτα θρηνοῦσιν ἄνδρες ἀοιδοὶ θρήνων ἔξαρχοι ᾄδοντες τὰ συνήθη, ὡς εἰκός. Ὅμηρος γάρ, οὕτω δόξαν αὐτῷ, οὐδὲν περὶ τούτων ἐπισημαίνεται. «ἐπὶ δ᾽ ἐστενάχοντο γυναῖκες». εἶτα δὴ αὐταῖς Ἀνδρομάχη ἄρχει γόοιο, μονῳδοῦσα ὅσα γυνὴ σώφρων ἐπ᾽ ἀγαθῷ καὶ ἀνδρείῳ ἀνδρὶ κειμένῳ. μετὰ δ᾽ αὐτὴν κλαίει Ἑκάβη, οὐδέν τι λέγουσα ὡς μήτηρ πρὸς παῖδα, ὀλίγον δὲ εἰποῦσα καὶ αὐτὴ ἔπαινον τοῦ υἱοῦ, ὡς θεοῖς φίλου καὶ μετὰ θάνατον.

4.987 ἀγροικότερον γὰρ ἡ γραῦς διάκειται, ἣ καὶ ἐν τοῖς πρὸ τούτων τῷ προκολπίῳ καὶ τῷ μαζῷ ἐπέτρεψε τὴν εἰς τὸν Ἕκτορα ἱκετείαν οὐ πολλά τινα φθεγξαμένη. ἐπὶ δὲ πᾶσι λαλεῖ καὶ ἡ Ἑλένη τεχνικῶς, τόν τε κείμενον ἐπαινοῦσα εἰς πραΰτητα, λέγουσα δέ τι καὶ ὑπὲρ Πριάμου, καὶ ἑαυτῆς καταφερομένη. ταύτῃ δὲ ἐπιστένει καὶ δῆμος ἀπείρων. καὶ τὸ ἐντεῦθεν τῶν μακρῶν θρήνων ἀπαλλαγεὶς ὁ νεκρὸς ὀψέ ποτε θάπτεται. Σημείωσαι δ᾽ ἐν τούτοις, ὅτι οὐ λέγει ὁ ποιητής, τί ἂν εἶπεν ὁ δῆμος ἢ αἱ γυναῖκες, ὥσπερ οὐδὲ οἱ ἀοιδοί, ἐπὶ τῷ κειμένῳ. δυσχερὲς γὰρ τὰ τοιαῦτα μιμεῖσθαι. τὴν δὲ ἰσχὺν αἱ ἠθοποιΐαι ἐπὶ τῶν καθέκαστα μάλιστα ἔχουσι. διὸ καὶ ὁ ποιητὴς ἐν τοῖς κοινοῖς ἠθοποιεῖ ἀρχόμενος οὕτω «ὧδε δέ τις εἴπεσκε», μερικεύων τὸ κοινὸν διὰ τοῦ τὶς ἀορίστου ὀνόματος. οὐ λέγει δέ τι ἐν τούτοις οὐδ᾽ ὁ Πρίαμος, διότι τε τὴν τοῦ γέροντος ῥητορικὴν ἔφθη ὁ ποιητὴς ἐπιδείξασθαι ἀλλαχοῦ, ὡς καὶ προεδηλώθη, ὃν καὶ Ἀχιλλεὺς ἐθαύμαζε μῦθον ἀκούων, καὶ ὅτι τὸ πᾶν τῆς ταφῆς ἀνύων θρήνοις οὐκ ἐνευκαιρεῖ. (v. 777—81) Ὅτι πλατύνας ἐν τοῖς ἔμπροσθεν ὁ ποιητὴς τὰ τῆς πυρᾶς τοῦ Πατρόκλου ἐπιτρέχει ἐνταῦθα τῇ τοῦ Ἕκτορος ταφῇ, τεχνικῶς καὶ συνήθως τοῦτο ποιῶν, ἵνα μὴ περιττολογῇ, καθὰ καὶ προσεσημείωται, καὶ μυθολογεύῃ τὰ ἀριζήλως εἰρημένα, ὥς που αὐτός φησι. καὶ λέξεσι μὲν καὶ στίχοις τισὶ χρᾶται τῶν ἐν τῷ Ἐπιταφίῳ, οὐδὲν δὲ ἐνδιασκευῶς λαλεῖ, ἀλλὰ φράζει γοργῶς· ὃς ἐκέλευσεν ἄξειν Τρῶας ξύλα ἄστυδε, μηδὲ θυμῷ δειδιότας πυκινὸν λόχον, ὡς Ἀχιλλεύς, φησί, «πέμπων μ᾽ ὧδε», ἤγουν οὕτως, «ἐπέτελλεν», ὑποσχόμενος «μὴ πρὶν πημανέειν πρὶν δωδεκάτη μόλῃ ἠώς». (v. 782—92) Καὶ αὐτὸς μὲν «ὣς ἔφατο. οἱ δ᾽ ὑπ᾽ ἀμάξῃσι βόας ἡμιόνους τε ζεύγνυσαν, αἶψα δ᾽ ἔπειτα πρὸ ἄστεος ἠγερέθοντο, ἐννῆμαρ μὲν τοί γε ἀγίνεον ἄσπετον ὕλην», ὡς τηλόθι τῆς ὕλης οὔσης, καθὰ ἐδηλώθη. «ἀλλ᾽ ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς, καὶ τότ᾽ ἄρ ἐξέφερον θρασὺν Ἕκτορα δακρυχέοντες. ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν», ὥς που καὶ ὁ τοῦ Πατρόκλου ἐτέθη νεκρός, «ἐν δ᾽ ἔβαλον πῦρ». πρωῒ δὲ «ἀμφὶ πυρὴν κλυτοῦ Ἕκτορος ἔγρετο λαός. οἳ πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ πᾶσαν», ὡς καὶ ἐν τῷ Ἐπιταφίῳ, «ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα ὀστέα λευκὰ λέγοντο κασίγνητοι ἕταροί τε, μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν. καὶ τά γε χρυσέην ἐς λάρνακα θῆκαν ἑλόντες, πορφυρέοις πέπλοισι καλύψαντες μαλακοῖσιν· αἶψα δ᾽ ἄρ ἐς κοίλην κάπετον θέσαν αὐτὰρ ὕπερθε πυκνοῖσιν λάεσσι κατεστόρεσαν μεγάλοισι· ῥίμφα δὲ σῆμ᾽ ἔχεαν· περὶ δὲ σκοποὶ εἵατο», ἤγουν ἐκάθηντο, «πάντῃ», καὶ ἑξῆς.

4.988 (v. 799 s.) Καὶ ὅρα ὅτι ὁ Πρίαμος, εἰ καὶ μή πω ἦν δωδεκάτη, ὥστε καὶ πολεμίξειν, εἴπερ ἀνάγκη, ὅμως προμηθευτικῶς, ἀσφαλείας χάριν στρατηγικῆς, ἐκάθισε σκοποὺς οὐχ᾽ ἁπλῶς, ἀλλὰ «πάντῃ, μὴ πρίν», φησίν, «ἐφορμηθεῖεν ἐϋκνήμιδες Ἀχαιοί». ὃ δὴ ἐλλιπῶς ἐλέχθη καὶ συντόμως καθ᾽ ὁμοιότητα τῶν πραττομένων. δηλοῖ γὰρ τὸ μὴ πρὶν ταφῆναι τὸν νεκρὸν καὶ σῆμα χωσθῆναι ἐφορμηθῶσιν οἱ πολέμιοι. (v. 783 s.) Ἰστέον δὲ ὅτι τε τὸ «αἶψα δ᾽ ἔπειτα» δὶς ἐν

τοῖς ῥηθεῖσι κεῖται, καὶ ὅτι ἐκ τοῦ «πρὸ ἄστεος» τὸ προάστειον παρὰ τοῖς ὕστερον σύγκειται, καὶ ὅτι ἐν τῷ ἀγινέμεν ὕλην, ὅ ἐστιν ἄγειν, φέρειν, μετακομίζειν, δηλοῦται ὡς καὶ τὸ ὕλην ἀξέμεν τὸ ἀγαγεῖν μᾶλλον δηλοῖ, οὐ μὴν τὸ κλάσαι. πάντως γὰρ ἀγινεῖν μόνον τὸ ἄγειν, οὐ μὴν καὶ τὸ κλᾶν. τὴν δὲ ὕλην ξύλα πρὸ βραχέων ὁ γέρων ἔφη. Τὸ δὲ «ἄσπετος ὕλη» μεγεθύνει τὴν ξυληγίαν, ἵνα μὴ τῇ περὶ αὐτῆς βραχυλογίᾳ συγκατασμικρύνοιτο. (v. 785) Τὸ δὲ «ἐφάνη φαεσίμβροτος ἠώς» κυριολεξίαν τε ἔχει τοῦ «ἐφάνη» καὶ τρόπον δὲ ἐτυμολογικόν. ἀπὸ τοῦ φάειν γὰρ τὸ φαίνειν γίνεται. ἅμα δὲ καὶ συγγενεῖς αὗται τρεῖς ὁμοῦ συνῆλθον λέξεις ἐν παραθέσει. ἠώς τε γὰρ ἀπὸ τοῦ αὔειν, ὅ ἐστι λάμπειν, καὶ τὸ φαίνειν δὲ καὶ τὸ φαέθειν, ἐξ οὗ ἡ φαεσίμβροτος, τῷ λάμπειν ᾠκείωνται. καὶ ἄλλως δὲ τὸ «ἐφάνη φαεσίμβροτος ἠώς» πάνυ σαφῶς φράζει τὴν πρωΐαν ἤπερ κατωτέρω τὸ «ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς», ὃ πολλαχοῦ τῆς Ὁμηρικῆς ποιήσεως κεῖται. (v. 786) Τὸ δὲ «ἐξέφερον» εἰς ταφὴν δηλαδή, τὴν παρὰ τοῖς μεθ’ Ὅμηρον παράγει ἐκφοράν, ἣ δηλοῖ ταφήν. ἐξ αὐτοῦ δὲ καὶ τὸ ἐκφορεῖν, γόμον δηλαδὴ νηός, πρὸς ὃ ἔχει ὁμοιότητα καὶ τὸ διαφορεῖν, ὡς δῆλον ἐκ τοῦ «διαφορήσω σε» ὃ κεῖται παρὰ τῷ Κωμικῷ. θρασὺν δὲ Ἕκτορα λέγει τόν ποτε δηλαδὴ τοιοῦτον, ὥς που καὶ Πρίαμον εὐμελίην τὸν ἦν ὅτε αἰχμητήν.

4.989 παραπέμπει γὰρ σεμνῶς ὁ ποιητὴς τὰ καλὰ ἐπίθετα τοῖς ἥρωσι καὶ ὅτε μὴ ἔχουσι κατ’ αὐτὰ ἐνεργεῖν, καί πως κειμηλιοῖ ἐκείνοις οὕτως αὐτά. (v. 795) Ὅρα δὲ καὶ ὅτι χρᾶται κἀνταῦθα τῇ λέξει τῆς λάρνακος, καὶ ὅτι ἐφιλοτιμοῦντο οἱ παλαιοὶ τὴν ἐν λαμπροῖς σκεύεσι ταφήν. χρυσῆ γοῦν καὶ ἐνταῦθα λάρναξ. πρὸ δὲ ταύτης ὁμοία φιάλη, κειμήλια ταῦτα τοῖς ἐθέλουσι τυμβωρυχεῖν. Ἄιδεται δὲ καὶ Κύρου τάφος πολύολβος, κακὰ δὲ παθὼν ὑπὸ τῶν τὰ τοιαῦτα λιχνευομένων. ἐτέθη καὶ Ἀλέξανδρος ὁ Μακεδὼν ἐν χρυσῇ πυέλῳ. ὕστερον δὲ αὐτῆς ἔκβλητος πεσὼν ὑελίνην ἔλαχε. (v. 798) Σημείωσαι δὲ καὶ ὅτι ἄχρι μὲν τοῦ καταστρωμοῦ τῶν λίθων τάφος ἦν, τὸ δὲ ἐπάνω χῶμα σῆμα ἦν, ὅ ἐστι σημεῖον καὶ δήλωσις τοῦ τετάφθαι τινὰ ἐκεῖ. ἐξωγκοῦντο δὲ χώμασιν οἱ τάφοι, τυχὸν μὲν διὰ κενὴν δόξαν, ὡς ἂν εἶεν ἀπόβλεπτοι, καὶ τῷ περὶ αὐτοὺς καὶ συμφύτῳ χροῒ κρυβέντες τῷ ἀλλοτρίῳ καὶ ἐπιθέτῳ φαίνοιντο, ἴσως δὲ καί, ἵνα μὴ τοῖς ἀνορύττειν βουλομένοις ὦσι ῥᾳονες. [Ὡς δὲ πάνυ ἐσπουδάζετο καὶ ἡ πυρὰ καὶ ἡ λαμπρὰ ταφὴ τῶν νεκρῶν, οὗ ἕνεκεν εἴρηται τὸ «θάπτε μ’ ὅτι τάχιστα πύλας Ἀΐδαο περήσω» δηλοῦσι μὲν καὶ τὰ παλαιὰ τῶν πολυανδρίων χώματα, δηλοῖ δὲ καὶ ὁ γράψας, ὡς πολλὴ καὶ τῶν τοιούτων ἐπιμέλεια ἦν ποτὲ καὶ αἱ τῶν νεκρῶν πυραὶ θυμὸν ἀνδρικὸν ἀνῆπτον, καὶ ἦν καὶ τοῦτο ταῖς πόλεσιν ὠφέλεια ἐκ τῶν κειμένων. ἡ δὲ ἱστορία ἐπαινεῖ τὸν Πεισίστρατον, ἐπειδὴ περιήγετο ἀεὶ νεανίσκους δύο ἢ τρεῖς ἔχοντας κέρματα, ἐξ ὧν διδοὺς εἰσέφερέ τι καὶ εἰς ταφήν.

4.990 δηλοῖ δὲ τὸ τῆς ὁσίας, ταὐτὸν δ’ εἰπεῖν ταφῆς, τίμιον καὶ ὁ μιάστωρ Πέρσης, ὃν θαπτόμενον ἀνέπτυεν ἡ γῆ ποινῆς λόγῳ, ἵνα μὴ ὁ τὴν μητέρα χράνας καθαροῦ νεκροῦ τιμὴν λάχοι. καὶ ὅσοι δὲ διηγοῦνται ἄταφοι παραρρίπτεσθαι, διαφαίνουσι ταφῆς τιμιότητα, ἧς αὐτοὶ στέρονται. μνηστέον δ’ ἐνταῦθα καὶ Καλλιξείνου τοῦ Ἀττικοῦ, ὃς ἐτιμήσατο θανάτῳ στρατηγοὺς ἀθλίους ἐκείνους, οἳ χειμῶνος ἐπικειμένου σφοδροῦ, ἐκωλύθησαν ὁσιώσασθαι ταφαῖς τοὺς ἐν ναυμαχίᾳ πεσόντας.] (v. 793) Κάπετος δὲ καὶ νῦν ὁ ἐσκαμμένος λάκκος. κεῖται δὲ ἡ λέξις καὶ παρὰ Σοφοκλεῖ. ἔστι δὲ ἡ τάφρος συνηθέστερον ὄνομα τῆς καπέτου, ἥτις παρὰ τὸ σκάπτειν γίνεται ἐλλείψει τοῦ ς . (v. 796 et 798) Τὸ δὲ «πέπλοισι μαλακοῖσι» καὶ τὸ «πυκνοῖσι λάεσσι μεγάλοισι» τὰ κατὰ κάλλος πάρισα, καλόν τινα οἷον κόσμον ὁ ποιητὴς τῇ ταφῇ τοῦ Ἕκτορος ἀνατέθεικεν, ἵνα μὴ διόλου σκυθρωπὸν αὐτῷ ἄλλως εἴη τὸ δρᾶμα. (v. 799 et 801) Ὅρα δὲ καὶ ὅτι, ὥσπερ ἀλλαχοῦ, οὕτω κἀνταῦθα ἐπὶ χώματος τὸ χέειν τίθησι καιριώτατα, ἐξ οὗ καὶ ὁ χοῦς καὶ τὸ χῶμα. φησὶ γὰρ «ῥίμφα δὲ σῆμα ἔχεαν», καὶ «χεύαντες δὲ τὸ σῆμα πάλιν κίον», ἤγουν ἐπαλιννόστησαν. Τὸ δὲ «ῥίμφα» «αἶψα» εἶπεν ἀνωτέρω, θελήσας τὴν τοῦ ἔργου σπουδὴν διὰ τῶν ἐπιρρημάτων τούτων ἐνδείξασθαι. ταῦτα δὲ ποιητικώτερα μὲν τοῦ «τάχα», ἰσοδύναμα δέ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(v. 802—4) Ἐπὶ δὲ πᾶσιν ὁ ποιητὴς ἐν βραχεῖ γράψας, ὅτι «εὖ συναγειρόμενοι δαίνυντο ἐρικυδέα δαῖτα» καὶ οἱ ἀμφὶ Πρίαμον, τουτέστιν ἐποιήσαντο συνήθως τὸν ἐπὶ τῷ νεκρῷ τάφον, ὃς δαῖτα ἐδήλου, εἶτα σχήματι συμπληρωτικῷ κατακλείει τὴν ποίησιν, εἰπὼν «ὣς οἵ γ’ ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο», ἀμφιέπειν κἀνταῦθα εἰπὼν τὸ ἐνεργεῖν, ἢ λόγοις παρὰ τὸ ἔπω, τὸ λέγω, ἢ σωματικαῖς κινήσεσι παρὰ τὸ ἕπω, τὸ ἀκολουθῶ. Ὅρα δὲ τὸ «συναγειρόμενοι δαίνυντο δαῖτα» ὅτι τε Ἀττικῶς πέφρασται κατὰ τὸ «βουλὴν βουλεύουσι» καὶ τὰ ὅμοια, [καὶ ὅτι μὴ συμποσίου προκειμένου, καθὰ οὐδὲ ἐν τῷ δόρπῳ τῷ ἐπὶ τοῦ Πατρόκλου, οὔτε εἰς δεκάδας ἀριθμοῦνται οἱ δαινύμενοι, ὥς που ὁ βασιλεὺς Ἀγαμέμνων διώρισεν, οὔτε μὴν εἰς μετριώτερον ἀριθμόν, ὡς ἔπαιξε συμποσιακῶς Ἀρχέστρατος ὁ Συρακούσιος, γράψας τὸ «ἐν μιᾷ πάντας δειπνεῖν ἀβρόδαιτι τραπέζῃ.
4.991 ἔστωσαν δέ», φησί, «ἢ τρεῖς ἢ τέσσαρες οἱ ξύμπαντες ἢ τῶν πέντε γε μὴ πλείους. ἤδη γὰρ ἂν εἴη μισθοφόρων ἁρπαξιβίων σκηνὴ στρατιωτῶν». ἀλλ’ οὐδὲ εἰς τόπους ῥητούς, ὥσπερ καὶ ἄνδρας, μετροῦνται κατὰ τὸν ἱστορήσαντα, ὡς ἡ τῶν Καρνήων παρὰ Λάκωσιν ἑορτὴ μίμημα ἦν στρατιωτικῆς ἀγωγῆς. τόποι μὲν γάρ, φησίν, ἐννέα τῷ ἀριθμῷ, σκιάδες μὲν καλούμενοι, σκηναῖς δέ τι ἔχοντες παραπλήσιον· ἐννέα δὲ καθ’ ἕκαστον ἄνδρες ἐδείπνουν. φιλία ἴσως καὶ ἐκεῖ ἀριθμοῦ Ὁμήρῳ φίλου τοῦ ἐννέα. διὸ καὶ ἐπάγει ὁ τοῦθ’ ἱστορήσας τὸ «γίνεται δὲ ἡ ἑορτὴ ἐφ’ ἡμέρας ἐννέα». καί πως ἔοικε πρὸς ταῦτα τὸ «ἐννέα δ’ ἕδραι ἦσαν. προΐσχοντο δὲ ἀφ’ ἑκάστης ἐννέα ταύρους», ὅπερ ἡ Ὀδύσσεια ἱστορεῖ. καὶ οὕτω μὲν καὶ ταῦτα.] Εἰ δὲ καὶ ὁ ἀγερμὸς τῶν δαινυμένων οἷός τε καὶ ὅσος ἦν σιωπᾶται καὶ ἡ τῆς δαιτὸς ποιότης, δοτέον καὶ αὐτὸ τῇ προσημανθείσῃ ἐπιτομῇ, δι’ ἣν καὶ ἀέθλων ἀγέραστος ὁ Ἕκτωρ κεῖται, οἰκτρὸς μὲν ἄλλως τά γε ἄλλα, Ὁμήρῳ δὲ οὐ τοιοῦτος, ὅτι μηδὲ Ἀχιλλεῖ τῷ φίλῳ. Τέλος τῆς Ἰλιάδος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org